ἡ γὰρ αὐτοτριάς, φασίν, οὐκ ἔστιν ὅπερ τὸ τρίτον μέρος τῆς αὐτοεννεάδος, οὐδὲ τὸ ἥμισυ τῆς αὐτοεξάδος. εἰ τοίνυν τοιοῦτοί εἰσιν οἱ εἰδητικοὶ ἀριθμοί, οὐκ ἂν εἶεν αἴτιοι τῶν ἁρμονιῶν· ἐν γὰρ ταῖς συμφωνίαις οἵ τε ὁμόφωνοι φθόγγοι ἴσοι εἰσί, καὶ ἡ νήτη διπλασία τῆς ὑπάτης ἐπιτέταται, καὶ ὅλως ὁ δʹ τοῦ ὀκτὼ ἥμισυς καὶ τοῦ τρία ἐπίτριτος, ὡς ἂν ἀδιαφόρων οὐσῶν τῶν ἐν αὐτοῖς μονάδων. συλλογίζεται οὖν οὕτως. αἱ εἰδητικοὶ ἀριθμοὶ διαφόρους ἔχουσι μονάδας· οἱ συνιστάντες τὰς ἁρμονίας ἀριθμοὶ οὐκ ἔχουσι διαφόρους μονάδας· οὐκ ἄρα οἱ εἰδητικοὶ ἀριθμοὶ συνιστᾶσι τὰς ἁρμονίας· ὥστε εἴ τις αὐτοὺς διὰ τοῦτο εἶναι λέγει, ψευδῶς λέγει.

1093 b 24. ταῦτα εἰπὼν συμπεραίνεται τὸν σύμπαντα λόγον, λέγων· τὰ μὲν οὖν συμβαίνοντα τοῖς εἰδητικοὺς ἀριθμοὺς ποιοῦσι καὶ τοῖς χωριστὰ τὰ μαθηματικὰ τιθεμένοις καὶ αἴτια τῶν φυσικῶν λέγουσι τὰ ῥηθέντα ἐστί, καὶ ἔτι πλείω τούτων συναχθείη, τὰ περὶ τῶν εἰδῶν γραφέντα αὐτῷ δύο βιβλία, ἄλλα ὄντα παρὰ τὸ Μ καὶ Ν, καὶ ἐκτὸς τῆς Μετὰ τὰ Φυσικὰ συντάξεως. καὶ ἔοικε, φησί, τεκμήριον καὶ πίστις ἱκανὴ εἶναι τοῦ μὴ εἶναι χωριστὰ τὰ μαθηματικὰ τῶν αἰσθητῶν μηδὲ πολλῷ μᾶλλον αἴτια τῶν τῇδε τὸ πολλὰ κακοπαθεῖν αὐτοὺς περὶ τὴν γένεσιν αὐτῶν καὶ τὸ κατασκευάσαι ὡς εἰσί, μὴ δυνηθῆναι δὲ τοῦτο ποιῆσαι, μηδὲ συνείρειν καὶ ἀκολουθεῖν καὶ αἰτίας ἀποδιδόναι ἐφ' ἑκάστου τῶν ἀπορουμένων καὶ ἐπαγομένων αὐτοῖς, μηδὲ λύειν τὰς ἐπαγομένας αὐτοῖς ἐνστάσεις, πρὸς ἃ ἂν εἴπωσι ὑπὲρ τῶν εἰδῶν καὶ τῶν ἄλλων ἁπάντων.

ὧδε μὲν οὖν τέλος ἔσχεν αὐτό τε τὸ Ν καὶ ἡ σύμπασα τῶν Μετὰ τὰ Φυσικὰ σύνταξις καὶ αἱ εἰς αὐτὸ σχολαί.

πέντε, τῆς διὰ πασῶν, συντεθεισῶν συμφωνίαι ἄλλαι γίνονται, ἥ
τε δὶς διὰ πασῶν καὶ αἱ λοιπαί, ἔδει καὶ ἐκ τῆς τῶν διπλῶν τοῦ τε ζ
καὶ ξ ἄλλο τι γίνεσθαι στοιχεῖον. ἀλλ' οὐ γίνεται. οὐκ ἄρα ταῦτα ἐκεί-
νοις ὅμοια, οὐδὲ μὴν δι' ἐκείνας τοσαῦτα οὐδὲ τοιαῦτα. ἀλλὰ καὶ
Ἀρχῖνος ταύτῃ τῇ ἀποδόσει ἐχρῆτο, ὡς Θεόφραστος ἱστορεῖ· ἔλεγε
γὰρ Ἀρχῖνος μὴ ἔξω τι παρὰ τὴν μύσιν τῶν χειλέων ἐκφωνεῖσθαι,
ὥσπερ τὸ π, καὶ διὰ τοῦτο τὸ ψ πρὸς τῷ ἄκρῳ γεννᾶσθαι τῆς γλώτ-
της ὡς ἐκ τοῦ π καὶ σ συγκείμενον, ἢ τῷ πλάτει τῆς γλώττης
παρὰ τοὺς ὀδόντας, ὥσπερ τὸ δ, καὶ διὰ τοῦτο τὸ ζ κατὰ ταύτην γεν-
νᾶσθαι τὴν χώραν, ἢ τῷ κύρτῳ πιεζομένῳ ἐκ τοῦ ἐσχάτου, ὥσπερ τὸ
κ, ὅθεν τὸ ξ προϊέναι.

1093a 26. "ὅμοιοι δὲ καὶ οὗτοι τοῖς ἀρχαίοις Ὁμηρικοῖς·" τῶν ἐξηγουμέ-
νων τὸν Ὅμηρόν τινες τὸ ἀκόλουθον πρὸς ἑαυτοὺς μὴ σώζοντες ἐπὶ
γλίσχρας καὶ καταγελάστους ἐπινοίας καταφέρονται. ἀλλὰ πρὸ τῆς
τῶν λεγομένων σαφηνείας ῥητέον ὀλίγα τινὰ πάνυ συντελοῦντα
πρὸς τὴν τῶν ὑπ' αὐτοῦ λεγομένων διάρθρωσιν. οἱ τὸν Ὅμηρον *
ἐξηγούμενοι ἔπος κυρίως ἐκάλουν τὸν ἀπὸ δακτύλων μόνων συγκεί-
μενον στίχον καὶ τὸν τελευταῖον ἔχοντα πόδα τροχαῖον, τὸν δὲ ἀπὸ
δακτύλων καὶ σπονδείων ὄντα ἔπος λέγειν οὐκ ἠξίουν. πᾶς δὲ τοιοῦ-
τος στίχος ὁ ἀπὸ δακτύλων πάντων καὶ ἑνὸς τοῦ τελευταίου ποδὸς
τροχαίου συγκείμενος δέκα καὶ ἑπτὰ ἐξ ἀνάγκης συλλαβὰς ἔχων
εὑρίσκεται· ἐπεὶ γὰρ πᾶς στίχος ἴαμβός τε καὶ ἡρωϊκὸς ἑξάπους ἐστίν,
ἕκαστος δὲ τῶν δακτύλων ἐκ τριῶν σύγκειται συλλαβῶν, ὁ δὲ τρο-
χαῖος ἐκ δύο, οἱ μὲν πέντε δάκτυλοι τὰς πέντε καὶ δέκα συλλαβὰς
ἀπογεννῶσιν, ὁ δὲ τροχαῖος τὰς δύο, ὥστε ἐξ ἀνάγκης ἐστὶν ἐξ
ἑπτακαίδεκα συλλαβῶν τὸ ἔπος, ἀπὸ μὲν ιε' τῶν τοὺς πέντε συνι-
στώντων δακτύλους καὶ δύο τῶν τὸν τροχαῖον. τούτων οὕτως ἐχόντων
οἱ τὸν Ὅμηρον γελοίως ἐξηγούμενοι ψυχρευόμενοί φασιν ὅτι ἐπεὶ
μεταξὺ τῶν δύο χορδῶν, ὧν ἡ μείζων πρὸς τὴν ἐλάττονα λόγον
ἔχει ὃν ὁ ιβ' πρὸς τὸν ς', εἰσὶ δύο μέσαι ἔχουσαι πρὸς ἀλλήλας ὃν
ὁ θ' πρὸς τὸν η', ἐκ δὲ τοῦ θ' καὶ η' ἀποτελεῖται ὁ ιζ', διὰ τοῦτο καὶ τὸ
ἔπος ἐκ δέκα καὶ ἑπτὰ σύγκειται συλλαβῶν, ἰσάριθμον ὂν τὸ ἔπος
τούτοις τῷ τε θ' καὶ τῷ η'. ἀλλὰ βαίνεταί τε καὶ ἵσταται τὸ ἔπος καὶ τὸ
εἶναι ἔχει μὲν ἐν τῷ δεξιῷ, λέγων δεξιὸν τὸ ἀπὸ τῆς ἀρχῆς ἕως τοῦ
μέσου, ἀριστερὸν δὲ τὸ ἀπὸ μέσου ἕως τοῦ τελευταίου ποδὸς τοῦ τρο-
χαίου. βαίνεται δὴ ἐν μὲν τῷ δεξιῷ ἤτοι τῷ ἡμίσει τοῦ στίχου τῷ ἀπὸ
τῆς ἀρχῆς ἕως τοῦ μέσου ἐν ἐννέα συλλαβαῖς, τῷ δ' ἀριστερῷ,
τουτέστι τῷ λοιπῷ ἡμίσει τῷ ἀπὸ τοῦ μέσου ἕως τοῦ τέλους, ἐν
ὀκτώ. γελοῖον δὴ ὡς ἀληθῶς τὸ λέγειν ὅτι διὰ τὸ μεταξὺ τῶν δύο
ἄκρων χορδῶν δύο μέσας εἶναι, τὸ ἔπος σύγκειται ἐκ δέκα ἑπτὰ
συλλαβῶν· εἰ γὰρ ἀριθμοῖς χρῆται τὰ μέτρα, ὥσπερ οὖν καὶ χρῆται,
ἀλλ' οὐ κατὰ ταύτην τελεῖται τὴν μέθοδον. γελοῖον δὲ καὶ τὰ τρυπή-
ματα τοῦ αὐλοῦ, οἷς οἱ αὐληταὶ χρῶνται, διὰ τὰ γράμματα εἴκοσι καὶ
τέσσαρα ποιεῖν, ἢ προσαρμόζειν τὰ κδ' στοιχεῖα τῇ ὁλότητι τοῦ
κόσμου. βόμβυκα δὲ λέγει τὸ μέγιστον καὶ πρῶτον ἐν τῷ αὐλῷ
τρύπημα, ἀφ' οὗ καὶ ὁ μέγιστος καὶ ὁ βαρύτατος ἦχος ἀποτελεῖται,
ὀξυτάτην δὲ τὸ ἐλάχιστον ἔσχατον, αὐτό φημι τὸ κδ', ἀφ' οὗ ὀξύτα-
τος ἀποτελεῖται φθόγγος. ἀντὶ τοῦ, ἢ τινὶ τῶν κδ' στοιχείων ὁλό-
τητι ἡ τοῦ οὐρανοῦ ὁλότης προσαρμόζεται. εἰπὼν δὲ ταῦτα, λέγει
"ὁρᾶν δὲ δεῖ μὴ τοιαῦτα οὐδεὶς ἂν ἀπορήσειεν," ὃ ἴσον ἐστὶ τῷ, 1093b 5.
ἐπειδὴ τὰ ἀΐδια τέτακται καὶ ἀεὶ ὡσαύτως ἔχει, πολλὴ ἐπ' αὐτῶν
εὐπορία τοῖς θεωρήμασι χρῆσθαι τῶν ἀριθμῶν, ὅπου γε καὶ ἐπὶ τῶν
ἄλλοτε ἄλλως διακειμένων (ταῦτα γὰρ εἶπε φθαρτά) ἔστι πολλὰ
ἐπινοεῖν· τίς γὰρ ἂν ἀπορήσειεν λέγειν ὅτι ὁ καρκίνος ἐκ τοσῶνδε
ἀστέρων ἐστί, διότι καὶ ὁ ἀριθμὸς καθ' ὃν ἔστι τοιόσδε ἐστίν; ἢ ὅτι ὁ
κόσμος ἴσος ἐστὶ τοῖς κδ' στοιχείοις, ὅτι τὰ μὲν ζώδια ιβ' ἐστίν, αἱ
σφαῖραι δὲ ὀκτώ, τὰ δὲ στοιχεῖα δ', ἢ ὅτι οἱ τὸν στέφανον ἀποπλη-
ροῦντες ἀστέρες τόσοι εἰσὶ διὰ τὸ καὶ τόνδ' εἶναι ἀριθμὸν τοσόνδε καὶ
τοιόνδε εἶναι. ἀλλὰ καὶ οἱ ὀδόντες τῶν ἀνθρώπων τόσοι διὰ τὸν ἀριθ-
μόν. "ἀλλ' αἱ ἐν τοῖς ἀριθμοῖς φύσεις αἱ ἐπαινούμεναι καὶ τὰ τού- 1093b 7.
τοις ἐναντία καὶ ὅλως τὰ ἐν τοῖς μαθήμασι." φύσεις ἀριθμοῦ λέγει
τὰ ὑπὸ τὴν ἀμείνονα συστοιχίαν τοῦ ἀριθμοῦ· δύο γὰρ συστοιχίας, ὡς
πολλάκις εἴρηται, ἐποίουν, τὴν μὲν τῶν ἀγαθῶν, ὑφ' ἣν ἔταττον τὸ
ἕν, τὸ φῶς, τὸ περιττόν, τὰ ὅμοια, ἄλλην δὲ τοῦ κακοῦ, ὑφ' ἣν τὸ
πλῆθος, τὸ σκότος, τὸ ἄρτιον, τὰ ὅμοια. ἦν δὲ ἂν σαφεστέρα ἡ
λέξις, εἰ ἀντὶ τοῦ "ἀλλ' αἱ ἐν τοῖς ἀριθμοῖς φύσεις ἐπαινούμεναι" 1093b 15.
εἶχεν, ἔτι αἱ ἐν τοῖς ἀριθμοῖς φύσεις ἐπαινούμεναι. "καὶ τὰ τούτοις
ἐναντία·" καὶ εἴρηται τίνα ταῦτα. ὡς λέγουσιν οἱ τοὺς ἀριθμοὺς τιθέ-
μενοι καὶ αἴτια ποιοῦντες τὰ ἐν τοῖς μαθήμασι τῶν φυσικῶν, ἔοικε
διαφεύγειν καὶ μὴ δύνασθαι κατ' οὐδένα τρόπον τῶν περὶ τὰς ἀρχάς·
οὔτε γὰρ ὡς ποιητικὰ οὔτε ὡς τελικὰ οὔτε ὡς τελικὰ ἢ εἰδικὰ αἴτια
κατ' οὐδένα τρόπον εἶναι δύνανται τῶν φυσικῶν. ἀλλ' αἴτια μὲν τῶν
τῇδε εἶναι δύνανται· ὡς μὲν ποιοῦσι, καὶ καθ' ὃν τρόπον τὰ πράγματα
τάττουσιν, ἔνεστι τὸ εὖ καὶ ἐν σχήμασι καὶ ἐν χρώμασι καὶ ἐν ἀριθμοῖς
καὶ ἐν ἑκάστοις καὶ ἐν τῇ φύσει, ὁμοίως καὶ τὰ ἀντικείμενα τούτοις.
καὶ εἰσὶ τῆς συστοιχίας ταύτης, λέγω δὴ τοῦ καλοῦ, τὸ περιττόν, τὸ
εὐθύ, τὸ ἰσάκις ἴσον, ὥσπερ καὶ τῆς τοῦ κακοῦ τὸ ἄρτιον, τὸ μὴ
εὐθύ, τὰ ὅμοια· καὶ αἱ δυνάμεις ἐνίων ἀριθμῶν, οἷον τετραγώνων, 1093b 16.
τριγώνων, ἑξαγώνων, κύβων, τῶν ὁμοίων, ἔνεισι ἐν τοῖς σχήμασι
καὶ τοῖς ἄλλοις· οὐ μὴν ἡ ἀμείνων συστοιχία τοῦ ἀριθμοῦ· ἅμα γὰρ αἱ
ὧραι τέτταρες καὶ ὁ ἀριθμὸς ὁ δ', ὁμοίως καὶ τὰ ἄλλα, ὅσα συνά-
γουσιν ἐκ τῶν ἀριθμητικῶν θεωρημάτων, πάντα ταύτην ἔχει τὴν
δύναμιν, τουτέστιν ἅμα τοῖς πράγμασι καὶ αὐτά εἰσιν, ἀλλ' οὐ ταῦτα
αἴτια καὶ πρότερα τῶν πραγμάτων, τά τε πάθη τῶν ἀριθμῶν καὶ οἱ
ἀριθμοί, καὶ εἰσὶν οἰκεῖα ταῦτα πάντα καὶ ἓν τῷ ἀνάλογον. ἀλλὰ
πῶς ταῦτα οἰκεῖα; ἢ φησὶ καὶ ὥσπερ τὸ εὐθὺ οἰκεῖόν ἐστι τοῦ μήκους,
οὕτω τοῦ πλάτους τὸ ὁμαλόν, καὶ ἔστιν ἓν τὸ εὐθὺ καὶ τὸ ὁμαλὸν τῷ
ἀνάλογον· ὡς γὰρ τὸ εὐθὺ ἐν μήκει, οὕτως ἐν πλάτει τὸ ὁμαλὸν καὶ
ἐν ἀριθμῷ ἴσως τὸ περιττὸν καὶ ἐν χρώματι τὸ λευκόν. τὰ μὲν οὖν
λεγόμενα ταῦτα· τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον οὕτω·
κατ' οὐδένα γὰρ τρόπον τῶν διωρισμένων περὶ τὰς ἀρχὰς οὐδὲν
αὐτῶν αἴτιόν ἐστιν· ἅμα γὰρ αἱ ὧραι καὶ ὁ ἀριθμὸς τοιοσδὶ καὶ τὰ
ἑξῆς· τὰ δ' ἄλλα μεταξὺ παρεμβέβληται. "ἔτι οὐχ οἱ ἐν τοῖς 1093b 21.
εἴδεσιν ἀριθμοὶ αἴτιοι τῶν ἁρμονικῶν καὶ τῶν τοιούτων." τοῦτο εἰς
τοὺς εἰδητικοὺς ἀριθμοὺς μόνους ἀπέρριπται, οὕς φασιν ἀσυμβλήτους
ἔχειν μονάδας, καὶ διὰ τοῦτο διαφορὰν δείκνυσθαι καὶ ἐπὶ τῶν ἴσων·

ρώνην καὶ ἔλαφον καὶ τὰ λοιπά, μᾶλλον δὲ ἀνάγκη κατά τινα καὶ αὐτὰ τῶν ἐντὸς τῆς δεκάδος εἶναι ἀριθμῶν· ὥστε εἴπερ ἔσται ἡ περιστερὰ κατὰ τὸν τρία, κατὰ τὸν αὐτὸν δέ ἐστι καὶ ὁ ἵππος, ἔσται ἡ περιστερὰ ἡ αὐτὴ τῷ ἵππῳ, ὅπερ ἀδύνατον. καὶ ἐπεὶ ὁ μὲν λέων κατὰ τὴν δυάδα ἐστὶ καὶ ὁ ἵππος κατὰ τὴν τριάδα καὶ ὁ βοῦς κατὰ τὴν τετράδα, ὁ δὲ σῦς κατὰ τὴν πεντάδα, ἔσται ὁ σῦς καὶ λέων καὶ ἵππος βοῦς. εἰπὼν δὲ ὅτι ἀνάγκη πολλὰ συμβαίνειν τὰ αὐτὰ καὶ ἀριθμὸν τὸν αὐτόν, οἷον τὸν τρία ἤτοι τὸν ἵππον, καὶ τῷδε καὶ ἐν ἄλλῳ ἀριθμῷ, οἷον συῒ
1093a 3 καὶ βοῒ εὑρίσκεσθαι, ἐρωτᾷ "ἆρ' οὖν τοῦτο αἴτιον," ἤτοι ἆρ' οὖν τὸ κοινωνεῖν πάντα ἀριθμοῦ αἴτιόν ἐστι τοῦ εἶναι τὰ πράγματα καὶ ὡς ἀληθῶς κατὰ ἀριθμὸν κεκόσμηται "ἢ ἄδηλον;" καὶ τοῦτο ἐρωτήσας, ὅπερ διὰ τοῦ "ἀνάγκη πολλὰ συμβαίνειν τὰ αὐτά, καὶ ἀριθμὸν τὸν αὐτὸν τῷδε καὶ ἄλλῳ" ἠνίξατο, σαφῶς ἐκτίθεται λέγων, οἷον ἔστι τις τῶν τοῦ ἡλίου φορῶν καὶ σελήνης ἀριθμὸς καὶ ἑκάστου βίου τῶν ζῴων καὶ ἡλικίας· τί οὖν κωλύει, μᾶλλον δ' ἀναγκαῖον, ὡς αὐτοί φασιν, ἐνίους τούτων τετραγώνους εἶναι, ἄλλους δὲ κύβους καὶ ἴσους· ὥστε εἰ πάντα ἀριθμοῦ κοινωνεῖ, ἐνδέχεται, εἰ δεῖ τὸ ἀναγκαῖον ἐνδεχόμενον λέγειν, ὑπὸ τὸν αὐτὸν ἀριθμὸν πίπτειν πλείονα καὶ διαφέροντα, ὥστε εἴ τισιν ὁ αὐτὸς ἀριθμὸς συμβέβηκεν, ὁμοειδῆ ἂν εἴη ἀλλήλοις κατὰ τὸν αὐτὸν ἀριθμὸν ὄντα. εἰ δέ τις ἐνιστάμενος λέγοι ὅτι καὶ ὁ ἵππος λόγου χάριν καὶ ὁ βοῦς κατὰ τὸν κύβον ἔσονται, ἀλλ' ὁ μὲν κατὰ τὸν ὀκτὼ ὁ δὲ κατὰ τὸν κζ', καὶ οὐκ ἔσονται οἱ αὐτοί, ἐπεὶ μὴ ὁ ὀκτὼ ὁ αὐτός ἐστι τῷ κζ', — εἰ οὖν τις τοῦτο λέγει, γινωσκέτω ὅτι οἱ κύβοι καθὸ κύβοι οὐδὲν διαφέρουσιν, ὥσπερ οὐδὲ τὸ παιδίον καὶ ὁ γίγας καθὸ ἄνθρωποι, ἀλλὰ μόνον κατὰ τὸ μεῖζον καὶ ἔλαττον, καὶ τὰ ὑπὸ τοὺς κύβους κατὰ μὲν τὸ εἶδος οὐκ ἂν διαφέροιεν, ἀλλ' εἴπερ ἄρα, κατὰ τὸ μέγεθος.

1093a 13 "ἀλλὰ διὰ τί αἴτια ταῦτα; τὰ ἑπτὰ μὴν φωνήεντα, ἑπτὰ δὲ χορδαὶ ἡ ἁρμονία." τὸ λεγόμενον οὕτως ἐπῆκται ὡς εἰ ἔλεγεν, ἀλλ' ἴδωμεν αὐτῶν τὰς κατασκευάς, δι' ἃς αἴτια λέγουσι ταῦτα, ταῦτα λέγων τοὺς ἀριθμοὺς τῶν πραγμάτων· τὴν ἑπτάδα γὰρ φασὶν ἐπαινοῦντες ὡς δι' αὐτὴν ἑπτὰ μέν εἰσι φωνήεντα, δι' ὧν ἡ ἐγγράμματος ἀποτελεῖται φωνή, ἑπτὰ δὲ φθόγγοι τῆς διὰ πασῶν καὶ ἁρμονίαι τοσαῦται, καίτοι δόξειεν ἂν πέντε ἢ ἓξ εἶναι ἄχρι τῆς δὶς διὰ πασῶν· ἔτι δὲ τὰς πλειάδας ἑπτά, ἐν ἑπτὰ δὲ ἔτεσι τοὺς ἐκ γενετῆς ὀδόντας βάλλει ἤτοι ῥίπτει καὶ ἄλλους ἐκφύει τὰ ζῷα, οἷς ἐπιφωνεῖ πάνυ ἐλεγκτικῶς τὸ "ἔνια δέ, ἔνια δ' οὔ·" πολλὰ γὰρ τῶν ζῴων οὐκ ἐν ἑπτὰ ἔτεσι τοὺς ὀδόντας βάλλει, ὡς ἐν τῇ περὶ Ζῴων Ἱστορίᾳ εἴρηται. ἀλλὰ καὶ διὰ τὸν ἑπτά φησιν ἀριθμὸν γενέσθαι τοὺς ἐν Θήβαις ὑπὸ Ἐτεοκλέους ἑπτὰ στρατηγούς. θεὶς οὖν ταῦτα δείκνυσιν ὡς οὐδὲν τούτων διὰ τὸν ἑπτὰ ἀριθμὸν γίνεται· οὔτε γὰρ διὰ τὸν ἑπτὰ οἱ ἑπτὰ στρατηγοὶ ἦσαν, οὔτε αἱ πλειάδες ὁμοίως ἑπτά, ἀλλ' ἐπειδὴ αἱ μὲν Θῆβαι ἑπτάπυλοι ἦσαν, ἐν ἑκάστῃ δὲ πύλῃ ὁπλίτας παρέστησεν ὁ Πολυνείκης κατεάξαι αὐτὰς ἢ κατακαῦσαι, ἐπὶ τούτῳ ἀντιπαραταττόμενος ἔνδοθεν ὁ Ἐτεοκλῆς πεποίηκε στρατηγούς, καὶ ἱκανοὺς στρατιώτας σὺν αὐτοῖς ἐπέστησεν αὐτοὺς ἐν ἑκάστῃ τῶν πυλῶν· εἰ δὲ πεντάπυλος ἦν, πέντε ἂν καὶ οἱ στρατηγοὶ ἐγένοντο. τὴν δὲ πλειάδα ἡμεῖς μὲν οὕτως ἀριθμοῦμεν καὶ δι' ἑπτὰ ἀστέρων καταστερίζομεν, τὴν δὲ ἄρκτον διὰ δώδεκα, οἱ δὲ Χαλδαῖοι προστιθέασι καὶ ἄλλους ἀστέρας καὶ τῇ πλειάδι καὶ τῇ ἄρκτῳ· ὥστε εἰ διὰ τὸν ἑπτὰ ἦν ἡ πλειὰς ἐξ ἑπτὰ ἀστέρων, διὰ τὸν δώδεκα ἡ ἄρκτος ἐκ δώδεκα, πάντες ἂν ὡς οἱ Ἕλληνες συνέταττον αὐτάς, ἀλλ' οὐχὶ οἱ Ἕλληνες οὕτω, Χαλδαῖοι δὲ καὶ Βαβυλώνιοι τὴν τῶν καταστερισμῶν θέσιν ἐποίουν ἄλλως. πρὸς τούτοις καὶ τὰ διπλᾶ σύμφωνα ζ ξ ψ τρία φασὶν εἶναι διότι καὶ αἱ συμφωνίαι τρεῖς καὶ ἀνάγειν αὐτῶν ἕκαστον εἰς ἑκάστην τῶν συμφωνιῶν πειρῶνται, τὸ μὲν ζ εἰς τὴν διὰ δ, τὸ δὲ ξ εἰς τὴν διὰ πέντε, τὸ δὲ ψ εἰς τὴν διὰ πασῶν. τοῦτο εἰπὼν ἐπιφέρει "ὅτι δὲ μυρία ἂν εἴη 1093a 21
τοιαῦτα, οὐθὲν μέλει," τουτέστιν ὅτι δὲ μυρία ἂν συμβαίη διπλᾶ εἶναι ἐξ ὧν λέγουσιν, οὐθὲν αὐτοῖς μέλει. πῶς δὲ καὶ ἄλλα πάμπολλα συμβαίνει διπλᾶ γίνεσθαι ἐξ ὧν φασί, τὴν αἰτίαν ἐπάγει λέγων "τὸ γὰρ γ καὶ ρ εἴη ἂν ἓν σημεῖον." εἰ γὰρ διότι αἱ συμφωνίαι τρεῖς, διὰ τοῦτο καὶ τὰ διπλᾶ, ὡς αὐτοί φασι, τρία ἐστίν, ἐπειδὴ πέντε ἢ ἓξ εἰσιν οἱ φθόγγοι ἄχρι τῆς διὰ πασῶν, ἔσονται καὶ τὰ διπλᾶ ἕξ· εἰ δὲ τοῦτο, συμβήσεται καὶ τὸ γ καὶ ρ ἓν εἶναι στοιχεῖον, ἀλλὰ καὶ τὸ λ καὶ ν καὶ τὰ λοιπὰ ὁμοίως. ἀντὶ δὲ τοῦ εἰπεῖν ὅτι συμβαίνει τὸ γ καὶ ρ ἓν εἶναι στοιχεῖον, εἶπεν ὅτι "ἓν σημεῖον," διότι ἓν ἕκαστον γράμμα σημεῖόν ἐστι τινων μονάδων· τὸ μὲν γὰρ β δύο μονάδων, τὸ δὲ γ τριῶν, τὸ ζ ἑπτά, τὸ ξ ἑξήκοντα καὶ τὰ λοιπὰ ὁμοίως· ὥστε κἂν διπλοῦν γένηται στοιχεῖον ἐκ τοῦ γ καὶ ρ, σημεῖον ἂν ἦν καὶ ἐκεῖνο τινῶν μονάδων. ταῦτα εἰπὼν λέγει αὐτὸς τὴν αἰτίαν καθ' ἣν συνέβη τρία μόνα εἶναι τὰ διπλᾶ καὶ οὐ πλείω, λέγων "εἰ 1093a 23
δὲ ὅτι διπλάσιον τῶν ἄλλων ἕκαστον, ἄλλο δ' οὔ," ἤτοι εἰ δὲ εἰκός ἐστι λέγειν ὅτι διὰ τοῦτό εἰσι τρία τὰ διπλᾶ, ὅτι ἕκαστον διπλάσιόν ἐστι τῶν ἄλλων (τὸ γὰρ ζ διπλάσιόν ἐστι τοῦ δ ἢ τοῦ σ καὶ τὸ ξ τοῦ σ ἢ τοῦ κ, καὶ τὸ ψ ὁμοίως τοῦ π ἢ τοῦ σ), — εἰ οὖν διὰ τοῦτό εἰσι τρία, ὅτι διπλάσιόν ἐστιν ἕκαστον ἑνὸς ὁποιουοῦν τῶν συνιστώντων αὐτό, τοῦτο ἂν αἴτιον τοῦ εἶναι τρία τὰ διπλᾶ καὶ ἄλλο οὐθέν. καὶ τὴν αἰτίαν ἐπάγει δι' ἣν ἐκ τοῦ διπλασίονα εἶναι τὰ διπλᾶ ὁποιουοῦν τῶν ἁπλῶν τρία εἰσί, λέγων, αἴτιον δὲ τοῦ τρία εἶναι τὰ διπλᾶ ἐκ τοῦ διπλασίονα εἶναι τῶν ἄλλων, ὅτι τριῶν ὄντων ἐν τῷ στόματι τόπων, καθ' οὓς τὸ σ ἐπιφέρεται ἄλλου προηγουμένως ἐκφωνουμένου· ἐν γὰρ τῷ ψέγω ῥήματι προηγουμένως τοῦ π ἐκφωνουμένου ἐπιφέρεται τὸ σ ἓν σύμφωνον· καὶ διὰ τοῦτο τρία εἰσὶ σύμφωνα, ἀλλ' οὐχ ὅτι γ αἱ συμφωνίαι. τρεῖς οὖν, ὡς εἴρηται, ἐν ὅλῳ τῷ στόματι, καθ' οὓς πληγῶν τινῶν γινομένων τὰ σύμφωνα ἐξηχεῖται, ὅ τε ἐκτὸς τῶν ὀδόντων καὶ ὁ λεγόμενος οὐρανίσκος καὶ αὐτοὶ οἱ ὀδόντες· τῆς γὰρ γλώσσης ἢ μέρει τινὶ τοῦ οὐρανίσκου προσπιπτούσης ἢ πελαζούσης ἢ τοῖς ὀδοῦσιν, ἢ τῶν χειλέων ἀλλήλοις προσπιπτόντων ἢ πελαζόντων, ἡ τῶν συμφώνων ἀποτελεῖται ἀπήχησις. καὶ οὖν τοῖς ῥηθεῖσι τρισὶ τόποις, ὅταν μὴ αὐτοῦ τοῦ σ προηγουμένως τὸν ψόφον ἐκφέρωμεν, οὐ πλεονάκις ἢ ἅπαξ ἐν ἑκάστῳ τῶν τόπων σ ἐξακούεται, ἀλλ' ἐν μὲν μέσῳ τῷ οὐρανῷ ἅπαξ μέρος γινόμενον τοῦ ξ, ἐν δὲ τοῖς ὀδοῦσιν ἅπαξ τοῦ ζ, καὶ ἐν τοῖς χείλεσιν ὡσαύτως σὺν τῷ π τὸ ψ συμπληροῦν. διὰ οὖν τοῦτο τρία τὰ διπλᾶ, ἀλλ' οὐχ ὅτι αἱ συμφωνίαι τρεῖς. εἰ γὰρ διὰ τὸ τὰς συμφωνίας τρεῖς εἶναι εἰσὶ τὰ διπλᾶ τρία, ἐπειδὴ ἐκ τῶν πρώτων συμφωνιῶν, τῆς διὰ τεσσάρων, τῆς διὰ

ὅτι τὸ εὖ καὶ τὸ ἀγαθὸν ἀπὸ τῶν ἀριθμῶν ἑκάστῳ τῶν ἐνταῦθα περιγίνεται, ἐπειδὰν ἡ μῖξις τῶν μιγνυμένων ἐν ἀριθμῷ ἀρτίῳ ἢ περιττῷ γένηται, καὶ μάλιστα ἐὰν τέλειον καὶ ὅμοιον καὶ κατὰ πολλαπλασιασμὸν γένηται, οἷον τρὶς τρία, ἀλλὰ μὴ τρία καὶ τρία (εἰ γὰρ κατὰ ἀριθμόν, φασί, τὸ μελίκρατον περιττὸν γένηται, ὡς εἶναι ἐν τῇ μίξει φέρε εἰπεῖν δύο μὲν λίτρας μέλιτος καὶ δύο ὕδατος, ἢ κατὰ τετράγωνον, ἵν' ὦσι τρία μέλιτος, τρία ὕδατος, τρία κρόκου)· εἰ οὖν κατά τι γὰρ φασὶν τῶν τοιούτων ἀριθμῶν τὸ μελίκρατον γίγνηται, ἀγαθὸν τὸ τοιοῦτόν ἐστιν ἑκάστῳ τῶν χρωμένων αὐτῷ, εἰ δὲ μέλι οὕτως, οὐκ ἀγαθόν. ἐπεὶ οὖν οὗτοι ταῦτ' ἔλεγον, λέγει, ἀπορήσειεν ἄν τις πῶς τὸ εὖ, ἤτοι πῶς ἀγαθὸν καὶ ὠφελιμώτατον τὸ μελίκρατον τοῖς χρωμένοις γίνεσθαί φασιν, εἰ κατ' ἀριθμοὺς εὐλογίστους καὶ ἀρτίους ἡ κρᾶσις γένηται, καὶ μάλιστα ἐὰν τρὶς τρία ᾖ κεκραμένον· νῦν γὰρ ὁρῶμεν, οὐδέν ἐστιν ὑγιεινότερον καὶ ὠφελιμώτερον ἂν ᾖ τρὶς τρία καὶ ἐπικρατῇ ἡ τοῦ μέλιτος φύσις, ἀλλὰ μᾶλλον ὠφελήσειεν, ἐὰν ὑδαρὴς ᾖ καὶ οὐχ ὡρισμένῃ λόγῳ. ὡς οὖν ἐπὶ τοῦ μελικράτου, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν σωμάτων ῥητέον ψεῦδος εἶναι τὸ λέγειν τὴν γένεσιν αὐτῶν εἶναι ὡς ὁ Ἐμπεδοκλῆς, κἂν ἄλλος τις Πυθαγόρειος οὕτω λέγειν βούληται. ὁ γὰρ Ἐμπεδοκλῆς φησὶ τὰ ὀστᾶ καὶ τὸ εὖ αὐτοῖς γίνεσθαι, ὅταν ἡ μῖξις τῶν στοιχείων οὑτωσὶ γένηται ὥστε ἔχειν τὸ πῦρ πρὸς τὴν γῆν λόγον ὃν ἄρτιος ἀριθμὸς πρὸς ἄρτιον, τουτέστιν ὃν ὁ δύο πρὸς τὸν δύο, καὶ τὸ εὖ τῶν ὀστῶν ἐστὶ τὸ ἔχειν τὸ ἐν αὐτοῖς πῦρ καὶ τὴν γῆν, ὃν ἄρτιος ἀριθμὸς πρὸς ἄρτιον. ὅπερ ψεῦδος· μᾶλλον γὰρ ἂν γενήσονται ὀστᾶ καὶ τὸ εὖ ἕξουσιν, ὅταν ἐν οὐδενὶ λόγῳ ὑφ' ἡμῶν ὁρισθέντι ἡ τῶν στοιχείων μῖξις γένηται. καὶ οὐ τοῦτό φησιν ὁ δαιμόνιος Ἀριστοτέλης ὅτι οὐκ ἐν λόγῳ τινὶ ἡ μῖξις γίνεται, ἀλλ' ὅτι οὐ λόγῳ οἷον οὗτοι λέγουσιν, ἀλλὰ λόγῳ μὲν ἡμῖν ἀδήλῳ, τῷ θεῷ δὲ καὶ τῇ φύσει γνωρίμῳ, διὰ τὸ μηδὲν μάτην μηδ' ἀλόγως ὑπ' αὐτῶν γίνεσθαι. ἀλλ' ἡ μὲν τῶν λεγομένων διάνοια εἴρηται, τὰ δὲ κατὰ τὴν λέξιν οὕτως. "ἀπορήσειε δ' ἄν τις καὶ τί τὸ εὖ ἐστὶ τὸ ἀπὸ τῶν ἀριθμῶν," τουτέστι τί ποτέ ἐστι τὸ ἑπόμενον τοῖς πράγμασιν εὖ ἐν τῷ ἀριθμῷ εἶναι τὴν μῖξιν, ἤτοι ὅταν ἡ μῖξις ἐν ἀριθμῷ γίνηται περισσῷ ἢ ἀρτίῳ. εἶτα προσυπακουστέον τοῦ καὶ μάλιστα ἐὰν τελείως καὶ ὁμοίως καὶ ἐν πολλαπλασίονι ἀναλογίᾳ, ὡς οὗτοι βούλονται, ἡ μῖξις γένηται, καὶ οὕτως ἐπακτέον ὡς ἀνασκευαστικὸν τοῦ μὴ τὸ εὖ ἀπὸ τῶν ἀριθμῶν τοῖς πράγμασι γίνεσθαι, ὅταν ἐν πολλαπλασίονι ἀναλογίᾳ ἡ μῖξις γένηται. νῦν γὰρ ὁρῶμεν ὡς οὐδὲν ὑγιεινότερον τρὶς τρία ἂν ᾖ τὸ μελίκρατον κεκραμένον, ἀλλὰ μᾶλλον ὠφελήσειεν ὑδαρὲς ὂν ἤπερ ἐν ἀριθμῷ ἄκρατον ὄν. τὸ δὲ "ἄκρατον" πρόσκειται, διότι ὅταν ἐν ἀριθμῷ γένηται ἡ τοῦ μέλιτος καὶ ὕδατος μῖξις, ἀκρατέστερον καὶ ἀμιγέστερόν ἐστι τὸ μέλι καὶ μᾶλλον φυλάττον τὴν οἰκείαν φύσιν. ὅταν δὲ ὑδαρές, κεκράτηται ὑπὸ τοῦ ὕδατος, καὶ διὰ τοῦτο οὐδὲ ἐν ἀριθμῷ ὡρισμένῳ ἐστὶν ἡ τούτων μῖξις, ὥστε τὸ ἄκρατον ἀντὶ τοῦ ἀκρατέστερον εἴρηται.

1092 b 30. "ἔτι οἱ λόγοι ἐν προσθέσει ἀριθμῶν εἰσί, οἱ τῶν μίξεων." τὸ εὖ ἐκ τῶν ἀριθμῶν ἕπεσθαι τοῖς πράγμασιν, ὡς εἴρηται, λέγοντες, ὅταν τὰ στοιχεῖα κατ' ἀριθμοὺς μιχθῇ, καὶ μάλιστα ὅταν ἐν πολλαπλασιασμῷ, δεικνύουσιν ὅτι ὅλως ἡ τῶν στοιχείων μῖξις ἐν πολλαπλασιασμῷ οὐ γίνεται. οἱ λόγοι γάρ, φησίν, τῆς τῶν στοιχείων μίξεως προσθέσει ἢ κατὰ σύνθεσιν ἀριθμῶν εἰσίν, ἀλλ' οὐκ ἐν ἀριθμοῖς, τουτέστιν ἐν πολλαπλασιασμοῖς. πολλαπλασιασμὸς γάρ ἐστι τὸ τρὶς τρία ἢ τρὶς δύο· ἐπὶ δὲ τῆς τῶν στοιχείων μίξεως οὐχ οὕτω φαμέν, ἀλλὰ γίνεσθαι λέγομεν ὀστᾶ, ὅταν τὸ πῦρ πρὸς τὴν γῆν ἔχῃ ὡς ὁ δύο πρὸς τὸν δύο. ἄλλο οὖν τὸ λέγειν ὅτι τετράκις δύο, καὶ ἄλλο τὸ ὡς δύο πρὸς δύο. ἐκεῖ μὲν γὰρ λέγομεν ὅτι ταδὶ τὰ πράγματα τετράκις δύο εἰσί, τουτέστιν ὀκτώ εἰσι ταῦτα, ἐνταῦθα δὲ ὅτι ὡς ἄλλο πρὸς ἄλλο, οὕτως ἄλλο πρὸς ἄλλο. εἰπὼν δὲ ὅτι ἐν τῇ τῶν στοιχείων μίξει συντίθενται μᾶλλον οἱ ἀριθμοί, ἀλλ' οὐ πολλαπλασιάζονται, τὴν αἰτίαν δι' ἣν οὐ πολλαπλασιάζονται λέγει· τὸ γὰρ αὐτό, φησί, δεῖ γένος εἶναι ἐν ταῖς πολλαπλασιάσεσιν. ὃ δὲ λέγει δυνατὸν τοιοῦτόν ἐστιν· ἐπεὶ γὰρ ἐν τοῖς πολλαπλασιασμοῖς ἡ μία πλευρὰ καὶ ὁ εἷς ἀριθμὸς μετρεῖ τὸν ὅλον ἀριθμόν, τὸν μθ' ὁ ζ' καὶ τὸν ξδ' ὁ η', τὸν ιβ' ὁ γ' ἢ ὁ δ', εἰ ἦν καὶ τὸ τοῦ ἀνθρώπου σῶμα, ἐφ' οὗ αβγ', ἀπὸ πολλαπλασιασμοῦ γεγονός, ἔδει αὐτὸ τῷ α' μετρεῖσθαι καὶ εἶναι τῷ α' ὁμοειδῆ τὰ β' καὶ γ', ὥσπερ καὶ ὁ ζ' ὁ τὸν μθ' μετρῶν ὁμοειδής ἐστι ταῖς λοιπαῖς ἓξ ἑπτάσιν. ἀλλὰ κἂν ἵππου σῶμα ἦν, ἐφ' οὗ δεζ', ἔδει καὶ αὐτῷ τῷ δ' μετρεῖσθαι. ἀλλ' ἀδύνατον· ἀνάγκη γὰρ καὶ πῦρ καὶ γῆν καὶ τὰ ἄλλα στοιχεῖα εἰς σύστασιν τούτων παραλαμβάνεσθαι, ταῦτα δὲ ἑνὶ καὶ τῷ αὐτῷ μετρεῖσθαι οὐ δύναται· τὰ γὰρ ὑφ' ἑνὸς μετρούμενα ὁμοειδῆ ἀλλήλοις τε καὶ τῷ μετροῦντι· οἱ γὰρ δέκα ἵπποι τῷ ἑνὶ ἵππῳ καὶ οἱ μθ' ὁμοίως τῷ ἑνὶ ἢ τῇ μιᾷ ἑπτάδι. τὸ δὲ "οὐκοῦν ἔσται πυρὸς δὶς πέντε τρὶς ἑπτά" οὕτως ἐπῆκται ὡς εἰ ἔλεγεν, ἡ μὲν γῆ καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ ἑνὶ καὶ τῷ αὐτῷ μέτρῳ μετρεῖσθαι οὐ δύναται· ἀνομοιειδῆ γάρ εἰσιν· εἰ δὲ ἦσαν δέκα πυρὰ ἢ κ' καὶ πα' ἀέρες, ἐμετρήθησαν ἂν τῷ αὐτῷ καὶ ἑνί, τὰ μὲν πυρὰ τῷ β' ἢ τῷ ε' (δὶς γὰρ πέντε ἢ πεντάκις δύο δέκα), οἱ δὲ ἀέρες τοῖς τρισὶν ἀέρσι ἢ τοῖς ζ'· τρὶς γὰρ ἑπτὰ ἢ ἑπτάκις τρεῖς κα'. ὁμοίως καὶ εἰ ὕδατος ἦσαν, τῷ ὕδατι ἂν ἐμετρήθησαν. καὶ ἡ μὲν τῶν λεγομένων οἶμαι διάνοια αὕτη· ἐν δὲ τῇ "τὸ γὰρ αὐτὸ γένος εἶναι ἐν ταῖς πολλαπλασιάσεσιν" ἴσον ἐστὶ τῷ ἓν γὰρ γένος ἤτοι ἐν τῷ ὑποκειμένῳ ἤτοι ὁμοειδὲς δεῖ εἶναι τὸ μετροῦν τοῖς μετρουμένοις ἐν ταῖς πολλαπλασιάσεσιν. ταῦτα εἰπὼν ἐπιφέρει "εἰ δ' ἀνάγκη πάντα ἀριθμοῦ κοινωνεῖν," τουτέστιν εἰ πάντα τὰ 1092 a 1.
πράγματα ἐκοινώνει ἀριθμοῦ, καὶ πᾶς ἀριθμὸς ἐν τοῖς πράγμασί ἐστιν, ἀνάγκη πολλὰ πράγματα τῷ αὐτῷ ἀριθμῷ χρῆσθαι καὶ πολλοὺς ἀριθμοὺς τοῦ αὐτοῦ καὶ ἑνὸς εἶναι· εἰ δὲ τοῦτο, τὰ διαφέροντα κατ' εἶδος τοῖς αὐτοῖς ἀριθμοῖς κοσμηθήσεται, καὶ ἔσται ὁ ἵππος ὁ αὐτὸς τῷ ἀνθρώπῳ, καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἔσται ὁ ἄνθρωπος καὶ βοῦς καὶ ἵππος. πῶς δὲ τοῦτο συμβαίνει, δῆλον ἔσται ὧδε. ἐπεὶ γὰρ πάντα ἀριθμὸν [□ˣ Δˣ· κύβον] ἐντὸς δεκάδος περικλείουσι (τὸν γὰρ ια' καὶ ιβ' καὶ ιγ' ἀνάκαμψιν καὶ ἐπισύνθεσιν τοῦ ἑνὸς τῶν δύο τῶν ὁμοίων τῇ δεκάδι συμβαίνει), εἰ κατὰ τὴν δυάδα ὁ λέων κεκόσμηται καὶ ἔστι, κατὰ δὲ τὴν τριάδα ὁ ἵππος, κατὰ τὴν τετράδα ὁ βοῦς, τὴν πεντάδα ὁ σῦς, τὴν δὲ ἑξάδα ὁ κύων, τὴν ἑπτάδα ὁ ταῦρος, τὴν ὀκτάδα ὁ κριός, τὴν ἐννεάδα ὁ λύκος, τὴν δεκάδα ὁ ἐλέφας, — εἰ δὴ ταῦτα κατ' αὐτοὺς κεκόσμηται, συμβαίνει τὴν περιστερὰν καὶ κο-

λέγειν ὅτι εἰ μέν τι λελειμμένον τῆς ἐναντιότητος ἐκτὸς ὂν τῶν ἰδεῶν, τότε εἰκὸς ἦν λέγειν ὅτι τὸ καταλειφθὲν μαχήσεται μετὰ τοῦ συνόντος ταῖς ἰδέαις καὶ φθερεῖ αὐτάς· ἐπεὶ δὲ οὐδὲν παραλέλειπται, τί ἂν εἴη τὸ δυνησόμενον αὐτὰς φθεῖραι; ἐπεὶ οὖν ἔμελλέ τις ταῦτα λέγειν, προσέθηκε τὸ κἂν ἐκ παντὸς εἴη τοῦ ἐναντίου τὰ εἴδη καὶ μηδὲν ἀπελείφθη, φθαρήσεται· ὡς γὰρ τὸ νεῖκος κατ' Ἐμπεδοκλέα, ὅταν κατισχύσῃ τῆς φιλίας καὶ ὑπεισέλθοι τὸν σφαῖρον, φθείρει αὐτὸν κτλ. .. λέγων μῖγμα τὸν σφαῖρον.

1092 b 10. μήποτε οὖν, ὥσπερ αἱ στιγμαὶ ὅροι οὖσαι τῶν γραμμῶν ὁρίζουσιν αὐτάς, οὕτω δυνατὸν λέγειν ὅτι καὶ τὰ εἴδη ὡς πέρατα τῶν τῇδε οὐσιῶν ὁρίζουσιν αὐτάς, καὶ οὕτως αἴτια τούτων εἰσί, καθάπερ καὶ ὁ Πυθαγόρειος Εὔρυτος ἔλεγε τοῦδε μὲν τοῦ φυτοῦ τόνδε τὸν ἀριθμὸν ὅρον εἶναι, καὶ ἄλλον μὲν ἵππου καὶ ἄλλον ἀνθρώπου, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ οὐ μόνον ἁπλῶς οὕτως ὁ Εὔρυτος ἔλεγεν ὅτι οἱ ἀριθμοὶ ὅροι εἰσὶ τῶν φυτῶν καὶ ἀνθρώπων καὶ βοῶν, ἀλλὰ καὶ ὥσπερ ὁ ἀριθμητικός, ὅταν τὸν ἐννέα ἀριθμὸν τετράγωνον ὄντα καταγράφῃ, πρῶτον μὲν τρεῖς μονάδας κατ' εὐθεῖαν γράφει γραμμήν, εἶτα ἄλλας τρεῖς κατὰ παράλληλον καὶ αὐτὰς τῇ προτέρᾳ γραμμῇ, εἶτ' αὖ ἄλλας πάλιν τρεῖς κατὰ παράλληλον γραμμὴν τῇ δευτέρᾳ γραμμῇ, καὶ οὕτως ἀποτελεῖ παράλληλον σχῆμα, ὥσπερ ὑπόκειται καὶ ἐπὶ τοῦ τρία τριγώνου ὄντος, ὁμοίως πρῶτον μὲν γράφει μίαν μονάδα, εἶτα ὑπὸ ταύτην ἑτέρας δύο, καὶ οὕτως ἐξομοιοῖ τὸν τρία τῷ τριγώνῳ σχήματι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὥσπερ οὖν ὁ ἀριθμητικός, οὕτως καὶ ὁ Εὔρυτος, ἐπειδὴ ἔφασκε τοὺς ἀριθμοὺς ὅρους εἶναι τῶν πραγμάτων. κείσθω λόγου χάριν ὅρος τοῦ ἀνθρώπου ὁ διακοσιαπεντήκοντα ἀριθμός, ὁ δὲ τξʹ τοῦ φυτοῦ· τοῦτο θεὶς ἐλάμβανε ψηφῖδας διακοσίας πεντήκοντα, τὰς μὲν πρασίνας τὰς δὲ μελαίνας ἄλλας δὲ ἐρυθρὰς καὶ ὅλως παντοδαποῖς χρώμασι κεχρωμένας· εἶτα περιχρίων τὸν τοῖχον ἀσβέστῳ καὶ σκιαγραφῶν ἄνθρωπον καὶ φυτὸν οὕτως ἐπήγνυ τάσδε μὲν τὰς ψηφῖδας ἐν τῇ τοῦ προσώπου σκιαγραφίᾳ, τὰς δὲ ἐν τῇ τῶν χειρῶν, ἄλλας δὲ ἐν ἄλλοις, καὶ ἀπετέλει τὴν τοῦ μιμουμένου ἀνθρώπου διὰ ψηφίδων ἰσαρίθμων ταῖς μονάσιν, ἃς ὁρίζειν ἔφασκε τὸν ἄνθρωπον. τοῦτο ποιῶν ἔλεγεν ὅτι ὥσπερ ὅδε ὁ γεγραμμένος ἄνθρωπος ἐκ τῶν διακοσίων πεντήκοντα φέρε εἰπεῖν ἐστὶ ψηφίδων, οὕτως καὶ ὁ ἀληθὴς ἄνθρωπος ἐκ τοσούτων ὁρίζεται μονάδων. παραπλήσιον τούτῳ καὶ ἐπὶ τῶν τξʹ ἐποίει, καὶ τὰς μὲν ἀνήλισκεν εἰς φύλλων τὰς δὲ εἰς κλάδων ἄλλας εἰς ῥιζῶν ἐκπλήρωσιν, καὶ ταῦτα ἅπερ ἐπὶ τοῦ ἀνθρώπου ἔλεγε, ταῦτα καὶ περὶ φυτοῦ καὶ τῶν ἄλλων, καὶ ὅλως ὅπερ νῦν οἱ γραφεῖς ποιοῦσι καὶ διὰ χρωμάτων ποικίλα καὶ παντοδαπὰ γράφουσι ζῷα, τοῦτο ἐκεῖνος διὰ τῶν κεχρωσμένων ψηφίδων ἐποίει, ἀφωμοίου τε καὶ εἰς σχῆμα συνετίθει τόνδε μὲν τὸν τῶν ψηφίδων ἀριθμὸν ἀνθρώπου, ἄλλον δὲ ἵππου, καὶ τοὺς ἄλλους εἰς ἄλλα εἴδη ζῴων καὶ φυτῶν. πότερον οὖν, φησίν, οὕτως εἰσὶν οἱ ἀριθμοὶ αἴτιοι τῶν τῇδε οὐσιῶν, ὥσπερ Εὔρυτος ἔλεγεν, "ἢ ὅτι ὁ λόγος ἡ συμφωνία τῶν ἀριθμῶν," τουτέστιν ἢ ὅτι εἰ ὁ λόγος, καθ' ὃν γίνεται τὰ φυτὰ καὶ τὰ ζῷα, συμφωνία ἐστίν, ἡ δὲ συμφωνία κατ' ἀριθμοῦ σχέσιν, οἱ δὲ ἀριθμοὶ εἴδη, διὰ τοῦτο ἀνάγκη λέγειν ὅτι τὰ εἴδη αἴτιά εἰσι τῶν φυτῶν καὶ τῶν ἄλλων οὐσιῶν; ἀλλὰ κἂν τῶν οὐσιῶν αἰτίους τοὺς εἰδητικοὺς ἀριθμοὺς συγχωρήσωμεν, καίτοι μὴ ὂν ἀληθές, ἀλλὰ τά γε πάθη καὶ τὰ συμβεβηκότα πῶς φήσουσι γενέσθαι ἐκ τῶν ἀριθμῶν;

εἰ γὰρ ἡ ἑκάστου οὐσία καὶ τὸ εἶναι ὁ λόγος καὶ τὸ εἶδος αὐτοῦ ἐστίν, 1092 b 18. ὁ δὲ ἀριθμὸς ἂν ὅλως συμβάληταί τι τοῖς πράγμασι, τὸ ποσόν ἐστι τῆς ἑκάστου ὕλης (ὁ γὰρ τέσσαρα ἀριθμὸς τὸ ποσὸν αὐτὸ καὶ τὸ μέτρον ἐστὶ πυρὸς γῆς ὕδατος ἀέρος, τῶν στοιχείων τῶν σωματικῶν), εἰ δὴ ἕκαστον κατὰ τὸ οἰκεῖον εἶδος λέγεταί τε καὶ ἔστιν, ὁ δ' ἀριθμὸς εἶδος μὲν τῶν πραγμάτων οὐκ ἔστιν, οὔτε μὴν ὕλη, ἀλλὰ τὸ ποσὸν καὶ τὸ μέτρον τῆς ὕλης, ψεῦδος ὅτι οἱ ἀριθμοὶ αἴτιοί εἰσι τῆς ἑκάστου μορφῆς ἢ μορφαὶ αὐτῶν. ὅτι δὲ οἱ ἀριθμοὶ τὸ ποσὸν καὶ μέτρον εἰσὶ τῆς ὕλης τῶν πραγμάτων, ἀλλ' οὐχὶ μορφαὶ αὐτῶν, ἀποχρῆται τοῖς Ἐμπεδοκλεῖ περὶ συστάσεως ὀστῶν ῥηθεῖσι·

τὰς δύο τῶν ὀκτὼ μοιρέων λάχε Νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο, τὰ δ' ὀστέα λεύκ' ἐγένοντο.

τοῦτο γὰρ παραξέει διὰ τοῦ "ὁ δ' ἀριθμὸς ὕλη, οἷον σαρκὸς ὀστοῦ ἀριθμὸς οὐσία οὕτως· τρία πυρός, γῆς δυό." καὶ χρὴ στίζειν τελείαν εἰς τὸ οὕτως, εἶτα ἐπάγειν τρία πυρός, γῆς δύο. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὁ δὲ ἀριθμὸς καὶ τὸ ποσὸν τῆς ὑλικῆς οὐσίας τοῦ ὀστοῦ τῷ Ἐμπεδοκλεῖ οὕτως ἐλαμβάνετο, τρία μὲν τοῦ πυρός, δύο δὲ τῆς γῆς· εἴρηται δὲ ἐν τοῖς περὶ Ψυχῆς (1 5) ὅπως ταῦτα Ἐμπεδοκλῆς ἐλάμβανεν. ἐπεὶ δὲ τρία μὲν πυρὸς δύο δὲ γῆς, ἐπάγει, καὶ ἀεὶ πᾶς ἀριθμὸς ἢ πυρινός ἐστι ἢ γήϊνος, τουτέστιν ἢ πυρῶν ἐστὶν ἢ γαιῶν, ἢ μοναδικὸς καὶ ἀσώματος. οὔτε δὲ ὁ μοναδικός ἐστιν ἤτοι ὁ μαθηματικὸς οὐσία τῶν πραγμάτων, οὔτε ὁ τῶν πυρῶν καὶ γαιῶν, ἀλλὰ τὸ πῦρ καὶ ἡ γῆ ὕλη μὲν καὶ οὐκ εἶδος τῶν πραγμάτων, οὐδ' ἀριθμὸς αὐτῶν καὶ τὸ μέτρον οὐδέτερον τούτων ἐστίν, ἀλλὰ γίνεται ἡ ἑκάστου οὐσία κατὰ τὴν τοσοῦδε πρὸς τόδε μῖξιν. ἄλλο γάρ τι γίνεται ὅταν ἐστὶν ἓξ μὲν πυρός, πέντε ἀέρος, τέτταρα ὕδατος, δύο δὲ γῆς, καὶ ἄλλο ὅταν ἓξ γῆς, τρία πυρός, δύο ἀέρος, πέντε ὕδατος, καὶ ὅλως ἄλλα κατ' ἄλλων μῖξιν. τοῦτο δὲ οὐκ ἔστιν ἀριθμός, ἤτοι αὗται αἱ μονάδες αἱ ἀσώματοι καὶ μαθηματικαί, ἀλλὰ λόγος τις σωματικῶν ἀριθμῶν ἤτοι ἀναλογία τις ἀριθμοῦ σωμάτων. καὶ ἐπίστησον ὡς εἰ τὰ ἁπλᾶ σώματα μὴ ἔστι τὰ τῶν πραγμάτων εἴδη, ἀλλὰ τὸ ἐκ τοῦ λόγου τῆς τοιᾶσδε κράσεως ἀποτελούμενον, σχολῇ ἂν εἴη τὸν ἀριθμὸν καὶ τὸ μέτρον τῶν ἁπλῶν σωμάτων εἶναι τὰ τῶν πραγμάτων εἴδη. ταῦτα εἰπὼν συμπεραίνεται λέγων.

"οὔτε οὖν τοῦ ποιῆσαι αἴτιος ὁ ἀριθμός·" τουτέστιν οὐθ' ὡς τὸ 1092 b 23. σπέρμα ποιητικὴν ἔχει δύναμιν, κἄν τε ὁ μοναδικὸς καὶ μαθηματικὸς εἴη κἄν τε ὁ σωματικός, οὔθ' ὡς ὕλης· ὕλη γὰρ τὰ σώματα, ὧν ὁ ἀριθμὸς ποσόν ἐστι καὶ μέτρον, οὐ τὸ μετροῦν ἀλλὰ τὸ μετρούμενον. οὔτε μὴν ὡς εἶδός ἐστιν ἐν τοῖς αἰσθητοῖς, οὔτε ὡς τὸ οὗ ἕνεκα ἤτοι ὡς τὸ τελικόν.

"ἀπορήσειε δ' ἄν τις καὶ τί τὸ εὖ ἐστὶ τὸ ἀπὸ τῶν ἀριθμῶν τῷ 1092 b 26. ἐν ἀριθμῷ εἶναι τὴν μῖξιν ἢ ἐν εὐλογίστῳ ἢ ἐν περιττῷ." εὐλόγιστον ἀριθμόν φησι τὸν ἄρτιον ὡς εὐδιαίρετον ἐν τοῖς λογισμοῖς καὶ ταῖς διανομαῖς. καὶ ἐπεί τινες τῶν Πυθαγορείων λέγειν οὐκ ὤκνουν

αὐτὰς γενέσθαι, ὑπετίθετο τε καὶ ἔλεγεν ὡς ἐκ τοῦ μεγάλου καὶ μικροῦ ὑπὸ τοῦ ἑνὸς ἰσασθέντων ἐγένοντο ἄν, εἰ δυνατὸν αὐτὰς ἦν γενέσθαι. ἐπειδὴ οὖν τοῦθ' ὁ Ξενοκράτης κτλ.

1091a 29. ἐν δὲ τῇ λέξει τῇ "ἔχει δὲ ἀπορίαν" τὸ ἐπαχθὲν τὸ "καὶ εὐπορήσαντι ἐπιτίμησιν" τοιοῦτόν ἐστιν· ἔχει δ' ἀπορίαν, κἂν εὐπορήσῃ τις εἰπεῖν τι καὶ ἐνστῆναι πρὸς τὴν ἀπορίαν, εὐθὺς ἐπιτιμηθήσεται· οὐδὲν γὰρ ἂν ὑγιὲς εἴπῃ.

1091b 4. αἰνίττεται δὲ τὸν Ὀρφέα· καὶ οὗτος γάρ φησιν ὅτι τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερόν ἐστι τῶν ἄλλων... καὶ ἐπεὶ πρῶτον μὲν κατ' Ὀρφέα τὸ Χάος γέγονεν, εἶθ' ὁ Ὠκεανός, τρίτον Νύξ, τέταρτον ὁ Οὐρανός, εἶτ' ἀθανάτων βασιλεὺς θεῶν ὁ Ζεὺς κτλ.

1091b 7. πρῶτον μὲν γὰρ ἐβασίλευσε περίκλυτος Ἠρικεπαῖος, φησὶν ἡ ποίησις, μεθ' ὃν Νὺξ σκῆπτρον ἔχουσ' ἐν χερσὶν ἀριπρεπὲς Ἠρικεπαίου, μεθ' ἣν Οὐρανός, ὃς πρῶτος ἐβασίλευσε θεῶν μετὰ μητέρα Νύκτα. οὗτοι δὴ διὰ τὸ τοὺς ἄρχοντας μεταβάλλειν τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερον ποιοῦσιν. οἱ δὲ μεμιγμένοι αὐτῶν (λέγει δὲ τοὺς μὴ πάντα μυθικῶς καὶ ἀναποδείκτως, ὥσπερ οἱ ποιηταί, λέγοντας, ἀλλ' ἔστιν ὅτε καὶ ἐφ' ἃ ἀποδείξεσι χρωμένους), οὗτοι δὴ οὖν οἱ μεμιγμένοι, ὥσπερ Φερεκύδης ὁ Πυθαγόρου καθηγεμὼν κτλ.

1091b 12. ὁ μὲν Ἐμπεδοκλῆς τὴν φιλίαν ἀγαθὸν καὶ ἀρχὴν εἰπών (ταύτην γὰρ ὁ Ἀριστοτέλης εἶπε στοιχεῖον, καταχρησάμενος τῇ λέξει), ὁ δὲ Ἀναξαγόρας τὸν νοῦν.

1091b 13. "τῶν δὲ τὰς ἀκινήτους οὐσίας λεγόντων," λέγων ἀκινήτους οὐσίας τοὺς εἰδητικοὺς ἀριθμούς, τούτων οἱ μέν, ὥσπερ ὁ Πλάτων καὶ Βροτῖνος ὁ Πυθαγόρειος, φασὶν ὅτι τὸ ἀγαθὸν αὐτὸ τὸ ἕν ἐστι καὶ οὐσίωται ἐν τῷ ἓν εἶναι, ὡς πολλάκις εἴρηται. εἰπὼν δὲ τὸ "οἱ μὲν" οὐκ ἀπέδωκε τὸ οἱ δέ.

1091b 21. "ἢ εἰ μὴ τοῦτο, στοιχεῖον," τουτέστιν ἢ εἰ μὴ ἀρχικὸν ἓν λέγοιεν τὴν αὐταρκεστάτην φύσιν, ἀλλὰ φήσαιεν ὅτι ἡ αὐταρκεστάτη φύσις τὸ στοιχεῖόν ἐστι τῶν εἰδητικῶν ἀριθμῶν, ὅπερ ἐστὶ τὸ μέγα καὶ τὸ μικρὸν κτλ.

1091b 22. ἀλλὰ τοῦ ἀριθμοῦ τοῦ μαθηματικοῦ ἀπειρήκασι, καὶ ἀφεῖλον ἀπὸ τοῦ τοιούτου ἑνὸς τὸ ἀγαθὸν κτλ.

1091b 32. ὃ συνεωρακὼς Σπεύσιππος (λέγω δὴ τὸ εἰ τὸ ἓν ἀγαθόν, ἀνάγκη τὸ μὴ ἓν τὸ ὑλικὸν κακὸν εἶναι) ἀπέφυγε καὶ προσάπτειν οὐκ ἠθέλησε τὸ ἀγαθὸν τῷ ἑνί. ἄλλοι δὲ τὴν τοῦ κακοῦ φύσιν τὸ ἄνισόν φασιν, ὥστε συμβαίνει ἐκ τούτων πάσας τὰς ἰδέας καὶ πάντα τὰ ὄντα μετέχειν τοῦ κακοῦ, εἴπερ ἐξ αὐτοῦ καὶ τοῦ ἀγαθοῦ εἰσί, πλὴν τῆς ἑτέρας τῶν ἀρχῶν, ἥτις ἐστὶ τὸ ἕν. ὥσπερ καὶ Ἐμπεδοκλῆς λέγει· καὶ οὗτος γάρ φησιν ὡς πάντα μετέχει τοῦ νείκους πλὴν τῆς φιλίας. καὶ ἐπεὶ πρῶτον μὲν κατ' αὐτοὺς αἱ ἰδέαι γίνονται ἐκ τοῦ ἑνὸς καὶ τοῦ μὴ ἑνός, εἶτα ἐκ τῶν ἰδεῶν τὰ μεγέθη, αὐτοτρίγωνον, αὐτοτετράγωνον, τὰ ὅμοια, ἀκρατότερον μεθέξουσι τοῦ κακοῦ οἱ ἀριθμοὶ ἤπερ τὰ μεγέθη· οἱ μὲν γὰρ ἀριθμοὶ προσεχῶς ἐκ τοῦ κακοῦ γεγόνασι, τὰ δὲ μεγέθη διὰ μέσων τῶν ἀριθμῶν. ταῦτά τε δὴ συμβαίνει καὶ προσέτι χώραν τε εἶναι τὸ κακὸν τοῦ ἀγαθοῦ (ἡ γὰρ ὕλη, ὡς αὐτοί φασι, χώρα τοῦ εἴδους), καὶ ἐρᾶν καὶ ὀρέγεσθαι τὸ κακὸν τοῦ ἀγαθοῦ.

τέσσαρα οὖν ἄτοπα ἕπεται ταῖς τέσσαρσιν ὑποθέσεσιν, ἓν μὲν 1092a 5. τὸ πάντα εἶναι ἀγαθὰ καὶ κακὰ πλὴν ἑνός, ἄλλο τὸ εἶναι τὸ κακὸν ἀρχήν, ἄλλο τὸ εἶναι τὴν ἀρχὴν μὴ ἀγαθόν, τέταρτον τὸ μετέχειν τοὺς ἀριθμοὺς ἀκράτου τοῦ κακοῦ (*).

καὶ τί σημαίνει τὸ ἀόριστον, ἐπήγαγε σαφηνίζων, "ἀτελῶν δέ." 1092a 13.

διὸ καὶ τὸ ἓν τὴν τῶν ὅλων ἀρχὴν οὐκ ἤθελον λέγειν ὄν. ὑπολαμβάνοντες γὰρ ὅτι οὐδὲν ἀτελὲς ὄν ἐστιν ἀλλὰ πᾶν ὂν τέλειον, τὸ δὲ ἓν οὔτε τέλειον ἀπεφαίνοντο ὡς οὐδὲ ὄν ἐστιν· εἰ γὰρ ἦν ὄν, ἦν ἂν καὶ τέλειον. 1092a 14.

"ἄτοπον δ. κ. τ. τ. α. μ. τ. στερ. καὶ τ. μ. π." τοῦ Πλάτωνος εἰπόντος ὅτι ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος γεγόνασιν αἱ ἰδέαι, ἐκ δὲ τῶν ἰδεῶν τὰ μαθηματικὰ μεγέθη, ἅμα δὲ καὶ ἐν τῷ αὐτῷ νῦν ἢ χρόνῳ ἐν ᾧ τὰ μαθηματικὰ γέγονε μεγέθη, καὶ ὁ τόπος αὐτῶν, ἐν ᾧ εἰσίν, ὑπέστη, λέγει ὅτι ἄτοπον τὸν μὲν τόπον ἅμα τοῖς μεγέθεσι ποιεῖν, τίς δέ ἐστι μὴ λέγειν. εἶτα καὶ ἐνίσταται λέγων μὴ εἶναι τὰ μαθηματικὰ ἐν τόπῳ. 1092a 17.

ὁμοίως δὲ καὶ τοὺς εἰδητικοὺς ἀριθμούς· τούτους γὰρ εἶπε τῶν ὄντων τὰ πρῶτα. 1092a 22.

πότερον οὖν, φησί, μίξει ἤτοι κράσει; ἆρα οὖν κραθεισῶν τῶν ἀρχῶν ἐξ αὐτῶν εἰσὶν οἱ ἀριθμοί; ἀλλ' οὐ πᾶν δύναται μίγνυσθαι, καὶ πολλῷ μᾶλλον τὸ ἓν μετὰ τῆς δυάδος τότε γινόμενον ἐκ τῶν κραθέντων ἕτερόν ἐστι τῶν τὸ κρᾶμα ἀποτελεσάντων. ἀλλὰ κἂν δοίημεν ὅτι κρᾶμα γέγονεν ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος, ἔφθαρται τὸ ἓν (τὰ γὰρ κεραννύμενα τοῦτο πάσχει), καὶ οὐκ ἔσται τὸ ἓν χωριστὸν καὶ καθ' αὑτὸ καὶ ἑτέρα τις φύσις παρὰ τὸ κρᾶμα τὸ ἐξ αὐτοῦ καὶ τῆς δυάδος γεγονός, ὅπερ οὗτοι βούλονται· λίαν γὰρ ἀσπάζονται τὴν τοῦ ἑνὸς ἀφθαρσίαν. ὥστε δῆλον ὅτι μίξει καὶ κράσει οὐ δύνανται οἱ ἀριθμοὶ ἐκ τῶν στοιχείων εἶναι. 1092a 24.

"ὧν ἐστὶ γένεσις," τουτέστιν ἅπερ τεχνητά ἐστιν· γένεσιν γὰρ νῦν τὴν τέχνην ἐκάλεσεν. 1092a 32.

"ἀλλ' οὐχ οἷόντε τι," φησί, "τοῦ ἀδιαιρέτου ἀπελθεῖν." ὃ δὲ λέγει δυνάμει τοιοῦτόν ἐστιν· τὸ μὲν σπέρμα φθείρεται καὶ οὐκ ἔστι, τὸ δὲ ἀδιαίρετον, τουτέστι τὸ ἀρχικὸν ἕν, οὐχ οἷόν τέ ἐστι κατ' αὐτοὺς φθαρῆναι, οὐδὲ ὅλως αὐτοί φασιν οἷόν τε ἐπινοῆσαι ὡς ἀπέρχεταί τι τῆς ἑνὸς φύσεως ἢ τροπή τις περὶ αὐτὸ γίνεται... ἀλλὰ μήποτε, ὥσπερ ἡμεῖς ἐκ τῆς στερήσεως τῆς τῷ εἴδει ἐναντίας φαμὲν γίνεσθαι τὰ πράγματα μὴ ὑπομενούσης, οὕτω χρὴ νοεῖν καὶ τὴν τῶν ἀριθμῶν γένεσιν. ἀλλ' ὅσα, φησίν, ἐξ ἐναντίων γίνεται, καὶ ἐξ ὑποκειμένου τινὸς τρίτου γίνεται, ὡς ἐν τῷ Α δέδεικται τῆς Φυσικῆς Ἀκροάσεως κτλ.

"ἢ οἷς ἐναντία." οὐ γὰρ μόνον τὰ ἐξ ἐναντίων τι φθείρεται, 1092b 4. ἀλλὰ καὶ τὸ θερμὸν καὶ λευκόν, οἷς ἐναντία εἰσὶ τῷ μὲν τὸ ψυχρὸν τῷ δὲ τῷ λευκῷ τὸ μέλαν. ἐπεὶ δὲ πᾶσαν τὴν ἐναντιότητα, αὐτό φημι τὸ ἓν καὶ μὴ ἕν, εἰς τὴν τῶν ἰδεῶν σύστασιν οἱ ταύτας τιθέμενοι κατηναλῶσθαι ἔλεγον καὶ μηδὲν καταλελεῖφθαι, ἔμελλε δέ τις

(*) desinit cod. Monac.

τῶν ἐπιπέδων καὶ γραμμῶν ὁ λόγος εἴρηκέ τε καὶ ἔδειξε. "διὰ τί οὖν χωριστά ἐστιν;" ἤτοι ὅτι οὐκ ἔστι χωριστά· ἢ τὸ "διὰ τί οὖν χωριστά ἐστιν," ἀντὶ τοῦ πῶς χωριστά ἐστιν, ἔδειξεν ὁ λόγος· ἔδειξε δὲ ὅτι τῇ ἐπινοίᾳ. "ἔτι δὲ ἐπεζ. — ὦν." τὸ μὲν "εὐχερής" εἴληπται ἀντὶ τοῦ ἀργὸς τὴν διάνοιαν καὶ δυσκίνητος.

1090 b 19. ἐπεισοδιώδη δὲ λέγεται τὰ μὴ συνεχῆ μηδὲ συντελοῦντα θάτερα θατέροις εἰς τὸ εἶναι. . . τὸ δὲ "ὥσπερ μοχθηρὰ τραγῳδία" πρόσκειται διὰ τὸ πολλοὺς τῶν μὴ ἀρίστων τραγῳδῶν μεταξὺ τῆς τραγῳδίας παρεμβάλλειν πρόσωπά τε καὶ ὑποκριτὰς καὶ ἔπη ὁμοίως καὶ μηδεμίαν συνέχειαν μηδὲ οἰκειότητα ἔχοντα πρὸς τὰ προαχθέντα τε καὶ προλεχθέντα· εἰ γάρ τις τὸν Αἴαντα παρεισάξας ἐν τῷ μεταξὺ καιρῷ, καθ' ὃν ἀπέσφαττεν ἑαυτόν, εἰσήγαγε τὴν Ἑκάβην θρηνοῦσαν τὴν Τροίαν, τίνα ἂν τοῦτο συνέχειαν εἶχεν ἢ οἰκειότητα πρὸς τὰ πρότερα καὶ ὕστερα; ὥσπερ ὅτε ὁ Μενέλαος εἰσάγεται μὴ ἐῶν τὸν Τεῦκρον θάψαι τὸ τοῦ Αἴαντος πτῶμα.

1090 b 20. οἱ δὲ τοὺς εἰδητικοὺς ἀριθμοὺς τιθέμενοι τοῦτο μὲν ἐκφεύγουσι διὰ τὸ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος ποιεῖν τὸν εἰδητικὸν ἀριθμόν, ἐκ δὲ τούτου καὶ τῆς ὕλης, ἑτέρας οὔσης παρὰ τὴν ἀόριστον δυάδα (ἄλλη γὰρ κατ' αὐτοὺς δυὰς ἡ γεννητικὴ τῶν ἀριθμῶν καὶ ἄλλη ἡ τῶν μεγεθῶν), ἐκ δὲ τούτου καὶ τῆς ὕλης ποιεῖν τὰ μεγέθη καὶ τὰ ἐπίπεδα, ἐκφεύγουσι τὸ ποιεῖν ἐπεισοδιώδη τὴν φύσιν, ὅμως φησὶ ταῦτα τὰ μεγέθη τὰ προσεχῶς ἐκ τῆς ὕλης καὶ τῶν ἀριθμῶν γινόμενα πότερον ἰδέαι εἰσὶν ἢ οὔ, καὶ ἄρα συμβάλλονταί τι εἰς τὸ εἶναι τοῖς οὖσι; καί φησιν ὅτι ὥσπερ οὐδὲ τὰ μαθηματικά, οὕτως οὐδὲ ταῦτα κτλ.

1050 b 29. οὐκ ἔστιν οὖν χαλεπὸν ὁποιασοῦν δόξας τιθέμενον μακρηγορεῖν τε καὶ συνείρειν πολλά.

1090 b 32. οἱ δὲ πρῶτοι, φησίν (αἰνίττεται δὲ τὸν Πλάτωνα), δύο ποιήσαντες τοὺς ἀριθμούς, τόν τε εἰδητικὸν καὶ τὸν μαθηματικόν, καὶ μεταξὺ τοῦ εἰδητικοῦ καὶ τοῦ αἰσθητοῦ τάξαντες τὸν μαθηματικόν, οὔτε εἰρήκασιν οὔτε ἔχοιεν ἂν εἰπεῖν πῶς καὶ ἐκ τίνος ἔσται ὁ μαθηματικὸς ἀριθμός.

1090 b 36. ἐκ δὲ τοῦ ἄλλου μικροῦ καὶ μεγάλου καὶ τῶν ἀριθμῶν τὰ μεγέθη ποιεῖ· ὃ γὰρ πρὸ ὀλίγου εἶπεν ὕλην, ὅτε ἔλεγε "ποιοῦσι γὰρ τὰ μεγέθη ἐκ τῆς ὕλης καὶ τοῦ ἀριθμοῦ" (τὰ μὲν γὰρ μήκη ἐκ τῆς αὐτοδυάδος καὶ τῆς ὕλης, ὁμοίως καὶ τὰ ἐπίπεδα ἐκ τῆς αὐτοτριάδος καὶ τῆς ὕλης), — ὃ οὖν ἐκεῖσε ἔλεγεν ὕλην, ἄλλο μικρὸν καὶ μέγα ἐκάλεσεν. εἰ οὖν μήτε ἐκ τοῦ μεγάλου καὶ μικροῦ, ταὐτὸν δὲ εἰπεῖν τῆς ἀορίστου δυάδος, δυνατὸν εἶναι τὸν μαθηματικὸν ἀριθμόν (ὁ αὐτὸς γὰρ ἂν ἦν τοῦ εἰδητικοῦ), μήτε ἐκ τοῦ ἄλλου μικροῦ καὶ μεγάλου, ἃ δὴ καὶ αὐτὰ ἀόριστον ἐκάλουν δυάδα (ἐξ αὐτῶν γὰρ τὰ μεγέθη ποιεῖ), λείπεται ἄλλο μέγα καὶ μικρὸν λέγειν. εἰ δὲ τοῦτο, πλείω ἔσται τὰ στοιχεῖα, αὐτά φημι τὰ μεγάλα καὶ μικρά. ἀλλὰ μὴν ἀνάγκη ὅσα ὑλικά, τοσαῦτα εἶναι καὶ τὰ εἰδητικά· ὅπερ οὐ βούλονται. εἰ δέ ἐστιν ἓν τὸ ἀρχικὸν καὶ εἰδικὸν ἕν, κοινὸν ἔσται καὶ μερισθήσεται ἐπί τε τοῦ μεγάλου καὶ μικροῦ, ἐξ οὗ ποιοῦσι τοὺς ἀριθμούς, καὶ ἐπὶ τοῦ ἄλλου μεγάλου καὶ μικροῦ, ἐξ οὗ τὰ μεγέθη, καὶ ἐπὶ τοῦ λοιποῦ καὶ τρίτου, ἐξ οὗ ἔσονται οἱ μαθηματικοὶ ἀριθμοί. καὶ πῶς οἷόν τε τὸ ἓν τὸ τῷ ἀριθμῷ ἐν πλείοσιν εὑρίσκεσθαι; ζητήσειε δ' ἄν τις πῶς οἷόν τε τὸ αὐτοὲν τρία εἶναι, εἴπερ τὸν μὲν εἰδητικὸν ἀριθμὸν ἐκ τοῦ μεγάλου καὶ μικροῦ καὶ τοῦ αὐτοενὸς ποιοῦσι, τὰ δὲ μεγέθη ἐκ μεγάλου καὶ μικροῦ καὶ ἀριθμοῦ. ἢ ῥητέον ὅτι τρία μὲν οὐκ ἔσται αὐτοέν, ἀλλ' ἢ δύο ἢ ἓν διῃρημένον εἰς δύο· εἰ γὰρ κατὰ Πλάτωνα πᾶς ἀριθμὸς ἐκ μονάδος καὶ ἀορίστου ὑφίσταται δυάδος, εἰ μὲν καὶ ὁ μαθηματικὸς ἀριθμὸς ἐξ αὐτῆς τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος ἐστίν, ἐξ ὧν ὁ εἰδητικὸς ἀριθμός, ὁ αὐτὸς ἔσται τῷ εἰδητικῷ· εἰ δὲ ἐξ ἄλλης δυάδος, πότερον καὶ ἐξ ἄλλου ἑνὸς ἑτέρου ὄντος παρὰ τὸ ἀρχικὸν ἓν ἢ ἐξ αὐτοῦ τοῦ ἀρχικοῦ ἑνός; εἰ μὲν γὰρ ἐξ ἄλλου, ἔσονται δύο ἀρχικὰ ἕν, ὅπερ οὐ βούλονται· εἰ δὲ ἐξ αὐτοῦ τοῦ αὐτοενός, πῶς δυνατὸν ἓν ὂν τῷ ἀριθμῷ εἶναι καὶ ἐν ταύτῃ τῇ δυάδι καὶ ἐν ἐκείνῃ; φανερὸν ἄρα ὅτι οὔτε ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος δυνατὸν γενέσθαι τὸν μαθηματικὸν ἀριθμόν, ἵνα μὴ ὁ αὐτὸς τῷ εἰδητικῷ φανῇ, οὔτε ἐξ ἄλλων· ἀριθμὸν γὰρ κατὰ Πλάτωνα ἀδύνατον ἑτέρως ὑποστῆναι ἢ ἐκ μονάδος καὶ τῆς ἀορίστου δυάδος· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "καὶ ἅμα τὸν ἀριθμὸν γενέσθαι ἄλλως ἢ ἐξ ἑνὸς καὶ δυάδος ἀορίστου ἀδύνατον." ταῦτα εἰπὼν ἐπάγει "ταῦτα δὴ πάντα ἀλ. καὶ μάχ. α. ἑαυτ. κ. τ. εὐλ.." τὸ δὲ "καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς λόγος" σαφὲς ἔσται προειποῦσι τίς ἐστιν ὁ Σιμωνίδου λόγος. ὁ Σιμωνίδης ἐν τοῖς λόγοις, οὓς Ἀτάκτους ἐπιγράφει, μιμεῖται καὶ λέγει οὓς εἰκός ἐστι λόγους λέγειν δούλους ἐπταικότας πρὸς δεσπότας ἐξετάζοντας αὐτοὺς τίνος ἕνεκα ταῦτα ἐπταίκασι· καὶ ποιεῖ αὐτοὺς ἀπολογουμένους λέγειν πάνυ μακρὰ καὶ πολλά, οὐδὲν δὲ ὑγιὲς ἢ πιθανόν, ἀλλὰ πᾶν τὸ ἐπιφερόμενον ἐναντίον τῷ προφρασθέντι· τοιοῦτον γὰρ ὡς εἰκὸς τὸ βάρβαρον καὶ παιδείας ἄμοιρον... κατὰ γὰρ τὸν τραγῳδὸν "ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.".. καὶ μικροῦ καὶ ἐπ' Ἄρειον πάγον αὐτοὺς προκαλεῖται διὰ τὸ βιάζεσθαι ὑπ' αὐτῶν ἀπογεννῆσαι τοὺς ἀριθμούς, τοῦτο ποιῆσαι μὴ δυνάμενος. ἐπειδὴ δὲ τὴν ἀόριστον δυάδα μέγα καὶ μικρὸν ἐκάλουν, ἡ δὲ ἀόριστος δυὰς κατ' αὐτοὺς μόνον τὸν ἀρτιάκις ἄρτιον ὑφίστησι, λέγει ὅτι εἰ καὶ δοίημεν τοὺς ἀριθμοὺς ἐκ τοῦ μεγάλου εἶναι καὶ μικροῦ, μόνος ὁ ἀφ' ἑνὸς διπλασιαζόμενος ἤτοι ὁ ἀρτιάκις ἄρτιος ἐξ αὐτῶν ἔσται, ἄλλος δὲ οὐδείς· λεγέτωσαν οὖν πόθεν ἡ τῶν ἀρτιοπερίσσων καὶ τῶν λοιπῶν γένεσις.

1091 a 17. τὸ ἓν γὰρ εἶπε πέρας· ἀρχὴν γὰρ εἰδικὴν λέγοντες τὸ ἕν, ὑλικὴν δὲ τὸν ἀριθμόν, ὃν ἄπειρον ἐκάλουν διὰ τὴν ἴσως ἐπ' ἄπειρον αὐτοῦ αὔξησιν, ἔφασκον ὅτι τῶν τοῦ ἀριθμοῦ ἤτοι ἀπείρου μερῶν τὸ ἐγγίσαν καὶ πρῶτον πλησιάσαν τῷ ἑνί, ἐκεῖνο καὶ πρῶτον εἱλκύσθη ὑπ' αὐτοῦ καὶ εἰδοποιήθη, εἶτα τὸ δευτέρως πλησιάσαν, καὶ τρίτον τὸ τρίτως, καὶ ἐφεξῆς.

1091 a 19. δίκαιον γὰρ φυσικῶς καὶ περὶ φυσικῶν λέγοντας ἐν ταῖς φυσικαῖς πραγματείαις τὰ ὑπ' αὐτῶν λεγόμενα ἐξετάζειν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "δίκαιον γὰρ αὐτοὺς ἐξετάζειν τοὺς περὶ φύσεως." ἔστι δὲ τὸ τῆς λέξεως ἐλλιπές· εἴη δ' ἂν τὸ πλῆρες, δίκαιον γὰρ αὐτοὺς ἐξετάζειν τοὺς περὶ φύσεως, ἀλλ' οὐ τοὺς περὶ τῶν θείων καὶ ἀκινήτων διαλεγομένους.

1091 a 27. ἐπεὶ δὲ ὁ Ξενοκράτης ὑπεραπολογούμενος τοῦ Πλάτωνος, ὡς καὶ ἐν τῷ Λ (c. 10) τῆς περὶ Οὐρανοῦ εἴρηται, ἔλεγεν ὅτι διδασκαλίας χάριν καὶ τοῦ γνῶναι, πῶς, εἰ γεγόνασιν αἱ ἰδέαι, δυνατὸν ἦν

1089 b 16. σὺ δέ, ὦ δαιμόνιε, τίνα φῂς αἰτίαν εἶναι τοῦ πολλὰ εἶναι τὰ πρός τι καὶ τὰ ἄλλα πάντα; ἤ, φησίν, ἀνάγκη ἐμὲ ὑποτίθεσθαί τε καὶ λέγειν ὅτι τὸ δυνάμει ὂν ἑκάστῳ, τουτέστι τὸ δυνάμει ποσὸν καὶ τὸ δυνάμει ποιὸν καὶ τὸ δυνάμει ὂν οὐσία καὶ ὅλως ἡ ἑκάστου ὕλη ἐστὶν αἰτία τοῦ πολλὰ εἶναι τὰ εἰρημένα. καὶ τοῦτο, φησί, καὶ ὁ Πλάτων ἐζήτησεν, εἰπὼν "τί τὸ δυνάμει τόδε." καὶ σαφηνίζων τί σημαίνει τὸ τόδε, ἀνήγαγε τὸ "καὶ οὐσίᾳ."

1089 b 18. ἀπεφήνατο οὖν, φησίν, ὅτι τὸ πρός τι ἐστὶ τὸ δυνάμει ὂν οὐσία, ἤτοι τὸ ὂν καὶ ἕν, ὥσπερ εἰ εἶπον ὅτι τὸ ποιόν· ὥσπερ γὰρ τὸ ποιὸν οὐκέτι δυνάμει τὸ ὂν ἢ τὸ ἓν οὔτε ἀπόφασις τούτων, οὕτως οὐδὲ τὸ πρός τι οὔτε ἐναντίον ἐστὶ τῷ ἑνὶ καὶ τῷ ὄντι κτλ.

1089 b 24. τοῦτο εἰπὼν λέγει "ἐπὶ μὲν οὖν τῶν ἄλλων κατηγοριῶν ἤτοι τῶν συμβεβηκότων ἔχει καὶ ἄλλην τινὰ ἐπιστασίαν καὶ ἀπορίαν πῶς πολλά εἰσίν. ἀσάφειαν δὲ πολλὴν ἐνεποίησεν ἐπεμβαλὼν τινα μεταξὺ καὶ ἐλλιπῶς ἀπηγγελκὼς τὰ ἐπεμβληθέντα. εἴη δ' ἂν οἶμαι τὸ ἑξῆς τῆς λέξεως τοιοῦτον. ἐπὶ μὲν τῶν ἄλλων κατηγοριῶν τῶν παρὰ τὴν οὐσίαν ἔχει καὶ ἄλλην ἐπιστασίαν καὶ ἀπορίαν πῶς πολλὰ ποσὰ καὶ πολλὰ ποιὰ εἶναι δυνατὸν λέγειν, διὰ τὸ μὴ χωριστὰ εἶναι τῶν ὑποκειμένων. εἶτα συναπτέον τούτοις τὸ "τῷ τὸ ὑποκείμενον πολλὰ γίνεσθαι καὶ ἕν," καὶ προσυπακουστέον τοῦ τῷ λόγῳ· τῷ λόγῳ γὰρ τῷ ἐκ τοῦ ἀνίσου καὶ τοῦ ἑνὸς συγκεχωρήσθω ἡμῖν νῦν ἀληθῆ λέγειν. ἵν' ᾖ ἡ λέξις τοιαύτη· τῷ γὰρ λόγῳ τῷ πολλὰ καὶ γίνεσθαι καὶ εἶναι τὸ ὑποκείμενον, ἤτοι τῷ λόγῳ τῷ πολλὰς καὶ γίνεσθαι καὶ εἶναι οὐσίας ἐκ τοῦ ἀνίσου καὶ τοῦ ἑνὸς λέγοντι συγκεχωρήσθω νῦν ὡς ἀληθῆ λέγει. ἔστιν οὖν ἡ σύμπασα λέξις (ῥητέον γὰρ καὶ πάλιν αὐτήν, ὅτι λίαν μεμελάνωται) τοιαύτη. ἐπὶ μὲν τῶν ἄλλων κατηγοριῶν τῶν παρὰ τὴν οὐσίαν ἔχει καὶ ἄλλην τινὰ ἐπιστασίαν καὶ ἀπορίαν, πῶς πολλὰ ποσὰ καὶ πολλὰ ποιὰ εἶναι δυνατὸν λέγειν, διὰ τὸ μὴ χωριστὰ εἶναι τῶν ὑποκειμένων· τῷ γὰρ λόγῳ τῷ πολλὰς καὶ γίνεσθαι καὶ εἶναι οὐσίας ἐκ τοῦ ἑνὸς καὶ τοῦ ἀνίσου λέγοντι συγκεχωρήσθω νῦν ἡμῖν ὡς ἀληθῆ λέγει.

1089 b 29. καὶ εἰπὼν ὅτι περὶ δὲ τῶν συμβεβηκότων ἀπορήσειεν ἄν τις πῶς πολλά, καὶ λύσας τὴν ἀπορίαν, λέγει ὅτι "ἐπὶ δὲ τῶν τόδε τι ἔχει τινὰ λόγον," δυνάμει λέγων ὅτι ἐπὶ μὲν τῶν συμβεβηκότων οὐδεμία τοῦ λοιποῦ ἀπορία πῶς πολλά, ἐπὶ δὲ τῶν τόδε τι ἤτοι ἐπὶ τῶν οὐσιῶν ἔχει τινὰ λόγον καὶ ἀπορίαν πῶς πολλαὶ αἱ οὐσίαι· οὐ γὰρ ὑγιὴς ἡ τοῦ Πλάτωνος λύσις τὸ ἄνισον αἰτιωμένου. ἀπορίαν οὖν ἔχει πῶς πολλὰ τὸ τόδε τι καὶ ἡ οὐσία ἐστίν, εἰ μὴ θήσομεν εἶναι καὶ τὸ τόδε τι εἶδός τι καὶ φύσιν τινὰ δηλονότι ὕλην τοιαύτην ἤτοι δυνάμει οὖσαν τὸ εἶδος... ἢ οὖν οὕτως ὡς εἴρηται ἀκουστέον τοῦ "ἐπὶ μὲν τῶν ἄλλων κατηγοριῶν ἔχει τινὰ ἀπορίαν" καὶ τὸ συνεχὲς τούτῳ, ἢ μεριστέον εἰς δύο ἀπορίας καὶ ῥητέον, ἐπὶ μὲν οὖν τῶν συμβεβηκότων ἔχει τινὰ ἀπόκρισιν πῶς πολλὰ ποιὰ καὶ πολλὰ ποσὰ εἶναι ἐνδέχεται λέγειν· ἀπορήσειε δ' ἄν τις τοῦτο διὰ τί; διὰ τὸ μὴ ἔχειν ὕλην, ἥτις δυνάμει οὖσα τὰ συμβεβηκότα πολλὰ εἶναι ταῦτα ποιήσει. ἄλλην δὲ ἀπορίαν πάλιν ἀπορήσειέ τις περὶ αὐτῶν, καὶ ταύτην διὰ τί; διότι μὴ χωριστὰ ὄντα τῶν οὐσιῶν συμβαίνει τὸ ὑποκείμενον αὐτοῖς καὶ ἕν τι γίνεσθαι καὶ πολλά· εἰ γὰρ ἄλλο ἡ οὐσία καὶ ἄλλο τὸ ποσὸν καὶ ἄλλο τὸ ποιόν, ἔστι δὲ ὁ Σωκράτης καὶ οὐσία καὶ λευκὸς καὶ δίπηχυς, φέρε εἰπεῖν, ἔσται καὶ εἷς καὶ πολλά. τούτων δὴ τῶν δύο ἀποριῶν τῆς μὲν προτέρας ἀπορίας λύσιν ἐπακτέον τὸ "καί τοι δεῖ γέ τινα ὕλην εἶναι ἑκάστῳ γένει," τῆς δὲ δευτέρας τῆς λεγούσης ὅτι Σωκράτης καὶ εἷς ἐστὶ καὶ πολλά, τὴν λύσιν ἔχεις, ὦ φιλότης, ἐν τῷ A (c. 2 et 3) τῆς Φυσικῆς Ἀκροάσεως· ἐκεῖ γὰρ ὅτε τὸν Παρμενίδην καὶ Μέλισσον ἤλεγχεν, εἴρηκεν ὡς οὐδὲν κωλύει τὸ αὐτὸ καὶ ἓν τῷ μὲν ὑποκειμένῳ ἓν εἶναι, τῷ λόγῳ δὲ πολλά. "ἀλλὰ — τὰ ὄντα." 1089 b 32. τὸ τόδε, ὡς πολλάκις εἴρηται, ἀντὶ οὐσίας τῷ Ἀριστοτέλει λαμβάνεται. τοῦ Πλάτωνος δὲ τὰς ἰδέας, ἃς καὶ οὐσίας καλεῖ, καὶ μᾶλλον οὐσίας, ἀριθμοὺς λέγοντος, τῶν δὲ ἀριθμῶν ποσῶν ὄντων, καὶ διὰ τούτου συναγομένου τοῦ τὰς οὐσίας εἶναι ποσά... ἐρωτᾷ ὁ δαιμόνιος Ἀριστοτέλης, πότερον διαφέρει ἡ οὐσία τοῦ ποσοῦ ἢ ἡ αὐτή ἐστι τῷ ποσῷ κτλ.

εἰ δέ ἐστιν ἡ οὐσία ἡ αὐτὴ τῷ ποσῷ καὶ ἀδιάφορος, ζητεῖται κτλ. 1090 a 1.

μήποτε δὲ διότι εἰσὶ θεωρήματα ἀριθμητικά, ἀνάγκη εἶναι καὶ τὸν ἀριθμὸν καθ' αὑτὸν καὶ χωριστόν, ἵν' ἐκείνῳ ταῦθ' ὑπάρξῃ. 1090 a 13. ἤ φησι τὰ θεωρήματα τῶν ἀριθμητικῶν πάνθ' ὑπάρξει καὶ τὰ τῶν αἰσθητῶν ἐξ ἀφαιρέσεως δὲ τὸ εἶναι ἐχόντων, καθάπερ ἐλέχθη ἐν τῷ M. εἰ δὴ δύναται πάντα τὰ ἀριθμητικὰ δείκνυσθαι κατὰ τῶν ἐξ ἀφαιρέσεως ἀριθμῶν, οὐ πιθανὸν οὐδ' ἀληθές ἐστι λέγειν ὡς διὰ τὰ θεωρήματα χωρίζειν αὐτοὺς δεῖ καὶ ὕπαρξιν διδόναι. ταῦτα εἰπὼν πάλιν ἐπαναποδίζει καὶ φησὶν "οἱ μὲν οὖν" κτλ.

ἡμεῖς δέ, φησί, καθὰ καὶ πρότερον εἴπομεν, φαμὲν ὅτι καὶ 1090 a 28. χωριστῶν μὴ ὄντων τῶν ἀριθμῶν ἔσται ἀριθμητικὴ ἐπιστήμη· ἄλλως τε δέ, εἰ ἦν κεχωρισμένα τὰ μαθηματικά, οὐκ ἂν τὰ τούτων πάθη ἐν τοῖς αἰσθητοῖς εἴησαν· ἀδύνατον γὰρ τοῦ πράγματος μὴ ὄντος εἶναι τὰ πάθη αὐτοῦ. ὥστε εἰ τὰ μαθηματικὰ πάθη ἐν τοῖς αἰσθητοῖς ἐστί, καὶ αὐτὰ δηλονότι, ἀλλὰ δυνάμει καὶ ἐξ ἀφαιρέσεως τὸ εἶναι ἔχοντα.

τῶν δὲ χωριζόντων τὸν ἀριθμὸν διὰ τὸ τὰ ἀξιώματα καὶ ὅλως 1090 a 35. τὰς καθόλου προτάσεις μηδὲ εἶναι ἐπὶ τοῖς αἰσθητοῖς, τούτων δὴ τοῦτο σαίνει τὴν ψυχὴν καὶ εἶναι χωριστοὺς ἀριθμοὺς καὶ χωριστὰ μαθηματικὰ λέγειν ἀναπείθει. οὐδεμία δὲ ἀνάγκη διὰ τὸ ἀληθῆ εἶναι τὰ λεγόμενα περὶ τῶν ἀξιωμάτων καὶ τῶν καθόλου προτάσεων, λέγεσθαι καὶ περὶ αὐτῶν ὡς οὐκ ἐν τοῖς αἰσθητοῖς εἰσίν, ἀλλ' ἐν ψυχῇ ἐπινοίᾳ τὸ εἶναι ἔχει. οὐδεμία οὖν ἀνάγκη διὰ ταῦτα χωριστοὺς ποιεῖν ἀριθμούς. εἰ οὖν, φησί, διὰ τὸ τὰ καθόλου μὴ εἶναι ἐν τοῖς αἰσθητοῖς, χωρίζουσι τοὺς ἀριθμοὺς καὶ τὰ μεγέθη, ὁ ἡμέτερος λόγος ὁ τούτοις ἐναντιούμενος τἀναντία ἐρεῖ. καὶ ἐπάγει λέγων, διὰ τί οὐδαμῶς ἐν τοῖς αἰσθητοῖς ὑπαρχόντων τῶν ἀριθμῶν τὰ πάθη αὐτῶν ἐν αὐτοῖς ἐστίν; εἰ γὰρ διὰ τὸ τὰ καθόλου μὴ ὑπάρχειν ἐν τοῖς αἰσθητοῖς χωρίζειν δεῖ τοὺς ἀριθμούς, εἰ τὰ πάθη τῶν ἀριθμῶν ἐν τούτοις ἐστίν, οὐ χωριστέον.

ὅμως, φησίν, εἰ καὶ δοίημεν οὐσίας εἶναι τὰς στιγμὰς καὶ γραμ- 1090 b 11. μὰς καὶ ἐπίπεδα τῶνδε τῶν αἰσθητῶν, καὶ ἐν τούτοις ἔσονται, ἀλλ' οὐ καθ' αὑτά· "ἐπὶ τούτων γὰρ ὁ λόγος εἴρηκε," τουτέστιν ἐπὶ τούτων γὰρ

ἀεὶ εἶναι τοὺς ἀριθμούς, ὅμως δύναται μὴ εἶναι, διὰ τὸ τὴν ὕλην, ἐξ ἧς γεγόνασι, τὴν δύναμιν ἔχειν ἣν καὶ πρὸ τοῦ μεταβαλεῖν εἰς τοὺς ἀριθμοὺς εἶχεν· ὥσπερ γὰρ τὸ ἐν μιᾷ ἡμέρᾳ καὶ γεγονὸς καὶ φθαρὲν ζῷον (εἴρηται γὰρ ἐν τοῖς περὶ Ζῴων ὅτι εἰσί τινα ζῷα ὧν ἡ ζωὴ μία ἡμέρα ἐστίν), ὥσπερ οὖν τὸ τοιοῦτον ζῷον τοῦ μακροβιωτάτου κατὰ τὸ δύνασθαι μὴ εἶναι οὐδὲν διαφέρει, ἀλλ' εἰ ἄρα, κατὰ μόνην τὴν ζωήν, ὅτι τοῦ μέν ἐστιν ἡ ζωὴ μακραίων τοῦ δὲ βραχεῖα, οὕτως καὶ τὸ τοσοῦτον χρόνον δυνάμενον εἶναι, οὗ χρόνου πέρας εὑρεῖν τις οὐ δύναται, δύναμιν ἔχει τοῦ μὴ εἶναι. εἰ δὲ τοῦτο, καὶ αἱ ἰδέαι, κἂν ἀεὶ ὦσιν, ἀλλὰ δύναμιν ἔχουσι τοῦ μὴ εἶναι· ἢ οὖν φθαρήσονται, ἐπεὶ τὴν τοῦ φθαρῆναι δύναμιν ἔχουσιν, ἢ εἰς ἄπειρον ἕξουσι τὸ δυνάμει. ἀλλὰ μὴν δέδεικται ἐν τῇ περὶ Οὐρανοῦ (1 7) ὅτι οὐδεμία δύναμις ἄπειρον χρόνον εἶναι δύναται, ἀλλ' ἐκβαίνει ποτὲ εἰς ἐνέργειαν (ταύτην γὰρ τὴν πραγματείαν ἤρξατο διὰ τοῦ "καθάπερ ἐν ἄλλοις συνέβη πραγματευθῆναι")· φθαρήσονται ἄρα αἱ ἰδέαι.

1088 b 35. τοῦ ἀρχὰς τῶν ὄντων αὐτοῖς ἐπελθεῖν τὸ μέγα καὶ μικρὸν ὑποθέσθαι ἢ τὴν ἀόριστον δυάδα ἢ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον, πολλὰ μέν φησι καὶ ἄλλα ἐστὶ τὰ αἴτια, μάλιστα δὲ τὸ ἀπορῆσαι καὶ ἀρχαϊκῶς καὶ εὐήθως· τοῦ γὰρ Παρμενίδου ἓν βοῶντος τὸ ὂν καὶ λέγοντος ὡς εἰ μή ἐστι τὸ ὂν ἓν ἀλλὰ πολλά, ἀνάγκη εἶναι καὶ τὸ παρὰ τὸ ὄν, πᾶν δὲ τὸ παρὰ τὸ ὂν μὴ ὄν ἐστιν, ἀνάγκη ἄρα εἶναι καὶ τὸ μὴ ὄν, ἵνα ἐκ τοῦ ὄντος καὶ μὴ ὄντος πολλὰ εἴη τὰ ὄντα, — ταῦτα τοῦ Παρμενίδου λέγοντος ἐθορυβοῦντο καὶ ὁμόσε χωροῦντες τῇ ἀπορίᾳ ἔλεγον ὡς ἔστι καὶ ἄλλο τι, τοῦτο δέ ἐστι τὸ μὴ ὄν. ἔδοξεν οὖν, φησίν, αὐτοῖς ὡς εἰ μὴ εἴη καὶ ἄλλο τι ἤτοι τὸ μὴ ὄν, ἵνα ἐκ τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος εἴη πλῆθος, συμβήσεται τὰ ὄντα αὐτό, φημὶ τὸ ὂν ἓν εἶναι. ἡ μὲν οὖν διάνοια αὕτη· ἐν δὲ τῇ λέξει τῇ "οὐ γὰρ μήποτε τοῦτο μηδαμῇ εἶναι μὴ ἐόντα, ἀλλ' ἀνάγκη εἶναι τὸ μὴ ὄν," τοῦ Παρμενίδου οὔσῃ, αἱ δύο ἀποφάσεις ἀντὶ μιᾶς καταφάσεως κείμεναι καὶ τὸ "ἀλλὰ" ἀντὶ τοῦ ὥστε πλείστην ἀσάφειαν πεποιήκασι. δεῖ δὲ καὶ ὑπερβατῶς τὴν λέξιν ἀναγινώσκειν· οὐ γὰρ μήποτε μὴ τοῦτο ἐόντα μηδαμῇ εἶναι, ὥστε ἀνάγκη τὸ μὴ ὂν εἶναι δεῖξαι. τὸ δὲ λεγόμενον εἴη ἂν τοιοῦτον· οὐ γὰρ μήποτε μὴ τοῦτο, τουτέστιν οὐδαμῶς οὖν οὐδαμῶς συμβήσεται τοῦτο. ποῖον δὴ τοῦτο; τὸ τὰ ἐόντα, καὶ προσυπακουστέον τοῦτο, πολλὰ εἶναι μηδαμῇ εἶναι, ἤτοι μὴ ὄντος τοῦ μηδαμῇ μὴ ὄντος· ὥστε ἀνάγκη ἐστὶ δεῖξαι ὡς ἔστι τὸ μὴ ὄν. οὐδαμῶς οὖν, φησὶν ὁ Παρμενίδης, οὐδαμῶς συμβαίνει πολλὰ εἶναι τὰ ὄντα, μὴ ὄντος τοῦ μηδαμῇ μηδενός· ὥστε δεικτέον ὅτι τὸ μηδαμῇ μὴ ὄν. ἀλλ' ἀδύνατον εἶναι τὸ μηδαμῇ ὄν· ἀδύνατον ἄρα καὶ τὸ πλῆθος λέγειν. θεὶς οὖν τὸν ἀπαιτοῦντα Παρμενίδειον λόγον, ὡς εἰ πολλά ἐστι τὰ ὄντα, ἀνάγκη δεῖξαι ὡς ἔστι καὶ τὸ μὴ ὄν, ὄν, φησί, καὶ μὴ δυνάμενοι λύειν ὡμολόγουν εἶναι τὸ μὴ ὄν, ὅπερ μὴ ὂν οἱ μὲν μέγα καὶ μικρὸν ἐκάλουν, οἱ δὲ ὑπερέχον καὶ ὑπερεχόμενον, — θεὶς οὖν τὸν τοιοῦτον λόγον καὶ ἐνδειξάμενος τὴν ἐπὶ τὸ τοιαύτας ἀρχὰς τῶν ὄντων αὐτοὺς λέγειν ἐκτροπήν, αὐτὸς πρὸς τὸν Παρμενίδην ἀντιλέγει, ἐκείνων τοῦτο ποιῆσαι μὴ δυνηθέντων, λέγων κτλ.

1089 a 9. ποῖον τούτων ὁ Παρμενίδης λέγει ὂν ἓν εἶναι, εἰ μὴ θήσομεν εἶναι καὶ τὸ μὴ ὄν; πότερον πάσας τὰς οὐσίας λέγει ἓν εἶναι, εἰ μή ἐστι τὸ μὴ ὄν; ἢ τὰς οὐσίας καὶ τὰ πάθη καὶ τὰ ἄλλα πάντα ἓν εἶναι λέγει, εἰ μή ἐστι τὸ μὴ ὄν; λέγει δὲ τόδε τι τὴν οὐσίαν, τοιόνδε δὲ τὸ ποιόν, τοσόνδε δὲ τὸ ποσόν. ἀλλ' ἄτοπον, φησί, τὸ λέγειν ὡς εἰ γένηται μία τις φύσις, λέγων μίαν φύσιν τὸ μὴ ὄν, ἔσται τοῦ ὄντος τὸ μὲν οὐσία τὸ δὲ ποιὸν τὸ δὲ ποσόν, τουτέστιν ἔσται πολλὰ τὰ ὄντα. ἀδύνατον οὖν ὡς ἀληθῶς τὸ λέγειν ὡς εἰ ἔστι τὸ μὴ ὄν, ἔσονται πολλὰ τὰ ὄντα, εἰ δὲ μή ἐστιν, ἓν ἔσται τὸ ὄν· τίς γὰρ εὖ λέγων ποιητικὸν ἂν εἴποι αἴτιον τὸ μὴ ὂν τοῦ εἶναι πολλὰ τὰ ὄντα;

1089 a 15. ἐκ ποίου ὄντος καὶ μὴ ὄντος πολλὰ εἶναι ὁ Πλάτων λέγει τὰ ὄντα; ἐπειδὴ δὲ ὅπερ μὴ ὂν ἔλεγεν ὁ Πλάτων, τοῦτο καὶ ψεῦδος ἐκάλει, βούλεται μὲν ἐκ τοῦ ὄντος καὶ τοῦ ψεύδους πολλὰ τὰ ὄντα ποιεῖν κτλ.

1089 a 20. ἐν δὲ τῇ λέξει τῇ "καὶ ταύτην τὴν φύσιν λέγει τὸ οὐκ ὂν" τὸ λεγόμενον ἴσον ἐστὶ τῷ καὶ τὸ οὐκ ὂν ταύτην τὴν φύσιν λέγει, ἀντὶ τοῦ τὸ οὐκ ὂν ταὐτὸν ἡγεῖται τῇ τοῦ ψεύδους φύσει.

1089 a 24. τὸ γὰρ "οὐ γὰρ ἐν τῷ συλλογισμῷ ἡ πρότασις" ἴσον ἐστὶ τῷ οὐ γὰρ ἡ προτεινομένη καὶ γραφομένη γραμμὴ ἐν τῷ συλλογισμῷ καὶ τῇ ἀποδείξει παραλαμβάνεται, ἀλλ' ἡ νοουμένη.

1089 a 25. ἁπλῶς γὰρ μὴ ὂν λέγει τὸ καθόλου μὴ ὄν, κατὰ τὰς πτώσεις δὲ μὴ ὂν τὰ καθ' ἕκαστα.

1089 a 31. καὶ εἴτε ἕν ἐστι τὸ ὄν, ὡς ὁ Παρμενίδης βούλεται, εἴτε πολλά, ὡς ἡ ἀλήθεια, ἐκ τοῦ δυνάμει μὴ ὄντος τὰ γινόμενα ἀναγκαῖον γίνεσθαι.

καὶ τὴν αἰτίαν εἰπεῖν ζητοῦντος τοῦ ὅπως πολλά ἐστι τὰ ὄντα καὶ οὐχ ἕν, ὡς ὁ Παρμενίδης βούλεται, λέγει ὁ Ἀριστοτέλης ὅτι οὐ καθόλου περὶ παντὸς ὄντος τοῦ τε ἐν οὐσίᾳ τοῦ τε ἐν ποσῷ τοῦ τε ἐν ποιῷ ὄντος καὶ τῶν λοιπῶν θεωρουμένου τὴν ζήτησιν ὁ Πλάτων ἐποιεῖτο πῶς τούτων ἕκαστον πολλά ἐστιν, ἀλλὰ μόνον τοῦτο ἐζήτει ὅτι πῶς τὸ ὂν τὸ ὡς οὐσία λεγόμενον πολλά ἐστιν, καὶ τὴν αἰτίαν τοῦ πῶς ἐζήτει, διὰ τί πολλαὶ οὐσίαι εἰσί, περὶ δὲ τῶν ἄλλων κατηγοριῶν οὐδένα λόγον ἐποιεῖτο, συντόμως ἐπήγαγεν εἰπὼν "ἀριθμοὶ γὰρ καὶ μήκη τὰ γεννώμενά ἐστιν," ὃ ταὐτόν ἐστι τῷ, ἃ γὰρ ἐκ τῶν ἀρχῶν τοῦ μεγάλου καὶ μικροῦ καὶ τοῦ ἀρχικοῦ ἑνὸς κατ' αὐτοὺς γίνεται, ἀριθμοὶ καὶ μήκη καὶ σώματά εἰσιν, ἅπερ πάντα τά τε μήκη καὶ οἱ ἀριθμοὶ αἱ κυριώταται καὶ πρώτως μάλιστα οὐσίαι, ὡς αὐτός φησιν, εἰσίν. ὥστε εἴπερ τὸ πολλὰ εἶναι τὰ ὄντα κατασκεύαζε διὰ τοῦ γένεσιν τοῖς οὖσιν εἰσάγειν, τὴν δὲ γένεσιν ἐκ τοῦ μικροῦ καὶ μεγάλου καὶ τοῦ ἑνὸς ἐποίει, πᾶν δὲ τὸ ἐκ μικροῦ καὶ μεγάλου, ὡς αὐτός φησιν, ἢ ἀριθμὸς ἢ μέγεθος, πᾶς δὲ ἀριθμὸς καὶ μέγεθος καὶ μῆκος οὐσία· τοῦτο γὰρ βούλεται καὶ λέγει κτλ.

1089 b 4. "αἴτιον," τουτέστιν ἡ ἑκάστου ὕλη καὶ τὸ εἶδος, ἅπερ τὰ αὐτὰ τῷ ἀνάλογόν εἰσιν, ὡς ἐν τῷ Λ δέδεικται. τὸ δὴ ἑκάστου εἶδος καὶ ἡ ὕλη αἴτια τοῦ εἶναι καὶ οὐσίας πολλὰς καὶ ποσὰ καὶ ποιὰ καὶ τὰ λοιπά. εἰπὼν δὲ ταῦτα ἐπιφέρει ὅτι ἡ παρέκβασις ἤτοι τὸ παρεκβῆναι καὶ καταλιπεῖν καὶ μὴ ζητῆσαι διὰ τίνα ποτὲ αἰτίαν εἰσὶ πολλοὶ χυμοὶ καὶ χρώματα, πεποίηκεν αὐτοὺς τὸ πρός τι ὑποθεῖναι κτλ.

1089 b 8. εἰ γὰρ καὶ ὅτι μάλιστα συγχωρήσειέ τις ὅτι διὰ τὰ πρός τι ἤτοι τὸ ἄνισόν εἰσι πολλὰ τὰ ὄντα, ἀλλ' οὐκ ἂν καὶ ἑαυτοῖς αἴτια εἴη τοῦ πολλὰ εἶναι.

τῆς τοῦ ἀνίσου δυάδος, τῷ δὲ Πυθαγόρᾳ ἡ γένεσις τῶν ἀριθμῶν ἐστὶν ἐκ τοῦ πλήθους.

1087 b 14. δεῖ στίξαι τελείαν εἰς τὸ "μετὰ τοῦ ἑνός," εἶτα ἐπαγαγεῖν αὐτὸ καθ' αὑτὸ τὸ "τρία ταῦτα στοιχεῖα." τὸ δὲ λεγόμενον τοιοῦτον. πάντες οὗτοι τὴν μὲν εἰδικὴν ἀρχὴν τῶν ἀριθμῶν τὸ ἓν λέγουσι, τὴν δὲ ὑλικὴν ἄλλοι ἄλλως· οἱ μὲν γὰρ τούτων τὸ μέγα καὶ μικρὸν ὕλην λέγοντες, εἶδος δὲ τὸ ἕν, τὰ τρία ταῦτα στοιχεῖα τῶν ἀριθμῶν ἔλεγον· οἱ δ' ἐπιδιορθούμενοι πολλῷ δικαιότερόν ἐστι φασὶ τὸ πολὺ καὶ ὀλίγον ὑλικὴν ἀρχὴν λέγειν τῶν ἀριθμῶν καὶ μὴ τὸ μέγα καὶ μικρόν· τὸ γὰρ μέγα καὶ μικρὸν ἄν περ ὅλως εἶεν ἀρχαί, τοῦ μεγέθους ἔσωσαν ἀλλ' οὐ τοῦ ἀριθμοῦ. ἄλλοι δὲ ἐκφεύγοντες τὴν ἔριν ταύτην ὑπέθεντο ὑλικὴν ἀρχὴν τὸ περιέχον καὶ τὸ περιεχόμενον· καθολικώτερα γὰρ ταῦτα καὶ γενικώτερα.

1087 b 26. ἄλλοι δὲ τῶν Πυθαγορείων τὸ ἕτερον καὶ τὸ ἄλλο ὡς μίαν φύσιν, ὑλικὴν δέ, πρὸς τὸ ἓν εἶδος ἀντιτιθέασιν· ἄλλος δέ, ὡς καὶ ἀνωτέρω εἴρηκεν, τὸ πλῆθος καὶ τὸ ἓν κατ' ἀλλήλων ὡς ἐναντία ὁπλίζουσι. ταῦτα εἰπὼν κοινῶς πρὸς ἅπαντας ἀπαντᾷ.

1087 b 29. αὐτῷ δὲ ἐπιστῆσαι χρὴ ἣν παραδίδωσι διαφορὰν ἑτέρου καὶ ἄλλου. τὸ μὲν γὰρ ἕτερον ἀντικεῖσθαι λέγει τῷ ταὐτῷ μετὰ τῆς τοῦ πᾶν προσθήκης καὶ προηγήσεως, τὸ δὲ ἄλλο τῷ αὐτῷ χωρὶς τοῦ τῷ ἄρθρου καὶ τῆς τοῦ πᾶν προσθήκης τε καὶ προηγήσεως. ὥστε οὕτω χρὴ τὴν τῶν δύο τούτων συζυγιῶν ἐναντιότητα ἐκφωνεῖν· ἕτερον ταὐτό, ἄλλο αὐτό... ἀλλὰ μὴν ὥσπερ ἐστὶν ἐλάχιστος τῶν ὑφ' ἡμιολίων ἡ δυὰς καὶ τῶν ὑπὸ ἐπιτρίτων ἡ τριάς, οὕτω καὶ τὸ ἐλάχιστον καὶ ἔσχατον τοῦ ὀλίγου μέρος ἡ δυάς· ὥστε τὸ ἕν, εἴπερ ἐστὶν ὀλίγον, ἔσται δυάς· ὅπερ ἀδύνατον.

1087 b 33. τὸ ἀρχικὸν ἓν οἱ τὰς ἰδέας καὶ τοὺς ἀριθμοὺς εἶναι τιθέμενοι οὐχ ἕτερόν τι οἷον πῦρ ἢ ἄλλο τι λέγοντες, οὐδὲ ὅλως οὐδεμίαν αὐτῷ φύσιν ὑποτιθέντες, οὐδὲ ἐν ὑποκειμένῳ τινὶ τὸ εἶναι ἔχειν λέγοντες, ἀλλ' αὐτὸ καθ' αὑτὸ καὶ ἐν τῷ ἓν εἶναι οὐσιῶσθαι αὐτὸ λέγοντες, ἐλέγχονται διὰ τοῦ δαιμονίου τοῦδε ἀνδρὸς ἀποδεικνύντος ὅτι ἀδύνατον εἶναί τι ἓν μὴ νοῦς ὄν, μὴ ἄνθρωπος, μὴ ψυχή, ἀλλ' αὐτὸ τοῦτο ἕν. δείκνυσι δὲ τοῦτο ἐκ τοῦ δεῖξαι ὅτι τὸ ἓν τοῦτο μέτρον ἐστί, καί φησιν ὅτι τὸ ἓν μὲν μέτρον ἐστί, φανερόν, καὶ ἐν παντὶ ἑνὶ ὑπόκειταί τις φύσις· ἐν μὲν γὰρ ἁρμονίᾳ ὑπόκειται τῷ ἑνί, δι' οὗ μετροῦμεν τόνους ἡμιτόνια καὶ ὅλως φθόγγους, ἡ δίεσις. δίεσις δ' ἐστὶν ὁ σμικρότατος φθόγγος καὶ οὗ ἐλάττονος αἰσθέσθαι τις οὐ δύναται.

1088 a 5. ἀλλὰ καὶ ὁ ἀριθμὸς οὐδὲν ἄλλο δηλοῖ ἢ ὅτι πλῆθος διῃρημένον, ἢ πλῆθος μέτρων ἤτοι ἑνάδων... τὴν ἑτέραν (πρότασιν), τὴν πᾶς ἀριθμὸς μέτρα, παρείασεν.

1088 a 15. τὸ ἀρχικὸν ἕν, ὥσπερ εἴρηται, ποτὲ μὲν ἓν λέγοντες ποτὲ δὲ ἴσον, ὁμοίως δὲ καὶ τὴν ἀόριστον δυάδα ἐκ μικροῦ ποιοῦντες καὶ μεγάλου, καὶ εἰς ἕν τι τὸ ἄνισον αὐτὴν συναιροῦντες, πόρρω λίαν καὶ τῶν δοκούντων αὐτοῖς καὶ τῶν δυνατῶν λέγουσιν.

1088 a 23. ἥκιστα γὰρ τῶν ἄλλων πασῶν κατηγοριῶν φύσις τίς ἐστι καὶ οὐσία τὰ πρός τι· οὐ γὰρ μόνον τὰ εἴδη τοῦ πρός τι πάθη εἰσὶ τοῦ ποσοῦ, τὸ δὲ καθόλου πρός τι οὔ, ἀλλὰ καὶ τὸ καθόλου καὶ τὰ εἴδη· τὸ μὲν γὰρ καθόλου πρός τι τοῦ καθόλου ποσοῦ πάθος, τὰ δὲ εἴδη τῶν εἰδῶν. εἰ δὲ δεῖ καὶ κατὰ δοτικὴν πτῶσιν αὐτῶν ἀκούειν, προσυπακουστέον τοῦ συμβαίνει, καὶ ἀναγνωστέον ὑπερβατῶς οὕτως, καὶ ὅλως συμβαίνει τῷ κοινῷ καθόλου πρός τι καὶ τοῖς μέρεσιν αὐτοῦ καὶ εἴδεσι πάθη εἶναι τοῦ ποσοῦ.

καὶ οὐχ ἕτερόν τι ὄν, τουτέστιν ὃ οὐ ποσὸν ὂν πολὺ ἢ ὀλίγον ἐστίν· 1088 a 23.
ἀδύνατον γὰρ πολὺ ἢ ὀλίγον εἶναι μὴ ποσὸν ὄν.

ὅλως δὲ ἄτοπον τὸ πρός τι λέγειν ὕλην τῆς οὐσίας καὶ στοιχεῖον· 1088 b 2.
τὰ γὰρ στοιχεῖα τῆς οὐσίας πρότερα τῆς οὐσίας, τὰ δὲ πρός τι ὕστερα οὐ μόνον τῆς οὐσίας ἀλλὰ καὶ τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ. ἔτι τὰ στοιχεῖα οὐ κατηγορεῖται ὧν ἐστὶ στοιχεῖα κτλ.

ἀλλὰ τί βούλεται ἐν τῇ λέξει τῇ "τὸ πολὺ καὶ ὀλίγον καὶ χωρὶς καὶ 1088 b 5.
ἅμα" προσκείμενον; ἢ ὅτι τὸ πολὺ καὶ ὀλίγον καὶ κατὰ τοῦ τρία καὶ τῶν λοιπῶν ἅμα κατηγοροῦν. ἅμα γάρ, φησίν, ὁ τρία καὶ πολὺς καὶ ὀλίγος· πρὸς μὲν γὰρ τὸν τέσσαρα ὀλίγος, πρὸς δὲ τὸν δύο πολύς· κατὰ δὲ τῆς δυάδος μόνον τὸ ὀλίγον, οὐ μὴν καὶ τὸ πολύ. πρὸς ὃ καὶ ἐνιστάμενος λέγει "εἰ δὲ δὴ καὶ ἔστι τι πλῆθος," λέγων τι πλῆθος τὴν δυάδα, καθ' ἧς τὸ ἕτερον μόριον τῆς ἐναντιώσεως κατηγορεῖται, οἷον τὸ ὀλίγον κατ' αὐτούς, θάτερον δέ, οἷον τὸ πολύ, μή. εἶτα πρὸ τοῦ τὸν λόγον ἀποδοῦναι ἐπισυνάπτει τὴν αἰτίαν, καθ' ἣν τὸ πολὺ τῆς δυάδος κατηγορεῖσθαι οὐκ ἐδίδου, λέγων "εἰ γὰρ πολύ, τὸ ἓν ἂν ὀλίγον εἴη." εἰ γάρ, φησί, τὸ πολὺ κατηγορήσομεν τῆς δυάδος, τὸ ἓν ἂν ὀλίγον εἴη· ὅπερ ἀδύνατον. εἰ δή, φησὶν ὁ Ἀριστοτέλης, ἔστι τι πλῆθος καὶ τοῦτό ἐστιν ἡ δυάς, ὅπερ ἁπλῶς ὀλίγον φασίν, εἴη ἂν καὶ ἁπλῶς πολύ· ἔσω δὲ τὸ ἁπλῶς πολὺ ἡ δεκάς, καὶ ἡττάσθωσαν αὐτῆς καθ' ὑπόθεσιν καὶ τὰ μύρια καὶ πᾶς ἄλλος ἀριθμός. εἰ οὖν ταῦθ' οὕτως, πῶς ἐστὶ δυνατὸν λέγειν ὅτι τὸ πολὺ καὶ ὀλίγον στοιχεῖόν ἐστι τῶν ἀριθμῶν; ὥσπερ γὰρ τὸ πῦρ καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ καὶ ἡ γῆ στοιχεῖα ὄντα τοῦ ἀνθρώπου ἐν παντὶ ἀνθρώπῳ εἰσὶ καὶ οὐδείς ἐστιν ἄνθρωπος ᾧ μὴ τὰ τέσσαρα ταῦτα πρόσεστιν, οὕτως εἰ ἦσαν τὸ πολὺ καὶ ὀλίγον στοιχεῖα τῶν ἀριθμῶν, ἐν παντὶ ἀριθμῷ εὑρίσκετο. νῦν δὲ τὸ μὲν ὀλίγον κατ' αὐτοὺς ἔνεστιν ἐν τῇ δυάδι, τὸ δὲ πολὺ οὔ, καὶ πάλιν τὸ μὲν πολὺ ἐν τῇ δεκάδι, τὸ δὲ ὀλίγον οὐδαμῶς. οὐκ ἄρα τὸ πολὺ καὶ ὀλίγον στοιχεῖόν εἰσι τῶν ἀριθμῶν· εἰ γὰρ ἦσαν, ἢ ἀμφοτέρων καὶ τῆς δυάδος καὶ τῆς δεκάδος κατηγορεῖτο ἂν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον, ἢ οὐδενός, καὶ οὐχὶ τὸ μὲν ὀλίγον τῆς δυάδος τὸ δὲ πολὺ τῆς δεκάδος· οὕτω γὰρ συνέβαινε καὶ τὸ πῦρ στοιχεῖον ὂν τοῦ Σωκράτους μὴ εἶναι καὶ τοῦ Πλάτωνος.

"ἁπλῶς δὲ — συγκεῖσθαι." δείξας ἐν τῷ Α τῆς περὶ Οὐρανοῦ 1088 b 14.
πραγματείας ὅτι τὸ δυνάμει πῦρ ὅταν ἐκβαίνῃ εἰς ἐνέργειαν καὶ γένηται πῦρ, οὐκ ἀπώλεσε τὴν δύναμιν ἣν εἶχε πρὸ τοῦ πῦρ γενέσθαι, ἀλλὰ καὶ μετὰ τὸ γενέσθαι πῦρ πάλιν φυλάττει αὐτὴν καὶ δύναται μεταβαλεῖν εἰς ἐκεῖνο ἐξ οὗ εἰς πῦρ μεταβέβληκεν, ἐνταῦθα ζητεῖ εἰ δυνατὸν τοὺς ἀριθμοὺς ἐκ στοιχείων γεγονότας, δυνάμει ὄντων ἀριθμῶν, ἀϊδίους εἶναι.

ὥστε καὶ οἱ ἀριθμοί, εἰ ἐκ τοῦ μεγάλου καὶ μικροῦ γεγόνασιν, 1088 b 20.
εἴτε γέγονέν ποτε τὸ μέγα καὶ μικρὸν εἴτε καὶ ἀεὶ ἦσαν, δυνάμει ὄντων ἀριθμῶν τοῦ μεγάλου καὶ μικροῦ γεγόνασιν οἱ ἀριθμοὶ ἐξ αὐτῶν· τὸ δὲ δυνάμενον εἶναι ἀριθμὸς δύναται, κἂν ὅτι μάλιστα δώσομεν

1086 b 19. πότερον χωριστόν ἐστι τὸ ἀρχικὸν ἓν καὶ ἡ ἀόριστος δυάς, ἢ καθόλου τινὲς φύσεις;

1086 b 27. τὸ δὲ ὁμώνυμον ἀντὶ τοῦ συνωνύμως κατηγορούμενον· ὃ γὰρ μήτε συνωνύμως μήτε ὁμωνύμως κατὰ πολλῶν λέγεται, μερικὸν καὶ ἄτομον.

τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον ὧδε· ἕκαστον αὐτῶν ὅ ἐστιν, ἓν τιθέασι τῷ ἀριθμῷ.

1086 b 34. καὶ οἱ ὁρισμοὶ γὰρ τῶν καθόλου, ὡς ἐν τῷ Ζ τῆς παρούσης δείκνυται πραγματείας· καὶ αἱ ἀποδείξεις ὁμοίως, ὡς ἐν τοῖς Ὑστέροις ἐμάθομεν Ἀναλυτικοῖς.

1087 a 5. κατὰ δὲ τὴν λέξιν τὴν "καὶ παρὰ τὰς τὸ αὐτὸ εἶδος ἐχούσας οὐσίας ἕν τι ἀξιοῦσιν εἶναι κεχωρισμένον" ἢ τοῦτο λέγοι ἄν, ὃ καὶ πρότερον εἴπομεν, ὅτι εὐλόγως συμβαίνει τὰ εἰρημένα ἄτοπα τοῖς ἀξιοῦσι παρὰ τὰς καθ' ἕκαστα οὐσίας τὰς ἐχούσας καθ' αὐτὰ ἐν ἑαυταῖς τὰς ἰδέας· μεθέξει γὰρ τῶν ἰδεῶν τὰ τῇδε εἶναι βούλονται. τοῖς δὲ ἀξιοῦσι παρὰ τὰ καθ' ἕκαστα ἕν τι εἶναι αὐτοεῖδος κεχωρισμένον ταῦτα συμβαίνει. καὶ δεῖ τὴν λέξιν οὕτως ἀναγινώσκειν· καὶ ἀξιοῦσιν ἕν τι εἶναι κεχωρισμένον αὐτοεῖδος, ἕτερον παρὰ τὰς οὐσίας τὰς αἰσθητὰς καὶ ἐχούσας ἐν ἑαυταῖς τὰς ἰδέας· μεθέξει γὰρ τῶν ἰδεῶν ὄντων ἡμῶν, πῶς οὐκ ἂν εἶεν ἐν ἡμῖν; ἢ τὸ "καὶ παρὰ τὰς τὸ αὐτὸ εἶδος ἐχούσας οὐσίας καὶ ἰδέας ἕν τι ἀξιοῦσιν εἶναι κεχωρισμένον," εἴρηται ἀντὶ τοῦ εὐλόγως συμβαίνει αὐτοῖς ταῦτα, ὅταν ἀξιῶσιν ἕν τι αὐτοεῖδος εἶναι κεχωρισμένον, λέγων αὐτοεῖδος τὸ ἀρχικὸν ἓν παρὰ τὰς οὐσίας, αὐτὰς δὴ τὰς ἰδέας καὶ ἐχούσας τὸ ἀρχικὸν ἓν ἤτοι τὸ αὐτοεῖδος· εἶδος γὰρ τὸ ἀρχικὸν ἓν κατ' αὐτοὺς τῶν ἰδεῶν. εὔδηλον δ' ὡς ἔχουσιν αὐτὸ αἱ ἰδέαι· ὥστε εἰ λέγοι αὐτοεῖδος τὸ ἀρχικὸν ἓν καὶ οὐσίας ἐχούσας τὸ αὐτοεῖδος, μὴ τὰς τῇδε καὶ αἰσθητάς, ἀλλὰ τὰς ἰδέας, δεῖ κατὰ ταύτην τὴν ἐπιβολὴν οὑτωσὶ τῆς λέξεως ἀκούειν. ὅταν ἀξιῶσιν εἶναι ἕν τι αὐτοεῖδος, τουτέστιν ἀρχικὸν ἕν, ἕτερον παρὰ τὰς εἰδητικὰς οὐσίας τὰς ἐχούσας κατ' αὐτὰς τὸ ἀρχικὸν ἓν τοῦτο συμβαίνει.

ὧδε μὲν οὖν πεπεράτωται τὸ Μ τῆς Μετὰ τὰ Φυσικὰ πραγματείας. 1087 a 25.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Ν.

1087 a 29. Ἐν τῷ πρὸ τούτου βιβλίῳ ζητήσας εἰ δυνατὸν εἶναι τὰ μαθηματικὰ χωριστὰ καὶ καθ' αὐτά, καὶ δείξας ὅτι χωριστὰ μὲν οὐκ εἰσίν, ὡς οἱ ταῦτα τιθέμενοι λέγουσιν, ἐξ ἀφαιρέσεως δέ, εἶτα ζητήσας περὶ τοῦ εἰδητικοῦ ἀριθμοῦ καὶ δείξας ὅτι ἀδύνατόν ἐστι τοιούτους ἀριθμοὺς εἶναι, ἐν τῷ παρόντι βιβλίῳ, Ν μὲν ἐπιγραφομένῳ, τρισκαιδεκάτῳ δὲ κατὰ τὸν ἀριθμὸν καὶ τελευταίῳ τῆς ὅλης πραγματείας ὄντι, δείκνυσιν ὅτι οὐδ' ὡς ἀρχὰς τῶν ὄντων δυνατόν ἐστι λέγειν ἢ τοὺς εἰδητικοὺς ἀριθμοὺς ἢ τὰ μαθηματικά, ὡς οἱ ταῦτα κομίσαντες βούλονται. καί φησι, περὶ μὲν οὖν τῆς οὐσίας τῆς νοητῆς ὅσα τε ἡμεῖς ὡς οἰκεῖα εἰρήκαμεν, ὅσα τε οἱ Πυθαγόρειοι καὶ ὁ Πλάτων, μέχρι τοσούτου εἰρήσθω. ἡμεῖς μὲν γὰρ ἐνέργειαν τὸν πρῶτον νοῦν πάντη πάντως ἀμοιροῦσαν τοῦ δυνάμει εἰρήκαμεν, εἶτα καὶ ἐκ τοῦ τῶν σφαιρῶν πλήθους συνελογισάμεθα πόσοι οἱ δεύτεροι νοῖ τυγχάνουσιν ὄντες. ἡμεῖς μὲν οὖν τὴν νοητὴν οὐσίαν τοιαύτην εἰρήκαμεν. τούτων δὲ οἱ μὲν εἰδητικοὺς ἀριθμοὺς οἱ δὲ τὰ μαθηματικὰ τὴν οὐσίαν εἶναι λέγουσι τὴν νοητήν. ὥστε περὶ μὲν τῆς τοιαύτης οὐσίας τοσαῦτα εἰρήσθω. πάντες δὲ καὶ οἱ τῶν ἰδεῶν προστάται καὶ οἱ τῶν μαθηματικῶν ἐφευρεταὶ ἀρχὰς τῶν εἰδῶν καὶ τῶν μαθηματικῶν (ταῦτα γὰρ εἰρήκεν ἀκινήτους οὐσίας) τὰ ἐναντία τίθενται παραπλησίως τοῖς φυσικοῖς... ὅτι δὲ τῶν νοητῶν καὶ πάντη ἀκινήτων ἀδύνατον εἶναι ἐναντίας τὰς ἀρχάς, δείκνυσι νῦν προλαβὼν ὡς ἐναργέστατόν τε καὶ δεδειγμένον ὅτι τῆς πρώτης πάντων ἀρχῆς οὐκ ἐνδέχεται πρότερόν τι εἶναι κτλ.

1087 b 4. δεῖ συντομώτατα πρὸ τῆς τῶν λεγομένων σαφηνείας εἰπεῖν ὅπως οἱ τὰ ἐναντία ἀρχὰς τῶν ἰδεῶν καὶ πάντων τῶν ὄντων λέγοντες τὴν ἐναντιότητα παρελάμβανον, καὶ οὕτως ἐπ' αὐτὰ χωρῆσαι. οἱ λέγοντες τὸ ἄνισον καὶ τὸ ἓν ἀρχήν, ἢ τὸ ἓν καὶ τὸ μέγα καὶ μικρόν, ἢ τὸ ἓν καὶ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον, τὸ ἓν ταὐτὸν λέγοντες τῷ ἴσῳ ἢ τὸ ἴσον τῷ ἑνί, τὸ μὲν ἄνισον ὕλην ἔλεγον, τὸ δὲ ἓν ἤτοι τὸ ἴσον εἶδος, καὶ ἐναντίον ἀλλήλοις τὸ μὲν ἓν ἢ τὸ ἴσον τῷ ἀνίσῳ καὶ τὸ ἄνισον τῷ ἑνί. πάλιν τὸ μέγα καὶ μικρὸν οὐκ ἔλεγον ἐναντία, ἀλλ' ὡς μίαν τινὰ φύσιν καὶ ὑλικὴν αἰτίαν παραλαμβάνοντες ὡς εἶδος καὶ ἐναντίον αὐτοῖς τὸ ἓν ἐλάμβανον. ὁμοίως δὴ τούτοις καὶ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον μίαν τινὰ φύσιν ἀποφαινόμενοι τὸ ἓν ὡς εἶδος αὐτοῖς ἀντετίθουν. ὃ καὶ γελοῖον· οὐ γάρ ἐστιν ἡ ὕλη ἐναντία τῷ εἴδει, ὅπου καὶ συνυπάρχουσιν, ἀλλ' ἡ στέρησις. ταῦτα μὲν οὖν πρὸς σαφήνειαν τῶν λεχθησομένων. αὐτὸς δὲ λέγει ὅτι τῶν τὰ ἐναντία ἀρχὰς θεμένων οἱ μέν, ὥσπερ ὁ Πλάτων, τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιοῦσι, καὶ τοῦτό ἐστι τὸ ἄνισον, εἶδος δὲ τὸ ἕν... εἶτα καὶ τὴν αἰτίαν τίθησι δι' ἣν τῷ ἑνὶ τὸ ἄνισον ἀντετίθουν ἀλλ' οὐ τὸ πλῆθος. ὑπολαμβάνοντες γάρ, φησίν, οἱ περὶ Πλάτωνα τὸ ἄνισον εἶναι τὴν φύσιν καὶ οὐσίαν τοῦ πλήθους, ἀντὶ τοῦ πλήθους τὸ ἄνισον ἀντετίθουν τῷ ἑνί· οἱ δὲ περὶ Πυθαγόραν ὕλην τε καὶ ἐναντίον τῷ ἑνὶ αὐτὸ τὸ πλῆθος ποιοῦσι. ταῦτα εἰπὼν καὶ μέλλων ἐκθέσθαι καὶ ἄλλας δόξας, πάλιν ἐκτίθεται τὴν τοῦ Πυθαγόρου καὶ Πλάτωνος, λέγων "γεννῶνται γὰρ οἱ ἀριθμοὶ τοῖς μέν" (οὗτοι δ' εἰσὶν οἱ περὶ Πλάτωνα) "ἐκ τῆς τοῦ ἀνίσου δυάδος·" αὐτὴ δ' ἐστὶ τὸ μέγα καὶ μικρόν· ἐμπεριέχεσθαι γὰρ τὴν ἐκ τοῦ μεγάλου καὶ μικροῦ ἀποτελουμένην δυάδα, ἤτοι τὸ μέγα καὶ μικρὸν ἐναντιοῦσθαι καὶ ὡς ὕλην ὑποκεῖσθαι τῷ ἑνὶ ἔλεγον· οὔτε δὲ τὸ περιεκτικὸν καὶ καθολικώτερον τοῦ μεγάλου χωρὶς καὶ τοῦ μικροῦ ἰδίως, ἅμα δὲ ἐξισάζον αὐτοῖς, τοῦτο δ' ἐστὶ τὸ ἄνισον ἐναντιοῦσθαι τῷ ἑνί· ὥσπερ γὰρ ὁ ἀριθμὸς τοῦ μὲν περιττοῦ ἰδίως ἐστὶ καθολικώτερος, ὁμοίως δὲ καὶ τοῦ ἀρτίου, ἅμα δὲ τῶν δύο τούτων συνελθόντων οὐκ ἔστι καθολικώτερος ἀλλ' ἐξισάζει, οὕτω καὶ τὸ ἄνισον τοῦ μὲν μεγάλου φησὶ καθολικώτερον καὶ τοῦ μικροῦ ὁμοίως, τῶν δύο ἅμα οὐδαμῶς. τοῖς μὲν οὖν περὶ Πλάτωνα γεννῶνται οἱ ἀριθμοὶ ἐκ

περὶ Πλάτωνος, δι' ὃ καὶ ἐνταῦθα βραχέως καὶ συντόμως τὴν τούτων ἐξέθετο διάνοιαν), οἱ δὲ μεθέξει τοῦ ἑνὸς τὸ εἶδος ἀπετέλουν τῶν μεγεθῶν. ἀλλὰ καὶ ἐν τούτοις, φησί, μυρία ἕπεται ἀδύνατα καὶ πλασματώδη, καὶ ἐπάγει ἐκ τῶν πολλῶν ὀλίγα.

1085 a 18. τὸ δὲ "εἰ δὲ τοῦτο" ἀντὶ τοῦ εἰ δὲ σύνεισιν ἀλλήλαις αἱ ἀρχαί.

1085 a 19. ἔτι δέ, φησίν, αἱ γωνίαι κτλ. πῶς ἀποδοθήσεται κατὰ λόγον καὶ πῶς ἐκ τῶν πολυθρυλλήτων αὐτῶν ἀρχῶν δυνήσονται ποιεῖν; τί γὰρ ἐν τούτοις τὸ ὑπερέχον καὶ τί τὸ ἐλλεῖπον; τὴν μὲν γὰρ ὀρθὴν γωνίαν ἔλεγον εἶναι κατὰ τὴν μονάδα, ὀξεῖαν δὲ καὶ ἀμβλεῖαν κατὰ τὴν ἀόριστον δυάδα, ἀφ' ἧς ἐστὶν αὐταῖς τό θ' ὑπερέχειν καὶ ὑπερέχεσθαι. ἀλλὰ καὶ τῶν σχημάτων τὰ μὲν ἐν ἰσότητι καὶ ταὐτότητι θεωρούμενα, ὡς τὰ τετράγωνα καὶ τοὺς κύβους, ἐκ τῆς μονάδος ἔλεγον, τὰ δὲ ἀνισότητι καὶ ἑτερότητι κατεχόμενα ἐκ τῆς δυάδος. ταῦτα δὲ πάντα πλασματώδη καὶ ἀδύνατα. ταῦτα εἰπὼν λέγει ὅτι ὥσπερ τὸ περιττὸν καὶ ἄρτιον πάθη εἰσὶν ἀριθμῶν, ταὐτὸ τοῦτο συμβαίνει καὶ ἐπὶ τούτων, καὶ εἰσὶ μήκους μὲν πάθη τὸ περιφερὲς καὶ εὐθύ, πλάτους δὲ τὸ στενὸν καὶ πλατύ, βάθους δὲ τὸ ταπεινὸν καὶ ὑψηλόν· οὐ μὴν ἐκ τούτων, τῆς τε ἀορίστου φημὶ δυάδος καὶ τοῦ ἑνός, ἔστι τὸ μέγεθος, ὥσπερ οὐδὲ ἐξ εὐθέος καὶ καμπύλου τὸ μῆκος καὶ τὰ λοιπὰ ἃ σαφῶς αὐτὸς καταλέγει.

1085 a 31. εἰ μὲν οὖν αὐτῶν τὰ μεγέθη γεννῶντες ἦσαν, ὥσπερ εἴρηται, ἐκ τοιαύτης ὕλης ἢ τοιαύτης ἀορίστου δυάδος, τὸ μακρὸν καὶ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ ταπεινὸν καὶ ὑψηλόν, ἐκ δὲ τούτων γραμμήν, ἐπίπεδον, στερεόν· ἕτεροι δὲ οὐ τὰς ἀριθμητικὰς ἀρχὰς καὶ τῶν μεγεθῶν ἀρχὰς ἔλεγον, ἀλλ' ἀνάλογον ταῖς ἀριθμητικαῖς ἀρχαῖς ἱστᾶσι τὰς γεωμετρικάς, στιγμὴν ἀντὶ ἑνὸς παραλαμβάνοντες, οὐκ οὖσαν μὲν ὅπερ τὸ ἓν ἀλλ' ἀνάλογον τῷ ἑνὶ ταττομένην, καὶ ἄλλο τι οὐκ ὂν μὲν ὅπερ ἡ δυάς, ἀνάλογον δὲ τῇ ἀρχῇ ταύτῃ παραλαμβανόμενον ὑπ' αὐτῶν, ὅπερ οἷον πλῆθος ἐκάλουν. ἡ δὲ λέξις ἡ "καὶ ἄλλης ὕλης οἵας τὸ πλῆθος, ἀλλ' οὐ πλήθους" βέλτιον εἰ οὕτως ἐγράφετο· καὶ ἄλλης ὕλης, οἷον τὸ πλῆθος ἀλλ' οὐ πλῆθος· ἵν' ἦν ἀντὶ μὲν τοῦ "οἵας" τὸ οἷον, ἀντὶ δὲ τοῦ πλήθους, ὅπερ ἐστὶ γενικὴ τῶν ἑνικῶν, πλῆθος εὐθεῖα τῶν ἑνικῶν.

1085 b 8. καὶ ἄλλος μέν τις, φησί, τῶν Πυθαγορείων ἐκ τοῦ κατηγορουμένου καθόλου ἤτοι τοῦ καθόλου πλήθους, ἀλλ' οὐ τινος πλήθους, καὶ τοῦ ἑνὸς γεννᾷ τὸν ἀριθμόν, ὁ δὲ Πλάτων ἐκ τοῦ πλήθους τοῦ πρώτου δὲ καὶ τοῦ ἑνὸς γεννᾷ. λέγει δέ τι πλῆθος καὶ πρῶτον τὴν ἀόριστον δυάδα· πρώτη γὰρ τοῦ ἐν τρισὶ καὶ τέτρασι καὶ τοῖς ἐφεξῆς θεωρουμένου πλήθους αὕτη. ὥστε, φησίν, οὐδὲ διαφέρει κτλ.

1085 b 23. οὐ περὶ τοῦ ἀριθμοῦ δὲ ζητεῖ νῦν εἴτε ἄπειρός ἐστιν ἢ πεπερασμένος ἤτοι εἰ πεπεράτωται (τοῦτο γὰρ προὔτεινεν πρότερον), ἀλλὰ περὶ τοῦ πλήθους τοῦ ἐν τῇ αὐτοδυάδι, ὃ καί τι πλῆθος εἴρηκεν, οὗ τῷ μερισμῷ γεννᾶσθαι τὰς μονάδας ὑπέθετο... καὶ ὅτι μὲν ἄπειρον οὐκ ἂν εἴη, πρόδηλον· ἔσται γὰρ καὶ σῶμά τι ἄπειρον, οὗ τὸ ἄπειρον πλῆθος ἰδέα. ὅτι δὲ πεπερασμένον, εἴπερ ἔστιν, ἐνδέχεται εἶναι, συνίστησι λέγων "ὑπῆρχε γὰρ" κτλ.

1085 b 27. "ὁμοίως — μεγέθη." ἡ στιγμὴ καὶ τὸ στοιχεῖον ἐκ παραλλήλου κεῖται, καὶ ἔστιν ἴσον τῷ ὁμοίως δὲ καὶ περὶ στιγμῆς, ἣν στοιχεῖον ποιοῦσι τῶν μεγεθῶν, ζητήσειεν ἄν τις πότερον αὕτη μόνη ἐστὶν ἢ καὶ ἄλλαι χωρισταὶ στιγμαί.

1085 b 33. τὰ μὲν γὰρ τοῦ ἀριθμοῦ μόρια ἀδιαίρετα, μονάδες γάρ, τὰ δὲ τοῦ διαστήματος οὐκ ἀδιαίρετα, ὡς ἐν τῇ Φυσικῇ εἴρηται καὶ δέδεικται Ἀκροάσει (6 1).

1085 b 36. καὶ προσέτι φησὶ τὸ διαφωνεῖν "τοὺς τρόπους" ἢ "πρώτους." καὶ εἰ μὲν εἴη γεγραμμένον "τρόπους," λέγοι ἂν τοὺς τῆς διαιρέσεως, οὓς ἐξέθετό τε καὶ ἐγύμνασεν· εἰ δὲ "πρώτους," ὃ καὶ μᾶλλον, λέγοι ἂν τοὺς ἐνδοξοτέρους τῶν τὰς ἰδέας δοξασάντων.

1086 a 2. λέγει ὅτι οἱ μὲν τοὺς μαθηματικοὺς ἀριθμοὺς μόνον ποιοῦντες, ὡς οἱ περὶ Ξενοκράτην καὶ Σπεύσιππον, χωριστοὺς δὲ τῶν αἰσθητῶν καὶ ἄλλους παρὰ τὰ αἰσθητά... τινὲς δὲ τῶν περὶ Πλάτωνα τιθέμενοι τὰς ἰδέας, καὶ πρὸς τῷ ἰδέας εἶναι ὁμολογεῖν καὶ ἀριθμοὺς αὐτοὺς λέγοντες, ἐζήτουν κτλ.

1086 a 11. ὁ δὲ Πλάτων ὁ πρῶτος εἶναι εἴδη τιθέμενος καὶ ἀριθμοὺς αὐτὰ λέγων, θέμενος δὲ εἶναι καὶ τὰ μαθηματικά, ἐχώρισεν εὐλόγως, καὶ ἄλλους μὲν ἔλεγε τοὺς εἰδητικοὺς ἀριθμοὺς ἄλλους δὲ τοὺς μαθηματικούς.

1086 a 16. χαλεπὸν δ' ἐκ ψευδῶν καὶ μὴ καλῶς ἐχόντων, κατ' Ἐπίχαρμον, λέγειν ἀληθῶς καὶ καλῶς. "ἀρτίως τε γὰρ λέλεκται," τουτέστιν ἅμα γὰρ τῷ ῥηθῆναι τὸ βοήθειαν ἐπάγειν ταῖς ἰδέαις εὐθὺς φαίνεται μὴ καλῶς ἔχον· τοσοῦτον γὰρ ἔχει ψεῦδος ἡ τῶν ἰδεῶν ὑπόθεσις περιφανές, ὥστε μηδὲ χρόνου δεῖσθαι τὰς ὑπὲρ αὐτῶν ἐπιφερομένας βοηθείας πρὸς τὸ φωραθῆναι ὅτι ψευδεῖς εἰσίν.

1086 a 20. μᾶλλον γὰρ ἐκ πλειόνων πεισθείη ἄν τις πεπεισμένος· πρὸς δὲ τὸ πεισθῆναι μὴ πεπεισμένος οὐδὲν μᾶλλον... καὶ ἔτι ἐκ πλειόνων ἄλλων, ὧν ἐν τῷ ἐφεξῆς μέλλομεν λέγειν βιβλίῳ, πεισθείη ἄν.

1086 a 25. ὥστε πρότερον μὲν ἐζήτει εἰ ὅλως εἰσίν (ἀριθμοὶ χωριστοί), νῦν δὲ ζητεῖ εἰ ἐάν τις καὶ συγχωρήσῃ αὐτοὺς εἶναι, δύνωνται στοιχεῖον εἶναι τῶν ὄντων.

1086 a 33. μεριστὰς δὲ (τὰς ἰδέας ποιοῦσιν) ὡς καθ' αὑτὰς καὶ χωριστὰς οὔσας· τοῦτο γὰρ ἴδιον ἀτόμων.

1086 a 35. ἡ δὲ λέξις ἡ "αἴτιον δὲ τοῦ συνάψαι ταῦτα εἰς ταὐτὸν τ. λ. τ. καθ." κ. τ. ἑξῆς οὕτως ἂν ἀναγινώσκοιτο καὶ νοοῖτο· τοῖς λέγουσι τὰς ἰδέας καθόλου οὐσίας αἴτιον γέγονε τοῦ συνάψαι ταῦτα ἤτοι ἅμα καὶ καθόλου καὶ μερικὰ τὰ εἴδη ποιεῖν, τὸ μὴ ποιεῖν τὰς τοιαύτας οὐσίας, λέγω δὴ τὰς εἰδητικάς, τὰς αὐτὰς τοῖς αἰσθητοῖς.

1086 b 9. εἰ γὰρ πᾶν χωριστὸν καὶ καθ' αὑτὸ καὶ οὐκ ἐν ἄλλῳ τὸ εἶναι ἔχον μερικόν, τοιαύτας δὲ εἶναι τὰς ἰδέας λέγουσι, φανερὸν ὅτι μερικὰς αὐτὰς ποιοῦσιν.

1086 b 15. αἰνίττεται δὲ τὸ Β ταύτης τῆς πραγματείας· διαπορητικὸν γὰρ ἅπαν ἐκεῖνο τὸ βιβλίον.

1086 b 15. ἀναιρεῖ τὴν οὐσίαν τῶν ὄντων, καὶ οὐδὲν ἔσται οὐσία ἀλλὰ πάντα συμβεβηκότα. εἰ γὰρ τὰ καθόλου, ὡς ἐν τῷ Ζ τῆς παρούσης δέδεικται πραγματείας, ὁμοιώματά εἰσι τῶν καθ' ἕκαστα καὶ οὐκ οὐσίαι, εἰ καὶ αἱ ἰδέαι καθόλου, ἔσονται μὴ οὐσίαι καὶ συμβεβηκότα· ὥστε εἰ αὗται συμβεβηκότα, καὶ τὰ τῇδε, ὧν αὗταί εἰσιν ἰδέαι, συμβεβηκότα ἔσονται.

τῆς δεκάδος πειρῶνται τὴν γένεσιν τοῖς ἀριθμοῖς ποιεῖν, ὡς ὑστάτης τελειότητος οὔσης τῆς δεκάδος, τὰ δ' ἄλλα ἐντὸς αὐτῆς γεννῶσι καὶ θεωροῦσι καὶ τίθενται, οἷον παράδειγμα κενοῦ, παράδειγμα ἀναλόγου, παράδειγμα περιττοῦ. τὴν μὲν γὰρ μεταξὺ τῶν ἀρτίων χώραν τετράδος ἑξάδος καὶ τῶν ὁμοίων, ὁμοίως καὶ τὴν τῶν περιττῶν, εἰκόνα φέρειν ἔλεγον καὶ παράδειγμα τοῦ κενοῦ. εἶναι γὰρ κενὸν ἐτίθεντο ἔξω τοῦ οὐρανοῦ οἱ Πυθαγόρειοι καὶ ἀναπνεόμενον ὑπὸ τοῦ παντὸς ἐπεισιέναι καὶ διακρίνειν ἀπ' ἀλλήλων τὰ τῇδε, ὡς ἐν τῇ Φυσικῇ εἴρηται Ἀκροάσει (4 6).

τὸ δὲ "εἰ γὰρ ἐν τῇ τριάδι, πῶς ἡ πεντὰς περιττόν;" πάνυ βραχέως καὶ ἐλλιπῶς καὶ διὰ τοῦτο λίαν ἀσαφῶς εἴρηται. ἀναγνωστέον δὲ αὐτὸ ὑπερβατῶς οὕτως· εἰ γὰρ ἐν τῇ τριάδι τὸ περιττόν, πῶς ἡ πεντάς; καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· εἰ γὰρ ἐν τῇ τριάδι τὸ ἓν τὸ περιττόν, ἤτοι εἰ διὰ τὸ ἓν ἡ τριὰς τὸ εἶναι τριὰς ἔχει, καὶ αὐτό ἐστι τὸ εἰδοποιοῦν αὐτήν, εἰ οὖν τῇ τριάδι τὸ εἶναι τριάδι τὸ ἓν ἐστι τὸ διδοῦν, πῶς οὐχὶ καὶ διὰ τὴν τριάδα ἡ πεντὰς καὶ πᾶς ὁ περιττὸς ἀριθμὸς τὸ εἶναι πεντὰς ἕξει καὶ ἑπτὰς καὶ οἱ λοιποί, ὥσπερ ὁ ἄρτιος πᾶς διὰ τὴν δυάδα; ἀναγκαῖον γὰρ τὴν δυάδα ἀρχὴν οὖσαν τῶν ἀρτίων καὶ τὴν τριάδα εἶναι περιττῶν. "ἔτι τὰ μεγέθη καὶ ὅσα τοιαῦτα μέχρι πόσου." ἔτι, φησί, καὶ ἐκ τῶν μεγεθῶν δεικνύειν ἐπειρῶντο ὅτι μέχρι τῆς δυάδος (ταύτης γάρ ἐστι δηλωτικὸν τὸ "μέχρι ποσοῦ") προάγειν χρὴ τὸν ἀριθμόν· ἔλεγον γὰρ ὅτι ἡ μονὰς ποιεῖ τὸ σημεῖον, ὅπερ οὗτος ἄτομον καλεῖ γραμμήν, ἡ δυὰς τὴν γραμμήν, ἡ τριὰς τὸ ἐπίπεδον, ἡ τετρὰς τὸ σῶμα, καὶ τούτοις ἀρκεῖται τὸ πᾶν· ὥστε εἰ ταῦτα τῆς δεκάδος οὐσία (συντεθέντα γὰρ ἀποτελεῖ τὴν δεκάδα), τὸ πᾶν ἀρκεῖται τῇ δεκάδι.

1034 b 20. "ἔστι — δυνάμει." ἀσαφῶς καὶ τὰ προρρηθέντα καὶ τὰ νῦν λεγόμενα ἀπήγγελται· δοκεῖ γὰρ τὸ "ἔστι γάρ πως ἓν ἑκάτερον" διὰ τὸν "γὰρ" σύνδεσμον ὅτι κατασκευαστικόν ἐστί τινος τῶν πρὸ αὐτοῦ· οὐκ ἔστι δὲ ἀλλὰ μηνυτικὸν τοῦ πῶς ἔχουσιν αἱ μονάδες ἐν τοῖς ἀριθμοῖς τὸ εἶναι. καὶ ἦν ἂν σαφὴς ἡ λέξις εἰ οὕτω πως ἦν γεγραμμένη· δεῖ δὲ μὴ λανθάνειν ὅπως ἑκάτερον ἓν καὶ ἑκατέρα μονὰς ἔχουσιν ἐν τῇ δυάδι καὶ ἐν τῇ τριάδι καὶ ἐν τοῖς λοιποῖς ἀριθμοῖς. καὶ τὸ μὲν ἑκάτερον ἓν ἐπὶ τῶν τῆς δυάδος λέγει μονάδων, τὸ δὲ λεγόμενον τοιοῦτον ἂν εἴη. κατὰ τὴν ὕλην, καθ' ἣν λαμβάνεται τούτων τῶν τῆς δυάδος μονάδων ἑκατέρα, δυνάμει ἕν ἐστι κατὰ ἀλήθειαν, ἀλλ' οὐκ ἐνεργείᾳ· εἰ γὰρ μή ἐστι σωρὸς μονάδων, ἐξ ἄλλων μέντοι καὶ ἄλλων ὁ ἀριθμός, ἀλλ' ἕκαστα ἐξ ὑποκειμένων μέν ἐστι τῶν τοσῶνδε μονάδων (ἀσύμβλητοι γὰρ αἱ τῆς δυάδος πρὸς τὰς τῆς τριάδος μονάδες μονάδας), οὐ κατὰ τὸ εἶδος συνέστηκε τὸ ἑαυτοῦ. διὸ οὐκ ἂν εἴη ἡ ἐν τῇ δυάδι μονὰς ἐνεργείᾳ, ὡς οὗτοι βούλονται, ἀλλὰ δυνάμει· δυνάμει γὰρ τὰ μόρια, πρὶν ἂν κοσμηθείη τῷ εἴδει τῷ οἰκείῳ. αἰνίττεται δὲ διὰ τούτων ὅτι τὸ δυνάμει οὐ γενέσει μόνον καὶ χρόνῳ τοῦ ἐνεργείᾳ καὶ εἰδοπεποιημένου προτιθέασιν, ἀλλὰ καὶ λόγῳ καὶ οὐσίᾳ.

1034 b 25. καθόλου δὲ λόγους εἶπε τὰ μαθήματα, ὅτι οὐ τοῦ μερικοῦ τριγώνου τὰ συμπτώματα ὁ μαθηματικὸς θεωρεῖ, οὐδὲ τοῦ μερικοῦ κύβου ἢ τοῦδε τοῦ ἀριθμοῦ, ἀλλὰ τῶν καθόλου· παντὸς γάρ, φησί, τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, καὶ πᾶς ἄρτιος ἀριθμὸς εἰς δύο ἴσα καὶ εἰς δύο ἄνισα διαιρεῖται, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καθόλου μὲν οὖν διὰ τοῦτο εἶπε τὰ μαθήματα. ἀλλὰ καὶ λόγους δι' αὐτὸ τοῦτο· οὐδὲν γὰρ τῶν καθόλου ἐν ὑπάρξει ἐστὶ καὶ πράγματι, ἀλλὰ λόγος. ἐκ τῶν τοιούτων οὖν τὰς τῶν πραγμάτων ἐθήρευον ἀρχάς· διὰ γὰρ τὸ τὴν μονάδα ἀρχὴν εἶναι μαθηματικῶν ἀριθμῶν, ὅθεν αὐτοὺς καὶ εἰδητικοὺς ἀριθμοὺς καὶ τἆλλα πάντα ὅσα λέγειν αὐτοῖς συνέβη ἐκάλουν τὴν ἀρχικὴν οὗτοι μονάδα οἷον στιγμήν· τὴν γὰρ μονάδα μηδενὶ ἄλλῳ διαφέρειν στιγμῆς ἢ τῷ μὴ κεῖσθαί που ἔλεγον. ὥσπερ οὖν, φησίν, οἱ περὶ Δημόκριτον ἐκ τῶν ἐλαχίστων καὶ αὐτομάτων σωμάτων τὰ πράγματα συνετίθουν, οὕτως καὶ οὗτοι ἐκ τῆς ἀμεροῦς μονάδος καὶ τῆς ἀορίστου δυάδος ἢ τῆς στιγμῆς καὶ τοῦ πλήθους· ὥστε συμβαίνει αὐτοῖς ἐξ ὧν λέγουσι τὴν μονάδα ὕλην εἶναι τῶν ἀριθμῶν, εἴγε ἐκ μονάδος ὡς ἐξ ὕλης ὁ ἀριθμός, καὶ προτέραν τῆς δυάδος καὶ πάλιν ὑστέραν· ᾗ μὲν γὰρ ἀρχικὴ καὶ εἰδοποιὸς κατ' αὐτοὺς ἡ μονάς, ταύτῃ προτέραν αὐτὴν ἀνάγκη τῆς δυάδος εἶναι· ᾗ δὲ πάλιν ὅλον τι καὶ εἶδός ἐστιν ἡ δυάς, ὕλη δὲ αὐτῆς ἡ μονάς, ταύτῃ ὑστέρα τῆς δυάδος. τὸ δὲ "διὰ δὲ τὸ καθόλου ζητεῖν τὸ κατηγορούμενον ἓν καὶ οὕτως ὡς μέρος ἔλεγον" ἴσον ἐστὶ τῷ συμβαίνει αὐτοῖς τὸ ἓν καθόλου τε λέγειν καὶ μέρος· καθὸ μὲν γὰρ τὸ ἓν περιληπτικὸν ἔλεγον πάντων τῶν ἀριθμῶν, ταύτῃ καὶ καθόλου αὐτὸ ἀπεφαίνοντο· ᾗ δὲ πάλιν μέρος ἐστὶ τῆς δυάδος, οὐκ ἔστι καθόλου ἀλλὰ μέρος. ἀλλ' ἀδύνατον τὴν αὐτὴν καὶ μίαν μονάδα πάντων τε τῶν ἀριθμῶν εἶναι περιληπτικὴν καὶ διὰ τοῦτο καθόλου καὶ μόριον τῆς δυάδος καὶ τῆς τριάδος καὶ ἑκάστου τῶν ἀριθμῶν τὸ ἐλάχιστον.

1035 a 5. βραχέως μὲν καὶ διὰ τοῦτο ἀσαφῶς εἴρηται, ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· πότερον τῷ πρώτῳ καὶ ἀρχικῷ τὴν πρώτην τῆς αὐτοδυάδος μονάδα τακτέον ἐφεξῆς ἢ οὔ; εἰ γὰρ τάξαιμεν, ἔσται ἐκ τοῦ πρώτου ἑνὸς καὶ τῆς ἐφεξῆς αὐτομονάδος δυὰς πρὸ τῆς αὐτοδυάδος, καὶ πρώτη αὐτῆς· ὅπερ οὗτοι οὐ βούλονται. εἰ δὲ μὴ τάξαιμεν, τίς ἂν εἴη τούτων αἰτία, καὶ πότερον ἡ δυὰς προτέρα τῶν ἐφεξῆς; τουτέστι καὶ πότερον τὴν δυάδα φήσομεν αὐτὴν ἐφεξῆς εἶναι τῷ πρώτῳ ἑνί, ἢ τὴν ἐν τῇ δυάδι μονάδα ὡς ὁμοιοτέραν οὖσαν τῷ ἑνί; εἰ μὲν δὴ τὴν δυάδα, ἔσται ἐκ τοῦ ἀρχικοῦ ἑνὸς καὶ τῆς δυάδος αὐτῆς τριὰς πρὸ τῆς αὐτοτριάδος καὶ πρώτη αὐτῆς· εἰ δὲ τὴν μονάδα, ὁ πρότερος ἥξει λόγος· δυὰς γὰρ ἔσται πρὸ δυάδος αὐτῆς.

1035 a 7. τίνα ἐστὶ τὰ ὕστερα γένη τοῦ ἀριθμοῦ, αὐτὸς ἐκτίθεται, τὸ μακρὸν λέγων καὶ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ βαθὺ καὶ ταπεινόν. λέγει δὲ ὅτι βουλόμενοι καὶ τὰ μεγέθη παράγειν ἀπὸ τῶν δύο ἀρχῶν, τοῦ τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἐκ μὲν τῆς δυάδος φασὶ τήν τε γραμμὴν τὸ μακρὸν καὶ βραχὺ λαβεῖν, τό τε ἐπίπεδον τὸ πλατὺ καὶ στενόν, τό τε στερεὸν τὸ βαθὺ καὶ ταπεινόν· ταῦτα γὰρ τὸ μακρὸν καὶ βραχὺ καὶ τὰ λοιπὰ εἴδη ἐκάλουν τοῦ μεγάλου καὶ μικροῦ τοῦ ἐν τῇ ἀορίστῳ δυάδι. τὴν δὲ κατὰ τὸ ἕν, φησίν, ἀρχὴν οὐχ ὁμοίως εἰσῆγον ἅπαντες, ἀλλ' οἱ μὲν αὐτοὺς τοὺς ἀριθμοὺς τὰ εἴδη τοῖς μεγέθεσιν ἔλεγον ἐπιφέρειν, οἷον δυάδα μὲν γραμμῇ, τριάδα δὲ ἐπιπέδῳ, τετράδα δὲ στερεῷ (τοιαῦτα γὰρ ἐν τοῖς περὶ Φιλοσοφίας ἱστορεῖ

ἐνταῦθα πράγματα, ὧν φασὶν εἶναι τὰς ἰδέας, συγκείμενα ἔσται κτλ.

1082b 10. ἐλλιπῶς δὲ (εἴρηται), καὶ εἴη ἂν τὸ πλῆρες τοιοῦτον· τίνα γὰρ αἰτίαν ἕξει λέγειν ὁ φάσκων ἀδιαφόρους εἶναι τὰς ἐν τῇ αὐτοδεκάδι δυάδας ἴσας οὔσας ἀλλήλαις; καὶ τότε προσυπακουστέον τοῦ τὰς δὲ ἐν τοῖς ἄλλοις ἀριθμοῖς ἴσας μὲν διαφόρους δέ.

1082b 13. ἔπειτα οὐ μόνον τοῦτο ἔσται, ἀλλὰ καὶ ἕτερον ἕψεται, ὅπερ διὰ τοῦ "τε" συνδέσμου ᾐνίξατο. καὶ τί τὸ ἑπόμενον, ἐπάγει λέγων "καὶ πότερον" κτλ.

1082b 24. καὶ τοῦτο μὲν ὀρθῶς καὶ ἀκολούθως ἑαυτοῖς φασὶν οἱ τὸν ἀριθμὸν τῶν ἰδεῶν ἐκ διαφερουσῶν μονάδων συνεστάναι λέγοντες, ἵνα μὴ ἐκ διαφόρων ἰδεῶν τὴν ἰδέαν ποιεῖν ἀναγκασθῶσιν· ἕκαστον γὰρ εἶδος ἕν ἐστι κατ' αὐτοὺς καὶ ἁπλοῦν... ἀλλὰ πρὸς μὲν τὴν ἑαυτῶν ὑπόθεσιν ὀρθῶς λέγουσιν, ἁπλῶς δὲ οὐκ ὀρθῶς. τὸ δὲ "διὸ καὶ τὸ ἀρ. οὕτως" ὑπερβατῶς ἀναγνωστέον ὧδε· διὸ καὶ τὸ ἀριθμεῖσθαι ἀναγκαῖον αὐτοῖς οὕτω λέγειν ἓν δύο, μὴ προσλαμβανομένου πρὸς τῷ ὑπάρχοντι ἑνὶ ἢ ἀριθμῷ ἄλλου ἑνός· καὶ γὰρ καὶ τούτου δεῖ προσυπακούειν.

1083a 6. ὁ μὲν Ἐφέσιος τὸ "τῷ πλήθει" ἀντὶ τοῦ τῷ μήκει ἑρμηνεύει. εἴ τις ὡς ἔχει τὸ ῥητὸν ἑρμηνεύσοι μὴ κατά τι παραθραύων τὴν λέξιν· εἰ γὰρ ἀσύμβλητοι, φησίν, εἰσὶν αἱ μονάδες, συμβήσεται τὰς οὔσας ἴσας κατὰ τὸ πλῆθος, οἷον εἰ τύχῃ τρεῖς καὶ ἄμφω ἢ τέτταρες, διαφέρειν ἀλλήλων. cod. Reg.

1083a 9. οὐδὲν γάρ, φησίν, οἷόν τε ταῖς μονάσιν ὑπάρχειν πάθος ἀμερέσιν οὔσαις, ὅπερ, φημὶ δὴ τὸ τὰ ἀμερῆ μὴ ἔχειν πάθος, μάλιστα ἐν τῷ τρίτῳ τῆς περὶ Οὐρανοῦ (c. 8) δέδεικται πραγματείας· ἐν γὰρ ταῖς μονάσι ποιότητα οὐκ οἴονται εἶναι, ἐν δὲ τοῖς ἀριθμοῖς ὑπάρχει μὲν ποιόν, ἀλλ' ὕστερον τοῦ ποσοῦ.

1083a 13. ἔτι, φησίν, οὔτε ἀπὸ τοῦ ἀρχικοῦ ἑνὸς οὔτε ἀπὸ τῆς ἀρχικῆς δυάδος (αὕτη δέ ἐστιν ἡ ἀόριστος) ταῖς μονάσι κατὰ ποιότητα διαφέρειν γένοιτο· τὸ μὲν γὰρ ἓν ἄποιον, ἡ δὲ ἅμα ποσοῦ καὶ ποιοῦ αἰτία.

1083a 14. "ὄντα" δὲ εἶπε τὰς ἰδέας· ὄντα γὰρ κυρίως τὰς ἰδέας εἶναι ἔλεγον οἱ τῶν ἰδεῶν προστάται· τὰ γὰρ ἐνταῦθα ὁμωνύμως ὄντα καὶ κατὰ συμβεβηκὸς ὄντα καλέσειεν ἄν τις, φασίν.

1083a 15. εἰ δὲ μὴ τὴν αἰτίαν τῆς διαφορᾶς εἰπεῖν δύνανται, ἁπλῶς καὶ ἐναντίως εἰπάτωσαν τίνα λέγουσιν εἶναι τὴν τῶν μονάδων διαφοράν.

1083a 20. Σπεύσιππος καὶ Ξενοκράτης. cod. Reg.

1083b 1. τῶν περὶ ἀριθμοὺς εἰπόντων οἱ μὲν δύο ἐποίουν αὐτοὺς καὶ διέκρινον, ὥσπερ ὁ Πλάτων (σαφῶς γὰρ οὗτος τὸν μαθηματικὸν ἕτερον εἶναι λέγει τοῦ εἰδητικοῦ), οἱ δὲ ἕνα τὸν μαθηματικόν, ὥσπερ τινὲς τῶν Πυθαγορείων· οἱ δὲ ἐγίνωσκον μὲν ἀμφοτέρους καὶ τὸν εἰδητικὸν καὶ τὸν μαθηματικόν, ἕνα δὲ ἐποίουν, ὥσπερ Σπεύσιππος καὶ Ξενοκράτης.

1083b 10. λέγουσι γὰρ τὸν βωμίσκον καλούμενον ἀριθμόν, ὃν ἐκ τῶν παλαιῶν βωμῶν οὕτως ὀνομάζεσθαί φησιν ὁ Νικόμαχος ἐν τῷ β' τῆς Ἀριθμητικῆς, σῶμα καὶ ἐκ τούτου τὸ τριχῇ διαστατὸν ἅπαν συγκεῖσθαι δοξάζουσι, τὸν δὲ θ' ἀριθμὸν πῦρ διὰ τὸ τετράγωνον. cod. Reg.

1083b 13. πολλὰς γὰρ εὐθύνας ἔδωκεν ἡ τὰ ἄτομα μεγέθη εἰσάγουσα δόξα. ἀλλὰ καὶ ἡ Ξενοκράτους ἀπόφασις ἡ τὰς ἀτόμους εἰσάγουσα γραμμὰς αὐτάρκως καὶ αὐτὴ τῷ Ἀριστοτέλει ἤλεγκται.

1083b 13. τὰ γὰρ θεωρήματα καὶ τὰ συμβαίνοντα τοῖς ἀριθμοῖς προσάπτουσι τοῖς σώμασιν, ὡς ἐκ τῶν ἀριθμῶν ὄντων τῶν σωμάτων· ὑπολαμβάνοντες γὰρ ὅτι ἐκ τῶν ἀριθμῶν εἰσὶν (ἐκ γὰρ τοῦ βωμίσκου τοῦ δέκα τὸ ἁπλῶς σῶμα εἶναι ἔλεγον, ἐκ δὲ τοῦ ἕνδεκα τὸ πῦρ, ἐκ δὲ τοῦ τρισκαίδεκα τὸν ἀέρα καὶ ἐκ τοῦ ἐννέα τὸ ὕδωρ), ὑπολαμβάνοντες δὴ τοῦτο οὐδὲν ἔφασκον διαφέρειν τὰ τῷ βωμίσκῳ καθ' αὑτὸ ὑπάρχοντα ἐπ' αὐτοῦ θεωρεῖν ἢ ἐπὶ τοῦ ἐξ αὐτοῦ σώματος· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. εἰ γάρ, φασί, συνέβη τῷ ἐννέα ἀριθμὸν εἶναι τετράγωνον πρῶτον μέσον ἔχοντα (τὸ δὲ μέσον ἔχοντα πρόσκειται διὰ τὴν τῆς μονάδος μεσιτείαν τὴν ἐν παντὶ περισσῷ εὑρισκομένην), εἰ δὴ ὁ ἐννέα τετράγωνός ἐστι πρῶτος ἔχων μέσον, καὶ τὸ ὕδωρ τοιοῦτόν ἐστι, καὶ μᾶλλον ἐπὶ τοῦ ὕδατος τοῦτο χρὴ θεωρεῖν ἢ ἐπὶ τοῦ ἐννέα· ὥστε δέδεικται ὅτι ἐξ ἀριθμῶν τὰ αἰσθητὰ ἐποίουν. καὶ συμπεραίνεται λέγων "εἰ τοίνυν" κτλ.

1084a 4. ὥστε διὰ τοῦ "ὁτὲ μὲν τοῦ ἑνὸς εἰς τὸν ἄρτιον πίπτοντος" τὴν τοῦ πρώτου καὶ ἀσυνθέτου γένεσιν ᾐνίξατο· διὰ δὲ τοῦ "ὁτὲ δὲ τῆς μὲν δυάδος ἐμπιπτούσης ὁ ἀφ' ἑνὸς διπλασιαζόμενος" τῆς τοῦ ἀρτιάκις ἀρτίου γενέσεως μέμνηται. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. τῆς δυάδος ἐπὶ τὸ ἓν πολλαπλασιασθείσης γίνεται πάλιν ὁ δύο (δὶς γὰρ μία δύο), τῆς δὲ δυάδος εἰς ἑαυτὴν ὁ τέτταρα. πάλιν δὲ τῆς αὐτῆς δυάδος εἰς τὸν τέτταρα ὁ ὀκτώ, εἰς δὲ τὸν ὀκτὼ ὁ ἑκκαίδεκα. καὶ ὁμοίως ὁδεύουσα τὸν ἀρτιάκις ἄρτιον γεννᾷ· τοῦτον γὰρ εἶπεν ἀφ' ἑνὸς διπλασιαζόμενον κτλ.

1084a 9. καίτοι οὔτε κατὰ λόγον ἐνδέχεται ἄπειρόν τι εἶναι, ὡς πολλαχοῦ δέδεικται, οὔτε κατὰ τὴν αὐτῶν θέσιν τε καὶ δόξαν. μέχρι δεκάδος αὐτοῖς ἡ τῶν εἰδῶν πρόοδος· τοῦτο γὰρ ἐμήνυσε διὰ τοῦ "τάττουσι δὲ οὕτω τὰς ἰδέας."

1084a 15. ἐπεὶ γὰρ αὐτοέκαστος ἀριθμός, τουτέστιν ὁ εἰδητικὸς ἀριθμός, μέχρι δεκάδος πρόεισιν, ἔστι δὲ ὁ αὐτοάνθρωπος ἡ αὐτοτριάς, ἀνάγκη δὴ τὸν αὐτοΐππον τινὰ εἶναι τῶν ἐν τούτοις ἀριθμῶν, τουτέστι τινὰ τῶν ἐν τούτοις τοῖς εἰδητικοῖς ἀριθμοῖς συγκατατεταγμένων ἀριθμῶν κτλ.

1084a 22. ἀλλὰ κἂν εἰ ἔστιν ὁ ἐλάττων ἀριθμὸς μέρος τοῦ μείζονος ἀριθμοῦ, συμβληταὶ δὲ καὶ αἱ ἐν τῷ ἀριθμῷ μονάδες, ἐπειδὴ ἐν τῇ αὐτοτετράδι τέσσαρές εἰσι μονάδες καὶ συμβληταὶ ἀλλήλαις, εἰ ἔστιν ἡ αὐτοτετρὰς κτλ.

1084a 29. "ἔτι ἄτοπον" ἐλλιπῶς ἀπήγγελται· ἦν δ' ἂν τὸ τῆς λέξεως τέλειον, εἰ οὕτω πως ἦν γεγραμμένον, ἔτι ἄτοπον εἰ ὁ ἀριθμὸς μέχρι τῆς δεκάδος, καὶ ταῦτα τὸ ἓν κατ' αὐτοὺς μᾶλλόν τι ὂν καὶ εἶδος τῆς δεκάδος· ὥστε λείπει τὸ καὶ ταῦτα ἓν κατ' αὐτοὺς καὶ ἀγέννητον. τὸ γὰρ ἓν ἢ ἓν οὗτοί φασιν ἀγέννητον, ἡ δὲ δεκὰς γέγονεν· ὥστε εἰ τὸ ἓν καὶ εἶδος τῆς δεκάδος ἐστὶ καὶ ἀγέννητον, εἰ δὲ δεκὰς γέγονεν, ἔσται καὶ ἑνδεκὰς ὡς ἐξ εἴδους μὲν τοῦ ἑνός, ὕλης δὲ τῆς δεκάδος. εὐλόγως δὲ τὸ ἓν μᾶλλόν τι εἴρηκεν· τὸ γὰρ εἶδος μᾶλλόν τι καὶ τόδε τί ἐστιν ἤπερ ἡ ὕλη. ἀλλ' οὗτοι, φησί, μέχρι

εἰδητικὴν δυάδα ἤτοι τὴν αὐτοδυάδα· αἱ δὲ πάλιν δευτέρως γεγονυῖαι τρεῖς μονάδες ὡς ἐξ ὕλης μὲν καὶ αὐτῆς τῆς ἀορίστου δυάδος, εἴδους δὲ τοῦ αὐτοενὸς πεποιήκασι τὴν αὐτοτριάδα. ὁμοίως καὶ ἐπὶ τῆς αὐτοτριάδος καὶ τῶν λοιπῶν ἀποφαίνονται, καὶ οὐ φασιν ὅτι ὁμοειδεῖς εἰσὶν αἱ ἐν τῇ αὐτοδυάδι μονάδες ταῖς ἐν τῇ αὐτοτριάδι καὶ αὗται ταῖς ἐν τῇ αὐτοτετράδι (ἦ γὰρ καὶ συντιθέμεναι αἱ ἐν τῇ αὐτοδυάδι ταῖς ἐν τῇ αὐτοτριάδι ἀπεγέννων ἄν τινα ἀριθμόν), ἀλλ' ἀνομοειδεῖς τὰς ἐν τῇ αὐτοδυάδι καὶ ἄλλας τῶν ἐν τῇ αὐτοτριάδι οὐσῶν ἔλεγον. ταῦτα εἰπὼν λέγει, πάντες μὲν οὖν τοὺς ἀριθμοὺς μοναδικοὺς καὶ ἀμεγέθεις καὶ ἀμερεῖς εἶναι λέγουσι, πλὴν τῶν Πυθαγορείων τῶν τὸ ἓν ἀρχὴν καὶ στοιχεῖον τῶν ὄντων καὶ μέγεθος ἔχειν λεγόντων.

1081 a 5. καὶ εἰ ἀσύμβλητοι, κατὰ ποῖον τῶν ῥηθέντων τρόπων;

1081 a 12. συλλογίζεται οὖν δυνάμει οὕτως. αἱ ἰδέαι ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος παρ' αὐτοῖς ὑφίστανται. τὰ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος ὑφιστάμενα ἀριθμοί εἰσιν. αἱ ἰδέαι ἄρα ἀριθμοί εἰσιν... τὸ δὲ "κ. αἱ ἀρχ. κ. τ. στ. λ. τ. ἀρ. εἶναι" ἀντὶ τοῦ καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα τῶν ἀριθμῶν παρ' αὐτοῖς ταῦτα εἶναι λέγονται, τό τε ἓν καὶ ἡ ἀόριστος δυάς. τὸ δὲ "τάξαι τε οὔτε πρ. ἐνδ. ἀρ. αὐτ. ὁ. ὑ." εὐλόγως εἴρηται· εἰ γάρ ἐστιν οἷον φέρε ἡ αὐτοτριὰς ὁ αὐτοάνθρωπος, πῶς οἷόν τε ἢ πρότερον ἢ ὕστερον αὐτὸν λέγειν τῆς αὐτοτριάδος; εἰ δὴ οὐσῶν τῶν ἰδεῶν ἀνάγκη αὐτὰς ἀριθμοὺς εἶναι, εἰ μή εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, ὡς δέδεικται, ὅλως οὐκ εἰσίν.

1081 a 23. τὸ δὲ "ἅμα γ. αἱ ἐ. τ. δ. τ. πρ. μ. γεννῶνται" οὐκ ἔστι κατασκευαστικόν, ὡς ἄν τῳ δόξειε διὰ τὸν γάρ σύνδεσμον, τοῦ ὅτι οὐκ ἔσται ἡ δυὰς πρώτη ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, εἶτα ἡ τριάς, ἀλλὰ πρῶτόν ἐστιν ἐπιχείρημα τῶν δεικνύντων μὴ εἶναι πάσας τὰς ἐν τοῖς εἰδητικοῖς ἀριθμοῖς μονάδας ἀσυμβλήτους. ἐκ διαιρέσεως δὲ δείκνυσι τοιαύτης ὅτι οὐκ εἰσὶν αἱ πᾶσαι μονάδες ἀσύμβλητοι· ἢ γάρ εἰσιν ἀσύμβλητοι ἢ ἅμα γίγνονται ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος αἱ ἐν τῇ αὐτοδυάδι μονάδες καὶ αἱ ἐν τῇ αὐτοτριάδι τριάδες καὶ αἱ τῶν ἄλλων ἀριθμῶν ἕκασται· ἢ πρῶτον μὲν γίνεται ἡ μία μονάς, εἶτα ἡ ἑτέρα, καὶ τότε συντίθενται καὶ ἀποτελοῦσι τὴν αὐτοδυάδα. ἀλλ' ἐὰν ἅμα γεννῶνται αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ ἤτοι τῇ αὐτοδυάδι μονάδες καὶ αἱ ἐν τῇ αὐτοτριάδι καὶ αἱ ἐν τοῖς ἄλλοις ἀριθμοῖς, οὐκ ἔσονται ἀσύμβλητοι ἀλλὰ συμβληταὶ καὶ ἀδιάφοροι· τὰ γὰρ ἅμα ἐκ τῶν ἀρχῶν γεννώμενα, ὡς καὶ αὐτοί φασιν, ἀδιάφορά ἐστιν. ψεῦδος ἄρα τὸ πάσας λέγειν ἀσυμβλήτους· εἰ γὰρ καὶ τὰς ἐν τῇ δυάδι λέγοι τις μονάδας ἀσυμβλήτους εἶναι πρὸς τὰς ἐν τῇ τριάδι, ὅπερ καὶ αὐτὸ ἀδύνατον δείξει, ἀλλὰ πρὸς ἑαυτὰς αἱ ἐν τῇ αὐτοδυάδι οὐκ ἔσονται ἀσύμβλητοι. ὁμοίως οὐδὲ αἱ ἐν τῇ αὐτοτριάδι. ὥστε δεῖ πρὸ τῆς λέξεως τῆς "ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται" ἔξωθεν προσυπακούειν τοῦ ἀδύνατον δὲ πάσας εἶναι τὰς μονάδας ἀσυμβλήτους· εἶτα ὡς προσκατασκευαστικὸν τοῦ ἀδύνατον πάσας εἶναι τὰς μονάδας ἀσυμβλήτους ἐπάγειν τὸ "ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται." ἀλλὰ κἂν ταύτῃ τῇ λέξει ἐλλείπει ὁ ἢ σύνδεσμος· ἔδει γὰρ οὕτως εἶναι γεγραμμένον "ἢ γὰρ ἅμα αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται" (ἐρεῖ γὰρ προϊών) "ἢ οὐχ ἅμα." ὥστε σαφεστάτη ἂν ἦν ἡ λέξις εἰ οὕτω πως εἶχεν· ἀδύνατον δὲ πάσας εἶναι τὰς μονάδας ἀσυμβλήτους· ἢ γὰρ αἱ ἐν τῇ δυάδι τῇ προηγουμένῃ μονάδες γεννῶνται ἅμα ἢ οὐχ ἅμα. ἀλλὰ τὰ μὲν τῆς λέξεως οὕτως ἐχρῆν ἔχειν οἶμαι τοιαῦτα· αὐτὸς δὲ μέμνηται καὶ ῥημάτων τοῦ Πλάτωνος λέγων "εἴτε ὥσπερ ὁ πρῶτος εἰπών, ἐξ ἀνίσων γὰρ ἰσασθέντων ἐγένοντο," δεικνὺς ὅτι κατ' ἐκεῖνον ἕκαστος τῶν ἀριθμῶν πᾶς γεννᾶται ὑπὸ τῶν ἀρχῶν, καὶ οὐχὶ πρῶτον μὲν ἡ μία μονὰς ὕστερον δὲ ἡ ἄλλη· αὐτὸς δὲ διὰ τὸ πλῆρες τῆς διαιρέσεως ἐπισκέπτεται καὶ τὸ λοιπὸν τὸ λέγον ἢ οὐχ ἅμα. τὸ δὲ "ἐξ ἀνίσων γὰρ ἰσασθέντων" τοιοῦτόν ἐστιν. δοκεῖ ὁ Πλάτων λέγειν ὅτι ἐπειδὴ ἐκ τῆς ἀορίστου δυάδος, ἥτις καθὸ ἀόριστος ἄνισός ἐστιν, οἱ ἀριθμοὶ γίνονται, ἄνισοί εἰσιν, ἰσάζονται δὲ ὑπὸ τοῦ ἀρχικοῦ ἑνός· ὥστε ἐπειδὴ ἅμα γεννῶνται, δῆλον ὡς ἀδιάφοροί εἰσιν. εἰ δὲ ἀσυμβλήτων οὐσῶν τῶν ἐν τῇ δυάδι μονάδων ἐστὶν αὐτῶν ἡ μὲν προτέρα ἡ δὲ δευτέρα (οὐ γὰρ δὴ ἅμα ἀδιάφοροι καὶ ἀσύμβλητοι οὖσαι ἀπὸ τῶν ἀρχῶν προΐασι), καὶ ἡ αὐτοδυὰς προτέρα μὲν ἔσται τῆς νεωτέρας μονάδος, νεωτέρα δὲ τῆς προτέρας. μῖξις γάρ ἐστι τῶν δύο μονάδων· ὥσπερ γὰρ τὸ οἰνόμελι τοῦ μὲν οἴνου γλυκύτερον τοῦ δὲ μέλιτος ἀγλευκέστερόν ἐστιν, οὕτω καὶ ἡ δυὰς ὑστέρα μὲν τοῦ πρώτου μέρους ἑαυτῆς πρεσβυτέρα δὲ τοῦ δευτέρου. εἰ δὲ τοῦτο, συμβαίνει τῆς αὐτοδυάδος εἶναι τὴν προγεγονυῖαν αὐτῆς μονάδα πρεσβυτέραν αὐτῆς. ἀλλ' οὐδὲν κατ' αὐτοὺς πρότερον τῆς αὐτοδυάδος, εἰ μὴ τὸ αὐτοὲν καὶ ἡ ἀόριστος δυάς.

ταῦτα εἰπὼν ἔνστασίν τινα πρὸς ἑαυτὸν ἐπάγει διὰ τοῦ "ἀλλ' 1081 b 21.
ἐκ τῆς δυάδος τῆς πρώτης καὶ τῆς ἀορίστου δυάδος ἐγίνετο ἡ τετράς." ὃ δέ φησι τοιοῦτόν ἐστιν. ἀλλ' ἐκεῖνοι ἐκ τῆς αὐτοδυάδος (ταύτην γὰρ καλεῖ πρώτην δυάδα) καὶ τῆς ἀρχικῆς δυάδος, ἣν ἀόριστον καλεῖ δυάδα, ἀπετέλουν τὴν τετράδα, οὐ συντιθέντες αὐτὰς οὐδὲ κατὰ πρόσθεσιν αὔξοντες, ἀλλὰ τῆς ἀορίστου δυάδος διπλασιασάσης τὴν αὐτοδυάδα καὶ οὕτως ἀποτεκούσης τὴν τετράδα, ὥστε οὐκ ἂν τὸν ἐκεῖ ἀριθμὸν κατὰ πρόσθεσιν ἀποτελοῖεν. ταῦτα ἑαυτῷ ὥσπερ ἔνστασιν κομίσας λύει τὴν ἔνστασιν γοργῶς καὶ ἀσαφῶς διὰ τοῦ "δύο δυάδες παρ' αὐτὴν τὴν δυάδα." δύο οὖν, φησίν, εὑρίσκονται ἐν τῇ αὐτοτετράδι δυάδες παρ' αὐτὴν τὴν δυάδα, τουτέστι παρὰ τὴν αὐτοδυάδα. ἀλλὰ τὸ μὲν τῆς λέξεως τοιοῦτον· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἀλλὰ χρὴ προσυπακούειν τοῦ ἀλλ' εἰ καὶ μὴ κατὰ πρόσθεσιν αἱροῦνται τὸν ἀριθμὸν ἀποτελεῖν, ἀλλ' οὖν ἐν τῇ αὐτοτετράδι δύο δυάδας ὁμολογοῦσιν εἶναι παρὰ τὴν αὐτοδυάδα, ὥστε ἔσονται τρεῖς εἰδητικαὶ δυάδες καὶ οὐ μία· μία μὲν ἡ αὐτοδυὰς καὶ αἱ ἕτεραι δύο αἱ ἐν τῇ αὐτοτετράδι κτλ.

μῖξιν δὲ εἶπε νῦν τὴν κρᾶσιν. 1082 a 21.

καὶ ἐπεὶ αἱ ἰδέαι παραδείγματά ἐστι τῶν ἐν τούτοις ζῴων, ἔσται 1082 a 36.
κἀνταῦθα ζῷον ἐξ ἀνθρώπου καὶ ἵππου καὶ βοὸς συγκείμενον· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "ὥστε δῆλον ὅτι κ. ω. ἰδ. α. τ. ο. σ. ἔσται ἐκ ζῴων." ἀλλ' ἐπειδὴ ἔχει τινὰ ἀσάφειαν ἡ λέξις, σαφηνιστέον καὶ ἔτι αὐτήν. οἶμαι δὲ χρῆναι ὑποστίζειν εἰς τὸ "τὰ ζῷα," εἶτα ἐπάγειν τὸ "φαίη τις συγκεῖσθαι ἐκ ζῴων." καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· ὥστε εἰ ἰδέαι ἐξ ἰδεῶν σύγκεινται, καὶ τὰ

ροῦσι τῆς ὕλης· ὥστε ἀνωφελὴς καὶ πρὸς ἐπιστήμην· οὕτω μὲν γὰρ ἴσως αἴτια δόξειεν ἄν. Ἀναξαγόρας καὶ Εὔδοξος ἔλεγον πάντα ἐν πᾶσι μεμῖχθαι· ὥστε κατὰ τοῦτον τὸν λόγον κρείττους ἀρχὰς ἔλεγον ἐκεῖνοι τῶν τιθεμένων ἰδέας, ὅτι ἐκεῖνοι μὲν συνέταττον τοῖς γινομένοις τὰς ἀρχάς, οὗτοι δὲ οὐ συντάττουσι τὰς ἰδέας. ἀλλ᾽ ἰδοὺ καὶ ὁ περὶ ἐκείνων λόγος δυσχερής. "κατ᾽ οὐδένα τρόπον τῶν εἰωθότων," κατ᾽ οὐδένα τῶν ἔκ τινος τρόπον· ἢ γὰρ ἐξ ὕλης, ἢ ἐκ στερήσεως, ἢ ἐκ ποιητικοῦ, ἢ κατὰ ὑστεροχρονίαν, ὡς ἐξ ὄρθρου ἡμέρα, καὶ τὸ ἐκ βοτάνης. καὶ τοῦτο διττῶς, ἢ ἐπανακάμπτον, ὡς ἐκ νυκτὸς ἡμέρα καὶ ἐξ ἡμέρας νύξ, ἢ μή, ὡς ἐκ νέου γέρων, οὐ μὴν ἐκ γέροντος νέος.

1080 a 12. ἐκ διαιρέσεως δὲ τὴν ὑπόθεσιν (τὴν τοῖς ἀριθμοῖς οὐσίαν ἀπονέμουσαν νοητήν) τίθησι, καὶ καθ᾽ ἕκαστον τῶν τῆς διαιρέσεως τμημάτων ἐνίσταται... ἀνάγκη γὰρ εἴπερ ἐστὶν αὐτοάριθμος· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "ἀν. δ᾽ εἴπερ ἐστὶν ὁ ἀριθμὸς κτλ.

1080 a 17. ἤτοι εἶναι τὸν ἐχόμενον (ἀνάγκη) τοῦ προτέρου διαφέροντα κατ᾽ οὐσιώδεις καὶ εἰδοποιοὺς διαφοράς, ὥσπερ ἄν τις εἴποι τὸν ἄνθρωπον τοῦ ἵππου πρότερον διὰ τὴν τοῦ λογικοῦ διαφοράν· τὸ γὰρ λογικὸν τοῦ ἀλόγου τῇ τιμιότητι καὶ τῷ ἀρίστῳ πρότερον, καὶ τοῦτο πάλιν, λέγω δὴ τὸ διαφόρους εἶναι καὶ προτέρους καὶ ὑστέρους τῷ εἴδει τοὺς ἀριθμούς, ἢ εὐθὺς ἐπὶ τῶν μονάδων ὑπάρχει, καὶ ἔστιν ἀσύμβλητος καὶ ἑτεροειδὴς ὁποιαοῦν μονὰς ὁποιᾳοῦν μονάδι ἤτοι πᾶσα μονὰς πάσῃ μονάδι· ἢ οὐκ εἰσὶν ἑτεροειδεῖς αἱ μονάδες ἀλλὰ μόνον ἐφεξῆς, ὥς φαμεν ἄνωθεν κάτω ἐρχόμενοι πρώτην τὴν ἀπλανῆ σφαῖραν, ἐφεξῆς δὲ τὴν Κρονίαν καὶ ἐφεξῆς τὴν Δίαν, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως· καὶ ὁμοειδεῖς πᾶσαι πάσαις, οἷόν φασι τὸν μαθηματικὸν ἀριθμὸν κτλ.

1080 a 25. αἱ ἐν τῇ δυάδι πρώτῃ ἤτοι τῇ αὐτοδυάδι δυάδες εἰσὶ συμβληταὶ πρὸς ἑαυτὰς καὶ ὁμοειδεῖς, ὁμοίως καὶ ἐν τῇ αὐτοτριάδι... καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ὥσπερ καὶ οἱ τοὺς εἰδητικοὺς ἀριθμοὺς τιθέμενοι βούλονται.

1080 a 35. τοῦτο γὰρ ἔλεγε τὸ πρῶτον τῆς διαιρέσεως τμῆμα. τινὰς δὲ οἷον πάλαι τὸν ἑπτά, τὸν ὀκτώ, τὸν ἐννέα εἶναι οἷος ὁ μαθηματικὸς ἤτοι συμβλητοὺς καὶ ὁμοειδεῖς, ἄλλους δέ, οἷον τὸν εἴκοσι, τὸν τριάκοντα, τοὺς ὁμοίους εἶναι οἷον ὁ τρίτος ἔλεγε τρόπος· οὗτος δὲ ἦν ὁ τιθεὶς τὰς μὲν ἐν τῷ εἴκοσιν ἀριθμῷ μονάδας εἶναι πρὸς ἑαυτὰς συμβλητὰς καὶ ὁμοειδεῖς, πρὸς δὲ τὰς ἐνούσας τῷ τριάκοντα ἀριθμῷ ἀσυμβλήτους καὶ ἀνομοειδεῖς.

1080 b 2. ἀλλ᾽ εἰ δυνατὸν εἶναι τοὺς ἀριθμοὺς ἐν τοῖς αἰσθητοῖς ὡς στοιχεῖα, ἵνα ὡς ἐκ στοιχείων τῶν ἀριθμῶν ἡ φύσις εἴη τῶν αἰσθητῶν, ὥς φασί τινες τῶν Πυθαγορείων, ἤδη οὕτως ἀναγκαῖόν ἐστι λέγειν ἢ τινὰς μὲν αὐτῶν ὡς στοιχεῖα ὄντας τῶν αἰσθητῶν ἐνυπάρχειν τοῖς αἰσθητοῖς τινὰς δὲ μὴ ἐνυπάρχειν, ἢ πάντας ὑπάρχειν.

1080 b 7. "καὶ ἄλλου τινός," τῆς ἀορίστου δυάδος δηλαδή.

8. ἔστι τὸ "πλήν" ἑφερμηνευτικὸν τοῦ σχεδόν.

1080 b 11. "οἱ μὲν οὖν" ὥσπερ ὁ Πλάτων. τὸν μὲν γὰρ ἔχοντα τὸ πρότερον καὶ ὕστερον ἔλεγεν εἶναι τὰς ἰδέας καὶ τοὺς εἰδητικοὺς ἀριθμούς, τὸν δὲ μὴ τὸ πρότερον καὶ ὕστερον ἔχοντα μηδὲ κατ᾽ εἶδος διαφέροντα τὸν μαθηματικὸν εἶναι ἐτίθετο, πρεσβύτερον μὲν αὐτὸν λέγων τοῦ φυσικοῦ καὶ δι᾽ οὗ ἀριθμοῦμεν ἀριθμοῦ, δεύτερον δὲ τοῦ εἰδητικοῦ. καὶ χωριστοὺς ἀμφοτέρους καὶ τὸν εἰδητικὸν καὶ τὸν μαθηματικὸν τῶν αἰσθητῶν εἶναι βούλεται. διὰ μὲν οὖν τοῦ "οἱ μ. ο. ἀμφοτέρ. ε. τ. ἀρ." ᾐνίξατο τὸν Πλάτωνα, διὰ δὲ τοῦ "οἱ δὲ τὸν μαθημ. μ. ἀρ. ε. τ. πρ. τ. ὄντ." τοὺς περὶ Ξενοκράτην· οὗτοι γὰρ καὶ χωρίζουσι τὸν μαθηματικὸν τῶν αἰσθητῶν καὶ μόνον αὐτῶν εἶναί φασι καὶ πρῶτον τῶν πάντων, τοῦ εἰδητικοῦ κατορχούμενοι. καὶ οἱ περὶ Ξενοκράτην οὖν ἕνα μόνον ἀριθμὸν νομίζουσι καὶ οἱ Πυθαγόρειοι· διὸ καὶ ὑποστικτέον εἰς τὸ "ἕνα," εἶτα ἐπακτέον τὸ "τὸν ἀριθμόν," ἵν᾽ ᾖ τὸ τῆς λέξεως τοιοῦτον. καὶ οἱ Πυθαγόρειοι δὲ ἕνα ἀριθμὸν εἶναι νομίζουσι. καὶ τίνα τοῦτον; τὸν μαθηματικόν, πλὴν οὐ κεχωρισμένον τῶν αἰσθητῶν, ὡς οἱ περὶ Ξενοκράτην, οὐδὲ μοναδικόν, τουτέστιν ἀμερῆ καὶ ἀσώματον· μοναδικὸν γὰρ τὸ ἀμερὲς καὶ ἀσώματον ἐνταῦθα δηλοῖ κτλ.

οἱ περὶ Πλάτωνα. cod. Reg.

οἱ περὶ Ξενοκράτην. id. 1080 b 14.

ἔχειν δὲ τὰς μονάδας μέγεθος κατεσκεύαζον οἱ Πυθαγόρειοι 1080 b 20.
διὰ τοιούτου τινὸς λόγου. ἔλεγον οὖν ὅτι ἐπειδὴ ἐκ τοῦ πρώτου ἑνὸς αὗται συνέστησαν, τὸ δὲ πρῶτον ἓν μέγεθος ἔχει, ἀνάγκη καὶ αὐτὰς μεμεγεθυσμένας εἶναι· τὸ γὰρ ἐκ μεμεγεθυσμένου γεγονὸς καὶ αὐτὸ μέγεθος ἔχειν ἐπάναγκες. ἐρωτώμενοι δὲ καὶ τί τὸ συστῆσαν τὸ πρῶτον ἓν καὶ διὰ τί, καὶ πῶς τὸ μέγεθος ἔσχε καὶ πῶς ἐξ αὐτοῦ αἱ μονάδες γεννῶνται, οὐδὲν ἔλεγον σπουδαῖον. ἄλλος δὲ πάλιν, φησί, Πυθαγόρειος τὸν μαθηματικὸν ἀριθμὸν οὐ προσίεται, ἀλλ᾽ ἕνα καὶ πρῶτον ἀριθμὸν τὸν τῶν εἰδῶν εἶναι ἔλεγεν. "ἔνιοι δὲ καὶ τὸν μαθηματικὸν τὸν αὐτὸν τοῦτον," τουτέστι τινὲς δὲ τῶν Πυθαγορείων τὸν μὲν συνεγνωσμένον μαθηματικὸν ἀνῄρουν, ἕνα δὲ ποιοῦντες ἀριθμόν, τὸν εἰδητικόν, τὸν αὐτὸν τοῦτον ἐκάλουν καὶ μαθηματικόν.

καὶ περὶ τῶν ἐπιπέδων, φησί, καὶ τῶν στερεῶν ὁμοίως τοῖς 1080 b 23.
ἀριθμοῖς ἀπεφήναντο. οἱ μὲν αὐτῶν ἕτερα λέγουσι τὰ μαθηματικὰ ἐπίπεδα καὶ τὰ στερεὰ καὶ ἕτερα τὰ εἰδητικά· ἄλλο γὰρ ἔλεγον εἶναι τὸ μαθηματικὸν ἐπίπεδον, περὶ ὃ ὁ γεωμέτρης πραγματεύεται, καὶ ἄλλο τὸ αὐτοεπίπεδον. "τῶν δὲ ἄλλως λεγόντων," φησίν, ἤτοι τῶν εἰδητικοὺς ἀριθμοὺς καὶ εἰδητικὰ ἐπίπεδα καὶ στερεὰ μὴ λεγόντων. ἢ εἰπὼν "τῶν δὲ ἄλλως λεγόντων" ἐξηγητικὸν οἶμαι ἐπήγαγεν τὸ "ὅσοι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμούς," ὡς εἰ ἔλεγε, τῶν δὲ ἄλλως λεγόντων, τίνας δὲ ἄλλως λέγειν φημί; τοὺς ὅσοι δηλονότι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμούς, μηδὲ ὅλως εἶναι εἰδητικοὺς ἀριθμοὺς νομίζοντας· οὗτοι καὶ τὰ μαθηματικὰ στερεὰ καὶ τὰ ἐπίπεδα μαθηματικῶς λέγουσι, τουτέστι πᾶν μέγεθος εἰς μεγέθη λέγουσιν εἶναι διαιρετόν· τοῦτο δὲ ταὐτόν ἐστι τῷ μὴ συγκεῖσθαι τὴν γραμμὴν ἐκ στιγμῶν ἢ τὸ ἐπίπεδον ἐκ γραμμῶν. πᾶν οὖν μέγεθος εἰς μεγέθη εἶναι διαιρετὸν οὗτοί φασιν καὶ ὁποιασοῦν μονάδας συντεθειμένας ποιεῖν δυάδας ἀποδέχονται. οἱ δὲ λέγουσι μὲν τὰ μαθηματικὰ ἐπίπεδα, οἱ καὶ εἰδητικοὺς ἀριθμοὺς εἶναι λέγοντες, οὐ μαθηματικῶς δέ. οὐ γὰρ τέμνεσθαι πᾶν μέγεθος εἰς μεγέθη, οὐδὲ τὰς τυχούσας μονάδας δυάδα ποιεῖν, ἀλλά φασιν ὅτι αἱ πρῶται γεγονυῖαι δύο μονάδες ὡς ἐξ ὕλης μὲν τῆς ἀορίστου δυάδος, εἴδους δὲ τοῦ ἀρχικοῦ ἑνός, τοῦ αὐτοενὸς δηλονότι, αὗται πεποιήκασι τὴν πρώτην δυάδα ἤτοι τὴν

μηδ' ὅλως ἀϊδίως εἶναι χωριστά. λύων οὖν ταύτην τὴν ἔνστασιν λέγει ὅτι περὶ μὴ ὄντων μὲν ἐνεργείᾳ δυνάμει δὲ ὄντων τὴν θεωρίαν ποιοῦνται.

"ὁ δ' ἔθετο ἓν ἀδιαίρετον," τουτέστιν ὁ δὲ ἀριθμητικὸς προσελθὼν αὐτῷ ἔθετο καὶ ἔλαβε τὸ ἐν αὐτῷ ἓν ἀδιαίρετον, ἤτοι τὸ μοναδικὸν αὐτοῦ καὶ τὸ ἄτομον, καὶ θεωρεῖ τί τούτῳ ᾗ ἀδιαίρετον συμβαίνει· ὁ δὲ γεωμέτρης τὸ στερεὸν αὐτοῦ καὶ τὸ πάντη διαστατὸν ἐπισκέπτεται κτλ.

1078 a 28. "τὸ δυνατόν, ἤτοι τὸ τριχῇ διαστατόν, τὸ ἐπ' ἄπειρον διαιρετόν.

1078 a 33. πρὸς Ἀρίστιππον ἀποτείνεται διὰ τούτων. cod. Reg.

ἐν τούτοις ἀποτείνεται πρὸς Ἀρίστιππον καὶ εἴ τις ἄλλος ἀπεσκοράκιζε τὰ μαθήματα. εἰ γὰρ πᾶν, φησὶν ὁ Ἀρίστιππος, ἢ ἀγαθοῦ ἢ καλοῦ ἕνεκεν ἐργάζεται, τὰ δὲ μαθηματικὰ οὔτε καλοῦ οὔτε ἀγαθοῦ στοχάζεται, τὰ μαθηματικὰ ἄρα οὐκ εἰσίν. καί φησι τοῦ χρησίμου μὲν οὖν καὶ συμφέροντος τοῦ ἐν τοῖς (πρακτοῖς τοῦτο γὰρ νῦν ἀγαθὸν καλεῖν, μὴ μετεῖναι τοῖς μαθήμασιν), ἐπεὶ μηδὲ τὴν ἀρχὴν πολιτική τις ἕξις ἦν ἡ μαθηματική· περὶ γὰρ τὴν πολιτικὴν ἕξιν τὸ ὡς πρακτὸν καὶ ὡς συμφέρον ἀγαθόν ἐστιν· τοῦ μέντοι καλοῦ μάλιστα ἔχεται ἡ μαθηματική, περὶ τὰ σύμμετρα καὶ εὔτακτα καὶ ὡρισμένα διατρίβουσα κτλ.

1078 a 35. τὸ δὲ "εἰ γὰρ καὶ μὴ ὀν. τὰ δ' ἔρ. κ. τ. λ. δ." ἀντὶ τοῦ, εἰ μὴ λέγουσιν ἐν τοῖς συμπεράσμασι τὸ καλόν, δεικνύουσι δὲ τοῦ καλοῦ ἔργα· ἔργον γὰρ καλοῦ τὸ σύμμετρον καὶ τὰ ὅμοια. οὐ διὰ τοῦτο δὴ ὑποληπτέον ὡς οὐ λέγουσι περὶ τοῦ καλοῦ.

1078 b 9. καὶ ἐπεὶ ὁ Πλάτων ἀριθμοὺς εἰδητικοὺς ἐκάλει τὰς ἰδέας ἑπόμενος τοῖς Πυθαγορείοις, πρότερον, φησίν, ὡς ἰδέας αὐτὰς ἐξετάσωμεν μὴ συνάπτοντες μηδὲ μεμνημέναι μηδ' ὅλως ἀναλογιζόμενοι εἴτε εἰσὶν ἀριθμοὶ τὰ εἴδη εἴτε καὶ μή, ἀλλ' εἰς αὐτὴν τὴν ἔννοιαν ἐλθόντες καθ' ἣν ἰδέας εἶναι ὑπέλαβον, ἐπισκεπτέον εἰ δυνατὸν εἶναι ἰδέας. ζητήσει γὰρ μετὰ ταῦτα εἰ καὶ ἀριθμοὶ εἶναι εἰδητικοὶ δύνανται.

1078 b 17. ὁ δὲ Σωκράτης ἰδέας μὲν εἶναι ἔλεγε, περὶ μόνας δὲ τὰς ἠθικὰς ἀρετὰς διατρίβει. καὶ οὗτος πρῶτος ἐζήτησεν ὁρισμοὺς λαμβάνειν τῶν καθόλου, οἷον τῆς καθόλου σωφροσύνης, τῆς καθόλου δικαιοσύνης καὶ τῶν ἄλλων ἁπασῶν.

1078 b 20. "ὡρίσατό πως," τουτέστι μαλακῶς καὶ ὡς ἔτυχεν.

1078 b 22. καιρὸν ἔλεγον οἱ Πυθαγόρειοι τὴν ἑπτάδα, ὅτι κατ' αὐτὴν γίνονται τοῖς ἀνθρώποις αἱ ἡλικίαι... ἔλεγον γοῦν καὶ τὸν ἥλιον τοῦ καιροῦ ὄντα ποιητὴν ἐν τῇ ἑβδόμῃ σφαίρᾳ εἶναι, καὶ αὐτῆς τῆς ἀπλανοῦς καταριθμουμένης· πρὸ γὰρ τῆς σεληνιακῆς σφαίρας τὴν ἡλιακὴν οὗτοι ἐδόξαζον εἶναι. cod. Reg.

δικαιοσύνη γάρ, φασίν, ἐστὶν ἀριθμὸς ὁ διαιρῶν τὴν δεκάδα δίχα, καὶ τὰ λοιπὰ ὁμοίως. ἀλλ' οὗτοι μὲν οὕτως· ὁ δὲ Σωκράτης, φησίν, εὐλόγως ἐζήτει τὸ τί ἐστι καὶ τοὺς ὁρισμούς.

1078 b 26. ὥστε δύνασθαι τἀναντία περὶ τὸ αὐτὸ συλλογίζεσθαι, οἷον ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι καὶ πάλιν ὅτι ἡ ἡδονὴ κακόν ἐστι, καὶ ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη.

1078 b 31. οἱ δὲ περὶ Πλάτωνα ἐχώρισαν καὶ τὰ τοιαῦτα ἰδέας κατωνόμασαν· ὥστε συμβαίνει αὐτοῖς πάντων καὶ ὅλως ὧν οὐ βούλονται ἰδέας εἶναι. εἰ γὰρ κατ' αὐτοὺς ὅπου ἓν ἐπὶ πολλῶν καὶ καθόλου ἕτερον τῶν μερικῶν νοεῖται, τούτων εἰσὶν ἰδέαι, ἔσται καὶ τῶν πρός τι καὶ τῶν εἰκαιῶν καὶ ἄλλων πολλῶν ἰδέαι, ὧν ἰδέας εἶναι οὐ βούλονται. ταῦτα μὲν δὴ μέχρι τῆς λέξεως ταύτης κατὰ τὴν ἐμὴν σεσαφήνισται δύναμιν, ἀπὸ δὲ τῆς λέξεως τῆς "καὶ παραπλήσιον ὥσπερ ἂν εἴ τις ἀριθμῆσαι βουλόμενος" ἕως τοῦ "ἀλλὰ — τοῖς τεθεωρημένοις" (c. 5 extr.) τὰ αὐτά ἐστιν ἀπαραλλάκτως τοῖς ἐν τῷ μείζονι A λεγομένοις, πλὴν τῆς λέξεως τῆς "εἰ δὲ τὰ μὲν ἄλλα τοὺς κοινοὺς λόγους ἐφαρμόττειν θήσομεν" ἕως τοῦ "ἢ πᾶσιν ὑπάρξει τοῖς εἴδεσιν ὡς γένος" (c. 4 extr.)· διὸ ταύτην μὲν σαφηνιοῦμεν, ἐκείνων δὲ τὴν σαφήνειαν ἐκ τῶν ἐν τῷ μείζονι A σχολίων θηρᾶσθαι χρή.

ἀντὶ τοῦ συνώνυμον ὁ Ἀλέξανδρος. δυνατὸν δ' ἐστὶ καὶ ὡς 1079 a 2.
ἔχει τὴν λέξιν παραλαμβάνειν· ὁμώνυμος γὰρ ἑκάστη τῶν ἰδεῶν τοῖς αἰσθητοῖς κατὰ μηδέν τι κοινωνοῦσα τούτοις (ἀΐδιος γὰρ) εἰ μὴ μόνῳ τῷ ὀνόματι. cod. Reg.

βούλονται γὰρ τὴν δυάδα πρώτην εἶναι· συνάγεται δὲ μὴ τὴν 1079 a 15.
δυάδα ἀλλὰ τὸν ἀριθμὸν εἶναι πρῶτον.

ἀλλὰ δεῖ μετέχειν ᾗ μὴ λέγονται καθ' ὑποκειμένου ἀλλὰ καθ' 1079 a 27.
αὐτά. παρέθετο δὲ τοῦ κατὰ συμβεβηκὸς παράδειγμα τὴν δυάδα· ταύτην γὰρ λέγει διπλάσιον, ἵνα δείξῃ ὅτι τὸ κατὰ συμβεβηκὸς μετέχειν οὐ συνίστησιν οὐσίαν, εἰ μὴ τὸ καθ' αὑτό, ὃ λέγει μὴ καθ' ὑποκειμένου.

"εἰ δὲ τὰ μὲν ἄλλα τοὺς κ. λ. ἐφαρμόττειν θήσομεν τοῖς εἴδε- 1079 b 3.
σιν." εἰπὼν ὅτι εἰ τὸ αὐτὸ εἶδος καὶ ἡ αὐτὴ φύσις ἐστὶ τῆς αὐτοδυάδος καὶ τῆς αἰσθητῆς δυάδος καὶ τοῦ αὐτοανθρώπου καὶ τοῦ αἰσθητοῦ ἀνθρώπου, ἔσται καὶ τρίτη δυὰς καὶ τρίτος ἄνθρωπος, εἰ δὲ μὴ τὸ αὐτό, ὁμώνυμον ἂν εἴη, λέγει ὅτι, εἰ δὲ τὰ μὲν ἄλλα τὰ λεγόμενα κατὰ τῶν αἰσθητῶν κύκλων, οἷον τὸ σχῆμα, τὸ ἐπίπεδον καὶ τὰ λοιπὰ μέρη τοῦ λόγου, ἐφαρμόζειν θήσομεν καὶ τῷ αὐτοκύκλῳ (τοῦτον γὰρ εἶπεν αὐτὸν τὸν κύκλον), εἰ δὴ κατὰ τὰ μέρη τοῦ ὁρισμοῦ μηδὲν διαφέρειν τὰ αἰσθητὰ καὶ τὰς ἰδέας αὐτῶν φήσομεν, τὸ δ' οὗ ἐστι προστεθήσεται, τουτέστι παράδειγμα ὂν τῶν αἰσθητῶν, ἵν' ᾖ τοῦ μὲν αἰσθητοῦ κύκλου ὁρισμὸς σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς τῶν ἐντὸς τοῦ κύκλου σημείων πᾶσαι αἱ προσπίπτουσαι ἴσαι ἀλλήλαις εἰσίν, τοῦ δὲ αὐτοκύκλου αὐτός τε ὅλος ὁ ὁρισμὸς καὶ προσέτι τὸ παράδειγμα ὂν τῶν αἰσθητῶν κύκλων, καὶ πάλιν τοῦ μὲν αἰσθητοῦ ἀνθρώπου τὸ ζῷον πεζὸν δίπουν, τοῦ δὲ αὐτοανθρώπου τὸ ζῷον πεζὸν δίπουν, παράδειγμα ὂν τῶν αἰσθητῶν ἀνθρώπων, — εἰ οὖν τοῦτο φήσουσι τὸ δεῖν ταῖς ἰδέαις προστεθῆναι τὸ οὗ ἐστι παράδειγμα, οἷον ἀνθρώπου ἢ ἵππου ἢ οὗ ἂν εἴη, καὶ κατὰ τοῦτο μόνον διαφέρειν αὐτὰς τῶν αἰσθητῶν εἴπωσι, σκοπεῖν δεῖν φησὶ μὴ κενὸν ᾖ τὸ λεγόμενον... λέγει μέσον τὸ σημεῖον, ἀφ' οὗ πᾶσαι αἱ προσπίπτουσαι ἴσαι ἀλλήλαις εἰσὶν ἢ πᾶσιν· πάντα γὰρ τὰ ἐν τῇ ἰδέᾳ κατ' αὐτοὺς οὐσίαι καὶ ἰδέαι κτλ.

"πάντων δὲ μάλιστα" καθὼς καὶ ἐν τῷ μείζονι A ἔλεγε... 1079 b 12.
τὰ δὲ λοιπὰ εὑρέθησαν ἐν τῷ μείζονι A.

"ἀλλὰ μ. οὐδὲ πρ. τ. ἐπ." καὶ γὰρ ἐπιστῆμαι ὁρισμοὶ ὑπάρχουσιν, 1079 b 15.
εἰ δὲ ὁρισμοὶ τῶν συντεταγμένων εἰδῶν, οὗτοι δὲ τὰς ἰδέας ἐξαι-

ἐκ λευκοῦ καὶ ἀνθρώπου. καὶ οὐκ ἔστι τοῦτο πάντῃ ὕστερον, ἀλλὰ τῷ μὲν λόγῳ ὕστερον τῇ δὲ φύσει πρότερον. τὸ δὲ "ἐκ προσθέσεως γὰρ τῷ λευκῷ ὁ λευκὸς ἄνθρωπος λέγεται" ἀντὶ τοῦ προσθέσει γὰρ τοῦ λευκοῦ ὁ λευκὸς ἄνθρωπος λέγεται ἐκ προσθέσεως. καὶ συμπεραίνεται λοιπὸν λέγων "ὅτι" κτλ.

1077b 17. ὥσπερ οὖν, φησί, καὶ τὸ καθόλου ἐν τοῖς μαθήμασιν οὐ περὶ κεχωρισμένων ἐστί τινων καὶ καθ' αὑτὰ ὄντων καὶ ἑτέρων παρὰ τὰ αἰσθητὰ μεγέθη καὶ ἀριθμούς, ἀλλὰ περὶ τούτων μὲν ποιεῖται τοὺς λόγους, οὐχ ᾗ δὲ αἰσθητὰ οὐδὲ ᾗ δυνάμενα ἔχειν μέγεθος καὶ διαιρεῖσθαι, ἀλλ' αὐτὸ τοῦτο μόνον ὁρᾷ ὅτι δύναται τὸν τῆς ἀναλογίας λόγον φυλάσσειν ἐναλλὰξ ληφθέντα, οὕτω καὶ ὁ γεωμέτρης ποιήσεται λόγον καὶ ἀπόδειξιν ἀκριβῆ περὶ τὸ αἰσθητὸν στερεόν, οὐχ ᾗ δὲ ἔχον ἀντιτυπίαν ἢ βάρος ἢ λευκόν, ἀλλ' ᾗ τοιόνδε, τουτέστιν ᾗ μέγεθος καὶ ᾗ τριχῇ διαστατὸν κτλ.

1077b 31. "ὥστ' ἐπεὶ — μὴ χωριστά." ἔνστασίν τινα δυναμένην φέρεσθαι πρὸς τὰ λεγόμενα διὰ τούτων λύει. ἔστι δὲ ἡ ἔνστασις τοιαύτη. εἰ τὰ μαθηματικὰ ἐξ ἀφαιρέσεως τὸ εἶναι ἔχει, πῶς αὐτά φαμεν ὅτι εἰσίν; ταύτην λύων λέγει, ἐπεὶ οὐ μόνον τὰς οὐσίας (ταύτας γὰρ λέγει χωριστάς) ἁπλῶς φαμὲν εἶναι, ἀλλὰ καὶ τὰ μὴ χωριστὰ ἤτοι τὰ συμβεβηκότα καὶ μὴ καθ' αὑτὰ δυνάμενα εἶναι (κατηγοροῦμεν γὰρ καὶ κατὰ τούτων τὸ εἶναι ἁπλῶς, φημὶ δὴ τοῦ τε λευκοῦ καὶ τοῦ κινουμένου ἤτοι τῆς κινήσεως)· ὡς οὖν οὐ μόνον τὰς οὐσίας εἶναί φαμεν, ἀλλὰ καὶ τὰς κινήσεις καὶ ὅλως τὰ πάθη, ἃ οὐ δύναται καθ' αὑτὰ εἶναι ἀλλ' ἐν ἀλλήλοις, οὕτω καὶ τὰ μαθηματικὰ ἕξουσι μὲν ἐξ ἀφαιρέσεως τὸ εἶναι, ἕξουσι δὲ καὶ τὸ κατ' αὐτῶν ἁπλῶς τὸ εἶναι λέγεσθαι, καὶ οὐ μόνον θαρρούντως ἐροῦμεν ὡς εἰσίν, ἀλλὰ καὶ ἀποφανούμεθα ὅτι τοιαῦτά εἰσιν οἷα λέγουσιν, οἷον ὅτι ἡ γραμμὴ ἀπλατὴς καὶ ἡ ἐπιφάνεια ἀβαθὴς καὶ τὰ ἄλλα ὁμοίως· ὁ γὰρ λόγος ὁ χωρίσας τὴν γραμμὴν δύναται αὐτὴν τοιαύτην εἶναι νοεῖν οἵαν ἐχώρισε. καὶ ὥσπερ, φησίν, ἀληθές ἐστιν εἰπεῖν καὶ τὰς ἄλλας ἐπιστήμας τούτων μόνων ὧν εἰσὶν ἐπιστήμας εἶναι καὶ οὐ τοῦ συμβεβηκότος, οἷον ὅτι ἡ ἰατρικὴ τοῦ ὑγιεινοῦ ἐστὶν οὗ καὶ ἔστιν ἐπιστήμη, καὶ οὐ τοῦ συμβεβηκότος τῷ ὑγιεινῷ, οἷον τοῦ λευκοῦ, εἴγε τῷ ὑγιεινῷ συμβέβηκε λευκῷ εἶναι, οὕτω καὶ τῆς γεωμετρίας ἀληθὲς εἰπεῖν ὅτι τοῦ μεγέθους καὶ σχήματός ἐστι καὶ οὐ τοῦ βαρέος ἢ τοῦ θερμοῦ ἢ ὅλως τοῦ αἰσθητοῦ. ταῦτα γὰρ τῷ σώματι ὡς μὲν φυσικῶς καθ' αὑτὰ ὑπάρχει, ὡς δὲ μαθηματικῶς κατὰ συμβεβηκός. ὥστε οὔτε τῶν αἰσθητῶν ἁπλῶς ὡς αἰσθητῶν εἰσὶν αἱ μαθηματικαί, οὔτε παντάπασιν ἑτέρων ἄλλων ὄντων παρὰ τὰ αἰσθητά, ἀλλὰ τῶν αἰσθητῶν μέν, οὐχ ᾗ δὲ αἰσθητὰ ἀλλ' ᾗ μόνον μεγέθη εἰσὶ καὶ γραμμαὶ καὶ ἐπιφάνειαι. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια αὕτη. κατὰ δὲ τὴν λέξιν πολλὴν ἀσάφειαν ἐποίησε τὸ "οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι λευκοῦ εἰ τὸ ὑγιεινὸν λευκόν, ᾗ δ' ἔστιν ὑγιεινοῦ." λέγει δὲ ὅτι ὥσπερ αἱ ἄλλαι ἐπιστῆμαι τούτων εἰσὶν ὧν εἰσὶν ἐπιστῆμαι καὶ πρὸς ἃ λέγονται ἀλλ' οὐ τῶν συμβεβηκότων αὐταῖς, καὶ σαφηνίζει τοῦτο ἐπὶ τῆς ἰατρικῆς καὶ τοῦ ὑγιεινοῦ, πρὸς ὃ αὕτη λέγεται, λέγων ὅτι οὐ τοῦ συμβεβηκότος ἐστὶν ἡ ἰατρική, οἷον τοῦ λευκοῦ, εἰ τὸ ὑγιεινὸν περὶ ὅ ἐστιν ἡ ἰατρικὴ λευκόν ἐστιν· οὐκ ἔστιν οὖν ἡ ἰατρικὴ τοῦ λευκοῦ, "ᾗ δ' ἐστὶν ὑγιεινοῦ," τουτέστιν ἀλλὰ καθό ἐστιν ὑγιεινὸν ἐστὶν αὐτοῦ ἡ ἰατρική, καὶ οὐ καθὸ λευκόν. ἢ οὖν οὕτως ἢ ὑπερβατῶς ἀναγνωστέον τὸ "οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι λευκοῦ, εἰ τὸ ὑγιεινὸν λευκόν, ᾗ δ' ἐστὶν ὑγιεινοῦ," οὕτως· οὐχὶ τοῦ συμβεβηκότος ἐστὶν ἡ ἰατρική, καθὸ δὲ ὑγιεινοῦ ἐστίν. οὗσα γὰρ καθ' αὑτὸ τοῦ ὑγιεινοῦ ὡς ὑγιεινοῦ, οὐκ ἔστι καὶ τοῦ συμβεβηκότος, οἷον τοῦ λευκοῦ, εἰ τὸ ὑγιεινὸν λευκόν ἐστιν. τὸ δὲ "ἀλλ' ἐκείνου οὗ ἐστὶν ἑκάστη, εἰ ὑγιεινὸν ὑγιεινοῦ," τὸ "ἀλλ' ἐκείνου" ἀντὶ τοῦ ὅλως· ἵν' ᾖ τὸ λεγόμενον, καὶ ὅλως ἑκάστη ἐπιστήμη ἐκείνου ἐστὶν οὗ ἔστι καὶ οὗ λέγεται εἶναι.

ὡς οὖν ἐπὶ τούτων "οὕτως" φησὶ "καὶ τὴν γεωμετρίαν· οὐκ εἰ 1078a 2 συμβ. α. ε. ὧν ἐστί, μή ἐστι δ' ᾗ αἰσθητά." καὶ παρέλκει γε ἐν τῇ λέξει τῇ "οὐκ εἰ συμβέβηκεν αἰσθητὰ εἶναι" ἡ οὐ ἀπόφασις. ἔστι δὲ τὸ κατάλληλον τῆς λέξεως τοιοῦτον. οὕτω καὶ τὴν γεωμετρίαν, εἰ συμβέβηκεν αἰσθητὰ εἶναι ὧν ἐστὶ θεωρητική, οὐκ ἔστι δὲ τούτων θεωρητικὴ ᾗ ἐστὶν αἰσθητά, οὐδὲ θεωρεῖ αὐτὰ καθὸ θερμὰ ἢ βαρέα ἐστὶν ἀλλὰ καθὸ μόνον μεγέθη. εἰ δὴ τοῦθ' οὕτως ἔχει, οὔθ' ἡ γεωμετρία οὔτ' ἄλλη τις τῶν μαθηματικῶν ἐπιστημῶν ἔσται τῶν αἰσθητῶν ἁπλῶς, ἀλλὰ τούτων μὲν οὐχ ᾗ δὲ αἰσθητά ἐστιν.

ἐν δὲ τῇ λέξει τῇ "ὥστε καὶ ᾗ μὴ κινούμενα καὶ ᾗ ἐπίπεδα," 1078a 8. ἀντὶ τοῦ ὥστε καθὸ ἀκίνητα ἔσται αὐτῶν ἐπιστήμη καὶ καθὸ ἐπίπεδα, μὴ φυσικά· τούτου γὰρ δεῖ προσυπακούειν.

τὸ δὲ "τοῦτο δὲ τὸ ἁπλοῦν ἐστίν" ἴσον ἐστὶ τῷ τὸ δέ ἐστιν ἁπλού- 1078a 10. στερον τὸ μᾶλλον τὴν ἀκρίβειαν ἔχον. εἰ δέ τις πάλιν ἐπιστήμη ἐξετάζει τι ἀμέγεθες, ἐν μεγέθει δὲ τὸ εἶναι ἔχον, ὡς αἱ ποιότητες (ἀμεγέθεις γὰρ οὖσαι ἐν μεγέθεσιν εἰσί), μᾶλλον ἐπιστήσεται θεωροῦν αὐτὸ χωρὶς τοῦ ἐν ᾧ ἐστὶ μεγέθους· εἰ δὲ καὶ ἐν κινήσει ὂν ὡς ἀκίνητον αὐτὸ θεωροίη, μᾶλλον ἐπιστήσεται αὐτὸ χωρὶς τῆς κινήσεως ἐνορῶν· ἁπλούστερον γὰρ τὸ μὴ κινούμενον τοῦ κινουμένου, ὥσπερ καὶ τὸ ἀχρωμάτιστον τοῦ κεχρωσμένου. ἀλλὰ κἂν περὶ κινουμένου τὴν ζήτησιν ποιῆται, ἀλλὰ κἂν περὶ αὐτῆς τῆς κινήσεως, μᾶλλον ἐπιστήσεται τοὺς λόγους περὶ τῆς ἁπλουστέρας ποιούμενος· αὕτη δέ ἐστιν ἡ ὁμαλής. ὁμοίως δέ, φησί, καὶ περὶ ἁρμονικῆς καὶ ὀπτικῆς· οὔτε γὰρ ἡ ὀπτικὴ τὴν ὄψιν ᾗ ὄψις καὶ ὅλως τὸ τῆς ὄψεως εἶδος ἐπισκέπτεται, οὔτε ὁ ἁρμονικὸς τὸ εἶδος τῆς φωνῆς.

ὥστε, φησίν, εἰ καὶ μή εἰσι τὰ μεγέθη καὶ τὰ σώματα χωριστὰ 1078a 17. τῶν παθητικῶν ποιοτήτων, χωρίσαι δέ τις αὐτὰ τὰ σώματα ἀλλὰ καὶ τὰ ἐπίπεδα καὶ τὰς γραμμὰς τῶν τοιούτων παθῶν τῷ λόγῳ, καὶ ἐπιβλέποι τίνα τούτοις ὑπάρχει ᾗ τοιαῦτα ἐστί, τουτέστιν ᾗ χωριστὰ καὶ πάντῃ ἐστερημένα θερμοτήτων βαρυτήτων καὶ τῶν ὁμοίων, οὐδὲν ἂν ψεύδοιτο, ἐπεὶ οὐδ' ὁ ἐν τῷ ἐδαφίῳ τὴν μὴ ποδιαίαν ὡς ποδιαίαν γράφων ψεύδεται· οὐ γὰρ ἐν τῇ προτάσει τὸ ψεῦδος, ἀλλ' ἐν τῇ καταγραφῇ.

"ἄριστα — χωρίσας." ἔνστασιν ἐνταῦθα κομιζομένην πρὸς 1078a 21. τὴν ἑαυτοῦ δόξαν διαλύει. ἡ δὲ ἔνστασις τοιαύτη. εἰ γάρ, φασί, μὴ συγχωρεῖς εἶναι χωριστοὺς ἀριθμοὺς μηδὲ σχήματα, περὶ μὴ ὄντων οἱ μαθηματικοὶ διαλέγονται· οὔτε γὰρ περὶ τῶν ἐν τοῖς σώμασι τοῖς αἰσθητοῖς διαλέξονται (ἔνυλα γὰρ τὰ τοιαῦτα, οἱ δὲ μαθηματικοὶ περὶ ἄυλα ἀναστρέφονται) οὔτε περὶ χωριστῶν, ἐπεὶ

αὐτοὺς εἰσὶ παρὰ τὰ αἰσθητὰ τρίγωνα καὶ τὰς αἰσθητὰς γραμμὰς καὶ τὰ σώματα ἄλλα τρίγωνα καὶ γραμμαὶ καὶ σώματα, ἃ μαθηματικά φασιν, ἐπειδὴ ταῦτα μαθηματικὰ λέγεταί τινα, ἀνάγκη εἶναι ἄλλην τούτων καθολικωτέραν φύσιν τὴν δηλουμένην ὑπὸ τῆς τινὰ φωνῆς. ἔχει δέ τινα βραχεῖαν ἀσάφειαν ἡ λέξις ἡ "ἔσται οὖν καὶ αὕτη τις ἄλλη οὐσία μεταξὺ κεχωρισμένη τῶν ἰδεῶν καὶ τῶν μεταξύ·" λέγει δὲ ἰδέας μὲν τὸ αὐτοπεσὸν καὶ τὰ τοιαῦτα, μεταξὺ δὲ τὰ μαθηματικά· μεταξὺ γὰρ τῶν τε ἰδεῶν καὶ τῶν αἰσθητῶν ἐτίθεντο τὰ μαθηματικά.

1077 a 14. "ὅλως δὲ τ. σ. καὶ τοῦ εἰωθ. ὑπολ." καὶ ἡ ἀλήθεια, φησί, βοᾷ καὶ πάντες οἱ σοφοὶ εἰώθασιν ὑπολαμβάνειν ὅτι τὸ ἀτελὲς τῷ μὲν χρόνῳ πρότερόν ἐστι τοῦ τελείου, τῇ δὲ φύσει ἤτοι τῷ τελείῳ ὕστερον. ἐξ ὧν δ' οὗτοι λέγουσι (λέγουσι δὲ ὅτι τὰ μαθήματα ἄλλα ἐστὶ τῶν αἰσθητῶν καὶ καθ' αὑτὰ ὄντα καὶ χωριστά), συμβαίνει τοὐναντίον τοῦ εἰωθότος ὑπολαμβάνεσθαι καὶ τῆς ἀληθείας· τοῦτο δ' ἐστὶ τὸ τὰ μαθηματικὰ ἀτελέστερα τῶν φυσικῶν ὄντα πρότερα εἶναι οὐ τῷ χρόνῳ ἀλλὰ καὶ τῇ φύσει· ὁμοίως δὲ καὶ ὕστερα· οὐδὲν δέ ἐστι καὶ πρότερον καὶ ὕστερον τῇ φύσει.

1077 a 19. καὶ τὴν αἰτίαν ἐπήγαγεν εἰπών, τὸ γὰρ ἀτελὲς μέγεθος τῷ χρόνῳ μὲν ἀεὶ πρότερόν ἐστι τῇ οὐσίᾳ δὲ ὕστερον, οἷον ἄψυχον ἐμψύχου. ὥσπερ γὰρ πρότερον μὲν γίνεται τὸ ἄψυχον σῶμα καὶ οὕτως ἐμψυχοῦται καὶ τελειοῦται, οὕτως καὶ ἐπὶ τῶν ἄλλων· πρότερον μὲν ὁ λόγος ὑπονοεῖ τὸ τριχῇ διαστατὸν γινόμενον, ὅπερ ἀναλογεῖ τῷ μαθηματικῷ σώματι, καὶ οὕτως ὅτι εἰσῆλθεν ἐν αὐτῷ ὑπὸ τῆς φύσεως θερμότητες κουφότητες ἢ ἄλλη τις ποιότης, καὶ ἀπετέλεσαν τὸ φυσικὸν τέλος. ὡς οὖν τὸ ἄψυχον πρότερον ὂν τῇ γενέσει (πρότερον γὰρ αὐτὸ γίνεται) ἀτελέστερόν ἐστι τοῦ ἐμψύχου, οὕτως καὶ τὰ μαθηματικὰ τῇ μὲν γενέσει πρότερά ἐστι τῶν φυσικῶν σωμάτων, τῇ δὲ φύσει καὶ τῷ τελείῳ ὕστερα· ὥστε κατὰ μὲν τὴν ἀλήθειαν καὶ ἀτελέστερά ἐστι τὰ μαθηματικὰ τῶν φυσικῶν, καὶ διὰ τοῦτο καὶ ὕστερα τῇ φύσει· ἀλλὰ καὶ πρότερα κατὰ τοὺς χωρίζοντας αὐτὰ καὶ ἄλλα τῶν φυσικῶν εἶναι λέγοντας. ταῦτα εἰπὼν διὰ μέσου ζητεῖ τινὰ ζήτησιν καὶ οὕτως πάλιν ἐπάνεισιν ἐπὶ τὸ προκείμενον. ὃ δὲ ζητεῖ τοιοῦτόν ἐστιν· ἐπεὶ τὰ μαθηματικὰ σώματα ἐξ ἐπιπέδων εἰσί, τί τὸ αἴτιον αὐτοῖς τῆς ἑνώσεως;

1077 a 21. "ἢ μέρει ψυχῆς," ὡς ἐπὶ τῶν ἐχόντων ἁφὴν μόνην ἢ ἄλλο τι εὔλογον, κόλλα δηλαδὴ ἢ δεσμός... τοῦτο διὰ μέσου εἰπὼν ἄνεισι πάλιν ἐπὶ τὸ ἐξ ἀρχῆς, ἐν ᾧ τὸ αἰσθητὸν πρότερον ἐδείκνυ τοῦ μαθηματικοῦ τῇ οὐσίᾳ, καὶ δείκνυσι καθόλου, ὅτι πᾶν σῶμα τῇ οὐσίᾳ πρότερόν ἐστι καὶ γραμμῆς καὶ ἐπιπέδου. ἐκ τούτου δὲ ἔχει ὅτι καὶ τῶν σωμάτων τὸ τελειότερον πρότερόν ἐστι τῶν ἀτελεστέρων· τελειότερον δὲ τὸ φυσικὸν τοῦ μαθηματικοῦ. λέγει δὴ ὅτι αἱ γενέσεις δηλοῦσιν ὅτι τὰ σώματα πρότερά ἐστι καὶ ἐπιπέδων καὶ γραμμῶν τῇ οὐσίᾳ· πρότερον γὰρ ἐπὶ μῆκος γίνεται ἡ αὔξησις ἢ ὅλως ἡ κίνησις, ἔπειτα εἰς πλάτος, εἶτα εἰς βάθος, καὶ τελειοῦται ὡς σῶμα ἁπλῶς, ὕστερον δὲ προσλαβὸν καὶ ποιότητα τελειοῦται ὡς φυσικὸν σῶμα. ὥστε εἰ τὰ τῇ γενέσει ὕστερα τῇ φύσει πρότερα, πρότερον ἂν εἴη τὸ σῶμα καὶ ἐπιπέδου καὶ γραμμῆς καὶ τοῦ σώματος· πάλιν τὸ αἰσθητὸν σῶμα, καὶ τούτου τὸ ἔμψυχον, καὶ ἐφεξῆς ἀκολούθως. ἔτι φησὶ καὶ διὰ τὸ τὸ μὲν σῶμα ἔμψυχον δύνασθαι γενέσθαι, τὴν δὲ γραμμὴν καὶ τὸ ἐπίπεδον οὐδαμῶς· οὐδεὶς γὰρ ἑώρακέ ποτε γραμμὴν ἔμψυχον.

1077 a 31. καὶ ὅτι μὲν τὸ σῶμα τέλειον, δέδεικται εὐθὺς ἐν ἀρχῇ τῆς περὶ Οὐρανοῦ πραγματείας. τὸ δὲ "πώς" πρόσκειται διὰ τὰ μαθηματικά· οὐ γάρ εἰσιν ἁπλῶς τέλεια ὡς τὰ φυσικά, ἀλλὰ καθὸ μὲν ἔχει τὰς τρεῖς διαστάσεις, εἰσὶ τέλεια, ὡς ἐν τῇ περὶ Οὐρανοῦ λέγεται, ᾗ δὲ ἐλλείπει αὐτοῖς τὰ πάθη, καθ' ἃ τὰ φυσικὰ εἰδοποιεῖται, ἐστὶν ἀτελῆ. καὶ ὅτι μὲν τὰ σώματα οὐσίαι, δέδεικται, ὡς εἴρηται· τὰ δὲ ἐπίπεδα καὶ αἱ γραμμαί, ἐπειδὴ ἁπλᾶ εἰσίν, εἰ ἔσονται οὐσίαι, ἢ ὡς εἶδος ἔσονται ἢ ὡς ὕλη.

1077 a 35. κατὰ δὲ τὴν λέξιν τὴν "εἰ δ' ἦν οὐσία τις ὑλική, τοῦτ' ἂν ἐφαίνετο πάσχειν" ἴσον ἐστὶ τῷ, εἰ δ' ἦσαν αἱ γραμμαὶ καὶ τὰ ἐπίπεδα ὑλικαὶ οὐσίαι, τοῦτ' ἄν, τουτέστι τὸ ἀλλοιουμένων αὐτῶν ἕτερον ἐξ αὐτῶν συνίστασθαι, ἐφαίνοντο πάσχουσαι.

1077 b 2. ἔστιν οὖν, φησί, τῇ οὐσίᾳ πρότερα "ὅσα χωριζόμενα τῷ εἶναι ὑπερβάλλει," τουτέστιν ὅσα χωριζόμενα τῶν ἐν οἷς εἰσίν, αὐτὰ μὲν εἶναι δύναται, ἐκεῖνα δὲ μή.

1077 b 3. τῷ δὲ λόγῳ, φησί, πρότερά ἐστιν "ὅσων οἱ λόγοι ἐκ τῶν λόγων." ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. ἐπεὶ ὁ τοῦ λευκοῦ ἀνθρώπου λόγος ὁ λέγων ζῷον πεζὸν δίπουν ἔχον χρῶμα διακριτικὸν ὄψεως ἐκ τοῦ λόγου ἐστὶ τοῦ λευκοῦ καὶ τοῦ ἀνθρώπου, ὁ ἄνθρωπος καὶ τὸ λευκὸν πρότερά ἐστι τῷ λόγῳ τοῦ λευκοῦ ἀνθρώπου· ἐκ τῶν λόγων γὰρ αὐτῶν ὁ τοῦ λευκοῦ ἀνθρώπου λόγος. τὸ δὲ "ταῦτα δὲ οὐχ ἅμα ὑπάρχει" ἀντὶ τοῦ οὐ συνδυάζεται οὐδὲ εὑρίσκεται ἅμα, ὥστε τὰ τῷ λόγῳ πρότερα καὶ τῇ οὐσίᾳ πρότερα εἶναι, ἀλλὰ κεχώρισται καὶ εἰσί τινα τῷ λόγῳ πρότερα τῇ δὲ οὐσίᾳ οὐκέτι. εἰπὼν οὖν τίνα ἐστὶ τὰ τῇ φύσει πρότερα καὶ τίνα τὰ τῷ λόγῳ, ἄνεισιν ἐπὶ τὸ προκείμενον, δεικνὺς ὅτι οὐ τὰ τῷ λόγῳ πρότερα ἀνάγκη καὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ πρότερα εἶναι. εἰ γὰρ μή ἐστι, φησί, τὰ πάθη, οἷον λευκὸν καὶ κινούμενον, τουτέστι κίνησις, παρὰ τὰς οὐσίας, ἀλλ' ἐν αὐταῖς τὸ εἶναι ἔχει, τοῦ λευκοῦ ἀνθρώπου ἔσται πρότερον τὸ λευκὸν κατὰ τὸν λόγον, ὅτι ὁ λόγος αὐτοῦ ἐν τῷ τοῦ λευκοῦ ἀνθρώπου λόγῳ εἴληπται, κατὰ δὲ τὴν οὐσίαν καὶ τὸ εἶναι οὐκέτι· εἰ γάρ ἐστι τὸ λευκὸν καὶ κατὰ τὴν οὐσίαν καὶ κατὰ τὸ εἶναι πρότερον τοῦ λευκοῦ ἀνθρώπου, ἔσται τὸ λευκὸν χωρὶς τῆς οὐσίας καὶ καθ' αὑτό· ἀλλ' οὐκ ἐνδέχεται τὸ λευκὸν καθ' αὑτὸ εἶναι ἀλλ' ἀεὶ μετὰ τοῦ συνόλου ἐστίν. τί δ' ἐστὶ τὸ σύνολον, αὐτὸς ἐσαφήνισεν εἰπὼν "σύνολον δὲ λέγω τὸν ἄνθρωπον καὶ τὸ λευκόν," τουτέστι τὸ ἐξ ἀνθρώπου καὶ λευκοῦ συγκείμενον. ὥστε φανερόν, φησίν, ὅτι οὔτε τὸ ἐξ ἀφαιρέσεως (λέγοι δ' ἂν ἐξ ἀφαιρέσεως τὸ μαθηματικόν) πρότερον τῇ οὐσίᾳ, ἐπεὶ καὶ τὸ λευκὸν ἐξ ἀφαιρέσεώς ἐστιν· ἐχώρισε γὰρ αὐτὸ ὁ λόγος τοῦ ὑποκειμένου, καὶ ὅμως οὐ πρότερον τοῦ ἀνθρώπου. οὔτε πάλιν τὸ ἐκ προσθέσεως, τουτέστι τὸ μαθηματικὸν σῶμα μετὰ τῶν ποιοτήτων ὕστερον τοῦ μαθηματικοῦ σώματος, ἀλλὰ τῷ μὲν λόγῳ ὕστερον τῇ δὲ οὐσίᾳ πρότερον. ἢ "ἐξ ἀφαιρέσεως" λέγοι ἂν (δύναται γάρ τις καὶ οὕτως ἀκούειν) τὸ λευκόν· τοῦτο γὰρ ὁ λόγος ἀφαιρεῖται καὶ χωρίζει τοῦ ὑποκειμένου, καὶ οὐκ ἔστι τὸ λευκὸν τῆς οὐσίας πρότερον τῇ οὐσίᾳ ἀλλὰ τῷ λόγῳ· "ἐκ προσθέσεως" δὲ τὸ

1076b 2. λέγοι δ' ἂν δυνάμεις καὶ φύσεις τὰ πέρατα τούτων, τὰ ἐπίπεδα καὶ τὰς γραμμάς. εἰ μὴ ἄρα καὶ τὰ τῇ ὀπτικῇ καὶ ἀριθμητικῇ καὶ ταῖς συστοίχοις ἐπιστήμαις ὑποβεβλημένα περιλαμβάνει, οὐδὲ τὰς ἄλλας οὖν δυνάμεις εἶεν τε ἄλλας οὔσας τῶν αἰσθητῶν ἐν αὐτοῖς εἶναι· ἀλλὰ ἔσονται μὲν ἐν τοῖς αἰσθητοῖς, ἀλλὰ δυνάμει καὶ ἐξ ἀφαιρέσεως αὐτοῖς τὸ εἶναι ἕξαι. ἀλλὰ ταῦτα μὲν εἰρῆσθαι καὶ πρότερόν φησι, προσάπτει δὲ αὐτοῖς καὶ ἕτερον ἄτοπον, λέγων "ἀλλὰ πρὸς τούτοις φανερὸν ὅτι ἀδύνατον διαιρεθῆναι ὁτιοῦν σῶμα." ὃ δὲ λέγει δυνάμει τοιοῦτόν ἐστιν. εἰ γὰρ τὰ μαθηματικὰ μεγέθη ἄλλα ὄντα τῶν αἰσθητῶν ἐν αὐτοῖς ἐστίν, οὐ διαιρεθήσεται τὰ σώματα· εἰ γὰρ διαιρεθῇ, διαιρεθήσεται ἡ στιγμή· εἰ δὲ ἀδύνατον διαιρεθῆναι τὴν στιγμήν, ἀδύνατον καὶ ᾧ εἵπετο τὸ διαιρεθῆναι αὐτήν· τοῦτο δὲ ἦν τὸ τὰ μαθηματικὰ ἄλλα ὄντα τῶν αἰσθητῶν ἐν αὐτοῖς εἶναι.

1076b 5. ταῦτα εἰπὼν ἐπάγει "τί οὖν διαφέρει ἢ ταύτας εἶναι τοιαύτας φύσεις, ἢ αὐτὰς μὲν μή" καὶ τὰ ἑξῆς. λέγει δὲ ὅτι οὐδὲν διαφέρει εἴτε τὰς φυσικὰς στιγμὰς λέγοι τις τοιαύτας φύσεις, ἤτοι μαθηματικὰς καὶ στιγμάς, εἴτε ἄλλας μὲν τὰς φυσικὰς τῶν μαθηματικῶν, εἶναι δὲ ὡς ἐν ὑποκειμένῳ αὐταῖς ταῖς φυσικαῖς τοιαύτας φύσεις, ἤτοι μαθηματικὰς στιγμὰς καὶ ἀδιαιρέτους· διαιρουμένων γὰρ τῶν αἰσθητῶν καὶ φυσικῶν στιγμῶν, ἤτοι γινομένων γὰρ τῶν διαιρέσεων κατ' αὐτάς, αἱ ἐν αὐτῷ ὡς ὑποκειμέναις οὖσαι μαθηματικαὶ στιγμαὶ διαιρεθήσονται. ἐν δὲ τῇ λέξει τῇ "τί οὖν δ. ἢ ταύτας εἶναι ἢ ταύτας μὲν μή, εἶναι δ. ε. α. τ." ὑποστικτέον εἰς τὸ "μή." εἶτα δὲ ἐπακτέον τὸ "εἶναι δὲ ἐν αὐταῖς τ. φ.," ἵν' ᾖ, τί διαφέρει τὰς φυσικὰς στιγμὰς ἀδιαιρέτους λέγειν, ἢ ταύτας μὲν μὴ λέγειν, ἐπεὶ μηδ' ὅλως εἰσὶν ἐνεργείᾳ ἀλλὰ δυνάμει, εἶναι δ' ἐν αὐταῖς ταῖς δυνάμει στιγμαῖς τὰς μαθηματικάς, αἵ τινες ἐνεργείᾳ εἰσίν.

1076b 29. ὥστε, φησί, συμβαίνει παρὰ τὰ αἰσθητὰ στερεά, ἀλλὰ στερεὰ μοναχῶς, τουτέστιν ἓν γένος καὶ μίαν φύσιν στερεῶν, ἐπιπέδων δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ φυσικὰ ἐπίπεδα γένη τριττά, τά τε παρὰ τὰ φυσικὰ ἐπίπεδα καὶ τὰ ἐν τοῖς μαθηματικοῖς σώμασι καὶ τὰ παρὰ τὰ ἐν τοῖς μαθηματικοῖς, ἃ καθ' αὑτὰ ὑπάρχει. γραμμαὶ δὲ ἔσονται τετραξαὶ καὶ στιγμαὶ πενταξαί, τουτέστι γένη δὲ καὶ φύσεις γραμμῶν ἔσονται τετραπλαῖ στιγμῶν δὲ πενταπλαῖ. τοῦτο δὲ ὧδέ ἐστι δῆλον. ἓν μὲν γένος γραμμῶν ἔσται τὸ ἐν μέσῳ τῶν ἐπιπέδων, ἅπερ ἐπίπεδα ἄλλα μὲν τῶν φυσικῶν ἐπιπέδων καθ' αὑτὰ δὲ εἶναι ὁ λόγος ἠνάγκακεν· ἄλλο δὲ γένος γραμμῶν ἔσται τὸ ὂν μέσῳ τῶν ἐπιπέδων τῶν ἐν τοῖς μαθηματικοῖς σώμασιν ὄντων· τρίτον δὲ γένος γραμμῶν ἔσται τὸ συνὸν τοῖς καθ' αὑτὰ οὖσιν ἐπιπέδοις, ἀφ' ὧν ὡς ἁπλουστέρων τὰ μαθηματικὰ ἐπίπεδα ἢ καὶ σώματα γίνεται· τέταρτον δὲ γένος γραμμῶν ἔσται τὸ ὂν παρὰ τὰς γραμμὰς τὰς ἐν τοῖς καθ' αὑτὰ ἐπιπέδοις ὑπαρχούσας οὔσας, λέγω δὲ αὐτὰς τὰς καθ' αὑτὰς οὔσας γραμμὰς καὶ οὐκ ἐν ἐπιπέδοις ὅλως ὑπαρχούσας οὔσας. στιγμῶν δὲ γένη εἰσὶ ταῦτα, πρῶτον μὲν τὸ συνὸν ταῖς γραμμαῖς ταῖς οὔσαις ἐν τοῖς ἐπιπέδοις τοῖς παρὰ τὰ φυσικὰ ἐπίπεδα οὖσι, δεύτερον δὲ τὸ συνὸν ταῖς γραμμαῖς ταῖς οὔσαις ἐν τοῖς ἐπιπέδοις τοῖς συνοῦσι τοῖς μαθηματικοῖς σώμασι· τρίτον γένος στιγμῶν ἔσται τὸ συνὸν ταῖς γραμμαῖς ταῖς συνούσαις τοῖς καθ' αὑτὰ οὖσιν ἐπιπέδοις, ἀφ' ὧν ὡς ἁπλουστέρων τὰ μαθηματικὰ ἐπίπεδα ἢ καὶ σώματα γίνεται· τέταρτον γένος τὸ συνὸν ταῖς καθ' αὑτὰς οὔσαις γραμμαῖς καὶ μὴ ἐν ἐπιπέδοις οὔσαις· πέμπτον γένος στιγμῶν ἔσται αὐτὸ καθ' αὑτὸ ὂν καὶ μὴ ἐν γραμμαῖς τὸ εἶναι ἔχον.

1076b 36. "ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ἀριθμῶν· παρ' ἑκάστας γὰρ στιγμὰς ἕτεραι ἔσονται μονάδες." λέγοι δ' ἄν, ἐπειδὴ πάλιν αἱ μονάδες ἁπλούστεραί εἰσι τῶν στιγμῶν, καθὸ αὐταὶ μὲν ἄθετοί εἰσιν αἱ δὲ στιγμαὶ θέσιν ἔχουσι καὶ κεῖνταί που, ἔσται ἄλλο γένος μονάδων, ἀφ' ὧν ὡς ἁπλουστέρων εἰσὶν αἱ στιγμαί, ὥστε ἄλλο μὲν γένος ἔσται μονάδων τὸ ὂν παρὰ τὰς στιγμὰς τὰς συνούσας ταῖς γραμμαῖς, αἵτινες σύνεισι τοῖς ἐν τοῖς μαθηματικοῖς σώμασιν οὖσιν ἐπιπέδοις· καὶ ὅλως ὅσα γένη τῶν στιγμῶν, τοσαῦτα καὶ μονάδων καὶ ἔτι πλείω. τὸ δὲ ἔτι πλείω προσέθηκα ἐγὼ διὰ τὸ μέλλον ὑπ' αὐτοῦ εὐθὺς λέγεσθαι· ἔστι δὲ τόδε. ἐπεὶ ὁ Σωκράτης καθὸ ἄνθρωπος ἕν ἐστι καὶ ὁ Πλάτων καὶ ἁπλῶς πάντα τὰ αἰσθητὰ καθὸ τόδε τί ἐστιν ἕν εἰσιν, ἔσται ἄλλη μὲν μονὰς παρὰ τὸ ἐν τῷ Σωκράτει ἕν, καὶ ἄλλη παρὰ τὸ ἐν τῷ Πλάτωνι, καὶ ἄλλη παρὰ τὸ ἐν ἐμοί, καὶ οὕτως ἐπὶ πάντων τῶν αἰσθητῶν. ἀλλ' ἐπεὶ καὶ τὰ νοητὰ ἕκαστον αὐτῶν ἕν ἐστι καὶ μᾶλλον ἕν (τούτου γὰρ δηλωτικόν ἐστι τὸ "εἶτα τὰ νοητά"), ἔσονται καὶ παρὰ τὸ ἐν ἑκάστῳ τῶν νοητῶν ἓν ἄλλαι ἁπλούστεραι μονάδες καὶ καθ' αὑτάς· τὸ γὰρ ἐν ἑκάστῳ ἕν, ἐπειδὴ ἐν ἐκείνῳ καθ' οὗ λέγεται ἐστίν, οὐχ ἁπλοῦν ἐστὶν ἀλλὰ σύνθετον· ὥστε ἔσονται ἄπειρα γένη τῶν μαθηματικῶν μονάδων καὶ ἀριθμῶν. ἡ μὲν οὖν σύμπασα διάνοια τῶν λεγομένων αὕτη, τὰ δὲ κατὰ τὴν λέξιν ὧδέ πη ἔχει. εἰσί, φησί, παρὰ τὰ αἰσθητὰ στερεὰ κτλ.

1076b 39. ἀπορῶν ἐν τῷ Β τῆς προκειμένης πραγματείας ἐζήτησε καὶ τοῦτο κτλ.

1077a 4. ὁμοίως δὲ τῇ ἀστρολογίᾳ ἕξει καὶ ἡ ὀπτικὴ καὶ ἡ ἁρμονική· ἡ μὲν γὰρ ἔσται περὶ ὄψεις ἄλλας παρὰ τὰς αἰσθητάς, καὶ ἡ ἁρμονικὴ περὶ φωνάς· ὥστε ἔσονται καὶ ἄλλαι αἰσθήσεις. διὰ τί γὰρ ὄψεις μὲν ἔσονται παρὰ τὰς αἰσθητάς, παρὰ δὲ τὰς λοιπὰς αἰσθήσεις οὐκ ἔσονται ἄλλαι; εἰ δὲ τοῦτο, ἔσονται καὶ ζῷα μαθηματικά. "ἔτι γράφεται ἔνια καθόλου ὑπὸ τῶν μαθηματικῶν." τὸ "γράφεται" ἀντὶ τοῦ δείκνυται νῦν εἴληπται. λέγει δὲ ὅτι ἐπεὶ δείκνυται τὰ παρὰ τοῖς μαθηματικοῖς διὰ τῶν καθόλου λόγων καὶ διά τινων ἀξιωμάτων, οἷον διὰ τοῦ ἀπὸ ἴσων ἴσα ἂν ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα ἐστί, καὶ διὰ τοῦ ἂν τέσσαρά τινα εἴη ἀνάλογον, τὸ ἀπὸ τῶν ἄκρων ἴσον ἐστὶ τῷ ἀπὸ τῶν μέσων, καὶ ἄλλων πολλῶν τοιούτων, ἀνάγκη, φησίν, ὄντων χωριστῶν στερεῶν καὶ ἀριθμῶν, καὶ τὰ ὑπὸ τῶν ἀξιωμάτων δηλούμενα, οἷον τὸ τινὰ εἶναι χωριστὰ καὶ καθ' αὑτά, αὐτὸ τοῦτό τινα ὄντα οὔτε γραμμαὶ οὔτε ἐπίπεδα οὔτε χρόνοι οὔτε ἄλλο τι· ἕτερον γὰρ τούτων ἁπάντων ἔσται καθολικώτερον ὂν καὶ τῶν γραμμῶν καὶ τῶν ἐπιπέδων καὶ χρόνων καὶ στερεῶν καὶ τῶν ἄλλων ἁπάντων· ὥστε ἔσται τις φύσις μεταξὺ αὐτομεγέθους καὶ τοῦ μαθηματικοῦ, πάντως δὲ μεγέθους τοῦ χωριστοῦ καὶ καθ' αὑτὸ ὄντος, οὔτε γραμμὴ οὖσα ἡ φύσις αὕτη οὔτε χρόνος οὔτε σῶμα, οὐκ ἄλλο τι, ὃ ἂν εἴη, ἐκείνοις μὲν ἴσως δῆλον τοῖς ταῦτα τιθεμένοις, ἡμῖν δὲ ἄδηλον. ὡς γὰρ κατ'

piternoque motu. . . finis enim in quacunque re est, quatenus ea est una. Themist. f. 26.

1075b 37. ἀλλὰ καὶ οἱ Πυθαγόρειοι, φησίν, ἢ καὶ ὁ Πλάτων, οἱ λέγοντες ὅτι ἐκ μὲν τοῦ τρία ἀριθμοῦ γέγονε τὸ ἐπίπεδον καὶ ἐξ αὐτοῦ τὰ τρίγωνα καὶ ἐξ αὐτῶν αἱ πυραμίδες καὶ ἐξ αὐτῶν τὸ πῦρ, καὶ πάλιν ἐκ μὲν τῆς πεντάδος ἡ δικαιοσύνη, ἐκ δὲ τῆς μονάδος ὁ οὐρανὸς καὶ ἄλλο ἐξ ἄλλου, ἐπεισοδιώδη τὴν τῶν ὄντων φύσιν ποιοῦσι, τουτέστιν οὐδὲν κοινὸν ἕτερον ἑτέρῳ ἔχειν φασίν, ἀλλ' ἠλλοτριωμένα.

qui vero hoc dicit concedit universi substantiam adventiciam esse, exceptis iis quae à principiis continuorum corporum comprehenduntur. Themist. f. 26. 1076a 1.

τὰ γὰρ τῶν πλανωμένων αἴτια θεοὶ μέν, ἀλλὰ μεθέξει καὶ τῷ βουλήματι τοῦ πρώτου καὶ μακαριωτάτου ἐξήρτηνται νοός. 1076a 4.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Μ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.

1076a 5. Ἐν τῷ Λ τῆς προκειμένης πραγματείας, ἣν καὶ Μετὰ τὰ Φυσικὰ ἐπιγράφει, εἰπὼν περὶ τῆς πρώτης καὶ θείας καὶ ἀκινήτου ἀρχῆς ὅτι νοῦς ἐστὶ καὶ ἐνέργεια πάντῃ πάντως ἀμοιροῦσα τοῦ δυνάμει, εὑρὼν δὲ καὶ ἀπὸ τοῦ πλήθους τῶν φερομένων σφαιρῶν ὁπόσαι εἰσὶν αἱ ὑφειμέναι μὲν τῆς πρώτης ἀρχῆς κινητικαὶ δὲ τοῦ πλανωμένου παντὸς σώματος, ἀσώματοι καὶ αὗται καὶ ἀκίνητοι οὖσαι, ἐν τῷ παρόντι βιβλίῳ, ὃ Μ ἐπιγράφεται, καὶ τῷ ἐφεξῆς τούτῳ Ν, ὃ τέλος ἐστὶ τῆς ὅλης πραγματείας, ἐπισκέπτεται τάς τε τῶν Πυθαγορείων περὶ ἀρχῶν δόξας καὶ τὰς τοῦ Πλάτωνος, ζητῶν πάνυ ἐντρεχέστατα εἰ ἔστι τὰ μαθήματα καὶ πῶς ἔστιν, εἰ εἰσὶν αἱ ἰδέαι καὶ ὁ τῶν ἰδεῶν ἀριθμός, καὶ τρίτον εἰ τῶν ὄντων ἀρχαί εἰσιν αἱ ἰδέαι καὶ οἱ ἀριθμοί. καὶ ἐν μὲν τῷ Μ διαλέγεται περὶ τῶν προτέρων δύο, ἐν δὲ τῷ Ν περὶ τοῦ τρίτου. λέγει οὖν ὅτι περὶ μὲν τῆς τῶν αἰσθητῶν ὑλικῆς οὐσίας εἴρηται ἐν τῷ Α τῆς Φυσικῆς Ἀκροάσεως, ὕστερον δέ, τουτέστιν ἐν τῷ Β τῆς πραγματείας ἐκείνης, περὶ τῆς κατ' ἐνέργειαν καὶ εἰδικῆς οὐσίας. ἀλλὰ περὶ μὲν ὕλης καὶ εἴδους εἴρηται ἐν ἐκείνοις· ἐπεὶ δέ, φησίν, ἡ σκέψις ἡμῖν ἐστὶν ἐν τῇ παρούσῃ πραγματείᾳ ἰδεῖν εἰ ἔστι τις παρὰ τὰς αἰσθητὰς οὐσίας ἀκίνητος καὶ ἀΐδιος καὶ ἀσώματος, ἢ οὐκ ἔστι, καὶ εἰ ἔστι, τίς ἐστι, εἴρηται δὲ ἡμῖν τὰ δοκοῦντα περὶ τῆς τοιαύτης οὐσίας, μετὰ ταῦτα τὰ παρὰ τῶν ἄλλων λεγόμενα θεωρητέον (οὐ γὰρ ἐνδεικτικόν ἐστι τὸ "πρῶτον" τοῦ μετὰ τὸ τὰ παρὰ τῶν ἄλλων ἐπισκέψασθαι ἐρεῖν αὐτὸν περὶ ἐκείνης· εἴρηκε γάρ· εἰ μὴ ἄρα τὸ "πρῶτον" ἀντὶ τοῦ προηγουμένως καὶ ἐπιμελῶς τὰ παρὰ τῶν ἄλλων λεγόμενα θεωρητέον εἴληπται). καὶ τὴν αἰτίαν δι' ἣν τὰ παρὰ τῶν ἄλλων λεγόμενα τεθεωρηκέναι βούλεται [διὸ] ἐπήγαγεν εἰπὼν "ὅπως εἴτε τι μὴ καλῶς λέγουσι, μὴ τοῖς αὐτοῖς ἔνοχοι ὦμεν." εἴη δ' ἂν λέγων ὅτι τὸ ἀντιλέγειν τε τοῖς ὑπ' αὐτῶν λεγομένοις, καὶ εὐθύνειν εἴ τι μὴ καλῶς λέγουσιν. ἅμα τε δείξει ἡμᾶς μὴ ἀρεσκομένους τοῖς τούτων δόγμασι, καὶ σὺν αὐτοῖς εἰς εὐθύνας ὑποπεσεῖν οὐκ ἐάσει.

1076a 15. τουτέστιν οὐ δυσχεράνωμεν ὡς καθ' ἡμῶν μόνον ὂν τὸ ἔγκλημα.

1076a 19. καὶ ἐπεὶ οἱ μὲν τῶν Πυθαγορείων δύο γένη καὶ δύο φύσεις ποιοῦσι τὰ μαθηματικὰ καὶ τὰς ἰδέας, ἄλλην μὲν τὴν τῶν μαθηματικῶν καὶ ἄλλην τὴν τῶν ἰδεῶν, ἄλλοι δὲ τοὺς ἀριθμοὺς καὶ τὰς ἰδέας τῆς αὐτῆς ποιοῦσι φύσεως, μηδὲν διαφέρειν ἀλλήλων λέγοντες, ἕτεροι δὲ καὶ αὐτοὶ Πυθαγόρειοι τὰς μὲν ἰδέας ἀποδοκιμάζουσι καὶ οὐδαμῶς προσίενται, μόνας δὲ τὰς μαθηματικὰς οὐσίας εἶναί φασι, σκεπτέον φησὶ πρῶτον περὶ τῶν μαθηματικῶν.

ἀλλὰ μόνον τοῦτο ἐξεταστέον εἰ ὅλως εἰσὶν ἐν ὑπάρξει, καὶ ἂν 1076a 26. ὦσι, πῶς εἰσί, πότερον ἐνεργείᾳ καὶ καθ' αὑτά, ὡς οἱ ταῦτα τιθέμενοι βούλονται, ἢ ἐξ ἀφαιρέσεως παρ' ἡμῶν γεννῶνται καὶ τοῦ εἶναι τυγχάνουσιν, ὡς αὐτῷ τε τῷ Ἀριστοτέλει καὶ τῇ φίλῃ δοκεῖ ἀληθείᾳ.

ἐπεὶ γὰρ νόμος καὶ ἔθος ἐστίν, ὅταν τις περί τινων ἀποφαίνηται, 1076a 27. ἐπισκέπτεσθαι καὶ τὰς τῶν ἄλλων περὶ τῶν τοιούτων δόξας, ἵνα μὴ μένουσαι ἀνεξέταστοι ταράττωσι τοὺς ἐντυγχάνοντας, εἴρηκε δὲ αὐτὸς περὶ τῶν πρώτων καὶ ἀκινήτων ἀρχῶν, τίνες καὶ πόσαι εἰσί, διὰ τὸν νόμον, φησί, τοῦτον καὶ τὸ ἔθος ἐπισκέψασθαι τὰ περὶ τῶν ἰδεῶν βούλομαι. ἐπεὶ ὅτι οὐκ εἰσὶν ἰδέαι, δέδεικται μὲν πολλαχοῦ, τεθρύλληται δὲ καὶ εἰς ἐξέτασιν τὰ περὶ αὐτῶν ἤχθη καὶ ἐν τοῖς ἐξωτερικοῖς λόγοις, καὶ οὐκ ἔδει πάλιν τὸν περὶ αὐτῶν ἀνακινεῖν λόγον.

ἔτι δέ φησιν, ὅταν ἐπισκοπῶμεν τὰ περὶ τῶν εἰδῶν, τοῦτο 1076a 30. ζητεῖν ἡμᾶς ὑποληπτέον, ὡς ἄρα οὐσίαι καὶ ἀρχαί εἰσιν αἱ ἰδέαι τῶν ὄντων ἢ οὔ· μετὰ γὰρ τὴν τῶν ἰδεῶν ζήτησιν τοῦτο λοιπόν ἐστιν ἰδεῖν ἡμᾶς, εἴτε εἰσὶν ἀρχαὶ καὶ οὐσίαι τῶν ὄντων αἱ ἰδέαι εἴτε μή. ἢ τὸ "μετὰ γὰρ τὰς ἰδέας αὕτη λείπεται τρίτη σκέψις" ἴσον ἐστὶ τῷ μετὰ γὰρ τὸ δεῖξαι ὡς οὐκ εἰσὶν αἱ ἰδέαι, λοιπόν ἐστι λέγειν ὅτι ὅλως ἀνύπαρκτοι οὖσαι πῶς ἂν εἶεν ἀρχαὶ τῶν ὄντων· τὸ γὰρ ἁπλῶς μὴ ὂν οὐδενός ἐστιν ἀρχή. ταῦτα εἰπὼν καὶ ἤδη χωρῆσαι βουλόμενος πρὸς ἔλεγχον τῶν μαθηματικῶν, διαιρέσει χρῆται τοιαύτῃ. ἀνάγκη, εἴπερ εἰσὶ τὰ μαθηματικὰ οὐσίαι τινὲς καὶ φύσεις καὶ ἐνεργείᾳ ἀλλὰ μὴ δυνάμει, ἢ ἐν τοῖς αἰσθητοῖς εἶναι, ὥσπερ τινὲς τῶν Πυθαγορείων λέγουσι· λέγουσι γάρ τινες τούτων ὅτι ὥσπερ ἡ λογικὴ ψυχή, οἷον φέρε τοῦ Σωκράτους ἢ τοῦ οὐρανοῦ, εἰ καὶ ἐν ὑπάρξει ἐστὶ καὶ ὀντότητος μετέχει καὶ καθ' αὑτήν ἐστιν, ὅμως ἐν σώματι ἔστιν, ἡ μὲν οὐρανία τοῦ παντός, ἡ δὲ τοῦ Σωκράτους ἐν τῷ τοῦ Σωκράτους σώματι, οὕτω καὶ τὰ μαθηματικὰ ἐνεργείᾳ καὶ καθ' αὑτὰ ὄντα ἐν τοῖς αἰσθητοῖς εἰσίν.

ἢ οὖν ἐν τοῖς αἰσθητοῖς εἰσὶ τὰ μαθηματικά, ἢ οὐκ ἐν τούτοις 1076a 35. ἀλλὰ καὶ καθ' αὑτὰ ἔν τινι μὴ ὄντα, ὥσπερ οὐδὲ αἱ ἀσώματοι καὶ ἀκίνητοι καὶ θεῖαι οὐσίαι. ἢ εἰ μήτε ἐν τοῖς αἰσθητοῖς μήτε καθ' αὑτά, ἢ ὅλως οὐκ εἰσὶν οὐδ' ἔσονται αἱ μαθηματικαὶ περὶ ὄντα, ἢ εἰσὶ μέν, ἀλλ' ἄλλον τρόπον, ὡς οὗτος βούλεται, ἐξ ἀφαιρέσεως.

"ὅτι μὲν οὖν," φησίν, ὅτι μὲν οὖν οὐκ εἰσὶ τὰ μαθηματικὰ ἐν τοῖς 1076a 38. αἰσθητοῖς, εἴρηται καὶ ἐν τῷ Β ταύτης τῆς πραγματείας· ἐκεῖ γὰρ περὶ τούτων ἠπόρησεν.

tas quoque quoddammodo est facultas medendi: nihil igitur prohibet primum movere et sui ipsius gratia movere, ut ostendunt rationes appositae. sed adhuc absurdius quam Anaxagoras dicunt ii qui idem putavere principium boni et mali, ita ut intellectus sit movens et materia sit obediens et consentiens ipsi intellectui. a quonam igitur malum proveniet? an dicet malum provenire ab imbecillitate materiae et a privatione ipsi inhaerente, uti nos diximus et omnes qui posuerunt principia contraria, ut est raritas et densitas, congregatio et disgregatio. nam, ut videtur, ex rectitudine et ordine moventis impossibile est quin contraria faciat: nulla enim materia sufficit ad generanda ea quae nascuntur ex ipsa, sed eget causa movente, quae quidem formet et in ordinem redigat res illas. Themist. f. 24.

1075b 11. καὶ ἕτερον ἐπάγει κοινὸν πᾶσιν ἔγκλημα λέγων, εἴ τις μὴ ῥαθυμήσῃ μηδ' ἀποκνήσῃ τὰ αὐτῶν μετελθεῖν, ἀλλὰ ἀκριβῶς μετέλθῃ, εὑρήσει πάντας ἐξ ὧν λέγουσιν ἀρχὰς ποιοῦντας τὰ ἐναντία, μὴ χρωμένους δὲ ἐν τῇ τῶν πραγμάτων γενέσει, ἀλλὰ τρεπομένους εἰς ἕτερα. τοῦτο δὲ πολλαχῶς αὐτοῖς ἐνεκάλεσε καὶ πολλαχοῦ τῆς προσηκούσης τετύχηκε σαφηνείας. ἀλλὰ καὶ ὅσοι ἀρχὰς λέγουσι πάντα ἐκ τῆς ὑποτεθείσης αὐτοῖς ἀρχῆς γεννῶντες, οἷον οἱ τὸ ὕδωρ ἀρχὴν τιθέμενοι ἐξ αὐτοῦ καὶ οὐρανὸν καὶ γῆν καὶ πάντα γενέσθαι λέγοντες, τὴν αἰτίαν τοῦ διὰ τί τὰ μὲν αὐτῶν ἐστὶ φθαρτὰ τὰ δὲ ἄφθαρτα, λέγειν ἐρραθύμησαν. ὁ μὲν γὰρ Ἀριστοτέλης ἐξ ἄλλου μὲν ποιῶν (ἐκ γὰρ τοῦ πέμπτου σώματος) τὰ οὐράνια, ἐξ ἄλλων δὲ τὰ ἐν γενέσει, ἔχει λέγειν καὶ διὰ τί τὰ μὲν αὐτῶν ἐστὶ φθαρτὰ τὰ δὲ ἄφθαρτα· ἐκεῖνοι δὲ οὐκ ἔχουσι, τὸ αὐτὸ πᾶσιν ὑποκείμενον ποιοῦντες. ἔτι, φησίν, ἄλλοι μέν, ὡς οἱ περὶ Ἡσίοδον, ἐκ τοῦ μὴ ὄντος πάντα γεννῶσι, καὶ λεγέτωσαν διὰ τί· οἱ δ' ὥσπερ οἱ περὶ Παρμενίδην … ἓν φασι τὸ ὂν καὶ ἀγέννητον.

1075b 12. ἤγουν εἰ μὴ ἐξ ἀμελείας οἰκείας λεληθότως τις ἐρεῖν ἀναγκασθῇ τὴν ἀλήθειαν. εἰ δὲ "ῥυθμίσῃ" γράφοιτο, εἴη ἂν ἀντὶ τῶν εἰ μὴ ἕτερός τις παιδαγωγήσειέ τε καὶ καταστήσειε τὸν λόγον καὶ τὴν δόξαν ἐκείνων καὶ εἰς τοῦτ' αὐτὸ ἀνάξειε τὸ ὅτι χρῶνται τοῖς ἐναντίοις. cod. Reg.

1075b 15. adhuc quidam intelligibilia transcendentes atque apud omnes nota, aiunt ea quae sunt ex eo quod non est fieri; quidam vero ex ente actu: indivisibilia namque Anaxagorae et Empedoclis elementa ea quae sunt ex eo quod actu est fieri cogunt; quod quidem absurdum est. absurdius autem putant qui plura principia ponunt, sive tria sint sive quattuor sive duo … fateri ergo cogitur nobilius quam ipsa sint principium reperiri. Themist. f. 24.

1075b 17. καὶ τοῖς δύο ἀρχὰς ποιοῦσιν, οἷον τὰ ἐναντία, καὶ τοῖς τὰ εἴδη, οὐκ ἀρκεῖ ταῦτα πρὸς τὸ τὰ ὄντα ἔχειν ὥσπερ ἔχει, ἀλλ' ἀνάγκη ἄλλην ἀρχὴν κυριωτέραν τούτων ὑποθέσθαι, ἣν οὗτος εἶπε τὸν πολυτίμητον νοῦν.

1075b 19. ἐπεὶ γὰρ τῇ μεθέξει κατὰ τοὺς λέγοντας τῶν εἰδῶν τὰ τῇδε γίνεται, πῶς, φησί, μεθέξει τούτων ἡ ὕλη, εἰ μή ἐστιν ἄλλο κυριώτερον τὸ κινῆσον ἀμφότερα, τήν τε ὕλην καὶ τὴν ἀπὸ τοῦ εἴδους ἐν τῇ ὕλῃ γινομένην, ὡς αὐτοί φασιν, ἀπόρροιαν; εἰ γὰρ ἀπόρροιαί τινες ἐκ τῶν εἰδῶν ἀπορρέουσαι καὶ συντιθέμεναι τῇ ὕλῃ τὰ τῇδε γίνεται, ἀνάγκη πάντῃ εἶναι τὸ κινοῦν καὶ τὴν ὕλην πρὸς τὸ δέξασθαι τὴν ἀπόρροιαν καὶ τὴν ἀπόρροιαν πρὸς τὸ συγγενέσθαι τῇ ὕλῃ. καὶ τοῖς μὲν ἄλλοις θεολόγοις τὰς ἀρχὰς ἐναντία λέγουσιν ἀνάγκη κατ' αὐτοὺς τῇ φιλοσοφίᾳ καὶ τιμιωτάτῃ καὶ βεβαιοτάτῃ ἐπιστήμῃ εἶναί τι ἐναντίον, εἰ ἡ ἐπιστήμη ταὐτόν ἐστιν, ὥσπερ πρὸ ὀλίγου εἴρηται, τῷ ἐπιστητῷ· εἰ γάρ ἐστι τῇ ἀρχῇ τῷ κυρίως ἐπιστητῷ ἐναντίον, ἔσται καὶ τῇ ἐπιστήμῃ.

1075b 21. πάντα γὰρ τὰ ἐναντία ὕλην ἔχει καὶ ἐν ὕλῃ ἐστί, καὶ δυνάμει ἐστὶ τὸ ἐναντίον· τὸ γὰρ λευκὸν δυνάμει τὸ μέλαν ἐστίν. ὥστε εἴπερ ἐστὶ τῇ πρώτῃ ἀρχῇ ἐναντίον, οὐδὲν δὲ ἐναντίον καθ' αὑτό ἐστιν, ἀλλ' ἐν ὑποκειμένῳ καὶ ἐν ὕλῃ, ἡ δὲ πρώτη ἀρχὴ ἀϋλότατον καὶ ἐνέργεια οὖσα καὶ πάντῃ τοῦ δυνάμει ἀμοιροῦσα ἐστίν, οὐκ ἂν εἴη αὐτῇ ἐναντίον τι. ὥστε οὐδὲ τῇ περὶ αὐτὴν ἐπιστήμῃ ἔσται ἐναντία ἡ ἄγνοια· εἰ γάρ ἐστιν ἡ ἄγνοια ἐναντίον τῇ τοιαύτῃ ἐπιστήμῃ, ἔσται καὶ τὸ περὶ ὃ ἡ ἄγνοια ἐναντίον τῇ τοιαύτῃ ἀρχῇ. "εἴτε — τάξις." οὐ παρέργως νῦν τοῦτο τίθησιν, ἀλλ' ἐπεὶ μέλλει ἀντιλέγειν τοῖς Πυθαγορείοις καὶ Πλάτωνι, συνίστησι πρῶτον ὅτι εἰσὶν οὐσίαι νοηταί, καὶ οὕτως ἀκολούθως ζητεῖ ὅ τι καὶ τίνες αὗταί εἰσιν αἱ τοῦ Πλάτωνος ἰδέαι ἢ οἱ Πυθαγόρειοι ἀριθμοί. εἰ οὖν μή ἐστι, φησί, νοητὴ ἀρχὴ κτλ.

1075b 26. εἰ γάρ ἐστι τοῦ Ἡρακλέος ἀρχὴ ὁ Ζεὺς καὶ τούτου ὁ Κρόνος καὶ τούτου ἕτερος, ἢ πάλιν εἰ ἔσονται τῶν τῇδε ἀρχαὶ τὰ εἴδη καὶ τούτων οἱ ἀριθμοὶ καὶ τούτων ἡ δυὰς καὶ τὸ ἕν, ἐπ' ἄπειρον ἡ πρόοδος ἥξει. ἄλλως τε εἰ εἰσὶν ἀρχαὶ αἱ ἰδέαι, ὡς ὁ Πλάτων λέγει, ἢ οἱ ἀριθμοί, ὡς οἱ Πυθαγόρειοί φασιν, οὐδενὸς ἔσται αἴτια, ὥσπερ ἐν τῷ μείζονι Α δέδεικται καὶ ἐν τοῖς ἐφεξῆς δύο δειχθήσεται βιβλίοις. "εἰ δὲ μή," τουτέστιν εἰ δὲ λέγοι τις ὅτι ψεῦδος τὸ μὴ εἶναι τὰ εἴδη καὶ τοὺς ἀριθμούς τινων αἴτια, εἰσὶ γάρ, συγχωρητέον αὐτῷ τοῦτο νῦν, ἀλλὰ κινήσεως αἴτια οὐδαμῶς ἔσονται τὰ εἴδη καὶ οἱ ἀριθμοί.

1075b 31. "τῶν ἐναντίων." οἷον φέρε τὸ κακὸν ἢ τὸ ἄνισον· τὸ γὰρ ἐναντίον δύναμίς ἐστι καὶ δύναται ἐνεργῆσαι. ὥστε ἦν ὅτε μὴ ἐνήργει· πᾶσα γὰρ ἐνέργεια δυνάμεως ὑστέρα.

1075b 33. ἀναιρετέον ἄρα τὸ λέγειν ὅτι τὸ ἕτερον τῶν ἐναντίων ἐστὶ ποιητικόν· δύναμις γὰρ ὂν τὸ ἐναντίον, ὡς εἴρηται, ὕστερον ἐκβαίνει εἰς ἐνέργειαν. ὅτι δέ, φησίν, ἡ δύναμις τρόπον τινὰ προτέρα ἐστὶν ἐνεργείας, εἴρηται· εἴρηται γὰρ ὅτι ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνός, οἷον τοῦ Σωκράτους, ἐστὶν ἡ δύναμις προτέρα τῆς ἐνεργείας, πρὸς δὲ τὸ πᾶν οὐδαμῶς.

1075b 35. ἀλλὰ τὴν ψυχὴν τί τὸ ἑνοῦσαν μετὰ τοῦ σώματος καὶ ποιῆσαν ἕν τι; καὶ ὅλως, φησί, τὸ εἶδος καὶ τὸ πρᾶγμα, οἶμαι πρᾶγμα λέγων τὴν ὕλην, τὸ δὴ εἶδος καὶ ἡ ὕλη πῶς ἓν γίνεται, οὐδεὶς λέγει, οὐδὲ ἐνδέχεται εἰπεῖν, ἐνεργείᾳ ποιοῦντες καὶ καθ' αὑτὰ τὰ εἴδη.

1075b 36. nec aliter dici potest quam diximus nos, quod prima natura movens munda, sincera, partium expers, materiae immunis, vere una movet omnia ordinate, indeficienti sem-

ἅπαντα κοινὸν ἔχουσι τὸ ἐξ ἀλλήλων γίνεσθαι. εἰπὼν δὲ ὅτι τὰ ἐξ ἀλλήλων, ἐπάγει "καὶ ἄλλα — ὅλον," τουτέστιν οὐ μόνον κατὰ τὸ γίνεσθαι ἐξ ἀλλήλων κοινωνεῖ εἰς συμπλήρωσιν τοῦ ὅλου, ἀλλὰ καὶ κατὰ τὰ ἄλλα, οἷον χρώματα σχήματα μεγέθη. ταῦτα γὰρ πάντα συντελεῖ εἰς τὴν τοῦ ὅλου φύσιν· οὐδὲν γὰρ αἰσθητὸν χωρὶς μεγέθους καὶ σχήματός ἐστιν. οὕτω μὲν οὖν ὁ ἡμέτερος καθηγεμὼν τὸ παρὸν ἐξηγεῖτο χωρίον. μήποτε δὲ τὸ "εἴς γε τὸ διακριθῆναι ἀνάγκη ἅπασιν ἐλθεῖν," τὸ "ἅπασιν" οὐκ ἐπὶ τῶν ἐν γενέσει μόνον ἀκούειν δεῖ, ἀλλ' ἐπὶ πάντων, καὶ αὐτῶν φημὶ τῶν κυκλοφορητικῶν καὶ θείων σωμάτων, ἵν' ᾖ τὸ λεγόμενον, ἀνάγκη ἅπασι καὶ τοῖς ἐν γενέσει καὶ τοῖς κυκλοφορητικοῖς ἐλθεῖν εἰς τὸ διακριθῆναι ἤτοι συστῆναι τὸν ὅλον κόσμον. ἵν' ᾖ τὸ διακριθῆναι ἀντὶ τοῦ συστῆναι· οὕτως γὰρ Ἀναξαγόρας ἔλεγεν ὅτι διακρίνας ὁ νοῦς ἀπ' ἀλλήλων τὰς ὁμοιομερείας συνέστησε τὸ πᾶν. τὸ δὲ "καὶ ἄλλα οὕτως ἐστὶν ὧν κοινωνεῖ ἅπαντα εἰς τὸ ὅλον" συνεχὲς ἂν εἴη τῷ περὶ τῆς πολιτείας ὑποδείγματι· ὡς εἰ ἔλεγεν, ὥσπερ ἐπὶ τῇ τῆς πολιτείας συστάσει πάντα κοινωνεῖ ἀλλήλοις, οὕτως εἰσὶ καὶ ἄλλα τινὰ κοινωνοῦντα καὶ βοηθοῦντα ἀλλήλοις εἰς τὴν τοῦ ὅλου συμπλήρωσιν.

natura namque cuiusque ipsorum tale principium est. sic igitur et in mundo est; nempe circulatio stellarum et certa ipsarum dispositio et caelestia corpora talia sunt ut in iis nihil indeterminati habeatur; animalia vero quae sunt in terra et plantae utilitatem universalem perexiguam praebent, sed quodcunque horum ut plurimum temere operatur atque patitur, quoniam corrumpitur. Themist. f. 23.

1075 a 25. nec latere debet neminem antiquorum quicquam opportunum asseverasse de primo principio, quod quidem vere primum est, sed manere duntaxat in principio materiae permixto: omnes enim ex contrariis omnia faciunt. Themist. f. 23.

1075 a 32. εἰ δέ, ὥσπερ ὁ Πλάτων, τὸ ἕτερον τῶν ἐναντίων ἐκείνου ὑποκείμενον τῷ ἑτέρῳ· τὸ γὰρ κακὸν καὶ τὸ ἄνισον (ἔλεγε δὲ διὰ τοῦ κακοῦ καὶ ἀνίσου τὴν ὕλην) ὑποκείμενον ἐκείνῳ τῷ ἑτέρῳ τῶν ἐναντίων τῷ ἀγαθῷ καὶ ἴσῳ, διὰ τοῦ ἀγαθοῦ καὶ ἴσου πάλιν τὸ εἶδος αἰνιττόμενος. ἐπεὶ δὲ ὁ Πλάτων τὴν ὕλην ποτὲ μὲν κακὸν ἐκάλει ποτὲ δὲ ἄνισον καὶ ἄλλοτε πολλά, ὁμοίως καὶ τὸ εἶδος ὁτὲ μὲν ἀγαθὸν ὁτὲ δὲ ἴσον καὶ ἄλλοτε ἕν, εἰπὼν ὅτι τὸ ἄνισον ὑποκείμενον ποιοῦσι τῷ ἴσῳ, ἐπήγαγεν "ἢ τῷ ἑνὶ τὰ πολλά." ἀλλ' οὐδὲ οὗτοι, φησίν, εἰρήκασι τὸν τρόπον καθ' ὃν τὸ ἐναντίον τῷ ἐναντίῳ ὑπόκειται. ἐγκαλεῖ δὲ αὐτοῖς ὅτι τὴν ὕλην ἔλεγον ἐναντίον· οὐ γάρ ἐστιν ἡ ὕλη ἐναντίον τῷ εἴδει, ἥτις καὶ συνυπάρχει αὐτῷ, ἀλλ' ἡ στέρησις· ὥστε τὸ μὲν τὴν ὕλην λέγειν ὑποκείμενον τῷ εἴδει καλῶς λέγεται αὐτοῖς, τὸ δὲ λέγειν ἐναντίον τῷ εἴδει, οὐ καλῶς· τὰ γὰρ ἐναντία οὐδέποτε συνυπάρχειν δύναται. ἐπειδὴ δὲ καὶ ὁ Ἀριστοτέλης καὶ μᾶλλον καὶ μάλιστα τὴν ὕλην ὑποκείμενον φησίν, ὥσπερ ἀπολογούμενος ὑπὲρ ἑαυτοῦ λέγει, ἀλλ' ἡμῖν λέγεται τὸ τοιοῦτον ἄτοπον· εἰ γὰρ καὶ ὑποκείμενον λέγομεν τὴν ὕλην, ἀλλ' οὐδενὶ αὐτήν φαμεν ἐναντίαν, ἀλλὰ χάριν αὐτῆς μαχόμενα τὸ εἶδος καὶ τὴν στέρησιν. φέρεται δὲ καὶ ἄλλη γραφὴ ἔχουσα ὧδε "καὶ γὰρ ἡ ὕλη ἡ μία·" καὶ εἴη ἂν λέγων, καὶ γὰρ ἡ ὕλη ἡ πρώτη οὐδενί ἐστιν ἐναντία· ἄποιος γάρ ἐστιν. ἡ γῆ δὲ καὶ τὸ πῦρ καὶ τὰ μεταξύ, ἅπερ εἰσὶ προσεχεστέρα ὕλη, ἔχει πρὸς ἄλληλα ἐναντίωσιν. ἔτι, φησίν, εἰ ὑπόκειται τὸ κακὸν καὶ πάντα ἐστὶν ἐκ τοῦ κακοῦ, πάντα μεθέξει τοῦ κακοῦ καὶ οὐδὲν ἔσται ἀγαθὸν πλὴν τοῦ ἑνός, ὃ καθ' αὑτὸ εἶναι ἔλεγον. ἀλλ' οἱ μὲν περὶ Πλάτωνα ἀρχὰς τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐτίθεντο, οἱ δὲ ἄλλοι, οἷον οἱ Πυθαγόρειοι, ἐνίστανται φάσκοντες ὅτι τὸ ἀγαθὸν οὐκ ἔστιν ἀρχή. καί πως οἱ Πυθαγόρειοι τὸ ἀγαθὸν καὶ ἄριστον ἀρχὴν εἶναι οὐκ ἐβούλοντο. εἴρηται δ' ἡμῖν περὶ τούτου ἐν τῷ παρόντι βιβλίῳ ἐξηγουμένοις τὴν λέξιν τὴν "ὅσοι δὲ ὑπολαμβάνουσιν ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος" (c. 7 p. 1072 b 30).

οἱ περὶ Πλάτωνα. cod. Reg.

1075 a 35. δύο γὰρ συστοιχίας, μίαν μὲν τῶν ἀγαθῶν ἑτέραν δὲ τῶν κακῶν, ἀρχὰς ἐτίθουν οἱ Πυθαγόρειοι. id.

1075 a 36. τῶν Πυθαγορείων. id.

1075 a 38. alii vero principia dividunt in bonum atque malum, et malum in materia ponunt, bonum autem in forma, materiam vero omnibus subiectam ponunt et ipsum bonum primam formam dicunt: nam notum est apud omnes bonum esse formam primi principii. alii bonum primum principium dixere: at quonam pacto sit principium non explicant, numquid ut finis, an ut id quod movet, an ut forma. absurde et Empedocles censet ect. Themist. f. 23.

1075 b 3. συναγωγὸν γὰρ λέγων τὴν φιλίαν (ὁ Ἐμπεδοκλῆς) καὶ ποιητικὸν τοῦ σφαίρου φαίνεται ὅτι ποιητικὸν εἶναι αἴτιον αὐτὴν βούλεται· πάλιν δὲ μέρος αὐτὴν ποιῶν τοῦ μίγματος καὶ τοῦ σφαίρου ἐμφαίνει ὅτι ὑλικὸν εἶναι αὐτὴν αἴτιον ἀποδέχεται. τοῦτο θεὶς λέγει, εἰ καὶ συγχωρήσομεν τὴν φιλίαν τῷ ὑποκειμένῳ εἶναι καὶ ὡς ὕλην καὶ ὡς κινοῦν, ἀλλὰ τῷ γε λόγῳ διαφέροι ἂν πάντως.

1075 b 4. absurdum est etiam censere discordiam non sentire corruptionem, ita ut haec natura sit ipsius necessarii natura. Themist. f. 24.

1075 b 6. ἄλλως τε εἰ ἔστι φιλία, ὡς Ἐμπεδοκλῆς βούλεται, τὸ ἀγαθόν, τὸ νεῖκος ἔσται κακόν. εἰ γὰρ τὸ ἐναντίον τῷ ἐναντίῳ, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον· εἰ δὲ τοῦτο, πῶς οἷόν τε λέγειν ἄφθαρτον τὸ νεῖκος; ὅταν γὰρ ἡ φιλία συνελθοῦσα μετὰ τῶν πάντων ποιήσῃ τὸν σφαῖρον, ἀναγκαῖον τὸ νεῖκος φθείρεσθαι.

1075 b 9. πλήν, φησίν, ἐὰν λέγῃ ὁ Ἀναξαγόρας, ὥσπερ καὶ ἡμεῖς φαμέν. ἡμεῖς μὲν λέγομεν ὅτι ἡ ἰατρικὴ τὸ εἶδός πως οὖσα τῆς ὑγιείας, ὅταν τι κινῇ ἕνεκεν τῆς ὑγιείας, ἕνεκεν ἑαυτῆς τοῦτο κινεῖ. εἰ οὖν καὶ ὁ Ἀναξαγόρας περὶ τοῦ νοῦ οὕτω λέγει ὅτι τὸ κινοῦν καὶ οὗ ἕνεκεν κινεῖ αὐτός ἐστι, καὶ διὰ τοῦτο πᾶν ὃ ἂν κινῇ ἕνεκεν αὐτοῦ τὸ κινούμενον κινεῖται, λέγοι ἂν οὕτω λέγων εὔλογα.

quare aliud quodpiam erit: nam idem est quod movet et ipsum primum; nec potest alicuius gratia movere. verum ita res se habet ut nos dicemus: est enim facultas ipsa medendi principium quoddam, sed gratia sanitatis movet; sani-

1074b 19. εἴτε νοεῖ, φησί, τούτου δὲ ἄλλο κυριώτερον, τουτέστιν, εἴτε νοεῖ, μὴ ὅλη δὲ ἡ οὐσία αὐτοῦ νοῦς ἐστίν, ἀλλὰ τούτου ἤτοι τοῦ νοεῖν ἄλλο ἐστὶ κύριον τοῦ νοεῖν τὸν νοῦν· οὐ γάρ ἐστι τοῦτο αὐτοῦ οὐσία ἡ νόησις, τουτέστιν οὐκ ἐνδέχεται εἶναι τὴν οὐσίαν αὐτοῦ νόησιν καὶ νοῦν, εἴπερ μὴ ὅλη ἡ οὐσία αὐτοῦ νοεῖ, ἀλλὰ μέρος τι, οὐκ ἂν εἴη οὐσία αὐτοῦ ἡ ἀρίστη, ἀλλ' ἐκεῖνο ἔσται τὸ ἄριστον καθ' ὃ νοεῖ.

καθάπερ ἐπὶ τοῦ ἀνθρωπίνου σημαίνειν ἔστιν· οὐ γάρ ἐστιν αὐτοῦ τῇ οὐσίᾳ σύνδρομος ἡ δύναμίς τε καὶ ἡ ἐνέργεια, οὐδὲ ὁ αὐτὸς οὗτος νοῦς ἐστι καὶ νόησις, ἀλλὰ κατὰ μετάβασιν νοεῖ. εἰ γοῦν τοῦτ' ἦν καὶ ἐπὶ τοῦ πρώτου καὶ πολυτιμήτου νοῦ, οὐκ ἂν ἦν ἡ αὐτοῦ οὐσία καθ' αὑτὸ τιμία οὐδ' ἀρίστη. οὕτως ὁ διδάσκαλος. cod. Reg.

1074b 23. καὶ εἰ ἕτερον, ἢ ἀεὶ τὸ αὐτὸ νοεῖ, ἢ νῦν μὲν ἕτερον ἄλλοτε δὲ ἄλλο· καὶ εἰ ἄλλοτε ἄλλο, πότερον πάντα ἀγαθά ἐστιν ἃ κατ' ἄλλους καὶ ἄλλους χρόνους νοεῖ, ἢ δεῖ τίθεσθαι ὅτι καὶ τὰ τυχόντα φαῦλα νοεῖ, εἴτε καὶ τἀναντία τούτοις; δεῖ οὖν ταῦτα τίθεσθαι, ἢ χρὴ λέγειν ὅτι ὥσπερ ἐφ' ἡμῶν ἄτοπόν ἐστι καὶ οὐδεὶς εὖ ζῶν ἀνέξεται διανοεῖσθαι περί τινων, οἷον περὶ τρόπου πορνείας πῶς ἂν εὖ πορνήσειεν, οὕτως ἀσεβέστατόν ἐστι τὸ λέγειν ὅτι διανοεῖται ἡ θειοτάτη καὶ ἀρίστη οὐσία φαῦλα καὶ τὰ τυχόντα. δῆλον οὖν ὅτι οὐδὲν φαῦλον νοεῖ, ἀλλὰ τὸ θειότατον καὶ τιμιώτατον νοεῖ. θειότατον δὲ καὶ τιμιώτατον αὐτός ἐστιν ὁ νοῦς· ἑαυτὸν ἄρα νοεῖ.

1074b 28. εἰ οὖν ἐστὶ δύναμις νοός, δέδεικται δὲ ὅτι συνεχῶς καὶ ἀεὶ νοεῖ, ἐπίπονον ἔσται τὸ συνεχὲς τῆς νοήσεως αὐτοῦ. εἰ μὲν γὰρ ἐν τῷ εἶναι νοῦς καὶ νόησις οὐσίωται, οὐκ ἔσται ἐπίπονον τὸ συνεχὲς αὐτοῦ τῆς νοήσεως, ὥσπερ οὐδὲ τῷ ἀνθρώπῳ ἐπίπονόν ἐστι τὸ εἶναι ἄνθρωπον, ὅτι τὸ εἶναι ἄνθρωπος οὐσίωται.

1074b 31. τὸ δὲ "καὶ γὰρ νοεῖν καὶ νόησις ὑπ. κ. τὸ χ. ν." οἶμαι ἐλλιπῶς ἀπηγγέλθαι, ὥστε λείπειν τὸ ἔτι, ἵν' ᾖ ἀρχὴ ἄλλου ἐπιχειρήματος, ὅτι τὸ πρῶτον αἴτιον οὐκ ἔστι δύναμις. ὥστε τὸ "καὶ γὰρ" κατ' ἐμὴν γνώμην ἴσον ἐστὶ τῷ ἔτι, ὡς εἶναι τὸ πᾶν τοιοῦτον, ἔτι νοεῖν καὶ ἡ νόησις ὑπ. κ. τ. χ. ν. πρόεισι δὲ ἡ δεῖξις ἐπὶ ἀξιώματι τῷ τῶν ἐναντίων ἡ αὐτὴ δύναμις. εἴη ἂν οὖν λέγων· ἔτι εἰ μή ἐστιν ἡ οὐσία αὐτοῦ νόησις καὶ νοῦς ἀλλὰ δύναμις, ἡ δὲ αὐτὴ καὶ μία δύναμίς ἐστι τῶν ἐναντίων, τῷ πρώτῳ αἰτίῳ νοοῦντι τὰ κάλλιστα ὑπάρξει αὐτῷ ἡ νόησις ἤτοι καὶ τὸ νοεῖν τὰ χείριστα, ὅπερ ἄτοπον.

1074b 33. τὸ "ἡ νόησις" ἀντὶ τοῦ δύναμις νῦν εἴληπται.

35. τὸ δὲ "ἐπ' ἐνίων" πρόσκειται διὰ τὰ σύνθετα.

1075a 4. τὰ γὰρ κυρίως νοητά, ὡς ἐν τῇ περὶ Ψυχῆς (1 3, 3 6 sqq.) εἴρηται, νοῖ εἰσὶ καὶ οἱ νοῖ νοητά. εἰ δὲ τοῦτο, καὶ ἡ νόησις τῷ νοουμένῳ μία, τουτέστιν ἡ αὐτή.

1075a 5. εἴη ἂν λέγων, εἰ ἔστι τὸ νοούμενον πᾶν (καθόλου γὰρ ἐπὶ παντὸς νοουμένου ἀκουστέον τοῦ λεγομένου) σύνθετον, οὐκ ἐν τῷ νῦν οὐδ' ἐν ἀκαρεῖ χρόνῳ ὁ νοῦς νοήσει τὸ νοούμενον, ἀλλὰ μεταβάλλει ἂν ἐκ τοῦ νοεῖν τόδε εἰς τὸ νοεῖν τόδε τὸ μέρος αὐτοῦ, τοῦτο δὲ γενήσεται διὰ χρονικῆς παρατάσεως· ἐν ἄλλῳ γὰρ χρόνῳ τόδε τὸ μέρος νοήσει καὶ ἐν ἄλλῳ τόδε. καὶ λύει λέγων ὅτι πᾶν τὸ μὴ ἔχον ὕλην, οἷά ἐστι τὰ νοητά, ἀδιαίρετον καὶ ἀμερὲς καὶ οὐδέν ἐστιν αὐτῶν σύνθετον. πρὸς τούτοις λέγει καὶ πῶς ἑαυτὸν ὁ πρῶτος νοῦς νοεῖ, καὶ λέγει ὅτι οὐ διὰ χρόνου, ὡς φέρε εἰπεῖν ὅτι ἐν τῷδε μὲν τῷ τοῦ χρόνου μέρει τόδε τὸ μέρος αὐτοῦ νοεῖ, ἐν τῷδε δὲ τόδε (μεριστὸν γὰρ ἂν ἦν), ἀλλ' ἀμερὴς ὢν ἐν ἀμερεῖ, εἰ θέμις λέγειν, τῷ νῦν τῷ ἀτόμῳ ἑαυτὸν νοεῖ· ὥσπερ γάρ, φησίν, ὁ ἀνθρώπινος νοῦς (ἢ εἴ τις μὴ βούλοιτο λέγειν ὅτι ὁ ἀνθρώπινος νοῦς, λεγέτω καθολικώτερον ὅτι ὁ τῶν συνθέτων νοῦς), ὥσπερ οὖν ὁ ἀνθρώπινος ἢ ὁ τῶν συνθέτων νοῦς ἔχει ἔν τινι χρόνῳ, οἷον ὅταν ἐνεργήσῃ καὶ τὸ τρισμακάριστον πάθος πάθῃ (τότε γὰρ ὁ ἀνθρώπινος νοῦς οὐκ ἐν τῳδὶ τοῦ χρόνου μέρει ἢ ἐν τῳδὶ τόδε ἢ τόδε τοῦ ἀρίστου νοεῖ καὶ ἐφάπτεται αὐτοῦ ὡς δυνατὸν ἐφάψασθαι αὐτοῦ (μεριστὸν γὰρ ἂν καὶ οὕτως ἦν τὸ πρῶτον αἴτιον), ἀλλὰ νοεῖ αὐτὸ ἐν ὅλῳ τινί, οἷον ἐν τῷ ἀμερεῖ καὶ ἀτόμῳ νῦν), οὕτως τὸν ἅπαντα αἰῶνα ὁ πρῶτος νοῦς αὐτὸς ἑαυτὸν νοεῖ ἀμερῶς καὶ ἀχρόνως. εἴρηται δὲ διαρκῶς ἐν τῷ τρίτῳ τῆς περὶ Ψυχῆς (c.) πραγματείας πῶς ὁ κατ' ἐνέργειαν νοῦς τὸ κυρίως νοεῖ νοητόν. οὐκ ἔχει οὖν, φησίν, ὁ ἀνθρώπινος νοῦς τὸ εὖ ἤτοι τὴν ἀρίστην διαγωγὴν ἤτοι τὴν νόησιν ἤτοι τὴν ἀφὴν καὶ θεωρίαν τοῦ ἀρίστου καὶ πρώτου νοῦ, ὑπάρχοντος δηλαδὴ τοῦ πρώτου νοῦ ἑτέρου παρὰ τὸν ἀνθρώπινον νοῦν. ταύτην δὴ τὴν ἀρίστην διαγωγὴν οὐκ ἔχει ὁ ἀνθρώπινος νοῦς ἐν χρόνοις καὶ διὰ χρόνου, ἀλλ' ἐν ὅλῳ τινί. λέγει δὲ ὅλον τι τὸ ἄτομον νῦν, ὃ πέρας μέν ἐστι χρόνου, οὐ χρόνος δέ. ἐπειδὴ γὰρ οἷον εἶδός ἐστι τοῦ ἀνθρωπίνου νοῦ ὁ θεῖος νοῦς, ὅταν αὐτοῦ ἅψασθαι δυνηθῇ, πᾶν δὲ εἶδος ἐν τῷ ἀτόμῳ νῦν ἐπιγίνεται, δῆλον ὅτι καὶ τῷ ἀνθρωπίνῳ νῷ ἐν τῷ αὐτῷ νῦν ἡ τοῦ πρώτου νοῦ γνῶσις καὶ ἀφὴ ἐπιγίνεται.

οἷον εἴ τι καὶ ἄλλο εἴη σύνθετόν τε καὶ νοῦν ἔχον, καθάπερ καὶ τὸ δαιμόνιον ἔχει γένος καὶ οἱ ἄγγελοι· οὐσίαν γὰρ μετὰ ἁγιασμοῦ τὸ σύνθετον αὐτῶν ἐμφαίνοντες, τῶν παρ' ἡμῖν τινὲς αὐτοὺς ὡρίσαντο. cod. Reg.

λέγει δὲ ὅλον τὸν κόσμον τοῦτον τὸν αἰσθητόν. 1075a 11.

ταῦτα εἰπὼν θεοφιλῶς καὶ φιλοσόφως λέγει ὅτι οὐδὲν τῶν ὄντων μάτην ἐστὶν ἀλλὰ πάντα συντέτακται καὶ συντελεῖ, εἰ καὶ ἡμῖν 1075a 16. πολλὰ ἀγνοεῖται, πρὸς ἑνὸς κόσμου συμπλήρωσιν καὶ ἀπαρτισμὸν καὶ τὸ καλὸν αὐτοῦ καὶ ἄριστον καὶ εὖ. καὶ τίνα ἐστὶ τὰ συντεταγμένα πρὸς τὴν τοῦ ὅλου συμπλήρωσιν, καταλέγει, πτηνὰ πλωτὰ φυτὰ καὶ τὰ λοιπά. ἀλλ' εἰ καὶ πάντα πάντως συντελεῖ, ἀλλ' οὐχ ὁμοίως ἅπαντα, ἀλλὰ τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον.

οὐ γὰρ ἐξῆν τότε τοῖς δούλοις ἢ στρατεύεσθαι ἢ νόμους μετέρχεσθαι 1075a 21. ἢ φιλοσοφεῖν ἢ ἄλλο τι τῶν μεγάλως πρὸς πολιτείας σύστασιν συντεινόντων πράττειν.

τουτέστιν ἡ φύσις καὶ ἡ ἀρχὴ τῶν εἰς τὴν τοῦ ὅλου φύσιν συντει- 1075a 22. νόντων. καὶ οὐ λέγει περὶ πάντων ἁπλῶς νῦν, ἀλλὰ περὶ τῶν ἐν γενέσει ὄντων καὶ φθορᾷ. ἡ φύσις οὖν καὶ ἀρχὴ τούτων τοιαύτη, καὶ ποδαπή, ἐπάγει, "λέγω δ' οἷον εἴς γε τὸ διακριθῆναι ἀνάγκη ἅπασιν ἐλθεῖν," τουτέστιν ἀνάγκη ἅπασι τοῖς ἐν γενέσει (περὶ γὰρ τούτων νῦν, ὡς εἴρηται, λέγει) ἐλθεῖν εἰς τὸ διακριθῆναι, ἤτοι ἄλλο ἐξ ἄλλου γενέσθαι· εἰς τοῦτο γὰρ συνῆλθεν ἡ φύσις τῶν ἐν γενέσει, καὶ τοῦτο αὐτοῖς κοινόν, τὸ γίνεσθαι πάντα ἐκ πάντων, ἐκ στοιχείων σύνθετα καὶ ἐκ συνθέτων στοιχεῖα ἄλλον τρόπον· ὥστε δηλονότι τὰ ἐν γενέσει

τέρας δὲ τῶν ψυχῶν τῶν σφαιρῶν· ὥστε καὶ αἱ σφαῖραι ὑπὸ μὲν τῶν οἰκείων ψυχῶν κινοῦνται, ὥσπερ εἴρηται, ὑπὸ δὲ τῶν τοιούτων θεῶν, ὡς καὶ ἡ ἀπλανὴς ὑπὸ τοῦ πρώτου νοός. κινεῖται δὲ ἡ ἀπλανὴς ὑπὸ τοῦ πρώτου κινητικοῦ τὴν ἐπ' ἄπειρον κίνησιν· οὐ γάρ ἐστιν ἡ ψυχὴ τῆς ἀπλανοῦς αἰτία τοῦ ἐπ' ἄπειρον κινεῖσθαι, οὐδ' ὑπ' αὐτῆς τοῦτο ἔχει, ἀλλ' ὑπὸ τοῦ πρώτου κινητικοῦ. ὥσπερ γὰρ τὴν κίνησιν ἀπὸ ψυχῆς ἔχει, ὥσπερ εἴρηται, οὕτω τὸ ἐπ' ἄπειρον καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως καὶ περὶ τὰ αὐτὰ καὶ ἐν τῷ αὐτῷ καὶ ὅσα τοιαῦτα ἀπὸ τῆς ἀκινήτου νοερᾶς αἰτίας ἐφήκει τῷ οὐρανῷ. ὡς οὖν ὁ οὐρανὸς ὑπὸ τοῦ πρώτου κινεῖται κινητικοῦ, οὕτω καὶ αἱ πλανώμεναι σφαῖραι ὑπὸ τῶν οἰκείων κινητικῶν τελειουμένων καθ' ἑκάστην καὶ ἀγαθυνομένων ὑπὸ τοῦ πρώτου κινητικοῦ, ἄλλα μὲν μᾶλλον ἄλλα δὲ ἧττον, τὰ μὲν τῆς Κρονιακῆς σφαίρας μᾶλλον, τὰ δὲ τῆς ἡλίου ἧττον, καὶ τὰ λοιπὰ ὁμοίως λέγονται. καὶ τὰ τοιαῦτα κινητικὰ αἴτια ἄριστα, οὐχ ὡς τὸ πρῶτον καὶ οὗ ταῦτα ἐξήρτηται (ἐκεῖνο μὲν γὰρ ἀνενδεὲς τῶν ἑαυτοῦ καλῶν ὑπέρπληρες, ταῦτα δὲ ἐπιστρέφεται πρὸς ἐκεῖνο καὶ τῆς ἐκείνου πληροῦται ἀγαθοδοσίας), ἀλλὰ λέγεται ἄριστα ὡς πρὸς τὰς σφαίρας ἃς κινοῦσιν· ὡς γὰρ ἀρίστων τούτων ἐφίενται· οὗ γάρ τι ἐφίεται ὡς ἀρίστου, τούτου ἐρᾷ. ὥστε ὁ πολυτίμητος νοῦς ἁπλῶς λέγεται ἄριστον, ὡς καὶ ὁ πρῶτος οὐρανὸς ἁπλῶς μέγας· ταῦτα δὲ λέγεται ἄριστα ὡς πρὸς τὰς ὑπ' αὐτῶν κινουμένας σφαίρας.

1074a 17. εἰπὼν ὅτι ὅσα ἐστὶ τὰ κινούμενα, τοσαῦτα καὶ τὰ κινοῦντα εἶναι εὔλογον ὑπολαβεῖν, ἐπειδή τις ἔμελλε λέγειν, καὶ τί κωλύει εἶναί τινας οὐσίας ἀσωμάτους καὶ καθ' αὑτὰς μηδὲν κινούσας; εἰ δὲ τοῦτο ἐνδέχεται, οὐκ εὔλογον, ὅσα ἐστὶ τὰ κινούμενα, τοσαύτας εἶναι καὶ τὰς ἀσωμάτους οὐσίας, καὶ οὔτε πλείους οὔτε ἐλάττους; ταύτην δυναμένην τὴν ἔνστασιν πρὸς τὸν λόγον φέρεσθαι λύει λέγων· εἰ δὴ πᾶν τὸ τετευχὸς τοῦ ἀρίστου τέλους καὶ αὐτὸ τοῦτο ἄριστον καὶ ἐφετὸν ὂν (πᾶς γὰρ θεὸς ἄριστος καὶ εἰ μὴ ὡς ὁ πρῶτος), τούτου ἀνάγκη τι ἐφίεσθαι· πᾶν γὰρ ἐφετὸν ἐφιεμένου τινός ἐστιν ἐφετόν. εἴπερ οὖν εἰσὶ καὶ ἄλλαι τινὲς οὐσίαι ἄρισται, πᾶν δὲ ἄριστον ἐφετόν, ἐφετὰς ἀνάγκη αὐτὰς εἶναι· εἰ δὲ τοῦτο ἀνάγκη, καὶ τὰ ἐφιέμενα αὐτῶν εἶναι καὶ κινεῖσθαι δι' αὐτάς. ἀλλ' εἴπερ εἰσὶ τὰ κινούμενα, ἔσονται καὶ κινήσεις· οὐδὲν γὰρ κινούμενον ἄνευ κινήσεως. ἀλλὰ μὴν κινήσεις παρὰ τὰς πεντήκοντα καὶ πέντε οὐκ εἰσίν, οὐδὲ κινούμενα ἄρα παρὰ ταῦτα, οὐδὲ κινητὰ ἄρα. προάγει δὲ τὸν λόγον ὑποθετικῶς λέγων "εἰ δὲ μηδεμίαν οἷόν τ' εἶναι φορὰν μὴ συντείνουσαν πρὸς ἄστρου φοράν". εἰ δὲ μὴ κίνησίς ἐστιν ἄλλη, οὐδὲ κινούμενον οὐδὲ κινοῦν· ὥστε τὸ μὲν τοιοῦτον ἐπιχείρημα ἐκ τοῦ μὴ εἶναι ἄλλην κίνησιν δείξας, συναπέδειξεν ὅτι οὐδὲ ἄλλη οὐσία. τὸ δὲ "ἔτι δὲ πᾶσαν φύσιν καὶ πᾶσαν οὐσίαν ἀπαθῆ καὶ καθ' αὑτήν" προηγουμένως ἐστὶ δεικτικὸν τοῦ μὴ εἶναι ἄλλας οὐσίας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἔτι εἰ πᾶσαν φύσιν καὶ οὐσίαν ἀπαθῆ καὶ καθ' αὑτὴν ἤτοι ἀσώματον τοιαύτην εἶναι χρὴ ἡμᾶς νομίζειν, ἤτοι ἀρίστην καὶ ἐφετὴν καὶ τελικήν, οὐδεμία ἂν εἴη παρὰ τὰς εἰρημένας κινητικὰς αἰτίας ἑτέρα φύσις, ἀλλ' ἀνάγκη πεντήκοντα εἶναι καὶ πέντε μὴ συναριθμουμένου καὶ τοῦ πρώτου αἰτίου· εἰ γὰρ εἰσὶν ἕτεραι οὐσίαι παρὰ ταύτας, κινοῖεν ἄν, ἐπειδὴ ἀνάγκη τελικὰ αἴτια καὶ ἐφετὰ εἶναι αὐτάς· τούτου γάρ ἐστι δεικτικὸν τὸ "ὡς τέλος οὖσα φορᾶς·" τὸ γὰρ ἐφετὸν τέλος ἐστὶ τῆς δι' αὐτὸ γινομένης φορᾶς ἢ ὅλως κινήσεως.

1074a 25. quod autem fieri non potuit ut ulla sit latio quae non ad lationem stellae conducat, nullaque praeterea natura aut substantia divina otiosa esse possit, hinc constat: nulla enim huiusmodi substantia cum per propriam definiatur operationem, poterit ordinari ad summum dignitatis gradum, qui est consequi perfectionem continuae vitae. nullum igitur erit aliud corpus mobile praeter haec corpora. substantiae ergo totidem esse debent. Themist. f. 18.

1074a 30. "τέλος ἔσται πάσης φορᾶς τῶν φερομένων θείων σωμάτων κατὰ τὸν οὐρανόν." ἴσον ἐστὶ τῷ πᾶσα ἐγκύκλιος φορὰ τέλος ἔχει ἄστρον τι καὶ ἕνεκ' ἐκείνου γίνεται· οὗ γὰρ ἕνεκά τι γίνεται, ἐκεῖνο τέλος ἐστὶ τοῦ δι' ἐκεῖνο γινομένου.

1074a 34. κατὰ δὲ τὴν λέξιν τὴν "εἷς γὰρ λόγος καὶ ὁ αὐτὸς πολλῶν, οἷον ἀνθρώπου," τὸ "εἷς" ἀντὶ τοῦ ἕτερος· γὰρ ὁ λόγος τοῦ ἀνθρώπου καθὸ ἄνθρωπος, ὁ δὲ Σωκράτης εἷς, ἤτοι καὶ ὁ Σωκράτους καθὸ Σωκράτης ἕτερος. εἰ δὲ τοῦτο, εἴπερ εἰσὶ τὰ πρῶτα αἴτια πολλά, ἕτερος ἔσται ἑνὸς ἑκάστου αὐτῶν ὁ λόγος καθὸ ἄτομα καὶ μερικά· ὥστε καὶ σύνθετα ἔσται καὶ ἔνυλα, καὶ ἕτερος ὁ λόγος τοῦ κοινῶς κατηγορουμένου αὐτῶν εἴδους, ὅπερ ἀδύνατον. τὸ δὲ "τὸ δὲ τί ἦν εἶναι οὐκ ἔχει ὕλην τὸ πρῶτον" ἀντὶ τοῦ, τὸ δὲ πρῶτον τί ἦν εἶναι, ἤτοι τὸ πρῶτον εἶδος καὶ ὁ λόγος καὶ ἡ ἐνέργεια, αὐτό φημι τὸ ζῷον ἀΐδιον ἄριστον, οὐκ ἔχει ὕλην. "παραδ. δὲ παρὰ τ. ἀρχ. καὶ παμπαλαίων ἐν μ. χ." δείξας ὅτι εἰσὶ θεοὶ καὶ τοσοῦτοι ὅσαι αἱ σφαῖραι ἐξηρτημένοι τῆς θειοτάτης καὶ ἀρίστης οὐσίας, καὶ ὑπ' ἐκείνης ὄντες, καὶ ἐκεῖθεν τὸ ἄριστοι εἶναί τε καὶ λέγεσθαι ἔχοντες, λέγει ὅτι οὐ μόνον ἡμεῖς ταύτην περὶ τούτων τὴν ἔννοιαν ἔχομεν.

1074b 5. ἀλλὰ καὶ ἀνθρωποειδεῖς αὐτοὺς ποιήσαντες, οὐδὲ τοῦτο μάτην πεποιήκεσαν ἀλλὰ πρὸς τὸ σύμφερον τῶν πολλῶν· βουλόμενοι γὰρ ἀποτρέψαι τοὺς ἀνθρώπους ἀπὸ τοῦ τύπτειν ἀλλήλους πεποιήκασι τοὺς θεοὺς ἀνθρωποειδεῖς, αἰνιττόμενοι διὰ τούτου ὅτι ὁ τύπτων ἄνθρωπον τὸ θεῖον εἶδος τύπτει καὶ περιυβρίζει. καὶ οὐ μόνον ἀνθρωποειδεῖς αὐτοὺς ποιοῦσιν, ἀλλὰ πρὸς περισσοτέραν ὠφέλειαν τοῦ ἀνθρωπείου γένους ποιοῦσι τοὺς θεοὺς ὁμοίους καὶ τῶν ἄλλων ζῴων τισίν· ἐπειδὴ γὰρ ἡ τῶν Αἰγυπτίων χώρα πάνυ πολὺ πλῆθος ὄφεων ἀναδίδωσιν ὡς οὐδεμία ἄλλη βλάβη βλάπτον τοὺς ἐκεῖσε οἰκοῦντας, ὧν ἡ φύσις καὶ ὁ θεὸς προνοουμένη ἀνῆκε τὰς καλουμένας ἴβεις φονευτρίας τῶν ὄφεων, βουλόμενοι οἱ ἐκεῖσε σοφοὶ ἀποτρέψαι τοὺς Αἰγυπτίους τοῦ φονεύειν τὰς ἴβεις (ἐφόνευον γὰρ αὐτάς τινες, καὶ ταῦτα σωτείρας οὔσας τοῦ τῶν Αἰγυπτίων γένους) τεθείκασι νόμον παρακελευόμενον μηδενὶ ἐξεῖναι Αἰγυπτίων φονεύειν ἶβιν. διὰ τί, φησίν· ὅτι οἱ θεοί οἷς ἂν φανεῖεν ἐν εἴδει ἴβεων φαίνονται.

1074b 6. nam his diis formam tribuunt similem quibusdam animalibus, cuiusmodi sunt aries pisces et leo; quos ita vocant aut secundum virtutes quas habere putant, aut ob operationem eorum, vel quia similes sint his animalibus. Themist. f. 19.

1037a 3. εἴρηται ἐν τῇ περὶ τοῦ Οὐρανοῦ. τὸ δὲ "καὶ εἰς τὸ αὐτὸ ἀποκαθιστάσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου" δῆλον ἔσται γράψασι κύκλους τινάς. ἔστωσαν γὰρ τρεῖς κύκλοι, ὁ αβ καὶ ὁ δε καὶ ὁ ζη. ἐν δὲ τῷ ζη ἔστω ἀστήρ, οἷον ὁ Ζεύς, καὶ ἔστω τὸ κ σημεῖον. τὸ δὲ α ἔστω σημεῖόν τι καὶ τὸ δ καὶ τὸ ζ καὶ τὸ βεη· μὴ ἔστωσαν δὲ ἀστέρες, ἀλλὰ νενοήσθωσαν μόνον σημεῖά τινα, καὶ τὸ α καὶ τὸ δ καὶ τὸ ζ ἐπὶ τῆς αὐτῆς εὐθείας· ὁμοίως καὶ τὰ βεη· καὶ κεκινήσθω ἡ μὲν αβ σφαῖρα ὡς ἐπὶ τὸ β σημεῖον ὥστε ἐλθεῖν τὸ α ἐν ᾧ τὸ β ἐστίν· ἡ δὲ δε καὶ ἡ ζη κεκινήσθωσαν ἰσοταχῶς ὡς ἐπὶ τὰ δζ· ὥστε ἔρχεσθαι τὰ εη ἐπὶ τὰ δζ. ἐπεὶ οὖν ἐπὶ τὰ αὐτὰ κινοῦνται ἡ εδ καὶ ἡ ηζ σφαῖραι ἰσοταχεῖς οὖσαι, δηλονότι ἡ τῆς ηζ σφαίρας κίνησις διπλασίων ἐστὶ τῆς εδ σφαίρας κινήσεως· ὅση γάρ ἐστιν ἡ τῆς ηζ σφαίρας κίνησις, τοσαύτην αὐτῇ ἐνδίδωσι καὶ ἡ τῆς εδ σφαίρας κίνησις, ἐπειδὴ ἐπὶ τὰ αὐτὰ φέρονται· ὥστε ἐν ᾧ χρόνῳ τὸ ε ἐπὶ τὸ δ ἦλθεν, ἐν τῷ αὐτῷ χρόνῳ τὸ η τὸν ηζ κύκλον ὅλον διελθὸν ἦλθεν ἂν πάλιν ἐπὶ τὸ η, εἰ μὴ ἡ αβ σφαῖρα ἀντιφερομένη τῇ δε καὶ ὡς ἐπὶ τὸ β αὐτὴν ἕλκουσα οὐκ εἴα αὐτὴν ἐνδιδόναι τῇ ζη σφαίρᾳ ἄλλην τοσαύτην κίνησιν ὅσην αὐτὴ κινεῖται· ὥστε ἡ αβ ἐμποδίζουσα τὴν δε καὶ ὡς ἐπὶ τὸ β ἕλκουσα, καὶ ἡ δε ἐμποδίζει τὴν ζη, καὶ ἐπὶ τούτῳ ἀεὶ τὴν αὐτὴν θέσιν ἡ ζη περιφέρεια φυλάξει τῇ θέσει τῆς αβ· ὥστε ὅταν τὸ η ἐπὶ τὸ ζ ἔλθῃ, καὶ τὸ ζ ὅπου νῦν τὸ η ἐστί, τότε καὶ τὸ α ἐλεύσεται ὅπου νῦν τὸ β ἐστί, τὸ δὲ β ὅπου τὸ α, καὶ εἰσὶ πάντοτε ἐν τῇ αὐτῇ εὐθείᾳ τὰ αζ καὶ βη σημεῖα, καὶ ὅταν μὲν ἀνατέλλῃ τὸ α, ἀνατέλλει καὶ τὸ ζ, καὶ πάλιν ὅταν δύνῃ τὸ β, τότε καὶ τὸ η, καὶ οὐδέποτε οὔτε προανατέλλουσιν οὔτε προδύνουσι τοῦ αζ. κἂν ἡ αβ καὶ ἡ ηζ ἐπὶ τὰ αὐτὰ φέρωνται, τὸ αὐτὸ συμβήσεται. ἡ δὲ δε σφαῖρα νενοήσθω ἀνελίττουσα. τοῦτο οὖν ἐστιν ὅ φησι "καὶ εἰς τὸ αὐτὸ ἀποκαθιστάσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου." καὶ εἴη ἂν τὸ λεγόμενον οὕτω. κινεῖσθαι νενοήσθωσαν αἱ ἀνελίττουσαι, ὥστε ποιεῖν τὴν πρώτην καὶ ἐξωτάτην τῶν σφαιρῶν τῶν φερουσῶν τὸν Δία σφαῖραν ἀεὶ τὴν αὐτὴν θέσιν φυλάττειν πρὸς τὴν σφαῖραν ἐν ᾗ ἐνδέδεται ὁ ἀστήρ, καὶ μηδέποτε ἡγεῖσθαι τὰ λαμβανόμενα ἐν τῇ πρώτῃ σφαίρᾳ σημεῖα τῶν λαμβανομένων ἐν τῇ σφαίρᾳ ἐν ᾗ ὁ ἀστὴρ ἐνδέδεται σημείων, ἀλλ' ἀεὶ συνανατέλλειν καὶ συνδύνειν. τὸ δὲ "ἐν αἷς μὲν αὐτὰ φέρεται σφαίραις, αἱ μὲν ὀκτὼ αἱ δὲ πέντε καὶ εἰκοσίν εἰσιν," ἴσον ἐστὶ τῷ ὥστε κατὰ τὸν Κάλλιππον ὀκτὼ μὲν εἶναι τὰς τοῦ ἡλίου καὶ τῆς σελήνης, εἴκοσι δὲ καὶ πέντε τὰς τῶν ἄλλων, Κρόνου Διὸς καὶ τῶν λοιπῶν· τὸ γὰρ πρὸ ὀλίγου ῥηθέν, "τῷ δ' ἡλίου καὶ τῆς σελήνης δύο ᾤετο προσθετέας εἶναι," ἴσον ἐστὶ τῷ ἀνὰ μίαν· ἐπεὶ γὰρ ὁ Εὔδοξος ἓξ ἐτίθετο τὰς τοῦ ἡλίου καὶ τῆς σελήνης, ὁ δὲ Κάλλιππος ὀκτὼ αὐτάς φησι, δηλονότι ἀνὰ μίαν αὐταῖς προσέθηκεν. ὁμοίως καὶ ταῖς λοιπαῖς τῶν πέντε ἀστέρων σφαίραις ἀνὰ μίαν προσέθηκε· τοῦ γὰρ Εὐδόξου τέσσαρας λέγοντος εἶναι ἑκάστου τῶν λοιπῶν
1074a 7. πέντε ἀστέρων, οὗτος πέντε αὐτὰς πεποίηκεν. τὸ δὲ "τούτων δὲ μόνας ἀνελιχθῆναι οὐ δεῖ, ἐν αἷς τὸ κατωτάτω τεταγμένον φέρεται," ἀντὶ τοῦ μόνας τὰς τὴν σελήνην (αὕτη γάρ ἐστι κατωτάτω πάντων τῶν ἀστέρων) φερούσας οὐ δεῖ ἔχειν ἀνελιττούσας. τὸ δὲ "αἱ μὲν τὰς τῶν πρώτων δύο ἀνελίττουσαι ἓξ ἔσονται," ἀντὶ τοῦ αἱ τοῦ Κρόνου καὶ Διὸς ἀνελίττουσαι ἓξ ἔσονται· ἐπεὶ γὰρ τέτταρές εἰσιν αἱ τὸν Κρόνον φέρουσαι καὶ τέτταρες αἱ τὸν Δία, δεῖ δὲ καθ' ἕκαστον ἀστέρα τὰς ἀνελιττούσας μιᾷ ἐλάττους εἶναι, ἓξ ἔσονται αἱ τοῦ Κρόνου καὶ Διὸς ἀνελίττουσαι. ἐπὶ δὲ τῶν λοιπῶν τεττάρων, Ἄρεος Ἀφροδίτης Ἑρμοῦ ἡλίου, πέντε καθ' ἕκαστον οὐσῶν τῶν φερουσῶν, τέτταρες. γίνονται οὖν αἱ πᾶσαι ἀνελίττουσαι δὶς μὲν τρεῖς αἱ Κρόνου καὶ Διός, τετράκις δὲ τέτταρες Ἄρεος Ἀφροδίτης Ἑρμοῦ ἡλίου· ὥστε πᾶσαι δύο καὶ εἴκοσιν, ἦσαν δὲ αἱ φέρουσαι ὀκτὼ μὲν αἱ Κρόνου καὶ Διός, πέντε δὲ καὶ εἴκοσι τῶν λοιπῶν πέντε· τριῶν οὖν τούτων καὶ τριάκοντα ταῖς δύο καὶ εἴκοσι συντεθεισῶν ἀνελιττούσαις, ἅπασαί εἰσι πέντε καὶ πεντήκοντα. ταῖς γὰρ τὴν σελήνην φερούσαις, ὡς εἴρηται, οὐδὲν δεῖ ἀνελιττουσῶν, ἐσχάτης οὔσης· οὕτω γὰρ Ἀριστοτέλης εἴρηκεν, ὅτι μόνας οὐ δεῖ ἀνελιχθῆναι ἐν αἷς φέρεται τὸ κάτω τεταγμένον ἄστρον. τὸ δὲ ἐπαχθὲν "εἰ 1074a 12.
δὲ τῇ σελήνῃ τε καὶ τῷ ἡλίῳ μὴ προσθείη τις ἃς εἴπομεν κινήσεις, αἱ πᾶσαι σφαῖραι ἔσονται ἑπτὰ καὶ τετταράκοντα," τοῦτο ταραχὴν ποιεῖ. ἐὰν γὰρ ἀφέλωμεν τὰς τοῦ ἡλίου δύο καὶ τὰς τῆς σελήνης δύο, ἃς προσέθηκε Κάλλιππος, καὶ δῆλον ὅτι δύο ἄλλας ἀπὸ τοῦ ἡλίου τὰς ἀνελιττούσας ἐκείνας (ἀφῃρημένων γὰρ ἐκείνων δεῖ συναφαιρεῖν καὶ τὰς μελλούσας αὐτὰς ἀνελίττειν), ἓξ μὲν ἔσονται ἀφῃρημέναι, δύο αἱ φέρουσαι τὸν ἥλιον καὶ δύο αἱ ταύτας ἀνελίττουσαι πρὸς ταῖς δύο ταῖς τῇ σελήνῃ προστεθείσαις ὑπὸ Καλλίππου, οὐκέτι δὲ συμβαίνει τούτων ἀφαιρεθεισῶν ἀπὸ τῶν πέντε καὶ πεντήκοντα λοιπὰς εἶναι πάσας ἑπτὰ καὶ τετταράκοντα, ἀλλὰ ἐννέα καὶ τετταράκοντα καταλιμπάνεσθαι, ἢ ὡς ἐπιλελησμένος ὅτι τῆς σελήνης οὐ τέτταρας ἀλλὰ δύο μόνας ἀφεῖλεν. εἰ μὴ ἄρα δεῖ λέγειν ὅτι τοῦ μὲν ἡλίου τὰς τέτταρας ἀφεῖλεν, ἃς αὐτὸς προσέθηκεν ἀνελιττούσας, καὶ ἀμφοτέρων, ἃς ὁ Κάλλιππος· καὶ οὕτως ὀκτὼ τῶν ἀφαιρεθεισῶν οὐσῶν ἀπὸ τῶν πεντήκοντα καὶ πέντε, αἱ λοιπαί εἰσιν ἑπτὰ καὶ τετταράκοντα, καὶ οὕτως συμβαίνει εἶναι ὃν Ἀριστοτέλης φησὶν ἀριθμόν. ἢ ὥς φησιν ὁ Σωσιγένης ἐπιστήσας, βέλτιον εἶναί φησι λέγειν τοῦ ἀριθμοῦ παρόραμα νομίζειν τοῖς γράφουσι γεγονέναι, ἢ τὰς αὐτὰς ἑβδόμας καὶ ὀγδόας σφαίρας ποιεῖν. "ὥστε καὶ τὰς — ἀκινήτ."

omnes igitur sphaerae deferentes et revolventes eas 1074a 13.
quinque erunt et quinquaginta. quodsi lunae solive quispiam eos non addiderit quos diximus motus, omnes sphaerae quadraginta erunt et septem. Themist. f. 18.

ἀλλὰ τίνα τὰ τῶν σφαιρῶν ποιητικὰ αἴτια, ἃ νῦν παραδί- 1074a 14.
δωσι; πότερον αἱ ψυχαὶ καὶ τὰ εἴδη αὐτῶν; ἢ οὐ τὰς τούτων ψυχάς φησιν, ἐπεὶ οὐχ αὗται θεοί; αὗται γὰρ εἴδη οὖσαι τῶν σφαιρῶν ἐν αὐταῖς εἰσί, καὶ κινεῖ αὐτὰς κύκλῳ διὰ μέσης τῆς φύσεως μιᾶς οὔσης καὶ τῆς αὐτῆς κινήσεως· οὐ γὰρ ἄλλη ἡ τῆς ψυχῆς καὶ ἄλλη ἡ τῆς φύσεως κίνησις, καὶ ἔχουσιν ἀπὸ μὲν τῆς φύσεως αἱ σφαῖραι τὴν αὐτοφυῆ καὶ ἀβίαστον καὶ κατ' αὐτὸ τὸ εἶδος ἐπιτηδειότητα πρὸς τὸ κινεῖσθαι, ἀπὸ δὲ τῆς ψυχῆς τὴν μεταβατικὴν ἐνέργειαν, πρὸς ἣν πεφύκασι διὰ τὴν φύσιν. οὐ τὰς τούτων οὖν ψυχὰς λέγει, ἀλλ' ἑτέρας οὐσίας ἀσωμάτους καὶ χωρὶς σώματος οὔσας, ὑφειμένας μὲν τοῦ πρώτου νοῦ ὅσον αἱ σφαῖραι, εἰ χρὴ λέγειν, τῆς ἀπλανοῦς, ὑπερ-

1073a 24. τί δὲ ἡ πρώτη καὶ ἀπλανὴς οὐχ ὑπὸ τῆς οἰκείας ψυχῆς κινηθήσεται; ἢ κινεῖται μὲν καὶ ἡ ἀπλανὴς καὶ αἱ λοιπαὶ σφαῖραι ὑπὸ τῶν οἰκείων ψυχῶν, ἀλλ' οὐχ ὡς τὰ ζῷα (τούτων γὰρ αἱ ψυχαὶ ῥίπτουσι καὶ βιάζονται τὰ ἐν οἷς εἰσι σώματα), ἀλλ' οὕτως ὥσπερ ἐν τῷ Β τῆς περὶ Οὐρανοῦ (c. 12) εἴρηται; ὑπὸ δὲ τοῦ πρώτου κινοῦνται ὡς ἐφετοῦ καὶ ὀρεκτοῦ. ἀλλὰ ταῦτα μὲν προδιωρίσθω, "ἡμῖν δέ," φησὶν ὁ Ἀριστοτέλης, "ἐκ τῶν ὑπ. καὶ δεδειγμένων ῥητέον" ὅτι ἡ πρώτη ἀρχὴ τὸ πρῶτον πάντων τῶν ὄντων ἀκίνητόν ἐστι καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, κινοῦν δὲ ὡς ἐφετὸν δηλονότι τὴν πρώτην καὶ ἀΐδιον καὶ μίαν κίνησιν.

1073a 28. δέδεικται γὰρ καὶ τοῦτο ἐν τῇ Φυσικῇ Ἀκροάσει (Θ).

1073a 29. λέγει δὲ πᾶν τὴν ἀπλανῆ, ἥν φαμεν κινεῖν ὡς ἐφετὸν τὴν πρώτην καὶ ἀκίνητον οὐσίαν.

1073a 32. δέδεικται ἐν τῇ περὶ Οὐρανοῦ. ἐπειδὴ οὖν τοῦθ' ὁρῶμεν, ἀνάγκη καὶ τῶν πλανωμένων ἑκάστην φορὰν ὑπὸ ἀκινήτου κινεῖσθαι καὶ καθ' αὑτὴν ἀκινήτου οὐσίας. εἰ δὲ εἴη γεγραμμένον "ὑπὸ ἀκινήτου τε κινεῖσθαι καθ' αὑτό," καὶ διὰ ταύτης τῆς γραφῆς τὸ αὐτὸ δηλοῖ, καὶ οὐ μόνον ὑπὸ ἀκινήτου καὶ καθ' αὑτὸ οὐσίας ἀνάγκη αὐτὴν κινεῖσθαι, ἀλλὰ καὶ ὑπὸ ἀϊδίου.

substantiae vero sequentium corporum motrices necessario multae sunt pro numero corporum quae moventur ab eis; et hae quidem per se immobiles sunt, per accidens tamen moventur perinde atque anima. nec tantum immobiles sunt, sed et perpetuae etc. Themist. f. 17.

1073b 13. ἡ δὲ λέξις "ὅτι περὶ πλήθους οὐδὲν εἰρήκασιν ὅ τι καὶ σαφὲς εἰπεῖν" (l. 16), περιπέφρασται. ἔστι γὰρ τὸ λεγόμενον ἴσον τῷ περὶ πλήθους οὐδὲν εἰρήκασι. ταῦτα εἶπε καὶ μέλλων λέγειν ὅσον ἐστὶ τὸ πλῆθος τῶν σφαιρῶν.

1073b 17. τοῦτο εἰπὼν εὐθὺς ἱστορεῖ ἅ τε Εὔδοξος περὶ τῶν σφαιρῶν ἔλεγε καὶ τοῦ πλήθους αὐτῶν καὶ Κάλλιππος· καὶ δεξάμενος τὴν προσθήκην τῶν σφαιρῶν, ἣν ὁ Κάλλιππος προσέθηκεν (ὁ γὰρ Εὔδοξος εἴκοσι καὶ ἓξ τὰς πάσας ἐτίθετο, Κάλλιππος δὲ τριάκοντα καὶ τρεῖς), οὕτως αὐταῖς ταῖς τριάκοντα καὶ τρισὶν ἄλλας εἴκοσι καὶ δύο προστίθησι. "Εὔδοξος — σφαίραις." ὅσας μὲν οὖν τὰς σφαίρας καὶ οἵως κινεῖσθαι καὶ διὰ τίνα αἰτίαν Εὔδοξος καὶ Κάλλιππος καὶ ὕστερον Ἀριστοτέλης ἔλεγον, ἐν τῷ δευτέρῳ τῆς περὶ Οὐρανοῦ (2 12 p. 293 a 4) κατὰ τὴν τῆς λέξεως ἐξήγησιν τὴν "καὶ ἔτι διὰ τοῦτο δὲ ἓν ἔχουσι σῶμα καὶ αἱ ἄλλαι φοραί," ἕως τοῦ "παντὸς δὲ πεπερασμένου σώματος πρὸς πεπερασμένον ἡ δύναμίς ἐστι," μετὰ πολλῆς εἴρηται τῆς ἐπιμελείας. σχεδὸν δὲ καὶ τὸ ἐνεστὼς χωρίον τὸ "Εὔδοξος" κτλ. ἕως τοῦ "τὸ μὲν οὖν πλῆθος τῶν σφαιρῶν ἔστω τοσοῦτον" (p. 1074 a 14) ἐκεῖσε ἐξηγησάμεθα. διὸ ἐκεῖθεν τὴν τούτου σαφήνειαν ὁ βουλόμενος ποριζέσθω. ἐπεὶ δέ τινες τῶν λέξεων ἐκεῖσε οὐκ ἐσαφηνίσθησαν, νῦν ἄξιόν ἐστιν αὐτὰς ἐπισκέψασθαι. ὧν διὰ τῆς πρώτης τῆς "ὧν τὴν μὲν πρ. — εἶναι" οὐ τοῦτό φησιν, ὡς ἄν τῳ δόξειεν, ὅτι ἡ ἀπλανὴς πρώτη ἐστί, καίτοι καὶ οὔσης πρώτης, ἀλλ' ὅ φησι τοῦτό ἐστιν, ὅτι τριῶν οὐσῶν σφαιρῶν κατὰ Εὔδοξον τῶν φερουσῶν τὸν ἥλιον, ἡ μὲν πρώτη καὶ περιέχουσα τὰς λοιπὰς δύο καὶ τὴν αὐτὴν τῇ ἀπλανεῖ κινουμένη κίνησιν (ἀπὸ ἀνατολῆς γὰρ ἐπὶ δύσιν ἔλεγον αὐτὴν κινεῖσθαι, καὶ δι' ἣν αἰτίαν εἴπομεν ἐν τῇ περὶ Οὐρανοῦ), αὕτη οὖν ἡ πρώτη ὡς ἀπλανὴς ἐνομίζετο τῷ Εὐδόξῳ πρὸς τὰς λοιπὰς δύο τὰς ὑπ' αὐτῆς περιεχομένας. καὶ οὐ μόνον τὴν τοῦ ἡλίου πρώτην σφαῖραν ἀπλανῆ ἔλεγεν, ἀλλὰ καὶ τὴν τοῦ Κρόνου καὶ τὴν τοῦ Διὸς καὶ τὰς ἑκάστου τῶν ἄλλων ἀστέρων πρώτας καὶ μείζονας ἀπλανεῖς ἔλεγεν, ὡς εἶναι μίαν μὲν ἀπλανῆ τὴν πρώτην, ἐν ᾗ τὸ χῦμα τῶν τὰ ζῴδια ἀναπληρούντων ἀστέρων εἰσίν, ἑτέραν δὲ τὴν τοῦ Κρόνου, καὶ ἄλλην τὴν τοῦ Διός, καὶ ἐφεξῆς ἃς ἀνάστρους Θεόφραστος ἔλεγεν. τὸ δὲ "τὴν δὲ τρίτην — ζῳδίων" λελοξωμένον κύκλον ἐν τῷ πλάτει τῶν ζῳδίων ἔλεγεν, ὡς ἐν τῇ περὶ Οὐρανοῦ εἴρηται, ὃν δοκεῖ ὁ ἥλιος τῷ ἑαυτοῦ κέντρῳ γράφειν φερόμενος ὑπὸ τῆς ἐν ᾗ δέδεται σφαίρας, ὃς καὶ δοκεῖ ἐκπίπτειν τὰ τροπικὰ σημεῖα διὰ τὸ μὴ ἀεί, ὅταν τὰς τροπὰς ὁ ἥλιος ποιῆται, ὁρᾶσθαι ἀπὸ τῶν αὐτῶν τόπων ἀνατέλλων. τὸ δὲ "ἐν μείζονι δὲ πλάτει λελοξῶσθαι καθ' ὃν ἡ σελήνη φέρεται ἢ καθ' ὃν ὁ ἥλιος" ἴσον ἐστὶ τῷ τὸ δὲ πλάτος τῆς λοξώσεως τοῦ κύκλου, ὃν ἡ σελήνη τῷ αὐτῆς κέντρῳ γράφειν δοκεῖ, μεῖζόν ἐστι τοῦ πλάτους τῆς λοξώσεως τοῦ κύκλου, ὃν ὁ ἥλιος τῷ οἰκείῳ κέντρῳ γράφειν δοκεῖ· κατείληπτο γὰρ καὶ τοῦτο ἐκ τοῦ μὴ ἐκ τῶν αὐτῶν τόπων τὰς ἀνατολὰς ἐν ταῖς τροπαῖς τὸν ἥλιον καὶ τὴν σελήνην ποιεῖσθαι. ἔστω γὰρ ὁ ὁρίζων κύκλος ὁ αηβμγδ, ἰσημερινὸς δὲ ὁ δεβ, ὁ λελοξωμένος δὲ ἐν τῷ πλάτει τῶν ζῳδίων, ὃν ὁ ἥλιος τῷ ἑαυτοῦ κέντρῳ δοκεῖ γράφειν, ἔστω ὁ αεγ, ὃν δὲ πάλιν ἡ σελήνη τῷ ἑαυτῆς κέντρῳ γράφειν δοκεῖ ἔστω ὁ ηεμ· καὶ ἀνατελλέτω ὁ ἥλιος καθ' ἣν ὥραν ποιεῖται τὴν θερινὴν τροπὴν ἀπὸ τοῦ α σημείου, καθ' ἣν δὲ τὴν ἰσημερίαν, ἀπὸ τῆς δ σημείου. δῆλον δ' ὅτι τὸ μεῖζον πλάτος τῆς λοξώσεως ἡ δα περιφέρειά ἐστιν. ἡ δὲ σελήνη ὅταν τὴν πρὸς τὸ βόρειον τροπὴν ποιῆται, ἀνατελλέτω ἀπὸ τοῦ η σημείου· φανερὸν δὴ ὅτι τὸ μεῖζον πλάτος τῆς λοξώσεως αὐτῆς ἡ δη περιφέρειά ἐστι, καὶ ἔστι μείζων τῆς δα περιφερείας, ἥτις ἦν τὸ μεῖζον πλάτος τῆς ἡλίου λοξώσεως. τούτου οὖν ἐστὶ δηλωτικὸν τὸ "ἐν μείζονι πλάτει λελοξῶσθαι καθ' ὃν καὶ ἡ σελήνη φέρεται ἢ καθ' ὃν ὁ ἥλιος."

1073b 23. τὸ δὲ "τῆς δὲ τρίτης ἁπάντων τοὺς πόλους ἐν τῷ διὰ μέσων τῶν ζῳδίων εἶναι" ἀντὶ τοῦ, πᾶσαι αἱ τρίται σφαῖραι τοὺς πόλους ἔχουσιν ἐν τοῖς κύκλοις τοῖς γραφομένοις διὰ μέσων τῶν ζῳδίων ὑπὸ τῶν κέντρων τῶν ἄστρων.

1073b 32. τὸ δὲ "τὴν αὐτὴν ἐτίθετο — τάξιν," τουτέστι τῶν ἀποστημάτων, ἀντὶ τοῦ, ὁποίας ἔλεγεν Εὔδοξος πρώτας καὶ δευτέρας σφαίρας, ταύτας καὶ ὁ Κάλλιππος πρώτας ἔφασκεν· καὶ ὅσον ἄν, φέρε εἰπεῖν, ἀφεστηκέναι τὴν Κρονιακὴν τῆς Ἑρμαϊκῆς σφαίρας ἔλεγεν ὁ Εὔδοξος, τοσοῦτον καὶ ὁ Κάλλιππος ἔφασκεν αὐτὴν ἀφεστηκέναι.

1074a 1. τὸ δὲ "καθ' ἕκαστον τῶν πλανωμένων ἑτέρας σφαίρας μιᾷ ἐλάττους εἶναι τὰς ἀνελιττούσας," ἀντὶ τοῦ. ἐπειδὴ αἱ τὸν Κρόνον φέρουσαι σφαῖραι τέσσαρές εἰσιν, αἱ ἀνελίττουσαι τρεῖς ἔστωσαν· αἱ γὰρ τρεῖς μιᾷ ἐλάττονές εἰσι τῶν τεσσάρων. πάλιν ἐπεὶ αἱ τὸν Ἄρεα κατὰ Κάλλιππον φέρουσαι πέντε εἰσί, προσκείσθωσαν αὐταῖς ἀνελίττουσαι τέσσαρες· αἱ γὰρ τέσσαρες μιᾷ ἐλάττους εἰσὶ τῶν πέντε· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τίνα δὲ χρείαν τῷ Ἀριστοτέλει παρέχει ἡ τῶν ἀνελιττουσῶν προσθήκη,

νάμει· ἔστι γὰρ ὁ καθ' ἕξιν νοῦς εἶδος καὶ δύναμίς καὶ τελειότης τοῦ δυνάμει νοῦ, ἥτις ἕξις ἐν ἑαυτῷ γίνεται ἔκ τε τῆς τοῦ καθόλου περιλήψεως καὶ ἐκ τοῦ τὰ εἴδη χωρίζειν ἀπὸ τῆς ὕλης δύνασθαι, ἃ τρόπον τινὰ ταὐτά ἐστιν ἀλλήλοις· ὅ τε γὰρ εἶδός τινος χωρὶς τῆς ὕλης λαβὼν ἔχει τὸ κοινόν τε καὶ καθόλου· ὁ γὰρ τὸ εἶδος τοῦ ἀνθρώπου λαβὼν χωρὶς τῶν ὑλικῶν περιστάσεων ἔχει τὸν κοινὸν ἄνθρωπον· ἡ γὰρ τῶν καθ' ἕκαστα πρὸς ἀλλήλους διαφορὰ παρὰ τῆς ὕλης λαμβάνεται· τοῦτο γὰρ ἐν αὐτῇ γίνεται, ἐπεὶ τά γε εἴδη αὐτῶν, καθ' ἃ εἰσιν ἄνθρωποι, οὐδεμίαν ἔχει διαφοράν. ὅ τε τὸ κοινὸν τὸ ἐπὶ τοῖς καθ' ἕκαστα συνιδὼν τὸ εἶδος πάλιν χωρὶς τῆς ὕλης λαμβάνει· τοῦτο γὰρ ἐν αὐτοῖς τὸ κοινόν τε καὶ ταὐτόν. ἐγγίνεται δὲ ἡ τοιάδε ἕξις τῷ νῷ τὴν ἀρχὴν κατὰ μετάβασιν ἀπὸ τῆς περὶ τὰ αἰσθητὰ συνεχοῦς ἐνεργείας, ὥσπερ ὄψιν τινὰ ἀπ' αὐτῶν λαμβάνοντι τοῦ καθόλου θεωρητικήν, ὃ κατ' ἀρχὰς μὲν νόημα καὶ ἔννοια καλεῖται, πλεονάσαν δὲ καὶ ποικίλον καὶ πολύτροπον, ὡς δύνασθαι καὶ χωρὶς τῆς αἰσθητικῆς ὑποβάθρας ποιεῖν τοῦτο, νοῦς ἤδη. ὅταν γὰρ ἐν ἕξει γένηται τοιαύτῃ διὰ τὰς συνεχεῖς ἐνεργείας, ὥστε δι' ἑαυτοῦ λοιπὸν ἐνεργεῖν δύνασθαι, τότε ὁ ὡς ἕξις καλούμενος νοῦς γίνεται, ἀνάλογος ὢν τῷ ἐπιστήμονι, ὃς τοῦ τε κατὰ δύναμιν ἐπιστήμονος λεγομένου καὶ τοῦ κατ' ἐπιστήμην ἐνεργοῦντός ἐστι μεταξύ· ὃς ὅσον ἀπολείπεσθαι δοκεῖ τοῦ κατ' ἐπιστήμην ἐνεργοῦντος, τοσοῦτον πλεονεκτεῖ τὸν κατὰ δύναμιν ἐπιστήμονα. ἐνεργοῦσα δὲ ἤδε ἡ ἕξις ὁ κατ' ἐνέργειαν γίνεται νοῦς· ἀποκείμενά πώς ἐστιν ἀθρόα καὶ ἠρεμοῦντα νοήματα (*). καὶ ἐπεί ἐστιν ὁ κατ' ἐνέργειαν νοῦς οὐδὲν ἄλλο ἢ τὸ εἶδος τὸ νοούμενον, ὥσπερ ἡ κατ' ἐνέργειαν αἴσθησις τὸ κατ' ἐνέργειαν αἰσθητόν, ὁ ἐν ἕξει νοῦς (οὗτος δέ ἐστιν ὁ ὑφ' αὑτοῦ νοεῖν δυνάμενος καὶ τὰ τῶν νοητῶν εἴδη λαμβάνειν καθ' αὑτά), οὗτος ἤδη δύναται καὶ ἑαυτὸν νοεῖν· ἐπεὶ γὰρ τὸ νοούμενον εἶδος αὐτός ἐστιν, εἴ γε νοῶν ὃ νοεῖ γίνεται. ὁ ἄρα ἕξιν ἔχων τοῦ τὰ εἴδη νοεῖν, οὗτος ἕξιν καὶ δύναμιν ἔχει τοῦ νοεῖν ἑαυτόν· ὃ γὰρ δύναται νοεῖν, τοῦτο αὐτὸ νοῦς γίνεται, καὶ ἔστιν, ὅταν νοῇ, προηγουμένως μὲν καὶ καθ' αὑτὸν νοῶν τὸ νοητὸν εἶδος, κατὰ συμβεβηκὸς δὲ ἑαυτόν, τῷ συμβεβηκέναι αὐτῷ, ὅταν νοῇ, γίνεσθαι ἐκεῖνο ὃ νοεῖ. πρὸ μὲν οὖν τοῦ κατ' ἐνέργειαν τὸν νοῦν νοεῖν πρὸς ἄλληλά ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον καὶ ἀντικείμενα ἀλλήλοις ὡς τὰ πρός τι· ὅταν δ' ἐνεργῶσιν, ἓν γινόμενα παύεται τῆς ἀντιθέσεως· οὐδὲ γὰρ ἐφαρμόζειν αὐτοῖς οἷόν τέ ἐστι τὸν τοῦ πρός τι λόγον. διὸ ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτὸς γινόμενος τῷ νοητῷ, εὐλόγως ἑαυτὸν λέγεται νοεῖν. ὁ δὲ νοῦς ὁ κατ' ἐνέργειαν ἑαυτὸν νοεῖ· ὃ γὰρ νοεῖ, τοῦτο αὐτὸ γίνεται· τὰ γὰρ εἴδη χωρὶς ὕλης νοεῖ· οὐ γὰρ τόδε ἀλλὰ τὸ τῷδε εἶναι νοεῖ, ὡς προείρηται.

1072b 22. cum autem intelligit, intellectio eius est actus eius. Themist. f. 15.

1072b 23. *ἔχει δὲ θεῖον τὸ νοεῖν ἑαυτόν. "τοῦτο μᾶλλον ἐκείνου," τουτέστι τοῦ πρώτου νοός ἐστιν· ἐκεῖνο οὖν φησίν, ὅπερ δοκεῖ τοῦ ἐνεργείᾳ νοῦ θειότατον καὶ τιμιώτατον, τοῦτο δ' ἐστὶ τὸ νοεῖν ἑαυτόν. . . . τοῦτο μᾶλλον ἐκείνου τοῦ πρώτου νοός ἐστιν· μᾶλλον γὰρ καὶ ἀκριβέστατα νοεῖ ἑαυτὸν ὁ πρῶτος νοῦς, εἴπερ ὁ ἐνεργείᾳ νοῦς ἑαυτόν. οὔτε οὖν ὁ ἐνεργείᾳ νοῦς ἑαυτὸν νοεῖ, ὥσπερ ὁ πρῶτος νοῦς ἑαυτόν, οὔτε ἀεί, ἀλλά ποτε καὶ ὀλιγάκις, ὁ δὲ πρῶτος νοῦς ἑαυτὸν ἀεὶ νοεῖ· οὐδὲν γὰρ ὁ πρῶτος νοῦς ἄλλο νοεῖ ἢ ἑαυτόν· τῷ μὲν γὰρ εἶναι νοητὸς νοεῖται πρὸς ἑαυτοῦ, καὶ τῷ ἐνεργείᾳ καὶ φύσει τῇ ἑαυτοῦ νοητὸν εἶναι ἀεὶ νοούμενος ἔσται, δῆλον ὅτι ὑπὸ τοῦ ἀεὶ ἐνεργείᾳ νοοῦντος· ἀεὶ δὲ ἐνεργείᾳ νοῶν ἐστὶ νοῦς αὐτός· μόνος ἀεὶ ἄρα ἑαυτὸν νοήσει. μᾶλλον δὲ καθ' ὅσον ἐστὶν ἁπλοῦς· ὁ γὰρ ἁπλοῦς ἁπλοῦν τι νοεῖ, οὐδὲν δὲ ἁπλοῦν ἐστὶ νοητὸν πλὴν αὐτό· ἀμιγὴς γὰρ οὗτος καὶ ἄϋλος καὶ οὐδὲν ἔχων ἐν ἑαυτῷ δυνάμει· ἑαυτὸν ἄρα μόνον νοήσει. καθὸ μὲν γὰρ νοῦς ἐστίν, ἑαυτὸν ὡς νοητὸν νοήσει· καθὸ δὲ ἐνεργείᾳ καὶ νοῦς ἐστὶ καὶ νοητόν, ἑαυτὸν νοήσει ἀεί· καθὸ δὲ ἁπλοῦς ἐστί, μόνος τῶν νοητῶν μόνον ἑαυτὸν νοήσει. καὶ ἔστιν ἡ θεωρία, ἐν ᾗ ἑαυτὸν νοεῖ, τὸ ἥδιστον καὶ ἄριστον.*

δείξας ὅτι ὁ θεὸς ἡ πρώτη ἀρχὴ ζῷον ἀΐδιον καὶ ἄριστόν ἐστιν, 1072b 30.
αἰτιᾶται τοὺς Πυθαγορείους καὶ Σπεύσιππον εἴποντας ὅτι τὸ κάλλιστον καὶ ἄριστον οὐκ ἔστιν ἐν ἀρχῇ, οὐδὲ δυνατὸν λέγεσθαι τὴν ἀρχὴν ἄριστον, διότι τὸ σπέρμα καὶ τὸ καταμήνιον ἀρχαὶ μέν εἰσι τῶν ζῴων καὶ οὐκ εἰσὶν ἄριστα, ἀλλ' ἔστι μᾶλλον ἄριστον τὸ ἐκ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου γεγονός.

nam deus est lex et ratio causaque rectitudinis entium atque eorundem ordo est; nec est lex ut haec quae in libris ponitur, sed lex viva, perinde ac si cogitatione depingere posset legem animatum esse seque intelligere posse ect. Themist. f. 16.

at iam aliqui sunt opinati praestantiam ac pulchritudinem reperiri non posse in initio rei, ut secta Pythagoreorum et Leucippus commenti sunt. Themist. l. l.

δέδεικται δὲ καὶ ἐν τῷ Θ τῆς Φυσικῆς Ἀκροάσεως ὅτι καὶ ἀσώ- 1073a 5.
ματος καὶ ἀμερής ἐστιν ἡ τοιαύτη οὐσία· καὶ ὑπομιμνήσκει τῶν ἐκεῖ ῥηθέντων.

ἄπειρον δὲ σῶμα ὅτι ὅλως οὐκ ἔστι δέδεικται καὶ ἐν τῷ Γ τῆς 1073a 10.
Φυσικῆς Ἀκροάσεως (c. 5), *δέδεικται καὶ ἐν τῷ Α τῆς περὶ Οὐρανοῦ* (c. 5).

ἀλλὰ μὴν καὶ ἀπαθές ἐστι τὸ πρῶτον αἴτιον καὶ ἀναλλοίωτον· εἰ 1073a 11.
γὰρ ὅλως ἐκινεῖτο, τὴν πρώτην ἂν ἐκινεῖτο τῶν κινήσεων τὴν κατὰ τόπον, ταύτην δὲ δέδεικται ὅτι οὐ κινεῖται. εἰ δὲ μὴ ταύτην, σχολῇ γε τὰς ἄλλας.

δεῖ δὲ μὴ λανθάνειν ἀλλὰ μεμνῆσθαι καὶ ἐνθυμεῖσθαι καὶ τὰς τῶν 1073a 14.
ἄλλων ἀποφάσεις καὶ γνώμας. καὶ τίνος χάριν δεῖ μεμνῆσθαι, ἐπάγει, ὅτι σαφὲς οὐδέν τι περὶ τοῦ πλήθους τῶν τοιούτων αἰτίων εἰρήκασι, πότερον τὰ τοιαῦτα αἴτια τρία εἰσὶν ἢ εἴκοσιν ἢ ἄλλος τις ἀριθμός. οἱ μὲν γὰρ τὰς ἰδέας αἰτίας τῶν τῇδε τιθέμενοι πότερον καὶ τῶν κινήσεων αἰτίας ἐτίθεντο οὐδὲν λέγουσιν.

εἰ γὰρ αἱ ἰδέαι ἀριθμοί, ὁ δ' ἀριθμὸς ἄχρι τῆς δεκάδος ἵσταται, 1073a 20.
αἱ ἰδέαι ἄρα δεκάδες εἰσίν. πάλιν εἰ αἱ ἰδέαι ἀριθμός, ὁ δ' ἀριθμὸς ἄπειρος, αἱ ἰδέαι ἄρα ἄπειροι. ὥστε οὐδαμῶς περὶ τούτων ἀπεφήναντο εἴτε μόνως ἀπείρους αὐτὰς δεῖ λέγειν εἴτε μόνως πεπερασμένας.

(*) intellectus actu fit: intellectus enim secundum habitum est universae quodammodo intelligentiae, quae repositae sunt et quiescunt. *Sepulv.*

ἐστι καὶ νοῦς γίνεται, οὐ πρότερον οὐδὲ τῇ ἑαυτοῦ φύσει ὂν τοσοῦτον· ὁ γὰρ κατ᾽ ἐνέργειαν νοῦς οὐδὲν ἄλλο ἢ τὸ νοούμενον εἶδός ἐστιν, ὥστε καὶ τούτων ἕκαστον τῶν οὐκ ὄντων ἁπλῶς νοητῶν, ὅταν νοῆται, νοῦς γίνεται. ὡς γὰρ ἡ κατ᾽ ἐνέργειαν αἴσθησις ἡ αὐτή ἐστι τῷ κατ᾽ ἐνέργειαν αἰσθητῷ καὶ τὸ κατ᾽ ἐνέργειαν αἰσθητὸν τῇ κατ᾽ ἐνέργειαν αἰσθήσει, οὕτως ὁ κατ᾽ ἐνέργειαν νοῦς ὁ αὐτός ἐστι τῷ κατ᾽ ἐνέργειαν νοητῷ καὶ τὸ κατ᾽ ἐνέργειαν νοητὸν τῷ κατ᾽ ἐνέργειαν νῷ· ὁ γὰρ νοῦς τὸ εἶδος τοῦ νοουμένου λαβὼν καὶ τῆς ὕλης αὐτὸ χωρίσας κατ᾽ ἐνέργειαν ἐκεῖνο τὸ νοητὸν ποιεῖ, καὶ αὐτὸς κατ᾽ ἐνέργειαν νοῦς γίνεται. εἰ δ᾽ ἔστι τῶν ὄντων, ὥσπερ δέδεικται, ἀσώματον καὶ καθ᾽ αὑτὸ ὂν καὶ ἄυλον, τοῦτό ἐστιν ἐνεργείᾳ νοητὸν τῇ τε ἑαυτοῦ φύσει, καὶ ἐξ αὑτοῦ τὸ εἶναι ἐνεργείᾳ νοητὸν ἔχει, καὶ οὐ παρὰ τοῦ χωρίζοντος αὐτὸ τῆς ὕλης νοῦ· ἄυλον γὰρ νοῦς καὶ νοητόν ἐστιν. ἀλλ᾽ ἔστιν ἐνεργείᾳ νοῦς καὶ ἐνεργείᾳ νοητὸν ἀεί, ὡς μετ᾽ ὀλίγον ἐρεῖ, ὥστε ὅσα μὲν τῶν εἰδῶν ὁ νοῦς χωρίζει τῆς ὕλης καὶ νοητὰ αὐτὰ ποιεῖ, ταῦτα οὐκ ἔστι κυρίως νοητὰ καὶ καθ᾽ αὑτά. σημεῖον δέ, καὶ γὰρ χωρισθέντα τοῦ νοοῦντος αὐτὰ νοῦ καὶ χωρίσαντος ἀπὸ τῆς ὕλης καὶ ἐκ μερικῶν ποιήσαντος καθόλου, φθείρεται καὶ οὐκ ἔστιν· ὅσα δὲ ἐξ αὑτῶν τὸ εἶναι καθ᾽ αὑτὰ ἔχει, ταῦτα κυρίως νοεῖ καὶ κυρίως νοητά.

1072a "ἔστι — αὐτό." ἔνστασίν τινα διὰ τούτων λύει δυναμένην
32. πρὸς τὰ λεγόμενα φέρεσθαι τοιαύτην· εἰ ἡ πρώτη οὐσία καὶ ἀκίνητος ἁπλῆ ἐστί, τὸ δὲ ἁπλοῦν ἕν ἐστιν, ἡ ἄρα ἀκίνητος οὐσία μία ἐστίν. δείξει δὲ αὐτὸς ὅτι εἰσὶ καὶ ἄλλαι ἀκίνητοι οὐσίαι ἐν τούτῳ τῷ βιβλίῳ. λύει δὴ ταύτην λέγων, ὅτι οὐκ ἔστι τὸ ἁπλοῦν καὶ ἓν ταὐτόν.

neque cum primam substantiam unam esse dicimus, quantitatem significamus... in his namque aliud est id quod est, aliud est esse unum: in natura vero hac ens et unum idem sunt. ita quoque simplex dicitur non quod ex ea possit quicquam componi; nec alterius comparatione sic appellatur, sed simplex est sine compositione et multiplicitate. et natura haec non tantum est primus motor rerum, sed est perfectio et id gratia cuius. nam quod ex se eligibile est et quod in se summam habet pulchritudinem et nobilitatem, id et principium et ex se perfectio existit. Themist. f. 13.

1072a "ἐν τῇ αὐτῇ συστοιχίᾳ," ἤτοι ἐν ᾗ ἐστὶ τὸ καθ᾽ αὑτὸ καὶ δι᾽
35. αὑτὸ αἱρετὸν καὶ ἄριστον, κατ᾽ ἀναλογίαν δέ. καὶ ὃ ἂν εἴη πρῶτον, λεχθήσεται ἄριστον.

1072b ταῦτα εἰπὼν λέγει, ὅτι δέ ἐστι πρὸς οἷς εἴπομεν ἐν τοῖς ἀκι-
1. νήτοις καὶ τὸ οὗ ἕνεκα, δηλοῖ ἡ διαίρεσις, λέγων διαίρεσιν ἐν ᾗ πολλάκις εἴρηκε τὴν τῶν ἐναντίων πεποιηκέναι ἀναγωγήν· ταύτην δὲ πεποίηκεν ἐν τῷ περὶ τ᾽Ἀγαθοῦ ἐπιγραφομένῳ βιβλίῳ. ἐν δὲ τῇ λέξει τῇ "ἔστι γάρ τινι τὸ οὗ ἕνεκα," τὸ "γὰρ" ἀντὶ τοῦ δέ συνδέσμου ἐκληπτέον, ἵν᾽ ᾖ, τὸ δὲ οὗ ἕνεκά τινί ἐστιν· τὰ γὰρ γινόμενα καὶ πραττόμενα ἕνεκα τῆς εὐδαιμονίας τινὶ πράττεται, οἷον τῷ Σωκράτει. [τοῦ δὲ] "ὧν τὸ μὲν ἔστι τὸ δ᾽ οὐκ ἔστι" "ὧν" λέγοι ἂν τὰ ὧν ἕνεκα ἡ πρᾶξις, τὸ δὲ "τὸ δ᾽ οὐκ ἔστι" τὸ πρᾶττον. εἴη δ᾽ ἂν τὸ λεγόμενον· τὸ οὗ ἕνεκα, ὅπερ ἔστι, τοῦτο ἐστίν· τὸ δὲ τούτου ἕνεκα, οὐκ ἔστιν ὅπερ ἐκεῖνο. τὸ γὰρ κινούμενον ἕνεκα τοῦ ἀγαθοῦ, οὐκ ἔστιν ἀγαθόν, τὸ δὲ ἀγαθὸν ὅπερ ἐστίν, οὗ ἕνεκα ἀγαθόν ἐστιν. κινεῖται δὲ ἕως οὗ καταλάβοι τὸ ἀγαθόν· καταλαβὸν δὲ ἵσταται. εἰ δὲ τὸ πρῶτον αἴτιον, ὅπερ καὶ πρῶτον ἀγαθόν ἐστιν, ἄπειρόν ἐστιν, οὐδέποτε ἂν τὴν ὁλότητα τῆς ἀγαθότητος αὐτοῦ, ὥσπερ ἐπὶ τῶν μερικῶν ἀγαθῶν ἔχει, τὸ ἐφιέμενον αὐτοῦ καταλήψεται· διὰ τοῦτο ἀεὶ κινήσει ὡς ἐρώμενον ἀκατάληπτον. ταῦτα εἰπὼν λέγει καὶ πῶς κινεῖ τὸ πρῶτον αἴτιον πάντα, ὅτι κινεῖ μὲν τὸ κυκλοφορητικὸν σῶμα ὡς ἐρώμενον καὶ ἐφετόν. κινούμενον δὲ ὑπ᾽ αὐτοῦ προσεχῶς ὁ οὐρανὸς αὐτὸς τὰ ἄλλα κινεῖ· ἐπεὶ δὲ πᾶσα κίνησις δοκεῖ ἐξιστᾶν τὸ πρᾶγμα ἀφ᾽ οὗ ἐστιν, εἶπε δὲ ὅτι ὁ οὐρανὸς κινεῖται, ἵνα μή τις ὑπολάβῃ ὅτι τῆς ἑαυτοῦ φύσεως ἐξίσταται, λέγει "εἰ μὲν οὖν τι κινεῖται, ἐνδέχεται ἄλλως ἔχειν," τουτέστιν ἐπεὶ κινεῖται ὁ οὐρανός, ἐνδέχεται αὐτὸν ἄλλως ἔχειν. καὶ πῶς ἐνδέχεται κινούμενος ἄλλως ἔχειν κινούμενος, ἐπάγει· "ὥστε εἰ φορὰ ἡ πρ. ἐν. ἐστιν ἡ κιν., ταύτην δὲ ἐνδ. ἄλλ. ἔχ." καὶ ὑποστικτέον εἰς τὸ "κινεῖται." ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἐὰν ἐστὶν ἡ ἐνέργεια τοῦ οὐρανοῦ ἡ πρώτη φορά, διότι κινεῖται καὶ καθὸ ὅλως κίνησιν ἔχει, ταύτῃ λεχθήσεται ὡς ἐνδέχεται ἄλλως ἔχειν, ἤτοι κατὰ τόπον φέρεσθαι ἤτοι κύκλῳ κινεῖσθαι. τὸ δὲ "καὶ εἰ μὴ κατ᾽ οὐσίαν" ἀντὶ τοῦ, εἰ καὶ μὴ κατὰ τὴν ἑαυτοῦ φύσιν κινεῖται, μηδὲ ἐξίσταται αὐτῆς (ἀΐδιος γάρ ἐστι κατὰ τὸ κύκλῳ φέρεσθαι), οὐδὲν κωλύει, εἰ μὴ καὶ ἀναγκαῖον ἀεὶ κινεῖσθαι. ταῦτα εἰπὼν λέγει "ἐπεὶ δέ ἐστι — ἄλλως ἔχ.," ἢ ὅλως κινεῖσθαι. καὶ δείκνυσι, τοῦτο δυνάμει λέγων, ὡς εἴπερ ὅλως δυνατὸν ἦν κινεῖσθαι, τὴν πρώτην ἂν ἐκινεῖτο τῶν κινήσεων. πρώτη τῶν κινήσεων ἡ κύκλῳ. ταύτην δέδεικται ὅτι κινεῖ. εἰ δὲ τὴν κύκλῳ κινεῖ, οὐκ ἂν ταύτῃ καὶ κινηθείη διὰ τὸ μίαν κίνησιν ἓν εἶναι· εἰ δὲ ἡ κύκλῳ κίνησις ἐξ ἀνάγκης ἐστίν, ἐξ ἀνάγκης ἄρα καὶ τὸ κινοῦν αὐτήν ἐστιν ὄν. "καὶ ᾗ ἀνάγκῃ, καλῶς, καὶ οὕτως ἀρχή." ὑποστικτέον εἰς τὸ "ἀνάγκῃ." λέγει ὅτι ἐπειδὴ ἐξ ἀνάγκης ἐστὶ τὸ πρῶτον αἴτιον, καθὸ ἐξ ἀνάγκης ἐστί, καλῶς καὶ οὕτω, τουτέστιν ὡς τὸ οὗ οὐκ ἄνευ λέγεται ἀρχή· ὥστε ἐρωτώμενοι ὅτι τὸ πρῶτον αἴτιον ἀναγκαῖον ὅπως ἐστὶν ἀναγκαῖον, ῥητέον ὅτι οὕτως ἐστὶν ἀναγκαῖον ὅτι ἄνευ αὐτοῦ οὐκ ἔστι τὸ εὖ. καὶ συμπεραίνεται λέγων, ὁ οὐρανὸς ἄρα ἤρτηται κτλ.

illud vero initium quod hoc pacto necessarium est, id 1072b 10.
vere initium est. Themist. f. 14.

ἐπεὶ γὰρ ἡ ἐνέργεια αὐτοῦ (τοῦ πρώτου αἰτίου) οὐδὲν ἄλλο ἐστὶν 1072b 14.
ἢ τὸ νοεῖν ἑαυτόν, ἡ δὲ ἐνέργεια αὐτοῦ ἡδονὴ αὐτοῦ ἐστίν, ἐπὶ τούτῳ ἄρα ταύτην ἀεὶ ζῇ τὴν ζωήν, λέγω δὴ τῷ νοεῖν ἑαυτόν. ἥτις οὖν ἡμῖν ποτὲ ζωὴ καὶ διαγωγὴ γίνεται, ταύτην ἀεί ἐστι τὸ πρῶτον αἴτιον, τουτέστιν αὐτός ἐστιν ἀεὶ ἡ ἀρίστη ζωή.

nostra vero in praestantia permansio eo quod ex variis 1072b 15.
potentiis constat, parum diuturna est, ut viam sapientiae reperiamus... ille vero, qui a sapientia ne punctum quidem temporis vacat, non habet delectationem acquisitam, sed ipsa delectatio est. Themist. f. 14.

τὰς δὲ ἐλπίδας πάλιν καὶ μνήμας φιλοῦμεν διὰ τὰς ἐνερ- 1072b 18.
γείας... λέγοι δ᾽ ἂν καθ᾽ αὑτὸ νόησιν τὴν κατ᾽ ἐνέργειαν νοῦν, ὅστις διαφέρει τοῦ καθ᾽ ἕξιν, ὅστις πάλιν καθ᾽ ἕξιν διαφέρει τοῦ δυ-

ὑπὲρ γῆν κατ' ἄλλο, ἤτοι δὲ καθ' ἕτερον, τοῦτο πάσχει ὁ ἥλιος οἷον φέρε εἰπεῖν διὰ τὴν κρονιακήν, ἢ κατὰ τὸ πρῶτον, οἷον κατὰ τὴν ἀπλανῆ. καὶ διαρθρῶν τὸν λόγον λέγει, ἀνάγκη ἄρα κατὰ τὴν τῆς ἀπλανοῦς κίνησιν γίνεσθαι ὑπὸ γῆν καὶ ὑπὲρ γῆν τὸν ἥλιον, παρὰ κατὰ τὴν κρονιακήν. καὶ τὴν αἰτίαν τοῦ ἀνάγκη κατὰ τὴν ἀπλανῆ τὴν τοῦ ἡλίου ὑπὲρ γῆν καὶ ὑπὸ γῆν γίνεσθαι καθ' ἑκάστην φοράν, ἐπήγαγεν εἰπὼν "πάλιν γὰρ ἐκεῖνο αὐτῷ τὸ αἴτιον κἀκείνῳ," τουτέστι πάλιν γὰρ τὸ τῆς ἀπλανοῦς σῶμα αἴτιον ἔσται τῷ ἐν τῇ κρονιακῇ σφαίρᾳ ἀστέρι ὑπὲρ γῆν καθ' ἑκάστην γίνεσθαι καὶ ὑπὸ γῆν κἀκείνῳ, ἤτοι τῷ ἡλίῳ· ἡ ἀπλανὴς γάρ ἐστιν αἰτία τοῦ καθ' ἑκάστην καὶ τὸν κρόνον καὶ τὸν ἥλιον δύνειν καὶ πάλιν ἀνατέλλειν· ὥστε καλλιόν ἐστι τὴν ἀπλανῆ λέγειν αἰτίαν εἶναι τοῦ τὸν ἥλιον ἀνατέλλειν καὶ δύνειν ἤπερ τὴν τοῦ κρόνου σφαῖραν· ἐκεῖνο γάρ, ἤτοι ἡ ἀπλανής, ἦν αἰτία τῷ ἡλίῳ τοῦ ἀεὶ ὡσαύτως ἤτοι ὑπὸ γῆν καὶ ὑπὲρ γῆν φέρεσθαι, τοῦ δὲ ἄλλως, ἤτοι ποτὲ μὲν ἐν τῷ σκορπίῳ γίνεσθαι ποτὲ δὲ ἐν αἰγοκέρωτι, ἡ λόξωσις τοῦ ζῳδιακοῦ, καθ' ἣν φέρεται. τὸ δὲ "τοῦ δ' ἀεὶ ἄλλως, ἄμφω δηλονότι" (καὶ ὑποστικτέον εἰς τὸ "ἄλλως") δηλωτικὸν ἂν εἴη τοῦ δ' ἀεὶ μέν, τουτέστιν εὐτάκτως καὶ ἀνὰ μέρος γίνεσθαι νύκτα καὶ ἡμέραν καὶ γένεσιν καὶ φθοράν, αἴτιά εἰσιν ἀμφότερα, ἥ τε ἀπλανὴς καὶ ἡ λοξῶς φερομένη τοῦ ἡλίου σφαῖρα, ἡ μὲν οὖν ἀπλανὴς τοῦ νύκτας γίνεσθαι καὶ ἡμέρας, ἡ δὲ ἡλιακὴ σφαῖρα καὶ ὁ ἥλιος τοῦ γένεσιν καὶ φθοράν. ταῦτα εἰπὼν ἐπιφέρει "οὐκοῦν — κινήσεις," ἴσον λέγων τῷ οὐ μόνον ἡμεῖς ταῦτα περὶ τῶν τῆς ἀπλανοῦς καὶ τῆς ἡλιακῆς σφαίρας κινήσεων οὕτω λέγομεν, ἀλλὰ καὶ οὕτως ἔχουσιν. εἰ οὖν αὗται αἱ κινήσεις αἴτια τοῦ τὰ λεγόμενα ἔχειν ὡς γίνεται, τί δεῖ ζητεῖν ἄλλας ἀρχὰς οἵας φασὶν οἱ τὰς ἰδέας τιθέμενοι; ταῦτα εἰπὼν λέγει "ἐπεὶ δ' οὕτως ἐνδέχεται, λύοιτ' ἂν ταῦτα· καὶ εἰ μὴ οὕτως" (καὶ ὑποστικτέον εἰς τὸ οὕτως), "ἐκ νυκτὸς ἔσται — μὴ ὄντος." οὕτω γάρ ἐστι τὸ συνεχὴς τῆς λέξεως. ἔστι δὲ τὸ λεγόμενον. ἐπεί, ὡς δέδεικται, προτέρα ἐστὶν ἡ ἐνέργεια τῆς δυνάμεως, καὶ ὅτι ἡ τῆς ἀπλανοῦς καὶ τῆς ἡλιακῆς σφαίρας κίνησις, αἵ τινες σφαῖραι καὶ αὐταὶ ἐνέργειαί εἰσιν, εἰ καὶ μή, ὡς ἡ κυρίως λεγομένη, αἰτίαι εἰσὶν ἡμερῶν καὶ νυκτῶν καὶ γενέσεως καὶ φθορᾶς, λύοιτ' ἂν πᾶσα ἀπορία, ἥ τε ἀποροῦσα εἰ ἔστι προτέρα ἡ δύναμις τῆς ἐνεργείας, καὶ ἡ λέγουσα διὰ τί ὡδὶ κινεῖται ἡ ἀπλανὴς καὶ ὡδὶ ἡ τοῦ ἡλίου σφαῖρα, καὶ ἡ ζητοῦσα ποία τῶν κινήσεών ἐστιν ἡ πρώτη· περὶ τούτων γὰρ ἁπάντων εἴρηται ὅτι ἡ τὰς ἄλλας ἑαυτῇ συγκινοῦσα, ἥπερ ἐστὶν ἡ τῆς ἀπλανοῦς, ἐστὶν ἡ πρώτη τῶν κινήσεων, κινεῖται δὲ ὡς κινεῖται διὰ τὸ γίνεσθαι νύκτας καὶ ἡμέρας, ἡ δὲ ἡλιακὴ σφαῖρα ἀνάπαλιν διότι δεῖ γένεσιν εἶναι καὶ φθοράν, γένεσις δέ ἐστιν ἀεὶ καὶ φθορά, ὅτι δεῖ τι ἀεὶ εἶναι. εἰ οὖν οὕτως ἔχειν ἐνδέχεται, ὥσπερ φαμέν, λύοιτ' ἂν πάντα· καὶ εἰ μὴ οὕτως, τουτέστιν εἰ δὲ λέγοι τις μὴ οὕτως ἔχειν, ἐκ νυκτὸς ἔσται καὶ ἐξ ὁμοῦ πάντων καὶ μὴ ὄντος, τουτέστιν ἔσται ἡ δύναμις προτέρα ἐνεργείας, καὶ ἔσται πάντα ἐκ δυνάμεως, ὅπερ δέδεικται ἀδύνατον.

1072a 10. ex se quidem necessario haec causa varia est, continuationem autem accipit ab alia causa: manat ergo hoc a prima causa. Themist. f. 11.

ἡ μὲν οὖν τῶν λεγομένων πάντων διάνοια εἴρηται. ἐν δὲ τῇ λέξει 1072a 24.
τῇ "ἐπεὶ δὲ κινούμ. κ. κιν., καὶ μέσον τοίνυν ἐστὶν ὃ οὐ κ. κ. πρῶτον ὑποστικτέον εἰς τὸ "καὶ μέσον·" εἶτα προσυπακουστέον τοῦ ἔστι δὲ καὶ τὸ κινούμενον μόνως· εἶτα ἐπακτέον τὸ "τοίνυν ἔστι τι ὃ οὐ κ. κ." καὶ τὰ ἑξῆς, ἵν' ᾖ τὸ πᾶν τοιοῦτον. ἐπεὶ δέ ἐστι τοῦ κινουμένου μόνως καὶ τοῦ κινοῦντος μόνως μέσον τὸ κινοῦν ἅμα καὶ κινούμενον, εἰσὶ δὲ τὰ δύο, τό τε κινούμενον μόνως καὶ τὸ κινοῦν ἅμα καὶ κινούμενον, δεῖ εἶναι καὶ τὸ ἀκίνητον.

ἐπειδὴ δὲ πᾶν ὀρεκτὸν καὶ πᾶν νοητὸν ἀπὸ τοῦ πρώτου καὶ καθ' 1072a 26.
αὑτὸ νοητοῦ καὶ ὀρεκτοῦ λέγεται, καὶ εἰσί τινα μὲν ὀρεκτά, μὴ νοητὰ δέ, ὡς ὁ ἄρτος, καὶ ἔμπαλιν νοητὰ μὴ ὀρεκτά, ὡς τὰ κακά, δείκνυσιν ὅτι τὸ πρώτως καὶ κυρίως νοητὸν καὶ κυρίως ὀρεκτὸν ταὐτόν ἐστιν. πρῶτον δὲ διδάσκει ἡμᾶς τὴν διαφορὰν τοῦ ἐπιθυμητοῦ καὶ τοῦ βουλητοῦ, λέγων, ἐπιθυμητὸν μέν ἐστι τὸ φαινόμενον καλόν· τὸ γὰρ κυρίως καλὸν οὐκ ἐπιθυμητὸν ἀλλ' ἐφετὸν καὶ ὀρεκτόν· ἕτερον γὰρ ἐπιθυμία ἐφέσεως· ἡ μὲν γὰρ ἐπιθυμία ἐν τῷ ἐπιθυμητικῷ καὶ ἀλόγῳ μέρει τῆς ψυχῆς ἐστίν, ἡ δὲ ἔφεσις ἐν τῷ λογιστικῷ· βουλητὸν δὲ πρώτως καὶ κυρίως οὐ τὸ φαινόμενον καλόν, ἀλλὰ τὸ ὂν ἐν τῇ ἑαυτοῦ φύσει καλόν. ὀρεγόμεθα δὲ διότι ἔδοξε καλόν, ἢ καὶ ἔμπαλιν, διότι δοκεῖ, ὀρεγόμεθα. οὕτως οὖν περὶ τούτων εἰπὼν συνάγει ὅτι τὸ πρῶτον νοητὸν καὶ τὸ πρῶτον ὀρεκτὸν τὸ αὐτό ἐστι, λέγων, "ἀρχὴ γὰρ" κτλ.

in primis vero principiis materiae impermixtis idem est 1072a 27.
desiderabile atque intelligibile. porro nos etiam ex his quae sunt apud nos cupimus et eligimus quae bona esse videntur; nam quae eligimus appetimus quoniam videntur bona, neque talia videntur quia nos ea appetamus. sed tamen nobis multa videri contingit aliter atque sint; sed in primo desiderato atque in primo desiderio nulla est diversitas inter id quod videtur quodque re vera est, nam idem est et quod apparet et quod vere est; quod autem de eo intelligitur, est in ratione eius, id autem est ipsum esse bonum: nam re vera est ipsum bonum. initium autem desiderii est id quod de prima causa intelligitur, eo modo quo appetitus in nobis initium est imaginatio et cogitatio, omnisque intellectus ab *intelligibili* movetur... species vero intelligibilium plures sunt, caeteris tamen prior est substantia, et inter substantias ea quae simplicior est et est actu absque potentiae miscella ect. Themist. f. 12.

ἑτέραν δὲ συστοιχίαν λέγει τὴν τοῦ καλοῦ, ὑφ' ἣν ἐστι κατὰ τοὺς 1072a 31.
Πυθαγορείους οὐσία φῶς τρίγωνον περιττὸν καὶ ὅσα ἐκεῖσε κατηρίθμηται. εἰσὶν οὖν πάντα νοητὰ τὰ ὑπὸ τὴν τοῦ ἀγαθοῦ συστοιχίαν, ἀλλὰ μάλιστα τούτων ἐστὶ νοητὴ ἡ οὐσία, καὶ τῆς οὐσίας πάλιν μάλιστά ἐστι νοητὴ ἡ ἁπλῆ κατ' ἐνέργειαν... ὅσα τῶν εἰδῶν ἔνυλά ἐστι καὶ ἐν ὕλῃ τὸ εἶναι ἔχει, ταῦτα ὑπὸ τοῦ νοῦ γίνεται νοητά, δυνάμει ὄντα νοητὰ καὶ μὴ καθ' αὑτὰ μηδὲ ἐνεργείᾳ. χωρίζων αὐτὰ τῆς ὕλης ὁ νοῦς, μεθ' ἧς ἐστὶν αὐτοῖς τὸ εἶναι, ἐνεργείᾳ νοητὰ αὐτὸς αὐτὰ ποιεῖ, καὶ τότε ἕκαστον αὐτῶν, ὅταν νοῆται, ἐνεργείᾳ τε νοητόν

ὡς οἱ τὰ εἴδη τιθέμενοι ἀπεφαίνοντο (λέγοντες γὰρ τὰς ἰδέας καὶ ἀκινήτους καὶ μηδὲν ὅλως ἐνεργούσας, ἐκπίπτειν ἐξ αὐτῶν ἔφασκον ἀπορροίας τινὰς καὶ τῇδε τῇ ὕλῃ συμπιπτούσας οὕτω γίγνεσθαι πάντα τὰ ἄτομα), εἰ οὖν οὕτως, ὥσπερ αἱ ἰδέαι, ἔχει ἣν ἂν ὑπόθηταί τις οὐσίαν, οὐκ ἔσται κίνησις.

1071 b 18. "ἢ — δύναμις." τουτέστιν εἰ συνέζευκται αὐτῇ τις δύναμις, καὶ μὴ εἴη ἄμοιρος πάντῃ δυνάμεως, οὐκ οὕτως ἔσται ἡ κίνησις ἀΐδιος.

1071 b 21. τὸ "ταύτας," οἶμαι, ἀντὶ τοῦ τὰς λοιπὰς εἴληπται. καὶ εἴη ἂν λέγων ὅτι οὐ μόνον τὸ κινητικὸν τῆς ἀπλανοῦς δεῖ τοιοῦτον εἶναι οἷον εἴπομεν, ἀλλὰ καὶ τὰς λοιπὰς ἀρχὰς τὰς κινούσας τὴν Κρονιακὴν ἢ τὴν Δίιον καὶ τὰς λοιπὰς σφαίρας, αἵτινες ἀρχαὶ ὑπὸ τὴν πρώτην εἰσί, καὶ ταύτας οὖν δεῖ αὔλους εἶναι καὶ ἀϊδίους, εἴπερ γε καὶ ἄλλο τι ἀΐδιον· ἐπεὶ γάρ ἐστι καὶ ἄλλο τι, οἷον τὸ τῆς ἀπλανοῦς κινητικὸν ἀΐδιον, δεῖ καὶ ταύτας ἀϊδίους εἶναι. ἢ τὸ "εἴπερ γε κ. α. τι α." λέγοι ἄν, ἐπειδὴ ἡ τῶν ἑπτὰ σφαιρῶν ἑνὰς ἀΐδιός ἐστι, δεῖ καὶ τὰ τούτων κινητικὰ ἀΐδια εἶναι.

1071 b 25. "οὐδὲν ἔσται τῶν ὄντων," ὃ ἴσον ἂν εἴη τῷ ἦν ἄρα ὅτε οὐδὲν ἦν τῶν ὄντων· ἐνδέχεται γὰρ τὸ δυνάμενον εἶναι μήπω εἶναι. καὶ οἶμαι ἐν τῇ λέξει τῇ "δοκεῖ γὰρ τὸ μὲν ἐνεργοῦν" τὸ "δοκεῖ" ἐμφατικὸν εἶναι τοῦ μὴ ἀρέσκειν αὐτῷ τὴν ὅτι πᾶν τὸ ἐνεργοῦν δύναται λέγουσα πρότασιν, ἵν' ᾖ τὸ λεγόμενον ὅτι δοκεῖ ἄλλοις. τὸ δὲ "ἀλλὰ μὴν εἰ τοῦτο, οὐδὲν ἔσται τῶν ὄντων· ἐνδέχεται γὰρ δύνασθαι μὲν εἶναι μήπω δ' εἶναι," οἶμαι ὅτι ὡς λύσις ἀπήχθη τοῦ λέγοντος λόγου ὅτι ἡ δύναμις προτέρα τῆς ἐνεργείας· εἰ γὰρ ἐκ τοῦ λέγειν ὅτι πᾶσα δύναμις προτέρα πάσης ἐνεργείας ἐστί, συνάγεται τὸ ἦν ποτε οὐδὲν ὂν τῶν ὄντων, τοῦτο δὲ ἀδύνατον δέδεικται ἐν τῇ περὶ Οὐρανοῦ (1 12), ψεῦδος ἄρα τὸ λέγειν ὅτι πάσης ἐνεργείας προηγεῖται δύναμις. ἀλλ' εἰ, ὡς ἔφαμεν, ταῦτα λύσις εἰσὶ τῆς ἀπορίας, πῶς κατιὼν πάλιν αὐτὴν λύει; ἢ οὐκ ἔστι τοῦτο ἀλλότριον τῆς Ἀριστοτελικῆς ἀγχινοίας; πρὸς παράστασιν γὰρ τῆς ἀληθείας πανταχοῦ, καὶ μάλιστα ἐν ταύτῃ τῇ πραγματείᾳ, δὶς τῶν αὐτῶν μέμνηται καὶ τοσαυτάκις τὰ περὶ αὐτῶν διαρθροῖ. δείξας οὖν ὅτι ἡ ἐνέργεια προτέρα δυνάμεως ἤτοι τὸ εἶδος τῆς ὕλης (πᾶσα γὰρ δύναμις ὡς ὕλη· ὁ γὰρ Σωκράτης δύναμις καὶ ὕλη τοῦ γράφειν ἐστίν), αἰτιᾶται τοὺς θεολόγους προτέραν ποιοῦντας τὴν δύναμιν καὶ τὴν ὕλην τῆς ἐνεργείας. ὅταν γὰρ Ἡσίοδος λέγῃ (Theog. 116)

ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
γαῖ' εὐρύστερνος·

καὶ

τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή,

διὰ τοῦ χάους καὶ τῆς νυκτὸς τὴν ὕλην ἠνίττετο· σκότος γὰρ καὶ νὺξ κατὰ τὸ ἄληπτον αὐτῆς ἡ ὕλη, χάος δὲ διὰ τὸ χωρητικὸν καὶ δεκτικὸν αὐτῆς τῶν εἰδῶν. καὶ ὁ Ἀναξαγόρας διὰ τοῦ "ἦν ὁμοῦ πάντα χρήματα" τὴν ὕλην ἠνίττετο. αἰτιᾶται δὲ οὐ τοὺς φυσικούς, τόν τε Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν (οὗτοι γὰρ προτέραν τὴν ἐνέργειαν ἔλεγον δυνάμεως, ὡς ἐρεῖ· ὁ μὲν γὰρ αὐτῶν φιλίαν καὶ νεῖκος ἐτίθετο τὴν ἐνέργειαν, ὁ δὲ Ἀναξαγόρας τὸν νοῦν), ἀλλὰ τοὺς θεολόγους. τὸ γὰρ "τὸ αὐτὸ αἴτιον" οὐ τοῦτο σημαίνοι ἄν, ὅτι τὰ αὐτὰ ἄτοπα ἕπεται τοῖς τε θεολόγοις καὶ τοῖς φυσικοῖς, ἀλλὰ τὸ αἴτιον ἴσον ἐστὶ τῷ τὸ αὐτὸ ἄτοπον ἕπεται πᾶσι τοῖς θεολόγοις, ὅσοι προτέραν τὴν δύναμιν τῆς ἐνεργείας ποιοῦσιν. ἢ λέγοι ἂν ὅτι τὸ αὐτὸ ἄτοπον ἕψεται καὶ τοῖς θεολόγοις καὶ τοῖς φυσικοῖς, οὐ πᾶσιν ἀλλ' ὅσοις τῶν τε φυσικῶν τῶν τε θεολόγων ἐπῆλθε ποιεῖν προτέραν τὴν δύναμιν τῆς ἐνεργείας. εἰ γάρ ἐστιν ἡ δύναμις, φησί, κατ' αὐτοὺς προτέρα τῆς ἐνεργείας, πῶς ἐξ αὐτοῦ κινηθήσεται ἡ ὕλη μὴ οὔσης τῆς ἐνεργείας τῆς κινούσης;

1071 b 26. quod autem potentia praecedat actum, sermo est antiquorum theologorum, qui generabant mundum ex tenebris et aëre, ut dicebat Hesiodus. Themist. f. 11.

1071 b 32. ἀεὶ γὰρ εἶναι κίνησιν καὶ Λεύκιππος καὶ Πλάτων ἔλεγον· παραλαβὼν γάρ, φησὶν ὁ Πλάτων (Tim. p. 30), τὴν ὕλην πλημμελῶς καὶ ἀτάκτως φερομένην. καὶ Λεύκιππος δὲ ἐν τῷ κενῷ τὰς ἀτόμους κινεῖσθαι τὸν ἄπειρον χρόνον ἔφασκεν. καὶ ὅτι ἡ μὲν κίνησις ἐνέργειά ἐστιν, ἀπεφαίνοντο· ἀλλὰ διὰ τί ἐστιν ἐνέργεια ἡ κίνησις, καὶ τίς ἐστιν αὕτη ἡ κίνησις, πότερον ἡ κύκλῳ ἢ ἄλλη τις, καὶ διὰ τί ὡδὶ μὲν τάδε κινοῦνται ὡδὶ δὲ τάδε, τούτων τὴν αἰτίαν οὐ λέγουσιν.

1071 b 36. πολὺ γὰρ διαφέρει τὸ κατὰ φύσιν τοῦ παρὰ φύσιν κινεῖσθαι, καὶ ἡ πρώτη κίνησις τῶν ἄλλων. αἰτιᾶται δὲ καὶ ἄλλο τῷ Πλάτωνι· εἰπὼν γὰρ ὁ Πλάτων ὅτι ἡ κίνησις ἦν καὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι, εἴπερ ἀτάκτως ἐκινεῖτο ἡ ὕλη, πάλιν λέγει ὅτι ἡ ψυχὴ ἡ ἅμα τῷ οὐρανῷ γεγονυῖα καὶ αὐτὴ ἑαυτὴν κινοῦσα ἐστὶ πηγὴ καὶ αἰτία τοῦ κίνησιν εἶναι, ὥστε πρὸ τοῦ τὸν οὐρανὸν καὶ τὴν σὺν αὐτῷ γεγονυῖαν ψυχὴν γενέσθαι εἶναι κίνησίν φησιν. εἰ οὖν πρὸ τοῦ γενέσθαι τὸν οὐρανὸν καὶ τὴν σὺν αὐτῷ γεγονυῖαν ψυχὴν ἦν ἡ κίνησις, ψεῦδος ὅτι ἡ ψυχὴ ἡ αὐτὴ ἑαυτὴν κινοῦσά ἐστιν ἡ πηγὴ τῆς κινήσεως.

1072 a 3. ἐπὶ μὲν γὰρ τοῦ αὐτοῦ καὶ ἑνὸς ἀληθὲς ὅτι ἡ δύναμις προτέρα τῆς ἐνεργείας· εἰ γὰρ καὶ δυνάμει ὢν πρότερον ὁ Σωκράτης μουσικὸς οὕτω γέγονε καὶ ἐνεργείᾳ, ὅμως ἦν ἄλλο τι πρότερον ἐνεργείᾳ μουσικὸν τὸ εἰς ἐνέργειαν τὸν Σωκράτην ἆξαν· ὥστε πρὸς μὲν τὸν αὐτὸν καὶ ἕνα ἐπὶ τῶν γεννητῶν καὶ φθαρτῶν προτέρα ἐστὶν ἡ δύναμις τῆς ἐνεργείας, πρὸς δὲ τὸ χύμα πάντων τῶν ἀνθρώπων οὐδαμῶς ἐστὶν ἡ ἐνέργεια ὑστέρα τῆς δυνάμεως. εἰ δὲ ἐπὶ τούτων οὐ προηγεῖται ἡ δύναμις, πολλῷ μᾶλλον ἐπὶ τῆς κυρίως ὑστερήσει. ἀλλὰ περὶ μὲν τούτων εἴρηται ἐν τῇ περὶ Ψυχῆς (2 4).

1072 a 8. ἀλλὰ τὰ αὐτὰ ἅπερ ἔστι νῦν, οἷον ἦν ἀεὶ ὁ κόσμος, ἢ περιόδῳ, ὡς Ἐμπεδοκλῆς ἔφασκεν, ἢ ἄλλως, ὡς Ἀριστοτέλης βούλεται. "εἰ δὲ τὸ αὐτὸ ἀεὶ περιόδῳ." ἐλλίποι ἂν τῇ λέξει τὸ ἢ ἄλλως, ἵν' ᾖ τὸ πᾶν, εἰ δὴ ὁ κόσμος οὗτος ἀεί ἐστιν, ἢ περιόδῳ, ὡς Ἐμπεδοκλῆς λέγει, ἢ ἄλλως, ὥσπερ ἡμεῖς, δεῖ τι ἀεὶ μένειν ὡσαύτως ἐνεργοῦν καὶ εἶναι τὴν φύσιν αὐτοῦ ἐνέργειαν. εἰ δὲ ἀνάγκη καὶ γένεσιν ἀεὶ εἶναι, δεῖ εἶναί τι ἐνεργοῦν ἄλλως, ἤτοι λοξῶς κινεῖσθαι, ἵνα προσάγῃ καὶ ἀπάγῃ τὸ γεννητικόν, ὅπερ ἐστὶν ὁ ἥλιος. ἀνάγκη ἄρα τὸ λοξῶς κινούμενον καθ' αὑτὸ μὲν ὡδὶ ἐνεργεῖν, ἤτοι λοξῶς κινεῖσθαι καὶ προσάγειν καὶ ἀπάγειν τὸν ἥλιον, "ὡδὶ δὲ κατ' ἄλλο," τουτέστι τὸ γίνεσθαι δὲ καὶ καθ' ἑκάστην τὸν ἥλιον ὑπὸ γῆν καὶ

1071 a 7. τὸ δὲ "οἷον οἶνος ἢ σὰρξ ἢ ἄνθρωπος" παραδείγματά ἐστι τοῦ "ὁτὲ μὲν ἐνεργείᾳ ὁτὲ δὲ δυνάμει." ἡ γὰρ ὑγρότης, ἥπερ νῦν ἐστὶν ἐνεργείᾳ, ἐνεργείᾳ οἶνος, δυνάμει ἐστὶν ὄξος. ὡσαύτως καὶ εἴ τι νῦν ἐστὶν ἐνεργείᾳ ὄξος, δυνάμει ἐστὶν οἶνος. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν δύο· ὡς δὲ ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ πάντων. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια οἶμαι τοιαύτη. κατὰ δὲ τὴν λέξιν τὸ μὲν "ἐνεργείᾳ μὲν τὸ εἶδος" ἀντὶ τοῦ ἡ ἐνέργεια ἀναλογεῖ εἴδει καὶ τὸ εἶδος τῇ ἐνεργείᾳ, τὸ δὲ "ἂν ᾖ χωριστόν" ἀντὶ τοῦ τὸ τῇ ἐπινοίᾳ χωριστόν. τὰ γὰρ ἔνυλα, εἰ δή, τῇ ἐπινοίᾳ μόνῃ χωρίζεται τῆς ὕλης. τὸ δὲ "καὶ τὸ ἐξ ἀμφοῖν" ἀντὶ τοῦ οὐ μόνον τὸ εἶδός ἐστιν, ἀλλὰ καὶ τὰ ἐξ ὕλης καὶ εἴδους. ἢ τὸ "ἐνεργείᾳ μὲν γὰρ τὸ εἶδος, ἐὰν ᾖ χωριστόν," ἀντὶ τοῦ τὸ φῶς εἴρηκεν, ἵν' ᾖ ὅτι ἡ ἐνέργεια ἤτοι τὸ φῶς τὸ χωριστόν· χωρίζεται γὰρ ἀπὸ τοῦ ἐν τῷ ἀέρι διαφανοῦς καθ' ἑκάστην. ἐξ ἀμφοῖν δὲ λέγει τὴν ἡμέραν, ἐκ τοῦ φωτὸς καὶ τοῦ πεφωτισμένου διαφανοῦς. καὶ ὅτι ἐνέργειαν τὸ φῶς, ὃ καὶ χωριστὸν λέγει, εἴρηκε, τεκμαίρομαι ἐκ τοῦ εἰπεῖν "στέρησις δὲ τὸ σκότος." ἄλλως δὲ ἐνεργείᾳ καὶ δυνάμει διαφέρει, ὧν μή ἐστιν ἡ αὐτὴ ὕλη, ὧν οὐκ ἔστι τὸ αὐτὸ εἶδος." ἐπειδὴ ἄνθρωπος ἄνθρωπον γεννᾷ καὶ ὁ ἥλιος, εἰσὶ δὲ ἀμφότερα ὅ τε ἥλιος καὶ ὁ Σωφρονίσκος ποιητικὰ Σωκράτους, ἡ μὲν τοῦ Σωφρονίσκου ὕλη αἱ σάρκες καὶ τὰ ὀστᾶ καὶ νεῦρα, ὁμοίως καὶ τὸ εἶδος καὶ ἐνέργεια αὐτοῦ. οὐδὲν διαφέρει τῷ λόγῳ τῆς τοῦ Σωκράτους ὕλης καὶ τοῦ εἴδους· σάρκες γὰρ καὶ νεῦρα αἱ ἀμφοτέρων ὗλαι. ὁμοίως δὴ καὶ τὰ εἴδη τὰ αὐτά, μόνῳ δὲ τῷ προτέρῳ καὶ ὑστέρῳ διαφέρει· προτέρα γὰρ ἡ Σωφρονίσκου ὕλη καὶ τὸ εἶδος τῆς τοῦ Σωκράτους φύσεως. ἡ δὲ τοῦ ἡλίου ὕλη καὶ τὸ εἶδος οὐ τῷ χρόνῳ μόνῳ προτέρα τῆς τοῦ Σωφρονίσκου ὕλης καὶ τοῦ εἴδους, ἀλλὰ καὶ τῷ λόγῳ· ἡ μὲν γὰρ τοῦ Σωφρονίσκου ὕλη σάρκες, ἡ δὲ τοῦ ἡλίου οὐ τοιαύτη, ἀλλὰ πέμπτον τι σῶμα. ὅτι δὲ καὶ τὸ τοῦ ἡλίου εἶδος ἕτερόν ἐστι τοῦ Σωφρονίσκου εἴδους, οὐ δεῖ με λέγειν. ταῦτα δὴ αἰνίττεται διὰ τοῦ "ἄλλως — εἶδος." ἐλλιπὴς δέ ἐστιν ἡ λέξις· εἴη δ' ἂν πλήρης εἰ οὕτως εἶχεν· ἄλλως δὲ ἐνεργείᾳ καὶ δυνάμει, ὧν μή ἐστιν ἡ αὐτὴ ὕλη μηδὲ τὸ αὐτὸ εἶδος, (adde διαφέρει) ὧν οὐκ ἔστι τὸ αὐτὸ εἶδος μηδὲ ἡ αὐτὴ ὕλη. εἴη δ' ἂν τὸ λεγόμενον, ἐπειδὴ καὶ ὁ Σωφρονίσκος ποιητικός ἐστι Σωκράτους, ἀλλὰ καὶ ὁ ἥλιος καὶ ὁ λοξὸς κύκλος, διαφέρει ἡ ἐνέργεια καὶ τὸ εἶδος τοῦ ἡλίου καὶ τοῦ λοξοῦ κύκλου τῆς ἐνεργείας καὶ τοῦ εἴδους τοῦ Σωφρονίσκου καὶ τοῦ Σωκράτους. ὁμοίως δὴ καὶ αἱ δυνάμεις αὐτῶν ἤτοι αἱ ὗλαι. καὶ τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν "οὔτε ὕλη" κτλ.

1071 a 19. πάντων δὲ ἀρχαὶ πρῶται ἤτοι προσεχεῖς. "πρῶτον τοδί," τουτέστι τὸ μικρόν· τοῦ γὰρ Σωκράτους ἀρχὴ καὶ αἴτιον ὅδε ὁ Σωφρονίσκος. ἔστιν οὖν πάντων ἀρχὴ ἥδε ἡ ἐνέργεια καὶ τόδε τὸ μερικὸν δυνάμει, τουτέστιν αὕτη ἡ μερικὴ ὕλη.

1071 a 24. πρὸς δὲ τοῖς εἰρημένοις αἰτίοις εἰσὶ καὶ ἄλλα αἴτια καὶ ἄλλαι ἀρχαί· ταῦτα δέ ἐστιν εἴδη τῶν οὐσιῶν· ἄλλα δὲ ἄλλων, ὥσπερ εἴρηται. οὐ μόνον δὲ τῶν ἑτέρων γενῶν ἕτερα τὰ αἴτια, ἀλλὰ καὶ τῶν ὁμοειδῶν ἕτερα, τῷ ἀριθμῷ δὲ κτλ.

1071 a 31. διὰ τούτων διδάσκει ἡμᾶς, εἴπερ ἐρωτώμεθα πότερον πάντων αἱ ἀρχαὶ αἱ αὐταὶ ἢ ἕτεραι, τί ὀφείλομεν ἀποκρίνασθαι· καί φησιν ὅτι πολλαχῶς λεγομένων τῶν αἰτίων καθόλου μὲν ἤτοι ἡ ὡς καθόλου ὕλη καὶ ὡς καθόλου εἶδος καὶ ποιητικόν, καὶ ἤτοι ὅλως τὸ ἀνάλογον, καὶ μὴ ὡς τοῦδε ἢ τοῦδε λαμβανόμενά ἐστιν ἑκάστου, τουτέστι πάντων εἰσὶν αἱ αὐταὶ ἀρχαί· διαιρεθέντων δὲ τοῦ τε καθόλου εἴδους καὶ τῆς καθόλου ὕλης καὶ τῶν λοιπῶν εἴς τε τὰ τοῦ Σωκράτους καὶ Πλάτωνος καὶ τῶν ἄλλων αἴτια, οὐκ εἰσὶ τὰ αὐτὰ ἀλλ' ἕτερα "πλὴν ὡδί" ἤτοι τῷ ἀνάλογον δέ εἰσι τὰ αὐτά. καὶ τοῦτο φανερώτερον ποιῶν πάλιν ἐπανείληφε τὸν λόγον, καί φησιν ὅτι ὡδὶ μὲν τὰ αὐτὰ τῷ ἀνάλογον, ὅτι ὕλη εἶδος στέρησις, ἴσον λέγων, ἐπεὶ πάντα ὑπὸ ὕλην εἶδος στέρησίν εἰσιν, ἔσονται πάντων αἱ αὐταὶ ἀρχαὶ τῷ ἀνάλογον. τὸ δὲ "καὶ ὡδὶ — πάντων" δυνάμει τοιοῦτόν ἐστιν. ὅταν δὲ ἐρωτώμενοι πότερον τὰ τῶν οὐσιῶν αἴτια καὶ τῶν συμβεβηκότων αἴτια, λεκτέον ὅτι ναί, καὶ τὴν αἰτίαν προσθετέον ὅτι ἀναιρουμένων γὰρ τῶν οὐσιῶν ἀναιρεῖται καὶ τὰ λοιπά. αἴτιον δὲ τὸ συναναιροῦν τοῦ συναναιρουμένου. ἀλλὰ περὶ τούτων εἴρηται πρὸ ὀλίγου ἀκριβῶς. "ἔτι τ. πρ. ἐντ." ἔτι, φησίν, ἐρωτώμενοι πότερον τὸ πορρώτερόν ἐστιν αἴτιον ἢ τὸ προσεχές; ῥητέον ὅτι τὸ πρῶτον, τουτέστι τὸ προσεχές. προσεχὲς δὲ αἴτιον καὶ ἐντελεχείᾳ, ὡς πολλάκις εἴρηται. "ὡδὶ δὲ ἕτερα πρῶτα ὅσα τὰ ἐναντία," τουτέστιν ἄλλον δὲ τρόπον λεκτέον πρῶτα αἴτια τὰ ἐναντία, ἤτοι τὸ εἶδος καὶ τὴν στέρησιν· ὥστε τὸ λεγόμενόν ἐστιν ὅτι ποτὲ μὲν λεκτέον πρῶτον αἴτιον τὸ ἐντελεχείᾳ ἤτοι τὸ ποιητικόν, ποτὲ δὲ τὰ ἐναντία ἤτοι τὸ εἶδος καὶ τὴν στέρησιν, ἅπερ ἐναντία, φησίν, οὔτε ὡς γένη λέγεται, τουτέστιν ὡς ὕλη, οὔτε πολλαχῶς, τουτέστιν οὔτε ὡς καθόλου, ἀλλ' ὡς συγκατατεταγμένα. ἐν δὲ τῇ λέξει τῇ "ὡδὶ δὲ πρῶτα ἔστα τι ἕν." τὸ "ὅσα" παρέλκον ἐστίν.

1071 b 3. et saepe diximus hoc principium non posse demonstratione cognosci; demonstratio enim ex principiis et causis constat, prima autem causa, hoc est primum principium, nec causam ante se nec principium habet. sed quod volumus hoc pacto fortasse consequemur; considerando duo inesse primo principio, unum quod est aeternum, alterum quod est immobile. separemus igitur haec et de utroque sigillatim disputemus. Themist. f. 9.

1071 b 4. ἥτις τὴν ἀΐδιον κίνησιν κινεῖται· πᾶσα γὰρ κίνησίς τινος. καὶ ὅτι μὲν ἡ κίνησις ἀΐδιος, δέδεικται ἐν τῷ θῆτα τῆς Φυσικῆς Ἀκροάσεως· ὅτι δὲ καὶ ὁ χρόνος ἀΐδιος, παραμυθίας ἀξιοῖ, λέγων, εἰ ἔστιν ὁ χρόνος γενητὸς καὶ φθαρτός, πρότερον οὐκ ἦν οὐδ' ὕστερον ἔσται· ἀλλὰ μὴν τὸ πρότερον καὶ ὕστερον χρόνου τί εἰσιν· ἦν ἄρα πρὸ τοῦ γενέσθαι τὸν χρόνον χρόνος· εἴπερ μετὰ τὴν τοῦ χρόνου φθοράν ἐστι τὸ ὕστερον.

1071 b 12. ἐν δὲ τῇ λέξει τῇ "ἀλλὰ μὴν εἰ ἔστι κινητικὸν ἢ ποιητικόν, μὴ ἐνεργοῦν δέ τι" τὸ "μὴ ἐνεργοῦν" ἀντὶ τοῦ μὴ εἴη δὲ ἐνέργεια πάντῃ ἀμοιροῦσα δυνάμεως, ἔσται ὅτε οὐκ ἔσται κίνησις· τὸ γὰρ δυνάμενον μὴ ἐνεργῆσαι ἔσται ποτὲ οὐκ ἐνεργοῦν. δέδεικται δὲ ὅτι ἀδύνατόν ἐστι μὴ εἶναι κίνησιν· ἀδύνατον ἄρα καὶ τῷ κινοῦντι τὴν ἀΐδιον κίνησιν δύναμίν τινα ὑπάρχειν.

1071 b 17. τὸ δὲ "εἰ γὰρ μὴ ἐνεργήσει, οὐκ ἔσται κίνησις" ταὐτόν ἐστι τῷ εἰ γὰρ μὴ ἐνεργεῖ ἡ παρὰ τὰ εἴδη οὐσία, ἀλλὰ μένει μὴ ἐνεργοῦσα,

τί δηλοῖ τὸ καθόλου σαφηνίζων ἐπήγαγε "καὶ κατὰ ἀναλογίαν" εἰσὶν αἱ αὐταί. ἐπεὶ γὰρ πάντων τῶν γινομένων ἐστὶν ὕλη καὶ εἶδος καὶ στέρησις, καὶ πάντα τὰ γινόμενα ὑπὸ ὕλην καὶ εἶδος καὶ στέρησίν εἰσιν, εἰσὶ τὸ καθόλου πάντων αἱ αὐταὶ ἀρχαί· παντὸς γὰρ αἴτια ὕλη εἶδος καὶ στέρησίς ἐστιν.

κατὰ δὲ τὰ προσεχῆ καὶ συντεταγμένα ἕτεραι· ἄλλη γὰρ ὕλη ἀνδριάντος, ἄλλη θύρας, ἄλλη Σωκράτους. ὁμοίως καὶ ἐπὶ εἴδους.

1070 a 35. καὶ ὅτι μὲν ἕτερον τῶν δέκα κατηγοριῶν οὐκ ἔστι, δῆλον· ἐπεὶ γὰρ τὰ στοιχεῖα πρότερά ἐστι τῶν ὧν ἐστὶ στοιχεῖα ἤτοι τῶν στοιχειωτῶν, εἴπερ ἐστὶ τῶν δέκα γενικωτάτων γενῶν, οὐσίας ποσοῦ ποιοῦ καὶ τῶν λοιπῶν, τὸ αὐτὸ στοιχεῖον ἔσται πρότερον αὐτῶν, οὐδὲν δὲ πρότερον οὐσίας καὶ τῶν λοιπῶν κατηγοριῶν· οὐδὲ ὅλως οὐδέν ἐστι παρ' αὐτάς· οὐκ ἄρα ἐστὶ πάντων ἓν στοιχεῖον. ἀλλὰ μὴν οὐδὲ ἡ οὐσία στοιχεῖόν ἐστι τῶν πρός τι καὶ τῶν λοιπῶν κατηγοριῶν, οὐδὲ ὅλως οὐδέν ἐστι παρ' αὐτάς· πῶς γὰρ ἐκ τῆς οὐσίας γενήσεται μὴ οὐσία; ἐξ οὐσίας γὰρ ἀεὶ οὐσία γίνεται. οὐδὲ δὴ τὰ πρός τι ἔσται τῆς οὐσίας στοιχεῖα· πῶς γὰρ ἐκ συμβεβηκότος γενήσεται οὐσία; τὸ δὲ "ἔτι πῶς ἐνδέχεται τὰ αὐτὰ πάντων εἶναι στοιχεῖα; οὐδὲ γὰρ οἷόν τ' εἶναι τὸ στοιχεῖον τῷ ἐκ στοιχείων συγκειμένῳ τὸ αὐτό," τοῦτο τὸ ἐπιχείρημα τὸ αὐτό ἐστι τῷ πρὸ αὐτοῦ, ἄλλως δὲ ἐφοδευθέν· ἐκεῖ μὲν γὰρ ἔλεγεν ὅτι τὸ στοιχεῖον πρότερόν ἐστιν ὧν ἐστὶ στοιχεῖον, ἐνταῦθα δὲ λέγει ὅτι τὸ στοιχεῖον ἕτερόν ἐστιν ὧν ἐστὶ στοιχεῖον· οὐκ ἔστι γὰρ ὁ Σωκράτης ἐκ πυρὸς καὶ γῆς καὶ τῶν μεταξύ, ὁ αὐτὸς τῷ πυρὶ καὶ τῇ γῇ, ἀλλ' ἕτερος. εἰ δὴ τὰ στοιχεῖα ἕτερά ἐστι τῶν ὧν ἐστὶ στοιχεῖα, εἴπερ ἐστὶν ἕν τι καὶ τὸ αὐτὸ στοιχεῖον τῶν δέκα κατηγοριῶν, ἕτερον ἔσται πασῶν τῶν κατηγοριῶν. οὐκ ἔστι δέ τι παρὰ ταύτας· οὐκ ἄρα ἐστὶ πάντων ἓν στοιχεῖον.

1070 b 1. non esse extra decem praedicamenta in promptu est; nam esset aliud praedicamentum praeter decem atque illis prius haberetur; nam materia prior est hisce quorum est materia, et nullum genus substantiam praecedit, ut ex praedictis liquet. rursus si contendat ponere materiam in praedicamento substantiae, tunc materia substantiae esset materia relationis, quantitatis, qualitatis, actionis, passionis atque habitus: ex quo sequeretur necessario id quod est extra captum intellectus, materiam substantiae esse post substantiam. sed materiae priores ac simpliciores sunt his quae ex eis componuntur, ut litterae sunt dictione priores. exponemus igitur materias non esse in aliquo genere. Themist. f. 7.

1070 b 8. ἐπὶ δὲ τοῦ "ὑπάρχει γὰρ ταῦθ' ἐν ἑκάστῳ καὶ τῶν συνθέτων" προσυπακουστέον τὸ τῶν ἁπλῶν, ἵν' ᾖ, ταῦτα γάρ, τὸ ὂν καὶ τὸ ἕν, ἐνυπάρχει ἑκάστῳ τῶν ἁπλῶν κ. τ. σ. τὸ δὲ "οὐδὲν — πρός τι" τοιοῦτον ἂν εἴη· αὐτῶν, ἤτοι τῶν ὡς ἐκ στοιχείου τοῦ ὄντος καὶ τοῦ ἑνὸς γεγονότων, οὐδὲν ἔσται ἤτοι οὐδαμῶς ἔσται οὐδὲ ἕξει ὕπαρξίν τινα· ὥσπερ γάρ, ὡς εἴρηται, τὸ ἐκ πυρὸς καὶ γῆς οὐ πῦρ οὐδὲ γῆ, οὕτως οὐδὲ τὸ ἐξ ἑνὸς καὶ ὄντος ἔσται ἓν καὶ ὄν, ἀλλ' ἔσται οὐχ ἓν καὶ οὐκ ὄν. τὸ δὲ "οὔτ' οὐσία οὔτε πρός τι" δύναταί τις ἀκούειν ὡς ἴσον τῷ οὔτε ἡ οὐσία ἔσται ἂν οὔτε τὸ πρός τι. δύναται δὲ καὶ οὕτως αὐτοῦ ἀκούειν. εἰ μὲν οὖν τὸ ὂν ἐρεῖ τις στοιχεῖον, ἐπειδὴ ἕτερόν ἐστι τὸ στοιχεῖον τῶν ἐξ αὐτοῦ, ἢ αὐτὸ ἔσται μὴ ὂν ἢ τὰ ἐξ αὐτοῦ· οὐ γὰρ δυνατὸν καὶ τὸ ὂν ἤτοι τὸ στοιχεῖον εἶναι ὂν καὶ τὰ ἐξ αὐτοῦ ὄντα. εἰ δὲ τὴν οὐσίαν λέγει τις στοιχεῖον, ἢ αὐτὴ οὐκ ἔσται οὐσία ἢ τὰ ἐξ αὐτῆς, οἷον ὁ Σωκράτης, ὁ Πλάτων καὶ τὰ λοιπά. ὁμοίως εἰ ἔστι τὸ πρός τι στοιχεῖον, ἔσται τὸ πρός τι οὐ πρός τι. καὶ συμπεραίνεται λέγων "οὐκ ἔστιν ἄρα" κτλ.

1070 b 13. τὸ δὲ "καθ' αὑτὸ" πρόσκειται ὡς τὸ λευκὸν γέγονεν ψυχρόν, ἀλλ' οὐ καθ' αὑτό. καθ' αὑτὸ δὲ γίνεται ψυχρὸν τὸ ὑποκείμενον τῷ λευκῷ. εἶδος μὲν οὖν τὸ θερμόν, στέρησις τὸ ψυχρόν, ὕλη τὸ δυνάμει ταῦτα. οὐσίαι δέ εἰσι τὸ θερμόν· εἶδος γὰρ καὶ οὐσία πυρὸς τὸ θερμὸν καὶ ἡ ὕλη. καὶ οὐ μόνον εἰσὶ ταῦτα οὐσίαι, ἀλλὰ καὶ τὸ ἐκ τοῦ θερμοῦ καὶ ψυχροῦ, τουτέστιν ἐκ πυρὸς καὶ ὕδατος· εἴτε γὰρ σάρξ ἐστι τοῦτο εἴτε ὀστοῦν εἴτε ὁτιοῦν ἕτερον. τὸ δὲ "ἕτερον γὰρ ἀνάγκη ἐκείνων εἶναι τὸ γενόμενον" οὐδαμῶς συνᾴδει τοῖς προσεχῶς ῥηθεῖσιν· εἴη δ' ἂν συνεχὲς τῷ πρὸ ὀλίγου ῥηθέντι τῷ "οὐδὲν ἄρα ἔσται αὐτῶν οὔτε οὐσία οὔτε πρός τι." καὶ εἴη ἂν τοῦτο κατασκευὴ τοῦ μὴ εἶναι τὴν οὐσίαν οὐσίαν, μηδὲ τὸ πρός τι πρός τι· ἕτερον γὰρ ἀνάγκη εἶναι τὸ γινόμενον· ὡς γὰρ εἴρηται, ἕτερόν ἐστι τὸ ἐκ στοιχείου γεγονὸς τῶν στοιχείων. τούτων μὲν οὖν προσεχῶς ῥηθέντων τὸ μὲν θερμόν ἐστιν εἶδος, τὸ δὲ ψυχρὸν ὡς στέρησις, τὸ δὲ δυνάμενον αὐτὰ ὡς ὕλη, καὶ τὸ μὲν φῶς ὡς εἶδος, τὸ δὲ σκότος ὡς στέρησις. καὶ ἐκ μὲν ἀέρος καὶ φωτὸς ἤτοι ἐξ ὕλης καὶ εἴδους ἡμέρα, ἐκ δὲ ἀέρος καὶ σκότους, τουτέστιν ὕλης καὶ στερήσεως, νύξ· ὥστε πάντων μὲν οὕτως, τουτέστι κατ' ἀναλογίαν μὲν πάντων εἰσὶν αἱ αὐταὶ ἀρχαί, ὥσπερ εἴπομεν, κυρίως δὲ οὔ.

1070 b 24. εἰ δὴ εἰς ταῦτα διαιρεῖται ἡ ἀρχή, δῆλον ὅτι τὸ κινοῦν καὶ ἱστῶν ἤτοι τὸ ποιητικὸν ἀρχή τίς ἐστιν, ὥστε τὰ κατὰ ἀναλογίαν πανταχοῦ εὑρισκόμενα στοιχεῖα τρία ἐστίν, ὕλη εἶδος στέρησις, ἀρχαὶ δὲ καὶ αἴτια τέτταρα, ὕλη εἶδος στέρησις καὶ ποιητικόν. ταῦτα δὲ τὰ τέτταρα ἄλλα ἐν ἄλλοις, οἷον ἐπὶ μὲν τῶν ζῴων ὡς μὲν ὕλη τὸ τῶν ζῴων σῶμα, ὡς δὲ εἶδος ἡ ὑγίεια, ὡς στέρησις νόσος, ὡς ποιητικὸν ἡ ἰατρική. πάλιν ὡς μὲν εἶδος ἡ οἰκία, ὡς στέρησις ἡ τοιαδὶ ἀταξία, ὡς ὕλη αἱ πλίνθοι, ὡς ποιητικὸν ὁ οἰκοδόμος. ὥστε πάντων αἴτιά ἐστιν ὕλη εἶδος στέρησις ποιητικόν, ἄλλα δὲ ἄλλων. "ἐπεὶ δὲ τὸ κ. ἐν μὲν τοῖς φυσ. ἀνθρώποις ἄνθρωπος." φυσικοὺς ἀνθρώπους εἶπε διὰ τὸν αὐτοάνθρωπον· ἐκεῖνος γὰρ οὐ φυσικός. ὃ δὲ νῦν λέγει, εἴρηκε καὶ ἐν τῇ Φυσικῇ (2 1), ὅτι τὸ ποιητικὸν καὶ τὸ εἰδικὸν πολλάκις τὸ αὐτό ἐστιν.

1070 b 34. παρὰ ταῦτα τὰ αἴτια ἔστι τὸ πάντων πρῶτον, ὅπερ ἐστὶν ἡ ζητουμένη ἐνταῦθα ἀρχή.

1070 b 35. at nostrum non est nunc proximum movens investigare, sed quaerimus primum movens; a quo omnia moventur: et est manifestum quod est substantia. Themist. f. 8.

1071 a 2. εἶτα λέγει καὶ τίνα εἰσὶ τὰ λίαν προσεχέστατα τοῦ τὰ ἔμψυχα εἶναι αἴτια· ταῦτα γάρ, φησίν, ἔστι ψυχὴ ἴσως καὶ σῶμα, ὥσπερ ἐπὶ φυτῶν, ἢ νοῦς καὶ σῶμα καὶ ὄρεξις, ὡς ἐπὶ ἀνθρώπων, ἢ σῶμα καὶ ὄρεξις, ὡς ἐπὶ τῶν ἀλόγων ἔστιν ἰδεῖν.

1069 b 29. καὶ ἐπεί, ὡς λέγομεν, ἄλλα ἐξ ἄλλων γίνεται, οὐχ ἱκανῶς εἴρηκεν Ἀναξαγόρας εἰπὼν ἦν ὁμοῦ πάντα, τουτέστιν ἦν ἡ ὕλη ἐξ ἧς τὰ πάντα, ἀλλ᾽ ἔδει αὐτὸν εἰπεῖν ὁποῖα πράγματα ἐξ ὁποίας ὕλης γίνεται... εἰ γὰρ μὴ ἦσαν αἱ προσεχεῖς ἑκάστῳ ὗλαι σχεδὸν ἄπειροι (οὐδὲν γὰρ ἐκ τῆς ἀνειδέου γίνεται, εἰ μὴ μόνα τὰ ἁπλᾶ), ἓν ἂν ἦν τὸ πᾶν· ἐπειδὴ γὰρ τὸ ποιητικὸν ὁ νοῦς ἕν ἐστιν, εἰ καὶ ἡ προσεχὴς ἑκάστῳ ὕλη μία ἦν, ἓν ἂν ἦν τὸ γεγονός. τὸ γὰρ "ἐκεῖνο ἐγένετο ἐνεργείᾳ, οὗ ἡ ὕλη ἦν δυνάμει," δηλωτικόν ἐστι τοῦ ἓν ἂν ἐγεγόνει, ὃ ἠδύνατο γενέσθαι ἡ ὕλη, ἀλλ᾽ οὐ πολλά.

1096 b 35. ἐλλείπει τῇ λέξει τὸ δεῖ δεῖξαι, ἵνα ᾖ τὸ ὅλον τοιοῦτον· μετὰ ταῦτα δεῖ δεῖξαι "ὅτι — εἶδος." καὶ ὅτι μὲν ἡ πρώτη καὶ ἀνείδεος ὕλη οὐ γέγονε, δέδειχεν ἐν τῷ τέλει τοῦ ἄλφα τῆς Φυσικῆς Ἀκροάσεως· ὅτι δὲ οὐδὲ τὸ εἶδος, ἔδειξεν ἐν τῷ Ζ ταύτης τῆς πραγματείας. καὶ τάχα ἐπειδὴ εἶπεν ὅτι τρεῖς εἰσὶν ἀρχαί, ὕλη εἶδος στέρησις, ἐξ ἀκολουθίας τοῦτο ζητεῖ, πότερον γίνεται ἢ οὔ. δείκνυσι δὲ αὐτὸ πάνυ διὰ βραχέων, διὰ τὸ ἐν τῷ Ζ διεξοδικῶς αὐτὸ δεῖξαι.

1070 a 2. εἰς ἄπειρον ἔσται ἡ ὁδός· ὅπερ ἀδύνατον δέδεικται ἐν τῷ ἐλάττονι ἄλφα τῆς προκειμένης πραγματείας.

1070 a 4. καὶ ἐνταῦθα προσυπακουστέον τοῦ εἰπεῖν δεῖ.

1070 a 8. "ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ." τοῦτο δὲ συνεχές ἐστι τῷ μετὰ ταῦτα ῥητέον ὅτι ἑκάστη ἐκ συνωνύμου γίνεται οὐσία· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. τὸ δὲ πρὸ τούτου παρεμβληθὲν τὸ "τὰ γὰρ φύσει οὐσίαι καὶ τἆλλα" ἴσον τῷ οὐ μόνον τὰ φύσει γινόμενά εἰσιν οὐσίαι, ἀλλὰ καὶ τὰ ἄλλα ἤτοι τὰ ὑποκείμενα ταῖς τέχναις οὐσίαι εἰσίν. ἢ τὸ "τὰ γὰρ φύσει οὐσίαι καὶ τὰ ἄλλα" ἴσον ἂν εἴη τῷ τὰ γὰρ φύσει γινόμενα ἐξ οὐσιῶν ἤτοι ἐκ συνωνύμων ἑαυτοῖς γίνεται, ὁμοίως καὶ τὰ ἄλλα ἤτοι τὰ τέχνῃ γινόμενα. καὶ ἔσται τὸ σύνολον τοιοῦτον· μετὰ ταῦτα ῥητέον ὅτι ἐκ συνωνύμου ἑκάστη γίνεται οὐσία· τὰ γὰρ φύσει οὐσίαι καὶ τὰ ἄλλα. σημεῖον δὲ τούτου· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. αἱ δὲ λοιπαὶ αἰτίαι, ἤτοι ἡ τύχη καὶ τὸ αὐτόματον, στερήσεις καὶ ἀποτυχίαι καὶ ἁμαρτήματά εἰσι τῶν ἀπὸ φύσεως καὶ τέχνης γινομένων.

fiunt autem vitia laesionesque in natura, corpore ex quo generatio fit impedito atque frustrato neque eo usque provecto quo naturalis ratio atque ordo duxisset; idque potius privatio principii appellari debet quam dignetur nomine principii. Themist. f. 4.

1070 a 9. οὐσίαι γάρ, φησί, τρεῖς, "ἡ μὲν ὕλη τόδε τι οὖσα τῷ φαίνεσθαι." ὃ δὲ λέγει, τοιοῦτον ἂν εἴη. ἐπειδὴ Σωκράτους ὕλη ἐστὶ σάρκες νεῦρα ὀστᾶ χεῖρες πόδες κεφαλὴ καὶ τὰ λοιπά, ὅταν αὐτὰ σωρηδὸν καὶ ὡς ἔτυχε νοῶμεν κείμενα καὶ οὐ συμπεφυκότα καὶ ἡνωμένα ἀλλήλοις, ἀλλὰ μόνον ἁπτόμενα ἀλλήλων ὥσπερ οἱ σῖτοι ἐν τῷ σωρῷ, ὡς εἶναι, φέρε εἰπεῖν, τὰς μὲν χεῖρας καὶ τὸν σπλῆνα καὶ τὸ ἧπαρ ἐν τῷ ἐδάφει κείμενα, ἐπάνω δὲ τούτων τὴν κεφαλὴν καὶ τὴν κοιλίαν, καὶ ἐπάνω τούτων τοὺς πόδας καὶ τὰ ἔντερα· ὅταν οὖν ταῦτα ὕλην ὄντα Σωκράτους οὕτως ἔχοντα καὶ οὕτω κείμενα νοῶμεν, τότε εἰσὶ τόδε τι τῷ φαίνεσθαι, "τόδε τι" λέγων τὸν Σωκράτην ἢ ὅλως τὸ ζῷον, ὅπερ ἂν ἀποτελέσειεν εἰ λάβοι τάξιν τε καὶ ἕνωσιν καὶ σύμφυσιν ὑπὸ φύσεως. εἰσὶν οὖν αἱ χεῖρες καὶ οἱ πόδες καὶ ἡ κεφαλὴ καὶ τὰ λοιπὰ ἀτάκτως καὶ ὡς ἔτυχε κείμενα ὁ Σωκράτης τῷ φαίνεσθαι, τουτέστι κατὰ φαντασίαν· φανταζόμεθα γὰρ ὅτι, εἰ λάβοι δύναμιν ἡ φύσις ὥστε τάξαι καὶ ἑνῶσαι τὴν προκειμένην ὕλην, γενήσεται ὁ Σωκράτης· ὅταν δὲ ἑνωθῶσι καὶ συνεχεθῶσι καὶ τάξιν λάβωσι, τότε οὐ κατὰ φαντασίαν ἐστὶν ἡ τοιαύτη ὕλη ὁ Σωκράτης, ἀλλ᾽ εἴδει ἐστὶ Σωκράτης, καὶ ἀληθὲς εἰπεῖν ὅτι ταῦτα Σωκράτης ἐστίν. ὅσα οὖν ὑλικὰ ἁφῇ εἰσὶν ἓν ἀλλὰ μὴ συμφύσει καὶ ἑνώσει, κατὰ φαντασίαν εἰσὶ τόδε τι. ὁμοίως καὶ ἐπὶ πυρὸς καὶ ἀέρος καὶ ὕδατος καὶ γῆς.

1070 a 11. μία μὲν οὖν οὐσία ἐστὶν ἡ ὕλη, ἄλλη δὲ πάλιν οὐσία ἐστὶ φύσις τόδε τι οὖσα καὶ ἕξις τις εἰς ἥν. λέγει δὲ φύσιν καὶ τόδε τι καὶ ἕξιν τὸ εἶδος· ἐκ παραλλήλου γὰρ ταῦτα κεῖται. τὸ δὲ "εἰς ἥν" ἀντὶ τοῦ εἰς ἣν φύσιν καὶ εἶδος ἡ γένεσίς ἐστιν· πᾶσα γὰρ γένεσις ὁδός ἐστιν εἰς εἶδος.

1070 a 15. ὅταν μὲν γὰρ φανταζώμεθα εἶδος οἰκίας, ἔστι τὸ τοιοῦτον εἶδος οὐ διὰ γενέσεως· οὐδενὸς γὰρ ἀλλοιωθέντος τὸ τοιοῦτον γέγονεν εἶδος, ἀλλ᾽ ἀχρόνως καὶ ἐν τῷ νῦν. καὶ γὰρ καὶ ἡ φαντασία αὐτοῦ ἐν τῷ νῦν γέγονεν. ὅταν δὲ μὴ φανταζώμεθα, οὐκ ἔστιν· καὶ γὰρ καὶ τὸ μὴ φαντάζεσθαι ἐν τῷ νῦν ἀπογίνεται. ἄνευ δὲ ὕλης οἰκίαν καὶ ὑγίειαν αὐτὸ τὸ εἶδος τὸ ἐν τῇ ἡμετέρᾳ φαντασίᾳ τῆς οἰκίας καὶ τῆς ὑγίας εἶπε.

1070 a 18. καὶ τοῦτο ἀρέσκει καὶ αὐτοῖς τοῖς τὰς ἰδέας θεμένοις· τῶν γὰρ ὑπὸ τέχνης γινομένων ἰδέας εἶναι οὐκ ἔλεγον, ἀλλὰ τῶν ὑπὸ φύσεως.

1070 a 19. τῶν φύσει ἔσονται εἴδη ἄλλα ὄντα τούτων, ἤτοι τῶν δεῦρο καὶ αἰσθητῶν. τὸ δὲ "οἷον πῦρ, σάρξ, κεφαλή· ἅπ. γ. ὕλ. — ἡ τελευταία," οὐδεμίαν ἔχει ἀκολουθίαν τοῖς προσεχῶς λεχθεῖσιν, οὐδέ ἐστι σύνῳδα τούτοις, ἀλλὰ συνᾴδοι ἂν τῷ "ὅσα γὰρ ἁφῇ καὶ μὴ συμφύσει, ὕλη καὶ ὑποκείμενον."

1070 a 20. μάλιστα δέ ἐστιν ὕλη αὐτῆς ἡ τελευταία ἤτοι ἡ προσεχής, οἷον σάρξ, νεῦρα, ὀστᾶ. "τὰ μὲν οὖν κ." καὶ τοῦτο οἰκεῖόν ἐστι τῷ περὶ τῶν αἰτίων λόγῳ. ἔστι δὲ τὸ λεγόμενον ὅτι τὰ κινοῦντα, τουτέστι τὰ ποιητικὰ αἴτια, πρότερά ἐστι τῶν ποιουμένων τῷ χρόνῳ· πρότερος γὰρ Σωφρονίσκος Σωκράτους καὶ οἰκοδόμος οἰκίας. ἔχει δέ τινα ἀσάφειαν ἡ λέξις. τὰ μὲν οὖν κινοῦντά φησιν ὡς προγεγενημένα ὄντα, τὰ ὄντα ἀντὶ τοῦ ὑπάρχοντα, ἵν᾽ ᾖ τὸ λεγόμενον, τὰ ποιητικὰ ὑπάρχουσι καὶ λόγον ἔχουσι πρὸς τὰ ποιούμενα τὸν πρότερον κατὰ χρόνον· τὰ δὲ εἰδικὰ αἴτια ἅμα.

1070 a 24. εἰ δὲ καὶ χωριζόμενα τὰ εἴδη μετὰ τὸν χωρισμὸν μένει καὶ ἔστιν, ἀλλὰ μὴ εἰς τὸ μὴ εἶναι ἀπέρχεται, τοῦτο δεῖται πολλῆς τῆς σκέψεως. ὅμως, φησίν, ἐπί τινων οὐδὲν κωλύει, οἷον ἐπεὶ ἡ ψυχὴ εἶδός ἐστι τῶν ἐμψύχων, οὐδὲν κωλύει τινὰ ψυχήν, οἷον τὸν νοῦν ἤτοι τὴν λογικὴν ψυχήν, μένειν· αἱ γὰρ ἄλογοι θνηταί εἰσιν. καὶ διὰ τοῦτο πρόσκειται τὸ "ἴσως." καὶ ἐπεὶ ἁπάντων τὰ αἴτια δῆλά ἐστιν, οὐδεμία χρεία τῶν ἰδεῶν εἰς τὴν τούτων γένεσιν.

1070 a 31. ἐντεῦθεν ἡ λύσις τῆς λεγούσης ἀπορίας πότερον τὰ αἴτια καὶ αἱ ἀρχαὶ αἱ αὐταί εἰσι πάντων ἢ οὔ. λέγει οὖν ὅτι τρόπον μέν τινά εἰσιν αἱ αὐταί, τρόπον δέ τινα ἕτεραι. "καθόλου" μὲν οὖν φησί, καὶ

εἴτε πολλά," οὐ τῆς ἀιδίου οὐσίας λέγει, ἀλλὰ τῆς οὐσίας τῆς αἰσθητῆς, ἥτις καὶ κατὰ τῶν φθαρτῶν καὶ κατὰ τῶν ἀφθάρτων κατηγορεῖται σωμάτων· ταύτης δὴ τὰ στοιχεῖα ζητητέον· ὥσπερ γὰρ τῶν ζῴων ἐστὶ στοιχεῖα καὶ τῶν φυτῶν ἡ ὑποκειμένη αὐτοῖς ὕλη, οὕτω καὶ τῶν σφαιρῶν καὶ τῶν ἐν αὐταῖς ἀστέρων ἐστὶ στοιχεῖον τὸ ὑποκείμενον αὐτοῖς, αὐτὸ δὴ τὸ πέμπτον σῶμα. δύο μὲν δὴ οὐσίαι αὗται εἰσί, τρίτη δὲ ἡ νοητὴ ἀΐδιος οὖσα καὶ ἀκίνητος, ἣν καὶ φασί τινες χωριστὴν καὶ ἑτέραν τῶν τῇδε. ἀλλὰ καὶ ταύτην οἱ μέν, ὥσπερ Πλάτων, εἰς δύο διαιροῦσιν, εἴς τε τὰ μαθηματικά (χωριστὰ γὰρ καὶ καθ' αὑτὰ εἶναι τὰ μαθηματικὰ ὁ Πλάτων ἔλεγε) καὶ τὰ εἴδη ἤτοι τὰς ἰδέας· τινὲς δὲ τῶν Πυθαγορείων τὰ μαθηματικὰ καὶ τὰ εἴδη εἰς μίαν φύσιν ἐτίθεντο, μηδὲν διαφέρειν λέγοντες τὰ μαθηματικὰ τῶν ἰδεῶν· ἄλλοι δὲ τούτων ἤτοι τῶν Πυθαγορείων (οὐ γὰρ πάντες οἱ Πυθαγόρειοι τῆς αὐτῆς γεγόνασιν αἱρέσεως) τὰ μαθηματικὰ μόνον εἶναι ἔλεγον, τὰς ἰδέας μὴ προσηκάμενοι.

harum (substantiarum) una est perpetua, substantia nimirum corporum caelestium; alia corruptibilis, et est substantia humi degentium, plantarum inquam et animalium: atque huius elementa in praecedentibus sermonibus sumuntur. Themist. f. 2.

1069 a 33. quapropter (substantia immobilis) separari dicitur a sensibili substantia. atqui certe non loco: nam falsum est dicere loco separari substantiam locum penitus non habentem et ab extremitatibus corporum non ambitam, quomodo ambiuntur omnia quae loco continentur. Themist. f. 2.

1069 a 36. λέγει "ἐκείνας" τήν τε αἰσθητὴν καὶ φθαρτὴν οὐσίαν καὶ τὴν αἰσθητὴν καὶ ἄφθαρτον.

1069 b 1. cum nihil sit commune ipsis aut in generatione aut in loco aut in argumento aut in decremento, nec commune principium habeant a quo producantur. Themist. f. 3.

"εἰ μηδεμία αὐτοῖς ἀρχὴ κοινή," ὅπερ ἴσον ἐστὶ τῷ ἐπειδὴ οὐδαμῶς κατ' οὐδὲν ἡ αἰσθητὴ οὐσία κοινωνεῖ τῇ νοητῇ, οὐδέ ἐστί τις αὐτοῖς ἀρχὴ κοινή, οὐκ ἂν εἴη τῆς φυσικῆς τὸ περὶ αὐτῆς θεωρεῖν. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια οἶμαι ὅτι τοιαύτη τίς ἐστιν· τὸ δὲ ἐν ἀρχῇ τῆς λέξεως συνεχὲς τοιοῦτον· οὐσίαι δὲ τρεῖς, μία μὲν αἰσθητή, ἣν πάντες ὁμολογοῦσιν, ἧς καὶ ἀναγκαῖον τὰ στοιχεῖα λαβεῖν, εἴτε ἓν εἴτε πολλά· εἶτα τὸ ἧς, δηλονότι αἰσθητῆς, ἡ μὲν ἐστὶ φθαρτὴ ἡ δὲ ἀΐδιος. ἦν ἂν τὰ λεγόμενα σαφέστερα, εἰ ἀντὶ τοῦ "ἡ δὲ αἰσθητὴ οὐσία μεταβλητή" γεγραμμένον ἦν, ἐπειδὴ δὲ ἡ αἰσθητὴ οὐσία μεταβλητή. εἰπὼν γὰρ ἀνωτέρω ὅτι αἱ οὐσίαι τρεῖς εἰσίν, ὧν ἡ μέν ἐστιν αἰσθητή, ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν, ἐντεῦθεν ζητεῖ τίνα ἐστὶ τὰ στοιχεῖα τῶν τε αἰσθητῶν καὶ φθαρτῶν καὶ τῶν αἰσθητῶν καὶ ἀφθάρτων οὐσιῶν.

1069 b 3. ἐπειδὴ δὲ ἡ μὲν κίνησις ἐν τρισὶ κατηγορίαις οὖσα ἐδείχθη ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 1), ποιῷ, ποσῷ, ποῦ, ἡ δὲ μεταβολὴ καὶ ἐν ταύταις καὶ ἐν τῇ οὐσίᾳ (τὸ γὰρ "κατὰ τὸ τί" τοῦ φυσικοῦ καὶ οὐσιώδους εἴδους ἐστὶ δηλωτικόν), καὶ γένεσις μὲν ἁπλῆ καὶ φθορά ἐστι κατὰ τόδε, τουτέστι μεταβολὴ κατὰ τὴν οὐσίαν (ἁπλῆν γὰρ τὴν τῶν οὐσιῶν ἐλέγομεν ἐν τῇ περὶ Γενέσεως (1 2)), αὔξησις δὲ καὶ φθίσις ἡ κατὰ τὸ ποσόν, φορὰ δὲ καὶ μεταβολὴ ἡ κατὰ τόπον, ἀλλοίωσις δὲ μεταβολὴ κατὰ τὸ πάθος, οἷον θερμότητος, λευκότητος)· ἐπεὶ οὖν ταῦθ' οὕτως ἔχει, εἰς ἐναντιώσεις ἄρα καθ' ἑκάστην ἐστὶ πᾶσα μεταβολή, ἡ μὲν κατὰ ποσὸν μεταβολὴ εἰς τὴν κατὰ ποσὸν ἐναντίωσιν (αὕτη δ' ἐστὶ τὸ μέγα καὶ μικρόν, ἢ τὸ τέλειον ἢ ἀτελές), ἡ δὲ κατ' οὐσίαν μεταβολὴ εἰς τὴν κατὰ ποσὸν ἐναντίωσιν· ἔστι δὲ αὕτη τὸ εἶδος καὶ στέρησις· καὶ αἱ λοιπαὶ μεταβολαὶ ὁμοίως. εἰ δὲ τοῦτο, ἀνάγκη εἶναι τρίτον τι τὴν ὕλην τὴν δυναμένην ἐξ εἴδους εἰς στέρησιν καὶ ἐκ στερήσεως εἰς εἶδος μεταβάλλειν· ὁμοίως καὶ ἐκ μεγάλου ἢ τελείου εἰς μικρὸν καὶ ἀτελές.

nam fit album ex non albo; non tamen ex omni non albo: 1069 b 5.
non enim ex voce, tametsi vox non alba sit. Themist. f. 3.

οὕτως οὖν ἀναπτύξας ἡμῖν τί ποτέ ἐστι τὸ γινόμενον καὶ μεταβάλλον ἐξ εἴδους εἰς στέρησιν καὶ ἐκ ταύτης εἰς ἐκεῖνο, ὅτι ἡ ὕλη ἐστίν, ἐπήγαγε "καὶ τοῦτό ἐστι τὸ Ἀναξαγόρου ἕν," δυνάμει λέγων ὅτι ὅταν ὁ Ἀναξαγόρας λέγῃ ὡς ἦν ὁμοῦ πάντα χρήματα καὶ ἓν ἦν τὸ πᾶν, ὁ δὲ νοῦς ἤρξατο ἀπό ἀρχῆς τινὸς ταῦτα διαχωρίζειν, ἐνδείκνυται ὡς ὠνείρωττε μὲν τὴν ὕλην, οὐ κατέλαβε δέ, καὶ ἐπὶ τούτῳ οὐδὲ σαφῶς ἡμᾶς ταύτην ἐδίδαξε. βέλτιον οὖν, φησί, λέγειν ὅτι ἐξ ἑνὸς μὲν γίνεται πάντα, δυναμένου δὲ τοῦ ἑνὸς εἰς πάντα μεταβάλλειν, εἶτα καὶ σαφηνίζειν ὅτι τοῦτο τὸ ἓν ἡ ὕλη ἐστίν, ἥπερ λέγειν ὅτι ἦν ὁμοῦ πάντα χρήματα· τίς γὰρ ἀκούων ὅτι ἦν ὁμοῦ πάντα, δύναται νοεῖν ὅτι αὕτη ἡ φωνὴ τῆς ὕλης ἐστὶ δηλωτικὴ τῆς δυνάμει πάντα οὔσης; ὡς οὖν Ἀναξαγόρας διὰ τοῦ λέγειν ὡς ἦν ὁμοῦ πάντα τὴν ὕλην ἐφαντάσθη μέν, οὐκ ἔγνω δέ, οὕτω καὶ Ἐμπεδοκλῆς ἐκ τοῦ μίγματος λέγων γενέσθαι τὰ τῇδε (λέγοι δ' ἂν μῖγμα τὸν σφαῖρον) τὴν ὕλην ἐφαντάζετο· μὴ δυνηθεὶς δὲ ἅψασθαι αὐτῆς, ἀντὶ τοῦ λέγειν ἐξ ὕλης, ἔλεγεν ὅτι ἐκ τοῦ μίγματος ἐστι τὰ τῇδε. ἀλλὰ καὶ ὁ Δημόκριτος διὰ τοῦ "ἦν ὁμοῦ πάντα" δυνάμει ἐμφαίνει ὡς ἔχει ἀμυδρῶς ἔννοιαν τῆς ὕλης· τὸ γὰρ ἦν ὁμοῦ πάντα δυνάμει ἴσον ἐστὶ τῷ ἔστιν ἐν ἡμῖν, ὃ δύναται πάντα.

πάνυ τεταραγμένως καὶ φύρδην καὶ οὐ τεταγμένως οὐδ' ἀκολού- 1069 b 26.
θως ἐπάγει τὰ ἐν τῷ βιβλίῳ τούτῳ λεγόμενα, δι' οὐδὲν ἕτερον ἢ δι' ἣν ἀρχῆθεν ἐπετήδευσεν ἀσάφειαν. εἰπὼν γὰρ ἄνωθεν ὅτι τὰ γινόμενα οὐ μόνον ἐξ ὄντος γίνεται ἀλλὰ καὶ ἐκ μὴ ὄντος, καὶ μεταξὺ πολλὰ παρεμβαλών, ἐνταῦθα τὴν αἰτίαν δι' ἣν ἐκείνων ἐκεῖσε ἐμνήσθη, τίθησι, δυνάμει λέγων ὡς οὐ παρέργως οὐδὲ ἐκείνων ἐκεῖσε μνήμην πεποίηται, ἀλλὰ καὶ ἀναγκαίως. ἀπορήσειε γὰρ ἄν τις, ἐπειδὴ τὸ μὴ ὂν τριχῶς λέγεται, ἓν μὲν τὸ ψεῦδος ὥσπερ ὂν τὸ ἀληθές, ἄλλον δὲ τὸ μηδαμῶς ὄν, ἄλλον τὸ δυνάμει ὄν, ἐκ τίνος τούτων ἡ γένεσίς ἐστιν; καὶ ἐρωτήσας ἀπορητικῶς, ἀποκρίνεται λέγων, εἰ δὴ ἔστι τὸ δυνάμει, τουτέστιν, εἰ ἔστι τι δυνάμει μὴ ὄν, ἐξ ἐκείνου ἔσται ἡ γένεσις. ἐλλιπῶς δὲ τοῦτο ἀπηγγέλθη, καὶ οἶμαι διὰ τὸ σαφῶς περὶ τούτου πρὸ ὀλίγου εἰπεῖν. δεῖ δέ, ὡς οἶμαι, προσυπακούειν τοῦ ἐνεργείᾳ μὲν μὴ ὄν, δυνάμει δὲ ὄν· ἵν' ᾖ τὸ ὅλον τοιοῦτον· εἰ δὴ ἔστιν ἐνεργείᾳ μὲν μὴ ὄν, δυνάμει δὲ ὄν, ἐκ τούτου ἂν ἡ γένεσις εἴη. ἔστω δὲ σαφὲς τὸ λεγόμενον ἐπὶ ὑποδείγματος κτλ.

1065a 21. *τούτου οὖν τοῦ ὡς ἀληθῶς ὄντος αἰτία οὐ ζητεῖται· οὐδεὶς γὰρ ζητεῖ διὰ τί ἡ διάνοια συνέπλεξε τῷ Σωκράτει τὸ γράφειν, ἀλλὰ περὶ τὸ ἔξω ὂν καὶ χωριστὸν ἤτοι καθ' αὑτὸ ὑπάρχον, περὶ τοῦτο ζητοῦμεν τὰ αἴτια. ἔξω δὲ ὂν λέγει τὸν Σωκράτην καὶ τὴν ἐνέργειαν αὐτοῦ, λέγω δὴ τὸ γράφειν· οὐ γάρ ἐστιν ὁ Σωκράτης καὶ ἡ ἐνέργεια αὐτοῦ ἐν τῇ λεγούσῃ διανοίᾳ ὅτι ὁ Σωκράτης καὶ γράφει, ἀλλ' ἐκτὸς αὐτῆς καὶ ἐν τῳδὶ τῷ τόπῳ. περὶ δὴ τὸ ἔξω ὂν ζητοῦμεν τὰ αἴτια· ζητοῦμεν γὰρ τὴν αἰτίαν δι' ἣν ὁ Σωκράτης γράφει. οὐ παρέργως δὲ τούτων ἐμνήσθη, ἀλλ' ἐπειδὴ ἔδειξεν ὅτι τοῦ συμβεβηκότος ὄντος οὐκ εἰσὶν αἴτια. εἰπὼν δὴ ὅτι τοῦ ἔξω ὄντος τὰ αἴτια ζητοῦμεν, λέγει ὅτι τοῦ δὲ οὐκ ἀναγκαίου ἀορίστου καὶ ἐπ' ἔλαττον ὄντος τὰ αἴτια ἀόριστα καὶ ἄτακτα, καὶ διὰ τοῦτο οὐ ζητεῖται· τοῦ γὰρ ἐντυχεῖν ὃν μὲν ἐβούλετό τις ἰδεῖν, μὴ ᾤετο δέ, ἄπειρα τὰ αἴτια, ὡς ἐν τοῖς περὶ Φύσεως (2 5) εἴρηκε. οὔτε οὖν αἴτιά εἰσι τοῦ κατὰ συμβεβηκὸς ὄντος, οὔτε ἔστιν ἐν αὐτῷ τὸ οὗ ἕνεκα, ἀλλ' ἔστι τὸ ἕνεκά του ἢ ἐν τοῖς φύσει γινομένοις ἢ τοῖς ἀπὸ διανοίας.*

μέχρι δὴ τῶν ἐνταῦθα ἡμῖν ἐξηγητέον τὰ τοῦ παρόντος βιβλίου· τὰ δὲ ἀπὸ τοῦ "τύχη δέ ἐστιν ὅταν τι τούτων γένηται κατὰ συμβεβηκός" ἕως τοῦ τέλους τοῦ βιβλίου τὰ αὐτά εἰσιν ἀπαραλλάκτως τοῖς ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 5 p. 197 *a* 4. 3 1 p. 200 *b* 26. 3 4 p. 204 *a* 3. 5 1) *λεγομένοις, καὶ δεῖ τούτων τὴν σαφήνειαν ἐκ τῶν εἰς ἐκεῖνα ὑπομνημάτων πορίζεσθαι, ἡμῖν δὲ ἡ τοῦ Λ σαφήνεια προχειριζέσθω.*

1066b 35. *ὡς τὸ μεταξύ, ὅπερ οἱ περὶ Ἀναξίμανδρον ἐδόξαζον πυρὸς μὲν παχύτερον ἀέρος δὲ λεπτότερον εἶναι.* cod. Reg.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Λ.

1069a 18. *Ἐν τῷ παρόντι βιβλίῳ τῆς Μετὰ τὰ Φυσικά, ὃ λάμβδα τοῖς περιπατητικοῖς ἐπιγράφειν σύνηθες, περὶ τῆς πρώτης καὶ ἀκινήτου ἀρχῆς τὸν λόγον ποιεῖται, δι' ἣν καὶ ἅπασα αὕτη ἐκδέδοται ἡ πραγματεία. ἀλλ' ἐπεὶ τὸ τῆς ἀρχῆς ὄνομα πολλαχῶς λέγεται (λέγεται γὰρ ἀρχὴ καὶ τὸ εἶδος καὶ ἡ ὕλη καὶ ἡ στέρησις), πρῶτον κεφαλαιωδῶς καὶ συντόμως τὰ περὶ αὐτῶν διαρθροῖ, ἵνα ἔναυλον ἔχοντες τὸν περὶ τούτων λόγον εὐμαρῶς γνῶμεν τὴν τῆς ζητουμένης ἀρχῆς πρὸς τὰς ἄλλας διαφοράν. ἄλλως τε ἐπειδὴ ἐν ταῖς ἀπορίαις πρὸς τοῖς ἄλλοις καὶ τὸ πότερον πάντων αἱ αὐταί εἰσιν ἀρχαὶ ἢ ἄλλων ἄλλαι ἐζητεῖτο* (B 4), *οὐ τετύχηκε δέ πω λύσεως, διὰ τοῦτο πάλιν τὸν περὶ τῶν αἰτίων προχειρίζεται λόγον, ἵνα δείξῃ ὅτι τρόπον μέν τινά εἰσι πάντων αἱ αὐταὶ ἀρχαί, τρόπον δέ τινα οὐκ εἰσίν.*

1069a 19. *"καὶ γὰρ εἰ ὡς ὅλον τι τὸ πᾶν, ἡ οὐσία πρῶτον μέρος," τουτέστιν, εἴτε ξύμπασαν τὴν αἰσθητὴν οὐσίαν μετὰ τῶν συμβεβηκότων ὡς ἕν τι λαμβάνομεν, ἡ οὐσία πρῶτον μέρος· εἴτε ἀπολελυμένας καὶ κεχωρισμένας ἀπ' ἀλλήλων καὶ ἐφεξῆς κειμένας τὰς δέκα νοήσομεν κατηγορίας, οἷον πρῶτον φέρε εἰπεῖν τὸ ποσόν, εἶτα τὸ ποιόν, εἶτα τὴν οὐσίαν, εἶτα τὰς λοιπάς, καὶ οὕτως ἡ οὐσία πρώτη τῶν ἄλλων ἐστίν, εἶτα τὸ ποιόν, εἶτα τὸ ποσόν, καὶ αἱ λοιπαὶ ὁμοίως· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "εἰ καὶ τῷ ἐφεξῆς" οὔσας τὰς κατηγορίας νοοῦμεν καὶ μὴ ἐν τῇ οὐσίᾳ οὔσας." ἀλλ' ἐπεὶ ἀσαφέστερόν πως ἔτι ἐστὶ τὸ λεγόμενον, γενέσθω σαφέστερον ἐπὶ ὑποδείγματος κτλ.*

sive enim universitas ita cohaereat ut membra cum humano corpore et partes cum planta; sive ex rebus constructa sit quae se invicem tangant, ut domus et navis; sive conflctur ex separatis et dispersis, ut civitas et exercitus: princeps omnium ipsius partium substantia est... sin autem nullo horum modorum fuerit, sed unitati similis, quae in numero prior est, deinde duo, deinde tria... hac etiam similitudine substantia est prior, deinde quantitas, tum qualitas et reliqua. *Themistii paraphrasis in librum Arist. de prima philosophia.*

1069a 21. *εἰπὼν δὲ ὅτι εἴτε ὡς ἕν τι καὶ μίαν τινὰ φύσιν ἑτέραν παρὰ ταύτας γινομένην τὰς δέκα φαντασθῶμεν κατηγορίας, εἴτε ἐφεξῆς, ἀμφοτέρως ἡ οὐσία πρώτη τῶν ἄλλων ἐστί, καὶ προσαποδείκνυσι λέγων "ἅμα δ' οὐδ' ὄντα ἁπλῶς ὡς εἰπεῖν ταῦτα," λέγων "ταῦτα" τὰς παρὰ τὴν οὐσίαν κατηγορίας. αὐτὸς δὲ καὶ δηλῶσαι βουληθείς, τίνα ἐστὶ τὰ παρὰ τὴν οὐσίαν, ἐπήγαγεν, "οἷον ποιότητες" κτλ.*

1069a 22. *τὸ δὲ "ἢ καὶ τὸ οὐ λευκὸν καὶ οὐκ εὐθύ" ἴσον ἐστὶ τῷ ἀλλὰ καὶ τὸ οὐ λευκὸν καὶ τὸ οὐκ εὐθὺ ὄντα λέγεται διὰ τὸ λευκὸν καὶ τὸ εὐθύ· φαμὲν γὰρ ὅτι ἔστιν οὐ λευκὸν καί ἐστιν οὐκ εὐθύ. ἐπεὶ οὖν τὸ λευκὸν καθ' αὑτὸ μὴ ὂν ἀπὸ τῆς οὐσίας τὸ εἶναι ἔχει, τὸ δὲ μὴ λευκὸν στέρησις ὂν λευκοῦ, διὰ τὴν ἕξιν ἤτοι τὸ λευκὸν ὂν καὶ ἔστι καὶ λέγεται, τοῦτο δεῖγμα λαμπρὸν τοῦ πρώτην εἶναι τῶν ἄλλων τὴν οὐσίαν· δι' αὐτὴν γὰρ αἱ ἕξεις, οἷον λευκότητες θερμότητες, διὰ δὲ τὰς ἕξεις αἱ μὴ λευκότητες, μὴ θερμότητες ὄντα καὶ εἰσὶ καὶ προσαγορεύονται. ἔτι, φησίν, οὐδὲν τῶν ἄλλων χωριστόν ἐστι τῆς οὐσίας, ἀλλ' ἐν αὐτῇ τὸ εἶναι ἔχει καὶ αὐτῆς δεῖται εἰς τὸ εἶναι. τὸ οὖν οὗ χωρὶς τὰ ἄλλα οὐκ ἔστιν, ἐκεῖνο δὲ τῶν ἄλλων, ἐκεῖνο πρότερόν ἐστιν ἐκείνων.*

1069a 26. *οἱ μὲν δὴ νῦν οὐσίας τὰ καθόλου φασίν· καὶ οὐκ ἂν διὰ τούτων αἰνίττοιτο τὸν Πλάτωνα (οὐκ ἔστι γὰρ αὕτη τοῦ Πλάτωνος ἡ δόξα), ἀλλὰ λέγοι ἂν ἄλλους περὶ τοὺς αὐτοὺς αὐτῷ ὄντας χρόνους. οἱ δὲ πάλαι τοὐναντίον οὐσίαν ἔλεγον τὰ καθ' ἕκαστα· ὁ μὲν Ἡράκλειτος οὐσίαν καὶ ἀρχὴν ἐτίθετο τὸ πῦρ, Παρμενίδης δὲ ἐν τοῖς πρὸς δόξαν πῦρ καὶ γῆν, Θαλῆς ὕδωρ, καὶ ἄλλος ἄλλο· τὸ δὲ κοινὸν καθόλου σῶμα τὸ κατὰ παντὸς σώματος κατηγορούμενον οὐδεὶς εἶπεν ἀρχήν.*

1069a 30. *μία μέν, φησίν, οὐσία ἐστὶν ἡ αἰσθητή, ἣν ἅπαντες εἶναι ὁμολογοῦσι· τὴν γὰρ νοητὴν καὶ θείαν πολλοὶ μὴ εἶναι ἀνοήτως ἀπεφήναντο, ὧν εἷς ἦν Ἵππων ὁ ἄθεος ἐπικληθείς· οὗτος γὰρ παρὰ τὴν αἰσθητὴν φύσιν οὐδὲν ἔφασκεν εἶναι. μία μὲν οὖν ἐστὶν οὐσία ἡ αἰσθητή, ἣν ἅπαντες ὁμολογοῦσι· ταύτης δὲ τῆς αἰσθητῆς ἡ μέν ἐστι φθαρτή, οἷον τὰ φυτὰ καὶ τὰ ζῷα, ἡ δέ ἐστιν ἀΐδιος, οἷον αἱ σφαῖραι καὶ οἱ ἐν αὐταῖς ἀστέρες. τὸ δὲ "ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν, εἴτε ἓν*

"οὔτε κατὰ Ἀναξαγόραν." εἰ δὲ οὕτω λέγοντες ὡς ἐκεῖνοι ἔλεγον ἀληθῆ λέγειν ὑπολάβοιμεν, συμβήσεται τἀναντία τοῦ αὐτοῦ κατηγορεῖν, ὅπερ ἐδείχθη ἀδύνατον. πῶς δὲ καὶ κατὰ Ἀναξαγόραν τὰ ἐναντία ἐν τῷ αὐτῷ ἅμα εἶναι συμβαίνει, λέγει· ὅταν γὰρ ἐν παντὶ καὶ τῷ τυχόντι πράγματι λέγῃ ὁ Ἀναξαγόρας εἶναι πάντα καὶ γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν καὶ ἁπλῶς πάντα (πάντα γὰρ ἐν πᾶσι καὶ δυνάμει, ἀλλ' ἐνεργείᾳ καὶ ἀποκεκριμένα καὶ καθ' αὑτά), οὐδὲν ἕτερον λέγει ἢ τὰ ἐναντία ἐν τῷ αὐτῷ εἶναι.

1064 a 6. ἡ μὲν μαλακώτερον, ὡς ἡ ἀστρονομία, ἡ δ' ἀκριβέστερον, ὡς ἡ γεωμετρία.

1064 a 7. καὶ ἐπεὶ πᾶσαι αἱ ἐπιστῆμαι, ὡς εἴρηται, οὔτε τοὺς τῶν οἰκείων ἀρχῶν ὁρισμοὺς ἀποδεικνύουσιν, ἀλλ' ὁμολογούμενον λαμβάνουσιν ὅτι ὅδε ὁ ὁρισμὸς τοῦδέ ἐστιν, οὔτε μὴν τοὺς ἐκ τῶν ἀρχῶν (καὶ αὐτοὺς γὰρ ὁμολογουμένους λαμβάνουσι), φανερὸν ἐκ τῆς τοιαύτης ἐπαγωγῆς ὅτι τῆς οὐσίας καὶ τοῦ τί ἐστιν ἤτοι τοῦ ὁρισμοῦ οὐκ ἔστιν ἀπόδειξις. τοῦτο δὲ ἦν ἓν τῶν ζητουμένων· ἐζητεῖτο γὰρ πότερον ἔστιν ἀπόδειξις τοῦ τί ἐστιν ἢ οὔ.

1064 a 11. περὶ ὧν (τῶν πρακτικῶν ἐπιστημῶν) ἐν τοῖς ἠθικοῖς τοῖς ἐπιγραφομένοις Νικομαχείοις εἴρηται ἀκριβῶς.

1064 a 13. ἄλλην δέ τινα δύναμιν λέγει ἂν τὴν τῶν ἀλόγων ζῴων φυσικὴν ὁρμήν, καθ' ἣν ὁ ἀράχνης ἐργάζεται τὸ ἀράχνιον καὶ ἡ χελιδὼν τὰς νεοττιάς.

1064 a 20. τὸ δὲ "πῶς" προσκείμενον μηνυτικόν ἐστι τοῦ ἀναποδείκτως.

1064 b 3. τῶν δ' αὖ θεωρητικῶν βελτίστη πάλιν ἡ βελτίοσιν ἀρχαῖς χρωμένη, βελτίοσι δὲ ἀρχαῖς χρῆται ἡ τελευταία ῥηθεῖσα.

1064 b 13. καὶ πῶς ταύτην εἶπε καθόλου, σαφηνίζων ἐπήγαγε τὸ "τῷ προτέραν," δυνάμει λέγων, οὕτως τὴν προκειμένην ἐπιστήμην φημὶ καθόλου, οὐχ ὡς κατηγορουμένην κατὰ τῶν λοιπῶν, ἀλλ' ὡς προτέραν καὶ συναναιροῦσαν τὰς ἄλλας· ἀναιρεθείσης γὰρ τῆς θεολογίας δηλονότι ἀναιροῦνται καὶ αἱ ἀρχαὶ αὐτῆς· τῶν γὰρ ἀρχῶν μένοι ἂν καὶ αὕτη. ἀλλὰ μὴν τῶν ἀρχῶν τῆς θεολογίας ἀναιρουμένων ἀναιροῦνται καὶ τὰ λοιπὰ ἅπαντα. ἐπίστησον οὖν ὅτι ἐπεὶ τὴν θεολογίαν οὐχ ὡς κατὰ πλειόνων λεγομένην λέγει καθόλου, ἀλλ' ὡς προτέραν καὶ συναναιροῦσαν τὰς ἄλλας.

1064 b 16. σκεπτέον περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος· τούτου γὰρ μηνυτικὸν τὸ "σκ. πρ. π. τ. ὄντως ὄντος." ἐλλείποι δ' ἂν τῇ λέξει τὸ πότερον ζητεῖ τοῦτό τις τῶν ἐπιστημῶν ἢ τεχνῶν, ἢ οὔ. πρὸς τοῦτο γὰρ τείνει τὸ ἐπαχθὲν τὸ "ὅτι μὲν οὐδεμία τῶν ἐπιστημῶν πραγματεύεται περὶ τοῦ συμβεβηκότος, δῆλον."

1064 b 23. "οὐδὲ τὸν — οὐκ ὤν." ὃ νῦν παρατίθεται σόφισμα ὑπὸ τῶν σοφιστῶν λεγόμενον, τοιοῦτόν ἐστι καὶ οὕτως ὑπ' αὐτῶν ἐπεραίνετο. ὑπετίθεντο ἄνθρωπον, οἷον τὸν Καλλίαν, πρότερον μουσικὸν ὄντα, χωρὶς τοῦ εἶναι γραμματικόν, ὕστερον γεγονότα καὶ γραμματικόν, καὶ ἔλεγον, οὑτοσὶ ὁ Καλλίας νῦν ἅμα ἐστὶ μουσικὸς καὶ γραμματικός. εἰ δὲ τοῦτο, καὶ ὅτε ἐγένετο γραμματικός, ἐγίνετο καὶ μουσικός· ἅμα γὰρ ὢν γραμματικὸς νῦν καὶ μουσικὸς ἅμα καὶ ἐγίνετο γραμματικὸς καὶ μουσικός· ὅτε ἄρα ἐγένετο γραμματικός, οὐκ ἦν μουσικός. ἀλλὰ μὴν καὶ ἦν μουσικὸς πρὸ τοῦ γενέσθαι γραμματικὸς (τοῦτο γὰρ ὑπόκειται)· ἦν ἄρα πρὸ τοῦ ἄρξασθαι γίνεσθαι γραμματικὸς μουσικὸς καὶ οὐκ ἦν. ὁ δὲ παραλογισμὸς συμβαίνει ἐπὶ ἀξιώματι λίαν ἐναργῶς ψευδεῖ, τῷ λέγοντι, ὧν ἡ ὕπαρξις ἅμα, τούτων καὶ ἡ γένεσις· οὐ γὰρ εἰ τήμερόν ἐστι Σωσιγένης καὶ Ἀλέξανδρος, ἀληθὲς τὸ λέγειν ὅτι ἐγίνετο ὁ Σωσιγένης ὅτε ἐγίνετο καὶ ὁ Ἀλέξανδρος. ὕστερος γὰρ Σωσιγένης Ἀλεξάνδρου τῷ χρόνῳ, εἰ καὶ συνέβη, ὅτε ἦν Ἀλέξανδρος, εἶναι καὶ τὸν Σωσιγένην... ἔστι δὲ ἀκατάλληλος καὶ πάνυ ἀσαφὴς ἡ λέξις ἡ "οὐδὲ τὸν ὄντα μουσικὸν ὅτι γενόμενος γραμματικός" καὶ τὰ ἑξῆς. οὕτω δέ, ὡς οἶμαι, ταύτην ὑπερβιβάζειν χρή. "ὃ δὲ μὴ ἀεὶ ὄν ἐστιν, ἐγίνετο τοῦτο, ὥσθ' ἅμα μουσικὸς ἐγένετο καὶ γραμματικός." εἶτα τούτῳ συναπτέον τὸ "οὐδὲ τὸν ὄντα μουσικὸν ὅτι γενόμενος γραμματικὸς ἅμα ἔσται τὰ ἀμφότερα, πρότερον οὐκ ὤν·" καὶ οὕτως ἀναγνωστέον τὸ "τοῦτο οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως οὐσῶν ἐπιστημῶν" καὶ τὰ ἑξῆς. ἵν' ᾖ τὸ ὅλον καὶ τὸ τοῦ λόγου συνεχὲς τοιοῦτον. "ὃ δὲ μὴ ἀεὶ ὄν ἐστιν, ἐγίνετο τοῦτο, ὥσθ' ἅμα μουσικὸς ἐγίνετο καὶ γραμματικός· τὸ οὖν τὸν ὄντα μουσικὸν ὅτι γραμματικὸς ἔσται, πρότερον οὐκ ὤν, τοῦτο οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως ἐπιστημῶν" καὶ τὰ ἑξῆς. ἔστι δὲ τὸ "ὃ δὲ μὴ ἀεὶ ὂν ἔστιν, ἐγένετο τοῦτο, ὥσθ' ἅμα μουσικὸς ἐγένετο καὶ γραμματικός," κατασκευή, δι' ἧς κατεσκεύαζον οἱ σοφισταὶ ὅτι ὁ Καλλίας, ὅτε ἦν μουσικός, οὐκ ἦν μουσικός. εἴη δ' ἂν ὡς ἀπὸ τῶν σοφιστῶν λεγόμενον τὸ "ὃ δὲ μὴ ἀεὶ ὄν ἐστιν ἐγένετο τοῦτο." ἔστι δὲ τοιοῦτον, ὅπερ μὴ ἀεὶ ὂν μηδὲ πρότερον ὂν νῦν ἔστι, τοῦτο ἐγένετο. ὁ δὲ Καλλίας νῦν ὢν ἅμα μουσικὸς καὶ γραμματικός, πρότερον δὲ μὴ ὢν ἀμφότερα, δῆλον ὅτι γραμματικὸς καὶ μουσικός· μουσικὸς γὰρ μόνον ἦν, ἅμα γινόμενος γραμματικὸς ἐγίνετο καὶ μουσικός· τὸ δὲ γινόμενον οὐκ ἔστιν, ὁ Καλλίας ἄρα γινόμενος μουσικὸς οὐκ ἦν μουσικός. ἀλλὰ καὶ ἦν. αὐτὸς δὲ τὸ "ὥσθ' ἅμα μουσικὸς ἐγένετο καὶ γραμματικός" θείς, τὸ τὸ δὲ γινόμενον καὶ τὸ ὁ Καλλίας ἄρα ἦν μουσικὸς καὶ οὐκ ἦν οὐκ ἔθηκε διὰ τὴν συνήθη βραχυλογίαν. ἀλλὰ ταῦτα μὲν ὡς ἀπὸ τῶν σοφιστῶν λεγόμενα ἡμᾶς λαμβάνειν χρή· τὸ δὲ "οὐδὲ τὸν ὄντα μουσικὸν ὅτι γενόμενος γραμματικὸς τὰ ἀμφότερα ἅμα ἔσται, πρότερον οὐκ ὤν· τοῦτο δὲ οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως οὐσῶν ἐπιστημῶν," τοῦτο ὡς ἀπὸ Ἀριστοτέλους λεγόμενον νομιστέον. εἴη δ' ἂν τὸ λεγόμενον, ὅτι οὐδὲ τὸν ὄντα μὲν πρότερον μουσικὸν νῦν δὲ ὄντα ἀμφότερα, καὶ μουσικὸν καὶ γραμματικόν, πρότερον δηλονότι μὴ ὄντα μουσικὸν καὶ γραμματικὸν ἅμα, ἀλλὰ μόνον μουσικόν· καὶ προσυπακουστέον τοῦ, εἰ ἅμα τῷ γίνεσθαι γραμματικὸς ἐγίνετο καὶ μουσικός, οὐδεμία τῶν ὁμολογουμένως ἐπιστημῶν ζητεῖ.

ὅτι τὸ "ὅπως ἔτυχεν" ἀντὶ τοῦ ὡς ἐπ' ἔλαττον ἔλαβεν, δῆλον 1064 b 36.
πεποίηκε διὰ τοῦ ἐπαχθέντος αὐτῷ παραδείγματος.

ὧν ἐστὶν ἐπιστήμη, τούτων εἰσὶν ἀρχαὶ καὶ αἴτια ὡρισμένα· τοῦ 1065 a 6.
κατὰ συμβεβηκὸς ὄντος ἀρχαὶ καὶ αἴτια ὡρισμένα οὐκ εἰσὶ κτλ.

ὅτι δ' ἐστὶν ἡ τοῦ ἐνδεχομένου φύσις καὶ ἀδύνατόν ἐστιν αὐτὴν 1065 a 10.
μὴ εἶναι, δέδεικται ἐν τῷ περὶ Ἑρμηνείας (c. 9).

ἐὰν οὖν, φησίν, ἀπὸ τοῦ ἐνεστῶτος νῦν ἀρξάμενοι λέγωμεν 1065 a 13.
ὅτι αὔριον γίνεται ἔκλειψις, ἐπειδὴ πᾶν τὸ γεγονὸς ἐν πεπερασμένῳ χρόνῳ γίνεται, καταντήσαμεν εἰς τὸ ὂν κτλ.

μὴ λευκὸν ἐκ μὴ λευκοῦ ἤτοι ἐκ μὴ ὄντος γενήσεται· ἐξ ὄντος ἄρα. ἀλλ' εἰ τὸ μὴ λευκὸν μὴ ὂν ἔσται, δηλονότι τὸ λευκὸν ὄν, ὥστε ἐπειδὴ δεῖ τὸ γινόμενον ἐξ ὄντος γίνεσθαι, ἔσται ἐξ οὗ τὸ μὴ λευκὸν γίνεται λευκόν, ταὐτὸν δὲ εἰπεῖν ὄν. καθὸ δὲ πάλιν τὸ μὴ λευκὸν ἐκ μὴ λευκοῦ γίνεται, κατ' ἐκείνους, ἔσται τὸ ἐξ οὗ γενήσεται τὸ μὴ λευκὸν μὴ λευκόν, καὶ τὸ ἐξ οὗ γλυκὺ καὶ μὴ γλυκύ. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. εἰ δὲ τοῦτο, συναληθεύει ἡ ἀντίφασις. ταύτην δὴ λύων τὴν ἀπορίαν λέγει ὅτι ἀληθές ἐστι τὸ λέγειν ὅτι τὸ μὴ λευκὸν ἐκ τοῦ μὴ ὄντος γίνεται, ἀλλ' οὐκ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ἀλλ' ἐκ τοῦ τὶ μὲν ὄντος τὶ δὲ μὴ ὄντος. εἴρηται δὲ περὶ τούτων ἐν τῷ ἄλφα τῆς Φυσικῆς Ἀκροάσεως (c. 8). ἀπορήσειε δ' ἄν τις πρὸς τὰ ἐν ἀρχῇ τῆς λέξεως λεγόμενα, πῶς φησὶ τὸ μὴ λευκὸν ἐκ τοῦ τελείως λευκοῦ γίνεσθαι· γίνεται γὰρ μὴ λευκόν τι, οἷον τὸ φαιόν, ἐκ μὴ λευκοῦ, οἷον τοῦ μέλανος. ἤ, οἶμαι, πρὸς τὴν ἡμετέραν φαντασίαν ἀποβλέψας τοῦτο εἴρηκεν· ἐπειδὴ γὰρ πᾶν τὸ γινόμενον ἐκ τῆς ἀποφάσεως αὐτοῦ γίνεται, ἅμα τῷ ἀκοῦσαι ὅτι γίνεται μὴ λευκόν, εὐθὺ τὴν ἀπόφασιν αὐτοῦ τὸ λευκὸν φανταζόμεθα.

1062b 29. τὸ "πρὸς αὐτοὺς" σημαίνει τὸ πρὸς ἀλλήλους. τὸ δὲ λεγόμενόν ἐστι λύσις τοῦ λέγοντος λόγου τὸ αὐτὸ καὶ ἀγαθὸν καὶ οὐκ ἀγαθόν, λευκὸν καὶ οὐ λευκόν, διὰ τὸ μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἅπαντας γινώσκειν.

1063a 6. τὸ λεγόμενόν ἐστιν ὅτι τὸ λέγειν ὡς ἐπειδὴ τῷ ὑγιαίνοντι φαίνεται γλυκὺ τὸ μέλι, τῷ νοσοῦντι δὲ πικρόν, ἔστι τὸ αὐτὸ καὶ γλυκὺ καὶ πικρόν, τοῦτο οὐδὲν διαφέρει τοῦ λέγειν ὡς, ἐπειδὴ τὸν δάκτυλον ὑποβάλλων καὶ κινήσας τὴν ὄψιν, τὸ ἓν δύο μοι φαίνεται, ἂν δὲ μὴ κινῶ, πάλιν ἕν ἐστι, τὸ αὐτὸ ἓν καὶ οὐχ ἕν· ἄτοπον γὰρ τὸ λέγειν ὅτι τὸ ἓν δύο ἐστίν, ἐπειδὴ ἠρεμοῦσα ἡ ὄψις ἓν αὐτὸ ὁρᾷ, κινουμένη δὲ καὶ παραφερομένη δύο. ὡς οὖν τοῦτο γελοῖον, οὕτω καὶ τὸ λέγειν ὅτι τὸ αὐτὸ καὶ γλυκύ ἐστι καὶ οὐ γλυκὺ διὰ τὸ τῷ μὲν φαίνεσθαι γλυκὺ τῷ δὲ οὐ γλυκύ.

1063a 13. ἔστι δὲ μᾶλλον (ἀποφαίνεσθαι κατὰ τῆς ἀληθείας) ἐκ τῶν ἀεὶ ὡσαύτως ἐχόντων "καὶ μηδεμίαν μ. π.," πλὴν τὴν κατὰ τόπον, ἐκ τούτων τἀληθῆ θηρεύειν. κόσμον δὲ λέγοι ἂν τὰς σφαίρας καὶ τοὺς ἐν αὐταῖς ἀστέρας.

1063a 19. "δεῖ ἄρα — ἐκείνῳ," τουτέστι συμβαίνει ἄρα κατὰ τοὺς φάσκοντας συναληθεύειν τὴν ἀντίφασιν, εἶναι τὸ κινούμενον εἰς ὃ κινεῖται καὶ μὴ εἶναι, ὁμοίως εἶναι ἐν ᾧ ἐκινήθη καὶ μὴ εἶναι. πῶς δὲ τοῦτο συμβαίνει, οὕτως ἔσται δῆλον. ἐπεὶ γὰρ τὸ ἔκ τινος κινηθῆναι μέλλον ἠρεμοῦν ἐν ἐκείνῳ ἐξ ἐκείνου κινεῖται, καθὸ ἐν ἐκείνῳ ἠρεμεῖ, ἔστιν ἐν ἐκείνῳ καὶ οὐκ ἔστι, διὰ τὸ συναληθεύειν τὴν ἀντίφασιν. εἰ γὰρ μέλλει τις κινεῖσθαι ἐκ λευκοῦ, ἔστιν ἐν τῷ λευκῷ καὶ ἠρεμεῖ ἐν αὐτῷ. ἀλλ' ἐπεὶ κατ' αὐτοὺς ἐπὶ τοῦ λευκοῦ ἀληθεύει καὶ τὸ μὴ λευκόν, οὐκ ἔστιν ἐν τῷ λευκῷ· ἔστιν ἄρα ἐν τῷ λευκῷ καὶ οὐκ ἔστιν. πάλιν ἐπεὶ κινεῖται εἰς τὸ μέλαν, οὐκ ἔστι μέλαν, ἀλλ' ἐπεὶ τὸ μέλαν κατ' αὐτοὺς καὶ μέλαν ἐστὶ καὶ οὐκ ἔστιν, ἔσται τὸ κινούμενον καὶ μέλαν καὶ οὐ μέλαν, καὶ κινεῖται ἄρα εἰς τὸ μέλαν καὶ γίνεται ἐν τούτῳ, τουτέστι καὶ ἔστιν ἐν τῷ μέλανι· τὸ γὰρ γίνεται ἀντὶ τοῦ ἔστιν εἴληπται αὐτῷ νῦν. τὸ δὲ ἐπαχθὲν τούτοις τὸ "τὸ δὲ κατὰ τ. ἀ. μὴ συναλ. κ. α." πάνυ πολλὴν ἀσάφειαν ἐνεποίησεν. κεῖται γὰρ τὸ τό ἄρθρον καὶ ὁ δέ σύνδεσμος ἀντὶ τοῦ ἢ συνδέσμου· ἔδει γὰρ ἀντὶ τοῦ "τὸ δὲ κ. τ. ἀντ." εἶναι ἢ κατὰ τὴν ἀντίφ. μὴ συναληθεύεσθαι. καὶ εἴη ἂν τὸ κατάλληλον τῆς λέξεως τοιοῦτον· εἰ ἔστι κίνησις καὶ κινούμενόν τι, κινεῖται δὲ πᾶν ἔκ τινος εἴς τι, ἢ ἔσται διὰ τὰ ὑπ' αὐτῶν λεγόμενα τὸ κινούμενον, ἐξ οὗ κινεῖται, καὶ οὐκ ἔσται, ἢ μὴ συναληθεύεσθαι τὴν ἀντίφασιν. εἰ οὖν ἐκεῖνα ἀδύνατα, ἀληθὲς ἂν εἴη τὸ μὴ συναληθεύεσθαι τὴν ἀντίφασιν.

1063a 22. ἐπειδὴ τὰ πράγματα διὰ τὸ μὲν εἶδος ἔχουσι καὶ τὸ εἶναι καὶ λέγεσθαι ὃ λέγεται, διὰ δὲ τὴν ὕλην (ταύτην γὰρ εἶπε ποσόν, ὥσπερ μετ' ὀλίγον εἴποι ἂν τὸ εἶδος ποιόν), διὰ γοῦν τὴν ὕλην ἔχουσι τὸ συνεχῶς ῥεῖν, λέγει ὡς εἴ τις συγχωρήσει τὰ δεῦρο συνεχῶς κατὰ τὴν ὕλην ῥεῖν καίπερ οὐκ ὂν ἀληθές (οὔτε γὰρ τὰ αὐξόμενα καὶ εἰς ἐπίδοσιν ἀγόμενα συνεχῶς ῥεῖ, οὔτε μὴν λίθοι καὶ ἄλλα πάμπολλα), διὰ τί κατὰ τὸ ποιὸν καὶ τὸ εἶδος οὐκ ἂν μένοι; τὸ γὰρ ποιὸν ἤτοι τὸ εἶδος καὶ ἡ οὐσία οὐ ῥεῖ, ἀλλὰ μένει.

1063a 31. τὸ δὲ "οὐδὲν ἂν διέχοι φαγεῖν," τὸ διέχοι ἀντὶ τοῦ διαφέροι.

1063b 5. τὸν αὐτὸν δὴ τρόπον ἀναγκαῖόν ἐστιν ἔχειν· καὶ προσυπακουστέον τοῦ καὶ ἐφ' ἡμῖν.

1063b 7. ἐλλιπῶς δὲ πάνυ εἴρηται ἐν ἀρχῇ ἡ λέξις ἡ λέγουσα "πρ. — μὴ τιθ. τι·" ἐλλείπει δὲ εἰς τὸ καὶ λέγοντας αὐτοῖς φαίνεσθαι καὶ τὰ πράγματα τοιαῦτα. ὥστε ἔσται τὸ πλῆρες τοιοῦτον. πρὸς μὲν οὖν τοὺς ἔχοντας ἀπορίας ἐκ λόγου τινὸς γινομένου πρὸς αὐτούς, καὶ πείσαντος αὐτοὺς λέγειν ὅτι καὶ τὰ πράγματα αὐτοῖς τοιαῦτα φαίνεται οἷα καὶ λέγουσι, πρὸς δὴ τοὺς τοιούτους λόγους καὶ ἔλεγχος οὐκ ἔστιν· πρὸς δὲ τοὺς ἀποροῦντας καὶ λέγοντας ὅτι τουτὶ μὲν ἄνθρωπός ἐστιν, οὐ φαίνεται δὲ καὶ μὴ ἄνθρωπος, ἀλλὰ διὰ τοὺς πεπεικότας ἡμᾶς λόγους λέγομεν αὐτὸ καὶ ἄνθρωπον καὶ μὴ ἄνθρωπον, πρὸς τούτους ῥᾴδιον ἀπαντᾶν καὶ λύειν τὰ τούτων ἄπορα ἐκ τῶν προειρημένων· οὗτοι γὰρ διὰ τὸ πιστεύειν τῇ αἰσθήσει διψῶσιν ἀκοῦσαι καὶ λόγου σύμφωνα τοῖς φαινομένοις φθεγγομένου.

1063b 17. "οὐδὲ τὰ ἐναντία, διὰ τὸ λέγεσθαι κατὰ στέρησιν καὶ ἕξιν," στέρησιν δὲ καὶ ἕξιν τοῦ αὐτοῦ ἅμα εἶναι οὐκ ἐνδέχεται. ὅτι δὲ τἀναντία κατὰ στέρησιν λέγεται, δῆλον, φησίν, ἐπ' ἀρχὴν τοὺς λόγους ἀναλύουσι τοὺς τῶν ἐναντίων, τουτέστι τοὺς λόγους λαμβάνουσι τῶν ἐναντίων· εἰ γὰρ ἔστιν ὑγίεια συμμετρία θερμῶν καὶ ξηρῶν, ἔσται ἡ νόσος ἀσυμμετρία τούτων, ἡ δ' ἀσυμμετρία στέρησίς ἐστι συμμετρίας· οὔτε δὴ τὰ ὡς στέρησις καὶ ἕξις ἐναντία ἅμα κατηγορεῖσθαι κατὰ τοῦ αὐτοῦ ἐνδέχεται, οὔτε μὴν τῶν ἀνὰ μέσον οὐδὲν ἐναντίων (λέγει δὲ τὸ φαιὸν καὶ τὰ τοιαῦτα) οἷόν τε κατηγορεῖσθαι ἅμα καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ.

1063b 23. θάτερον γὰρ τῶν συμπεπλεγμένων ἀληθεύεται καθ' αὑτοῦ, ἤτοι τὸ ἕτερον, τουτέστι τὸ λευκόν, ἀληθεύεται κατὰ τοῦ λευκοῦ, καὶ οὐ τὸ ἀνὰ μέσον ἤτοι τὸ φαιόν. τὸ δὲ "τοῦτο δ' ἔστιν ἀντίφασις τοῦ λευκοῦ" εἴρηκε διὰ τὸ οὐ λευκόν, καὶ εἰ ἔστι τὸ οὐ λευκὸν ἀντίφασις τοῦ λευκοῦ· δέδεικται γὰρ ὡς ἀδύνατον τὰς ἀντιφάσεις ἀληθεύειν. ἀληθεύσει ἄρα κατὰ τοῦ λευκοῦ αὐτὸ τὸ λευκόν· ἀληθὲς γὰρ τὸ λευκὸν λέγειν λευκόν. καὶ συμπεραίνεται λέγων "οὔτε δὴ καθ' Ἡράκλειτον ἐνδέχεται λέγοντας ἀληθεύειν" (καὶ εἴη ἂν τὸ λεγόμενον, οὔτε δὴ εἰ τὸ αὐτὸ λέγομεν ἀγαθὸν καὶ οὐκ ἀγαθόν, ὥσπερ Ἡράκλειτος, ἀληθεύσομεν),

1062a 6. "τῷ δεικνύντι," τουτέστι τῷ δεικνύντι ἀνθρώπῳ καὶ ἐλέγχοντι τὸν λέγοντα τὰς ἀντικειμένας ἅμα εἶναι φάσεις· τῷ οὖν τοιούτῳ ἀνθρώπῳ πρὸ τῶν ἐλέγχων ἀναγκαῖόν ἐστι λαβεῖν τοιοῦτόν τι πρᾶγμα, ὅπερ κατὰ μὲν τὴν ἀλήθειαν τὸ αὐτὸ καὶ τῆς αὐτῆς φύσεως ἔσται. καὶ προσυπακουστέον τοῦ νῦν καὶ ὕστερον. ὡδὶ τὸν ἀναιροῦντα τὴν ἀντίφασιν ἐλέγξαι βουλόμενος λαβέτω πρᾶγμά τι, ὅπερ νῦν γε καὶ ἐσύστερον κατὰ τὸ ἀληθὲς τὸ αὐτὸ ἔσται, καὶ τὴν αἰτίαν τοῦ ὅτι τὸ αὐτὸ ἔσται ἐπήγαγε διὰ τοῦ μὴ ἐνδέχεσθαι τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, τουτέστι διὰ τὸ μὴ ἐνδέχεσθαι τὸν ὄντα νῦν ἄνθρωπον μὴ εἶναι καὶ ἐσύστερον, εἴπερ ζῇ ἀλλὰ μὴ τέθνηκεν· ὥσπερ γὰρ τήμερον ἄνθρωπός ἐστι, καὶ αὔριον εἰ ζῇ ἄνθρωπος ἔσται. τὸ δὲ "μὴ δόξει δ' εἶναι τὸ αὐτό" συντακτέον τῷ "ὃ ταὐτὸν μὲν ἔσται·" τούτῳ γὰρ ἔσται συνεχές. τοιοῦτον γάρ, φησί, ληπτέον ὃ τὸ αὐτὸ μὲν ἔσται, κἂν μὴ δόξῃ τοῦτο, τῷ ἀναιροῦντι τὴν ἀντίφασιν.

1062a 16. αὐτὸς δὲ εἶπεν "ὁ δὴ λέγων εἶναι τοῦτο καὶ μὴ εἶναι, ὅ φησιν οὔ φησιν," τουτέστιν ὁ λέγων τόδε τὸ προκείμενον, φέρε εἰπεῖν ἄνθρωπον, εἰ ἀληθεύει ἐπ' αὐτοῦ καὶ τὸ μὴ ἄνθρωπος (αὐτὸς δὲ εἶπεν αὐτοάνθρωπον), οὐδὲν ἄλλο φησὶν ἢ ὅτι τὸ ἄνθρωπος ὄνομα σημαῖνον τὸ ζῷον δίπουν οὐ σημαίνει τὸ ζῷον δίπουν. τοῦτο δὲ ἀδύνατον· κεῖται γὰρ τὰ ὀνόματα εἶναι ἑνὸς δηλωτικά· ὥστε εἰ τοῦ ζῴου δίποδος σημαντικόν ἐστι τὸ ἄνθρωπος, ψεῦδος τὸ κατ' αὐτοῦ λέγειν καὶ τὸν μὴ ἄνθρωπον. ἀλλ' εἰ τοῦτο, δῆλον ὡς ἀδύνατόν ἐστι συναληθεύειν τὴν ἀντίφασιν.

1062a 20. ψεῦδος ἄρα τὸ λέγειν ὡς συναληθεύει ἡ ἀντίφασις ἐπὶ τοῦ αὐτοῦ. "ἔτι — ἀληθ." πληκτικώτατον τοῦτο τὸ γενναιότατον. ὃ δέ φησι, τοιοῦτόν ἐστιν. εἰ μηθὲν μᾶλλον ἡ κατάφασις ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ ἀληθεύεται ἤπερ ἡ ἀπόφασις, ἀλλ' ἐπίσης ἀμφότεραι ἐπ' αὐτοῦ λέγονται, ὁ λέγων τὸν Σωκράτην ἄνθρωπον οὐδὲν μᾶλλον ἀληθεύσει τοῦ λέγοντος αὐτὸν οὐκ ἄνθρωπον· εἰ δὲ ὁ λέγων αὐτὸν οὐκ ἄνθρωπον ἀληθεύει, πολλῷ μᾶλλον ὁ λέγων αὐτὸν οὐχ ἵππον ἀληθεύσει.

1062a 25. εἰπὼν γὰρ ὅτι ὁ λέγων ἄνθρωπον, εἰ συναληθεύει ἀντίφασις, οὐδὲν μᾶλλον ἀληθεύει τοῦ λέγοντος οὐκ ἄνθρωπον, ἐπήγαγε τὸ "δόξειε δὲ κἂν οὐχ ἵππον λέγων," τουτέστι καὶ ὁ λέγων τὸν ἄνθρωπον οὐχ ἵππον μᾶλλον ἀληθεύει τοῦ λέγοντος αὐτὸν μὴ εἶναι ἄνθρωπον· οἰκειότερον γάρ ἐστι τὸν ἄνθρωπον λέγειν μὴ ἵππον, εἴπερ μὴ ἄνθρωπον. ἤ φησιν, εἰ μὴ μᾶλλον, ἀλλ' οὐδὲ ἧττον. ταῦτα εἰπὼν ἐπάγει, τούτων τῶν ἐπιχειρήσεων οὐδεμία ἐστὶν ἁπλῶς καὶ κυρίως ἀπόδειξις.

1062b 4. ὥσπερ γὰρ καθ' Ἡράκλειτον τὸ λέγειν ἰδίως καὶ χωρὶς ὅτι ὁ Σωκράτης ἄνθρωπος ἐστὶν ἀληθές, καὶ αὖ ὅτι ὁ Σωκράτης ἄνθρωπος οὐκ ἔστιν ἀληθὲς καὶ τοῦτο. ταῦτα δὲ εἶπεν διῃρημένα οὕτω καὶ συνῃρημένα καὶ ἡνωμένα καὶ ὡς μία κατάφασις λεγόμενα ἔσονται ἀληθῆ· ὥστε ἀληθές ἐστι λέγειν ἅμα ὅτι ὁ Σωκράτης ἄνθρωπος καὶ οὐκ ἄνθρωπος. ἀλλ' εἰ τοῦτο ἔσται, ἐπ' αὐτοῦ καὶ ἡ ἀπόφασις ἡ ὁ Σωκράτης οὔτε ἄνθρωπός ἐστιν οὔτε οὐκ ἄνθρωπος. τοῦτο δὲ ἀλογώτατον τὸ τὸν Σωκράτην εἶναι καὶ ἄνθρωπον καὶ οὐκ ἄνθρωπον καὶ οὔτε ἄνθρωπον οὔτε οὐκ ἄνθρωπον. διῃρημένα δέ, ὥσπερ εἶπον, λέγει τὸ χωρὶς μὲν τὴν κατάφασιν χωρὶς δὲ τὴν ἀπόφασιν λέγεσθαι· συναμφότερα δὲ καὶ συμπεπλεγμένα τὸ λέγειν αὐτὰ ὡς μίαν κατάφασιν. τὸ δὲ "οὐθὲν μᾶλλον ἡ ἀπόφασις ἢ τὸ ὅλον ὡς ἐν καταφάσει τιθέμενον ἀληθὲς ἔσται" τοιοῦτόν ἐστιν, ὥσπερ ἐφ' οὗ ἡ κατάφασις διῃρημένως ἀληθεύεται, ἐπὶ τούτου καὶ ἡ ἀπόφασις, οὕτω καὶ διῃρημένως ἀληθεύεται ἐπὶ τούτου καὶ ἡ ἀπόφασις καὶ ἡ κατάφασις, καὶ ἡ ἀπόφασις ἅμα ὡς μία κατάφασις λεγόμεναι ἀληθεῖς ἔσονται, οἷον ὅτι τὸ ἀγαθὸν οὐκ ἀγαθόν.

1062b 21. καί φησιν ὅτι ἔνιοι μὲν ἐκ τῆς τῶν φυσιολόγων δόξης ταῦτα λέγειν ὡρμήθησαν, καί τίς ἐστιν ἡ τῶν φυσιολόγων δόξα, ἐπάγει. "τὸ γὰρ μηδὲν ἐκ μὴ ὄντος γίνεσθαι" (τοῦτο δὲ ταὐτόν ἐστι τῷ τὸ γὰρ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι, ἀλλὰ πᾶν ἐξ ὄντος τινὸς καὶ ὑποκειμένου) σχεδὸν πάντων ἐστὶ τῶν φυσικῶν δόγμα κοινόν· οὕτω γὰρ τὸ τῆς λέξεως ἀκόλουθόν ἐστιν. εἶτα τὸ "τοῖς δ' ἐκ τοῦ μὴ ταὐτὰ περὶ τῶν αὐτῶν ἅπαντας γινώσκειν·" ὃ γὰρ τοῖσδε δοκεῖ ἡδύ, τοῦτο τοῖς ἄλλοις πικρόν, ὥστε οὐχ ἅπαντες τὸ αὐτὸ ἡδὺ γινώσκουσιν, οὐδ' αὖ πάλιν πικρόν. εἰπὼν δὲ ὅτι οἱ μὲν ἐκ τῆς κοινῆς τῶν φυσιολόγων δόξης τοῦτ' ἔλεγον, οἱ δὲ ἐκ τοῦ μὴ πᾶσι τὰ αὐτὰ φαίνεσθαι, πρότερον τὴν αἰτίαν λέγει δι' ἧς ἐκ τῆς τῶν φυσιολόγων δόξης ὥρμηνται λέγειν, ὅτι τὸ λευκὸν καὶ οὐ λευκόν ἐστι, ὁμοίως καὶ τὸ γλυκὺ οὐ γλυκύ. ἀσαφῶς δὲ πάνυ καὶ μεμελανωμένως ἑρμηνεύει ταῦτα.

1062b 26. τὸ μὴ λευκὸν γίνεται ἐκ λευκοῦ τελέως ὄντος ἤτοι καθαρῶς λευκοῦ, "καὶ οὐδαμῇ μὴ λευκοῦ," τουτέστι καὶ οὐ τῇ μὲν λευκοῦ τῇ δὲ μὴ λευκοῦ, ἀλλ' ἐκ τελειοτάτου λευκοῦ... ἐπεὶ οὖν τὸ μὴ λευκόν, ὡς εἴρηται, ἐκ λευκοῦ γίνεται, "νῦν δὲ γέγ. μὴ λ.," τουτέστι κατὰ δὲ τοὺς λέγοντας συναληθεύειν τὴν ἀντίφασιν τὸ γινόμενον μὴ λευκὸν οὐ γίνεται ἐκ λευκοῦ, ὡς ἡμεῖς φαμέν, ἀλλ' ἐκ μὴ λευκοῦ (τὸ γὰρ μὴ λευκὸν ἐκ μὴ λευκοῦ γεννῶσι), κατ' ἐκείνους δή, εἰ γίνεταί τι μὴ λευκόν, οὐδὲν ἄλλο συμβήσεται ἢ τὸ γινόμενον μὴ λευκὸν γίνεσθαι ἐκ μὴ λευκοῦ. ἔδει δὲ ἐκ λευκοῦ. εἰ δὲ γίνεται μὴ λευκὸν ἐκ μὴ λευκοῦ, γενήσεται τὸ μὴ λευκὸν κατ' ἐκείνους ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, "εἰ μὴ ὑπῆρχε τὸ λευκὸν τὸ αὐτὸ καὶ μὴ λευκόν," τουτέστιν εἰ μὴ ὑπῆρχε τὸ μὴ λευκὸν τὸ αὐτὸ καὶ λευκόν· ὑπερβατῶς γὰρ ἀναγνωστέον. καὶ τὰ μὲν κατὰ τὴν λέξιν τοιαῦτα, ἡ δὲ τῶν προκειμένων ἔννοια τοιαύτη τις ἄν, οἶμαι, εἴη. οἱ ἐκ τῆς τῶν φυσιολόγων δόξης ὁρμηθέντες τοιαῦτα οἷα εἴπομεν λέγουσι, λαμβάνοντες πρότασιν ἐξ ἐπαγωγῆς ψευδῆ· ὥσπερ γάρ, φασίν, ἄνθρωπος ἐξ ἀνθρώπου καὶ ἵππος ἐξ ἵππου γίνεται, οὕτω καὶ τὸ μὴ λευκὸν ἐκ μὴ λευκοῦ γενήσεται, ἀλλ' οὐκ ἐκ λευκοῦ. ψευδὴς δὲ ἡ πρότασις αὕτη. εἰ γὰρ καὶ ὅτι μάλιστα ὁ ἄνθρωπος ἐξ ἀνθρώπου γίνεται, ἀλλὰ προσεχῶς ἐκ σπέρματος καὶ καταμηνίου, ἅπερ οὐκ εἰσὶν ἄνθρωποι. ταύτην δὴ τὴν ψευδῆ πρότασιν τὴν ὅτι τὸ μὴ λευκὸν ἐκ μὴ λευκοῦ ἀλλ' οὐκ ἐκ λευκοῦ λαμβάνοντες, καὶ ἑτέραν, ψευδῆ καὶ ταύτην, ὅτι αἱ προτάσεις μὴ ὄντα καὶ μὴ ὄντων δηλωτικαί εἰσι, συνελογίζοντο οὑτωσίν· εἰ τὸ μὴ λευκὸν γίνοιτο, ἐκ μὴ λευκοῦ ἂν γίνοιτο, τὸ δὲ μὴ λευκὸν μὴ ὄν ἐστι, τὸ μὴ λευκὸν ἄρα γενήσεται ἐκ μὴ ὄντος· οὐδὲν δὲ ἐκ μὴ ὄντος κατὰ τὴν τῶν φυσιολόγων δόξαν γίνεται· οὐκ ἄρα τὸ

διατεθῇ κατὰ τὴν θερμότητα, ὡς καὶ λέγεσθαι θερμόν, ἕξις δὲ ὅταν μόνιμος ἡ διάθεσις γένηται.

1061a 15. "εἴτε ἄλλαι τινές, ἴστωσαν τεθεωρ." εἴρηκε γὰρ τίνες αὗταί εἰσιν ἐν τῷ περὶ τἀγαθοῦ ἐπιγραφομένῳ αὐτοῦ βιβλίῳ.

1061a 17. κατὰ δὲ τὴν λέξιν τὴν "εἰ γὰρ καὶ μὴ ταὐτόν ἐστι τὸ ὂν καὶ ἕν" ἐλλείπει ἂν τὸ τῇ ἐκφωνήσει καὶ τοῖς δι' ὧν δηλοῦνται στοιχείοις, ἀλλ' οὔτερα, ὅμως ἀντιστρέφει.

1061a 20. ἀσάφειαν πεποίηκε τὸ "καί τοί γε" κείμενον· ἔσται δὲ σαφὲς τὸ λεγόμενον, εἰ τὸ "καί τοί γε" ἀφέλωμεν, ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον "ἐπεὶ δέ ἐστι τὰ ἐν. Π. τῆς αὐτ. καὶ μιᾶς ἐπιστ. θεωρ. λέγεται δ' ἕκαστον αὐτῶν κατὰ στέρησιν, ἀπορήσειέν τις ἂν πῶς λέγεται κατὰ στέρησιν" καὶ τὰ ἑξῆς. ἐπεὶ οὖν πάσης ἐναντιώσεως τὸ ἕτερον λέγεται κατὰ στέρησιν, φαμὲν δὲ καὶ τὸ φαιὸν ἐναντίον τῷ λευκῷ, καὶ ἁπλῶς τὰ μεταξύ, ἔσται καὶ τὸ φαιὸν στέρησις καὶ πᾶν μεταξύ. εἰ οὖν τὸ μέλαν στέρησίς ἐστι τοῦ λευκοῦ, ἔστι δὲ τοῦ λευκοῦ στέρησις καὶ τὸ φαιόν, ἔσται τὸ μέλαν καὶ τὸ φαιὸν ταὐτόν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "ἀπορήσειεν ἄν τις πῶς λέγεται κατὰ στέρησιν, ὧν ἐστὶν ἀνὰ μέσον," τουτέστιν, ὧν ἐναντίων ἔστι τι μεταξύ, πῶς τὸ μεταξὺ στέρησις τοῦ κρείττονος τῆς ἐναντιώσεως λεχθήσεται; ἀνάγκη γάρ, εἰ ἐναντίον τὸ μέσον λέγεται, καὶ στέρησιν λέγεσθαι. ταύτην τὴν ζήτησιν λύων λέγει ὅτι καὶ τὸ φαιὸν στέρησίς ἐστι τοῦ λευκοῦ, ἀλλ' οὐχ ὥσπερ τὸ μέλαν κτλ.

1061a 22. ἀσαφῶς δὲ καὶ περινενοημένως ἀπήγγελται τὸ "περὶ π. — εἴδους·" καὶ εἴη ἂν τὸ λεγόμενον, περὶ πάντα τὰ τοιαῦτα, λέγων τὰ τοιαῦτα τὰ ἔμμεσα ἐναντία, περὶ δὴ τὰ ἔμμεσα ἐναντία τὴν στέρησιν δεῖ τιθέναι, λέγων ἐνταῦθα στέρησιν τὸ φαιὸν ἢ ὅ τι ἂν εἴη τὸ μεταξύ. περὶ οὖν τὰ ἔμμεσα ἐναντία τὸ μεταξὺ αὐτῶν οὕτως δεῖ στέρησιν λέγειν, μὴ ὥστε δύνασθαι τὸν ὅλον λόγον τοῦ τελευταίου εἴδους ἤτοι τοῦ μέλανος ἀναδέξασθαι, ὥστε λέγεσθαι τὸ φαιὸν χρῶμα συγκριτικὸν ὄψεως καὶ διὰ τοῦτο ἀμέτοχον εἶναι παντελῶς τοῦ ὁρισμοῦ τοῦ λευκοῦ, οὐχ οὕτω ταῦτα χρὴ στερήσεις λέγειν, ἀλλ' οὕτως. γινέσθω δὲ ἡμῖν ὁ λόγος ἐπὶ τοῦ λευκοῦ καὶ μέλανος. οὐχ οὕτω λεκτέον τὸ φαιὸν στέρησιν, ὥστε μηδ' ὅλως ἐπιδέχεσθαι τὸν τοῦ λευκοῦ ὁρισμόν, ἀλλὰ δύνασθαι μὲν τὸν τοῦ λευκοῦ ἐπιδέχεσθαι ὁρισμόν, οὐχ ὅλον δέ (οὐ γὰρ ταὐτὸν τὸ φαιὸν τῷ λευκῷ) ἀλλὰ πῇ. τοῦ τελευταίου οὖν εἴδους, λέγω δὴ τοῦ μέλανος, ἐστὶν ὅλος ὁ λόγος ὁ χρῶμα συγκριτικὸν ὄψεως λέγων, τοῦ δὲ φαιοῦ οὐδαμῶς· καὶ διὰ τοῦτο δύναται τὸ φαιόν πη δέξασθαι τὸν τοῦ λευκοῦ ὁρισμόν· καὶ εἴη ἂν ὁ τοῦ φαιοῦ ὁρισμὸς χρῶμά πη διακριτικὸν ὄψεως. ὥστε οὐκ ἔστι τὸ φαιὸν οὕτω στέρησις λευκοῦ, ὥσπερ τὸ μέλαν, οὐδὲ ἐστέρηται ὅλου τοῦ ὁρισμοῦ τῆς λευκότητος. τελευταῖον δὲ εἶδος εἶπεν τὸ μέλαν ἢ ὅτι μετὰ τὸ φαιὸν τὸ μέλαν ἐστίν, ἢ τελευταῖον ἀντὶ τοῦ ἔσχατον· ἔσχατον γὰρ καὶ τέλος μελάνσεως τὸ μέλαν, ὥσπερ καὶ λευκάνσεως τὸ λευκόν. ὃ μὲν οὖν διὰ τούτων εἰπεῖν βούλεται, τοιοῦτον ἂν εἴη· αὐτὸς δὲ τὸν λόγον ἐπὶ τοῦ δικαίου καὶ ἀδίκου πεποίηκε λέγων οἷον εἰ ἔστιν ὁ δίκαιος ὁ καθ' ἕξιν τινὰ πειθαρχικὸς τοῖς νόμοις, τουτέστιν, εἰ ἔστι δικαίου ὁρισμὸς τὸ καθ' ἕξιν τινὰ πειθαρχεῖν τοῖς νόμοις, οὐ πάντως ὁ ἄδικος, λέγων ἄδικον τὸν μήτε δίκαιον μήτε ἄδικον, ἀλλὰ τὸν μέσον ὄντα δικαίου καὶ ἀδίκου. οὐ πάντως οὖν, φησίν, ὁ μεταξὺ δικαίου καὶ ἀδίκου ἐστερημένος ἔσται ὅλου τοῦ λόγου καὶ ὁρισμοῦ τοῦ δικαίου.

προσκεῖται δ' ἐν τῷ τοῦ δικαίου ὁρισμῷ τὸ "καθ' ἕξιν," ὅτι πράξειεν ἄν τις τὰ δίκαια καὶ ὑπ' ἄλλου βιαζόμενος. 1061a 24.

διὰ τούτων δύο τινὰ ὁμοῦ διδάσκει, πῶς ὁ φιλόσοφος τό τε ὂν σκοπεῖ καὶ τὴν περὶ τούτου θεωρίαν ποιεῖται, καὶ πῶς μιᾶς ἐπιστήμης ἐστὶ θεωρῆσαι τὸ ὂν ᾗ ὄν. 1061a 28.

ἀλλ' ἡ μὲν τῶν λεγομένων διάνοια τοιαύτη τις ἂν εἴη. κατὰ δὲ τὴν λέξιν, ὅταν λέγῃ "τῶν μὲν τὰς πρὸς ἀλλήλας θέσεις σκοπεῖ καὶ τὰ ταύταις ὑπάρχοντα," τῶν μὲν λέγοι ἂν τῶν γραμμῶν. 1061a 35.

ὥσπερ δὲ ἐπὶ τῶν ποσῶν ἑτέρου ὄντος τοῦ ἐφ' ἑνὸς συνεχοῦς τῶν ἐπὶ δύο συνεχῶν, καὶ ταῦτα τῶν ἐπὶ τρία, μιᾶς ἐστὶ τῆς γεωμετρίας περὶ αὐτῶν θεωρεῖν (καὶ σημειωτέον ὅπως ἣν οἱ νεώτεροι στερεομετρίαν φασί, γεωμετρίαν οὗτος φάσκει), οὕτω καὶ ἐπὶ τοῦ ὄντος κτλ. 1061b 2.

ἀλλ' ᾗ ἔχει ἐν ἑαυτοῖς (τὰ ὄντα) ἀρχήν, καθ' ἣν δύναται κινεῖσθαι. 1061b 6.

ὥστε λείπεται τὸν φιλόσοφον εἶναι θεωρητικὸν τοῦ ὄντος καὶ τῶν τοιούτων ἐναντιώσεων, ᾗ ὄντα εἰσίν. 1061b 10.

κοινὰ λέγει τὰ ἀξιώματα, τό τε ἀπὸ ἴσων ἴσα ἂν ἀφαιρεθῇ, τὰ καταλειπόμενα ἴσα ἐστί, καὶ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις, καὶ τὰ λοιπά. "ἰδίως" δὲ λέγοι ἄν, ἐπειδὴ τὰ τῷ αὐτῷ ἴσα ἡ γεωμετρία ἰδίως περὶ γραμμῶν λαμβάνει, καὶ ὡς ἐπὶ αὐταῖς μόνον ἀληθεῦον· εἰ δὲ ἐπὶ ἀριθμοῖς, οὐδὲν προσλογίζεται. ὁμοίως καὶ ὁ ἀριθμητικὸς ὡς ἐπὶ μόνοις τοῖς ἀριθμοῖς ἀληθεῦον τοῦτο θεωρεῖ, εἰ δὲ ἐπὶ γραμμαῖς, οὐ φροντίζει. καὶ ταῦτα μὲν πρὸς τὴν λέξιν. ἡ δὲ τῶν λεγομένων διάνοια σαφής. ἔστι δὲ τὰ λεγόμενα· ἐπεὶ γὰρ καὶ ὁ μαθηματικὸς πρὸς τῷ φυσικῷ καὶ τοῖς λοιποῖς ἐπιστήμοσι χρῆται ταῖς ἀρχαῖς ὡς ἀληθέσιν ἀναποδείκτως, ὁ φιλόσοφος οὐ ποιήσει τοῦτο, ἀλλ' ἐπισκέψεται καὶ δείξει τὰς τοιαύτας ἀρχάς, ὡς ἐνδέχονται δειχθῆναι. 1061b 18.

ἀλλ' ἡ μὲν μαθηματικὴ καὶ αἱ λοιπαὶ περὶ τὰ μερικά εἰσι, καὶ οὕτως εἰσὶ περὶ αὐτά, ὥσπερ εἴρηται, ἡ δὲ φιλοσοφία τὰ μερικὰ οὐ θεωρεῖ, οὐδὲ σκοπεῖ εἰ ἑκάστῳ τούτων συμβέβηκέ τι· εἰ δὲ καὶ σκοπεῖ τὰ καθ' ἕκαστα, ἀλλὰ περὶ ἕκαστον τῶν τοιούτων θεωρεῖ ᾗ ὄντα ἐστίν. 1061b 25.

ἀλλ' οὖν ἐπειδὴ ἀποδείκνυσι καὶ ὁ μαθηματικός (καὶ ὁ φυσικός), καὶ οὐδέ ποτε ψεύδεται, ὥσπερ ὁ διαλεκτικὸς καὶ ὁ σοφιστής (ὁ μὲν γὰρ διὰ τὸ βούλεσθαι πάντως πεῖσαι ἐνίοτε λαμβάνει καὶ ψευδῆ, ὁ δὲ σοφιστὴς ἀεί), ἐπεὶ οὖν ἀποδεικνύουσι καὶ οὐ ψεύδονται, ὅπερ τῆς πρώτης καὶ μᾶλλον καὶ μάλιστά ἐστι σοφίας, ἔσονται δι' αὐτὸ τοῦτο καὶ ἡ μαθηματικὴ καὶ ἡ φυσικὴ μέρη τῆς φιλοσοφίας. 1061b 32.

τὸ δὲ "καὶ τὰ ἄλλα τὰ τοῦτον αὐτοῖς ἀντικείμενα τὸν τρόπον" εἴρηκε διὰ τὰς ἕξεις καὶ στερήσεις· ἀδύνατον γὰρ ἅμα τὸ αὐτὸ καὶ ἓν ζῷον καὶ ὄψιν ἔχειν καὶ τυφλὸν εἶναι. καὶ περὶ μὲν τούτων, τῆς τε ἀντιφάσεως καὶ τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένων, ὥσπερ εἴρηται, κυρίως μὲν οὐκ ἔστιν ἀπόδειξις. 1062a 1.

τοῦ μεγέθους ἢ ὅ τι ποτ' ἂν εἴη τὸ τοῖς μαθηματικοῖς ὑποκείμενον φύσει ζητεῖ, τὸ δ' ὅτι περὶ αὐτὸ τοῦτο τὸ γένος καὶ τὴν ὑποκειμένην τοῖς μαθηματικοῖς ὕλην ὁμολογούμενον λαβών, ὅτι ἐστὶ τοδί, τὴν ζήτησιν καὶ τὴν σκέψιν ποιεῖται τῶν συμβεβηκότων αὐτῷ καθ' αὑτό· τοῦτο γὰρ δεῖ προσυπακούειν. εἰ οὖν μήτε τῆς φυσικῆς μήτε τῆς ἀποδεικτικῆς τὸ ζητεῖν τὴν τῶν μαθηματικῶν ὕλην, τὸ λειπόμενόν ἐστι τὴν σοφίαν περὶ αὐτῆς ζητεῖν.

1059b 19. τὸ δὲ "περὶ γὰρ αὐτὸ τοῦτο τὸ γένος τὴν ζήτησιν ποιεῖται" ἐλλιπῶς καὶ λίαν ἀρχαιοπρεπῶς εἴρηται· εἴη δ' ἂν ἴσον τῷ αὐτὸ τοῦτο τὸ γένος καὶ τὴν ὑποκειμένην τοῖς μαθηματικοῖς ὕλην ὁμολογούμενον λαβὼν ὅτι ἐστὶ τοδί, τὴν ζήτησιν καὶ τὴν σκέψιν ποιεῖται τῶν συμβεβηκότων αὐτῷ καθ' αὑτό· τοῦτο γὰρ δεῖ προσυπακούειν.

1059b 22. ἀπορήσειεν ἄν τις, εἰ ἡ ζητουμένη σοφία περὶ τὰς ἀρχάς ἐστι καὶ τὰ καλούμενα στοιχεῖα ὑπό τινων.

1059b 23. καὶ ὅτι τούτοις ἐνυπάρχουσι, πάντες ὁμολογοῦσιν· ἡ δὲ σοφία τῶν χωριστῶν ἐστὶ καὶ παντελῶς ἀμεθέκτων. τῶν μὲν οὖν τοιούτων ἀρχῶν καὶ στοιχείων οὐκ ἔστιν ἡ σοφία, μάλιστα δὲ δόξειεν εἶναι τῶν καθόλου· πᾶς γὰρ λόγος καὶ πᾶσα ἐπιστήμη τῶν καθόλου, αὕτη δὲ ὅσῳ τῶν ἄλλων μᾶλλον τιμιωτέρα καὶ καθολικωτέρα, τοσούτῳ μᾶλλον τῶν καθολικωτάτων ἔσται, καθολικώτατα δὲ πάντων τὸ ἓν καὶ τὸ ὄν.

1059b 34. κἀνταῦθα λείπει τὸ ἔτι ζητήσειεν ἄν τις πότερον τὰ γένη εἰσὶν ἀρχαὶ ἢ τὰ εἴδη. καὶ ἔστι τὸ μὲν "ἔτι δ' εἰ μᾶλλον ἀρ. τ. ἀ. τοῦ ἡ. τ." κατασκευαστικὸν τοῦ ὅτι μᾶλλον ἀρχαὶ τὰ εἴδη τῶν γενῶν.

1059b 35. "ἔσχατα δὲ τῶν ἐκ τοῦ γένους" εἶπε τὰ εἰδικώτατα εἴδη.

1060a 1. "τὰ μὲν — ἐστίν." εἰπὼν ὅτι τὰ τὴν ἀπορίαν ἔχοντα ταῦτα, καὶ προσθεὶς τὸ "καὶ τοιαῦτα" ὡς μηνυτικὸν τοῦ εἶναι καὶ ἄλλας ἀπορίας παρὰ τὰς εἰρημένας, εὐθὺς ἐπάγει ἀπορίαν λέγων "ἔτι" κτλ. — καὶ λύει λέγων ὅτι τὰ καθ' ἕκαστα φθαρτά ἐστιν, ἡ δὲ σοφία τῶν ἀφθάρτων καὶ ἀϊδίων, ἀλλ' οὐδὲ τῶν παρὰ τὰ καθ' ἕκαστά ἐστιν ἡ σοφία.

1060a 13. ἐοίκαμεν γὰρ ζητεῖν ἄλλην οὐσίαν παρὰ ταύτας, καὶ σκοποῦμεν ἰδεῖν εἴ τί ἐστι χωριστὸν καὶ καθ' αὑτὸ καὶ μηδὲν ὂν τῶν αἰσθητῶν.

1060a 18. εἴρηται δὲ περὶ τούτων ἐν τῷ μείζονι ἄλφα αὐτάρκως.

1060a 23. ἀλλ' οὐδὲ τὸ εἶδος δυνατὸν λέγει εἶναι τὴν ζητουμένην ἀρχήν· ἡ γὰρ ζητουμένη ἀρχὴ ἀΐδιος, πᾶν δὲ ἔνυλον εἶδος φθαρτόν· ἔνυλα δὲ λέγω τὰ μετὰ τὴν σεληνιακὴν σφαῖραν.

1060a 36. εἰ δὲ πᾶσαι φθαρταί, εἰς ἄπειρον ἥξει· τοῦτο δ' ὅτι ἀδύνατον, δέδεικται ἐν τῷ ἐλάττονι ἄλφα.

1060b 3. εἰ δέ ἐστιν οὐσία καὶ τὸ ὂν καὶ τὸ ἕν, καὶ διὰ τοῦτο ἀρχή, πάντα ἔσονται ἀρχαί (l. οὐσίαι)· ὡς γὰρ ὧν τὸ ζῷον κατηγορεῖται πάντα ἔμψυχα αἰσθητικά ἐστιν, οὕτως εἴπερ εἰσὶν οὐσίαι τὸ ὂν καὶ τὸ ἕν, πάντα ὧν ταῦτα κατηγορεῖται οὐσίαι ἔσονται, καὶ ἔσται καὶ τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ αἱ λοιπαὶ κατηγορίαι οὐσίαι· ψεῦδος δὲ τὸ εἶναι πάντα οὐσίαν. τὸ δὲ ἐπ' ἐνίων γὰρ καὶ τὸ ἓν κατηγορεῖται οὐ παρέργως πρόσκειται, ἀλλὰ διὰ τοὺς ἀριθμοὺς καὶ τὰ πλήθη· εἰ γὰρ καὶ μονάδες εἰσίν, ἐξ ὧν ἀριθμοὶ καὶ ἐξ ὧν τὰ πλήθη, ἣ τοσάσδε ἐν ἑαυτῷ ὁ ἀριθμὸς ἔχει μονάδας, οὐκ ἔστιν εἷς. ὁμοίως καὶ ἐπὶ τοῦ πλήθους. ἔτι, φησί, τοῖς λέγουσι τὸ αὐτοὲν οὐσίαν, ἐκ δὲ τούτου καὶ τῆς ὕλης γεννῶσι τοὺς ἀριθμοὺς πρῶτον, φάσκουσί τε καὶ αὐτοὺς οὐσίας, ἐκ δὲ τῶν ἀριθμῶν πάλιν τἆλλα γεννῶσι, πῶς ἔσται τὸ λεγόμενον ἀληθές; ἐξ ὧν γὰρ λέγουσι, συμβαίνει τὴν δυάδα καὶ τοὺς λοιποὺς ἀριθμοὺς ἓν εἶναι καὶ κατηγορεῖσθαι κατ' αὐτῶν τὸ ἕν· ὡς γὰρ τὰ ἐξ ὕλης καὶ τοῦ ἀνθρωπείου εἴδους ὄντα ἄνθρωποί εἰσιν, οὕτως καὶ τὰ ἐκ τοῦ ἑνὸς καὶ τῆς ὕλης ἕν. πῶς δὲ ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος ἤτοι τῆς ὕλης πρῶτον τοὺς ἀριθμοὺς ἐποίουν, ἐκ δὲ τῶν ἀριθμῶν τὰ ἄλλα, εἴρηται ἐν τῷ μείζονι ἄλφα. ἀλλὰ μὴν οὐδὲ γραμμὰς οὐδὲ ἐπιφανείας θετέον τὰς ζητουμένας ἀρχάς· οὐδὲν γὰρ τούτων χωριστὸν καὶ οὐσία ἐστίν, ἀλλὰ τομαὶ μόνον, στιγμὴ γραμμῆς καὶ αὕτη ἐπιφανείας. ἄλλως. καὶ πῶς ἄν τις τὴν στιγμὴν ἢ τὸ ταύτῃ ἰσοδυναμοῦν ἐν οὐσίαν ὑπολάβοι; πάσης γὰρ φυσικῆς οὐσίας ἐστὶ γένεσις, καὶ διὰ χρονικῆς παρατάσεως ἡ ὕπαρξις αὐτῆς γίνεται, τῆς δὲ στιγμῆς γένεσις οὐκ ἔστιν, ὡς πολλάκις δέδεικται ἐν τῇδε τῇ πραγματείᾳ.

1060b 21. "τοῦ τοιουδί," τουτέστι τοῦ ὁμοιώματος τῶν κατὰ μέρος· τὰ γὰρ καθόλου ὁμοιώματα καὶ ἀπομάξεις τῶν μερικῶν, ἡ δὲ οὐσία, ὡς δέδεικται ἐν τῷ Ζ, οὐκ ἔστι τῶν καθόλου, ἀλλὰ μερική... πανταχῇ γὰρ τὸ τόδε τι ἐπὶ τῆς οὐσίας τῷ Ἀριστοτέλει λαμβάνεται, ὥσπερ τὸ τοιόνδε ἐπὶ τῶν ποιοτήτων. τὰ δὲ ὁμοιώματα ποιότητες, τὸ δὲ καθόλου ὁμοίωμα· τὸ καθόλου ἄρα ὁμοίωμα καὶ ποιότης καὶ τοιόνδε.

1060b 26. ... ἐπ' ἐνίων γὰρ δῆλον ὡς οὐκ ἔστι χωριστὸν τὸ εἶδος, οἷον ἐπὶ οἰκίας· ἐπεὶ δὲ αἱ λογικαὶ ψυχαὶ εἴδη εἰσὶ τῶν ἐχόντων αὐτάς, ὥσπερ καὶ αἱ ἄλογοι τῶν ἀλόγων, οὐ δέδεικται δέ που ἐν ταύτῃ τῇ πραγματείᾳ εἰ χωρίζονται, προσέθηκε τὸ "ἐπ' ἐνίων," ἴσον λέγων ὡς εἰ μὴ ἐπὶ πάντων ἐστὶ φανερὸν εἴτε χωρίζονται τὰ εἴδη εἴτε μή, ἐπ' ἐνίων δ' οὖν φανερὸν ὡς εἰσὶν ἀχώριστα. ἔτι, φησίν, αἱ ἀρχαὶ τῷ εἴδει εἰσὶν αἱ αὐταὶ ἢ τῷ ἀριθμῷ· εἰ μὲν γὰρ ἀριθμῷ, ἓν ἔσται πάντα, τουτέστιν οὐκ ἔσται πλῆθος· ἐπειδὴ γὰρ τὰ ἄλφα τῷ μὲν εἴδει ἐστὶν ἕν, τῷ δὲ ἀριθμῷ πολλά, διὰ τοῦτο εἰσὶ καὶ πολλαὶ συλλαβαὶ ἔχουσαι τὸ α, ὡς τὸ Ἀρίσταρχος, Ἀριστοτέλης· εἰ δὲ ἓν ἦν τῷ ἀριθμῷ τὸ α, μία ἂν ἦν συλλαβὴ ἢ ἓν ὄνομα ἢ εἷς λόγος, ἐν ᾧ ἂν τὸ α ηὑρίσκετο. ἀλλὰ περὶ τούτου εἴρηταί μοι ἐν τῷ Β πλατύτερον· ἐμνήσθη γὰρ τούτου καὶ ἐκεῖσε.

1060b 31. εἰς τὰς ἀπορίας ἐντεῦθεν ἐπάγει τὰς λύσεις τούτων, καὶ πρότερον τῆς λεγούσης πότερον τῆς μιᾶς ἐστὶν ἐπιστήμης θεωρῆσαι τὴν τοῦ ὄντος ᾗ ὂν φύσιν ἢ οὔ. καὶ δείκνυσιν ὅτι μιᾶς ἐστὶν θεωρῆσαι τὴν τοῦ ὄντος ᾗ ὂν φύσιν, λέγων ὅτι τὸ ὂν οὐχ ὁμωνύμως καθ' ὧν λέγεται κατηγορεῖται, οὔτε μὴν συνωνύμως, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ἅπερ εἰσὶ μεταξὺ τῶν συνωνύμων καὶ ὁμωνύμων... ὅτι δὲ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἓν μίαν εἶναι ἐπιστήμην δυνατόν ἐστιν, ἔδειξεν ἐν τῷ Β ταύτης τῆς πραγματείας. ἀλλ' ἡ μὲν τῶν λεγομένων ἔννοια αὕτη ἂν εἴη, τὰ δὲ κατὰ τὴν λέξιν τοιαῦτα κτλ.

1061a 1. καὶ ἕκαστος τῶν τρόπων τούτων ὁ μὲν λέγεται ἀπὸ τοῦ ἰατρικοῦ ἔργου τοῦ ἐν τῷ νοσοῦντι σώματι γεγονότος ὑπὸ τοῦ ἰατροῦ κτλ.

1061a 9. διὰ γὰρ τὸ ἕξεις εἶναι αὐτῆς (τῆς οὐσίας) ἢ πάθη λέγεται ὄντα. ἔστι δὲ πάθος μὲν ὅταν θερμαίνηταί τι ἐπιπολαίως, διάθεσις δὲ ὅταν

1057a 7. ὥσπερ τὸ ἓν πρὸς τὰ πολλὰ λέγεται (λέγεται δὲ ὡς μέτρον πρὸς τὸ μετρητόν), οὕτω καὶ ἡ ἐπιστήμη, φησί, πρὸς τὸ ἐπιστητὸν ὡς μέτρον πρὸς μετρητόν, πλὴν οὐχ ὁμοίως· δοκεῖ γὰρ ὅτι ὡς τὸ ἓν ἐστι μέτρον, οὕτω καὶ ἡ ἐπιστήμη· οὐκ ἔστι δέ, ἀλλὰ μᾶλλον μετρεῖται ὑπὸ τοῦ ἐπιστητοῦ. δοκεῖ μὲν γὰρ ἄν, φησί, μέτρον ἐπιστήμη εἶναι, τὸ δὲ ἐπιστητὸν τὸ μετρούμενον, συμβαίνει δὲ πᾶσαν ἐπιστήμην τὸ ἐπιστητὸν εἶναι· ὅταν γὰρ ἡ ἐπιστήμη καταλήψεται καὶ γνῷ τὸ ἐπιστητόν, τρόπον τινὰ ἐπιστητὸν γίνεται· ὅπερ γὰρ τὸ ἐπιστητόν, ὥσπερ καὶ ὁ νοῦς τὸ νοητόν· ὑπὸ γὰρ τῶν ἐπιστητῶν ἡ ἐπιστήμη καὶ ὁ νοῦς τῶν νοητῶν τελειοῦται, ὡς ἐν τῇ περὶ Ψυχῆς (3 7 sq.) δέδεικται, τὸ δὲ ἐπιστητὸν ἐπιστήμη οὐκ ἔστιν. καὶ διὰ τοῦτο τρόπον τινὰ μετρεῖται ἡ ἐπιστήμη τῷ ἐπιστητῷ. περὶ δὲ τούτου εἴρηκε καὶ πρότερον· ἔνθα δὴ ἔδει καὶ ταῦτα τετάχθαι, καὶ ἡμεῖς περὶ τούτων ἐκεῖσε εἴπομεν.

τὸ δὲ ἕν, ὥσπερ εἴρηται, τὸ μέν ἐστι διαιρετόν (τὸ γὰρ πηχυαῖον 1057a 15.
μέγεθος ἓν διαιρετόν ἐστιν), τὸ δέ ἐστιν ἓν τὸ ὡς πρός τι, ὡς ἡ μονάς· μέτρον γάρ ἐστι τοῦ ἀριθμοῦ, τὸ δὲ μέτρον τῶν πρός τι· ὥστε τὸ τοιοῦτον ἓν τῶν πρός τί ἐστιν. τῷ οὖν ἑνὶ τῷ διαιρετῷ ἀντίκειται τὸ πολὺ ὡς ὀλίγῳ, τῷ δὲ ἀδιαιρέτῳ οὐκ ἀντίκειται. τὸ δὲ ἕτερον ἕν ἐστι τὸ ἀδιαίρετον τὸ ὡς πρός τι. καὶ σαφηνίζει ἐπὶ παραδείγματος ὅπως τὸ ἓν τῶν πρός τι· ὡς γὰρ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν τῶν πρός τί ἐστιν, οὕτω καὶ ἐπὶ τοῦ ἀριθμοῦ ὑποληπτέον· ἔστι γὰρ ἡ ἐπιστήμη ἀριθμός, τὸ δὲ ἐπιστητὸν ἓν καὶ μέτρον· ἡ ἐπιστήμη ἄρα ἤτοι ὁ ἀριθμὸς καὶ τὸ ἐπιστητὸν τὸ ἓν τῶν πρός τί εἰσιν. "ἐπεὶ δὲ τῶν ἐναντίων ἐνδέχεται εἶναί τι μεταξὺ καὶ ἐνίων ἔστιν, ἀνάγκη ἐκ τῶν ἐναντίων εἶναι τὰ μεταξύ."

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Κ.

1059a 15. Ἐν τῷ παρόντι βιβλίῳ δεκάτῳ ὄντι τῆς ὅλης πραγματείας, κάππα δὲ ἐπιγραφομένῳ, ἐπαναλαμβάνει τὰ ἀποδειχθέντα αὐτῷ καὶ ἀναγνωρίζει ἡμῖν ὡς ἡ τοιαύτη πραγματεία ἑτέρα ἐστὶ τῆς φυσικῆς καὶ τῆς μαθηματικῆς καὶ μόνη ἀξία καλεῖσθαι σοφία. ἀλλ' ἡ μὲν πρόθεσις τοῦ παρόντος βιβλίου αὕτη ἐστίν, ἄνωθεν δὲ πάλιν ῥητέον. ζητήσας ἐν τοῖς πρώτοις λόγοις περὶ τῆς πασῶν κρείττονος ἐπιστήμης πότερον τῶν πρακτικῶν τίς ἐστιν ἢ τῶν θεωρητικῶν, ἔδειξεν ὅτι πάσης πρακτικῆς ἡ ὁπωσοῦν θεωρητικὴ κρείττων ἐστί, πάλιν δὲ τῶν θεωρητικῶν πασῶν ἡ σοφία, ἣν ἐνταῦθα ζητοῦμεν, διὰ τὸ κρείττους εἶναι τὰς τῆς σοφίας ἀρχὰς τῶν τῶν ἄλλων ἐπιστημῶν ἀρχῶν. ἐπεὶ δὲ ἄδηλον ἦν εἰ ὅλως εἰσὶν ἀρχαὶ τῆς προκειμένης ἐπιστήμης, ἐτράπετο εἰς τοῦτο καὶ ἔδειξεν ὅτι εἰσὶν ἀρχαὶ τῆς προκειμένης ἐπιστήμης καὶ χρῆται ἀρχαῖς. εἶτα μέλλων δεῖξαι τίνες εἰσὶν αἱ τῆς σοφίας ἀρχαί, καὶ ὅτι κρείττους τῶν ταῖς ἄλλαις ὑποβεβλημένων ἐπιστήμαις ἀρχῶν, ἱστόρησε τὰς τῶν παλαιοτέρων ἃς εἶχον περὶ ἀρχῶν δόξας, καὶ ἀποσεισάμενος εἴ τι τούτοις περὶ αὐτῶν μὴ καλῶς εἴρηται, ἀκόλουθον ἔγνω εἰπεῖν τὴν περὶ τῶν ζητουμένων ἀρχῶν αὐτῷ βούλησίν τε καὶ δόξαν. ἐπεὶ δὲ πᾶσα γνῶσις καὶ μάθησις ἐκ τῶν σαφεστέρων γίνεται, εἶπεν ὅτι ἀνάγκη πρὸς τὴν ἐπιζητουμένην ἐπιστήμην ἐπελθεῖν ἡμᾶς πρῶτον· "ἔστι γὰρ τοῖς ἀπορεῖν βουλομένοις προὔργου τὸ διαπορῆσαι καλῶς" (B 1). καὶ ἀπορήσας ἐν τῷ B ταύτης τῆς πραγματείας ὅσα ἐκεῖσε αὐτῷ ἠπόρηται, ἐν τοῖς μετὰ τὸ B ἄχρι τοῦ παρόντος, ὃ κάππα τοῖς Περιπατητικοῖς ἔθος καλεῖν, λέγων τὰ δοκοῦντα αὐτῷ τε καὶ τῇ ἀληθείᾳ εἶναι ἐχόμενα τῆς πραγματείας ταύτης, ἔλυσε τῶν ἐκεῖ ἀπορηθέντων ὅσα τοῖς λεγομένοις ἀκολούθως καὶ οἰκείως παρέλιπε. μέλλων δὲ καὶ τὰ λοιπὰ λῦσαι διά τε τοῦ παρόντος βιβλίου καὶ τῶν ἐφεξῆς, πάλιν ὑπομιμνήσκει ἀπὸ τῶν ἐκεῖσε ἀπορηθέντων ὅσα ὅλως οὐκ ἔσχηκεν λύσεως ἢ οὐκ αὐτάρκως... ἄδηλον πῶς πλειόνων (οὐσιῶν) ἐνδέχεται μίαν (ἐπιστήμην) εἶναι· ἡ γὰρ μία τῶν ἐναντίων, αἱ δὲ οὐσίαι οὐκ ἐναντίαι. ἔτι ζητήσειεν ἄν τις εἰ ἡ ἀπόδειξις περὶ τὰς οὐσίας ἐστὶν ἢ περὶ τὰ καθ' αὑτὸ συμβεβηκότα ταῖς οὐσίαις. εἰ ἔστιν ἀπόδειξις περὶ τὰ καθ' αὑτὸ συμβεβηκότα, τῶν δὲ οὐσιῶν καὶ τοῦ τί ἦν εἶναι ἀπόδειξις οὐκ ἔστιν, ὡς δέδεικται ἐν τῷ δευτέρῳ (c. 3) τῶν Ὑστέρων Ἀναλυτικῶν, οὐκ ἂν εἴη τῶν οὐσιῶν ἡ ἀπόδειξις, ἀλλ' ἑτέρα τις. ἀλλ' ἐὰν ἡ τῶν οὐσιῶν ἑτέρα τῆς τῶν συμβεβηκότων, τίς ἐστιν ἑκατέρα αὐτῶν, καὶ ποία τούτων ἡ σοφία, ἡ τῶν συμβεβηκότων ἢ ἡ τῶν οὐσιῶν; καὶ φησὶν ὅτι ἐπεὶ ἡ ἀποδεικτικὴ σοφία περὶ τὰ συμβεβηκότα ἐστίν, ἡ περὶ τὰ πρῶτα, τουτέστιν ἡ περὶ τὰς πρώτας ἀρχὰς οἷαι ἂν καὶ εἶεν, ἐκείνη ἐστὶν ἡ τῶν οὐσιῶν. οὔτε οὖν ἐν οὐδενὶ τούτων τὴν ἐπιζητουμένην σοφίαν θετέον, οὔτε περὶ τὰς ἐν τοῖς Φυσικοῖς εἰρημένας αἰτίας, ὕλην, εἶδος, ποιητικὸν καὶ τελικόν. καὶ ὅτι περὶ ὕλην καὶ εἶδος καὶ ποιητικὸν οὐκ ἔστιν, εἴρηται ἐν τοῖς πρώτοις ταύτης τῆς πραγματείας βιβλίοις· ἄϋλος γὰρ ἦν ἣν ἐνταῦθα ζητοῦμεν ἀρχήν. ἀλλ' οὐδέ ἐστί τι ταύτης ποιητικόν· αὕτη γάρ ἐστι τὸ πάντων πρῶτον καὶ πάντων αἴτιον. ἀλλὰ καὶ ὑπὲρ εἶδος αὕτη· τῶν εἰδῶν γὰρ ποιητική. ὅτι δὲ οὐδὲ περὶ τελικόν ἐστιν ἡ σοφία, δείκνυσι λέγων "οὔτε γὰρ περὶ τοῦ ἕνεκά τινος." διὰ δὲ τούτου δέδωκεν ἡμῖν προσυπακούειν ὅτι οὔτε περὶ τὰ λοιπὰ τρία, εἶδος ὕλην ποιητικόν· ὁ γὰρ σύνδεσμος ὁ τέ ἐλλείποντές ἐστιν ἀποδοτικός. δείκνυσιν οὖν τὸ προκείμενον οὕτως.

διὰ τί, ὥσπερ μεταξὺ τοῦ αὐτοτριγώνου καὶ τῶν αἰσθητῶν τρι- 1059b 4.
γώνων εἶναί φασι τὰ μαθηματικὰ τρίγωνα οὐκ ἐν ὑπάρξει καὶ καθ' αὑτὰ ὄντα, ἀλλὰ τῇ ἐπινοίᾳ τὸ εἶναι ἔχοντα, οὐχ οὕτως ἐστὶ μεταξὺ τοῦ αὐτοανθρώπου καὶ τῶν καθ' ἕκαστα ἀνθρώπων τρίτος ἄνθρωπος ἐν ὑπάρξει καὶ καθ' αὑτὸ ὤν; τὸν γὰρ αὐτοάνθρωπον εἶπε "παρ' αὐτόν," τουτέστι παρὰ τὸν αὐτοάνθρωπον. ἐνστὰς οὖν οὕτω πρὸς τὰς ἰδέας ἐπιχειρεῖ καὶ εἰς τοὐναντίον, λέγων "εἰ δ' αὖ μή ἐστιν ὡς λέγουσι," τουτέστιν εἰ δὲ μὴ δῶμεν μηδὲ συγχωρήσομεν εἶναι ἰδέας, περὶ ποῖα πραγματεύεσθαι φήσομεν τὸν μαθηματικόν;

ἀλλ' οὐδὲ τῆς ἀποδεικτικῆς· ἡ γὰρ ἀποδεικτικὴ τὸ γένος καὶ τὸ 1059b 15.
ὑποκείμενον τῆς μαθηματικῆς λαβοῦσα ὁμολογούμενον, οἷον ὅτι ἔστω τὸ μέγεθος, ζητεῖ τὰ καθ' αὑτὰ συμβεβηκότα αὐτῷ, τί τὸ εὐθὺ καὶ τί τὸ συμπίπτειν τὰς εὐθείας ἢ μὴ συμπίπτειν, οὐ μὴν τὴν

ἀδιανόητον ἔσται τὸ λεγόμενον καὶ ἐναντίον τοῖς λεγομένοις. δύναται καὶ ὡς ἐλλιπὲς εἰρῆσθαι τὸ "ἐν ἄλλῳ γὰρ γένει ὧν αἱ συναποφ. ε.," καὶ εἰ προστεθείη τῷ "γένει" τὸ οὐκ εἰσίν, ἵν' ᾖ τὸ πᾶν τοιοῦτον, ἐν ἄλλῳ γὰρ γένει οὐκ εἰσὶν ὧν αἱ συναποφάσεις εἰσί, σαφὲς ἂν εἴη τὸ λεγόμενον. τὸ δὲ οὔτε γὰρ (?) ἀντικείμενα ἐστίν, οὔτε ἔστιν αὐτῶν διαφορά, λέγοι ἂν διαφορὰν τὴν διαιρετικὴν τοῦ γένους, οἷόν ἐστιν ἐπὶ χρώματος μὲν τὸ διαιρετικὸν καὶ συγκριτικόν, ἐπὶ ζῴου δὲ τὸ θνητὸν καὶ ἀθάνατον. καὶ εἴη ἂν λέγων ὅτι τοῦ ὑποδήματος καὶ τῆς χειρὸς οὐκ ἔστι συναπόφασις, ὅτι οὐδὲ ἔστιν αὐτῶν διαφορά. καὶ τὴν αἰτίαν τοῦ μὴ εἶναι ἀντιδιῃρημένας ἐν αὐτοῖς διαφορὰς προσέθηκεν, εἰπὼν ἐν ἄλλῳ γένει εἰσίν· ὧν δὲ ἔστι συναπόφασις, ἐν τῷ αὐτῷ εἰσὶ γένει. καὶ ἄλλως, ὧν εἰσὶν αἱ ἀποφάσεις, ἕν ἐστι τὸ ὑποκείμενον καὶ τὸ αὐτό, τοῦ δὲ ὑποδήματος καὶ τῆς χειρὸς προσεχὲς οὐδέν ἐστιν ὑποκείμενον.

1056b 3. ἀνατρέχει ἐπὶ τὸ ἓν καὶ τὰ πολλά, λέγων, εἰ γὰρ ἁπλῶς καὶ ὡς ἔτυχέ τις ἀντικεῖσθαι ταῦτα νομίσειε, συμβαίνει ἔνια ἀδύνατα. "τὸ γὰρ ἕν," φησίν, "ὀλίγον ἢ ὀλίγα ἔσται," τὸ δὲ ὀλίγον ἢ τὰ ὀλίγα πλῆθός εἰσιν· λέγεται γὰρ καὶ ὀλίγον πλῆθος καὶ ὀλίγα πλήθη· τὸ δὲ πλῆθος διαιρετόν· τὸ ἓν ἄρα ἐστὶ διαιρετόν· ὅπερ ἄτοπον.

1056b 6. ὅτι δὲ τὰ δύο πολλά ἐστι, δῆλον· εἰ γὰρ τὸ διπλάσιον πολλαπλάσιον, τὸ δὲ διπλάσιον ἐκ τοῦ δύο ἔχει τὸ διπλάσιον λέγεσθαι, καὶ τὰ δύο ἄρα πολλαπλάσιον. ἀλλὰ τὸ πολλαπλάσιον πολλά ἐστι, καὶ τὰ δύο ἄρα πολλά· εἰ δὲ τὰ δύο πολλά, τὸ ἓν ἔσται ὀλίγον κτλ.

1056b 12. "εἰ μή τι ἄρα," φησί, "διαφέρει ἐπὶ συνεχεῖ ἀορίστῳ," συνεχὲς λέγων ἀόριστον, εἴ τί περ ὑγρόν, ὡς τὸ ὕδωρ καὶ ὁ ἀήρ. ἀόριστα γὰρ οἰκείῳ ὄντα ὅρῳ, ἀλλοτρίῳ εὐόριστά ἐστι, λέγω δὴ τῷ ἐν ᾧ 1056b 13. εἰσὶν ἀγγείῳ. ὑγρὸν γὰρ ἐν τῇ περὶ Γενέσεως (2 2) ἐλέγετο, ὃ δυσόριστον ὂν οἰκείῳ ὅρῳ εὐόριστόν ἐστιν ἀλλοτρίῳ. τὸ οὖν ὕδωρ συνεχὲς ἀόριστον ὂν πολὺ λέγεται, πολλὰ δὲ οὔ. εἰ οὖν τὸ ὀλίγον λέγεται ὀλίγα, τὸ ὀλίγον πλῆθός τί ἐστιν· ἀλλ' εἰ τοῦτο, καὶ ἡ μονὰς πλῆθός τί ἐστιν, ἐπειδὴ καὶ ὀλίγον. ταῦτα εἰπὼν λέγει πῶς τὸ ἓν καὶ τὰ πολλὰ ἀντίκειται. ἅμα δὲ λύει καὶ τὸν παρόντα συλλογισμόν, ἐξ οὗ συνάγεται ὅτι τὸ ἓν πλῆθός τί ἐστιν· ψευδὴς γάρ ἐστιν ἡ πρότασις ἡ πᾶν πολὺ καὶ πολλὰ λέγουσα, ἐξ ἧς ὁμοιότητος συνήγετο καὶ πᾶν τὸ ὀλίγον ὀλίγα. λέγει ὅτι ἴσως τὰ πολλὰ λέγεται καὶ πολύ, καὶ ἔμπαλιν, οὐκ ἐπὶ πάντων δέ, ἀλλὰ διαφέρει· τὸ γὰρ ὕδωρ πολὺ μὲν λέγεται, πολλὰ δὲ οὐδαμῶς, ἀλλ' ὅσα διαιρετά ἐστι λέγεται πολλά, λέγων νῦν διαιρετὰ οὐ τὰ ἀδιαίρετα δυνάμενα δὲ διαιρεθῆναι, ἀλλὰ τὰ ἤδη κατ' ἐνέργειαν διῃρημένα. ὅσα δὴ οὖν, φησί, διῃρημένα εἰσὶν ἐνεργείᾳ, ἐν τούτοις λέγεται τὰ πολλά· ὥστε ἕνα μὲν τρόπον λέγεται, "ἐὰν ᾖ πλῆθος ἔχον ὑπεροχὴν ἢ ἁπλῶς ἢ πρός τι·" τοὺς γὰρ ἑκατὸν ἄνδρας πολλοὺς φαμὲν οὐχ ἁπλῶς ἀλλὰ πρὸς τοὺς δέκα, ἁπλῶς δὲ πολλοὶ οἱ ἑκατὸν λέγονται, ὅταν αὐτοὶ καθ' αὑτοὺς θεωρῶνται μὴ προσλογιζομένων τῶν δέκα. ὁμοίως καὶ τὸ ὀλίγον κατὰ τὸν αὐτὸν τρόπον λέγεται, ἐὰν ᾖ πλῆθος ἔχον ἔλλειψιν· οἱ γὰρ δέκα ἄνδρες πλῆθός τι εἰσιν ἔχοντες ἔλλειψιν πρὸς τοὺς ἑκατόν. ἄλλον δὲ τρόπον πολλὰ λέγεται, ὅταν ᾖ πλῆθος ὡς ἀριθμός· αἱ γὰρ ἑκατὸν μονάδες πρὸς τὰς δέκα πολλὰ λέγονται, ὅπερ πολύ, λέγω δὴ τὸ ὡς ἀριθμὸς πολύ, ἀντίκειται τῷ ἑνὶ ὡς μέτρον μετρητῷ· ἑκατοντάκις γὰρ ἡ μονὰς πολλαπλασιασθεῖσα τὸν ἑκατὸν ἐποίησεν. οὕτως γὰρ λέγομεν ἓν καὶ πολλὰ ἐπὶ τοῦ ἀριθμοῦ, ὥσπερ εἴ τις εἴποι ἓν καὶ τὰ ἕνα· ὁ γὰρ δέκα ἀριθμὸς δεκάκις ἐστὶ τὸ ἕν, ὥσπερ καὶ τὰ δέκα λευκὰ δεκάκις ἐστὶ τὸ ἓν λευκόν. ἔστιν οὖν τὰ πολλὰ καὶ τὸ ἓν ἀριθμὸς ὡς τὰ μεμετρημένα καὶ τὸ μέτρον καὶ τὸ μετρητόν (τὸ δὲ μέτρον καὶ τὸ μετρητὸν ἐκ παραλλήλου κεῖνται), τὰ δὲ πολλὰ καὶ τὸ ἓν ὡς τὰ πρός τι ἀντίκεινται, λέγω δὴ ὡς τὸ μέτρον καὶ τὸ μεμετρημένον. "οὕτω καὶ τὰ πολλαπλάσια λέγεται·" ἕκαστος γὰρ ἀριθμὸς πολλά ἐστιν, ὅτι πολλὰ ἕνα· ὁ γὰρ δέκα δέκα ἕνα ἐστίν· μετρητὸς γάρ ἐστι τῷ ἑνί, καὶ ἔστιν ἕκαστος ἀριθμὸς ἢ τὸ ἐν ἀριθμῷ πολὺ πολλαπλάσιον, ὡς τὰ ἀντικείμενα τῷ ἑνί, οὐχ ὡς τῷ ὀλίγῳ· τῷ γὰρ ὀλίγῳ τὸ μὴ ἀριθμῷ πολὺ ἀντίκειται. οὕτω μὲν οὖν ἐστὶ καὶ τὰ δύο πολλὰ ὡς μετρηθέντα ὑπὸ τῆς μονάδος, ὡς δὲ πλῆθος ἔχον ὑπεροχὴν ἢ ἁπλῶς ἢ πρός τι οὐκ ἔστιν, ἀλλ' ἔστι τῶν τοῦ ἀριθμοῦ πολλῶν πρῶτον πολὺ τὸ δύο· καὶ τὰ τρία γὰρ καὶ τὰ πέντε καὶ τὰ εἴκοσι καὶ τὰ λοιπὰ πολλά ἐστιν, ἀλλὰ πρῶτον τὸ δύο ἐν ἀριθμοῖς πολύ ἐστιν. πολὺ μὲν οὖν ἐστὶ πρῶτον, ὀλίγα δὲ ἁπλῶς· ὀλιγώτερα γὰρ ἀριθμός, εἰ δεῖ τε ὡς ἀριθμὸν τὸν δύο λέγειν, οὐκ ἔστιν· ἡ γὰρ μονὰς οὐδ' ὅλως ἐστὶν ἀριθμός. εἰ οὖν ἁπλῶς ἡ δυὰς ὀλίγον, "πλῆθος γάρ ἐστιν ἔλλειψιν ἔχον πρῶτον," ἡ μονὰς ἄρα οὐκ ἔστιν ὀλίγον, τὸ γὰρ ὀλίγον καὶ πλῆθος. εἰ δὲ μή ἐστιν ὀλίγον, ψεύδεται ἄρα ἡ λέγουσα πρότασις ὅτι τὰ ὀλίγα καὶ τὸ ὀλίγον ὀλίγα· ἐξ ἧς συνήγετο ὅτι τὸ ἓν πλῆθός ἐστιν. διὸ οὐκ ὀρθῶς κτλ.

ἐπειδὴ τοῖς πολλοῖς τὸ ὀλίγον δέδεικται ὅτι ἀντίκειται, καὶ τὰ 1056b 28.
πολλὰ τῷ ὀλίγῳ, ἐστὶ δὲ ἁπλῶς ὀλίγον ἡ δυάς, ἔδει, φησί, τὸν Ἀναξαγόραν μὴ οὕτως εἰπόντα ἀπηλλάχθαι ὅτι ἦν ὁμοῦ πάντα χρήματα ἄπειρα καὶ πλήθει καὶ σμικρότητι, ἀλλ' εἰπεῖν ὅτι καὶ ὀλιγότητι. καὶ τοῦτο εἰπὼν οὐκ ἂν αὐτὰ ἄπειρα ἔφασκε· τὸ γὰρ ὀλίγον ἁπλῶς τὰ δύο ἐστί, τὰ δὲ δύο οὐκ ἄπειρα. τὸ δὴ ὀλίγον ἁπλῶς δύο ἐστίν, ἀλλ' οὐχὶ διὰ τὴν μονάδα, ὥσπερ φασί τινες· ἡ γὰρ μονὰς ἐλάσσων μὲν λέγεται τῆς δυάδος, ὀλίγη δὲ οὐ λέγεται διὰ τὸ ὀλίγον ἐν πλήθει θεωρεῖσθαι. τοῦτο δὲ μεταξὺ τῷ Ἀναξαγόρᾳ ἐγκαλέσας πάλιν ἐπὶ τὸ ἓν καὶ τὰ πολλὰ ἀνατρέχει, λέγων "ἀντικ. δὴ τὸ ἓν καὶ τὸ πολὺ τὰ ἐν ἀριθμοῖς ὡς μέτρον μετρητῷ·" ταῦτα δέ, οἷον τὸ μέτρον καὶ τὸ μετρητόν, ἀντίκειται ὡς τὰ πρός τι, οὐ τὰ καθ' αὑτὰ πρός τι, ἀλλ' ὡς τὰ πρός τι τὰ μὴ καθ' αὑτά· εἴρηκε γὰρ ἐν τῷ Δ (c. 13) ὅτι τῶν πρός τι τὰ μέν εἰσι καθ' αὑτά, τὰ δὲ οὐ καθ' αὑτά... καὶ εἴρηταί μοι περὶ τούτων ἐκεῖσε ἀκριβέστερον.

ἡ γὰρ ἐπιστήμη τῶν πρός τι λέγεται, οὐχ ὅτι ἄλλου λέγεται, οἷον 1056b 36.
τοῦ ἐπιστήμονος, ἀλλ' ὅτι τὸ ἐπιστητὸν λέγεται πρὸς αὐτήν.

οὐ πᾶν, ὃ ἂν ᾖ ἓν καὶ ἀδιαίρετον, ἀριθμός ἐστιν, ἀλλ' εἰσὶ πολλὰ 1057a 6.
ἓν καὶ ἀδιαίρετα, οἷον τὰ ἐν ταῖς ἀκτῖσι τοῦ ἡλίου ὁρώμενα ξύσματα, καὶ οὐκ εἰσὶν ἀριθμός, εἰ τάχα καὶ ἔστιν ἀριθμὸς αὐτῶν. ἢ ἴσον ἂν εἴη τὸ "διὸ οὐ πᾶν ὃ ἂν ᾖ ἓν ἀριθμός ἐστιν, οἷον εἴ τι ἀδιαίρετον," τῷ οὐκ εἴ τι ἓν ὂν καὶ ἀδιαίρετον ἀριθμός ἐστιν. ὁ γὰρ δέκα ὡς δέκα ἀριθμὸς ἕν ἐστιν, ἀλλὰ διαιρεῖται εἰς μονάδας· ὥστε τὸ ἓν καὶ ἀδιαίρετον οὐκ ἔστιν ἀριθμός. καλλίων δέ, οἶμαι, ἡ προτέρα ἐξήγησις.

ἀγαθῷ καὶ κακῷ· ἐν ἁπάσαις γὰρ ταῖς κατηγορίαις ἐστὶ καὶ ἀγαθὸν καὶ κακόν· ὥστε τὸ ἀόριστον αὐτῶν τὸ ὑποκείμενον, καὶ διὰ τοῦτο εἰσί τινα· οὔτε γὰρ ἀγαθὰ οὔτε κακά· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. φανερὸν τοίνυν γέγονε διὰ τῆς ἐπαγωγῆς ὅτι ἀεὶ θάτερον τῶν ἐναντίων λέγεται κατὰ στέρησιν καὶ ἔτι πᾶσα ἐναντία στέρησις.

1055 b 27. τὸ δὲ "ἀπόχρη — πολλά" τοιοῦτον ἂν εἴη. εἰ πάντα τὰ ἐναντία ὑπὸ τὸ ἓν καὶ τὰ πολλὰ ἀνάγεται (καὶ εἴρηται μὲν πολλάκις ὅτι διαίρεσιν πεποίηκε, καθ' ἣν πάντα τὰ ἐναντία ὑπὸ τὸ ἓν ἀνήγαγε καὶ τὰ πολλά), τὸ δὲ ἓν καὶ τὰ πολλὰ ἀντίφασίς τίς ἐστιν, ὡς δειχθήσεται, πάντα ἄρα τὰ ἐναντία ὑπ' αὐτὰ ἀνάγεται.

1055 b 29. ἐν τῷ περὶ Ἀγαθοῦ μονοβιβλίῳ, ἐν ᾧ διαίρεσιν πάντων τῶν ἐναντίων ἐποιήσατο, πάντα τε τὰ ἐναντία εἰς τὸ ἓν ἀνῆξε καὶ τὰ πολλά. cod. Reg.

1055 b 31. ζητεῖ πῶς ἀντίκειται τὸ ἓν καὶ τὰ πολλά, πότερον ὡς τἀναντία, ὡς στέρησις καὶ ἕξις, ἢ ὡς τὰ πρός τι, ἢ ὡς κατάφασις καὶ ἀπόφασις. ὁμοίως δὴ τὸ ἴσον τῷ μεγάλῳ καὶ τῷ μικρῷ κατὰ ποῖον τουτωνὶ τῶν τρόπων ἀντίκειται; καὶ τέως ὅτι τὸ ἓν καὶ τὰ πολλὰ ἀντικείμενά ἐστι, δείκνυσι λέγων· εἰ γὰρ τὸ πότερον ἐν τοῖς ἀντικειμένοις εἰώθαμεν λέγειν, λέγεται δὲ τὸ πότερον καὶ ἐπὶ τοῦ ἑνὸς καὶ τῶν πολλῶν, δηλονότι ἀντικείμενά ἐστιν.

1055 b 34. πότερον δὲ τὸ προκείμενον ἄνθρωπός ἐστιν ἢ οὐ λευκόν, οὔ φαμεν διὰ τὸ μὴ ἀντικεῖσθαι τὸν ἄνθρωπον καὶ τὸ λευκόν, εἰ μὴ ἐξ ὑποθέσεως· εἰ γὰρ ὑπέθοιτό τις μηδέν τι ἄλλο εἶναι τῶν ἁπάντων εἰ μὴ μόνον ἄνθρωπον καὶ λευκόν, δυνησόμεθα λέγειν τούτου ὑποκειμένου, πότερον τὸ προκείμενον ἄνθρωπός ἐστιν ἢ λευκόν; καὶ πάλιν εἰ θείημεν ὡς ἔστιν ἐν τῇδε τῇ οἰκίᾳ σήμερον ἐξ ἀνάγκης ἢ ἐλεύσεσθαι Κλέωνα ἢ Καλλίαν, μηδένα δὲ ἕτερον, ἐροῦμεν διὰ τὴν ὑπόθεσιν, πότερον Κλέων ἐστὶν ἢ Καλλίας ὁ ἐληλυθώς;.. ἀλλὰ καὶ τοῦτο τὸ ἐξ ὑποθέσεως ἐκ τῶν κυρίως ἀντικειμένων ἐλήλυθεν· διὰ γὰρ τὸ μὴ δύνασθαι ἅμα τὰ ἀντικείμενα ὑπάρχειν, ὑπόκειται δὲ καὶ ἐνταῦθα μὴ δύνασθαι ἅμα αὐτοὺς ἐληλυθέναι, λέγεται τὸ πότερος ἦλθεν· εἰ γὰρ ἐνεδέχετο ἅμα αὐτοὺς ἐλθεῖν, γελοῖον τὸ ἐρωτᾶν πότερος ἦλθεν. εἰ δὲ καὶ ἅμα ἐνδεχομένων ἐλθεῖν ἐρωτᾷ τις τὸ πότερος ἦλθεν, εὐθὺς εἰς τὸ ἓν καὶ τὰ πολλὰ συμπίπτει.

1056 a 7. "ἔτι — ἴσον." ἀλλὰ μὴν τὸ ἄνισον δηλωτικόν ἐστι τοῦ μείζονος καὶ ἐλάσσονος, ὥστε εἰ ἐναντίον τῷ ἴσῳ τὸ ἄνισον, καὶ οὕτως δύο εἰσὶν ἐναντία. εἰ δὲ τὸ ἄνισον ἀμφότερα δηλοῖ, τὸ μεῖζον καὶ ἔλασσον, οὐκ εἰκός ἐστι λέγειν ὅτι τὸ ἄνισον χρὴ ὡς ἕν τι ὄνομα λαμβάνειν καὶ ἀντιτιθέναι τῷ ἴσῳ, καὶ οὕτως ἐπάγει ὅτι ἓν τὸ ἄνισον ἑνὶ τῷ ἴσῳ ἐναντίον. τοῦτο γὰρ τοῖς ὑπὸ τὴν δυάδα τὸ ἄνισον ἀνάγουσι βοηθεῖ· ἐπειδὴ γὰρ τὸ ἄνισον δυοῖν ἐστὶ δηλωτικόν, εὐλόγως αὐτὸ ὑπὸ τὴν δυάδα ἀνάγουσι. τῷ δὲ λέγοντι ὡς ἐπειδὴ τὸ ἄνισον ἕν ἐστιν ὄνομα καὶ ἀντιτιθέμενον τῷ ἴσῳ, ὡς ἓν ἑνὶ ἀντιτίθεται, οὐδαμῶς βοηθεῖ· οὐ γὰρ τὰ ὀνόματά εἰσι τὰ ἀντικείμενα, ἀλλὰ τὰ ὑπὸ τῶν ὀνομάτων σημαινόμενα πράγματα. ὥστε εἰ καὶ ἓν ἐστι τὸ ἄνισον ὄνομα, ἀλλ' ἐπειδὴ δυοῖν ἐστὶ δηλωτικόν, ὁ τοῦτο τῷ ἴσῳ ἀντιτιθεὶς δύο ἑνὶ ἀντέθηκεν· ὥστε ἔσονται τῷ ἑνὶ δύο ἐναντία, ὅπερ ἀδύνατον.

1056 a 14. αὕτη δὲ (ἡ ἐναντιότης) μᾶλλον ἔχει ἑαυτῆς τὸ μεταξύ, ὡς τὸ φαιὸν ἡ λευκότης καὶ μελανία.

1056 a 17. τὸ γὰρ ἴσον ἀπόφασίς ἐστι τοῦ μείζονος καὶ ἐλάσσονος· ἴσον γάρ ἐστι τὸ μήτε μεῖζον ὂν μήτε ἔλασσον.

1056 a 22. "ἀλλ' ἀεὶ τρία," τουτέστιν ἀλλ' ἀεὶ τὸ πότερον πρὸς τὰ τρία λέγεται, ἀλλ' οὐ πρὸς τὰ δύο, οἷον πότερον ἴσον ἢ μεῖζον ἢ ἔλασσον. . . . λέγει ἀπόφασιν στερητικὴν τὴν ἐπὶ μιᾶς κατηγορίας διαιροῦσαν τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν, ἐπὶ δὲ τῶν ἄλλων συμψευδομένην τῇ καταφάσει, ὥσπερ τὸ ἴσον ἐπὶ μόνου τοῦ ποσοῦ· πᾶν γὰρ ποσὸν ἢ ἴσον ἐστὶν ἢ μεῖζον ἢ ἔλασσον· ἐπὶ δὲ τῶν ἄλλων ψεύδεται· τὸ γὰρ λευκὸν οὔτε ἴσον ἐστὶν οὔτε μεῖζον οὔτε ἔλασσον. ἔστιν οὖν "στερητικὴ ἀπόφασις" ἢ "στερητικὴ στέρησις" (ἀμφοτέρως γὰρ γράφεται) αὕτη ἡ ἐπὶ μιᾶς κατηγορίας μετὰ τῆς οἰκείας καταφάσεως τὸ ψεῦδος διαιροῦσα καὶ τὴν ἀλήθειαν· ἀναγκαία δὲ στέρησίς ἐστιν ἢ ἀπόφασις ἡ ἐπὶ πάντων καὶ ὄντων καὶ μὴ ὄντων διαιροῦσα τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν· αὕτη δέ ἐστιν ἡ κυρία ἀπόφασις.

1056 a 24. ἔστιν οὖν τὸ ἴσον τὸ μήτε μέγα μήτε μικρόν, καὶ ἀντίκειται ἀμφοῖν ὡς ἀπόφασις στερητική· διὸ καὶ μεταξύ ἐστι τοῦ μείζονος καὶ ἐλάσσονος. καὶ τὸ μήτε ἀγαθὸν μήτε κακὸν μεταξὺ τοῦ ἀγαθοῦ καὶ κακοῦ. καὶ τὴν αἰτίαν τοῦ ἀνώνυμον εἶναι τὸ μέσον τούτων ἐπήνεγκεν, εἰπὼν "πολλαχῶς γὰρ λέγεται ἑκάτερον" τό τε ἀγαθὸν καὶ τὸ κακόν· ἐπὶ γὰρ τῶν δέκα κατηγοριῶν ἐστὶ καὶ ἀγαθὸν καὶ κακόν. καὶ γὰρ καὶ ἐν οὐσίᾳ ἐστὶ καὶ ἀγαθόν τι καὶ κακόν, καὶ ἐν ποσῷ καὶ ἐν ποιῷ καὶ τοῖς ἄλλοις. εἰ δὲ τοῦτο, ἀόριστον ἄρα τὸ μεταξύ, ὥστε καὶ ἀνώνυμον· τὰ γὰρ ἀόριστα καὶ ἀνώνυμα. ἀλλὰ μᾶλλον ὠνομασμένον ἐστὶ τὸ μήτε λευκὸν μήτε μέλαν· ὅμως δὲ οὐδὲ τοῦτο λέγεται ἕν, ἀλλὰ μήτε λευκὸν μήτε μέλαν· τοιοῦτο δ' ἐστὶ καὶ τὸ φαιὸν καὶ τὸ ἁλουργὸν καὶ τὸ πράσινον καὶ τὰ λοιπά. ὅμως ὡρισμένα εἰσὶ τὰ χρώματα καὶ μέτρῳ οὐ πάνυ πολλῷ ἀλλὰ βραχεῖ ὑποπίπτουσιν, ἐφ' ὧν λέγεται στερητικῶς ἡ ἀπόφασις αὕτη, λέγων ἀπόφασιν ταύτην τὸ μήτε λευκὸν μήτε μέλαν. ταύτην δέ, φησί, τὴν ἀπόφασιν ἀνάγκη ἢ φαιὸν εἶναι ἢ ὠχρὸν ἢ τοιοῦτόν τι ἄλλο. ὥστε ἐπειδὴ ἡ τοιαύτη ἀπόφασις ἐν τοῖς ἐν τῷ αὐτῷ γένει ἢ τῇ αὐτῇ κατηγορίᾳ οὖσι λέγεται τοῖς λέγουσιν ὅτι μεταξὺ χειρὸς καὶ ὑποδήματος οὐκ ἔστι τὸ μήτε ὑπόδημα ὂν μήτε χείρ, οὐκ ὀρθῶς αὐτοῖς ἐπιτιμῶσιν οἱ λέγοντες ὅτι ἔστι μεταξὺ χειρὸς καὶ ὑποδήματος τὸ μήτε χεὶρ μήτε ὑπόδημα διὰ τὸ μεταξὺ ἀγαθοῦ καὶ κακοῦ εἶναι τὸ μήτε ἀγαθὸν μήτε κακόν. οὐκ ὀρθῶς οὖν ἐκείνοις οὗτοι ἐπιτιμῶσιν· οὐ γάρ ἐστι πάντων μεταξύ, οὐδ' ἀνάγκη τοῦτο συμβαίνειν· ἡ μὲν γὰρ συναπόφασις (λέγων συναπόφασιν τὸ μήτε ἀγαθὸν μήτε κακὸν διὰ τὸ συναποφάσκειν ἀμφότερα, καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν), ἡ μὲν δὴ συναπόφασις τῶν ὁμολογουμένων ἀντικειμένων ἐστί, καὶ ὧν ἐστί τι μεταξὺ καὶ διάστημα, δι' οὗ γίνεται ἡ μεταβολὴ ἐκ τοῦδε εἰς τόδε, οἷον ἐκ τοῦ κακοῦ εἰς τὸ ἀγαθὸν καὶ ἔμπαλιν. ἡ δὲ χεὶρ καὶ τὸ ὑπόδημα ὁμολογουμένως μὴ ὄντα ἀντικείμενα, πῶς ἂν εἴη τούτων συναπόφασις; οὔτε γὰρ ἀντικείμενά εἰσιν, οὔτε ἔστιν αὐτῶν διαφορά· ἐν ἄλλῳ γὰρ γένει· ὧν δ' ἐστὶ συναπόφασις, ταῦτα ὁμογενῆ ἐστίν. οὕτω γὰρ τοῦ ῥητοῦ τοῦ "ἐν ἄλλῳ γὰρ γένει, ὧν αἱ συν. εἰσί," χρὴ ἀκούειν· εἰ γὰρ μὴ οὕτως,

"οὐ γὰρ ἀντίφασίς ἐστι τοῦ ταὐτοῦ," ἴσον λέγων τῷ οὐ γὰρ ἀντιφατικῶς ἀντίκειται τὸ ταὐτὸν καὶ ἕτερον, ἵνα λέγηται καὶ ἐπὶ τῶν μὴ ὄντων. ὥστε τὸ ταὐτὸν καὶ ἕτερον ἢ ἓν θέλει εἶναι ἢ οὐχ ἕν, ὑπάρχον καὶ ἓν καὶ ὄν. καὶ συμπεραίνεται λέγων, τὸ μὲν οὖν ἕτερον καὶ ταὐτὸν οὕτως ἀντίκειται ὡς ἐπὶ μόνων τῶν ὄντων τὸ μὲν ἀληθεύεσθαι λεγόμενον τὸ δὲ μή.

1054b 26. ὃ δὲ λέγει, οἶμαι, τοιοῦτόν ἐστιν. τὸ δὲ διάφορον τινὸς τινὶ κατακοινωνεῖ· ὁ γὰρ ἵππος τοῦ ἀνθρώπου διαφέρει, καὶ ὅμως κοινωνοῦσι κατὰ τὸ ζῷον, ὥστε ἀνάγκη ταὐτό τι εἶναι, καθὸ κοινωνοῦσι διαφέροντα ὄντα. "τοῦτο δὲ τὸ ταὐτό," τουτέστι τοῦτο δὲ καθ' ὃ κοινωνοῦσι διάφορα ὄντα, ἢ γένος ἢ εἶδός ἐστιν. ὁ μὲν Σωκράτης καὶ Πλάτων διάφοροι ὄντες τῷ εἴδει καὶ τῷ γένει κοινωνοῦσιν, ἵππος δὲ καὶ ἄνθρωπος τῷ γένει μόνῳ. αὐτὸς δέ φησιν ὅτι γένει μὲν ὧν μή ἐστι κοινὴ ὕλη· σημεῖον δὲ ὅτι οὐκ ἔστι γένεσις εἰς ἄλληλα· οὔτε γὰρ ἡ οὐσία ποσὸν γίνεται οὔτε τὸ ποσὸν οὐσία, ὥσπερ ὁ ἀὴρ ὕδωρ καὶ τὸ ὕδωρ ἀήρ. εἴδει δὲ διαφέρουσι, φησίν, ὧν τὸ αὐτὸ γένος. γένος δέ ἐστι, φησίν, ἐν ᾧ ἀμφότερα τὰ διάφορα κατὰ τὴν οὐσίαν ταὐτόν εἰσιν· ἵππος γὰρ καὶ ἄνθρωπος κατὰ τὴν τοῦ ζῴου οὐσίαν οἱ αὐτοί. ὥστε καὶ τἀναντία διάφορα· κοινὸν γὰρ ἔχουσι τὸ ὑποκείμενον τὴν οὐσίαν, ὥσπερ ἄνθρωπος καὶ ἵππος τὸ ζῷον, πορρωτέρω δὲ τῆς οὐσίας.

1054b 35. "τὰ δ' ἐν τῇ αὐτῇ συστοιχίᾳ," τουτέστι τὰ δὲ ὅμοια ἐν τῇ αὐτῇ τυγχάνουσι σειρᾷ, ὥστε ἐν τῷ αὐτῷ γένει καὶ τὰ αὐτὰ τῷ γένει. εἴρηται δ' ἐν τῷ Δ ποῖά φαμεν ταὐτὰ τῷ γένει (c. 9).

1055a 6. οἶμαι δὲ γένος νῦν λέγειν τὴν ὕλην. καὶ εἴη ἂν λέγων ὅτι τὰ γένει διαφέροντα, ἀντὶ τοῦ τὰ μὴ τὴν αὐτὴν ἔχοντα ὕλην, ὡς ἡ οὐσία καὶ τὸ ποσόν, οὐκ ἔχει ὁδὸν εἰς ἄλληλα οὐδὲ γίνονται ἐξ ἀλλήλων, ἀλλ' ἀπέχει πλεῖστον, καὶ οὐ συμβλητά, τουτέστιν οὐδὲν αὐτοῖς κοινόν· συμβλητὰ γὰρ ἐν τῇ περὶ Γενέσεως καὶ Φθορᾶς (2 4 et 5) ἔλεγε τὰ ἔχοντα κοινόν τι.

1055a 8. γίνεται μὲν γὰρ ἐκ φαιοῦ λευκόν, ἀλλ' οὐκ ἔστι τὸ φαιὸν καὶ τὸ λευκὸν ἡ ἐσχάτη καὶ πλεῖστον ἀπέχουσα ἐναντιότης, ἀλλὰ τὸ λευκὸν καὶ μέλαν· ἀλλ' ὅμως τὸ λευκὸν ἐκ τοῦ φαιοῦ ὡς ἐξ ἐσχάτου γίνεται. ὥστε τῶν κυρίως ἐσχάτων ἐστὶ τὸ διάστημα μέγιστον. εἰ δὴ τὰ ἐναντία ἔσχατα, τὸ δὲ τῶν ἐσχάτων διάστημα μέγιστον, τῶν ἐναντίων ἄρα τὸ διάστημα μέγιστον, καὶ ὡς ἄρα ἐλέγετο, ὅτι ἡ μεγίστη διαφορά ἐστιν ἡ ἐναντιότης.

1055a 17. ἐπεὶ δὲ πολλαχῶς λέγεται τὰ ἐναντία (εἴρηται γὰρ ὅτι τὰ ἐναντία λέγεται τὰ ἐν τῷ αὐτῷ γένει ὄντα καὶ τὰ ἐν τῷ αὐτῷ ὑποκειμένῳ καὶ τὰ ὑπὸ τὴν αὐτὴν δύναμιν, καὶ ὅσα ἄλλα εἴρηται ἐν τῷ Δ (10), ὅτε περὶ τούτων ἔλεγεν) ἐπεὶ οὖν πολλαχῶς λέγεται, ἀκολουθήσει αὐτοῖς τὸ τελείως οὕτως, ὡς ἂν καὶ τὸ ἐναντίως εἶναι ὑπάρχοι αὐτοῖς· εἰ γὰρ ὑπάρχοι αὐτοῖς τὸ ἐναντία εἶναι διὰ τὸ ἐν τῇ αὐτῇ δυνάμει εἶναι, καὶ τέλειον οὕτως ὑπάρξει, οἷον τοῖς μὲν ἐναντίοις ἐν τῷ αὐτῷ γένει οὖσιν ἀκολουθήσει τὸ τέλειον ὡδί· τέλος δὲ ἐναντιότης τῶν ἐν τῷ αὐτῷ γένει ὄντων ἐστίν, ἧς μηδὲν ἔστιν ἔξω λαβεῖν. πάλιν τέλειον ἐναντιότης ἐστὶ τῶν ὑπὸ διάφορα γένη ὄντων, ἧς μηδὲν ἔστιν ἔξω λαβεῖν τι. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

παντὸς δὲ ἑνὸς διαστήματος δύο τὰ ἔσχατα. 1055a 20.

ὅπερ ἡμεῖς προείπομεν, αὐτὸς νῦν λέγει. φησὶ γὰρ ὅτι ὁ 1055a 23.
ὁρισμὸς τῶν ἐν τῷ αὐτῷ γένει ἐναντίων ἀληθεύσει καὶ ἐν τοῖς ὑπὸ τὴν αὐτὴν δύναμιν καὶ ἐν τοῖς ἄλλοις· καὶ γὰρ ἡ ἐν αὐτοῖς τέλειος διαφορὰ πλεῖστον διαφέρει. ὥστε ῥητέον ὡς τέλειος διαφορὰ τῶν ὑπὸ τὴν αὐτὴν δύναμίν ἐστιν, ἧς μηδὲν ἔστιν ἔξω τι λαβεῖν· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τὸ δὲ "δέδεικται γὰρ — διαφορά," οἶμαι, λύσις ἐστὶν ἐνστάσεως δυναμένης φέρεσθαι πρὸς τὸν ἓν ἑνὶ ἐναντίον λέγοντα λόγον· εἴποι γὰρ ἄν τις ὡς εἰ διὰ τοῦτο ἓν ἑνὶ ἐναντίον, ὅτι τὰ πλεῖστον ἀλλήλων διεστηκότα δύο εἰσίν, ἰδοὺ πλεῖστον ἀφέστηκε τοῦ λευκοῦ τὸ μέλαν, ἀλλ' ἔτι μᾶλλον ἡ γραμμή· τί γὰρ κοινὸν γραμμῆς καὶ λευκοῦ; ὥστε δύο κατὰ τὸ πολὺ ἀφεστηκότα ἐστὶ τοῦ λευκοῦ, τό τε μέλαν καὶ ἡ γραμμή· εἰ δὲ τοῦτο, καὶ δύο ἐναντία ἔσται αὐτῷ. πρὸς ταύτην οὖν οἶμαι τὴν ἔνστασιν τοῦτο ἐπῆκται τὸ λέγον "δέδεικται γὰρ" κτλ, τουτέστι τὰ ὑπὸ ἕτερα γένη καὶ μὴ ὑπάλληλα ὄντα οὐ χρὴ ἀντιτιθέναι, ἀλλὰ τὰ ὑπὸ τὸ αὐτό.

"τούτ. δ' αὕτη μεγ." τουτέστι τῶν δ' ἐν τῷ αὐτῷ γένει ὄντων 1055a 27.
αὕτη ἡ ἐναντιότης μεγίστη ἐστὶ διαφορά.

καὶ ἡ ὑγίανσις δὲ λῆψις οὖσα ὑγιείας ἐναντία λέγεται τῇ νο- 1055a 37.
σάνσει, ἀποβολῇ οὔσῃ ὑγιείας λήψει δὲ νόσου.

τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι ἡ στέρησις καὶ τὰ ἐναντία ὑπὸ 1055b 1.
τὴν ἀντίφασιν εἰσί, καὶ τρόπον τινά, ὡς ἐρεῖ, ἀντιφάσεις εἰσὶν ἥ τε στέρησις καὶ τὰ ἐναντία. ἀλλ' εἰ τοῦτο, μᾶλλόν ἐστιν ἀντίθεσις ἡ ἀντίφασις καὶ στερήσεως καὶ τῶν ἐναντίων· καὶ εἰ τοῦτο, πῶς λέγουσιν ὅτι ἐν τῷ πέμπτῳ τμήματι τοῦ περὶ Ἑρμηνείας (c. 12) γυμνάζων τοὺς ἀκροατὰς λέγει ὅτι μᾶλλον ἡ ἀντίφασις ἀντίκειται ἤπερ τὰ ἐναντία, ἐπεὶ αὐτὸς τὴν ἐναντιότητα μᾶλλον ἀντικεῖσθαι τῆς ἀντιφάσεως βούλεται. δείκνυσιν οὖν, ὡς εἴρηται, ὅτι ὑπὸ τὴν ἀντίφασίν εἰσιν ἥ τε στέρησις καὶ τἀναντία· τέως δὲ πρῶτον δείκνυσιν ὅτι τὰ ἐναντία οὐκ ἀντίκειται ὡς τὰ ἀντιφατικῶς ἀντικείμενα.

τὸ δὲ "ὅλως ἢ πως ἀφορισθέν" ἐπανάληψίς ἐστιν· καὶ ἔστι τὸ 1055b 5.
μὲν ὅλως ἴσον τῷ μηδαμῶς ἔχον ἢ μὴ πεφυκὸς ἔχειν, λεγόμενον δὲ ἐστερῆσθαι· τὸ δὲ "ἢ πως" πρόσκειται, ὅτι ἐλέγετο ἐν τῷ Δ (c. 22) τῆσδε τῆς πραγματείας ὅτι καὶ τὸ ἔχον φαύλους πόδας ἐστερῆσθαι ποδῶν λέγεται, καὶ ἀπύρηνα ὁμοίως τὰ πυρῆνας ἔχοντα βραχυτάτους. ὅτι δὲ τὸ ἐστερῆσθαι πολλαχῶς λέγεται, ὑπομιμνήσκει ἡμᾶς διὰ τῶν ἐν τῷ Δ ῥηθέντων.

"ἢ συνειλ. τῷ δεκτικῷ," τουτέστι μετὰ τοῦ ὑποκειμένου. 1055b 8.

ὅτι δὲ πᾶσα γένεσις ἢ ἐκ τοῦ εἴδους καὶ τῆς ἕξεως ἢ ἐκ τῆς 1055b 12.
στερήσεώς ἐστι, δέδεικται ἐν τῇ περὶ Γενέσεως (1 3).

πᾶσα γὰρ ἐναντιότης ἔχει στέρησιν· εὐθὺς γὰρ ἡ ψυχρότης στέ- 1055b 18.
ρησιν ἔχει θερμοῦ, καὶ ἡ μελανία λευκοῦ, καὶ ἡ ἀνισότης ἰσότητος, καὶ ἡ ἀνομοιότης ὁμοιότητος, καὶ ἡ κακία ἀρετῆς. ἐκ τούτων δὲ πορίζόμεθα ὡς ἡ στέρησις οὐχ ἕτερόν τί ἐστιν ἢ θάτερον τῶν ἐναντίων, ἤτοι τὸ ἓν μόριον τῆς ἐναντιότητος.

διὸ ὅσων μὲν ἐναντίων ἐστὶ τὸ ὑποκείμενον ὡρισμένον, οἷον πε- 1055b 23.
ριττοῦ καὶ ἀρτίου ὁ ἀριθμός, τούτων οὐδέν ἐστι μεταξύ· ὅσων δὲ οὐχ ὡρισμένον, τούτων ἐστίν. οὐχ ὡρισμένον δὲ τὸ ὑποκείμενόν ἐστιν

1053b 17. ἐν τῷ Z τῆσδε τῆς πραγματείας.

1053b 20. λέγει γένη ἢ τὰ δέκα γενικώτατα, ἢ ἁπλῶς πᾶν ὃ ἂν εἴη καθόλου.

1053b 30. στέρησις γὰρ φωτὸς τὸ σκότος ἐστίν. ταῦτα δὲ παρέλκοντά ἐστι, τό τε ὅτι ἐκ τοῦ λευκοῦ καὶ τοῦ μέλανός ἐστι τὰ ἄλλα, καὶ τὸ ὅτι τὸ μέλαν στέρησίς ἐστι τοῦ λευκοῦ ὥσπερ καὶ τὸ σκότος φωτός· οὐδεμίαν γὰρ κατ' ἐμὲ ἀκολουθίαν ἔχει πρὸς τὰ λεγόμενα. ἔστι μὲν οὖν, ὡς εἴρηται, ἐν χρώμασίν τι τὸ ἕν, οἷον λευκόν, ὥστε εἰ πάντα τὰ ὄντα χρώματα ἦν καὶ μηδὲν ἦν τῶν ἄλλων, ἦν ἂν ἀριθμός τις τὰ ὄντα, τουτέστιν ἦν ἂν ἀριθμός τις τῶν χρωμάτων. αὐτὸς δὲ εἶπεν "ἦν ἂν ἀριθμός," εἶτα ἐπήγαγεν "ἀλλὰ τίνων;" καὶ ἐρωτήσας διὰ τοῦ "ἀλλὰ τίνων;" ἀποκρίνεται λέγων δηλονότι χρωμάτων, ὡς εἰ ἔλεγεν ὅτι οὐκ αὐτὸ τοῦτο ἀριθμὸς ἦν ἄν, ἀλλ' ἀριθμὸς χρωμάτων. ὅτι δὲ ἀριθμὸς ἂν ἦν τῶν χρωμάτων, δῆλον.

1054a 1. ἀλλὰ καὶ εἰ πάντα τὰ ὄντα φθόγγοι ἦσαν, ἦν ἂν ἀριθμὸς τῶν στοιχείων, ὧν εἰσὶν οἱ φθόγγοι, καὶ τὸ ἓν τὸ μέτρον τῶν στοιχείων, φωνῆεν δηλαδὴ ἢ σύμφωνον.

1054a 5. "ὥστ' εἴπερ — ἀριθμῶν ὄντων," καὶ ἐν ἅπασιν ἑνός τινος, καὶ ἔστιν ἐπὶ πάντων τῶν τοιούτων ἀριθμός, καὶ τὸ ἕν τινος ἀριθμὸς καὶ τινὸς ἕν, καὶ οὐκ ἐν τούτῳ αὐτῷ ἐν τῷ ἑνὶ εἶναι οὐσίωται· δεδειγμένον ἂν εἴη ἐκ τούτων ὅτι καὶ ἐπὶ τῶν οὐσιῶν οὕτως ἔχειν ἀνάγκη πᾶσα.

1054a 16. καὶ τῷ — τοῦ ἄνθρ. οἶμαι δ' ἔνστασίν τινα δυναμένην φέρεσθαι πρὸς τὸν δεικνύντα λόγον ὅτι τὸ ἓν οὐκ ἔστιν αὐτὸ καθ' αὑτὸ οὐδ' οὐσία τις, διὰ τούτου λύει. ἡ δὲ ἔνστασις τοιαύτη τις ἂν εἴη. εἰ μή ἐστι τὸ ἓν φύσις τις ἀλλ' ὄνομα μόνον, πῶς φαμὲν ὅτι τὸ ζῷον ἕν ἐστι καὶ κατηγορεῖται μὲν τὸ ἔστι κατὰ τοῦ ζῴου, προσκεκατηγόρηται δὲ τῷ ἔστι τὸ ἕν; ὁμοίως φαμὲν ὅτι ἔστιν ὁ ἄνθρωπος εἷς καὶ γέγονε· κἀνταῦθα τρίτον προσκατηγορούμενον τὸ εἷς· ὥστε ἔστι τὸ ἕν, ὃ κατὰ τοῦ ζῴου ἢ τοῦ ἀνθρώπου ἐκατηγορήθη, ἕτερον αὐτῶν ὂν καὶ φύσις τις καὶ οὐσία. λύει οὖν ταύτην τὴν ἔνστασιν, λέγων οὐ διὰ τὸ προσκατηγορεῖσθαι κτλ. ὥσπερ γὰρ οὐ τὸ ἔστι φύσις τίς ἐστιν αὐτὴ καθ' αὑτὴν καὶ οὕτω κατηγορεῖται τοῦ ἀνθρώπου, οὕτως οὐδὲ τὸ ἕν. καὶ διὰ τοῦτο τὸ ἄνθρωπος ταὐτόν ἐστι τῷ εἷς ἄνθρωπος, καὶ τὸ ἑνὶ εἶναι ταὐτόν ἐστι τῷ ἑκάστῳ εἶναι· τὸ γὰρ ἑνὶ εἶναι ταὐτόν ἐστι τῷ ἑνὶ ἵππῳ.

1054a 20. καὶ ταῦτα δείκνυσιν ὅτι οὐκ ἔστι τὸ ἓν οὐσία, εἴπερ τῇ οὐσίᾳ οὐδὲν ἀντίκειται.

1054a 23. ἐπεὶ δὲ αἱ ἀντιθέσεις τετραχῶς, τὸ ἓν καὶ τὰ πολλὰ ὡς τὰ ἐναντία ἀντίκειται, καὶ οὔτε ὡς τὰ πρός τι οὔτε ὡς ἕξις καὶ στέρησις οὔτε ὡς κατάφασις καὶ ἀπόφασις. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη τὸ ἓν οὐσία, εἴπερ μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον.

1054a 29. "ἔστι — διεγράψαμεν." πεποίηκε γὰρ διαίρεσιν ἐν τοῖς περὶ τἀγαθοῦ, ὡς καὶ ἐν ἄλλοις εἴπομεν, δι' ἧς ἅπαντα τὰ ἐναντία εἴς τε τὸ πλῆθος καὶ τὸ ἓν ἀνήγαγεν. ἔστι δὴ τοῦ μὲν ἑνὸς τό τε ταὐτὸν καὶ ὅμοιον καὶ ἴσον, τοῦ δὲ πλήθους τὸ ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον.

1054a 30. τῷ ἐπιγραφομένῳ περὶ τἀγαθοῦ βιβλίῳ, ὃ νῦν οὐκ ἔστιν εὑρισκόμενον. cod. Reg.

1054a 32. ὅτι δὲ τὸ ταὐτὸν πολλαχῶς λέγεται, λέγει ὅτι ἕνα μὲν τρόπον λέγεται τὸ κατ' ἀριθμόν, ὃ λέγομεν ἐνίοτε ταὐτὸ τοῦτο· λέγομεν γάρ ποτε ὅτι τὸ μουσικὸν ταὐτόν ἐστι τῷ λευκῷ διὰ τὸ τὸν Σωκράτην, ἐν ᾧ ἐστί, τὸν αὐτὸν εἶναι καὶ ἕνα τῷ ἀριθμῷ. ἄλλον δὲ τρόπον τὸ ταὐτὸν λέγεται, ἂν καὶ λόγῳ καὶ ἀριθμῷ ᾖ· σὺ γὰρ σαυτῷ καὶ τῷ εἴδει καὶ τῷ ἀριθμῷ (τούτου γὰρ δηλωτικόν ἐστι τὸ καὶ τῇ ὕλῃ ταὐτόν) ὁ αὐτὸς καὶ εἷς. ἔτι ταὐτὰ λέγεται ὧν ὁ λόγος τῆς πρώτης οὐσίας (λέγων πρώτην οὐσίαν τὴν προσεχῆ οὐσίαν) εἷς ἐστίν, οἷον αἱ ἴσαι γραμμαὶ εὐθεῖαι αἱ αὐταὶ λέγονται διὰ τὸ ἴσον. ὁμοίως ταὐτὰ λέγονται τὰ ἴσα καὶ ἰσογώνια τετράγωνα, καίτοι πλείω· ἀλλ' ἡ ἰσότης ἑνότης τις ἐν τούτοις ἐστὶ καὶ ἓν ποιεῖ αὐτὰ καὶ ταὐτὰ ἀπεργάζεταί τε καὶ ποιεῖ... ὅμοια οὖν, φησί, λέγονται ἂν μὴ ταὐτὰ ἁπλῶς ὄντα ἀλλὰ κατά τι διαφέροντα, τυγχάνοντα δὲ μὴ διάφορα κατὰ τὴν οὐσίαν καὶ τὸ εἶδος, ἀλλὰ τὸ αὐτὸ μὲν ἔχοντα εἶδος, κατὰ δὲ τὰ σύνθετα διαφέροντα· καὶ γὰρ Σωκράτης καὶ Πλάτων ὡς ἄνθρωποι ἀδιάφοροι, ὡς δὲ ἄτομοι διάφοροι. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "μηδὲ κατὰ τὴν οὐσίαν ἀδιάφορα τὴν συγκειμένην."

τὰ δ' ὅμοια λέγεται ἢ ἂν τὰ πλείω ἔχῃ τὰ αὐτά, ἢ ἂν τὰ πρόχειρα, λέγων "πρόχειρα" τὰ μᾶλλον τῇ αἰσθήσει ὑποπίπτοντα. 1054b 11.

διὰ τούτων πρόκειται δεῖξαι ὅπως τὸ ἄλλο καὶ τὸ ἕτερον ἔχει πρὸς τὸ ταὐτόν. 1054b 13. καὶ ἐρεῖ ὅτι τὸ μὲν ἄλλο ἀντίκειται τῷ ταὐτῷ, καὶ διὰ τοῦτο ἐπὶ πάντων καὶ ὄντων καὶ μὴ ὄντων λέγονται, καὶ διαιροῦσι τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν. τοῦτο δέ, λέγω δὴ τὸ ἐπὶ πάντων διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἴδιόν ἐστι τῶν ἀντιφατικῶς ἀντικειμένων. τὸ δὲ ἕτερον καὶ ταὐτὸν οὐ διαιροῦσιν ἐπὶ πάντων τῶν ὄντων καὶ μὴ ὄντων τὸ ἀληθὲς καὶ ψεῦδος, ἀλλ' ἐπὶ μόνων τῶν ὄντων. εἰ δὲ τοῦτο, οὐκ ἀντιφατικῶς ἀντίκεινται. τὸ μὲν οὖν ἄλλο, φησί, καὶ τὸ αὐτὸ ἀντίκειται, καὶ ἐπὶ τούτῳ ἅπαν πρὸς ἅπαν ἢ ταὐτὸν ἢ ἄλλο· πᾶν γὰρ καὶ ὂν καὶ μὴ ὂν πρὸς ἅπαν ἢ ταὐτόν ἐστιν ἢ ἄλλο· εὐθὺς τὸ μὴ ὂν πρὸς τὸ ὂν ἄλλο ἐστίν. εἰπὼν δὲ ὅτι τὸ ἄλλο καὶ τὸ ταὐτὸν ἀντίκειται, πρὸ τοῦ εἰπεῖν πῶς τὸ ἕτερον ἔχει πρὸς τὸ ταὐτό, μεταξὺ πάλιν περὶ τοῦ ὁμοίου λέγει, λέγων "τὸ δὲ ἂν μὴ καὶ ἡ ὕλη καὶ ὁ λόγος ἴδιος," λέγων "ἴδιον" τὸ ἕτερον. καὶ εἴη ἂν λέγων ὅτι εἰ μὴ καὶ ἡ ὕλη καὶ ὁ λόγος, τουτέστιν εἰ μὴ διάφορός ἐστιν ἢ ὁ λόγος ἢ ἡ ὕλη, οὐ λέγεται ὅμοιον. ἂν γὰρ καὶ ὁ λόγος καὶ ἡ ὕλη εἰσὶ τὰ αὐτά, οὐ λέγονται ὅμοια ἀλλὰ ταὐτά. ταὐτοὶ γὰρ λέγονται οἱ χαλκοῖ ἀνδριάντες, ἀλλ' οὐχ ὅμοιοι, ἐπεὶ καὶ τὸ εἶδος καὶ τὴν ὕλην τὰ αὐτὰ ἔχουσιν. ἂν δὲ ὁ μὲν ᾖ χαλκοῦς ὁ δὲ χρυσοῦς, λέγονται ὅμοιοι· διαφέρουσι γὰρ κατὰ τὴν ὕλην. πάλιν εἰ εἴη τρίπους καὶ λέβης ἀμφότεροι ἐκ χαλκοῦ, λέγονται καὶ οὗτοι ὅμοιοι, ὅτι τῷ εἴδει διαφέροντες τῇ ὕλῃ ἀδιάφοροί εἰσιν. λέγεται δὲ ὅμοιον καὶ τὸ πλησιαίτερον· λέγουσι γὰρ ὅμοιον τὸ πράσινον χρῶμα τῷ φοινικῷ· πλησιαίτερον γάρ ἐστιν ἤπερ τὸ ἀλουργόν. πάλιν ἡ ῥητὴ εὐθεῖα πρὸς ῥητὴν ὁμοία λέγεται, ὡς ἐν τοῖς μαθηματικοῖς. ταῦτα μεταξὺ περὶ τοῦ ὁμοίου παρεμβαλών, λέγει περὶ τοῦ ἑτέρου καὶ τοῦ ταὐτοῦ. "τὸ μὲν οὖν ἕτ. ἢ τ. πρὸς ἅπαν λέγεται, ὅσα καὶ ἓν καὶ ὄν," τουτέστιν ὅσα εἰσὶ καὶ ἓν καὶ ὄν, ἢ ταὐτὰ λέγεται ἢ ἕτερα.

τουτέστιν ὅσα εἰσὶ καὶ ἓν καὶ ὄν, ἢ ταὐτὰ λέγεται ἢ ἕτερα. ἐπὶ 1054b 19. δὲ τῶν μὴ ὄντων οὐ λέγεται. καὶ τὴν αἰτίαν συντόμως ἐπήγαγεν εἰπὼν

ριώτατα ἓν καὶ μέτρον τοῦ ποσοῦ ἐστί, καὶ τοῦτό ἐστι τὸ ἕν, ὅπερ πρὸ ὀλίγου ἔλεγεν ὅτι μάλιστα ἐγγίζει τῷ ὀνόματι τῷ πρῶτον μέτρον τοῦ ποσοῦ· ἐντεῦθεν γὰρ καὶ ἐπὶ τὰ ἄλλα ἐλήλυθε, καὶ λέγεται ἕν.

1052b 22. ὥστε δῆλον ὅτι πᾶν ποσὸν ἢ ποσὸν τῷ ἑνὶ γινώσκεται, καὶ ᾧ πρώτῳ πόσα ἐστὶ τὰ ἀπηριθμημένα, εἴτε εἴκοσιν εἴτε ἑκατὸν εἴτε ἄλλος ὁστισοῦν ἀριθμὸς γιγνώσκεται, τοῦτο ἕν ἐστιν ἢ ἀνάλογόν γε ἑνί.

1052b 26. εἰπὼν δὲ ὅτι ἐν μήκει, ἐν πλάτει καὶ ἐν βάθει, καὶ προσθεὶς ἐν βάρει, ἐν τάχει, τὴν αἰτίαν τίθησιν ὅπως τὰς μὲν τρεῖς διαστάσεις εἴρηκεν, μῆκος πλάτος βάθος, ἐπὶ δὲ τοῦ βάρους εἰπὼν βάρος οὐκ εἶπε καὶ κοῦφον, ὁμοίως εἰπὼν τάχος οὐκ εἶπε καὶ βραδύτητα. φησὶ δὲ ὅτι βάρος εἰπὼν οὐκ εἶπον καὶ κουφότητα, καὶ τάχος εἰπὼν οὐκ εἶπον καὶ βραδύτητα, ὅτι τὸ βάρος δύναται δηλοῦν καὶ τὸ κοῦφον, καὶ ἔστι κοινὸν ἀμφοῖν τοῦ τε βάρους καὶ τοῦ κούφου· ὡσαύτως καὶ τὸ τάχος κτλ.

1053a 3. πρὸς γὰρ τὸν ἐν Ῥόδῳ κολοσσὸν ἢ τὸν Καύκασον τὸ ὄρος ἡ λίτρα οὐδενὸς βάρους αἴσθησιν ἐμποιεῖ.

1053a 8. ἔστι δὲ κίνησις ἁπλῆ καὶ ταχυτάτη καὶ διὰ τοῦτο βραχεῖα ἡ τῆς ἀπλανοῦς· αὕτη ἄρα μέτρον καὶ ἕν.

1053a 14. ἐπειδὴ τὸ μέτρον διττόν, ὅ τε λόγος αὐτοῦ καὶ αὐτό, οἷον ὅ τε λόγος τοῦ πήχεος καὶ τὸ εἶδος αὐτοῦ τὸ ἐν τῇ ψυχῇ ἡμῶν καὶ αὐτὸς ὁ ξύλινος πῆχυς, καὶ ἡ δίεσις ὁμοίως διττή, ὅ τε λόγος αὐτῆς καὶ τὸ εἶδος καὶ αὐτὸς ὁ αἰσθητὸς τοῖς ὠσὶ φθόγγος, καὶ ἡ διάμετρος, τό τε εἶδος αὐτῆς καὶ αὐτὴ ἡ γραμμὴ ἡ ἐν τῷδε τῷ τετραγώνῳ οὖσα, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, λέγει ὅτι τὸ μέτρον οὐκ ἀεὶ τῷ ἀριθμῷ ἕν ἐστιν, ἀλλ' ἐνίοτε πλείω. αἱ διέσεις γάρ, φησί, δύο, ἀλλ' οὐχὶ κατὰ τὴν ἀκοήν· αὕτη γὰρ μία τῷ ἀριθμῷ ἐστίν, ἀλλὰ μία μὲν αὐτή, ἑτέρα δὲ κατὰ τὸν λόγον καὶ τὸ εἶδος. καὶ αἱ φωναί (λέγων φωνὰς νῦν τὰ στοιχεῖα τῶν φωνῶν, τό τε ἄλφα καὶ τὸ βῆτα καὶ τὰ λοιπά) πλείονές εἰσιν, αὐτό τε τὸ ἄλφα καὶ τὸ ἐν τῷδε τῷ χάρτῃ γεγραμμένον... καὶ ἡ πλευρὰ δυσὶ μετρεῖται μέγεθος οὖσα, εἴτε δάκτυλος εἴη τὸ μετροῦν εἴτε ἄλλο τι· διττὸν γὰρ κἀκεῖνο ἔσται. δῆλον δὴ γέγονεν ἐκ πάντων ὅτι μέτρον πάντων τὸ ἕν ἐστιν· δέδεικται γὰρ ὅτι πᾶν ᾧπερ ἂν ὡς μέτρῳ τις χρῷτο ὡς ἑνὶ τούτῳ χρῆται, ὅτι τὸ μετρούμενον διαιροῦντες εἰς αὐτό, οἷον τὸ δεκάπηχυ μέγεθος διαιροῦντες εἰς δέκα πήχεις, γνωρίζομεν τοὺς ἐξ ὧν ἐστὶ πήχεις, ὁπόσοι εἰσίν. διαιρεῖται δὲ τὸ δεκάπηχυ ἢ κατὰ τὸ εἶδος ἢ κατὰ τὸ ποσόν, κατὰ μὲν τὸ εἶδος, ὅταν διέλωμεν αὐτὸ εἰς τὰ ἐξ ὧν συνίσταται, πυρὸς γῆς καὶ τοῖν μεταξύ, ἢ εἰς τὸ μέγεθος τὸ τοιονδί· κατὰ μέγεθος δέ, ὅταν διαιρεθῇ εἰς δέκα πήχεις. οὕτω μὲν οὖν ὁ ἡμέτερος καθηγεμὼν ἐξηγήσατο. μήποτε δὲ ἐπειδή, ὡς εἴρηται, ὁ πῆχυς διττὸς λέγεται, τό τε εἶδος αὐτοῦ καὶ ὁ λόγος καὶ οὑτοσὶ ὁ μερικὸς καὶ αἰσθητός, λέγει ὅτι τὸ δεκάπηχυ ἢ εἰς τοὺς λόγους τῶν ἐν αὐτῷ δέκα πηχῶν διαιρεῖται ἄτμητον ὂν κατὰ μέγεθος καὶ ἕν, ἢ οὐκ εἰς τοὺς λόγους, ἀλλὰ κατὰ μέγεθος διαιρεθὲν οὐκέτι ἕν ἐστι καὶ συνεχὲς ἀλλὰ πλείω, ὥσπερ ἂν εἰ τὸν Σωκράτην διέλοιμεν εἴς τε τὸ ζῷον καὶ τὸ πεζὸν δίπουν, ἕνα καὶ συνεχῆ αὐτὸν διατηροῦμεν, εἰ δὲ εἰς κεφαλὴν καὶ χεῖρας διέλομεν, οὐ τῇ ἐπινοίᾳ ἀλλὰ κατ' ἀλήθειαν οὐκέτι εἷς ἐστίν. οὕτως καὶ ἐπὶ τοῦ δεκαπήχεος ἔχει· δῆλον ἄρα ὅτι τὸ ἓν ἀδιαίρετον.

1053a 22. ἀλλὰ τὴν μὲν μονάδα πάντῃ πάντως ἀδιαίρετον (λαμβάνομεν), τὴν δὲ ποδιαίαν ὡς πρὸς ὃ μετρεῖται μέγεθος καὶ πρὸς τὴν αἴσθησιν· ἀναίσθητος γὰρ καὶ ἀμερὴς δοκεῖ πρὸς τὸ ὑπ' αὐτῆς μετρούμενον, καθάπερ εἴρηται καὶ πρότερον περὶ αὐτῶν. καθ' αὑτὴν δ' ἡ ποδιαία ὡς μέγεθος ἐπ' ἄπειρόν ἐστι διαιρετή. τὸ δὲ "ἴσως" πρόσκειται ἢ διὰ τοὺς λέγοντας ἐξ ἀτόμων συγκεῖσθαι τὰ μεγέθη, ἢ διὰ τὴν ἀσθένειαν τοῦ τε ὀργάνου, ᾧ χρῆται εἰς τὴν τμῆσιν, καὶ τοῦ τέμνοντος ζῴου, ἐπεὶ τῇ οἰκείᾳ φύσει πᾶν μέγεθος τμητόν ἐστιν.

1053a 27. ὁ δ' ἀξιῶν τοῦτο, λέγω δὴ τὸ λέγειν ὅτι ὥσπερ τὸ μέτρον τῶν φωνῶν φωνή ἐστιν, οὕτω καὶ τὸ μέτρον τῶν ἀριθμῶν ἀριθμός, οὐχ ὁμοίως ἀξιοῖ. ἀλλ' ὥσπερ ἄν, εἴπερ ἠξίου ὅτι τὸ τῶν μονάδων μέτρον ἔσω μονάδες ἀλλὰ μὴ μονάς, ψεῦδος ἂν ἠξίου, οὕτως καὶ ὁ τὸ τῶν ἀριθμῶν μέτρον ἀξιῶν ἀριθμὸν εἶναι ψεῦδος ἀξιοῖ· οἱ γὰρ ἀριθμοὶ μονάδες εἰσίν, τῶν δὲ μονάδων οὐκ ἂν εἴη μέτρον ὁ ἀριθμός.

1053a 32. ἐπεὶ κατὰ ἀλήθειαν ἥ τε ἐπιστήμη καὶ ἡ αἴσθησις μετροῦνται ὑπὸ τῶν πραγμάτων ἀλλ' οὐ μετροῦσιν αὐτά· ὅπου γὰρ ἂν ὁρίσῃ ἤτοι περιορίσῃ καὶ περικλείσῃ τὰ αἰσθητὰ καὶ ἐπιστητά, ἐκεῖσε ἵστανται καὶ περαιτέρω προβαίνειν οὐ δύνανται· δυσκόλων γάρ τινων ὄντων πραγμάτων ἄχρι τινὸς αὐτοῖς πρόσεισιν ἡ ἐπιστήμη, εἴκουσι καὶ δίοδον διδοῦσιν, εἶτα ὡσπερεὶ ἀποφράττουσιν αὐτὴν καὶ περαιτέρω προβαίνειν οὐκ ἐῶσιν· ὥστε ἐμέτρησαν τὴν δύναμιν αὐτῆς, καὶ ὅσον μὲν ἠδύναντο χωρῆσαι, συνεχώρησαν τούτου ἐφάψασθαι, ὅσον δὲ μή, ἐκώλυσαν. τοῦτο δὴ συμβαίνει καὶ ἐπὶ τῆς αἰσθήσεως· ὥστε μετροῦνται ἀλλ' οὐ μετροῦσιν, ἀλλὰ συμβαίνει ὥσπερ ἂν εἴ τις ἐμὲ μετρήσας ἔγνω τυχὸν ὅτι δίπηχύς εἰμι, διὰ τὸ δὶς τὸν πῆχυν ἐμοὶ ἐπιβαλεῖν, εἶτα ἔλεγον ὅτι ἐμαυτὸν ἐμέτρησα· καταχρηστικώτερον γὰρ ἂν εἶπον τοῦτο· διότι γὰρ ἔγνων ὁπόσος εἰμί, τοῦτο ἔμελλον λέγειν, ἐπεὶ τῇ ἀληθείᾳ ἄλλος ἐμέτρησεν. οὕτω καὶ τὴν ἐπιστήμην φαμὲν μετρεῖν, ὅτι ποιεῖ ἡμᾶς εἰδέναι, ἐπεὶ μετρεῖται ὑπὸ τῶν πραγμάτων.

1053a 35. ὥστε τὸν ἄνθρωπον μέτρον λέγων ὁ Πρωταγόρας, τὴν ἐπιστήμην φημὶ μέτρον καὶ τὴν αἴσθησιν, οὐδὲν λέγων περιττὸν καὶ σοφὸν δοκεῖ σοφόν τι λέγειν. τίς οὖν ἀνάγκη ἦν εἰπεῖν ὅτι ὁ ἄνθρωπος μέτρον, ἀλλὰ μὴ ὅτι ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις... ὅτι μὲν οὖν τὸ ἓν εἶναι μάλιστά ἐστι μέτρον καὶ κυριώτατα μέτρον τὸ ἐν τῷ ποσῷ ἕν, δῆλον· ὅπερ μέτρον ἀφορίζουσιν ἤτοι ὀνομάζουσιν. ἢ ἀφορίζουσιν ἀντὶ τοῦ γινώσκουσι κατὰ τὸ ὄνομα τοῦ ἑνός. ἢ τὸ ἀφορίζουσιν ἀντὶ τοῦ χωρίζουσιν ἀπὸ τῶν ὑπ' αὐτοῦ μετρουμένων κατὰ τὸ ὄνομα τοῦ ἑνός· τὰ γὰρ μεμετρημένα ἢ διπήχη κατὰ τὴν δυάδα λέγεται ἢ τριπήχη κατὰ τὴν τριάδα ἢ κατὰ ἄλλον ὁντιναοῦν ἀριθμόν, μόνον δὲ τὸ μετροῦν, αὐτὸ δὴ τὸ μέτρον, κατὰ τὴν μονάδα ὠνόμασται ἐν ἅπασι τοῖς μετρουμένοις.

1053b 14. καὶ πῶς δεῖ γνωριμώτερον λεχθῆναι; ἆρα ὥσπερ οἱ περὶ φύσεώς φασιν; ἐκείνων γὰρ ὁ μὲν Ἐμπεδοκλῆς ἓν τὴν φιλίαν εἴρηκεν, Ἀναξιμένης δὲ τὸν ἀέρα, ἄλλοι δὲ τὸ ἄπειρον.

1053b 16. κοινὸν γάρ ἐστι τὸ παρὰ τὰ πολλὰ καὶ κατὰ τῶν πολλῶν λεγόμενον, καὶ μόνον κατηγόρημα καὶ ὄνομα, ἀλλ' οὐ φύσις τις.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Ι.

1052a 15. Ἐπεὶ οἱ τὰς ἰδέας τιθέμενοι καὶ αὐτοὲν ἐδόξαζον, τοῦτο λέγοντες εἶναι τὴν φύσιν αὐτοῦ καὶ ἐν τούτῳ οὐσιοῦσθαι ἐν τῷ ἓν εἶναι (οὐδὲ γὰρ ὥσπερ ὁ Σωκράτης ἓν ὂν ὑπόκειται αὐτός, κατηγορεῖται δὲ αὐτοῦ τὸ ἕν, οὕτως ἔλεγον καὶ ὡς τῷ αὐτοενὶ ὑποκεῖσθαί τινα φύσιν, λέγεσθαι δὲ κατ' αὐτῆς τὸ αὐτοέν, οὔτε ὡς οἱ φυσικοὶ μίαν λέγοντες τὴν ἀρχὴν ὑπετίθουν αὐτῇ πῦρ ἢ ὕδωρ ἢ ἀέρα, ἀλλ' οὐσιοῦσθαι αὐτὸ ἐν τῷ ἑνὶ καὶ εἶναι αὐτοῦ φύσιν τὸ ἕν, μηδὲ ὂν αὐτὸ λέγοντες ἀλλὰ μόνον ἕν. καὶ ὅτῳ φίλον πῶς ταῦτα λέγουσι μαθεῖν, ἐντυγχανέτω τὸν ἐπιγραφόμενον Παρμενίδην ἢ περὶ ἰδεῶν τοῦ Πλάτωνος διάλογον) — ἐπειδὴ οὖν ταύτην εἶχον περὶ τοῦ ἑνὸς τὴν ἔννοιαν, ζητῆσαι ἐν τῷ παρόντι βιβλίῳ προτίθεται εἰ ἔστι τι τοιοῦτον ἓν ἢ μή.

ἐν τῷ Δ τῆσδε τῆς πραγματείας (c. 6) εἴρηκε περὶ τῶν τοῦ ἑνὸς σημαινομένων... οἱ συγκεφαλαιούμενοι τρόποι τῶν πρώτων καὶ καθ' αὑτὰ λεγομένων ἕν, τουτέστιν οἱ πρῶτοι τῶν τοῦ ἑνὸς σημαινομένων τρόποι κτλ.

1052a 19. τὸ οὖν κυρίως συνεχὲς ἓν λέγεται ἢ τὸ ἁπλῶς ὂν συνεχές, ἢ τὸ μάλιστά γε τῇ φύσει συνεχὲς ὂν κτλ.

1052a 21. τοιοῦτον δ' ἂν εἴη τὸ κυκλοφορητικὸν σῶμα.

1052a 23. γόμφῳ μέν ἐστιν ἓν ναῦς, κιβώτιον, συνδέσμῳ ὁ φάκελλος, κόλλῃ δὲ βιβλίον.

1052a 27. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. δέδεικται ἐν τῷ Θ τῆς Φυσικῆς Ἀκροάσεως ὡς ἡ κατὰ τόπον κίνησις προτέρα ἐστὶ τῶν ἄλλων κινήσεων, αὐξήσεως φθίσεως καὶ τῶν ἄλλων, τῆς δὲ κατὰ τόπον πάλιν δέδεικται ἐκεῖσε προτέρα ἡ κύκλῳ. τούτων ἐκεῖσε δειχθέντων λέγει, ἐπειδὴ τὸ κυκλοφορικὸν σῶμα ἀρχὴν ἔχει ἐν ἑαυτῷ κινήσεως, ἡ δὲ κύκλῳ κίνησις πρώτη ἐστὶ τῆς κατὰ τόπον, ἥτις πάλιν ἡ κατὰ τόπον πρώτη τῶν ἄλλων, τὸ κυκλοφορικὸν σῶμα δῆλον ὅτι πρῶτόν ἐστι μέγεθος.

1052a 31. ἡ δὲ τοῦ ἀδιαιρέτου καὶ κυρίως ἑνὸς ἀδιαίρετός ἐστιν ἡ νόησις ἢ εἴδει ἢ ἀριθμῷ, ὥστε ἐξ ὧν λέγει, ὁ μὲν καθόλου ἄνθρωπος καὶ ἵππος καὶ ὅλως τὰ εἰδικώτατα εἴδη καὶ ὁ Σωκράτης καὶ ὁ Πλάτων καὶ ἁπλῶς τὰ ἄτομά εἰσιν ἕν, τὸ δὲ ζῷον τὸ καθόλου ἓν οὐκ ἔστιν, ὅτι διαιρεῖται εἴς τε τὸ ζῷον πτηνὸν καὶ εἰς τὸ ζῷον πεζὸν καὶ εἰς τὸ ζῷον ἔνυδρον, ὧν αἱ νοήσεις καὶ ἐπιστῆμαι διάφοροι· ἄλλο γὰρ νόησις καὶ ἐπιστήμη ζῴου πτηνοῦ καὶ ἄλλο ζῴου πεζοῦ. ὁ δὲ ἄνθρωπος οὐ διαιρεῖται εἰς ἕτερα εἴδη εἰδικώτατον ὂν εἶδος, οὐδὲ ὁ κατὰ μέρος διαιρεῖται· εἰ γὰρ ὁ εἰδικὸς οὐ διαιρεῖται, πολλῷ μᾶλλον οἱ κατὰ μέρος ἄνθρωποι οὐ διαιροῦνται εἰς ἀνθρώπους. εἰ δὴ ἓν λέγομεν ὧν ἡ κίνησις μία καὶ ὧν ἡ νόησις καὶ ἡ ἐπιστήμη ἡ αὐτή, ταῦτα δὲ διὰ τὸ εἶδος συμβαίνει, ἓν ἂν εἴη πρῶτον τὸ ταῖς οὐσίαις αἴτιον τοῦ ἑνός· τοῦτο δ' ἐστὶ τὸ εἶδος.

1052b 2. δεῖ κατανοεῖν ὡς ἑτέρα ἐστὶν ἡ φύσις τοῦ ἑνὸς καὶ ἑτέρα τοῦ καθ' ὧν κατηγορεῖται.

1052b 3. ζητεῖ οὖν ποιόν τε τῶν φυσικῶν πραγμάτων ἓν λέγεται, καὶ τί ἐστι τὸ ἑνὶ εἶναι, καὶ τίς ἐστιν ὁ λόγος καὶ ἡ φύσις τοῦ ἑνός. τοῦτο δὴ θεὶς ἐπάγει ὅτι τὸ μὲν ἓν λέγεται τοσαυταχῶς ὁσαχῶς διωρίσθη (διωρίσθη δὲ τετραχῶς), καὶ ἕκαστον τῶν ὄντων λέγεται ἓν ᾧ ἄν τις τῶν τοῦ ἑνὸς διορισθέντων τρόπων ὑπάρξει. τὸ δὲ ἑνὶ εἶναι καὶ ἡ φύσις τοῦ ἑνὸς ὁτὲ μὲν τούτων ἑνὶ ὑπάρξει, λέγων "τούτων," συνεχὲς φύσει, τὸ ὅλον, τὸ ἔχον μορφὴν καὶ εἶδος καὶ ὅσα ἄλλα εἴρηται, ὁτὲ δὲ ἡ φύσις τοῦ ἑνὸς ὑπάρξει ἄλλῳ τινὶ ἑτέρῳ ὄντι τῶν ἀπηριθμημένων, ὅπερ ἕτερον ὂν ἐγγὺς τῷ ὀνόματί ἐστι, τουτέστι μᾶλλον τῶν ἄλλων τῷ ἑνὶ ἐγγίζει καὶ πλησιέστερον ἐκείνων τῇ τοῦ ἑνός ἐστι φύσει καὶ κυριωτέρως τὸ ἓν κατὰ τούτου λέγεται, καὶ ἔστι μεταξὺ τῆς τοῦ ἑνὸς φύσεως καὶ τοῦ συνεχοῦς καὶ τοῦ ὅλου καὶ τῶν τοιούτων.

1052b 7. καὶ οἶμαι τὸ "δυνάμει ἐκεῖνα" ἴσον ἐστὶ τῷ ἐκεῖνα, τό τε συνεχὲς καὶ τὰ λοιπά, ὡς πρὸς τὸ ἄλλο, ὃ καὶ μᾶλλον ἐγγύς ἐστι τῷ ὀνόματι, ἐξεταζόμενα δυνάμει εἰσὶν ἓν καὶ οὐ καθ' αὑτὰ οὐδὲν τούτων. μή ποτε δὲ ἐπειδή, ὡς ἐρεῖ, τὸ ἕν, ὅπερ ἐγγὺς τῷ ὀνόματί ἐστιν, οὐδὲν ἄλλο τυγχάνει ὂν ἢ τὸ μέτρον καὶ ἀρχὴ τοῦ ποσοῦ ἢ ποσόν, καὶ τούτου μάλιστα τὸ μέτρον τοῦ διωρισμένου ποσοῦ, ὅπερ ἐστὶν ἡ μονάς, δι' ἣν λέγεται καὶ ἡ δίεσις ἓν καὶ μέτρον καὶ ἀρχὴ τῶν φθόγγων... μήποτε οὖν διὰ ταῦτα πόρρωθεν ἠνίξατο τοῦτο, λέγων ὅτι τῇ μονάδι ἐγγύς ἐστι τῷ ὀνόματι τὰ ἄλλα τὰ ἀπηριθμημένα, λίτρα καὶ δίεσις καὶ τὰ λοιπά, καὶ δυνάμει εἰσὶν ἓν καὶ οὐ καθ' αὑτό. τὸ δὲ "ὥσπερ περὶ στοιχείου καὶ αἰτίου εἰ δέοι λέγειν ἐπὶ τοῖς πράγμασι διορίζοντα" καὶ τὰ ἑξῆς συνεχές ἐστι τοῖς ἄνω τοῖς "δεῖ δὲ κατανοεῖν ὅτι οὐχ ὡσαύτως (ληπτέον) λέγεσθαι ποῖά τε ἓν λέγεται." καὶ ἔστιν ἡ πᾶσα τοῦ λόγου συνέχεια τοιαύτη· δεῖ κατανοεῖν ὅτι ἑτέρα ἐστὶν ἡ ζητοῦσα ζήτησις τὰ ὑποκείμενα, καθ' ὧν τὸ ἓν λέγεται, καὶ ἑτέρα ἡ τὸ ἑνὶ εἶναι καὶ τὴν φύσιν καὶ τὴν οὐσίαν τοῦ ἑνὸς ζητοῦσα, ὥσπερ καὶ περὶ στοιχείου καὶ αἰτίου· διαφέρει γὰρ τὸ ζητεῖν τίς φύσις καὶ λόγος τοῦ στοιχείου, ὅτι ἐξ οὗ πρώτου φέρε εἰπεῖν ἐλαχίστου καὶ εἰς ὃ ἔσχατον ἐλάχιστον τὰ ἐκ τούτου ἀναλύεται, τῆς ζητήσεως, εἴπερ ζητεῖ τίνων τὸ στοιχεῖον καὶ ἡ τοιαύτη φύσις κατηγορεῖται, καὶ τίνι συνέβη στοιχείῳ εἶναι, πότερον τῷ πυρὶ ἢ ἄλλῳ τινί. ὅτι δὲ διάφοροι αἱ τοιαῦται ζητήσεις δῆλον· ἄλλον γὰρ ἀποδίδομεν τοῦ πράγματος, λέγω δὴ τοῦ πυρός, ὅρον καὶ ἄλλον τοῦ ὀνόματος, λέγω αὐτὸ τὸ κατηγόρημα ἤτοι τὸ στοιχεῖον.

1052b 10. τὸ δὲ "ἔστι δ' ἴσως καθ' αὑτὸ καὶ τὸ ἄπειρον" πρόσκειται, ἐπειδὴ οἱ ἓν τὸ στοιχεῖον λέγοντες καὶ ἄπειρον αὐτὸ ὑπετίθεντο.

1052b 15. τὸ δὲ "διὸ καὶ τὸ ἑνὶ εἶναι τὸ ἀδιαιρέτῳ ἐστὶν εἶναι," εἴ τι συνίημι, οὐδεμίαν πρὸς τὰ προσεχῶς λεχθέντα ἀκολουθίαν ἔχει, ἀλλ' οἶμαι ἐπανάληψίς ἐστι τῶν περὶ τοῦ ἑνός, ἵνα ἀκολούθως εἴποι καὶ ποῖόν ἐστιν ἐκεῖνο τὸ ἕν, ὅπερ μάλιστα ἐγγὺς τῷ ὀνόματί ἐστιν. καὶ εἴη ἂν λέγων διὰ τούτου, τὸ ἑνὶ εἶναι ἤτοι ἡ φύσις τοῦ ἑνός, τουτέστι τὸ ἀδιαίρετον εἶναι, ὅπερ ἓν οὐ καθ' αὑτό ἐστιν ἀλλὰ τόδε τι, ἄνθρωπος, εἰ τύχοι, μονὰς ἢ λίθος ἤ τι ἄλλο ἀδιαχώριστον ἕν, ἤτοι ἀδιαίρετον ἢ τόπῳ ἢ εἴδει ἢ διανοίᾳ ἢ τῷ ὅλῳ καὶ ἀδιαιρέτῳ. τίνα δέ ἐστι ταῦτα, εἴρηται πολλάκις. "μάλ. δὲ τὸ μ. εἶναι ἑκάστου γένους καὶ κυριώτ. τ. π." μάλιστα δὲ τὸ ἑνὶ εἶναι καὶ ἡ φύσις τοῦ ἑνός ἐστι τὸ μέτρον τοῦ ποσοῦ· ἔστι γὰρ καὶ ψόφων καὶ μελῶν μέτρον, ἀλλὰ κυ-

παρυφίσταται τοῖς πράγμασι, καὶ ἔστιν ἁμαρτήματα τῆς δυνάμεως, ἐν δὲ τοῖς ἀϊδίοις δέδεικται ὅτι δύναμις οὐκ ἔστιν (ἐνέργειαι γάρ εἰσιν), οὐκ ἔστιν ἄρα ἐν ἐκείνοις οὔτε κακὸν οὔτε ἁμαρτήματα οὔτε διεφθαρμένον.

1051 a 21. ἀντιλέγει πρὸς τοὺς τὰ μαθήματα ἐνεργείας λέγοντας καὶ οὐσίας, λέγων μὴ εἶναι ἐνεργείας ἀλλὰ δυνάμεις· τὰ δὲ δυνάμει οὐκ οὐσίαι. καὶ λέγει ὅτι τὰ διαγράμματα ἐνεργείᾳ διαιροῦντες εὑρίσκονται, τουτέστιν ἐνεργήσας ὁ νοῦς καὶ διαίρεσιν ποιησάμενος εὑρίσκει αὐτὰ καὶ τὸ εἶναι αὐτοῖς δίδωσι. πρὸ δὲ τοῦ ἐνεργῆσαι δυνάμει εἰσίν· εἰ γὰρ ἦσαν ἐνεργείᾳ (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "διῃρημένα"), ἅμα τῷ θεάσασθαί τινα τὴν ἐν τῷ ἡμικυκλίῳ γωνίαν δήλη ἂν ἦν αὐτῷ ὅτι ὀρθή ἐστιν.

1051 a 24. διὰ τί, φησί, δύο ὀρθαὶ τρίγωνον; τουτέστι διὰ τί τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν;

1051 a 25. ἐπεὶ δὲ ἀσαφῶς καὶ αἰνιγματωδῶς τὸ παράδειγμα ἐπήνεκται διὰ τὴν συνήθη βραχυλογίαν αὐτοῦ, ῥητέον ὅπως δείκνυται ἐν τῷ τρίτῳ τῶν Εὐκλείδου Στοιχειώσεων βιβλίῳ ὅτι ἡ ἐν ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν κτλ.

1051 a 31. ἤτοι ἐκ τοῦ ἐνεργεῖν ἡ δύναμις τῶν μαθημάτων εἰς ἐνέργειαν ἄγεται, καὶ ἐπὶ τοῦτο ποιοῦντες γινώσκουσιν. δῆλον ἄρα καὶ ἐκ τούτων ὅτι ἡ ἐνέργεια τῶν τὰ αὐτὰ ποιουσῶν δυνάμεων προτέρα. ἡ δὲ κατ' ἀριθμὸν ἐνέργεια δυνάμεως ὑστέρα, ὡς ἐπὶ τοῦ Σωφρονίσκου καὶ τοῦ Σωκράτους ἐλέγομεν, τῷ δ' ἀριθμῷ ὑστέρα.

1051 a 34. τῶν πραγμάτων τῶν μὲν ὄντων τοιούτων ὥστε ἐνδέχεσθαι περὶ αὐτὰ καὶ ἀληθεύειν καὶ ψεύδεσθαι, τῶν δὲ ὡς ἀεὶ ἀληθεύειν, τῶν δὲ ὡς ἀεὶ ψεύδεσθαι, πρόκειται αὐτῷ περὶ τοιούτων διορίσαι, τίνα ἐστὶ τὰ ἐν οἷς ἀεὶ ἀληθεύομεν, καὶ τίνα τὰ ποτὲ μὲν ποτὲ δὲ μή, καὶ τίνα τὰ ἐν οἷς ἀεὶ ψευδόμεθα. πρῶτον δὲ διδάσκει ἁπλῶς καὶ καθόλου πότε γίνεται ἡ ἀλήθεια καὶ πότε τὸ ψεῦδος· καὶ οὕτω λέγει περὶ ὧν εἴπομεν προκεῖσθαι αὐτῷ εἰπεῖν.

1051 b 1. οὐ μόνον δὲ ὄντα λέγεται τὸ μὴ ὂν λευκὸν μηδ' ἀήρ, δυνάμενα δὲ γενέσθαι, ἀλλὰ καὶ τἀναντία, τουτέστιν ἀλλὰ λέγεται καὶ μὴ ὄντα· τὸ γὰρ μὴ ὂν λευκὸν δυνάμενον δὲ γενέσθαι λέγεται καὶ μὴ ὄν. κυριώτατα δὲ ὄν ἐστι τὸ ἀληθές, μὴ ὂν δὲ τὸ ψεῦδος.

1051 b 2. ἄλλως δὲ ἐπὶ τῶν πραγμάτων ἐστὶ τὸ ὡς ἀληθῶς ὂν καὶ ἄλλως ἐπὶ τοῦ λόγου. ὅταν γὰρ ὑπάρχῃ τὸ καθῆσθαι τῷ Σωκράτει, ἔστι τὸ τοιοῦτον ἀληθὲς καὶ ὂν ἐπὶ τοῦ πράγματος· ἐπὶ τοῦ λόγου δέ ἐστιν, ὅταν ἐγὼ τὸ ὑπάρχον περὶ αὐτὸν λέγω ὅτι ὑπάρχει αὐτῷ, οἷον ὅταν φῶ ὅτι Σωκράτης κάθηται, ὑπάρχοντος αὐτῷ τοῦ καθῆσθαι· ὥστε ἀληθεύομεν, ὅταν μὲν τὸ διῃρημένον καὶ μὴ ὑπάρχον τῷ Σωκράτει οἴωμαι μὴ ὑπάρχειν, ψεύδομαι δὲ οἰόμενος ὑπάρχειν. ἐπειδὴ οὖν ταῦθ' οὕτως ἔχει, πότε ἔστιν ἢ οὐκ ἔστι τὸ ἀληθὲς λεγόμενον ἢ ψεῦδος; τουτέστι πότε ἐστὶν ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθὴς καὶ πότε οὐκ ἔστιν; οὐ γὰρ διὰ τοὺς λόγους, ὡς ἐν τῷ δευτέρῳ τμήματι τοῦ περὶ Ἑρμηνείας δέδεικται (c. 9), τὰ πράγματά ἐστιν, ἀλλὰ διὰ τὰ πράγματα οἱ λόγοι ἀληθεύουσιν ἢ ψεύδονται.

1051 b 10. ἔστι δὲ τὸ μὲν εἶναι καὶ τὸ ἀληθές, ἵνα πάλιν τούτου ὑπομνησθῶμεν, τὸ συγκεῖσθαι τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ καὶ ἓν εἶναι, τὸ δὲ μὴ εἶναι καὶ τὸ ψεῦδός ἐστι τὸ μὴ συγκεῖσθαι ἀλλὰ πλείω εἶναι καὶ κεχωρισμένα ἀπ' ἀλλήλων. εἰ δή, ὥσπερ εἴρηται, τὰ μὲν ἀεὶ σύγκειται τὰ δὲ ἀεὶ διῄρηται τὰ δ' ἐνδέχεται τἀναντία, περὶ μὲν τὰ ἐνδεχόμενα τἀναντία ἡ αὐτὴ γίνεται ψευδὴς καὶ ἀληθὴς δόξα.

1051 b 23. καὶ ἔσται τὸ μὲν ἀληθές, ὅταν αὐτοῦ θιγγάνῃ ὁ νοῦς, τὸ δὲ ψεῦδος, ὅταν μὴ θιγγάνῃ, τουτέστιν ἄγνοια· καταχρηστικώτερον γὰρ ἀντὶ τοῦ ἄγνοια εἶπε τὸ ψεῦδος. ὅτι δὲ ἐν τῇ λέξει τῇ "ἀλλ' ε. τ. μ. ἀλ. τὸ δὲ ψεῦδος" τὸ ψεῦδος καταχρηστικώτερον καὶ κοινότερον ἀπὸ τῆς ἀγνοίας ἔλαβε, δῆλον πεποίηκεν εἰπών, τὸ μὲν θιγγάνειν καὶ ζητῆσαι ἀληθές, ἤτοι τὸ θιγεῖν καὶ φάσιν ἔχειν, ἀλλ' οὐ κατάφασιν ἢ ἀπόφασιν, ἀληθές, τὸ δ' ἀγνοεῖν ἐστὶ τὸ μὴ θιγγάνειν, ὥστε τὸ ψεῦδος ἀντὶ τοῦ ἀγνοεῖν εἴληπται.

1051 b 26. κατὰ συμβεβηκὸς δὲ ἔστιν ἀπατηθῆναι, εἴ τις τὸ μὴ θιγγάνειν ἀπάτην βούλεται λέγειν. εἰσὶ δὲ πᾶσαι αἱ ἁπλαῖ οὐσίαι ἐνέργειαι, ἀλλ' οὐ δυνάμεις.

1051 b 29. "νῦν δὲ τὸ ὂν αὐτὸ οὐ γίνεται." καὶ εἴη ἂν λέγων ὅτι τὸ κυρίως ὂν καὶ ἡ ἁπλῆ ὑπερούσιος οὐσία καὶ ἀκινήτως κινοῦσα, ὁ πολυτίμητος θεός, οὐ γίνεται οὐδὲ φθείρεται. ἢ τὸ "νῦν δὲ τὸ ὂν αὐτὸ οὐ γίνεται οὐδὲ φθείρεται" ἴσον ἂν εἴη τῷ νῦν δὲ τὸ ὂν καὶ ἡ οὐσία τῶν ἁπλῶν, ὁποῖον ἄν ποτε εἴη, οὐ γίνεται οὐδὲ φθείρεται· πᾶν γὰρ τὸ γινόμενον συνθετόν ἐστιν κτλ.

1051 b 31. περὶ ταῦτα οὐκ ἔστιν ἀπατηθῆναι, ἀλλ' ἢ μὴ ἅπτεσθαι, καὶ οὐκ ἔστι τοῦτο ἀπάτη. καὶ ζητοῦμεν τὸ τί ἐστι περὶ αὐτῶν οὐχ ὡς κατηγοροῦντες αὐτῶν τι, ἀλλὰ μόνον νοοῦντες καὶ οἱονεὶ ὁρῶντες. τὸ δὲ ταῦτα οἷον ὁρᾶν ἐγγίνεται τοῖς εἰς ἄκρον ἐπιστήμης ἐλθοῦσι καὶ εὖ ζητήσασιν. "τὸ δὲ εἶναι ὡς τὸ ἀληθὲς καὶ τὸ μὴ εἶναι ὡς τὸ ψεῦδος, ἓν μέν ἐστιν, εἰ σύγκειται, ἀληθές." τὸ ὂν τὸ ὡς ἀληθές, φησί, καὶ τὸ μὴ ὂν τὸ ὡς τὸ ψεῦδος, ἕνα μέν ἐστι τρόπον, εἰ σύγκειται ὁ κατηγορούμενος τῷ ὑποκειμένῳ, καὶ φαμὲν αὐτὸν συγκεῖσθαι, τοῦτο ἔστιν ὂν τὸ ὡς ἀληθές· εἰ δὲ μὴ σύγκειται, λέγεται δὲ συγκεῖσθαι, μὴ ὂν τὸ ὡς ψεῦδος. "τὸ δὲ ἕν," τουτέστιν ἄλλον δὲ τρόπον, "εἴπερ ὄν, οὕτως ἐστί," τουτέστιν εἴπερ ἐστὶν ἁπλοῦν, οὕτως ἐστὶν ἡ περὶ αὐτὸ ἀλήθεια, οὐχ ὥστε καταφάσκειν τι αὐτοῦ ἀλλὰ κατά τινα φάσιν αὐτὸ νοεῖν καὶ οἷον ὁρᾶν. "εἰ δὲ μὴ οὕτως," δηλονότι εἰ δὲ μή ἐστιν ἁπλοῦν, οὐκ ἔστι περὶ αὐτὸ τὸ ἀληθεύειν μόνον θιγγάνοντα.

1052 a 2. ἄγνοια δὲ οὐχ οἵα ἡ τυφλότης, ὡς μὴ δυνηθῆναί ποτε νοῆσαι, ἀλλὰ τοιαύτη οἵα ὑπάρχει ὅταν τις μὴ περί τινος λογίζηται.

1052 a 3. ἀλλὰ τὶ μὲν τὶ δ' οὔ, τουτέστιν ἄρτιον μὲν ἀριθμὸν ὑπολαμβάνειν πρῶτον μηδὲν εἶναι ἐνδέχεται, ἢ τινὰς μὲν εἶναι ἀρτίους πρώτους τινὰς δὲ οὔ, καὶ τοῦτο ἐνδέχεται· τὸ δὲ τὸν δύο λαβεῖν αὐτὸν καθ' αὑτὸν καὶ ὑπολαμβάνειν αὐτὸν ποτὲ μὲν ἄρτιον πρῶτον ποτὲ δὲ οὐ πρῶτον, οὐκ ἐνδέχεται. τὸ δὲ "οὐ γὰρ ἔτι τινὰ μὲν τινὰ δὲ οὐ οἰήσεται" τοιοῦτον ἂν εἴη· οὐ γὰρ οἰήσεται ὁ τοὺς ἀριθμούς, ὥσπερ τὸ τρίγωνον, ἀκινήτους οἰόμενος ὅτι τὶς μὲν ἀριθμὸς πρῶτος ὢν ποτὲ ἔσται καὶ μὴ πρῶτος, ὁ δὲ κινουμένους αὐτοὺς οἰόμενος οὗτος τοῦτο πείσεται· ὥστε ἢ ἀληθεύσει, εἰ τὸν δύο ἄρτιον ὑπολαμβάνει, ἢ ἀεὶ ψεύσεται, εἰ μὴ οὕτως αὐτὸν ἔχειν ὑπολήψεται.

μέχρι τῶν ὧδε πεπλήρωνται αἱ εἰς τὸ Θ τῶν μετὰ τὰ φυσικὰ σχολαί.

χοντα κυριώτερά ἐστι καὶ κρείττονα. εἰ δὲ τοῦτο, εἴπερ ἐστὶν ἡ ἐνέργεια ἐν τοῖς ἀϊδίοις, ἡ δὲ δύναμις ἐν τοῖς μὴ ἀϊδίοις, κρείττω δὲ τὰ ἀΐδια καὶ κυριώτερα, κρείττων ἄρα καὶ ἡ ἐνέργεια ἐν τοῖς ἀϊδίοις οὖσα δυνάμεως οὔσης ἐν τοῖς μὴ ἀϊδίοις.

1050 b 7. "ἔστι δ' οὐδ. δ. ἀΐδ.," ἀλλ' ἐνεργείᾳ, ὡς ἐν τῷ περὶ Ἑρμηνείας (c. 13) εἴρηται.

1050 b 16. ὥστε εἴπερ δυνατὰ ἢ τὰ ἁπλῶς δυνάμενα φθαρῆναι ἢ τὰ πῇ, οὐδὲν τῶν ἀϊδίων καὶ ἁπλῶς ἀφθάρτων δυνάμει ἐστὶν ἁπλῶς, ὡς δύνασθαι τὴν φύσιν αὐτοῦ καὶ τὴν οὐσίαν φθαρῆναι. καὶ τὰ μὲν ὑπερκόσμια πάντα οὔτε ἁπλῶς εἰσὶ δυνάμει οὔτε κατά τι, τὰ δὲ κυκλοφορητικὰ καὶ θεῖα σώματα κατά τι εἶναι δυνατὰ οὐδὲν κωλύει, οἷον ποιὸν ἢ ποῦ κτλ.

1050 b 18. δῆλον ἄρα ὅτι ἐνεργείᾳ εἰσὶ τὰ ἁπλῶς ἄφθαρτα καὶ οὐ δυνάμει. οὔτε δὴ οὐδὲν τῶν ἁπλῶς ἀϊδίων ἐστὶ δυνάμει οὔτε τῶν ἐξ ἀνάγκης ὄντων. εἰ γὰρ δυνατὰ καὶ εἶναι καὶ μὴ εἶναι ἐνδέχεται, τὰ δ' ἀναγκαῖα ἀεὶ ὡσαύτως ἔχει, οὐδὲν τῶν ἀναγκαίων ἂν εἴη δυνάμει. τὸ δὲ "καὶ τοιαῦτα πρῶτα," λέγων ταῦτα τὰ ἀΐδια, ἴσον τῷ ἀλλὰ μὴν ταῦτα πρῶτα εἴρηται καὶ εἴρηται τοῖς ἄνω· εἰπὼν γὰρ ὅτι ἐν τοῖς πρώτοις καὶ ἀφθάρτοις τὸ δυνάμει οὐκ ἔστι καὶ δείξας αὐτὸ ἐπήγαγε "καίτοι ταῦτα πρ.," ὡς εἰ ἔλεγεν, ὅσα μὲν οὖν εἰσὶ πρῶτα, ἐν τούτοις τὸ δυνάμει οὐκ ἔστιν. ἀλλὰ μὴν τὰ ἀΐδια πρῶτα· ἐν αὐτοῖς ἄρα τὸ δυνάμει οὐκ ἔστιν.

1050 b 20. οὐδ' εἴ τι κινούμενον ἀΐδιον, δύναμιν ἔχει τοῦ μὴ εἶναι, ἀλλὰ μόνην πόθεν ποῖ.

1050 b 22. καὶ οὐδὲν κωλύει ἀΐδιον αὐτὸν ὄντα (τὸν ἥλιον) ἔχειν δύναμιν τούτου, λέγω δὴ τοῦ κινεῖσθαι πόθεν ποῖ. καὶ διὰ τὸ μὴ ἔχειν δύναμιν τὴν ἁπλῶς, ἀλλὰ μόνον τὴν πόθεν ποῖ, ἀεὶ ἐνεργεῖ ἥλιος καὶ ἡ σελήνη, καὶ οὐ φοβητέον, ὡς Ἐμπεδοκλῆς καὶ οἱ περὶ αὐτὸν οἴονται, μή ποτε στῇ.

1050 b 25. οὐ γάρ ἐστιν ἡ κίνησις αὐτοῖς περὶ δύναμιν τῆς ἀντιφάσεως· οὐ γὰρ δυνάμενοι κινεῖσθαι δύνανται καὶ μὴ κινεῖσθαι.

1050 b 27. ἡ γὰρ οὐσία ὕλη καὶ δύναμις οὖσα οὐδ' ἐνέργεια αἰτία τούτων, τουτέστιν ἡ ὑλικὴ οὐσία ἤτοι ἡ ὕλη ἐστὶν αἰτία τούτου, λέγω δὴ τοῦ κάμνειν καὶ τοῦ δύναμιν ἔχειν τῆς ἀντιφάσεως.

1050 b 28. εἰπὼν ὅτι ἐν τοῖς ἀϊδίοις τὸ ἁπλῶς δυνάμει οὐκ ἔστιν, ἀλλ' εἰ ἄρα, τὸ πῇ, λέγει ὅτι εἰ καὶ ἐν τοῖς φθαρτοῖς ἐστὶ τὸ δυνάμει, ἀλλ' οὖν τὰ φθαρτὰ καὶ τὰ ἐν μεταβολῇ ὄντα μιμεῖται τὰ ἄφθαρτα... τὸ μὲν γὰρ πῦρ ἀεὶ συμπεριφέρεται τῇ σεληνιακῇ ἤτοι τῇ τοῦ παντὸς φορᾷ.

1050 b 33. αἱ δ' ἄλογοι δύνανται ἅμα τῷ παρεῖναι ποιεῖν καὶ τῷ μὴ παρεῖναι μὴ ποιεῖν.

1050 b 34. εἴπερ εἰσὶ φύσεις τινὲς ἢ οὐσίαι οἵας λέγουσιν οἱ ἐν τοῖς λόγοις ἤτοι τοῖς μαθήμασιν ἐντετραφότες, πολὺ μᾶλλον ἐπιστῆμον εἴη ἄν τι ζῷον, εἴπερ αὐτοεπιστήμη· ταῦτα γὰρ τὸ κινούμενον καὶ τὸ ἐπιστῆμον εἰσὶν οὐσίαι καὶ ἐνέργειαι, ἐκεῖνα δέ, ἡ ἐπιστήμη καὶ ἡ κίνησις, δυνάμεις εἰσὶ τοῦ τ' ἐπιστήμονος καὶ τοῦ κινουμένου, μὴ δυνάμεναι καθ' αὑτὰς εἶναι.

1051 a 8. ὃ γὰρ δύναται ὑγιαίνειν, τοῦτο καὶ νοσεῖν ἅμα. καὶ οὐ τοῦτό φησιν ὅτι ἅμα νοσεῖ καὶ ὑγιαίνει, ἀλλ' ὅτι ἅμα ἔχει τὴν τοῦ νοσεῖν καὶ ὑγιαίνειν δύναμιν· ἡ αὐτὴ γὰρ δύναμις τοῦ ὑγιαίνειν καὶ κάμνειν καὶ τοῦ νοσεῖν καὶ αἰνεῖσθαι, καὶ ὥσπερ εἴρηται, ἡ μὲν τῶν ἐναντίων δύναμις ἅμα ὑπάρχει, τὰ δ' ἐναντία ἅμα καὶ τὰς ἐνεργείας ἀδύνατον ὑπάρχειν. 1051 a 11.

εἰπὼν δὲ ὅτι τῶν ἐναντίων ἀνάγκη θάτερον εἶναι ἀγαθόν, 1051 a 14. ἐπάγει "τὸ δ. δ. ὁμ. ἀ. ἢ οὐδ. ἡ ἄρα ἐν. β." ἔστιν οἶμαι κατασκευὴ τοῦ ὅτι ἡ ἐνέργεια καὶ τῆς σπουδαίας δυνάμεως βελτίων ἐστίν. ἀσαφῶς δὲ ὄντως ἐπήγγελται καὶ μαντείας δεόμενον. ἔστι δὲ τὸ μὲν διὰ τοῦ "τὸ δὲ δύνασθαι ὁμοίως ἀμφότερον ἢ οὐδέτερον" λεγόμενον τοιοῦτον. τὸ τὴν δύναμιν ἔχον τοῦ ὑγιαίνειν (ἔστω δὴ τοῦτο εἰς ὑπόδειγμα), τὸ οὖν τὴν δύναμιν ἔχον τοῦ ὑγιαίνειν ὁμοίως ἔχει καὶ τοῦ νοσεῖν· εἰ δὲ μή, οὐδετέρου· διὰ τίνα γάρ ποτε αἰτίαν ἔχει μὲν δύναμιν τοῦ ὑγιαίνειν, μὴ ἐπίσης δ' ἔχει καὶ τοῦ νοσεῖν; καὶ οὕτω δείξας ὅτι ἀμφοτέρων τὴν δύναμιν ὁμοίως ἔχει, ὅπως διὰ τούτου συνήγαγε τὸ τὴν ἐνέργειαν βελτίω εἶναι καὶ τῆς σπουδαίας δυνάμεως, λίαν ἐστὶ μεμελανωμένον. συνάγεται δὲ οἶμαι οὑτωσί. τόπος παρεδόθη αὐτῷ ἐν τοῖς Τοπικοῖς (3 5) λέγων "τὸ ἄμικτον τοῦ χείρονος κρεῖττον καὶ βέλτιόν ἐστι τοῦ μεμιγμένου μετὰ τοῦ χείρονος." εἰ δὲ τοῦτο ἀληθές, καὶ ἡ σπουδαία δύναμις μέμικται τῇ τοῦ χείρονος δυνάμει· ὁ γὰρ ἔχων τὴν σπουδαίαν δύναμιν καὶ κατ' ἐκείνην πράττων καὶ ἐνεργῶν περὶ τὰ σπουδαῖα, οὗτος οὐκ ἀπώλεσε τὴν τοῦ χείρονος δύναμιν ἀλλ' ἔχει αὐτήν, ὥστε τῇ σπουδαίᾳ δυνάμει ἐπιμέμικται ἡ τοῦ χείρονος δύναμις. εἰ δὴ ἡ σπουδαία δύναμις ἐπιμέμικται τῇ τοῦ χείρονος δυνάμει, ἡ δὲ ἐνέργεια τοῦ κρείττονος οὐ σύνεστι τῇ τοῦ χείρονος ἐνεργείᾳ, ἀλλ' ἔστιν εἰλικρινὴς καὶ ἄμικτος, κρείττων ἄρα ἐστὶ τῆς σπουδαίας δυνάμεως διὰ τὸ τὰ ἄμικτα, ὡς ὁ τόπος διορίζεται, τῶν μεμιγμένων κρείττονα εἶναι. ἔμπαλιν δὲ ἐπὶ τῶν κακῶν ἡ ἐνέργεια τοῦ κακοῦ χείρων ἐστὶ τῆς δυνάμεως, διότι ἡ δύναμις τοῦ κακοῦ ἐπιμέμικται τῇ τοῦ ἀγαθοῦ δυνάμει, ἡ δὲ τοῦ κακοῦ ἐνέργεια ἄμικτός ἐστι τῇ τοῦ ἀγαθοῦ ἐνεργείᾳ. δῆλον ἄρα ὅτι οὐκ ἔστι τὸ κακὸν παρὰ τὰ πράγματα. τοῦ Πλάτωνος λέγοντος ὅτι τοῦ ἀγαθοῦ ὄντος φύσεώς τινος, ὥσπερ ὁ καθόλου ἄνθρωπος ὁ κατηγορούμενος κατὰ τῶν μερικῶν ἀνθρώπων ἕτερος ὢν αὐτῶν, οὕτως καὶ τὸ ἀγαθὸν ἕτερόν ἐστι τῶν καθ' ἕκαστα ἀγαθῶν καὶ λέγεται κατ' αὐτῶν, τῶν δ' ἐναντίων ἂν θάτερον ᾖ, καὶ θάτερόν ἐστιν, ἔστιν ἄρα καὶ τὸ κακὸν ἕτερόν τι παρὰ τὰ καθ' ἕκαστα κατ' αὐτῶν λεγόμενον, λέγει ὁ Ἀριστοτέλης ὅτι δῆλόν ἐστιν ἐκ τῶν δειχθέντων ὅτι οὐκ ἔστι τὸ κακὸν παρὰ τὰ πράγματα. ἐκείνων γάρ φαμεν εἶναί τι παρὰ τὰ καθ' ἕκαστα ὅσα εἰσὶν ἐνέργειαι, τὸ δὲ κακὸν τοσοῦτον δέει τοῦ ἐνέργεια εἶναι ὅσον ὅτι καὶ χεῖρόν ἐστι δυνάμεως. ὅτι δὲ ἐπὶ τῶν ἐνεργειῶν λαμβάνεται τὸ κοινὸν δῆλον· λέγομεν γὰρ καθόλου ἄνθρωπον τῶν καθ' ἕκαστα ἀνθρώπων ἐνεργείᾳ ὄντων καὶ καθόλου ἵππον καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· καθόλου δὲ μὴ ἄνθρωπον ἢ μὴ ἵππον οὔ φαμεν διὰ τὸ στερήσεις εἶναι τὸν μὴ ἄνθρωπον τοῦ ἀνθρώπου καὶ τὸν μὴ ἵππον τοῦ ἵππου. εἰ δὲ καὶ τὸ κακὸν στέρησίς ἐστι τοῦ ἀγαθοῦ καὶ τῆς ἐνεργείας, καὶ παρυφίσταται τοῖς πράγμασι διὰ τὴν τῆς ὕλης ἀνεπιτηδειότητα (αὕτη γὰρ τὴν ἐνέργειαν καὶ τὸ ἀγαθὸν σκοπὸν ἔχουσα δέξασθαι καὶ μὴ δυνηθεῖσα ἔσχηκε τὸ κακὸν καὶ τὴν στέρησιν), οὐκ ἂν εἴη τι κακὸν παρὰ τὰ πράγματα. εἰ δὲ τὸ κακὸν διὰ τὴν ὕλην καὶ τὴν δύναμιν

σάρκας, νεῦρα, ὀστᾶ, εἶτα βρέφος, εἶτα παῖδα, εἶτα ἔφηβον, εἶτα ἄνδρα ποιεῖ. ὥστε τὰ γενέσει ὕστερα τῇ φύσει πρότερα, τὰ δὲ τῇ φύσει ὕστερα, σπέρμα καὶ καταμήνιον, ἡμῖν πρότερα.

1050 a 14. δείκνυσι δὲ τὸ αὐτὸ τοῦτο καὶ ἄλλως, λέγων, οὗ ἕνεκα πάντα γίνεται, τοῦτο τέλος ἐστίν, ὡς ἐπ' ἀρχὴν καὶ πρότερον πρὸς τοῦτο τὰ γινόμενα βαδίζει, πάντα δὲ ἕνεκα τῆς ἐνεργείας γίνεται· ἡ ἐνέργεια ἄρα καὶ τέλος καὶ προτέρα δυνάμεως. εἰ οὖν ἡ γένεσις ὁδός ἐστιν ἀπὸ τοῦ δυνάμει εἰς ἐνέργειαν καὶ ἕνεκα τῆς ἐνεργείας ἐστίν, ἡ δ' ἐνεργείας τὸ οὗ ἕνεκα τὸ τέλος, τὸ δὲ τέλος ἀρχὴ καὶ πρότερον (διὰ γὰρ τὴν ἐνέργειαν ἡ δύναμις καὶ ἡ γένεσις), δῆλον ἄρα ὅτι ἡ ἐνέργεια καὶ τῷ τελείῳ δυνάμεώς ἐστι προτέρα. ὅτι δὲ ἕνεκα τῆς ἐνεργείας ἡ δύναμίς ἐστι, καὶ ἐπὶ τούτῳ ἡ ἐνέργεια δυνάμεως προτέρα (τὸ γὰρ οὗ ἕνεκα ὡς τέλειον πρότερον τοῦ ἕνεκά του), δῆλον.

γρ. "καὶ οὐχὶ θεωροῦσιν·" οὐ γὰρ ὀρθῶς ἡ θεωρία γίνεται τοῖς τοιούτοις. cod. Reg.

ἀλλ' ἢ ὡδί, τουτέστιν οἱ μελετῶντες ἢ τρόπον τινὰ θεωροῦσιν, ἢ ὅτι οὐδὲ δέονται τοῦ θεωρεῖν· ὃ ἴσον ἂν εἴη τῷ, ἢ οὐ δέονται τῆς κατὰ μελέτην θεωρίας, ἀλλὰ καὶ αὕτη ἡ κατὰ τὴν μελέτην θεωρία ἀτελὴς οὖσα καὶ σχεδὸν μηδέν, ἕνεκα τῆς τελεωτάτης καὶ κυριωτάτης γίνεται θεωρίας. ἔτι ἡ ὕλη δυνάμει ἐστὶ καὶ λέγεται, ὅτι δύναται εἰς τὸ εἶδος ἐλθεῖν, ὅταν δὲ ἔλθῃ, καὶ ἡ ἐνέργεια ἡ ἐν τῷ εἴδει ἵσταται, ὥστε κἂν τούτῳ προτέρα ὡς ἐφετὸν καὶ τάσσον καὶ εἰς κόσμον ἄγον δυνάμεως. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, φησί, καὶ ὧν τὸ τέλος κίνησις· τῆς γὰρ ὀρχηστικῆς τὸ τέλος οὐδὲν ἄλλο ἐστὶν ἢ τοιωσδὶ κινεῖσθαι· καὶ ἐπὶ τούτων δὲ ἐνέργεια δυνάμεως προτέρα. διόπερ ὥσπερ οἱ διδάσκοντες τὸν μανθάνοντα τότε οἴονται εἰς τέλος τῆς ἐπιστήμης ἐλθεῖν καὶ τέλος ἀποδεδωκέναι, ὅταν αὐτὸν κατὰ τὴν ἐπιστήμην ἐνεργοῦντα ἀποδείξωσιν (εἰ γὰρ ἐνέργεια τὸ ἔργον, τὸ δὲ ἔργον τέλος, ἡ ἐνέργεια ἄρα τὸ τέλος· ὥστε ὅταν ἐνεργῇ, τότε οἴονται τὸ τέλος ἔχειν· οὕτω γάρ ἐστι τὸ ἑξῆς τῆς λέξεως)· οὕτω καὶ ἡ φύσις τότε οἴεται τὸ γενόμενον τέλος ἀπειληφέναι, ὅταν εἰς τὴν ἐνέργειαν ἔλθῃ. τὸ δὲ "εἰ γὰρ μὴ οὕτω γένηται, ὁ Πάσωνος ἔσται Ἑρμῆς," συνεχές ἐστι τῷ "διὸ ὥσπερ οἱ διδασκ. ἐνεργοῦντα ἐπιδείξαντες." καὶ εἴη ἄν, ὃ λέγει, τοιοῦτον. "εἰ γὰρ μὴ οὕτω γένηται," τουτέστιν, εἰ μὴ οἱ διδάσκοντες ἐνεργοῦντα ἐπιδείξωσι τὸν μανθάνοντα, ἀλλὰ φάσκωσιν ὡς ἐδιδάχθη παρ' αὐτῶν, κἂν μὴ ἐνεργῇ, ἄδηλόν ἐστιν εἴτε ἔχει τὴν ἐπιστήμην εἴτε καὶ μή· ἐκ γὰρ τῶν ἔργων κρίνομεν πάντα τεχνίτην καὶ ἐπιστήμονα· εἰ γὰρ μὴ ἐνεργεῖ, πόθεν δῆλον ὅτι ἔχει τὴν ἐπιστήμην; ἄδηλον γὰρ εἴτε ἐντὸς ἔχει αὐτὴν εἴτε ἐκτός, τουτέστιν εἴτε ἔχει εἴτε μὴ ἔχει, ὡς καὶ ὁ Πάσωνος Ἑρμῆς· ἄδηλον γὰρ εἴτε ἐντός ἐστι τοῦ λίθου εἴτε ἐκτός. ἡ δὲ κατὰ τὸν Πάσωνα ἱστορία, ὅτῳ φίλον καὶ ταύτην εἰδέναι, τοιαύτη τίς ἐστιν. οὗτος ὁ Πάσων ἑρμογλύφος ὢν πεποίηκεν ἔν τινι λίθῳ τὸ τοῦ Ἑρμοῦ εἶδος, καὶ ἑωρᾶτο ἐν τῷ λίθῳ ὁ Ἑρμῆς· εἴτε δὲ ἐκτὸς ἦν τοῦ λίθου εἴτε ἐντός, οὐ δῆλον ἦν. ἐκτὸς μὲν εἶναι λέγειν οὐχ οἷόν τε ἦν· εἰ γὰρ ἦν ἐκτός, ἔδει τὸν λίθον ἐγκεκολλαμμένον εἶναι καὶ ἔχειν ἀνωμαλίας, οὗτος δὲ ἅπας λειότατος ἦν, ὥσπερ τὰ κάτοπτρα. διὰ ταῦτα μὲν οὖν ἐκτὸς εἶναι οὐκ ἦν δυνατὸν λέγειν. ἀλλὰ μὴν οὐδ' ἐντός· εἰ μὲν γὰρ εἶχεν ἁρμονίας ἢ ὅλως ἐφαρμογάς τινας ὁ λίθος ἐν ᾧ ἦν τὸ τοῦ Ἑρμοῦ εἶδος, πρόχειρον ἦν λέγειν ὅτι ἐν ἑτέρῳ λίθῳ τὸν Ἑρμῆν πεποιηκὼς ἐκτὸς ἐπέθηκε τοὺς λειοτάτους λίθους καὶ ἀπέκλεισε τὸν Ἑρμῆν ἐντός, ὁρᾶται δὲ διὰ τὸ λαμπροὺς καὶ διαφανεστάτους, ὁμοίως δὲ καὶ λείους τοὺς ἐπικειμένους λίθους εἶναι, ὥσπερ εἴ τις ἐν κηρῷ πλάσας εἶδός τι κήρινον καὶ ἐκτὸς ἐπιθεὶς ὕελον ἢ ἄλλο τι τῶν διαφανῶν, ὁρᾶται τὸ ἐντὸς αὐτῆς κήρινον εἶδος. εἰ μὲν οὖν τοῦτο ἦν, εἰκὸς ἦν ταῦτα λέγειν· ἐπειδὴ δὲ πάντη συνεχὴς ἦν ὁ λίθος καὶ εἷς καὶ οὐδεμίαν ἔχων ἁρμονίαν καὶ ἐφαρμογήν, οὐκ ἐνῆν τοῦτο λέγειν. ὥστε ἄδηλος ἦν ὁ Ἑρμῆς κἂν ἐντὸς κἂν ἐκτὸς ὑπῆρχεν, ἐκτὸς μὲν ὅτι ἀνωμαλίαν οὐδεμίαν ὁ λίθος, ὥσπερ εἴρηται, εἶχεν, ἐντὸς δὲ ὅτι οὐχ οἷόν τε ἦν ὑπονοῆσαι πῶς ἐντὸς τοῦ λίθου πεποίηκε τὸν Ἑρμῆν, συνεχοῦς ὄντος. "ἐπεὶ δ' ε. τ. μ. ἔσχατον ἡ χρ." πρὸ τῆς τῶν λεγομένων σαφηνείας ἀνάγκη ἐστὶν ὑπομνησθῆναι ἡμᾶς τινῶν, ἵν' ἐκ τούτων εὐπαρακολούθητοι τοῖς ὑπ' αὐτοῦ λεγομένοις γενώμεθα. ἰστέον δὲ ὅτι ἡ ὄψις, καθ' ἣν ὁρῶμεν, καὶ δύναμίς ἐστι καὶ ἐνέργεια. ἀλλὰ καὶ ἡ οἰκοδομικὴ καὶ ἐνέργειά ἐστι καὶ δύναμις, δύναμις μὲν πρὸς τὴν οἰκοδόμησιν, ἐνέργεια δὲ πρὸς τὴν στέρησιν ἣν ὁ οἰκοδόμος ἔχει πρὸ τοῦ τὴν οἰκοδομικὴν ἐσχηκέναι· ἐκ γὰρ τοῦ δυνάμει οἰκοδόμου γέγονεν ἐνεργείᾳ οἰκοδόμος. οὐ μόνον δ' οὕτω περὶ τῶν ἕξεων λέγεται, ἀλλὰ καὶ περὶ αὐτῶν τῶν ἐχόντων ταύτας· ὁ γὰρ γεωμέτρης ὁ μὴ ἐνεργῶν πρὸς τὸν ἐνεργοῦντα δυνάμει ἐστὶ γεωμέτρης, πρὸς δὲ τὸ δυνάμενον παιδίον γενέσθαι γεωμετρικὸν ἐνεργείᾳ. ἀλλὰ περὶ μὲν τούτων πάνυ πλατύτερόν μοι ἐν τῇ περὶ Ψυχῆς (2 5) εἴρηται, καὶ νῦν ἕνεκα τῶν λεγομένων μετρίως ὑπέμνησται. ὁ δ' Ἀριστοτέλης διὰ τῶν προκειμένων τόδε φησίν· ἐπειδὴ τῶν μὲν ἔσχατον κτλ.

παροιμιῶδες τὸ ὁ Πάσωνος Ἑρμῆς, ἐπὶ τῶν ἀδήλων εἰ οὕτως 1050 a 20.
ἢ μὴ οὕτως ἔχει λαμβανόμενον. cod. Reg.

ἔστι μὲν οὖν, φησί, καὶ ἔνθα οἷον ἐπὶ τῆς οἰκοδομικῆς τέλος, ἀλλ' 1050 a 27.
ἔνθα οἷον ἐπὶ τῆς ὄψεως μᾶλλον τέλος τῆς δυνάμεώς ἐστι, δύναμιν λέγων τὴν ὀπτικὴν δύναμιν, αὐτήν φημι τὴν ὄψιν, τέλος δὲ καὶ ἐνέργειαν τὴν ὅρασιν. ὅπως δὲ ταῦτα λέγεται, εἴρηται προσεχῶς. καί ἐστιν ἴσον τὸ "ἔνθα δὲ μ. τ. τ. δ. ε." τῷ ἔστι μὲν καὶ ἡ ὄψις τέλος, ἀλλὰ μᾶλλον τέλος ἐστὶν ἡ ὅρασις τῆς δυνάμεως, τουτέστι τῆς ὄψεως.

διὸ καὶ εὐδαιμονία ἐν τῇ ψυχῇ ἐστίν· ζωὴ γὰρ ποιά τίς ἐστιν... 1050 b 1.
εἰ γὰρ τότε λέγομεν ἐνεργῆσαι τὸν εὐδαίμονα ὅταν τὸ εἶδος τῆς εὐδαιμονίας, αὐτήν φημι τὴν εὐδαιμονίαν, ἀπολάβῃ, καὶ τὸ καταμήνιον τότε λέγομεν ἄνθρωπον ὅταν αὐτὸ τὸ εἶδος τοῦ ἀνθρώπου ἀπολάβῃ, τί χρὴ ἄλλο μαντεύεσθαι ἢ ὅτι τὸ εἶδός ἐστιν ἡ ἐνέργεια;

καὶ ἀεὶ οὕτως ἕως τῆς τοῦ ἀεὶ κινοῦντος· ἐκείνης γὰρ τῆς ἐνερ- 1050 b 5.
γείας οὐ προηγεῖται ἐνέργεια, ἀλλὰ πρώτη πάντων καὶ αἰτία πάντων ἐστίν. "ἀλλὰ μὴν καὶ κυριωτέρως· τὰ μὲν γὰρ ἀΐδια πρότερα τῇ οὐσίᾳ τῶν φθαρτῶν." δείξας ὅτι ἡ ἐνέργεια δυνάμεως προτέρα ἐστὶ καὶ λόγῳ καὶ χρόνῳ καὶ αἰτίᾳ, νῦν δείκνυσιν ὡς οὐχ ἁπλῶς οὕτως ἐστὶ προτέρα ἀλλὰ καὶ κυριωτέρως ἤτοι τιμιωτέρως. ἡ δὲ δεῖξις πρόεισι διά τινος τῶν ἐν τοῖς Τοπικοῖς (3 1) παραδιδομένων τόπων τόπου, λέγοντος ὅτι τὰ τοῖς κυριωτέροις καὶ κρείττοσιν ὑπάρ-

εἰ οὕτως μὴ ἄλλο," τουτέστιν εἰ παρωνύμως λέγεται, οἷον ἀέρινον, καὶ οὐ λέγεται ἄλλο, οἷον ἡ γῆ ἁπλῶς, ὃ ἄλλο λέγεται καὶ οὐκ ἐκείνινον, τὸ ὕστερον ἁπλῶς καὶ κυρίως ἐκεῖνό ἐστιν. οἷον πρῶτον μὲν ὡς πρὸς τὸ κιβώτιον τὸ ξύλον, ὕστερον δὲ ἡ γῆ· ἀλλ' οὐχὶ καὶ τὸ ἁπλῶς ὕστερον αὕτη ἐστίν, ἀλλ' ἡ ἐσχάτη ὕλη. εἰ δή, ὥσπερ εἴρηται, ἔστι τι πρῶτον (ὃ γὰρ πρότερον ὕστερον εἶπε, τοῦτο νῦν πρῶτον ἐκάλεσεν ἄλλον τρόπον· κάτωθεν γὰρ ἀρχομένοις πρῶτόν ἐστιν), εἰ ἔστιν οὖν πρῶτόν τι καὶ οὐ κατ' ἄλλο λέγεται οὐδ' ἀπό τινος παρονομάζεται, τοῦτό ἐστιν ἡ πρώτη ὕλη· οἷον ἡ γῆ ἀερίνη, οὗτος δὲ πύρινος, τὸ δὲ πῦρ μὴ κατ' ἄλλο, τὸ πῦρ ἔσται ἡ πρώτη ὕλη τόδε τι οὖσα καὶ μὴ ἀπό τινος λεγομένη. καὶ κατὰ τοῦτο διαφέρει τὸ καθόλου καὶ τὸ ὑποκείμενον. καθόλου λέγει νῦν ἁπλῶς πᾶν τὸ κατηγορούμενον, ἄντε οὐσία ᾖ ἄντε συμβεβηκός, ὑποκείμενον δὲ τὴν οὐσίαν. κατὰ δὴ τοῦτο διαφέρει τὸ καθόλου καὶ τὸ ὑποκείμενον τῷ τὸ μὲν ὑποκείμενον τόδε τι καὶ λέγεσθαι παρωνύμως ἀπὸ τῶν παθῶν, τὰ δὲ πάθη ἐξ αὐτῶν οὐκέτι. καὶ λέγεται τῆς μουσικῆς γεγονυίας τῇ ψυχῇ ἡ ψυχὴ οὐ μουσικὴ ἀλλὰ μουσικὸν κτλ.

1049 a 34. ὅσα μὲν οὕτω, οἷον λευκὸν ἢ μουσικὸν καὶ ὅλως ὡς τὰ κατὰ πάθος λέγεται, τὸ ἔσχατον καὶ τὸ ὑποκείμενον αὐτοῖς ἐστὶν οὐσία... καὶ ὅρα δὴ τὴν διαφορὰν αὐτῶν ὡς εἴδη λεγομένων πρὸς τὴν τῶν ὡς πάθη, ὅτι ἐπὶ μὲν τῶν παθῶν λέγεται τὰ ὑποκείμενα ἀπ' αὐτῶν (ἀπὸ γὰρ τῆς μουσικῆς μουσικὸς καὶ ἀπὸ τοῦ λευκοῦ λευκός), τὰ δὲ πάθη ἀπὸ τῶν ὑποκειμένων οὐ λέγεται εἰ μὴ κατὰ συμβεβηκός· φαμὲν γάρ ποτε τὸ λευκὸν ἄνθρωπον εἶναι κατὰ συμβεβηκός, καθ' αὑτὸ δ' οὔ· ἀνάπαλιν δὲ ἐπὶ τῶν ὡς εἴδη λεγομένων τὰ μὲν εἴδη λέγεται ἀπὸ τῆς ὕλης καὶ τοῦ ὑποκειμένου· φαμὲν γὰρ τὸν ἀνδριάντα χαλκοῦν, ἀλλ' οὐ τὸν χαλκὸν ἀνδριάντα, καὶ τὸ κιβώτιον ξύλινον, ἀλλ' οὐ τὸ ξύλον κιβώτιον. ταῦτα εἰπὼν ἐπιφέρει ὅτι ὀρθῶς τὸ ἐκείνινον λέγεται κατὰ τὴν ὕλην καὶ τὰ πάθη· ἐπειδὴ γὰρ καὶ τὰ πάθη ὑπὸ τοῦ ὑποκειμένου ὁρίζεται (καθ' αὑτὸ γὰρ τὸ λευκὸν ἀόριστόν ἐστιν· οὐδὲ γὰρ ὅλως δύναται χωρίς τινος ὑποκειμένου εἶναι), ὁμοίως δὲ καὶ ἡ ὕλη ὑπὸ τοῦ εἴδους, εὐλόγως κατὰ θατέρου λεγόμενον τὸ ἐκείνινον λέγεται καὶ κατὰ θατέρου.

1049 b 8. ἀρχὴν δὲ κινητικὴν καὶ στατικὴν τὴν φύσιν λέγει· οὕτω γὰρ αὐτὴν ἐν τῇ Φυσικῇ (2 1) ὡρίσατο, ὅτι ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ πρώτῳ καθ' αὑτὸ πέφυκε καὶ μὴ κατὰ συμβεβηκός. εἰπὼν δὲ τὴν φυσικὴν ἀρχὴν κινήσεως, καὶ πρότερον ἀρχὴν κινητικὴν τὴν δύναμιν, ἐπήγαγεν "καὶ γὰρ ἡ φύσις ἐν ταὐτῷ γένει τῇ δυνάμει," ὡς εἰ ἔλεγε, καὶ γὰρ ἡ φύσις καὶ ἡ δύναμις ἀρχαὶ κινητικαί. ἔδει δὲ εἰπεῖν ὅτι ἡ ἐνέργεια καὶ τῆς φύσεώς ἐστι προτέρα· ἀλλ' ἐπειδὴ καὶ ἡ δύναμις καὶ ἡ φύσις ὡς γένη εἰσί, καὶ γένος δὲ ἡ ἀρχὴ ἡ κινητικὴ τῆς τε δυνάμεως καὶ τῆς φύσεως, ἀντὶ τοῦ φάναι φύσεως εἴρηκεν ἀρχῆς κινητικῆς. διαφέρει δὲ δυνάμεως ἡ φύσις, ὅτι ἡ δύναμις ἐν ἄλλῳ οὖσα ᾗ ἄλλο ἐν ἐκείνῳ ἐστίν, ἡ δὲ φύσις ἐν ᾧ ἐστὶν οὐχ ᾗ ἄλλο ἐν ἐκείνῳ ἐστίν, ἀλλ' ᾗ αὐτὸ καὶ καθ' αὑτό· ἡ γὰρ Δίωνος φύσις ᾗ τοιοῦτός ἐστιν ὑπάρχει ἐν αὐτῷ καὶ καθ' αὑτό. ἔστιν οὖν δυνάμεως τῆς τε ὁρισθείσης καὶ τῆς φύσεως, δύναμιν λέγων καὶ τὴν φύσιν διὰ τὸ ἐν τῷ αὐτῷ γένει εἶναι τῆς δυνάμεως.

1049 b 11. ὅτι τῷ λόγῳ προτέρα ἐστί, δείκνυσιν ὧδε. τὸ πρώτως φησὶ δυνατόν, τουτέστιν ἡ προσεχὴς δύναμις ἤτοι ἡ προσεχὴς ὕλη, δυνατὴ λέγεται διὰ τὸ ἐνδέχεσθαι ἐνεργῆσαι... εἰ οὖν ἡ δύναμις τῇ ἐνεργείᾳ γινώσκεται, ἀνάγκη τὸν λόγον καὶ τὴν γνῶσιν προϋπάρχειν τῆς ἐνεργείας τοῦ λόγου καὶ τῆς γνώσεως τῆς δυνάμεως. τὸ γὰρ δι' οὗ τι διδάσκεται πρότερόν ἐστι τοῦ διδασκομένου, ὡς τὸ αἴτιον τοῦ αἰτιατοῦ. ὅτι δὲ πρότερον φανερόν· ἐπειδὴ γάρ φαμεν ὅτι δυνατόν ἐστι τὸ δυνάμενον ἐνεργῆσαι, καὶ διὰ τῆς ἐνεργείας τὴν δύναμιν σαφῆ ποιεῖν σπεύδομεν, δῆλον ὡς γνωριμωτέραν καὶ προτέραν οὖσαν τῆς δυνάμεως λαμβάνομεν τὴν ἐνέργειαν εἰς τὴν γνῶσιν τῆς δυνάμεως, ὅτι πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (1 1) ἐμάθομεν.

1049 b 19. λαμβάνει δὲ εἰς τὴν τούτου δεῖξιν λίαν ὁμολογούμενον καὶ ἐναργὲς ἀξίωμα ἢ λῆμμα, ὅτι τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν πρότερόν ἐστιν. ὁ γὰρ Σωφρονίσκος ὁ τὸν Σωκράτην ἐνεργήσας, τουτέστι ποιήσας, τῷ εἴδει ὄντα τὸν αὐτὸν τῷ Σωφρονίσκῳ ἀλλ' οὐ τῷ ἀριθμῷ, πρότερός ἐστι Σωκράτους· ὁ γὰρ Σωφρονίσκος καὶ ὁ Σωκράτης τῷ μὲν εἴδει οἱ αὐτοί εἰσι, τῷ δ' ἀριθμῷ οὔ. τὸ μὲν οὖν τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν, ὥσπερ εἴρηται, πρότερον, τὸ δὲ γεγονὸς ἓν ὂν καὶ ταὐτὸν τῷ ἀριθμῷ ὕστερον.

1049 b 27. εἴρηται δὲ ἐν τῷ Ζ· ἐκεῖσε γὰρ περὶ οὐσίας εἶπεν ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεταί τι, καὶ τοῦτο τὸ γινόμενον φυσικῶς ἀλλ' οὐ τεχνητῶς, τῷ εἴδει ἐστὶ τὸ αὐτὸ τῷ κινοῦντι· ὥστε καὶ προτέρα ἐνέργεια δυνάμεως.

1049 b 33. ἠρώτων γὰρ οἱ σοφισταί, μᾶλλον δὲ καὶ νῦν ἐρωτῶσιν, ἆρά γε ὁ μὴ ἔχων ἐπιστήμην τινὸς ποιήσει τὴν ἐπιστήμην; καὶ τὸ μὲν πρότερον σημαινόμενον τῆς ἐπιστήμης ἐλάμβανον ἐπ' αὐτῆς τῆς ἐν τῇ ψυχῇ ἕξεως, τὸ δὲ "ποιήσει τὴν ἐπιστήμην," ἐπιστήμην ἐνταῦθα τὸ ἐπιστητὸν λέγοντες τὸ κατὰ τὴν ἐπιστήμην λεγόμενον. κοινότερον δὲ νῦν καὶ τὰς τέχνας ἐπιστήμας εἴρηκεν. ἠρώτων οὖν οὕτως, καὶ ἀπεκρίναντο οἱ προσδιαλεγόμενοι ὅτι οὐ ποιήσει· ὁ γὰρ μὴ ἔχων τὴν τοῦ ποιεῖν ἀνδριάντα ἐπιστήμην οὐκ ἂν ποιήσειεν ἀνδριάντα. οὕτω δὲ τὸν λόγον ἐρωτῶντες οἱ σοφισταὶ καὶ λαμβάνοντες παρὰ τῶν προσδιαλεγομένων ὅτι οὐ ποιήσει τὸ τῆς ἐπιστήμης ὁ μὴ ἔχων τὴν ἐπιστήμην, ἐπῆγον ὅτι ὁ μανθάνων κιθαρίζειν μὴ ἔχων τὴν τοῦ κιθαρίζειν ἐπιστήμην κιθαρίζει· εἰ γὰρ εἶχεν, οὐκ ἂν ἐμάνθανεν· ὁ ἄρα μὴ ἔχων τινὸς ἐπιστήμην καὶ ποιήσει καὶ οὐ ποιήσει τὸ τῆς ἐπιστήμης· ὅπερ ἄτοπον. καὶ λύει τὸ σόφισμα λέγων "ἀλλὰ διὰ τὸ" κτλ. προσυπακουστέον τοῦ δεῖξαι ἡμᾶς· ἔδειξε γὰρ ἐν τοῖς τελευταίοις τῆς Φυσικῆς Ἀκροάσεως βιβλίοις (6 5)· ἐκεῖνα γὰρ περὶ κινήσεως λέγει, ὅτι πᾶν τὸ κινούμενον πρότερον κινεῖται καὶ πᾶν τὸ κεκινημένον πρότερον ἐκινήθη.

1050 a 4. ὡς γὰρ ὁ οἰκοδόμος τὸ τῆς οἰκίας πρότερον εἶδος ἀνατυποῖ παρ' ἑαυτῷ καὶ οὕτω καταβάλλεται θεμέλιον καὶ τοίχους καὶ ὄροφον, οὕτω καὶ φύσις σκοπὸν ἔχουσα ἄνδρα, εἰ τύχοι, ποιῆσαι· ἕνεκα γὰρ τούτου ποιεῖ, ὡς ἐν τῷ Γ (Β 8) τῆς Φυσικῆς Ἀκροάσεως δέδεικται, πρότερον μὲν σπέρμα καὶ καταμήνιον, εἶτα καρδίαν, εἶτα ἧπαρ, εἶτα

1048 a 33. καὶ ἐν τῇ διαμέτρῳ λέγομεν εἶναι τὴν ἡμίσειαν, ὅτι δύναται ἀπ' αὐτῆς ἀφαιρεθῆναι καὶ εἶναι καθ' ἑαυτὴν ἐνεργείᾳ· καὶ ἐπιστήμονα τὸν μὴ θεωροῦντα, δυνάμενον δὲ θεωρῆσαι.

1048 a 36. οὐ γὰρ πάντα τοῖς ὅροις γινώσκομεν, ἐπεὶ μηδὲ πάντων εἰσὶν ὅροι, ὡς δέδεικται ἐν τῷ Z τῆσδε τῆς πραγματείας, ἀλλ' ἔνια καὶ δι' ἐπαγωγῆς καὶ δι' ἀναλογίας συνορῶμεν καὶ γινώσκομεν.

1048 b 2. "καὶ — ὕλην." ὃ δὴ ἀσαφῶς εἴρηκε· δοκεῖ γὰρ λέγειν ὅτι καὶ τὸ χωρισθὲν εἶδος ἐκ τῆς ὕλης, οὐ τοῦτο δέ φησιν· οὐ γὰρ βούλεται οὗτος εἶδος εἶναί ποτε φυσικὸν χωρὶς ὕλης· ἀλλ' ἀποκεκριμένον λέγοι ἂν τὸν ἀνδριάντα, ὡς τύπῳ εἰπεῖν, πρὸς τὸν χαλκὸν τὸν μήπω ἀνδριάντος εἶδος ἔχοντα, δυνάμενον δὲ δέξασθαι τὸ τοῦ ἀνδριάντος εἶδος. καὶ πάλιν ὡς ἔχει τὸ ἀπειργασμένον κιβώτιον πρὸς τὸ ἀνέργαστον ξύλον, δυνάμενον δὲ ἐργασθῆναι καὶ γενέσθαι κιβώτιον. ὡς δὴ ταῦτα ἔχει ἔστι τέ τι, οὕτως ἔστι καὶ ὁ Σωκράτης ὁ γράφων πρὸς τὸν μὴ γράφοντα. τοῦτο δ' εἰπεῖν φανερόν ἐστιν ὡς δεδήλωται ἡ ἐνέργεια τοῦ Σωκράτους, ἣν ἐνεργεῖ, λέγω δὲ τὸ γράφειν. ταύτης δὲ τῆς διαφορᾶς (διαφορὰν λέγων τὴν ἐξ ἀναλογίας συζυγίαν, οἷον ὡς τὸ ὁρῶν πρὸς τὸ μύον καὶ τὸ ἐγρηγορὸς πρὸς τὸ καθεῦδον), ταύτης δὴ τῆς διαφορᾶς θάτερον μόριόν ἐστιν ἡ ἐνέργεια, τό τε ὁρᾶν καὶ τὸ ἐγρηγορέναι, θάτερον δὲ τὸ δυνατόν, τό τε μύον καὶ τὸ καθεῦδον, ὅτι δύναται τὸ μὲν ἀναβλέψαι τὸ δὲ ἐγρηγορέναι. εἰπὼν δὲ ὅτι τῆς ἐνεργείας οὐ δεῖ ὁρισμὸν ζητεῖν, ἀλλ' ἐξ ἀναλογίας αὐτὴν οἷα ἂν καὶ εἴη δηλοῦν, καὶ εἰπὼν ὅπως τοῦτο ποιητέον, λέγει, εἰ καὶ πάντα τὰ ἐνεργείᾳ κατ' ἀναλογίαν λέγειν προσήκει, πλὴν οὐχ ὁμοίως πάντα λέγεται, ἀλλὰ τὸ μὲν ὡς κίνησις πρὸς τὴν δύναμιν λέγεται, τὸ δ' ὡς οὐσία πρὸς τὴν ὕλην, οἷον εἰ λέγοι τις, ὡς ὁ βαδίζων πρὸς τὸν καθήμενον, οὕτως Ἀλέξανδρος πρὸς τὸ καταμήνιον· τὸ μὲν γὰρ βαδίζον λέγεται ὡς κίνησις πρὸς δύναμιν, τουτέστιν ὡς πάθος πρὸς πάθος, ὁ δ' Ἀλέξανδρος πρὸς τὸ καταμήνιον ὡς οὐσία πρὸς ὕλην· ὕλη γὰρ τοῦ ἀνθρώπου τὸ καταμήνιον.

1048 b 7. τὸ "ἀλλ' ἢ τῷ ἀνάλογον ὡς τοῦτο ἐν τούτῳ"... ὑπόμνησίς ἐστι τῆς ἀναλογίας, ὡς εἰ ἔλεγεν ὅτι τὰ ἀνάλογον λεγόμενα. πῶς δὲ λεγόμενα; ὅτι "ὡς τοῦτο ἐν τούτῳ."

1048 b 9. ἐπειδὴ οἱ τὸ ἄπειρον εἶναι λέγοντες ἔν τισι δυνάμει ἔλεγον εἶναι (ἐν μὲν γὰρ τοῖς κούφοις σώμασιν ἐνεργείᾳ, ἐν δὲ τοῖς βαρέσι δυνάμει), λέγει ὅτι τὸ δυνάμει καὶ ἐνεργείᾳ ἄλλως λέγεται ὑπάρχειν πολλοῖς τῶν ὄντων... λέγεται γὰρ ὁρῶν ὁ μὴ ὁρῶν, ὅτι δύναται ἐνεργῆσαι καὶ γενέσθαι ἐνεργείᾳ ὁρῶν· ὁμοίως καὶ ὁρῶν λέγεται μὴ ὁρῶν, ὅτι δύναται ἐνεργείᾳ γενέσθαι μὴ ὁρῶν. ἄλλως οὖν τὸ δυνάμει ἐν τούτοις λέγεται καὶ ἄλλως ἐν τῷ ἀπείρῳ καὶ κενῷ· λέγεται γὰρ δυνάμει ἄπειρον μέγεθος οὐχ ὅτι δύναται καὶ ἐνεργείᾳ γενέσθαι, ἀλλ' ὅτι δύναται ἐπ' ἄπειρον τέμνεσθαι· δέδεικται γὰρ ἐν τῇ Φυσικῇ (3 5, 4 8) ὡς οὔτε ἄπειρόν ἐστιν ἐν τοῖς οὖσιν οὔτε κενόν. "τὸ μὲν γὰρ ὁρ... δυνατόν·" τουτέστι τὸ μὲν γὰρ ὁρώμενον λέγεται μὴ ὁρᾶσθαι, ὅτι ὁρώμενον δύναται μὴ ὁρᾶσθαι (οὕτω γὰρ δεῖ τοῦ ῥητοῦ ἀκούειν)· τὸ δὲ μὴ ὁρώμενον λέγεται ὁρᾶσθαι, ὅτι δυνατόν ἐστιν ὁρᾶσθαι.

1048 b 18. "ἐπεὶ δ. τ. πρ." τοῦτο τὸ κεφάλαιον ἐν πολλοῖς λείπει, τέως φησὶ "ἐπ. τ. πρ. ὧν ε. πέρας·" καὶ τοῦτο λέγει ἢ διὰ τὴν ματαιοπονίαν ἢ διὰ τὴν τοῦ οὐρανοῦ φοράν, οὐδεμία λέγεται τέλος, ἀλλ' ἐκεῖνο τὸ ἔσχατον, οἷον ἡ περὶ τὸ ἰσχναίνειν πρᾶξις οὐκ ἔστι τέλος, ἀλλ' ἡ ἰσχνασία. τὰ ἰσχναίνοντα δὲ ὅταν ἰσχναίνῃ, οὐ τέλος ἐστὶν ἐν κινήσει· ὥστε μὴ ὑπάρχοντος τοῦ τέλους, οὗ ἕνεκα ἡ κίνησις, οὐκ ἔστι καὶ τοῦτο ἡ πρᾶξις. ἡ πρᾶξις μὲν λέγεται καὶ αὐτή, ἀλλ' οὐ τελεία γε οὐδὲ τέλος· οὐδὲ γὰρ ὑγιάζεται καὶ ὑγίασται τὸ αὐτό, ἀλλὰ τὸ ὑγιάζεται κίνησις ἀτελής, τὸ δὲ ὑγίασται τέλος καὶ πρᾶξις. ὁμοίως καὶ τὸ εὐδαιμονεῖ καὶ εὐδαιμόνηκε, καὶ τὸ εὖ ζῇ καὶ τὸ εὖ ἐζηκὼς τῆς εὐζωΐας· ἀλλ' οὐκ ἔστιν ἥπερ καὶ ἐπὶ τοῦ ἑώρακε καὶ ὁρᾷ καὶ τοῦ νενόηκε καὶ νοεῖ. τὰ γοῦν τοιαῦτα ἐνέργειαν λέγω, ἐκεῖνα δὲ τὸ ὑγιάζεται καὶ τὸ ἰσχναίνει κινήσεις ἀτελεῖς.

ἐν τῷ Δ (c. 12) λέγων τὰ σημαινόμενα τῆς δυνάμεως καὶ 1048 b 37. ἐνεργείας, εἰρηκὼς ὅτι πότε δὴ τὰ τοιαῦτα καὶ δυνάμει καὶ ἐνεργείᾳ λέγεται καὶ πότε οὐ ἐν ἄλλοις διοριστέον, νῦν τὰ περὶ τοῦ ἐνεργείᾳ συμπερανάμενος καὶ εἰπὼν "τὸ μὲν οὖν ἐνεργείᾳ τί ἐστι καὶ ποῖον, δῆλον ἡμῖν ἐκ τῶν τοιούτων ἐστίν," ὅπερ ἐκεῖσε ἐπηγγείλατο εἰπεῖν, νῦν λέγει, ὅτι "πότε δυνάμει ἐστὶν ἕκαστον καὶ πότε οὔ, διοριστέον." οὐ γὰρ τὰ τυχόντα λέγεται. καὶ τάχα, εἴ τι συνίημι, τὴν ἑκάστῳ προσεχῆ ὕλην βούλεται δυνάμει λέγειν ἐκεῖνο εἶναι ὃ δύναται, τὴν δὲ πόρρω οὐδαμῶς. ἐρωτᾷ δή, ἆρα ἡ γῆ ἐστὶ δυνάμει ἄνθρωπος; καὶ ἐρωτήσας ἐπικρίνει "ἢ οὔ," ἤτοι οὐκ ἔστιν, ἀλλὰ μᾶλλον ὅταν γένηται σπέρμα. καὶ οὐδὲ τότε ἐστὶ δυνάμει ἄνθρωπος, ἀλλ' ὅταν ἐν τῷ θήλει καταβληθῇ. καὶ ἴσως οὐδὲ τοῦτο, εἰ μὴ ἐπιτήδειον εἴη τὸ δεξάμενον.

"ὅταν — τούτῳ." τί δὲ σημαίνει τοῦτο, ἐπήγαγε "καὶ τῇ 1049 a 9. ὕλῃ," ἴσον λέγων τῷ ὅτι τότε τοδὶ λέγεται οἰκία δυνάμει, ὅταν μηδὲν κωλύῃ τῶν ἐν τῇ ὕλῃ, οὐδ' ἔστι τῶν ἐν τῇ ὕλῃ, ὃ δεῖ προσγενέσθαι ἢ μεταβαλεῖν.

ὅταν μηδενὸς τῶν ἔξωθεν ἐμποδίζοντος ἔσται δι' αὐτοῦ, 1049 a 13. τουτέστιν ἐνεργοῦν ἀφ' ἑαυτοῦ, εἰ φυσικὸν εἴη, ὃ ἐδύνατο ἐνεργῆσαι· τὸ γὰρ "δι' αὐτοῦ" οὐ πρὸς ἄμφω ἀπεδόθη καὶ τὰ τεχνητὰ καὶ τὰ φυσικά, ἀλλὰ πρὸς μόνα τὰ φυσικά, "οἷον τὸ σπέρμα·" ἔξω δὲ ὁ σῖτος ὅταν ἐν τῷ ἀγγείῳ εἴη, οὐ λέγεται δυνάμει ὁ στάχυς· δεῖ γὰρ ἐν ἄλλῳ ἤτοι ἐν τῇ γῇ πεσεῖν καὶ μεταβάλλειν. ὅταν δὲ ἐν τῇ γῇ πέσῃ καὶ ἤδη διὰ τῆς ἐν αὐτῷ φυσικῆς ἀρχῆς ᾖ τοιοῦτον, τουτέστι δυνάμενον βλαστάνειν, τότε λέγεται δυνάμει ὁ στάχυς.

ἐπειδὴ ἡ ὕλη δυνάμει ἐστὶ τοῦ εἴδους, διὰ τοῦτο οὔ φαμεν τὸ σύν- 1049 a 19. θετον τὴν ὕλην· οὐ γὰρ λέγομεν τὸ κιβώτιον ξύλον, ἀλλὰ παρωνυμιάζοντές φαμεν αὐτὸ ἐκείνινον, οἷον ξύλινον. ἢ οὐ τοῦτο ἂν διὰ τούτου λέγοι, ἀλλ' ὅτι δῆλον ἐκ τούτου ἐστὶν ὡς ἡ πόρρω ὕλη οὐ λέγεται δυνάμει. τί δή ποτε; ὅτι οὐ παρωνυμιάζομεν τὰ πράγματα ἐκ τῆς πόρρω ἀλλ' ἐκ τῆς προσεχοῦς· λέγομεν γὰρ τὸ κιβώτιον ξύλινον ἐκ τῆς προσεχοῦς, ἀλλ' οὐ γήϊνον ἐκ τῆς πόρρω. ἢ οὐδὲ τοῦτο ἂν εἴη τὸ λεγόμενον, ἀλλ' οἶμαι κανόνα ἡμῖν παραδίδωσιν ὅπως τὴν ἐσχάτην ὕλην γνωρίζωμεν, καὶ ἧς οὐκ ἔστιν ἄλλη προτέρα, δυνάμει λέγων ὅτι ὅσα μὲν ἐξ ἄλλων παρωνυμιάζονται ἐκεῖνα προσεχεῖς εἰσὶν ὗλαι, καὶ οὐκ ἔστιν οὐδεμία τούτων ἐσχάτη· εἰς ἣν δὲ καταντήσομεν, ἥτις οὐκ ἐξ ἄλλης παρωνυμιάζεται, αὕτη ἐστὶν ἡ ἐσχάτη. καὶ ὅ τι βούλεται διὰ τούτων λέγειν, δῆλον πεποίηκεν εἰπὼν "πάλιν ἡ γῆ

φεύγει καὶ ἄγνωστον ἡμῖν γίνεται τὸ ἀδύνατον, καὶ ποῖόν ἐστι τοῦτο τὸ ἀδύνατον δείξας, λέγει ὅτι ἐκ τούτου δῆλόν ἐστιν ὡς εἰ τοῦ α ὄντος ἕπεται αὐτῷ ἐξ ἀνάγκης τὸ β, οὐ μὴν δυνατοῦ ὄντος τοῦ α ἔσται καὶ τὸ β δυνατόν, καὶ τοῦ α δυνατοῦ ὄντος καὶ τὸ β δυνατὸν ἔσται, καὶ ἀναγκαίου ἀναγκαῖον, καὶ ὑπάρχοντος τοῦ α ὑπάρχει καὶ τὸ β. εἰ δέ τις ἐνίσταται λέγων ὅτι τοῦ α ὄντος ἕπεται αὐτῷ ἐξ ἀνάγκης τὸ β, οὐ μὴν δυνατοῦ ὄντος τοῦ α ἔσται καὶ τὸ β δυνατόν, οὐδὲν κωλύει, φησίν, εἶναι τὸ β μὴ δυνατόν, δυνάμει λέγων ὡς εἰ τοῦ α δυνατοῦ ὄντος τὸ β οὐκ ἔστι δυνατόν, ἔσται ἀδύνατον· τοῦτο γὰρ ἀντίκειται τῷ δυνατῷ. ἔστω, φησί, τὸ α δυνατόν. οὐκοῦν ἐπειδὴ δυνατόν ἐστιν, ὑπάρχει. ψεῦδος μέν, οὐ μέντοι ἀδύνατος ἡ ὑπόθεσις. ἔστω οὖν ὑπάρχειν τὸ α, ὑπόκειται δὲ ὅτι τοῦ α ὄντος ἔστι καὶ τὸ β· ὥστε ἐπειδὴ τὸ α ἔστιν, ἔσται καὶ τὸ β διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. * ἀλλὰ καὶ οὐκ ἔσται· τὸ γὰρ ἀδύνατον οὐκ ἂν γένοιτό ποτε. εἰ δὲ τὸ εἶναι τὸ β μὴ ἦν ἀδύνατον, ψευδὴς ἡ ὑπόθεσις ἐξ ἧς τοῦτο συνέβη· αὕτη δέ ἐστιν ἡ λέγουσα ὅτι τοῦ α ὄντος δυνατοῦ οὐκ ἔσται τὸ β τὸ ἑπόμενον τῷ α δυνατόν. δῆλον ἄρα ὅτι τοῦ α ὄντος δυνατοῦ ἔσται καὶ τὸ β δυνατόν, εἴπερ οὕτως εἶχον τό τε α καὶ τὸ β. πῶς δὲ εἶχον, ἐπάγει, "ὥστε τοῦ α ὄντος ἀνάγκη καὶ τὸ β εἶναι". δείξας οὖν ὅτι εἰ τὸ α εἴη δυνατόν, καὶ τὸ τούτῳ ἐξ ἀνάγκης ἑπόμενον β δυνατόν ἐστι, δείκνυσιν ὅτι καὶ ὄντος τοῦ α ἔσται καὶ τὸ β, λέγων "ἐὰν δὴ οὕτως ἐχόντων ... τὸ αβ ἕξει ὡς ἐτέθη", ἤτοι ἂν τὸ αβ ἕξει ὡς ἐτέθη. ταῦτα δὲ εἰπὼν ἐπάγει "καὶ εἰ τοῦ α δυνατοῦ ὄντος ἀνάγκη καὶ τὸ β εἶναι," ὃ ἴσον ἂν εἴη τῷ οὕτω κεῖται καὶ δέδεικται, ὡς εἰ τὸ α εἴη δυνατόν, καὶ τὸ β ἔσται δυνατόν. εἰ δὲ οὕτως ἔχει, λέγομεν, φησίν, ὅτι εἰ καὶ εἴη τὸ α, ἀνάγκη εἶναι καὶ τὸ β· τὸ γὰρ λέγειν ὅτι εἰ τὸ α δυνατὸν εἴη, ἐξ ἀνάγκης ἕπεται τὸ εἶναι δυνατὸν καὶ τὸ β (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "τὸ γὰρ δυνατὸν εἶναι δυνατὸν καὶ τὸ β· τοῦτο γὰρ ἐξ ἀνάγκης τὸ β εἶναι, εἰ τὸ α δυνατόν"), τὸ οὖν λέγειν, εἰ τὸ α δυνατόν, ἐξ ἀνάγκης καὶ τὸ εἶναι τὸ β δυνατὸν συμβαίνει, τοῦτο σημαίνει ὅτι ἐὰν ᾖ τὸ α καὶ ὅταν ᾖ, τότε εἶναι καὶ τὸ β. τὸ δὲ "καὶ ὡς ἦν δυνατὸν εἶναι" ἴσον ἂν εἴη τῷ καὶ εἰ ἔστιν ἀναγκαῖον τὸ α, ἔσται καὶ τὸ β ἀναγκαῖον, καὶ εἰ δυνατόν, δυνατόν.

1047b 11. πρόσκειται ἔν τισι "συμβήσεται δέ· τὸ γὰρ μετρεῖσθαι ἀδύνατον· οὐ γὰρ δή ἐστι". cod. Reg.

1047b 16. ταῦτα δὲ λέγειν ἔοικεν ἀποτεινόμενος πρὸς τὸν Πλάτωνα, ὃς περὶ τῶν οὐρανίων σφαιρῶν, ὡς κἀν τοῖς περὶ Οὐρανοῦ (1 10) εἴρηται, λέγει ὡς γενηταὶ μέν εἰσιν αὗται καὶ διὰ τοῦτο φθαρῆναι δυνάμεναι, οὐ μέντοι γε φθαρήσονται. cod. Reg.

1047b 33. τὰς δ' ἄνευ λόγου δυνάμεις, εἴτε τοῦ ἐνεργεῖν εἴτε καὶ τοῦ πάσχειν, οὐκ ἀνάγκη ἐστὶ προενεργῆσαι.

1048a 6. καὶ τὰς μὲν ἀλόγους δυνάμεις ἀνάγκη, ὅταν πλησιάζῃ τό τε δυνάμενον ποιεῖν καὶ δυνάμενον πάσχειν, τὸ μὲν ποιεῖν ὡς δύναται ποιεῖν, τὸ δὲ πάσχειν ὡς δύναται πάσχειν.

1048a 8. καὶ αἱ μὲν ἄλογοι δυνάμεις κυρίως ἑνός εἰσι ποιητικαί, οἷον ἡ τοῦ πυρὸς τοῦ θερμαίνειν. τὸ δὲ κυρίως πρόσκειταί μοι, ὅτι ψύχει καὶ τὸ πῦρ κατὰ συμβεβηκός, σβεσθέν πως καὶ ἀπελθόν.... εἰ δέ τις λέγει ὅτι καὶ αἱ μετὰ λόγου δυνάμεις ἅμα τῷ πλησιάσαι ἐξ ἀνάγκης τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει ὥσπερ καὶ αἱ ἄλογοι (ἐξ ἀνάγκης γὰρ τὸ πυρ αμα τῷ πλησιασαι τῷ καυστῷ καίει), εἰ οὖν τοῦτό τις λέγει καὶ δίδωσι τὴν ἀνάγκην ταῖς μετὰ λόγου δυνάμεσιν ὥσπερ καὶ ταῖς ἀλόγοις, οὗτος οὐδὲν ἄλλο ἀξιοῖ ἢ ἅμα τὰ ἐναντία τῷ αὐτῷ παρεῖναι· ὡς γὰρ τὸ πῦρ δυνάμενον θερμαίνειν ἅμα τῷ πλησιάσαι τῷ θερμαντῷ ἐξ ἀνάγκης θερμαίνει αὐτό, οὕτω καὶ ὁ ἰατρὸς ἐπεὶ δύναται καὶ ὑγιάζειν καὶ νοσάζειν, εἰ ἐξ ἀνάγκης ἅμα τῷ πλησιάζειν ἐνεργεῖ ἃ δύναται, ἅμα ἂν ὑγιάζοι τὸν αὐτὸν καὶ νοσιάζοι. τοῦτο δὲ ἀδύνατον, τὸν αὐτὸν ἅμα ὑγιαίνειν καὶ νοσεῖν· ὥστε ἔστι τὸ κύριον ἐν ταῖς μετὰ λόγου δυνάμεσι τὸ μὴ ἐῶν τὰ ἐναντία ποιεῖν, ἀλλὰ θάτερον, οὗ ἂν ὀρέγηται· τοῦτο δ' ἔστιν ἡ ὄρεξις ἢ προαίρεσις· ὁποτέρου γὰρ ἂν κυρίως ὀρέγηται, τοῦτο καὶ ποιήσει.

ἐπειδὴ ἔδει προσκεῖσθαι ἐν τῷ προσδιορισμῷ τὸ καὶ μηδενὸς τῶν ἔξωθεν κωλύοντος, ἵν' ᾖ τὸ ὅλον τοιοῦτον, ὅτι τὸ δυνατὸν οὗ ἔχει τὴν δύναμιν καὶ ὡς ἔχει καὶ μηδενὸς ἔξωθεν κωλύοντος ποιήσει (εἰ γὰρ ἔχει δύναμιν τοῦ ποιῆσαι, κωλύεται δὲ ὑπό τινος, οὐ πάντως ποιήσει), — τοῦτο δὴ εἰπὼν καὶ προθείς, ὡς εἴρηται (τὸ γὰρ μηδενὸς τῶν ἔξωθεν κωλύοντος προσδιορίζεσθαι οὐδὲν ἔτι δεῖ), ἐπήγαγεν τὰ ἑπόμενα. ὡς γάρ ἐστιν ἡ δύναμις τοῦ ποιεῖν, οὕτως ἔχει αὐτήν· ἔχει δ' οὐχ ὡς ἔτυχε καὶ πάντως, ἀλλ' ὡδί πως ἔχον. ἐν οἷς, τῷ τε δυνατῶς ἔχειν καὶ τῷ ὡδί πως ἔχειν, συμπεριείληπται καὶ τὸ μηδενὸς τῶν ἔξωθεν κωλύοντος. ὁ γὰρ λέγων ὅτι τὸ ποιοῦν ποιεῖ ὡς ἔχει καὶ ὡδί πως ἔχον, λέγει καὶ τὸ μηδὲ κωλυόμενον ὑπό τινος· ἔνια γὰρ τῶν προσόντων τῷ προσδιορισμῷ, οἷον τὸ ἔχει ἢ τὸ ὡδί πως ἔχει, συμπεριειλημμένον ἔχει ἐν τούτοις τό τε μηδενὸς κωλύοντος μηδὲ ἐμποδίζοντος, καὶ ἀφαιρεῖται ταῦτα, λέγω δὴ τὸ μὴ κωλύειν μηδὲ ἐμποδίζειν, καὶ οὐκ ἐᾷ κεῖσθαι ἐν τῷ προσδιορισμῷ. καὶ ἐπεὶ τὸ ποιοῦν οὕτω ποιεῖ ὡς ἔχει καὶ ὡς δύναται, οὐ ποιήσει ἅμα νόσον καὶ ὑγίειαν ὁ ἰατρός· οὐ γὰρ οὕτως ἔχει τὴν δύναμιν ὥστε ἅμα ταῦτα ποιεῖν, ἀλλὰ ἀνὰ μέρος, ἐπεὶ "ὧν ἐστί," τουτέστιν ἐπεὶ ὧν ἔχει δύναμιν ὥστε ἅμα ποιεῖν αὐτά, οὕτως ποιήσει, ἤτοι ἅμα, ὡς ἔχει τὴν τοῦ ποιεῖν δύναμιν. 1048a 13.

τὸ δὲ "ἢ ἁπλῶς ἢ τρόπον τινά" πρόσκειται ὅτι εἴρηκεν ἐν τῷ Δ (c. 12) τῆσδε τῆς πραγματείας, ὅτε περὶ τοῦ δυνατοῦ διώριζεν, ὁσαχῶς λέγεται ὅτι δυνατὰ κινεῖσθαι, ἢ ὅταν ἁπλῶς καὶ ὡς ἔτυχεν εἴτε ἐπὶ τὸ χεῖρον καὶ τὴν φθορὰν εἴτε ἐπὶ τὸ κρεῖττον, λέγεται δυνατά, ἢ ὅταν μὲν ἐπὶ τὸ χεῖρον κινῇ, οὐ λέγεται δυνατά, ὅταν δὲ ἐπὶ τὸ κρεῖττον, λέγεται. τὸ οὖν ἁπλῶς εἴρηται ἀντὶ τοῦ ὡς ἔτυχε καὶ ἀδιορίστως, τὸ δὲ "τρόπον τινά" διωρισμένως. 1048a 29.

ταῦτα εἰπὼν τὰ περὶ τῆς ἐνεργείας διορίζεται, ἔστι λέγων ἐνέργεια ὅτε ὑπάρχει τὸ πρᾶγμα οὐχ ὥστε μὴ ἐνεργεῖν, δυνάμενον δὲ ἐνεργῆσαι. "τὸ δὲ ἐνεργείᾳ," τουτέστιν, ἀλλ' ἐκεῖνό ἐστιν ἐνέργεια τὸ οὕτως ἐνεργείᾳ ὂν καὶ ἐνεργοῦν, καθ' ὃ πρότερον μὴ ἐνεργοῦν, δυνάμενον δὲ ἐνεργῆσαι, ἤδη ἐνεργεῖ. οὕτω μὲν οὖν τὰ ἑξῆς ἐστὶ τῶν λεγομένων καὶ οὕτως ἀναγνωστέον. εἶτα τὸ "λέγομεν δὲ δυνάμει οἷον ἐν τῷ ξύλῳ Ἑρμῆν." καὶ εἰσὶ ταῦτα ἐξηγητικὰ τοῦ "μὴ οὕτως ὥσπερ λέγομεν δυνάμει." πῶς δὲ λέγομεν τὸ δυνάμει, ἐπάγει, "οἷον ἐν τῷ ξύλῳ." 1048a 31.

1047a 8. ὥσπερ τυφλόν ἐστι τὸ πεφυκὸς ὄψιν καὶ μὴ ἔχειν, ὅτε πέφυκε, καὶ ἔτι ὂν μὴ φθαρὲν οἱ αὐτοί τ. ἔσ. π. τ. ἢ μ.

1047a 10. ἔτι εἰ τὸ ἐστερημένον δυνάμεως, οἷον τοῦ ὁρᾶν, ἀδύνατόν ἐστι βλέψαι, καὶ τὸ μὴ γινόμενον κατ' αὐτοὺς ἀδύνατόν ἐστι γενέσθαι· ἐπειδὴ γὰρ ὅταν μὴ ἐνεργῇ τι οὐκ ἔχει δύναμιν, τὸ δὲ μὴ ἔχον δύναμιν οὐ δύναται τοῦτο ποιῆσαι οὗ τὴν δύναμιν οὐκ ἔχει, τὸ δὲ μὴ δυνάμενον ἀδύνατόν ἐστιν, ὃ δὲ ἀδύνατον γενέσθαι, οὐ γενήσεταί ποτε· εἰ οὖν τοῦτο, εἴπερ τις ἵσταται καὶ μὴ ἐνεργεῖ περὶ τὸ καθῆσθαι, οὐκ ἔχει τὴν δύναμιν τοῦ καθίσαι· εἰ δὲ μὴ δύναται, ἀδύνατόν ἐστι καθίσαι. εἰ δ' ἀδύνατόν ἐστι τοῦτο γενέσθαι, ὁ λέγων ἢ εἶναι ἢ ἔσεσθαι, τουτέστιν ἢ κάθηται ἢ καθεδεῖται, ψεύσεται· τὸ γὰρ ἀδύνατον τοῦτο σημαίνει τὸ μὴ δυνατὸν γενέσθαι· ὥστε ἀεὶ τὸ ἑστηκὸς ἑστήξεται· οὐκ ἔχει γὰρ τὴν τοῦ καθίσαι δύναμιν· καὶ τὸ καθήμενον ἀεὶ καθεδεῖται· ἀναστῆναι γὰρ οὐ δύναται· ὃ δὲ μὴ δύναται ἀναστῆναι, οὐκ ἀναστήσεται· ἀεὶ ἄρα καθεδεῖται. οὐ μόνον δὲ ταῦτα συμβαίνει λέγειν αὐτοὺς τὰ ἄτοπα (ὁρῶμεν γὰρ ὅτι καὶ ὁ καθήμενος ἀνίσταται καὶ ὁ ἀνιστάμενος πάλιν κάθηται), ἀλλ' ἐξαιροῦσι καὶ κίνησιν καὶ γένεσιν· οὕτω γὰρ δεῖ τὸ ῥητὸν ὑπερβατῶς ἀναγινώσκειν. ὅτι δὲ γένεσιν ἀναιροῦσιν δῆλον· πᾶσα γὰρ γένεσις ἐκ τοῦ δυνάμει πρόεισι· δύναμιν γὰρ ἔχον τόδε τι γενέσθαι τὸ καταμήνιον γίνεται· οὗτοι δὲ τὴν δύναμιν ἀναιροῦντες ἀναιροῦσι γένεσιν. εἰ δὲ γένεσιν, δηλονότι καὶ κίνησιν· τὰ γὰρ κινούμενα δυνάμει πρὸ τοῦ ἄρξασθαι κινεῖσθαι κινηθῆναι δύνανται.

1047a 26. εἰ γάρ τι δύναται καθίσαι καὶ ἐνδέχεται καθίσαι, τούτῳ εἰ ὑπάρξει τὸ καθῆσθαι, οὐδὲν ἀδύνατον συμβαίνει. ὁμοίως καὶ ἐπὶ τοῦ κινεῖσθαι

1047a 30. καὶ ἵστασθαι. "ἐλήλυθε — μάλιστα." ἐπειδὴ ἡ ἐνέργεια διχῶς λέγεται, ἕνα μὲν τρόπον αὐτὰ τὰ τέλη· τὸ γὰρ τῆς λευκάνσεως τέλος, τοῦτο δ' ἐστὶ τὸ λευκόν, ἐν ᾧ πέπαυται καὶ ἔστη ἡ λεύκανσις, ἐνέργεια λέγεται· ὡσαύτως δὲ καὶ τὰ τῶν ἄλλων κινήσεων τέλη ἐνέργειαι λέγονται, ἃ δὴ καὶ κυρίως αὐτὸς ἐντελεχείας καλεῖ. ἕνα μὲν οὖν δὴ τρόπον ἡ ἐνέργεια οὕτω λέγεται, ἄλλον δὲ πάλιν ἐνέργεια λέγεται αὐτὴ ἡ κίνησις. ἔστω δὲ πάλιν ὑποδείγματος χάριν αὐτὴ ἡ λεύκανσις, ἥτις καὶ δυνάμει ἐστὶ καὶ ἐντελεχείᾳ, δυνάμει μὲν ὅτι οὔπω εἰς ἐντελέχειαν καὶ τὸ τέλος ἀφῖκται, ἐντελεχείᾳ δὲ ὅτι ἔχει τι τῆς ἐντελεχείας καὶ τοῦ τέλους· ἐν γὰρ τῇ λευκάνσει καὶ ὅλως τῷ λευκαινομένῳ ἔνεστί τι τοῦ λευκοῦ καὶ τῆς ἐντελεχείας. διχῶς οὖν τῆς ἐνεργείας λεγομένης λέγει ὅτι ἡ ἐνέργεια ἡ πρὸς τὴν ἐντελέχειαν καὶ τὸ τέλος συντεθειμένη, τουτέστι τὸ τὴν ἐντελέχειαν ἐνέργειαν λέγεσθαι, ἐκ τῶν κινήσεων ἐλήλυθεν· ἐπειδὴ γὰρ κυρίως ἐνέργεια ἡ κίνησις λέγεται, καὶ τὸ τέλος ἐνέργεια διὰ τό, ὡς εἴρηται, τὴν ἐνέργειαν τὴν ἐν τῇ κινήσει θεωρουμένην διὰ τὸ τέλος γίνεσθαι. τὸ δὲ "καὶ ἐπὶ τὰ ἄλλα" οἶμαι διὰ τὴν τέχνην πρόσκειται, ὡς εἰ ἔλεγεν οὐ μόνον τὰ ἐν αὐτοῖς ἔχοντα τὴν κίνησιν καὶ τὸ κινοῦν αἴτιον ἐνέργειαι λέγονται, ἀλλὰ καὶ τὰ ἄλλα, ὧν ἐκτός ἐστι τὸ κινοῦν. καὶ τὸ πῶς ἐκ τῶν κινήσεων καὶ ἐπὶ τὰ ἄλλα κεῖται τὸ τῆς ἐνεργείας ὄνομα, ἐδήλωσεν εἰπὼν "δοκεῖ δὲ ἡ ἐνέργεια μάλιστα ἡ κίνησις εἶναι". καὶ τοῦτο εἰκότως· ἐν γὰρ τῷ τέλει μάλιστα ἠρεμία ἀλλ' οὐ κίνησίς ἐστι καὶ ἐνέργεια. ἐπειδὴ δὲ πᾶν τὸ κινούμενον ἢ ἐνεργοῦν ὄν τί ἐστιν, οὔ φαμεν τὴν μὴ οὖσαν οἰκίαν ἢ τὸ μὴ ὂν ζῷον κινεῖσθαι ἢ ἐνεργεῖν. εἰ γὰρ τὸ κινούμενον ἢ ἐνεργοῦν ὄν ἐστι, τὸ μὴ ὂν οὔτε κινεῖται οὔτε ἐνεργεῖν ἐστί. δι' αὐτὸ δὴ τοῦτο οὐδ' ἡ γένεσις κίνησίς ἐστιν, ὡς ἐν τῇ Φυσικῇ (5 1) δέδεικται.

εἰ καὶ δυνάμει ἐστὶν ἔνια τῶν μὴ ὄντων, τὸ ἔστιν αὐτῶν κατη- 1047b 1.
γορεῖται οὐχ ὅτι ἔστιν (οὐκ ἔστι γὰρ ὅτι οὐκ ἐντελεχείᾳ ἐστίν· ἐκεῖνα γάρ φαμεν εἶναι τὰ ἐντελεχείᾳ ὄντα), ἀλλὰ κατηγορεῖται αὐτῆς τὸ ἔστιν, ὅτι δύναται γενέσθαι καὶ ἔσεσθαι.

"εἰ — ἢ ἀκολουθεῖ." τουτέστιν εἰ δυνατὸν λέγεταί τι, καθὸ 1047b 3.
δύναται γενέσθαι, καὶ ἀκολουθεῖ αὐτῷ τὸ ἐνεργῆσαι, οὐκ ἔστιν ἀληθὲς τὸ λέγειν ὅτι ἔστι μέν τι δυνατόν, οὐκ ἔσται δὲ οὐδὲ δυνήσεται εἰς ἐνέργειαν ἐλθεῖν.

ὁ μὴ λογιζόμενος οὖν, φησί, μηδὲ νοῶν τὸ ἀδύνατον τί ποτέ 1047b 7.
ἐστι, καὶ τὴν διαφορὰν ἣν ἔχει πρὸς τὸ δυνατόν, ἐκεῖνος ἂν εἴποι ὡς οὐδὲν κωλύει τι δυνατὸν εἶναι ἢ γενέσθαι μὴ εἶναι μηδ' ἔσεσθαι. εἰ δ' ἐγίνωσκε τὴν τοῦ ἀδυνάτου φύσιν, οὐκ ἂν οὕτως ἀπερισκέπτως καὶ ἑτοίμως ἔλεγε τὴν διάμετρον καὶ τὸ ξύλον, ὅτι ἡ μὲν δυνατή ἐστι μετρηθῆναι καὶ οὐ μετρηθήσεται, τὸ δὲ καυθῆναι καὶ οὐ καυθήσεται, ἀλλ' ἐκείνην μὲν ἀνεκήρυττεν ἂν ὡς ἀδύνατός ἐστι μετρηθῆναι καὶ οὐ μετρηθήσεται, τοῦτο δὲ διισχυρίζετο ὅτι δυνατόν ἐστι καυθῆναι καὶ καυθήσεται. ἀλλὰ ταῦτα εἴποι ἂν ὁ ἀγνοῶν τὸ ἀδύνατον, ἐκεῖνο δέ ἐστι φανερὸν ἐκ τῶν κειμένων. κεῖται δὲ ὅτι τὸ δυνάμενον γενέσθαι καὶ γενήσεται, ὅτι εἰ ὑποθώμεθα τὸ μὴ ὂν μὲν δυνάμενον δὲ γενέσθαι ὅτι ἔστιν, οὐδὲν ἀδύνατον συμβήσεται. εἰ δέ γε τὸ μὴ ὂν μὲν ἀδύνατον δὲ γενέσθαι ὑποθοίμεθα, ἕψεται ἐκ τῆς τοιαύτης ὑποθέσεως ἀδύνατόν τι. εἰ γάρ σου καθημένου καὶ δυναμένου περιπατῆσαι ὅτε κάθησαι, ἀληθῶς λέγοι τις ὡς δύναται μὲν οὗτος ὁ καθήμενος περιπατῆσαι, οὐ μὴν περιπατήσει, ὁμοίως καὶ ἡ διάμετρος δύναται μετρηθῆναι καὶ οὐ μετρηθήσεται, ὑποτεθείη δὲ ταῦτα ἄμφω ὡς δυνατά, τό τε περιπατεῖν τὸν καθήμενον καὶ τὸ μετρεῖσθαι τὴν διάμετρον, ἐκ μὲν τοῦ περιπατεῖν τὸν καθήμενον οὐδὲν ἀδύνατον συμβήσεται, ἐκ δὲ τοῦ μετρεῖσθαι τὴν διάμετρον συμβήσεταί τι ἀδύνατον, τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις. εἰ οὖν οὐδὲν τοῦτο ἐκείνου διαφέρει, ὥσπερ ἐπ' ἐκείνου οὐδὲν συνέπιπτεν ἀδύνατον, οὕτως οὐδὲ ἐπὶ ταύτης. ἀλλὰ μὴν δοθέντος τοῦ τὴν διάμετρον μετρηθῆναι, συμβαίνει τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις, ὅπερ ἐστὶν ἀδυνατώτατον. τοῦτο δὲ συμβαίνει ἐκ τοῦ μὴ συνορᾶν τήν τε φύσιν καὶ τὴν διαφορὰν τοῦ ἀδυνάτου πρὸς τὸ δυνατόν, ἀλλ' ὥσπερ ἐπὶ τοῦ δυνατοῦ, οὕτω καὶ ἐπὶ τοῦ ἀδυνάτου λέγειν ὅτι δυνατὸν μέν ἐστιν, οὐ μέντοι ἔσται· ὥστε δῆλον ὅτι εἴ τι δυνατόν ἐστι, καὶ ἔσται. συμβαίνει δὲ τὸ ἀδύνατον τοῦτο, λέγω δὴ τὸ τὰ ἀρτι[illegible] εἶναι τοῖς περιττοῖς, οὐ παρὰ τὴν ὑπόθεσιν τὴν λέγουσαν ὅτι δεδόσθω ὅτι μετρεῖται ἡ διάμετρος· εἰ γὰρ παρὰ τὴν ὑπόθεσιν ἦν, συνέβαινεν ἂν ἀδύνατόν τι καὶ ἐπὶ τοῦ καθημένου λεγομένου δὲ περιπατεῖν· ἐκεῖ μὲν γὰρ τὸ συναγόμενον ψεῦδος, ἀλλ' οὐκ ἀδύνατον, τὸ δὲ ἐνταῦθα καὶ ψεῦδος καὶ ἀδύνατον. ὥστε εἰ ταὐτὸν ἦν τὸ ψεῦδος καὶ τὸ ἀδύνατον, οὐδὲν ἂν διέφερον αἱ ὑποθέσεις ἥ τε τὸν οὐ καθήμενον περιπατεῖν ὑποθεμένη καὶ ἡ τὴν διάμετρον μετρεῖσθαι λέγουσα· ἐπεὶ δὲ ἕτερα ταῦτα, ἕτεραι καὶ αἱ ὑποθέσεις. "ἅμα δὲ δῆλον ὅτι εἰ τοῦ α ὄντος ἀνάγκη καὶ τὸ β εἶναι." δείξας ὅτι ὁ δυνατὸν εἶναι μόνον οἰόμενος ὅταν ἐνεργῇ, οὗτος τὸ ἀδύνατον καὶ τὸ δυνατὸν ποιεῖ ταὐτὸν καὶ δια-

τὸ ἀπὸ τοῦ τέσσαρα τετράγωνον, ὅ ἐστι τὸ δεκαέξ, τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τοῦ δύο, ὅπερ ἐστὶ τὸ τέσσαρα. τοῦτο δὲ καθ' ὁμοιότητα λέγεται τῆς κυρίως δυνάμεως· διὰ γὰρ τὸ τὴν κυρίως δύναμιν πάντα δύνασθαι, δύναται δέ τι καὶ ἡ εὐθεῖα, λέγεται καὶ ἡ εὐθεῖα δύναμις. λέγεται οὖν δὴ δυνατὰ καθ' ὁμοιότητα καὶ ἀδύνατα τῷ εἶναί πως ἢ μὴ εἶναι· διπλασίου γὰρ οὔσης τῆς εὐθείας, λέγεται δύνασθαι τετραπλάσιον, μὴ οὔσης δὲ λέγεται μὴ δύνασθαι.

1046 a 11. τὸ δὲ "ἢ ἄλλο" πρόσκειται, ἐπειδὴ νοσῶν τις ἰάσαιτ' ἂν ἑαυτόν, καὶ ἔστιν ἐν αὐτῷ ἡ δύναμις τοῦ ὡδὶ παθεῖν αὐτόν, ἀλλ' οὐ καθ' αὐτὸ τοῦτο ὑπάρχει αὐτῷ ἀλλὰ καθὸ ἄλλο. ἐπειδὴ δὲ τῶν δυνάμεων αἱ μέν εἰσιν αἰτίαι τοῦ μεταβάλλειν τὰ ἐν οἷς ἐστὶν ἐπὶ τὸ χεῖρον, αἱ δὲ οὐκ εἰσί, διορίζει καὶ περὶ αὐτῶν λέγων "ἡ μὲν γὰρ τοῦ παθεῖν ἐστὶ δύναμις, ἡ ἐν αὐτῷ τῷ πάσχοντι ἀρχὴ μεταβολῆς παθητικῆς ὑπ' ἄλλου ἢ ἄλλο," τουτέστι τῶν δυνάμεων ἡ μέν ἐστιν ἐν αὐτῷ τῷ πάσχοντι ὡς ἀρχὴ μεταβολῆς, οὐχὶ τοῦ μὴ πάσχειν ἀλλὰ τοῦ πάσχειν ὑπ' ἄλλου, ὥσπερ εἴρηται ἐπὶ τοῦ κηρίνου ἀνδριάντος. ἡ μὲν οὖν τῶν δυνάμεών ἐστι τοιαύτη, ἡ δέ ἐστιν οὐκ ἀρχὴ τοῦ πάσχειν ὑπ' ἄλλου, ἀλλὰ μᾶλλον ἕξις ἀπαθείας τῆς ἐπὶ τὸ χεῖρον.

1046 a 17. πάλιν τῶν δυνάμεων αἱ μέν εἰσι τοῦ μόνον παθεῖν αἱ δὲ τοῦ καλῶς· πῶς δὲ ταῦτα λέγεται, εἴρηται ἡμῖν ἐν τῷ Δ ταύτης τῆς πραγματείας πλατύτερον, ὅτε περὶ τῶν τῆς δυνάμεως σημαινομένων ἔλεγεν (c. 12).

1046 a 20. διὰ γὰρ τὸ ἔχειν τινὰ δύναμιν καὶ ἀρχήν, καὶ ὅλως διὰ τὸ εἶναι τὴν ὕλην ἀρχήν τινα, πάσχει τὸ πάσχον καὶ ἄλλο ὑπ' ἄλλου· καυστὸν γάρ ἐστι τὸ λιπαρὸν καὶ θλαστὸν καὶ ὑπεῖκον ὡδί.

1046 a 26. καὶ τῶν δυνάμεων ἡ μέν ἐστιν ἐν τῷ πάσχοντι ἡ δὲ ἐν τῷ ποιοῦντι.

1046 a 28. ὥστε εἰ τὸ ποιοῦν ἕτερόν ἐστι τοῦ πάσχοντος, δῆλον ὅτι τὸ συμπεφυκὸς καὶ ἓν ὂν καὶ συνεχὲς οὐ πείσεται ὑφ' ἑαυτοῦ· τὸ γὰρ πάσχον ἕτερον εἶναι δεῖ τοῦ ποιοῦντος. ὥσπερ δὲ ἡ δύναμις καὶ τὸ δυνατὸν ἕξις ἐστίν, οὕτως ἡ ἀδυναμία ἡ τῇ τοιαύτῃ δυνάμει ἐναντία στέρησίς ἐστιν· ὥστε τοῦ αὐτοῦ καὶ κατὰ τὸ αὐτὸ πᾶσα δύναμις ἀδυναμία.

1046 b 2. διὸ πᾶσαι αἱ τέχναι αἵ τε ποιητικαί, ἥ τε οἰκοδομικὴ καὶ ἡ ναυπηγική, καὶ αἱ ἐπιστῆμαι (κοινότερον δὲ τέχνας εἶπε τὰς ἐπιστήμας) δυνάμεις εἰσίν.

1046 b 13. "ἀποφάσει γὰρ καὶ ἀποφορᾷ," τουτέστι στερήσει (τὸ γὰρ ἀποφορᾷ τοῦ στερήσει ἐστὶ δηλωτικόν) οἷον τὸ ἐναντίον... λέγει δὲ ἐνεργείας στέρησιν πρώτην, εἰ ὅτε πέφυκεν ἔχειν καὶ ὡς πέφυκεν ἔχειν καὶ ὃ πέφυκεν ἔχειν μὴ ἔχει, δευτέραν δὲ στέρησιν τὸ ὅλως μὴ ἔχειν.

1046 b 15. αὕτη δ' ἐστὶν ἀποφορὰ τῆς ἕξεως· ταύτην γὰρ εἶπε θάτερον.

ἢ πρώτην στέρησιν ἐνταῦθα λέγει τὴν ἐν τῷ δεκτικῷ, πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων στερήσεων τῶν ἁπλῶς λαμβανομένων καὶ μὴ ἐν τοῖς δεκτικοῖς· οὕτω γὰρ ὁ ἡμέτερος καθηγητὴς ἐξηγήσατο. ἤγουν, ὡς εἴρηται, τὴν ἐν τῷ δεκτικῷ στέρησιν καὶ πρώτην ὀνομάζει στέρησιν. cod. Reg.

1046 b 17. "τῷ λόγ. ἔχ.," τουτέστιν ἐν τῷ λόγον ἔχοντι. ἢ ἡ ἐπιστήμη ἐστὶ δύναμις τῷ λόγον ἔχειν, ἀντὶ τοῦ, ἡ ἐπιστήμη δύναμίς ἐστιν ἐν τῷ ἔχειν λόγον καὶ αἰτίαν τοῦ ἐπιστητοῦ ὅπερ ἔχει. καὶ ἔχει ἡ ψυχὴ ἀρχὴν κινήσεως τὴν ἐπιστήμην· κινεῖ γὰρ αὐτήν, ὡς ἔφαμεν, εἰς θεωρήματά τινα καὶ εὑρέσεις.

"ὁ δ' ἐπιστήμων ἄμφω," διὰ τὸ τὸν λόγον τὸν ἐν τῷ ἐπιστήμονι 1046 b 19.
ἀμφότερα γινώσκειν, εἰ καὶ μὴ ὁμοίως. ἔστι δ' ὁ τοιοῦτος λόγος ἤτοι ἡ ἐπιστήμη ἡ ἐν ψυχῇ, ἥτις ψυχὴ ἔχει τὸν λόγον ἢ τὴν ἐπιστήμην ἀρχὴν κινήσεως.

"πρ. τὸ αὐτὸ σ." τὸ αὐτὸ λέγει τὸ λογικόν... "πρὸς τὸ αὐτό," 1046 b 22.
τουτέστι τὸ λογικόν... ἐπεὶ καὶ ἡ στέρησις καὶ ἡ ἕξις ἐν μιᾷ εἰσὶν ἀρχῇ, τῷ λόγῳ ἤτοι τῷ λογιστικῷ, ἀμφότερα ποιήσει ἡ ψυχή.

"τοῦ μόνον ποιῆσαι δύναμις"· τῷ γὰρ εὖ γράφοντι ἀκολουθεῖ 1046 b 25.
καὶ τὸ μόνον γράφειν, τῷ δὲ μόνον γράφοντι οὐκ ἀκολουθεῖ τὸ εὖ γράφειν· διότι ἐκείνῳ μὲν πάρεστιν ἀμφοῖν δύναμις, τῷ δὲ μόνον γράφοντι οὐδαμῶς.

Μεγαρικοὺς λέγοι ἂν τοὺς περὶ Εὐκλείδην (Ζήνωνα A)· οὗτος 1046 b 29.
γὰρ εἰς τὰ Μέγαρα τὸ διδασκαλεῖον εἶχε. λέγει δὲ ὅτι οἱ Μεγαρικοὶ δύναμιν καὶ ἐνέργειαν ταὐτὸν ποιοῦσιν.

οἱ περὶ Ζήνωνα. cod. Reg. Ἐλεατῶν ὁ Ζήνων, ὦ φιλόσοφε, Ἐλεᾶται δὲ οὐκ ἐν Μεγάροις, ἀλλ' ἐν τῇ Ῥώμῃ. ibid. in marg.

τὸ δὲ "οὐ γὰρ δὴ τοῦ γε πράγματος" τοιοῦτον ἂν εἴη ὅτι τὴν 1047 a 2.
τέχνην μὴ ἔχειν τότε συμβαίνει, ὅταν λήθῃ ἢ χρόνῳ ἢ πάθει ὁ ἔχων αὐτὴν ἀποβάλλῃ, οὐ μὴν τοῦ γε πράγματος καὶ τῆς ὕλης φθαρείσης· εἰ γὰρ ὑποθώμεθα ὅτι ἀνῄρηται πᾶς λίθος, οὐ συμβήσεται τῇ τούτων ἀναιρέσει ἀποβαλεῖν τὴν οἰκοδομικὴν τέχνην τὸν οἰκοδόμον, ἀλλ' ἕξει ταύτην καὶ λίθων μὴ ὄντων. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τὸ δὲ "ἀεὶ γάρ ἐστιν" ἴσον ἐστὶ τῷ, εἰ ἀληθῆ ἐστὶν ἅπερ εἴπομεν, καὶ ἀδύνατόν ἐστι τὸ μὴ μαθόντα ἔχειν, καὶ ἔμπαλιν ἀδύνατόν ἐστι μὴ ἔχειν τὸν μὴ ἀποβαλόντα, καὶ ὅτι οὐκ ἀνάγκη τῆς ὑποκειμένης ἑκάστῃ τέχνῃ ὕλης φθαρείσης εὐθὺς τὴν τέχνην ἀποβάλλειν, ἀλλὰ καὶ ταύτης μὴ οὔσης οὐδὲν ἧττον ἐνδέχεται πάλιν τὴν τέχνην ἔχειν, πῶς, ὅταν παύσηται ὁ οἰκοδόμος τοῦ οἰκοδομεῖν, κατὰ τὴν τῶν Μεγαρικῶν δόξαν τε καὶ ἀπόφασιν, οὐχ ἕξει τὴν οἰκοδομικήν; εἰ δὲ τοῦτο, πῶς λαβὼν πάλιν εὐθὺς οἰκοδομήσει; κεῖται γὰρ ὅτι ἀδύνατόν ἐστι τὴν τοιαύτην ἔχειν τέχνην μὴ μαθόντα, αὐτὸς δὲ ἅμα τῷ παυθῆναι τοῦ οἰκοδομεῖν μὴ μαθὼν πάλιν εὐθὺς οἰκοδομήσει. εἰ δὲ ἅμα τῷ παύσασθαι τοῦ οἰκοδομεῖν εὐθὺς πάλιν οἰκοδομεῖ, δῆλον ὅτι εἶχε καὶ μὴ οἰκοδομῶν τὴν οἰκοδομικὴν καὶ ἠδύνατο οἰκοδομῆσαι. εἰ γάρ, ὡς αὐτοί φασιν, ἅμα τῷ οἰκοδομεῖν ἀπέβαλε τὴν τοῦ οἰκοδομεῖν δύναμιν, πῶς πάλιν μὴ μαθὼν μήτε διὰ μαθήσεως λαβὼν αὐτήν (τοῦτο γὰρ εἴληπται) οἰκοδομεῖ; ἄλλως τε ἐπεὶ ὑπόκειται τότε μὴ ἔχειν τὴν τέχνην, ὅταν ἢ λήθῃ ἢ χρόνῳ ἢ πάθει τινὶ ταύτην ἀποβάλλῃ, οὐδὲν δὲ γέγονε τοιοῦτον περὶ τὸν οἰκοδόμον, πῶς οἷόντε λέγειν, ὅταν μὴ οἰκοδομῇ, τὴν τοιαύτην οὐκ ἔχειν δύναμιν;

ὁ γὰρ Πρωταγόρας ἔφασκε μὴ εἶναι μήτε γλυκὺ μήτε ἄλλο 1047 a 6.
μηδέν, ἀλλ' οἷα ἂν αὐτὰ κρίνῃ ἡ αἴσθησις, τοιαῦτα καὶ ἔστιν. εἰ δὲ ἐκεῖνος ἐλήλεγκται πρότερον ἐν ταύτῃ τῇ πραγματείᾳ καὶ δέδεικται ψευδόμενος, δηλονότι καὶ οὗτοι ψεύδονται.

λέγει δὲ ὅτι εἰ καὶ ὅπερ ὄν τι καὶ ὅπερ ἕν τι ἐστὶ τὸ τόδε, τὸ ποσόν, τὸ ποιόν, ἀλλ' οὖν οὐκ ἔστι γένος αὐτῶν οὔτε τὸ ὂν οὔτε τὸ ἕν· γενικώτατα γάρ εἰσι γένη, κατηγορεῖται δ' αὐτῶν, ὡς πολλάκις εἴρηται, τὸ ὂν καὶ τὸ ἕν, ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. καὶ διὰ τὸ μηδὲ εἶναι αὐτῶν γένος τὸ ὂν καὶ τὸ ἕν, οὐδὲ λαμβάνεται ἐν τοῖς ὁρισμοῖς αὐτῶν, ὁρισμοὺς λέγων τὰς ὑπογραφάς· οἱ γὰρ ὁρισμοὶ ἐκ γενῶν καὶ διαφορῶν εἰσί, τούτων δ' οὐκ ἔστι γένη. εἰ δὴ τοῦτο, οὐδὲ ὁρισμοὶ αὐτῶν εἰσίν, καὶ ἔστι τοῦ τόδε καὶ τοῦ ποσοῦ καὶ τῶν λοιπῶν εὐθὺς τὸ τί ἦν εἶναι τὸ ἕν τι εἶναι καὶ ὄν τι· καὶ διὰ τοῦτο, λέγω δὴ διὰ τὸ εἶναι αὐτοῖς τὸ τί ἦν εἶναι τὸ ὅπερ ἕν τι καὶ ὅπερ ὄν τι, οὐδ' ἔστιν ἕτερόν τι αἴτιον οὐδενὶ τούτων τοῦ ἓν εἶναι καὶ ὄν· εἰ μὲν γὰρ ἦν γένος ἢ τὸ ὂν ἢ τὸ ἕν, τοῦτο δὲ καὶ τοῦ ποσοῦ, ὥσπερ ἀνθρώπου τὸ ζῷον, ἦν ἂν οὕτως αἴτιόν τι τοῦ ἓν εἶναι αὐτὰ καὶ ὄν. ἀλλ' εἰ καὶ τοιαῦτά ἐστιν ἥ τε οὐσία καὶ τὸ ποιὸν καὶ τὸ ποσόν, ὅμως οὐκ εἰσὶ χωριστὰ τῶν καθ' ἕκαστα ἀλλ' ἐν αὐτοῖς. ταῦτα δὲ εἰπὼν πάλιν ἐπανατρέχει ἐπὶ τὰ πρότερα, λέγων "διὰ ταύτην δὲ τὴν ἀπ."

1045 b 9. ὥσπερ ὁ Πλάτων μεθέξει τῶν ἰδεῶν εἶναι τὰ τῇδε (φησί), τί δὲ τὸ αἴτιον τῆς μεθέξεώς ἐστι, καὶ ὅλως τί τὸ μετέχειν καὶ ὅπως τοῦτο δυνατὸν συμβαίνειν, ἀποροῦσι καὶ οὐκ ἔχουσιν εἰπεῖν. οἱ δέ φασι συνουσίαν ψυχῆς, ὥσπερ Λυκόφρων ὁ σοφιστὴς τὴν ἐπιστήμην λέγων συνουσίαν τοῦ ἐπίστασθαι καὶ ψυχῆς. κάλλιον δ' ἂν καὶ σαφέστερον ἦν, εἰ οὕτω πως εἶχεν ἡ γραφή "τὴν ἐπιστήμην τοῦ ἐπίστασθαι συνουσίαν καὶ ψυχῆς." ἐρωτώμενος γὰρ ὁ Λυκόφρων, τί τὸ αἴτιον τοῦ τὴν ἐπιστήμην καὶ τὴν ψυχὴν ἓν εἶναι, ἔλεγεν ὅτι ἡ συνουσία. οἱ δὲ τὸ ζῷον ἔλεγον ὡς ἔστι σύνδεσμος ψυχῆς ἐν τῷ σώματι.

1045 b 16. αἴτιον δέ, φησίν, αὐτοῖς τοῦ ταῦτα λέγειν, ὅτι ζητοῦντες τί τὸ αἴτιον τοῦ τὸν χαλκὸν τὸν δυνάμει ὄντα τρίγωνον ποιῆσαι αὐτὸν ἐνεργείᾳ τρίγωνον, καὶ μὴ δυνάμενοι λόγον ἑνοποιὸν ἤτοι αἰτίαν καὶ διαφορὰν ἀποδοῦναι τοῦ πῶς ἕν εἰσι, ταῦτα ἔλεγον· εἰ γὰρ ἠδυνήθησαν εὑρεῖν καὶ ἀποδοῦναι λόγον καὶ αἰτίαν ἑνοποιὸν τοῦ τί τὸ ἑνοῦν τὸ δυνάμει ἤτοι τὴν ὕλην καὶ τὴν ἐνέργειαν, τουτέστι τὸ εἶδος, οὐκ ἂν εἰς τοιαῦτα ἐξετράπησαν. ὥσπερ δὲ πολλάκις εἴρηται ὅτι ἡ ὕλη ἡ ἐσχάτη (αὕτη δ' ἐστὶν ἡ προσεχής· νῦν γὰρ ἐσχάτην αὐτὴν εἶπε) καὶ τὸ εἶδος ἕν ἐστιν· ὥστε τοῦ ταῦτα ἓν εἶναι οὐκ ἄλλο τι τὸ αἴτιον ἢ τὸ κινοῦν τὴν ὕλην ἐκ δυνάμεως εἰς ἐνέργειαν. ὅσα δέ, ὥσπερ εἴρηται, μὴ ἔχει ὕλην, πάντα ἁπλῶς καὶ κυρίως ὅπερ ἕν τι εἰσὶ καὶ ὅπερ ὄν. καὶ ὅρα δὴ τὸ διδασκαλικὸν καὶ δαιμόνιον τοῦδε τοῦ ἀνδρός, ὅπως ἐκ τῶν ὑστέρων (οὐ γὰρ ἄλλως ἐνῆν τοῦτο ποιῆσαι) καὶ ἡμῖν γνωρίμων ἐπὶ τὸν πολυτίμητον πατέρα καὶ ποιητὴν πάντων θεὸν ἀγαγεῖν ἡμᾶς μεθοδεύει, καὶ δεῖξαι ὅτι ὡς ὁ χαλκεὺς αἴτιός ἐστι τοῦ τὸν χαλκὸν καὶ τὴν σφαῖραν ἓν εἶναι, οὕτως καὶ ἡ ἑνοποιὸς αὐτοῦ καὶ δημιουργικὴ δύναμις πάντων τῶν ὄντων αἰτία ἐστὶ τοῦ ἔχειν ὥσπερ ἔχει.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Θ.

1045 b 27. Εἰπὼν ἐν τῷ Ζ καὶ Η περὶ τοῦ καθ' αὑτὸ ὄντος, ἐν τούτῳ λέγει περὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ. ἐπειδὴ γὰρ τὸ ὂν λέγεται κατὰ τοῦ δυνάμει καὶ ἐνεργείᾳ, ἡ δὲ παροῦσα μέθοδος περὶ τοῦ ὄντος ἐστίν, ἐν τῷ παρόντι βιβλίῳ λέγει περὶ δυνάμεως καὶ ἐνεργείας. λέγειν δὲ περὶ ἐνεργείας ἀναγκαῖον· ὡς γὰρ δείξει, τὸ πρῶτον αἴτιον, ὃ ζητοῦμεν ἐνταῦθα, οὐδὲν ἄλλο ἐστὶν ἢ ἐνέργεια. ὑπομιμνήσκει δὲ πάλιν ἡμᾶς τῶν ῥηθέντων καὶ δειχθέντων, ὅτι περὶ τοῦ πρώτου ὄντος, ὅπερ ἐστὶν ἡ οὐσία, δι' ἣν καὶ αἱ ἄλλαι κατηγορίαι ὄντα λέγονται· κατὰ γὰρ τὸν λόγον τῆς οὐσίας αὐτῆς οὐσία ἐστὶ πάντα τὰ ὄντα καὶ λέγεται. καὶ τὴν αἰτίαν τοῦ διὰ τὴν οὐσίαν πάντα τὰ ὄντα λέγεσθαι ἐπήγαγεν, εἰπὼν "πάντα γὰρ ἕξει τὸν τῆς οὐσίας λόγον, ὥσπερ εἴπομεν ἐν τοῖς πρώτοις". εἰ γὰρ ἀκριβῶς τις ὁρίζεται τὸ ποσὸν ἢ τὸ ποιὸν ἢ ἄλλην τινὰ τῶν κατηγοριῶν, εἰς τὸν ὁρισμὸν αὐτὸν ἐξ ἀνάγκης τὴν οὐσίαν παραλήψεται, ὥσπερ καὶ εἰς τὸν τῆς σιμότητος τὴν ῥῖνα. εἰ δὲ τοῦτο, δῆλον ὡς διὰ ταύτην ὄντα λέγεται· περὶ γὰρ τούτων εἴρηται.

1045 b 34. τὸ κατὰ ἐντελέχειαν καὶ κατὰ τὸ ἔργον ὁ μὲν Ἐφέσιος ἐκ παραλλήλου φησὶ δηλοῖ τὸ αὐτό· μήποτε δὲ βέλτιόν ἐστιν οὕτως αὐτὸ ἐξηγήσασθαι. ἡ ἐντελέχεια, ἢ καὶ ἐνέργεια, ὡς πολλαχοῦ ὁ Ἀριστοτέλης διδάσκει, διττή, ἡ μὲν ἡ κατ' αὐτὴν τὴν ἐνέργειαν λεγομένη, ὡς εἴ τις λέγοι τὸν οἰκοδόμον ἐνεργείᾳ οἰκοδόμον ὅτε οἰκοδομεῖ καὶ πρὸς αὐτῷ τῷ ἔργῳ ἐστίν, ἡ δὲ ὅτε μὴ ἐνεργεῖ μὲν ἐν τῷ τέως, δύναται δ' ὅτε βούλοιτ' ἂν ἐνεργεῖν κτλ. cod. Reg.

ἐκ παραλλήλου δὲ τὸ ἐνεργείᾳ καὶ τὸ κατὰ τὸ ἔργον κεῖται.

1045 b 36. λέγοι δὲ ἂν κυρίως δύναμιν τὴν πρώτην καὶ ἀνείδεον ὕλην· δυνάμει γάρ πώς ἐστιν, ἥτις κἂν πρώτη δύναμις ᾖ, ἀλλ' οὖν οὐκ ἔστι χρησιμωτάτη πρὸς ὃ βουλόμεθα νῦν· ἄϋλον γάρ τι καὶ ἁπλοῦν καὶ ἀσώματον ζητοῦμεν, ἀλλ' οὐκ ἔνυλόν τι καὶ σύνθετον. τὸ δὲ "ἐπὶ πλέον γάρ ἐστιν ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν μόνον λεγομένων κατὰ κίνησιν" τοιοῦτον ἂν εἴη· τὸ δυνάμει καὶ ἐνεργείᾳ ὂν ἐπὶ πλέον ἐστὶ τοῦ δυνάμει μόνον ὄντος· ἔχει γὰρ ἀμφότερα, τό τε δυνάμει καὶ ἐνεργείᾳ, ἐκεῖ δε τὸ δυνάμει μόνον, τὸ δὲ τὰ δύο πλουτῆσαν τοῦ τὸ ἓν ἐπὶ πλέον ἐστίν. οὐ μόνον δὲ τὸ δυνάμει καὶ ἐνεργείᾳ ἐπὶ πλέον ἐστὶ τοῦ δυνάμει μόνον, ἀλλὰ καὶ τοῦ ἐνεργείᾳ μόνον. τὴν δὲ δύναμιν κίνησιν εἶπε νῦν, ἢ κίνησιν τὴν ἐνέργειαν εἶπεν, ἵν' ᾖ τὸ λεγόμενον, ἐπὶ πλέον γάρ ἐστιν ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν κατὰ κίνησιν ἤτοι κατ' ἐνέργειαν μόνον λεγομένων. ἔστι δὲ δυνάμει μόνον ἡ πρώτη καὶ ἀνείδεος ὕλη, δυνάμει δὲ καὶ ἐνεργείᾳ πῦρ γῆ καὶ τὰ σύστοιχα τούτοις· τὸ γὰρ ἐνεργείᾳ ὂν πῦρ δυνάμει ἐστὶν ἀήρ. ἀλλ' εἰ καὶ ἐπὶ πλέον ἐστὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ τοῦ δυνάμει μόνον ἢ τοῦ ἐνεργείᾳ μόνον, ὅμως εἰπόντες περὶ τῆς κυρίως δυνάμεως ἐν τοῖς περὶ τῆς ἐνεργείας ὁρισμοῖς δηλώσομεν, φησί, καὶ περὶ τῶν ἄλλων δυνάμεων.

1046 a 7. ἔνια γὰρ ὁμοιότητί τινι λέγονται, ὥσπερ ἐν γεωμετρίᾳ· ἐκεῖ γὰρ λέγεται ὅτι εἰ ἔστιν ἥδε ἡ εὐθεῖα διπλασία τῆσδε, καὶ ὃ δύναται τετράγωνον τετραπλάσιόν ἐστι τοῦ τετραγώνου ὃ δύναται ἡ λοιπή. τοῦτο δὲ φανερὸν ἔσται ἐπὶ ἀριθμοῦ· ὁ γὰρ τέσσαρα διπλάσιος ὢν τοῦ δύο

λύτω καὶ τί πρῶτον πεπονθὸς ὁ ὕπνος γέγονε, πότερον ἡ καρδία ἢ ἄλλο τι ἐστίν;

1044 b 20. "ἐπειδὴ — εἴδη." τὸ γὰρ εἶδος ἀχρόνως καὶ ἐν ἀτόμῳ νῦν γίνεται, ὡς ἔδειξεν ἐν τῷ Η τῆς Φυσικῆς Ἀκροάσεως (c. 3?). καὶ κατασκευάζει αὐτὸ τοῦτο τὸ μὴ γίνεσθαι τὸ εἶδος λέγων "οὐ γ. τ. λ. γ."... ἐπεὶ τοίνυν ἔνια ἄνευ γενέσεως εἰσί τε καὶ αὖ πάλιν οὐκ εἰσί, πᾶν δὲ τὸ γινόμενον ἔκ τινος γίνεται καί τι γίνεται, λευκὸν ἢ ἄνθρωπος, οὐ πάντα ἂν τἀναντία γίνοιντο ἐξ ἀλλήλων.

1044 b 26. ὁ μὲν γὰρ λευκὸς ἄνθρωπος ὡς ἐξ ὕλης τοῦ μέλανος γίνεται ἀνθρώπου, τὸ δὲ λευκὸν ἐκ τοῦ μέλανος ὡς τόδε μετὰ τόδε καὶ ὡς εἶδος ἐκ στερήσεως, ὥσπερ δεῖπνον μετὰ τὸ ἄριστον.

1044 b 30. ἐπειδὴ ἡ ὑγίεια καὶ ἡ νόσος ἐναντία, ἔστι δὲ τὸ σῶμα δυνάμει, ὑγιεινὸν ἄρα, φησί, καὶ δυνάμει νοσῶδές ἐστι, καὶ τὸ ὕδωρ δυνάμει οἶνος καὶ ὄξος. καὶ ἐρωτήσας ἐπικρίνει λέγων "ἢ τοῦ μὲν — ὕλη," τουτέστι τῆς μὲν ὑγιείας ἐστὶ τὸ σῶμα ὕλη ὡς ἕξεως καὶ εἴδους, τῆς δὲ νόσου ὡς στερήσεως καὶ φθορᾶς τῆς παρὰ φύσιν.

1044 b 36. καὶ ὁ ζῶν δὲ διὰ τί οὐκ ἔστι δυνάμει νεκρός, καὶ ἔστιν ὕλη ὁ ζῶν τοῦ νεκροῦ; καὶ λύει λέγων "ἢ οὔ, ἀλλὰ κατὰ συμβεβηκὸς αἱ φθοραί." καὶ εἴη ἂν λέγων ὅτι οὔτε ὁ οἶνος ὕλη ἐστὶ τοῦ ὄξους οὔθ' ὁ ζῶν τοῦ νεκροῦ, ἀλλὰ κατὰ συμβεβηκὸς αἱ φθοραί, λέγων φθορὰς τὰ χείρονα εἴδη, ἃ τῆς πρὸς αὐτὰ ὁδοῦ ὕλην ἔχουσι τὰ κρείττονα τῶν εἰδῶν.

1045 a 6. ὥσπερ ἐπὶ τῶν σφηκῶν ἔχει καὶ τῶν μελισσῶν, ὧν αἱ μὲν ἐξ ἵππων σηπομένων αἱ δ' ἐκ βοῶν προέρχονται. cod. Reg.

1045 a 5. εἰ δέ, φησί, καὶ ἐκ νεκροῦ δεῖ ζῷον γενέσθαι, εἰς τὰ τέσσαρα στοιχεῖα ἀναλυθήσεται πρῶτον ὁ νεκρός, καὶ οὕτως ἐξ αὐτῶν γενήσεται ζῷον.

1045 a 7. "περὶ — ἓν εἶναι." καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ ζητήσας περὶ τούτου καὶ τὴν λύσιν μὴ ἐπενεγκών, καὶ ἐν τούτῳ πάλιν ταύτης μνησθεὶς καὶ ὁμοίως τὴν λύσιν ὑπερθέμενος, νῦν λύει τὴν δὶς ζητηθεῖσαν ζήτησιν καὶ τῆς λύσεως μὴ τετυχηκυῖαν. ἦν δὲ ἡ ἀπορία ὅτι ἐπειδὴ ἐκ πλειόνων οἱ ὁρισμοὶ τυγχάνουσι, τί ποτέ ἐστι τὸ ταῦτα ἑνοῦν καὶ ποιοῦν ἕν; τί γάρ ἐστι τὸ τὸ ζῷον καὶ πεζὸν καὶ δίπουν ἓν ποιοῦν, εἰκότως ἄν τις ζητήσειε. πάντων γάρ, φησίν, ὅσα πλείω μέρη ἔχει καὶ μή ἐστι τὸ πᾶν οἷον σωρός, ἀλλὰ συνεχές τε καὶ ἕτερον τὸ ὅλον παρὰ τὰ μόρια (τὸ γὰρ ὅλον ἕτερόν ἐστιν ἑκάστου τῶν ἐν αὐτῷ μερῶν ἢ μορίων)... ἔστι τι αἴτιον τοῦ ἓν εἶναι· τοῦτο γὰρ ἐλλείπει τῇ λέξει. ὥσπερ γὰρ ἐν τοῖς σώμασι τοῖς μέν ἐστιν ἁφὴ κτλ.

1045 a 17. καὶ εἴη ἂν τὸ λεγόμενον κατὰ συγχώρησιν ἐρωτώμενον, ὡς εἰ ἔλεγεν ἀλλ' εἴπερ οὐκ ἔχουσιν εἰπεῖν τίνι ἕν ἐστι τὸ αὐτοζῷον καὶ αὐτοδίπουν, διὰ τί οὐκ ἔσται αὐτὰ αὐτοάνθρωπος καὶ οὕτως ἔσονται οἱ τῇδ' ἄνθρωποι κατὰ μέθεξιν οὐκέτ' ἀνθρώπου οὐδενός; τουτέστι καὶ ἔσονται κατὰ μέθεξιν οὐκ ἀπὸ τοῦ αὐτοανθρώπου· κεχώρισται γὰρ ἀλλήλων τό τε αὐτοζῷον καὶ τὸ αὐτοδίπουν. εἰ γὰρ μὴ ἐκεχώριστο, ἦν ἂν αὐτοῖν ἀποτέλεσμα ὁ αὐτοάνθρωπος, καὶ οὕτω συνέβαινεν εἶναι τοὺς τῇδε ἀνθρώπους κατὰ μέθεξιν τοῦ αὐτοανθρώπου. ἐπεὶ δ' ἐκεχώριστο, ὑπόκειται δὲ συνιστάναι καὶ οὕτω τὸν αὐτοάνθρωπον, ἔσονται οἱ αὐτοάνθρωποι οὐ κατὰ μέθεξιν ἀνθρώπου οὐδενός, ἀλλὰ δυοῖν, ζῴου καὶ δίποδος, καὶ ἔσται ὁ ἄνθρωπος οὐχ ἓν ἀλλὰ πλείω, ζῷον καὶ δίπουν. τί οὖν ἐστὶ τὸ ἑνοῦν αὐτά; οὕτω δὴ τὸν λόγον οἶμαι συγχωρῶν, ἐρωτήσας λέγει φανερὸν εἶναι ὅτι οὐκ ἐνδέχεται λῦσαι τὴν ἀπορίαν, ἐξ ὧν εἰώθασιν ὁρίζεσθαι καὶ μετιέναι τὰ περὶ τοὺς ὁρισμούς.

1045 a 22. εἰ μὲν γὰρ ἐτύγχανεν ὂν τὸ εἶδος αὐτὸ καθ' αὑτὸ χωρίς, καθάπερ οἱ τὰς ἰδέας πρεσβεύοντες τυγχάνουσι λέγοντες, καὶ ἡ ὕλη ὡσαύτως, τότε ἂν ἦν ὡς ἀληθῶς ἄπορόν τι τὸ ἑνοῦν τὰ κεχωρισμένα καὶ καθ' αὑτὰ ὄντα· ἐπειδὴ δὲ οὐκ ἔστι καθ' αὑτὸ ἐν ὑποστάσει ὄν, ἀλλὰ τῆς ὕλης, οἷον τοῦ χαλκοῦ ὡδὶ ὑπὸ τοῦ τεχνίτου κινουμένου ἀχρόνως ἐπιγίνεταί τινα, τοῦτο ἀπορίαν ἔχει, ὅτι τί τὸ ἑνῶσαν αὐτὰ καὶ ποιῆσαν ἕν.

1045 a 26. καὶ εἴη ἂν λέγων ὅτι εἴ τις τῇ χαλκῇ σφαίρᾳ θεῖτο ὄνομα ἱμάτιον, εἶτα ὁριζόμενος λέγοι ὅτι ἱμάτιον ὄνομα δηλωτικὸν τοῦ στρογγύλου χαλκοῦ κτλ.

1045 a 29. καὶ οὐ φαίνεται ἔχουσα δυσχερές τι (ἡ ἀπορία), ἐπειδὴ τὸ μέν ἐστιν ὕλη, τὸ ζῷον πεζόν, τὸ δ' εἶδος, τὸ δίπουν.

1045 a 31. εἰ δ' ἦν τι εἶδος καθ' αὑτό, πῶς ἂν τοῦτο μετὰ τῆς ὕλης ἥνωσεν, ἀδιανόητον ἂν ἦν παντελῶς. εἰπὼν δὲ ὅτι οὐδὲν γάρ ἐστιν ἕτερον τοῦ τὴν δυνάμει σφαῖραν ὡς ἐνεργείᾳ εἶναι σφαῖραν, ἐπήγαγεν "ἀλλὰ τοῦτ' ἦν τὸ τί ἦν εἶναι ἑκατέρῳ," ἑκάτερον λέγων τὸν ἄνθρωπον καὶ τὴν σφαῖραν· προσεχῶς γὰρ περὶ τούτου ἔλεγεν. ἔστι δὲ ὃ λέγει, ἀλλ' ἑκατέρῳ τὸ τί ἦν εἶναι τοῦτ' ἦν, τουτέστι τῷ μὲν ἀνθρώπῳ τὸ τί ἦν εἶναι τὸ ζῷον πεζὸν δίπουν ἐστί, τῇ δὲ σφαίρᾳ σχῆμα τοιονδί. ἢ οὖν τοῦτο λέγει διὰ τοῦ "ἀλλὰ τοῦτ' ἦν εἶναι ἑκατέρῳ," ἢ λέγοι ἂν ὅτι ἑκατέρῳ ἡ ἐνέργεια τὸ τί ἦν εἶναί ἐστιν· ἡ ἐνέργεια γὰρ τῆς ὕλης, ἥπερ ἐστὶ δυνάμει σφαῖρα, τὸ τί ἦν εἶναι σφαίρας ἐστίν, καὶ ἡ τῆς δυνάμει ὁμοίως ὕλης ζῴου ἐνέργεια τὸ τί ἦν εἶναί ἐστιν. ἀλλ' εἰ καὶ ἡ ἐνέργεια τῆς ὕλης τὸ τί ἦν εἶναί ἐστιν, οὐ χρὴ λανθάνειν ὅτι τῶν ὑλῶν ἡ μέν ἐστι νοητὴ ἡ δὲ αἰσθητή· ἐπειδὴ γὰρ καὶ τὰ γένη ὕλῃ ἀναλογεῖ, τὸ μὲν ζῷόν ἐστι νοητὴ ὕλη καὶ ὕλη τοῦ εἴδους, αἱ σάρκες καὶ τὰ ὀστᾶ αἰσθητή· καὶ πάλιν τὸ μὲν σχῆμα νοητή, ὁ δὲ χαλκὸς αἰσθητή.

1045 a 36. ἀλλ' ὅτι μὲν αὐτοῖς οὐκ ἔστι νοητὴ ὕλη, δῆλον· ἐπειδὴ γὰρ νοητὴν ὕλην τὰ γένη φαμέν, τούτων δ' οὐδέν ἐστι γένος (γενικώτατα γάρ εἰσι γένη καὶ οὐκ ἔστι τις ὑπερβεβηκυῖα ταῦτα φύσις), δηλονότι οὐκ ἔστιν αὐτοῖς ὕλη νοητή. ἀλλὰ μὴν οὐδὲ αἰσθητή· ἡ γὰρ αἰσθητὴ ὕλη συνθέτων ἐστὶν ἡ ὕλη καὶ αἰσθητῶν, ἀλλ' οὐχὶ τῶν ἁπλῶν καὶ νοητῶν, ταῦτα δὲ τὸ τόδε καὶ τὸ ποσὸν καὶ τὰ λοιπὰ τῶν ἀΰλων ἐστὶ καὶ νοητά. καίτοι δὲ τοιαῦτα ὄντα οὐκ εἰσὶ χωριστὰ οἷον αὐτοουσία ἢ αὐτοποιόν, ἀλλ' ἐν τοῖς αἰσθητοῖς καὶ καθ' ἕκαστα. καὶ μή τις λεγέτω ὅτι ἐπειδὴ ἐν τοῖς καθ' ἕκαστα ἔστιν ἔχει ὕλην αὐτά· ἡ μὲν γὰρ οὐσία ἡ μὲν ἔχει ὕλην καὶ ὑποκείμενον τόδε, ἡ δ' ἁπλῶς οὐσία οὐδαμῶς· εὑρίσκεται γὰρ καὶ ἐν τοῖς ἀσωμάτοις καὶ ὅλως ἀΰλοις. ἀλλ' ἅπερ μὲν ἐρεῖν διὰ τούτων βούλεται, οἶμαι, ταῦτά ἐστιν. τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον ὧδε, "ὅσα δὲ μὴ ἔχ — τὸ ποσόν," εἶτα τὸ "οὐχ ὡς ἐν γένει τῷ ὄντι κ. τ. ε." εἶθ' οὕτως, "διὸ οὐκ ἔστιν ἐν τοῖς ὁρισμοῖς οὔτε τὸ ὂν οὔτε τὸ ἕν" καὶ τὰ ἑξῆς ἕως τοῦ "εὐθὺς γ. ἔχ. ε. ο. τ. κ. ἕν τι," καὶ οὕτως τὸ "οὐδ' ὡς χωριστ. ο. πρ. τ. κ. ἔχ."

λέγει ὅτι ἐὰν διὰ τὸ ὁμοιότητα ἔχειν τοὺς ἀριθμοὺς καὶ τὰ εἴδη, λέγουσι τὰ εἴδη ἀριθμοὺς καὶ ἐπὶ τούτῳ καὶ τὰς οὐσίας, ἔχει τινὰ λόγον τὸ ὑπ' αὐτῶν λεγόμενον, καὶ καλῶς τοῦτο λέγεται· εἰ δ' ἄλλως, ὅτι ὁ ἀριθμός ἐστι μονάδων πλῆθος, οὐ καλῶς. καὶ λέγει τὰς ὁμοιότητας τοῦ ἀριθμοῦ καὶ τοῦ ὁρισμοῦ, τοῦ δὲ ὁρισμοῦ λέγων φανερὸν ὅτι καὶ τοῦ ὁριστοῦ λέγει. ὁ ὁρισμός, φησίν, ἀριθμός τίς ἐστιν. ὥσπερ γάρ, φησίν, ὁ ἀριθμὸς εἰς μονάδας ἀδιαιρέτους διαιρεῖται, οὕτω καὶ
1043b 35. ὁ ὁρισμὸς διαιρεῖται εἰς ἀδιαίρετα. εἰ γὰρ διαιρεῖται τὸ ζῷον εἰς τοὺς λόγους τοῦ ἐμψύχου καὶ αἰσθητοῦ, ἀλλ' οὖν οὐκ ἄπειρον τοῦτο γενήσεται, ἀλλὰ καταντήσομεν εἴς τι μὴ διαιρούμενον, εἰς λόγους· καὶ ὥσπερ ἀπὸ τοῦ ἀριθμοῦ, κἂν τοὐλάχιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὐκέτι μένει ἀριθμός (ἂν γὰρ ἀπὸ τοῦ ὀκτὼ μονάδα ἀφέλῃς ἢ προσθῇς, οὐκέτι ὀκτὼ μένει), οὕτω καὶ ἀπὸ τοῦ ὁρισμοῦ ἢ τοῦ τί ἦν εἶναι, ὅ ἐστιν ὁρισμός, ἂν ἀφέλῃς τι ἢ προσθῇς, οὐκέτι μένει τὸ αὐτό. καὶ ὥσπερ δεῖ εἶναί τι τὸ τὸν ἀριθμὸν ἑνοῦν καὶ δι' ὅ ἐστιν εἷς, οὕτω καὶ ἐπὶ τοῦ ὁρισμοῦ καὶ τοῦ τί ἦν εἶναι· ὅπερ, φημὶ δὴ τὸ τὸν ἀριθμὸν ἑνοῦν καὶ ἕνα ποιοῦν, τί ποτε ἔστιν, οὐκ ἔχουσιν εἰπεῖν, οὐσίαν αὐτὸ λέγοντες. ἢ γάρ, φησίν, οὐκ ἔστιν εἷς ἀριθμός, ἀλλ' οἷον σωρός ἐστιν, ἢ εἴπερ ἔστι, λεκτέον τί τὸ ποιοῦν ἓν ἐκ πολλῶν. ἀλλ' οὔτε τὸ τὸν ἀριθμὸν ἕνα ποιοῦν ἔχουσι λέγειν τί ποτέ ἐστιν, οὔτε τὸν ὁρισμόν. καὶ τοῦτο εἰκότως συμβαίνει. "τοῦ γὰρ αὐτοῦ λόγου·" ἐξ οὗ γὰρ λόγου καὶ αἰτίου συμβαίνει αὐτοῖς μὴ ἔχειν λέγειν τίνι εἷς ὁ ἀριθμός, ἐκ τοῦ αὐτοῦ τούτου καὶ τὸ περὶ τοῦ ὁρισμοῦ προσγίνεται. ἀλλὰ καὶ ὅτι μὲν ἡ οὐσία καὶ τὸ τί ἦν εἶναι ἕν ἐστι δῆλον, ἀλλ' οὐχ ὡς λέγουσί τινες, ὅτι μονάς τίς ἐστιν ἢ στιγμή (μονάδα γὰρ τὸ εἶδος, δυάδα δὲ τὴν ὕλην ὁ Πλάτων ἔλεγεν)· ἀλλ' ἔστιν ἓν ἐνεργείᾳ καὶ φύσει τις ἑκάστη οὐσία, ἀλλ' οὐ δυνάμει. ["φύσις τις ἑκάστη" γέγραπται, σὺ δὲ ὑποσυγκεχυμένως λέγεις. marg. cod. Reg.] καὶ ὥσπερ οὐδ' ὁ ἀριθμὸς ἔχει τὸ μᾶλλον καὶ ἧττον, οὐδὲ εἴδους μᾶλλον οὐσία, ἀλλ' εἴπερ ἐστὶν μᾶλλον οὐσία τὸ εἶδος τῆς κατὰ τὴν ὕλην οὐσίας, εἴη ἂν μᾶλλον οὐσία, ἀλλ' οὐχὶ τῆς κατὰ τὸ εἶδος. ταῦτα εἰπὼν συμπεραίνεται ὅτι περὶ μὲν οὖν γενέσεως καὶ φθορᾶς τῶν λεγομένων οὐσιῶν, πῶς ἐνδέχεται ὅτι σύνθετος γίνεται, τὸ δὲ εἶδος οὐ γίνεται. καὶ περὶ τῆς τῶν ὁρισμῶν ἀναγωγῆς (εἶπε γὰρ προσεχῶς ὅπως χρὴ τοὺς ὁρισμοὺς εἰς τοὺς ἀριθμοὺς ἀνάγειν) ἔστω μέχρι τούτων διωρισμένον· τίνι δὲ ὁ ἀριθμὸς εἷς ἐστὶ καὶ ὁ ὁρισμὸς καὶ τὸ τί ἦν εἶναι, νῦν μὲν οὔ φησιν, ἐρεῖ δὲ πρὸς τῷ τέλει τοῦδε τοῦ βιβλίου, ὅταν λέγῃ "περὶ δὲ τῆς ἀπορίας τῆς εἰρημένης περί τε τοὺς ὁρισμοὺς καὶ τοὺς ἀριθμούς" (c. 6).

1044a 15. νῦν δὲ συμπερανάμενος τὰ περὶ τῆς ὕλης καὶ τοῦ εἴδους λεχθέντα, καὶ εἰπὼν ὅτι περὶ γενέσεως καὶ φθορᾶς τῶν λεγομένων οὐσιῶν πῶς ἐνδέχεται γίνεσθαι, ὅτι αἱ σύνθετοι γίνονται, τὸ δὲ εἶδος οὐθεὶς ποιεῖ, καὶ τὰ ἑξῆς, λέγει ὅτι δεῖ μὴ λανθάνειν ὡς εἰ ἐκ τῆς ἀνειδέου ὕλης ὡς πρώτης πάντα γίνεται, καὶ αὕτη ἐστὶν ὡς ἀρχὴ ὑλικὴ τῶν γινομένων, ἢ προσεχέστερον ἐκ τῶν αὐτῶν ὡς πρώτων, λέγων τὰ τέσσαρα στοιχεῖα, εἰ δὴ ἐκ τούτων τὰ γινόμενα ὡς πρώτων γίνονται, ὅμως ἔστι τις ἑκάστου οἰκεία καὶ προσεχὴς ὕλη.

1044a 19. τὸ δὲ "ἴσως" πρόσκειται ἢ διὰ τὴν πρώτην ὕλην (ἐξ ἐκείνης γὰρ καὶ τὰ τέσσαρα), ἢ διὰ τὸ μὴ νῦν περὶ αὐτῶν, εἴτε ἐκ τῶν στοιχείων εἰσὶ τὰ γλυκέα καὶ πικρὰ εἴτε μή, προκεῖσθαι λέγειν αὐτῷ.

1044a 24. πρὸ δοῦ λέγει τὴν ἀπὸ τοῦ χείρονος εἴδους καὶ στερήσει ἀναλογοῦντος ὡς πρὸς τὸ κρεῖττον εἶδος, ἀνάλυσιν δὲ τὴν εἰς τὸ χεῖρον.

1044a 27. ἀλλ' ἐνίων ἑτέρων ὄντων καὶ ἡ ὕλη ἑτέρα ἐξ ἀνάγκης ἐστίν.

1044a 33. ἐπειδὴ τετραχῶς λέγεται (τὰ αἴτια), ὅταν τις ζητῇ τὸ αἴτιον, πάσας δεῖ λέγειν τὰς ἐνδεχομένας αἰτίας, οὐ τὰς πόρρω δὲ ἀλλὰ τὰς προσεχεῖς.

1044b 1. ἰστέον δὲ ὅτι τὸ οὗ ἕνεκα καὶ τὸ εἶδος ἐπὶ τῶν φυσικῶν τὸ αὐτό ἐστιν, ἐπὶ δὲ τῶν τεχνητῶν οὐ τὸ αὐτό.

1044b 3. εἰπὼν ὅτι ἐπειδὴ τὰ αἴτια τέτταρα, τὰ τέτταρα ἐρωτωμένους δεῖ ἀποδιδόναι, λέγει ὅτι περὶ μὲν τὰς φυσικὰς αἰτίας καὶ γεννητάς, οὐχὶ δὲ καὶ τὰς ἀγενήτους ἀνάγκη οὕτω μετιέναι καὶ ἀποδιδόναι τὰ προσεχῆ αἴτια, εἴ τις μέτεισιν ὀρθῶς. ἀλλ' εἴπερ τὰ αἴτια ἀποδοτέον ἡμῖν ἐστί, δεῖ μὴ ἀγνοεῖν αὐτά· ὃ γάρ τις ἀγνοεῖ, πῶς ἂν καὶ ἀποδοίη; περὶ δὲ τῶν φυσικῶν μὲν ἀϊδίων δὲ οὐσιῶν (λέγει δὲ τὴν ξύμπασαν τῶν ὀκτὼ σφαιρῶν ἐνάδα) ἄλλος λόγος· ἴσως γὰρ οὐκ ἔχει ὕλην· εἰ γὰρ μὴ ἔχει, οὐδ' ἂν ἐπ' αὐτῆς τὸ ὑλικὸν ἀποδοθῇ. τὸ δὲ "ἔνια" πρόσκειται, ὅτι κἂν τὸ κυκλοφορικὸν οὐ συγχωρῇ τις μὴ ἔχειν ὕλην, ἀλλά τῆς γε ἐκλείψεως φυσικόν τι οὔσης τις ἂν φαίη ὕλην. εἰπὼν δὲ ὅτι ἴσως οὐκ ἔχει ὕλην, λέγει ὅτι ἢ εἰ καὶ ἔχει ἀλλ' οὐ γεννητὴν καὶ φθαρτὴν ἀλλὰ μόνον κατὰ τόπον κινητήν.

1044b 8. οὐδὲ δὴ τῶν φύσει μὲν μὴ οὐσιῶν δὲ ἀλλὰ παθῶν ἔστιν ὕλη, ἀλλ' ὑποκείμενον αὐτοῖς ἔστιν, ὕλη δὲ οὐκ ἔστιν.

1044b 15. ὕπνου δὲ πάλιν ἄδηλόν ἐστι τί τὸ πρῶτον πάσχον. ἀλλ' εἰπάτω καὶ τοῦτο τὸ ζῷον, καὶ τί παθὸν ὑπνώττει, ἢ τί τῶν ἐν αὐτῷ τὸ πρῶτον πεπονθὸς ὕπνωσε; πρότερον γὰρ ἄλλο τι παθὸν τὸ ζῷον ὑπνώττει. πότερον οὖν τοῦτο καρδία ἐστίν, ὡς αὐτὸς οὗτός φησιν, ἢ ὁ ἐγκέφαλος, ὡς ὁ Πλάτων; οὗτος μὲν γὰρ ἀρχὴν τῶν ζῴων τὴν καρδίαν λέγων φησὶν ὅτι, ὥσπερ ἐπὶ τοῦ κόσμου αἱ ἀναχθεῖσαι ἀτμίδες καὶ ψυχθεῖσαι εἰς ὕδωρ συνίστανται καὶ πάλιν κατέρχονται, οὕτω καὶ ἐπὶ τῶν ζῴων τῶν ἐκ τοῦ πέττειν ἀνιουσῶν εἰς τὸν ἐγκέφαλον ἀτμίδων, ἐπειδήπερ φύσει τυγχάνει ὢν ψυχρὸς ὁ ἐγκέφαλος, ψυχομένων ὑπ' ἐκείνου κατέρχεσθαι καὶ ἐπιπίπτειν τῇ καρδίᾳ, καὶ σβεννυμένου τοῦ ἐν αὐτῇ οὐ παντελῶς δὲ θερμοῦ ὑπνώττειν τὸ ζῷον, μέχρις ἂν διαλυθῶσι πάλιν καὶ ἀναχθῶσι, καὶ οὕτως δὴ ἀνίσταται τὸ ζῷον. ἄδηλον οὖν, φησίν, ἐστὶν ἐπὶ τοῦ ὕπνου τί τὸ πρῶτον πάσχον καὶ ὑπό τινος, καὶ τί τὸ πάθος τὸ ἐκείνου, τουτέστι τί ἐστι τὸ τοῦ πάσχοντος πάθος καὶ μὴ τοῦ ὅλου ζῴου; ὅτι ἀκινησία τοιαδί, δυνάμει λέγων ὡς εἴ τις ὁρισμὸν ἀποδοῦναι τοῦ ὕπνου βούλοιτο, μὴ λεγέτω ὅτι ὕπνος ἐστὶν ἀκινησία τῶν τοῦ ζῴου αἰσθήσεων· τοῦτο γὰρ κατὰ τῆς ὅλης τοῦ ὅλου ζῴου ἠρεμίας εἴρηται καὶ ὅλῳ τῷ ζῴῳ ἐφαρμόττει ἀλλ' οὐ τῷ ὕπνῳ μόνῳ· δεῖ δὲ τὸν τοῦ ὕπνου ὁρισμὸν μόνῳ τῷ ὕπνῳ ἐφαρμόττειν. μήποτε δὲ τὸ "ἀκινησία τοιαδὶ" ἐπὶ τοῦ ὕπνου εἴρηται, ἵνα ᾖ λέγων ὅτι τί δεῖ τὸ τοῦ ὕπνου πάθος ἀποδιδόναι, ὅτι ὕπνος ἐστὶν ἀκινησία τοιαδί, καὶ αὕτη τῷ τί πάσχειν τὸ πρῶτον; τουτέστι καὶ αὕτη ἡ ἀκινησία δηλούτω καὶ ἐν τῷ τί πάσχειν τὸ πρῶτον, ὁ ὕπνος γίνεται, ἤτοι δη-

οὕτω μὲν οὖν ζητήσας οὐ λύει, ὡς δήλου ὄντος ὅτι τὰ ὀνόματα τῶν εἰδῶν εἰσὶ σημαντικά, ἀλλ' οὐ τῶν συνθέτων.

1043a 37. τουτέστι πρὸς μὲν τὰς διαλεκτικὰς συνουσίας ὠφελεῖταί τις παρὰ τὸ γινώσκειν εἴτε τὸ σύνθετον δηλοῖ εἴτε μή, πρὸς δὲ τὴν ζήτησιν τῆς οὐσίας τῆς αἰσθητῆς οὐδέν. οὕτω δὲ ἀποπεμψάμενος τὴν τοιαύτην ζήτησιν διευθετεῖται περὶ τοῦ εἴδους, λέγων ὅτι τὸ τί ἦν εἶναι οὐκ ἐπὶ τοῦ συνθέτου λογίζεται, ἀλλὰ τῷ εἴδει ὑπάρχει καὶ τῇ ἐνεργείᾳ, καὶ ἐπὶ μὲν τῶν ἁπλῶν τὸ ὕδωρ εἶναι καὶ ὕδατι ταὐτόν ἐστι, καὶ ψυχὴ καὶ ψυχῇ εἶναι, ἄνθρωπος δὲ καὶ ἀνθρώπῳ οὐ ταὐτόν.

1043b 3. εἰ μέν, φησί, λέγει τις τὴν ψυχὴν ἄνθρωπον καὶ κατηγορεῖται τὸ ἄνθρωπος κατὰ τῆς ψυχῆς, ἐπειδὴ ψυχὴ καὶ τὸ ψυχῇ εἶναι ταὐτὸν σημαίνει, εἴη ἄνθρωπος καὶ ἀνθρώπῳ εἶναι ταὐτόν· εἰ δὲ μή, οὐκ ἔσται. καὶ οὕτω, φησί, "τινὶ μὲν τινὶ δ' οὔ," τουτέστιν εἰ λέγει τις ἄνθρωπον τὴν ψυχήν, ἔσται ταὐτὸν ὁ ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι· εἰ δὲ ἄνθρωπον λαμβάνει τὸν σύνθετον ἐκ ψυχῆς καὶ σώματος ἤτοι τὸν ἐξ ὕλης καὶ εἴδους, οὐκ ἔσται ταὐτὸν ἄνθρωπος καὶ ἀνθρώπῳ εἶναι, ἀλλὰ τινὶ μέν, οἷον ἐπὶ τῆς ψυχῆς, τινὶ δέ, οἷον ἐπὶ τοῦ ἀνθρώπου τοῦ συνθέτου, οὐκ ἔσται.

1043b 5. δείξας ἐν τῷ τέλει τοῦ πρώτου βιβλίου ὅτι ἡ συλλαβὴ ἤτοι αὐτὸ τὸ τῆς συλλαβῆς εἶδος ἕτερόν ἐστι τῶν στοιχείων, καὶ ὅτι οὔτε τὸ στοιχεῖόν ἐστι τὸ εἶδος οὔτε ἐκ στοιχείων, πάλιν τὰ περὶ ἐκείνων διαρθροῖ, λέγων ὅτι ἡ συλλαβή, αὐτὸ τὸ τῆς συλλαβῆς φημὶ εἶδος, οὐκ ἔστιν ἐκ στοιχείων καὶ τῆς συνθέσεως.

1043b 7. "σύνθεσις — μῖξις." ὃ δὴ ἀσαφῶς ἑρμηνεύεται καὶ ἐλλιπῶς· δεῖ γὰρ ὑπακούειν τὸ τινός. τὸ δὲ "ἐκ τούτων" ἀντὶ τοῦ μετὰ τούτων, ὧν ἐστὶ σύνθεσις ἢ μῖξις. καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον. εἰ ἔστιν ἡ σύνθεσις ὕδατος, εἰ τύχοι, καὶ μέλιτος, οὐ συνῆλθεν ἡ μῖξις τινὶ τούτων, ἢ τῷ ὕδατι ἢ τῷ μέλιτι ἢ καὶ ἀμφοῖν, καὶ ἀπετέλεσαν τὸ μελίκρατον· εἰ μὲν γὰρ ἦν ἡ μῖξις πρᾶγμά τι τῶν δυναμένων καθ' αὑτὸ εἶναι, εἰκὸς ἦν λέγειν ὅτι μετά τινος τούτων τοῦ τε ὕδατος καὶ τοῦ μέλιτος ἢ καὶ ἀμφοῖν συνελθοῦσα ἀπετέλεσε τὸ μελίκρατον· ἐπεὶ δὲ οὐκ ἔστιν, οὐ λέγεται τοῦτο, ἀλλὰ τὸ μελίκρατόν ἐστιν αὕτη ἡ μῖξις.

1043b 10. οὐδὲ δή, φησίν, ὁ ἄνθρωπός ἐστι τὸ ζῷον καὶ τὸ δίπουν, ἀλλὰ τὸ ἐκ τούτων ἀποτέλεσμα, ὃ παρὰ ταῦτά ἐστιν· ταῦτα μὲν γὰρ ὕλη, τὸ δ' ἐκ τούτων ὁ ἄνθρωπος. ὅπερ, λέγω δὴ τὸ παρὰ τὸ ζῷον καὶ τὸ δίπουν, ἡ οὐσία, οὔτε στοιχεῖόν ἐστιν οὔτε ἐκ στοιχείων, τί δέ ἐστι παρὰ τὸ ζῷον καὶ τὸ δίπουν ἡ οὐσία ἤτοι τὸ εἶδος, ὃ καὶ κυρίως οὐσίαν λέγουσιν ἐξαιροῦντες τῷ λόγῳ καὶ χωρίζοντες τὴν ὕλην. μήποτε δὲ τὸ "ὃ ἐξαιροῦντες τὴν ὕλην λ." περὶ τῶν τὰς ἰδέας λεγόντων εἴρηται, ὅτι ὅπερ εἶδος τῆς ὕλης χωρίζοντες καὶ καθ' αὑτὸ εἶναι λέγοντες οὐσίαν αὐτό φασιν. εἰ δή, ὡς πολλάκις δέδεικται, τὸ εἶδός ἐστι τὸ αἴτιον τὸ κινοῦν τὴν ὕλην καὶ ποιοῦν ὅπερ ἐστι, δῆλον ὡς εἴ τις ὅλως οὐσίαν λέγοι, οὐδὲν ἄλλο ἀλλ' ἢ τὸ εἶδός φησιν.

1043b 14. γρ. καὶ οὐ λέγοιεν οἱ λέγοντες δηλαδὴ ἄνθρωπον τὸ ζῷον καὶ τὸ δίπουν. cod. Reg.

1043b 16. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου βιβλίῳ ὅτι τὸ εἶδος οὐδεὶς ποιεῖ οὐδὲ γεννᾷ, ἀλλὰ ποιεῖται τοδὶ τὸ εἶδος κτλ. ἐν τῷ πρὸ τούτου βιβλίῳ. ἐν τῷ περὶ Γενέσεως καὶ Φθορᾶς (17). cod. Reg.

διὰ τοῦτο θεοῦ ὅρον ὅλως οὐκ (ἔστιν) ἀποδιδόναι· πῶς γὰρ ἐν 1043b 31.
ἐκείνῳ γένος τὸ ὕλῃ ἀναλογοῦν, ἢ διαφοραὶ αἱ εἴδει; ἄγγελον δ' ὁριζόμενοι φαμὲν οὐσίαν μετὰ ἁγιασμοῦ, ἅτε ὑφειμενωτέρου ὄντος καὶ συνθετωτέρου τοῦ ἀγγέλου. id.

δεῖ προσυπακούειν τοῦ ἐξ ὧν εἴπομεν λυθῆναι, ἵνα ᾖ τὸ λεγό- 1043b 25.
μενον τοιοῦτον· ὥστε ἡ ἀπορία καιρὸν ἔχει, ἣν οἱ Ἀντισθένειοι ἠπόρουν, λυθῆναι ἐξ ὧν εἴπομεν. ἐπειδὴ γὰρ δέδεικται ὅτι ἄλλα ἐστὶ τὰ ὡς εἴδους μέρη καὶ ἄλλα τὰ ὡς ὕλης, ἐκ τούτων λυθήσεται ἡ τῶν Ἀντισθενείων ἀπορία. ἔστι δ' αὐτῶν ἡ ἀπορία, ὅτι οὐκ ἔστιν ὁρίσασθαι, οὐδ' ἔστιν ὁρισμός τινος. τοῦτο δὲ κατεσκεύαζον ὡδί. ἐπειδὴ γὰρ ὁ ὁρισμὸς οὐκ ἔστιν ὄνομα, ἀλλ' ἐκ πλειόνων (τοῦτο γὰρ εἶπε λόγον μακρόν· τὸ γὰρ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν λόγος μακρός ἐστιν, ἀλλ' οὐχ ὡς τὸ ἄνθρωπος ὄνομα), ἐπειδὴ οὖν ὁ ὁρισμὸς οὐκ ἔστιν ὄνομα, οὐκ ἔστιν ὁρίσασθαι. λέγουσι δὲ ὅτι, ὅταν εἴπωμεν ζῷον λογικόν, σύνθετόν τι λέγομεν ἐξ ὕλης καὶ εἴδους, ὕλης μὲν τοῦ ζῴου, εἴδους δὲ τοῦ λογικοῦ, καὶ ἔτι προστεθὲν τὸ θνητὸν σύνθετον. εἰ δὲ τοῦτο, τὰ μὲν σύνθετα ἐπεξερχόμεθα καὶ οἱονεὶ ἀριθμοῦμεν πόσα τινὰ τυγχάνει, ζῷον λογικὸν λέγοντες, καὶ πάλιν ζῷον λογικὸν θνητόν, ὁρισμὸν δὲ οὔ φαμεν. λέγει δὲ ὁ Ἀριστοτέλης ὅτι ἡ ἀπορία αὕτη λύεται ἐξ ὧν εἴπομεν· ἐπειδὴ γὰρ δέδεικται ὅτι τὸ ζῷον πεζὸν δίπουν τοῦ εἴδους ἐστὶ μέρη, οὐ τῆς ὕλης, πῶς ἐστὶ δυνατὸν λέγειν ὅτι τὸ ζῷόν ἐστιν ὕλη τὸ δὲ λογικὸν εἶδος, ἢ πάλιν τὸ ζῷον λογικὸν ὕλη τὸ δὲ θνητὸν εἶδος; εἰ μὲν γὰρ ἦσαν τῆς ὕλης μέρη τὸ ζῷον, τὸ θνητόν, τὸ λογικόν, ἐχρῆν ταῦτα λέγειν, ὅτι τὸ ζῷον καὶ τὸ λογικὸν ὕλη ἐστί, τὸ δὲ θνητὸν εἶδος, καὶ λέγοντες ζῷον θνητὸν λέγουσι τὸ σύνθετον τὸ ἐξ ὕλης καὶ εἴδους. ἐπεὶ δὲ οὐκ εἰσὶν ὑλικά, οὐ τὸ σύνθετον λέγουσιν, ἀλλὰ τὰ μέρη τοῦ εἴδους· ὥστε ἔστιν ὁρισμός. οὐκ ἔστιν οὖν, φασίν, ὁρίσασθαι, ἀλλὰ ὁποῖον μέν ἐστιν ἄνθρωπος ἢ βοῦς ἐνδέχεται διδάξαι, ὁρίσασθαι δὲ οὔ· οἷον ὁρίσασθαι μὲν καὶ εἰπεῖν τί ἐστιν ἄργυρος οὐχ οἷόν τε, ὁποῖον δέ, δυνατόν, οἷον ἐρωτηθέντα ὁποῖόν ἐστιν ἄργυρος, εἰπεῖν ὅτι οἷον καττίτερος. ὥστε φασί, λόγον μὲν ἔστιν εἰπεῖν οὐσίας συνθέτου τῆς ἐξ ὕλης καὶ εἴδους, εἴδους δὲ ὅρον ἢ ὕλης ἐξ ὧν ἡ σύνθετός ἐστιν οὐσία οὐκ ἔστιν ἀποδοῦναι. εἰπὼν δὲ ὅτι συνθέτου ἐστὶν οὐσίας ἀποδοῦναι ὁρισμόν, προσέθηκε τὸ "ἐάν τε αἰσθητὴ ἐάν τε νοητὴ ᾖ." ἀλλ' ὅτι μὲν αἰσθηταὶ οὐσίαι σύνθετοί εἰσι, φανερόν· ὅτι δέ εἰσι καὶ νοηταὶ σύνθετοι, δῆλον· τὰ γὰρ μαθηματικὰ ἐξ ὕλης καὶ εἴδους εἰσίν· ὁ γὰρ νοητὸς κύκλος ἐξ ὕλης μὲν τοῦ διαστήματος, εἴδους δὲ τοῦ τοιοῦδι σχήματος. οὐχ ὡς ἀρεσκόμενος δὲ καὶ τὰ μαθηματικὰ οὐσίας εἶπεν, ἀλλ' ἴσως καὶ τοῦτο τῶν Ἀντισθενείων λεγόντων εἴρηκεν αὐτὰ οὐσίας. τῆς μὲν οὖν συνθέτου φασὶν οὐσίας, εἴτε αἰσθητή ἐστιν εἴτε νοητή, ἔστιν ὁρισμὸν ἀποδοῦναι, ἐξ ὧν δ' αὕτη, οὐκ ἔστιν, εἴπερ τὸ ζῷον λογικὸν καὶ ὅλως ὁ ὅρος τὶ κατά τινος σημαίνει, καὶ τὸ μέν ἐστιν εἶδος τὸ δὲ ὕλη. "φανερὸν — εἰσίν." δείξας ὅτι τὸ εἶδός ἐστιν ἡ κυρίως οὐσία, καὶ εἰπὼν ὅτι εἴπερ ὅλως λέγομεν οὐσίαν, τὸ εἶδος ἂν λέγοιμεν, ἐπειδὴ ὁμοιότητάς τινας ἔχουσιν οἱ ἀριθμοὶ πρός τε τὸ εἶδος καὶ τὴν οὐσίαν,

σάρκας, νεῦρα, ὀστᾶ, εἶτα βρέφος, εἶτα παῖδα, εἶτα ἔφηβον, εἶτα ἄνδρα ποιεῖ. ὥστε τὰ γενέσει ὕστερα τῇ φύσει πρότερα, τὰ δὲ τῇ φύσει ὕστερα, σπέρμα καὶ καταμήνιον, ἡμῖν πρότερα.

1050 a 14. δείκνυσι δὲ τὸ αὐτὸ τοῦτο καὶ ἄλλως, λέγων, οὗ ἕνεκα πάντα γίνεται, τοῦτο τέλος ἐστίν, ὡς ἐπ' ἀρχὴν καὶ πρότερον πρὸς τοῦτο τὰ γινόμενα βαδίζει, πάντα δὲ ἕνεκα τῆς ἐνεργείας γίνεται· ἡ ἐνέργεια ἄρα καὶ τέλος καὶ προτέρα δυνάμεως. εἰ οὖν ἡ γένεσις ὁδός ἐστιν ἀπὸ τοῦ δυνάμει εἰς ἐνέργειαν καὶ ἕνεκα τῆς ἐνεργείας ἐστίν, ἡ δ' ἐνεργείας τὸ οὗ ἕνεκα τὸ τέλος, τὸ δὲ τέλος ἀρχὴ καὶ πρότερον (διὰ γὰρ τὴν ἐνέργειαν ἡ δύναμις καὶ ἡ γένεσις), δῆλον ἄρα ὅτι ἡ ἐνέργεια καὶ τῷ τελείῳ δυνάμεώς ἐστι προτέρα. ὅτι δὲ ἕνεκα τῆς ἐνεργείας ἡ δύναμίς ἐστι, καὶ ἐπὶ τούτῳ ἡ ἐνέργεια δυνάμεως προτέρα (τὸ γὰρ οὗ ἕνεκα ὡς τέλειον πρότερον τοῦ ἕνεκά του), δῆλον.

γρ. "καὶ οὐχὶ θεωροῦσιν·" οὐ γὰρ ὀρθῶς ἡ θεωρία γίνεται τοῖς τοιούτοις. cod. Reg.

ἀλλ' ἢ ὡδί, τουτέστιν οἱ μελετῶντες ἢ τρόπον τινὰ θεωροῦσιν, ἢ ὅτι οὐδὲ δέονται τοῦ θεωρεῖν· ὃ ἴσον ἂν εἴη τῷ, ἢ οὐ δέονται τῆς κατὰ μελέτην θεωρίας, ἀλλὰ καὶ αὕτη ἡ κατὰ τὴν μελέτην θεωρία ἀτελὴς οὖσα καὶ σχεδὸν μηδέν, ἕνεκα τῆς τελεωτάτης καὶ κυριωτάτης γίνεται θεωρίας. ἔτι ἡ ὕλη δυνάμει ἐστὶ καὶ λέγεται, ὅτι δύναται εἰς τὸ εἶδος ἐλθεῖν, ὅταν δὲ ἔλθῃ, καὶ ἡ ἐνέργεια ἡ ἐν τῷ εἴδει ἵσταται, ὥστε κἂν τούτῳ προτέρα ὡς ἐφετὸν καὶ τάσσον καὶ εἰς κόσμον ἄγον δυνάμεως. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, φησί, καὶ ὧν τὸ τέλος κίνησις· τῆς γὰρ ὀρχηστικῆς τὸ τέλος οὐδὲν ἄλλο ἐστὶν ἢ τοιωσδὶ κινεῖσθαι· καὶ ἐπὶ τούτων δὲ ἐνέργεια δυνάμεως προτέρα. διόπερ ὥσπερ οἱ διδάσκοντες τὸν μανθάνοντα τότε οἴονται εἰς τέλος τῆς ἐπιστήμης ἐλθεῖν καὶ τέλος ἀποδεδωκέναι, ὅταν αὐτὸν κατὰ τὴν ἐπιστήμην ἐνεργοῦντα ἀποδείξωσιν (εἰ γὰρ ἐνέργεια τὸ ἔργον, τὸ δὲ ἔργον τέλος, ἡ ἐνέργεια ἄρα τὸ τέλος· ὥστε ὅταν ἐνεργῇ, τότε οἴονται τὸ τέλος ἔχειν· οὕτω γάρ ἐστι τὸ ἑξῆς τῆς λέξεως)· οὕτω καὶ ἡ φύσις τότε οἴεται τὸ γενόμενον τέλος ἀπειληφέναι, ὅταν εἰς τὴν ἐνέργειαν ἔλθῃ. τὸ δὲ "εἰ γὰρ μὴ οὕτω γίνηται, ὁ Πάσωνος ἔσται Ἑρμῆς," συνεχές ἐστι τῷ "διὸ ὥσπερ οἱ διδασκ. ἐνεργοῦντα ἐπιδείξαντες." καὶ εἴη ἄν, ὃ λέγει, τοιοῦτον. "εἰ γὰρ μὴ οὕτω γένηται," τουτέστιν, εἰ μὴ οἱ διδάσκοντες ἐνεργοῦντα ἐπιδείξωσι τὸν μανθάνοντα, ἀλλὰ φάσκωσιν ὡς ἐδιδάχθη παρ' αὐτῶν, κἂν μὴ ἐνεργῇ, ἄδηλόν ἐστιν εἴτε ἔχει τὴν ἐπιστήμην εἴτε καὶ μή· ἐκ γὰρ τῶν ἔργων κρίνομεν πάντα τεχνίτην καὶ ἐπιστήμονα· εἰ γὰρ μὴ ἐνεργεῖ, πόθεν δῆλον ὅτι ἔχει τὴν ἐπιστήμην; ἄδηλον γὰρ εἴτε ἐντὸς ἔχει αὐτὴν εἴτε ἐκτός, τουτέστιν εἴτε ἔχει εἴτε μὴ ἔχει, ὡς καὶ ὁ Πάσωνος Ἑρμῆς· ἄδηλον γὰρ εἴτε ἐντός ἐστι τοῦ λίθου εἴτε ἐκτός. ἡ δὲ κατὰ τὸν Πάσωνα ἱστορία, ὅτῳ φίλον καὶ ταύτην εἰδέναι, τοιαύτη τίς ἐστιν. οὗτος ὁ Πάσων ἑρμογλύφος ὢν πεποίηκεν ἔν τινι λίθῳ τὸ τοῦ Ἑρμοῦ εἶδος, καὶ ἑωρᾶτο ἐν τῷ λίθῳ ὁ Ἑρμῆς· εἴτε δὲ ἐκτὸς ἦν τοῦ λίθου εἴτε ἐντός, οὐ δῆλον ἦν. ἐκτὸς μὲν εἶναι λέγειν οὐχ οἷόν τε ἦν· εἰ γὰρ ἦν ἐκτός, ἔδει τὸν λίθον ἐγκεκολλημμένον εἶναι καὶ ἔχειν ἀνωμαλίας, οὗτος δὲ ἅπας λειότατος ἦν, ὥσπερ τὰ κάτοπτρα. διὰ ταῦτα μὲν οὖν ἐκτὸς εἶναι οὐκ ἦν δυνατὸν λέγειν. ἀλλὰ μὴν οὐδ' ἐντός· εἰ μὲν γὰρ εἶχεν ἁρμονίας ἢ ὅλως ἐφαρμογάς τινας ὁ λίθος ἐν ᾧ ἦν τὸ τοῦ Ἑρμοῦ εἶδος, πρόχειρον ἦν λέγειν ὅτι ἐν ἑτέρῳ λίθῳ τὸν Ἑρμῆν πεποιηκὼς ἐκτὸς ἐπέθηκε τοὺς λειοτάτους λίθους καὶ ἀπέκλεισε τὸν Ἑρμῆν ἐντός, ὁρᾶται δὲ διὰ τὸ λαμπροὺς καὶ διαφανεστάτους, ὁμοίως δὲ καὶ λείους τοὺς ἐπικειμένους λίθους εἶναι, ὥσπερ εἴ τις ἐν κηρῷ πλάσας εἶδός τι κήρινον καὶ ἐκτὸς ἐπιθεὶς ὕελον ἢ ἄλλο τι τῶν διαφανῶν, ὁρᾶται τὸ ἐντὸς αὐτῆς κήρινον εἶδος. εἰ μὲν οὖν τοῦτο ἦν, εἰκὸς ἦν ταῦτα λέγειν· ἐπειδὴ δὲ πάντῃ συνεχὴς ἦν ὁ λίθος καὶ εἷς καὶ οὐδεμίαν ἔχων ἁρμονίαν καὶ ἐφαρμογήν, οὐκ ἐνῆν τοῦτο λέγειν. ὥστε ἄδηλος ἦν ὁ Ἑρμῆς κἂν ἐντὸς κἂν ἐκτὸς ὑπῆρχεν, ἐκτὸς μὲν ὅτι ἀνωμαλίαν οὐδεμίαν ὁ λίθος, ὥσπερ εἴρηται, εἶχεν, ἐντὸς δὲ ὅτι οὐχ οἷόν τε ἦν ὑπονοῆσαι πῶς ἐντὸς τοῦ λίθου πεποίηκε τὸν Ἑρμῆν, συνεχοῦς ὄντος. "ἐπεὶ δ' ε. τ. μ. ἔσχατον ἡ χρ." πρὸ τῆς τῶν λεγομένων σαφηνείας ἀνάγκη ἐστὶν ὑπομνησθῆναι ἡμᾶς τινῶν, ἵν' ἐκ τούτων εὐπαρακολούθητοι τοῖς ὑπ' αὐτοῦ λεγομένοις γενώμεθα. ἰστέον δὲ ὅτι ἡ ὄψις, καθ' ἣν ὁρῶμεν, καὶ δύναμίς ἐστι καὶ ἐνέργεια. ἀλλὰ καὶ ἡ οἰκοδομικὴ καὶ ἐνέργειά ἐστι καὶ δύναμις, δύναμις μὲν πρὸς τὴν οἰκοδόμησιν, ἐνέργεια δὲ πρὸς τὴν στέρησιν ἣν ὁ οἰκοδόμος ἔχει πρὸ τοῦ τὴν οἰκοδομικὴν ἐσχηκέναι· ἐκ γὰρ τοῦ δυνάμει οἰκοδόμου γέγονεν ἐνεργείᾳ οἰκοδόμος. οὐ μόνον δ' οὕτω περὶ τῶν ἕξεων λέγεται, ἀλλὰ καὶ περὶ αὐτῶν τῶν ἐχόντων ταύτας· ὁ γὰρ γεωμέτρης ὁ μὴ ἐνεργῶν πρὸς τὸν ἐνεργοῦντα δυνάμει ἐστὶ γεωμέτρης, πρὸς δὲ τὸ δυνάμενον παιδίον γενέσθαι γεωμετρικὸν ἐνεργείᾳ. ἀλλὰ περὶ μὲν τούτων πάνυ πλατύτερόν μοι ἐν τῇ περὶ Ψυχῆς (2 5) εἴρηται, καὶ νῦν ἕνεκα τῶν λεγομένων μετρίως ὑπέμνησαι. ὁ δ' Ἀριστοτέλης διὰ τῶν προκειμένων τόδε φησίν· ἐπειδὴ τῶν μὲν ἔσχατον κτλ.

παροιμιῶδες τὸ ὁ Πάσωνος Ἑρμῆς, ἐπὶ τῶν ἀδήλων εἰ οὕτως ἢ μὴ οὕτως ἔχει λαμβανόμενον. cod. Reg. 1050 a 20.

ἔστι μὲν οὖν, φησί, καὶ ἔνθα οἷον ἐπὶ τῆς οἰκοδομικῆς τέλος, ἀλλ' ἔνθα οἷον ἐπὶ τῆς ὄψεως μᾶλλον τέλος τῆς δυνάμεώς ἐστι, δύναμιν λέγων τὴν ὀπτικὴν δύναμιν, αὐτήν φημι τὴν ὄψιν, τέλος δὲ καὶ ἐνέργειαν τὴν ὅρασιν. ὅπως δὲ ταῦτα λέγεται, εἴρηται προσεχῶς. καὶ ἔστιν ἴσον τὸ "ἔνθα δὲ μ. τ. τ. δ. ε." τῷ ἔστι μὲν καὶ ἡ ὄψις τέλος, ἀλλὰ μᾶλλον τέλος ἐστὶν ἡ ὅρασις τῆς δυνάμεως, τουτέστι τῆς ὄψεως. 1050 a 27.

διὸ καὶ εὐδαιμονία ἐν τῇ ψυχῇ ἐστίν· ζωὴ γὰρ ποιά τίς ἐστιν... εἰ γὰρ τότε λέγομεν ἐνεργῆσαι τὸν εὐδαίμονα ὅταν τὸ εἶδος τῆς εὐδαιμονίας, αὐτήν φημι τὴν εὐδαιμονίαν, ἀπολάβῃ, καὶ τὸ καταμήνιον τότε λέγομεν ἄνθρωπον ὅταν αὐτὸ τὸ εἶδος τοῦ ἀνθρώπου ἀπολάβῃ, τί χρὴ ἄλλο μαντεύεσθαι ἢ ὅτι τὸ εἶδός ἐστιν ἡ ἐνέργεια; 1050 b 1.

καὶ ἀεὶ οὕτως ἕως τῆς τοῦ ἀεὶ κινοῦντος· ἐκείνης γὰρ τῆς ἐνεργείας οὐ προηγεῖται ἐνέργεια, ἀλλὰ πρώτη πάντων καὶ αἰτία πάντων ἐστίν. "ἀλλὰ μὴν καὶ κυριωτέρως· τὰ μὲν γὰρ ἀΐδια πρότερα τῇ οὐσίᾳ τῶν φθαρτῶν." δείξας ὅτι ἡ ἐνέργεια δυνάμεως προτέρα ἐστὶ καὶ λόγῳ καὶ χρόνῳ καὶ αἰτίᾳ, νῦν δείκνυσιν ὡς οὐχ ἁπλῶς οὕτως ἐστὶ προτέρα ἀλλὰ καὶ κυριωτέρως ἤτοι τιμιωτέρως. ἡ δὲ δεῖξις πρόεισι διά τινος τῶν ἐν τοῖς Τοπικοῖς (3 1) παραδιδομένων τόπων τόπου, λέγοντος ὅτι τὰ τοῖς κυριωτέροις καὶ κρείττοσιν ὑπάρ- 1050 b 5.

εἰ οὕτως μὴ ἄλλο," τουτέστιν εἰ παρωνύμως λέγεται, οἷον ἀέρινον, καὶ οὐ λέγεται ἄλλο, οἷον ἡ γῆ ἁπλῶς, ὃ ἄλλο λέγεται καὶ οὐκ ἐκείνινον, τὸ ὕστερον ἁπλῶς καὶ κυρίως ἐκεῖνό ἐστιν. οἷον πρῶτον μὲν ὡς πρὸς τὸ κιβώτιον τὸ ξύλον, ὕστερον δὲ ἡ γῆ· ἀλλ' οὐχὶ καὶ τὸ ἁπλῶς ὕστερον αὕτη ἐστίν, ἀλλ' ἡ ἐσχάτη ὕλη. εἰ δή, ὥσπερ εἴρηται, ἔστι τι πρῶτον (ὃ γὰρ πρότερον ὕστερον εἶπε, τοῦτο νῦν πρῶτον ἐκάλεσεν ἄλλον τρόπον· κάτωθεν γὰρ ἀρχομένοις πρῶτόν ἐστιν), εἰ ἔστιν οὖν πρῶτόν τι καὶ οὐ κατ' ἄλλο λέγεται οὐδ' ἀπό τινος παρονομάζεται, τοῦτό ἐστιν ἡ πρώτη ὕλη· οἷον ἡ γῆ ἀερίνη, οὗτος δὲ πύρινος, τὸ δὲ πῦρ μὴ κατ' ἄλλο, τὸ πῦρ ἔσται ἡ πρώτη ὕλη τόδε τι οὖσα καὶ μὴ ἀπό τινος λεγομένη. καὶ κατὰ τοῦτο διαφέρει τὸ καθόλου καὶ τὸ ὑποκείμενον. καθόλου λέγει νῦν ἁπλῶς πᾶν τὸ κατηγορούμενον, ἄντε οὐσία ᾖ ἄντε συμβεβηκός, ὑποκείμενον δὲ τὴν οὐσίαν. κατὰ δὴ τοῦτο διαφέρει τὸ καθόλου καὶ τὸ ὑποκείμενον τῷ τὸ μὲν ὑποκείμενον τόδε τι καὶ λέγεσθαι παρωνύμως ἀπὸ τῶν παθῶν, τὰ δὲ πάθη ἐξ αὐτῶν οὐκέτι. καὶ λέγεται τῆς μουσικῆς γεγονυίας τῇ ψυχῇ ἡ ψυχὴ οὐ μουσικὴ ἀλλὰ μουσικὸν κτλ.

1049 a 34. ὅσα μὲν οὕτω, οἷον λευκὸν ἢ μουσικὸν καὶ ὅλως ὡς τὰ κατὰ πάθος λέγεται, τὸ ἔσχατον καὶ τὸ ὑποκείμενον αὐτοῖς ἐστὶν οὐσία... καὶ ὅρα δὴ τὴν διαφορὰν αὐτῶν ὡς εἴδη λεγομένων πρὸς τὴν τῶν ὡς πάθη, ὅτι ἐπὶ μὲν τῶν παθῶν λέγεται τὰ ὑποκείμενα ἀπ' αὐτῶν (ἀπὸ γὰρ τῆς μουσικῆς μουσικὸς καὶ ἀπὸ τοῦ λευκοῦ λευκός), τὰ δὲ πάθη ἀπὸ τῶν ὑποκειμένων οὐ λέγεται εἰ μὴ κατὰ συμβεβηκός· φαμὲν γάρ ποτε τὸ λευκὸν ἄνθρωπον εἶναι κατὰ συμβεβηκός, καθ' αὑτὸ δ' οὔ· ἀνάπαλιν δὲ ἐπὶ τῶν ὡς εἴδη λεγομένων τὰ μὲν εἴδη λέγεται ἀπὸ τῆς ὕλης καὶ τοῦ ὑποκειμένου· φαμὲν γὰρ τὸν ἀνδριάντα χαλκοῦν, ἀλλ' οὐ τὸν χαλκὸν ἀνδριάντα, καὶ τὸ κιβώτιον ξύλινον, ἀλλ' οὐ τὸ ξύλον κιβώτιον. ταῦτα εἰπὼν ἐπιφέρει ὅτι ὀρθῶς τὸ ἐκείνινον λέγεται κατὰ τὴν ὕλην καὶ τὰ πάθη· ἐπειδὴ γὰρ καὶ τὰ πάθη ὑπὸ τοῦ ὑποκειμένου ὁρίζεται (καθ' αὑτὸ γὰρ τὸ λευκὸν ἀόριστόν ἐστιν· οὐδὲ γὰρ ὅλως δύναται χωρίς τινος ὑποκειμένου εἶναι), ὁμοίως δὲ καὶ ἡ ὕλη ὑπὸ τοῦ εἴδους, εὐλόγως κατὰ θατέρου λεγόμενον τὸ ἐκείνινον λέγεται καὶ κατὰ θατέρου.

1049 b 8. ἀρχὴν δὲ κινητικὴν καὶ στατικὴν τὴν φύσιν λέγει· οὕτω γὰρ αὐτὴν ἐν τῇ Φυσικῇ (2 1) ὡρίσατο, ὅτι ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ πρώτῳ καθ' αὑτὸ πέφυκε καὶ μὴ κατὰ συμβεβηκός. εἰπὼν δὲ τὴν φυσικὴν ἀρχὴν κινήσεως, καὶ πρότερον ἀρχὴν κινητικὴν τὴν δύναμιν, ἐπήγαγεν "καὶ γὰρ ἡ φύσις ἐν ταὐτῷ γένει τῇ δυνάμει," ὡς εἰ ἔλεγε, καὶ γὰρ ἡ φύσις καὶ ἡ δύναμις ἀρχαὶ κινητικαί. ἔδει δὲ εἰπεῖν ὅτι ἡ ἐνέργεια καὶ τῆς φύσεώς ἐστι προτέρα· ἀλλ' ἐπειδὴ καὶ ἡ δύναμις καὶ ἡ φύσις ὡς γένη εἰσί, καὶ γένος δὲ ἡ ἀρχὴ ἡ κινητικὴ τῆς τε δυνάμεως καὶ τῆς φύσεως, ἀντὶ τοῦ φάναι φύσεως εἴρηκεν ἀρχῆς κινητικῆς. διαφέρει δὲ δυνάμεως ἡ φύσις, ὅτι ἡ δύναμις ἐν ἄλλῳ οὖσα ᾗ ἄλλο ἐν ἐκείνῳ ἐστίν, ἡ δὲ φύσις ἐν ᾧ ἐστὶν οὐχ ᾗ ἄλλο ἐν ἐκείνῳ ἐστίν, ἀλλ' ᾗ αὐτὸ καὶ καθ' αὑτό· ἡ γὰρ Δίωνος φύσις ᾗ τοιοῦτός ἐστιν ὑπάρχει ἐν αὐτῷ καὶ καθ' αὑτό. ἔστιν οὖν δυνάμεως τῆς τε ὁρισθείσης καὶ τῆς φύσεως, δύναμιν λέγων καὶ τὴν φύσιν διὰ τὸ ἐν τῷ αὐτῷ γένει εἶναι τῆς δυνάμεως.

ὅτι τῷ λόγῳ προτέρα ἐστι, δείκνυσιν ὧδε. τὸ πρώτως φησὶ 1049 b 11.
δυνατόν, τουτέστιν ἡ προσεχὴς δύναμις ἤτοι ἡ προσεχὴς ὕλη, δυνατὴ λέγεται διὰ τὸ ἐνδέχεσθαι ἐνεργῆσαι... εἰ οὖν ἡ δύναμις τῇ ἐνεργείᾳ γνωσκεται, ἀνάγκη τὸν λόγον καὶ τὴν γνῶσιν προϋπάρχειν τῆς ἐνεργείας τοῦ λόγου καὶ τῆς γνώσεως τῆς δυνάμεως. τὸ γὰρ δι' οὗ τι διδάσκεται πρότερόν ἐστι τοῦ διδασκομένου, ὡς τὸ αἴτιον τοῦ αἰτιατοῦ. ὅτι δὲ πρότερον φανερόν· ἐπειδὴ γάρ φαμεν ὅτι δυνατόν ἐστι τὸ δυνάμενον ἐνεργῆσαι, καὶ διὰ τῆς ἐνεργείας τὴν δύναμιν σαφῆ ποιεῖν σπεύδομεν, δῆλον ὡς γνωριμωτέραν καὶ προτέραν οὖσαν τῆς δυνάμεως λαμβάνομεν τὴν ἐνέργειαν εἰς τὴν γνῶσιν τῆς δυνάμεως, ὅτι πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (1 1) ἐμάθομεν.

λαμβάνει δὲ εἰς τὴν τούτου δεῖξιν λίαν ὁμολογούμενον καὶ ἐναρ- 1049 b 19.
γὲς ἀξίωμα ἢ λῆμμα, ὅτι τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν πρότερόν ἐστιν. ὁ γὰρ Σωφρονίσκος ὁ τὸν Σωκράτην ἐνεργήσας, τουτέστι ποιήσας, τῷ εἴδει ὄντα τὸν αὐτὸν τῷ Σωφρονίσκῳ ἀλλ' οὐ τῷ ἀριθμῷ, πρότερός ἐστι Σωκράτους· ὁ γὰρ Σωφρονίσκος καὶ ὁ Σωκράτης τῷ μὲν εἴδει οἱ αὐτοί εἰσι, τῷ δ' ἀριθμῷ οὔ. τὸ μὲν οὖν τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν, ὥσπερ εἴρηται, πρότερον, τὸ δὲ γεγονὸς ἓν ὂν καὶ ταὐτὸν τῷ ἀριθμῷ ὕστερον.

εἴρηται δὲ ἐν τῷ Ζ· ἐκεῖσε γὰρ περὶ οὐσίας εἶπεν ὅτι πᾶν τὸ γι- 1049 b 27.
νόμενον ἔκ τινος γίνεταί τι, καὶ τοῦτο τὸ γινόμενον φυσικῶς ἀλλ' οὐ τεχνητῶς, τῷ εἴδει ἐστὶ τὸ αὐτὸ τῷ κινοῦντι· ὥστε καὶ προτέρα ἐνέργεια δυνάμεως.

ἠρώτων γὰρ οἱ σοφισταί, μᾶλλον δὲ καὶ νῦν ἐρωτῶσιν, ἆρά γε 1049 b 33.
ὁ μὴ ἔχων ἐπιστήμην τινὸς ποιήσει τὴν ἐπιστήμην; καὶ τὸ μὲν πρότερον σημαινόμενον τῆς ἐπιστήμης ἐλάμβανον ἐπ' αὐτῆς τῆς ἐν τῇ ψυχῇ ἕξεως, τὸ δὲ "ποιήσει τὴν ἐπιστήμην," ἐπιστήμην ἐνταῦθα τὸ ἐπιστητὸν λέγοντες τὸ κατὰ τὴν ἐπιστήμην λεγόμενον. κοινότερον δὲ νῦν καὶ τὰς τέχνας ἐπιστήμας εἴρηκεν. ἠρώτων οὖν οὕτως, καὶ ἀπεκρίναντο οἱ προσδιαλεγόμενοι ὅτι οὐ ποιήσει· ὁ γὰρ μὴ ἔχων τὴν τοῦ ποιεῖν ἀνδριάντα ἐπιστήμην οὐκ ἂν ποιήσειεν ἀνδριάντα. οὕτω δὲ τὸν λόγον ἐρωτῶντες οἱ σοφισταὶ καὶ λαμβάνοντες παρὰ τῶν προσδιαλεγομένων ὅτι οὐ ποιήσει τὸ τῆς ἐπιστήμης ὁ μὴ ἔχων τὴν ἐπιστήμην, ἐπῆγον ὅτι ὁ μανθάνων κιθαρίζειν μὴ ἔχων τὴν τοῦ κιθαρίζειν ἐπιστήμην κιθαρίζει· εἰ γὰρ εἶχεν, οὐκ ἂν ἐμάνθανεν· ὁ ἄρα μὴ ἔχων τινὸς ἐπιστήμην καὶ ποιήσει καὶ οὐ ποιήσει τὸ τῆς ἐπιστήμης· ὅπερ ἄτοπον. καὶ λύει τὸ σόφισμα λέγων "ἀλλὰ διὰ τὸ" κτλ. προσυπακουστέον τοῦ δεῖξαι ἡμᾶς· ἔδειξε γὰρ ἐν τοῖς τελευταίοις τῆς Φυσικῆς Ἀκροάσεως βιβλίοις (6 5)· ἐκεῖνα γὰρ περὶ κινήσεως λέγει, ὅτι πᾶν τὸ κινούμενον πρότερον κινεῖται καὶ πᾶν τὸ κεκινημένον πρότερον ἐκινήθη.

ὡς γὰρ ὁ οἰκοδόμος τὸ τῆς οἰκίας πρότερον εἶδος ἀνατυποῖ 1050 a 4.
παρ' ἑαυτῷ καὶ οὕτω καταβάλλεται θεμέλιον καὶ τοίχους καὶ ὄροφον, οὕτω καὶ φύσις σκοπὸν ἔχουσα ἄνδρα, εἰ τύχοι, ποιῆσαι· ἕνεκα γὰρ τούτου ποιεῖ, ὡς ἐν τῷ Γ (Β 8) τῆς Φυσικῆς Ἀκροάσεως δέδεικται, πρότερον μὲν σπέρμα καὶ καταμήνιον, εἶτα καρδίαν, εἶτα ἧπαρ, εἶτα

1048a 33. καὶ ἐν τῇ διαμέτρῳ λέγομεν εἶναι τὴν ἡμίσειαν, ὅτι δύναται ἀπ' αὐτῆς ἀφαιρεθῆναι καὶ εἶναι καθ' ἑαυτὴν ἐνεργείᾳ· καὶ ἐπιστήμονα τὸν μὴ θεωροῦντα, δυνάμενον δὲ θεωρῆσαι.

1048a 36. οὐ γὰρ πάντα τοῖς ὅροις γινώσκομεν, ἐπεὶ μηδὲ πάντων εἰσὶν ὅροι, ὡς δέδεικται ἐν τῷ Ζ τῆσδε τῆς πραγματείας, ἀλλ' ἔνια καὶ δι' ἐπαγωγῆς καὶ δι' ἀναλογίας συνορῶμεν καὶ γινώσκομεν.

1048b 2. "καὶ — ὕλην." ὃ δὴ ἀσαφῶς εἴρηκε· δοκεῖ γὰρ λέγειν ὅτι καὶ τὸ χωρισθὲν εἶδος ἐκ τῆς ὕλης, οὐ τοῦτο δέ φησιν· οὐ γὰρ βούλεται οὕτος εἶδος εἶναί ποτε φυσικὸν χωρὶς ὕλης· ἀλλ' ἀποκεκριμένον λέγοι ἂν τὸν ἀνδριάντα, ὡς τύπῳ εἰπεῖν, πρὸς τὸν χαλκὸν τὸν μήπω ἀνδριάντος εἶδος ἔχοντα, δυνάμενον δὲ δέξασθαι τὸ τοῦ ἀνδριάντος εἶδος. καὶ πάλιν ὡς ἔχει τὸ ἀπειργασμένον κιβώτιον πρὸς τὸ ἀνέργαστον ξύλον, δυνάμενον δὲ ἐργασθῆναι καὶ γενέσθαι κιβώτιον. ὡς δὴ ταῦτα ἔχει ἐστί τέ τι, οὕτως ἐστὶ καὶ ὁ Σωκράτης ὁ γράφων πρὸς τὸν μὴ γράφοντα. τοῦτο δ' εἰπεῖν φανερόν ἐστιν ὡς δεδήλωται ἡ ἐνέργεια τοῦ Σωκράτους, ἣν ἐνεργεῖ, λέγω δὲ τὸ γράφειν. ταύτης δὲ τῆς διαφορᾶς (διαφορὰν λέγων τὴν ἐξ ἀναλογίας συζυγίαν, οἷον ὡς τὸ ὁρῶν πρὸς τὸ μύον καὶ τὸ ἐγρηγορὸς πρὸς τὸ καθεῦδον), ταύτης δὴ τῆς διαφορᾶς θάτερον μόριόν ἐστιν ἡ ἐνέργεια, τό τε ὁρᾶν καὶ τὸ ἐγρηγορέναι, θάτερον δὲ τὸ δυνατόν, τό τε μύον καὶ τὸ καθεῦδον, ὅτι δύναται τὸ μὲν ἀναβλέψαι τὸ δὲ ἐγρηγορέναι. εἰπὼν δὲ ὅτι τῆς ἐνεργείας οὐ δεῖ ὁρισμὸν ζητεῖν, ἀλλ' ἐξ ἀναλογίας αὐτὴν οἷα ἂν καὶ εἴη δηλοῦν, καὶ εἰπὼν ὅπως τοῦτο ποιητέον, λέγει, εἰ καὶ πάντα τὰ ἐνεργείᾳ κατ' ἀναλογίαν λέγειν προσήκει, πλὴν οὐχ ὁμοίως πάντα λέγεται, ἀλλὰ τὸ μὲν ὡς κίνησις πρὸς τὴν δύναμιν λέγεται, τὸ δ' ὡς οὐσία πρὸς τὴν ὕλην, οἷον εἰ λέγοι τις, ὡς ὁ βαδίζων πρὸς τὸν καθήμενον, οὕτως Ἀλέξανδρος πρὸς τὸ καταμήνιον· τὸ μὲν γὰρ βαδίζον λέγεται ὡς κίνησις πρὸς δύναμιν, τουτέστιν ὡς πάθος πρὸς πάθος, ὁ δ' Ἀλέξανδρος πρὸς τὸ καταμήνιον ὡς οὐσία πρὸς ὕλην· ὕλη γὰρ τοῦ ἀνθρώπου τὸ καταμήνιον.

1048b 7. τὸ "ἀλλ' ἢ τῷ ἀνάλογον ὡς τοῦτο ἐν τούτῳ"... ὑπόμνησίς ἐστι τῆς ἀναλογίας, ὡς εἰ ἔλεγεν ὅτι τὰ ἀνάλογον λεγόμενα. πῶς δὲ λεγόμενα; ὅτι "ὡς τοῦτο ἐν τούτῳ."

1048b 9. ἐπειδὴ οἱ τὸ ἄπειρον εἶναι λέγοντες ἔν τισι δυνάμει ἔλεγον εἶναι (ἐν μὲν γὰρ τοῖς κούφοις σώμασιν ἐνεργείᾳ, ἐν δὲ τοῖς βαρέσι δυνάμει), λέγει ὅτι τὸ δυνάμει καὶ ἐνεργείᾳ ἄλλως λέγεται ὑπάρχειν πολλοῖς τῶν ὄντων... λέγεται γὰρ ὁρῶν ὁ μὴ ὁρῶν, ὅτι δύναται ἐνεργῆσαι καὶ γενέσθαι ἐνεργείᾳ ὁρῶν· ὁμοίως καὶ ὁρῶν λέγεται μὴ ὁρῶν, ὅτι δύναται ἐνεργείᾳ γενέσθαι μὴ ὁρῶν. ἄλλως οὖν τὸ δυνάμει ἐν τούτοις λέγεται καὶ ἄλλως ἐν τῷ ἀπείρῳ καὶ κενῷ· λέγεται γὰρ δυνάμει ἄπειρον μέγεθος οὐχ ὅτι δύναται καὶ ἐνεργείᾳ γενέσθαι, ἀλλ' ὅτι δύναται ἐπ' ἄπειρον τέμνεσθαι· δέδεικται γὰρ ἐν τῇ Φυσικῇ (3 5, 4 8) ὡς οὔτε ἄπειρόν ἐστιν ἐν τοῖς οὖσιν οὔτε κενόν. "τὸ μὲν γὰρ ὁρ... δυνατόν·" τουτέστι τὸ μὲν γὰρ ὁρώμενον λέγεται μὴ ὁρᾶσθαι, ὅτι ὁρώμενον δύναται μὴ ὁρᾶσθαι (οὕτω γὰρ δεῖ τοῦ ῥητοῦ ἀκούειν)· τὸ δὲ μὴ ὁρώμενον λέγεται ὁρᾶσθαι, ὅτι δυνατόν ἐστιν ὁρᾶσθαι.

1048b 18. "ἐπεὶ δ. τ. πρ." τοῦτο τὸ κεφάλαιον ἐν πολλοῖς λείπει, τέως φησί "ἐπ. τ. πρ. ὧν ε. πέρας·" καὶ τοῦτο λέγει ἢ διὰ τὴν ματαιοπονίαν ἢ διὰ τὴν τοῦ οὐρανοῦ φοράν, οὐδεμία λέγεται τέλος, ἀλλ' ἐκεῖνο τὸ ἔσχατον, οἷον ἡ περὶ τὸ ἰσχναίνειν πρᾶξις οὐκ ἔστι τέλος, ἀλλ' ἡ ἰσχνασία. τὰ ἰσχναινόντα δὲ ὅταν ἰσχναίνῃ, οὐ τέλος ἐστὶν ἐν κινήσει· ὥστε μὴ ὑπάρχοντος τοῦ τέλους, οὗ ἕνεκα ἡ κίνησις, οὐκ ἔστι κυρίως τοῦτο ἡ πρᾶξις. ἡ πρᾶξις μὲν λέγεται καὶ αὐτή, ἀλλ' οὐ τελεία γε οὐδὲ τέλος· οὐδὲ γὰρ ὑγιάζεται καὶ ὑγιάσαι τὸ αὐτό, ἀλλὰ τὸ ὑγιάζεται κίνησις ἀτελής, τὸ δὲ ὑγιάσαι τέλος καὶ πρᾶξις. ὁμοίως καὶ τὸ εὐδαιμονεῖ καὶ εὐδαιμόνηκε, καὶ τὸ εὖ ζῇ καὶ τὸ εὖ ἐζηκὼς τῆς εὐζωΐας· ἀλλ' οὐκ ἔστιν ὥσπερ καὶ ἐπὶ τοῦ ἑώρακε καὶ ὁρᾷ καὶ τοῦ νενόηκε καὶ νοεῖ. τὰ γοῦν τοιαῦτα ἐνέργειαν λέγω, ἐκεῖνα δὲ τὸ ὑγιάζεται καὶ τὸ ἰσχναίνει κινήσεις ἀτελεῖς.

1048b 37. ἐν τῷ Δ (c. 12) λέγων τὰ σημαινόμενα τῆς δυνάμεως καὶ ἐνεργείας, εἰρηκὼς ὅτι πότε δὴ τὰ τοιαῦτα καὶ δυνάμει καὶ ἐνεργείᾳ λέγεται καὶ πότε οὒ ἐν ἄλλοις διοριστέον, νῦν τὰ περὶ τοῦ ἐνεργείᾳ συμπερανάμενος καὶ εἰπὼν "τὸ μὲν οὖν ἐνεργείᾳ τί ἐστι καὶ ποῖον, δῆλον ἡμῖν ἐκ τῶν τοιούτων ἐστίν," ὅπερ ἐκεῖσε ἐπηγγείλατο εἰπεῖν, νῦν λέγει, ὅτι "πότε δυνάμει ἐστὶν ἕκαστον καὶ πότε οὔ, διοριστέον." οὐ γὰρ τὰ τυχόντα λέγεται. καὶ τάχα, εἴ τι συνίημι, τὴν ἑκάστῳ προσεχῆ ὕλην βούλεται δυνάμει λέγειν ἐκεῖνο εἶναι ὃ δύναται, τὴν δὲ πόρρω οὐδαμῶς. ἐρωτᾷ δή, ἆρα ἡ γῆ ἐστὶ δυνάμει ἄνθρωπος; καὶ ἐρωτήσας ἐπικρίνει "ἢ οὔ," ἤτοι οὐκ ἔστιν, ἀλλὰ μᾶλλον ὅταν γένηται σπέρμα. καὶ οὐδὲ τότε ἐστὶ δυνάμει ἄνθρωπος, ἀλλ' ὅταν ἐν τῷ θήλει καταβληθῇ. καὶ ἴσως οὐδὲ τοῦτο, εἰ μὴ ἐπιτήδειον εἴη τὸ δεξάμενον.

1049a 9. "ὅταν — τούτῳ." τί δὲ σημαίνει τοῦτο, ἐπήγαγε "καὶ τῇ ὕλῃ," ἴσον λέγων τῷ ὅτι τότε τοδὶ λέγεται οἰκία δυνάμει, ὅταν μηδὲν κωλύῃ τῶν ἐν τῇ ὕλῃ, οὐδ' ἔστι τῶν ἐν τῇ ὕλῃ, ὃ δεῖ προσγενέσθαι ἢ μεταβαλεῖν.

1049a 13. ὅταν μηδενὸς τῶν ἔξωθεν ἐμποδίζοντος ἔσται δι' αὑτοῦ, τουτέστιν ἐνεργοῦν ἀφ' ἑαυτοῦ, εἰ φυσικὸν εἴη, ὃ ἐδύνατο ἐνεργῆσαι· τὸ γὰρ "δι' αὑτοῦ" οὐ πρὸς ἄμφω ἀπεδόθη καὶ τὰ τεχνητὰ καὶ τὰ φυσικά, ἀλλὰ πρὸς μόνα τὰ φυσικά, "οἷον τὸ σπέρμα·" ἔσω δὲ ὁ σῖτος ὅταν ἐν τῷ ἀγγείῳ εἴη, οὐ λέγεται δυνάμει ὁ στάχυς· δεῖ γὰρ ἐν ἄλλῳ ἤτοι ἐν τῇ γῇ πεσεῖν καὶ μεταβάλλειν. ὅταν δὲ ἐν τῇ γῇ πέσῃ καὶ ἤδη διὰ τῆς ἐν αὐτῷ φυσικῆς ἀρχῆς ᾖ τοιοῦτον, τουτέστι δυνάμενον βλαστάνειν, τότε λέγεται δυνάμει ὁ στάχυς.

1049a 19. ἐπειδὴ ἡ ὕλη δυνάμει ἐστὶ τοῦ εἴδους, διὰ τοῦτο οὔ φαμεν τὸ σύνθετον τὴν ὕλην· οὐ γὰρ λέγομεν τὸ κιβώτιον ξύλον, ἀλλὰ παρωνυμιάζοντές φαμεν αὐτὸ ἐκείνινον, οἷον ξύλινον. ἢ οὐ τοῦτο ἂν διὰ τούτου λέγοι, ἀλλ' ὅτι δῆλον ἐκ τούτου ἐστὶν ὡς ἡ πόρρω ὕλη οὐ λέγεται δυνάμει. τί δή ποτε; ὅτι οὐ παρωνυμιάζομεν τὰ πράγματα ἐκ τῆς πόρρω ἀλλ' ἐκ τῆς προσεχοῦς· λέγομεν γὰρ τὸ κιβώτιον ξύλινον ἐκ τῆς προσεχοῦς, ἀλλ' οὐ γήϊνον ἐκ τῆς πόρρω. ἢ οὐδὲ τοῦτο ἂν εἴη τὸ λεγόμενον, ἀλλ' οἶμαι κανόνα ἡμῖν παραδίδωσιν ὅπως τὴν ἐσχάτην ὕλην γνωρίσωμεν, καὶ ἧς οὐκ ἔστιν ἄλλη προτέρα, δυνάμει λέγων ὅτι ὅσα μὲν ἐξ ἄλλων παρωνυμιάζονται ἐκεῖνα προσεχεῖς εἰσὶν ὗλαι, καὶ οὐκ ἔστιν οὐδεμία τούτων ἐσχάτη· εἰς ἣν δὲ καταντήσομεν, ἥτις οὐκ ἐξ ἄλλης παρωνυμιάζεται, αὕτη ἐστὶν ἡ ἐσχάτη. καὶ ὅ τι βούλεται διὰ τούτων λέγειν, δῆλον πεποίηκεν εἰπὼν "πάλιν ἡ γῆ

φεύγει καὶ ἄγνωστον ἡμῖν γίνεται τὸ ἀδύνατον, καὶ ποῖόν ἐστι τοῦτο τὸ ἀδύνατον δείξας, λέγει ὅτι ἐκ τούτου δῆλόν ἐστιν ὡς εἰ τοῦ α ὄντος ἕπεται αὐτῷ ἐξ ἀνάγκης τὸ β, οὐ μὴν δυνατοῦ ὄντος τοῦ α ἔσται καὶ τὸ β δυνατόν, καὶ τοῦ α δυνατοῦ ὄντος καὶ τὸ β δυνατὸν ἔσται, καὶ ἀναγκαίου ἀναγκαῖον, καὶ ὑπάρχοντος τοῦ α ὑπάρχει καὶ τὸ β. εἰ δέ τις ἐνίσταται λέγων ὅτι τοῦ α ὄντος ἕπεται αὐτῷ ἐξ ἀνάγκης τὸ β, οὐ μὴν δυνατοῦ ὄντος τοῦ α ἔσται καὶ τὸ β δυνατόν, οὐδὲν κωλύει, φησίν, εἶναι τὸ β μὴ δυνατόν, δυνάμει λέγων ὡς εἰ τοῦ α δυνατοῦ ὄντος τὸ β οὐκ ἔστι δυνατόν, ἔσται ἀδύνατον· τοῦτο γὰρ ἀντίκειται τῷ δυνατῷ. ἔστω, φησί, τὸ α δυνατόν. οὐκοῦν ἐπειδὴ δυνατόν ἐστιν, ὑπάρχει. ψεῦδος μέν, οὐ μέντοι ἀδύνατος ἡ ὑπόθεσις. ἔστω οὖν ὑπάρχειν τὸ α, ὑπόκειται δὲ ὅτι τοῦ α ὄντος ἔστι καὶ τὸ β· ὥστε ἐπειδὴ τὸ α ἔστιν, ἔσται καὶ τὸ β διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. "ἀλλὰ καὶ οὐκ ἔσται· τὸ γὰρ ἀδύνατον οὐκ ἂν γένοιτό ποτε. εἰ δὲ τὸ εἶναι τὸ β μὴ ἦν ἀδύνατον, ψευδὴς ἡ ὑπόθεσις ἐξ ἧς τοῦτο συνέβη· αὕτη δέ ἐστιν ἡ λέγουσα ὅτι τοῦ α ὄντος δυνατοῦ οὐκ ἔσται τὸ β τὸ ἑπόμενον τῷ α δυνατόν. δῆλον ἄρα ὅτι τοῦ α ὄντος δυνατοῦ ἔσται καὶ τὸ β δυνατόν, εἴπερ οὕτως εἶχον τό τε α καὶ τὸ β. πῶς δὲ εἶχον, ἐπάγει, "ὥστε τοῦ α ὄντος ἀνάγκη καὶ τὸ β εἶναι". δείξας οὖν ὅτι εἰ τὸ α εἴη δυνατόν, καὶ τὸ τούτῳ ἐξ ἀνάγκης ἑπόμενον β δυνατόν ἐστι, δείκνυσιν ὅτι καὶ ὄντος τοῦ α ἔσται καὶ τὸ β, λέγων "ἐὰν δὴ οὕτως ἐχόντων . . . τὸ αβ ἕξει ὡς ἐτέθη", ἤτοι ἂν τὸ αβ ἕξει ὡς ἐτέθη. ταῦτα δὲ εἰπὼν ἐπάγει "καὶ εἰ τοῦ α δυνατοῦ ὄντος ἀνάγκη καὶ τὸ β εἶναι," ὃ ἴσον ἂν εἴη τῷ οὕτω κεῖται καὶ δέδεικται, ὡς εἰ τὸ α εἴη δυνατόν, καὶ τὸ β ἔσται δυνατόν. εἰ δὲ οὕτως ἔχει, λέγομεν, φησίν, ὅτι εἰ καὶ εἴη τὸ α, ἀνάγκη εἶναι καὶ τὸ β· τὸ γὰρ λέγειν ὅτι εἰ τὸ α δυνατὸν εἴη, ἐξ ἀνάγκης ἕπεται τὸ εἶναι δυνατὸν καὶ τὸ β (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "τὸ γὰρ δυνατὸν εἶναι δυνατὸν καὶ τὸ β· τοῦτο γὰρ ἐξ ἀνάγκης τὸ β εἶναι, εἰ τὸ α δυνατόν"), τὸ οὖν λέγειν, εἰ τὸ α δυνατόν, ἐξ ἀνάγκης καὶ τὸ εἶναι τὸ β δυνατὸν συμβαίνει, τοῦτο σημαίνει ὅτι ἐὰν ᾖ τὸ α καὶ ὅταν ᾖ, τότε εἶναι καὶ τὸ β. τὸ δὲ "καὶ ὡς ἦν δυνατὸν εἶναι" ἴσον ἂν εἴη τῷ καὶ εἰ ἔστιν ἀναγκαῖον τὸ α, ἔσται καὶ τὸ β ἀναγκαῖον, καὶ εἰ δυνατόν, δυνατόν.

1047 b 11. πρόσκειται ἔν τισι "συμβήσεται δέ· τὸ γὰρ μετρεῖσθαι ἀδύνατον· οὐ γὰρ δή ἐστι". cod. Reg.

1047 b 16. ταῦτα δὲ λέγειν ἔοικεν ἀποτεινόμενος πρὸς τὸν Πλάτωνα, ὃς περὶ τῶν οὐρανίων σφαιρῶν, ὡς κἀν τοῖς περὶ Οὐρανοῦ (I 10) εἴρηται, λέγει ὡς γενηταὶ μέν εἰσιν αὗται καὶ διὰ τοῦτο φθαρῆναι δυνάμεναι, οὐ μέντοι γε φθαρήσονται. cod. Reg.

1047 b 33. τὰς δ' ἄνευ λόγου δυνάμεις, εἴτε τοῦ ἐνεργεῖν εἴτε καὶ τοῦ πάσχειν, οὐκ ἀνάγκη ἐστὶ προενεργῆσαι.

1048 a 6. καὶ τὰς μὲν ἀλόγους δυνάμεις ἀνάγκη, ὅταν πλησιάζῃ τό τε δυνάμενον ποιεῖν καὶ δυνάμενον πάσχειν, τὸ μὲν ποιεῖν ὡς δύναται ποιεῖν, τὸ δὲ πάσχειν ὡς δύναται πάσχειν.

1048 a 8. καὶ αἱ μὲν ἄλογοι δυνάμεις κυρίως ἑνός εἰσι ποιητικαί, οἷον ἡ τοῦ πυρὸς τοῦ θερμαίνειν. τὸ δὲ κυρίως πρόσκειταί μοι, ὅτι ψύχει καὶ τὸ πῦρ κατὰ συμβεβηκός, σβεσθέν πως καὶ ἀπελθόν. . . . εἰ δέ τις λέγει ὅτι καὶ αἱ μετὰ λόγου δυνάμεις ἅμα τῷ πλησιάσαι ἐξ ἀνάγκης τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει ὥσπερ καὶ αἱ ἄλογοι (ἐξ ἀνάγκης γὰρ τὸ πυρ αμα τῷ πλησιασαι τῷ καυστῷ καίει), εἰ οὖν τοῦτό τις λέγει καὶ δίδωσι τὴν ἀνάγκην ταῖς μετὰ λόγου δυνάμεσιν ὥσπερ καὶ ταῖς ἀλόγοις, οὗτος οὐδὲν ἄλλο ἀξιοῖ ἢ ἅμα τὰ ἐναντία τῷ αὐτῷ παρεῖναι· ὡς γὰρ τὸ πῦρ δυνάμενον θερμαίνειν ἅμα τῷ πλησιάσαι τῷ θερμαντῷ ἐξ ἀνάγκης θερμαίνει αὐτό, οὕτω καὶ ὁ ἰατρὸς ἐπεὶ δύναται καὶ ὑγιάζειν καὶ νοσάζειν, εἰ ἐξ ἀνάγκης ἅμα τῷ πλησιάζειν ἐνεργεῖ ἃ δύναται, ἅμα ἂν ὑγιάζοι τὸν αὐτὸν καὶ νοσιάζοι. τοῦτο δὲ ἀδύνατον, τὸν αὐτὸν ἅμα ὑγιαίνειν καὶ νοσεῖν· ὥστε ἔστι τὸ κύριον ἐν ταῖς μετὰ λόγου δυνάμεσι τὸ μὴ ἐῶν τὰ ἐναντία ποιεῖν, ἀλλὰ θάτερον, οὗ ἂν ὀρέγηται· τοῦτο δ' ἔστιν ἡ ὄρεξις ἢ προαίρεσις· ὁποτέρου γὰρ ἂν κυρίως ὀρέγηται, τοῦτο καὶ ποιήσει.

ἐπειδὴ ἔδει προσκεῖσθαι ἐν τῷ προσδιορισμῷ τὸ καὶ μηδενὸς τῶν ἔξωθεν κωλύοντος, ἵν' ᾖ τὸ ὅλον τοιοῦτον, ὅτι τὸ δυνατὸν οὗ ἔχει τὴν δύναμιν καὶ ὡς ἔχει καὶ μηδενὸς ἔξωθεν κωλύοντος ποιήσει (εἰ γὰρ ἔχει δύναμιν τοῦ ποιῆσαι, κωλύεται δὲ ὑπό τινος, οὐ πάντως ποιήσει), — τοῦτο δὴ εἰπὼν καὶ προθείς, ὡς εἴρηται (τὸ γὰρ μηδενὸς τῶν ἔξωθεν κωλύοντος προσδιορίζεσθαι οὐδὲν ἔτι δεῖ), ἐπήγαγεν τὰ ἑπόμενα. ὡς γάρ ἐστιν ἡ δύναμις τοῦ ποιεῖν, οὕτως ἔχει αὐτήν· ἔχει δ' οὐχ ὡς ἔτυχε καὶ πάντως, ἀλλ' ὡδί πως ἔχον. ἐν οἷς, τῷ τε δυνατῶς ἔχειν καὶ τῷ ὡδί πως ἔχειν, συμπεριείληπται καὶ τὸ μηδενὸς τῶν ἔξωθεν κωλύοντος. ὁ γὰρ λέγων ὅτι τὸ ποιοῦν ποιεῖ ὡς ἔχει καὶ ὡδί πως ἔχον, λέγει καὶ τὸ μηδὲ κωλυόμενον ὑπό τινος· ἔνια γὰρ τῶν προσόντων τῷ προσδιορισμῷ, οἷον τὸ ἔχει ἢ τὸ ὡδί πως ἔχει, συμπεριειλημμένον ἔχει ἐν τούτοις τό τε μηδενὸς κωλύοντος μηδὲ ἐμποδίζοντος, καὶ ἀφαιρεῖται ταῦτα, λέγω δὴ τὸ μὴ κωλύειν μηδὲ ἐμποδίζειν, καὶ οὐκ ἐᾷ κεῖσθαι ἐν τῷ προσδιορισμῷ. καὶ ἐπεὶ τὸ ποιοῦν οὕτω ποιεῖ ὡς ἔχει καὶ ὡς δύναται, οὐ ποιήσει ἅμα νόσον καὶ ὑγίειαν ὁ ἰατρός· οὐ γὰρ οὕτως ἔχει τὴν δύναμιν ὥστε ἅμα ταῦτα ποιεῖν, ἀλλὰ ἀνὰ μέρος, ἐπεὶ "οὐκ ἔστι," τουτέστιν ἐπεὶ οὐκ ἔχει δύναμιν ὥστε ἅμα ποιεῖν αὐτά, οὕτως ποιήσει, ἤτοι ἅμα, ὡς ἔχει τὴν τοῦ ποιεῖν δύναμιν. 1048 a 13.

τὸ δὲ "ἢ ἁπλῶς ἢ τρόπον τινά" πρόσκειται ὅτι εἴρηκεν ἐν τῷ Δ (c. 12) τῆσδε τῆς πραγματείας, ὅτε περὶ τοῦ δυνατοῦ διώριζεν, ὁσαχῶς λέγεται ὅτι δυνατὰ κινεῖσθαι, ἢ ὅταν ἁπλῶς καὶ ὡς ἔτυχεν εἴτε ἐπὶ τὸ χεῖρον καὶ τὴν φθορὰν εἴτε ἐπὶ τὸ κρεῖττον, λέγεται δυνατά, ἢ ὅταν μὲν ἐπὶ τὸ χεῖρον κινῇ, οὐ λέγεται δυνατά, ὅταν δὲ ἐπὶ τὸ κρεῖττον, λέγεται. τὸ οὖν ἁπλῶς εἴρηται ἀντὶ τοῦ ὡς ἔτυχε καὶ ἀδιορίστως, τὸ δὲ "τρόπον τινά" διωρισμένως. 1048 a 29.

ταῦτα εἰπὼν τὰ περὶ τῆς ἐνεργείας διορίζεται, ἔστι λέγων ἐνέργεια ὅτε ὑπάρχει τὸ πρᾶγμα οὐχ ὥστε μὴ ἐνεργεῖν, δυνάμενον δὲ ἐνεργῆσαι. "τὸ δὲ ἐνεργείᾳ," τουτέστιν, ἀλλ' ἐκεῖνό ἐστιν ἐνέργεια τὸ οὕτως ἐνεργείᾳ ὂν καὶ ἐνεργοῦν, καθ' ὃ πρότερον μὴ ἐνεργοῦν, δυνάμενον δὲ ἐνεργῆσαι, ἤδη ἐνεργεῖ. οὕτω μὲν οὖν τὰ ἑξῆς ἐστὶ τῶν λεγομένων καὶ οὕτως ἀναγνωστέον. εἶτα τὸ "λέγομεν δὲ δυνάμει οἷον ἐν τῷ ξύλῳ Ἑρμῆν." καὶ εἰσὶ ταῦτα ἐξηγητικὰ τοῦ "μὴ οὕτως ὥσπερ λέγομεν δυνάμει." πῶς δὲ λέγομεν τὸ δυνάμει, ἐπάγει, "οἷον ἐν τῷ ξύλῳ." 1048 a 31.

1047a 8. ὥσπερ τυφλόν ἐστι τὸ πεφυκὸς ὄψιν καὶ μὴ ἔχειν, ὅτε πέφυκε, καὶ ἔτι ὂν μὴ φθαρὲν εἰ αὐταί τ. ἔσ. π. τ. ἢ μ.

1047a 10. ἔτι εἰ τὸ ἐστερημένον δυνάμεως, οἷον τοῦ ὁρᾶν, ἀδύνατόν ἐστι βλέψαι, καὶ τὸ μὴ γινόμενον κατ' αὐτοὺς ἀδύνατόν ἐστι γενέσθαι· ἐπειδὴ γὰρ ὅταν μὴ ἐνεργῇ τι οὐκ ἔχει δύναμιν, τὸ δὲ μὴ ἔχον δύναμιν οὐ δύναται τοῦτο ποιῆσαι οὗ τὴν δύναμιν οὐκ ἔχει, τὸ δὲ μὴ δυνάμενον ἀδύνατόν ἐστιν, ὃ δὲ ἀδύνατον γενέσθαι, οὐ γενήσεταί ποτε· εἰ οὖν τοῦτο, εἴπερ τις ἵσταται καὶ μὴ ἐνεργεῖ περὶ τὸ καθῆσθαι, οὐκ ἔχει τὴν δύναμιν τοῦ καθίσαι· εἰ δὲ μὴ δύναται, ἀδύνατόν ἐστι καθίσαι. εἰ δ' ἀδύνατόν ἐστι τοῦτο γενέσθαι, ὁ λέγων ἢ εἶναι ἢ ἔσεσθαι, τουτέστιν ἢ κάθηται ἢ καθεδεῖται, ψεύσεται· τὸ γὰρ ἀδύνατον τοῦτο σημαίνει τὸ μὴ δυνατὸν γενέσθαι· ὥστε ἀεὶ τὸ ἑστηκὸς ἑστήξεται· οὐκ ἔχει γὰρ τὴν τοῦ καθίσαι δύναμιν· καὶ τὸ καθήμενον ἀεὶ καθεδεῖται· ἀναστῆναι γὰρ οὐ δύναται· ὃ δὲ μὴ δύναται ἀναστῆναι, οὐκ ἀναστήσεται· ἀεὶ ἄρα καθεδεῖται. οὐ μόνον δὲ ταῦτα συμβαίνει λέγειν αὐτοὺς τὰ ἄτοπα (ὁρῶμεν γὰρ ὅτι καὶ ὁ καθήμενος ἀνίσταται καὶ ὁ ἀνιστάμενος πάλιν κάθηται), ἀλλ' ἐξαιροῦσι καὶ κίνησιν καὶ γένεσιν· οὕτω γὰρ δεῖ τὸ ῥητὸν ὑπερβατῶς ἀναγινώσκειν. ὅτι δὲ γένεσιν ἀναιροῦσιν δῆλον· πᾶσα γὰρ γένεσις ἐκ τοῦ δυνάμει πρόεισι· δύναμιν γὰρ ἔχον τόδε τι γενέσθαι τὸ καταμήνιον γίνεται· οὗτοι δὲ τὴν δύναμιν ἀναιροῦντες ἀναιροῦσι γένεσιν. εἰ δὲ γένεσιν, δηλονότι καὶ κίνησιν· τὰ γὰρ κινούμενα δυνάμει πρὸ τοῦ ἄρξασθαι κινεῖσθαι κινηθῆναι δύνανται.

1047a 26. εἰ γάρ τι δύναται καθίσαι καὶ ἐνδέχεται καθίσαι, τούτῳ εἰ ὑπάρξει τὸ καθῆσθαι, οὐδὲν ἀδύνατον συμβαίνει. ὁμοίως καὶ ἐπὶ τοῦ κινεῖσθαι

1047a 30. καὶ ἵστασθαι. "ἐλήλυθε — μαλιστα." ἐπειδὴ ἡ ἐνέργεια διχῶς λέγεται, ἕνα μὲν τρόπον αὐτὰ τὰ τέλη· τὸ γὰρ τῆς λευκάνσεως τέλος, τοῦτο δ' ἐστὶ τὸ λευκόν, ἐν ᾧ πέπαυται καὶ ἔστη ἡ λεύκανσις, ἐνέργεια λέγεται· ὡσαύτως δὲ καὶ τὰ τῶν ἄλλων κινήσεων τέλη ἐνέργειαι λέγονται, ἃ δὴ καὶ κυρίως αὐτὸς ἐντελεχείας καλεῖ. ἕνα μὲν οὖν δὴ τρόπον ἡ ἐνέργεια οὕτω λέγεται, ἄλλον δὲ πάλιν ἐνέργεια λέγεται αὐτὴ ἡ κίνησις. ἔστω δὲ πάλιν ὑποδείγματος χάριν αὐτὴ ἡ λεύκανσις, ἥτις καὶ δυνάμει ἐστὶ καὶ ἐντελεχείᾳ, δυνάμει μὲν ὅτι οὔπω εἰς ἐντελέχειαν καὶ τὸ τέλος ἀφῖκται, ἐντελεχείᾳ δὲ ὅτι ἔχει τι τῆς ἐντελεχείας καὶ τοῦ τέλους· ἐν γὰρ τῇ λευκάνσει καὶ ὅλως τῷ λευκαινομένῳ ἔνεστί τι τοῦ λευκοῦ καὶ τῆς ἐντελεχείας. διχῶς οὖν τῆς ἐνεργείας λεγομένης λέγει ὅτι ἡ ἐνέργεια ἡ πρὸς τὴν ἐντελέχειαν καὶ τὸ τέλος συντεθειμένη, τουτέστι τὸ τὴν ἐντελέχειαν ἐνέργειαν λέγεσθαι, ἐκ τῶν κινήσεων ἐλήλυθεν· ἐπειδὴ γὰρ κυρίως ἐνέργεια ἡ κίνησις λέγεται, καὶ τὸ τέλος ἐνέργεια διὰ τό, ὡς εἴρηται, τὴν ἐνέργειαν τὴν ἐν τῇ κινήσει θεωρουμένην διὰ τὸ τέλος γίνεσθαι. τὸ δὲ "καὶ ἐπὶ τὰ ἄλλα" οἶμαι διὰ τὴν τέχνην πρόσκειται, ὡς εἰ ἔλεγεν οὐ μόνον τὰ ἐν αὐτοῖς ἔχοντα τὴν κίνησιν καὶ τὸ κινοῦν αἴτιον ἐνέργειαι λέγονται, ἀλλὰ καὶ τὰ ἄλλα, ὧν ἐκτός ἐστι τὸ κινοῦν. καὶ τὸ πῶς ἐκ τῶν κινήσεων καὶ ἐπὶ τὰ ἄλλα ἧκται τὸ τῆς ἐνεργείας ὄνομα, ἐδήλωσεν εἰπὼν "δοκεῖ δὲ ἡ ἐνέργεια μαλιστα ἡ κίνησις εἶναι". καὶ τοῦτο εἰκότως· ἐν γὰρ τῷ τέλει μαλιστα ἠρεμία ἀλλ' οὐ κίνησίς ἐστι καὶ ἐνέργεια. ἐπειδὴ δὲ πᾶν τὸ κινούμενον ἢ ἐνεργοῦν ὄν τί ἐστιν, οὐ φαμεν τὴν μὴ οὖσαν οἰκίαν ἢ τὸ μὴ ὂν ζῷον κινεῖσθαι ἢ ἐνεργεῖν. εἰ γὰρ τὸ κινούμενον ἢ ἐνεργοῦν ὄν ἐστι, τὸ μὴ ὂν οὔτε κινεῖται οὔτε ἐνεργεῖν ἐστί. δι' αὐτὸ δὴ τοῦτο οὐδ' ἡ γένεσις κίνησίς ἐστιν, ὡς ἐν τῇ Φυσικῇ (5 1) δέδεικται.

εἰ καὶ δυνάμει ἐστὶν ἔνια τῶν μὴ ὄντων, τὸ ἔστιν αὐτῶν κατη- 1047b 1. γορεῖται οὐχ ὅτι ἔστιν (οὐκ ἔστι γὰρ ὅτι οὐκ ἐντελεχείᾳ ἐστίν· ἐκεῖνα γάρ φαμεν εἶναι τὰ ἐντελεχείᾳ ὄντα), ἀλλὰ κατηγορεῖται αὐτῆς τὸ ἔστιν, ὅτι δύναται γενέσθαι καὶ ἔσεσθαι.

"εἰ — ἢ ἀκολουθεῖ." τουτέστιν εἰ δυνατὸν λέγεταί τι, καθὸ 1047b 3. δύναται γενέσθαι, καὶ ἀκολουθεῖ αὐτῷ τὸ ἐνεργῆσαι, οὐκ ἔστιν ἀληθὲς τὸ λέγειν ὅτι ἔστι μέν τι δυνατόν, οὐκ ἔσται δὲ οὐδὲ δυνήσεται εἰς ἐνέργειαν ἐλθεῖν.

ὁ μὴ λογιζόμενος οὖν, φησί, μηδὲ νοῶν τὸ ἀδύνατον τί ποτέ 1047b 7. ἐστι, καὶ τὴν διαφορὰν ἣν ἔχει πρὸς τὸ δυνατόν, ἐκεῖνος ἂν εἴποι ὡς οὐδὲν κωλύει τι δυνατὸν εἶναι ἢ γενέσθαι μὴ εἶναι μηδ' ἔσεσθαι. εἰ δ' ἐγίνωσκε τὴν τοῦ ἀδυνάτου φύσιν, οὐκ ἂν οὕτως ἀπερισκέπτως καὶ ἑτοίμως ἔλεγε τὴν διάμετρον καὶ τὸ ξύλον, ὅτι ἡ μὲν δυνατή ἐστι μετρηθῆναι καὶ οὐ μετρηθήσεται, τὸ δὲ καυθῆναι καὶ οὐ καυθήσεται, ἀλλ' ἐκείνην μὲν ἀνεκήρυττεν ἂν ὡς ἀδύνατός ἐστι μετρηθῆναι καὶ οὐ μετρηθήσεται, τοῦτο δὲ διϊσχυρίζετο ὅτι δυνατόν ἐστι καυθῆναι καὶ καυθήσεται. ἀλλὰ ταῦτα εἴποι ἂν ὁ ἀγνοῶν τὸ ἀδύνατον, ἐκεῖνο δέ ἐστι φανερὸν ἐκ τῶν κειμένων. κεῖται δὲ ὅτι τὸ δυνάμενον γενέσθαι καὶ γενήσεται, ὅτι εἰ ὑποθώμεθα τὸ μὴ ὂν μὲν δυνάμενον δὲ γενέσθαι ὅτι ἔστιν, οὐδὲν ἀδύνατον συμβήσεται. εἰ δέ γε τὸ μὴ ὂν μὲν ἀδύνατον δὲ γενέσθαι ὑποθοίμεθα, ἕψεται ἐκ τῆς τοιαύτης ὑποθέσεως ἀδύνατόν τι. εἰ γάρ σου καθημένου καὶ δυναμένου περιπατῆσαι ὅτε κάθησαι, ἀληθῶς λέγοι τις ὡς δύναται μὲν οὗτος ὁ καθήμενος περιπατῆσαι, οὐ μὴν περιπατήσει, ὁμοίως καὶ ἡ διάμετρος δύναται μετρηθῆναι καὶ οὐ μετρηθήσεται, ὑποτεθείη δὲ ταῦτα ἄμφω ὡς δυνατά, τό τε περιπατεῖν τὸν καθήμενον καὶ τὸ μετρεῖσθαι τὴν διάμετρον, ἐκ μὲν τοῦ περιπατεῖν τὸν καθήμενον οὐδὲν ἀδύνατον συμβήσεται, ἐκ δὲ τοῦ μετρεῖσθαι τὴν διάμετρον συμβήσεταί τι ἀδύνατον, τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις. εἰ οὖν οὐδὲν τοῦτο ἐκείνου διαφέρει, ὥσπερ ἐπ' ἐκείνου οὐδὲν συνέπιπτεν ἀδύνατον, οὕτως οὐδὲ ἐπὶ ταύτης. ἀλλὰ μὴν δοθέντος τοῦ τὴν διάμετρον μετρηθῆναι, συμβαίνει τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις, ὅπερ ἐστὶν ἀδυνατώτατον. τοῦτο δὲ συμβαίνει ἐκ τοῦ μὴ συνορᾶν τήν τε φύσιν καὶ τὴν διαφορὰν τοῦ ἀδυνάτου πρὸς τὸ δυνατόν, ἀλλ' ὥσπερ ἐπὶ τοῦ δυνατοῦ, οὕτω καὶ ἐπὶ τοῦ ἀδυνάτου λέγειν ὅτι δυνατὸν μέν ἐστιν, οὐ μέντοι ἔσται· ὥστε δῆλον ὅτι εἴ τι δυνατόν ἐστι, καὶ ἔσται. συμβαίνει δὲ τὸ ἀδύνατον τοῦτο, λέγω δὴ τὸ τὰ ἄρτια ἴσα εἶναι τοῖς περιττοῖς, οὐ παρὰ τὴν ὑπόθεσιν τὴν λέγουσαν ὅτι δεδόσθω ὅτι μετρεῖται ἡ διάμετρος· εἰ γὰρ παρὰ τὴν ὑπόθεσιν ἦν, συνέβαινεν ἂν ἀδύνατόν τι καὶ ἐπὶ τοῦ καθημένου λεγομένου δὲ περιπατεῖν· ἐκεῖ μὲν γὰρ τὸ συναγόμενον ψεῦδος, ἀλλ' οὐκ ἀδύνατον, τὸ δὲ ἐνταῦθα καὶ ψεῦδος καὶ ἀδύνατον. ὥστε εἰ ταὐτὸν ἦν τὸ ψεῦδος καὶ τὸ ἀδύνατον, οὐδὲν ἂν διέφερον αἱ ὑποθέσεις ἥ τε τὸν οὐ καθήμενον περιπατεῖν ὑποθεμένη καὶ ἡ τὴν διάμετρον μετρεῖσθαι λέγουσα· ἐπεὶ δὲ ἕτερα ταῦτα, ἕτεραι καὶ αἱ ὑποθέσεις. "ἅμα δὲ δῆλον ὅτι εἰ τοῦ α ὄντος ἀνάγκη καὶ τὸ β εἶναι." δείξας ὅτι ὁ δυνατὸν εἶναι μόνον οἰόμενος ὅταν ἐνεργῇ, οὗτος τὸ ἀδύνατον καὶ τὸ δυνατὸν ποιεῖ ταὐτὸν καὶ δια-

τὸ ἀπὸ τοῦ τέσσαρα τετράγωνον, ὅ ἐστι τὸ δεκαέξ, τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τοῦ δύο, ὅπερ ἐστὶ τὸ τέσσαρα. τοῦτο δὲ καθ' ὁμοιότητα λέγεται τῆς κυρίως δυνάμεως· διὰ γὰρ τὸ τὴν κυρίως δύναμιν πάντα δύνασθαι, δύναται δέ τι καὶ ἡ εὐθεῖα, λέγεται καὶ ἡ εὐθεῖα δύναμις. λέγεται οὖν δὴ δυνατὰ καθ' ὁμοιότητα καὶ ἀδύνατα τῷ εἶναί πως ἢ μὴ εἶναι· διπλασίου γὰρ οὔσης τῆς εὐθείας, λέγεται δύνασθαι τετραπλάσιον, μὴ οὔσης δὲ λέγεται μὴ δύνασθαι.

1046a 11. τὸ δὲ "ἢ ἄλλο" πρόσκειται, ἐπειδὴ νοσῶν τις ἰάσαιτ' ἂν ἑαυτόν, καὶ ἔστιν ἐν αὐτῷ ἡ δύναμις τοῦ ὡδὶ παθεῖν αὐτόν, ἀλλ' οὐ καθ' αὐτὸ τοῦτο ὑπάρχει αὐτῷ ἀλλὰ καθὸ ἄλλο. ἐπειδὴ δὲ τῶν δυνάμεων αἱ μέν εἰσιν αἰτίαι τοῦ μεταβάλλειν τὰ ἐν οἷς ἐστὶν ἐπὶ τὸ χεῖρον, αἱ δὲ οὐκ εἰσί, διορίζει καὶ περὶ αὐτῶν λέγων "ἡ μὲν γὰρ τοῦ παθεῖν ἐστὶ δύναμις, ἡ ἐν αὐτῷ τῷ πάσχοντι ἀρχὴ μεταβολῆς παθητικῆς ὑπ' ἄλλου ἢ ἄλλο," τουτέστι τῶν δυνάμεων ἡ μέν ἐστιν ἐν αὐτῷ τῷ πάσχοντι ὡς ἀρχὴ μεταβολῆς, οὐχὶ τοῦ μὴ πάσχειν ἀλλὰ τοῦ πάσχειν ὑπ' ἄλλου, ὥσπερ εἴρηται ἐπὶ τοῦ κηρίνου ἀνδριάντος. ἡ μὲν οὖν τῶν δυνάμεών ἐστι τοιαύτη, ἡ δέ ἐστιν οὐκ ἀρχὴ τοῦ πάσχειν ὑπ' ἄλλου, ἀλλὰ μᾶλλον ἕξις ἀπαθείας τῆς ἐπὶ τὸ χεῖρον.

1046a 17. πάλιν τῶν δυνάμεων αἱ μέν εἰσι τοῦ μόνον παθεῖν αἱ δὲ τοῦ καλῶς· πῶς δὲ ταῦτα λέγεται, εἴρηται ἡμῖν ἐν τῷ Δ ταύτης τῆς πραγματείας πλατύτερον, ὅτε περὶ τῶν τῆς δυνάμεως σημαινομένων ἔλεγεν (c. 12).

1046a 20. διὰ γὰρ τὸ ἔχειν τινὰ δύναμιν καὶ ἀρχήν, καὶ ὅλως διὰ τὸ εἶναι τὴν ὕλην ἀρχήν τινα, πάσχει τὸ πάσχον καὶ ἄλλο ὑπ' ἄλλου· καυστὸν γάρ ἐστι τὸ λιπαρὸν καὶ θλαστὸν καὶ ὑπεῖκον ὡδί.

1046a 26. καὶ τῶν δυνάμεων ἡ μέν ἐστιν ἐν τῷ πάσχοντι ἡ δὲ ἐν τῷ ποιοῦντι.

1046a 28. ὥστε εἰ τὸ ποιοῦν ἕτερόν ἐστι τοῦ πάσχοντος, δῆλον ὅτι τὸ συμπεφυκὸς καὶ ἓν ὂν καὶ συνεχὲς οὐ πείσεται ὑφ' ἑαυτοῦ· τὸ γὰρ πάσχον ἕτερον εἶναι δεῖ τοῦ ποιοῦντος. ὥσπερ δὲ ἡ δύναμις καὶ τὸ δυνατὸν ἕξις ἐστίν, οὕτως ἡ ἀδυναμία ἡ τῇ τοιαύτῃ δυνάμει ἐναντία στέρησίς ἐστιν· ὥστε τοῦ αὐτοῦ καὶ κατὰ τὸ αὐτὸ πᾶσα δύναμις ἀδυναμία.

1046b 2. διὸ πᾶσαι αἱ τέχναι αἵ τε ποιητικαί, ἥ τε οἰκοδομικὴ καὶ ἡ ναυπηγική, καὶ αἱ ἐπιστῆμαι (κοινότερον δὲ τέχνας εἶπε τὰς ἐπιστήμας) δυνάμεις εἰσίν.

1046b 13. "ἀποφάσει γὰρ καὶ ἀποφορᾷ," τουτέστι στερήσει (τὸ γὰρ ἀποφορᾷ τοῦ στερήσει ἐστὶ δηλωτικόν) οἶδε τὸ ἐναντίον ... λέγει δὲ ἐνεργείας στέρησιν πρώτην, εἰ ὅτε πέφυκεν ἔχειν καὶ ὡς πέφυκεν ἔχειν καὶ ὃ πέφυκεν ἔχειν μὴ ἔχει, δευτέραν δὲ στέρησιν τὸ ὅλως μὴ ἔχειν.

1046b 15. αὕτη δ' ἐστὶν ἀποφορὰ τῆς ἕξεως· ταύτην γὰρ εἶπε θάτερον.

ἢ πρώτην στέρησιν ἐνταῦθα λέγει τὴν ἐν τῷ δεκτικῷ, πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων στερήσεων τῶν ἁπλῶς λαμβανομένων καὶ μὴ ἐν τοῖς δεκτικοῖς· οὕτω γὰρ ὁ ἡμέτερος καθηγητὴς ἐξηγήσατο. ἤγουν, ὡς εἴρηται, τὴν ἐν τῷ δεκτικῷ στέρησιν καὶ πρώτην ὀνομάζει στέρησιν. cod. Reg.

1046b 17. "τῷ λόγ. ἔχ.," τουτέστιν ἐν τῷ λόγον ἔχοντι. ἢ ἡ ἐπιστήμη ἐστὶ δύναμις τῷ λόγον ἔχειν, ἀντὶ τοῦ, ἡ ἐπιστήμη δύναμίς ἐστιν ἐν τῷ ἔχειν λόγον καὶ αἰτίαν τοῦ ἐπιστητοῦ ὅπερ ἔχει. καὶ ἔχει ἡ ψυχὴ ἀρχὴν κινήσεως τὴν ἐπιστήμην· κινεῖ γὰρ αὐτήν, ὡς ἔφαμεν, εἰς θεωρήματά τινα καὶ εὑρέσεις.

1046b 19. "ὁ δ' ἐπιστήμων ἄμφω," διὰ τὸ τὸν λόγον τὸν ἐν τῷ ἐπιστήμονι ἀμφότερα γινώσκειν, εἰ καὶ μὴ ὁμοίως. ἔστι δ' ὁ τοιοῦτος λόγος ἤτοι ἡ ἐπιστήμη ἡ ἐν ψυχῇ, ἥτις ψυχὴ ἔχει τὸν λόγον ἢ τὴν ἐπιστήμην ἀρχὴν κινήσεως.

1046b 22. "πρ. τὸ αὐτὸ σ." τὸ αὐτὸ λέγει τὸ λογικόν ... "πρὸς τὸ αὐτό," τουτέστι τὸ λογικόν ... ἐπεὶ καὶ ἡ στέρησις καὶ ἡ ἕξις ἐν μιᾷ εἰσὶν ἀρχῇ, τῷ λόγῳ ἤτοι τῷ λογιστικῷ, ἀμφότερα ποιήσει ἡ ψυχή.

1046b 25. "τοῦ μόνον ποιῆσαι δύναμις"· τῷ γὰρ εὖ γράφοντι ἀκολουθεῖ καὶ τὸ μόνον γράφειν, τῷ δὲ μόνον γράφοντι οὐκ ἀκολουθεῖ τὸ εὖ γράφειν· διότι ἐκείνῳ μὲν πάρεστιν ἀμφοῖν δύναμις, τῷ δὲ μόνον γράφοντι οὐδαμῶς.

1046b 29. Μεγαρικοὺς λέγει ἂν τοὺς περὶ Εὐκλείδην (Ζήνωνα A)· οὗτος γὰρ εἰς τὰ Μέγαρα τὸ διδασκαλεῖον εἶχε. λέγει δὲ ὅτι οἱ Μεγαρικοὶ δύναμιν καὶ ἐνέργειαν ταὐτὸν ποιοῦσιν.

οἱ περὶ Ζήνωνα. cod. Reg. Ἐλεατῶν ὁ Ζήνων, ὦ φιλόσοφε, Ἐλεᾶται δὲ οὐκ ἐν Μεγάροις, ἀλλ' ἐν τῇ Ῥώμῃ. ibid. in marg.

1047a 2. τὸ δὲ "οὐ γὰρ δὴ τοῦ γε πράγματος" τοιοῦτον ἂν εἴη ὅτι τὴν τέχνην μὴ ἔχειν τότε συμβαίνει, ὅταν λήθῃ ἢ χρόνῳ ἢ πάθει ὁ ἔχων αὐτὴν ἀποβάλλῃ, οὐ μὴν τοῦ γε πράγματος καὶ τῆς ὕλης φθαρείσης· εἰ γὰρ ὑποθώμεθα ὅτι ἀνῄρηται πᾶς λίθος, οὐ συμβήσεται τῇ τούτων ἀναιρέσει ἀποβαλεῖν τὴν οἰκοδομικὴν τέχνην τὸν οἰκοδόμον, ἀλλ' ἕξει ταύτην καὶ λίθων μὴ ὄντων. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τὸ δὲ "ἀεὶ γάρ ἐστιν" ἴσον ἐστὶ τῷ, εἰ ἀληθῆ ἐστὶν ἅπερ εἴπομεν, καὶ ἀδύνατόν ἐστι τὸ μὴ μαθόντα ἔχειν, καὶ ἔμπαλιν ἀδύνατόν ἐστι μὴ ἔχειν τὸν μὴ ἀποβαλόντα, καὶ ὅτι οὐκ ἀνάγκη τῆς ὑποκειμένης ἑκάστῃ τέχνῃ ὕλης φθαρείσης εὐθὺς τὴν τέχνην ἀποβάλλειν, ἀλλὰ καὶ ταύτης μὴ οὔσης οὐδὲν ἧττον ἐνδέχεται πάλιν τὴν τέχνην ἔχειν, πῶς, ὅταν παύσηται ὁ οἰκοδόμος τοῦ οἰκοδομεῖν, κατὰ τὴν τῶν Μεγαρικῶν δόξαν τε καὶ ἀπόφασιν, οὐχ ἕξει τὴν οἰκοδομικήν; εἰ δὲ τοῦτο, πῶς λαβὼν πάλιν εὐθὺς οἰκοδομήσει; κεῖται γὰρ ὅτι ἀδύνατόν ἐστι τὴν τοιαύτην ἔχειν τέχνην μὴ μαθόντα, αὐτὸς δὲ ἅμα τῷ παυθῆναι τοῦ οἰκοδομεῖν μὴ μαθὼν πάλιν εὐθὺς οἰκοδομήσει. εἰ δὲ ἅμα τῷ παύσασθαι τοῦ οἰκοδομεῖν εὐθὺς πάλιν οἰκοδομεῖ, δῆλον ὅτι εἶχε καὶ μὴ οἰκοδομῶν τὴν οἰκοδομικὴν καὶ ἠδύνατο οἰκοδομῆσαι. εἰ γάρ, ὡς αὐτοί φασιν, ἅμα τῷ οἰκοδομεῖν ἀπέβαλε τὴν τοῦ οἰκοδομεῖν δύναμιν, πῶς πάλιν μὴ μαθὼν μήτε διὰ μαθήσεως λαβὼν αὐτήν (τοῦτο γὰρ εἴληπται) οἰκοδομεῖ; ἄλλως τε ἐπεὶ ὑπόκειται τότε μὴ ἔχειν τὴν τέχνην, ὅταν ἢ λήθῃ ἢ χρόνῳ ἢ πάθει τινὶ ταύτην ἀποβάλλῃ, οὐδὲν δὲ γέγονε τοιοῦτον περὶ τὸν οἰκοδόμον, πῶς οἴονται λέγειν, ὅταν μὴ οἰκοδομῇ, τὴν τοιαύτην οὐκ ἔχειν δύναμιν;

1047a 6. ὁ γὰρ Πρωταγόρας ἔφασκε μὴ εἶναι μήτε γλυκὺ μήτε ἄλλο μηδέν, ἀλλ' οἷα ἂν αὐτὰ κρίνῃ ἡ αἴσθησις, τοιαῦτα καὶ ἔστιν. εἰ δὲ ἐκεῖνος ἐλήλεγκται πρότερον ἐν ταύτῃ τῇ πραγματείᾳ καὶ δέδεικται ψευδόμενος, δηλονότι καὶ οὗτοι ψεύδονται.

λέγει δὲ ὅτι εἰ καὶ ὅπερ ὄν τι καὶ ὅπερ ἕν τι ἐστὶ τὸ τόδε, τὸ ποσόν, τὸ ποιόν, ἀλλ' οὖν οὐκ ἔστι γένος αὐτῶν οὔτε τὸ ὂν οὔτε τὸ ἕν· γενικώτατα γάρ εἰσι γένη, κατηγορεῖται δ' αὐτῶν, ὡς πολλάκις εἴρηται, τὸ ὂν καὶ τὸ ἕν, ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. καὶ διὰ τὸ μηδὲ εἶναι αὐτῶν γένος τὸ ὂν καὶ τὸ ἕν, οὐδὲ λαμβάνεται ἐν τοῖς ὁρισμοῖς αὐτῶν, ὁρισμοὺς λέγων τὰς ὑπογραφάς· οἱ γὰρ ὁρισμοὶ ἐκ γενῶν καὶ διαφορῶν εἰσί, τούτων δ' οὐκ ἔστι γένη. εἰ δὴ τοῦτο, οὐδὲ ὁρισμοὶ αὐτῶν εἰσίν, καὶ ἔστι τοῦ τόδε καὶ τοῦ ποσοῦ καὶ τῶν λοιπῶν εὐθὺς τὸ τί ἦν εἶναι τὸ ἕν τι εἶναι καὶ ὄν τι· καὶ διὰ τοῦτο, λέγω δὴ διὰ τὸ εἶναι αὐτοῖς τὸ τί ἦν εἶναι τὸ ὅπερ ἕν τι καὶ ὅπερ ὄν τι, οὐδ' ἔστιν ἕτερόν τι αἴτιον οὐδενὶ τούτων τοῦ ἓν εἶναι καὶ ὄν· εἰ μὲν γὰρ ἦν γένος ἢ τὸ ὂν ἢ τὸ ἕν, τοῦτο δὲ καὶ τοῦ ποσοῦ, ὥσπερ ἀνθρώπου τὸ ζῷον, ἦν ἂν οὕτως αἴτιόν τι τοῦ ἓν εἶναι αὐτὰ καὶ ὄν. ἀλλ' εἰ καὶ τοιαῦτά ἐστιν ἥ τε οὐσία καὶ τὸ ποιὸν καὶ τὸ ποσόν, ὅμως οὐκ εἰσὶ χωριστὰ τῶν καθ' ἕκαστα ἀλλ' ἐν αὐτοῖς. ταῦτα δὲ εἰπὼν πάλιν ἐπανατρέχει ἐπὶ τὰ πρότερα, λέγων "διὰ ταύτην δὲ τὴν ἀπ."

1045 b 9. ὥσπερ ὁ Πλάτων μεθέξει τῶν ἰδεῶν εἶναι τὰ τῇδε (φησί), τί δὲ τὸ αἴτιον τῆς μεθέξεώς ἐστι, καὶ ὅλως τί τὸ μετέχειν καὶ ὅπως τοῦτο δυνατὸν συμβαίνειν, ἀποροῦσι καὶ οὐκ ἔχουσιν εἰπεῖν. οἱ δέ φασι συνουσίαν ψυχῆς, ὥσπερ Λυκόφρων ὁ σοφιστὴς τὴν ἐπιστήμην λέγων συνουσίαν τοῦ ἐπίστασθαι καὶ ψυχῆς. κάλλιον δ' ἂν καὶ σαφέστερον ἦν, εἰ οὕτω πως εἶχεν ἡ γραφή "τὴν ἐπιστήμην τοῦ ἐπίστασθαι συνουσίαν καὶ ψυχῆς." ἐρωτώμενος γὰρ ὁ Λυκόφρων, τί τὸ αἴτιον τοῦ τὴν ἐπιστήμην καὶ τὴν ψυχὴν ἓν εἶναι, ἔλεγεν ὅτι ἡ συνουσία. οἱ δὲ τὸ ζῷον ἔλεγον ὡς ἔστι σύνδεσμος ψυχῆς ἐν τῷ σώματι.

αἴτιον δέ, φησίν, αὐτοῖς τοῦ ταῦτα λέγειν, ὅτι ζητοῦντες τί τὸ 1045 b 16.
αἴτιον τοῦ τὸν χαλκὸν τὸν δυνάμει ὄντα τρίγωνον ποιῆσαι αὐτὸν ἐνεργείᾳ τρίγωνον, καὶ μὴ δυνάμενοι λόγον ἑνοποιὸν ἤτοι αἰτίαν καὶ διαφορὰν ἀποδοῦναι τοῦ πῶς ἕν εἰσι, ταῦτα ἔλεγον· εἰ γὰρ ἠδυνήθησαν εὑρεῖν καὶ ἀποδοῦναι λόγον καὶ αἰτίαν ἑνοποιὸν τοῦ τί τὸ ἑνοῦν τὸ δυνάμει ἤτοι τὴν ὕλην καὶ τὴν ἐνέργειαν, τουτέστι τὸ εἶδος, οὐκ ἂν εἰς τοιαῦτα ἐξετράπησαν. ὥσπερ δὲ πολλάκις εἴρηται ὅτι ἡ ὕλη ἡ ἐσχάτη (αὕτη δ' ἐστὶν ἡ προσεχής· νῦν γὰρ ἐσχάτην αὐτὴν εἶπε) καὶ τὸ εἶδος ἕν ἐστιν· ὥστε τοῦ ταῦτα ἓν εἶναι οὐκ ἄλλο τι τὸ αἴτιον ἢ τὸ κινοῦν τὴν ὕλην ἐκ δυνάμεως εἰς ἐνέργειαν. ὅσα δέ, ὥσπερ εἴρηται, μὴ ἔχει ὕλην, πάντα ἁπλῶς καὶ κυρίως ὅπερ ἕν τι εἰσὶ καὶ ὅπερ ὄν. καὶ ὅρα δὴ τὸ διδασκαλικὸν καὶ δαιμόνιον τοῦδε τοῦ ἀνδρός, ὅπως ἐκ τῶν ὑστέρων (οὐ γὰρ ἄλλως ἐνῆν τοῦτο ποιῆσαι) καὶ ἡμῖν γνωρίμων ἐπὶ τὸν πολυτίμητον πατέρα καὶ ποιητὴν πάντων θεὸν ἀγαγεῖν ἡμᾶς μεθοδεύει, καὶ δεῖξαι ὅτι ὡς ὁ χαλκεὺς αἴτιός ἐστι τοῦ τὸν χαλκὸν καὶ τὴν σφαῖραν ἓν εἶναι, οὕτως καὶ ἡ ἑνοποιὸς αὐτοῦ καὶ δημιουργικὴ δύναμις πάντων τῶν ὄντων αἰτία ἐστὶ τοῦ ἔχειν ὥσπερ ἔχει.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Θ.

1045 b 27. Εἰπὼν ἐν τῷ Ζ καὶ Η περὶ τοῦ καθ' αὑτὸ ὄντος, ἐν τούτῳ λέγει περὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ. ἐπειδὴ γὰρ τὸ ὂν λέγεται κατὰ τοῦ δυνάμει καὶ ἐνεργείᾳ, ἡ δὲ παροῦσα μέθοδος περὶ τοῦ ὄντος ἐστίν, ἐν τῷ παρόντι βιβλίῳ λέγει περὶ δυνάμεως καὶ ἐνεργείας. λέγειν δὲ περὶ ἐνεργείας ἀναγκαῖον· ὡς γὰρ δείξει, τὸ πρῶτον αἴτιον, ὃ ζητοῦμεν ἐνταῦθα, οὐδὲν ἄλλο ἐστὶν ἢ ἐνέργεια. ὑπομιμνήσκει δὲ πάλιν ἡμᾶς τῶν ῥηθέντων καὶ δειχθέντων, ὅτι περὶ τοῦ πρώτου ὄντος, ὅπερ ἐστὶν ἡ οὐσία, δι' ἣν καὶ αἱ ἄλλαι κατηγορίαι ὄντα λέγονται· κατὰ γὰρ τὸν λόγον τῆς οὐσίας αὐτῆς οὐσία ἐστὶ πάντα τὰ ὄντα καὶ λέγεται. καὶ τὴν αἰτίαν τοῦ διὰ τὴν οὐσίαν πάντα τὰ ὄντα λέγεσθαι ἐπήγαγεν, εἰπὼν "πάντα γὰρ ἕξει τὸν τῆς οὐσίας λόγον, ὥσπερ εἴπομεν ἐν τοῖς πρώτοις". εἰ γὰρ ἀκριβῶς τις ὁρίζεται τὸ ποσὸν ἢ τὸ ποιὸν ἢ ἄλλην τινὰ τῶν κατηγοριῶν, εἰς τὸν ὁρισμὸν αὐτοῦ ἐξ ἀνάγκης τὴν οὐσίαν παραλήψεται, ὥσπερ καὶ εἰς τὸν τῆς σιμότητος τὴν ῥῖνα. εἰ δὲ τοῦτο, δῆλον ὡς διὰ ταύτην ὄντα λέγεται· περὶ γὰρ τούτων εἴρηται.

1045 b 34. τὸ κατὰ ἐντελέχειαν καὶ κατὰ τὸ ἔργον ὁ μὲν Ἐφέσιος ἐκ παραλλήλου φησὶ δηλοῖ τὸ αὐτό· μήποτε δὲ βέλτιόν ἐστιν οὕτως αὐτὸ ἐξηγήσασθαι. ἡ ἐντελέχεια, ἣ καὶ ἐνέργεια, ὡς πολλαχοῦ ὁ Ἀριστοτέλης διδάσκει, διττή, ἡ μὲν ἡ κατ' αὐτὴν τὴν ἐνέργειαν λεγομένη, ὡς εἴ τις λέγοι τὸν οἰκοδόμον ἐνεργείᾳ οἰκοδόμον ὅτε οἰκοδομεῖ καὶ πρὸς αὐτῷ τῷ ἔργῳ ἐστίν, ἡ δὲ ὅτε μὴ ἐνεργεῖ μὲν ἐν τῷ τέως, δύναται δ' ὅτε βούλοιτ' ἂν ἐνεργεῖν κτλ. cod. Reg.

ἐκ παραλλήλου δὲ τὸ ἐνεργείᾳ καὶ τὸ κατὰ τὸ ἔργον κεῖται.

λέγοι δὲ ἂν κυρίως δύναμιν τὴν πρώτην καὶ ἀνείδεον ὕλην· 1045 b 35.
δυνάμει γάρ πώς ἐστιν, ἥτις κἂν πρώτη δύναμις ᾖ, ἀλλ' οὖν οὐκ ἔστι χρησιμωτάτη πρὸς ὃ βουλόμεθα νῦν· ἄϋλον γάρ τι καὶ ἁπλοῦν καὶ ἀσώματον ζητοῦμεν, ἀλλ' οὐκ ἔνυλόν τι καὶ σύνθετον. τὸ δὲ "ἐπὶ πλέον γάρ ἐστιν ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν μόνον λεγομένων κατὰ κίνησιν" τοιοῦτον ἂν εἴη· τὸ δυνάμει καὶ ἐνεργείᾳ ὂν ἐπὶ πλέον ἐστὶ τοῦ δυνάμει μόνον ὄντος· ἔχει γὰρ ἀμφότερα, τό τε δυνάμει καὶ ἐνεργείᾳ, ἐκεῖ δὲ τὸ δυνάμει μόνον, τὸ δὲ τὰ δύο πλουτῆσαν τοῦ τὸ ἓν ἐπὶ πλέον ἐστίν. οὐ μόνον δὲ τὸ δυνάμει καὶ ἐνεργείᾳ ἐπὶ πλέον ἐστὶ τοῦ δυνάμει μόνον, ἀλλὰ καὶ τοῦ ἐνεργείᾳ μόνον. τὴν δὲ δύναμιν κίνησιν εἶπε νῦν, ἢ κίνησιν τὴν ἐνέργειαν εἶπεν, ἵν' ᾖ τὸ λεγόμενον, ἐπὶ πλέον γάρ ἐστιν ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν κατὰ κίνησιν ἤτοι κατ' ἐνέργειαν μόνον λεγομένων. ἔστι δὲ δυνάμει μόνον ἡ πρώτη καὶ ἀνείδεος ὕλη, δυνάμει δὲ καὶ ἐνεργείᾳ πῦρ γῆ καὶ τὰ σύστοιχα τούτοις· τὸ γὰρ ἐνεργείᾳ ὂν πῦρ δυνάμει ἐστὶν ἀήρ. ἀλλ' εἰ καὶ ἐπὶ πλέον ἐστὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ τοῦ δυνάμει μόνον ἢ τοῦ ἐνεργείᾳ μόνον, ὅμως εἰπόντες περὶ τῆς κυρίως δυνάμεως ἐν τοῖς περὶ τῆς ἐνεργείας ὁρισμοῖς δηλώσομεν, φησί, καὶ περὶ τῶν ἄλλων δυνάμεων.

ἔνια γὰρ ὁμοιότητί τινι λέγονται, ὥσπερ ἐν γεωμετρίᾳ· ἐκεῖ 1046 a 7.
γὰρ λέγεται ὅτι εἰ ἔστιν ἥδε ἡ εὐθεῖα διπλασία τῆσδε, καὶ ὃ δύναται τετράγωνον τετραπλάσιόν ἐστι τοῦ τετραγώνου ὃ δύναται ἡ λοιπή. τοῦτο δὲ φανερὸν ἔσται ἐπὶ ἀριθμοῦ· ὁ γὰρ τέσσαρα διπλάσιος ὢν τοῦ δύο

λύτω καὶ τί πρῶτον πεπονθὸς ὁ ὕπνος γέγονε, πότερον ἡ καρδία ἢ ἄλλο τι ἐστίν;

1044 b 20. "ἐπειδὴ — εἴδη." τὸ γὰρ εἶδος ἀχρόνως καὶ ἐν ἀτόμῳ νῦν γίνεται, ὡς ἔδειξεν ἐν τῷ Η τῆς Φυσικῆς Ἀκροάσεως (c. 3?). καὶ κατασκευάζει αὐτὸ τοῦτο τὸ μὴ γίνεσθαι τὸ εἶδος λέγων "οὐ γ. τ. λ. γ."... ἐπεὶ τοίνυν ἔνια ἄνευ γενέσεως εἰσί τε καὶ αὖ πάλιν οὐκ εἰσί, πᾶν δὲ τὸ γινόμενον ἔκ τινος γίνεται καί τι γίνεται, λευκὸν ἢ ἄνθρωπος, οὐ πάντα ἂν τἀναντία γίνοιντο ἐξ ἀλλήλων.

1044 b 26. ὁ μὲν γὰρ λευκὸς ἄνθρωπος ὡς ἐξ ὕλης τοῦ μέλανος γίνεται ἀνθρώπου, τὸ δὲ λευκὸν ἐκ τοῦ μέλανος ὡς τόδε μετὰ τόδε καὶ ὡς εἶδος ἐκ στερήσεως, ὥσπερ δεῖπνον μετὰ τὸ ἄριστον.

1044 b 30. ἐπειδὴ ἡ ὑγίεια καὶ ἡ νόσος ἐναντία, ἔστι δὲ τὸ σῶμα δυνάμει, ὑγιεινὸν ἄρα, φησί, καὶ δυνάμει νοσῶδές ἐστι, καὶ τὸ ὕδωρ δυνάμει οἶνος καὶ ὄξος. καὶ ἐρωτήσας ἐπικρίνει λέγων "ἢ τοῦ μὲν — ὕλη," τουτέστι τῆς μὲν ὑγιείας ἐστὶ τὸ σῶμα ὕλη ὡς ἕξεως καὶ εἴδους, τῆς δὲ νόσου ὡς στερήσεως καὶ φθορᾶς τῆς παρὰ φύσιν.

1044 b 36. καὶ ὁ ζῶν δὲ διὰ τί οὐκ ἔστι δυνάμει νεκρός, καὶ ἔστιν ὕλη ὁ ζῶν τοῦ νεκροῦ; καὶ λύει λέγων "ἢ οὔ, ἀλλὰ κατὰ συμβεβηκὸς αἱ φθοραί." καὶ εἴη ἂν λέγων ὅτι οὔτε ὁ οἶνος ὕλη ἐστὶ τοῦ ὄξους οὔθ' ὁ ζῶν τοῦ νεκροῦ, ἀλλὰ κατὰ συμβεβηκὸς αἱ φθοραί, λέγων φθορὰς τὰ χείρονα εἴδη, ἃ τῆς πρὸς αὐτὰ ὁδοῦ ὕλην ἔχουσι τὰ κρείττονα τῶν εἰδῶν.

1045 a 6. ὥσπερ ἐπὶ τῶν σφηκῶν ἔχει καὶ τῶν μελισσῶν, ὧν αἱ μὲν ἐξ ἵππων σηπομένων αἱ δ' ἐκ βοῶν προέρχονται. cod. Reg.

1045 a 5. εἰ δέ, φησί, καὶ ἐκ νεκροῦ δεῖ ζῷον γενέσθαι, εἰς τὰ τέσσαρα στοιχεῖα ἀναλυθήσεται πρῶτον ὁ νεκρός, καὶ οὕτως ἐξ αὐτῶν γενήσεται ζῷον.

1045 a 7. "περὶ — ἓν εἶναι." καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ ζητήσας περὶ τούτου καὶ τὴν λύσιν μὴ ἐπενεγκών, καὶ ἐν τούτῳ πάλιν ταύτης μνησθεὶς καὶ ὁμοίως τὴν λύσιν ὑπερθέμενος, νῦν λύει τὴν δὶς ζητηθεῖσαν ζήτησιν καὶ τῆς λύσεως μὴ τετυχηκυῖαν. ἦν δὲ ἡ ἀπορία ὅτι ἐπειδὴ ἐκ πλειόνων οἱ ὁρισμοὶ τυγχάνουσι, τί ποτέ ἐστι τὸ ταῦτα ἑνοῦν καὶ ποιοῦν ἕν; τί γάρ ἐστι τὸ τὸ ζῷον καὶ πεζὸν καὶ δίπουν ἓν ποιοῦν, εἰκότως ἄν τις ζητήσειε. πάντων γάρ, φησίν, ὅσα πλείω μέρη ἔχει καὶ μὴ ἔστι τὸ πᾶν οἷον σωρός, ἀλλὰ συνεχές τε καὶ ἕτερον τὸ ὅλον παρὰ τὰ μόρια (τὸ γὰρ ὅλον ἕτερόν ἐστιν ἑκάστου τῶν ἐν αὐτῷ μερῶν ἢ μορίων)... ἔστι τι αἴτιον τοῦ ἓν εἶναι· τοῦτο γὰρ ἐλλείπει τῇ λέξει. ὥσπερ γὰρ ἐν τοῖς σώμασι τοῖς μέν ἐστιν ἁφή κτλ.

1045 a 17. καὶ εἴη ἂν τὸ λεγόμενον κατὰ συγχώρησιν ἐρωτώμενον, ὡς εἰ ἔλεγεν ἀλλ' εἴπερ οὐκ ἔχουσιν εἰπεῖν τίνι ἕν ἐστι τὸ αὐτοζῷον καὶ αὐτοδίπουν, διὰ τί οὐκ ἔσται αὐτὰ αὐτοάνθρωπος καὶ οὕτως ἔσονται οἱ τῇδ' ἄνθρωποι κατὰ μέθεξιν οὐκέτ' ἀνθρώπου οὐδενός; τουτέστι καὶ ἔσονται κατὰ μέθεξιν οὐκ ἀπὸ τοῦ αὐτοανθρώπου· κεχώρισται γὰρ ἀλλήλων τό τε αὐτοζῷον καὶ τὸ αὐτοδίπουν. εἰ γὰρ μὴ ἐκεχώριστο, ἦν ἂν αὐτοῖν ἀποτέλεσμα ὁ αὐτοάνθρωπος, καὶ οὕτω συνέβαινεν εἶναι τοὺς τῇδε ἀνθρώπους κατὰ μέθεξιν τοῦ αὐτοανθρώπου. ἐπεὶ δ' ἐκεχώριστο, ὑπόκειται δὲ συνιστάναι καὶ οὕτω τὸν αὐτοάνθρωπον, ἔσονται οἱ αὐτοάνθρωποι οὐ κατὰ μέθεξιν ἀνθρώπου οὐδενός, ἀλλὰ δυοῖν, ζῴου καὶ δίποδος, καὶ ἔσται ὁ ἄνθρωπος οὐχ ἓν ἀλλὰ πλείω, ζῷον καὶ δίπουν. τί οὖν ἐστὶ τὸ ἑνοῦν αὐτά; οὕτω δὴ τὸν λόγον οἶμαι συγχωρῶν, ἐρωτήσας λέγει φανερὸν εἶναι ὅτι οὐκ ἐνδέχεται λῦσαι τὴν ἀπορίαν, ἐξ ὧν εἰώθασιν ὁρίζεσθαι καὶ μετιέναι τὰ περὶ τοὺς ὁρισμούς.

1045 a 22. εἰ μὲν γὰρ ἐτύγχανεν ὂν τὸ εἶδος αὐτὸ καθ' αὑτὸ χωρίς, καθάπερ οἱ τὰς ἰδέας πρεσβεύοντες τυγχάνουσι λέγοντες, καὶ ἡ ὕλη ὡσαύτως, τότε ἂν ἦν ὡς ἀληθῶς ἄπορόν τι τὸ ἑνοῦν τὰ κεχωρισμένα καὶ καθ' αὑτὰ ὄντα· ἐπειδὴ δὲ οὐκ ἔστι καθ' αὑτὸ ἐν ὑποστάσει ὄν, ἀλλὰ τῆς ὕλης, οἷον τοῦ χαλκοῦ ὡδὶ ὑπὸ τοῦ τεχνίτου κινουμένου ἀχρόνως ἐπιγίνεταί τινα, τοῦτο ἀπορίαν ἔχει, ὅτι τί τὸ ἑνῶσαν αὐτὰ καὶ ποιῆσαν ἕν.

1045 a 26. καὶ εἴη ἂν λέγων ὅτι εἴ τις τῇ χαλκῇ σφαίρᾳ θεῖτο ὄνομα ἱμάτιον, εἶτα ὁριζόμενος λέγοι ὅτι ἱμάτιον ὄνομα δηλωτικὸν τοῦ στρογγύλου χαλκοῦ κτλ.

1045 a 29. καὶ οὐ φαίνεται ἔχουσα δυσχερές τι (ἡ ἀπορία), ἐπειδὴ τὸ μέν ἐστιν ὕλη, τὸ ζῷον πεζόν, τὸ δ' εἶδος, τὸ δίπουν.

1045 a 31. εἰ δ' ἦν τι εἶδος καθ' αὑτό, πῶς ἂν τοῦτο μετὰ τῆς ὕλης ἥνωσεν, ἀδιανόητον ἂν ἦν παντελῶς. εἰπὼν δὲ ὅτι οὐδὲν γάρ ἐστιν ἕτερον τοῦ τὴν δυνάμει σφαῖραν ὡς ἐνεργείᾳ εἶναι σφαῖραν, ἐπήγαγεν "ἀλλὰ τοῦτ' ἦν τὸ τί ἦν εἶναι ἑκατέρῳ," ἑκάτερον λέγων τὸν ἄνθρωπον καὶ τὴν σφαῖραν· προσεχῶς γὰρ περὶ τούτου ἔλεγεν. ἔστι δὲ ὃ λέγει, ἀλλ' ἑκατέρῳ τὸ τί ἦν εἶναι τοῦτ' ἦν, τουτέστι τῷ μὲν ἀνθρώπῳ τὸ τί ἦν εἶναι τὸ ζῷον πεζὸν δίπουν ἐστί, τῇ δὲ σφαίρᾳ σχῆμα τοιονδί. ἢ οὖν τοῦτο λέγει διὰ τοῦ "ἀλλὰ τοῦτ' ἦν εἶναι ἑκατέρῳ," ἢ λέγοι ἂν ὅτι ἑκατέρῳ ἡ ἐνέργεια τὸ τί ἦν εἶναί ἐστιν· ἡ ἐνέργεια γὰρ τῆς ὕλης, ἥπερ ἐστὶ δυνάμει σφαῖρα, τὸ τί ἦν εἶναι σφαίρας ἐστίν, καὶ ἡ τῆς δυνάμει ὁμοίως ὕλης ζῴου ἐνέργεια τὸ τί ἦν εἶναί ἐστιν. ἀλλ' εἰ καὶ ἡ ἐνέργεια τῆς ὕλης τὸ τί ἦν εἶναί ἐστιν, οὐ χρὴ λανθάνειν ὅτι τῶν ὑλῶν ἡ μέν ἐστι νοητὴ ἡ δὲ αἰσθητή· ἐπειδὴ γὰρ καὶ τὰ γένη ὕλῃ ἀναλογεῖ, τὸ μὲν ζῷόν ἐστι νοητὴ ὕλη καὶ ὕλη τοῦ εἴδους, αἱ σάρκες καὶ τὰ ὀστᾶ αἰσθητή· καὶ πάλιν τὸ μὲν σχῆμα νοητή, ὁ δὲ χαλκὸς αἰσθητή.

1045 a 36. ἀλλ' ὅτι μὲν αὐτοῖς οὐκ ἔστι νοητὴ ὕλη, δῆλον· ἐπειδὴ γὰρ νοητὴν ὕλην τὰ γένη φαμέν, τούτων δ' οὐδέν ἐστι γένος (γενικώτατα γάρ εἰσι γένη καὶ οὐκ ἔστι τις ὑπερβεβηκυῖα ταῦτα φύσις), δηλονότι οὐκ ἔστιν αὐτοῖς ὕλη νοητή. ἀλλὰ μὴν οὐδὲ αἰσθητή· ἡ γὰρ αἰσθητὴ ὕλη συνθέτων ἐστὶν ἡ ὕλη καὶ αἰσθητῶν, ἀλλ' οὐχὶ τῶν ἁπλῶν καὶ νοητῶν, ταῦτα δὲ τὸ τόδε καὶ τὸ ποσὸν καὶ τὰ λοιπὰ τῶν ἀΰλων ἐστὶ καὶ νοητά. καίτοι δὲ τοιαῦτα ὄντα οὐκ εἰσὶ χωριστὰ οἷον αὐτοουσία ἢ αὐτοποιόν, ἀλλ' ἐν τοῖς αἰσθητοῖς καὶ καθ' ἕκαστα. καὶ μή τις λεγέτω ὅτι ἐπειδὴ ἐν τοῖς καθ' ἕκαστα ἔστιν ἔχει ὕλην αὐτά· ἡ μὲν γὰρ οὐσία ἡ μὲν ἔχει ὕλην καὶ ὑποκείμενον τόδε, ἡ δ' ἁπλῶς οὐσία οὐδαμῶς· εὑρίσκεται γὰρ καὶ ἐν τοῖς ἀσωμάτοις καὶ ὅλως ἀΰλοις. ἀλλ' ἅπερ μὲν ἐρεῖν διὰ τούτων βούλεται, οἶμαι, ταῦτά ἐστιν. τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον ὧδε, "ὅσα δὲ μὴ ἔχ — τὸ ποσόν," εἶτα τὸ "οὐχ ὡς ἐν γένει τῷ ὄντι κ. τ. ε." εἶθ' οὕτως, "διὸ οὐκ ἔστιν ἐν τοῖς ὁρισμοῖς οὔτε τὸ ὂν οὔτε τὸ ἕν" καὶ τὰ ἑξῆς ἕως τοῦ "εὐθὺς γ. ἕκ. ε. ο. τ. κ. ἕν τι," καὶ οὕτως τὸ "οὐδ' ὡς χωρις. ο. πρ. τ. κ. ἕκ."

λέγει ὅτι ἐὰν διὰ τὴν ὁμοιότητα ἔχειν τοὺς ἀριθμοὺς καὶ τὰ εἴδη, λέγουσι τὰ εἴδη ἀριθμοὺς καὶ ἐπὶ τούτῳ καὶ τὰς οὐσίας, ἔχει τινὰ λόγον τὸ ὑπ' αὐτῶν λεγόμενον, καὶ καλῶς τοῦτο λέγεται· εἰ δ' ἄλλως, ὅτι ὁ ἀριθμός ἐστι μονάδων πλῆθος, οὐ καλῶς. καὶ λέγει τὰς ὁμοιότητας τοῦ ἀριθμοῦ καὶ τοῦ ὁρισμοῦ, τοῦ δὲ ὁρισμοῦ λέγων φανερὸν ὅτι καὶ τοῦ ὁριστοῦ λέγει. ὁ ὁρισμός, φησίν, ἀριθμός τίς ἐστιν. ὥσπερ γάρ, φησίν, ὁ ἀριθμὸς εἰς μονάδας ἀδιαιρέτους διαιρεῖται, οὕτω καὶ
1043 b 35. ὁ ὁρισμὸς διαιρεῖται εἰς ἀδιαίρετα. εἰ γὰρ διαιρεῖται τὸ ζῷον εἰς τοὺς λόγους τοῦ ἐμψύχου καὶ αἰσθητοῦ, ἀλλ' οὖν οὐκ ἄπειρον τοῦτο γενήσεται, ἀλλὰ καταντήσομεν εἴς τι μὴ διαιρούμενον, εἰς λόγους· καὶ ὥσπερ ἀπὸ τοῦ ἀριθμοῦ, κἂν τοὐλάχιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὐκέτι μένει ἀριθμός (ἂν γὰρ ἀπὸ τοῦ ὀκτὼ μονάδα ἀφέλῃς ἢ προσθῇς, οὐκέτι ὀκτὼ μένει), οὕτω καὶ ἀπὸ τοῦ ὁρισμοῦ ἢ τοῦ τί ἦν εἶναι, ὅ ἐστιν ὁρισμός, ἂν ἀφέλῃς τι ἢ προσθῇς, οὐκέτι μένει τὸ αὐτό. καὶ ὥσπερ δεῖ εἶναί τι τὸ τὸν ἀριθμὸν ἑνοῦν καὶ δι' ὅ ἐστιν εἷς, οὕτω καὶ ἐπὶ τοῦ ὁρισμοῦ καὶ τοῦ τί ἦν εἶναι· ὅπερ, φημὶ δὴ τὸ τὸν ἀριθμὸν ἑνοῦν καὶ ἕνα ποιοῦν, τί ποτε ἐστιν, οὐκ ἔχουσιν εἰπεῖν, οὐσίαν αὐτὸ λέγοντες. ἢ γάρ, φησίν, οὐκ ἔστιν εἷς ἀριθμός, ἀλλ' οἷον σωρός ἐστιν, ἢ εἴπερ ἐστι, λεκτέον τί τὸ ποιοῦν ἓν ἐκ πολλῶν. ἀλλ' οὔτε τὸ τὸν ἀριθμὸν ἕνα ποιοῦν ἔχουσι λέγειν τί ποτέ ἐστιν, οὔτε τὸν ὁρισμόν. καὶ τοῦτο εἰκότως συμβαίνει. "τοῦ γὰρ αὐτοῦ λόγου·" ἐξ οὗ γὰρ λόγου καὶ αἰτίου συμβαίνει αὐτοῖς μὴ ἔχειν λέγειν τίνι εἷς ὁ ἀριθμός, ἐκ τοῦ αὐτοῦ τούτου καὶ τὸ περὶ τοῦ ὁρισμοῦ προσγίνεται. ἀλλὰ καὶ ὅτι μὲν ἡ οὐσία καὶ τὸ τί ἦν εἶναι ἕν ἐστι δῆλον, ἀλλ' οὐχ ὡς λέγουσί τινες, ὅτι μονάς τίς ἐστιν ἢ στιγμή (μονάδα γὰρ τὸ εἶδος, δυάδα δὲ τὴν ὕλην ὁ Πλάτων ἔλεγεν)· ἀλλ' ἔστιν ἐν ἐνεργείᾳ καὶ φύσει τις ἑκάστη οὐσία, ἀλλ' οὐ δυνάμει. ["φύσις τις ἑκάστη" γέγραπται, σὺ δὲ ὑποσυγκεχυμένως λέγεις. marg. cod. Reg.] καὶ ὥσπερ οὐδ' ὁ ἀριθμὸς ἔχει τὸ μᾶλλον καὶ ἧττον, οὐδὲ εἴδους μᾶλλον οὐσία, ἀλλ' εἴπερ ἐστὶν μᾶλλον οὐσία τὸ εἶδος τῆς κατὰ τὴν ὕλην οὐσίας, εἴη ἂν μᾶλλον οὐσία, ἀλλ' οὐχὶ τῆς κατὰ τὸ εἶδος. ταῦτα εἰπὼν συμπεραίνεται ὅτι περὶ μὲν οὖν γενέσεως καὶ φθορᾶς τῶν λεγομένων οὐσιῶν, πῶς ἐνδέχεται ὅτι σύνθετος γίνεται, τὸ δὲ εἶδος οὐ γίνεται. καὶ περὶ τῆς τῶν ὁρισμῶν ἀναγωγῆς (εἶπε γὰρ προσεχῶς ὅπως χρὴ τοὺς ὁρισμοὺς εἰς τοὺς ἀριθμοὺς ἀνάγειν) ἔστω μέχρι τούτων διωρισμένον· τίνι δὲ ὁ ἀριθμὸς εἷς ἐστὶ καὶ ὁ ὁρισμὸς καὶ τὸ τί ἦν εἶναι, νῦν μὲν οὔ φησιν, ἐρεῖ δὲ πρὸς τῷ τέλει τοῦδε τοῦ βιβλίου, ὅταν λέγῃ "περὶ δὲ τῆς ἀπορίας τῆς εἰρημένης περί τε τοὺς ὁρισμοὺς καὶ τοὺς ἀριθμούς" (c. 6).

1044 a 15. νῦν δὲ συμπερανάμενος τὰ περὶ τῆς ὕλης καὶ τοῦ εἴδους λεχθέντα, καὶ εἰπὼν ὅτι περὶ γενέσεως καὶ φθορᾶς τῶν λεγομένων οὐσιῶν πῶς ἐνδέχεται γίνεσθαι, ὅτι αἱ σύνθετοι γίνονται, τὸ δὲ εἶδος οὐθεὶς ποιεῖ, καὶ τὰ ἑξῆς, λέγει ὅτι δεῖ μὴ λανθάνειν ὡς εἰ ἐκ τῆς ἀνειδέου ὕλης ὡς πρώτης πάντα γίνεται, καὶ αὕτη ἐστὶν ὡς ἀρχὴ ὑλικὴ τῶν γινομένων, ἢ προσεχέστερον ἐκ τῶν αὐτῶν ὡς πρώτων, λέγων τὰ τέσσαρα στοιχεῖα, εἰ δὴ ἐκ τούτων τὰ γινόμενα ὡς πρώτων γίνονται, ὅμως ἔστι τις ἑκάστου οἰκεία καὶ προσεχὴς ὕλη.

1044 a 19. τὸ δὲ "ἴσως" πρόσκειται ἢ διὰ τὴν πρώτην ὕλην (ἐξ ἐκείνης γὰρ καὶ τὰ τέσσαρα), ἢ διὰ τὸ μὴ νῦν περὶ αὐτῶν, εἴτε ἐκ τῶν στοιχείων εἰσὶ τὰ γλυκέα καὶ πικρὰ εἴτε μή, προκεῖσθαι λέγειν αὐτῷ.

πρὸ ὁδοῦ λέγει τὴν ἀπὸ τοῦ χείρονος εἴδους καὶ στερήσει ἀνα- 1044 a 24.
λογοῦντος ὡς πρὸς τὸ κρεῖττον εἶδος, ἀνάλυσιν δὲ τὴν εἰς τὸ χεῖρον.

ἀλλ' ἐνίων ἑτέρων ὄντων καὶ ἡ ὕλη ἑτέρα ἐξ ἀνάγκης ἐστίν. 1044 a 27.

ἐπειδὴ τετραχῶς λέγεται (τὰ αἴτια), ὅταν τις ζητῇ τὸ αἴτιον, 1044 a 33.
πάσας δεῖ λέγειν τὰς ἐνδεχομένας αἰτίας, οὐ τὰς πόρρω δὲ ἀλλὰ τὰς προσεχεῖς.

ἰστέον δὲ ὅτι τὸ οὗ ἕνεκα καὶ τὸ εἶδος ἐπὶ τῶν φυσικῶν τὸ αὐτό 1044 b 1.
ἐστιν, ἐπὶ δὲ τῶν τεχνητῶν οὐ τὸ αὐτό.

εἰπὼν ὅτι ἐπειδὴ τὰ αἴτια τέτταρα, τὰ τέτταρα ἐρωτωμέ- 1044 b 3.
νους δεῖ ἀποδιδόναι, λέγει ὅτι περὶ μὲν τὰς φυσικὰς αἰτίας καὶ γεννητάς, οὐχὶ δὲ καὶ τὰς ἀγεννήτους ἀνάγκη οὕτω μετιέναι καὶ ἀποδιδόναι τὰ προσεχῆ αἴτια, εἴ τις μέτεισιν ὀρθῶς. ἀλλ' εἴπερ τὰ αἴτια ἀποδοτέον ἡμῖν ἐστί, δεῖ μὴ ἀγνοεῖν αὐτά· ὃ γάρ τις ἀγνοεῖ, πῶς ἂν καὶ ἀποδοίη; περὶ δὲ τῶν φυσικῶν μὲν ἀϊδίων δὲ οὐσιῶν (λέγει δὲ τὴν ξύμπασαν τῶν ὀκτὼ σφαιρῶν ἐνάδα) ἄλλος λόγος· ἴσως γὰρ οὐκ ἔχει ὕλην· εἰ γὰρ μὴ ἔχει, οὐδ' ἂν ἐπ' αὐτῆς τὸ ὑλικὸν ἀποδοθῇ. τὸ δὲ "ἔνια" πρόσκειται, ὅτι κἂν τὸ κυκλοφορικὸν οὐ συγχωρῇ τις μὴ ἔχειν ὕλην, ἀλλὰ τῆς γε ἐκλείψεως φυσικόν τι οὔσης τις ἂν φαίη ὕλην. εἰπὼν δὲ ὅτι ἴσως οὐκ ἔχει ὕλην, λέγει ὅτι ἢ εἰ καὶ ἔχει ἀλλ' οὐ γενητὴν καὶ φθαρτὴν ἀλλὰ μόνον κατὰ τόπον κινητήν.

οὐδὲ δὴ τῶν φύσει μὲν μὴ οὐσιῶν δὲ ἀλλὰ παθῶν ἔστιν ὕλη, 1044 b 8.
ἀλλ' ὑποκείμενον αὐτοῖς ἐστιν, ὕλη δὲ οὐκ ἔστιν.

ὕπνου δὲ πάλιν ἄδηλόν ἐστι τί τὸ πρῶτον πάσχον. ἀλλ' εἰπάτω 1044 b 15.
καὶ τοῦτο τὸ ζῷον, καὶ τί παθὸν ὑπνώττει, ἢ τί τῶν ἐν αὐτῷ τὸ πρῶτον πεπονθὸς ὕπνωσε; πρότερον γὰρ ἄλλο τι παθὸν τὸ ζῷον ὑπνώττει. πότερον οὖν τοῦτο καρδία ἐστίν, ὡς αὐτὸς οὗτός φησιν, ἢ ὁ ἐγκέφαλος, ὡς ὁ Πλάτων; οὗτος μὲν γὰρ ἀρχὴν τῶν ζῴων τὴν καρδίαν λέγων φησὶν ὅτι, ὥσπερ ἐπὶ τοῦ κόσμου αἱ ἀναχθεῖσαι ἀτμίδες καὶ ψυχθεῖσαι εἰς ὕδωρ συνίστανται καὶ πάλιν κατέρχονται, οὕτω καὶ ἐπὶ τῶν ζῴων τῶν ἐκ τοῦ πέττειν ἀνιουσῶν εἰς τὸν ἐγκέφαλον ἀτμίδων, ἐπειδήπερ φύσει τυγχάνει ὢν ψυχρὸς ὁ ἐγκέφαλος, ψυχομένων ὑπ' ἐκείνου κατέρχεσθαι καὶ ἐπιπίπτειν τῇ καρδίᾳ, καὶ σβεννυμένου τοῦ ἐν αὐτῇ οὐ παντελῶς δὲ θερμοῦ ὑπνώττειν τὸ ζῷον, μέχρις ἂν διαλυθῶσι πάλιν καὶ ἀναχθῶσι, καὶ οὕτως δὴ ἀνίσταται τὸ ζῷον. ἄδηλον οὖν, φησίν, ἐστὶν ἐπὶ τοῦ ὕπνου τί τὸ πρῶτον πάσχον καὶ ὑπό τινος, καὶ τί τὸ πάθος τὸ ἐκείνου, τουτέστι τί ἐστι τὸ τοῦ πάσχοντος πάθος καὶ μὴ τοῦ ὅλου ζῴου; ὅτι ἀκινησία τοιαδί, δυνάμει λέγων ὡς εἴ τις ὁρισμὸν ἀποδοῦναι τοῦ ὕπνου βούλοιτο, μὴ λεγέτω ὅτι ὕπνος ἐστὶν ἀκινησία τῶν τοῦ ζῴου αἰσθήσεων· τοῦτο γὰρ κατὰ τῆς ὅλης τοῦ ὅλου ζῴου ἠρεμίας εἴρηται καὶ ὅλῳ τῷ ζῴῳ ἐφαρμόττει ἀλλ' οὐ τῷ ὕπνῳ μόνῳ· δεῖ δὲ τὸν τοῦ ὕπνου ὁρισμὸν μόνῳ τῷ ὕπνῳ ἐφαρμόττειν. μήποτε δὲ τὸ "ἀκινησία τοιαδὶ" ἐπὶ τοῦ ὕπνου εἴρηται, ἵνα ᾖ λέγων ὅτι τί δεῖ τὸ τοῦ ὕπνου πάθος ἀποδιδόναι, ὅτι ὕπνος ἐστὶν ἀκινησία τοιαδί, καὶ αὕτη τῷ τί πάσχειν τὸ πρῶτον; τουτέστι καὶ αὕτη ἡ ἀκινησία δηλούτω καὶ ἐν τῷ τί πάσχειν τὸ πρῶτον, ὁ ὕπνος γίνεται, ἤτοι δη-

οὕτω μὲν οὖν ζητήσας οὐ λύει, ὡς δήλου ὄντος ὅτι τὰ ὀνόματα τῶν εἰδῶν εἰσὶ σημαντικά, ἀλλ' οὐ τῶν συνθέτων.

1043a 37. τουτέστι πρὸς μὲν τὰς διαλεκτικὰς συνουσίας ὠφελεῖταί τις παρὰ τὸ γινώσκειν εἴτε τὸ σύνθετον δηλοῖ εἴτε μή, πρὸς δὲ τὴν ζήτησιν τῆς οὐσίας τῆς αἰσθητῆς οὐδέν. οὕτω δὲ ἀποπεμψάμενος τὴν τοιαύτην ζήτησιν διευθετεῖται περὶ τοῦ εἴδους, λέγων ὅτι τὸ τί ἦν εἶναι οὐκ ἐπὶ τοῦ συνθέτου λογίζεται, ἀλλὰ τῷ εἴδει ὑπάρχει καὶ τῇ ἐνεργείᾳ, καὶ ἐπὶ μὲν τῶν ἁπλῶν τὸ ὕδωρ εἶναι καὶ ὕδατι ταὐτόν ἐστι, καὶ ψυχὴ καὶ ψυχῇ εἶναι, ἄνθρωπος δὲ καὶ ἀνθρώπῳ οὐ ταὐτόν.

1043b 3. εἰ μέν, φησί, λέγοι τις τὴν ψυχὴν ἄνθρωπον καὶ κατηγορεῖται τὸ ἄνθρωπος κατὰ τῆς ψυχῆς, ἐπειδὴ ψυχὴ καὶ τὸ ψυχῇ εἶναι ταὐτὸν σημαίνει, εἴη ἄνθρωπος καὶ ἀνθρώπῳ εἶναι ταὐτόν· εἰ δὲ μή, οὐκ ἔσται. καὶ οὕτω, φησί, "τινὶ μὲν τινὶ δ' οὔ," τουτέστιν εἰ λέγει τις ἄνθρωπον τὴν ψυχήν, ἔσται ταὐτὸν ὁ ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι· εἰ δὲ ἄνθρωπον λαμβάνει τὸν σύνθετον ἐκ ψυχῆς καὶ σώματος ἤτοι τὸν ἐξ ὕλης καὶ εἴδους, οὐκ ἔσται ταὐτὸν ἄνθρωπος καὶ ἀνθρώπῳ εἶναι, ἀλλὰ τινὶ μέν, οἷον ἐπὶ τῆς ψυχῆς, τινὶ δέ, οἷον ἐπὶ τοῦ ἀνθρώπου τοῦ συνθέτου, οὐκ ἔσται.

1043b 5. δείξας ἐν τῷ τέλει τοῦ πρώτου βιβλίου ὅτι ἡ συλλαβὴ ἤτοι αὐτὸ τὸ τῆς συλλαβῆς εἶδος ἕτερόν ἐστι τῶν στοιχείων, καὶ ὅτι οὔτε τὸ στοιχεῖόν ἐστι τὸ εἶδος οὔτε ἐκ στοιχείων, πάλιν τὰ περὶ ἐκείνων διαρθροῖ, λέγων ὅτι ἡ συλλαβή, αὐτὸ τὸ τῆς συλλαβῆς φημὶ εἶδος, οὐκ ἔστιν ἐκ στοιχείων καὶ τῆς συνθέσεως.

1043b 7. "σύνθεσις — μῖξις." ὃ δὴ ἀσαφῶς ἑρμηνεύεται καὶ ἐλλιπῶς· δεῖ γὰρ ὑπακούειν τὸ τινός. τὸ δὲ "ἐκ τούτων" ἀντὶ τοῦ μετὰ τούτων, ὧν ἐστὶ σύνθεσις ἢ μῖξις. καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον. εἰ ἔστιν ἡ σύνθεσις ὕδατος, εἰ τύχοι, καὶ μέλιτος, οὐ συνῆλθεν ἡ μῖξις τινὶ τούτων, ἢ τῷ ὕδατι ἢ τῷ μέλιτι ἢ καὶ ἀμφοῖν, καὶ ἀπετέλεσαν τὸ μελίκρατον· εἰ μὲν γὰρ ἦν ἡ μῖξις πρᾶγμά τι τῶν δυναμένων καθ' αὑτὸ εἶναι, εἰκὸς ἦν λέγειν ὅτι μετά τινος τούτων τοῦ τε ὕδατος καὶ τοῦ μέλιτος ἢ καὶ ἀμφοῖν συνελθοῦσα ἀπετέλεσε τὸ μελίκρατον· ἐπεὶ δὲ οὐκ ἔστιν, οὐ λέγεται τοῦτο, ἀλλὰ τὸ μελίκρατόν ἐστιν αὕτη ἡ μῖξις.

1043b 10. οὐδὲ δή, φησίν, ὁ ἄνθρωπός ἐστι τὸ ζῷον καὶ τὸ δίπουν, ἀλλὰ τὸ ἐκ τούτων ἀποτέλεσμα, ὃ παρὰ ταῦτά ἐστιν· ταῦτα μὲν γὰρ ὕλη, τὸ δ' ἐκ τούτων ὁ ἄνθρωπος. ὅπερ, λέγω δὴ τὸ παρὰ τὸ ζῷον καὶ τὸ δίπουν, ἡ οὐσία, οὔτε στοιχεῖόν ἐστιν οὔτε ἐκ στοιχείων, τί δέ ἐστι παρὰ τὸ ζῷον καὶ τὸ δίπουν ἡ οὐσία ἤτοι τὸ εἶδος, ὃ καὶ κυρίως οὐσίαν λέγουσιν ἐξαιροῦντες τῷ λόγῳ καὶ χωρίζοντες τὴν ὕλην. μήποτε δὲ τὸ "ὃ ἐξαιροῦντες τὴν ὕλην λ." περὶ τῶν τὰς ἰδέας λεγόντων εἴρηται, ὅτι ὅπερ εἶδος τῆς ὕλης χωρίζοντες καὶ καθ' αὑτὸ εἶναι λέγοντες οὐσίαν αὐτό φασιν. εἰ δή, ὡς πολλάκις δέδεικται, τὸ εἶδός ἐστι τὸ αἴτιον τὸ κινοῦν τὴν ὕλην καὶ ποιοῦν ὅπερ ἔστι, δῆλον ὡς εἴ τις ὅλως οὐσίαν λέγοι, οὐδὲν ἄλλο ἀλλ' ἢ τὸ εἶδός φησιν.

1043b 14. γρ. καὶ οὐ λέγοιεν οἱ λέγοντες δηλαδὴ ἄνθρωπον τὸ ζῷον καὶ τὸ δίπουν. cod. Reg.

1043b 16. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου βιβλίῳ ὅτι τὸ εἶδος οὐδεὶς ποιεῖ οὐδὲ γεννᾷ, ἀλλὰ ποιεῖται τοδὶ τὸ εἶδος κτλ. ἐν τῷ πρὸ τούτου βιβλίῳ. ἐν τῷ περὶ Γενέσεως καὶ Φθορᾶς (1 7). cod. Reg.

1043b 31. διὰ τοῦτο θεοῦ ὅρον ὅλως οὐκ (ἔστιν) ἀποδιδόναι· πῶς γὰρ ἐν ἐκείνῳ γένος τὸ ὕλῃ ἀναλογοῦν, ἢ διαφοραὶ αἱ εἴδει; ἄγγελον δ' ὁριζόμενοι φαμὲν οὐσίαν μετὰ ἁγιασμοῦ, ἅτε ὑφειμενωτέρου ὄντος καὶ συνθετωτέρου τοῦ ἀγγέλου. id.

1043b 25. δεῖ προσυπακούειν τοῦ ἐξ ὧν εἴπομεν λυθῆναι, ἵνα ᾖ τὸ λεγόμενον τοιοῦτον· ὥστε ἡ ἀπορία καιρὸν ἔχει, ἣν οἱ Ἀντισθένειοι ἠπόρουν, λυθῆναι ἐξ ὧν εἴπομεν. ἐπειδὴ γὰρ δέδεικται ὅτι ἄλλα ἐστὶ τὰ ὡς εἴδους μέρη καὶ ἄλλα τὰ ὡς ὕλης, ἐκ τούτων λυθήσεται ἡ τῶν Ἀντισθενείων ἀπορία. ἔστι δ' αὐτῶν ἡ ἀπορία, ὅτι οὐκ ἔστιν ὁρίσασθαι, οὐδ' ἔστιν ὁρισμός τινος. τοῦτο δὲ κατεσκεύαζον ὡδί. ἐπειδὴ γὰρ ὁ ὁρισμὸς οὐκ ἔστιν ὄνομα, ἀλλ' ἐκ πλειόνων (τοῦτο γὰρ εἶπε λόγον μακρόν· τὸ γὰρ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν λόγος μακρός ἐστιν, ἀλλ' οὐχ ὡς τὸ ἄνθρωπος ὄνομα), ἐπειδὴ οὖν ὁ ὁρισμὸς οὐκ ἔστιν ὄνομα, οὐκ ἔστιν ὁρίσασθαι. λέγουσι δὲ ὅτι, ὅταν εἴπωμεν ζῷον λογικόν, σύνθετόν τι λέγομεν ἐξ ὕλης καὶ εἴδους, ὕλης μὲν τοῦ ζῴου, εἴδους δὲ τοῦ λογικοῦ, καὶ ἔτι προστεθὲν τὸ θνητὸν σύνθετον. εἰ δὲ τοῦτο, τὰ μὲν σύνθετα ἐπεξερχόμεθα καὶ οἱονεὶ ἀριθμοῦμεν πόσα τινὰ τυγχάνει, ζῷον λογικὸν λέγοντες, καὶ πάλιν ζῷον λογικὸν θνητόν, ὁρισμὸν δὲ οὔ φαμεν. λέγει δὲ ὁ Ἀριστοτέλης ὅτι ἡ ἀπορία αὕτη λύεται ἐξ ὧν εἴπομεν· ἐπειδὴ γὰρ δέδεικται ὅτι τὸ ζῷον πεζὸν δίπουν τοῦ εἴδους ἐστὶ μέρη, οὐ τῆς ὕλης, πῶς ἐστὶ δυνατὸν λέγειν ὅτι τὸ ζῷόν ἐστιν ὕλη τὸ δὲ λογικὸν εἶδος, ἢ πάλιν τὸ ζῷον λογικὸν ὕλη τὸ δὲ θνητὸν εἶδος; εἰ μὲν γὰρ ἦσαν τῆς ὕλης μέρη τὸ ζῷον, τὸ θνητόν, τὸ λογικόν, ἐχρῆν ταῦτα λέγειν, ὅτι τὸ ζῷον καὶ τὸ λογικὸν ὕλη ἐστί, τὸ δὲ θνητὸν εἶδος, καὶ λέγοντες ζῷον θνητὸν λέγουσι τὸ σύνθετον τὸ ἐξ ὕλης καὶ εἴδους. ἐπεὶ δὲ οὐκ εἰσὶν ὑλικά, οὐ τὸ σύνθετον λέγουσιν, ἀλλὰ τὰ μέρη τοῦ εἴδους· ὥστε ἔστιν ὁρισμός. οὐκ ἔστιν οὖν, φασίν, ὁρίσασθαι, ἀλλὰ ὁποῖον μέν ἐστιν ἄνθρωπος ἢ βοῦς ἐνδέχεται διδάξαι, ὁρίσασθαι δὲ οὔ· οἷον ὁρίσασθαι μὲν καὶ εἰπεῖν τί ἐστιν ἄργυρος οὐχ οἷόν τε, ὁποῖον δέ, δυνατόν, οἷον ἐρωτηθέντα ὁποῖόν ἐστιν ἄργυρος, εἰπεῖν ὅτι οἷον καττίτερος. ὥστε φασί, λόγον μὲν ἔστιν εἰπεῖν οὐσίας συνθέτου τῆς ἐξ ὕλης καὶ εἴδους, εἴδους δὲ ὅρον ἢ ὕλης ἐξ ὧν ἡ σύνθετός ἐστιν οὐσία οὐκ ἔστιν ἀποδοῦναι. εἰπὼν δὲ ὅτι συνθέτου ἐστὶν οὐσίας ἀποδοῦναι ὁρισμόν, προσέθηκε τὸ "ἐάν τε αἰσθητὴ ἐάν τε νοητὴ ᾖ." ἀλλ' ὅτι μὲν αἰσθηταὶ οὐσίαι σύνθετοί εἰσι, φανερόν· ὅτι δέ εἰσι καὶ νοηταὶ σύνθετοι, δῆλον· τὰ γὰρ μαθηματικὰ ἐξ ὕλης καὶ εἴδους εἰσίν· ὁ γὰρ νοητὸς κύκλος ἐξ ὕλης μὲν τοῦ διαστήματος, εἴδους δὲ τοῦ τοιουδὶ σχήματος. οὐχ ὡς ἀρεσκόμενος δὲ καὶ τὰ μαθηματικὰ οὐσίας εἶπεν, ἀλλ' ἴσως καὶ τοῦτο τῶν Ἀντισθενείων λεγόντων εἴρηκεν αὐτὰ οὐσίας. τῆς μὲν οὖν συνθέτου φασὶν οὐσίας, εἴτε αἰσθητή ἐστιν εἴτε νοητή, ἔστιν ὁρισμὸν ἀποδοῦναι, ἐξ ὧν δ' αὕτη, οὐκ ἔστιν, εἴπερ τὸ ζῷον λογικὸν καὶ ὅλως ὁ ὅρος τὶ κατά τινος σημαίνει, καὶ τὸ μέν ἐστιν εἶδος τὸ δὲ ὕλη. "φανερὸν — εἰσίν." δείξας ὅτι τὸ εἶδός ἐστιν ἡ κυρίως οὐσία, καὶ εἰπὼν ὅτι εἴπερ ὅλως λέγομεν οὐσίαν, τὸ εἶδος ἂν λέγοιμεν, ἐπειδὴ ὁμοιότητάς τινας ἔχουσιν οἱ ἀριθμοὶ πρός τε τὸ εἶδος καὶ τὴν οὐσίαν,

ἀστέρας. λέγει δὲ καὶ τίνα ἐστὶν ἅπερ ἴδια ἀπεφήναντό τινες, λέγων τινὰς τοὺς περὶ Πλάτωνα, ὅτι αἱ ἰδέαι καὶ τὰ μαθηματικά.

1042 a 13. λέγει ὑποκείμενον τὴν ὕλην.

1042 a 14. καὶ δεῖ ὑποστίζειν εἰς τὸ "τῷ γένει." καὶ εἴη λέγων ὅτι καὶ αἱ ἰδέαι συνάπτουσιν ἤτοι κοινωνοῦσι τῷ καθόλου καὶ τῷ γένει· ὥσπερ γὰρ τὸ καθόλου καὶ τὸ γένος ἓν ὂν ἐπὶ πολλῶν θεωρεῖται, οὕτω καὶ οἱ τὰς ἰδέας τιθέμενοι περὶ αὐτῶν λέγουσιν· ὁ γὰρ αὐτοάνθρωπος, φασίν, ἐν τοῖς κατὰ μέρος ἐστίν. τοῦτο γὰρ δηλοῖ τὸ "κατὰ τὸν αὐτὸν λόγον οὐσίαι δοκοῦσιν εἶναι," ἤτοι ἐπίσης γὰρ καὶ ὁ καθόλου ἐπὶ πολλῶν θεωρεῖται καὶ ἡ ἰδέα. ἀλλὰ μὴν τὰ καθόλου οὐ καθ' αὑτὰ οὐδ' οὐσίαι· οὐδ' ἄρα αἱ ἰδέαι.

1042 a 29. καὶ χωριστὸν κυρίως καὶ καθ' αὑτὸ ὄν, ἀλλ' οὐ τῷ λόγῳ μόνῳ, ὥσπερ τὸ εἶδος. εἰπὼν δὲ ὅτι τὸ εἶδος τῷ λόγῳ μόνον ἐστὶ χωριστόν, λέγει ὅτι τῶν κατὰ τὸν λόγον οὐσιῶν (κατὰ λόγον οὐσίας, ὡς πολλάκις εἴρηται, λέγων τὰ εἴδη) αἱ μὲν αἱ δ' οὔ, τουτέστιν αἱ μέν εἰσι τῷ λόγῳ χωρισταί, αἱ δὲ καὶ ἁπλῶς. ἐπειδὴ γὰρ τὸ ἑκάστου εἶδος ἡ ἑκάστου ψυχὴ τυγχάνει (ἡ μὲν γὰρ τοιάδε μορφὴ οὐδέποτε χωρίς ἐστι τῆς ὕλης), ἡ δὲ ψυχὴ οὐ πᾶσα ἀλλ' ἡ λογικὴ χωρίζεται, διὰ τοῦτο τὰς μέν φησι χωρίζεσθαι τὰς δ' οὔ. μήποτε δὲ οὐ περὶ τῆς μορφῆς τοῦτο εἴρηται (καίτοι καὶ τούτου ἀληθοῦς ὄντος· οὐδέποτε γὰρ ἡ βρότειος μορφὴ ἄνευ ὕλης εἶναι δύναται), ἀλλὰ περὶ τῶν ἀλόγων ψυχῶν, ὅτι αὗται μὲν οὐ χωρίζονται, ἀλλὰ μόναι αἱ λογικαί.

1042 b 2. καὶ νῦν μέν ἐστιν ὑποκείμενον ὡς τόδε τι· ὅταν μὲν γὰρ μετὰ τοῦ εἴδους, ἢ ἐπεὶ τὸ σύνθετόν ἐστι τὸ ὑποκείμενον τῷ λευκῷ καὶ μέλανι καὶ τῇ νόσῳ καὶ ὑγείᾳ, λέγομεν ὅτι ἡ ὕλη ὑπόκειται τούτοις ὡς τόδε τι· ὅταν δὲ χωρὶς εἴδους νοῆται, ὑποκεῖσθαι λέγεται τῷ εἴδει ὡς στέρησις. εἰπὼν δὲ ὅτι ἡ ὕλη νῦν μὲν ἐν γενέσει ἐστὶ νῦν δὲ ἐν φθορᾷ, λέγει ὅτι καὶ ἀκολουθοῦσι ταύτῃ αἱ ἄλλαι μεταβολαί· καὶ εἴη ἂν λέγων ὅτι ὅσα μὲν ἔχει ὕλην γενητὴν καὶ φθαρτήν, τουτέστι γενέσει καὶ φθορᾷ ὑποκειμένην, ἐκεῖνα ἔχει ὕλην καὶ αὐξήσεως καὶ μειώσεως καὶ τῆς κατὰ τόπον μεταβολῆς καὶ ἀλλοιώσεως· τὸ γὰρ εἶδος (τοῦτο γάρ ἐστιν, ὡς ἐν τῇ περὶ Γενέσεως καὶ Φθορᾶς (1 5) δέδεικται, τὸ αὐξόμενον καὶ φθινόμενον, ἀλλ' οὐχὶ ἡ ὕλη) τὸ δὴ εἶδος ὡς ὕλη ὑπόκειται τῇ αὐξήσει καὶ φθίσει. ἀλλὰ καὶ τόπον τὰ τοιαύτην ἔχοντα ἀμείβει καὶ ἀλλοιοῦται, τὰ μὲν οὖν ἔχοντα ὕλην γενητὴν καὶ φθαρτήν. ταύτῃ τῇ ὕλῃ, τουτέστιν αὐτοῖς τοῖς ἔχουσιν αὐτήν, ἕπονται καὶ αἱ ἄλλαι μεταβολαί.

1042 b 8. εἶπε γὰρ καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (5 1), μάλιστα δὲ ἐν τῇ περὶ Γενέσεως (1 3), ὅτι ἡ ἀπὸ τῶν χειρόνων εἰδῶν μεταβολή, οἷον ἡ ἀπὸ ἀέρος εἰς πῦρ, ἐπὶ τὰ κρείττω ἁπλῆ μέν ἐστι γένεσις τὶς δὲ φθορά, ἡ δὲ ἀπὸ τοῦ κρείττονος εἴδους ἐπὶ τὸ χεῖρον ἁπλῆ μὲν φθορὰ τὶς δὲ γένεσις.

1042 b 9. πάντες γὰρ τὴν ὕλην μὲν αἰτίαν εἶπον καὶ μνείαν αὐτῆς πεποιήκασιν οἱ φυσικοί, τῆς δὲ εἰδικῆς οὐδεὶς ἐφρόντισεν, ἢ ἐπ' ὀλίγον. λοιπόν ἐστιν εἰπεῖν καὶ περὶ τῆς ἐνεργείᾳ οὐσίας τῶν αἰσθητῶν, τίς ἐστιν· ὡς ἐνεργείαν οὐσίαν τῶν αἰσθητῶν, λέγων τὸ ἑκάστου εἶδος. καὶ πρῶτον, ὡς ἔθος αὐτῷ, τὰς τῶν παλαιοτέρων, ἃς εἶχον περὶ τοῦ εἴδους δόξας ἐπισκέπτεται, καὶ οὕτω τὸ οἰκεῖον τίθησι βούλημα.

1042 b 16. τὰ μὲν οὖν συνθέσει εἰδοποιεῖται τὰ δὲ δεσμῷ· τοῦ γὰρ σφακέλου εἶδος ὁ δεσμός ἐστι, τὰ δὲ εἰδοποιεῖται κόλλῃ, οἷον τὸ κοντάκιον ἢ καὶ τὸ κιβώτιον, τὰ δὲ γόμφῳ, ὡς τὸ κιβώτιον.

1042 b 21. τὰ δὲ εἰδοποιεῖται τῷ τόπῳ, ὡς τὰ πνεύματα· ἀπὸ γὰρ τῶν τόπων ἐξ ὧν πνέουσιν, οἱ μὲν λέγονται ἀπαρκτίαι οἱ δὲ νότοι, ἄλλοι δὲ ζέφυροι καὶ ἄλλοι ἀπηλιῶται. κατὰ γὰρ τὴν ὕλην ἀδιάφοροι τυγχάνουσιν· ὕλη γὰρ παντὸς ἀνέμου ἡ ξηρὰ ἀναθυμίασις, ὡς ἐν τοῖς Μετεώροις (2 4) δέδεικται.

1042 b 25. ὥστε, φησί, δῆλον ὅτι καὶ τὸ ἔστιν ἤτοι καὶ τὸ εἶναι ἑκάστῳ καὶ τὸ εἶδος αὐτῶν τοσαυταχῶς λεχθήσεται.

1042 b 27. καὶ τὸ κρυστάλλῳ εἶναι τὸ οὕτω πεπυκνῶσθαί ἐστι, καὶ ἁπλῶς πᾶσι τούτοις ὁρισθήσεται τὸ εἶναι.

1042 b 33. οἷον τοῖς μὲν ἀρχὴ ἔσται εἰδοποιὸς τὸ μᾶλλον καὶ ἧττον, ὥσπερ Θαλῆς ἔλεγεν ὅτι τὸ ὕδωρ μᾶλλον μανωθὲν γίνεται ἀὴρ καὶ ἔτι μᾶλλον πῦρ.

1042 b 35. εἰ δέ τι, φησίν, ἐστὶν εἰδοποιούμενον σχήματί τινι, ὥσπερ τὰ μαθηματικά (ταῦτα γὰρ τοῖς σχήμασιν εἰδοποιεῖται), ὕλη δὲ αὐτῶν τὸ μαθηματικὸν σῶμα), ἢ εἰ μὴ σχήματι ἀλλὰ λειότητι, ὡς αἱ μυλίαι λίθοι· εἰ οὖν ἐστί τινα τούτοις εἰδοποιούμενα, πάντα ἡ τε λειότης καὶ τὸ σχῆμα καὶ ἡ τραχύτης ἀναχθήσονται εἰς τὸ εὐθὺ καὶ καμπύλον· λεῖον γὰρ λέγεται τὸ ἐπ' εὐθείας πως ἔχων τὰ μόρια κείμενα, τραχὺ δὲ τὸ μὴ οὕτως ἀλλὰ κοιλότητάς τινας ἢ ὅλως καμπυλότητας καὶ ἀνωμαλίας.

1043 a 4. ὃ δὲ λέγει τοιοῦτον ἂν εἴη. οὐδὲν τούτων οὐσία ἐστὶν οὐδὲ συνδυαζόμενον τῇ ὕλῃ· ὅμως ἐν ἑκάστῳ τούτων ἤτοι τοῦ οὐδοῦ καὶ τῶν ἄλλων τὸ ἀνάλογόν ἐστι, τουτέστιν ἔχουσιν ἀναλογίαν πρὸς τὴν οὐσίαν. καὶ ὥσπερ ἐν ταῖς οὐσίαις τὸ κατηγορούμενον τῆς ὕλης οὐδὲν ἕτερόν ἐστιν ἢ αὐτὴ ἡ ἐνέργεια, τουτέστιν αὐτὸ τὸ εἶδος, ὃ δὴ καὶ ὁριζόμεθα (τοῦτο γὰρ προσυπακούειν δεῖ), οὕτω καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς, τοῖς μὴ οὐσιῶν οὖσιν ἀλλὰ τεχνητῶν, τὰ εἴδη ὁριστέον.

1043 a 19. ὁ μὲν γὰρ ἐκ τῶν διαφορῶν λόγος ἐστὶν ἐκ τοῦ εἴδους, ὁ δ' ἐκ τῶν ξύλων καὶ λίθων τῆς ὕλης, ὁ δ' ἐξ ἀμφοῖν τῆς οἰκίας, ὁποίας καὶ Ἀρχύτας ἀπεδέχετο τὰς ἐκ τῶν διαφορῶν καὶ τῆς ὕλης· ὁριζόμενος γὰρ τὴν νηνεμίαν ἔλεγεν ὅτι νηνεμία ἐστὶν ἠρεμία ἐν πλήθει ἀέρος· ὕλη μὲν γὰρ ὁ ἀήρ, εἶδος δὲ καὶ ἐνέργεια ἡ νηνεμία. καὶ πάλιν γαλήνη ἐστὶν ὁμαλότης θαλάσσης· τὸ μὲν ὑποκείμενον ὡς ὕλη ἡ θάλασσα, ὁμαλότης δὲ τὸ εἶδος. οὕτω μὲν οὖν ἀκριβῶς καὶ θειότατα τὰ περὶ τούτων ὁρίσας συμπεραίνεται, λέγων ὅτι φανερόν ἐστιν ἐκ τῶν εἰρημένων κτλ.

1043 a 29. ὃ ζητεῖ, σαφῶς καταλέγει, οὐ λύει δὲ ὡς σαφοῦς οὔσης τῆς λύσεως. ζητεῖ γὰρ πότερον τὰ ὀνόματα τῶν συνθέτων εἰσὶ σημεῖα ἢ τῶν εἰδῶν; οἷον ἡ γραμμὴ πότερον σημαίνει ὅτι δυὰς ἐν μήκει, ὅπερ ἐστὶ τὸ σύνθετον (εἶδος μὲν γὰρ ἡ δυάς, ὕλη δὲ τὸ μῆκος, δυάδα δὲ λέγει τὴν γραμμὴν ὅτι, ὥσπερ ἐν τοῖς ἀριθμοῖς πρώτη διάστασις ἡ δυάς ἐστιν, οὕτως ἐν τοῖς μήκεσιν ἡ γραμμή), πότερον οὖν ἡ γραμμὴ τὸ ὅτι δυὰς ἐν μήκει σημαίνει, ἢ ὅτι δυὰς τὸ εἶδος μόνον; καὶ τὸ ζῷον πότερον τὸ σύνθετον δηλοῖ, ὅτι ψυχὴ ἐν τῷ σώματι ἢ ψυχῆ; αὕτη γὰρ οὐσία καὶ ἐνέργεια καὶ εἶδος σώματός τινος.

οὐ μέντοι γέ φησι τὸ μερικόν, οἷον διὰ τί κύκλῳ κινεῖται; ὅτι νοῦν μιμεῖται. Asclep.

1041 b 4. ἐπειδὴ δὲ δεῖ τὸν ζητοῦντα περί τινος ἔχειν καὶ γινώσκειν ὅτι ὑπάρχει τόδε τῷδε, ἐστὶ δῆλον ὡς ὅταν ζητῇ τὸ διὰ τί, τὴν ὕλην ζητεῖ, πῶς καὶ ὑπὸ τίνος κινηθεῖσα γέγονεν ὅπερ ἐστίν. οἷον ὅταν λέγῃ, διὰ τί ὁ ἄνθρωπος ταδί ἐστι, ἢ μὴ τοῦτο, ἀλλ᾽ ὅτι διὰ τί τὸ σῶμα τουτὶ ὡδὶ ἔχον ἐστίν; τοῦτο ζητεῖ, τί τὸ αἴτιον τὸ κινῆσαν τοδὶ σῶμα οὕτως ἔχειν; καὶ πάλιν ὅταν λέγῃ ὅτι διὰ τί ἡ οἰκία τοδί, ἤτοι διὰ τί τὰ ξύλα καὶ οἱ λίθοι οἰκία ἐστίν; τοῦτο ζητεῖ ὅτι διὰ τί ταδὶ ὑπάρχει ὃ ἦν οἰκία, τουτέστι τί τὸ κινῆσαν ταδὶ καὶ ποιῆσαν αὐτὰ οἰκίαν; ὥστε δῆλον ὅτι ἡ διὰ τί ζήτησις ἐξαιρέτως ἐπὶ τῶν φυσικῶν αἰτίου ἐστὶ ζήτησις. τοῦτο δὲ τὸ αἰτιόν ἐστι τὸ εἶδος ᾧ τι ἔστι, τουτέστιν ἐν ᾧ ἡ ὕλη ἐστίν. δῆλον ἄρα γέγονε τί ποτε ἐστὶν ἡ οὐσία... εἰ δή, ὥσπερ εἴρηται, τὸ εἶδός ἐστι τὸ τάττον καὶ ποιοῦν, φανερὸν ὅτι ἔστι τὸ εἶδος κοσμοῦν καὶ ποιοῦν ἔχειν τὸν κόσμον, ὥσπερ ἔχει. ἐπειδὴ οὖν τὸ διὰ τί ζήτησίς ἐστιν ἄλλου ἐν ἄλλῳ ὑπάρχοντος, δηλονότι ἐπὶ τῶν ἁπλῶν καὶ μόνως εἰδῶν οὐκ ἔστι ζήτησις, οὐδὲ τὸ διὰ τί, ἀλλ᾽ ἕτερος τρόπος ζητήσεως. καὶ ἐρεῖ, ὅταν περὶ ἐκείνων λέγῃ, τίς ὁ τρόπος τῆς τῶν ἁπλῶν ζητήσεως. Alex.

1041 b 11. τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι τὸ εἶδος ἕτερόν ἐστι τῆς ὕλης, καὶ ὅλως τὸ σύνθετον. λέγει δὴ ὅτι ἐπειδὴ τὸ ἔκ τινος σύνθετόν ἐστιν οὕτως ὥστε ἓν εἶναι τὸ πᾶν, μὴ ὡς σωρὸς κατὰ ἁφὴν ἀλλ᾽ ὡς ἡ βα συλλαβή, δῆλον ὡς ἡ συλλαβὴ ἤτοι τὸ εἶδος τῆς συλλαβῆς, τὸ συντεταγμένον μετὰ τῆς ὕλης (αὕτη δ᾽ ἐστὶ τὰ στοιχεῖα τό τε βῆτα καὶ ἄλφα) ἕτερόν ἐστι παρὰ τὰ στοιχεῖα, καὶ οὐκ ἔστιν ἡ συλλαβὴ τὰ στοιχεῖα, οὐδέ ἐστι τὸ β καὶ τὸ α ταὐτὸν τῇ βα συλλαβῇ. id.

1041 b 16. ἐκ δὴ τούτων φανερόν ἐστιν ὅτι οὐ μόνον τὸ φωνῆεν ἤτοι τὸ ἄλφα καὶ τὸ σύμφωνον τὸ βῆτα ἔστιν, ἢ τὸ πῦρ καὶ ἡ γῆ, ἀλλ᾽ ἔστι τι καὶ παρὰ ταῦτα ἥ τε συλλαβὴ καὶ ἡ σάρξ. οὕτως οὖν δαιμονίως δείξας ὅτι τὸ εἶδος ἕτερόν ἐστι παρὰ τὴν ὕλην καὶ ἔστι τι, δείκνυσιν ὅτι ἀρχὴ μὲν καὶ αἰτιόν ἐστιν, στοιχεῖον δὲ οὐκ ἔστι τὸ εἶδος, ἀλλὰ μόνον ἡ ὕλη. τὸ εἶδος οὖν, φησίν, ἀνάγκη ἢ στοιχεῖον εἶναι ἢ ἐκ στοιχείων. εἰ μὲν οὖν λέγει τις ὅτι στοιχεῖόν ἐστιν, ἔστω δὲ ἐπὶ σαρκὸς ὁ λόγος, ἐπειδή, ὡς δέδεικται ὅτι τὸ εἶδός ἐστι τὸ κινοῦν τὴν ὕλην καὶ ποιοῦμενον ὅπερ ἐστίν, εἴπερ ἐστὶ σάρξ καὶ στοιχεῖον, δηλονότι κινηθήσεται, εἴπερ δὴ στοιχεῖόν ἐστιν αὕτη τε καὶ τὸ πῦρ ὑπό τινος εἴδους, καὶ γενήσεταί τι ἐξ αὐτῶν· ἐκεῖνο δὴ τὸ εἶδος τὸ κινῆσαν αὐτά, πάλιν ἢ στοιχεῖόν ἐστιν ἢ ἐκ στοιχείων. εἰ μὲν οὖν στοιχεῖον ἐπειδὴ στοιχεῖόν ἐστιν αὐτό τε καὶ ἡ σάρξ καὶ τὸ πῦρ, κινηθήσονται ὑπ᾽ ἄλλου εἴδους καὶ γενήσονταί τι· πάλιν οὖν ἐκεῖνο ἢ στοιχεῖον ἢ ἐκ τῶν στοιχείων, καὶ τοῦτο εἰς ἄπειρον. ἐκ τούτου οὖν φησί, "τούτου" λέγων τοῦ κινηθέντος, καὶ πυρὸς καὶ γῆς, ἔσται ἡ σάρξ· καὶ πάλιν ἐξ ἐκείνου καὶ τῆς σαρκὸς καὶ εἴ τινος ἄλλου ἔσται ἄλλο. ὥστε δῆλον ὅτι τὸ εἶδος οὐκ ἔστι στοιχεῖον. εἰ δέ τις, φησίν, ἐκ στοιχείων, τὸ δὲ ἐκ στοιχείων οὐχ ἁπλοῦν ἐστὶν ἀλλὰ σύνθετον, ὥστε οὐκ ἐξ ἑνὸς ἀλλ᾽ ἐκ πλειόνων ἐστὶν ἢ ἐκεῖνο· ἐκεῖνο γάρ ἐστιν ἕν· ὥστε παρ᾽ ἐκεῖνο εἰσὶ τὰ ἐξ ὧν ἐστίν. τὸ δὲ παρὰ τὸ ἓν δῆλον ὅτι ἢ δύο ἐστὶν ἢ τρία ἢ ἄλλος τις ἀριθμός. ὥστε εἴπερ ἐστὶν ἐκ στοιχείων, ἐπειδὴ τὸ ἐκ στοιχείων ὑπό τινος γίνεται, τοῦτο εἴπερ ἐστὶν ἐκεῖνο τὸ ποιῆσαν αὐτό, στοιχεῖον οὐκ ἔσται· δέδεικται γὰρ ὅτι τὸ ποιοῦν τὸ εἶδός ἐστιν, τὸ δὲ εἶδος στοιχεῖον οὐκ ἔστιν· καὶ τοῦτο γὰρ δέδεικται· ἔσται ἄρα κἀκεῖνο ἐκ στοιχείων, καὶ τοῦτο εἰς ἄπειρον. ὃ δὲ ἐπὶ τῆς σαρκὸς εἴρηται, τοῦτο ἐπὶ τῆς συλλαβῆς καὶ ἐπὶ πάντων ῥηθήσεται. οὐκ ἄρα οὔτε στοιχεῖόν ἐστι τὸ εἶδος οὔτε ἐκ στοιχείων· ὥστε ἔστι τι τοῦτο τὸ τὴν ὕλην κινοῦν καὶ ποιοῦν σάρκα καὶ συλλαβήν· τοῦτο δέ ἐστι τὸ εἶδος καὶ ἡ ἑκάστου οὐσία. id.

ὥστε ἐστὶ καὶ τὸ εἶδος τῆς συλλαβῆς οὐ μόνον τὰ στοιχεῖα τὸ φωνῆεν καὶ τὸ ἄφωνον "καὶ ἕτερόν τι," τουτέστι τὸ εἶδος τῆς σαρκός, οὐ μόνον πῦρ καὶ γῆ. Asclep. 1041 b 19.

ὥστε αἰτιόν τί ἐστι τὸ εἶδος καὶ οὐ στοιχεῖον, καὶ αἴτιον τοῦ εἶναι τοδὶ μὲν σάρκα τὸ δὲ συλλαβήν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ὥστε ἑκάστου οὐσία κυρίως ἐστὶ τοῦτο τὸ εἶδος. id. 1041 b 26.

ἐπειδὴ οὖν ἔνιαι οὐκ εἰσὶν οὐσίαι τῶν πραγμάτων, ἀλλ᾽ οὐσίαι αἱ κατὰ φύσιν καὶ φυσικαί (τὰ γὰρ τεχνητὰ εἴδη οὐχ ὑπάρχουσιν οὐσίαι)· ὥστε οὐσία ἐστὶ τὸ εἶδος τὸ ἐν τοῖς φυσικοῖς πράγμασι, στοιχεῖον δέ ἐστιν εἰς ὃ διαιρεῖται τὸ εἶδος ἐνυπάρχον ὡς ὕλην, οἷον τὴν βα συλλαβὴν τὸ α καὶ τὸ β. ὥστε κυρίως βούλεται ὁ Ἀριστοτέλης οὐσίαν εἶναι τὸ εἶδος τὸ καθόλου τὸ χωριστὸν καὶ ἐν τοῖς πολλοῖς θεωρούμενον· τὸ γὰρ εἶδος τῆς βα συλλαβῆς θεωρεῖται καὶ ἐν κηρῷ καὶ ἐν ξύλῳ καὶ σιδήρῳ καὶ χαλκῷ καὶ ἀργύρῳ καὶ χρυσῷ. id. 1041 b 28.

ἀλλ᾽ ἐκεῖνά εἰσι τῶν πραγμάτων οὐσίαι, ὅσα κατὰ φύσιν καὶ ὑπὸ φύσεως καὶ εἰς τὸ τί ἦν εἶναι αὐτοῖς συμβάλλεται. φανερὸν ἄρα ὅτι αὕτη ἡ φύσις (λέγοι δ᾽ ἂν φύσιν τὸ εἶδος) ἐστὶν οὐσία. Alex. 1041 b 29.

εἰ δὲ ἐκ στοιχείων ἀπο   εἶναι τὸ εἶδος, δῆλον ὅτι οὐκ ἐξ ἑνὸς ἀλλ᾽ ἐκ πλειόνων. εἰ οὖν ἐκεῖνο αὐτὸ ἔσται τὸ εἶδος τῆς σαρκός, καὶ πάλιν τὰ αὐτὰ λέγομεν ἐπὶ τοῦ στοιχείου   τὴν εἰς ἄπειρον πορείαν, ὥστε αἴτιον. Asclep.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Η (*).

1042 a 3. Τὰ ἐν τῷ πρὸ τούτου βιβλίῳ καὶ τῷ πρὸ ἐκείνου λεχθέντα, οὐχὶ πάντα (ἢ γὰρ ἂν πάλιν τὰ αὐτὰ συνέβη λέγειν) ἀλλὰ τὰ κυριώτατα (ταῦτα γὰρ καὶ κεφαλὴν εἶπεν), ἀνακεφαλαιοῦται, καὶ τὴν αἰτίαν τοῦ τίνος ἕνεκεν ἐκεῖνα εἶπε λέγει. τοῦτο τὸ βιβλίον περὶ τοῦ καθ᾽ αὑτὸ ὄντος. cod. Reg.

1042 a 4. καλῶς δὲ τὸ τέλος εἶπεν· ἀπὸ γὰρ τοῦ μετὰ τοῦτο βιβλίου ἀρχὴν ποιεῖται λέγειν περὶ δυνάμεώς τε καὶ ἐνεργείας καὶ τῶν λοιπῶν, περὶ ὧν τὸν λόγον ποιήσεται.

1042 a 10. οὐρανὸν δὲ ἤτοι τὸν ξύμπαντα κόσμον λέγει, μόρια δ᾽ αὐτοῦ τὰς σφαίρας καὶ τὸ πῦρ καὶ τὴν γῆν καὶ τὰ ζῷα· ἢ οὐρανὸν λέγει τὸ κυκλοφορικὸν ἅπαν σῶμα, μόρια δὲ τοὺς ἐν αὐτῷ ἐμπεπηγμένους

(*) Scholia, quibus nota non accedit, e commentariis deprompta sunt iis quae falso Alexandro tribuuntur.

τικὸν γὰρ αἴτιόν ἐστιν ἡ φύσις· ἀλλὰ καὶ τὸ τελικόν (τοῦτο γὰρ ἔχει τέλος ποιῆσαι οἷον αὐτό), καὶ εἰδικὸν δὲ (τοιοῦτον γὰρ εἶδος ἐπιτίθησιν ἀνθρώπειον ἢ ἵππειον) ὥστε πάλιν ἑκάστου πράγματος ζητοῦντες τὴν ὕπαρξιν τὸ εἶδος ἀποδίδομεν· ὥστε κυρίως οὐσία τὸ εἶδος ὑπάρχει. χρὴ μέντοι γε εἰδέναι ὅτι ἐπειδὴ τέσσαρά εἰσι τὰ προβλήματα, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ (2 1), τὸ εἰ ἔστι, τὸ τί ἐστιν, ὁποῖόν τί ἐστι καὶ διὰ τί ἐστιν, ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων τὸ εἰ ἔστι ζητεῖν μόνον καὶ τὸ τί ἐστι, ἐπὶ μέντοι γε τῶν συνθέτων τὸ ὁποῖόν τί ἐστι καὶ τὸ διὰ τί ἐστιν· τὸ γὰρ ὁποῖόν τί ἐστι τὴν ὕπαρξιν τοῦ συνθέτου δηλοῖ, ὥσπερ τὸ εἰ ἔστι τὴν ὕπαρξιν τοῦ ἁπλοῦ· ὁ γὰρ ζητῶν ἐπὶ τῶν ἁπλῶν τὸ διὰ τί ἐστι καταγέλαστον πρᾶγμα ποιεῖ, οἷον ἐὰν εἴποι τις, διὰ τί ἐστιν ἄνθρωπος; ὅτι ἄνθρωπός ἐστιν· διὰ τί ἐστι ψυχή; ὅτι ψυχή ἐστιν· τὸ γὰρ πρᾶγμα ἔχει ὕπαρξιν καὶ ὑφέστηκεν... εἶτά φησιν ὅτι τὸ διὰ τί ἐπὶ τῶν συνθέτων εἴωθε ζητεῖσθαι καὶ ἅπερ εἴρηται ἡμῖν ἐν τῇ θεωρίᾳ. διό φησι, διὰ τί ἄλλῳ τινὶ ὑπάρχει· τὸ γὰρ ζητεῖν ἐπὶ τῶν ἁπλῶν (ἵνα τὸν μουσικὸν ἄνθρωπον ἐνταῦθα ὡς ἁπλοῦν λάβωμεν), τουτέστι διὰ τί ὁ μουσικὸς ἄνθρωπος μουσικὸς ἄνθρωπός ἐστιν; ἤτοι τὸ εἰρημένον ἐστὶν ἐξ ἀρχῆς ζητεῖν, διὰ τί ὁ ἄνθρωπος μουσικός ἐστιν, ἢ ἄλλο. τὸ μὲν οὖν ἐπὶ τῶν ἁπλῶν ζητεῖν τὸ διότι αὐτό ἐστι, τουτέστι διότι ὁ ἄνθρωπός ἐστιν αὐτό, οὐδέν ἐστι ζητεῖν. τὸ δὲ λέγομεν ὅτι διὰ τί ἡμέρα ἐστίν· ταὐτὸν γὰρ ἡ ἐρώτησις τῇ ἀποκρίσει· ἐπὶ γὰρ τῶν ἐχόντων τὸ διὰ τί δεῖ προσομολογήσασθαι τὸ ἔστι καὶ τί. Asclep.

1041 a 11. ζητεῖται οὖν, φησί, τὸ διὰ τί, ὅτι διὰ τί ἄλλο ἐν ἄλλῳ ὑπάρχει· τὸ γὰρ ζητεῖν ὅτι διὰ τί ὁ μουσικὸς ἄνθρωπος μουσικὸς ἄνθρωπός ἐστιν; ἢ τὸ αὐτὸ ζητεῖν ἐστι, τουτέστι τὸ αὐτὸ ἐν αὐτῷ, ἢ ἄλλο. Alex.

1041 a 15. εἰπὼν δὲ ὅτι αἱ ζητήσεις περὶ ἄλλων ἐν ἄλλοις ὄντων εἰσίν, ἐπήγαγεν "δεῖ γὰρ τὸ ὅτι καὶ τὸ εἶναι ὑπάρχειν δῆλα ὄντα," ἴσον λέγων ὅτι ἐπειδὰν ζητῆσαι τὸ διὰ τί, δῆλον εἶναι ὀφείλει ὡς ὑπάρχει τόδε ἐν τῷδὶ καὶ ὅτι εἰσίν· ἐπὶ γὰρ τῶν μὴ ὄντων τὸ διὰ τί οὐ ζητεῖται. εἰ γὰρ ζητεῖται ὅτι διὰ τί ἡ σελήνη ἐκλείπει, δῆλον εἶναι χρὴ ὅτι ὑπάρχει τῇ σελήνῃ τὸ ἐκλείπειν. θεὶς οὖν τοῦτο μεταξὺ πάλιν ἐπανέδραμεν ἐπὶ τὸ πρότερον, λέγων "αὐτὸ δὲ ὅτι αὐτό, εἷς λόγος καὶ μία αἰτία ἐπὶ πάντων." καὶ εἴη ἂν λέγων ὅτι τὸ μὲν οὖν ζητεῖν διὰ τί ὁ ἄνθρωπος μουσικός ἐστιν, εὔλογος ἡ ζήτησις, τὸ δὲ λέγειν ὅτι αὐτὸ διὰ τί αὐτό, τουτέστιν ὅτι ὁ ἄνθρωπος διὰ τί ἐστιν ἄνθρωπος, καὶ ὁ ἵππος διὰ τί ἐστιν ἵππος, καὶ ὁ βοῦς εἷς. id.

1041 a 17. "εἷς — πάντων." ἐρεῖ γὰρ ὁ προσδιαλεγόμενος διότι ὁ ἄνθρωπος ἔστι καὶ διότι ὁ ἵππος καὶ διότι ὁ βοῦς. ὧν δὲ ἡ αἰτία μία, καὶ ἐκεῖνα ἕν· ὥστε ἔσται ὁ βοῦς καὶ ὁ ἄνθρωπος ἓν τῷ ἀριθμῷ. εἰ δέ γε τοῦτο ἄλογον καὶ ἀδύνατον, οὐ χρὴ ζητεῖν διὰ τί ὁ ἄνθρωπος ἄνθρωπός ἐστιν. ἴσως δέ, φησίν, ἐρωτηθείς τις διὰ τί ὁ ἄνθρωπος ἄνθρωπός ἐστι καὶ ὁ ἵππος ἵππος, οὐκ ἐρεῖ διότι ἄνθρωπός ἐστι καὶ διότι ἵππος, ἀλλ' ὅτι διὰ τοῦτο ὁ ἄνθρωπος ἄνθρωπός ἐστι καὶ ὁ ἵππος ἵππος, ὅτι ἀδιαίρετός ἐστιν ἕκαστος πρὸς ἑαυτόν. τὸ δὲ λέγειν ὅτι διὰ τοῦτο ἄνθρωπός ἐστιν ὅτι ἀδιαίρετός ἐστιν ἕκαστος πρὸς ἑαυτόν, οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ λέγειν ὅτι διότι εἷς ἐστίν. ἀλλ' αὕτη ἡ αἰτία κοινὴ κατὰ πάντων καὶ σύντομος τυγχάνει καὶ οὐδεμίαν ἔχει δυσχέρειαν· εὔκολον γάρ ἐστιν ἐρωτωμένων ἡμῶν, διὰ τί τὸ λευκὸν λευκόν ἐστι, λέγειν διότι ἕν ἐστι, καὶ διὰ τί ὁ βοῦς βοῦς ἐστί, διότι εἷς ἐστίν· ὧν δὲ ὁ λόγος, ὥσπερ εἴρηται, εἷς, καὶ αὐτὰ ἕν. εἰ δὲ ταῦτα ἄτοπα καὶ ἀδύνατα, οὐ χρὴ οὕτω προτείνειν τὰς ἐρωτήσεις καὶ ζητήσεις, ἀλλὰ ζητεῖν διὰ τί ὁ ἄνθρωπός ἐστι ζῷον τοιονδί, τουτέστι διὰ τί ὁ ἄνθρωπος φέρε εἰπεῖν ἐστὶ ζῷον λευκὸν ἢ δίπουν. ὁ δὴ τοῦτο ζητῶν φανερὸν ὡς οὐ ζητεῖ διὰ τί ὁ ἄνθρωπος ἐστιν, ἀλλὰ ζητεῖ, ὅτι τὸ δίπουν καὶ τὸ λευκὸν ἕτερον τοῦ ἀνθρώπου, διὰ τί ὑπάρχει τῷ ἀνθρώπῳ. id.

ὅταν γὰρ ζητῶμεν διὰ τί βροντᾷ; τοῦτο ζητοῦμεν διὰ τί ψόφος ἐν τοῖς νέφεσι γίνεται· ὁ δὲ ψόφος τῶν νεφῶν ἕτερον, καὶ ζητεῖται ἄλλο κατ' ἄλλου, ὁ ψόφος κατὰ τοῦ νέφους. id. 1041 a 24.

καὶ οἶμαι τὸ "ἴσως" διὰ τοῦτο πρόσκειται τῷ "οἷον ἴσως ἐπὶ οἰκίας," ὡς εἰ ἔλεγε ποτὲ μὲν ἴσως ζητηθήσεται τὸ τίνος ἕνεκα, ποτὲ δὲ τὸ κινῆσαν. τὸ δὲ "τοῦτο δ' ἐστὶ τὸ τί ἦν εἶναι, ὡς εἰπεῖν λογικῶς," παρέλκον ἐστὶ καὶ ὑπό τινος ἐνταῦθα παραρριφθέν· περὶ γὰρ τούτου μετ' ὀλίγον ἐρεῖ. id. 1041 a 29.

ἀλλὰ τοιοῦτον μέν, λέγων τὸ ποιητικόν, ἐπὶ τῶν γιγνομένων καὶ φθειρομένων ζητεῖται... θάτερον δέ, οἷον τὸ εἰδικόν, καὶ ἐπὶ τῶν γιγνομένων καὶ ἐπὶ τῶν ἤδη ὄντων. id. 1041 a 31.

φησὶν ὅτι ὑπὸ ἀπορίας παραλογίζονται ἑαυτούς· δυνατὸν γάρ ἐστι καὶ ἐπὶ τῶν ἁπλῶν εἰδῶν ζητεῖσθαι τὸ διότι, ἐὰν τὸ εἶδος ὡς ἐν ὕλῃ θεωρήσωμεν, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, ὥστε ταῦτα κοινὰ γίνεσθαι τοῦ ζητεῖν καὶ τοῦ μὴ ζητεῖν. Asclep. 1041 a 32.

εἰπὼν ὅτι ἡ τοῦ διὰ τί ζήτησις αἰτίου ζήτησίς ἐστιν, ὅτι τὸ κινῆσαν τὴν ὕλην εἰς τὸ γεγονέναι τόδε τι καὶ ὅπερ ἐστί, λέγει ὅτι ἐν τοῖς μὴ καλῶς καὶ καταλλήλως λεγομένοις λανθάνει τοῦτο καὶ δοκεῖ ὅτι ἡ τοῦ διὰ τί ζήτησις οὐκ ἔστιν αἰτίου ζήτησις, οἷον ὅταν ζητῆται τί ἐστιν ἄνθρωπος, τουτέστι διὰ τί ἐστιν ἄνθρωπος; τὸ γὰρ τί ἀντὶ τοῦ διὰ τί νῦν εἴληπται. φησὶ διὰ τὸ ἁπλῶς λέγεσθαι οὐ δοκεῖ ὅτι τοῦτο ζητεῖται, λέγω δὴ ὅτι τί ἐστι τὸ τὴν ὕλην κινῆσαν ὡς ἄνθρωπος γένηται; διὰ οὖν τὸ ἁπλῶς λέγεσθαι καὶ μὴ διορίζειν ὅτι διὰ τόδε, οὐ δοκεῖ· δεῖ δὲ διαρθρώσαντας ζητεῖν, οἷον λέγειν ὅτι διὰ τί τάδε, αἱ χεῖρες φημὶ καὶ πόδες καὶ σάρκες, τόδε εἰσίν, ἤτοι ἄνθρωπος... εἰ δὲ μὴ διορίζει... ζητεῖν καὶ μὴ ζητεῖν ἔστιν. ᾗ μὲν γὰρ ὅλως ζητεῖ, ζητεῖ· ᾗ δὲ μὴ καλῶς, οὐ ζητεῖ. γράφεται δὲ καὶ "λανθάνει δὲ μάλιστα τὸ ζητούμενον ἐν τοῖς κατ' ἄλλων λεγομένοις," τουτέστιν ἐν τοῖς κατ' ἄλλων κατηγορουμένοις. ὅταν μὴ καλῶς κατηγορηθῇ, λανθάνει ὅτι τὸ αἴτιον ζητεῖται. Alex.

γρ. "ἐν τοῖς μὴ καταλλήλως," καὶ ἔτι "ἐν τοῖς μὴ κατ' ἄλλων." cod. Reg.

ὁ δὲ Συριανός φησιν ὅτι διὰ τοῦτο ἐσιώπησε τὸ ποιητικόν (ὁ Ἀριστοτέλης), ἐπειδὴ ἐπὶ τῶν ἀϊδίων ὁμολογεῖται τὸ ποιητικόν, ὅτι θεός, ἐπὶ δὲ τῶν ἐν γενέσει καὶ μάλιστα τῶν τεχνητῶν οὐ κεχωρισμένον· δυνατὸν γὰρ τὴν οἰκίαν ὑπὸ διαφόρων ἀνθρώπων γενέσθαι. ἡμεῖς δὲ εἰρήκαμεν πρὸς αὐτοὺς ὅτι καὶ τὸ τελικὸν ὥρισται ἐπὶ τῶν ἀϊδίων, τἀγαθόν, οὗ πάντα ἐφίεται. καὶ εἶπεν ὅτι τὸ καθόλου ἀγαθόν,

ὅλου ὑπάρχῃ καὶ ὦσιν ἓν καὶ συνεχῆ, δυνάμει εἰσὶν οὐσία καὶ ἐνεργείᾳ. ἐπειδὴ δέ τινα παρὰ φύσιν εἰσὶ συνεχῆ, ὥσπερ πολλῶν δάκτυλοι συνημμένοι καὶ οὐ διακεκριμένοι, ἐπήγαγε τὸ "ἀλλὰ μὴ βίᾳ ἢ συμφύσει·" ταῦτα γὰρ πηρώματά ἐστιν, ἀλλ' οὐ κατὰ φύσιν. Alex.

ὅτι ἐξ αὐτῶν τῶν μορίων, δῆλον μάλιστα τῶν ἐμψύχων, μόρια καὶ τὰ τῆς ψυχῆς ἔχουσι τὴν δυάδα ταύτην, φημὶ δὴ τὸ ἐνεργείᾳ καὶ δυνάμει. ἐνεργείᾳ μὲν τὸ ἔχειν ἰδίας κινήσεις, καθάπερ εἴρηται ἡμῖν ἐν τῇ θεωρίᾳ. διὸ ἔνια ζῷα ζῶσι καὶ μετὰ τὴν διαίρεσιν, ὥσπερ ὄφεις, ὡς ἐχόντων δηλονότι τῶν μορίων ἰδίαν ἐνέργειαν, οὐκ ἀρκοῦσαν δὲ ἐπὶ πολὺν χρόνον διὰ τὴν τοῦ ὀργάνου ἀνεπιτηδειότητα. ὅμως μέντοι γε δυνάμει ὑπάρχουσιν ἐν τῷ ὅλῳ, ἡνίκα ἐστὶν ἓν καὶ συνεχὲς φύσει, τουτέστιν ὑπὸ φύσεως, ἀλλὰ μὴ βίᾳ ἢ συμφύσει. τὸ γὰρ τοιοῦτον πήρωσις ὑπάρχει, οἷον συμφύσει, ὡς ἐπὶ τῶν μὴ διεσχισμένων δακτύλων· τὸ γὰρ ἓν ἔχουσι συμφύσει, οὐ δι' ἁμαρτίαν τῆς φύσεως ἀλλὰ τῆς ὕλης. βίᾳ δὲ ὡς ἐπὶ τῶν κλωμένων καὶ ἐχόντων ἕνωσιν ὑπὸ τῆς βίας, τῆς τέχνης, εἰ τύχοι, τοῦ γινομένου πώρου ἕνωσιν δεχοῦντος ποιεῖν. εἰ οὖν, φησίν, ἐδείχθη τὰ καθόλου ὡς μέρη, ὅτι οὐκ εἰσὶν οὐσίαι, δῆλον ὅτι οὔτε τὸ ἓν οὔτε τὸ ὂν ἐνδέχεται εἶναι οὐσίαν, ὥσπερ οὐδὲ τὰ στοιχεῖα ἢ τὴν ἀρχήν, ἐπειδὴ κατὰ πολλῶν λέγεται, τοιαῦτα δὲ τὰ καθόλου. Asclep.

1040 b 16. δείξας ὅτι ὁ καθόλου ἄνθρωπος καὶ ἁπλῶς πᾶν εἶδος οὐκ ἔστιν οὐσία, δείκνυσιν ὅτι οὐδὲ τὸ ἓν ἢ τὸ ὄν, ὥσπερ ἔλεγον οἱ τὰ εἴδη τιθέμενοι τὸ αὐτοὲν καὶ αὐτοόν, ἐστὶν οὐσία. λέγει δὴ ὅτι ἐπειδὴ τὸ ὂν λέγεται ὥσπερ καὶ τὸ ἕν (ἔδειξε γὰρ ἐν τῷ Γ (c. 2) τῆσδε τῆς πραγματείας ὡς ἀκολουθεῖ ἀλλήλοις τό τε ἓν καὶ τὸ ὄν, καὶ εἴ τι ἓν τοῦτο καὶ ὄν ἐστι, καὶ ἔμπαλιν εἴ τι ὂν τοῦτο καὶ ἕν), ἐπειδὴ τοίνυν λέγεται τὸ ἓν ὥσπερ καὶ τὸ ὄν, καὶ ἡ οὐσία ἡ τοῦ ἑνὸς μία... καὶ ἔμπαλιν ὧν μία τῷ ἀριθμῷ ἡ οὐσία, ἐκεῖνα ἕν εἰσι τῷ ἀριθμῷ, δῆλον ὡς οὔτε τὸ ὂν οὔτε τὸ ἓν ἐστὶν οὐσία τῶν πραγμάτων. Alex.

1040 b 20. ζητοῦμεν οὖν τὴν ἀρχήν, οἷον, εἰ τύχοι, τὸν θεμέλιον, ἵνα εἰς γνώριμον ἐντεῦθεν ἔλθωμεν, τουτέστι τὸ εἶδος, ἐπειδὴ τὰ πράγματα κατὰ τὸ εἶδος χαρακτηρίζονται. Asclep.

εἰ μὲν γὰρ ἦν οὐσία τῶν πραγμάτων τὸ στοιχεῖον ἢ τὸ ἓν ἢ τὸ ὄν, οὐκ ἂν ἀκούσαντες στοιχεῖον ἢ ἓν ἐζητοῦμεν τί ἐστι τὸ ὑπὸ τοῦ ἑνὸς δηλούμενον ἢ ὑπὸ τοῦ στοιχείου, ἀλλ' ἐν ἠρεμίᾳ ἦμεν· νῦν δὲ ἓν ἀκούσαντες ἢ ὂν ἢ στοιχεῖον ζητοῦμεν, ἵνα εἰς γνωριμώτερόν τι ἀναγάγωμεν, καὶ εἰπόντος φέρε ὅτι τὸ λεγόμενον ἓν πῦρ ἐστὶν ἢ τὸ λεγόμενον στοιχεῖον ὕδωρ, γνωριμώτερόν τι ἀκηκόαμεν, καὶ ὁ ἀκούσας ἠρέμησε μηδὲν ἔτι πολυπραγμονῶν ἢ ζητῶν. Alex.

1040 b 22. ὅμως δὲ εἰ καὶ μᾶλλον οὐσίας δηλωτικά ἐστιν, ἀλλ' οὖν οὐκ εἰσὶν οὐσίαι, εἴπερ μηδ' ἄλλο μηδὲν τῶν κοινῶν οὐσία... καὶ ἄλλως οὐδεμία οὐσία οὐδενὶ ἑτέρῳ ὄντι παρ' αὐτὴν ὑπάρχει, ἀλλ' αὐτὴ ἐν αὑτῇ ἐστὶ καὶ τῷ ἔχοντι αὐτήν, καὶ τὸ ἓν καὶ τὸ ὂν ἑτέροις ὑπάρχει. τὸ ἓν ἄρα καὶ τὸ ὂν οὐκ εἰσὶν οὐσίαι. ὅτι δὲ ἡ οὐσία οὐκ ἐνυπάρχει ἑτέρῳ ἀλλ' ἐν αὑτῇ ἐστί, δῆλον. id.

1040 b 23. εἴτε μηδὲ ἄλλο κοινὸν μηδέν ἐστιν οὐσία, ὡς ἔδειξε, φησίν· οὐδενὶ γὰρ ἄλλῳ ὑπάρχει ἡ οὐσία εἰ μὴ μόνῃ ἑαυτῇ καὶ τῶν ἐχόντων αὐτήν, ὥσπερ ἡ τοῦ Σωκράτους οὐσία οὐχ ὑπάρχει ἄλλῳ τινὶ εἰ μὴ μόνῳ τῷ Σωκράτει. τὸ οὖν ἓν φησὶ τὸ δηλοῦν οὐσίαν καὶ ἓν τῷ ἀριθμῷ οὐ λέγεται πολλαχῇ καὶ ἅμα, καὶ τὸ αὐτὸ οὐκ ἔστιν οὐσία· ὥστε οὐδὲν τῶν καθόλου ὑπάρχει παρὰ τὰ καθ' ἕκαστα χωρίς, ἀλλ' ἐν αὐτοῖς τὸ εἶναι ἔχει. Asclep.

"ἔτι τὸ ἕν," φησί, "πολλαχῇ οὐκ ἂν εἴη ἅμα," τουτέστιν ἡ μία 1040 b 25. οὐσία, ὁ Σωκράτης φημὶ ἢ ὁ Καλλίας, οὐ δύναται ἅμα εἶναι καὶ ἐν Λυκείῳ καὶ ἐν ἀγορᾷ, τὸ δὲ κοινὸν ἕν... ἅμα πολλαχῇ ἐστίν... γράφεται δὲ καὶ "ἔτι τὸ ὄν," καὶ εἴη ἂν διὰ ταύτης τῆς γραφῆς λέγων ὅτι τὸ ὄν, τουτέστι τὸ ὑπάρχον οὐσίᾳ, πολλαχῇ ἅμα οὐ δύναται εἶναι· τὸ δὲ κοινὸν ἓν καὶ ὂν ἅμα πολλαχῇ εἰσίν· τὸ ἓν ἄρα καὶ ὂν οὐκ εἰσὶν οὐσίαι. Alex.

αἴτιον δὲ τοῦ ταῦτα οὐσίας λέγοντας κατηγορεῖν κατὰ πολλῶν· 1040 b 30. ἐρωτώμενοι γὰρ τίνες εἰσὶν οὐσίαι αὗται, αἵπερ εἰσὶν ἄφθαρτοι καὶ παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά, καὶ μὴ ἔχοντες ἀποδοῦναι καὶ εἰπεῖν, παρῆγον τὸν Καλλίαν καὶ Κάλλιππον καὶ Φαίδωνα, λέγοντες ὡς ὁ καθόλου ἄνθρωπος οὗτοι οὐκ εἰσίν, τῇ δὲ αὐτοανθρώπου μεθέξει οὗτοι ὑπάρχουσι· μετέχουσι γὰρ οἱ κατὰ μέρος ἄνθρωποι πάντες τοῦ αὐτοανθρώπου. ποιοῦσιν οὖν ταύτας τὰς ἰδέας, τὸν αὐτοάνθρωπον καὶ αὐτοΐππον, τὰς αὐτὰς τῷ εἴδει τοῖς φθαρτοῖς· προστιθέντες γὰρ τῷ αἰσθητῷ ἀνθρώπῳ τὸ αὐτό (τοῦτο γὰρ εἶπε ῥῆμα καταχρηστικῶς), χειροτονοῦσι καὶ ποιοῦσι καθόλου ἄνθρωπον, λέγοντες αὐτοάνθρωπον καὶ αὐτοΐππον. id.

καίτοι κἂν κατ' ἀλήθειαν ἦσαν αἱ ἰδέαι καὶ ἐν ὑπάρξει ὑπῆρχον, 1040 b 34. κἂν ἡμεῖς μὴ ἑωράκειμεν, ἦσαν ἄν. τίς οὖν ἀνάγκη ἦν δεικνύναι αὐτὰς ἐν τοῖς αἰσθητοῖς; ἔδει γὰρ αὐτοὺς ἐρωτωμένους τίνες εἰσὶν αὗται αἱ οὐσίαι, πρὸς τὸν πυνθανόμενον ἀποκρίνεσθαι ὅτι νοοῦμεν μὲν αὐτοάνθρωπον, ἀλλ' οὖν ἐν τῷ νοητῷ κόσμῳ ὄντα οὐ δυνάμεθα αὐτὸν δεῖξαι, οὐ μὴν παράγειν τοὺς καθ' ἕκαστα καὶ λέγειν ὡς ὁ αὐτοάνθρωπος οὗτοί εἰσιν· ἐν τούτοις γάρ ἐστι, καὶ τῇ μετουσίᾳ ἐκείνου οὗτοι εἰσίν. ἀλλ' ὡς ἔοικε, τοῦτο ἐκεῖνοι ἐποίουν δεδιότες, ὡς εἰ μὴ θεασάμενοι τύχοιμεν αὐτό, οὐδὲ δύναται εἶναι, καίτοι καὶ τῶν ἀστέρων πολλούς, οἷον τὸν Κάνωβον, οὐχ ὁρῶμεν. ὥστε καὶ νῦν εἰ μὴ ἔχομεν ἰδεῖν τὰ εἴδη, ἀλλ' οὖν, φησίν, εἶναί τινας οὐσίας, οὐχ οἵας οἱ τὰς ἰδέας τιθέμενοι ἔλεγον ἀλλ' ἀσωμάτους καὶ νοεράς, ἀναγκαῖον. τὸ δὲ "ἴσως" πρόσκειται διὰ τὸ μήπω τοῦτο δεῖξαι, λέγω δὴ τὸ εἶναί 1041 a 3. τινας οὐσίας παρὰ τὰς αἰσθητάς, κἂν μὴ ἡμεῖς ταύτας ἰδεῖν δυνώμεθα. id.

καὶ ὅρα τὸ εὐμέθοδον τοῦ θαυμαστοῦ τοῦδε ἀνδρὸς καὶ ἀγχινούστατον, 1041 a 5. ὅπως ἂν ἰχνεύει δαιμονίως ἄγαν καὶ ποικίλως τὴν τῆς πρώτης οὐσίας εὕρεσιν, τοῦ πολυτιμήτου φημὶ καὶ πολυποθήτου καὶ πάντων πατρὸς θεοῦ· ζητεῖ γὰρ ἐνταῦθα ὅ τι ποτέ ἐστι τὸ τὴν ὕλην κινῆσαν εἰς τὸ τὰ εἴδη εἰληφέναι, καὶ δείκνυσιν ὅτι τὸ πρῶτον εἶδός ἐστιν, ὅπερ καὶ οὐσίαν χρὴ λέγειν, ἀλλ' οὐ τὸ εἶδος τὸ ἐν τοῖς καθ' ἕκαστα τὸ κινοῦν καὶ τάττον καὶ ποιοῦν ἔχειν τὰ τῇδε ὅπως ἔχει· καὶ ἔστι τοῦτο ὁ πολυύμνητος θεός. id.

ἰστέον δέ, ὡς εἴρηται ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 3), ὅτι ἐπειδὴ 1041 a 10. ἔστιν ὅτε συντρέχουσι τὰ τρία ταῦτα ἀλλήλων, φημὶ δὴ τὸ ποιητικόν, τὸ εἰδικόν, τὸ τελικόν, ὥσπερ ἐπὶ τῶν φύσει γινομένων· ποιη-

οὕτως οὐδὲ τὸν ἥλιον, ἐπεὶ διά τινα αἰτίαν οὐδεὶς ἐπάγει ὁρισμὸν ἰδέας ἢ ἀτόμου οὐσίας, ὡς αὐτός φησιν· εἰ γὰρ ὁρίσαιτο τὴν ἰδέαν, ἐφαρμόσει καὶ οὐκ ἔστιν ἰδέα, ὥστε οὐκέτι ἔσται ἀτόμου ἰδέα. διὸ ἐπήγαγε λέγων ὅτι γένοιτο γὰρ ἂν δῆλον ὅτι πειρωμένῳ ἀληθὲς τὸ νῦν εἰρημένον, ὅτι τῶν ἀτόμων οὐκ ἔστιν ὁρισμός. "φανερὸν δὲ ὅτι καὶ τῶν δοκουσῶν οὐσιῶν εἶναι." ἐντεῦθεν ἐπιλύεται τὴν ἀπορίαν τὴν λέγουσαν ὅτι οὐ δυνατόν ἐστιν ἐξ ἐνεργείᾳ οὐσιῶν γίνεσθαι οὐσίας. φησὶν οὖν ὅτι φανερὸν ὅτι καὶ τῶν δοκουσῶν οὐσιῶν, τουτέστι τῶν καθόλου, ὡς μερῶν αἱ πλεῖσται δυνάμεις εἰσί, τά τε μόρια τῶν ζῴων. id.

1040 a 28. "λανθάνει" ἀΐδια διὰ τὸ μοναδικὰ εἶναι, καὶ μάλιστα φησὶν ὅσα ἐστὶ μοναχά, οἷόν ἐστιν ὁ ἥλιος, ἡ σελήνη, ἡ γῆ. Alex.

1040 a 31. καὶ τίθησί τινα ἔστι τὰ εἰς τὸν τοῦ ἡλίου ὁρισμὸν παραλαμβανόμενα μὴ καλῶς, τό τε περὶ γῆν ἰὸν καὶ τὸ νυκτικρυφές· ἐπειδὴ γὰρ τὸ περὶ γῆν ἰέναι ἢ τὸ ἐν νυκτὶ κρύπτεσθαι εἰς ὁρισμὸν τοῦ ἡλίου παραλαμβάνουσι, δῆλον ὅτι συστατικά εἰσι τῆς τοῦ ἡλίου οὐσίας, ὥστε ἄν τις ἀφέληται τοῦ ἡλίου τὸ περὶ γῆν ἰέναι ἢ τὸ νυκτικρυφές, οὐκέτι ἔσται ὁ ἥλιος· ἢ ὅλως ἐὰν στῇ ὁ ἥλιος, οὔτε περὶ γῆν διελεύσεται οὔτε τῇ νυκτὶ κρυφήσεται. εἰ δὲ τοῦτο, οὐκ ἔσται. ἀλλ' ἄτοπον εἰ μὴ ἔστι διὰ τὸ ἵστασθαι ἢ διὰ τὸ μὴ ὑπὸ γῆν δυέναι ἢ ἐν νυκτὶ κρύπτεσθαι· οὐσία γάρ τίς ἐστιν ὁ ἥλιος, τὸ δὲ κρύπτεσθαι συμβεβηκός· πῶς οὖν τοῦ συμβεβηκότος ἀναιρουμένου ἀναιρεθήσεται οὐσία; ἄλλως τέ εἰσί τινες τόποι κατὰ τὸν βόρειον πόλον, καθ' οὓς ὁ ἥλιος οὐ κρύπτεται καὶ ὅμως ἔστιν. "ἔτι," φησίν, "ὅσα — ἐνδ.," τουτέστιν, ἔτι εἴπερ ἦσαν ἐκτὸς τοῦδε τοῦ κόσμου ἄλλοι κόσμοι, ὡς ὁ Δημόκριτος ἔφασκε, δῆλον ὅτι καὶ οἱ ἐν ἐκείνοις τοῖς κόσμοις ἥλιοι περὶ γῆν ἂν διήρχοντο ἢ τῇ νυκτὶ ἐκρύπτοντο, ὥστε ὁ λόγος ὁ τοῦδε τοῦ ἡλίου κοινὸς ἂν ἦν καὶ ἥρμοζε κἀκείνοις. ἀλλ' ὑπέκειτο εἷς εἶναι ὁ ἥλιος, ὥσπερ Κλέων καὶ Καλλίας... οὕτως δὴ δείξας ὅτι τῶν καθ' ἕκαστα ὁρισμοὺς οὐκ ἔστιν ἀποδιδόναι, μαρτύρεται καὶ τοὺς τὰς ἰδέας τιθεμένους, λέγων διὰ τί οὐδεὶς αὐτῶν ὅρον λέγει τινὸς ἰδέας, ἀλλὰ πάσας ἀορίστους καταλιμπάνουσι καί φασι μὴ εἶναι ὁρισμὸν τῶν ἰδεῶν; id.

1040 a 32. πῶς δὲ δυνατόν ἐστι τοῦ κυρίως ὁρισμοῦ ἀναιρουμένου μένειν τὸ ὁριστόν, οἷον τοῦ ζῴου λογικοῦ θνητοῦ μένειν τὸν ἄνθρωπον; ἄλλως τε δή, ὥσπερ ὁ ὁρισμὸς ὁ φερόμενος κατὰ τοῦ Σωκράτους, ὅτι ζῷον λογικὸν θνητόν, οὐ κατὰ μόνου Σωκράτους φέρεται ἀλλὰ καὶ κατὰ τῶν ἄλλων ἀνθρώπων, καὶ οὐκέτι μόνου τοῦ ἀτόμου· οὕτω δὲ καὶ εἰ πολλοὶ ὑπάρχουσιν ἥλιοι, οὗτος ἂν ὁ ὁρισμὸς κατὰ πάντων τῶν ἡλίων ἐφέρετο. ὥστε τοῦ ἀτόμου οὐχ ὑπάρχει κυρίως ὁρισμός. ἀμέλει τοι διὰ ταύτην τὴν αἰτίαν φησὶν οὐ πειροῦνται ἀποδιδόναι τῆς ἰδέας ὁρισμόν, ἐπειδὴ ἄτομός ἐστιν ἡ ἰδέα. εἰ οὖν ὑποθώμεθα ὁρισμὸν αὐτῆς εἶναι, δῆλον ὅτι οὗτος ὁρισμὸς ἐφαρμόσει καὶ τῷ αἰσθητῷ πράγματι, οὗ ἐστὶν ἰδέα. ὥστε οὐκ ἔσται ἔτι ἀτόμων ὁρισμός. Asclep.

1040 b 5. ἐπειδὴ γὰρ οὐσίας ἐκεῖνά φαμεν ὅσα καθ' αὑτὰ ὄντα δύναται τὸ οἰκεῖον ἔργον ἀποτελεῖν (οὐσία γὰρ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ἀφ' οὗ τὸ ἑκάστου ἔργον ἐκπληροῦται· οὐσία γὰρ καὶ εἶδος Σωκράτους ἡ τοῦ Σωκράτους ψυχή, ἀφ' ἧς αὐτὸ τὸ τοῦ ἀνθρώπου ᾗ ἄνθρωπος ἔργον ἐκπληροῦν), λέγει ὅτι καὶ τὰ μέρη τῶν ζῴων, χεῖρες καὶ πόδες, ἅπερ μάλιστα δοκοῦσιν εἶναι οὐσίαι, φανερόν ἐστιν ἐκ τούτων ὡς οὐκ εἰσὶν οὐσίαι ἀλλὰ δυνάμεις· οὐσίας γάρ ἐστι τὸ καθ' αὑτὴν οὖσαν τὸ καθό ἐστιν αὐτῆς ἔργον ἐκπληροῦν, ἡ δὲ χεὶρ τοῦ ὅλου χωρισθεῖσα τὸ ἔργον αὐτῆς ᾗ χεὶρ οὐκ ἐκπληροῖ, καίτοι καθ' αὑτὴν οὖσα· οὐ γὰρ ἐν τῷ τοιονδὶ σχῆμα ἔχειν χείρ ἐστιν, ἀλλ' ἐν τῷ ἐκπληροῦν τὸ ἑπόμενον τῷ τοιονδὶ σχῆμα ἔχοντι ἔργον, ἐπεὶ εἴγε κατὰ τὸ τοιονδὶ σχῆμα ἕκαστον οὐσιοῦτο, ἣν ἂν καὶ ἡ τοῦ ἀνδριάντος χείρ, οὐκ ἔστι δέ, καὶ ὁ ἀνδριὰς ἄνθρωπος. ἀλλ' εἰ μετὰ τοῦ ὅλου ὄντα τὰ μέρη τῶν ζῴων οὐκ εἰσὶν ἐνεργείᾳ οὐσίαι ἀλλὰ δυνάμει (ἐκεῖνα γὰρ ἐλέγετο εἶναι ἐνεργείᾳ οὐσίαι, ἅπερ εἰσὶν αὐτὰ καθ' αὑτὰ καὶ ἐκπληροῦσι τὸ οἰκεῖον ἔργον), ἆρά γε χωρισθέντα καὶ καθ' αὑτὰ ὄντα λέγονται οὐσίαι; ἢ ὡς πολλάκις εἴρηται, οὐκ ἐν τῷ τοιονδὶ σχῆμα ἔχειν ἡ χεὶρ καὶ ὁ ποὺς οὐσιοῦται, ἀλλ' ἐν τῇ ἀπὸ τῆς ψυχῆς αὐτοῖς ᾗ τοιαῦτά ἐστιν ἐνδιδομένῃ δυνάμει, ὥστε τὸ οἰκεῖον ἔργον ἐκπληροῦν; εἰ μὲν οὖν τοῦ ὅλου χωρισθέντα ἠδύναντο τὴν ἀπὸ τῆς ψυχῆς ἐνδιδομένην αὐτοῖς δύναμιν δέχεσθαι καὶ διὰ ταύτης ἐκπληροῦν τὸ οἰκεῖον ἔργον, ἐλέγοντο ἂν οὐσίαι· ἐπεὶ δὲ τοῦτο ἀδύνατόν ἐστι γενέσθαι, ὄντα μὲν μετὰ τοῦ ὅλου λέγονται δυνάμει οὐσίαι, ὅταν δὲ χωρισθῶσιν, οὐ λέγονται οὐσίαι σύνθετοι, καίτοι σύνθετοι οὖσαι. Alex.

ἀλλ' ὡς τὸ πῦρ πρὸς αὐτὰ τὰ μόρια (ὕλη γὰρ αὐτῶν τὸ πῦρ), 1040 b 7.
οὕτω ταῦτα πρὸς τὸν Σωκράτην... ὅταν οὖν, φησί, τὰ μόρια χωρισθῇ τοῦ ὅλου καὶ ὦσι καθ' αὑτά, ὡς ὕλη πάντως εἰσί, καὶ ὡς γῆ καὶ πῦρ καὶ ἀήρ. καὶ τὴν αἰτίαν τοῦ ὅπως καὶ μετὰ τὸ χωρισθῆναι οὐκ εἰσὶν οὐσίαι, προσέθηκεν εἰπὼν "οὐδὲν γὰρ αὐτῶν ἐστὶν ἕν," ἴσον λέγων τῷ ὅτι ἡ οὐσία σὺν τῷ τὸ οἰκεῖον ἔργον ἐκπληροῦν καὶ ἓν εἶναι ὀφείλει ἐνεργείᾳ· τὰ δὲ μόρια ἐπειδὰν χωρισθέντα σωρηδὸν κέηται, οὐκ εἰσὶν ἐνεργείᾳ ἓν ἀλλὰ δυνάμει. ὥσπερ γὰρ ὁ σωρὸς τῶν χρυσίνων ἢ τῶν καττιτερίνων ψηγμάτων δυνάμει ἐστὶν ἕν, ὅταν δὲ τὸ πῦρ τήξῃ πάντα καὶ ὡς εἰπεῖν πέψῃ καὶ ἓν γένηται, τότε εἰσὶν ἐνεργείᾳ ἕν, οὕτω καὶ τὰ μόρια σωρηδὸν καὶ τὰ παρὰ θέσιν κείμενα δυνάμει εἰσὶν ἕν, ἀλλ' οὐκ ἐνεργείᾳ. τινὰ τῶν ἀντιγράφων ἔχει "ὁ ὀρρός·" καὶ εἴη ἂν λέγων ὅτι ὥσπερ ὁ ὀρρὸς πρὶν ἢ πεφθῇ, τουτέστι πρὶν ἢ παγῇ καὶ ὅλως τυρωθῇ, οὐ λέγεται ἓν ἐνεργείᾳ ἀλλὰ δυνάμει. id.

ἀλλ' οἷον σωρὸς πρὶν ἢ πεφθῇ κτλ. Asclep.

μάλιστα δέ, φησίν, ὑπολάβοι ἄν τις τὰ τῶν ἐμψύχων μόρια, 1040 b 10.
καὶ τούτων οὐ πάντων ἀλλά τινων, ὁμοίως δὲ καὶ τῆς ψυχῆς, πάρεγγυς τοῦ καὶ ἐνεργείᾳ μετὰ τοῦ ὅλου ὄντα οὐσίας αὐτὰ λέγειν καὶ δυνάμει· ἐπειδὴ γὰρ καὶ μετὰ τὸ χωρισθῆναι καὶ καθ' αὑτὰ εἶναι δύναται καὶ κινεῖσθαι καὶ αἰσθάνεσθαι, δόξειεν ἂν εἶναι καὶ ἐνεργείᾳ καὶ δυνάμει. δυνάμει μὲν γὰρ ὅτε μετὰ τοῦ ὅλου εἰσίν, ἐνεργείᾳ δὲ ὅτι ἐπειδὴ χωρισθέντα κινεῖται, δοκεῖ ὡς καὶ μετὰ τοῦ ὅλου ὅταν ᾖ, καθ' αὑτά ἐστι καὶ οὐ συνέχει τῷ ὅλῳ. ὅτι δὲ πολλὰ μόρια τῶν ζῴων χωρισθέντα κινεῖται, δῆλον· οἱ γὰρ ὄφεις δίχα τεμνόμενοι κινοῦνται, ἀλλὰ καὶ πόδες ἀκρίδων καὶ φαλαγγίων, ἃ καὶ σφηδαχῆ λέγει, καὶ ἄλλων πολλῶν χωρισθέντων, ἐπειδὰν χωρισθέντα ἠρεμῇ, εἴ τις αὐτῶν ἅψοιτο, αἰσθάνεται καὶ κινεῖται. εἰπὼν οὖν σύνεγγυς τοῦ δυνάμει καὶ ἐντελεχείᾳ εἰσί, λέγει ὅτι ὅμως κἂν χωρισθέντα κινεῖται καὶ αἰσθάνεται· ἀλλ' οὖν ὅταν μετὰ τοῦ

1040 a 8. ἐπὶ τῶν ἰδεῶν, ὡς εἴπομεν, γυμνάζει τὸν λόγον, δεικνὺς ὅτι τῶν ἰδεῶν οὐκ εἰσὶν ὁρισμοὶ διὰ τὸ τῶν καθ᾽ ἕκαστα εἶναι αὐτάς. εἰ δὲ τούτων μή εἰσι, σχολῇ γ᾽ ἂν τῶν αἰσθητῶν εἶεν. ἅμα δείκνυσιν ὅτι εἴδη αὐτὰ καθ᾽ αὑτὰ καὶ χωριστὰ οὐκ εἰσίν· λέγεται γὰρ ὅτι εἴπερ ἐστὶν ὁ ὁρισμὸς αὐτοανθρώπου (ἔστω γὰρ ἐπὶ τούτου ὁ λόγος), ἀναγκαῖόν ἐστιν ὀνόμασι χρῆσθαι· ἢ οὖν συνήθεσι καὶ γνωρίμοις ὀνόμασι χρήσεται, λέγω δὲ Ἑλληνικοῖς, ἢ ὀνόματα ἕτερα θήσεται καὶ ἄγνωστα. id.

1040 a 12. οἷον, ὡς φησὶν αὐτός, εἴ τις ὁρίσαιτο ζῷον ἰσχνὸν λευκόν, ταῦτα δὲ καὶ ἄλλοις ὑπάρξουσιν. Asclep.

οἷον εἴ τις ὁριζόμενος τὸν Ἀλέξανδρον λέγει Ἀλέξανδρός ἐστι ζῷον ἰσχνὸν λευκόν... ἔσται δὲ τὸ λεγόμενον ἐκδηλότερον ἐπὶ τοῦ Ἀλεξάνδρου· ἐπειδὴ γὰρ ὁ Ἀλέξανδρός ἐστιν ἰσχνὸς φιλόσοφος λευκὸς Ἀφροδισιεύς, τὸ ἰσχνὸν καὶ φιλόσοφον καὶ λευκὸν ἕτερα ὄντα τοῦ Ἀφροδισιέως, ἅπαντα γάρ εἰσιν ὁ Ἀλέξανδρος, οὐ μὴν τὰ τρία μόνα ὑπάρξουσι τῷ Ἀφροδισιεῖ Ἀλεξάνδρῳ. Alex.

1040 a 14. πάλιν ἐπειδὴ ὁ Ἀφροδισιεὺς καὶ τὸ ἰσχνὸν καὶ τὸ φιλόσοφον ἕτερά εἰσι τοῦ λευκοῦ Ἀλεξάνδρου, ὑπάρξουσι τῷ λευκῷ Ἀλεξάνδρῳ. πάλιν ἐπειδὴ τὸ φιλόσοφον καὶ ὁ λευκὸς καὶ ὁ Ἀφροδισιεὺς ἕτερά εἰσι τοῦ ἰσχνοῦ Ἀλεξάνδρου, ὑπάρξουσι τῷ ἰσχνῷ Ἀλεξάνδρῳ· ὥστε ὁ ὁρισμὸς ὁ λέγων ὅτι Ἀλέξανδρός ἐστιν ἰσχνὸς φιλόσοφος λευκὸς Ἀφροδισιεύς, οὐχ ἑνός ἐστιν, ἀλλὰ τοῦ ἰσχνοῦ Ἀλεξάνδρου καὶ τοῦ λευκοῦ Ἀλεξάνδρου καὶ τοῦ φιλοσόφου Ἀλεξάνδρου καὶ τοῦ Ἀφροδισιέως Ἀλεξάνδρου, οἵπερ εἰσὶν ἕτεροι· ὁ γὰρ ἰσχνὸς Ἀλέξανδρος, ᾗ ἰσχνός, ἕτερός ἐστι τοῦ λευκοῦ Ἀλεξάνδρου· οὐκ ἄρα ἐστὶ τῶν καθ᾽ ἕκαστα ὁρισμός. αὕτη δὲ ἡ ἐπιχείρησις ἔνδοξός ἐστι καὶ οὐ πραγματώδης, ὡς αἱ λοιπαί· ἐκεῖναι γὰρ ἀναγκαῖαι καὶ ἀληθεῖς. εἰπὼν δ᾽ ὅτι τὸ ζῷον δίπουν ὑπάρξει καὶ ἀμφοῖν, τῷ τε ζῴῳ καὶ τῷ δίποδι, ἐπήγαγε καὶ τοῦτο, "ἐπὶ μ. τ. ἀϊδ. κ. ἀν. εἶν. — συνθ.," τουτέστιν ἀναγκαῖόν ἐστιν ὑπάρχειν τὸ ζῷον δίπουν ἔν τε τῷ δίποδι χωρὶς καὶ ἐν τῷ ζῴῳ πάλιν ἰδίως· ἐπειδὴ γὰρ καθ᾽ αὑτά εἰσι τό τε αὐτοζῷον καὶ τὸ αὐτοδίπουν, εἶτα συνελθόντα γεγόνασι μέρη τοῦ συνθέτου, οἷον τοῦ ἀνθρώπου, ἀνάγκη καὶ τὸ ζῷον δίπουν κατηγορεῖν τοῦ δίποδος τοῦ καθ᾽ αὑτὸ ὄντος καὶ πάλιν τὸ ζῷον· καὶ αὐτὸ γὰρ καθ᾽ αὑτό ἐστιν. δύναται τὸ καὶ "τοῦτο — ἀϊδ. ἀν. γε εἶν. — συνθέτου" συντάττεσθαι τῷ "ἀνάγκη ἄρα ὑπάρχειν καὶ ἄλλῳ ταῦτα," τουτέστιν ἀνάγκη τὸ ζῷον καὶ τὸ δίπουν ἀΐδια ὄντα καὶ κοινὰ καὶ ἄλλοις ὑπάρχειν. οὐ μόνον δὲ τὸ ζῷον καὶ τὸ δίπουν πρότερά ἐστι τοῦ αὐτοανθρώπου, ἀλλὰ καὶ χωριστὰ αὐτὰ καθ᾽ αὑτά, εἴπερ καὶ ὁ αὐτοάνθρωπος· ἢ γὰρ οὐδὲν ἔσται χωριστόν, ἢ εἴπερ ἔστιν ὁ αὐτοάνθρωπος, ἀνάγκη εἶναι καὶ τὸ ζῷον χωριστὸν καὶ καθ᾽ αὑτό. εἰπὼν δὲ "ἢ γὰρ οὐδὲν ἢ ἄμφω," πάλιν ἐπανέλαβε τὸν λόγον, καί φησιν· εἰ μὲν οὖν μηδέν ἐστι χωριστόν, οὐκ ἔσται τὸ ζῷον παρὰ τὰ εἴδη, ἀλλ᾽ ἐν αὐτοῖς· εἰ δέ ἐστι καὶ τὸ εἶδος καὶ τὸ γένος χωριστόν, δῆλον ὡς καὶ ἡ διαφορά, καὶ ἔσονται πρότερα τοῦ αὐτοανθρώπου καὶ συναναιρήσουσιν. ἀλλ᾽ οὐκ ἂν συναναιρεθῶσι τῷ αὐτοανθρώπῳ· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "ταῦτα δ᾽ οὐκ ἀνταναιρεῖται." ἔσονται ἄρα πρότερα τῶν ἰδεῶν ἰδέαι. εἰπὼν δὲ ἀνωτέρω ὅτι εἰ δέ τις λέγοι ὅτι χωρὶς μὲν πολλοῖς ὑπάρξει, ἅμα δὲ μόνῳ τούτῳ, καὶ εἰπὼν "λεκτέον πρῶτον μὲν ὅτι καὶ ἀμφοῖν," οὐκ ἐποιήσατο τὴν ἀπόδοσιν τοῦ μὲν συνδέσμου, εἰπὼν ὅτι ἔπειτα δέ, ἀλλ᾽ εἶπεν ὅτι ἐξ ἰδεῶν ἰδέαι· συνθετώτεραι γάρ. ὡς εἶναι τὸ "ἔτι" ἀντὶ τοῦ ἔπειτα· εἰ γὰρ ἔστιν ἰδέα ὁ ἄνθρωπος, πολλῷ μᾶλλον ἔσται τὸ ζῷον καὶ τὸ δίπουν, ὅσῳ καὶ ἀσυνθετώτερα ἔτι τὸ ζῷον καὶ τὸ δίπουν· ἢ ὅτι ἂν ἄλλο εἴη, ὅπερ ληφθήσεται εἰς τὸν τῆς ἰδέας ὁρισμόν, δεήσει ἐπὶ πολλῶν κατηγορεῖσθαι· εἰ γὰρ μή, πῶς γνωρισθήσεται; εἰ γὰρ αἱ ἰδέαι ἐκ τῶν τῇδε εἰσὶ γνώριμοι, εἰ μὴ κατηγοροῦνται, ἅπερ, ὡς εἴρηται, παραληφθήσεται εἰς τὸν τῆς ἰδέας ὁρισμὸν ἐπὶ πολλῶν, πῶς γνωρισθήσεται; εἰ δὲ λέγονται ἐπὶ πολλῶν, δῆλον ὡς οὐκ εἰσὶν ἑνὸς ἀλλὰ πολλῶν. οὐκ ἄρα εἰσὶ τῶν καθ᾽ ἕκαστα ὁρισμοί. ἀλλ᾽ οὐ κατηγορηθήσονται ἐπὶ πολλῶν, φαίη ἄν τις, τὰ εἰς τὸν τῆς ἰδέας λόγον παραληφθησόμενα. ἀλλ᾽ εἰ μὴ κατηγοροῦνται, ἐπειδὴ δέδεικται ὅτι ἐξ ὧν αἱ ἰδέαι κἀκεῖνα ἰδέαι εἰσίν, ἔσονται ἰδέαι ἅπερ οὐ κατηγορηθήσονται ἐπὶ πλειόνων· οὐ δοκεῖ δὲ τοῖς ταύτας τιθεμένοις, ἀλλὰ πᾶσαν ἰδέαν μεθεκτήν φασι καὶ ἐπὶ πλειόνων. ὥσπερ οὖν εἴρηται, "λανθάνει ὅτι ἀδύνατόν ἐστιν ὁρίσασθαι ἐν τοῖς ἀϊδίοις." id.

ὥστε τὸ ζῷον ἅμα καὶ δίπουν ἔσται καὶ ζῷον ἔσται, καὶ 1040 a 16. οὕτως ὑπάρχει τοῦ ζῴου· ὅπερ ἐστὶν ἄτοπον. καὶ τοῦτο δι᾽ ὧν ἀνάγκη εἶναι πρότερά γε ὄντα τὰ ἀΐδια καὶ μέρη τοῦ συνθέτου τὸ ὑπάρχον τὸν ὁρισμὸν τοῦ συνθέτου τοῖς ἁπλοῖς αὐτοῦ μέρεσι. ἀλλὰ μὴν καὶ χωριστὰ ὑπάρχουσιν, εἴπερ τὴν αὐτὴν ἀχώριστον εἶναι βούλονται, τουτέστιν οὔτε ζῷον οὔτε δίπουν, εἰ ἀμφότερα αὐτῷ ὑπάρχουσι τῷ ἀνθρώπῳ τὸ ζῷον δίπουν. εἰ μὲν οὖν μηδέν, οὐκ ἔσται τὸ γένος ἕτερόν τι παρὰ τὰ εἴδη. εἰ δὲ καὶ ἔστιν, ὥσπερ καὶ ἔστι, τὸ γένος ἕτερον παρὰ τὸ εἶδος, ἔσται καὶ ἡ διαφορά. εἶτα ὅτι καὶ πρότερα ταῦτα ὑπάρχουσι τῷ εἶναι· διὸ συναναιροῦσι καὶ οὐ συναναιροῦνται. συμβήσεται οὖν καὶ ἐξ ἰδεῶν ἰδέας γίνεσθαι· ἁπλούστερα γὰρ τὰ παραλαμβανόμενα εἰς ἄλλην σύνθεσιν, ὥστε ἐκ τῆς ἰδέας τοῦ αὐτοζῴου καὶ ἐκ τοῦ δίποδος γίνεται ὁ αὐτοάνθρωπος. ἀνάγκη οὖν κατηγορεῖσθαι τὸ ζῷον καὶ τὸ δίπουν τῶν ὑπ᾽ αὐτά, ἐξ ὧν ἔσται τις ἰδέα, ἣν ἀδύνατόν ἐστιν ἐπὶ πλειόνων κατηγορῆσαι ἢ ἑνός. ὅπερ οὐκ ἔστιν ἀληθές· πᾶσαν γὰρ ἰδέαν μεθεκτὴν εἶναι βούλονται, εἴγε ἐξ αὐτῶν τὰ τῇδε, ὥστε κατηγοροῦνται τῶν ἐνταῦθα. εἰ οὖν τοῦτο, καὶ οἱ ὁρισμοὶ αὐτῶν· ὥστε πάλιν οὐκ ἔσονται ἀτόμων ὁρισμοί. Asclep.

ἐὰν γὰρ καθ᾽ ὑπόθεσιν στήσω τὸν ἥλιον, οὔτε ὑπὸ γῆν ἀπέρχεται 1040 a 31. οὔτε νυκτικρυφὲς γίνεται, καὶ οὐδὲν ἧττον καὶ τότε ἐστὶν ἥλιος· οὐσίαν γάρ τινα δηλοῖ. (θεωρία)... οὐ μόνον γὰρ διαμαρτάνουσι τῷ ἐπάγειν τοιούτους ὁρισμοὺς ὧν ἀφαιρουμένων ἔτι ἔσται ἥλιος, τὸ ὑπὸ γῆν ἰὸν ἤγουν ἄστρον νυκτικρυφές. ἐὰν οὖν καθ᾽ ὑπόθεσιν στῇ ὁ ἥλιος ἤγουν ἀεὶ φαίνῃ, οὐκέτι κατ᾽ αὐτοὺς ἔσται ἥλιος. "ἀλλ᾽ ἄτοπον εἰ μή," τουτέστιν, εἰ μὴ ὑποθώμεθα αὐτὸν εἶναι καὶ στάντα ἤγουν ἀεὶ φαίνοντα, ὥσπερ ἐπὶ τινος οἰκήσεως· ὁ γὰρ ἥλιος οὐσίαν τινὰ σημαίνει· τῶν οὖν συμβεβηκότων αὐτοῦ ἀναιρεθέντων οὐδὲν ἧττον μένει, ἄλλως τε δὴ εἰ ἕτεροι ἐγένοντο ἥλιοι, ὥσπερ πολλοὶ ἄνθρωποι, δῆλον ὅτι εἷς ἔσται αὐτῶν λόγος κοινός. ἀλλ᾽ ἦν τῶν καθ᾽ ἕκαστα ὁ ἥλιος, ὥσπερ Κλέων ἢ Σωκράτης· ὥσπερ οὖν οὐ δυνατὸν τούτους κυρίως ὁρίσασθαι, ἐπειδὴ οἱ ὁρισμοὶ τῶν καθόλου ὑπάρχουσιν,

1039 b 7. εἰ μὲν οὖν ἓν καὶ ταὐτόν τις ἐρεῖ τῷ ἀριθμῷ τὸ ἐν τῷ χωριστῷ ἀνθρώπῳ καὶ ἵππῳ καὶ τοῖς λοιποῖς ζῷον, ταῦτα συμβαίνει καὶ πλείω τούτων· εἰ δὲ ἕτερον τὸ ἐν ἑκάστῳ, δῆλον ὡς οὐχὶ τῷ ἀριθμῷ ἕτερα ταῦτα ἐροῦσι, τῷ εἴδει δὲ τὰ αὐτά (ἔσται γὰρ πάλιν τῶν ἰδεῶν ἰδέα), ἀλλὰ καὶ τῷ ἀριθμῷ καὶ τῷ εἴδει ἕτερα. καὶ πρῶτον μέν, ὧν ἡ οὐσία ζῷον, ἄπειρα ἔσονται καὶ ἕτερα, ὥσπερ ὁ μύρμηξ τοῦ ἵππου καὶ οὗτος λέοντος καὶ οὗτος βοὸς καὶ οὗτος ἄλλου· καὶ πῶς εἰόντε τοῦτο; ἔπειτα εἰπάτωσαν τίς ἡ φύσις τοῦ ἐν τῷ ἀνθρώπῳ ζῴου καὶ τοῦ ἐν ἵππῳ, ἐπειδὴ καὶ τῷ ἀριθμῷ καὶ τῷ εἴδει εἰσὶν ἕτερα. εἰπὼν δὲ ὅτι "οὐκοῦν ἄπειρα ὡς εἰπεῖν ἔσται ὧν ἡ οὐσία ζῷον," πῶς τὸ ζῷον οὐσίαν εἴρηκεν ἐπήγαγεν· "οὐ γὰρ κατὰ συμβεβηκὸς ἐκ ζῴου ὁ ἄνθρωπος," ἀλλὰ δῆλον ὡς ἐξ οὐσίας, ὥστε ἐστὶ τὸ ζῷον οὐσία. ἐπειδὴ δὲ οἱ τὰς ἰδέας τιθέμενοι καὶ αὐτουσίαν ἔλεγον αὐτὴν καθ' αὑτήν, ἔστι δὲ καὶ τὸ αὐτοζῷον οὐσία, πολλὰ ἔσται τὸ ζῷον· οὐσία τε γὰρ τὸ ἐν ἑκάστῳ ζῷόν ἐστιν· οὐ γὰρ ὥσπερ λευκὸν εἰπόντες ἄλλο τι λέγομεν, ξύλον φέρε ἢ ἄνθρωπον, οὕτω καὶ τὸ ζῷον οὐσίαν λέγοντες ἄλλο τί φαμεν καὶ κατ' ἐκεῖνο τὸ ἄλλο τοῦτο οὐσίαν λέγομεν, ἀλλὰ καθ' αὑτό ἐστιν οὐσία, ὥστε ἐστὶ τὸ ζῷον πολλὰ ἔκ τε οὐσίας αὐτῆς καθ' αὑτὴν οὔσης καὶ ἐκ ζῴου. εἰ δέ τις λέγει ὅτι οὐ καθ' αὑτό ἐστι τὸ ζῷον οὐσία, ἀλλὰ κατ' ἄλλο ἐξ ἐκείνου, καθὸ τὸ ζῷον οὐσία λέγεται, ἔσται ὁ ἄνθρωπος, καὶ ἐκεῖνο ἔσται γένος τοῦ ἀνθρώπου, ἀλλ' οὐ τὸ ζῷον. ἔτι ἐπειδὴ ὁ ἄνθρωπος χωριστὸς καὶ καθ' αὑτόν ἐστι, καὶ τὸ δίπουν δηλονότι καὶ τὸ πεζὸν καθ' αὑτά εἰσι καὶ ἰδέαι. οὐκοῦν οὐκ ἄλλου μέν εἰσιν ἰδέαι τό τε ζῷον καὶ τὸ πεζόν, ἄλλου δὲ οὐσίαι, ἀλλ' ἑαυτοῖς εἰσὶ καὶ ἰδέαι καὶ οὐσίαι, ὥσπερ ἐγὼ οὐκ ἄλλου μέν εἰμι ἄτομος, ἀλλ' οὐδὲ ἄνθρωπος· ἀδύνατον γὰρ τὸ ἄλλου εἶναι ἐμὲ ἄνθρωπον, ἀλλὰ μὴ ἐμαυτοῦ. οὕτω καὶ τὸ ζῷον αὐτὸ ἑαυτῷ ἐστὶ καὶ οὐσία καὶ ἰδέα, εἰ καὶ ἐν τῷ αὐτοανθρώπῳ ἐστίν, ὥσπερ καὶ ἐγὼ αὐτὸς ἑαυτῷ ἄνθρωπός εἰμι καὶ ἄτομον, εἰ καὶ ἐν τόπῳ τυγχάνω. ὥστε εἰ αὐτὸ ἑαυτῷ τὸ ζῷον καὶ οὐσία ἐστὶ καὶ ἰδέα, δῆλον ὅτι ἕκαστον τῶν ἐν τοῖς ζῴοις ἤτοι ἐν τῷ αὐτοανθρώπῳ καὶ τοῖς λοιποῖς αὐτοζῷόν ἐστι καὶ ἰδέα. τὰ δὲ εἴδη ἑτέρων εἰσὶ φύσεων, ὥσπερ καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος· καὶ τὰ αὐτοζῷα ἄρα τὰ ἐν τοῖς εἴδεσιν ἑτέρων εἰσὶ φύσεων· ὅπερ ἄτοπον. ἔτι εἰ τῶν πολλῶν καὶ διαφερόντων τῷ ἀριθμῷ ἐστὶν ἰδέα, τῷ δ' ἀριθμῷ διαφέρει, ὡς δέδεικται, τὸ ἐν τῷ αὐτοΐππῳ ζῷον καὶ αὐτοανθρώπῳ καὶ τοῖς λοιποῖς· πᾶσα γὰρ ἰδέα μία τῷ ἀριθμῷ ἔσται καὶ ἐκείνων ἰδέα· ὥστε ὥσπερ ἐστὶν ἄλλος ἄνθρωπος καθ' αὑτὸν παρὰ τοὺς καθ' ἕκαστα καὶ αἰσθητούς, οὕτως ἔσται καὶ τῶν αὐτοζῴων καὶ τῶν ἰδεῶν ἄλλη τις ἰδέα καὶ ἄλλο αὐτοζῷον. καὶ πῶς ἐκ τοῦ τοιούτου αὐτοζῴου ἔσται τὸ ἐν τῷ αὐτοανθρώπῳ αὐτοζῷον; ἔτι εἴπερ τῶν αἰσθητῶν εἰσὶν αἱ ἰδέαι ταῦτα ἅπερ εἴρηται, συμβαίνει καὶ τούτων ἀτοπώτερα. ἐπειδὴ γὰρ ἀνάγκη ἐστὶν ἐξ ὧν λέγουσιν εἶναι καὶ αὐτοζῷον καὶ αὐτὸ καθ' αὑτό, ὥσπερ ὁ αὐτοάνθρωπος ἕτερός ἐστι παρὰ τοὺς καθ' ἕκαστα, οὕτω καὶ τὸ αὐτοζῷον ἕτερον ὀφείλει εἶναι παρὰ τὰ ζῷα τά τινα, ἃ οὔτε ἄνθρωποί εἰσιν οὔτε ἵπποι οὔτε ἄλλο οὐδέν, ἀλλὰ τοῦτο αὐτόζῳα· εἰ δὲ μή εἰσί τινα ζῷα ἅπερ τοῦτο αὐτό εἰσι, ζῷα, ὥσπερ οἱ ἄνθρωποι τοῦτο, αὐτοάνθρωποι (τίς γάρ πω ἐθεάσατο ζῷον ὃ μήτε ἄνθρωπός ἐστι μήτε μύρμηξ μήτε ἄλλο τι;), οὐδὲ αὐτόζῳόν ἐστιν· ἡ γὰρ ἰδέα τινῶν ἐστὶν ἰδέα. εἰ δὲ μή ἐστιν αὐτόζῳον, φανερὸν ὡς οὐδὲ αὐτοάνθρωπος οὐδ' ὅλως ἰδέα. εἰ δὲ λέγοι τις ὡς ἔστι μὲν αὐτόζῳον, ἀλλ' οὐκ ἔστιν ἰδέα ζῴων τοῦτο αὐτοζῴων ὄντων, ἀλλὰ τοῦ ἐν τοῖς ἀνθρώποις ζῴου καὶ ἵπποις καὶ βουσί, ψεῦδος ἐρεῖ· τοῦ γὰρ ἐν τοῖς ἀνθρώποις ζῴου καὶ ἁπλῶς τῶν ἀνθρώπων ὅλως ὡς ὅλων ὁ αὐτοάνθρωπός ἐστιν ἰδέα ὅλως ὡς ὅλος· ὡσαύτως καὶ ὁ αὐτοΐππος ὅλος ὡς ὅλως ἐστὶν ἰδέα τῶν κατὰ μέρος ἵππων ὅλων ὡς ὅλων· ὥστε εἴπερ ἔστιν αὐτόζῳον καὶ ἰδέα, ζῷον ἔσται, καί τινα φύσει ζῷα μηδὲν ἄλλο ὄντα ἢ τοῦτο, αὐτόζῳα. Alex.

εἰπὼν πρότερον ὅτι οἱ λόγοι τοῦ τί ἦν εἶναί εἰσι καὶ τῶν εἰδῶν, τῶν δὲ καθ' ἕκαστα ὁ ὁρισμὸς οὐκ ἔστι, καὶ ἐπαγγειλάμενος τοῦτο δεῖξαι, νῦν τὴν ὑπόσχεσιν ἐκπληροῖ. πρότερον δὲ ποιεῖται διαίρεσιν τῆς οὐσίας ποσαχῶς λέγεται, ἵνα δείξῃ ποίας οὐσίας οὐκ ἔστιν ὁρισμός. λέγει δὴ ὅτι ἐπειδὴ ἡ οὐσία ἑτέρα ἐστί, τό τε σύνολον καὶ ὁ λόγος· ὃ διασαφῶν ἐπιφέρει, λέγω δὴ ὅτι ἡ μὲν οὕτως ἐστὶν οὐσία ὁ λόγος συνειλημμένος τῇ ὕλῃ, ἡ δὲ λόγος ὅλως καὶ τί ἦν εἶναι. ὅσαι μὲν οὖν εἰσὶν οὐσίαι συνειλημμέναι τῇ ὕλῃ καὶ ὅλως σύνθετοι, τούτων ἐστὶ φθορὰ καὶ γένεσις. id. 1039 b 20.

εἶτά φησιν ὅτι ἐπεὶ διαφέρει ἡ σύνθετος οὐσία τῆς κατὰ τὸ εἶδος οὐσίας· ἡ γὰρ σύνθετος οὐσία σὺν τῇ ὕλῃ, ἡ δὲ κατὰ τὸ εἶδος αὐτὴ καθ' αὑτὴν ὑπάρχει. Asclep.

δέδεικται γὰρ ὅτι οὐδεὶς ταῦτα γεννᾷ οὐδὲ ποιεῖ τὸν τελευταῖον λόγον τῆς φύσεως. id. 1039 b 26.

τοῖς γὰρ ἐπιστήμοσιν ἄδηλα ὑπάρχουσι τὰ φθειρόμενα ἡνίκα ἐκ τῆς αἰσθήσεως ἀπέλθωσι φθαρέντα, καὶ σωζομένων τῶν λόγων αὐτῶν ἐν τῇ ψυχῇ, οἷον τοῦ Σωκράτους μετὰ θάνατον αὐτοῦ οὐκ ἔστιν ὁρισμός· πῶς γὰρ τὸ μὴ ὂν δυνατόν ἐστιν ὁρίσασθαι; ὡς διὰ πλειόνων ἐδείξαμεν, οὔτε δὲ ἰδέαν οὐδεμίαν δυνατόν ἐστιν ὁρίσασθαι· ἀτόμους γὰρ ὑποτίθενται τὰς ἰδέας καὶ χωριστάς, τὸν δὲ ὁρισμὸν πᾶσά ἐστιν ἀνάγκη ἐξ ὀνόματος εἶναι, ὡς εἴρηται ἐν τῷ περὶ Ἑρμηνείας (c. 4) τί ἐστι λόγος. λόγον δὲ οὐκ ἀποδώσει ὁ ὁριζόμενος πρᾶγμα ἄγνωστον, τὰ δὲ γνώριμα κοινά εἰσιν, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, ὡς κοινὰ καὶ ἄλλοις ὑπάρχοντα ταῦτα, οἷον ὡς φησιν αὐτός, εἴ τις ὁρίσαιτο ζῷον ἰσχνὸν λευκόν, ταῦτα δὲ καὶ ἄλλοις ὑπάρξουσιν. id. 1040 a 2.

ὧν ἐστὶν ἀπόδειξις καὶ ὁρισμός, τούτων ἡ ἀπόδειξις ἀπόλλυται εἴτε τοῦ ἔχοντος τὴν ἀπόδειξιν φθαρέντος, εἴτε τοῦ οὗ ἐστὶν ἀπόδειξις, εἴτε καὶ ἀμφοτέρων, καὶ τοῦ ἔχοντος τὴν ἀπόδειξιν καὶ τοῦ ἀποδεικτικοῦ, ὡς ἐν τῷ Α τῶν Ὑστέρων Ἀναλυτικῶν (c. 13) εἴρηται. ἐπὶ δὲ τῶν καθ' ἕκαστα συμβαίνει σωζομένου καὶ τοῦ ἀποδεικτικοῦ καὶ τοῦ ἔχοντος τὸν λόγον καὶ τὴν ἀπόδειξιν καὶ τοῦ λόγου τοῦ ἐν τῇ ψυχῇ καὶ μὴ λήθης γεγονυίας μὴ εἶναι μήτε ὁρισμὸν μήτε ἀπόδειξιν· ὅταν γὰρ ἐκ τῆς αἰσθήσεως ἀπέλθῃ οὗ τὸν λόγον ἔχομεν, σωζομένου ἐμοῦ καὶ τοῦ πράγματος οὗ τὸν λόγον ἔχω καὶ αὐτοῦ τοῦ λόγου καὶ λήθης μὴ μεσολαβούσης, ἀγνοῶ εἰ ὅλως ἐστίν. Alex.

διὸ δεῖ τῶν πρὸς ὅρον, τουτέστι τῶν πρὸς ὅρον τινὸς ἀτόμου πράγματος σκοπούντων καὶ ζητούντων ἀποδοῦναι αὐτοῦ τὸ τί ἐστι, μὴ ἀγνοεῖν ὅτι ἀεὶ ἀναιρεῖν ἔστιν ἤτοι ἀναιρεθήσεται αἰεὶ ὁ τοιοῦτος ὁρισμός· παντὸς γὰρ ἀναιρεῖν ἔστι τὸν ὁρισμὸν τοῦ καθ' ἕκαστα. id. 1040 a 5.

τουτέστιν ἰδέαν ζῴου καὶ λογικοῦ, καὶ εἶναι τούτων χωριστὰς οὐσίας· ὥστε καὶ τὸ ζῷον χωριστόν ἐστιν αὐτὸ καθ' αὑτὸ ὑπάρχον. εἰ μὲν οὖν τὸ αὐτό ἐστι ζῷον τὸ ἐν τῷ ἵππῳ καὶ τὸ ἐν τῷ Σωκράτει, ὥσπερ Σωκράτης ἐστὶν αὐτὸς ἐν αὑτῷ, πῶς δυνατὸν ἓν εἶναι τὸ ζῷον, κεχωρισμένων τούτων ἀπ' ἀλλήλων, φημὶ δὴ τοῦ Σωκράτους καὶ τοῦ ἵππου; ἢ διὰ τί οὐ χωρίζεται τὸ ζῷον τοῦτο καὶ διασπᾶται ἓν ὑπάρχον τῷ ἀριθμῷ, διαφόρων ὄντων ἐκείνων ἐν οἷς θεωρεῖται; Asclep.

1039 a 25. γρ. χωριστὰς εἶναι ἅμα. cod. Reg.

"οὐσίας τε καὶ χ." ἐκ τούτων, φησί, φανερόν ἐστι τὸ συμβαῖνον τοῖς τὰς ἰδέας λέγουσι χωριστάς τε οὐσίας εἶναι καὶ ἅμα ποιοῦσι τὸ εἶδος, λέγων εἶδος τὴν ἰδέαν, ἐκ τοῦ γένους καὶ τῶν διαφορῶν. Alex.

εἰ οὖν ὑπάρχει τὰ εἴδη, τουτέστιν ἡ ἰδέα τοῦ εἴδους καὶ τοῦ ζῴου ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ἵππῳ κτλ. Asclep.

1039 a 26. πρὸ τοῦ ἀπαντῆσαι πρὸς τὴν ἐρωτηθεῖσαν ἀντίφασιν λέγει ὅτι εἰ τῷ ἀριθμῷ τις μὴ λέγει ἕν, ἀλλ' οὖν τῷ μὲν λόγῳ δηλονότι ἕν ἐστι τὸ ἐν ταῖς ἰδέαις ζῷον· ὁ γὰρ ὁριζόμενος τὸν αὐτὸν ἐν πᾶσιν ἐρεῖ λόγον, ἀλλ' οὐκ ἄλλον μὲν τὸν τοῦ ἐν τῷ αὐτοίππῳ ζῴου ἀποδώσει, ἕτερον δὲ τοῦ ἐν τῷ αὐτοανθρώπῳ. τοῦτο δὴ εἰπὼν πάλιν ἀνατρέχει ἐπὶ τὸ πρότερον, λέγων, εἰ οὖν ἔστι τις ἄνθρωπος αὐτὸς καθ' αὑτὸν καὶ τόδε τι κεχωρισμένον, ὥσπερ ὁ Σωκράτης καὶ ὁ Καλλίας, ἀνάγκη καὶ τὸ ζῷον καὶ τὸ πεζὸν καὶ δίπουν, ἐξ ὧν ἐστὶν ὁ αὐτοάνθρωπος, εἶναι χωριστὰ καὶ οὐσίας αὐτὰς καθ' αὑτάς· τίς γὰρ ἡ ἀποκλήρωσις αὐτοάνθρωπον μὲν εἶναι, αὐτόζῳον δὲ καὶ αὐτοδίπουν μὴ εἶναι; Alex.

1039 a 33. εἰ δὲ τοῦτο, ἔσται οὐσία τις ἐξ οὐσιῶν ἐνεργείᾳ καὶ καθ' αὑτὰς οὐσῶν, ὅπερ δέδεικται ἀδύνατον. καὶ οὐ τοῦτο μόνον ἀλλ' ἔσται καὶ ἰδέα ἐξ ἰδεῶν, καὶ ἔσονται ἰδέαι τό τε αὐτοπεζὸν καὶ αὐτοζῷον καὶ αὐτοδίπουν πρότεραι τοῦ αὐτοανθρώπου, τουτέστιν ἔσονται ἄλλαι ἰδέαι ἄλλων πρότεραι· ὅπερ οὔ φασιν οἱ ταύτας τιθέμενοι. οὕτως οὖν τὸ ἀδύνατον τοῦτο αἰνιξάμενος ἐπανατρέχει εἰς τὴν τῆς ἀντιφράσεως ἐρώτησιν, καὶ λέγει· εἰ μὲν τὸ ἐν τῷ αὐτοίππῳ καὶ ἐν τῷ αὐτοανθρώπῳ ζῷον τὸ αὐτὸ καὶ ἕν ἐστι τῷ ἀριθμῷ, ὥσπερ αὐτὸς σαυτῷ εἷς εἶ τῷ ἀριθμῷ, πῶς τὸ ὂν ἐν τοῖς οὖσι χωρὶς ἀπ' ἀλλήλων ἓν ἔσται τῷ ἀριθμῷ; καὶ διὰ τί, εἰ τὰ χωρὶς ὄντα ἕν εἰσι τῷ ἀριθμῷ, οὐκ ἔσται αὐτὸ τὸ ζῷον καὶ χωρὶς αὑτοῦ; εἰ γὰρ ἕν εἰσι τῷ ἀριθμῷ τὰ ἐν ἄλλῳ καὶ ἄλλῳ ὄντα ζῷα, δηλονότι δυνήσεται τὸ ζῷον καὶ χωρὶς αὑτοῦ εἶναι. id.

1039 b 5. εἰ δ' οὐ μετέχει, τίς ὁ τρόπος καὶ πῶς ἐν αὐτῷ εὑρίσκεται ταῦτα, ὅταν λέγωμεν ζῷον δίπουν ἢ ζῷον πεζόν ἢ ζῷον ἄπουν; ἀλλ' ἴσως ἐρεῖ τις ὅτι ἐν τῷ αὐτοανθρώπῳ ὄντα σύγκειται καὶ μέμικται ὥσπερ σωρὸς τὸ ζῷον καὶ αἱ διαφοραί. ἀλλὰ πάντα ταῦτα ἄτοπα· ὁρῶμεν γὰρ ἐνταῦθα ὅτι τὰ ζῷα οὐ κατὰ σύνθεσιν καὶ ἁφήν εἰσιν, ἀλλὰ συνεχῆ καὶ ὡς εἰπεῖν κατὰ ἀνάκρασιν. id.

εἰ δὲ μὴ ὑπάρχουσιν ἐν τῷ ζῴῳ τὸ δίπουν καὶ τὸ πολύπουν, πῶς φαμὲν τὸ ζῷον δίπουν λέγοντες ζῷον δίπουν ἤγουν ζῷον πεζόν; εἰ δέ τις εἴποι ὅτι ταῦτα σύγκειται ἀλλήλοις ἤγουν μέμικται ἢ κατὰ παράθεσιν, ἄτοπα μὲν ἕψονται πολλά· τὰ γὰρ τοιαῦτα δύνανται καὶ χωρισθῆναι ἀπ' ἀλλήλων, καὶ οὐκέτι κυρίως ἔσται τὸ ζῷον δίπουν ἓν ἀλλὰ πολλά, ὥστε οὐδὲ ὁρισμὸς αὐτοῦ εἷς, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν. ἡμεῖς δέ, ὅτε ἐλέγετο τὸ γένος ὕλης τόπον ἐπέχειν, εἴδους δὲ τὴν τελευταίαν διαφοράν, οὐδὲν ἐλέγομεν ἄτοπον· τὸ γὰρ εἶδος τῇ ὕλῃ οὔτε κατὰ θέσιν ὑπάρχει οὔτε κατὰ παράθεσιν, ἀλλ' ἔστιν ἕν τι καὶ μία οὐσία. εἰ δὲ πάλιν εἴπωσιν ὅτι διάφορα τὰ ζῷα ὑπάρχουσιν ἐν ἑκάστῳ, καὶ ἄλλη ἰδέα τοῦ ἀνθρώπου ζῴου καὶ ἄλλη τοῦ ἵππου καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἔσονται οὕτως ἄπειροι ἰδέαι· διό φησιν "ὧν ἡ οὐσία ζῷον·" οὐ γὰρ κατὰ συμβεβηκὸς ἐκ ζῴου ἐστὶν ὁ ἄνθρωπος, ἐπειδὴ πᾶς ἄνθρωπος ζῷόν ἐστι, καὶ συμπληρωτικόν ἐστι τῆς ἀνθρώπου οὐσίας τὸ ζῷον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. εἶπε δὲ τὸ "οὐ κατὰ συμβεβηκός," ἐπειδὴ οὐ βούλονται τῶν κατὰ συμβεβηκὸς εἶναι ἰδέας. "ἔτι πολλὰ ἔσται αὐτὸ τὸ ζῷον." φησὶν ὅτι εἰ διάφορα ὑπάρχουσι τὰ ζῷα ἐν τοῖς   ἰδέα τοῦ ζῴου· τὸ γὰρ ἐν ἑκάστῳ
ἡ δὲ οὐσία ἑκάστου, ἡ ἰδέα   ὅτι τε πολλαὶ ἔσονται
ἰδέαι. "οὐ γὰρ κατ' ἄλλο λέγεται," τουτέστιν οὐκ ἐξ ἄλλου ἔχουσι τὸ εἶναι παρὰ τὴν ἰδέαν τοῦ ζῴου, τουτέστι τῆς οὐσίας αὐτοῦ· εἰ γὰρ μὴ τοῦτο ὑποθώμεθα εἶναι τὸ ζῷον τὴν οὐσίαν τοῦ ἀνθρώπου, ἐξ ἐκείνου ἔσται ὁ ἄνθρωπος, τουτέστιν ἡ ποιότης ὑπάρχει. ἔτι ἰδέαι ἅπαντα ὑπάρχουσιν, ἐξ ὧν ὁ ἄνθρωπος συνέστηκε, τὸ ζῷον, τὸ δίπουν. οὐκοῦν ταῦτα ἰδέα ὑπάρξει, ἀλλ' οὐδὲ οὐσία· ἡ γὰρ ἰδέα ἐστὶν ἡ συμπληροῦσα τὴν ἑκάστου οὐσίαν, ἐπειδὴ οὕτως ἡ ἄλλου οὐσία ἐν ἄλλῳ θεωρηθήσεται· ὅπερ ἐστὶν ἄτοπον. ὥστε αὕτη ἡ ἰδέα τοῦ ζῴου ἔσται ἑκάστου τῶν ζῴων. τὸ γοῦν ζῷον τὸ ἐν τῷ ἀνθρώπῳ καὶ τὸ ἐν τῷ ἵππῳ, εἴγε ἰδέα ἐστίν, ἐκ τίνος γέγονε καὶ πῶς ἐξ αὐτοῦ τοῦ ζῴου ζῷον γέγονεν, εἴγε ἀμφότερα ἰδέα ἐστίν; καὶ πῶς δυνατόν ἐστι τὸ ζῷον, ὅπερ οὐσία ἐστί, τοῦτο παρ' αὐτὸ τὸ ζῷον ὑπάρχειν, εἴγε ἀμφότερα οὐσία ἐστὶ καὶ ἐπ' ἄπειρον δὲ ὁ λόγος προέρχεται; ἀντειπὼν ὁ Ἀριστοτέλης πρὸς τὰ καθόλου ἐντεῦθεν ἀποτείνεται καὶ πρὸς τὰς ἰδέας ὡς καθόλου καὶ αὐτὰς οὐσίας· καθόλου δ' ὑπάρχουσιν ὡς ποιητικὰ καὶ παρακτικὰ τῶν τῇδε. ἀντιλέγει οὖν καὶ πρῶτον ἐπιχείρημα τοῦτον τὸν τρόπον, ὅτι ἡ ἰδέα ἢ μία ἐστὶ τῷ ἀριθμῷ ἢ πολλά... "ἔτι δὲ ἐπὶ τῶν αἰσθητῶν." ἔτι πρὸς τοὺς τὰς ἰδέας πρεσβεύοντας ἐνίσταται, καί φησιν ὅτι τὸ εἶδος αὐτὸ καθ' αὑτὸ οὔτε γίνεται οὔτε φθείρεται· οὐ γὰρ γίνεται τὸ εἶδος τῆς οἰκίας αὐτὸ καθ' αὑτὸ οὔτε φθείρεται, ἀλλὰ τὸ σύνθετόν ἐστι τὸ γινόμενον καὶ φθειρόμενον, τὸ ἔνυλον εἶδος· διὰ γοῦν ταύτην τὴν αἰτίαν τῶν καθ' ἕκαστα καὶ φθαρτῶν οὐχ ὑπάρχουσιν ὁρισμοί... Συριανὸς ὁ φιλόσοφος βοηθῶν τῷ Πλάτωνι ἀντιλέγει τοῖς ὑπ' Ἀριστοτέλους λεγομένοις δέκα ἐπιχειρήμασι, καί φησιν ὅτι εἰ μὲν τὰ καθόλου ἀναιρεῖ ὁ Ἀριστοτέλης, τὰ συγκεχυμένα καὶ ὑστερογενῆ τὰ ἐν τῇ φαντασίᾳ τῇ ἡμετέρᾳ τὸ εἶναι ἔχοντα κατορθοῖ, οἷον τὴν ἔννοιαν τὴν περὶ τοῦ ἁπλῶς ἀνθρώπου· ταῦτα γὰρ τῷ ὄντι οὐχ ὑπάρχουσιν οὐσίαι, ἀλλ' ἐν τῇ ἡμετέρᾳ σχέσει τὸ εἶναι ἔχουσιν. εἰ δέ, φησί, τὰ καθόλου ἀναιρεῖ τὰ ἐπὶ τοῖς πολλοῖς, οὐ πάνυ τι δεόντως λέγει· οὔτε γὰρ αὐτὰ ἀναιρεῖ ὁ Ἀριστοτέλης, ἀλλὰ καὶ τίθεται αὐτοῖς. φησὶν οὖν οὗτος. τὸ πρῶτον τῶν προβλημάτων ἔλεγεν οὕτως, ὅτι ἡ οὐσία ἑκάστου ἴδιός ἐστιν ἑκάστου καὶ χωριστὴ αὐτοῦ ἐστίν... εἶτα λοιπὸν τὸ δεύτερον πρόβλημα ἔλεγεν οὕτως· ἡ οὐσία καθ' ὑποκειμένου, τὸ καθόλου καθ' ὑποκειμένου, τὸ καθόλου ἄρα οὐκ οὐσία. ἐνταῦθα, φησίν, ὁ παραλογισμὸς ἐγένετο παρὰ τὴν ὁμωνυμίαν. Asclep.

οὐδ' ἄλλο τῶν ἐν τοῖς λογικοῖς οὐδέν. Asclep.

1039 a 2. ἑβδόμη ἐπιχείρησις ὅτι εἰ μὴ δηλοῖ ποιότητα τὸ καθόλου ἀλλὰ τόδε τι, τουτέστι μερικὴν οὐσίαν, ἔσονται τρεῖς ἄνθρωποι, οἱ δύο ἄτομοι καὶ ὁ ἄλλος ὁ ἐξῃρημένος καὶ συνδέων αὐτούς. id.

εἰ γάρ ἐστιν οὐσία τις ὁ ἄνθρωπος, ἔστι δὲ καὶ ὁ Σωκράτης οὐσία καὶ οἱ καθ' ἕκαστον, ἐπὶ τῶν πολλῶν δέ ἐστι τὸ κοινῶς κατ' αὐτῶν λεγόμενον, ἔσται ἄρα τρίτος τις πάλιν ἄνθρωπος, ὃς κατηγορηθήσεται τοῦ καθόλου ἀνθρώπου οὐσίας ὄντος καὶ τῶν λοιπῶν. ἔτι δέ, φησί, καὶ ὧδε δῆλον ὡς ἀδύνατόν ἐστιν οὐσίαν ἐξ οὐσιῶν εἶναι ἐνεργείᾳ ὑπαρχουσῶν καὶ τόδε τι. Alex.

1039 a 3. ὄγδοον ἐπιχείρημα. καί φησιν ὅτι ἀδύνατον οὐσίαν εἶναι ἐξ οὐσιῶν ὑπάρχουσαν, οὕτως κεχωρισμένην ἐνέργειαν· οὐδέποτε γὰρ λέγομεν, τὰ δύο ἐντελέχειαν δυνατόν ἐστι λέγειν ἓν ἀλλὰ δύο. Asclep.

1039 a 7. ὥστε εἰ ἡ οὐσία ἕν, ἡ οὖσα ἓν δηλονότι. cod. Reg.

1039 a 5. ἐπεὶ καὶ ἡ διπλασία γραμμὴ ἐκ δύο ἡμίσεων ἐστι δυνάμει. εἰ γὰρ γένοιτο τὰ ἡμίση ἐντελεχείᾳ, χωρίζει καὶ οὐκ ἐᾷ αὐτὴν εἶναι. ἅμα γὰρ ταῦτα ἡμίση ἐνεργείᾳ γενέσθαι ἡμίση, εὐθὺς διῄρηται τὸ διπλάσιον καὶ οὐκέτι μένει ἕν. Alex.

1039 a 9. ὡς γὰρ ὁ Δημόκριτος ἔλεγεν ὅτι ἀδύνατον ἐκ δύο ἀτόμων μίαν γενέσθαι (ἀπαθεῖς γὰρ αὐτὰς ὑπετίθετο) ἢ ἐκ μιᾶς δύο (ἀτμήτους γὰρ αὐτὰς ἔλεγεν), οὕτως καὶ ἡμεῖς φαμὲν ὡς ἀδύνατον ἐκ δύο ἐνεργείᾳ οὐσῶν οὐσιῶν μίαν γενέσθαι, ἀλλ' ἐκ δυνάμει μόνον. id.

καὶ κατὰ τοῦτο τὸν ἀριθμόν φησιν ὀρθῶς λέγειν Δημόκριτον· ἀδύνατον γάρ φησιν ἐκ δύο ἓν γενέσθαι ἢ ἐξ ἑνὸς δύο· τὰ γὰρ μεγέθη τὰ ἄτομα, τουτέστι τὰς ἀτόμους, οὐσίας ποιεῖ, καὶ οὐδέποτε, φησίν, ἡ μία ἄτομος δύο· διὰ τοῦτο γὰρ καὶ ἀτόμους αὐτάς φησιν. οὔτε γὰρ δύο μία γίνεται· ἐστὶ διειργόμενα ὑπὸ τοῦ κενοῦ. Asclep.

1039 a 11. ... ἐπειδὴ ἐνέπιπτεν ἡ τῶν ἀριθμῶν ἔνστασις, λύει καὶ ταύτην. εἴπεν γὰρ ἄν τις ὅτι ὥσπερ ὁ ἓξ ἀριθμὸς ἐκ τοῦ τρία καὶ τρία ἐστὶν ἢ ἐκ τοῦ δύο καὶ τέσσαρα ἐνεργείᾳ ὄντων ἀριθμῶν, τί κωλύει καὶ μίαν οὐσίαν ἐκ δύο οὐσιῶν εἶναι ἐνεργείᾳ οὐσῶν; λύει οὖν λέγων ὅτι καὶ ἡ δυὰς οὐκ ἔστιν ἐνεργείᾳ ἀριθμὸς ἐν τῷ ἓξ οὖσα οὐδαμῶς. ἀλλ' αὐτὸς οὐκ ἐπὶ τοῦ ἓξ ποιεῖται τὸν λόγον, ἀλλ' ἐπὶ τῆς δυάδος, λέγων, αἱ μονάδες ἐν τῇ δυάδι οὐκ εἰσὶν ἐνεργείᾳ μονάδες ἀλλὰ δυνάμει, ἕως δὴ ὑπόκειται ἡ δυάς, ἀριθμός τις εἷς· ἢ εἴπερ ἐστὶν ὅλως ἀριθμός, οὐκ εἰσὶν ἐν αὐτῷ αἱ μονάδες ἐναργῶς ἀλλὰ δυνάμει. Alex.

ἔνατον ἐπιχείρημα. καί φησιν ὅτι ὁμοίως καὶ ἐπὶ τοῦ ἀριθμοῦ ἕξει, εἴπερ ἐστὶν ὁ ἀριθμὸς σύνθεσις μονάδων, ὥσπερ λέγουσί τινες· οὕτως γὰρ ἔσται ὁ ἀριθμὸς εἷς διακεκριμένος ἐντελεχείᾳ ὁ πέντε ἐκ τοῦ δύο, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὅπερ ἐστὶν ἄτοπον· ἢ γὰρ οὐ δυνατὸν εἰπεῖν μίαν ἀδύνατον τὴν μονάδα εἶναι κεχωρισμένην κατ' ἐνέργειαν ἐν αὐτῇ. "ἔχει δὲ τὸ συμβαῖνον ἀπορίαν." ἐντεῦθεν τὸ δέκατον ἐπιχείρημα, καί φησιν ὅτι ἔχει ὁ λόγος ἀπορίαν· εἰ γὰρ μήτε ἐκ τῶν καθόλου οἷόν τε εἶναι μηδεμίαν οὐσίαν, ὡς εἰρήκαμεν, διὰ τὸ οὐσιώδη ποιότητα δηλοῦν καὶ μὴ οὐσίαν, μήτε δὲ ἐξ οὐσιῶν προϋπαρχουσῶν κατ' ἐνέργειαν δύναται εἶναι, ἀσύνθετος καὶ ἁπλῆ ὑπάρξει πᾶσα οὐσία· τῶν δὲ ἁπλῶν οὐκ ἔστιν ὁρισμός, ὥστε οὐκ ἔσται μόνης οὐσίας εἶναι τοὺς ὁρισμούς, ἢ καὶ ὡς ἀνωτέρω εἴρηται. νῦν δὲ οὐδέποτε ταύτης ἐδείχθη· οὐδενὸς ἄρα ἔσται ὁρισμός, ἢ τρόπον μέν τινα ἔσται ὁρισμός, τρόπον δέ τινα, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ. δῆλον δὲ μάλιστα γίνεται τὸ λεγόμενον ἐκ τῶν ἐφεξῆς λεχθησομένων. Συριανός. Asclep.

εἰ γὰρ μήτε, φησίν, ἐκ τῶν καθόλου οἷόν τε μηδεμίαν εἶναι οὐσίαν... μήτε πάλιν ἐξ οὐσιῶν ἐνεργείᾳ αὐτῶν καθ' αὑτὰς οὐσῶν, ὥσπερ ὁ μερικὸς ἄνθρωπος, δυνατόν ἐστιν οὐσίαν σύνθετον εἶναι (δέδεικται γὰρ καὶ τοῦτο), συμβαίνει μηδεμίαν οὐσίαν σύνθετον εἶναι. εἰ οὖν τὴν σύνθετον οὐσίαν ἀνάγκη ἢ ἐξ οὐσιῶν εἶναι ἐνεργείᾳ οὐσῶν ἢ ἐκ συμβεβηκότων, κατ' οὐδένα δὲ τρόπον τοῦτο εἶναι δύναται, ἀσύνθετος ἂν εἴη πᾶσα οὐσία. ἀλλ' εἰ τοῦτο, οὐδεμιᾶς οὐσίας ἂν εἴη λόγος· οἱ γὰρ ὁρισμοὶ τῶν ἔκ τινών εἰσιν ἀλλ' οὐ τῶν ἁπλῶν, ὥσπερ ὁ τοῦ ἀνθρώπου ὄντος αὐτοῦ ἐκ τοῦ ζῴου καὶ πεζοῦ καὶ δίποδος. ἀλλὰ μὴν δοκεῖ γε ὅτι οἱ ὁρισμοὶ ἢ μόνων τῶν οὐσιῶν εἰσίν, ἢ εἴπερ εἰσὶ καὶ τῶν ἄλλων, ἀλλὰ μάλιστα τῶν οὐσιῶν εἰσίν. νῦν δὲ συμβαίνει μηδὲ τῶν οὐσιῶν εἶναι· οὐκ ἄρα ἐστὶν οὐδεμιᾶς ὁρισμός. καὶ εἰπὼν οὐ λύει τὴν ἀπορίαν νῦν, ἐπαγγέλλεται δὲ ἐρεῖν, λέγων ὅτι τρόπον μέν τινά ἐστι τῶν οὐσιῶν ὁρισμός, τρόπον δέ τινα οὐκ ἔστιν. καὶ πῶς τοῦτο συμβαίνει, ἐρεῖ καὶ ἐν τῷ παρόντι βιβλίῳ καὶ ἐν τῷ μετὰ τοῦτον. Alex. 1039 a 14.

δείξας ὅτι μὴ οἷόν τε ἐξ οὐσιῶν ἐνεργείᾳ οὐσῶν συγκεῖσθαι τὴν οὐσίαν, καὶ ὅτι τῆς ἀτόμου ἀνάγκη καὶ τὰ μέρη ἄτομα εἶναι, ἐκ τῶν εἰρημένων φησὶ φανερὸν καὶ τὸ συμβαῖνον ἄτοπον τοῖς τὰς ἰδέας ὑποτιθεμένοις καὶ λέγουσιν αὐτὰς οὐσίας τε εἶναι καὶ χωριστὰς αὐτὰς καθ' αὑτὰς καὶ ἀτόμους καὶ ὁριστάς· ἐκείνων γὰρ τῶν ἰδεῶν ἔλεγον εἶναι τοὺς ὁρισμούς, βουλόμενοι τοὺς ὁρισμοὺς εἶναι τῶν καθόλου. καὶ ταῦτα ἔλεγον ὡς τὰ ἀφ' ἑνὸς μετέχειν αὐτὰ τῆσδε ἐκείνων, ὥστε οὐχ ἁρμόσουσιν οἱ ὁρισμοὶ τοῖς ἐνταῦθα, οὐδὲ ἔσονται αὐτῶν ὁρισμοί. φησὶν οὖν πρὸς αὐτοὺς ὅτι ἡ ἰδέα αὕτη μία ἐστὶ πάντων ἢ ἑκάστου χωρίς· εἰ μὲν οὖν μία ἐστὶ τῷ ἀριθμῷ πάντων, διασπασθήσεται ἡ ἰδέα μία οὖσα καὶ θεωρουμένη ἐν πλείοσι διαφοραῖς· εἰ δὲ πολλαί, ἀπείρων ἔσονται ἰδέαι, ἑκάστου εἴδους μίαν ἔχοντος ἰδέαν, τοῦ ζῴου τοῦ ἐν ἀνθρώπῳ καὶ τοῦ ἐν ἵππῳ καὶ ταῖς ἄλλαις πάλιν τοῦ λογικοῦ καὶ τοῦ γελαστικοῦ καὶ τῶν ἄλλων ὁμοίως, ὅπερ οὐ βούλονται· μίαν γὰρ ἰδέαν λέγουσι τοῦ ζῴου τῶν ἄλλων. φανερὸν δὲ τί νῦν φησιν ὅτι ἐκ τῶν ἢ εἰρημένων γίνεται, καὶ τὸ συμβαῖνον ἄτοπον τοῖς τὰς ἰδέας λέγουσιν, εἰ αὐτὰς οὐσίας καθ' αὑτὰς καὶ χωριστὰς ἀτόμους, οἷον αὐτοάνθρωπον, αὐτόζῳον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ ἅμα καὶ τὸ εἶδος ποιοῦσιν ἐκ γένους καὶ διαφορῶν· φησὶ γὰρ τὰς τοῦ γένους ἰδέας καὶ τὰς τῶν διαφορῶν συνερχομένας ποιεῖν τὴν τοῦ εἴδους ἰδέαν. εἰ οὖν ὑπάρχει τὰ εἴδη, τουτέστιν ἡ ἰδέα τοῦ εἴδους καὶ τοῦ ζῴου, καὶ ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ἵππῳ, ἤτοι καὶ ταὐτόν ἐστι τῷ ἀριθμῷ ἡ ἰδέα τοῦ ζῴου ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ἵππῳ, ἢ ἕτερον· τῷ μὲν γὰρ λόγῳ δηλονότι μία ἐστὶν ἡ ἰδέα τοῦ ζῴου ἡ ἐν τῷ ἀνθρώπῳ καὶ ἡ ἐν τῷ ἵππῳ. εἴτε γὰρ τὸ ἐν τῷ ἀνθρώπῳ ζῷον ὁρισόμεθα, οὕτως, φησίν, οὐσία ἔμψυχος αἰσθητική, εἴτε καὶ τὸ ἐν τῷ ἵππῳ. εἰ οὖν ἔστι τις ἄνθρωπος, τουτέστιν ἰδέα ἀνθρώπου αὐτὴ καθ' αὑτὴν κεχωρισμένη, ἀνάγκη εἶναι καὶ τὴν ἰδέαν, ἐξ ὧν ἐστὶν ἡ ἰδέα τοῦ ἀνθρώπου, 1039 a 24.

εἴρηται δὲ καὶ ὅτι τὸ ὑποκείμενον διττόν, ἢ τὸ τόδε τι ὄν, ὥσπερ ζῷον, Σωκράτης, Πλάτων, οὕτωσὶν ὁ ἵππος ὑπόκειται τοῖς πάθεσι τῷ τε λευκῷ καὶ τῷ θερμῷ καὶ τοῖς ὁμοίοις· ἢ ἡ ὕλη, ἥπερ ὑπόκειται τῇ ἐντελεχείᾳ καὶ τῷ εἴδει. τὸ δὲ καθόλου, φησίν, ὅπερ τινὲς χωρὶς ὕλης λέγουσι, δοκεῖ τισὶν αἴτιον εἶναι μάλιστα καὶ ἀρχή· διὸ ἐπέλθωμεν καὶ περὶ τούτου. Alex.

1038 b 10. εἶτα λοιπὸν τίθησι τὸ πρῶτον ἐπιχείρημα, λέγων ὅτι εἰ οὐσία ἡ ἑκάστου ἴδιος ἑκάστου ὑπῆρχεν, οὐκ ἄν ποτε θεωρηθήσεται ἐν ἄλλῳ. Asclep.

καὶ συλλογίζεται λέγων, ἡ ἑκάστου οὐσία ἰδιός ἐστιν ἑκάστῳ, καὶ ἄλλῳ οὐχ ὑπάρχει. Alex.

1038 b 15. ἔτι οὐσία λέγεται ὃ μὴ καθ' ὑποκειμένου τινὸς λέγεται, ὡς ἐν ταῖς Κατηγορίαις (c. 5) δέδεικται. id.

1038 b 17. ἀλλ' ἆρα, φησίν, οὕτω μὲν τὸν καθόλου ἄνθρωπον οὐκ ἐνδέχεται ὡς τὸ τί ἦν εἶναι, ἐνυπάρχειν δὲ ἐν τούτοις τὸ καθόλου, οἷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ οὐσία τις, οἷον τὸ ζῷον. οὐκοῦν δῆλον ὡς ἔστι τις λόγος τοῦ ζῴου, διαφέρει δ' οὐδέν, κἂν μὴ πάντων ᾖ λόγος τῶν εἰς ὁρισμόν τινος παραλαμβανομένων· οὐδὲν γὰρ ἧττον τὸ ζῷον οὐσία ἔσται τινός, οἷον τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου, ἐν οἷς ὑπάρχει. εἰ δή ἐστιν ὁ καθόλου ἄνθρωπος οὐσία, διὰ τί οὐκ ἔσται τὸ ζῷον οὐσία; εἰ δ' ἔστι τὸ ζῷον οὐσία καὶ ἐνυπάρχει τῷ ἀνθρώπῳ, ἡ δὲ οὐσία ἐν ᾧ ἐστὶν οὐκ ἄλλου ἐστὶν ἡ οὐσία ἀλλὰ τοῦ ἐν ᾧ ἐστίν, ἔστιν ἄρα οὐσία τὸ ζῷον τοῦ ἐν ᾧ ἔστιν, οἷον τοῦ ἀνθρώπου, ἐν ᾧ ὡς ἴδιον ὑπάρχει τὸ ζῷον· ὥστε ἔσται οὐσία οὐσίας· ἔσται μὲν γὰρ τοῦ Σωκράτους οὐσία ὁ ἄνθρωπος, καὶ τούτου τὸ ζῷον. εἰ δ' ἔστιν ἐν τῷ ζῴῳ τὸ ἔμψυχον καὶ τὸ αἰσθητικόν, ἔσονται πάλιν αὐτὰ τοῦ ζῴου ἤτοι οὐσίας οὐσίαι, καὶ πάλιν τὰ ἐν τῷ ἐμψύχῳ ὄντα καὶ αἰσθητικῷ ἔσονται οὐσία τοῦ ἐμψύχου καὶ τοῦ αἰσθητικοῦ, ἤτοι τῶν οὐσιῶν· ὥστε συμβαίνει σμῆνος οὐσιῶν εἶναι ἐν τῷ Σωκράτει. ὅπερ ἀδύνατον· ἐν ἑκάστῳ γὰρ μία οὐσία ἐστὶν ἡ ἐνοῦσα αὐτῷ· εἰ γὰρ ἡ οὐσία τοῦ Ἀλεξάνδρου ὁ Ἀλέξανδρός ἐστιν, ὁ δὲ Ἀλέξανδρος πολλοὶ εἶναι οὐ δύναται, οὐδ' ἄρα οὐσίαι ἐν αὐτῷ πολλοὶ ἔσονται. εἰπὼν δὲ ὅτι ἔστιν ἐν τῷ καθόλου ἀνθρώπῳ τὸ ζῷον, ἔστι δ' ὁ καθόλου ἄνθρωπος οὐσία, ἔσται ἄρα καὶ τὸ ζῷον οὐσία, κατασκευάζει αὐτό. id.

γρ. "ἐν αὐτοῖς" ἤτοι τοῖς ὑποκειμένοις. cod. Reg.

1038 b 19. τρίτον ἐπιχείρημα ὅτι ἢ εἶδός ἐστι τὸ καθόλου τῆς ἀτόμου οὐσίας ἢ μέρος ἢ ἐνυπάρχον ἁπλῶς. ἀλλ' εἰ μὲν ὑποθώμεθα εἶδος αὐτὸ εἶναι, ἄτοπόν τι ἕψεται· τὸ γὰρ εἶδος ἑκάστου ἴδιόν τί ἐστιν ἑκάστου τε καὶ οὕτως πάλιν τὸ καθόλου ἔσται μερικόν. εἰ δὲ ὡς μέρος αὐτὸ ὑποθώμεθα, ἔσται τὸ μέρος κατηγορούμενον τοῦ ὅλου· ὅπερ ἐστὶν ἄτοπον. εἰ δὲν ἐνυπάρχον ἕψονται οἱ πρότεροι λόγοι τοῦ πρώτου ἐπιχειρήματος, ὅτι ἢ γὰρ πάντων ἢ οὐδενός· ἁπάντων δὲ οὐχ οἷόν τε, ἐπειδὴ διαφέρουσιν ἀλλήλων τὰ πράγματα, οὕτως δὲ οὐδὲν διοίσουσιν. εἰ δὲ ἑνός, ἔσται πάντα ἕν. Asclepius in θεωρίᾳ.

ἐντεῦθεν τὸ τρίτον ἐπιχείρημα. φησὶν οὖν ὅτι εἰ καὶ μὴ ἐνδέχεται οὕτως εἶναι τὸ καθόλου ὡς τὸ εἶδος τοῦ πράγματος, ἵνα μὴ γένηται μερικόν, ἐν δὲ τῷ μερικῷ ἐνυπάρχει μὴ ὂν αὐτοῦ εἶδος, ὥσπερ τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ τῷ ἵππῳ. εἶτά φησιν ὁ Ἀριστοτέλης, εἰ ταῦθ' οὕτως ἔχει, ἐξ ἀνάγκης τούτου ὄντος ἐν τῷ ἀνθρώπῳ ἔστιν ὁ ὁρισμός. ἐπειδὴ δὲ τῶν γενικωτάτων γενῶν οὐχ ὑπάρχουσιν ὁρισμοί, φησίν, ὅτι διαφέρει δὲ οὐδὲν οὐδὲ εἰ μὴ πάντων ἐστὶν ὁρισμὸς τῶν ἐν τῇ οὐσίᾳ ὑπαρχόντων· οὐδὲν γὰρ ἧττον τοῦτο τὸ ἐνυπάρχον οὐσίᾳ ἐστί τινος, ὡς ἄνθρωπος τοῦ ἀνθρώπου, ἐν ᾧ ὑπάρχει ἀνθρώπῳ. ὥστε τὸ αὐτὸ συμβήσεται πάλιν τὸ εἰρημένον κἀν τῷ πρώτῳ ἐπιχειρήματι· ἢ πάντων ἐστὶν ἢ οὐδενός, καὶ τὰ αὐτὰ ἕψονται ἄτοπα· ἔσται γὰρ ἐκείνου οὐσία, οἷον τὸ ζῷον, ἐν ᾧ ἰδίως ἴδιον ὑπάρχει, καὶ οὕτω πάλιν ἔσται μερικόν. id.

ἔτι δὲ καὶ ἀδύνατον καὶ ἄτοπον τὸ τόδε καὶ τὴν οὐσίαν, ὥσπερ 1038 b 23. λέγουσιν οἱ λέγοντες τὸν καθόλου ἄνθρωπον, εἰ ἔστιν ἐκ ζῴου, μὴ εἶναι τὸ ζῷον οὐσίαν καὶ τόδε τι, ἀλλὰ ποιόν. Alex.

ἀλλ' εἴπερ ἐστὶν οὐσία τὸ ζῷον, ἔσται πάλιν οὐσίας οὐσία, καὶ ἁπλῶς, ὥσπερ ἐρρήθη. ἢ τὸ "ἔτι δὲ ἀδύνατον καὶ ἄτοπον τὸ τόδε τι καὶ οὐσία" οὐκ ἐπὶ τοῦ καθόλου ἀνθρώπου εἴρηται ἀλλ' ἐπὶ τοῦ μερικοῦ. καὶ εἴη ἂν τὸ λεγόμενον ὅτι ἐπειδὴ ὁ καθόλου ἄνθρωπος δέδεικται μὴ ὢν οὐσία ἀλλὰ ποιόν, ἀδύνατον τὸν Σωκράτην ἐκ τοῦ καθόλου εἶναι ἀνθρώπου, τουτέστι τὴν οὐσίαν ἐκ μὴ οὐσίας. οἶμαι δὲ ἄμεινον τὸ πρότερον· ἔτι γὰρ περὶ τοῦ μὴ εἶναι τὸν καθόλου ἄνθρωπον οὐσίαν ὁ λόγος ἐστίν. ἔτι τῷ Σωκράτει οὐσίᾳ ὄντι ἐνυπάρξει οὐσία, ὥστε δυοῖν ἔσται ὁ Σωκράτης οὐσία ἤτοι δύο ἔσονται ἐν τῷ Σωκράτει οὐσίαι, ὅπερ ἄτοπον· ἕκαστον γὰρ μία ἐστὶν οὐσία ἀλλ' οὐ δύο ἢ πλείους. ὅλως δέ, φησί, συμβαίνει, εἰ ἔστιν οὐσία ἄνθρωπος, ἄνθρωπον ἐνταῦθα λέγων τὸν μερικὸν καὶ ἄτομον, ὅλως δή, εἰ ἔστιν οὐσία αὐτὸ καθ' αὑτὸ τὸ ζῷον, ἤτοι ὁ ἄτομος ἄνθρωπος, "καὶ ὅσα οὕτω λέγεται," τουτέστιν ἄτομα μηδὲν τῶν ἐν τῷ λόγῳ αὐτοῦ εἶναι οὐσίαν, μηδὲ χωρὶς ὑπάρχειν αὐτῶν τῶν ἀτόμων. id.

γρ. ἐνυπάρξει οὐσία οὐσίᾳ. cod. Reg. 1038 b 29.

ἕκτη ἐπιχείρησις ὅτι ὅσα ἐν τῇ οὐσίᾳ τοῦ πράγματος λαμ- 1038 b 30. βάνεται οὐδέποτε χωρίζονται τοῦ πράγματος, ἀλλὰ καὶ αὐτὸ εἶναι τὸ πρᾶγμα δηλοῦσιν, ὥσπερ τὰ ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου πάντα παραλαμβανόμενα. εἰ οὖν ὑπόθωμεθα καὶ τὸ καθόλου συμπληρωτικὸν εἶναι τῆς μερικῆς οὐσίας, ἔσται ἀχώριστος αὐτοῦ καὶ οὐκέτι καθόλου· ὅπερ οὐ βούλονται. Asclep.

ἕκτον ἐπιχείρημα. καί φησιν ὅτι εἰ ἔστιν οὐσία ὁ ἄνθρωπος καὶ ὅσα οὕτως λέγεται ἕν, μηδὲν ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου παραλαμβανόμενον εἶναι ἄλλου πράγματος οὐσίαν, μηδὲ χωρίζεσθαι τοῦ ἀνθρώπου ὡς συμβαίνειν καὶ ἄλλῳ ὑπάρχειν παρὰ τὸν ἄνθρωπον, οἷον ὅτι οὐκ ἔστιν αὐτόζωον καθ' αὑτὰ παρὰ τά τινα ζῷα, οὐδ' ἄλλο τῶν ἐν τοῖς λογικοῖς οὐδέν. id.

εἰ γὰρ μή ἐστιν οὐσία αὐτὸ καθ' αὑτὸ τὸ ζῷον, μηδὲ τὸ πεζὸν 1038 b 33. μηδὲ τὸ δίπουν, δηλονότι οὐκ εἰσὶ χωρὶς τῶν ἀτόμων, οὔτε μὴν ἐν ἄλλῳ ἤτοι τῇ ἰδέᾳ, ἀλλ' ἐν τοῖς ἀτόμοις. ἐξηγούμενος δὲ τὸ μηδὲν χωρὶς ὑπάρχειν αὐτῶν ἐπήγαγε "λέγω δὴ οὐκ εἶναί τι ζῷον παρὰ τά τινα," ὡς ἂν εἰ ἔλεγεν, τοῦτο λέγω τὸ μηδὲν χωρὶς ὑπάρχειν αὐτῶν τὸ μὴ εἶναί τι ζῷον παρὰ τά τινα καὶ καθ' ἕκαστα ζῷα, οὐδὲ δίπουν παρὰ τά τινα, οὐδ' ἄλλο τῶν ἐν τοῖς λόγοις εἰλημμένων οὐδέν· δέδεικται γὰρ ὡς οὐδὲν τῶν καθόλου ὑπαρχόντων οὐσία ἐστίν. Alex.

1038a 5. ταῦτα εἰπὼν ἐπαναλαμβάνει τὸν λόγον καί φησιν "εἰ οὖν τὸ γένος ἁπλῶς μή ἐστι παρὰ τὰ ὡς γένους εἴδη," τουτέστιν εἰ τὸ ζῷον μή ἐστι παρὰ τὰ εἴδη αὐτοῦ αὐτὸ καθ' αὑτὸ καὶ χωριστόν, ὡς οἱ τὰς ἰδέας τιθέμενοι ἔλεγον, ἀλλ' ἐν αὐτοῖς ἐστίν, ὡς οὗτος καὶ ἡ ἀλήθεια βούλεται· ἢ κἂν εἰ χωριστόν ἐστιν, ὅμως ὡς ὕλη ἐστίν. καὶ σαφηνίζει αὐτὸ ἐπὶ παραδείγματος, ὅπως ὡς ὕλη τὸ γένος ἐστίν. ἡ μὲν γὰρ φωνὴ γένος ἐστὶ καὶ ὕλη, αἱ δὲ διαφοραὶ μετ' αὐτῆς εἰσὶ τὰ εἴδη, εἴδη δὲ φωνῆς τὰ ὀνόματα καὶ τὰ ῥήματα καὶ τὰ στοιχεῖα, τό τε ἄλφα καὶ βῆτα καὶ τὰ ἑξῆς· καὶ γὰρ αὐτὰ εἴδη τῆς φωνῆς ὡς ἐξ ὕλης αὐτῆς καὶ διαφορᾶς ὄντα· κατὰ διαφορὰς γάρ τινας καὶ αὐτὰ ἐκφωνεῖται. εἰ δὴ τὸ γένος ὡς ὕλη ἐστίν, εἶδος δὲ ἡ διαφορά, φανερὸν ἄρα ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος. εἰ δὲ ἡ ὕλη καὶ τὸ εἶδος αὐτοφυῶς ἔνεισιν, ἔστι δ' ὁ λόγος καὶ ὁ ὁρισμὸς γένος καὶ διαφορὰ ἤτοι ὕλη καὶ εἶδος, δῆλα ἄρα ἡμῖν ἐστὶν ὅπως τὸ ζῷον πεζὸν δίπουν ἕν ἐστι καὶ οὐ πολλά. οὕτως δὴ τὴν ἀπορίαν λύσας, καὶ ὡς συμπέρασμα, ὡς οἶμαι, τῆς λύσεως ἐπαγαγὼν τὸ "φανερὸν ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος," ὡς εἰ ἔλεγεν ὅτι φανερόν ἐστιν ὅπως τὸ ζῷον πεζὸν δίπουν ἕν ἐστιν, ὅτι γένος ἐστὶ καὶ διαφορὰ ἤτοι ὕλη καὶ εἶδος, τρέπεται καὶ ἐπὶ τὴν διδασκαλίαν τοῦ ὅπως δεῖ τὰς τῶν γενῶν καὶ διαφορῶν ποιεῖσθαι διαιρέσεις, λέγων "καὶ δεῖ διαιρεῖσθαι τὴν τῆς διαφορᾶς διαφοράν," ἴσον λέγων τῷ ὅτι εἰ μέλλοιμεν μετὰ τοῦ πρώτου γένους καὶ τῆς τελευταίας διαφορᾶς τοὺς ὅρους ποιεῖσθαι, δεῖ διαιρεῖν τὰς διαφορὰς εἰς τὰς οἰκείας αὐτῶν διαφοράς, ᾗ διαφοραί εἰσιν· οἷον εἰ τὸ ζῷον διαιρεῖται εἰς ὑπόπουν καὶ ἄπουν, τὸ ζῷον ὑπόπουν δεῖ διαιρεῖν εἰς τὴν οἰκείαν διαφοράν, ᾗ ὑπόπουν ἐστί, καὶ μὴ λέγειν ὡς τοῦ ὑπόποδος τὸ μὲν πτερωτόν ἐστι τὸ δὲ ἄπτερον, εἰ μέλλομεν καλῶς διαιρεῖν... ὅμως διὰ τὸ ἀδυνατεῖν ἐνίους καὶ μὴ δυναμένους συνορᾶν τὰς ἑκάστου διαφοράς, ποιοῦσι τοῦτο, λέγω δὴ τὸ διαιρεῖν αὐτὰ εἰς τὰς μὴ οἰκείας. δεῖ δὴ τὸ ὑπόπουν, κἂν εἴ τι ἄλλο ἐστί, διαιρεῖν εἰς τὰς οἰκείας, μέχρις ἂν ἔλθῃ εἴς τινα ἀδιάφορα, ἅπερ μηκέτι δύναται τέμνεσθαι εἰς ἑτέρας διαφοράς. Alex.

1038a 10. πάλιν τοῦ ζῴου τοῦ ὑπόποδος δεῖ ἡμᾶς τὴν διαφορὰν εἰδέναι καθὸ ὑπόπουν, τουτέστιν αὐτὸ τὸ ὑπόπουν διαιρεῖν. Asclep.

1038a 25. ἐὰν δὲ κατὰ συμβεβηκὸς ποιήσῃ τὴν διαίρεσιν λέγων τοῦ δίποδος τὸ μὲν εἶναι λευκὸν τὸ δὲ μέλαν, τοσαῦται ἔσονται διαφοραὶ ὅσαι καὶ αἱ τομαὶ τοῦ πράγματος ὑπάρχουσιν· ὥστε φανερὸν ὅτι ὁρισμὸς οὐδέν ἐστιν ἕτερον ἢ λόγος ἐκ τῶν διαφορῶν συγκείμενος, καὶ τούτων μάλιστα κατά τε τὸ ὀρθὸν τῆς τελευταίας διαφορᾶς... ὥστε οὐ δεῖ μετατάττειν τοὺς τοιούτους ὁρισμούς, οἷον ὡς ἐπὶ τοῦ ἀνθρώπου λογικοῦ λέγοντες οὕτως, ζῷον δίπουν ὑπόπουν, μετατάττοντες τὸ δίπουν. περιττὸν γάρ ἐστι τὸ ὑπόπουν· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ περιέργου εἰρημένου τοῦ δίποδος. Alex.

1038a 29. καὶ τούτων μάλιστα κατά γε τὸ ὀρθὸν τῆς τελευταίας διαφορᾶς. Asclep.

1038a 35. "τὴν πρώτην·" ἐρεῖ γὰρ πάλιν περὶ αὐτῶν ὁποῖοί τινές εἰσιν. Alex.

ὥστε τοσαῦτα δεῖ ἡμᾶς λέγειν περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν, ποῖοί τινές εἰσιν. ἐπειδὴ οὖν ὁ σκοπὸς ἡμῖν ἐνταῦθα περὶ οὐσίας ἐστὶ διαλεχθῆναι (διὰ τοῦτο γάρ, φησί, καὶ τὸν περὶ ὁρισμῶν λόγον ἐκινήσαμεν), πάλιν ἐπανελθεῖν ἐπὶ τὸ προκείμενον, καὶ ζητεῖν εἴτε ὑπάρχουσι χωρισταὶ οὐσίαι προαγωγοὶ τῶν ἐνταῦθα, ἃς καλοῦσιν ἰδέας, εἴτε οὔ. ὥστε ὡς ἔστιν εἶδος πρὸς ὕλην, οὕτως λέγεται ὥσπερ τὸ ὑποκείμενον οὐσίᾳ εἶναι, καὶ ταῦτα ᾗ εἶναι καὶ τὸ ἐκ τούτων καὶ τὸ καθόλου. δύο ἀπορίαι ἔθετο ἐξ ἀρχῆς ἐκθέσθαι καὶ ἐπιλύσασθαι, μίαν μὲν τὴν ζητοῦσαν πῶς διαφόρων ὄντων τῶν μερῶν τοῦ ὁρισμοῦ ἕνα λέγομεν τὸν ἐξ αὐτῶν συγκείμενον. εἶτα ἐπελύσατο τοῦτο, φάσκων ὅτι τὴν παρὰ τὴν τελευταίαν διαφορὰν πάντων ὕλης ἐπεχόντων τάξιν καὶ τῆς τελευταίας διαφορᾶς εἴδους, καὶ οὕτως λοιπόν, ὥσπερ ἐξ ὕλης καὶ εἴδους ἕν τι πρᾶγμα γίνεται, οὕτως καὶ ὁ ὁρισμὸς εἷς γίνεται, οὐχ ὅτι ὕλης ἐστὶ τὸ γένος, ἀλλ' ὅτι ἀναλογεῖ ὕλῃ, ἐπειδὴ εἰδοποιεῖ αὐτὴν ἡ διαφορὰ προσερχομένη καὶ ποιεῖ δηλοῦσθαι τὸ ἄτομον εἶδος, ὥσπερ καὶ τὸ εἶδος τὸ ἀόριστον τῆς ὕλης ὁρίζει καὶ περατοῖ. δευτέρα οὖν ἀπορία ὑπῆρχε ζητοῦσα εἰ ἔστι καθόλου οὐσία αὐτὴ καθ' αὑτὴν ὑπάρχουσα, οἷον αὐτοάνθρωπος καὶ αὐτόϊππος, ἐπειδὴ δοκεῖ τισὶ μάλιστα τὰ καθόλου εἶναι οὐσίαι κατὰ τρεῖς τρόπους, πρῶτον μὲν ὅτι ἀρχαὶ γίνονται ἀποδείξεων, ἐκ δὲ τῶν ἀποδείξεων γινώσκονται τὰ πράγματα· τῶν γὰρ καθόλου πραγμάτων ὑπάρχουσιν οἱ ὁρισμοί, οἱ δὲ ὁρισμοί, ὡς μεμαθήκαμεν ἐν τῇ Ἀποδεικτικῇ (2 7 sqq.), ἀρχαὶ ὑπάρχουσι τῶν ἀποδείξεων· δεύτερον, ὅτι φύσει πρότερα ὑπάρχουσι τὰ καθόλου τῶν μερικῶν, εἴγε συναναιροῦσι καὶ οὐ συναναιροῦνται· τοῦ γὰρ ἀτόμου ἀναιρεθέντος καὶ τὸ ἄτομον, εἴγε, φησίν, ἐξ αὐτοῦ ἔχει τὴν ὕπαρξιν. ὁμοίως καὶ ὅτι πρακτικὰ καὶ ποιητικὰ ὑπάρχουσιν ἐκεῖνα τὸ καθόλου καὶ ἐπιχείρησιν τίθησιν τὰς καθόλου οὐσίας καὶ τὰ ἐννοηματικὰ καὶ ὕστερον πάλιν τὰς ἰδέας· ὡς γάρ φησιν ὁ Ἀλέξανδρος, ἐπειδή, ὡς αὐτοὶ κατ' ἀρχὰς τοῦ βιβλίου ἐλέγομεν, ὅτι πραγματεία αὕτη ἐστὶ περὶ τῆς οὐσίας (περὶ γὰρ τοῦ ὄντος βούλεται διαλεχθῆναι), τὸ δὲ κυρίως ὂν ἡ οὐσία ἐστί, διαστέλλεται ποσαχῶς λέγεται ἡ οὐσία, καὶ ἔδειξεν ὅτι τετραχῶς, κατὰ τὸ ὑποκείμενον, κατὰ τὸ εἶδος, κατὰ τὸ συναμφότερον καὶ τὸ καθόλου. εἰπὼν οὖν περὶ τοῦ ὡς εἴδους, τουτέστι τοῦ ἀριθμοῦ τοῦ ὑποκειμένου καὶ τοῦ ἐξ ἀμφοτέρου, ἐντεῦθεν λέγει ἡμῖν περὶ τῆς καθόλου, δεικνὺς ὅτι οὐκ ἔστιν. καὶ πρῶτον μὲν ἐπιχειρήματι κέχρηται τοιούτῳ, λέγων ὅτι ἡ οὐσία οὐκ ἔστιν ἡ αὐτὴ τῇ ἐν Πλάτωνι οὐσίᾳ, τὸ δὲ καθόλου κοινὸν ὑπάρχει. Asclep.

1038b 1. τὸ προκείμενόν ἐστι δεῖξαι ὡς οὐδὲν τῶν καθόλου οὐσία ἐστίν· οὔτε γὰρ ὁ καθόλου ἄνθρωπος ἢ ὁ καθόλου ἵππος, οὔτε ἄλλο οὐδέν· ἀλλ' ἕκαστον αὐτῶν διανοίας ἀπόμαξίς ἐστιν ἀπὸ τῶν καθ' ἕκαστα καὶ πρώτως καὶ μάλιστα λεγομένων οὐσιῶν καὶ ὁμοίωμα. Alex.

1038b 5. "ὅτι διχῶς ὑπόκειται, ἢ τόδε τι ὄν," τουτέστι τὸ γένος ταῖς διαφοραῖς· διὸ καὶ εἶπεν αὐτὸ τόδε τι ὄν. οὐ γὰρ οὕτως ἐστὶ τὸ ζῷον ἀνείδεον ὡς ἡ ὕλη, ἥτις ἐξ ἀποφάσεως γίνεται, ἀλλὰ κατὰ ἀναλογίαν τῆς πρὸς τὸ περιορίζεσθαι ὑπὸ τῆς τελευταίας διαφορᾶς, ὥσπερ τὸ εἶδος περιορίζει τὴν ὕλην, ὡς ἡ κυρίως ὕλη ὑπόκειται τῇ ἐντελεχείᾳ, τουτέστι τῷ εἴδει. δυνατὸν δὲ λέγειν τὸ ζῷον ὑποκεῖσθαι τοῖς πάθεσι περὶ τοῦ ἁπλῶς ζῴου δῆλον, ἢ ὡς ὕλη ἐντελεχείᾳ, περὶ τοῦ καθ' ἕκαστα ζῴου. Asclep.

ἅμα ὑπάρχωσι καὶ παθῶν τὸ ὑποκείμενον δέξηται τὸ λευκόν· ἓν δὲ κατὰ συμβεβηκός, δῆλον ὁ λευκός, ἐπειδὴ συνέβη τὸν ἄνθρωπον λευκὸν εἶναι, ἐνταῦθα μὲν ἐπὶ τοῦ ὁρισμοῦ, τουτέστι τοῦ γένους καὶ τῆς διαφορᾶς, οὐ μετέχει θατέρου θάτερον· τὸ γὰρ γένος οὐ δοκεῖ μετέχειν τῶν διαφορῶν· ἔμελλε γὰρ λέγεσθαι τῶν ἐναντίων μετέχειν· ἐναντίαι γὰρ αἱ διαφοραί, αἷς διαφέρει τὸ γένος, τουτέστι τὸ λογικὸν καὶ ἄλογον. Asclep.

1037 b 16. ὅταν δὲ μετέχῃ τοῦ λευκοῦ καὶ ὑπάρχῃ ἐν αὐτῷ τὸ λευκὸν καὶ πάθῃ τι καὶ ποιωθῇ ὑπ' αὐτοῦ, τότε ἓν καὶ γίνεται καὶ ἔστιν ὁ λευκὸς ἄνθρωπος, οὐ καθ' αὑτὸ δὲ ἀλλ' ᾗ πεποίωται. Alex.

1037 b 20. αἷς τὸ γένος διαφέρει, τουτέστιν αἷς διαιρεῖται τὸ γένος. ἢ γένος ἐνταῦθα λέγοι ἂν τὸ εἶδος, καὶ εἴη ἂν λέγων ὅτι αἱ διαφοραί, αἷς τὰ εἴδη διαφέρει, ἐναντίαι εἰσίν. πολλαχοῦ δὲ αὐτῷ σύνηθες τὸ τὰ εἴδη γένη λέγειν. id.

1037 b 23. οὐ γὰρ ἐπειδὴ συνυπάρχουσιν αὐτῷ, δεῖ λέγειν αὐτὰ ἓν τῶν διαφορῶν ἓν γίνεσθαι πρᾶγμα, εἴπερ ὁ ὁρισμὸς ἑνὸς πράγματός ἐστι δηλωτικός, ταῦτα δὲ πάντα ἐμπεριέχεται ἐν τῷ ὁρισμῷ, ὅπερ ἐστὶ περὶ τὴν ἐνέργειαν· οὕτω γὰρ εὑρεθήσεται ὁ ἄνθρωπος πλεῖστα ὅσα καίπερ αὐτὸν καὶ ἔνυδρον καὶ ἄλλα μυρία, ἐπειδὴ τὸ ζῷον τὸ ἐν αὐτῷ μετέχει τούτων. δεῖ δὲ ἓν εἶναι πάντα τὰ ἐν τῷ ὁρισμῷ, ἐπειδὴ ὁ ὁρισμὸς μιᾶς φύσεώς ἐστι δηλωτικός. Asclep.

ἐνστὰς οὖν ὅτι τῶν διαφορῶν ἐναντίων οὐσῶν οὐ μετέχει τὰ γένη, λύει τοῦτο κατὰ ἀντιπαράστασιν, λέγων "εἰ δὲ καὶ μετέχει," ὃ δὴ ἐλλιπῶς λίαν εἴρηται· ἐξ ὧν δὲ ἐπάγει τοῦτο οἶμαι βούλεται λέγειν. εἰ δέ τις φῇ, ἀλλ' οὐ μετέχει τὸ γένος τῶν ἐναντίων διαφορῶν, ἀλλὰ τοῦ πεζοῦ καὶ τοῦ δίποδος καὶ τοῦ ἀπτέρου, ἅπερ οὐκ εἰσὶν ἐναντία, εἰ δὴ τούτων μετέχει, ὁ αὐτὸς πάλιν λόγος, εἴπερ αἱ διαφοραὶ πλείους, διὰ τί ταῦθ' ἓν ἀλλ' οὐ πολλά; εἰ γὰρ εἰκός ἐστι λέγειν ὅτι διὰ τὸ ἐνυπάρχειν τῷ γένει εἰσὶν ἕν, συμβήσεται τῷ λόγῳ τούτῳ πᾶν τὸ ἐν ᾧ ὑπάρχει τινὰ μετὰ τῶν ἐνυπαρχόντων αὐτῷ εἶναι ἕν, καὶ ἔσται ὁ οἶνος καὶ ὁ ἀμφορεὺς ἕν, καὶ ὁ μέδιμνος καὶ οἱ πυροί. οὐ μόνον δὲ τοῦτο, ἀλλ' εἴπερ ἕν ἐστι τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν καὶ τὸ ἄπτερον, διὰ τὸ ἐνυπάρχειν αὐτὰ τῷ ζῴῳ, ἔσται τὸ ζῷον ἓν καὶ μετὰ πάντων τῶν ἄλλων διαφορῶν, καὶ οὕτως ἔσται πάντα ἕν. ἵνα δὲ μή τις εἴπῃ ὅτι ἀλλ' οὐκ ἔσται τὸ ζῷον καὶ πεζὸν καὶ δίπουν ἕν, ἐπήγαγε τὸ "δεῖ λέγειν ἓν εἶναι ὅσα ἐν τῷ ὁρισμῷ." ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ μιᾶς οὐσίας. εἰ δὲ εἷς ὁρισμός ἐστι, καὶ ἕν τί ἐστι καὶ τόδε τι σημαίνει, ὥσπερ λέγομεν· τὸ γὰρ τί ἦν εἶναι καὶ ἡ συγκατατεταγμένη φύσις ἑκάστοις, ἧς ἐστὶν ὁρισμός, τόδε τί ἐστι καὶ ἕν· εἰ δὲ τοῦτο, καὶ ὁ λόγος αὐτῆς εἷς ἐστίν. ἀλλ' εἰ τοῦτο, δεῖ
1037 b 27. καὶ τὰ ἐν τῷ λόγῳ ἓν εἶναι. ἀλλὰ δεῖ πάλιν μικρόν τι παρεκβάντας ὑπομνῆσαι ἡμᾶς περὶ τοῦ τί ἦν εἶναι καὶ τοῦ καθόλου εἴδους. ἰστέον δὴ ὅτι τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος ταὐτόν ἐστι, πλὴν οὐχ ὡς νοεῖται καὶ ἔστιν, ἀλλὰ νοεῖται μὲν ἄλλο τι παρὰ τὰ ὑπ' αὐτὸ ἄτομα, ἐν αὐτοῖς δέ ἐστι κατατεταγμένον καὶ οὐδέποτε χωρὶς αὐτῶν ἐστίν, ἢ ὅλως χωρὶς ὕλης· ὁ δὲ ὁρισμός ἐστιν ὁ λόγος τοῦ τί ἦν εἶναι καὶ τοῦ εἴδους. καὶ περὶ μὲν τούτων ταῦτα προϋπομνησθῆναι ἡμᾶς χρή· αὐτὸς δὲ οὑτωσὶ τὴν ἀπορίαν θεὶς καὶ τὴν λύσιν ἀσαφῶς καὶ λίαν μεμελανωμένως ἐπαγαγών, διὰ τὸ καὶ τῷ δευτέρῳ τῶν περὶ Ψυχῆς (c. 2) ταύτην λελυκέναι, μετὰ πολλὰ σαφῶς λύσας οὐ δοκεῖ λελυκέναι. ὅμως ὅπως καὶ ἐνταῦθα ταύτην λύει, κἂν μὴ δοκῇ, τὴν λέξιν ἐπερχόμενοι λέξομεν. οὐδὲν δὲ ἴσως χεῖρόν ἐστι καὶ νῦν διὰ βραχέος ὑπομνῆσαι τὴν ταύτης λύσιν· ἴσμεν γὰρ ὡς οὐδεὶς εὖ ἔχων ζητήσειεν διὰ τί ἕν ἐστιν ὅ τε χαλκὸς καὶ ἡ περὶ αὐτὸν σφαῖρα· ἡ γὰρ ἐν τῷ χαλκῷ σφαῖρα οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ἢ στρογγύλος χαλκός, καὶ ἔστιν ὁ μὲν χαλκὸς ὡς ὕλη, τὸ δὲ στρογγύλον ὡς εἶδος, πέφυκε δὲ τὸ εἶδος καὶ ἡ ὕλη ἓν εἶναι μηδενὸς συνεχίζοντος αὐτά· τοῦτο γάρ ἐστι τῇ ὕλῃ τὸ ὕλῃ εἶναι καὶ τῷ εἴδει τὸ εἴδει, ἵνα ὅταν ᾖ ἡ ὕλη καὶ τὸ εἶδος, ὃ πέφυκε δέχεσθαι, εὐθὺς ἑνοῦσθαί τε ᾖ καὶ ἓν εἶναι. ὡς οὖν ἐπὶ τούτων ἔχει, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν, λέγω δὴ γένους καὶ διαφορῶν· εἴρηκε γὰρ ἐν τῇ Ἀποδεικτικῇ (2 13?), εἴ τι μέμνημαι, ὅτι πᾶσαι αἱ πρὸ τῆς τελευταίας διαφορᾶς διαφοραὶ μετὰ γένους ὕλῃ ἀναλογοῦσιν, εἶδος δέ ἐστιν ἡ τελευταία διαφορά, οἷον τὸ ζῷον λογικὸν ὕλη ἐστὶ τοῦ ἀνθρωπείου εἴδους, ὁμοίως καὶ τὸ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶδος, τὰ δὲ πρὸ αὐτῶν ὕλη, ὡς καὶ αὐτὸς μετ' ὀλίγον ἐρεῖ, παραπλησίως δὲ τούτοις καὶ τὸ μὲν ζῷον πεζὸν ὕλη ἐστί, τὸ δὲ δίπουν εἶδος. ἀλλ' ἡ μὲν λύσις, ἥν, ὡς εἴπομεν, ἐπάξει μέν, οὐ δοκεῖ δέ, αὕτη ἐστίν. Alex.

διὰ τοῦτο γὰρ καὶ ὁρισμὸς λέγεται ὡς διαιρῶν καὶ χωρίζων τὸ ὁριστὸν τῶν ἄλλων εἰδῶν. Asclep. 1037 b 25.

ἐντεῦθεν ἐνίσταται πρὸς τοὺς Πλατωνικούς, ἐγκαλῶν αὐτοῖς ὡς 1037 b 27.
ὅτι ἀμεθόδως τῇ διαιρετικῇ κέχρηνται, καί φησιν ὅτι δεῖ ἡμᾶς ἐπισκοπεῖν περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν· οὐδὲν γὰρ δεῖ παραλαμβάνεσθαι ἐν τῷ ὁρισμῷ πλὴν τὸ πρῶτον γένος καὶ τὴν τελευταίαν διαφοράν, τὰ δὲ ἄλλα πάντα γένη ὑπάρχουσιν, ὡς ἔδειξεν ἡ θεωρία, τουτέστι τὸ πρῶτον καὶ αἱ σὺν αὐτῷ λαμβανόμεναι διαφοραί. id.

"πλ. τὸ πρ. λ. γένος καὶ ἡ διαφορά·" δεῖ δὲ προσυπακούειν 1037 b 29.
τοῦ ἡ τελευταία... οὐδὲν γάρ, φησίν, ἐν τῷ ὁρισμῷ πλὴν τὸ πρῶτον λεγόμενον γένος καὶ ἡ τελευταία διαφορά. οἷον εἰς εἶδος ἄνθρωπος τὸ ζῷόν ἐστι καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, τὰ δ' ἄλλα τῷ ζῴῳ ἐχόμενα (ἔστι δὲ ταῦτα τὸ λογικὸν ζῷον καὶ τὸ θνητόν) γένει εἰσίν. εἰ δὲ γένη ὕλη εἰσὶν ἢ ἀνάλογόν γε ὕλῃ, τὸ μὲν ζῷον λογικὸν θνητόν εἰσιν ὕλη καὶ γένος, τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶδος. καὶ ὅρα ὅπως διὰ τούτων αἰνιγματωδῶς τὴν τῆς ἀπορίας εἴρηκε λύσιν. εἰ γὰρ ἡ ὕλη καὶ τὸ εἶδος, ὅτε εἰσὶν ὑφ' αὑτῶν, πεφύκασιν ἑνοῦσθαι καὶ ἓν γίνεσθαι, ἔστι δὲ ὕλη μὲν τὸ ζῷον λογικὸν θνητόν, εἶδος δὲ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ τὸ ζῷον πεζὸν δίπουν, ἓν ἂν εἶεν καὶ ταῦτα ἀλλ' οὐ πολλά. καὶ ὅρα τὴν τοῦ Ἀριστοτέλους ἀγχίνοιαν, ὅπως ἐν ταὐτῷ καὶ τὴν λύσιν ἡμῖν τῆς ἀπορίας σκιωδῶς ἐμφαίνει καὶ τὴν διαίρεσιν τῶν γενῶν καὶ διαφορῶν ὅπως χρὴ ποιεῖσθαι ἐπαγγέλλει καὶ θαυμαστῶς ἀνακαλύπτει. Alex.

ὁμοίως δὲ κἂν διὰ πλειόνων καὶ δι' ἐλαττόνων λέγηται, ἢ καὶ 1038 a 1.
ὅλως διὰ δυεῖν. id.

ὁμοίως δὲ κἂν πλείονα λέγωνται· ὅλως δὲ οὐδὲν διαφέρει κἂν ἐλάττων λέγηται, πλὴν τῶν δύο. τοῖς δύο οὖν δεῖ χρῆσθαι, τῷ μὲν ἑνὶ γένει, τῷ δὲ διαφορᾷ. Asclep.

θέμεθα, τῶν δὲ καθ' ἕκαστα μέρη ταῦτα ὑπάρχουσιν, ὥσπερ εἴρηται· πρότερον γὰρ τοῦ λόγου τοῦ κύκλου· ἐν τούτοις γὰρ θεωροῦνται οἱ καθ' ἕκαστα κύκλοι· ἔστι γὰρ ὕλη ἡ μὲν αἰσθητή, οἷον χαλκῆ, ξυλίνη, ἡ δὲ νοητή, ἡ τῶν ἡμικυκλίων. Asclep.

1037a 7. Σωκράτης δὲ καὶ ὁ Κορίσκος εἰ μὲν κατὰ τὴν ψυχὴν μόνον χαρακτηρίζονται, διττόν ἐστι, συγκείμενον ἐκ ψυχῆς καὶ σώματος· οἱ μὲν γὰρ τὴν ψυχήν φασι τὸν ἄνθρωπον, οἱ δὲ τὸ σύνθετον. εἰ δὲ ἁπλῶς λέγονται, τουτέστι μοναχῶς, ἡ ψυχὴ καὶ τὸ σῶμα ὡς ἕν, ὥσπερ ἡ βα συλλαβή, καὶ ἁπλῶς καθ' ἕκαστον, ἡνίκα συνταχθῇ ἐν λέξει ἐν τῇ βάρος· οὕτως οὖν ἐστὶ καὶ ἁπλῶς ἄνθρωπος καὶ ὁ καθ' ἕκαστα θεωρεῖται· οὕτως δέ ἐστιν ὁ λόγος ὁ δημιουργικός. id.

Σωκράτης δὲ καὶ Κορίσκος, φησίν, εἰ μέν ἐστι καὶ ἡ ψυχὴ αὐτοῦ εἶδος αὐτοῦ καὶ εἰδοποιεῖται κατ' αὐτήν, ἔσται διττὸν ζῷον ἐκ ψυχῆς καὶ σώματος ἤτοι ἐξ εἴδους καὶ ὕλης· καὶ οἱ μὲν τῶν ἀνθρώπων ἐροῦσι τὸν Σωκράτην ὡς ψυχήν, τουτέστιν ὡς εἶδος, ἀφορῶντες εἰς τὴν ψυχὴν αὐτοῦ μόνην, οἱ δὲ ἐροῦσιν αὐτὸν ὡς τὸ σύνολον, ἤτοι ἐκ ψυχῆς καὶ σώματος, ἀποβλέποντες εἰς ἀμφότερα. "εἰ δὲ ἁπλῶς ἡ ψυχὴ ἥδε καὶ σῶμα τόδε," τουτέστιν εἰ δέ τις τὴν τοῦ Σωκράτους ψυχὴν οὐκ εἶδος τοῦ Σωκράτους λέγει ἁπλῶς, ἀλλὰ ἁπλῶς λέγει Σωκράτην οὐ Κορίσκον, ὡς ἔχει ἡ καθόλου ἀνθρώπειος ψυχὴ πρὸς τὸ καθόλου ἀνθρώπειον σῶμα, ἔχει καὶ ἡ καθ' ἕκαστα πρὸς τὸν καθ' ἕκαστον. εἰ μὲν οὖν ἐστὶν εἶδος τοῦ καθόλου ἀνθρωπείου σώματος ἡ καθόλου ἀνθρώπειος ψυχή, ἔσται καὶ ἡ τοῦ Σωκράτους ψυχὴ πρὸς τὸ τοῦ Σωκράτους σῶμα εἶδος. εἰ δὲ μή ἐστιν ἡ καθόλου ἀνθρώπειος ψυχὴ τοῦ καθόλου ἀνθρωπείου σώματος εἶδος, οὐδ' ἡ καθ' ἕκαστα τοῦ καθ' ἕκαστα. ἐπειδὴ τῆς φυσικῆς ἐστὶ τὸ περὶ τῶν ἐνύλων εἰδῶν θεωρεῖν, ἀλλ' οὐ τῆς προκειμένης πραγματείας, αὐτὸς δὲ δι' ὅλου τοῦ βιβλίου περὶ τῶν ἐνύλων εἰδῶν τὴν σκέψιν ἐποιήσατο, ὥσπερ ἑαυτῷ ἀπολογίαν πορiζόμενός φησι "πότερον ἐστι" κτλ. (p. 1037 a 10). Alex.

1037a 11. λέγει δὲ ἀριθμοὺς τὰς ἰδέας ἤ τι τοιοῦτον, καί φησιν ὅτι ὕστερον ἐπισκεψόμεθα περὶ τούτου· καὶ ζητήσει καὶ ἐν τῷ παρόντι βιβλίῳ, ζητήσει δὲ μάλιστα καὶ ἐν τῷ Μ. id.

1037a 12. διὰ τοῦτο γὰρ καὶ θεολογοῦντες περὶ τῶν αἰσθητῶν διαλεγόμεθα, ἐπειδὴ φιλοσοφίας ἐστὶ τῆς δευτέρας, φημὶ δὴ τῆς φυσικῆς, περὶ τῶν αἰσθητῶν οὐσιῶν διαλέγεσθαι, ἐπειδὴ τὰς ἰδέας τούτων τῶν αἰσθητῶν λέγουσιν εἶναι. Asclep.

1037a 16. οὐ μόνον γὰρ τοῦ φυσικοῦ ἐστὶ τὸ περὶ τῆς ὕλης θεωρεῖν, ἀλλὰ καὶ περὶ τοῦ ἐνύλου εἴδους, καὶ μάλιστα, ὡς ἐν τῷ Β τῆς Φυσικῆς Ἀκροάσεως (c. 1. 2) ἔγνωμεν. ἀλλὰ καὶ περὶ τῶν ὁρισμῶν φησί, πῶς ἐστὶ μέρη τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὁριστοῦ, καὶ πῶς εἷς ἐστὶν ὁρισμὸς ἐκ πλειόνων ὑπάρχων· ἐκ γὰρ γένους καὶ διαφορῶν· δῆλον γὰρ ὅτι ἐπειδὴ τὸ πρᾶγμα, οἷον τὸ ὁριστόν, ἕν ἐστι, καὶ αὐτὸς εἷς ἐστίν. πῶς δὲ πρᾶγμα ἔχον μέρη; δῆλον ὡς ἑνοῦν τι αὐτό ἐστιν ἕν. περὶ τούτων δὴ σκεπτέον ὕστερον, καὶ ἐρεῖ περὶ τούτου. πρὸ πάντων ὅσον οὔπω ταῦτα εἰπὼν ἀνακεφαλαιοῦται τὰ διὰ πλειόνων λεχθέντα. Alex.

1037a 17. πανάπορός ἐστιν ὁ λόγος, πῶς μέρη ὑπάρχουσιν ἐπὶ τῶν ὁρισμῶν τὰ ἐν τῷ λόγῳ, καὶ διότι εἷς λόγος γίνεται ὁρισμός; δῆλον ὅτι τὸ πρᾶγμα ἕν ἐστιν, εἷς ὁρισμός, ἐπεὶ οὐκ ἔμελλεν εἶναι εἷς. πῶς δὲ ἓν γίνεται τὸ πρᾶγμα μέρη ἔχον, ὕστερον ἐροῦμεν. καὶ μετ' ὀλίγον περὶ τῶν δύο ἀποριῶν ἐρεῖ. Asclep.

1037a 25. οὐδὲ γάρ εἰσιν ἐκείνης τῆς οὐσίας καὶ τοῦ εἴδους αἱ σάρκες καὶ τὰ ὀστᾶ μόρια, ἀλλὰ τῆς συνόδου, λέγω δὴ τῆς συνθέτου τῆς ἐξ ὕλης καὶ εἴδους. τῆς δὲ συνθέτου οὐσίας τρόπον μέν τινα ἔστιν ὁρισμός, τρόπον δέ τινα οὐκ ἔστιν· κατὰ μὲν γὰρ τὴν ὕλην τὴν ἐν αὐτῇ, οἷον σαρκῶν καὶ ὀστῶν καὶ νεύρων, οὐκ ἔστι κτλ. Alex.

1037a 29. ἐξ οὗ εἴδους καὶ τῆς ὕλης τὸ σύνολον γίνεται τῇ οὐσίᾳ. Asclep.

εἰπὼν δὲ ὅτι κατὰ τὴν πρώτην οὐσίαν ἐστίν, τί δέ ἐστιν ἡ οὐσία ἐπήγαγεν· "ἡ οὐσία γάρ ἐστι τὸ εἶδος τὸ ἐνόν," ἴσον λέγων, οὐδὲν ἄλλο ἐστὶν ἡ πρώτη οὐσία ἢ τὸ εἶδος τὸ ἐνυπάρχον τῇ ὕλῃ. τὸ δὲ μεταξὺ τεθέν, "οἷον ἀνθρώπου ὁ τῆς ψυχῆς λόγος," τοιοῦτον ἂν εἴη, τὸ εἶδος τοῦ ἀνθρώπου ὁ λόγος τῆς ψυχῆς ἤτοι αὐτὴ ἡ ψυχή ἐστιν· ἐξ ἧς ψυχῆς καὶ τῆς ὕλης ἡ σύνολος καὶ σύνθετός ἐστιν οὐσία. id.

1037a 31. "δὶς γὰρ ἐν τούτοις ὑπάρξει ἡ ῥίς," τουτέστιν εἴρηται ἡμῖν καὶ περὶ τῶν συνθέτων ὅτι εἰ ἔστι τούτων ὁρισμός, συμβαίνει δὶς τὸ αὐτὸ λέγειν· ἐν γὰρ τῇ ῥινὶ τῇ σιμῇ ἢ τῷ Καλλίᾳ ἔνεστι καὶ ὕλη καὶ εἶδος· ἀλλ' εἰ τοῦτο, οὐκ ἂν εἴη ὁρισμὸς αὐτοῖν· συμβήσεται γὰρ δὶς τὸ αὐτὸ λέγειν. οὐ μόνον δὲ περὶ τούτων εἴρηται, ἀλλ' ὅτι καὶ ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτοῦ ἐπί τινων ταὐτόν ἐστιν, ὥσπερ καὶ ἐπὶ τῶν πρώτων οὐσιῶν ἐξηγεῖται τίς ποτέ ἐστιν ἡ πρώτη οὐσία, φάσκων "λέγω δὲ πρώτην ἣ μὴ λέγεται τῷ" κτλ. Alex.

1037b 4. ὅσα δὲ ὡς ἐν ὕλῃ θεωροῦνται, ταῦτα ἕν τι ὑπάρχουσιν ἀμφότερα, τὸ εἶδος καὶ ἡ ὕλη· τὸ δὲ ἓν τοῦτο οὐσιῶδές ἐστι καὶ οὐ κατὰ συμβεβηκός, ὥσπερ ὁ Σωκράτης καὶ ὁ μουσικὸς Σωκράτης κατὰ συμβεβηκός ἐστιν ἕν. Asclep.

1037b 6. ὡς ἐν ὕλῃ δὲ ἢ ὡς ἐν συνειλημμένῳ τῇ ὕλῃ τῷ Σωκράτει ἐστὶ τὸ μουσικόν· ὡς ὕλη γὰρ ὑπόκειται ὁ Σωκράτης τῷ μουσικῷ. καὶ ἐπὶ τούτῳ ὁ Σωκράτης καὶ τὸ μουσικὸν καθ' αὑτὸ μὲν οὐκ εἰσὶ ταὐτόν, κατὰ συμβεβηκὸς δέ. Alex.

1037b 8. ἐπειδὴ ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν δευτέρων Ἀναλυτικῶν ἐκίνησε τὸν περὶ ὁρισμῶν λόγον, φησὶν ἐνταῦθα ὅτι εἴ τι ἡμῖν ἐκεῖ παραλέλειπται περὶ ὁρισμῶν, ἐνταῦθα ἀναπληροῦμεν. Asclep.

νῦν περὶ τούτου τὴν ζήτησιν ποιεῖται, λέγων ὅτι ἐπειδὴ ἐν τοῖς ἀναλυτικοῖς (λέγοι δ' ἂν ἀναλυτικὰ τὸ Β τῶν Ὑστέρων Ἀναλυτικῶν), ἐπειδὴ οὖν ἐν ἐκείνοις τὴν περὶ ὁρισμῶν ζήτησιν οὐ τελείαν πεποιήκαμεν, ὅπερ ἐν ἐκείνοις μὴ εἴρηται, νῦν λέγωμεν· ἡ γὰρ ἐν ἐκείνοις ἀξία ζητηθῆναι ἀπορία καὶ μὴ ζητηθεῖσα, εἰ νῦν λεχθείη, προὔργου καὶ μεγάλα συντελέσει τοῖς περὶ τῆς οὐσίας καὶ τοῦ εἴδους λόγοις. ἡ δὲ ἀπορία, φησίν, ἔστι, διὰ τί ποτε τὸ ὁριστόν, οὗ τὸν λόγον φαμὲν εἶναι ὁρισμόν, ἐκ πλειόνων ἕν ἐστιν ἀλλ' οὐ πολλά. Alex.

1037b 10. ἔστι δὲ ἡ ἀπορία τοιαύτη, δι' ἣν αἰτίαν τὸν λόγον, τουτέστι τὸν ὁρισμόν, ἕνα φαμὲν εἶναι, ὥσπερ τοῦ ἀνθρώπου τὸ ζῷον δίπουν (ἔστω γὰρ νῦν καθ' ὑπόθεσιν καὶ οὕτως αὐτοῦ ὁ ὁρισμός)· διὰ τί γὰρ τοῦτο ἓν λέγομεν καὶ μὴ πολλά, φημὶ δὴ τὸ ζῷον δίπουν; ἐπὶ μὲν γὰρ ἄνθρωπος καὶ λευκὸς πολλὰ τὰ αὐτὰ ὑπάρχει, ὅταν μὴ συνυπάρχωσιν ἀλλήλοις, ἀλλὰ κεχωρισμένα εἰσὶν ἀπ' ἀλλήλων· ἓν δὲ γίνεται ὅταν

τῶν συνθέτων. καὶ πάλιν τὸ ποιεῖν πάντων ἰδέας καὶ πάντα χωρίζειν τὰ εἴδη οὐκ ἀληθές· πῶς γὰρ δυνατόν ἐστι χωρίσαι τὴν σιμότητα, ἥτις οὐ δύναται ὑποστῆναι ἄνευ ῥινός; τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν "τόδε ἐν τῷδε ἐστίν, ἢ ὡδὶ τάδε ἔχοντα," ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου καὶ τῶν σαρκῶν. εἶτα λοιπὸν μέμφεται τῷ Σωκράτει τῷ νεωτέρῳ, οὗ μέμνηται Πλάτων ἐν τῷ Πολιτικῷ· σύγχρονος δὲ οὗτος γεγονὼς Θεαιτήτου· ἔξω γάρ, φησί, τῆς ἀληθείας ὁ παρ' αὐτοῦ λόγος ἀπάγει ἡμᾶς· φησὶ γὰρ ὅτι δυνατὸν εἶναι τὸν ἄνθρωπον ἄνευ τῶν μερῶν, ὥσπερ τὸν κύκλον ἄνευ τοῦ χαλκοῦ. Asclep.

1036 b 23. τὸ δὲ πάντα ἀνάγειν καὶ ἰδέας ποιεῖν, χωρίζοντας τὴν ὕλην, περίεργον. ἐπ' ἐνίων γὰρ φανερὸν ὅτι τόδε ἐν τῷδε ἐστίν, οἷον τὸ εἶδος ἐν τῇ ὕλῃ· τὸ γὰρ τῆς οἰκίας εἶδος ἐν λίθοις καὶ ξύλοις ἐστὶ καὶ τὸ τοῦ ἀνδριάντος ἐν χαλκῷ, ἀλλ' οὐ χωριστὰ αὐτὰ καθ' αὑτά. καὶ τοῦτο ὁμολογοῦσι καὶ οἱ τὰς ἰδέας τιθέμενοι. εἰ δὲ τοῦτο, τίνος ἕνεκα αὐτῶν μὲν ἰδέαι οὐκ εἰσίν; τὸ δ' "ἴσως" πρόσκειται διὰ φιλόσοφον εὐλάβειαν, ἢ ὅτι τοῦτο δείξει μετ' ὀλίγον, λέγω δὴ τὸ μὴ εἶναι ἰδέας, ἢ καὶ διὰ τὰ προδεδειγμένα ἐν τῷ μείζονι ἄλφα καὶ τοῖς ἐφεξῆς. Alex.

εἰπὼν δὲ ὅτι ἔνια τάδε ἐν τῷδε ἐστιν, ἐπήγαγεν "ἢ ὡδὶ ἔχοντα·" ἡ γὰρ τοιαδὶ σύνθεσις τῶν λίθων καὶ τὸ ὡδί πως ἔχειν ἀλλὰ μὴ ὡδί ἐστιν ἡ οἰκία. ταῦτα εἰπὼν αἰτιᾶται τὸν νεώτερον Σωκράτην ὡς οὐ καλῶς ἐκ τῆς ἐπαγωγῆς κατασκευάζοντα τὸ εἶναι ἰδέας. νεώτερον δὲ Σωκράτην ἢ τὸν Πλάτωνα λέγει, ἤ, ὃ καὶ μᾶλλον, τὸν ὁμώνυμον τῷ τοῦ Πλάτωνος διδασκάλῳ Σωκράτην. ποιεῖται γάρ τινα Σωκράτην ὁ Πλάτων προσδιαλεγόμενον μετὰ τοῦ γηραιοῦ Σωκράτους. οὗτος δὲ ὁ Σωκράτης ἀπό τινος ἀληθοῦς κατασκευάζειν ἐπειρᾶτο ὅτι ἐστιν ἄνθρωπος ἄνευ μερῶν ὑλικῶν· ἔλεγε γὰρ ὅτι ὥσπερ ἄνευ χαλκοῦ καὶ ἄνευ λίθου καὶ ξύλου δύναται εἶναι κύκλος, οὕτως καὶ ἄνθρωπος χωρὶς σαρκῶν καὶ ὀστῶν. id.

1036 b 25. Σωκράτην νεώτερον οἱ μὲν ἔφασαν ὁμώνυμόν τινα τῷ παλαιῷ Σωκράτει εἶναι ὁμόχρονον τῷ Θεαιτήτῳ καὶ ἀδελφόν, ὃν τῷ παλαιῷ Σωκράτει προσδιαλεγόμενον ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ εἰσάγει. ἢ Σωκράτην νεώτερον αὐτὸν ἂν λέγοι τὸν Πλάτωνα καὶ μαθητὴν ὄντα Σωκράτους. cod. Reg.

1036 b 28. ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐκ ἀληθές· ὥσπερ γὰρ οὐκ ἔστιν εὑρεῖν κύκλον ὅλως ἄνευ σώματος, κἂν εἰ ἐν παντὶ στερεῷ καὶ οὐχ ὡρισμένῳ πέφυκε γίνεσθαι σώματι, οὕτως οὐδ' ἄνθρωπον ἄνευ σαρκῶν καὶ ὀστῶν ἐν ὑποστάσει δύναταί τις εὑρεῖν, ἀλλὰ χωρίζει μὲν αὐτὸν ἡ ἐπίνοια ἀπὸ τῶν κατὰ μέρος ἀνθρώπων, ὥσπερ καὶ τὸν κύκλον, ἐν ὑποστάσει δὲ ὡς ὁ Ἀλέξανδρος οὐ δύναται εἶναι, ἀλλ' εἰ καὶ τῶν καθ' ἕκαστα αὐτῶν ἀποσυλᾷ, ἀλλ' οὖν πάλιν μετὰ σαρκὸς καὶ ὀστῶν περιφαντάζεται αὐτόν. οὐκ ἔστιν οὖν, φησίν, ὅμοιον τὸ ἐπὶ τοῦ κύκλου παρὰ τοῦ νεωτέρου Σωκράτους λεγόμενον καὶ τὸ ἐπὶ τοῦ ζῴου· αἰσθητὸν γάρ τι τὸ ζῷον καὶ ἄνευ κινήσεως (λέγει δὲ κίνησιν τὴν ὕλην), καὶ ὑποκείμενον οὐκ ἔστιν ὁρίσασθαι, ἤτοι οὐκ ἔστι τὸ αἰσθητὸν ζῷον οἷον ἂν καὶ εἴη ἄνευ τοῦ ὑποκειμένου ὁρίσασθαι, εἴπερ τις ἀκριβῶς ὁρίζοιτο. ἐπεὶ οὖν οὐκ ἔστιν αὐτοζῷον, ὡς δέδεικται καὶ δειχθήσεται, ἀλλὰ πᾶν ζῷον ὕπαρξιν ἔχον αἰσθητόν ἐστιν (τὸ γὰρ καθόλου ζῷον οὐκ ἐν ὑπάρξει, ἀλλ' ἐπινοίᾳ), πῶς ἂν ζῷον αἰσθητὸν ἄνευ ὕλης ὁρισθείη; ἀλλὰ τὰ μὲν καθόλου χωρὶς ὕλης ὁρίζεται ἅτε ἐπινοίᾳ ὄντα, τὰ δὲ καθ' ἕκαστα οὐδαμῶς δύναται. διὰ δὲ τοῦ "αἰσθητὸν γὰρ τὸ ζῷον καὶ ἄνευ κινήσεως οὐκ ἔστιν ὁρίσασθαι" δηλοῖ τὸ πᾶν ζῷον αἰσθητόν ἐστι, πᾶν δὲ ζῷον αἰσθητὸν οὐ δύναται ὁρισθῆναι ἤτοι ὕπαρξιν ἔχειν ἄνευ σαρκῶν καὶ ὀστῶν· οὐ δύναται οὖν ζῷον αἰσθητὸν ἄνευ τῶν μερῶν αὐτοῦ ἐχόντων πως ἢ εἶναι ἢ ὅλως ὁρισθῆναι. Alex.

ἐντεῦθεν περὶ τῶν ἡμικυκλίων ζητεῖ, καὶ φησι διὰ τί μὴ λέγομεν μέρη τοῦ κύκλου τὰ ἡμικύκλια; οὔτε γὰρ αἰσθητὰ ταῦτα, ὥσπερ σάρκες καὶ νεῦρα. Asclep. 1036 b 32.

εἰπὼν πρότερον ὅτι ἐπὶ μὲν τῷ τῆς συλλαβῆς λόγῳ λαμβάνεται τὰ στοιχεῖα διὰ τὸ μὴ εἶναι ὕλης μέρη ἀλλ' εἴδους, ἐπὶ δὲ τοῦ κύκλου οὐ λαμβάνεται τὰ ἡμικύκλια, ὅτι ἔνυλά εἰσι καὶ μέρη ὕλης, συνεῖδεν ἔνστασίν τινα δυναμένην πρὸς τὸν λόγον φέρεσθαι, ἣν παρατίθησι καὶ λύει. ἔφθημεν δὲ ἡμεῖς εἰπόντες ὅτι περὶ τῆς συλλαβῆς ἔλεγεν, ὅπως τὰ μὲν ἡμικύκλια ὕλης εἰσὶ μέρη, τὰ δὲ στοιχεῖα οὐκ εἰσίν· καὶ οἶμαι καὶ ταῦτα ἐκείνοις ἔδει συντάττεσθαι, καὶ ἴσως ὑπὸ μὲν Ἀριστοτέλους συντέτακται (ἐν οὐδεμιᾷ γὰρ τῶν ἄλλων αὐτοῦ πραγματειῶν εὑρίσκεται τοιοῦτόν τι πεποιηκὼς ὁποῖα ἐνταῦθα φαίνεται), ὑπὸ δὲ τοῦ Εὐδήμου κεχώρισται. ἔστι δὲ ἡ ἔνστασις τοιαύτη· διὰ τί οὐκ εἰσὶν οἱ λόγοι τῶν ἡμικυκλίων ἤτοι τὰ ἡμικύκλια μέρη τοῦ λόγου τοῦ κύκλου; οὐ γάρ ἐστιν αἰσθητά, ὡς ὁ χαλκὸς καὶ τὰ ὀστᾶ καὶ αἱ σάρκες, ἵνα ὡς ὕλης μέρη ταῦτα λέγηται. εἰ δ' οὐκ εἰσὶν ὑλικά, διὰ τί οὐκ ἐν τῷ τοῦ κύκλου λόγῳ ἐλήφθη; καὶ λύει ταύτην λέγων "ἢ οὐδὲν διαφέρει;" κἄν τε γὰρ αἰσθητά ἐστι τὰ ἡμικύκλια κἄν τε μὴ αἰσθητά, ὕλης εἰσὶ μέρη καὶ ὕλη· οὐ γὰρ πᾶσα ὕλη αἰσθητή. οὐδὲ πάλιν μόνον τῶν αἰσθητῶν ἐστὶν ὕλη, ἀλλ' ἔστι καὶ ὕλη μὴ αἰσθητή, ἔστι καὶ ὕλη μὴ αἰσθητῶν, καὶ οὐδὲν κωλύει μὴ αἰσθητῶν ὄντων τῶν τμημάτων εἶναι αὐτῶν ὕλην οὐκ αἰσθητήν. καὶ ἁπλῶς παντός, ὃ μή ἐστι τί ἦν εἶναι καὶ εἶδος αὐτὸ καθ' αὑτό, ἔστι τούτου ὕλη· ὥστε δῆλον ἐκ τούτου ὅτι καὶ ὁ καθόλου ἄνθρωπος, ἐπειδὴ μή ἐστι καθ' αὑτόν, ἔστι καὶ αὐτοῦ ὕλη, ἀλλὰ νοητή· ἡ μὲν γὰρ τῶν ὑλῶν αἰσθητή ἐστιν ἡ δὲ νοητή· ὥστε δῆλον ὅτι τοῦ μὲν καθόλου κύκλου τὰ ἡμικύκλια οὐκ ἔσται μέρη ταῦτα, ὥσπερ εἴρηται. ὁ μὲν γὰρ καθόλου κύκλος ἤτοι τὸ εἶδος τοῦ κύκλου τὸ νοητὸν ἀμερὲς καὶ ἀδιάστατον, ὁ δὲ καθ' ἕκαστα κύκλος μέρη ἔχει καὶ διαστατόν ἐστιν. πῶς δὲ τὰ ἡμικύκλια, κἂν νοητὰ εἴη, ὕλη εἰσίν, εἴπομεν ἱκανῶς, ὅτι ἡ διάστασις, ἣν ὅτι ἔχει νοοῦμεν, ὕλης ἐστίν· τὸ γὰρ εἶδος ἀδιάστατον καὶ ἀμερές, τὴν δὲ διάστασιν ἔχει διὰ τὴν ἐν ᾗ ἐστὶν ὕλην. ἐκ πάντων δὲ δῆλόν ἐστιν ὅτι ἡ μὲν ψυχὴ οὐσία ἐστὶν ἡ πρώτη, τουτέστι τὸ εἶδος, τὸ δὲ σῶμα ὕλη. περὶ δὴ τούτων ἀκριβῶς ἐρρέθη ἐν τῷ β' τῶν περὶ Ψυχῆς, ὅτι τὸ μὲν σῶμά ἐστιν ὕλη, ἡ δὲ ψυχὴ εἶδος, ὁ δὲ καθόλου ἄνθρωπός ἐστι τὸ ζῷον ἐξ ἀμφοῖν, τοῦ τε καθόλου σώματος καὶ τῆς καθόλου ψυχῆς. Alex.

ἰστέον οὖν ὅτι οὐδὲν διαφέρει τοῦ λέγειν σάρκα ἢ ἡμικύκλιον· 1036 b 34.
ἔστι γὰρ ἡ ὕλη ἐπ' ἐνίων καὶ μὴ ὄντων αἰσθητῶν καὶ παντὸς πράγματος, μὴ ὄντος εἴδους χωριστοῦ· ὥστε τοῦ καθόλου κύκλου τοῦ διαστατοῦ οὐχ ὑπάρχουσι μέρη ταῦτα τὰ ἡμικύκλια, εἴγε καὶ διαστατὰ αὐτὰ ὑπο-

γίνεσθαι, ὅμως οὐκ ἂν ἦν οὐδὲ τότε χαλκὸς τῆς οὐσίας αὐτοῦ, εἴπερ οὐδὲ νῦν ἐςί, κἂν χαλεπόν ἐςι καὶ οὐ ῥᾴδιον τὸ χωρίσαι τοῦτον ἀπὸ τοῦ χαλκοῦ· νῦν γὰρ τοῦτο ὁρατόν ἐςιν, λέγω δὴ τὸ χωρίζειν αὐτὸν ἀπὸ τοῦ χαλκοῦ. οὕτω καὶ τὸ τοῦ ἀνθρώπου εἶδος, εἰ καὶ ἀεὶ ἐν τοῖς αὐτοῖς γίνεται, ὅμως οὐδέν ἐςι τῆς οὐσίας αὐτοῦ τὰ ὀςᾶ καὶ αἱ σάρκες. καὶ ὃ μὲν εἰπεῖν βούλεται τοῦτό ἐςιν, αὐτὸς δὲ οὐ κατὰ ἀπόφασιν τὸν λόγον προήνεγκεν, ἀλλὰ κατ' ἐρώτησιν λέγων, οἷον τὸ τοῦ ἀνθρώπου εἶδος ἀεὶ ἐν σαρξὶ γίνεται καὶ ὀςοῖς· ἆρ' οὖν ἐςὶ ταῦτα μέρη τοῦ εἴδους καὶ τοῦ λόγου; καὶ ἐρωτήσας ἀποκρίνεται λέγων "ἢ οὔ," τουτέςιν ἢ οὐκ εἰσὶ μέρη αὐτοῦ οὐδαμῶς, ἀλλ' ὕλη εἰσίν· ἀλλὰ διὰ τὸ μὴ καὶ ἐπ' ἄλλων ἐπιγίνεσθαι τὸ τοῦ ἀνθρώπου εἶδος, ὥσπερ τοῦ κύκλου, ἀδυνατοῦμεν χωρίσαι. id.

1036 b 2. καὶ οὕτως γὰρ οὐδὲν ἦν ὁ χαλκὸς τῆς τοῦ κύκλου οὐσίας. Asclep.

1036 b 7. ἐπεὶ δὲ τοῦτο μέν, λέγω δὲ τὸ εἶδος τοῦ ἀνθρώπου, χωρίζειν τῇ ἐπινοίᾳ τῶν σαρκῶν καὶ ὀςῶν ἐνδέχεται, ἄδηλον δέ ἐςι πότε χωρισθήσεται· οὐ γάρ ἐςι δῆλον· ὥσπερ ἐπὶ τοῦ κύκλου ἀποροῦσί τινες, λέγων τινὰς τοὺς Πυθαγορείους, καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου καὶ τῆς γραμμῆς λέγοντες ὡς οὐ χρὴ ταῦτα γραμμαῖς ὁρίζεσθαι καὶ λέγειν, κύκλος ἐςὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἢ τρίγωνον τὸ ὑπὸ τριῶν γραμμῶν, ἢ πάλιν γραμμή ἐςι μῆκος συνεχὲς ἐφ' ἓν διαςατόν· ἡ γὰρ γραμμὴ τῷ τε κύκλῳ καὶ τῷ τριγώνῳ ὡς ὕλη ὑπόκειται, ὁμοίως δὲ καὶ τὸ συνεχὲς τῇ γραμμῇ, ὥσπερ καὶ αἱ σάρκες καὶ τὰ ὀςᾶ τῷ ἀνθρώπῳ καὶ ὁ χαλκὸς τῷ ἀνδριάντι· εἰ οὖν τὸν ἄνθρωπον διὰ τῶν ὀςῶν καὶ σαρκῶν μὴ ὁριζόμεθα διὰ τὸ εἶναι μέρη ὑλικά, οὐδ' ἄρα τὸν κύκλον καὶ τὸ τρίγωνον διὰ τῆς γραμμῆς ὁρίζεσθαι χρή, οὔτε τὴν γραμμὴν διὰ τοῦ συνεχοῦς, καὶ διὰ τοῦτο, λέγω δὴ τὸ λέγειν ὅτι ἡ γραμμὴ καὶ τὸ συνεχὲς ὡς ὕλη ἐν τῷ τριγώνῳ καὶ τοῖς λοιποῖς εἰσίν, ἀνάγουσι ταῦτα πάντα εἰς τοὺς ἀριθμούς, διὰ τὸ ἀΰλους αὐτοὺς εἶναι καὶ μὴ ἔχειν ὑποκείμενόν τι ὡς ὕλην, ἀλλ' αὐτοὺς καθ' αὑτοὺς εἶναι, καί φασιν ὅτι ὁ λόγος τῆς γραμμῆς ἐςὶν ὁ τῆς δυάδος· ἐπειδὴ γὰρ δυάς ἐςι τὸ πρῶτον διαςατόν (εἰς πρώτην γὰρ τὴν δυάδα ἡ μονὰς διέςη, καὶ οὕτως εἰς τὴν τριάδα καὶ τοὺς ἑξῆς ἀριθμούς), εἴπερ ὁριζόμεθα φασὶ τὴν γραμμήν, οὐ χρὴ λέγειν αὐτὴν ποσὸν ἐφ' ἓν διαςατόν, ἀλλὰ γραμμή ἐςι τὸ πρῶτον διαςατόν· τὸ γὰρ πρῶτον οὐχ ὡς ὕλη ἐςὶ καὶ ὑπόκειται τῇ γραμμῇ, ὥσπερ τὸ συνεχές. καὶ τῶν τὰς ἰδέας λεγόντων οἱ μέν φασιν ὅτι ἡ αὐτογραμμὴ ἤτοι τὸ εἶδος τῆς γραμμῆς, ὅπερ ἐςὶν ἕτερον παρὰ τὰς καθ' ἕκαςον γραμμάς, ἡ δυάς ἐςιν, οἱ δὲ λέγουσιν ὅτι οὐκ ἔςιν ἡ αὐτογραμμὴ ἡ δυάς, ἀλλ' αὐτογραμμή ἐςι τὸ εἶδος τῆς γραμμῆς. καί φασιν οἱ οὕτω λέγοντες ὅτι κοινὰ μὲν τό τε εἶδος καὶ τὸ οὗ ἐςὶν εἶδος, ταὐτά ἐςιν, οἷον ὁ ἄνθρωπος καὶ ὁ Σωκράτης, οὗ ἐςὶν εἶδος ὁ ἄνθρωπος, ταὐτόν εἰσι, καὶ ἡ αὐτοδυὰς καὶ ἥδε ἡ δυάς, ἧς ἐςὶν εἶδος ἡ αὐτοδυάς, ταὐτά ἐςιν. ἐπὶ δὲ τῆς γραμμῆς τοῦτο οὐ συγχωροῦσιν, ἀλλὰ τὴν μὲν γραμμὴν τήνδε τὴν μερικὴν εἶναι γραμμὴν λέγουσιν, τὸ δὲ εἶδος αὐτῆς μὴ εἶναι γραμμὴν ἀλλὰ δυάδα. καὶ ἐνίςαται εὐθὺς πρὸς τὸν λέγοντα λόγον μὴ εἶναι γραμμὴν τὴν ὡς εἶδος γραμμήν, ἀλλὰ δυάδα, λέγων "συμβαίνει δὴ κτλ." Alex.

ἀποροῦσί τινες καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου, ὅτι οὐδὲ τῶν 1036 b 8.
γραμμῶν ὑπάρχουσιν ὁρισμοὶ οὐδὲ τῶν συνεχῶν, τουτέςι τῶν μεγεθῶν· καὶ ταῦτα γὰρ πάντα, φησίν, ὁμοίως λέγεται ὥσπερ αἱ σάρκες καὶ ὀςᾶ· οὐ δυνατὸν γὰρ χωρίζεσθαι αὐτὰ τῶν γραμμῶν, ὥσπερ οὐδέποτε ἐκεῖνα τῶν σαρκῶν. καὶ ἐντεῦθεν λοιπὸν ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμούς, παράδειγμα λέγοντες αὐτούς, καὶ τούτων φασὶν εἶναι τοὺς ὁρισμούς· αὐτὰ γὰρ ὑπάρχουσι τὰ χωριςὰ ὕλης. καὶ μὴ συνεπιφέρων τὸν ὄχλον τὸν ἐξ αὐτῆς καὶ τὸ παράδειγμα τῆς γραμμῆς τὴν δυάδα φησίν, ἐπειδὴ ἔχει δῆλον πρώτη τὸ πόθεν ποιεῖ. καὶ πάλιν οἱ τὰς ἰδέας πρεσβεύοντες οἱ μὲν τὸ παράδειγμα τῆς γραμμῆς τὴν δυάδα λέγουσι   ἰδέαν τῆς γραμμῆς· ἔνια γὰρ ὑπάρχουσι   εἶδος καὶ κατὰ τὸ πρᾶγμα· τὸ γὰρ πρᾶγμα ἐδήλωσεν εἰπὼν "καὶ οὗ τὸ εἶδος." τὰ ἁπλᾶ, τουτέςιν ἡ δυάς· οὐκ ἀνάγκη γὰρ τὸν λόγον τῆς δυάδος θεωρεῖσθαι ἔν τινι, ὥσπερ τὴν γραμμὴν ἢ τὸν κύκλον. διό φασιν οἷον δυάδα καὶ τὸ εἶδος τῆς δυάδος· ἐπὶ δὲ τῆς γραμμῆς οὐκέτι· ἔνυλος γάρ ἐςιν ἡ γραμμή. τοῖς οὖν ταῦτα λέγουσι συμβαίνει ἓν πρᾶγμα, τουτέςι τὴν δυάδα, πολλῶν εἶναι ἰδέαν διαφόρων κατ' εἶδος, ὅπερ καὶ τὸν Πυθαγόραν συνέβαινε λέγειν τὴν τετράδα ἰδέαν εἶναι καὶ φιλίας καὶ δικαιοσύνης καὶ ἄλλων πολλῶν. ἐνδέχεται οὖν πάντων ἓν εἶδος ποιεῖν· εἰ γὰρ δύο τὸ αὐτὸ εἶδος, διὰ τί μὴ καὶ πλειόνων; καὶ οὕτως ἔσονται πάντα ἕν, ὡς ἔδειξεν ἡ θεωρία. Asclep.

γρ. ἢ ἀνδριάντος. cod. Reg. 1036 b 11. 12.

γρ. πάντως. id.

γρ. καὶ αὐτογραμμῆς. id.

συμβαίνει δὴ ἓν τῶν πολλῶν εἶδος εἶναι, τουτέςιν ἐκ τούτου 1036 b 17.
τοῦ λόγου συμβαίνει ἓν εἶδος εἰδικώτατον πολλῶν καὶ διαφερόντων τῷ εἴδει εἶναι· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "ὧν τὸ εἶδος φαίνεται ἕτερον·" ἡ γὰρ αὐτή ἐςι δυὰς τῶν κατὰ μέρος γραμμῶν, ἔςι δὲ ἡ αὐτὴ εἶδος καὶ τῶν κατὰ μέρος δυάδων, αἱ δὲ μερικαὶ γραμμαὶ καὶ δυάδες διαφέρουσι τῷ εἴδει· ἔςιν ἄρα ἓν εἶδος δύο διαφερόντων τῷ εἴδει. εἰ δὲ τοῦτο, διὰ τί οὐκ ἔςαι ἡ αὐτὴ δυὰς εἶδος καὶ τῶν μερικῶν ἀνθρώπων καὶ ἵππων καὶ βοῶν καὶ ἁπλῶς ἁπάντων; τίς γὰρ ἡ ἀποκλήρωσις δυοῖν μὲν εἶναι εἶδος διαφερόντοιν τὸ εἶδος, τῶν δὲ ἄλλων μὴ εἶναι; ὥςε συμβαίνει ἐκ τούτου ἓν πάντων εἶναι εἶδος καὶ μὴ εἶναι πολλὰς ἰδέας, καὶ ἔσονται πάντα ἓν καὶ μιᾶς φύσεως οἵ τε ἄνθρωποι καὶ οἱ ἵπποι καὶ τὰ ἄλλα πάντα· ὧν γὰρ τὸ εἶδος ἕν, καὶ ἡ φύσις αὐτῶν μία. Alex.

οἱ γὰρ Πυθαγόρειοι, ὡς κἂν τοῖς ὄπισθεν εἴρηται, τὸν αὐτὸν καὶ ἕνα 1036 b 20.
ἀριθμόν, οἷον τὸν ε', καὶ δίκαιον ἐκάλουν ὡς ἐξισάζοντα τοὺς ἐντὸς τῆς δεκάδος ἅπαντας ἀριθμούς, καὶ ἄδικον, ὅτι ὁ ἐξ αὐτοῦ τετράγωνος μόνος δύναται ἴσον τοῖς δυσὶ τετραγώνοις, τῷ τε ἀπὸ τοῦ δ' καὶ τῷ ἐκ τοῦ γ'· τὸ γὰρ πεντάκις ε' ἴσον τῷ τετράκις δ' καὶ τρὶς γ'. ὥςε συμβαίνει καὶ τούτοις τὸν αὐτὸν καὶ ἕνα ἀριθμὸν δύο τινὰ εἰπεῖν τῷ εἴδει διαφέροντα. cod. Reg.

φησὶν ὅτι ἄπορος ὁ περὶ ὁρισμῶν λόγος, εἴγε τῶν εἰδῶν 1036 b 21.
ὑπάρχουσιν οἱ ὁρισμοί, αὐτὰ δὲ καθ' αὑτὰ τὰ εἴδη οὐ ῥᾴδιόν ἐςιν ἑλεῖν, ἐπειδὴ μήτε ἴσμεν ποῖα μέρη ὑπάρχουσι τῶν εἰδῶν καὶ ποῖα

χάριν προείρηται· αὐτὸς δὲ πάλιν τὸν τρόπον καθ' ὃν δεῖ ἀποκρίνεσθαι ὑφηγεῖται, λέγων "εἰ μὲν γάρ ἐστι καὶ ψυχὴ τὸ ζῷον," τουτέστιν, εἰ μὲν γάρ ἐστιν ἡ ψυχὴ τὸ κατὰ τὸ εἶδος ζῷον, ἤτοι εἰ μέν ἐστιν ἡ ψυχὴ τὸ τοῦ ζῴου εἶδος, καὶ τὸ τί ἦν εἶναι ζῴῳ εἶναι· εἰ δὲ μή ἐστιν ἡ ψυχὴ τὸ ζῴῳ εἶναι, ἀλλ' ἔστι τὸ ζῴῳ εἶναι τὸ ἔμψυχον. Alex.

ὥς φησιν ὁ ἡμέτερος διδάσκαλος, ὅτι ἐνταῦθα τὰ αὐτὰ λέγει, ἔτι ἀσαφέστερον ποιῶν τὸν λόγον. καί φησιν ὅτι ἐάν τις ἡμᾶς ἔρηται πότερον ἡ ὀρθὴ καὶ ὁ κύκλος καὶ τὸ ζῷον καὶ ἁπλῶς εἰπεῖν τὰ ὅλα πρότερα ὑπάρχουσιν ἢ τὰ μέρη αὐτῶν, οὐ δεῖ ἁπλῶς καὶ ἀβασανίστως ἀποκρίνεσθαι. εἰ μὲν γάρ ἐστι καὶ ἡ ψυχὴ ζῷον, καὶ μέρος τοῦ ἐμψύχου τὸ ζῷον· ἡ ἑκάστου γὰρ ψυχὴ ὃ ἕκαστόν ἐστιν· καὶ πάλιν μέρος τοῦ κύκλου ἐστὶ τὸ εἶναι κύκλῳ καὶ ὀρθῆς τὸ ὀρθῇ εἶναι, τουτέστι τὸ ἄϋλον εἶδος τῆς ὀρθῆς. ἐὰν οὖν, φησίν, ἔρηταί τις ἡμᾶς, φατέον ὕστερα εἶναι ἐκεῖνα ὧν ἐν τῷ ὁρισμῷ τὰ μέρη παραλαμβάνονται· εἰς γὰρ τὸν ὅρον τῆς τινὸς ὀρθῆς, οἷον τῆς χαλκῆς, περιλαμβάνεται ἡ ἁπλῶς ὀρθή, ὥστε προτέρα ὑπάρχει καὶ ἐν ταῖς γραμμαῖς ταῖς καθ' ἕκαστα ἡ ἁπλῶς γραμμή. ἡ τοίνυν ἄνευ ὕλης, τουτέστιν ἡ καθόλου, ὑστέρα ἐστὶν ἐκείνων τῶν παραλαμβανομένων. Asclep.

1036a εἰ δὲ μή ἐστιν ἡ ψυχὴ τὸ ζῴῳ εἶναι, ἀλλ' ἔστι τὸ ζῴῳ εἶναι τὸ
16. ἔμψυχον, ἢ εἰ μηδέ ἐστι τὸ ἔμψυχον τὸ ζῴῳ εἶναι, ἀλλ' ἔστιν ἕκαστον ἡ ἑκάστου ψυχή, καὶ κατὰ ταύτην εἰδοποιεῖται, οἷον ὁ ἄνθρωπος κατὰ τὴν ἑαυτοῦ, καὶ ὁ ἵππος ὁμοίως κατὰ τὴν οὐσίαν, καὶ ὅλως ἕκαστον κατὰ τὴν ἰδίαν· ὡσαύτως καὶ εἰ ἔστιν ὁ κύκλος τὸ κύκλῳ εἶναι καὶ ἡ ὀρθὴ τὸ ὀρθῇ εἶναι. εἰ δὴ τοῦθ' οὕτως ἔχει, τί μὲν καὶ τίνος φατέον ὕστερον, οἷον τῶν ἐν τῷ λόγῳ, τουτέστι τί μὲν μέρος καὶ τίνος χρὴ λέγειν ὕστερον, τί δὲ οὐχ ὕστερον ἀλλὰ πρότερον τοῦ ὅλου; τί μὲν οὖν, φησί, τῶν ἐν τῷ λόγῳ. λόγον δὲ ἐνταῦθα οὐ τὸ εἶδος λέγει, ἀλλὰ παραδόξως τὸ ἐξ ὕλης καὶ εἴδους. τούτων οὖν τῶν ἐν τῷ λόγῳ τί φατέον ὕστερον τοῦ ὅλου; καὶ τοῦ ὅλου δὲ οὐχ ἁπλῶς· οὐ γὰρ καὶ τοῦ κατὰ τὸ εἶδος, ἀλλὰ τοῦ τινὸς καὶ συνθέτου, οἷον τῆς τινὸς ὀρθῆς τῆς μετὰ τῆς ὕλης. Alex.

1036a γρ. ἢ ἑκάστου. cod. Reg.

17. ἡ μὲν οὖν μετὰ τῆς ὕλης γωνία ἢ σφαῖρα ἢ ὅτι ἂν εἴη, τῶν μο-
1035a 20. ρίων αὐτῆς προτέρα ἐστίν, ἡ δὲ ἄνευ ὕλης τῶν μὲν ἐν τῷ λόγῳ ὑστέρα. Alex.

εἰς ὥσπερ ἀρχὴ τοῦ ζῴου, εἰ παραλαμβάνοιτο τὸ ζῷον εἰς τὸν ὁρισμὸν τῆς ψυχῆς. τῶν δὲ καθ' ἕκαστα μορίων προτέρα, ἅτε δὴ καὶ εἰς τὸν ὁρισμὸν αὐτῶν παραλαμβανομένη, ὡς ἀνωτέρω εἴρηται. εἰ δὲ ὑστέρα ἐστὶν ἡ ψυχὴ παρὰ τὸ ζῷον, οὐ δεῖ λέγειν τὸ πρότερον τὸ ζῷον. ὥστε ἐντεῦθεν κρίνονται, οὕτως δεῖ λέγειν τὰ μὲν πρότερα εἶναι τὰ δὲ οὔ. ἰστέον ὅτι ὁ πυρετός, ἡνίκα ἐπιπόλαιός ἐστι, τότε συμβεβηκός, εἴγε φθαρτικός ἐστι τῆς οὐσίας· τὰ γὰρ πράγματα ἐκ τῶν τελῶν χαρακτηρίζονται, οἷον ποσὸν λέγομεν τὸ εἰς μέγεθος τελευτῆσαν καὶ ποιὸν τὸ εἰς τὸ χρῶμα· οὕτως οὖν καὶ συμβεβηκός ἐστι τὸ φθεῖραν τὸ ὑποκείμενον. εἰ τοίνυν ὁ πυρετὸς φθείρει τὴν οὐσίαν, οὐκ ἄρα συμβεβηκός ἐστιν. Asclep.

1036a
23. οὕτω μὲν δεῖ πρὸς τὴν ἐρώτησιν ἀπαντᾶν· ἁπλῶς δὲ καὶ διορίστως ὅτι τὸ μέρος πρότερον ἢ τὸ ὅλον, οὐδαμῶς ἀποκριτέον. εἰπὼν δὲ εἰ μέν ἐστιν ἡ ψυχὴ ζῷον, τὰ μέρη αὐτῆς φατέον πρότερα τοῦ ζῴου, καὶ τὰ λοιπὰ ὅσα εἴρηται, τὴν ἀπόδοσιν τοῦ μὲν συνδέσμου ποιεῖται λέγων, εἰ δὲ μή ἐστιν ἡ ψυχὴ ζῷον· ὡς εἶναι τὴν τοῦ λόγου συνέχειαν τοιαύτην· εἰ μέν ἐστιν ἡ ψυχὴ ζῷον, τὰ μέρη αὐτῆς φατέον πρότερα τοῦ ὅλου· εἰ δὲ μή ἐστιν ἡ ψυχὴ ζῷον, ἤτοι κατὰ τὸ εἶδος ζῷον, καὶ οὕτω τὰ μὲν φατέον τῶν μερῶν πρότερα τὰ δ' οὐ φατέον· ὁποῖον γὰρ ἂν εἴη τὸ τῶν ζῴων εἶδος, τὰ μέρη αὐτοῦ πρότερα ἔσονται τῆς αὐτοῦ ὁλότητος. Alex.

δείξας ἀνωτέρω ὅτι τὰ μέρη τοῦ ἀΰλου εἴδους πρότερα ὑπάρ- 1036a
χουσι τοῦ ὅλου, ὡς εἰς τὸν ὁρισμὸν αὐτοῦ παραλαμβανόμενα, τὰ 26.
μέντοι γε μέρη τοῦ ὁρισμοῦ δεύτερα τοῦ ὅλου, ἐντεῦθεν ἀπορεῖ, καὶ εἰκότως ἀπορεῖ, ὅτι ὅλως ἀγνοοῦμεν ποῖα μέρη εἰσὶ τοῦ ἀΰλου εἴδους καὶ ποῖα τοῦ συνθέτου. πῶς οὖν ἔχομεν διαγνῶναι τοῦ πράγματος ἀγνοουμένου; τούτου γάρ, φησί, μὴ δήλου ὄντος οὐκ ἔστιν ὁρίσασθαι ἕκαστον, εἴγε οἱ μὲν ὁρισμοὶ τῶν εἰδῶν ὑπάρχουσιν, ἡμεῖς δὲ ἀγνοοῦμεν τὰ εἴδη τὰ ἄϋλα καὶ χωριστά. εἶτά φησιν ὅτι ἐπ' ἐκείνων τῶν θεωρουμένων ἐν πλείοσιν ὑποκειμένοις δυνατόν ἐστι γνῶναι τὰ μέρη τοῦ εἴδους... φησὶν ὅτι ἀπορεῖται ποῖα ἄρα ὑπάρχουσι τοῦ εἴδους αὐτοῦ καθ' αὑτὸ λαμβανομένου μέρη καὶ ποῖα τοῦ συνθέτου· τούτου γὰρ μὴ γνωσθέντος οὐκ ἔστιν ὁρίσασθαι... ἀμέλει τοι οἱ Πυθαγόρειοι καὶ οἱ τὰς ἰδέας πρεσβεύοντες καὶ πρὸς τὰ μαθηματικὰ ἐνιστάντων λέγοντες οὕτως, ὅτι οὐδὲ ταῦτα δυνατόν ἐστιν ὁρίσασθαι· ἔχουσι γὰρ καὶ αὐτὸ τὸ εἶναι ἐν ταῖς γραμμαῖς, οἷον ὁ κύκλος καὶ τὸ τρίγωνον, καὶ οὐ δυνατὸν εἶναι ἄνευ αὐτῶν· ὥσπερ γὰρ τὰ ζῷα οὐ δύναται εἶναι ἄνευ σαρκῶν καὶ ὀστέων, οὕτως οὐδὲ ταῦτα δύνανται εἶναι ἄνευ γραμμῶν· καὶ ἐντεῦθεν ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμοὺς καὶ τὰς ἰδέας, λέγοντες οὕτως, οἷον τὴν γραμμὴν δυάδα, τὴν ἐπιφάνειαν τριάδα, τὸ δὲ στερεὸν τετράδα. καὶ τῶν παραδειγμάτων τούτων φησὶν εἶναι τοὺς ὁρισμούς, ἐπειδὴ εἰ δὴ αὐτὰ ὑποτίθενται, καὶ οἱ μὲν αὐτῶν φασὶ γραμμὴν εἶναι τὴν δυάδα, καὶ παράδειγμα τῆς γραμμῆς τὴν δυάδα οἴονται, οἱ δὲ αὐτὸ τὸ εἶδος τῆς γραμμῆς φασὶν εἶναι παράδειγμα τῆς γραμμῆς αὐτοῖς ὁ Ἀριστοτέλης λέγων ὅτι εἰ τὴν δυάδα φατὲ εἶδος καὶ παράδειγμα εἶναι καὶ τῆς δυάδος καὶ τῆς γραμμῆς, διὰ τί μὴ καὶ πλειόνων; Asclep.

τοῦτο γὰρ καθόλου καὶ τῶν εἰδῶν ὑπάρχουσιν οἱ ὁρισμοί· πρὸς δὲ 1036a
τοὺς ὁρισμοὺς τῶν εἰδῶν δεόμεθα τῶν μερῶν αὐτῶν, ὡς ἀνωτέρω 28.
εἴρηται. ἀγνοουμένων οὖν τῶν μερῶν ἀγνοοῦνται καὶ οἱ ὁρισμοί, ὥστε καὶ τὰ εἴδη, καὶ φροῦδά φησι πάντα κατ' αὐτούς. id.

τὸ συνειλημμένον τοῦ συνθέτου ἐστὶ δηλωτικόν. Alex. 1036a
27.

τούτων δῆλά ἐστι τὰ ὡς ἐν ὕλῃ μέρη. ὅσα δὲ μὴ χωρίζεται 1036a
ἀλλ' ἀεὶ ἐν αὐτοῖς γίνεται, ὥσπερ ὁ ἄνθρωπος ἀεὶ ὀστοῖς καὶ σαρξὶ καὶ 31.
νεύροις, καὶ ὁ ἵππος παραπλησίως, καὶ ἁπλῶς τὰ ζῷα, τούτων οὐκ ἔστι προφανῆ τίνα τὰ ὡς ἐν ὕλῃ μέρη. καὶ ἐπὶ τούτων οὖν, φησίν, οὐδὲν κωλύει ὁμοίως ἔχειν τῷ κύκλῳ· ὥσπερ γὰρ ὁ χαλκὸς καὶ τὸ ξύλον οὐδέν εἰσι τῆς τοῦ κατὰ τὸ εἶδος κύκλου οὐσίας, οὕτως οὐδ' αἱ σάρκες καὶ τὰ νεῦρα τῆς κατὰ τὸ εἶδος τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου οὐσίας εἰσίν· ὥσπερ γὰρ κἂν οἱ κύκλοι πάντες ἦσαν χαλκοῖ καὶ μὴ ἐνεδέχετο ἐν ἄλλῳ ὑποκειμένῳ τὸ τοῦ κύκλου εἶδος γίνεσθαι, ἀλλ' ἀεὶ ἐν χαλκῷ ἦν, ἐφαίνετο ἂν χαλκὸς ὅτι τῆς οὐσίας αὐτοῦ ἐστὶ διὰ τὸ μὴ ἐν ἄλλῳ

[illegible] ταῦτα ἐροῦσι, τῷ εἴδει δὲ τὰ αὐτά (ἔσται γὰρ πάλιν τῶν ἰδεῶν ἰδέα), ἀλλὰ καὶ τῷ ἀριθμῷ καὶ τῷ εἴδει ἕτερα. καὶ πρῶτον μέν, ὧν ἡ οὐσία ζῷον, ἄπειρα ἔσονται καὶ ἕτερα, ὥσπερ ὁ μύρμηξ τοῦ ἵππου καὶ οὗτος λέοντος καὶ οὗτος βοὸς καὶ οὗτος ἄλλου· καὶ πῶς εἴποιτε τοῦτο; ἔπειτα εἰπάτωσαν τίς ἡ φύσις τοῦ ἐν τῷ ἀνθρώπῳ ζῴου καὶ τοῦ ἐν ἵππῳ, ἐπειδὴ καὶ τῷ ἀριθμῷ καὶ τῷ εἴδει εἰσὶν ἕτερα. εἰπὼν δὲ ὅτι "οὐκοῦν ἄπειρα ὡς εἰπεῖν ἔσται ὧν ἡ οὐσία ζῷον," πῶς τὸ ζῷον οὐσίαν εἴρηκεν ἐπήγαγεν· "οὐ γὰρ κατὰ συμβεβηκὸς ἐκ ζῴου ὁ ἄνθρωπος," ἀλλὰ δῆλον ὡς ἐξ οὐσίας, ὥστε ἐστὶ τὸ ζῷον οὐσία. ἐπειδὴ δὲ οἱ τὰς ἰδέας τιθέμενοι καὶ αὐτουσίαν ἔλεγον αὐτὴν καθ' αὑτήν, ἔστι δὲ καὶ τὸ αὐτοζῷον οὐσία, πολλὰ ἔσται τὸ ζῷον· οὐσία τε γὰρ τὸ ἐν ἑκάστῳ ζῷόν ἐστιν· οὐ γὰρ ὥσπερ λευκὸν εἰπόντες ἄλλο τι λέγομεν, ξύλον φέρε ἢ ἄνθρωπον, οὕτω καὶ τὸ ζῷον οὐσίαν λέγοντες ἄλλο τί φαμεν καὶ κατ' ἐκεῖνο τὸ ἄλλο τοῦτο οὐσίαν λέγομεν, ἀλλὰ καθ' αὑτό ἐστιν οὐσία, ὥστε ἐστὶ τὸ ζῷον πολλὰ ἔκ τε οὐσίας αὐτῆς καθ' αὑτὴν οὔσης καὶ ἐκ ζῴου. εἰ δέ τις λέγει ὅτι οὐ καθ' αὑτό ἐστι τὸ ζῷον οὐσία, ἀλλὰ κατ' ἄλλο ἐξ ἐκείνου, καθὸ τὸ ζῷον οὐσία λέγεται, ἔσται ὁ ἄνθρωπος, καὶ ἐκεῖνο ἔσται γένος τοῦ ἀνθρώπου, ἀλλ' οὐ τὸ ζῷον. ἔτι ἐπειδὴ ὁ ἄνθρωπος χωριστὸς καὶ καθ' αὑτόν ἐστι, καὶ τὸ δίπουν δηλονότι καὶ τὸ πεζὸν καθ' αὑτά εἰσι καὶ ἰδέαι. οὐκοῦν οὐκ ἄλλου μέν εἰσιν ἰδέαι τό τε ζῷον καὶ τὸ πεζόν, ἄλλου δὲ οὐσίαι, ἀλλ' ἑαυτοῖς εἰσὶ καὶ ἰδέαι καὶ οὐσίαι, ὥσπερ ἐγὼ οὐκ ἄλλου μέν εἰμι ἄτομος, ἀλλ' οὐδὲ ἄνθρωπος· ἀδύνατον γὰρ τὸ ἄλλου εἶναι ἐμὲ ἄνθρωπον, ἀλλὰ μὴ ἐμαυτοῦ. οὕτω καὶ τὸ ζῷον αὐτὸ ἑαυτῷ ἐστὶ καὶ οὐσία καὶ ἰδέα, εἰ καὶ ἐν τῷ αὐτοανθρώπῳ ἐστίν, ὥσπερ καὶ ἐγὼ αὐτὸς ἑαυτῷ ἄνθρωπός εἰμι καὶ ἄτομον, εἰ καὶ ἐν τόπῳ τυγχάνω. ὥστε εἰ αὐτὸ ἑαυτῷ τὸ ζῷον καὶ οὐσία ἐστὶ καὶ ἰδέα, δῆλον ὅτι ἕκαστον τῶν ἐν τοῖς ζῴοις ἤτοι ἐν τῷ αὐτοανθρώπῳ καὶ τοῖς λοιποῖς αὐτοζῷόν ἐστι καὶ ἰδέα. τὰ δὲ εἴδη ἑτέρων εἰσὶ φύσεων, ὥσπερ καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος· καὶ τὰ αὐτοζῷα ἄρα τὰ ἐν τοῖς εἴδεσιν ἑτέρων εἰσὶ φύσεων· ὅπερ ἄτοπον. ἔτι εἰ τῶν πολλῶν καὶ διαφερόντων τῷ ἀριθμῷ ἐστὶν ἰδέα, τῷ δ' ἀριθμῷ διαφέρει, ὡς δέδεικται, τὸ ἐν τῷ αὐτοΐππῳ ζῷον καὶ αὐτοανθρώπῳ καὶ τοῖς λοιποῖς· πᾶσα γὰρ ἰδέα μία τῷ ἀριθμῷ ἔσται καὶ ἐκείνων ἰδέα· ὥστε ὥσπερ ἐστὶν ἄλλος ἄνθρωπος καθ' αὑτὸν παρὰ τοὺς καθ' ἕκαστα καὶ αἰσθητούς, οὕτως ἔσται καὶ τῶν αὐτοζῴων καὶ τῶν ἰδεῶν ἄλλη τις ἰδέα καὶ ἄλλο αὐτοζῷον. καὶ πῶς ἐκ τοῦ τοιούτου αὐτοζῴου ἔσται τὸ ἐν τῷ αὐτοανθρώπῳ αὐτοζῷον; ἔτι εἴπερ τῶν αἰσθητῶν εἰσὶν αἱ ἰδέαι ταῦτα ἅπερ εἴρηται, συμβαίνει καὶ τούτων ἀτοπώτερα. ἐπειδὴ γὰρ ἀνάγκη ἐστὶν ἐξ ὧν λέγουσιν εἶναι καὶ αὐτοζῷον καὶ αὐτὸ καθ' αὑτό, ὥσπερ ὁ αὐτοάνθρωπος ἕτερός ἐστι παρὰ τοὺς καθ' ἕκαστα, οὕτω καὶ τὸ αὐτόζῳον ἕτερον ὀφείλει εἶναι παρὰ τὰ ζῷα τά τινα, ἃ οὔτε ἄνθρωποί εἰσιν οὔτε ἵπποι οὔτε ἄλλο οὐδέν, ἀλλὰ τοῦτο αὐτόζῳα· εἰ δὲ μή εἰσί τινα ζῷα ἅπερ τοῦτο αὐτό εἰσι, ζῷα, ὥσπερ οἱ ἄνθρωποι τοῦτο, αὐτοάνθρωποι (τίς γάρ πω ἐθεάσατο ζῷον ὃ μήτε ἄνθρωπός ἐστι μήτε μύρμηξ μήτε ἄλλο τι;), οὐδὲ αὐτοζῷον, ἀλλ' οὐκ ἔστιν ἰδέα ζῴων τούτων αὐτοζῴων ὄντων, ἀλλὰ τοῦ ἐν τοῖς ἀνθρώποις ζῴου καὶ ἵπποις καὶ βουσί, ψεῦδος ἐρεῖ· τοῦ γὰρ ἐν τοῖς ἀνθρώποις ζῴου καὶ ἁπλῶς τῶν ἀνθρώπων ὅλως ὡς ὅλων ὁ αὐτοάνθρωπός ἐστιν ἰδέα ὅλως ὡς ὅλος· ὡσαύτως καὶ ὁ αὐτοΐππος ὅλος ὡς ὅλως ἐστὶν ἰδέα τῶν κατὰ μέρος ἵππων ὅλων ὡς ὅλων· ὥστε εἴπερ ἔστιν αὐτοζῷον καὶ ἰδέα, ζῷον ἔσται, καί τινα φύσει ζῷα μηδὲν ἄλλο ὄντα ἢ τοῦτο, αὐτόζῳα. Alex.

εἰπὼν πρότερον ὅτι οἱ λόγοι τοῦ τί ἦν εἶναί εἰσι καὶ τῶν εἰδῶν, 1039 b 20.
τῶν δὲ καθ' ἕκαστα ὁ ὁρισμὸς οὐκ ἔστι, καὶ ἐπαγγειλάμενος τοῦτο δεῖξαι, νῦν τὴν ὑπόσχεσιν ἐκπληροῖ. πρότερον δὲ ποιεῖται διαίρεσιν τῆς οὐσίας ποσαχῶς λέγεται, ἵνα δείξῃ ποίας οὐσίας οὐκ ἔστιν ὁρισμός. λέγει δὴ ὅτι ἐπειδὴ ἡ οὐσία ἑτέρα ἐστί, τό τε σύνολον καὶ ὁ λόγος· ὃ διασαφῶν ἐπιφέρει, λέγω δὲ ὅτι ἡ μὲν οὕτως ἐστὶν οὐσία ὁ λόγος συνειλημμένος τῇ ὕλῃ, ἡ δὲ λόγος ὅλως καὶ τί ἦν εἶναι. ὅσαι μὲν οὖν εἰσὶν οὐσίαι συνειλημμέναι τῇ ὕλῃ καὶ ὅλως σύνθετοι, τούτων ἐστὶ φθορὰ καὶ γένεσις. id.

εἶτά φησιν ὅτι ἐπεὶ διαφέρει ἡ σύνθετος οὐσία τῆς κατὰ τὸ εἶδος οὐσίας· ἡ γὰρ σύνθετος οὐσία σὺν τῇ ὕλῃ, ἡ δὲ κατὰ τὸ εἶδος αὐτὴ καθ' αὑτὴν ὑπάρχει. Asclep.

δέδεικται γὰρ ὅτι οὐδεὶς ταῦτα γεννᾷ οὐδὲ ποιεῖ τὸν τελευταῖον 1039 b 26.
λόγον τῆς φύσεως. id.

τοῖς γὰρ ἐπισταμένοις ἄδηλα ὑπάρχουσι τὰ φθειρόμενα ἡνίκα ἐκ 1040 a 2.
τῆς αἰσθήσεως ἀπέλθωσι φθαρέντα, καὶ σωζομένων τῶν λόγων αὐτῶν ἐν τῇ ψυχῇ, οἷον τοῦ Σωκράτους μετὰ θάνατον αὐτοῦ οὐκ ἔστιν ὁρισμός· πῶς γὰρ τὸ μὴ ὂν δυνατόν ἐστιν ὁρίσασθαι; ὡς διὰ πλειόνων ἐδείξαμεν, οὔτε δὲ ἰδέαν οὐδεμίαν δυνατόν ἐστιν ὁρίσασθαι· ἀτόμους γὰρ ὑποτίθενται τὰς ἰδέας καὶ χωριστάς, τὸν δὲ ὁρισμὸν πᾶσά ἐστιν ἀνάγκη ἐξ ὀνόματος εἶναι, ὡς εἴρηται ἐν τῷ περὶ Ἑρμηνείας (c. 4) τί ἐστι λόγος. λόγον δὲ οὐκ ἀποδώσει ὁ ὁριζόμενος πρᾶγμα ἄγνωστον, τὰ δὲ γνώριμα κοινά εἰσιν, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, ὡς κοινὰ καὶ ἄλλοις ὑπάρχοντα ταῦτα, οἷον ὥς φησιν αὐτός, εἴ τις ὁρίσαιτο ζῷον ἰσχνὸν λευκόν, ταῦτα δὲ καὶ ἄλλοις ὑπάρξουσιν. id.

ὧν ἐστὶν ἀπόδειξις καὶ ὁρισμός, τούτων ἡ ἀπόδειξις ἀπόλλυται εἴτε τοῦ ἔχοντος τὴν ἀπόδειξιν φθαρέντος, εἴτε τοῦ οὗ ἐστὶν ἀπόδειξις, εἴτε καὶ ἀμφοτέρων, καὶ τοῦ ἔχοντος τὴν ἀπόδειξιν καὶ τοῦ ἀποδεικτικοῦ, ὡς ἐν τῷ Α τῶν Ὑστέρων Ἀναλυτικῶν (c. 13) εἴρηται. ἐπὶ δὲ τῶν καθ' ἕκαστα συμβαίνει σωζομένου καὶ τοῦ ἀποδεικτικοῦ καὶ τοῦ ἔχοντος τὸν λόγον καὶ τὴν ἀπόδειξιν καὶ τοῦ λόγου τοῦ ἐν τῇ ψυχῇ καὶ μὴ λήθης γεγονυίας μὴ εἶναι μήτε ὁρισμὸν μήτε ἀπόδειξιν· ὅταν γὰρ ἐκ τῆς αἰσθήσεως ἀπέλθῃ οὗ τὸν λόγον ἔχομεν, σωζομένου ἐμοῦ καὶ τοῦ πράγματος οὗ τὸν λόγον ἔχω καὶ αὐτοῦ τοῦ λόγου καὶ λήθης μὴ μεταλαβούσης, ἀγνοῶ εἰ ὅλως ἐστίν. Alex.

διὸ δεῖ τῶν πρὸς ὅρον, τουτέστι τῶν πρὸς ὅρον τινὸς ἀτόμου 1040 a 5.
πράγματος σκοπούντων καὶ ζητούντων ἀποδοῦναι αὐτοῦ τὸ τί ἐστι, μὴ ἀγνοεῖν ὅτι ἀεὶ ἀναιρεῖν ἔστιν ἤτοι ἀναιρεθήσεται αἰεὶ ὁ τοιοῦτος ὁρισμός· παντὸς γὰρ ἀναιρεῖν ἔστι τὸν ὁρισμὸν τοῦ καθ' ἕκαστα. id.

ἐστὶν αὐτὸς ἐν αὐτῷ, πῶς δυνατὸν ἓν εἶναι τὸ ζῷον, κεχωρισμένων τούτων ἀπ' ἀλλήλων, φημὶ δὴ τοῦ Σωκράτους καὶ τοῦ ἵππου; ἢ διὰ τί οὐ χωρίζεται τὸ ζῷον τοῦτο καὶ διασπᾶται ἓν ὑπάρχον τῷ ἀριθμῷ, διαφόρων ὄντων ἐκείνων ἐν οἷς θεωρεῖται; Asclep.

1039a 25. γρ. χωριστὰς εἶναι ἅμα. cod. Reg.

"οὐσίας τε καὶ χ." ἐκ τούτων, φησί, φανερόν ἐστι τὸ συμβαῖνον τοῖς τὰς ἰδέας λέγουσι χωριστάς τε οὐσίας εἶναι καὶ ἅμα ποιοῦσι τὸ εἶδος, λέγων εἶδος τὴν ἰδέαν, ἐκ τοῦ γένους καὶ τῶν διαφορῶν. Alex.

εἰ οὖν ὑπάρχει τὰ εἴδη, τουτέστιν ἡ ἰδέα τοῦ εἴδους καὶ τοῦ ζῴου ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ἵππῳ κτλ. Asclep.

1039a 26. πρὸ τοῦ ἀπαντῆσαι πρὸς τὴν ἐρωτηθεῖσαν ἀντίφασιν λέγει ὅτι εἰ τῷ ἀριθμῷ τις μὴ λέγει ἕν, ἀλλ' οὖν τῷ μὲν λόγῳ δηλονότι ἕν ἐστι τὸ ἐν ταῖς ἰδέαις ζῷον· ὁ γὰρ ὁριζόμενος τὸν αὐτὸν ἐν πᾶσιν ἐρεῖ λόγον, ἀλλ' οὐκ ἄλλον μὲν τὸν τοῦ ἐν τῷ αὐτοΐππῳ ζῴου ἀποδώσει, ἕτερον δὲ τοῦ ἐν τῷ αὐτοανθρώπῳ. τοῦτο δὴ εἰπὼν πάλιν ἀνατρέχει ἐπὶ τὸ πρότερον, λέγων, εἰ οὖν ἐστι τις ἄνθρωπος αὐτὸς καθ' αὑτὸν καὶ τόδε τι κεχωρισμένον, ὥσπερ ὁ Σωκράτης καὶ ὁ Καλλίας, ἀνάγκη καὶ τὸ ζῷον καὶ τὸ πεζὸν καὶ δίπουν, ἐξ ὧν ἐστιν ὁ αὐτοάνθρωπος, εἶναι χωριστὰ καὶ οὐσίας αὐτὰς καθ' αὑτάς· τίς γὰρ ἡ ἀποκλήρωσις αὐτοάνθρωπον μὲν εἶναι, αὐτόζῳον δὲ καὶ αὐτοδίπουν μὴ εἶναι; Alex.

1039a 33. εἰ δὲ τοῦτο, ἔσται οὐσία τις ἐξ οὐσιῶν ἐνεργείᾳ καὶ καθ' αὑτὰς οὐσῶν, ὅπερ δέδεικται ἀδύνατον. καὶ οὐ τοῦτο μόνον ἀλλ' ἔσται καὶ ἰδέα ἐξ ἰδεῶν, καὶ ἔσονται ἰδέαι τό τε αὐτοπεζὸν καὶ αὐτόζῳον καὶ αὐτοδίπουν πρότεραι τοῦ αὐτοανθρώπου, τουτέστιν ἔσονται ἄλλαι ἰδέαι ἄλλων πρότεραι· ὅπερ οὔ φασιν οἱ ταύτας τιθέμενοι. οὕτως οὖν τὸ ἀδύνατον τοῦτο αἰνιξάμενος ἐπανατρέχει εἰς τὴν τῆς ἀντιφράσεως ἐρώτησιν, καὶ λέγει· εἰ μὲν τὸ ἐν τῷ αὐτοΐππῳ καὶ ἐν τῷ αὐτοανθρώπῳ ζῷον τὸ αὐτὸ καὶ ἕν ἐστι τῷ ἀριθμῷ, ὥσπερ αὐτὸς σαυτῷ εἷς εἶ τῷ ἀριθμῷ, πῶς τὸ ὂν ἐν τοῖς οὖσι χωρὶς ἀπ' ἀλλήλων ἓν ἔσται τῷ ἀριθμῷ; καὶ διὰ τί, εἰ τὰ χωρὶς ὄντα ἕν εἰσι τῷ ἀριθμῷ, οὐκ ἔσται αὐτὸ τὸ ζῷον καὶ χωρὶς αὐτοῦ; εἰ γὰρ ἕν εἰσι τῷ ἀριθμῷ τὰ ἐν ἄλλῳ καὶ ἄλλῳ ὄντα ζῷα, δηλονότι δυνήσεται τὸ ζῷον καὶ χωρὶς αὐτοῦ εἶναι. id.

1039b 5. εἰ δ' οὐ μετέχει, τίς ὁ τρόπος καὶ πῶς ἐν αὐτῷ εὑρίσκεται ταῦτα, ὅταν λέγωμεν ζῷον δίπουν ἢ ζῷον πεζὸν ἢ ζῷον ἄπουν; ἀλλ' ἴσως ἐρεῖ τις ὅτι ἐν τῷ αὐτοανθρώπῳ ὄντα σύγκειται καὶ μέμικται ὥσπερ σωρὸς τὸ ζῷον καὶ αἱ διαφοραί. ἀλλὰ πάντα ταῦτα ἄτοπα· ὁρῶμεν γὰρ ἐνταῦθα ὅτι τὰ ζῷα οὐ κατὰ σύνθεσιν καὶ ἁφήν εἰσιν, ἀλλὰ συνεχῆ καὶ ὡς εἰπεῖν κατὰ ἀνάκρασιν. id.

εἰ δὲ μὴ ὑπάρχουσιν ἐν τῷ ζῴῳ τὸ δίπουν καὶ τὸ πολύπουν, πῶς φαμὲν τὸ ζῷον δίπουν λέγοντες ζῷον δίπουν ἤγουν ζῷον πεζόν; εἰ δέ τις εἴποι ὅτι ταῦτα σύγκειται ἀλλήλοις ἤγουν μέμικται ἢ κατὰ παράθεσιν, ἄτοπα μὲν ἕψονται πολλά· τὰ γὰρ τοιαῦτα δύνανται καὶ χωρισθῆναι ἀπ' ἀλλήλων, καὶ οὐκέτι κυρίως ἔσται τὸ ζῷον δίπουν ἓν ἀλλὰ πολλά, ὥστε οὐδὲ ὁρισμὸς αὐτοῦ εἷς, ὅπερ ἐστὶ παρὰ τὴν ὑπάρ-

καὶ μία οὐσία. εἰ δὲ πάλιν εἴπωσιν ὅτι διάφορα τὰ ζῷα ὑπάρχουσιν ἐν ἑκάστῳ, καὶ ἄλλη ἰδέα τοῦ ἀνθρώπου ζῴου καὶ ἄλλη τοῦ ἵππου καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἔσονται οὕτως ἄπειροι ἰδέαι· διό φησιν "ὧν ἡ οὐσία ζῷον·" οὐ γὰρ κατὰ συμβεβηκὸς ἐκ ζῴου ἐστὶν ὁ ἄνθρωπος, ἐπειδὴ πᾶς ἄνθρωπος ζῷόν ἐστι, καὶ συμπληρωτικόν ἐστι τῆς ἀνθρώπου οὐσίας τὸ ζῷον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. εἶπε δὲ τὸ "οὐ κατὰ συμβεβηκός," ἐπειδὴ οὐ βούλονται τῶν κατὰ συμβεβηκὸς εἶναι ἰδέας. "ἔτι πολλὰ ἔσται αὐτὸ τὸ ζῷον." φησὶν ὅτι εἰ διάφορα ὑπάρχουσι τὰ ζῷα ἐν τοῖς [illegible] ἰδέα τοῦ ζῴου· τὸ γὰρ ἐν ἑκάστῳ ἡ δὲ οὐσία ἑκάστου, ἡ ἰδέα ὅτι τε πολλαὶ ἔσονται ἰδέαι. "οὐ γὰρ κατ' ἄλλο λέγεται," τουτέστιν οὐκ ἐξ ἄλλου ἔχουσι τὸ εἶναι παρὰ τὴν ἰδέαν τοῦ ζῴου, τουτέστι τῆς οὐσίας αὐτοῦ· εἰ γὰρ μὴ τοῦτο ὑποθώμεθα εἶναι τὸ ζῷον τὴν οὐσίαν τοῦ ἀνθρώπου, ἐξ ἐκείνου ἔσται ὁ ἄνθρωπος, τουτέστιν ἡ ποιότης ὑπάρχει. ἔτι ἰδέαι ἄπειροι ὑπάρχουσιν, ἐξ ὧν ὁ ἄνθρωπος συνέστηκε, τὸ ζῷον, τὸ δίπουν. οὐκοῦν ταῦτα ἰδέα ὑπάρξει, ἀλλ' οὐδὲ οὐσία· ἡ γὰρ ἰδέα ἐστὶν ἡ συμπληροῦσα τὴν ἑκάστου οὐσίαν, ἐπειδὴ οὕτως ἡ ἄλλου οὐσία ἐν ἄλλῳ θεωρηθήσεται· ὅπερ ἐστὶν ἄτοπον. ὥστε αὐτὴ ἡ ἰδέα τοῦ ζῴου ἔσται ἑκάστου τῶν ζῴων. τὸ γοῦν ζῷον τὸ ἐν τῷ ἀνθρώπῳ καὶ τὸ ἐν τῷ ἵππῳ, εἴπερ ἰδέα ἐστίν, ἐκ τίνος γέγονε καὶ πῶς ἐξ αὐτοῦ τοῦ ζῴου ζῷον γέγονεν, εἴγε ἀμφότερα ἰδέα ἐστίν; καὶ πῶς δυνατόν ἐστι τὸ ζῷον, ὅπερ οὐσία ἐστί, τοῦτο παρ' αὐτὸ τὸ ζῷον ὑπάρχειν, εἴγε ἀμφότερα οὐσία ἐστὶ καὶ ἐπ' ἄπειρον δὲ ὁ λόγος προέρχεται; ἀντειπὼν ὁ Ἀριστοτέλης πρὸς τὰ καθόλου ἐντεῦθεν ἀποτείνεται καὶ πρὸς τὰς ἰδέας ὡς καθόλου καὶ αὐτὰς οὐσίας· καθόλου δ' ὑπάρχουσιν ὡς ποιητικὰ καὶ παρακτικὰ τῶν τῇδε. ἀντιλέγει οὖν καὶ πρῶτον ἐπιχείρημα τοῦτον τὸν τρόπον, ὅτι ἡ ἰδέα ἢ μία ἐστὶ τῷ ἀριθμῷ ἢ πολλά... "ἔτι δὲ ἐπὶ τῶν αἰσθητῶν." ἔτι πρὸς τοὺς τὰς ἰδέας πρεσβεύοντας ἐνίσταται, καί φησιν ὅτι τὸ εἶδος αὐτὸ καθ' αὑτὸ οὔτε γίνεται οὔτε φθείρεται· οὐ γὰρ γίνεται τὸ εἶδος τῆς οἰκίας αὐτὸ καθ' αὑτὸ οὔτε φθείρεται, ἀλλὰ τὸ σύνολόν ἐστι τὸ γινόμενον καὶ φθειρόμενον, τὸ ἔνυλον εἶδος· διὰ γοῦν ταύτην τὴν αἰτίαν τῶν καθ' ἕκαστα καὶ φθαρτῶν οὐχ ὑπάρχουσιν ὁρισμοί...

Συριανὸς ὁ φιλόσοφος βοηθῶν τῷ Πλάτωνι ἀντιλέγει τοῖς ὑπ' Ἀριστοτέλους λεγομένοις δέκα ἐπιχειρήμασι, καί φησιν ὅτι εἰ μὲν τὰ καθόλου ἀναιρεῖ ὁ Ἀριστοτέλης, τὰ συγκεχυμένα καὶ ὑστερογενῆ τὰ ἐν τῇ φαντασίᾳ τῇ ἡμετέρᾳ τὸ εἶναι ἔχοντα κατορθοῖ, οἷον τὴν ἔννοιαν τὴν περὶ τοῦ ἁπλῶς ἀνθρώπου· ταῦτα γὰρ τῷ ὄντι οὐχ ὑπάρχουσιν οὐσίαι, ἀλλ' ἐν τῇ ἡμετέρᾳ σχέσει τὸ εἶναι ἔχουσιν. εἰ δέ, φησί, τὰ καθόλου ἀναιρεῖ τὰ ἐπὶ τοῖς πολλοῖς, οὐ πάνυ τι δεόντως λέγει· οὔτε γὰρ αὐτὰ ἀναιρεῖ ὁ Ἀριστοτέλης, ἀλλὰ καὶ τίθεται αὐτά, φησὶν οὖν οὕτως. τὸ πρῶτον τῶν προβλημάτων ἔλεγεν οὕτως, ὅτι ἡ οὐσία ἑκάστου ἰδίως ἐστὶν ἑκάστου καὶ χωριστὴ αὐτοῦ ἐστιν... εἶτα λιπὸν τὸ δεύτερον πρόβλημα ἔλεγεν οὕτως· ἡ οὐσία καθ' ὑποκειμένου, τὸ καθόλου καθ' ὑποκειμένου, τὸ καθόλου ἄρα οὐκ οὐσία. ἐνταῦθα, φησίν, ὁ παραλογισμὸς ἐγένετο παρὰ τὴν ὁμωνυμίαν. Asclep.

οὐδ' ἄλλο τῶν ἐν τοῖς λογικοῖς οὐδέν. Asclep.

1039 a 2. ἑβδόμη ἐπιχείρησις ὅτι εἰ μὴ δηλοῖ ποιότητα τὸ καθόλου ἀλλὰ τόδε τι, τουτέστι μερικὴν οὐσίαν, ἔσονται τρεῖς ἄνθρωποι, αἱ δύο ἄτομοι καὶ ὁ ἄλλος ὁ ἐξῃρημένος καὶ συνδέων αὐτούς. id.

εἰ γάρ ἐστιν οὐσία τις ὁ ἄνθρωπος, ἔστι δὲ καὶ ὁ Σωκράτης οὐσία καὶ οἱ καθ' ἕκαστον, ἐπὶ τῶν πολλῶν δέ ἐστι τὸ κοινῶς κατ' αὐτῶν λεγόμενον, ἔσται ἄρα τρίτος τις πάλιν ἄνθρωπος, ὃς κατηγορηθήσεται τοῦ καθόλου ἀνθρώπου οὐσίας ὄντος καὶ τῶν λοιπῶν. ἔτι δέ, φησί, καὶ ὧδε δῆλον ὡς ἀδύνατόν ἐστιν οὐσίαν ἐξ οὐσιῶν εἶναι ἐνεργείᾳ ὑπαρχουσῶν καὶ τόδε τι. Alex.

1039 a 3. ὄγδοον ἐπιχείρημα. καί φησιν ὅτι ἀδύνατον οὐσίαν εἶναι ἐξ οὐσιῶν ὑπάρχουσαν, οὕτως κεχωρισμένην ἐνέργειαν· οὐδέποτε γὰρ λέγομεν, τὰ δύο ἐντελέχειαν δυνατόν ἐστι λέγειν ἓν ἀλλὰ δύο. Asclep.

1039 a 7. ὥστε εἰ ἡ οὐσία ἕν, ἡ οὖσα ἓν δηλονότι. cod. Reg.

1039 a 5. ἐπεὶ καὶ ἡ διπλασία γραμμὴ ἐκ δύο ἡμίσεων ἐστὶ δυνάμει. εἰ γὰρ γένοιτο τὰ ἡμίση ἐντελεχείᾳ, χωρίζει καὶ οὐκ ἐᾷ αὐτὴν εἶναι. ἅμα γὰρ ταῦτα ἡμίση ἐνεργείᾳ γένηται ἡμίση, εὐθὺς διῄρηται τὸ διπλάσιον καὶ οὐκέτι μένει ἕν. Alex.

1039 a 9. ὡς γὰρ ὁ Δημόκριτος ἔλεγεν ὅτι ἀδύνατον ἐκ δύο ἀτόμων μίαν γενέσθαι (ἀπαθεῖς γὰρ αὐτὰς ὑπετίθετο) ἢ ἐκ μιᾶς δύο (ἀτμήτους γὰρ αὐτὰς ἔλεγεν), οὕτως καὶ ἡμεῖς φαμὲν ὡς ἀδύνατον ἐκ δύο ἐνεργείᾳ οὐσῶν οὐσιῶν μίαν γενέσθαι, ἀλλ' ἐκ δυνάμει μόνον. id.

καὶ κατὰ τοῦτο τὸν ἀριθμόν φησιν ὀρθῶς λέγειν Δημόκριτον· ἀδύνατον γάρ φησιν ἐκ δύο ἓν γενέσθαι ἢ ἐξ ἑνὸς δύο· τὰ γὰρ μεγέθη τὰ ἄτομα, τουτέστι τὰς ἀτόμους, οὐσίας ποιεῖ, καὶ οὐδέποτε, φησίν, ἡ μία ἄτομος δύο· διὰ τοῦτο γὰρ καὶ ἀτόμους αὐτάς φησιν. οὔτε γὰρ δύο μία γίνεται· ἐστὶ διειργόμενα ὑπὸ τοῦ κενοῦ. Asclep.

1039 a 11. ἐπειδὴ ἐνέπιπτεν ἡ τῶν ἀριθμῶν ἔνστασις, λύει καὶ ταύτην. εἴπεν γὰρ ἄν τις ὅτι ὥσπερ ὁ ἓξ ἀριθμὸς ἐκ τοῦ τρία καὶ τρία ἐστὶν ἢ ἐκ τοῦ δύο καὶ τέσσαρα ἐνεργείᾳ ὄντων ἀριθμῶν, τί κωλύει καὶ μίαν οὐσίαν ἐκ δύο οὐσιῶν εἶναι ἐνεργείᾳ οὐσῶν; λύει οὖν λέγων ὅτι καὶ ἡ δυὰς οὐκ ἔστιν ἐνεργείᾳ ἀριθμὸς ἐν τῷ ἓξ οὖσα οὐδαμῶς. ἀλλ' αὐτὸς οὐκ ἐπὶ τοῦ ἓξ ποιεῖται τὸν λόγον, ἀλλ' ἐπὶ τῆς δυάδος, λέγων, αἱ μονάδες ἐν τῇ δυάδι οὐκ εἰσὶν ἐνεργείᾳ μονάδες ἀλλὰ δυνάμει, ἕως δὴ ὑπέχειται ἡ δυάς, ἀριθμός τις εἷς· ἢ εἴπερ ἐστὶν ὅλως ἀριθμός, οὐκ εἰσὶν ἐν αὐτῷ αἱ μονάδες ἐναργῶς ἀλλὰ δυνάμει. Alex.

ἔνατον ἐπιχείρημα. καί φησιν ὅτι ὁμοίως καὶ ἐπὶ τοῦ ἀριθμοῦ ἕξει, εἴπερ ἐστὶν ὁ ἀριθμὸς σύνθεσις μονάδων, ὥσπερ λέγουσί τινες· οὕτως γὰρ ἔσται ὁ ἀριθμὸς εἷς διακεκριμένος ἐντελεχείᾳ ὁ πέντε ἐκ τοῦ δύο, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὅπερ ἐστὶν ἄτοπον· ἢ γὰρ οὐ δυνατὸν εἰπεῖν μίαν ἀδύνατον τὴν μονάδα εἶναι κεχωρισμένην κατ' ἐνέργειαν ἐν αὐτῇ. "ἔχει δὲ τὸ συμβαῖνον ἀπορίαν." ἐντεῦθεν τὸ δέκατον ἐπιχείρημα, καί φησιν ὅτι ἔχει ὁ λόγος ἀπορίαν· εἰ γὰρ μήτε ἐκ τῶν καθόλου οἷόν τε εἶναι μηδεμίαν οὐσίαν, ὡς εἰρήκαμεν, διὰ τὸ οὐσιώδη ποιότητα δηλοῦν καὶ μὴ οὐσίαν, μήτε δὲ ἐξ οὐσιῶν προϋπαρχουσῶν κατ' ἐνέργειαν δύναται εἶναι, ἀσύνθετος καὶ ἁπλῆ ὑπάρξει πᾶσα οὐσία· τῶν δὲ ἁπλῶν οὐκ ἔστιν ὁρισμός, ὥστε οὐκ ἔσται   μόνης οὐσίας εἶναι τοὺς ὁρισμούς, ἢ καὶ ὡς ἀνωτέρω εἴρηται. νῦν δὲ οὐδέποτε ταύτης ἐδείχθη· οὐδενὸς ἄρα ἔσται ὁρισμός, ἢ τρόπον μέν τινα ἔσται ὁρισμός, τρόπον δέ τινα, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ. δῆλον δὲ μάλιστα γίνεται τὸ λεγόμενον ἐκ τῶν ἐφεξῆς λεχθησομένων. Συριανός. Asclep.

εἰ γὰρ μήτε, φησίν, ἐκ τῶν καθόλου οἷόν τε μηδεμίαν εἶναι οὐσίαν... μήτε πάλιν ἐξ οὐσιῶν ἐνεργείᾳ αὐτῶν καθ' αὑτὰς οὐσῶν, ὥσπερ ὁ μερικὸς ἄνθρωπος, δυνατόν ἐστιν οὐσίαν σύνθετον εἶναι (δέδεικται γὰρ καὶ τοῦτο), συμβαῖνον μηδεμίαν οὐσίαν σύνθετον εἶναι. εἰ οὖν τὴν σύνθετον οὐσίαν ἀνάγκη ἢ ἐξ οὐσιῶν εἶναι ἐνεργείᾳ οὐσῶν ἢ ἐκ συμβεβηκότων, κατ' οὐδένα δὲ τρόπον τοῦτο εἶναι δύναται, ἀσύνθετος ἂν εἴη πᾶσα οὐσία. ἀλλ' εἰ τοῦτο, οὐδεμιᾶς οὐσίας ἂν εἴη λόγος· οἱ γὰρ ὁρισμοὶ τῶν ἔκ τινων εἰσὶν ἀλλ' οὐ τῶν ἁπλῶν, ὥσπερ ὁ τοῦ ἀνθρώπου ὄντος αὐτοῦ ἐκ τοῦ ζῴου καὶ πεζοῦ καὶ δίποδος. ἀλλὰ μὴν δοκεῖ γε ὅτι οἱ ὁρισμοὶ ἢ μόνων τῶν οὐσιῶν εἰσίν, ἢ εἴπερ εἰσὶ καὶ τῶν ἄλλων, ἀλλὰ μάλιστα τῶν οὐσιῶν εἰσίν. νῦν δὲ συμβαίνει μηδὲ τῶν οὐσιῶν εἶναι· οὐκ ἄρα ἐστὶν οὐδεμιᾶς ὁρισμός. καὶ εἰπὼν οὐ λύει τὴν ἀπορίαν νῦν, ἐπαγγέλλεται δὲ ἐρεῖν, λέγων ὅτι τρόπον μέν τινά ἐστι τῶν οὐσιῶν ὁρισμός, τρόπον δέ τινα οὐκ ἔστιν. καὶ πῶς τοῦτο συμβαίνει, ἐρεῖ καὶ ἐν τῷ παρόντι βιβλίῳ καὶ ἐν τῷ μετὰ τοῦτον. Alex.

1039 a 24. δείξας ὅτι μὴ οἷόν τε ἐξ οὐσιῶν ἐνεργείᾳ οὐσῶν συγκεῖσθαι τὴν οὐσίαν, καὶ ὅτι τῆς ἀτόμου ἀνάγκη καὶ τὰ μέρη ἄτομα εἶναι, ἐκ τῶν εἰρημένων φησὶ φανερὸν καὶ τὸ συμβαῖνον ἄτοπον τοῖς τὰς ἰδέας ὑποτιθεμένοις καὶ λέγουσιν αὐτὰς οὐσίας τε εἶναι καὶ χωριστὰς αὐτὰς καθ' αὑτὰς καὶ ἀτόμους καὶ ὁριστάς· ἐκείνων γὰρ τῶν ἰδεῶν ἔλεγον εἶναι τοὺς ὁρισμούς, βουλόμενοι τοὺς ὁρισμοὺς εἶναι τῶν καθόλου. καὶ ταῦτα ἔλεγον ὡς τὰ ἀφ' ἑνὸς μετέχειν αὐτὰ τῇδε ἐκείνων, ὥστε οὐχ ἁρμόσουσιν οἱ ὁρισμοὶ τοῖς ἐνταῦθα, οὐδὲ ἔσονται αὐτῶν ὁρισμοί. φησὶν οὖν πρὸς αὐτοὺς ὅτι ἡ ἰδέα αὕτη μία ἐστὶ πάντων ἢ ἑκάστου χωρίς· εἰ μὲν οὖν μία ἐστὶ τῷ ἀριθμῷ πάντων, διασπασθήσεται ἡ ἰδέα μία οὖσα καὶ θεωρουμένη ἐν πλείοσι διαφοραῖς· εἰ δὲ πολλαί, ἀπείρων ἔσονται ἰδέαι, ἑκάστου εἴδους μίαν ἔχοντος ἰδέαν, τοῦ ζῴου τοῦ ἐν ἀνθρώπῳ καὶ τοῦ ἐν ἵππῳ καὶ ταῖς ἄλλαις πάλιν τοῦ λογικοῦ καὶ τοῦ γελαστικοῦ καὶ τῶν ἄλλων ὁμοίως, ὅπερ οὐ βούλονται· μίαν γὰρ ἰδέαν λέγουσι τοῦ ζῴου τῶν ἄλλων. φανερὸν δὲ   τί νῦν φησὶν ὅτι ἐκ τῶν ἢ εἰρημένων   γίνεται, καὶ τὸ συμβαῖνον ἄτοπον τοῖς τὰς ἰδέας λέγουσιν, εἰ αὐτὰς οὐσίας καθ' αὑτὰς καὶ χωριστὰς ἀτόμους, οἷον αὐτοάνθρωπον, αὐτόζῳον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ ἅμα καὶ τὸ εἶδος ποιοῦσιν ἐκ γένους καὶ διαφορῶν· φησὶ γὰρ τὰς τοῦ γένους ἰδέας καὶ τὰς τῶν διαφορῶν συνερχομένας ποιεῖν τὴν τοῦ εἴδους ἰδέαν. εἰ οὖν ὑπάρχει τὰ εἴδη, τουτέστιν ἡ ἰδέα τοῦ εἴδους καὶ τοῦ ζῴου, καὶ ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ἵππῳ, ἤτοι καὶ ταὐτόν ἐστι τῷ ἀριθμῷ ἡ ἰδέα τοῦ ζῴου ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ ἵππῳ, ἢ ἕτερον· τῷ μὲν γὰρ λόγῳ δηλονότι μία ἐστὶν ἡ ἰδέα τοῦ ζῴου ἡ ἐν τῷ ἀνθρώπῳ καὶ ἡ ἐν τῷ ἵππῳ. εἴτε γὰρ τὸ ἐν τῷ ἀνθρώπῳ ζῷον ὁρισόμεθα, οὕτως, φησίν, οὐσία ἔμψυχος αἰσθητική, εἴτε καὶ τὸ ἐν τῷ ἵππῳ. εἰ οὖν ἔστι τις ἄνθρωπος, τουτέστιν ἰδέα ἀνθρώπου αὐτὴ καθ' αὑτὴν κεχωρισμένη, ἀνάγκη εἶναι καὶ τὴν ἰδέαν, ἐξ ὧν ἐστὶν ἡ ἰδέα τοῦ ἀνθρώπου,

εἴρηται δὲ καὶ ὅτι τὸ ὑποκείμενον διττόν, ἢ τὸ τόδε τι ὄν, ὥσπερ ζῷον, Σωκράτης, Πλάτων, οὕτωσὶν ὁ ἵππος ὑπόκειται τοῖς πάθεσι τῷ τε λευκῷ καὶ τῷ θερμῷ καὶ τοῖς ὁμοίοις· ἢ ἡ ὕλη, ἥπερ ὑπόκειται τῇ ἐντελεχείᾳ καὶ τῷ εἴδει. τὸ δὲ καθόλου, φησίν, ὅπερ τινὲς χωρὶς ὕλης λέγουσι, δοκεῖ τισὶν αἴτιον εἶναι μάλιστα καὶ ἀρχή· διὸ ἐπέλθωμεν καὶ περὶ τούτου. Alex.

1038 b 10. εἶτα λοιπὸν τίθησι τὸ πρῶτον ἐπιχείρημα, λέγων ὅτι εἰ οὐσία ἡ ἑκάστου ἴδιος ἑκάστου ὑπῆρχεν, οὐκ ἄν ποτε θεωρηθήσεται ἐν ἄλλῳ. Asclep.

καὶ συλλογίζεται λέγων, ἡ ἑκάστου οὐσία ἰδιός ἐστιν ἑκάστῳ, καὶ ἄλλῳ οὐχ ὑπάρχει. Alex.

1038 b 15. ἔτι οὐσία λέγεται ὃ μὴ καθ' ὑποκειμένου τινὸς λέγεται, ὡς ἐν ταῖς Κατηγορίαις (c. 5) δέδεικται. id.

1038 b 17. ἀλλ' ἆρα, φησίν, οὕτω μὲν τὸν καθόλου ἄνθρωπον οὐκ ἐνδέχεται ὡς τὸ τί ἦν εἶναι, ἐνυπάρχειν δὲ ἐν τούτοις τὸ καθόλου, οἷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ οὐσία τις, οἷον τὸ ζῷον. οὐκοῦν δῆλον ὡς ἔστι τις λόγος τοῦ ζῴου, διαφέρει δ' οὐδέν, κἂν μὴ πάντων ᾖ λόγος τῶν εἰς ὁρισμόν τινος παραλαμβανομένων· οὐδὲν γὰρ ἧττον τὸ ζῷον οὐσία ἔσται τινός, οἷον τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου, ἐν οἷς ὑπάρχει. εἰ δή ἐστιν ὁ καθόλου ἄνθρωπος οὐσία, διὰ τί οὐκ ἔσται τὸ ζῷον οὐσία; εἰ δ' ἔστι τὸ ζῷον οὐσία καὶ ἐνυπάρχει τῷ ἀνθρώπῳ, ἡ δὲ οὐσία ἐν ᾧ ἐστὶν οὐκ ἄλλου ἐστὶν ἡ οὐσία ἀλλὰ τοῦ ἐν ᾧ ἐστίν, ἔστιν ἄρα οὐσία τὸ ζῷον τοῦ ἐν ᾧ ἔστιν, οἷον τοῦ ἀνθρώπου, ἐν ᾧ ὡς ἴδιον ὑπάρχει τὸ ζῷον· ὥστε ἔσται οὐσία οὐσίας· ἔσται μὲν γὰρ τοῦ Σωκράτους οὐσία ὁ ἄνθρωπος, καὶ τούτου τὸ ζῷον. εἰ δ' ἔστιν ἐν τῷ ζῴῳ τὸ ἔμψυχον καὶ τὸ αἰσθητικόν, ἔσονται πάλιν αὐτὰ τοῦ ζῴου ἤτοι οὐσίας οὐσίαι, καὶ πάλιν τὰ ἐν τῷ ἐμψύχῳ ὄντα καὶ αἰσθητικῷ ἔσονται οὐσία τοῦ ἐμψύχου καὶ τοῦ αἰσθητικοῦ, ἤτοι τῶν οὐσιῶν· ὥστε συμβαίνει σμῆνος οὐσιῶν εἶναι ἐν τῷ Σωκράτει. ὅπερ ἀδύνατον· ἐν ἑκάστῳ γὰρ μία οὐσία ἐστὶν ἡ ἐνοῦσα αὐτῷ· εἰ γὰρ ἡ οὐσία τοῦ Ἀλεξάνδρου ὁ Ἀλέξανδρός ἐστιν, ὁ δὲ Ἀλέξανδρος πολλοὶ εἶναι οὐ δύναται, οὐδ' ἄρα οὐσίαι ἐν αὐτῷ πολλοὶ ἔσονται. εἰπὼν δὲ ὅτι ἔστιν ἐν τῷ καθόλου ἀνθρώπῳ τὸ ζῷον, ἔστι δ' ὁ καθόλου ἄνθρωπος οὐσία, ἔσται ἄρα καὶ τὸ ζῷον οὐσία, κατασκευάζει αὐτό. id.

γρ. "ἐν αὐτοῖς" ἤτοι τοῖς ὑποκειμένοις. cod. Reg.

1038 b 19. τρίτον ἐπιχείρημα ὅτι ἢ εἶδός ἐστι τὸ καθόλου τῆς ἀτόμου οὐσίας ἢ μέρος ἢ ἐνυπάρχον ἁπλῶς. ἀλλ' εἰ μὲν ὑποθώμεθα εἶδος αὐτὸ εἶναι, ἄτοπόν τι ἕψεται· τὸ γὰρ εἶδος ἑκάστου ἰδιόν τί ἐστιν ἑκάστου τε καὶ οὕτως πάλιν τὸ καθόλου ἔσται μερικόν. εἰ δὲ ὡς μέρος αὐτὸ ὑποθώμεθα, ἔσται τὸ μέρος κατηγορούμενον τοῦ ὅλου· ὅπερ ἐστὶν ἄτοπον. εἰ δὲν ἐνυπάρχον ἕψονται οἱ πρότεροι λόγοι τοῦ πρώτου ἐπιχειρήματος, ὅτι ἢ γὰρ πάντων ἢ οὐδενός· ἁπάντων δὲ οὐχ οἷόν τε, ἐπειδὴ διαφέρουσιν ἀλλήλων τὰ πράγματα, οὕτως δὲ οὐδὲν διοίσουσιν. εἰ δὲ ἑνός, ἔσται πάντα ἕν. Asclepius in θεωρίᾳ.

ἐντεῦθεν τὸ τρίτον ἐπιχείρημα. φησὶν οὖν ὅτι εἰ καὶ μὴ ἐνδέχεται οὕτως εἶναι τὸ καθόλου ὡς τὸ εἶδος τοῦ πράγματος, ἵνα μὴ γένηται μερικόν, ἐν δὲ τῷ μερικῷ ἐνυπάρχει μὴ ὂν αὐτοῦ εἶδος, ὥσπερ τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ τῷ ἵππῳ. εἶτά φησιν ὁ Ἀριστοτέλης, εἰ ταῦθ' οὕτως ἔχει, ἐξ ἀνάγκης τούτου ὄντος ἐν τῷ ἀνθρώπῳ ἔστιν ὁ ὁρισμός. ἐπειδὴ δὲ τῶν γενικωτάτων γενῶν οὐχ ὑπάρχουσιν ὁρισμοί, φησίν, ὅτι διαφέρει δὲ οὐδὲν οὐδ' εἰ μὴ πάντων ἐστὶν ὁρισμὸς τῶν ἐν τῇ οὐσίᾳ ὑπαρχόντων· οὐδὲν γὰρ ἧττον τοῦτο τὸ ἐνυπάρχον οὐσία ἐστί τινος, ὡς ἄνθρωπος τοῦ ἀνθρώπου, ἐν ᾧ ὑπάρχει ἀνθρώπῳ. ὥστε τὸ αὐτὸ συμβήσεται πάλιν τὸ εἰρημένον κἀν τῷ πρώτῳ ἐπιχειρήματι· ἢ πάντων ἐστὶν ἢ οὐδενός, καὶ τὰ αὐτὰ ἕψονται ἄτοπα· ἔσται γὰρ ἐκείνου οὐσία, οἷον τὸ ζῷον, ἐν ᾧ ἰδίως ἴδιον ὑπάρχει, καὶ οὕτω πάλιν ἔσται μερικόν. id.

ἔτι δὲ καὶ ἀδύνατον καὶ ἄτοπον τὸ τόδε καὶ τὴν οὐσίαν, ὥσπερ λέγουσιν οἱ λέγοντες τὸν καθόλου ἄνθρωπον, εἰ ἔστιν ἐκ ζῴου, μὴ εἶναι τὸ ζῷον οὐσίαν καὶ τόδε τι, ἀλλὰ ποιόν. Alex. 1038 b 23.

ἀλλ' εἴπερ ἐστὶν οὐσία τὸ ζῷον, ἔσται πάλιν οὐσίας οὐσία, καὶ ἁπλῶς, ὥσπερ ἐρρήθη. ἢ τὸ "ἔτι δὲ ἀδύνατον καὶ ἄτοπον τὸ τόδε τι καὶ οὐσία" οὐκ ἐπὶ τοῦ καθόλου ἀνθρώπου εἴρηται ἀλλ' ἐπὶ τοῦ μερικοῦ. καὶ εἴη ἂν τὸ λεγόμενον ὅτι ἐπειδὴ ὁ καθόλου ἄνθρωπος δέδεικται μὴ ὢν οὐσία ἀλλὰ ποιόν, ἀδύνατον τὸν Σωκράτην ἐκ τοῦ καθόλου εἶναι ἀνθρώπου, τουτέστι τὴν οὐσίαν ἐκ μὴ οὐσίας. οἶμαι δὲ ἄμεινον τὸ πρότερον· ἔτι γὰρ περὶ τοῦ μὴ εἶναι τὸν καθόλου ἄνθρωπον οὐσίαν ὁ λόγος ἐστίν. ἔτι τῷ Σωκράτει οὐσίᾳ ὄντι ἐνυπάρξει οὐσία, ὥστε δυοῖν ἔσται ὁ Σωκράτης οὐσία ἤτοι δύο ἔσονται ἐν τῷ Σωκράτει οὐσίαι, ὅπερ ἄτοπον· ἕκαστον γὰρ μία ἐστὶν οὐσία ἀλλ' οὐ δύο ἢ πλείους. ὅλως δέ, φησί, συμβαίνει, εἰ ἔστιν οὐσία ἄνθρωπος, ἄνθρωπον ἐνταῦθα λέγων τὸν μερικὸν καὶ ἄτομον, ὅλως δή, εἰ ἔστιν οὐσία αὐτὸ καθ' αὑτὸ τὸ ζῷον, ἤτοι ὁ ἄτομος ἄνθρωπος, "καὶ ὅσα οὕτω λέγεται," τουτέστιν ἄτομα μηδὲν τῶν ἐν τῷ λόγῳ αὐτοῦ εἶναι οὐσίαν, μηδὲ χωρὶς ὑπάρχειν αὐτῶν τῶν ἀτόμων. id.

γρ. ἐνυπάρξει οὐσία οὐσίᾳ. cod. Reg. 1038 b 29.

ἕκτη ἐπιχείρησις ὅτι ὅσα ἐν τῇ οὐσίᾳ τοῦ πράγματος λαμβάνεται οὐδέποτε χωρίζονται τοῦ πράγματος, ἀλλὰ καὶ αὐτὸ εἶναι τὸ πρᾶγμα δηλοῦσιν, ὥσπερ τὰ ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου πάντα παραλαμβανόμενα. εἰ οὖν ὑπόθωμεθα καὶ τὸ καθόλου συμπληρωτικὸν εἶναι τῆς μερικῆς οὐσίας, ἔσται ἀχώριστος αὐτοῦ καὶ οὐκέτι καθόλου· ὅπερ οὐ βούλονται. Asclep. 1038 b 30.

ἕκτον ἐπιχείρημα. καί φησιν ὅτι εἰ ἔστιν οὐσία ὁ ἄνθρωπος καὶ ὅσα οὕτως λέγεται ἕν, μηδὲν ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου παραλαμβανόμενον εἶναι ἄλλου πράγματος οὐσίαν, μηδὲ χωρίζεσθαι τοῦ ἀνθρώπου ὡς συμβαίνειν καὶ ἄλλῳ ὑπάρχειν παρὰ τὸν ἄνθρωπον, οἷον ὅτι οὐκ ἔστιν αὐτόζῳον καθ' αὑτὰ παρὰ τά τινα ζῷα, οὐδ' ἄλλο τῶν ἐν τοῖς λογικοῖς οὐδέν. id.

εἰ γὰρ μή ἐστιν οὐσία αὐτὸ καθ' αὑτὸ τὸ ζῷον, μηδὲ τὸ πεζὸν μηδὲ τὸ δίπουν, δηλονότι οὐκ εἰσὶ χωρὶς τῶν ἀτόμων, οὔτε μὴν ἐν ἄλλῳ ἤτοι τῇ ἰδέᾳ, ἀλλ' ἐν τοῖς ἀτόμοις. ἐξηγούμενος δὲ τὸ μηδὲν χωρὶς ὑπάρχειν αὐτῶν ἐπήγαγε "λέγω δὴ οὐκ εἶναί τι ζῷον παρὰ τά τινα," ὡς ἂν εἰ ἔλεγεν, τοῦτο λέγω τὸ μηδὲν χωρὶς ὑπάρχειν αὐτῶν τὸ μὴ εἶναί τι ζῷον παρὰ τά τινα καὶ καθ' ἕκαστα ζῷα, οὐδὲ δίπουν παρὰ τά τινα, οὐδ' ἄλλο τῶν ἐν τοῖς λόγοις εἰλημμένων οὐδέν· δέδεικται γὰρ ὡς οὐδὲν τῶν καθόλου ὑπαρχόντων οὐσία ἐστίν. Alex. 1038 b 33.

1038a 5. ταῦτα εἰπὼν ἐπαναλαμβάνει τὸν λόγον καί φησιν "εἰ οὖν τὸ γένος ἁπλῶς μή ἐστι παρὰ τὰ ὡς γένους εἴδη," τουτέστιν εἰ τὸ ζῷον μή ἐστι παρὰ τὰ εἴδη αὐτοῦ αὐτὸ καθ' αὑτὸ καὶ χωριστόν, ὡς οἱ τὰς ἰδέας τιθέμενοι ἔλεγον, ἀλλ' ἐν αὐτοῖς ἐστίν, ὡς οὕτως καὶ ἡ ἀλήθεια βούλεται· ἢ κἂν εἰ χωριστόν ἐστιν, ὅμως ὡς ὕλη ἐστίν. καὶ σαφηνίζει αὐτὸ ἐπὶ παραδείγματος, ὅπως ὡς ὕλη τὸ γένος ἐστιν. ἡ μὲν γὰρ φωνὴ γένος ἐστὶ καὶ ὕλη, αἱ δὲ διαφοραὶ μετ' αὐτῆς εἰσὶ τὰ εἴδη, εἴδη δὲ φωνῆς τὰ ὀνόματα καὶ τὰ ῥήματα καὶ τὰ στοιχεῖα, τό τε ἄλφα καὶ βῆτα καὶ τὰ ἑξῆς· καὶ γὰρ αὐτὰ εἴδη τῆς φωνῆς ὡς ἐξ ὕλης αὐτῆς καὶ διαφορᾶς ὄντα· κατὰ διαφορὰς γάρ τινας καὶ αὐτὰ ἐκφωνεῖται. εἰ δὴ τὸ γένος ὡς ὕλη ἐστίν, εἶδος δὲ ἡ διαφορά, φανερὸν ἄρα ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος. εἰ δὲ ἡ ὕλη καὶ τὸ εἶδος αὐτοφυῶς ἔνεισιν, ἔστι δ' ὁ λόγος καὶ ὁ ὁρισμὸς γένος καὶ διαφορὰ ἤτοι ὕλη καὶ εἶδος, δῆλα ἄρα ἡμῖν ἐστὶν ὅπως τὸ ζῷον πεζὸν δίπουν ἕν ἐστι καὶ οὐ πολλά. οὕτως δὴ τὴν ἀπορίαν λύσας, καὶ ὡς συμπέρασμα, ὡς οἶμαι, τῆς λύσεως ἐπαγαγὼν τὸ "φανερὸν ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος," ὡς εἰ ἔλεγεν ὅτι φανερόν ἐστιν ὅπως τὸ ζῷον πεζὸν δίπουν ἕν ἐστιν, ὅτι γένος ἐστὶ καὶ διαφορὰ ἤτοι ὕλη καὶ εἶδος, τρέπεται καὶ ἐπὶ τὴν διδασκαλίαν τοῦ ὅπως δεῖ τὰς τῶν γενῶν καὶ διαφορῶν ποιεῖσθαι διαιρέσεις, λέγων "καὶ δεῖ διαιρεῖσθαι τὴν τῆς διαφορᾶς διαφοράν," ἴσον λέγων τῷ ὅτι εἰ μέλλοιμεν μετὰ τοῦ πρώτου γένους καὶ τῆς τελευταίας διαφορᾶς τοὺς ὅρους ποιεῖσθαι, δεῖ διαιρεῖν τὰς διαφορὰς εἰς τὰς οἰκείας αὐτῶν διαφοράς, ᾗ διαφοραί εἰσιν· οἷον εἰ τὸ ζῷον διαιρεῖται εἰς ὑπόπουν καὶ ἄπουν, τὸ ζῷον ὑπόπουν δεῖ διαιρεῖν εἰς τὴν οἰκείαν διαφοράν, ᾗ ὑπόπουν ἐστί, καὶ μὴ λέγειν ὡς τοῦ ὑπόποδος τὸ μὲν πτερωτόν ἐστι τὸ δὲ ἄπτερον, εἰ μέλλομεν καλῶς διαιρεῖν... ὅμως διὰ τὸ ἀδυνατεῖν ἐνίους καὶ μὴ δυναμένους συνορᾶν τὰς ἑκάστου διαφοράς, ποιοῦσι τοῦτο, λέγω δὴ τὸ διαιρεῖν αὐτὰ εἰς τὰς μὴ οἰκείας. δεῖ δὴ τὸ ὑπόπουν, κἂν εἴ τι ἄλλο ἐστί, διαιρεῖν εἰς τὰς οἰκείας, μέχρις ἂν ἔλθῃ εἴς τινα ἀδιάφορα, ἅπερ μηκέτι δύναται τέμνεσθαι εἰς ἑτέρας διαφοράς. Alex.

1038a 10. πάλιν τοῦ ζῴου τοῦ ὑπόποδος δεῖ ἡμᾶς τὴν διαφορὰν εἰδέναι καθὸ ὑπόπουν, τουτέστιν αὐτὸ τὸ ὑπόπουν διαιρεῖν. Asclep.

1038a 25. ἐὰν δὲ κατὰ συμβεβηκὸς ποιήσῃ τὴν διαίρεσιν λέγων τοῦ δίποδος τὸ μὲν εἶναι λευκὸν τὸ δὲ μέλαν, τοσαῦται ἔσονται διαφοραὶ ὅσαι καὶ αἱ τομαὶ τοῦ πράγματος ὑπάρχουσιν· ὥστε φανερὸν ὅτι ὁρισμὸς οὐδέν ἐστιν ἕτερον ἢ λόγος ἐκ τῶν διαφορῶν συγκείμενος, καὶ τούτων μάλιστα κατά τε τὸ ὀρθὸν τῆς τελευταίας διαφορᾶς... ὥστε οὐ δεῖ μετατάττειν τοὺς τοιούτους ὁρισμούς, οἷον ὡς ἐπὶ τοῦ ἀνθρώπου λογικοῦ λέγοντες οὕτως, ζῷον δίπουν ὑπόπουν, μετατάττοντες τὸ δίπουν. περιττὸν γάρ ἐστι τὸ ὑπόπουν· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ περιέργου εἰρημένου τοῦ δίποδος. Alex.

1038a 29. καὶ τούτων μάλιστα κατά γε τὸ ὀρθὸν τῆς τελευταίας διαφορᾶς. Asclep.

1038a 35. "τὴν πρώτην·" ἐρεῖ γὰρ πάλιν περὶ αὐτῶν ὁποῖαί τινές εἰσιν. Alex.

ὥστε τοσαῦτα δεῖ ἡμᾶς λέγειν περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν, ποῖοί τινές εἰσιν. ἐπειδὴ οὖν ὁ σκοπὸς ἡμῖν ἐνταῦθα περὶ οὐσίας ἐστὶ διαλεχθῆναι (διὰ τοῦτο γάρ, φησί, καὶ τὸν περὶ ὁρισμῶν λόγον ἐκινήσαμεν), πάλιν ἐπανελθεῖν ἐπὶ τὸ προκείμενον, καὶ ζητεῖν εἴτε ὑπάρχουσι χωρισταὶ οὐσίαι προαγωγοὶ τῶν ἐνταῦθα, ἃς καλοῦσιν ἰδέας, εἴτε οὔ. ὥστε ὡς ἔστιν εἶδος πρὸς ὕλην, οὕτως λέγεται ὥσπερ τὸ ὑποκείμενον οὐσίᾳ εἶναι, καὶ ταῦτα ἢ εἶναι καὶ τὸ ἐκ τούτων καὶ τὸ καθόλου. δύο ἀπορίαι   ἔθετο ἐξ ἀρχῆς ἐκθέσθαι καὶ ἐπιλύσασθαι, μίαν μὲν τὴν ζητοῦσαν πῶς διαφόρων ὄντων τῶν μερῶν τοῦ ὁρισμοῦ ἕνα λέγομεν τὸν ἐξ αὐτῶν συγκείμενον. εἶτα ἐπελύσατο τοῦτο, φάσκων ὅτι τὴν παρὰ τὴν τελευταίαν διαφορὰν πάντων ὕλης ἐπεχόντων τάξιν καὶ τῆς τελευταίας διαφορᾶς εἴδους, καὶ οὕτως λοιπόν, ὥσπερ ἐξ ὕλης καὶ εἴδους ἕν τι πρᾶγμα γίνεται, οὕτως καὶ ὁ ὁρισμὸς εἷς γίνεται, οὐχ ὅτι ὕλης ἐστὶ τὸ γένος, ἀλλ' ὅτι ἀναλογεῖ ὕλῃ, ἐπειδὴ εἰδοποιεῖ αὐτὴν ἡ διαφορὰ προσερχομένη καὶ ποιεῖ δηλοῦσθαι τὸ ἄτομον εἶδος, ὥσπερ καὶ τὸ εἶδος τὸ ἀόριστον τῆς ὕλης ὁρίζει καὶ περατοῖ. δευτέρα οὖν ἀπορία ὑπῆρχε ζητοῦσα εἰ ἔστι καθόλου οὐσία αὐτὴ καθ' αὑτὴν ὑπάρχουσα, οἷον αὐτοάνθρωπος καὶ αὐτόϊππος, ἐπειδὴ δοκεῖ τισὶ μάλιστα τὰ καθόλου εἶναι οὐσίαι κατὰ τρεῖς τρόπους, πρῶτον μὲν ὅτι ἀρχαὶ γίνονται ἀποδείξεων, ἐκ δὲ τῶν ἀποδείξεων γινώσκονται τὰ πράγματα· τῶν γὰρ καθόλου πραγμάτων ὑπάρχουσιν οἱ ὁρισμοί, οἱ δὲ ὁρισμοί, ὡς μεμαθήκαμεν ἐν τῇ Ἀποδεικτικῇ (2 7 sqq.), ἀρχαὶ ὑπάρχουσι τῶν ἀποδείξεων· δεύτερον, ὅτι φύσει πρότερα ὑπάρχουσι τὰ καθόλου τῶν μερικῶν, εἴγε συναναιροῦσι καὶ οὐ συναναιροῦνται· τοῦ γὰρ ἀτόμου ἀναιρεθέντος καὶ τὸ ἄτομον, εἴγε, φησίν, ἐξ αὐτοῦ ἔχει τὴν ὕπαρξιν. ὁμοίως καὶ ὅτι πρακτικὰ καὶ ποιητικὰ ὑπάρχουσιν ἐκεῖνα τὸ καθόλου   καὶ ἐπιχείρησιν τίθησιν   τὰς καθόλου οὐσίας καὶ τὰ ἐννοματικὰ καὶ ὕστερον πάλιν τὰς ἰδέας· ὡς γάρ φησιν ὁ Ἀλέξανδρος, ἐπειδή, ὡς αὐτοὶ κατ' ἀρχὰς τοῦ βιβλίου ἐλέγομεν, ὅτι πραγματεία αὕτη ἐστὶ περὶ τῆς οὐσίας (περὶ γὰρ τοῦ ὄντος βούλεται διαλεχθῆναι), τὸ δὲ κυρίως ὂν ἡ οὐσία ἐστί, διαστέλλεται ποσαχῶς λέγεται ἡ οὐσία, καὶ ἔδειξεν ὅτι τετραχῶς, κατὰ τὸ ὑποκείμενον, κατὰ τὸ εἶδος, κατὰ τὸ συναμφότερον καὶ τὸ καθόλου. εἰπὼν οὖν περὶ τοῦ ὡς εἴδους, τουτέστι τοῦ ἀριθμοῦ τοῦ ὑποκειμένου καὶ τοῦ ἐξ ἀμφοτέρου, ἐντεῦθεν λέγει ἡμῖν περὶ τῆς καθόλου, δεικνὺς ὅτι οὐκ ἔστιν. καὶ πρῶτον μὲν ἐπιχειρήματι κέχρηται τοιούτῳ, λέγων ὅτι ἡ οὐσία οὐκ ἔστιν ἡ αὐτὴ τῇ ἐν Πλάτωνι οὐσίᾳ, τὸ δὲ καθόλου κοινὸν ὑπάρχει. Asclep.

τὸ προκείμενόν ἐστι δεῖξαι ὡς οὐδὲν τῶν καθόλου οὐσία ἐστίν· 1038b 1.
οὔτε γὰρ ὁ καθόλου ἄνθρωπος ἢ ὁ καθόλου ἵππος, οὔτε ἄλλο οὐδέν· ἀλλ' ἕκαστον αὐτῶν διανοίας ἀπόμαξίς ἐστιν ἀπὸ τῶν καθ' ἕκαστα καὶ πρώτως καὶ μάλιστα λεγομένων οὐσιῶν καὶ ὁμοίωμα. Alex.

"ὅτι διχῶς ὑπόκειται, ἢ τόδε τι ὄν," τουτέστι τὸ γένος ταῖς δια- 1038b 5.
φοραῖς· διὸ καὶ εἶπεν αὐτὸ τόδε τι ὄν. οὐ γὰρ οὕτως ἐστὶ τὸ ζῷον ἀνείδεον ὡς ἡ ὕλη, ἥτις ἐξ ἀποφάσεως γίνεται, ἀλλὰ κατὰ ἀναλογίαν τῆς πρὸς τὸ περιορίζεσθαι ὑπὸ τῆς τελευταίας διαφορᾶς, ὥσπερ τὸ εἶδος περιορίζει τὴν ὕλην, ὡς ἡ κυρίως ὕλη ὑπόκειται τῇ ἐντελεχείᾳ, τουτέστι τῷ εἴδει. δυνατὸν δὲ λέγειν τὸ ζῷον ὑποκεῖσθαι τοῖς πάθεσι περὶ τοῦ ἁπλῶς ζῴου δῆλον, ἢ ὡς ὕλη ἐντελεχείᾳ, περὶ τοῦ καθ' ἕκαστα ζῴου. Asclep.

ἅμα ὑπάρχωσι καὶ παθῶν τὸ ὑποκείμενον δέξηται τὸ λευκόν· ἓν δὲ κατὰ συμβεβηκός, δῆλον ὁ λευκός, ἐπειδὴ συνέβη τὸν ἄνθρωπον λευκὸν εἶναι, ἐνταῦθα μὲν ἐπὶ τοῦ ὁρισμοῦ, τουτέστι τοῦ γένους καὶ τῆς διαφορᾶς, οὐ μετέχει θατέρου θάτερον· τὸ γὰρ γένος οὐ δοκεῖ μετέχειν τῶν διαφορῶν· ἔμελλε γὰρ λέγεσθαι τῶν ἐναντίων μετέχειν· ἐναντίαι γὰρ αἱ διαφοραί, αἷς διαφέρει τὸ γένος, τουτέστι τὸ λογικὸν καὶ ἄλογον. Asclep.

1037 b 16. ὅταν δὲ μετέχῃ τοῦ λευκοῦ καὶ ὑπάρχῃ ἐν αὐτῷ τὸ λευκὸν καὶ πάθῃ τι καὶ ποιωθῇ ὑπ' αὐτοῦ, τότε ἓν καὶ γίνεται καί ἐστιν ὁ λευκὸς ἄνθρωπος, οὐ καθ' αὑτὸ δὲ ἀλλ' ᾗ πεποίωται. Alex.

1037 b 20. αἷς τὸ γένος διαφέρει, τουτέστιν αἷς διαιρεῖται τὸ γένος. ἢ γένος ἐνταῦθα λέγοι ἂν τὸ εἶδος, καὶ εἴη ἂν λέγων ὅτι αἱ διαφοραί, αἷς τὰ εἴδη διαφέρει, ἐναντίαι εἰσίν. πολλαχοῦ δὲ αὐτῷ σύνηθες τὸ τὰ εἴδη γένη λέγειν. id.

1037 b 23. οὐ γὰρ ἐπειδὴ συνυπάρχουσιν αὐτῷ, δεῖ λέγειν αὐτὰ ἓν τῶν διαφορῶν ἓν γίνεσθαι πρᾶγμα, εἴπερ ὁ ὁρισμὸς ἑνὸς πράγματός ἐστι δηλωτικός, ταῦτα δὲ πάντα ἐμπεριέχεται ἐν τῷ ὁρισμῷ, ὅπερ ἐστὶ περὶ τὴν ἐνέργειαν· οὕτω γὰρ εὑρεθήσεται ὁ ἄνθρωπος πλεῖστα ὅσα καίπερ αὐτὸν καὶ ἔνυδρον καὶ ἄλλα μυρία, ἐπειδὴ τὸ ζῷον τὸ ἐν αὐτῷ μετέχει τούτων. δεῖ δὲ ἓν εἶναι πάντα τὰ ἐν τῷ ὁρισμῷ, ἐπειδὴ ὁ ὁρισμὸς μιᾶς φύσεώς ἐστι δηλωτικός. Asclep.

ἐνστὰς οὖν ὅτι τῶν διαφορῶν ἐναντίων οὐσῶν οὐ μετέχει τὰ γένη, λύει τοῦτο κατὰ ἀντιπαράστασιν, λέγων "εἰ δὲ καὶ μετέχει," ὃ δὴ ἐλλιπῶς λίαν εἴρηται· ἐξ ὧν δὲ ἐπάγει τοῦτο οἶμαι βούλεται λέγειν. εἰ δέ τις φῇ, ἀλλ' οὐ μετέχει τὸ γένος τῶν ἐναντίων διαφορῶν, ἀλλὰ τοῦ πεζοῦ καὶ τοῦ δίποδος καὶ τοῦ ἀπτέρου, ἅπερ οὐκ εἰσὶν ἐναντία, εἰ δὴ τούτων μετέχει, ὁ αὐτὸς πάλιν λόγος, εἴπερ αἱ διαφοραὶ πλείους, διὰ τί ταῦθ' ἓν ἀλλ' οὐ πολλά; εἰ γὰρ εἰκός ἐστι λέγειν ὅτι διὰ τὸ ἐνυπάρχειν τῷ γένει εἰσὶν ἕν, συμβήσεται τῷ λόγῳ τούτῳ πᾶν τὸ ἐν ᾧ ὑπάρχει τινὰ μετὰ τῶν ἐνυπαρχόντων αὐτῷ εἶναι ἕν, καὶ ἔσται ὁ οἶνος καὶ ὁ ἀμφορεὺς ἕν, καὶ ὁ μέδιμνος καὶ οἱ πυροί. οὐ μόνον δὲ τοῦτο, ἀλλ' εἴπερ ἕν ἐστι τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν καὶ τὸ ἄπτερον, διὰ τὸ ἐνυπάρχειν αὐτὰ τῷ ζῴῳ, ἔσται τὸ ζῷον ἓν καὶ μετὰ πάντων τῶν ἄλλων διαφορῶν, καὶ οὕτως ἔσται πάντα ἕν. ἵνα δὲ μή τις εἴπῃ ὅτι ἀλλ' οὐκ ἔσται τὸ ζῷον καὶ πεζὸν καὶ δίπουν ἕν, ἐπήγαγε τὸ "δεῖ λέγειν ἓν εἶναι ὅσα ἐν τῷ ὁρισμῷ." ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ μιᾶς οὐσίας. εἰ δὲ εἷς ὁρισμός ἐστι, καὶ ἕν τί ἐστι καὶ τόδε τι σημαίνει, ὥσπερ λέγομεν· τὸ γὰρ τί ἦν εἶναι καὶ ἡ συγκατατεταγμένη φύσις ἑκάστοις, ἧς ἐστὶν ὁρισμός, τόδε τί ἐστι καὶ ἕν· εἰ δὲ τοῦτο, καὶ ὁ λόγος αὐτῆς εἷς ἐστίν. ἀλλ' εἰ τοῦτο, δεῖ
1037 b 27. καὶ τὰ ἐν τῷ λόγῳ ἓν εἶναι. ἀλλὰ δεῖ πάλιν μικρόν τι παρεκβάντας ὑπομνῆσαι ἡμᾶς περὶ τοῦ τί ἦν εἶναι καὶ τοῦ καθόλου εἴδους. ἰστέον δὴ ὅτι τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος ταὐτόν ἐστι, πλὴν οὐχ ὡς νοεῖται καὶ ἔστιν, ἀλλὰ νοεῖται μὲν ἄλλο τι παρὰ τὰ ὑπ' αὐτὸ ἄτομα, ἐν αὐτοῖς δέ ἐστι κατατεταγμένον καὶ οὐδέποτε χωρὶς αὐτῶν ἐστίν, ἢ ὅλως χωρὶς ὕλης· ὁ δὲ ὁρισμός ἐστιν ὁ λόγος τοῦ τί ἦν εἶναι καὶ τοῦ εἴδους. καὶ περὶ μὲν τούτων ταῦτα προϋπομνησθῆναι ἡμᾶς χρή· αὐτὸς δὲ οὑτωσὶ τὴν ἀπορίαν θεὶς καὶ τὴν λύσιν ἀσαφῶς καὶ λίαν μεμελανωμένως ἐπαγαγών, διὰ τὸ καὶ τῷ δευτέρῳ τῶν περὶ Ψυχῆς (c. 2) ταύτην λελυκέναι, μετὰ πολλὰ σαφῶς λύσας οὐ δοκεῖ λελυκέναι. ὅμως ὅπως καὶ ἐνταῦθα ταύτην λύει, κἂν μὴ δοκῇ, τὴν λέξιν ἐπερχόμενοι λέξομεν. οὐδὲν δὲ ἴσως χεῖρόν ἐστι καὶ νῦν διὰ βραχέος ὑπομνῆσαι τὴν ταύτης λύσιν· ἴσμεν γὰρ ὡς οὐδεὶς εὖ ἔχων ζητήσειεν διὰ τί ἕν ἐστιν ὅ τε χαλκὸς καὶ ἡ περὶ αὐτὸν σφαῖρα· ἡ γὰρ ἐν τῷ χαλκῷ σφαῖρα οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ἢ στρογγύλος χαλκός, καὶ ἔστιν ὁ μὲν χαλκὸς ὡς ὕλη, τὸ δὲ στρογγύλον ὡς εἶδος, πέφυκε δὲ τὸ εἶδος καὶ ἡ ὕλη ἓν εἶναι μηδενὸς συνεχίζοντος αὐτά· τοῦτο γάρ ἐστι τῇ ὕλῃ τὸ ὕλῃ εἶναι καὶ τῷ εἴδει τὸ εἴδει, ἵνα ὅταν ᾖ ἡ ὕλη καὶ τὸ εἶδος, ὃ πέφυκε δέχεσθαι, εὐθὺς ἐνῶσθαί τε ᾖ καὶ ἓν εἶναι. ὡς οὖν ἐπὶ τούτων ἔχει, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν, λέγω δὴ γένους καὶ διαφορῶν· εἴρηκε γὰρ ἐν τῇ Ἀποδεικτικῇ (2 13?), εἴ τι μέμνημαι, ὅτι πᾶσαι αἱ πρὸ τῆς τελευταίας διαφορᾶς διαφοραὶ μετὰ γένους ὕλῃ ἀναλογοῦσιν, εἶδος δέ ἐστιν ἡ τελευταία διαφορά, οἷον τὸ ζῷον λογικὸν ὕλη ἐστὶ τοῦ ἀνθρωπείου εἴδους, ὁμοίως καὶ τὸ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶδος, τὰ δὲ πρὸ αὐτῶν ὕλη, ὡς καὶ αὐτὸς μετ' ὀλίγον ἐρεῖ, παραπλησίως δὲ τούτοις καὶ τὸ μὲν ζῷον πεζὸν ὕλη ἐστί, τὸ δὲ δίπουν εἶδος. ἀλλ' ἡ μὲν λύσις, ἥν, ὡς εἴπομεν, ἐπάξει μέν, οὐ δοκεῖ δέ, αὕτη ἐστίν. Alex.

διὰ τοῦτο γὰρ καὶ ὁρισμὸς λέγεται ὡς διαιρῶν καὶ χωρίζων τὸ ὁρι- 1037 b 25.
στὸν τῶν ἄλλων εἰδῶν. Asclep.

ἐντεῦθεν ἐνίσταται πρὸς τοὺς Πλατωνικούς, ἐγκαλῶν αὐτοῖς ὡς 1037 b 27.
ὅτι ἀμεθόδως τῇ διαιρετικῇ κέχρηνται, καί φησιν ὅτι δεῖ ἡμᾶς ἐπισκοπεῖν περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν· οὐδὲν γὰρ δεῖ παραλαμβάνεσθαι ἐν τῷ ὁρισμῷ πλὴν τὸ πρῶτον γένος καὶ τὴν τελευταίαν διαφοράν, τὰ δὲ ἄλλα πάντα γένη ὑπάρχουσιν, ὡς ἔδειξεν ἡ θεωρία, τουτέστι τὸ πρῶτον καὶ αἱ σὺν αὐτῷ λαμβανόμεναι διαφοραί. id.

"πλ. τὸ πρ. λ. γένος καὶ ἡ διαφορά·" δεῖ δὲ προσυπακούειν 1037 b 29.
τοῦ ἡ τελευταία... οὐδὲν γάρ, φησίν, ἐν τῷ ὁρισμῷ πλὴν τὸ πρῶτον λεγόμενον γένος καὶ ἡ τελευταία διαφορά. οἷον εἰς εἶδος ἄνθρωπος τὸ ζῷόν ἐστι καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, τὰ δ' ἄλλα τῷ ζῴῳ ἐχόμενα (ἔστι δὲ ταῦτα τὸ λογικὸν ζῷον καὶ τὸ θνητόν) γένει εἰσίν. εἰ δὲ γένη ὕλη εἰσὶν ἢ ἀνάλογόν γε ὕλῃ, τὸ μὲν ζῷον λογικὸν θνητόν εἰσιν ὕλη καὶ γένος, τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶδος. καὶ ὅρα ὅπως διὰ τούτων αἰνιγματωδῶς τὴν τῆς ἀπορίας εἴρηκε λύσιν. εἰ γὰρ ἡ ὕλη καὶ τὸ εἶδος, ὅτε εἰσὶν ὑφ' αὑτῶν, πεφύκασιν ἑνοῦσθαι καὶ ἓν γίνεσθαι, ἔστι δὲ ὕλη μὲν τὸ ζῷον λογικὸν θνητόν, εἶδος δὲ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ τὸ ζῷον πεζὸν δίπουν, ἓν ἂν εἶεν καὶ ταῦτα ἀλλ' οὐ πολλά. καὶ ὅρα τὴν τοῦ Ἀριστοτέλους ἀγχίνοιαν, ὅπως ἐν ταὐτῷ καὶ τὴν λύσιν ἡμῖν τῆς ἀπορίας σκιωδῶς ἐμφαίνει καὶ τὴν διαίρεσιν τῶν γενῶν καὶ διαφορῶν ὅπως χρὴ ποιεῖσθαι ἐπαγγέλλει καὶ θαυμαστῶς ἀνακαλύπτει. Alex.

ὁμοίως δὲ κἂν διὰ πλειόνων καὶ δι' ἐλαττόνων λέγηται, ἢ καὶ 1038 a 1.
ὅλως διὰ δυεῖν. id.

ὁμοίως δὲ κἂν πλείονα λέγωνται· ὅλως δὲ οὐδὲν διαφέρει κἂν ἐλάττων λέγηται, πλὴν τῶν δύο. τοῖς δύο οὖν δεῖ χρῆσθαι, τῷ μὲν ἑνὶ γένει, τῷ δὲ διαφορᾷ. Asclep.

θέμεθα, τῶν δὲ καθ' ἕκαστα μέρη ταῦτα ὑπάρχουσιν, ὥσπερ εἴρηται· πρότερον γὰρ τοῦ λόγου τοῦ κύκλου· ἐν τούτοις γὰρ θεωροῦνται οἱ καθ' ἕκαστα κύκλοι· ἔστι γὰρ ὕλη ἡ μὲν αἰσθητή, οἷον χαλκῆ, ξυλίνη, ἡ δὲ νοητή, ἡ τῶν ἡμικυκλίων. Asclep.

1037a 7. Σωκράτης δὲ καὶ ὁ Κορίσκος εἰ μὲν κατὰ τὴν ψυχὴν μόνον χαρακτηρίζονται, διττόν ἐστι, συγκείμενον ἐκ ψυχῆς καὶ σώματος· οἱ μὲν γὰρ τὴν ψυχήν φασι τὸν ἄνθρωπον, οἱ δὲ τὸ σύνθετον. εἰ δὲ ἁπλῶς λέγονται, τουτέστι μοναχῶς, ἡ ψυχὴ καὶ τὸ σῶμα ὡς ἕν, ὥσπερ ἡ βα συλλαβή, καὶ ἁπλῶς καθ' ἕκαστον, ἡνίκα συνταχθῇ ἐν λέξει ἐν τῇ βάρος· οὕτως οὖν ἐστὶ καὶ ἁπλῶς ἄνθρωπος καὶ ὁ καθ' ἕκαστα θεωρεῖται· οὕτως δέ ἐστιν ὁ λόγος ὁ δημιουργικός. id.

Σωκράτης δὲ καὶ Κορίσκος, φησίν, εἰ μέν ἐστι καὶ ἡ ψυχὴ αὐτοῦ εἶδος αὐτοῦ καὶ εἰδοποιεῖται κατ' αὐτήν, ἔσται διττὸν ζῷον ἐκ ψυχῆς καὶ σώματος ἤτοι ἐξ εἴδους καὶ ὕλης· καὶ οἱ μὲν τῶν ἀνθρώπων ἐροῦσι τὸν Σωκράτην ὡς ψυχήν, τουτέστιν ὡς εἶδος, ἀφορῶντες εἰς τὴν ψυχὴν αὐτοῦ μόνην, οἱ δὲ ἐροῦσιν αὐτὸν ὡς τὸ σύνολον, ἤτοι ἐκ ψυχῆς καὶ σώματος, ἀποβλέποντες εἰς ἀμφότερα. "εἰ δὲ ἁπλῶς ἡ ψυχὴ ἥδε καὶ σῶμα τόδε," τουτέστιν εἰ δέ τις τὴν τοῦ Σωκράτους ψυχὴν οὐκ εἶδος τοῦ Σωκράτους λέγει ἁπλῶς, ἀλλὰ ἁπλῶς λέγει Σωκράτην ἢ Κορίσκον, ὡς ἔχει ἡ καθόλου ἀνθρώπειος ψυχὴ πρὸς τὸ καθόλου ἀνθρώπειον σῶμα, ἔχει καὶ ἡ καθ' ἕκαστα πρὸς τὸ καθ' ἕκαστον. εἰ μὲν οὖν ἐστὶν εἶδος τοῦ καθόλου ἀνθρωπείου σώματος ἡ καθόλου ἀνθρώπειος ψυχή, ἔσται καὶ ἡ τοῦ Σωκράτους ψυχὴ πρὸς τὸ τοῦ Σωκράτους σῶμα εἶδος. εἰ δὲ μή ἐστιν ἡ καθόλου ἀνθρώπειος ψυχὴ τοῦ καθόλου ἀνθρωπείου σώματος εἶδος, οὐδ' ἡ καθ' ἕκαστα τοῦ καθ' ἕκαστα. ἐπειδὴ τῆς φυσικῆς ἐστὶ τὸ περὶ τῶν ἐνύλων εἰδῶν θεωρεῖν, ἀλλ' οὐ τῆς προκειμένης πραγματείας, αὐτὸς δὲ δι' ὅλου τοῦ βιβλίου περὶ τῶν ἐνύλων εἰδῶν τὴν σκέψιν ἐποιήσατο, ὥσπερ ἑαυτῷ ἀπολογίαν ποριζόμενός φησι "πότερον ἐστι" κτλ. (p. 1037 a 10). Alex.

1037a 11. λέγει δὲ ἀριθμοὺς τὰς ἰδέας ἤ τι τοιοῦτον, καί φησιν ὅτι ὕστερον ἐπισκεψόμεθα περὶ τούτου· καὶ ζητήσει καὶ ἐν τῷ παρόντι βιβλίῳ, ζητήσει δὲ μάλιστα καὶ ἐν τῷ Μ. id.

1037a 12. διὰ τοῦτο γὰρ καὶ θεολογοῦντες περὶ τῶν αἰσθητῶν διαλεγόμεθα, ἐπειδὴ φιλοσοφίας ἐστὶ τῆς δευτέρας, φημὶ δὴ τῆς φυσικῆς, περὶ τῶν αἰσθητῶν οὐσιῶν διαλέγεσθαι, ἐπειδὴ τὰς ἰδέας τούτων τῶν αἰσθητῶν λέγουσιν εἶναι. Asclep.

1037a 16. οὐ μόνον γὰρ τοῦ φυσικοῦ ἐστὶ τὸ περὶ τῆς ὕλης θεωρεῖν, ἀλλὰ καὶ περὶ τοῦ ἐνύλου εἴδους, καὶ μάλιστα, ὡς ἐν τῷ Β τῆς Φυσικῆς Ἀκροάσεως (c. 1. 2) ἔγνωμεν. ἀλλὰ καὶ περὶ τῶν ὁρισμῶν φησί, πῶς ἐστὶ μέρη τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὁριστοῦ, καὶ πῶς εἷς ἐστὶν ὁρισμὸς ἐκ πλειόνων ὑπάρχων· ἐκ γὰρ γένους καὶ διαφορῶν· δῆλον γὰρ ὅτι ἐπειδὴ τὸ πρᾶγμα, οἷον τὸ ὁριστόν, ἕν ἐστι, καὶ αὐτὸς εἷς ἐστίν. πῶς δὲ πρᾶγμα ἔχον μέρη; δῆλον ὡς ἐνοῦν τι αὐτό ἐστιν ἕν. περὶ τούτων δὴ σκεπτέον ὕστερον, καὶ ἐρεῖ περὶ τούτου. πρὸ πάντων ὅσον οὔπω ταῦτα εἰπὼν ἀνακεφαλαιοῦται τὰ διὰ πλειόνων λεχθέντα. Alex.

1037a 17. πανάπορός ἐστιν ὁ λόγος, πῶς μέρη ὑπάρχουσιν ἐπὶ τῶν ὁρισμῶν τὰ ἐν τῷ λόγῳ, καὶ διότι εἷς λόγος γίνεται ὁρισμός; δῆλον ὅτι τὸ πρᾶγμα ἕν ἐστιν, εἷς ὁρισμός, ἐπεὶ οὐκ ἔμελλεν εἶναι εἷς. πῶς δὲ ἓν γίνεται τὸ πρᾶγμα μέρη ἔχον, ὕστερον ἐροῦμεν. καὶ μετ' ὀλίγον περὶ τῶν δύο ἀποριῶν ἐρεῖ. Asclep.

οὐδὲ γάρ εἰσιν ἐκείνης τῆς οὐσίας καὶ τοῦ εἴδους αἱ σάρκες καὶ τὰ 1037a 25.
ὀστᾶ μόρια, ἀλλὰ τῆς συνόδου, λέγω δὴ τῆς συνθέτου τῆς ἐξ ὕλης καὶ εἴδους. τῆς δὲ συνθέτου οὐσίας τρόπον μέν τινα ἔστιν ὁρισμός, τρόπον δέ τινα οὐκ ἔστιν· κατὰ μὲν γὰρ τὴν ὕλην τὴν ἐν αὐτῇ, οἷον σαρκῶν καὶ ὀστῶν καὶ νεύρων, οὐκ ἔστι κτλ. Alex.

ἐξ οὗ εἴδους καὶ τῆς ὕλης τὸ σύνολον γίνεται τῇ οὐσίᾳ. Asclep. 1037a 29.
εἰπὼν δὲ ὅτι κατὰ τὴν πρώτην οὐσίαν ἐστίν, τί δέ ἐστιν ἡ οὐσία ἐπήγαγεν· "ἡ οὐσία γάρ ἐστι τὸ εἶδος τὸ ἐνόν," ἴσον λέγων, οὐδὲν ἄλλο ἐστὶν ἡ πρώτη οὐσία ἢ τὸ εἶδος τὸ ἐνυπάρχον τῇ ὕλῃ. τὸ δὲ μεταξὺ τεθέν, "οἷον ἀνθρώπου ὁ τῆς ψυχῆς λόγος," τοιοῦτον ἂν εἴη, τὸ εἶδος τοῦ ἀνθρώπου ὁ λόγος τῆς ψυχῆς ἤτοι αὐτὴ ἡ ψυχή ἐστιν· ἐξ ἧς ψυχῆς καὶ τῆς ὕλης ἡ σύνολος καὶ σύνθετός ἐστιν οὐσία. id.

"δὶς γὰρ ἐν τούτοις ὑπάρξει ἡ ῥίς," τουτέστιν εἴρηται ἡμῖν καὶ περὶ 1037a 31.
τῶν συνθέτων ὅτι εἰ ἔστι τούτων ὁρισμός, συμβαίνει δὶς τὸ αὐτὸ λέγειν· ἐν γὰρ τῇ ῥινὶ τῇ σιμῇ ἢ τῷ Καλλίᾳ ἔνεστι καὶ ὕλη καὶ εἶδος· ἀλλ' εἰ τοῦτο, οὐκ ἂν εἴη ὁρισμὸς αὐτοῖν· συμβήσεται γὰρ δὶς τὸ αὐτὸ λέγειν. οὐ μόνον δὲ περὶ τούτων εἴρηται, ἀλλ' ὅτι καὶ ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτοῦ ἐπί τινων ταὐτόν ἐστιν, ὥσπερ καὶ ἐπὶ τῶν πρώτων οὐσιῶν ἐξηγεῖται τίς ποτέ ἐστιν ἡ πρώτη οὐσία, φάσκων "λέγω δὲ πρώτην ἣ μὴ λέγεται τῷ" κτλ. Alex.

ὅσα δὲ ὡς ἐν ὕλῃ θεωροῦνται, ταῦτα ἕν τι ὑπάρχουσιν ἀμφό- 1037b 4.
τερα, τὸ εἶδος καὶ ἡ ὕλη· τὸ δὲ ἓν τοῦτο οὐσιῶδές ἐστι καὶ οὐ κατὰ συμβεβηκός, ὥσπερ ὁ Σωκράτης καὶ ὁ μουσικὸς Σωκράτης κατὰ συμβεβηκός ἐστιν ἕν. Asclep.

ὡς ἐν ὕλῃ δὲ ἢ ὡς ἐν συνειλημμένῳ τῇ ὕλῃ τῷ Σωκράτει 1037b 6.
ἐστὶ τὸ μουσικόν· ὡς ὕλη γὰρ ὑπόκειται ὁ Σωκράτης τῷ μουσικῷ. καὶ ἐπὶ τούτῳ ὁ Σωκράτης καὶ τὸ μουσικὸν καθ' αὑτὸ μὲν οὐκ εἰσὶ ταὐτόν, κατὰ συμβεβηκὸς δέ. Alex.

ἐπειδὴ ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν δευτέρων Ἀναλυτικῶν 1037b 8.
ἐκίνησε τὸν περὶ ὁρισμῶν λόγον, φησὶν ἐνταῦθα ὅτι εἴ τι ἡμῖν ἐκεῖ παραλέλειπται περὶ ὁρισμῶν, ἐνταῦθα ἀναπληροῦμεν. Asclep.

νῦν περὶ τούτου τὴν ζήτησιν ποιεῖται, λέγων ὅτι ἐπειδὴ ἐν τοῖς ἀναλυτικοῖς (λέγοι δ' ἂν ἀναλυτικὰ τὸ Β τῶν Ὑστέρων Ἀναλυτικῶν), ἐπειδὴ οὖν ἐν ἐκείνοις τὴν περὶ ὁρισμῶν ζήτησιν οὐ τελείαν πεποιήκαμεν, ὅπερ ἐν ἐκείνοις μὴ εἴρηται, νῦν λέγωμεν· ἡ γὰρ ἐν ἐκείνοις ἀξία ζητηθῆναι ἀπορία καὶ μὴ ζητηθεῖσα, εἰ νῦν λεχθείη, προύργου καὶ μεγάλα συντελέσει τοῖς περὶ τῆς οὐσίας καὶ τοῦ εἴδους λόγοις. ἡ δὲ ἀπορία, φησίν, ἔστι, διὰ τί ποτε τὸ ὁριστόν, οὗ τὸν λόγον φαμὲν εἶναι ὁρισμόν, ἐκ πλειόνων ἕν ἐστιν ἀλλ' οὐ πολλά. Alex.

ἔστι δὲ ἡ ἀπορία τοιαύτη, δι' ἣν αἰτίαν τὸν λόγον, τουτέστι τὸν 1037b 10.
ὁρισμόν, ἕνα φαμὲν εἶναι, ὥσπερ τοῦ ἀνθρώπου τὸ ζῷον δίπουν (ἔστω γὰρ νῦν καθ' ὑπόθεσιν καὶ οὕτως αὐτοῦ ὁ ὁρισμός)· διὰ τί γὰρ τοῦτο ἓν λέγομεν καὶ μὴ πολλά, φημὶ δὴ τὸ ζῷον δίπουν; ἐπὶ μὲν γὰρ ἄνθρωπος καὶ λευκὸς πολλὰ τὰ αὐτὰ ὑπάρχει, ὅταν μὴ συνυπάρχωσιν ἀλλήλοις, ἀλλὰ κεχωρισμένα εἰσὶν ἀπ' ἀλλήλων· ἓν δὲ γίνεται ὅταν

τῶν συνθέτων. καὶ πάλιν τὸ ποιεῖν πάντων ἰδέας καὶ πάντα χωρίζειν τὰ εἴδη οὐκ ἀληθές· πῶς γὰρ δυνατόν ἐστι χωρίσαι τὴν σιμότητα, ἥτις οὐ δύναται ὑποστῆναι ἄνευ ῥινός; τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν "τόδε ἐν τῷδε ἐστίν, ἢ ὡδὶ τάδε ἔχοντα," ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου καὶ τῶν σαρκῶν. εἶτα λοιπὸν μέμφεται τῷ Σωκράτει τῷ νεωτέρῳ, οὗ μέμνηται Πλάτων ἐν τῷ Πολιτικῷ· σύγχρονος δὲ οὗτος γεγονὼς Θεαιτήτου· ἔξω γάρ, φησί, τῆς ἀληθείας ὁ παρ' αὐτοῦ λόγος ἀπάγει ἡμᾶς· φησὶ γὰρ ὅτι δυνατὸν εἶναι τὸν ἄνθρωπον ἄνευ τῶν μερῶν, ὥσπερ τὸν κύκλον ἄνευ τοῦ χαλκοῦ. Asclep.

1036 b 23. τὸ δὲ πάντα ἀνάγειν καὶ ἰδέας ποιεῖν, χωρίζοντας τὴν ὕλην, περίεργον. ἐπ' ἐνίων γὰρ φανερὸν ὅτι τόδε ἐν τῷδε ἐστίν, οἷον τὸ εἶδος ἐν τῇ ὕλῃ· τὸ γὰρ τῆς οἰκίας εἶδος ἐν λίθοις καὶ ξύλοις ἐστὶ καὶ τὸ τοῦ ἀνδριάντος ἐν χαλκῷ, ἀλλ' οὐ χωριστὰ αὐτὰ καθ' αὑτά. καὶ τοῦτο ὁμολογοῦσι καὶ οἱ τὰς ἰδέας τιθέμενοι. εἰ δὲ τοῦτο, τίνος ἕνεκα αὐτῶν μὲν ἰδέαι οὐκ εἰσίν; τὸ δ' "ἴσως" πρόσκειται διὰ φιλόσοφον εὐλάβειαν, ἢ ὅτι τοῦτο δείξει μετ' ὀλίγον, λέγω δὴ τὸ μὴ εἶναι ἰδέας, ἢ καὶ διὰ τὰ προδεδειγμένα ἐν τῷ μείζονι ἄλφα καὶ τοῖς ἐφεξῆς. Alex.

εἰπὼν δὲ ὅτι ἔνια τάδε ἐν τῷδε ἐστιν, ἐπήγαγεν "ἢ ὡδὶ ἔχοντα·" ἡ γὰρ τοιαδὶ σύνθεσις τῶν λίθων καὶ τὸ ὡδί πως ἔχειν ἀλλὰ μὴ ὡδί ἐστιν ἡ οἰκία. ταῦτα εἰπὼν αἰτιᾶται τὸν νεώτερον Σωκράτην ὡς οὐ καλῶς ἐκ τῆς ἐπαγωγῆς κατασκευάζοντα τὸ εἶναι ἰδέας. νεώτερον δὲ Σωκράτην ἢ τὸν Πλάτωνα λέγει, ἤ, ὃ καὶ μᾶλλον, τὸν ὁμώνυμον τῷ τοῦ Πλάτωνος διδασκάλῳ Σωκράτην. ποιεῖται γάρ τινα Σωκράτην ὁ Πλάτων προσδιαλεγόμενον μετὰ τοῦ γηραιοῦ Σωκράτους. οὗτος δὲ ὁ Σωκράτης ἀπό τινος ἀληθοῦς κατασκευάζειν ἐπειρᾶτο ὅτι ἔστιν ἄνθρωπος ἄνευ μερῶν ὑλικῶν· ἔλεγε γὰρ ὅτι ὥσπερ ἄνευ χαλκοῦ καὶ ἄνευ λίθου καὶ ξύλου δύναται εἶναι κύκλος, οὕτως καὶ ἄνθρωπος χωρὶς σαρκῶν καὶ ὀστῶν. id.

1036 b 25. Σωκράτην νεώτερον οἱ μὲν ἔφασαν ὁμώνυμόν τινα τῷ παλαιῷ Σωκράτει εἶναι ὁμόχρονον τῷ Θεαιτήτῳ καὶ ἀδελφόν, ὃν τῷ παλαιῷ Σωκράτει προσδιαλεγόμενον ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ εἰσάγει. ἢ Σωκράτην νεώτερον αὐτὸν ἂν λέγοι τὸν Πλάτωνα καὶ μαθητὴν ὄντα Σωκράτους. cod. Reg.

1036 b 28. ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐκ ἀληθές· ὥσπερ γὰρ οὐκ ἔστιν εὑρεῖν κύκλον ὅλως ἄνευ σώματος, κἂν εἰ ἐν παντὶ στερεῷ καὶ οὐχ ὡρισμένῳ πέφυκε γίνεσθαι σώματι, οὕτως οὐδ' ἄνθρωπον ἄνευ σαρκῶν καὶ ὀστῶν ἐν ὑποστάσει δύναταί τις εὑρεῖν, ἀλλὰ χωρίζει μὲν αὐτὸν ἡ ἐπίνοια ἀπὸ τῶν κατὰ μέρος ἀνθρώπων, ὥσπερ καὶ τὸν κύκλον, ἐν ὑποστάσει δὲ ὡς ὁ 'Αλέξανδρος οὐ δύναται εἶναι, ἀλλ' εἰ καὶ τῶν καθ' ἕκαστα αὐτῶν ἀποσυλᾶ, ἀλλ' οὖν πάλιν μετὰ σαρκὸς καὶ ὀστῶν περιφαντάζεται αὐτόν. οὐκ ἔστιν οὖν, φησίν, ὅμοιον τὸ ἐπὶ τοῦ κύκλου παρὰ τοῦ νεωτέρου Σωκράτους λεγόμενον καὶ τὸ ἐπὶ τοῦ ζῴου· αἰσθητὸν γάρ τι τὸ ζῷον καὶ ἄνευ κινήσεως (λέγει δὲ κίνησιν τὴν ὕλην), καὶ ὑποκείμενον οὐκ ἔστιν ὁρίσασθαι, ἤτοι οὐκ ἔστι τὸ αἰσθητὸν ζῷον οἷον ἂν καὶ εἴη ἄνευ τοῦ ὑποκειμένου ὁρίσασθαι, εἴπερ τις ἀκριβῶς ὁρίζοιτο. ἐπεὶ οὖν οὐκ ἔστιν αὐτοζῷον. ὡς δέδεικται καὶ δειχθήσεται, ἀλλὰ πᾶν ζῷον ὕπαρξιν ἔχον αἰσθητόν ἐστιν (τὸ γὰρ καθόλου ζῷον οὐκ ἐν ὑπάρξει, ἀλλ' ἐπινοίᾳ), πῶς ἂν ζῷον αἰσθητὸν ἄνευ ὕλης ὁρισθείη; ἀλλὰ τὰ μὲν καθόλου χωρὶς ὕλης ὁρίζεται ἅτε ἐπινοίᾳ ὄντα, τὰ δὲ καθ' ἕκαστα οὐδαμῶς δύναται. διὰ δὲ τοῦ "αἰσθητὸν γὰρ τὸ ζῷον καὶ ἄνευ κινήσεως οὐκ ἔστιν ὁρίσασθαι" δηλοῖ τὸ πᾶν ζῷον αἰσθητόν ἐστι, πᾶν δὲ ζῷον αἰσθητὸν οὐ δύναται ὁρισθῆναι ἤτοι ὕπαρξιν ἔχειν ἄνευ σαρκῶν καὶ ὀστῶν· οὐ δύναται οὖν ζῷον αἰσθητὸν ἄνευ τῶν μερῶν αὐτοῦ ἐχόντων πως ἢ εἶναι ἢ ὅλως ὁρισθῆναι. Alex.

ἐντεῦθεν περὶ τῶν ἡμικυκλίων ζητεῖ, καὶ φησι διὰ τί μὴ λέγομεν μέρη τοῦ κύκλου τὰ ἡμικύκλια; οὔτε γὰρ αἰσθητὰ ταῦτα, ὥσπερ σάρκες καὶ νεῦρα. Asclep. 1036 b 32.

εἰπὼν πρότερον ὅτι ἐπὶ μὲν τῷ τῆς συλλαβῆς λόγῳ λαμβάνεται τὰ στοιχεῖα διὰ τὸ μὴ εἶναι ὕλης μέρη ἀλλ' εἴδους, ἐπὶ δὲ τοῦ κύκλου οὐ λαμβάνεται τὰ ἡμικύκλια, ὅτι ἔνυλά εἰσι καὶ μέρη ὕλης, συνεῖδεν ἔνστασίν τινα δυναμένην πρὸς τὸν λόγον φέρεσθαι, ἣν παρατίθησι καὶ λύει. ἔφθημεν δὲ ἡμεῖς εἰπόντες ὅτι περὶ τῆς συλλαβῆς ἔλεγεν, ὅπως τὰ μὲν ἡμικύκλια ὕλης εἰσὶ μέρη, τὰ δὲ στοιχεῖα οὐκ εἰσίν· καὶ οἶμαι καὶ ταῦτα ἐκείνοις ἔδει συντάττεσθαι, καὶ ἴσως ὑπὸ μὲν Ἀριστοτέλους συντέτακται (ἐν οὐδεμιᾷ γὰρ τῶν ἄλλων αὐτοῦ πραγματειῶν εὑρίσκεται τοιοῦτόν τι πεποιηκὼς ὁποῖα ἐνταῦθα φαίνεται), ὑπὸ δὲ τοῦ Εὐδήμου κεχώρισται. ἔστι δὲ ἡ ἔνστασις τοιαύτη· διὰ τί οὐκ εἰσὶν οἱ λόγοι τῶν ἡμικυκλίων ἤτοι τὰ ἡμικύκλια μέρη τοῦ λόγου τοῦ κύκλου; οὐ γάρ ἐστιν αἰσθητά, ὡς ὁ χαλκὸς καὶ τὰ ὀστᾶ καὶ αἱ σάρκες, ἵνα ὡς ὕλης μέρη ταῦτα λέγηται. εἰ δ' οὐκ εἰσὶν ὑλικά, διὰ τί οὐκ ἐν τῷ τοῦ κύκλου λόγῳ ἐλήφθη; καὶ λύει ταύτην λέγων "ἢ οὐδὲν διαφέρει;" κἄν τε γὰρ αἰσθητά ἐστι τὰ ἡμικύκλια κἄν τε μὴ αἰσθητά, ὕλης εἰσὶ μέρη καὶ ὕλη· οὐ γὰρ πᾶσα ὕλη αἰσθητή, οὐδὲ πάλιν μόνον τῶν αἰσθητῶν ἐστὶν ὕλη, ἀλλ' ἔστι καὶ ὕλη μὴ αἰσθητή, ἔστι καὶ ὕλη μὴ αἰσθητῶν, καὶ οὐδὲν κωλύει μὴ αἰσθητῶν ὄντων τῶν τμημάτων εἶναι αὐτῶν ὕλην οὐκ αἰσθητήν. καὶ ἁπλῶς παντός, ὃ μή ἐστι τί ἦν εἶναι καὶ εἶδος αὐτὸ καθ' αὑτό, ἔστι τούτου ὕλη· ὥστε δῆλον ἐκ τούτου ὅτι καὶ ὁ καθόλου ἄνθρωπος, ἐπειδὴ μή ἐστι καθ' αὑτόν, ἔστι καὶ αὐτοῦ ὕλη, ἀλλὰ νοητή· ἡ μὲν γὰρ τῶν ὑλῶν αἰσθητή ἐστιν ἡ δὲ νοητή· ὥστε δῆλον ὅτι τοῦ μὲν καθόλου κύκλου τὰ ἡμικύκλια οὐκ ἔσται μέρη ταῦτα, ὥσπερ εἴρηται. ὁ μὲν γὰρ καθόλου κύκλος ἤτοι τὸ εἶδος τοῦ κύκλου τὸ νοητὸν ἀμερὲς καὶ ἀδιάστατον, ὁ δὲ καθ' ἕκαστα κύκλος μέρη ἔχει καὶ διαστατόν ἐστιν. πῶς δὲ τὰ ἡμικύκλια, κἂν νοητὰ εἴη, ὕλη εἰσίν, εἴπομεν ἱκανῶς, ὅτι ἡ διάστασις, ἣν ὅτι ἔχει νοοῦμεν, ὕλης ἐστίν· τὸ γὰρ εἶδος ἀδιάστατον καὶ ἀμερές, τὴν δὲ διάστασιν ἔχει διὰ τὴν ἐν ᾗ ἐστὶν ὕλην. ἐκ πάντων δὲ δῆλόν ἐστιν ὅτι ἡ μὲν ψυχὴ οὐσία ἐστὶν ἡ πρώτη, τουτέστι τὸ εἶδος, τὸ δὲ σῶμα ὕλη. περὶ δὴ τούτων ἀκριβῶς ἐρρέθη ἐν τῷ β' τῶν περὶ Ψυχῆς, ὅτι τὸ μὲν σῶμά ἐστιν ὕλη, ἡ δὲ ψυχὴ εἶδος, ὁ δὲ καθόλου ἄνθρωπός ἐστι τὸ ζῷον ἐξ ἀμφοῖν, τοῦ τε καθόλου σώματος καὶ τῆς καθόλου ψυχῆς. Alex.

ἰστέον οὖν ὅτι οὐδὲν διαφέρει τοῦ λέγειν σάρκα ἢ ἡμικύκλιον· 1036 b 34.
ἔστι γὰρ ἡ ὕλη ἐπ' ἐνίων καὶ μὴ ὄντων αἰσθητῶν καὶ παντὸς πράγματος, μὴ ὄντος εἴδους χωριστοῦ· ὥστε τοῦ καθόλου κύκλου τοῦ διαστατοῦ οὐχ ὑπάρχουσι μέρη ταῦτα τὰ ἡμικύκλια, εἴγε καὶ διαστατὰ αὐτὰ ὑπο-

γίνεσθαι, ὅμως οὐκ ἂν ἦν οὐδὲ τότε χαλκὸς τῆς οὐσίας αὐτοῦ, εἴπερ οὐδὲ νῦν ἐστί, κἂν χαλεπόν ἐστι καὶ οὐ ῥᾴδιον τὸ χωρίσαι τοῦτον ἀπὸ τοῦ χαλκοῦ· νῦν γὰρ τοῦτο ὁρατόν ἐστιν, λέγω δὴ τὸ χωρίζειν αὐτὸν ἀπὸ τοῦ χαλκοῦ. οὕτω καὶ τὸ τοῦ ἀνθρώπου εἶδος, εἰ καὶ ἀεὶ ἐν τοῖς αὐτοῖς γίνεται, ὅμως οὐδέν ἐστι τῆς οὐσίας αὐτοῦ τὰ ὀστᾶ καὶ αἱ σάρκες. καὶ ὃ μὲν εἰπεῖν βούλεται τοῦτό ἐστιν, αὐτὸς δὲ οὐ κατὰ ἀπόφασιν τὸν λόγον προήνεγκεν, ἀλλὰ κατ' ἐρώτησιν λέγων, οἷον τὸ τοῦ ἀνθρώπου εἶδος ἀεὶ ἐν σαρξὶ γίνεται καὶ ὀστοῖς· ἆρ' οὖν ἐστὶ ταῦτα μέρη τοῦ εἴδους καὶ τοῦ λόγου; καὶ ἐρωτήσας ἀποκρίνεται λέγων "ἢ οὔ," τουτέστιν ἢ οὐκ εἰσὶ μέρη αὐτοῦ οὐδαμῶς, ἀλλ' ὕλη εἰσίν· ἀλλὰ διὰ τὸ μὴ καὶ ἐπ' ἄλλων ἐπιγίνεσθαι τὸ τοῦ ἀνθρώπου εἶδος, ὥσπερ τοῦ κύκλου, ἀδυνατοῦμεν χωρίσαι. id.

1036 b 2. καὶ οὕτως γὰρ οὐδὲν ἦν ὁ χαλκὸς τῆς τοῦ κύκλου οὐσίας. Asclep.

1036 b 7. ἐπεὶ δὲ τοῦτο μέν, λέγω δὲ τὸ εἶδος τοῦ ἀνθρώπου, χωρίζειν τῇ ἐπινοίᾳ τῶν σαρκῶν καὶ ὀστῶν ἐνδέχεται, ἄδηλον δέ ἐστι πότε χωρισθήσεται· οὐ γάρ ἐστι δῆλον· ὥσπερ ἐπὶ τοῦ κύκλου ἀποροῦσί τινες, λέγων τινὰς τοὺς Πυθαγορείους, καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου καὶ τῆς γραμμῆς λέγοντες ὡς οὐ χρὴ ταῦτα γραμμαῖς ὁρίζεσθαι καὶ λέγειν, κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἢ τρίγωνον τὸ ὑπὸ τριῶν γραμμῶν, ἢ πάλιν γραμμή ἐστι μῆκος συνεχὲς ἐφ' ἓν διαστατόν· ἡ γὰρ γραμμὴ τῷ τε κύκλῳ καὶ τῷ τριγώνῳ ὡς ὕλη ὑπόκειται, ὁμοίως δὲ καὶ τὸ συνεχὲς τῇ γραμμῇ, ὥσπερ καὶ αἱ σάρκες καὶ τὰ ὀστᾶ τῷ ἀνθρώπῳ καὶ ὁ χαλκὸς τῷ ἀνδριάντι· εἰ οὖν τὸν ἄνθρωπον διὰ τῶν ὀστῶν καὶ σαρκῶν μὴ ὁριζόμεθα διὰ τὸ εἶναι μέρη ὑλικά, οὐδ' ἄρα τὸν κύκλον καὶ τὸ τρίγωνον διὰ τῆς γραμμῆς ὁρίζεσθαι χρή, οὔτε τὴν γραμμὴν διὰ τοῦ συνεχοῦς, καὶ διὰ τοῦτο, λέγω δὴ τὸ λέγειν ὅτι ἡ γραμμὴ καὶ τὸ συνεχὲς ὡς ὕλη ἐν τῷ τριγώνῳ καὶ τοῖς λοιποῖς εἰσίν, ἀνάγουσι ταῦτα πάντα εἰς τοὺς ἀριθμούς, διὰ τὸ ἀΰλους αὐτοὺς εἶναι καὶ μὴ ἔχειν ὑποκείμενόν τι ὡς ὕλην, ἀλλ' αὐτοὺς καθ' αὑτοὺς εἶναι, καί φασιν ὅτι ὁ λόγος τῆς γραμμῆς ἐστὶν ὁ τῆς δυάδος· ἐπειδὴ γὰρ δυάς ἐστι τὸ πρῶτον διαστατόν (εἰς πρώτην γὰρ τὴν δυάδα ἡ μονὰς διέστη, καὶ οὕτως εἰς τὴν τριάδα καὶ τοὺς ἑξῆς ἀριθμούς), εἴπερ ὁριζόμεθα φασὶ τὴν γραμμήν, οὐ χρὴ λέγειν αὐτὴν ποσὸν ἐφ' ἓν διαστατόν, ἀλλὰ γραμμή ἐστι τὸ πρῶτον διαστατόν· τὸ γὰρ πρῶτον οὐχ ὡς ὕλη ἐστὶ καὶ ὑπόκειται τῇ γραμμῇ, ὥσπερ τὸ συνεχές. καὶ τῶν τὰς ἰδέας λεγόντων οἱ μέν φασιν ὅτι ἡ αὐτογραμμὴ ἤτοι τὸ εἶδος τῆς γραμμῆς, ὅπερ ἐστὶν ἕτερον παρὰ τὰς καθ' ἕκαστον γραμμάς, ἡ δυάς ἐστιν, οἱ δὲ λέγουσιν ὅτι οὐκ ἔστιν ἡ αὐτογραμμὴ ἡ δυάς, ἀλλ' αὐτογραμμή ἐστι τὸ εἶδος τῆς γραμμῆς. καί φασιν οἱ οὕτω λέγοντες ὅτι κοινὰ μὲν τό τε εἶδος καὶ τὸ οὗ ἐστὶν εἶδος, ταὐτά ἐστιν, οἷον ὁ ἄνθρωπος καὶ ὁ Σωκράτης, οὗ ἐστὶν εἶδος ὁ ἄνθρωπος, ταὐτόν εἰσι, καὶ ἡ αὐτοδυὰς καὶ ἥδε ἡ δυάς, ἧς ἐστὶν εἶδος ἡ αὐτοδυάς, ταὐτά ἐστιν. ἐπὶ δὲ τῆς γραμμῆς τοῦτο οὐ συγχωροῦσιν, ἀλλὰ τὴν μὲν γραμμὴν τήνδε τὴν μερικὴν εἶναι γραμμὴν λέγουσιν, τὸ δὲ εἶδος αὐτῆς μὴ εἶναι γραμμὴν ἀλλὰ δυάδα. καὶ ἐνίσταται εὐθὺς πρὸς τὸν λέγοντα λέγον μὴ εἶναι γραμμὴν τὴν ὡς εἶδος γραμμήν, ἀλλὰ δυάδα, λέγων "συμβαίνει δὴ κτλ." Alex.

ἀποροῦσί τινες καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου, ὅτι οὐδὲ τῶν γραμμῶν ὑπάρχουσιν ὁρισμοὶ οὐδὲ τῶν συνεχῶν, τουτέστι τῶν μεγεθῶν· καὶ ταῦτα γὰρ πάντα, φησίν, ὁμοίως λέγεται ὥσπερ αἱ σάρκες καὶ ὀστᾶ· οὐ δυνατὸν γὰρ χωρίζεσθαι αὐτὰ τῶν γραμμῶν, ὥσπερ οὐδέποτε ἐκεῖνα τῶν σαρκῶν. καὶ ἐντεῦθεν λοιπὸν ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμούς, παράδειγμα λέγοντες αὐτούς, καὶ τούτων φασὶν εἶναι τοὺς ὁρισμούς· αὐτὰ γὰρ ὑπάρχουσι τὰ χωριστὰ ὕλης. καὶ μὴ συνεπιφέρων τὸν ὄχλον τὸν ἐξ αὐτῆς καὶ τὸ παράδειγμα τῆς γραμμῆς τὴν δυάδα φησίν, ἐπειδὴ ἔχει δῆλον πρώτη τὸ πόθεν ποιεῖ. καὶ πάλιν οἱ τὰς ἰδέας πρεσβεύοντες οἱ μὲν τὸ παράδειγμα τῆς γραμμῆς τὴν δυάδα λέγουσι   ἰδέαν τῆς γραμμῆς· ἔνια γὰρ ὑπάρχουσι   εἶδος καὶ κατὰ τὸ πρᾶγμα· τὸ γὰρ πρᾶγμα ἐδήλωσεν εἰπὼν "καὶ οὗ τὸ εἶδος." τὰ ἁπλᾶ, τουτέστιν ἡ δυάς· οὐκ ἀνάγκη γὰρ τὸν λόγον τῆς δυάδος θεωρεῖσθαι ἔν τινι, ὥσπερ τὴν γραμμὴν ἢ τὸν κύκλον. διό φασιν οἷον δυάδα καὶ τὸ εἶδος τῆς δυάδος· ἐπὶ δὲ τῆς γραμμῆς οὐκέτι· ἔνυλος γάρ ἐστιν ἡ γραμμή. τοῖς οὖν ταῦτα λέγουσι συμβαίνει ἓν πρᾶγμα, τουτέστι τὴν δυάδα, πολλῶν εἶναι ἰδέαν διαφόρων κατ' εἶδος, ὅπερ καὶ τὸν Πυθαγόραν συνέβαινε λέγειν τὴν τετράδα ἰδέαν εἶναι καὶ φιλίας καὶ δικαιοσύνης καὶ ἄλλων πολλῶν. ἐνδέχεται οὖν πάντων ἓν εἶδος ποιεῖν· εἰ γὰρ δύο τὸ αὐτὸ εἶδος, διὰ τί μὴ καὶ πλειόνων; καὶ οὕτως ἔσονται πάντα ἕν, ὡς ἔδειξεν ἡ θεωρία. Asclep. 1036 b 8.

γρ. ἢ ἀνδριάντος. cod. Reg. 1036 b 11. 12.

γρ. πάντως. id.

γρ. καὶ αὐτογραμμῆς. id.

συμβαίνει δὴ ἓν τῶν πολλῶν εἶδος εἶναι, τουτέστιν ἐκ τούτου τοῦ λόγου συμβαίνει ἓν εἶδος εἰδικώτατον πολλῶν καὶ διαφερόντων τῷ εἴδει εἶναι· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "ὧν τὸ εἶδος φαίνεται ἕτερον·" ἡ γὰρ αὐτή ἐστι δυὰς τῶν κατὰ μέρος γραμμῶν, ἔστι δὲ ἡ αὐτὴ εἶδος καὶ τῶν κατὰ μέρος δυάδων, αἱ δὲ μερικαὶ γραμμαὶ καὶ δυάδες διαφέρουσι τῷ εἴδει· ἔστιν ἄρα ἓν εἶδος δύο διαφερόντων τῷ εἴδει. εἰ δὲ τοῦτο, διὰ τί οὐκ ἔσται ἡ αὐτὴ δυὰς εἶδος καὶ τῶν μερικῶν ἀνθρώπων καὶ ἵππων καὶ βοῶν καὶ ἁπλῶς ἁπάντων; τίς γὰρ ἡ ἀποκλήρωσις δυοῖν μὲν εἶναι εἶδος διαφερόντοιν τὸ εἶδος, τῶν δὲ ἄλλων μὴ εἶναι; ὥστε συμβαίνει ἐκ τούτου ἓν πάντων εἶναι εἶδος καὶ μὴ εἶναι πολλὰς ἰδέας, καὶ ἔσονται πάντα ἓν καὶ μιᾶς φύσεως οἵ τε ἄνθρωποι καὶ οἱ ἵπποι καὶ τὰ ἄλλα πάντα· ὧν γὰρ τὸ εἶδος ἕν, καὶ ἡ φύσις αὐτῶν μία. Alex. 1036 b 17.

οἱ γὰρ Πυθαγόρειοι, ὡς κἂν τοῖς ὄπισθεν εἴρηται, τὸν αὐτὸν καὶ ἕνα ἀριθμόν, οἷον τὸν ε', καὶ δίκαιον ἐκάλουν ὡς ἐξισάζοντα τοὺς ἐντὸς τῆς δεκάδος ἅπαντας ἀριθμούς, καὶ ἄδικον, ὅτι ὁ ἐξ αὐτοῦ τετράγωνος μόνος δύναται ἴσον τοῖς δυσὶ τετραγώνοις, τῷ τε ἀπὸ τοῦ δ' καὶ τῷ ἐκ τοῦ γ'· τὸ γὰρ πεντάκις ε' ἴσον τῷ τετράκις δ' καὶ τρὶς γ'. ὥστε συμβαίνει καὶ τούτοις τὸν αὐτὸν καὶ ἕνα ἀριθμὸν δύο τινὰ εἰπεῖν τῷ εἴδει διαφέροντα. cod. Reg. 1036 b 20.

φησὶν ὅτι ἄπορος ὁ περὶ ὁρισμῶν λόγος, εἴγε τῶν εἰδῶν ὑπάρχουσιν οἱ ὁρισμοί, αὐτὰ δὲ καθ' αὑτὰ τὰ εἴδη οὐ ῥᾴδιόν ἐστιν ἑλεῖν, ἐπειδὴ μήτε ἴσμεν ποῖα μέρη ὑπάρχουσι τῶν εἰδῶν καὶ ποῖα 1036 b 21.

χάριν προείρηται· αὐτὸς δὲ πάλιν τὸν τρόπον καθ' ὃν δεῖ ἀποκρίνεσθαι ὑφηγεῖται, λέγων "εἰ μὲν γάρ ἐστι καὶ ψυχὴ τὸ ζῷον," τουτέστιν, εἰ μὲν γάρ ἐστιν ἡ ψυχὴ τὸ κατὰ τὸ εἶδος ζῷον, ἤτοι εἰ μέν ἐστιν ἡ ψυχὴ τὸ τοῦ ζῴου εἶδος, καὶ τὸ τί ἦν εἶναι ζῴῳ εἶναι· εἰ δὲ μή ἐστιν ἡ ψυχὴ τὸ ζῴῳ εἶναι, ἀλλ' ἔστι τὸ ζῴῳ εἶναι τὸ ἔμψυχον. Alex.

ὡς φησὶν ὁ ἡμέτερος διδάσκαλος, ὅτι ἐνταῦθα τὰ αὐτὰ λέγει, ἔτι ἀσαφέστερον ποιῶν τὸν λόγον. καί φησιν ὅτι ἐάν τις ἡμᾶς ἔρηται πότερον ἡ ὀρθὴ καὶ ὁ κύκλος καὶ τὸ ζῷον καὶ ἁπλῶς εἰπεῖν τὰ ὅλα πρότερα ὑπάρχουσιν ἢ τὰ μέρη αὐτῶν, οὐ δεῖ ἁπλῶς καὶ ἀβασανίστως ἀποκρίνεσθαι. εἰ μὲν γάρ ἐστι καὶ ἡ ψυχὴ ζῷον, καὶ μέρος τοῦ ἐμψύχου τὸ ζῷον· ἡ ἑκάστου γὰρ ψυχὴ ἢ ἕκαστόν ἐστιν· καὶ πάλιν μέρος τοῦ κύκλου ἐστὶ τὸ εἶναι κύκλῳ καὶ ὀρθῆς τὸ ὀρθῇ εἶναι, τουτέστι τὸ ἄϋλον εἶδος τῆς ὀρθῆς. ἐὰν οὖν, φησίν, ἔρηταί τις ἡμᾶς, φατέον ὕστερα εἶναι ἐκεῖνα ὧν ἐν τῷ ὁρισμῷ τὰ μέρη παραλαμβάνονται· εἰς γὰρ τὸν ὅρον τῆς τινὸς ὀρθῆς, οἷον τῆς χαλκῆς, περιλαμβάνεται ἡ ἁπλῶς ὀρθή, ὥστε προτέρα ὑπάρχει καὶ ἐν ταῖς γραμμαῖς ταῖς καθ' ἕκαστα ἡ ἁπλῶς γραμμή. ἡ τοίνυν ἄνευ ὕλης, τουτέστιν ἡ καθόλου, ὑστέρα ἐστὶν ἐκείνων τῶν παραλαμβανομένων. Asclep.

1036 a 16. εἰ δὲ μή ἐστιν ἡ ψυχὴ τὸ ζῴῳ εἶναι, ἀλλ' ἔστι τὸ ζῴῳ εἶναι τὸ ἔμψυχον, ἢ εἰ μηδέ ἐστι τὸ ἔμψυχον τὸ ζῴῳ εἶναι, ἀλλ' ἔστιν ἕκαστον ἡ ἑκάστου ψυχή, καὶ κατὰ ταύτην εἰδοποιεῖται, οἷον ὁ ἄνθρωπος κατὰ τὴν ἑαυτοῦ, καὶ ὁ ἵππος ὁμοίως κατὰ τὴν οὐσίαν, καὶ ὅλως ἕκαστον κατὰ τὴν ἰδίαν· ὡσαύτως καὶ εἰ ἔστιν ὁ κύκλος τὸ κύκλῳ εἶναι καὶ ἡ ὀρθὴ τὸ ὀρθῇ εἶναι. εἰ δὴ τοῦθ' οὕτως ἔχει, τί μὲν καὶ τίνος φατέον ὕστερον, οἷον τῶν ἐν τῷ λόγῳ, τουτέστι τί μὲν μέρος καὶ τίνος χρὴ λέγειν ὕστερον, τί δὲ οὐχ ὕστερον ἀλλὰ πρότερον τοῦ ὅλου; τί μὲν οὖν, φησί, τῶν ἐν τῷ λόγῳ. λόγον δὲ ἐνταῦθα οὐ τὸ εἶδος λέγει, ἀλλὰ παραδόξως τὸ ἐξ ὕλης καὶ εἴδους. τούτων οὖν τῶν ἐν τῷ λόγῳ τί φατέον ὕστερον τοῦ ὅλου; καὶ τοῦ ὅλου δὲ οὐχ ἁπλῶς· οὐ γὰρ καὶ τοῦ κατὰ τὸ εἶδος, ἀλλὰ τοῦ τινὸς καὶ συνθέτου, οἷον τῆς τινὸς ὀρθῆς τῆς μετὰ τῆς ὕλης. Alex.

1036 a 17. γρ. ἢ ἑκάστου. cod. Reg.

1036 a 20. ἡ μὲν οὖν μετὰ τῆς ὕλης γωνία ἢ σφαῖρα ἢ ὅτι ἂν εἴη, τῶν μορίων αὐτῆς προτέρα ἐστίν, ἡ δὲ ἄνευ ὕλης τῶν μὲν ἐν τῷ λόγῳ ὑστέρα. Alex.

εἰς ὥσπερ ἀρχὴ τοῦ ζῴου, εἰ παραλαμβάνοιτο τὸ ζῷον εἰς τὸν ὁρισμὸν τῆς ψυχῆς. τῶν δὲ καθ' ἕκαστα μορίων προτέρα, ἅτε δὴ καὶ εἰς τὸν ὁρισμὸν αὐτῶν παραλαμβανομένη, ὡς ἀνωτέρω εἴρηται. εἰ δὲ ὑστέρα ἐστὶν ἡ ψυχὴ παρὰ τὸ ζῷον, οὐ δεῖ λέγειν τὸ πρότερον τὸ ζῷον. ὥστε ἐντεῦθεν κρίνονται, οὕτως δεῖ λέγειν τὰ μὲν πρότερα εἶναι τὰ δὲ οὔ. ἰστέον ὅτι ὁ πυρετός, ἡνίκα ἐπιπόλαιός ἐστι, τότε συμβεβηκός, εἴγε φθαρτικός ἐστι τῆς οὐσίας· τὰ γὰρ πράγματα ἐκ τῶν τελῶν χαρακτηρίζονται, οἷον ποσὸν λέγομεν τὸ εἰς μέγεθος τελευτῆσαν καὶ ποιὸν τὸ εἰς τὸ χρῶμα· οὕτως οὖν καὶ συμβεβηκός ἐστι τὸ φθεῖραν τὸ ὑποκείμενον. εἰ τοίνυν ὁ πυρετὸς φθείρει τὴν οὐσίαν, οὐκ ἄρα συμβεβηκός ἐστιν. Asclep.

1036 a 23. οὕτω μὲν δεῖ πρὸς τὴν ἐρώτησιν ἀπαντᾶν· ἁπλῶς δὲ καὶ διοριστῶς λέγοντι ὅτι τὸ μέρος πρότερον ἢ τὸ ὅλον, οὐδαμῶς ἀποκριτέον. εἰπὼν δὲ ὅτι εἰ μέν ἐστιν ἡ ψυχὴ ζῷον, τὰ μέρη αὐτῆς φατέον πρότερα τοῦ ζῴου, καὶ τὰ λοιπὰ ὅσα εἴρηται, τὴν ἀπόδοσιν τοῦ μὲν συνδέσμου ποιεῖται λέγων, εἰ δὲ μή ἐστιν ἡ ψυχὴ ζῷον· ὡς εἶναι τὴν τοῦ λόγου συνέχειαν τοιαύτην· εἰ μέν ἐστιν ἡ ψυχὴ ζῷον, τὰ μέρη αὐτῆς φατέον πρότερα τοῦ ὅλου· εἰ δὲ μή ἐστιν ἡ ψυχὴ ζῷον, ἤτοι κατὰ τὸ εἶδος ζῷον, καὶ οὕτω τὰ μὲν φατέον τῶν μερῶν πρότερα τὰ δ' οὐ φατέον· ὁποῖον γὰρ ἂν εἴη τὸ τῶν ζῴων εἶδος, τὰ μέρη αὐτοῦ πρότερα ἔσονται τῆς αὐτοῦ ὁλότητος. Alex.

δείξας ἀνωτέρω ὅτι τὰ μέρη τοῦ ἀΰλου εἴδους πρότερα ὑπάρχουσι τοῦ ὅλου, ὡς εἰς τὸν ὁρισμὸν αὐτοῦ παραλαμβανόμενα, τὰ 1036 a 25.
μέντοι γε μέρη τοῦ ὁρισμοῦ δεύτερα τοῦ ὅλου, ἐντεῦθεν ἀπορεῖ, καὶ εἰκότως ἀπορεῖ, ὅτι ὅλως ἀγνοοῦμεν ποῖα μέρη εἰσὶ τοῦ ἀΰλου εἴδους καὶ ποῖα τοῦ συνθέτου. πῶς οὖν ἔχομεν διαγνῶναι τοῦ πράγματος ἀγνοουμένου; τούτου γάρ, φησί, μὴ δήλου ὄντος οὐκ ἔστιν ὁρίσασθαι ἕκαστον, εἴγε οἱ μὲν ὁρισμοὶ τῶν εἰδῶν ὑπάρχουσιν, ἡμεῖς δὲ ἀγνοοῦμεν τὰ εἴδη τὰ ἄϋλα καὶ χωριστά. εἶτά φησιν ὅτι ἐπ' ἐκείνων τῶν θεωρουμένων ἐν πλείοσιν ὑποκειμένοις δυνατόν ἐστι γνῶναι τὰ μέρη τοῦ εἴδους... φησὶν ὅτι ἀπορεῖται ποῖα ἄρα ὑπάρχουσι τοῦ εἴδους αὐτοῦ καθ' αὑτὸ λαμβανομένου μέρη καὶ ποῖα τοῦ συνθέτου· τούτου γὰρ μὴ γνωσθέντος οὐκ ἔστιν ὁρίσασθαι... ἀμέλει τοι οἱ Πυθαγόρειοι καὶ οἱ τὰς ἰδέας πρεσβεύοντες καὶ πρὸς τὰ μαθηματικὰ ἐνιστάντων λέγοντες οὕτως, ὅτι οὐδὲ ταῦτα δυνατόν ἐστιν ὁρίσασθαι· ἔχουσι γὰρ καὶ αὐτὸ τὸ εἶναι ἐν ταῖς γραμμαῖς, οἷον ὁ κύκλος καὶ τὸ τρίγωνον, καὶ οὐ δυνατὸν εἶναι ἄνευ αὐτῶν· ὥσπερ γὰρ τὰ ζῷα οὐ δύναται εἶναι ἄνευ σαρκῶν καὶ ὀστέων, οὕτως οὐδὲ ταῦτα δύναται εἶναι ἄνευ γραμμῶν· καὶ ἐντεῦθεν ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμοὺς καὶ τὰς ἰδέας, λέγοντες οὕτως, οἷον τὴν γραμμὴν δυάδα, τὴν ἐπιφάνειαν τριάδα, τὸ δὲ στερεὸν τετράδα. καὶ τῶν παραδειγμάτων τούτων φησὶν εἶναι τοὺς ὁρισμούς, ἐπειδὴ εἰ δὴ αὐτὰ ὑποτίθενται, καὶ οἱ μὲν αὐτῶν φασὶ γραμμὴν εἶναι τὴν δυάδα, καὶ παράδειγμα τῆς γραμμῆς τὴν δυάδα οἴονται, οἱ δὲ αὐτὸ τὸ εἶδος τῆς γραμμῆς φασὶν εἶναι παράδειγμα τῆς γραμμῆς αὐτοῖς ὁ Ἀριστοτέλης λέγων ὅτι εἰ τὴν δυάδα φατὲ εἶδος καὶ παράδειγμα εἶναι καὶ τῆς δυάδος καὶ τῆς γραμμῆς, διὰ τί μὴ καὶ πλειόνων; Asclep.

τοῦτο γὰρ καθόλου καὶ τῶν εἰδῶν ὑπάρχουσιν οἱ ὁρισμοί· πρὸς δὲ 1036 a
τοὺς ὁρισμοὺς τῶν εἰδῶν δεόμεθα τῶν μερῶν αὐτῶν, ὡς ἀνωτέρω 28.
εἴρηται. ἀγνοουμένων οὖν τῶν μερῶν ἀγνοοῦνται καὶ οἱ ὁρισμοί, ὥστε καὶ τὰ εἴδη, καὶ φροῦδά φησι πάντα κατ' αὐτούς. id.

τὸ συνειλημμένον τοῦ συνθέτου ἐστὶ δηλωτικόν. Alex. 1036 a 27.

τούτων δῆλά ἐστι τὰ ὡς ἐν ὕλῃ μέρη. ὅσα δὲ μὴ χωρίζεται 1036 a
ἀλλ' ἀεὶ ἐν αὐτοῖς γίνεται, ὥσπερ ὁ ἄνθρωπος ἀεὶ ὀστοῖς καὶ σαρξὶ καὶ 31.
νεύροις, καὶ ὁ ἵππος παραπλησίως, καὶ ἁπλῶς τὰ ζῷα, τούτων οὐκ ἔστι προφανῆ τίνα τὰ ὡς ἐν ὕλῃ μέρη. καὶ ἐπὶ τούτων οὖν, φησίν, οὐδὲν κωλύει ὁμοίως ἔχειν τῷ κύκλῳ· ὥσπερ γὰρ ὁ χαλκὸς καὶ τὸ ξύλον οὐδέν εἰσι τῆς τοῦ κατὰ τὸ εἶδος κύκλου οὐσίας, οὕτως οὐδ' αἱ σάρκες καὶ τὰ νεῦρα τῆς κατὰ τὸ εἶδος τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου οὐσίας εἰσίν· ὥσπερ γὰρ κἂν οἱ κύκλοι πάντες ἦσαν χαλκοῖ καὶ μὴ ἐνεδέχετο ἐν ἄλλῳ ὑποκειμένῳ τὸ τοῦ κύκλου εἶδος γίνεσθαι, ἀλλ' ἀεὶ ἐν χαλκῷ ἦν, ἐφαίνετο ἂν χαλκὸς ὅτι τῆς οὐσίας αὐτοῦ ἐστὶ διὰ τὸ μὴ ἐν ἄλλῳ

μὲν γὰρ θρεπτικὸν καὶ ὀρεκτὸν τοῦ συναμφοτέρου, τὸ θεωρεῖν δὲ οὐ τοῦ συναμφοτέρου. ἀκριβέστερον δὲ περὶ τούτων εἴρηται ἐν τῇ περὶ Ψυχῆς. ἢ τὸ "ἔνια" πρόσκειται διὰ τὰ ἐξισάζοντα· τὸ μὲν γὰρ λογικὸν θνητὸν δῆλον ὡς πρότερά ἐστι τοῦ ἀνθρώπου (ἐπὶ πλέον γάρ εἰσιν αὐτοῦ), τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν οὐκέτι, ἀλλ' ἐξισάζει, καὶ ἐπὶ τούτῳ οὐ πρότερον· εἴ τι γὰρ ἄνθρωπος, νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ εἴ τι νοῦ καὶ ἐπιστήμης δεκτικόν, τοῦτο ἄνθρωπος. ὡς δὲ ἐπὶ τῶν ζῴων ἔχει, οὕτω τοῦτο καὶ ἐπὶ τῶν ἄλλων· τούτου γὰρ δηλωτικόν ἐστι τὸ "καὶ καθ' ἕκαστον δὴ ὁμοίως." καὶ τὰ μὲν τοῦ εἴδους τῶν ζῴων μόρια πρότερα, τὸ δὲ σῶμα καὶ τὰ μόρια αὐτοῦ ὕστερα αὐτῆς τῆς οὐσίας, τουτέστι τοῦ εἴδους. καὶ διαιρεῖται εἰς τὸ σῶμα καὶ τὰ μόρια αὐτοῦ ὡς εἰς ὕλην τὸ σύνολον, ἀλλ' οὐχ ἡ οὐσία καὶ τὸ εἶδος διαιρεῖται εἰς τὰ τοῦ σώματος μέρη. καὶ ὅτι τὰ τοιαῦτα μόρια τοῦ συνθέτου ἐστίν· τοῦτο γὰρ λέγει τὸ σύνολον. τὸ γὰρ σύνθετον τρόπον μέν τινα πρῶτόν ἐστι τῶν μερῶν, τρόπον δέ τινα ὕστερον. ᾗ μὲν γὰρ τὰ μόρια χωριζόμενα οὐ δύναται εἶναι, τὸ δὲ μορίων τινῶν ἄνευ, εἰ καὶ μὴ πάντων, δύναται εἶναι, ἔστι πρότερον τὸ ὅλον τῶν μερῶν· ᾗ δὲ πάλιν ἔκ τινων συγκείμενον ὕστερόν ἐστι τῶν συντιθέντων αὐτό, σύγκειται δὲ τὸ ὅλον ἐκ τῶν μερῶν, ὕστερόν ἐστι τῶν μερῶν. Alex.

1035 b καὶ διαιρεῖται εἰς ταῦτα τὰ μόρια τὸ σύνθετον ὡς ὕλην, ὁ
21. Σωκράτης εἰς χεῖρας καὶ πόδας καὶ κεφαλήν, οὐκ αὐτὸ τὸ εἶδος δηλῶν ἀλλὰ τὸ σύνθετον. ὥστε τοῦ συνθέτου τὰ μέρη κατά τι μὲν πρότερον ὑπάρχουσι, κατά τι δὲ οὔ· τὰ γὰρ μέρη τοῦ σώματος οὐ δύνανται ὑποστῆναι αὐτὰ καθ' αὑτὰ ἄνευ τοῦ ὅλου· οὐ γὰρ παντοίως ἔχων δάκτυλος δάκτυλον ζῷον ἔχει. Asclep.

1035 b εἰπὼν δὲ ὅτι τὰ μέρη χωριζόμενα οὐ δύναται εἶναι, τὴν αἰτίαν
24. τοῦ πῶς οὐ δύναται εἶναι ἐπήγαγεν, εἰπὼν "οὐδὲ γὰρ ὁ πάντως ἔχων δάκτυλος ζῴου," ἴσον λέγων τῷ χωρισθεὶς ὁ δάκτυλος τοῦ ζῴου ὡς μὲν σῶμα δύναται εἶναι, ὡς δὲ δάκτυλος οὐδαμῶς. Alex.

1035 b καὶ ἔνια μὲν τῶν τοῦ ὅλου μορίων χωρισθέντα δύναται τὸ ὅλον ἄνευ
25. ἐκείνων εἶναι, ἔνια δὲ χωρισθέντα εὐθὺς συναναιρεῖ τὸ ὅλον, ὅσα ἐστὶ κύρια καὶ ἐν οἷς πρώτοις ἐστὶν ὁ λόγος καὶ ἡ οὐσία, τουτέστιν ἡ ψυχή· ἡ ψυχὴ γὰρ τῶν ζῴων ἐστὶ τὸ εἶδος. εἴτε οὖν ἐστὶν ἡ καρδία ἀρχὴ τῶν ζῴων καὶ ἐν ταύτῃ πρώτως ἐστὶν ἡ ψυχή, ὡς τούτῳ δοκεῖ, εἴτε ὁ ἐγκέφαλος, ὡς Ἱπποκράτει καὶ Πλάτωνι, ἅμα τῷ χωρισθῆναι αὐτοῦ ταῦτα, φθείρουσι τὸ ὅλον. id.

1035 b ἀλλ' ὅτι μὲν ἡ ἐμὴ ὁλότης ἐν ἐμοὶ τυγχάνει οὖσα καὶ οὐκ ἔστιν
27. ἐκτὸς καὶ χωρὶς τῶν ἐμῶν μορίων, δῆλον. ἐπεὶ δ' ἐγὼ καὶ Πλάτων καὶ Κάλλιππος καὶ ἁπλῶς οἱ κατὰ μέρος μέρη ἐσμὲν τοῦ καθόλου ἀνθρώπου, ἐκεῖνος δὲ ὅλον τί ἐστιν, ἆρά γε ἡμῖν ἔστιν ὡς ἡ ἐμὴ ὁλότης ἐν τοῖς ἐμοῖς μέρεσιν, ἢ χωριστὸς καὶ καθ' αὑτόν; id.

1035 b ἤ φησιν ὅτι "ὁ δὲ καθόλου ἄνθρωπος καὶ ἵππος καὶ τὰ οὕτως,"
28. τουτέστι καὶ ἁπλῶς τὰ καθόλου, ἐπὶ τῶν καθ' ἕκαστα ἤτοι ἐν τοῖς καθ' ἕκαστά εἰσι, καθόλου δὲ οὐσία καὶ εἶδος αὐτὸ καθ' αὑτὸ καὶ χωρὶς τῶν κατὰ μέρος οὐκ ἔστιν, ἀλλ' ὥσπερ ὁ Σωκράτης ἐκ τουδὶ τοῦ εἴδους καὶ τησδὶ τῆς ὕλης ἐστίν, οὕτω καὶ ὁ καθόλου ἄνθρωπος ἐκ τῆς ὕλης ἤτοι τοῦ γένους αὐτοῦ καὶ τοῦ εἴδους ἤτοι τῶν διαφορῶν ἂν εἴη, οὐκ ἂν ὑπάρξει δὲ ἀλλ' ἐπινοίᾳ. εἶδος δὲ αὐτὸ καθ' αὑτὸ χωρὶς ὕλης οὐδὲ ἐπινοίᾳ δύναται εἶναι· ἐπειδὴ γὰρ ἀπὸ τῶν κατὰ μέρος ἀνθρώπων αὐτὸν ἀποσεσύληκεν ἡ διάνοια, ταῦτα δ' ἐξ ὕλης ἐστὶ καὶ εἴδους, φανερὸν ὅτι καὶ ὁ καθόλου ἄνθρωπος, ὡς ἂν ἔχοι τὸ εἶναι, ἐξ εἴδους αὐτὸ καὶ ὕλης ἕξει, ἤτοι ἐκ γένους καὶ διαφορῶν. ταῦτα μεταξὺ παρενθεὶς πάλιν ἐπανατρέχει ἐπὶ τὸν τῶν μερῶν καὶ τὸν τῶν ὅλων λόγον. id.

μέρος μὲν οὖν ἐστὶ καὶ τοῦ εἴδους." φησὶν ὅτι ἔστι μέρος καὶ τοῦ εἴδους 1035 b
τοῦ ἀΰλου· διό φησι "τὸ τί ἦν εἶναι·" τῶν γὰρ εἰδῶν οἱ ὁρισμοὶ ὑπάρ- 31.
χουσιν. εἰσὶ δὲ μέρη καὶ τοῦ εἴδους τοῦ συνθέτου καὶ τῆς ὕλης· ἐπὶ δὲ τοῦ ἀΰλου εἴδους τὰ τοῦ λόγου μέρη τοῦ εἴδους μέρη ἐστίν· οὐ γὰρ τοῦ συνθέτου· ἄϋλον γὰρ ὑπέθεντο τὸ εἶδος. οἱ δὲ ὁρισμοί, ὡς μεμαθήκαμεν ἐν τῇ Ἀποδεικτικῇ (2 13), τῶν καθόλου εἰσὶ καὶ τῶν εἰδῶν· ταὐτὸν γάρ ἐστι τὸ κύκλῳ εἶναι καὶ κύκλος καὶ ψυχῇ εἶναι καὶ ψυχή· ἁπλᾶ γάρ εἰσι τὰ ἄϋλα εἴδη, καὶ συντρέχει ὁ ὁρισμὸς τῷ εἴδει, ὡς ἀνωτέρω ἐμάθομεν. Asclep.

οἱ μὲν λόγοι, ὥσπερ εἴρηται, τοῦ καθόλου εἰσί, τοῦ δὲ συνόλου, 1036 a
οἷον τοῦ καθ' ἕκαστα, εἴτε αἰσθητόν ἐστι τὸ καθ' ἕκαστα εἴτε νοητὸν 3.
(ἀντὶ τοῦ διανοητοῦ τὸ νοητὸν εἰπών, ταῦτα δ' ἐστὶ τὰ μαθηματικά), τούτων οὐκ ἔστιν ὁρισμός. καὶ δειχθήσεται καὶ τοῦτο μετ' ὀλίγον ἐν τῷ μετὰ χεῖρον βιβλίῳ. Alex.

τοῦ τοίνυν συνθέτου κύκλου τοῦ χαλκοῦ καὶ τῶν καθ' ἕκαστα 1036 a
αἰσθητῶν ἢ μαθηματικῶν, πάντων φησὶ τῶν τοιούτων οὐκ ἔστιν ὁρισ- 5.
μός, ἀλλὰ μετὰ αἰσθήσεως γνωρίζονται· φθαρὲν δὲ οὐκέτι δῆλόν ἐστι πότερον ἔστιν ἢ οὔ. Asclep.

εἰπὼν δὲ ὅτι καὶ γνωρίζονται τῷ καθόλου λόγῳ, ἐπειδὴ καὶ ἡ ὕλη 1036 a
καθόλου ἐστίν, ἵνα μήτις λέγῃ ὅτι εἰ τῷ καθόλου γνωρίζονται, ἔστι δὲ 8.
καὶ ἡ ὕλη καθόλου, διὰ τί οὐ καὶ ταύτῃ γνωρίζομεν αὐτά; ἐπήγαγεν "ἡ δὲ ὕλη ἄγνωστος καθ' αὑτήν." εἰ δ' αὐτὴ ἄγνωστός ἐστι, πῶς ἄλλοις αἰτία γνώσεως γενήσεται; ἡ δὲ ὕλη, φησίν, ἡ μέν ἐστι νοητὴ ἡ δὲ αἰσθητή. id.

οἱ δὲ ὁρισμοὶ τῶν ἀεὶ ὄντων ὑπάρχουσιν· ὥστε διὰ τοῦ καθόλου 1036 a
λόγου καὶ ταῦτα γνωρίζονται, διὰ τὸν ἁπλοῦν κύκλον καὶ τὸ ἁπλῶς τρί- 7.
γωνον· καὶ γὰρ τὰ μαθηματικὰ τὰ ἐν τῇ ὕλῃ φθείρονται ἅτε δὴ ἐν τῇ ὕλῃ ὑπάρχοντα, ἡ δὲ ὕλη ἀγνοίας ἐστὶν αἰτία. τῆς δὲ ὕλης, φησίν, ἡ μέν ἐστιν αἰσθητὴ ἡ δὲ νοητή, αἰσθητὴ μέν, οἷον χαλκὸς ξύλον καὶ πᾶσα ἡ κινητὴ ὕλη, ἡ δὲ νοητὴ ἡ ἐν τοῖς αἰσθητοῖς ὑπάρχουσα καθὸ αἰσθητά, οἷον τὰ μαθηματικά. κύκλον γὰρ νοῶ ἐν τῷ σώματι καὶ ἐξ ἀναιρέσεως αὐτὸν λαμβάνω· τοιαῦτα δὲ τὰ μαθηματικά. Asclep.

ἔτι τὸν περὶ τοῦ ὅλου καὶ μέρους λόγον γυμνάζει, καί φησιν, ὅταν 1036 a
τις ἔρηται πότερον τὸ ζῷον καὶ ἡ ὀρθὴ γωνία καὶ ὁ κύκλος πρότερον ἢ 13.
εἰς ἃ διαιροῦνται, τουτέστιν ἢ τὰ μόρια αὐτῶν (εἰς γὰρ τὰ μόρια αὐτοῦ τὸ ζῷον καὶ ὁ κύκλος καὶ ἡ ὀρθὴ γωνία διαιρεῖται) — ὅταν οὖν τις ἔρηται πότερον τὰ ὅλα ἐστὶ πρότερα ἢ τὰ μόρια εἰς ἃ διαιροῦνται καὶ ἐξ ὧν εἰσίν, ἀνάγκη ἀπαντᾶν καὶ ἀποκρίνεσθαι "ὅτι οὐχ ἁπλῶς," τουτέστιν ἀνάγκη πρὸς τὴν τοιαύτην ἐρώτησιν ἀποκρίνεσθαι ὅτι τὸ μέρος οὐχ ἁπλῶς καὶ μοναχῶς λέγεται ἀλλὰ πολλαχῶς. εἰ γὰρ τὸ μέρος τοῦ εἴδους λέγεις, ὅτι πρότερόν ἐστι τοῦ ὅλου, ὡς πολλάκις εἴρηται· εἰ δὲ τοῦ συνθέτου τοῦ ἐξ ὕλης καὶ εἴδους, ὕστερον. ἀλλὰ ταῦτα μὲν τοῦ σαφοῦς

ἐστι τῷ ἐν τῷ χωρισθέντι νοουμένῳ, ὥστε τὸ χωρισθὲν κτῆμα μᾶλλον ἐγγίζει τῷ εἴδει ἤπερ τὸ ἀχώριστον καὶ ἐν ὕλῃ τινὶ καὶ ὑποκειμένῳ ὄν. Alex.

1035a 15. οὐ γὰρ καὶ τὰ κήρινα στοιχεῖα ἢ τὰ ἐν τῇ χάρτῃ διὰ τοῦ μέλανος ἐγγραφέντα (μέρη εἰσὶ τῆς κατὰ τὸν λόγον καὶ τὸ εἶδος συλλαβῆς), διὰ τὸ καὶ ταῦτα διάστασιν ἔχειν. id.

1035a 17. ἰστέον δὲ ὅτι ἡ γραμμὴ διαιρουμένη δίχα καὶ ὁ ἄνθρωπος διαιρούμενος εἰς σάρκας καὶ νεῦρα καὶ ὀστέα φθείρονται ὡς σύνθετα, τὸ δὲ ἄϋλον εἶδος τοῦ ἀνθρώπου οὐ φθείρεται, οἷον ἡ λογικὴ ψυχή· οὔτε γὰρ ἡ ἄϋλος γραμμή. τὰ οὖν ἔνυλα εἴδη ἐκ τούτων ὑπάρχουσι τῶν συνθέτων· τοῦ μὲν γὰρ συνόλου μέρη ὑπάρχουσι, τοῦ δὲ εἴδους τοῦ χωριστοῦ οὐκέτι· διὸ ὡς ἀλλότρια λαμβάνονται ἐν τῷ ὁρισμῷ τοῦ εἴδους. διὰ τοῦτο οὖν ἐπὶ μὲν τῶν ἀΰλων εἰδῶν οὐ συμπεριλαμβάνεται ἡ ὕλη, ἐπειδὴ κεχωρισμένα ὑπάρχουσιν, ἐπὶ δὲ τῶν ἐνύλων λαμβάνεται, ἐπειδὴ ἀχώριστα ὑπάρχουσι· διὰ τοῦτο γὰρ ἔνια μὲν ἐκ τούτων, τουτέστι τὰ σύνθετα, ὡς ἀρχαί εἰσιν· διὸ καὶ εἰς αὐτὰ φθείρονται. τὸ οὖν σιμὸν κτλ. Asclep.

οὐ γὰρ εἰ διαιρεῖται ὁ ἄνθρωπος καὶ ἡ γραμμή, ἡ μὲν εἰς τὰ ἡμίση ὁ δὲ εἰς σάρκας καὶ ὀστᾶ, καὶ φθείρεται, ἤδη καὶ ἐκ τούτων εἰσὶν οὕτως ὡς ὄντων τῆς οὐσίας καὶ τοῦ εἴδους μερῶν, ἀλλ' ὡς ἐξ ὕλης, τουτέστιν ὑλικὰ μέρη ἐστὶ καὶ οὐ τοῦ εἴδους. καὶ τοῦ μὲν συνθέτου τοῦ ἐξ ὕλης καὶ εἴδους εἰσὶ μέρη, τοῦ δ' εἴδους, ὅ ἐστιν ὁ λόγος καὶ ὁ ὁρισμός, οὐκ εἰσίν. Alex.

ἀλλὰ περὶ μὲν τοῦ ὅπως ὁ ἀὴρ συσχηματίζεται τοῖς λεγομένοις, εἴρηται ἀκριβέστερον ἐν τῷ β' λόγῳ τῆς περὶ ψυχῆς πραγματείας. id.

1035a 23. τοῖς δέ, ἤτοι ἐν τοῖς λόγοις τῶν μὴ συνθέτων ἤτοι τῶν εἰδῶν, οὐχ ὑπάρξει τὰ τοιαῦτα μέρη, ἐὰν μὴ ᾖ ὁ λόγος, ἐν ᾧ ταῦτα μέλλει ἐνεῖναι, τοῦ συνθέτου. id.

γρ. διόπερ τοῖς μὲν ἐνέσται ὁ τῶν τοιούτων μερῶν λόγος, τοῖς δ' οὐ δεῖ ἐνεῖναι. cod. Reg.

1035a 25. ὅσα δὲ εἴδη μὴ ἐξ ἀνάγκης τῇ ὕλῃ συνδυάζεται, ἀλλ' ἄνευ τῆς ὕλης ὑπάρχουσιν οἱ λόγοι τοῦ εἴδους, ταῦτα ἢ ὅλως οὐ φθείρονται, ὥσπερ ἡ κοιλότης, ἢ οὐχ ὁμοίως ἄλλο μέρος σύνθετον οὐχ ὡς ἡ σιμότης τῆς ῥινὸς φθειρομένης πάντως φθείρεται· ὥστε ἐκείνων μὲν τῶν ἀχωρίστων μέρη καὶ ἀρχαὶ ὑπάρχουσι τὰ ὑφ' αὐτῶν, τουτέστιν ἡ ὕλη καὶ τὸ εἶδος, τοῦ δὲ εἴδους τοῦ δυναμένου αὐτοῦ καθ' αὑτὸ εἶναι καὶ μέρος ὑπάρχει ἡ ὕλη καὶ ἀρχὴ ὑλική... τοῦτ' ἔστι τὰ σύνθετα ὡς ἀρχαὶ εἰσι, διὸ καὶ εἰς αὐτὰ φθείρονται. τὸ οὖν σιμὸν ἢ ὁ χαλκοῦς κύκλος εἰς ταῦτα φθείρονται, ἐξ ὧν καὶ συνετέθησαν καὶ μέρος αὐτῶν ἡ ὕλη ὑπάρχει. Asclep.

ὅσα δὲ οὐ συνείληπται τῇ ὕλῃ, ἄνευ δὲ ὕλης ἐστίν, ὡς τὰ εἴδη, ὧν καὶ μόνων οἱ λόγοι εἰσί (τῶν γὰρ συνθέτων, ὡς δείξει, λόγοι οὐκ εἰσί), τούτων δὴ τῶν εἰδῶν ὅτι μέρη εἰσὶ ταῦτα, τὰ ὀστᾶ δηλονότι καὶ αἱ σάρκες, οὔτε φθείρεται εἰς αὐτά, ἢ ὅλως ἢ οὔτοι οὕτω γε. ὅλως μὲν οὖν οὐ φθείρεται ὁ ἄνθρωπος ἐμοῦ φθειρομένου, ὅτι μετὰ τὴν ἐμὴν φθορὰν ἐκεῖνος πάλιν ἐστίν· ἀλλ' ἐπειδὴ ἐγὼ ὑπ' ἐκεῖνόν εἰμι καὶ μέρος ὢν αὐτοῦ τυγχάνω, ἐμοῦ φθειρομένου φθείρεται κατὰ συμβεβηκὸς κἀκεῖνος. ὥστε τῶν συνθέτων ταῦτα τὰ ὡς ὕλη εἰσὶ μέρη καὶ ἀρχαί, τῶν δὲ εἰδῶν οὔτε μέρη οὔτε ἀρχαί. Alex.

1035b 3. ἐντεῦθεν τὴν δευτέραν ἀπορίαν ἐπιλύεται τὴν περὶ τῶν μερῶν, ἡνίκα ἐζήτει εἴτε πρότερον τὰ μέρη τοῦ ὅλου εἰσὶν εἴτε τὸ ὅλον τῶν μερῶν. καί φησιν ὅτι διττόν ἐστι τὸ εἶδος, τὸ μὲν ἔνυλον τὸ δὲ ἄϋλον, οἷον ὡς ἐπὶ ἀνθρώπου ἔστιν ἄϋλον εἶδος ἡ ψυχή, ἔνυλον δὲ εἶδος τὸ ζῷον λογικὸν θνητόν. τὰ μέρη οὖν τοῦ ἀΰλου εἴδους πρότερα ὑπάρχουσι τοῦ ὅλου... ἤδη, φησίν, εἴρηται τὸ ἀληθὲς περὶ τῶν μερῶν, ὅτι τὰ συναναιροῦντα μὴ συναναιρούμενα δὲ πρότερα ὑπάρχουσιν, ὅμως δὲ δεῖ ἡμᾶς ἔτι σαφέστερον περὶ τούτων εἰπεῖν· ὅσα μὲν γὰρ μέρη ὑπάρχουσι τοῦ ὅλου, ὡς ἔδειξεν ἡ θεωρία, ἢ πάντα ἢ ἔνια. καλῶς δὲ προστέθηκεν τὸ "ἔνια," ἐπειδὴ πολλάκις ὁριζόμενοι τὸ εἶδος συμπεριλαμβάνομεν καὶ μέρη τοῦ συνθέτου, ἅτινα ὕστερα ὑπάρχουσιν, οἷον ζῷον ἄλογον χρηματιστικόν. Asclep.

1035b 10. ἐπειδὴ οὖν τὰ μέρη ὁρίζονται ὑπὸ τῶν ὅλων, ταῦτα δὲ οὐ διὰ τῶν μερικῶν ἐστίν, ἄρα τὰ ὅλα πρότερα τῶν μερῶν· τὸ γὰρ ὁριστὸν ὕστερον τῶν δι' ὧν ὁρίζεται. ἐπὶ γὰρ τῶν εἰδῶν ἔμπαλιν ἔχει· ἐπειδὴ γὰρ αὐτὰ διὰ τῶν εἰδῶν ὁρίζεται, τὰ μέρη δὲ δι' ἐκείνων, οὐδαμῶς ὕστερα τὰ ὅλα ἤτοι τὰ εἴδη τῶν οἰκείων μερῶν. ὥστε ὅσα τῶν μερῶν ὡς ὕλη, ταῦτα ὕστερα τῶν ὅλων· ὅσα δὲ ὡς τοῦ λόγου καὶ τῆς οὐσίας τῆς κατὰ τὸν λόγον, τουτέστι τοῦ εἴδους, ταῦτα πρότερα τοῦ ὅλου. Alex.

1035b 14. ἐπειδὴ τῶν ζῴων προτέρα ἐστὶν ἡ ψυχή (τοῦτο γάρ ἐστι τὸ ἄϋλον εἶδος τοῦ ἐμψύχου· τὸ γὰρ εἶδος τοῦ ἐμψύχου σώματος ἡ ψυχή ἐστιν), ἀμέλει τοι ἕκαστον μέρος τοῦ σώματος, ἐὰν δὲ ὄντως ὁρίζηται, οὐκ ἄνευ τοῦ οἰκείου ἔργου καὶ τῆς οἰκείας ἐνεργείας ὁρισθήσεται· αὕτη δὲ ἡ ἐνέργεια οὐχ ὑπάρχει τῷ μορίῳ ἄνευ ψυχῆς. ὥστε τὰ τῆς ψυχῆς μέρη, ἐπειδὴ ἄϋλον εἶδός ἐστι, πρότερα ὑπάρχει τοῦ ὅλου ζῴου ἢ πάντα ἢ ἔνια. καὶ καθ' ἕκαστον δὲ ζῷον ὁμοίως ὁ αὐτὸς λόγος ὑπάρχει. Asclep.

ἔτι τὰ περὶ τοῦ ὅλου καὶ μέρους διαρθροῖ, καί φησιν, ἐπειδὴ ἡ τῶν ζῴων ψυχή ἐστι τὸ εἶδος αὐτῶν (ἐντελέχεια γάρ ἐστι φυσικοῦ ὀργανικοῦ σώματος δυνάμει ζωὴν ἔχοντος, ὡς ἐν τῷ β' (c. 1) τῶν περὶ Ψυχῆς εἴρηται), καὶ κατὰ τὴν ψυχὴν εἰδοποιεῖται τὰ ζῷα, καὶ αὕτη ἐστὶν ἡ κατὰ τὸν λόγον οὐσία καὶ τὸ εἶδος τῷ τοιῷδε σώματι· ὡς γὰρ τὸ σχῆμα τοῦ ἀνδριάντος ἐν ὕλῃ ἐστὶ τῷ χαλκῷ, οὕτω καὶ ἡ ψυχὴ τῶν ζῴων ἐν τῷ τοιῷδε σώματι ὡς εἶδος ἐν ὕλῃ ἐστίν. εἰπὼν δ' ὅτι ἡ ψυχὴ τὸ εἶδός ἐστι τῶν ζῴων, κατασκευάζει τοῦτο ἐκ τῶν μερῶν τῶν ζῴων, λέγων ἕκαστον γοῦν τῶν μερῶν, ἐὰν ὁρίζηται καλῶς τὸ μέρος, οὐκ ἄνευ τοῦ ἔργου ὁριεῖται, τὸ δὲ ἔργον αὐτοῦ ἄνευ αἰσθήσεως τῆς ψυχῆς οὐχ ὑπάρξει αὐτῷ. εἰ δ' ἡ χεὶρ ἐν τῷ τὸ οἰκεῖον ἔργον ἀποτελεῖν εἰδοποιεῖται, τοῦτο δ' ἄνευ αἰσθήσεως καὶ ψυχῆς ἀδύνατόν ἐστιν αὐτῇ ὑπάρξαι, καὶ φανερὸν ὅτι εἶδος τῆς χειρὸς ἡ αἴσθησις ἢ ἡ ἀπὸ τῆς ψυχῆς χορηγουμένη αὐτῇ δύναμις πρὸς τὸ τὸ οἰκεῖον ἔργον ἀποτελεῖν, φανερὸν ὅτι καὶ τῶν ζῴων ἡ κατὰ τὸν λόγον οὐσία καὶ τὸ εἶδος ἡ ψυχή ἐστιν. ἐπειδὴ οὖν, ὡς εἴρηται, ἡ τῶν ζῴων ψυχὴ τὸ εἶδός ἐστιν αὐτῶν, τὰ ταύτης μέρη ἢ πάντα ἢ ὅπερ καὶ ἀληθές, εἰ μὴ πάντα ἀλλ' οὖν ἔνια πρότερα τοῦ συνόλου ἐστὶ ζῴου· τὸ

1034 b 4. εἰπὼν δὲ περὶ τῶν ἀπὸ τέχνης ἐκ ταὐτομάτου γινομένων λέγει καὶ περὶ τῶν ἀπὸ φύσεως, καί φησιν "ὅσα ἀπὸ ταὐτομάτου ὥσπερ ἐκεῖ γίνεται," τὸ "ὅσα" ἀντὶ τοῦ ἐκεῖνα εἰπών. καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον· ἐκεῖνα τῶν ἀπὸ φύσεως λέγομεν ἐκ ταὐτομάτου γίνεσθαι, ὅσων ἡ ὕλη οὐ μόνον ὑπὸ τοῦ ποιοῦντος σπέρματος ἀλλὰ καὶ ὑφ' ἑαυτῆς δύναται κινεῖσθαι τὴν κίνησιν ἣν τὸ σπέρμα κινεῖ. γίνεται γὰρ βοτάνη καὶ ἐκ σπέρματος καὶ χωρὶς σπέρματος διὰ τὸ δύνασθαι κινεῖσθαι τὴν τῆς βοτάνης ὕλην τὴν κίνησιν ἣν τὸ σπέρμα κινεῖ· ὅσων δὲ μὴ δύναται ἡ ὕλη καὶ ὑφ' ἑαυτῆς κινεῖσθαι ὥσπερ ἐπὶ ἀνθρώπου, ταῦτα ἀδύνατον γενέσθαι ἄλλως πως, ἀλλὰ γίνεται ἐξ ἑαυτῶν τῶν γεννώντων αὐτὰ καὶ οὐκ ἐκ ταὐτομάτου. ἐν τῇ λέξει δὲ τῇ "ὅσα δὲ ἀπὸ ταὐτομάτου ὥσπερ ἐκεῖ," τὸ "ὥσπερ ἐκεῖ" ἀντὶ τοῦ ὥσπερ ἐν τοῖς ἀπὸ τέχνης. Alex.

1034 b 10. ὥσπερ γὰρ ἡ χαλκῆ σφαῖρα γίνεται, ἀλλ' οὐ τὸ εἶδος τῆς σφαίρας οὐδὲ ὁ χαλκός (ἀεὶ γὰρ δεῖ προϋπάρχειν τὴν ὕλην καὶ τὸ εἶδος), οὕτω φημὶ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν. Asclep.

ὥσπερ γὰρ ἡ χαλκῆ σφαῖρα γίνεται ἀλλ' οὐ τὸ εἶδος τῆς σφαίρας, οὕτω καὶ λευκὸν ξύλον ἢ δίπηχυ γίνεται, ἀλλ' οὐ λευκότης, ποσότης. καὶ ὁ μὲν ὁ χαλκὸς γίνεται ἐξ ὑποκειμένου τινός, οἷον ὕδατος, τὸ δὲ εἶδος καὶ τὸ τί ἦν εἶναι χαλκὸς οὐ γίνεται. ἀλλ' εἰ μήτε ἡ οὐσία μήτε τὸ ποιὸν μήτε τὸ ποσὸν γίνεται, τί ἂν διαφέροι τούτων ἡ οὐσία, ἢ ὅτι ἐπὶ μὲν τῆς οὐσίας ἀναγκαῖον προϋπάρχειν ἑτέραν οὐσίαν; Alex.

1034 b 16. τοῦτο δὲ πλεονεκτεῖ ἡ οὐσία, ὅτι ἀνάγκη προϋπάρχειν ἑτέραν οὐσίαν ἐνεργείᾳ, εἰ μέλλοι γίνεσθαι ὅμοιον αὐτοῦ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ· ποιὸν δὲ ἢ ποσὸν οὐκ ἀνάγκη προϋπάρχειν ἐνεργείᾳ, ἀλλὰ μόνον δυνάμει ἐστὶ καὶ ποσὸν καὶ ποιόν. Asclep.

1034 b 24. καί φησιν ὅτι ἐπειδὴ ὁ ὁρισμὸς τοῦ πράγματος λόγος ἐστίν, ἅπας δὲ λόγος ἐκ μερῶν συνέστηκεν, ὡς δὲ ὁ καθόλου λόγος πρὸς τὸ τέλειον πρᾶγμα, τουτέστι τὸ ἁπλῶς ὁριστόν, καὶ τὸ μέρος τοῦ λόγου πρὸς τὸ μέρος τοῦ πράγματος ὁμοίως ἔχει, τουτέστι πρὸς τὸ μέρος τοῦ ὁριστοῦ, ἀπορεῖται ἄρα δεῖ τὸν λόγον τῶν μερῶν ὑπάρχειν ἐν τῷ ὅλῳ λόγῳ ἢ οὔ· ἐνίων μὲν γὰρ ὁριστῶν φαίνεται ἐνόντα καὶ τὰ μέρη τῶν ὁριστῶν ἐν τῷ ὅλῳ ὁρισμῷ. id.

καὶ τὴν αἰτίαν τοῦ πῶς ἂν τοῦτο ἀπορήσειέ τις ἢ ζητήσειεν ἐπήγαγεν, εἰπὼν ἐπ' ἐνίων μὲν γὰρ φαίνονται ἐνόντες, ἐπ' ἐνίων δὲ οὔ. εἰ δὲ τοῦτο, ἀξίως τὴν περὶ τούτου ζήτησιν ποιεῖται καὶ λέγει ἐπὶ τίνων μέν ἐστιν, ἐπὶ τίνων δ' οὔ. Alex.

1034 b 28. εἰ δὴ τὰ μέρη τοῦ ὅλου πρότερά ἐστι, λύει τὴν προσεχῶς ῥηθεῖσαν ἀπορίαν, λέγων, οὐ δοκεῖ δὲ τὸ μέρος πρότερον τοῦ ὅλου. καὶ τὴν αἰτίαν συντόμως ἔθηκεν εἰπὼν "τῷ λόγῳ γὰρ λέγονται ἐξ ἐκείνων," τουτέστιν ἐν τῷ ὁρισμῷ τῶν μερῶν λαμβάνονται τὰ ὅλα, τὰ δὲ ἐν ὁρισμῷ τινὸς λαμβανόμενα πρότερά εἰσι τοῦ ὁριστοῦ· εἰ δὲ τοῦτο, πρότερον ἄρα τὸ ὅλον τοῦ μέρους. ὅτι δὲ εἰς τὸν τῶν μερῶν ὁρισμὸν τὰ ὅλα παραλαμβάνεται, δῆλον· φαμὲν γὰρ ὁριζόμενοι τὴν ὀξεῖαν γωνίαν ὅτι ὀξεῖα γωνία ἐστὶν ἡ ἐλάσσων ὀρθῆς, ὥστε εἴληπται ἡ ὀρθὴ ἐν τῷ τῆς ὀξείας λόγῳ. καὶ πάλιν δάκτυλός ἐστι μέρος ἀνθρώπου τοιονδί. id.

λύει δὲ ταύτην τὴν ἀπορίαν καὶ ἄλλως, λέγων "καὶ τῷ εἶναι 1034 b 31. ἄνευ ἀλλήλων πρότερα." τὸ δὲ λεγόμενόν ἐστιν ὡς εἰ ἔλεγε, καὶ ἐκ τούτου πάλιν πιστεύσειεν ἄν τις ὅτι πρότερά ἐστι τὰ ὅλα τῶν μερῶν, ὡς συναναιροῦντα αὐτά· τοῦ μέρους γὰρ μὴ ὄντος τὸ ὅλον ἐστίν, εἰ καὶ κολοβόν, τοῦ ὅλου δὲ μὴ ὄντος τὸ μέρος εἶναι οὐ δύναται. οὕτως οὖν τὴν δευτέραν ἀπορίαν θεὶς καὶ συντόμως αὐτὴν λύσας (λύει δ' αὐτὴν μετ' ὀλίγον καὶ δι' ἄλλων πολλῶν) ἐπανατρέχει ἐπὶ τὴν προτέραν τὴν λέγουσαν, διὰ τί ἐπὶ τινῶν μὲν οἱ τῶν μερῶν λόγοι ἤτοι τὰ μέρη ἐνυπάρχουσι τῷ τοῦ ὅλου λόγῳ, ὥσπερ ἐπὶ τῆς συλλαβῆς ἐλέγετο, ἐπὶ τινῶν δὲ οὔ, ὡς ἐπὶ τοῦ κύκλου; οὐ γάρ ἐστιν ἐν τῷ λόγῳ αὐτοῦ τὰ τμήματα. καὶ λύει αὐτὴν πολυειδῶς. ἀλλὰ καὶ πρὸ τῆς τῶν λεγομένων κατὰ μέρος σαφηνείας καλῶς ἂν ἔχοι ἡμᾶς διὰ βραχέων ὑπομνῆσαι τὸν ὅλον σκοπὸν τῆς λύσεως, δι' ἧς ἂν τὴν ἀπορίαν λύσειας διεξοδικώτερον. id.

δοκοῦσι δὲ τὰ καθόλου καὶ ὅλων εἶναι πρότερα· δέονται γὰρ τούτων 1034 b 29. οἱ ὁρισμοὶ τῶν μορίων, ὡς ἐν τῇ θεωρίᾳ ἐδείξαμεν καὶ ὅτι δύναται καὶ ὁ ἄνθρωπος εἶναι ἄνευ τοῦ δακτύλου καὶ ἡ ὀρθὴ ἄνευ τῆς ὀξείας. Asclep.

ταῦτα δὲ λέγω τὰ τοῦ εἴδους μέρη ἐν τῷ τοῦ ὅλου λόγῳ, ὥστε 1034 b 34. ἀπὸ τῆς ὁμωνυμίας τοῦ μέρους ἡ ἀπορία ἐνεφύη· μέρος γὰρ τὸ μέν ἐστιν ὡς ὕλης, τὸ δ' ὡς εἴδους. Alex.

εἰ τοίνυν ἐστὶ τὸ μὲν ὕλη τὸ δὲ εἶδος, δῆλον ὅτι καὶ ἡ οὐσία ἐκ τῆς 1035 a 1. τούτων συμπλοκῆς. ἡ οὖν ὕλη τοῦ μὲν συνθέτου λέγεται μέρος, τοῦ δὲ εἴδους αὐτοῦ καθ' αὑτὸ οὐ λέγεται εἶναι μέρος, οἷον τῆς μὲν κοιλότητος οὐκ ἔστι μέρος ἡ σάρξ. Asclep.

ἐπειδή τις ἴσως ἔμελλε λέγειν ὅτι τὸ μὲν τοῦ ἀνδριάντος εἶδος 1035 a 7. λέγειν ἀνδριάντα ἔστω, τὸ δὲ σύνθετον καὶ μερικὸν διὰ τί ἀνδριάντα φαμὲν ἀλλ' οὐ χαλκόν; πρὸς ταῦτα ἀπαντῶν λέγει ὅτι "λεκτέον γὰρ τὸ εἶδος καὶ ᾗ εἶδος ἔχει ἕκαστον, τὸ δὲ ὑλικὸν οὐδέποτε καθ' ἑαυτὸ λεκτέον." καὶ εἴη ἂν τὸ λεγόμενον ἴσον τῷ, ἐπειδὴ τὰ πράγματα ἀπὸ τοῦ εἴδους χαρακτηρίζεται ἀλλ' οὐκ ἀπὸ τῆς ὕλης, λεκτέον ἐπὶ πάντων τὸ εἶδος καὶ ᾗ εἶδος, ταῦτα λεγέσθω. Alex.

"λεκτέον γὰρ τὸ εἶδος" ἀντὶ τοῦ ὁριστέον· καὶ καθὸ εἶδος ἔχει ἕκαστον, ὅταν δύνηται χωρίζεσθαι τῆς ὕλης... τὰ δὲ τμήματα τοῦ 1035 a 12. κύκλου οὔτε μέρη ὑπάρχουσιν οὔτε ὡς ὕλη, ἐπειδὴ δύναται χωρίζεσθαι, ἐφ' οἷς τμήμασιν ἐπιγίνεται τὸ τοῦ κύκλου εἶδος. τὰ γοῦν τμήματα πλησιάζουσι μᾶλλον τῷ εἴδει τοῦ κύκλου ἤπερ ὁ χαλκός, ἐπειδὴ δύναται καὶ ἐν χρυσῷ εἶναι ὁ αἰσθητὸς κύκλος, ἄνευ δὲ τμημάτων εἶναι οὐ δύναται, ὅταν ἐν χαλκῷ κύκλῳ γένηται. ἰστέον δὲ ὅτι οὐδὲ τὰ στοιχεῖα πάντα τῆς συλλαβῆς ἐμπεριέχεται ἐν τῷ ὁρισμῷ αὐτῆς... τὰ γοῦν τμήματα πλησιάζουσι μᾶλλον τῷ εἴδει τοῦ κύκλου ἤπερ ὁ χαλκός, ἐπειδὴ δύναται καὶ ἐν χρυσῷ εἶναι ὁ αἰσθητὸς κύκλος, ἄνευ δὲ τμημάτων εἶναι οὐ δύναται, ὅταν ἐν χαλκῷ κύκλῳ γένηται. Asclep.

ὅμως, φησίν, εἰ καὶ μέρη ὡς ὕλη τὰ τμήματά ἐστι τοῦ κύκλου, ἀλλ' ἐγγύτερόν εἰσι τοῦ εἴδους καὶ μᾶλλον ἐν αὐτῷ πλησιάζει ἤπερ ὁ χαλκός, ὅταν ἡ στρογγυλότης τοῦ τμήματος ᾖ καὶ τοῦ κύκλου ἐν χαλκῷ γένηται· τὸ γὰρ διάστημα ἐν τῷ χαλκῷ κτήματι ὂν οὐ ταὐτὸν

τουτέστιν ἡ ἐγγενομένη θερμότης, μέρος τι ὁμώνυμον ἐποίησεν ἐν αὐτῷ, τουτέστι θερμότητα ἢ ὑγίειαν, ἧς ὑγιείας μέρος γίνεται. καλῶς δὲ εἶπεν "ἐὰν μὴ κατὰ συμβεβηκὸς γίνηται·" ἐκ γὰρ τῆς τρίψεως πολλάκις γίνεται ἐρύθημα, ἐκ τῆς θερμότητος, οὐ μέντοι γε ὑγίεια· τὸ δὲ ἐρύθημα κατὰ συμβεβηκός. διὰ τοῦτο γέγονεν ἡ τρῖψις· τὸ γὰρ αἴτιον τοῦ ποιεῖν πρῶτον καθ' αὑτό. id.

1034 a 26. αὐτὸς δὲ λίαν ἐναργῆ τῶν λεγομένων ἔθηκεν παραδείγματα, εἰπὼν "τὸ γὰρ αἴτιον τοῦ ποιεῖν πρῶτον καθ' αὑτὸ μέρος." ἡ θερμότης γὰρ ἡ διὰ τῆς τρίψεως καὶ κινήσεως ἐκτὸς γεγονυῖα θερμότητα ἐν τῷ σώματι ἐποίησεν· αὕτη δὲ ἡ ἐν τῷ σώματι γεγονυῖα θερμότης ἐστὶν ἡ ὑγίεια ἢ μέρος ὑγιείας. ἢ κάλλιόν ἐστι λέγειν ὅτι ἀκολουθεῖ αὐτῇ τῇ θερμότητι μέρος τῆς ὑγιείας, ἢ οὐ μέρος αὐτῇ τῆς ὑγιείας ἀκολουθεῖ, ἀλλ' ἀκολουθεῖ τῇ θερμότητι αὐτὴ ἡ ὑγίεια. καὶ ἔστιν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη· ἡ θερμότης ἢ αὐτὴ ἡ ὑγίειά ἐστιν, ἢ εἴπερ οὐκ ἔστιν ἀλλ' οὖν ἀκολουθεῖ αὐτῇ μέρος τι τῆς ὑγιείας ἢ αὐτὴ ἡ ὑγίεια. καὶ ἡ μὲν τῶν λεγομένων διάνοια αὕτη ἂν εἴη, καταστήσαις δ' ἂν τὴν λέξιν ὧδε· πάντα γίνεται ἐξ ὁμωνύμων, ὅταν μὴ κατὰ συμβεβηκὸς γένηται· εἶτα ἐπήγαγεν "ὥσπερ τὰ φύσει" καὶ τὰ ἑξῆς. Alex.

1034 a 27. ἡ γὰρ θερμότης ἐγγενομένη ἐκ τῆς τρίψεως θερμότητα ἐποίησεν ἐν τῷ σώματι, τουτέστιν ηὔξησε τὴν ἐν τῷ σώματι θερμότητα· αὐξηθεῖσα δὲ ἡ θερμότης ἐν τῷ σώματι ἢ ὑγεία ἐστὶν ἢ μέρος τῆς ὑγείας ἢ ἀκολουθεῖ αὐτῇ μέρος τι τῆς ὑγείας ὡς μέρους δυσκρασίας ἐκμοχλευθέντος, ἢ τελεία γίνεται ὑγεία... διὸ καὶ λέγεται ποιεῖν ὑγίειαν ἡ θερμότης ἐκ τῆς τρίψεως, ὅτι ἐκεῖνο τὸ θερμὸν ποιεῖ τὴν ὑγίειαν, ᾧ θερμῷ ἠκολούθησεν ἡ ὁμαλότης. ὥσπερ οὖν ἐν τοῖς συλλογισμοῖς ἀρχαὶ ὑπάρχουσιν οἱ ὁρισμοὶ καὶ τὰ εἴδη, οὕτως καὶ ἐπὶ τῶν γινομένων αἱ ἀρχαὶ τὰ εἴδη ὑπάρχουσιν, εἴγε ὁμοειδῆ τὰ γινόμενα τοῖς ποιοῦσιν ἐδείχθησαν. ὁμοίως δὲ καὶ τὰ φύσει συνιστάμενα, ὥσπερ ἐπὶ τῶν τεχνητῶν, γίνεται ὑγεία καὶ ἀπὸ τέχνης καὶ ἐκ ταὐτομάτου. ὁμοίως δὲ τούτοις καὶ ἐπὶ τῶν φύσει συνισταμένων ἔχει· ὥσπερ γὰρ ὁ ἰατρὸς ποιεῖ τὴν ὑγείαν, οὕτως καὶ τὸ ἀνθρώπειον σπέρμα ποιεῖ τὸ ἔμβρυον· ἔχει γὰρ ἐν ἑαυτῷ τὸ σπέρμα δυνάμει τὸ ἀνθρώπειον εἶδος καὶ ἀφ' οὗ τὸ σπέρμα, τουτέστι τὸ ποιητικὸν αἴτιον ὁμώνυμόν πώς ἐστι τῷ γινομένῳ. καλῶς δὲ προσέθηκε τὸ πώς· οὐ γὰρ κατὰ πάντα, εἰ μὴ μόνον κατὰ τὸ εἶδος· οὔτε γὰρ κατὰ παιδουργὰ μόρια. ἐπεὶ δὲ καὶ ἀνὴρ τίκτεται ἐκ γυναικὸς καὶ γυνὴ γεννᾶται ἐξ ἀνδρός, διό φησιν, οὐ γὰρ πάντα δεῖ οὕτω ζητεῖν ὡς ἐξ ἀνθρώπου ἄνθρωπον· καὶ γὰρ γυνὴ τίκτεται ἐξ ἀνδρός... τὰ μὲν γὰρ γίνεται ὑπὸ σπέρματος καὶ ποιητικοῦ αἰτίου· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἵππος ἵππον, τὰ δὲ οὐκ ἐκ σπέρματος ἀλλ' ἐκ σήψεως, ὥσπερ γίνονται μέλιτται ἐκ τοῦ τεθνεῶτος ταύρου σηπομένου, καὶ πάλιν τὰ ζῷα ἐξ ἄλλης σήψεως, καὶ ὥς φησιν ὄφεις γίνονται ἐκ τῶν ἀνθρωπείων σωμάτων· ὡς δέ φησιν ὁ Ἀλέξανδρος, ἐάν τις λάβοι τὴν ὤκιμον βοτάνην καὶ ὑποθείη αὐτὴν πλίνθῳ καθυγρασμένῃ, πάντως σκορπίοι τίκτονται ἐν ἐκείνῳ τῷ τόπῳ. πάλιν οὖν καὶ ἐνταῦθα τὴν ὕλην αἰτιᾶται, καί φησιν ὅτι ὃν λόγον ἔχει τὸ σπέρμα τοῦ κηφῆνος πρὸς τὸ ποιεῖν μέλιτταν, τὸν αὐτὸν ἔχει λόγον καὶ ὁ λόγος ὁ φυσικὸς ὁ ἐν τῷ σώματι τοῦ τεθνεῶτος ταύρου, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐκ σήψεως γινομένων. ὅπου οὖν εὑρεθῇ ἡ ὕλη δύναμιν ἔχουσα τοῦ κινεῖσθαι ὑφ' ἑαυτῆς, καὶ ἄνευ σπέρματος γίνεται τὰ ζῷα δυνάμενα καὶ ὑπὸ σπέρματος γίνεσθαι, ὡς ἐπὶ τῶν μελιττῶν εἰρήκαμεν· γίνεται γὰρ καὶ ὑπὸ τεθνεῶτος βοὸς καὶ ὑπὸ τοῦ σπέρματος τοῦ κηφῆνος. ὅπου δὲ οὐκ ἔστι λόγος δημιουργικός, ἄνευ σπέρματος ἀδύνατόν ἐστι γενέσθαι. ταῦτα εἰρηκώς φησιν ἐφεξῆς ἀλλ' ὡς ὑλικά· ὥστε ἐκ τοῦ Ἀλεξάνδρου ἀληθεστάτη ἀπόδοσις. ἀλλ' εἴτε ἐκεῖνος παρῆν, ὃν ὑμεῖς ἀπωλέσατε· ὁ γὰρ ῥαθυμότερον περὶ τὰ μαθήματα διακείμενος ὡς σαφέστερον τῷ δοκεῖν καὶ ἐπιτομωτέροις ἡμῖν ἐπιδραμόντας ἡμᾶς μὴ ἐποίησαν διαφυλαχθῆναι. Ἀλέξανδρος δὲ καὶ Σιμπλίκιος καὶ τὸ λοιπὸν ἅπαν χρυσοῦν ἐκεῖνο τῶν τὴν πραγματείαν γένος δην νιασθαι, ὥστε συνέβη καταλελεῖφθαι τὸ σιδηροῦν οὐ μὲν οὖν ἀλλὰ τὸ ἀχυρῶδες μόνον φῦλον. Asclep.

1034 a 33. τὸ μὲν γὰρ σπέρμα ποιεῖ ὥσπερ ὁ τεχνίτης· ὥσπερ γὰρ ἐκεῖνος ἐν ἑαυτῷ ἔχει τὸ εἶδος τῆς οἰκίας ἢ ἄλλου τινὸς οὗ ἐστι ποιητής, οὕτω καὶ τὸ σπέρμα ἔχει ἐν ἑαυτῷ δυνάμει τὸ εἶδος. ἀφ' οὗ δὲ τὸ σπέρμα, ἐστί πως ὁμώνυμον (τουτέστι συνώνυμον) τῷ γινομένῳ. Alex.

1034 b 1. εἰπὼν δὲ ὅτι ἀφ' οὗ τὸ σπέρμα ἐστὶν ὁμώνυμόν πώς ἐστι διὰ τοῦ σπέρματος γεγονότι, τίνος ἕνεκα τὸ πὼς προσέθηκεν ἐπήγαγεν· οὐ γάρ πως τὰ οὕτω δεῖ ζητεῖν ὡς ἐξ ἀνθρώπου ἄνθρωπος· καὶ γὰρ γυνὴ ἐξ ἀνδρὸς φύεται, καὶ ὅμως οὐ γίνεται ἡ γυνὴ ἀνήρ· ὥστε καλῶς πρόσκειται τὸ πὼς διὰ τὸ τινὰ μὲν συνωνυμεῖν τοῖς ἐξ ὧν γίνονται τινὰ δὲ μή. καὶ οἶμαι ὡς καὶ ἀνωτέρω, ὅτε ἔλεγεν ὅτι δῆλον ἐκ τῶν εἰρημένων ὅτι τρόπον τινὰ πάντα γίνεται ἐξ ὁμωνύμου ἢ μέρους ὁμωνύμου, διὰ τοῦτο προσετίθει ταῦτα, λέγω δὴ τὸ "τρόπον τινά" καὶ τὸ "ἐκ μέρους·" ὡς μὲν γὰρ ἄνθρωποι ὅ τε ἀνὴρ καὶ ἡ γυνὴ συνώνυμοί εἰσιν, ὡς δὲ ἀνὴρ καὶ γυνὴ ὁμώνυμοι, ὥστε ἐκ μέρους συνωνυμοῦσιν, ὁ δὲ ἐξ ἀνδρὸς ἀνὴρ οὐκ ἐκ μέρους ἀλλ' ὁλοκλήρως· καὶ γὰρ καὶ ὡς ἄνθρωποι καὶ ὡς ἄνδρες συνώνυμοί εἰσιν. καὶ περιέργως δὴ ἀνωτέρω ταῦτα ἐξηγούμεθα, καὶ δεῖ κἀκεῖνα ὥσπερ τὰ τῇδε λέγεται ἐκδέχεσθαι. ἀλλὰ ταῦτα μὲν οὕτως ἴσως λέγονται, τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον οὑτωσίν· ἔστι γὰρ τὸ ἑξῆς "καὶ ὑφ' οὗ τὸ σπέρμα ἐστί πως ὁμώνυμον, ἐὰν μὴ πήρωμα ᾖ·" "διὸ ἡμίονος οὐκ ἐξ ἡμιόνου·" εἶτα "οὐ γὰρ πάντα οὕτω δεῖ ζητεῖν, ὡς ἐξ ἀνθρώπου ἄνθρωπος· καὶ γὰρ γυνὴ ἐξ ἀνδρός." id.

1034 b 3. διὸ ἡ ἡμίονος οὐκ ἐξ ἡμιόνου τίκτεται, ἐπειδὴ οὐκ ἔχουσι κοινόν τι, ἄνθρωπος δὲ ἐξ ἀνθρώπου, ἐὰν μὴ πήρωμα ὑπάρχῃ· ὥστε ἔχουσί τι κοινὸν καὶ ἡ ἡμίονος καὶ ἵππος, καθ' ὃ γίνονται ἐξ ἀλλήλων, ὅπερ ἡμῖν οὐκ ὠνόμασται. φησὶν οὖν ὅτι ταῦτα γίνονται ἐκ ταὐτομάτου ἐπὶ τῶν φυσικῶν, ὅσα ἔχουσιν ὕλην ἔχουσαν λόγον δημιουργικόν... ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος ὅτι ἐπὶ τῶν ἐκ σήψεως γινομένων ποία οὐσία προϋφέστηκε, καὶ αἰτιᾶται τὴν τῶν οὐρανίων κίνησιν. ἡμεῖς δὲ λέγομεν ἐπιβάλλοντες ὅτι κἀκεῖνα ἐξ ἑτέρας οὐσίας γίνονται, οἷον τῶν σεσηπότων σωμάτων· τὰ μέντοι γε συμβεβηκότα οὐ γίνεται ἐξ ἄλλων προϋφεστώτων συμβεβηκότων. Asclep.

ἤτοι οὐσίαν τινὰ ποιότητα ἔχουσαν, καὶ τοῦτο διαφέρει τῆς ὕλης ὅτι ἐκείνη ἄπειρός ἐστιν, ἀλλὰ τοιόνδε μὲν τὸ εἶδος σημαίνει τόδε τι καὶ ὡρισμένον καὶ καθ' αὑτὸ δυνάμενον εἶναι οὐκ ἔστιν, ἀλλ' ὁ ποιῶν καὶ γεννῶν ἐκ τοῦδε τοῦ εἴδους ποιεῖ καὶ γεννᾷ τοιόνδε, ἤτοι τὸ ἐξ ὕλης καὶ εἴδους. "καὶ ὅταν γεννηθῇ, ἔστι τόδε τοιόνδε," τουτέστι σύνθετος οὐσία ἐξ ὕλης καὶ εἴδους. τὸ δὲ ὂν τοιόνδε ἐστὶν ὁ Καλλίας ἢ ὁ Σωκράτης· ὥσπερ γὰρ ἡ σφαῖρα ἡ χαλκῆ ἤδη ἐξ ὕλης καὶ εἴδους ἐστίν, οὕτω καὶ ὁ ἄνθρωπος ἤδη καὶ ὅλως τὸ ζῷον ἐξ ὕλης ἐστὶ καὶ εἴδους. οὕτω μὲν οὖν τὸ εἶδος τὸ ἔνυλον ποιεῖ περὶ τὴν ὕλην, καὶ ὅταν ποιήσῃ ἢ γεννήσῃ, ἔστιν· εἶδος δὲ αὐτὸ καθ' αὑτὸ καὶ χωριστὸν οὐκ ἔστιν. Alex.

1033b 22. καὶ γεννᾷ ἐκ τῆς ὕλης τοῦ χαλκοῦ τὴν σφαῖραν, καὶ ἐκ τοῦ σπέρματος ἢ τῶν τεσσάρων στοιχείων τὸ ἔμβρυον. Asclep.

1033b 23. καὶ ἡνίκα γεννηθῇ, ἔστι δῆλον τοιόνδε, τουτέστιν ἔνυλον εἶδος ὡς ἐν ὕλῃ θεωρούμενον· ὡς γὰρ ἐν τοῖς καθ' ἕκαστα ὅπερ λέγεται ἅπαν, τὸ δὲ Καλλίας ἢ Σωκράτης τὰ καθ' ἕκαστα... ἐντεῦθεν, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, πρὸς τοὺς τὰς ἰδέας πρεσβεύοντας ἀποτείνεται· φησὶ γὰρ ὅτι εἴπερ εἰσὶν αἱ ἰδέαι, καθάπερ τινὲς λέγουσιν, ἕτεραι οὖσαι καὶ ἀνομοειδεῖς παρὰ τὰ καθ' ἕκαστα εἴδη, οὐδὲν ἡμῖν συμβάλλονται πρός τε τὰς γενέσεις καὶ τὰς οὐσίας, ὡς ἐν τῇ θεωρίᾳ ἐδείξαμεν. καὶ διὰ τοῦτο ἅτε δὴ μηδὲν συμβαλλόμεναι οὐδὲ ὑπάρχουσιν οὐσίαι καθ' αὑτάς· δεῖ γὰρ τὰ γεννῶντα ὁμοειδῆ ὑπάρχειν. id.

1033b 26. φανερὸν ἄρα ἐκ τῶν εἰρημένων ὅτι τὸ αἰτιᾶσθαι τὰ εἴδη ὡς ποιητικὰ τῶν τῇδε καὶ διδόναι αὐτοῖς ὕπαρξιν διὰ τοῦτο, οὐδὲν εἶναι χρήσιμα πρὸς τὰς γενέσεις καὶ τὸ ποιεῖν τὰς ἀτόμους οὐσίας· οὐδὲ εἶεν ἂν καθ' αὑτὰς οὐσίαι διὰ τὸ ὡς εἴρηται τὰ τῇδε ποιεῖν... εἰ δὲ ἦσαν τὰ εἴδη αἴτια γενέσεως, ἔδει τοῦ πατρός μου μὴ ὄντος γενέσθαι ἐμέ. Alex.

1034a 2. ὥστε δῆλον ἡμῖν ἐντεῦθεν ὅτι οὐ δεῖ ἡμῖν παραδείγματα καὶ ἰδέας ὑποτίθεσθαι. μάλιστα δὲ συνεβάλοντο αὗται εἰς τὰς συνθέτους οὐσίας· εἰ τοίνυν ἐπὶ τούτων ἄχρηστοι ἐδείχθησαν, δῆλον ὅτι οὐδαμῶς ἡμῖν συμβάλλονται. Asclep.

1034a 7. καὶ κατὰ μὲν τὴν ὕλην διαφέρουσι τό τε γεννῶν καὶ τὸ γεννώμενον (ἄλλη γὰρ καὶ ἄλλη), κατὰ δὲ τὸ εἶδος οὐ διαφέρουσιν, ἐπειδή, ὡς αὐτός φησιν, ἄτομόν ἐστι τὸ εἶδος, τουτέστιν ἓν καὶ κατ' αὐτόν· ἓν γάρ ἐστι τὸ εἶδος καὶ τὸ Σωκράτους καὶ τὸ Σωφρονίσκου. καὶ βουλόμενος δηλῶσαι τὸ ἕν, ἐπήγαγε τὸ ἄτομον, τὴν ταὐτότητα τοῦ εἴδους ἐνδεικνύμενος. id.

1034a 14. ἐπειδὴ δὲ πάντα φυσικήν τινα κίνησιν ἔχει (φέρεται γὰρ ὁ λίθος κάτω καὶ τὸ πῦρ ἄνω), λέγει ὅτι ὥσπερ καὶ τῶν ζῴων πολλὰ τὴν κατὰ τόπον κίνησιν κινοῦνται, οὐδὲ δὲ κινηθῆναι, οἷον φέρε εἰπεῖν ὀρχήσασθαι, οὐ δύνανται, οὕτω καὶ οἱ λίθοι καὶ τὰ ξύλα κινηθῆναι μὲν δύνανται φυσικῶς, οὐδὲ δὲ ὥστε ἀποτελέσαι οἰκίαν οὐδαμῶς, εἰ μὴ ὑπὸ τοῦ οἰκοδόμου, καὶ τὸ πῦρ ἄνω μὲν κινηθῆναι ὑφ' ἑαυτοῦ δύναται, οὐδὲ δὲ ὥστε τὸν χαλκὸν ἐκπυρῶσαι οὐδαμῶς, εἰ μὴ ὑπὸ τοῦ χαλκέως. Alex.

1034a 18. διὰ ταύτας οὖν τὰς αἰτίας τὰ μέν, οἷον οἰκία καὶ πλοῖον καὶ τὰ τοιαῦτα, οὐκ ἔσται ἄνευ τῶν ἐχόντων τὴν τέχνην, τὰ δέ, ὥσπερ ἡ ὑγίεια, ἔσται. id.

ὑπὸ γὰρ τούτων κινοῦνται τὰ φυσικὰ σώματα τῶν οὐκ ἐχόντων 1034a 19.
τέχνην, οἷον ὑπὸ πόσεως οἴνου, ὑπὸ περιπάτου· γίνονται γὰρ καὶ ἐντεῦθεν κατὰ συμβεβηκὸς ὑγιεῖαι. δύνανται οὖν κινεῖσθαι τὰ φυσικὰ καὶ ὑπὸ ἄλλων μὴ ἐχόντων τέχνην, οἷον ὑπὸ ἀνιάτρου πολλοὶ γεγόνασιν ὑγιεῖς· ἢ ὑπὸ μέρους, τουτέστι τοῦ ἐμφύτου θερμοῦ πλεονάσαντος καὶ κατασβέσαντος τὴν ψυχρὰν θερμασίαν. Asclep.

εἶτα διαρθρῶν τὸν λόγον λέγει ὅτι τὰ καὶ ὑφ' ἑαυτῶν δυνά- 1034a 20.
μενα κινεῖσθαι οὐ μόνον ὑπὸ τῶν ἐχόντων τὴν τέχνην κινηθήσεται, ἀλλὰ καὶ κινηθήσεται ὑπὸ τῶν τοιούτων τῶν οὐκ ἐχόντων τὴν τέχνην. Alex.

"ἢ ἐκ μέρους," τουτέστιν ὑφ' ἑαυτῶν· ἐπειδὴ γὰρ δύναται κινεῖσθαι 1034a 21.
καὶ ὑφ' ἑαυτῶν, ποτὲ μὲν ὑπὸ τοῦ τεχνίτου κινηθήσεται, ποτὲ δὲ καὶ ὑπὸ τοῦ τὴν τέχνην μὴ ἔχοντος, ποτὲ δὲ καὶ ὑφ' ἑαυτῶν. id.

τὸ δὲ "τρόπον τινά" καὶ μετ' ὀλίγον τὸ "ἢ ἐκ μέρους ὁμωνύ- 1034a 22.
μων" πρόσκειται διὰ τὰ ἀπὸ τέχνης. οὕτως ἐξ οἰκίας ἐνεργείᾳ οὔσης οἰκία γίνεται, ὥσπερ ὁ ἄνθρωπος ἐξ ἀνθρώπου. ἔστιν οὖν ἡ οἰκία τρόπον τινὰ ἐκ συνωνύμου· ὁ γὰρ λόγος τῆς οἰκίας κατηγορεῖται καὶ κατὰ τῆσδε τῆς οἰκίας· τρόπον δέ τινα οὐκ ἐκ συνωνύμου· οὐ γὰρ ὑφέστηκεν ἡ οἰκία ἐξ ἧς γίνεται· διὸ τρόπον τινὰ αὖθις οὐκ (?) ἐκ συνωνύμων. εἰπὼν δὲ ὅτι ἡ οἰκία ἐξ οἰκίας, ἐπειδὴ ὑπὸ τέχνης ἀλλ' οὐκ ἐξ οἰκίας ἡ οἰκία γίνεται, τὴν αἰτίαν τοῦ πῶς τοῦτο λέγεται ἐπήγαγεν εἰπὼν "ἡ γὰρ τέχνη τὸ εἶδος," τουτέστιν ἡ τέχνη τὸ εἶδος, τουτέστιν ἡ τέχνη, ἀφ' ἧς ἡ οἰκία γίνεται, οὐκ ἔστιν ἄλλο τι ἢ οἰκία· τὸ γὰρ εἶδος τῆς οἰκίας τὸ ἐν τῇ ψυχῇ ἀΰλως ὂν τοῦ οἰκοδόμου οὐκ ἔστιν ἡ τέχνη, ὡς ἐν τῷ γ' (c. 5) τῶν περὶ τῆς ψυχῆς δέδεικται. τὸ δὲ "ἢ ἐκ μέρους συνωνύμου ἢ ἔχοντός τι μέρος" τοιαύτην ἔχει τὴν ἔννοιαν· τὸ γὰρ θερμόν, ἐξ οὗ γέγονεν ἡ ὑγίεια, μέρος τι τῆς ὑγιείας ἐστὶν ἢ ἔχει μέρος αὐτῆς. id.

καλῶς οὖν εἶπε καὶ τὸ "ἐκ μέρους·" οὔτε γὰρ ἡ οἰκία ἡ αὐτή ἐστι 1034a 24.
τῷ τέκτονι, ὥσπερ ὁ Ἕκτωρ τῷ Πριάμῳ, ἀλλὰ κατὰ μέρος, κατὰ τὴν φαντασίαν, ἣν ἔχει ἐν ἑαυτῷ ὁ τέκτων τοῦ ἀβακίου. ἢ ἐκ μέρους γινομένου ὁμωνύμως ἔχοντός τι μέρος, ἐὰν μὴ κατὰ συμβεβηκὸς γένηται... δῆλον ἐκ τῶν εἰρημένων δείξας ὅτι ὁμοειδές ἐστι τὸ γεννῶν τῷ γεννωμένῳ, φησὶν ὅτι δῆλον ἡμῖν γέγονεν ἐκ τῶν εἰρημένων καὶ ὅτι τρόπον τινὰ ἅπαντα γίνεται ἐξ ὁμωνύμων, τουτέστιν ἐκ τῶν συνωνύμων· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ· ταῦτα δὲ συνώνυμα. καλῶς δὲ προσέθηκε τὸ "τρόπον τινά·" οὐ γὰρ ἐπὶ πάντων εὐοδεῖ αὐτῷ ὁ λόγος, καὶ μάλιστα ἐπὶ τῶν τεχνητῶν καὶ τῶν ἐκ σήψεως· οὐ γὰρ τὸ εἶδος τοῦ ἀβακίου τὸ ἐν τῷ τέκτονι συνώνυμόν ἐστι τῷ γινομένῳ ἀβακίῳ. διὸ καὶ αὐτὸς ἐπήγαγεν "ὥσπερ τὰ φύσει ἢ ἐκ μέρους" φησὶν ὁμωνύμου, οἷον ἡ οἰκία γίνεται ἐξ οἰκίας, ἢ ὑπὸ νοῦ· ἡ γὰρ τέχνη τὸ εἶδος ποιεῖ τῆς οἰκίας, τοῦ νοῦ ἔχοντος ἐν ἑαυτῷ τὸ εἶδος τοῦ ἀβακίου. Asclep.

ὃ λέγει τοῦτό ἐστιν· τὸ ὑπὸ τοῦ καθ' αὑτὸ ποιοῦντος πρῶτον ἐγ- 1034a 25.
γινόμενον τῷ ποιουμένῳ μέρος γίνεται τῆς ὑγιείας... τὸ γὰρ θερμὸν τὸ ἐκ τῆς τρίψεως γενόμενον μέρος ἐστὶ τοῦ ποιήσαντος, καὶ ποιεῖ μέρος τι θερμασίας ἐν τῷ σώματι ὅμοιον ἑαυτῷ, αὖξον αὐτὴν ἢ καὶ γεννῶν διαφορουμένης τῆς ὑγρότητος. τὸ γοῦν μέρος,

ὕλης τοιῶσδε μορφουμένης καὶ δεχομένης ἀχρόνως τὸ τέλειον εἶδος. Asclep.

εἰ δὲ καὶ λέγεται σφαῖραν ποιεῖν, κατὰ συμβεβηκὸς τοῦτο λέγεται· διὰ γὰρ τὸ τὴν χαλκῆν σφαῖραν ποιεῖν, ἀλλ' οὐχὶ διὰ τὸ εἶδος τῆς σφαίρας καὶ τὸ τί ἦν εἶναι, ὃ περὶ τὸν χαλκὸν τίθησιν· αὐτὸ γὰρ οὐ γίνεται· τὸ γὰρ τόδε τι ποιεῖν τοῦτ' ἔστιν· τὸ γὰρ τὴν μερικὴν σφαῖραν ποιεῖν ἐστὶ τὸ ἐξ ὑποκειμένου τοῦ χαλκοῦ καὶ τοῦ εἴδους ποιεῖν τόδε τι ἤτοι σύνθετον. ποιεῖ γὰρ τὸ στρογγύλον ἐν τῷ χαλκῷ, τὸ δὲ στρογγύλον (αὐτὴν λέγω τὴν στρογγυλότητα τὴν αὐτοῖς καθ' ἕκαστα τὸ εἶναι ἔχουσαν) οὐ ποιεῖ οὐδὲ τὸ εἶδος τῆς σφαίρας. Alex.

1033a 32. εἰ γὰρ ποιεῖ τὸ εἶδος, ἐπειδὴ πᾶν τὸ γινόμενον ἔκ τινος ὑποκειμένου γίνεται, δῆλον ὅτι καὶ τὸ εἶδος ἔκ τινος ὑποκειμένου ποιήσει τὸν χαλκὸν ποιῆσαι στρογγύλον, τουτέστι τὸ σύνθετον. οὐ μέντοι δυνατόν ἐστιν αὐτὸ ποιῆσαι τὸ στρογγύλον ἢ τὴν σφαῖραν, ἀλλ' ἕτερόν τι, οἷον τὸ εἶδος ἐν ἄλλῳ, φημὶ δὴ τὸ σύνθετον. εἰ γὰρ ποιεῖ τὸ εἶδος αὐτὸ καθ' αὑτό, ἔκ τινος ὑποκειμένου ποιήσει αὐτὸ ὡς γινόμενον, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, οἷον τὴν χαλκῆν σφαῖραν· τοῦτο δὲ ἐξ ὑποκειμένου, ὅπερ ἐστὶ χαλκός. "τοδὶ ποιεῖ," τουτέστι τὸ εἶδος, ὅ ἐστιν ἡ σφαῖρα· εἰ γὰρ γίνεταί τι, ἐξ ὑποκειμένου γίνεται, καὶ οὕτως εἰς ἄπειρον αἱ γενέσεις βαδιοῦνται, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. ὥστε δῆλον ἡμῖν ἐντεῦθεν γέγονεν ὅτι οὐ γίνεται τὸ εἶδος, οὔτε δὲ ἔστιν αὐτοῦ γένεσις οὔτε ὁρισμὸς αὐτοῦ, ὡς γίνεσθαι αὐτὸ καθ' αὑτό. Asclep.

1033b 5. ὥστε καὶ ἐκ τούτων φανερόν ἐστιν ὅτι οὐδὲ τὸ εἶδος, ἢ ὅ τι χρὴ καλεῖν τὴν μορφὴν τὴν ἐν τοῖς αἰσθητοῖς, γίνεται, οὐδὲ διὰ γενέσεως εἰς τὸ εἶναι ἄγεται, ἀλλὰ τῆς ὕλης ὑπὸ τῆς ἐν αὐτῇ φύσεως ἀλλοιουμένης καὶ γινομένης ἀχρόνως ἐπιγίνεται αὐτῇ καὶ ἐν ἀτόμῳ νῦν. Alex.

1033b 12. οὐ μόνον δέ, φησί, φανερόν ἐστιν ὅτι τὸ ἐν τῷ αἰσθητῷ εἶδος οὐ γίνεται, ἀλλ' οὐδ' ἔστι τοῦτο, λέγω δὴ τὸ ἐν τῷ αἰσθητῷ εἶδος, τὸ τί ἦν εἶναι· τὸ γὰρ τί ἦν εἶναι καθόλου καὶ νοητόν, τοῦτο δὲ αἰσθητὸν καὶ μερικόν, ὃ καὶ γίνεται ἐν τῇ ὕλῃ ὑπὸ φύσεως. id.

1033b 15. τὸ οὖν σύνθετον ποιεῖ· ποιεῖ γὰρ ἐκ χαλκοῦ καὶ σφαίρας· εἰ γὰρ πάλιν ποιεῖ τὸ εἶδος καὶ τοῦτό ἐστι χαλκῆ σφαῖρα, χαλκὸς δὴ τοιῶσδε σχηματισθεὶς ὑπὸ τεχνίτου· εἰ οὖν ἐστὶν ὅλως, φησί, τοῦ εἴδους τῆς σφαίρας ἡ γένεσις, ἐξ ὑποκειμένου τινὸς γίνεται, καὶ εἰ μὲν τὸ ὑποκείμενον εἰδοπεποιημένον ἐστίν, εἰσαχθήσεται τὸ ἄπειρον, ὡς ἀνωτέρω ἔδειξεν, εἰ δὲ ἀνείδεον, διαιρετὸν ἔσται τὸ εἶδος καὶ ἔσται ὅπερ ἐστὶ τὸ μὲν αὐτοῦ ὕλη τὸ δὲ εἶδος, καὶ ἔσται οὕτω σύνθετον τὸ ἁπλοῦν εἶδος, ὅπερ ἐστὶν ἄτοπον. εἰ τοίνυν τοῦτό ἐστι σφαῖρα, ὅταν αἱ ἀπὸ τοῦ κέντρου αὐτῆς πρὸς τὴν ἐπιφάνειαν προσπίπτουσαι ἴσαι ὑπάρχωσι, τὸ δὲ εἶδος ἐντιθέμενον ἐν τῇ ὕλῃ τοιῶσδε σχηματίζει αὐτήν, καὶ ἔστι τὸ σύνθετον τὸ γινόμενον. φανερὸν οὖν ἡμῖν γέγονεν ὅτι τὸ μὲν ὡς εἶδος ἡ οὐσία λεγομένη οὐ γίνεται, ἡ δὲ σύνθεσίς ἐστιν ἡ γινομένη. Asclep.

πρόσκειται ἔν τισιν "τοῦτο δὲ σφαῖρα εἶναι ὅλως, τοῦ δὲ σφαῖρα εἶναι ὅλως." cod. Reg.

1033b 16. καὶ εἴπερ ἐστὶ σφαῖρα σχῆμα τὸ πάντῃ ἴσον ἀπέχον τοῦ κέντρου, τούτου τοῦ σχήματος τὸ μὲν ἔσται ὑποκείμενον, ἐν ᾧ τὸ εἶδος ἔσται, ὃ ποιεῖ ὁ ποιῶν περὶ αὐτό, τὸ δὲ ἔσται εἶδος ἐν τῷ ὑποκειμένῳ ὄν, τὸ δ' ἐκ τούτων ἔσται ἡ γεγονυῖα χαλκῆ σφαῖρα. καὶ λοιπὸν συμπεραίνεται. Alex.

καὶ ὅτι, φησίν, ἐν ἅπαντι τῷ γινομένῳ ὕλη ἐστί, καὶ ἔστι τὸ μὲν 1033b 19. ὕλη τὸ δὲ εἶδος. πότερον οὖν ἔστι τις σφαῖρα παρὰ τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθους; Asclep.

δείξας ὅτι οὐ γίνεται τὸ εἶδος αὐτὸ καθ' αὑτό, ἐντεῦθέν φησιν ὅτι οὐ δυνατόν ἐστιν αὐτὰ καθ' αὑτὰ ὑπάρχειν ἐνεργείᾳ τὰ εἴδη· εἰ γὰρ τοῦτο, φησίν, ὑποθώμεθα, ἀναιρεθήσεται ἡ γένεσις... "πότερον — πλίνθους;" φησίν, ἆρά γε αὐτὰ καθ' αὑτὰ ὑπάρχουσιν ἐνεργείᾳ τὰ εἴδη, οἷον τὸ τῆς σφαίρας εἶδος παρὰ τὰς σφαίρας τὰς ἐνταῦθα ἢ τὸ τῆς οἰκίας εἶδος παρὰ τὰς καθ' ἕκαστον οἰκίας; ἢ οὐδέποτε γίνεται γένεσις, καθάπερ ἐν τῇ θεωρίᾳ εἴρηται; ἢ οὔτε τὸ εἶδος χωριστὸν κατ' ἐνέργειαν καὶ μὴ τοιόνδε τι ἐδήλου, καθάπερ ἐν Κατηγορίαις εἴρητο, τὸ περὶ οὐσίαν δὲ τὸ ποιὸν ἀφορίζει; τὸ οὖν εἶδος οὐκ ἔξω αὐτὸ καθ' αὑτὸ ὡρισμένον ὑπάρχον, ἀλλὰ ποιεῖ καὶ ὁ τεχνίτης καὶ ἡ φύσις. id.

δείξας ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι οὐ γίνεται ἀλλ' ἔστι μέν, γίνεται δὲ περὶ τὸ ὑποκείμενον, εἰπὼν δὲ καὶ ὅτι τὸ εἶδος ἢ ἡ μορφὴ ἡ ἐν τῷ αἰσθητῷ οὐ διὰ γενέσεως γίνεται ἀλλ' ἀχρόνως καὶ ἐν ἀτόμῳ νῦν (λέγει δὲ εἶναι τὸ εἶδος οὐκ ἐνεργείᾳ καὶ καθ' αὑτό, ὥσπερ ἐγώ, ἀλλὰ τῇ ἐπινοίᾳ) — ταῦτα δὴ δείξας ἐρωτᾷ πότερον ἔστι τις σφαῖρα παρὰ τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθους αὐτὴ καθ' αὑτὴν καὶ ἁπλῶς ἄνθρωπος παρὰ τοὺς ἀνθρώπους. καὶ ἐρωτήσας ἐπικρίνει λέγων ἢ οὐκ ἄν ποτε ἐγίνετο τόδε καὶ αἰσθητόν· σύνηθες γὰρ αὐτῷ τὸ τόδε τι ἐπὶ τῶν αἰσθητῶν καὶ εἰς δεῖξιν πιπτόντων καὶ ὅλως ἐπὶ τῶν καθ' αὑτὰ δυναμένων εἶναι λαμβάνειν. καὶ ἐν ταῖς Κατηγορίαις γὰρ εἶπεν ὅτι ἐπὶ μὲν τῶν πρώτων οὐσιῶν, πρώτας λέγων Σωκράτη καὶ ἁπλῶς τὰ ἄτομα, ἀναμφισβητήτως τόδε τι σημαίνει ἑκάστη. οὐκ ἂν οὖν, φησίν, εἰ καθ' αὑτὰ καὶ χωριστὰ τὰ εἴδη, ἐγίνετο τόδε τι, ὥστε καὶ ἄλλου τινὸς ἀλλοιουμένου ἐπιγίνεται τὸ εἶδος ἀχρόνως τῷ ἀλλοιουμένῳ. ἀλλ' εἴπερ ἄρα ἔμελλε γίνεσθαι ἐν τῇ ὕλῃ, κατὰ σύνθεσιν ἂν τοῦτο ἐγένετο· ὡς γὰρ οἱ λίθοι αὐτοὶ καθ' αὑτοὺς ὄντες συνθέσει ἀλλ' οὐ διὰ γενέσεως καὶ ὅλως συναλλοιώσεως τῆς οἰκίας μέρη γίνονται καὶ ταύτην ἀπεργάζονται, οὕτως εἴπερ ἦσαν καὶ τὰ εἴδη καθ' αὑτά, συντιθέμενα μετὰ τῆς ὕλης τὰ ἄτομα ἂν ἐποίει, ἀλλ' οὐ διὰ γενέσεως καὶ ἀλλοιώσεως. καὶ ἄλλως, ὥσπερ δοὶ ὁ οἶνος καὶ τοδὶ τὸ μέλι καθ' αὑτὰ ὄντα τὸ οἰνόμελι πεποιηκότα οὐ δύναται καὶ ἐν ἄλλοις εὑρίσκεσθαι, οὕτως εἴπερ καὶ ὁ ἄνθρωπος καθ' αὑτὸν ἦν συντεθεὶς τηδὶ τῇ ὕλῃ καὶ ποιήσας τὸν Σωκράτην, ἐν ἑτέρᾳ ὕλῃ οὐκ ἂν ἠδυνήθη γενέσθαι, ὥστε καὶ ἕτερον ἄνθρωπον ποιῆσαι, μέχρις οὗ ἐχωρίσθη τῆς ὕλης μεθ' ἧς τὸν Σωκράτην ἐποίησεν. ὃ οὐ συμβαίνει τοῖς μὴ χωριστὰ τὰ εἴδη λέγουσιν· οὐ γὰρ καθ' αὑτόν φασιν εἶναι τὸν ἄνθρωπον καὶ τὸ εἶδος τοῦ ἀνθρώπου, ἀλλὰ τῇ ἐπινοίᾳ τοῦ χωρίζουσιν ἐκ τῶν πολλῶν, ἐν τοῖς μερικοῖς δὲ τὴν τοιάνδε φύσιν διδόασιν. εἰ μὲν οὖν, φησί, τὰ εἴδη καθ' αὑτὰ οὐκ ἂν ἐγίνετο τόδε τι, ἀλλὰ τὸ μὲν εἶδος τοιόνδε τι σημαίνει, τουτέστι ποιόν τι σημαίνει, οὐχ ἁπλῶς δὲ ποιόν, ἀλλὰ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει

τῆς στερήσεως. διό φησιν, ὥστε ἐκεῖ ἐκ κάμνοντος. ἀμέλει τοι ὡς ἐπὶ τῶν ἐχόντων ὡρισμένην τὴν στέρησιν οὐ λέγομεν τὴν ὀνομασίαν τῆς ὕλης (οὐ γὰρ λέγεται ὁ ὑγιὴς ἄνθρωπος νόσος), οὕτως καὶ ἐπὶ τῶν ἐξ ὕλης λεγομένων γίνεσθαι οὐ καλοῦνται μετὰ τὴν γένεσιν τῷ τῆς ὕλης ὀνόματι· οὐ γὰρ λέγεται ὁ ἀνδριὰς ξύλον, ἀλλ' εἰ ἄρα, ξύλινος καὶ χαλκοῦς, ἀλλ' οὐ χαλκός. ὁμοίως καὶ λίθινος ἀλλ' οὐ λίθος· τῷ γὰρ ὄντι, φησίν, οὐδὲ ὡς ἐκ ξύλου γίνεται ἀνδριὰς ἢ ἐκ πλίνθων οἰκία, ἐάν τις ἀκριβῶς σκοπῇ, οὐκ ἂν εἴποι· τὸ γὰρ γινόμενον ἐν μεταβολῇ θεωρεῖται, ὥστε οὐχ ὑπομένει τὸ αὐτὸ ὑπάρχον καὶ πρὸ τῆς γενέσεως καὶ μετὰ τὴν γένεσιν. ὥστε οὐ δεῖ λέγειν ὅτι ὁ χαλκὸς γέγονεν ἀνδριάς· οὐδὲν γὰρ ἧττον καὶ μετὰ τὴν γένεσιν ἔμεινε χαλκός· οὐ μέντοι γε οὐκ ἀνδριάς. id.

1033 a 7. καὶ τότε δεῖ προσθεῖναι ὅτι καὶ πάλιν τινὰ μὲν τῶν ὄντων λέγεται ἐκ τῆς στερήσεως, τινὰ δὲ οὐ λέγεται ἐξ ἐκείνης γίνεσθαι ἀλλ' ἐκ τῆς ὕλης. καὶ εἰ τοῦτο προστεθείη, ἔσται τὸ ἐπαγόμενον σαφές, τὸ "αἴτιον δὲ ὅτι γίνεται ἐκ τῆς στερήσεως καὶ τοῦ ὑποκειμένου." καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· αἴτιον δὲ τοῦ τινὰ μὲν λέγεσθαι ἐξ οὗ γίνεται τινὰ δὲ μή, ὅτι γίνονται ἐκ τῆς στερήσεως, ἥτις συνείληπται τῇ ὕλῃ. καὶ ὅταν μὲν ὠνομασμένη ᾖ ἡ στέρησις, τότε λέγομεν ὅτι γέγονεν ἐκ τοῦδε... ἐπ' ἐνίων δέ, οἷον ἐπὶ τοῦ ἀνδριάντος καὶ τῆς οἰκίας, διὰ τὸ μὴ κεῖσθαι ὄνομα τῇ στερήσει, ὥσπερ ἐνταῦθα ὁ ὑγιὴς ἐκ κάμνοντος λέγεται γενέσθαι, οὕτως καὶ ὁ ἀνδριὰς καὶ ἡ οἰκία ἐκ τῆς τοῦ ἀνδριάντος καὶ τῆς οἰκίας στερήσεως γίνονται, ἀλλὰ διὰ τὸ μὴ κεῖσθαι ὄνομα ταῖς στερήσεσι δοκεῖ ὅτι ὥσπερ ὁ ὑγιὴς ἐκ κάμνοντος γίνεται, οὕτως καὶ ὁ ἀνδριὰς ἐκ χαλκοῦ ἢ λίθου. οὐ λέγεται δὲ ὁ ὑγιὴς ἐκεῖνο ἐξ οὗ γέγονεν, οἷον οὐ λέγεται ὁ ὑγιὴς νοσῶν· οὕτω καὶ ὁ ἀνδριὰς οὐ λέγεται χαλκὸς ἢ λίθος, ἀλλὰ λίθινος ἢ χαλκοῦς. ὅτι δὲ ἀνώνυμος ἡ ἐν τῷ χαλκῷ στέρησις, φανερόν... ἀλλὰ τὰ μὲν λεγόμενα, οἶμαι, τοιαῦτα. ἐν δὲ τῇ λέξει τῇ "ὧν δ. ἡ σ. ἄδ. κ. ἀν. ο. ἐν χ. σχήματος ὁποιουοῦν" τοιοῦτόν ἐστιν· ὧν δ' ἡ στέρησις ἄδηλος καὶ ἀνώνυμος, ἐπὶ τούτων οὐ δοκεῖ ἐκ τῆς στερήσεως γίνεσθαι, ὥσπερ ἐκ κάμνοντος· ἐν γὰρ τῷ χαλκῷ οὐκ ἔστι δῆλον ποίου σχήματος στέρησιν ἔχει. ἡ μὲν δὴ τῶν λεγομένων ἔννοια τοιαύτη τις ἂν εἴη καὶ οὕτω δὴ κατ' ἐμὴν δύναμιν σεσαφήνισται· ἐπιζητήσειε δ' ἄν τις ποίαν τινὰ χρείαν τοῖς προσεχῶς δειχθεῖσι παρέχεται... ἀλλ' ἐπειδὴ ἔδειξεν ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται, διαρθρῶσαι ἠθέλησε καὶ τὸ πῶς λέγονται τὰ γινόμενα· προθέμενος δὲ δεῖξαι ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι οὐ γίνεται, καὶ συνιδὼν ὅτι οὐδὲν αὐτῷ πρᾶγμα οὐδὲ δυσχερὲς εἰς τὸ τοῦτο δεῖξαι γενήσεται, εἰ πρότερον δείξει ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται, καὶ τοῦτο δείξας νῦν τρέπεται εἰς τὴν δεῖξιν τοῦ ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι οὐ γίνεται. Alex.

1033 a 13. ὅτι δὲ ἀνώνυμος ἡ ἐν τῷ χαλκῷ στέρησις, φανερόν· εἰ γὰρ δυνατὸν ὁρίσασθαι καὶ εἰπεῖν ὅτι τοῦδε τοῦ σχήματος ἔχει στέρησιν, οἷον φέρε τοῦ ἀνδριάντος, ἵνα λέγωμεν ὅτι ὁ χαλκὸς στέρησιν ἔχων ἀνδριάντος γέγονεν ἐκ τῆς τοιαύτης στερήσεως, λέγω δὴ ἐκ μὴ ἀνδριάντος. εἰ γὰρ τοῦτο λέγοι τις ὅτι χαλκὸς στέρησιν ἔχει τοῦ σχήματος τοῦ ἀνδριάντος, πρόχειρον ἐμοὶ λέγειν ὅτι οὐ τοῦ ἀνδριάντος ἀλλὰ λέβητος ἢ τρίποδος ἢ κιβωτίου ἢ ἵππου ἢ ἄλλου τινός, ὥστε διὰ τὴν ἀοριστίαν τοῦ ποιοῦ σχήματος ἔχει στέρησιν ὁ χαλκός, καὶ διὰ τοῦτο καὶ ἀνωνυμίαν· τὰ γὰρ ἀόριστα ἀνώνυμα. οὐ φαμεν τὴν στέρησιν, ἀλλὰ τὴν ὕλην· ὁμοίως καὶ ἐπὶ τῶν λίθων. οὐδὲ τοῦτο γὰρ ἡ στέρησις ὠνομασμένη τυγχάνει, ἵνα λέγωμεν ὅτι ἐκ μὴ οἰκίας γέγονεν οἰκία. καὶ οὐ τοῦτό φαμεν ὅτι ἡ οἰκία ἐξ οὐκ οἰκίας οὐ γίνεται (μαχόμενα γὰρ ἂν λέγοιμεν τοῖς ἐν τοῖς περὶ Φύσεως διορισθεῖσι· φανερὸν γὰρ ὅτι ἐκ μὴ οἰκίας γέγονεν) ἀλλ' ὅτι οὐ δυνατὸν λέγειν ὡς ἐκ τῆς ἐνούσης ἐν τῷ λίθῳ στερήσεως τῆς οἰκίας· οὐ μόνον γὰρ ἐν τῷ λίθῳ στέρησις οἰκίας ἐστίν, ἀλλὰ καὶ ἀνδριάντος καὶ ἄλλων μορίων. εἰπὼν δὲ ὅτι διὰ τὸ μὴ κεῖσθαι ὄνομα τῇ στερήσει ἐκεῖνο μὲν ὅλως ἐξ οὗ γέγονεν οὐ λέγεται, οἷον οὐ λέγεται λίθος ὁ ἀνδριάς, ἐξ ἐκείνου δὲ κατὰ τοῦτο διὰ τὸ μὴ κεῖσθαι ὄνομα τῇ στερήσει. εἰ γὰρ ἔκειτο, οὐκ ἂν τοῦτο ἐλέγομεν, ὥσπερ οὐδὲ ἐπὶ τοῦ ἀνθρώπου· οὐ γὰρ λέγομεν ὅτι ἐξ ἀνθρώπου γέγονεν ὁ ὑγιής. καὶ ἄλλην αἰτίαν τίθησι τοῦ διὰ τί οὐ λέγεται ἐκ λίθου γίνεσθαι τὸν ἀνδριάντα λέγων "ἐπεὶ οὐδ' ὡς ἐκ ξύλου γίνεται ὁ ἀνδριάς" καὶ τὰ ἑξῆς. τὸ δὲ λεγόμενον τοῦτό ἐστιν· ἐάν τις σφόδρα καὶ ἀκριβῶς ἐπιβλέψῃ καὶ ἐπιστήσῃ τῇ τῶν πραγμάτων φύσει, οὐκ ἂν εἴποι ὅτι ἐκ ξύλου γίνεται ὁ ἀνδριὰς ἢ ἐκ χαλκοῦ, ὅτι τὸ μὲν ἔκ τινος γινόμενον ἐκεῖθεν ἐξ οὗ γίνεται μεταβάλλει καὶ ἐξίσταται τῆς ἐν ᾗ ἦν φύσεως καὶ γέγονεν ἄλλο τι, ὁ δὲ χαλκὸς ἀνδριὰς γεγονὼς πάλιν μένει χαλκός, ὃ οὐκ ἂν εἴποις γεγονός τι. οὐκ ἄρα γίνεται ἐκ χαλκοῦ ἀνδριάς, οὔτε λεχθήσεται τοῦτο ἐπὶ τοῦ ἀνδριάντος, λέγω δὴ ὅτι ἐκ χαλκοῦ γέγονεν. id.

ἐπειδὴ οὖν τὸ γινόμενον ὑπό τε ποιητικοῦ γίνεται καὶ ἐκ τῆς στερή- 1033 a 23.
σεως ἢ καὶ ἐκ τῆς ὕλης, καί τι γίνεται, οἷον ἄνθρωπος ἢ ἵππος ἢ σφαῖρα ἢ κύκλος ἢ ἄλλο τι, ὥσπερ οὐδὲ τὸν χαλκὸν (λεγέσθω γὰρ ἐπὶ τούτου) ποιεῖ, οὕτως οὐδὲ τὴν σφαῖραν. id.

οἷον ὁ χαλκεὺς οὐ ποιεῖ τὸν χαλκὸν οὕτως οὐδὲ τὴν σφαῖραν, 1033 a 29.
τουτέστι τὸ εἶδος αὐτὸ καθ' αὑτό, εἰ μὴ κατὰ συμβεβηκός, ἐπειδὴ συνέβη τὴν σφαῖραν χαλκῆν εἶναι, ἐκείνην δὲ ποιεῖ, τουτέστι τὸ σύνθετον... οὐδὲ δέ, φησί, γίνονται τὰ εἴδη αὐτὰ καθ' αὑτά, ὥσπερ οὔτε ἡ ὕλη γίνεται. ἵνα δὲ τοῦτο δείξῃ, λαμβάνει τρία ἀξιώματα, ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, καὶ ὅτι πᾶν τὸ γινόμενον ἔχει καὶ ποιητικὸν αἴτιον καὶ ὑλικὸν καὶ σύνθετόν ἐστιν· οὔτε γὰρ ἡ φύσις οὔτε ἡ τέχνη ποιεῖ τὴν ὕλην, ἐπεί, φησί, δεηθήσεται ἑτέρας ὕλης καὶ τοῦτο ἐπ' ἄπειρον. εἰ οὖν αὐτὸ καθ' αὑτό, ἐπειδὴ πᾶν τὸ γινόμενον ἐξ ὕλης γίνεται (τοῦτο γὰρ ἐν τοῖς ἀξιώμασι λαμβάνει), εἰ γίνεται τὸ εἶδος, δῆλον ὅτι ἐξ ὑποκειμένου τινὸς γίνεται. τοῦτο δὲ τὸ ὑποκείμενον ἢ ἀνείδεόν ἐστιν ἢ εἰδοπεποιημένον. ἀλλ' εἰ μὲν ὑποθώμεθα αὐτὸ ἀνείδεον εἶναι, ἔσται τὸ εἶδος σύνθετον καὶ οὐχ ἁπλοῦν, καὶ τὸ μέν τι αὐτοῦ ὕλη τὸ δὲ εἶδος, ὅπερ ἄτοπον· τὰ γὰρ εἴδη αὐτὰ καθ' αὑτὰ ὑπάρχουσιν. εἰ δὲ ὑποθώμεθα ἐκεῖνο τὸ ὑποκείμενον εἰδοπεποιημένον εἶναι, ἐρωτῶ περὶ αὐτοῦ, ἆρα ἀεὶ ὑπάρχει εἰδοπεποιημένον ἢ οὔ; εἰ μὲν ἀεί, ἔχω τὸ ζητούμενον ὅτι οὐ γίνεται τὸ εἶδος· εἰ δὲ μὴ ἀεὶ ἀλλὰ γέγονε, δῆλον ὅτι ἔκ τινος ὑποκειμένου γέγονε, καὶ πάλιν περὶ τούτου ἐρωτῶ, εἰδοπεποιημένον ἐστὶν ἢ ἀνείδεον; καὶ οὕτως εἰς ἄπειρον ὁ λόγος προελεύσεται, ὥστε οὐ γίνεται τὸ εἶδος αὐτὸ καθ' αὑτό, ἀλλὰ τὸ σύνθετόν ἐστι τὸ γινόμενον τῆς

τὸ δὲ "τρόπον τινά" πρόσκειται, ὅτι οὐ καθ' αὑτό ἐστιν αἴτιον τὸ εἶδος τῆς στερήσεως, ἀλλὰ κατὰ συμβεβηκός· συμβαίνει γὰρ ὑποχωροῦντος τοῦ εἴδους γίνεσθαι αὐτήν· ἔστιν οὖν ἡ ὑγίεια, εἴπερ ἀναλογεῖ εἴδει, αἰτία καὶ εἶδος τῆς νόσου, ἥπερ ἐστὶ στέρησις. id.

1032 b 7. ἔπεται αὐτῇ τι τοιοῦτον, ὃ ἐστι μέρος τῆς ὑγείας· καὶ μέρος ἐστὶ τῆς ὑγείας θερμότης αὐτὸ τὸ διαπεφοιτηκὸς διὰ τοῦ βάθους ἐκμοχλεῦον ἄνευ τινὸς μηχανῆς τὰ νοσοποιὰ αἴτια, λέγει δὲ τὸ ἔκφυτον θερμόν. ἢ ἔσεσθαι αὐτῇ τι τοιοῦτον, ὃ μέρος ἐστὶ τῆς ὑγείας, τῇ θερμότητι ἢ τῇ τέχνῃ, οἷον οἷς χρῶνται ἰατροὶ ἀλείμμασιν, οἷον μαρκιάτῳ ἤ τινι ἄλλῳ τοιούτῳ. λοιπὸν συνεπιλαμβάνεται καὶ τὸ φυσικὸν θερμόν, καὶ οὕτω κολάζεται τὸ ἄτακτον ἢ διὰ πλειόνων γινόμενον τοῦτο, οἷον τῆς τέχνης τῆς χρωμένης ἀλείμμασι καὶ ἑτέροις βοηθήμασι διὰ τὴν κακοήθειαν τοῦ νοσήματος, καὶ λοιπὸν τῆς φύσεως συνεπιλαμβανομένης γίνεται βοήθεια. τοῦτο δέ, φησίν, ἐστὶν ἔσχατον τὸ ποιοῦν, ὅπερ ἐστὶ μέρος τῆς ὑγείας, καὶ τῆς οἰκίας λίθοι. ὥστε ἀδύνατόν τι γενέσθαι, εἰ μὴ προϋπάρχει τι ἕτερον, οἷον οἰκίαν εἰ μή εἰσι λίθοι, καὶ ἐπὶ τῆς ὑγείας· ὡς γάρ φασιν οἱ φυσικοί, οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς· δεῖ γὰρ προϋπάρχειν τὴν ὕλην ἐπὶ τῶν γινομένων. εἶτα λοιπὸν ζητεῖ ὅτι ὥσπερ ἡ ὕλη μέρος γίνεται τοῦ συνθέτου, ἆρά γε οὕτως καὶ τὸ εἶδος; καὶ αὐτὸς μὲν οὕτως ἐάσας τὴν ἀπορίαν ἀπαλλάττεται. Asclep.

1032 b 8. ἀλλ' εἰ δεῖ θερμότητα γενέσθαι, δεῖ τρίψεως· ἄρχεται οὖν ἀπὸ τῆς τρίψεως, ἣν καὶ δύναται ποιῆσαι, ἥτις τρῖψις ἔσχατόν ἐστι καὶ τῆς ὑγιείας καὶ τῆς ὁμοιότητος καὶ τῆς θερμότητος. Alex.

1032 b 17. τὸ δὲ "ὁμοίως καὶ τῶν ἄλλ. τ. μ. ἔχ. γ." οἶμαι τῷ "ὥστε σ. τρ. τ. — ἔχ. ὕλην" συντάττεσθαι· καὶ εἴη ἂν λέγων ὅτι ὥσπερ ὑγίεια ἐξ ὑγιείας γίνεται, οὕτω καὶ ἡ ὁμαλότης ἐκ τῆς ὁμαλότητος τῆς ἐν τῇ ψυχῇ τοῦ ἰατροῦ οὔσης καὶ ἡ θερμότης ἐκ τῆς θερμότητος. ὑπάρχει οὖν, ὥσπερ εἴρηται, ἡ τρῖψις δυνάμει. ἢ οὐ τοῦτο λέγει ὅτι ὑπάρχει ἡ τρῖψις δυνάμει τῷ ἰατρῷ, ἀλλ' ὅτι ἡ τρῖψις δυνάμει ὑγίειά ἐστιν. εἰ γὰρ ἡ τρῖψις ἀρχὴ τῆς ὑγιείας ἐστὶ καὶ πρῶτον αἴτιον, δῆλον ὅτι ἡ τρῖψις δυνάμει ἐστὶν ὑγίεια. καὶ οἶμαι ὅτι τὸ "ὑπάρχει δὲ τοδὶ δυνάμει" περὶ τρίψεως εἴρηται, ὅτι ἡ τρῖψις δυνάμει ἐστὶν ὑγίεια. τὸ δὲ "τοῦτο δὲ ἤδη ἐπ' αὐτῷ" περὶ τοῦ ἰατροῦ εἴρηται, τουτέστιν ἡ τρῖψις δὲ ἐπὶ τῷ ἰατρῷ ἐστὶ καὶ δύναται αὐτὴν ποιῆσαι. id.

1032 b 20. "ὑπάρχει δὲ τῳδὶ δυνάμει," τουτέστι τῷ φαρμάκῳ ὑπάρχει δυνάμει ἡ θερμότης· ἐρχόμενον γὰρ θερμαίνει· τοῦτ' οὖν ἐπ' αὐτῷ ἐστὶ τῷ βοηθήματι. Asclep.

1032 b 23. ἐὰν δὲ ἀπὸ ταὐτομάτου, φησί, γένηται ἡ ὑγίεια, ἀπὸ τούτου γενήσεται ἤτοι ἀπὸ τῆς τρίψεως, ὅπερ ἐγένετο τοῦ ποιεῖν ἀρχὴ τῷ ποιοῦντι ἀπὸ τέχνης. Alex.

ἐὰν δὲ ἀπὸ ταὐτομάτου γένηται ἡ ὑγίεια, ἀπὸ τοῦ λόγου γίνεται, ἀφ' οὗ καὶ ὁ τεχνίτης ἄρχεται ποιεῖν, τουτέστιν ἀπὸ θερμότητος. Asclep.

1032 b 26. ἤτοι ἀπὸ τῆς τρίψεως. ὅπερ οὖν τοῦ ποιεῖν τῷ ἀπὸ τέχνης ποιοῦντι τὴν ὑγίειαν ἀρχὴ γέγονεν αὐτῷ καὶ αἴτιον τοῦ τὴν ὑγείαν ποιῆσαι, αὕτη γενήσεται καὶ ἐκ ταὐτομάτου· τὴν γὰρ θερμότητα τὴν ἐν τῷ σώματι ποιήσει ἡ τρῖψις. Alex.

αὕτη δὲ ἡ ἐν τῷ σώματι ὑπὸ τῆς τρίψεως γεγονυῖα θερμότης ἢ μέρος ἐστὶ τῆς γεγονυίας ὑγιείας, ἢ εἰ μή ἐστιν ἡ θερμότης μέρος τῆς ὑγιείας, ἀλλ' οὖν ἕπεται αὐτῇ τοιοῦτόν τι οἷον ἡ ὁμαλότης, ἥτις μέρος ἐστὶ τῆς ὑγιείας. αὐτὸ δὲ τὸ ἑπόμενον τῇ θερμότητι καὶ μέρος ὂν τῆς ὑγιείας ἢ εὐθὺς ἕπεται αὐτῇ, ἢ εἰ μὴ εὐθὺς ἀλλ' οὖν διὰ πλειόνων. τὸ δὲ "τοῦτο δ' ἔσχατον τὸ ποιοῦν" τοιοῦτον ἂν εἴη, ὅτι ἡ τρῖψις ἡ ποιοῦσα τὸ μέρος τῆς ὑγιείας ἐσχάτη ἐστὶ καὶ τῆς θερμότητος καὶ τῆς ὁμαλότητος καὶ τῶν λοιπῶν· καὶ ὥσπερ ἡ θερμότης ἢ τὸ ἑπόμενον αὐτῇ (τοῦτο γὰρ δεῖ προσυπακούειν) μέρος ἐστὶ τῆς ὑγιείας, οὕτω καὶ οἱ λίθοι τῆς οἰκίας καὶ ὁ χαλκὸς τοῦ ἀνδριάντος. ὥστε φανερόν ἐστιν ἐκ τῶν εἰρημένων ὅτι οὐδὲν γίνεται μὴ προϋπάρχοντός τινος, ἀλλὰ πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται. καὶ ὅτι μὲν οὖν μέρος τι ἀναλογοῦν ὕλῃ ἐξ ἀνάγκης ὑπάρξει τοῖς γινομένοις, φανερόν, ὅτι δὲ καὶ τῶν τοῦ ὁρισμοῦ μερῶν τι λόγον ὕλης ἐπέχει, οὐκ ἀφανές· τὰ γὰρ γένη ὕλῃ ἀναλογεῖ, καὶ τοῦτο δῆλον ἐκ τοῦ τὸν χαλκοῦν κύκλον δύο λέγεσθαι ἔχειν ὕλας, τόν τε χαλκὸν καὶ τὸ σχῆμα, τὸν μὲν χαλκὸν ὡς τοῦ συναμφοτέρου, τὸ δὲ σχῆμα ὡς τοῦ εἴδους. ἔχει δὴ ὁ χαλκοῦς κύκλος οὐ μόνον κατὰ τὸ συναμφότερον τὴν ὕλην, ἀλλὰ καὶ ἐν τῷ λόγῳ. id.

τοῦτο δέ, φησίν, ἐστὶν ἔσχατον τὸ ποιοῦν, ὅπερ ἐστὶ μέρος τῆς ὑγιείας, καὶ τῆς οἰκίας λίθοι. ὥστε ἀδύνατον κτλ. Asclep. 1032 b 28.

φησὶν ὅτι πᾶσα ἀνάγκη μέρος τι ἐξ ἀνάγκης ὑπάρχειν ἐν τῷ ἑπομένῳ ὡς μέρος αὐτοῦ λαμβανόμενον· ἡ γὰρ ὕλη μέρος ἐστίν· ἐνυπάρχει γὰρ αὐτῇ κατὰ φύσιν προσδέξασθαι τὸ εἶδος. ἆρα οὖν, φησί, καὶ τὸ εἶδος γίνεται· τὰ γὰρ σύνθετα καὶ τὴν ὕλην προαπορεῖ, καὶ κατὰ τὸ εἶδος, οἷον, ὥς φησιν αὐτός, τοὺς χαλκοῦς κύκλους λέγομεν καὶ τὴν ὕλην, ὅτι χαλκός ἐστι τοιόνδε ἔχων σχῆμα· καὶ τοῦτό ἐστι τὸ γένος τοῦ χαλκοῦ κύκλου, εἰς ὃ πρῶτον τίθεται, τουτέστι τὸ εἶδος τοῦ σχήματος τοῦ κύκλου εἶδος αὐτοῦ ἐστίν· ὁ δὲ χαλκοῦς κύκλος ἔχει ἐν τῷ ὁρισμῷ καὶ τὴν ὕλην, καθάπερ εἰρήκαμεν. id. 1032 b 31.

οὐ λέγονται ἐκεῖνο ἀλλ' ἐξ ἐκείνου, τουτέστι παρωνύμως. ὁ γὰρ ἀνδριὰς ἡνίκα γένηται ἐκ λίθου λίθινος λέγεται· πρὸ γὰρ τῆς γενέσεως λίθος ὑπῆρχε. πῶς οὖν δύναται καὶ προσλαβὼν ἕτερον σχῆμα ὁμοίως λέγεσθαι, ὥστε ἀνείδεος πρὸ τοῦ σχήματος ὑπῆρχεν; ὁ μέντοι γε ἄνθρωπος ὑγιαίνων οὐ λέγεται ἐκεῖνος ἐξ οὗ γέγονε παρωνύμως, οἷον κάμνων, ἀλλὰ κεκμηκώς· αἴτιον δὲ ὅτι τὰ γινόμενα πάντα γίνεται ἐκ τῆς οἰκείας στερήσεως καὶ ἐξ ὑποκειμένου, καθάπερ ἐν τῇ θεωρίᾳ ἔσται καὶ ὁ ἄνθρωπος καὶ ὁ κάμνων. μᾶλλον δὲ λέγεται ἐκ κάμνοντος ὑγιὴς γενέσθαι ἤπερ ἐξ ἀνθρώπου, διὸ ὑγιὴς κάμνων οὐ λέγεται· μετέβαλεν γὰρ κατ' ἐκεῖνο· ἄνθρωπος δὲ λέγεται καὶ ἄνθρωπος ὑγιής. ὧν δέ ἐστιν ἡ στέρησις ἄδηλος καὶ ἀνώνυμος (ἐπὶ γὰρ τῆς ὑγείας ἔχει ὄνομα τὴν νόσον, ἐπὶ δὲ τοῦ ἀνδριάντος οὐκ ἔχεις ὡρισμένον ὄνομα, ὥσπερ ἐν χαλκῷ σχῆμα ὁποιονοῦν· ἄδηλον γὰρ ὁ οὐκ ἀνδριὰς τί ἐστι, πότερον τρίγωνον ἢ σφαῖρα ἤ τι ἄλλο τοιοῦτον. ὁμοίως καὶ ἡνίκα φαμὲν ὅτι ἐξ οὐκ οἰκίας γέγονεν οἰκία· ἄδηλον γὰρ ἡ στέρησις πότερον πλίνθοι ἢ ξύλα ἤ τι τοιοῦτον ἄλλο) ἐπὶ γοῦν τῶν ἀδήλων τὴν στέρησιν ἐξ ὕλης δοκοῦσι γίνεσθαι τὰ γινόμενα, ὥσπερ ἐπὶ τῶν ἐχόντων ὡρισμένην τὴν στέρησιν ἐξ αὐτῆς 1033 a 6.

ἀνάγκη προϋπάρχειν ἐνεργείᾳ, ἀλλὰ μόνον δυνάμει ἐστὶ καὶ ποσὸν καὶ ποιόν. id.

1032a 16. ἀλλὰ πῶς ἐν τῇ Φυσικῇ δείξας ὅτι γενέσεως γένεσις οὐκ ἔστιν οὐδὲ μεταβολὴ μεταβολῆς, νῦν φησὶν ὅτι γενέσεις εἰσὶ φυσικαί, ὧν γενέσεων ἡ γένεσις ἐκ φύσεώς ἐστιν; ὥστε τοῦτο δοκεῖ λέγειν ὅτι τῶν γενέσεων εἰσὶ γενέσεις. ἢ τὸ "ὧν γένεσις" οὐ πρὸς τὰς γενέσεις, οἶμαι, ἀπέδωκεν ἀλλὰ πρὸς τὰ τέλη αὐτῶν, οἷον τὰ φυτὰ καὶ τὰ ζῷα καὶ τὰ τοιαῦτα· καὶ εἰ τοῦτό ἐστιν, εἴη ἂν λέγων ὅτι αὗται αἱ φυσικαὶ γενέσεις εἰσὶ τῶν φυτῶν καὶ τῶν ζῴων, ὧν καὶ φυτῶν καὶ ζῴων ἡ γένεσις οὐκ ἀπὸ τέχνης ἐστὶν ἀλλ' ἀπὸ φύσεως. ἢ τὸ "ὧν ἡ γένεσις ἐκ φύσεώς ἐστι" τοῦτ' ἂν εἴη ὅτι ὧν γενέσεων ἡ ὕπαρξις καὶ τὸ εἶναι αὐτοῖς οὐκ ἀπὸ τέχνης ἢ ἀπὸ ταὐτομάτου ἐστὶν ἀλλ' ἐκ φύσεως· ἡ συγκαταβληθεῖσα γὰρ τῷ πράγματι δύναμίς τε καὶ φύσις ἐστὶν αἰτία τῶν γενέσεων ποιητική. καὶ αἱ μὲν φυσικαὶ γενέσεις αὗται, ἐξ οὗ γίνεται τὸ διὰ γενέσεως γινόμενον, ἐστὶν ἡ ὕλη, ὑφ' οὗ δέ, οἷον τοῦ ποιητικοῦ τῶν φύσει τι ὄντων, οἷον ἄνθρωπος ἵππος· ἐπειδὴ γὰρ τὸ σπέρμα ἐκ τούτων, οὗτοί εἰσι ποιητικὰ αἴτια. τὸ δὲ "τῶν φύσει τι ὄντων" πρόσκειται, ἐπεὶ ἐν τῇ Φυσικῇ ἔλεγεν ὅτι φύσις μέν ἐστι τὸ εἶδος· φύσις δὲ καὶ ἡ ὕλη, τὸ δ' ἐκ τούτων συγκείμενον οὐ φύσις ἀλλὰ φύσει, ὥστε τὸ τὸν ἄνθρωπον γεννῶν οὐ φύσις ἀλλὰ τῶν φύσει τι ὄντων. καὶ ἔστιν ἡ μὲν ὕλη, ἐξ οὗ γίνεται τὸ γινόμενον, ὑφ' οὗ δὲ τῶν φύσει τι ὄντων· ἃ δὴ καὶ μάλιστα, λέγω δὴ τὰ ἐξ ὕλης καὶ εἴδους, ὡς καὶ ἐν ταῖς Κατηγορίαις καὶ ἐν τῇ Φυσικῇ καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ, μάλιστα οὐσίας εἶναι λέγομεν, εἶπεν. εἰπὼν δὲ ὅτι πάντα τὰ ἀπὸ φύσεως καὶ τὰ ἀπὸ τέχνης γινόμενα ὕλην ἔχει, τοῦ τοῦτο οὕτως ἔχειν τὴν αἰτίαν συντόμως ἐπήγαγεν εἰπὼν "δύναται γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ἕκαστον αὐτῶν," τουτέστιν ἐπειδὴ ἕκαστον καὶ τῶν ἀπὸ φύσεως καὶ τῶν ἀπὸ τέχνης δύναται εἶναι καὶ μὴ εἶναι, δῆλον ὡς ἀπὸ τῆς ὕλης τοῦτο ἔχει· αὕτη γάρ ἐστιν ἡ τρεπτικὴ καὶ ἀλλοιωτική, ἣ ποτὲ μὲν τοῦτο τὸ εἶδος δέχεται ποτὲ δὲ ἄλλο, διὰ τὸ μὴ τὸ αὐτὸ καὶ ἓν ἀεὶ δύνασθαι στέγειν καὶ διὰ τὸ εὐφυῶς ἔχειν πρὸς τὸ τὰ εἴδη δέχεσθαι. ἔστιν οὖν ἑκάστῳ τῶν φύσει καὶ ἀπὸ τέχνης τοῦ εἶναι καὶ μὴ εἶναι ἡ ὕλη αἰτία. ταῦτα εἰπὼν ἐπήγαγεν "καθόλου δὲ καὶ ἐξ οὗ φύσις καὶ καθὸ φύσις·" ὡς πολλάκις γὰρ εἴπομεν ὅτι καὶ τὴν ὕλην ἣ γίνεται τὸ εἶδος ἢ καθὸ εἶδος, αὕτη λέγεται φύσει. "τόδε γὰρ γίγν. ἔχει φύσιν" οἶμαι ὡς αἴτιον ἐπῆκται τοῦ τὸ εἶδος φύσιν εἶναι, τουτέστι τὸ γινόμενον διὰ φύσεως γίνεται, φύσιν λέγων τὴν ἀπὸ τῆς ὕλης εἰς τὸ εἶδος ὁδόν — κατὰ γὰρ τὸ ἐν αὐτῷ ὂν εἶδος γίνεται, ὃ γεννᾷ· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "καὶ ὑφ' οὗ — ὁμοειδής." Alex.

1032a 23. ἡ δὲ ὁδὸς αὕτη, ὡς ἂν ἐπεκτείνας λέγοι τις τὸ υ', ὡς αὐτὸς εἴρηκε, φύσις λέγεται.. φανερὸν ὡς καὶ τὸ εἶδος, πρὸς ὃ αὕτη ἡ ὁδός ἐστι, φύσις ἐστιν. ὅτι δὲ τὸ εἶδος φύσις λέγεται, δείκνυσι καὶ ἄλλως. λέγεται, φησί, τὸ σύνθετον φύσις, οἷον ὁ Σωφρονίσκος. καὶ δῆλον ὡς οὐ κατὰ τὸ συναμφότερον ὁ Σωφρονίσκος φύσις λέγεται (τοῦτο γὰρ φύσει λέγεται), ἀλλὰ κατὰ τὸ εἶδος, καθὸ καὶ γίνεται τὸ γινόμενον ὑπ' αὐτοῦ· κατὰ γὰρ τὸ ἐν αὐτῷ ὂν εἶδος γίνεται, ὃ γεννᾷ· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "καὶ ὑφ' οὗ, ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ὁμοειδής."

πῶς δὲ τὸ γινόμενον τῷ ὑφ' οὗ γίνεται ὁμοειδές ἐστιν, ἐπήγαγεν "ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ," πάντες δὲ οἱ ἄνθρωποι ὁμοειδεῖς εἰσίν. "αἱ δὲ ἄλλαι γενέσεις λέγονται ποιήσεις." εἰπὼν περὶ τῶν φυσικῶν γενέσεων, τίνων εἰσί, καὶ συμπεραινόμενος καὶ εἰπὼν ὅτι οὕτω μὲν γίνεται τὰ γινόμενα τὴν φύσιν, λέγει ὅτι "αἱ δὲ ἄλλαι γενέσεις" (ἄλλας λέγων τὰς ἀπὸ τέχνης) ἀπὸ δυνάμεως ἢ ἀπὸ διανοίας λέγονται ποιήσεις. id.

ἀπὸ τέχνης μὲν οὖν γίνεσθαι λέγει τὰ τεχνητὰ καὶ ὅλως ὅσα κατὰ 1032a 28.
τέχνην γίνεται, ἀπὸ διανοίας δὲ τὰς ἀρετάς· εἴδη γάρ τινα καὶ αἱ ἀρεταί· τελειοῦσι γὰρ τὴν ψυχήν. εἰ δὲ καὶ πολλὰ τῶν τεχνητῶν (γίνεται γὰρ τεχνητά τινα καὶ ἀπὸ ταὐτομάτου, ὡς ἐρεῖ) ἀπὸ διανοίας γίνεται, ἀλλ' οὖν ἡ τέχνη οὐ πάντως διάνοια. ἀπὸ δυνάμεως δέ εἰσιν ὁπότερ' ἔτυχεν, οἷον λούσασθαι καὶ μὴ λούσασθαι. id.

"τούτων — τύχης," ὥσπερ καὶ ἀπὸ φύσεως· γίνονται γὰρ καὶ ἐκεῖ, λέγω δὴ ἐν τοῖς ἀπὸ φύσεως γινομένοις, ἔνια ἐκ ταὐτομάτου· γίνονται γὰρ βοτάναι καὶ ἐκ σπέρματος καὶ ἄνευ σπέρματος· πολλαὶ γὰρ τῶν βοτανῶν ἄνευ σπέρματος φύονται ἐκ ταὐτομάτου. id.

καὶ ἐπὶ τῆς φύσεως οὖν γίνονται, φησίν, ἔνια καὶ ἐκ σπέρματος, 1032a 30.
ὥσπερ ἄνθρωποι καὶ ἵπποι, καὶ ἄνευ σπέρματος, ὥσπερ σκώληκες καὶ πάντα τὰ ὑπὸ σήψεως γινόμενα, καὶ πόαι ὑπὸ τῆς καθόλου φύσεως, ὥσπερ αἱ βοτάναι. Asclep.

εἰπὼν δὲ ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι πρώτη ἐστὶν οὐσία, τοῦ τὸ 1032b 2.
εἶδος πρώτην οὐσίαν εἶναι αἴτιον ἐπήγαγε τὸ "καὶ γὰρ ἐναντίων τρόπον τινὰ τὸ αὐτὸ εἶδος." ἐπεὶ γὰρ ἡ στέρησις τῇ ὕλῃ ὑπάρχει, τῇ δὲ στερήσει τὸ εἶδος τὸ εἶναι παρέχεται (τῇ γὰρ αὐτοῦ ἀπουσίᾳ ἡ στέρησίς ἐστιν), εἰ δὴ καὶ τῇ στερήσει τῇ ἐν τῇ ὕλῃ οὔσῃ τὸ εἶναι καὶ ὅλως τὴν ὕπαρξιν τὸ διδοῦν τὸ εἶδός ἐστιν, αὐτὸ δέ ἐστι καὶ τὸ τάττον καὶ ὁρίζον τὴν ὕλην καὶ κοσμοῦν, πρώτη καὶ κυρίως οὐσία τοῦτ' ἂν εἴη· τῶν γὰρ ἐναντίων, φησίν, ἤτοι τῶν στερήσεων τρόπον τινὰ τὸ αὐτὸ ἤτοι τὸ εἶδός ἐστι, τουτέστιν εἰδοποιὸν καὶ ὑπάρξεως χορηγόν· εἴδους οὖν καὶ ὑπάρξεως αἴτιον. καὶ ὅλως τούτων ὄντων εἶναι καὶ μετὰ τῶν ὄντων συγκαταριθμεῖσθαι τὰς στερήσεις τὸ εἶδος καὶ τὸ τί ἦν εἶναί ἐστιν· ἀπιόντος γὰρ τοῦ εἴδους εὐθὺς ἡ στέρησις τὸ εἶδος εἶναι ἔχει· ὥστε ποιητικὸν αἴτιον τῆς στερήσεως τὸ εἶδός ἐστιν. Alex.

"εἶδος δὲ λέγω τὸ τί ἦν εἶναι ἑκάστου," τουτέστιν αὐτὸ τὸ ἄϋλον εἶδος, ἐξ οὗ καὶ τὸ ἔνυλον χαρακτηρίζεται· καὶ οἱ ὁρισμοὶ γὰρ κατὰ εἴδη λαμβάνονται. εἶτα ἵνα μή τις εἴποι πρὸς αὐτὸν ὅτι τί οὖν καὶ τοῦ ἐναντίου οὐκ ἔστιν ἰατρός, οἷον τῆς νόσου, φησὶν ὅτι καὶ τῶν ἐναντίων τρόπον τινὰ τὸ αὐτό ἐστιν εἶδος· τῆς γὰρ στερήσεώς ἐστιν οὐσία ἡ ἀντικειμένη οὐσία, οἷον ὑγίεια νόσου. κατὰ γὰρ τὴν ἀπουσίαν τῆς ὑγείας δηλοῦται ἡ νόσος, ἡ δὲ ὑγεία ἐστὶν ὁ λόγος αὐτὸς ὁ ἐν τῇ ψυχῇ τοῦ ἰατροῦ. γίνεται δὲ ὑγεία ἐκ νόσου τοῦτον τὸν τρόπον. ἐπειδὴ τόδε ἐστὶν ἡ ὑγεία, ἡ ὁμαλότης τοῦ σώματος εἰ τύχοι, ἀνάγκη ἐστίν, εἰ μέλλει ὑγιάζεσθαι τὸ ζῷον, τοδὶ ὑπάρξαι. Asclep.

ὅτι δὲ τὸ αὐτὸ ἀντὶ τοῦ εἴδους ἔλαβε, τὸ δὲ εἶδος ἀντὶ τοῦ αἰτίου 1032b 3.
τῆς ὑπάρξεως τῆς στερήσεως, δῆλον ἐποίησεν εἰπὼν "τῆς γὰρ στερήσεως οὐσία ἡ οὐσία ἡ ἀντικ.", τουτέστιν ἡ κατὰ τὸ εἶδος οὐσία τῆς στερήσεώς ἐστιν οὐσία καὶ ὑπάρξεως, καὶ τὸ εἶναι αὐτῇ αὕτη χαρίζεται. Alex.

γάρ, ὥσπερ ὁ αὐτοΐππος καὶ τὸ τί ἦν εἶναι αὐτοῦ οὐκ ἔστι ταὐτά, ἀλλ' ἕτερα, εἴ τις καὶ τὸ τοῦ αὐτοΐππου τί ἦν εἶναι ὄνομα θεῖτο, ἔστω δὴ ἱμάτιον, ἐπειδὴ πᾶν ὄνομα δηλωτικόν ἐστί τινος τί ἦν εἶναι, καὶ τοῦ ἱματίου τὸ τί ἦν εἶναί ἐστιν ἕτερον αὐτοῦ. εἴ τις δὲ πάλιν τῷ τοῦ ἱματίου τί ἦν εἶναι ὄνομα θεῖτο, ἔστω δὴ φυτόν, ἔσται καὶ τὸ τί ἦν εἶναι τοῦ φυτοῦ ἕτερον τοῦ φυτοῦ. εἴ τις δὲ καὶ τοῦ φυτοῦ τί ἦν εἶναι θεῖτο ὄνομα, ἔσται καὶ ἐπὶ τούτου τὸ αὐτό· καὶ τοῦτο εἰς ἄπειρον. id.

1031 b 23. φησὶν ὅτι κἂν ὑποθώμεθα τοῦ τί ἦν εἶναι ὄνομα ἔχειν τι, οἷον λίθον ἤ τι ἄλλο τοιοῦτον, ἄτοπόν ἐστι τὸ χωρίζειν ἐπὶ τῶν ἁπλῶν οὐσιῶν τὸ τόδε εἶναι τοῦ τῷδε εἶναι· εἰ γὰρ κεχώρισται καὶ ἔστιν αὐτοῦ ἀλλότριον, ἐπειδὴ οὐσίας ἐστὶ δηλωτικόν, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν, ἔσται καὶ παρ' ἐκεῖνο ἄλλο τὸ τί ἦν ἵππῳ, τουτέστιν ἕτερος ὁρισμὸς τοῦ τί ἦν ἄλλο τί ἦν εἶναι, ἐπειδὴ οὐσίας ἐστὶ δηλωτικόν, τῶν δὲ οὐσιῶν ὑπάρχουσιν ὁρισμοί. διό φησι "τί ἦν εἶναι ἵππῳ ἕτερον," τουτέστι διάφορον παρὰ τὸ ἐξ ἀρχῆς τί ἦν εἶναι. καίτοι, φησί, τί κωλύει καὶ νῦν ἔνια εἶναι εὐθὺς τί ἦν εἶναι, τουτέστιν ἄνευ ὀνόματος (διὰ γὰρ τοῦ "εὐθύς" τὸ ἄνευ ὀνόματος ἐδήλωσε), τουτέστι τί κωλύει, κἂν μὴ ὑποθώμεθα ὠνομάσθαι τὸ τί ἦν εἶναι, ἀλλότριον δέ ἐστι τοῦτο τοῦ τόδε εἶναι καὶ ἔστιν οὐσίας δηλωτικόν, εἶναι καὶ αὐτοῦ ὁρισμόν; καὶ περὶ ἐκείνου ἐρωτήσομεν πάλιν τοῦ τί ἦν εἶναι, ταὐτόν ἐστι τῇ οὐσίᾳ ἢ οὐκ ἔστι ταὐτόν; εἰ μὲν οὖν ταὐτόν ἐστιν, ἔχω τὸ ζητούμενον· εἰ δὲ διάφορον, πάλιν καὶ περὶ ἐκείνου τὰ αὐτὰ ἐρωτήσω, καὶ οὕτως ὁ λόγος ἐπ' ἄπειρον ἐλεύσεται. δύναται δὲ τὸ "καίτοι τί κωλύει καὶ νῦν εἶναι ἔνια εὐθὺς τί ἦν εἶναι;" οὕτω νοεῖσθαι, ὅτι εἴπερ μὴ ταὐτόν ἐστι τὸ τῷδε εἶναι καὶ τὸ τόδε εἶναι, τί κωλύει τῆς οὐσίας ἐκείνης εὐθὺς γίνεσθαι ὁρισμόν, εἴγε πάσης οὐσίας ἐστὶν ὁρισμός. διὸ ἐπήγαγεν "εἴπερ οὐσία τὸ τί ἦν εἶναι." ἑκάστης δὲ οὐσίας ἐστὶν ὁρισμός, ἔσται καὶ τοῦ τί ἦν εἶναι ὁρισμός, καὶ οὗτος ἢ ὁ αὐτός ἐστι τῷ τόδε εἶναι ἢ διάφορος. εἰ μὲν οὖν ὁ αὐτός, ἔχω τὸ ζητούμενον· εἰ δὲ μή ἐστιν ὁ αὐτός, πάλιν ἐπὶ ἕτερον ἐλευσόμεθα καὶ οὕτως ἐπ' ἄπειρον ὁδεύσομεν. ὥστε οὐ μόνον ἕν ἐστι τὸ τῷδε εἶναι καὶ τὸ τόδε εἶναι, ἀλλὰ καὶ ὁ λόγος αὐτῶν ὁ αὐτός, ὡς δῆλον ἐκ τῶν εἰρημένων· πολλὰ γὰρ ἄτοπα ἐδείξαμεν ἑπόμενα τῷ λόγῳ τῷ ὑποτιθεμένῳ αὐτὰ κεχωρίσθαι ἀπ' ἀλλήλων. Asclep.

ἐπειδὴ καὶ τὸ τί ἦν εἶναι οὐσίας ἐστὶ δηλωτικόν, ἔσται αὐτοῦ ὁρισμός· καὶ εἰ μὲν ὁ αὐτός, ἔχω τὸ ζητούμενον, εἰ δὲ διάφορος, καὶ ἐπ' ἐκείνου ἐρωτῶ καὶ ἐπ' ἄπειρον ὁ λόγος προέρχεται. καὶ πάλιν τὸ ἓν ἐπειδὴ οὐσίας ἐστίν, ἔσται αὐτοῦ ὁρισμός, καὶ οὗτος ἢ ἀλλότριος ἢ ὁ αὐτός· εἰ μὲν οὖν ὁ αὐτός, ἔχω τὸ ζητούμενον, εἰ δὲ ἀλλότριος, πάλιν ἔσται κἀκείνου ὁρισμός, καὶ οὕτως ἐπ' ἄπειρον προερχόμεθα. διό φησιν "ὥστε καὶ" κτλ. id.

1031 b 31. εἴ τις δὴ ἑκάστῳ τί ἦν εἶναι ὄνομα θεῖτο, ἐπειδὴ παντὸς ὀνόματος δηλωτικοῦ οὐσίας ἔστι τί ἦν εἶναι, ἔσται καὶ παρ' ἐκεῖνο τὸ ὄνομα ἄλλο τί ἦν εἶναι ἵππῳ. ἀλλὰ μὴν τὸ τί ἦν εἶναι ἡ φύσις τοῦ ἵππου ἐστίν, ὥστε εἴπερ ἐστὶ καὶ τοῦτο τί ἦν εἶναι ἵππῳ, ἔσονται τοῦ ἵππου δύο οὐσίαι καὶ φύσεις, καὶ οὐ μόνον δύο ἀλλὰ καὶ ἄπειροι. ἐπεὶ δέ τις λέγειν ἔμελλεν, ἀλλ' οὐκ εἰς ἄπειρον προϊέναι ἀνάγκη, ἀλλὰ καταντήσομεν εἴς τι οὗ τὸ τί ἦν εἶναι οὐκ ἔστιν ἕτερον ἀλλὰ ταὐτό· εἰ γὰρ ἔσται ταὐτόν, οὐκ ἀνάγκη εἶναι ἐκείνου τί ἦν εἶναι, οὐκ ἔσται ἕτερον· εἰ γὰρ ἐκ τοῦ λέγειν ὅτι ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ ἕτερόν ἐστι, συμβαίνει κἀκείνου εἶναι τί ἦν εἶναι, — εἴπερ εἴς τι καταντήσομεν ταὐτὸν ὂν τὸ τί ἦν εἶναι αὐτοῦ, οὐκ ἔσται ἐκείνου πάλιν ἄλλο τί ἦν εἶναι. ἐπεὶ οὖν δυνατὸν ἦν οὕτω τινὰ ἐνίστασθαι, πρὸς τοῦτον ἀπαντῶν ἐπάγει "καίτοι τί κωλύει καὶ νῦν εὐθὺς εἶναί τινα τί ἦν εἶναι;" τουτέστι τί κωλύει μὴ εὐθὺς ἕκαστον ταὐτὸν εἶναι καὶ τὸ τί ἦν εἶναι αὐτῷ, ἀλλὰ μετὰ πολλὰ τοῦτο εὑρίσκεσθαι; οὐ μόνον δὲ ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ ταὐτόν ἐστιν, ἀλλὰ καὶ ὁ λόγος αὐτῶν ὁ αὐτὸς καὶ εἷς. οὐ γὰρ ἕτερός ἐστιν ὁ λόγος τοῦ ἀνθρώπου καὶ τοῦ τί ἦν εἶναι. . . εἰ μὲν γὰρ κατὰ συμβεβηκὸς τὸ ἓν καὶ τὸ τί ἦν εἶναι αὐτοῦ ἦν τὰ αὐτά, οὐκ ἂν ἦν ὁ λόγος αὐτῶν ὁ αὐτός. ἐπεὶ δὲ ἐκ πάντων τῶν δειχθέντων ἀνεφάνη ὅτι καθ' αὑτό εἰσιν ἕν, καὶ ὁ λόγος αὐτῶν εἷς ἐστίν. ὃ δὲ ἄνωθεν μὲν ᾐνίξατο ἄτοπον, νῦν ἐπαναλαμβάνει καὶ σαφέστερον τίθησι λέγων "ἔτι — εἰσίν." τουτέστιν, εἰ τὸ τοῦ ἑνὸς τί ἦν εἶναι ὄνομα τεθείη, ἔσται ἄλλο τοῦ τεθέντος ὀνόματος τί ἦν εἶναι. ἀλλ' εἰ τοῦτο, εἰς ἄπειρον ἰέναι ἀνάγκη· τὸ γὰρ ἑνὶ εἶναι ἔσται τὸ τί ἦν εἶναι τοῦ ἑνός, τὸ δὲ ἓν ἐστὶν οὗ ἐστὶ τί ἦν εἶναι τὸ ἑνὶ εἶναι· τὸ δ' ἑνὶ εἶναι ἔσται πάλιν ἄλλο τί ἦν εἶναι, καὶ πάλιν ἐπὶ τούτων ὁ αὐτὸς λόγος. Alex.

1032 a 2. τὸ γὰρ θερμὸν τὸ ἐκ τῆς τρίψεως γενόμενον μέρος ἐστὶ τοῦ ποιήσαντος καὶ ποιεῖ μέρος τι θερμασίας ἐν τῷ σώματι ὅμοιον ἑαυτῷ, αὖξον αὐτὴν ἢ καὶ γεννῶν διαφορουμένης τῆς ὑγρότητος. τὸ γοῦν μέρος, τουτέστιν ἡ γενομένη θερμότης, μέρος τι ὁμώνυμον ἐποίησεν ἐν αὐτῇ, τουτέστι θερμότητα ἢ ὑγίειαν, ἧς ὑγιείας μέρος γίγνεται. καλῶς δὲ εἶπεν, ἐὰν μὴ κατὰ συμβεβηκὸς γένηται· ἐκ γὰρ τῆς τρίψεως πολλάκις γίνεται ἐρύθημα ἐκ τῆς θερμότητος, οὐ μέντοι γε ὑγίεια· τὸ δὲ ἐρύθημα κατὰ συμβεβηκός· διὰ τοῦτο γὰρ γέγονεν ἡ τρῖψις· τὸ γὰρ αἴτιον τοῦ ποιεῖν πρῶτον καθ' αὑτό. Asclep.

1032 a 8. εἶτα ἐπειδὴ ἀνωτέρω ἄλλοις ἐχρήσατο παραδείγμασιν, εἰπὼν λευκῷ ἀνθρώπῳ εἶναι καὶ λευκὸς ἄνθρωπος, ἐνταῦθά φησι Σωκράτης καὶ Σωκράτει εἶναι. φησὶν οὖν ὅτι οὐδὲν διαφέρει τὸ κεχρῆσθαι διαφόροις παραδείγμασιν· οὔτε γὰρ τὰ παραδείγματα. διό φησιν "οὐδὲν γὰρ διαφέρει οὔτε ἐξ — ἐπιτ.", τουτέστιν οὔτε τὸ ἐρωτῆσαι, ἐὰν χρήσαιτό τις διαφόροις παραδείγμασιν ἐρωτώμενος, οὐδὲν βλάπτει τὸν λόγον, μόνον ἵνα συμφωνῶσι τῇ φύσει τῶν παραδειγμάτων. εἶτά φησιν ὅτι "πῶς μ. οὖν" κτλ. id.

1032 a 9. ἐξ ὧν γὰρ ἐρωτῶσιν (ἐκ γὰρ τῶν κατὰ συμβεβηκὸς τὰς ἐρωτήσεις ποιοῦνται), ἐκ τούτων καὶ τῶν λύσεων τεύξονται. Alex.

1032 a 12. φησὶν οὖν ὅτι ἐπὶ τῶν φυσικῶν πραγμάτων καὶ τὸ ὑλικὸν αἴτιον καὶ τὸ ποιητικὸν καὶ τὸ εἰδικὸν φύσει ἐστίν. τὸ γὰρ γινόμενον ἔχει φύσιν τὴν φροντίζουσαν αὐτοῦ, οἷον τὸ φυτὸν καὶ τὸ ζῷον· καὶ ὑφ' οὗ, ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ἡ ὁμοειδὴς τῷ ποιοῦντι· αὕτη δέ ἐστιν ἐν ἄλλῳ, οἷον εἰ τύχοι ἐν τῷ πατέρι· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. οὕτως μὲν οὖν, φησί, γίνεται τὰ γινόμενα διὰ τὴν φύσιν. Asclep.

1032 a 19. καὶ πάλιν τὸ σῶμα μέγα γίνεται. τούτῳ δὲ πλεονεκτεῖ ἡ οὐσία ὅτι ἀνάγκη προϋπάρχειν ἑτέραν οὐσίαν ἐνεργείᾳ, εἰ μέλλοι γίνεσθαι ὅμοιον αὐτοῦ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. ποιὸν δὲ ἢ ποσὸν οὐκ

βηκὸς γὰρ ἄμφω τῷ ἀνθρώπῳ ὑπάρχει. ἀλλ' οὐδὲ τοῦτο, φησί, δοκεῖ. εἰ δὲ τὸ λευκῷ εἶναι καὶ τὸ μουσικῷ εἶναι οὐ δοκεῖ τὸ αὐτὸ εἶναι (ἄλλης γὰρ φύσεως τὸ μουσικὸν καὶ ἄλλης τὸ λευκόν), πολλῷ μᾶλλον οὐκ ἔσται τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ τὸ αὐτό. εἰπὼν δὲ ὅτι ἐπὶ τῶν κατὰ συμβεβηκὸς τὸ τί ἦν εἶναι ἕτερον, καὶ δείξας τοῦτο διὰ τοῦ δεῖξαι ὅτι ἕτερόν ἐστιν ὁ ἄνθρωπος καὶ τὸ λευκῷ ἀνθρώπῳ εἶναι, λέγει ὅτι ἐπὶ τῶν καθ' αὑτὸ λεγομένων ἆρα τὸ αὐτό ἐστιν ἕκαστον καὶ τὸ τί ἦν εἶναι, ἢ οὔ; καὶ ἐρωτήσας καὶ δεικνύναι τοῦτο μέλλων, λέγω δὴ τὸ ταὐτὸν εἶναι ἕκαστον καὶ τὸ τί ἦν εἶναι, λέγει ὅτι γενέσθω ὁ λόγος ἐπὶ τῶν ἰδεῶν. id.

εἶτα ἐπιλυόμενός φησιν ὅτι οὐκ ἀνάγκη, ὅσα κατὰ συμβεβηκὸς τὰ αὐτὰ ὑπάρχουσιν, ἤδη καὶ κατὰ πάντα τὰ αὐτὰ εἶναι... οὔτε γὰρ τὰ ἄκρα, τουτέστι τὰ κατὰ συμβεβηκός· ὥστε αὐτῶν γίνεται τὰ αὐτά, ὥσπερ καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα ἑνὶ γίνεται τὰ αὐτά, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, ὁ περὶ τοῦ ἀνθρώπου καὶ τοῦ ζῴου λόγος ὅτι ὑπάρχουσι τῷ Σωκράτει καί εἰσι τὰ αὐτὰ ἀλλήλοις. τὰ οὖν ἄκρα κατὰ συμβεβηκὸς ὑπάρχουσι τὰ αὐτά, οἷον τῷ λευκῷ εἶναι καὶ τῷ μουσικῷ, διὸ ἄλλος ὁρισμὸς λευκοῦ καὶ ἄλλος μουσικοῦ· κατὰ δὲ τὸ ὑποκείμενον τὰ αὐτὰ ὑπάρχουσι· δοκεῖ δὲ τῷ ὄντι τοῖς πολλοῖς μὴ κατὰ συμβεβηκὸς ὑπάρχειν. Asclep.

γρ. καὶ χωρὶς τοῦ "ὡς." cod. Reg.

1031 a 30. εἰ δή εἰσιν οὐσίαι καθ' αὑτάς, οἵας φασὶ τὰς ἰδέας τινὲς εἶναι, ἆρα ἕτερόν ἐστιν αὐτὸ τὸ ἀγαθόν, τουτέστι τὸ αὐτοαγαθόν, καὶ τὸ ἀγαθῷ εἶναι ἤτοι τὸ αὐτοαγαθῷ εἶναι, ἢ οὔ; καί φησιν ὅτι εἰ ἕτερόν ἐστι τὸ αὐτὸ ζῷον καὶ τὸ αὐτὸ ζῴῳ εἶναι, καὶ αὖ τὸ αὐτοαγαθὸν καὶ τὸ αὐτοαγαθῷ εἶναι, καὶ τὸ αὐτοὸν καὶ τὸ αὐτοόντι εἶναι, ἔσονται καὶ φύσεις ἄλλαι καὶ οὐσίαι καὶ ἰδέαι παρὰ τὰς λεγομένας καὶ προτέρας, καὶ μάλιστα ἐκεῖναι οὐσίαι· ἡ γὰρ οὐσία μάλιστά ἐστι τὸ τί ἦν εἶναι. Alex.

1031 b 3. ἡ γὰρ ἐπιστήμη ἑκάστου καὶ ἡ γνῶσις αὐτοῦ διὰ τοῦ ὁρισμοῦ θηρᾶται καὶ ἐπὶ τοῦ ἀγαθοῦ καὶ ἐπὶ τῶν ἄλλων πάντων· ὥστε εἰ μὴ τῷ ἀγαθῷ εἶναι ἐστὶ ταὐτὸν τὸ ἀγαθόν, οὔτε τῷ ὄντι εἶναι ἐστὶ τὸ ὄν, οὐδὲ τῷ ἑνὶ ἕν. ὥστε εἰ μηδὲ τῷ ὄντι εἶναι τὸ ὂν ἐστίν, οὐκ ἔσται ὕπαρξις τῶν τί ἦν εἶναι. Asclep.

1031 b 9. ἐπεὶ δὲ ἔμελλέ τις λέγειν ὅτι τὸ μὲν τί ἦν εἶναι τοῦ αὐτοόντος ἕτερον ὂν αὐτοῦ δικαίως ἀνάγεται μὴ εἶναι ὄν (τοῦ γὰρ ὄντος ἕτερον μὴ ὄν ἐστι, τὸ δὲ τί ἦν εἶναι τοῦ αὐτοανθρώπου καὶ αὐτοΐππου καὶ τῶν λοιπῶν οὐκ εὔλογον δοκεῖ εἶναι), ἐπειδὴ ταῦτα ἔμελλέ τις λέγειν, ἐπήγαγεν "ὁμοίως δὲ πάντα ἐστὶν ἢ οὐδὲν τὰ τί ἦν εἶναι," τουτέστιν ἢ πάντα τὰ τί ἦν εἶναι τῶν ἰδεῶν χρὴ λέγειν ὡς εἰσὶν ἢ οὐδέν. τίς γὰρ ἡ ἀποκλήρωσις τὸ τινὰ μὲν λέγειν εἶναι τινὰ δὲ μή; ὥστε εἴπερ οὐκ ἔστι τὸ τί ἦν εἶναι τοῦ αὐτοόντος, οὐδὲ τῶν λοιπῶν ἔσονται· ὡς γὰρ ἔχει τὸ τί ἦν εἶναι τοῦ αὐτοόντος πρὸς αὐτὸ τὸ αὐτοόν, οὕτω καὶ τῶν ἄλλων ἰδεῶν τὸ τί ἦν εἶναι πρὸς αὐτάς. τὸ δὲ "ἔτι, ᾧ μὴ ὑπάρχει ἀγαθῷ εἶναι, οὐκ ἀγαθόν" κατασκευαστικόν ἐστι τοῦ μὴ εἶναι τὸ τί ἦν εἶναι τοῦ αὐτοαγαθοῦ ἀγαθόν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ᾧ τινὶ πράγματι μὴ ὑπάρχει ἀγαθῷ εἶναι, οὐκ ἀγαθόν ἐστιν. τὸ δὲ τί ἦν εἶναι τοῦ αὐτοαγαθοῦ ἕτερον ἦν αὐτοῦ· τὸ δὲ τοῦ ἀγαθοῦ ἕτερον οὐκ ἀγαθόν· τὸ τί ἦν εἶναι ἄρα τοῦ ἀγαθοῦ οὐκ ἀγαθόν. δείξας οὖν ἐπὶ τῶν ἰδεῶν ὅτι ταὐτόν ἐστιν ἑκάστη καὶ τὸ τί ἦν εἶναι αὐτῶν, συμπεραίνεται καθόλου ἐπὶ πάντων λέγων "ἀνάγκη ἄρα ἓν εἶναι τὸ ἀγαθὸν καὶ ἀγαθῷ εἶναι, καὶ καλὸν καὶ καλῷ εἶναι." Alex.

1031 b 14. φησὶν ὅτι πάντη καὶ πάντως, ἐὰν ὦσιν ἁπλᾶ εἴδη, τουτέστιν ἐὰν ὑπάρχωσιν, ἀνάγκη ἐστὶ τὸ αὐτὸ εἶναι τὸ τῷδε εἶναι καὶ τόδε εἶναι ἐπὶ τῶν ἁπλῶν εἰδῶν, κἂν ὑπάρχωσιν ἰδέαι κἂν μὴ ὑπάρχωσι... φησὶν οὖν ὅτι εἴπερ εἰσὶν αἱ ἰδέαι οἵας τινές φασιν, τουτέστιν οὐσίαι καὶ μὴ λόγοι, οὐκ ἔσται τὸ ὑποκείμενον, τουτέστι τὸ σύνθετον· ταύτας γὰρ τὰς ἰδέας οὐσίας μὲν ἀναγκαῖον εἶναι, εἴγε καὶ πρότεραι ὑπάρχουσιν, οὐ θεωροῦνται δὲ ἐν ὑποκειμένῳ ταῖς συνθέτοις οὐσίαις, ἐπεὶ οὕτως ἔσονται αἱ κατὰ μέθεξιν· αὔλους δὲ αὐτὰς βούλονται, ἐπεὶ τὰ ἐνταῦθα οὐκ ἔσονται οὐσίαι. Asclep.

1031 b 15. ἐπειδὴ οἱ τὰς ἰδέας εἰσάγοντες αὐτὰς καθ' αὑτὰς ἔλεγον εἶναι, ὡς εἴρηται, καὶ κυρίως ὄντα καὶ οὐσίας καὶ τῶν τῇδε ἑτέρας ἔλεγον, ὅτι ὁ μὲν καθόλου ἄνθρωπος, ὃν ὁ νοῦς ὁ ἡμέτερος ἀπὸ τῶν καθ' ἕκαστα ἀπεσύλησε καὶ τὸ εἶναι αὐτῷ ἀπεχαρίσατο, ὁμοίωμα τῶν κατὰ μέρος ἀνθρώπων ἐστὶ καὶ ὁ αὐτός ἐστι τοῖς καθ' ἕκαστα καὶ ἐπινοίᾳ μόνῃ τὸ εἶναι ἔχει, ὁ δὲ αὐτοάνθρωπος ἡ ἰδέα, ἥτις καθ' ἑκάστην ἐστὶ καὶ ἐνυπάρξει, καὶ ἔστιν ὁ αὐτὸς τοῖς καθ' ἕκαστα ἀνθρώποις, — ἐπειδὴ ταῦτα ἔλεγον, λέγει ὅτι εἴπερ εἰσὶν ἰδέαι, οὐκ ἔστι τὸ ὑποκείμενον οὐσία, τουτέστιν αἱ μερικαὶ καὶ ἄτομοι οὐσίαι οὐκ ἔσονται ὑποκείμεναι αὐταῖς· ἑτέρα γὰρ οὐσία ἀλλοτρία αὐτῆς οὐχ ὑπόκειται. ἐπεὶ οὖν αἱ ἰδέαι, ὥς φασι, καθ' αὑτάς εἰσι, τὰ δὲ καθ' αὑτὰ ἐξ ἀνάγκης οὐσίαι εἰσί, καὶ αἱ ἰδέαι ἐξ ἀνάγκης ἔσονται οὐσίαι καὶ ἕτεραι καθ' αὑτὰς τῶν τῇδε. ἀλλ' εἴπερ εἰσὶν οὐσίαι καὶ ἕτεραι τῶν τῇδε, οὐχ ἕξουσι ταῦτα ὑποκείμενα, οὐδὲ καθ' ὑποκειμένων αὐτῶν λεχθήσονται. εἰ γὰρ καθ' ὑποκειμένων αὐτῶν λεχθήσονται, ἔσονται κατὰ μέθεξιν· ἀλλὰ μὴν τὰ κατὰ μέθεξιν οὐ τὰ ἐν τοῖς μετέχουσιν αὐτῶν εἰσίν, ὥσπερ τὸ ζῷον ἐν τῷ Σωκράτει καὶ ἐν ἐμοί· ἔφασκον δὲ οὗτοι μὴ εἶναι τὸν αὐτοάνθρωπον ἐν ἡμῖν, ὥστε οὐκ εἰσὶ κατὰ μέθεξιν. εἰ δὲ μή εἰσιν, οὐδὲ καθ' ὑποκειμένων τῶν τῇδε λεχθήσονται, οὐδ' ὅλως τὰ τῇδε ὑποκείσονται αὐταῖς. καὶ τίς ἡ χρεία τῶν ἰδεῶν, εἴπερ καὶ ἕτεραι τῶν τῇδε καὶ οὐδὲ κατηγοροῦνται κατ' αὐτῶν, οὐδὲ αἰτίαι τοῦ εἶναι τοῖς τῇδε εἰσί; δέδεικται καὶ τοῦτο πολλάκις. Alex.

1031 b 21. ὥστε καὶ ἐκ τοῦ λόγου καὶ ἐκ τῆς ἐπαγωγῆς (ταύτην γὰρ ἔκθεσιν εἶπεν) ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτῷ ἕν ἐστιν. λέγει δὲ περὶ τῶν κατὰ συμβεβηκὸς ὅτι διὰ τὸ διττὸν σημαίνειν (τὸ γὰρ μουσικὸν εὐθὺς δηλοῖ τό τε πάθος, αὐτὴν λέγω τὴν ἐν τῇ ψυχῇ τοῦ Σωκράτους μουσικήν, καὶ αὐτὸν τὸν Σωκράτην) οὐκ ἀληθὲς εἰπεῖν ὡς ταὐτόν ἐστι τό τε μουσικὸν καὶ τὸ μουσικῷ εἶναι· συμβαίνει γάρ, εἴ τις τοῦτο λέγει, τὸ μουσικὸν ἤτοι τὸ πάθος ταὐτὸν εἶναι τῷ ἀνθρώπῳ ᾧ συμβέβηκεν. id.

1031 b 27. καθ' αὑτὰ μὲν γὰρ τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ οὐκ ἔσται τὸ αὐτό· ᾗ δ' ἔπαθέ τι ὑπὸ τοῦ λευκοῦ, λέγω δὴ τὸ λευκανθῆναι, ἔσται τὸ αὐτό. "ἄτοπον εἶναι." καὶ τοῦτο δεικτικόν ἐστι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τοῦ ταὐτὸν εἶναι ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ. ἡ δὲ δεῖξις πάλιν ἐπὶ τῶν ἰδεῶν προέρχεται· λέγει

εἴπερ μὴ αὐτῶν εἰσίν; οὐχ ἁπλᾶ δὲ ἀλλὰ συνδεδυασμένα τὰ ἐκ προσθέσεως εἴρηκε. τοῦ δὲ εἶναι τῶν συνδεδυασμένων λόγους ἐπήγαγε τὸ "ἐκ προσθέσεως γὰρ ἀνάγκη δηλοῦν," τουτέστιν ἀνάγκη γὰρ λέγοντας ἡμᾶς περὶ τῶν ἐκ προσθέσεως ἐκ προσθέσεως δηλοῦν τοὺς ὁρισμοὺς αὐτῶν. Alex.

φησίν, εἰ μὴ ὑπάρχουσιν ὁρισμοὶ τῶν ἐκ προσθέσεως, τουτέστι τῶν παραλαμβανόντων τὰ ὑποκείμενα ἐν τοῖς ὁρισμοῖς ἑαυτῶν, ὥσπερ ἐπὶ τοῦ λευκοῦ εἰρήκαμεν ὁριζόμενοι χρῶμα διακριτικὸν ὄψεως ἐν σώματι θεωρουμένην· φησὶν οὖν ὅτι εἰ ὁ λόγος οὗτος ἀληθής, ἀδύνατον εἶναι ὁρισμὸν τῶν συμβεβηκότων καθ' αὑτό. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν συνδεδυασμένων τὰ καθ' αὑτὰ συμβεβηκότα· ἐκ προσθέσεως γὰρ ἀνάγκη δηλοῦν τὸν ὁρισμὸν αὐτῶν. Asclep.

1030 b 26. εἰ δέ, ὥσπερ εἴρηται, οἱ ὁρισμοὶ τῶν καθ' αὑτό εἰσι, τὸ δὲ σιμὸν καὶ τὰ τοιαῦτα τῶν καθ' αὑτό, ἔσται ἄρα καὶ τῶν τοιούτων ὁρισμός. αὐτὸς δὲ οὐ τοῦτο ἐπήγαγεν, ἀλλ' ἐπειδὴ εἴρηκε πρότερον ὅτι καθ' αὑτά ἐστιν ὧν καὶ τοὺς ὁρισμοὺς εἶναί φαμεν ἀδύνατα εἶναι αὐτὰ καθ' αὑτά, ἡ δὲ σιμότης αὐτὴ καθ' αὑτὴν οὐ δύναται εἶναι ἄνευ τῆς ῥινός, θαρρούντως ἐπήγαγεν "ὥστε — οὐδενός·" πῶς γάρ; οὐδὲ γάρ εἰσι καθ' αὑτά, οἱ δὲ ὁρισμοί, ὡς δέδεικται, τῶν καθ' αὑτά. ἢ ἔστι καὶ τούτων ὁρισμός, ἀλλὰ καθάπερ εἰρήκαμεν· εἴρηται δὲ ὅτι πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα καὶ τοῖς ἄλλοις. Alex.

1030 b 27. ὥστε ἢ οὐκ ἔστι τούτων ὁρισμός, ἢ εἴπερ ἔστιν, ἀνάγκη ἐκ προσθέσεως εἶναι, ὥσπερ εἰρήκαμεν. Asclep.

1030 b 28. δείξας ἤτοι ἀπορήσας διὰ τῶν προλαβόντων ὅτι οὐ δυνατόν ἐστι τῶν καθ' αὑτὸ ὑπαρχόντων συμβεβηκότων εἶναι ὁρισμούς, ἐπειδὴ ἐκ προσθέσεως ὑπάρχουσιν, ἅτε δὴ συμπαραλαμβανόντων αὐτοῖς καὶ τὰ ὑποκείμενα, ὡς ἐπὶ τοῦ ἀριθμοῦ εἰρήκαμεν καὶ τῆς σιμότητος (ἐρωτώμενοι γὰρ τί ἐστι περιττόν, φαμὲν ἀριθμὸς εἰς ἄνισα διαιρούμενος, καὶ παρελάβομεν τὸ ὑποκείμενον αὐτοῦ εἰς τὸν ὁρισμόν, φημὶ δὴ τὸν ἀριθμόν), — ἐντεῦθεν ἀπορίαν τινὰ κινεῖ ἀναιροῦσαν τῶν τοιούτων συμβεβηκότων τοὺς ὁρισμούς. τί γάρ φησιν ὅτι ἀδύνατόν ἐστιν εἶναι ὁρισμὸν τῶν τοιούτων; καὶ ἐν αὐτῇ γὰρ τῇ προφορᾷ τοῦ λόγου ἡ δειλικῶς μὲν δὶς τὰ αὐτὰ λέγοντες... ἡνίκα γάρ φαμεν ὅτι σιμότης ἐστὶ κοίλανσις ἐν ῥινί, οὐδὲν ἕτερον λέγομεν ἢ ὅτι ῥὶς ῥίς ἐστι, καὶ διπλασιάζομεν τὴν ῥῖνα, ὅπερ ἐστὶν ἀδολεσχία· ἡ γὰρ κοιλότης λαμβάνεται ἀντὶ τῆς σιμότητος, ἡ δὲ σιμότης πάντως συνεισφέρει ἑαυτῇ τὴν ῥῖνα· ὥστε ὁ λέγων, σιμότης ἐστὶ κοίλανσις ἐν ῥινί, οὐδὲν ἕτερον λέγει ἢ ὅτι ῥὶς ῥίς, καὶ ὡς εἴρηται, ἀδολεσχεῖ. εἰ τοίνυν οὔτε προενέγκασθαι δυνατόν ἐστι τὰ τοιαῦτα, πολλῷ μᾶλλον οὔτε ὁρίσασθαι... εἰ δὲ μή ἐστι ταὐτὸν τὸ κοῖλον τῷ σιμῷ, ἐπειδὴ τὸ μὲν σιμὸν ἐπὶ ῥινὸς καὶ μόνης φέρεται, τὸ δὲ κοῖλον καὶ ἐπὶ ῥινὸς λέγεται καὶ ἐπὶ ἐπιφανείας καὶ ἄλλων· εἰ οὖν τὸ σιμὸν οὐδέν ἐστιν ἕτερον ἢ κοιλότης ἐν ῥινί, ἢ οὐ δυνατὸν εἰπεῖν ῥῖνα σιμήν, ἢ ὁ λέγων τοῦτο ἀδολεσχεῖ, δὶς τὸ αὐτὸ λέγων, ῥὶς ῥὶς κοίλη, καὶ διὰ τῆς σιμότητος καὶ διὰ τῆς ῥινὸς ῥῖνα δηλῶν· ἡ γὰρ σιμὴ ῥὶς ῥίς ἐστι κοίλη, ὥστε ὁ λέγων κοίλανσιν ῥινός, ἀντὶ σιμότητος παραλαμβάνων τὴν κοίλανσιν, δὶς λέγει τὴν ῥῖνα. ὥστε οὐ δυνατόν, φησίν, εἶναι τῶν τοιούτων ὁρισμόν· εἰς ἄπειρον γὰρ πρόεισιν· οὐδὲν γὰρ ἕτερον λέγει ἢ ὅτι ἡ ῥὶς ῥίς ἐστι σιμή, καὶ ὁ αὐτὸς λόγος ἔσται· ὁ γὰρ λέγων ὅτι σιμότης ἐστὶ κοίλανσις ἐν ῥινί, οὐδὲν ἕτερον λέγει ἢ ὅτι τῇ ῥινὶ ῥὶς σιμὴ ἔνεστι. id.

εἴ τις οὖν τῶν ἄλλων κατηγοριῶν, οἷον τοῦ ποσοῦ καὶ τοῦ λευκοῦ 1031 a 1. καὶ τοῦ περιττοῦ καὶ τοῦ θήλεος καὶ τῶν τοιούτων, ὁρισμοὺς εἶναι λέγει, ἀνάγκη δὶς τὸ ὑποκείμενον λαμβάνειν, ὥσπερ εἴρηται ἐπὶ τοῦ σιμοῦ. εἰ γάρ τις τὸ θῆλυ ὁρίσασθαι βουληθείη, ἀνάγκη τὸ ζῷον δὶς παραλαβεῖν· εἰ γὰρ θῆλυ λέγων ζῷον λέγω, εἴπερ ὁρίζομαι τὸ θῆλυ, ἀνάγκη λέγειν ὅτι θῆλύ ἐστι ζῷον, ζῷον ἐν ᾧ πέφυκεν ἄλλο γεννᾶν. ὁμοίως καὶ περιττὸν λέγων ἀριθμὸν λέγω, ὥστε εἴπερ ὁρίζομαι τὸ περιττόν, ἀνάγκη λέγειν ὅτι περιττόν ἐστιν ἀριθμός, ἀριθμὸς μὴ δυνάμενος εἰς δύο ἴσα διαιρεθῆναι. ὥστε εἴπερ τοῦ περιττοῦ ἢ τοῦ θήλεος οὐκ ἔστιν ὁρισμός, οὐδὲ τῶν συνδυαζομένων ἔσται, οἷον ἀριθμοῦ περιττοῦ ἢ θήλεος ζῴου. ἐπειδὴ δ' ἔμελλέ τις λέγειν ὅτι πῶς σὺ λέγεις, Ἀριστότελες, ὅτι τὰ πάθη ἄνευ τῶν πραγμάτων οὐ λέγεται, καὶ ἐπὶ τοῦτο ἀναγκαζόμεθα ταῦτα ὁριζόμενοι δὶς λέγειν τὸ ὑποκείμενον αὐτοῖς; τὸ γὰρ περιττὸν ὁρίσαιμι ἂν ἄνευ τοῦ ὑποκειμένου· εἴποιμι γὰρ ἂν ὅτι περιττόν ἐστι τὸ μὴ δυνάμενον εἰς δύο ἴσα διαιρεθῆναι, μὴ προσλαβὼν τὸν ἀριθμόν. ἐκδηλότερόν γε μὴν ἐπὶ τοῦ λευκοῦ τοῦτό ἐστιν· λέγομεν γὰρ ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως, ὅλως ὑποκειμένου μνείαν μὴ ποιησάμενοι. πρὸς δὴ ταύτην τὴν ἔνστασιν ἀπαντῶν λέγει. Alex.

ἐπεὶ δέ τινες τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ εἶναι 1031 a 21. ταὐτὸν εἶναι βουλόμενοι, τοῦτο κατασκευάζοντες φασὶν ὅτι ὁ ἄνθρωπος καὶ ὁ λευκὸς ἄνθρωπος τὸ αὐτό, οἷον ὁ Σωκράτης καὶ ὁ λευκὸς Σωκράτης ὁ αὐτός· εἰ δὲ ὁ ἄνθρωπος καὶ ὁ λευκὸς ἄνθρωπος ὁ αὐτός, καὶ τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ εἶναι ταὐτόν ἐστιν. ἔστι δ' ὁ συλλογισμός, δι' οὗ τοῦτο συνῆγον ἐν τρίτῳ σχήματι οὕτως· ὁ ἄνθρωπος καὶ ὁ λευκὸς ἄνθρωπος τὸ αὐτό, καὶ ὁ ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι τὸ αὐτό· ὁ λευκὸς ἄρα καὶ τὸ ἀνθρώπῳ εἶναι τὸ αὐτό. οὕτω θεὶς τὸν λόγον τῶν τοῦτο βουλομένων λύει αὐτὸν λέγων, ἢ οὐκ ἀνάγκη, ὅσα κατὰ συμβεβηκός εἰσιν, εἶναι τὰ αὐτά. id.

"οὐ — ταὐτά." ἐλλιπῶς δὲ ἑρμηνεύεται τὸ λεγόμενον· δεῖ δὲ 1031 a 25. προσυπακούειν τὸ τοῖς καθ' αὑτὸ οὖσιν, ἵνα ᾖ τὸ πᾶν τοιοῦτον· οὐ γὰρ ἀνάγκη, ὅσα κατὰ συμβεβηκός εἰσι, τὰ αὐτὰ εἶναι τοῖς καθ' αὑτὰ οὖσι. καὶ εἴη ἂν διὰ τούτου λέγων ὅτι ὁ μὲν ἄνθρωπος καθ' αὑτό ἐστι ταὐτὸν τῷ ἀνθρώπῳ εἶναι, τῷ δὲ λευκῷ ἀνθρώπῳ κατὰ συμβεβηκός. τὸ δὲ κατὰ συμβεβηκὸς οὐκ ἂν εἴη ταὐτὸν τῷ καθ' αὑτὸ ὄντι· οὐ γὰρ κατὰ πάντα τρόπον τὰ ἄκρα (ἄκρα λέγων τοὺς κατηγορουμένους ὅρους) γίνεται ταὐτά, ἀλλ' ὅταν μὲν καθ' αὑτὸ ἀμφότεροι οἱ ἄκροι κατηγορῶνται τοῦ ὑποκειμένου, τότε γίνονται οἱ αὐτοί, ὅταν δ' ὁ μὲν καθ' αὑτὸ ὁ δὲ κατὰ συμβεβηκός, οὐ γίνονται· οὕτω γὰρ συμβέβηκε τὸ χρῶμα εἶναι ἄνθρωπον, οἷον ὁ Σωκράτης λευκός, ὁ Σωκράτης ἄνθρωπος, τὸ λευκὸν ἄρα ἄνθρωπος· ὅπερ ἀδύνατον, ἀλλὰ τὸ μὲν ἀνθρώπῳ εἶναι καὶ λευκῷ ἀνθρώπῳ εἶναι οὐκ ἔστι τὸ αὐτό, δι' ἃς εἴπομεν αἰτίας. ἴσως δέ, φησίν, ἐκεῖνα τὰ ἄκρα δόξειεν ἂν εἶναι τὰ αὐτά, οἷον τὸ λευκῷ ἀνθρώπῳ εἶναι καὶ τὸ μουσικόν· κατὰ συμβε-

μεν. ὁ μέντοι γε ὀρθὸς ἔχει λόγος μήτε ὁμωνύμως λέγεσθαι τὰ συμβεβηκότα, ἐπειδὴ κοινωνοῦσι κατὰ τὸ πρᾶγμα, καθάπερ ἐν τῇ θεωρίᾳ εἴρηται, μήτε ὡσαύτως, τουτέστι συνωνύμως, ἐπειδὴ οὐχ ὁμοίως αὐτῶν κατηγορεῖται τὸ ὄν, ἀλλ᾽ ὥσπερ τὸ ἰατρικὸν σμιλίον λέγεται, ὡς τὰ ἀφ᾽ ἑνὸς καὶ πρὸς ἕν, καὶ τὸ ἰατρικὸν σιτίον. "οὐ τὸ αὐτὸ δὲ καὶ ἕν," τουτέστιν οὐ συνωνύμως. οὐ μέντοι γε καὶ ὁμωνύμως· οὐδὲν γὰρ οὔτε ἰατρικὸν σῶμα οὔτε τὸ σκεῦος λέγεται, οὔτε ὁμωνύμως. οὔτε δὲ καθ᾽ ἕν, τουτέστι συνωνύμως, ἀλλὰ πρὸς ἕν. Asclep.

1030a 27. εἰπὼν οὖν ὅτι τὸ τί ἐστι λέγεται ἁπλῶς μὲν ἐπὶ τῆς οὐσίας, πῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων, λέγει ὅτι δεῖ μὲν οὖν σκοπεῖν ἢ πῶς δεῖ λέγειν περὶ ἕκαστα, τουτέστι δεῖ μὲν οὖν σκοπεῖν εἴτε οὕτως χρὴ λέγειν ὅτι τί ἐστι ποιόν, εἴτε ἁπλῶς τί ἐστιν. ἢ οὐ τοῦτό ἐστι τὸ λεγόμενον, ἀλλ᾽ ὅτι δεῖ μὲν οὖν ζητεῖν καὶ φροντίζειν καὶ τῆς τοῦ λόγου καλλιεπείας τε καὶ χάριτος, ἵνα μὴ ξηρὸς ᾖ, τοσοῦτον δὲ ὅσον γε πῶς ἔχει φύσεως τὰ πράγματα καὶ πῶς ὀφείλει λέγεσθαί τε καὶ νοεῖσθαι. τοῦτο θεὶς μεταξὺ λέγει "διὸ καὶ νῦν, ἐπεὶ τὸ λεγόμενον φανερόν," ὅτι κυρίως τὸ τί ἐστιν ἐπὶ τῆς οὐσίας λέγεται, καὶ τὸ τί ἦν εἶναι ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα καὶ τοῖς ἄλλοις ὑπάρξει, οἷον τὸ τί ἦν εἶναι ποσῷ· ὥσπερ γὰρ καὶ τὸ τί ἐστιν οὐχ ἁπλῶς ὑπάρχει αὐτοῖς, ἀλλὰ τῇ μὲν οὐσίᾳ ἁπλῶς, αὐτοῖς δὲ τὸ μετὰ προσθήκης τί ἐστι ποιόν, οὕτως καὶ τὸ τί ἦν εἶναι μετὰ προσθήκης, οἷον τί ἦν εἶναι ποιῷ ἢ τί ἦν εἶναι ποσῷ καὶ ἄλλα, ὥσπερ τὸ μὴ ἐπιστητὸν λέγεται ἐπιστητόν, οὐχ ἁπλῶς ὅτι ἐπιστήμη αὐτοῦ ἐστίν, ἀλλ᾽ ὅτι ἐπιστήμη αὐτοῦ ἐστὶν ὅτι οὕτω. καὶ ἐπὶ τούτων οὐχ ἁπλῶς τὸ τί ἦν εἶναι ἐπ᾽ αὐτῶν λεχθήσεται, ἀλλὰ μετὰ προσθήκης. καὶ ἔστιν οὖν ἡ τοῦ λόγου σύνταξις τοιαύτη τις, καὶ τὸ τί ἦν εἶναι ὁμοίως ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα καὶ τοῖς ἄλλοις, οὐχ ἁπλῶς τὸ τί ἦν εἶναι, ἀλλὰ ποιῷ καὶ ποσῷ, ὥσπερ καὶ τὸ τί ἐστιν· καὶ γὰρ τὸ τί ἐστιν οὐχ ἁπλῶς αὐτοῖς ὑπάρξει, ἀλλὰ μετὰ προσθήκης. εἶτα ἀπ᾽ ἄλλης ἀρχῆς τὸ "ὥσπερ καὶ τὸ μὴ ἐπιστητὸν ἐπιστητόν," εἶτα τὸ "ἢ προστιθέντας καὶ ἀφαιροῦντας" καὶ οὕτω. "δεῖ γὰρ ἢ ὁμωνύμως ταῦτα φάναι ὄντα," καὶ δεῖ προσυπακούειν τὸ ἢ συνωνύμως, καὶ οὕτως ἐπιφάναι καὶ τὰ ἑξῆς· τὸ γὰρ "δεῖ γὰρ ὁμωνύμως ταῦτα φάναι" ἐλλιπῶς τεθὲν (ἔδει γὰρ προσκεῖσθαι καὶ τὸ ἢ συνωνύμως) ἀσάφειαν ἐποίησε πολλήν· τὸ γὰρ "ἢ προστιθέντας ἢ ἀφαιροῦντας ὥσπερ καὶ τὸ μὴ ἐπιστητὸν ἐπιστητόν," μεταξὺ τεθέν. καὶ ἔστιν ἴσως ὁ λόγος τοιοῦτος. καὶ τὸ τί ἦν εἶναι ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα τὸ τί ἦν εἶναι καὶ τοῖς ἄλλοις ὑπάρχει, ἀλλ᾽ οὐχ ἁπλῶς, ἀλλ᾽ ὥσπερ καὶ τὸ τί ἐστιν οὐχ ἁπλῶς αὐτοῖς ὑπάρχει, οὕτως καὶ τὸ τί ἦν εἶναι, καὶ ὥσπερ τὸ μὴ ἐπιστητὸν ἐπιστητὸν λέγεται οὐχ ἁπλῶς, οὕτως καὶ ταῦτα δεῖ λέγειν. "ἢ προστιθέντας ἢ ἀφαιροῦντας," προστιθέντας μὲν ἐπὶ τοῦ ποσοῦ ἢ τοῦ ποιοῦ ἢ τῶν ἄλλων τί ἦν εἶναι λέγοντας ποσῷ ἢ ποιῷ, ἀφαιροῦντας δὲ ἤτοι ἁπλῶς δὲ καὶ ἄνευ προσθήκης λέγοντας ἐπὶ τῆς οὐσίας· εἶτα δεῖ γὰρ τοῦ συνδέσμου τοῦ δὲ ἀκούοντας ὡς ἄλλο τι λέγοντος. δεῖ δὲ ἢ ὁμωνύμως ταῦτα φάναι ὄντα ἢ συνωνύμως. "ἐπεὶ — ὡσαύτως." ὡς ἂν εἰ ἔλεγε, δεῖ τὴν οὐσίαν καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὰς λοιπὰς κατηγορίας ἢ ὁμωνύμως ὄντα λέγειν ἢ συνωνύμως· εἶτα ἐπικριτικὸν ἐπήνεγκε, τό γε ὀρθὸν καὶ ἀληθές ἐστι μήτε ὁμωνύμως αὐτὰ φάναι "μήτε ὡσαύτως," ἀντὶ τοῦ συνωνύμως, ἀλλὰ τῶν ἀφ᾽ ἑνὸς καὶ πρὸς ἕν, ὥσπερ καὶ τὸ ἰατρικὸν λέγεται πρὸς τὸ αὐτὸ καὶ ἕν, ἀντὶ τοῦ τῶν ἀφ᾽ ἑνὸς καὶ πρὸς ἕν. "οὐ τὸ αὐτὸ δὲ καὶ ἕν" ἤτοι οὐ συνωνύμως δέ. Alex.

1030b 2. ὁ δὲ γὰρ σύνδεσμος τεθεὶς ἔμφασιν δίδωσι τοῦ τὰ λεγόμενα εἶναι κατασκευαστικά τινος τῶν προσεχῶς ῥηθέντων. οὐκ ἔστι δὲ τοῦτο, ἀλλὰ δεῖ τὸν γὰρ ἀντὶ τοῦ δή συνδέσμου ἐκλαβεῖν. πολλαχοῦ γὰρ τοῦτο σύνηθες αὐτῷ, ὡς καὶ ἐν τῷ Β τῶν Ὑστέρων Ἀναλυτικῶν ἀπεσημηνάμεθα καὶ ἐν ἄλλοις πολλοῖς. δεῖ οὖν τοῦ γάρ ἀντὶ τοῦ δή συνδέσμου ἀκούειν. καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον. οὐ δή, φησίν, ἀνάγκη, τουτέστιν οὐκ ἀναγκαῖον δή τι συμβαίνει, ἂν τοῦτο θῶμεν, ὅτι ὃ ἂν ὄνομα λόγῳ ταὐτὸν σημαίνῃ, ἐκεῖνον τὸν λόγον, ᾧ ταὐτὸν τὸ ὄνομα σημαίνει, ὁρισμόν τινα τοῦ πράγματος εἶναι· ἀλλὰ τοῦτο χρὴ λέγειν ὅτι εἴ τι ὄνομα λόγῳ τινὶ ταὐτὸν σημαίνει, ἐκεῖνος ὁ λόγος ὁρισμός ἐστι τοῦ πράγματος. ἔσται δὲ ὁ λόγος ὁ ὑπὸ τοῦ ὀνόματος δηλούμενος ὁρισμός, ἐὰν τὸ ὄνομα δηλωτικὸν ᾖ ἑνὸς λόγου, ἑνὸς δὲ μὴ τῷ συνεχεῖ, ὥσπερ ἡ Ἰλιὰς ἢ ὅσα συνδέσμῳ ἕν. τὸ "ὅσα συνδέσμῳ" οὐχ ὡς ἕτερόν τι δηλοῦν τοῦ "μὴ τῷ συνεχεῖ" ἐπῆκται, ἀλλὰ ὥσπερ εἰ ἔλεγε τῷ συνεχεῖ συνδέσμῳ, ὥσπερ ἡ Ἰλιάς. ἐπειδὴ δὲ ἡ Ἰλιὰς τῷ συνδέσμῳ ἐστὶ συνεχής, ἐπήγαγεν "ἢ ὅσα συνδέσμῳ."... δέδεικται γὰρ ἐν τῷ γάμμα τῆσδε τῆς πραγματείας ὅτι ἀκολουθοῦσιν ἀλλήλοις τὸ ἓν καὶ τὸ ὄν. id.

1030b 3. "ἀλλὰ πρὸς ἕν," τουτέστιν ὡς τὸ ἀφ᾽ ἑνὸς καὶ πρὸς ἕν. φησὶν οὖν· ὅπως ἂν βούλοιτό τις, ταῦτα λεγέτω, ἢ ὁμωνύμως ἢ συνωνύμως· μόνον δεῖ τὴν ἔννοιαν αὐτὴν γιγνώσκειν τοῦ πράγματος· οὔτε γὰρ περὶ ὀνομάτων ἐστὶν ἡμῖν ὁ λόγος. Asclep.

1030b 8. οὔτε γὰρ κατὰ συνέχειαν ἐχόντων τὸ ἓν ἔστιν ὁρισμός, οὔτε τῶν συνδέσμῳ. διὸ οὐ φαμὲν ὁρισμὸν εἶναι τῆς Ἰλιάδος, ἐπειδὴ μία ἐστὶ τῇ συνεχείᾳ ἡ Ἰλιάς, ἅτε δὴ ἓν ἔχουσα τέλος, εἴγε ἡ πᾶσα ποίησις, φησί, πρὸς τέλος ὁρᾷ τὴν ἁρπαγὴν τῆς Ἑλένης. οὔτε δὲ τῶν συνδέσμῳ ἕν, ὥσπερ ὁ οἶκος· ἐκ γὰρ τῆς συνθέσεως τῶν λίθων καὶ τῶν ξύλων ἔχει τὸ ἓν ἐπίκτητον. φησὶν οὖν ὅτι οὐκ ἐξ ἀνάγκης, ἐὰν τοῦτο τιθῶμεν καὶ ὑποθώμεθα ὁρισμὸν εἶναι τοῦδε τοῦ πράγματος, ὁ δὲ ὁρισμὸς τὸ αὐτὸ δηλοῖ ὄνομα, τουτέστιν ὃ ἂν ὄνομα λόγῳ τὸ αὐτὸ σημαίνει, ἤδη ὁρισμὸν εἶναι τοῦτον, ὥσπερ ἐπὶ τῆς Ἰλιάδος εἰρήκαμεν καὶ τοῦ οἴκου, ἀλλὰ τῷ λόγῳ, τουτέστι τῷ μὴ δηλοῦντι τὸ ἓν κατὰ συνέχειαν ἢ κατὰ σύνδεσμον. τοῦτο δέ, ἐὰν ὁρισμὸς ἑνὸς πράγματος ὑπάρχῃ μὴ ἔχοντος τὸ ἓν τῇ συνεχείᾳ, ὥσπερ ἡ Ἰλιὰς ἢ ὅσα συνδέσμῳ ἔχουσι τὸ ἕν, ἀλλ᾽ ὁσαχῶς λέγεται τὸ ὄν. τὸ δὲ ἓν λέγεται ὥσπερ καὶ τὸ ὄν, τὸ δὲ ὂν τὸ μέν ἐστιν οὐσία, τὸ δὲ ποσόν, τὸ δὲ ποιόν. διὸ οὐδὲ λευκοῦ ἀνθρώπου ἔσται λόγος, τουτέστι τοῦ συνθέτου, ἐπειδὴ ἀμφότερα ὄντα· ἄλλον δὲ τρόπον τοῦ λευκοῦ καὶ ἄλλον οὐσίας, ἐπειδή, ὡς εἴρηται, κυρίως ὄν ἐστιν ἡ οὐσία. id.

1030b 14. τὴν αἰτίαν τίθησι δι᾽ ἣν δοκεῖ λόγους εἶναι καὶ ὁρισμοὺς τῶν συνθέτων· ἐκ προσθέσεως γὰρ τὰ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου συγκείμενόν φησιν ὡς τὸν λευκὸν ἄνθρωπον, ἴσον λέγων ὡς εἴ τις μὴ δῷ λόγον εἶναι καὶ ὁρισμὸν τοῦ λευκοῦ ἀνθρώπου τὸ ζῷον πεζὸν δίπουν ἔχον χρῶμα διακριτικὸν ὄψεως. τίνος οὖν ἔσται οὗτος ὁ ὁρισμός, καὶ ἁπλῶς πάντων τῶν ἐκ προσθέσεως οἱ λόγοι τίνος ἔσονται,

1030a
2. ἆρ' οὖν ἐστὶ τὸ τί ἦν εἶναί τι ἢ ὅλως ἢ οὔ; πολλαχοῦ μνησθεὶς τοῦ τί ἦν εἶναι (τοῦτο δ' ἐστὶν ἡ ἑκάστου φύσις) καὶ ἐνδειξάμενος τὴν διαφορὰν αὐτοῦ, ἥτις ἐστὶ πρὸς τὸν ὁρισμόν, καὶ εἰπὼν τί ἐστι τὸ τί ἦν εἶναι, ὅτι ἡ φύσις πάντων τῶν κατὰ μέρος ἀνθρώπων συνῃρημένων καὶ ἅμα νοουμένη, — ἐπεὶ δή, ὡς ἐν τῇ Ἀποδεικτικῇ εἴρηται, προηγεῖται τὸ εἰ ἔστι τοῦ τί ἐστι, ζητεῖ εἰ ἄρα ἐστί τι τῶν ὄντων τὸ τί ἦν εἶναι, τουτέστιν ἡ ἑκάστου οὐσία; εἰ οὖν τὸ τί ἦν εἶναι ἡ ἑκάστου οὐσία, τὰ δὲ καθ' ἕκαστόν ἐστι, δῆλον ἄρα ὅτι καὶ τὸ τί ἦν εἶναι τῶν ὄντων ἐστίν. καὶ ἐπεὶ τὸ τί ἦν εἶναι ἐπὶ τῶν οὐσιῶν ἐστίν, τουτέστι τὸ τί ἦν εἶναι οὐδὲν ἄλλο ἐστὶν ἢ πᾶσαι αἱ ἄτομοι ἐν ἑκάστῳ οὐσίαι, αὗται μὲν καθ' αὑτάς εἰσιν: ὅταν δ' ἄλλο κατ' ἄλλου λέγηται, οὐκ ἔστιν ὅπερ τόδε τι καὶ καθ' αὑτό· ὁ γὰρ λευκὸς ἄνθρωπος οὐκ ἔστι καθ' αὑτό, ἀλλ' ἐν τῷ ἀνθρώπῳ· τὸ γὰρ τόδε τι ταῖς οὐσίαις μόναις ἀφώρισταί τε καὶ ὑπάρχει. Alex.

γρ. "ὅπερ γάρ τί ἐστι τὸ τι ἦν εἶναι," ἤγουν οὐσία τις καὶ φύσις ἐστὶ τὸ τί ἦν εἶναι ἑκάστῳ. cod. Reg.

1030a
4. "οἷον ὁ λευκὸς ἄνθρωπος οὐκ ἔστιν ὅπερ τόδε τι," ἐπειδὴ μόναις ταῖς οὐσίαις ὑπάρχει τὸ ὅπερ τόδε τι, τουτέστιν ὁρισμός. εἰ τοίνυν τοῦτό ἐστι τὸ τί ἦν εἶναι, τουτέστιν οὐσία, ὅσων ὁ λόγος ἐστὶν ὁρισμὸς καὶ οὐκ ὄνομα, ἤγουν ὑπογραφή... ἕκαστον γὰρ πρᾶγμα ἔχει καὶ ὄνομά τι καὶ ὑπογραφήν. -συμβήσεται οὖν καὶ τῆς Ἰλιάδος εἶναι ὁρισμόν. Asclep.

1030a
10. "τοιαῦτα — λέγεσθαι." ὅταν γὰρ λέγωμεν ὅτι λευκόν, οὐ τὴν λευκότητα αὐτὴν κατ' αὐτήν φαμεν, ἀλλὰ τὴν λελευκασμένην οὐσίαν, οἷον χιόνα Σωκράτην ἢ ἄλλο τι τοιοῦτον. ὅταν δὲ λέγωμεν ὅτι ἄνθρωπος, οὐκ ἄλλο τί φαμεν, οὐδ' ἄλλο τι προσλογιζόμεθα, ἀλλ' αὐτὴν τὴν τοιάνδε οὐσίαν τὴν δύναμιν τὴν καθ' αὑτὴν εἶναι. ἐκ δὴ τῶν εἰρημένων φανερὸν ὅτι οὐκ ἔστι τὸ τί ἦν εἶναι οὐδενὶ τῶν μὴ γενομένων εἰδῶν, ἀλλ' ἐκείνων ἐστὶ τὸ τί ἦν εἶναι, ἐστὶ τῶν ἀτόμων, ἐξ ὧν τὰ εἴδη κεχώρισται. ταῦτα δὲ τὰ εἴδη, ἐπειδὴ οὐδὲν ἄλλο ἐστὶν ἢ τὰ καθ' ἕκαστα (ἐν γὰρ τοῖς καθ' ἕκαστα αὐτοῖς τὸ εἶναι· περὶ τούτων καὶ γὰρ ὁ λόγος, ἀλλ' οὐχὶ περὶ τῶν ἃ ἡ διάνοια χωρίσασα παρ' ἑαυτῇ ἔχει), ταῦτα οὖν τὰ εἴδη οὐ κατὰ μετοχὴν λέγονται, ἤτοι οὐχ ὡς συμβεβηκότα κατηγοροῦνται καὶ πάθη εἰσὶν ὧν κατηγοροῦνται, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν ἢ τὸ θερμόν, ἀλλ' ὡς οὐσίᾳ καὶ φύσει μηδὲν διαφέροντα τῶν μερικῶν, ἀλλὰ μόνῳ τῷ καθ' ὅλου δύναται. Alex.

ὥστε οὐ δυνατὸν εἶναι ὁρισμὸν τὸ αὐτὸ καὶ λόγον καὶ ὄνομα καὶ τῶν μὴ ὑπαρχόντων καθ' αὑτό, ἀλλ' ἐὰν πρώτου τινός, ἢ τὸ τοιοῦτόν ἐστιν ὁρισμός. τοιαῦτα — ἄλλο κατ' ἄλλου λέγ., ἀλλ' ἑνὸς πράγματος καὶ μόνου· ὥστε οὐκ ἔσται ὁρισμὸς τῶν μὴ διαιρουμένων εἰδῶν ἐκ γένους, ὥσπερ τοῖς καθ' ἕκαστα· οὔτε γὰρ πρώτως ὑπάρχουσιν αὐτοῖς αἱ διαφοραί, ἀλλὰ διὰ μέσων τῶν εἰδῶν. τῶν οὖν εἰδῶν εἰσὶν οἱ ὁρισμοί· ταῦτα γὰρ οὐ κατὰ μετοχὴν ὑπάρχουσι τῶν διαφορῶν καὶ παθῶν, ὥσπερ τὰ συμβεβηκότα ἢ τὰ ἄτομα, ἀλλ' οὐσιωδῶς. τοῖς οὖν ἄλλοις ὑπάρχουσιν ὑπογραφαὶ ἤγουν ὀνόματα. Asclep.

1030a
13. δύναται τὸ "οὐ κατὰ μετοχὴν" νοεῖσθαι ἀντὶ τοῦ κεχωρισμένα ἐστὶ τὰ εἴδη, καὶ οὐ καθάπερ φησὶ Πλάτων, κατὰ μετοχὴν αὐτῶν τὰ καθ' ἕκαστα ἐστίν, ἀλλ' οὐσίαι εἰσὶν ἐν τοῖς καθ' ἕκαστα μεμερισμέναι πως καὶ ἀμέριστοι. Alex.

"ἢ — λέγεται." δείξας διὰ τῶν προλαβόντων λογικῶς ὅτι 1030a
οὐκ ἔστιν ὁρισμὸς τῶν συμβεβηκότων, ἐπειδὴ οἱ ὁρισμοὶ ἁπλῶν 17.
πραγμάτων ὑπάρχουσι καὶ τῶν καθ' αὑτό, τὰ δὲ συμβεβηκότα οὔτε καθ' αὑτὸ ὑπάρχουσιν· αὐτὸ γὰρ τοῦτο λέγεται κατὰ συμβεβηκός· οὔτε γὰρ ἁπλᾶ πράγματα ὑπάρχουσιν, ἐπειδὴ συνεισφέρουσι καὶ ἕτερα μεθ' ἑαυτῶν λεγόμενα· οὔτε γὰρ αὐτὰ καθ' αὑτὰ ὑποστῆναι δύνανται, — ἐντεῦθεν ἀνατρέπει τὰ εἰρημένα ὑπ' αὐτοῦ λογικῶς, καὶ δείκνυσιν ὅτι καὶ τῶν κατὰ συμβεβηκὸς ὑπαρχόντων εἰσὶν ὁρισμοί, κεχρημένος τοιούτῳ ἐπιχειρήματι, ὅτι ὥσπερ τὸ ὂν καὶ ἡ ὕπαρξις τῶν πραγμάτων πλεοναχῶς λέγεται, οὕτω καὶ οἱ ὁρισμοί. Asclep.

ὥσπερ καὶ τὸ ὂν ὑπάρχει πᾶσιν, ἀλλ' οὐχ ὁμοίως. id. 1030a
"τοῖς ἄλλοις" τουτέστι τοῖς συμβεβηκόσι. id. 21.
23.
"ἀλλ' ὥσπερ ἐπὶ τοῦ μὴ ὄντος λογικῶς." φασὶν οἱ σοφισταὶ 25.
εἶναι τὸ μὴ ὄν, οὐχ ἁπλῶς δὲ εἶναι αὐτὸ ἐροῦμεν, ἀλλ' οὕτως εἶναι ὡς μὴ ὄν, οὕτω δὲ καὶ τὸ ποιόν. id.

ἀλλ' ὥσπερ φασὶν οἱ σοφισταὶ περὶ τοῦ μὴ ὄντος. ἐρωτῶσι γὰρ οὕτως· τὸ μὴ ὂν ἔστιν ἢ οὐκ ἔστιν; εἰ μὲν οὖν ἔστιν, αὐτόθεν ἄτοπον τὸ λέγειν ὅτι ἔστι τὸ μὴ ὄν· εἰ δὲ μή ἐστι τὸ μὴ ὄν, αἱ δύο ἀρνήσεις μίαν κατάθεσιν ποιοῦσιν, ὥστε πάλιν ἔστι τὸ μὴ ὄν. λέγομεν οὖν ὅτι φαμὲν ὅτι ἔστι τὸ μὴ ὂν ὡς μὴ ὑπάρχον. οὕτως οὖν φημὶ καὶ ἐπὶ τῶν συμβεβηκότων ὅτι ὑπάρχουσιν αὐτῶν ὁρισμοί, οὐχ ὡς ἁπλῶς ὄντων ἀλλ' ὡς πῇ ὄντων. εἶτα ταῦτα εἰρηκὼς ζητεῖ, ἆρά γε συνωνύμως κατηγορεῖται τὸ ὂν τῶν δέκα κατηγοριῶν ἢ ὁμωνύμως; καὶ δείκνυσιν ὅτι οὔτε συνωνύμως οὔτε ὁμωνύμως, οὐχ ὁμωνύμως μέν, ἐπειδὴ ὅλως κοινωνοῦσι τῇ οὐσίᾳ κατὰ τὸ πρᾶγμα, τὰ δὲ ὁμώνυμα οὐ κοινωνοῦσιν ἀλλήλοις κατὰ πρᾶγμα· ταῦτα δὲ καθὸ καὶ αὐτὰ λέγονται ὄντα, μετέχουσι τοῦ ὄντος. οὐ συνωνύμως δέ, ἐπειδὴ οὐκ ἔστιν εἷς ὁρισμὸς τῆς οὐσίας καὶ τῶν συμβεβηκότων, ἐπειδὴ μήτε μιᾶς ὑπάρχουσιν οὐσίας, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, τουτέστι τῶν πολλαχῶς λεγομένων. id.

φησὶν ὅτι πρότερον δεῖ γιγνώσκειν τὸ πρᾶγμα οἷόν ἐστι, καὶ μετὰ 1030a
τοῦτο τὸ ὄνομα αὐτοῦ, εἶθ' οὕτως τὸν ἀκριβῆ λόγον διδόναι περὶ αὐτοῦ. 27.
τοῦτο οὖν φησὶν ὅτι δεῖ μὲν σκοπεῖν περὶ ἑκάστου πῶς δεῖ λέγειν. πρότερον δὲ δεῖ σκοπεῖν τὴν φύσιν τοῦ πράγματος καὶ ὡς ἔχει φύσεως, καὶ τότε τὸ ὄνομα αὐτοῦ πολυπραγμονεῖν. διὸ καὶ νῦν, ἐπεὶ τὸ λεγόμενον φανερόν ἐστιν, ὅτι περὶ ὄντος ἐστὶν ὁ λόγος, καὶ ὁ ὁρισμὸς ὁμοίως ὑπάρχει πρώτως μὲν καὶ κυρίως τῇ οὐσίᾳ, ἐπειδὴ καὶ αὕτη κυρίως ὄν, μετὰ δὲ ταῦτα καὶ τοῖς συμβεβηκόσιν, ὥσπερ καὶ ὁ ὁρισμὸς τῶν συμβεβηκότων οὐχ ἁπλῶς ἐστὶν ὁρισμός, ἀλλὰ ποσοῦ ἐστὶν ὁρισμὸς καὶ ποιοῦ. δεῖ γὰρ λέγειν τὰ συμβεβηκότα ἢ ὁμωνύμως εἶναι ὄντα, ἢ προστιθέντα καὶ ἀφαιροῦντα, ὅτι ποσὸν ἐν οὐσίᾳ καὶ ποιὸν ὁμοίως· καὶ τὸ μὲν προστιθέντα περὶ τῶν συμβεβηκότων λέγειν, τὸ δὲ ἀφαιροῦντα περὶ τῶν οὐσιῶν, οἷον λέγεται ὁ ὁρισμὸς ποσοῦ καὶ ποιοῦ, ἐπειδὴ τῆς οὐσίας διαφέρειν τὸ τῆς οὐσίας ὄνομα καὶ λέγειν, ὁρισμὸς τοῦ ὄντος, ἐπειδὴ κατὰ τοῦ ἁπλῶς ὄντος λέγεται ἡ οὐσία, ὥσπερ καὶ τὸ μὴ ἐπιστητὸν λέγομεν ἐπιστητόν, οὕτως δὲ καὶ τὰ συμβεβηκότα ἐρω-

τῇ ἐπιφανείᾳ, ὥστε καὶ ὁ ὁρισμὸς αὐτῆς γίνεται. "ἐπειδὴ — σύνθετα." ἐντεῦθεν ζητεῖ εἰ ἄρα ὑπάρχουσιν ὁρισμοὶ τῶν συμβεβηκότων, . . . καὶ πιθανῶς ἀνατρέπει ὅτι οὐκ εἰσί, λέγων οὕτως, ὅτι ἐπειδή ἐστι καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις, φημὶ δὴ ταῖς λοιπαῖς ἐννέα, τοῦ συμβεβηκότος σύνθετα. . ., δεῖ σκοπεῖν εἰ ἄρα ὑπάρχει ὁρισμὸς καὶ τούτων τῶν συμβεβηκότων. ἀλλὰ μὴν οὐδὲ τὸ ἐπιφάνεια φησὶν ἐπιφάνεια λευκή ἐστιν, οὐδὲ ἔστιν φύσις ἐπιφανείας καὶ τί εἶναι ἡ λευκὴ ἐπιφάνεια· ἐπὶ πλέον γὰρ ἐπιφάνεια τῆς λευκῆς ἐπιφανείας καὶ πιθανῶς. Asclep.

τί ἦν εἶναι καὶ ὁρισμοῦ διαφορὰν ὁ μὲν Ἐφέσιος τοῦτό φησιν, ὅτι τὸ μὲν τί ἦν εἶναι αὐτὸ τὸ πρᾶγμα καὶ τὴν φύσιν αὐτοῦ συνηγμένως καὶ συνεπτυγμένως καὶ ἅμα ὡς ἓν καὶ φύσιν νοουμένην δηλοῦν ἐστίν, ὁρισμὸς δ' ἐστὶν ἡ κατὰ ἀνάπλωσιν καὶ ἀπαρίθμησιν τῶν ἐξ ὧν σύγκειται τὸ εἶδος μερῶν νόησις. ὁ δὲ διδάσκαλος, ὡς καὶ ὄπισθεν ἔφαμεν, τὸ μὲν τί ἦν εἶναι ἐπὶ τῶν ἀΰλων φησὶ καὶ ἀσωμάτων λέγεσθαι, ὧν ἡ ὕπαρξις ἀμερής τε καὶ οὐ μᾶλλον ἔστιν ἢ ἦν, τὸν δὲ ὁρισμὸν ἐπὶ τῶν ὑλικῶν τε καὶ σωματικῶν, ὧν καὶ ἡ οὐσία καταμεμερισμένη τοῖς συμβεβηκόσι καὶ οὐχ ὁλοσχερής. cod. Reg.

γρ. "ἐπιφανείᾳ λευκόν." id.

1029 b 19. "ἐν — αὐτό." τουτέστιν οὗτος ἐστὶ λόγος καὶ ὁρισμὸς ὁ δηλωτικὸς τοῦ τί ἦν εἶναι καὶ τῆς φύσεως ἑκάστῳ, ἐν ᾧ λόγῳ λέγοντι καὶ ἀναπτύσσοντι αὐτό, τὸ ὁριστόν, μὴ ἐνυπάρχει ἐν τῷ λόγῳ αὐτό, ἤτοι τὸ ὁριστόν. Alex.

1029 b 23. "ἔστι — ἑκάστῳ." οἷον τῷ ποιῷ καὶ τῷ ποσῷ καὶ τῷ ποτὲ καὶ ταῖς κατηγορίαις δεῖ σκοπεῖσθαι, εἰ ἄρα ὑπάρχει ὁρισμὸς καὶ τούτων τῶν συμβεβηκότων· οἷον τίς ἐστιν ὁρισμὸς τοῦ λευκοῦ ἀνθρώπου· ἔστω δὴ ἓν ὄνομα τοῦ λευκοῦ ἀνθρώπου τὸ ἱμάτιον· ἔστιν οὖν ὁρισμὸς ἱματίου, ὃν δεῖ ζητῆσαι. Asclep.

1029 b 25. "ἆρ' — αὐτῶν." τουτέστιν, δύναται τις μία φύσις εἶναι ὁ ἄνθρωπος καὶ τὸ λευκόν, καὶ ὑπάρχειν τὸ τί ἦν εἶναι τῷ λευκῷ ἀνθρώπῳ καὶ εἶναι ὁρισμὸν τοῦ λευκοῦ ἀνθρώπου, ἐπεὶ δὲ οἱ ὁρισμοὶ ὀνομάτων εἰσὶν ἀλλ' οὐ λόγων, ἔμελλε δέ τις λέγειν ὅτι τοῦ ἀνθρώπου λευκοῦ λόγου ὄντος ἀλλ' οὐκ ὀνόματος, πῶς ἔσται αὐτοῦ ὁ ὁρισμός, λέγει ὅτι ἔστω δὴ ὄνομα τῷ λευκῷ ἀνθρώπῳ ἱμάτιον. ἔστιν οὖν ὁρισμὸς τοῦ ἱματίου ἤτοι τοῦ λευκοῦ ἀνθρώπου ἢ οὔ; καὶ ἐρωτήσας ἐπικρίνει λέγων "ἀλλὰ μ. οὐδὲ τ. κ. α. λ. οὐδὲ τοῦτο," τουτέστιν ἐκείνων τῶν φύσεων τῶν καθ' αὑτὸ οὐσῶν καὶ ἐνυπάρξει ὁρισμοὺς εἶναί φαμεν· ὁ δὲ λευκὸς ἄνθρωπος καθ' αὑτὸ μὴ ὢν μηδὲ δυνάμενος εἶναι καθ' αὑτό, ἀλλ' ἐν τῷ ἀνθρώπῳ ὤν, ὥσπερ καὶ ὁ μουσικὸς Σωκράτης ἐν τῷ Σωκράτει, πῶς ἔσται τοῦ λευκοῦ ἀνθρώπου ὁρισμός; εἰ γὰρ ἦν αὐτοῦ ὁρισμός, ἦν ἂν καὶ τί ἦν εἶναι, ἤτοι φύσις αὐτὴ καθ' αὑτὴν συγκεχυμένη καὶ ὑπὸ τοῦ ὁρισμοῦ ἀναπτυσσομένη· ἀλλ' ὁ μὲν ἄνθρωπός ἐστιν, ὁ δὲ λευκὸς ἄνθρωπος οὐκ ἔστιν, ἀλλὰ συνέβη τῷ ἀνθρώπῳ. εἰπὼν δὲ ὅτι ὁ λευκὸς ἄνθρωπος οὐκ ἔστι τῶν καθ' αὑτό, ἐπιχειρεῖ διὰ τῶν τοῦ μὴ καθ' αὑτὸ σημαινομένων δεῖξαι ὅτι ὁ λευκὸς ἄνθρωπος τῶν καθ' αὑτό ἐστι, λέγων "ἢ τὸ οὐ καθ' αὑτὸ λέγεται διχῶς," καὶ τούτου ἐστὶ τὸ μὲν ἐκ προσθέσεως, τὸ δὲ οὐκ ἐκ προσθέσεως. καὶ τοῦ μὲν ἐκ προσθέσεως οὐ καθ' αὑτὸ τέθεικεν ὑπόδειγμα τὸ "τὸ μὲν γὰρ τῷ αὑτὸ ἄλλῳ προσκεῖσθαι λέγεται," καὶ ἔστι τὸ λεγόμενον τοιοῦτον· εἴ τις ὁριζόμενος τὸ λευκὸν προσλάβοι καὶ τὸν τοῦ ἀνθρώπου ὁρισμόν, προστίθησι τὸ πρᾶγμα καὶ τὸν ὁρισμὸν αὐτοῦ ἐν ἄλλῳ πράγματι καὶ ὁρισμῷ. εἰ γάρ τις ὁριζόμενος τὸ λευκὸν λέγοι ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως ζῷον πεζὸν δίπουν, οὐχὶ λευκοῦ ὁρισμὸν ἀπέδωκεν ἀλλὰ λευκοῦ ἀνθρώπου. καὶ διὰ τοῦτο οὐ καθ' αὑτὸ ὡρίσατο τὸ λευκὸν διὰ τὸ τὸ λευκὸν ἐν ἄλλῳ ἤτοι τῷ ἀνθρώπῳ προσθεῖναι. τὸ μὲν οὖν οὕτω λέγεται οὐ καθ' αὑτό, "τὸ δὲ τῷ ἄλλο αὐτῷ." ἐλλιπῶς δὲ ἑρμηνευθὲν δεῖ προσθεῖναι τὸ δεῖν προσκεῖσθαι, ὃ οὐ πρόσκειται, ἵνα ᾖ τὸ πᾶν τοιοῦτον. τὸ δὲ λέγεται οὐ καθ' αὑτὸ ἐν τῷ δεῖν ἄλλο προσκεῖσθαι αὐτῷ, ὃ οὐ πρόσκειται· οἷον εἰ τὸ ἱμάτιον σημαίνει τὸν λευκὸν ἄνθρωπον, ὁ δὲ ὁριζόμενος τὸ ἱμάτιον λέγει ὅτι ἱμάτιόν ἐστι χρῶμα διακριτικὸν ὄψεως· δέον γὰρ προσκεῖσθαι τῷ ὁρισμῷ τοῦ ἱματίου καὶ ἄλλο τι, οἷον τὸ ζῷον πεζὸν δίπουν, οὐ πρόσκειται, ὥστε οὐ καθ' αὑτὸ ὁρίζεται τὸ ἱμάτιον. εἰ δὲ τὸ λευκὸν ὁριζόμενοι προσλαμβάνοιμεν τὸν ἄνθρωπον, οὐ καθ' αὑτὸ λέγεται, εἴπερ τὸ ἱμάτιον ὁριζόμενοι προσλάβοιμεν καὶ τὸ λευκὸν καὶ τὸν ἄνθρωπον, ἔσται τὸ ἱμάτιον, ἤτοι ὁ λευκὸς ἄνθρωπος τῶν καθ' αὑτό· εἰ δ' ἐστὶ τῶν καθ' αὑτό, ἔστιν ἄρα ὁρισμὸς αὐτοῦ, εἴπερ τῶν καθ' αὑτὸ οἱ ὁρισμοί. οὐκ ἄρα καλῶς εἴρηται ὡς λευκὸς ἄνθρωπος οὐκ ἔστι τῶν καθ' αὑτὸ λεγομένων, καὶ ἐπὶ τούτῳ οὐδὲ ὁρισμὸς ἔστιν αὐτοῦ. ταῦτα εἰπὼν τὴν μὲν ἀκριβῆ λύσιν μετ' ὀλίγον ἐρεῖ (p. 1030 a 17), ὅταν λέγῃ "ἢ καὶ ὁρισμὸς ὥσπερ καὶ τὸ τί ἐστι πλεοναχῶς λέγεται· καὶ γὰρ τὸ τί ἐστιν ἕνα μὲν τρόπον σημαίνει τὴν οὐσίαν." τὴν δὲ δὴ ἀκριβῆ λύσιν καὶ τὴν τοῦ λόγου διάρθρωσιν μετ' ὀλίγον ἐρεῖ, αὐτὸς δὲ τὰ προσεχῶς εἰρημένα εἰπὼν ἐπήγαγε. "ὃ δὴ λ. ἄνθρ. εἶναι λευκῷ, ἀλλὰ εἶναι" τουτέστι τὸ δὴ λέγειν ἄνθρωπος λευκός, ἐστὶ τοῦτο ἀληθές· ἔστι γὰρ τὸ λευκὸν ἐν ἀνθρώπῳ, καὶ ἐπὶ τούτῳ ἀληθὲς λέγειν ὅτι ἄνθρωπος λευκός, οὐ μέντοι ἐστὶν ἀνθρώπῳ τὸ τί ἦν εἶναι τὸ ἀνθρώπῳ εἶναι, ἤτοι οὐκ ἔστιν ὁ ἄνθρωπος ὅπερ τὸ λευκῷ ἀνθρώπῳ εἶναι. τὸ δὲ τί ἦν εἶναι λευκῷ ἀνθρώπῳ ὅπερ τὸ ἱματίῳ εἶναι ἐστίν· οὕτω γὰρ εἴρηται ὅτι ἔστι δὴ ὄνομα τῷ λευκῷ ἀνθρώπῳ τὸ ἱμάτιον. Alex.

1029 b 29. φησὶν οὖν ὅτι οὐκ ἔστιν ὁρισμὸς τῶν τοιούτων, ἐπειδὴ οὐχ ὑπάρχουσι τῶν καθ' αὑτὸ λεγομένων, τοιοῦτοι δὲ θέλουσιν εἶναι οἱ ὁρισμοὶ καθ' αὑτό· τὸ γὰρ οὐ καθ' αὑτὸ διχῶς λέγεται· ἢ γὰρ ἐκ προσθέσεως ἢ ἐκ διαζεύξεως· ἐκ μὲν οὖν προσθέσεως, ἐπειδὴ λευκὸν βουλόμενοι ὁρίσασθαι ἀποδεδώκαμεν λόγον ἀνθρώπου λευκοῦ, τὸ δὲ τοιοῦτον οὐκ ἔστι καθ' αὑτό· ἑνὸς δὲ πράγματός ἐστιν ὁ κυρίως ὁρισμός. πάλιν δὲ εἰ σημαίνοι τὸ ἱμάτιον λευκὸν ἄνθρωπον, ὁ δὲ ὁριζόμενος τὸ ἱμάτιον ὁρίζοιτο ὡς λευκόν· τοῦτο γὰρ οὐκ ἔστι καθ' αὑτὸ οὔτε τὸ ὅλον τὸ ζητούμενον ὁ ὁρισμὸς περιέλαβε, τὸ δὲ λευκὸν ἄνθρωπος. ὁ οὖν ἄνθρωπός ἐστι λευκός· οὐ μέντοι ὁ ὁρισμὸς αὐτοῦ λευκῷ εἶναι ὑπάρχει, ἀλλὰ τὸ ἱμάτιον εἶναι. ἐντεῦθεν ζητεῖ εἰ ἄρα τοῦ συνθέτου ἐστὶν ὁρισμός, καὶ φησὶν οὕτως. ἆρα τοῦ ἱματίου, τουτέστι τοῦ συνθέτου, ἐστὶν ὁρισμὸς ἢ οὐκ ἔστι; τῆς γὰρ οὐσίας ἐστὶ κυρίως ὁρισμός, ἐπειδὴ καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων ἐστὶ καὶ ἑνὸς πράγματος· ὅταν δὲ ἄλλο κατ' ἄλλου λέγηται, οὐκ ἔστι τοῦ τοιούτου ὁρισμός, ἐπεὶ μήτε μίαν φύσιν δηλοῖ. Asclep.

Ἀλεξάνδρῳ γνωρίμων ἐποίησεν αὐτῷ γνώριμα τὰ τῇ φύσει γνώριμα. Alex.

1029 b 10. ἐκεῖθεν γὰρ καὶ τοῖς αἰσθητοῖς τὸ εἶναι ὑπάρχει. δεῖ οὖν ἡμᾶς ἐκ τῶν φαύλως μὲν γνωστῶν, τουτέστιν ἐκ τῶν αἰσθητῶν, ἡμῖν δὲ μᾶλλον γνωρίμων τὰ κυρίως γνωστὰ θηρῆσαι καὶ μὴ ὑπερβάθμιεν πόδα τεῖναι. δεῖ οὖν πρότερον εἰπεῖν ἡμᾶς περὶ τοῦ ἐνύλου εἴδους ἔνια λογικῶς, τουτέστιν οὐκ ἀκριβῶς· εἶπε γὰρ οὐκ ἀκριβῶς, ἐπειδὴ δείκνυσιν ὅτι μόνων τῶν οὐσιῶν ὑπάρχουσιν ὁρισμοί, καὶ ὕστερον ἀποδείκνυσιν ἀληθῶς ὅτι καὶ τῶν συμβεβηκότων ὑπάρχουσιν ὁρισμοί. ἢ "λογικῶς" εἶπεν, ἐπειδὴ ἐκ τοῦ ὑστέρου τὸ πρότερον βούλεται κατασκευάσαι, τουτέστιν ἐκ τοῦ ὁρισμοῦ τὸ εἶδος· πρότερον γάρ ἐστι τὸ εἶδος τοῦ ὁρισμοῦ. Asclep.

1029 b 12. ἀλλὰ πρὸ τῆς τῶν λεγομένων σαφηνείας τοσοῦτον καὶ τοσοῦτον διοριστέον, ὅτι ἄλλο μέν φησι τὸ τί ἦν εἶναι καὶ ἄλλο τὸν λόγον ἤτοι τὸν ὁρισμόν. τί ἦν εἶναι μὲν λέγει αὐτὸ τὸ πρᾶγμα καὶ τὴν φύσιν αὐτοῦ, συνημμένως καὶ συνεπτυγμένως καὶ ἅμα ὡς ἓν νοουμένην... ὁρισμὸν δὲ λέγει τὴν κατὰ ἀνάπλωσιν καὶ ἀναρίθμησιν τῶν ἐξ ὧν σύγκειται τὸ εἶδος μερῶν νόησιν. καὶ τούτῳ διαφέρει τὸ τί ἦν εἶναι τοῦ ὁρισμοῦ, ὅτι ἐκεῖνο μέν ἐστι νόησις συγκεχυμένη, καὶ ὥς φησιν ὡς ἓν τὸ πρᾶγμα θεωροῦσα, ὁ δὲ ὁρισμὸς ἀνάπτυξίς τις τοῦ πράγματος καὶ ὑπαρίθμησις τῶν αὐτοῦ μερῶν. Alex.

1029 b 14. οὐ γάρ ἐστι τό σοι εἶναι τὸ μουσικῷ εἶναι, τουτέστι λέγεται ὁ Σωκράτης μουσικός, ἀλλ' οὐκ ἔστι τὸ Σωκράτει εἶναι τὸ μουσικῷ εἶναι· οὐδ' ἔστιν ἡ φύσις αὐτοῦ τὸ μουσικῷ εἶναι· οὐ γὰρ καθ' αὑτό ἐστι μουσικός, οὐδὲ τὸ τί ἦν εἶναι τοῦ Σωκράτους καὶ τῶν κατὰ μέρος ἀνθρώπων. εἰπὼν δὲ τοῦτο... ἐπήγαγε τὸ "οὐδὲ δὴ τοῦτο πᾶν." id.

1029 b 15. καί φησιν ὅτι ἐκεῖνός ἐστιν ὁρισμὸς ὁ δηλῶν τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος καθ' αὑτὸ οἷον Σωκράτης. Asclep.

1029 b 16. οὐκ ἔστιν οὖν τὸ λευκὸν τῇ ἐπιφανείᾳ καθ' αὑτὸ ὡς τὸ τί ἦν εἶναι τοῖς μέρεσιν αὐτοῦ, διότι τὸ μὲν Σωκράτει εἶναι τὸ ἀνθρώπῳ εἶναί ἐστιν, ἀνθρώπῳ εἶναι λέγων κατὰ τὴν δοτικὴν πτῶσιν τὸ τί ἦν εἶναι τὸ ὑπὸ τοῦ ἄνθρωπος ὀνόματος δηλούμενον· τὸ δ' ἐπιφανείᾳ εἶναι οὐκ ἔστι τὸ λευκῷ εἶναι· ἄλλη γὰρ φύσις ἐπιφανείας καὶ ἄλλη λευκοῦ. Σωκράτους δὲ καὶ τοῦ τί ἦν εἶναι τοῦ ὑπὸ τοῦ ἄνθρωπος ὀνόματος δηλουμένου οὐκ ἄλλη ἀλλ' ἡ αὐτή. ἀλλὰ μὴν οὐδὲ τὸ ἐπιφανείᾳ εἶναι ἔστι τὸ ἐπιφανείᾳ εἶναι λευκῇ· οὐ γάρ ἐστι ταὐτὸν τὸ ἐπιφανείᾳ εἶναι τοῦ ἐπιφανείᾳ λευκῇ. καὶ τοῦ πῶς οὐ ταὐτὸν ἀλλ' ἕτερόν ἐστι τὸ ἐπιφανείᾳ εἶναι τοῦ λευκῇ ἐπιφανείᾳ, πάνυ συντόμως καὶ διὰ τοῦτο ἀσαφῶς τὴν αἰτίαν ἐπήγαγε εἰπὼν "ὅτι πρόσεστιν αὐτό," αὐτὸ λέγων τὸ ὁριστὸν ἤτοι τὴν ἐπιφάνειαν· οὐκ ἔστιν οὖν τὸ ἐπιφανείᾳ εἶναι, ὅπερ τὸ ἐπιφανείᾳ λευκῇ, ὅτι ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας λαμβάνεται ἡ ἐπιφάνεια· τὸν μὲν γὰρ Σωκράτην ταὐτόν φαμεν εἶναι τῷ ἀνθρώπῳ, ὅτι ὅταν ὁριζώμεθα τὸν ἄνθρωπον, οὐ λαμβάνομεν εἰς τὸν τοῦ ἀνθρώπου ὁρισμὸν τὸν ἄνθρωπον· οὐ γὰρ ὁριζόμενοι τὸν ἄνθρωπον φαμὲν ὅτι ἄνθρωπός ἐστιν ἄνθρωπος ζῷον πεζὸν δίπουν. τὴν δὲ λευκὴν ἐπιφάνειαν ὁριζόμενοι λαμβάνομεν εἰς τὸν ὁρισμὸν αὐτῆς αὐτὴν τὴν ἐπιφάνειαν· λέγομεν γὰρ ὅτι λευκὴ ἐπιφάνεια ἔχουσα χρῶμα διακριτικὸν ὄψεως· ὥστε εἴληπται ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας ἡ ἐπιφάνεια. εἰ δὴ τὸν Σωκράτην φαμὲν ὅπερ τὸν ἄνθρωπον, ὅτι ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου οὐ λαμβάνεται ὁ ἄνθρωπος, δῆλον ὡς ἐπειδὴ ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας λαμβάνεται ἡ ἐπιφάνεια, οὐκ ἔστιν ἡ ἐπιφάνεια ὅπερ ἡ λευκὴ ἐπιφάνεια... φέρεται δὲ καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως "καὶ διὰ τί; ὅτι πρόσεστιν αὐτῇ." καὶ ἔστιν αὕτη σαφεστέρα ἡ γραφή. Alex.

καὶ διὰ τί, φησίν, οὐκ ἔστιν ἡ ἐπιφάνεια ὅπερ ἡ λευκὴ ἐπιφάνεια; ὅτι πρόσεστιν αὐτῇ ἡ ἐπιφάνεια ἐν τῷ τῆς λευκῆς ἐπιφανείας ὁρισμῷ. ταῦτα εἰπὼν συμπεραίνεται λέγων, ἐν ᾧ ἄρα μή ἐστι λόγῳ αὐτὸ λέγοντι αὐτό, οὗτος ὁ λόγος τοῦ τί ἦν εἶναι ἑκάστῳ, τουτέστι τὸ ὁριστόν. ἐν γὰρ τῷ τοῦ ἀνθρώπου λόγῳ λέγοντι, τί ἐστιν ἄνθρωπος, οὐκ ἐνυπάρχει ὁ ἄνθρωπος. ταῦτα εἰπὼν ἐπάγει "ὥστε εἰ τὸ ἐπιφανείᾳ λευκῇ εἶναί ἐστι τὸ ἐπιφανείᾳ εἶναι λείᾳ, τὸ λευκῷ καὶ λείῳ εἶναι τὸ αὐτὸ καὶ ἕν." καὶ ἔστιν οἶμαι λύσις πρός τινα λόγον δυνάμενον φέρεσθαι πρὸς τὰ λεγόμενα· ὁ δὲ δυνάμενος λόγος τοιοῦτος ἂν εἴη. εἰ γὰρ ὅτι ἡ ἐπιφάνεια ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας λαμβάνεται, ἐπὶ τούτῳ λέγεις, ὦ Ἀριστότελες, τὴν ἐπιφάνειαν μὴ εἶναι ὅπερ λευκὴ ἐπιφάνεια ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας, τὴν μὲν ἐπιφάνειαν οὐκ ἐάσομεν ἀλλὰ ληψόμεθα, τὸ δὲ λευκὸν παραλείψομεν. καὶ τοῦτο ποιησάντων πάντως δοίης ἂν τὴν ἐπιφάνειαν εἶναι ὅπερ ἡ λευκὴ ἐπιφάνεια· εἴπομεν γὰρ ἂν οὕτως, ὅτι λευκὴ ἐπιφάνειά ἐστιν ἐπιφάνεια λεία. πρὸς δὴ τοῦτον τὸν λόγον οἶμαι ἐπήχθη τὸ "ὥστε εἰ τὸ ἐπιφανείᾳ λευκῇ εἶναί ἐστι τὸ ἐπιφανείᾳ λείᾳ" καὶ τὰ ἑξῆς, ἴσον λέγων, ὥστε εἰ τὴν λευκὴν ἐπιφάνειαν ὁριζόμενός τις ἐρεῖ ὅτι τὸ ἐπιφανείᾳ λευκῇ εἶναί ἐστι τὸ ἐπιφανείᾳ εἶναι λείᾳ· τὸ δὲ λευκὸν καὶ τὸ λεῖον ταὐτόν, καὶ ἓν τὸ μὲν λευκὸν ὡρίσατο (τοῦτο γὰρ καὶ παρέλειπεν), τὴν δὲ λευκὴν ἐπιφάνειαν λείαν οὐχ ὡρίσατο, ὥστε ὅταν λέγῃ ὅτι λευκὴ ἐπιφάνειά ἐστιν ἐπιφάνεια λεία, οὐδὲν ἄλλο λέγει ἢ ὅτι τὸ λευκὸν λεῖόν ἐστιν καὶ ἔστι τὸ λευκῷ εἶναι καὶ λείῳ ταὐτὸν καὶ ἕν. id.

οἷον ὁ Σωκράτης ἐν τῷ ἀνθρώπῳ ἔχει τὸ εἶναι, οὐκ ἐν τῷ μουσικῷ· οὐ γὰρ κατὰ ταὐτὸν ὑπῆρχε μουσικός, τουτέστι καθ' αὑτὸν ἄλλος ἄνθρωπος ὑπάρχει καθ' αὑτό. καὶ οὐκ ἀρκεῖ μόνον τὸ καθ' αὑτὸ εἶναι εἰς ὁρισμόν. οὐ γὰρ τὸ οὕτως καθ' αὑτό, ὥσπερ τῇ ἐπιφανείᾳ ὑπάρχει τὸ λευκόν· οὐκ ἔστι γὰρ τὸ ἐπιφανείᾳ εἶναι τὸ λευκῷ εἶναι· οὐ γὰρ πᾶν λευκὸν ἐπιφάνεια, εἰ καὶ πρώτως αὐτοῦ μετέχει, ἐπειδὴ οὐκ ἐξισάζει, ὥσπερ τὸ ζῷον λογικὸν θνητὸν ἐξισάζει τῷ ἀνθρώπῳ. ἀλλὰ μὴν οὐδ' εἰ ὑπόθοιτό τις ἅμα λέγεσθαι τὴν ἐπιφάνειαν καὶ τὸ λευκόν, ἵνα τήνδε τὴν ἐπιφάνειαν λάβωμεν τὴν λευκήν· οὔτε γὰρ τὸ ὁριστόν ποτε περιλαμβάνεται μετὰ τοῦ ὁρισμοῦ· οὐδεὶς γὰρ λέγει ὅτι ἄνθρωπος ἄνθρωπός ἐστι ζῷον λογικόν. ἐν ᾧ οὖν ὁρισμῷ μὴ πρόσεστιν αὐτὸ τὸ ὁριστὸν λέγοντι καὶ περιελόντι τὸ ὁριστόν, τὸ τοιοῦτόν ἐστιν ὁρισμὸς τοῦ πράγματος. ὥστε εἰ ταὐτὸν λάβωμεν καὶ ὁρισμὸν τοῦ λευκοῦ τὸ λεῖον, ἀντὶ τοῦ τῆς ὄψεως διακριτικοῦ, ἵνα ταὐτὸν ὑποθώμεθα ἐπιφάνειαν λευκὴν καὶ λείαν, τὸ αὐτὸ ἔσται τὸ λευκὸν τῷ λείῳ. ὥστε ἐντεῦθεν συνάγεται ὅτι δεῖ ἐξισάζειν τὸ ὁριστὸν τῷ ὁρισμῷ. εἰ τοίνυν μὴ ἐξισάζει ἐπὶ τῆς ἐπιφανείας τὸ λευκόν (οὐ γὰρ πᾶσα ἐπιφάνεια λευκή), δῆλον ὅτι οὐκ ἂν κυρίως καθ' αὑτὸ ὑπάρχει τὸ λευκὸν

εἶναι οὐσίας· ἄλλην γὰρ οὐσίαν ἔλεγεν εἶναι μεγεθῶν καὶ ἄλλην ἀριθμῶν καὶ ἐπὶ πάντων τῶν ὁμοίων, καὶ πάλιν ἄλλην οὐσίαν νοῦ, καὶ ἄλλην ψυχῆς, καὶ ἄλλην σημείου, καὶ ἄλλην γραμμῆς καὶ ἄλλην ἐπιφανείας. Asclep.

1028 b 28. "ἔνιοι δὲ τὰ μὲν εἴδη καὶ τοὺς ἀριθμούς·" ἐντεῦθεν εἰς τὸν Ξενοκράτην ἀποτείνεται, καί φησιν ὅτι τὰ εἴδη τῶν πραγμάτων τοῖς ἀριθμοῖς προσηγόρευσαν, ἐπειδὴ ὥσπερ οἱ ἀριθμοὶ περιοριστικοί εἰσιν ὧν εἰσὶν ἀριθμοί, οὕτω δὴ καὶ τὰ εἴδη περιοριστικὰ τῆς ὕλης ὑπάρχουσιν. εἶτα μετὰ τὰς ἰδέας δευτέρας οὐσίας ὑποτίθεται τὰς διανοητικάς, τουτέστι τὰ μαθήματα γραμμὰς καὶ ἐπίπεδα, τελευταῖα δὲ τὰ φυσικά. id.

σκεπτέον τί μὲν ὑπὸ τούτων λέγεται καλῶς καὶ τί μή. Alex.

1028 b 33. καί φησιν ὡς εἰ μή τις ταύτην (τὴν οὐσίαν) πλεοναχῶς λέγεσθαι βούλοιτο, ἀλλ' οὖν τετραχῶς αὐτὴν λέγεσθαι δώσει. id.

1028 b 34. λέγει "καθόλου" ἢ τὰς ἰδέας, ὃ καὶ μᾶλλον οἶμαι, ἢ τὸ παρὰ τὰ πολλὰ ὡς τὰ πολλά, λέγω δὴ τὸ ἐκ τῆς ἀφαιρέσεως τῶν καθ' ἕκαστα ἀποσυληθέν. ἄλλου δὲ πάλιν οὐσία λέγεται τὸ ἑκάστου γένος. id.

λέγεται γὰρ οὐσία τὸ εἶδος αὐτὸ καθ' αὑτό, καὶ τὸ καθόλου, τουτέστιν ἡ ἰδέα. Asclep.

1029 a 1. τοῖς γὰρ πολλοῖς ἀνθρώποις μάλιστα δοκεῖ εἶναι οὐσία τὸ προκείμενον πρῶτον, τὸ δὲ ὑποκείμενον φαίνεται εἶναι καὶ ἡ ὕλη ὡς ὑπομένουσα καὶ δεχομένη. φαίνεται εἶναι καὶ τὸ εἶδος ὡς τελειοῦν τὴν ὕλην καὶ ὁρίζον καὶ τρόπον τινὰ εἰς τὸ εἶναι παράγον. τρίτον δὲ τὸ σύνθετον τὸ ἐκ τούτων. ὕλη οὖν ἐστὶ κατὰ ἀναλογίαν, ὥσπερ ὁ χαλκός, τὸ δὲ εἶδος τὸ ποιόνδε σχῆμα τοῦ χαλκοῦ, οἷον τοῦ ἀνδριάντος ἐκ τούτου συγκείμενος αὐτὸς ὁ ἀνδριάς· ὥστε εἰ τὸ εἶδος τῆς ὕλης πρότερον ὡς τελειοῦν, τὸ δὲ τελειοῦν τοῦ τελειουμένου πρότερον τῇ φύσει ὑπάρχει, καὶ τοῦ συνθέτου αὐτοῦ πρότερόν ἐστι τὸ εἶδος. Alex.

διό φησι περὶ τοῦ ὑποκειμένου πᾶσι καὶ καθ' οὗ τἄλλα λέγεται, ἐκεῖνο δὲ μὴ κατ' ἄλλου, διοριστέον τί ἐστιν· τοῦτο γὰρ μάλιστα δοκεῖ εἶναι οὐσία. τοῦτο δὲ τὸ πᾶσιν ὑποκείμενον καὶ μὴ κατ' ἄλλου λεγόμενον τρόπον μέν τινα ἡ ὕλη λέγεται, ἄλλον δὲ τὸ εἶδος, τρίτον δὲ τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους. id.

1029 a 5. διὸ εἰ πρότερον τὸ εἶδος τῆς ὕλης καὶ μᾶλλον ὄν, καὶ τὸ ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης πρότερόν ἐστι τῆς ὕλης. πρότερον δὲ τὸ εἶδος τῆς ὕλης τῇ φύσει, ἀλλὰ μὴν καὶ τῷ χρόνῳ· δειχθήσεται γάρ τι εἶδος ὄν, ὁ πολυτίμητος φημὶ νοῦς, ἡ αὐτοαγαθότης, ὁ θεός, πρότερον πάντων τῷ χρόνῳ, ὅτι ποιητὴς καὶ ὅτι παροχεύς. id.

1029 a 7. ὥστε ἐν σκιαγραφίᾳ τέως εἴρηται ἡμῖν τί ἐστιν οὐσία, ὅτι τὸ μὴ καθ' ὑποκειμένου ἀλλὰ καθ' οὗ τὰ ἄλλα λέγονται. ὅμως καὶ οὕτως ἄδηλόν ἐστιν· δύναται γὰρ καὶ ἡ ὕλη ὑποκείμενον εἶναι, καὶ διὰ τοῦτο καὶ οὐσία· μόνη γὰρ αὕτη ὑπομένει τῆς ἄλλης διαφευγούσης. Asclep.

1029 a 10. ἄδηλον γὰρ τί ποτέ ἐστι τὸ ὑποκείμενον πᾶσι καὶ ὃ μὴ κατ' ἄλλου λέγεται· ποτὲ μὲν γὰρ φαίνεται ὅτι ὕλη ἐστὶ τὸ ὑποκείμενον πᾶσι. Alex.

1029 a 12. ἡ ὕλη ἂν εἴη οὐσία· τὸ μὲν γὰρ λευκὸν καὶ αἱ κινήσεις καὶ τὰ λοιπὰ πάθη καὶ ποιήματα καὶ δυνάμεις εἰσὶ τῶν σωμάτων. id.

τὰ μὲν γὰρ ἄλλα τῶν σωμάτων πάθη, τουτέστι μεταβολαὶ καὶ ποιήματα, ἐνέργειαι ὑπάρχουσι καὶ δυνάμεις. Asclep.

1029 a 20. "λέγω — λέγεται." τουτέστιν ἥτις αὐτὴ καθ' αὑτὴν θεωρουμένη κατὰ ἀπόφασιν καὶ ἀπογύμνωσιν τῶν εἰδῶν οὐδὲν τῶν δέκα κατηγοριῶν ἐστίν, ἐν αἷς πᾶν ὂν ὁρίζεται· πᾶν γὰρ ὂν εἰς ταύτας ἀνάγεται καὶ ἐν ταύταις ἐστιν. ἀλλὰ μήν, φησίν, οὐδὲ τὴν τῶν ποσοτήτων ἢ ποιοτήτων ἀπόφασιν, οἷον τὸ μὴ ποσόν, τὸ μὴ ποιόν, ἢ ἄλλην ἡντιναοῦν χρὴ λέγειν οὐσίαν· κατὰ συμβεβηκὸς γὰρ ὄντα εἰσὶν αἱ ἀποφάσεις, ἀλλ' οὐ καθ' αὑτό· τὸ δὲ κατὰ συμβεβηκὸς οὐκ οὐσία. ἐκ μὲν οὖν τούτων θεωροῦσι συμβαίνει οὐσίαν εἶναι τὴν ὕλην. Alex.

1029 a 22. "ᾧ τὸ εἶναι ἕτερον·" τὸ γὰρ ὑποκείμενον τούτων ἕτερόν ἐστι κατὰ τὸν ὁρισμόν, τουτέστιν ἡ ὕλη. Asclep.

1029 a 25. ὥστε τὸ ἔσχατον καθ' αὑτὸ οὐδεμία ἐστὶ τῶν κατηγοριῶν, οὔτε δὲ αἱ στερήσεις ταὐτόν εἰσι τῇ ὕλῃ, εἴγε ἡ μὲν οὐχ ὑπομένει ἐπιὸν τὸ εἶδος, ἡ δὲ ὕλη ὑπομένει, ἡ δὲ στέρησις οὐχ ὑπομένει, ὡς εἴρηται, ὕπαρξιν ἔχουσα κατὰ συμβεβηκός. id.

1029 a 23. κυρίως γὰρ οὐσία ἐστὶ τὸ χωριστόν, τουτέστι τὸ καθ' αὑτὸ ὑπάρχον καὶ τόδε τι, τουτέστι τὸ ἐνεργείᾳ, καθάπερ εἰρήκαμεν. διὸ τὸ εἶδος τὸ χωριστόν, τουτέστι τὸ νοητόν, δόξειεν ἂν εἶναι οὐσία... ὑστέρα γάρ ἐστι καὶ δήλη (ἡ ὕλη) ὡς αἰσθητή. φανερὰ δέ πως καὶ ἡ ὕλη ἐξ ἀναλογίας. id.

1029 a 32. ἀλλὰ καὶ τὴν ὕλην παραλείπεται· καὶ αὕτη γὰρ φανερά πως· τῇ γὰρ ἀναλογίᾳ ἐστὶ φανερά· καὶ ὅτι ἄνευ εἴδους οὐδέποτέ ἐστι, καὶ τοῦτο δῆλον. κατὰ τί δὲ ἀφανής, κατὰ τὸ νόησιν· νόθῳ γὰρ λογισμῷ ληπτή· κατὰ ἀπόφασιν γὰρ νοεῖται καὶ ἀπογύμνωσιν τῶν εἰδῶν, ἀλλ' οὐ κατὰ ἅπερ εἰσίν, ὡς τὰ εἴδη. ἀλλὰ ταῦτα μὲν ἀφετέον, περὶ δὲ τῆς τρίτης, τουτέστι τοῦ εἴδους, σκεπτέον (αὕτη γὰρ ἀπορωτάτη) πότερόν ἐστιν αὐτὴ καθ' αὑτήν, ὥσπερ ὁ Πλάτων λέγει, ἢ οὔ. Alex.

καὶ τότε δεῖ ἡμᾶς ὕστερον εἰπεῖν περὶ τῆς νοητῆς οὐσίας· δεῖ γὰρ ἡμᾶς ἄρχεσθαι ἀπὸ τῶν ἡμῖν σαφεστέρων καὶ συγκεχυμένων, ὡς εἴρηται ἐν τῇ Φυσικῇ Ἀκροάσει (1 1). Asclep.

1029 b 1. βουλόμενος ἐπὶ τὴν τῶν εἰδῶν ἐξέτασιν χωρεῖν καὶ ζητεῖν εἰ ἐνδέχεται χωριστὰ εἶναι καὶ καθ' αὑτὰ χωρὶς ὕλης ἢ μή, λέγει ὅτι θεωρητέον πρῶτον τὰ ἔνυλα εἴδη καὶ γνώριμα ἡμῖν, ὅπως ἔχει. ἐκ τούτων γὰρ γνωσόμεθα καὶ περὶ ἐκείνων, εἴτε εἰσίν, ὡς ὁ Πλάτων λέγει, εἴτε οὐκ εἰσίν. Alex.

1029 b 3. ἐπεὶ δὲ ὑπὸ πάντων ὁμολογοῦνται οὐσίαι εἶναι αἱ αἰσθηταί, δεῖ ἡμᾶς περὶ αὐτῶν πρῶτον εἰπεῖν, καὶ ἄρξασθαι ἐκ τῶν ἡμῖν σαφεστέρων... δεῖ οὖν ἡμᾶς πρότερον εἰπεῖν περὶ τῆς οὐσίας τῆς ὁρισμοῖς λαμβανομένης, τουτέστι περὶ τοῦ ἐνύλου εἴδους. δεῖ γὰρ ἐκ τῶν σαφεστέρων προϊέναι ἐπὶ τὰ ἀσαφέστερα, ἐπειδὴ καὶ αἱ μαθήσεις οὕτω γίνονται. Asclep.

1029 b 6. ὥσπερ γὰρ ἐν ταῖς πράξεσι σπουδάζουσιν οἱ νομοθέται, ἵνα ἐκ τῶν ἑκάστῳ ἀγαθῶν ἀπεργάζωνται τὰ ὅλως καὶ καθ' αὑτὰ ἀγαθὰ πᾶσι τοῖς πολίταις ἀγαθά, οὕτως ἐκ τῶν ἑκάστῳ γνωρίμων τὰ τῇ φύσει μὲν γνώριμα, ἑκάστῳ δὲ ἄγνωστα σπεύδει ὁ διδάσκων ποιῆσαι αὐτῷ, λέγω δὴ τῷ ἀγνοοῦντι γνώριμα· ὁ γὰρ Σωσιγένης ἐκ τῶν

πρώτη οὖν πάντων ἐστὶν ἡ οὐσία καὶ φύσει καὶ χρόνῳ καὶ γνώσει. Asclep.

γρ. "πάντως" ἀντὶ τοῦ κατὰ πάντα τὰ τοῦ πρώτου σημαινόμενα, ἃ νῦν ἀπηρίθμηται. cod. Reg.

1028 b 2. καί φησιν ὅτι καὶ παλαιοὶ περὶ τοῦ ὄντος διαλεχθῆναι βουλόμενοι περὶ τῆς οὐσίας εἰρήκασι, καὶ οἱ μὲν ἓν εἰρήκασιν εἶναι τὸ ὄν, ὥσπερ Παρμενίδης καὶ Μέλισσος, οἱ δὲ πολλά, ὥσπερ Ἐμπεδοκλῆς λέγων τὰ τέσσαρα στοιχεῖα καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν, καὶ Παρμενίδης μὲν πῦρ καὶ γῆν, οἱ δὲ ἄπειρα, ὥσπερ Λεύκιππος καὶ Δημόκριτος καὶ Ἀναξαγόρας. καὶ πάλιν οἱ μὲν μίαν οὐσίαν εἶναι εἰρήκασιν, οἷον τὴν αἰσθητήν, ὥσπερ οἱ φυσικοὶ καὶ οἱ Στωϊκοί, οἱ δὲ τρεῖς εἰρήκασιν εἶναι οὐσίας, ὥσπερ Πλάτων τὰς ἰδέας καὶ τὰ μαθήματα, τουτέστι τὰ διανοήματα καὶ τὰς αἰσθητὰς οὐσίας, καὶ κυρίως μὲν οὐσίας ἔλεγε τὰς ἰδέας, οὐ κυρίως δὲ τὰ αἰσθητά· "τί τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γενόμενον μέν, ὂν δὲ οὐδέποτε" (Tim. p. 28). ὁμοίως καὶ οἱ περὶ Σπεύσιππον καὶ Ξενοκράτη. καὶ ὁ μὲν Σπεύσιππος πολλὰς ἔλεγεν εἶναι οὐσίας· ἄλλην γὰρ ἔλεγεν εἶναι μεγεθῶν καὶ ἄλλην ἀριθμῶν καὶ ἐπὶ πάντων τῶν ὁμοίων, καὶ πάλιν ἄλλην οὐσίαν νοῦ καὶ ἄλλην ψυχῆς, καὶ ἄλλην σημείου καὶ ἄλλην γραμμῆς καὶ ἄλλην ἐπιφανείας. Asclep.

φανερόν ἐστι, φησίν, ὅτι καὶ τὸ πάλαι μὲν ἀεὶ ὑπό τε τοῦ Πλάτωνος καὶ τῶν ἄλλων, νῦν δὲ ὑφ' ἡμῶν ζητούμενον καὶ ἀπορούμενον, τί τὸ ὄν, τουτέστι τίς ἡ οὐσία. ἐπειδὴ γὰρ κυρίως ὂν καὶ πρῶτον ὂν καὶ τῷ λόγῳ καὶ τῷ χρόνῳ καὶ γνώσει ἐστὶν ἡ οὐσία, τὸ ζητεῖν τί τὸ ὄν, τὸ ζητεῖν ἐστὶ τίς ἡ οὐσία. τοῦτο δὲ τὸ ὄν, λέγω τὴν οὐσίαν, οἱ μὲν ἓν εἶναί φασιν· ὅσοι γὰρ μίαν ἔλεγον τὴν ἀρχήν, ὥσπερ Θαλῆς καὶ οἱ λοιποί, οὓς ἴσμεν, καὶ τὸ ὂν ἓν ἔλεγον· ὅσοι δ' ἀπείρους, ὥσπερ Ἀναξαγόρας καὶ Δημόκριτος, καὶ τὰ ὄντα ἄπειρα ἀπεφήναντο εἶναι. διόπερ καὶ ἡμῖν φησὶ πρῶτον καὶ μάλιστα καὶ μόνως ὡς εἰπεῖν περὶ τοῦ ὄντως ὄντος καὶ κυρίως θεωρητέον τί ἐστιν. Alex.

1028 b 6. διὰ τοῦτο οὖν καὶ ἡμῖν μάλιστα καὶ πρῶτον καὶ μόνον ὡς εἰπεῖν περὶ τοῦ ὄντως ὄντος, τουτέστι τοῦ κατὰ τὴν οὐσίαν, δεῖ θεωρῆσαι, τίς ἐστιν ἡ κυρίως οὐσία. Asclep.

1028 b 8. οὐχ ὡς ἐνδοιάζων τὸ "δοκεῖ" εἶπεν, ἀλλ' ὡς ἀποφαινόμενος. ἢ τὸ "δοκεῖ" εἶπεν, ὅτι δείξει τοῦτο διὰ πάνυ πολλῶν. ὡς μήπω δὴ δεδειχὼς τοῦτο εἴρηκεν. ὅμως πρὸς τὰ ἐπαγόμενα συμφώνως ἐστὶ μάλιστα ἡ προτέρα ἐπιβολή. Alex.

1028 b 12. τὸ δὲ "ἢ μορίων ἢ πάντων," ὅτι ἐκ μὲν τῶν μορίων τῶν ἁπλῶν σωμάτων ἐστὶ τὰ ζῷα, ἐκ πάντων δὲ τῶν σωμάτων ἐστὶν ὁ οὐρανὸς καὶ τὰ μόρια αὐτοῦ, ἄστρα καὶ σελήνη. τοῦτο δ' ἐλλιπῶς εἴρηται καὶ ἀσαφῶς· δοκεῖ γὰρ λέγειν ὅτι καὶ ὁ οὐρανὸς καὶ οἱ ἀστέρες ἐκ τῶν τεσσάρων στοιχείων ἐστίν· οὐ τοῦτο δέ φησιν. id.

"ἢ μορίων ἢ πάντων·" καὶ μορίων μὲν λέγει τὰ ζῷα· ἐκ γὰρ τῶν μορίων τῶν στοιχείων συνεστήκασιν· ἐκ πάντων δὲ τὸν πάντα κόσμον... καὶ σημειωτέον ὅτι ἐνταῦθα ἐκ τῶν τεσσάρων στοιχείων φησὶν εἶναι τὸν οὐρανόν. Asclep.

1028 b 13. εἰπὼν ὅτι φανερώτατα μὲν οὐσίαι εἰσὶ τά τε σώματα καὶ τὰ λοιπά, ὅσα κατέλεξεν, ἐρωτᾷ πότερον αὗται μόναι αἱ λεχθεῖσαι οὐσίαι εἰσίν, ἢ ἄλλαι παρὰ ταύτας. καὶ ἐρωτήσας λέγων τόν τε Πλάτωνα καὶ τοὺς περὶ αὐτὸν λέγειν ὅτι τὰ τοῦ σώματος πέρατα μᾶλλόν εἰσιν οὐσίαι, ἀλλ' οὐ τὰ σώματα, καὶ τίνα τὰ πέρατα τοῦ σώματος, ἐπάγει, οἷον ἐπιφάνειαι καὶ μονὰς καὶ γραμμαί· ταῦτα γὰρ μᾶλλον εἶναι οὐσίας λέγεται ὑπ' ἐκείνων ἢ τὸ σῶμα καὶ τὸ στερεόν. τινὲς μὲν οὖν οὕτω φασίν, ὅτι τὰ ἐπίπεδα μᾶλλόν εἰσιν οὐσίαι. Alex.

τινὲς δὲ τὰ αἰσθητὰ μᾶλλον οὐσίας λέγοντες οὐδὲν οἴονται εἶναι παρὰ τὰ αἰσθητά, ὥσπερ Ἵππων μὲν πρότερον ὁ ἄθεος ἐπικληθείς (οὐδὲν γὰρ οὗτος παρὰ τὰ αἰσθητὰ εἶναι ἀπεφήνατο), ὕστερον οἱ περὶ Ἐπίκουρον· οἱ δὲ πλείους εἶναι λέγουσι τὰς οὐσίας, ὥσπερ Πλάτων, μίαν μὲν τὰ διανοητὰ μαθήματα, ἄλλην δὲ τὰ νοητὰ τὰς ἰδέας, καὶ τρίτην τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν, τουτέστιν αὐτὰ τὰ σώματα. Σπεύσιππος δὲ ὁ τούτου μαθητὴς καὶ πλείω τῶν τριῶν ἔλεγεν εἶναι τὰς οὐσίας τὰς νοητάς, πρώτην μὲν τὸ αὐτοέν, ἄλλην δὲ τὴν τῶν ἀριθμῶν ἀρχήν, ἄλλην τὴν τῶν μεγεθῶν, καὶ ἄλλην τὴν τῆς ψυχῆς. καὶ οὕτως ἐπεκτείνει εἰς πλῆθος τὰ γένη τῶν οὐσιῶν. ἔνιοι δὲ οὐκ ἄλλην μὲν ἀρχὴν τῶν ἀριθμῶν ἄλλην δὲ τῶν μεγεθῶν ἔλεγον, οὐδ' ἄλλης μὲν φύσεως τοὺς ἀριθμοὺς ἄλλης δὲ τὰ μεγέθη, ἀλλὰ τῆς αὐτῆς τε ἀρχῆς καὶ τῆς αὐτῆς φύσεως· τὰ δὲ ἄλλα, οἷον ἐπίπεδα, γραμμάς, οὐρανὸν καὶ ἁπλῶς τὰ αἰσθητὰ ἐχόμενα τοῖς ἀριθμοῖς ἔλεγον· τὸ μὲν γὰρ αὐτομέγεθος καὶ τὸν αὐτοαριθμὸν πρώτας οὐσίας φάσκοντες καὶ τῆς αὐτῆς φύσεως, τὰς δὲ γραμμὰς καὶ τὰ ἐπίπεδα καὶ τὸν οὐρανὸν καὶ ὅλως τὰ αἰσθητὰ δευτέρας, εἴτε δὴ καὶ ταῦτα τῆς αὐτῆς φύσεως ἔλεγον εἴτε μή, οὐκ ἐδήλωσαν. id. 1028 b 18.

ὥσπερ Ἵππων τε ὁ ἐπικληθεὶς ἄθεος καὶ μετ' αὐτὸν οἱ Ἐπικούρειοι. cod. Reg.

"Σπεύσιππος." ἀνεψιὸς οὗτος ὡς λέγεται καὶ φοιτητὴς τοῦ Πλάτωνος γέγονεν. id.

φησὶν ὅτι δεῖ ἡμᾶς ζητῆσαι πότερον αὗται καὶ μόναι οὐσίαι ὑπάρχουσιν αἰσθητικαὶ ἢ καὶ ἄλλαι, τουτέστιν ἀσώματοι· ἢ τούτων τῶν ἀσωμάτων τινὲς ἢ καὶ ἄλλων, τουτέστι τῶν αἰσθητῶν τινές, καὶ οὐ πᾶσαι· ἢ αὗται μὲν οὐκ εἰσὶν οὐσίαι, οὔτε αἱ νοηταὶ οὔτε αἱ αἰσθηταί, ἀλλὰ ἄλλαι. φησὶν οὖν ὅτι τοῖς μὲν Πυθαγορείοις δοκοῦσιν εἶναι οὐσίαι τὰ τοῦ σώματος πέρατα, οἷον ἐπιφάνεια, γραμμή, στιγμὴ καὶ μονάς. δῆλον δέ, φησίν, ὅτι ταῦτα συμβολικῶς ἔλεγον ἐκεῖνοι· τὴν γὰρ στιγμὴν ἐλάμβανον ἀναλόγως τῷ νῷ διὰ τὸ ἀμερές, τὴν δὲ γραμμὴν τῇ ψυχῇ διὰ τὸ ἔχειν τὸ πόθεν ποῖ, τουτέστιν ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα, τὴν δὲ ἐπιφάνειαν τῇ φύσει, τὰ δὲ σώματα τοῖς στερεοῖς, διὰ τὸ πλάτος καὶ μῆκος καὶ βάθος. ἄλλοι δέ, ὥσπερ οἱ φυσικοί, οὐκ οἴονται εἶναι ἑτέραν οὐσίαν παρὰ τὰ αἰσθητά, οἱ δὲ πλείονας τίθενται οὐσίας, ὥσπερ Πλάτων καὶ τὰς αἰσθητὰς καὶ τὰ μαθήματα καὶ τὰς νοητάς. καὶ μᾶλλόν φησι ταύτας οὐσίας εἶναι, τουτέστι τὰς νοητάς. Σπεύσιππος δὲ καὶ πλείους οὐσίας ὑποτίθεται ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος καὶ ἀρχὰς καὶ οὐσίας· ἄλλην γὰρ οὐσίαν λέγει εἶναι τῶν ἀριθμῶν καὶ ἄλλην τῶν μεγέθων, καὶ ἄλλην ψυχῆς, καὶ τούτων ἐπεκτείνει τὰς οὐσίας... ὁμοίως δὲ καὶ οἱ περὶ Σπεύσιππον καὶ Ξενοκράτην· καὶ ὁ μὲν Σπεύσιππος πολλὰς ἔλεγεν

ἡμᾶς, ἄνθρωπος, ἵππος, κύων ἅμα ἢ χωρίς· οὐδὲν γὰρ ἐντεῦθεν ἀληθὲς ἢ ψεῦδος· ἀλλὰ δεῖ λέγειν ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστιν, ἢ ὅτι ἄνθρωπος ζῷόν ἐστι ἢ οὐκ ἔστιν, ὥστε τὸ ψεῦδος καὶ τὸ ἀληθὲς οὐκ ἐν τοῖς πράγμασιν ἀλλ' ἐν τοῖς λόγοις· οἷον ὅτι τὸ ἀληθὲς ἀγαθὸν τὸ δὲ ψεῦδος κακόν· ἐν διανοίᾳ γάρ εἰσι, περὶ δὲ τὰ ἁπλᾶ καὶ τὰ τί ἐστιν ὑπάρχει ἡ διάνοια· ὁ γὰρ νοῦς αἱρεῖται ἁπλᾶ, τουτέστι τὰ νοητὰ ἁπλαῖς ἐπιβολαῖς. id.

ἐπειδὴ οὖν περὶ σύνθεσιν καὶ διαίρεσίν ἐστι τὸ ὡς ἀληθῶς ὂν καὶ τὸ ὡς ψεῦδος μὴ ὄν, τὸ σύνολόν ἐστι περὶ μερισμὸν ἀντιφάσεως, τουτέστιν ὡς ἁπλῶς εἰπεῖν τὸ ὡς ἀληθὲς ὂν ἔχει τὴν κατάφασιν ἐπὶ τοῦ συγκειμένου, ἤτοι τὸ ἀληθὲς ὂν συνίσταται, ὅταν τὸ κατηγορούμενον ἀληθῶς συνθῶμεν, καθ' οὗ κατηγορεῖται· τὸ δὲ ὡς ψεῦδος μὴ ὄν ἐστιν, ὅταν ψευδῶς ἀπὸ τοῦ ὑποκειμένου διαιρῶμεν, καὶ ὅλως τὸ ψεῦδος τούτου τοῦ μερισμοῦ τὴν ἀντίφασιν εἰσάγει, τουτέστι θάτερον μόριον τῆς ἀντιφάσεώς ἐστιν. ἀλλὰ τὸ μὲν ὡς ἀληθῶς ὄν ἐστιν, ὅταν ἀληθῶς συνάπτωμεν τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, τὸ δὲ ψεῦδος τοὐναντίον. εἰ δ' ἔστιν ἅττα ἅπερ χωρὶς λεγόμενα δύναται καὶ ἅμα νοεῖσθαι, ὡς τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν (ταῦτα γὰρ καὶ χωρὶς λεγόμενα δύναται καὶ ὡς ἓν νοεῖσθαι), περὶ τούτου, φησίν, "ἄλλος λόγος·" ἐρεῖ γὰρ ἐν τῷ μετὰ τοῦτο βιβλίῳ. Alex.

γρ. "τὸ ὡς ἀληθῶς ὄν," καὶ εἴη ἂν αὐτοῦ ἀπόδοσις ἐν τῷ "ὅσα μὲν οὖν." cod. Reg.

1027 b 27. οὐ μόνον δ' ἐν τοῖς πράγμασιν οὐκ ἔστι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἀλλ' οὐδ' ἐν τοῖς ἁπλοῖς τοῖς ἐν τῇ διανοίᾳ, ἁπλᾶ λέγων τὰ πράγματα τὰ καθ' αὑτὰ νοούμενα ἄνευ συνθέσεως καὶ διαιρέσεως. Alex.

τουτέστιν ἅμα μὲν λέγω μὴ τὰ ἐφεξῆς, ὥσπερ δὴ ἡ Ἰλιάς, 1027 b 24.
ἐφεξῆς γὰρ τῷ α' τὸ β' καὶ τὰ λοιπὰ ὁμοίως. μὴ ἅμα δὴ τὰ μὴ ἐφεξῆς· ἀλλὰ τὰ μὲν δυνάμενα ἓν γίνεσθαι λέγω ἅμα, τὰ δὲ μὴ δυνάμενα μὴ ἅμα. id.

τῷ μὲν ἀγαθὸν εἰπεῖν, εὐθὺς ἔδει λέγειν ἀληθές, καὶ ἦν ἂν τὸ 1027 b 27.
ἀγαθὸν ἀληθές· τῷ δὲ κακὸν ψεῦδος· καὶ ἔμπαλιν, τῷ μὲν κακὸν εἰπεῖν, εὐθὺς ἀληθὲς ἔδει λέγειν, τῷ δὲ ἀγαθόν, ψεῦδος. ἀλλὰ μὴν οὔτε ἀγαθὸν εἰπόντες ἀληθὲς λέγομεν ἢ ψεῦδος, οὔτε κακόν. οὐκ ἄρα ἐν τοῖς πράγμασι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐστίν, ἀλλ' ἐν τῇ διανοίᾳ. id.

τὸ ὡς ἀληθές, τὸ παρὰ σύνθεσιν καὶ διαίρεσιν ἕτερον ὄν ἐστι 1027 b 31.
τῶν κυρίως ὄντων, κυρίως ὄντα λέγων τὰς ἀτόμους οὐσίας, ὡς ἐν τῷ μετὰ τοῦτο βιβλίῳ ἐρεῖ· περὶ γὰρ τῶν νοητῶν ἄλλος λόγος. εἶτα καὶ πῶς ἕτερόν ἐστι τὸ ὡς ἀληθὲς ὂν τῶν κυρίως ὄντων λέγει. ἢ γάρ, φησίν, ἡ διάνοια τὸ τί ἐστι καὶ οὐσίαν μετ' οὐσίας συνάπτει ἢ διαιρεῖ, ἢ πάλιν ποιὸν μετ' οὐσίας κτλ. id.

δεῖ οὖν ἀφεῖναι τὸ κατὰ συμβεβηκὸς ὂν καὶ τὸ ὡς ἀληθῶς· τοῦ μὲν 1027 b 33.
γὰρ ἐστὶ τὸ αἴτιον ἀόριστον, τοῦ δὲ τῆς διανοίας ἡ ἀλήθειά τι ἐστίν· καὶ ἀμφότερα δὲ ταῦτα περὶ τὸ λοιπὸν γένος τοῦ ὄντος καταγίνεται, τουτέστι τὸ καθ' αὑτὸ ὄν, τὰ μὲν κατὰ συμβεβηκὸς καὶ τὸ ἀληθὲς περὶ αὐτὰ στρέφεται. διὸ δεῖ ἡμᾶς τὰ αἴτια τοῦ κυρίως ὄντος τοῦ καθ' αὑτὸ ἐπισκέψασθαι, ἐπειδὴ καὶ τὰ ἄλλα ἐν αὐτῷ θεωρεῖται. Asclep.

ἄλλως τε καὶ ἀμφότερα περὶ ταὐτὸν γένος ὄντα τοῦ ὄντος. 1028 a 1.
λέγοι δ' ἂν λοιπὸν τοῦ ὄντος γένος τὸ κυρίως, ἀλλ' οὐ τὸ κατὰ συμβεβηκός. Alex.

τοῦτο (τὸ βιβλίον) δοκεῖ ἀτελὲς εἶναι. cod. Reg. 1028 a 6.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Z.

1028 a 10. Ἐνταῦθα ἐν τῷ Z περὶ τοῦ καθ' αὑτὸ ὄντος διαλέγεται· περὶ γὰρ τοῦ ὡς δυνάμει καὶ ἐνεργείᾳ διαλέγεται ἐν τῷ H καὶ ἐν τῷ Θ. Asclep.

1028 a 11. σημαίνει γὰρ τὸ μὲν τί ἐστι καὶ τόδε τι, καὶ δι' ἀμφοτέρων τὴν οὐσίαν ἐδήλωσεν. id.

1028 a 15. οὔτε δὲ λέγομεν συμβεβηκὸς μόνον ποιὸν λέγοντες, ἀλλὰ οὐσίαν πεποιημένην, οἷον ὅτι ἀγαθὸν ἢ κακόν. id.

1028 a 18. τὰ γὰρ ἄλλα ὄντα τὰ παρὰ τὴν οὐσίαν λέγονται εἶναι τῷ μετέχειν τοῦ κυρίως ὄντος, φημὶ δὴ τῆς οὐσίας· τὰ μὲν γάρ εἰσι ποσότητες τῆς οὐσίας, ὥσπερ τὸ ποσόν, τὰ δὲ πάθη, ὥσπερ τὸ ποιόν. διὸ καὶ ἐοίκασιν ἀπορῆσαι περὶ τῆς ὑγείας αὐτῆς καθ' αὑτὴν καὶ τῆς βαδίσεως καὶ τῶν ἄλλων τῶν τοιούτων, πότερον ὄντα ὑπάρχουσιν αὐτὰ καθ' αὑτὰ ἢ οὐδὲ ὅλως, εἰ μήτε γε ἄρα ἐν ψιλῇ ἐπινοίᾳ, ἀλλὰ τότε ἔχουσιν ὑπόστασιν, ὅταν σὺν τῇ οὐσίᾳ θεωρῶνται. id.

τὰ δ' ἄλλα λέγεται τῷ τοῦ οὕτως ὄντος τὰ μὲν εἶναι ποσότητας. καὶ ἔστιν ἡ συνεχὴς τοῦ λόγου ἀκολουθία τοιαύτη· φανερὸν ὅτι τούτων ὂν τὸ τί ἐστιν, ὅπερ σημαίνει τὴν οὐσίαν, τὰ δ' ἄλλα λέγεται ὄντα τῷ τοῦ ὄντως ὄντος τὰ μὲν ποσότητας εἶναι, καθὸ λέγεται τὸ δίπηχυ ὂν ὅτι ἐστὶ ποσότης τις τοῦ κυρίως ὄντος... ὁμοίως καὶ τὰ ἄλλα λέγεται ὄντα τῷ εἶναί τι τοῦ κυρίως ὄντος. Alex.

καὶ ἀπορήσειεν ἄν τίς, φησί, πότερον τὸ βαδίζειν καὶ τὸ ὑγιαί- 1028 a
νειν καὶ ἕκαστον αὐτῶν ὂν λέγεται ἢ οὔ. καὶ τὴν αἰτίαν τοῦ πῶς ἄν τις 20.
ἀπορήσειεν ἐπάγει. id.

οὐδὲν γάρ, φησίν, αὐτῶν ἐστὶ καθ' αὑτό, ὥσπερ ἡ οὐσία, οὔτε 1028 a
πέφυκε χωρίζεσθαι αὐτῆς. id. 22.

ἀλλ' εἴπερ τὸ βαδίζον καὶ τὸ καθήμενον ἐστὶ τόδε γάρ τι καὶ οὐσία 1028 a
ἐστί, καὶ ἔστιν ὡρισμένον ὑποκείμενον τῇ ὑγείᾳ καὶ τῇ βαδίσει ἡ 23.
οὐσία, τὸ δὲ βαδίζειν ἢ ὑγιαίνειν οὐκ εἰσὶν ὄντα. id.

"τῇ τοιαύτῃ," τουτέστι τῇ κυρίως λεγομένῃ, ἤτοι τῇ οὐσίᾳ. id. 1028 a 28.

εἰπὼν ὅτι ἡ οὐσία ἐστὶ τὸ πρῶτον ὂν καὶ τὸ κυρίως ὄν, ἐπειδὴ τὸ 1028 a
πρῶτον λέγεται πολλαχῶς, ὡς εἴρηται πρότερον (λέγεται γὰρ πρῶτον καὶ 32.
τῇ γνώσει καὶ τῷ λόγῳ καὶ τῷ χρόνῳ), δείκνυσιν ὅτι κατὰ τοὺς τρεῖς τούσδε τρόπους ἐστὶ πρώτη τῶν ἄλλων ἡ οὐσία. id.

εἶτα λοιπὸν δείκνυσιν ὅτι κατὰ πάντα τὰ σημαινόμενα τοῦ προτέρου κρείττων ἐστὶν ἡ οὐσία τῶν συμβεβηκότων, φύσει, χρόνῳ, λόγῳ, γνώσει, φύσει μὲν ὅτι συναναιρεῖ καὶ οὐ συναναιρεῖται...

ὠφέλιμον, ὥστε καὶ ἔμπαλιν τὸ ἐν τῇ νουμηνίᾳ ὠφέλιμον ἢ ἀεί ἐστιν ὠφέλιμον ἢ ὡς ἐπὶ τὸ πολύ. Alex.

τὸ δὲ παρὰ τοῦτο οὐχ ἕξει λέγειν ὁ ἰατρός, πότε οὐκ ὠφελεῖ, οἷον νουμηνίᾳ· τοῦτο γὰρ ἀόριστόν ἐστι καὶ ἀναίτιον· οὔτε γὰρ ὁ λόγος τοῦτο δείκνυσιν, ἀλλὰ τὴν ὕλην πλείονα γενομένην κτλ. Asclep.

τὸ οἰνόμελι λεγόμενον, ὥς τινες εἶπον. cod. Reg.

1027 a 27. γρ. "ἢ γὰρ ἀεί·" διότι γὰρ ἀεὶ καὶ ὡς ἐπὶ τὸ πολὺ ὠφέλιμον τὸ μελίκρατον, διὰ τοῦτο καὶ ἐν τῇ νουμηνίᾳ. id.

1027 a 29. ἐντεῦθεν φησιν ὅτι τὰ κατὰ συμβεβηκὸς αἴτια γίγνονται καὶ φθείρονται ὡς ὄντα, οὐ μέντοι γε ὡς γιγνόμενα, ἐπειδὴ μή εἰσιν αἴτια κύρια καὶ ὡρισμένα, ὥστε οὔτε γίγνονται οὔτε φθείρονται ὡς ἔχοντα αἴτια, ἀλλ' ὡς ὄντα, καθάπερ εἰρήκαμεν. Asclep.

1027 b 2. καὶ πάλιν ὡς ἐπὶ τοῦ ἵππου τοῦ διψήσαντος ἐν πολέμῳ καὶ φυγόντος καὶ ἐντεῦθεν σωθέντος· οὔτε γὰρ διὰ τὴν σωτηρίαν ἔφυγεν, ἀλλὰ διὰ τὴν δίψαν· ὥστε οὐκ ἔχουσιν αἴτια ὡρισμένα τὰ κατὰ συμβεβηκός· διὸ οὔτε γίγνονται οὔτε φθείρονται ὡς τελοῦντα ὑπὸ αἴτια, ἀλλ' ὡς ὄντα... εἰ ἄρα τοῦ γινομένου καὶ φθειρομένου μὴ εἴη τὸ αἴτιον κατὰ συμβεβηκός, ἐξ ἀνάγκης ἔσται. id.

1027 a 29. πρόκειται αὐτῷ δεῖξαι ὅτι τῶν κατὰ συμβεβηκὸς ὄντων καὶ ἃ πρόκειται αὐτῷ δεῖξαι ἄρτια κατὰ συμβεβηκός εἰσι, καὶ ἄνευ γενέσεως καὶ φθορᾶς εἰσὶ καὶ οὐκ εἰσίν· ὥσπερ γὰρ αἱ ἁφαὶ καὶ τὰ νῦν τὰ τῶν χρόνων πέρατα ἄνευ γενέσεώς εἰσι καὶ πάλιν ἄνευ φθορᾶς οὐκ εἰσίν... καὶ περὶ τούτων ἐρεῖ πάλιν ἐν τῷ κάππα ταύτης τῆς πραγματείας. ὥσπερ δὲ αἴτιος ὢν καθ' αὑτὸ ὁ οἰκοδόμος τῆς οἰκίας διὰ γενέσεως εἰς τοῦτο ἐγένετο, οὕτως πάλιν ὡς μὲν αἴτιος τῆς οἰκίας διὰ φθορᾶς φθαρήσεται, καὶ ὡς ἀχρόνως αἴτιος γέγονε τοῦ λυπηρὰν αὐτὴν εἶναι, οὕτω πάλιν καὶ ἀχρόνως φθείρεται. αὐτὸς δὲ δείκνυσι τοῦτο πρότερον μὲν ὡς ὁμολογούμενον λαβὼν ὅτι ὧν τὰ αἴτια καὶ αἱ ἀρχαὶ διὰ γενέσεως γέγονε, ταῦτα ἐξ ἀνάγκης ἐστίν. εἰ οὖν ὧν τὰ αἴτια, ὥσπερ ἐπὶ τῆς οἰκίας, διὰ γενέσεως (γένεσις γὰρ ἡ μάθησις τοῦ οἰκοδομεῖν), ταῦτα ἐξ ἀνάγκης εἰσίν· ἅπερ ἄρα οὐκ ἐξ ἀνάγκης εἰσί, τούτων τὰ αἴτια ἄνευ γενέσεώς εἰσι καὶ ἄνευ φθορᾶς οὐκ εἰσίν. Alex.

1027 a 31. πάντα δέ, φησίν, ἐξ ἀνάγκης ἔσται, εἰ τοῦ γινομένου καὶ φθειρομένου μὴ κατὰ συμβεβηκὸς αἰτιόν τι ἀνάγκη εἶναι. δεῖ δὲ προσυπακούειν τὸ παντός, ἵνα ᾖ, εἰ παντὸς τοῦ γιγνομένου καὶ τοῦ φθειρομένου μὴ κατὰ συμβεβηκὸς αἰτιόν τι ἀνάγκη εἶναι. id.

1027 a 33. εἰπὼν οὖν ὅτι "ἐάν γε τοδὶ γένηται· εἰ δὲ μή, ἄλλο," ἐπήγαγε "καὶ οὕτω δῆλον" κτλ. id.

γρ. "τούτου δὲ ἄλλο, καὶ ἔτι τοῦτο δὲ ἄλλου." cod. Reg.

1027 a 34. δῆλον ὅτι ἀεὶ χρόνου ἀφαιρουμένου ἀπὸ πεπερασμένου ἥξει ἐπὶ τὸ νῦν, τουτέστιν εἰς ὃ νῦν ὑπάρχει. ποῦ δὲ ὑπάρχει ὁ διψῶν; δῆλον ὅτι εἰς τὸ διψᾶν. εἶτα καὶ παράδειγμα τοῦ ἀποθανεῖν βίᾳ τίθησι τὸ "ἂν ἐξέλθῃ·" τοῦ δὲ ἀποθανεῖν νόσῳ οὐ τίθησιν, ἡμεῖς δ' ἐροῦμεν μετ' ὀλίγον, ὅταν πάλιν αὐτοῦ μνησθῇ. Alex.

1027 b 3. τοῦτο εἰπὼν προστίθησι τὸ "ἢ εἰς τῶν γεγονότων τι." δοκεῖ δὲ τὸ ἑπόμενον παράδειγμα, τὸ "οἷον ἐὰν διψήσῃ· τοῦτο δὲ εἰ ἐσθίει δριμέα," τουτὶ εἰς τῶν γεγονότων τι εἶναι, οὐκ ἔστι δὲ αὐτοῦ, ἀλλὰ τοῦ προτέρου ἐστὶ καὶ τοῦτο. ὃ δὴ καὶ συνεγνωκὼς ἐπαναλαμβάνει πάλιν μετ' ὀλίγον τὸν λόγον, ἵνα καὶ αὐτοῦ θῇ παράδειγμα, ὅταν λέγῃ "ὁμοίως δὲ κἂν ὑπερπηδήσῃ τις εἰς τὰ γενόμενα." τὸ γὰρ "γενόμενα" καὶ τὸ "γενομένων" παρεληλυθότων εἰσὶ δηλωτικά. τέως οὖν εἰπὼν "οἷον ἐὰν διψήσῃ, τοῦτο δ' εἰ ἐσθίει δριμέα," ἐπήγαγε, τοῦτο δὲ τὸ ἐσθίειν δριμέα ἢ ὑπάρχει ἢ οὐχ ὑπάρχει. τὸ δὲ "ὥστε ἐξ ἀνάγκης ἀποθανεῖται ἢ οὐκ ἀποθανεῖται" συμπέρασμά ἐστι τῶν εἰρημένων. ἴσον λέγων ἐστὶ τῷ ὥστε τούτων οὕτως ἐχόντων, εἰ μὲν ἐξέλθῃ πιεῖν, ἐξ ἀνάγκης ἀποθανεῖται, εἰ δὲ μὴ ἐξέλθοι, οὐκ ἀποθανεῖται. οὕτω ταῦτα εἰπὼν ἐπαναλαμβάνει, ὥσπερ εἴρηται, τὸν λόγον, καὶ τίθησι καὶ τῶν γεγονότων παραδείγματα. ὁμοίως δὲ κἂν ἀπὸ τῶν παρεληλυθότων ἄρξηταί τις καὶ πρὸς τὰ μέλλοντα καταντήσῃ, ἀλλὰ μὴ ἀπὸ τῶν μελλόντων, ὥσπερ καὶ πρότερον, ἐπὶ τὸ ἐνεστῶτα, τὸ αὐτὸ γενήσεται. id.

1027 b 6. ὁμοίως δὲ ὁ αὐτὸς λόγος ἐστὶ καὶ ἐπὶ τῶν παρελθόντων. ἐξ ἀνάγκης οὖν ἔσονται πάντα τὰ ἐσόμενα. Asclep.

1027 b 7. ἀλλὰ τί ποτε ἐστι τὸ ἤδη γὰρ γεγονὸς ὑπάρχει ἔν τινι; ἢ τὸ τὰ στοιχεῖα εἶναι ἐν τῷ ζῶντι· ἐπειδὴ γὰρ ἤδη ζῇ, ὑπάρχει ἐν αὐτῷ τὰ στοιχεῖα. ὧδε οὖν ζῇ, ὅτι τὰ ἐναντία πῦρ καὶ γῆ καὶ τὰ μεταξὺ ἐν αὐτῷ γέγονεν· καὶ εἰ τοῦτο, ἀποθανεῖται. ἐξ ἀνάγκης ἄρα τὸ ἐξ ἐναντίων γεγονὸς ἀποθανεῖται. Alex.

1027 b 15. λέγει δὲ τὸ κατὰ συμβεβηκός, πότερον ὑλικὸν χρὴ λέγειν ἢ τελικὸν ἢ κινητικὸν ἤτοι ποιητικόν. καὶ ἐρωτήσας οὐκ ἐπικρίνει διὰ τὸ δῆλον εἶναι ὅτι τοῖς ποιητικοῖς αἰτίοις συναριθμεῖν αὐτὸ χρὴ καὶ οὐδενὶ τῶν ἄλλων. id.

εἶτα λοιπὸν ζητεῖν εἰς ποίαν ἀρχὴν τῶν τεσσάρων δεῖ ἡμᾶς τάξαι τὰ κατὰ συμβεβηκὸς αἴτια, καί φησιν ὅτι οὐ δυνατὸν εἰς τὴν εἰδικήν· ἡ γὰρ εἰδικὴ ἀρχὴ ὡρισμένη καὶ μεμετρημένη, τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια ἀόριστα ὑπάρχουσιν. ἀλλ' οὐδὲ εἰς τὴν τελικήν· τὸ γὰρ τέλος ὡρισμένον τὸ κυρίως, καὶ πάντες αὐτοῦ στοχαζόμενοι παραλαμβάνουσι τὰ εἰς αὐτὸ ἄγοντα. ὅτι δὲ οὐδ' εἰς τὸ ὑλικόν, ἐδείξαμεν διὰ τῶν προλαβόντων, ὅτι παρέπονται καὶ παρακολουθοῦσι τὰ κατὰ συμβεβηκὸς τοῖς καθ' αὑτό. εἰ οὖν ὑποθώμεθα τὸ ὑλικὸν αἴτιον εἶναι τῶν κατὰ συμβεβηκός, ἐπειδὴ ἐν τοῖς καθ' αὑτὸ θεωρεῖται, ἔσται καὶ ἡ ὕλη τῶν καθ' αὑτό, ὅπερ ἀδύνατον. ὥστε δηλονότι ὑπὸ τὸ ποιητικὸν αἴτιον αὐτὰ τακτέον. καὶ ἐπὶ μὲν τῶν φυσικῶν τὸ αὐτόματον, ἐπὶ δὲ τῶν πρακτῶν τὴν προαίρεσιν, ἀλλ' οὐ πᾶσαν προαίρεσιν· οἷον ἡ προαίρεσις ἐκίνησεν εἰς τὸ λούσασθαι καὶ συνέβη ἀπαντῆσαί τινι ὀφείλοντι, καὶ πάλιν ἡ φύσις ἤγαγε τὸν λίθον ἄνωθεν κάτω καὶ ἐκ ταυτομάτου γέγονεν ἐπιτήδειος εἰς καθέδραν... καὶ ἐρεῖ ἐν ἄλλοις ὅτι εἰς τὴν ποιητικὴν (ἀρχὴν δεῖ αὐτὰ ἀγαγεῖν). Asclep.

1027 b 18. τὸ οὖν ἀληθὲς καὶ ψεῦδος περὶ σύνθεσιν καὶ διαίρεσιν θεωρεῖται, τὸ δὲ σύνολον, τουτέστι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, περὶ μερισμὸν ἀντιφάσεως· ἀληθὴς γάρ ἐστι κατάφασις, ὅταν συνθῶμεν τὰ ἔχοντα τοιαύτην φύσιν, δηλονότι ἐναντία ψευδεῖ καταφάσει. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀποφάσεως. πῶς δὲ νοεῖν τὸ ἅμα ἢ τὸ χωρὶς συμβαίνει, ἄλλος λόγος, λέγω δὲ τὸ ἅμα καὶ τὸ χωρίς, ὥστε μὴ λέγειν

οὐκ ἔστι δὲ ἐναντίον τὸ γραμματικὸν τῷ μουσικῷ, ὅτε καὶ συνυπάρχει αὐτῷ. οὐκ ἄρα τὸ μουσικὸν γραμματικὸν γίνεται. ἐξ ὧν συνάγουσι τὸ οὐ πᾶν ἄρα τὸ ὂν ἢ γενόμενόν ἐστιν ἢ ἀΐδιον. ἔτι εἰ μήτε ὁ γραμματικὸς γενόμενος μουσικὸς μουσικὸς ἐγένετο μήτε ὁ μουσικὸς γενόμενος γραμματικὸς γραμματικὸς ἐγένετο, ἔστι δὲ μουσικὸς γραμματικός, ὃ μὴ γέγονεν ἔστιν. ἔτι οὐδεμία τέχνη ἐστὶν ἢ ἐπιστήμη ἣ διδάσκει τὸν μουσικὸν γραμματικόν· οὐδεὶς γὰρ καθὸ μουσικός ἐστι γραμματικὸς γίνεται· οὐ γὰρ ἀπὸ τούτου εἰς ἐκεῖνο ἡ μεταβολή, ἀλλ' ἀμφότερα καθὸ ἄνθρωπος. δύναται τὸ λεγόμενον ὑπὸ τῶν σοφιστῶν καὶ οὕτω λέγεσθαι. ἂν ᾖ γεγονώς τις γραμματικὸς πρῶτον, εἶτα μουσικός, οὗτος οὐ γέγονε μὲν μουσικὸς ὢν γραμματικός, ἔστι δὲ μουσικὸς ὢν γραμματικός. ὁ οὖν λέγων, μουσικὸς ὢν γραμματικός ἐστι, λέγει καὶ μουσικός ἐστι γραμματικός. περὶ δὲ τῶν καθ' αὑτὰ ὄντων ἦν λεγόμενον τὸ ἀΐδια αὐτὰ ἢ γινόμενα εἶναι. ἔτι ὡς ἔστι, κατὰ συμβεβηκὸς δὲ ἔστιν, οὕτω καὶ ἐγένετο· ὁ γὰρ μουσικὸς γενόμενος, εἰ προϋπῆρχεν ὢν γραμματικός· οὐ γὰρ δὴ ἄμφω ἅμα ἐγένετο· ὁ γὰρ μουσικὸς γενόμενος, εἰ προϋπῆρχεν καὶ γραμματικὸς καὶ μουσικός, κατὰ συμβεβηκὸς ὁ γραμματικὸς μουσικὸς ἐγένετο. ὡς οὖν τὰ τοιαῦτα ἔστιν, οὕτω καὶ γίνεται. τὰ μὲν οὖν ὑπὸ τῶν σοφιστῶν τοιαῦτα. Alex.

1026 b 21. καλῶς δὲ προσέθεικε τὸ "ἐγγύς," ἐπεί, ὡς εἴρηται, ἔχει ἀμυδράν τινα ὕπαρξιν τὸ κατὰ συμβεβηκός. Asclep.

1026 b 27. καί φησιν οὕτως, ὅτι ἐν τοῖς οὖσι τὰ μὲν ἀεὶ ὡσαύτως ἔχουσιν, οἷον τὰ θεῖα, καὶ ἐξ ἀνάγκης, οὐ τῆς κατὰ τὸ βίαιον λεγομένης· ὁ γὰρ θεὸς ἐξ ἀνάγκης ἀγαθὸς οὐ τῆς βιαίας, καθάπερ ἐπὶ προαιρέσεως θεωρεῖται, ἡνίκα λέγομεν τὸν αἰχμάλωτον ἐξ ἀνάγκης δουλεύειν, ἀλλὰ θείας οὐσίας· διό φησιν ἀλλ' ἣν λέγομεν τὸ μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν, ἢ ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστιν. τὰ δὲ τῶν πραγμάτων οὐκ ἐξ ἀνάγκης, ἀλλ' ὡς ἐπὶ τὸ πολύ, σπανιάκις δέ. id.

1026 b 28. ἐπειδὴ δὲ ἀναγκαῖον λέγεται καὶ τὸ βίαιον, ὡς ἐν τῷ πρὸ τούτου εἴρηται βιβλίῳ, προσέθηκεν οὐ τῆς κατὰ τὸ βίαιον ἀνάγκης. ἀεὶ γὰρ ὁ ἄνθρωπος καὶ ἐξ ἀνάγκης ζῷόν ἐστιν, ἀλλ' οὐχ ὅτι βίᾳ ζῷόν ἐστι, τοῦτό φαμεν, ἀλλ' ὅτι οὐκ ἐνδέχεται μὴ εἶναι ζῷον. ἐπειδὴ οὖν τὰ μὲν ἀεὶ καὶ ἐξ ἀνάγκης ἐστί, τὰ δὲ ἐξ ἀνάγκης μὲν οὐκ ἔστιν οὐδὲ ἀεί, ὡς ἐπὶ τὸ πολύ· οὔτε γὰρ ἐξ ἀνάγκης εἰσὶν οἱ ἄνθρωποι πενταδάκτυλοι οὔτε ἀεί, ἀλλ' ὡς ἐπὶ τὸ πολύ· τοῦτο δὴ ἀρχή ἐστι καὶ αἴτιον τοῦ εἶναι τὸ συμβεβηκός. Alex.

1026 b 37. ἀλλὰ καὶ τὸ ὑγιάζειν τὸν οἰκοδόμον συμβεβηκὸς λέγει. id.

καὶ πάλιν ἡνίκα ὁ οἰκοδόμος ὑγίειαν ποιήσει, κατὰ συμβεβηκός φαμεν εἶναι τὸ τοιοῦτον, ἐπειδὴ τῶν σπανίων· ὁ γὰρ ἰατρὸς πέφυκεν ὑγείαν ποιεῖν, οὐχ ὁ οἰκοδόμος· συνέβη οὖν ἰατρὸν εἶναι τὸν οἰκοδόμον. καὶ πάλιν ἡνίκα ὀψοποιὸς τέλος ἔχων τὴν ἡδονὴν ποιήσει τινὶ ὑγίειαν. Asclep.

1027 a 3. ποιήσειεν ἄν τινι τὸ τοιόνδε βρῶμα ὑγιεινόν. Alex.

1027 a 5. καὶ τῶν μὲν ἄλλων ἤτοι τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐξ ἀνάγκης εἰσὶν αἰτίαι καὶ δυνάμεις ποιητικαὶ ὡρισμέναι, τῶν δὲ κατὰ συμβεβηκὸς γινομένων οὐδεμία τέχνη ἢ δύναμίς ἐστιν ὡρισμένη, ἀλλ' αἴτια μυρία ἂν εἴη. Asclep.

τῶν μὲν γὰρ ἄλλων τῶν καθ' αὑτὸ δυνάμεις εἰσὶ ποιητικαί. Asclep.

οἷον ἐπὶ τῶν ἡμετέρων σωμάτων δυνάμεις φυσικαὶ ὑπάρχουσιν 1027 a 6.
ὡρισμέναι τέσσαρες αἱ πολυθρύλλητοι, ἑλκτική, ἀποκριτική, καθεκτική, ἀλλοιωτική. id.

ἀλλὰ τὸ αἴτιον τοῦ εἶναι τὸ συμβεβηκὸς ἢ ἡ ὕλη ἡ ἐνδεχομένη 1027 a 13.
ἄλλως ἔχειν παρὰ τὸ ὡς ἐπὶ τὸ πολύ. Alex.

εἰπὼν δὲ τί ποτέ ἐστι τὸ συμβεβηκός, δίδωσιν ἡμῖν μέθοδον 1027 a 15.
ἢ κανόνα, πῶς ἂν ἀποδεικνύοιμεν ὅ τι ποτέ ἐστι τὸ συμβεβηκός. καί φησιν ὅτι εἰ μέλλει τις δεικνύναι ὅτι ἔστι τὸ συμβεβηκός, ὡς ἀρχὴν λαμβανέτω τὸ εἶναί τι παρὰ τὸ ἀεὶ καὶ ὡς ἐπὶ τὸ πολύ. τοῦτο δὲ λάβοι ἄν, εἴπερ ἐρωτᾷ τὸν προσδιαλεγόμενον, ἆρά γε ἔστι τι παρὰ τὰ ὡς ἐπὶ τὸ πολὺ καὶ ἀεί, ἢ οὔ; ἐκεῖνος δὲ ὑπὸ τῆς ἐναργείας πειθόμενος πάντως δώσει τὸ εἶναί τι παρὰ ταῦτα· τοῦτο δέ ἐστι τὸ ὁπότερον ἔτυχεν ἤτοι τὸ συμβεβηκός. τοῦτο εἰπὼν ἐρωτᾷ πότερον τὸ μὲν ὡς ἐπὶ τὸ πολύ ἐστιν ἐν τοῖς οὖσι, τὸ δὲ ἀεὶ καὶ ἐξ ἀνάγκης οὐκ ἔστιν, ἢ ἔστιν ἄττα ἀΐδια, ὥσπερ καὶ ἐπὶ τὸ πολύ; καὶ ἐρωτήσας ἀποκρίνεται ὅτι περὶ τούτων ὕστερον ἔσται ἐπισκέψασθαι· καὶ ἐρεῖ ἐν τῷ Κ μὲν ἀμυδρώτερον τῆσδε τῆς πραγματείας, τελείως δὲ ἐν τῷ Λ. id.

γρ. καὶ οὕτως· "ἀλλὰ πότερον τὸ μὲν ὡς ἐπὶ τὸ πολὺ τὸ δ' ἀεί." ἔστι δὲ τὸ λεγόμενον, ἆρα τὸ ὡς ἐπὶ τὸ πολὺ ὑπάρχει ἐν τοῖς οὖσιν, ἀναγκαῖον δέ τι καὶ ἀΐδιον οὐκ ἔστιν. διαλήψεται δὲ περὶ τούτου ἐν τῷ ΚΛ ταύτης τῆς πραγματείας. cod. Reg.

φησὶν ὅτι δεῖ ἡμᾶς λαβεῖν τοιαύτην ἀρχήν. ἆρά γε οὐκ ἔστιν ἐν τῇ φύσει τῶν ὄντων οὔτε τὸ ἀεὶ οὔτε τὸ ὡς ἐπὶ τὸ πολύ, ἢ τοῦτο ἀδύνατον τῆς ἐναργείας ὑπαγορευούσης ὅτι ἀεί ἐστιν ὁ θεὸς ἀγαθὸς καὶ ὅτι ὡς ἐπὶ τὸ πολὺ ὑγιάζει ὁ ἰατρός. εἰ οὖν ἔστι τὸ ὡς ἐπὶ τὸ πολύ, τοῦτο δὲ μόνον τὸ κατὰ συμβεβηκὸς ποιεῖ, ἔστιν ἄρα καὶ τὸ συμβεβηκὸς ἐν τοῖς οὖσι. πότερον οὖν, φησί, τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ δὲ ἀΐδιον οὐδὲν ὑπάρχει, ἢ ἔστι καί τινα ἀΐδια; καὶ ἀναβάλλεται τὴν τούτων θεωρίαν εἰς τὴν Φυσικὴν Ἀκρόασιν· ἐν ἐκείνοις γὰρ ἀποδείκνυται, φησίν, ὅτι ἔστιν ἡ ὕλη ἀΐδιος. Asclep.

πῶς γὰρ δύναται μαθεῖν ἢ διδάξαι ἄλλον; δεῖ γὰρ ὁρίσαι ἢ τὸ 1027 a 22.
ἀεὶ ἢ τὸ ὡς ἐπὶ τὸ πολύ, καὶ οὕτως διδάξαι· τὸ δὲ ἀόριστον οὐ διδάσκεται, οἷον ὅτι ὠφέλιμον τὸ μελίκρατον τῷ πυρέττοντι ὡς ἐπὶ τὸ πολύ. τὸ δὲ παρὰ τοῦτο οὐχ ἕξει λέγειν ὁ ἰατρὸς πότε οὐκ ὠφελεῖ, οἷον νουμηνίᾳ· τοῦτο γὰρ ἀόριστόν ἐστι καὶ ἀναίτιον· οὔτε γὰρ ὁ λόγος τοῦτο δείκνυσιν, ἀλλὰ τὴν ὕλην πλείονα γινομένην. id.

ἤτοι ὧδε προσενεχθὲν τὸ μελίκρατον οὐκ ὠφέλησεν, ἐπεὶ ὅσον ἐπὶ τῇ τοῦ πυρετοῦ φύσει ἔδει ὠφελῆσαι. ἡ γοῦν πτισσάνη, ὥς φησιν ὁ τῶν Ἀσκληπιαδῶν ἡγεμών, ὑγρᾷ διαίτῃ ὠφέλιμος πᾶσι τοῖς πυρέττουσιν. ἢ περὶ τὸ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπὶ τῆς νουμηνίας. id.

τὸ δὲ παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ οὐχ ἕξει διδάξαι, ὅτι τῇ νουμη- 1027 a 25.
νίᾳ φέρε ἔσται ὠφέλιμον· τοῦτο γὰρ ἐπ' ἔλαττον γίνεται. οὐ γὰρ ὡς ἐπὶ τὸ πολὺ ὠφελεῖται ὁ ἐν τῇ νουμηνίᾳ τὸ μελίκρατον πίνων· διὰ δὲ τὸ ὡς ἐπὶ τὸ πολὺ ὠφελεῖσθαι συμβαίνει εἶναι καὶ ἐν τῇ νουμηνίᾳ

αἴτιον, ἄδηλον· πλὴν δ' οὐχ ὅτι τοῖς αἰσθητοῖς καὶ θείοις καὶ κυκλοφορητικοῖς σώμασιν αἴτιόν ἐστι, δῆλον τυγχάνει. γράφεται δὲ καὶ "ταῦτα γ. αἴτ. τ. φ. τῶν αἰσθητῶν τυγχάνει·" καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον, ὅτι ταῦτα τὰ ἀκίνητα καὶ χωριστὰ αἴτιά ἐστι τοῖς φανεροῖς τῶν αἰσθητῶν, ἀντὶ τοῦ τοῖς φανεροῖς τῇ αἰσθήσει αἰτίοις. αἴτιον γὰρ καὶ ἡ ὕλη καὶ τὸ εἶδος, ἀλλ' οὐκ εἰσὶ τῇ αἰσθήσει φανερά· τὰ δὲ κυκλοφορητικὰ σώματα τῇ αἰσθήσει ἐστὶ φανερά, ὅτι γενέσεώς εἰσι καὶ φθορᾶς αἴτια· βορειότερος γὰρ γινόμενος ὁ ἥλιος γενέσεώς ἐστιν αἴτιος, νοτιώτερος δὲ φθορᾶς. Alex.

1026 a 23. ἀπορήσειε γὰρ ἄν τις πότερον ποθ' ἡ πρώτη φιλοσοφία καθόλου ἐστίν, ὥστε περιέχειν ἁπάσας καὶ ὑπ' αὐτὴν εἶναι ὡς τὰ κατὰ μέρος ὑπὸ τὰ καθόλου, ἢ οὐκ ἔστι καθόλου, ἀλλ' ὥσπερ ἡ ἰατρικὴ καὶ ἡ ἀστρονομία καὶ αἱ λοιπαὶ μέρος τι τοῦ ὄντος καὶ φύσιν τινὰ μίαν ἀποτεμνόμεναι τοῦτο θεωροῦσιν, οὕτως καὶ αὐτή. ὥσπερ γὰρ καὶ ἐν τοῖς μαθηματικοῖς τοῦτο εὑρίσκεται, καὶ ἡ μὲν γεωμετρία περὶ μεγέθη, ἡ δὲ ἀστρονομία περὶ ἀστέρας, ἄλλη δὲ περὶ ἄλλο, ἡ δὲ ἁπλῶς μαθηματικὴ κοινή ἐστι πασῶν, οὕτως τί κωλύει καὶ τὴν φυσικὴν μὲν περί τι τοῦ ὄντος εἶναι καὶ τὴν μαθηματικὴν περὶ ἄλλο, καὶ τὴν θεολογικὴν εἶναι κοινὴν ἁπασῶν; id.

.. τὴν ἀπορίαν, δι' ἣν τὴν θεωρίαν ἐκίνησε, ταύτην λέγει. φησὶ γάρ, ἆρά γε ἡ πρώτη φιλοσοφία περὶ πάντα τὰ ὄντα κατα-

1026 a 26. γίνεται ἢ περί τι γένος καὶ φύσιν μίαν; οὔτε γὰρ ἐν ταῖς μαθηματικαῖς ἐπιστήμαις ὁ αὐτὸς τρόπος ἐστίν· ἡ μὲν γὰρ καθόλου μαθηματική, ἡ δὲ μερικὴ περὶ μίαν φύσιν, οἷον, ὡς φησιν αὐτός, γεωμετρία καὶ ἀστρολογία περί τινα φύσιν μερικὴν ὑπάρχει, ἡ μὲν περὶ μεγέθη ἡ δὲ περὶ ἄστρα, ἡ δὲ καθόλου κοινή ἐστι πασῶν, ὡς εἴρηται. Asclep.

1026 a 31. καὶ ἡ περὶ ταύτην ἐπιστήμη ἔσται φιλοσοφία, καὶ πρώτη πάντων καὶ καθόλου ὡς πρὸς τὰς ἄλλας, οὐ περιέχουσα ἐκείνας ἀλλ' ὡς πρώτη. Alex.

1026 b 7. καὶ τῷ Πλάτωνι ὑγιεινή, ἢ Θεοφράστῳ μὲν ἡδεῖα Ἀλεξάνδρῳ δὲ λυπηρά. ὁμοίως δὲ οὐ σκοπεῖ εἴπερ ἡ γινομένη οἰκία ἑτέρα ἐστὶν ἢ ἡ αὐτὴ τῷ ἀνθρώπῳ ἁπλῶς ὑπάρχει· καὶ εἰ ἑτέρα ἁπάντων τῶν αἰσθητῶν καὶ νοητῶν, οὐδὲν ἐννοεῖ. id.

1026 b 11. οὐδὲ γὰρ εἰ ἔστι, φησίν, ἕτερον τὸ τρίγωνον καὶ τρίγωνον δύο ὀρθὰς ἔχον, σκοπεῖ. τοῦτο δὲ ἐλλιπῶς εἴρηται, δεῖ δὲ προσυπακούειν τὸ ξύλινον ἢ ἄλλο τι τοιοῦτον, ἵνα τὸ πᾶν ᾖ τοιοῦτον· οὐδ' εἰ ἕτερόν ἐστι τὸ ξύλινον τρίγωνον καὶ ἕτερον αὐτὸ τὸ τρίγωνον καὶ ἡ φύσις αὐτοῦ, ἀντὶ τοῦ τὸ ἔχον τὰς τρεῖς δυσὶν ὀρθαῖς ἴσας, θεωρεῖ, ἀλλὰ τοῦτο μόνον ζητεῖ, εἰ παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· εἴτε δὲ ξύλινά εἰσιν εἴτε λίθινα, οὐδαμῶς θεωρεῖ. id.

1026 b 15. εἶτα λοιπὸν καὶ τρεῖς παραλογισμοὺς τίθησι, καθ' οὓς ἐκ τοῦ συμβεβηκότος πειρῶνται οἱ σοφισταὶ παραλογίζεσθαι, ἵνα μὲν ἐξ ἀμφοτέρων τῶν συμβεβηκότων· λέγουσι γὰρ οὕτως, πότερον ταὐτόν ἐστι μουσικὸν καὶ γραμματικόν, ἢ ἕτερον; εἰ μὲν οὖν φαμὲν ὅτι ἕτερόν ἐστι τὸ μουσικὸν τοῦ γραμματικοῦ, ἐπάγουσι καὶ θεωροῦσιν αὐτὰ ἐν ἑνὶ ὑποκειμένῳ, οἷον ἐν τῷ Κορίσκῳ τὸ μουσικὸν καὶ τὸ γραμματικόν. ἐπεὶ οὖν ταῦτα ἕτερα ἀλλήλων, καὶ ὁ Κορίσκος ὁ μουσικὸς καὶ γραμματικὸς αὐτὸς ἑαυτοῦ ἕτερος· ὅπερ ἀδύνατον. εἰ δὲ πάλιν φῶμεν ταὐτὸν εἶναι τὸ μουσικὸν καὶ τὸ γραμματικόν, αὖθις ἐπάγουσι καὶ θεωροῦσιν αὐτὰ ἐν διαφόροις ὑποκειμένοις, οἷον τὸ μὲν μουσικὸν ἐν τῷ Ἀριστοξένῳ καὶ τὸ γραμματικὸν ἐν τῷ Κορίσκῳ, καὶ οὕτως φασίν, ἐπειδὴ φατὲ τὰ αὐτὰ εἶναι τὸ μουσικὸν καὶ τὸ γραμματικόν, συμβήσεται καὶ τὸν Κορίσκον καὶ τὸν Ἀριστόξενον τὸ αὐτὸ εἶναι· ὅπερ ἄτοπον. . . πάλιν τὸν δεύτερον παραλογισμὸν προάγουσι τοῦτον τὸν τρόπον ἐξ ὑποκειμένου καὶ συμβεβηκότος, λέγοντες οὕτως· τὸ μουσικὸν καὶ ὁ Κορίσκος ταὐτὰ ὑπάρχουσιν ἀλλήλοις ἢ ἕτερα; εἰ μὲν οὖν φῶμεν ὅτι ἕτερόν ἐστι τὸ μουσικὸν παρὰ τὸν Κορίσκον, ἐροῦσιν ὅτι οὐκοῦν αὐτὸς ἑαυτοῦ διαφέρει Κορίσκος γε ὢν καὶ μουσικὸς Κορίσκος· εἰ δὲ φῶμεν ὅτι ταὐτόν ἐστιν, ἐροῦσιν ὅτι καὶ ἅμα τοῦ τεχθῆναι μουσικὸς ὑπῆρχε Κορίσκος· ὅπερ ἄτοπον. . . πάλιν τρίτον παραλογισμὸν παράγουσι τοῦτον τὸν τρόπον. ἡνίκα, φασί, μουσικὸς Κορίσκος, ἆρα καὶ γραμματικὸς ὑπάρχει ἢ γέγονεν; εἰ μὲν γὰρ ἀεὶ ὁ μουσικὸς καὶ γραμματικὸς ὑπῆρχεν, οὐ γέγονεν· τὸ γὰρ ἀΐδιον οὐ γέγονεν, ἀλλὰ τὸ ποτὲ μὲν μὴ ὄν, νῦν δὲ ὄν, τοῦτό φαμεν γεγονέναι. εἰ οὖν ἀεὶ ἦν μουσικός, ἦν καὶ γραμματικός· πᾶς γὰρ μουσικὸς ἔσται καὶ γραμματικός. εἰ δὲ μὴ ἀεὶ γραμματικός ἐστιν, ὕστερον δ' ἐγένετο, δῆλον ὅτι γέγονεν ἐκ μουσικοῦ γραμματικός, πᾶν δὲ τὸ γινόμενον ἐκ μὴ ὄντος γίνεται, ὥστε μὴ ὄν ἐστιν ὁ μουσικός· ὅπερ ἄτοπον. Asclep.

ὅτι δὲ οἱ τῶν σοφιστῶν λόγοι πάντες περὶ τὸ συμβεβηκὸς καὶ 1026 b 16.
τὸ μὴ ὄν εἰσι, δῆλον. ἐρωτῶσι γάρ, πότερον ταὐτόν ἐστι τὸ γραμματικὸν τῷ μουσικῷ ἢ οὔ; εἰ μὲν οὖν ἐρεῖς ὅτι ὄν, ἀποκρίνονται λέγοντες· ὁ Σωκράτης γραμματικός ἐστιν· ἔστι δὲ ὁ γραμματικὸς Σωκράτης ὁ αὐτὸς τῷ Σωκράτει· ὁ μουσικὸς ἄρα Σωκράτης ὁ αὐτός ἐστι τῷ γραμματικῷ Σωκράτει· εἰ δὲ τοῦτο, καὶ τὸ μουσικὸν ταὐτόν ἐστι τῷ γραμματικῷ. ψεῦδος ἄρα ὅτι τὸ μουσικὸν οὐ ταὐτόν ἐστι τῷ γραμματικῷ· ταὐτὸν ἄρα. καὶ πάλιν, εἰ τὸ μουσικὸν ἕτερόν ἐστι τοῦ γραμματικοῦ, καὶ ὁ γραμματικὸς Σωκράτης ἕτερος ἔσται τοῦ μουσικοῦ Σωκράτους· ὁ Σωκράτης ἄρα ἕτερός ἐστιν αὐτὸς ἑαυτοῦ. ἐγγίνεται δὲ ὁ παραλογισμὸς ἐκ τοῦ εἶναι ταὐτὸν τὸν μουσικὸν Σωκράτη τῷ γραμματικῷ Σωκράτει, καὶ μὴ εἶναι τῷ μὲν ὑποκειμένῳ ταὐτόν, τῷ λόγῳ δὲ ἕτερον. εἰ μὲν οὖν ἕτερον ἐρεῖς τὸ γραμματικὸν τοῦ μουσικοῦ, οὕτω παραλογίζονται· εἰ δὲ ταὐτόν, ἀποκρίνονται ὡς ταὐτόν ἐστι τὸ γραμματικὸν τῷ μουσικῷ, ὥστε ὅπου γραμματικός, ἐκεῖ ἔσται καὶ μουσικός, ὥσπερ καὶ ὅπου βροτός, ἐκεῖ καὶ ἄνθρωπος. ἀλλ' ὁ μὲν Ἀρίσταρχος, γραμματικὸς δὲ οὐκ ἔστιν· οὐκ ἄρα ταὐτὸν τὸ μουσικὸν τῷ γραμματικῷ. πάλιν κοινῶς πάντων δοξαζόντων ὅτι πᾶν τὸ ὂν ἤτοι ἀΐδιόν ἐστιν ἢ γέγονεν, οἱ σοφισταὶ τοῦτο ἀναιρεῖν πειρῶνται διά λόγου τινὸς παραγόμενοί τινα ἃ ἐστιν οὔτε ἀεὶ ὄντα οὔτε γεγονότα. λαμβάνοντες γὰρ τὸ τῶν ὄντων εἶναι τὸ μουσικὸν ὄντα γραμματικὸν εἶναι, δεικνύουσι ὅτι τοῦτο οὔτε ἀΐδιόν ἐστιν· οὐ γὰρ ἀεὶ ἦν ὁ γραμματικὸς μουσικός, ἀλλ' ἦν ποτὲ ὅτε οὐκ ἦν· ἀλλ' οὐδὲ γενόμενον· οὐ γὰρ γίνεται ὁ μουσικὸς γραμματικός· εἰ γὰρ γίνεται, ἤτοι ὡς ἐξ ὕλης τοῦ μουσικοῦ γίνοιτο ἂν ὁ γραμματικός, ὡς ἐκ τοῦ χαλκοῦ ὁ ἀνδριάς· ἀλλ' οὐκ ἔστιν ὕλη τὸ μουσικὸν τοῦ γραμματικοῦ· ἢ ὡς ἐξ ἐναντίου, ὡς ἐκ τοῦ λευκοῦ τὸ μέλαν·

τὸ πρακτὸν καὶ τὸ προαιρετόν, οὐκ ἔστι δὲ ἐν τῷ προαιρετῷ ἡ προαίρεσις, δῆλον ὡς οὐδ' ἐν τῷ πρακτῷ. ἔστι δὲ ποιητικὴ μὲν ἐπιστήμη, ὡς ἐν τοῖς Νικομαχείοις ἐπιγραφομένοις Ἠθικοῖς (6 4) εἴρηκε πλατύτερον, ἧς τὸ ἔργον καὶ μετὰ τὴν ἐνέργειαν μένει. id.

1025 b 25. συμπεραίνεται δὴ καί φησιν, "ὥστε εἰ πᾶσα διάνοια ἢ πρακτικὴ ἢ ποιητικὴ ἢ θεωρητική," ἡ φυσική, εἰ μήτε πρακτικὴ μήτε ποιητική ἐστι (τοῦτο γὰρ δεῖ προσυπακούειν), θεωρητική τις ἂν εἴη, ἀλλὰ θεωρητικὴ περὶ φυσικὸν πρᾶγμα· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "περὶ τοιοῦτον ὄν, ὅ ἐστι δυνατὸν κινεῖσθαι." id.

1025 b 27. εἰπὼν δὲ ὅτι θεωρητική ἐστι περὶ τοιοῦτον ὂν ὅ ἐστι δυνατὸν κινεῖσθαι, ἐπήγαγε "καὶ περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον ὡς ἐπὶ τὸ πολύ," ἴσον λέγων, ὅτι ἔστι μὲν ἡ φυσικὴ καὶ περὶ τὴν ὑλικὴν αἰτίαν, ἀλλ' ἐπ' ἔλαττον, ἐπὶ πλέον δὲ καὶ ὡς ἐπὶ τὸ πολὺ ἔστι περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον καὶ τὸ εἶδος. εἰπὼν δὲ ὅτι περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον ὡς ἐπὶ τὸ πολύ, προσέθηκε τὸ "οὐ χωριστὴν μόνον." δοκεῖ δὲ λέγειν ὅτι περὶ εἶδός ἐστιν οὐ χωριστὸν μόνον ἀλλὰ καὶ ἀχώριστον. οὐ τοῦτο δὲ λέγει ὅτι καὶ περὶ χωριστόν ἐστι καὶ περὶ ἀχώριστον, ἀλλὰ τὸ οὐ χωριστὸν μόνον ἀντὶ τοῦ μόνον οὐ χωριστὸν εἶπεν, ἤτοι περὶ οὐσίαν μόνον ἀχώριστον καὶ μὴ δυναμένην χωρίζεσθαι τῆς ὕλης. id.

1025 b 28. ταῦτα δὲ πάντα προοπλίζει τε καὶ προκατασκευάζει, ἵνα ἐκ τούτων δείξῃ ὅτι τὸ φυσικὸν εἶδος χωριστὸν αὐτὸ καθ' αὑτὸ ἄνευ ὕλης οὐ δύναται εἶναι, ὡς οἱ τὰς ἰδέας τιθέμενοι ἔλεγον. ποιεῖται δὲ διαίρεσιν λέγων "τῶν δὲ ὁριζομένων καὶ τῶν τί ἐστι," τουτέστι τῶν ὁριζομένων καὶ ὧν τὸ τί ἐστιν ἀποδίδομεν, τὰ μέν ἐστιν ὡς τὸ σιμὸν κτλ. id.

1026 a 4. εἰ δὴ πάντα τὰ φυσικὰ ὁμοίως τῷ σιμῷ λέγονται, τουτέστιν ὥσπερ ἐκεῖνο, οὕτως καὶ ταῦτα ἄνευ ὑποκειμένου καὶ ὕλης οὐ δύναται νοεῖσθαι (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "οὐδενὸς γὰρ ἄνευ κινήσεως αὐτῶν ὁ λόγος," κίνησιν εἰπὼν τὴν ὕλην), δηλονότι ἐν τοῖς φυσικοῖς τὸ τί ἐστι καὶ τὸ ὁρίζεσθαι μετὰ τῆς ὕλης δεῖ ζητεῖν. τοσοῦτον δὲ χρεία τῷ φυσικῷ τῆς ὕλης εἰς τὸ ὁρίζεσθαι, ὥστε καὶ τὰς ἀλόγους ψυχὰς θεωρεῖ καὶ ὁρίζεται ὁ φυσικὸς διὰ τὸ μὴ ἄνευ ὕλης εἶναι, μηδὲ ἀχωρίστους τοῦ ὑποκειμένου αὐταῖς. εἰ δὲ καὶ τὰς λογικὰς θεωρεῖ, ἐν τῇ περὶ Ψυχῆς ἡ αἰτία ἡμῖν εἴρηται. id.

1026 a 5. ὁ γὰρ ὁρισμὸς αὐτῶν οὐ δύναται ἀποδοθῆναι ἄνευ κινήσεως, τουτέστιν ἐνεργείας, ὡς ἐλέγομεν· τὰ μὲν γὰρ τεχνητὰ δυνατὸν ὁρίσασθαι ἄνευ τῆς αὐτῶν ἐνεργείας (ἀκίνητα γὰρ ὑπάρχουσι), τὰ μέντοι γε φυσικὰ οὐ δυνατόν. ὥστε ἐντεῦθεν μεμαθήκαμεν πῶς δεῖ ὁρίζεσθαι τὰ φυσικὰ πράγματα, ὅτι μετὰ τοῦ σχήματος, μνημονεύειν δὲ καὶ τῆς ἐνεργείας αὐτῶν. διὸ καὶ ἐνίας τῶν ψυχῶν δεῖ ὁρίζεσθαι, ὅσαι μὴ δύνανται ἄνευ ὕλης εἶναι, ὥσπερ τῆς φυσικῆς. ἀνακηρύττει τοίνυν τὴν ἑαυτοῦ διάνοιαν καὶ ἐντεῦθεν ὁ Ἀριστοτέλης περὶ τῆς ἀθανασίας τῆς λογικῆς ψυχῆς, ὅτι οἶδε ψυχὴν καὶ χωριστὴν ὕλης, εἴγε φησὶν ἐνταῦθα ὅτι ὅση μὴ ἄνευ τῆς ὕλης ἐστὶν ὡς οὐσία καὶ χωριστὴ ψυχή. Asclep.

1026 a 8. τὸ δ' ὅτι ἡ μαθηματικὴ περὶ ἀκίνητά ἐστι καὶ χωριστά, οὐκ ἔδειξεν, ἀλλὰ δείξει ἐν τοῖς ἐφεξῆς βιβλίοις ὅπως ἔχει. Alex.

1026 a 14. τὸ δὲ "ἔνια" πρόσκειται διὰ τὰ ὀπτικὰ καὶ ἁρμονικὰ καὶ ἀστρονομικά. ὁ γὰρ ὀπτικὸς οὐ περὶ χωριστὰς γραμμὰς καταγίνεται ἀλλὰ περὶ ἐνύλους. ὁμοίως καὶ ὁ μουσικὸς καὶ οἱ τοιοῦτοι. καὶ τὸ "ἴσως" κεῖται διὰ τὸ μήπω δειχθῆναι καθόλου ὅτι οὐδὲν τῶν μαθηματικῶν χωριστόν ἐστι καὶ καθ' αὑτό. id.

ἐπειδὴ μέλλει προϊὼν διελέγξαι ταύτην τὴν δόξαν, ἐνίσταται δὲ πρὸς Πλάτωνα λέγοντα εἶναι αὐτογραμμὴν ἐν ὑποστάσει καὶ κύκλον καὶ αὐτόζῳον αὐτὰ καθ' αὑτὰ ὑπάρχοντα, πρὸς ἃ ἀφορῶν ὁ δημιουργὸς παράγει ἃ παράγει, εἰ μή τί γε διὰ τούτων λόγους τινὰς ἐδήλου καὶ οὐκ οὐσίας αὐτὰς καθ' αὑτὰς ὑπαρχούσας, εἰς ἃς ἀποβλέπων ὁ δημιουργὸς παράγει ἃ ποιεῖ, ὅτι μέντοι ἔνια μαθήματα φησίν, ὅτι περὶ τὰ εἴδη ἡ μαθηματικὴ θεωρία, καθὸ ἀκίνητα ὑπάρχουσι καὶ χωριστά, ὥσπερ γεωμετρία καὶ ἀριθμητική· αὐτὸ γὰρ τὸ εἶδος ἐπισκοπεῖ τοῦ κύκλου ὡς χωριστόν, ὅπερ ἐστὶν ἀκίνητον, καὶ τὸ εἶδος τοῦ ἀριθμοῦ ὁ ἀριθμητικός· ὀπτικὴ μέντοι καὶ μηχανικὴ οὐκέτι ὁμοίως· περὶ ἀκίνητα γὰρ καταγίγνονται καὶ ἔνυλα. τὸ γοῦν διαλεχθῆναι περὶ ἀϊδίων καὶ ἀκινήτων, πρόσκειται ἔν τισι, θεωρητικῆς φιλοσοφίας ἐστὶ τῆς πρώτης, οὐ μέντοι φυσιολογίας· αὕτη γὰρ περὶ κινητῶν πραγμάτων διαλέγεται, τουτέστιν ἐν κινήσει τὸ εἶναι ἐχόντων· οὔτε δὲ ἡ μαθηματικὴ περὶ τῶν παντάπασι χωριστῶν διαλέγεται καὶ ἀκινήτων, τῶν ἐχόντων τὴν οὐσίαν αὐτὴν καθ' αὑτὴν ἄνευ ὕλης, ἀλλ' ἡ προτέρα τούτων, τουτέστιν ἡ θεολογική, διαλέγεται περὶ τούτων. ἡ μὲν γὰρ φυσιολογία διαλέγεται περὶ ἀχωρίστων εἰδῶν ἀλλ' οὐκ ἀκινήτων, τῆς δὲ μαθηματικῆς ἔνια περὶ ἀκίνητα, ὥσπερ γεωμετρία. καλῶς δὲ εἶπεν "ἔνια" διὰ τὴν ὀπτικήν. "οὐ χωριστὰ δὲ ἴσως." πάλιν δὲ τὸ "ἴσως" προσέθηκε διὰ τοὺς Πλατωνικούς, ὡς μέλλων δεικνύναι ὅτι οὐκ ἔστιν αὐτογραμμὴ ἐνυπόστατος ἡ ὑπάρχουσα αὐτὴ καθ' αὑτήν, οὔτε δὲ αὐτόζῳον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων· ἐν ὕλῃ γὰρ τὸ εἶναι ἔχουσι ταῦτα, οἱ δὲ μαθηματικοὶ τῇ ἐπινοίᾳ αὐτὰ χωρίζουσιν. Asclep.

εἰ γὰρ ὑποθώμεθα τὴν ἀρχὴν φθείρεσθαι, εἰς ἄλλην ἀρχὴν φθαρήσεται, καὶ τοῦτο ἐπ' ἄπειρον· ὥστε πᾶσα ἀνάγκη, φησίν, τὰ αἴτια ἀΐδια εἶναι, μάλιστα δὲ τὰ πρῶτα καὶ αἴτια τῶν οὐρανίων, τουτέστι τὰς ἀρχὰς τῶν ἀρχῶν, φημὶ δὴ τὰς νοητὰς δυνάμεις... ὥστε καὶ τὴν τιμιωτάτην ἐπιστήμην, τουτέστι τὴν πρώτην φιλοσοφίαν, δεῖ καταγίνεσθαι περὶ τὸ τιμιώτερον γένος, τουτέστι περὶ τὸ ἄϋλον καὶ ἀκίνητον καὶ νοητόν. id. 1026 a 16.

καὶ τὴν αἰτίαν τοῦ ταῦτα ἀΐδια εἶναι ἐπήγαγε, "ταῦτα γὰρ αἴτια τοῖς φανεροῖς τῶν θείων·" ὃ δὴ διὰ τὴν βραχυλογίαν ἀσαφέστερον εἴρηται. ἔστι δέ, οἶμαι, τὸ λεγόμενον τοιοῦτον. ταῦτα γὰρ τὰ ἀκίνητα καὶ χωριστὰ αἴτια τῶν θείων ἤτοι τῶν σφαιρῶν καὶ θείων σωμάτων, αἵτινες σφαῖραι αἴτιαι τοῖς φανεροῖς, τουτέστι τοῖς ὑπὸ γένεσιν, τοῦ γίνεσθαι καὶ φθείρεσθαί εἰσιν· ἡ γὰρ τούτων κίνησις τὴν γένεσιν καὶ φθορὰν ἀπεργάζεται. ἀλλ' εἰ τὸ κυκλοφορητικὸν ἀΐδιον δέδεικται ἐν τῇ περὶ Οὐρανοῦ, τὸ αἴτιον τοῦ κυκλοφορητικοῦ σώματος πολλῷ μᾶλλον ἔσται ἀΐδιον. ἢ τὸ "ταῦτα γὰρ αἴτια τοῖς φ. τ. θ." τὸ "ταῦτα" ἀντὶ τοῦ τοῦτο εἴρηται, καὶ εἴη ἂν λέγων, ἐπειδὴ καὶ ἐν τοῖς αἰσθητοῖς εἰσὶ θεῖα (τὸ γὰρ κυκλοφορητικὸν πᾶν σῶμα αἴτιόν ἐστι), τὸ πρῶτον αἴτιον τῶν τοιούτων αἰσθητῶν καὶ θείων, ἴσον λέγων, ὅτι εἰ καί τισι τῶν νοητῶν καὶ θείων αἴτιον ᾖ τὸ πρῶτον καὶ ἀκίνητον 1026 a 17.

ἂν τὰ τούτοις καθ' αὑτὰ ὑπάρχοντα καὶ οὕτω συμβεβηκότα ἀΐδια εἴη. τῶν δὲ πρώτων εἰρημένων οὐδὲν οἷόν τε ἀΐδιον εἶναι· ὃ γὰρ μήτε ἐξ ἀνάγκης μήθ' ὡς ἐπὶ τὸ πολὺ ἢ γίνεται ἢ ἔστι, πῶς ἂν ἀΐδιον εἴη; γράφεται δὲ καὶ ἔν τισι "καὶ ἄν τε ἀΐδια αἴτια," καὶ εἴη ἂν ἡ γραφὴ αὕτη δηλοῦσα ὅτι πρὸς ἀπόδειξιν χρήσιμα τὰ οὕτως συμβεβηκότα· δι' αὐτῶν γὰρ αἱ ἀποδείξεις. ταύτῃ δὲ τῇ γραφῇ εἴη ἂν καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον τὸ "λόγος δὲ τούτου ἐν ἑτέροις." περὶ γὰρ τῶν καθ' αὑτὰ οὕτως ὑπαρχόντων καὶ τῶν αἰτίων ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς εἴρηκε· τίνα γὰρ αἴτια ἀποδείξεων, ἐν ἐκείνοις εἴρηται· οὐ γὰρ τὰ ὁπωσοῦν συμβεβηκότα, ἀλλὰ τὰ καθ' αὑτά, ἐν οἷς ἐστὶ καὶ οὕτω συμβεβηκότα. ἢ τὸ "ὅσα ὑπάρχει ἑκάστῳ καθ' αὑτὰ καὶ μὴ ἐν τῇ οὐσίᾳ ὄντα" εἴρηκεν ὡς ἴσον τῷ ὅσα ὑπάρχει ἑκάστῳ κατά τινα αἰτίαν ὡρισμένην, μὴ μέντοι οὕτως ὡς εἶναι αὐτοῦ ἐν τῇ οὐσίᾳ. Alex.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Ε ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ (*).

1025b 3. Πολλάκις τὴν προκειμένην ἐπιστήμην τὸ ὂν ᾗ ὂν εἰδέναι ἀποφηνάμενος (αἱ γὰρ ἄλλαι μέρος τι τοῦ ὄντος ἀποτεμνόμεναι περὶ ἐκεῖνο πραγματεύονται, οὐχὶ τὴν φύσιν ἐκείνου ζητοῦσαι, οὐδὲ θεωροῦσαι αὐτὸ ὡς ὄν, ἀλλ' ὃ συνέβη αὐτῷ· ἡ γὰρ ἀστρονομία οὐ τὴν φύσιν τῶν ἀστέρων ζητεῖ καὶ θεωρεῖ, ἀλλὰ κινήσεις αὐτῶν καὶ προποδισμοὺς καὶ ἀναποδισμούς) — πολλαχοῦ δή, ὡς εἴρηται, τὴν προκειμένην ἐπιστήμην τὸ ὂν ᾗ ὂν γιγνώσκειν εἰπών, ἐξ ὧν ἐν τῷ παρόντι βιβλίῳ σκιωδῶς ἐμφαίνει καὶ ἐν τοῖς ἐφεξῆς λαμπρότερον, ἐκείνην λέγει τὴν ἐπιστήμην εἰδέναι τὸ ὂν ᾗ ὂν τὴν ἑκάστου τὸν ὁρισμὸν εἰδυῖαν καὶ ὅπως ἕκαστον ὁρίζεσθαι προσήκει διορίζουσαν, εἴτε νοητὸν εἴτε ἄλλο τι, καὶ τίνων μέν εἰσιν ὁρισμοὶ τίνων δὲ οὐκ εἰσίν. εἰ δὲ ἡ προκειμένη πραγματεία τοιαύτη τις ἀναφανείη, αὕτη ἂν εἴη ἡ τὸ ὂν ᾗ ὂν γιγνώσκουσα. καὶ εἴπερ ἐστὶν ὁποίαν αὐτήν φαμεν εἶναι, εἴτε μή, ἐν τοῖς ἑξῆς ἅπασι βιβλίοις εἰσόμεθα. ἐπὶ δὲ τὴν τῶν λεγομένων ἐξήγησιν ἰτέον. id.

1025b 6. καὶ ὅλως πᾶσα ἐπιστήμη διανοητικὴ ἢ πρακτική (ταύτην γὰρ ἐδήλωσε διὰ τοῦ "ἢ μετέχουσά τι διανοίας·" οὐ γὰρ ἄνευ διανοίας τὰ πρακτὰ πράττεται) περὶ αἰτίας καὶ ἀρχάς ἐστιν. id.

1025b 7. ἀκριβέστεραι μὲν γὰρ ἀρχαὶ γεωμετρίας τῶν τῆς ἀστρονομίας ἀρχῶν, καὶ τὸ ὑποκείμενον αὐτῆς τοῦ τῆς γεωμετρίας τιμιώτερον, ὡς ἐν τῇ περὶ Ψυχῆς ἡμῖν εἴρηται. ἀκριβέστεραι μὲν οὖν αἱ τῆς γεωμετρίας, ὅτι ἐξ ὧν αἱ ἀποδείξεις αὐτῆς, ἀναντίρρητοι· πᾶσαι δέ, ὥσπερ λέγομεν, περὶ ἀρχὰς καὶ αἰτίας. ἀλλὰ πᾶσαι αὗται περὶ ἕν τι, ἀλλ' οὐχὶ τοῦ ὄντος ᾗ ὄν, ἀλλὰ τοῦ ὄντος γένος τι καὶ ὑποκείμενον περιγραψάμεναί τε καὶ ἀποτεμνόμεναι πραγματεύονται. id.

1025b 10. τὰς ἀρχὰς οὖν αἱ μὲν τῶν ἐπιστημῶν ἐξ αἰσθήσεως ποιοῦνται δήλας, ὥσπερ ὁ ἀστρονόμος ὅτι σφαιρικόν ἐστι τὸ σχῆμα τοῦ οὐρανοῦ ἐκ τοῦ ὁρᾶν τοὺς ἀστέρας ἐκ τῶν αὐτῶν τόπων ἀεὶ ἀνατέλλοντας καὶ δύνοντας, καὶ ὅσα εἴρηται ἐν τῷ πρώτῳ βιβλίῳ τῆς Μεγάλης Συντάξεως· ἄλλαι δὲ ὑπόθεσιν λαβοῦσαι τὸ τί ἐστιν, ὥσπερ γεωμετρία ὅτι ἀμερὲς τὸ σημεῖον, οὕτω τὸ λοιπὸν τῶν καθ' αὑτὰ ὑπαρχόντων τῷ γένει, τουτέστι τῷ ὑποκειμένῳ περὶ οὗ διαλέγονται, τὰς ἀποδείξεις ποιοῦνται. Asclep.

1025b 14. ἀλλ' εἰ ἡ ἐκ τῆς αἰσθήσεως καὶ τῆς ἐπαγωγῆς πίστις οὐκ ἔστιν ἀπόδειξις, ὡς ἐν τῇ Ἀποδεικτικῇ δέδεικται (πρὸς πᾶσαν γὰρ ἐπαγωγὴν δύναταί τις ἐνίστασθαι καὶ μὴ ἐᾶν τὸ καθόλου συμπεραίνειν), φανερὸν ὅτι ἀπόδειξις οὐσίας καὶ τοῦ τί ἐστι καὶ τοῦ ὁρισμοῦ οὐκ ἔστιν ἐκ τῆς τοιαύτης ἐπαγωγῆς, ἀλλ' ἔστιν ἄλλος τις τρόπος, ὃν ἐν τῷ μετὰ τοῦτο βιβλίῳ παραδώσει. οὐ μόνον δὲ τὸ τί ἐστι τοῦ πυρὸς ἡ ἰατρική (φέρε γὰρ ἐπὶ ταύτης τὸν λόγον ποιήσωμεν) οὐκ ἀποδείκνυσιν, ἀλλ' οὐδ' εἰ ἔστιν ἢ μή ἐστιν ἄνθρωπος πραγματεύεται οὐδὲ λέγει. καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ οὐκ ἄλλως ἦν δυνατὸν δειχθῆναι ὅτι ἔστιν ἄνθρωπος, εἰ μὴ ἐδείχθη ὅτι ἐστὶ ζῷον πεζὸν δίπουν, ἀδύνατον δὲ τοῦτο δειχθῆναι (τοῦ γὰρ ὁρισμοῦ ἀπόδειξις μὲν οὐκ ἔστι, δι' ἀποδείξεως δὲ δηλοῦται, ὡς αὐτοῖς αὐτοῖς ῥήμασιν ἐν τῷ Β τῶν Ὑστέρων Ἀναλυτικῶν εἴρηκεν), φανερὸν ὅτι οὐδ' ὡς ἔστιν ἄνθρωπος δειχθήσεται. ἐπεὶ δέ, ὡς εἴρηται, τῆς αὐτῆς ἐστὶ διανοίας τὸ τί ἐστι δῆλον ποιεῖν καὶ τὸ εἰ ἔστι, τὸ δὲ τί ἐστι δῆλον οὐ ποιεῖ οὐδ' ἀποδείκνυσιν, δῆλον ὅτι οὐδὲ τὸ εἰ ἔστιν ἀποδείξει. Alex.

1025b 22. μήποτε δὲ τὸ "τῶν μὲν γὰρ ποιητικῶν" οὐκ ἐνεργητικῶς δεῖ ἀκούειν, ἵνα ἐπὶ τῶν αἰτίων ἐξακούηται, ἀλλὰ παθητικῶς, ἵν' ᾖ "τῶν μὲν γὰρ ποιητικῶν" ἀντὶ τοῦ τῶν ποιουμένων. καὶ ὅτι τοῦτο ἀρχὴ οὕτως αὐτῷ εἴληπται, τεκμαίρομαι ἐκ τοῦ ἐπαγομένου τοῦ "τῶν δὲ πρακτῶν ἐν τῷ πράττειν ἡ προαίρεσις." καὶ εἴπερ οὕτως ἀκούειν αὐτοῦ χρή, σαφὲς ἂν εἴη τὸ λεγόμενον καὶ μετὰ τῷ "τὸ ἐν τῷ ποιοῦντι" ἀντὶ τοῦ ἐν αὐτοῖς ἐξελάβομεν. δεῖ οὖν, εἴ τι χρὴ τῇ ἐμῇ μαντείᾳ προσέχειν, οὕτως ἀκούειν τοῦ ῥητοῦ. ὥσπερ γὰρ ἡ ἀρχὴ τῶν ποιουμένων, εἴτε νοῦς ἐστὶν εἴτε τέχνη εἴτε δύναμίς τις, ἐν τῷ ποιοῦντί ἐστιν ἀλλ' οὐκ ἐν τοῖς ποιουμένοις, οὕτως καὶ τῶν πρακτῶν ἀρχὴ οὖσα ἡ προαίρεσις οὐκ ἐν τῷ πρακτῷ ἀλλ' ἐν τῷ πράττοντι. εἰ γὰρ ταὐτὸν

(*) Ad libros seqq. Metaphysicorum non integros dedi Alexandri, qui feruntur, commentarios, sed scholia tantum ex iis excerpta, cum mihi dubium non sit falso eos Aphrodisiensis nomen prae se ferre, sive Michaelis Ephesii sunt, quemadmodum cod. Reg. Par. 1876 autumat (Μιχαὴλ τοῦ Ἐφεσίου σχόλια εἰς τὸ ε' τῶν Μετὰ τὰ Φυσικὰ τοῦ Ἀριστοτέλους), sive alius cuiusdam similis notae scholiastae. ad Scholia, quae nihilominus Alexandri nomine more solito insignivi, codd. Reg. 1876 et Monac. excussi, codd. Vat. Bibl. Reg. Christ. 109 et Coislin 161 inspexi scholia reliqua, Asclepii al., e codd. petivi ad calcem libri primi laudatis.

5. χρήσιμος A.

καὶ παραλογίζεσθαι συνάγειν βουλόμενον ὡς ὁ αὐτὸς ἄνθρωπος ψευδής τε καὶ ἀληθής τῷ τὴν αὐτὴν δύναμιν ἔχειν τῶν ἐναντίων· ψευδῆ γὰρ λαμβάνει τὸν δυνάμενον ψεύδεσθαι, ἔστι δὲ τοιοῦτος ὁ τὸ ἀληθὲς εἰδὼς μάλιστα καὶ ὁ φρόνιμος. ἀλλ' οὐχ οὕτως ὁ ψευδὴς λέγεται, ἀλλ' ὁ προαιρετικὸς τούτου καὶ εὐχερὴς καὶ χωρὶς ἐπιστάσεως λέγων καὶ χαίρων τῷ τοιούτῳ, οἷος οὐκέτι ἐστὶν ὁ φρόνιμος καὶ ὁ τοὺς ἄλλους ψεύδεσθαι πείθων καὶ προαιρετικὸς τοῦ τοιούτου, ὃς καὶ φαῦλος εὐθύς. ἔτι δέ φησι μηδὲ τοῦτο ὀρθῶς ἐν τῷ Ἱππίᾳ εἰρῆσθαι, δῆλον ὅτι τὸ τὸν ἑκόντα φαῦλα πράσσοντα βελτίονα εἶναι τοῦ ἄκοντος, ὃ δι' ἐπαγωγῆς ψευδοῦς λαμβάνει, λέγων, ὥσπερ ὁ ἑκὼν χωλαίνων βελτίων καὶ ὑγιεινότερος τοῦ ἄκοντος καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων προσποιήσεων, οὕτω καὶ τὸν ἑκόντα πράσσοντα τὰ φαῦλα βελτίω εἶναι τοῦ ἄκοντος· τὸν γὰρ ἑκόντα χωλαίνοντα ἔλαβε τὸν μιμούμενον χωλόν, ὅτι ὁ οὕτως χωλαίνων ἀμείνων τοῦ ἄκοντος· ὁ μὲν γὰρ χωλὸς ὁ δὲ οὔ· ὥστε ἡ σύγκρισις χωλοῦ καὶ φαινομένου χωλοῦ, ἐπεὶ ἄν γε τὸν ἑκόντα λαμβάνῃ, ἴσως χείρων οὗτος τοῦ ἄκοντος χωλοῦ ὄντος, ὥσπερ καὶ ὁ τὸ ἦθος μοχθηρὸς ἑκὼν χείρων τοῦ ἄκοντος· ὁ γὰρ ἀκόλαστος τοῦ ἀκρατοῦς χείρων. ὁμοίως δὲ καὶ ὁ ἑκών τε ψευδόμενος καὶ χαίρων τῷ ψεύδεσθαι χείρων τοῦ ἄκοντος. Alex.

1024b 27. (ᵃ) ἐὰν μέντοι γε εἴπωμεν ὅτι ζῷον λογικὸν ἀθάνατον, ἐπὶ μὲν ἀνθρώπου ψευδής, φησίν, ὑπάρχει, ἐπὶ δὲ ἀγγέλου οὐκ ἔστι ψευδής. Asclep.

1024b 32. (ᵇ) διὸ Ἀντισθένης οὐ καλῶς ἐπειρᾶτο δεικνύναι ὅτι οὐ δυνατόν ἐστιν ἀντιλέγειν, λέγων οὕτως, ὅτι ἢ σύμφωνα ἑαυτοῖς διαλέγονται ἢ οὐ σύμφωνα. ἀλλ' εἰ μὲν σύμφωνα, οὐκ ἔστιν ἀντιλέγειν· αὐτὸ γὰρ τοῦτο συμφωνοῦσιν ἀλλήλοις. εἰ δὲ μὴ σύμφωνα λέγουσι, κατὰ διαφόρων πραγμάτων διαφέρονται· ὥστε οὐδ' οὕτως ἀντιλέγουσιν, εἴγε μηδὲ περὶ τοῦ αὐτοῦ πράγματος τὸν λόγον ποιοῦνται. id.

1025a 14. λέγει δὲ καὶ περὶ συμβεβηκότων τὸ πῶς ὑπάρχον συμβεβηκὸς ἔσται· ὃ γὰρ ὑπάρχει μέν τινι καὶ ἀληθὲς εἰπεῖν περὶ αὐτοῦ ὅτι ὑπάρχει, οὔτε δὲ ὡς ἐξ ἀνάγκης οὔτε ὡς ἐπὶ τὸ πολύ, ἐκεῖνο συμβεβηκὸς λέγεται καί ἐστιν. οὕτω συμβεβηκὸς τὸ θησαυρὸν εὑρεῖν τῷ ὀρύσσοντι βόθρον εἰς τὸ φυτεῦσαί τι, ἐπεὶ μήτε ἐξ ἀνάγκης ἕπεται τοῖς ὀρύσσουσι τὸ εὑρίσκειν θησαυροὺς μήτε ὡς ἐπὶ τὸ πολύ, ἀλλὰ σπανίως φυτεύων τις ἢ ὀρύσσων εὗρε θησαυρόν, ὡς μὴ ἐκ τοῦ ὀρύσσειν γίγνεσθαι τὴν εὕρεσιν· οὔτε γὰρ τὸ ὀρύσσειν ἦν αὐτῷ ἐξ ἀνάγκης τῆς εὑρέσεως τοῦ θησαυροῦ, οὔτε ἕπεται πάντως τῷ ὀρύξαντι ὡς μετ' αὐτὸ τὴν εὕρεσιν εἶναι τοῦ θησαυροῦ· διὸ καὶ ἔστι τὸ μὲν εὑρεῖν οὕτω θησαυρόν, ἀπὸ τύχης δὲ καὶ κατὰ συμβεβηκὸς αἴτιον ποιητικὸν τῆς εὑρέσεως τοῦ θησαυροῦ τὸ ὀρύξαι. καὶ τὰ μὲν ἀπὸ τύχης οὕτω συμβεβηκότα, καὶ ὁ μουσικὸς δὲ ἂν λευκὸς ἢ κατὰ συμβεβηκός ἐστιν· οὔτε γὰρ ἐξ ἀνάγκης οὔτε ὡς ἐπὶ τὸ πολὺ ἕπεται τῷ μουσικῷ τὸ εἶναι λευκόν. ἑξῆς δὲ καὶ πῶς κρινοῦμεν τὸ συμβεβηκὸς 1025a 21.
λέγει· ἐπεὶ γὰρ ἔστι τι ὑπάρχον, ἔστι καὶ ᾧ ὑπάρχει τὸ ὑπάρχον, καὶ ἔνιά γε τῶν ὑπαρχόντων ἢ πού ὑπάρχει, οἷον ἐν μορίῳ τούτου ᾧ ὑπάρχει, ἢ ποτέ· οὐδὲ γὰρ κεκώλυται τῶν ὑπαρχόντων τινὰ τισὶ καὶ οὕτως ὑπάρχειν ὡς ἐν μέρει ὑπάρχειν, ἢ ποτὲ ἐν χρόνῳ τινὶ ὑπάρχειν· ποὺ δὲ καὶ ποτὲ καὶ τῶν ἐξ ἀνάγκης γινομένων τινά, ὡς ἀνατολαὶ τῶν ἄστρων καὶ δύσεις· πού τε γάρ, ἐπεὶ κατὰ τοῦτο μὲν τὸ μέρος τοῦ κόσμου αἱ ἀνατολαὶ κατὰ τοῦτο δὲ αἱ δύσεις, καὶ ποτέ· οὐ γὰρ ἀεὶ τοῖς αὐτοῖς ἀνατολαὶ καὶ δύσεις, ἀλλ' ἐν μέρει. ὅτῳ οὖν ἂν ὑπάρχῃ μέν τινι ἢ ἁπλοῦν ἢ πῇ ἢ κατὰ χρόνον, οἷον νῦν ἐνταῦθα, ὅτι ἐν τούτῳ τῷ μέρει, μὴ διὰ προηγουμένην τέ τινα καὶ ὡρισμένην αἰτίαν· τούτου γὰρ δηλωτικὸν τὸ "διότι τοδὶ ἢ νῦν ἢ ἐνταῦθα," δεικνὺς ὅτι οὐδὲ τὰ αἴτια τούτων ἀεὶ ὑπάρχοντα, ἀλλὰ ποτέ, οὐδὲ τὰ ἐν μορίῳ τινὶ ἁπλῶς συμβεβηκότα ἐστίν, ἀλλὰ τότε καὶ ταῦτα γίνεται συμβεβηκότα, ὅταν μὴ ὑπάρχῃ τὸ δι' ὃ ὑπάρχει ὡρισμένον αἴτιον· οὐ γὰρ ἀπὸ τύχης ἐφλέγμηνεν ὁ δάκτυλος, εἰ εἴη αἰτία αὐτῷ τῆς φλεγμονῆς, οὐδὲ ἀπὸ τύχης ἡ ἐν τῷ θέρει θέρμη· αἰτία γὰρ αὐτῇ ἡ τοῦ ἡλίου πρόσοδος. οὐδὲ δή, φησίν, αἴτιον ὡρισμένον ἐστὶ τοῦ συμβεβηκότος, ἀλλὰ τὸ τυχόν· τοῦτο δὲ ἀόριστον. δύναται τὸ "οὐδὲ δὴ" καὶ ἀντὶ τοῦ οὐδὲν εἰρηκέναι· ἤδη γὰρ εἶπεν ὅτι μή ἐστιν αἴτιον τοῦ συμβεβηκότος διὰ τοῦ "ἀλλὰ μὴ διότι τοδὶ ἦν." οὕτως γὰρ συμβεβηκός τινι τὸ εἰς Αἴγιναν ἐλθεῖν, εἰ μὴ διὰ τοῦτο ἔπλει ὡς Αἰγίνῃ προσέξων. "γέγονε μὲν δὴ ἢ ἔστι τὸ συμβεβηκός," ἀλλ' οὐ καθ' 1025a 25.
αὑτὸ γέγονεν οὐδὲ προηγουμένως, ἀλλὰ τῷ ἕτερον γενέσθαι τοῦτο συνέβη. τοῦ γὰρ πλεῖν προηγουμένως γεγονότος γέγονε τὸ ἐν Αἰγίνῃ γενέσθαι, οὐ τούτου χάριν πλέοντος· τοῦ γὰρ εἰς Αἴγιναν ἐλθεῖν ὁ χειμὼν αἴτιος κωλύσας ἐλθεῖν ἐκεῖ οὗ χάριν ἔπλει· οὐ καθ' αὑτὸ οὖν γέγονεν οὐδὲ αὐτὸ ἦν τὸ γιγνόμενον, ἀλλ' ἑτέρῳ γινομένῳ ἐπεγέγονε. τοῦτο γὰρ τὸ γινόμενον μὴ γενέσθαι ὁ χειμὼν αἴτιος καὶ οὐ τὸ πλεῖν· ἄλλου γὰρ χάριν ἐγίνετο τοῦτο. εἰπὼν δὲ καὶ ταῦτα περὶ τοῦ 1025a 30.
συμβεβηκότος λέγει καὶ ἄλλο τι τοῦ συμβεβηκότος σημαινόμενον· ὅσα γὰρ ὑπάρχει μέν τισι καθ' αὑτά, μὴ ἐν τῇ οὐσίᾳ δὲ αὐτοῦ μηδὲ ἐν τῷ ὁρισμῷ ἐστί, καὶ αὐτὰ συμβεβηκότα ἐστί, περὶ ὧν καὶ αἱ ἀποδόσεις γίνονται. οὕτως ὑπάρχει τῷ τριγώνῳ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν· ἔστι μὲν γὰρ καθ' αὑτὸ ὑπάρχον αὐτῷ, οὐ μὴν ἐν τῷ ὁριστικῷ λόγῳ αὐτοῦ τῷ τὴν οὐσίαν δηλοῦντι τοῦ τριγώνου περιέχεται, εἴγε τριγώνου λόγος ἐστὶ σχῆμα τὸ ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον. καὶ τὰ μὲν οὕτως συμβεβηκότα, φησίν, ἐνδέχεται ἀΐδια εἶναι, τῶν δὲ κατὰ τὸ πρῶτον σημαινόμενον οὐδέν. τὸ δὲ "ἐνδέχεται" εἶπεν ἤτοι ἐπεὶ μὴ περὶ τούτου νῦν προηγουμένως λέγων ἐποιεῖτο τὸν λόγον, ἐπεί γε δοκεῖ τὰ οὕτως ὑπάρχοντα ἀΐδια εἶναι· ἢ εἰ ἐνδέχεται ὅλον εἶδος ζῴου μὴ ἀΐδιον εἶναι, φέρε εἰπεῖν τοὺς τέττιγας, οὐδ'

8. ἔτι] ὅτι *M.* ‖ 16. λαμβάνει *M.*

1. καὶ] οὐ *A.* ‖ 2. ἔστι — 3. ὑπάρχει om *A.* ‖ 4. ὑπάρχει τὸ ὑπάρχον, καὶ ἔνιά γε τῶν ὑπαρχόντων ἢ πού ὑπάρχει, οἷον ἐν μορίῳ τούτου ᾧ ὑπάρχει ἢ ποτὲ *A.* ‖ *fieri enim potest ut quae aliis adsunt, in parte adsint vel in aliquo tempore, quanquam et alicubi et aliquando ad necessaria quoque possint accommodari, ut ad ortus occasusque astrorum* Sepulv. ‖ 5. ποτὲ καὶ ἐν *M.* ‖ 10. νῦν] οὖν *M.* ‖ 11. τέ τινα] δέ τινα *M.* ‖ 13. τὰ] τὴν *M.* ‖ 17. αὐτῷ *M.* ‖ 23. μὲν δὴ] μηδὲ *A.* ‖ 24. τῷ] τὸ *M.* ‖ 29. καὶ] ἐστὶν *M.* ‖ 41. ὑπερέχοντα *A.*

τριγώνου, ὅτι μὴ ἔστιν ἢ ἔστι τούτου· καὶ γὰρ εἰ ὄντος τινός ἐστιν ὁ λεγόμενος λόγος, ἀλλὰ καθὸ ψευδής ἐστι, μὴ ὄντος ἐστίν· μόνος γὰρ οὗτος δηλωτικός ἐστιν ὁ τὸ τρίγωνον λέγων σχῆμα εἶναι ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. ἑκάστου δέ φησι λόγον εἶναι ἔστι μὲν ὡς ἕνα (εἷς γὰρ ὁ τῆς ἑκάστου οὐσίας δηλωτικὸς λόγος ἐστίν) ἔστι δὲ ὡς πολλούς, καὶ λέγει πῶς πολλοὶ αὐτοῦ λόγοι γίνονται· ἐπεὶ γὰρ δοκεῖ ταὐτόν πως εἶναι αὐτό τε καὶ αὐτὸ πεπονθός, οἷον Καλλίας καὶ Καλλίας μουσικός (ἓν γὰρ κατὰ τὸ ὑποκείμενον), εἴη ἂν Καλλίου ὁ μέν τις λόγος ἁπλῶς ὡς Καλλίου, ὁ δέ τις ὡς μουσικοῦ Καλλίου, ὁ δὲ ὡς λευκοῦ, καὶ καθ' ἕκαστον συμβεβηκὸς τῷ Καλλίᾳ συντιθέμενον τῷ Καλλίᾳ διαφέρων λόγος ἔσται, ὥστε πλείους τοῦ αὐτοῦ λόγοι οὕτως εἰσίν, εἴ τις περὶ αὐτοῦ ἀληθής. λόγον δὲ οὐ τὸν κυρίως ὁρισμὸν ἐπὶ Καλλίου καὶ Σωκράτους καὶ τῶν καθ' ἕκαστον ἀκούειν δεῖ. οὕτως μὲν οὖν πλείους τοῦ αὐτοῦ λόγοι. "ὁ δὲ ψευδὴς λόγος οὐδενός ἐστιν ἁπλῶς" ἀντὶ τοῦ κυρίως· κυρίως γὰρ ἑκάστου λόγος ὁ ἀληθής· οὗτος γὰρ καὶ οἰκεῖος· ὁ δὲ ψευδὴς καθὸ ψευδὴς μετὰ προσθήκης ἐκείνου λόγος γίνεται οὗ ἐστὶ ψευδής. ἑτέρου γάρ τινος, ὡς εἶπεν, ὁ ψευδὴς λόγος καὶ οὐχ οὗ ἐστιν ἀληθής· ψευδὴς γὰρ λόγος περὶ ἵππου ὁ λέγων αὐτὸν ζῷον λογικὸν θνητόν, ὅτι μή ἐστι τούτου οὗ ἐστιν ἀληθής· ἀληθὴς γὰρ ἀνθρώπου, ἀλλ' οὐχ ἁπλῶς ἵππου λόγος, ζῷον λογικὸν θνητόν· καὶ καθ' ὧν ἂν ψευδῶς ὁμοίως, οὐδενὸς ἐκείνων ἔσται ἁπλῶς· οὐδενὸς γὰρ ἁπλῶς καὶ κυρίως ἐστὶν ὁ ψευδὴς λόγος. εἰπὼν δὲ ὅτι ὁ ψευδὴς λόγος τοῦ μὴ ὄντος ἐστί, καὶ ὅτι ἁπλῶς μὲν οὐκ ἔστιν ὁ ψευδὴς λόγος ἐκείνου λόγος οὗ ψευδής ἐστι, μετὰ προσθήκης δέ ἐστιν, ἔστι δὲ καὶ ὁ ψευδὴς λόγος περί τινος (ὁ γὰρ ἄλλου μὲν ὤν, ἐπ' ἄλλου δὲ ἢ οὗ ἐστὶ
1024b λεγόμενος) — εἰπὼν δὲ ταῦτα αἰτιᾶται Ἀντισθένην εὐήθως λέγοντα
32 περὶ μηδενὸς ἄλλου λέγεσθαί τινα λόγον ἢ περὶ ἐκείνου οὗ οἰκεῖός ἐστι, παρακρουσθέντα ὑπὸ τοῦ τὸν ψευδῆ λόγον μηδενὸς ἁπλῶς εἶναι λόγον (*)· οὐ γὰρ εἰ μὴ ἁπλῶς ἐστὶ μηδὲ κυρίως, ἤδη καὶ οὐκ ἔστιν. ᾤετο δὲ ὁ Ἀντισθένης ἕκαστον τῶν ὄντων λέγεσθαι τῷ οἰκείῳ λόγῳ μόνῳ καὶ ἕνα ἑκάστου λόγον εἶναι· τὸν γὰρ οἰκεῖον τόδε τι σημαίνοντα καὶ μὴ ὄντα τούτου περὶ οὗ λέγεται εἶναι, ἀλλότριόν γε ὄντα αὐτοῦ. ἐξ ὧν καὶ συνάγειν ἐπειρᾶτο ὅτι μὴ ἔστιν ἀντιλέγειν· τοὺς μὲν γὰρ ἀντιλέγοντας περί τινος διάφορα λέγειν ὀφείλειν, μὴ δύνασθαι δὲ περὶ αὐτοῦ διαφόρους τοὺς λόγους φέρεσθαι τῷ ἕνα τὸν οἰκεῖον ἑκάστου εἶναι· ἕνα γὰρ ἑνὸς εἶναι καὶ τὸν λέγοντα περὶ αὐτοῦ λέγειν μόνον, ὥστε εἰ μὲν περὶ τοῦ πράγματος τοῦ αὐτοῦ λέγοιεν, τὰ αὐτὰ ἂν λέγοιεν ἀλλήλοις (εἷς γὰρ ὁ περὶ ἑνὸς λόγος), λέγοντες δὲ ταὐτὰ οὐκ ἂν ἀντιλέγοιεν ἀλλήλοις. εἰ δὲ διαφέροντα λέγοιεν, οὐκέτι λέξειν αὐτοὺς περὶ αὐτοῦ τῷ εἶναι ἕνα τὸν λόγον τὸν περὶ αὐτοῦ τοῦ πράγματος, τοὺς δὲ ἀντιλέγοντας ὀφείλειν περὶ τοῦ αὐτοῦ λέγειν. καὶ οὕτως συνῆγε τὸ μὴ εἶναι ἀντιλέγειν. σχεδὸν δὲ μηδὲ ψεύδεσθαι διὰ τὸ μὴ οἷόν τε εἶναι περί τινος ἄλλον πλὴν τὸν ἴδιόν τε καὶ οἰκεῖον εἰπεῖν λόγον. ὅτι δὲ εὐήθης ὁ λόγος οὗτος, δείκνυσιν ἐκ τοῦ λέγειν ἕκαστον οὐ μόνον τῷ αὐτοῦ καὶ οἰκείῳ λόγῳ ἀλλὰ καὶ τῷ ἑτέρῳ, ψευδῶς μὲν καὶ ῥᾷστα καὶ πολλαχῶς καὶ ἐκ τοῦ προχείρου, οἷον ἄν τῷ τοῦ κύκλου τις λόγῳ κατὰ τοῦ τριγώνου χρήσηται ἢ τῷ τοῦ ἵππου κατὰ τοῦ ἀνθρώπου. ὁ γὰρ λόγος ὁ λέγων τὸν ἵππον εἶναι ζῷον πεζὸν δίπουν ἔστι μὲν λόγος, ἐπ' οὐδενὸς δὲ ἀληθής· οὔτε γὰρ ἐπὶ τοῦ ἀνθρώπου, ἐπεὶ μὴ τόνδε τὴν ἀρχὴν ἔχει τὸν ἄνθρωπον ὑποκείμενον, οὐδὲ περὶ τοῦ ἵππου περὶ οὗ λέγεται· εἰ δὲ λεγόμενος περὶ τούτου μή ἐστιν ἀληθής, δῆλον ὡς ψευδὴς ἂν εἴη περὶ τοῦ ἵππου. ἔστι δέ πως, φησί, καὶ ἀληθῶς χρῆσθαι κατά τινος ἀλλοτρίῳ λόγῳ, ὅταν τὸν πρώτως τινὸς καὶ προσεχῶς οἰκεῖον λόγον ἐπὶ τὰ δευτέρως καὶ ἀπ' ἐκείνου τὸ εἶναι ἔχοντα μεταφέρωμεν, οἷον ἐπ' ἀριθμοῦ πρώτως διπλάσιος ἀριθμός ἐστιν ὁ δύο· τὸ γοῦν διπλάσιον ὄνομα παρὰ τὰ δύο γεγονέναι, ὃ καὶ ἐφ' ἑκάστου τῶν ἄλλων διπλασίων λέγωμεν, ὅτι ἐστὶ διπλάσια τάδε τῶνδε ὅτι ἔχει ὡς δύο πρὸς ἕν· διὸ καὶ κυρίως οὗτος διπλάσιος, λέγονται δὲ διπλάσιοι καὶ οἱ μετ' αὐτὸν ἄρτιοι, οἷον ὁ τέσσαρα καὶ ὀκτὼ καὶ ἐφεξῆς, τῷ τῆς δυάδος κυρίῳ καὶ οἰκείῳ λόγῳ χρωμένων ἡμῶν κατὰ τούτων καὶ ἀληθευόντων. εἰ δὲ καὶ ψευδῶς ἔστι λέγειν τινὰ τῷ ἑτέρων λόγῳ καὶ ἀληθῶς, οὐκ ἂν ἑκάστου τῶν ὄντων εἷς εἴη λόγος, ᾧ λέγεται, οὐδ' ἂν μοναχῶς εἴη περὶ ἑκάστου αὐτῶν λέγειν· προείρηται γὰρ ὅτι ἑκάστου λόγος ἔστι μὲν ὡς εἷς ἔστι δὲ ὡς πολλοί. εἴη δ' ἂν καὶ τὸ ἐν τῇ διανοίᾳ ψεῦδος ὑπαγόμενον τῷ ἐν τῷ λόγῳ ψεύδει· λόγος γάρ τις καὶ ἡ διάνοια. εἰπὼν δὲ πῶς μὲν ψευδῆ τὰ πράγματα πῶς δὲ 1025a
οἱ λόγοι, καὶ ἄλλο σημαινόμενον ψεύδους παρατίθεται· λέγεται γὰρ ἄν- 2
θρωπος ψευδὴς κατ' οὐδένα τρόπον τῶν προειρημένων τοῦ ψεύδους, ἀλλ' ἢ εὐχερὴς πρὸς τὸ ψεύδεσθαι καὶ τούτου προαιρετικὸς καὶ χαίρων τῷ ψεύδεσθαι, διὰ τοῦτο καὶ μὴ δι' ἄλλο τι, οἷον κέρδος ἢ μισθόν τινα· οὗτος γὰρ οὐκ ἔστι ψευδὴς οὐδὲ φιλοψευδής, ἀλλὰ φιλοκερδής, ἢ εἴ τι τοιοῦτόν ἐστιν. ἔτι δὲ καὶ ὁ ἄλλους ἀναπείθων ψεύδεσθαι ψευδὴς λέγεται, οὐ τῷ ποιεῖν αὐτοὺς χαίρειν τῷ ψεύδεσθαι, ἀλλὰ τῷ πείθειν πιστεύειν ὡς ἀληθέσιν οἷς ψευδόμενος λέγει ὡς οὖσιν ἀληθέσιν. οὕτω δὲ ψευδεῖς ἄνθρωποι οἱ ἀναπείθοντες ἄλλους ψεύδεσθαι λέγονται, ὡς καὶ τὰ πράγματα ψευδῆ λέγονται, ὅσα φαντασίας ψευδεῖς ποιεῖ, ὥσπερ τὰ χελοβάφινα ψευδῆ λέγεται, ὅταν χρυσῶν φαντασίαν ποιῇ, καὶ οἱ φυλετικῶς φυσήσαντες αὐτούς, ὅταν εὐεκτούντων φαντασίαν ἀποτελῶσι, καὶ περὶ ὧν εἶπε πραγμάτων ψευδῶν τῷ ἀλλοίαν φαντασίαν ἢ οἷά ἐστιν ἐμποιεῖν, ὡς αἱ γραφαὶ εἶχον καὶ τὰ ἐνύπνια. εἰπὼν δὲ τίς ἐστιν ὁ ἄνθρωπος ὁ ψευδής, ὅτι ὁ χαίρων τῷ ψεύδεσθαι, τὸν ἐν τῷ Ἱππίᾳ Πλάτωνος λέγει λόγον παρακρούεσθαι

3. ἐστι om *A.* ‖ 18. λόγος ὁ περὶ *M.* ‖ 19. ὅτι — 20. θνητὸν om *A.* ‖ 21. ὁμοίως om Sepulv. ‖ 23. ὁ ψευδὴς] ἀψευδὴς *M.* ‖ 24. λόγου *M.* ‖ 27. οἰκείως *A.* ‖ 28. μηδὲν *M.* ‖ 31. *nam quae aliquid significat, nec est eius, eam eius de quo dicitur esse dici, cum ipsi sit aliena de quo dicitur, ab ipso esse alienam* Sepulv. ‖ 35. λόγους λέγεσθαι *M*, γρ. καὶ λέγεσθαι *A* marg. ‖ τῷ] τὸ *M.* ‖ 36. ὥστε] ὡς *A.*

1. διὰ τὸ τὸ μὴ *M.* ‖ 12. τὸν] τὴν *A.* ‖ 19. καὶ οἰκείῳ om *M.* ‖ τούτο *M.* ‖ 22. ἂν] ἐν *M.* ‖ 25. δὲ om *A.* ‖ ψεύδη *A.* ‖ 28. ἢ] ὁ *M.* ‖ 31. τις *M.* ‖ 37. φαντασίας *M.*

δος ἐν πράγμασιν οὐχ ὁμοίως τῷ περὶ αὐτοῦ λόγῳ· ὁ μὲν γὰρ λόγος ψευδὴς μὲν περὶ αὐτοῦ ὁ εἶναι αὐτὸ λέγων, ἀληθὴς δὲ περὶ αὐτοῦ τούτου ὁ μὴ εἶναι ἐν τῇ ποιᾷ συνθέσει περὶ αὐτοῦ τὸ ἀληθὲς καὶ ψεῦδος λαμβάνων· διὸ ὁμοίως καὶ περὶ ὄντων καὶ μὴ ὄντων ἀληθής τε καὶ ψευδὴς ὁ λόγος γίνεται. τὸ δὲ κατὰ τὸ πρᾶγμα ψεῦδος οὐκ ἐν τῇ τινῶν συνθέσει τοιοῦτον, ἀλλ' ἔστιν ἐν πράγμασι ψεῦδος τὸ μὴ εἶναι μηδὲ ὑπάρχειν αὐτό, ὥσπερ καὶ ἀληθὲς ἂν εἴη πάλιν ἐν πράγμασι τὸ ὑπάρχειν αὐτὰ καὶ τὸ εἶναι, οὐχ ὁμοίως τῷ λέγειν αὐτὰ εἶναι. διὰ τὸ μὲν ἐν λόγῳ ἀληθές τε καὶ ψευδὲς δύναται περὶ τοῦ αὐτοῦ πράγματος ἔχειν ἀμφότερα, τὸ δὲ ἐν τῷ πράγματι ψεῦδος ἀδύνατον, ἔστ' ἂν εἴη ἀληθὲς γενέσθαι. ἔσται δὲ ἀμφότερα μὲν τὰ ψευδῆ λέγειν ἐν λόγῳ εἶναι καὶ προτάσει· εἶναι δὲ τούτων τὸ μὲν ἀπὸ τοῦ πράγματος ἐν τῷ λόγῳ, τὸ δὲ ἐν τῷ πράγματι ψεῦδος ἀδύνατον ἀπ' αὐτοῦ τοῦ λόγου· ὁ μὲν γὰρ τὸ μὴ ὑπάρχον ὑπάρχειν λέγων λόγος τὸ ψεῦδος ἀπὸ τοῦ πράγματος ἔχει τοῦ μὴ ὑπάρχοντος, ὁ δὲ τὸ ἄλλῳ ὑπάρχον ἄλλῳ ὑπάρχειν λέγων τὸ ψεῦδος τοῦτο ἀπὸ τοῦ πράγματος ἔχει· ψεῦδος γὰρ τοῦτο τὸ τῷ ἄλλῳ ὑπάρχον ἐπ' ἄλλον μεταφέρειν. ὅτι γὰρ καὶ τὸ ὡς πρᾶγμα ψεῦδος ἐν λόγῳ δοκεῖ, δείκνυσι διὰ τοῦ προσθεῖναι τὸ "τῷ μὴ συγκεῖσθαι ἢ ἀδύνατον εἶναι συντεθῆναι." ὅτι ἔστι τῷ πράγματι ψεῦδος, ἔδειξε· περὶ ὧν γὰρ οὐχ οἷόν τε ἀληθεύειν τὸν συντιθέντα αὐτὰ καὶ εἶναι λέγοντα, ταῦτα ὡς πράγματι ψευδῆ. τὸ δὲ περὶ τούτων ἐν τῷ λόγῳ ψεῦδος ἐν συνθέσει ἤδη· τὸ μὲν γὰρ ἐν τῷ μὴ συγκεῖσθαι ἢ ἀδύνατον εἶναι συντεθῆναι, τοῦ μὴ ὑπάρχοντος ἢ καὶ ἀδυνάτου ὑπάρξειν εἰσὶ δηλωτικά. σύνθεσιν γὰρ   τὴν τῶν πραγμάτων   τα τινὰ σύνθεσίν ἐστιν ἡ ὕπαρξις τούτων γινομένη. ἡ μὲν οὖν διάμετρος σύμμετρος τῇ πλευρᾷ οὔτε ἔστιν οὔτε δύναται γενέσθαι· τὸ δὲ σὲ καθῆσθαι ὅτε ἕστηκας, τῷ μὴ ὑπάρχειν τότε ψεῦδός ἐστι, οὐκέτι καὶ τῷ ἀδύνατον γενέσθαι. καὶ ἔστιν ἐν τοῖς πράγμασι ψευδῆ ἢ τὰ ὅλως ἀνύπαρκτά τε καὶ ἀδύνατα καὶ ἀεὶ ψευδῆ, ἢ τὰ νῦν μὴ ὑπάρχοντα· ταῦτα γὰρ νῦν ψευδῆ ὅτε μὴ ἔστιν. τὰ δέ τινά ἐστιν ἐν τοῖς πράγμασιν ἢ μὴ οἷά ἐστιν ἢ ἃ μὴ ἔστιν. ἄλλως δέ ἐστι ψευδῆ ταῦτα, ὅσα ἐστὶν ὄντα ψευδῆ, ἔστι δὲ ψευδὴς ἡ ἀπ' αὐτῶν φαντασία τῷ φαίνεσθαι ταῦτα ἢ μὴ οἷά ἐστιν ἢ ἃ μὴ ἔστιν. ἄλλως δέ ἐστι ψευδῆ ταῦτα παρὰ τὸν προειρημένον τρόπον· ὧν γὰρ ψευδής ἐστιν ἡ φαντασία, ταῦτα οὐκ ἔστι ψευδῆ, ὡς ἦν τὰ προειρημένα. ἔστι μὲν γὰρ ταῦτά τινα, οὐ μὴν οἷα φαίνεται. τοιαῦτά ἐστι τά τε ἐν ταῖς γραφαῖς καὶ ἐν ταῖς σκιαγραφίαις, ἃ ἔστι μέν τινα, οὐ μὴν ἃ φαίνεται ἔστιν· φαίνεται γὰρ ζῷα οὐκ ὄντα ζῷα, καὶ τινὰ ἄλλα ὧν ἂν καὶ ἡ σκιαγραφία ᾖ. ὁμοίως καὶ τὰ ἐν τοῖς ὕπνοις φαντάσματα ἔστι μέν τινα (κινήματα γάρ τινα γίνεται τοῖς ὁρῶσι τὰ ἐνύπνια), οὐ μὴν τοιαῦτά ἐστιν οἷα φαίνεται. φαίνεται γὰρ βαδίζειν τε ἢ διαλέγεσθαι, οὐ μέντοι οὕτως ἔχει. τοιαῦτα καὶ οὕτω ψευδῆ καὶ τὰ ἐμφαινόμενα τοῖς κατόπτροις. ἔστι μὲν γάρ τι καὶ αὐτά, ἀλλ' οὐχ ὃ φαίνεται. εἶπε δὲ καὶ τὸ τοιοῦτον ψεῦδος ἐν τοῖς πράγμασιν, ὅτι αὐτὴ ἡ φύσις αὐτῶν ψευδὴς κἀν τούτοις, ἀλλ' οὐκ ἐν τῇ ποιᾷ συνθέσει τοῦ περὶ αὐτῶν λόγου τὸ οὕτως ἡμᾶς ἀπατᾶσθαι. τὰ μὲν οὖν πράγματα οὕτω φησὶν εἶναι ψευδῆ ἢ τῷ μὴ εἶναι αὐτά, ἢ τῷ τὴν ἀπ' αὐτῶν φαντασίαν ὡς μὴ ὄντος εἶναι· οὐ γὰρ ὄντος ἐστὶν ἡ τοιαύτη ἀπ' αὐτῶν φαντασία· διὸ ὡς ἀπὸ μήκοθεν ὡς ἀπὸ μὴ ὄντος· τὸ γὰρ περιπατεῖν τὸ φάντασμα ὅπερ φαίνεται οὐκ ὄν, ἢ τὸ διαλέγεσθαι ἢ τὸ ὅλως τι ἐνεργεῖν, καὶ τοιαῦτα τὰ φαντάσματα ἐστὶ τὰ ὄντα γε, εἴ γε κινήσεις τινές εἰσιν ἀπὸ τῶν κατ' ἐνέργειαν αἰσθητῶν, καὶ γίνονται ἐν τοῖς αἰσθητηρίοις ἀπὸ τῶν αἰσθητῶν ἐγκαταλείμματα. ἀνέθηκε δὲ καὶ τὸ ἐν τῇ φαντασίᾳ ψεῦδος τοῖς πράγμασιν. τὸ δὲ "ἢ μὴ οἷά ἐστιν ἢ ἃ μὴ ἔστι," τὸ μὲν "οἷα μὴ ἔστι" λέγοι ἂν ἐπὶ τῆς σκιαγραφίας, τὸ δὲ "ἃ μή ἐστιν" ἐπὶ τῶν ἐνυπνίων. ψευδὴς δέ ἐστιν ὁ λόγος ὁ τῶν μὴ ὄντων, οὐχ ἁπλῶς δὲ ὁ τῶν μὴ 1024b
ὄντων ψευδής, ἀλλὰ τῶν μὴ ὄντων καθὸ ψευδής (*)· ψευδὴς 26.
γὰρ ὁ ὡς οὐκ ἔχει τὰ πράγματα ἔχειν λέγων αὐτά, ἔστι δέ τις καὶ περὶ τῶν μὴ ὄντων λόγος ἀληθής· ὁ γὰρ μὴ εἶναι αὐτὰ λέγων· ὁ δὲ τὰ μὴ ὄντα λέγων ὡς ὄντα ἢ τὰ ὄντα ὡς μὴ ὄντα, οὗτός ἐστιν ὁ ψευδής. πᾶς οὖν ὁ τὰ μὴ ὄντα λέγων ψευδής ἐστιν ὁ ὡς μὴ ἔχει τὰ σημαινόμενα ὑπ' αὐτοῦ, οὕτως αὐτὰ λέγων ἔχειν. ἔνεστι καὶ ψιλῶς ἀναγνῶναι τὸ "ἡ ψευδής," ἵνα ᾖ τὸ λεγόμενον· ψευδὴς λόγος ἐστὶν ὁ τῶν μὴ ὄντων ἢ τὰ μὴ ὄντα εἶναι λέγων, ὡς ὁ λέγων ἱπποκένταυρον εἶναι, ἢ ὅλως ψευδής. ἀλλὰ καὶ πᾶς καὶ ὁ περὶ ὄντων λόγος λέγων δύναται ψευδὴς εἶναι, ἂν τὸν κύκλον λέγῃ σχῆμα ἐπίπεδον ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον. καὶ εἴη ἂν ἀκόλουθον τὸ ἐπιφερόμενον τῇ τοιαύτῃ ἀναγνώσει· οὐ γὰρ μόνος ὁ τὰ μὴ ὄντα μὴ ὄντα εἶναι λέγων ψευδής, ἀλλὰ καὶ πᾶς λόγος ἐστὶ ψευδής, ὅταν περὶ ἑτέρου λέγηται καὶ μὴ περὶ οὗ ἐστὶν ἀληθής. ἐὰν δὲ τὸ "ἣ ψευδής" δασέως ἀναγινώσκηται, εἴη ἂν τὸ λεγόμενον· λόγος ψευδής ἐστιν ὁ τῶν μὴ ὄντων· τὸ γὰρ "ᾗ ψευδής" δηλωτικόν ἐστι τοῦ καθὸ ψευδής ἐστι μὴ ὄντων αὐτὸν εἶναι. τούτων γὰρ δηλωτικὸν τὸ ἐπιφερόμενον τὸ "διὸ πᾶς λόγος ψευδὴς ἑτέρου ἢ οὗ ἐστὶν ἀληθής·" εἰ γὰρ πᾶς λόγος ἑτέρου ἐστὶ ψευδὴς ἢ οὗ ἐστὶν ἀληθής, ἀληθὴς δὲ ἐκείνου ᾧ ἐφαρμόζει, ψευδὴς ἂν εἴη ἐκείνου ᾧ οὐκ ἐφαρμόζει, καὶ οὕτω μὴ ὄντος· ὁ γὰρ τοῦ κύκλου λόγος ἀληθὴς ψευδὴς λόγος ἐστὶ

2. ὁ — 3. αὐτοῦ om *A.* ‖ 6. τινῶν θέσει *A.* ‖ 7. ἐν πράγμασι πάλιν *M.* ‖ 8. τῷ] τὸ *A.* ‖ 9. ψεῦδος *M.* ‖ 11. εἴη] ᾖ *M.* ‖ τὰ] τὴν *M.* ‖ 13. ἐν τῷ πράγματι ψεῦδος ἀδύνατον om *A.* ‖ 14. γὰρ καὶ μὴ *M.* ‖ 16. ὑπάρχοι ἄλλῳ om *A.* ‖ 17. ἄλλων] ἄλλοι *M.* ‖ 21. πράγματα *M.* ‖ 24. ἀδύνατοι *M.* ‖ σύνθεσις *M.* ‖ 25. *nam compositionem vocat rerum identitatem rerumque conventum: harum enim huiusmodi existentia compositio est. dimetiens igitur commensurabilis* Sepulv. ‖ 28. ὑπάρχειν — 30. μὴ om *M.* ‖ 31. *sunt vero in rebus falsae vel quae omnino existere nequeunt et impossibiles et semper falsae, vel quae nunc non sunt: hae namque falsae sunt, cum non sunt. alia falsa sunt, quorum visum ab ipsis procedens est falsum* Sepulv.

2. οἷα] ἃ *M.* ‖ 3. φαίνεται om *M.* ‖ τε] τι *A.* ‖ 8. αὐτὴν *M.* ‖ 10. *itaque ut a longinquo quasi a non ente* Sepulv. ‖ 16. inter v. πράγμασιν et τὸ δὲ lacuna *M.* ‖ μὴ ἃ] μία *M.* ‖ 22. οὕτως *M.* ‖ 23. utrumque ὁ om *M.* ‖ 24. ἔχῃ *M.* ‖ 28. τοῦ κύκλου *M.* ‖ λέγει *A.* ‖ 31. μὴ ὄντα et 34. ᾗ om *A.* ‖ 36. ἢ] ᾗ *M.* ‖ 38. οὐ ἐφαρμόζει *M.*

ἐνυπάρχον ἑκάστου ἐν τῷ ὁριστικῷ καὶ τὸ τί ἦν εἶναι σημαίνοντι λόγῳ, ὃ κατηγορεῖται ἐν τῷ τί ἐστι τοῦ ὑποκειμένου. τούτου γὰρ δηλωτικὸν τὸ ὃ λέγεται ἐν τῷ τί ἐστιν· καὶ γὰρ τὸ οὕτως λεγόμενον γένος σημαίνει τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον· τοῦ γὰρ πρώτου ἐν τῷ ὁρισμῷ ἀποδιδομένου διαφοραὶ λέγονται εἶναι αἱ ποιότητες, καθ' ἃς διαφέρει ἀλλήλων τὰ ὧν ἐν τῷ ὁρισμῷ τὸ αὐτό ἐστι γένος (*). τότε μὲν οὖν αὐτὸ ἐδήλωσεν ἀπὸ τοῦ ὡς ὑποκείμενον ἀπὸ τῶν διαφορῶν εἰδοποιεῖσθαι, νῦν δὲ ἀπὸ τοῦ ἐν τοῖς ὁρισμοῖς εἶναι τὸ πρῶτον παραλαμβανόμενον καὶ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι. διάφοροι δὲ οὖσαι αἱ ἀποδόσεις τοῦ αὐτοῦ εἰσὶ δηλωτικαί. καὶ ποιότητας δὲ τὰς διαφορὰς εἶπεν, ὅτι καὶ πρὸ ὀλίγου ἐν ταῖς διαιρέσεσι τῆς ποιότητος πρώτας ταύτας ἐτίθετο. εἰπὼν δὲ τὰ σημαινόμενα ταῦτα εἶναι τοῦ γένους, ἀνακεφαλαιοῦται αὐτὰ δι' ὧν δείκνυσιν ὅτι τὰ δύο τὰ ὕστερον ῥηθέντα διάφοροί εἰσιν ἀποδόσεις τοῦ αὐτοῦ σημαινομένου· τὰ μὲν γὰρ κατὰ γένεσιν συνεχῆ τοῦ αὐτοῦ εἴδους γένη λέγεται, ὡς ἀνθρώπων γένος καὶ ἵππων, τὰ δὲ κατὰ τὸ πρῶτον κινητικὸν καὶ αἴτιον τοῖς μετ' αὐτὸ ὁμοειδέσιν, ὡς λέγεται τὸ Ἡρα-
1024 a 8. κλειδῶν γένος καὶ τὸ Ἑλλήνων καὶ τὸ Ἰώνων. οὐκ ἀργῶς δὲ "ὁμοειδὲς" προστέθηκεν· οὐ γὰρ ἀπὸ τοῦ ὁπωσοῦν πρώτου κινήσαντος τὸ γένος εἶναι λέγεται, ἀλλ' ἂν ὁμοειδὲς αὐτοῖς ᾖ τοῦτο· ὅταν γὰρ ἄνθρωπος ᾖ ὁ τοῦ γένους ἄρξας, τότε τὸ γένος μετ' αὐτὸν ἀπ' ἐκείνου. τὸ δὲ "ὡς ἡ ὕλη" φησὶ λέγων ὡς ὕλην γένος εἶναι τὸ κοινὸν καὶ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορούμενον. καὶ κατὰ τί ἐστιν ὕλη, τοῦτο ἐδήλωσεν εἰπὼν "οὗ γὰρ ἡ διαφορὰ καὶ ἡ ποιότης ἐστί, τοῦτ' ἐστὶ τὸ ὑποκείμενον, ὃ λέγομεν ὕλην". τῷ γὰρ τὰς διαφορὰς τούτου εἶναι ὡς ὑποκειμένου, καὶ τῷ ταύταις εἰδοποιεῖσθαι, ὡς καὶ ἡ ὕλη τῷ εἴδει, καὶ εἴη ἂν τὸ γένος ὕλη· τῷ γὰρ ποιότητας μὲν εἶναι τὰς διαφοράς, ὑποκεῖσθαι δὲ αὐταῖς τὸ γένος· οὗ γάρ ἐστιν ἡ διαφορά· τοῦτο τῇ διαφορᾷ ὑπόκειται, ὥσπερ καὶ τὸ οὗ ἡ ποιότης τῇ ποιότητι, ἐπεὶ τὸ ταῖς ποιότησιν ὑποκείμενον ὕλη λέγεται, καὶ τὸ γένος ὕλη γίνεται τῶν
1024 a 9. ὡς διαφορῶν ποιοτήτων. εἰπὼν δὲ περὶ γενῶν ἑξῆς λέγει τίνα ἐστὶν ἕτερα τῷ γένει. λέγει δὴ ὧν τε ἕτερον τὸ πρῶτον ὑποκείμενον, ταῦτα ἕτερα τῷ εἴδει, λέγων πρῶτον ὑποκείμενον τὴν ὕλην· ἧς γὰρ μή ἐστιν ἡ αὐτὴ ὕλη ὑποκειμένη, μήτε ἀναλύεται ἡ τοῦ ἑτέρου ὕλη εἰς τὴν τοῦ ἑτέρου, μήτε ἡ ἀμφοτέρων εἰς τὴν αὐτὴν τῷ εἴδει, ταῦτα ἕτερα τῷ γένει. ὕλην δὲ ἔοικε λέγειν τὴν ἐνέργειαν ὑποκειμένην, ἣν καὶ πρώτην εἶπε, λέγων πρώτην τὴν προσεχῆ πρὸς ἀντιδιαστολὴν τῆς ἐσχάτης κατὰ ἀνάλυσιν, ἣ καὶ κυρίως ἐστὶ πρώτη· οἷον τῷ ἀνδριάντι χαλκὸς ὑπόκειται, τῷ δὲ κρυσταλλίνῳ ἐκπώματι ὕδωρ, καὶ εἰσὶν αὗται διαφέρουσαι, ἀλλ' ἡ τοῦ ἀνδριάντος ὕλη εἰς τὴν τοῦ κρυσταλλίνου ἀναλύεται, εἴγε τηκτὸν μὲν ὁ χαλκός, πάντα δὲ τὰ τηκτὰ ἐξ ὕδατος. οὐχ ἕτερα δὴ τῷ γένει τὰ εἰλημμένα κατὰ τὸ σημαινόμενον τοῦτο πάλιν, εἰ τῷ μὲν εἴη χρυσὸς ὑποκείμενος τῷ δὲ ἄργυρος. διάφοροι μὲν πάλιν ὗλαι αὗται, καὶ οὐκ ἀναλύεται αὐτῶν ἡ ἑτέρα εἰς τὴν ἑτέραν· διὰ δὲ τὸ ἀμφότερα εἰς μίαν καὶ τὴν αὐτὴν ἀναλύεσθαι (εἰς γὰρ τὸ ὕδωρ) οὐχ ἕτερα τῷ γένει τὰ ληφθέντα. ὧν δὴ τὰ ὑποκείμενα οὐδὲν πάσχει τοιοῦτον, ταῦτα ἕτερα λέγεται τῷ γένει, ὡς λίθου καὶ χαλκοῦ· τῷ μὲν γὰρ γῆ τῷ δὲ ὕδωρ τὰ ὑποκείμενα, ἃ οὔτε εἰς ἄλληλα οὔτε εἰς ἄλλο τι ἀναλύεται αἰσθητὸν ὑποκείμενον ταὐτόν. εἰπὼν δὲ τὰ ὑποκείμενα οὐδὲν πάσχειν τοιοῦτον, τίνα ἐστὶ τοιαῦτα αὐτὸς παρέθετο· τὸ γὰρ εἶδός φησι καὶ τὴν ὕλην οὕτως εἶναι ἕτερα τῷ γένει, ὕλην λέγων τὸ σῶμα. ὡς οὖν οὔτε τῶν τῷ σώματι ὑποκειμένων οὔτε τῶν τῷ εἴδει ἢ εἰς ἄλληλα ἢ εἴς τι κοινὸν ἀναλύεσθαι λεγομένων, ἕτερα αὐτὰ εἶναι λέγει τῷ γένει. εἴη δ' ἂν τῷ εἴδει ὡς ὕλην ὑποκεῖσθαι λέγων τὰ μέρη τοῦ ὁριστικοῦ λόγου· προείρηκε γὰρ τοῦτο. ἐπεὶ οὖν οὔτε τὰ ὑποκείμενα τῷ τε σώματι καὶ τῷ εἴδει ταὐτά, οὔτε ἡ ἀνάλυσις αὐτῶν ἢ τοῦ ἑτέρου εἰς τὸ ἕτερον ἢ εἰς ταὐτόν, εἴη ἂν ἕτερα τῷ γένει ταῦτα κατὰ τὸ σημαινόμενον τοῦτο. ἔτι οὕτω τὸ εἶδος καὶ ἡ ὕλη ἕτερα ἐστι, ὅτι μὴ ἀναλύεται τὸ ἕτερον αὐτῶν εἰς τὸ ἕτερον, τῷ μήτε τὰ αὐτὰ ἐν ἀλλήλοις εἶναι μήτε ὑποκεῖσθαι αὐτοῖς ἕτερον· οὔτε γὰρ ἕν τι ἀμφοτέροις ὑπόκειται οὔτε τὸ τῷ ἑτέρῳ ὑποκείμενον εἰς τὸ τῷ ἑτέρῳ ὑποκείμενον ἀναλύεται τῷ μηδὲ ὑποκεῖσθαί τι αὐτοῖς· οὔτε γὰρ τὸ εἶδος ἐξ ὑποκειμένου τινὸς καὶ ὕλης ἐστίν, οὔτε τῇ κυρίως λεγομένῃ ὕλῃ ὑπόκειταί τις ὕλη· πάλιν ἄλλη ἕτερα τῷ γένει λέγει καὶ ὧν ἕτεραι αἱ πρῶται κατηγορίαι, καὶ τὰ πρῶτα γένη ἕτερα· τῶν γὰρ πρώτων γενῶν τὰ μὲν τί ἐστι σημαίνει, τουτέστιν οὐσίαν, τὰ δὲ ποιόν τι, τὰ δὲ ποσόν, τὰ δὲ τῶν ἄλλων τι τῶν ἐν ταῖς κατηγορίαις κατηριθμημένων. προσέθηκε δὲ καὶ τὴν αἰτίαν αὐτῶν τῆς ἑτερότητος· ὅτι γὰρ μήτε εἰς ἄλληλα μήτε εἰς ἕν τι ἀναλύεται, ταύτῃ καὶ ταῦτα ἕτερα τῷ γένει. οὕτως οὐκ ἔσται ἕτερα γένη ζῷον καὶ ὄρνεον. οὐκέτι κατὰ τὸ σημαινόμενον τοῦτο δοκεῖ εἶναι ἕτερα τῷ γένει τὸ εἶδος καὶ ἡ ὕλη· ὑπὸ γὰρ τὴν οὐσίαν ἄμφω. Alex.

(*) τοῦτο τὸ σημαινόμενον ἐν τῇ ἑαυτοῦ Εἰσαγωγῇ ὁ Πορ- 1024 b 4.
φύριος οὐκ ἀπηριθμήσατο· πολλαχῶς δὲ τούτῳ κέχρηται τῷ σημαινομένῳ ὅ τε Γαληνὸς καὶ Ἱπποκράτης καὶ πολλοὶ τῶν παλαιῶν καὶ αὐτὸς ὁ φιλόσοφος. cod. Reg.

ποιεῖται καὶ τοῦ ψεύδους διαίρεσιν· τὸ μὲν γὰρ ἐν τοῖς πράγμασι 1024 b 17.
ψεῦδος εἶναι λέγει, τὸ δὲ ἐν τοῖς λόγοις. προσέθηκε δὲ τῷ ἐν τοῖς πράγμασι ψεύδει τὸ "ἄλλον μὲν τρόπον," ἤτοι ὅτι μὴ καθωμίληται ἐπὶ τούτου τὸ ψεῦδος λέγειν (δοκεῖ γὰρ τὸ ψεῦδος ἐν λόγῳ τε καὶ δόξῃ), ἢ ἄλλον τρόπον εἶπεν ἀντὶ τοῦ ἕνα μὲν τρόπον. τὸ οὖν ἐν τοῖς πράγμασι ψεῦδος δίχα διαιρεῖ, τό τε μηδ' ὅλως ὑπάρχειν καὶ τὸ ψευδῆ τὴν ὑπ' αὐτοῦ φαντασίαν γίνεσθαι· τὸ γὰρ μὴ ὑπάρχον ψευ-

2. τούτου δὲ γὰρ *M.* ‖ 18. ὁμοειδοῦς *A.* ‖ 20. ᾖ] ἢ *M.* ‖ 21. ᾖ] ἧς *M.* ‖ 24. *quia enim differentiae huius veluti subiecti sunt, et per ipsas in species constituitur, ut materia per formam, genus materia potest nominari. id est quia differentiae sunt qualitates et genus subiicitur ipsis* Sepulv. ‖ 26. ὕλη τὰ εἴδει *M.* ‖ 28. τῷ] δὴ *M.* ‖ 37. τὴν om *M.*

5. πάσχειν *M.* ‖ 29. γένει *M.* ‖ 30. δόξει *M.* ‖ *haec enarratio in Graeco tota ferme scatet librariorum erroribus.* Sepulv. adnotat. ‖ 39. ἐπὶ τοῦτο ψεῦδος *A.* ‖ 41. τό τε] τῷ τε *M.* ‖ τὸ] τῷ *M.*

ἄλλο τι μέρος ἀφαιρεθῇ· οὐ γίνεται γὰρ ἀριθμὸς κολοβός, ὡς ἑξῆς λέγει· οὐδ' ὅλως γάρ, φησίν, ἀριθμὸς κολοβὸς οὐδεὶς γίνεται, ὅτι δεῖ τὸ κολοβόν τι τὴν αὐτὴν οὐσίαν καὶ ταὐτὸν εἶδος φυλάσσειν. ὅτε δὲ μετὰ τὴν ἀφαίρεσιν τοῦ μορίου τινὸς ἄλλο τι εἶδος μεταλαμβάνει, ἐπὶ τούτων οὐ λέγεται τὸ κολοβόν, ὃ γίνεται ἐπὶ τῶν ἀριθμῶν. προστίθησι δὲ ὅτι οὐδὲ ἐπὶ πάντων τῶν ἀνομοιομερῶν τὸ κολοβὸν λέγεται, ὡς προειρηκὼς ὅτι δεῖ ἀνομοιομερῆ εἶναι διὰ τοῦ εἰπεῖν ὅλα. οὐ δὴ ἐπὶ πάντων τῶν ἀνομοιομερῶν τὸ κολοβὸν λέγεται, ἀλλὰ ἐπὶ τῶν θέσιν ἐχόντων, ἃ φθάσαντες εἰρήκαμεν· οὐ γὰρ ἐπὶ τοῦ ἀριθμοῦ ἐστὶν ὡς διῃρημένου ἀνόμοια τὰ μέρη, οἷον τοῦ πέντε· ἄρτια γὰρ καὶ περισσὰ τὰ δύο καὶ τρία μέρη ὄντα αὐτοῦ, ἀλλ' οὐ διὰ τοῦτο ἤδη ὁ ἀριθμὸς κολοβός τις λέγεται· δεῖ γὰρ οὕτως ἔχειν τὰ μέρη τοῦ ἐσομένου κολοβοῦ ὡς ποιεῖν τὴν θέσιν αὐτῶν τὴν τῶν μορίων διαφορὰν τοῦ εἴδους, ὃ οὐ γίνεται ἐπὶ τοῦ ἀριθμοῦ, ὅτι μηδὲ τὴν ἀρχὴν θέσιν ἔχει τὰ μόρια αὐτοῦ, ὡς εἴρηται ἐν Κατηγορίαις. διὰ τοῦτο γὰρ οὐδὲ τὰ ὁμοιομερῆ κολοβά, ὅτι ἡ μετάθεσις αὐτῶν τῶν μορίων οὐ ποιεῖ διαφοράν. ἔτι δὲ εἶναί φησι συνεχῆ τὰ ἐσόμενα τῇ ἀφαιρέσει τινὸς μορίου κολοβά. ἡ γὰρ ἁρμονία σύγκειται μὲν ἐξ ἀνομοιομερῶν (μέσης γὰρ καὶ παρανήτης καὶ παρυπάτης καὶ ὑπάτης), ἀλλὰ καὶ θέσιν καὶ τάξιν ἔχει ἕκαστον τούτων· ἐν γὰρ τῇ ποιᾷ θέσει τούτων πρὸς ἄλληλα ἡ ἁρμονία, καὶ μετατιθεμένων ἀλλάσσεται. ἀλλ' οὐ λέγεται κολοβὸς ἁρμονία, ὅτι μὴ συνεχής ἐστι μηδὲ ὅλη, ἀλλ' ἐκ διωρισμένων
1021a 22. καὶ κεχωρισμένων μερῶν. καὶ ὁ ἀριθμὸς δὲ τοιοῦτον. δείξας δὲ δι' ὧν πεποίηται διορισμῶν ὅτι τὸ κολοβὸν ἐν τοῖς ὅλοις λεγομένοις ποσοῖς, ἑξῆς δείκνυσιν ἡ ὁποίας καὶ ἡ τίνος καὶ ἡ ἐν τίσιν ἀφαίρεσις τὸ ὅλον κολοβὸν ποιεῖ· λέγει γὰρ ὅτι μηδὲ ἐπὶ τῶν συνεχῶν τε καὶ ὅλων παντὸς ἀφαιρουμένου μέρους τὸ καταλειπόμενον γίνεται κολοβόν· οὔτε γὰρ ἂν τὰ κύρια τοῦ εἴδους τε καὶ τῆς οὐσίας τοῦ ὅλου τε καὶ συνεχοῦς ἀφαιρεθῇ, ἔτι τὸ καταλειπόμενον κολοβόν· οὐ γὰρ λέγεται κολοβὸν ζῷον τῆς κεφαλῆς ἀφαιρεθείσης αὐτοῦ, ὅπερ οὐδὲ ζῷον ἔτι μένει. ἀλλ' οὐδ' ἂν ὁπουοῦν τι τῆς συνεχείας ἢ ὁτιοῦν ἀφαιρεθῇ τε καὶ διαιρεθῇ, κολοβὸν εὐθύς· ἡ γοῦν κύλιξ οὐ λέγεται κολοβὸν ἂν τρυπηθῇ· ἀλλ' ἂν τὸ οὖς αὐτῆς ἀφαιρεθῇ ἤ τι ἄλλο ἀκρωτήριον, τότε κολοβός. ὁμοίως καὶ τοῦ ἀνθρώπου ἢ ἄλλου τινὸς ζῴου ἂν μὲν σάρκα ἀφέλῃς ἢ σπλῆνα ἐκτέμῃς, οὐ κολοβός, ἂν δὲ ῥῖνα ἢ ὦτα ἢ δάκτυλον, τότε κολοβός. καὶ τῶν ἀκρωτηρίων ταῦτά φησιν ἀφαιρεθέντα κολοβοὺς ποιεῖν, ὅσα ἀφαιρεθέντα ὅλα οὐκέτι φῦναι ἢ αὐξηθῆναι δύναται· δι' ἣν αἰτίαν λέγει τοὺς φαλακροὺς μὴ λέγεσθαι κολοβούς, ὅτι αἱ τρίχες φύσιν ἔχουσιν ἀφαιρούμεναι τοῦ ὅλου πάλιν γίγνεσθαί τε καὶ φύεσθαι. καὶ εἴη ἂν ἴσον τὸ "ἀλλ' ὃ μὴ ἔχει γένεσιν ἀφαιρεθὲν ὅλον" τῷ ἀλλ' ὃ καθόλου ἀφαιρεθὲν μηκέτι γένεσιν ἔχει· αἱ γὰρ τρίχες, εἰ καὶ ἐπὶ τοῦ φαλακροῦ οὐκέτι ἔχουσι γένεσιν, ἀλλ' ἔν γε φύσει ἐστὶν αὐτῶν τὸ ἀφαιρουμένας γίνεσθαι πάλιν. ἢ τὸ "ὅλον" προσέθηκεν, ὅτι δύναται τινὸς ἐξαιρεθέντος μορίου ἀπό τινος ἀκρωτηρίου, οἷον ὀλίγης σαρκός, αὕτη πάλιν αὐξηθῆναι· αἱ μὲν οὖν τρίχες, εἰ καὶ μὴ ἐπὶ πάντων, ἀλλ' ἐπὶ τινῶν γε φῦναι πάλιν ἀφαιρεθεῖσαι δύνανται, ἢ καὶ ἐπὶ πάντων, ἀφ' ὧν ἀφαιροῦνται· οὖς δὲ ἢ ῥὶς ἀφαιρεθέντα οὐδέποτε ἐπ' οὐδενὸς πάλιν γίνεται. σημειωτέον ὅτι μὴ διαίρεσιν τοῦ κολοβοῦ πολλαχῶς λεγομένου πεποίηται, ἀλλὰ μήνυσίν τε καὶ διδασκαλίαν. Alex.

(7) γρ. καὶ ἀνομοιομερῆ ἢ οὐδὲ ταῦτα. cod. Reg. 1024a 16.

λέγει δὲ καὶ τὸ γένος πολλαχῶς λέγεσθαι· γένος γὰρ λέγεται καὶ 1024a 29. ἐπὶ τῶν τὴν γένεσιν συνεχῆ ἐχόντων ὁμοειδῶν ἀλλήλοις· κατὰ γὰρ τὸ σημαινόμενον τοῦτο λέγεται τὸ ἕως ἂν ἀνθρώπων γένος ᾖ· σημαίνεται γὰρ τὸ ἕως ἂν γένεσις συνεχὴς ᾖ τε καὶ μένῃ τῶν ἀνθρώπων. τὸ δὲ "τῶν τὸ εἶδος ἐχόντων τὸ αὐτό" προσέθηκεν, ὅτι μὴ λέγεται ἀνθρώπων γένος εἶναι, ἂν ἵπποι ὦσιν, ἀλλ' ἂν συνεχεῖς ἄνθρωποι ἐξ ἀνθρώπων γινόμενοι μένωσι. τὸ δέ τι γένος λέγεται, ἀφ' οὗ ἂν ὦσί τινες πρώτου τοῦ κινήσαντος καὶ ἀρχηγοῦ γενομένου τοῦ εἶναι αὐτοῖς. οὕτω δ' Ἕλληνες τὸ γένος λέγονται τῷ ἀφ' Ἕλληνος εἶναι πρώτου συστησαμένου τὸ γένος αὐτῶν καὶ τοῦ εἶναι αὐτοῖς αἰτίου· ὁμοίως καὶ Ἴωνες οἱ ἀπὸ Ἴωνος, καὶ Ἡρακλεῖδαι ὧν Ἡρακλῆς πρῶτος καὶ ἡγεμὼν τοῦ γένους. οὕτω καὶ Πελοπίδαι λέγονται. 1024a 35. λέγεσθαι μὲν οὖν γένος τινῶν καὶ ἀπὸ τοῦ θήλεος φησίν, ὡς λέγονταί τινες ἀπὸ Πύρρας, ὡς ταύτης τοῦ γένους ἀρξαμένης τῷ τεκεῖν, δῆλον τὸν μῦθον, μᾶλλον μὲν ἐπὶ τοῦ γεννήσαντος, ὅτι τοῦ εἴδους οὗτος παρεκτικός, ἡ δὲ μήτηρ τῆς ὕλης, κατὰ δὲ τὸ εἶδος τὸ εἶναι ἑκάστῳ μᾶλλον. οὐκέτι ἐμνημόνευσε τῶν γενῶν τῶν ἀπὸ τῶν τόπων λεγομένων, καθ' ὃ σημαινόμενον Ἀσιανός τις τὸ γένος ἢ Αἰγύπτιος καλεῖται· οὐ γὰρ δὴ οἱ οὕτω λεγόμενοι ἀπὸ τοῦ πρώτου κινήσαντος οὕτω λέγονται. ἑξῆς δὲ ἐκτίθεται δύο ἀποδόσεις τοῦ αὐτοῦ σημαινομένου· 1024a 36. τοῦ γὰρ γένους, ὃ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει καὶ τὰ ἑξῆς, δύο ἀποδόσεις δίδωσιν, ὡς ὑποκείμενον ταῖς διαφοραῖς· αὐτὸ γὰρ φησὶ τὸ ἐπίπεδον σχῆμα· τὸ γὰρ σχῆμα δεῖ προστιθέναι τῷ ἐπιπέδῳ· τοῦτο γὰρ γένος ἑκάστου τῶν ἐπιπέδων σχημάτων. λαμβάνει γὰρ γένος τὸ ἐπίπεδον σχῆμα ὅλον τριγώνου καὶ τετραγώνου καὶ πάντων τῶν ἐπιπέδων· ὁμοίως καὶ τὸ στερεὸν τῶν στερεῶν σχημάτων· ἕκαστον γὰρ τῶν σχημάτων τὸ μὲν ἐπίπεδόν ἐστι τὸ σχῆμα τοιονδί, οἷον τετράγωνον, τὸ δὲ στερεὸν σχῆμα τοιονδί, σφαῖρα μὲν στερεὸν σχῆμα τοιοῦτον, κύβος δὲ τοιοῦτον καὶ πυραμὶς τοιοῦτον. εἰπὼν δὲ τοῦτο προσέθηκε τὸ "τοῦτο δέ ἐστι τὸ ὑποκείμενον ταῖς διαφοραῖς," ὡς ὑπὸ τῶν διαφορῶν τοῦ γένους εἰδοποιουμένου καὶ ὑποκειμένου κατὰ τοῦτο αὐταῖς. εἰπὼν δὲ τὸ οὕτως λεγόμενον γένος ὑποκείμενον εἶναι ταῖς διαφοραῖς, κατὰ τὸ ὑποκεῖσθαι αὐτὸ ταῖς διαφοραῖς, καὶ ὕλην αὐτὸ προελθὼν ἐρεῖ· ὕλην δὲ λέγει τὸ γένος καὶ ἐν τῷ ζῆτα τῆσδε τῆς πραγματείας. δευτέραν ἀπόδοσιν τοῦ οὕτως λεγομένου γένους ἀποδίδωσι τὸ πρῶτον

1. γὰρ om *A.* ‖ 7. δεῖ] δι' *M.* ‖ 16. κολοβῷ, ὅταν *M.* ‖ 17. ἔτι δὲ] ἔν τι δεῖ *M.* ‖ 20. πρὸς et 21. καὶ — 22. ἁρμονία om *M.* ‖ 25. δείκνυσιν εἰ ὁποίας καὶ εἰ τίνος καὶ ἐν *A.* ‖ 28. χωρίως *M.* ‖ 39. ἀφαιρουμένου *M.*

16. τοῦ om *M.* ‖ ἀρχηγοῦ] ἀρχὴ τοῦ *A.* ‖ 22. ὡς] καὶ *A.* ‖ *quasi ab hac, ut est in fabulis, procreati. sed a genitore potius genus appellari ait* Sepulv. ‖ 33. ὅλου *M.* ‖ 35. σχῆμα ὅλον τριγώνου καὶ τετραγώνου, τὸ *M.* ‖ 41. αὐτῷ ταῖς *A.* ‖ 43. τοῦ om *A.*

τοῦ εἴδους μέρη, ὅτι ὁ τοῦ συναμφοτέρου ὁρισμὸς κατὰ μὲν τὸ εἶδος γίνεται, προσσημαίνει μέντοι καὶ τὴν ὕλην, ὡς δῆλον εὐθὺς ἐκ τοῦ γένους. οὕτω φησὶ γίνεσθαι μέρος τὸ γένος τοῦ εἴδους, ἐπεὶ μέρος ἐστὶ τοῦ ὁρισμοῦ αὐτοῦ. Alex.

1023b 26. παρατίθεται δὲ καὶ τὰ τοῦ ὅλου σημαινόμενα· ὅλον γάρ φησι λέγεσθαι οὗ τε μηδὲν ἄπεστι μέρος ἐξ ὧν λέγεται τῶν φύσει τὸ ὅλον συνεστάναι· ὧν γὰρ φύσει συνεστώτων μηδὲν ἄπεστι μέρος, ὅλα ταῦτα κυρίως. ἄλλο δὲ σημαινόμενον ἐκτίθεται ὅλου, ἐν ᾧ καὶ τὰ καθόλου. ἀλλὰ καὶ τὰ τεχνητά, οὐ μόνον τὰ φύσει συνεστῶτα περιλαμβάνει· τὸ γὰρ περιέχον τινὰ ὥστε ἕν τι εἶναι, ἐκεῖνα δηλονότι τὰ περιεχόμενα. διχῶς δέ φησιν ἓν γίγνεσθαι τὰ περιεχόμενα· ἢ γὰρ ὡς ἕκαστον τῶν περιεχομένων ἕν τι εἶναι ἢ ἅπαντα ἕν. καὶ πρῶτον λέγει πῶς οἷόν τέ ἐστι τὸ ἕκαστον τῶν ὑπ' αὐτῷ περιεχομένων ἕν τι εἶναι καὶ ταὐτόν· τὸ γὰρ καθόλου λεγόμενον καὶ κατὰ παντὸς δηλωτικόν· τὸ γὰρ κατὰ παντὸς λεγόμενον ὅλον τι δοκεῖ εἶναι. τοῦτο δέ, φησί, τὸ οὕτως ὅλον τε καὶ καθόλου, οὕτως ἐστὶ καθόλου τε καὶ ὅλον ὡς ἐν αὐτῷ πολλὰ περιέχον τῷ κατηγορεῖσθαι καὶ καθ' ἑκάστου αὐτῶν συνωνύμως καὶ ἓν ἅπαντα εἶναι κατὰ τὸ κατηγορούμενον, καὶ ἕκαστον αὐτῶν ὅπερ τὸ κατηγορούμενον εἶναι, τῷ πάντα ὁμοίως τὸν τοῦ κοινοῦ καὶ περιέχοντος αὐτὰ λόγον ἐπιδέχεσθαι· τὸ γὰρ ἓν ἅπαντα εἶναι "ὡς ἕκαστον" δηλωτικόν ἐστι τοῦ τὴν ἑνότητα ἔχειν αὐτὰ μὴ κατὰ συνέχειαν, ἀλλὰ τῷ τὸν αὐτὸν λόγον ἕκαστον αὐτῶν ἐπιδέχεσθαι· ἵππος γὰρ καὶ ἄνθρωπος καὶ κύων καὶ βοῦς ἓν πάντα διὰ τὸ ἕκαστον αὐτῶν ζῷον εἶναι (*). οὕτως οὖν ὅλον τὸ ζῷον τῷ ὧν περιεκτικόν ἐστι διῃρημένα ταῦτα ἀπ' ἀλλήλων καὶ κεχωρισμένα κατὰ τοῦτο εἶναι ἕν. καὶ τοῦτο μὲν σημαινόμενον τοῦ ὡς περιέχοντός τινα ὅλου· τὸ δέ τι οὕτως φησὶν εἶναι ἓν ἐκ τῶν ὑπ' αὐτοῦ περιεχομένων, ὡς συνεχὲς εἶναι καὶ ἕν τι κατ' ἀριθμόν· τὸ γὰρ ἕν τι καὶ συνεχὲς καὶ ἐκ μερῶν καὶ πεπερασμένον ὅλον οὐ τῷ τὸν τοῦ ὅλου λόγον τὰ μόρια ἀναδέχεσθαι, 1023b 34. ἀλλὰ τῇ συνεχείᾳ. τί δέ ἐστι τὸ κυρίως συνεχές, ἐδήλωσε διὰ τοῦ "μάλιστα μὲν δυνάμει·" κυρίως γὰρ συνεχῆ ταῦτα ἐν οἷς τὰ μέρη δυνάμει ἐνυπάρχει. ἤδη δὲ κἂν ἐνεργείᾳ τὰ μόρια ἐν αὐτῷ, οὕτω μέντοι ὡς ἕν τι ἐκ τῆς ποιᾶς συνθέσεως αὐτῶν γίγνεσθαι κατὰ τὸ εἶδος, ὡς ἐπὶ τῶν συνθέσει γιγνομένων κατὰ τὰς τέχνας. οὕτως οἰκία ἕν τι καὶ πλοῖον. τῶν δὲ οὕτω τὸ ἓν ἐχόντων κατὰ συνέχειαν καὶ ὡς δυνάμει τὰ μέρη ἐν αὐτοῖς εἶναι μᾶλλόν φησιν ὅλα τὰ φύσει συνεστῶτα τῶν κατὰ τέχνην εἶναι· μᾶλλον γὰρ ἄνθρωπος ὅλος ἢ ἀνδριάς. ὡς γὰρ ἓν μᾶλλον λέγεται τὸ φύσει τοῦ τέχνῃ ὄντος ἑνός, ὡς εἶπεν ἐν τῇ τοῦ ἑνὸς διαιρέσει, ἧς καὶ ὑπομιμνήσκει ἡμᾶς καὶ αὐτός, καὶ λόγον καὶ αἰτίαν ἀποδίδωσιν, ὅτι ἡ ὁλότης ἑνότης ἐστίν, ὥστε ὡς ἕν, οὕτω καὶ ὅλον. παρατίθεταί τι καὶ ἄλλο σημαινόμενον τοῦ ὅλου· τοῦ γὰρ ποσοῦ καὶ ἔχοντος ἀρχήν τε καὶ μέσον καὶ ἔσχατον, ὃ εἴη ἂν τοῦ πεπερασμένου δηλωτικόν, ὅσων μὲν παρὰ τὴν ποιὰν θέσιν τῶν μορίων μηδεμία γίνεται διαφορά, τοῦτο πᾶν λέγεσθαί φησιν (τοιαῦτά ἐστι τὰ ὁμοιομερῆ τε καὶ ἀσχημάτιστα οἰκείῳ ὅρῳ τε καὶ σχήματι, οἷον ὕδωρ, ἀήρ), ὅσων δὲ ἡ ποιὰ θέσις τῶν μερῶν διαφορὰν ποιεῖ, ἐπὶ τούτων τὸ ὅλον λέγεσθαι, ὅταν τὴν οἰκείαν τάξιν ἕξει τὰ μέρη, δηλονότι καθ' ἣν τόδε τι εἶναι τὸ ἐξ αὐτῶν λέγεται. τοιαῦτά ἐστι τὰ ἀνομοιομερῆ, πρόσωπον, χείρ, τὸ ἑκάστου ζῴου σῶμα· ἡ γὰρ τῶν μερῶν θέσις ἐν τούτοις τὴν διαφορὰν τῶν ὑποκειμένων ποιεῖται. τοιοῦτον καὶ οἰκία καὶ ναῦς. ὅσα δὲ ὁμοιομερῆ ὄντα μορφήν τινα καὶ σχῆμα προσείληφε, τούτων φησὶ τὸ πᾶν καὶ τὸ ὅλον κατηγορεῖσθαι, διὰ μὲν τὸ ὑποκείμενον τὸ πᾶν, διὰ δὲ τὴν μορφήν, ἥτις συνέβη αὐτῇ ἐν τῇ τῶν μερῶν ὑπαλλαγῇ, μένειν ὅλον. οὕτως ἀνδριὰς ὁ ἐκ μιᾶς ὕλης ἐσχηματισμένος, κηρὸς τὸ ἱμάτιον· καὶ γὰρ τοῦτο μετὰ σχήματός τινός ἐστιν· ἑκάτερον γὰρ τούτων καὶ πᾶν ἐστὶ καὶ ὅλον. οὐκέτι 1024a 5. ἐπὶ τῶν ὑγρῶν τε καὶ ἀσχηματίστων ἁπλῶς φησὶ τὸ πᾶν καὶ ὅλον κατηγορεῖσθαι, ἀλλὰ μόνον τὸ πᾶν· μὴ γὰρ κατηγορεῖσθαι τοῦ ἀριθμοῦ, καθ' οὗ τὸ πᾶν τε καὶ ὅλον, εἰ μή τις μεταφορικῶς λέγοι ἐπ' αὐτῶν τὸ ὅλον. λέγει δὲ καὶ τὰ πάντα λέγεσθαι ἐπὶ τούτοις ὧν τὸ πᾶν ὡς ἕν τι κατηγορεῖται· ἐπὶ γὰρ τῶν ἐξ ὧν τὸ πᾶν ὡς διῃρημένων λαμβανομένων τὸ πάντα λέγεται· πᾶς ἀριθμός, ὅταν ὡς ἓν λαμβάνηται τὸ ἐκ μονάδων ἄθροισμα· πᾶσαι αἱ μονάδες, ἐξ ὧν ἦν πᾶς ἀριθμός, ὅταν ὡς διῃρημέναι πάλιν λαμβάνωνται, οὕτως μέντοι ὡς τὸν πάντα ποιεῖν· ὡς τὸ μὲν πάντα κατὰ μορίων κατηγορεῖσθαι ὡς διῃρημένων, τὸ δὲ πᾶν ὡς ἡνωμένων. οὕτω καὶ πάντες ἄνθρωποι, ἢ ὡς ὑπὸ ἓν τὸ πᾶς ἄνθρωπος. id.

(*) ἐπειδὴ ὁ ἀριθμὸς καθὸ ἀριθμὸς εἷς ἐστίν, αἱ μέντοι γε 1023b 33 μονάδες πᾶσαι, ἐπειδὴ διαφέρουσιν ἀλλήλων. ὥστε ἐνταῦθα φαίνεται ἑπόμενος τοῖς Πυθαγορείοις καὶ τῷ Πλάτωνι· κἀκεῖνοι γάρ φασιν ὅτι ἕτερός ἐστιν ὁ ἀριθμὸς παρὰ τὰς μονάδας· τῇ γὰρ σωρείᾳ τῶν μονάδων ἕτερός τις ἐπιγίνεται ἔξωθεν ἀριθμός, ὥστε ἕτερός ἐστιν ἀριθμὸς παρὰ τὴν τῶν μονάδων σωρείαν. Asclep.

κολοβὸν δὲ λέγεσθαί φησιν οὐ κατὰ παντὸς ποσοῦ· ἔστι μὲν γὰρ ἐν 1024a 11. τῷ ποσῷ τὸ κολοβόν, οὐ μὴν πᾶν ποσὸν ἀναδέχεται τὴν κατηγορίαν ταύτην ἢ τὸ πάθος, οὗ σημεῖον τοὔνομα τοῦτο, ἀλλὰ δεῖ τὸ κολοβὸν μέλλον λέγεσθαι πρὸς τῷ μεριστὸν εἶναι καὶ ὅλον. τὸ δὲ ὅλον δύναται μὲν καὶ συνεχείας αὐτῷ δηλωτικὸν εἶναι, δύναται καὶ τοῦ ἀνομοιομερῆ δεῖν εἶναι· τοῦτο γὰρ εἴρηκε πρὸ ὀλίγου περὶ τοῦ ὅλου, λέγων καὶ ταύτῃ διαφέρειν τὸ ὅλον τοῦ παντός. ἔτι δὲ πρὸς τῷ ἀνομοιομερῆ εἶναι καὶ ὅλον δεῖν φησὶν αὐτὸ καὶ θέσιν ἔχειν, τουτέστι τῶν θέσιν ἐχόντων εἶναι ποσῶν. τὰ δὲ δύο εἶπε μὴ γίνεσθαι κολοβὰ ἀφαιρουμένου τοῦ ἑνός, δεικνὺς ἡμῖν ὅτι οὐδὲ οὕτω κολοβόν τι λέγεται, ἂν ἀφαιρεθῇ αὐτοῦ τὸ ἥμισυ (†)· οὐδέποτε γὰρ ἴσον τὸ κεκολοβωμένον καὶ τὸ λεῖπον αὐτῷ. ἐφ' ᾧ δείκνυσιν ὅτι μὴ μόνον ἐν ἀριθμῷ οὐκ ἔστι κολοβὸς ἀριθμὸς οὗτος οὗ τὸ ἥμισυ ἀφῃρέθη, ἀλλ' οὐδ' ἂν

7. φύσεις A. ‖ 13. αὐτοῦ M. ‖ 14. λεγόμενον καθόλου M. ‖ 15. πάντα M. ‖ 17. τὸ A. ‖ καὶ om M. ‖ 20. ἅπαν εἶναι M. ‖ ὡς om A. ‖ 22. τῷ et 40. ἑνότης om M.

2. τὰ ἀνομοιομερῆ A. ‖ 3. ποιὰ om M. ‖ 5. τοιαῦτα] πρῶτα M. ‖ 12. ὕλης σχηματισμὸς M. ‖ 13. ἕκαστοι M. ‖ 14. σχηματίστων M. ‖ 18. τοῦτ] τοῦ M. ‖ 32. οὐ μὴν] τὸ μὴ M. ‖ 33. δεῖ] δὴ A. ‖ 43. ἀφαιρέθη M.

εἶπεν ἀντὶ τοῦ ἄλλως δὲ τοῦτο. καὶ ἀνδριὰς ἐκ χαλκοῦ· ὁ μὲν γὰρ ἀνδριὰς ἐξ αἰσθητῆς ὕλης καὶ μέρος αἰσθητοῦ. πᾶσα γὰρ σύνθετος οὐσία, τουτέστιν ἡ συναμφοτέρα, ἔκ τινος αἰσθητῆς ὕλης καὶ μέρος αἰσθητοῦ· καὶ τὸ εἶδος δὲ καὶ ἡ συλλαβὴ ἐκ τῆς οἰκείας ὕλης· ὕλη γὰρ ἑκατέρου αὐτοῦ τὰ οἰκεῖα μέρη. ἀλλ' οὐκέτι τοῦτο ἐξ αἰσθητῆς ὕλης· τὸ γὰρ δίπουν ἢ τὰ στοιχεῖα οὐκ αἰσθητά. καὶ ἔστιν ὃ λέγει, ὅτι μὴ ὁμοίως τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι ἐκ τῶν μερῶν καὶ τὸ ὅλον ἐκ τῆς οἰκείας ὕλης, καίτοι ἀμφότερα ὡς ἐξ ὕλης· τὸ μὲν γὰρ ὅλον καὶ ἡ σύνθετος οὐσία, τουτέστιν ἡ συναμφότερος, ἐξ αἰσθητῆς ὕλης, τὸ δὲ εἶδος οὐκ ἐξ αἰσθητῆς ὕλης ἀλλ' ἐκ τῆς τοῦ εἴδους ὕλης, ἥτις οὐκ ἔστιν αἰσθητή· οὐ γὰρ αἰσθητὰ τὰ τοῦ ὁρισμοῦ μέρη ἢ τὰ τοῦ εἴδους ὅλως· ὕλη γὰρ τοῦ εἴδους καὶ τοῦ τί ἦν εἶναι τὰ μέρη αὐτοῦ τὰ τοῦ λόγου συμπληρωτικά, ἃ καὶ αὐτὰ λόγῳ λαμβάνεται· ὥσπερ γὰρ τὸ εἶδος αὐτὸ ἔκ τινός φησι λέγεσθαι, κἂν κατὰ μέρος τι τούτων τις ὑπάρχῃ τῶν τρόπων, οἷον κατὰ μέρος τὸ εἶδος ἢ κατὰ μέρος ἡ ὕλη· ἐκ γὰρ πατρὸς καὶ μητρὸς τέκνον καὶ ἐκ γῆς τὰ φυτά, ὡς ἔκ τινος μέρους αὐτῶν· ἐκ γῆς μὲν γὰρ τὰ φυτὰ ὡς ἐξ ὕλης· τρέφεται γὰρ καὶ φύεται ἐκ ταύτης, ἀλλ' οὐχ οὕτως ὡς ἐκ πάσης τῆς γῆς, ἀλλ' ὡς ἐκ μέρους αὐτῆς. ὁ δὲ ἀνδριὰς ἐλέγετο ἔκ τινος, ὡς ἐξ ὕλης τοῦ χαλκοῦ, ὅτι πᾶς ὁ λαμβανόμενος ὡς ὕλη αὐτοῦ χαλκὸς ὑπέκειτο αὐτῷ· οὐ γὰρ οὕτως ὕλη λέγεται τοῦ ἀνδριάντος ὁ χαλκός, ὅτι μέρος χαλκοῦ ὑπέκειτο αὐτῷ, ἀλλ' ὅτι πᾶς οὗτος ὁ χαλκὸς ὁ λαμβανόμενος ὕλη ἐστὶν αὐτοῦ. πάλιν ἐκ μητρὸς καὶ πατρὸς τὸ τέκνον, τοῦ μὲν ὡς ποιητικοῦ τῆς δὲ ὡς ὕλης, ὧν ἑκατέρου ἐκ μορίου τινὸς τὸ τέκνον· μόριον γὰρ τοῦ πατρός τό τε σπέρμα καὶ τὸ ἐξ οὗ τὸ σπέρμα ἀφίεται καὶ αὐτὸ τὸ σπέρμα, καὶ τῆς μητρὸς μόριον τό τε ὑποδεχόμενον τὸ σπέρμα καὶ τὸ ἔμμηνον, ὅ
1023 b 5. ἐστιν ὕλη τῷ γεννωμένῳ. ἄλλον τρόπον ἔκ τινος λέγεται ὡς μετ' αὐτὸ γινόμενον τῷ χρόνῳ· τὸ γὰρ μετά τι γινόμενον κατὰ τὸν χρόνον ἐξ ἐκείνου γίνεσθαι λέγεται. οὕτως ἐξ ἡμέρας νύξ, ὅτι μετὰ τὴν ἡμέραν, καὶ ἐξ εὐδίας χειμών, ὅτι μετὰ τὴν εὐδίαν. τῶν δὲ οὕτως ἔκ τινων γίνεσθαι λεγομένων τὰ μὲν τῷ εἰς ἄλληλα αὐτῶν τὴν μεταβολὴν γίγνεσθαι λέγεται ἐξ ἀλλήλων, ὥσπερ ἐπὶ τῶν εἰρημένων (νὺξ γὰρ εἰς ἡμέραν καὶ ἡμέρα εἰς νύκτα μεταβάλλει, καὶ εὐδία εἰς χειμῶνα καὶ ἔμπαλιν· ἐκ γὰρ τῶν ἐναντίων αἱ μεταβολαί, ἐναντία δὲ ταῦτα), τὰ δὲ μόνῳ τῷ ἑξῆς εἶναι κατὰ τὸν χρόνον, ὡς ὅταν λέγηται ἐξ ἰσημερίας ὁ πλοῦς· ὅτι γὰρ μετὰ τὴν ἰσημερίαν· οὐ γὰρ τῇ ἰσημερίᾳ εἰς πλοῦν γίνεται ἡ μεταβολή. ὁμοίως καὶ ἐκ Διονυσίων λέγεται Θαργήλια (*), καὶ ἐκ Πυθίων Ὀλύμπια. Alex.

1023 b 10. (*) "καὶ ἐκ Διονυσίων Θαργήλια." ἡ ἑορτὴ γίνεται τῷ Θαργηλίῳ μηνί· Μάϊος. Asclep.

1023 b 12. καὶ τοῦ μέρους δὲ τὸ μέν τι φησὶν οὕτως λέγεσθαι εἰς ὃ διαιρεθείη ἂν τὸ ποσὸν ᾗ ποσὸν διαιρούμενον· πᾶν γὰρ τὸ ἀφαιρούμενον τοῦ ποσοῦ ᾗ ποσὸν μέρος ἐκείνου λέγεται ἀφ' οὗ ἀφῄρηται, ἄν τε καταμετρῇ αὐτὸ ἄν τε μή· καὶ γὰρ τὰ δύο τῶν τριῶν μέρος λέγεται. τὸ δὲ "ᾗ ποσὸν" προσέθηκεν, ὅτι δύναταί τις καὶ ποιότης ἀφαιρεθῆναι τοῦ ποσοῦ, οἷον θερμότης ἢ λευκότης ἢ γλυκύτης, ἀλλ' οὐ μέρη ταῦτα, ὅτι μὴ ποσὸν αὐτοῦ ἀφαιρεῖται· οὐ γὰρ τῇ τούτων ἀφαιρέσει ἐλαττοῦται κατὰ ποσόν. ἄλλον δὲ τρόπον εἰς ἃ διαιρεθείη ἂν τὸ ὅλον τὰ καταμετροῦντα αὐτὸ μόνα φησὶ μέρη λέγεσθαι· εἶναι γὰρ τὰ δύο τῶν τεσσάρων καὶ τῶν ἓξ καὶ ὅλως τῶν ἀρτίων μέρη· καταμετρεῖ γὰρ αὐτό. οὐκέτι κατὰ τὸ σημαινόμενον τοῦτο οὔτε τὰ τρία τῶν τεσσάρων μέρος οὔτε τὰ δ' τῶν ἕξ, καίτοι κατὰ τὸ πρῶτον σημαινόμενον ὄντα καὶ αὐτὰ μέρη, ὥσπερ καὶ τὰ δύο τῶν τριῶν οὐκέτι ὄντα αὐτῶν μέρη κατὰ τὴν δευτέραν ἀπόδοσιν. ἔτι μέρη φησὶ λέγεσθαι καὶ εἰς ἃ τὸ 1023 b 17.
εἶδος διαιρεῖται χωρὶς τοῦ ποσοῦ, τουτέστι μὴ ὡς ποσὸν διαιρούμενον. εἶδος δὲ ἤτοι λέγει τὸ τί ἦν εἶναι, μέρη δὲ τὰ ὑπὸ τούτου περιεχόμενα τοῦ εἴδους τε καὶ τοῦ λόγου, ἃ καὶ πρὸ ὀλίγου μέρη καὶ ὕλην τοῦ εἴδους εἶπεν, εἰ μὴ κατὰ τὸν λόγον διαίρεσις τοῦ εἴδους χωρὶς τοῦ ποσοῦ γίγνεται, ἡ δὲ εἰς τὰ ἄτομα τῶν εἰδῶν διαίρεσις μετὰ ποσοῦ. ἀλλ' οὕτως ἔσται οὐκέτι τοῦ γένους τὸ εἶδος μέρος, ἀλλ' ἀνάπαλιν τὸ γένος τοῦ εἴδους· μέρος γὰρ καὶ τοῦτο τοῦ ὁρισμοῦ, ὡς καὶ αὐτὸς ἐρεῖ μετ' ὀλίγον. μήποτε οὖν τὸ εἶδος ἀντὶ τοῦ γένους ἀκοῦσαι χρή, καὶ λέγοι ἂν διὰ τοῦ "εἰς ἃ τὸ εἶδος διαιρεθείη ἄνευ τοῦ ποσοῦ" ὡς ἴσον τῷ εἰς ἃ τὸ γένος διαιρεθείη ἄν. τὸ δὲ "ἄνευ τοῦ ποσοῦ" σημαντικὸν ἂν εἴη τοῦ τὴν διαίρεσιν αὐτοῦ ὡς γένους γίγνεσθαι· τὸ γὰρ ζῷον δύναται μὲν καὶ ὡς ποσὸν διαιρεῖσθαι, ὅταν εἰς τὰ μέρη διαιρῆται, κεφαλὴν θώρακα καὶ τὰ ἄλλα, ὡς διαιρούμενον, οὐκέτι ἂν ὡς γένος. δύναται καὶ ὡς γένος διαιρεῖσθαι, οὐχ ὡς σῶμα καὶ ποσόν, ἥτις διαίρεσις αὐτοῦ κατὰ τὰς διαφορὰς γινομένη εἰς τὰ εἴδη διαιρεῖ αὐτό. τοῦτο δ' ἦν καὶ ὃ εἶπε τὸ ὅλον ἢ τὸ εἶδος ἢ τὸ ἔχον εἶδος· ὡς γὰρ εἴδους βούλεται τὴν διαίρεσιν καὶ κατὰ τὸ εἶδος γίνεσθαι· τοιαύτη δὲ ἡ τῶν γενῶν ὡς γενῶν διαίρεσις· οὐ γὰρ ὡς ὅλης οὐδὲ ὡς πλήθους, ἀλλ' ὡς γενῶν. κατὰ τοῦτο τὸ σημαινόμενον λέγει καὶ τὰ εἴδη μέρη τῶν γενῶν εἶναι. ἔτι φησὶ μέρος λέγεσθαί τινος εἰς ὃ διαιρεῖται ἢ ἐξ οὗ σύγκειται. τὸ δὲ "τὸ ὅλον ἢ τὸ εἶδος ἢ τὸ ἔχον εἶδος" σημαίνοι ἂν ὅλον μὲν τὸ ὡς σῶμα ὅλον, οὗ ἡ διαίρεσίς ἐστιν εἰς τὰ μέρη τὰ συμπληροῦντα τὸ ὅλον σῶμα. τὸ δὲ "ἢ τὸ εἶδος" πάλιν δηλοῖ τὴν ὡς εἴδους διαίρεσιν· ἔστι γὰρ τοῦ εἴδους ὡς εἴδους μέρη, οἷον τῆς ψυχῆς εἴδους οὔσης αἱ δυνάμεις μέρη, εἰς ἃς καὶ ἡ διαίρεσις αὐτῆς. τὸ δὲ "ἔχον εἶδος" τὸ οὕτως ὅλον ὡς συναμφότερον, οὗ ὡς συναμφοτέρου πάλιν μέρη τό τε ὑποκείμενον σῶμα, οὗ πρώτου τὴν διαίρεσιν ἐποιήσατο (τοιοῦτον γὰρ ἦν τὸ ὡς ὅλον) καὶ τὸ εἶδος, οὗ δευτέρου ἐμνημόνευσε. καὶ ἔστιν ἃ παρατίθεται παραδείγματα τοῦ ὑστέρου τοῦ ἔχοντος εἶδος καὶ ὡς συναμφοτέρου διαιρουμένου· ὁ γὰρ χαλκοῦς κύβος διαιρούμενος εἰς χαλκὸν καὶ γωνίαν εἰς ὕλην καὶ εἶδος διῃρεῖτο· ἡ γὰρ γωνία τοῦ εἴδους δηλωτική. ἔτι φησὶ 1023 b 22.
τὰ ἐν τῷ λόγῳ τῷ δηλοῦντι ἕκαστον καὶ ταῦτα μόρια τοῦ ὅλου μέρη φησὶν εἶναι ἑκάστου, καὶ τὰ τοῦ λόγου τοῦ δηλοῦντος αὐτοῦ τὸ τί ἦν εἶναι μέρη· τὰ γὰρ μέρη τοῦ ὁρισμοῦ μέρη τοῦ ὁρισμοῦ εἴη ἄν, ἀλλὰ παρὰ

2. σύνθεσις *M.* ‖ 8. ὡς om *AM.* ‖ 15. τὸ — μέρος om *M.* ‖ 30. μετὰ om *M.*

14. εἰ μὴ] ἡ μὲν γὰρ *M.* ‖ 19. εἴδους *M.* ‖ ὡς — 20. ποσοῦ om *A.* ‖ 22. διαιροῦται] διαιρεῖται *M.* ‖ 28. ὅλης *A.* ‖ 31. σημαίνει *M.* ‖ 34. ὡς εἴδους om *M.*

φύσιν διαλαμβάνειν καὶ πυρέττειν. κατὰ δὲ τὴν αὐτῶν ὁρμὴν διατιθέασι τοὺς ἐχομένους καὶ τὰς πόλεις οἱ τύραννοι· ἄγουσι γὰρ αὐτοὺς ἐφ' ἃ ἂν ὁρμήσωσι, καὶ χρῶνται αὐτοῖς ὡς θέλουσι. καὶ τὸν χιτῶνα δὲ οὕτως ἔχειν λεγόμεθα· ὅτι γὰρ χρώμεθα αὐτῷ ὡς ἂν θέλωμεν. λέγεται τὸ ἔχειν καὶ ἀντιστρόφως τῷ ἄγειν κατὰ τὴν ἑαυτοῦ ὁρμήν· καὶ γὰρ τὸ ἀγόμενον ὑπό τινος οὕτως ὡς ἕπεσθαι τῇ ὁρμῇ ἐκείνου, ἔχειν ἐκεῖνο λέγεται· πόλις τύραννον ἔχειν, ὅταν ἄγηται ὑπ' αὐτοῦ. τοῦτο τὸ σημαινόμενον οὐ παρέθετο ἴσως δεδηλωμένον καὶ αὐτὸ διὰ τοῦ ᾧ ἀντιστρέφει. ἔχειν λέγεται καὶ τὸ δεκτικόν τινος, ὅταν αὐτὸ δέξηται· οὕτως ὁ χαλκὸς τὸ εἶδος τοῦ ἀνδριάντος ἔχει (ὢν γὰρ αὐτοῦ δεκτικὸς ἐδέξατο αὐτό), καὶ τὴν νόσον τὸ σῶμα καὶ καθόλου ἡ ὕλη τὸ εἶδος 1023a 13. ἔχειν λέγεται. ἔχειν λέγεται καὶ τὰ περιέχοντα τὰ περιεχόμενα· ἔχεσθαι γὰρ ὑπὸ τοῦ περιέχοντος λέγεται τὰ περιεχόμενα. οὕτως ἀγγεῖα ἔχειν λέγεται τὰ ἐν αὐτοῖς ὑγρά, καὶ ὁ τόπος τὰ ἐν τῷ τόπῳ, καὶ ἡ πόλις τοὺς πολίτας, καὶ ἡ ναῦς τοὺς ἐπιβάτας, καὶ τὸ ὅλον δὲ τὰ μέρη οὕτω φησὶν ἔχειν περιέχον αὐτά. ἔχειν λέγεται καὶ τὰ κωλύοντά τινα κατὰ τὴν αὐτῶν ὁρμὴν ἢ φύσιν πράττειν τι ἢ κινεῖσθαι· οὕτως οἱ κίονες ἔχειν λέγονται τὰ ἐπικείμενα αὐτοῖς ἀνέχοντες αὐτὰ καὶ κωλύοντες κατὰ τὴν αὐτῶν φύσιν φέρεσθαι κάτω (*). οὕτως καὶ τὸν Ἄτλαντα οἱ ποιηταὶ τὸν οὐρανὸν ἔχειν λέγουσιν· Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης· ὡς γὰρ συμπεσουμένου ὑπὸ τὴν γῆν κατὰ τὴν αὐτοῦ φύσιν, εἰ μὴ ἔχοιτο καὶ ἀνέχοιτο ὑπ' αὐτοῦ. οὕτω καὶ τῶν φυσικῶν ὅσοι διὰ τὴν δίνην μένειν τὸν κόσμον λέγουσι καὶ μὴ συμπίπτειν, λέγοιεν ἂν αὐτὸν ὑπὸ τῆς δίνης ἔχεσθαι. κατὰ τοῦτο τὸ σημαινόμενον, φησί, τοῦ ἔχειν καὶ τὰ συνέχοντά τινα καὶ κωλύοντα τοῦ σκίδνασθαι ἔχειν λέγεται· ἔχειν γὰρ ἢ θέσθαι, ὡς ὁ δεσμὸς τὰ ξύλα καὶ ἡ κόλλα τὰ κεκολλημένα. οὐχ ὁμοίως ὁ τύραννος ἔχειν ἐλέγετο τὴν πόλιν· ὁ μὲν γὰρ τύραννος τῷ ἄγειν κατὰ τὴν αὐτοῦ ὁρμήν, ταῦτα δὲ τῷ κωλύειν κινεῖσθαι κατὰ τὴν αὐτῶν ὁρμήν τε καὶ 1023a 23. ῥοπὴν τὰ ἐχόμενα ὑπ' αὐτῶν. ὁμοίως δέ, φησί, τῷ ἔχειν καὶ τὸ ἔν τινι εἶναι ῥηθήσεται· καθ' ἕκαστον γὰρ σημαινόμενον τοῦ ἔχειν ἔσται καὶ ἐχόμενόν τι ἐν αὐτῷ· τό τε γὰρ ἀγόμενον κατὰ τὴν τοῦ ἄλλου φύσιν ἢ ὁρμὴν ἔχεσθαι ὑπ' ἐκείνου λέγεται, ὡς ἡ πόλις ὑπὸ τοῦ τυράννου, ὥστε καὶ ἔστιν ἐν ἐκείνῳ. καὶ τὸ ὂν δὲ ἐν τῷ δεκτικῷ αὐτοῦ ἔχεται ὑπ' ἐκείνου καὶ ἔστιν ἐν αὐτῷ· τὸ γὰρ εἶδος ὑπὸ τῆς ὕλης ἔχεται, ἢ ἐκείνη ἔχει αὐτό. ἔχεται καὶ τὰ περιεχόμενα ὑπὸ τῶν περιεχόντων· τὰ γὰρ ἐν ἀγγείῳ ἔχεται, καὶ τὸ κωλυόμενον κατὰ τὴν αὐτὴν ὁρμὴν κινεῖσθαι ὑπὸ τοῦ κωλύοντος. οὕτω καὶ τὰ συνεχόμενα ὑπό τινος ἔχεται ὑπ' ἐκείνου, καὶ ἔσω ἐν τῷ ἔχοντι αὐτά. Alex.

1023a 20. (*) ὥσπερ οἱ ποιηταί, φησί, ποιοῦσι τὸν Ἄτλαντα βαστάζειν τὸν οὐρανόν, καὶ οἱ φυσικοὶ τὴν δίνην αὐτήν, ὥσπερ Ἀναξαγόρας. Asclep.

λέγεται καὶ τὸ ἔκ τινος ἕνα μὲν τρόπον ὡς ἐξ ὕλης, καὶ ταύτης 1023a 26. διχῶς· ἢ γὰρ ἐκ τοῦ προσεχοῦς, ἣν εἶπεν ὕστατον εἶδος, ἢ ἐκ τῆς πρώτης, ἣν εἶπε πρῶτον γένος. ἡ γὰρ πρώτη ὕλη τῶν ὑπ' αὐτὴν εἴη ἄν πως γένος· τῷ γὰρ ἀνδριάντι προσεχὴς μὲν ὁ χαλκός, ἐσχάτη δὲ τὸ ὕδωρ, εἰ εἴη τοῦτο καὶ τοῦ χαλκοῦ καὶ πάντων τῶν τηκτῶν ὕλη, ἢ ἔτι πορρωτέρω ἡ πρώτη ὕλη, ἥτις γένος ἂν εἴη πάλιν τῆς τε ὡς ὕδατος ὕλης καὶ τῆς ὡς χαλκοῦ. ἄλλον δὲ τρόπον ἔκ τινος λέγεταί τι ἐκ τοῦ πρώτως κινήσαντος· ἐκ γὰρ τῆς λοιδορίας ἡ μάχη λέγεται, ὅτι ἐντεῦθεν ἡ ἀρχὴ τῆς μάχης καὶ ἐντεῦθεν ἐποίησε τὴν μάχην. ζητήσειεν ἄν τις εἰ ἐπὶ παντὸς ποιητικοῦ ἁρμόζει τὸ ἔκ τινος, ἢ μόνου τοῦ ὡς ἡ λοιδορία τῆς μάχης· οὐ γὰρ δόξει ἐκ τοῦ ἀνδριαντοποιοῦ ὁ ἀνδριὰς λέγεσθαι. ἢ καὶ ἐπὶ τῶν τοιούτων ὁ αὐτὸς λόγος· ἐκ τούτου γὰρ ὁ ἀνδριὰς ἐξ οὗ τὴν ἀρχὴν τοῦ εἶναι ἔχει, ὥστε ἔκ τινος καὶ ὡς ποιητικόν. ἄλλον δὲ τρόπον ἔκ τινος λέγεσθαί φησιν, ὡς ἐκ 1023a 31. τοῦ συγκειμένου τὸ μέρος, τοῦ συγκειμένου ἐξ εἴδους τε καὶ ὕλης ὄντος, καὶ ὄντος ὅλου τινὸς ἐκ γένους τὰ μέρη· ἐκ γὰρ τοῦ συναμφοτέρου ἡ χείρ· ἐκ τοῦ σώματος γάρ, ὅτι τούτου μέρος. λέγει δὲ κατὰ τοῦτον τὸν τρόπον καὶ τὸ ἔπος ἐκ τῆς Ἰλιάδος λέγεσθαι· σύνθετον γὰρ ἡ Ἰλιὰς ἐκ τῶν ἐπῶν, ὧν ἕκαστον ἐκ τῆς Ἰλιάδος ἐστὶν ὡς ἐκ τοῦ ὅλου τὸ μέρος· ὅλον γάρ τι καὶ ἡ Ἰλιάς. εἰπὼν δὲ ἐκ τοῦ ὅλου τὰ μέρη, παράδειγμα τοῦ λεγομένου παρέθετο. ὁμοίως φησὶ λέγεσθαι καὶ ἐκ τῆς οἰκίας τοὺς λίθους· ὅλον γάρ τι καὶ τέλειον καὶ συναμφότερον ἐξ εἴδους καὶ ὕλης καὶ ἡ οἰκία· ὅτι γὰρ καὶ ταῦτα ὅλα τε καὶ τέλεια, καὶ οὐ μόνον τὰ φυσικά τε καὶ συνεχῆ, δείκνυσι δι' ὧν προστίθησι λέγων "τέλος μὲν γάρ ἐστιν ἡ μορφή, τέλειον δὲ τὸ ἔχον τέλος." ἔστι γὰρ ὃ λέγει, τέλειόν ἐστι τὸ ἔχον τέλος, τέλος δὲ ἡ μορφή, ὥστε τέλειον τὸ ἔχον μορφήν, τοῦτο δὲ καὶ ὅλον. τοιοῦτον δὲ τὸ ἐξ ὕλης τε καὶ εἴδους· τοῦτο γὰρ ὅλον τε καὶ τέλειον. καὶ οἰκία δὲ μορφὴν ἔχει, ὥστε καὶ αὐτὴ ὅλον τε καὶ τέλειον, καὶ εἶεν ἂν οἱ λίθοι ἐκ τῆς οἰκίας οὕτως ἔκ τινος ὡς ἐξ ὅλου. ἄλλον δὲ τρόπον τοῦ ἔκ τινός φησιν εἶναι, ὡς ἐκ τοῦ 1023a 35. μέρους τὸ εἶδος, τὸ ὅλον καὶ τέλειον λέγων. εἶδος δὲ εἶπε τὸ τί ἦν εἶναι οὐχ ὡς τὸ ὅλον καὶ συναμφότερον· ἐκεῖνο γὰρ εἶπεν ἐκ τῆς ὕλης λέγεσθαι εἶναι· ὁ γὰρ ὁρισμὸς ὁ τοῦ εἴδους δηλωτικὸς τοῦ ἀνθρώπου ἐκ τοῦ δίποδος λέγεται εἶναι, ὅτε ἐνυπάρχει αὐτὸ ὡς μέρος τὸ δίπουν. πάλιν ἡ συλλαβὴ ἐκ τοῦ στοιχείου· ἐκ γὰρ τῶν στοιχείων ἡ συλλαβή, καὶ ὁ λόγος τῆς συλλαβῆς τὴν τῶν στοιχείων σύνθεσιν περιέχει. καὶ εἴη ἂν ἔμπαλιν ἔχον τὸ σημαινόμενον τοῦτο τοῦ ἔκ τινος τῷ εἰρημένῳ πρὸ αὐτοῦ· τότε μὲν γὰρ ἐκ τοῦ ὅλου τὸ μέρος ἐλέγετο ἔκ τινος, ὡς οἱ λίθοι ἐκ τῆς οἰκίας, νῦν δὲ τὸ ὅλον ἐκ τοῦ μέρους. οὐχ ὁμοίως δέ φησι τὸ εἶδος ἐκ τοῦ μέρους λέγεσθαι καὶ τὸ ὅλον ἐκ τῆς ὕλης. τοῦτο δὲ λέγει καὶ δείκνυσιν, ὅτι ἄλλος ὁ τρόπος οὗτος τοῦ ἔκ τινος τοῦ πρώτου εἰρημένου τοῦ ἐξ οὗ ἔστιν ὡς ὕλης· τὸ γὰρ "ἄλλως γὰρ τοῦτο"

3. ἂν om *M.* ‖ 5. λέγεται τὸ ἔχειν *M.* ‖ 17. τι] τε *M.* ‖ 21. εὐρὺν om *M.* ‖ 30. τῷ] τὸ *M.* ‖ 33. ἢ ὁρμὴν *M.*

2. προσεχῶς *M.* ‖ 5. εἴη τοῦ τοῖς τοῦ χαλκοῦ *A*, εἴη ἡ τοῦτο καὶ τοῦ χαλκοῦ *M.* ‖ *si aeris et omnium quae liquescere possunt, aqua materia est* Sepulv. ‖ 11. δέξῃ *M.* ‖ ἀνδριάντες *A.* ‖ 14. *ut pars ex composito ex materia et forma constituto, et partes ex genere, quod totum quoddam est* Sepulv. ‖ 16. τινὸς ἀγένους *M.* ‖ 17. ἐκ τοῦ] αὐτοῦ *M.* ‖ 21. ἐκ τῆς] αὐτῆς *M.* ‖ 28. αὐτὰ *A.* ‖ 30. ἐκ τοῦ] αὐτοῦ *M.* ‖ 39. ὡς — 41. τινος om *M.*

σας, ὡς τὰς νοσώδεις ἐνοχλήσεις καὶ τὰς λυπηρὰς τὰς ἡμαρτημένας. ἔτι καὶ τὰ μεγέθη τῶν συμφορῶν πάθη λέγεται, ὡς τοῦ πάθους ὄντος ἐν μεγέθει λυπηροῦ κακοῦ. οὕτως ἐν πάθει λέγεται ὁ τέκνων στερηθεὶς ἢ πατρίδος ἤ τι ἐξαίσιον λυπηρὸν παθών. id.

1022b 22. καὶ τὴν στέρησιν δὲ πλεοναχῶς φησὶ λέγεσθαι· λέγεται γὰρ ἐν στερήσει εἶναι τά τε μὴ ἔχοντά τι τῶν πεφυκότων ἔχεσθαι, κἂν αὐτὰ μὴ ᾖ πεφυκότα ἔχειν αὐτά. οὕτως ὁ τοῖχος ὄψεως ἐστερῆσθαι λέγεται καὶ τὰ φυτά. καὶ εἴη ἂν ἡ τοιαύτη στέρησις ἀποφάσει ἴση, ὅταν τῶν ὑπάρχειν ὅλως τισὶ πεφυκότων λέγηται τούτων τὰ οἷς οὐ πέφυκεν ὑπάρχειν ἐστερῆσθαι (¹). λέγεται ἐστερῆσθαι καὶ τὸ πεφυκός τι ἔχειν ἢ αὐτὸ ἢ τὸ γένος ἐν ᾧ ἐστίν, ὅταν μὴ ἔχῃ, οἷον ἄνθρωπος μὲν ἐστερῆσθαι ὄψεως λέγοιτ' ἂν τῷ αὐτὸς πεφυκὼς ἔχειν μὴ ἔχειν, ἀσπάλαξ δὲ ἐστερῆσθαι λέγεται ὄψεως οὐ τῷ αὐτὸς ἔχειν πεφυκέναι, ἀλλὰ τῷ τὸ γένος ἐν ᾧ καὶ αὐτός ἐστι πεφυκέναι ὄψιν ἔχειν· τοιοῦτον γὰρ τὸ πεζὸν καὶ τὸ τετράπουν. οὕτω καὶ τὰ σκυλάκια λέγοιντ' ἂν ἐστερῆσθαι ὄψεως ὡς πεφυκότα αὐτὴν ἔχειν καὶ μήπω ἔχοντα. ἄλλως ἐστερῆσθαι λέγεται τὸ μὴ ἔχον τι τότε ὅτε πέφυκεν ἔχειν· οὐ γὰρ κατὰ πᾶσαν ἡλικίαν τυφλὸν λέγεται, ἀλλ' ὅτε πεφυκὸς ἔχειν μὴ ἔχει (²). ἡ δὲ τυφλότης στέρησίς ἐστι, καὶ τὸ τυφλὸν τότε ἐστέρηται, ἐν ᾧ ἂν ᾖ καὶ καθ' ὃ καὶ πρὸς ὃ καὶ ὡς ἂν μὴ 1022b 30. ἔχῃ πεφυκός. τὸ δὲ "ἐν ᾧ καὶ καθ' ὃ καὶ πρὸς ὃ καὶ ὡς ἂν" προσκείμενον, τὸ μὲν καθ' ὃ δηλωτικόν ἐστι τοῦ μὴ ἔχειν ὃ πέφυκεν ἔχειν ἐν ᾧ· τὸ γὰρ καθ' ὃ τοῦ μορίου δηλωτικόν ἐστιν· καθ' ὃ γὰρ μόριον πέφυκεν ἔχειν, ἂν μὴ ἔχῃ, ἐστέρηται· οὐ γὰρ ὁ μὴ βλέπων τοῖς ὠσὶν ἐστέρηται, ἀλλ' ὁ τοῖς ὀφθαλμοῖς. "πρὸς ὃ" δέ, ἂν ὅπερ πέφυκεν ἡ ὄψις ὁρᾶν μὴ βλέπῃ· οὐ γὰρ ὁ τὴν φωνὴν μὴ βλέπων τυφλός. τὸ δὲ "καὶ ὡς" δηλωτικόν ἐστι τοῦ τυφλὸν τότε καὶ ἐστερημένον εἶναι, ἂν ὡς πέφυκέ τι ὁρᾶν μὴ βλέπῃ· οὐδεὶς γὰρ τὸν ἄνθρωπον τυφλὸν ἐρεῖ, ὅτι τὰ ὄπισθεν οὐ βλέπει ἢ τὰ ἐκ πολλοῦ διαστήματος. καὶ τὸ "ἐν ᾧ δὲ ἂν ᾖ" προσκείμενον εἴη ἂν τοῦ δι' οὗ δηλωτικόν· οὐ γὰρ τυφλὸς ὁ 1022b 31. ἐν νυκτὶ μὴ ὁρῶν ἀλλ' ὁ ἐν φωτί. λέγεσθαί φησι στέρησιν καὶ τὴν βίαιόν τινος ἀφαίρεσιν, οἷον ἱματίου ἐστέρηται ὃ μετὰ βίας ὑπό τινος ἀφῃρέθη, καὶ τῶν ἰδίων ἐστερῆσθαί τις λέγεται, ὅτι ὁ τύραννος αὐτὰ μετὰ βίας ἀφείλετο. καὶ ὁσαχῶς δέ, φησίν, αἱ ἀποφάσεις αἱ ἀπὸ τοῦ ἄλφα λέγονται, τοσαυταχῶς καὶ αἱ στερήσεις. ἀποφάσεις δὲ ἀπὸ τοῦ ἄλφα λέγει τὰς στερητικὰς ἀναιρέσεις· κυρίως γὰρ ἀπόφασις ἡ διὰ τοῦ οὐ. ὁσαχῶς δή, φησίν, αἱ διὰ τοῦ α ἀναιρέσεις τε καὶ ἀποφάσεις τινῶν γίνονται, τοσαυταχῶς λέγεσθαι καὶ τὰς στερήσεις· στερήσεως γὰρ ἡ διὰ τοῦ α ἀπόφασις δηλωτική. καὶ παρατίθεται καὶ διὰ τῶν παραδειγμάτων δείκνυσιν αὐτῶν τὴν διαφοράν. ἄνισον μὲν γὰρ τὸ πεφυκὸς ἰσότητα ἔχειν καὶ μὴ ἔχον λέγεται, ὥστε ἡ στέρησις καὶ τοῦτο σημαίνει· ἀόρατον δὲ λέγεται μὲν καὶ τὸ πεφυκὸς ὁρᾶσθαι καὶ μὴ ὁρώμενον, ὃ ἐδήλωσε διὰ τοῦ ὡς προειρημένου τοῦ ἐπὶ τοῦ ἀνίσου προσθεῖναι "καὶ τῷ ὅλως μὴ ἔχειν χρῶμα·" λέγεται γὰρ καὶ τὸ τὴν ἀρχὴν μήπω πεφυκὸς ὁρᾶσθαι μήτε ἔχον χρῶμα, ὡς ὅταν λέγωμεν τὴν φωνὴν ἀόρατον εἶναι· ὥστε καὶ κατὰ τοῦτο ἡ στέρησις τοῦ σημαινομένου, ὅ ἐστι τὸ ἀδύνατον. πάλιν ἄπουν λέγεται τό τε μηδὲ ὅλως πεφυκὸς πόδα ἔχειν, ὡς τὰ ἑρπετά, καὶ τὸ φαύλως ἔχον, ὥστε καὶ κατὰ φαύλως τι ἔχοντος ἡ στέρησις λέγεται. λέγεταί τι στερητικῶς διὰ τοῦ α καὶ τῷ μικρόν τι ἔχειν, ὡς τὸ ἀπύρηνον· τὸ γὰρ μικρὸν καὶ φαῦλον τὸν πυρῆνα ἔχον. οὕτω καὶ ἀτράχηλοι λέγονται. καὶ κατὰ τοῦτο οὖν ἡ στέρησις. ἔτι λέγεται διὰ τοῦ α καὶ τὸ μὴ ῥᾳδίως ἢ μὴ καλῶς παθεῖν τι δυνάμενον, ὡς τὸ ἄτμητον· οὐ γὰρ μόνον τὸ μὴ τεμνόμενον ἄτμητον λέγεται, ἀλλὰ καὶ τὸ μὴ ῥᾳδίως τεμνόμενον ἢ μὴ καλῶς μηδὲ ὡς ὁ τέμνων βούλεται. εἰπὼν δὲ τὰς κατὰ τὸ α διαφορὰς 1023a 4. τῶν στερήσεων σημαινομένας, αἵ τινες ἦσαν οὕτως λεγόμεναι ἢ ἐπὶ τῶν πεφυκότων τι ἔχειν καὶ μὴ ἐχόντων, ἢ ἐπὶ τῶν ἀδυνάτων ἔχειν καὶ διὰ τοῦτο μὴ ἐχόντων, ἢ ἐπὶ τῶν φαύλως καὶ μικρὸν ἐχόντων, ἢ ἐπὶ τῶν μὴ ῥᾳδίως ἢ μὴ καλῶς δυναμένων, προστίθησι καὶ ἄλλο σημαινόμενον στερήσεως· τὸ γὰρ πάντη μὴ ἔχον τι, οὐ τὸ κατὰ μέν τι ἔχον κατὰ δέ τι μή, ἐστερῆσθαι· τυφλὸς γὰρ ὁ ἀμφοτέρους τοὺς ὀφθαλμοὺς πεπηρωμένος, καὶ κωφὸς ὁ τὰ ὦτα ἀμφότερα ἀλλ' οὐχ ὁ τὸ ἕτερον. διὰ δὲ τοῦτό φησι τὸ τοὺς μὴ ὅλως τι ἔχοντας λέγεσθαι μὴ ἔχειν αὐτό, καὶ τοὺς ὁλοκλήρως ἔχοντάς τι ἔχειν ἐκεῖνο λέγεσθαι "οὔτε πᾶς ἢ δίκαιος ἢ ἄδικος·" ὅ τε γὰρ κακὸς ἔοικε τῷ παντελῶς ἐστερημένῳ ἀρετῆς καὶ ὁ ἄδικος τῷ δικαιοσύνης, ἀλλὰ καὶ ὁ ἀγαθὸς καὶ δίκαιος τοῖς ὁλοκλήρως τοιούτοις. ὥσπερ οὖν τοῦ ἁπλῶς βλέποντος καὶ τοῦ ἁπλῶς τυφλοῦ μεταξύ ἐστιν ὁ ἑτερόφθαλμος, οὕτως ἂν εἶεν καὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ καὶ τοῦ δικαίου τε καὶ τοῦ ἀδίκου μεταξὺ οἱ μηδέπω μὲν πάντη κατορθοῦντες μηδὲ ἕξεις ἔχοντες ἐν τοῖς βελτίοσι, φαντασίας μέντοι ὑγιεῖς καὶ δόξας ὀρθὰς παρέχοντες καὶ ἔνια πράσσοντες οὕτως ὡς ἂν ὁ ἀγαθὸς πράξεις καὶ προαιρέσεις τοῖς ἀγαθοῖς ἐν πολλοῖς σώζοντες ὁμοίως. id.

(¹) οὕτως γάρ φαμεν στέρησιν ἔχειν τὸ φυτὸν ὀφθαλμοῦ, καί- 1022b 26.
τοι οὐ πέφυκεν ἔχειν ὀφθαλμοὺς τὸ φυτόν· ἀλλὰ καθὸ τὰ ἐν γενέσει καὶ φθορᾷ πεφύκασιν ἔχειν, κατὰ τοῦτο λέγεται καὶ τοῦτο ἐστερῆσθαι ὡς ὑπάρχον ἐν γενέσει. Asclep.

(²) Ἀσκληπιοῦ. ὡς ἐπὶ τοῦ σκυλακίου. ὁμοίως δὲ καὶ ἐν ᾧ· 1022b 30.
οὐ γὰρ πεφύκασιν ἔχειν ὀφθαλμοὺς ἐν ταῖς χερσί. καὶ καθ' ὃν χρόνον, διὰ τὸ σκυλάκιον. καὶ πρὸς ὅ· οὐ γὰρ πεφύκαμεν τὰ ἐν οὐρανῷ ὁρᾶν ἤγουν τὰ ὑπὸ γῆν. cod. Reg.

τὸ ἔχειν ἕνα μὲν λέγεσθαι τρόπον καὶ αὐτός φησι πολλαχῶς. 1023a 8.
"ἕνα μὲν τρόπον τὸ ἄγειν κατὰ τὴν ἑαυτοῦ φύσιν·" ὁ πυρετὸς γὰρ ἄγει τοὺς ἐχομένους ὑπ' αὐτοῦ· οὕτως γὰρ αὐτοὺς διατίθησιν ὡς τὴν αὐτοῦ

4. πατρίδας δ' ἢ *M.* ‖ 8. καὶ εἴη — 10. ἐστερῆσθαι bis *M.* ‖ 12. αὐτῆς *M.* ‖ 16. αὐτὴν *M.* ‖ 20. μὴ — 21. ἂν et 22. ἐν — 24. ἔχῃ om *A.* ‖ 32. βίαιόν τί γίνος ἀφαίρεσιν *M.* ‖ 39. καὶ παρατίθεται om Sepulv.

3. μήπω] μήτε *M.* ‖ 6. ἔχειν] ἔχον *M.* ‖ 7. λέγεται λέγεσθαι *A.* ‖ 8. τῷ] τὸ *A.* ‖ 11. μὴ om *A.* ‖ 15. ἔχει καὶ μὴ ἔχοντα *M.* ‖ 16. φαύλων ὡς καὶ μικρῶν *A.* ‖ 18. *cum scilicet aliquid non partim habet partim secus, sed prorsus non habet, ut caecus dicitur* Sepulv. ‖ ἔχον τί, οὐ τὸν κατὰ μέν τι ἔχον *M.* ‖ 27. τοῦ ante ἀδίκου om *M.* ‖ 30. ὁ ἀγαθὸς πράξεις καὶ προαιρέσεις *M.*

ὃ τινὶ ὑπάρχει, οὐ τῷδε μὲν τῶν ἐν αὐτῷ ὑπάρχειν τῷδε δὲ οὔ· ὃ δὴ μόνῳ καὶ παντὶ ὑπάρχει, τοῦτο ἴδιον καὶ ᾗ αὐτό, εἰ καὶ μή τί ἦν εἶναι αὐτοῦ ἐστίν. διότι γὰρ ὥρισται καὶ ὡρισμένως ὑπάρχει, καὶ οὐ τῷδε μὲν τῷδε δὲ οὔ, οὐδὲ ποτὲ μὲν ποτὲ δὲ μή, οὐδὲ πρὸς τούτῳ καὶ ἄλλῳ τινὶ ὑπάρχει, κατὰ τοῦτο τὸ οὕτως ὑπάρχον καθ' αὑτό. οὕτως καὶ ἡ μονότης τοῦ καθ' αὑτὸ ὑπάρχοντος δηλωτική· ὃ γὰρ μόνῳ ὑπάρχει, καὶ καθ' αὑτὸ ὑπάρχειν ἐκείνῳ δοκεῖ. τὸ δὲ "διὸ τὸ κεχωρισμένον καθ' αὑτό" (¹) δηλωτικὸν ἂν εἴη τοῦ διὰ τοῦτο γὰρ τοιαῦτα τὰ καθ' αὑτά, ὅτι ὡρισμένως τούτοις μόνοις ὑπάρχει. γράφεται καὶ "διὸ τὸ κεχρωσμένον καθ' αὑτό," καὶ εἴη ἂν λεῖπον τὸ τῇ ἐπιφανείᾳ· καθ' αὑτὸ γὰρ λέγεται τῇ ἐπιφανείᾳ. Alex.

1022a 4. (²) διὸ καὶ ὁ σοφώτατος Δημοσθένης φησὶ "πέρας μὲν γὰρ πάντων ὁ θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας τηρῇ." Asclep.

1022a 6. (³) "ᾗ ἔχοντος μέγεθος," ἵνα εἴπῃ περὶ τῆς μορφῆς καὶ τοῦ τέλους ἑκάστου. id.

1022a 35. (¹) γρ. διότι ὡρισμένον. cod. Reg.

1022b λέγει δὲ καὶ τὴν διάθεσιν πολλαχῶς λέγεσθαι· τοῦ γὰρ ἔχοντος 1. μέρη ἡ διάθεσις τάξιν τινὰ σημαίνει τῶν μερῶν, ἤτοι τὴν κατὰ τόπον καὶ θέσιν, ἥτις ἐπὶ τῶν συνηγμένων ἂν εἴη, ὡς τῶν ὄντων ἐν τόπῳ, ὅταν λέγωμεν τὸ στρατόπεδον διακεῖσθαι καλῶς τῷ κατὰ μὲν τόνδε τὸν τόπον τὸ ἱππικὸν μέρος αὐτοῦ τετάχθαι κατὰ δὲ τόνδε τὸ πεζόν, καὶ διάθεσιν οἰκίας τὴν τεταγμένην κατὰ τρόπον τὴν τῶν μερῶν θέσιν. ἢ κατὰ δύναμιν, ὡς ἔχει ἐπὶ τῶν τῆς ψυχῆς μερῶν· ἔστι γὰρ ἡ μὲν πρώτη δύναμις αὐτῶν ἡ δὲ δευτέρα, πρώτη μὲν ἡ θρεπτική, δευτέρα δὲ ἡ αἰσθητική. ἢ τὴν κατὰ τὸ εἶδός τε καὶ τὴν μορφήν, ὡς ὅταν λέγωμεν τὴν τοῦ ἀνδριάντος διάθεσιν ἢ τῆς εἰκόνος. ὃ δὲ ἐπιλέγει, "θέσιν γὰρ δεῖ τινὰ εἶναι, ὥσπερ καὶ τοὔνομα δηλοῖ ἡ διάθεσις," ἐπὶ τῆς κατὰ τόπον τάξεως τῶν μερῶν καὶ τῆς κατὰ τὸ εἶδος κυρίως δόξει λέγεσθαι, οὐκέτι δὲ ἐπὶ τῆς κατὰ τὰς δυνάμεις τάξεως. ἀλλὰ καὶ κοινῶς ἂν λέγοιτο ἐπὶ τῶν δυνάμεων ἡ θέσις. ἢ κατὰ συμβεβηκός· τῷ γὰρ τὰ ὧν αἱ δυνάμεις θέσιν ἔχειν, διὰ τοῦτο. κατὰ συμβεβηκὸς δὲ καὶ ἡ κατ' εἶδος διάθεσις ἐν θέσει ἦν. θέσις δέ ἐστιν, ὡς εἰρήκαμεν ἐν Κατηγορίαις (c. 8), ἐν τοῖς ὑπομένουσιν ἄλληλα μορίοις. οὕτω δὲ ἔχει καὶ ἐπὶ τῆς διαθέσεως τῆς κατὰ τὰς δυνάμεις τε καὶ τὰ εἴδη. Alex.

1022b 4. καὶ τῆς ἕξεως δὲ τὴν μέν τινα εἶναί φασιν ἐνέργειαν τοῦ ἔχοντός τε καὶ ἐχομένου· ἡ γὰρ ἀμφοῖν ἐνέργεια τοῦ τε ἔχοντος καὶ τοῦ ἐχομένου, ὅταν τό τε ἔχον ἐνεργείᾳ ἔχῃ ὃ ἔχει καὶ μὴ δυνάμει, καὶ τὸ ἐχόμενον ὁμοίως ἐνεργείᾳ ἔχηται, ἕξις ἐστὶν ἔχοντος καὶ ἐχομένου οὖσα ἐνέργεια. οὕτως ἕξις ἱματίου καὶ ἕξις χιτῶνος ἀπὸ τοῦ ἔχειν ὠνομασμένη, οἷον ἔχησίς τις οὖσα· ὡς γὰρ τοῦ ποιοῦντος καὶ τοῦ ποιουμένου μεταξὺ ἡ ἐνέργεια ποίησις, οὕτω καὶ ἡ τοῦ ἔχοντός τε καὶ ἐχομένου ἕξις μεταξὺ οὖσα καὶ ἐν τῇ ἀμφοτέρων ἐνεργείᾳ τὸ εἶναι ἔχουσα. εἰπὼν δὲ τῆς τε ἐχομένης ἐσθῆτος καὶ τοῦ ἔχοντος αὐτὴν μεταξὺ τὴν ἕξιν εἶναι, οὐχ ὥσπερ τῆς ἐσθῆτος ἕξις ἐστίν, οὕτω δέ, φησί, καὶ τῆς ἐσθῆτος ἕξεως ἕξις. προσέθηκε δὲ τὸ "ταύτην," ὅτι τῆς τοιαύτης καὶ οὕτω λεγομένης ἕξεως ἕξις οὐκ ἔστιν, οὐδὲ ἔστι πάλιν ταύτην ἕξιν ἔχειν ὡς τὸ ἱμάτιον· εἰς ἄπειρον γὰρ ἂν προΐοι, εἰ εἴη καὶ τῆς ἕξεως τῆς τοιαύτης ἕξις πάλιν, ὡς ἦν ἡ τοῦ ἱματίου. τῆς γὰρ κατ' ἄλλο σημαινόμενον ἕξεως ἔστιν ἕξις, ὡς τῆς ἀρετῆς καὶ τῆς ἐπιστήμης τε καὶ τέχνης. τὸ δὲ "εἰ τοῦ ἐχομένου ἔσται ἔχειν τὴν ἕξιν" δη- 1022b 9. λωτικόν ἐστι τοῦ εἰ ἐπὶ τῆς ἕξεως τοῦ ἐχομένου λεγομένης ἕξις πάλιν εἴη, ὡς εἶναι πάλιν ἐκείνην τὴν ἕξιν ἔχειν· ὡς γὰρ τῆς πρώτης τε καὶ τῆς δευτέρας καὶ τρίτης, εἴη ἂν καὶ τῆς εἰς ἄπειρον· αὐτὴ γὰρ ἡ ἕξις ἄλλου λέγεταί τινος καὶ ἐχομένου ἐστίν, ἀλλ' οὐχ ἕξεως. ἄλλο δὲ σημαινόμενον ἕξεως ἐκτίθεται τὸ κατὰ τῶν διαθέσεων λεγόμενον· ἕξις γὰρ καὶ ἡ διάθεσις, ὡς λέγεται ὑγιεινὴ ἕξις ἢ νοσώδης. ἡ μὲν οὖν ὑγιεινὴ καὶ νοσώδης διάθεσίς τε καὶ ἕξις κατ' αὐτὸ τὸ ἔχοντά εἰσιν, αἱ δὲ κατὰ τὰς ἀρετάς τε καὶ κακίας καὶ πρὸς ἄλλους· ἡ γὰρ δικαιοσύνη ἕξις ἐστὶ καθ' ἣν τὸ διακείμενον εὖ διάκειται καὶ πρὸς αὑτὸ καὶ ἄλλο. οὕτως ἕξεις καὶ αἱ τέχναι πᾶσαι λέγοιντο ἂν καὶ αἱ κακοτεχνίαι, καὶ εἴη ἂν ὁ λόγος τῆς τοιαύτης ἕξεως ποιότης ἔμμονος, καθ' ἣν αἱ κατὰ μέρος ἐνέργειαι ἐνεργοῦνται ἢ εὖ ἢ κακῶς τῶν τοιούτων ἕξεων. ἕξιν λέγει καὶ τὸ μόριον τῆς τοιαύτης διαθέσεως, οἷον εἴ τις ὑγιεινῶς ἔχει τοῦ σώματος ἢ πάλιν ἐπινόσως· καὶ γὰρ τὰ μόρια τὰ οὕτως ἔχοντα ἕξεις ἔχειν λέγεται, καὶ τῶν φυσικῶν δὲ ἀρεταὶ γίνονταί τινες καθ' αὑτάς τε καὶ περὶ μόρια, καὶ τῆς τέχνης τὸ μόριον ἕξις. id.

1022b 15. καὶ αὖ τὸ πάθος τὸ μέν τι λέγει ποιότητα λέγεσθαι, καθ' ἣν ἀλλοιοῦνται τὰ σώματα· ταῦτα δέ ἐστιν ἅτινα παθητικὰς ποιότητας καὶ πάθη εἶπεν ἐν Κατηγορίαις (c. 8). καὶ κατὰ βαρύτητα δὲ καὶ κουφότητα, ἃς καὶ αὐτὰς ποιότητας πάλιν λέγει, ἀλλοίωσις ἂν γίνοιτο τότε, ὅταν μένοντα τὰ σώματα ἐν τῷ οἰκείῳ εἴδει ἐπίτασιν ἢ ἄνεσιν κατά τι τούτων λαμβάνῃ· εἰ γὰρ μὴ οὕτως, γενέσεις γίνονται καὶ φθοραὶ αἱ κατὰ ταῦτα μεταβολαί. πάθος φησὶ καὶ τὰς κατὰ τὰ προειρημένα πάθη κινήσεις τε καὶ ἀλλοιώσεις ἤδη γιγνομένας· τὰ γὰρ πρῶτα ἦν καθ' ἃ ἐνεδέχετο ἀλλοιοῦσθαι, τὰ δὲ κατὰ ταῦτα ἀλλοιώσεις, οἷον τὸ λευκαίνεσθαι ἢ μελαίνεσθαι ἢ ψύχεσθαι ἢ θερμαίνεσθαι. καὶ ἔστιν οὕτω τοῦτο λεγόμενον πάθος κίνησίς τις ἢ κατὰ σῶμα ἢ κατὰ ψυχὴν πρόσκαιρος. ἔτι δὲ μᾶλλον τῶν προειρημένων παθῶν πάθη φησὶ λέγεσθαι τὰς βλαβερὰς ἀλλοιώσεις, εἴτε κατὰ ψυχὴν εἶεν εἴτε κατὰ σῶμα, καὶ μάλιστα τὰς πρὸς τῷ βλαβερῷ καὶ τὸ λυπηρὸν ἐχού-

2. ἡ αὐτὴ *A.* ‖ 3. *per quod enim aliquid determinatur ac determinate adest, non huic adest, illi vero secus, neque modo adest modo secus, neque praeterea alteri cuipiam per id quod sic adest, per se adest, et sic solitudo per se adesse significat* Sepulv. ‖ 9. *in quibusdam exemplaribus legitur* (*quamobrem coloratum per se*) Sepulv. ‖ 18. σημαίνει om *M.* ‖ 19. συνημμένων *M.* ‖ 20. λέγομεν *M.* ‖ 21. τρέχει *A.* ‖ 40. ὠνομασμένη *A.*

2. τῇ τῶν ἀμφοτέρων *M.* ‖ 9. ἄλλα *M.* ‖ καὶ τῆς om *A.* ‖ 12. πάλιν [illegible] ην τὴν *M.* ‖ 14. ἕξεως. α[illegible] δὴ *M.* ‖ 17. νοσώδης [illegible] θέσις *M.* ‖ 25. ἀρεταὶ] ἀρετῶν *M.* ‖ 28. μέντοι λέγει *A.* ‖ 38. πάθος ἢ κίνησις *M.*

κατὰ τὸ εἶδος τοῦτο ὅ ἐστιν, ὃ καὶ οὐσίαν εἶπεν· ὅ τε γὰρ ἀνδριὰς κατὰ τὸ εἶδος ἀνδριάς, ὁμοίως καὶ ὁ ἄνθρωπος ἄνθρωπος κατὰ τὸ εἶδός ἐστι, καὶ ὁ ἵππος. καὶ οὗ ἐν τῇ οὐσίᾳ τὸ ἀγαθόν, τούτου εἶδος τὸ κυρίως ἀγαθόν· ἀγαθὸν δὲ καθὸ ὁ ἀγαθὸς ἀγαθός. τὸ δὲ "αὐτὸ ἀγαθὸν" εἶπεν ἀντὶ τοῦ, καθὸ ὁ ἀγαθὸς ἀγαθός ἐστιν, ἀγαθὸν αὐτό· οὐ γὰρ κατ' ἄλλο τι ἀγαθὸς ὁ ἀγαθὸς ἢ κατὰ τὸ ἀγαθὸν καὶ τὴν τοῦ ἀγαθοῦ οὐσίαν. ἄλλον δὲ τρόπον τὸ καθό λέγεσθαί φησιν, ἐν ᾧ πρώτῳ πέφυκέ τι γίγνεσθαι· κατὰ γὰρ ἐκεῖνο λέγεται ὑπάρχειν, οἷον τὸ σῶμα λέγεται κεχρῶσθαι κατὰ τὴν ἐπιφάνειαν, ὅτι πρώτη ἡ ἐπιφάνεια χρώματός ἐστι δεκτική. εἰπὼν δὲ καθό τὸ κατὰ τὸ εἶδος καὶ τὴν οὐσίαν λέγεσθαι, προσθεὶς δὲ καὶ τὸ πρώτως δεκτικόν, τὸ μὲν κυρίως καὶ πρώτως λεγόμενον καθό τὸ εἶδος λέγει εἶναι (ἑκάστῳ γὰρ τῶν ὄντων κατὰ τοῦτο τὸ εἶναί ἐστίν), δευτέρως δὲ καὶ κατὰ τὴν ὕλην καὶ τὸ πρῶτον ὑποκείμενον, ὃ εἶπε πρῶτον δεκτικόν· ὡς γὰρ ἐν ὕλῃ πρώτῃ τῇ ἐπιφανείᾳ τὸ χρῶμα. ἕκαστον γὰρ τῶν φύσει ὄντων, ἀλλὰ καὶ τῶν τέχνῃ, οὐ κατὰ τὸ εἶδος μόνον ἔστι τε καὶ εἶναι λέγεται, ἀλλὰ καὶ κατὰ τὴν ὕλην· ὅ τε γὰρ ἄνθρωπος οὐ κατὰ τὸ εἶδος μόνον ἀλλὰ καὶ κατὰ τὴν ὑποκειμένην αὐτῷ ὕλην εἶναι λέγεται ἄνθρωπος, ὅ τε ἀνδριὰς οὐ κατὰ τὸ εἶδος μόνον ἀλλὰ καὶ κατὰ τὸν χαλκόν ἐστιν ἀνδριάς. ὁμοίως καὶ πᾶσα συναμφότερος οὐσία. ἔοικε δὲ καὶ τὸ πρῶτον δεκτικὸν τῇ ὕλῃ ἐπάγειν· καθόλου γὰρ ὕλην εἶπεν, ᾧ πρώτῳ τι ὑπάρχει ὡς ὑποκείμενον. καὶ τῇ ἐπιφανείᾳ δὲ πρώτῃ τὸ χρῶμα ὑπάρχει, καὶ εἴη ἂν ὕλη μὲν ἀνάλογον ἡ ἐπιφάνεια, εἴδει δὲ τὸ χρῶμα. ταῦτα εἰπὼν ὅτι τὸ καθό καὶ κατὰ τὸ
1022a 19. εἶδος καὶ κατὰ τὴν ὕλην λέγεται, καθόλου δέ, φησίν, ἰσαχῶς τό τε καθό καὶ τὸ αἴτιον ὑπάρχει τε καὶ λέγεται· καθ' ἕκαστον γὰρ λέγεται αἴτιον τῷ αἰτίῳ καθ' ὅ τι ὑπάρχει. καὶ πρῶτον μὲν ὅτι τῷ τελικῷ αἰτίῳ ὁμοίως λέγεται ταῦτα δείκνυσι· λέγεται γὰρ τὸ κατὰ τί ἐλήλυθεν ἀντὶ τοῦ τίνος χάριν ἐλήλυθε· πρὸς γὰρ τὸν ἐρόμενον περί τινος κατὰ τί ἐλήλυθεν, ὁ εἰπὼν οὗ ἕνεκεν ἐλήλυθεν, οἷον ὅτι διὰ τὴν εἴσπραξιν τῶν χρημάτων, δεόντως ἀποκρίνεται. ὁ δὲ εἰπὼν τὸ κατὰ τί ἐλήλυθε, τὸ καθό ἐζήτει. ἀλλὰ καὶ ὁ ἐρόμενος κατὰ τί ὁ Ἰλιακὸς πόλεμος συνέστη, πόθεν ἡ ἀρχὴ τοῦ πολέμου τοῦ Ἰλιακοῦ ἐξετάζει, ὅ ἐστι πάλιν αἴτιον τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· ὅτε γὰρ διὰ τὴν τῆς Ἑλένης ἁρπαγὴν εἶπε, τὸ καθό δεδήλωκεν. ὅτι δὲ καὶ κατὰ τῆς κατὰ τὸ εἶδος αἰτίας καὶ τῆς κατὰ τὴν ὕλην λέγεται τὸ καθό, εἴρηκεν. ἀλλὰ καὶ ὃ αὐτὸς παρατίθεται παράδειγμα τοῦ ποιητικοῦ αἰτίου δεικτικόν ἐστιν· ὁ γὰρ ἐξετάζων κατὰ τί παραλελόγισαι, τὴν ποιητικὴν αἰτίαν μαθεῖν βούλεται· τί γὰρ τὸ ποιῆσαν τὸν παραλογισμὸν ἢ τί τὸν συλλογισμὸν μαθεῖν ἀξιοῖ. ἔτι πρὸς τοῖς εἰρημένοις τρόποις τὸ καθό σημαίνειν φησὶ θέσιν τινὰ καὶ τόπον, τουτέστι τὸ ποῦ· ὁ γὰρ ἐξετάζων καθὸ ἕστηκεν Ἀθήνησιν ὅδε ὁ ἀνδριάς, οἷον ὁ Ἀριστοτέλης, ποῦ κεῖται καὶ ἐν ποίῳ μέρει τῆς πόλεως μαθεῖν βούλεται. ὁμοίως καὶ ὁ ἐξετάζων καθὸ περιπατεῖς ἐν ποίῳ μέρει τῆς πόλεως καὶ ἐν ποίῳ χωρίῳ περιπατεῖς μανθάνειν ἀξιοῖ· ὅτι γὰρ ἢ ἐν Λυκείῳ ἢ ἐν τῷ Κεραμεικῷ. εἰπὼν 1022a 24.
δὲ καὶ δείξας τὸ καθό πολλαχῶς λεγόμενον, λέγοι ἂν ὅτι ἀνάγκη διὰ τοῦτο καὶ τὸ καθ' αὑτὸ πολλαχῶς λέγεσθαι· καθὰ γὰρ τὸ καθ' αὑτὸ ὑπάρχει, καὶ ᾧ πρώτῳ ὑπάρχει τι, τούτῳ καὶ καθ' αὑτὸ ὑπάρχει· κατὰ γάρ τι τῶν καθ' αὑτὰ ὑπαρχόντων τὰ καθὸ κατηγορεῖται. ἔσται δὲ καὶ τοῦ καθ' αὑτὸ ἓν μὲν σημαινόμενον τὸ τί ἦν εἶναι ἑκάστου καὶ τὸ εἶδος· καθ' αὑτὸ γὰρ ἑκάστῳ τὸ οἰκεῖον εἶδος καὶ ὁ τῆς οὐσίας αὐτοῦ δηλωτικὸς λόγος ὑπάρχει· ὁ γὰρ Καλλίας καθ' αὑτὸ Καλλίας, καὶ ὅσα ἐν τῷ τί ἦν εἶναι εἴληπται, καθ' αὑτὸ ὑπάρχει ἐκείνῳ οὗ ἐστιν ὁ ὁρισμός. ἔστι δὲ ταῦτα τὸ γένος καὶ αἱ διαφοραί· καὶ τούτων οὖν ἕκαστον καθ' αὑτὸ ὑπάρχει Καλλίᾳ ὄντα τοῦ εἴδους μέρη. ἔτι δέ φησι τοῦ καθ' αὑτὸ σημαινομένου εἶναι τὸ ἐν αὑτῷ δέχεσθαι πρώτῳ ἢ τῶν αὑτοῦ τινί· καθ' αὑτὴν γὰρ ἡ ἐπιφάνεια κέχρωσται, ὅτι πρώτη τὸ χρῶμα δέδεκται, ὡς εἶπε λέγων καὶ περὶ τοῦ καθό· καὶ εἴη ἂν τὸ οὕτως καθό κατὰ τὴν ὕλην. καὶ τὸ σῶμα δὲ αὐτὸ μὲν κατὰ τὴν ἐπιφάνειάν ἐστι κεχρωσμένον, ἡ δὲ ἐπιφάνεια καθ' αὑτήν· τῷ δὲ τὴν ἐπιφάνειαν τὴν πρώτην τε καὶ καθ' αὑτὴν τὸ χρῶμα δεδεγμένην εἶναί τι τοῦ σώματος, τούτῳ καὶ τὸ σῶμα καθ' αὑτό ἐστι κεχρωσμένον· ἦν γὰρ οὐ μόνον τὸ ἐν αὑτῷ τι δεδεγμένον πρώτῳ καθ' αὑτὸ τοιοῦτον, ἀλλὰ κἂν τῶν αὑτοῦ τι εἴη πρῶτόν τι δεδεγμένον· πέρας δὲ τοῦ σώματος ἡ ἐπιφάνεια. διὰ γὰρ τοῦτο καθ' αὑτὸ ζῇ τὸ ζῷον, ὅτι ἡ ψυχὴ οὖσά τι τοῦ ζῴου πρώτη τὸ ζῆν ἔχει· ζῇ γὰρ ὁ ἄνθρωπος καθ' αὑτόν, ὅτι ἐν μέρει ἐστὶν ἡ ζωὴ πρώτῳ· ἐν γὰρ τῇ ψυχῇ πρώτῃ τὸ ζῆν, ἥ τις μέρος ἐστὶ τοῦ ἀνθρώπου. εἴη δ' ἂν τὸ σημαινόμενον τοῦτο καὶ ἐπὶ τῆς ὕλης ἁρμόζον· τὸ γὰρ μέρος ὂν ἔν τινι ὕλης λόγον ἐπέχει, καὶ ἐν ὕλῃ τὸ ἓν ἔχει τι τὸ ἐν μέρει αὐτοῦ. ἐν ἄλλοις μέντοι τὸ μὲν πρώτως τι δεχόμενον καθ' αὑτὸ λέγει, τὸ δὲ κατὰ μόριον κατὰ συμβεβηκός. ἔτι φησὶ καθ' αὑτὸ λέγεσθαι καὶ οὗ μή ἐστιν ἄλλο αἴτιον. 1022a 32.
ὃ τί ποτέ ἐστιν, ἐδήλωσε τῇ τοῦ παραδείγματος παραθέσει· τοῦ μὲν γὰρ τὸν ἄνθρωπον εἶναι πολλὰ αἴτια (καὶ γὰρ τὸ εἶδος καὶ ἡ ὕλη καὶ ἕκαστον τῶν ἐν τῷ ὁρισμῷ ἐνυπαρχόντων, ἀλλὰ καὶ τὸ ποιῆσαν), τοῦ μέντοι τὸν ἄνθρωπον ἄνθρωπον εἶναι οὐδὲν ἔξωθέν ἐστιν αἴτιον· ὁ γὰρ ἐρωτηθεὶς διὰ τί ὁ ἄνθρωπος ἔστιν, οὐδὲν ἄλλο εἰπεῖν ἔχει ἢ ὅτι ἔστιν ἄνθρωπος. ἔτι, φησί, καθ' αὑτὸ ὑπάρχει καὶ ὅσα μόνῳ ὑπάρχει τινὶ καὶ ᾗ μόνον. λέγοι δ' ἂν διὰ τούτων καὶ τὰ ἴδια τινῶν καθ' αὑτὰ ὑπάρχοντα ἐκείνοις. ἐδήλωσε δὲ τὸν λόγον τῶν ἰδίων διὰ τοῦ εἰπεῖν μόνῳ ὑπάρχειν καὶ ᾗ μόνον· τὸ γὰρ "ᾗ μόνον" δηλωτικόν ἐστι τοῦ παν

4. αὐτὸ τὸ ἀγαθὸν *M.* ‖ 9. πρώτη et 10. τὸ ante κατὰ om *M.* ‖ 14. *color namque in superficie tanquam in materia prima inest, et rerum tum naturalium tum etiam artificiosarum, quaeque non modo per formam ut est sic esse dicitur, sed etiam per materiam primumque subiectum; ut homo non per formam solum, sed etiam per subiectam formae materiam homo esse dicitur* Sepulv. ‖ 21. τῇ om *M.* ‖ 23. κατὰ om *A.* ‖ 38. ἢ — συλλογισμὸν om *M.*

1. καὶ et 2. μαθεῖν — 3. πόλεως om *A.* ‖ 4. λυκίας *M.* ‖ 5. δόξας *A.* ‖ 9. δὲ om *A.* ‖ ἕκαστον *A.* ‖ 15. δεδέχθαι *M.* ‖ 19. αὐτά *A.* ‖ 20. δεδεγμένον *M.* ‖ 21. τοῦτο *M.* ‖ 22 et 23. δεδεγμένον *M.* ‖ 28. καὶ om *A.* ‖ 29. ἔχει τε *A*, del. alterum τὸ ἐν ἔχει τι. ‖ 31. οὐ μὴν *A.* ‖ 35. alterum ἄνθρωπον om *M.* ‖ 40. τὸ γὰρ ᾗ μόνον bis *M.*

ληφθέντος μηδὲν εἶναι ἔξω, ἀλλ' οὐ πρώτου· πρὸ τούτου γὰρ τοῦ μέρους αὐτό. δόξειε δ' ἂν τὸ αὐτὸ σημαίνειν καὶ διὰ τούτου τοῦ λόγου πέρας ὃ καὶ διὰ τοῦ πρότερον, ὃ εἶπεν "ἔσχατον ἑκάστου," ὡς εἶναι τοῦ αὐτοῦ σημαινομένου διαφόρους λόγους. οὐ μὴν οὕτως ἔχει· τὸ μὲν γὰρ πρῶτον ῥηθὲν οὐ μόνον οὐκ αὐτοῦ τοῦ πράγματος ὄν τι ἔσχατον ἦν αὐτοῦ, ἀλλὰ καὶ τὸ τελευταῖον ἐπιγινόμενον ἑκάστῳ, τὸ δὲ νῦν αὐτοῦ τι τοῦ πράγματος ὂν πέρας λέγεται (*). ἔτι τὸ μὲν ἔσχατον δύναται καὶ ἐπὶ μέρους λέγεσθαι, τὸ δὲ οὕτω λεγόμενον, ὡς ἀπέδωκε δεύτερον, οὐκ ἐπὶ μέρους ἁρμόζειν δύναται ἀλλ' ἐπὶ τοῦ κυρίως πέρατος, ὡς ἤδη εἶπον. καὶ τὸ μὲν ἔσχατον καὶ ἐπὶ μὴ μεγεθῶν ἁρμόζοι ἄν· καὶ γὰρ λόγου τι ἔσχατον καὶ πράξεως εἴη ἂν καὶ διανοίας· οὕτως γάρ, ὡς εἶπον, πέρας καὶ ὁ θάνατος λέγεται· ἔσχατον γὰρ τῆς τοῦ ζῴου ζωῆς. τοῦτο δὲ τὸ οὗ μηδὲν ἔστιν ἔξω λαβεῖν πρώτου δοκεῖ ἐπὶ μεγεθῶν μόνον ἁρμόζειν· τοῦ γὰρ μεγέθους ἔστι τι λαβεῖν οὗ πρώτου οὐδέν ἐστιν ἔξω· τοιοῦτον γὰρ ἐν μὲν σώματι ἡ ἐπιφάνεια, ἐν δ' ἐπιφανείᾳ ἡ γραμμή, ἐν δὲ γραμμῇ ἡ στιγμή. ἄλλως δὲ ἐλέγετο ἐπὶ τοῦ τελείου τὸ οὗ μηδὲν ἔστιν ἔξω λαβεῖν καὶ ἄλλως ἐπὶ τοῦ πέρατος· ἐπὶ μὲν γὰρ τοῦ τελείου ἐσημαίνετο, ᾧ μηδὲν ἐλλείπει τῶν μορίων (τὸ γὰρ πᾶν λαμβανόμενον ἦν τέλειον), ἐπὶ δὲ τοῦ πέρατος τὸ οὗ μηδὲν ἔστιν ἐξωτέρω, περατοῦν τοῦτο οὗ ἐστὶ πέρας, καὶ τέλειον μὲν τὸ ὡς ὅλον μηδὲν ἐκτὸς ἔχειν. ἢ διαφορὰν σημαίνει, εἰ καὶ τὸ πρῶτον τῷ πέρατι προσκείμενόν τι πέρας ἔχει καὶ τὸ μὴ τέλειον. πέρας δέ φησιν εἶναι "καὶ οὗ ἔσω πάντα πρώτου," τὸ αὐτὸ σημαίνων ὃ φθάσας εἶπε, κατ' ἄλλον δὲ τρόπον καὶ ἀντεστραμμένως (τότε μὲν γάρ, οὗ μηδὲν ἐκτὸς πρώτου, νῦν δέ, οὗ ἐκτὸς πάντα πρώτου), τὸ "πρώτου" πάλιν προσθείς, ἵνα τοῦ μέρους τὸ κυρίως πέρας χωρίσῃ· ἐντὸς μὲν γὰρ καὶ ἐν τοῖς ἄλλοις καὶ τῶν μερῶν τῶν πρὸς τοῖς ἐσχάτοις τὰ ἄλλα μέρη, ἀλλ' οὐ πρώτων· ἐπὶ γὰρ τοῦ σώματος καὶ αὐτὸ ληφθὲν μέρος ἔσχατον ἐντός ἐστι τῆς ἐπιφανείας, ἐκείνη δὲ οὐκέτ' οὐδενὸς ἐντός. ταὐτὸν δέ, ὡς εἶπον, οὗτε πρώτου οὐδέν ἐστι λαβεῖν ἔξω, καὶ οὗ ἔσω πάντα πρώτου. ἔτι πέρας φησὶ "καὶ ὃ ἂν ᾖ εἶδος μεγέθους ἢ ἔχοντος μέγεθος," εἶδος μὲν τὸ σχῆμα λέγων καὶ τὴν μορφήν· κατὰ γὰρ ταῦτα τὰ σώματα εἰδοποιεῖται· τὸ γὰρ "μεγέθους" ἀντὶ τοῦ σώματος εἶπε· πᾶν γὰρ σχῆμα ἐν σώματι. τὸ δὲ "ἢ ἔχοντος μέγεθος" προσέθηκε διὰ τὰ ζῷα, ἃ οὐκ ἔστι μὲν ἁπλῶς σώματα καὶ μεγέθη, ἔχει μέντοι σῶμα καὶ μέγεθος, καὶ ἔστι τούτων μὲν οὕτως εἶδος καὶ πέρας ἡ οἰκεία ἑκάστου μορφή, τῶν δὲ σωμάτων τὰ σχήματα. καὶ εἴη ἂν διὰ μὲν τοῦ πρώτου τὴν ἐπιφάνειαν εἰρηκὼς πέρας τοῦ σώματος, διὰ δὲ τοῦ νῦν τὸ σχῆμα λέγει πέρας, καὶ τὸ ἑκάστου τέλος τὸ οὗ χάριν· τοῦτο γὰρ ἐφ' ὃ ἡ κίνησις καὶ ἡ πρᾶξις· οὗ γὰρ ἕνεκεν ἡ κίνησίς τε καὶ ἡ πρᾶξις καὶ εἰς ὃ ἐπαύσατο, τοῦτο πέρας. οὐκέτι οὕτως ὁ θάνατος πέρας, ἐπεὶ μὴ τούτου χάριν γίγνεται τὰ γινόμενα· καίτοι ἔσχατός ἐστιν. εἰπὼν δὲ "ἐφ' ὃ ἡ κίνησις καὶ ἡ πρᾶξις" πέρας, προσέθηκεν "ἀλλ' οὐκ ἀφ' οὗ·" ἀφ' οὗ γὰρ ἡ κίνησις, ἀρχὴ τοῦτο. ὁτὲ δέ, φησί, πέρατα ἄμφω λέγεται, καὶ τὸ ἀφ' οὗ καὶ τὸ ἐφ' ὅ· καὶ γὰρ ἡ τοιαύτη ἀρχὴ λέγεταί ποτε πέρας καὶ αὐτή. καὶ εἴη ἂν τοῦ διαλογισμοῦ τοῦ περὶ τοῦ πραχθησομένου τοῦτο πέρας· ἀπὸ γὰρ τοῦ τέλους ἀρξάμενοι ἐπὶ ἔσχατον παυόμεθα, τοῦτο ὃ ἀρχὴ τῆς πράξεως γίνεται· ὥστε ἔστιν ἡ τινὸς ἀρχὴ τῆς πράξεως πέρας τοῦ διαλογισμοῦ. καὶ εἴη ἂν διὰ τούτων καὶ τὸ τέλος ἀρχήν τε καὶ πέρας δεδειχώς, καὶ τὸ ποιητικὸν τοῦ μὲν διαλογισμοῦ πέρας, ἀρχὴ δὲ τῆς πράξεως. εἰπὼν δὲ ἐκεῖ τὴν ἀρχὴν πέρας λέγεσθαι, ὃ ἐδήλωσε διὰ τοῦ εἰπεῖν "καὶ ἀφ' οὗ," ᾧ προσθεὶς καὶ τὸ "ἐφ' ὅ" (ἔκειτο γὰρ καὶ τοῦτο), ἐξηγησάμενος τὸ "ἐφ' ὃ" διὰ τοῦ προσθεῖναι "καὶ τὸ οὗ ἕνεκα" (τοῦτο γάρ ἐστιν ἐφ' ὅ), ἐφεξῆς δείκνυσι κατὰ πάντα τὰ τῆς ἀρχῆς σημαινόμενα τὸ πέρας λεγόμενον. λέγει γὰρ πέρας εἶναι καὶ τὸ εἶδος, καθ' ὅ ἐστιν οὐ κατὰ τὸ σχῆμα καὶ τὴν μορφήν. καὶ πῶς τοῦτο πέρας, προστίθησιν· οὐ γὰρ ἁπλῶς ἀνθρώπου πέρας τὸ ζῷον λογικὸν θνητὸν αὐτὸν εἶναι, ἀλλὰ τῆς γνώσεως τοῦ ἀνθρώπου. ὁμοίως δὲ καὶ τῆς ἑκάστου πράγματος γνώσεως τοῦτο πέρας· ὅταν γὰρ τοῦτο γνῶμεν, παυόμεθα τοῦ ζητεῖν τί ἐστι τὸ πρᾶγμα. εἰ δὲ τῆς γνώσεως, καὶ τοῦ πράγματος αὐτοῦ· ὡς γὰρ ἔχει τὸ πρᾶγμα, οὕτως αὐτοῦ ἡ γνῶσις γίγνεται. φανερὸν δέ, φησίν, ὅτι ὁσαχῶς ἡ 1022a 12 ἀρχὴ λέγεται, τοσαυταχῶς καὶ τὸ πέρας. ὃ εἰπὼν ἐπήνεγκε "καὶ ἔτι πλεοναχῶς." ὅτι μὲν οὖν καὶ τὸ ὡς τέλος ἀρχὴ λεγόμενον καὶ τὸ εἶδος καὶ τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως πέρας λέγεται, εἴρηκεν· εἴη δ' ἂν καὶ ἡ ὡς ὕλη ἀρχὴ λεγομένη πέρας τῷ ἔσχατον ὑποκείμενον εἶναι, τὸ δὲ ἔσχατον καὶ πέρας λέγεσθαι. ὅτι δὲ μὴ τετραχῶς μόνον τὸ πέρας, ἀλλ' ἔστι καὶ ἄλλα σημαινόμενα πέρατα, ἃ οὐχ οἷόν τε ἐφαρμόσαι τῇ ἀρχῇ, ἐξ ὧν προείρηκε περὶ τοῦ πέρατος λέγων δῆλον· καὶ γὰρ τὸ ἔσχατον ἑκάστου, ὡς ὁ θάνατος, καὶ οὗ πρώτου μηδὲν ἔστιν ἔξω λαβεῖν, ὡς τοῦ σώματος ἡ ἐπιφάνεια, ἀλλὰ καὶ τὸ σχῆμα, ὧν οὐδέτερον ταὐτόν τινι τῶν ὡς αἰτίων περάτων λεγομένων. διὸ καὶ εὐλόγως εἶπεν ὅτι "ἡ μὲν γὰρ ἀρχὴ πέρας τι, τὸ δὲ πέρας οὐ πᾶν ἀρχή," τὴν αἰτίαν λέγων. ἐκτίθεται δὲ καὶ τὰ τοῦ καθὸ σημαινόμενα, 1022a 14 οὗ λεγόμενά ἐστι τὸ καθὸ λέγεται εἶναί τι, καὶ δι' ὃ τῶν ὑπαρχόντων τινὶ τὸ καθὸ κατηγορούμενόν ἐστι, καὶ δι' ὃ καθὸ τὸ εἶναι ἑκάστῳ. λέγομεν γὰρ τόδε τι εἶναι, ὅ ἐστι κατὰ τόδε. λέγει δὲ ἕνα μὲν τρόπον λέγεσθαι καθὸ τὴν οὐσίαν καὶ τὸ εἶδος· ἕκαστον γὰρ λέγεται

2. αὐτὸ αὐτὸ σημαίνειν *A.* ‖ 4. *primo enim modo non solum terminus id dicitur, quod cum sit aliquid rei, ultimum eius est, sed etiam quod cuique ultimum advenit* Sepulv. ‖ 10. ἁρμόζει *M.* ‖ 13. πρῶτοι *M.* ‖ 18. ἐλλείπῃ *M.* ‖ 19. *in termino autem, quo nihil exterius est, terminans id cuius est terminus, et perfectum est, quod sit quasi totum nihil habens extra. vel illud (primum) additum termino discrimen significat, propterea quod etiam quod non est perfectum, habet terminum* Sepulv. ‖ 28. μέρος] μετὰ *M.* ‖ 31. ᾖ εἰ μέγεθος ἔχοντος *M.* ‖ 32. ταῦτα] κατ' αὐτὰ *M.* ‖ 36. καὶ ἐπὶ τούτων *M.* ‖ 39. σχῆμα τὸ σχῆμα πέρας *M.* ‖ καὶ τοῦ ἑκάστου *A.*

5. inter v. ὁ et δέ insertum ἱ, praecedente littera erasa *M.* ‖ 11. τὸ ποιητικὸν om Sepulv. ‖ 15. τὸ] τοῦ *M.* ‖ 19. ζῷον τὸ λογικὸν *M.* ‖ 30. λέγων περὶ τοῦ πέρατος *A.* ‖ 33. περάτων] πραγμάτων *M.* ‖ 35. τὰ om *M.* ‖ 36. τι om *A.*

ὑπερβολὴ αὐτοῦ κατὰ τὸ εὖ τὸ ἐν τῷ ἀνθρώπῳ. οὕτω καὶ ἰατρὸν τέλειον λέγομεν, οὗ κατὰ τὸ εὖ τὸ ἐν ἀνθρώπου ἰατρικῇ μὴ ἔστιν ὑπερβολή. τὸ δὲ "πρὸς τὸ γένος" αὐτὸς ἐξηγήσατο διὰ τοῦ εἰπεῖν "ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηδὲν ἐλλείπωσι." τῷ γὰρ τὰς ἀρετὰς πλείους καὶ διαφόρους εἶναι, οὗτος τέλειος καθ' ἣν ἔχει ἀρετήν ἐστιν, ὅταν μηδὲν κατ' αὐτὴν τὴν ἀρετὴν ἐλλείπῃ· τῷ γὰρ γένει ἀντὶ τοῦ εἴδους ἐχρῆτο. καὶ αὐλητὴς τέλειος ὁ κατὰ αὐλητικὴν τοιοῦτος, καὶ ἁπλῶς ὁ κατά τινα τέχνην ἢ ἐπιστήμην ἢ ἀρετὴν μὴ
1021 b 17. ἐλαττούμενος τέλειος κατ' αὐτήν. ἀπὸ τῶν οὕτως τελείων καὶ κατὰ τὸ εὖ τὸ οἰκεῖον μὴ ὑπερεχομένων καὶ ἐπὶ τὰ κακὰ μεταφέρομεν τὸ τέλειον· συκοφάντην γὰρ λέγομεν καὶ κλέπτην τέλειον ὡς οὐκ ἔχοντα ἐν τούτοις ὑπεροχήν. τοῦτο δὲ ποιοῦμεν ἐπεὶ καὶ ἀγαθοὺς λέγομεν αὐτούς, κλέπτας ἀγαθοὺς καὶ τελείους· ὡς γὰρ τὴν κατὰ ταῦτα ἀρετὴν ἔχοντας καὶ τελείους κατ' αὐτά· τελειότης γὰρ ἑκάστου ἡ οἰκεία ἀρετή. ὅταν γάρ, φησί, κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηδὲν ἐλλείπῃ μόριον τοῦ μεγέθους ὃ κατὰ φύσιν ἐστὶν αὐτῷ, τό τε ἐστὶ τέλειον ἕκαστον κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς, εἰπὼν ἀντὶ τοῦ ὅταν ταύτης τῆς τοῦ εἴδους ἐν ᾧ ἐστὶν οἰκείας ἀρετῆς μηδὲν ἐλλείπῃ μόριον, "τοῦ κατὰ φύσιν μεγέθους·" ἄνθρωπος γὰρ τέλειος, ἂν τῆς τοῦ ἀνθρώπου ἀρετῆς μηδὲν αὐτῷ ἐνδέῃ. οὗτος γὰρ ἄνθρωπος τέλειος, οὐχ ὁ τὰ μέρη ἄρτιος, ἀλλ' ὅταν τῆς ἀνθρώπου ἀρετῆς καὶ τοῦ ταύτης μεγέθους τοῦ κατὰ φύσιν μηδὲν μόριον ἐνδέῃ αὐτῷ. ὁμοίως καὶ ἵππος καὶ κύων καὶ τῶν ὄντων ἕκαστον. καὶ εἴη ἂν τοῦ ὄντως τελείου ὁρισμὸν ἀποδεδωκώς, ὡς εἶναι τέλειον οὗ κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηδὲν ἐλλείπῃ μόριον τοῦ κατὰ φύσιν μεγέθους· πρὸς γὰρ τὸ κατὰ φύσιν μέγεθος δεῖ μηδὲν μόριον ἐλλείπειν τοῦ τέλους. ἔστι δὲ τὰ μὲν πρῶτα εἰρημένα
1021 b 21. τέλεια κατὰ τὸ ποσόν, τὰ δὲ δεύτερα κατὰ τὸ εὖ τε καὶ τὸ ποιόν. ἔτι τέλειά φησιν εἶναι ἃ τὸ οἰκεῖον τέλος σπουδαῖον ἔχει (ᵃ)· τέλειον γὰρ τὸ τέλος ἔχον, τὸ δὲ κυρίως τέλος ἀγαθόν τι. οὕτως ἄνθρωπος ἀγαθὸς τέλειος, ὅτι τὸ οἰκεῖον τέλος ἀγαθὸν ὂν ἔχει. καὶ εἴη ἂν ἡ διαφορὰ τοῖς οὕτω λεγομένοις τελείοις πρὸς τὰ πρὸ τούτων εἰρημένα, ὅτι ἐκεῖνα μὲν ἐλέγετο τέλεια τῷ ἐν τελείῳ εἶναι (τοιοῦτον γὰρ ἡ ἀρετή) ἀλλὰ οὐ τῷ ἐν τέλει, τὰ δὲ νῦν λεγόμενα τῷ ἐν τέλει. ἢ οὐχ ὡς ἄλλο τι σημαίνων εἶδος τελείου τοῦτο προσέθηκεν· ἀναλαμβάνων οὖν τὸν περὶ αὐτῶν λόγον οὐκέτι τούτου ὡς ὄντος παρ' ἐκεῖνο μνημονεύει. ἐπεὶ δὲ τέλειον τὸ τέλος ἔχον, τὸ δὲ τέλος ἔσχατον, ἤδη καὶ τὰ ἐν τῷ ἐσχάτῳ ὄντα ἐν τῷ τέλει φαμὲν εἶναι· διὸ καὶ ἐπὶ τὰ φαῦλα χρώμεθα τῷ σημαινομένῳ τούτῳ τοῦ τελείου, λέγοντες τελείως τινὰ ἀπολωλέναι καὶ τελείως ἐφθάρθαι, ὅταν ἐπὶ τῷ ἐσχάτῳ ᾖ τοῦ κακοῦ καὶ μηδὲν αὐτοῦ ἐλλείπῃ τῆς φθορᾶς. οὕτως καὶ ἡ τελευτὴ τέλος λέγεται, ἐπεὶ καὶ τὸ τέλος ἔσχατον· τοῦτο δέ ἐστι τὸ ἀγαθὸν καὶ τὸ οὗ χάριν, τὸ ἔσχατον τέλος λεγόντων ἡμῶν. διὸ καὶ τὸ ἔχειν τελευτὴν ἧσπερ οὕνεκ' ἐγένετο. οὐ μὴν ἀλλὰ παρὰ τὸ ἐπόμενον ἡ ἀπάτη, ἐπεὶ κυρίως γε τέλος τὸ οὕτως ἔσχατον τὸ ὡς οὗ ἕνεκεν. τὸ δὲ τέλος καὶ τὸ οὗ ἕνεκα ἔσχατον ὡς ἴσον εἶπε, τὸ κυρίως 1021 b 29.
δὲ τέλος τὸ ὡς οὗ ἕνεκα ἔσχατον (ᵇ). ἢ εἰπὼν ἄμφω ἔσχατα εἶναι (καὶ γὰρ ἡ τελευτὴ ἔσχατον) προσέθηκεν ὅτι καὶ τὸ τέλος δὲ καὶ οὗ ἕνεκα καὶ αὐτὸ ἔσχατον. πάντα δὲ τὰ προειρημένα τε καὶ καθ' αὑτὰ λεγόμενα τέλεια εἰς δύο φησὶν ἀνάγεσθαι σημαινόμενα, εἴς τε τὰ κατὰ τὸ εὖ μηδὲν ἐλλείποντα μηδὲ ἔχοντα ὑπερβολήν, ὡς δύνασθαι ἔξω τι αὐτῶν ληφθῆναι, ὃ παρὸν ηὔξησεν ἂν τὸ ἐν αὐτοῖς εὖ· καὶ γὰρ οἷς ὑπερέχει τὸ τέλος ὂν σπουδαῖον, καὶ ταῦτα ὑπὸ τοῦτο τὸ σημαινόμενον τοῦ τελείου. καὶ τοῦτο μὲν τὸ σημαινόμενον τοῦ τελείου κατὰ τὴν ἀρετὴν καὶ τὴν τοῦ ἀγαθοῦ ὁλόκληρον παρουσίαν λέγεται, τὸ δὲ ἁπλῶς μὴ ἔχειν ὑπερβολὴν ἐν τῷ οἰκείῳ γένει, μηδὲ εἶναι ἔξω αὐτοῦ μηδὲ ἀπεῖναι, ὃ σημαινόμενον πρῶτον ἐξέθετο, οὗ εἰς δήλωσιν παρέθετο τὸν τέλειον χρόνον. οὕτω τέλειος ἄνθρωπος οὗ μηδὲν ἄπεστι μέρος, καὶ ἵππος ὁμοίως καὶ οἰκία καὶ βάθρον καὶ θρόνος, ὡς προεῖπε. ταῦτα μὲν οὖν τὰ σημαινόμενα καθ' αὑτὰ τοῦ τελείου, τὰ δὲ ἄλλα τέλεια λεγόμενα ἀπ' αὐτῶν φησὶ καὶ ταῦτα λέγεσθαι. ἢ γὰρ τῷ ποιεῖν τι τοιοῦτον· ἡ γὰρ παιδεία τέλειον, ὅτι ποιητικὸν τελείου τινός· τοῦ γὰρ τὴν ἀρετὴν ἔχοντος· καὶ τὰ γυμνάσια, ὅτι εὐεξίας καὶ αὐτὰ ποιητικὰ τελειότητος οὔσης. λέγεταί τινα τέλεια καὶ τῷ ἔχειν τι τοιοῦτον, ὡς βιβλίον λέγομεν τέλειον, ᾧ μηδὲν ἐνδεῖ τῶν ὀφειλόντων γραφῆναι, καὶ πραγματείαν τελείαν, ᾗ μηδὲν ἐνδεῖ. λέγεταί τινα τέλεια καὶ τῷ ἁρμόττειν τοῖς τελείοις· οὕτως ἐσθὴς λέγεται τελεία καὶ ὑπόδημα καὶ πανοπλία, καὶ ἡ Πηλιὰς τέλειον δόρυ, ὅτι ὁ Ἀχιλλεὺς αὐτῇ μόνος ἠδύνατο χρῆσθαι τέλειος ὤν (ᶜ). καὶ τὰ ἁρμόττοντα δὲ τοῖς κατὰ τὸ εὖ τελείοις τέλεια· οὕτω πρᾶξις τελεία ἡ τῷ σπουδαίῳ ἁρμόζουσα, οἷα ἡ τοῦ φιλοσόφου. ἢ ὁπωσοῦν φησὶ λέγεσθαι πρὸς τὰ πρώτως λεγόμενα τέλεια· οὕτως γυμνάσιον λέγεται τέλειον, ᾧ ὁ τέλειος ἀθλητὴς γυμνάσαιτ' ἄν. id.

1021 b 21. (ᵃ) τέλειος γὰρ λέγεται ἄνθρωπος ὁ εἰς ἄκρον ἐληλακὼς ἀρετῆς, οἷον Παρμενίδης ἢ εἴ τις ἄλλος φησὶ τοιοῦτος. Asclep.

1021 b 33. (ᵇ) γρ. μηδ' ἔχειν ὑπερβολὴν ἐν ἑκάστῳ γένει μηδ' εἶναί τι ἔξω, τὰ δὲ μεταξύ ἐστιν. cod. Reg.

1022 a 1. (ᶜ) οἷον τελείαν φαμὲν τὴν μελίαν τοῦ Ἀχιλλέως, ἐπειδὴ τῷ μεγίστῳ τῶν ἡρώων ἥρμοττεν. Asclep.

καὶ πέρας δὲ λέγει τὸ μὲν ὡς ἔσχατον ἑκάστου λέγεσθαι, καθ' ὃ 1022 a 4.
σημαινόμενον εἴη ἂν καὶ ὁ θάνατος πέρας λεγόμενος (ᵈ)· τὸ γὰρ ἑκάστῳ ἐπιγινόμενον ἔσχατον πέρας ἐκείνου. οὕτως καὶ κινήσεώς τι καὶ πράξεως πέρας λέγεται· τοιοῦτον γὰρ οὗ ἔξω μηδέν ἐστι λαβεῖν πρῶτον· εἰ γάρ τινος ληφθέντος ἐσχάτου ἔτι ἔστι τι τὸ τούτου ἐκτός, τοῦτο οὐ πέρας. τὸ δὲ "πρώτου" προσέθηκεν ἐνδεικνύμενος τὸ κυρίως πέρας, ὃ οὐχ ὡς μέρος ἐστὶ πέρας ἀλλ' ὡς τὸ κυρίως ἔσχατον, ὁποῖόν ἐστιν ἐπὶ τῶν σωμάτων ἡ ἐπιφάνεια. δύναται μὲν γὰρ καὶ μέρους τινὸς

2. ἄνθρωποι M. ‖ 3. γένος] γενέσθαι M. ‖ 7. κατὰ αὐλητικὰ A. ‖ 20. γὰρ ὁ ἄνθρωπος M. ‖ 23. ὄντως] οὕτος M. ‖ 27. ἔτι] ὅτι M. ‖ 43. ἔχει A.

3. τὸ om M. ‖ 8. ὃ παρὸν] ὅπερ ὂν M. ‖ 10. τοῦ — σημαινόμενον om A. ‖ 26. ἡ] ᾗ M. ‖ 38. ἐκεῖνο M. ‖ 40. ληφθέντος ὡς ἐσχάτου ἔτι ἐκεῖ τι M. ‖ τοῦτο] τούτου M. ‖ 43. μέρος M.

φησιν ἔνια τῶν πρός τι πρὸς ἐκεῖνα λέγεσθαι ἐν οἷς ἐστίν· ὧν εἶπεν εἶναι τήν τε διάθεσιν (διακειμένου γὰρ καὶ τοῦ ἐν ᾧ ἐστὶν ἡ διάθεσις) καὶ τὴν ἕξιν· τοῦ γὰρ τὴν ἕξιν ἔχοντος ἡ ἕξις ἕξις. ἀλλὰ καὶ ἡ συμμετρία ἐστὶν ἐν τούτοις. ἀλλ' εἰ πρὸς ταῦτα λέγεται, ἐν οἷς ἐστὶν ἕκαστον τούτων, δὶς ταὐτὸν λεχθήσεται ἐφ' ἑκάστου αὐτῶν. τί ἐστιν οὗ ἡ διάθεσις; οὗ ἐστὶν ἡ διάθεσις. τί ἐστιν οὗ ἐστὶν ἕξις; οὗ ἐστὶν ἕξις. ὁμοίως καὶ ἐπὶ συμμετρίας. εἰ δὴ ἐπὶ τούτων δὶς μὲν ταὐτὸν λέγεται, ἐξ ἀνάγκης δὲ δεῖ αὐτὰ πρὸς ταῦτα λέγεσθαι ἐν οἷς ἐστίν, οὐδὲν πρὸς διαβολὴν τοῦ λέγεσθαί τι πρὸς τὸ ἐν ᾧ ἐστὶ τὸ δὶς ταὐτὸ λέγεσθαι. καὶ γὰρ εἰ μὲν ἦν οὕτω δὶς λεγόμενον ὡς αὐτὸ πρὸς αὐτὸ λέγεται, ἄτοπον ἄν τι εἵπετο· ἦν γὰρ αὐτὸ αὑτῷ τι ἀντικείμενον, εἴγε τὰ πρός τι πρὸς ἀντικείμενα λέγεται. εἰ δὲ ἀποκρινόμενος πρὸς τὸν ἐρόμενον, τί ἐστι τὸ οὗ ἐστὶν ἐπιστήμη, λέγει μὲν εἶναι τὴν ἐπιστήμην τοῦ οὗ ἐστὶν ἐπιστήμη, ὂν ἀληθές, οὐ μὴν καὶ πρὸς τοῦτο λέγεσθαι (οὐκέτι γὰρ ἐρωτηθείς, πρὸς τί λέγεται ἐπιστήμη, ἀποκρίνεται οὗ ἐστὶν ἐπιστήμη, ἀλλὰ πρὸς τὸν ἔχοντα τὴν ἐπιστήμην), καὶ πάλιν, πρὸς τί λέγεται ὁ ἔχων τὴν ἐπιστήμην, ἐρωτηθεὶς ἀποκρίνεται πρὸς ἐπιστήμην, οὐκ ἂν εἴη αὐτό τι πρὸς αὐτὸ λεγόμενον, εἴγε ἄλλο ἐπιστήμη καὶ ἄλλο τὸ ἐπιστήμην ἔχον. ἔοικε δὲ καὶ αὐτὸς οὐχ ὡς ἀναιρετικὸν τοῦ λέγεσθαί τι πρὸς τὸ ἐν ᾧ ἐστὶ τιθέναι αὐτό, ἀλλὰ πρὸς σύστασιν μᾶλλον αὐτῷ χρῆσθαι τοῦ, ἐν οἷς ἐνδέχεται τὰ ὄντα ἔν τισι πρὸς ἄλλα τινὰ λέγεσθαι παρὰ τὰ ἐν οἷς ἐστί, πρὸς ἐκεῖνα αὐτῶν ποιεῖσθαι τὴν ἀπόδοσιν. ἐπιζητήσαι δ' ἄν τις, εἰ μὴ ὁμοίως καὶ τῶν κατὰ δύναμιν λεγομένων πρὸς ἄλληλα τὸ ἕτερον τὸ ὡς πάσχον ἀντικείμενον ὂν τῷ ποιοῦντι ἢ ποιητικῷ οὕτω λέγεται πρὸς αὐτὸ τῷ ἐκεῖνο τούτου εἶναι, ἀλλ' οὐ τῷ τοῦτο ἐκείνου. τὸ γὰρ καυστὸν καυστὸν τῷ εἶναι αὐτοῦ καυστικόν τι, καὶ τὸ θερμαντικὸν τῷ εἶναι αὐτοῦ θερμαντικόν τι, καὶ τούτων ἕκαστον αὐτὸ ὅπερ ἐστὶν ἄλλου λέγεται· τὸ γὰρ καυστὸν καυστὸν τῷ καυστικῷ, καὶ τὸ αἰσθητὸν τοιοῦτόν ἐστιν, ὅτι ἐστὶν αὐτοῦ τὸ αἰσθανόμενον. ἢ βουλόμενος δεῖξαι πρὸς τί τὰ οὕτω λεγόμενα λέγεται, ταῦτα λέγει. τὰ μὲν γὰρ κατὰ δύναμιν πρὸς ταῦτα προδήλως λέγεται, καὶ οὐκ ἔστι ζητούμενον πρὸς τί ἡ τούτων ἀπόδοσις· ἐπὶ δὲ τῶν ὡς κριτικῶν πρός τι λεγομένων ἐζητεῖτο πρὸς τί ταῦτα, οἷον τὸ αἰσθάνεσθαι πότερον πρὸς τὸ ἔχον αἴσθησιν ἢ πρὸς τὸ αἰσθητόν. ὅτι οὖν πάντα τὰ τοιαῦτα οὐ πρὸς τὰ ἔχοντα ἀλλὰ πρὸς τὰ ὧν εἰσὶ λέγεται, ἔδειξε διὰ τοῦ δεῖξαι τὰ ἀντικείμενα τούτοις οὕτω δεῖν λέγεσθαι πρὸς αὐτὰ τῷ ἐκεῖνα τούτων εἶναι· εἰ γὰρ καὶ ἐπὶ τούτου ἀληθὲς τὸ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεσθαι ἢ ὁπωσοῦν πρὸς ἕτερον (πάντα γὰρ οὕτω τὰ πρός τι ἔχει), ἀλλὰ δεῖ οὕτω τὰ πρὸς τὰ κρίνοντα λεγόμενα λέγεσθαι ὡς ἔχειν τὸ ἐκεῖνα τούτων εἶναι· ὃ οὐκ ἂν οὕτως ἔχοι, εἰ ἡ ἐπιστήμη καὶ ἕκαστον τῶν τοιούτων πρὸς τὰ ἔχοντα αὐτὰ ἐλέγετο. τῶν δὲ καθ' αὑτὰ 1021b3 πρός τι λεγομένων τὰ μὲν οὕτω φησὶ λέγεσθαι, δηλονότι ἢ τῷ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεσθαι ἢ τῷ ἄλλα αὐτῶν εἶναι, τὰ δέ φησιν, ἂν τὰ γένη αὐτῶν πρός τι ᾖ· ἡ γὰρ ἰατρικὴ πρός τι τῷ τὴν ἐπιστήμην γένος οὖσαν αὐτῆς πρός τι εἶναι. τοῦτο δὲ καὶ ἐν Κατηγορίαις (c. 7) εἴρηκεν· οὗ γὰρ τὸ γένος πρός τι, τοῦτο οὐ κατὰ συμβεβηκὸς ἂν ἔτι πρός τι λέγοιτο, ἀλλὰ καὶ αὐτὸ καθ' αὑτό, εἰ καὶ μὴ ὁμοίως τῷ γένει· τῷ γὰρ τὸ γένος ἐν τῷ εἴδει εἶναι γίνεται καὶ τὸ εἶδος ἐν τῇ οὐσίᾳ ἔχον τὸ πρός τι, εἴγε μέρος αὐτοῦ τῆς οὐσίας τὸ γένος. ἔτι λέγει, ὡς τὰ ἔχοντά τινα πρός τι ἐστίν, οὕτω καὶ τὰ ἐχόμενα καὶ κατὰ τοῦτο· ἡ γὰρ ἰσότης πρός τι, ὅτι τὸ ἴσον τὸ ἔχον τὴν ἰσότητα πρός τι, καὶ ἡ ὁμοιότης τῷ τὸ ὅμοιον. κατὰ γὰρ τοῦτο κἀκεῖνα πρός τι· τῷ γὰρ ταῦτα ἔχειν. τὰ δὲ κατὰ συμβεβηκὸς πρός τι λέγεται, ὅσοις συμβέβηκέ τι τῶν πρός τι οὐκ οὖσιν αὐτοῖς πρός τι· ἄνθρωπος γὰρ λέγεται πρός τι, ὅταν ᾖ τὸ συμβεβηκὸς αὐτοῦ τὸ διπλάσιον τῶν πρός τι ὄν. πάλιν εἴη ἂν τὸ λευκὸν λεγόμενον κατὰ συμβεβηκὸς καὶ αὐτὸ πρός τι, ἂν ᾧ συμβέβηκε διπλασίῳ εἶναι, τούτῳ καὶ τὸ λευκὸν εἴη συμβεβηκός. διαφέρει δὲ οὗτος ὁ τῶν πρός τι τρόπος τοῦ προρρηθέντος· ἐκεῖ μὲν γὰρ τὸ ὑποκείμενον πρός τι λέγεται διὰ τὸ συμβεβηκὸς αὐτῷ, ἐνταῦθα δὲ τῶν συμβεβηκότων αὐτῷ τὸ ἕτερον διὰ τὸ ἕτερον. Alex.

λέγει δὲ καὶ περὶ τοῦ τελείου, διαιρῶν αὐτό, ὅτι ἓν μὲν αὐτοῦ 1021b12 σημαινόμενόν ἐστιν οὗ μηδὲν μόριον ἄπεστι· τέλειον γάρ ἐστιν ἕκαστον, ὃ λέγεται, ὅταν αὐτοῦ μηδὲν τῶν εἰς τὴν τελείωσιν ἀπῇ μορίων. οὕτω χρόνος τέλειος ἑκάστου οὗτος οὗ χρόνου, ὃς τοῦδε λέγεται εἶναι, μηδὲν μόριον ἄπεστι, μηδὲ ἔξω τις αὐτοῦ· παντὸς μὲν γὰρ τοῦ λαμβανομένου χρόνου ἔστι τις ἔξω χρόνος· ἀλλ' ὅταν ὁ τοῦδέ τινος ἀφωρισμένος χρόνος λαμβάνηται, τότε ὁ τέλειος ἔσται τούτου χρόνος ὅταν ἀπῇ μηδὲν μόριον τοῦ χρόνου αὐτοῦ ἐν ᾧ ἐκεῖνο ἐστίν, οἷον εἴ τινος εἴη χρόνος τῆς ὑπάρξεως ἑκατὸν ἔτη, εἰ ἄνθρωπος φέρε εἰπεῖν ἔχει τοῦτον ὅρον τῆς ζωῆς, ὅλον τέλειος ἂν ἦν ἀνθρώπου χρόνος, εἰ μηδὲν ἀπῆν τῶν ἑκατὸν ἐτῶν. οὕτω καὶ τέλειος ἄνθρωπος καὶ τέλειος ἵππος, οὗ μηδὲν μόριον ἄπεστιν, καὶ τέλειος ἀνδριὰς καὶ τῶν ἄλλων ἕκαστον, ὧν μηδὲν μόριον ἄπεστιν. ὁμοίως δὲ λέγεται τέλεια καὶ ὧν κατ' ἀρετὴν τὴν οἰκείαν καὶ τὸ εὖ τὸ οἰκεῖον καὶ ἐν τῷ γένει τούτῳ μὴ ἔστιν ὑπερβολή. κοινότερον δὲ τῷ τῆς ἀρετῆς ὀνόματι χρῆται. ἕκαστον γὰρ τέλειον λέγεται, ὅταν ἔχῃ τὴν οἰκείαν ἀρετήν, οἷον τέλειος ἄνθρωπος, ᾧ μηδὲν ἐνδεῖ τῶν κατὰ τὰς ἀνθρώπου ἀρετάς, μηδὲ ἔστιν

5. *bis hoc in singulis dicatur* Sepulv. ‖ 6. ὁμοίως καὶ ἐπὶ συμμετρίας om Sepulv. ‖ 8. ταῦτα] αὐτὰ *M.* ‖ ἐν — 9. ταὐτὸ λέγεσθαι om *A.* ‖ 9. *etenim si bis idem ita diceretur ut idem ad se dicitur. incommodum sequeretur. tunc enim quidpiam sibi contrarium esset, cum relativa dicantur ad contraria. at si quis rogatus, quid est id cuius est scientia? respondet scientiam eius esse cuius est scientia, non tamen ad hoc dicit* Sepulv. ‖ 20. *sed potius ut confirmaret, quae cum in quibuspiam sint, possunt ad alia praeterquam ad ea in quibus habentur dici, eorum ad illa fieri relationem* Sepulv. ‖ 27. θερμαντικὸν ἄν τι τῷ *A.* ‖ 29. ἐπαισθανόμενον *M.* ‖ 37. ἐπὶ τούτων ἀληθὲς τὰ αὐτὰ *M.*

4. ἕτερα *M.* ‖ 7. οὐ] ὁ *M.* ‖ 9. τὸ ante γένος om *M.* ‖ 12. ἐν γὰρ *M.* ‖ 13. *idcirco enim ad aliquid illa dicuntur, quoniam ab his habentur* Sepulv. ‖ 17. λεγόμενον καὶ κατὰ *M.* ‖ αὐτῷ *M.* ‖ 26. ὃς] ὡς *M.* ‖ 39. μηδὲ] μηδὲν *A.*

γὰρ κρίνοντα ταῦτα ἅ ἐστιν ἄλλων λέγεται· τῶν γὰρ κρινομένων· ἥ τε γὰρ αἴσθησις αἰσθητῶν, ἥ τε ἐπιστήμη ἐπιστητῶν, καὶ τὸ μέτρον μετρουμένων, καὶ ἡ διάνοια διανοητοῦ, καὶ ὁ νοῦς νοητῶν. τὰ δὲ κρινόμενα οὐκέτι αὐτὰ ἅ ἐστι τῶν κρινόντων λέγεται, οὐδὲ κατὰ τοῦτο πρός τι, καθὸ αὐτὰ ἄλλων ἐστίν, ἀλλ' ὅτι ἄλλο τι τούτων ἐστίν· ὅτι γὰρ αἴσθησις ἔστιν αὐτῶν, ταύτῃ αἰσθητά, καὶ ἐπιστητά, ὅτι αὐτῶν ἐστὶν ἄλλο· ὅτι γὰρ ἐπιστήμη. τὸ γὰρ ὅμοιον, εἰ καὶ ὁμοίῳ ὅμοιον λέγεται κατὰ τὴν πτῶσιν, ὁμοίως ὡς καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ καὶ τὸ αἰσθητὸν αἰσθήσει· πρὸς γὰρ δοτικὴν πτῶσιν ὁμοίως καὶ ταῦτα καὶ ἐκεῖνα, ἀλλ' οὐχ ὡσαύτως λέγεται· τῷ γὰρ αὐτὸ ἐκείνῳ ὅμοιον εἶναι ὅμοιον αὐτῷ λέγεται, ἀλλ' οὐ τῷ ἐκεῖνο τούτῳ, εἰ καὶ ὅτι μάλιστα κἀκεῖνο πρὸς τοῦτο ὁμοίως λέγεται. ὁμοίως καὶ τὸ ἴσον καὶ τὸ ταὐτόν. τὸ δὲ αἰσθητὸν αἰσθήσει αἰσθητὸν λέγεται, οὐ τῷ αὐτὸ ὅ ἐστι τῆς αἰσθήσεως εἶναι, ἀλλὰ τῷ ἐκεῖνο, πρὸς ὃ λέγεται, τούτου εἶναι. τῷ γὰρ αἴσθησιν αὐτοῦ εἶναι λέγεται τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν· τὸ γὰρ ὁρατὸν σημαίνει ὅτι ἔστιν αὐτοῦ ὄψις. ὁμοίως τούτοις λέγοιτ' ἂν καὶ ἡ ἁρμονία πρὸς τὰ ἡρμοσμένα· ἡ γὰρ ἁρμονία τῶν ἡρμοσμένων, τὰ δὲ ἡρμοσμένα τῇ ἁρμονίᾳ ἡρμοσμένα, ὅτι ἡ ἁρμονία τούτων ἐστίν, ὡς ἐπὶ τῶν ἐπιστητῶν ἐπιστήμη. Alex.

1020 b 15. (k) ὡς εἶναι οὐσίας καὶ παρὰ τῷ φιλοσόφῳ, ὡς τοῖς Πυθαγορείοις, τὰ μαθηματικά... τοῦτο κατὰ δόξαν λέγει τὴν τῶν Πυθαγορείων, ὡς ἔνιοι εἶπον. cod. Reg.

1020 b 26. (l) καί φησιν ὅτι τριχῶς λέγονται τὰ πρός τι, τὰ μὲν καθ' ὑπεροχὴν καὶ ἔλλειψιν, τὰ δὲ ὡς τὸ ποιητικὸν καὶ τὸ παθητικόν, τὰ δὲ ὡς τὸ κρῖνον καὶ τὸ κρινόμενον. καὶ εἰκότως ταῦτα εἶπε τῶν πρός τι, εἰ καὶ ἑπταχῶς διαιροῦμεν ἐν Κατηγορίαις, ἐπειδὴ κυρίως ταῦτα ὑπάρχουσιν. Asclep.

1021 a 19. (m) ἄλλον δὲ τρόπον λέγεται ὡς τὰ ἀκίνητα καὶ τὰ μαθήματα· περὶ γὰρ τούτων ἔλεγον οἱ Πυθαγόρειοι ὅτι οὐ κατὰ ἀφαίρεσιν θεωροῦνται, ἀλλ' ὅτι ἔχουσιν οἰκείαν ὕπαρξιν. id.

1021 a 31. "οὐκ — διάνοια." εἰπὼν ἐν τοῖς πρὸς ἄλληλα λεγομένοις ὡς τὸ κρῖνόν τε καὶ κρινόμενον, τὸ κρινόμενον πρὸς τὸ κρῖνον οὕτως λέγεσθαι, ὅτι ἐκεῖνο τούτου, τουτέστι τὸ κρῖνον τοῦ κρινομένου, δυναμένου πρὸς τὸ κρῖνον οὕτω λέγεσθαι ὡς τὸ κρῖνόν γε πρὸς τὸ κρινόμενον, νυνὶ δείκνυσιν ὅτι οὕτω λέγεται ταῦτα πρός τι, ἥ τε ἐπιστήμη καὶ ἡ αἴσθησις καὶ τὸ μέτρον καὶ ὅσα τούτοις ὅμοια, ὡς πρὸς τὰ ὧν ἐστίν, ἡ μὲν ἐπιστήμη πρὸς τὰ ἐπιστητά, ἡ δὲ αἴσθησις πρὸς τὰ αἰσθητά, ἡ δὲ δόξα πρὸς τὰ δοξαστά, ἀλλ' οὐ πρὸς ἐκεῖνα ἐν οἷς ἐστίν, ἡ μὲν ἐπιστήμη πρὸς τὸ ἔχον τὴν ἐπιστήμην, ἡ δὲ αἴσθησις πρὸς τὸ τὴν αἴσθησιν, καὶ τὰ ἄλλα ὁμοίως, διὰ τοῦ τοῦτο δεικνύναι πιστὸν ποιῶν τὸ εἰρημένον, τὸ ἐν τοῖς πρός τι εἶναί τινα καὶ οὕτως πρός τι λεγόμενα τῷ πρὸς ἃ λέγεται τούτων εἶναι τῶν πρὸς αὐτὸ λεγομένων· τοιαῦτα γὰρ τὰ κρινόμενα καὶ οὕτως λεγόμενα πρὸς τὰ κρίνοντα. ὅτι δὲ ἡ ἐπιστήμη πρὸς τὰ ἐπιστητὰ λέγεται ἀλλ' οὐ πρὸς τὸν ἔχοντα τὴν ἐπιστήμην, δείκνυσι διὰ τοῦ δεῖξαι ὅτι δὶς ἔσται τὸ αὐτὸ λεγόμενον. πῶς δὲ γίνεται δὶς τὸ αὐτὸ λεγόμενον, ὀλίγον προελθὼν δείκνυσιν αὐτός; εἰπὼν "ὁμοίως δὲ καί τινός ἐστιν ἡ ὄψις, οὐχ οὗ ἐστὶν ἡ ὄψις (καίτοι ἀληθὲς τοῦτο εἰπεῖν) ἀλλὰ πρὸς χρῶμα ἢ πρὸς ἄλλο τι τοιοῦτον· ἐκείνως δὲ δὶς τὸ αὐτὸ λεχθήσεται, ὅτι ἔστιν ὄψις οὗ ἐστὶν ὄψις." ἔστι δὲ τὸ διὰ τούτων λεγόμενον ὑπ' αὐτοῦ, ὅτι ἂν μὴ τὴν ὄψιν καὶ τὴν ἐπιστήμην καὶ τὰ τοιαῦτα ἄλλων τινῶν λέγωμεν εἶναι, οἷον ἐπιστήμην τῶν ἐπιστητῶν, τὴν ὄψιν τῶν ὁρατῶν, οὐδὲν ἄτοπον ἀπαντήσεται· πρὸς γὰρ τὸν ἐρόμενον, τί ἐστιν οὗ ἐστὶν ἐπιστήμη, ἀπόκρισις εὔλογος ὅτι τὸ ἐπιστητόν· εἰ δέ τις τὴν ἐπιστήμην οὐ πρὸς τὸ ἐπιστητὸν λέγεσθαι λαμβάνοι, ἀλλὰ πρὸς τὸν οὗ ἐστὶ καὶ τὸν ᾧ ἐστί, τουτέστιν πρὸς τὸν ἐπιστήμην ἔχοντα, ἔσται ἡ ἀπόκρισις πρὸς τὸν ἐρόμενον, τί ἐστιν οὗ ἐπιστήμη, οὗ ἐστὶν ἐπιστήμη, ἐπεὶ ἐτέθη, οὗ ἐστί, πρὸς ἐκεῖνο λέγεσθαι. οὕτω δὲ ἔσται ἄτοπος ἡ ἀπόκρισις καὶ δὶς τὸ αὐτὸ λεγόμενον. πρὸς δὲ τοῦτο ἀπορήσαι τις ἄν, ὅτι εἰ διὰ τοῦτο τὰ τοιαῦτα οὐ λέγεται πρὸς τὰ ἐν οἷς ἐστί, διότι συμβαίνει δὶς ταὐτὸν λέγεσθαι, οὐδὲ ἄλλο τι ἔδει τῶν ἔν τινι ὄντων πρὸς ἐκεῖνο λέγεσθαι ἐν ᾧ ἐστίν. δοκεῖ δὲ πολλὰ τῶν πρός τι λέγεσθαι πρὸς τὰ ἐν οἷς ἐστίν· ἥ τε γὰρ ἁρμονία λέγεται ἡρμοσμένων εἶναι, καὶ οὐκ ἐν ἄλλοις τισὶν ἔσται ἡ ἁρμονία ἢ ἐν τοῖς συγκειμένοις ὧν ἐστί, καὶ πρὸς ἐκεῖνα λέγεται. ἀλλὰ καὶ ἡ ἕξις ἔχοντος ἕξις λέγεται εἶναι, ἐν ᾧ καὶ ἔστιν. ἐφ' ὧν εἴ τις βούλοιτο ὁμοίως ἐρωτᾶν, ἔσται δὶς ταὐτὸν λεγόμενον· πρὸς γὰρ τὸν ἐρόμενον, τί ἐστιν οὗ ἐστὶν ἁρμονία, ἀπόκρισις ὑγιὴς ἡ λέγουσα οὗ ἐστὶν ἁρμονία, ἥ τε ἁρμονία πρὸς τὸ οὗ ἐστὶν ἁρμονία λέγεται· πρὸς γὰρ τὰ ἡρμοσμένα λέγεται, ὧν ἐστὶν ἁρμονία. ὅτι δὲ λέγεται πρὸς ταῦτα ἐν οἷς ἔστιν, ὑπὸ μὲν Θεοφράστου ἐν τῷ Β τῶν Τοπικῶν οὕτως εἴρηται· "ὧν μὲν γὰρ ἕκαστα λέγεται, καὶ ὑπάρχει τούτοις, ὥσπερ ἡ συμμετρία καὶ ἡ ἕξις καὶ ἡ σύνθεσις· μνήμη δὲ καὶ ὕπνος καὶ ὑπόληψις οὐδενὶ τῶν ἀψύχων, οὐδὲ ἡ ἑτέρου κίνησις ἄλλοι. διὸ δὴ καθ' ἕκαστα διοριστέον." καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης περὶ τῶν αὐτῶν τούτων οὕτως εἴρηκεν ἐν τῷ Δ τῶν Τοπικῶν (c. 4 p. 125 a 33)· "ἐπεὶ δὲ τῶν πρός τι λεγομένων τὰ μὲν ἐξ ἀνάγκης ἐν ἐκείνοις ἢ περὶ ἐκεῖνά ἐστι πρὸς ἅ ποτε τυγχάνει λεγόμενα, οἷον αἱ διαθέσεις καὶ αἱ ἕξεις καὶ ἡ συμμετρία (ἐν ἄλλῳ γὰρ οὐδενὶ δυνατὸν ὑπάρχειν τὰ εἰρημένα ἢ ἐν ἐκείνοις πρὸς ἃ λέγεται), τὰ δὲ οὐκ ἀνάγκη μὲν ἐν ἐκείνοις ὑπάρχειν πρὸς ἅ ποτε λέγεται, ἐνδέχεται δέ (οἷον εἰ ἐπιστητὸν εἴη ἡ ψυχή· οὐδὲν γὰρ κωλύει τὴν αὐτῆς ἐπιστήμην ἔχειν τὴν ψυχήν, οὐκ ἀναγκαῖον δέ· δυνατὸν γὰρ καὶ ἐν ἄλλῳ ὑπάρχειν τὴν αὐτὴν ταύτην), τὰ δὲ ἁπλῶς οὐκ ἐνδέχεται ἐν ἐκείνοις ὑπάρχειν πρὸς ἅ ποτε τυγχάνει λεγόμενα, οἷον τὸ ἐναντίον ἐν τῷ ἐναντίῳ, οὐδὲ τὴν ἐπιστήμην ἐν τῷ ἐπιστητῷ, ἂν μὴ τυγχάνῃ τὸ ἐπιστητὸν ψυχὴ ἢ ἄνθρωπος." διὰ γὰρ τούτων καὶ ἀναγκαῖον εἶναί

5. ἄλλων ἐστὶ om *M.* ‖ 7. ἄλλα *M.* ‖ 8. τὸ ante ἐπιστητὸν om *M.* ‖ 15. αἰσθητὸν τὸν αἰσθήσει *M.* ‖ 16. πρὸς — 17. ἁρμονία om *A.* ‖ 39. τὸ ante τὴν om *M.* ‖ 40. καὶ τὴν ἄλλο *M.* ‖ 42. τῷ] τὸ *A.*

1. τὸν om *M.* ‖ 5. πρὸς τὸ χρῶμα *A.* ‖ 10. ἀπαντῆσαι *M.* ‖ τὸν] τὸ *M.* ‖ 12. τὸ om *M.* ‖ καὶ ἐν ᾧ *M.* ‖ 20. οὐκ ἐν ἄλλῳ τισὶν ἐστὶν ἡ *M.* ‖ 25. ἥ τε ἡ] εἴτε *M.* ‖ ἐστὶν ἡ ἁρμονία *M.* ‖ 30. ἄλλων *A.* ‖ 32. εἰρήκαμεν *A.* ‖ 33. ἐν om *M.* ‖ 43. ἄνθρωποι *M.*

τὸ ὑπερέχον καὶ ἴσον εἶναι τῷ ὑπερεχομένῳ· καὶ γὰρ τὸ διπλάσιον ὑπερέχει· τοσοῦτον γάρ ἐστι καὶ ἔτι ὃ ἴσον ἐστὶ τῷ ὑπερεχομένῳ· δύναται καὶ ἔλαττον, ὥστε οὐκ ἔστιν εἰπεῖν ὁρίσαντα τίνι ὑπερέχει, πότερον ἴσῳ ἢ ἐλάττονι, ὥσπερ ἐπὶ τοῦ ἐπιμορίου· ἐλάττονι γὰρ καὶ μέρει.
1021 a 8. δείξας δὲ πῶς λέγεται κατ' ἀριθμὸν τὰ καθ' ὑπεροχὴν καὶ ἔλλειψιν λεγόμενα, ταῦτα δέ φησι τὰ πρός τι κατ' ἀριθμὸν λέγεσθαι πάντα καὶ κατὰ πάθη τινὰ ἀριθμοῦ· τὸ γὰρ διπλάσιον καὶ ἥμισυ καὶ πολλαπλάσιον καὶ πολλοστημόριον καὶ τὰ τοιαῦτα τῶν ἀριθμῶν πάθη, καὶ ταύτῃ ποσά, ὡς εἶπε πρὸ ὀλίγου ἐν τῇ τοῦ ποσοῦ διαιρέσει. καὶ ἔτι φησὶ κατ' ἄλλον τρόπον κατ' ἀριθμὸν πρός τι λέγεσθαι καὶ οὐκέτι καθ' ὑπεροχὴν καὶ ἔλλειψιν, ἀλλὰ κατὰ ὁμοιότητα καὶ ἰσότητα. ὅτι δὲ καὶ τὰ οὕτως πρὸς ἄλληλα λεγόμενα κατ' ἀριθμὸν λέγεται, δείκνυσι λαβὼν ὅτι κατὰ τὸ ἓν λέγεται. καὶ γὰρ τὸ ἴσον καὶ τὸ ὅμοιον καὶ τὸ ταὐτὸν κατὰ ἓν λέγεται· τῷ γὰρ ἓν ἀλλήλοις εἶναι. "κατὰ γὰρ τὸ ἓν λέγεται πάντα" εἶπεν, ὅτι τῷ ἄμφω τὰ οὕτως ἀντιτιθέμενα ἓν εἶναι ἀλλήλοις ἡ τοιαύτη ἀντίθεσίς τε καὶ σχέσις. καὶ πῶς γε ἓν λέγει ἄμφω; "ταὐτὰ μὲν γὰρ ὧν μία οὐσία·" ταῦτα γὰρ κατ' οὐσίαν ὅμοια. καὶ γὰρ ὅταν τι αὐτὸ αὑτῷ ταὐτὸν λέγηται, ὡς δύο λαμβάνεται τὸ ὄν· ὥστε ἡ ταυτότης ἑνότης τις κατ' οὐσίαν. ὅμοια δὲ ὧν ἡ ποιότης μία· ὅμοια γὰρ ἐν μόνῃ ποιότητι, ὡς εἶπεν ἐν Κατηγορίαις (c. 8)· ὥστε καὶ ἡ ὁμοιότης ἑνότης ἐν ποιότητι. ἴσα δὲ ὧν ἓν τὸ ποσόν. πάντα δὲ κατὰ τὸ ἕν τε εἶναι τὰ οὕτως ἀντιτιθέμενα ἀντίκειται, ὃ λαβὼν δείκνυσιν ὅτι ἡ τοιαύτη σχέσις τε καὶ ἀντίθεσις κατ' ἀριθμόν ἐστι, προσλαβὼν ὅτι τὸ ἓν ἀρχὴ ἀριθμοῦ καὶ μέτρων· ὥστε καὶ τὰ κατὰ τὸ ἓν ἀντικείμενα, κατὰ ἀρχὴν ἀριθμοῦ καὶ μέτρον ἀριθμοῦ ἀντικείμενα, εἴη ἂν κατ' ἀριθμὸν ἀντικείμενα, οὐ μὴν ὁμοίως κατ' ἀριθμὸν τοῖς ῥηθεῖσι πρώτως· ἐκεῖνα μὲν γὰρ κατὰ τὴν ἐν ἀριθμῷ ὑπεροχήν, ταῦτα
1021 a 14. δὲ κατὰ τὴν ἰσότητά τε καὶ ἑνότητα. εἰπὼν δὲ περὶ τῶν κατ' ἀριθμὸν ἀντικειμένων πρός τι, ἐφεξῆς λέγει περὶ τῶν κατὰ τὸ ποιητικόν τε καὶ παθητικὸν καὶ τὸ ποιεῖν τε καὶ πάσχειν ἀντικειμένων. ποιητικὰ μὲν οὖν καὶ παθητικὰ κατὰ δύναμιν λέγεται, κατὰ δὲ τὰς ἀπὸ τῶν δυνάμεων ἐνεργείας ποιοῦντα καὶ πάσχοντα. δείξας δὲ διὰ τῶν παραδειγμάτων τίνα μέν ἐστι κατὰ δύναμιν λεγόμενα πρός τι, τίνα δὲ κατ' ἐνέργειαν, προστίθησιν ὅτι μηκέτι τὴν κατὰ τοῦτο διαίρεσιν ἡ κατὰ τοὺς ἀριθμοὺς ἀντίθεσις ἔχει τῷ μηδὲ εἶναί τινας ἀριθμῶν ἐνεργείας· ἀκίνητα γὰρ τὰ μαθηματικὰ πάντα. τὸ δὲ "ἀλλ' ἢ ὃν τρόπον ἐν ἑτέροις εἴρηται" λέγοι ἄν, ὅτι καθὸ νοοῦνται ἐνέργειαι αὐτῶν λέγοιντο εἶναι, αἵ τινες ἐνέργειαι οὐ κατὰ κίνησίν εἰσιν, ἐπεὶ μήτε τὸ νοοῦν καθὸ νοεῖ κινεῖται μήτε τὸ νοούμενον· καὶ ἔστιν ἐνέργεια ἡ τοῦ νοουμένου, οὐ μὴν κατὰ κίνησιν, ὡς ἔστιν ἐν τοῖς κατὰ κίνησιν ἐνέργειά τις τοῦ πάσχοντος, οὐ τοῦ ποιοῦντος μόνου (¹). ἢ ὅτι αὐτῶν μὲν οὐκ εἰσὶ τῶν ἀριθμῶν ἐνέργειαι· οὔτε γὰρ ποιεῖ οὔτε πάσχει ὁ ἀριθμός, καθὸ ἀριθμός, ὥσπερ ᾤοντο οἱ Πυθαγορικοί· τὰ μέντοι ποιοῦντα καὶ πάσχοντα, κατὰ τὸν ἀριθμόν, καὶ ἣν ἔχουσιν ὑπεροχὴν πρὸς ἄλληλα ἢ ἰσότητα ἀναλογίᾳ ποιεῖ τε καὶ πάσχει· οὐ γὰρ ὁπωσοῦν ἔχον τὸ ποιητικὸν ἢ ὁποσονοῦν ὂν ποιεῖ, ἀλλὰ δεῖ αὐτῷ καὶ συμμετρίας τῆς πρὸς τὸ πάσχον, ἥτις κατ' ἀριθμόν τινα γίνεται· ἐν γὰρ ποιᾷ ὑπεροχῇ καὶ ποσῇ τά τε ἰατρικὰ φάρμακα τὸ ποιεῖν ἔχει· οὐ γὰρ τὰ τυχόντα διὰ τὴν ποιότητα μόνην ποιεῖ, ἀλλὰ δεῖ αὐτοῖς καὶ ποσότητος εἰς τοῦτο. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων σωμάτων τῶν ποιούντων ἢ πασχόντων. τῶν δὲ κατὰ δύναμιν, φησίν, λεγομένων πρὸς ἄλληλα τὴν ποιητικήν τε καὶ παθητικήν, τουτέστι τῶν κατὰ τὸ δύνασθαι ποιεῖν τε καὶ πάσχειν, καὶ κατὰ χρόνον φησὶ λέγεσθαί τινα πρός τι· τὸ γὰρ πεποιηκὸς πρὸς τὸ πεποιημένον λέγεται (τὸ γὰρ θερμαῖνον πρὸς τὸ θερμανθέν, καὶ τὸ οἰκοδομηθὲν ὁμοίως) καὶ τὸ ποιῆσον πρὸς τὸ ποιηθησόμενον· καὶ γὰρ πατὴρ υἱοῦ κατὰ χρόνον, φησί, λέγεται· τῷ γὰρ τὸ μὲν γεγεννηκὸς εἶναι τὸ δὲ γεγεννημένον, τὸ δὲ γεγεννηκέναι καὶ γεγεννῆσθαι τὸ μὲν πεποιηκέναι τὸ δὲ πεπονθέναι ἐστίν. κατὰ δύναμιν δὲ λέγει καὶ τὰ γεγονότα, ὅτι μηδὲ ταῦτα ὡς ἐνεργοῦντα ἔτι λαμβάνεται. ἢ "κατὰ δύναμιν" κοινῶς λέγει ἀντικεῖσθαι τὰ κατὰ τὸ ποιεῖν τε καὶ πάσχειν ἀντικείμενα, καθ' ὃν ἂν χρόνον ἡ ἀντίθεσις αὐτῶν λαμβάνηται. λέγεσθαί φησιν ἔνια πρός τι καὶ κατὰ στέρησιν δυνάμεως, ὥσπερ καὶ κατὰ δύναμιν. τὸ μὲν γὰρ θερμαντικὸν πρὸς τὸ θερμαντὸν κατὰ δύναμιν, τὸ δὲ ὁρατὸν καὶ ἀόρατον κατὰ στέρησιν· τὸ γὰρ ἀδύνατον ὁραθῆναι πρὸς τὸ ἀδύνατον ἰδεῖν, καὶ τὸ ἀδύνατον διαιρεθῆναι πρὸς τὸ ἀδύνατον διελεῖν· ἀόρατον γάρ, οὗ οὐκ ἔστιν ὅρασις, καὶ ὅρασις οὐκ ἔστι τοῦ ἀοράτου. ὥστε τὰ οὕτως λεγόμενα πρὸς ἄλληλα πάντα κατὰ στέρησιν ἂν δυνάμεως λέγοιτο· τὸ γὰρ ἀδύνατον ἀδυναμίᾳ ἀδύνατον, καὶ ἀδυναμία ἀδυνάτου ἀδυναμία. εἰπὼν δὲ ταῦτα, προστίθησι τοῖς εἰρημένοις ὅτι τὰ μὲν 1021 a 26.
κατ' ἀριθμὸν λεγόμενα πρός τι, ὁποῖα ἦν περὶ ὧν πρῶτον εἶπε, καὶ κατὰ δύναμιν (ταῦτα δ' ἦν κατὰ τὸ ποιητικὰ καὶ παθητικὰ ἀλλήλων εἶναι ἀντικείμενα), ταῦτα δὴ πάντα οὕτως πρός τι λέγεσθαί φησι τῷ ἕκαστον αὐτῶν ὅπερ ἐστὶν ἄλλου λέγεσθαι, ἀλλὰ μὴ τῷ ἄλλο πρὸς αὐτό. βούλεται δὲ ἡμῖν διαφοράν τινα δεῖξαι τῶν κατὰ τοὺς προειρημένους δύο τρόπους πρός τι λεγομένων πρὸς τὸν ῥηθέντα λόγον τῶν πρός τι κατὰ τὸ κριτόν τε καὶ κρινόμενον, ὡς ἐλέγετο ἡ ἐπιστήμη τε καὶ ἡ αἴσθησις καὶ τὸ μέτρον καὶ ἡ διάνοια καὶ ἡ δόξα καὶ ἡ ὑπόληψις. ἔστι δὲ ἥδε ἣν λέγοι ἂν διαφοράν, ὅτι ἐπὶ μὲν ἐκείνων ἑκάτερον τῶν ἀντικειμένων αὐτὸ ὅπερ ἦν ἐκείνου ἐλέγετο εἶναι πρὸς ὃ εἶχε τὴν ἀντίθεσιν. οὐ κατὰ τὴν πτῶσιν δὲ τὸ ἐκείνου λαμβάνει, ἐπεὶ καὶ τὸ ὅμοιον κατ' ἀριθμὸν λεγόμενον καὶ τὸ ἴσον καὶ τὸ ταὐτὸν οὐχ ὁμοίου οὐδὲ ἴσου οὐδὲ ταὐτοῦ λέγεται, ἀλλὰ ὁμοίῳ καὶ ἴσῳ καὶ ταὐτῷ. ἀλλ' ἔστιν ὃ λέγει, ὅτι αὐτὸ ὅ ἐστιν ἢ ἄλλου λέγεται ἢ ἄλλῳ ἢ ἄλλως πρὸς ἄλλο· τὰ δὲ κρινόμενα καὶ τὰ κρίνοντα οὐκέθ' οὕτως. τὰ μὲν

9. ταύτης *A.* ‖ 11. ὁμοιότητα ὁμοιότητα. ὅτι *M.* ‖ 18. αὐτὸ om *M.* ‖ 24. προλαβὼν *AM.* ‖ μέτρων — 25. καὶ om *M.* ‖ 27. πρώτως· τοῖς ἐκεῖνα *AM.* ‖ 30. καὶ ante παθητικὸν et 31. τῶν om *M.* ‖ 38. τὸν νῦν *M.*

1. *efficientia tamen et patientia per excessum secundum numerum, et quem habent inter se, vel per aequalitatem proportione quadam efficiunt perpetiunturque* Sepulv. ‖ 2. κατὰ τὸν κατὰ καὶ ἣν *A*, κατὰ τὸν τὸν ἀριθμόν, καὶ ἣν *M.* ‖ 5. πάσχειν *M.* ‖ 7. μόνα *A.* ‖ 14. γεγεννηκὼς *A.* ‖ 18. κοινῶς] τινὰς *A.* ‖ 21. τὸ δὲ — 22. ἰδεῖν om *A.* ‖ 24. οὐκ post ὅρασις om *M.* ‖ 29. ἦν καὶ κατὰ *M.*

ὥσπερ τὸ διπλάσιον πρὸς τὸ ἥμισυ, κατὰ τὴν ἐν ἀριθμοῖς ὑπεροχήν τε καὶ ἔλλειψιν ἑκάτερον τῶν ἀριθμῶν ὡρισμένον ἔχει· ὅ τε γὰρ ἡμιόλιος ὡρισμένος· ὁ γὰρ ἔχων τινὰ ἀριθμὸν ἐν αὑτῷ καὶ τὸ ἥμισυ αὐτοῦ. ὁμοίως καὶ ὁ ὑφημιόλιος· ὁ γὰρ ὅλος μετὰ τοῦ ἡμίσεος αὐτοῦ ἐστὶν ὁ ὑφημιόλιος· ἐκεῖνος τε γὰρ ἀμφότεροι ὡρισμένοι οἱ κατὰ τὴν τοιαύτην ὑπεροχήν· καὶ γὰρ πρὸς ἓν καὶ ὡρισμένον. καὶ τὸ πρῶτον δὲ παράδειγμα, τὸ διπλάσιον καὶ ἡμιόλιον, ὁμοίως τοῖς νῦν εἰρημένοις ἀμφοτέρους ἔχει τοὺς ἀριθμοὺς ὡρισμένους, καὶ ὅλως ἐν οἷς ἀριθμοῖς πρὸς ἕν τι ὡρισμένον ἡ κατὰ τὸ πρός τι ἀπόδοσις, ἀνάγκη ἀμφοτέρους ὡρίσθαι κατ' ἄμφω· ὡς γὰρ ἓν πᾶν ἥμισυ, οὕτω καὶ τὸ διπλάσιον καθὸ διπλάσιον ἕν, ὡς ἔχει καὶ ἐπὶ τοῦ ἡμιολίου τε καὶ ὑφημιολίου· ὥστε οὐκ ἄλλης τινὸς ἀντιθέσεως τὸ παράδειγμα τοῦτο δηλωτικὸν ἂν εἴη, 1021 a 1. ἀλλ' ἧς καὶ πρῶτον ῥηθὲν τὸ διπλάσιον. εἰπὼν δὲ τὸ πολλαπλάσιον πρὸς ἕνα μὲν οὐ μὴν ὡρισμένον λέγεσθαι, τὴν διαφορὰν ταύτης τῆς ἀντιθέσεως πρὸς τὴν πρώτην εἰρημένην βουληθεὶς δεῖξαι πάλιν παρέθετο τοῦ αὐτοῦ τρόπου τῆς ἀντιθέσεως παραδείγματα, τὸ ἡμιόλιον καὶ τὸ ὑφημιόλιον, καὶ εἶπε ταῦτα κατ' ἀριθμὸν πρὸς ἀριθμὸν ὡρισμένον ἀντικεῖσθαι, ἴσον λέγων τῷ "πρὸς ἓν ἀριθμὸς ὡρισμένος·" ἑκάτερον γὰρ αὐτῶν πρὸς ἓν ὡρισμένον λέγεται, ᾧ ἴσον ἐστὶ τὸ "κατ' ἀριθμὸν πρὸς ἀριθμὸν ὡρισμένον." οὐχ οὕτω λέγεται τὸ πολλαπλάσιον πρὸς τὸ πολλοστημόριον· λέγεται μὲν γὰρ καὶ τούτων ἑκάτερον πρὸς ἕν, ἀλλ' οὐχ ὡρισμένον. λέγει δὲ ὅτι καὶ ὁ ἐπιμόριος πρὸς τὸν ὑπεπιμόριον πρὸς ἓν μὲν ἑκάτερος αὐτῶν λέγεται, ἀόριστον δὲ ὑπεροχήν· ἓν γὰρ σημαίνει καὶ ἑνός τινος, οὐκέτι μέντοι καὶ τὸν λόγον τῆς ὑπεροχῆς δηλοῖ ὡς τὸ διπλάσιον καὶ τὸ ἡμιόλιον, ὥστε δὲ εἶχε καὶ τὸ πολλαπλάσιον πρὸς τὸ πολλοστημόριον, ὅπερ ἓν μὲν ἐπί γε τὸ ὡρισμένον. εἰπὼν δὲ ἐπιμόριον πρὸς τὸ ὑπεπιμόριον κατ' ἀριθμὸν ἀόριστον, ὅτι οὕτως ὡς πρὸς ἓν μὲν λέγεται οὐχ ὡρισμένον δέ, ἐδήλωσεν ἐν τῇ τοῦ πολλαπλασίου παραθέσει· τινὸς γὰρ καὶ ἑνὸς τὸ πολλαπλάσιον πολλαπλάσιον, οὐ μὴν ὥρισται τὸ ἓν τοῦτο πόσον ἐστὶ μόριον τοῦ πολλαπλασίου. διὸ καὶ τὸ πολλαπλάσιον πρὸς ἓν ὁμοίως λέγεται ὡς λέγεται καὶ τὸ ἐπιμόριον, ὥσπερ πάλιν ὁμοίως ἀλλήλοις ἐλέγετο τὸ διπλάσιον καὶ τὸ ἡμιόλιον. οὐχ οὕτως ἔχει τὸ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον. πρὸς ὡρισμένον γάρ τι λέγεται καὶ τὸ πολλαπλάσιον καὶ τὸ ἐπιμόριον· ὅλως γὰρ ἡ τοιαύτη σχέσις ἐν ἀορίστῳ ἀντιθέσει· τὸ μὲν γὰρ πολλαπλάσιον ἔχει τι ὡρισμένον, τὸ πολλάκις ἔχειν ἐκεῖνο καὶ τὸ ἐπιμόριον· αὐτὸ γὰρ αὐτὸ τὸ ἔχον καὶ πλείω μέρη αὐτοῦ. τὸ δὲ ὑπερέχον οὐδένα ὅρον τῆς ὑπεροχῆς τι σημαίνει· διὸ κατὰ ἀόριστον ὑπεροχὴν λέγεται. εἰπὼν δὲ τὸ μὴ ὁρίζον τὴν ὑπεροχὴν κατ' ἀριθμὸν ἀόριστον τὴν ὑπεροχὴν ἔχειν, προσέθηκεν "ὁ γὰρ ἀριθμὸς σύμμετρος," 1021 a 5. ἴσον λέγων τῷ πάντες οἱ ὡρισμένοι ἀριθμοὶ σύμμετροι. κατὰ μὴ σύμμετρον δὲ ἀριθμὸν λέγεται, ὃ ἐξηγητικόν ἐστι τοῦ πῶς λέγεται ἀόριστον κατ' ἀριθμόν· παντὸς γὰρ ἀριθμοῦ ὡρισμένου συμμέτρου ὄντος (σύμμετροι μὲν γὰρ οἱ τῷ αὐτῷ μέτρῳ μετρούμενοι, πάντων δὲ ἀριθμῶν μέτρον κοινὸν ἡ μονάς), οἱ κατὰ τὴν τοιαύτην ὑπεροχὴν ὑπερέχειν λεγόμενοι τῷ μὴ ὁρίζειν τὴν ὑπεροχὴν κατὰ τοῦτο λέγονται κατὰ μὴ σύμμετρον ἀριθμὸν λέγεσθαι πρὸς ἀλλήλους, οὐχ ὅτι μὴ καὶ οὕτως ἔχειν ληφθέντες πρὸς ἀλλήλους ἂν ληφθῶσιν, εἰσὶ σύμμετροι, ἀλλ' ὅταν μὴ ὁρίζωσιν ἐν τῇ πρὸς ἀλλήλους ἀντιθέσει τὴν ὑπεροχήν. ἐξηγούμενος δὲ αὐτὸς τὸ "κατὰ μὴ σύμμετρον δὲ ἀριθμὸν λέγεται," προσέθηκε πῶς κατὰ μὴ σύμμετρον· "τὸ γὰρ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον τοιοῦτόν ἐστι καὶ ἔτι· τοῦτο δέ ἐστιν ἀόριστον·" καὶ γὰρ πλεῖον καὶ ἔλαττον γινόμενον τὴν αὐτὴν σχέσιν σώζει· τοῦτο γάρ ἐστι τὸ "ἢ ἴσον ἢ οὐκ ἴσον." ἢ γὰρ ἴσον τῷ φθάνοντι εἰλῆφθαι δύναται τὸ πάλιν λαμβανόμενον ὑπερέχεσθαι εἶναι, ἴσον δὲ κατὰ λόγον, ὡς εἶναι ἐν ἀμφοτέροις τριπλάσιον τὸ ὑπερεχόμενον, ἢ οὐκ ἴσον· τοῦτο δὲ ὃ ἀόριστον. δύναται τὸ "ὅλως ἀόριστον κατ' ἀριθμὸν" εἰρηκέναι ὡς δηλῶν δι' αὐτοῦ ὅτι οὐκ   κατ' ἀριθμόν τε ὅλως ἐστὶν ὥρισται οὐ δεικτικὸν τὸ πο   μὲν ἀριθμὸν ἢ ἀντι σύμμετρον, ἐπὶ δὲ τῆς τοιαύτης ὑπεροχῆς τῷ ἀορίστως λέγεσθαι μὴ εἶναι σύμμετρόν τινα τῶν οὕτως ἐχόντων πρὸς ἀλλήλους ἀριθμῶν. ἢ τὸ "ὁ γὰρ ἀριθμὸς σύμμετρος" δηλωτικόν ἐστι τοῦ ὅτι ὁ μὲν ὡρισμένῳ τινὶ ὑπερέχων ἀριθμὸς ἀριθμῷ συμμέτρῳ ὑπερέχει (καὶ γὰρ ὁ ἐπιμόριος τοῦ ἐπιμορίου· μέρος γάρ), ἐπὶ δὲ τοῦ ὑπερέχοντος οὐχ ὥρισται. ἔστι μὲν γὰρ τὸ ὑπερέχον τοσοῦτόν τε ὅσον τὸ ὑπερεχόμενον "καὶ ἔτι," ἀόριστον δὲ τὸ "καὶ ἔτι·" δύναται γὰρ τὸ ἔτι τοῦτο ὃ ὑπερέχει

4. καὶ ἡ ὑφημιόλιος *M.* ‖ 5. ἐκεῖνοι *M.* ‖ 6. τὸ — 9. ὡρισμένοι bis *M.* ‖ 19. ᾧ] ὃ *M.* ‖ 23. δὲ καὶ vel κατ' ὑπεροχὴν *M.* ‖ 25. ὥστε] οὕτως *M.* ‖ 26. *ut ad unum quidem, sed non determinatum* Sepulv. ‖ 31. *multiplex enim cuiusdam atque unius multiplex est: sed hoc unum quota pars multiplicis sit, non definitur. itaque multiplex aeque ac superparticularis ad unum dicitur, ac vicissim duplum et sesquialterum similiter inter se. at excedens ad excessum non perinde sese habet* Sepulv. ‖ ὡς λέγεται om *M.*

2. *multiplex enim hoc habet determinatum, quod saepe continet numerum illum, ad quem refertur: superparticulare vero quod illum continet et partem praeterea quempiam eius. at excedens, quia nullum excessus terminum significat, idcirco per indeterminatum excessum dicitur* Sepulv. ‖ 9 et 14. κατὰ] καὶ τὰ *M.* ‖ 15. καὶ om *M.* ‖ 16. ὅτι *M.* ‖ 18. μὴ] μὲν *M.* ‖ 24. *sed illud (indefinitum omnino est numero) dixisse potest, ut per ipsum significaret nullum excedens, quatenus secundum numerum omnino est aliquid, determinatum esse; quod demonstratur illis verbis (per non commensurabilem autem numerum dicuntur). de huiusmodi enim excessu indeterminatum dicitur, propterea quod ex numeris, qui sic habent inter se, nullus est commensurabilis. vel illud (numerus enim commensurabilis est) significat* Sepulv. ‖ 25. οὐ   κατ' ib. lacuna *A.* ‖ 26. πο   μὲν *AM.* ‖ ἂν   σύμμετρον *M.* ‖ 28. ἀριθμὸν *M.* ‖ 31. τοῦ ὑπεπιμορίου *M.* ‖ 32. *quantum id quod exceditur et amplius, ipsum autem amplius indefinitum est. nam excessus ille, quo excedens excedit, par esse potest ei, quod exceditur, ut excessus dupli* Sepulv. ‖ 33. ὃ] τὸ *M.*

ἀριθμητῶν τὰ μὲν ἐν ἐπιπέδῳ ἀριθμῷ εἶναι, τὰ δὲ ἐν στερεῷ· ὥστε εἷς μὲν ἂν εἴη τρόπος ποιότητος ὁ κατὰ τὰς διαφορὰς τῶν οὐσιῶν τῶν τε ἐν κινήσει καὶ τῶν ἀκινήτων (¹)· οὐσίας γὰρ καὶ τὰ μαθηματικὰ λέγειν αὐτῷ ἔθος. δύναται κοινῶς μὲν πάντων τῶν κινουμένων, οὐ τῶν οὐσιῶν μόνον, τὰς διαφορὰς λαμβάνειν κατὰ τὸ πρῶτον σημαινόμενον, μέρη δέ πως ἐκείνων λέγει τὰς τῶν μαθηματικῶν τε καὶ ἀκινήτων, καθόσον καὶ ἡ τούτων πρὸς ἄλληλα διαφορὰ ἐν τούτοις ἐστίν. δεύτερος τρόπος ποιότητος τὰ πάθη τῶν ἐν κινήσει οὐσιῶν καθ' ἃ κινούμεναί τέ εἰσι καὶ φυσικαί. προστίθησι δὲ τοῖς πάθεσι τούτοις, καθ' ἃ αἱ ἀλλοιώσεις γίγνονται, καὶ τὰς τῶν κινήσεων διαφοράς, κινήσεων λέγων διαφορὰς ἤτοι ἀλλοίωσιν αὔξησιν μείωσιν φοράν, ὡς καὶ τούτων οὐσῶν ποιοτήτων, ἢ τὰς δυνάμεις καθ' ἃς τῆς κατὰ τόπον κινήσεως ἡ διαφορὰ τοῖς φυσικοῖς σώμασιν (αὗται δέ εἰσι βαρύτης καὶ κουφότης), ἢ καὶ πάσης κινήσεως. οὕτω δ' ἂν καὶ ἕξεις εἶπε ποιότητας· ἀπὸ γὰρ τῆς ἐν ταύταις διαφορᾶς αἱ τῶν κινήσεων διαφοραί. ὅτι δὲ οὕτως λέγει, ἐδήλωσεν ἐπὶ τῶν ἀρετῶν
1020b 18. εἰπὼν "ἀρετὴ δὲ καὶ κακία τῶν παθημάτων μέρος τι· διαφορὰς γὰρ δηλοῦσι τῆς κινήσεως καὶ τῆς ἐνεργείας," διὰ τούτων δεικνὺς ὅτι καὶ αἱ ἕξεις ὑπὸ τὰς ποιότητας τὰς ὡς πάθη λεγομένας. διαφορὰς δὲ λέγει κινήσεων καὶ ἐνεργειῶν τὴν ἀρετὴν καὶ τὴν κακίαν δηλῶν· κατὰ γὰρ τὰς οἰκείας ἀρετάς τε καὶ κακίας τὰ ἐν κινήσει ὄντα ποιεῖ τε καὶ πάσχει· ἢ γὰρ καλῶς ἢ φαύλως· ἀγαθὸν μὲν γὰρ τὸ οὕτω κινεῖσθαι δυναμένων, κακὸν δὲ αὖ τὸ οὕτως· τῆς γὰρ κινήσεως τῆς κατὰ τὸ καλῶς τε καὶ μὴ τοῖς ἔχουσι τὰς ἕξεις ταύτας αἱ ἕξεις αἴτιαι. μάλιστα δέ φησι ποιότητα σημαίνειν ἐπὶ τῶν ἐμψύχων τὸ ἀγαθόν τε καὶ κακόν· οὐ γὰρ πᾶν ἀγαθὸν ποιότης, εἴγε τὸ ἀγαθὸν ἐν τοῖς δέκα γένεσι καὶ τούτων μάλιστα τῶν ἐμψύχων, λέγων τοῖς προαίρεσιν ἔχουσι, τουτέστιν ἐν ἀνθρώποις· ἔστι δὲ τὸ ἀγαθὸν καὶ κακὸν ὡς ἐμψύχων τε καὶ προαίρεσιν ἐχόντων ἀρετή τε καὶ κακία ἣ μάλιστα τῶν ἀγαθῶν ἐν ποιότητι. ἔοικε δὲ πάντα τὰ εἴδη τῆς ποιότητος, ἃ ἔθετο ἐν ταῖς Κατηγορίαις, ὑπὸ τὰ πάθη κατὰ τὸ σημαινόμενον τοῦτο τῆς ποιότητος τάσσειν, χωρὶς τοῦ κατ' ἐπιτηδειότητά τε καὶ δύναμιν λεγομένου· τούτου γὰρ οὐκ ἐμνημόνευσεν, ἐκτὸς εἰ μὴ κἀκεῖνό τις ὑποτάσσοι ταῖς τῶν κινήσεων διαφοραῖς, τουτέστιν ἀφ' ὧν καὶ αἱ διαφοραὶ τῶν κινήσεων. ὡς γὰρ κατὰ τὰς ἕξεις διάφοροι γίνονται κινήσεις, οὕτω καὶ κατὰ τὰς δυνάμεις τε καὶ ἐπιτηδειότητας καὶ τὰς ἐν ταύταις διαφοράς· ὥστε εἶναι τάς τε ἕξεις καὶ τὰς δυνάμεις, ἔτι δὲ τὰς παθητικὰς ποιότητας καὶ τὰ σχήματα, ὑπὸ τὴν ποιότητα τὴν κατὰ τὰ πάθη τῶν οὐσιῶν τῶν ἐν κινήσει. ἢ τὰ σχήματα ὑπὸ τὸ πρότερον· οὐ γὰρ κίνησιν οἷον ἐνέργειαν ἢ ποιεῖν τοῦ ἰσοπλεύρου τριγώνου δηλοῖ τοῦτ' αὐτό, ἀλλὰ διαφορὰν πρὸς τὸ σκαληνὸν καὶ ἰσοσκελές, ὡς καὶ αὐτὸς ἔδειξεν ἐπὶ τοῦ ἀνθρώπου, ἂν ἐπερωτηθῶμεν ὁποῖον ζῷόν ἐστιν, εἰπεῖν ὅτι πεζόν, οὕτω καὶ ἐπὶ τοῦδε τοῦ τριγώνου, ἂν ἐπερωτηθῶμεν ὁποῖον τρίγωνόν ἐστιν, εἰπεῖν ὅτι ἰσόπλευρον. διαιρεῖ δὲ καὶ τὴν πρός τι. λέγει γὰρ τῶν πρός τι τὰ μὲν ὡς διπλά- 1020b
σιον πρὸς ἥμισυ λέγεσθαι, καὶ ὅλως πολλαπλάσιον πρὸς πολλοστημό- 26.
ριον. καὶ τοῦτο μὲν τοῦ πρός τι σημαινόμενον καθ' ὑπεροχὴν καὶ ἔλλειψίν ἐστιν, ὃ καὶ κατ' ἀριθμὸν λέγει (²)· ἄλλως δὲ λέγεται πρός τι τὸ θερμαντικὸν πρὸς τὸ θερμαντὸν καὶ τὸ τμητικὸν πρὸς τὸ τμητόν, ὃ σημαινόμενον τοῦ πρός τι κατὰ τὸ ποιητικὸν καὶ παθητικόν ἐστιν. τρίτον σημαινόμενον ἐκτίθεται, ὡς τὸ μετρητὸν πρὸς τὸ μέτρον καὶ ἐπιστητὸν πρὸς ἐπιστήμην καὶ αἰσθητὸν πρὸς αἴσθησιν· καὶ εἴη ἂν τὸ σημαινόμενον τοῦτο τοῦ πρός τι ὑπὸ τὸ κριτικόν τε καὶ κρινόμενον· τό τε γὰρ μέτρον τὸ μετρούμενον κρίνει, ἥ τε αἴσθησις καὶ ἐπιστήμη κριτήρια καὶ κρίσεις, ἡ μὲν τῶν αἰσθητῶν, ἡ δὲ τῶν ἐπιστητῶν. διελὼν δὲ τὰ πρός τι εἰς ταῦτα, ἀναλαβὼν περὶ ἑκάστου αὐτῶν τὸν λόγον ποιεῖται, καὶ δείκνυσι πῶς τε αὐτῶν ἕκαστον λέγεται καὶ τίνες αὐτῶν αἱ πρὸς ἄλληλα διαφοραί. τὰ μὲν οὖν πρῶτα (ἦν δὲ ταῦτα καθ' ὑπεροχὴν καὶ 1020b
ἔλλειψιν) φησὶ κατ' ἀριθμὸν λέγεσθαι, "ἢ ἁπλῶς," τουτέστιν ἀορί- 32.
στως, ὃ ἐδήλωσεν ἐπενεγκὼν τὸ "ἢ ὡρισμένως·" ἢ γὰρ ἀορίστως ἢ ὡρισμένως τὰ κατ' ἀριθμὸν λεγόμενα πρός τι πρὸς ἄλληλα λέγεται, οὐδετέρου οὔτε τοῦ ὑπερέχοντος ὡρισμένην ὑπεροχὴν σημαίνοντος οὔτε τοῦ ὑπερεχομένου ὡρισμένην ἔλλειψιν, ἢ ὡρισμένων πρὸς ἀλλήλους ἀμφοτέρων, ἢ καὶ κατὰ ἕνα τινὰ ἀριθμὸν ὡρισμένον λεγομένων αὐτῶν πρὸς ἀλλήλους. τί δὲ ἕκαστον τούτων σημαίνει, διὰ τῶν παραδειγμάτων ποιεῖ γνώριμον· τὸ μὲν γὰρ διπλάσιον πρὸς ἥμισυ λεγόμενον, καὶ ἔχον τὴν ἀντίθεσιν κατ' ἀριθμόν, πρὸς ἕν τι ὡρισμένον τὸ διπλάσιον λέγεται· πᾶν γὰρ διπλάσιον πρὸς ἥμισυ, ὥστε καὶ πρὸς ἕν τι, καὶ τοῦτο ὡρισμένον, τὸ διπλάσιον λέγεται· ἀεὶ γὰρ πρὸς τὸ ἥμισυ, καὶ ὥρισται αὐτοῦ ἡ ὑπεροχή. ὁμοίως καὶ τὸ ἥμισυ· καὶ γὰρ αὐτὸ πρὸς ὡρισμένον τε καὶ ἕν· τὸ γὰρ διπλάσιον ὡρισμένην τε ὑπεροχὴν καὶ μίαν σημαίνει, καὶ τοιοῦτον μὲν τὸ πρῶτον ὂν τῶν κατ' ἀριθμὸν ἐν τοῖς καθ' ὑπεροχὴν λεγομένοις πρός τι τὸ πρὸς ἓν ὡρισμένον κατὰ τὸ ἓν λεγόμενον. τὸ δὲ πολλαπλάσιον λέγεται μὲν καὶ αὐτὸ κατ' ἀριθμὸν καθ' ὑπεροχὴν ὡρισμένην (πρὸς γὰρ ἓν τὸ πολλαπλάσιον λέγεται), οὐ μὴν πρὸς ὡρισμένον τι ἕν, ὡς ἐπὶ τοῦ διπλασίου τε καὶ ἡμίσεος, ἀλλὰ πρὸς ἄλληλα μὲν ὡρισμένην τὴν ἀντίθεσιν ἔχει· ἑνός τε γὰρ καὶ πρὸς ἓν τὸ πολλαπλάσιόν τε καὶ πολλοστημόριον ἑνὸς καὶ πρὸς ἕν· οὐ μὴν τὸ ἓν τοῦτο ὥρισται· καὶ γὰρ τρίτον τι ὂν καὶ τέταρτον καὶ πέμπτον καὶ τὰ ἐφεξῆς πολλοστημόρια εἶναι ταῦτα δύναται τοῦ πολλαπλασίου. ὁμοίως καὶ πολλαπλάσιον, ἄν τε τριπλάσιον ἄν τε τετραπλάσιον, ἄν τε ὅλως πλεονάκις ἐν αὐτῷ ἔχῃ, πρὸς ὃν λέγεται καὶ καθ' ὃν δὴ ἀριθμόν. διὸ τὸ ὡρισμένον οὔτει οὐ κατὰ τὸ ἓν ἔχουσιν ἀλλὰ πρὸς ἀλλήλους, τὸ δέ γε ἡμιόλιον πρὸς τὸ ὑφημιόλιον, λεγόμενον καὶ αὐτὸ

5. μόνον A. ‖ 9. καθὸ κινούμεναί τέ M. ‖ 11. αὔξησιν σμείωσιν M. ‖ 21. ἐν τῇ κινήσει M. ‖ 23. κακῶν M. ‖ 29. ἣ] ἢ A. ‖ 40. *neque enim triangulus aequilaterus motum quasi actionem quandam aut opus huiusmodi trianguli significat, sed discrimen inter se, et scalenum atque isoscelem, ut ipse hominis exempla docuit* Sepulv.

5. τι τὸ σημαινόμενον M. ‖ 7. ὃ] τὸ M. ‖ 12. καὶ ἡ ἐπιστήμη κριτήρια καὶ κρίσις M. ‖ 14. ποιεῖ τε καὶ M. ‖ 15. τίνος M. ‖ 16. δὲ] δὴ M. ‖ 26. τὸ διπλάσιον et 30. τῶν om M. ‖ 32. μὲν — 33. λέγεται om A. ‖ 38. πολλοστημόριον M. ‖ 40. αὐτῇ ἔχον M. ‖ 41. διὸ] διὰ M.

1020a 29. (') ὡς κίνησις καὶ χρόνος καὶ ὅσα ἄλλα λέγονται εἶναι συνεχῆ διὰ τὸ εἶναι τὸ μέγεθος διαιρετόν. ἐκ δὲ μεγέθους ἔχουσι τὴν συνέχειαν καὶ τὴν διαίρεσιν, καθάπερ εἴρηται καὶ ἐν τῇ Φυσικῇ καὶ ἐν Κατηγορίαις. id.

1020a 33. ποιεῖται δὲ καὶ τοῦ ποιοῦ διαίρεσιν, ὡς καὶ αὐτοῦ πολλαχῶς λεγομένου, καὶ λέγει ἕνα μὲν τρόπον ποιὸν λέγεσθαι τὴν τῆς οὐσίας διαφοράν. ἐρωτώμενοι γοῦν ποιόν τι καὶ ποταπὸν ὁ ἄνθρωπος ζῷον, λέγομεν τινας τῶν διαφορῶν τῶν ὑπαρχουσῶν αὐτῷ, ὡς τῆς διαφορᾶς οὐκ ἐν τῷ τί ἐστιν ἀλλ' ἐν τῷ ποιόν τι κατηγορουμένης, οὐ μὴν ὁμοίως τῇ ποιότητι· ἡ γὰρ διαφορὰ ἡ τῆς οὐσίας εἴη ἂν ἡ ἐν οὐσίᾳ ποιότης. ἐπιζητήσαι δ' ἄν τις, τίνι διενήνοχεν ἡ ὡς διαφορὰ ποιότης τῆς ὡς γένους καὶ εἴδους (εἶπε γὰρ καὶ περὶ τούτων ἐν Κατηγορίαις, c. 5, ὅτι περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζουσι)· καὶ εἰ καὶ ταῦτα ποιότητες ὁμοίως τῇ διαφορᾷ, διὰ τί αὐτῶν οὐκ ἐμνημόνευσε νῦν; ἔτι εἰ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζουσι, πῶς ἂν ἔτι ἐν τῷ τί ἐστι κατηγοροῖντο, ὃ ἐν τῷ ὁρισμῷ αὐτῶν περιέχεται. ἢ ἡ διαφορὰ οὐκ ἐν τῷ τί ἐστιν ἀλλ' ἐν τῷ ποιὸν κατηγορεῖται. καὶ τοῦ κύκλου δὲ ὡς οὐσίας ἐμνημόνευσεν, ἤτοι ἀντὶ τῆς σφαίρας λαβὼν τὸν κύκλον, ἢ ὅτι ἐδόκει τισὶ καὶ τὰ σχήματα οὐσίας εἶναι. ἢ οὐσίαν οὐ τὴν κυρίως λεγομένην εἶπε νῦν, ἀλλὰ τὴν ἑκάστου τῶν ὄντων ὕπαρξιν· ἡ γὰρ ἑκάστου οἰκεία ὕπαρξις οὐσία ἐκείνου, ὡς εἶπε καὶ ἐν τῇ τῆς οὐσίας διαιρέσει· ἓν γὰρ τῶν σημαινομένων ὑπὸ τῆς οὐσίας ἦν καὶ ἡ ἑκάστου τῶν ὄντων φύσις· οὐσία γὰρ ἐκείνου. τὰς διαφορὰς οὖν οὐ τὰς ἐν τῇ κυρίως οὐσίᾳ μόνας, ἀλλὰ τὰς καθ' ἕκαστον γένος οἰκείας ποιότητας λέγοι ἄν. οὕτω τοῦ κύκλου διαφορὰ τὸ ἀγώνιον· σχῆμα γὰρ ἀγώνιον ὁ κύκλος. ἕνα μὲν οὖν τρόπον φησὶ ποιότητα λέγεσθαι τὴν τῆς οὐσίας, ὡς εἰρήκαμεν, διαφοράν, δεύτερον δὲ ἐπὶ τῶν ἀκινήτων, ἃ τίνα ἐστὶν ἐδήλωσε· τὰ γὰρ μαθηματικά· καὶ γὰρ ἐπ' ἀριθμῶν ποιὸς ἀριθμὸς ὁ σύνθετος λέγεται, ἀλλ' οὐχ ἁπλῶς ἀριθμὸς καὶ μόνον ἐφ' ἓν ὤν· ὁ μὲν γάρ τίς ἐστιν ἁπλῶς ἀριθμός, ὁ δὲ τετράγωνος ἢ ἑτερομήκης ἢ
1020b 4. κύβος. τίς δέ ἐστιν ὁ μὴ ἐφ' ἓν ὢν ἀριθμός, ἐδήλωσεν εἰπὼν "ὧν μίμημα τὸ ἐπίπεδον καὶ τὸ στερεόν." ὡς δὲ τὸ ἐπίπεδον οὐκ ἐφ' ἕν ἐστι συνεχὲς μόνον, ἀλλ' ἐν συνθέσει συνεχῶν δύο, καὶ τὸ στερεὸν τριῶν, οὕτως εἰσὶ καὶ ἀριθμοί τινες οὐχ ἁπλοῖ ἀλλὰ σύνθετοι, οὕς, τίνες εἰσίν, ἐδήλωσε φανερῶς εἰπὼν "ποσάκις ποσοί." τοιοῦτοι γὰρ οἱ ἐπίπεδοί τε καὶ ἑτερομήκεις ἢ τετράγωνοι καλούμενοι, ὡς ὁ δὶς δύο ἢ δὶς τρία ἢ ὁ τρὶς τρία. τοιοῦτοι μὲν οὖν οἱ ποσάκις ποσοί, ἄλλοι δὲ οἱ ποσάκις ποσοὶ ποσάκις, οἷοί εἰσιν οἱ κύβοι, ὡς ὁ δὶς δύο τέσσαρα, δὶς τέσσαρα ὀκτώ· ὁ γὰρ ὀκτὼ τοιοῦτος, δὶς γὰρ δύο τέσσαρα καὶ δὶς τέσσαρα ὀκτώ, καὶ πάλιν ὁ τρὶς τρία ἐννέα, τρὶς θ' κζ'· στερεὸς γὰρ καὶ κύβος ὁ κζ'· τρὶς γὰρ γ' θ', καὶ τρὶς θ' κζ', πάλιν ἀνάλογον τῷ στερεῷ. τὰ δὲ μεγέθη μιμήματα εἶπε τῶν ἀριθμῶν ὡς ὄντων πρώτων. καὶ ὅλως πᾶν ὃ παρὰ τὸ ποσὸν καὶ τὴν οὐσίαν καὶ τὴν φύσιν τοῦ ἀριθμοῦ ἐν τῷ ἀριθμῷ ὑπάρχει, τοῦτο ποιότης ἀριθμοῦ· ἑκάστου γὰρ ἀριθμοῦ ἡ οὐσία καὶ ἡ ποσότης ἐν τῷ ἁπλῶς λαμβάνεσθαι ἐστίν· τοῦ μὲν γὰρ ἓξ ἡ οὐσία καὶ τὸ ποσὸν ἁπλῶς ἐν τῷ ἅπαξ ληφθῆναι· ἂν δὲ δὶς τρία ῥηθῇ, οὐκέθ' ἁπλῶς τὸ ποσὸν καὶ ἡ οὐσία αὐτοῦ ἐλήφθη, ἀλλὰ μετά τινος πάθους καὶ ποιότητος· ὅσα γὰρ μετὰ προσθήκης λέγεται, μετὰ ποιότητός τινος λέγεται, ὥστε καὶ οἱ ἀριθμοὶ οἱ τοιοῦτοι. λέγοι δ' ἂν καὶ τὰς ἐν ἀριθμῷ διαφοράς, ὥσπερ καὶ τὰς ἐν οὐσίᾳ ποιότητας· ἂν μὲν γὰρ ἁπλῶς ἓξ λάβωμεν, ἀριθμὸς τοῦτο, ἂν δὲ ὡς δὶς τὰ τρία τὰ ἓξ λάβοι, ἤδη μετὰ ποιότητος. ἀλλ' εἰ αἱ τῶν ἀκινήτων διαφοραὶ ἄλλο σημαινόμενον ποιότητος, πῶς ἐν τῷ πρώτῳ καὶ τοῦ κύκλου ἐμνημόνευσεν; ἐν γὰρ τοῖς ἀκινήτοις καὶ μαθηματικοῖς ὁ κύκλος. μήποτε οὖν ἀκίνητα ἐνταῦθα τοὺς ἀριθμοὺς λέγει καὶ οὐ πάντα τὰ μαθηματικά. ἢ εἰ περὶ πάντων λέγει, ἐκεῖ ἂν ἔξωθεν εἴη τοῦ κύκλου ὡς ἐν παραδείγματι τῆς διαφορᾶς ἐμνημονευκώς. εἰ δὲ τοῦτο, καὶ τὰς διαφορὰς ἂν ἐκεῖ λέγοι τῆς κυρίως οὐσίας. εἴη ἂν οὖν τὸ μὲν μῆκος ἐφ' ἓν διάστασις τῶν ἀριθμῶν, τοῦτο δ' ἐστιν ἂν ἅπαξ λαμβάνηται· τὸ δὲ ἐπίπεδον τοῖς ποσάκις ποσοῖς, τὸ δὲ στερεὸν τοῖς ποσάκις ποσοῖς ποσάκις, ὧν τοὺς μὲν τετραγώνους τοὺς δὲ κύβους καλοῦσι.

1020b 3. τρίτον σημαινόμενον τῆς ποιότητος ἐκτίθεται τὰ πάθη τῶν φυσικῶν τε καὶ κινουμένων οὐσιῶν· αὗται γὰρ αἱ κινούμεναι οὐσίαι αἱ φυσικαί τε καὶ ἔνυλοι. ἀντιδιέσταλκε δὲ τὰς κινουμένας πρὸς τὰς μαθηματικάς· ἀκίνητοι γὰρ ἐκεῖναι. ἐδήλωσε δὲ τίνα λέγει πάθη τῶν ἐν κινήσει οὐσιῶν διὰ παραδειγμάτων, καὶ καθόλου ταῦτα πάθη φησὶ καὶ ποιότητας εἶναι τῶν φυσικῶν σωμάτων, καθ' ἃς καὶ ἀλλοιοῦσθαι λέγεται τὰ σώματα, διαφοράς. σημειωτέον δὲ ὅτι ἐν τούτοις πάλιν ἔθηκε καὶ τὴν βαρύτητα καὶ τὴν κουφότητα, πρὸ ὀλίγου μνημονεύσας αὐτῶν ἐν τοῖς ποσοῖς τοῖς διὰ τὸ πάθη εἶναι τοῦ ποσοῦ καθὸ ποσὰ ποιοῖς οὖσιν. εἰπὼν ποιότητα εἶναι τὰ πάθη τῶν κινουμένων οὐσιῶν, προστίθησι τούτοις τάς τε ἀρετὰς καὶ τὰς κακίας καὶ ὅλως τὸ ἀγαθὸν καὶ τὸ κακόν, ἃ οὐκέτι πάθη σωμάτων ἐστίν, οὐδὲ τοιαῦται ποιότητες καθ' ἃς ἀλλοίωσις γίνεται.

1020b 13. ἐκθέμενος δὲ τὰ προειρημένα σημαινόμενα τῆς ποιότητος, σχεδόν, φησί, κατὰ δύο τρόπους λέγοιτο ἂν τὸ ποιόν, καὶ τούτων ἕνα τὸν κυριώτατον. λέγει δὲ τοῦτον τὸν κατὰ τὰς τῆς οὐσίας διαφοράς· πρώτην γὰρ ταύτην ποιότητα λέγει, ἐπεὶ ἡ οὐσία τῶν ἄλλων γενῶν πρώτη, ὥστε διὰ τοῦτο καὶ τὰ τῇ οὐσίᾳ καθ' αὑτὴν ὑπάρχοντα πρῶτα τῶν ἄλλων· τοιαῦται δὲ αἱ διαφοραί, ἃς ποιότητας καὶ αὐτὰς εἶπεν εἶναι, τῆς δὲ κατὰ τὰς διαφορὰς ποιότητος εἶναί φησι καὶ τὴν ἐν τοῖς ἀριθμοῖς ποιότητα μέρος· καὶ γὰρ ἐν ἐκείνοις ποιότης διαφορά τις οὐσιῶν, ἀλλὰ ἤτοι οὐ κινουμένων ἢ οὐχ ᾗ κινούμενα· καὶ γὰρ εἰ ὁ ἀριθμὸς εἴη φύσεών τινων καὶ οὐσιῶν ἐν κινήσει οὐσῶν ἐν τοῖς ἀριθμητοῖς, ἀριθμητὰ δὲ ταῦτα, ἀλλ' οὐχὶ καθὸ κινούμεναί τινες οὐσίαι, κατὰ τοῦτο αὐταῖς ὑπάρχουσιν αἱ διαφοραί, ἀλλὰ καθὸ ἀριθμός ἐστιν, οἷον ἂν λέγοι τις τῶν

11. δ' om *M.* ‖ 14. οὐκ] ὡς *M.* ‖ 15. ἔτι] ὅτι *M.* ‖ 16. οὐκ ἐν] οὐ μὲν *M.* ‖ *num differentia non in quid, sed in quale praedicatur?* Sepulv. ‖ 17. δὲ πρ ὡς *M.* ‖ 32. ἓν] ἑνός *M.* ‖ 33. στερεῶν *A.* ‖ 38. οἷοί] οἷον *M.* ‖ 40. τέσσαρες *M.* ‖ 41. τρεῖς γὰρ *M.* ‖ 42. ἀναλογίᾳ *A.*

3. μὲν et ἡ om *M.* ‖ 4. αὐτὸ *M.* ‖ 5. ὅσα — 6. ποιότητος om *A.* ‖ 6. λόγοι *M.* ‖ 23. πάθη om *M.* ‖ 26. βαρυτάτην καὶ τὴν κουφοτάτην *A.* ‖ 35. ἄλλων om *M.*

καὶ τὸ σῶμα· ἕκαστον γὰρ αὐτῶν ποσόν, τὸ μὲν ἐπὶ δύο, τὸ δὲ ἐπὶ τρία διεστώς. καὶ τὸν ἀριθμὸν δὲ ὁριζόμεθα ποσὸν διωρισμένον. ἢ κατ' οὐσίαν ποσά ἐστιν ὡς ὑποκείμενά τινα, ἐφ' ἃ ἀναφέρεται καὶ τὰ ἄλλα ποσὰ λεγόμενα. τὰ δέ τινά ἐστι καθ' αὑτὰ ποσὰ τῷ τῆς φύσεως τῆς τοιαύτης εἶναι πάθη τε καὶ ἕξεις, τὰ δὲ τῷ εἶναι ποσοῦ καθὸ ποσὸν πάθη. ταῦτα δέ ἐστι τὰ καθ' αὑτὰ αὐτοῦ κατηγορούμενα καὶ αὐτὰ ποσά. τοιαῦτά ἐστι καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον (πάθη γὰρ ἀριθμοῦ), καὶ τὸ μακρὸν καὶ τὸ βραχύ (μήκους γὰρ πάθη), καὶ τὸ πλατὺ καὶ τὸ στενόν (ἐπιπέδων γὰρ πάθη), καὶ τὸ βαθὺ καὶ ταπεινόν (σώματος γὰρ ταῦτα πάθη πάλιν)· καὶ γὰρ εἰ τούτων τις λέγει ἐν τῷ λόγῳ τὸ ποσὸν περιέχεσθαι, ἀλλ' οὐ πρώτως οὐδὲ καθ' αὑτά, ἀλλὰ τῷ ἐν ἐκείνοις εἶναι οἷς ταῦτα ὑπάρχει. λέγεται γοῦν τὸ μὲν πολὺ ποσὸν ὑπερέχον κατ' ἀριθμόν, ὡς διὰ τὸν ἀριθμὸν ὅλως ποσὸν ὄν. ὁμοίως καὶ ὀλίγον ποσὸν ὑπερεχόμενον κατ' ἀριθμόν. καὶ ἐπὶ τῶν μεγεθῶν δὲ ἑκάστου ἐνσημαίνεται τὸ διὰ τὰ ὑποκείμενα αὐτὰ ποσὰ λέγεσθαι· βραχὺ γὰρ λέγεται τὸ ποσὸν ὑπερεχόμενον κατὰ μῆκος. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων. ἀλλὰ καὶ τὸ βαρὺ καὶ κοῦφον ἐν τοῖς καθ' αὑτὸ ποσοῖς νῦν· καταριθμήσει δὲ αὐτὸ μετ' ὀλίγον καὶ ἐν τοῖς ποιοῖς. καὶ ἴσως εἴη ἂν ποσὰ μέν, καθὸ ὑπεροχὴν ῥοπῆς ἢ ἐλάττωσιν σημαίνουσι, ποιὰ
1020 a 19. δέ, καθὸ ἦν τοῦ κάτω φέρεσθαι τὰ ἔχοντα αὐτὰ αἴτια. πάθη δὲ καὶ ἕξεις τῆς τοιαύτης οὐσίας εἶπε ταῦτα, κοινότερον τῷ τῆς οὐσίας ὀνόματι χρώμενος· ὅτι γὰρ καὶ ταῦτα οὐσία πως λέγονται, εἶπεν ἐν τῇ τῆς οὐσίας διαιρέσει. πάθη δὲ καὶ ἕξεις ἐκ παραλλήλου εἶπεν, ἕξεις μὲν ἀπὸ τοῦ ἔχεσθαι, πάθη δὲ ὡς συμβεβηκότα καὶ ὑπάρχοντα. εἰπὼν δὲ "καὶ τἆλλα τὰ τοιαῦτα" προσέθηκέ τινα εἰπὼν "ἔστι δὲ καὶ τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον," τά τε καθ' αὑτὰ λεγόμενα τά τε ἐν τῇ πρὸς ἄλληλα σχέσει, οὕτως ποσά (d). ὅτι μὲν οὖν τὸ μεῖζον καὶ τὸ ἔλαττον τῶν πρός τι, γνώριμον, ἔδειξε δὲ καὶ ἐν Κατηγορίαις (c. 6) ὅτι οὕτω λέγεται τὸ μέγα καὶ τὸ μικρόν, νῦν δὲ λέγεσθαί φησιν αὐτὰ καὶ καθ' αὑτά· καὶ γὰρ ἁπλῶς μέγα τι λέγεται. τὸ μέντοι μέγα καὶ μεῖζον καὶ τὰ τούτοις ἀντικείμενα μεταφέρεσθαί φησιν ἀπὸ τῶν ποσῶν καὶ ἐπ' ἄλλα τινά, ἃ οὐκ ἔστι ποσά [καὶ δῆλον ὅτι ὅταν ἐπὶ τούτων λέγηται, οὐκ ἔσται ποσά]· μέγα γὰρ τὸ πάθος, οἷον καὶ λύπη μείζων λέγεται καὶ μεγάλη νόσος καὶ μεγάλη
1020 a 26. ὀφθαλμία καὶ μικρὸν λευκόν, ὧν οὐδέν ἐστι ποσόν. ἑξῆς δὲ ποιεῖται διαίρεσίν τινα καὶ τῶν κατὰ συμβεβηκὸς λεγομένων ποσῶν, καὶ δείκνυσιν αὐτῶν τὴν διαφοράν. ἄλλως γὰρ λέγεται τὸ μουσικὸν ποσὸν καὶ τὸ λευκόν, καὶ ἕκαστον ποσὸν τῶν συμβεβηκότων τῷ ποσῷ (τῷ γὰρ μόνον τὸ ὑποκείμενον αὐτοῖς ποσὸν εἶναι), καὶ ἄλλως κίνησις καὶ χρόνος· καὶ γὰρ ταῦτα λέγεται μὲν κατὰ τὴν ἐπὶ τὰ ποσὰ τὰ καθ' αὑτὰ ἀναφοράν, καὶ διὰ τοῦτο καὶ αὐτὰ κατὰ συμβεβηκός, οὐ μὴν ἁπλῶς, ὡς καὶ τὰ πρῶτα εἰρημένα. τῷ μὲν γὰρ τὴν ἐπίνοιαν αὐτῶν ἔχειν ἡμᾶς ὅλως ἀπὸ τῶν μεγεθῶν, καὶ ταῦτα ποσά τε καὶ συνεχῆ λέγεται κατὰ συμβεβηκός (διὰ γὰρ τὸ ἐκεῖνα εἶναι συνεχῆ καὶ διαιρετὰ ὧν ἐστι ταῦτα πάθη)· τῷ μέντοι συνδιαιρεῖσθαι ἐκείνοις καθὸ διαιρετά ἐστι καὶ ποσά, κατὰ τοῦτο ὑπάρχοντα αὐτοῖς κυριώτερα ταῦτα ἐκείνων, καὶ οὐχ ὁμοίως κατὰ συμβεβηκός. εἰπὼν δὲ "καὶ γὰρ ταῦτα ποσὰ ἄττα 1020 a 21.
λέγεται καὶ συνεχῆ τῷ ἐκεῖνα διαιρετὰ εἶναι ὧν ἐστὶ ταῦτα πάθη," τίνων πάθη δηλῶν προσέθηκε (e). λέγω δέ, φησίν, οὐ τῷ τὸ κινούμενον εἶναι διαιρετόν, ἀλλὰ τῷ ὃ ἐκινήθη τοῦτο, λέγων τὴν κίνησιν ποσόν τε καὶ συνεχὲς λέγεσθαι οὐκ ἀπὸ τοῦ τὸ κινούμενον σῶμά τι εἶναι καὶ ποσόν (οὕτω γὰρ ἂν ἦν τέλεον κατὰ συμβεβηκὸς λεγομένη, καὶ ὁμοίως τῷ λευκῷ τε καὶ μουσικῷ), ἀλλὰ τῷ ὃ ἐκινήθη καὶ ἐφ' οὗ ἐκινήθη καὶ ὃ διῆλθε τὸ κινούμενον ποσὸν εἶναι. ἀδύνατον γὰρ μὴ ἐπὶ συνεχοῦς κίνησιν γίνεσθαι· τῷ δὴ διαιρετὸν καὶ ποσὸν εἶναι τὸ ἐφ' οὗ ἡ κίνησις, τούτῳ καὶ ἡ κίνησις ποσὴ συμπαρατεινομένη τῷ ἐφ' οὗ γίνεται καὶ ὥσπερ καταμετροῦσα αὐτοῦ τὸ ποσὸν καὶ συνδιαιρουμένη αὐτῷ· διὸ δοκεῖ καὶ κυρίως ποσὸν εἶναι. ἀλλ' ἥ γε ἐπίνοια αὐτῆς ἀπὸ τοῦ ὑποκειμένου μεγέθους. διὸ καὶ κατὰ συμβεβηκός· οὐ γὰρ μέγεθος, ἀλλ' ἐπὶ μεγέθους καὶ αὕτη, εἰ καὶ μὴ ὁμοίως τοῖς ἄλλοις συμβεβηκόσι. καὶ τὸ μὲν ὑπομένον καὶ διαιρούμενον καθ' αὑτό, ἡ δὲ οὐχ ὑπομένουσα. πάλιν δέ, φησίν, ὁ χρόνος ποσός τε καὶ συνεχὴς τῷ τὴν κίνησιν ταύτην εἶναι διαιρετήν, λέγων διὰ τοῦ ταύτην τὴν κίνησιν, ἧς ἀριθμὸς ὁ χρόνος. σημειωτέον δὲ καὶ τοῦτο, ὅτι τὸν χρόνον ἐν Κατηγορίαις (c. 6) καθ' αὑτὸ ποσὸν εἰπὼν ἐνταῦθα καὶ αὐτὸν κατὰ συμβεβηκός φησιν εἶναι ποσόν, καὶ πρὸ αὐτοῦ γε τὴν κίνησιν· διὰ γὰρ ταύτην καὶ τὸν χρόνον. ζητητέον δὲ καὶ τοῦτο, διὰ τί τὴν κίνησιν καὶ τὸν χρόνον οὐκ ἐν τοῖς καθ' αὑτὸ ποσοῖς ἔθηκεν, ἃ πάθη ἢ ἕξεις εἶπεν εἶναι τῶν ποσῶν, ἀλλ' ἐν τοῖς κατὰ συμβεβηκός· εἰ γὰρ πάθος ἐστὶν ἡ κίνησις συνεχοῦς τινός (οὐ γὰρ οἷόν τε ἄλλως ἢ ἐπ' ἄλλου κίνησιν γίνεσθαι), εἴη ἂν ἐν τοῖς οὕτω ποσοῖς καὶ τὰ πάθη. ἢ ἃ καθ' αὑτὰ εἶπεν εἶναι ποσά, κατὰ συμβεβηκὸς λέγει, οὐ μὴν ὁμοίως τοῖς ἃ μή ἐστιν ὡς ποσῶν καὶ καθὸ ποσὰ πάθη. ἢ ἐκεῖνα μὲν ποσὰ καθ' αὑτά, ὅτι ὑπομένει ὡς καὶ τὰ ὧν ἐστὶ πάθη, τούτων δὲ οὐδέτερον ὑπομένει. καὶ ὅτι τὰ μὲν ἐν τῇ φύσει ἐστὶν αὐτῶν, καὶ ὄντων ἕπεται αὐτὰ πάντως, ἡ δὲ κίνησις οὐ τοῦ μεγέθους τί ἐστιν, ἀλλ' ἐπὶ μεγέθους γίνεται. Alex.

(c) φησὶν ὅτι τὸ ποσὸν διαιρετόν ἐστι κατ' ἐνέργειαν, καὶ οὐχ 1020 a 10.
ὥσπερ τὸ γένος· διαιρετὰ μὲν γὰρ ὑπάρχουσι καὶ τὰ γένη, ἀλλ' οὐκέτι κατ' ἐνέργειαν· αἱ γὰρ διαφοραί, καθ' ἃς διαιροῦνται, δυνάμει ὑπάρχουσιν ἐν τοῖς γένεσιν, ὥς φασιν οἱ περιπατητικοί, καθάπερ μεμαθήκαμεν ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου. Asclep.

(d) ὥστε κυρίως τοῦ ποσοῦ ταῦτα βούλεται εἶναι, εἴγε εἶναι καὶ 1020 a 23.
καθ' αὑτὰ λεγόμενα τοῦ ποσοῦ ὑπάρχουσι καὶ πρὸς ἄλληλα. καὶ ἐντεῦθεν λαβόντες οἱ ἐξηγηταὶ αὐτοῦ ἀπεφήναντο αὐτὰ εἶναι τοῦ ποσοῦ. καὶ οὐκ ἔστιν ἀνάπλασμα αὐτῶν· ὅμως μέντοι γε δυνατὸν αὐτὰ τῶν πρός τι εἶναι, καθὸ πρὸς ἕτερον λέγονται, οὐ κυρίως μέντοι γε, ὡς ἔδειξεν ἐνταῦθα ὁ λόγος. id.

7. καὶ τὸ ante πολὺ om *M.* ‖ πάθος *M.* ‖ 8 et 9. πάθος *A.* ‖ 18. εἴη om *A.* ‖ 21. ἕξει *M.* ‖ 24. μὲν] δὲ *M.* ‖ 33. καὶ — ποσά om *A* et Sepulv. ‖ 42. καὶ om *M.*

4. ὧν — 6. εἶναι om *A.* ‖ 12. ποσὸς *M.* ‖ 14. ἀλλά γε *A.* ‖ αὐτοῖς *A.* ‖ 17. ὑποκείμενον *M.* ‖ καθ' αὑτὸ δὲ *M.*

κατὰ τῶν κατὰ δύναμιν λεγομένων ἀπὸ ταύτης εἰρῆσθαι· τὰ μὲν γὰρ τῷ ἄλλο τι ἔχειν αὐτῶν δύναμιν τοιαύτην, δηλονότι μεταβάλλειν αὐτὰ καὶ κινεῖν τε καὶ ποιεῖν (τοιαῦτά ἐστι τὰ τὴν παθητικὴν δύναμιν ἔχοντα· τῷ γὰρ εἶναι αὐτῶν δύναμίν τινα ποιητικήν), τὰ δὲ τῷ μὴ ἔχειν ἄλλο τι δύναμιν τοῦ μεταβάλλειν αὐτά (δυνατὰ γὰρ καὶ τὰ μὴ μεταβαλλόμενα ὑπό τινος ὡς ἀπαθῆ· οὐδὲν γὰρ ἔχει τούτων ποιητικὴν δύναμιν, καὶ διὰ τοῦτο δυνατὰ ὁμοίως καὶ τὰ εὐπαθῆ), τὰ δὲ τῷ ὡδὶ ἔχειν, οἷον τοῦ καλῶς τε καὶ ἐπὶ τὸ βέλτιον μεταβάλλειν ἢ τοῦ καλῶς πάσχειν τε καὶ μεταβάλλεσθαι. οὐκ ἔοικε δὲ διὰ τούτων μνημονεύειν τῆς δυνάμεως τῆς κατὰ τὰς ἕξεις, ἧς ἐδόκει μνημονεύειν δι' ὧν ἔλεγε λέγων περὶ τῆς δυνάμεως "ἔτι ἡ τοῦ καλῶς τοῦτο ἐπιτελεῖν ἢ κατὰ προαίρεσιν· ἐνίοτε γὰρ τοὺς μόνον ἂν πορευθέντας ἢ εἰπόντας, μὴ καλῶς δὲ ἢ μὴ ὡς προείλοντο, οὔ φαμεν δύνασθαι λέγειν ἢ βαδίζειν" (p. 1019 *a* 23). ἢ καὶ ἐνθάδε διὰ τοῦ "τὰ δὲ ὡδὶ ἔχειν" οὐκ ἄλλης τινὸς ἀλλ' ἐκείνης μνημονεύει. ὁμοίως δέ φησι καὶ τὰ ἀδύνατα τῷ οὕτως δυνατῷ ἀντικείμενα τῷ κατὰ δυνάμεως παρουσίαν λεγομένῳ, ἀλλὰ μὴ τὰ ὡς προτάσεις ἀπ' ἐκείνης τῆς δυνάμεως λέγεσθαι· ἢ γὰρ τῷ μὴ ἔχειν αὐτὰ δύναμιν ποιητικήν, ἢ τῷ μὴ ἔχειν ἄλλα αὐτῶν δύναμιν, ἢ τῷ εὐπαθῆ δι' ἀσθένειαν εἶναι, ἢ τῷ μὴ τοῦ καλῶς ποιεῖν ἢ πάσχειν ἔχειν δύναμιν. διὸ καὶ ὁ προειρημένος, φησίν, ὅρος τῆς πρώτης δυνάμεως ὁ κύριος ἅμα λόγος εἴη ἂν τῆς δυνάμεως· οὗτος δὲ ἦν ἀρχὴ μεταβλητικὴ ἐν ἄλλῳ ᾗ ἄλλο. Alex.

1019 *b* 33. (ᵉ) ἄλλως λέγεται δύναμις κατὰ μεταφορὰν ἐν γεωμετρίᾳ, ὥσπερ ἐν τῷ δεκάτῳ λόγῳ τῶν Εὐκλείδου. Asclep.

1020 *a* 1. (ᶠ) τὰ μέντοι γε πράγματα τὰ λεγόμενα κατὰ δύναμιν πάντα λέγονται πρὸς "τὴν πρώτην" ἀρχήν, ἢ "τὴν μίαν," ἀντὶ τῆς πρώτης· διττὴ γὰρ φέρεται ἡ γραφή. "αὕτη δέ ἐστιν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ καθὸ ἄλλο," ἵνα εἴπῃ τὸ ποιητικὸν αἴτιον· τὰ γὰρ ἄλλα λέγονται δυνατὰ τῷ ἔχειν ἄλλο τι τοιαύτην δύναμιν, τὰ δὲ τῷ μὴ ἔχειν. ὁμοίως δὲ καὶ τὰ ἀδύνατα. ὥστε ὁ κύριος ὅρος τῆς πρώτης δυνάμεως εἴη ἂν τὸ μεταβλητικὸν ἐν ἄλλῳ, τουτέστι τὸ ποιητικόν· κυρίως γὰρ τὸ ποιοῦν λέγεται δύναμιν ἔχειν. id.

1020 *a* 7. ἐπὶ τούτοις διαίρεσιν ποιεῖται τοῦ ποσοῦ· τῆς γὰρ οὐσίας ἐν τοῖς πρώτοις ἐμνημόνευσε. λέγει δὲ ποσὸν εἶναι τὸ διαιρετὸν εἰς ἐν ὑπάρχοντα, ὧν ἕκαστον ἢ ἑκάτερον ἕν τι καὶ τόδε πέφυκεν εἶναι. τοῦτο δὲ προσέθηκεν, ἐπεὶ δοκεῖ καὶ εἰς τὰ συμβεβηκότα διαίρεσις γίγνεσθαι τῶν οἷς συμβέβηκεν, ἵνα μή τις ἡγῆται καὶ ταῦτα μέρη εἶναι τοῦ ποσοῦ· οὐδὲν γὰρ τῶν συμβεβηκότων οὕτως ἕν τι ὡς τόδε τι καὶ τῆς αὐτῆς φύσεως τῷ ὑποκειμένῳ εἶναι. καὶ τοῦ ἀριθμοῦ δὲ ἕκαστον τῶν μορίων ἕν τι καὶ τόδε τι, ὡς καὶ ὁ ἀριθμὸς αὐτὸς ὁ διαιρούμενος πρὸ τοῦ διαιρεθῆναι. ὁμοίως καὶ τῆς γραμμῆς καὶ ἐπιφανείας. οὐκέτι δὲ ἡ λευκότης ὁμοίως τῷ ὑποκειμένῳ αὐτῇ τόδε τι καὶ ἕν. εἴη δ' ἂν διὰ τοῦ "ὧν ἑκάτερον ἢ ἕκαστον ἕν τι καὶ τόδε πέφυκεν εἶναι" χωρίζων τῶν ποσῶν τὰ μὴ ἐκ θέσιν ἐχόντων τῶν μορίων συγκείμενα, ἃ ἦν ὅ τε χρόνος καὶ ὁ λόγος. ἐν τούτοις δ' ἂν εἴη καὶ ἡ κίνησις· τὰ γὰρ τοιαῦτα οὐ κυρίως ποσὰ ἐρεῖ. ὁ μέντοι ἀριθμὸς ἐν μὲν Κατηγορίαις ἐλέγετο καὶ αὐτὸς ἐκ μὴ θέσιν ἐχόντων συγκεῖσθαι, νῦν μέντοι ἔοικε καὶ τούτου τὰ μόρια λέγειν ὑπομένειν πως. τὸ δὲ γένος οὐχ οὕτως εἰς τὰ εἴδη διαιρεῖται ὡς εἰς ἐνυπάρχοντα· οὐ γὰρ ἐν τῷ γένει οἱ τῶν εἰδῶν ἐνυπάρχουσι λόγοι, εἰς οὓς διαιρεῖται· προσθέσει γὰρ ἡ ἐκείνων διαίρεσις· διὸ γένος μὲν οὐδὲν ἧττόν ἐστι, κἂν ἀφαιρεθῇ τι εἶδος ἀπ' αὐτοῦ, τὸ δὲ ποσὸν οὐκέτι ταὐτὸν ἀφαιρεθέντος τινὸς τῶν μορίων αὐτοῦ (ᵍ). ἐπεὶ δὲ ποσὸν τὸ μὲν συνεχὲς τὸ δὲ διωρισμένον, λέγει τὸ μὲν διωρισμένον ποσὸν ἀριθμητὸν εἶναι, τὸ δὲ συνεχές, ὅ ἐστι μέγεθος, μετρητόν. εἴη δ' ἂν διὰ τούτων τὸ ἄπειρον οὐ ποσὸν λέγων· οὔτε γὰρ ἀριθμητὸν τὸ ἄπειρον οὔτε μετρητόν. ἢ εἰ μὴ τὸ καταμετρούμενον πᾶν μετρητόν, ἀλλ' ὅλως οὗ τὰ λαμβανόμενα μόρια μετρητά, εἴη ἂν καὶ τὸ ἄπειρον ὑπὸ τὸ ποσόν· καὶ γὰρ λέγεται ποσὸν ἀδιεξίτητον. ὁρίζεται δὲ καὶ τὸ πλῆθος καὶ τὸ μέγεθος· πλῆθος μὲν γάρ ἐστι τὸ διαιρετὸν δυνάμει εἰς μὴ συνεχῆ (τὸ δὲ "δυνάμει" προσέθηκεν ἀντὶ τοῦ διαιρεῖσθαι δυνάμενον εἰς μὴ συνεχῆ· μονάδες γὰρ τὰ τοῦ πλήθους μέρη), μέγεθος δὲ τὸ εἰς συνεχῆ διαιρετόν· πᾶν γὰρ τὸ τοῦ μεγέθους μέρος συνεχές. λέγει δὲ καὶ τὰς τοῦ μεγέθους διαφοράς, ὅτι τὸ μὲν ἐφ' ἓν συνεχὲς μῆκός ἐστι, τὸ δὲ ἐπὶ δύο πλάτος, τὸ δὲ ἐπὶ τρία βάθος, τουτέστι σῶμα. λέγει δὲ καὶ ὅτι ὁ ἀριθμός ἐστι πλῆθος πεπερασμένον· ἀριθμητὸν γὰρ ὁ ἀριθμός, τὸ δὲ ἀριθμητὸν πεπερασμένον· ὥστε εἴ τι πλῆθος ἄπειρον λέγοιτό τι, τοῦτο οὐκ ἀριθμός. κυρίως μὲν οὖν ὁ ἀριθμὸς αὐτὸς εἰς μὴ συνεχῆ διαιρετός· ἤδη δὲ καὶ τὰ ἀριθμητά, εἰ καὶ συνεχὲς ἕκαστον αὐτῶν, ἀλλ' ὅταν ὡς ἀριθμητὰ διαιρῆται, οὐχ ὡς εἰς συνεχῆ διαιρεῖται. εἶπε δὲ πλῆθος μὲν εἶναι τὸ διαιρετὸν εἰς μὴ συνεχῆ· τῶν μεγεθῶν δὲ τὸ μὲν ἐφ' ἓν συνεχὲς μῆκος, πλάτος δὲ τὸ ἐπὶ δύο, τὸ δὲ ἐπὶ τρία βάθος, τί ἕκαστον τούτων ἐστὶ λέγων πρῶτον. εἰπὼν τί ἐστι τὸ πλῆθος, ἐφεξῆς καὶ τί τὸ μῆκος καὶ τί τὸ πλάτος καὶ τί τὸ βάθος εἶπεν, ὅτι τὸ μὲν γραμμή, τὸ δὲ ἐπιφάνεια, τὸ δὲ σῶμα. εἰπὼν δὲ ταῦτα, 1020 *a* 14.
πάλιν τοῦ ποσοῦ λέγει τὰ μὲν καθ' ἑαυτὰ ποσά ἐστι, τὰ δὲ κατὰ συμβεβηκός· ἡ μὲν γὰρ γραμμὴ καὶ τὸ πλάτος, τουτέστιν ἡ ἐπιφάνεια, καὶ τὸ σῶμα, ἔτι δὲ ὁ ἀριθμός, καθ' ἑαυτὰ καὶ κυρίως ποσά· ὅσα δὲ τῷ ποσῷ τινὶ συμβεβηκέναι ποσὰ καὶ αὐτὰ λέγεται, οὐκ ὄντα τοιαῦτα τῇ αὐτῶν φύσει, ταῦτα κατὰ συμβεβηκὸς λέγεται ποσά, ὡς εἰ λέγοι τις τὸ λευκὸν τρίπηχυ εἶναι· τῷ γὰρ τὴν ἐπιφάνειαν, ἐν ᾗ ἐστὶ τὸ λευκόν, τοσαύτην εἶναι, τοῦτο ἐρεῖ. ὁμοίως καὶ τὸ μουσικόν, ὡς αὐτὸς εἴρηκε. ποιεῖται δὲ ἑκατέρων τούτων πάλιν διαίρεσιν, καὶ τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκός, καὶ πρῶτόν γε τοῦ καθ' αὑτό. τῶν γὰρ καθ' αὑτὸ καὶ κυρίως ποσῶν τὰ μὲν κατὰ τὴν οἰκείαν οὐσίαν ἐστὶ ποσά· ταῦτα δέ ἐστιν ὅσων ἐν τῷ ὁρισμῷ τὸ ποσὸν ἐνυπάρχει. οὕτως ἡ γραμμὴ ποσόν, εἴ γε μέγεθος ἐφ' ἓν διαστατόν, καὶ ἡ ἐπιφάνεια δὲ

6. μὴ om *M.* ‖ 7. τὰ ἀπαθῆ *M.* ‖ 16. *quae possibili a praesenti potentia dicto opponuntur* Sepulv. ‖ τῷ κατὰ δυνάμεως παρουσίᾳ λεγομένῃ *A* (ut videtur). ‖ 17. παρουσίᾳ om *M.* ‖ 19. ἢ τὸ μὴ *M.* ‖ 21. προειρημένως *M.* ‖ 22. κυρίως *M.* ‖ 43. οὐκέθ' ἡ *AM.*

7. ὡς εἶναι διαιρεῖται *M.* ‖ 21. ὑφ' ἓν *A.* ‖ 27. διαιρῆται] διαιρεῖται *M.* ‖ 31. βάθος] μέγεθος *M.* ‖ 39. αὐτὸν *M.*

οὕτως ὁ τοῖχος λέγοιτο ἂν ἀδύνατος μαθεῖν τὰ γραμματικὰ ἢ ὅλως αἰσθάνεσθαι ἢ τρέφεσθαι (a). τὸ δὲ τὸ πεφυκὸς μηδέπω ἔχειν ὡς τὸ παιδίον· οὐδέπω γὰρ τοῦτο δύναται γεωμετρεῖν ἢ μανθάνειν, ὡς καὶ τὸ εὐθὺς γεννηθὲν σκυλάκιον ἐν ἀδυναμίᾳ ἐστὶ καὶ στερήσει. τὸ δὲ ὅτε πέφυκεν ὁρᾶν μὴ ὁρῶν ἀδύνατον τῷ κυρίως ἐστερῆσθαι τῆς 1019 b 19. τοιαύτης δυνάμεως. λέγει καὶ καθ' ἑκάστην δύναμιν τήν τε καλῶς καὶ τὴν ἁπλῶς κινητικὴν ἀδυναμίαν τινὰ ἀντικεῖσθαι. τῇ μὲν οὖν ἁπλῶς κινητικῇ εἴρηται ἡ ἀντικειμένη ἀδυναμία, καὶ δέδεικται τριχῶς λεγομένη· εἴη δ' ἂν καὶ τῇ καλῶς κινητικῇ ἀντικειμένη ἀδυναμία, καθ' ἣν πεφυκός τι καὶ ἐπιδεκτικὸν ὂν τοῦ καλῶς γεννᾶν ἢ ποιεῖν ἐστέρηται αὐτοῦ, ὡς οἱ διὰ μοχθηρίαν ἕξεως κατ' ἀρετὴν κινῆσαί τινα μὴ δυνάμενοι. ὁμοία καὶ ἡ τῇ δυνάμει τῇ κατὰ τὸ δύνασθαι πάσχειν λεγομένῃ ἀντικεῖσθαι ἀδυναμία εἴη ἂν ἀντικειμένη· τὸ γὰρ καὶ καθ' ἑκατέραν τούτων τοῦ τε ποιεῖν καὶ πάσχειν τρίτην ζητεῖν ἀντίθεσιν περιεργόν τε καὶ πολλάκις ταὐτὰ λέγειν θελόντων ἀχρείως. καὶ ἐκεῖνο δ' ἄν τις ἐπισημάναιτο, πῶς οὐκ ἐμνημόνευσε τῶν ἄλλων δυνάμεων, τῆς τε κατὰ τὰς ἕξεις καὶ τῆς κατὰ τὰς ἀπαθείας. ἢ διὰ τοῦ κοινῶς εἰπεῖν "στέρησις δυνάμεως" εἴη ἂν καὶ περὶ τούτων κοινῶς εἰρηκώς· καὶ γὰρ ταύταις εἶεν ἀδυναμίαι ἀντικείμεναι αἵ τε τῶν ἕξεων καὶ τῶν κατὰ τὰς ἀπαθείας δυνάμεων στερήσεις, δι' ἣν στέρησιν εὐπαθῆ καὶ ἄφθαρτά τινά ἐστιν. τὸ γὰρ ἐστερημένον σῶμα τῆς ἕξεως, δι' ἣν δυσπαθὲς ἦν, ἀσθενὲς εἶναι καὶ ἀδυναμίαν ἔχειν λέγεται· καὶ γάρ ἐστιν ἡ μὲν κατὰ τὰς ἕξεις δύναμις ὁμοία τῇ κατὰ τὰς ποιητικάς, διαφέρουσα τῷ μὴ ἄλλου εἶναι κινητικὴ ἀλλ' αὐτοῦ τοῦ ἔχοντος, ἡ δὲ κατὰ τὴν ἀπάθειαν τῇ παθητικῇ δυνάμει, διαφέρουσα αὐτῆς τῷ ἐκείνων μὲν τοῦ ὑπ' ἄλλου πάσχειν δύναμιν εἶναι, ταύτην δὲ τοῦ μὴ πάσχειν ὑπ' ἄλλου. εἰπὼν δὲ περὶ ἀδυναμίας καὶ ἀδύνατά φησιν, ἃ καὶ αὐτὰ δοκεῖ παρωνομάσθαι τῇ ἀδυναμίᾳ, τὰ μὲν κατὰ τὴν προειρημένην ἀδυναμίαν λέγεσθαι, ὡς ἑκάστης ἀδυναμίας παρουσίᾳ ἀδύνατόν τι λέγεσθαι, τὰ δὲ ἄλλον τρόπον παρὰ τοὺς εἰρημένους· καὶ γὰρ δυνατόν τι καὶ ἀδύνατον οὐ κατὰ δυνάμεως παρουσίαν μόνον ἢ ἀπουσίαν λέγεσθαι, ἀλλὰ καὶ ἄλλως. καὶ λέγει γε περὶ ἑκατέρου αὐτῶν· ἀδύνατόν τε γὰρ λέγεται οὗ τὸ ἐναντίον ἐξ ἀνάγκης ἀληθές (ἀδύνατον γὰρ τὴν διάμετρον σύμμετρον εἶναι), οὗ δὲ τὸ ἐναντίον ἐξ ἀνάγκης ἀληθές, ἐξ ἀνάγκης ψεῦδος αὐτό· τὸ γὰρ ἐξ ἀνάγκης τοῦ ἀεὶ σημαντικόν ἐστιν· ὃ δὲ ἀεί ἐστι ψεῦδος, οὗ τὸ ἀντικείμενον ἀεί ἐστιν ἀληθές, τοῦτο ἀδύνατον· τὸ δὲ ἐναντίον, φησί, τούτῳ τῷ οὕτως λεγομένῳ ἀδυνάτῳ δυνατόν ἐστιν, οὗ τὸ ἐναντίον μὴ ἐξ ἀνάγκης ψεῦδός ἐστιν, λέγων ἐναντίον νῦν τὸ ἀντικείμενον αὐτῷ· τὸ γὰρ καθῆσθαι ἄνθρωπον δυνατόν, ὅτι τὸ ἐναντίον αὐτῷ τὸ μὴ καθῆσθαι οὐκ ἔστιν ἐξ ἀνάγκης ψεῦδος. ὃ δὲ μήτε αὐτὸ ἐξ ἀνάγκης ἀληθές ἐστιν ἢ ψεῦδος μήτε τὸ ἀντικείμενον αὐτῷ, τοῦτο κατὰ τὸ νῦν σημαινόμενον τοῦ δυνατοῦ δυνατόν ἐστιν· μεταξὺ γὰρ τὸ δυνατὸν τοῦ ἀναγκαίου καὶ τοῦ ἀδυνάτου, ὧν τὸ μὲν ἀεὶ ἀληθές ἐστι τὸ δὲ ἀεὶ ψεῦδος. ἕνα μὲν οὖν τρόπον δυνατὸν λέγεται, ὃ μή ἐστιν ἐξ ἀνάγκης ψεῦδος· οὗ γὰρ τὸ ἐναντίον μή ἐστι ψεῦδος ἐξ ἀνάγκης, τοῦτο οὐχ οἷόν τε ἐξ ἀνάγκης οὔτε ἀληθὲς οὔτε ψεῦδος εἶναι. Alex.

(y) γρ. "δυνατόν φαμεν," ὡς κεῖσθαι τὸ δυνατὸν δίς. cod. Reg. 1019 a 22.

(z) κυρίως γάρ, ὥς φησι Πλάτων, δύναμις σώζει, τὸ δὲ φθείρεσθαι ἀδυναμίᾳ μᾶλλον ὑπάρχει. Asclep. 1019 a 23.

(a) ἔτι δυνάμει λέγονται, ὡς αἱ ἕξεις, καθ' ἃς δυνάμεις τὰ πάθη ὅλως γίνονται τὰ γινόμενα ἢ ἀμετάβλητα ἢ μὴ ῥᾳδίως φερόμενα ἐπὶ τὸ χεῖρον. id. 1019 a 26.

(b) ἀπαθῆ δὲ τῶν τοιούτων ὑπάρχουσιν ἅτινα μόγις καὶ ἠρέμα πάσχουσιν. id. 1019 a 31.

(c) διό φησιν, εἰ δὲ ἡ στέρησις ἕξις πως, πάντα λέγονται τῷ ἔχειν, καὶ ἡ στέρησις καὶ ἡ ἕξις ὁμωνύμως λεγομένου τοῦ ὄντος, ὥστε τό τε ἔχειν ἕξιν τινά, τὴν κυρίως ἕξιν, δυνατὸν λέγεται, καὶ τὸ ἔχειν στέρησιν, εἰ ὅλως ἐνδέχεται ἔχειν στέρησιν· τρίτον δὲ τὸ μὴ ἔχειν δύναμιν φθαρτικὴν ὑπὸ ἄλλου καθὸ ἄλλο ἐστίν. id. 1019 b 6.

(d) γράφεται, "καὶ ἄνδρα εὐτυχίαν." cod. Reg. 1019 b 19.

"ἕνα — εἶναι." τουτέστι τὸ ἤδη ὑπάρχον, ὃ ἀληθές ἐστιν εἰπεῖν εἶναι. εἴη δ' ἂν τοῦτο μέσον τοῦ μήτε ἀναγκαίου εἶναι μήτε ἀναγκαίου μὴ εἶναι· καὶ εἴη ἂν τὸ κυρίως καὶ ἰδίως ὑπάρχον λεγόμενον. "ἕνα δὲ τὸ ἐνδεχόμενον ἀληθὲς εἶναι," ὃ εἴη ἂν τὸ οἷόν τε γενέσθαι· ὃ καὶ ἰδίως ἐνδεχόμενον καλεῖται (e). τὸ ἀδύνατον δὲ καὶ τὸ δυνατὸν τὸ ἐν τῇ προτάσει διὰ τούτων ἔδειξέ τε καὶ διεῖλεν. ἐπεὶ δὲ λέγεταί τις καὶ ἐν γεωμετρίᾳ δύναμις (τὰ γὰρ τετράγωνα δυνάμεις καλοῦσιν (f)· ὃ γὰρ δύναται ἡ πλευρά, τοῦτο δύναμις, ἑκάστη δὲ δύναται τὸ ἀπ' αὐτῆς τετράγωνον), κατὰ μεταφορὰν δή φησι καὶ οὐ κυρίως λέγεσθαι δύναμιν τὸ ἐν γεωμετρίᾳ. ταῦτα μὲν οὖν τὰ δυνατὰ ἐξέθετο· ἦν δὲ οὗ τε τὸ ἀντικείμενον μὴ ἐξ ἀνάγκης ψεῦδος, καὶ τὸ ἀληθὲς τῷ ὑπάρχειν, καὶ τὸ ἐνδεχόμενον ἀληθὲς εἶναι. ταῦτα δὴ οὐ τῷ δύναμιν ἔχειν τινὸς λέγεσθαί φησι δυνατά· ἐν γὰρ προτάσεσι τὰ δυνατά· ταῦτα δὲ ὅσα λέγεται δυνατά, κατὰ τὸ δύναμιν ἔχειν ἢ τοῦ ποιεῖν ἢ τοῦ πάσχειν, ἢ τοῦ ἑκάτερον τούτων καλῶς τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν ἢ ἀπαθὲς εἶναι. πάντα δὲ ταῦτα λέγει πρὸς τὴν πρώτην δύναμιν τὴν ἀναφορὰν ἔχειν· ἔστι δὲ πρώτη, ἧς πρώτης ἐμνημόνευσε λέγων περὶ δυνάμεως. ἢ καὶ ὡς κυριωτάτη λεγομένη δύναμις, τὸ ὅλως ἐκεῖ προσέθηκεν. ἔστι δὲ αὕτη ἡ ποιητική, ἧς ὅρος ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ ἢ ἄλλο. τὰ γὰρ ἄλλα φησὶ δυ-

1. οὗτος ὁ τοῖχος *M.* ‖ 5. τῷ] τὸ *A.* ‖ 12. ἡ] οἱ *M.* ‖ 15. ταῦτα *M.* ‖ 16. ἐπισημαίνεται *A.* ‖ 19. ἀδυναμίας *M.* ‖ 20. εὐπαθῆ] ἀπαθῆ *M.* ‖ 21. *quae privatione quadam facile et perpetiuntur et intereunt* Sepulv. ‖ 23. διαφέρουσι *M.* ‖ 30. τοῖς εἰρημένοις *M.* ‖ 32. γε om *M.* ‖ 33. ἀδύνατον — 34. ἀληθές om *A.* ‖ 36. ὃ — *b* 1. αὐτῷ om *M.* ‖ 39. τὸ γὰρ — *b* 1. αὐτῷ om *A.*

4. οὗ] ὃ *M.* ‖ 33. οὐ τὸ *A.* ‖ 35. τὸ om *A.* ‖ ἔχον *M.* ‖ 37. δὲ πάσιν ἢ *M.* ‖ 38. *referri ait. quae quidem ut propriissime dicta ante omnes est explicata. ea vero est potentia efficiendi, quae mutationis in alio qua aliud, principium esse definitur* Sepulv. ‖ 39. ἐμνημόνευσε *M.* ‖ 40. δυνάμει *A.* ‖ 41. ἄλλῳ ᾗ ἄλλῳ *M.*

τε καὶ τὰς ἐπιστήμας, ἀφ' ὧν αἱ κατ' αὐτὰς ἐνέργειαι, αἷς καὶ παραδείγμασιν ἐχρήσατο τῆς δυνάμεως. δοκεῖ δὲ καὶ ἀναθεὶς ταύτῃ τῇ δυνάμει τὸ συνεῖναι αὐτό, κἀκεῖνο ποιητικόν· τὰ γὰρ δύναμιν ἔχοντα τοῦ ὁπωσοῦν κινεῖσθαι κατὰ τὴν ἐν αὐτοῖς ἀρχὴν δυνατὸν εἶπεν, ἐκτείνας τὴν δύναμιν καὶ ἐπὶ τὰ χείρω. ἔτι παραδείγμασιν ἐπ' αὐτοῖς κέχρηται νῦν, οὐχ ὡς τότε, ἐνεργείαις τισὶν ἀπὸ ἕξεων γινομέναις, ἀλλὰ τῶν παθητικῶν δυνάμεων, εἰπὼν "καὶ γὰρ τὸ φθειρόμενον." εἰπὼν δὲ τὰ ὅλως πάσχειν τι δυνάμενα ἄν τε χεῖρον ἄν τε βέλτιον δυνατὰ λέγεσθαι, διαστολῇ τινὶ ἐχρήσατο ἐπί τε τῶν τὰ βελτίω καὶ τῶν τὰ χείρω δυναμένων· τὸ μὲν γὰρ αὐξόμενόν τε καὶ γιγνόμενον καὶ ὅλως εἰς τὸ βέλτιον μεταβάλλον τῷ ἔχειν ἕξιν ἐν ἑαυτῷ τινὰ τοιαύτην μεταβάλλει εἰς ταῦτα, τὸ δὲ μειούμενόν τε καὶ φθειρόμενον τῷ ἐστερῆσθαι τῆς τοιαύτης ἕξεως. πῶς οὖν καὶ ταῦτα δυνατὰ καὶ δύναμιν ἔχειν λέγοιτ' ἂν καὶ κατά τι,
1019 b 6. ἔδειξεν εἰπὼν "εἰ δ' ἡ στέρησίς ἐστιν ἕξις πως, πάντα τὰ ἐστερημένα τῷ ἔχειν ἂν εἴη." δοκεῖ γὰρ ἡ στέρησις διάθεσίς τις εἶναι καὶ αὐτή· οὐ γὰρ ἀπουσίαν ψιλὴν ἡ στέρησις σημαίνει, ἐπεὶ οὕτως ἴσον ἂν ἐδύνατο τῇ ἀποφάσει, ἀλλὰ μετά τινος διαθέσεως· διὰ τοῦτο γὰρ οὐ ταὐτὸν τὸ οὐ βλέπειν τῷ τυφλὸν εἶναι· τοῦ γὰρ πεφυκότος καὶ ὅτε πέφυκεν ἀπουσία ἡ στέρησις ἦν, ἢ ὁμοῦ γίγνεται· διάθεσις οὖν ἐστί τινος περὶ τὸ ὑποκείμενόν τε καὶ πεφυκὸς τὴν ἕξιν ἔχειν γινομένη. ἕξις οὖν πως καὶ ἡ στέρησις· οὐχ ἁπλῶς γὰρ ἕξις, εἴγε ἐστὶν ἕξεως στέρησις, ἀλλ' οὕτως ἕξις, ὡς εἶπεν, τῷ ποιά τις διάθεσις εἶναι τοῦ ὑποκειμένου (¹)· εἶναι γάρ τι δεῖ πάθος περὶ τὸ ὑποκείμενον, ὃ εἴη ἄν τις ἕξις. διὰ τοῦτο καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (1 7) τὴν στέρησιν εἶδός πως εἶπεν. εἰ οὖν ἕξις τις καὶ ἡ στέρησις, καὶ τὰ εἰς τὰ χείρω μεταβάλλοντα τῷ ἕξιν τινὰ καὶ δύναμιν ἔχειν μεταβάλοι ἄν· δύναμις γάρ τις καὶ ἡ στέρησις, εἴγε καὶ ἕξις. ὥστε τῷ μὲν τὸ ἀρχὴν καὶ δύναμιν ἔχειν, καθ' ἣν οὐδὲν τῶν χειρόνων οἷόν τέ τι πάσχειν, δυνατὸν λέγοιτο ἄν, τῷ δὲ τὴν τῆς τοιαύτης δυνάμεως στέρησιν. εἰπὼν δὲ τοῦτο ἐπιφέρει, ἢ εἰ μὴ εἴη ἕξις τις ἡ στέρησις, ὁμωνύμως ἂν εἴη δυνατὰ τά τε πρὸς τὸ βέλτιον μεταβάλλοντα καὶ τὰ εἰς τὸ χεῖρον· τὰ μὲν γὰρ τῷ ἕξιν ἔχειν, τὰ δὲ τῷ ἐστερῆσθαι ταύτης τῆς ἕξεως. εἰπὼν δὲ ἔχειν στέρησιν, προσέθηκεν "εἰ ἐνδέχεται ἔχειν στέρησιν." εἰ μὴ γὰρ εἴη ἕξις τις ἡ στέρησις, λέγοιτο ἂν τὸ ἐστερημένον ἔχειν στέρησιν· εἰ δὲ ἀπουσία τις εἴη, μόνον οὐκ ἂν κυρίως τὸ ἔχειν ἐπ' αὐτῆς
1019 b 10. λέγοιτο. ἄλλον δέ φησι τρόπον δυνατὸν λέγεσθαι τὸ ἀπαθές, ὃ μηδὲν ἔχει δύναμιν φθαρτικὴν μήτε ἐκτὸς ὂν αὐτοῦ μήτε ἐν αὐτῷ· τούτου γὰρ δηλωτικὸν τὸ προσκείμενον τὸ "ἢ ἄλλο·" εἰ γὰρ καὶ ἔχει τι ἐν αὐτῷ τὸ δυνάμενον αὐτὸ φθείρειν, ἀλλ' ὡς ἄλλο τι ἔχον ἐν αὐτῷ ἕξει· οὐδὲν γὰρ αὐτὸ αὑτοῦ φθαρτικόν. προστίθησι δὲ καὶ ὅτι πάντα ταῦτα (λέγοι δ' ἂν τά τε κατὰ τὸ ποιεῖν δυνατὰ λεγόμενα καὶ κατὰ τὸ πάσχειν καὶ κατὰ τὰς ἕξεις καὶ κατὰ τὰς ἀπαθείας) δυνατὰ λέγεται ἢ τῷ ἁπλῶς δυνατὰ γενέσθαι ἢ τῷ καλῶς· καθ' ἕκαστον γὰρ τῶν εἰρημένων δυνατῶν ἑκάτερον τούτων χώραν ἔχει, καὶ τὸ καλῶς καὶ τὸ κακῶς. ἔδειξε δὲ τὸ διττὸν τοῦτο ὂν καὶ ἐπὶ τῶν ἀψύχων· τὴν γὰρ λύραν οὔ φασι δύνασθαι φθέγγεσθαι τὴν μὴ εὔφωνον, ὡς τοῦ δύνασθαι συνήθως ἐπὶ τῶν τὸ εὖ δυναμένων κατηγορουμένου. εἰπὼν δὲ περὶ 1019 b 15.
δυνάμεως καὶ τοῦ δυνατοῦ, ὅτι τῆς δυνάμεως παρουσία λέγεται ταῦτον, ἀκολούθως καὶ περὶ ἀδυναμίας λέγει· ἀντίκειται γὰρ τῇ δυνάμει. καθ' ἕκαστον δὲ τῶν τῆς δυνάμεως τρόπων ἀδυναμία τις οἰκεία ἀντίκειται. ἦν δὲ τῆς δυνάμεως ἡ μὲν ποιητικὴ ἡ δὲ παθητική, ἑκατέρα δὲ διττή· ἡ μὲν γὰρ ἁπλῶς ποιητική, ἡ δὲ τοῦ εὖ καὶ τοῦ καλῶς. ὁμοίως καὶ παθητικὴ ἡ μὲν τοῦ πάσχειν ἁπλῶς οὖσα δύναμις, ἡ δὲ τοῦ καλῶς, καὶ παρὰ ταύτας ἥ τε κατὰ τὰς ἕξεις, καὶ ἔτι ἡ κατὰ τὰς ἀπαθείας, ἃ δὴ καὶ αὐτὰ τὸ προειρημένον διττὸν ἕξει. καὶ ἀδυναμία δὲ πολλαχῶς· λέγει δὲ κοινῶς ἀδυναμίαν εἶναι στέρησιν δυνάμεως καὶ τῆς τοιαύτης ἀρχῆς. τετραχῶς οὖν λεγομένης τῆς δυνάμεως, καθ' ἑκάστην ἂν αὐτῶν εἴη στέρησίς τις καὶ ἀδυναμία. καὶ ταύτην φησὶ καθ' ἑκάστην δύναμιν τῶν δύο τῶν πρώτων ῥηθεισῶν τριχῶς λέγεσθαι. ἐπί τε γὰρ τῆς ποιητικῆς, ἥτις εἴρηται δύναμις εἶναι ἀρχὴ κινήσεως καὶ μεταβολῆς ἐν ἄλλῳ ἢ ἄλλο, τριχῶς ἡ ἀδυναμία λέγεται· ἢ γὰρ τοῦ ὅλως μὴ ἔχοντος τοιαύτην ἀρχὴν ἡ ἀδυναμία κατηγορεῖται, ὡς εἰ τοῦ λίθου τις ἀδυναμίαν τοῦ οἰκοδομεῖν ἢ τοῦ γεννᾶν κατηγοροίη, ἢ τοῦ πεφυκότος ἔχειν, καὶ τούτου ἁπλῶς ὅτε μὴ ἔχει, ὡς εἰ τοῦ παιδός τις μήπω πεφυκότος γεννᾶν κατηγοροίη ὡς ἀδυνάτου. αὗται μὲν οὖν αἱ ἀδυναμίαι κοινῶς καὶ οὐ κυρίως στερήσεις· κυρίως δὲ ὅτε πέφυκεν ἤδη ἔχειν, ὡς ἐπὶ τοῦ ἤδη τελείου καὶ τοῦ εὐνούχου· ὁ μὲν γὰρ εὐνοῦχος ἀδύνατος γεννᾶν τῷ ἁπλῶς ἐστερῆσθαι τῆς τοιαύτης δυνάμεως, ὁ δὲ παῖς τῷ μηδέπω δύναμιν ἔχειν, ὁ δὲ λίθος τῷ καὶ τὴν ἀρχὴν ἀνεπίδεκτος εἶναι. αὐτὸς δὲ παραδείγμασι κέχρηται τῶν προειρημένων παιδὶ καὶ ἀνδρὶ καὶ εὐνούχῳ, τῷ μὲν εὐνούχῳ ἐπὶ τοῦ ὅλως ἐστερημένου, ἐφ' οὗ καὶ ὁ λίθος ἔκειτο, τῷ δὲ παιδὶ ἐπὶ τοῦ ἔχοντος μὲν τὴν δύναμιν μήπω δὲ δι' ἡλικίαν πεφυκότος, τῷ δὲ ἀνδρὶ ἐπὶ τοῦ πεφυκότος καὶ ὅτε πέφυκε μὴ ἔχοντος. ὡς δὲ ἐπὶ τῆς ποιητικῆς δυνάμεως τριχῶς ἡ ἀντικειμένη ἀδυναμία λεγομένη ἐλέχθη ὑπ' αὐτοῦ, οὕτω βούλεται καὶ ἐπὶ τῆς παθητικῆς δυνάμεως τριχῶς τὴν ἀδυναμίαν λέγεσθαι. καὶ λέγοιτο ἂν ἢ τὸ μηδ' ὅλως πάσχειν τι δυνάμενον ἀδύνατον, καὶ ἐστερῆσθαι τῆς τοιαύτης παθητικῆς ποιότητος, κοινότερον ἡμῶν χρωμένων τῇ στερήσει·

1. αἷς et 2. δοκεῖ δὲ καὶ om M. ‖ 2. *videtur autem huic potentiae insuper adiicere, quod simul cum ipsa illic est officiens* Sepulv. ‖ 4. αὐτῷ A. ‖ 5. παραδείγματα A. ‖ 6. αὐτῆς M. ‖ 7. ἀπὸ om M. ‖ 8. καὶ A. ‖ 10. τε τῷ βελτίω M. ‖ τὸ δὲ γὰρ ἂν φθεῖρόν τε M. ‖ 13. τῆς] ἡ M. ‖ 15. ἡ δ' ὑστέρησις A, εἰ δ' ὑστέρησις M. ‖ 16. αὐτό M. ‖ 19. τὸ] τῷ M. ‖ τυφλοῦν M. ‖ 21. περὶ om M. ‖ γινομένην M. ‖ 22. ἕξεως] ἡ M. ‖ 23. οὕτως] ὅτε M. ‖ οὖν ἐστὶ — διάθεσις iterat M. ‖ 28. εἴγε om M. ‖ τὸ μὲν τῷ M. ‖ 29. χειρόνων τόν τε τι M. ‖ δυνατὸν — 31. εἰ om A. ‖ 32. τά] τῇ M. ‖ καὶ τὰ] κατὰ M. ‖ 35. λέγοι M. ‖ 37. οὐ] ὁ M.

1. αὐτὸ] αὐτῷ M. ‖ 4. ἢ τὸ καλῶς M. ‖ 16. *quae itidem utraque dupliciter intelligitur: idcirco impotentia quoque multis modis nuncupatur* Sepulv. ‖ διττόν,] ῥητὸν A. ‖ 25. πεφυκὸς M. ‖ 37. ἐλέχθη A. ‖ καὶ om A. ‖ 39. ἐστερῆσθαι ἢ τρέφεσθαι τὸ δὲ πεφυκὸς τῆς M.

καθόλου ἀρχὴ μεταβολῆς, ἢ τοῦ κυρίως, ἐπεὶ καὶ αὐτῷ δοκεῖ ἡ ποιητικὴ δύναμις κυριωτάτη δύναμις λέγεσθαι, ὡς προϊὼν ἐρεῖ καὶ ἐν τούτῳ καὶ ἐν τῷ Θ ταύτης τῆς πραγματείας, ἐν ᾧ προηγουμένως περὶ δυνάμεως ποιεῖται τὸν λόγον. ἑξῆς δὲ σημαινόμενον δυνάμεως ἐκτίθεται, καθ' ἣν λέγεται δύναμιν ἔχειν τινὰ τοῦ πάσχειν τε καὶ κινεῖσθαι ὑπό τινων. ἔστι μὲν οὖν ἑκατέρα τῶν εἰρημένων δυνάμεων ἐν τοῖς ἔχουσιν· ἀλλ' ἡ μὲν ποιητικὴ ἄλλου καὶ ἐκτός τινός ἐστι ποιητική, ἡ δὲ παθητικὴ ὑπ' ἄλλου τινὸς καὶ ἐκτὸς ὄντος παθητικὴ οὖσα ἐν τῷ πάσχοντι καὶ μεταβάλλοντί ἐστιν· τὸ γὰρ "ὑφ' ἑτέρου" τὴν παθητικὴν σημαίνει. τὸ δὲ "ἢ ἕτερον" προσέθηκε πάλιν διὰ τὸν ἰατρὸν τὸν αὐτὸν ἰώμενον· νοσῶν γὰρ καὶ δύναμιν ἔχων τοῦ πάσχειν τε καὶ ἀλλοιοῦσθαι καὶ θεραπεύεσθαι, εἰ καὶ οὗτος τὴν ποιητικὴν ταύτην τῆς μεταβολῆς δύναμιν ἔχοι, ἀλλ' οὐχ ᾗ νοσῶν, ἀλλὰ καθὸ ἕτερόν τί ἐστιν· καθὸ γὰρ ἰατρός, ἄλλος ἐστὶ τοῦ νοσοῦντος. οὐ γὰρ τῷ νοσοῦντι τὸ νοσεῖν ἐν τῷ ἰατρῷ εἶναι (ὡς γὰρ τοῦ ποιεῖν δύναμίς ἐστιν, οὕτω καὶ τοῦ πάσχειν), καὶ
1019 a 21. ταύτην τὴν παθητικὴν αἰτίαν τὴν φύσει εἶναι. ὁτὲ μὲν οὖν, φησί, κατὰ τῶν ὅλως παθεῖν τι δυναμένων τὸ δύνασθαι κατηγορεῖται, ὁτὲ δὲ οὐ κατὰ πάντων παθῶν, ἀλλὰ κατὰ τῶν βελτιόνων καὶ ἀντικειμένων, τὴν καθὸ εἰς τὸ βέλτιον δύναται μεταβάλλειν τινὰ λεγόντων ἡμῶν δύναμιν, οἷον τὴν εἰς ὑγίειαν, ἀλλ' οὐ τὴν εἰς νόσον (7)· ἀδυναμίαν γὰρ ἐκείνην μᾶλλον ἔθος ἢ δύναμιν λέγειν (8). καὶ ἐπὶ τῆς ποιητικῆς δὲ δυνάμεως δείκνυσι τὴν τοιαύτην οὖσαν διαφοράν (9). λέγεσθαι γὰρ οὐ μόνον τὴν ποιητικήν τινος ἁπλῶς, ἀλλ' ὅταν καὶ καλῶς τοῦτο ἐπιτελεῖν οἷόν τε, ἢ κατὰ τὴν αὐτοῦ προαίρεσιν. οἷον ἂν καλῶς τις λέγῃ, δύναμιν τοῦ λέγειν φαμὲν ἔχειν, ἀλλ' οὐκ εἰ ἁπλῶς λέγει. καὶ τὸν μὲν ἐλθόντα που κατὰ τὴν αὐτοῦ προαίρεσιν ἀπὸ δυνάμεως τοῦτο οἰκείας φαμὲν πεποιηκέναι, οὐκέτι δ' ἂν ὑπ' ἄλλων ἀγόμενος μετὰ βίας ἔλθῃ. εἶπε δὲ καὶ ἐπὶ τοῦ πάσχειν τὸ ῥητὸν τοῦτο, οὗ πάλιν διὰ βραχέων ἡμᾶς ὑπέμνησεν εἰπὼν "ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πάσχειν·" δυνατὸς γὰρ ὁρᾶν ὁ ὁπωσοῦν ὁρῶν καὶ ὁ καλῶς αἰσθάνεσθαι καὶ ὁ ὁπωσοῦν. ἐπιζητήσαι δ' ἄν τις, εἰ ἡ ποιητικὴ δύναμις ἀρχὴ κινήσεως ἢ μεταβολῆς ἐν ἑτέρῳ ᾗ ἕτερον, πῶς ὑπάγοιντο ἂν ταύτῃ τῇ δυνάμει οἱ κατὰ τὴν ἐν αὐτοῖς δύναμιν βαδίζοντες καὶ κατὰ τὴν ἐν αὐτοῖς προαίρεσιν λέγοντες; δοκοῦσι γὰρ οὗτοι κινεῖσθαι κατὰ τὴν ἐν αὐτοῖς ἀρχὴν τῆς κινήσεως. καὶ γὰρ ἡ τέχνη καὶ ἡ προαίρεσις ἀρχαὶ οὖσαι ἐν αὐτοῖς εἰσὶ τοῖς κατὰ ταύτας κινουμένοις. μήποτε οὖν ὡς ἄλλης οὔσης ταύτης τῆς δυνάμεως παρὰ τὴν ποιητικὴν μνημονεύει· καὶ ἔστιν αὕτη, καθ' ἣν αἱ ἀπὸ τῶν ἕξεων ἐνέργειαι γίγνονται τοῖς τὰς ἕξεις ἔχουσι. τὸ δὲ "ὁμοίως καὶ ἐπὶ τοῦ πάσχειν" ἀντὶ τοῦ ὁμοίως ὡς καὶ ἐπὶ τοῦ πάσχειν· προείρηκε γὰρ τοῦτο καὶ ἐπὶ τῶν πασχόντων. ἐπὶ τούτοις δυνάμεως σημαινόμενον ἐκτίθεται τὸ κατὰ τὰς ἕξεις, καθ' ἃς ἀπαθεῖς ἢ δυσπαθεῖς λεγόμεθα τινὰς τοῦ χείρονος· δοκεῖ γὰρ κατὰ ἀδυναμίαν εὐπάθεια τῶν χειρόνων εἶναι (1), κατὰ δύναμιν δὲ τῶν αὐτῶν τούτων δυσπάθεια ἢ ἀπάθεια. ἁπλῶς μὲν οὖν ἀπαθῆ τὰ θεῖα, τινῶν δὲ ἀπαθῆ ἐστί τινα καὶ τῶν ἐν γενέσει, ὡς ἡ σαλαμάνδρα μὲν τοῦ καίεσθαι δοκεῖ, ὁ δὲ ἀδάμας τοῦ διαιρεῖσθαι. ταῦτα μὲν οὖν τῆς δυνάμεως τὰ σημαινόμενα παρατίθεται· ἐπιζητήσαι δ' ἄν τις, ἐπεὶ καὶ ἡ φύσις δύναμίς τίς ἐστιν, εἰς τίνα τῶν εἰρημένων τρόπων ὑπάγοιτο ἄν. ἢ εἰ ἔστιν ἡ φύσις ἀρχὴ κινήσεως ἐν αὐτῷ, εἴη ἂν ὑπὸ τὴν παθητικὴν δύναμιν· τὰ γὰρ φύσιν ἔχοντα τοῦ κινεῖσθαι ὑπ' ἄλλου δύναμιν ἔχει, ὡς ἔδειξεν ἐν Φυσικῇ Ἀκροάσει. ἡ δὲ ψυχὴ ὑπάγοιτο ἂν τῇ ποιητικῇ δυνάμει· ἐν ἑτέρῳ γὰρ ἢ ᾗ ἕτερον· ὁ γὰρ κινούμενος κατὰ ψυχὴν ἔοικέ πως τῷ ἑαυτὸν ἰωμένῳ· ἑτέρα γὰρ ἡ ψυχή, καθ' ἣν κινεῖται ὁ περιπατῶν, τοῦ κινουμένου σώματος. ἢ ἡ μὲν ψυχὴ ἀρχὴ τῆς κινήσεως ἀναλόγως τῇ φύσει, οἱ δὲ κατὰ τὰς ἐν τῇ ψυχῇ τέχνας κινούμενοι εἰσὶν οἱ κατὰ τὰς ἐν αὐτοῖς ἕξεις ἐνεργοῦντες. λεγομένης δὲ τῆς δυνάμεως τοσαυταχῶς (τετραχῶς γὰρ 1019 a 32.
ἡ ποιητική, ἡ παθητική, ἡ ἕξις καὶ ἡ κατὰ τὴν ἀπάθειαν), ἐπεὶ τὸ δυνατὸν ἀπὸ τῆς δυνάμεως καὶ τοῦ ταύτην ἔχειν παρωνόμασται, εἰπὼν περὶ τῶν δυνάμεων τῶν σημαινομένων, ἐφεξῆς περὶ τῶν τοῦ δυνατοῦ λέγει. καὶ πρῶτον δυνατόν φησι λέγεσθαι τὸ ἔχον κινήσεως ἀρχὴν ἢ μεταβολῆς, τοῦτ' ἔστι τὸ ἔχον ἀρχὴν τῆς κινήσεως. προσθεὶς δὲ τὸ "καὶ μεταβολῆς" ἐξηγήσατο διὰ τί τοῦτο προσέθηκε· καὶ γὰρ τὸ στατικόν τινος δυνατόν, οὐ μόνον τὸ κινητικόν· μεταβολὴ δὲ καὶ ἡ ἐκ κινήσεως εἰς ἠρεμίαν. προσθεὶς δὲ "ἑτέρῳ ἢ ἕτερον" ἐπλήρωσε τὸν λόγον τοῦ οὕτως δυνατοῦ. τὸ γὰρ ἔχον ἀρχὴν κινήσεως ἢ μεταβολῆς τῆς ἐν ἑτέρῳ ᾗ ἕτερον, δυνατόν, ὁποῖόν ἐστι τὸ ποιητικόν· τὸ δὲ "ᾗ ἕτερον" πάλιν προσέθηκε διὰ τοὺς καὶ αὐτοὺς ἰωμένους ποτέ. καὶ τοῦτο μὲν τὸ σημαινόμενον τοῦ δυνατοῦ τῇ τῆς πρώτης δυνάμεως παρουσίᾳ τῆς ποιητικῆς δυνατὸν λέγεται. δεύτερον προστίθησι τοῦ δυνατοῦ τρόπον, ἂν ὑπ' ἄλλου πάσχειν τι δύνηται· ὃ γὰρ οἷόν τε πάσχειν ὑπό τινος, καὶ οὗ ἐστὶ κινητικόν, τοῦτο δυνατόν, καὶ αὐτὸ τὸ πάσχειν ὑπ' ἐκείνου δύνασθαι· ἣν γὰρ καὶ δύναμίς τις παθητική, ἣν τὸ ἔχον εἰκότως ἂν δυνατὸν λέγοιτο. βραχέως δὲ ἡρμήνευσε τὸν τρόπον τοῦτον τοῦ δυνατοῦ εἰπὼν "ἵνα δὲ ἂν ἔχῃ τι αὐτοῦ ἄλλο δύναμιν τοιαύτην." ἄλλον τρόπον δυνατόν φησιν εἶναι τὸ ἔχον δύναμιν, καθ' ἣν ὁτιοῦν οἷόν τέ ἐστι κατὰ τὴν ἐν αὐτῷ δύναμιν μεταβάλλειν, εἴτε ἐπὶ τὸ χεῖρον εἴτε ἐπὶ τὸ βέλτιον. καὶ εἴη ἂν τοῦτο τὸ δυνατὸν λεγόμενον κατὰ τὴν δύναμιν ἐκείνην, καθ' ἥν, ὡς ἔλεγεν, τὸ καλῶς ἐπιτελεῖν τι ἐγίγνετο, ἣν ἐλέγομεν εἶναι τὴν κατὰ τὰς ἕξεις

1. αὐτῷ ἀλλ' ἡ σημαντικὴ δύναμις *M.* ‖ 4. ἑξῆς δυνάμενον δυνάμεως *M.* ‖ 5. δύναμιν om *M.* ‖ ἔχει *A.* ‖ 7. ἀλλ' ἡ μὲν om *M*, ib. lacuna. ‖ καὶ om *M.* ‖ ἡ δὲ παθητικὴ om *A.* ‖ 9. *illud enim (ab alio) passivam potentiam significat* Sepulv. ‖ εἰ] ἡ *M.* ‖ τὴν ποιητικὴν σημαίνει *M.* ‖ 13. ἔχει *M.* ‖ τὸ] τῷ *M.* ‖ 16. ποιητικὴν *M.* ‖ φύσει] φύσιν *M.* ‖ 17. τι] τε *M.* ‖ 22. οὐσίαν *A.* ‖ 27. ὑπ' *M.* ‖ 28. ἐπὶ om *M*, ib. lacuna. ‖ 30. αἰσθάνεσθαι ὁ ὁπωσοῦν *M.* ‖ 33. αὐτοῖς εἰσὶ τοῖς δύναμιν *M.* ‖ καὶ om *M*, ib. lacuna. ‖ 36. τοῖς αὐτὰς κινουμένοις *M.* ‖ 38. τοῖς εἰς ἔχουσι *M.*

1. τὰς] τοὺς *M.* ‖ 9. ἐν om *M.* ‖ 14. ᾗ] ἢ *M.* ‖ 22. μεταβολῆ *A.* ‖ 23. δὲ καὶ τὸ *M.* ‖ 25. ἐκ om *A.* ‖ 25 et 27. ᾗ] ἡ *A.* ‖ 31. πάσχει τι δύναται *M.* ‖ 33. δύναται· ἢν *M.* ‖ 36. ἔχον δυνάμει *M.* ‖ 37. αὐτοῦ *M.* ‖ 39. ἔλεγεν, τὸ om *M*, ib. lacuna.

γείᾳ ὄντος τῷ μέρος αὐτοῦ εἶναι· ἐκ γὰρ τῆς συνθέσεως τούτων τὸ ὅλον, καὶ οὐδὲν μέρος ἔστ' ἂν μέρος ᾖ, ἐστὶ καθ' αὑτὸ καὶ ἐνεργείᾳ· ὅταν δὲ μηκέτι δυνάμει ᾖ, ὡς ἦν ὄντα ἐν τῷ ὅλῳ, ἀλλ' ἐντελεχείᾳ λαμβάνηται, καὶ καθ' αὑτὰ καὶ μὴ τοῦ ὅλου μέρη. ὅταν δὴ οὕτως ἔχῃ, εἰσὶν ὕστερα τοῦ ὅλου, ὥστε δυνάμει μὲν ὄντα πρῶτα, ἐντελεχείᾳ δὲ ὕστερα· διαλυομένου γὰρ τοῦ ὅλου ἐντελεχείᾳ τούτων ἕκαστον γίνεται καὶ ὕστερον χωριζόμενον τοῦ ὅλου ἐν ᾧ ὂν δυνάμει πρῶτον ἦν, ὥστε εἰ κυρίως ὂν τὸ ἐντελεχείᾳ, ἐντελεχείᾳ δὲ τὸ ὅλον, πρῶτον κυρίως ἂν εἴη τὸ ὅλον τοῦ μέρους· οὐ γὰρ ἐντελεχείᾳ πρῶτον τὸ μέρος τοῦ ὅλου· ἐκ γὰρ τῆς τοῦ ὅλου διαλύσεως τὸ μέρος αὐτοῦ ἐντελεχείᾳ γίνεται ἕν· χωρισθὲν γὰρ τοῦ ὅλου τοιοῦτον, ὡς δυνάμει δὲ ἓν λαμβανόμενον, ὅτε καὶ μόριόν ἐστι πρῶτον τοῦ ὅλου τῷ ἐνυπάρχειν αὐτῷ. διὸ ἐντελεχείᾳ
1019a 11. μὲν πρῶτον τὸ ὅλον, δυνάμει δὲ τὸ μόριον καὶ τὸ ἐνυπάρχον. τρόπον δέ τινά φησι πάντα τὰ πρότερα καὶ ὕστερα λεγόμενα κατὰ ταῦτα λέγεσθαι. καὶ δι' ὅ, προσέθηκε· τὰ μὲν γὰρ κατὰ γένεσιν ἐνδέχεται ἄνευ τῶν ἑτέρων εἶναι, οἷον τὸ ὅλον τῶν μορίων, τὸ δὲ κατὰ φθοράν, οἷον τὸ μόριον τοῦ ὅλου· ὁμοίως δὲ καὶ ἄλλα. λέγει δὲ διὰ τούτων ὅτι πάντα τρόπον τινὰ τὰ λεγόμενα πρότερα καὶ ὕστερα εἶναι κατὰ τὸν τρόπον τοῦτον λέγεται τοῦ δυνάμει καὶ ἐνεργείᾳ· τῶν γὰρ οὐσιῶν, ὧν αἱ γενέσεις (καὶ γὰρ ἐπὶ τούτων ἡ γένεσις κυρίως), αἱ μὲν δυνάμει πρῶται αἱ δὲ ἐνεργείᾳ· τὰ μὲν γὰρ μέρη δυνάμει ὄντα πρῶτα τῶν ὅλων, τὰ δὲ ὅλα ἐνεργείᾳ πρῶτα τῶν μερῶν, ἃ διὰ τῶν ἐφεξῆς δείκνυσι. τὸ δὲ "τὰ μὲν γὰρ κατὰ γένεσιν ἐνδέχεται ἄνευ τῶν ἑτέρων εἶναι" ἴσον ἐστὶ τῷ τὰ μὲν γὰρ κατὰ γένεσιν καὶ ἐνεργείᾳ ὄντα· ἐπὶ τοῦτο γὰρ ἡ γένεσις ὁδὸς πρῶτα· τοιαῦτα δὲ τὰ ὅλα. τοῦ δὲ πρῶτον εἶναι δεικτικῷ ἐχρήσατο τῷ "ἐνδέχεται ἄνευ τῶν ἑτέρων εἶναι." ἃ γάρ ἐστι μὴ ὄντων ἐκείνων μηδέπω πρὸς ἃ συγκρίνεται κατὰ τὸ πρότερον, δῆλον ὅτι πρότερα. ὄντος δὲ τοῦ ὅλου ἐνεργείᾳ, οὐχ οἷόν τε εἶναι αὐτοῦ τὰ μέρη ἐνεργείᾳ. ὥστε ἐν μὲν τῇ γενέσει τοῦ ὅλου ὑπάρχοντος, πρῶτον τὸ ὅλον τῶν μερῶν, εἴγε τὸ μὲν ἔστι τὸ δὲ μὴ ἔστιν, ἐν δὲ τῇ φθορᾷ τοῦ ὅλου πάλιν τὸ μὲν μόριον ἔστι, τὸ δὲ ὅλον οὐκ ἔστιν. εἰ δὲ τὸ μὲν ὅλον ἐν τῇ γενέσει ἐστί, τὸ δὲ μέρος ἐν τῇ φθορᾷ, κατὰ τὸ ἐνεργείᾳ εἶναι καὶ τὸ δυνάμει συγκρίνοιτο. "ὁμοίως δὲ καὶ τἆλλα" προσέθηκε λέγων καὶ ἐπὶ τῶν ἄλλων τῶν ὄντων, ὧν οὐκ ἔστιν ἡ κυρίως γένεσις· οὐ γὰρ πάντα τὰ ὄντα διὰ γενέσεως τὸ εἶναι ἔχουσιν, εἴγε τῶν φθαρτῶν οὐσιῶν ἡ κυρίως γένεσις μόνων. καὶ ἐπ' ἐκείνων, ὧν οὐκ ἔστι μὲν γένεσις, ὅλα δέ πώς ἐστι καὶ αὐτὰ καὶ μέρη ἔχει, ὁμοίως ἕξει· δυνάμει γὰρ καὶ ἐπ' ἐκείνων τὰ μόρια τοῦ ὅλου πρῶτα ὄντα ἔσται ἐνεργείᾳ ὕστερα. οὕτως ἐπὶ γραμμῆς καὶ ἐπιφανείας, τῶν συμβεβηκότων ἁπάντων τῇ οὐσίᾳ, ποσοῦ, ποιοῦ, τῶν ἄλλων. τὰ δὲ τῶν ἀϊδίων καὶ θείων σωμάτων μέρη ταῦτα ἃ οἷόν τέ ποτε καὶ ἐνεργείᾳ γενέσθαι χωρισθέντα τοῦ ὅλου· τὰ δὲ ἐκείνων μέρη ἀχώριστα τοῦ ὅλου, ὄντος ἐκείνου ἀεὶ ἐνεργείᾳ. τῶν δέ γε συμβεβηκότων τῇ οὐσίᾳ, εἰ καὶ μὴ κυρίως ἡ γένεσις κατηγορεῖται, ἀλλ' ἔστι γέ τις καὶ τούτων γένεσις, ἡ κατὰ προσθήκην λεγομένη. ἀλλ' οὐχ ἁπλῶς, καὶ ἔστι καθ' ἕκαστον καὶ τούτων γένεσις, καὶ τὸ μὲν ἐνεργείᾳ πρότερον, τὸ δὲ δυνάμει ὕστερον. ἐνεργείᾳ μὲν γὰρ πρῶτον τὸ εἰς ὃ ἡ μεταβολὴ καθ' ἕκαστον γένος γίγνεται, δυνάμει δὲ οὗ καὶ μεταβάλλοντος πάλιν, ἐκ τούτου δυνάμει μὲν πάλιν τοῦτο τὸ πρῶτον, ἐκεῖνο δὲ εἰς ὃ μεταβάλλει, ὃ κατὰ τὴν πρώτην μεταβολὴν δυνάμει πρῶτον ἦν, οὐκ ἐνεργείᾳ. δι' ἣν μεταβολὴν γίνεται καὶ τὰ μέρη δυνάμει τοῦ ὅλου πρῶτα, καὶ τὸ ὅλον πάλιν καὶ αὐτὸ τῶν μερῶν δυνάμει πρῶτον. τῷ γὰρ δύνασθαι τὸ ὅλον φθαρῆναι εἰς τὰ μέρη, ὅταν ᾖ ἐνεργείᾳ ὅλον, ἔσται δυνάμει τὰ μέρη. οὕτω μὲν οὖν συγκρινομένων τῶν μερῶν κατὰ τὸ δυνάμει, πρῶτα τὰ μέρη τοῦ ὅλου δυνάμει, κατὰ δὲ τὸ ἐνεργείᾳ πρῶτον τὸ ὅλον τῶν μερῶν, ὡς δέδεικται· ὃ μὲν γὰρ πρῶτον ἐνεργείᾳ ἐστί τινων, τοῦτο πρῶτον ἐκείνων ἁπλῶς, ὃ δὲ πρῶτόν τινων δυνάμει ἐστί, τοῦτο ἐκείνων δυνάμει πρῶτον οὐχ ἁπλῶς. Alex.

(*) ὡς ἐπὶ τοῦ χοροῦ τῶν ᾀδόντων· τοῦ γὰρ κορυφαίου προεστῶ- 1018b 27.
τος ὁ δευτεροστατῶν παραστάτης τῶν ἐφεξῆς, καὶ μετ' αὐτόν ἐστι πρότερος. ὥσπερ δὴ καὶ ἐπὶ τῶν μουσικῶν χορδῶν πρώτη μὲν καὶ ἀρχὴ ἡ μέση, προτέρα δὲ ὡς πρὸς τὴν πάντῃ νεάτην ἡ παρανήτη κατά γε τὴν τάξιν ἐστίν. cod. Reg.

(*) γρ. ἢ ἁπλῶς πρότερον. id. 1018b 31.

ἑξῆς δὲ τὰ τῆς δυνάμεως σημαινόμενα ἐκτίθεται, καὶ δύναμιν 1019a 15.
λέγει λέγεσθαι ἕνα μὲν τρόπον τὴν ἀρχὴν τῆς κινήσεως ἢ μεταβολῆς ἐν ἑτέρῳ οὖσαν ἢ ᾗ ἕτερον ἀρχήν, τὴν αἰτίαν λέγων. αὕτη δέ ἐστιν ἡ ποιητική. καθ' ἣν γὰρ τὸ ἐνεργοῦν καὶ τὸ ποιοῦν ποιεῖ, τοῦτο δύναμις. τὸ δὲ "ἢ μεταβολῆς" εἶπεν ὅτι οὐ μόνον κινήσεως ποιητικὴ ἡ δύναμις, ἀλλὰ καὶ ἠρεμίας, καθ' ἧς τὸ μὲν τῆς μεταβολῆς ὄνομα κατηγορεῖν ὀρθόν, τὸ δὲ τῆς κινήσεως οὐκέτι, ὡς καὶ αὐτὸς ὀλίγον προελθὼν ἐρεῖ. οὕτω δυνάμεις αἱ τέχναι ἂν εἶεν· κατὰ γὰρ αὐτὰς ἐνεργοῦσί τε καὶ ποιοῦσιν οἱ τεχνῖται. τοιαύτη δύναμις ἡ ποιητική, ἣ οὐκ ἐν τῷ κινουμένῳ τε καὶ γινομένῳ ἐστίν (οὐδὲν γὰρ αὐτὸ ποιεῖ), ἀλλ' ἐν ἑτέρῳ· ἐν γὰρ τῷ οἰκοδόμῳ, οὐκ ἐν τῷ οἰκοδομουμένῳ ἡ ποιητικὴ δύναμις τῆς οἰκίας. ἐπεὶ οὖν κεχώρισται τὸ ποιοῦν τοῦ ποιουμένου καὶ ἔστιν ἡ ποιητικὴ δύναμις ἐν τῷ ποιοῦντι, ἀνάγκη ἐν ἑτέρῳ αὐτὴν εἶναι καὶ οὐκ ἐν τῷ ποιουμένῳ. ἐπεὶ δὲ ἐνδέχεταί τινα καὶ αὑτῷ αἴτιον μεταβολῆς γενέσθαι τῆς κατά τι ἔχοντα τὴν ἀρχήν, καθ' ἣν ἡ μεταβολὴ καὶ ὑφ' ἧς, ὡς ὅταν ἰατρὸς αὑτὸν ὑγιάζῃ, διὰ τοῦτο προσέθηκε τῷ ἐν ἑτέρῳ τὸ ᾗ ἕτερον· οὐ γὰρ ᾗ νοσεῖ, ταύτῃ τὴν δύναμιν τοῦ αὑτὸν ἰᾶσθαι ἔχει· οὐ γὰρ ταὐτὸν ἰατρῷ τε εἶναι καὶ ἰατρευομένῳ τε καὶ νοσοῦντι. τὴν μὲν οὖν οὕτως φησὶ δύναμιν λέγεσθαι, τὸ δὲ "ὅλως" προσέθηκεν ἤτοι τοῦ καθόλου δηλωτικόν, ὡς εἶναι τὸ εἰρημένον ἢ μὲν οὖν

1. τῷ] τὸ M. ‖ 9. πρῶτον τοῦ μέρους τὸ ὅλον A. ‖ 10. αὐτὸς M. ‖ 11. τὸ ὅλον M. ‖ δὲ et 21. ὄντα om M. ‖ 21. ὅλων] ἄλλων M. ‖ 22. μερῶν, ἀδικαιοδικῶν ἐφεξῆς A. ‖ 24. *huc enim via per generationem patet; huiusmodi autem sunt tota* Sepulv. ‖ 41. ἃ om M. ‖ 42. μερισθέντα M.

5. τὸ om M. ‖ 6. οὗ] ὃ M. ‖ 7. μὲν] μὴ M. ‖ 15. τοῦτο τῶν ἐκείνων M. ‖ 30. εἶεν om M. ‖ 32. αὐτὴ M. ‖ 35. ἀνάγκη om M, ib. lacuna. ‖ 38. ἔσται] δοκοῦσαι M. ‖ 39. αὐτοῦ M. ‖ 40. ἰατρευομένῳ τε δὲ ση ib. lacuna M. ‖ 41. λέγεσθαι δύναμιν M.

μελλόντων τὸ ἐγγύτερον· τὰ μὲν γὰρ πορρωτέρω τοῦ νῦν ἀφεστῶτα ἐπὶ τῶν παρεληλυθότων πρότερα, ὕστερα δὲ τὰ ἐγγυτέρω. ἐπὶ δὲ τῶν μελλόντων ἔμπαλιν πρότερα μὲν τὰ ἐγγυτάτω τοῦ νῦν, ὕστερα δὲ τὰ πορρωτέρω· ὡς γὰρ ἀρχῇ χρόνου χρωμένων ἡμῶν τῷ νῦν τὰ μὲν ἐγγυτέρω τῶν ἐσομένων τούτου πρότερον λέγεται ἔσεσθαι, τὰ δὲ πορρωτέρω τῶν γεγονότων πρότερα γεγονέναι. πρότερα γὰρ κατὰ χρόνον ταῦτα, ὧν ἐν προτέρῳ νῦν ἡ ὕπαρξις, πρότερον δὲ νῦν· ἐπὶ γὰρ τοῦ παρεληλυθότος τὸ πορρωτέρω τοῦ νῦν, ἐπὶ δὲ τοῦ μέλλοντος τὸ ἐγγυτέρω ὄν. ἔστι μὲν οὖν τὸ νῦν ἀρχὴ χρόνου φύσει· τῷ δὲ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι δόξει καὶ ἐπὶ τοῦ χρόνου εἶναι τὸ μὴ ἀεὶ ὡρίσθαι φύσει τὴν ἀρχήν. πάλιν κατὰ κίνησιν πρότερα τὰ ἐγγύτερα τοῦ πρώτου κινήσαντος. οὕτως πρότερος παῖς ἀνδρός· ἐγγυτέρω γὰρ τῷ γεννήσαντι. ἀρχὴ γὰρ καὶ αὕτη τις, φησίν, ἁπλῶς, τουτέστι κατὰ φύσιν, τὸ πρότερον κινῆσαν ἐπὶ τῆς κατὰ φύσιν κινήσεως. οὕτω πρώτη ἡ τῶν ἀπλανῶν κίνησις καὶ ἡ τοῦ Κρόνου τῶν ἄλλων, ὅτι ἐγγυτέρω ἐκείνου. διὰ δὲ τοῦ προσθεῖναι τὸ "ἀρχὴ δὲ καὶ αὕτη τις ἁπλῶς" ἔοικε δηλοῦν ὅτι καὶ ἡ ἐπὶ τοῦ χρόνου λαμβανομένη ἁπλῶς καὶ αὐτὴ ἦν
1018b 21. ἀρχή· τοιοῦτον γὰρ τὸ νῦν. καὶ κατὰ δύναμιν δὲ λέγεται πρότερα· τὸ γὰρ ἄρχον καὶ δυνατώτερον τῇ δυνάμει πρότερον, ἔστι δὲ δυνατώτερόν τε καὶ ἄρχον οὗ κατὰ τὴν προαίρεσιν. ἀνάγκη τὸ ὕστερον ἀκολουθεῖν τε καὶ κινεῖσθαι ἢ μὴ κινεῖσθαι, ὡς ἂν ἐκείνῳ δοκῇ· ἡ γὰρ ἐκείνου προαίρεσις ἀρχὴ τῆς τῶν ὑπ' αὐτοῦ κινήσεως· καὶ γὰρ καθόλου ἡ προαίρεσις ἀρχή τις ἐν ἀνθρώπῳ. καὶ εἴη ἂν κατὰ δύναμιν πρῶτον μὲν τὸ ἄρχον, ὕστερον δὲ τὸ ὑποτεταγμένον ἐκείνῳ· ἀρχὴ δὲ ἡ τοῦ κινοῦντος προαίρεσις, ἧς ἐγγυτέρω μέν ἐστιν ὁ ἔχων αὐτήν, πορρωτέρω δὲ ὁ
1018b 26. ὑπὸ τούτου κινούμενος. λέγεταί τινα καὶ τῇ τάξει πρῶτα. τίνα δέ ἐστι τὰ τῇ τάξει πρότερα καὶ ὕστερα λέγει· ὅσα γὰρ πρός τι ἓν ὡρισμένον ἀφέστηκεν ἔν τινι λόγῳ, τὸ πρῶτον ἔχει ταῦτα τῇ τάξει καὶ τὸ ὕστερον, ὡς ὁ ἐν χορῷ πρωτοστάτης τοῦ τριτοστάτου πρότερος· κατὰ γὰρ τὴν πρὸς τὸν κορυφαῖον ἀπόστασιν τῇ τάξει τὸ πρότερον τούτοις καὶ τὸ ὕστερον· ἀρχὴ γὰρ ὁ κορυφαῖος τοῦ χοροῦ. ὁμοίως καὶ παρανήτη νήτης πρότερον τῇ τάξει κατὰ τὴν πρὸς τὸ μέσον ἀπόστασιν, ἥτις ἐν τῷ ἡρμοσμένῳ ἀρχὴ λαμβάνεται (*). τὰ μὲν οὖν πρότερα τοῦτον λέγεται τὸν τρόπον, πάντας δὲ τοὺς προειρημένους τοῦ προτέρου τρόπους ὄντας πέντε ὑφ' ἕν τι κοινὸν ὑπάγει, τὸ ὄντος τινὸς πρώτου καὶ ἀρχῆς ἐν ἑκάστῳ γένει κατὰ τὴν πρὸς τοῦτο ἀπόστασίν τε καὶ γειτνίασιν τὸ πρότερον λαμβάνεσθαι· καὶ γὰρ εἰ διάφορα τὰ λαμβανόμενα, ὅπου μὲν τόπος, ὅπου δὲ χρόνος, ὅπου δὲ κίνησις, ὅπου δὲ δύναμις, ὅπου δὲ
1018b 30. τάξις, ἀλλὰ ὁ τρόπος τῆς λήψεως ὁ αὐτός. ἄλλον δέ φησι τρόπον πρότερα λέγεσθαι παρὰ τὸν προειρημένον τὰ τῇ γνώσει· δοκεῖ γὰρ ὧν ἡ γνῶσις πρώτη, ταῦτα καὶ ἁπλῶς τε καὶ τῇ φύσει πρῶτα εἶναι, ὧν δὲ ὕστερον, ὕστερα. ὅτι δὲ μὴ ἁπλῶς τὸ τῇ γνώσει πρῶτον καὶ τῇ φύσει πρῶτόν ἐστιν, ἑξῆς δείκνυσι διὰ τῆς τῶν γνωστῶν διαφορᾶς (*)· εἶναι γάρ φησιν ἄλλα μὲν τὰ κατὰ τὸν λόγον πρῶτα, ἄλλα δὲ τὰ τῇ αἰσθήσει· κατὰ μὲν γὰρ τὸν λόγον τὰ καθόλου πρῶτα, ἃ καὶ ἁπλῶς τὰ φύσει πρῶτα· διὰ τούτων γὰρ αἱ κατ' ἐπιστήμην γνώσεις, κατὰ δὲ τὴν αἴσθησιν τὰ καθ' ἕκαστα, ἃ πρὸς ἡμᾶς δοκεῖ τὸ πρῶτον ἔχειν. ἀλλ' οὐχ ἁπλῶς· διὸ κατὰ τοῦτο τὸ σημαινόμενον τοῦ πρώτου ἔσται πρῶτα καὶ τὰ καθόλου καὶ τὰ αἰσθητά. λέγει κατὰ τὸν λόγον πρῶτον εἶναι καὶ τὸ συμβεβηκὸς τοῦ συναμφοτέρου, ὅ ἐστιν ἐκ τοῦ ὑποκειμένου καὶ τοῦ συμβεβηκότος· καὶ εἴη ἂν τοῦτο κατὰ τὸν λόγον πρῶτον οὐ τῇ γνώσει τῇ κατὰ τὸν λόγον, ἀλλὰ τῷ μέρος εἶναι τοῦ λόγου· τὸ γὰρ ἁπλούστερον πρῶτον, ἁπλούστερον δὲ τὸ μέρος τοῦ ὅλου. καὶ ἔστιν ὅλον μὲν ὁ μουσικὸς ἄνθρωπος, μέρος δὲ τὸ μουσικόν, καίτοι ἀδύνατον μουσικὸν ὅλως εἶναι μὴ ὄντος ὑποκειμένου τινός. ἀλλ' ὅμως ὕστερον ὂν τῇ οὐσίᾳ πρῶτόν ἐστι τῷ λόγῳ, τῷ μόριον εἶναι τοῦ λόγου τοῦ μουσικοῦ ἄνθρωπος. πρότερά φησι λέγεσθαι καὶ ἐν πάθεσι 1018b 37.
τὰ τῶν πρώτων πάθη τὰ ἃ τῶν ὑστέρων ἐστίν. οὕτως ἡ εὐθύτης πάθος ἐστὶ γραμμῆς καθ' αὑτό, ἡ δὲ τελειότης ἐπιφανείας· πρῶτον δὲ γραμμὴ ἐπιφανείας. μὴ εἰπὼν δὲ κατὰ τί σημαινόμενον τοῦ πρώτου ἡ γραμμὴ τῆς ἐπιφανείας πρῶτόν ἐστιν, δι' οὗ τρόπου προστίθησιν, ὃν κατὰ φύσιν τε καὶ οὐσίαν λέγει, δείκνυσι κατὰ τί πρότερον ἡ γραμμὴ τῆς ἐπιφανείας· λέγεσθαι γάρ φησι καὶ φύσει τε καὶ οὐσίᾳ πρῶτα, ὡς τὰ συναναιροῦντα μὲν μὴ συναναιρούμενα δέ, ᾧ φησὶ σημαινομένῳ πρώτῳ Πλάτωνα χρήσασθαι· οὕτω πρώτη καὶ ἡ γραμμὴ τῆς ἐπιφανείας ἐστίν. φησὶ δέ, ἐπεὶ τὸ εἶναι πλεοναχῶς (δεκαχῶς 1019a 4.
γὰρ) τὸ κατὰ τὸ εἶναι πρῶτον καὶ κατὰ τὴν ὕπαρξιν φησὶν εἶναι πᾶσιν ὑποκείμενον τοῖς ἄλλοις, τοιοῦτον δὲ τὴν οὐσίαν εἶναι· καθὸ γὰρ συναναιρεῖ μὲν μὴ συναναιρεῖται δέ, πρώτη τῶν ἄλλων. ἀλλὰ καὶ καθὸ ὑπόκειται καὶ καθὸ τἆλλα ἐστὶ τῷ ἐν ταύτῃ ὑποκειμένῃ εἶναι μάλιστα καὶ πρῶτον ὄν. κατ' ἄλλο πάλιν σημαινόμενον τοῦ ὄντος τε καὶ τοῦ εἶναι πρότερον εἶναί φησι τὸ πρῶτον δυνάμει ἢ ἐνεργείᾳ ὄν. οὕτως δείκνυσι τὸ ὅλον τῶν αὐτοῦ μερῶν πρῶτον ὂν καὶ ὕστερον· τὸ μὲν γὰρ μέρος πρῶτον τοῦ ὅλου δυνάμει, τὸ δὲ ὅλον ἐνεργείᾳ πρῶτον τῶν μερῶν, ὡς δείξει. πῶς δὲ τὸ δυνάμει καὶ ἐντελεχείᾳ λέγεται, διὰ παραδείγματος ἔδειξε· κατὰ δύναμιν γὰρ ἡ ἡμίσεια τῆς ὅλης πρώτη καὶ τὸ μόριον τοῦ ὅλου καὶ ὅλως ἡ ὕλη τοῦ εἴδους τε καὶ συναμφοτέρου· δυνάμει γὰρ τούτων ἕκαστον ἐν τῷ ὅλῳ ὂν πρῶτόν ἐστι τοῦ ὅλου, ἐνερ-

5. ἐσομένων τό τε τοιούτου πρότερον *M.* ‖ 6. πορρωτέρω γεγονότα πρότερα *M.* ‖ 7. ὧν προτέρων νῦν *M.* ‖ 8. τῶν μελλόντων *M.* ‖ 9. *itaque nunc seu temporis momentum natura principium est motus. sed quoniam aliud aliudque sumitur, non semper in tempore principium videtur natura determinari* Sepulv. ‖ νῦν πᾶν μὲν ὂν νῦν ἀρχὴ *A.* ‖ 10. δόξει om *M*, ib. lacuna. ‖ 11. φύσιν *M.* ‖ 14. πρώτη] πρώτῳ *M.* ‖ 15. χρόνου *M.* ‖ 17. λαμβάνονται *M.* ‖ 19. τῇ — δυνατώτερον om *A.* ‖ 21. ἐκεῖνο δοκεῖ *M.* ‖ 27. τῇ om *M.* ‖ ἴσῳ *M.* ‖ ὡρισμένην *M.* ‖ 30. τὴν τάξιν *M.* ‖ 34. τὸν] τὸ *A.* ‖ τοῦ om *M.* ‖ 35. τε *M.* ‖ τὸ] τὰ *M.* ‖ πρῶτα *M.*

2. πρῶτα — 4. φύσει om *A.* ‖ 4. ἑξῆς δὲ ἡ οὐσία, δείκνυσι *M.* ‖ 10. πρῶτα] πρῶτον *A.* ‖ 13. τὸ μέρος *A*, τῷ μέρη *M.* ‖ 16. ὄντος] οὗτος *M.* ‖ 19. πρώτων παθητῶν ἃ *M.* ‖ 21. γραμμῆς *A.* ‖ μὴ om *M*, ib. lacuna. ‖ τί] τὰ *M.* ‖ 22. διὰ οὗ *M.* ‖ 27. ἐπεὶ] ἐπὶ *M.* ‖ 28. ὑποκειμένοις *M.* ‖ 29. γὰρ om *A.* ‖ 34. ὂν] ἦν *M.* ‖ 35. ὅλου] ἄλλου *M.*

ἐπειδὴ καὶ ὁ τῶν ἐναντίων ὁρισμὸς ἐν τούτοις. ἢ πρῶτα λέγει τὰ κυρίως ἐναντία, μὴ τῷ μετέχειν τινῶν ἢ τῷ δεκτικὰ αὐτῶν εἶναι, τὰ δὲ τῷ ποιητικὰ εἶναι τῶν τοιούτων ἢ παθητικά, ἢ κατά τινα τρόπον τῶν πρὸ ὀλίγου εἰρημένων· ἐναντία γὰρ καὶ αὐτὰ καλεῖται. οὐ γὰρ ἀνάγκη ἕτερα τῷ εἴδει εἶναι τὰ ἐναντίων τινῶν δεκτικά· κατὰ γὰρ αὐτὸ τὸ τῶν ἐναντίων εἶναι δεκτικὰ ἕτερα λέγει τῷ εἴδει εἶναι. καὶ τῶν ἀτόμων εἰδῶν, ὧν ἐν τῷ αὐτῷ γένει ὄντων οἱ λόγοι καὶ οἱ ὁρισμοί εἰσιν ἕτεροι, ὡς ἵππου καὶ βοός· τὰ γὰρ ἄτομα εἴδη τελευταῖα. ἔτι λέγει ἕτερα τῷ εἴδει καὶ ὅσα ἐν τῇ αὐτῇ οὐσίᾳ ὄντα, τουτέστιν ὁρισμῷ τῷ αὐτῷ καὶ λόγῳ, ἔχει τινὰ πρὸς ἄλληλα διαφοράν, ὡς τὰ ἄτομα τὰ ἐν τῷ αὐτῷ εἴδει, ὁ Σίμων καὶ Σωκράτης· τὸ γὰρ οἰκεῖον ἑκάστῳ εἶδος ἕτερον. δύναται διὰ τοῦ "καὶ ὅσα ἐν τῇ αὐτῇ οὐσίᾳ ὄντα ἔχει διαφοράν" λέγειν περὶ τῶν σωμάτων, ἃ ἐναντίωσιν μὲν οὐκ ἔχει πρὸς ἄλληλα ἐν τῇ οὐσίᾳ, ὡς εἶχε τὸ πῦρ καὶ τὸ ὕδωρ, διαφορὰν δέ τινα. οὕτως ἂν εἴη ἕτερα γῆ καὶ ὕδωρ· ἐν γὰρ ὁμοίως ἡ γῆ ὕδατος ἕτερον καὶ ἀέρος· ἀέρος γὰρ κατ' ἐναντίωσιν, οὐδ' ὁμοίως τὸ ὕδωρ ἕτερον ἀέρος τε καὶ πυρός. ἤδη δὲ περὶ τούτων προείρηκε. τῷ δὲ εἴδει φησὶ ταὐτὰ λέγεσθαι τὰ ἀντικείμενα λεγόμενα τούτοις, καὶ οὐ χαλεπὸν ἕκαστον λαμβάνοντα τῶν σημαινομένων ὑπὸ τῶν τῷ εἴδει ἑτέρων λαμβάνειν τὰ τῷ εἴδει ταὐτά· ἔσται δὲ ταῦτα οὕτως ταὐτά τινα ὄντα κατὰ μέν τι ἕτερα τῷ εἴδει, κατὰ δέ τι ταὐτά, ὥσπερ καὶ τὰ ὑπάλληλα γένη καὶ ταὐτὰ τῷ εἴδει καὶ οὐ ταὐτά, ταὐτὰ μὲν ὅτι ἦν ἕτερα τῷ εἴδει τὰ ἐκ τοῦ αὐτοῦ γένους μὴ ὑπάλληλα· ταὐτὰ δὴ κατὰ τοῦτο ἔσται ἢ οὐχ ὑπάλληλα. ἔσται δὲ ἕτερα πάλιν, ὅτι ἦν τινὰ ἕτερα τῷ εἴδει καὶ κατὰ τὸ σημαινόμενον ταὐτό· ἦν γὰρ ἕτερα καὶ ὅσα ἐν τῷ αὐτῷ γένει ὄντα διαφοράν τινα εἶχεν, οἷά ἐστι καὶ τὰ ὑπ' ἄλληλα. τὰ μὲν οὖν ἔσται ταὐτὰ τῷ εἴδει, ὅτι ὑπ' ἄλληλα, τὰ δὲ ὅτι ἐν τῷ αὐτῷ γένει ὄντα οὐκ ἔχει διαφοράν, ὡς ἄνθρωπος ἀνθρώπῳ, καὶ τὰ μὴ ἔχοντα ἐν τῇ οὐσίᾳ ἐναντίωσιν, ὡς πῦρ πρὸς ἀέρα. οὐ γὰρ πάντη τὰ εἴδη αὐτῶν ἐναντία· ἐπεὶ γὰρ τὸ πῦρ τοῦ ὕδατος ἕτερον ἦν τῷ ἔχειν ἐναντίωσιν, ἐκείνῳ ταὐτόν, ἢ οὖν τῷ ἀέρι. ἢ εἰ καὶ τούτῳ λέγοιτο ἔχειν ἐναντίωσιν, ἀλλ' ὡς πυρὶ ἔσται ταὐτόν· ἐκείνῳ γὰρ οὐδὲν ἐναντίον ἐν τῇ οὐσίᾳ ἔχει. εἴη ἂν καὶ τὰ μὴ ἐναντία ἐν τῷ αὐτῷ εἴδει, ὡς ἵππος κυνὶ ἢ τὸ μέλαν τῷ φαιῷ. ἀλλὰ καὶ τῶν ἐν τῷ τελευταίῳ τοῦ γένους εἴδει οἱ λόγοι μή εἰσιν ἕτεροι, οὔτ' ἄνθρωπος ἀνθρώπῳ καὶ ἵππος ἵππῳ ταὐτὰ τῷ εἴδει, καὶ ὅσα ἐν τῇ αὐτῇ οὐσίᾳ ὄντα μὴ ἔχει μηδεμίαν διαφοράν. οὕτως ἂν ταὐτὸν εἴη τὸ κατ' ἀριθμὸν ταὐτὸν αὐτὸ αὑτῷ, καὶ τὰ πολυώνυμα ἀλλήλοις. οὐκ ἄλλο δὲ καθ' ἑκάστην ἀπόδοσιν δεῖ ζητεῖν· τὰ γὰρ αὐτὰ κατὰ διαφόρους ἐπιβολὰς τὰ αὐτὰ ἀλλήλοις γίνεται πλεοναχῶς. ἐφεξῆς ἐκτίθεται τὰ σημαινόμενα τοῦ 1018b 9. προτέρου τε καὶ ὑστέρου. ἐποιήσατο δὲ καὶ ἐν ταῖς Κατηγορίαις (c. 12) διαίρεσιν αὐτοῦ, ἀλλ' ἐκεῖ μὲν ἔλαβε τὸ τῷ χρόνῳ, τὸ τῇ φύσει, τὸ τῇ τάξει, τὸ τῇ δυνάμει, τὸ τῶν ἀντιστρεφόντων πρὸς ἄλληλα αἴτιον τῷ ἑτέρῳ τοῦ εἶναι, ἐνταῦθα δὲ τὰ μέν φησι πρότερα λέγεσθαι τῷ ἀρχῆς τινὸς ὡρισμένης ἐγγυτέρω εἶναι ἢ ἁπλῶς καὶ τῇ φύσει ὡρισμένης καὶ πλειόνων οὔσης ἀρχῆς, ἢ πρός τι ἀρχῆς, ἢ ὑπό τινων γε νομιζομένης. εἰπὼν δὲ ὡς ὄντος τινὸς πρώτου καὶ ἀρχῆς ἐν ἑκάστῳ γένει, ἑξῆς τὰ γένη προχειρίζεται ἐν οἷς τὸ πρότερόν τε καὶ ἡ ἀρχὴ ἡ οὕτω λεγομένη. ἔστι δὲ κατὰ πέντε, κατὰ τόπον, κατὰ χρόνον, κατὰ κίνησιν, κατὰ δύναμιν καὶ κατὰ τάξιν. καὶ πρῶτον περὶ τῶν κατὰ τόπον λέγει· κατὰ γὰρ τόπον πρότερα μὲν τὰ ἐγγυτέρω τούτου τινός, ὕστερα δὲ τὰ πορρωτέρω τοῦ αὐτοῦ τούτου, ἤτοι ὡρισμένου τῇ φύσει, ὡς ἔχει τὸ μέσον τοῦ παντὸς ἢ τὸ ἔσχατόν τε καὶ πέριξ, ἢ τοῦ τυχόντος, ἀλλ' οὐ τῇ φύσει ὡρισμένου, ἂν ἀπὸ τοῦ ἐν ᾧ τίς ἐστι τὸ πρότερον καὶ τὸ ὕστερον τὸ κατὰ τόπον λαμβάνει· πρότερον γὰρ τὸ ἐγγυτέρω τοῦ ἐν ᾧ ἐστὶ τόπου ὄν, ὕστερον δὲ τὸ πορρωτέρω καὶ πλεῖον ἀφεστώς. τὸ δὲ προειρημένον τὸ "ἀρχῆς τινὸς διωρισμένης, ἢ ἁπλῶς καὶ τῇ φύσει, ἢ πρός τι ἢ ποῦ ἢ ὑπό τινων," ἐπὶ τόπου σημαίνει ἂν τὸ μὲν τῇ φύσει, ὃ εἶπεν αὐτός, εἰ τὸ μέσον τὸ τοῦ παντὸς ἢ τὸ ἔσχατον λαμβάνοιτο. τὸ δὲ πρός τι, εἰ μὴ φύσει τις ὢν πρῶτος πρὸς ἄλλους τινὰς τόπους ὡς πρῶτος ὢν ἐκείνων λαμβάνοιτο, οἷον πρῶτος τῶν μέχρι Ἐλευσῖνος ὁ πλησίον τοῦ ἄστεος· τῶν γὰρ ἐφεξῆς αὐτοῦ πρῶτος. τὸ δὲ ποῦ, εἴ τις ἀφ' οὗ ἢ ἐν ᾧ ἐστὶ τὸ πρότερον λαμβάνει. τὸ δὲ ὑπό τινων, ὡς ἂν ἕκαστος τῶν τὸ πρότερον λαμβανόντων θήσει τὸν τόπον πρὸς ὃν τὸ πρότερον. Alex.

(*) καὶ ὅσων ἐν τῷ τελευταίῳ τοῦ γένους εἴδει οἱ λόγοι ἕτεροι ὑπάρχουσιν. Asclep. 1018a 4.

"τὰ — χρόνον." εἰπὼν περὶ τοῦ κατὰ τόπον προτέρου, λέγει καὶ 1018b 14. περὶ τοῦ κατὰ χρόνον, οὐ πάντη ὁμοίως λεγομένου τῷ κατὰ τόπον· ἐπὶ μὲν γὰρ ἐκείνου τὸ ἐγγύτερον τοῦ ὡρισμένου τόπου πρῶτον, ἐπὶ δὲ τοῦ χρόνου οὐχ οὕτως, ἀλλ' ἐπὶ μὲν τῶν γεγονότων τὸ πορρωτέρω, ἐπὶ δὲ τῶν

1. ὁρισμὸς] ἀριθμὸς *A.* ‖ 2. μὴ] μὲν ἢ *M.* ‖ 3. *sed quod contrariis participent, aut contraria excipiant* Sepulv. ‖ τούτων] ὄντων *M.* ‖ 7. ὄντων] ὂν *M.* ‖ 8. τελευταῖος *M.* ‖ 10. τινὸς *A.* ‖ 12. εἴδη τελευταῖα — τῷ εἴδει iterantur in cod. *M* subducta lineola. ‖ 13. λόγοι *M.* ‖ 14, 15 et 16. τὸ] τῷ *M.* ‖ 18. *eadem vero specie diverso his modo dici ait, quibus specie diversorum intellectibus sigillatim sumptis in promptu est specie eadem accipere* Sepulv. ‖ 20. τῶν et 21. ἔσται om *M.* ‖ 22. γένει *M.* ‖ 23. ὅτι ἦν om *AM*, ib. lacuna. ‖ 24. μὴ] μὲν *M.* ‖ ἢ] ἢ *M.* ‖ 25. σημαινόμενον om *M.* ‖ 28. ὅτι ἐν τῷ αὐτῷ om *M*, ib. lacuna. ‖ 31. γὰρ τὸ πῦρ τοῦ om *M.* ‖ 32. ἢ οὖν] εἰ οὖν *M.* ‖ 33. ὡς πυρὶ] ὥσπερ *A.* ‖ ἐναντίον ἐν τῇ et 36. οὔτ' om *M*, ib. lacuna.

3. αὐτῶν *M.* ‖ 4. ἐπιβολὰς *A.* ‖ 7. *et eorum quae inter se convertuntur, quod alteri est existendi causa* Sepulv. ‖ 13. ἑκάστου *M.* ‖ γένει] γένει *M.* ‖ οἷς καὶ τὸ *M.* ‖ 16. τῶν κατὰ τόπον om *M*, ib. lacuna. ‖ 17. τρόπων *M.* ‖ 18. ἢ τὸ ἔσχατον τε om *M*, ib. lacuna. ‖ 20. ἐγγυτέρω τὸ τόπου ὂν *M.* ‖ 23. ἐπὶ om *M*, ib. lacuna. ‖ ἐπὶ τούτο που σημαίνει *A.* ‖ "*aut ab aliquibus iam definito,*" *de loco potest ad hunc modum explicari. natura, ut ipse dixit* Sepulv. ‖ 24. ὃ] ἢ *M.* ‖ εἰ] εἰς *M.* ‖ τὸ ante τοῦ om *M.* ‖ 28. *ubi vero seu loco, ut si quis a loco, ubi est, computet prius. ab aliquibus, ut si quisquam eorum qui prius accipiunt, locum statuat ad quem dicatur prius* Sepulv. ‖ 29. ἂν] ὂν *A.* ‖ λαμβανόντων τι θέσει τῶν τόπων *M.*

αὐτὴν δύναμιν, λέγων ἤτοι τὴν πρὸς ἀντικείμενα ὁμοίως ἔχουσαν μέθοδον, ὡς ῥητορικὴν καὶ διαλεκτικήν. ἐναντία γὰρ ὑπὸ μὲν τὴν ῥητορικὴν ἐγκώμιον καὶ ψόγος, κατηγορία καὶ ἀπολογία, προτροπὴ καὶ ἀποτροπή, κατὰ δὲ διαλεκτικὴν τὸ ψεῦδός τε καὶ τἀληθές· ἄμφω γὰρ συμπεραίνεται. ἢ "δύναμιν" λέγει ἂν τὴν φυσικὴν ἕξιν, ὑφ' ἣν ἐναντία, περὶ μὲν ἀκοὴν εὐηκοΐα καὶ δυσηκοΐα, περὶ δὲ τὴν ὁρατικὴν ὀξυωπία καὶ ἀμβλυωπία. ἢ δύναμιν τὴν φύσιν λέγει, ἥτις ἐστὶν ἀρχὴ τῆς κινήσεως· πλεῖστον δὲ κατὰ δύναμιν ταύτην διαφέρει τὰ ἄνω φύσει κινούμενα τῶν κάτω. ἢ δύναμιν λέγει πᾶσαν ἐπιστήμην τε καὶ τέχνην· αἱ γὰρ ἐπιστῆμαι δυνάμεις τέ καὶ ἕξεις, τῶν δὲ ἐναντίων αἱ αὐταὶ ἐπιστῆμαι. οὕτως ὑγεία καὶ νόσος ἐναντία· ὑπὸ γὰρ τὴν ἰατρικὴν ταῦτα ὄντα πλεῖστον ἀλλήλων διέστηκε, καὶ εὐεξία 1018a 30 καὶ καχεξία ὄντα ὑπὸ τὴν γυμναστικήν. ἄλλως ἐναντία φησὶ λέγεσθαι καὶ ὧν ἡ διαφορὰ μεγίστη ἢ ἁπλῶς ἢ κατὰ γένος ἢ κατ' εἶδος. οὗτος δὲ ὁ τρόπος τῶν τε προειρημένων πάντων ἐναντίων ἐστὶ περιεκτικός, προσέτι δὲ καὶ τῶν κατ' ἀντίφασιν ἀντικειμένων καὶ τῶν καθ' ἕξιν ἢ στέρησιν· πάντα γὰρ ταῦτα μεγίστην διαφορὰν ἔχει πρὸς ἄλληλα. κατὰ τοῦτο τὸ σημαινόμενον τῶν ἐναντίων πολλάκις καὶ τὴν κατάφασιν τῇ ἀποφάσει ἐναντία λέγουσι καὶ τὴν ἕξιν τῇ στερήσει. τὸ δὲ "ἢ ἁπλῶς ἢ κατὰ γένος ἢ κατ' εἶδος" εἴη ἂν τοιοῦτον· ἤτοι ὧν ἡ διαφορὰ ἁπλῶς μεγίστη ἐστίν, ἐναντία, οἷον εἰ λέγει τις τὸ ὂν καὶ τὸ μὴ ὂν ἢ τὸ πλῆρες καὶ κενόν, ἢ κατά τι γένος ἢ εἶδος ἀφωρισμένον, οἷον ἐν ζῴοις τὰ πλεῖστον διαφέροντα, ὡς λογικὸν καὶ ἄλογον καὶ ὑπόπουν καὶ ἄπουν, ἢ ἐν χρώματι τὸ λευκὸν καὶ μέλαν. κατὰ μὲν γένος οὕτως, κατ' εἶδος δὲ ἐν ἀνθρώποις τὰ πλεῖστον διαφέροντα ἐναντία, οἷον τὸ ἐπίστασθαι καὶ τὸ μὴ ἐπίστασθαι, γινώσκειν καὶ ἀγνοεῖν, ἢ τὸ ἀρετὴν καὶ κακίαν ἔχειν· εἰ γὰρ ἡ ἕξις εἶδος τῆς ὑπολήψεως ἦν ἐν εἴδει τῷ αὐτῷ, εἴη ἂν ἐναντία ἀρετὴ καὶ κακία· ἕξις γὰρ ἀμφότερα· ταῦτα γὰρ ἐν τούτῳ τῷ γένει πλεῖστον διαφέροντα ἢ ἐν τούτῳ τῷ εἴδει ἐναντία λέγεται καὶ τὰ ἁπλῶς πλεῖστον διαφέροντα. καὶ κατὰ πόσους λέγεται τρόπους, κατὰ ταῦτα τὰ ἐναντία ἤδη λέγεσθαί φησι καὶ τὰ ἄλλα τὰ μετέχοντα τούτων· ἢ γὰρ τῷ ἔχειν τινὰ τῶν εἰρημένων, ὡς τὸ πῦρ καὶ ἡ χιών· τῷ γὰρ τὴν μὲν ψυχρότητα ἔχειν τὸ δὲ θερμότητα ἐναντία, καὶ οὕτως ἐν τῷ αὐτῷ γένει πλεῖστον ἀλλήλων διεστάναι· τὰ δὲ τῷ δεκτικὰ τῶν ἐναντίων, οἷον εἰ λέγει τις τὸ λογικὸν καὶ ἄλογον ἐναντία εἶναι τῷ τὸ μὲν ἐπιστήμης τὸ δὲ ἀνεπιστημοσύνης εἶναι δεκτικόν. ἢ δύναμις ἡ τῆς ἀρετῆς δεκτικὴ τῆς δυνάμεως τῆς κακίας δεκτικῆς, ἢ ἡ δύναμις καθ' ἣν βαρύτητός ἐστιν ἡ ὕλη δεκτική, τῆς δυνάμεως καθ' ἣν κουφότητος, ὡς εἶπεν ἐν τῷ Δ περὶ Οὐρανοῦ (c. 1). τὰ δὲ λέγεται ἐναντία τῷ ποιητικὰ τῶν ἐναντίων εἶναι (οὕτω τὸ θερμαντικὸν τῷ ψυκτικῷ ἐναντίον), τὰ δὲ τῷ παθητικὰ τῶν ἐναντίων εἶναι, ὡς τὸ δυνάμενον ψύχεσθαι τῷ θερμαίνεσθαι δυναμένῳ, τὰ δὲ τῷ τὰ μὲν ποιητικὰ εἶναι τὰ δὲ παθητικά, ὡς τὸ θερμαίνειν δυνάμενον τῷ θερμαίνεσθαι, ἢ τὰ θερμαινόμενα τοῖς ψύχουσι καὶ τὰ θερμαινόμενα τοῖς ψυχομένοις. ἀποβολαὶ δὲ ἢ λήψεις, τὸ θερμὸν γινόμενον τῷ γινομένῳ ψυχρῷ, τὸ ἀποβάλλον τὴν θερμότητα τῷ τὴν ψυχρότητα. ἕξις δὲ καὶ στέρησις τῶν τοιούτων τὸ ἔχον θερμότητα ἢ τὸ δυνάμενον ἔχειν μὴ ἔχον δέ, ἢ ἡ ὄψις καὶ ἡ τυφλότης ἐκ τῶν νῦν εἰρημένων. δῆλον ὅτι καὶ ὧν ἡ διαφορὰ μεγίστη ἢ κατὰ γένος ἢ κατ' εἶδος, καθ' ἃ δεύτερον παρεθέμην παραδείγματα, ταῦτα κατὰ γένος καὶ κατ' εἶδος λέγει. λέγονται ἐναντία καὶ κατὰ τὰς τῶν ἐναντίων ἀποβολάς, οἷον τὸ ὑγίειαν ἀποβάλλον τῷ νόσον ἀποβάλλοντι. ἀλλὰ καὶ κατὰ τὴν τοῦ αὐτοῦ ἀποβολήν τε καὶ λῆψιν· τὸ γὰρ λαμβάνον τῷ ἀποβάλλοντι ὑγίειαν. καὶ κατὰ τὰς ἕξεις δὲ τῶν ἐναντία λέγεται, οἷον τὸ ἔχον ὑγίειαν τῷ ἔχοντι νόσον. καὶ κατὰ τὰς στερήσεις ὁμοίως· τὸ γὰρ ἐστερημένον ὑγείας τῷ ἐστερημένῳ νόσου ἐναντίον, καὶ αὐτὸ ἢ ἐπὶ τοῦ αὐτοῦ, τὸ ἔχον αὐτὸ τῷ ἐστερημένῳ αὐτοῦ, τὸ ἔχον ὑγείαν τῷ ταύτης ἐστερημένῳ. ἐπεὶ δέ, φησί, τὸ ἓν καὶ τὸ ὂν πολλαχῶς λέγεται (δεκαχῶς γάρ), ἰσαχῶς, φησί, λεχθήσεται καὶ τὰ κατ' αὐτὰ λεγόμενα, τουτέστι καθ' ἕκαστον αὐτῶν λεγόμενα καὶ ἐν ἑκάστῳ ὄντα. ταῦτα δέ ἐστι τὸ ταὐτόν, τὸ ἕτερον, τὸ ἐναντίον, τὸ ὅμοιον, τὰ ἄλλα ὅσα κοινὰ πάντων τῶν τοῦ ὄντος γενῶν· καὶ γὰρ ἐν οὐσίᾳ ταὐτὸν καὶ ὅμοιον καὶ ἕτερον καὶ ἐναντίον, καὶ ἐν ποιότητι καὶ ἐν ποσότητι καὶ ἐν ἑκάστῳ τῶν ἄλλων γενῶν. ὥστε καὶ τούτων ἕκαστον δεκαχῶς ῥηθήσεται· καὶ γὰρ ἐν οὐσίᾳ ἐναντίωσις καὶ τὰ ἔχοντα ἐναντία ἢ τὰ πάσχοντα ἢ τὰ ποιοῦντα ἢ ἀποβάλλοντα ἢ λαμβάνοντα. ἐναντία καὶ αὐτὰ ἀλλήλοις λέγεσθαι· οἷς τε ἔσται κατὰ τὰς κατηγορίας ἡ διαίρεσις τοῦ τε ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου καὶ ἐναντίου. τούτου γὰρ χάριν ἐμνημόνευσε τούτου· ἐξ οὗ καὶ δῆλον πάλιν ὅτι τοῦ πρώτου φιλοσόφου ἡ περὶ τούτων θεωρία. ἑξῆς δὲ ἐκτίθεται ποσαχῶς ἕτερα τῷ εἴδει λέγεται· πρότερον γὰρ εἶπε ποσαχῶς τὰ ἐναντία λέγεται, καὶ ἦν ἐν αὐτοῖς καὶ τὰ τῷ εἴδει διαφέροντα. ποσαχῶς οὖν καὶ τὰ τῷ εἴδει διαφέροντα, λέγει. ἕτερα δή φησι τῷ 1018b 1 εἴδει εἶναι τά τε ἐκ τοῦ αὐτοῦ γένους διαφέροντα εἴδη μὴ ὑπ' ἄλληλα, τουτέστι τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα ἀλλήλοις. δεύτερον σημαινόμενον ἐκτίθεται τῶν ἑτέρων τῷ εἴδει, ὅσα ἐκ τοῦ αὐτοῦ γένους ὄντα διαφοράν τινα ἔχει πρὸς ἄλληλα (’). οὕτως ἂν εἴη ἕτερα ἀλλήλων καὶ τὰ ὑπ' ἄλληλα εἴδη· καὶ γὰρ ταῦτα διαφορὰς ἔχει πρὸς ἄλληλα. ἕτερά φησιν εἶναι καὶ ὅσα ἐν τῇ αὐτῶν οὐσίᾳ καὶ τῶν ὁρισμῶν ἐναντίωσιν ἔχει. οὕτω λέγοιτ' ἂν ὕδωρ πυρὸς ἕτερον. ἐν γὰρ τῇ οὐσίᾳ ἐστὶν αὐτῶν ἐναντίωσις· τὸ μὲν γὰρ θερμόν τε καὶ ξηρὸν τὴν οὐσίαν, τὸ δὲ ὕδωρ ψυχρόν τε καὶ ὑγρόν, καὶ ἔστι γένος αὐτῶν ἢ τὸ φυσικὸν σῶμα ἢ τὸ στοιχεῖον· δεῖ γὰρ τὰ ἕτερα τῷ εἴδει ὑπὸ ἕν τι γένος εἶναι. λέγει καὶ τὰ ἐναντία ἕτερα τῷ εἴδει. "ἢ πάντα" φησὶν "ἢ τὰ λεγόμενα πρώτως." πρώτως δέ ἐστιν 1018b 4 ἐναντία ἤτοι τὰ ἐν τῷ αὐτῷ γένει πλεῖστον ἀλλήλων διαφέροντα,

4. καὶ ἀληθὲς *A.* ‖ 8. διάφορα *M.* ‖ 12. ὄντα om *M.* ‖ 21 et 34. ἐναντίον *A.* ‖ 36. ἐναντία] ἐν τῷ *A.* ‖ 37. δεκτικά. ἢ *M.* ‖ 38. δεκτικῶς *M.* ‖ 41. ἐναντίον] ἐναντία *A.*

3. γινόμενον] γενόμενον *A.* ‖ 6. ἡ post ἢ om *A.* ‖ 14. τῶν αὐτῶν *M.* ‖ 16. ὂν] ἓν *AM.* ‖ 17. λεχθήσεσθαι *M.* ‖ ἕκαστα *M.* ‖ 19. τῶν om *AM.* ‖ 20. ὄντως *M.* ‖ 38. αὐτῶν ἐστὶν *M.* ‖ 41. τι] τε *M.*

τῶν καθ' ἃ διαφέρουσιν ἀλλήλων, οἷον Γερμανὸς Γερμανῷ καὶ Ἰνδὸς Ἰνδῷ. ἀλλὰ καὶ τὰ ἑπόμενα τοῖς γεννήσασιν οὕτως ὅμοια λέγεται. καὶ κατὰ τὸ τρίτον σημαινόμενον ὅμοια λέγεται, ὧν ἡ ποιότης μία, οἷον τὰ θερμὰ κατὰ τὴν ποιότητα ταύτην ὅμοια, κἂν τὰ ἄλλα ἀνόμοια κατὰ τὸ σημαινόμενον τοῦτο. ἢ τὰ ὁμοίως τῆς αὐτῆς κοινωνοῦντα ποιότητος ἢ τὰ ἐν τῇ αὐτῇ πάντα ποιότητι, κἂν μὴ ὁμοίως αὐτὴν ἔχοι, οἷον θερμά, ἀλλὰ τὸ μὲν μᾶλλον τὸ δ' ἧττον. τέταρτον σημαινόμενον ὁμοίως ἐκτίθεται, ὅταν τινὰ τῶν καθ' ἃς ἀλλοιοῦσθαι καὶ μεταβάλλειν πέφυκεν ἐναντιώσεων, τὰς πλείστας τὰς αὐτὰς ἔχῃ. οἷον οἶνος ἀλλοιοῦσθαι πέφυκε καὶ κατὰ χρῶμα καὶ κατὰ χυμῶν διαφορὰς καὶ κατὰ ὀσμάς· ὅταν οὖν τινὲς οἶνοι τὰς πλείστας ποιότητας, καθ' ἃς οἷοί τέ εἰσι μεταβάλλειν τε καὶ ἀλλοιοῦσθαι, τὰς αὐτὰς ἔχωσιν, ἢ τὰς κυριωτέρας (κυριώτερον δὲ ἐν οἴνῳ χυμὸς καὶ εὐωδία χρώματος), οὗτοι ὅμοιοι οἶνοι λέγονται. οὐ κατὰ τοῦτο τὸ σημαινόμενον ὅμοια ἦν τὰ κατὰ τὸν δεύτερον τρόπον εἰρημένα· ἐνθάδε γὰρ πρόσκειται τὸ "καθ' ὅσα ἀλλοιοῦσθαι ἐνδέχεται·" τὰ γὰρ τούτων πλείω οὐχ ἁπλῶς πλείω. λέγεσθαι δέ φησι καὶ τὰ ἀνόμοια ἀντικειμένως τοῖς ὁμοίοις· ἀνόμοια γὰρ τά τε κατ' εἶδος διαφέροντα καὶ τὰ ἐλάττω ταὐτὰ πάθη ἔχοντα, καὶ τὰ ἐπὶ διαφόρων ποιοτήτων ὄντα κατ' αὐτὰς ἀνόμοια, καὶ τὰ τῶν καθ' ἃ πέφυκεν ἀλλοιοῦσθαι τὰ πλείω ἢ τὰ κυριώτερα διαφέροντα ἔχοντα. Alex.

1018a 12. (*) "διάφορα δὲ λέγεται ὅσα ἕτερά ἐστι τὸ αὐτό τι ὄντα," τουτέστι κατά τι κοινωνοῦντα. "μὴ μόνον ἀριθμῷ" ἀντὶ τοῦ κἂν μὴ μόνον ἀριθμῷ, ὥσπερ ὁ Ἀλέξανδρος καὶ ὁ Πάρις· ταῦτα γὰρ δοκοῦσι πολλὴν ἔχειν κοινωνίαν ὀνόματι καὶ ἐν τούτοις ἐστί τις διαφορὰ κατ' αὐτὸ τὸ ὄνομα. ὁμοίως δὲ λέγεται διάφορα καὶ τὰ εἴδει ἢ γένει ἢ ἀναλογίᾳ κτλ.. Asclep.

1018a 20. λέγει δὲ καὶ περὶ τῶν ἀντικειμένων, ποσαχῶς ἀντίκειται, καὶ προστίθησι τῇ εἰς τέσσαρα διαιρέσει τῶν ἀντικειμένων τῇ καθωμιλημένῃ, ἥτις ἐστὶ τἀναντία, στέρησις καὶ ἕξις, τὰ πρός τι, κατάφασιν καὶ ἀπόφασιν, καὶ τὰ ἐξ ὧν αἱ γενέσεις καὶ φθοραί. εἴη δ' ἂν ταῦτα ἤτοι τὸ ὄν τε καὶ μὴ ὄν· ἡ μὲν γὰρ ἐκ μὴ ὄντος εἰς ὂν μεταβολὴ γένεσις, ἡ δὲ ἐξ ὄντος εἰς μὴ ὂν φθορά. οὔτε δὲ τὸ ὂν κατάφασις οὔτε τὸ μὴ ὂν ἀπόφασις· ὀνόματι γὰρ τὸ μὲν ὡρισμένον τὸ δὲ ἀόριστον. ἀλλ' οὐδὲ ἐναντία, ἀλλ' οὐδὲ πρός τι, ἀλλ' οὐδὲ τὸ μὲν ἕξις τὸ δὲ στέρησις εἶναι δοκεῖ. λέγοι δ' ἂν μᾶλλον τὰ ἐξ ὧν αἱ γενέσεις καὶ αἱ φθοραὶ τὴν ὕλην καὶ τὸ εἶδος καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν. ἐκ τοῦ δυνάμει γὰρ ἡ γένεσις, καὶ ἐκ τῆς ὕλης εἰς τὸ ἐνεργείᾳ καὶ τὸ εἶδος καὶ ἡ φθορὰ ἐκ τοῦ ἐνεργείᾳ καὶ τοῦ εἴδους εἰς τὸ δυνάμει καὶ τὴν ὕλην· οὐ γὰρ ἡ ὕλη στέρησις, οὐδὲ ἐναντία τῷ εἴδει, εἰ καὶ συμβέβηκεν αὐτῇ ἡ στέρησις. δύναται καὶ αὐτὴν τὴν γένεσιν καὶ τὴν φθορὰν ἀντικείμενα λέγειν. ἢ ταῦτα ὡς ἐναντία ἀντίκειται. ἔτι φησὶν ἀντικεῖσθαι καὶ ταῦτα ἃ μὴ ἐνδέχεται ἅμα παρεῖναι τῷ ἀμφοῖν δεκτικῷ, ἢ αὐτὰ ἢ ἐξ ὧν ἐστίν· ἐπεὶ γὰρ οὐδὲ τὰ μεταξὺ τῶν ἐναντίων ἅμα παρεῖναι τῷ αὐτῷ οἷόν τε, καὶ οὐ λέγεται ἀντικείμενα, διὰ τοῦτο εἶπεν ἢ αὐτά, εἰ ὡς ἐναντία εἴη, ἢ τὰ ἐξ ὧν ἐστίν· τὰ γὰρ μεταξὺ τῷ τὰ ἐξ ὧν ἐστὶ καὶ αὐτὰ ἀντικείμενα εἶναι, τούτῳ οὐ δύναται ἅμα τῷ αὐτῷ ὑπάρχειν, ᾧ τὸ ἕτερον τῶν ἀμίκτων. δύναται τὸ "ἢ αὐτὰ ἢ ἐξ ὧν ἐστίν" εἰρηκέναι ἀντὶ τοῦ καὶ αὐτὰ καὶ ἐξ ὧν ἐστίν· καὶ γὰρ τὰ ἐξ ὧν ἐστὶ τὰ μεταξὺ ἀντίκειται ἐκεῖνα ἀλλήλοις, καὶ τὰ μεταξὺ ἐξ ἐκείνων. δύναται τὸ "ἢ αὐτὰ ἢ ἐξ ὧν ἐστί" δηλωτικὸν εἶναι τοῦ ἢ αὐτὰ ἀλλήλοις ἀντικεῖσθαι τὰ μὴ δυνάμενα ἅμα παρεῖναι τῷ ἀμφοτέρων δεκτικῷ, ἢ τούτοις ἐξ ὧν ἐστίν. λευκὸν μὲν γὰρ καὶ μέλαν αὐτὰ ἀλλήλοις ἀντίκειται (ἐναντία γάρ), ἀντίκειται δὲ καὶ τὸ ἐξ ἀμφοῖν ἑκατέρῳ αὐτῶν, τῷ μὴ δύνασθαι μηδὲ αὐτὰ ἅμα τινὶ ἐκείνων ὑπάρχειν. ἢ ἄμεινον ἀκούειν ὡς τὸ πρῶτον ἐρρέθη· καὶ γὰρ ἡ λέξις ἐκεῖνο δηλοῖ. οὐχ ὡς μὴ πᾶσι δὲ τοῖς ἀντικειμένοις τούτου παρακολουθοῦντος λέγει, ἀλλ' ὡς καὶ ἄλλοις τισὶ παρὰ τὰ ἰδίως ἀντικεῖσθαι λεγόμενα· καὶ γὰρ τοῖς μεταξὺ τοῖς ἐξ ὧν ἐστὶ κατὰ τὸ σημαινόμενον τοῦτο ἀντίκειται. καὶ εἴη ἂν τὸ "καὶ ὅσα μὴ ἐνδέχεται" ὡς ἴσον τῷ καὶ καθόλου ὅσα μὴ ἐνδέχεται εἰρημένον. τὰ δὲ "διὸ ἐξ ὧν ἐστὶν ἀντίκειται" ἐλλιπῶς εἰρημένον ἴσον ἂν εἴη τῷ διὸ ἐξ ὧν ἐστὶ τὰ μεταξὺ ἐκείνοις ἀντίκειται. ἑξῆς δὲ λέγει περὶ ἐναντίων. λέγει 1018a
25. δὲ ἐναντία εἶναι τά τε μὴ δυνάμενα τῷ αὐτῷ παρεῖναι τῶν κατὰ γένος διαφερόντων, τουτέστιν ἃ κατὰ γένος ἀλλήλων διαφέροντα ἀδύνατον ἅμα τῷ αὐτῷ παρεῖναι. τοιαῦτα δ' ἂν εἴη τὰ ἕτερά τε καὶ μὴ ὑπ' ἄλληλα γένη, ὡς ζῷον πεζὸν καὶ ζῷον πτηνὸν ἢ τὸ ποιεῖν καὶ τὸ πάσχειν. καὶ ἡ ἀρετὴ δὲ καὶ ἡ κακία οὕτως ἐναντία· γένη γὰρ καὶ αὐτά, εἰ καὶ μὴ ὑπὸ κοινόν ἐστι γένος. καὶ ὅλως τὰ ἐναντία γένη, οἷον τὸ ἀγαθὸν ἢ κακόν· ἐναντία γὰρ γένη τὸ ἀγαθὸν καὶ τὸ κακόν, ὡς αὐτὸς ἐν ταῖς Κατηγορίαις (c. 11) εἴρηκε καὶ ἐν τῷ τετάρτῳ τῶν Τοπικῶν (c. 3) καὶ Θεόφραστος ἐν τῷ πρώτῳ τῶν Τοπικῶν, ἃ οὐχ οἷά τε τῶν ὑπ' αὐτὰ ἅμα τινὶ ὑπάρξαι. τοιαῦτα καὶ τὰ ὑπὸ τὴν κίνησιν καὶ στάσιν, καὶ ὅσα πλεῖστον διαφέρει τῶν ἐν τῷ αὐτῷ γένει ἐναντία, ὡς καὶ τὸν ὁρισμὸν ἀποδιδόναι τῶν ἐναντίων σύνηθες. οὕτω λευκὸν καὶ μέλαν ἐναντία, γλυκὺ καὶ πικρόν. ἄλλως φησὶ λέγεσθαι ἐναντία τὰ πλεῖστον ἀλλήλων διαφέροντα τῶν ἐν τῷ αὐτῷ δεκτικῷ. οὕτως πάλιν λευκὸν καὶ μέλαν ἐναντία· πλεῖστον γὰρ διέστηκε τῶν ἐν τῷ σώματι πεφυκότων γίνεσθαι. ἤτοι δὲ ἄλλο σημαινόμενον τοῦτο τῶν ἐν τῷ αὐτῷ γένει πλεῖστον διεστώτων, ὅτι μὴ πάντα τὰ ἐναντία ἐν τῷ αὐτῷ ὑποκειμένῳ πέφυκε γίνεσθαι (οὐ γὰρ περὶ ταὐτὸν οὐδὲ τῷ αὐτῷ δεκτικῷ τὸ λογικόν τε καὶ ἄλογον), ἢ διαφέρουσα ἡ ἀπόδοσις δείκνυσι δυναμένους τοῦ αὐτοῦ καὶ λόγους ἑτέρους λέγειν. ἄλλως ἐναντία λέγεσθαί φησι τὰ πλεῖστον διαφέροντα τῶν ὑπὸ τὴν

3. τὸ] τὸν *M.* ‖ 17. οὐχ ἁπλῶς πλείω om *M.* ‖ 19. ταῦτα *A.* ‖ 31. τὰ] τὸ *M.* ‖ 36. τὰ om *M.* ‖ 38. ἐνέργειαν αὐτοῦ· δυνάμει *M.* ‖ ἐκ τῆς] αὐτῆς *M.*

5. καὶ τὰ ἀντικείμενα ἢ τοῦτο οὐ *M.* ‖ 7. εἰρηκέναι — 9. ἐστί om *M.* ‖ 13. αὐτῷ τῷ *M.* ‖ 18. ὅσα] ὅταν *M.* ‖ 21. ἐκείνοις *M.* ‖ 25. πτηνῶν *M.* ‖ 28. τὸ post καὶ om *M.* ‖ ὡς] καὶ *MF.* ‖ 31. τοῦτο *M.* ‖ 32. αὐτῷ om *M.* ‖ 38. πλεῖστον *A.* ‖ 40. *vel expositio diversa docet eiusdem diversas rationes, quae reddi possunt, dicere* Sepulv. ‖ 41. ἑτέρους] ὑστέρους *M.* ‖ 42. ἄλλος *M.*

μὲν γὰρ μία κατ' ἀριθμὸν ὕλη, ταὐτὰ ταῦτα αὐτοῖς· αὐτὸ γὰρ αὑτῷ
1015a ταὐτόν. ὅτι γὰρ οὕτως εἶπεν, ἐδήλωσε διὰ τοῦ εἰπεῖν "ὅταν χρῆται
8. ὡς πλείοσιν." εἴδει δὲ ἓν τὸ ὑποκείμενον καὶ ἡ ὕλη, ἐφ' ὧν τοῦ αὐτοῦ εἴδους τὸ ὑποκείμενόν τισιν εἴη, εἰ καὶ μὴ ἀριθμῷ, οἷον εἰ χαλκὸς εἴη πλείοσί τισιν ὑποκείμενος ἀνδριᾶσιν ἢ λίθος, εἴδει ταὐτὸν ἔχων ὑποκείμενον, καὶ ὅσα κατ' εἶδος διαφέροντα τὸ ἔσχατον ὑποκείμενον ἓν εἶχεν, ὡς τηκτὰ πάντα ταὐτὰ ἀλλήλοις καὶ ἓν διὰ τὸ ἔχειν ἐξ οὗ πάντα πρώτου ὑποκειμένου σώματος ἓν τῷ εἴδει. ταὐτὰ λέγεσθαι φησὶ καὶ ὧν ἡ οὐσία μία, οὐσίαν τὸ εἶδος λέγων. εἴη δ' ἂν ἐν τούτῳ περιειλημμένα καὶ τὰ ὁμοειδῆ ἀλλήλοις καὶ τὰ ὁμογενῆ καὶ κατὰ ἀναλογίαν· καὶ γὰρ κοινωνία τίς ἐστιν εἴδους τε καὶ λόγου. ὁρίζεται δὲ ταῦτα, εἰπὼν τὴν ταυτότητα πλειόνων ἑνότητα. κατὰ τὸ εἶναί τε καὶ τὴν οὐσίαν, κατὰ συμβεβηκὸς ἐδείχθη ὄντα τὰ αὐτά· κατ' οὐσίαν γὰρ τὰ αὐτά, καὶ ὧν ἡ ὕλη μία καὶ ὧν ἡ οὐσία τε καὶ τὸ εἶδος. ἐπεὶ δὲ καὶ αὐτό τι αὑτῷ λέγεται ταὐτόν, προσέθηκε τὸ "ἢ ὅταν χρῆται ὡς πλείοσιν·" καὶ γὰρ ὁ αὐτό τι ταὐτὸν λέγων ὡς δύο
1018a οὖσι τῷ ἑνὶ χρῆται. καὶ τὰ ἕτερα δέ, φησί, λέγεται ἀντιστρόφως τοῖς
9. ταὐτοῖς· ὧν τε γὰρ εἴδη πλείω, ταῦτα ἕτερα, ὡς ἵππος ἀνθρώπου. λέγοιτο δ' ἂν καὶ τὰ ἐκ μὲν τῆς αὐτῆς ὕλης μὴ ὁμοειδῆ ἀλλήλοις, οἷον εἰ ξύλινα ὄντα ἀνομοειδῆ ἀλλήλοις ᾖ, καὶ ὧν ἡ ὕλη ἑτέρα, εἰ μὲν κατ' ἀριθμόν, ἀριθμῷ ἕτερα, εἰ δὲ εἴδει, εἴδει. ἕτερα ἀλλήλων λέγοιτ' ἂν καὶ τὰ ὁμοειδῆ, ἂν εἴη ἐκ διαφόρου ὕλης, τὸ χρυσοῦν ἔκπωμα καὶ τὸ ἀργυροῦν καὶ ὁ λίθινος ἀνδριὰς καὶ ὁ χαλκοῦς. ἀλλὰ καὶ ὧν ὁ λόγος ὁ τῆς οὐσίας δηλωτικὸς ἕτερος, ἕτερα καὶ ταῦτα, ὡς τὰ ἑτερώνυμα· καί τισιν ἂν εἴη καὶ τὰ ἑτερώνυμα καὶ οὕτως ἕτερα ἀντικείμενα τῶν ὑπὸ ταὐτόν, εἰ τοῖς ὧν ἡ ὕλη μία κατ' ἀριθμόν, καὶ οὕτω τοῖς αὐτοῖς λεγομένοις καὶ τὰ ἑτερώνυμα εἴη ταὐτά· κατὰ γὰρ τὴν ὕλην μίαν οὖσαν κατ' ἀριθμὸν καὶ ταῦτα ταὐτά. ἢ διὰ μὲν τοῦ εἰπεῖν "ἕτερα δὲ λέγεται ὧν τὰ εἴδη πλείω ἢ ἡ ὕλη" δύναται λέγειν ἀμφότερα ἐπὶ τῆς ὕλης· ἐπεὶ γὰρ ἦν ταὐτὰ ὧν ἡ ὕλη μία ἢ εἴδει ἢ ἀριθμῷ, εἴη ἂν καὶ ἕτερα ὧν ἢ τῷ εἴδει πλείους αἱ ὗλαι ἢ τῷ ἀριθμῷ. εἰ δὴ τῷ μὲν ἄργυρος εἴη τῷ δὲ χρυσὸς ὕλη, ἀριθμῷ· εἰ δὲ εἴη ὁμοειδὴς μὲν διῃρημένη δέ, εἴη ἂν "ὧν ἢ τὰ εἴδη" τῆς ὕλης λέγων. εἰ δὲ ταῦτα οὕτω διαιροῖτο, ὁ λόγος τῆς οὐσίας οὕτω ἐπὶ τοῦ εἴδους ἂν λέγοιτο· ὧν γὰρ τὰ εἴδη πλείω τε καὶ διαφέροντα, ταῦτα ἕτερα. καὶ ὅλως φησὶν ἀντικειμένως λέγεσθαι τῷ ταὐτῷ τὸ ἕτερον. καθ' ἕκαστον οὖν τὸ ἰσόρροπον τοῦ ταὐτοῦ λαμβάνοντα χρὴ κατὰ τὴν ἀντίθεσιν τὴν ἐν τῷ ταὐτῷ τὸ ἕτερον λέγειν, ὡς καὶ αὐτὸς πεποίηκε. λέγει δὲ καὶ διάφορα λέγεσθαι ἀλλήλων καθ' ἕνα μὲν τρόπον ταῦτα ὅσα μὴ μόνον ἕτερά ἐστιν ἀλλήλων, ἀλλ' ὅσα κατά τι ἓν ὄντα ταὐτὰ τὴν πρὸς ἄλλο ἑτερότητα ἔχει. τὸ δὲ καὶ "μὴ μόνον ἀριθμῷ" προσέθηκε τῷ "ταὐτό τι ὄντα" ὡς ἴσον τῷ μόνον μὴ ἀριθμῷ ὄντα ταὐτά (*)· τὰ γὰρ οὕτω ταὐτὰ οὐκέτι διαφέρειν δύναται· τὸ γὰρ ταὐτὸν τὰ διαφέροντα ἀλλήλων ἔχειν δεῖ μὴ κατ' ἀριθμόν· τὰ γὰρ οὕτω ταὐτὰ οὐ διάφορα, ἀλλ' ἢ εἴδει ἢ γένει ἢ ἀναλογίᾳ δεῖ ταὐτὰ εἶναι· καὶ γὰρ τὰ τῷ εἴδει ταὐτὰ διάφορα κατ' ἀριθμόν. δύναται δὲ καὶ κατά τινα μορφὴν καὶ τὰ γένει· δύναται γὰρ καὶ ἀριθμῷ καὶ εἴδει ταῦτα διάφορα εἶναι, εἰ τῷ γένει μόνον εἴη ταὐτά. ὁμοίως καὶ τὰ κατ' ἀναλογίαν ταὐτὰ καὶ ἀριθμῷ καὶ εἴδει καὶ γένει δύναται διαφέρειν ἀλλήλων. Ἀσπάσιος δὲ ἤκουσε τοῦ "ὅσα ἕτερά ἐστι τὸ αὐτό τι ὄντα, μὴ μόνον ἀριθμῷ ἀλλ' εἴδει ἢ γένει ἢ ἀναλογίᾳ," ὡς εἰρημένου ὅτι δεῖ τὰ διάφορα μὴ μόνον ἕτερα εἶναι ἀριθμῷ, ἀλλὰ καὶ κατά τι τὰ αὐτὰ ἀλλήλοις εἶναι, εἰ μέλλοι μὴ μόνον ἕτερα εἶναι ἀλλὰ καὶ διάφορα· τὰ γὰρ ἀριθμῷ ἕτερα οὐ πάντως διάφορα, ἂν μὴ καὶ κατά τι τῶν εἰρημένων τὰ αὐτὰ ᾖ. δεύ- 1018a
τερον σημαινόμενον τῶν διαφερόντων ἐκτίθεται, ὧν τὰ γένει ἕτερα· 13.
ταῦτα δ' ἐστὶν ἃ πάντῃ ἀλλήλων ἐστὶν ἕτερα. οὕτω διάφορα ζῷον καὶ χρῶμα. καὶ τρίτον σημαινόμενον διαφερόντων τὰ ἐναντία· ταῦτα δέ ἐστι ἃ ἐν τῷ αὐτῷ γένει ἀλλήλοις ὄντα πλεῖστον ἀλλήλων διέστηκεν. οὐ κατὰ τοῦτο τὸ σημαινόμενον τὰ πρῶτα διάφορα ἐλέγετο ἁπλῶς· τὰ γὰρ ἐν τῷ αὐτῷ γένει μὴ ὁμοειδῆ ἐκεῖ ἐλέγετο, τὰ διαφέροντα δὲ ὡς ἐναντία προσείληφε καὶ τὸ πλεῖστον διεστάναι. λέγει διάφορα εἶναι καὶ ὅσα ἐν τῇ οὐσίᾳ ἔχει τὴν ἑτερότητα, ἤτοι ἐπὶ τῶν ἐναντίων καὶ τοῦτο εἰρηκώς, ἢ λέγοι ἂν ἑτερότητα τὴν ἐναντίωσιν· καὶ γὰρ τὰ μὴ ἐναντία ἀλλήλοις ἔχοντα μέντοι ἐν τῇ οὐσίᾳ τῇ αὐτῶν ἐναντίωσίν τινα πρὸς ἄλληλα διαφέροντα. οὕτω γῆ καὶ ὕδωρ διαφέρει· ἐν γὰρ τῇ οὐσίᾳ τῆς μὲν γῆς τὸ ξηρόν, τοῦ δὲ ὕδατος τὸ ὑγρόν. δύναται διαφέροντα λέγειν καὶ ὅσα κατὰ τὸ ὑποκείμενον ὄντα ταὐτά, κατὰ τὴν οὐσίαν καὶ τὸν ὁρισμὸν ἔχει τὴν ἑτερότητα, ὡς ἔχει τὰ ἑτερώνυμα. δύναται ἐν τῇ οὐσίᾳ ἔχειν τὴν ἑτερότητα καὶ ἐναντίωσιν τὸ κίβδηλον καὶ δραχμή, καὶ πάλιν ὁ νεκρὸς καὶ ὁ ἄνθρωπος, ὡς ἐν τῷ περὶ Ἑρμηνείας (c. 11) εἶπεν. ὅμοιά φησι λέγεσθαι τά τε πάντα ταὐτὰ πεπονθότα, τουτέστι πάντῃ ἐοικότα ἀλλήλοις κατὰ τὸ εἶδός τε καὶ τὴν μορφήν (ταῦτα γὰρ λέγει πάθη), ὡς οἱ Διόσκουροι, ὁ Ζῆθος καὶ Ἀμφίων, καὶ ἐπὶ τὸ πλεῖστον τὰ δίδυμα. καὶ εἴη ἂν μάλιστα ταῦτα ὅμοια. δευτέρως δὲ καὶ ὅσα πλείω ταὐτὰ πέπονθεν ἢ ἕτερα, καὶ ταῦτα ὅμοια· ἀπὸ γὰρ τοῦ πλεονάζοντος ὅμοια λέγεται. πλείω γὰρ οὗτοι ταὐτὰ πάθη ἔχουσιν ὡς ἐπὶ τὸ πλεῖστον

6. ἔχοι *M.* ‖ 7. τηκτὰ] τὰ κατὰ *M.* ‖ 8. πρῶτα *M.* ‖ ἓν] ἐν *M.* ‖ 11. κατὰ] τὰ *M.* ‖ εἶδος *M.* ‖ 12. δὲ τὰ ταὐτά *M.* ‖ *unitatem. demonstratum est autem eadem partim secundum esse ac substantiam eadem esse, partim secundum accidens* Sepulv. ‖ 14. καὶ post αὐτά, om *M.* ‖ 15. αὐτότητι αὐτῷ *M.* ‖ 18. εἴδει *M.* ‖ ταὐτὰ *A.* ‖ 19. καὶ τὰ] κατὰ *M.* ‖ 21. alterum εἴδει et 22. ὕλης om *M.* ‖ 25. *ut heteronyma. et omnino diversa sunt, quae significatis eiusdem opponuntur. caeterum si quorum materia una numero est, haec eadem nuncupantur, profecto heteronyma eadem fuerint* Sepulv. ‖ καὶ τί δι' ἂν *M.* ‖ 27. τὰ om *M.* ‖ 29. τὰ] τοῦ *M.* ‖ ἢ et 30. ἐπὶ om *M.* ‖ 31. ἢ post εἴδει om *AM.* ‖ 34. διαιρεῖτο *M.* ‖ 36. ταὐτῷ] ταὐτὰ *M.* ‖ 37. ταὐτῷ *A.*

1. μόνα *A.* ‖ 3. μόνον *M.* ‖ 10. καὶ γένει καὶ εἴδει *M.* ‖ 13. ὅτι δὴ τὰ *M.* ‖ διάφορα ἂν μὴ καὶ κατά τι μὴ *MV.* ‖ 14. τινα *M.* ‖ 18. ταῦτα δὲ τινα πάντῃ *M.* ‖ 20. πλεῖστον *AV.* ‖ 24. διάφορον *M.* ‖ 26. ἔχοντα καὶ τὰ μέντοι τῇ *M.* ‖ 30. ὄντα αὐτά *M.* ‖ 31. ἔχειν] ἔχει *M.* ‖ 36. καὶ ὡς ἐπὶ *M.* ‖ 37. ταὐτὰ] ταῦτα *M.*

γὰρ ἡ τῶν σωμάτων μορφή, ἥ τε κατὰ τὰ σχήματα καὶ ἡ κατὰ τὸ τί ἦν εἶναι. τὸ δὲ "χωριστόν," εἰ εἴη προσκείμενον, δηλωτικὸν ἂν εἴη ἤτοι τοῦ τῇ ἐπινοίᾳ χωριστὸν αὐτὸ εἶναι τοῦ ὑποκειμένου· τὸ γὰρ εἶδος τῆς ὕλης ἕτερον καὶ χωριστόν, εἰ καὶ μὴ ὑποστάσει, ἀλλὰ τῷ γε λόγῳ. ἢ χωριστόν, ὅτι μὴ ἀΐδιον μηδὲ ἀεὶ ταὐτὸν μένον ἐν τῇ ὕλῃ, ἀλλὰ χωριζόμενόν τε καὶ φθειρόμενον· τοιοῦτον γὰρ τὸ ἔνυλον εἶδος πᾶν, οὗ μνημονεύει διὰ τοῦ δευτέρου σημαινομένου τῆς οὐσίας. ἢ χωριστὸν τῷ ἄλλο εἶναι τοῦ ὑποκειμένου αὐτό, καὶ μὴ ἐκ τῆς οὐσίας αὐτοῦ· οὕτω γὰρ πρὸς τὴν ὕλην ἔχει καὶ τὸ εἶδος. ἐπιζητήσαι τις ἂν πρὸς τοῦτο περὶ τῶν εἰδῶν τῶν ἐν τοῖς θείοις σώμασι· ταῦτα γὰρ οὔτε ἔνυλα οὔτε φθαρτὰ καὶ χωριστὰ τῇ ἐπινοίᾳ τοῦ ὑποκειμένου αὐτοῖς σώματος· τὰ μὲν γὰρ κινητὰ αὐτῶν εἴδη εἴη ἂν ἐν τῇ πρώτῃ μοίρᾳ τῆς οὐσίας· ἄτομοι γὰρ καὶ αὗται οὐσίαι καὶ ἔσχατοι καὶ ἐν μηδενὶ οὖσαι. οὐκ ἔοικε δὲ τὰς δευτέρας οὐσίας ἐν ἄλλοις εἰρημένας αὐτῷ νῦν ἐν τοῖς σημαινομένοις τῆς οὐσίας καταριθμεῖσθαι. δύναται δὲ καὶ "ὃ ἂν τόδε τι ὂν καὶ χωριστὸν" εἰρηκέναι ἐπὶ τῶν εἰδῶν τῶν ἐν τῇ οὐσίᾳ, λέγων ἀντὶ τοῦ ἐν χωριστῷ· μόνον γὰρ τῶν ὄντων χωριστὸν καὶ καθ' αὑτὸ ὂν ἡ οὐσία, ὡς λέγειν αὐτὸν μὴ περὶ παντὸς σημαινομένου τῆς οὐσίας, ἀλλὰ τῆς κυρίως, ἥτις εἴη ἂν ἐν τοῖς δυσὶ τοῖς προειρημένοις, τῷ τε ἐσχάτῳ ὑποκειμένῳ, ὅ ἐστιν ἡ ὕλη, καὶ τῷ ἐν ταύτῃ εἴδει· τοιοῦτον γὰρ τόδε τι ὂν καὶ χωριστὸν ᾖ· ὃ γὰρ αἴτιον τοῦ τάδε τι εἶναι τῷ χωριστῷ, τοῦτο ἡ κατὰ τὸ εἶδος οὐσία. Alex.

(¹) εἰ τὸ μεῖζον Α Ἀλεξάνδρου εἴη, καὶ τοῦτο ἐκείνου. cod. Reg. in marg.

1017b 27. "ταὐτὰ δὲ λέγεται." καὶ τὰ ταὐτὰ διαιρεῖ εἴς τε τὸ κατὰ συμβεβηκὸς καὶ εἰς τὸ καθ' αὑτό, καὶ τὸ κατὰ συμβεβηκὸς ταὐτὸν δείκνυσι λεγόμενον ἄλλο ἄλλως τριχῶς, ὁσαχῶς καὶ τὸ κατὰ συμβεβηκὸς ἕν τε καὶ ὂν διεῖλεν. ἢ γὰρ τὰ τῷ αὐτῷ συμβεβηκότα ταὐτὰ κατὰ συμβεβηκὸς ἀλλήλοις, ἢ τὸ συμβεβηκὸς τῷ ὑποκειμένῳ, ἢ ἀνάπαλιν τῷ συμβεβηκότι τὸ ὑποκείμενον, ὡς ἐν ταῖς παρὰ φύσιν κατηγορίαις ἔχει. ὅταν γὰρ εἴπωμεν τὸ μουσικὸν ἄνθρωπον εἶναι, ταὐτὸν λέγομεν τὸ μουσικόν, ὃ ὑποτίθεμεν ἐν τῇ προτάσει ὂν συμβεβηκὸς τῷ ἀνθρώπῳ, ὃν κατηγοροῦμεν αὐτοῦ, ὄντα ὑποκείμενον αὐτοῦ, καὶ ἔχοντα ἐκεῖνο οὗ κατηγορήθη συμβεβηκός. εἰπὼν δὲ τὴν κατὰ συμβεβηκὸς παρὰ φύσιν κατηγορίαν, προσέθηκεν "ἑκατέρῳ δὲ τοῦτο καὶ τούτῳ ἑκάτερον ἐκείνων," ὃ αὐτὸς ἐξηγήσατο πῶς εἶπεν· ἑκατέρῳ γὰρ τῷ τε ἀνθρώπῳ καὶ τῷ μουσικῷ, ἰδίᾳ λαμβανομένοις, τοῦτο τὸ συναμφότερον, ὁ μουσικὸς ἄνθρωπος, ταὐτόν, ὁμοίως καὶ τῷ μουσικῷ πάλιν ὁ μουσικὸς ἄνθρωπος ταὐτὸν κατὰ συμβεβηκός. ἀλλὰ καὶ τούτῳ τῷ συναμφοτέρῳ τῷ μουσικὸς ἄνθρωπος ἑκάτερον πάλιν ἰδίᾳ λαμβανόμενον τῶν ἐν τῷ συναμφοτέρῳ ταὐτὸν κατὰ συμβεβηκός. ἡ διαφορὰ δὲ τῶν εἰρημένων τῷ ποτὲ μὲν τὴν ἀρχὴν ποιεῖσθαι τῆς συγκρίσεως ἀπὸ τοῦ ἑτέρου τῶν ἐν τῷ συναμφοτέρῳ, ποτὲ δὲ ἀπὸ τοῦ συναμφοτέρου· κατὰ συμβεβηκὸς γὰρ ταὐτὰ ἀλλήλοις λέγεται. διὰ δὲ τὰ οὕτω, φησί, λεγόμενα ταὐτά, λέγων τὰ κατὰ συμβεβηκός, οὐ λέγεται ταὐτὰ πάντα καθόλου. τοῦτο γὰρ λέγει διὰ τοῦ "διὸ καὶ ταῦτα πάντα καθόλου οὐ λέγεται·" ἴσον γὰρ τούτῳ τὸ διὸ τὰ κατὰ συμβεβηκὸς ταὐτὰ λεγόμενα οὐ ταὐτὰ πάντα καθόλου λέγεται· οὐδὲν γὰρ τῶν κατὰ συμβεβηκός τινι τῶν αὐτοῦ λεγομένων καθόλου· οὔτε γὰρ πᾶν μουσικὸν παντὶ λευκῷ ταὐτόν, καίτοι τὸ μουσικὸν τῷ λευκῷ ταὐτόν, ὅταν κατὰ συμβεβηκὸς ἄμφω τῷ αὐτῷ ὑπάρχῃ, ἀλλὰ λέγεταί τινι ταὐτόν (τὰ γὰρ τῷ αὐτῷ ὑπάρχοντα ταὐτά), οὔτε παντὶ ἀνθρώπῳ τὸ μουσικὸν ταὐτόν· καίτοι ἀνθρώπῳ λέγεται τὸ μουσικὸν ταὐτόν, ὅταν ᾖ μουσικός· οὔτε παντὶ μουσικῷ ἄνθρωπος, καίτοι λεγόμενός τινι ὁ αὐτός. τὴν δὲ αἰτίαν τοῦ μὴ καθόλου τὰ κατὰ συμβεβηκὸς λέγεσθαι διὰ συλλογισμοῦ ἔδειξε· τὰ μὲν γὰρ καθόλου καθ' αὑτὰ ὑπάρχει, τὰ δὲ συμβεβηκότα οὐκέτι· καθ' αὑτὰ μὲν οὖν οὐ λέγεται ἐπὶ τῶν καθόλου, ἀλλ' ἐν μέρει καὶ διὰ τοῦτο τοῦ ὁρισμοῦ. ἐπὶ δὲ τῶν καθ' 1018a 1.
ἕκαστα ἁπλῶς λέγεσθαί φησι ταὐτὰ τὸ συμβεβηκὸς καὶ τὸ ᾧ συμβέβηκε, τουτέστι χωρὶς διορισμοῦ, ὅτι μηδὲ τὴν ἀρχὴν δέχεταί τινα διορισμὸν τὰ καθ' ἕκαστα· ταὐτὸ γὰρ λέγεται Σωκράτης καὶ Σωκράτης μουσικὸς χωρὶς διορισμοῦ. τοῦτο δὲ οὕτως ἔχει τῷ μὴ κατηγορεῖσθαι ἐπὶ πλειόνων τὰ καθ' ἕκαστα· οὐ γὰρ λέγεται πᾶς Σωκράτης ἤ τις ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου· πᾶς γὰρ ἄνθρωπος λέγεται καὶ πάλιν τίς· καθόλου γὰρ ὁ ἄνθρωπος, τὰ δὲ καθόλου τοὺς διορισμοὺς δέχεται. τὰ δὲ καθ' αὑτὰ ταὐτὰ ἀλλήλοις λεγόμενα τοσαυταχῶς φησὶ λέγεσθαι ὁσαχῶς καὶ τὸ καθ' αὑτὸ ἕν. ἔλεγε μὲν οὖν πλείω σημαινόμενα τοῦ καθ' αὑτὸ ἑνός, νῦν δὲ οὐ πάντων μνημονεύει, ἤτοι τούτοις τῶν σημαινομένων τοῦ καθ' αὑτὸ ἑνὸς τὸ καθ' αὑτὸ ταὐτὸν ὁμοίως λέγεσθαι λέγων, ἢ ὡς πάντων τῶν σημαινομένων ἀπὸ τοῦ καθ' αὑτὸ ἑνὸς εἰς τούτους ἀνάγεσθαι δυναμένων τοὺς τρόπους. λέγει δὲ ταῦτα καθ' αὑτὰ λέγεσθαι τὰ αὐτά, καὶ ὧν τε ἡ ὕλη μία εἴδει ἢ ἀριθμῷ, τουτέστιν ὧν τὸ ὑποκείμενον ἓν ἀριθμῷ, ἕν τί ἐστι κατ' ἀριθμὸν τὸ λαμβανόμενον· οὕτω γὰρ εἷς αὐτὸς αὑτῷ τις ὁ αὐτός. δύναται καὶ τῶν ἑτερωνύμων μία ἡ ὕλη εἶναι· ἓν γὰρ κατ' ἀριθμὸν τὸ ὑποκείμενον, ἀναβάσει τε καὶ καταβάσει, καὶ κατὰ τοῦτο ταὐτά. αὐτὸς μέντοι ἐπὶ τοῦ ἑνὸς κατ' ἀριθμὸν τὴν κατ' ἀριθμὸν ὕλην εἶπεν· ὧν

3. αὐτὸν *M.* ‖ 5. μὴ ἴδιον *M.* ‖ μένον *M.* ‖ 9. τὸ] γὰρ *M.* ‖ 10. ταῦτα] τὰ ὑπὸ *M.* ‖ 15. δὲ om *A*, δὲ — ἂν om *M*, ib. lacuna. ‖ 26. κατὰ τὸ συμβεβηκὸς *M.* ‖ 27. ὁσαχῶς om *A.* ‖ 28. ταὐτὰ] αὐτὰ *M.* ‖ 30. τῷ] τὸ *M.* ‖ 31. *nam cum musicum hominem esse dicimus, musicum, quod licet sit accidens, subiectum facimus in propositione, idem esse dicimus atque hominem, quem de ipso praedicamus, cum subiectum eius sit et pro accidente habeat id de quo praedicatur* Sepulv. ‖ 33. ὃ κατηγοροῦμεν αὐτό *A.* ‖ 35. παρὰ φύσιν] φησὶν *M.* ‖ 36. ἑκατέρων ἐκείνων *M.* ‖ 37. καὶ et 38. τὸ om *M.* ‖ 39. μουσικῷ] μουσικοῖς *M.*

1. τῷ μουσικὸς] τὸ μουσικὸς *M.* ‖ 2. τῶν] τοῖς *M.* ‖ 6. ταὐτὸν λέγων *A.* ‖ 9. τὰ] τὸ *M.* ‖ οὐ κατὰ πάντα *M.* ‖ 13. ὑπάρχῃ] ὑπάρχοντα *M.* ‖ 14. τὸ] τὸν *M.* ‖ 17. διὰ] κατὰ *M.* ‖ 18. ὑπάρχοντα *M.* ‖ 20. τοῦ διορισμοῦ *M.* ‖ ἐπεὶ *AM.* ‖ 23. καὶ ὁ Σωκράτης *M.* ‖ 28. δὲ om *A.* ‖ 31. τὸ — 33. ἑνὸς om *M.* ‖ 33. ἀνάγεσθαι *M.* ‖ 35. ἕν τί] ἐν ὅτι *M.*

λέγεσθαι μέρη καὶ μόρια, κοινότερον εἰπὼν αὐτά, ὡς ὄντων τῶν τοῦ σώματος διαστημάτων, μέρη· οὐ γάρ ἐστιν ἡ ἐπιφάνεια μέρος τοῦ σώματος οὕτως ὡς διαιρεῖσθαι εἰς αὐτήν· τοῦ μέντοι λόγου αὐτοῦ μόριόν ἐστι, καὶ ταύτῃ ὁρίζεται τὸ σῶμα. ὁμοίως καὶ ἡ γραμμὴ πρὸς τὴν ἐπιφάνειαν ἔχει· ὁρίζει γὰρ αὐτὴν πέρας ὂν αὐτῆς. ἢ εἰ μὴ ὡρίσατο τὸ πέρας, ἄπειρος ἂν ἦν καὶ οὐ τόδε· τὸ γὰρ ἑκάστου σώματος ἢ μεγέθους πέρας, χωρίζον ἀπὸ τῶν ἄλλων αὐτό, αἴτιον αὐτῷ τοῦ τόδε εἶναι κατὰ περιγραφὴν οἰκείαν ὅ ἐστιν. τὸ δὲ ἐν τοῖς τοιούτοις τοῖς σώμασιν ἂν λέγοι, ἃ δύναται καθ' αὑτά τε εἶναι καὶ πέρατα ἔχειν· καὶ γὰρ ἡ γραμμὴ εἰ καὶ προσεχέστερον τῆς ἐπιφανείας, ἀλλὰ καὶ τοῦ σώματος· οὐδὲ γὰρ ἡ ἐπιφάνεια χωρὶς ἐκείνου. ἢ "τοῖς τοιούτοις" τοῖς πεφυκόσι πέρατα ἔχειν καὶ ὁρίζεσθαι ὑπ' αὐτῶν. ἢ "τοῖς τοιούτοις" ταῖς οὐσίαις· δοκεῖ γάρ τισι καὶ τὰ μαθηματικὰ οὐσίαι εἶναι. τόδε δέ τι σημαίνειν εἶπε τὰ πέρατα, ὅτι κατὰ ταῦτα αἱ μορφαὶ τῶν σωμάτων, ἀφ' ὧν τάδε τινὰ εἶναι λέγεται, οἷον κύβοι, σφαῖραι. ἢ κατὰ ταῦτα οὐ τάδε ἀλλὰ τοιάδε λέγεται. λέγει δὲ σημαίνειν τὴν ἐπιφάνειαν τὴν γραμμήν· πρὸς γὰρ τὸ περατὴν εἶναι, καὶ φύσιν τινὰ οἰκείαν σημαίνειν δοκεῖ καὶ οὐσίαν. ἢ τόδε μὲν τὸ ὡρισμένον, τοῦτο δὲ παρὰ τῶν περάτων αὐτοῖς. προσέθηκε δὲ καὶ τὸ "ὧν ἀναιρουμένων ἀναιρεῖται καὶ τὸ ὅλον," ἐν ᾧ τούτων ἕκαστόν ἐστιν, ἐπειδὴ ἀναιρουμένων τῶν πρώτων ἀναιρεῖται καὶ τὰ μετὰ ταῦτα. οὔτε γὰρ μὴ ὄντος ἐπιπέδου σῶμα ἂν εἴη οὔτε μὴ οὔσης γραμμῆς ἐπίπεδον, εἴ γε πᾶν σῶμα καὶ πᾶν ἐπίπεδον πεπερασμένον, πέρατα δὲ αὐτῆς ταῦτα· ἀεὶ γὰρ τὸ πέρας τὸ ἐν τοῖς μεγέθεσι πρῶτον τοῦ οὗ πέρας ἐστίν, ἐλαττούμενον αὐτοῦ διαστάσει μιᾷ. τὸ δὲ "ὥς λέγουσί τινες" προσέθηκεν ἤτοι ὅτι καθ' οὓς πεπερασμένα ταῦτα, τό τε σῶμα καὶ ἡ ἐπιφάνεια, ἀναιρουμένων τῶν περάτων ἀναιρεῖται καὶ αὐτά, οὐκέτι μέντοι καὶ καθ' οὓς ἄπειρόν τί ἐστι σῶμα. ἢ καὶ κατ' ἐκείνους ἀναιρουμένης γραμμῆς τε καὶ ἐπιφανείας ἀναιρεῖται τὸ ἐπίπεδον καὶ τὸ σῶμα, καθ' οὓς οὐσίαι τε ταῦτα καὶ ἀρχαὶ καὶ στοιχεῖα· καθ' οὓς γὰρ ἡ τῶν σωμάτων γένεσις ἐκ τῆς τῶν ἐπιπέδων ποιᾶς συνθέσεως, ὡς ἐν τῷ Τιμαίῳ λέγει Πλάτων, κατὰ τούτους ἀναιρουμένων τούτων ἀναιρεῖται καὶ τὸ σῶμα. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἡ ἐπιφάνεια γραμμῶν ἀναιρουμένων καὶ ἡ γραμμὴ στιγμῶν· ἐν γὰρ τῇ αὐτῇ ἀναλογίᾳ πρὸς ἄλληλα ταῦτα πάντα. οὐκέτι μέντοι καθ' οὓς οὐκ ἐν τῇ οὐσίᾳ τὰ πέρατά ἐστιν ἐκείνων ὧν ἐστὶ πέρατα, συναιρεῖται τοῖς πέρασι τὰ πεπερασμένα ὑπ' αὐτῶν· οὐ γάρ ἐστιν ἐν τῷ τοῦ σώματος
1017b 20 τος λόγῳ ἢ τῆς ἐπιφανείας τὸ πεπερασμένον. δοκεῖ δέ, φησί, τισὶν ὅλως ὁ ἀριθμὸς εἶναι τοιοῦτος ὡς ἀναιρουμένου τε αὐτοῦ μηδὲν τῶν ἄλλων εἶναι, καὶ πάντα ὁρίζεσθαι ὑπὸ τοῦ ἀριθμοῦ· τοῦτο δὲ κατὰ τοὺς στοιχεῖα τῶν ὄντων τοὺς ἀριθμοὺς λέγοντας, ὡς τοῖς Πυθαγορείοις ἐδόκει· καὶ εἴρηται ἡ δόξα αὐτῶν ἐν τῷ Α τῷ μείζονι. εἶεν δ' ἂν καὶ κατὰ Πλάτωνα τῶν ὄντων πάντων οἱ ἀριθμοί, εἰ καὶ μὴ ὡς στοιχεῖά τε καὶ ἐνυπάρχοντα, ἀλλ' ὡς εἰδοποιοῦντα ἕκαστον τῶν ἄλλων· αἱ γὰρ ἰδέαι ἀριθμοὶ οὖσαι τοῦ εἶναι τοῖς ἄλλοις αἰτίαι (‘). πρὸς τοῖς 1017b 21.
εἰρημένοις οὐσίαν φησὶ λέγεσθαι καὶ τὸ τί ἦν εἶναι· οὗ τί ἦν εἶναι λόγος ἐστὶν ὁ ὁρισμός· τί γάρ ἐστι τὸ τί ἦν εἶναι ἀπαιτούμενοι, λέγομεν ὅτι ὁ ὁρισμός, λόγον κοινότερον εἰπὼν τὸν ὁρισμόν. οὐσίαν δέ φησι καὶ τὸν ὁρισμὸν τὸν ἑκάστου ἐκείνου εἶναι οὗ ὁρισμός ἐστιν, οὐχ ἁπλῶς· οὕτω γὰρ καὶ ποιοῦ οὐσία ἂν εἴη καὶ τοῦ ποσοῦ καὶ τῶν ἄλλων ὁμοίως· διαφέρει δ' ἂν τοῦ ἐνύλου εἴδους, περὶ οὗ πρὸ ὀλίγου εἶπεν, ὡς αἰτίου ὄντος ἑκάστῃ τῶν οὐσιῶν τοῦ εἶναι ταύτην ἥτις ἐστίν, ὅτι ἐκείνη μὲν ἐν τοῖς φύσει συνεστῶσιν οὖσα καὶ φυσικὸν εἶδος οὖσα καὶ κυρίως ἦν οὐσία, τὸ δὲ νῦν λεγόμενον εἶδος, καθὸ τὸ τί ἦν εἶναι ἑκάστῳ, καὶ ἐν μὴ οὐσίαις ἐστίν· οὐ γὰρ μόνον τὸ τί ἦν εἶναι ἐπὶ τῶν οὐσιῶν. διὸ οὐδὲ ἁπλῶς τὰ τοιαῦτα εἴδη οὐσίαι, ἀλλ' ἐκείνων οὐσίαι ὧν τὸ τί ἦν εἶναι δηλοῦσι, διὸ καὶ λέγεται ἑκάστου οὐσία τις εἶναι. δύναταί τις καὶ τοῦ εἴδους ὡς πλεοναχῶς λεγομένου ἀκούειν, καὶ ἑνὸς μὲν ὄντος ὡς αἰτίου τοῦ εἶναι τῷ ἐν ᾧ ἐστίν, ὡς ἡ ψυχή, περὶ οὗ εἶπε πρώτου, ἄλλου δὲ ὡς αὐτοῦ εἶναι οὗ ἦν αἰτία ἡ ψυχὴ ἡ αἰσθητική, ὃ οὐκ ἔστι ταὐτὸν τῇ ψυχῇ, ἐκείνη μέντοι αἰτία τούτου. καὶ εἴη ἂν τούτου νῦν μνημονεύων, ἀλλ' οὐχὶ τῆς ἔξωθεν μορφῆς καὶ τοῦ σχήματος, ὃ πέρας πώς ἐστιν ἑκάστου καὶ ὁρίζει αὐτό. καὶ αὐτοῦ εἴη ἂν ἐμνημονευκώς, δι' ὧν ἔλεγεν οὐσίας εἶναι τὰ ἐνυπάρχοντά τε ἑκάστῳ τῶν τοιούτων, ἅ εἰσιν οὐσίαι καὶ ὁρίζοντ' αὐτά. ἐκθέμενος δὲ πλείω σημαινόμενα τῆς οὐσίας εἰς δύο φησὶ 1017b 23.
τρόπους ἀνάγεσθαι τὰς εἰρημένας οὐσίας, τό τε ἔσχατον ὑποκείμενον, ὃ μηκέτι κατ' ἄλλου λέγεται· εἶπε γὰρ ἐν τῷ πρώτῳ σημαινομένῳ τῆς οὐσίας τὸ μὴ καθ' ὑποκειμένου. εἰ δὴ τοιοῦτον ἡ οὐσία, τὸ μάλιστα τοῦτο ἔχον μάλιστα ἂν οὐσία εἴη. τοιοῦτον δὲ τὸ ὑποκείμενον ἔσχατον, ὑφ' ὃ σημαινόμενον τῆς οὐσίας τάσσοιτο ἂν πᾶσά τε ἄτομος οὐσία· τοιαύτη δὲ ἥ τε συναμφοτέρα καὶ ἡ κατὰ τὸ πρῶτον εἶδος καὶ ἡ ὕλη· κατ' οὐδενὸς γὰρ ἡ ὕλη. "καὶ ὃ ἂν τόδε τι ὂν καὶ χωριστὸν ᾖ·" ὅ τί ποτέ ἐστιν ἐξηγούμενος προσέθηκε "τοιοῦτον δὲ ἑκάστου ἡ μορφὴ καὶ τὸ εἶδος," ὑφ' ὃ πάλιν σημαινόμενον ἥ τε ὡς ψυχὴ οὐσία ὑπάγοιτ' ἄν, ὡς ἐλέγομεν τὰ φυσικὰ εἴδη, καὶ ἡ κατὰ τὰ ἐνυπάρχοντά τε καὶ ὁρίζοντα, ὡς ἡ κατὰ τῶν σωμάτων πέρατα· κατὰ ταῦτα

4. ἐστι] εἰ *M.* || ὁμοίως δὲ καὶ *M.* || 8. περιγραφῶν *M.* || *causa est ut ipsum sit hoc quod est secundum propriam circumscriptionem. (inestque in talibus) id est in corporibus, quae et per se esse et terminos habere possunt* Sepulv. || 9. δύναται *M.* || 15. κῦμοι *M.* || 16. *caeterum et lineam et superficiem hoc aliquid significare dicit, quia non solum terminus est, sed propriam quandam naturam et substantiam significare videtur* Sepulv. || 17. τὴν γραμμὴν — 18. οἰκείαν om *M.* || 22. εἴ γε] εἰ δὲ *M.* || 26. ὅτι om *M.* || 27. αὐτὴ *M.* || 28. καὶ post ἢ om *AV.* || 34. ἡ om *A.* || ἐκ γὰρ τῆς αὐτῆς ἀναλογίας *M.* || 37. συμπεπερασμένα *M.* || ὑπ' — 38. πεπερασμένον bis *M.* || 38. δοκεῖ εἰ δὲ *M.*

2. ὑπὸ] ἀπὸ *M.* || 3. στοιχείων *M.* || 4. δ' ἂν] δὲ *M.* || 5. κατὰ τὸν Πλάτωνα *M.* || 9. τί post τὸ om *M.* || ἀπαιτούμεναι *M.* || 10. ὁ om *M.* || κοινότικον *M.* || δὴ *M.* || 12. οὕτως ποιοῦ *AM.* || καὶ ποσοῦ καὶ *M.* || διαφέρει *M.* || 14. ταύτης *M.* || 21. αὐτὸς *M.* || *alia sit ipsum esse cuius causa* Sepulv. || 22. ὃ] ἢ *M.* || 25. αὐτοῦ] αὐτὸ *A.* || 26. ὁρίζονται αὐτάς *M.* || 29. σημαινόμενα *M.* || 30. εἰ δὴ] ἤδη *A.* || 36. συμβαινόμενον *M.* || σημαινόμενον ὥστε ἡ ψυχὴ *A.* || 37. ὑπάγῃ τ' ἄν, ἐλέγομεν *M.*

ὕπαρξιν σημαίνει. ὁμοίως καὶ ἐπὶ τοῦ βαδίζων τὴν τῆς βαδίσεως, καὶ ἐπὶ τοῦ τέμνων τὴν τῆς τομῆς, καὶ ἐπὶ πάντων ὁμοίως. ὡς γὰρ εἶπεν ἐν τῷ περὶ Ἑρμηνείας (c. 3), αὐτὸ μὲν οὐδέν ἐστί τι, προσσημαίνει δὲ σύνθεσίν τινα, ἣν ἄνευ τῶν συγκειμένων οὐχ οἷόν τε
1017a 31. εἶναι. ἔτι, φησί, σημαίνει τὸ ἔστι καὶ τὸ εἶναι καὶ τὸ ὂν τὸ ἀληθές, τὸ δὲ μὴ εἶναι καὶ τὸ μὴ ὂν ψεῦδος· τὸ μὲν γὰρ ἀληθὲς εἶναί τε καὶ ὂν φαμεν, τὸ δὲ ψεῦδος μὴ εἶναί τε καὶ μὴ ὄν, ὁμοίως ἔν τε καταφάσει καὶ ἀποφάσει, τουτέστιν ἐάν τε καταφατικῶς τινὸς κατηγορηθῇ ἄν τε ἀποφατικῶς. ὁ μὲν γὰρ λέγων "ἔστι Σωκράτης μουσικός" ἀληθές φησιν εἶναι τὸ λεγόμενον, τῷ ἔστιν ἐπὶ τοῦ ἀληθῶς χρώμενος. ὁμοίως καὶ ὁ λέγων "ἔστι Σωκράτης οὐ λευκός," ἀποφατικῶς κατηγορῶν τὸ οὐ λευκός, ἀληθῶς λέγει πάλιν τὸ εἶναι μὴ λευκὸν Σωκράτην. καὶ οὕτω μὲν ἐν τῇ καταφάσει τἀληθές, τὸ δὲ ψεῦδος ἐν τῇ ἀποφάσει, ὡς ὅταν εἴπῃ τις μὴ εἶναι τὴν διάμετρον τῇ πλευρᾷ ἀσύμμετρον. συντάξας γὰρ τὸ τὴν διάμετρον ἀσύμμετρον τῇ πλευρᾷ τῷ μὴ εἶναι, ψεῦδος λέγει τὸ εἶναι τοῦτο. ὁ μὲν γὰρ τὴν κατάφασιν λέγων ἀληθές φησιν εἶναι τὸ εἶναι, ὁ δὲ τὴν
1017b 1. ἀπόφασιν ἀναιρεῖ τὸ εἶναι ὡς ψεῦδος ὄν. λέγει δὲ τὸ εἶναί τε καὶ τὸ ὂν σημαίνειν πρὸς τοῖς εἰρημένοις καὶ τὸ δυνάμει τε καὶ ἐντελεχείᾳ. ἂν δὲ ᾖ γεγραμμένον ἀντὶ τοῦ "δυνάμει" τὸ "ῥητόν," λέγει ἂν ῥητὸν τὸ δυνάμει, ὅτι ῥηθῆναι μὲν ἀληθές ἐστιν, οὐ μὴν καὶ ἔστιν ἤδη (*). "τὸ δὲ ἐντελεχείᾳ τῶν εἰρημένων τούτων," τουτέστι τῶν ῥητῶν τε καὶ δυνάμει. ὁρῶν γὰρ εἶναι λέγεται καὶ τὸ ἤδη ὁρῶν καὶ τὸ δυνάμενον, ὡς τὸ κοιμώμενον, τοῦ εἶναι καὶ ἐπ' ἐκείνου καὶ ἐπὶ τούτου κατηγορουμένου ὁμοίως, καὶ ἐπίστασθαι καὶ τὸ ἐνεργοῦν κατ' ἐπιστήμην καὶ τὸ δυνάμενον. ἔστι δὲ ἴσον τὸ ἐπίστασθαι τῷ ἐπιστάμενον εἶναι. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἠρεμεῖν. καὶ ἐπὶ τῶν οὐσιῶν δὲ ὁμοίως σημαίνεσθαί φησιν ὑπὸ τοῦ εἶναι καὶ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, οὐσίας εἰπὼν αὐτὰ τὰ πράγματα τὰ ὑποκείμενα πρὸς ἀντιδιαίρεσιν τῶν προειρημένων πραγμάτων ἐπὶ ἐνεργειῶν εἰρημένα καὶ ἕξεων καὶ ἠρεμιῶν, ἅπερ ἦν ταῖς οὐσίαις συμβεβηκότα. ὅταν γάρ, φησίν, ἐν τῷ ἀργῷ λίθῳ Ἑρμῆν τις λέγῃ εἶναι, ὅτι δύναται γενέσθαι Ἑρμῆς ἐξ αὐτοῦ λέγει. ἀλλὰ καὶ τὸ σημεῖον τῆς γραμμῆς δυνάμει ἐστὶν ἐν τῇ μὴ διῃρημένῃ, καὶ τὴν γραμμὴν ἐν ταῖς οὐσίαις θείς, ἐπεί τισιν οὕτως ἐδόκει. ὁμοίως καὶ σῖτός ἐστιν ὁ μηδέπω ἁδρὸς δυνάμει. εἰπὼν δὲ ταῦτα προσέθηκε "πότε δὲ δυνατὸν καὶ πότε οὔπω, ἐν ἄλλοις διοριστέον·" οὐ γὰρ ἐφ' ὁτουοῦν τῶν ὄντων τὸ δυνατὸν κατηγορητέον, ἀλλ' ἐπὶ τοῦ ἤδη ὄντος καὶ δυναμένου εἰς ἐκεῖνο προσεχῶς μεταβάλλειν, ὃ λέγεται δύνασθαι ἢ δέξασθαι αὐτό· τὸν μὲν γὰρ ἤδη ὄντα λίθον ἐρεῖ τις Ἑρμῆν εὐλόγως δυνάμει, οὐκέτι μέντοι καὶ τὴν γῆν καὶ τὸ ὕδωρ, ἐξ ὧν ὁ λίθος, Ἑρμῆν ἐρεῖ τις δυνάμει. καὶ τὸ μὲν παιδίον δυνάμει ἐπιστῆμον, οὐ μὴν καὶ τὸ ἔμμηνον· καὶ τὸ σκυλάκιον δυνάμει ὁρῶν, οὐ μὴν καὶ τὸ ἔτι κατὰ γαστρὸς ὄν. ποιήσεται δὲ τὸν λόγον περὶ μὲν τοῦ συμβεβηκότος ὄντος καὶ περὶ τοῦ ὡς ἀληθοῦς ἐν τῷ μετὰ τοῦτο, περὶ δὲ τοῦ καθ' αὑτὸ ὄντος ἐν τῷ Ζ καὶ Η, περὶ δὲ τοῦ δυνάμει τε καὶ ἐντελεχείᾳ ἐν τῷ Θ. Alex.

(*) γρ. "τὸ μὲν ῥητόν, τὸ δ' ἐντελεχείᾳ," καὶ οὕτω, "τὸ μὲν δυνάμει, τὸ δ' ἐντελεχείᾳ." cod. Reg. ἐπὶ τούτοις σημαίνει τὸ ὂν τὸ μὲν δυνάμει τὸ δὲ ἐντελεχείᾳ. ἔνια γὰρ τῶν ἀντιγράφων τὸ δυνάμει ἔχουσιν, ἄλλα δὲ τὸ πρῶτον ὥσπερ καὶ τὰ ἐνταῦθα. τὸ αὐτὸ δὲ δηλοῖ· ῥητὸν γάρ ἐστι τὸ δυνάμενον λέγεσθαι· ὁρᾶν γὰρ λέγομεν καὶ τὸ σκυλάκιον τὸ δυνάμενον ὁρᾶν καὶ τὸν ἤδη κατ' ἐνέργειαν ὁρῶντα. Asclep.

"οὐσία — σώματα." διελὼν τὸ κυρίως ὂν κατὰ τὰς κατηγο- 1017b 10.
ρίας, καὶ τούτων ἑκάστη ποσαχῶς λέγεται δείκνυσι, καὶ πρῶτον περὶ τῆς οὐσίας διαλαμβάνει καὶ διαιρεῖ αὐτὴν εἴς τε σώματα· τὰ γὰρ σώματα οὐσίαι, καὶ ὅλως ὅσα ἐκ σώματός εἰσιν ἢ σῶμα ἔχει, πάντα οὐσίαι, ὥσπερ τὰ ζῷα. λέγει δὲ καὶ δαιμόνια οὕτως οὐσίας, ἤτοι καθ' οὓς δαίμονες εἰσί, λέγων κἀκείνους τοιαύτας οὐσίας εἶναι, εἴ γε κἀκεῖνοι ἐκ ψυχῆς τε καὶ σώματος. ἢ δαιμόνια τὰ θεῖα λέγει· τοιαῦτα γὰρ τὰ ἄστρα καὶ τὰ τούτων μέρη. οὐχ ὡς ψυχὴν δὲ καὶ σῶμα λέγοι ἂν νῦν τὰ μέρη ἐπὶ τῶν ζῴων, ἀλλ' ὡς τὰ σωματικὰ μέρη, οἷόν ἐστι χεὶρ ἢ πούς· περὶ γὰρ τῆς κατὰ τὸ εἶδος οὐσίας ἐπιφέρει. τοῦ δὲ πάντα τὰ τοιαῦτα οὐσίας εἶναι αἰτίαν ἀποδέδωκεν ὅτι μὴ καθ' ὑποκειμένου τινὸς λέγεται, τουτέστιν ὅτι μή ἐστι τοιαῦτα ὡς ἔν τινι ὑποκειμένῳ αὐτοῖς τὸ εἶναι ἔχειν, ἀλλὰ τοὐναντίον αὐτὰ ἄλλοις ὑπόκειται· ἡ γὰρ τῶν συμβεβηκότων φύσις ἐν τούτοις τὸ εἶναι ἔχει, αἱ δὲ ἄτομοι οὐσίαι οὐ τοιαῦται· ἐν γὰρ ταύταις τὰ συμβεβηκότα. διὸ αὗται οὔτε καθ' ὑποκειμένου οὔτε ἐν ὑποκειμένῳ, ἀλλὰ κατὰ τούτων τὰ ἄλλα καὶ ἐν τούτοις. ἄλλον δέ φησι 1017b 14.
τρόπον οὐσίαν λέγεσθαι, ὃ ἂν ᾖ αἴτιον τοῦ εἶναι ἐνυπάρχον ἐν τοῖς τοιούτοις ὅσα μὴ λέγεται καθ' ὑποκειμένου. λέγει δὲ διὰ τούτων ὅσα ἐνυπάρχει ταῖς προειρημέναις οὐσίαις· ταῦτα γὰρ μὴ καθ' ὑποκειμένου νῦν λέγει· τὰ γὰρ συμβεβηκότα καθ' ὑποκειμένου· ὅσα δὴ ἐνυπάρχοντα ταῖς οὐσίαις αἰτιά ἐστιν αὐταῖς τοῦ εἶναι αἵ εἰσι, ταῦτα καὶ αὐτὰ οὐσίας λέγεσθαι. εἴη δ' ἂν λέγων τὰ τῶν φύσεων συνεστῶτα εἴδη, ταῦτα δέ ἐστι τὰ φυσικὰ καὶ ἔνυλα εἴδη, ὁποῖόν ἐστιν ἐν τοῖς ζῴοις ἡ ψυχή· διὰ γὰρ ταύτην ζῷα. καὶ ἐπὶ τῶν φυσικῶν δὲ σωμάτων τὸ εἶδος ἑκάστου αἴτιον τοῦ εἶναι, ὅ ἐστιν οὐσίας, φησί, λέγεσθαι· καὶ ὅσα μόρια ἐνυπάρχοντά τισιν ὁρίζεταί τε αὐτὰ καὶ τόδε τι εἶναι αὐτὰ σημαίνει, ὧν ἀναιρουμένων ἀναιρεῖται καὶ τὸ ὅλον. λέγει δὲ οὕτω τὰ πέρατα τῶν σωμάτων οὐσίας καὶ αὐτὰ

8. τινὸς — ἀποφατικῶς om *M.* ‖ 10. ἀληθῶς] ἀληθὲς *M.* ‖ 15. σύμμετρον — σύμμετρον *AM.* ‖ 16. τῷ] τὸ *M.* ‖ τὸ] δὲ *M.* ‖ 19. τε om *M.* ‖ 20. λέγει *M.* ‖ 21. καὶ om *A.* ‖ 31. Ἑρμῆ *M.* ‖ 33. μὴ om *M.* ‖ 34. θείσεσι *M.* ‖ 35. ἁδρὸς] ἀέρος *A*, ἀνδρὸς *M.* ‖ 36. δὲ] οὐ *M.* ‖ 39. τις ἑρμηνεῦτα λόγος *M.*

1. ἔμμενον *M.* ‖ σκολάκι *M.* ‖ 2. συμβεβηκὸς *M.* ‖ 3. ἀληθῶς *V.* ‖ τοῦ] τὸ *M.* ‖ 14. περὶ] ἐπὶ *M.* ‖ 21. λέγει *M.* ‖ 22. ἢ om *AM.* ‖ 23. τοιαῦτα] αὐτὰ *M.* ‖ 27. τοιαῦτα *M.* ‖ 30. ἂν ᾖ] ἦν *A.* ‖ 31. λέγει — 33. ὑποκειμένου ante νῦν om *A.* ‖ 40. εἶναι om *M* in lacuna, εἶναι *A* ante lacunam.

δόσεων ὁμοίως τοῖς προειρημένοις τὰ ἀντικείμενα πολλὰ λαμβάνειν· τῷ τε γὰρ γένει πολλά, ὧν οὐκ ἔστι κοινὸν γένος· ἀλλὰ καὶ ὧν οὐκ ἔστιν ἀδιαίρετος ἡ νόησις πολλά, καὶ τὰ διαιρούμενα ἀπ' ἀλλήλων, καθὸ διαιρεῖται, πολλά. Alex.

1016b 11. (ʿ) ὁ Ἀλέξανδρός φησι θέλειν τὸ ἔτι δέ, ἐπειδὴ οὐδαμοῦ ἀνταποδίδωσιν ὑποκατιών. δύναται δὲ εἶναι ἀνταπόδοσις τὸ ἀρχὴ εἶναι, ἐπειδὴ ἐστὶν ἀρχή. ὃ οὖν λέγει, τοιοῦτόν ἐστιν. ἐπειδὴ πολλαχῶς φαμὲν ἓν εἶναι, ἂν ᾖ ποσὸν καὶ συνεχές· ἔτι δὲ ὅτε οὐ λέγομεν, ἐὰν μή τι ὅλον ὑπάρχῃ· τοῦτο δὲ ἂν μὴ τὸ εἶδος ἓν ἔχῃ· οἷον οὐκ ἂν εἴποιμεν ἓν εἶναι τὸ ὑπόδημα, ἐὰν θεασώμεθα ὁπωσοῦν τὰ μέρη αὐτοῦ συγκείμενα, εἰ μὴ οὕτως ὥστε εἶναι ὑπόδημα καὶ ἐφαρμόττειν τῷ ποδί. διὸ καὶ ὁ κύκλος λέγεται εἷς, ἐπειδὴ αὕτη μάλιστα τῶν γραμμῶν οὔτε ἀφαίρεσιν οὔτε προσθήκην ἐπιδέχεται. Asclep.

1017a 7. "τὸ — αὐτό." καὶ τοῦ ὄντος ὥσπερ καὶ τοῦ ἑνὸς πρώτην διαίρεσιν ποιεῖται τήν εἴς τε τὸ κατὰ συμβεβηκὸς καὶ εἰς τὸ καθ' αὑτὸ καὶ πρῶτον· καὶ ἐπὶ τούτου τρόπους ἐκτίθεται καθ' οὓς κατὰ συμβεβηκὸς εἶναί τι λέγεται, διὰ παραδειγμάτων, χρώμενος ἀντὶ τοῦ ὄντος τῷ ἔστιν, ἐπεὶ καὶ ἐκ τοῦ ὄντος τὸ ἔστιν ἐσχημάτισται. λέγει δὴ κατὰ συμβεβηκὸς τὸ ὂν καὶ τὸ εἶναι κατηγορεῖν ἡμᾶς ποτὲ μέν, ἂν οὕτω λέγωμεν, ὁ δίκαιος μουσικός ἐστιν, ὥσπερ ἦν καὶ κατὰ συμβεβηκὸς ἕν, ποτὲ δὲ ἂν οὕτως, ὁ ἄνθρωπος μουσικός ἐστιν, ποτὲ δέ, ἂν οὕτως, τὸ μουσικὸν ἄνθρωπός ἐστιν· καθ' οὓς προεδείχθη καὶ τὸ κατὰ συμβεβηκὸς ἓν λεγόμενον. τίς δὲ ἡ τούτων διαφορὰ πρὸς ἄλληλα, καὶ δι' ἃ ἐπὶ πάντων τῶν τοιούτων κατὰ συμβεβηκὸς τὸ ὂν καὶ τὸ εἶναι λέγεται, ἑξῆς δείκνυσιν. ὡς γὰρ ὅταν συμβεβηκότα τινὰ κατηγορήσωμέν τινος, κατὰ συμβεβηκὸς λέγομεν ἐκείνην εἶναι μίαν τὴν κατηγορίαν τῷ ἓν εἶναι τὸ ὑποκείμενον τοῖς οὕτω συνυπάρχουσιν, οὕτω καὶ ὂν λέγεται κατὰ συμβεβηκὸς τὰ οὕτως ὑπάρχοντά τινι οὐσίᾳ. ὡς ἓν ἐστι κατὰ συμβεβηκός, ὅτι ἑνὶ συμβέβηκεν, οὕτω καὶ ὂν κατὰ συμβεβηκός, ὅτι ὄντι συμβέβηκε τῇ οὐσίᾳ, καὶ ἔστιν αὐτοῦ· ὧν δὲ κυρίως ἐστὶ τὸ ὑποκείμενον, ταῦτα ἅ ἐστιν, εἴτε πλείω αὐτῷ εἴη συμβεβηκότα εἴτε ἕν, αὐτῷ εἴη συμβεβηκότα, εἰ τοῦτο εἶεν· ὃ γὰρ μὴ κυρίως τί ἐστι, τοῦτο κατὰ συμβεβηκὸς ἐκεῖνό ἐστιν· οὐδεμία γὰρ οὐσία καθ' αὑτήν ἐστί τι τούτων ἃ οὐκ ἐν τῷ εἶναι αὐτῆς ἐστίν, ἀλλὰ συμβέβηκεν αὐτῇ· διὸ αὐτή τε ἡ ὑποκειμένη τούτοις οὐσία κατὰ συμβεβηκὸς αὐτά ἐστιν ἃ οὕτως αὐτῆς κατηγορεῖται, καὶ τὰ συμβεβηκότα αὐτῇ καὶ αὐτὰ κατὰ συμβεβηκός ἐστι τῷ μὴ κυρίως εἶναι μηδὲ καθ' αὑτά, ἀλλὰ τὸ εἶναι ὂν ὑπάρχει παρὰ τούτου ἔχειν ᾧ συμβέβηκε, παραπλησίως λέγοντες ὥσπερ εἰ τὸν μουσικὸν οἰκοδομεῖν εἴποιεν ἀλλ' οὐχὶ οἰκοδόμον εἶναι, ἵνα χωρὶς τοῦ εἶναι λαβὼν τὸ συμβεβηκός, καὶ δείξας πῶς τοῦτο λέγεται, δείξῃ ὁμοίως τούτῳ λεγόμενον, καὶ τὸ εἶναι τὸν οἰκοδόμον μουσικόν. ὡς οὖν ὁ οἰκοδόμος μουσικός, καὶ ἀντιστρέψαντι ὁ μουσικὸς οἰκοδόμος. οὐδὲν γὰρ διαφέρει, ὅπως ἂν ῥηθείη· ὅτι γὰρ ᾧ συμβέβηκεν οἰκοδόμῳ εἶναι, τούτῳ καὶ μουσικῷ· ὅταν γάρ τι τόδε λέγηται εἶναι ἀληθῶς, τούτῳ ἀληθές ἐστι τὸ κατηγορούμενον ὑπάρχειν τε καὶ συμβεβηκέναι. ὡς δὴ ἐπὶ τῶν ἄλλων, οὕτως δὲ καὶ ἐπὶ τῶν εἰρημένων ἔχει· ἄν τε γὰρ λέγωμεν τὸν ἄνθρωπον μουσικὸν εἶναι ἢ τὸν μουσικὸν ἄνθρωπον, ἄν τε τὸ μουσικὸν λευκὸν εἶναι ἢ τὸ λευκὸν μουσικόν, τὸ μὲν ὅτι ἀμφότερα τῷ αὐτῷ συμβέβηκε λέγομεν, καὶ ἔστιν ὁ ἄνθρωπος ἀμφότερα, καὶ λευκὸς καὶ μουσικὸς κατὰ σωμβεβηκός· τὸ δὲ ὁ ἄνθρωπος μουσικός, ὅτι τῷ ἀνθρώπῳ συμβέβηκε τὸ μουσικόν, καὶ ἔστιν οὕτως ὂν ὡς ὄν τι συμβεβηκός, κυρίως ἂν καὶ αὐτὸ ἕν, εἰ ἦν ἐκ τῆς οὐσίας αὐτοῦ. τὸν δὲ μουσικὸν ἄνθρωπον λέγομεν οὐχ ὡς τοῦ ἀνθρώπου ὑπάρχοντος τῷ μουσικῷ, ἀλλ' ὡς τοῦ μουσικοῦ τῷ ἀνθρώπῳ, παρὰ φύσιν τὴν ἐμφορὰν τῆς κατηγορίας ποιούμενοι, ὅταν οὕτω λέγωμεν τὸν μουσικὸν ἄνθρωπον. ἐκθέμενος οὖν τοὺς τρεῖς τοῦ κατὰ συμβεβηκὸς τρόπους, δείκνυσιν αὐτῶν τὴν πρὸς ἀλλήλους διαφοράν· ἢ γὰρ διότι τῷ ὄντι καὶ τῇ οὐσίᾳ ἄμφω ὑπάρχει, ἢ ὅτι τῷ ὑποκειμένῳ οὐσίᾳ ὄντι ὑπάρχει καὶ συμβέβηκε τὸ κατηγορούμενον, ἢ ὅτι αὐτό ἐστιν ᾧ ὑπάρχει τὸ οὗ αὐτὸ κατηγορεῖται, ὡς ἐν ταῖς παρὰ φύσιν προτάσεσιν, ἐν αἷς συμβεβηκότος οὐσία κατηγορεῖται. 1017a 18. προσέθηκε δὲ τοῖς προειρημένοις ὡς κατὰ συμβεβηκὸς τοῦ εἶναι λεγομένου ὁμοίως τοῖς προειρημένοις καὶ ἐπὶ τῶν τοιούτων τὸ οὐ λευκόν ἐστιν· τὸ γὰρ οὐ λευκὸν κατὰ συμβεβηκὸς εἶναι λέγεται, ὅτι ᾧ συμβέβηκε μὴ εἶναι λευκῷ ἐκεῖνό ἐστιν. εἰπὼν δὲ περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος, ἑξῆς περὶ τοῦ καθ' αὑτὸ λέγει. φησὶ δὲ τοσουταχῶς τὸ καθ' αὑτὸ ἓν λέγεσθαι ὅσα σχήματα καὶ γένη κατηγοριῶν. σχήματα δὲ κατηγοριῶν τὰς δέκα κατηγορίας λέγει· δεκαχῶς οὖν φησὶ τὸ καθ' αὑτὸ ὂν λέγεσθαι. καὶ αἴτιον τούτου ἀποδίδωσιν. ἐπεὶ γὰρ ἑκάστῳ τῶν ὄντων τὸ εἶναι συντασσόμενον ταὐτὸν οὗ συντάσσεται σημαίνει· τὴν γὰρ οἰκείαν ὕπαρξιν ἑκάστου σημαίνει τὸ ὂν ὁμώνυμον· εἰ δὲ δέκα αἱ κατὰ τὰ ἀνωτάτω γένη διαφοραί, δεκαχῶς καὶ τὸ ὄν τε καὶ τὸ εἶναι ῥηθήσεται· τὸ μὲν γὰρ τῇ οὐσίᾳ συντασσόμενον εἶναι τὴν οὐσιώδη ὕπαρξιν σημαίνει, τῷ δὲ ποσῷ τὴν ὡς ποσοῦ, καὶ τῷ ποιῷ τὴν ὡς ποιοῦ, καὶ ἐπὶ τῶν ἄλλων γενῶν ὁμοίως. ὥστε καὶ ὅταν ἐν τῇ οὐσίᾳ τινὸς τούτων τι κατηγορῆται ὡς γένος ἢ ὡς διαφορὰ ἢ ὡς ὁρισμός τινος ὂν αὐτῶν, τὸ ἔστι τὸ τοῖς οὕτω κατηγορουμένοις συντασσόμενον εἴη ἂν καθ' αὑτὸ κατηγορούμενον. δεικτικὸν δὲ τοῦ τὸ ἔστιν, ὧν ἂν συντάσσηται, ἐκείνην σημαίνειν τὴν φύσιν, παρέθετο τὸ μηδὲν σημαίνειν ἄλλο τὸ ἄνθρωπος ὑγιαίνων ἐστίν ἢ τὸ ἄνθρωπος ὑγιαίνει, τουτέστιν, ὃ ἐπὶ τῇ ὑγείᾳ συντέτακται, μηδὲν ἄλλο ἢ τὴν τῆς ὑγείας

14. αὐτὸ *M.* ‖ 15. εἰς om *A.* ‖ 18. ἐκ τοῦ] αὐτοῦ *M.* ‖ 24. καπὸς *M.* ‖ 25. ἔται] ὄντα *M.* ‖ 30. ὅτι om *M.* ‖ 31. ἃ om *M.* ‖ εἴτε] ἢ *M.* ‖ *quorum autem proprie subiectum est, ea sive unum sive plura sint, ipsius erunt accidentia, si hoc sint* Sepulv. ‖ 32. εἴτε — συμβεβηκότα om *M.* ‖ 33. μὴ] μὲν *M.* ‖ 37. τῷ] τὰ *M.* ‖ 39. εἰς *M.* ‖ 41. δείξῃ] δείξει *A.*

1. *ut cum... exposuerit, perinde esse docens dicere aedificatorem esse musicum, ac aedificatorem musicum, sed a converso musicum aedificatorem* Sepulv. ‖ 4. ἐστι τῷ τὸ *M.* ‖ 5. συμβέβηκεν *M.* ‖ 6. λέγομεν *M.* ‖ 7. τὸ μουσικὸν εἶναι, ἢ τὸ λευκὸν εἶναι ἢ τὸ *M.* ‖ 31. τὰ om *M.* ‖ 32. γένει *M.* ‖ 36. κατηγορεῖται *M.* ‖ ὂν] ὧν *M.* ‖ 41. ἐπὶ *M.*

ἀλλήλοις ὡς πλείω ἡμᾶς ἀριθμεῖν· πολλοὺς γὰρ ἀνθρώπους λέγομεν, ὅτι διῄρηνται ἀπ' ἀλλήλων, καίτοι ταὐτὸν ἔχουσιν εἶδος· ἀλλὰ καὶ τὰ μὴ ὁμοειδῆ ἀλλήλοις, ὧν πολλὰ λέγομεν, ὡς ἵππον, κύνα, ἄνθρωπον. οὐκέτι παρέθετο πῶς καὶ ὧν οἱ λόγοι πλείους, καὶ ταῦτα [1016b 11.] πλείω. προστίθησι δὲ τοῖς προειρημένοις τοῦ κυρίως ἑνὸς τρόποις καὶ τὸ ὡς ὅλον ἕν· πολλάκις γὰρ κἂν ᾖ τι συνεχές, οὐ λέγομεν αὐτὸ ἕν, ἂν μὴ ὅλον ᾖ καὶ τὸ εἶδος ἀπειλήφει· οὐ γὰρ τὸ ὁπωσοῦν συγκείμενον ἕν, κἂν πάντα ἔχῃ τὰ μέρη ἐν αὐτῷ, ἀλλ' ἂν οὕτως ἔχῃ ὡς τὸ οἰκεῖον εἶδος ἔχειν, ὡς ἔδειξεν ἐναργῶς ἐπὶ τοῦ ὑποδήματος. λέγει δὲ καὶ τὴν τοῦ κύκλου γραμμὴν διὰ τοῦτο μάλιστα ἓν εἶναι, ὅτι πρὸς τῷ συνεχεῖ καὶ τὸ τέλειόν τε καὶ ὅλον ἔχει· οὐ γὰρ δέχεται προσθήκην κατ' οὐδέν, ὡς τὸ τέλειον ἔχουσα (¹). δοκεῖ δὲ ἡ λέξις αὕτη ἐλλιπῶς εἰρῆσθαι· προθεὶς γὰρ "ἐπεὶ δ' ἔστι μὲν ὡς ὁτιοῦν φαμὲν εἶναι, ἂν ᾖ ποσόν," οὐκέτι οὐδὲν πρὸς τοῦτο ἀπέδωκε· λείπει γὰρ τὸ εἴη ἄν τις καὶ οὗτος ἑνὸς τρόπος, ἤ τι τοιοῦτον. καὶ γὰρ εἰ δύναται τὸ ἐπὶ τοῦ κύκλου εἰρημένον ὡς οὕτως εἰρημένον ἀκούεσθαι, διὰ τοῦτο ἡ τοῦ κύκλου μάλιστα μία τῶν γραμμῶν, ἀλλ' οὐχ οὕτως αὐτὸς εἴρηκε τῇ λέξει. εἴη δ' ἂν σαφὴς ἡ λέξις καὶ τὸ ἀκόλουθον σώζουσα, εἰ εἴη γεγραμμένον ἀντὶ τοῦ "ἐπεὶ δ' ἔστι μὲν ὡς ὁτιοῦν" τὸ ἔτι δὲ ἔστι μὲν ὡς ὁτιοῦν. προστίθησι τοῖς εἰρημένοις καὶ ὅτι τὸ ἑνὶ εἶναι τὸ ἀρχῇ ἀριθμοῦ εἶναί ἐστιν· τὸ γὰρ ἓν ἑκάστῳ πρῶτον μέτρον, ὃ καὶ ἕν ἐστιν ἐν ἑκάστῳ ἀρχή· τοιοῦτον δὲ ἐν μὲν τῷ ἀριθμῷ ἡ μονάς, ἐν ἄλλῳ δὲ ἄλλο ὅ τι ποτέ. καὶ ἔστιν ἐν αὐτῷ τὸ πρῶτον μέτρον· οὐ γὰρ ταὐτὸν ἐν πᾶσι τὸ ἕν. τί δέ ἐστι τὸ ἐν ἑκάστῳ πρῶτον μέτρον, ἐδήλωσεν εἰπών ᾧ γὰρ πρώτῳ γνωρίζομέν τι, τοῦτο πρῶτον μέτρον ἑκάστου γένους. διὸ καὶ ἔδειξεν ὅτι ἀρχὴ ὡς γνωστοῦ· δι' ὃ γὰρ πρῶτον γνωρίζεταί τι, τοῦτο ἀρχὴ ἐκείνου, ὥστε γνώσεως καὶ τοῦ γνωστοῦ τὸ ἓν ἀρχή· ἑνί τε γὰρ ἀνθρώπῳ πρώτως οἱ ἄνθρωποι γνωρίζονται καὶ ἑνὶ ἵππῳ οἱ ἵπποι, [1016b 21.] καὶ καθ' ἕκαστον γένος οἰκείῳ τινὶ τοῦ γένους ἐκείνου. οὕτως ἐν μέλει ἡ δίεσις· τούτῳ γὰρ ἐλαχίστῳ αἰσθητῷ διαστήματι δοκεῖ πάντα τὰ διαστήματα ἐν τοῖς μέλεσι μετρεῖσθαι. καὶ ἐν φωνῇ δὲ τὸ φωνῆεν ἢ ἄφωνον στοιχεῖον· ἐν τούτοις γὰρ ἐλαχίστοις πᾶσα ἐγγράμματος φωνὴ μετρεῖται. πάλιν ἐν βάρει ἄλλο τι τὸ πρῶτόν τε καὶ ἕν, οὗ τῷ πλήθει τε καὶ τῇ συνθέσει τὸ πᾶν βάρος γνωρίζεται. ὁμοίως καὶ ἐν κινήσει ἔστι τι πρῶτον γνωριζόμενόν τε καὶ λαμβανόμενον, ᾧ ἡ πᾶσα κίνησις γνωρίζεται· καὶ γὰρ εἰ μὴ φύσει τίς ἐστι πρώτη κίνησις, ἀλλ' ἡμεῖς γε ὁρίζομεν τὴν σταδιαίαν ἤ τινα ἄλλην, ᾗ τὴν ὅλην μετροῦμεν. ἐν πᾶσι δέ, φησί, καὶ πανταχοῦ τὸ ἓν ἢ τῷ ποσῷ ἢ τῷ εἴδει ἀδιαίρετον. . . καὶ ἔτι ἄθετον, μονὰς τοῦτο· ἂν δὲ θέσιν ἔχῃ πάντῃ ὂν ἀδιαίρετον, στιγμή· τὸ δὲ μοναχῇ διαιρετὸν γραμμή (κατὰ γὰρ μῆκος), ἐπίπεδον δὲ τὸ διχῇ, τὸ δὲ πάντῃ τε καὶ τριχῇ διαιρετὸν (τὸ γὰρ τριχῇ πάντῃ) σῶμα. κατ' εἶδος δὲ ἀδιαίρετον ὁ εἷς ἄνθρωπος, ὁ εἷς ἵππος, καθ' ἕκαστον εἶδος. τὸ κατ' ἀριθμὸν δὲ ἓν ὡς γνώριμον ὂν οὐ προσέθηκεν. ἑξῆς δὲ ἄλλην τινὰ τοῦ ἑνὸς διαί- [1016b 31.] ρεσιν ὑπογράφει, ᾗ καὶ συνήθως εἰώθασι χρῆσθαι, ἐν τοῖς προειρημένοις καὶ αὐτῇ περιεχομένῃ· ἓν γὰρ τὰ μὲν κατ' ἀριθμόν, τὰ δὲ κατ' εἶδος, τὰ δὲ τῷ γένει, τὰ δὲ κατ' ἀναλογίαν. λέγει δὲ τὸ μὲν ἓν ἀριθμῷ, ὧν ἡ ὕλη μία, κοινότερον ὕλην λέγων τὸ ὑποκείμενον· ἃ γὰρ κατὰ τὸ ὑποκείμενόν ἐστιν ἕν, ταῦτα τῷ ἀριθμῷ ἕν, ἐπεὶ καὶ ἐν γραμμῇ καὶ ἐν μονάδι τῷ ἐν τῷ ἀριθμῷ, ἅ ἐστιν ἄυλα. καὶ τὸ ὑποκείμενον δὲ κοινότερον ἂν ἐπ' αὐτῶν λέγοιτο. εἴδει δὲ ἕν, ὧν ὁ λόγος, φησίν, εἷς. λόγος δὲ εἷς τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἁπάντων· τῶν γὰρ διαφερόντων τοῦ γένους εἰδῶν οὐκ ἔστιν ὁ αὐτὸς λόγος, ἀλλ' ἔστιν ὁ αὐτὸς λόγος τῶν ὑπὸ τὰ ἄτομα εἴδη. γένει δὲ λέγει ἓν εἶναι, ὧν τὸ αὐτὸ σχῆμα τῆς κατηγορίας, τουτέστιν ὧν ἕν τι τῶν ἀνωτάτω γενῶν καὶ μία κατηγορία κατηγορεῖται· πάντα γὰρ ταῦτα ἓν τῷ γένει. τὸ δὲ κατ' ἀναλογίαν ἓν ὡρίσατο τὸ ἔχον ὡς ἄλλο πρὸς ἄλλο· ὅταν γὰρ οὕτως ἔχῃ τι πρός τι ὡς ἄλλο πρὸς ἄλλο, ταῦτα διὰ τὴν τοιαύτην ὁμοιότητα ἀναλογίᾳ ἕν. γνώριμον δὲ καὶ ἃ ἐπὶ τούτοις προσέθηκεν, ὅτι ἀεὶ τὰ κατὰ τὸ ὕστερον τὸ ἓν ἔχοντα καὶ τὰ πρῶτα ἔχει, οὐ μὴν ἀνάπαλιν· τὰ γὰρ κατ' ἀριθμὸν ἓν καὶ τῷ εἴδει καὶ τῷ γένει τὸ ἓν ἔχει. ἐπιζητήσαι δ' ἄν τις πῶς τὰ κατ' ἀριθμὸν ἓν καὶ ἀναλογίᾳ τὸ ἓν ἔχει, οὐ μὴν ἀνάπαλιν. ἢ οὕτω λέγεται κατὰ τὸ εἴδει ἓν τῷ ἀριθμῷ αὐτὸ αὑτῷ εἶναι. λέγει δὲ καὶ τὰ γένει τὸ ἓν ἔχοντα καὶ ἀναλογίᾳ ἔχειν· ἀνάλογον γὰρ τὰ ἐν τῷ αὐτῷ γένει, οἷον ὡς ἄνθρωπος πρὸς ἄνθρωπον καὶ ἵππος πρὸς ἵππον, οὕτως ἄνθρωπος πρὸς ζῷον καὶ ἵππος πρὸς ζῷον. καὶ τὰ ἐν τῷ αὐτῷ δὲ εἴδει ἀνάλογον. οὐ μὴν τὰ ἀναλογίᾳ ἓν καὶ γένει· ἀναλογίᾳ μὲν γὰρ ἕν, ὡς πηγὴ πρὸς ποταμόν, οὕτω καρδία πρὸς τὸ ζῷον· οὐ μὴν καὶ ὁμογενῆ ταῦτα, πηγὴ καὶ καρδία ἢ ποταμὸς καὶ ζῷον. εἰπὼν δὲ περὶ τοῦ ἑνός, φανερόν φησιν εἶναι ὅτι καὶ τὰ πολλὰ ἀντικειμένως τῷ ἑνὶ λεχθήσεται· καὶ γὰρ τὰ μὴ συνεχῆ ἀλλὰ διῃρημένα πολλά, καὶ τὰ μὴ ἀδιαίρετον ἀλλὰ διῃρημένην καὶ διαφέρουσαν τὴν ὕλην ἔχοντα κατὰ τὸ εἶδος, τὴν πρώτην ἢ τὴν τελευταίαν, πρώτην μὲν ἂν τὸ μὲν εἴη κατὰ τὸ ὑποκείμενον οἶνος τὸ δὲ ἔλαιον (ἕτερα γὰρ εἴδη τούτων), ἐσχάτην δὲ ἂν ᾖ τὸ ἔσχατον ὑποκείμενον ἑκάστῳ, ἐξ οὗ γέγονεν, ἕτερον τῷ εἴδει, οἷον ἂν τὸ μὲν ἐξ ὕδατος ᾖ τοῦ ἐσχάτου ὑποκειμένου, ὡς τὰ τηκτά, τὸ δὲ ἐκ γῆς ἤ τινος ἄλλου, ὡς τὰ θυμιάματα. τὰ δὲ τῷ [1017a 6.] τοὺς λόγους πλείους ἔχειν, ὡς τὰ ἕτερα τῷ εἴδει, ἃ εἴη ἀντικείμενα τοῖς ὧν εἷς λόγος καὶ ὅρος. ἔστι δὲ καὶ ἐπὶ τῶν ἄλλων τοῦ ἑνὸς ἀπο-

2. ὅτι — 3. λέγομεν om *A.* ‖ 15. δύνανται *M.* ‖ 17. μία et 18. ἡ λέξις om *M.* ‖ 19. ὡς] κατὰ *V.* ‖ τό — ὁτιοῦν om *AM.* ‖ 22. ἄλλο ὅτι ποτέ om *MV*, ib. lacuna. ‖ 31. μέλεσι] μέτροις *M.* ‖ 34. πᾶν om *M.* ‖ 36. φύσις *M.* ‖ 38. καὶ πᾶν τὸ *M.* ‖ 39. *aut forma. quod igitur est quantitate individuum, id si omnino est individuum et praeterea positione caret, unitas est* Sepulv.

1. διαιρετὸν] διάστατον *A.* ‖ 3. ἓν om *A.* ‖ 10. ἃ om *M.* ‖ 14. τῶν] τὸ *M.* ‖ γένη *A.* ‖ 18. ἔχει *M.* ‖ 19. ἀναλογίαν *M.* ‖ 23. *an sic dicitur, quatenus unum numero, idem sibi est specie. nam quoniam genere unum sunt, proportionis quoque unitatem habent, quia in eodem genere contenta proportionem habent inter se* Sepulv. ‖ 24. γένη *M.* ‖ 26. οὕτως] ὡς *M*, utrumque 27. πρὸς om *AM.* ‖ 28. καὶ om *M.* ‖ 30. πηγῆ *M* ‖ ποταμῷ *M.* ‖ 34. πρώτη μὲν *M.* ‖ 36. δέ om *M.* ‖ ᾖ] ἢ *M.* ‖ 38. ἐκ γῆς] αὐτῆς *M.*

ἀποδέδωκεν· οὐ γὰρ γένους διαφοραῖς οὐ διαφέρει ἀλλήλων τινὰ ὄντα ὑπ' αὐτό, κατ' ἐκεῖνο ταῦτα ἀλλήλοις ταὐτά, οὐ δὲ διαφοραῖς διαφέρει γένους, κατ' ἐκεῖνο δὲ οὐ ταὐτά. οὐχ οὕτως ἦν τὰ τῷ γένει τὰ αὐτά, ὧν πρώτων ἐμνημόνευσε. τὰ δὴ τρίγωνα, τό τε ἰσόπλευρον καὶ τὸ σκαληνὸν καὶ τὸ ἰσοσκελές, ἐπὶ σχήματος μὲν διαφοραῖς οὐ διαφέρει (ὑπὸ γὰρ τὴν τῶν εὐθυγράμμων διαφορὰν πάντα τὰ τρίγωνα ταὐτὰ ἀλλήλοις ἐστὶ σχήματα), τριγώνου δὲ διαφοραῖς διαφέροντα οὐκέτι τρίγωνα ταῦτα ὁμοίως. καὶ ὁ ἀετὸς καὶ ὁ κόραξ τοῦ ζῴου μὲν διαφοραῖς οὐ διαφέρει· ὑπὸ γὰρ τὸ πτηνὸν ἐν τοῦ ζῴου διαφορὰν τὰ ὄρνεα πάντα, διὸ καὶ ζῷα ταὐτά· ὀρνέου δὲ διαφέροντα διαφοραῖς οὐκέτι τὰ αὐτὰ ὄρνεα. διὰ τοῦτο γὰρ καὶ ὁ ἀνὴρ καὶ ἡ γυνὴ ἄνθρωπος ὁμοίως, ὅτι μὴ ἀνθρώπου διαφοραῖς ἀλλήλων διαφέρουσι.
1016a 32. δείξας δὲ τίνα ἕν ἐστι κατὰ γένος, προστίθησι τί σημαινόμενον ἑνὸς κατὰ τὸν ὁρισμὸν καὶ τὸν λόγον τὸν τί ἦν εἶναι λέγοντα· ὧν γὰρ ἑτέρων ὄντων καὶ κεχωρισμένων ὑπ' ἀλλήλων ὁ λόγος καὶ ὁρισμὸς ὁ αὐτός ἐστι, ταῦτα ἕν ἐστιν ἀλλήλοις. εἰπὼν δὲ ὧν ὁ λόγος ὁ τὸ τί ἦν εἶναι λέγων ἀδιαίρετος πρὸς ἄλλον, προσέθηκε τὸ "αὐτὸς γὰρ καθ' αὑτὸν πᾶς λόγος διαιρετός." τοῦτο δέ, ἐπεὶ πᾶς λόγος σύγκειται ἐκ πλειόνων τινῶν, εἰς ἃ καὶ διαιρεῖται. ὅταν δὴ κεχωρισμένων τινῶν ἀπ' ἀλλήλων καὶ συμβεβηκόσι τισὶ διαφερόντων οἱ λόγοι οἱ τὴν οὐσίαν δηλοῦντες αὐτῶν ὦσιν οἱ αὐτοί, καὶ ταῦτα ἕν. καὶ εἴη ἂν διὰ τούτων εἰρηκὼς τίνα ἐστὶ τὰ τῷ εἴδει ἕν τε καὶ ταὐτά. τὸ δὲ "ὥσπερ ἐπὶ τῶν ἐπιπέδων ὁ τοῦ εἴδους" δηλωτικόν ἐστι τοῦ οὕτως τὸν τούτων τῶν κεχωρισμένων ἀλλήλων καὶ κατά τινα συμβεβηκότα διαφερόντων ἕνα εἶναι λόγον· τοιαῦτα γὰρ τὰ κατὰ τὸ μέγεθος μόνον ἀλλήλων διαφέροντα, ἐφ' ὧν εἶπεν "ηὐξημένον καὶ φθῖνον." ἢ ὡς καὶ ἐπὶ τῶν ἐπιπέδων ὁ αὐτὸς λόγος ἑκάστου κατὰ τὸ εἶδος μένει, ἄν τε ᾖ μεῖζον ἄν τε ἔλαττον· ὅμοιον γὰρ τρίγωνον καὶ ἓν καὶ τὸ μεῖζον καὶ τὸ
1016b 1. ἔλαττον, ἂν ᾖ ὁμοειδῆ. τούτοις προστίθησι καὶ λέγει καθόλου καὶ κυρίως ἓν ταῦτα εἶναι, ὧν ἡ νόησις ἀδιαίρετος ἡ νοοῦσα τὸ τί ἦν εἶναι αὐτῶν καὶ τὴν οὐσίαν· ἃ γὰρ κατὰ πάντα ἐστὶν ἀχώριστα καὶ μήτε χρόνῳ μήτε τόπῳ μήτε λόγῳ χωρισμόν τινα ἐπιδέχεται, ταῦτα μάλιστα ἕν, καὶ τῶν τοιούτων μάλιστα ὅσα οὐσίαι εἰσίν. λέγοι δ' ἂν τὸ ἓν κατ' ἀριθμὸν καὶ τόδε τι καὶ ὑποκείμενον κυρίως ἕν· τῶν μὲν γὰρ ὁμογενῶν καὶ ὁμοειδῶν χωρίζεταί τινα ἀλλήλων καὶ τόπῳ καὶ χρόνῳ. ἀλλὰ καὶ τῶν ἑτέρων τῷ γένει, εἰ καὶ μὴ τόπῳ ἢ χρόνῳ ὁ χωρισμός, ἀλλὰ λόγῳ γε· ἄλλος γὰρ λόγος ἀναβάσεως καὶ ἄλλος καταβάσεως, εἰ καὶ ἓν τὸ ὑποκείμενον καὶ ἀχώριστον. τὸ δὲ κατ' ἀριθμὸν ἓν πάντῃ ἀχώριστον, καὶ μάλιστα τὸ ἐν τῇ οὐσίᾳ· καὶ γὰρ τῶν ἄλλων τῶν κατ' ἀριθμὸν τὸ ἓν ἐχόντων ἕκαστον παρὰ τῆς οὐσίας ἔχει τοῦτο. ἢ τὰ μὲν ὑπὸ τὸ γένος διαφέροντα ἀλλήλων τῷ εἴδει καὶ ταῖς ἀντικειμέναις διαφοραῖς τῷ γένει τὸ ἓν ἔχει, καὶ τὰ ὑπὸ τὸ εἶδος κεχωρισμένα ἀλλήλων καὶ διαφέροντα, εἰ καὶ μὴ κατ' οὐσίαν, ἀλλὰ κατὰ συμβεβηκότα τινά, τῷ εἴδει ταὐτά τε καὶ ἕν. τὸ δὲ γένος αὐτὸ τὸ καθόλου λαμβανόμενον, οἷον τὸ ζῷον, ἓν ὂν καὶ ταὐτὸν αὑτῷ καὶ οὐκ ἄλλῳ, εἴη ἂν τῷ ἀριθμῷ αὐτὸ αὑτῷ ταὐτόν τε καὶ ἓν ὁμοίως, τουτέστιν ὁ μὴ ἀνθρώπου διαφοραῖς διαιρούμενος· καὶ ἔστι λεγόμενον διὰ τούτων ὑπ' αὐτοῦ ὃ πρὸ ὀλίγου πρόσθεν εἶπεν. ἐπιφέρει δὲ τούτοις καὶ τὸ καθόλου ἓν ἕκαστον λέγεσθαι κατὰ τοῦτο, καθὸ μὴ ἔχει διαίρεσιν μήτε διαφέρον τι πρός τι· τὰ γὰρ μὴ διαφέροντα ἀλλήλων πάντα, καθὸ μὴ διαφέρει, ταὐτά ἐστιν ἀλλήλοις. ὅ τε γὰρ ἄνθρωπος ὁ κατὰ τὸ ἄνθρωπος ἀδιαίρετος εἷς (ὁ γὰρ μὴ εἰς ἀνθρώπους διαιρούμενος εἷς), καὶ ἓν ζῷον ὁμοίως ὃ μὴ καθὸ ζῷον διαιρεῖται· καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. ταῦτα δὲ εἰπὼν διὰ μέσου πάλιν ἐπάνεισι, καὶ δεί- 1016b 8.
κνυσιν ὅτι κυρίως ἓν τὸ κατὰ τὴν οὐσίαν ἕν ἐστιν· τῶν μὲν γὰρ ἄλλων ἕκαστον ἓν λέγεται κατά τι συμβεβηκός· ἢ γὰρ τῷ ἕτερόν τι ποιεῖν, ὡς τὰ ὁμοίως διατιθέντα τινὰ ἓν ἀλλήλοις λέγεται, οἷον μέλι μέλιτι ἢ ὅλως γλυκὺ γλυκεῖ καὶ θερμὸν θερμῷ, ἢ τῷ ἔχειν τι ταὐτόν, ὡς ὁ μουσικὸς τῷ μουσικῷ ἢ ὁ λευκὸς τῷ λευκῷ· τῷ γὰρ ταὐτόν τι ἔχειν ταὐτά· τὰ δὲ τῷ πάσχειν ταὐτὸ διαθερμαινόμενα ἢ ψυχόμενα ἢ ὅλως πάσχοντά τι τὸ αὐτὸ πάθος, τὰ δὲ τῷ πρός τι εἶναι, ὡς λέγομεν τοὺς μὲν πρὸς ἕω οἰκοῦντας πάντας δεξιοὺς τοῦ κόσμου καὶ ἐν τοῖς δεξιοῖς εἶναι καὶ κατὰ τοῦτο ἑνός τινος κοινωνεῖν, πάλιν δὲ ἀριστεροὺς τοὺς πρὸς δύσιν, ἢ τοὺς ἑνός τινος δεξιοὺς ἢ διπλασίους ἢ ἑνὸς υἱούς. ταῦτα μὲν οὖν τὸ ἓν ἔχει κατά τι τῶν συμβεβηκότων· κατὰ γὰρ τὸ ἐκείνων τινὸς ὁμοίως ἀλλήλοις κεκοινωνηκέναι τὰ οἷς συμβέβηκεν ἐκεῖνο τὸ ἓν ἔχει. κυρίως δὲ ἕν, ὧν ἡ οὐσία μία. μία δέ, ὥς φησιν, ἡ οὐσία τινῶν ἢ συνεχείᾳ (ἓν γὰρ τὸ συνεχὲς καθὸ τοιοῦτον· οὕτω γραμμὴ μία καὶ ἐπίπεδον ἓν καὶ σῶμα ἕν) ἢ εἴδει (οὕτω τρίγωνον ἓν καὶ ἄνθρωπος εἷς λέγονται εἶναι· ὧν γὰρ ἓν εἶδος, ἓν ταῦτα τῇ οὐσίᾳ, ὡς οἱ ἄνθρωποι· ὁμοειδεῖς γὰρ ὁμοίως καὶ πάντα τὰ ὁμοειδῆ ἀλλήλοις). ἢ λόγῳ φησίν· λόγῳ γὰρ λέγοι ἓν ἂν τὰ πολυώνυμα· καὶ γὰρ ταῦτα κατ' οὐσίαν ἕν· εἷς γὰρ λόγος αὐτῶν ὁ τὴν οὐσίαν σημαίνων. ἢ ἐκ παραλλήλου εἶπε τὸ "ἢ εἴδει ἢ λόγῳ·" καὶ τοῦ οὕτως εἰρῆσθαι σημεῖον τὸ καὶ τὰ πλείω τίνα ἐστὶν ἀποδιδόντα τῶν τοῖς συνεχέσιν ἀντικειμένων μεμνημονευκέναι καὶ τῶν τῷ εἴδει· εἶπε γὰρ "ὡς πλείω" ἢ τὰ μὴ συνεχῆ ἢ ὧν μὴ ἓν τὸ εἶδος. ὅτι δὲ τούτων ἕκαστον ἕν, δείκνυσιν ἐκ τοῦ καὶ μὴ τὰ συνεχῆ

4. ὡς πρῶτον *M.* ‖ 5. ἐπεὶ *A.* ‖ 9. τοῦ om *A.* ‖ διαφέρει] διαφέρουσιν *M.* ‖ 12. ἄνθρωπος] ἄνθρωποι *M.* ‖ 20. ἀπ' ἀλλήλων et τισὶ om *M.* ‖ 23. δηλωτικός *M.* ‖ 26. ἐφ' ὧν om *M.* ‖ 33. λέγει *M.* ‖ 35. χωρίζεσθαί *M.* ‖ ἀλλήλων ἐν τόπῳ *M.* ‖ 36. *item quae diversis nominibus appellantur, i. e.* πολυώνυμα, *licet neque loco neque tempore dividantur, ratione tamen dividuntur* Sepulv. ‖ ὁ ὁρισμός *A.* ‖ 37. καὶ ἄλλως *M.* ‖ 39. πάντη *M.* ‖ τὸ] τῷ *M.*

10. ἑκάστου *M.* ‖ 15. μέσου παρέσου ἐπάνεισι *M.* ‖ 24. τινος] τι *M.* ‖ 25. *eadem est ratio, si quos dextram alicuius unius tenere dicamus, vel duplos esse, vel unius filios* Sepulv. ‖ 28. συμβεβηκέναι *M.* ‖ 29. δὲ om *M.* ‖ 36. *cuius indicium est, quod cum exponeret quae plura esse intelligantur, tum de iis quae continentibus opponuntur, tum de iis quae opponuntur similibus specie, meminit* Sepulv. ‖ 38. ἢ ὧν — 39. συνεχῆ om *M.*

ἔχοντα κάμψιν· τῶν γὰρ τοιούτων ἡ κίνησις ἀδιαίρετος κατὰ χρόνον. εἰπὼν δὲ συνεχῆ λέγεσθαι ὧν ἡ κίνησις μία, ἐφεξῆς λέγει τίνα τὰ ὧν ἐστὶν ἡ κίνησις μία, καὶ ἐν τίνι τῷ συνεχεῖ, τῷ εἶναι τοιούτῳ. καθόλου φησὶ καὶ καθ' αὑτὰ καὶ κυρίως συνεχῆ εἶναι τὰ μὴ τῇ ἀφῇ τὸ ἓν ἔχοντα, ὡς τὰ δεσμῷ ἢ κόλλῃ, ἀλλὰ ὑπὸ κοινοῦ ὅρου συναπτόμενα· τὰ γὰρ ἁπτόμενα ἀλλήλων ξύλα οὐ λέγεται οὔτε ξύλον οὔτε σῶμα ἓν κυρίως οὔτε ὅλως ἕν τι. καθόλου μὲν οὖν φησὶν ἓν λέγεσθαι κυρίως τὸ συνεχές, κἂν ᾖ μὴ εὐθὺ ἀλλὰ κεκαμμένον. ἔτι δὲ μᾶλλον ἓν τῶν συνεχῶν τὰ εὐθέα καὶ μὴ κάμψιν ἔχοντα· μᾶλλον γὰρ ἓν κνήμη καθ' αὑτὴν καὶ μηρὸς σκέλους ὅλου· τὸ γὰρ σκέλος οὐκ ἀκαμπές, διὸ ἐνδέχεται καὶ μὴ μίαν αὐτοῦ τὴν κίνησιν εἶναι. οὐκέτι δὲ τοῦτο οἷόν τε ἐπὶ τοῦ μηροῦ καὶ τῆς κνήμης· οὐ γὰρ οἷόν τε τῶν τοιούτων μέρος μέν τι κινεῖσθαι μέρος δὲ μή· κάμψις γὰρ ἂν γένοιτο. κατὰ ταῦτα δὲ καὶ τὴν εὐθεῖαν γραμμὴν τῆς κεκαμμένης μᾶλλον εἶναι μίαν λέγει, τὴν δὲ κακαμμένην οὕτως ὡς καὶ γωνίαν ἔχειν καὶ μίαν καὶ οὐ μίαν εἶναι· ἡ γὰρ τοῦ κύκλου μία· οὐδὲ γὰρ ταύτην οἷόν τε κατὰ μόριον κινεῖσθαι φυλάσσουσαν τὸ σχῆμα τὸ αὐτό. διὰ τί δὲ τὴν γωνίαν ἔχουσαν οὐχ ἁπλῶς μίαν εἶπεν; ὅτι γὰρ ἐνδέχεται καὶ μὴ ἅμα πᾶσαν αὐτὴν κινεῖσθαι, τῶν δὲ εὐθειῶν ἀδύνατον τὸ μόριον χωρὶς τοῦ ὅλου κινηθῆναι· κάμπτοιτο γὰρ ἄν, οὐδὲν δὲ μόριον μέγεθος ἔχον τῆς εὐθείας δύναται ἢ καθ' αὑτὸ χωρὶς τῆς ὅλης κινηθῆναι ἢ καθ' αὑτὸ ἠρεμῆσαι. προσέθηκε δὲ τῷ μορίῳ τὸ ἔχον μέγεθος, ὡς δυναμένου καὶ τοῦ πέρατος τῆς εὐθείας ὑπό τινων μορίου λέγεσθαι, ὃ δύναται μένειν τῆς ὅλης κινουμένης. εἰπὼν δὲ περὶ τοῦ ὡς συνεχοῦς ἑνός, ἄλλον τρόπον φησὶν ἓν λέγεσθαι καὶ τὰ ὧν τὸ ὑπο-
1016a 13 κείμενον τῷ εἴδει ἐστὶν ἀδιάφορον· ὃ ἐξηγήσατο εἰπὼν "ὧν ἀδιαίρετον τὸ εἶδος κατὰ τὴν αἴσθησιν," λέγων ἀδιαίρετον τὸ μὴ εἰς διαφέροντα αἰσθητὰ διαιρούμενον· οὐ γὰρ κατὰ τὸ ποσὸν ἀδιαίρετον δεῖ τὸ ὑποκείμενον αὐτοῖς εἶναι. διαφέροντα δὲ αἰσθητὰ τὸ γλυκὺ φέρε εἰπεῖν καὶ στρυφνὸν καὶ τὸ λευκὸν καὶ τὸ φαιόν. εἶεν δ' ἂν οὕτως ἓν τῶν αἰσθητῶν τὰ ὁμοειδῆ ἀλλήλοις. λέγει δὲ μὴ μόνον ὧν τὸ πρῶτον ὑποκείμενον ἀδιαίρετόν ἐστι, ταῦτα ἓν εἶναι, ἀλλὰ καὶ ὧν τὸ ἔσχατον, πρῶτον μὲν ὑποκείμενον λέγων τὸ προσεχῶς ὑποκείμενον, οἷον εἰ οἶνός ἐστιν· ὑποκείμενον γὰρ τὴν αἰσθητὴν οὐσίαν λέγει. εἰ δὴ οἶνος εἴη, κατὰ τοῦτο ἓν ταῦτα· ἓν γὰρ τῷ εἴδει. ὁμοίως κἂν ὕδωρ. ὧν δὲ τὸ ἔσχατον ὑποκείμενον, ταῦτα ἕν, οὐ τῷ αὐτὰ μὴ εἶναι ἀδιάφορα αἰσθητὰ ἀλλήλων, ἀλλὰ τῷ ἐξ ἑνός τινος ἐσχάτου αἰσθητοῦ καὶ ἀδιαιρέτου κατ' εἶδος σώματος γεγονέναι αὐτά· ταῦτα γὰρ ἓν οὐχ ὡς ὁμοειδῆ, ἀλλὰ τῷ τὸ ὑποκείμενον ἔσχατον αὐτοῖς ὁμοειδὲς εἶναι. οὕτως οἱ χυμοὶ πάντες ἓν ἀλλήλοις λέγονται εἶναι, ὅτι ἐξ ἑνός τινος σώματος ἐσχάτου ὑποκειμένου τὸ εἶναι αὐτοῖς, ἢ ὕδατος ἢ ἀέρος. προσέθηκε δὲ τῷ "ἢ τὸ τελευταῖον" τὸ "πρὸς τὸ τέλος," ἤτοι ἴσον λέγων τῷ ἢ τὸ τελευταῖον ἀπὸ τοῦ τέλους, τουτέστι τὸ τούτου πλεῖστον ἀφεστώς, ἢ τὸ τελευταῖον πρὸς τὸ τέλος, τὸ ἔσχατον καὶ τέλος, ὃ μηκέτι ἄλλῳ ὑπόκειται. ἔστι δὲ τελευταῖον μὲν ὁ οἶνος καὶ τὸ ἔλαιον, πρῶτον δὲ τὸ ἐξ οὗ ἡ τούτων γένεσις ὑποκειμένου αἰσθητοῦ· οὕτως ἓν τὰ ἐκ τῆς αὐτῆς ὕλης καὶ τοῦ αὐτοῦ ὑποκειμένου, ἂν αἰσθητὸν ἐκεῖνο. ἔτι ἓν φησι λέγεσθαι ἀλλήλοις καὶ ὧν ταὐτὸν καὶ ἓν γένος· τὰ γὰρ διαφέροντα καὶ ἀντιδιῃρημένα ἐκ τοῦ αὐτοῦ γένους ταῖς ἀντικειμέναις διαφοραῖς ὅμως διὰ τὸ γένος ὂν ταὐτὸν ἓν κατ' ἐκεῖνο λέγεται, καὶ ἔστιν οὕτως ἓν τὰ τῷ γένει ἓν λεγόμενα. τρόπον δέ τινά φησιν ὁμοίως ταῦτα ἓν λέγεσθαι τοῖς προειρημένοις, ὧν τὸ ἔσχατον ὑποκείμενον καὶ ἡ ὕλη οὖσα αἰσθητόν τι σῶμα ἦν ἡ αὐτή· καὶ γὰρ ἐκεῖνα διαφέροντα ἀλλήλων κατὰ τὴν ἐπὶ τὸ ὑποκείμενον αὐτοῖς ἀναφορὰν ἓν ὂν καὶ ἀδιαίρετον ἓν ἦν. δύναται καὶ ἁπλῶς τὰ ἐκ τῆς αὐτῆς ὕλης λέγειν ὁμοίως ἓν λέγεσθαι τοῖς τῷ γένει τὸ ἓν ἔχουσι. τρόπον δέ τινα ὁμοίως εἶπεν· οὐ γὰρ πάντῃ, ἀλλὰ κατὰ τοσοῦτον καθὸ καὶ ἐν τούτοις καὶ ἐν ἐκείνοις τὸ ἓν κατὰ τὴν ἐπ' ἄλλο τι ἀναφοράν, ἐπεὶ ἐκεῖνα μὲν τὸ ὑποκείμενον αὐτοῖς ταὐτὸν εἶχε, ταῦτα δὲ τὸ κατηγορούμενον· κἀκεῖνο ἀδιαίρετον μὲν ἦν κατ' εἶδος, κατὰ δὲ τὸ ποσὸν οὐκ ἀδιαίρετον, τὸ δὲ γένος ἔμπαλιν κατὰ μὲν τὸ ποσὸν ἀδιαίρετον, κατ' εἶδος δὲ διαιρετόν. ὅτε μὲν οὖν, φησί, λέγεται ταὐτὰ ἀλλήλοις τὰ ὑπὸ ταὐτὸν προσεχὲς γένος, κατὰ γένος, καίτοι ταῖς ἀντικειμέναις ἐν αὐτῷ διαφοραῖς ἀντιδιῃρημένον, ὅτε δὲ τὰ ὑπὸ ἓν γένος ταὐτὰ ἀλλήλοις λέγεσθαι οὐ κατὰ τὸ προσεχὲς γένος, ὡς τὰ προειρημένα, ἀλλὰ κατὰ τὸ ἀνωτέρω. καὶ λέγει ἐφ' ὧν τοῦτο· ὅτε γὰρ ᾖ γένη τινὰ ὑπ' ἀλλήλοις καὶ ληφθῇ τὰ εἴδη τὰ τοῦ ὑποκειμένου γένους, ἃ οὐκέτι εἴδη προσεχῆ τῷ πρώτῳ γένει ἐστίν, ἀλλὰ τῷ ὑπ' ἐκεῖνο τελευταῖα ὄντα καὶ ἔσχατα, ἀλλήλοις ἓν οὐ κατὰ τὸ προσεχὲς αὐτοῖς λέγεται γένος, ἀλλὰ κατὰ τὸ ἀνωτέρω· τὸ γὰρ ἄνω τούτου δηλωτικόν ἐστιν, οὗ καὶ τὸ ἀνωτέρω τούτων. οἷον ζῷόν ἐστι γένος, καὶ ὄρνεον ὑπὸ τοῦτο, καὶ τούτου εἴδη ἀετὸς καὶ ἱέραξ· ταῦτα δὴ οὐ καθὸ ὄρνεα ταὐτὰ ἀλλήλοις λέγεται (καθὸ γὰρ ὄρνεα, διαφέρει ἀλλήλων), ἀλλ' ᾗ ζῷα, ταὐτὰ καὶ ἓν κατὰ τὴν εἰς τὸ ἀνωτέρω γένος μετάληψιν. οὕτως οὐδὲ τὸ σκαληνὸν καὶ ἰσοσκελὲς ἓν ἀλλήλοις ὡς τρίγωνα, ἀλλ' ὡς σχήματα· τὸ γάρ τοι ἀνωτέρω τούτων δηλωτικὸν ἂν εἴη τοῦ κατὰ τὸ ἀνωτέρω τῶν προσεχῶν γενῶν, καὶ εἴη ἂν τὰ οὕτω τῷ γένει ταὐτά, ὡς κατὰ τὸ ἀνωτέρω γένος, οὐ κατὰ τὸ προσεχές, ἀναλόγως τὸ ἓν ἔχοντα τοῖς ἀπὸ τῆς ὕλης καὶ τοῦ ὑποκειμένου τὸ ἓν ἔχουσιν, οὐκ ἀπὸ τῆς προσεχοῦς ἀλλ' ἀπὸ τῆς ἐσχάτης· ὡς γὰρ ἐκεῖνα κατὰ τὴν ἐσχάτην αὐτοῖς ὑποκειμένην ὕλην, οὐ κατὰ τὴν προσεχῆ, τὸ ἓν εἶχεν, οὕτω καὶ τὰ νῦν εἰρημένα τῷ γένει ταὐτά ἐστιν οὐ τῷ προσεχῶς κατηγορουμένῳ ἀλλὰ τῷ ἀνωτέρω. τοῦ δὲ κατὰ μὲν τὸ ἀνωτέρω γένος τὰ αὐτὰ λέγεσθαι ταῦτα, κατὰ δὲ τὸ προσεχὲς μηκέτι ἓν ἀλλήλοις, τὴν αἰτίαν

1. καμπτὴν *A.* ‖ 2. συνεχῶς *M.* ‖ λέγει τινὰ *M.* ‖ 4. φησὶ δὲ κατ' αὐτὰ *M.* ‖ 8. εὐθύ, ἀλλὰ κεκαλυμμένον *M.* ‖ 9. ἓν] ἐκ *M.* ‖ 10. μέρος *M.* ‖ 11. λίαν *M.* ‖ 13. μέντοι κινεῖσθαι *M.* ‖ 15. κεκαλυμμένην *M.* ‖ 17. κατὰ] καὶ τὰ *M.* ‖ 18. τί om *M.* ‖ 20. κάμπτοιτο *M.* ‖ 21. ἔχειν *M.* ‖ 22. δὲ om *M.* ‖ 35. ἓν γὰρ — 36. αὐτὰ om *A.* ‖ 36. μὲν εἶναι διάφορα *M.* ‖ 41. αὐτῶν *M.*

3. καὶ] δὲ *M.* ‖ δὲ τὸ τελευταῖον *M.* ‖ 5. ὑποκειμένου, ἀναισθητὸν ἐκεῖνο. ἔτι *M.* ‖ 15. καθὸ καὶ ἐν τούτοις om *M.* ‖ 25. ὑπάλληλα *M.* ‖ 26. εἴδει *M.* ‖ 32. τὸ σκελὲς γὰρ καὶ ἰσοσκελὲς *M.* ‖ 38. τοῦ ἐσχάτου *M.* ‖ 39. καὶ τὰ om *M.*

ἁπλοῦν, οὗ αἴτιον ἀποδέδωκε τὸ τὸ ἁπλοῦν μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν· τὸ γὰρ μὴ ἁπλοῦν πλεοναχῶς ἔχει, τὸ δὲ πλεοναχῶς ἔχον ἐνδέχεται καὶ ἄλλως ἔχειν. τοῦτο δὴ λαβὼν ἐπιφέρει ὅτι εἴ τινα ἐστὶν ἐν τοῖς οὖσιν ἁπλᾶ καὶ ἀΐδια καὶ ἀκίνητα, οὔτε βίαιόν τι ἐκείνοις ἐστὶν οὔτε παρὰ φύσιν (ἐνδέχοιτο γὰρ ἂν αὐτὰ καὶ ἄλλως ἔχειν), ἀλλὰ κυρίως ἐκεῖνα ἐξ ἀνάγκης ὄντα. τοιαῦτα δὲ κατ' αὐτὸν τὰ πρῶτα αἴτια. παρέθετο δὲ τοῦτο, ἵνα ἐπειδὰν τὸ ἀναγκαῖον κατ' αὐτῶν κατηγορῶμεν, μὴ ὡς τὸ βίαιον καὶ παρὰ φύσιν κατηγορούντων ἡμῶν ἀκούσει τις. Alex.

1015a 22. (ᵉ) διό φαμεν ὅτι ἐξ ἀνάγκης ἐστὶν ὁ θεὸς ἀγαθός· ἐν τούτῳ γάρ ἐστιν ἡ τοῦ θεοῦ οὐσία· οὔτε γὰρ ἔχει ἔξωθέν τι συμβεβηκὸς ὑπάρχον ἁπλοῦν, ἵνα ἐν ἐκείνῳ θεωρηθῇ τὸ ἀναγκαῖον· διὸ καὶ τοῖς ἄλλοις ἀναγκαίοις ἐντεῦθεν τὸ ἀναγκαῖον ἐπιπηγάζεται ἐκ τῆς πρώτης οὐσίας. ὅθεν καὶ ὁ Πλωτῖνος παγκάλως ἔλεγεν ὅτι δεῖ τὰς πολλὰς ἴλιγγας εἰς ἕν τι συνάγειν καὶ οὕτως νοεῖν τὸ θεῖον καὶ ἀντιλαμβάνεσθαι αὐτοῦ μύσαντας, ἐπειδὴ καὶ ὑπὲρ νοῦν ἐστὶ καὶ ἁπλοῦν καὶ πάντα παράγον. Asclep.

1015a 23. (ᶠ) τὸ βίαιον δὲ ἀναγκαῖον, ὅταν τις ἐπιθῇ τινὶ βίαν ποιῆσαι τόδε τὸ πρᾶγμα, ὥσπερ ὁ Εὐρυσθεὺς ἐπέταττε τῷ Ἡρακλεῖ· διό φησι κἀκεῖνος "ἀναγκαίη γὰρ ἐπείγει." id.

1015a 29. (ᵍ) ὥσπερ ἔλεγεν Εὔηνος ὁ σοφιστής. id.

1015b 16. "τὸ — συμβεβηκός." τοῦ ἑνὸς τὸ μὲν κατὰ συμβεβηκός φησι λέγεσθαι τὸ δὲ καθ' αὑτό, καὶ τὸ μὲν κατὰ συμβεβηκὸς τριχῶς· ἢ γὰρ τὸ συμβεβηκὸς καὶ τὸ ᾧ συμβέβηκεν ἓν λέγεται, ὡς Κορίσκος καὶ τὸ μουσικόν, εἰ εἴη Κορίσκῳ συμβεβηκὸς τὸ εἶναι μουσικῷ· ταὐτὸν γὰρ τὸ εἰπεῖν Κορίσκος καὶ μουσικὸν ἕν, καὶ Κορίσκῳ τὸ μουσικὸν συμβέβηκεν. καὶ Κορίσκος μουσικός ἐστιν, ἕν φησι κατὰ συμβεβηκὸς εἶναι, καὶ τὸ μουσικὸν καὶ τὸ δίκαιον, ἔτι ἓν κατὰ συμβεβηκὸς μουσικὸς Κορίσκος καὶ δίκαιος Κορίσκος. ἃ εἰπὼν ἑξῆς, κατὰ τί ἕκαστον τούτων ἕν ἐστι κατὰ συμβεβηκός, προσέθηκε. τὸ μὲν γὰρ δίκαιον καὶ τὸ μουσικὸν ἕν, ὅτι μιᾷ οὐσίᾳ συμβεβηκότα· κατὰ συμβεβηκὸς γὰρ ἓν τὸ μουσικὸν καὶ τὸ δίκαιον τῷ ἑνί τινι ἄμφω συμβεβηκέναι. τὸ δὲ μουσικὸν καὶ Κορίσκος ἓν τῷ θάτερον μόριον τοῦ συναμφοτέρου τῷ ἑτέρῳ μορίῳ συμβεβηκέναι· τὸ γὰρ μουσικὸν τῷ Κορίσκῳ. ὁμοίως δέ φησι τρόπον τινὰ τοῦτο ἕν, τὸ ὁ Κορίσκος μουσικός ἐστι καὶ ὁ Κορίσκος, καὶ μία πρότασις κατὰ συμβεβηκός. καὶ ἐν τούτῳ τῷ λόγῳ τὸ ἕτερον μέρος τοῦ ὅλου λόγου τῷ ἑτέρῳ ὑπάρχει· τῷ γὰρ Κορίσκῳ ὑπάρχει τὸ μουσικῷ Κορίσκῳ εἶναι. αὐτὸς δὲ εἰπὼν θάτερον μόριον θατέρῳ συμβεβηκέναι τῶν ἐν τῷ λόγῳ, τὸ μουσικὸν εἶναι τῷ Κορίσκῳ συμβεβηκέναι λέγει, ἀφελὼν ἐκ τοῦ κατηγορουμένου τὸ Κορίσκος. τῷ γὰρ τὸ μουσικὸν Κορίσκῳ συμβεβηκέναι τούτῳ καὶ τὸ ὅλον Κορίσκος Κορίσκος μουσικός ἐστιν. τρόπον δέ τινα ὁμοίως εἶπεν, ὅτι διαφορά τίς ἐστι κατὰ τὴν λέξιν τε καὶ ἐκφοράν· ἐκεῖ γὰρ ἔλεγε τὸ ἕν, ὁ μουσικὸς Κορίσκος, ἐνταῦθα δὲ τὸ μουσικὸν Κορίσκῳ. τὸ δὲ μουσικὸν Κορίσκον τῷ δικαίῳ Κορίσκῳ ἕν φησιν εἶναι, ὅτι ἑκατέρων ἓν μέρος τῷ αὐτῷ, ὃ ἐν ἀμφοτέροις ταὐτόν ἐστι, συμβέβηκε· τὸ γὰρ μουσικὸν καὶ τὸ δίκαιον ἑκάτερον αὐτῶν μέρος ὂν ἑκατέρας προτάσεως, τῷ Κορίσκῳ συμβεβηκὸς ταὐτὸν ἦν ἐν ἀμφοτέραις ταῖς προτάσεσιν. ὁμοίως 1015b 23.
δέ φησιν ἓν γίγνεσθαι κατὰ συμβεβηκός, κἂν μὴ ἐπὶ Κορίσκου μηδὲ ἀτόμου τινὸς τὸ συμβεβηκὸς κατηγορῆται, ἀλλ' ἐπί τινος γένους ἢ εἴδους καὶ ὅλως τῶν καθόλου, οἷον ἂν λέγῃ ταὐτὸν εἶναι ἄνθρωπος καὶ μουσικὸς ἄνθρωπος· ἓν γὰρ καὶ ταῦτα, ἢ ὅτι τῷ ἀνθρώπῳ μιᾷ οὐσίᾳ οὔσῃ συμβέβηκεν, ἢ ὅτι καὶ τὸ μουσικὸν καὶ ὁ ἄνθρωπος μιᾷ τινὶ ἀτόμῳ οὐσίᾳ συμβέβηκεν, οἷον Κορίσκῳ, ὡς ἐλέγετο ἓν καὶ τὸ μουσικὸν δίκαιον. πλὴν οὐχ ὁμοίως τῷ Κορίσκῳ ἀμφότερα ὑπάρχει, ὅ τε ἄνθρωπος καὶ τὸ μουσικόν, ἀλλ' ὁ μὲν ὡς εἶδος αὐτοῦ καὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ ὢν (ὁ γὰρ ἄνθρωπος οὕτως), τὸ δὲ ὡς ἕξις τις, ὡς τὸ μουσικόν, ἢ πάθος ἢ ὅλως τι συμβεβηκός, ὡς τὸ λευκὸν ἢ σιμὸν καὶ τὰ τούτοις ὅμοια. διὸ μᾶλλον τοῦτο ὅμοιον τῷ Κορίσκῳ, τοῦ Κορίσκος μουσικὸς κατηγοροῦντος. καὶ τὰ μὲν κατὰ συμβεβηκὸς ἓν λεγόμενα τοσαυταχῶς φησὶ λέγεσθαι, τῶν δὲ καθ' αὑτὰ ἓν λεγομένων τὰ μὲν λέγεσθαι τῷ συνεχῆ εἶναι. συνεχῆ δὲ λέγει κοινότερον καὶ τὰ ὁπωσοῦν ὑπό τινος 1016a 1.
συνεχόμενα, ὡς τὸν φάκελλον, ὅτι ὑπὸ δεσμοῦ συνέχεται. ὁμοίως καὶ τὰ ὑπὸ κόλλης ἑνούμενα συνεχῆ λέγει, ὡς τὰ βιβλία. τὰ δὲ ὡς κοινότερον ὅρον ἔχοντα, ὡς τὰ κυρίως συνεχῆ. οὕτως ἡ γραμμὴ μία· συνεχὴς γάρ ἐστιν, κἂν μὴ ἐπ' εὐθείας ᾖ ἀλλ' ᾖ τι μόριον αὐτῆς κεκαμμένον. οὕτω δὲ συνεχῆ τὰ τοῦ σώματος μόρια, ὡς σκέλος καὶ βραχίων. καὶ αὐτῶν τῶν συνεχῶν ἕν φησιν εἶναι μᾶλλον τὰ φύσει συνεχῆ ἢ τὰ τέχνῃ, οἷον τὸν τοῦ ἀνθρώπου βραχίονα ἢ τὸν τοῦ ἀνδριάντος· μᾶλλον γὰρ ταῦτα ἥνωται καὶ συμπέφυκε καὶ συναίσθησιν ἀλλήλων ἔχει. εἰπὼν δὲ μᾶλλον ἓν εἶναι τῶν συνεχῶν τὰ φύσει τῶν τεχνητῶν λόγον τινὰ ἀποδέδωκε τοῦ συνεχοῦς, ᾧ ἐχρήσατο πρὸς τὴν τοῦ ἑνὸς ἀπόδοσιν· οὗ γὰρ καθ' αὑτὸ κίνησις μία, καὶ μὴ οἷόν τε ἄλλως. τίς δὲ ἡ μία, προσέθηκεν εἰπὼν "μία δέ, 1016a 6.
οὗ ἀδιαίρετος, ἀδιαίρετος δὲ κατὰ τὸν χρόνον." λέγων ταῦτα κυρίως καὶ πρώτως εἶναι συνεχῆ, ὧν ἡ κίνησις μία ἦν καθ' αὑτὰ κινεῖται, καὶ ἐξ ἀνάγκης μία, τουτέστιν ἢ πάντα κινεῖται καὶ μὴ οἷόν τε αὐτῶν τὸ μὲν κινεῖσθαι τὸ δὲ ἠρεμεῖν. τοιαῦτα δέ ἐστι τῶν συνεχῶν τὰ μὴ

1. ἐνδέχεται *M.* ‖ 3. δὴ] δὲ *M.* ‖ 4. τι ἐν ἐκείνοις *M.* ‖ 6. αὐτῷ *M.* ‖ 25. Κορίσκος *M.* ‖ τὸ] τῷ *M.* ‖ 26. γὰρ τῷ εἰπεῖν *A.* ‖ 29. κατὰ om *M.* ‖ 31. κατὰ — 32. συμβεβηκέναι om Sepulv. ‖ 33. τὸ *M.* ‖ θάτερῳ *A.* ‖ 34. συμβεβηκὸς εἶναι· τὸ *M.* ‖ 35. τούτῳ *A.* ‖ καὶ ὁ Κορίσκος om *AM.* ‖ 37. τὸ γὰρ Κορίσκος ὑπάρχει τῷ μουσικῷ *M.*

5. *hic autem musicus Coriscus et Coriscus. porro musicum Coriscum* Sepulv. ‖ 8. μέρος om *M.* ‖ 9. ἦν] εἶναι *M.* ‖ 11. κατηγορεῖται *M.* ‖ τινος εἴδους ἢ γένους, καὶ *A.* ‖ 17. ἀλλ' ὁ μὲν] ἀγ' ἦν *M.* ‖ 18. ὁ — οὕτως om Sepulv. ‖ ἕξις τις αὐτὸν μουσικὸν *M.* ‖ 21. λεγόμενα τὸ συνταχῶς φησὶ *M.* ‖ 22. τὰ] τὸ *M.* ‖ λέγεσθαί φασι τῷ *M.* ‖ 24. σφάκελλον *A.* ‖ 25. τὰ ὑποβάλλης ἑνούμενα *M.* ‖ βιβλία] βίνα *M.*, βί *A.* ‖ 27. ἐστιν om *A.* ‖ μὴ ὑπ' εὐθείᾳ ἄλλῃ τι μέρος αὐτῆς κεκαλυμμένον *M.* ‖ 28. ὡς om *M.* ‖ 31. συνίστησιν *M.* ‖ 33. συνεχὲς *A.* ‖ ὂν *M.* ‖ 34. αὐτὸν *M.* ‖ 37. ἡ συνεχὴς μία ἢ καθ' *M.* ‖ 39. μὲν] μὴ *M.* ‖ τοιαῦτα] τὰ αὐτὰ *M.*

1015a 13. ανεγκεν "ἐκ δὴ τῶν εἰρημένων ἡ πρώτη φύσις καὶ κυρίως λεγομένη ἐστὶν οὐσία ἡ τῶν ἐχόντων ἀρχὴν κινήσεως ἐν αὐτοῖς ᾗ αὐτά," διὰ τούτων λέγων, ὥσπερ εἶπεν καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 1), φύσιν κυρίως εἶναι τὸ ἔνυλον εἶδος, ἀφ' οὗ ἡ ἀρχὴ τῆς κινήσεως τῷ συναμφοτέρῳ, τὴν δὲ ὕλην καὶ τὰ ἄλλα, καθ' ὧν καὶ αὐτῶν ἡ φύσις λέγεται, ἀπὸ ταύτης λέγεσθαι φύσιν, τὴν μὲν ὕλην ὅτι δεκτικὴ αὐτοῦ ἐστί, τὰς δὲ γενέσεις τε καὶ φύσεις ἀπὸ ταύτης κινήσεις εἶναι· διὰ γὰρ τὸ εἶδός τε καὶ τὴν δύναμιν τὴν ἐν αὐτοῖς φύεται τὰ φυόμενα. προστίθησι δὲ ὅτι καὶ ἡ ἀρχὴ τῆς κινήσεως τῶν φύσει ὄντων αὕτη ἐστὶν ἐνυπάρχουσά πως. ἐξηγούμενος δὲ τὸ πῶς, προσέθηκε τὸ "δυνάμει ἢ ἐνεργείᾳ," δυνάμει μέν, ὡς ἐν τῷ σπέρματι τῷ καταβληθέντι ἡ ψυχή, ἐνεργείᾳ δέ, ὅτι ἤδη ζῷόν ἐστιν, γένεσις δὲ ἀρχὴ τῆς κινήσεως παρὰ τοῖς φυσικοῖς τὸ ἔνυλον εἶδος, εἰκότως τοῦτο κυρίως φύσις· ἣν γὰρ φύσις ἡ τῆς κινήσεως ἀρχή. σημειωτέον δὲ ὅτι ὧν ἕκαστον διαιρεῖ ὡς λεγόμενον πολλαχῶς, οὐχ ὡς ὁμώνυμον, ἀλλ' ὡς τὸ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ἔχον. Alex.

1014b 35. (m) ὁ Ἀλέξανδρος οἴεται περὶ τοῦ συνθέτου λέγειν αὐτὸν ἐνταῦθα· ὅσον δὲ ἐκ τῶν λεγομένων ὑπ' αὐτοῦ, περὶ τοῦ εἴδους λέγει· τί γάρ φησιν ὅτι κατ' ἄλλον τρόπον λέγεται φύσις ἡ οὐσία, τουτέστι τὸ εἶδος; τὸ γὰρ ἑκάστου εἶδος οὐσία αὐτοῦ ἐστίν. Asclep.

1014b 37. (n) ὥσπερ καὶ ὁ Ἐμπεδοκλῆς· τὸ γὰρ εἶδος ἔλεγεν ἐπιγίνεσθαι ἐκ τῆς τῶν στοιχείων μίξεως, καὶ ἔλεγεν ὅτι φύσις δὲ ἐπὶ τούτοις τοῖς στοιχείοις ὀνομάζεται τοῖς ἀνθρώποις. ὁ δ' Ἀριστοτέλης ἀνατρέπει τὴν δόξαν ταύτην, φάσκων οὕτως "διὸ κτλ. id.

1015a 20. "ἀναγκαῖον — συναιτίου." τοῦ δὲ ἀναγκαίου τὴν διαίρεσιν εἰς πέντε σημαινόμενα καὶ αὐτοῦ ποιεῖται, ὧν ἓν λέγει, οὗ ἄνευ ἀδύνατον εἶναι, ὡς ὄντος συναιτίου εἰς τὸ εἶναι. οὕτως ἡ τροφὴ τοῖς ζῴοις ἀναγκαία καὶ τὸ ἀναπνεῖν· ἡ μὲν γὰρ ψυχὴ τὸ αἴτιον τοῦ ζῆν, ταῦτα δὲ συναίτια (o). δεύτερον σημαινόμενον ἐκτίθεται τοῦ ἀναγκαίου, οὗ χωρὶς ἀδύνατον τὸ ἀγαθὸν καὶ τὸ εὖ περί τι γενέσθαι ἢ τὸ κακὸν ἀποβληθῆναι, ὡς λέγεται ἀναγκαία ἡ πόσις τοῦ φαρμάκου, οὐχ ἁπλῶς ἀλλὰ πρὸς τὴν ἀποβολὴν τῆς νόσου καὶ τὴν στέρησιν. οὕτως ἀναγκαῖον τὸ μανθάνειν πρὸς τὸ ἐπιστήμην ἔχειν, καὶ ἔθεσι χρῆσθαι σπουδαίοις πρὸς τὸ ἀγαθὸν γενέσθαι, καὶ τὸ πλεῦσαι εἰς Αἴγιναν, ἵνα ἀπολάβῃ τὰ χρήματα, εἰ ἄλλως μὴ δύναται. τρίτον τοῦ ἀναγκαίου τὸ βίαιόν τε καὶ τὸ ἀκούσιον (p)· λέγεται γὰρ τὸ βίαιόν τε καὶ παρὰ τὴν προαίρεσιν ἀναγκαῖον. οὕτως ἐξ ἀνάγκης ἐλθεῖν ποῦ λέγεται ὁ βιασθεὶς ἢ ὑπὸ δεσμῶν ἢ ὑπό τινος τοιαύτης περιστάσεως ἢ ὑπὸ πνευμάτων (q). ὅσα γὰρ βιαζόμενοι ποιοῦμεν, ταῦτα ἀναγκαῖα καὶ δι' ἀνάγκην ποιοῦμεν. διὸ καὶ λυπηρὰ τὰ οὕτως ἀναγκαῖα· "πᾶν γὰρ ἀναγκαῖον πρᾶγμα ἀνιαρὸν ἔφυ," ὡς Εὔηνος λέγει· καὶ ἡ βία ἀνάγκη τίς ἐστιν, ὡς λέγει Σοφοκλῆς (Electra v. 248)· "ἀλλ' ἡ βία με ταῦτ' ἀναγκάζει ποιεῖν." καὶ τοῦ τὸ βίαιον ἀναγκαῖον λέγεσθαι μάρτυσιν ἐχρήσατο Εὐήνῳ τε καὶ Σοφοκλεῖ. ὅτι δὲ ἀμετάπειστον ἡ ἀνάγκη καὶ ἡ βία, δῆλον· 1015a 31. οὐδὲ γὰρ ἐφ' ἡμῖν τὴν ἀρχήν. διὸ καὶ εἶπεν ἐναντίον αὐτὴν τῇ κατὰ τὴν προαίρεσιν κινήσει καὶ τῇ κατὰ τὸν λογισμόν· τὰ μὲν γὰρ ἐφ' ἡμῖν, αὕτη δὲ ἀναιρετικὴ τοῦ ἐφ' ἡμῖν· ἐκτὸς γὰρ καὶ ἐπ' ἄλλοις. ἔτι ἀναγκαῖον τὸ ἀΐδιον καὶ ἀμετάβλητον καὶ μὴ ἐνδεχόμενον καὶ ἄλλως ἔχειν. ἀφ' οὗ φησὶ καὶ τὰ ἄλλα ἀναγκαῖα λέγεσθαι· τὸ γὰρ μὴ ἐνδεχόμενον ἄλλως ἔχειν κυρίως ἀναγκαῖον. ἁπλῶς μὲν εἶπεν ἐπὶ τῶν ἀϊδίων, ἤδη δὲ καὶ ἐν τοῖς ἄλλοις ἀναγκαίοις λεγομένοις εἶναι δοκεῖ τι τοιοῦτον· καὶ γὰρ τὸ βίᾳ γινόμενον ἀναγκαῖον τότε ὅτε μὴ ἐνδέχεται κατὰ τὴν αὐτοῦ ὁρμήν τε καὶ προαίρεσιν κινεῖσθαι διὰ τὸ βιαζόμενον, καὶ ἀμετάπειστον, ὅτι τὸ πείθεσθαι καὶ μεταπειστόν, οὐκ ἐνδέχεται δὲ τὸ βιαζόμενον ἄλλως ποιεῖν. καὶ τὸ συναίτιον τοῦ εἶναι καὶ τοῦ ἀγαθοῦ ἀναγκαῖον διὰ τὸ μὴ ἐνδέχεσθαι χωρὶς αὐτοῦ εἶναι ἢ ἀγαθὸν εἶναι· οἵτινες ἦσαν οἱ τρόποι τρεῖς τοῦ ἀναγκαίου οἱ πρῶτοι εἰρημένοι. προστίθησι δὲ τοῖς προειρημένοις τέταρσι τοῦ ἀναγκαίου 1015b 6. τρόποις τὸν κατὰ τὰς ἀποδείξεις· αἱ γὰρ ἀποδείξεις ἀναγκαῖαι, ὅτι ἀποδεδειγμένον οὐκ ἐνδέχεται ἄλλως ἔχειν, εἰ κυρίως καὶ ἁπλῶς ἀποδέδεικται. τοῦ δὲ τὸ ἀποδεδειγμένον ἀναγκαῖον εἶναι αἴτιόν φασιν εἶναι τὰ πρῶτα, τουτέστι τὰς προτάσεις, εἰ ἀδύνατον ταύτας ἄλλως ἔχειν, δι' ὧν ὁ συλλογισμός τε καὶ ἡ ἀπόδειξις. δείξας δὲ πάντα τὰ ἀναγκαῖα ὑπαγόμενα σημαινομένῳ τοῦ ἀναγκαίου τῷ ἀδύνατον ἄλλως ἔχειν, διαιρεῖ αὐτά, καὶ λέγει τῶν ἀναγκαίων τὰ μέν τινα ἕτερον αἴτιον ἔχειν τοῦ εἶναι ἀναγκαῖα, ὡς ἐπὶ τῶν βιαίων ἔχει καὶ τῶν ἀποδείξεων· τῶν δὲ οὐκ ἔστιν ἄλλο αἴτιον τῆς ἀνάγκης, ἀλλ' αὐτὸ αἴτιον ἄλλοις ἐστὶ τῆς ἀνάγκης, ὡς αἱ πρῶταί τε καὶ ἄμεσοι προτάσεις. ἀλλὰ καὶ τὰ ἀΐδια καὶ οὕτως ἀναγκαῖα· οὔτε γὰρ ἔξωθεν ἔχει τὸ αἴτιον καὶ ἄλλοις ἐξ ἀνάγκης τοῦ εἶναί ἐστιν αἴτια· πάντα γὰρ τὰ φύσει συνεστῶτα παρὰ τῶν θεῶν, οἵ εἰσιν ἀΐδιοι, τὴν τοῦ εἶναι ἔχει αἰτίαν. ἀλλὰ καὶ τὸ μὴ δυνάμενον χωρίς τινος ἢ εἶναι ἢ εὖ εἶναι ἐξ ἀνάγκης παρ' ἐκείνου τὴν αἰτίαν τὸ μὲν τοῦ εἶναι τὸ δὲ τοῦ εὖ εἶναι ἔχει. τῶν ἄλλων φησὶν ἀναγκαίων ἕτερόν τι τῆς ἀνάγκης εἶναι αἴτιον· ἐπί τε γὰρ τῶν μὴ ἐνδεχομένων χωρίς τινος εἶναι ἕτερόν τι τὸ αἴτιον (ἡ γὰρ τροφὴ ἕτερόν τι τοῦ τρεφομένου), καὶ ἐπὶ τούτων δὲ ὧν χωρὶς ἀδύνατον τὸ ἀγαθὸν ἢ εἶναι ἢ γενέσθαι ἕτερον τὸ αἴτιον. ἀλλὰ καὶ τῶν βίᾳ γινομένων προδήλως ἕτερον τὸ αἴτιον, καὶ τῆς τοῦ συμπεράσματος ἀνάγκης ἕτερον τὸ αἴτιον. μόνα δὲ τὰ ἀεὶ ὄντα, ἅπερ ἐστὶ τὰ θεῖα, οὐχ ἕτερόν τι τοῦ ἀεὶ εἶναι αἴτιον ἔχει, καὶ δι' αὐτὰ ἐξ ἀνάγκης ἔστι τε καὶ γίνεται καὶ τὰ φύσει συνεστῶτα. λαβὼν δὲ ὁποῖόν τί ἐστι τὸ ἀναγκαῖον (ὃ γὰρ μὴ ἐνδέχεται ἄλλως ἔχειν), πρῶτον καὶ κυρίως ἀναγκαῖόν φησιν εἶναι τὸ

4. τὸ συναμφότερον *M.* ‖ 26. οὗ] ὡς *M.* ‖ 31. συμβληθῆναι *M.* ‖ 33. *honestis moribus assuescas, ut bonus fias* Sepulv. ‖ 36. μέλλει] μέλει *M.*

3. ἀμετάπιστον *M.* ‖ 5. αὐτῆς *M.* ‖ 6. τοῦ ἀφ' *M.* ‖ 8. γὰρ] ἄρα *M.* ‖ 10. τὴν ἀϊδίαν *M.* ‖ 11. τὸ om *M.* ‖ 13. πείσεσθαι *A*, *persuasio enim dissuaderi potest* Sepulv. ‖ 15. ἢ ἀγαθὸν εἶναι et 16. οἱ πρῶτοι om *M.* ‖ 18. ὅτι] ὅτι τι *A.* ‖ 19. ἄλλαι *M.* ‖ εἰ om *M.* ‖ 22. τε] τὸ *M.* ‖ 25. ἀναγκαῖον *M.* ‖ 27. ἄλλως ἐστὶ *M.* ‖ 29. οὔτε γὰρ om *AM.* ‖ 30. αἴτιον *M.* ‖ 32. ἐκείνοις *M.* ‖ 33. ἀναγκαίας *A.* ‖ 37. καὶ τῶν] δὲ καὶ *M.*

ἀλλ' οὐχ ᾗ νοσῶν τὴν ἀρχὴν τῆς κινήσεως ἐν ἑαυτῷ ἔχει, ἀλλὰ κατὰ συμβεβηκός. ἀλλ' οὐδὲ ᾗ ἄνθρωπος· οὐ γὰρ ᾗ ἄνθρωπος ἐκεῖνός ἐστιν εἰς ὑγίειαν μεταβάλλει, ἐπεὶ τάς γε κινήσεις ἃς ᾗ ἄνθρωπος κινεῖ, κατὰ τὸ εἶδος καὶ τὴν ἐν αὐτῷ κινεῖται φύσιν, ἥτις ἐστὶν ἡ τοιάδε ψυχή. καὶ ἔστιν ἴσον τὸ ἐνταῦθα εἰρημένον τὸ "ᾗ αὐτὸ" τῷ εἰρημένῳ ἐν Φυσικῇ Ἀκροάσει (2 1 p. 292 b 22) ἐπὶ τῆς φύσεως "καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός·" εἰπὼν γὰρ αὐτὴν ἀρχὴν κινήσεως, ἐν ᾧ ὑπάρχει πρώτῳ, προσέθηκε τὸ "καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός," τοῦτο λέγων διὰ τῆς προσθήκης ταύτης ὃ νῦν εἴρηκε διὰ τοῦ "ᾗ αὐτό." τὸ δὲ "ἡ κίνησις ἡ πρώτη" ἤτοι δηλωτικόν ἐστι τῆς κατὰ τόπον κινήσεως· πρώτη γὰρ ἡ φορὰ τῶν κινήσεων, ὡς δέδεικται, καὶ πᾶν φυσικὸν σῶμα κατὰ φορὰν κινητόν, οὐκέτι δὲ πᾶν αὐξητόν, οὐδὲ πᾶν ἀλλοιωτόν. ἢ ἡ πρώτη ἡ ὡς φυσικοῖς αὐτοῖς ὑπάρχουσα, τῇ γῇ ὡς γῇ, τῷ ζῴῳ ὡς ζῴῳ· δύναται γάρ τις αὐτοῖς καὶ κατὰ τέχνην κίνησις ἐγγίνεσθαι, ἀλλ' αὕτη ὑστέρα. οὕτω δὲ εἴη ἂν τὸ ᾗ ἐξηγητικὸν τοῦ πρώτη. ἑξῆς δὲ τὸ πρῶτον σημαινόμενον τῆς φύσεως ἐξηγεῖται, τί ἐστι καὶ ἐπὶ τίνων λέγεται τὸ φύεσθαι, καὶ λέγει ταῦτα φύεσθαι λέγεσθαι, ὅσα δι' ἑτέρου καὶ παρ' ἑτέρου τρέφεταί τε καὶ αὔξεται, ἁπτόμενα αὐτοῦ ἢ προσπεφυκότα αὐτῷ ἢ συμπεφυκότα αὐτῷ. ἤτοι δὲ ὡς ταὐτὸν εἶπε τὸ ἅπτεσθαι καὶ συμπεφυκέναι, ἢ ὡς ἔχοντά τινα διαφοράν, καὶ ὡς συμπεφυκότα μὲν εἶναι τὰ φυτὰ τῇ γῇ, διὸ οὐδὲ ζῆν χωρισθέντα αὐτῆς οἷά τε· προσπέφυκε δὲ τὰ ἔμβρυα· ταῦτα γὰρ καὶ χωρισθέντα ζῇ. τί δὲ διαφέρει σύμφυσις ἁφῆς, ἔδειξε· ταῦτα γὰρ συμπεφυκότα, ἅ ἐστι συνεχῆ ἐκείνῳ ᾧ συμπέφυκεν, ἔχοντα κοινὸν ὅρον τὸν αὐτὸν ἐν ἀμφοτέροις ὄντα, τὰ δὲ ἁπτόμενα οὐδὲν κοινὸν ἄλλο παρὰ τὴν ἁφὴν ἔχει. ἐπιζητήσαι δ' ἄν τις ἐπὶ τῶν φυτῶν, πῶς ταῦτα ἥνωται τῇ γῇ, ἢ εἰ μὴ ἥνωται, πῶς αὔξεταί τε καὶ τρέφεται δι' αὐτῆς. ἢ διὰ τοῦτο εἶπεν οὕτως, "φύεσθαι δὲ λέγεται ὅσα αὔξησιν ἔχει δι' ἑτέρου τῷ ἅπτεσθαι καὶ συμπεφυκέναι ἢ προσπεφυκέναι," ὡς καὶ ἁπτομένων τινῶν καὶ αὐξανομένων δι' αὐτοῦ. προειπὼν δὲ τοῦτο, ἑξῆς τίνι διαφέρει τὰ ἁπτόμενα καὶ τὰ συμπεφυκότα τε καὶ προσπεφυκότα λέγει. δύναται λέγειν καὶ ἐπὶ τῶν ἁπτομένων τὸ προσπεφυκέναι· τὰ γὰρ οὕτως ἁπτόμενα ὡς προσπεφυκέναι ἐκείνῳ οὗ ἅπτεται, δι' ἐκείνου αὔξεται. πῶς δὲ ἓν τὰ συμπεφυκότα, ἐδήλωσε· κατὰ γὰρ τὸ ποσόν, οὐ κατὰ τὸ ποιόν· οὐ γὰρ ταὐτὸν κατὰ τὸ ποιὸν τῶν σπλάγχνων ἕκαστον τῷ ἄλλῳ σώματι, ᾧ προσπέφυκεν, οὐδὲ τὸ σῦκον τῇ συκῇ ἢ ὁ βότρυς τῷ ξύλῳ τῆς ἀμπέλου. καὶ δένδρα δὲ πολλάκις διαφέροντα κατὰ τὸ εἶδος, πλησίον δ' ἀλλήλων ὄντα, συμφύεταί τε καὶ ἑνοῦται καὶ σώζει τὸ οἰκεῖον εἶδος. τέταρτον σημαινόμενον τοῦ φύσει προστίθησι τὴν προσεχῆ ἑκάστῳ ὕλην, ἥτις οὖσά τι σῶμα ἐνεργείᾳ, φυλάσσουσα τὸ οἰκεῖον εἶδος καὶ τὴν ἰδίαν φύσιν, δέχεται καὶ τὸ τοῦ εἴδους ὃ ὑπόκειται. οὕτω τὸ ξύλον τῆς κλίνης ὕλη (μένει γὰρ ξύλον καὶ κλίνη γενόμενον) καὶ ὁ χαλκὸς τοῦ ἀνδριάντος. καὶ εἴη τῶν κατὰ τέχνην γινομένων ἡ ὕλη τοιαύτη. προσθεὶς δὲ τὸ τῶν φύσει ὄντων, διὰ τί προσέθηκε τοῦτο, ἐξηγήσατο εἰπὼν "τοῦτον γὰρ 1014 b 32
τὸν τρόπον καὶ τῶν φύσει ὄντων τὰ στοιχεῖά φασιν εἶναι φύσιν." οὕτω καὶ Ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα ὕλην τῶν φύσεων γινομένων ἐτίθετο, ἀμετάβλητα αὐτὰ θεωρῶν. καὶ οἱ ἓν δέ τι τῶν τεσσάρων στοιχείων τῶν ὄντων ποιοῦντες, ἢ δύο ἢ τρία, οὕτως ἐκεῖνον, καὶ Δημόκριτος τὰς ἀτόμους οὕτως. ἡ δὲ πρώτη ὕλη οὐχ οὕτως· καὶ γὰρ εἰ σώζει τὴν αὐτὴν φύσιν, ἀλλ' οὐδὲν καθ' αὑτήν οὖσα ἐνεργείᾳ ὡς τόδε τι. πέμπτον σημαινόμενον τῆς φύσεως παρέ- 1014 b 35.
θετο τὴν τοῦ συναμφοτέρου τῶν φύσει γινομένων τελειότητά τε καὶ οὐσίαν, ἣ γίνεται καὶ κατὰ τὴν τῆς ὕλης καὶ τοῦ εἴδους ἕνωσιν (*)· καὶ γὰρ ἡ τούτων ἕνωσις φύσις. οὕτω καὶ οἱ συνθέσει τινῶν τὰ ὄντα γεννῶντες τὸ μὲν ἐκ τῆς συνθέσεως ἑνούμενον φύσιν λέγουσιν (*)· καθ' οὓς δὲ μὴ γίνεται τῶν συντιθεμένων ἕνωσις, οὗτοι οὐδὲ φύσιν τινὰ λέγουσιν εἶναι τοῦ συγκειμένου. Ἐμπεδοκλῆς οὖν οὐχ ἡγούμενος ἕνωσίν τινα αὐτῶν γίγνεσθαι ἔλεγε φύσιν οὐδενὸς εἶναι, τουτέστιν ἕνωσιν ὡς ἕν τι ἐκ τῆς συνθέσεως γίνεσθαι καὶ εἰδοποιεῖσθαι, ἀλλὰ μόνον μῖξίν τε διάλλαξίν τε μιγέντων, λέγεσθαι μέντοι καὶ τοῦτο φύσιν ὑπὸ τῶν ἀνθρώπων ἡγουμένων αὐτὰ καὶ ἐν τῇ μίξει ἑνοῦσθαι. δεικνὺς δὲ ὅτι φύσις ἡ τοιαύτη οὐσία τε καὶ τελειότης καλεῖται, διὰ τοῦτο, φησί, καὶ τῶν φύσει ὄντων τε καὶ γινομένων, καίτοι πολλάκις ἤδη ὑπαρχόντων ἐξ ὧν ἐπιτελεῖταί τε καὶ γίνεται, οὐδέ πώ φαμεν τὴν φύσιν ἔχειν ταῦτα, ἂν μὴ τὸ οἰκεῖον εἶδος καὶ τὴν τελειότητα προσλάβῃ. εἰπὼν δὲ φύσιν καὶ τὸ συναμφότερον, ἐπήνεγκεν ὅτι φύσει ταῦτα μᾶλλον ἂν λέγοιτο, φύσις δὲ ἡ ὕλη ἥ τε πρώτη, ἧς παράδειγμα τὸ ὕδωρ. εἰ τοῦτο εἴη τοῦ χαλκοῦ ὕλη, καὶ ἡ προσεχής, ἧς *πάλιν ὁ χαλκὸς παράδειγμα, καὶ τὸ εἶδός τε καὶ ἡ οὐσία, καθ' ἣν ἑκάστῳ τὸ εἶναι ἔστιν, ὧν πρώτως ἐμνημόνευσεν. καὶ εἴη ἂν ἡ φύσις τριχῶς λεγομένη, ὥσπερ ἢ κοινῷ προσέθεικε. τέλος δὲ εἶπε τῆς γενέσεως τὸ εἶδος, ἐπεὶ ἐν τοῖς φύσει γιγνομένοις τὸ εἶδος καὶ τὴν κατὰ τὸ τέλος οὐσίαν ἔχει. κατὰ μεταφορὰν δὲ λέγει καὶ πᾶσαν οὐσίαν φύσιν λέγεσθαι ἀπὸ τοῦ εἴδους· ἐπεὶ γὰρ τὸ εἶδος οὐσία ὂν τῶν φύσει συνεστώτων (κατὰ γὰρ τοῦτο αὐτοῖς τὸ εἶναι φύσις ἐστίν), ἤδη καὶ ἐν πᾶσι τὴν οὐσίαν τὴν ἑκάστου, καθ' ἣν τὸ εἶναι αὐτοῦ ὅ ἐστι, φύσιν λέγουσι. διὸ καὶ τὸ κατὰ τέχνην γινόμενον εἶδος οὐσία ὂν τῶν ἔργων τῶν φυσικῶν οὕτω καλοῦσιν. ἕκαστον γὰρ τούτων οἰκείαν τινὰ οὐσίαν καὶ ὕπαρξιν ἔχει, ἣ καὶ αὐτὴ φύσις καλεῖται εἶδος ὂν αὐτῶν, διὸ καὶ λέγεται οἰκείαν ἔχει οὐσίαν. εἰπὼν δὲ ταῦτα περὶ φύσεως ἐπή-

1. αὐτῷ *M.* ‖ 2. οὐ γὰρ ᾗ ἄνθρωπος om *A.* ‖ 3. ἐπεὶ] εἰ ἐπὶ *M.* ‖ κινήσεως *M.* ‖ 4. ἐν αὐτῇ *M*, ἐναντίας *A.* ‖ 10. τὸ om *M.* ‖ 13. αὐξητόν, οὐδὲ πᾶν et ἡ post ἢ et 14. αὐτοῖς et ὡς γῇ om *M.* ‖ 15. αὐτοῖς] αὐτῆς *M.* ‖ 16. πρώτη] πρῶτα *M.* ‖ 28. τε om *M.* ‖ 30. ὡς om *A.* ‖ 33. λέγειν] λέγων *A.* ‖ 34. ὡς πεφυκέναι *M.* ‖ 41. τοῦ om *AM.*

2. ὃ] ᾧ *M.* ‖ τῆς κινήσεως ὕλης *M.* ‖ 4 et 6. φύσει] φύσεων *AM.* ‖ 6. φησιν εἶναι φύσεις *M.* ‖ 7. ὕλης *M.* ‖ 10. τὰς] τὰς *M.* ‖ 11. σώζῃ *M.* ‖ 20. τι αὐτῆς *M.* ‖ 25. τε om *A.* ‖ 32. *ut nunc adiecit* Sepulv. ‖ 33. λεγομένοις *M.* ‖ 34. αὐτῆς *M.* ‖ 38. οὐσίας *M.* ‖ 39. τῶν τεχνητῶν suprascr. τῶν φυσικῶν *A.*

τὸ ὡς μονάδα. ἐκ μὲν οὖν τούτων τὴν ἀρχὴν οὐδὲν συντίθεμεν· στοιχεῖον δὲ λέγουσιν αὐτὴν τῶν μεγεθῶν, διότι ἐν παντὶ μεγέθει ἐνυπάρχει. ἐκ δὲ τῶν μονάδων εἰ καὶ συντιθεμένων οἱ ἀριθμοί, ἀλλὰ ἄλλον τρόπον· οὐ γὰρ συνεχές τι ἐξ αὐτῶν γίνεται. δύναται τὸ ἓν λέγειν τὸ κοινόν, ὃ κατὰ πάντων τῶν ὄντων κατηγορεῖται. διὸ καὶ γένος αὐτὸ τῶν ὄντων γίνεσθαί φασιν, εἴπερ καὶ τὸ ὄν· κατὰ γὰρ τὸ ὑποκείμενον ταὐτὸ τό τε ἓν καὶ τὸ ὄν, ὡς ἐν τῷ πρὸ τούτου δέδεικται.
1014b 10. πῶς δὲ τὰ γένη ἁπλᾶ καὶ ἀδιαίρετα, αὐτὸς ἐδήλωσεν εἰπὼν "οὐ γάρ ἐστι λόγος αὐτῶν." διὰ τοῦτο δέ φησί τινας ἡγεῖσθαι μᾶλλον τὰ γένη τῶν διαφορῶν στοιχεῖα ἑκάστου, ὅτι καὶ κοινότερα· ἐν πλείοσι γὰρ καὶ ἁπλούστερα, καὶ πρῶτον τοῦ ὁρισμοῦ· πᾶσι δέ φησι τοῖς στοιχείοις κοινὸν εἶναι τὸ πρῶτον ἐνυπάρχειν ἑκάστῳ. ὅτι δὲ μὴ ὁμοίως τὸ πρῶτον ἐνυπάρχον λαμβάνεται ἐν αὐτοῖς, φανερόν· τὸ μὲν γὰρ ὡς ὑποκείμενόν τι καὶ μέρος τι πράγματος γιγνόμενον, ὃ δηλοῦται διὰ τοῦ ὁρισμοῦ τοῦ λέγοντος "στοιχεῖα λέγεται ἐξ οὗ σύγκειται πρώτου ἐνυπάρχοντος ἀδιαιρέτου τῷ εἴδει," ὃν αὐτὸς ἀποδέδωκεν ὡς ὄντα τοῦ κυρίως στοιχείου· τὸ δὲ ὡς κατηγορούμενον καὶ τοῦ μὲν ὁρισμοῦ γινόμενον μέρος, οὐ μὴν καὶ τοῦ ὑποκειμένου ὡς ὑποκειμένου· τοιαῦτα δὲ τὰ γένη. πῶς δέ ἐστι τὸ πολλαχῶς λεγόμενον τὸ στοιχεῖον, εἰ κοινὸν ἅπασιν αὐτοῖς τὸ πρῶτον ἐνυπάρχον τοῦ ἀδιαιρέτου; ἢ ὅτι τὸ μὲν κυρίως τὸ δὲ κατὰ τὴν πρὸς τὸ κυρίως λεγόμενον ὁμοιότητα. εἰπὼν δέ, ὡς ἐπὶ τῶν ἄλλων ἔχει τὰ στοιχεῖα, οὕτως ἔχειν καὶ ἐν ταῖς ἀποδείξεσι τὰς πρώτας ἀποδείξεις, πῶς τοῦτο εἶπεν ἐδήλωσεν
1014b 2. ἐπενεγκὼν "εἰσὶ δὲ τοιοῦτοι συλλογισμοὶ οἱ πρῶτοι τῶν τριῶν δι' ἑνὸς μέσου," λέγων πρώτους τῶν τριῶν τοὺς ἐν τῷ πρώτῳ σχήματι τῶν τριῶν σχημάτων· οὗτοι οἱ ἐν τῷ πρώτῳ πρῶτοι· κατὰ γὰρ τὴν ἐπὶ τοὺς ἐν τούτῳ τῷ σχήματι συλλογισμοὺς ἀναγωγὴν καὶ οἱ ἐν τοῖς ἄλλοις σχήμασι συλλογισμοὶ τὸ εἶναι ἔχουσι. δι' ἑνὸς δὲ μέσου εἶπεν, ἵνα τοὺς ἁπλοῦς ἐν τῷ πρώτῳ σχήματι μηνύσῃ· δύνανται γὰρ ἐν τῷ πρώτῳ σχήματι καὶ σύνθετοί τινες γίνεσθαι συλλογισμοί, ἀλλ' οὗτοι οὐκέτι δι' ἑνὸς μέσου, πλείους τέ εἰσι δυνάμει συλλογισμοί, καὶ οὐ πρῶτοι ἀλλὰ σύνθετοι. ἢ τὸ "οἱ πρῶτοι τῶν τριῶν δι' ἑνὸς μέσου" ἴσον ἐστὶ τῷ οἱ πρῶτοι συλλογισμοὶ τῶν τριῶν γινομένων ὅρων, ὧν εἷς μέσος γίνεται· πρώτη γὰρ ἀπόδειξις ἡ ἐκ τῶν ἀμέσων προτάσεων καὶ ὅρων σύγκειται τριῶν, ἑνὸς ἐξ αὐτῶν μέσου λαμβανομένου, οἵτινες τῷ πρῶτοι εἶναι ἐν ταῖς μετὰ ταῦτα ἀποδείξεσιν ἐνυπάρχουσι· τὰ γὰρ τῶν πρώτων συλλογισμῶν συμπεράσματα εἰς δεῖξιν λαμβάνεται τῶν δεικνυμένων ὕστερον. φέρεται δὲ ἔν τισιν ἀντιγράφοις καὶ τοιαύτη γραφή, "οἱ πρῶτοι τῶν τριῶν μέσων·" καὶ εἴη ἂν δι' αὐτῆς λεγόμενον τὸ εἶναι στοιχεῖον τῶν ἀποδείξεών τε καὶ τῶν συλλογισμῶν τοὺς πρώτους τῶν τριῶν σχημάτων, οἳ γίνονται διὰ τριῶν μέσων· καθ' ἕκαστον γὰρ σχῆμα ἄλλος ὁ μέσος, πρῶτοι δὲ ἐν ἑκάστῳ σχήματι οἱ ἐν ἑκάστῳ ἁπλοῖ· οὗτοι δέ εἰσιν οἱ δι' ἑνὸς μέσου. id.

(¹) καὶ ἐν τῷ τρίτῳ τῆς περὶ Οὐρανοῦ (c. 3) οὕτως ὡρίσατο τὸ στοιχεῖον. ἰστέον γὰρ ὅτι καὶ ὁ Ἐμπεδοκλῆς πρῶτος λέγων τὰ τέσσαρα στοιχεῖα τὰ πολυθρύλλητα προσηγόρευσεν αὐτὰ στοιχεῖα. Asclep. 1014a 26.

(¹) τὴν μέντοι πρώτην ἀπήχησιν τῆς φωνῆς, ἣ καὶ δίεσις λέγεται, στοιχεῖόν φαμεν τῆς φωνῆς. cod. Reg. 1014a 23.

"φύσις — γένεσις." τὴν φύσιν πενταχῶς ἀποδίδοσθαι λέγει. 1014b 16. τῆς γὰρ φύσεως τὴν μὲν ὡς φύσιν τε καὶ βλάστησιν λέγει· λέγομεν γὰρ φύεσθαι τὸ γινόμενον, καὶ τὸ εἰς γένεσιν εἰς φύσιν ἄγεσθαι. τὴν τοιαύτην φύσιν ὡρίσατο ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 1). συνήθως μὲν οὖν ἐπὶ τῶν φυτῶν φύεσθαι κατηγορεῖται, καὶ ἐπὶ τῶν ζῴων δὲ λέγεται· γένεσις γὰρ πᾶσα ἡ εἰς τὸ τέλειον εἶδος πρόοδος. τὸ δὲ οἷον ἐπεκτείνοντες τὸ υ τὸ ἐν τῇ φύσει λέγει τῇ κατὰ τοῦτο τὸ σημαινόμενον. τὴν δὲ ὡς τὸ ὑποκείμενον καὶ τὴν ὕλην· φύσις γὰρ καὶ ἡ ὕλη, ἐξ ἧς πρώτης ἐνυπαρχούσης τῷ γινομένῳ ἡ γένεσις· οὐ γὰρ οὕτως ἐκ τῆς ὕλης τὰ γινόμενα γίνεται ὡς ἐκ τῆς στερήσεως ἢ ἐκ τῶν ἐναντίων γίνεσθαι λέγεται· οὐ γὰρ ἐξ ἐνυπαρχόντων ἐκείνων. τῷ δὲ πρῶτον τὸ ἐνυπάρχον προσκείμενον τὴν πρώτην ὕλην δηλοῖ, οὐ τὴν ἑκάστου προσεχῆ. τὴν δὲ ὕλην φύσιν εἶπεν ἀποδειχθῆναι Ἀντιφῶν, ὡς εἴρηκεν ἐν τῷ α' (β 1) τῆς Φυσικῆς, διὰ τοῦ τὴν κλίνην, εἰ καταχωσθεῖσα δύναμιν λάβοι τοῦ βλαστῆσαι, ξύλον ἐξ αὐτῆς ἀναβλαστῆσαι, ὅπερ ἦν τὸ ὑποκείμενον, ἀλλ' οὐ τὴν κλίνην, ὃ ἦν τὸ εἶδος. φύεται δὲ εἶπεν ἀντὶ τοῦ γίνεται. λέγεται πάλιν φύσις καὶ τὸ φυσικὸν εἶδος· τούτου γὰρ δηλωτικὸν τὸ "ὅθεν ἡ κίνησις ἡ πρώτη ἐν 1014b 18. ἑκάστῳ τῶν φύσει ὄντων ἐν αὐτῷ, ᾗ αὐτῷ ὑπάρχει." εἴη δ' ἂν τὸ εἰρημένον σαφές, εἰ εἴη προσκείμενον τὸ ἥτις· κατὰ γὰρ τὸ εἶδος ἑκάστῳ ἡ τῆς κατὰ φύσιν κινήσεως ἀρχὴ τῶν φύσει συνεστώτων, καὶ αἴτιον τοῦτο τῆς κατὰ φύσιν ἑκάστῳ τῶν φυσικῶν σωμάτων κινήσεως, εἴγε κατὰ τὸ εἶδός ἐστιν ἥ τε γῆ γῆ καὶ τὸ πῦρ πῦρ καὶ ὁ ἄνθρωπος ἄνθρωπος, ὁμοίως καὶ τῶν ἄλλων ζῴων ἕκαστον· εἶδος δὲ τούτων μὲν ἡ ψυχή, ἐκείνων δὲ ἡ ῥοπή· καθὸ γὰρ ὕδωρ ἐστὶ καὶ καθὸ γῆ τε καὶ πῦρ, ἀρχὴν ἐν αὐτοῖς ἔχει τῆς κατὰ φύσιν κινήσεως. τὸ δὲ "ᾗ αὐτῷ" προσέθηκεν, ἐπεὶ δύναταί τι καὶ κατὰ τέχνην κινούμενον, ἥ τις οὐκ ἔστι φύσις ἐν αὐτῷ, τὴν ἀρχὴν τῆς κινήσεως ἔχειν, ὡς ὁ αὐτὸν ἰώμενος,

1. *ex his igitur nihil omnino componimus, sed punctus magnitudinum elementum idcirco vocatur, quia in omni magnitudine inest. ex unitatibus vero coniunctis licet numerus constituatur* Sepulv. ‖ 4. δυνατὸν *M.* ‖ 6. εἴπερ *M.* ‖ 7. τὸ om *M.* ‖ 10. στοιχείων *M.* ‖ 11. πρῶτα *M.* ‖ 12. εἶναι καὶ τὸ *M.* ‖ 15. ἐνυπάρχοντα *A.* ‖ 16. ἀδιαίρετον *M.* ‖ ὃν *M.* ‖ ἀπέδωκεν *A.* ‖ 19. τὰ om *A.* ‖ τὰ στοιχεῖα *M.* ‖ 21. τὴν πρώτην κυρίως *M.* ‖ 22. ἄλλων εἴη τῷ στοιχεῖον *M.* ‖ 23. ὑποδείξεσι *M.* ‖ 24. αἱ πρῶται *M.* ‖ 26. *quales sunt primi primae* Sepulv. ‖ πρώτῳ σχήματι τῶν τριῶν σχημάτων πρῶτοι *M.* ‖ 28. συλλογισμοὶ οἱ πρῶτοι τῶν τριῶν τῷ εἶναι *M.* ‖ 29. ἵνα] ἄρα *M.* ‖ 32. πρῶτοι πλείους ἀλλὰ *M.* ‖ 35. αὐτῶν μεταλαμβανομένου *M.*

1. στοιχεῖα *V.* ‖ 18. τὸ υ'] τόδε *M.* ‖ τὸ post τοῦτο om *M.* ‖ 19. φύσιν γὰρ καὶ ὕλην *M.* ‖ 21. ὡς αὐτῆς στερήσεως *M.* ‖ 23. τῷ] τὸ *M.* ‖ 28. γίνεσθαι *M.* ‖ 29. τὸ ante "ὅθεν om *V.* ‖ 30. αὐτῷ ᾗ αὐτῷ *M.*, αὐτῷ ἡ αὐτὸ *V.* ‖ 31. προκείμενον τὸ εἴτις *M.* ‖ 38. τι] τις *AM.* ‖ κινούμενος *AM.* ‖ 39. αὐτὸν] αὐτὸς *M.*

πρώτοις συμβεβηκότα, οἷον τὰ τῷδε τῷ ἀνδριάντι ἢ τῷδε τῷ χαλκῷ, πορρωτέρω δὲ τὰ εἴδη καὶ τὰ τούτων γένη· τόδε μὲν γὰρ τὸ ἐρυθρὸν ἐγγυτέρω κατὰ συμβεβηκὸς αἰτιατόν, εἰ εἴη τοῦτο ἀνδριάντι, πορρωτέρω δὲ ἁπλῶς τὸ ἐρυθρόν, καὶ ἔτι μᾶλλον τὸ χρῶμα. id.

1014a 13. "ἔτι — λεχθήσεται." τὸν μὲν τρόπον τῆς συμπλοκῆς αὐτὸς ἐδήλωσε συμπλέξας τὸ κατὰ συμβεβηκὸς αἴτιον τῷ καθ' αὑτό, τὸν Πολύκλειτον τῷ ἀνδριαντοποιῷ· ἔστι δὲ συμπλέκειν καὶ τὰ προσεχῆ τῶν καθ' αὑτὰ τοῖς προσεχέσι τῶν κατὰ συμβεβηκὸς καὶ τὰ κοινότερα τοῖς κοινοτέροις καὶ ἐναλλάξ. "ἀλλ' ὅμως πάντα ταῦτά ἐστι τὸ μὲν πλῆθος ἕξ." τὰς κοινὰς καὶ καθολικὰς τῶν διαφορῶν τῶν κατὰ τοὺς τρόπους τῶν αἰτίων ἕξ φησιν εἶναι, ὧν ἓξ ἕκαστον διχῶς λέγεσθαι. εἰσὶ δὲ αἱ μὲν ἓξ διαφοραί, ἃς ἐκτίθεται, δύο μὲν ἐπὶ τῶν κυρίως λεγομένων αἰτίων· ἐφ' ἑκάστου γὰρ αὐτῶν ἢ ὡς τὸ καθ' ἕκαστον καὶ προσεχές, ἢ ὡς τὸ γένος αὐτοῦ. δύο δὲ πάλιν ἐπὶ τῶν συμβεβηκότων· καὶ γὰρ ἐπὶ τούτων ἢ τὰ καθ' ἕκαστα ἢ τὰ γένη τούτων. καὶ ἄλλα δύο· ἢ γὰρ ὡς συμπλεκόμενα ἀλλήλοις τὰ καθ' αὑτὰ τοῖς κατὰ συμβεβηκός, ὡς εἶπεν, ἢ ἁπλῶς καὶ ἰδίᾳ καθ' αὑτὸ ἕκαστον. ἕκαστον δὲ τούτων τῶν ἓξ διχῶς ῥηθήσεται· ἢ γὰρ ὡς ἐνεργοῦν ἢ ὡς δυνάμενον ἐνεργεῖν. προστίθησι δὲ καὶ τὴν διαφορὰν τοῦ [1014a 20.] τε κατὰ δύναμιν καὶ κατ' ἐνέργειαν αὐτοῦ, λέγων "διαφέρει δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνεργοῦντα καὶ τὰ καθ' ἕκαστον ἅμα ἔστι καὶ οὐκ ἔστι, καὶ ὧν αἴτια." λέγει διαφορὰν εἶναι τῶν ἐνεργούντων αἰτίων πρὸς τὰ κατὰ δύναμιν, ὅτι τὰ μὲν ἐνεργοῦντα ἅμα τοῖς αἰτιατοῖς, περὶ ἃ ἡ ἐνέργεια αὐτῶν, καὶ ἔστι καὶ οὐκ ἔστιν, οὐκέτι δὲ ὡσαύτως ἔχει τὰ κατὰ δύναμιν· οὐ γὰρ ἀνάγκη συνυπάρχειν τὰ οὕτω λεγόμενα ἀλλήλοις. εἰπὼν δὲ "ἐνεργοῦντα," προσέθηκε "καὶ τὰ καθ' ἕκαστα," ὧν δηλωτικά ἐστι τὰ ἐνεργοῦντά τε καὶ ἐνεργούμενα· τὰ γὰρ καθ' ἕκαστά ἐστι καὶ τὰ ἐνεργοῦντά τε καὶ ἐνεργούμενα· ὅδε γὰρ ὁ οἰκοδόμος οἰκοδομεῖ καὶ ἥδε ἡ οἰκία οἰκοδομεῖται, καὶ εἰ οἰκοδομεῖ ὁ οἰκοδόμος, δεῖ εἶναι καὶ τὴν οἰκοδομουμένην οἰκίαν. οὐκέτι δὲ ἂν ᾖ ὁ δυνάμενος οἰκοδομεῖν, ἤδη δεῖ εἶναι καὶ οἰκοδομουμένην τινὰ οἰκίαν. ἀλλ' οὐδὲ φθαρέντος τοῦ οἰκοδόμου τοῦ κατὰ δύναμιν αἰτίου τῇ οἰκίᾳ, ἀνάγκη φθείρεσθαι καὶ τὴν ὑπ' αὐτοῦ γεγονυῖαν οἰκίαν. ὥστε οὔτε ἔστιν ἅμα ἀλλήλοις ἐξ ἀνάγκης τὰ οὕτως αἴτια οὔτε φθείρεται. id.

1014a 26. "στοιχεῖον — ἐνυπάρχοντος." ὅτι τὸ στοιχεῖον πολλαχῶς λέγεται, ἔδειξε, τοῦ μὲν κυρίως λεγομένου στοιχείου λόγον ἀποδιδούς, ἐξ οὗ σύγκειται πρώτου ἐνυπάρχοντος, ἀδιαιρέτου τῷ εἴδει· οὐ γὰρ κατὰ τὸ ποσὸν ἀδιαίρετον τὸ στοιχεῖον, ἀλλὰ κατὰ τὸ εἶδός ἐστιν (*). γράφεται δὲ καὶ "ἀδιαιρέτου τῷ εἴδει εἰς ἕτερον εἶδος" καὶ "ἀδιαιρέτου εἰς τὸ αὐτὸ εἶδος." ἂν μὲν οὖν ᾖ ἡ γραφὴ ἡ πρώτη, γνώριμον τὸ λεγόμενον ('). ἀδιαίρετον γὰρ τὸ στοιχεῖον εἰς ἕτερα καὶ διαφέροντα εἴδη· οὔτε γὰρ τὸ πῦρ εἰς ἀνομοιοειδῆ διαιρεῖται οὔτε τι τῶν ἄλλων τῶν ἁπλῶν· ἡ δὲ συλλαβὴ οὐ στοιχεῖον τοῦ λόγου, ἐπεὶ διαιρεῖται εἰς τὰ γράμματα ἀνομοιοειδῆ ὄντα, τῷ δὲ ἀδιαίρετα εἶναι οὐδὲ εἰς ἕτερον τῷ εἴδει διαιρεῖται. καὶ χωρὶς δὲ τοῦ προσκεῖσθαι "εἰς ἕτερον εἶδος" ταὐτὸν ἐσημαίνετο καὶ ὑπὸ τοῦ ἀδιαιρέτου τῷ εἴδει· τὸ γὰρ ἀδιαίρετον κατ' εἶδος οὐχ οἷόν τε εἰς ἕτερον εἶδος διαιρεθῆναι. ἂν δὲ "ἀδιαίρετον τὸ αὐτὸ εἶδος," λέγοι ἂν εἰς στοιχεῖα, δεῖ γὰρ τὸ στοιχεῖον ἀδιαίρετον εἶναι εἰς στοιχεῖα· οὐ γὰρ ἂν ἔτι στοιχεῖον εἴη διαιρούμενον. τὸ δὲ "ἀλλὰ [1014a 30.] κἂν διαιρῆται, τὰ μόρια ὁμοειδῆ" παρέλκοι ἄν· δεδήλωται γὰρ τοῦτο διὰ τοῦ εἰρῆσθαι τὸ στοιχεῖον ἀδιαίρετον εἶναι τῷ εἴδει· τὸ γὰρ οὕτως ἀδιαίρετον δῆλον ὅτι, ἂν διαιρῆται, εἰς ὁμοειδῆ καὶ ὁμοιομερῆ διαιρεθήσεται. τὸ δὲ "ὁμοίως δὲ καὶ τὰ τῶν σωμάτων στοιχεῖα λέγουσι" λέγοι ἂν περὶ τῶν τὰς ἀτόμους στοιχεῖα τῶν συνθέτων σωμάτων ποιούντων, καὶ περὶ Ἐμπεδοκλέους ἐκ τῶν τεσσάρων τἆλλα γεννῶντος, καὶ περὶ τῶν ἕν τι σῶμα στοιχεῖον ποιούντων, ἢ τῶν τεσσάρων τι ἢ τὸ μεταξύ· κατὰ πάντας γὰρ τούτους τὰ στοιχεῖα ἀδιαίρετα κατ' εἶδος, κατὰ δὲ τοὺς ταῖς ἀτόμοις στοιχείοις χρωμένους καὶ κατὰ μέγεθος ἀδιαίρετα τὰ στοιχεῖα, οὐ κατ' εἶδος μόνον. φωνῆς δὲ στοιχεῖα οὐ τὰ μέρη τῶν συλλαβῶν ἔοικε λέγειν· ἐκεῖνα μὲν γὰρ τῶν ὀνομάτων καὶ τοῦ λόγου μέρη, τῆς δὲ φωνῆς ἰδίως οἱ φθόγγοι τε καὶ οἱ ψόφοι μέρη τε καὶ στοιχεῖα οἱ ἁπλοῖ καὶ μηκέτι εἰς διαφέροντας διαιρούμενοι. ὁμοίως δὲ τοῖς προειρημένοις φησὶ καὶ τὰ τῶν διαγραμμάτων στοιχεῖα λέγεσθαι καὶ καθόλου τὰ τῶν ἀποδείξεων· τῷ γὰρ πρῶτα εἶναι καὶ ἁπλᾶ καὶ ἐνυπάρχοντα τοῖς μετ' αὐτά. κατὰ τοῦτο καὶ τὰ ἐν γεωμετρίᾳ στοιχεῖα λέγεσθαι, οὐκ ἐκ συνθέσεως ἄλλων ὄντα, οὐδὲ διαιρούμενα εἰς ἕτερα τῷ εἴδει ἐν ταῖς ἀποδείξεσιν· αἱ γὰρ πρῶται καὶ ὡς ἀρχαὶ ἀποδείξεις οὐκέτι εἰς ἀποδείξεις διαιροῦνται. προστίθησι δὲ [1014b 3.] ὅτι καὶ μεταφέροντες ἀπὸ τοῦ προειρημένου στοιχείου λέγουσι καὶ κατὰ τὴν πρὸς τοῦτο ὁμοιότητα στοιχεῖα "ὃ ἂν ἓν ὂν καὶ μικρὸν ἐπὶ πολλὰ ᾖ χρήσιμον·" οὐ γὰρ ἔτι τὸ τοιοῦτον κυρίως στοιχεῖον, εἴ γε τὸ μὲν στοιχεῖον ἐξ οὗ σύγκειται ἐνυπάρχοντος πρώτου, τὰ δὲ νῦν λεγόμενα οὐ τοιαῦτα. οὕτω τὸ μικρὸν καὶ ἁπλοῦν καὶ ἀδιαίρετον στοιχεῖον λέγεται. καὶ τίνα ἐστὶ τὰ κατὰ μεταφορὰν λεγόμενα, ἑξῆς λέγει, "ὅθεν ἐλήλυθε τὰ μάλιστα καθόλου στοιχεῖα εἶναι." λέγοι δ' ἂν τὰ ἀνωτάτω γένη, ἐπεὶ ἕκαστον αὐτῶν ἓν ὂν καὶ ἁπλοῦν ἐν πολλοῖς ἐστίν, οὐκέτ' ὂν ἀδιαίρετον κατ' εἶδος, οἷον τὸ κυρίως στοιχεῖον, ἀλλ' ἔτι ἐν πᾶσι τοῖς ὑπ' αὐτό. ἁπλοῦν δέ, ὅτι μηδὲ ὁρισμὸς ἔστι τῶν πρώτων γενῶν, ἀλλ' οὐχ ὡς ἀδιαίρετον. τὸ δὲ "ἢ πᾶσιν ἢ τοῖς πλείστοις" [1014b 8.] εἶπεν, ἐπεί τινες καὶ τὸ ὂν γένος ἀξιοῦσιν εἶναι· ὃ εἰ οὕτως ἔχοι, ἐν πᾶσιν ἂν εἴη ὁμοίως. "καὶ τὸ ἓν καὶ τὴν στιγμὴν ἀρχὰς καὶ στοιχεῖα τισὶ δοκεῖ εἶναι," ἐπεὶ ἐλάχιστα καὶ ἀδιαίρετα πάντῃ· ἓν γὰρ λέγει

3. τούτῳ *M.* ‖ ἀνδριάντες *A.* ‖ 8. προσέχουσι *M.* ‖ 11. τόπους *M.* ‖ 16. ἄλλαι *M.* ‖ ἀλλήλων τῶν καθ' *A.* ‖ 22. λέγει δὲ διαφορὰν *M.* ‖ 36 et 40. μὲν] μὴ *A.*

2. στοιχεῖα *A.* ‖ 3. ἀδιαίρετοι *M.* ‖ 6. ἀδιαίρετον om *AM.* ‖ 7 et 8. στοιχεῖα] στοιχεῖον *M.* ‖ 9. δῆλον ἔτ' ὅταν διαιρῆται, εἰ ὁμοειδῆ *M.* ‖ 16. τι om *A.* ‖ 17. τοῖς *M.* ‖ μέγεθος] μέρος *M.* ‖ 19. συλλαβῶν] συλλογισμῶν *M.* ‖ 21. τε καὶ] τὰ *M.* ‖ 24. μετ' αὐτὰ τὰ τούτῳ καὶ *A*, μετὰ ταῦτα τούτῳ καὶ *M*, *quia enim prima et simplicia sunt et consequentibus insunt, idcirco in geometria vocantur elementa* Sepulv. ‖ 29. ὂν] ἂν *M.* ‖ 30. ἔτι] ἔτι *M.* ‖ 33. ἐλήλυθε] ἐλήλυθε τί μάλιστα *M.* ‖ 35. ὂν] ἂν *M.*

τὴν διαίρεσιν ποιούμενος. τῶν γὰρ προειρημένων τὰ μὲν αἴτιά ἐστιν
ὡς ὕλη, τὰ δὲ ὡς εἶδος, τὰ δὲ ὡς τὸ τί ἦν εἶναι (¹). "τό τε
ὅλον καὶ ἡ σύνθεσις καὶ τὸ εἶδος." ὅλον δὲ οὐ τὸ σὺν τοῖς μέρεσι λέγοι
ἂν (οὕτως γὰρ εἶδος λέγοιτο τὸ συναμφότερον), ἀλλὰ τὸ ἐπὶ τοῖς
μέρεσιν ἐπιγιγνόμενον, τὴν ὁλότητά τε καὶ τελειότητα. ὅμοιον
τούτῳ καὶ ἡ σύνθεσις· καὶ γὰρ αὕτη ἄλλη οὖσα παρὰ τὰ συντιθέμενα
ἐπὶ τοῖς συγκειμένοις ἐστὶ καὶ ἐν ἐκείνοις. εἰπὼν δὲ "τὰ δὲ ὡς τὸ τί
ἦν εἶναι," τί ἐφ' ἑκάστου τῶν εἰρημένων ἐστὶ τὸ τί ἦν εἶναι προσέθηκε
"τό τε γὰρ ὅλον," ὃ ἐπὶ τοῖς μέρεσιν ὡς ὕλῃ οὖσιν εἶδός ἐστι, "καὶ ἡ
σύνθεσις" ἡ ἐπὶ τοῖς στοιχείοις· ἡ γὰρ συλλαβὴ τοιοῦτον. τὸ δὲ
εἶδος καὶ πᾶσι μὲν ἐφαρμόζει, οἰκείως δ' ἂν ἐπὶ τῶν τὴν κυρίως λε-
γομένην ὕλην ὑποκειμένην ἐχόντων λέγοιτο. "τὸ δὲ σπέρμα καὶ ὁ
ἰατρὸς καὶ ὁ βουλεύσας." διὰ τούτων τὸ ποιητικὸν δείκνυσιν αἴτιον· καὶ
ὁ βουλευσάμενος δὲ περί τινος ὡς ὀφείλοντος γενέσθαι συντελεῖ πρὸς
1013b 25. τὴν γένεσιν αὐτοῦ. "τὰ δὲ ὡς τὸ τέλος καὶ τἀγαθὸν τῶν ἄλλων."
τὸ ἀκόλουθόν ἐστιν, τὰ δὲ ὡς τὸ τέλος τῶν ἄλλων καὶ τἀγαθόν. τῶν
ἄλλων δὲ δῆλον ὅτι ὧν ἐστὶ τέλος. προσθεὶς δὲ τῷ τέλει τὸ ἀγα-
θόν, διὰ τί τοιοῦτον τὸ τέλος καὶ τὸ οὗ ἕνεκα, ἔδειξεν ἐπενεγκὼν "τὸ
γὰρ οὗ ἕνεκα βέλτιστον." διαφερέτω δὲ μηδὲν αὐτὸ εἰπεῖν ἀγαθὸν ἢ
φαινόμενον ἀγαθόν· ἑκάστων γὰρ τὸ τέλος ἢ ὄντως ἀγαθὸν ἢ φαινό-
μενον ἀγαθόν· καὶ γὰρ εἰ μὴ ἀληθῶς ἀγαθόν, ἀλλ' ὡς περὶ ἀγαθὸν
αὐτὸ ἡ σπουδή· "πᾶσα γὰρ τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶ-
ξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ," ὡς εἶπεν ἀρχόμε-
νος τῶν Νικομαχείων. id.

1013b 22. (¹) χ. περὶ τοῦ ὅλου. ὅτι τὸ μέν ἐστι τὸ σὺν τοῖς μέρεσιν, ὅ
ἐστι τὸ συναμφότερον, τὸ δὲ τὸ ἐπὶ τοῖς μέρεσιν, ὃ τὴν ὁλότητα καὶ
τελειότητα δηλοῖ. ταῦτα δὲ καὶ Θεμίστιος ἐν τῷ πρώτῳ τῆς Φυσι-
κῆς Ἀκροάσεως λέγει, ἐντεῦθεν λαβών. cod. Coisl. (*C*) in marg.

1013b 29. "τρόποι — πολλοί." τρόπους τῶν αἰτίων λέγει τὰς κατὰ τὴν
ἀπόδοσιν αὐτῶν διαφοράς, ὡς καὶ αὐτὸς ἐδήλωσεν ἐπενεγκὼν
"λέγεται γὰρ τὰ αἴτια πολλαχῶς." κατὰ μὲν οὖν τὸν ἀριθμὸν πλείους φη-
σὶν εἶναι τοὺς τρόπους, ἀναγομένους μέντοι εἰς τὰ κοινὰ καὶ καθόλου
ἐλάττους γίνεσθαι, ὥστε καὶ εἰς ἓξ ἀνάγεσθαι γένη αἰτίων πάντας τοὺς
τρόπους, ὧν ἕκαστον διχῶς λέγεσθαι, ἢ κατ' ἐνέργειαν ἢ κατὰ δύνα-
μιν, ὡς δείξει. πρῶτον δέ, τίνες οἱ τρόποι τῶν αἰτίων, καὶ ὅτι
πλείους, δείκνυσι. διαφέρει γὰρ ἡ τῶν αἰτίων ἀπόδοσις ἢ τῷ προ-
σεχῶς ἀποδεδόσθαι καὶ πρότερον, ἢ τῷ μὴ προσεχῶς ἀλλ' ὑστέρως·
ὕστερα γὰρ τὰ εἴδη καὶ γένη τῶν προσεχῶς αἰτίων αἴτια ἐκείνων. τὸ
γὰρ περιέχον τὸ προσεχὲς καὶ ἐπὶ πλέον αὐτοῦ ὂν ὕστερον ἀεὶ ἐκείνου·
καὶ τοῦτο ὁμοίως καθ' ἕκαστον εἶδος αἰτίου, ἐπὶ τοῦ ὑλικοῦ, ἐπὶ τοῦ κατὰ
τὸ εἶδος, ὁμοίως ἐπὶ τῶν ἄλλων. καὶ ἔστι τοῦτο καὶ ἐπὶ τῶν ὁμοειδῶν
αὐτῶν, τὸ προτέρως καὶ ὑστέρως ἄλλο ἄλλου λέγεσθαι αἰτίου. ὁμοειδῆ
γὰρ τά τε ὑλικὰ ἀλλήλοις τὰ πρότερα τοῖς ὑστέροις, ὁμοίως πάλιν
τὰ εἰδικὰ ἀλλήλοις, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὅμοιός ἐστιν ὁ 1014a
τρόπος τοῦ αἰτίου καὶ τὸ κατὰ συμβεβηκός· τὰ γὰρ τοῖς κυρίοις αἴτια 4.
συμβεβηκότα, ἢ οἷς τὰ κυρίως αἴτια συμβέβηκε, ταῦτα κατὰ
συμβεβηκὸς αἴτια λέγεται. καὶ ἔτι τὰ αὐτῶν τούτων γένη· ἔστι μὲν
γὰρ τοῦ ἀνδριάντος κυρίως αἴτιος ὁ ἀνδριαντοποιός· ἀλλ' ἐπειδὴ
συμβέβηκε τῷ ἀνδριαντοποιῷ Πολυκλείτῳ εἶναι, ὁ δὲ Πολύκλει-
τος ἄνθρωπός ἐστι κατὰ συμβεβηκός, καὶ ὁ Πολύκλειτος αἴτιος τοῦ
ἀνδριάντος καὶ ἄνθρωπος καὶ ζῷον. καὶ ἐν τοῖς κατὰ συμβεβηκὸς δὲ
αἰτίοις ἄλλα ἄλλων ἐστὶν ἐγγύτερα· ἐγγύτερον γὰρ ὁ Πολύκλειτος
τοῦ ἀνδριάντος ἢ ὁ ἄνθρωπος. ἔτι δὲ μᾶλλον τῶν ἐγγυτέρω καὶ
πορρωτέρω κατὰ συμβεβηκὸς αἰτίων τὴν διαφορὰν αὐτὸς ἔδειξεν δι'
ὧν παρέθετο παραδειγμάτων· ὁ γὰρ Πολύκλειτος καίτοι κατὰ συμ-
βεβηκὸς ὢν αἴτιος οὐχ ὁμοίως αἴτιος τοῦ ἀνδριάντος καὶ τὰ Πολυ-
κλείτῳ συμβεβηκότα, οἷον τὸ λευκὸν ἢ μουσικόν· ῥηθήσεται μὲν γὰρ
κατὰ συμβεβηκὸς αἴτια καὶ ταῦτα, ἀλλὰ πορρωτέρω τοῦ Πολυκλείτου.
ἐκτίθεται δὲ τρόπου διαφορὰν ἐν τοῖς αἰτίοις καθολικήν, καὶ τὴν κατὰ 1014a
δύναμιν καὶ ἐνέργειαν· ἄλλως γὰρ ὁ δυνάμενος αἴτιος καὶ ἄλλως ὁ 8.
ἐνεργῶν ἤδη. καὶ ἀεὶ τὰ περιέχοντα πρὸς τὸ καθ' ἕκαστον λέγει τὸ
προσεχὲς αἴτιον· τοῦτο γὰρ οὐ κοινόν, ὥσπερ τὰ περιέχοντα αὐτό.
Alex.

"ὁμοίως — εἰρημένοις." ὁμοίως, φησί, τοῖς ἐπὶ τῶν αἰτίων 1014a
εἰρημένοις λεχθήσεται καὶ τὰ ἐφ' ὧν αἴτια τὰ αἴτια, τουτέστι τὰ 10.
αἰτιατά· τούτοις γὰρ αἴτια τὰ αἴτια. ὁμοίως δὲ διὰ τὸ καὶ ἐπὶ τού-
των τὰ μέν τινα προσεχῶς τὰ δὲ κοινότερόν τε καὶ πορρωτέρω ῥη-
θήσεσθαι· αἰτιατὸν γὰρ προσεχέστερον μὲν ὁ ἀνδριάς· τούτου γὰρ ἦν αἰτία
καὶ ὡς ὕλη τι καὶ ὡς ποιητικόν τι καὶ ὡς τέλος. ὁ δὲ δὴ ἀνδριὰς
προσεχέστερον αἰτιατὸν τοῦ ἁπλῶς καὶ κοινῶς ἀνδριάντος, καὶ πάλιν
ἀνδριὰς εἰκόνος· καὶ γὰρ ἡ εἰκὼν τοῦ ἀνδριάντος κοινότερον. τὸ δὲ
"καὶ χαλκοῦ τοῦδε ἢ χαλκοῦ ἢ ὅλως ὕλης" δύναται μὲν καὶ ἐπὶ τοῦ αἰτίου 1014a
λέγεσθαι· ὅδε γὰρ ὁ χαλκὸς ὡς ὕλη αἰτία προσεχέστερον τῷ ἀν- 12.
δριάντι, χαλκὸς δὲ καὶ ὕλη πορρωτέρω, ὥστε ὁμοίως τὸ αἴτιον καὶ τὸ
αἰτιατὸν ἔχει τὸ προσεχὲς καὶ τὸ πορρωτέρω. δύναται δὲ καὶ νῦν τὸν
χαλκὸν μὴ ὡς αἴτιον ἀλλ' ὡς αἰτιατὸν λαμβάνειν, καὶ εἴη ἂν ἡ μὲν
μεταλλικὴ αἰτία ποιητικὴ τοῦ χαλκοῦ. ὁμοίως καὶ τὸ ὑποκείμενον
τῷ χαλκῷ ὑλικὸν αὐτοῦ αἴτιον, αἰτιατὸν δὲ ὁ χαλκός, ὅ ἐστιν ἄλλου
τε ὕλη καὶ αἰτία, ἀλλ' οὐ ποίημα. προσεχῶς οὖν ποίημα καὶ αἰτιατὸν
τοῦ μεταλλέως ὅδε ὁ χαλκός, πορρωτέρω δὲ χαλκός· καὶ ἔστι πορ-
ρωτέρω ὕλη ὅλως. ὁμοίως δέ φησιν ἕξειν καὶ ἐπὶ τῶν συμβεβη-
κότων τοῖς αἰτιατοῖς· τὰ γὰρ τοῖς αἰτιατοῖς συμβεβηκότα καὶ αὐτὰ
κατὰ συμβεβηκὸς αἰτιατά τε καὶ γινόμενα· καὶ γὰρ τούτων τὰ μὲν ἐγγυ-
τέρω τὰ δὲ πορρωτέρω ἔσται, ἐγγυτέρω μὲν τὰ τοῖς αἰτιατοῖς τοῖς

6. τοῦτο *M.* ‖ 8. ἐστὶ] ἐπὶ *M.* ‖ 10. τοῖς om *M.* ‖ 13. ἰατρικὸς *M.* ‖ 19. βέλτιστον — 20. τέλος om *A.* ‖ 20. ὄντος *M.* ‖ 21. ἀληθὲς *M.* ‖ ὡς] ἢ *M.* ‖ 22. δὲ] καὶ *A.* ‖ 23. ἐφίεσθαι *M.* ‖ 31. φασὶν *M.* ‖ 38. προσεχῶν *M.*

4. κατὰ] καὶ τὰ *M.* ‖ 5. ἔτι] αἴτια *M.* ‖ 11. ἔτι] ἅτε *M.* ‖ 13. δειγμάτων *A.* ‖ 14. αἴτια bis, prius corr. 2 m. αἴτιος *A.* ‖ καὶ τὰ] κατὰ *M.* ‖ 19. τὰ] τὸ *M.* ‖ 24. αἴτια καὶ τὰ *M.* ‖ 34. ἀλλ' ὡς αἰτιατὸν et ἂν ἡ et 35. ποιητικὴ om *M.* ‖ 36. αὐτῷ *A.* ‖ 39. ἕξειν *M.*

ἐποίει. καὶ τὰ φύσει δὲ γινόμενα πάντα ἕνεκά του γίγνεται καὶ ὡρισμένου τινὸς εἴδους καὶ τελειότητος, ἐν ᾗ γενόμενον αὐτῶν ἕκαστον τοῦ γίνεσθαι παύεται. τοῦτο ἄρα ἐστὶν αὐτοῖς τὸ παράδειγμα καὶ τὰ τούτου γένη. ὥσπερ ἐπὶ τοῦ ὑλικοῦ αἰτίου τὴν προσεχῆ λαβὼν ὕλην εἶπε καὶ τὰ γένη τῆς προσεχοῦς ὕλης τῷ αὐτῷ αἰτίῳ ὑπάγεσθαι, οὕτω καὶ ἐπὶ τοῦ εἴδους· τό τε γὰρ εἶδος τὸ ἑκάστου καὶ ὁ λόγος ὁ σημαίνων τὸ τί ἦν εἶναι καὶ τὰ τοῦ εἴδους τούτου γένη ὁμοίως αἴτια· οἷον ὡς αὐτὸς ἔφη, τοῦ διὰ πασῶν προσεχὲς μὲν εἶδος τὰ δύο πρὸς ἕν (ἐν διπλασίῳ γὰρ λόγῳ ἡ διὰ πασῶν) γενικὸν δὲ ὁ ἀριθμός· ἐν γὰρ ἀριθμῷ τά τε δύο καὶ τὸ ἕν. ἀλλὰ καὶ τὰ ἐν τῷ λόγῳ μέρη· ἦν δὲ τὸ ὅλον δύο πρὸς ἕν. ἔστι δὲ τὸ λεγόμενον ὅτι τὰ μέρη τοῦ λόγου τοῦ τὸ τί ἦν εἶναι σημαίνοντος καὶ αὐτὰ αἴτιά ἐστιν, εἴ γε ἐκ τούτων τὸ ὅλον. εἴη δ' ἂν τοῦδε τοῦ εἴδους καὶ τοῦδε τοῦ ὁρισμοῦ, ὅ ἐστιν ἡ κατὰ τὸ εἶδος αἰτία, εἶδος μὲν ὁ ὁρισμός, γένος δὲ ὁ λόγος, μέρη δὲ τὰ ἐξ ὧν ὁ
1013a 29. ὁρισμὸς ὡς μερῶν σύγκειται. ἔτι αἴτιον λέγεται ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη. περὶ τοῦ ποιητικοῦ αἰτίου λέγει. γίνεται δέ τινα οὐ μόνον κινούμενα ἀλλὰ καὶ ἠρεμοῦντα· καὶ γὰρ ἵσταταί τινα ὑπ' ἄλλων ὥσπερ καὶ κινεῖται· τὸ δὲ ἱστὰν αὐτὰ εἴη ἂν τῆς στάσεως αὐτῶν ποιητικὸν αἴτιον, διὸ καὶ "ἠρεμήσεως" πρόσκειται. "μεταβολῆς" δὲ εἶπεν, οὐ κινήσεως, ἵνα καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν περιλάβῃ. τὸ δὲ πρῶτον πρόσκειται, ὅτι τοῦτο μάλιστα ποιητικὸν αἴτιον· τὸ γὰρ ἐνυπάρχον τῷ γινομένῳ καὶ οὕτως ποιοῦν τὰ ἐφεξῆς παρὰ τοῦ ποιήσαντος αὐτὸ τὴν αἰτίαν ἔχει· καὶ τὰ ὄργανα δὲ οὐκ ἐξ αὐτῶν τὸ κινεῖν ἔχει· τὸ δὲ πρῶτον καὶ τούτοις αἴτιον καὶ ἐκτὸς τοῦ γινομένου. τὸ δὲ "καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου καὶ τὸ μεταβλητικὸν τοῦ μεταβαλλομένου" τῶν γενικῶν ποιητικῶν ἐστὶ δηλωτικά· ὁ μὲν γὰρ πατὴρ καὶ τὸ τέκνον ὑπὸ τὸ ποιοῦν καὶ τὸ ποιούμενον, ταῦτα δὲ πάλιν ὑπὸ τὸ μεταβάλλον τε καὶ μεταβαλλόμενον. Alex.

1013a 23. "ἔτι — ἕνεκα." τετάρτην αἰτίαν λέγει τὴν τελικήν· αὕτη δέ ἐστιν οὗ χάριν τὰ ἄλλα, οἷον τοῦ περιπατεῖν ἡ ὑγίεια. διὰ τί γὰρ περιπατεῖ; φαμέν, ἵνα ὑγιαίνῃ, καὶ ὅσα δὴ κινήσαντος ἄλλου μεταξὺ γίνεται τοῦ τέλους. εἰπὼν παράδειγμα τοῦ τελικοῦ αἰτίου τὴν ὑγίειαν (τοῦ γὰρ περιπατεῖν αἴτιον ὡς τέλος ἡ ὑγεία), λέγει καὶ πάντα ὅσα τοῦ τέλους χάριν μεταξὺ γίνεται ὑπὸ τοῦ ποιοῦντος τὸ τέλος τοῦ τέλους γίνεσθαι χάριν. ὥστε καὶ τούτων πάντων τελικὸν αἴτιον τὸ τέλος ἐστίν· οὐ γὰρ μόνον τὸ περιπατεῖν τῆς ὑγιείας χάριν, ἀλλὰ καὶ ἡ ἰσχνασία, εἰ ὑπὸ τοῦ περιπατεῖν αὐτὴ γίγνοιτο, καὶ ἡ κάθαρσις τῆς ὑγείας χάριν. ἀλλὰ καὶ τὰ καθαίροντα φάρμακα, καὶ δι' ὧν ὀργάνων ἡ θεραπεία, καὶ ταῦτα τοῦ τέλους χάριν· πρὸς γὰρ τοῦτο αὐτοῖς ὁ ἰατρὸς χρῆται. πάντων δὲ τούτων τοῦ τέλους χάριν ὄντων διαφορά τίς ἐστιν αὐτῶν πρὸς τἄλλα, καθὸ τὰ μέν ἐστιν αὐτῶν ἔργα τινά, ὡς ἡ ἰσχνασία, ὁ περίπατος, ἡ κάθαρσις, τὰ δὲ ὄργανα δι' ὧν τὰ ἔργα, ὡς φάρμακα, σμιλίον. Alex.

"τὰ — λέγεται." τὸ σχεδὸν προσέθηκεν, ἐπεὶ ἔστι τινά γε οὐ 1013b 3.
κυρίως ἀλλὰ κατὰ συμβεβηκός, ὧν καὶ αὐτῶν μνημονεύσει. ὅτι δὲ πολλὰ τοῦ αὐτοῦ αἴτια καθ' αὑτό ἐστι καὶ οὐ κατὰ συμβεβηκὸς μόνον, οὐ μὴν κατὰ τὸν αὐτὸν λόγον, ἀλλὰ ἄλλως καὶ ἄλλως, σαφῶς εἴρηκε διὰ τοῦ "συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός, οἷον τοῦ ἀνδριάντος καὶ ἡ ἀνδριαντοποιητικὴ καὶ ὁ χαλκός," καὶ οὐ κατὰ συμβεβηκὸς ἀλλ' ᾗ ἀνδριάς, ἀλλὰ τὸ μὲν ὡς ὕλη, τὸ δὲ ὡς ὅθεν ἡ κίνησις. τὸ δὲ "οὐ καθ' ἕτερον" ἴσον ἐστὶ πάλιν τῷ οὐ κατὰ συμβεβηκός. ἔστι δὲ καὶ ἀλλήλων τινὰ αἴτια, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τοῦτο μὲν ἐκείνου ὡς ποιητικόν, ἐκεῖνο δὲ τούτου ὡς τέλος γνώριμον· οὕτω γὰρ τὸ πονεῖν ποιητικὸν εὐεξίας, ἡ δὲ εὐεξία τέλος τοῦ ποιεῖν. εἶπε δὲ 1013b 11.
καὶ πῶς τὸ αὐτὸ αἴτιον τῶν ἐναντίων δοκεῖ, οὐχ ὡσαύτως ἔχον, ἀλλὰ τοῦ μὲν τῇ παρουσίᾳ τοῦ δὲ τῇ ἀπουσίᾳ, ἣν στέρησιν εἶπεν. εἶπε δὲ καὶ ὅτι ἀμφότερα ταῦτα αἴτια ὡς ποιοῦντα. id.

"ἅπαντα — φανερωτάτους." ταύτῃ τῇ λέξει ἀκόλουθος μέν 1013b 16.
ἐστιν ἡ λέγουσα "τούτων δὲ τὰ μὲν ὡς τὸ ὑποκείμενον," ἐν μέσῳ δὲ εἴρηται ἡ λέξις περὶ τῶν ὑποκειμένων διαίρεσιν ἔχουσα τῶν ὑλικῶν αἰτίων, ἧς ἡ ἀρχὴ "τὰ μὲν γὰρ στοιχεῖα τῶν συλλαβῶν." ἤτοι πρῶτον ἐξαριθμουμένου καὶ διδάσκοντος ἡμᾶς τὰς κατὰ τὸ ὑποκείμενον διαφοράς· ἄλλως γὰρ ἡ κυρίως ὕλη τοῖς ἐξ αὐτῆς ὑπόκειται, καὶ ἄλλως τὰ στοιχεῖα τῇ συλλαβῇ καὶ αἱ προτάσεις τῷ συμπεράσματι· ἡ μὲν γὰρ ὕλη κατὰ τὴν ἀλλοίωσιν δέχεται τὸ εἶδος. σκευαστὰ δὲ εἶπε τὰ μὲν διὰ συνθέσεως τῆσδε κατὰ τὸ εἶδος μεταβολῇ γινόμενα· τὰ δὲ στοιχεῖα κατὰ σύνθεσιν τῶν συλλαβῶν γίνεται, τὰ δὲ ἁπλῶς σώματα κατὰ σύνθεσιν καὶ ἀλλοίωσιν. αἱ δὲ προτάσεις καὶ αὐταὶ κατὰ σύνθεσιν αἰτίαι τοῦ ὅλου συλλογισμοῦ· τοῦ γὰρ συμπεράσματος οὐχ ὡς ὕλη ἐστὶν αἰτία, ἀλλ' ὡς ποιητικὸν εἶεν ἂν αἴτιον. καὶ ἔστιν ἐν τῷ συλλογισμῷ τὸ ὅλον, ὡς ὕλη μὲν αἱ προτάσεις, ὡς δὲ εἶδος τὸ συμπέρασμα. τὸν οὖν πρῶτον τὸν ἀριθμὸν ἐκτίθεσθαι τῶν αἰτίων ἐδίδαξεν ἡμᾶς διὰ τῆς λέξεως, ἧς ἤρξατο μὲν ὡς ἀποδώσων ἑκάστῳ τῶν αἰτίων τὸ οἰκεῖον παράδειγμα, πλείοσι δὲ χρησάμενος ἐπὶ τοῦ ὑλικοῦ παραδείγμασιν, ἐπεὶ καὶ πλείων ἐν τούτοις ἡ διαφορά, ἐπήνεγκεν ἀναλαβὼν τὸ "τούτων δέ·" καὶ οὕτως πάλιν ἀρξάμενος ἀπ' 1013b 21.
ἀρχῆς διὰ συντόμων τὸ οἰκεῖον ἀποδίδωσιν ἑκάστῳ, μνημονεύσας διὰ τῶν τῆς ὕλης παραδειγμάτων ἅμα καὶ τῶν εἰδῶν, οἷς ἡ ὕλη ὑπόκειται, ἃ καὶ αὐτά ἐστιν αἴτια. διὰ γὰρ τοῦ "τὰ μὲν στοιχεῖα τῶν συλλαβῶν" ἀμφοτέρων ἐμνημόνευσε. "τούτων δέ" φησὶ τῶν εἰρημένων, "τὰ μὲν ὡς τὸ ὑποκείμενον," αὐτῶν τῶν προειρημένων

1. καὶ τὰ] κατὰ *M.* ‖ πάντα ἓν ἕκαστον γίγνεται καὶ ὁρισμοῦ *M.* ‖ 4. ἐπὶ et 5. αἰτίῳ om *M.* ‖ 5. ὑπάγεται *M.* ‖ 6. τό τε γὰρ εἶδος om *M.* ‖ 7. αὐτός φησι, τοῦ *A.* ‖ 8. τὰ ἑκάστου δύο *M.* ‖ 10. τὰ om *A.* ‖ 11. τί om *M.* ‖ 17. ἵσταται *M.* ‖ 18. ἱστῶν *M.* ‖ 22. ἐνυπάρχειν *AM.* ‖ τῷ ποιήσαντι *AM.* ‖ 21. αὐτὸ] αὐτῷ *M.* ‖ 26. ἐστὶ δηλωτικῶν ἐστὶ δηλωτικά *M.* ‖ 28. μεταβάλλεται καὶ *M.* ‖ 35. πάντων om *M.* ‖ 40. ἰατρικὸς *M.*

1. περίπατος καὶ ἡ *M.* ‖ 2. σμίλιον et 3. οὐ et 4. ὧν — 5. συμβεβηκὸς om *M.* ‖ 11. τῷ] τὸ *A.* ‖ 15. οὐχ ὡς οὕτως ἔχοι *M.* ‖ 19. τοῦτο *M.* ‖ 21. *qua interiecta dictione vel connumerat primum docetque nos subiectorum discrimina* Sepulv. ‖ 24. συλλαβίοις *M.* ‖ 26. μεταβολῆς *M.* ‖ 30. ποιητικὴ *M.* ‖ αἴτια *M.* ‖ 35. πλεῖον *M.*

ἡ προαίρεσις καὶ τὰ ὅμοια τῶν ὡς τελῶν καὶ τῶν ποιητικῶν ἀρχῶν παραδείγματα, αἳ οὐκ ἐνυπάρχουσι τοῖς γινομένοις, ἐν οἷς ἦσαν καὶ οἱ ἄρχοντες. προστίθησι δὲ καὶ τὴν οὐσίαν καὶ τὸ οὗ ἕνεκα, οὐσίαν μὲν λέγων τὴν κατὰ τὸ εἶδος ἀρχήν· τοῦτο γὰρ ἡ ἑκάστου οὐσία, τὸ δ' οὗ ἕνεκα τὸ τέλος. ἃ συνέθηκεν, ἐπεὶ ἐν τοῖς φύσει γιγνομένοις δοκεῖ τὸ εἶδος καὶ τελειότης καὶ τέλος εἶναι· καὶ εἴη ἂν καὶ ταῦτα ἐν τοῖς προϋπάρχουσι μὲν μὴ ἐνυπάρχουσι δέ. προσέθηκε δὲ καὶ ὑπό τινα τῶν 1013a 21. εἰρημένων ταῦτα ὑπάγεται, εἰπὼν "πολλῶν γὰρ καὶ τοῦ γνῶναι καὶ τῆς κινήσεως ἀρχὴ τὸ ἀγαθὸν καὶ τὸ καλόν." τῆς γνώσεως μὲν τὸ εἶδος (ἀρχὴ γὰρ καὶ αἰτία τῆς τοῦ πράγματος γνώσεως ἡ τοῦ εἴδους αὐτοῦ γνῶσις), τῆς δὲ κινήσεως ἀρχὴν τὸ τέλος εἶπεν, ὅπερ ἐστὶ τὸ ἀγαθὸν καὶ τὸ καλόν· ἑκάστου γὰρ τὸ οἰκεῖον τέλος ἀγαθόν τε ἐκείνῳ καὶ καλόν, οὐκ ἐνυπάρχον μέν, ὅτι αἰτία αὐτῷ τοῦ γενέσθαι γίγνεται, ἐπιγιγνόμενον δὲ ἐκείνῳ τελειωμένῳ. ὁμοίως δὲ καὶ τὸ εἶδος, ὅτε ἐστὶν ὡς προϋπάρχον τε καὶ προεπινοούμενον ἀρχή, οὐκ ἐνυπάρχει. αἱ δὲ οὕτως λεγόμεναι ἀρχαὶ περιέχονται διὰ τῆς λέξεως τῆς "ἡ δὲ ὅθεν γίνεται πρῶτον μὴ ἐνυπάρχοντος." ἢ διὰ ταύτης μὲν εἴη ἂν τὸ τέλος ἀρχὴ λεγόμενον, τῆς δὲ κατὰ τὸ εἶδος ἀρχῆς δηλωτικαὶ αἱ τέχναι, καὶ τούτων μάλιστα αἱ ἀρχιτεκτονικαί· αὗται γὰρ τὸ εἶδός πως εἰσι τοῦ γιγνομένου. κοινὸν μὲν οὖν πάσης ἀρχῆς φησὶν εἶναι τὸ πρῶτον εἶναι οὗ ἐστὶν ἀρχή· ὡς μὲν ὄντος τοῦ πράγματος οὗ ἐστὶν ἀρχή, ἡ τῆς ὁδοῦ ἀρχή, ὡς δὲ γιγνομένου, ὡς θεμέλιον οἰκίας καὶ καρδία ζῴου (ταῦτα γὰρ τούτων πρῶτα ὡς γινομένων), ὡς δὲ γινωσκομένων ἀρχαὶ τὰ ἀξιώματα τῶν ἀποδείξεων, ὅτι ἐντεῦθεν τὸ γινώσκεσθαι αὐταῖς· καὶ γὰρ τῶν ἤδη ὄντων ἐστί τις ἀρχὴ καὶ τῶν ἔτι γιγνομένων, πολλὰ δὲ καὶ τῶν γιγνωσκομένων ἀρχὰς ἔχει τῆς γνώσεως. τὸ μὲν οὖν προϋπάρχον κοινὸν ταῖς ἀρχαῖς, τῶν δὲ ἀρχῶν αἱ μὲν ἐνυπάρχουσι τούτοις ὧν εἰσὶν ἀρχαί, ὡς ἡ φύσις τοῖς φύσει γιγνομένοις καὶ ἡ ὕλη· ἀλλὰ καὶ ὁ θεμέλιος οὕτως ἀρχὴ τῆς οἰκίας καὶ ἡ καρδία τοῦ ζῴου, καὶ ὅθεν ἄν τις τοῦ πράγματος ἄρξαιτο. ἡ δὲ διάνοια καὶ ἡ προαίρεσις καὶ αἱ τέχναι ἀρχαὶ μὲν τῶν γιγνομένων ὑπ' αὐτῶν, ἀλλ' οὐχ ὡς ἐνυπάρχουσαι τῷ γιγνομένῳ. εἴη δ' ἂν καὶ τὸ τέλος ὑπὸ τοῦ ἀφ' οὗ πρώτου γίνεται μὴ ἐνυπάρχοντος, ὡς προείρηται, ὑφ' ὃ τάσσομεν καὶ τὸ ποιητικὸν αἴτιον· ἐν γὰρ τοῖς πρακτοῖς καὶ τὸ τέλος ἀρχή. ἔστι δέ, ὥσπερ τὸ ἀγαθὸν ἀρχὴ πράξεως, οὕτω πολλάκις καὶ τὸ κακόν· φεύγοντες γὰρ αὐτὸ πράσσομέν τινα. διὸ ἔν τισι γράφεται "πολλῶν γὰρ καὶ τοῦ γνῶναι καὶ τῆς κινήσεως ἀρχὴ τὸ ἀγαθὸν καὶ τὸ κακόν." id.

1013a 16. (e) κατὰ δὲ τὴν ἀλήθειαν οὐχ οὕτως ἔχει· ἐπὶ πλέον γάρ ἐστιν ἡ ἀρχὴ τοῦ αἰτίου, διὸ καὶ προέταξε τὴν ἀρχὴν τοῦ αἰτίου... ὡς οὖν πρὸς τοὺς πολλοὺς εἶπεν ὁ φιλόσοφος ὅτι "ἰσαχῶς δὲ καὶ τὰ αἴτια λέγεται." Asclep.

εἰπὼν δὲ τὴν ἀρχὴν ἰσαχῶς καὶ τὰ αἴτια λέγεσθαι, ἐφεξῆς τὴν τῶν αἰτίων ποιούμενος διαίρεσιν τέσσαρα σημαινόμενα καὶ τοῦ αἰτίου παραδίδωσιν, ἃ καὶ ἐν Φυσικῇ Ἀκροάσει ἐξέθετο αὐταῖς λέξεσιν, ὡς ἰσαχῶς μὲν καὶ τοῦ αἰτίου τῇ ἀρχῇ λεγομένου καθόλου, οὐ μὴν ἀλλὰ κυριώτερον (a). ἔτι μὲν οὖν τὰ σημαινόμενα ταῦτα καὶ ἐν τῇ ἀρχῇ, πλὴν οὐ τῇ διαιρέσει ταύτῃ· ἡ μὲν γὰρ ὕλη ἦν ἐν τῷ ὅθεν γίγνεται πρῶτον ἐνυπάρχοντος, καὶ ὅθεν πρῶτον ἡ κίνησις πέφυκεν ἄρχεσθαι, καὶ ἡ μεταβολὴ διὰ μὲν τοῦ ὅθεν γίνεται πρῶτον μὴ ἐνυπάρχοντος τοῦ τέλους τιθεμένου, διὰ δὲ τοῦ ὅθεν πρῶτον ἡ κίνησις πέφυκεν ἄρχεσθαι τοῦ ποιητικοῦ, τοῦ δὲ εἴδους διὰ τῶν τεχνῶν· ἡ γὰρ τέχνη τὸ εἶδος τοῦ γιγνομένου. καὶ κατὰ τρόπους μὲν καθ' οὓς καὶ ἡ ἀρχὴ λέγεται καὶ τὸ αἴτιον λέγεσθαί τε καὶ διαιρεῖσθαι, οὐ μὴν ἀλλ' ἤδη διῃρῆσθαι, καὶ κατ' ἐκεῖνα μὲν τὰ σημαινόμενα τὴν ἀρχήν, κατὰ ταῦτα δὲ τὸ αἴτιον. πάντα δὲ τὰ εἰρημένα περὶ αὐτῶν νῦν αὐταῖς λέξεσι ταὐτά ἐστι τοῖς ἐν τῷ B (c. 3) τῆς Φυσικῆς Ἀκροάσεως εἰρημένοις. διὸ καὶ ἐξ ἐκείνων τὴν ἐξήγησιν μετενεκτέον. Alex.

(a) τὰ ῥητὰ ταῦτα μετενήνεκται ἐνταῦθα ἐκ τῆς Φυσικῆς 1013a 24. Ἀκροάσεως. ἔλεγον γὰρ ὅτι τινὰ παραπώλοντο, καὶ μὴ δυνηθέντες μιμήσασθαι ἐκ τῶν αὐτοῦ ἐφήρμοσαν. ἀμέλει καὶ τὸ K στοιχεῖον ὅλον ἐκ τῶν ἄλλων αὐτοῦ ἐστὶν ἀκροάσεων. Asclep.

"αἴτιον — ἐνυπάρχοντος." λέγει μὲν τὴν ὕλην, τὸ δὲ "ἐνυπάρχοντος" προσέθηκε χωρίζων δι' αὐτοῦ τήν τε στέρησιν τῆς ὕλης καὶ τὸ ἐναντίον· καὶ γὰρ ἐκ τῆς στερήσεως τὸ γινόμενον γίγνεται, ὡς ἔδειξεν ἐν τῷ A τῆς Φυσικῆς Ἀκροάσεως (c. 8), καὶ ἐκ τοῦ ἐναντίου, ἃ οὐκ ἐνυπάρχει τῷ γινομένῳ. καὶ τοῦ ποιητικοῦ δὲ αἰτίου ἡ ὕλη ὡς ἐνυπάρχουσα χωρίζεται· εἶπε γὰρ πρὸ ὀλίγου περὶ τῆς τοιαύτης ἀρχῆς "ὅθεν γίνεται πρῶτον μὴ ἐνυπάρχοντος" (v. 7). οὐ μόνον δὲ τὴν προσεχῆ ὕλην ἑκάστου αἰτίου ὑλικὴν λέγει, ἀλλὰ καὶ τὰ εἴδη αὐτῆς καὶ γένη, οἷον ὅδε ὁ χαλκὸς τοῦδε τοῦ ἀνδριάντος, καὶ χαλκὸς ἀνδριάντος, καὶ σῶμα εἰκόνος· τῷ γὰρ ἀνδριάντι ταῦτα ὑλικὰ αἴτια. ἄλλον δὲ τρόπον αἴτιον λέγεται τὸ εἶδος, "τοῦτο δέ ἐστιν ὁ λόγος τοῦ 1013a 27. τί ἦν εἶναι καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ." λέγει μὲν περὶ τῆς κατὰ τὸ εἶδος αἰτίας, ἐλλείποι δ' ἂν τῷ "τοῦτο δέ ἐστι ὁ λόγος τοῦ τί ἦν εἶναι" τὸ δηλωτικός· ὁ γὰρ δηλωτικὸς τοῦ τί ἦν εἶναι λόγος ἐστὶν ὁρισμός. παράδειγμα δὲ τὸ εἶδος εἶπεν οὐχ ὡς οἱ τὰς ἰδέας λέγοντες· οὔτε γὰρ δοκεῖ τὴν ἀρχὴν αὐτῷ τῶν φύσει τι γιγνομένων γίγνεσθαι πρός τι ὂν ἔξω παράδειγμα· οὐδὲ γὰρ τὰ ποιοῦντα φύσει νοήσαντα πρῶτον ὃ ποιεῖ οὕτω ποιεῖ, ὡς γίνεται τὰ κατὰ τὰς τέχνας, εἰ μή τις εἴπῃ τὸ νόημα παράδειγμα τῶν γινομένων κατ' αὐτό. ἀλλ' αὐτὸ τὸ γιγνόμενον ἐν τῇ ὕλῃ εἶδος παράδειγμα λέγει τῷ τὴν φύσιν τούτου ἐφίεσθαι. πᾶν γὰρ τὸ ἕνεκά τινος ποιοῦν ἃ ποιεῖ, ἐφέσει τῇ ἐκείνου ποιεῖ· διὸ καὶ παύεται τοῦ ποιεῖν ἔτι ὡς πεποιηκὸς τοῦτο οὗ χάριν

1. καὶ τὰ] κατὰ *M.* ‖ 2. αἳ] ἃ *M.* ‖ 6. εἴη] ᾖ *M.* ‖ 12. inter v. καλὸν et ἑκάστου vv. τῆς γνώσ. μ. τ. εἶδ. — αἰτία iterat *M.* ‖ ἐκείνου *M.* ‖ 13. ὅτε *A.* ‖ 15. ἀρχῇ *M.* ‖ 17. μὴ] μὲν *M.* ‖ 19. ἀρχιτεκτονία *M.* ‖ 21. ὄντος] οὕτως *M.* ‖ 22. καρδίας *M.* ‖ 29. οὗτος *M.* ‖ 34. πρακτικοῖς *M.*

2. καὶ om *M.* ‖ 4. τῇ] τῷ *A.* ‖ λεγόμενα *A.* ‖ μὲν ἄλλα *M.* ‖ 8. μὲν] δὲ *A.* ‖ 11. καὶ post ἡ om *M.* ‖ 14. τὰ εἰρημένα] σημαινόμενα *M.* ‖ ταὐτὰ ἐπὶ τοῖς *M.* ‖ 25. τὸ γινόμενον *M.* ‖ αἴτιον *A.* ‖ 28. αἰτίας *M.* ‖ 29. καὶ χαλκὸς ἀνδριάντος om *A.* ‖ 35. εἰπὼν *A.* ‖ 38. οὕτω ποιεῖ bis leguntur *A.* ‖ τὰ om *M.* ‖ 41. ἕνεκά *M.* ‖ 42. τῇ] ὁ *A.*

ὅτι μὴ τούτοις προσχρώμεναι αἱ ἐπιστῆμαι δεικνύουσί τι τῶν ὑφ' αὐτάς, ἀλλὰ ἀρχῇ καὶ αἰτίᾳ καὶ φύσει καὶ στοιχείῳ καὶ αὐτοῖς τούτοις, ὧν πάντων κοινῶν ὄντων πεποίηται τὴν διαίρεσιν ἐν αὐτῷ ὡς ὄντων οἰκείων τῆσδε τῆς πραγματείας. ὅθεν καὶ μᾶλλον δῆλον γίνεται τὸ βιβλίον ὅτι ἐκ ταύτης ἐστὶ τῆς συντάξεως· εἰ γάρ τινα τούτοις παρακείμενα παραλέλειπται, διαιροῖτο ἂν κἀκεῖνα κατὰ τὴν τῶν οἷς ἐστὶ παραπλήσια διαίρεσιν. ποιούμενος δὲ τὴν διαίρεσιν ἐν τούτῳ τῷ βιβλίῳ τούτων ὅσα κοινῶς τῷ ὄντι ὑπάρχοντά τε καὶ παρακολουθοῦντα δοκεῖ πλεοναχῶς λέγεσθαι, πρῶτον περὶ ἀρχῆς λέγει. ὅτι δὲ ἡ ἀρχὴ οὐ μιᾷ τινὶ φύσει τοῦ ὄντος παρακολουθεῖ, γνώριμον· πᾶσαι γὰρ αἱ ἐπιστῆμαι ἀρχαῖς τισὶ χρῶνται. τὴν ἀρχὴν δὲ ἑπταχῶς ἀποδίδωσι λέγεσθαι. καθ' ἕνα μὲν τρόπον ἀρχή, ὅθεν ἄν τις τοῦ πράγματος, οὗ ἀρχὴ λέγεται, κινηθείη πρῶτον· ἀρχὴ γὰρ μήκους καὶ ὁδοῦ, ὅθεν ἀρξάμενοι ἴμεν αὐτήν. οὕτως ἀρχὴ καὶ τὰ ἐναντία πέρατα τοῦ αὐτοῦ τοῖς ἢ ἐντεῦθεν ἢ ἐντεῦθεν ἀρχομένοις· διὸ ἡ τοιαύτη ἀρχὴ καὶ πέρας ποτὲ γίνεται. ἀρχὴ λέγεται καὶ ὅθεν ἀρξαμένων κάλλιστα ἂν τὸ προκείμενον γένοιτο, ὡς ἐπὶ τῶν μαθήσεων· ἐν ταύταις γὰρ πολλάκις οὐκ ἀπὸ τῶν πρώτων ἀρχόμεθα, ἀλλ' ἀφ' ὧν ῥᾷστα ἂν ὁ μανθάνων παρακολουθήσῃ, ὡς ἀρίστως ἐν ταῖς Κατηγορίαις (c. 8) ἐν τῷ περὶ ποιότητος λόγῳ πεποίηκεν· εἰπὼν γὰρ τὴν ποιότητα εἶναι καθ' ἣν ποιοί τινες λεγόμεθα, διὰ τοῦ ποιοῦ, ὑστέρου μὲν ὄντος τῆς ποιότητος γνωριμωτέρου δέ, τὴν διδασκαλίαν τῆς ποιότητος πεποίηκε. καὶ ἡ φυσικὴ ἀπὸ τῶν αἰσθητῶν, ὅτι ἡμῖν γνωριμώτερα, ἀλλ' οὐκ ἀπὸ τῶν πρώτων ἀρχῶν, καὶ οἱ τεχνῖται δὲ ἀρχὴν ποιοῦνται ἐν τοῖς γινομένοις ὑπ' αὐτῶν, ὅθεν ἀρξαμένοις αὐτοῖς ῥᾷστα ἂν τὸ γινόμενον γίγνοιτο. ἀρχὴ λέγεται καὶ ὅθεν ἄρχεταί τι γίγνεσθαι ἐνυπάρχοντος τῷ γιγνομένῳ. οὕτως ἡ καρδία ἀρχή· ἀπὸ ταύτης γὰρ ἡ τοῦ ζῴου σύστασις, καὶ ὁ θεμέλιος τῆς
1013a 4. οἰκίας, καὶ ἡ τρόπις δὲ τῆς νεὼς οὕτως ἂν εἴη ἀρχή. τὸ δὲ "ἐνυπάρχοντος" προσκείμενον χωρίζει τὴν τοιαύτην ἀρχὴν τῆς ποιητικῆς τῆς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, περὶ ἧς ἑξῆς λέγει. διαφέροι δ' ἂν αὕτη ἡ ἀρχὴ τῆς πρὸ αὐτῆς, ὅτι ἐκείνη μὲν τοῦ ῥᾷον γενέσθαι ἦν ἀρχή, αὕτη δὲ τοῦ ὅλως γενέσθαι· διὸ καὶ αὕτη μὲν ὡρισμένη, ἐκείνη δὲ ἄλλῳ ἄλλη καὶ τῷ αὐτῷ ἄλλοτε ἄλλη. εἴη δ' ἂν καὶ ἡ ὕλη οὕτως ἀρχή. ἀρχὴ λέγεται καὶ ἀφ' οὗ πρώτου γίνεταί τι μὴ ἐνυπάρχοντος, τουτέστιν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· τοιαύτη δέ ἐστιν ἡ
1013a 7. ποιητικὴ ἀρχή, ὡς καὶ αὐτὸς ἐδήλωσεν ἐπενεγκὼν "καὶ ὅθεν πρῶτον ἡ κίνησις πέφυκεν ἄρχεσθαι καὶ ἡ μεταβολή." ἢ δύο ἐστὶ τὰ εἰρημένα καὶ οὐχ ἓν διὰ τῶν λέξεων, καὶ "ὅθεν γίνεται πρῶτον μὴ ἐνυπάρχοντος" καὶ "ὅθεν πρῶτον ἡ κίνησις πέφυκε καὶ ἡ μεταβολή." καὶ εἴη ἂν διὰ μὲν τῆς πρώτης ἀρχὴν λέγων τὴν τοῦ τέλους καὶ σκοποῦ γνῶσιν (τοῦτο γὰρ ἐν τοῖς πρακτοῖς ἀρχὴ πρώτη τοῦ γενέσθαι τὸ πρακτικόν· μνημονεύει γὰρ αὐτοῦ ὡς ἀρχῆς καὶ ὀλίγον προελθών), διὰ δὲ τῆς δευτέρας λέγοι ἂν περὶ τοῦ ποιητικοῦ. καὶ εἴη ἂν οὕτως ἡ διαίρεσις αὐτῷ τῆς ἀρχῆς εἰς ὀκτὼ γεγονυῖα. ἀρχὴ λέγεται κἀκεῖνο οὗ κατὰ προαίρεσιν μεταβάλλει καὶ γίγνεται τὰ γινόμενα, ὡς οἱ ἄρχοντες, ὧν κατὰ τὴν προαίρεσιν γίγνεται τὰ ἐν τοῖς ὑπ' αὐτούς. οὕτως ἀρχὴ λέγεται καὶ ἡ τέχνη, καὶ μάλιστα ἡ ἀρχιτεκτονική, ἐφ' ἣν ἡ ἀνα- 1013a 13.
φορὰ τῶν ὑπ' αὐτὴν τεχνῶν καὶ τῶν γιγνομένων ἔργων ὑπ' αὐτῶν. οὐχ ὁμοίως δὲ αὕτη ἡ ἀρχὴ τῇ ποιητικῇ, ὅτι αὕτη μὲν ἀρχὴ ὡς ἐπιτακτικὴ καὶ τοῦ εἴδους γνωστική, ἐκείνη δὲ ὅθεν ἤρξατο τὸ πρᾶγμα. καὶ ἀπὸ ποίας κινήσεως ἀρχὴ λέγεται, καὶ ὅθεν πρῶτον γνωστόν ἐστι τὸ πρᾶγμα, ὡς τῶν ἀποδείξεων ἀρχαὶ λέγονται αἱ ὑποθέσεις, ὑποθέσεις λέγων τὰς καθ' ἑκάστην ἐπιστήμην τε καὶ τέχνην ἀρχάς, αἳ διότι μὴ δι' ἀποδείξεως λαμβάνονται, ἀλλ' ὡς ἐναργεῖς ὑποθέσεις αὐτὰς λέγουσιν, αἱ τοιαῦται ἀρχαὶ καὶ τῶν ἀμέσων τῶν καθ' ἑκάστην ἐπιστήμην εἶεν ἀρχαί· ὡς γὰρ τὸ ἀγαθὸν ὠφελεῖ καὶ τὸ κακὸν βλάπτει, καὶ τὸ ἀγαθὸν αἱρετὸν καὶ τὸ κακὸν φευκτόν, ἄμεσοι μὲν κατὰ τὴν ἠθικὴν πραγματείαν καὶ ἐπιστήμην, ἀρχὴ δὲ τούτων ἡ περὶ τέλους τε καὶ εὐδαιμονίας γνῶσις, καὶ αἱ προτάσεις δὲ ἄμεσοι οὕτως ἀρχαί. εἰπὼν δὲ ποσαχῶς ἡ ἀρχή, ἰσαχῶς, φησί, καὶ τὰ αἴτια λέγεται. καὶ διὰ τί, προσέθηκεν εἰπὼν "πάντα γὰρ τὰ αἴτια ἀρχαί." ἐφ' 1013a 16.
οἷς προσέθηκε τὸ κοινὸν μὲν πάσαις ταῖς ἀρχαῖς εἶναι τὸ πρώτας εἶναι τούτων ὧν εἰσὶν ἀρχαί, ἢ οὕτως ὡς ὅθεν ἔστιν ἢ γίγνεται ἢ γιγνώσκεται, ὡς μὲν ὅθεν ἔστιν, ὡς ὁ θεμέλιος τῆς οἰκίας καὶ ἡ τρόπις τοῦ πλοίου καὶ ἡ ὕλη ἑκάστου, γίγνεται δὲ ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, γιγνώσκεται δὲ ὡς τῶν ἀποδείξεων αἱ ὑποθέσεις (*). εἰπὼν δὲ κοινὸν πάσαις ταῖς ἀρχαῖς εἶναι τὸ προϋπάρχειν τούτων ὧν εἰσὶν ἀρχαί, διαφοράν φησιν αὐτῶν εἶναι τὸ τὰς μὲν ἐνυπάρχειν τούτοις ὧν εἰσὶν ἀρχαί, τὰς δὲ ἐκτὸς εἶναι. ἡ μὲν οὖν ὕλη καὶ τὸ στοιχεῖον (στοιχεῖον δὲ καλεῖται ἡ προσεχὴς ὕλη ἑκάστου, ἥτις ἤδη ἐνεργείᾳ ἐστὶ τόδε τι σῶμα) ἀρχαὶ ὡς ἐνυπαρχόντων· ἐκ τούτων γὰρ πρώτων γίγνεται ἐνυπαρχόντων αὐτοῖς. τὰ δὲ ἐκτός· καὶ προστίθησιν τίνα ἐστὶ ταῦτα· διὸ ἥ τε φύσις ἀρχὴ καὶ τὸ στοιχεῖον καὶ ἡ διάνοια καὶ ἡ προαίρεσις. εἰπὼν τῶν ἀρχῶν τὰς μὲν ἐνυπάρχειν τούτοις ὧν εἰσὶν ἀρχαί, τὰς δὲ ἐκτὸς εἶναι, διὰ τοῦτο, φησί, τὸ τὰς μὲν οὕτως ἔχειν τὰς δὲ οὐχ οὕτως, ἥ τε φύσις ἐστὶν ἀρχὴ καὶ τὸ στοιχεῖον· ἀρχαὶ γὰρ ταῦτα ὡς ἐνυπάρχοντα· ἐκ τούτων γὰρ πρώτων γίγνεται ἐνυπαρχόντων. φύσιν δὲ νῦν τὴν ὕλην ἂν λέγοι, στοιχεῖον δὲ τὴν προσεχῆ ὕλην, ἥτις ἤδη ἐνεργείᾳ τί ἐστι σῶμα. τὰ δὲ ἑξῆς, ἡ διάνοια καὶ

1. τι om *AM*. ‖ 3. περιπεποίηται *A*. ‖ πεποίηται ἰδιαίρεσιν *M*. ‖ 6. κἀκεῖνο *V*. ‖ 7. παραπλήσιον *A*. ‖ 8. τούτων om *M*. ‖ 12. λέγεται *M*. ‖ 14. καὶ om *M*. ‖ 16. ἀρξαμένην *M*. ‖ 17. γίνοιτο *M*. ‖ 19. *quo in loco qualitatem esse dixit, per quam quales esse dicimus, de qualitate docens per quale, quod quidem posterius est qualitate, notius tamen* Sepulv. ‖ 20. εἶπε *AM*. ‖ 22. δὲ τῆς ποιότητος τὴν διδασκαλίαν *M*. ‖ 23. πεποίηκε] ποιησάμενος *AM*. ‖ 26. ῥᾷσται *M*. ‖ 27. γίγνεται ἐνυπάρχοντα *M*. ‖ 35. μὴ et 36. δὲ om *M*. ‖ 39. λέξεων, τοῦ ὅθεν *A*. ‖ μὴ] μὲν *M*. ‖ 40. ἡ post καὶ om *M*.

2. πρακτικοῖς *M*. ‖ πρακτὸν *A*. ‖ 5. αὐτῶν *AM*. ‖ 8. ἣν] ὧν *M*. ‖ 10. ἡ om *A*. ‖ 13. ὑποθέσεις λέγων om *M*. ‖ 15. ἄλλως *M*. ‖ 17. ὡς] αἱ *A*, ἡ *M*. ‖ 31. ἥτις] ὅτι *M*. ‖ 40. ἑξῆς καὶ ἡ *M*.

ἀδύνατον, ἔδειξε δι' οὗ παρέθετο. ὁ γὰρ λέγων αὐτὸς τήνδε τὴν δόξαν καὶ πρότερόν γε οὐκ ἦν καὶ ὕστερον οὐκ ἔσται, ὥστε οὔτε τὰ πάντα ἠρεμεῖ οὔτε ταὐτὰ ἀεὶ μένει ἀληθῆ καὶ ψευδῆ. τὸ γὰρ ὄντος αὐτοῦ, ὅτε ἔστιν, εἶναι αὐτὸν λέγειν ἀληθὲς ὂν οὐκ ἔστιν ἀληθὲς λεγόμενον, ὅτε μὴ ἔστι. πάλιν δὲ τῷ πάντα κινεῖσθαί τε καὶ ῥεῖν ἕπεται τὸ μηδὲν ὡρίσθαι μηδὲ ἀληθὲς εἶναι. τοῦτο δὲ ὅτι μὴ ἀληθές, τὸ μηδὲν εἶναι ἀληθές, δέδεικται πρότερον. id.

1012 b 23 "ἀνάγκη — μεταβάλλειν." καὶ τοῦτο δεικτικὸν παρέθετο τοῦ μὴ πάντα κινεῖσθαι. ἔχει δὲ ἡ λέξις ἐγκαταλληλότερον· εἰ γὰρ ἔστι κίνησις, ἀνάγκη τι ὂν μεταβάλλειν, εἴγε ἡ κίνησις ἔκ τινός ἐστιν εἴς τι μεταβολή, ἀδύνατον δὲ ἔκ τινος εἴς τι μεταβάλλειν μὴ ὄντος τινὸς τοῦ μεταβάλλοντος· τοῦτο δὴ τὸ ὂν μεταβάλλον τε καὶ κινούμενον, ὅτε κινεῖται, ἀνάγκη ἐν τῷ εἶναι μένειν τε καὶ κατὰ τοῦτο ἠρεμεῖν. εἰ γὰρ εἴη κατὰ τόπον Σωκράτης κινούμενος, δεῖ τὸν Σωκράτην μένειν, ὅτε κινεῖται Σωκράτης· οὕτω γὰρ ἔσται καὶ κατὰ τόπον κινούμενος Σωκράτης. καὶ καθόλου δὴ ἐπὶ πάσης κινήσεως, εἰ ἡ κίνησις μεταβολή ἐστιν ἔκ τινος εἴς τι, σωζομένου τοῦ κινουμένου κατὰ τὴν οὐσίαν, δεῖ εἶναί τι τὸ μεταβάλλον ἄλλο ὂν παρὰ τὰ καθ' ἃ ἡ μεταβολή, καὶ κατὰ τοῦτο ἑστάναι. εἰ ἄρα ἔστι μεταβολή, δεῖ τι καὶ ἑστάναι· καὶ γὰρ ἡ κατὰ γένεσιν καὶ φθορὰν μεταβολὴ ὑποκειμένου τινὸς καὶ σωζομένου καὶ μεταβάλλοντος εἰς ταῦτα γίνεται· τοιοῦτον γὰρ ἡ ὕλη. "ἀλλὰ μὴν οὐδὲ πάντα ἠρεμεῖ ἢ κινεῖταί ποτε, ἀεὶ δὲ οὐθέν." ὃ λέγει, τοιοῦτόν ἐστιν. ἀλλὰ μὴν οὔτε πάντα τὰ ὄντα ποτὲ μὲν ἠρεμεῖ ἢ κινεῖταί ποτε, οὐδὲν δὲ ἔστιν ὃ ἀεὶ κινεῖται, ἢ ἄλλο ὃ ἀεὶ ἠρεμεῖ. τοῦτο γὰρ εἶπε διὰ τοῦ "ἀεὶ δ' οὐθέν." τοῦτο δὲ διὰ πλειόνων ἔδειξεν οὕτως ἔχον ἐν τῷ τελευταίῳ τῆς Φυσικῆς Ἀκροάσεως. ὑπομιμνήσκει δὲ καὶ νῦν αὐτοῦ ὅτι ἔστι τι ἐν τοῖς οὖσιν ἀκίνητον καὶ ἄλλο ἀεικίνητον, εἰπὼν ἔστι γὰρ ὃ ἀεὶ κινεῖ τὰ κινούμενα· τὸ γὰρ ὑπὸ τοῦ ἀεὶ κινοῦντος κινούμενον ἐδείχθη συνεχῶς τε καὶ ἀεὶ προσεχῶς κινοῦν τῇ οἰκείᾳ κινήσει ἀϊδίῳ οὔσῃ τὰ κινούμενα· τοῦτο δὲ ἦν ὁ αἰθήρ, ὃ καὶ κυκλοφορικὸν καλεῖ σῶμα· διὰ γὰρ τούτου καὶ τὰ ἄλλα κινεῖ τὸ ἀεὶ κινοῦν. ἀλλὰ καὶ ὅτι τὸ πρῶτον κινοῦν ἀκίνητον ἀνάγκη εἶναι καὶ ἠρεμοῦν, δέδεικται καὶ αὐτό. id.

ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.

Ὅτι μὲν Ἀριστοτέλους ἐστὶ τὸ ἐπιγραφόμενον Δ τῶν Μετὰ τὰ Φυσικὰ βιβλίων, ἐν ᾧ διαίρεσιν τῶν πολλαχῶς λεγομένων ποιεῖται, καὶ ἀπὸ τῆς λέξεως καὶ ἀπὸ τῶν ἐν αὐτῷ λεγομένων γνώριμον· ὅτι δὲ καὶ ταύτης τῆς πραγματείας, δῆλον ἐξ ὧν προείρηκε. δέδειχε μὲν γὰρ ὅτι τοῦ πρώτου φιλοσόφου ἡ περὶ τοῦ ὄντος καθόλου πραγματεία καὶ τῶν τούτῳ κοινῶς ὑπαρχόντων, κοινὰ δὲ τοῦ ὄντος εἰσίν, οἷς ἐπιστῆμαι πᾶσαι χρῶνται· περὶ τούτων γὰρ ἡ θεωρία τοῦ πρώτου φιλοσόφου· οὐδεμιᾶς γὰρ ἐκείνων ἴδιος ἡ περὶ αὐτῶν πραγματεία· οὐδενὶ γάρ τινι τῶν ὄντων, ᾗ τόδε τί ἐστιν, ὑπάρχει τι αὐτῶν, ἀλλὰ τῷ ὄντι ᾗ ὄν, περὶ ὃ ἡ τοῦ πρώτου φιλοσόφου πραγματεία. τὸ μὲν γὰρ ἀναγκαῖον τῆς περὶ αὐτῶν διαλήψεως ἡ χρῆσις δείκνυσι· πᾶσαι γὰρ αἱ ἐπιστῆμαι τούτοις χρώμεναι τὰ προκείμενα αὐτῶν δεικνύουσιν· ὅτι δὲ μηδεμιᾶς ἴδιός ἐστι τῶν καθ' ἕκαστα ἐπιστημῶν, ἡ κοινὴ χρῆσις αὐτῶν παρίστησι. πρὸς δὲ τούτοις κεῖται, περὶ ὧν ὁ διαλεκτικὸς κατὰ τὸ ἔνδοξον ποιεῖται τοὺς λόγους, περὶ τούτων τὴν πρώτην φιλοσοφίαν ἐπιστημονικῶς λέγειν· καὶ γὰρ τῷ διαλεκτικῷ περὶ τὰ κοινὰ πᾶσιν ἢ τοῖς πλείστοις ἡ πραγματεία, καὶ περὶ τῶν πολλαχῶς δὲ λεγομένων ὁ διαλεκτικὸς διαλαμβάνει· ἔσται τοίνυν καὶ διαλεκτική. . . ὅτι δὲ καὶ ἡ τάξις τοῦ βιβλίου αὕτη, δῆλον ἐκ τοῦ ποιεῖσθαι μὲν αὐτὸν τὴν διαίρεσιν τῶν πολλαχῶς λεγομένων τούτων, οἷς αἱ ἐπιστῆμαι χρῶνται, ἃ κοινῶς τῷ ὄντι παρακολουθεῖ· περὶ ὧν εἶπε καὶ ἐν τῷ δευτέρῳ δεῖν τὸν φιλόσοφον πραγματεύεσθαι διελόμενον ποσαχῶς ἕκαστον αὐτῶν λέγεται. ἀκόλουθον δέ ἐστι μετὰ τὸ δειχθῆναι περὶ τίνων ἐστὶ τῆς πρώτης φιλοσοφίας ἡ θεωρία, ὃ ἐν τῷ τρίτῳ δέδεικται, ἐφεξῆς περὶ τούτων πρώτων θεωρεῖν οἷς ἀναγκαῖον χρῆσθαι πρὸς τὴν τῶν ἄλλων τῶν μελλόντων δείκνυσθαι θεωρίαν τε καὶ δεῖξιν. διὸ καὶ πρῶτον περὶ ἀξιώματος εἶπε τοῦ ἐπὶ παντὸς δεῖν τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν, ὄντος πρὸς τὰς δείξεις χρησίμου· μεθ' ἃ ἐν τούτῳ τὴν διαίρεσιν ποιεῖται τῶν οὕτως πολλαχῶς λεγομένων. ὅτι δὲ μὴ ἀτελὲς τὸ βιβλίον, ὡς οἴονταί τινες τεκμαιρόμενοι τῷ μὴ πάντων αὐτὸν τῶν πολλαχῶς λεγομένων τὴν διαίρεσιν ποιεῖσθαι, δῆλον ἐκ τοῦ μὴ ἁπλῶς ἐν αὐτῷ προκεῖσθαι τοῦτο ποιεῖν, ἀλλὰ τούτων μόνων οἷς ὡς κοινοῖς αἱ ἐπιστῆμαι πᾶσαι χρώμεναι τὰ προκείμενα αὐταῖς δεικνύουσιν· οὔτε γὰρ περὶ τῶν ὁμωνύμων λέγειν ἡμῖν πρόκειται, οὔτε περὶ πάντων τῶν ἀφ' ἑνός τε καὶ πρὸς ἕν, ἀλλὰ περὶ τῶν πολλαχῶς ἐχόντων, διότι τῷ ὄντι καθὸ ὄν ἐστιν ὑπάρχει, καὶ αὐτῷ λεγομένῳ πολλαχῶς. διὸ οὐχὶ μαθηματικὸν ἤ τι τῶν τοιούτων λαμβάνει, ἃ καὶ αὐτὰ πολλαχῶς λέγεται,

6. μὴ om *M.* ‖ 8. *quamquam dictio parum apposite sese habet* Sepulv. ‖ 11. εἴς τε μία μεταβάλλειν *M.*

6. τὰ ὄντα ποτὲ μὲν om *A.* ‖ 7. κινεῖται, καὶ ἄλλο *M.* ‖ ὃ] ἢ *A.* ‖ 8. δ' om *M.* ‖ 9. inter v. οὕτως et ἔχον iterat v. ποτὲ μὲν ἠρ. — ὃ ἀεὶ ἠρεμεῖ, linea tamen subducta, *M.* ‖ ἔχων *M.* ‖ 10. αὐτοῦ] τοῦ *M.* ‖ τι] τὸ *M.* ‖ 11. ἄλλο ἀκίνητον *M.* ‖ 12. τε καὶ ἀεὶ προσεχῶς om *V.* ‖ 13. ἀϊδίᾳ *V.* ‖ 15. πρῶτον ἀεὶ κινοῦν *M.*

25. ἡ om *M.* ‖ πραγμάτων *M* in mg. ‖ 29. αὐτῷ *A1*, αὐτοῖς *A2.* ‖ δείκνυσιν *A.* ‖ 31. ὁ] ἡ *M.* ‖ 32. κατὰ] καὶ *AMV.* ‖ τοὺς om *M.* ‖ 34. *itaque dialectica similis est primae philosophiae, propterea quod de eisdem rebus edisserit, probabiliter tamen, non scienter* Sepulv.

19. αἷς *V.* ‖ ἃ καὶ κοινῶς *V.* ‖ 20. εἶπε om *MV.* ‖ 21. ἀκόλουθα *A.* ‖ 22. ἡ om *M.* ‖ 32. προχρώμεναι *M.* ‖ γὰρ ἡ περὶ *MV.* ‖ 33. τῶν om *M.* ‖ 35. μαθητικὸν *MV.*

δος εἶναι λέγει· εἰ δὲ τοῦτο, ἀδύνατον τὴν ἀντίφασιν ἅμα εἶναι ἀληθῆ. id.

1012b 11. "ἔτι — ἀναγκαῖον." ἔδειξε πρὸ ὀλίγου ὅτι μηδέν ἐστιν ἀντιφάσεως μεταξύ, ἀλλὰ κατὰ παντὸς ἡ κατάφασις ἢ ἡ ἀπόφασις. εἰ δὲ τοῦτο ὑγιὲς καὶ οὐδὲν ἄλλο παρὰ τὴν ἀντίφασίν ἐστιν, ἀδύνατον ἀμφότερα ψευδῆ εἶναι· ἠδύνατο γὰρ ψευδῆ μόνως οὕτως ἀμφότερα γίνεσθαι, εἰ ἦν τι μεταξὺ αὐτῶν. μηδενὸς δὲ ὄντος μεταξύ, ἀνάγκη θάτερον μὲν αὐτῶν ἐπὶ παντὸς ἀληθὲς εἶναι, θάτερον δὲ ψευδὲς μόνον, ἀλλ' οὐκ ἄμφω ἀληθῆ ἢ ἄμφω ψευδῆ. πάλιν δὲ τὸ ἀδύνατον ἄμφω ψευδῆ εἶναι εἶπεν, ἐπεὶ προείρηκεν μᾶλλον ἐνδέχεσθαι ἐκ τῶν εἰρημένων πάντα ψευδῆ εἶναι. τοῖς τε γὰρ τὴν φύσιν αἰτιωμένοις τοῦτο λέγειν μᾶλλον ἕπεται, ἀλλὰ καὶ Ἀναξαγόρᾳ τῷ πάντα ἐν πᾶσι μεμῖχθαι λέγοντι καὶ μηδὲν διὰ τοῦτο τῶν ὄντων εἰλικρινὲς εἶναι ὃ λέγεται εἶναι. id.

1012b 13. "συμβέβηκε — θρυλλούμενον." θρυλλούμενον μὲν εἶπεν, ἐπεὶ καὶ ἄλλοι τούτῳ πρὸς τοὺς ταῦτα λέγοντας ἐχρήσαντο ὡς ὄντι ἐναργεῖ, φανερώτατα δὲ Πλάτων κεκίνηκεν αὐτὸ ἐν τῷ Θεαιτήτῳ· πῶς δὲ αὐτοὶ αὐτοὺς ἀναιροῦσιν, ἔδειξεν. ὁ μὲν γὰρ πάντα ἀληθῆ λέγων ἀναιρεῖ αὑτὸν τῷ καὶ τὸν ἐναντία ἑαυτῷ λέγοντα ὅτι μηδὲν ἀληθές ἐστιν ἢ μὴ πάντα ἀληθεύειν λέγειν, ὅ ἐστιν ἀναιρετικὸν τῆς δόξης τῆς πάντα ἀληθεύειν λεγούσης· ὥστε κατὰ τὸν τιθέμενον πάντα εἶναι ἀληθῆ, ἀληθὲς καὶ τὸ μὴ πάντα εἶναι ἀληθῆ. ὁ δὲ πάντα ψευδῆ εἶναι λέγων λόγος ἑαυτὸν ἀναιρεῖ, ὅτι εἰ πάντα εἴη ψευδῆ, καὶ αὐτὸς οὗτος ἂν εἴη ψευδὴς ὁ πάντα ψευδῆ λέγων, ἀληθὴς ἄρα ὁ ἀναιρετικὸς αὐτοῦ, ὁ μὴ πάντα ψευδῆ λέγων. id.

1012b 15. "ἐὰν — μόνος." εἰ φυλασσόμενοι, φησί, τὸ ἑπόμενον αὐτοῖς ἄτοπον, τὸ δι' ὧν τίθενται ἀναιρεῖν τὰ ὑπ' αὐτῶν τιθέμενα, ὑπεξαιροῦνται καὶ λέγουσιν ὁ μὲν πάντα ἀληθῆ λέγων χωρὶς τοῦ λέγοντος ὅτι μὴ πάντα ἀληθῆ, ὅς ἐστιν ἀναιρετικὸς τοῦ πάντα ἀληθῆ, ὁ δὲ λέγων πάντα ψευδῆ χωρὶς τοῦ ὑπ' αὐτοῦ (τοῦτο γὰρ εἶναι μόνον ἀληθές), ἀκολουθήσει αὐτῶν ἑκατέρῳ ἂν τῷ ἕνα ὑπεξαιρεῖσθαι τὸ ἀπείρους τοιούτους συγχωρεῖν εἶναι· οὐ γὰρ μόνος ἔσται ψευδὴς ὁ λέγων μὴ πάντα εἶναι ἀληθῆ, ὡς βούλεται ὁ πάντα ἀληθῆ λέγων, ἀλλὰ καὶ ὁ λέγων ἀληθὲς εἶναι τὸ μὴ πάντα ἀληθῆ εἶναι, ἄλλος ὢν τοῦ λέγοντος μὴ πάντα εἶναι ἀληθῆ. ἀλλὰ καὶ ὁ λέγων ἀληθὲς εἶναι τὸ ἀληθῆ εἶναι τὸν λέγοντα λόγον μὴ πάντα εἶναι ἀληθῆ, ἄλλος ὢν ἐκείνων, καὶ αὐτὸς ἔσται ψευδής. ἀλλὰ καὶ ὁ τοῦτον λέγων τὸν λόγον, ἀληθές ἐστι τὸ λέγειν τὸν λόγον τὸν λέγοντα ἀληθὲς εἶναι τὸ μὴ πάντα εἶναι ἀληθῆ ἀληθῆ εἶναι. καὶ οὕτως ἐπ' ἄπειρόν τις αὐτῶν τῇ τοῦ ἀληθοῦς προσθήκῃ δείξει κατὰ τὸν ἕνα μόνον φάσκοντα ψευδῆ εἶναι λόγον ἀπείρους τοὺς ψευδεῖς λεγομένους. καὶ εἴη ἂν ἡ σύνθεσις ἡ ἐπ' ἄπειρον τῶν ἀληθῶν τοιαύτη· ψευδές ἐστι τὸ οὐ πᾶς λόγος ἀληθής ἐστιν τῷ ἀληθὲς εἶναι τὸ πάντα εἶναι ἀληθῆ· ψεῦδός ἐστι τὸ ἀληθές ἐστιν ἀληθὲς εἶναι τὸ πάντα εἶναι ἀληθῆ· ψεῦδός ἐστι τὸ ἀληθές ἐστι τὸ λέγειν ἀληθεύειν τὸν λέγοντα ἀληθὲς εἶναι τὸ λέγειν μὴ πάντα εἶναι ἀληθῆ. καὶ τοῦτο ἐπ' ἄπειρον. ὁμοίως δὲ καὶ ἀληθεῖς ἄπειροι κατὰ τὸν λέγοντα πάντων ψευδῶν ὄντων μόνον ἀληθῆ εἶναι τὸν λέγοντα πάντας ψευδεῖς· οὐ γὰρ μόνον ἀληθὴς ἔσται κατ' αὐτοὺς ὁ λέγων πάντα ψευδῆ εἶναι, ἀλλὰ καὶ ὁ λέγων, ἀληθές ἐστι τὸ πάντας ψευδεῖς εἶναι· εἰ γὰρ μὴ οὗτος, οὐδ' ὁ πρὸ αὐτοῦ. ἀλλὰ καὶ ὁ λέγων ἀληθής ἐστι λόγος ὁ λέγων ἀληθὲς εἶναι τὸ πάντα ψευδῆ εἶναι. καὶ τοῦτο ἐπ' ἄπειρον. βραχέως δὲ τοῦτο ἐδήλωσεν εἰπὼν "ὁ γὰρ λέγων τὸν ἀληθῆ λόγον ἀληθῆ ἀληθής ἐστιν." ὁμοίως δηλονότι καὶ ψευδὴς ὁ λέγων ἀληθῆ τὸν ψευδῆ λόγον, ἄλλως τε καὶ πλασματῶδες τὸ αἰτεῖσθαι ταῦτα καὶ ὑποτίθεσθαι. id.

"φανερὸν — κινεῖσθαι." αὕτη ἡ λέξις οὐ φέρεται ἔν τισιν ὡς 1012b 22.
οὖσα οἰκεία τῆς φυσικῆς· οὐ μὴν ἀλλ' ἐπεὶ συγχρώμενος τοῖς προδεδειγμένοις περὶ αὐτῶν λέγειν δοκεῖ, οὐκ ἂν εἴη παντάπασιν ἀλλοτρία τῶν προειρημένων. κειμένου γὰρ τοῦ μήτε ἀληθῆ πάντα εἶναι μήτε ψευδῆ, ἀκολουθοίη ἂν τὸ μήτε τοὺς ἠρεμεῖν πάντα λέγοντας ἀληθεύειν μήτε τοὺς κινεῖσθαι· ἕπεται γὰρ τοῖς μὲν ἠρεμεῖν πάντα λέγουσι τὸ μηδὲν μεταπίπτειν, ἀλλ' ἀεὶ τὰ αὐτὰ ἀληθῆ τε καὶ ψευδῆ μένειν, ὁρῶμεν δὲ ὅτι μὴ ἀεὶ ἐπὶ τοῦ αὐτοῦ ἡ κατάφασις μὲν ἀληθὴς ἡ ἀπόφασις δὲ ψευδής, ἢ ἔμπαλιν, ἀλλὰ μεταπίπτει, καὶ ἐφ' οὗ πρότερον ἦν ἡ κατάφασις ἀληθής, ἡ ἀπόφασις πάλιν ἀληθὴς γίνεται, εἴγε ἀληθές ἐστι τό τε ὂν εἶναι λέγειν καὶ τὸ μὴ ὂν μὴ εἶναι. αὐτὸς γοῦν ὁ λέγων πάντα ἠρεμεῖν πρότερόν τε οὐκ ἦν καὶ ὕστερον οὐκ ἔσται· ὃ ἀδύνατον ἄνευ μεταβολῆς γίνεσθαι. τοῖς δ' αὖ πάλιν πάντα συνεχῶς κινεῖσθαι λέγουσι τὸ μηδὲν ἀληθὲς εἶναι· οὐδὲν γὰρ ὑπομένει τὴν τοῦ τόδε τι εἶναι κατηγορίαν, ἀλλὰ μεταπίπτει, ἀληθὲς δὲ ἦν τὸ τὸ ὂν εἶναι λέγειν. πάντα οὖν ψευδῆ κατ' αὐτοὺς ἔσται· τοῦτο γὰρ καὶ ἐν τοῖς πρὸ ὀλίγου εἰρημένοις εἶπεν ἕπεσθαι τοῖς πάντα συνεχῶς ῥεῖν τε καὶ κινεῖσθαι λέγουσιν. ἀλλὰ δέδεικται ὅτι μὴ οἷόν τε πάντα ψευδῆ εἶναι. λέγοι δ' ἂν μηδέτερον τῶν εἰρημένων ἀληθὲς εἶναι, μήτε τὸ πάντα ἠρεμεῖν μήτε τὸ πάντα κινεῖσθαι, ὅτι καὶ τούτων ἑκάτερον μοναχῶς λέγεται κατὰ πάντων. εἶπε δὲ τοῦτο ἀδύνατον εἶναι· ἕπεται γὰρ καὶ τῷ μὲν πάντα ἠρεμεῖν τὸ ἀεὶ τὰ αὐτὰ ἀληθῆ τε καὶ ψευδῆ μένειν καὶ μὴ μεταπίπτειν εἰς ἄλληλα, ὃ ὅτι

4. ἡ post ἢ om *M.* ‖ 5. ἐστιν] καὶ *M.* ‖ 12. φύσιν] οὐσίαν *M.* ‖ 15. μὲν] δὲ *M.* ‖ 16. τούτῳ] τοῦτο *A.* ‖ λέγοντας ταῦτα *M.* ‖ ἐχρήσατο *A.* ‖ 18. αὐτοὺς] αὐτοῖς *M.* ‖ 21. τὸν] ταὐτὸν *M.* ‖ 23. εἴη] ἢ *M.* ‖ 27. ὑφ' αὐτῶν corr. 2 m. *A.* ‖ 29. ὡς *M.* ‖ 30. ὑφ' αὑτοῦ corr. 2 m. *A.* ‖ τοῦτον *A.* ‖ ἀληθῆ *A.* ‖ 34. τὸ — 35. ἀληθὲς εἶναι om *M.*

1. τῇ] τὸ *M.* ‖ 3. *quoniam vera est quae verum esse ait omnia esse vera, et haec, verum est, verum esse dictu non omnia esse vera; et haec, verum est, verum esse dictu non omnia esse vera. item haec est falsa, verum esse dictu, veracem esse qui ait verum esse dictu non omnia esse vera, et hoc in infinitum* Sepulv. ‖ 5. ἀληθὲς — ἀληθῆ om *A.* ‖ 8. ἄπειρος *M.* ‖ μόνων *M.* ‖ 13. καὶ τὸ ἐπ' *M.* ‖ 19. ἀλλοτρίαν *M*, ἀλλότριον *V.* ‖ 21. ἀκολουθείη *M.* ‖ λέγοντας — 22. πάντα et 24. μὴ ἀεὶ om *M.* ‖ 24. τοῦ] τὰ *M.* ‖ 25. ἢ] καὶ *M.* ‖ 27. ἐστί ποτε ὂν *M.* ‖ μὴ post ὂν om *M.* ‖ 29. πάλιν om *A.* ‖ 31. ὑπομένειν *M.* ‖ 36. pro τὸ prius τὰ *M.* ‖ 37. καὶ om *A.* ‖ κατὰ] καὶ τὰ *M.*

των τῶν ὄντων λεγόμενα ὅτι ἀληθῆ ἢ ὅτι ψευδῆ. δύναται δὲ καὶ αὐτὸν Ἡράκλειτον λέγειν πάντα ἀληθῆ καὶ πάντα ψευδῆ εἰρηκέναι, καθόσον ἔλεγε τὰ ἐναντία συνυπάρχειν, ἐναντία δὲ καὶ τὸ πάντα ἀληθῆ καὶ τὸ πάντα ψευδῆ. προστίθησι δὲ τοῖς φθάνουσι δεδεῖχθαι, ὡς ἐναργῶς ἐνίων οὐσῶν ἀντιφάσεων τοιούτων περὶ ὧν οὐδεὶς ἂν ἐνδοιάσειεν, ὡς ἢ ἀμφοτέρων τῶν μορίων ἀληθῶν εἶναι δυναμένων ἢ ἀμφοτέρων ψευδῶν· ὃ δεικτικὸν ἂν εἴη τοῦ μὴ κατὰ πάντων μοναχῶς ἑκάτερον. εἶεν δ' ἂν τοιαῦται ἀντιφάσεις τὸ τὴν διάμετρον σύμμετρον εἶναι ἢ μὴ σύμμετρον, καὶ καθόλου ὧν θάτερον μὲν ἀναγκαῖον θάτερον δὲ ἀδύνατον, ὁποῖά ἐστι τὰ ἐν τῇ οὐσίᾳ τινῶν καὶ ἐν τῷ τί ἐστι κατηγορούμενα. εἰπὼν δὲ προδήλως μήτε ἀληθεῖς ἅμα ἐπ' ἐνίων ἀντιφάσεων δύνασθαι λέγεσθαι τήν τε κατάφασιν καὶ τὴν ἀπόφασιν μήθ' ἅμα ψευδεῖς, ἐπήνεγκε τὸ "καίτοι δόξειεν ἂν μᾶλλον ἐνδέχεσθαι ἐκ τῶν εἰρημένων" τὸ ψευδεῖς ἀμφοτέρας εἶναι· τοῦτο γὰρ λείπει. ἀποτεινόμενος δὲ ταῦτα πρὸς Ἡράκλειτον λέγει καὶ ὅσοι διὰ τὸ συνεχῆ τὴν ῥύσιν εἶναι ἐν τοῖς οὖσιν ἔλεγον ἅμα κατὰ ταὐτὸν ἀληθὲς καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι. ὅσον γὰρ ἐπὶ τοῖς λεγομένοις ὑπ' αὐτῶν, μᾶλλον ἂν ὑγιὲς εἴη τὸ ψευδεῖς πάσας εἶναι· εἰ γὰρ συνεχὴς ἡ ῥύσις καὶ μηδὲν ὑπομένει, οὐδὲν ἂν ὑγιῶς καὶ ἀληθῶς εἴη κατηγορῆσαι κατά τινος, ᾧ ἀκόλουθον τὸ πάντα εἶναι ψευδῆ· ἀνάγκη γὰρ τὸν ὁτιοῦν ὁρίζοντα κατὰ τοῦ συνεχῶς ῥέοντος καὶ εἰς μηδὲν ὡρισμένον μεταβάλλοντος ψεύδεσθαι. ὥστε καθ' Ἡράκλειτον πάντα ἀληθῆ λέγοντα τοὐναντίον ἂν μᾶλλον ἁρμόττοι πάντα λέγειν ψευδῆ εἶναι, εἴγε συνεχῶς ὑπελάμβανε πάντα ῥεῖν τε καὶ μεταβάλλειν. ἔδειξε δὲ τὸ αὐτὸ τοῦτο καὶ Ἀναξαγόρᾳ ἑπόμενον ἄτοπον διὰ τὸ πάντα μεμῖχθαι, τὸ δὲ μεμιγμένον μήτε εἶναί τι ἁπλῶς τούτων ἐξ ὧν ἐστί, μήτε ἁπλῶς μὴ εἶναι. Alex.

1012b 5. "ἀλλὰ — ἐλέχθη." εἰπὼν τίσι μὲν ἕπεται τὸ συναληθεύειν τὴν ἀντίφασιν, τίσι δὲ τὸ συμψεύδεσθαι, τίσι δὲ ἄμφω, καὶ δείξας αὐτοὺς μὴ δεόντως χρωμένους τῷ ἀληθεύειν καὶ τῷ ψεύδεσθαι ὀνόματι, ἐπάνεισιν ἐπὶ τὸν λόγον οὗ ἤρξατο. ἔφη δὲ δεῖν ἐξ ὁρισμοῦ τὴν πρὸς αὐτοὺς ἔνστασίν τε καὶ ζήτησιν ποιεῖσθαι· τοῦτο δὴ καὶ νῦν λέγει, καὶ διδάσκει πῶς χρὴ ποιεῖν. χρὴ γάρ, φησίν, παρ' αὐτῶν, ὅπερ καὶ ἐν τοῖς ἔμπροσθεν ἠξιώσαμεν, αἰτεῖσθαι καὶ ἐξετάζειν, οὐχὶ εἶναί τι καὶ μὴ εἶναι λέγοντας, καὶ ἐφ' οὗ τὸ εἶναι, ἐπὶ τούτου οἷόν τε καὶ τὸ μὴ εἶναι λέγειν (ταῦτα μὲν γὰρ ἀξιοῦντες δόξομεν τὸ ἐν ἀρχῇ λαμβάνειν), ἀλλὰ εἰ σημαίνουσι δι' ὧν λέγουσι, αἰτητέον παρ' αὐτῶν· εἰ μὲν γὰρ μὴ σημαίνουσιν, οὐδ' ἂν διαλέγοιντο· εἰ δὲ σημαίνουσι, τὸν λόγον καὶ τὸν ὁρισμὸν ἑκάστου τῶν ὑπὸ τῶν λεγομένων ὑπ' αὐτῶν σημαινομένων ληπτέον, καὶ δὴ καὶ τί τὸ ψεῦδος καὶ τἀληθὲς αὐτὸ σημαίνει, οἷς χρῶνται καὶ αὐτοί, καὶ λόγους τοὺς ὑπὸ τῶν ὀνομάτων σημαινομένους, οἵτινες ὁρισμοὶ ἂν εἶεν, ὁ μὲν τοῦ ἀληθοῦς ὁ δὲ τοῦ ψευδοῦς. "εἰ δὲ μηδὲν ἄλλο ἢ τὸ ἀληθὲς φάναι ἢ ἀποφάναι ψεῦδός ἐστιν." τὸ λεγόμενον ἀσαφῶς μὲν εἴρηται, εἴη δ' ἂν τοιοῦτον. εἰ μηδὲν ἄλλο τὸ ἀληθές ἐστιν ἢ οὕτως ἔχον φάναι οὕτως ἔχειν, καὶ πάλιν τὸ οὕτως ἔχον ἀποφάναι ψεῦδος, δῆλον ὡς ἄλλο μὲν ὑπὸ τοῦ ἀληθοῦς σημαίνεται ἄλλο δὲ ὑπὸ τοῦ ψεύδους, καὶ ἀδύνατον τῶν μὲν καταφασκόντων περὶ τοῦ αὐτοῦ τῶν δὲ ἀποφασκόντων ἢ πάντας λέγειν ψεύδεσθαι ἢ πάντας ἀληθεύειν. ἂν μὲν γὰρ οἱ καταφάσκοντες ἀληθεύωσιν, ὡς ἔχει τὸ πρᾶγμα λέγοντες αὐτὸ ἔχειν, οἱ αὐτὸ τοῦτο ἀποφάσκοντες αὐτοῦ ψεύσονται· τοῦτο γὰρ ὑπὸ τοῦ ψεύδεσθαι σημαίνεται, τὸ ἀποφάσκειν τινὸς ὃ ὑπάρχει αὐτῷ. εἰ δὲ ἡ ἀπόφασις ἀληθής, δῆλον ὡς ἀνάγκη τὴν κατάφασιν εἶναι ψευδῆ· εἰ γὰρ ἐν μηδενὶ ἄλλῳ τὸ ἀληθές τε καὶ ψεῦδος ἢ ἐν τῇ τοῦ αὐτοῦ καταφάσει καὶ ἀποφάσει, ἀδύνατον πάντα ψευδῆ εἶναι, ὁμοίως δὲ καὶ ἀληθῆ· ἡ γὰρ περὶ τούτου ἀντίφασις ἀμφότερα ἔχει. εἰπὼν δὲ καίτοι δόξειεν ἂν μᾶλλον ἐνδέχεσθαι ἐκ τῶν εἰρημένων πάντα ψευδῆ εἶναι, καθ' Ἡράκλειτον κινεῖσθαι πάντα λέγοντα, ἢ πάντα ἀληθῆ, ὡς Ἀναξαγόρας ἔλεγέ τε καὶ ᾤετο, ὅτι μὴ οἷόν τε πάντα ψευδῆ εἶναι δεδειγμένης τῆς ἀντιφάσεως ὅπως ἔχει, καὶ τἀληθοῦς τε καὶ ψευδοῦς ὡρισμένου, ἐπήνεγκε. φέρεται δὲ καὶ οὕτως ἡ λέξις "εἰ δὲ μηδὲν ἄλλο τὸ ἀληθὲς ἢ φάναι ἢ ἀποφάναι καὶ τὸ ψεῦδός ἐστιν," καὶ εἴη ἂν τὸ λεγόμενον, εἰ μηδὲν ἄλλο τὸ ἀληθὲς σημαίνει ἢ τὸ καταφῆσαί τι ἢ ἀποφῆσαι, καὶ τὸ ψεῦδος ὁμοίως. βραχέως δὲ τῇ λέξει κέχρηται, ἐπεὶ φθάνει διὰ τῶν πρόσθεν εἰρηκέναι ἀληθὲς μὲν εἶναι τὸ τὸ ὂν εἶναι λέγειν ἢ τὸ μὴ ὂν μὴ εἶναι (ὧν τὸ μὲν κατάφασις τὸ δὲ ἀπόφασίς ἐστι, κατάφασις μὲν περὶ τοῦ ὄντος, ἀπόφασις δὲ περὶ τοῦ μὴ ὄντος), ψεῦδος δὲ τὸ ὂν μὴ εἶναι λέγειν, ὅ ἐστιν ἀπόφασις τοῦ ὄντος, ἢ τὸ μὴ ὂν εἶναι, ὅ ἐστι κατάφασις ἐπὶ τοῦ μὴ ὄντος. ἅτινα σαφῶς προειρημένα ἐνταῦθα μετενεκτέον· εἰ γὰρ μηδὲν ἄλλο ἀληθές ἐστιν ἢ τὸ ὂν φάναι εἶναι καὶ τὸ μὴ ὂν μὴ εἶναι, καὶ ψεῦδος τό τε ὂν μὴ εἶναι, ὅ ἐστι τῆς ἀληθοῦς περὶ τοῦ ὄντος καταφάσεως ἡ ἀπόφασις, καὶ πάλιν τὸ αὐτὸ εἶναι, ὃ καὶ αὐτὸ κατάφασίς ἐστι τῆς ἀληθοῦς περὶ τοῦ μὴ ὄντος ἀποφάσεως, δῆλον ὡς ἀδύνατόν ἐστιν ἢ ἀληθεύειν ἀμφοτέρους τούς τε τὰς καταφάσεις τὰς περὶ τοῦ αὐτοῦ καὶ τοὺς τὰς ἀποφάσεις λέγοντας, ἢ πάλιν ἀμφοτέρους ψεύδεσθαι· οὗ γὰρ ἦν ἡ κατάφασις ἀληθής, τούτου ἦν ἡ ἀπόφασις ψευδής· ὥστε ἀνάγκη θάτερον μόριον τῆς ἀντιφάσεως ἀληθὲς θάτερον δὲ ψεῦδος λέγειν, ἀλλ' οὐ πάντα ἀληθῆ ἢ πάντα ψευδῆ. δύναται καὶ τοιοῦτον εἶναι τὸ λεγόμενον διὰ τῆς λέξεως· εἰ δὲ μηδὲν ἄλλο τὸ ἀληθῆ φάναι ἢ ὅτι τὸ ἀποφάναι ψεῦδος, τουτέστιν εἰ δὲ μηδὲν ἄλλο σημαίνεται ὑπὸ τοῦ ἀληθῆ εἶναι τὴν κατάφασιν ἢ ὅτι ἡ ἀπόφασίς ἐστι ψευδής· ὁ γὰρ λέγων ἀληθὲς εἶναι τὸ ἡμέραν εἶναι, τὸ μὴ εἶναι ἡμέραν διὰ τῆς καταφάσεως ψευ-

6. ἐνδιάσει A. ‖ 10. ὁποῖα] ὁ τρία M. ‖ 16. κατ' αὐτὸν V. ‖ 19. συνεχῶς M. ‖ 23. ἁρμόττει M. ‖ 33. παρ'] περὶ M. ‖ 36. δοξάζομεν M. ‖ 37. παρ'] περὶ M. ‖ 40. καὶ post δὴ om M. ‖ ψεῦδος κατ' ἀληθὲς M. ‖ 41. σημαινόμενοι M.

1. ἢ ante τὸ om AM. ‖ φάναι οὕτως ἔχειν ἢ τὸ ἀποφάναι M. ‖ 2. ἀσαφῶς] ἀληθὲς M. ‖ 8. ἔχειν A. ‖ 14. ἡ] εἰ A. ‖ 15. ἐκ τῶν] αὐτῶν M. ‖ 17. *fieri non posse subiunxit ut omnia falsa sint* Sepulv. ‖ 18. τ' om M. ‖ 20. ἢ ἀποφάναι om MV. ‖ 28. γὰρ τὸ μηδὲν M. ‖ 29. καὶ ψεῦδος — 30. εἶναι om A. ‖ ὃ] εἰ A. ‖ 39. τὸ om M.

οὐδὲν μᾶλλον τοῦτο ἢ τοῦτο. εἰπὼν δὲ τὴν ἀρχὴν ἔσεσθαι τῆς πρὸς αὐτοὺς ἀντιλογίας ἀπὸ τοῦ ὁρισμοῦ, ἐφεξῆς ἱστορεῖ τίς μὲν τῶν ἀρχαίων τὴν ἀντίφασιν ἔλεγεν ἀληθῆ εἶναι, τίς δὲ τὸ μεταξύ τι εἶναι τῆς ἀντιφάσεως. ἔτι δέ γε δείκνυσιν ἅμα καὶ ὅτι καὶ τῷ ἀληθεῖ καὶ τῷ ψευδεῖ τοῖς ὀνόμασιν ἐχρῶντο, ὧν ἡμεῖς νῦν ἀξιοῦμεν τοὺς ὁρισμοὺς λαμβάνεσθαι καὶ ἀπ' αὐτῶν ἄρχεσθαι τῆς πρὸς αὐτοὺς ἀντιλογίας (1). Ἡράκλειτος μὲν λέγων πᾶν εἶναί τε καὶ μὴ εἶναι καὶ ἅμα τὰ ἀντικείμενα εἶναι, τὴν ἀντίφασιν ἅμα ἀληθῆ τίθεται καὶ πάντα εἶναι ἀληθῆ ἀποφαίνεται, Ἀναξαγόρας δὲ εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως λέγει· τὸ γὰρ μῖγμα εἰ ἐξ ἀγαθοῦ καὶ κακοῦ εἴη, οὔτε ἀγαθὸν οὔτε πάλιν οὐκ ἀγαθόν, ὁμοίως δὲ καὶ οὔτε κακὸν οὔτε οὐ κακόν· διὸ μεταξύ τι εἶναι λέγει τῆς ἀντιφάσεως καὶ πάντα ψευδῆ τὰ ἀντικείμενα, τουτέστι καὶ τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν. ὅταν γὰρ ᾖ μεμιγμένα τὸ ἀγαθὸν καὶ τὸ κακόν, τὸ ἐξ αὐτῶν φησὶ μῖγμα οὔτε ἀγαθὸν οὔτε οὐκ ἀγαθὸν καὶ οὔτε κακὸν οὔτε οὐ κακόν, ἀλλ' εἶναι τὸ τοιοῦτον μῖγμα. πάντα δὴ ἡγεῖτο ἐν πᾶσι μεμῖχθαι, ὥστε περὶ ἑκάστου τῶν ὄντων πᾶσαι αἱ ἀντιφάσεις ψευδεῖς κατ' αὐτόν. id.

1012a 26. (1) καθάπερ ὁ μέγας ἡμῶν φιλόσοφός φησιν, οἱ ἀτυχεῖς Μανιχαῖοι, ἐπειδὴ ἠπόρουν πόθεν τὰ κακά, μὴ ἰσχύσαντες ἐπιλύσασθαι ταύτην τὴν ἀπορίαν, εἰρήκασιν ὅτι ἔστιν ἀρχὴ τῶν κακῶν ὥσπερ καὶ τῶν ἀγαθῶν. οὕτως οὖν καὶ ὁ Ἀναξαγόρας, ἐπεὶ ἑώρα πᾶν ἐκ παντὸς γίνεσθαι, μὴ ἐπιστήσας τῇ εἰς τὴν ὕλην ἀναλύσει, ἔλεγε πάντα ἐν πᾶσι μεμῖχθαι, καὶ διὰ τοῦτο κατ' αὐτὸν ἅπαντας ψεύδεσθαι τοὺς λέγοντας, καὶ ἐν τῷ λευκῷ εἶναι καὶ τὸ μέλαν καὶ ὅσα ἄλλα τοιαῦτα. ὁ μέντοι γε πάλιν Ἡράκλειτος ἔλεγε πάντας ἀληθεύειν. Asclep.

1012a 29. "διωρισμένων δὲ τούτων" δηλονότι ὧν ἐφθάκαμεν εἰρηκέναι "φανερὸν ὅτι καὶ τὰ μοναχῶς λεγόμενα καὶ κατὰ πάντων." δείξας ὅτι κατὰ μὲν Ἡράκλειτον συναληθεύουσιν αἱ ἀντιφάσεις, κατὰ δὲ Ἀναξαγόραν συμψεύδονται, φησὶν ὅτι διωρισμένων τούτων, δηλονότι ὧν ἐφθάκαμεν εἰρηκέναι, φανερὸν γέγονε καὶ ὅτι μήτε ἅμα συμψεύδονται μήτε ἅμα συναληθεύουσιν αἱ ἀντιφάσεις, ἐπεὶ μηδὲ ἔστι τι μεταξὺ τῆς ἀντιφάσεως· φανερὸν γάρ, φησίν, ἐκ τούτων ὅτι ἀδύνατόν ἐστι καὶ τὰ μοναχῶς λεγόμενα, ὃ ἐξηγούμενος προσέθηκε τὸ "καὶ τὰ κατὰ πάντων·" τὰ γὰρ κατὰ πάντων ὁμοίως λεγόμενα μοναχῶς λέγεται. τίνα δὲ λέγεται οὕτως, αὐτὸς δι' ὧν ἐπήνεγκεν ἔδειξεν, εἰπὼν "ὥσπερ τινὲς λέγουσιν, οἱ μὲν οὐδὲν φάσκοντες εἶναι ἀληθές," ὡς Ἀναξαγόρας. τὸ γὰρ μηδὲν ἀληθὲς εἶναι λέγειν τῶν ὄντων μοναχῶς κατὰ πάντων ἐστὶ λέγειν· ὁμοίως καὶ τὸ πάντα ἀληθεύειν, ὡς Ἡράκλειτος, καὶ τοῦτο μοναχῶς λέγειν κατὰ πάντων ἐστίν. τούτων δὲ ὅτι μηδέτερον ἐνδέχεται ἀληθὲς εἶναι, γνώριμον ἐκ τοῦ δεδεῖχθαι ἐπὶ παντὸς πάσης ἀντιφάσεως τὸ μὲν ἕτερον μόριον ἀληθὲς εἶναι τὸ δὲ ἕτερον ψεῦδος· οὐκέτι γὰρ τούτου οὕτως ἔχοντος οἷόν τε ἢ μηδὲν ἀληθὲς εἶναι ἢ πάντα ἀληθῆ εἶναι· κατὰ γὰρ τοὺς μηδὲν ἀληθὲς εἶναι λέγοντας οὔτε ἡ κατάφασις οὔτε ἡ ἀντικειμένη αὐτῇ ἀπόφασις ἀληθής ποτε ἐπί τινος, κατὰ δὲ τοὺς πάντα ἀληθῆ ἡ ἀντίφασις ἅμα ἀληθής. λέγων δὲ περὶ τῶν πάντα τὰ ὄντα ψευδῆ λεγόντων εἶπεν "οὐδὲν γὰρ κωλύειν φασὶν οὕτως ἅπαντα εἶναι ὡς τὸ τὴν διάμετρον εἶναι σύμμετρον," τουτέστιν ὁμοίως πάντα ψευδῆ εἶναι τῷ τὴν διάμετρον σύμμετρον εἶναι. εἰπὼν δὲ τὸ ἕτερον, τὸ πάντα ψευδῆ λέγειν, τῶν μοναχῶς λεγομένων λέγει καὶ τὸ ἕτερον τὸ "οἱ δὲ πάντα ἀληθῆ·" ὃ εἰπὼν προσέθηκε "σχεδὸν γὰρ οἱ τοιοῦτοι λόγοι οἱ αὐτοὶ τῷ τοῦ Ἡρακλείτου," λέγων τὸν Ἡρακλείτου εἶναι λόγον τὸν λέγοντα πάντα ἀληθῆ καὶ πάντα ψευδῆ εἶναι· καίτοι πρὸ ὀλίγου ἔδειξεν ἑπόμενον τῇ Ἡρακλείτου δόξῃ, λέγοντος πάντα εἶναι καὶ μὴ εἶναι, τὸ πάντα ἀληθῆ λέγειν. ἢ τοῦτο ἕπεται αὐτῷ λέγοντι πάλιν εἶναι καὶ μὴ εἶναι τὴν ἀντίφασιν ἐπὶ παντὸς ἅμα ἀληθῆ, τὸ πάντα καὶ ἀληθῆ ἅμα καὶ ψευδῆ λέγειν εἶναι· εἰ γὰρ ἅμα τὰ ἀντικείμενα ἕκαστόν ἐστι, καὶ ἔστιν τε καὶ οὐκ ἔστιν, ἔσται μὲν καὶ τὸ εἶναι ἡ κατάφασις καὶ τὸ μὴ εἶναι ἡ ἀπόφασις ἀληθῆ κατ' αὐτόν. οὐ μὴν ἀλλὰ καὶ ἑκάτερον αὐτῶν πάλιν ψεῦδος· καθόσον μὲν γὰρ οὐκ ἔστι τὸ εἶναι, ἡ κατάφασις ψευδής, καθόσον δὲ πάλιν τὸ μὴ εἶναι, καὶ ἡ ἀπόφασις ψευδής. ὥστε πάντα κατ' αὐτὸν ἅμα καὶ ἀληθῆ καὶ ψευδῆ· αἱ μὲν γὰρ ἀληθεῖς καταφάσεις τὰς ἀποφάσεις ψευδεῖς ποιοῦσιν, αἱ δὲ ἀποφάσεις τὰς καταφάσεις. τούτῳ δὴ τῷ λόγῳ τῷ κατὰ πάντων ἄμφω κατηγοροῦντι σχεδόν φησι τοὺς αὐτοὺς ἐκείνους ἀμφοτέρους εἶναι τοὺς μοναχῶς ἑκάτερον κατηγοροῦντας, καὶ δείκνυσι πῶς εἰσὶν οἱ αὐτοί· ὅτι γὰρ ὁ λέγων καὶ ἀληθῆ πάντα καὶ ψευδῆ πάντα καὶ ἰδίᾳ ἑκάτερον κατηγορεῖ πάντων, τό τε ἀληθῆ αὐτὰ εἶναι καὶ πάλιν τὸ ψευδῆ, διὰ τοῦτο αὗται αἱ δόξαι αἱ μοναχῶς λέγουσαι ἑκάτερον αἱ αὐταί εἰσιν τῇ κατὰ πάντων ἀμφότερα κατηγορούσῃ. ἐὰν δὲ αἱ αὐταί, ἀδύνατος δὲ ἐκείνων ἑκατέρα, ἀδύνατος ἂν εἴη καὶ ἡ ἄμφω κατὰ πάντων κατηγοροῦσα. ὅτι δὲ ἐκείνων ἑκατέρα ψευδής, ἐδείχθη διὰ τοῦ πάσης ἀντιφάσεως ἐπὶ παντὸς θάτερον μὲν ἀληθὲς θάτερον δὲ ψεῦδος εἶναι. δύναται καὶ τὸ "ὥστε εἴπερ ἀδύνατα ἐκεῖνα" εἰρηκέναι 1012b 1. ἐπὶ τοῦ ἄμφω λέγοντος, καὶ πάντα ἀληθῆ καὶ πάντα ψευδῆ· ἐδείχθη γὰρ διὰ πλειόνων ὅτι ἀδύνατον τὴν ἀντίφασιν ἅμα εἶναι τοῦτο· ἅμα γὰρ ταῦτα ἀληθῆ τε καὶ ψευδῆ γίνεται, ἐπεὶ τὸ "ὥστ' εἴπερ ἀδύνατα ἐκεῖνα" περὶ τῶν προειρημένων τε καὶ προδεδειγμένων λέγει τῶν πᾶσαν ἀντίφασιν ἀληθῆ ἢ πᾶσαν ἀντίφασιν ψευδῆ τιθέντων (ἐδείχθη γὰρ ὅτι μηδέτερον ἀληθές), ὄντων δὲ ἐκείνων ἀδυνάτων, ὡς δέδεικται, ἀδύνατα ἂν εἴη καὶ τὰ μοναχῶς ἐπὶ πάν-

2. ἀπὸ] ὑπὸ *M.* ‖ *protinus commemorat, quis veterum contradictionem veram esse tradidit et quis medium esse contradictionis; simulque docet illos vero ac falso nominibus fuisse usos* Sepulv. ‖ 4. δέ γε] δὲ λέγει *A.* ‖ 14. τὸ ἐξ] τὸ ἀγαθὸν ἐξ *MV.* ‖ 15. οὔτε ἀγαθὸν — 16. μῖγμα om *MV*, habet Sepulv. et *V* in mg. ‖ 27. δηλονότι — εἰρηκέναι om *A* Sepulv. ‖ 36. λέγονται. τίνα *M.* ‖ 39. μοναχῶς καὶ τὰ πάντα ἐστι *M.* ‖ 41. δὴ *M.*

3. ἢ — ἀληθὲς εἶναι om *M.* ‖ 5. ἀληθὲς *M.* ‖ 9. τὸ πάντα ψευδῆ λέγειν om *M.* ‖ 10. οἱ] εἰ *M.* ‖ 12. τὸν τοῦ Ἡρακλείτου *M.* ‖ 17. εἶναι om *M.* ‖ 26. εἶναι ἀμφὶ τοὺς *M.* ‖ 28. κατηγορεῖν *M.* ‖ 30. κατηγορούσῃ *M.* ‖ 32. ἑκατέρα om *M.* ‖ 35. λέγοντες *M.* ‖ 38. ἀδύνατοι *M.*

σεως λεγούσης. τὴν δὲ αὐτὴν εἶναι λέγει αἰτίαν, ἥνπερ καὶ ἐπὶ τῶν ἄλλων παραδόξων τίθενταί τινες· τοὺς μὲν γὰρ τῷ μὴ δύνασθαι λῦσαί τινα ἐριστικὸν καὶ σοφιστικὸν λόγον ἐρωτώμενον περί τι ἐνδόντας αὐτῷ θέσθαι τοῦτο οὕτως ἔχειν, ὥσπερ ἤδη καὶ ἄλλοις τισὶν ἐνδόντες λόγοις τινὲς παραδόξους καὶ ἀτόπους θέσεις ἔθεντο. ἅμα δὲ διὰ τούτων ἐνδείκνυται ἡμῖν καὶ τὸ χρήσιμον πρὸς φιλοσοφίαν τῶν ἐλέγχων τῶν σοφιστικῶν, εἴγε παρὰ τὴν ἐκείνων ἄγνοιαν ἀτόπους συμβαίνει τισὶ φύσεις παραδέχεσθαι. οἱ γοῦν περὶ τῆς κινήσεως ὑπὸ Ζήνωνος ἠρωτημένοι λόγοι πολλοὺς οὐ δυναμένους τὸ ἐν τοῖς λαμβανομένοις ψεῦδος συνορᾶν ταράσσουσί τε καὶ ἀπορεῖν ποιοῦσι, μήποτε οὐκ ἔστι κίνησις, οὕτως ἐναργές τε καὶ ἐν πᾶσιν πρᾶγμα. εἶπε δὲ καὶ ἐν τῷ Α τῆς Φυσικῆς Ἀκροάσεως (I 3 extr.) ἐνδόντας τινὰς λόγοις, τῷ τε ἐκ τῆς διχοτομίας δεικνύντι ὅτι μηδὲν ἔστιν ἕν, καὶ τῷ ὅτι παρὰ τὸ ὂν οὐδὲν ἔστι, τοὺς μὲν ὑποθέσθαι ἄτομά τινα εἶναι μεγέθη, τοὺς δὲ εἶναι καὶ τὸ μὴ ὄν. τοιοῦτον δή τι καὶ οἱ μεταξὺ τῆς ἀντιφάσεως εἶναι τιθέμενοι ἔπαθον· οὐ γὰρ δυνηθέντες τοὺς περὶ τούτων, ὅτι οὕτως ἔχει, ἐπερωτωμένους λόγους ὄντας σοφιστικοὺς λύειν συνεχώρησαν αὐτοῖς. ἔστι δὲ ἡ ἀπορία, δι' ἣν ἔθεντό τινες εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως, ἥ τε λέγουσα μηδὲν μὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, ἐκ δὲ τοῦ αὐτοῦ ὁρᾶν τἀναντία γιγνόμενα, καὶ διὰ τοῦτο ἐνυπάρχειν αὐτὰ ἐν ἐκείνῳ καὶ μεμῖχθαι ἐνεργείᾳ ὄντα, τὸ δὲ μεμιγμένον ἔκ τινων μηδενὶ τῶν ἐξ ὧν μέμικται ταὐτὸν εἶναι ἁπλῶς, ἀλλὰ μεταξὺ αὐτῶν καὶ τὸ κρᾶμα, ὃ οὔτε ὕδωρ εἶναι ἄντικρυς οὔτε οὐχ ὕδωρ· ᾧ καὶ Ἀναξαγόρας ἐπηκολούθησεν. ὅτι δὲ ψευδὴς οὗτος ὁ λόγος καὶ σοφιστικός, δῆλον. πρῶτον μὲν γὰρ ἡ ὑπόθεσις αὐτοῦ ψευδής, τὸ ἐξ οὗ γίγνεταί τινα ἀντικείμενα ἀλλήλοις, τοῦτο ἐκ τῶν ἀντικειμένων μεμῖχθαι. ἔπειτα ὅτι κἀκεῖνο ψεῦδος τὸ ἐπὶ τοῦ μεμιγμένου μηδέτερον μόριον τῆς ἀντιφάσεως ἀληθὲς εἶναι, μήτε τὴν κατάφασιν μήτε τὴν ἀπόφασιν· οὐδέτερον μὲν γὰρ τῶν ἐξ ὧν μέμικται ἀληθές· τὸ γὰρ μελίκρατον οὔτε μέλι οὔτε ὕδωρ. σοφιστικὸς δὲ ὁ λόγος καὶ ὁ λαμβάνων ὅτι τὸ οὔτε ἔστιν οὔτε οὐκ ἔστιν οὐδετέρῳ ταὐτόν ἐστιν, οὔτε τῷ ἔστιν οὔτε τῷ οὐκ ἔστιν, τὸ δὲ οὐδέτερον μεταξὺ ἐκείνων ὧν οὐδέτερόν ἐστιν· ὥστε εἰ τὸ ἔστι τι καὶ οὐκ ἔστι τὸ αὐτὸ ἀντίφασις, εἴη ἄν τι μεταξὺ τῆς ἀντιφάσεως· πᾶσα γὰρ ἀντίφασις διὰ τοῦ εἶναι καὶ μὴ εἶναι. εἰ μὲν γὰρ ἡ οὔτε ἔστιν οὔτε οὐκ ἔστι φωνὴ ἠδύνατο κατά τινος κατηγορεῖσθαί τε καὶ ἀληθεύεσθαι, ἦν ἄν τι ἴσως οὕτω τῆς ἀντιφάσεως μεταξὺ δεικνύμενον· εἰ δὲ μηδὲν τοιοῦτόν ἐστιν, οὐκ ἂν εἴη ἀληθὲς τὸ εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως, μηδενὸς ὄντος τοῦ ἐφ' οὗ ἡ ἑκατέρων ἀπόφασίς ἐστιν. ἀλλ' οὐδὲ πάντως, εἴ τι ἔστιν οὐδέτερον, ἐκεῖνο μεταξύ ἐστιν ἐκείνων· καὶ γὰρ ὁ τοῖχος οὔτε ἀπόφασίς ἐστιν οὔτε κατάφασις, ἀλλ' οὐ διὰ τοῦτο μεταξύ ἐστι καταφάσεως καὶ ἀποφάσεως· τὸ γὰρ μεταξύ τινων τοιοῦτόν ἐστιν ὥστε μὴ μόνον εἰς ἄλληλα γίνεσθαι τοῖς ἄκροις τὴν μεταβολήν, ἀλλὰ καὶ εἰς τὸ μεταξύ, καὶ τῷ μεταξὺ πάλιν εἰς ἑκάτερον τῶν ἄκρων. οὔτε οὖν ἐκ τοῦ εἶναι εἰς τὸ μὴ εἶναι μήτε μὴ εἶναι μεταβάλλει τι, οὔτε ἐκ τοῦ μὴ εἶναι ὁμοίως εἰς τὸ μήτε εἶναι μήτε μὴ εἶναι. ἀλλ' οὐδὲ ἐκ τοῦ μήτε εἶναι μήτε μὴ εἶναι, ὅ ἐστι τούτων μεταξύ· τὴν ἀρχὴν γὰρ οὐδὲ ἔστι τι ἐν τῷ μήτε εἶναι μήτε μὴ εἶναι. οἱ μὲν οὖν διὰ ταύτην τὴν αἰτίαν οὕτως ἀπεφήναντο, οἱ δὲ διὰ τὸ πάντων ἀποδείξεις ζητεῖν· τῷ γὰρ τούτων μὴ εἶναι ἀπόδειξιν, τῷ ἀρχὰς αὐτὰ εἶναι ὄντα ἐναργῆ, ὑποτίθενταί τε τὰ ἀντικείμενα αὐτοῖς ἅμα ἀληθῆ εἶναι, καὶ προΐστασθαι πειρῶνται αὐτοῦ, οὐ πεπεισμένοι μὲν οὕτως ἔχειν, ὡς ἤλεγξεν αὐτοὺς ἐπὶ τῶν πράξεων μάλιστα, θέσιν δὲ φυλάττειν πειρώμενοι. id.

1012a 21. "ἀρχὴ — ὁρισμῶν." ἀρχήν φησιν εἶναι τῆς δείξεως πρός τε τοὺς διὰ τὸ ἐνδοῦναι τοῖς σοφίσμασι τοῖς περὶ τοῦ ταῦτα οὕτως ἔχειν ἐρωτωμένοις θεμένους τὸ μεταξὺ εἶναί τι τῆς ἀντιφάσεως, καὶ πρὸς τοὺς πάντων ἀποδείξεις ἀπαιτοῦντας, καὶ διὰ τοῦτο ὡς μὴ δυναμένων ἀποδειχθῆναι τοῦ τε μηδὲν εἶναι τῆς ἀντιφάσεως μεταξὺ καὶ τοῦ μὴ συμψεύδεσθαι τὴν ἀντίφασιν λέγοντας ταῦτα. πρὸς δὴ πάντας τούτους ἀρχήν φησιν εἶναι τὴν ἀπὸ τῶν ὁρισμῶν, τὸν αὐτὸν λόγον λέγων ὃν εἶπε καὶ κατ' ἀρχὴν τῆς πρὸς τοὺς τὴν ἀντίφασιν ἅμα ἀληθῆ εἶναι λέγοντας ἀντιλογίας. ἂν γὰρ συγχωρῶσι τὰ ὀνόματα σημαίνειν τι, ὃ ἀναγκαῖόν ἐστιν αὐτοῖς διδόναι, εἰ μέλλοιεν ὅλως χρῆσθαι λόγῳ, χρὴ τὸν λόγον τοῦ σημαινομένου ὑπό τε τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους τῶν ὀνομάτων, οἷς χρῶνται, λαμβάνειν· οἵτινες λόγοι ὁρισμοὶ ἂν εἶεν, ὁ μὲν τοῦ ἀληθοῦς ὁ δὲ τοῦ ψεύδους· ὅτε καὶ διὰ τοῦ διδόναι σημαίνειν τι δι' ὧν λέγουσι συγχωροῦσι καὶ τὸ ὁρισμὸν εἶναι. ἂν δὴ τὸ μὲν ἀληθὲς σημαίνῃ τὸ τὸ ὂν εἶναι λέγειν καὶ τὸ μὴ ὂν μὴ εἶναι, ψεῦδος δὲ τὸ τὸ ὂν μὴ εἶναι λέγειν ἢ τὸ μὴ ὂν εἶναι, καὶ παρὰ ταῦτα μηδὲν εἶναι ἄλλο ἀληθὲς ἢ ψεῦδος, εἴη παρὰ κατάφασιν καὶ ἀπόφασιν· εἰ δὲ μηδὲν ἀληθὲς παρὰ ταῦτα, τούτων δὲ τὰ μὲν κατάφασιν τὰ δὲ ἀπόφασιν, τὰ δὲ οὐδὲ ἀληθὲς παρὰ ταῦτα, οὐδ' ἂν μεταξύ τι αὐτῶν εἴη· ἦν γὰρ ἂν κἀκεῖνο πρὸς τούτοις ἀληθὲς ἢ ψεῦδος, ἐλέγετό τε καὶ αὐτὸ λόγος ἀποφατικός. ἢ εἶπεν ἀρχὴν εἶναι πρὸς ἅπαντας τούτους ἐξ ὁρισμοῦ τοῦ σημαίνειν, διότι συγχωρήσαντες σημαίνειν διὰ τῶν ὀνομάτων τι, δηλονότι καὶ λόγον τινὰ εἶναι τῶν ὑπὸ τῶν ὀνομάτων σημαινομένων συγχωροῦσιν. εἰ δὲ τοῦτο, οὐκέτ' ἂν ὑπὸ τοῦ αὐτοῦ ὀνόματος καὶ ὁ ἀντικείμενος σημαίνοιτο· οὕτως δὲ οὔτε ἂν πάντα ἐπὶ τοῦ αὐτοῦ ἀληθῆ εἴη, οὔτε

1. ἥπερ M. ‖ 2. τῷ] τὸ M. ‖ 7. ἀτόπως M. ‖ 10. συνορῶν M. ‖ 13. καὶ τὸ ὅτι M. ‖ 15. οἱ] ἡ M. ‖ 17. σοφιστικὰς M. ‖ 20. τοῦτο] τοῦ M. ‖ 21. ἐνεργῇ M. ‖ 23. καὶ] ὡς M. ‖ 31. οὐδετέρῳ — 32. οὐκ ἔστιν om A. ‖ 33. ἔστι καὶ αὐτὸ M. ‖ 38. εἴη om M.

8. μήτε εἶναι om M. ‖ 9. οἱ μὲν] εἰ μὲν M. ‖ 11. ὄντα om M. ‖ 12. αὐτοῦ] αὐτῆς M. ‖ 15. *qui victi rationibus commenticiis medium contradictionis esse statuunt* Sepulv. ‖ 16. τοῦ om A. ‖ 22. ἀρχὰς A. ‖ 29. ἂν — 30. εἶναι ante ψεῦδος om M. ‖ 30. *et praeterea nihil aliud verum est aut falsum, horum autem quaedam sunt affirmatio quaedam negatio, profecto praeter affirmationem et negationem nihil erit verum. quodsi praeter haec nihil sit verum, ne ipsorum quidem medium ullum habebitur* Sepulv. ‖ 31. εἴη — 32. ταῦτα om M. ‖ 36. ὁρισμοῦ] ἀριθμοῦ M. ‖ 38. τινὸς M. ‖ σημαίνων M. ‖ 40. ἀληθὲς M.

1012a 8. (*) δεῖ δὲ προσθεῖναι ἤγουν προσυπακούειν τῷ "παρὰ γένεσιν καὶ φθορὰν μεταβολή τις ἔσται" τὸ καὶ οὐσίας ἢ τὸ μεταξὺ γενέσεως. Asclep.

1012a 9. "ἔτι — τούτοις." ὃ λέγει, τοιοῦτόν ἐστιν. εἰ ἔστι τῆς ἀντιφάσεώς τι μεταξύ, καὶ ἐν οἷς γένεσί τε καὶ ὑποκειμένοις ἡ ἀπόφασις οὐδὲν ἄλλο σημαίνει ἢ θέσιν τοῦ ἐναντίου, καὶ ἐν τούτοις ἔσται τι μεταξὺ τῆς ἀντιφάσεως. ἡ δὲ ἀπόφασις τὸ ἐναντίον τίθησιν ἐν τοῖς ἀμέσοις ἐναντίοις, ὅταν κατὰ τοῦ πεφυκότος αὐτὰ δέχεσθαι κατηγορῆται· τὸ γὰρ μὴ νοσοῦν ζῷον ὑγιαίνειν ἀνάγκη, καὶ τὸ μὴ κοιμώμενον ἐγρηγορέναι, καὶ τὸν μὴ ἄρτιον ἀριθμὸν περιττὸν εἶναι. εἰ οὖν ἔσται τι καὶ ἐπὶ τούτων τὸ μεταξύ, ἔσται τι ζῷον ὃ οὔτε ὑγιαίνει οὔτε οὐχ ὑγιαίνει, ὃ ἴσον ἐστὶ τῷ οὐ νοσεῖν, καὶ ἀριθμός τις ὃς οὔτε ἄρτιός ἐστιν οὔτε περιττός, ὃ ἴσον ἐστὶ τῷ οὔτε οὐκ ἄρτιος· καὶ γὰρ ἐπὶ τοῦ μεταξὺ ἀληθεῖς αἱ τῶν ἄκρων ἀποφάσεις. τοῦτο δὲ ἀδύνατον, ὡς δῆλον ἐκ τοῦ ὁρισμοῦ· ὃν γὰρ λάβωμεν καὶ προχειρισώμεθα ἀριθμόν, οὗτος ἢ ἄρτιός ἐστιν ἢ περιττός. πᾶς γὰρ ἀριθμὸς ἢ ἄρτιός ἐστιν ἢ περιττός, καὶ ἀριθμός ἐστιν ὃς ἢ ἄρτιός ἐστιν ἢ περιττός. Alex.

1012a 12. "ἔτι — πλείω." ἡ ἐπιχείρησις αὕτη ἐστίν. εἰ ἔστι μεταξύ τι τῆς ἀντιφάσεως, οὐ μόνον ἡμιόλια τὰ ὄντα ἔσται, ὡς δοκεῖ, τρίτου τινὸς προστιθεμένου τῇ τε καταφάσει καὶ τῇ ἀποφάσει τοῦ μεταξύ, ἀλλὰ καὶ ἐπ' ἄπειρον ἂν προέλθοι. ἡμιόλιον μὲν γὰρ ἔσται τῷ παρὰ τὸ ὑπὸ τῆς καταφάσεως καὶ τῆς ἀποφάσεως ἐφ' ἑκάστου σημαινόμενόν τε καὶ δηλούμενον εἶναι τρίτον τὸ μεταξύ, καθ' ὃ οὔτε ἡ κατάφασις οὔτε ἡ ἀπόφασις. ὥσπερ γὰρ εἰ ἦν τι τοῦ ὑγιαίνειν καὶ τοῦ νοσεῖν μεταξύ, οὐκ ἂν ἦν δύο μόνα τό τε ὑγιαίνειν καὶ τὸ νοσεῖν, ἀλλὰ σὺν τούτοις τρίτον τὸ μεταξύ, τὰ δὲ τρία τῶν δύο ἡμιόλια (ὅλα τε γὰρ αὐτὰ ἔχει καὶ προσέτι τὸ ἥμισυ αὐτῶν), οὕτως εἰ καὶ τὸ τῆς καταφάσεως καὶ ἀποφάσεως εἴη τι μεταξύ, ἡμιόλια ἂν γίνοιντο τὰ σημαινόμενα ὑπὸ τοῦ ἀποφαντικοῦ λόγου· οὐ γὰρ δύο ἀλλὰ τρία. οὐ μόνον δὲ ἡμιόλιά φησι τὰ ὄντα ἔσεσθαι, ὡς φαίνεται, ἀλλὰ γὰρ καὶ εἰς ἄπειρον ἂν ἡ αὔξησις καὶ ἡ προσθήκη τοῖς οὖσι γίγνοιτο διὰ τὴν μεταξὺ ταύτην φύσιν· εἰ γὰρ ἔσται τις φύσις μεταξὺ σημαινομένη ὑπὸ τῆς ἑκατέρου ἀποφάσεως, δῆλον ὡς ἔσται καταφῆσαι, εἴγε περὶ πάντων οἷόν τε καὶ καταφάσκειν καὶ ἀποφάσκειν, ὡς ἐδείχθη ἐν τῷ περὶ Ἑρμηνείας (c. 6)· εἰ δὲ καταφῆσαι καὶ ἀποφῆσαι, ἔσται τι πάλιν καὶ τούτων τῆς τε καταφάσεως τῆς τοῦ μεταξὺ τούτου καὶ τῆς ἀποφάσεως αὐτοῦ μεταξύ τι, καθ' ὃ ἀληθὴς ἡ ἀμφοτέρων ἀπόφασις, τῆς τε καταφάσεως καὶ τῆς ἀποφάσεως, εἴγε πάσης ἀντιφάσεώς ἐστι μεταξύ, ὃ δηλονότι καὶ αὐτὸ πάλιν ἔσται τις φύσις, εἴγε ἐπ' αὐτοῦ ἀληθὴς ἡ ἑκατέρου ἐκείνων ἀπόφασις. εἰ δὴ ἔστι τι τοιοῦτον, πάλιν καὶ ἐπὶ τούτου κατάφασις ἔσται καὶ ἀπόφασις καὶ ἄλλα τι μεταξύ, καθ' ὃ ἡ ἑκατέρου τούτου ἀπόφασις· καὶ τοῦτο ἐπ' ἄπειρον. τὸ δὲ "πάλιν γὰρ ἔσται ἀποφῆσαι τοῦτο πρὸς τὴν φάσιν καὶ τὴν ἀπόφασιν" ἴσον ἐστὶ τῷ πάλιν γὰρ εὑρεθήσεταί τι ὃ ἔστιν ἀποφῆσαι καὶ τὴν φάσιν καὶ τὴν ἀπόφασιν, τὰ ἐπὶ τοῦ μεταξὺ τῆς πρώτης ἀντιφάσεως· ὃ ἴσον ἂν εἴη τῷ πάλιν γὰρ ἔσται καὶ τῆς ἐπὶ τοῦ μεταξὺ λεγομένης ἀντιφάσεως μεταξύ τι· δῆλον γὰρ ὡς ἔσται τι πάλιν καὶ ταύτης τῆς ἀντιφάσεως μεταξύ, ἐφ' οὗ πάλιν ὄντος μεταξὺ καὶ αὐτοῦ ἄλλη ὁμοίως ἀντίφασις ἔσται, ἧς πάλιν ἄλλο τι ἔσται μεταξύ, ἐφ' οὗ πάλιν καὶ αὐτοῦ ὄντος τινὸς ἔσται κατάφασις καὶ ἀπόφασις, ὧν τὸ μεταξὺ πάλιν ἄλλην εἰσάξει φύσιν· ἄλλο γὰρ τὸ σημαινόμενον ὑπὸ τῆς ἀμφοτέρων ἀποφάσεως τοῦ σημαινομένου ὑπὸ τῆς καταφάσεως ἢ τῆς ἀποφάσεως. τοῦτο γὰρ σημαίνει τὸ "ἡ γὰρ οὐσία ἐστί τις αὐτοῦ ἄλλη, καὶ τοῦτο ἐπ' ἄπειρον." id.

"ἔτι — ἐστιν." ὁ νοῦς τοῦ λεγομένου τοιοῦτος. εἰ πρὸς τὸν ἐρό- 1012a 15.
μενον περί τινος εἰ ἔστιν ἢ μή, ὁ ἀποκρινόμενος ἢ εἶναι ἀποκρίνεται ἢ μὴ εἶναι, καὶ ὁ μὲν εἶναι εἰπὼν καταφάσκει, ὁ δὲ ἀρνησάμενος καὶ εἰπὼν μὴ εἶναι οὐδὲν ἄλλο ἢ τὸ εἶναι ἀποφάσκει, οὐδὲν ἂν εἴη μεταξὺ τῆς ἀντιφάσεως· εἰ γὰρ δύο μὲν ἀποκρίσεις μόναι περὶ ἑκάστου, τῶν δὲ δύο ἀποκρίσεων ἡ μὲν κατάφασίς ἐστιν ἡ δὲ ἀπόφασις, καὶ οὐδὲν ἄλλο ἐκ τῶν ἀποκρίσεων σημαίνεται ἢ ὑφ' ἧς μὲν τὸ εἶναι ὑφ' ἧς δὲ τὸ μὴ εἶναι, οὐδὲν ἂν εἴη μεταξὺ τῆς ἀντιφάσεως. εἰ γὰρ ἦν, καὶ ἡ παρὰ τὸ ὂν τὸ ἀρνητικὸν ἄλλην τινὰ ἀπόκρισιν ἔδει εἶναι τρίτην τῷ μὴ τοῦτο μὲν φάσκοντι εἶναι περὶ οὗ ἡ ἐρώτησις, τὸ δὲ μεταξὺ τιθέντι, ἢ τὸ οὐ τὸ ἀρνητικὸν μὴ μόνον ἀναιρετικὸν εἶναι τοῦ περὶ οὗ ἡ ἐρώτησις, ἀλλὰ καὶ ἄλλο τι δηλοῦν ἕν. εἰ δὲ μήτε ἄλλη τις ἀπόκρισίς ἐστι μήτε τὸ οὐ τὸ ἀποφατικὸν ἄλλο τι ἢ ἀναίρεσιν ἐκείνου δηλοῖ περὶ οὗ ἡ ἐρώτησις, τοῦτο δέ ἐστιν ἡ ἀπόφασις, οὐδὲν ἂν εἴη μεταξὺ τῆς ἀντιφάσεως· εἰ γάρ τι ἦν, ἦν ἄν τις καὶ ἀπόκρισις περὶ αὐτοῦ. αὐτὸς μέντοι ἐπιτομώτερον ἐχρήσατο τῇ ἐπιχειρήσει. εἰ γὰρ ὁ ἐρομένου τινὸς περί τινος εἰ λευκὸν ἀρνούμενος αὐτὸ εἶναι καὶ λέγων οὔ οὐδὲν ἄλλο ἀποφάσκει ἢ τὸ εἶναι αὐτὸ λευκόν, ὃ ἴσον ἐστὶ τῷ μὴ εἶναι αὐτὸ λευκόν, ἀπόφασις δὲ τοῦτο, οὐδὲν ἂν εἴη μεταξὺ τῆς ἀντιφάσεως· ἢ γὰρ τὸ ναί ἔδει ἀποκρίνεσθαι ἢ τὸ οὔ, ὧν τὸ μὲν εἶναι κατάφασις, τὸ δὲ μὴ εἶναι ἀπόφασις· τότε γὰρ ἂν ἦν μεταξύ τι τῆς ἀντιφάσεως, εἰ τὸ οὐ ἡ ἀπόκρισις μὴ μόνον τὴν ἀπόφασιν σημαίνειν ἠδύνατο τούτου περὶ οὗ ἡ ἐρώτησις, ἀλλά τι καὶ ἄλλο, ὃ ἦν μεταξύ. id.

"ἐλήλυθε — δόξα." λέγει τὴν αἰτίαν δι' ἣν ἐπὶ ταύτης 1012a 17.
ἐγένοντο τῆς δόξης οἱ γενόμενοι, τῆς μεταξύ τι εἶναι τῆς ἀντιφά-

4. *in iis quoque generibus ac subiectis medium erit contradictionis, in quibus negatio nihil aliud quam positionem contrarii significat* Sepulv. ‖ 7. τὸ ἐναντίον τίθησιν ἐν *M.* ‖ 8. αὐτῷ *M.* ‖ κατηγορεῖται *M.* ‖ 11. et 12. ὑγιαίνει *M.* ‖ 11. οὔτε ὑγιαίνει om *A.* ‖ 12. νοσεῖ *A.* ‖ 15. καὶ προχειρίσω τὸν ἀριθμόν *M.* ‖ 16. πᾶς — 17. ἢ περιττός et 24. εἰ et 34. καὶ post τε et 35. ἐδείχθη om *M.*

1. δὲ *A.* ‖ 5. ἔσται *A.* ‖ 7. *quod cum sit quoddam ens, de eo quoque erit affirmatio et negatio* Sepulv. ‖ 10. αὐτοῦ] ἀφ' οὗ *M.* ‖ 11. καὶ ἀπόφασις om *M.* ‖ 16. ἔστιν εἰ μὴ *M.* ‖ 22. *si enim esset, oporteret ut praeter negationem non alia tertia responsio haberetur* Sepulv. ‖ 24. μὲν] ἦν *M.* ‖ 27. ἀναίρεσις ἐκείνου δηλοῖ *M.* ‖ 30. ἐπὶ τὸ μέτερον *M.* ‖ 31. αἰρόμενος *M.* ‖ 36. οὐ ἢ] οὐκ *M.* ‖ 40. γινόμενοι *M.*

τι, εἰ ἔστιν, ὡς τοῦ λευκοῦ καὶ μέλανος τὸ φαιόν, ὃ καὶ κυρίως ἐστὶ
1011 b 35. μεταξύ. διὸ καὶ οὕτως εἶπεν "εἰ δέ ἐστι μεταξύ," τουτέστιν εἰ δέ ἐστι κυρίως αὐτῶν μεταξύ, καὶ οὕτως ἔχει ἡ ἀντίφασις ὡς ἀντικεῖσθαί τε καὶ μεταξύ τι ἔχειν αὐτῆς· τοῦτο γὰρ σημαίνει τὸ "καὶ οὕτως ἡ ἀντίφασις," λείποντος τῇ λέξει τοῦ ἔχει. ἢ "καὶ οὕτως ἡ ἀντίφασις," τουτέστι καὶ οὕτως ἐστὶ τὸ εἶναι τῇ ἀντιφάσει. συμβήσεται, φησί, τὴν γένεσιν καὶ τὴν μεταβολὴν τὴν εἰς λευκὸν γίγνεσθαι ἐξ οὐχὶ οὐ λευκοῦ, ἀλλ' ἐκ τοῦ οὐ λευκοῦ· τοῦτο δέ, ἐπεὶ διὰ τῶν μεταξὺ γίνεται εἰς τὰ ἄκρα ἡ μεταβολή. τὸ δὴ ἐκ τοῦ μεταξὺ τοῦ τε λευκοῦ καὶ τοῦ οὐ λευκοῦ μεταβάλλον εἰς λευκὸν ἐξ οὐχὶ οὐ λευκοῦ μεταβάλλοι ἂν εἰς λευκόν, καὶ γίνοιτο ἄν τι λευκὸν ἐξ οὐχὶ οὐ λευκοῦ. ἡ γὰρ ἑκατέρου τῶν ἄκρων ἀπόφασις ἀληθὴς κατὰ τοῦ μεταξύ· τὸ γὰρ φαιὸν οὔτε λευκὸν οὔτε μέλαν. εἰ δὴ καὶ τοῦ λευκοῦ καὶ τοῦ οὐ λευκοῦ μεταξύ τί ἐστιν, ἔσται ἐπὶ τούτου ἀληθὲς τὸ οὐχὶ οὐ λευκόν· τὸ γὰρ οὐ λευκὸν ἡ ἀπόφασις ἦν καὶ τὸ ἀντικείμενον, ὥστε καὶ ἡ εἰς τὸ λευκὸν ἐκ τούτου μεταβολὴ ἐξ οὐχὶ οὐ λευκοῦ γένοιτο ἄν· ἐκ γὰρ τῶν οὕτως μεταξὺ γίνεται εἰς τὰ ἄκρα μεταβολή. ἀλλὰ μὴν τὸ οὐχὶ λευκὸν λευκόν ἐστιν· οὐδὲν δὲ εἰς ὅ ἐστι μεταβάλλει· γίνεται γὰρ εἰς λευκὸν μεταβολὴ ἐξ οὐ λευκοῦ, ἀλλ' οὐκ ἐξ οὐχὶ οὐ λευκοῦ. οὐκ ἄρα ἔσται τι τῆς ἀντιφάσεως μεταξύ. id.

1011 b 34. (*) νῦν δὲ οὐ φαίνεται ἐξ ἀλλοτρίου μεταβολή· οὐ γὰρ δυνατὸν ἐκ λίθου ἀμέσως ἄνθρωπον γενέσθαι. διό φησιν, οὐ γὰρ ἔστι μεταβολὴ εἰ μὴ εἰς τὰ ἀντικείμενα καὶ τὰ μεταξύ... οὐκ ἄρα δυνατὸν ἐπὶ τῆς ἀντιφάσεως θεωρεῖσθαί τι μεταξὺ ὡς ἀλλότριον, ἀλλ' οὐδ' ὡς συγγενές· διό φησιν εἰ δ. ἐ. μ. κ. οὔτ. εἴη ἕν τι εἰς λευκόν. Asclep.

1012 a 2. "ἔτι — ἀπόφησιν." συντιθέντι τὸν πάντα νοῦν ἡ ἐπιχείρησις τοιαύτη. εἰ περὶ τὸ ὁπωσοῦν ὄν, εἴτε ὡς νοητὸν ὂν εἴτε ὡς διανοητόν, ἡ διάνοια ἀποφαίνεται καὶ ἀληθεύει ἢ ψεύδεται περὶ αὐτοῦ καταφάσκουσα ἢ ἀποφάσκουσα (ἐν γὰρ τῷ καταφάσκειν ἢ ἀποφάσκειν τὸ ἀληθεύειν ἢ ψεύδεσθαι, ὡς δέδεικται ἐκ τοῦ ὁρισμοῦ τοῦ τε ἀληθοῦς καὶ τοῦ ψεύδους), περὶ ὃ μὴ οἷόν τέ ἐστι τὴν διάνοιαν ἀποφαίνεσθαι καὶ ἀληθεύειν ἢ ψεύδεσθαι καταφάσκουσαν ἢ ἀποφάσκουσαν, τοῦτο οὐδ' ἂν εἴη τι τὴν ἀρχήν. περὶ δὲ τοῦ λεγομένου μεταξὺ τῆς ἀντιφάσεως εἶναι οὐχ οἷόν τε τὴν διάνοιαν ἀποφαίνεσθαι καὶ ἀληθεύειν ἢ ψεύδεσθαι, ὅτι μὴ καταφάσκειν ἢ ἀποφάσκειν, ὥστε οὐδ' ἂν εἴη τι τῆς ἀντιφάσεως μεταξύ. αὐτὸς μέντοι ἐπιτόμως τὴν ἐπιχείρησιν εἶπεν· οὐ γὰρ εἶπεν οὐδὲ τὸ συνημμένον πᾶν, τὸ εἰ περὶ νοητὸν καὶ διανοητὸν ἡ διάνοια ἀποφαινομένη ἢ κατάφησιν ἢ ἀπόφησιν, οὐδὲν τῆς ἀντιφάσεως ἐστὶ μεταξύ, ἀλλὰ μόνον τὸ ἡγούμενον ἔθηκε καὶ κατασκευὴν ὅλου τοῦ συνημμένου, προχρησάμενος τῷ ὁρισμῷ ὃν ἀπέδωκε πρὸ ὀλίγου τοῦ ἀληθεύειν τε καὶ ψεύδεσθαι. εἴη δ' ἂν λέγων διὰ τοῦ "πᾶν τὸ διανοητὸν καὶ νοητὸν ἡ διάνοια κατάφησιν καὶ ἀπόφησιν" ὅτι περὶ παντὸς οὗ ἀποφαίνεται ἡ διάνοια, ἢ κατάφησιν ἢ ἀπόφησιν περὶ αὐτοῦ· πᾶν μὲν γὰρ ὃ ὡς ἀποφαινομένη λέγει, ἢ ἀληθεύει ἢ ψεύδεται, ἢ καταφάσκουσα ἢ ἀποφάσκουσα, ὡς ἐκ τοῦ ὁρισμοῦ τοῦ ἀληθεύειν τε καὶ ψεύδεσθαι δῆλόν ἐστιν. "διανοητόν τε καὶ νοητόν" ἤτοι ἐκ παραλλήλου εἴρηκεν, ἢ διανοητὸν μὲν λέγει τὸ πρακτόν, ἢ ὃ διεξέρχεται ἡ διάνοια ἐκ πλειόνων συλλογιζομένη ἢ δι' ἐπαγωγῆς λαμβάνουσα, νοητὸν δὲ τὸ θεωρητὸν ἢ τὸ ἁπλοῦν νόημα· περὶ ἀμφότερα γὰρ ἡ συγκατάθεσις καὶ ἡ φάσις τε καὶ ἡ ἀπόφασις. πάνυ δὲ συντόμως καὶ ἐπιτετμημένως ἡ λέξις ἔχει· μόνον γάρ, ὡς εἶπον, ἐν αὐτῇ τὸ ἡγούμενον ἐν τῷ λόγῳ ἔθηκεν. Alex.

"ἔτι — λέγεται." ἡ ἐπιχείρησις βραχέως μὲν εἴρηται καὶ αὕτη, 1012 a 5.
ἔστι δὲ ὁ νοῦς αὐτῆς τοιοῦτος. εἴγε τῆς ἀντιφάσεως ἔστι τι μεταξύ, οὐ τῆσδε μὲν τῆς περὶ τόδε τι ἀντιφάσεως ἔσται μεταξὺ τῆσδε δὲ οὐκ ἔσται, ἀλλὰ πάσης ἔσται τι μεταξύ, εἰ μὴ λόγου χάριν τοῦτο λέγεται οὐδ' ὅλως οὕτως ἔχον. ὥστε ἐπεὶ ἀντίφασις καὶ τὸ ἀληθεύειν καὶ τὸ μὴ ἀληθεύειν, ἔσται τι καὶ ταύτης μεταξύ. ἀλλὰ μὴν ἐπὶ τοῦ μεταξὺ ἡ ἀπόφασις τῶν ἄκρων ἀληθής. ἔσται ἄρα τις μεταξὺ πρότασις τῆς τε ἀληθοῦς τῆς λεγούσης Δίων περιπατεῖ, καὶ ψευδοῦς τῆς Δίων οὐ περιπατεῖ. ἢ οὔτε ἀληθὴς ἔσται οὔτε οὐκ ἀληθής· τοῦτο δὲ ἄτοπον. "καὶ παρὰ τὸ ὂν καὶ παρὰ τὸ μὴ ὂν ἔσται." καὶ αὕτη βραχέως μὲν εἴρηται ἡ ἐπιχείρησις, ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. εἰ τῆς ἀντιφάσεως ἔστι τι μεταξύ, ἔσται τι μεταξὺ τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος, ἐφ' οὗ καὶ πρὸ ὀλίγου εἶπεν ὅτι ἔστι τι τοιοῦτον ὃ ὁ λέγων αὐτὸ εἶναί τε καὶ μὴ εἶναι ἢ ἀληθεύει ἢ ψεύδεται, εἴτε κατάφησιν ἢ ἀπόφησιν. οὐχ οἷόν τε δὲ τοῦτο, τὸ μεταξὺ τοῦτο μήτε ὂν εἶναι μήτε μὴ ὄν, τὸ δὲ ἀληθὲς καὶ ψεῦδος ὡρίσθαι ταῖς τούτων καταφάσεσι καὶ ἀποφάσεσι. περὶ δὴ τούτου καὶ νῦν λέγων τοῦ μεταξὺ τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος, φησὶν ὅτι εἰ τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος ἔσται τι μεταξύ, ἔσται τις μεταξὺ καὶ μεταβολὴ γενέσεως καὶ φθορᾶς (*). εἰ γάρ ἐστιν ἡ μὲν γένεσις εἰς τὸ ὂν ἐκ τοῦ μὴ ὄντος μεταβολή, ἡ δὲ φθορὰ εἰς τὸ μὴ ὂν ἐκ τοῦ ὄντος ἢ εἰς τὸ μεταξὺ ἐκείνων, οὔτε γένεσις ἔσται οὔτε φθορά, οὖσα κατ' οὐσίαν μεταβολή· οὔτε γὰρ εἰς ὂν ἔσται οὔτε εἰς μὴ ὄν, οὔτε ἐξ ὄντος οὔτε ἐκ μὴ ὄντος. ἐν δὲ τούτοις ἦν ἡ γένεσις καὶ ἡ φθορά· ἡ γὰρ κίνησις ἡ κατὰ τόπον ἢ ἡ κατὰ ποιότητα ἢ ἡ κατὰ ποσότητα οὔτε κατ' οὐσίαν μεταβολὴ οὔτε μεταξὺ γενέσεως καὶ φθορᾶς· τὸ γὰρ μεταξύ τινων κυρίως τοιοῦτον ὡς εἰς ἑκάτερον τῶν ἄκρων ἐξ αὐτοῦ γίνεσθαι μεταβολήν, ὃ ἐπ' οὐδενός ἐστι τούτων. δεῖ δὲ προσυπακούειν τῷ "παρὰ γένεσιν καὶ φθορὰν μεταβολή τις ἔσται" τὸ κατ' οὐσίαν, ἡ μεταξὺ οὖσα γενέσεώς τε καὶ φθορᾶς. id.

1. τι ἔστιν A1, τις A2. ‖ 4. τε om AM. ‖ 5. ἡ ἀντίφασις," τουτέστι καὶ οὕτως om MV. ‖ 8. et 10. οὐ post οὐχὶ et 9. τε om V. ‖ 10. μεταβάλλοι — 11. λευκοῦ om A. ‖ 16. γίνοιτο MV. ‖ 19. οὐ post οὐχὶ om V. ‖ 27. ἀπόφασιν M, ἀπόφασι A. ‖ 28. ἂν om M. ‖ 33. *id minime in rebus est* Sepulv. ‖ 36. μὴ] μηδὲ M. ‖ τι om M. ‖ 37. αὐτὸς] αὐτὴν M. ‖ 41. δ' om M.

2. ἀπόφησιν πρὸς περὶ M. ‖ 4. ἢ ἀποφάσκουσα om A. ‖ 6. πρακτικόν M, τὸ πράττειν V. ‖ 8. *ceterum dictio admodum succincta et coacta est* Sepulv. ‖ 10. ἐπιτεταγμένη ὡς ἡ M. ‖ 14. ἀντίφασις M. ‖ 19. καὶ — 20. περιπατεῖ om A. ‖ 20. οὐκ ἀληθοῦς M. ‖ 23. ἐστι] ἔσται M. ‖ 24. ὃ om M. ‖ 28. καὶ ἀποφάσεσι om M. ‖ 39. τῷ] τὸ A.

λόγος τοιοῦτος· τὸ ἕτερον τῶν ἐναντίων τοῦ ἑτέρου τῶν ἐναντίων στέρησις· ἡ στέρησις ἀπόφασις οὗ ἐστὶ στέρησις· τὸ ἕτερον ἄρα τῶν ἐναντίων ἀπόφασίς ἐστι τοῦ οὗ ἐστιν ἐναντίον. εἰ δὲ ἡ ἀπόφασις μὴ συναληθεύοι τῇ καταφάσει, οὐδ' ἂν τἀναντία. ἀλλ' εἰ μὴ οἷόν τε ἅμα τἀναντία τοῦ αὐτοῦ κατηγορῆσαι ἀληθῶς, προσκείσθωσαν δὲ οἱ διορισμοὶ οἱ ἐν τοῖς ἐναντίοις ὑποτιθέμενοι, οὐδ' ἂν συνυπάρχειν ἀλλήλοις δύναιτο, ἀλλ' ἢ πῇ ἄμφω ἢ θάτερον πῇ θάτερον δὲ ἁπλῶς, πῇ μὲν ἄμφω, εἰ κατ' ἄλλο καὶ ἄλλο μόριον αὐτοῦ ἔχοι τι τἀναντία, θάτερον δὲ πῇ θατέρου ἁπλῶς ὄντος, ὡς εἶπεν ἐν τοῖς Ἠθικοῖς (3 1), τὴν ἐκβολὴν τῶν φορτίων ἐν θαλάσσῃ ἁπλῶς μὲν καὶ καθ' αὑτὴν ἐξεταζομένην ἀκούσιον εἶναι, τότε δὲ ὅτε πράσσεται ἑκούσιον, καὶ τὸν Αἰθίοπα ἁπλῶς μὲν καὶ ὅλον ὁρώμενον μέλανα, πῇ δὲ λευκόν (κατὰ γὰρ τοὺς ὀδόντας), καὶ τὸ ἐγὼ ψεύδομαι, ἁπλῶς ψευδὲς ὄν, πῇ ἀληθές ἐστιν, ὡς ἐν ἄλλοις δέδεικται. id.

1011b 23 “ἀλλὰ — οὐδέν.” δείξας ὅτι μὴ οἷόν τε ἅμα τἀναντία ὑπάρχειν, ἐφεξῆς δείκνυσι διὰ πλειόνων ὅτι μηδέν ἐστι μεταξὺ τῆς ἀντιφάσεως. προσκατασκευάζοιτο δ' ἂν διὰ τούτου τὸ μηδὲ ψεύδεσθαι ἅμα τὴν ἀντίφασιν· ᾧ ἕποιτο ἂν τὸ διαιρεῖν ἐπὶ παντὸς αὐτὴν τὸ ἀληθές τε καὶ τὸ ψεῦδος. εἰ γὰρ μήτε ἀληθὲς ἅμα, ὡς δέδεικται, μήτε ἅμα ψευδές (δύναιτο γὰρ ἂν τοῦτο εἰρῆσθαι μεταξὺ τῆς ἀντιφάσεως), λείπεται τὸ ἐπὶ παντὸς τὸ ἕτερον αὐτῆς μόριον ἀληθὲς εἶναι, τὸ δὲ ἕτερον ψεῦδος. ὅτι οὖν μηδὲν τῆς ἀντιφάσεως μεταξύ, δείκνυται. δεῖ δὲ μίαν λαμβάνειν ἀντίφασιν· τοῦτο δὲ εἴη ἄν, εἰ ἓν καθ' ἑνὸς εἴη καὶ τὸ καταφασκόμενον καὶ τὸ ἀποφασκόμενον· εἰ γὰρ μὴ ἓν καθ' ἑνὸς εἴη, οὐ μία ἔτι καὶ ἡ αὐτὴ ἀντίφασις, ἀλλὰ πλείους ἔσονται αἵ τε καταφάσεις καὶ ἀποφάσεις. εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον ἔν τε τῷ περὶ Ἑρμηνείας (c. 7 sq.) καὶ ἐν τῷ περὶ Καταφάσεως. διὸ καὶ αὐτὸς προσέθηκε τὸ “ἓν καθ' ἑνός.” πρὸς δὲ τὴν δεῖξιν τοῦ μηδὲν εἶναι τῆς ἀντιφάσεως μεταξὺ πρώτῃ ἐπιχειρήσει χρῆται τοιαύτῃ. ὁρίζεται τί ἐστι τὸ ἀληθὲς καὶ τί τὸ ψεῦδος, καὶ λαμβάνει ἀληθὲς μὲν εἶναι τὸ τὸ ὂν λέγειν εἶναι καὶ τὸ μὴ ὂν μὴ εἶναι, ψεῦδος δὲ τὸ τὸ ὂν λέγειν μὴ εἶναι ἢ τὸ μὴ ὂν εἶναι· ὧν τὰ μὲν καταφάσεις εἰσί, τὰ δὲ ἀποφάσεις. ὁ δὴ τὸ μεταξὺ καὶ τοῦτο λέγων εἶναι ἢ μὴ εἶναι, εἰ ὅλως ἔστι τι (διὰ γὰρ ταῦτα “ὥστε καὶ ὁ λέγων τοῦτο εἶναι ἢ μή” περὶ τοῦ μεταξὺ εἴρηκε), δῆλον μὲν ὅτι ἀληθεύοι μὲν ἂν ἢ ψεύδοιτο. πᾶς γὰρ ὁ περί τινος ἀποφαινόμενος καὶ ἢ εἶναι αὐτὸ λέγων ἢ μὴ εἶναι ἀληθεύει ἢ ψεύδεται. ἀδύνατον δὲ τοῦτο ἐπὶ τούτου· οἱ γὰρ τὸ ὂν ἢ τὸ μὴ ὂν ἢ εἶναι ἢ μὴ εἶναι λέγοντες ἦσαν οἱ ἀληθεύοντες, τουτέστιν οἱ κατάφασιν ἢ ἀπόφασιν λέγοντες, τὸ δὲ μεταξὺ τῆς ἀντίφασεως οὐδὲ τὸ ἕτερον τούτων. ὃ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ἀληθεύουσι μὲν καὶ ψεύδονται οἱ τὸ ὂν καὶ μὴ ὂν εἶναι λέγοντες ἢ μὴ εἶναι, ὡς ὡρίσθη, ὁ δὲ τὸ μεταξὺ τῆς ἀντιφάσεως λέγων εἶναι ἢ μὴ εἶναι οὔτε τὸ ὂν εἶναι ἢ μὴ εἶναι λέγει οὔτε τὸ μὴ ὄν, τῷ τὸ μεταξὺ τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος μήτε ὂν εἶναι μήτε μὴ ὄν· ὥστε οὔτ' ἂν ἀληθεύοιτο οὔτε ψεύδοιτο ὁ τὸ εἶναι αὐτοῦ ἢ τὸ μὴ εἶναι κατηγορῶν. ὁμοίως δὲ καὶ εἰ μὴ τὸ εἶναι καὶ μὴ εἶναι αὐτοῦ κατηγορεῖ τις, ἄλλο δέ τι· οὐδὲ γὰρ ἄλλο τι κατηγορῶν αὐτοῦ ἢ ἀληθεύσει ἢ ψεύσεται, τῷ δεῖν μὲν αὐτὸ εἶναι ἢ μὴ εἶναι, εἰ μέλλοι ὁ κατηγορῶν τι αὐτοῦ ἢ ἀληθεύειν ἢ ψεύδεσθαι. τὸ δὲ μεταξὺ τοῦ ὄντος καὶ μὴ ὄντος καὶ τῆς ἀντιφάσεως οὔτε ὄν ἐστιν οὔτε μὴ ὄν. id.

“ἔτι — λευκοῦ.” ἡ ἐπιχείρησις τοιαύτη. ὁ λέγων μεταξύ 1011b 29.
τι εἶναι τῆς ἀντιφάσεως ἤτοι οὕτως ἐρεῖ τι μεταξὺ ὡς λευκοῦ καὶ μέλανος, ἀντικειμένων τε καὶ ἐναντίων ὄντων, τὸ φαιὸν ἤ τι ἄλλο τῶν μεταξὺ χρωμάτων καὶ ὅλως τῶν ἀντικειμένων ἀλλήλοις, ἢ ὡς τῶν τυχόντων τινῶν εἴωθε λέγεσθαι μεταξὺ τὸ μηδέτερον αὐτῶν ὄν, οἷον ἵππου καὶ ἀνθρώπου, εἰ λέγοι τις μεταξὺ τὸ μήτε ἄνθρωπον μήτε ἵππον εἶναι. ἀλλ' εἰ μὲν οὕτως λέγοι τις εἶναι μεταξὺ τῆς ἀντιφάσεώς τι ὡς τῶν τυχόντων μεταξὺ καλεῖν ἔθος τὸ μηδέτερον, οὐκ ἂν εἴη τοῦτο κυρίως μεταξύ· οὐ γὰρ οἷόν τε ἐκ τοῦ οὕτως λεγομένου μεταξὺ μεταβολὴν εἰς τὰ ἄκρα γίνεσθαι, ἐκ δὲ τῶν μεταξὺ ἀεὶ γίνεται εἰς τὰ ὧν ἐστὶ μεταξὺ μεταβολή. ἀλλ' οὐδὲ τὰ ὧν τοιοῦτον τὸ μεταξὺ ἢ ἀντικείμενα ἂν εἴη ἀλλήλοις ἢ μεταβάλλοι ἂν εἰς ἄλληλα, εἰ τὰ τυχόντα εἴη· οὐ γὰρ μεταβάλλει τὸ τυχὸν εἰς τὸ τυχόν, ὁρᾶται δὲ ἀεὶ κατὰ τὴν ἀντίφασιν γινομένη μεταβολή· ἐκ γὰρ ἀγαθοῦ εἰς οὐκ ἀγαθόν, καὶ ἐξ οὐκ ἀγαθοῦ εἰς ἀγαθὸν ἡ μεταβολή, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. εἰ δὴ πᾶσα μὲν μεταβολὴ εἰς τὰ ἀντικείμενα ἢ τὰ μεταξύ, τοιούτου δὲ τοῦ μεταξὺ λαμβανομένου οὔτε εἰς τὸ μεταξὺ οὔτε ἐκ τοῦ μεταξὺ ἡ μεταβολή, ἀλλ' οὐδὲ ὁρίσαι ἄλληλα, ὧν τὸ τοιοῦτον μεταξύ ([1])· οὔτε ἂν ἐκεῖνα ἀντικείμενα ἀλλήλοις ᾖ, οὐδὲ ἀντίφασιν ποιοῦντα, οὔτε τὸ ληφθὲν αὐτῶν ὡς μεταξὺ μεταξύ. “ἐκ μὴ ἀγαθοῦ γὰρ εἰς ἀγαθὸν μεταβάλλει, ἢ ἐκ τούτου εἰς μὴ ἀγαθόν. νῦν δὲ ἀεὶ φαίνεται.” εἰ εἴη, φησί, τὸ τῆς ἀντιφάσεως μεταξὺ ταὐτόν, καὶ οὕτως αὐτῶν μεταξὺ ὡς τὰ τυχόντων τινῶν μεταξὺ λαμβανόμενα, καθὸ μηδετέρῳ αὐτῶν ἐστὶ τὰ αὐτά, οὐκ ἂν εἰς αὐτὰ γίγνοιτο μεταβολὴ ἢ ἀπὸ τῆς καταφάσεως ἢ ἀπὸ τῆς ἀποφάσεως· τοῦ μὲν γὰρ ἀγαθοῦ εἰς οὐκ ἀγαθὸν ἡ μεταβολή, καὶ τοῦ οὐκ ἀγαθοῦ, ὅταν κατὰ τοῦτο μεταβάλλῃ, εἰς ἀγαθὸν ἡ μεταβολή. ἀλλὰ μὴν ἀεὶ φαίνεται ἐν οἷς τί ἐστι μεταξύ, εἰς τοῦτο γινομένη ἑκατέρου τῶν ἄκρων τε καὶ ἀντικειμένων ἡ μεταβολή. λείπεται ἄρα ὡς ἀντικειμένων εἶναι αὐτῶν μεταξύ

3. ἐναντίον M. ‖ ἡ om M. ‖ 4. ἀληθεύει M. ‖ 6. διωρισμένοι M. ‖ 7. πῇ θατέρου δὲ ἁπλῶς· πῇ M. ‖ 8. καὶ κατ' ἄλλο A. ‖ 9. θατέρου δὲ ἁπλῶς A. ‖ 10. μὲν κατὰ αὑτὸ ἐξεταζομένην M. ‖ 12. καὶ τὸ Αἰθίοπος M. ‖ 15. οὐδέν — 16. ἀντιφάσεως om M. ‖ 17. μηδὲ συνενδέχεται εἶναι οὐδέν· δείξας ὅτι μὴ οἷόν τε ἅμα τἀναντία ὑπάρχειν, ἔτι φησίν· ᾧ M. ‖ 31. ὂν μὲν λέγειν M. ‖ 32. τὸ prius om M. ‖ 34. εἶναι καὶ ἢ M. ‖ 38. *at non est horum alterum medium contradictionis* Sepulv.

1. οἱ] οἷον M. ‖ εἶναι ἢ μὴ εἶναι λέγοντες, ὡς A. ‖ 5. οὔτ'] οὐδ' M. ‖ οὔτε] ἅτε M. ‖ 6. εἶναι εἰ μὴ M. ‖ 15. αὐτῷ M. ‖ 19. μεταξὺ κυρίως M. ‖ 22. μεταβάλλῃ M. ‖ 24. γινομένην μεταβολήν M. ‖ 25. ἐκ — μεταβολή om A. ‖ 26. μὲν om A. ‖ 32. δὲ ἐκφαίνεται A, δὲ οὐ φαίνεται MV. ‖ 35. αὐτά] αὐτὸ M. ‖ 40. *superest igitur ut contradictionis medium si quod est, sit quasi contrariorum medium, ut fuscum* Sepulv.

αὐτῆς δόξαν γενέσθαι· ἀλλ' ἑκάστῳ τὸ εἶναι τὸ δοξάζεσθαί ἐστι, καὶ ἐν τούτῳ ἡ γένεσίς τε καὶ ἡ οὐσία αὐτῶν, καὶ οὐκ ἔστιν ἄλλο τῷ ἵππῳ τὸ τί ἦν εἶναι, ἀλλ' ἐν τῷ δοξάζεσθαι (ἐν τούτῳ γὰρ αὐτῷ τὸ εἶναι), ὁμοίως δὲ καὶ τοῖς ἄλλοις πᾶσι τοῖς οὖσιν· οὐδὲν γὰρ διαφέρει κύνα εἰπεῖν ἢ δοξαστόν. ἄπειρα δὲ κατὰ τὸ εἶδός ἐστι τὰ ὄντα· ἄπειρα ἔσται κατὰ τὸ εἶδος τὰ δοξαστά τε καὶ τὰ δοξαζόμενα, καθό ἐστι δοξαστά. ὥστε οὖν εἰ τὰ δοξαζόμενα πρὸς τὰ δοξάζοντα λέγεται, πρὸς ἄπειρα τῷ εἴδει τὸ δοξάζον ῥηθήσεται, εἴγε ἄπειρα κατ' εἶδος τὰ δοξαζόμενα ὑπὸ τοῦ αὐτοῦ, οἷς ἐν τῷ δοξάζεσθαι τὸ εἶναι. τοῦτο δὲ ἄτοπον. ἰσχυρὸς δὲ ὁ λόγος πρὸς ἀναίρεσιν τοῦ πάντα πρός τι εἶναι, ὅτε δείκνυσιν ὅτι οὐδενὸς προδοξάσαντος οὔτε εἶναι οὔτε ἔσεσθαι, καὶ ὁ ἀντιστρέφων αὐτῷ ὁ λέγων πάντα, ἃ δοξάζει τις, ἢ εἶναι ἢ ἔσεσθαι· πολλά τε γὰρ τῶν γινομένων μὴ προδοξασθέντα γινόμενα καὶ λεγόμενα προσδοκητά, καὶ πολλά, ἃ πάλιν δοξαζόμενα οὐ γίνεται, ὡς θησαυρῶν εὕρεσις, ἐν πολέμοις καὶ ἐν ἀγῶσι νῖκαι καὶ ἧτται, καὶ μυρία ὅσα ἄλλα. καὶ ἔτι ὁ λέγων, εἰ ἐν τῷ δοξάζεσθαι ἑκάστῳ τῶν ὄντων ἐστὶ τὸ εἶναι, μὴ ὄντος γε τοῦ δοξάσαντος οὐδὲν ἔσται· ὥστε ἀναιρεθέντος ζῴου οὐδὲν ἄλλο εἴη, καὶ συμφθείροιτο ἂν τῷ δοξάζοντι φθειρομένῳ ἡ ὕπαρξις τῶνδε ὧν ἐδόξαζεν, ὡς εἴπομεν ἤδη. ἀλλ' εἰ καὶ εἴη μέν, μηκέτι δὲ δοξάζοιτο αὐτό, οὐδὲ τότε ἂν εἴη. ἔτι αὐτὸς ὁ δοξάζων ὅτε δοξάζει, εἰ μὴ ὑπό τινος δοξάζοιτο, οὐκ ἔσται ὤν· καὶ οὕτω συμβήσεται αὐτῷ μὴ εἶναί τε ἅμα καὶ δοξάζειν. ἔτι ἐν τῇ τῆς δόξης ἀπαλλαγῇ καὶ τῶν πραγμάτων ἔσται μεταλλαγή, περὶ ὧν μεταπίπτουσα δόξας τι ὁ δοξάζων, εἰ μή τις αὐτὸν δοξάζοι ὡς δοξάζοντα. ἔτι εἰ ὁ μὲν αὐτὸν δοξάζει εἶναι, ὁ δὲ μή, εἴη ἂν ἅμα καὶ οὐκ εἴη. ἀλλὰ καὶ εἰ πολλὰ δοξάζοιεν εἶναι, ἔσται πολλὰ ὁ αὐτός. καὶ εἰ ἐν διαφόροις ἅμα τόποις τὸ αὐτό τινες τὸν ἀριθμὸν δοξάζοιεν εἶναι, ἔσται ἅμα τὸ αὐτὸ ἐν διαφόροις τόποις· καὶ εἴη ἂν καὶ εἰ διάφορον, οἷον οἱ μὲν ἠρεμοῦντα οἱ δὲ κινούμενα, ἅμα τὰ αὐτὰ ἔσται, καὶ μυρία ἄν τις εὕροι τῇδε τῇ δόξῃ ἄτοπα ἑπόμενα. Alex.

(') ἰστέον ὅτι τῶν πρός τι ἕκαστον ἤτοι πρὸς ἓν λέγεται, ἢ εἰ καὶ πλείω, τὸ αὐτὸ καθ' ἕκαστον τῶν πρὸς ὃ λέγεται ὡρισμένον καὶ οὐ τὸ τυχόν· ἕκαστον γὰρ τῶν πρός τι πρὸς ὡρισμένον τι λέγεται· καὶ γὰρ εἰ πλείους τις σχέσεις ἔχει καὶ πρὸς πλείω διὰ τοῦτο λέγεται, ἀλλὰ καθ' ἑκάστην σχέσιν πρὸς ὡρισμένον τι λέγεται καὶ ταὐτὸν ἢ εἴδει ἢ γένει. εἰ γοῦν τὸ αὐτὸ ἴσον τ' εἴη καὶ διπλάσιον καὶ ἥμισυ, πρὸς πλείω μὲν ῥηθήσεται. Asclep.

1011 b 13. "ὅτι — φάσεις." τοῦτο ἦν τὸ προκείμενον αὐτῷ δεῖξαι, ὅτι γνωριμώτατον καὶ ἐναργέστατον ἀξίωμα τὸ μὴ συναληθεύεσθαι τὰς ἀντιφάσεις· ὃ δέδειχε διὰ πλειόνων. καὶ τίνα ἄτοπα ἕπεται τοῖς τοῦτο φάσκουσιν, εἴρηται, καὶ τί τὸ κινῆσαν τοὺς οὕτως ὑπολαμβάνοντάς τε καὶ θεμένους, ὅτι τό τε τἀναντία ἐκ τοῦ αὐτοῦ ὁρᾶν γινόμενα καὶ τὸ μὴ πᾶσι τὰ αὐτὰ φαίνεσθαι περὶ τῶν δοκούντων εἶναι τῶν αὐτῶν. Alex.

"ἐπεὶ — αὐτοῦ." δείξας ἐναργέστατον ὂν ἀξίωμα τὸ μὴ δύνασθαι 1011 b 15. ἅμα τὴν ἀντίφασιν ἀληθῆ εἶναι, φησὶν ἕπεσθαι τούτῳ τὸ μηδὲ τἀναντία ἅμα δύνασθαι ὑπάρχειν τῷ αὐτῷ, καὶ πῶς ἕπεται δείκνυσι. "τῶν μὲν γὰρ ἐναντίων θάτερον στέρησίς ἐστιν οὐχ ἧττον," τουτέστι τὸ 1011 b 18. ἕτερον τῶν ἐναντίων οὐχ ἧττον στέρησίς ἐστιν ἢ ἐναντία. κέχρηται δὲ τῷ ἐπιχειρήματι τούτῳ μάλιστα ἐν τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς (1 3). δύναται τὸ "οὐχ ἧττον" σημαντικὸν εἶναι τοῦ οὐχ ἧττον τὸ ἕτερον τοῦ ἑτέρου στέρησις· εἴρηκε μὲν γὰρ ἐν ἐκείνοις τὸ χεῖρον ἐν τῇ τῶν ἐναντίων συστοιχίᾳ στέρησιν εἶναι, κυρίως τοῦ ἀμείνονος εἴδους ὄντος. οὕτως τὸ μέλαν στέρησις τοῦ λευκοῦ καὶ τὸ αἰσχρὸν τοῦ καλοῦ καὶ τὸ πικρὸν τοῦ γλυκέος· ἤδη μέντοι ἑκάτερον ἑκατέρου στέρησις· καὶ ταύτῃ τἀναντία τῶν κυρίως στερήσεων διαφέρει, ἢ ἐκεῖ μὲν τὸ ἕτερον μόνον τοῦ ἑτέρου στέρησις, ἐπὶ δὲ τῶν ἐναντίων ἑκάτερον ἑκατέρου. λαβὼν δὲ τὸ ἕτερον τῶν ἐναντίων στέρησιν εἶναι τοῦ ἑτέρου, μετὰ ταῦτα προσέθηκε τὸ "οὐσίας δὲ στέρησις," ἴσον λέγων τῷ ἡ δὲ 1011 b 19. στέρησις οὐσίας, τουτέστιν ὄντος τινὸς καὶ ὡρισμένου. ὁ ἐξηγούμενος προσέθηκεν "ἡ δὲ στέρησις ἀπόφασίς ἐστιν ἀπό τινος ὡρισμένου γένους." οὕτω γὰρ γίνεται σῷζον τὸ λεγόμενον τὴν πρὸς τὰ εἰρημένα συνέχειαν. τίνι δὲ διαφέρει τῆς ἁπλῶς ἀποφάσεως ἡ στερητικὴ ἀπόφασις, ἐδήλωσε διὰ τοῦ προσθεῖναι "ἀπό τινος ὡρισμένου γένους." τούτου δὲ σημαντικὸν ἦν καὶ τὸ "οὐσίας δὲ στέρησις." ἢ τὸ "οὐσίας δὲ στέρησις" ἴσον ἐστὶ τῷ ἡ δὲ στέρησις στέρησις οὐσίας καὶ ὄντος τινός· ὂν γάρ τι τὸ ἐστερημένον ἐστέρηταί τινος· οὐ γὰρ ὥσπερ ἀπόφασις, ἣ τινων ἀληθεύεται καὶ κατὰ τῶν πεφυκότων ἐκεῖνο δέχεσθαι μὴ ἐχόντων δέ, καὶ κατὰ τῶν μηδ' ὅλως πεφυκότων· τὸ γὰρ οὐχ ὁρᾷ καὶ ἐπὶ τοῦ τυφλοῦ ἀληθὲς καὶ ἐπὶ τοῦ τοίχου, ὃς οὐδὲ ὅλως ὄψεως δεκτικός. κατὰ ἀορίστων γὰρ ἡ ἀπόφασις. οὐχ οὕτω καὶ ἡ τυφλότης· ἐπὶ γὰρ τῶν ἀφῃρημένων τὴν ὄψιν μόνον ἀληθεύεται. ὁμοίως καὶ τὸ ἐναντίον, εἴγε ἡ αὐτὴ φύσις τῶν ἐναντίων δεκτική. τούτῳ γὰρ στέρησις ἀποφάσεως, φησί, διαφέρει, ὅτι ἡ μὲν ἀπόφασις κατά τε ὄντων καὶ μὴ ὄντων κατηγορεῖται, ἡ δὲ στέρησις κατά τινος ὑποκειμένης φύσεως, ἥτις καὶ τοῦ εἴδους καὶ τῆς ἕξεώς ἐστι δεκτική. ἅμα δὲ καὶ τί ἐστι στέρησις καὶ τί δύναται ἐξέθετο, εἰπὼν ἀπόφασις γάρ ἐστιν ἀπό τινος ὡρισμένου· τοῦτο δὲ ἐν τοῖς πρώτοις ἤδη περὶ στερήσεως εἶπεν. εἰ δὴ τῶν μὲν ἐναντίων θάτερον στέρησις θατέρου, ἡ δὲ στέρησις ἀπόφασίς τις, οὐδεμία δὲ ἀπόφασις συναληθεύεται τῇ ἀντικειμένῃ φάσει, οὐδ' ἂν τὰ ἐναντία συνυπάρχοι ἀλλήλοις. ὁ γὰρ

11. προσδεξάσαντος M. ‖ 14. δοξαζόμενος M. ‖ 22. συμβιβήσεται M. ‖ 23. *praeterea si opinio mutetur, res quoque de quibus habetur mutabuntur, nisi si quis se ipsum existimet ut existimantem* Sepulr. ‖ 28. ἔσται om M. ‖ *idem simul erit in diversis locis: denique idem res oppositae fuerit, ut si quod quiescere quidam putat, hoc alius moveri opinetur; et alia innumera incommoda ex hac opinione sequi reperias* Sepulr. ‖ 30. μύρια αὖτις τῇδε M. ‖ 40. τῷ A. ‖ 41. δίδειχθαι M.

7. ἕπεσθαι M. ‖ 13. στέρησις M. ‖ 14. *esse privationem, cum praestantius proprie species seu forma esse intelligatur* Sepulv. ‖ 27. ὂν] οὐ M. ‖ ἐστερημένον σημαντικὸν ἦν ἐστέρηται M. ‖ 34. ἀποφάσεως] ἀποφάσει A. ‖ 41. γὰρ om AM.

ἀλλ' οὐδὲ ὁρατὸν πρὸς ἄλλο τι ἢ πρὸς ὄψιν· ὥστε εἰ καὶ πρὸς πλείω τὸ αὐτό, ἀλλὰ καθ' ἕκαστον ἀεὶ πρὸς ὡρισμένον τι. εἰπὼν δὲ τὸ πρός τι ἢ καὶ πρὸς ἕν, ἢ εἰ καὶ πρὸς πλείω ἀλλ' οὖν πρὸς ὡρισμένον τι καὶ ἓν καθ' ἑκάστην γε σχέσιν λέγεσθαι, τὸ μὲν ἐκ τοῦ πρὸς ἓν ἕκαστον λέγεσθαι καθ' ἑκάστην γε σχέσιν ἑπόμενον ἄτοπον καὶ ὁμολογούμενον τῇ δόξῃ ὕστερον ἐπιφέρει, πρῶτον δὲ ἄλλο δείκνυσιν ἑπόμενον αὐτῇ. ἐπεὶ γὰρ τὸ δοξάζον καὶ δοξαζόμενον πρὸς ἄλληλα λέγεται, εἰ ἔστιν ἑκάστῳ τῶν ὄντων τὸ εἶναι ἐν τῷ δοξάζεσθαι, ἐπεὶ καὶ ἕτερον τὸ δοξάζειν καὶ τὸ δοξάζεσθαι (πρός τι γὰρ καὶ ἀντικείμενον), εἰ ἄνθρωπός ἐστι τὸ δοξαζόμενον καὶ τὸ ἀνθρώπῳ εἶναι, εἴγε ἐν τῷ δοξάζεσθαι τὸ εἶναι ἔχει, τὸ δοξάζον οὐκ ἔσται ἄνθρωπος· ἕτερον γὰρ ἐστι τοῦ δοξαζομένου. κατὰ μὲν γὰρ τοὺς μὴ λέγοντας εἶναι πάντα τὰ ὄντα πρός τι, ἀλλὰ καταλείποντας οὐσίαν τινὰ ὑποκειμένην καὶ συμβεβηκὸς αὐτῇ ποιοῦντας τὸ πρός τι, πρόχειρός τε καὶ ῥᾳδία ἡ λύσις τοῦ προειρημένου. ὅτι γὰρ τὸ δοξάζον καθὸ δοξάζει τοῦ δοξαζομένου καθὸ δοξάζεται ἕτερόν ἐστι, λέγοιεν ἄν· ἕτερον γὰρ τοῦ δοξάζειν τὸ δοξάζεσθαι. ὃ μέντοι ποτὲ ἓν τῶν δοξαζόντων τε ἕκαστον καὶ δοξαζομένων συμβεβηκὸς ἔχει, ἢ τὸ δοξάζειν ἢ τὸ δοξάζεσθαι, οὐδὲν κωλύει ταῦτα εἶναι ταὐτά· οὐδὲ γὰρ ὁ ἄνθρωπος καθ' αὑτὸ ᾗ ἄνθρωπος ἐστιν ἔτι πρός τι, ἀλλὰ καθὸ δοξάζων καὶ δοξαζόμενος. καὶ οὕτω γε οὐδὲν κωλύει καὶ ἑαυτὸν δοξάζειν τινά· συμβέβηκε γὰρ τῷ αὐτῷ τῷ ἀνθρώπῳ ὄντι οὐσίᾳ πλείω ἅμα, ὥστε οὐδὲν κωλυθήσεται κατ' ἄλλο μὲν δοξάζων εἶναι, κατ' ἄλλο δὲ δοξαζόμενος· κατ' ἄλλο γὰρ καὶ ἄλλο· κατὰ δὲ τὸ ὑποκείμενον, ὃ ποτὲ ἓν ἔχει ταῦτα συμβεβηκότα, ὁ αὐτός. τοῖς δὲ πρός τι πάντα ποιοῦσιν οὐχ οἷόν τε λέγειν τοῦτο ἔτι· οὐ γὰρ ἔστι κατ' αὐτοὺς οὐσία τις, ᾗ συμβέβηκε δοξάζεσθαι, ὅ ἐστι πρός τι, ἀλλ' ἑκάστῳ τῶν ὄντων τὸ εἶναί ἐστιν ἐν τῷ δοξάζεσθαι. εἰ οὖν ὅταν δοξάζηται ἄνθρωπος, τότε ἔστι, καὶ ταὐτόν ἐστιν αὐτῷ ἀνθρώπῳ τε καὶ δοξαζομένῳ (διότι γὰρ δοξάζεται ὁ ἄνθρωπος εἶναι, ἔστι, καὶ ἐν τῷ δοξάζεσθαι ἐστὶν αὐτῷ τὸ εἶναι καὶ δοξαζόμενον), ὡς τὸ δοξάζεσθαι τοῦ δοξάζειν τέ ἐστιν ἕτερον καὶ οὐχ οἷόν τε καθὸ δοξάζεται καὶ δοξάζειν ἅμα, οὕτως καὶ τὸ δοξαζόμενον τοῦ δοξάζοντος ἕτερον ἔσται (ταὐτὸν γὰρ ἦν δοξάζεσθαί τε καὶ εἶναι), καὶ ὁ ἄνθρωπος ἄρα τοῦ δοξάζοντος ἕτερον ἔσται, ὅταν τὸ δοξαζόμενον ἄνθρωπος ᾖ. καὶ τοῦτο οὐ κατὰ συμβεβηκός, ἐπεὶ μὴ ἕτερον τὸ ἀνθρώπῳ εἶναι τοῦ δοξαζομένῳ εἶναι. καθὸ οὖν ἐστὶν αὐτῷ τὸ εἶναί τι τοῦτο, κατὰ τοῦτο αὐτοῦ ἕτερόν ἐστιν. τὸ δοξάζον ἄρα ἀνθρωποδοξάζον οὐκ ἔσται ἄνθρωπος τότε. οὐ γὰρ ὥσπερ ἐπὶ τοῦ ἴσου ὁ αὐτὸς λόγος ἐπ' ἀμφοτέρων καθὸ ἴσα, οὕτω καὶ ἐπὶ τοῦ δοξάζοντος καὶ δοξαζομένου. οὐ γὰρ τῶν οὕτως πρός τι ὄντων τὸ δοξάζον τε καὶ δοξαζόμενον· ἦν γὰρ ἄν, εἰ τοῦτο ἦν, πᾶν τὸ δοξάζον ταὐτὸν τῷ δοξαζομένῳ, ὡς τὸ ἴσον ἴσῳ ἴσον καὶ τὸ ὅμοιον ὁμοίῳ ὅμοιον. ἀλλ' οὐ τῶν κατ' ἰσότητα πρός τί ἐστι τὸ δοξάζειν τε καὶ τὸ δοξάζεσθαι, ἀλλὰ μᾶλλον τῶν κατὰ τὸ κρινόν τε καὶ κρινόμενον· ὧν καὶ τὰ τελειωτικὰ ἐπιστῆμαί τε καὶ αἰσθήσεις, ἐν οἷς πᾶσιν ἕτερα τὰ κρίνοντα τῶν κρινομένων· ἄλλο γὰρ ἑκάτερον αὐτῶν, καθὸ τοιοῦτον, καὶ ἄλλοι οἱ λόγοι αὐτῶν. διὸ ἐπὶ μὲν τῶν ἴσων τοῦ ἑτέρου ὄντος ἴσου καὶ θάτερον ἴσον ἐστὶ καὶ τὸν αὐτὸν ἔχει λόγον, οὐκέτι δὲ ἐπὶ αἰσθήσεως καὶ αἰσθητοῦ, ὥσπερ οὐδὲ ἐπὶ διπλασίου· οὐ γὰρ εἰ θάτερον τῶν πρὸς ἄλληλα λεγομένων διπλάσιον, καὶ θάτερον διπλάσιον· ἥμισυ γὰρ ἐκεῖνό γε, ἀλλ' οὐ διπλάσιον, ἔτι δὲ διαφέροντες οἱ λόγοι διπλασίου τε καὶ ἡμίσεος. οὕτω δὴ καὶ ἐπὶ τοῦ δοξάζοντος, εἰ θάτερον δοξάζον, θάτερον οὐκέτι δοξάζον ἀλλὰ δοξαζόμενον ἔσται, καὶ ἕτερον ἐκείνῳ τῷ λόγῳ. ὥστε εἰ τὸ δοξαζόμενον ἔσται, καὶ ἕτερον ἐκείνου τὸν τοῦ ἀνθρώπου λόγον ἔχει, καθὸ δοξάζεται τὸ δοξάζον, οὐκ ἔχον τὸν τοῦ ἀνθρώπου λόγον, οὐδ' ἄνθρωπος εἴη. δύναται δὲ καὶ αὕτη ἡ ἐπιχείρησις συνῆφθαι τῷ τὰ πρός τι ἓν πρὸς ἓν καὶ πρὸς ὡρισμένον λέγεσθαι· εἰ γὰρ πρὸς ἓν ἕκαστον τῶν πρός τι λέγεται, καὶ τὸ δοξάζειν πρὸς ἓν τὸ δοξάζεσθαι ἂν λέγοιτο, ὥστε εἰ ταὐτὸν ἑκάστῳ τῶν ὄντων τὸ εἶναί τε καὶ δοξάζεσθαι, τὸ δοξάζον ὥσπερ πρὸς τὸ δοξαζόμενον λέγεται, οὕτω ῥηθήσεται καὶ πρὸς τοῦτο, ὅ ἐστι τὸ δοξαζόμενον, εἴγε ταὐτὸν αὐτῷ τὸ εἶναι καὶ τὸ δοξαζόμενον. ἀλλ' ἔστι τὸ δοξαζόμενον τῷ δοξάζεσθαι ταὐτόν, καὶ τὸ δοξάζειν αὖ τῷ δοξάζοντι ταὐτόν· οὕτως γὰρ ἔσται πρὸς ἕν. εἰ δὲ τοῦτο, ὡς ἄλλο τὸ δοξάζειν τοῦ δοξάζεσθαι, οὕτως ἄλλο ἔσται καὶ τὸ δοξάζον τοῦ δοξαζομένου, καὶ ἀνάπαλιν, ὥστε εἰ ἄνθρωπος τὸ δοξαζόμενον, οὐκ ἔσται τὸ δοξάζον ἄνθρωπος· καὶ οὕτω καθ' ἕκαστον τῶν δοξαζομένων ἄλλο ἔσται τὸ δοξάζειν, ἀνθρώπου μέν, ὅταν ἄνθρωπον, κυνὸς δέ, ὅταν κύνα. εἰ δὲ καθ' ἕκαστον ἔσται πρὸς τὸ δοξάζον, πρὸς ἄπειρα ἔσται τῷ εἴδει τὸ δοξάζον. ἦν δὲ κείμενον τὸ τὰ πρός τι ἢ πρὸς ἓν λέγεσθαι, ἢ εἰ πρὸς πλείω λέγοιτο πρός τι τὸ αὐτό, ἀλλ' οὖν πρὸς ὡρισμένα· ὃ ἀναιροῦσιν οἱ πάντα πρός τι λέγοντες· ἔσται γὰρ πρὸς ἄπειρα τὸ δοξαστὸν ἓν καὶ ταὐτὸν ὄν, εἴγε μὴ ἔστιν ὑποκειμένη τις φύσις ᾗ συμβέβηκε τὸ δοξάζεσθαι, διάφορος μὲν οὖσα κατὰ τὴν οὐσίαν καὶ κατὰ τὸ εἶδος (ἄλλο γὰρ εἶδος ἵππου καὶ ἄλλο κυνός, καὶ τῶν ἄλλων ὅμοια, ὅσα ἐστὶ δοξαστά), ἓν δέ τι καὶ ταὐτὸ συμβεβηκὸς ἔχουσα τὸ εἶναι δοξαστὴ καὶ δύνασθαι

1. ἢ πρὸς ἴσον, οὔτε διπλάσιον πρός τι ἄλλο ἢ πρὸς ἥμισυ, οὔτε ἥμισυ πρός τι ἄλλο ἢ διπλάσιον· ἀλλ' οὐδὲ ὁρατὸν πρὸς ἄλλο τι ἢ ὄψιν *M.* ‖ 2. *sed ubi dixit relativum ad unum dici, vel si ad plura, certe per singulas habitudines ad aliquid definitum referri, antequam incommodum inferat quod ex eo sequitur, quod unumquodque per singulas habitudines ad unum refertur, aliud absurdum, quod eandem consequitur opinionem, demonstrat* Sepulv. ‖ 4. γε] τὴν *M.* ‖ 8. καὶ om *M.* ‖ 10. καὶ τῷ ἀνθρώπῳ εἶναι, ἐστὶν ἐν *A.* ‖ 12. μὴ om *AM.* ‖ 13. τοὺς *M.* ‖ 14. προειρημένου *M.* ‖ 17. ἐ] ἂν *M.* ‖ 22. οὐδὲν καὶ λυθήσεται *M.* ‖ 26. λέγειν ἐστί· οὐ *M.* ‖ ᾗ] οὐ *M.* ‖ 27. ὃ — 28. δοξάζεσθαι om *M.* ‖ 32. καθὸ δοξάζεσθαι καὶ *M.* ‖ 35. οὐ κατὰ] οὐκ αὐτὰ *M.* ‖ τὸ] τῷ *M.* ‖ 37. αὐτοῦ] αὐτῷ *M.*

2. *alioquin omne existimans hoc esset quod existimatum, quemadmodum* Sepulv. ‖ 3. ἦν καί (?) *A*, ἂν πᾶ, εἰ *M.* ‖ 4. ἴσῳ ἴσον om *A.* ‖ 5. ἐστι] ἐπὶ *M.* ‖ 6. τῶν om *M.* ‖ τελειωτικὰ om Sepulv. ‖ 7. πᾶσιν] πάλιν *M.* ‖ 9. ἴσου, καθάπερ ἴσοι *M.* ‖ 11. διπλάζου *M.* ‖ 12. καὶ θάτερον διπλάσιον om *M.* ‖ τε *M.* ‖ 14. ἡμίσεως *M.* ‖ 15. ἐκείνου *M.* ‖ 21. ταῦτα *A.* ‖ 32. λέγει τὸ πρός *M.*

τῆς ὄψεως. ὃ γὰρ ἡ ὄψις ἓν φαντάζεται, τοῦτο τῇ ἁφῇ πλείω φαίνεται κατὰ τὴν τῶν δακτύλων τῶν διαφερόντων ἐπιβολὴν ἐπ' αὐτοῖς· ὅσοι γὰρ οἱ ἁπτόμενοι δάκτυλοι καὶ ὁσάκις ἅπτονται, τοσαῦτα φαίνονται εἶναι κἀκεῖνα ὧν ἅπτονται, ἓν φαινόμενα τῇ ὄψει. δύναται καὶ ἑνός τινος συνεχοῦς ὄντος τῇ ἁφῇ τοῦτο δοκεῖν πολλὰ ἐν τῇ παρὰ μέρος ἐπιβολῇ τῶν δακτύλων. κἂν τὸ μὲν αὐτοῦ μαλακὸν ᾖ τὸ δὲ σκληρόν τε καὶ πυκνόν, καὶ τὸ μὲν τραχὺ τὸ δὲ λεῖον, ἅπτηται δέ τις μὴ ὁρῶν, ἄλλοτε ἄλλῃ μεταφέρων τοὺς δακτύλους δύναται τὴν δακτύλων ἐπαλλαγὴν λέγειν εἶναι τὴν πρὸς ἀλλήλους συμπλοκήν. οἱ γὰρ περιπεπλεγμένοι ἀλλήλοις δάκτυλοι τῇ μὲν ὄψει εἷς φαίνονται, τῇ δὲ κατὰ τὴν ἁφὴν αὐτῶν τὴν πρὸς ἀλλήλους συναισθήσει πλείους αὐτοὺς λέγουσιν. ἔστι δὲ τὸ αὐτὸ δεῖξαι φανερώτερον καὶ ἐπὶ γεύσεώς τε καὶ ὄψεως, εἰ τῇ μὲν ὄψει φαίνοιτό τι μέλι διὰ τὸ χρῶμα, τῇ δὲ γεύσει χολὴ διὰ τὸ τοιοῦτον ἔχειν τὸν χυμόν, ὡς καὶ αὐτὸς παρέθετο. δείξας δὲ ταῦτα ἑπόμενα τοῖς οὕτω λέγουσιν, ἑξῆς προστίθησι τοὺς διορισμούς, οὓς εἶπεν αὐτὸς πρὸ ὀλίγου, λέγων δεῖν τούτους προστιθέναι τῇ λεγούσῃ δόξῃ πᾶν τὸ φαινόμενον ἀληθὲς τοὺς βουλομένους διαφεύγειν τὸν ἐν τοῖς λόγοις ἔλεγχον· οὐκέτι γάρ, εἰ ταῦτα εἴη προσκείμενα τῇ ἀληθεῖ φαντασίᾳ, συμβαίνει τὰ προειρημένα 1011a34 ἄτοπα. τοῦτο γὰρ λέγει διὰ τοῦ "ἀλλ' οὔτε τῇ αὐτῇ αἰσθήσει καὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ." εἰ γὰρ μετὰ τούτων τῶν διορισμῶν ἡ φαντασία ἀληθὴς λέγοιτο, οὐκέτι ἂν ἕποιτο τὸ πᾶσαν φαντασίαν ὁμοίως ἀληθῆ τε καὶ ψευδῆ εἶναι· ἡ γὰρ μετὰ τῶν εἰρημένων διορισμῶν ἀληθὴς ἂν εἴη δεικνυμένη. ὃ εἰπὼν ἐπιφέρει "ἀλλ' ἴσως διὰ τοῦτο ἀνάγκη λέγειν τοῖς μὴ δι' ἀπορίαν." ἔστι δὲ ὃ λέγει, ὅτι τοῖς μὲν διὰ τὸ ἀπορεῖν, πῶς χρὴ τὰς ἀληθεῖς τῶν φαντασιῶν λέγειν ὁμοίως πασῶν φαινομένων, θεμένοις πᾶσαν φαντασίαν εἶναι ὁμοίως ἀληθῆ, προφανῆ τὰ ἑπόμενα ἄτοπα, ἃ μεταπεῖσαι ἂν αὐτοὺς τῆσδε τῆς δόξης· τοῖς δὲ μὴ δι' ἀπορίαν ἀλλὰ λόγου χάριν λέγουσι ταῦτα διὰ τοῦτο χρὴ προστιθέναι τοῖς λεγομένοις ὑπ' αὐτῶν τοὺς προειρημένους ὑφ' ἡμῶν διορισμούς, εἰ μὴ μέλλοιεν ῥᾳδίως περιτρέπεσθαι. τούτου γὰρ χάριν τῆσδε τῆς δόξης προΐστανται· οὐ γὰρ ὡς ὑπολαμβάνοντες οὕτως· οὐδεὶς γὰρ ὑπολάβοι τὰ τοιαῦτα. ἕπεται δή, φησίν, ὥσπερ καὶ πρότερον εἰρήκαμεν, τοῖς ταῦτα λέγουσι τὸ μὴ ἁπλῶς λέγειν πᾶσαν φαντασίαν ἀληθῆ, ἀλλὰ τούτῳ, τουτέστιν ἑκάστῳ τὴν οἰκείαν. οὕτως δὲ λέγουσιν αὐτοῖς ἕπεται, ὡς καὶ πρότερον εἴρηται, πάντα ποιεῖν πρός τι· τοῦτο γὰρ ἕπεται τῷ πρὸς τὴν δόξαν τὴν τοῦ δοξάζοντος καὶ τὴν αἴσθησιν τοῦ αἰσθανομένου τὴν οὐσίαν τῶν ὄντων ἀναφέροντι καὶ ἑκάστῳ τὸ φαινόμενον ἀληθὲς εἶναι λέγοντι. εἰ δὲ ἡ οὐσία τῶν ὄντων ἁπάντων πρός τι καὶ ταῖς δόξαις τῶν δοξαζόντων καὶ φαντασίαις καὶ αἰσθήσεσιν [ἡ ὕπαρξις] αὐτῶν ἕπεται, οὔτε ἔσται τί τινι ὃ μὴ δοξάζει τις εἶναι, οὔτε ἔσται τι, εἰ μὴ προδοξάσαι τις περὶ αὐτοῦ. οἷς γὰρ τὸ εἶναι ἐν τῷ φαίνεσθαι καὶ δοξάζεσθαι εἶναι, τούτοις καὶ τὸ γίνεσθαι ἐν τῷ δοξάζεσθαι. εἰ δὲ τὸ γίγνεσθαι, καὶ τὸ γεγονέναι· ὥστε τῷ μὴ δοξάζοντι γίνεσθαί τι οὐδὲ γίγνεται. ἀλλ' οὐδὲ ὅλως γένοιτό τι, ὃ μὴ γίνεσθαι δοξάζεται, καὶ εἴη γ' ἂν ἕκαστον ἕως ἂν δοξάζηται· ἡ γὰρ δόξα καὶ ἡ φαντασία ποιοῦσι τὰ φαινόμενά τε καὶ δοξαζόμενα μὴ ὑπάρχοντα πρότερον. ἀγαγὼν δὲ ἐπὶ τοῦτο καὶ δείξας ὅτι ἀναγκαῖον αὐτοῖς πάντα πρός τι λέγειν, πειρᾶται τοῦτο κινεῖν καὶ τὴν πρόσληψιν κατασκευάζειν τοῦ λόγου, δεικνὺς ὅτι μὴ πάντα τὰ ὄντα πρός τι, λέγων ὅτι εἰ δέ τι ἦν γεγονὸς ἢ ἐσόμενον ἄνευ τοῦ προδοξασθῆναι, οὐκ ἂν εἴη πάντα πρός τι, οὐδὲ τὸ φαινόμενον ἑκάστῳ ἀληθὲς ἔτι. ἐπὶ τοῦτο δὲ ἀγαγὼν τὸν λόγον, ὡς ῥᾴδιον ὂν δεῖξαι ὅτι μὴ ἐκ τοῦ προδοξάσαι τινὰ ἕκαστον τῶν γινομένων γίγνεταί τε καὶ γέγονεν, ἐπαύσατο· ἐναργὲς γὰρ τὸ πολλὰ καὶ ἀπροσδοκήτως καὶ ἀνελπίστως γίνεσθαι· ἄτοπον γὰρ τὸ λέγειν ὅτι οὔτε πόλεμος ἐγένετο ἄν, εἰ μὴ προεδόξασέ τις ὅτι ἔσται, οὐδὲ ὁ κατακλυσμὸς ἢ ὁ σεισμός. ἔδει γάρ, εἰ τοῦτο, μόνοις τοῖς περὶ τούτων προδοξάσασι γίνεσθαι αὐτά, καὶ τοῖς δοξάζουσι μὴ ἔσεσθαι αὐτὰ μὴ γίνεσθαι, οὐχ οὕτω δὲ ἔχει· οὔτε γὰρ ὁ πόλεμος τοῖς μὲν δοξάσασιν ἔσεσθαι αὐτὸν γίνεται, οὔτε προσπταίειν, εἴ τις δοξάζει, ἢ αὐτὸς ἢ ἄλλος τις, τοῦτο. εἰ δὲ καὶ χωρὶς τοῦ δοξάζεσθαι γίνεταί τινα, οὐ γίνεται τὰ ὄντα πάντα πρός τι· τὸ μὴ πάντα εἶναι πρός τι, τὸ μὴ πᾶν εἶναι τὸ φαινόμενον ἀληθές. ῥᾴδιον δέ, ὅτι μὴ ἔστιν ἐν τῷ φαίνεσθαι τοῖς οὖσι τὸ εἶναι, καταμαθεῖν καὶ ἐκ τοῦ τὰ μὲν πρός τι ἅμα εἶναι τὰς φύσεις, μὴ συναναιρεῖσθαι δὲ τῷ δοξάζοντι τὴν τῶν δοξαζομένων οὐσίαν τε καὶ ὕπαρξιν. Alex.

(¹) ἡ μὲν ἁφὴ δύο λέγει εἶναι τοὺς δακτύλους, ἡνίκα τὸν ἕτερον τῷ ἑτέρῳ ἐπιπλέξομεν... τὴν ἐπάλλαξιν τῶν δακτύλων λέγει τὴν πρὸς ἀλλήλους συμπλοκήν. Asclep. 1011a33.

"ἔτι — ἴσον." δείξας ὅτι οἱ τὸ φαινόμενον πᾶν ἀληθὲς εἶναι λέγοντες πρός τι ποιοῦσι πάντα, περὶ τῶν πρός τι τὸν λόγον ποιούμενος δείκνυσί τι καὶ τοιοῦτον ἄτοπον ἑπόμενον τῇ δόξῃ (²), λαβὼν καὶ θεὶς πρῶτον πῶς λέγομεν καὶ ἔστι τὰ πρός τι· εἰ γὰρ μὴ οὕτως ἔχει τὰ ὄντα πάντα, δεδειγμένον ἂν εἴη ὅτι μὴ πρός τί ἐστιν. τῶν δὴ πρός τι ἕκαστον πρὸς ἓν λέγεται, ἢ εἰ καὶ πρὸς πλείω τὸ αὐτό, καθ' ἕκαστον τῶν πρὸς ὃ λέγεται ὡρισμένον, καὶ οὐ τὸ τυχόν· ἕκαστον γὰρ τῶν πρός τι πρὸς ὡρισμένον τι λέγεται. καὶ γὰρ εἰ πλείους τις σχέσεις ἔχει καὶ πρὸς πλείω διὰ τοῦτο λέγεται, ἀλλὰ καθ' ἑκάστην γε σχέσιν πρὸς ὡρισμένον τι λέγεται ἢ εἴδει ἢ γένει. εἰ οὖν τὸ αὐτὸ ἴσον τε εἴη καὶ διπλάσιον καὶ ἥμισυ, πρὸς πλείω μὲν ῥηθήσεται (καὶ γὰρ πρὸς ἴσον καὶ πρὸς ἥμισυ καὶ διπλάσιον) ἀλλὰ καθ' ἕκαστον πρὸς ὡρισμένον· οὔτε γὰρ ἴσον πρὸς ἄλλο τι ἢ πρὸς ἴσον, οὔτε διπλάσιον πρός τι ἄλλο ἢ πρὸς ἥμισυ, οὔτε ἥμισυ πρὸς ἄλλο ἢ διπλάσιον. 1011b7.

9. περιπλεκόμενοι *M.* ‖ 15. οὕτω] αὐτὸ *M.* ‖ 16. δεῖ *M.* ‖ 20. οὔτε] οὔτοι *M.* ‖ 29. αὐτοῖς *M.* ‖ 30. τοῦτο] τὸ *A.* ‖ 38. τῷ] τὸ *M.* ‖ 40. εἰ δὲ οὐσία *M*, ἡ δὲ οὐσία *A.* ‖ 41. ἡ ὕπαρξις om Sepulv. ‖ 42. τί om *M.*

5. τ' *M.* ‖ 10. γεγονὸς καὶ ἐσόμενον ἄνευ τοῦ δοξασθῆναι *M.* ‖ 11. ἔτι] ἐστι *M.* ‖ 19. *nec refert quis id opinatus fuerit* Sepulv. ‖ 20. εἰ om *A.* ‖ δοξάζεσθαί τινα οὐ γίνεταί *M.* ‖ 21. *quodsi non omnia sunt ad aliquid, consequens est ut ne omne quidem visum sit verum* Sepulv. ‖ 30. ποιούμενος *M.* ‖ 36. ὡρισμένον τις *M.*

γειν τὸ φαινόμενον πᾶν εἶναι. ἀλλ' οὐδὲ τοῦτο μόνον προστιθέμενον αὔταρκες πρὸς τὸ μὴ περιτρέπεσθαι τὸν λόγον αὐτὸν ὑφ' ἑαυτοῦ. εἰ γὰρ μὴ εἴη προσκείμενον τὸ ὅτε φαίνεται, ἀλλ' ἁπλῶς εἴη κείμενον τὸ "ἀληθὲς τὸ φαινόμενον εἶναι ᾧ φαίνεται," εἰ τὸ αὐτὸ τῷ αὐτῷ ἄλλοτε μὲν φαίνεται τοιόνδε ἄλλοτε δὲ ἐναντία τούτῳ, εἴη ἂν τῷ αὐτῷ ἅμα ἀληθῆ τἀναντία· ἀμφότερα γὰρ τοῦ αὐτοῦ φαντάσματος. δεῖ δὲ καὶ ταύτης τῆς προσθήκης τῆς ὅτε φαίνεται· οὐκέτι γὰρ τὰ πρότερον φανέντα τῷ αὐτῷ ἂν ἀληθῆ εἴη, ὅτε μηκέτι αὐτῷ τοιαῦτα φαίνεται, ὅτι περὶ ὧν πρότερον ἐδόξαζον ὡς ἀληθῶν, ὕστερον δοξάζουσιν ὡς διεψευσμένοι τότε. γίγνεται οὖν πάλιν τὰ αὐτὰ οὐ μᾶλλον ἀληθῆ ἢ ψευδῆ. ἀλλ' εἰ καὶ τῷ ὅτε φαίνεται μὴ εἴη τὸ κατὰ τὴν αὐτὴν αἴσθησιν προσκείμενον, ἐλέγχοιτο ἂν ὁ λόγος αὐτῶν πάλιν καὶ οὕτως· δύναται γὰρ τῷ αὐτῷ καὶ ἐν τῷ αὐτῷ χρόνῳ περὶ τοῦ αὐτοῦ διάφορός τε ἅμα καὶ ἐναντία φαντασία γίνεσθαι, εἴ τινι ἡ χολὴ κατὰ μὲν τὴν ὄψιν διὰ τὸ χρῶμα γλυκεῖα φαίνεται, κατὰ δὲ τὴν γεῦσιν πικρά· εἴη γὰρ ἂν οὕτως πάλιν τῷ αὐτῷ τὰ αὐτὰ ἅμα ἀληθῆ εἶναι καὶ ψευδῆ, ὅπερ ἄτοπον ἕποιτο ἂν μὴ προσκειμένου τοῦ κατὰ τὴν αὐτὴν αἴσθησιν. καθ' ἑκατέραν γὰρ τὴν αἴσθησιν ἀληθὴς ἔσται ἡ φαντασία, ὃ ἐδήλωσε τῇ τοῦ ᾗ προσθήκῃ, ἀλλ' οὐχ ἁπλῶς ἀληθής τε καὶ ψευδής. ἀλλ' ἐπεὶ δύναταί ποτε κατὰ τὴν αὐτὴν αἴσθησιν διαφέρον τι ἅμα τὸ αὐτὸ φαίνεσθαι καὶ ἀνόμοιον, οἷον κατὰ τὴν ὄψιν τὸ αὐτὸ λευκόν τε καὶ οὐ λευκόν, εἰ τῷ μὲν ἑτέρῳ τῶν ὀφθαλμῶν ὑγιαίνει τῷ δὲ ἑτέρῳ κάμνει, δεήσει πάλιν καὶ τῆς ὡς προσθήκης, ὥστε χωρὶς ταύτης τῆς προσθήκης ἅμα ποτὲ τῷ αὐτῷ τὸ αὐτὸ ἀληθές τε καὶ ψεῦδος· ψεῦδος γὰρ τῇ νοσούσῃ τὸ φαινόμενον τῇ ὑγιαινούσῃ. διὸ δεῖ προσκεῖσθαι καὶ τὸ ὡς σημαντικὸν ὂν τοῦ κατὰ τὸ αὐτὸ μόριον. ὡς εἴγε ταῦτα μὴ προστιθέντες ὑπέχοιεν λόγον, καίτοι οἰόμενοι δυσέλεγκτοι κατὰ τὸν λόγον εἶναι, εὐέλεγκτοι ἂν εἶεν, καὶ ῥᾳδίως ἂν εἰς τὸ τἀναντία λέγειν αὐτοῖς περιπίπτοιεν. ἅμα γὰρ ἂν εἴη τὸ αὐτὸ τῷ αὐτῷ ἀληθὲς καὶ ψεῦδος, καὶ ὂν καὶ μὴ ὄν, καὶ ἕν τε καὶ πλῆθος, ὅπερ ἄτοπον, εἰ μὴ ταῦτα εἴη προσκείμενα. οὐκέτι γὰρ ἔσται τῷ αὐτῷ ἅμα ἀληθῆ τὰ διαφέροντα ἀλλήλοις, διαφέρουσι καὶ ἑτέροις, ἢ τῷ αὐτῷ, ἀλλ' ἐν ἄλλῳ χρόνῳ, ἢ εἰ καὶ ἐν τῷ αὐτῷ, ἀλλ' οὐ κατὰ τὸ αὐτό. ὅτι δὲ ἀναγκαία αὐτοῖς ἡ τούτων προσθήκη, εἰ μὴ μέλλοιεν ἐλέγχεσθαι ταχὺ καὶ τἀναντία λέγειν αὐτοῖς, τιθέμενοι μὲν πᾶσαν εἶναι φαντασίαν ἀληθῆ, συγχωροῦντες δὲ μὴ μᾶλλον ἑκάστην ἀληθῆ ἢ ψευδῆ εἶναι, ὃ ἀναιρετικόν ἐστιν οὗ τίθενται, καὶ αὐτὸς δι' ὧν παρατίθεται δείκνυσιν· ἃ ἔστι τοῦ καὶ ὡς δεικτικά. δύναται τὸ ᾗ καὶ ὡς ἐπὶ τῶν αὐτῶν λέγεσθαι, καὶ μὴ ὡς ἑκάτερον ἰδίου δηλωτικόν. ἡ δὲ τούτων παράθεσις καὶ ἡ περὶ ταῦτα ἀκριβολογία ἐνδείκνυται τήν τε ἀναισχυντίαν αὐτῶν τῆς θέσεως· ὡς γὰρ οὐκ ἄτοπον τὸ αὐτὸ τῷ αὐτῷ χρόνῳ πικρόν τε καὶ γλυκὺ εἶναι ἀληθῶς, ἐπεὶ ἄλλῃ μὲν οὕτως ἄλλῃ δὲ οὕτως αἰσθήσει φαίνεται, καὶ λευκόν τε καὶ φαιόν, εἰ ὁ μὲν ὑγιαίνει τῶν ὀφθαλμῶν ὁ δὲ νοσοίη (*)· ἀνόμοια γὰρ αὐτοῖς ἔσται· ἢ διότι ἅμα γίγνεται πάντα τὰ ὄντα πρός τι, δείκνυσιν. id.

(*) πάλιν δὲ καὶ τοῖν ὀφθαλμοῖν δυοῖν ὄντοιν μὴ τὰ αὐτὰ φαίνεσθαι ἑκατέρᾳ τῇ ὄψει, ἐὰν ὑπάρχωσιν ἀνόμοιοι, καὶ ὁ μὲν εἴη ὑγρὸς ὁ δὲ ὑγιής. τοῦτο δὲ ὑπομένει, ὥς φησι καὶ ὁ ἡμέτερος φιλόσοφος· τὸν γὰρ ἀριστερὸν ὑγρὸν ἔχει καὶ φησὶν ὅτι ἐν τῷ λύχνῳ ἐν μὲν τῷ ἀριστερῷ ὁρῶ ἶριν, ἐν δὲ τῷ δεξιῷ οὐχ ὁρῶ διὰ τὸ ἀπηλλάχθαι αὐτὸν ὑγρότητος. Asclep. 1011a 27.

"ἐπεὶ — ἀληθῆ." λέγει περὶ τῶν διὰ τὸ ἀπορῆσαι ἐπὶ τὸ τοῦτο θέσθαι ἐλθόντων, οὓς καὶ εἶπε μετριωτέρους τε εἶναι καὶ ὑπομνήσεως καὶ διδασκαλίας, οὐκ ἐλέγχου δεῖσθαι. ἐνδεῖ δὲ τῇ λέξει τὸ ῥᾳδία ἡ ἀπάντησις (*). ἔσται γὰρ τὸ λεγόμενον ἴσον τῷ ἐπεὶ πρός γε τοὺς διὰ τὰς πάλαι εἰρημένας αἰτίας τὸ φαινόμενον φάσκοντας ἀληθὲς εἶναι ῥᾳδία ἡ ἀπάντησις. ἕπεται γὰρ αὐτοῖς τὸ εἶναι ἅπανθ' ὁμοίως ἀληθῆ τε καὶ ψευδῆ. καὶ διὰ τί τοῦτο, ἐπιφέρει· "οὔτε γὰρ ἅπασι ταὐτὰ φαίνεται." διὰ γὰρ τοῦτο ἠξίου προστιθέναι τοὺς ὁρίζοντας τὸ πᾶν τὸ φαινόμενον ἀληθὲς εἶναι ᾧ φαίνεται. οὔτε ἀεὶ τῷ αὐτῷ τὰ αὐτὰ περὶ τοῦ αὐτοῦ. διὸ πάλιν ἠξίου προστιθέναι τὸ ὅτε καὶ ᾗ καὶ ὥς. πῶς δὲ ἐναντία κατὰ τὸν αὐτὸν χρόνον φαίνεταί τινα, δεικνὺς παρέθετο. Alex. 1011a 28.

(*) λείπει ῥᾴδιον ἀπαντᾶν. cod. Reg. 1011a 31.

"ἢ — λέγει." τῷ γὰρ μήτε τὰ αὐτὰ πᾶσι φαίνεσθαι μήτε τοῖς αὐτοῖς ἀεὶ τὰ αὐτά, μὴ μᾶλλόν τε ἡγεῖσθαι τῶν φαινομένων ὁμοίως τάδε μὲν ἀληθῆ τάδε δὲ ψευδῆ, ἕπεται τὸ πάντα ὁμοίως γίνεσθαι τὰ φαντάσματα ἀληθῆ τε καὶ ψευδῆ, τῶν αὐτῶν καὶ τοιούτων καὶ οὐ τοιούτων φαινομένων (*). εἰπὼν δὲ αὐτὸς καὶ δείξας πῶς ἀκολουθεῖ αὐτοῖς πάντα ὁμοίως λέγειν ψευδῆ τε καὶ ἀληθῆ ἁπλῶς λέγουσι πᾶν τὸ φαινόμενον ἀληθές· οὔτε γάρ, φησί, ταὐτὰ πᾶσι φαίνεται, ἀλλὰ τὰ τοῖσδε φαινόμενα ἀληθῆ τοῖσδε ψευδῆ φαίνονται· οὔτε τῷ αὐτῷ ἀεὶ αὐτὰ ἀλλὰ καὶ τἀναντία πολλάκις, καὶ ἐν τῷ αὐτῷ χρόνῳ. οὗ σημεῖα παρέθετο τὸ ἐπὶ τῆς ἁφῆς τε καὶ 1011a 33.

sibi contraria opinantur, sed oportet ut illi "omne visum est verum" adiiciant hoc, ei cui videtur et quando videtur et quatenus et quomodo: his enim praetermissis sermo eorum facilis est ad redarguendum. nam si omne visum simpliciter sit verum et non ei cui videtur, eadem erunt vera et falsa simpliciter. sententia enim qua propria tollitur opinio et falsa esse dicitur nihilo minus quam ipsa simpliciter erit vera. nam quaelibet opinio per sibi oppositam tollitur, si haec vera sit perinde atque illa, ut certe est, quemadmodum dixi, putantibus omnibus falli ceteros qui opposita ipsis existimant. itaque dicentes omne visum esse verum, dicere item debent omne visum perinde simul esse falsum. addendum est igitur, cui videtur, et non simpliciter dicendum omne visum esse verum. sed ne hoc quidem adiicere satis est, ne istorum oratio a se ipsa labefactetur Sepulv. ‖ 29. λείπει ἐντεῦθεν ὅλον ἐδάφιον *A* in mg.

1. τὸ om *M.* ‖ 6. δεῖ] εἰ *M.* ‖ 13. καὶ ἐν τῷ αὐτῷ et 18. τὴν om *M.* ‖ τῇ] τὸ *M.* ‖ 31. ἔτι γάρ om *M.* ‖ 33. εἰ] εἴη *M.*

1. ὡς ἃ ἔστι δεικτικά *M.* ‖ δεικτά *A.* ‖ ὡς, καὶ ἐπὶ *M.* ‖ 15. τὸ post ἐπὶ om *V.* ‖ 22. τοῦτο] τούτῳ *M.* ‖ 31. γενέσθαι *M.* ‖ 36. αὐτά] αὐτὸ *M.* ‖ 37. σημεῖον *M.*

λόγον θέσει παρίστασθαι. τούτων δή τινας τῶν μέχρι λόγου τῇ δόξῃ παρισταμένων, οὐ πεπεισμένων δὲ οὕτως ἔχειν τὰ ὄντα ὡς ἡμεῖς εἰρήκαμεν, ἢ καὶ τῶν πεπεισμένων οὕτως καὶ τῶν οὐ πεπεισμένων μέχρι δὲ λόγου λεγόντων, ταῦτα δή φησιν ἀπορεῖν, τίς ὁ κρίνων τὴν ἐν τούτοις ἀλήθειαν καὶ τίνι χρὴ ἕπεσθαι ὡς εἰδότι τὸν ὑγιαίνοντα ἐν τούτοις ἢ μή, καὶ ὅλως τίνες χρὴ ταῖς φαντασίαις καὶ ταῖς δόξαις ἕπεσθαι καὶ ταῖς κρίσεσι, καὶ τίς ὁ φρόνιμος· ἄπορον γὰρ εἶναι τῷ πάντας πρὸς πάντας ἀντιλέγειν· αὐτοὶ γὰρ ἑαυτοὺς ὑγιαίνειν πάντες ὁμολογοῦσι καὶ κρίνειν ὑγιῶς· οὔτε ταύτῃ τοῦτο ἤδη δῆλον εἶναι τῷ λέγοντι, εἰ δεῖ ταῖς τῶν ὑγιαινόντων φαντασίαις ἕπεσθαι μᾶλλον· οὐ γὰρ διότι ἐλάττους εἰσὶν οἱ νοσοῦντες, διὰ τοῦτο οὐκ εἰσὶν ἀξιόπιστοι· γίνοιντο γὰρ ἂν καὶ πλείους. ἄλλως δὲ οὐ πλήθει καὶ ὀλιγότητι δεῖ τῶν οἷς φαίνεται τἀληθὲς ὁρίζεσθαι, ἐπεὶ οὕτως ἂν καὶ οἱ τεχνῖται ἀναξιοπιστότεροι τῶν πολλῶν εἶεν, λέγοντες περὶ τῶν κατὰ τὰς οἰκείας τέχνας φαινομένων αὐτοῖς· ἐλάττους γάρ εἰσι τῶν πολλῶν. φησὶ δὲ τὰ τοιαῦτα ἀπορήματα ὅμοια εἶναι τῷ ἀπορεῖν πότερον καθεύδομεν νῦν ἢ ἐγρηγόραμεν· οὐ γὰρ ἐπὶ τούτου ἂν ἀφέμενός τις τοῦ ἐναργοῦς ζητεῖ τινὰ λόγον, ῥᾴδιον εἶναι τεκμήριόν τι λαβεῖν ᾧ τοῦτο διακριθήσεται· πάντα γάρ, ἅπερ ὕπαρ ποιοῦμεν, ποιοῦμεν καὶ κατὰ τοὺς ὕπνους, ὅπου γε καὶ ὀνείρους ὄναρ ἐξηγούμεθα. τὰς γὰρ τοιαύτας ἀπορίας πάσας τὸ αὐτό φησι δύνασθαι καὶ ἐκ τοῦ αὐτοῦ ἠρτῆσθαι· ἐκ γὰρ τοῦ πάντων λόγον τινὰ καὶ αἰτίαν καὶ ἀρχὴν ζητεῖν, καὶ μηδεμίαν ἀρχὴν ἀναπόδεικτον τίθεσθαι, μηδέ τι αὐτόθεν καὶ ἐξ αὐτοῦ πιστὸν καὶ ἐναργὲς λέγειν, ἤρτηται. ὅτι γὰρ οἱ ταῦτα λέγοντες μὴ πεπεισμένοι τούτοις λέγουσιν, ἐν ταῖς πράξεσιν φανεροὶ γίνονται, ἐν μὲν τοῖς ὑγιεινοῖς τῷ ἰατρῷ πιστεύοντες καὶ τῇ τούτου κρίσει, ἐν δὲ τοῖς τεκτονικοῖς τῷ τέκτονι, καὶ καθ' ἕκαστον τῷ εἰδότι πρὸ τοῦ μὴ εἰδότος, ἀλλὰ καὶ ἐν τοῖς αἰσθητοῖς τῇ ὑγιαινούσῃ αἰσθήσει, καὶ ἐν τοῖς οἰκείοις ἑκάστῃ αἰσθητοῖς. ἡ οὖν ἀπορία, ἣν ἀποροῦσιν, οὐκ ἄλλοθεν ἤρτηται, οὐκ ἐκ διαθέσεώς τινος καὶ ὑπολήψεως, ἀλλ' ἐκ τοῦ λόγον καὶ ἀπόδειξιν ζητεῖν ὧν μὴ ἔστι λόγος τε καὶ ἀπόδειξις· ἡ γὰρ τῆς ἀποδείξεως ἀρχὴ οὐκ ἀποδεικτή. ἔστι γὰρ πρὸς ἃ ἐκ φύσεως βέλτιον ἔχομεν ἢ ὥστε δεῖσθαι τῆς περὶ αὐτῶν ἀποδείξεως· ἔστι δὲ ταῦτα αἵ τε αἰσθήσεις καὶ τὰ ἀξιώματα καὶ αἱ φυσικαί τε καὶ κοιναὶ ἔννοιαι. εἰπὼν δὲ πρὸς τοὺς λέγοντας οὕτως διὰ τὸ πεπεῖσθαι, ἐπιφέρει τὸ "οὗτοι μὲν οὖν ῥᾳδίως ἂν τοῦτο πεισθεῖεν·" οἱ γὰρ διὰ τὸ πιστεύειν οὕτως 1011a 13.
ἔχειν ταῦτα λέγοντες ῥᾳδίως ἂν πεισθεῖεν εἶναί τινας ἀρχὰς ἀναποδείκτους τε καὶ αὐτόθεν γνωρίμους ἔκ τε τῆς ἰδίας συναισθήσεως καὶ ἐκ τῶν ἄλλων τῶν ἐναργῶν. οἱ γὰρ διὰ τὸ ἀπορεῖν τίς ὁ κρίνων περὶ τῆς ἀληθείας καὶ τίνι χρὴ ἕπεσθαι ἐπὶ τὸ τὴν θέσιν ἐκείνην τίθεσθαι προελθόντες ῥᾳδίως ἂν μεταπεισθεῖεν, ὅτι μὴ χρὴ πάντων ἀπόδειξιν ζητεῖν (ἔστι γάρ τινα ἀναπόδεικτα αὐτόθεν ἐναργῆ) καὶ ὅτι εἰσί τινες ἀποδείξεως ἀρχαί· ὥστε καὶ τὸ δεῖν ἕπεσθαι τοῖς περὶ ἕκαστον ἐπιστήμοσι καὶ ταῖς κρίσεσι ταῖς τούτων. id.

"οἱ — λέγοντες." λέγει ταῦτα περὶ τῶν οὐ πεπεισμένων μὲν 1011a 15.
οὕτως ἔχειν, οὐδὲ διὰ τὸ ἀπορῆσαι ἐλθόντων ἐπὶ τὸ ταῦτα θέσθαι, ἀλλὰ λόγου χάριν μόνου, καὶ οὐ μεταπεισθῆναι ἀξιούντων (οὐδὲ γὰρ τὴν ἀρχήν εἰσι περὶ ὧν λέγουσι πεπεισμένοι) ἀλλὰ βιασθῆναι καὶ ἐλεγχθῆναι τῷ λόγῳ περιμενόντων. φησὶ δὲ τούτους ἀδύνατον ζητεῖν· οἱ μὲν γὰρ ἀξιοῦντες ἐλεγχθῆναι ἀξιοῦσιν εἰς ἀντίφασιν περιαχθῆναι, εἴγε ὁ ἔλεγχός ἐστι συλλογισμὸς ἀντιφάσεως, οὗτοι δ' ἐν ἀρχῇ, τουτέστιν ὃ τίθενται· τὰ γὰρ ἐναντία συνυπάρχειν καὶ τὴν ἀντίφασιν συναληθεύειν ἐστὶν ἡ θέσις αὐτῶν, εἰς ὃ δεῖ τὸν ἐλέγχοντα περιαγαγεῖν τὸν ἐλεγχόμενον. ἔστι γὰρ τοῦτο τὸ ἀντικείμενα καὶ τὰ ἐναντία λέγειν· τοῦτο δ' εὐθὺς καὶ ἀπ' ἀρχῆς αὐτοὶ ἀληθὲς εἶναι τίθενται. ὥστε εἰς ἣν ἀντιλογίαν περιαγαγεῖν τις αὐτοὺς δόξει, αὕτη θέσις αὐτῶν ἐστὶν ἐξ ἀρχῆς, καὶ τοῦτό φασιν ἀρέσκειν αὐτοῖς. ὅμως δὲ πειρᾶται λέγειν πρὸς αὐτοὺς καὶ ἐπιχειρήσει χρῆται. . . μὴ ἁπλῶς ἀληθὲς λέ-

6. ἢ] καὶ *AM.* ‖ 7. ἄπορος *M.* ‖ 9. ταύτῃ τούτῳ δῆλον εἶναι τὸ λέγοντι *M.* ‖ 10. τῶν] μὲν *M.* 11. διότι] δὴ ὅτι *M.* ‖ 12. ἀλλὰ δὲ οὕτως οὐ *M.* ‖ 13. ὁρίζεσθαι *M.* ‖ 17. τούτου ἀναφερόμενός *M.* ‖ 18. ᾧ] τῷ *A.* ‖ 19. ποιοῦμεν, τοιοῦτον ποιοῦμεν *M.* ‖ 21. ἐκτῆσθαι *M.*

1. λόγου *M.* ‖ 3. ἀποδεικτικὸς *M.* ‖ 8. πιστεύειν *M.* ‖ ἀποδεικτικοὺς *M.* ‖ 9. συναισθήσεως *M.* ‖ 16. μὲν οὕτως] οὐσίαν *M.* ‖ 18. μόνα *M.* ‖ 19 et 21. ἐλεγχθῆναι *M.* ‖ 22. ὁ ἔλεγχός ἐστι *A.* ‖ ἐστι καὶ συλλογισμὸς *M.* ‖ *at isti hoc ipsum initio statuunt, opposita simul consistere* Sepulv. ‖ 24. δεῖ] δὴ *A.* ‖ 25. ἀντικείμενα *M.* ‖ 28. *et argumentatione utitur huiusmodi. sumit, si omne visum verum sit, consequens esse ut omnia entia sint ad aliquid et coniunctum converti. si enim per istos sit verum hoc, si omne visum est verum, omnia entia sunt ad aliquid, reliquum coniunctum erit verum, cui hoc convertitur. hoc autem ostendit etiam paulo ante, cum diceret fore ut omnia entia e medio tollantur per eos qui omne visum verum esse aiunt, si sensus fuerit sublatus. quod enim videtur, alicui videtur et est ad aliquid. qui ergo dicit omne visum esse verum, et hoc tantum verum esse statuit, praeter visum nihil aliud esse putans, hic omnia entia facit ad aliquid. in hoc enim quod videantur, cunctis entibus efficitur esse. hoc autem est ad aliquid: quod enim videtur, alicui videtur. estque illud "omne quod videtur, est verum" par huic "solum est verum." ita qui omnia visa dicit esse vera, is cuncta entia statuit esse ad aliquid: quia enim qui omnia visa esse vera dicit, is solum visum verum esse ait, quod autem non est verum, id ne ens quidem est, efficitur ut sola visa sint entia. si ergo huius, omne visum esse verum, consequens est omnia entia esse ad aliquid, profecto nisi omnia fuerint ad aliquid, ne fuerit quidem omne visum verum: oppositum namque antecedentis convertitur, et consequens est oppositi consequentis. sed quia cum dixisset et per confirmationem sumsisset illud copulatum, nisi omnia entia sint ad aliquid, ne omne quidem visum esse verum, sequi sumsit omnia entia esse ad aliquid, hoc confirmat et sic se habere docet, simulque pertinacium positionem determinans corrigensque addit ea quae hos dicere oportet, ne facile convincantur. neque enim simpliciter, inquit, hi dicere debent omne visum esse verum; neque enim quod cuique videtur, id cuivis verum esse dicere volunt; sic enim nihilo magis omnia vera fuerint quam falsa, propterea quod omnes putant eos decipi qui*

δόξειεν ἂν τῇ αὐτῇ γεύσει, ἢ αὐτοῦ μεταβάλλων, ἢ τῆς γλώττης τῆς γευομένης χυμοὺς τινας τοιούτους περικειμένους ἐχούσης. ὁμοίως καὶ τὸ αὐτὸ λευκόν τε καὶ οὐ λευκὸν καὶ εὐῶδες καὶ δυσῶδες τὸ αὐτὸ φανείη ἂν τῇ αὐτῇ αἰσθήσει. οὐ μὴν ἡ εὐωδία αὐτὴ ἢ τὸ γινόμενον ἐν αὐτῷ πάθος, ἀλλ' οἷον αὐτῇ φαίνεταί ποτε ἄλλο τι ὄν, καὶ ἀφ' οὗ ἂν ἐγγένηται, καθ' ὅμοιον τό γε ὅμοιόν ἐστιν αὐτῇ· καθόλου γὰρ ἀνάγκη τὸ μέλλον ἀπὸ γλυκέος ἢ εὐώδους ἔσεσθαι πάθος τοιοῦτον εἶναι, καὶ ἕνα τινὰ λόγον ἔχειν δεῖ τὴν αἴσθησιν. δείξας δὲ περὶ τὰ πάθη ἀεί τε καὶ πάσας τὰς αἰσθήσεις ὁμοδοξούσας, καὶ ἀναγκαῖον ἕκαστον τῶν ἐγγινομένων ἐν αὐταῖς παθῶν ὅμοιον ἀεὶ καὶ ταὐτὸν εἶναι, ἐπιφέρει καὶ παρίστησιν ὡς τοῦτο ἀναιρετικόν ἐστι τῆς δόξης τῶν πάντα καὶ εἶναι καὶ μὴ εἶναι λεγόντων· ὡς γὰρ λέγουσι μηδενὸς οὐσίαν εἶναι, τουτέστι μηδὲν ἐν τῇ οὐσίᾳ κατηγορεῖσθαι, ἀλλὰ πάντα συμβεβηκότα εἶναι τὰ κατηγορούμενα, τῷ μηδὲν μᾶλλον αὐτὸ εἶναι ἢ μὴ εἶναι, τοῦτο δὲ ὃ λέγεται ἡ οὐσία μὴ εἶναι μηδενὸς λέγουσι, τῷ ἕκαστον μηδὲν μᾶλλον εἶναι λέγειν τόδε ἢ τὸ ἀντικείμενον αὐτῷ. ὡς δὴ τὴν οὐσίαν τὴν τῶν ὄντων ἀναιροῦσιν, οὕτω καὶ τὸ ἐξ ἀνάγκης τι εἶναι ἐκ τῆς τῶν ὄντων φύσεως ἀναιροῦσι. διὰ τοῦτο γὰρ καὶ τὸ οὐσίαν τινὸς εἶναι καὶ τὸ ἐν τῇ οὐσίᾳ κατηγορεῖσθαί τινος ἀναιροῦσιν, ὅτι κἀκεῖνο ἐξ ἀνάγκης ὑπάρχει τῷ οὗ κατηγορεῖται· τὸ γὰρ ἐξ ἀνάγκης ὂν οὐκ ἐνδέχεται καὶ οὕτως καὶ μὴ οὕτως ἔχειν, ὃ τίθενται. εἰ δὲ ὁμοδοξοῦσιν ἐν τοῖς πάθεσιν αἱ αἰσθήσεις καὶ ἐξ ἀνάγκης τὸ γλυκάζεσθαι πάθος τοιοῦτόν τί ἐστιν καὶ οὕτω διατίθησιν, οὐκ ἂν ἐνδέχοιτο καὶ μὴ οὕτω διατιθέναι. εἰ δὲ τοῦτο, οὐκ ἀληθὲς τὸ οὐδὲν μᾶλλον 1010b 30. οὕτως ἢ οὐχ οὕτως ἔχειν. "ὅλως δέ εἴ πέρ ἐστι τὸ αἰσθητὸν μόνον, οὐδὲν ἂν εἴη μὴ ὄντων τῶν ἐμψύχων." ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. εἰ τὸ φαινόμενον τῇ αἰσθήσει ἀληθές ἐστι, πάντως καὶ γίνεται τοῦτο τότε· οὐ γὰρ προϋπαρχόντων τινῶν αἱ αἰσθήσεις κατ' αὐτούς, ἀλλ' ἔστι κατ' αὐτοὺς τοῖς αἰσθητοῖς τὸ εἶναι ἐν τῇ τῶν αἰσθητῶν ἐνεργείᾳ. εἰ οὖν μηδὲν ἄλλο κατ' αὐτούς ἐστιν ἢ μόνα τὰ αἰσθητά, εἰ ἀναιρεθείη ἡ αἴσθησις, οὐδὲν ἂν εἴη. ἀναιρεθείη δ' ἄν, εἰ ἀναιρεθείη καὶ τὰ ζῷα· ἐν γὰρ τούτοις ἡ αἴσθησις· τὰ γὰρ ζῷα ἔμψυχα εἶπεν. εἰπὼν δὲ τοῦτο ἕπεσθαι αὐτοῖς, ἑξῆς προστίθησιν ὅτι τὰ μὲν πάθη τῶν αἰσθητῶν, τουτέστι τὰ αἰσθήματα καὶ τὰς ἐνεργείας αὐτῶν, μὴ ἔσεσθαι ἀναιρεθεισῶν τῶν αἰσθήσεων, ἀληθές, τὸ δὲ μὴ τὰ ὑποκείμενα, περὶ ἃ αἱ τῶν αἰσθήσεων ἐνέργειαι, οὐκέτι ἀληθές· ψεῦδος γὰρ τὸ μηδὲ τὰ ὑποκείμενα εἶναι λέγειν, ἀφ' ὧν ταῖς αἰσθήσεσι τὰ πάθη ἐγγίνεται, καὶ ἀδύνατον· εἰ γὰρ ἡ αἴσθησις μὴ αὐτῆς ἐστιν αἰσθητική τε καὶ ἀντίληψις, ἄλλου δέ τινος ἐκτὸς ὄντος, ἀεὶ τὸ ποιῆσον τὴν αἴσθησιν καὶ τὸ ἐν τῇ αἰσθήσει πάθος δεῖ πρῶτον τῆς ἀντιληψομένης αὐτοῦ αἰσθήσεως εἶναι. καὶ γὰρ εἰ πρὸς ἄλληλα λέγεται τὸ κινοῦν καὶ τὸ κινούμενον καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον, καὶ συνυπάρχει καθὸ τοιαῦτα, ἀλλὰ τῇ γε φύσει πρότερον τὸ κινοῦν καὶ τὸ ποιοῦν τοῦ κινουμένου τε καὶ πάσχοντος· προϋπάρχει δὲ τῆς αἰσθήσεως, καὶ εἴη γ' ἂν οὕτως, οὐκ αἰσθητὰ ἔτι, ὥστε οὐκ ἔστιν αἰσθητά. τοῖς οὖν οὔπω τὸ εἶναι οὐκ ἐν τῷ αἰσθητοῖς εἶναι. καὶ εἴη ἂν τὸ λεγόμενον πρὸς τὴν Πρωταγόρου δόξαν εἰρημένον, ὃς μόνα ἡγούμενος εἶναι τὰ αἰσθητά, ἔλεγεν ἐν σχέσει τῆς αἰσθήσεως ποιᾷ πρὸς τὰ ἐκτὸς ἀπογεννᾶσθαι τὰ αἰσθητά· διὸ καὶ ὁποῖον ἑκάστῳ φαίνεται, τοιοῦτον καὶ εἶναι ἐκείνῳ ἔλεγεν. εἰ δὲ τὰ αἰσθητὰ τῆς αὐτῆς φύσεώς ἐστι καὶ ταὐτὸν αὐτοῖς τό τε εἶναι καὶ τὸ αἰσθητοῖς εἶναι, εἴγε ἐν τῇ τῆς αἰσθήσεως ἀντιλήψει τὸ εἶναι αὐτοῖς, δῆλον ὡς ἂν μὴ αἴσθησις ᾖ, οὐδὲ τῶν αἰσθητῶν τι ἔσται. οὐκ ἔσται δὲ αἴσθησις μὴ ὄντων ζῴων· ἡ γὰρ αἴσθησις ἐν τούτοις. ὅτι οὖν μὴ ἀληθὲς τοῦτο, ἔδειξεν· ἡ μὲν γὰρ ἐνέργεια ἡ κατὰ τὴν αἴσθησιν οὐκ ἔσται μὴ οὔσης αἰσθήσεως, οὐδὲ κατ' ἐνέργειάν τι αἰσθητόν. οὐ μὴν διὰ τοῦτο καὶ τὰ ὑποκείμενα καὶ τῇ αἰσθήσει αἰσθητὰ γιγνόμενα ἀναιρεθήσεται ἃ τὴν αἴσθησιν ποιεῖ· οὐ γὰρ δὴ αἱ αἰσθήσεις αὐτῶν γίνονται, ἀλλ' ὑποκειμένων τινῶν, οἷς τοῦ ὑποκεῖσθαι οὐκ ἔστιν αὕτη αἰτία, ἀλλὰ καθ' αὑτὰ ὄντα ταῦτα καὶ ὑποκείμενα δεῖ προϋπάρχειν, ἵνα αὐτῶν ἡ αἴσθησις ἀντιλαμβάνεσθαι δύνηται. δῆλον ὅτι ἔσται καὶ τότε ἐπί τινος φύσεως, καίτοι οὐκ οὔσης οὔτε αἰσθήσεως αὐτῶν οὔτε φαντασίας τότε· ὥστε οὐ τὸ φαινόμενον ἀληθές. εἴη δ' ἂν τὸ "ἄλλως εἴπερ ἐστὶ τὸ αἰσθητὸν μόνον" ἴσον τῷ ἄλλως τε εἴπερ ἐπὶ τὸ αἰσθητὸν ὂν ἐν τῇ τῆς αἰσθήσεως αὐτοῦ ἀντιλήψει μόνον. :Alex.

"εἰσὶ — λεγόντων." εἶπε τῶν ἐκεῖνα λεγόντων πρὸς ἃ νῦν 1011a 3. ποιεῖται τοὺς λόγους τοὺς μὲν διὰ τὸ ἀπορῆσαι περὶ τῶν αἰσθητῶν πεισθέντας οὕτως ἔχειν τὰ ὄντα ἐπὶ τῆς δόξης ταύτης γίγνεσθαι· οὓς καὶ ἰατροὺς ἔφη εἶναι ὑπομνήσεως λογικῆς δεομένους, πρὸς οὓς καὶ πεποίηται τοὺς μέχρι νῦν λόγους, μεταπείθειν καὶ λύειν αὐτῶν τὰς ἀπορίας, δι' ἃς ἐπὶ τοῦτο κατηνέχθησαν, πειρώμενος· τοὺς δὲ μὴ πεπεῖσθαι μὲν οὕτως ἔχειν τὰ ὄντα, λέγειν δὲ οὕτως καὶ ταύτῃ τῇ κατὰ τὴν

2. λεγομένης *M.* ‖ παρακειμένης *M.* ‖ 3. αὐτὸ] ἀπὸ *M.* ‖ 4. *vel affectio quae efficitur in ipso, aliud ipsi videtur, cum sit aliud, sed quidquid id sit a quo proficiscitur, affectio ipsa similis semper sensui videtur* Sepulv. ‖ 5. αὐτῇ] αὐτὸ *M.* ‖ ἀλλ' ὅτι *M.* ‖ 8. ἵνα *M.* ‖ 9. πάσας] πάντας *M.* ‖ 11. παρίστησι *M.* ‖ 14. μηδὲ *M.* ‖ 15. αὐτὸ ἢ εἶναι *A.* ‖ *id autem quod substantia non esse dicitur, id isti de nullo dicunt* Sepulv. ‖ 17. ἀναίρεσιν *M.* ‖ 22. ὁμοδοξάζουσι *M.* ‖ 23. ἐνδέχεται *M.* ‖ 27. τῇ ἀληθείᾳ ἀληθὲς *A.* ‖ 29. ἔτι *M.* ‖ 30. αὐτοὺς] αὐτὸ *M.* ‖ εἰ — εἰ] ἢ — ἢ *M.* ‖ 34. αἰσθητῶν] αἰσθήσεων *M.* ‖ 35. ἔσεσθαι] ἔσται *M.* ‖ 36. ἀληθινὰ *AM.*

4. πάθη πρῶτον δεῖ ἀντιληψομένης *M.* ‖ 8. *sensibilia igitur sensum praecedunt, et possent esse licet non sentirentur et sic non essent sensibilia* Sepulv. ‖ εἴη τ' ἂν καὶ ἐκ *AM.* ‖ 11. ὃς] ὡς *M.* ‖ 12. ποιὰ *MF.* ‖ *in habitudine quadam* Sepulv. ‖ 13. τοιοῦτον εἶναι ἐκεῖνο *F.* ‖ 14. δὴ *F.* ‖ ταὐτὸν] τούτοις *M.* ‖ 15. εἴτε *M.* ‖ 16. ἡ — 17. γὰρ αἴσθησις om *MF.* ‖ 20. *non statim tamen subiecta pereunt et quae sensui fiunt sensibilia et quae sensionem efficiunt. ipsorum igitur non efficiuntur sensus. at ut sensus munere suo fungi possit, aliqua subiecta praeexistant oportet* Sepulv. ‖ 21. ἃ om *M.* ‖ post ποιεῖ add εἰ μὴ εἴη αἴσθησις *A.* ‖ 22. τὸ] τοῦ *M.* ‖ 31. περὶ om *M.* ‖ 33. *quibus in hunc errorem inciderant, partim non propter indutam de rebus persuasionem, sed pertinacia quadam hanc opinionem tueri. nunc ab utrisque ambigi quaerique ait, quisnam sit cuius iudicio de veritate standum sit* Sepulv.

καθὰ καὶ Πλάτων ἤλεγξε τὴν δόξαν ἐν τῷ Πρωταγόρᾳ. εἰ γὰρ ἦν πᾶσα δόξα ἀληθής, ἔδει καὶ περὶ τῶν εἰς τὸ μέλλον γιγνομένων δοξῶν περὶ ὑγείας ὑπὸ ἰατροῦ καὶ ἰδιώτου μηδὲν μᾶλλον τὴν ἑτέραν τῆς ἑτέρας ἀληθῆ εἶναι. νῦν δὲ κυριωτέρα ἡ τοῦ ἰατροῦ· προειπόντες γὰρ καὶ προδοξάσαντος τοῦ μὲν ὑγιαίνειν τὸν νοσοῦντα τοῦ δὲ τεθνήξεσθαι, ἐνστάντος τοῦ καιροῦ τῆς ἐκβάσεως οὐδὲ τῷ ἰδιώτῃ προδοξάσαντι τὸ τεθνήξεσθαι τὸν κάμνοντα τεθνάναι δοκεῖ, ἀλλ' ὑγιαίνειν αὐτὸν δοξάσει, ὃ ἦν ὑπὸ ἰατροῦ προδεδοξασμένον. ἀλλὰ κἂν ὁ μὲν ἰατρὸς νοσεῖν τινὰ προδοξάσῃ, ὁ δὲ ἰδιώτης μικρὸν ἢ ἀνάπαλιν, ἡ ὑπὸ τοῦ ἰατροῦ δόξα πρὸς ἀλήθειαν κυριωτέρα. ὥστε καὶ αὐτοὶ ὁμολογοῦσιν εἰ ἰδιῶται μὴ εἶναι τὰς ἰδίας δόξας τὰς περὶ τῶν μελλόντων ἀληθεῖς. εἰ δὲ τοῦτο, οὐ πᾶσα φαντασία ἀληθής. id.

1010 b 7. (v) πάλιν φησὶ πότερον, ὁποῖα τοῖς ὑγιαίνουσι, τοιαῦτα καὶ τοῖς κάμνουσι φαίνεται· πάλιν οἷα τοῖς ἀσθενοῦσι, τοιαῦτα καὶ τοῖς κάμνουσι... καὶ ὅτι φασὶν ἐν Ἀσίᾳ εἶναι λίθους ἐοικότας πιστακίοις καὶ ᾠοῖς καὶ ῥοιαῖς, καὶ ἡμεῖς τοῦτο ἐθεασάμεθα· ὥστε καὶ οἱ λίθοι πιστάκια καὶ ᾠὰ καὶ ῥοιαὶ ὑπάρχουσι. Asclep.

1010 b 11. (x) ᾠδεῖον δὲ λέγεται τὸ μέρος τοῦ θεάτρου ὅπου αἱ ᾠδαὶ λέγονται. id.

(y) τόπος Ἀθήνησιν, ἐν ᾧ οἱ κιθαρῳδοὶ ἠγωνίζοντο. cod. Reg. 1 man. ἐν Ἀθήναις διατριβὴ τὸ ᾠδεῖον, ἐν ᾧ αὐλεῖν καὶ κιθαρίζειν ἠσκεῖτο. cod. Reg. 2 man.

1010 b 14. "ἔτι — αὐτοῦ." ὃ εἶπεν ὅτι ἡ αἴσθησις ἐν τοῖς ἰδίοις ἐστὶν ἀληθὴς μόνοις ἀλλ' οὐκ ἐν πᾶσι, τοῦτο νῦν δείκνυσιν. πρῶτον μὲν γὰρ ἔλαβεν ὅτι εἰ καὶ ἡ αἴσθησις, οὐ πάντως ἤδη καὶ αἱ φαντασίαι· οὐ γὰρ ταὐτὸν αἴσθησίς τε καὶ φαντασία. νῦν δὲ ὅτι μηδὲ αἱ αἰσθήσεις ὁμοίως περὶ πάντων ἀληθεύουσιν, ὡς προεῖπε, παρίστησιν· οὐ γὰρ ὁμοίως ἔχουσι περὶ τὰ ἴδια καὶ ἀλλότρια, ἀλλ' ἡ μὲν γεῦσις περὶ τὰ γευστά, τουτέστι περὶ τοὺς χυμούς, ὧν οὐκ ἔστιν ὄψις, ἡ δὲ ὄψις περὶ τὰ χρώματα, ὧν οὐκ ἔστι γεῦσις. διὸ ὅταν τῇ ὄψει ὠχρόν τι θεωρούσῃ φανῇ εἶναι τοῦτο γλυκύ, οὐκ ἀξιόπιστον αὐτὴν ἡγούμεθα, οὐδὲ ἀληθῆ τὴν τοιαύτην φαντασίαν εἶναί φαμεν, ἀλλὰ τὴν γεῦσιν εἰς κρίσιν αὐτοῦ, εἴτε γλυκὺ εἴτε μὴ γλυκύ, παραλαμβάνομεν. λέγοι δ' ἂν ἀλλότριά πως ἑκάστῃ τῶν αἰσθήσεων καὶ τὰ κοινά· ἀλλὰ πλεῖστα σφάλλονται περὶ τὰ κοινά. ἀλλ' οὐδὲ περὶ τὰ ἴδια αἱ αἰσθήσεις ὁμοίως ἔχουσιν ἐγγύς τε ὄντα καὶ πόρρωθεν, ὡς προεῖπεν ἤδη· περὶ γὰρ χρῶμα καὶ ἡ ὄψις οὖσα ἀληθεύει περὶ αὐτό, ἂν ᾖ ἀπὸ συμμέτρου διαστήματος καὶ μὴ πόρρω. ὁμοίως καὶ ἀκοὴ περὶ ψόφον καὶ ὄσφρησις περὶ ὀσμήν. οὐδὲ γὰρ τῶν ἰδίων ὁπωσοῦν ἐχόντων ἢ ὁπουδήποτε κειμένων αἱ αἰσθήσεις εἰσὶ κριτικαί. τὸ δὲ "ἢ τοῦ πλησίον ἢ τοῦ αὐτῆς" ἴσον ἂν εἴη καὶ τοῦ αὐτοῦ ἢ τοῦ πλησίον ἢ τοῦ πόρρω· τοῦτο γὰρ δεῖ προσυπακούειν τῇ λέξει. "ὧν ἑκάστη ἐν τῷ αὐτῷ χρόνῳ περὶ τὸ αὐτὸ οὐδέ ποτέ φησιν ἅμα οὕτως καὶ οὐχ οὕτως ἔχειν." ταῦτα καὶ τὰ ἑξῆς πάλιν δόξει μὲν λέγειν πρὸς τοὺς περὶ Δημόκριτον καὶ Ἡράκλειτον τοὺς ταὐτὰ καὶ εἶναι καὶ μὴ εἶναι λέγοντας ἅμα καὶ διὰ τοῦτο τὴν ἀντίφασιν ἀληθεύειν τιθεμένους, διὰ δὲ τῶν αἰσθήσεών τε καὶ αἰσθητῶν ἀμφοτέρους ἐλέγχειν δοκεῖ τούς τε πᾶσαν φαντασίαν ἀληθῆ λέγοντας καὶ τοὺς ἐπὶ παντὸς τὴν ἀντίφασιν ἅμα ἀληθῆ τιθεμένους, οἷς προσχρησάμενοι ταῦτα ἐτίθεντο, διὰ τούτων ἐλέγχων αὐτοὺς ὡς οὐ δεόντως λέγοντας· τοὺς μὲν γὰρ πᾶσαν φαντασίαν ἀληθῆ τιθεμένους διὰ τὸ τὰς αἰσθήσεις πάσας ἀληθεύειν ὑπολαμβάνειν, ἤλεγξε δείξας ὅτι μὴ πᾶσα αἴσθησις ἀληθής· οὔτε γὰρ αἱ τῶν ἀλλοτρίων οὔτε αἱ τῶν οἰκείων μέν, μὴ ἀπὸ συμμέτρου δὲ διαστήματος ἀληθεῖς, ἀλλ' οὐδὲ αἱ τῶν νοσούντων. τοὺς δὲ διὰ τὴν συνεχῆ ῥύσιν καὶ διὰ τὸ ἐκ τῶν αὐτῶν τἀναντία γίνεσθαι καὶ διὰ τὸ μὴ ἀληθεύειν μηδὲ καταλαμβάνεσθαι τὰς αἰσθήσεις τῷ ἄλλοτε ἄλλως ὑπὸ τῶν αἰσθητῶν κινεῖσθαί τε καὶ πάσχειν ἀναιροῦντας κατάληψιν καὶ τὴν ἀντίφασιν ἀληθῆ λέγοντας, ἐλέγχει αὐτοὺς (?) δεικνὺς ἀληθευούσας ἔν τισι τὰς αἰσθήσεις, ἐν οἷς οὐχ οἷόν τε ἔτι λέγειν τὴν ἀντίφασιν ἅμα εἶναι ἀληθῆ· οὐδεμία γὰρ αἴσθησις ἐν τῷ αὐτῷ χρόνῳ τὸ αὐτὸ εἶναι τὸ τοιοῦτον καὶ μὴ εἶναι μηνύει, οἷον ἅμα λευκὸν καὶ μέλαν τὸ αὐτό, ἢ ἅμα γλυκὺ καὶ πικρὸν τὸ αὐτό· ὥστε εἰ δεῖ ταῖς αἰσθήσεσιν ἐπακολουθεῖν, οὐχ ἅμα ἂν εἴη τἀναντία, οὐδὲ ἡ ἀντίφασις ἅμα ἀληθής. καὶ ταῦτα δ' ἂν ἁρμόζει τοῖς τὰς φαντασίας εἶναι ἀληθεῖς λέγουσιν, ὅτι καὶ αἱ αἰσθήσεις, εἴ γε δεῖ ταῖς αἰσθήσεσιν ἐπακολουθεῖν, οὐδεμία δὲ αἴσθησις ἅμα οὕτω τε καὶ οὐχ οὕτως ἔχειν ὃ αἰσθάνεται μηνύει. ὥστε εἰ οὕτως αἱ αἰσθήσεις, οὕτως ἂν καὶ αἱ φαντασίαι ἔχοιεν. οὕτως δὲ οὐκ ἀληθὲς ἔσται ἔτι τὸ τὰς ἀντικειμένας φαντασίας ἅμα ἀληθεῖς εἶναι. "ἀλλ' οὐδὲ ἐν ἑτέρῳ 1010 b 19.
χρόνῳ περί γε τὸ πάθος." δείξας ὅτι ἐν τῷ αὐτῷ χρόνῳ οὐδεμία αἴσθησις τἀναντία περὶ ταὐτὰ εἶναι κρίνει, νῦν ὅτι μηδ' ἐν ἄλλῳ χρόνῳ ποτὲ περὶ τὸ πάθος τὸ γινόμενον αὐτῇ μάχεται ἢ αὐτὴ πρὸς αὑτὴν ἢ πρὸς ἄλλην τὴν ὁμοειδῆ. οὐδὲ γὰρ ἡ γεῦσις τὸ γλυκάζεσθαι νῦν μὲν τοιοῦτον ἡγεῖται νῦν δὲ οὐ τοιοῦτον, ἀλλὰ ἀεί τε καὶ πάσαις ὅμοιον φαίνεται καὶ προσηνές, ἀλλ' οὐ ποτὲ μὲν διακριτικὸν ποτὲ δὲ συγκριτικόν, ἀλλὰ πάσαις ὅμοιον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν γιγνομένων παθῶν αὐταῖς κατὰ τὴν τῶν αἰσθητῶν ἀντίληψιν αἰεί τε καὶ πᾶσαι συνοδεύουσιν ἀλλήλαις, ἡ δὲ ἀμφισβήτησις αὐταῖς γίνεται περὶ τὸ ὑποκείμενον τὸ αἰσθητόν, ἀφ' οὗ τὸ πάθος αὐταῖς ἐγγίνεται· ὁ γὰρ αὐτὸς οἶνος γλυκύς τε καὶ οὐ γλυκὺς ἐν μέρει

1. ἔλεγε M. ‖ Πρωταγόρει M. ‖ 3. μηδὲ M. ‖ 5. θνήξεσθαι A. ‖ 6. ἐνστάντος — 7. τεθνήξεσθαι om M. ‖ 8. κἂν] καὶ M. ‖ μὲν om M. ‖ 9. προδοξάσει M. ‖ 10. τοῦ om M. ‖ αὐτὸ M. ‖ 23. ἔτι] ὅτι M. ‖ ἡ] καὶ M. ‖ ἐν — 26. αἰσθήσεις om M. ‖ 27. περίστησι M. ‖ 28. περὶ αὐτὰ ἴδια M. ‖ 31. φανῇ εἶναι] φάναι M. ‖ οὐκ om M. ‖ 33. λαμβάνομεν M. ‖ 34. ἀλλὰ — 35. κοινά et 37. καὶ om M. ‖ 37. ᾖ] ἢ M. ‖ 39. ὁποσοῦν M.

4. λέγει M. ‖ 8. τοὺς] οὐκ M. ‖ 9. προσχρώμενοι M. ‖ τοῦτο] τὸ τῶν M. ‖ 10. οὐδὲ ὄντως M. ‖ φαντασίαν — 11. πάσας om A. ‖ 14. ἀληθῆ ἀλλ' οὐδὲν διὰ τῶν M. ‖ 15. διὰ τῶν ἐκ A. ‖ 17. πάσχειν M. ‖ 24. ἁρμόζει M. ‖ 25. αἱ et 26. τε et 27. αἱ αἰσθήσεις, οὕτως et 28. αἱ om M. ‖ 33. ἢ πρὸς] ἥπερ M. ‖ γλυκύζεσθαι M. ‖ 35. μὲν διακρίνεται ἀλλ' οὐ πάσαις ὅμοιον M. ‖ 36. τῶν] τὴν M. ‖ 37. πάθη αὐτοῖς M, f. l. τῶν ἄλλων παθῶν τῶν γιγνομένων αὐτοῖς. ‖ 38. αἰεὶ] αἱ εἰ M. ‖ 40. αὐτοῖς M.

χείων. τὸ δὲ ἀπὸ τῆς σεληνιακῆς μέχρι τῆς ἀπλανοῦς οὔτε λόγον δέχεται οὔτε τρόπον τινά. Asclep.

1010a 32 "ἔτι — ἐροῦμεν." λέγων πρὸς τοὺς πάντα ἐν πᾶσιν οἰομένους εἶναι διὰ τὸ πάντα ἐκ πάντων γινόμενα ὁρᾶν, προσέθηκε καὶ τοῦτο, ὅτι ἀξιοῦμεν αὐτοὺς ὑπολαμβάνειν καὶ ἄλλην οὐσίαν τῶν ὄντων εἶναι, ᾗ οὔτε κίνησις ὑπάρχει οὔτε φθορὰ οὔτε γένεσις τὸ παράπαν· δι' ἃ ᾤοντο ἅμα τὴν ἀντίφασιν ἑκάστου τῶν ὄντων ἀληθῆ γίνεσθαι. τὸ αὐτὸ δὴ τοῦτο καὶ πρὸς τούτους ῥητέον, φησί, καὶ δεικτέον αὐτοῖς καὶ πειστέον αὐτοὺς τῷ λόγῳ ὅτι ἔστι τις ἐν τοῖς οὖσι καὶ ἀκίνητος παντάπασιν καὶ ἀμετάβλητος φύσις· οὐδὲ γὰρ τῶν ἐν κινήσει καὶ μεταβολῇ ὄντων τὴν ἀρχήν τι ἦν, εἰ μή τις ἦν ἀκίνητος καὶ ἀσώματος φύσις, αἰτία τῆς τῶν ἄλλων κινήσεως. εἰπὼν δὲ ταῦτα δείκνυσιν ἑξῆς, ἐξ ὧν αὐτοὶ λέγουσιν οἱ πάντα εἶναί τε καὶ μὴ εἶναι λέγοντες (οὗτοι δέ εἰσιν οἱ τὴν ἀντίφασιν ἐπὶ παντὸς ὁμοίως ἀληθῆ λέγοντες), ὅτι μᾶλλον ἂν κατ' αὐτοὺς πάντα εἴη ἠρεμοῦντα ἢ μεταβάλλοντά τε καὶ κινούμενα. εἰ γὰρ τὰ μεταβάλλοντα εἰς ἃ μὴ ἔστι μεταβάλλει, καθ' οὓς ἕκαστον τῶν ὄντων πάντα ἐστίν, ὡς μηδὲν αὐτοῦ ἐκτὸς εἶναι, κατὰ τούτους πάντα ἂν ἠρεμοίη. πάντα δὲ ἐν ἑκάστῳ τῶν ὄντων ἐστί, καθ' οὓς ἐπὶ πάντα [redacted]ᾶσα ἀντίφασις ἀληθής· εἰ γὰρ ἕκαστον τῶν ὄντων ὁμοίως ἔστι τε καὶ οὐκ ἔστιν, καὶ πάντα ἐν πᾶσιν ἔστι καὶ οὐ ποτὲ μὲν ἔστιν ποτὲ δὲ οὐκ ἔστιν, οὐδὲ ποτὲ μὲν μᾶλλον ἔστιν ποτὲ δὲ ἧττον ἔστιν ἢ οὐκ ἔστι, ἠρεμοίη ἂν τὸ πᾶν εἰς οὐδὲν μεταβάλλον τῷ τὴν αὐτὴν ὁμοιότητα μένειν τοῦ εἶναί τε καὶ μὴ εἶναι καὶ τῷ πάντα ἔχοντα ἕκαστον ἐν ἑαυτῷ μὴ ἔχειν ἐκτός τι αὐτοῦ, εἰς ὃ μεταβάλλει. εἰπὼν δὲ ταῦτα πρὸς τοὺς πάντα κινεῖσθαι ἀεὶ συνεχῶς λέγοντας καὶ διὰ τοῦτο μηδὲ καταληπτὸν εἶναί τι ἡγουμένους, δείξας δὲ ἐκ περιουσίας ἑπόμενον τοῖς τὴν ἀντίφασιν ἐπὶ παντὸς ἀληθῆ λέγουσι τὸ ἕπεσθαι αὐτοῖς τὸ πάντα ἠρεμεῖν λέγειν, ἑξῆς λέγει πρὸς τοὺς πᾶσαν φαντασίαν ἀληθῆ τιθεμένους. Alex.

1010b 1. "περὶ — ἐστίν." διαλέγεται πρὸς τοὺς πᾶν τὸ φαινόμενον ἀληθὲς λέγοντας (τοῦτο γὰρ σημαίνει τὸ περὶ τῆς ἀληθείας ῥητόν), δεικνὺς ὅτι μὴ πᾶν ἐστὶν ἀληθές, πρῶτον μὲν ὅτι οὐδὲ ἡ αἴσθησις ἐν τοῖς ἰδίοις αἰσθητοῖς μὴ διαψεύδεται ἤδη, οὐδὲ ἡ φαντασία. λέγοι δ' ἂν καὶ ὡς αὐτῷ δοκοίη, λέγοι δ' ἂν καὶ ὡς ἐκείνοις, διὰ τοῦτο καὶ τὸ τὴν φαντασίαν ἀληθῆ εἶναι κατασκευάζοντας. ὃ δὲ λέγει ἐστίν, ὅτι μηδὲ ἡ αἴσθησις ἐν πᾶσιν ἀληθής, ἀλλ' ἐν τοῖς ἰδίοις μόνοις· τοῦ γὰρ ἰδίου οὐκ ἔστιν ψευδής, ὥστε εἰ καὶ ταὐτὸν ἦν αἴσθησίς τε καὶ φαντασία, οὐ πᾶσα φαντασία γίνεται ἀληθής, ἀλλὰ ἡ τῶν ἰδίων καὶ οἰκείων ἑκάστῃ αἰσθήσει. ἔπειτα ὅτι οὐδὲ ἡ φαντασία ταὐτὸν τῇ αἰσθήσει· ὥστε οὐκ ἂν εἰ ἡ αἴσθησις ἀληθής, ἤδη καὶ ἡ φαντασία· οὐ γὰρ ὁμοίως τῇ αἰσθήσει ἀληθεύει· οὐ γάρ ἐστι ταὐτὸν αἴσθησίς τε καὶ φαντασία· ἡ μὲν γὰρ αἴσθησις ἀντίληψίς ἐστι τῶν αἰσθητῶν παρόντων καὶ ἐκτὸς ὄντων τῶν αἰσθητηρίων, ἡ δὲ φαντασία κίνησις τῆς κατ' ἐνέργειαν αἰσθήσεως, ἣν κίνησιν τὴν ἀπὸ τῶν αἰσθητῶν τύπων ἐγγινομένων ἄλλοτε ἄλλως γίνεσθαι συμβαίνει, ὡς ἔν τε τοῖς περὶ Ψυχῆς (3 3) δέδεικται καὶ ἐν τῷ περὶ Μνήμης (c. 1) καὶ Ὕπνου. ὅτι γὰρ μὴ ταὐτά, δῆλον ἐκ τοῦ φαντασιοῦσθαι μὲν καὶ ἐφ' ἡμῖν εἶναι, αἰσθάνεσθαι δὲ μὴ ἐφ' ἡμῖν, καὶ φαντασιοῦσθαι μὲν καὶ ὅτε μὴ αἰσθανόμεθα (καὶ γὰρ κοιμώμενοι φαντασιούμεθα), αἰσθάνεσθαι δὲ μὴ αἰσθανομένους ἀδύνατον. καὶ ἡ μὲν αἴσθησις παρόντων, ὡς εἶπεν, ἡ δὲ φαντασία καὶ μὴ παρόντων τῶν πραγμάτων. id.

"εἶτ' — τοιαῦτα." διὰ τούτων καὶ τῶν ἑξῆς ἐπὶ τὰ ἐναργῆ 1010b 3 ἄγων δείκνυσι τὴν δόξαν τὴν προκειμένην, ἣν ἀρχὴν μὲν ἦν ἐφιστὰς αὐτοὺς διὰ τῶν ἐναργῶν, ὅτι μὴ ἀληθὴς ἡ δόξα αὐτῶν. οὔτε γὰρ περὶ μεγεθῶν ἀπορήσαι ἄν τις, πηλίκα ἐστὶ τὰ μεγέθη, πότερον ἡλίκα τοῖς πόρρωθεν ὁρῶσι φαίνεται ἢ ἡλίκα τοῖς ἐγγύθεν, οὔτε περὶ χρωμάτων, ἵνα ἀπορήσας καὶ λαβὼν διὰ τὴν ἀπορίαν τὸ ὅτι οὐδὲν μᾶλλον τὰ τοῖς ἐγγύθεν ὁρῶσιν ἢ τὰ τοῖς πόρρω εὔλογον εἶναι ἀληθῆ, οὕτως τιθεὶς ἑκάστῳ τὸ φαινόμενον ἀληθὲς εἶναι (*). ἀλλ' οὐδὲ περὶ τοῦ πότερον τοῖς ὑγιαίνουσιν ἢ τοῖς κάμνουσι τὰ φαινόμενα ἀληθέστερα, οἷον τὰ τοῖς ἰκτέρῳ ἐχομένοις ἢ φρενίτιδι. ἀλλ' οὐδὲ περὶ βαρυτέρων, εἰ τὰ τοῖς κάμνουσι βαρύτερά ἐστιν ἢ τὰ τοῖς ἰσχύουσιν. ἀλλ' οὐδὲ πότερον ἀληθῆ ἐστὶ τὰ τοῖς ἐγρηγορόσι φαινόμενα ἢ τὰ τοῖς κοιμωμένοις· καὶ πᾶσι γὰρ πρόδηλον τοῦτο, ὅτι τὰ τοῖς ἐγγύθεν ὁρῶσι φαινόμενα μᾶλλόν ἐστι τοιαῦτα καὶ τὰ τοῖς ὑγιαίνουσι καὶ τὰ τοῖς ἰσχύουσι καὶ τὰ τοῖς ἐγρηγορόσιν. εἰ δὲ τοῦτο, οὐ πᾶσα φαντασία ἀληθής. οὐδὲ γὰρ οἱ ἀπὸ τούτων κρίνοντες τῷ πλήθει κρίνουσιν, ὡς πρὸ ὀλίγου ἐμέμνητο, ὡς λεγόντων αὐτῶν πᾶσαν φαντασίαν ἀληθῆ τιθεμένων, ἀλλὰ τῷ κατὰ φύσιν ἔχοντι λαμβανομένων. τοιοῦτος καὶ ὁ ἐγγύθεν καὶ ἀπὸ τοῦ συμμέτρου ὁρῶν, ἀφ' οὗ πέφυκεν ὁρᾶσθαι τὰ φαινόμενα. τοιοῦτος ὁ ὑγιαίνων, τοιοῦτος ὁ ἰσχύων, τοιοῦτος ὁ ἐγρηγορὼς πρὸς ἀντίληψιν· οὐδὲ γὰρ αὐτοὶ οἱ ταῦτα τιθέμενοι περὶ τούτων ζητοῦσι παρ' αὐτοῖς, ὡς οἷόν τε καὶ ἄλλως ἔχειν. καὶ σημεῖον τούτου τὸ τὰς πράξεις αὐτοῦ κατὰ θάτερα 1010b 9. αὐτῶν ποιεῖσθαι· οὐδεὶς γὰρ τῶν ταῦτα λεγόντων ἐν Λιβύῃ ὤν, ὄναρ αὐτὸν εἰ δηλώσει ἐν Ἀθήναις εἶναι, ἐπὶ τὸ Ἀθήνησιν ᾠδεῖον ἐπείγεται (*), ἀλλ' εἰσὶ πεπεισμένοι ὅτι ὃ μὲν εἶδεν ὄναρ ψευδὲς ἦν, τὸ δὲ ἐγρηγορόσι φαινόμενον αὐτοῖς ἀληθὲς τίθενται (*). ἐλέγχει δὲ αὐτοὺς μὴ ὑγιῶς λέγοντας τὸ ἅπασαν φαντασίαν ἀληθῆ εἶναι, καὶ ἐκ τῶν περὶ τοῦ μέλλοντος δοξαζομένων τε καὶ φαινομένων,

3. πάντας *M.* ‖ 8. καὶ ante πρὸς om *M.* ‖ 9. πάντα γίνεσιν καὶ *M.* ‖ 10. οὐδὲν *M.* ‖ 11. ἀκίνητος om *M.* ‖ 13. οὗτοι — 14. λέγοντες om *A.* ‖ 18. ἠρεμεῖν *M.* ‖ 19. παντὸς *M.* ‖ 22. ἠρεμοῖ ἂν τὸ *M.* ‖ οὐδὲ *M.* ‖ 24. ἔχοντι *M.* ‖ 27. τοῖς] τοὺς *M.* ‖ 28. ἑξῆς λέγει om *M.* ‖ 30. ἀληθεύοντας *M.* ‖ 31. δεικνῦντας *AM.* ‖ 33. μηδὲ ψεύδεται *M.* ‖ 34. αὐτῷ] ἐν τῷ *M.* ‖ τούτου *M.* ‖ 37. εἰ et 38. οὐ πᾶσα φαντασία om *M.* ‖ 39. ἔτι om *A.* ‖ 40. εἰ ἡ] εἴη *A.*

5. τοῖς] τοὺς *M.* ‖ 8. καὶ γὰρ — 9. φαντασιούμεθα om *A.* ‖ 11. παρόντων] περιόντων bis *M.* ‖ 12. ἐνεργεῖ *M.* ‖ *refellit propositam illorum opinionem, quos perperam sentire manifestarum rerum argumentis convincit* Sepulv. ‖ 16. *ut per hanc dubitationem accipiat non esse probabilius* Sepulv. ‖ 19. τιθεὶς τὸ ἕκαστον φαινόμενον *M.* ‖ 21. φρενίτιδι *M.* ‖ 29. τῷ] τὸ *M.* ‖ 36. αὐτῶν *M.* ‖ ᾠδεῖον *M.* ‖ 39. ὑγιῶς] ἰδίως *M.*

τι καθόλου τε, εἴτε φθείρεταί τι, ἀνάγκη τι ὂν εἶναι· εἴτε γὰρ ἡ φθορὰ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν ἐστι μεταβολή, τὸ φθειρόμενον καὶ μήπω ἐφθαρμένον ἀνάγκη τι εἶναι· εἰ γὰρ μηκέτι ἦν, οὐκ ἂν ἐφθείρετο. ἀλλὰ καὶ γίγνεταί τι, ἐπεὶ πᾶν τὸ γιγνόμενον ἔκ τινος ὑποκειμένου γίγνεται· οὐ γὰρ δὴ ἐκ τοῦ μηδενός. ἀλλὰ καὶ ὑπό τινος· οὐ γὰρ δὴ ἀναιτίως δεῖ ταῦτα δηλονότι εἶναι· οὐ γὰρ ἄλλως γένοιτό τι. καὶ τοῦτο μὴ εἶναι ἐπ' ἄπειρον, μήτε πάλιν καὶ τὸ ἐξ οὗ γίνεται τὸ γιγνόμενον καὶ ὑφ' οὗ, ταῦτα γίνεσθαι, καὶ διὰ τοῦτο λέγειν μήτε ταῦτα εἶναι· οὐ γὰρ γίγνοιτό τι κατὰ τὴν ἀρχήν, εἰ ἐπ' ἄπειρον εἴη γένεσις ἄναρχος οὖσα, ὡς καὶ ἐν τῷ Α τῷ ἐλάττονι (c. 2) ἐδείχθη. ὃ γὰρ οὐκ ἔχει ὑποκείμενον, οὐκ ἂν γένοιτο· οὐκ ἔχει δὲ ὑποκείμενον ὅ τι ἔτι γίγνεται τὸ ὑποκείμενον· γίγνεται δὲ ἐπὶ πᾶν, ὅταν ἐπινοηθῇ ἐπ' ἄπειρον ἡ γένεσις τοῦ ὑποκειμένου. εἰ γὰρ δεῖ μὲν ὑποκειμένου τινός, ἐξ οὗ τὸ γιγνόμενον ἔσται, τοῦτο δὲ μὴ ἔστιν ἀλλ' ἔτι γίγνεται, οὐκ ἂν τοῦτο γίνοιτο ὃ πρὸς τὸ γενέσθαι ὑποκειμένου ἐκείνου δεῖται· τὸ γὰρ ὑποκείμενον ὄν τι. ἀλλ' οὐδὲ ἐκεῖνο γίνοιτο ἄν, εἰ δεῖ μὲν καὶ ἐκείνῳ ὑποκειμένου τινός, μήπω δὲ ἐκεῖνο ἔστι διὰ τὸ γίνεσθαι ἔτι. οὕτως δὲ οὐδὲν ἔσται γινόμενον, εἰ μὴ εἴη· μεταβάλλοντα γὰρ καὶ ἡ ῥύσις καὶ ἡ μεταβολή. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ γεννῶντός τε καὶ ποιοῦντος. εἰ γὰρ δεῖ μὲν τὸ γεννώμενον ὑπό τινος γεννᾶσθαι, ἐκεῖνο δὲ μὴ εἴη ἀλλ' ἄρτι γεννῷτο, οὐκ ἂν ἤδη τοῦτο γεννῷτο οὗ τὸ ὑποκείμενον δεῖ γεννηθῆναι ὄντος ἤδη· εἰ γὰρ γεννᾶται, οὐδέπω ἔστιν. οὕτως δὲ εἰς ἄπειρον προϊόντων οὐδὲν ἂν ὅλως εἴη γεννώμενον. δείξας δὲ ὅτι εἴτε φθείροιτό τι εἴτε γίγνοιτο, ἀνάγκη καί τι ἤδη εἶναι, ὃ μήτε φθείρεται ἅμα ἐκείνῳ μήτε γίγνεται· ὥστε καὶ τοῖς τὴν συνεχῆ μεταβολὴν καὶ ῥύσιν τε καὶ φθορὰν αἰτιωμένοις ἀναγκαῖον, εἰ ταῦτα ἔμελλεν αὐτοῖς ἔσεσθαι ἀληθῆ, καταλιπεῖν τινὰ καὶ ὄντος φύσιν. Alex.

1009 b 25. (*) τὸ γὰρ πλέον νόημα προσγίνεται ἐκ τῆς πλέονος αἰσθήσεως καὶ ἀκριβεστέρας. Asclep.

(*) καὶ Ἀναξαγόρας δὲ ἐκ τοῦ μνημονευομένου αὐτοῦ ἀποφθέγματος φαίνεται τοῦτο δοξάζων, λέγων ὡς τοιαῦτά ἐστι τὰ ὄντα οἷα ἂν αὐτὰ ὑπολάβωσιν. ἐπεὶ γὰρ τῇ μὲν ὑπολήψει τὰ ὄντα νοεῖν **ὑπετίθετο, ἡ δ' ὑπόληψις διὰ τὰς αἰσθήσεις ἐστὶ καὶ ἐκ τῶν αἰσθήσεων, ἡ αἴσθησις ἄρα ἡ αὐτή ἐστι τῇ φρονήσει.** cod. Reg.

1010 a 6. **(*) οὕτω γὰρ εἰπεῖν πρὸς αὐτούς, ὥσπερ Ἐπίχαρμος ὁ κωμικὸς ὑβριστικῶς προῆλθεν εἰς τὸν Ξενοφάνην.** Asclep.

1010 a 5. **(*) τουτέστιν οὕτως ἐπιεικῶς σκώπτειν, ἢ μᾶλλον εἰπεῖν ἐπιτιμᾶν ἢ ἐλέγχειν, καὶ μὴ ἀναιδῶς τε καὶ ὑβριστικῶς καταλοιδορεῖν, ὡς ὁ κωμῳδὸς Ἐπίχαρμος κατὰ Ξενοφάνους ἐποίει.** cod. Reg.

1010 a 22. **"ἀλλὰ — λέγωμεν." τοῦτο δὲ ποιεῖ, ἐπεὶ εἶπεν ὅτι τὸ μεταβάλλον, ὅτε μεταβάλλει, ἔχει τινὰ αὐτοῖς ἀληθῆ λόγον μὴ οἴεσθαι εἶναι. πρόκειται δὲ αὐτῷ τοὺς διὰ τὰς προειρημένας αἰτίας τε καὶ** ἀπορίας ἐπὶ τὴν δόξαν ταύτην ἐλθόντας οὐ βιάζεσθαι ἀλλὰ πείθειν· διὰ γὰρ τοῦτο τοὺς μὲν ἀγωνιστικωτέρους τῶν λόγων καὶ πρὸς τρόπον ἔχοντας παραιτεῖται ἐπὶ τούτων (ἔφθακε δὲ πρότερον ἐκείνους κεκινηκέναι), ἐπὶ δὲ τοὺς πιθανωτέρους καὶ πείθειν τε καὶ διδάσκειν δυναμένους μέτεισι. ῥητέον οὖν, φησί, πρὸς αὐτοὺς ἀφειμένους ἐκείνων, ὅτι οὐ ταὐτόν ἐστι τὸ μεταβάλλειν κατά τε τὸ ποσὸν καὶ τὸ ποιόν. λέγει δὲ νῦν τὴν κατὰ τὸ ποιὸν μεταβολὴν τὴν κατὰ τὸ εἶδος, καθ' ἣν καὶ γένεσις καὶ φθορά. ὥστε οὐδὲ αἱ κατὰ ταῦτα μεταβολαὶ αἱ αὐταί, κἂν ὅτι μάλιστα δοθῇ τὸ κατὰ τὸ ποσὸν εἶναι τοῖς οὖσι συνεχῆ μεταβολήν, ἐπεὶ αὐξανόμενα καὶ φθίνοντα ὁρᾶται καὶ προσκρίσεις καὶ ἀποκρίσεις λαμβάνοντα, ἀλλ' ἕκαστον, ὅ ἐστιν, οὐκ ἀπὸ τοῦ ποσοῦ ἀλλ' ὑπὸ τοῦ εἴδους γνωρίζεται, ὃ μένει ἑκάστῳ ἔστ' ἂν ᾖ σωζόμενον τὸ πρᾶγμα τὸ ὑποκείμενον καὶ μὴ φθειρόμενον. ὅτι δὲ μὴ συνεχὴς ἡ κατὰ τὸ εἶδος μεταβολή, ἐν τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς (1 5) ἱκανῶς δέδειχεν, ἐν οἷς ἔλεγε περὶ τροφῆς· τοῦτο γὰρ ἔδειξεν ὂν τὸ ὑποκείμενόν τε καὶ τρεφόμενον. τὸ γὰρ εἶδος τοῦ Σωκράτους μένει ἔστ' ἂν μὴ ᾖ Σωκράτης ἐφθαρμένος, διαμένων καὶ ὁ νέος καὶ ὁ αὐξανόμενος καὶ ὁ μειούμενος καὶ ὁ γεγηρακὼς κατὰ τὴν ὕλην, καὶ Σωκράτης ὁμοίως ἐστίν. ὁμοίως καὶ λίθος καὶ χρυσὸς καὶ τὸ ξύλον καὶ τῶν ἄλλων ἕκαστον. ὥστε εἰ διὰ τὴν συνεχῆ ῥύσιν οὔ φασιν οὔτε εἶναί τι οὔτε γνωστόν, καθὸ μὴ συνεχής ἐστι ῥύσις, κατὰ τοῦτο καὶ εἴη ἂν ὄντα καὶ γινώσκοιντο. ἔτι δέ, φησίν, ἄξιον ἐπιτιμῆσαι τοῖς ὑπολαμβάνουσιν ἐν συνεχεῖ ῥύσει καὶ μεταβολῇ τὰ ὄντα εἶναι, ὅτι ἐν ὀλίγοις τῶν αἰσθητῶν τοιοῦτον ὁρῶντες γιγνόμενον (*) (ἐν γὰρ τοῖς περὶ ἡμᾶς καὶ τοῖς ἐν γενέσει καὶ φθορᾷ ἡ τοιαύτη ῥύσις, ἅ ἐστιν ὀλίγον τοῦ παντὸς μέρος) ἀπὸ τῶν ὀλίγων περὶ πάντων οὕτως ἀπεφήναντο τῶν ὄντων καὶ περὶ τοῦ οὐρανοῦ καὶ περὶ παντὸς τοῦ θείου τε καὶ ἀϊδίου σώματος. εὐλογώτερον γὰρ ἂν ἦν τὸ ἀπὸ τῶν πλειόνων καὶ μειζόνων ἐπὶ τὰ ἐλάττω μεταφέρειν τὴν δόξαν ἢ ἀπὸ τῶν τοσούτῳ ἐλαττόνων ὁρμωμένους καὶ περὶ τῶν τοσούτῳ μειζόνων τε καὶ κυριωτέρων ἀποφαίνεσθαι· ὥστ' οὐδ' εἰ μόνα τὰ αἰσθητὰ ὄντα ὑπελάμβανον, οὐδ' οὕτως εὔλογος ἦν ἡ δόξα ἡ τὴν συνεχῆ ῥύσιν αἰτιωμένη τοῦ μηδὲν **εἶναι.** Alex.

(*) ἀλλ' οὗτος ὁ τόπος οὐδὲ μόριόν ἐστι τοῦ παντός. δείκνυται 1010 a 30.
γὰρ ὅτι τὸ ἀπὸ τῆς γῆς μέχρι τῆς ἡλιακῆς σφαίρας τοῦ ἀπὸ τῆς γῆς μέχρι τῆς σεληνιακῆς σφαίρας εἰκοσαπλάσιον ὑπάρχει. δείκνυται δὲ ἐν γεωμετρίᾳ ὅτι τὰ μήκει διπλάσια δυνάμει τετραπλάσια ὑπάρχουσι, τὰ δὲ στερεὰ ὀκταπλάσια ὑπάρχουσιν, ὥστε τὸ ἐμβαδὸν τοῦ ἐμβαδοῦ τετρακοσιοστοπλάσιον ὑπάρχει· ἐὰν γὰρ τὸ ἐμβαδὸν τέμω εἰς ὀκτώ, τετρακόσια χωρία ποιῶ· τὸ δὲ στερεὸν ὀκτακισχιλιοστοπλάσιον ὑπάρχει τῆς ἡλιακῆς σφαίρας ὅπου κινεῖται ὁ ἥλιος τοῦ ἀπὸ τῆς γῆς μέχρι τῆς σεληνιακῆς, τουτέστι τῶν τεσσάρων στοι-

1. ἀνάγκη] ἀνάγνωσιν *M.* ‖ εἴτε] ἤ τε *A.* ‖ 2. ὄν τοι' ἐστὶ *M.* ‖ 8. γίνεται *M.* ‖ 16. ὄν τι] οὔτε *M.* ‖ καὶ ἐκείνῳ om *M.* ‖ 17. μή ποτε δὲ *M.* ‖ 21. γεννᾶτο — γεννᾶτο *M.*

4. δυναμένους μετιέναι τε αὖ, φησί *M.* ‖ 6. καὶ κατὰ τὸ 8. αἱ — μεταβολαὶ om *M* ib. lacuna. ‖ 10. ἐπεὶ καὶ αὐξανόμενα *M.* ‖ φθείροντα *M.* ‖ 12. γνωρίζεται, ὃ μένει om *M.* ‖ lacuna inter v. ἑκάστῳ et ἔστ' *M.* ‖ ᾖ] εἰ *M.* ‖ 15. γὰρ ἰδεῖν ξύλον τὸ *M.* ‖ 19. λίθος, καὶ χρυσὸς om *M.* ib. lacuna. ‖ 22. δέ om *M.* ‖ ἐπιτιμῆς *M.* ‖ 23. ἐν ante συνεχεῖ et 25. ἃ om *M.* ‖ 26. οὕτω φήναντο *M.* ‖ 31. οὐδ' εἰ] οὐ δεῖ *M.*

πᾶσαν δόξαν ἀληθῆ εἶναι. ὁ γὰρ τὸν Ἕκτορα λέγων ἄλλο φρονεῖν ὑπὸ τῆς πληγῆς ἐξεστῶτα, φρονεῖν μὲν λέγει, ἀλλοῖα δέ, ὡς οὐδὲν ἧττον φρονήσεως καὶ τῆς οὔσης καὶ τῆς τοῦ ἐξεστῶτος. εἰ δὲ φρονοῦσι καὶ οἱ παραφρονοῦντες, τὸ δὲ φρονεῖν τοῦ τἀληθῆ γινώσκοντος ἄλλος ἐστὶ τῶν μὴ παραφρονούντων, ὥστε τὰ ὄντα ἂν ἅμα οὕτως τε καὶ οὐχ [1009b33] οὕτως ἔχει. ἀπορήσας δὲ ταῦτα καὶ ἐκθέμενος τῶν ἀρχαίων τὰς δόξας, ἃς εἶχον περὶ τῆς τῶν ὄντων κρίσεως καὶ τῆς τἀληθοῦς καταλήψεως, ἐπιφέρει ὅτι ἐκ ταύτης τῆς τῶν ἀνδρῶν διαφωνίας χαλεπώτατόν τι καὶ ἄτοπον συμβαίνει. εἰ γὰρ οὓς μάλιστα ἐνδέχεται τἀληθὲς ἑωρακέναι (οὗτοι δέ εἰσιν οἱ περὶ τὴν εὕρεσιν τούτου μάλιστα καταγινόμενοι καὶ τοῦτον τοῦ βίου τοῦ αὐτῶν σκοπὸν καὶ τέλος πεποιημένοι), οὗτοι ταύτας περὶ αὐτῶν τὰς δόξας ἔχουσι καὶ ταῦτα ἀποφαίνονταί τε καὶ δοξάζουσι περὶ τῆς ἀληθείας καὶ τῆς γνώσεως τἀληθοῦς, πῶς οὐκ ἄξιον ἀθυμεῖν τοὺς προσιόντας φιλοσόφους; ἐοίκασι δὲ προσιέναι πράγματι τοσούτῳ ὁποῖόν ἐστι τὸ τὰ πετόμενα διώκειν βούλεσθαι. ὡς γὰρ ἐκεῖνοι οὐκ ἂν ἕλοιεν ἐκ ποδῶν διώκοντες τὰ πετόμενα, διὸ καὶ ἀδυνάτοις ἐπιχειροῦσιν, οὕτω καὶ οἱ φιλόσοφοι προσιόντες ἀδυνάτῳ καὶ ἀκαταλήπτῳ δοκοῦσι προσιέναι πράγματι· εἰ γὰρ φιλοσοφία μὲν ἐπαγγέλλεται τὴν τῶν ὄντων γνῶσιν καὶ τὴν τῆς ἐν τοῖς οὖσιν ἀληθείας κατάληψιν, ἡ τῶν ὄντων γνῶσίς τε καὶ κατάληψις οὕτως ἄπορος, ὡς δηλοῦσιν οἱ μάλιστα πραγματευσάμενοι περὶ αὐτῶν. εἰπὼν δὲ ταῦτα αὐτὰ καὶ ἐπιστήσας ἡμᾶς ὡς οὕτω τυχόντι προσιόντας πράγματι, ἑξῆς πειρᾶται τὴν αἰτίαν λέγειν τῆς πλάνης τῶν ταὐτὸ μὲν τὸ φρονεῖν καὶ τὸ αἰσθάνεσθαι δοξαζόντων, ἡγουμένων δὲ πᾶσαν δόξαν καὶ φαντασίαν ἀληθῆ, ἧς δόξης ἦν Πρωταγόρας· ἔδειξε δὲ καὶ Ἐμπεδοκλέα καὶ Παρμενίδην καὶ Δημόκριτον καὶ Ἀναξαγόραν ἐλθόντας ἐπὶ τοῦτο. ἦν μὲν γὰρ πρόθεσις αὐτοῖς τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν θεωρῆσαι, ὑπέλαβον δὲ εἶναι μόνα τὰ [1010a3] αἰσθητά, ἐν οἷς ἡ τοῦ ἀορίστου φύσις πολλή, τουτέστιν ἡ τῆς ὕλης (ἀόριστον γὰρ τὴν ὕλην λέγει) καὶ ἡ τοῦ οὕτως ὄντος ὡς προείπομεν, τουτέστι δυνάμει, ὃ τρόπον μέν τινα ἔστι, τρόπον δέ τινα οὐκ ἔστι, τῷ ἐν μεθορίῳ τοῦ τε κυρίως ὄντος εἶναι (τοῦτο δέ ἐστι τὸ ἐνεργείᾳ) καὶ τοῦ μηδ' ὅλως ὄντος. διὸ εἰκότα μὲν λέγουσι· τοὺς γὰρ περὶ τῶν οὕτως ὄντων λέγοντας εἰκός ἐστι τοιαῦτα λέγειν ὡς μηδὲν αὐτῶν ὡρισμένον τόδε τι εἶναι λέγειν· οὐ μὴν ἀληθῆ περὶ τῶν ὄντων λέγουσιν· οὐ γὰρ πάντα τὰ ὄντα τοιαῦτα, οὔτε τὰ αἰσθητὰ κατὰ πάντα ἀεὶ ῥεῖ καὶ μεταπίπτει συνεχῶς, ἀλλ' ἐν τούτοις τὸ εἶδος μένει τε καὶ ἠρεμεῖ τῆς ὑποκειμένης ὕλης ῥεούσης. οὕτως γάρ, φησίν, ἁρμόζει μᾶλλον περὶ αὐτῶν λέγειν, ὅτι εἰκότα μὲν λέγουσιν, οὐκ ἀληθῆ δέ. "ἢ ὥσπερ Ἐπίχαρμος εἰς Ξενοφάνην," ὡς Ἐπιχάρμου τοῦ [1010a6] τῆς κωμῳδίας ποιητοῦ εἰς Ξενοφάνην βλασφημότερά τινα καὶ ἐπηρεαστικὰ εἰρηκότος, δι' ὧν εἰς ἀμαθίαν τινὰ καὶ ἀγνωσίαν τῶν ὄντων σκώπτων διέβαλεν αὐτόν (¹). ταύτην δὲ τήνδε τὴν φύσιν τὴν αἰσθητήν τε καὶ ἔνυλον αἰτίαν φησὶ γίνεσθαι τοῦ φῆσαί τινας ἀκατάληπτον τἀληθὲς εἶναι, καὶ παρατίθεται διὰ μέσου τήν τε δόξαν αὐτῶν (²), καὶ ἀντιλέγει πρὸς αὐτήν· ἐπεὶ γὰρ ἑώρων κινουμένην τε καὶ μεταβάλλουσαν τὴν τοιαύτην φύσιν κατὰ τὴν ὕλην συνεχῶς, κατὰ δὲ τοῦ μεταβάλλοντος καὶ μεταπίπτοντος οὐδὲν δυνάμενον ἀληθεύεσθαι ὅτε μεταβάλλει, τῷ μεταπίπτειν αὐτὸ καὶ μὴ μένειν ἐπὶ τῆς αὐτῆς φύσεως, ὑπέλαβον, εἴγε τοιοῦτον εἴη οἷον ἀεὶ μεταβάλλειν καὶ μηδέποτε μένειν, μηδέποτε δύνασθαι περὶ αὐτοῦ τινὰ ἀληθῆ εἰπεῖν ὡρισμένως· τοιαῦτα δὲ εἶναι τὰ αἰσθητά τε καὶ ἔνυλα· ῥεῖν γὰρ συνεχῶς καὶ μηδέποτε ταὐτὰ ὑπομένειν, ἃ καὶ μόνα εἶναι ἡγοῦντο. ἀπὸ γὰρ τῆς τῶν ὄντων τοιαύτης ὑπολήψεως προῆλθέ τε καὶ ἐξήνθησεν ἡ Ἡρακλείτου δόξα καὶ ἡ Κρατύλου, ὃς ἑταῖρος μὲν γέγονεν Ἡρακλείτου, προσεπέτεινε δὲ τῇ ἐκείνου δόξῃ, ἀΐδιον καὶ ἀδιάλειπτον τὴν ἐν τοῖς οὖσι ῥύσιν τε καὶ μεταβολὴν ἡγούμενος εἶναι, ὡς καὶ τῷ διδασκάλῳ Ἡρακλείτῳ εἰπόντι ἐπιτιμᾶν μὴ οἷόν τε δὶς τῷ αὐτῷ ποταμῷ ἐμβῆναι διὰ τὴν ῥύσιν, εἰκάζοντι πάντα ῥέοντι ποταμῷ· οὐ γὰρ μόνον αὐτὸς ἔλεγεν οὐ δίς, ἀλλ' οὐδ' ἅπαξ οἷόν τε εἶναι τῷ αὐτῷ ποταμῷ ἐμβῆναι. οὗτος οὐδὲ λέγειν τι ᾤετο δεῖν ὡς μηδὲν ὑπομένον τὴν τοῦ λέγοντος κατηγορίαν· φθάνειν γὰρ τὴν ὑποκειμένην φύσιν, περὶ ἧς ὁ λόγος, διὰ τὴν συνεχῆ ῥύσιν τὸν περὶ αὐτῆς λεγόμενον λόγον ἀλλοιουμένην καὶ ἄλλην γιγνομένην, ὡς μὴ εἶναι συμφωνοῦν ποτὲ αὐτῇ τὸ λεγόμενον περὶ αὐτῆς. ἠξίου δὲ τῷ δακτύλῳ δεικνύναι τὸ ὑποκείμενον μόνον, μὴ λέγοντά τι λίθον ἢ ξύλον ἢ χρυσὸν ἢ ἄλλο· ταῦτα μὲν γὰρ οὐχ ὑπομένειν διὰ τὴν ἀλλοίωσιν καὶ τὴν κατ' οὐσίαν μεταβολήν, τὸ μέντοι δεικνύμενον τῷ δακτύλῳ εἶναι τοῦτο ὅ τι ποτὲ καὶ τύχοι ὂν ὅτε δείκνυται. ἐροῦμεν δὴ καὶ πρὸς τούτους, φησί, τοὺς διὰ τούτων τὴν ἀκαταληψίαν εἰσάγοντας, [1010a15] ὅτι τὸ μὲν μεταβάλλον ὅτε μεταβάλλει εὔλογόν πως καὶ ἀληθές ἐστιν ὑπολαμβάνειν αὐτοὺς μὴ εἶναι καθὸ μεταβάλλει, ἐπεὶ μήτε ἔστι τοῦθ' ὃ ἦν, μήτε πω τοῦτο εἰς ὃ μεταβάλλει ἤδη. καίτοι καὶ αὐτό, εἰς ὃ μεταβάλλει, ἀμφισβήτησιν ἔχει τινά· καὶ γὰρ τὸ ἀποβάλλον τι ἔχει τοῦ ἀποβαλλομένου τι ἔτι· ἀποβεβλήκει γὰρ ἂν αὐτὸ καὶ οὐκ ἀποβάλλον ἔτι ἦν. ὥστε εἴη ἂν ὁμοίως "καὶ τοῦ γιγνομένου δὴ ἀνάγκη τι εἶναι·" οὐδέπω γὰρ ἂν ἦν γινόμενον τοῦτο ὃ γίνεσθαι λέγεται. καὶ γὰρ εἰ μήδε πω τοῦτό ἐστιν ὅ ἐστι γινόμενον, εἴη ἂν

1. Ἕκτορα] ἑκάτερα *AM.* ‖ 3. ἧττον οὔσης φρονήσεως *A.* ‖ *quod si etiam insani sapiunt, sapere autem est verum cognoscere, etiam insani verum cognoscent. ita cum sani quoque prudentiam habeant verumque cognoscant, efficitur ut res simul sic et non sic se habeant* Sepulv. ‖ 6. ἔχει *M.* ‖ ἀρχαίων *M.* ‖ 8. ταύτης om *M.* ‖ 10. ἀληθὲς *M.* ‖ 11. βίου τὸν αὐτὸν *M.* ‖ 19. ἐπαγγέλλεται om *M.* ‖ τῆς om *A.* ‖ 20. ἡ δὲ τῶν *A.* ‖ 23. τυχόντας *M.* ‖ αἰτίαν] οὐσίαν *M.* ‖ 24. τὸ post μὲν om *M.* ‖ 27. πρότασις αὐτοῖς τῶν ἐν *M.* ‖ 29. πολλὴν *M.* ‖ 30. ὄντος· οὕτως ὡς *AM.* ‖ 38. ἠρεμῇ *A.*

2. βλασφημοτικά *M*, βλασφήμοντα *V.* ‖ 4. σκοπῶν *M*, σκεπῶν *V.* ‖ τῆς αἰσθητῆς *M.* ‖ 5. ἐνύλου *M.* ‖ φῦσαί *M.* ‖ 7. ἀντιλέγουσι *AM.* ‖ 14. οὐδέποτε ταῦτα *M.* ‖ 15. τε om *M.* ‖ 17. ἀδιάληπτον *M.* ‖ 18. φύσιν *M.* ‖ 20. εἰκάζοντι] εἰ βαλόντι *M.* ‖ 21. οὐ δὶς om *V.* ‖ 22. ᾤετο] ὡς τὸ *M.* ‖ 23. ὑπομένον *M*, ὑπομένειν *V.* ‖ 26. αὐτῇ ποτὲ *MV.* ‖ 27. λέγοντι *M.* ‖ 31. δὴ] δὲ *M.* ‖ 32. πω *M.* ‖ 34. πω] ἤδη *AM.* ‖ 38. οὐδέπω] οὐδέν· τῷ *M.* ‖ 39. ὅ ἐστι om *M.*

ἑώρων τἀναντία ἐκ τοῦ αὐτοῦ γιγνόμενα), οὕτω, φησί, καὶ ἡ περὶ τὰ φαινόμενα ἀλήθεια, τουτέστι τὸ πᾶσαν φαντασίαν ἀληθῆ λέγειν, τοῖς καὶ αὐτοῖς διὰ τὸ ζητῆσαί τε καὶ ἀπορῆσαι τοῦτο θεμένοις ἀπὸ τῶν αἰσθητῶν ἔσχε τὴν αἰτίαν· τὸ μὲν γὰρ ἀληθὲς κρίνεσθαι δεῖν ᾤοντο οὐ πλήθει καὶ ὀλιγότητι τῶν οὕτως δοξαζόντων, ὡς εἶναι τὸ μὲν ὑπὸ τῶν πλειόνων δοξαζόμενον καὶ τὸ τοῖς πλείοσι φαινόμενον ἀληθές, ψεῦδος δὲ τὸ ὑπὸ τῶν ἐλαττόνων καὶ τοῖς ἐλάττοσι φαινόμενον τοιοῦτον· οὐδὲ γὰρ οὐδ' εἰ πλείους μὲν οἱ νοσοῦντες ὀλίγοι δὲ ὑγιαίνοντες, καὶ ταὐτὸ τοῖς μὲν νοσοῦσι πικρὸν ἐδόκει εἶναι οὖσι πολλοῖς, τοῖς δὲ ὑγιαίνουσι γλυκὺ οὖσιν ὀλίγοις, τὸ τοῖς νοσοῦσι φαινόμενον, ἐπεὶ πλείους ἦσαν, ἐλέγομεν ἂν ἀληθὲς εἶναι, καὶ νοσεῖν μὲν τοὺς ὀλίγους, ὑγιαίνειν δὲ τοὺς πολλούς. Alex.

1009 b 4. "ὥστε — παρεφρόνουν." ἐπεὶ οἱ ἀξιοῦντες πλήθει καὶ ὀλιγότητι τὸ ἀληθὲς ἐπικρίνεσθαι καὶ τὸ τοῖς πολλοῖς δοκοῦν τοῦτο ἀληθὲς εἶναι (οὗτοι γὰρ οἱ ὑγιαίνοντες καὶ κατὰ φύσιν ἔχοντες), πιθανῶς περιέτρεψε τό, εἰ γὰρ οἱ πολλοὶ ὑγιαίνουσι καὶ κατὰ φύσιν ἔχουσιν, εἰ συμβαίη τοὺς πλείστους νοσεῖν ὀλίγους δὲ ὑγιαίνειν, εἶεν ἂν οἱ μὲν νοσοῦντες ὑγιαίνοντες, οἱ δὲ ὑγιαίνοντες νοσοῦντες. εἰ δὲ τοῦτο ἄτοπον, οὐ πλήθει καὶ ὀλιγότητι τῶν δοξαζόντων χρὴ κρίνεσθαι λέγειν τἀληθές. ἐπεὶ τοίνυν οὐ πλήθει καὶ ὀλιγότητι δεῖ τῆς κατὰ τὰς φαντασίας ἀληθείας κρίνειν, φαίνεται δὲ ταὐτὰ τοῖς μὲν γλυκέα τοῖς δὲ πικρά, ὁποῖα ἑκάστῳ φαίνεται, τοιαῦτα ἑκάστῳ καὶ εἶναι. id.

1009 b 7. "ἔτι — φαίνεσθαι." τοῖς μὲν γὰρ γλυκέα τινὰ δοκεῖ καὶ ἐδώδιμα, τοῖς δὲ πικρὰ καὶ ἄβρωτα, ὧν καὶ ὁ τῆς ἐλαίας ἔσται θαλλὸς γλυκὺς μὲν τοῖς νεμομένοις ζῴοις αὐτόν, ἡμῖν δὲ τοῖς ἀνθρώποις πικρός (¹). ἀλλ' οὐδὲ ἡμῖν αὐτοῖς κατὰ τὴν αἴσθησιν ἀεὶ ταὐτὰ φαίνεσθαι, ἀλλὰ ἀλλότε ἀλλοῖα, ὧν ἄδηλον ποῖα δεῖ λέγειν ἀληθῆ· οὐδὲ γὰρ μᾶλλον ταῦτα ἢ ταῦτα, ἀλλ' ὁμοίως. δι' ἣν αἰτίαν φησὶ καὶ Δημόκριτον εἰς τὰς διαφωνίας βλέποντα ταύτας λέγειν ἢ μηθὲν ἀληθὲς εἶναι, ἢ εἰ καὶ ἔστι τι, ἡμῖν ἄδηλον αὐτὸ εἶναι, τῷ ὁμοίως περὶ τὰ ἀντικείμενα ἔχειν τοὺς φανταζομένους αὐτὰ καὶ δοξάζοντας. id.

(¹) "ἔτι — φαίνεσθαι." διὸ οἱ μὲν ὄρτυγες πέττουσι τὸν ἐλλέβορον καὶ οἱ ψῆρες τὸ κώνειον, ἄνθρωποι δὲ ἀναιροῦνται ἐξ αὐτῶν. Asclep.

1009 b 12. "ὅλως — αἴσθησιν." καίτοι, φησίν, τῶν αὐτῶν οὐχ ὁμοίως οὔτε πᾶσιν οὔτε τοῖς αὐτοῖς καὶ ἀεὶ δοκούντων, ἀλλὰ ἄλλων ἄλλοις καὶ ἄλλοτε ἀλλοίων τοῖς αὐτοῖς, ἡγοῦντο τὸ φαινόμενον ἑκάστῳ ἀληθὲς εἶναι ἐκείνῳ, διὰ τὸ ὑπολαμβάνειν τὴν μὲν φρόνησιν, ἥτις ἐστὶ τῆς ἀληθείας κριτική, τῇ αἰσθήσει τὴν αὐτὴν εἶναι, τὴν δ' αἴσθησιν ἀλλοίωσιν εἶναι· τὴν γὰρ διὰ ταύτης ἀντίληψιν γίγνεσθαι ἀλλοιουμένοις ὑπὸ τῶν αἰσθητῶν· ὅπως γὰρ ἂν ἡ αἴσθησις πάσχοι, οὕτως ἔχειν καὶ τὰ αἰσθητὰ τὰ διατιθέντα φασὶν αὐτήν. διὰ τοῦτο τὸ φαινόμενον ἑκάστῳ κατὰ τὴν αἴσθησιν ἀληθὲς ἐξ ἀνάγκης εἶναι ἔθεντό τε καὶ ἀπεφήναντο ἀληθὲς μὲν εἶναι τὸ τῇ φρονήσει δοκοῦν, τὴν δὲ φρόνησιν τὸ τῇ αἰσθήσει φαινόμενον. καὶ ὅτι γε τὴν αἴσθησιν φρόνησιν ἐνόμιζόν τε καὶ ἔλεγον εἶναι, δείκνυσιν ἑξῆς. διὰ γὰρ ταύτην τὴν ὑπόληψιν καὶ Ἐμπεδοκλέα καὶ Δημόκριτον, καὶ ὅσοι ἄλλοι τοῦτο αὐτὸ λέγουσιν, ἐπὶ τοῦτό φησιν ἐλθεῖν, ὅτι ᾤοντο τὸ φρονεῖν τῷ αἰσθάνεσθαι ταὐτὸν εἶναι, τὴν δὲ φρόνησιν τἀληθοῦς εἶναι γνωστικήν. ὃ δείκνυσιν οὕτως αὐτοὺς ὑπολαμβάνοντας, Ἐμπεδοκλέα μὲν δι' ὧν ἔλεγε "πρὸς παρεὸν γὰρ μῆτις ἐναύξεται ἀνθρώποισι," τουτέστι πρὸς τὸ παρὸν γὰρ καὶ τὸ φαινόμενον ἡ φρόνησις γίνεται καὶ ἡ τοῦ ἀληθοῦς κατάληψις τοῖς ἀνθρώποις· μῆτις γὰρ ἡ φρόνησις· τοῦτο γὰρ ἴδιον αἰσθήσεως· ἐξηγήσατο δὲ αὐτὸς τὰ εἰρημένα διὰ τῶν ἐπῶν προειπών "καὶ γὰρ Ἐμπεδοκλῆς μεταβάλλοντας τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν." τὸ δὲ αὐτὸ τοῦτο σημαίνει καὶ ὃ ἑξῆς παρατίθεται, τὸ "ὅσον ἀλλοῖοι μετέφυν, τόσον ἄν σφισιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται." ὃ γὰρ λέγει ἐστίν, ἤτοι ὅτι ὡς ἂν ἀλλοιωθῶσιν, ὃ γίνεται ὑπὸ τῶν αἰσθητῶν, οὕτως καὶ φρονοῦσί τε καὶ δοξάζουσιν, ἢ ὅτι ὡς ἂν ἕξεως ἔχωσι, καθ' ἣν ἕξιν καὶ τὸ αἰσθάνεσθαι αὐτοῖς οὕτως ἢ οὕτως ἕπεται, οὕτως καὶ φρονοῦσι περὶ τοῦ πράγματος. καὶ Παρμενίδην δὲ ταὐτὰ δείκνυσι δοξάζοντα δι' ὧν φησὶν "ὡς γὰρ ἕκαστος ἔχει κρᾶσιν μελέων πο- 1009 b 21.
λυκάμπτων, ὣς νοῦς ἀνθρώποισι παρίσταται." καὶ γὰρ οὗτος διὰ τούτων λέγει ὅτι ὡς ἂν ἔχῃ κράσεως τὸ σῶμα καὶ ἕξεως ἑκάστῳ, οὕτω καὶ τὸ φρονεῖν ἀκολουθεῖ, ὡς ἀκολουθούσης τῆς φρονήσεως τῇ τοῦ σώματος κράσει τε καὶ ἀλλοιώσει, ἥτις ὑπὸ τῶν αἰσθητῶν γίνεται, ᾧ ταὐτό φησιν εἶναι τὸ εἰρημένον καὶ αὐτὸ ὑπὸ Παρμενίδου· τῷ γὰρ προειρημένῳ τῷ "ὡς γὰρ ἕκαστος ἔχει κράσεως μελέων πολυκάμπτων," ὃ αὐτὸς εἶπε, τὸ αὐτὸ εἶναι καὶ ὃ πάλιν λέγει διὰ τοῦ "ὅ περ φρονέει μελέων φύσις καὶ πᾶσι καὶ παντί·" τὸ γὰρ πλέον λέγεται νόημα ('): ὡς γὰρ τοῦ φρονεῖν ἠρτημένου τῆς σωματικῆς κράσεως καὶ ἀεὶ κατὰ τὸ πλεονάζον καὶ ἐπικρατοῦν ἐν τῇ σωματικῇ διαθέσει αὐτοῦ γενομένου ('). ὅτι δὲ καὶ Ἀναξαγόρας ἦν ἐπὶ ταύτης τῆς δόξης, 1009 b 25.
δηλοῖ δι' ὧν παρατίθεται ὡς ἀποφθέγματος αὐτοῦ τινὸς σωζομένου, ὃ πρὸς τοὺς ἑταίρους ἔλεγε· τὸ γὰρ λέγειν ἑκάστῳ τοιαῦτ' ἔσεσθαι ὁποῖα ἂν ὑπολάβοι, τιθέντος ἦν τὸ πᾶσαν δόξαν ἀληθῆ εἶναι, καὶ ὁποῖα φαίνεται εἶναι, τοιαῦτα καὶ εἶναι. προσάγει δὲ καὶ τὸν Ὅμηρον ταύτῃ τῇ δόξῃ τῇ ταὐτὰ ἡγουμένῃ τό τε φρονεῖν καὶ τὸ αἰσθάνεσθαι καὶ

2. ἀληθῆ *M.* ‖ 4. γὰρ om *M.* ‖ 8. εἰ] οἱ *A.* ‖ 13. *quoniam qui putant multitudine et paucitate verum diiudicari, ii quod multis videtur verum esse dicunt (hi namque sunt recte valentes et habentes secundum naturam), probabiliter convertit illud* Sepulv. ‖ 20. δεῖ τὴν τῆς *A.* ‖ 36. καὶ ἄλλοτε ἀλλοίων om *M.* ‖ 39. κριτικὴν *M.* ‖ τὴν ἐπίστησιν ἀλλοίωσιν *M.*

1. ἀλλοιωμένην ut vid. *A.* ‖ 10. τἀληθῆ *M.* ‖ 12. ἐπάξεται *M.* ‖ παρέον *V.* ‖ 14. μήτε *M.* ‖ τοῦτο] τοῦ *M.* ‖ ἐξήγησις ὑπὸ δὲ *M.* ‖ 16. μεταβάλλει φησὶ τὴν. τὸ *M.* ‖ 18. μεθίσταται Asclep. ‖ 20. τε] τὸ *M.* ‖ 21. ἢ οὕτως om *M.* ‖ 23. πολυκάμπτων *A.* ‖ 24. νοῦς] τοῖς *M.* ‖ οὕτως *V.* ‖ 28. τῷ] τ' *M.* ‖ 29. πολυκάμπτων *A.* ‖ 31. ὃ παραφρονεῖ *AM.* ‖ 34. δὲ om *M.* ‖ 35. δῆλον *M.* ‖ περιτίθεται *A.* ‖ 36. ἑτέρους *M.* ‖ λέγειν] λόγον *M.* ‖ 38. Ὅμηρον] ὄμβρον *M.* ‖ 39. δόξῃ, καί φησι τῇ *AM.*

1009a 16 μένην δόξαν καὶ τοὺς οὕτω λέγοντας, φησὶ μὴ δεῖν τῶν αὐτῶν λόγων πρὸς πάντας τοὺς ταῦτα λέγοντας· εἶναι γὰρ αὐτῶν διαφοράν· τοὺς μὲν γὰρ καὶ ὑπολαμβάνειν οὕτως καὶ πεπεῖσθαι ἐκ τοῦ ἀπορῆσαι περὶ τῶν ὄντων εἰς τὸ δοξάζειν οὕτως περὶ πάντων προελθόντας, ὡς καὶ τοῦ μεταπεισθῆναι δεῖσθαι καὶ διδασκαλίας, ὥς φησιν· εὐίατος γὰρ αὐτῶν ἡ ἄγνοια, ἀλλ' οὐ βίας ἐν τοῖς λόγοις καὶ ἀγῶνος ἐλέγχου δεομένη. καὶ δι' ἣν αἰτίαν, λέγει· οὐ γὰρ πρὸς τὸν λόγον ἡ ἀπάντησις πρὸς τούτους, ἀλλὰ πρὸς τὴν διάνοιαν, καθ' ἣν ἀπατηθέντες καὶ παρακρουσθέντες τἀληθοῦς λέγουσι ταῦτα. διὸ καὶ δυνατὸν μεταπεισθῆναι αὐτούς· ὃ γένοιτ' ἂν γνωρίμου τοῦ ἀληθοῦς αὐτοῖς γενομένου (ᶠ). τοὺς δὲ λόγου χάριν λέγει οὐ πεπεισμένους μὲν οὕτως ἔχειν τὰ πράγματα, περίστασθαι δὲ τῇ θέσει ταύτῃ φιλονείκως προαιρουμένους, πρὸς οὓς ἐλέγχου φησὶ τοῦ κατὰ τὸν λόγον δεῖν καὶ τοῦ ἐν τῇ φωνῇ καὶ τοῖς ὀνόμασιν, ἐπεὶ μὴ καὶ οὗτοι πεπεισμένοι εἰσίν, ὡς λέγουσιν. ὁ οὖν ἐν τῇ φωνῇ ἔλεγχος ἴασις μόνον τούτων, τουτέστι τοῦ ἐν τῇ φωνῇ 1009a 22 ἐλέγχου οὗτοι δέονται μόνου· μέχρι γὰρ φωνῆς πρόεισιν αὐτοῖς τὰ λεγόμενα καὶ ὀνόματος καὶ λόγου. ἑξῆς δὲ λέγει πόθεν αὕτη ἡ ὑπόληψις καὶ δόξα ἐλήλυθε τοῖς οὕτως ἡγουμένοις ἔχειν τὰ ὄντα, καὶ οὐ φιλονείκως λέγουσιν ἀλλὰ διὰ τὸ πιστεύειν οὕτως ἔχειν. εἶπε δὲ αὐτοὺς διαποροῦντας, ὅτι ἐκίνησεν αὐτοὺς πρὸς τήνδε τὴν δόξαν καὶ τὴν ἀπορίαν εὔλογόν τι φαινόμενον. οὕτως καὶ ἰατροὺς εἶπεν εἶναι· ἀπὸ γὰρ αἰσθητῶν φησιν ὁρμωμένους παρακρουσθῆναι τῶν τε τὴν ἀντίφασιν ἅμα ἀληθῆ λεγόντων καὶ τῶν πᾶσαν δόξαν ἀληθῆ τιθεμένων τοὺς διὰ τὸ πεπεῖσθαι ταῦτα οὕτως ἔχειν καὶ λέγοντας. καὶ πρῶτα μὲν λέγει ὑπὸ τίνος παρεκρούσθησαν οἱ ἐπὶ παντὸς τὴν ἀντίφασιν συναληθεύειν λέγοντες· ὁρῶντες γὰρ ἐκ τοῦ αὐτοῦ γινόμενα τὰ ἐναντία, προειληφότες δὲ καὶ ὅτι ἀδύνατον γίνεσθαί τι ὅλως ἐκ τοῦ μὴ ὄντος (κοινὴ γὰρ αὕτη ἡ δόξα τῶν περὶ φύσεώς ἐστίν τι ἀποφηναμένων), ὑπέλαβον ἀμφότερα τὰ ἐναντία τὸ πρᾶγμα εἶναι. οὐ γὰρ ἂν ἄλλως ἐξ αὐτοῦ δύνασθαι αὐτὰ γίνεσθαι, εἰ μὴ προϋπάρχοντα ἐν 1009a 26 αὐτῷ εἴη. καὶ διὰ τοῦτο Ἀναξαγόρας μὲν πάντα ἐν πᾶσι μεμῖχθαι λέγει, ἐπεὶ πάντα ἐκ πάντων ἐθεώρει γιγνόμενα, καὶ Δημόκριτος τὸ κενὸν καὶ τὸ πλῆρες μόνα εἶναι λέγει· ἐτίθει γάρ, φησίν, ἄτομα καὶ κενὸν καὶ καθ' ὁτιοῦν μέρος ἑκάστου τῶν αἰσθητῶν ὁμοίως ἄμφω ἐνυπάρχειν φησίν, ὥστε καὶ τὴν γένεσιν αὐτῶν ἐκκρίσεσιν ἐκ προϋπάρχοντος γίνεσθαι. προσιστορεῖ δὲ ὅτι καὶ ὂν μὲν ἔλεγε Δημόκριτος τὸ πλῆρες, μὴ ὂν δὲ τὸ κενόν, ἴσως καὶ ἀτοπίαν τινὰ αὐτοῦ δεικνὺς τῆς δόξης δι' ὧν ἔλεγεν, εἴγε τιθέμενος μηδὲν εἶναι τὸ κενόν, ἡγούμενος δὲ καὶ μηδὲν γίνεσθαι ἐκ τοῦ μὴ ὄντος, ἐκ τοῦ κενοῦ ἔλεγε πάντα τὰ γιγνόμενα οὐδὲν ἔλαττον ἢ ἐκ τοῦ πλήρους εἶναί τε καὶ γίγνεσθαι, λέγων τὸ κενὸν μὴ ὄν· συνεχώρει γὰρ τὴν γένεσιν ἐκ τοῦ μὴ ὄντος γίγνεσθαι, ὃ φυλασσόμενος μίξει τὴν γένεσιν ὑπελάμβανε γίγνεσθαι. λέγοι δ' ἂν καὶ πῶς αὐτὸ ὂν μὲν λέγοντι τὸ πλῆρες, μὴ ὂν δὲ τὸ κενόν, ταῦτα δὲ ἐν πᾶσιν ὁμοίως εἶναι ἐξ ὧν γένεσις, εἵπετο ἐφ' ἑκάστου λέγειν ἀληθῆ τὴν ἀντίφασιν τὸ εἶναί τε καὶ μὴ εἶναι, καίτοι οὐκ ἀντίφασις τοῦτο, εἴγε κατ' ἄλλο μὲν ἕκαστον ὄν (κατὰ γὰρ τὸ πλῆρες τὸ ἐν αὐτῷ), κατ' ἄλλο δὲ μὴ ὄν· κατὰ γὰρ τὸ κενόν. ἢ τοῦ ταῦτα ἐν πᾶσιν ὁμοίως μεμιγμένα ὄντα ἀντικείμενά τε εἶναι καὶ ἐναντία μηνυτικὰ τὰ ὀνόματα ὄντα, τό τε ὂν καὶ τὸ μὴ ὂν παρέθετο. πρὸς μὲν οὖν τοὺς διὰ ταῦτα ὑπολαμβάνοντάς τε καὶ ἡγουμένους τὴν ἀντίφασιν ἐπὶ παντὸς ἅμα εἶναι ἀληθῆ, μεταπείθοντες αὐτούς, ἀλλ' οὐ φιλονεικοῦντες οὐδὲ ἐλέγχοντες ἐροῦμεν, φησίν, ὅτι τρόπον μέν τινα ἀληθῆ λέγουσι καὶ ὀρθῶς δοξάζουσι, τρόπον δέ τινα ἀγνοοῦσι. τὸ γὰρ ὂν λέγεται διχῶς, ὁμοίως δὲ καὶ τὸ μὴ ὄν· τοῦ γὰρ ὄντος τὸ μὲν δυνάμει ἐστί, τὸ δὲ ἐνεργείᾳ, ὁμοίως δὲ καὶ τοῦ μὴ ὄντος τὸ μὲν οὐδαμῆ οὐδαμῶς ἐστίν, τὸ δὲ τῷ μήπω ἐνεργείᾳ εἶναι μὴ ὂν λέγεται. ἔστι δὲ τοιοῦτον τὸ δυνάμει ὄν· τοῦ γὰρ δυνάμει ὄντος ἐν μεθορίῳ ὄντος καὶ ὄν πως ἐστὶ καὶ μὴ ὄν· καὶ οὕτως ἐκ μὴ ὄντος ἡ γένεσις, οὐκ ἐκ τοῦ κυρίως καὶ ἁπλῶς μὴ ὄντος, οὐδέν τε κωλύει τὸ αὐτὸ καὶ εἶναί τε καὶ μὴ εἶναι, ὅπερ ἐκεῖνοι λέγουσιν. ἀλλ' οὐ κατὰ τὸ αὐτὸ οἷόν τε αὐτὸ εἶναί τε καὶ μὴ εἶναι· κατ' ἄλλο μὲν γὰρ εἶναι, κατ' ἄλλο δὲ μὴ εἶναι. τὸ γὰρ δυνάμει ὂν ἔστι μὲν ἀλλὰ δυνάμει, οὐκ ἔστι δέ, ὅτι μὴ ἐνεργείᾳ. ὥστε οὐχ ἡ ἀντίφασις ἐπὶ τοῦ αὐτοῦ· δυνάμει μὲν γὰρ λέγειν τὸ αὐτὸ τἀναντία εἶναι οὐδὲν ἄτοπον, ἐνεργείᾳ δὲ ἀδύνατον. καὶ τὸ μὴ εἶναι δὲ τῷ εἶναι τὸ αὐτό τι ἐναντίον· ὥστε οὐδὲ ταῦτα οἷόν τε ἅμα ἐνεργείᾳ εἶναι. ἡ γὰρ αὐτὴ ὕλη δυνάμει μὲν τἀναντία ἐστίν, ἅμα δὲ ἐνεργείᾳ γενέσθαι ταῦτα οὐ δύναται, παρὰ μέρος μέντοι σώζουσα ἑκάτερον καὶ ὅταν θάτερον ἐνεργείᾳ ᾖ, τῷ δυνάμει εἶναι τἀναντία· οὐδὲ γὰρ ὅτε ἐνεργείᾳ ᾖ, ἤδη τὴν δύναμιν ἀποβέβληκε. πρὸς δὲ τούτοις 1009a 36 ἀξιώσομεν, φησίν, αὐτοὺς μὴ μόνα ἡγεῖσθαι ὄντα τὰ ἐν γενέσει καὶ φθορᾷ, ἀλλ' εἶναί τινα καὶ ἀγένητα καὶ ἄφθαρτα καὶ ἀκίνητα ἐν τοῖς οὖσιν, οἷς οὐκέτ' ἂν ὑπάρχοι τἀναντία, εἴγε μηδὲ τὴν ἀρχὴν μεταβάλλει μηδὲ γίνεταί τι ἐξ αὐτῶν· τοιαῦτα δ' ἂν εἴη τὰ θεῖα. Alex.

(ᶠ) "ἐν τῇ φωνῇ λόγου" λέγει τὸν ἀποφαντικόν, διὸ ἐπήγαγε 1009a 22 "καὶ τοῦ ἐν τοῖς ὀνόμασιν," ἐπεὶ ἐξ ὀνόματος καὶ ῥήματος σύγκειται ἀποφαντικὸς λόγος. εἰώθασι δὲ καὶ τὰ ῥήματα ὀνόματα καλεῖν. Asclep.

"ὁμοίως — ἐλήλυθεν." λέγει ὅτι ὥσπερ τῶν λεγόντων ταὐτὸν 1009a 33 εἶναι καὶ μὴ εἶναι, τουτέστιν ἅμα τὴν ἀντίφασιν ἀληθῆ τιθεμένων, τοῖς εὐγνωμονεστέροις, οἱ διὰ τὸ ζητήσαντας ἀπορῆσαι τοῦτο ἔθεντο, αἴτιον τῆς ἀπάτης τὰ αἰσθητά τε καὶ ἐν γενέσει καὶ φθορᾷ (ὅτι γὰρ

9. τἀληθῆ M. ‖ μὴ ταπεισθῆναι M. ‖ 17. ὀνόματα καὶ χρόνε M. ‖ λέξει A. ‖ 18. ἡγουμένων ἔχει M. ‖ 21. *quapropter eosdem sanationi opportunos esse dixerat* Sepulv. ‖ 23. τὴν πᾶσαν M. ‖ 28. καινὴ M. ‖ 33. τὸ post καὶ om M. ‖ λέγων A. ‖ ἐτίθει M. ‖ 35. ὑπάρχειν M. ‖ ἐκκρίσει κω καὶ προϋπάρχοντες M. ‖ 36. δὲ καὶ ὁ μὲν ἔλεγε M. ‖ 37. ὂν δὲ τὸ M. ‖ 40. ἐκ τοῦ] αὐτοῦ M. ‖ 41. συνεχώρει M.

2. πῶς] πάντα M. ‖ 6. ἢ τοῦ] ἤτοι M. ‖ 10. μεταπεισθέντες M. ‖ 14. μὲν δυνάμει οὐδαμῶς M. ‖ 15. ἐνεργείᾳ εἰ καὶ μὴ λέγεται M. ‖ 17. *nec quod isti aiunt, quidquam prohibet aliquid esse ut idem non esse* Sepulv. ‖ 23. ἐνεργείᾳ] ἐναντία M. ‖ 26. ταῦτα λέγεται οὐ in mg. M. ‖ παρὰ M. ‖ 28. βέβληκε M. ‖ 29. ἐν] ἐναντίᾳ M. ‖ 31. ὑπάρχοι M. ‖ 39. ἀντίφασιν M. ‖ τιθεμένοις M.

ριττά, μᾶλλον δὲ τὰ δύο τῶν τριῶν ἄρτια· εἰ γὰρ μὴ ὁμοίως, ψεύδεται ὁ τὰ τέσσαρα πέντε ὑπολαμβάνων καὶ ὁ χίλια, ἀλλὰ μᾶλλον μὲν ὁ χίλια, ἧττον δὲ ὁ πέντε. διὰ τούτων συνέστησεν ὅτι ἔστι ψευδὴς ἢ ἧττον ψευδὴς ἄλλη ἄλλης. εἰ δὲ ἡ ἑτέρα μᾶλλον ψευδὴς ἢ ἧττον ψευδής, ἐγγυτέρω τἀληθοῦς ἂν εἴη. εἰ δὲ τὸ μᾶλλον ἀληθές ἐστιν ἐγγυτέρω τἀληθοῦς, εἴη ἂν κἀκεῖνο, λέγω δὲ τὸ ἀληθές, τουτέστι τὸ αὐτὸ ἀληθές, οὗ ἐστιν ἐγγὺς τὸ μᾶλλον ἀληθές· τὸ γὰρ ἐγγύς τινος ὂν δῆλον ὡς ὂν τοιοῦτον ἐγγύς, εἰ καὶ μὴ εἴη γνωστόν, ἀλλὰ τό γε εἰδέναι ὅτι μᾶλλόν τί ἐστιν ἀληθὲς καὶ ἧττον ἄλλο ἄλλου καταλαμβάνοντος καὶ ὁρίζοντός τι τῇ διανοίᾳ, καὶ οὐ μᾶλλον τοῦτο ἢ τοῦτο λέγοντος ἐπὶ πάντων ἀκράτως καὶ ἀδιαφόρως φερομένου. καὶ γὰρ εἰ μὴ εἴη τι ἀληθές, μηδὲ συγχωροῖεν τούτῳ, ἀλλ' ἐκεῖνό γε ἀληθὲς καὶ ὁμολογούμενον τὸ εἶναι ἐν τοῖς οὖσιν ἀληθινώτερόν τι· τὸ γὰρ μᾶλλόν τι εἶναι ἄλλο ἄλλου καὶ ἧττον ἄλλο ἄλλου κεῖται, ὥστ' οὐκέτ' ἀληθές εἴη τὸ οὐδὲν μᾶλλον ἐπὶ πάντων (*). ἄκρατον δὲ τὸν τοιοῦτον λόγον εἶπε κατὰ τὸ μὴ ἔχειν μεμιγμένον αὐτῷ τὸ μᾶλλον, ἀλλ' ἐπ' ἴσης πρὸς πάντα σώζειν βούλεσθαι τὴν ὁμοιότητα. ὃ
1009a 4. καὶ αὐτὸς ἐδήλωσε προσθεὶς τὸ "καὶ κωλύοντός τι τῇ διανοίᾳ ὁρίσαι." τὸ δὲ μὴ ἡγεῖσθαι μᾶλλον ἄλλο ἄλλου διαψεύδεσθαι, ὃ δοκεῖ τοῖς ἀπὸ τῆς Στοᾶς, ψεῦδός τε καὶ παρὰ τὰ φαινόμενα· καὶ γὰρ αἱ μοχθηραὶ καὶ διεψευσμέναι κρίσεις οὐκ ἴσαι, ἀλλ' οὐδὲ ἀπὸ ἕξεως ὅμοιαι· ὡς γὰρ ὁ τὰ μέγαλα καὶ σφόδρα ὁρατὰ μὴ ὁρῶν τῷ τὰ μικρότατα καὶ ἧττον ὁρατὰ μὴ διορῶντι τὸ μὲν μὴ ὑγιαίνειν τὴν ὁρατικὴν δύναμιν κοινὸν ἔχει, μᾶλλον μέντοι ἀσθενής ἐστιν ἡ δύναμις, ἀφ' ἧς οὐδὲ τὰ μεγάλα τις ὁρᾶν δύναται, τῆς ταῦτα μὲν ὁρώσης ἐν δὲ τοῖς μικροῖς σφαλλομένης, οὕτως ἔχει καὶ ἐπὶ τῆς δόξης τε καὶ ὑπολήψεως. οὐ γὰρ ὅμοιαι καὶ ἴσαι αἱ τῆς ψυχῆς ἕξεις ἀφ' ὧν τὰ μείζω, ταῖς ἀφ' ὧν τὰ ἐλάττω ἁμαρτάνεται. id.

(*) "ἀκράτου" τουτέστι τοῦ μηδὲν ἔχοντος κεκραμένον καὶ ὡρισμένον, τοῦ μὴ λέγοντος ὅτι μηδέν ἐστιν ὡρισμένον ἐν τῷ παντί. Asclep.

1009a 6. "ἔστι — λόγος." καὶ ὁμοίως ἀνάγκη αὐτοὺς εἶναι ἢ μὴ εἶναι τῷ λόγῳ τῷ λέγοντι τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι καὶ διὰ τοῦτο ἐπὶ παντὸς τὴν ἀντίφασιν συναληθεύειν τιθεμένῳ. τὸν αὐτόν φησιν εἶναι καὶ τὸν Πρωταγόρου λόγον, ὅς ἐστιν ὅτι ἑκάστῳ τὸ φαινόμενον οὕτω καὶ ἔστι καὶ ἔχει· πᾶσα γὰρ φαντασία ἀληθής· διὸ καὶ ἀνάγκη ἀμφοτέρως τοὺς λόγους ἢ ἅμα ἀληθεῖς ἢ ἅμα ψευδεῖς εἶναι. ὅτι δὲ οἱ αὐτοί εἰσι καὶ ἕπεται τῷ ἑτέρῳ ὁ ἕτερος, δείκνυσιν. εἴτε γὰρ τὰ δοκοῦντα πάσῃ δόξῃ καὶ πάσῃ φαντασίᾳ ἀληθῆ, ὡς ἐδόκει Πρωταγόρᾳ, ἀνάγκη εἶναι πάντα ἅμα ἀληθῆ καὶ ψευδῆ, τουτέστιν ἀνάγκη καὶ τὴν ἀντίφασιν εἶναι ἅμα ἀληθῆ. τούτῳ γὰρ ἴσον τὸ ἅμα πάντα εἶναι ἀληθῆ· περὶ γὰρ τῶν αὐτῶν ἀλλήλοις τὰ ἀντικείμενα δοξάζουσιν, ἃ εἰ ἀληθῆ, εἴη ἂν ἅμα ἡ ἀντίφασις ἀληθής. ὅτι δὲ πάσης φαντασίας οὔσης ἀληθοῦς πάντα ἀληθῆ γίγνεται, δῆλον ἐκ τοῦ καὶ τοὺς ὑπολαμβάνοντας τὸ εἶναί τι καὶ τοὺς τὸ αὐτὸ τοῦτο ὑπολαμβάνοντας μὴ εἶναι ἀληθεύειν. εἰ δὲ τὰς ἀντικειμένας ὑπολήψεις περὶ αὐτῶν ἔχοντες ἅμα ἀληθεύουσι, πάντα ἂν εἴη ἅμα ἀληθῆ· τῶν γὰρ δοξαζόντων οἱ μὲν οὕτως ἔχειν, οἱ δὲ τὸ αὐτὸ τοῦτο οὐχ οὕτως ἔχειν δοξάζουσιν. οὕτω δὲ καὶ ἡ ἀντίφασις ἅμα ἀληθής. εἰπὼν δὲ "πάνθ' 1009a 9.
ἅμα ἀνάγκη εἶναι ἀληθῆ," καὶ προσθεὶς τὸ "καὶ ψευδῆ," τὸ πῶς ψευδῆ ἐδίδαξε διὰ τοῦ "πολλοὶ γὰρ τἀναντία ὑπολαμβάνουσιν ἀλλήλοις, καὶ τοὺς μὴ ταὐτὰ δοξάζοντας ἑαυτοῖς ψευδεῖς νομίζουσιν." εἰ γὰρ οἱ περὶ τῶν τὰ ἀντικείμενα ὑπολαμβανόντων δοξάζοντες ὡς περὶ ψευδομένων ἀληθεύουσι, ψεύδοιντο ἂν ἐκεῖνοι· οὕτω δὲ πάντες ἂν ψεύδοιντο, εἰ ἑκάστῳ τῶν δοξαζόντων περί τινος ἔστι τις ὁ τἀναντία δοξάζων, ὃς τὸν μὴ τοιαύτην ἔχοντα τὴν δόξαν ψεύδεσθαι δοξάζει. ὥστε ἀνάγκη τὴν ἀντίφασιν ἅμα εἶναι ἀληθῆ, εἰ οἱ τὰ ἐναντία ἀλλήλοις δοξάζοντες ἀληθεύουσιν. ἀλλὰ καὶ εἰ τοῦτο οὕτως ἔχει, τὸ ἕκαστον τῶν ὄντων εἶναί τε καὶ μὴ εἶναι, τουτέστιν ἡ ἀντίφασις ἐφ' ἑκάστου ἀληθής, ἀκολουθεῖ πάλιν τὸ πάντα τὰ δοκοῦντα εἶναι ἀληθῆ καὶ πᾶσαν φαντασίαν ἀληθεύειν, ὡς Πρωταγόρᾳ ἐδόκει. καὶ ὅτι γε ἀκολουθεῖ τῷ τὴν ἀντίφασιν ἐφ' ἑκάστου ἀληθῆ εἶναι τὸ πᾶσαν φαντασίαν ἀληθῆ εἶναι, δείκνυσι πάλιν οὕτως. τὸ ψεύδεσθαι καὶ ἀληθεύειν ἐστὶν ἐν τοῖς τὰ ἀντικείμενα ἀλλήλοις δοξάζουσί τε καὶ λέγουσι· τὸ γὰρ τῆς καταφάσεως ἀληθοῦς οὔσης δοξάζειν τινὰ περὶ αὐτοῦ τὴν ... κατάφασιν ... ἐν γὰρ τῷ τὰ ἀντικείμενα δοξάζειν τινὰς περὶ τῶν αὐτῶν ... τὸ τοὺς μὲν ἀληθεύειν τοὺς δὲ ψεύδεσθαι [ἐστὶν] ἀναιρεῖται· εἴη περὶ παντὸς ἡ ἀντίφασις ἅμα ἀληθής; οὔσης πάσης ἀντιφάσεως ἅμα ἀληθοῦς οὐδεμία ἂν εἴη δόξα ψευδής· εἰ γὰρ πᾶσα ἀντίφασις ἅμα ἀληθής, καὶ αἱ ἀντικείμεναι περὶ τοῦ αὐτοῦ δόξαι ἅμα ἂν εἶεν ἀληθεῖς· εἰ δὲ αἱ ἀντικείμεναι περὶ τοῦ αὐτοῦ δόξαι ἅμα ἀληθεῖς, καὶ πᾶσα ἄρα δόξα περὶ τοῦ οὕτως ἔχειν ἢ περὶ τοῦ μὴ οὕτως ἔχειν. δείξας δὲ ὅτι ταὐτὰ λέγουσι καὶ ἀντακολουθεῖ ἀλλήλοις τὰ ὑπ' αὐτῶν λεγόμενα, καὶ τῆς αὐτῆς εἰσι διανοίας ἠρτημένοι οἵ τε πᾶσαν φαντασίαν ἀληθῆ τιθέμενοι καὶ οἱ τὴν ἀντίφασιν συνυπάρχειν λέγοντες, μέλλων πάλιν λέγειν πρὸς τὴν ὑποκει-

2. ἀλλὰ — 3. χίλια om *A.* ‖ 3. συνέστησαν *A.* ‖ 4. ἢ om *M.* ‖ 9. τό γε] τόδε *M.* ‖ ἄλλη *M.* ‖ 18. καὶ post τὸ om *M.* ‖ 20. περὶ *A.* ‖ 21. ὁμοίας *A.* ‖ 22. τῷ τὰ] ταῦτα *M.* ‖ 23. διορῶντα *M.* ‖ 24. κοινὸν] καὶ νόμοι *M.* ‖ 25. μέντοι et 27. αἱ om *M.* ‖ 28. ἐλάττονα *M.* ‖ 32. αὐτοῖς *M.* ‖ 35. ἕκαστον *AM.*

1. Πρωταγόρας *A.* ‖ 2. ἅμα om *A.* ‖ 3. ἅμα εἶναι *M.* ‖ 13. ἔδειξε *A.* ‖ 14. αὐτοῖς *M.* ‖ 15. οἱ om *M.* ‖ 17. ἑκάστον *M.* ‖ 18. ἔχοντα αὐτὴν *M.* ‖ 19. εἰ] καὶ εἰ *A.* ‖ 22. ἀφ' *M.* ‖ ἀκολουθῇ *M.* ‖ 24. ἀκολουθῇ *M.* ‖ τῷ] τὸ *A.* ‖ 27. *nam illud demum est falsum dicere, affirmatione existente vera de aliquo, putare quempiam negationem de eodem veram esse, et vicissim affirmationem in veritate negationis. eo enim quod quidam opposita de eodem opinantur, si cunctis in rebus esset contradictio vera, hoc ipsum tolleretur, quosdam scilicet verum dicere, alios falsum. nam si omnis contradictio simul vera est, utique nulla opinio fuerit falsa* Sepulv. ‖ δοξάζει *M.* ‖ 28. ἐν] εἰ *A.* ‖ 29. τινὸς *M.* ‖ 30. ἀληθεῖα *A.* ‖ οὔσης γὰρ πάσης *M.* ‖ 33. ἅμα — 34. δόξαι et 34. ἢ — 35. ἔχειν om *M.* ‖ 35. δόξας *M.* ‖ ἀντακολουθεῖ *M.* ‖ 36. εἰσὶ] εἰς *M.*

25). δείξας δὲ ὅτι οὐχ οἷόν τε ἄνθρωπον ὄντα περὶ τὰς ὑπολήψεις οὕτως ἔχειν (φυτοῦ γὰρ καὶ τοῦτο, καὶ οὐκ ἀνθρώπου ἢ ζῴου λογικοῦ) ἐπιφέρει τὸ δῆλον εἶναι ὅτι μηδεὶς οὕτω διάκειται ἄνθρωπος ὤν, μηδὲ τῶν λεγόντων ταῦτα, ἀλλὰ μέχρι λόγου αὐτοῖς ἡ πρόοδος. εἵπετο γὰρ τοῖς οὕτω διακειμένοις καὶ ταύτην τὴν ὑπόληψιν περὶ τῶν πραγμάτων ἔχουσι τὸ μηδὲ πράσσειν τι, ἀλλ' ὡς φυτοῖς ζῆν. τί γὰρ μᾶλλον περιπατητέον τῷ οἰομένῳ δεῖν περιπατεῖν τοῦ μὴ περιπατητέον, εἰ ἴσαι εἰσὶν αἱ περὶ ἑκάστου ὑπολήψεις, καὶ ἴσον τὸ οἴεσθαι δεῖν ἢ οἴεσθαι μὴ δεῖν; διὰ τί δὲ ἐκκλίνει τινὰ καὶ οὐκ ἄττει ἢ εἰς τὸ φρέαρ ἢ εἰς τὸ βάραθρον, εἰ μὴ ὑπόληψιν ἔχει τὸ μὲν φρέαρ εἶναι τὸ δὲ βάραθρον, ἀλλ' οὐχὶ οὐδὲν μᾶλλον καὶ φρέαρ καὶ μὴ φρέαρ ἡγούμενος ἐμπίπτει καὶ βάραθρον καὶ μὴ βάραθρον, καὶ πάλιν τὸ μὲν μὴ ἐμπεσεῖν ἀγαθὸν εἶναι, τὸ δὲ ἐμπεσεῖν κακόν, καὶ οὐχ ὅμοια οἴεται εἶναι, ἀλλὰ τὸ μὲν βέλτιον αὐτῶν τὸ δὲ χεῖρον· ἥ τις ὑπόληψις ἀναιρεῖ τὸ οὐδὲν μᾶλλον οὕτως ἢ οὐχ οὕτως ἔχειν τὸ πρᾶγμα. εἰ δὲ ὅλως ἐπὶ τῶν αἱρετῶν τε καὶ φευκτῶν ἐλέγχονται, δι' ὧν πράσσουσιν, ὡρισμένας ἔχοντες ὑπολήψεις, ἀνάγκη καὶ ἐπὶ τῶν ἄλλων οὕτως ὁμολογεῖν αὐτοὺς ἔχειν, καὶ τόδε μέν τι ὑπολαμβάνειν ἄνθρωπον εἶναι, τόδε δ' ἄλλο τι καὶ οὐκ ἄνθρωπον, καὶ τόδε μὲν γλυκὺ τόδε δὲ οὐ γλυκύ· οὐδὲ γὰρ ἐπὶ τούτων φαίνονται ἐξ ἴσου ἔχοντες· οὐδὲ γὰρ ὑπολαμβάνοντες χρήσιμον αὐτοῖς εἶναι ἐντυχεῖν ἀνθρώπῳ τινὶ ἢ πιεῖν ὕδωρ, ὡς οὐ μᾶλλον τοῦ ἀνθρώπου ὄντος ἀνθρώπου ἢ οὐκ ἀνθρώπου ἢ τοῦ ὕδατος ὕδατος ἢ οὐχ ὕδατος, ἐπί τι ἄλλο, οἷον ἐπὶ λίθον, ἵενται, ἀλλ' ἐπὶ μὲν τὸ ὕδωρ διψῶντες καὶ πιεῖν δεόμενοι, ἐπὶ δὲ τὸν ἄνθρωπον, ὅταν ἀνθρώπου δέωνται, καὶ οὐκ ἐξ ἴσου ἀνθρώπου ἢ ὕδατος δεόμενοι ἐν πᾶσι τοῖς οὖσιν ταῦτα ζητοῦσιν, ἀλλ' ἐστὶν ἀληθές τε καὶ πρόδηλον ὅτι ἕκαστος τὰ μέν τινα εὐλαβεῖται τὰ δὲ οὔ· κρημνὸν μὲν γὰρ εὐλαβεῖται καὶ φρέαρ καὶ ὅσα λυμαντικά, οὐκ εὐλαβεῖται δὲ τὰ μὴ
1008b 25. τοιαῦτα. "ὥστε, ὡς ἔοικε, πάντες ὑπολαμβάνουσιν ἔχειν ἁπλῶς, εἰ μὴ περὶ ἅπαντα, ἀλλὰ περὶ τὸ ἄμεινον καὶ χεῖρον." πάντα φησὶ καὶ τοὺς λέγοντας ἐπὶ παντὸς τὸ οὐδὲν μᾶλλον καὶ συναληθεύειν τιθεμένους τὴν ἀντίφασιν ἐν ταῖς ὑπολήψεσιν ἔχειν ἁπλῶς, εἰ καὶ μὴ περὶ πάντα, ἀλλὰ περὶ τὰ βελτίω καὶ χείρω καὶ συμφέροντα καὶ ἀσύμφορα καὶ ὅλως τὰ πρακτά. τὸ δὲ ἁπλῶς ἐστίν, ὅτι μὴ ἄμφω τὰ ἀντικείμενα ἡγοῦνται ἀσύμφορον ἀλλ' ἁπλῶς θάτερον καὶ ὡρισμένως, οὐδὲ ὁμοίως συμφέρειν τὸ αὐτό, ἀλλὰ θάτερον αὐτῶν ἁπλῶς· ἢ γὰρ συμφέρειν, ὃ αἱροῦνται, ἢ μὴ συμφέρειν, ὃ φεύγουσιν. ἀγαγὼν δὲ τὸν λόγον ἐπὶ τὰ πράγματα καὶ τὴν περὶ ταῦτα ὑπόληψιν, διὰ τῶν ἐναργῶν ἔδειξε τοὺς ἐκεῖνα τιθεμένους, ὅτι εἰ καὶ μὴ περὶ παντὸς ἔστιν κατάληψις, ἀλλ' ἐν τοῖς αἱρετοῖς καὶ φευκτοῖς ὁμολογεῖν αὐτοῖς ἀνάγκη· ἀπραξία γὰρ ἂν ἦν αὐτοῖς περὶ αὐτά, εἰ μὴ ὡρίζοντό τι περὶ αὐτὰ καὶ συγκατετίθεντο τῷ ἑτέρῳ μέρει. id.

(*) εἰ γὰρ μὴ ἀληθεύει ἡ ἀντίφασις κατ' αὐτοὺς ὡς μήτε ἅμα 1008b 4.
λεγόμεναι μήτε χωρίς, τί ἐστι τὸ λεγόμενον ὑπ' αὐτῶν, ὡς ὅτι τοιαύτη ἐστὶν ἡ φύσις τῶν ὄντων, ὥστε συντρέχειν τὴν κατάφασιν τῇ ἀποφάσει, καθάπερ φασὶν οἱ θεοχόλωτοι Μανιχαῖοι· τούτῳ γὰρ τῷ ὀνόματι προσηγόρευσεν αὐτοὺς ὁ ἡμέτερος φιλόσοφος Ἀμμώνιος. ἡνίκα γὰρ λέγομεν πρὸς αὐτοὺς ὅτι ἐχθρὸν παρέχετε τῷ θεῷ καὶ ἄσπονδον καὶ αἰώνιον · σπουδαῖος ἄνθρωπος οὐκ ἔχει ἐχθρόν· φασὶν ὅτι πόθεν οὖν τὰ κακά; τοιαύτη γάρ, φησίν, ἔστιν ἡ φύσις τῶν πραγμάτων, καὶ ἔστι πλατὺν γέλωτα καταχέαι τῶν οὕτω πειρωμένων τὰς ἀπορίας ἀπολύεσθαι. Asclep.

"εἰ — δοξάζοντες." εἰ δὲ λέγοιεν ἔχειν μέν τινα συγκατά- 1008b 27.
θεσιν καὶ ὑπόληψιν περὶ ταῦτα, ὡς οἱ λέγοντες τῷ φαινομένῳ, δι' ἃ φαίνεται τοιοῦτον, συγκατατίθεσθαι, ὡς οὐκ ἀληθῆ ὄντα (ἀσθενῆ γὰρ τὴν ὑπόληψιν εἶναι καὶ οὐ βεβαίαν οὐδὲ ἐπιστημονικήν), οὐ τὴν τῶν πραγμάτων φύσιν αἰτιατέον αὐτοῖς, ἀλλ' ἐπιμελητέον αὐτῶν καὶ τοῦ γνῶναι τἀληθῆ καὶ ἐπιστήμην ἔχειν προνοητέον. ἔνθα γὰρ ἡ ἀσθενὴς κατάληψις, ἐνταῦθα γίνεται καὶ ἡ ἰσχυρά τε καὶ μετ' ἐπιστήμης· ὁ δὲ ἅπαξ ἄλλα ἄλλων ἡγούμενος εἶναι μᾶλλον αἱρετά τε καὶ πρακτέα, τὸ μὲν οὖν διαφορὰν ἐν τοῖς οὖσι καὶ ταύτην καταληπτήν τε καὶ γνωστὴν συγκεχωρηκώς, τοῦ δὲ μηκέτι βεβαίαν τὴν κατάληψιν ἔχειν αὐτὸν αἴτιον τὸ μὴ ἐπιμελεῖσθαι αὐτοῦ, ὅπως ἔχοι ἐπιστημονικὴν κρίσιν, ᾗ μέτρῳ καὶ κανόνι χρώμενος εἴσεται τὴν τῶν πραγμάτων φύσιν καὶ πρώτην ἣν αὐτοῖς (?) διαφοράν. ὡς γὰρ τῷ νοσοῦντι οὐ τὰ πράγματα αἰτιατέον ὡς οὐδὲν ὑγιεινὸν ἔχοντα, ἀλλ' ὑγείας ἐπιμελητέον, ὅπως τοιαῦτα ᾖ αὐτῷ, οὕτως καὶ τοῖς ὑγιαίνουσιν· ὁ γὰρ δοξάζων πρὸς τὸν ἐπιστάμενον οὐχ ὑγιεινῶς πρὸς τὴν γνῶσιν τῆς ἀληθείας διάκειται. ὅτι δὲ οἱ λέγοντες τῇ φαντασίᾳ ἀκολουθοῦντες ποιεῖν ἃ ποιοῦσι ψεύδονται, δῆλον ἐκ τοῦ μετὰ τὴν φαντασίαν ζητεῖν τε καὶ βουλεύεσθαι αὐτόν, εἴτε χρὴ ἕπεσθαι τῷ φανταστῷ εἴτε καὶ μή. Alex.

"ἔτι — οὕτως." εἰ καὶ συγχωρήσειέ τις, φησίν, αὐτοῖς πάντα 1008b 31.
καὶ οὕτως καὶ οὐχ οὕτως ἔχειν, ἀνάγκη γε διδόναι αὐτοῖς τὸ μὴ ὁμοίως ἕκαστον αὐτῶν καὶ ἐπ' ἴσης οὕτω τε ἔχειν καὶ οὐχ οὕτως, ἀλλ' εἶναι ἐν τῇ φύσει τῶν ὄντων τὸ μᾶλλόν τε καὶ ἧττον, ὡς εἶναι θάτερον. δῆλον μὲν οὖν καὶ ἐξ ὧν πράσσουσιν· οὐ μὴν ἀλλὰ καὶ παρίστησιν αὐτὸ διά τινων ἐναργῶν. καὶ γὰρ εἰ εἴη συγκεχωρημένον τὸ εἶναι τὰ δύο ἄρτιά τε καὶ οὐκ ἄρτια, τουτέστι καὶ περιττά, ἀλλ' οὐχ ὁμοίως γε οὐδὲ ἐπ' ἴσης τὸ ἄρτιον αὐτοῖς ὑπάρχει καὶ τὸ περιττόν, οὐδ' ὁμοίως ἐστὶ τὰ δύο ἄρτια καὶ τὰ τρία, ἀλλὰ μᾶλλον μὲν τὰ τρία τῶν δύο πε-

2. καὶ post τοῦτο et 5. περὶ om *A.* ‖ 6. μηδὲ] μὴ *M.* ‖ 7. τῷ — περιπατητέον om *A.* ‖ 8. *et perinde putat opus esse atque non putat esse opus, vel putat non opus esse* Sepulv. ‖ 9. οὐχ ἄττει *M.* ‖ 17. οὕτως om *A.* ‖ 18. μέν τι] μέντοι *M.* ‖ 20. τούτου *M.* ‖ 21. κοινῇ *M.* ‖ 23. ὕδατος ante ἢ om *M.* ‖ ἐπὶ ἄλλον *M.* ‖ 24. ἐν — 25. δεόμενοι om *M.* ‖ 27. κρημνὸν] ἀφημὸν *M.* ‖ 35. συμφέρειν *M.*

19. ἢ et 20. ἄλλων om *M.* ‖ 22. συγχώρησις *M.* ‖ 23. μὴ] μὲν *M.* ‖ ἔχῃ *M.* ‖ 24. *naturam rerum ipsarumque primum discrimen cognoscat* Sepulv. ‖ 34. ἀνάγκη τε *M.* ‖ 37. περιίστησι *M.* ‖ 38. συγκεχωρισμένον *M.* ‖ 39. οὐχ ὡς ὁμοίως *M.*

νεγκε "καὶ πάλιν γε ταῦτα ἀπόφησιν ἄμφω," ἔτι μᾶλλον δεικνὺς ὅτι οὐδὲν λέγει ὁ τοῦτο λέγων· ἀκόλουθα γὰρ τοῖς λέγουσι καὶ τὸ μήτε οὕτως μήτε μὴ οὕτως· εἰ γὰρ μὴ τοῦτο λέγοιεν, ὁρίζοιεν ἄν τι ἤδη, καὶ οὐκέτι ἂν λέγοιεν ἐπὶ πάντων τὴν ἀντίφασιν, καὶ οὐδὲν μᾶλλον ἢ τοῦτο ἢ τὸ ἀντικείμενον· ἀντίκειται γὰρ τῷ οὕτω τε καὶ οὐχ οὕτως τὸ μήτε οὕτω μήτε οὐχ οὕτως. ὥστε εἰ μὴ τοῦτο λέγοιεν, συγχωροῖεν ἂν ταύτῃ τῇ καταφάσει καθ' αὑτὴν ἀληθῆ εἶναι, τῇ οὕτω τε καὶ οὐχ οὕτως ἔχειν ἕκαστον τῶν ὄντων λεγούσῃ, καὶ ψευδῆ λέγοιεν ἂν εἶναι τὴν ἀπόφασιν αὐτῆς. εἰ δὲ τοῦτο, ὡρισμένως λέγοιεν ἂν ἤδη τι καὶ κατάληψιν δώσουσιν. id.

1008 a 34 "ἔτι — ψευδής." ἡ ἐπιχείρησις ᾗ χρῆται, φυσικὴ μέν ἐστι καὶ ἀληθής, ἀλλ' ὡς πρὸς τοὺς τὴν θέσιν ἐκείνην τιθεμένους τὸ ἐν ἀρχῇ αἰτεῖσθαι δόξει· ὃ γὰρ τίθησιν ὡς ὁμολογούμενον, τοῦτο λαμβάνει πρὸς ὃ ἡ παρ' ἐκείνων ἀμφισβήτησις. δυνάμει δὲ αὐτῇ κέχρηται ἤδη δι' ὧν εἶπε πάντας ψεύδεσθαι. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· εἰ τῆς καταφάσεως οὔσης ἀληθοῦς ἡ ἀπόφασις ψευδής ἐστιν (ἀλλήλων γάρ εἰσιν ἀναιρετικαὶ αἱ καταφάσεις καὶ ἀποφάσεις), οὐκ ἂν ἐνδέχοιτο ἐπὶ τοῦ αὐτοῦ ἅμα λέγειν τήν τε κατάφασιν ἀληθῶς καὶ τὴν ἀπόφασιν περὶ ταὐτοῦ. ἐχρήσατο δὲ τούτῳ ὡς ἐξ αὐτοῦ γνωρίμῳ καὶ ἐναργεῖ καὶ ἐν τῷ περὶ Ἑρμηνείας (c. 9 p. 18 b 18), ὅτε ἐζήτει περὶ τῆς εἰς τὸ μέλλον ἀντιφάσεως, δι' ὧν εἶπεν "πρῶτον μὲν γὰρ οὔσης τῆς καταφάσεως ψευδοῦς ἡ ἀπόφασις οὐκ ἀληθής, καὶ ταύτης ψευδοῦς οὔσης τὴν κατάφασιν συμβαίνει μὴ ἀληθῆ εἶναι." ὡς γὰρ ὄντος ἐναργῶς ἀτόπου τοῦ ταῦτα λέγειν ἐχρήσατο αὐτοῖς. εἰπὼν δὲ ταῦτα ἐπεσημήνατο καὶ αὐτὸς ὅτι δόξει ὁ τοῦτο λαμβάνων, τὸ ἀναιρετικὸν ἀλλήλων εἶναι τήν τε κατάφασιν καὶ τὴν ἀπόφασιν, τὸ ἐν ἀρχῇ λαμβάνειν. ἔθηκεν οὖν τὴν ἐπιχείρησιν καὶ ἐφύλαξεν, ὅτι ἔστι φυσικωτάτη τε καὶ φανερωτάτη. ἐπεσημήνατο δὲ ὅτι τὸ ἐν ἀρχῇ δοκῶ αἰτεῖσθαι, δεικνὺς δι' ἐκείνων καὶ διὰ τούτων τὴν ἀτοπίαν τῆς θέσεως καὶ τὴν πρὸς τὰ ἐναργῆ μάχην. id.

1008 b 2 "ἔτι — ἀληθεύσει;" ὃ λέγει, τοιοῦτόν ἐστιν. πότερον δοκεῖ αὐτοῖς ὁ μὲν εἶναι καὶ ἔχειν οὕτως τὸ πρᾶγμα ὑπολαμβάνων ὡς ἡ κατάφασις λέγει, καὶ ὁ μὴ εἶναι καὶ μὴ ἔχειν οὕτως ὡς ἡ ἀπόφασις, καὶ αὐτὸς διεψεῦσθαι, ὡς ἑκατέραν τήν τε κατάφασιν καὶ τὴν ἀπόφασιν ἰδίᾳ λεγομένας ψευδεῖς εἶναι, ὁ δὲ ἅμα καὶ ἔχειν αὐτὸ οὕτως καὶ μὴ ἔχειν οὕτως ὑπολαμβάνων ἀληθεύει, ἢ καὶ ὁ τοῦτο ὑπολαμβάνων διέψευσται; εἰ μὲν γὰρ οὕτως, δῆλον ὡς ὁρίζοι ἄν τι (*). εἰ δὲ καὶ τὸν ἰδίᾳ ἑκάτερον ὑπολαμβάνοντα καὶ τὸν ἄμφω ἅμα περὶ τοῦ... λέγειν διεψεῦσθαι..., τί ἂν ἔτι εἴη τὸ λεγόμενον ὑπ' αὐτῶν; ἢ ὅτι τοιαύτη ἡ τῶν ὄντων φύσις ὁποία τίς ἐστιν, ἐξηγούμενοι, περὶ αὐτῆς λέγουσιν, ὡς εἰώθασιν Ἡρακλείτειοι λέγειν; εἰ γὰρ μηδὲν τούτων ἀληθές, οὐχ ἕξουσιν εἰπεῖν τίς ἡ τῶν ὄντων φύσις, καὶ ὁ ποίαν περὶ αὐτῶν ὑπόληψιν ἔχων ἀληθεύει· οὐδὲν γὰρ ὂν ἔσται· καθ' ὃ γὰρ μηδὲν οἷόν τε κατηγορήσαντας ἀληθεῦσαι, τοῦτο οὐδ' ἂν εἴη. εἰ δὲ ὁ μὲν τὸ συναμφότερον λέγων ἀληθεύει, ὁ δὲ ἑκάτερον διαψεύδεται, ὡρισμένον ἄν τι εἴη καθ' ἕκαστον· τὸ γὰρ τόδε μὲν ἀληθὲς τόδε δὲ ψεῦδος ὁρίζοντός ἐστι καὶ καταληπτὰ εἶναί τινα λέγοντος. ἀλλ' εἰ καὶ λέγοιεν φυλασσόμενοι τοῦτο, μηδέτερον μὲν ἀληθεύειν, μηδ' ἑκάτερον ἰδίᾳ ὑπολαμβάνοντα τῶν ἀντικειμένων μήτε τῶν ἅμα ἄμφω περὶ τοῦ αὐτοῦ, μᾶλλον μὲν ἀληθεύειν τὸν ἅμα ἄμφω ὑπολαμβάνοντα τοῦ ἐκείνως ὑπολαμβάνοντος, ἤδη ἄν τι πάλιν καταλαμβάνοι τε καὶ ὁρίζοι· τὸ γὰρ μᾶλλον τοῦτο τούτου ἀληθὲς εἶναι ὁρίζοντός ἐστι καὶ ὁμολογοῦντος ἤδη τινὰ διαφορὰν ἐν τοῖς οὖσιν εἶναι, καὶ οὕτω πως αὐτὰ ἔχειν· τοῦτο γὰρ δίδωσιν ὁ λέγων ἄλλο ἄλλου ἀληθέστερον εἶναι. οὐ γὰρ δὴ καὶ ἡ ἀπόφασις αὐτοῦ ἅμα ἀληθὴς ἡ λέγουσα οὐ μᾶλλον αὐτὸ ἀληθὲς εἶναι· πάλιν γὰρ ἐπὶ τὸ πρῶτον εἰρημένον ἐπάνεισιν ὁ λόγος. τοῦτο γὰρ λέγει διὰ τοῦ "εἰ δὲ ὁμοίως 1008 b 7
πάντες καὶ ψεύδονται καὶ ἀληθῆ λέγουσι·" τοῦτο γὰρ ἕπεται τῷ ἐπὶ πάντας τὴν ἀντίφασιν, διά τε τὸ λέγειν αὐτὰ οὐδὲν μᾶλλον ἀληθεύειν τὸν ὁτιοῦν λέγοντα ἢ οὐκ ἀληθεύειν, καὶ ψεύδεσθαι ἢ οὐ ψεύδεσθαι· καὶ ὅτι διὰ τὸ εἶναι μὲν τὰ ἀντικείμενα ἀλλήλων ἀναιρετικά, λέγειν δὲ αὐτοὺς ἀμφότερα ἀληθῆ εἶναι. τὸ δὲ "εἰ δὲ μηδὲν ὑπολαμβάνει ἀλλ' ὁμοίως" ἐπήνεγκεν ὡς ἴσον τῷ ἀλλὰ μὴν εἰ μηδὲν ὑπολαμβάνοι, ἀλλ' ὁμοίως οἴεται καὶ οὐκ οἴεται· εἰ γὰρ μὴ οἱ μὲν ἀληθεύουσιν οἱ δὲ ψεύδονται, ἢ οἱ μὲν μᾶλλον ἀληθεύουσιν οἱ δὲ ἧττον, ἀλλ' ὁμοίως πάντες καὶ οὐκ ἀληθεύουσι καὶ ἀληθεύουσι· ἀντίφασις γὰρ καὶ τοῦτο ὅτε εἶπεν ὅτι τῷ τοῦτο λέγοντι οὔτε σημῆναι ἐνέσται· ἃ γὰρ λέγει ἅμα καὶ οὐ λέγει κατὰ τὴν αὐτὴν θέσιν, οὐδὲ ὡς λέγοι, οὕτως καὶ ὑπολαμβάνει. εἰ γοῦν μηδὲν τῶν ὄντων ἔχειν πως ὑπολαμβάνει, ἀλλ' ὁμοίως οἴεταί τε καὶ οὐκ οἴεται καὶ ὑπολαμβάνει καὶ οὐχ ὑπολαμβάνει περὶ ἑκάστου, ὁ τοιοῦτος οὐδὲν ἂν διαφέροι φυτοῦ, ἅπερ οὐδὲ ὅλως ἔχει τὴν ὑποληπτικὴν δύναμιν τῆς ψυχῆς. μετήνεγκε δὲ ἐπὶ τὰς ὑπολήψεις τὰς ἀντικειμένας ἀπὸ τῶν ἀποφάσεων τὸν λόγον· φανερώτερος γὰρ ἐπὶ τούτου ὁ ἔλεγχος καὶ τὸ ἄτοπον ἐναργέστερον· πολλὰ γὰρ λέγειν μὲν οἷόν τε, οὐ μὴν καὶ ὑπολαμβάνειν, ὡς εἶπεν ἀρχόμενος τῆς πρὸς τοὺς τῆς θέσεως ταύτης προϊσταμένους ἀντιλογίας (p. 1005 b

3. μὴ ante οὕτως om *M.* ‖ 4. παντὸς τὴν κατάφασιν *M.* ‖ ἢ] ἢν *M.* ‖ 13. ὁμολογούμενος *M.* ‖ 14. ὃ ἥπερ *M.* ‖ 16. ψεῦδος *M.* ‖ 20. ἐνεργεῖ *M.* ‖ 21. ὅτι *M.* ‖ 22. ψευδὴς *M.* ‖ 23. σημαίνει *M.* ‖ 24. ὄντως *M.* ‖ 25. et 28. ἐπεσημαίνετο *M.* ‖ 27. ἐφύλασσεν *M.* ‖ 29. ἀρχῇ δοκεῖσθαι, δεικνὺς *M.* ‖ 34. διάψευστος *M.* ‖ 36. καὶ μὴ ἔχειν οὕτως om *M.* ‖ 37. *sin autem non solum qui utrumque separatim, sed etiam qui ambo simul putat, in errore istis versari videtur, quae tandem istorum esse potest sententia?* Sepulv.

1. διέψευσται *A.* ‖ 2. ὁμοῖόν τι *M.* ‖ 3. αὐτὸ *M.* ‖ 7. μὲν τὸ et 8. καθ' om *M.* ‖ 10. ἀληθεύει *M.* ‖ 11. τῶν ἀντικειμένων — 12. ὑπολαμβάνοντα om *A.* ‖ 13. ἐκεῖνο *M.* ‖ 17. f. δή. ‖ 19. εἰ δὴ] οὐδ' *A.* ‖ *nam hoc consequitur, si contradictio cunctis in rebus asseratur, tum quia isti dicunt, quidquid dixeris, te non magis verum quam non verum dicere, nec magis falli quam non falli, tum quia contrariorum altero alterum intercipitur, ipsi tamen utrumque verum esse contendunt* Sepulv. ‖ 21. f. l. ἀντίφασιν εἶναι, διά. ‖ 22. f. om ὅτι. ‖ 25. μὴ εἰ *A*, μὲν οἱ *M.* ‖ 28. *nam et haec contradictio est, et hoc est quod dixit* Sepulv. ‖ 30. λέγοι] λέγειν *M.* ‖ ὑπολαμβάνει *M.* ‖ 31. ἔχει *M.*

ταφῆσαι ἀνάγκη καὶ ἀντιστρέφειν. ἤτοι διῃρημέναι ἀπ' ἀλλήλων αἱ ἀποφάσεις καὶ ἰδίᾳ κατηγορημέναι ἀληθεῖς ὁμοίως εἰσὶν ἀλλήλαις, ὡς ἰδίᾳ μὲν κατηγορούμεναι καὶ κεχωρισμέναι ἀπ' ἀλλήλων οὐκ ἀληθεῖς, συντιθέμεναι δὲ ἅμα ἥ τε κατάφασις καὶ ἡ ἀπόφασις ἀληθεῖς (′). τοῦτο γὰρ καὶ τότε ἠξίου ἐρωτῶντός τινος εἰ ἄνθρωπος ὁ Σωκράτης ἐστί, πρὸς ὃ ἀποκρινόμενος, ἔστι καὶ οὐκ ἄνθρωπος, ὡς τοῦ μὲν ὅλου ἀληθοῦς ὄντος, ἰδίᾳ δὲ ἑκατέρου οὐκ ἀληθοῦς. ἀλλ' εἰ μὲν μήτε ἡ κατάφασις μήτε ἡ ἀπόφασις ἀληθὴς ἰδίᾳ λεγομένη, οὐκ ἀληθεύσει ὁ ταῦτα λέγων. τοῦτο γὰρ σημαίνει τὸ "οὐ λέγει τε ταῦτα." εἰ γὰρ οὐκ ἀληθεύσει ὁ λέγων ταῦτα, οὐδὲ ἔστιν· τῷ γὰρ μὴ εἶναι αὐτὰ οὐκ ἀληθεύσει. οὕτως δὲ οὐδὲν ἔσται, εἰ ἐπὶ παντὸς μήτε ἡ κατάφασίς τινος ἀληθὴς μήτε ἡ ἀπόφασις ἀληθής. μηδενὸς δὲ ὄντος οὐδ' ἂν ἄνθρωπος εἴη, μὴ ὄντος δὲ ἀνθρώπου οὐδ' ἂν φθέγγοιτό τις οὐδὲ λέγοι. μὴ γὰρ ὄντων τῶν ἐνεργούντων οὐδ' ἂν αἱ ἐνέργειαι εἶεν· οὐκ ἔσται δὲ τὰ ἐνεργοῦντα, ὅτι μή εἰσιν ἀληθεῖς αἱ καταφάσεις αἱ εἶναι αὐτὰ λέγουσαι. ἔτι ὡς αἱ τῶν ἐνεργούντων καταφάσεις οὐκ ἀληθεῖς, οὐδὲ αἱ τῶν ἐνεργειῶν, οἷον τοῦ βαδίζειν, τοῦ φθέγγεσθαι (″). ὥστε καὶ κατὰ τοῦτο οὐδὲ ταῦτα ἔσται. ἀλλὰ μὴν οὐδὲ αὐτὸ ἔτι οἷόν τε ἀληθὲς εἶναι τὸ ἐπὶ πάντων ἀληθῆ τὴν ἀντίφασιν εἶναι· κατάφασις γὰρ καὶ τοῦτο, καὶ ἔστιν αὐτοῦ ἀπόφασις. καὶ πάντα ἂν εἴη ἓν τοῖς λέγουσιν ἅμα πᾶσαν ἀντίφασιν ἀληθῆ ἐφ' ἑκάστου συγκειμένην· ᾧ ἀκολουθοίη ἂν καὶ τὸ πάντα τὰ ὄντα ἓν εἶναι. εἰ γὰρ ἐπὶ παντὸς πᾶσα ἀντίφασις ἅμα λεγομένη ἀληθής, πάντα ταὐτά ἐστιν ἀλλήλοις, ὡς ἤδη προεῖπον· ὡς γὰρ πάντα ταὐτὰ ὑπάρχει τούτοις, καθ' ὧν ἁπάντων ἡ ἀντίφασις ὁμοίως ἀληθής. πῶς δὲ οὐκ ἄτοπον ταὐτὸν λέγειν ἄνθρωπον, θεόν, τριήρη, λίθον, καὶ μὴ ἄνθρωπον, μὴ θεόν, μὴ τριήρη καὶ λίθον; ἕπεται δὲ ταύτῃ τῇ δόξῃ τὸ διωρικέναι τι· τὸ γὰρ ἰδίᾳ μὲν μήτε τὴν κατάφασιν μήτε τὴν ἀπόφασιν ἀληθῆ λέγειν, ἅμα δὲ ἄμφω ἀληθῆ, ὁρίζοντός τινος ἦν. id.

1008a 17. (′) διό φησι γνωριμωτέρα γὰρ ὑπάρχει ἡ κατάφασις τῆς ἀποφάσεως. εἰ δὲ ὁμοίως καὶ ὅσα ἀποφῆσαι φάναι ἀνάγκη. πάλιν ἄλλο ἐπιχείρημα τοῦ αὐτοῦ κατασκευαστικόν. φησὶ δὲ τοῦτο. εἰ ὁμοίως ἐπὶ πάσῃ συντρέχει ἡ ἀπόφασις τῇ καταφάσει, ἤτοι ἀληθές ἐστι διαιροῦντα λέγειν ὅτι τόδε λευκόν ἐστι καὶ πάλιν ὅτι οὐ λευκόν, ἢ ἅμα λέγειν ὅτι τὸ αὐτὸ λευκὸν καὶ οὐ λευκόν. καὶ εἰ μὲν εἴη ἀληθὲς διαιροῦντα λέγειν, ἀλλὰ ἅμα λέγειν ὅτι λευκὸν καὶ οὐ λευκόν, ὁ τοιοῦτος οὐδὲν λέγει. Asclep.

1008a 22. (″) τὰ — βαδίσειεν;" ὥστε ὁ τοιοῦτος οὐ διαλέγεται ἀλλ' ἄφωνός ἐστίν, οὔτε δὲ βαδίζει. id.

"εἰ — ἑκάστου." ὁ δέ σύνδεσμος ἀντὶ τοῦ γάρ κεῖται. ἔστι 1008a 25. γὰρ τὸ ἀκόλουθον· εἰ γὰρ ὁμοίως καθ' ἑκάστου πᾶσα ἀντίφασις ἀληθής, οὐδὲν ἄλλο ἄλλου διοίσει, οὐδὲν ἔχον ἴδιον. κατ' ἰδιότητα γάρ τινα τοῖς πράγμασιν ἡ πρὸς ἄλληλα διαφορά· ἣν ἔχοι καὶ διαφέροι ἄλλο ἄλλου, τοῦτο ἐφ' ἑκάστου αὐτῶν ἀληθὲς καὶ ἴδιον ἔσται, καὶ οὐκέτι ἡ ἀπόφασις αὐτοῦ. κἂν διαιρούντων καὶ ἰδίᾳ κατηγορούντων τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν ἀμφότερα ὁμοίως ἀληθεύεσθαι λέγωσιν, ἐπὶ πάντων καὶ οὕτως ἀκολουθήσει τὸ πάντα ταὐτὰ ἀλλήλοις τὰ ὄντα εἶναι καὶ διάφορα. Alex.

"πρὸς — ἀληθεύσαιεν." ἐξαριθμεῖται καὶ τὰ ἄλλα τὰ ἑπόμενα 1008a 28. τῇ δόξῃ ταύτῃ τῇ διῃρημένως τὰς προτάσεις καθ' ἑκάστου τῶν ὄντων ἀληθεύεσθαι λεγούσῃ· τότε γὰρ πάντας ἀληθεύειν ἕπεται, εἴγε πάντες καὶ οἱ καταφάσκοντές τι τοῦ αὐτοῦ καὶ οἱ ἀποφάσκοντες ἀληθεύουσιν. ἀλλὰ καὶ πάντες ἂν ψεύδοιντο, εἰ δὴ αἱ μὲν καταφάσεις τῶν ἀποφάσεών εἰσιν ἀναιρετικαί, αἱ δὲ ἀποφάσεις τῶν καταφάσεων. τῷ μὲν οὖν ἀληθεύειν τοὺς καταφάσκοντας ψεύδεσθαι τοὺς ἀποφάσκοντας ἀνάγκη, τῷ δὲ πάλιν τοὺς ἀποφάσκοντας ἀληθεύειν ψεύδοιντο ἂν οἱ καταφάσκοντες· ψεύσονται καὶ πάντες ἀληθεύουσιν. ἔτι εἰ οἱ ψεύδεσθαί τινας λέγοντες ἀληθεύουσι τῷ καὶ ἰδίᾳ ἑκάτερον μόριον τῆς ἀντιφάσεως λεγόμενον ἀληθὲς εἶναι, ἔσται καὶ ἡ πάντας ψεύδεσθαι λέγουσα κατάφασις ἀληθής· ψεύδονται ἄρα πάντες. καὶ αὐτὸς δὲ αὐτὸν ὁμολογεῖ ψεύδεσθαι· εἰ γὰρ ἐφ' οὗ κατάφασις, ἐπ' ἐκείνου καὶ ἡ ἀπόφασις, ὁμολογεῖ ἂν ἀληθῆ εἶναι καὶ τὴν ἀπόφασιν τῆς καταφάσεως τῆς λεγούσης ἅμα τὴν ἀντίφασιν συναληθεύεσθαι, ἥτις ἐστὶν οὐχ ἅμα τὴν ἀντίφασιν συναληθεύεσθαι. ἀλλ' ἐν τῷ αὐτὴν ὁμολογεῖν ἀληθῆ εἶναι τὴν ἀναιρετικὴν οὖσαν ἧς αὐτὸς ἐτίθετο καταφάσεως, τῆς λεγούσης τὴν ἀντίφασιν ἅμα εἶναι ἀληθῆ, αὐτὸν ὁμολογεῖ ψεύδεσθαι. id.

"ἅμα — σκέψις." τουτέστιν κοινολογία τε καὶ ζήτησις· οὐδὲν 1008a 30. γὰρ λέγει· πρὸς δὲ τὸν μηδὲν λέγοντα οὔτε κοινολογία τις οὔτε ζήτησις περί τινος δύναται γίνεσθαι. ὅτι δὲ μηδὲν ὁ τοῦτο λέγων λέγει, δῆλον· πᾶς γὰρ ὁ λέγων τι καὶ σημαίνων ὡρισμένον τι σημαίνει, ὥσπερ εἴρηται, ὥστε ὁ μὴ ὡρισμένον τι σημαίνων οὐδ' ἂν λέγοι τι. ὁ δὲ τὴν ἀντίφασιν ἐπὶ παντὸς λέγων ἅμα ἀληθῆ εἶναι οὐδὲν ὡρισμένον σημαίνει· ὁ ἄρα τὴν ἀντίφασιν ἐπὶ παντὸς ἅμα ἀληθῆ λέγων εἶναι οὐδὲν λέγει. ὅτι γὰρ οὐδὲν λέγει, δεικνύς φησιν· οὔτε γὰρ οὕτως ἔχειν λέγει τὰ πράγματα οὔτε οὐχ οὕτως, δεῖ δὲ οὕτως ἔχειν ἢ μὴ οὕτως ἔχειν. εἰπὼν δὲ λέγειν τοὺς τὴν ἀντίφασιν ἅμα ἀληθῆ λέγοντας ἕκαστον τῶν ὄντων οὕτω τε ἔχειν καὶ οὐχ οὕτως, ἐπή-

1. ἀντιστρέψαι *M.* ‖ 9. τε] δὲ *M.* ‖ 10. ἀληθεύσεις λέγων *M.* ‖ 11. εἰ om *M.* ‖ 15. τὰ] τῶν *M.* ‖ 18. ἀλλὰ καὶ μὴν *M.* ‖ 19. ἔτι] ὅτι *M.* ‖ ἀληθῆ] ἀληθὲς *A.* ‖ 24. ταὐτὰ] ταῦτα *M.* ‖ 26. τριήρη καὶ λίθον *M.* ‖ 27. καὶ μὴ — λίθον om *A.* ‖ 28. διωρισμέναι *M.* ‖ τὴν ante κατάφασιν om *M.* ‖ 29. τινα *A.*

3. ἄλλο] ἄλλη *M.* ‖ οὐδὲ ἔχων εἰσί. κατ' *M.* ‖ 4. ἣν] ἢ *M.* ‖ 6. αὐτοῦ. κἂν] αὐτῃ. καὶ *M.* ‖ 7. λέγουσι *M.* ‖ 12. λέγουσι *M.* ‖ 13. τί] τε *M.* ‖ 14. f. δή. ‖ 15. ἀναιρεταὶ *M.* ‖ 16. ψεύδεσθαι τοὺς ἀποφάσκοντας om *M.* ‖ 17. *quo fiet ut omnes et vera et falsa loquantur* Sepulv. ‖ 18. post καταφάσκοντες f. add. ὥστε πάντες. ‖ 19. *praeterea si qui omnes mentiri ait, is verum dicit propterea quod contradictionis utraque pars vera est, affirmatio quam omnes mentiri dicuntur vera fuerit* Sepulv. ‖ 27. ἀντίφασιν συναληθεύεσθαι ἅμα *A.* ‖ 29. κοινωνία *M.* ‖ 30. μηδὲ *M.* ‖ 34. ὡρισμένα *M.*

κατηγοροῦσι καὶ διὰ τοῦτο φάσκουσι συναληθεύεσθαι τὴν ἀντίφασιν, τὸ συμβαίνειν μήτε τὴν ἀπόφασιν μήτε τὴν κατάφασιν ἀληθῆ γίνεσθαι, καθ' ὧν ἄμφω τὰ ἀντικείμενα. εἰ γὰρ πᾶσα ἀντίφασις ἐφ' ἑκάστου ἅμα συναληθεύεται, ὥς φασι, καὶ ἅμα ἐπὶ τοῦ αὐτοῦ ἀληθὲς καὶ τὸ ἔστιν ἄνθρωπος καὶ τὸ ἔστιν οὐκ ἄνθρωπος· διὰ τοῦτο γὰρ καὶ ἡ ἀπόφασις ἀληθὴς καθ' οὗ ἡ κατάφασις, διὰ τὸ εἶναι ἐπ' αὐτοῦ ἀληθῆ καὶ τὴν ἐκ μεταθέσεως κατάφασιν· ἐπὶ γὰρ τοῦ ὄντος οὐκ ἀνθρώπου ἀληθὴς ἡ ἀπόφασις ἡ λέγουσα οὐκ ἔστιν ἄνθρωπος, ἐπεὶ καὶ τὸ ἔστιν οὐκ ἄνθρωπος· ἐπὶ γὰρ τῶν ὄντων ὁμοίως ἀληθῆ ἑκάτερα. ἅμα δὲ καὶ τὸ λεγόμενον ὑπ' αὐτῶν ἦν οὐ μᾶλλον ἄνθρωπος ἢ οὐκ ἄνθρωπος, καὶ ὁμοίως ἐπὶ πάντων τὸ οὐκ ἄνθρωπος τοῦ αὐτοῦ ἀποφατικὸν ἐλάμβανον. δοκεῖ δὲ ἡ ἐπιχείρησις αὕτη δεικνύναι ὅτι τὰ λεγόμενα ὑπ' αὐτῶν ἅμα ἐφ' ἑκάστου εἶναι ἀληθῆ ὡς ἀντιφάσεις, οὐκ ἀποφάσεις εἰσίν, ἀλλ' ἀμφότεραι καταφάσεις. ὧν καταφάσεων εἰ αἱ ἀποφάσεις ληφθεῖεν ἀληθεῖς εἶναι, ὡς ἀξιοῦσιν, ἀναιροῖτ' ἂν τὸ ἐκεῖνα ἔτι ἀληθῆ εἶναι, ὡς ἀξιοῦσιν, ἃ ὡς ἀντικείμενα ἀλλήλοις ἔλεγον ἀληθῆ ἐπὶ τοῦ αὐτοῦ γίνεσθαι. εἰ γὰρ καὶ τὸ ἔστιν ἄνθρωπος καὶ τὸ ἔστιν οὐκ ἄνθρωπος, οὐ τὸ τὴν ἀντίφασιν συναληθεύεσθαι ἀκολουθήσει αὐτοῖς, ἀλλὰ τὸ μήτε τὴν κατάφασιν μήτε τὴν ἀπόφασιν ἀληθῆ εἶναι, ἀλλ' ἀναιρεῖσθαι τὴν ἑκατέρου αὐτῶν φύσιν. εἰ γὰρ ταῦτα ἀληθῆ, ἐφ' ὧν δὲ αἱ καταφάσεις καὶ αἱ ἀντιφάσεις, εἶεν ἂν καὶ αἱ ἀποφάσεις τούτων ἀληθεῖς πάλιν ἅμα, αἵ εἰσιν ἀναιρετικαὶ τούτων, τῆς μὲν ἔστιν ἄνθρωπος ἡ οὐκ ἔστιν ἄνθρωπος, τῆς δὲ ἔστιν οὐκ ἄνθρωπος, οὔσης καὶ αὐτῆς καταφάσεώς πως (ἐκ μεταθέσεως γὰρ ἦν), ἡ οὐκ ἔστιν οὐκ ἄνθρωπος. εἰ οὖν τὰ ἀντικείμενα ἅμα ἐπὶ τοῦ αὐτοῦ ἀληθῆ, οὕτως καὶ τὰ ἑκατέρῳ ἐκείνων ἀντικείμενα καὶ ἀναιροῦντα αὐτά, τό τε οὐκ ἔστιν ἄνθρωπος καὶ οὐκ ἔστιν οὐκ ἄνθρωπος, ἅμα ἔσται ἐπὶ τοῦ αὐτοῦ ἀληθῆ. εἰ μὲν οὖν ὡς δύο ἐκεῖνα ἐλέγετο, καὶ ταῦτα ὡς δύο κατηγορούμενα ἑκατέρου ἐκείνων ὄντα ἀποφάσεις· εἰ δὲ ὡς ἕν τι ἐξ ἀμφοῖν ἐκείνων ἐγένετο, ὡς ἐβούλοντο, καὶ ταῦτα ὡς ἕν. ἀλλὰ μὴν εἰ ταῦτα ἀληθῆ, ἀναιρετικὰ δέ ἐστι ταῦτα τῆς τε καταφάσεως καὶ τῆς ἀποφάσεως λαμβανομένης, ἀληθὲς ἂν γένοιτο τὸ μηδέτερον τῆς ἀντιφάσεως μέρος ἀληθὲς εἶναι, ἀλλ' οὐ τὰ ἀμφότερα. δύναται δὲ τὸ οὐκ ἄνθρωπος οὐ τῆς ἐκ μεταθέσεως καταφάσεως εἶναι δηλωτικόν, ἀλλὰ τῆς οὐκ ἔστιν ἄνθρωπος ἀποφάσεως· ἧς εἴη ἂν ἀπόφασις ἡ οὐχὶ οὐκ ἔστιν ἄνθρωπος. ἅμα ἀληθῆ καὶ τὰ τούτων ἑκατέρῳ ἀντικείμενα ἔσται καὶ αὐτὰ ἅμα ἀληθῆ κατὰ τοῦ αὐτοῦ. ἀλλὰ μὴν ἑκάτερον τῶν ἐκείνοις ἀντικειμένων ἀναιρετικὸν ἦν ἐκείνου ᾧ ἀντέκειτο. ἀληθὲς ἄρα ἔσται τὸ μηδέτερον, μήτε τὴν ἀντίφασιν μήτε μέρος τῆς ἀντιφάσεως, ἀληθὲς ἐπὶ τοῦ αὐτοῦ εἶναι. Alex.

"ἔτι — ἕν." ἐκ διαιρέσεως πρόεισιν ὁ λόγος αὐτῷ, δεί- 1008a 7.
κνυσι δὲ πάσας τὰς ἐνδεχομένας λαμβάνων διαιρέσεις, αἷς τὸ ἀκολουθοῦν τὸ εἶναί τινα ὡρισμένα καὶ καταληπτὰ δηλονότι, καὶ οὐχ ὡς βούλονται λέγειν ἐπὶ πάντων οὐδὲν μᾶλλον τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν. φησὶ γὰρ ἤτοι περὶ πάντων λέγειν αὐτοὺς τὸ οὐδὲν μᾶλλον τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἢ περὶ ἐνίων. τοῦτο δὲ εὐλόγως δόξειεν ἂν λέγεσθαι ὑπ' αὐτῶν, ἐπεὶ ἐπὶ τῆς οὐσίας καὶ τοῦ οἰκείου εἴδους καὶ τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων ἔδειξε φανερῶς ἄτοπον ὂν τὸ μὴ εἶναι τοῦτο λέγειν, ἐν ᾧ ἦν αὐτῷ τὸ εἶναι καὶ καθὸ ἔστιν ἐκ τῶν ὄντων ὅ ἐστιν· διὰ τοῦτο γὰρ εἵπετο αὐτοῖς καὶ τὸ πάντα τὰ κατηγορούμενα συμβεβηκότα λέγειν. ἔτι δὲ καὶ ὡς τῇ διαιρέσει ἑπόμενον τίθεται ἐπὶ πάντων ἐφ' ὧν ἡ κατάφασις καὶ ἡ ἀπόφασις ὁμοίως, ὅθεν ἂν ἄρξηταί τις, ἀκολουθεῖν καὶ ἡ ἀντίφασις. ἀλλ' εἰ μὴ ἐπὶ πάντων ἡ ἀντίφασις, ἀλλ' ἔστιν ἐφ' ὧν μόνη ἡ κατάφασις, ἔσται τινὰ ὡρισμένα τε καὶ καταληπτά, καὶ οὐκ ἔστιν ἐπὶ πάντων οὐδὲν μᾶλλον οὕτως ἢ οὐχ οὕτως· οὐ γὰρ ἐπὶ τούτων. εἰ δὲ ἐπὶ πάντων μὲν ἐφ' ὧν ἡ κατάφασις καὶ ἡ ἀπόφασις, οὐ μὴν ἐφ' ὧν ἡ ἀπόφασις καὶ ἡ κατάφασις, ἔτι ὁμοίως μηδ' ἀντιστρέψει, εἴη ἄν τι τῶν μὴ ὄντων καταληπτόν, ὅτι μή ἐστι καὶ βεβαίως οὐκ ὂν καὶ οὐχὶ οὐδὲν μᾶλλον ὂν ἢ μὴ ὄν, εἴγε ἡ μὲν ἀπόφασις ἀληθὴς ἐπ' αὐτοῦ, ἡ δὲ κατάφασις οὐκέτι. ὡς γὰρ τῆς καταφάσεως μόνης οὔσης ἀληθοῦς ἐγίνετό τινα ὁμολογούμενα καὶ καταληπτά, οὕτω καὶ εἰ ἡ ἀπόφασις πάλιν ἐπί τινων μόνη ἀληθής εἴη. id.

"καὶ — γνώριμον." ὃ λέγει ἐστίν· εἰ τὸ μὴ εἶναι καὶ ἡ ἀπόφα- 1008a 16.
σις βέβαιόν τι καὶ γνώριμον καὶ καταληπτόν, γνωριμωτέρα ἂν εἴη ἡ ἀντικειμένη φάσις τῇ ἀποφάσει, τουτέστιν ἡ κατάφασις. οὐ τῇ καταληπτῇ δὲ καὶ ὁμολογουμένῃ εἶναι ἀποφάσει λέγοι ἂν τὴν ἀντικειμένην κατάφασιν γνωριμωτέραν, ἀλλ' ὅτι καθόλου ἐν ἀντιφάσει κατάληψις μᾶλλον ἂν ἐν καταφάσει εἴη· γνωριμώτερον γὰρ καθόλου τὸ εἶναι τοῦ μὴ εἶναι. γνωριμωτέρα δὲ ἡ κατάφασις τῆς ἀντιφάσεως εἴη ἄν, διότι καὶ πρώτη· πρώτη γὰρ ἡ κατάφασις τῆς ἀποφάσεως, ὡς εἴρηται ἐν τῷ περὶ Ἑρμηνείας (c. 5), ἐπεὶ τὸ ὂν τοῦ μὴ ὄντος γνωριμώτερον, ὅτι ἐφ' οὗ ἡ ἀπόφασις ἀληθής, διὰ τὸ γνώριμον αὐτὴν εἶναι ἄλλο τι ὂν καὶ μὴ τοῦτο, ταύτῃ ἀληθής· διὰ τοῦτο γὰρ καὶ ἡ κατάφασις ἡ αὐτῆς ταύτης τῆς ἀποφάσεως, ὥστε καὶ κατάφασις ἂν εἴη τις ἐπ' αὐτοῦ γνώριμος καὶ ἀληθής. εἰ δὲ ὁμοίως ἐπὶ πάντων ἡ ἀντίφασις ἀληθής, καὶ ὅσα ἀποφῆσαι ταῦτα καὶ κα-

3. ὧν] ἦν *A.* ‖ 4. συναληθεύεσθαι *M.* ‖ 6. οὗ] ὧν *M.* ‖ διὰ δὲ τὸ *M.* ‖ 13. ὥστε αἱ ἀντιφάσεις *A.* ‖ 14. ἀντιφάσεις *M.* ‖ 16. ἔτι] ὅτι *M.* ‖ 18. οὐκ ἔστιν *M.* ‖ ἄνθρωπος ἀληθῆ, οὐ *A.* ‖ 26. ἀληθεῖς *M.* ‖ 29. ἐκείνους *M.* ‖ 30. ἐγένετο *M.* ‖ 34. δὲ om *AM.* ‖ *cuius negatio erit haec, non non est homo; ut sit intellectus huiusmodi: si est homo et non est homo simul vera sunt, opposita quoque utrisque horum de eodem simul vera fuerint. utrumque autem* Sepulv. ‖ 36. ἧς] l. ἡ. ‖ 39. ᾧ] μὲν *A.*

8. ἢ τὴν περὶ *M.* ‖ δὴ *M.* ‖ 12. εἶπε τὸ *M.* ‖ 17. καὶ τὰ ληπτά *M.* ‖ οὐδὲ *M.* ‖ 18. μὲν] μὴ *M.* ‖ *sed non item, de quibus negatio, de his etiam affirmatio, nec licet retroagere. profecto aliquid ex iis, quae non sunt, non esse definietur, et erit haud dubie non ens, nec erit verum dictu non magis esse ens quam non ens* Sepulv. ‖ 20. ἀντιστρέφει *M.* ‖ 22. εἰ] l. ἡ. ‖ 24. εἰ om *M.* ‖ 29. λέγοι — 30. ἀποφάσει iterunt *AM.* ‖ 34. ἐπεὶ] ἐστὶ *M.* ‖ 36. ἀλλ' ὅτι *M.* ‖ *ideo enim affirmatio eadem huius negationis non est vera* Sepulv. ‖ 38. εἰ — 39. ἀληθής] διὰ τὸ γνώριμον αὐτὸ εἶναι *AM.*

μηδὲ τριήρη καὶ πάντα ὅσα οὐκ ἔστιν, συναληθεύουσι δὲ αἱ ἀντιφάσεις, ἔσται ἅμα ὁ ἄνθρωπος καὶ ἵππος καὶ λίθος καὶ τεῖχος καὶ τριήρης καὶ πάντα ὅσα οὐκ ἔστιν, δοθέντος μόνου τοῦ δύνασθαι, καθ' οὗ τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως, καὶ τὸ ἕτερον κατηγορεῖσθαι. τὸ δὲ
1007b 22. "καθάπερ ἀνάγκη τοῖς τὸν Πρωταγόρου λόγον λέγουσιν" εἴρηκεν, ὅτι ἀνάγκη κατὰ τὴν ἐκείνου δόξαν, λέγοντος πᾶν τὸ φαινόμενον ᾧ φαίνεται ἀληθὲς εἶναι, τὴν ἀντίφασιν ἅμα ἐπὶ τοῦ αὐτοῦ ἀληθῆ εἶναι (b)· περὶ γὰρ τῶν αὐτῶν ἀντικείμεναι φαντασίαι γίνονταί τισιν, αἳ εἰ ἀληθεῖς εἰσι κατ' αὐτῶν, εἴη ἂν κατ' ἐκείνων ἅμα ἡ ἀντίφασις ἀληθὴς ἐπὶ τοῦ αὐτοῦ, ὡς καὶ αὐτὸς δείξει ὀλίγον προελθών. τὸ δὲ "εἰ γάρ τῳ δοκεῖ μὴ εἶναι τριήρης ὁ ἄνθρωπος, δῆλον ὡς οὐκ ἔσται τριήρης" δεικτικὸν μέν ἐστι τοῦ πᾶσαν ἀντίφασιν ἀληθῆ ἐπὶ παντὸς γίνεσθαι, ἤτοι δὲ ἔτι Πρωταγόρου μνημονεύων τὸ "δοκεῖ" εἶπεν· ἐπεὶ ἐκεῖνος πᾶσαν δόξαν καὶ πᾶσαν φαντασίαν ἔλεγεν ἀληθῆ, ἢ οὐκέτι τοῦτο ὡς περὶ τῆς Πρωταγόρου δόξης λέγει· οὐδὲ γὰρ ἕπεται, ὃ λέγει Πρωταγόρας. ἢ οὐ πρὸς ἄλλο τι ἐχρήσατο τῷ "δοκεῖ" ἢ πρὸς τὸ δεῖξαι ἀληθῆ γινομένην τὴν ἀπόφασιν· ὃ δείξας λοιπὸν ὡς ἐκείνοις ἑπόμενον προστίθησι καὶ λαμβάνει ὅτι ἐφ' οὗ ἡ ἀπόφασις ἀκολουθήσει, ἐπὶ τούτου καὶ τὴν κατάφασιν αὐτοῦ ἐκείνου ἀληθῆ εἶναι, καθ' οὗ ἅμα ἡ ἀντίφασις ἀληθής· ὃ γὰρ μή ἐστι τριήρης, καὶ τριήρης ἔσται, εἴγε ἡ ἀντίφασις. οὕτω δὲ ἕκαστον ἂν τῶν ὄντων γίγνοιτο πάντα (c). ἔσεσθαι γάρ φησιν οὕτως τὸ τοῦ Ἀναξαγόρου ἀληθὲς τὸ "ὁμοῦ πάντα χρήματα." ἀλλὰ κατ' ἐκεῖνον μὲν ὡς εἰλικρινῶς μηδὲν εἶναι, καὶ τόδε τι ὃ λέγεται τῶν πραγμάτων τὰ πάντα λέγεται ἐν πᾶσιν· κατὰ δὲ τοὺς οὕτω λέγοντας ἕπεται αὐτοῖς τὸ πάντα τὰ αὐτὰ ἀλλήλοις εἶναι
1007b 26. λέγειν. "τὸ ἀόριστον οὖν ἐοίκασι λέγειν, καὶ οἰόμενοι τὸ ὂν λέγειν περὶ τοῦ μὴ ὄντος λέγουσιν." εἰπὼν ὅτι ἕπεται τοῖς τὴν ἀντίφασιν συναληθεύεσθαι λέγουσι τὸ ἕκαστον τῶν ὄντων πάντα εἶναι χρήματα, φησὶ τοὺς τοῦτο λέγοντας ἐοικέναι περὶ τῆς ὕλης τὸν λόγον ποιεῖσθαι. αὕτη γὰρ ἀόριστος τῷ δυνάμει πάντα εἶναι, ἐνεργείᾳ δὲ μηδέν· οὐδὲ γὰρ οἷόν τε ἐνεργείᾳ πάντα εἶναι· ὥστε περὶ τοῦ ὄντος λέγειν βουλόμενοι περὶ τοῦ μὴ ὄντος τὸν λόγον ποιοῦνται. μὴ ὂν γὰρ ὃ δυνάμει μέν ἐστιν, ἐνεργείᾳ δὲ μή· οὔτε γὰρ ἄνθρωπος ἤδη ὁ δυνάμει τις ἄνθρωπος, οὔτε ἵππος, οὔτε τῶν ἄλλων τι. τοιοῦτον δὲ ἡ ὕλη· δυνάμει γὰρ ἕκαστόν ἐστι τῶν ἐξ αὐτῆς γιγνομένων· οὐ γὰρ δὴ δύναταί τι ἐνεργείᾳ εἶναι πάντα. εἶπε δὲ καὶ περὶ τῆς Ἀναξαγόρου δόξης ἐν τοῖς πρώτοις (A 8) λέγων, ὡς δι' ὧν ἔλεγε πάντα ἐν πᾶσι μεμῖχθαι τὴν ὕλην ὀνειροπολοῦντος, ἐνεργείᾳ πάντα τὰ ὄντα εἶναι. Alex.

(a) πάνυ δριμυτάτην ἐπιχείρησιν ἐπιτίθησι καὶ γέμουσαν 1007b 20.
ἀγχινοίας, δεικνὺς ὅτι ἀδύνατον συναληθεύειν τὴν ἀντίφασιν· εἰ γάρ, φησίν, ὑποθώμεθα αὐτὴν συναληθεύειν, πάντα ἓν ἔσονται. Asclep.

(b) ἔλεγε γὰρ ἐκεῖνος (ὁ Πρωταγόρας) ὅτι τὸ δοκοῦν ἑκάστῳ 1007b 22.
τοῦτό ἐστι καὶ ἀληθές. id.

(c) ἐοίκασιν οὖν, καθάπερ καὶ ὁ Ἀναξαγόρας ἔπαθε τὴν 1007b 25.
ὕλην περιφανταζόμενος, ταῦτα λέγειν, ἐπειδὴ ἡ ὕλη πάντων ἐστὶ δεκτική. id.

"ἀλλὰ — ἀπόφασιν." δείξας ἑπόμενον τῷ τὴν ἀντίφασιν 1007b 29.
συναληθεύειν λέγοντι τό, οὗ ἡ ἀπόφασις ἐπί τινος ἀληθής, ἐπ' ἐκείνου καὶ τὴν κατάφασιν αὐτοῦ ἐκείνου ἀληθῆ γίγνεσθαι, νῦν δείκνυσιν ὅτι ἀνάγκη αὐτοῖς λέγειν ἐπὶ παντὸς πᾶσαν ἀντίφασιν κατηγορεῖσθαι. τοῦτο δὲ δείκνυσιν, ἐπεὶ ἐν ἦν λέγειν αὐτοῖς, ἐφ' οὗ μὲν τὸ ἕτερον ἀληθὲς μόριον τῆς ἀντιφάσεως, καὶ θάτερον δύνασθαι ἐπί τινων μηδέτερον ἀληθὲς εἶναι. ὅτι οὖν ἐξ ἀνάγκης πάσης θάτερον λεκτέον αὐτοῖς ἀληθὲς οὕτως ἀναγκάζει, λαβὼν ἄτοπον καὶ ἄλογον εἶναι τὴν μὲν αὐτοῦ τοῦ πράγματος ἀπόφασιν, τὴν ἀναιροῦσαν αὐτὸ ὅ ἐστιν, ἀληθῆ λέγειν εἶναι κατ' αὐτοῦ, ἐπεὶ καὶ ἡ κατάφασις, τὰς δὲ τῶν ἄλλων πραγμάτων ἀποφάσεις ἃ μή ἐστιν αὐτῷ, μηκέτι λέγειν ἀληθεῖς εἶναι. μᾶλλον γὰρ ἡ ἄλλου ἀπόφασις ἀληθὴς κατά τινος ἢ ἡ αὐτοῦ (d)· εἰ γὰρ ἀληθὲς κατὰ τοῦ ἀνθρώπου τὸ ὅτι οὐκ ἔστιν ἄνθρωπος, πολὺ εὐλογώτερον ἐπ' αὐτοῦ ἀληθὲς λέγειν τό τε οὐκ ἔστιν ἵππος καὶ τὸ οὐκ ἔστι τεῖχος καὶ τὸ οὐκ ἔστι τριήρης, καὶ τὰ ἄλλα ὅσα μὴ ἔστιν. ἀλλ' εἰ αἱ ἀποφάσεις ἀληθεῖς ἐπ' αὐτοῦ, δῆλον ὡς καὶ αἱ καταφάσεις. πάντα οὖν ἔσται τὸ αὐτό. εἴτε γὰρ τὰς καταφάσεις ἀντιθήσει τις ἀληθεῖς εἶναι, ἀκολουθήσει αὐτῷ τὸ καὶ τὰς ἀποφάσεις, εἴτε μὴ ἐκείνας, ἀλλὰ τάς γε ἀποφάσεις ἀναγκαῖον διὰ τὰ προειρημένα· εἰ δὲ τὰς ἀποφάσεις, δῆλον ὡς καὶ τὰς καταφάσεις, ἢ τὰς ἀντιφάσεις ἐπὶ τῶν αὐτῶν. Alex.

(d) εἰ μὲν οὖν ἡ κατάφασις ἡ περὶ τριήρους ὑπάρξει μᾶλλον 1007b 31.
τῇ καταφάσει τῇ λεγούσῃ ἄνθρωπός ἐστιν, ἡ οἰκεία ἀπόφασις ἡ λέγουσα ἄνθρωπος οὐκ ἔστι, καὶ συντρέχει τῇ οἰκείᾳ καταφάσει, ὑπάρξει καὶ συνδραμεῖται αὐτῇ καὶ ἡ ἀπόφασις τῆς τριήρους ἢ οὐ τριήρους, ὡς ἔστι ὁ ἄνθρωπος ἔσται καὶ οὐκ ἄνθρωπος, καὶ τριήρης καὶ οὐ τριήρης. Asclep.

"ταῦτα — ἀποφάναι." δείξας διὰ τῆς προειρημένης ἐπι- 1008a 2.
χειρήσεως τὸ πάντα τὰ ὄντα ἓν ἔσεσθαι τοῖς προειρημένοις, καὶ τοῦτο προστίθησιν ὡς ἑπόμενον τοῖς ἅμα τοῦ αὐτοῦ καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι

8. *quae si vera sint, efficitur per ipsum ut contradictio simul vera sit, ut ipse paulo post ostendet* Sepulv. ‖ 9. 1. αὐτὸν. ‖ ἐκεῖνοι *A.* ‖ 13. *sed utrum illud "videtur" dixit insectans etiamnum Protagorae sententiam?* Sepulv. ‖ ἔτι] ὅτι *M.* ‖ 16. *nec illud "videtur" aliorsum pertinet* Sepulv. ‖ l. δεῖξαι. ‖ 17. γινομένη *A.* ‖ 20. εἴγε] ἅμα ἀληθὴς a 2. m. suprascr. *A.* ‖ 21. ἂν τῶν] αὐτῶν *M.* ‖ 22. ἔπεσθαι *M.* ‖ 23. *nihilque pure unum sit, et ea res quae dicitur esse, cum omnia sint in omnibus* Sepulv. ‖ 24. τὰ] τὸ *M.* ‖ 29. τὸν om *A.* ‖ 33. ἤδη *M.* ‖ 34. ἵππος, οὔτε ἄλλό τι *A.*

16. μηδ' ἕτερον *M.* ‖ 17. ἀνάγκη ἐστι *M.* ‖ 20. ἅμα ἐστὶν *M.* ‖ 26. *nam si quis affirmationes ipsorum veras esse opposuerit, nihilominus negationes veras esse sequetur; aut vicissim affirmationes, si negationes esse veras obiecerit, ac proinde contradictionis in eisdem veritas constabit* Sepulv. ‖ 27. ἀντιθήσει — 28. ἀποφάσεις ante εἴτε om *M.* ‖ 29. προειρημένα καὶ τὰς καταφάσεις. εἰ *A.*

τῆς ἐχούσης τὴν οὐσίαν τῷ συμβεβηκότι ὑποκειμένην. οὐ γὰρ μόνον οὐχ οἷόν τε ἐπ' ἄπειρον συντιθέναι τὰ συμβεβηκότα οἷον Σωκράτη κατηγοροῦντας αὐτά, ἀλλὰ τὴν ἀρχὴν οὐδὲ δύο οἷόν τέ ἐστι λαβεῖν· ἂν γὰρ τῷ Σωκράτης μουσικός ἐστι προστεθῇ τὸ λευκὸν ἤ τι ἄλλο συμβεβηκός, οὐκέτι γίνεται ἓν τὸ λεγόμενον, οὐδὲ ἡ πρότασις μία. ἀλλ' οὐδὲ ἂν ᾖ συμβεβηκὸς ὑποτιθέμενον συμβεβηκότι, οὐδ' ἐκεῖ ἐπ' ἄπειρον ἔστι τὴν σύνθεσιν τῶν συμβεβηκότων λαμβάνειν, ὅτι μηδὲ τὴν ἀρχὴν κυρίως τοῦ συμβεβηκότος τὸ συμβεβηκὸς κατηγορεῖται· οὐδὲν γὰρ μᾶλλον τοῦτο ἐκείνου ἢ ἐκεῖνο τούτου ἐστί, καὶ δέδεικται ὅτι πλείω συμβεβηκότα ἢ δύο ἐν τῇ τοιαύτῃ προτάσει οὐ συντίθεται. εἰ δὴ διττὸς μὲν ὁ τρόπος τῶν κατὰ συμβεβηκὸς κατηγορουμένων, κατ' οὐδέτερον δὲ αὐτῶν οἷόν τε τὰς κατηγορίας ἐπ' ἄπειρον ποιεῖσθαι τῶν συμβεβηκότων, οὐδὲ οἷόν τε συμπλέξαι, οὐκ ἂν εἴη ἐπ' ἄπειρον ἐν τοῖς συμβεβηκόσιν ἡ κατηγορία. εἰ δὲ τοῦτο, οὐ πάντα κατὰ συμβεβηκὸς λεχθήσεται. εἰ γὰρ δεῖ μέν, εἰ μόναι εἶεν αἱ κατὰ συμβεβηκὸς κατηγορίαι, ἐπ' ἄπειρον γίνεσθαί τε καὶ λαμβάνεσθαι ἄλλο ἄλλου κατηγορούμενον, μόναι δὲ ἔσονται, εἰ μὴ εἴη ἐν τῇ οὐσίᾳ κατηγορούμενά τινα (ἀναιρεῖται γὰρ οὕτως ἡ οὐσία), οὐχ οἷόν τε δὲ τοῦτο, δηλονότι μὴ μόνα τὰ ὡς συμβεβηκότα κατηγορούμενα.

1007 b 9. τὸ δὲ "οἷον τῷ Σωκράτει τῷ λευκῷ ὁμοίως ἕτερόν τι συμβεβηκός" δεικτικόν ἐστι τοῦ μὴ δύνασθαι τοῦ ὑποκειμένου μετὰ τοῦ συμβεβηκότος ὑποτιθεμένου πάλιν συμβεβηκός τι κατηγορεῖν (f)· οὗ αἰτίαν ἀπέδωκεν ὅτι μὴ γίνεταί τι ἐξ ἁπάντων, τοῦ τε Σωκράτους καὶ τῶν δύο συμβεβηκότων. 1007 b 11. τὸ δὲ "οὐδὲ δὴ τῷ λευκῷ ἕτερόν τι συμβεβηκός" δεικτικόν ἐστι τοῦ ὅτι μηδὲ τῷ ἄλλο ἄλλου συμβεβηκὸς συμβεβηκότος κατηγορεῖν οἷόν τε αὔξεσθαι τὰς τῶν συμβεβηκότων κατηγορίας ἐπ' ἄπειρον, οὗ τὰς αἰτίας οὗτός τε σαφῶς παρέθετο καὶ ἡμεῖς προειρήκαμεν. μήποτε δὲ ἄμεινον οὕτως ἀκούειν τῆς λέξεως τῆς (p. 1007 *a* 35) "εἰ δὲ πάντα κατὰ συμβεβηκὸς λέγεται, οὐδὲν ἔσται πρῶτον τὸ καθόλου." εἰ πᾶν, φησί, κατὰ συμβεβηκὸς κατηγορεῖται, οὐδὲν ἔσται πρῶτον καθόλου, ὃ ἴσον ἂν εἴη τῷ οὐδεμία ἔσται κατηγορία πρώτη τε καὶ καθόλου, τουτέστιν οὐδεμία ἔσται πρότασις ἄμεσος. τῶν γὰρ προτάσεων τῶν ἐχουσῶν τι τῶν ἐν τῇ οὐσίᾳ τοῦ ὑποκειμένου ὄντων κατηγορούμενον αὐτοῦ πρώτη ἡ ἄμεσος. τὰ γὰρ καθ' αὑτὰ καὶ ἐν τῇ οὐσίᾳ τινὸς κατηγορούμενα καθόλου εἶπε. τῷ μὲν οὖν μηδὲν εἶναι ἐν τῇ οὐσίᾳ κατηγορούμενον ἕπεται τὸ πᾶσαν κατηγορίαν γίνεσθαι κατὰ συμβεβηκός, τῷ δὲ μηδὲν εἶναι ἄμεσον πρότασιν τὸ ἐπ' ἄπειρον γίνεσθαι τὰς κατηγορίας, ἄλλου πρὸ ἄλλου λαμβάνεσθαι δυναμένου. δέδεικται γὰρ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (I 3) ὅτι εἰ μὴ εἴη ἄμεσος πρότασις, ἐπ' ἄπειρον αἱ κατηγορίαι προελεύσονται. ἀλλὰ μὴν ἀδύνατον ἐν τοῖς κατὰ συμβεβηκὸς κατηγορουμένοις τοῦτο γίνεσθαι, ὅτι μηδὲ τὴν ἀρχὴν οἷόν τε συμβεβηκός τι συμβεβηκέναι συμβεβηκότι. καὶ δοκεῖ μοι μᾶλλον αὕτη ἡ ἐξήγησις τοῖς λεγομένοις ἐφαρμόζειν. εἴη δ' ἂν συνελόντι ὁ λόγος οὕτως ἅπας ἔχων. εἰ ἐπὶ τοῦ αὐτοῦ ἡ ἀντίφασις ἅμα ἀληθής, οὐδὲν ὡς ἐν τῇ οὐσίᾳ ὂν τοῦ ὑποκειμένου κατηγορηθήσεται, ἀλλὰ πάντα κατὰ συμβεβηκός, οὐδὲ ἀμέσως, ἀλλ' ἐπ' ἄπειρον αἱ κατηγορίαι τῶν συμβεβηκότων, τῷ μηδὲ τὴν ἀρχὴν συμβεβηκέναι τι συμβεβηκότι· οὐδὲ συλλογίσασθαί τι οἷόν τε συμβεβηκὸς δι' ὅρου μέσου συμβεβηκότος, εἰ μὴ τὸ δεικνύμενον ἐν τῷ συμπεράσματι συμβεβηκὸς τῶν καθ' αὑτὰ ὑπαρχόντων εἴη τῷ συμβεβηκότι μέσῳ ὅρῳ· τοιοῦτον γὰρ τὸ Σωκράτης περιπατεῖ, πᾶν τὸ περιπατοῦν κινεῖται· τὸ γὰρ κινεῖσθαι ἐν τῇ οὐσίᾳ τοῦ περιπατεῖν. οὐδ' ἄρα ἡ ἀντίφασις ἐπὶ τοῦ αὐτοῦ. id.

(e) καὶ ὁ μὲν Ἀλέξανδρος τὸ "οὐδὲ γὰρ πλείω συμπλέκεται δυοῖν" 1007 b 2. ὑπολαμβάνει τοῦτο λέγειν τὸν Ἀριστοτέλην, οὐδέποτε πλείονα τῶν δύο συμβεβηκότων ἅμα κατηγορεῖσθαι, οἷόν φαμεν ὅτι ὁ Ἱπποκράτης ἄριστος ἰατρός... ὁ μέντοι γε ἡμέτερος φιλόσοφος Ἀμμώνιός φησιν ὅτι οὐ καλῶς λέγει ὁ Ἀλέξανδρος ἐξηγούμενος τὸ "οὐδὲ γὰρ πλείω συμπλέκεται δυσί," τοῦτο λέγειν τὸν Ἀριστοτέλην, ὅτι ἀδύνατον πλείονα τῶν δύο συμβεβηκότων κατηγορεῖσθαι τοῦ ὑποκειμένου· δυνατὸν γάρ ἐστι πλείονα τῶν δύο κατηγορεῖσθαι τοῦ ὑποκειμένου, οἷον ἐὰν εἴπω οὕτως, ὁ Ἱπποκράτης ἰατρὸς χειρουργὸς ἄριστός ἐστιν, ἤγουν ἰατρὸς διαιτητικὸς ἄριστός ἐστιν, ἤγουν κλινικὸς καὶ ἄλλα μυρία. ἄλλως τε δὴ ἡνίκα τὸ μέν ἐστι γένος τὸ δὲ εἶδος, τὸ ἓν κατηγορεῖται... τὸ "οὐδὲ γὰρ πλείω συμπλέκεται δυοῖν" φησὶν ἀντὶ τοῦ ἀδύνατον ἐν τῇ προτάσει πλείονα εἶναι τῶν δύο ὅρων, ὑποκειμένου καὶ κατηγορουμένου. διό φησιν (Anal. Pr. I 1) "ὅρον δὲ καλῶ εἰς ὃν ἡ πρότασις ἀναλύεται." Asclep.

(f) ὅσα οὖν, φησίν, οὕτως λέγεται ὡς τὸ λευκὸν τῷ Σωκράτει, 1007 b 9. οὐκ ἐνδέχεται εἰς ἄπειρον εἶναι, ὡς τῷ ἀνθρώπῳ τῷ λευκῷ, οἷον τῷ Σωκράτει, οὐχ ὑπάρχει ἕτερόν τι συμβεβηκός· οὐ γὰρ γίνεταί τι ἐξ ἁπάντων, ὡς αὐτῷ εἴρηται ἐν τῷ περὶ Ἑρμηνείας (c. 11). id.

"ἔτι — πᾶσαι." πιθανῇ ἐπιχειρήσει χρῆται· λέγει γὰρ ἕπεσθαι 1007 b 18. τῷ λέγοντι ἅμα ἀληθεῖς εἶναι τὰς ἀντιφάσεις τὸ ἕκαστον τῶν ὄντων πάντα εἶναι (g)· εἰ γὰρ ἀληθεῖς ἐπὶ τοῦ αὐτοῦ πᾶσαι αἱ ἀντιφάσεις, πάντα ἔσται τὰ αὐτὰ ἀλλήλοις καὶ πάντα ἕν. ὅτι μὲν οὖν οὐ πᾶσαι ἐπὶ τοῦ αὐτοῦ αἱ ἀντιφάσεις, ὕστερον δείξει· πρῶτον δὲ δείκνυσι πῶς πάντα ἓν εἶναι ἕπεται ἐκείνῳ τῷ κειμένῳ. εἰ γὰρ ἀληθὲς ἐπὶ τοῦ ἀνθρώπου τὸ μὴ εἶναι ἵππον αὐτὸν μηδὲ τοῖχον μηδὲ λίθον

14. ἐπ' ἄπειρον om *C.* ‖ ἐν om *A.* ‖ *si enim necesse est aliud de alio in infinitum praedicatum affici accipique, si solae fuerint praedicationes ex accidenti, erunt autem solae, nisi quidquam in substantia praedicetur (sic enim substantia tollitur), hoc vero effici non potest, satis intelligitur non ea tantum esse praedicata quae ut accidentia praedicantur* Sepulv. ‖ **18.** ἡ om *C.* ‖ 19. δηλονότι οὐ πάντα ὡς συμβεβηκότα κατηγορεῖται *A.* ‖ 25. τοῦ ὅτι μηδὲ τὸ *V.* ‖ ἄλλῳ ἄλλου *C.* ‖ 28. δὴ *V.* ‖ 30. εἰ — 31. καθόλου et 32. κατηγορία et καὶ om *C.* ‖ 38. πρὸς ἄλλο *A.*

6. ὂν] οὐ *V.* ‖ 8. μηδὲ] μὴ *A.* ‖ τι om *V.* ‖ 9. οὐδὲ γὰρ συγχωρεῖσθαι *M.* ‖ 11. καθ' αὑτὰ] κάτω *M.* ‖ συμβεβηκότι εἰλημμένῳ μέσῳ *M.* ‖ 13. οὐσίᾳ τοιοῦτον ταὐτόν· οὐδ' *M.* ‖ 25. δὴ] δὲ *A.* ‖ 35. τὰς] πάσας *M.* ‖ 36. τῆς] τοῦ *M.* ‖ 37. πᾶσαι] ἀληθεῖς suprascr. *A.* ‖ 39. ἐν om *AM.* ‖ τῷ om *A.* ‖ 40. μὴ] μὲν *M.*

εἶναι ἢ ὅπερ μὴ εἶναι ἀνθρώπῳ" (οὐδὲν γὰρ διαφέρει ὁπότερον ἂν ληφθῇ), "ἄλλο τι ἔσται," τουτέστιν οὐχ ἓν ἔτι ἔσται, ἀλλὰ πλείω καὶ διαφέροντα εἴδη· εἰ γάρ τις πάντα οὕτω τισὶν ὑπάρχοντα λέγοι εἶναι ὡς τὰ αὐτὰ καὶ μὴ ὑπάρχειν δύνασθαι, οὗτος οὐδὲν εἶδος ἐρεῖ τοῦ πράγματος εἶναι οὐδὲ οὐσιώδη λόγον καὶ ὡρισμένον, ἀλλὰ πάντα τὰ κατηγορούμενά τινος κατὰ συμβεβηκὸς κατηγορηθήσεται καὶ ὡς συμβεβηκότα. τὸ μὲν γὰρ συμβεβηκός τινι ἄλλο ἐν ἄλλῳ ὑπάρχει, ὡς τὸ λευκὸν τῷ ἀνθρώπῳ, διὸ δύναται καὶ μὴ ὑπάρχειν αὐτῷ σωζομένῳ· τὸ δὲ εἶδος καὶ ἡ οὐσία ἡ ἑκάστου οὕτως αὐτοῦ κατηγορεῖται, οὐχ ὡς ἄλλῳ τινὶ ὄντι αὐτῷ ὑπάρχουσα, ἀλλ' ὡς τούτῳ ὄντι αὐτῷ καὶ ἐν τούτῳ αὐτῷ τὸ εἶναι ἔχοντι. τὸ δὲ εἶναι ὅπερ μὴ ἄνθρωπον ἢ μὴ εἶναι ὅπερ ἄνθρωπον κοινότερον ἔλαβεν ὡς ἀπόφασιν τοῦ εἶναι ὅπερ ἄνθρωπον τῷ τὸ αὐτὸ ἄτοπον ἕπεσθαι ὁπότερον ἄν τις λέγοι ἀπόφασιν αὐτοῦ εἶναι· καθ' ἑκάτερον γὰρ αὐτῶν ἀναιρεῖται τὸ ὅπερ εἶναι καὶ ἡ οὐσία. φανερώτατον δὲ τὸ ἄτοπον ἐπὶ τοῦ εἶναι ὅπερ μὴ ἄνθρωπον, ὃ δοκεῖ κατάφασις ἐκ μεταθέσεως, εἴγε ὁ τοῦτο λέγων φυλάσσει τὸ ὑποκείμενον, οὗ φησὶν αὐτὸ ὅπερ τοῦτο εἶναι ὅ ἐστιν· ὃ καὶ ἀξιοῖεν ἂν οἱ τὴν ἀντίφασιν κατὰ τοῦ αὐτοῦ ἅμα ἀληθῆ λέγοντες. καίτοι οὐδὲ τὴν ἀρχὴν ἔτι εἶναι δύναται, εἰ μὴ εἴη τὸ ἐν ᾧ αὐτῷ τὸ εἶναι. Alex.

1007a 33. "εἰ — καθόλου." δείξας ὅτι ἀναιροῦσιν ἐκ τῶν ὄντων τὸ εἶδος καὶ τὸν ὁρισμὸν καὶ τὸ ὅλως καθ' αὐτό τι κατηγορεῖσθαί τινος οἱ καὶ εἶναι καὶ μὴ εἶναι τὸ αὐτὸ λέγοντες καὶ διὰ τοῦτο τὴν ἀντίφασιν συναληθεύεσθαι φάσκοντες (πάντα γὰρ ποιοῦσιν οὕτω κατηγορούμενα τῶν ὑποκειμένων ὡς συμβεβηκότα), δείκνυσιν ἑπόμενον καὶ ἄλλο τι ἄτοπον εἰ πάντα τις λέγοι τὰ ὄντα συμβεβηκότα· φησὶ γὰρ μηδὲν ἔσεσθαι πρῶτον τὸ καθόλου. τοῦτο δὲ ἤτοι εἴρηκε σημαίνων ὅτι μὴ ἔσται τὸ πρῶτον τὸ γένος, τουτέστιν οὐκ ἔσται τῶν γενῶν τὸ πρῶτον ἡ οὐσία· πάντα μὲν γὰρ τὰ γένη καθόλου, πρῶτον δὲ τῶν ἄλλων ἡ οὐσία, ἀναιρεθήσεται δὲ τὸ γένος τοῦτο ὅτι οὐδενὶ συμβέβηκεν, οὐδέ τινος ὡς συμβεβηκὸς ἡ οὐσία κατηγορεῖται, ἀλλ' οὗ ἂν κατηγορῆταί τις οὐσία, συνωνύμως τε καὶ ἐν τῇ οὐσίᾳ κατηγορεῖται. εἰ γὰρ οὔσης τῆς οὐσίας ἀναγκαῖον εἶναι καὶ τὴν τοιαύτην κατηγορίαν, μὴ οὔσης τῆς τοιαύτης κατηγορίας οὐδ' ἂν ἡ οὐσία εἴη· ἧς κατηγορίας ἀναιρουμένης ἀναιροῖτο ἂν καὶ τὸ τῆς οὐσίας γένος ἐκ τῶν ὄντων. ἀλλὰ μὴ οὔσης τῆς ὡς γένος οὐσίας οὐδ' ἂν ἡ ἄτομος εἴη· ἀναιρουμένου γὰρ καθόλου τοῦ γένους αὐτῆς οὐδ' ἂν αὕτη εἴη. οὕτω δὲ οὐδ' ἂν κατηγοροῖτό τι κατ' οὐσίας, ἀλλ' ἐν πάσῃ κατηγορίᾳ καὶ τὸ ὑποκείμενον ἂν συμβεβηκὸς εἴη. μὴ οὔσης δὲ οὐσίας τοῦ ὑποκειμένου ἀλλὰ συμβεβηκότος, ἐπ' ἄπειρον ἂν ἄλλῳ ἄλλο ὑποκείμενον λαμβάνοιτο τῷ τὸ συμβεβηκὸς ἀεὶ καθ' ὑποκειμένου τινὸς σημαίνειν τὴν κατηγορίαν, τουτέστιν ἐν ἄλλῳ εἶναι, καὶ ὑποκείμενόν τι ἔχειν, καὶ μὴ δύνασθαι ἢ αὐτὸ ὑποκείμενον εἶναι ἢ εἶναι χωρὶς ὑποκειμένου. εἰ γὰρ εἴη ἐν τῇ Σωκράτης λευκός ἐστι προτάσει καὶ τὸ Σωκράτης συμβεβηκὸς ἄλλου ὑποκειμένου, δεήσεται κἀκεῖνο πάλιν ἄλλου, καὶ τοῦτο ἐπ' ἄπειρον. τοῦτο δ' ἀδύνατον δείκνυσι. δύναται γεγράφθαι "οὐδὲν ἔσται πρῶτον τὸ καθ' οὗ," τουτέστι τὸ πρῶτον καὶ ὑποκείμενον, καθ' οὗ τὰ συμβεβηκότα ἀναιρεῖται· ἀναιροῦντες γὰρ τὴν τοιαύτην κατηγορίαν ἀναιροῦσι καὶ τοῦτο ᾧ ἐν τῷ οὕτω κατηγορεῖσθαι μόνως τὸ εἶναι· τοιοῦτον γὰρ ἡ οὐσία. ἀναιρουμένης δὲ τῆς οὐσίας οὐδὲν ἂν εἴη τὸ ἔσχατον ὑποκείμενον, πάντων τῶν ὄντων συμβεβηκότων ὄντων· οὕτω δ' ἂν ἐπ' ἄπειρον αἱ κατηγορίαι γίγνοιντο. τὴν δὲ αἰτίαν τοῦ μηδὲν ἔσεσθαι πρῶτον ὑποκείμενον καὶ οὐδέν, εἰ πάντα εἴη συμβεβηκότα, ἀπέδωκεν οὕτως. id.

"εἰ — κατηγορίαν." εἰ γὰρ πᾶν συμβεβηκὸς ὑποκείμενόν τι 1007a 34. ἔχει ἐν ᾧ ἐστι καὶ καθ' οὗ κατηγορεῖται, καὶ μηδέν ἐστι συμβεβηκὸς ὑποκείμενον, οὗτος ἐρεῖ εἶναι οὐδὲ οὐσίαν (*). εἰ δὲ εἴη πάντα συμβεβηκότα καὶ μηδὲν ἔσχατον ὑποκείμενον καθ' οὗ τὰ ἄλλα, αὐτὸ δὲ κατ' οὐδενός, πρῶτον μὲν οὐδ' ἂν συμβεβηκός τι εἴη ἔτι· μὴ γὰρ οὔσης οὐσίας οὔτε συμβεβηκός τι οἷόν τε εἶναι. ἀλλ' οὐ κατὰ τοῦτο νῦν εὐθύνει τὴν δόξαν, ἀλλά φησιν ὅτι εἰς ἄπειρον αἱ κατηγορίαι προσδεύσονται, ἀεὶ τοῦ ληφθέντος ὡς ὑποκειμένου τινὶ κατ' ἄλλου πάλιν λεγομένου, τῷ καὶ αὐτὸ ὁμοίως τῷ πρὸ αὐτοῦ συμβεβηκὸς εἶναι καὶ μὴ οὐσίαν τινά. ἀδύνατον δὲ ὅτι τὴν ἀρχὴν οὐδὲ οἷόν τε συμβεβηκός τι συμβεβηκέναι. εἰ δὲ μὴ τοῦτο, πῶς ἂν οἷόν τε εἴη ἐπ' ἄπειρον γίνεσθαι τὰς κατηγορίας τοῦ συμβεβηκότος; οὐδὲν γὰρ γίνεται ὅλως ἐκ τῶν πλειόνων συμβεβηκότων ἕν τι συντιθεμένων. μόνον γὰρ ἐν ταῖς κατὰ συμβεβηκὸς προτάσεσι λεγομέναις δύο συμπλέκεται συμβεβηκότα, οὐχ ὡς τοῦ ἑτέρου αὐτῶν τῷ ἑτέρῳ συμβεβηκότος, ἀλλ' ὅτι ἄμφω τῷ αὐτῷ συμβέβηκε· τοῦτο γὰρ σημαίνει ἡ πρότασις ἡ λέγουσα τὸ λευκὸν μουσικὸν ἢ τὸ μουσικὸν λευκόν· οὐ γὰρ διαφέρει 1007b 4. ὅπερ ἂν ῥηθῇ. ἀντέστρεψε δὲ αὐτά, ἵνα δείξῃ ὅτι οὐδέτερον αὐτῶν ὑπόκειται τῷ ἑτέρῳ, ἀλλ' ἔστι τὸ σημαινόμενον τὸ ἄμφω τῷ αὐτῷ τινὶ συμβῆναι. καὶ ἡ μὲν ἑτέρα τῶν κατὰ συμβεβηκὸς προτάσεων ἡ ἔχουσα συμβεβηκὸς συμβεβηκότι ἐπιφερόμενον, ἣ καὶ κυρίως κατὰ συμβεβηκός ἐστι, τοιαύτη ὡς μέχρι φωνῆς ὑποτιθέναι τὰ ἕτερα τῷ ἑτέρῳ, καὶ μέχρι δύο συμβεβηκότων τὴν κατηγορίαν ποιεῖσθαι, μετὰ τοῦ μηδὲ γίνεσθαι τὴν τοιαύτην πρότασιν μίαν κυρίως. ἡ δὲ ἑτέρα, ἐν ᾗ συμβεβηκὸς οὐσίας κατηγορεῖται, οὐκ ἔστι τοιαύτη. τὸ γὰρ Σωκράτης μουσικός ἐστιν, οὐ τοιοῦτόν ἐστιν οἷον τὸ μουσικὸν λευκόν ἐστιν. ὁ γὰρ λέγων Σωκράτης μουσικός ἐστιν, οὐ τοῦτο λέγει ὡς ἀμφότερα, καὶ ὁ Σωκράτης καὶ ὁ μουσικός, ἄμφω τῷ αὐτῷ συμβέβηκεν, οἷον τῷ ἀνθρώπῳ· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐν αὐτῇ δύο ἐστὶ συμβεβηκότα. λαβὼν δὲ ἀμφοτέρους τοὺς τρόπους τῆς κατὰ συμβεβηκὸς κατηγορίας, ἑξῆς ὅτι μηδὲ καθ' ἕτερον τῶν τρόπων ἐπ' ἄπειρον οἷόν τε γίνεσθαι τὴν κατηγορίαν ὑπομιμνήσκει, καὶ πρότερον ἐπὶ

2. ἀλλ' ὅτι *A.* ‖ 3. γάρ om *C.* ‖ λέγει *A.* ‖ 5. τὰ om *C.* ‖ 22. ἀριθμὸν *C.* ‖ 24. ὑποκειμένων καὶ συμβεβηκότων *A.* ‖ 28. τὸ ante γένος om *A.* ‖ 29. δὲ αὐτῶν ἡ *A.* ‖ 31. συμβέβηκεν *C.*

6. μόνον *V.* ‖ 12. συμβεβηκὸς ὑποκείμενον, οὐδὲ ὅλως ὑποκείμενόν τι οὗτος ἐρεῖ *A.* ‖ 22. τι συμβεβηκότα συμβεβηκέναι *A.* ‖ 24. τῶν om *A.* ‖ 26. συμβεβηκότι *C.* ‖ 29. ὅπως *A.* ‖ 31. πρότασις *C.* ‖ 33. τὸ ἕτερον *A.* ‖ 39. συμβεβηκὸς *A.* ‖ 43. πρῶτα *A.*

ἀπόφασιν, ὅτι ὃ νῦν ἔστι δύναται καὶ μὴ εἶναι, καὶ ὃ μή ἐστιν εἶναι, ἐπεὶ ἅμα γε τὸ ὑπὸ τῆς ἀντιφάσεως σημαινόμενον οὐδὲ ἐπὶ τῶν συμβεβηκότων οἷόν τε συνυπάρχειν, ὡς δέδεικται. ἀλλ' εἴ τις λέγει τούτῳ ἀληθεύεσθαι τὴν ἀντίφασιν τῷ καὶ μὴ εἶναι δύνασθαι τοῦτο ὃ κατηγορεῖται, ἔτι οὖν μηδὲ τοῦτο οἷόν τε δείκνυσι ἐπὶ τῶν ἐν τῇ οὐσίᾳ τινὸς κατηγορουμένων. εἰπὼν γὰρ ἀναιροῦσιν οὐσίαν, ποίαν οὐσίαν ἐδήλωσε προσθεὶς "καὶ τὸ τί ἦν εἶναι." τὸ γὰρ ἐν τῇ οὐσίᾳ τινὸς κατηγορεῖσθαί τι ἀναιροῦσι· τὰ γὰρ ἐν τῇ οὐσίᾳ κατηγορούμενα οὐχ οἷά τε ὑπάρχειν καὶ μὴ ὑπάρχειν ἐκείνῳ· ἐξ ἀνάγκης γάρ, ἕως ἂν ᾖ τὸ πρᾶγμα, ὑπάρχει αὐτῷ καί ἐστιν ἀχώριστα αὐτοῦ. εἰ γὰρ καὶ πρὸς τὴν τῶν συμβεβηκότων ὕπαρξίν τις ἐνίσταται τῶν ὡς οὐκ ἐξ ἀνάγκης ὑπαρχόντων τότε ὅτε ἀληθὴς ἡ περὶ αὐτῶν κατάφασις, ἀλλ' ἐπί γε τῶν ἐν τῇ οὐσίᾳ οὐδεὶς ἀντείπῃ· ὥστε οἱ διὰ τοῦτο τὴν ἀντίφασιν ἅμα ἐπὶ τοῦ αὐτοῦ λέγοντες εἶναι ἀληθῆ, ὅτι οἷόν τε ταὐτὸ καὶ ὑπάρχειν καὶ μὴ ὑπάρχειν τοῖς αὐτοῖς, ἀναιροῦσι τὸ εἶναί τι ἐν τῇ οὐσίᾳ τινὸς καὶ τὸ ὑπάρχειν οὕτω τί τινι. εἰ γὰρ ταὐτὸν εἶναι καὶ μὴ εἶναι λέγοντες, καὶ μηδὲν μᾶλλον τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἑκάστου κατηγορεῖσθαι διὰ τὸ καὶ ὑπάρχειν καὶ μὴ ὑπάρχειν τὸ κατηγορούμενον αὐτοῦ δύνασθαι, ἀναιροῦσι τὸ εἶναί τι ἑκάστου τῶν ὄντων εἶδος καὶ οὐσίαν, καθ' ἥν ἐστιν ἑκάστῳ τὸ εἶναι καὶ τὸ κατηγορεῖσθαι ὅλως τί τινος καθ' αὑτό τε καὶ ἐν τῇ οὐσίᾳ· οὐδὲν γὰρ ἔσται τῶν κατηγορουμένων τινὸς ὡς γένος καὶ ἐν τῷ ὅπερ, τουτέστιν ἐν τῇ οὐσίᾳ, κατηγορούμενον, οὐδ' ὅλως ὡς οὐσία καὶ εἶδος καὶ ὡς ὁρισμὸς καὶ τί ἦν εἶναι, εἰ πάντα τὰ κατηγορούμενα αὐτοῦ καὶ μὴ ὑπάρχειν οἷά τε· ἀλλ' ἔσται συμβεβηκότα πάντα, καὶ οὔτε ὅπερ ἀνθρώπῳ εἶναι ἔσται τινὶ οὔτε ὅπερ ζώῳ, τουτέστιν οὐδενὸς ἐν τῇ οὐσίᾳ ἢ ὡς εἶδος ἢ γένος οὔτε ὁ ἄνθρωπος οὔτε τὸ ζῷον κατηγορηθήσεται, ἀλλ' ὡς συμβεβηκότα. [1007a 22.] εἰπὼν δὲ "καὶ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἢ ζώῳ" οὐκέτι προσέθηκε τὸ ἀναιροῦσιν· ἦν γὰρ προειρημένον καὶ κείμενον· προεῖπε γὰρ "ὅλως δὲ ἀναιροῦσιν οἱ τοῦτο λέγοντες." τὸ δὲ "τί ἦν εἶναι μὴ εἶναι" ἐνδεέστερον ἔχειν δόξει (d)· λείπει γὰρ αὐτῷ ὁ καί σύνδεσμος, ἵνα ᾖ καὶ τὸ τί ἦν εἶναι μὴ εἶναι, τουτέστι καὶ τὸν ὁρισμὸν μὴ εἶναι. ἀναιρουμένου γὰρ τοῦ ἐν τῇ οὐσίᾳ εἶναί τινα κατηγορούμενα, ἀναιρεῖται καθόλου καὶ τὸ εἶναί τινος ὁρισμόν· ὁ γὰρ ὁρισμὸς ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων. δύναται "καὶ τὸ ὅπερ ἀνθρώπῳ ἢ ζώῳ εἶναι" τί ἦν εἶναι τινός, τουτέστι μὴ ἐν τῇ οὐσίᾳ μηδὲ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι, ὡς εἰρῆσθαι τὸ τί ἦν εἶναι ἀντὶ τοῦ τί ἐστιν. εἰ γὰρ ἔσται τι ὅπερ ἀνθρώπῳ εἶναι, δείκνυσι διὰ τούτων ὅτι ἀναιρεῖται τὸ ὅπερ ἀνθρώπῳ εἶναι, καὶ ὅλως τὸ ἐν τῇ οὐσίᾳ τινὸς ὡς γένος ἢ εἶδος κατηγορεῖσθαι, εἰ ἐπὶ παντὸς ἡ ἀντίφασις συναληθεύοιτο. τεθέντος γὰρ ἐν τῇ οὐσίᾳ τινὸς κατηγορεῖσθαι, ἀδύνατον ἐπ' ἐκείνου τὴν ἀντίφασιν ἔτι λέγειν ἀληθῆ. εἰ γὰρ εἴη τι τῶν ὄντων ὅπερ ἄνθρωπος, ὡς ἐν τῷ τί ἐστιν αὐτοῦ τὸν ἄνθρωπον κατηγορεῖσθαι, οὐχ οἷόν τε τοῦτο μὴ ἄνθρωπον εἶναι. ὁμοίως δὲ οὐδὲ ἄλλο τι οἷόν τε μὴ εἶναι τοῦτο ὃ ἐν τῷ ὁρισμῷ καὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ κατηγορεῖται. εἰ γὰρ ἔσται τι γένος τοῦ ἀνθρώπου, ἢ ὅλως τί ἦν εἶναι εἴη τινός, οὐχ οἷόν τε τοῦτο μὴ ὑπάρχειν αὐτῷ· ὃ γάρ ἐστιν ὅπερ ἄνθρωπος, τοῦτο οὐχ οἷόν τε ἅμα καὶ μὴ ἄνθρωπον εἶναι ἢ εἶναι μὴ ἄνθρωπον. εἰ δὲ μὴ τὸ πρᾶγμα, οὐδὲ αἱ ἀποφάσεις αἱ σημαίνουσαι τοῦτο τὸ μὴ εἶναι ἄνθρωπον αὐτόν· τούτων γάρ τις ἀπόφασις τῆς τόδε τι ὅπερ ἄνθρωπον εἶναι λεγούσης. προσέθηκε δὲ τὸ "ἓν γὰρ ἦν ὃ ἐσήμαινε, καὶ ἦν τοῦτο τινὸς [1007a 25.] οὐσία" ὑπομιμνήσκων ἡμᾶς τῶν δεδειγμένων, ὅτι ὁ σημαίνων ἕν τι σημαίνει καὶ ὡρισμένον, ὥστε καὶ ὁ λέγων τόδε ὅπερ ἄνθρωπον εἶναι ἕν τι σημαίνει, καὶ ἔστι τοῦτο οὐσία αὐτοῦ, τουτέστιν ἐν τῇ οὐσίᾳ ἐστὶν αὐτοῦ, καὶ οὐχ οἷόν τε αὐτὸ μὴ ὑπάρχειν αὐτῷ· ἐν γὰρ τούτῳ ἐστὶν αὐτό. id.

(c) οἱ τοῦτο ὑποτιθέμενοι καὶ λέγοντες συναληθεύειν τὴν ἀν- [1007a 20.] τίφασιν ἀναιροῦσι τὴν οὐσίαν καὶ τοὺς ὁρισμούς, καθάπερ ἐν τῇ θεωρίᾳ εἰρήκαμεν· πάντα γὰρ ἀνάγκη λέγειν αὐτοὺς συμβεβηκότα, ἐπειδὴ ὅλως ἐπὶ τῶν συμβεβηκότων χώραν ἔχει τὸ συναληθεύειν τὴν ἀντίφασιν, καὶ ἐν αὐτοῖς δὲ κατ' ἄλλον καὶ ἄλλον χρόνον, "καὶ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἢ ζώῳ εἶναι μὴ εἶναι," εἴγε συντρέχει αὐτῷ ἡ ἀπόφασις αὐτοῦ ἀναιρετικὴ αὐτοῦ ὑπάρχουσα. εἰ γὰρ ὅλως ἐστὶν ἐν ὑποστάσει ἡ κατάφασις ἡ λέγουσα ἀνθρώπῳ εἶναι τοῦτο, οὐκ ἔσται μὴ ἀνθρώπῳ εἶναι, ἵνα εἴπῃ τὴν ἀόριστον κατάφασιν, ἤγουν μὴ εἶναι ἀνθρώπῳ, τουτέστιν οὐ συντρέχει αὐτῷ ἡ ἀπόφασις αὐτοῦ. Asclep.

(d) εἰ δὲ ὑποθώμεθα ταὐτὸν εἶναι καὶ ταὐτὸν δηλοῦν τὸ ὅπερ [1007a 23.] ἀνθρώπῳ εἶναι ἢ ὅπερ μὴ ἀνθρώπῳ εἶναι ἢ ὅπερ εἶναι ἀνθρώπῳ, τότε οὐκέτι τὸ αὐτὸ δηλοῖ ἀλλὰ ἄλλο. id.

"εἰ — εἶναι." τουτέστιν εἰ δὲ εἴη τὸ ὑποκείμενον ὅπερ ἄνθρω- [1007a 27.] πος, τουτέστιν εἰ ἐν τῷ ὅπερ καὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ εἴη ὁ ἄνθρωπος κατηγορούμενος, οὐκ ἂν αὐτῷ ἐφαρμόζοι ἔτι ἢ τὸ μὴ εἶναι ὅπερ ἀνθρώπῳ ἢ τὸ εἶναι ὅπερ μὴ ἀνθρώπῳ. ἄλλο γὰρ ἔσται, εἰ ταῦτα ἀληθεύοιτο κατ' αὐτοῦ, καὶ οὐ τοῦτο οὗ ἐν τῷ ὅπερ ὁ ἄνθρωπος κατηγορεῖται· οὕτω δὲ οὐκέτ' ἂν ἡ ἀντίφασις ἐπὶ τοῦ αὐτοῦ μένοντος. διὸ οὐχ οἷόν τε ἔσται τῶν ἐν τῇ οὐσίᾳ τινὸς κατηγορουμένων δύνασθαί ποτε καὶ τὰς ἀποφάσεις ἀληθῶς κατηγορεῖσθαι· εἰ γὰρ μὴ ὑπάρχει αὐτῷ τὸ ἐν τῇ οὐσίᾳ ὂν αὐτοῦ, οὐδ' ἂν εἴη καὶ αὐτὸ ἔτι. οὐ γὰρ οἷόν τε τῆς οὐσίας τινὸς ἀναιρουμένης αὐτὸ σώζεσθαι καὶ ὑπομένειν. ἐπὶ γὰρ τῶν συμβεβηκότων οἷόν τε τοῦτο μόνον τὸ ὑπομένειν τὸ ὑποκείμενον καὶ ὑπάρχειν αὐτῷ τιθεμένων τῶν συμβεβηκότων καὶ μὴ ὑπάρχειν τῷ μὴ εἶναι ἐν τούτοις αὐτῷ τὸ εἶναι. δύναται καὶ τοιοῦτον εἶναι τὸ "εἰ δὲ ἔσται αὐτῷ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἅμα καὶ ὅπερ μὴ ἀνθρώπῳ

2. ἅμα γε om Sepulv. ‖ 4. λέγει A. ‖ τῷ] τὸ C. ‖ 5. ἔτι οὖν] ὅτι οὖν C. ‖ 8. τινὸς — 9. τε] τινὸς κατηγορούμενον, οὐχ οἷόν τε C. ‖ 11. τῶν ante ὡς om A. ‖ 16. οὕτως· εἰ A. ‖ 29. καὶ κείμενον om V. ‖ 34. ὁρισμόν] ὡρισμένον V. ‖ 35. ἀνθρώπῳ om C. ‖ 37. ὡς εἰρῆσθαι] ὡρίσθαι C. ‖ 41. δυνατὸν C. ‖ ἀπόφασιν A.

7. τὸ om A. ‖ 11. ὅπερ om C. ‖ 19. post ἐν f. add τοῖς. ‖ 30. εἰ om A. ‖ 32. ἀνθρώπῳ εἶναι. ἄλλο C. ‖ 33. οὐ om A. ‖ τοῦτο οὗ ὅπερ ἐν τῷ τί ἐστιν ὁ ἄνθρωπος κατηγορεῖτο C, τοῦτο οὐκ ἐν τῷ ὅπερ ὁ ἄνθρωπος κατηγορεῖτο V. ‖ 34. ἡ ἀντίφασις om C. ‖ 40. αὐτὸ θεμένων C.

1006 b 31. "τοῦτο — εἶναι." εἰ δὲ ἀδύνατον αὐτὸ μὴ εἶναι ζῷον πεζὸν δίπουν, ἀδύνατον αὐτὸ μὴ ἄνθρωπον εἶναι. ὃ δὲ ἀδύνατον εἶναι μὴ ἄνθρωπον, τοῦτο οὐδὲ ἀληθεύσει τις λέγων εἶναι μὴ ἄνθρωπον. ἀδύνατον ἄρα ἀληθεύοντος τοῦ ἔστιν ἄνθρωπος, ἀληθὲς εἶναι τὸ ἔστιν οὐκ ἄνθρωπος ἢ τὸ οὐκ ἔστιν ἄνθρωπος· καὶ γὰρ τοῦτο ἀληθὲς ἐπὶ μὴ ὄντος ἀνθρώπου. ὥστε ἀδύνατον ἀληθοῦς οὔσης τῆς καταφάσεως ἀληθῆ τὴν ἀπόφασιν εἶναι τὴν ἀντιφατικῶς ἀντικειμένην αὐτῇ. id.

1006 b 34. "ὃ — ἄνθρωπον." δείξας, ἐφ' οὗ ἀληθές ἐστι τὸ ἔστιν ἄνθρωπος, ἐπὶ τούτου ἀδύνατον ἅμα ἀληθὲς εἶναι καὶ τὸ μὴ εἶναι ἄνθρωπον, τῷ αὐτῷ λόγῳ χρωμένους φησὶν ἔνεστι δεικνύναι πάλιν, ἐφ' οὗ ἀληθές ἐστι τὸ μὴ εἶναι ἄνθρωπον, μὴ δυνάμενον ἀληθὲς εἶναι τὸ εἶναι ἄνθρωπον· ἐφ' οὗ γὰρ ἀληθές ἐστι τὸ μὴ εἶναι ἄνθρωπον, ἀνάγκη τοῦτο μὴ εἶναι ζῷον πεζὸν δίπουν. ὃ δὲ ἀνάγκη μὴ εἶναι, τοῦτο ἀδύνατον εἶναι τότε· ὃ δὲ ἀδύνατον εἶναι ζῷον πεζὸν δίπουν, τοῦτο οὐκ ἀληθές ἐστιν εἰπεῖν εἶναι ζῷον πεζὸν δίπουν. ἐφ' οὗ ἄρα ἀληθὲς τὸ μὴ εἶναι ἄνθρωπον, ἐπὶ τούτου τότε οὐχ οἷόν τε ἀληθὲς εἶναι τὸ εἶναι ἄνθρωπον. καὶ ἔστι τὸ μὲν μὴ εἶναι ἄνθρωπον ἀπόφασις, τὸ δὲ εἶναι ἄνθρωπον κατάφασις· ἀδύνατον ἄρα ἐπὶ τοῦ αὐτοῦ τήν τε κατάφασιν ἀληθῆ καὶ τὴν αὐτοῦ ἀπόφασιν εἶναι. ἔδειξε δὲ ὁ λόγος οὗτος, κειμένου τοῦ ἄλλο σημαίνειν τὸ εἶναι καὶ μὴ εἶναι, ἐφ' οὗ ἀληθές ἐστι τὸ εἰπεῖν νῦν ὅτι λευκόν, ἀνάγκη τοῦτο νῦν εἶναι λευκόν, καὶ ἀδύνατον νῦν μὴ εἶναι λευκόν, ἐφ' οὗ ἀληθὲς εἰπεῖν νῦν ὅτι ἔστι λευκόν· δῆλον γὰρ ὅτι καὶ τούτων ἕκαστον, τό τε ἀνάγκη εἶναι καὶ ἀδύνατον μὴ εἶναι, ἕν τι σημαίνει. τὴν δὲ δεῖξιν φησὶ τὴν ἀρχὴν ἔχειν ἀπὸ τοῦ εἰλῆφθαι ἄλλο σημαίνειν τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ μὴ ἀνθρώπῳ εἶναι, ὃ ἦν ἀναγκαῖον ὁμολογεῖν τῷ τήν τε ἀντίφασιν συναληθεύειν λέγοντι καὶ σώζειν βουλομένῳ τὸ διαλέγεσθαι. πῶς δὲ ἕτερον, δείκνυσι παραθέμενος τὸ λευκόν. ὡς γὰρ ὁ λέγων λευκὸν εἶναι τοῦ λέγοντος ἄνθρωπον εἶναι διάφορόν τι σημαίνει· ὁ μὲν γὰρ λευκὸν εἶναι λέγων διάφορον μὲν καὶ ἄλλο τι λέγει τοῦ ἄνθρωπον λέγοντος εἶναι, οὐ μὴν καὶ ἀντικείμενον αὐτῷ· ὁ δὲ μὴ εἶναι ἄνθρωπον λέγων, πρὸς τῷ μὴ εἶναι ἄνθρωπον λέγειν τι, καὶ ἀντικείμενον λέγει τῷ λέγοντι ἄνθρωπον εἶναι. ὥστε εἰ τὸ ἧττον τοῦ ἀνθρώπου διαφέρον μὴ ἀληθεύεται κατ' αὐτοῦ, οὐδ' ἂν τὸ μᾶλλον αὐτοῦ διαφέρον ἀληθεύοιτο. εἰ δέ τις λέγοι καὶ τὸ λευκὸν εἶναι τῷ ἀνθρώπῳ εἶναι ταὐτὸν σημαίνειν τῷ δύνασθαι κατὰ τοῦ αὐτοῦ ἄμφω κατηγορεῖσθαι, ἐροῦμεν πάλιν τὸ αὐτὸ ὃ καὶ πρότερον, ὅτι οὕτως ἓν πάντα ἔσται πολλὰ ὀνόματα ἔχον, οὐ μόνον τὰ ἀντικείμενα, εἰ ἕν ἐστι τὰ ἑνὸς κατηγορούμενα καὶ μὴ τῷ μίαν σημαίνειν φύσιν τὸ ἓν ὁρίζονται. εἰ δὲ μὴ ἐνδέχεται πάντα τὰ σημαινόμενα ὑπὸ τῶν καθ' ἑνός τινος κατηγορουμένων τὰ αὐτὰ εἶναι, οὐδ' ἂν τὰ σημαίνοντα αὐτὰ τὰ αὐτὰ εἴη, ἀλλ' ἕκαστον τῶν διαφερόντων ὑπὸ τοῦ διαφέροντος ἂν σημαίνοιτο. εἰ δὲ τοῦτο, τὸ δεδειγμένον ἀνάγκη συμπεραίνεσθαι, τὸ μὴ οἷόν τε ἅμα τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι, ἂν μόνον ἀποκρίνεσθαι πρὸς τὰ ἠρωτημένα ὁ προσδιαλεγόμενος βούληται. id.

1007 a 8. "ἐὰν — ἀποφάσεις." ἐὰν δὲ ἁπλῶς ἐρωτώμενός τις εἰ Σωκράτης ἄνθρωπός ἐστι, μὴ ἀποκρίνηται ἁπλῶς ἢ εἶναι ἢ μὴ εἶναι αὐτὸν ἄνθρωπον, ἀλλὰ προστιθῇ καὶ τὴν ἀπόφασιν, λέγων ὅτι καὶ ἄνθρωπός ἐστι καὶ οὐκ ἔστιν ἄνθρωπος, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων, εὐλαβούμενος μὴ ἂν δῷ μόνον τὸν ἄνθρωπον εἶναι, περιαχθῇ κατὰ τὸν προειρημένον λόγον εἰς τὸ μὴ δύνασθαι τὸ αὐτὸ τοῦτο λέγειν τότε εἶναι καὶ μὴ εἶναι ἄνθρωπον, τῷ ἕπεσθαι μὲν δοθέντι τῷ εἶναι ἄνθρωπον, εἰ ἀληθὲς εἴη τὸ ἐξ ἀνάγκης τότε εἶναι ἄνθρωπον, καὶ ἀδύνατον εἶναι τὸ μὴ εἶναι ἄνθρωπον, ἀδυνάτου δὲ ὄντος τοῦ μὴ εἶναι τότε ἄνθρωπον, μὴ δύνασθαι ἀληθῆ εἶναι τὴν ἀπόφασιν τὴν λέγουσαν μὴ εἶναι ἄνθρωπον. ἂν δή τις τοῦτο προορώμενος τῇ καταφάσει καὶ τὴν ἀπόφασιν λέγῃ ὑπάρχειν, οὐκ ἀποκρινεῖται τὸ ἐρωτώμενον· τό τε γὰρ ζητούμενον προλαμβάνει. ζητεῖται γὰρ τοῦτο τὸ εἰ οἷόν τε, ᾧ ὑπάρχει ἄνθρωπος, τοῦτο καὶ μὴ ἄνθρωπον εἶναι. ὁ δὲ χωρὶς δείξεως αὐτὸ λαμβάνει, οὔτε γνώριμον οὔτε ἐναργὲς ὄν, ἀξιῶν καὶ τὰ φανερὰ καὶ τὰ πᾶσιν ἐναργῆ ἀποδείκνυσθαι, καὶ διὰ τοῦτο μηδὲ τὸ ἐπὶ τῆς ἀντιφάσεως συγχωρῶν. ὅτι δὲ πρὸς τὸ ἐρωτώμενον οὐκ ἀποκρίνεται, δείκνυσιν ἐκ τοῦ, εἰ καὶ ἀληθεύσει, μὴ ὀφείλειν αὐτὸν μὴ ἐξετασθέντα περὶ αὐτοῦ λέγειν· καὶ γὰρ ἄλλα μυρία ὁμολογουμένως τῷ Σωκράτει ὑπάρχει, ἀλλ' ὅμως ὁ ἐρωτηθεὶς εἰ Σωκράτης ἄνθρωπός ἐστιν οὐκ ἐξαριθμεῖται πάντα, καὶ λέγει καὶ φιλόσοφος καὶ Ἀθηναῖος καὶ σιμὸς καὶ προγάστωρ καὶ λευκὸς καὶ μουσικὸς καὶ Πλάτωνος διδάσκαλος. ἔτι εἰ ἐν τῷ πάντα τὰ ἐνυπάρχοντα εἰπεῖν τὸ ἀποκρίνεσθαι τὸ ἐρωτώμενόν ἐστιν, εἰ ἀδύνατον πάντα εἰπεῖν, ἀδύνατος καὶ ἡ ἀπόκρισις ἔσται· ἀδύνατον δὲ πάντων ἐξαρίθμησιν ποιήσασθαι τῶν ὑπαρχόντων τινί. εἰ δὲ ἑνὸς ἐξετασθέντος μὴ πάντα τὰ ὑπάρχοντα λέγοιμεν αὐτῷ, οὐδὲ ἕν τι ἐξ αὐτῶν παρὰ τὸ ἐν τῇ ἐρωτήσει δεόντως ἐροῦμεν· ἢ γὰρ πάντα ἢ οὐδὲν χρὴ παρὰ τὸ ἠρωτημένον· ὥστε εἰ καὶ ὅτι μάλιστα ὁ ἄνθρωπος καὶ οὐκ ἄνθρωπός ἐστιν, οὐ δεῖ καὶ τοῦτο προστιθέναι. εἰ μὲν γὰρ ταὐτόν ἐστι, δέδωκε καὶ τοῦτο διὰ τοῦ δοῦναι ἄνθρωπον εἶναι· εἰ δὲ ἕτερον, οὐκ ἦν ἡ ἐρώτησις περὶ τούτου· ἢ γὰρ πάντα χρὴ τὰ προσόντα ἢ μηδὲν παρὰ τὸ ἠρωτημένον λέγειν. ἔτι καὶ αἱ τῶν ἄλλων ἀποφάσεις ἀληθεῖς κατ' αὐτοῦ, ἀλλ' οὐ διότι ἀληθεῖς ἐρωτηθείς τις εἰ ὁ Σωκράτης ἄνθρωπός ἐστιν, ἀποκρίνοιτο ὅτι καὶ οὐχ ἵππος καὶ οὐ κύων· μάταιος γὰρ ἂν εἴη. οὕτως οὖν καὶ ὁ λέγων καὶ μὴ ἄνθρωπον αὐτὸν εἶναι· ἄλλο γὰρ τὸ οὐκ ἔστιν ἄνθρωπος τοῦ εἶναι ἄνθρωπος ἀποδέδεικται. id.

1007 a 20. "ὅλως — εἶναι." ὅτι μὴ οἷόν τε λέγειν ἐπὶ πάντων τὸ οὐδὲν μᾶλλον ἕκαστον τῶν ὄντων εἶναι ἢ μὴ εἶναι, καὶ διὰ τούτων δείκνυσι (c). δοκεῖ δέ μοι ἡ ἐπιχείρησις αὕτη λέγεσθαι πρὸς τοὺς διὰ τοῦτο λέγοντας ἐπὶ πάντων οὐ μᾶλλον τὴν κατάφασιν ἢ τὴν

2. αὐτὸ ἄνθρωπον μὴ εἶναι C. ‖ 3. ἀληθεύσει A. ‖ 12. ἐστι δεικνύναι τὸ A. ‖ 23. τό] ἢ AC. ‖ 25. μὴ εἶναι ἀνθρώπῳ C. ‖ 32. λέγειν om A. ‖ 35. σημαίνει A. ‖ 37. ὃ om C. ‖ 39. τὸ ἓν om A.

3. ἀπὸ ἀντιφάσεως A. ‖ 13. δή] δ' ἔτι A. ‖ προορωμένου ἅμα τῇ A. ‖ 17. λαμβάνων C. ‖ 20. ἀληθεύει A. ‖ μή] ἢ μὴ C. ‖ 22. ὑπάρχει A. ‖ ὁ et 26. om C. ‖ 28. δὲ περὶ ἑνὸς A. ‖ 30. ἐν τῇ om C.

φύσιν σημαίνοντα. ἔσται δὲ τοῦτο, ἂν ᾖ κείμενον ταὐτὸν εἶναι τὸ καθ' ἑνὸς κατηγορεῖσθαι καὶ τὸ ἓν σημαίνειν. εἰ δὲ οὕτως, εἴη ἂν σημαίνοντα τὰ κατὰ τοῦ αὐτοῦ κατηγορούμενα, ὡς σημαίνει καὶ τὰ πολυώνυμα, καὶ τὸ εἶναι καὶ μὴ εἶναι. εἰ τῷ κατὰ τοῦ αὐτοῦ δύνασθαι κατηγορεῖσθαι λέγει τις αὐτὰ ἓν σημαίνειν οὕτως, ἂν τοῦ αὐτοῦ κατηγοροῖτο ὡς μίαν δηλοῦντα φύσιν, ὡς εἶναι τοῦ αὐτοῦ ἄμφω ὀνόματα ταὐτὸν δηλοῦντα, οὐ τὸ αὐτὸ ἔσται τε καὶ οὐκ ἔσται πρᾶγμα, ἀλλ' ἔσται ὀνόματα τὸ αὐτὸ πλείω ἔχον· τό τε γὰρ εἶναι καὶ τὸ μὴ εἶναι ὀνόματα αὐτοῦ. οὐδὲν γὰρ κωλύει καὶ τοῦτο γενέσθαι ὄνομα, ὄντων κατὰ συνθήκην τῶν ὀνομάτων. ὥστε καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι ταὐτὸν ἔσται δηλοῦντα, ὡς τὰ πολυώνυμα. πάλιν δὲ τὴν πολυωνυμίαν ὁμωνυμίαν εἶπε, πρότερον αὐτὴν εἰπὼν συνωνυμίαν. ὅτι γὰρ τὸ καθ' ὁμωνυμίαν τὸ κατὰ πολυωνυμίαν εἶναι λέγει, νῦν ἐδήλωσε δι' ὧν ἐπήνεγκεν εἰπὼν

1006b 19. "ὥσπερ — καλοῖεν." γίνεται γὰρ οὕτως οὐχ ἡ ἀναίρεσις τοῦ ἀνθρώπου καὶ ἀπόφασις ὑπὸ τοῦ μὴ ἀνθρώπου ὀνόματος σημαινομένη, ἀλλὰ τοῦτο ὃ καὶ ἄνθρωπος ἐσήμαινεν. οὐκ ἦν δὲ τοῦτο ἡμῖν τὸ ζητούμενον, πότερον δύναται τῷ αὐτῷ πράγματι καὶ ἄνθρωπος ὄνομα καὶ μὴ ἄνθρωπος τεθῆναι, ὡς εἶναι τὴν διαφορὰν αὐτῶν κατὰ τὴν λέξιν μόνην, μηκέτι δὲ καὶ κατὰ τὸ σημαινόμενον, ἀλλ' εἰ ὄντων τῶν σημαινομένων ὑφ' ἑκατέρου διαφερόντων, καὶ τοῦ μὲν ἀνθρώπου τὸ τοιοῦτον σημαίνοντος εἶδος οὗ λόγος ζῷον πεζὸν δίπουν, τοῦ δὲ οὐκ ἀνθρώπου τὴν ἀναίρεσιν τοῦ τοιούτου εἴδους, οἷόν τε ἅμα ταῦτα καὶ κατὰ τοῦ αὐτοῦ κατηγορεῖσθαι οὕτως ὡς εἶναι ταὐτὸν τὸ εἶναί τε ταύτην τὴν τοιαύτην οὐσίαν καὶ μὴ εἶναι· τοῦ τοιούτου γὰρ δηλωτικὴ ἡ ἀντιφατικὴ ἀντίθεσις· οὐκ ἀντιφατικὴ δὲ ἡ ἀντίθεσις ἡ κατὰ συμβεβηκός. ὁ γὰρ καθ' οὗ ἄνθρωπος δείξας ἀληθευόμενον καὶ τὸ οὐκ ἄνθρωπος, οὐ κατὰ τὸ σημαινόμενον ὑπὸ τοῦ ἀνθρώπου ἔδειξε καὶ τὸ οὐκ ἄνθρωπος ἀληθευόμενον κατ' αὐτοῦ, ἀλλ' ὅτι καὶ ἄλλο τι τῷ αὐτῷ συμβεβήκει, ἐφ' οὗ τὸ οὐκ ἄνθρωπος ἀληθεύει. εἰ οὖν ἕτερον σημαίνει τό τε ἄνθρωπος καὶ τὸ μὴ ἄνθρωπος, ὡς δέδεικται, καὶ μή ἐστι τοῦ αὐτοῦ πλείω ὄντα ταῦτα τὰ ὀνόματα, δῆλον ὅτι καὶ εἰ λέγει ὅ τε λέγων εἶναι ἄνθρωπον καὶ μὴ εἶναι ἄνθρωπον ἄλλο τι σημαίνει, καὶ οὐκέτι ταὐτὸν τὸ εἶναι ἀνθρώπῳ καὶ μὴ εἶναι ἀνθρώπῳ. δείξας δὲ ὅτι ἄλλο τὸ εἶναι ἀνθρώπῳ καὶ τὸ μὴ εἶναι ἀνθρώπῳ τῷ ἄλλο τὸν οὐκ ἄνθρωπον σημαίνειν τοῦ ἀνθρώπου, ἐπιφέρει

1006b 24. "ὥστε — ἔσται," ὃ ἀσαφῶς μὲν εἴρηται, ἴσον δὲ ἂν εἴη τῷ, εἰ γάρ τις λέγει ἓν σημαίνειν τὸ ἀνθρώπῳ εἶναι, ἀληθὲς ἐπ' αὐτοῦ τό τε εἶναι ἄνθρωπον καὶ τὸ μὴ εἶναι ἄνθρωπον, ταὐτὰ σημαίνειν αὐτὰ ἐρεῖ καὶ ἑνὸς ἔσται ἀμφότερα δηλωτικά, ὡς τὰ πολυώνυμα, ὡς λώπιον καὶ ἱμάτιον. ἀλλ' εἰ ἓν ἡ κατάφασις καὶ ἀπόφασις, ἓν ἔσται σημαίνοντα καὶ τὸ ἄνθρωπος καὶ τὸ οὐκ ἄνθρωπος, καὶ τὸ αὐτὸ δὲ ἔσται καὶ τὸ εἶναι ἀνθρώπῳ καὶ τὸ μὴ εἶναι ἀνθρώπῳ. ἀλλὰ κεῖται καὶ δέδεικται ὅτι ἕτερον σημαίνει ἑκάτερον αὐτῶν τῷ ἕκαστον τῶν σημαινομένων ἴδιόν τι σημαίνειν δύνασθαι. διὰ μέσου δὲ εἰπὼν τὸ "εἰ δὲ μὴ σημαίνει ἕτερον τὸ ἄνθρωπος καὶ τὸ μὴ ἄνθρωπος, δῆλον ὅτι καὶ τὸ μὴ ἀνθρώπῳ τοῦ εἶναι ἀνθρώπῳ," ταῦτα εἰπὼν διὰ μέσου, τὸ "ὥστε ἔσται τὸ ἀνθρώπῳ τε εἶναι" καὶ τὰ ἐπὶ τούτῳ λέγει, ὡς συνάπτων αὐτὰ τοῖς εἰρημένοις τοῖς (v. 20) "τὸ δὲ ἀπορούμενον οὐ τοῦτό ἐστιν, εἰ ἐνδέχεται τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι ἄνθρωπον τὸ ὄνομα, ἀλλὰ τὸ πρᾶγμα·" τούτοις γὰρ ἀκολουθεῖν δοκεῖ τὸ "ὥστε ἔσται τὸ ἀνθρώπῳ εἶναι." ἢ καὶ τῷ ἔτι πρὸ τούτου εἰρημένῳ τῷ "ὥσπερ ἂν εἰ ὃν ἡμεῖς ἄνθρωπον καλοῦμεν, ἄλλοι μὴ ἄνθρωπον καλοῖεν." δείξας δὲ ταῦτα ἐπιφέρει τοῖς δεδειγμένοις "ἀνάγκη τοίνυν, εἴ τι ἔστιν ἀληθὲς εἰπεῖν 1006b 28. ὅτι ἄνθρωπος, ζῷον εἶναι δίπουν· τοῦτο γὰρ ἦν ὃ ἐσήμαινεν ὁ ἄνθρωπος." λαβὼν διὰ τῶν πρὸ τούτων καὶ δείξας ὅτι ὄνομά ἐστιν ἑνός τινος δηλωτικόν, καὶ ὅτι ἄλλου μὲν τὸ ἔστιν ἄνθρωπος ἐστὶ σημαντικόν, ἄλλου δὲ τὸ οὐκ ἔστιν ἄνθρωπος, διαφέροντα ὄντα, καὶ ὅτι ἄλλο μὲν ἡ κατάφασις ἄλλο δὲ ἡ ἀπόφασις, νῦν συμπεραίνεται διὰ τῶν δεδειγμένων τὸ προκείμενον· τοῦτο δὲ ἦν τὸ δεῖξαι ὅτι μὴ οἷόν τέ ἐστιν ἐπὶ τοῦ αὐτοῦ τὴν ἀντίφασιν ἀληθεύεσθαι. εἰ γὰρ ὁ ἄνθρωπος τὸ ὄνομα φύσεως μιᾶς ἐστὶ σημαντικόν, αὕτη δέ ἐστι τὸ ζῷον πεζὸν δίπουν, ἀνάγκη ἀληθοῦς ὄντος τοῦ λόγου τοῦ ἔστιν ἄνθρωπος (τοῦτο γάρ ἐστι τὸ εἰρημένον διὰ τοῦ, εἴ τις ἔστιν ἀληθὲς εἰπεῖν ὅτι ἄνθρωπος, εἶναι τὸ σημαινόμενον ὑπ' αὐτοῦ τὸ ζῷον πεζὸν δίπουν)· ὃ δὲ ἀνάγκη εἶναι ζῷον πεζὸν δίπουν, τοῦτό τε οὐκ ἐνδέχεται μὴ εἶναι ταὐτὸ τοῦτο· τὸ γὰρ ἀνάγκη εἶναι σημαντικόν ἐστι τοῦ ἀδύνατον μὴ εἶναι. ἀλλὰ μὴν ὃ ἀδύνατον μὴ εἶναι, τοῦτο οὐκ ἀληθές ἐστιν εἰπεῖν μὴ εἶναι τότε. καθ' οὗ ἄρα ἀληθές ἐστιν εἰπεῖν τὸ ἔστιν ἄνθρωπος τότε, κατ' ἐκείνου ἀδύνατόν ἐστιν ἀληθὲς εἶναι τὸ μὴ εἶναι ἄνθρωπον. ὡς δὲ ἐπὶ τούτου, καὶ ἐπὶ πάντων ὁμοίως ἔχει. εἰ δὲ τοῦτο, ἀδύνατον, ἐφ' οὗ ἀληθὴς ἡ τινὸς κατάφασις, ἐπὶ τούτου ἀληθῆ εἶναι τότε τὴν αὐτοῦ τούτου ἀπόφασιν. ὁ δὲ πᾶς λόγος τοιοῦτος ἂν εἴη. εἰ τὸ ἄνθρωπος ὄνομα ἄλλου σημαντικόν ἐστι καὶ τὸ οὐκ ἄνθρωπος ἄλλου, καὶ μή ἐστι πολυώνυμα, καὶ ἔστι τὸ μὲν ἄνθρωπος σημαῖνον ζῷον πεζὸν δίπουν, εἴη ἂν καὶ ὁ λόγος ὁ λέγων εἶναι ἄνθρωπον ἄλλο σημαίνων καὶ ἄλλο ὁ λέγων μὴ εἶναι ἄνθρωπον (οὐδὲν γὰρ νῦν διαφέρει), καὶ ἔσται ὁ μὲν εἶναι ἄνθρωπον λέγων σημαίνων εἶναι ζῷον πεζὸν δίπουν, ὁ δὲ μὴ εἶναι ἄνθρωπον, μὴ εἶναι ζῷον πεζὸν δίπουν. εἰ δὲ ταῦτα σημαίνεται ὑπ' αὐτῶν, καθ' οὗ ἀληθής ἐστιν ὁ λέγων λόγος εἶναι ἄνθρωπον, ἀνάγκη τοῦτο εἶναι ζῷον πεζὸν δίπουν. μὴ γὰρ ὄντος οὐχ οἷόν τε ἀληθῆ εἶναι τὸν σημαίνοντα αὐτὸ λόγον. ἀλλὰ μὴν ὃ ἀνάγκη εἶναι ζῷον πεζὸν δίπουν, τοῦτο ἀδύνατον μὴ εἶναι τότε ζῷον πεζὸν δίπουν. id.

2. ἂν] ἓν C. ‖ 6. ὀνόματος A. ‖ 9. γίνεσθαι A. ‖ 10. post ὥστε om C. ‖ 13. κατὰ om A. ‖ 15. οὐχ ἡ] οὐχὶ A. ‖ τοῦ ἀνθρώπου om A. ‖ 17. ἐσήμαινεν A. ‖ 24. τε τὴν et 25. τοῦ om C. ‖ 29. συμβεβήκει A. ‖ 34. τῷ A. ‖ καὶ τοῦ μὴ A. ‖ 37. σαφῶς C. ‖ 38. λέγει V. ‖ σημαίνοντα A, σημαίνοντος V. ‖ τοῦ ἀνθρώπου, ἀληθὲς AV. ‖ οὐκ' C. ‖ ὡς τὰ] ὥστε AC. ‖ 42. δὲ om A.

1. prius καὶ om A. ‖ 2. τῶν σημαινόντων A. ‖ 3. σημαίνειν. δύναται A. ‖ δὲ ante εἰπὼν et 8. τὸ post ἄνθρωπον om A. ‖ 10. πρὸς τούτοις C. ‖ 14. τούτου A. ‖ 21. ἀνάγκη — 24. δίπουν om C. ‖ 25. ἀλλὰ — 26. εἶναι ante τοῦτο et 30. τότε om A.

1006 b 9. εἶναι δύνασθαι. εἰπὼν δὲ τοῦτο προσέθηκε "κατὰ δὲ τὴν ἀλήθειαν καὶ πρὸς αὐτόν," λέγων ἀναιρεῖσθαι καὶ ἐπ' αὐτοῦ τὸ νοεῖν τι· οὐδὲ γὰρ νοεῖν ἐνδέχεται μὴ ἓν νοοῦντα. εἰ γὰρ εἴη οἷόν τε ἕν τι νοεῖν, οἷόν τε ἂν εἴη τῷ ἑνὶ τούτῳ νοήματι καὶ ὄνομά τι καὶ σημεῖον οἰκεῖον θέσθαι· οὕτω δ' ἂν εἴη δυνατὸν τὸ ὑφ' ἑκάστου ὀνόματος ἕν τι δηλοῦσθαι. δείξας δὲ πρῶτον ἀναιροῦντας λόγον τοὺς τῆσδε τῆς δόξης, ἔδειξεν ὅτι καὶ τὸ νοεῖν, ἐπιτείνων τὸ ἄτοπον. τί δήποτ' οὖν, ἂν μὲν ᾖ πλείω τὰ σημαινόμενα ὑφ' ἑκάστου, ὡρισμένα δέ, οὐκ ἀναιρεῖται λόγος, καίτοι μὴ ὄντος ἑνὸς τοῦ σημαινομένου, ἂν δὲ ἄπειρα, ἀναιρεῖται; ἢ πρῶτον μὲν ὅτι πᾶν τὸ ὡρισμένον καὶ περιληπτὸν ἕν πως ἐστίν, ὥστε ἕν πως σημαίνει καὶ τὸ πλείω μὲν πεπερασμένα δὲ σημαῖνον. ἔστι δὲ αὐτὰ περιορίσαι καὶ τῶν σημαινομένων χωρίσαι καὶ εἰπεῖν ταῦτα εἶναι τὰ σημαινόμενα, ἐπὶ δὲ τῶν ἀπείρων ἀδύνατον τοῦτο. ἢ τῷ πλείω σημαίνειν, ὡρισμένα δέ, τῷ δύνασθαι πάντα τὰ σημαινόμενα ληφθέντα διακριθῆναί τε ἀπ' ἀλλήλων καὶ ἰδίοις ὀνόμασιν ὁρισθῆναι, τούτῳ ἂν εἴη σημαίνοντά τι. εἰ δὲ ἕκαστον τῶν ὀνομάτων ἄπειρα εἴη σημαῖνον, οὐδὲν ἂν τῶν ὑπὸ τοῦ ὀνόματος σημαινομένων ἴδιον ὄνομα καὶ σημεῖον ἔχειν δύναιτο· οὕτω δὲ οὐδ' ἂν τὰ τιθέμενα αὐτοῖς ὀνόματα εἴη τινὸς σημαντικά, οὐδὲν μᾶλλον δυνάμενα κατηγορεῖσθαι τούτων εἰς ὃ κεῖται ἢ τῶν εἰς ἐτέθη. ἔτι εἰ ἕκαστον τῶν ὀνομάτων ἄπειρα σημαίνει, ἕκαστον ἂν τῶν ὀνομάτων ταὐτὰ σημαίνοι. ἀλλ' εἰ πάντα εἴη τῶν αὐτῶν σημαντικά, ἀναιρεῖται τὸ διαλέγεσθαι καὶ τὸ σημαίνειν. οὐδὲν γὰρ σημαίνει ἕν, κειμένου τοῦ πάντα ταὐτὰ ἀλλήλοις σημαίνειν· ἴσον γὰρ τὸ μηδὲν σημαίνειν τῷ πάντα ἕκαστον σημαίνειν λέγειν. ἔνεστι καὶ οὕτως ἐφοδεύσαντα δεῖξαι ὅτι μὴ ἄπειρα τὰ ὑφ' ἑκάστου ὀνόματος δηλούμενα, διαλεκτικωτέρα δὲ ἡ δεῖξις. εἰ τὸ ἄνθρωπος ἄπειρα σημαίνει, ἤτοι καὶ τὸν οὐκ ἄνθρωπον ὁ ἄνθρωπος σημαίνει (ἐν γὰρ τοῖς ἀπείροις καὶ τοῦτο), ὥστε ἔσται ὁ ἄνθρωπον εἰπὼν καὶ μὴ ἄνθρωπον σεσημακώς· ἢ εἰ τοῦτο ἄτοπον, ἔσται τῶν ἀπείρων τι πλέον. τοῖς γὰρ ἀπείροις ἃ ἐσήμανεν ὁ ἄνθρωπος προστεθὲν τὸ οὐκ ἄνθρωπος πλείω αὐτὰ ποιήσει· οὕτω τε ἔσται καὶ τὰ ἄπειρα τινῶν ἐλάττω. καὶ ἔτι τὸ ἄπειρα ὀνόματα ἤτοι σημαίνει καὶ τὸ οὐκ ἄπειρα, οὕτω δὲ οὐ μᾶλλον ἄπειρα σημαίνει ἕκαστον ὄνομα ἢ οὐκ ἄπειρα· ἢ εἰ μὴ σημαίνει καὶ τοῦτο, πρῶτον μὲν οὐκ ἔσται, ἐφ' οὗ ἡ κατάφασις ἀληθής, ἐπὶ τούτου καὶ ἡ ἀπόφασις, πρὸς δὲ τούτῳ ἔσται τὸ σημαινόμενον ὑπὸ τοῦ οὐκ ἄπειρα ἔξω τῶν ἀπείρων· πλείω δὴ τὰ ἄπειρα σὺν τούτῳ ἢ αὐτὰ ἐφ' ἑαυτῶν. id.

1006 b 11. "ἔσται — ἕν." οἷς ἔλαβε, τούτοις χρῆται. ἔλαβε δὲ πρῶτον μὲν ὅτι σημαίνει τι τὸ ὄνομα, δεύτερον δὲ ὅτι ἕν, ὃ καὶ ἔδειξε διὰ τοῦ δεῖξαι ὅτι κἂν πλείω σημαίνῃ τὸ αὐτὸ ὄνομα, ὡρισμένα δέ, οἷόν τε καὶ ἴδιον ἑκάστῳ τῶν πλειόνων ὄνομα θέσθαι, ὃ οὐκέτι αὐτῷ πρὸς ἄλλην τινὰ φύσιν κοινὸν ἔσται. τούτοις δὲ χρῆται, καὶ τίθησι τοῦ ἀνθρώπου τὸ ὄνομα σημαίνειν τι καὶ ἓν σημαίνειν. εἰ οὖν ὁ ἄνθρωπος ἕν τι σημαίνει, καὶ ἔστι τοῦτο τὸ ζῷον πεζὸν δίπουν, οὐκ ἔσται καὶ τὸ μὴ ἀνθρώπῳ εἶναι σημαίνων ὁ ἄνθρωπος, εἴγε τὸ ἀνθρώπῳ εἶναι ἄλλο καὶ ἄλλο τὸ μὴ ἀνθρώπῳ, ἑνὸς δὲ ὁ ἄνθρωπος δηλωτικόν (¹)· οὔτε γὰρ ταὐτὸν ὁ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, οὔτε τοῦ αὐτοῦ δηλωτικόν, οὔτε οἷόν τε τὸ ἓν ἕν τε εἶναι καὶ μὴ εἶναι. id.

(¹) εἴπερ τὸ ἄνθρωπος ὄνομα μὴ μόνον δηλοῖ τὸ καθ' ἑνὸς 1006 b 14.
ἀλλὰ καὶ ἕν, καὶ τὸ μὲν καθ' ἑνὸς πλειόνων ἐστὶ δηλωτικόν (λέγεται γὰρ καθ' ἑνὸς τοῦ Σωκράτους καὶ τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὸ μουσικόν), τὸ δὲ ἓν μίαν φύσιν ὡρισμένην δηλοῖ, τὴν τοῦ ἀνθρώπου καθὸ ἄνθρωπός ἐστι, μὴ συνεπινοῶν ἐν τῷ τέως τὰ συμβεβηκότα τῷ ἀνθρώπῳ... συνώνυμα γὰρ ταῦτα ὑπάρχουσιν, ἀντὶ τοῦ ὁμώνυμα. οὐκ ἄρα δυνατὸν τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, εἰ μή τοί γε ὁμωνύμως τύχοι. Asclep.

"εἰ — ἕν." εἰπὼν "οὐ δὴ ἐνδέχεται τὸ ἀνθρώπῳ εἶναι σημαίνειν ὅπερ μὴ εἶναι ἀνθρώπῳ" προσέθηκε τὸ "εἰ τὸ ἄνθρωπος σημαίνει μὴ μόνον καθ' ἑνὸς ἀλλὰ καὶ ἕν· οὐ γὰρ τοῦτο ἀξιοῦμεν τὸ ἓν σημαίνειν τὸ καθ' ἑνός." πῶς τὸ ἓν σημαίνειν ἀκούειν χρή, διδάσκει ἡμᾶς· ὁ γὰρ ἄνθρωπος ἓν τῷ φύσιν τινὰ μίαν σημαίνειν, οὐ τῷ καθ' ἑνὸς λέγεσθαι. μίαν δὲ φύσιν σημαίνων οὐκ ἂν ἅμα καὶ ἄλλην τινὰ σημαίνοι. ὅτι δὲ τὸ καθ' ἑνὸς λεγόμενον οὐ πᾶν ἕν, δείκνυσι· καθ' ἑνὸς γὰρ καὶ τὸ ἄνθρωπος καὶ τὸ λευκὸν καὶ τὸ μουσικὸν δύναται κατηγορεῖσθαι ἀληθῶς, ἀλλ' οὐ διὰ τοῦτο καὶ ἓν ταῦτα. ἦλθε δὲ ἐπὶ τὸ δεικνύναι τοῦτο διὰ τὸ δοκεῖν δύνασθαι καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ καθ' οὗ ὁ ἄνθρωπος, οἷον κατὰ Σωκράτους, κατὰ τούτου καὶ τὸ διαλέγεσθαι· τὸ δὲ διαλέγεσθαι οὐκ ἄνθρωπος· εἴη γὰρ ἂν καθ' οὗ ὁ ἄνθρωπος, καὶ οὐκ ἄνθρωπος κατηγορούμενος κατὰ συμβεβηκός· ἀλλ' οὐ διὰ τοῦτο ἤδη καὶ ταὐτόν ἐστι τό τε ὑπὸ τοῦ ἀνθρώπου καὶ τοῦ οὐκ ἀνθρώπου σημαινόμενον. οὐ γὰρ τούτῳ ὥρισται τὸ ἓν σημαίνειν τῷ καθ' ἑνὸς κατηγορεῖσθαι. ὅτι γὰρ μὴ τὰ κατὰ τοῦ αὐτοῦ κατηγορούμενα ἤδη καὶ ἓν σημαίνει, δι' ὧνπερ παρέθετο ἔδειξε. καθ' ἑνὸς γὰρ πλείω κατηγορεῖται διαφέροντα ἀλλήλων· τὰ γὰρ συμβεβηκότα τινὶ ἕτερα ὄντα καὶ τούτῳ συμβέβηκε, καὶ ἀλλήλων ὁμοίως κατηγορεῖται κατ' ἐκείνου ἑνὸς ὄντος, ᾧ συμβέβηκεν, οὐ μὴν διὰ τοῦτο πάντα τὸ αὐτὸ καὶ ἓν σημαίνει. οὐ γὰρ ἐπεὶ καθ' ἑνὸς τὸ μουσικὸν καὶ τὸ λευκὸν καὶ ὁ ἄνθρωπος κατηγορεῖται, ἤδη καὶ ταὐτόν ἐστι τὸ σημαινόμενον ὑπ' αὐτῶν. εἰ γὰρ ταὐτὸν εἴη τὸ σημαινόμενον ὡς μὴ διαφέρειν τὸ καθ' ἑνὸς κατηγορεῖσθαι τοῦ ἓν σημαίνειν, ἔσται συνώνυμα, τουτέστι πολυώνυμα, καθ' ὧν πλείω κατηγορεῖται· τῷ γὰρ συνώνυμα νῦν ἀντὶ τοῦ πολυώνυμα χρῆται. οὕτω γὰρ ἔσται ταὐτὸν σημαίνοντα, ἂν ᾖ μόνον τῇ λέξει διαφέροντα τὰ πλείω ταῦτα ὀνόματα, μίαν δὲ

5. δ'] τε C. ‖ 14. σημαίνει, ὡρισμένα C. ‖ 21. ἄπειρα — ὀνομάτων om A. ‖ σημαίνει C. ‖ 24. τὸ] τῷ C. ‖ 26. ὀνόματα A. ‖ 27. καὶ τὸ οὐκ ἄνθρωπος ὁ C. ‖ 29. ὁ et 32. καὶ ante ἔτι om A. ‖ 33. ὄνομα A. ‖ 36. τοῦτο A. ‖ 37. ἔξωθεν A.

1. τὸν ἄνθρωπον A. ‖ 16. τῷ AC. ‖ 22. σημαίνειν C. ‖ πᾶν] πῇ C. ‖ 26. τοῦτο C. ‖ 27. γὰρ om C. ‖ 30. τῷ] τὸ C. ‖ 32. σημαίνοντα C. ‖ γὰρ τὰ πλείω A. ‖ 36. καὶ post λευκὸν om A.

εἴη γὰρ ἂν οὐκέτι μία φύσις ἐκείνου, εἰ τὰ διαφέροντα πραγμάτων σημαντικὰ ὀνόματα ἀληθεύοιτο κατὰ τοῦ αὐτοῦ. διαφέροντα δὲ ὀνόματα τό τε ἄνθρωπος καὶ τὸ οὐκ ἄνθρωπος, καὶ οὐκ ἔστιν ἑνὸς ὀνόματος πράγματα· οὐ γὰρ ἐπὶ ταὐτοῦ κατηγορηθήσεται, οὐδὲ ἔσται ἀληθευόμενον κατὰ τοῦ σημαινομένου ὑπὸ τοῦ ἀνθρώπου τὸ σημαινόμενον ὑπὸ τοῦ οὐκ ἀνθρώπου, εἴ γε διαφέρει τε αὐτὰ τὰ ὀνόματα ἀλλήλων, καὶ τὰ διαφέροντα διαφερόντων ἐστὶ δηλωτικά, καὶ ἑνὸς ἕκαστον καὶ φύσεως μιᾶς· οὐ γὰρ ἂν ἔτι εἴη τὸ ὑπ' ἀνθρώπου σημαινόμενον ἕν, ὡς ἐρρέθη, εἰ ἀληθεύοιτο ἐπ' αὐτοῦ καὶ τὸ οὐκ ἄνθρωπος, ἄλλου πράγματος ὂν σημαντικόν. ὁ δὲ αὐτὸς λόγος ὃς ἐπ' ἀνθρώπου καὶ οὐκ ἀνθρώπου, καὶ ἐπὶ τῶν ἄλλων πάντων. εἰ δὲ μὴ τὰ ὑπὸ τῶν ὀνομάτων τούτων δηλούμενα συνυπάρχει, οὐκ ἂν τῇ καταφάσει τῇ λεγούσῃ εἶναι ἄνθρωπον τόδε, ἅμα ἂν συναληθεύοιτο ἡ ἀπόφασις λέγουσα μὴ εἶναι ἄνθρωπον τόδε. ὁ μὲν νοῦς τῆς ἐπιχειρήσεως οὗτος, τὰ δὲ πρὸς τὴν λέξιν οὕτως. εἰ τὸ ἄνθρωπος, φησίν, ὄνομα σημαίνει ἕν τι, εἰλήφθω ὃ σημαίνει, καὶ ἔστω τοῦτο τὸ ζῷον δίπουν. ἑξῆς δὲ ἐξηγεῖται τί ἐστι τὸ ἓν σημαίνειν τὸ ὄνομα. id.

1006a 34 "λέγω — εἶναι." τὸ γὰρ ἓν σημαίνειν τοῦτο εἶναί φησι τὸ εἰ τοῦτ' ἔστι τὸ ἄνθρωπος σημαῖνον (τοῦτο γὰρ δεῖ προσυπακούειν τῷ "εἰ τοῦτ' ἔστι"), πᾶν ὃ ἂν ᾖ ἄνθρωπος ὄν, τοῦτο ἔσται αὐτῷ τὸ ἀνθρώπῳ εἶναι, τὸ εἶναι τοῦτο ὃ ὁ ἄνθρωπος ἐσήμαινεν. οὐ γὰρ δὴ τοῦ ἀνθρώπου σημαίνοντος ἕν, τὸ ζῷον πεζὸν δίπουν, ἔσται τις ἄνθρωπος ὃς οὐκ ἔσται ζῷον πεζὸν δίπουν. τί δέ ἐστι τὸ σημαινόμενον, ὁρίζεται καὶ γνώριμον ποιεῖ ὑπὲρ τοῦ δεῖξαι ὅτι μή, εἴ τι κατά τινος λέγεται, ἤδη τοῦτο καὶ ἓν σημαίνει, ὡς καὶ προϊὼν ἐρεῖ. οὐ γὰρ εἰ τὸ λευκὸν κατὰ τοῦ Σωκράτους λέγοιτο, ὁ Σωκράτης καὶ τὸ εἶναι Σωκράτης ὑπὸ τοῦ λευκοῦ σημανθήσεται. ὅσα δὴ οὕτω κατηγορεῖται ὡς φύσιν τε καὶ οὐσίαν σημαίνειν, ὡς ἔχει τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα, ταῦτα ὡς ἓν σημαίνοντα λαμβάνεται. καὶ οὕτως ἐφ' ἑκάστου τῶν ὀνομάτων ἕν τι σημαίνεται. ἐξηγήσατο δὲ πῶς εἶπε τὸ ἓν σημαίνειν, ἵνα μὴ ἓν κατὰ τὸν ἀριθμόν τις αὐτὸν ἡγῆται λέγειν, μηδὲ ἓν τὸ καθ' ἑνὸς τῷ ἀριθμῷ λέγεσθαι, ὡς ἐρεῖ, ἀλλὰ μίαν τινὰ φύσιν. εἰ γὰρ ὁ ἄνθρωπος ζῷον δίπουν σημαίνει, καὶ τὸ ἀνθρώπῳ εἶναι ἐν τούτῳ ἔσται ἐν τῷ ζῴῳ δίποδι εἶναι. λαβὼν δέ, εἰ ἓν σημαίνει ἕκαστον ὄνομα, ἓν ἔσεσθαι καὶ τὸ σημαινόμενον, διαφέρειν φησὶ μηδὲν πρὸς τὸν λόγον κἂν πλείω τις λέγοι ὑφ' ἑκάστου ὀνόματος σημαινόμενα, μόνον δὲ ὡρισμένα, ἐπεὶ ἔστι τινὰ ὁμώνυμα· ἐνέσται γὰρ ἑκάστῳ τῶν σημαινομένων ἴδιόν τι ὀνόματος σημεῖον θέσθαι, ὡς εἴωθε γίνεσθαι ἐν τῇ τῶν ὁμωνύμων διαιρέσει. εἰ γὰρ ἀόριστα καὶ ἄπειρα λέγει τις σημαίνεσθαι, δόξει τὸ ἑπόμενον ἄτοπον· ὁ γὰρ τοῦτο λέγων ἀναιρήσει τὸ σημαίνειν τι τὰ ὀνόματα καὶ ὅλως τὸν λόγον. εἰ γὰρ ἕκαστον τῶν ὀνομάτων μηδὲν μᾶλλον τοῦτο καθ' οὗ κατηγοροῖτο σημαίνειν λέγοιτο ἢ ἄλλο ὁτιοῦν καὶ τὸ τυχόν, οὐδὲν ἂν σημαίνειν λέγοιτο· τί γὰρ μᾶλλον τόδε τι ἢ τὸ τυχόν; καὶ τί μᾶλλον τόδε ὑπὸ τοῦδε ἢ τοῦ τυχόντος σημανθήσεται πάντων ἄπειρα σημαινόντων; εἰ δὲ πλείω μὲν ὡρισμένα δέ τις λέγοι σημαίνειν ἕκαστον ὄνομα τῶν ὑπὸ τοῦ κοινοῦ ὀνόματος δηλουμένων, ἴδιος ἑκάστου λόγος ἔσται· οἷον εἰ ὁ ἄνθρωπος λέγοιτο καὶ κατὰ τοῦ ζῴου καὶ κατὰ τῆς εἰκόνος, εἴη ἄν, ὅταν μὲν τὸ ὡς ζῷον σημαίνῃ ἄνθρωπος, ὁ λόγος τοῦ σημαινομένου ζῷον πεζὸν δίπουν, ὅταν δὲ τὸ ὡς εἰκόνα, μίμημα τῆς τοιαύτης οὐσίας. ὁμοίως δὲ κἂν ἄλλο τι σημαίνῃ, ἔσται κἀκείνου λόγος ἴδιος. ὥστε ὄντων ὡρισμένων τῶν πλειόνων τῶν ὑπὸ τοῦ αὐτοῦ σημαινομένων ὀνόματος, ὧν διάφοροι οἱ λόγοι, ἔσται ἑκάστου τῶν σημαινομένων ἴδιόν τι σημεῖον καὶ ἴδιόν τι ὄνομα θέσθαι, ὃ σημαντικὸν ἔσται ἑνὸς μόνου τῶν τοὺς διαφόρους λόγους ἐχόντων· πεπερασμένων γὰρ ὄντων οἷόν τε ἔσται περιλαβεῖν τε αὐτὰ τῇ διανοίᾳ, καὶ ἑκάστῳ αὐτῶν ἴδιον ὄνομα καὶ σημεῖον ἐντάξαι, ὃ μηδὲν ἄλλο ἢ τοῦτο σημαίνει. ἰδίου δὲ ἑκάστου ὀνόματος ἐπιτεταγμένου, ἔσται πάλιν τῶν οὕτω διαφόρων ὀνομάτων διάφορα καὶ τὰ σημαινόμενα, ὥστε καὶ τὸ τόδε εἶναι καὶ τὸ αὐτὸ τοῦτο μὴ εἶναι ὑπ' ἄλλων σημανθήσεται, εἴγε μὴ ταὐτά ἐστιν ἀλλήλοις. εἰπὼν δέ, ἂν ὡρισμένα τις συγχωρήσῃ εἶναι τῶν ἐφ' ἑκάστου ὀνόματος πολλὰ σημαίνεσθαι λεγόντων, εἰς ταὐτὸν ἐλεύσεσθαι τὸν λόγον εἰς ὃ καὶ εἰ τὴν ἀρχὴν ὑπέκειτο ἓν ὄνομα ἑνός τινος εἶναι πράγματος δηλωτικόν (τῷ γὰρ ἑκάστῳ τῶν πολλῶν οἰκεῖόν τι κεῖσθαι ὄνομα, ἑνὸς μόνου τοῦ καταλειπομένου ἔσται σημαντικὸν τὸ ἐξ ἀρχῆς ὄνομα κείμενον, οἷον ὁ ἄνθρωπος), ἑξῆς λέγει πρὸς τοὺς φήσαντας ἂν ἄπειρα ὑφ' ἑκάστου ὀνόματος εἶναι τὰ σημαινόμενα. εἰ γὰρ μὴ 1006b 5.
τεθείη, φησί, τουτέστι συγχωρηθείη πεπερασμένα εἶναι τὰ ὑφ' ἑκάστου ὀνόματος σημαινόμενα, ἀλλ' ἄπειρα, ἀναιροῖτο ἂν πάλιν οὕτως ὁ λόγος. ὁ μὲν γὰρ λόγος κεῖται ἡμῖν, ὥσπερ καὶ τὸ ὄνομα, φωνὴ εἶναι σημαντική, οὐκέτι δὲ γίνεται σημαντικὸς κατὰ τοὺς λέγοντας ἄπειρα ὑφ' ἑκάστου σημαίνεσθαι. ὃ γὰρ μὴ ἕν τε καί τι σημαίνει ὡρισμένον, οὐδ' ἂν σημαίνει τὴν ἀρχήν· πᾶς γὰρ ὁ σημαίνων τι σημαίνει. μηδὲν δὲ σημαινόντων τῶν ὀνομάτων ἀναιρεῖται πάλιν τὸ σημαίνειν αὐτά· οὕτω δὲ ἀναιρεῖται πάλιν ὁ λόγος καὶ τὸ πρὸς ἄλλον διαλέγεσθαι. καθὸ μὲν γὰρ πλείω μὲν ἕκαστον ὄνομα σημαίνῃ, ὡρισμένα δέ, κατὰ τοῦτο δὴ οὐκ ἀνῃρεῖτο τὸ ἕν τι ὑπὸ τοῦ ὀνόματος σημαίνεσθαι. ἕκαστον γὰρ τῶν σημαινομένων ὑπὸ τοῦ ὀνόματος ἀριθμῷ ἓν ἦν, καὶ ἦσαν τοσαῦται ἑνάδες σημαινόμεναι· ὃ ἐπὶ τοῦ ἀπείρου οὐκέθ' οἷόν τε τῷ μηδὲ ἀριθμὸν τῶν σημαινομένων

1. ἐκείνου om *C.* ‖ 4. πράγματος *A.* ‖ 9. ἀλλὰ *C.* ‖ 13. ἄνθρωπον τόδε om *C.* ‖ 14. οὗτος] τοιοῦτος *A.* ‖ 18. τοῦτ' *A.* ‖ 20. ὂν om *V.* ‖ 25. ἤδη καὶ τοῦτο ἓν *AV.* ‖ σημαίνειν *C.* ‖ οὐ γὰρ εἰ om *A.* ‖ 27. μανθάνεται *V.* ‖ 28. ταῦτα] τῷ τὰ *V.* ‖ 29. λαμβάνονται *AV.* ‖ ὑφ' *C.* ‖ 30. τὸ om *V.* ‖ 31. τὸ om *CV.* ‖ 33. τὸ] τῷ *A.* ‖ 34. σημαίνοι *A.* ‖ 35. διαφέρει *V.* ‖ 40. λέγων] λαβὼν *A.*

3. οὐδὲν ἂν om *C.* ‖ 5. δὴ *A.* ‖ 7. *cum homo animal significaverit, ratio significati erit animal pedestre bipes* Sepulv. ‖ 9. σημαίνειν ζῷον *C.* ‖ 10. εἰκόνος *C.* ‖ τῆς om *CV.* ‖ 11. σημαίνει *V*, l. σημαίνοι. ‖ 17. ἐντάξαι *C.* ‖ 21. συγχωρήσει *A.* ‖ ἐφ'] ὑπὲρ *C.* ‖ 28. τουτέστι εἰ μὴ συγχωρηθείη *A.* ‖ 29. πάλαι *A.* ‖ 30. λόγος εἶναι. ὁ *C.* ‖ 31. σημαντικὴ *C.* ‖ 34. ἀναιρεῖται — 35. δὲ om *A.* ‖ 37. ἀναίροιτο *C.* ‖ 40. τῷ] τὸ *C.*

τοῦ λόγου χρῆται πρὸς αὐτόν. εἰ γὰρ ἦν τι ταῦτα σημαίνοντα, ἦν ἂν τοῖς σημαινομένοις ὑπ' αὐτῶν καὶ ὀνόματα τίθεσθαι, καὶ οὕτως ἂν ἦν καὶ ἡ φωνὴ σημαίνουσα. οὕτω δὲ αὐτὸς ἂν ὁμολογοίη μὴ χρῆσθαι λόγῳ· ὁ γὰρ λόγος φωνὴ σημαντική. ὁμοίως δὲ καὶ ἀναιρεῖ λόγον κἂν λέγῃ μηδὲν μᾶλλον σημαίνειν αὐτὸ ἢ μὴ σημαίνειν. εἰ οὖν μὴ σημαίνει ὅταν λέγῃ τι, οὔτ' ἂν διαλέγεσθαι εἴη· πάλιν γὰρ οὗτος ὅμοιος γίνεται φυτῷ. ἂν δὲ διδῷ καὶ συγχωρῇ σημαίνειν δι' ὧν λέγει, τοῦτο λαβόντας δυνατὸν ἔσται ἔλεγχον τοῦ προκειμένου ποιήσασθαι· ἀντὶ γὰρ τοῦ ἐλέγχου τῇ ἀποδείξει ἐχρήσατο. ὁ γὰρ τοῦτο δοὺς ἤδη τι ὁρίζει· δίδωσι γὰρ ὡρισμένον τι εἶναι τὸ ὑφ' ἑκάστου λόγου σημαι-
1006a 24. νόμενον· ἀόριστον γὰρ τὸ οὐδὲν μᾶλλον τοῦτο ἢ τοῦτο. ἢ τὸ "ἔσται δή τι ὡρισμένον" αὐτὸ τοῦτο δεδομένον τὸ σημαῖνόν τι· τούτου δὴ δοθέντος ἔσται ἀπόδειξις, τουτέστιν ἔλεγχος, οὗ ἐλέγχου αἴτιος οὐχ ὁ ἐλέγχων ἀλλ' ὁ ἐλεγχόμενος· ἐκ γὰρ ὧν δίδωσιν ἐλέγχεται. εἰ μὲν γὰρ ἀφ' αὑτοῦ δεικνὺς τὸ μὴ δύνασθαι ἐπὶ τοῦ αὐτοῦ ἅμα εἶναί τε καὶ μὴ εἶναι ἀληθεύεσθαι, ἐλάμβανε τὸ τὸν λόγον σημαίνειν τι καὶ ὥριζε τοῦτο, ἐδόκει ἂν τὸ ἐν ἀρχῇ λαμβάνειν (*)· ἐπεὶ δὲ ὁ τῇ θέσει παριστάμενος ἐκείνῃ αὐτός ἐστιν ὁ ἀναγκασθεὶς συγχωρῆσαι τοῦτο, ἐκεῖνος τοῦ ἐλέγχου αἴτιος, ἀναιρῶν λόγον. ὁ γὰρ λέγων πᾶν οὐδὲν μᾶλλον οὕτως ἢ οὐχ οὕτως ἔχειν (τοῦτο γὰρ ἦν τὸ ἀναιρεῖν τὴν ἀντίφασιν) ἀναιρεῖ λόγον. ἀναιρῶν δὲ λόγον χρῆται λόγῳ· τοῦτο γὰρ τὸ ὑπομένειν λόγον. ἔδειξε δὲ δι' ὧν εἶπεν ὅτι ἀνῃρῆσθαι λέγει λόγον ὁ μηδὲν σημαίνειν αὐτὸν λέγων. ἢ εἰ ἔστι λόγος, ἔστι τι καὶ ὡρισμένον τιθέμενον, καὶ οὐκ ἐπὶ παντὸς ἀληθὲς τὸ οὐδὲν μᾶλλον τοῦτο ἢ τοῦτο. ἐφυλάξατο δὲ τὸ δοκεῖν κυρίως αὐτοῦ ἀπόδειξιν πεποιῆσθαι, ὅτι ἔκειτο αὐτὸ εἶναι ἀναπόδεικτόν τε καὶ ἁπάντων τῶν ἀξιωμάτων ἀρχή. Alex.

1006a 26. (*) "ὑπομένει λόγον," τουτέστι πειρώμενος ἀνατρέψαι τὴν ἀντίφασιν τίθησιν αὐτήν, ἐκ τῶν παρ' αὐτοῦ λεγομένων ἐλεγχόμενος ὑπὸ τῆς ἀληθείας. πρῶτον μὲν οὖν ἀληθὲς ὑπάρχει ὅτι σημαίνει τὸ ὄνομα τὸ εἶναι ἢ γοῦν μὴ εἶναι τόδε. Asclep.

1006a 28. "ἔτι — ἔχοι." τὸ λεγόμενον τοιοῦτόν ἐστιν. ἄν τις δῷ σημαίνειν τι τὸν λόγῳ χρώμενον δι' ὧν λέγει, ἤδη ἔλεγχος ἔσται· δηλώσει γάρ τι καὶ ὁρίσει ὁ τοῦτο δούς. καὶ οὐ φησιν οὐ τοῦτο μᾶλλον ἢ τὸ ἀντικείμενον· οὐ γὰρ λέγει ὁ τοῦτο συγχωρῶν, οὐ μᾶλλον σημαίνει τι ὁ λόγος ἢ οὐ σημαίνει, ἀλλὰ συγχωρεῖ σημαίνειν, ὃ καὶ
1006a 26. αὐτὸς ἐδήλωσε διὰ τοῦ "πρῶτον μὲν οὖν δῆλον" καὶ τῶν ἑξῆς. ἀναιρεῖν γάρ ἐστι λόγον, ὥσπερ διὰ τοῦ λέγειν ὅτι μηδὲν μᾶλλον σημαίνει ἢ μὴ σημαίνει, οὕτω καὶ διὰ τοῦ μηδὲν μᾶλλον εἶναι τόδε τι ἢ μὴ εἶναι. ὅτι δ' ἔστιν ἐλέγχειν τὸν ἅπαξ συγχωρήσαντα τοῦτο, διὰ τῶν ἑξῆς δείκνυσί τε καὶ ἐπέξεισιν. οὗτος δὲ τοῦ ἐλέγχου αἴτιος, οὐχ ὁ ἐρωτῶν. εἰ γὰρ αὐτὸς ἀφ' ἑαυτοῦ ἔλαβε τοῦτο ὁ λαμβάνων τοῦτο, ὡς εἶπεν, ἔδοξεν αὐτὸ τὸ ἐν ἀρχῇ λαμβάνειν· ἀλλ' ὁ ἀποκρινόμενος, ἀναγκαζόμενος ἢ ἀναιρεῖν λόγον ἢ μαχόμενα ἀποκριθῆναι τῇ θέσει τῇ αὐτοῦ. καὶ προστίθησι τὴν αἰτίαν. ἀναιρῶν γὰρ ὅλως λόγον διὰ τῆς θέσεως. ὁ γὰρ λέγων ἐπὶ παντὸς οὐδὲν μᾶλλον τοῦτο ἢ τὸ ἀντικείμενον αὐτοῦ λόγον ἀναιρεῖ. ἀναιρεῖ γὰρ ὁμοίως τοῖς ἄλλοις καὶ τὸν λόγον μηδὲν μᾶλλον εἶναι ἢ μὴ εἶναι. τοῦτο δὲ ἀναιροῦντός ἐστι λόγον, ὅτι ὁ μὲν λόγος φωνὴ σημαντική, ὁ δὲ μηδὲν μᾶλλον σημαίνειν ἢ μὴ σημαίνειν αὐτὸν λέγων ἀναιρεῖ ἂν καὶ οὗτος λόγον. λέγοι δ' ἂν τοῦτο ὁ λέγων ἅμα τὴν ἀντίφασιν ἀληθεύειν ἐπὶ παντὸς δύνασθαι. ἀναιρῶν δὴ λόγον διὰ τῆς θέσεως, δι' ὧν ἀποκρίνεται συγχωρεῖ· λέγων γὰρ τὸν λόγον σημαίνειν, τίθησιν εἶναι λόγον, ὅ τι διὰ τῆς θέσεως ἀνῄρει, τοῦτο διὰ τοῦ ἀποκρίνεσθαι τιθείς. Alex.

"πρῶτον — μὴ εἶναι." τὸ πρῶτον, φησί, δοθέντος τοῦ τὰ λε- 1006a 28.
γόμενα σημαίνειν τι, ἀληθές ἐστι τὸ σημαίνειν τι τὸν εἶναί τι λέγοντα καὶ μὴ εἶναί τι ὁμοίως, ἀλλ' οὐχὶ καὶ σημαίνειν καὶ μὴ σημαίνειν. ὀνόματα δὲ εἶπε καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι. εἰ δ' ἀληθὲς ἐπ' αὐτῶν τὸ σημαίνειν, οὐκ ἀληθὲς δὲ τὸ μὴ σημαίνειν, οὐκέτι ἂν ἐπὶ παντὸς καὶ ἡ κατάφασις καὶ ἡ ἀπόφασις ἀληθὴς ἂν εἴη· τοῦ γὰρ σημαίνειν τὸ μηδὲν σημαίνειν ἀπόφασις ὂν οὐκ ἔστιν ἀληθὲς ἐπὶ τῶν σημαίνειν τι συγχωρηθέντων· εἰ γὰρ καὶ μὴ σημαίνοι, οὐκέτ' ἂν εἴη τὸ σημαίνειν συγχωρούμενον, οὕτω δὲ οὐκέτ' ἂν οὐδὲ ὁ λόγος εἴη. εἰπὼν δὲ "πρῶτον μὲν οὖν δῆλον ὡς τοῦτό γε αὐτὸ ἀληθές, ὅτι σημαίνει τὸ ὄνομα τὸ εἶναι," τοῦτο εἰπὼν προσέθηκε τὸ δι' ὃ σημαντικόν ἐστι τὸ ὡρισμένην τινὰ φύσιν σημαίνειν τὸ σημαῖνον. πάντως γὰρ ὁ σημαίνων τι ἢ αὐτῷ ἢ ἄλλῳ καὶ τόδε ἢ τόδε σημαίνει· τῶν γὰρ ὄντων τι σημαίνει καὶ διαφέρον τῶν ἄλλων ἃ μὴ ὑπ' αὐτοῦ σημαίνεται· οὐ γὰρ πάντα τῶν αὐτῶν σημαντικά, οὐδὲ ὑπὸ ἑνὸς πάντα σημαίνεται. id.

"ἔτι — δίπουν." λαβὼν ὅτι σημαίνει τὰ ὀνόματα καὶ ἕκαστον 1006a 31.
αὐτῶν τοδί, καὶ δείξας διὰ τοῦ ὅτι μηκέτι δυνήσεται λέγειν ὁ τοῦτο συγχωρήσας τὸ οὐδὲν μᾶλλον τοῦτο ἢ τὸ ἀντικείμενον αὐτοῦ, νῦν τούτῳ προσχρώμενος δείκνυσιν ὅτι ἐπὶ μηδενὸς οἷόν τε τὴν ἀντίφασιν συναληθεύειν. διὰ πλειόνων δὲ λέγει τε καὶ δείκνυσι τὸ προκείμενον. αἴτιον δὲ τούτου ὅτι μεταλαμβάνει τὰ δι' ὧν δείκνυσιν ὃ βούλεται, καὶ κατασκευάζει αὐτὰ ὡς δεόντως λαμβανόμενα· διὸ καὶ ἀσαφεστέρα ἡ λέξις. ἐκλαβόντι δὲ ὁ νοῦς τῆς ἐπιχειρήσεως τοιοῦτος. εἰ ἕκαστον ὄνομα σημαίνει, καὶ ἕν τι σημαίνει· τὸ γὰρ σημαῖνον τι σημαίνει, τὸ δέ τι καὶ ἕν· καὶ γὰρ εἰ κατὰ πλειόνων τὰ ὁμώνυμα, ἀλλ' οὐχ ἅμα γε πάντα σημαίνει ὁ χρώμενος αὐτοῖς ὡς σημαίνων τι δι' αὐτῶν. τὰ διαφέροντα δὴ ὀνόματα καὶ μὴ ταὐτὸν σημαίνοντα τῷ κειμένῳ ἓν σημαίνειν δῆλον ὡς οὐ ῥηθήσεται κατ' ἐκείνου·

2. *αὐτοῦ C.* ‖ 4. *καὶ* om *A.* ‖ 6. *λέγοι A.* ‖ 15. *ἀπ' αὐτοῦ C.* ‖ 18. *συγχωρεῖν A.* ‖ 20. *ἔχει AC.* ‖ 21. *χρῆται — 22. λέγει λόγον* om *A.* ‖ 32. *ἔχει C.* ‖ 37. *ἂν* et 39. *τόδε* om *C.*

1. f. *ἀλλὰ νῦν.* ‖ 5. prius *ἀναιρεῖ* om *A.* ‖ *ἀναιρεῖ. ἐρεῖ γὰρ C.* ‖ 7. *ἐστι* om *AC.* ‖ *quod quid aliud est quam sermonem tollere? est enim sermo vox significativa* Sepulv. ‖ 12. *τι* om *A.* ‖ 15. *ἀληθές — σημαίνειν τι* om *C.* ‖ 16. *καὶ τὸ μὴ εἶναι A.* ‖ 19. *εἶεν A.* ‖ 25. *ὡρισμένον A.* ‖ 27. *ἃ*] *μὲν A.* ‖ 31. *δεῖξαι C.* ‖ 35. *δὴ A.* ‖ 37. *ἀσαφεστάτη V.* ‖ 40. *αὐτῷ C.* ‖ *ὡς*] *καὶ A.*

1006a 2. χρῶνται — φύσεως." ὥσπερ Ἡράκλειτον οἴονται τινές. ἕπεται δὲ τοῦτο καὶ τοῖς λέγουσιν ἑκάστῳ τὸ φαινόμενον καὶ εἶναι τοιοῦτον, ὧν εἶεν ἂν οἵ τε περὶ Δημόκριτον καὶ Πρωταγόραν. φαίνεται γάρ τισι περὶ τοῦ αὐτοῦ τὰ ἀντικείμενα· εἰ δὲ καὶ ἔστιν ὡς φαίνεται, εἴη ἂν περὶ τὸ αὐτὸ ἅμα τὰ ἐναντία τε καὶ τὰ ἀντικείμενα. "ἡμεῖς δὲ νῦν εἰλήφαμεν ὡς ἀδυνάτου ὄντος ἅμα εἶναι καὶ μὴ εἶναι." διὰ τοῦ λαβεῖν ὅτι ἀδύνατον τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι ὡς ἐναργὲς συνέστησε βεβαιοτάτην καὶ γνωριμωτάτην ἀρχὴν τὴν τῆς ἀντιφάσεως. εἵπετο γὰρ ἀδύνατον ἅμα τἀναντία τῷ αὐτῷ ὑπάρχειν τε καὶ ὑπολαμβάνειν ἅμα τὸ τῷ αὐτῷ εἶναί τε καὶ μὴ εἶναι ἀδύνατον εἶναι· ἐναντίαι γὰρ ὑπολήψεις αὗται. ἐπεὶ τοίνυν ἡμεῖς μὲν ἐδείξαμεν διὰ τοῦ τοῦτο λαβεῖν τὸ ἀξίωμα τῆς ἀντιφάσεως ὂν βεβαιότατόν τε καὶ γνωριμώτατον, εἰσὶ δὲ οἷς δοκεῖ δύνασθαι ἅμα εἶναί τε καὶ μὴ εἶναι, ὧν ἕπεται τὸ καὶ τὴν ἀντίφασιν συναληθεύεσθαι, καὶ ἀξιοῦσι καὶ αὐτὸ τοῦτο ἀποδεικνύναι ἡμᾶς τὸ μὴ δύνασθαι τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, καὶ μὴ ὡς γνώριμον ἤδη αὐτόθεν καὶ ἐναργὲς λαμβάνειν, μέλλων λέγειν πρὸς αὐτούς, πρῶτόν φησι τοὺς καὶ τοῦτο ἀξιοῦντας αὐτὸ δείκνυσθαι δι' ἀπαιδευσίαν τῶν ἀναλυτικῶν, ὡς εἴρηκεν ἤδη, τοῦτο ἀξιοῦν. δέδεικται γὰρ ἐν τοῖς Ἀναλυτικοῖς (Ὑστέρ. 1 3) τίνα τέ εἰσιν ἀποδεικτικὰ καὶ τίνα οὔ, καὶ ὅτι ἀναιρεῖται τὰ ἀναπόδεικτα καὶ αὐτόθεν γνώριμα, ἂν εἰς ἄπειρον προΐει. εἰ δὲ δώσουσιν ἀπόδειξιν εἶναι καὶ εἶναί τινα ἀναπόδεικτα, τίνα πρὸ τούτου τοῦ ἀξιώματος εἶναι μᾶλλον ἀρχὴν ἐροῦσιν οὐ δεομένην ἀποδείξεως, ἀπαιτητέον αὐτούς· 1006a 9. οὐ γὰρ ἕξουσιν εἰπεῖν. τὸ δὲ "ὥστε μηδὲ οὕτως εἶναι ἀπόδειξιν" εἶπεν ἤτοι ὅτι ἀναιρεῖται μὲν ἀπόδειξις καὶ διὰ τοῦ μὴ συγχωρεῖν εἶναί τινα ἐξ αὐτῶν ἀληθῆ τε καὶ πιστά, ἀναιρεῖται δὲ καὶ διὰ τῆς εἰς ἄπειρον προόδου· οὐ γὰρ μόνον ἀναιρεῖ ἀπόδειξιν ὁ ἀναιρῶν αὐτῆς τὰς ἀρχάς, ἀλλὰ καὶ ὁ λέγων πάντα ἀποδεικτὰ εἶναι ἀναιρεῖ ὁμοίως ἀπόδειξιν. ἢ τὸ "ὥστε μηδ' οὕτως" εἶπεν ἀντὶ τοῦ ὥστε οὕτω μὴ εἶναι ἀπόδειξιν. id.

1006a 11. "ἔστι — ἀδύνατον." αἰτιασάμενος τοὺς ἀξιοῦντας ἀποδείκνυσθαι ὅτι μὴ οἷόν τε τὸ αὐτὸ ἅμα εἶναί τε καὶ μὴ εἶναι, ὡς καὶ διὰ τοῦ τὰ τοιαῦτα ἀποδείκνυσθαι ἀξιοῦν ἀναιροῦντας ἀπόδειξιν, ὅμως, φησίν, ἔστι καὶ τοῦτο ἐλεγκτικῶς ἀποδεῖξαι, οὐχ ἁπλῶς, ἀλλ' ἂν λέγῃ τι καὶ ὀνομάζῃ μόνον καὶ χρῆται λόγῳ ὁ ἀμφισβητῶν καὶ σημαίνῃ τι δι' ὧν λέγει καὶ ἀποκρίνηται πρὸς τὰ ἠρωτημένα· ἂν γὰρ μήτε ἀποκρίνηται μήτε λέγῃ, γελοῖον τὸ λόγῳ χρῆσθαι πρὸς τὸν τοιοῦτον καὶ διὰ λόγου πειρᾶσθαι δεικνύναι τι τῷ μὴ ἔχοντι λόγον, καὶ διὰ λόγων πειρᾶσθαι ποιεῖσθαι συνουσίαν πρὸς τὸν ἐστερημένον τούτου. τοῦτο γάρ ἐστι τὸ "ᾗ μὴ ἔχει" λόγον, τὸ καθὸ μὴ ἔχει, κατὰ τοῦτο σημῆναι αὐτῷ. 1006a 14. τὸ δὲ "ὅμοιος γὰρ φυτῷ ὁ τοιοῦτος ᾗ τοιοῦτος ἤδη" ἴσον τῷ ἤδη γὰρ ὅμοιος φυτῷ ὁ τοιοῦτος ᾗ τοιοῦτος. τί δὲ διαφέρει ἡ ἐλεγκτικὴ ἀπόδειξις τῆς ἁπλῶς ἀποδείξεως, ἑξῆς λέγει (*). ὁ μὲν γὰρ ἁπλῶς ἀποδεικνὺς λαβὼν πρῶτά τινα καὶ γνωριμώτερα ὄντα τοῦ δεικνυμένου, οὕτω τὸ προκείμενον ἀποδεικνύναι πειρᾶται. οὐχ οἷόν τε δὲ πρῶτόν τι καὶ γνωριμώτερον τούτου λαβεῖν, ὡς προείρηται, ὥστε οὐδὲ ἀποδεῖξαι αὐτὸ οἷόν τε, ὅτι ἀφ' ἑαυτοῦ λαμβάνων τε καὶ τιθεὶς πᾶν εἶναι τοῦτο ὃ λέγει ἢ μὴ εἶναι δόξει τὸ ἐν ἀρχῇ αἰτεῖσθαι καὶ τὸ ζητούμενον προλαμβάνειν, ἐπεὶ περὶ τούτου ἡ ζήτησις ἦν. ὁ μέντοι ἔλεγχος ἐπεὶ πρὸς ἄλλον γίνεται καὶ ἐξ ὧν ὁ προσδιαλεγόμενος τίθησιν (ἔστι γὰρ ἔλεγχος συλλογισμὸς δι' ἐρωτήσεως εἰς ἀντίφασιν ἄγων), δύναται γίνεσθαι καὶ διὰ τῶν τοιούτων. οὐκέτι γὰρ οὔτε διὰ πρώτων ὁ τοιοῦτος συλλογισμός, οὔτε τὸ ἐν ἀρχῇ λαμβάνειν τις παρ' αὐτοῦ δόξει, ἂν ὁ προσδιαλεγόμενος συγχωρήσῃ πᾶν ἢ εἶναί τι ὃ λέγεται ἢ μὴ εἶναι. ἐκεῖνος γὰρ αἴτιος τοῦ τοιούτου ὁ ἀξιῶν δείκνυσθαί τε τὰ αὐτόθεν γνώριμα, καὶ διδόναι ταῦτα ἀναγκαζόμενός τε καὶ δυσωπούμενος, ἃ εἰ ὁ ἀποδεικνὺς ἐτίθει ἀφ' ἑαυτοῦ, ἐδόκει ἂν τὸ ἐν ἀρχῇ αἰτεῖσθαι· ὡς γὰρ εἶπε Θεόφραστος ἐν τῷ περὶ Καταφάσεως, βίαιος καὶ παρὰ φύσιν ἡ τούτου τοῦ ἀξιώματος ἀπόδειξις. id.

(*) ἐὰν γάρ τις τῇ Σύρων διαλέκτῳ χρήσαιτο πρὸς Αἰγύπτιον, οὐ διαλέγεται αὐτῷ. ὥστε πᾶσά ἐστιν ἀνάγκη καὶ σημαντικοῖς ὀνόμασι χρῆσθαι ὑμᾶς καὶ γνωρίμοις. Asclep. 1006a 12.

1006a 18. "ἀρχὴ — εἶναι." τοῦ ἐλεγκτικοῦ συλλογισμοῦ καὶ τοῦ πρὸς ἄλλον γινομένου περὶ τῆς τοῦ προκειμένου ἀξιώματος δείξεως ἀρχήν φησιν εἶναι τὸ ἀξιοῦν τὸν προσδιαλεγόμενον ἢ εἶναί τι λέγειν ἢ μὴ εἶναι, τουτέστιν ἐρωτητέον αὐτὸν εἰ μὴ δοκεῖ αὐτῷ πᾶν ἢ εἶναι τοῦτο ὃ λέγεται ἢ μὴ εἶναι, οἷον ἄνθρωπον ἢ εἶναι ἄνθρωπον ἢ μὴ εἶναι, ὁμοίως ἵππον κύνα, τὰ ἄλλα. εἰπὼν δὲ ταῦτα ἀρχὴν εἶναι, καὶ ταύτην δεῖν τὴν πρότασιν ἐρωτᾶν τὸν προσδιαλεγόμενον ὡς παρ' αὐτοῦ λαμβανομένην, φησὶ δόξειν τὸν τοῦτο ἐξετάζοντα τὸ ἐν ἀρχῇ καὶ τὸ ζητούμενον ἀξιοῦν λαβεῖν. ὁ γὰρ ἀμφισβητῶν πρὸς τὸ μὴ δύνασθαι ταὐτὸν ἅμα εἶναί τε καὶ μὴ εἶναι, οὐ συγχωρήσει πᾶν ὃ λέγεται ἢ εἶναι ἢ μὴ εἶναι, ἀλλὰ καὶ εἶναι καὶ μὴ εἶναι. τοῦτο γὰρ ἦν αὐτῷ ὑποκείμενον διὰ τὴν τοιαύτην ἐρώτησιν· καὶ προεῖπεν ὅτι δόξει τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ὁ τοῦτο λαμβάνων. διὸ ταύτης ἀφέμενος τῆς ἐρωτήσεως ἐπ' ἄλλην μέτεισι. καταλληλότερον δὲ ἡ λέξις ἔχοι ἄν, εἰ ἀντὶ τοῦ "τοῦτο μὲν γὰρ τάχα ἄν τις ὑπολάβοι τὸ ἐξ ἀρχῆς αἰτεῖν" 1006a 20. εἴη γεγραμμένον "τὸ τούτου μὲν τάχα ἄν τις," ὡς καὶ φέρεται ἔν τισιν. φέρεταί τις καὶ τοιαύτη γραφή "ἀρχὴ δὲ πρὸς ἅπαντα τὰ τοιαῦτα οὐ τὸ ἀξιοῦν λέγειν τι εἶναι ἢ μὴ εἶναι." καὶ ἔστι γνωριμώτερον τὸ λεγόμενον οὕτως. ἀξιοῖ δὴ ἐρωτᾶν τὸν προσδιαλεγόμενον εἰ λέγων τι σημαίνει δι' ὧν λέγει τε καὶ ὀνομάζει καὶ ἑαυτῷ καὶ ἄλλῳ, καὶ ἔστι τι καθ' οὗ φέρων τὸ ὄνομα καὶ ὃ σημαίνειν βουλόμενος λέγει τε καὶ προφέρεται αὐτό. ὁ γὰρ λέγων μηδὲν σημαίνειν δι' ὧν λέγει τε καὶ ἀποκρίνεται, οὗτος οὔτ' ἂν πρὸς αὐτὸν λέγοι τι οὔτε πρὸς ἄλλον. οὐδὲ γὰρ τὰ νοήματα ἔσται σημαίνοντά τι, οἷς ἀντὶ τῶν ὀνομάτων καὶ

2. δὴ *V.* ‖ 4. εἰ — 5. ἀντικείμενα et 8. τὴν om *C.* ‖ 10. τῷ τὸ αὐτὸ *A.* ‖ 12. τοῦτο et 14. καὶ ante τὴν om *C.* ‖ 17. αὐτό *C.* ‖ 20. αὐτόθι *A.*
21. τῆς om *A.* ‖ 25. ταύτην τὴν ἀρχὴν *A.* ‖ 27. λαμβανόμενα *A.* ‖ 35. τό, τοῦτο *V.* ‖ 38. δὲ *C.* ‖ 41. μηδὲν δὲ σημαίνειν δι' *A.*

καὶ ὑπολαμβάνειν αὐτόν, ὥστε κἂν τοῦτο ᾖ ὑπὸ Ἡρακλείτου λεγόμενον, ὡς οἴονταί τινες, οὐκ ἀναγκαῖον, εἰ λέγει τοῦτο, ἤδη καὶ ὑπολαμβάνειν αὐτόν. οὐ γὰρ πάντα ἃ λέγομεν, καὶ δοξάζομεν οὕτως ἔχειν· τὴν γοῦν ἀντίφασιν ὑπάρχειν μὲν εἰπεῖν τῷ αὐτῷ ῥᾴδιον καὶ παντός, οὐ μὴν καὶ δοξάσαι δυνατὸν οὕτως ἔχειν, ὥσπερ καὶ ἡμέρας οὔσης ὁρῶντα εἰπεῖν ὅτι νύξ ἐστι ῥᾴδιον, οὐ μὴν καὶ δοξάζειν οὕτως οἷόν τε. ὅτι δὲ ἀδύνατον τὸ αὐτὸ ὑπολαμβάνειν εἶναί τε καὶ μὴ εἶναι, ὅ ἐστι κατασκευαστικὸν τοῦ φανερωτάτην ἀρχὴν εἶναι τὸ μὴ συναληθεύεσθαι τὴν ἀντίφασιν, διὰ τὸ μὴ δύνασθαι περὶ αὐτὴν διαψεύσασθαι, οὕτω συλλογίζεται. Alex.

(γ) καὶ ἀδύνατόν ἐστιν αὐτὸ συναληθεύειν, καθάπερ, φησίν, ἀπαιδεύτως τινὲς τοῦτο ὑπελάμβανον, μάρτυρα παράγοντες τὸν Ἡράκλειτον, ἐπειδὴ ἔλεγεν ἐκεῖνος ἕνα ὁρισμὸν εἶναι πάντων τῶν πραγμάτων· εἰ γὰρ τῷ ὄντι πάντων τῶν πραγμάτων εἷς ὁρισμὸς ὑπάρχει, τὰ δὲ κοινωνοῦντα κατὰ τὸν ὁρισμὸν τὰ αὐτὰ ἀλλήλοις ὑπάρχουσι, συνδραμεῖται ἡ ἀντίφασις· εἷς γὰρ καὶ ὁ αὐτὸς ὁρισμὸς ἀγαθοῦ τε καὶ οὐκ ἀγαθοῦ... φησὶν οὖν ὁ Ἀριστοτέλης ἢ ὅτι οὐκ ἔλεγε τοῦτο ὁ Ἡράκλειτος, ἢ εἴπερ ἔλεγε, συμβολικῶς ἔλεγεν, ὡς εἴρηται ἐν τῇ φυσικῇ πραγματείᾳ... ἰστέον οὖν ὅτι οὐ πάντα ἅ τις λέγει, ταῦτα καὶ ὑπολαμβάνει. οὐκ ἀληθῶς οὖν οὕτως διέκειτο Ἡράκλειτος· εἴρηται γὰρ ἐν τῇ θεωρίᾳ ὅτι συμβολικῶς ταῦτα ἔλεγεν, ἢ ὅτι γυμναστικῶς, καθάπερ, φησίν, ὁ Ζήνων ὁ Ἐλεάτης ἐπειρᾶτο ἀναιρεῖν τὴν κίνησιν. Asclep.

1005 b 26. "εἰ — αὐτῷ." ὃ δέ ἐκ περισσοῦ δοκεῖ προσκεῖσθαι· ἔστι γὰρ εἰ μὴ ἐνδέχεται ἅμα τῷ αὐτῷ ὑπάρχειν τἀναντία. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. λαβὼν ὅτι ἀδύνατον τῷ αὐτῷ ἅμα ὑπάρχειν τἀναντία, ὡς ἐναργεῖ τούτῳ χρώμενος, δείκνυσιν ὅτι μὴ οἷόν τέ τινα ὑπολαβεῖν ἅμα συναληθεύεσθαι τὴν ἀντίφασιν· αἱ γὰρ δόξαι καὶ αἱ ὑπολήψεις, ἥ τε περὶ τοῦ τόδε ὑπάρχειν καὶ περὶ τοῦ τὸ αὐτὸ τοῦτο μὴ ὑπάρχειν, ἐναντίαι, τὰ ἐναντία δὲ ἀδύνατον ἅμα τῷ αὐτῷ ὑπάρχειν· ὡς γὰρ ἐναργεῖ καὶ ὁμολογουμένῳ τούτῳ προσχρῆται· ἀδύνατον ἄρα τὰς δόξας τὰς περὶ τοῦ τὸ αὐτὸ ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν ἅμα τῷ αὐτῷ συνυπάρχειν. ὅτι δὲ ἐναντίαι αἱ δόξαι τῆς ἀντιφάσεως, δέδεικται διὰ πλειόνων ἐπὶ τέλει τοῦ περὶ Ἑρμηνείας (c. 14). εἰπὼν δὲ μὴ ἐνδέχεσθαι ἅμα τὰ ἐναντία τῷ αὐτῷ ὑπάρ-
1005 b 27. χειν, προσέθηκε τὸ "προσδιωρίσθω δὲ ἡμῖν καὶ ταύτῃ τῇ προτάσει τὰ εἰωθότα." ὥσπερ περὶ τῆς ἀντιφάσεως εἰπὼν ἀδύνατον ἅμα τῷ αὐτῷ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ὑπάρχειν ἅμα καὶ μὴ ὑπάρχειν, εἶπε δεῖν καὶ τὰ ἄλλα προστιθέναι τῷ κατὰ τὸ αὐτό, ἃ προστίθεμεν φυλασσόμενοι τὰς ἐπιπλοκάς τε καὶ ἐνοχλήσεις τὰς σοφιστικάς, οἳ ὑποδυόμενοι τοῖς τοιούτοις πειρῶνται τὸ ἀξίωμα διαβάλλειν, δεικνύντες τὸ αὐτὸ ὑπάρχον καὶ μὴ ὑπάρχον τῷ αὐτῷ ἢ κατ᾽ ἄλλο καὶ ἄλλο μέρος ἢ ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ ἢ πρὸς ἄλλο καὶ ἄλλο ἢ ἄλλως καὶ ἄλλως, οὕτω φησὶ καὶ ἐπὶ τοῦ τῶν ἐναντίων διορισμοῦ πάντα δεῖν προστιθέναι· τὰ γὰρ ἐναντία τῷ αὐτῷ ἀδύνατον ὑπάρχειν ἅμα καὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως. εἰ δὲ μηδένα οἷόν τε δοξάζειν ἅμα τὸ αὐτὸ ὑπάρχειν καὶ μὴ ὑπάρχειν, φανερώτατον ἀξίωμα εἴη τὸ ἀδύνατον συνυπάρχειν τὴν ἀντίφασιν. τὸ δὲ "ἅμα γὰρ ἂν ἔχοι τὰς 1005 b 30.
ἐναντίας δόξας ὁ διεψευσμένος περὶ τούτου" ἴσον ἐστὶ τῷ ὁ γὰρ ὑπολαμβάνων τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι καὶ περὶ τοῦτο διεψευσμένος, ὡς τὰ μὴ συνυπάρχοντα συνυπάρχειν ἡγεῖσθαι, ἅμα ἂν ἔχοι τὰ ἐναντία· ἐναντία γὰρ ἀλλήλοις αἱ ἐναντίαι δόξαι· τοῦτο δὲ ἀδύνατον ἔκειτο. συλλογισάμενος δὲ καὶ δείξας τὸ αὐτό, ἐπιφέρει "διὸ πάντες οἱ ἀποδεικνύντες εἰς ταύτην ἀνάγουσιν ἐσχάτην δόξαν· 1005 b 32.
φύσει γὰρ ἀρχὴ καὶ τῶν ἄλλων ἀξιωμάτων αὕτη πάντων," λέγων πάντας τοὺς ἀποδεικνύντας ἐπὶ ἐσχάτην ταύτην ἀρχὴν ὡς αὐτόθεν γνώριμον καὶ ἐναργῆ καὶ ἀναμφισβήτητον τὸν λόγον ἀνάγειν· ἡγοῦνται γὰρ οὐκέτι δεῖν αὐτοῖς λόγου οἱ περί τινος συλλογιζόμενοι πρὸς ἀναίρεσιν τοῦ προκειμένου, ἂν δείξωσιν ἑπόμενον τῷ πρὸς αὐτῶν ἀναιρουμένῳ τὸ συναληθεύεσθαι τὴν ἀντίφασιν. τῶν δὲ ἀξιωμάτων ταύτην εἶπεν ἀρχὴν εἶναι οὐκ ἀποδεικτικήν (οὐδὲ γὰρ δεῖται ἀποδείξεως τὰ ἀξιώματα· οὐ γὰρ ἂν ἔτι ἀξιώματα εἶεν οὐδὲ ἀρχαί), ἀλλ᾽ ὅτι πολλάκις εἰς σύστασιν αὐτῶν καὶ πίστιν τούτῳ προσχρώμεθα. συνιστάντες γὰρ ὅτι τὰ τῷ αὐτῷ ὅμοια καὶ ἀλλήλοις ἐστὶν ὅμοια, λαμβάνομεν, εἰ γὰρ μὴ τοῦτο, οὐχ ὅμοια ἀλλήλοις ἔσται· εἰ δὲ μὴ ἀλλήλοις ὅμοια, οὐδ᾽ ἂν ἑνί τινι τῷ αὐτῷ ὅμοια εἴη, ἀλλὰ παραλλάσσοι ἂν αὐτοῦ, καθὸ καὶ ἀλλήλων· ἔκειτο δὲ ὅμοια εἶναι. τὰ αὐτὰ ἄρα ἅμα τῷ αὐτῷ ὅμοιά τε καὶ οὐχ ὅμοια· ἐφ᾽ ὃ ὡς εἰς ἀδύνατον φανερὸν ἀγαγόντες τὸν λόγον ἡγούμεθα βεβοηθηκέναι εἰς σύστασιν τῷ ἀξιώματι τῷ λέγοντι τὰ τῷ αὐτῷ ὅμοια καὶ ἀλλήλοις εἶναι ὅμοια. Alex.

"εἰσὶ — οὕτως." εἰπὼν βεβαιότατον ἀξίωμα εἶναι τὸ τῆς 1005 b 35.
ἀντιφάσεως, ἐπεὶ ἦσάν τινες οἱ οὐχ οὕτως ἔχειν ἔλεγον (λέγοντες μὲν οὕτως, οὐχ ὑπολαμβάνοντες δὲ οὕτως, ὅτι μηδὲ δυνατὸν τοῦτο, ὡς δέδεικται), ἐπὶ πλέον διὰ τῶν ἑξῆς τὸν πρὸς αὐτοὺς ποιεῖται λόγον. ἦσαν γάρ τινες οἱ οὐκ ἀδύνατον ἔλεγον εἶναι τὸ τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι· εἰ δὲ ἐνδέχεται τὸ αὐτὸ ἅμα εἶναί τε καὶ μὴ εἶναι, δῆλον ὡς καὶ ὑπολαμβάνειν οἷόν τε ἔσται ἅμα τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι· ὃ δοκεῖ δεδεῖχθαι ὂν ἀδύνατον. εἰ γὰρ διὰ τοῦ μὴ δύνασθαι τἀναντία ἅμα ὑπάρχειν ἀνῃρεῖτο τὸ καὶ ὑπολαμβάνειν δύνασθαι, εἰ δύναιτο ἅμα ὑπάρχειν τἀναντία, κἂν ὑπολαμβάνειν τις τοῦτο οὕτως ἔχειν δύναιτο ὄν γε ἀληθές. τῆς δὲ δόξης ταύτης φασὶ καὶ Ἡράκλειτόν τινες γεγονέναι, τἀναντία ταὐτὰ ἀλλήλοις εἶναι λέγοντα. λέγοιεν γὰρ ἂν οὕτω λέγοντα καὶ πρὸς τὸ κείμενον τὸ ὅτι τἀναντία ἀδύνατον ἅμα τῷ αὐτῷ ὑπάρχειν, δι᾽ οὗ δοκεῖ δεδεῖχθαι μὴ οἷόν τε ὂν τὸν αὐτὸν τὸ αὐτὸ ὑπολαμβάνειν εἶναί τε καὶ μὴ εἶναι. id.

5. καὶ post μὴν om *C.* ‖ 32. ὑπάρχειν συναληθεύειν *A* in mg. ‖ 33. ἅμα — συνυπάρχειν et 38. τὸ αὐτὸ ante κατὰ om *A.* ‖ 42. ὑπάρχειν — ὑπάρχειν *C.* ‖ 43. καὶ ἄλλῳ om *A.*

1. καὶ post φησὶ om *A.* ‖ 3. βαδίζειν *A1*, νομίζειν *A2.* ‖ 13. ὡς om *A.* ‖ 17. ἀξιωμάτων πάντων ταύτην *C.* ‖ 20. οὕτω *A.* ‖ 23. παραλάσσοιεν αὐτοῦ *C.* ‖ 25. ἅμα om *C.* ‖ ὃ] ᾧ *C.* ‖ 32. ποιεῖ *A.* ‖ 36. τοῦ] τὸ *C.*

καθ' ἑκάστην ἐπιστήμην ἀποδεικτικοῦ, καὶ τούτων τὸ ταύτας εἰδέναι· ὃ ποιήσει ἕκαστος αὐτῶν λαβὼν παρὰ τοῦ ἀποδεικτικοῦ τε καὶ φιλοσόφου τό τε πῶς ἐκ τῶν ὑπαρχόντων τῷ ἀποδεικνυμένῳ χρὴ τὰς ἀποδεικτικὰς λαμβάνειν προτάσεις, καὶ πῶς ταύτας ἀλλήλαις συμπλέκειν, καὶ τὰ ἄλλα ὅσα ἐν τοῖς περὶ ἀποδείξεως λέγεται. τὰ δὲ ἀξιώματα κοινῇ αἱ πάσης ἀποδείξεως ἀρχαί. id.

1005 b 8. "προσήκει — πράγματος." δείκνυσι ζητῶν τίνα τῶν ἀξιωμάτων ἐστὶ γνωριμώτατά τε καὶ κοινότατα· ταῦτα γὰρ δεῖ πρῶτα ἔχειν τὸν τῶν καθ' αὑτὰ ὑπαρχόντων τῷ ὄντι ἀποδεικτικόν. καὶ ὅτι ἀναγκαῖον τοῦτο συνίστησι. καθόλου γὰρ τὸν καθ' ἕκαστον γένος καὶ καθ' ἑκάστην φύσιν ἐπιστήμονα (οὗτος γὰρ ὁ μάλιστα γνωρίζων) δεῖ ἔχειν τὰς βεβαιοτάτας ἀρχὰς τῶν ἐν ἐκείνῃ τῇ φύσει καὶ εἰδέναι. βεβαιόταται δὲ ἀρχαὶ καθ' ἕκαστον γένος αἱ γνωριμώταται καὶ σαφέστεραι τῶν ἄλλων καὶ ἀναμφισβητητότεραι τοῖς περὶ ἐκεῖνο τοῦ γένους διαλαμβάνουσι· πρὸς γὰρ τὸ σημεῖον εἶναι οὗ μέρος οὐθέν, καὶ γραμμὴν τὸ μῆκος ἀπλατὲς καὶ ἐπιφάνειαν τὸ πλάτος καὶ μῆκος μόνον ἔχον, εἰ καὶ ἄλλος τις ἀντείποι, ἀλλὰ τῶν γε περὶ ταῦτα πραγματευομένων οὐδείς. ὥσπερ οὖν τὸν περὶ ἕκαστον γένος ἐπιστήμονα ἀναγκαῖόν ἐστιν εἰδέναι τὰς ἐκείνου τοῦ γένους βεβαιοτάτας ἀρχάς, τουτέστι τὰς πρώτας καὶ κυριωτάτας, δι' ἃς καὶ τῶν ἄλλων ἕκαστον τῶν ἐν ἐκείνῳ τῷ γένει τὸ εἶναι ἔχει (εἰ γὰρ ἀγνοεῖ τὰς ἀρχὰς τὰς κατὰ τὴν οἰκείαν ἐπιστήμην, οὐδ' ἂν ἐπιστήμην ἔχοι τοῦ πράγματος), οὕτω, φησί, καὶ τὸν τὴν τοῦ ὄντος ᾗ ὂν καθόλου ἐπιστήμην ἔχοντα ἀνάγκη τὰς πάντων βεβαιοτάτας ἀρχὰς εἰδέναι. ἔστι δὲ οὗτος ὁ φιλόσοφός τε καὶ ὁ σοφός· τῷ φιλοσόφῳ ἄρα ἀνάγκη τὰς πάντων τῶν ὄντων βεβαιοτάτας τε καὶ κυριωτάτας ἀρχὰς εἰδέναι. εἰ γὰρ τῷ περί τινος καταγινομένῳ τὴν ἐκείνου τοῦ γένους καὶ ἐν ἐκείνῳ τῷ γένει βεβαιοτάτην ἀρχὴν ἀναγκαῖον εἰδέναι, τῷ μὴ περί τι ὂν μηδὲ περί τι γένος ἀλλὰ καθόλου περὶ τὸ ὂν καὶ τὸ κοινότατον καὶ γενικώτατον ἔχοντι τὴν πραγματείαν ἀνάγκη τὰς πάντων τῶν ὄντων βεβαιοτάτας ἀρχὰς εἰδέναι. εἰ γὰρ εἴη τις αὐτῶν βεβαιοτέρα, ἔσται μοι καὶ αὕτη ὄντος· οὕτω δὲ οὐκέτι ἂν ἐκεῖναι εἶεν αἱ τοῦ ὄντος βεβαιόταται· αἱ ἄρα τοῦ ὄντος ἀρχαὶ βεβαιόταται. ἑξῆς δὲ τίς ἐστιν ἡ βεβαιοτάτη 1005 b 11. ἀρχὴ λέγει· περὶ ἣν γὰρ ἀδύνατον διαψευσθῆναι, αὕτη πασῶν ἀρχῶν βεβαιοτάτη. τὸ γὰρ βέβαιον ἀσάλευτον· οὐκ ἀσάλευτον δὲ ὃ δύναται καὶ οὕτω καὶ μὴ οὕτως ἔχειν ὑποληφθῆναι. καὶ δι' ἃ αὕτη ἐστὶ βεβαιοτάτη καὶ ἀρχὴ τῶν ὄντων, περὶ ἣν οὐ δυνατὸν διαψευσθῆναι, λέγει. ἀνάγκη τὴν τοιαύτην, περὶ ἣν ἀδύνατον διαψευσθῆναι, γνώριμόν τε ἐξ αὐτῆς εἶναι καὶ ἀνυπόθετον. ταῦτα δὲ δεῖ τῇ τῶν ὄντων ἀρχῇ ὑπάρχειν τῇ βεβαιοτάτῃ· γνώριμον γὰρ αὐτὴν δεῖ εἶναι, διότι ἡ ἀπάτη περὶ τὰ ἀγνοούμενα, ἀνυπόθετον δὲ καὶ ἐξ αὐτῆς ἐπιστητήν, ὅτι ἣν δεῖ ἔχειν τὸν ὁτιοῦν τῶν ὄντων γνωρίζοντα ὡς ἀρχὴν οὖσαν ἁπάντων τῶν γνωστῶν, οὐχ ὑπόθεσις αὕτη. εἰ γὰρ ὑπόθεσίς ἐστιν ὃ ἂν ἀποδεικτὸν ὂν χωρὶς ἀποδείξεως λαμβάνηται, οὐκ ἂν εἴη τοιαύτη ἣν ἀναγκαῖον ἔχειν τὸν ὁτιοῦν ξυνιέντα τῶν ὄντων· οὐ γὰρ οἷόν τε τὸ δι' ὑποθέσεως λαμβανόμενον ἀρχὴν εἶναι τῆς τῶν δεικτικῶν αὐτοῦ γνώσεως. δείξας δὲ ὅτι μὴ ἐξ ὑποθέσεως ἡ βεβαιοτάτη ἀρχή, προστίθησι τοῦτο, ὅτι ὃ γνωρίζειν ἀναγκαῖον τῷ ὁτιοῦν γνωρίζοντί τε καὶ γινώσκοντι τῶν ὄντων, τοῦτο οὐ δι' ἄλλου μαθεῖν οἷόν τε, εἴγε πᾶσα μάθησις ἐκ προγινωσκομένου τινός, ὥστε εἰ καὶ ταύτης εἴη μάθησις, προγινώσκοιτο ἂν ταύτης ἕτερά τινα. οὕτω δὲ οὐκέτι ἂν εἴη ἀρχὴ τῶν ὄντων, ἣν ἀναγκαῖον γνωρίζειν τὸν ὁτιοῦν ξυνιέντα τῶν ὄντων. ἥκειν ἄρα ἐξ αὐτοῦ εἰδότα ἀνάγκη τὴν τοιαύτην ἀρχήν (*)· ἣν δὲ ἥκει τις ἐξ αὐτοῦ εἰδὼς οὐ δεόμενος δείξεως περὶ αὐτῆς, οὐχ ὑπόθεσις. id.

(*) δείξας δὲ ὅτι μὴ ἐξ ὑποθέσεως ἡ βεβαιοτάτη ἀρχή, 1005 b 16. προστίθησιν ὅτι ἀνάγκη γνωρίζειν αὐτὴν τὸν ὁτιοῦν μανθάνοντα, ἐπειδὴ πᾶσα μάθησις καὶ πᾶσα διδασκαλία διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως. Asclep.

"ὅτι — ἀρχή." ἡ τοιαύτη περὶ ἣν οὐκ ἔστι διαψευσθῆναι, 1005 b 17. τοιαύτη δὲ ἥ τε γνωριμωτάτη καὶ ἀνυπόθετος. εἰπὼν δὲ οἵαν εἶναι δεῖ τὴν βεβαιοτάτην ἀρχήν, ἑξῆς λέγει τίς ἐστιν ἡ τοιαύτη, δηλονότι γνωριμωτάτη τε καὶ ἀνυπόθετος, καὶ φησὶν εἶναι ταύτην τὴν τῆς ἀντιφάσεως· "τὸ γὰρ αὐτὸ ἅμα ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν τῷ 1005 b 19. αὐτῷ κατὰ τὸ αὐτὸ ἀδύνατον· καὶ ὅσα ἄλλα" φησὶ "προσδιωρισάμεθα, ἔστω προσδιωρισμένα πρὸς τὰς λογικὰς δυσχερείας." ἔστι δὲ ταῦτα ἐξ ὧν ἡ ἀντίφασις εἰδοποιεῖται, ἃ εἶπεν ἐν Σοφιστικοῖς Ἐλέγχοις (c. 5 p. 163 *a* 23). λέγει δὲ ἐν ἐκείνοις ἀντίφασιν εἶναι τὴν τοῦ αὐτοῦ καὶ ἑνός, μὴ ὀνόματος ἀλλὰ πράγματος, ἢ εἰ καὶ ὀνόματος, μήτε ὁμωνύμου μήτε συνωνύμου, ἀλλὰ τοῦ αὐτοῦ κατὰ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτὸ καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ. ὃ δὲ εἶπεν ἐν τῷ περὶ Ἑρμηνείας (c. 6) λέγων περὶ ἀντιφάσεως, "καὶ ὅσα ἄλλα προσδιοριζόμεθα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις," τοῦτο νῦν εἴρηκε πρὸς τὰς λογικὰς δυσχερείας. ταύτην δέ φησι βεβαιοτάτην πασῶν εἶναι τῶν ἀρχῶν, καὶ δι' ὃ λέγει· "ἔχει γάρ" φησι 1005 b 23. "τὸν εἰρημένον διορισμόν." τίς δὲ ἦν οὗτος; ἔκειτο εἶναι βεβαιοτάτη ἀρχὴ περὶ ἣν διαψευσθῆναι ἀδύνατον ὁντινοῦν, αὐτὴν δὲ τοιαύτην δείκνυσιν· "ἀδύνατον γὰρ ὁντινοῦν," τουτέστιν ἀδύνατον γὰρ ὅλως τινὰ ταὐτὸν ὑπολαμβάνειν εἶναι καὶ μὴ εἶναι καὶ περὶ τοῦτο διαψευσθῆναι· ὡς γὰρ ἀδύνατον τὸ αὐτὸ ἅμα ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν, οὕτως ἀδύνατον καὶ διαψευσθῆναι περὶ τοῦτο, ὥστε ταὐτὸν ὑπολαμβάνειν τινὰ εἶναι καὶ μὴ εἶναι (τοῦτο γάρ ἐστι τὸ "ὁντινοῦν ὑπολαμβάνειν εἶναί τε καὶ μὴ εἶναι"), ἀδύνατον ἂν εἴη διαψευσθῆναι περὶ τοῦτο. ὅτι δὲ ἀδύνατον ὑπολαμβάνειν τινὰ ἅμα τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι, "καθάπερ τινὲς οἴονται λέγειν Ἡράκλειτον," πειρᾶται διὰ τῶν ἑξῆς 1005 b 24. δεικνύναι (*)· οὐ γάρ ἐστιν ἀναγκαῖον πάντως ἃ λέγει τις, ταῦτα

6. κοινῇ πάσης *A.* ‖ 9. ἀποδεικτικά *C.* ‖ 19. τοῦ γένους om *A.* ‖ 22. ἔχει om *C.* ‖ 25. ὁ om *A.* ‖ 32. αὐτὴ *A.* ‖ 33. αἱ — βεβαιόταται et 36. καὶ ante οὕτως om *C.* ‖ 36. αὐτὴ *A.* ‖ 38. λέγει — διαψευσθῆναι om *C.* ‖ 40. αὐτὸν *C.* ‖ 41. ἐξ om *C.*

1. λαμβάνεται *C.* ‖ 5. τοῦτο et 7. τινός om *A.* ‖ 19. ἡ et 20. τε et 22. αὐτὸ om *C.* ‖ 22. προσδιωρισαίμεθα *V.* ‖ 23. προσδιωρισάμεθα *AC.* ‖ 35. τινὰ τὸν αὐτὸν *C.* ‖ 43. πάντως om *C.*

χοντα. τῶν μὲν γὰρ περί τινος μέρους τοῦ ὄντος λεγόντων οὐδεὶς περὶ αὐτῶν ἐγχειρεῖ λέγειν· τῶν δὲ φυσικῶν τινές, οἳ ᾤοντο πάντα τὰ ὄντα ἐν τοῖς φυσικοῖς εἶναι καὶ μηδὲν τούτων ἔξω, καὶ περὶ τούτων ἐνεχείρουν λέγειν ὡς τῷ ὄντι ᾗ ὂν ὑπαρχόντων. τῶν γὰρ φυσικῶν τινὲς ἐπεχείρησαν περὶ αὐτῶν λέγειν, ὅτι καὶ περὶ παντὸς τοῦ ὄντος ᾤοντο λέγειν αὐτοί· οὐδὲ γὰρ ἔξω τῶν φυσικῶν ᾤοντο εἶναι. καθόσον μὲν οὖν οἰκεῖον ὑπελάμβανον εἶναι τὸν περὶ τούτων λόγον τῷ περὶ παντὸς τοῦ ὄντος καθόλου θεωροῦντι, δεόντως ἐποίουν, διημάρτανον δὲ τῷ μηδὲν ἄλλο ἔξω τῶν φυσικῶν ὑπολαμβάνειν εἶναι περὶ ὧν ἐπραγματεύοντο· ἐπὶ πλέον γὰρ τῶν φυσικῶν τὸ ὄν, καὶ ἔστι τινὰ ὄντα καὶ παρὰ τὰ φυσικά· ἡ γὰρ ἀσώματός τε καὶ ἀκίνητος οὐσία οὐ φυσική. Alex.

1005a 34. "ἓν — φύσις" ἀρχὴ καὶ αἰτία κινητικὴ οὖσα καθ' αὑτοὺς τοῖς ἐν οἷς ἐστίν. διὸ οὐ τοῦ φυσικοῦ ἡ περὶ τῶν τῷ ὄντι ᾗ ὂν ὑπαρχόντων θεωρία, ἀλλὰ τοῦ φιλοσόφου ὅς ἐστιν ἀνωτέρω, ἔτι τοῦ φιλοσόφου περὶ παντὸς τοῦ ὄντος ᾗ ὂν τὴν θεωρίαν ποιουμένου, καὶ μάλιστα καὶ πρώτως περὶ τοῦ μάλιστα καὶ πρώτου τῶν ὄντων, ὃ οὐσία μέν ἐστιν, οὐ μὴν φυσικοῦ. ἔστι μὲν γὰρ καὶ ἡ φυσικὴ σοφία τις καὶ φιλοσοφία, ἀλλ' οὐχ ἡ πρώτη. πρώτη δ' ἂν εἴη ἥ τε περὶ τῶν πρώτων οὐσιῶν θεωροῦσα καὶ ἡ καθόλου περὶ πάσης οὐσίας καὶ τῶν τῷ αὐτῆς εἶναί τι ὄντων καὶ αὐτῶν. ἀμφοτέρως δὲ ἡ αὐτή ἐστι πρώτη· ἥ τε γὰρ περὶ τῶν πρώτων οὐσιῶν θεωροῦσα καὶ περὶ τῶν ἄλλων πάντων θεωρεῖ, οἷς ἐκ τούτων ἤρτηται τὸ εἶναι· ἥ τε κοινῶς περὶ τοῦ ὄντος ᾗ ὂν θεωροῦσα, ἐπεὶ τὸ ὂν τῶν ἀφ' ἑνός τε καὶ πρὸς ἓν λεγομένων, μάλιστα ἂν περὶ ταύτης τῆς φύσεως θεωροίη, πρὸς ἣν καὶ τὰ ἄλλα περὶ ὧν ποιεῖται τὸν λόγον ἀναφέρεται, καὶ ἀφ' οὗ τὸ εἶναι ἔχει. ὅτι δὲ ἣν ἐν τῷ πρώτῳ σοφίαν ἔλεγε, ταύτην νῦν φιλοσοφίαν κοινήν τε
1005b 1. καὶ πρώτην λέγει, δῆλον καὶ ἐκ τοῦ εἰπεῖν "ἔστι δὲ σοφία τις καὶ ἡ φυσική, ἀλλ' οὐ πρώτη." ἣν γὰρ τῆς πρώτης σοφίας ἡ περὶ τούτων θεωρία, λέγει δὲ νῦν ταύτην εἶναι τὴν φιλοσοφίαν, τὴν αὐτήν τε φιλοσοφίαν λέγει πρώτην καὶ σοφίαν τὴν πρώτην τε καὶ κυριωτάτην. λέγει δὲ τὸν πρῶτον φιλόσοφον περὶ τῶν ἀξιωμάτων ἐρεῖν οὐχ ὡς ἀποδείξοντά τι αὐτῶν (ἀναπόδεικτοι γὰρ αἱ ἀρχαὶ τῶν ἀποδείξεων, ὡς λέγει), ἀλλὰ τίς ἡ φύσις αὐτῶν καὶ πῶς ἡμῖν ἐγγίγνεται καὶ πῶς αὐτοῖς χρηστέον καὶ ὅσα ἄλλα περὶ αὐτῶν ἐν τοῖς περὶ ἀποδείξεως πραγματεύεται· ὥσπερ γὰρ ὁ περὶ τῶν ἀξιωμάτων λόγος τοῦ φιλοσόφου, οὕτω καὶ ὁ περὶ ἀποδείξεως, οὐ περὶ τῆς τοῦδε ἢ τοῦδε, ἀλλὰ καθόλου τί τέ ἐστιν ἀπόδειξις καὶ πῶς γίνεται. οὐδὲ γὰρ ἡ ἀπόδειξις ἐπί τινι γένει τῶν ὑπὸ τὰς ἐπιστήμας ὑπάρχει, ἀλλ' ἔστι καθ' ἑκάστην ἐπιστήμην ἀπόδειξις παρὰ τὰ οἰκεῖα τῆς ἐπιστήμης, καὶ χρῆται ἕκαστος ἐξ ὑποθέσεως, παρὰ φιλοσοφίας τὸ πῶς ἀποδεικνύναι χρὴ λαμβάνων. id.

"ὅσα — δρῶσιν." ὅτι περὶ τὰ ἀξιώματα λέγων εἶναι τὸν 1005b 2.
πρῶτον φιλόσοφον, οὐχ ὡς ἀποδεικνύντα αὐτὸν λέγει ἀλλ' ὡς δεικνύντα ὅτι ἀρχαὶ ἀποδείξεως αἱ ἀρχαὶ ἀναπόδεικτοι, δηλοῖ δι' ὧν ἄρτι λέγει πρὸς τοὺς οἰομένους πάντων ἀπόδειξιν εἶναι, καὶ μηδὲν ἀποδέχεσθαι ἀξιοῦντας ἀληθὲς εἶναι ἄνευ ἀποδείξεως λεγόμενον, περὶ ὧν εἴρηκε καὶ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (1 3)· τούτους γάρ φησι δι' ἀπαιδευσίαν τῶν ἀναλυτικῶν ταῦτα λέγειν. δέδεικται γὰρ ἐν ἐκείνοις ὅτι δεῖ ἀρχὴν ἀποδείξεως εἶναι, καὶ ταύτην ἀναπόδεικτον. οὐδὲ γὰρ ἂν ὅλως ἀπόδειξις εἴη, εἰ περὶ πάντων ζητοίη τις. πᾶσα γὰρ διδασκαλία, ὡς ἐν ἐκείνοις εἴρηται, καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως, καὶ ἔστι ταῦτα τὰ ἀξιώματα καλούμενα. τὸ δὲ "δεῖ γὰρ περὶ τούτων ἥκειν ἐπισταμένους" ἤτοι 1005b 4.
περὶ τῶν ἀξιωμάτων λέγει, ὡς ταῦτα δεῖ προεπίστασθαί τε καὶ γνωρίζειν, καὶ μὴ ἐν τῷ ἀκούειν αὐτὰ ζητεῖν περὶ αὐτῶν εἴτε οὕτως ἔχει εἴτε μὴ οὕτως· ἢ ὅτι δεῖ καθόλου προεπίστασθαί τε καὶ γνωρίζειν ὅτι μὴ πάντα ἐστὶν ἀποδεικτά, ἀλλὰ μὴ ἀποδεικνύντας ἅμα καὶ περὶ τούτου ζητεῖν. δύναται δὲ τὸ εἰρημένον τείνειν καὶ πρὸς τὸ ὑπὸ Πλάτωνος ἐν τῷ Ἀλκιβιάδῃ λεγόμενον, ὅτι ὅ τις οἶδεν, ἢ μαθὼν ἢ εὑρὼν οἶδεν, εὑρίσκει δὲ ὁ ζητήσας πρῶτον· ἔνια γὰρ ἴσμεν οὔτε μαθόντες οὔτε ζητήσαντες. δοκεῖ δέ μοι αὕτη ἡ λέξις δι' ἧς λέγει "ὅσα δὲ ἐγχειροῦσί τινες περὶ τῆς ἀληθείας," ἕως τοῦ "ἀλλὰ 1005b 2.
μὴ ἀκούοντας ζητεῖν," τὴν τάξιν ἔχειν μετὰ τὴν ἐφεξῆς κειμένην τὴν "ὅτι μὲν οὖν τοῦ φιλοσόφου καὶ τοῦ περὶ πάσης τῆς οὐσίας θεωροῦντος 1005b 5.
ᾗ πέφυκε, καὶ περὶ τῶν συλλογιστικῶν ἀρχῶν ἐστὶν ἐπισκέψασθαι, δῆλον." αὕτη τε γὰρ μᾶλλον τοῖς προειρημένοις ἀκολουθεῖ, καὶ ἡ "ὅσα δὲ ἐγχειροῦσί τινες περὶ τῆς ἀληθείας," περὶ ἧς προειρήκαμεν νῦν, οἰκείως ἂν προτάσσοιτο τῆς "προσήκει δὲ τὸν μάλιστα γνωρίζοντα." "ὅτι μὲν οὖν τοῦ φιλοσόφου καὶ τοῦ περὶ πάσης τῆς οὐσίας θεωροῦντος ᾗ πέφυκεν." ἤτοι "περὶ πάσης οὐσίας" εἶπεν ἀντὶ τοῦ περὶ παντὸς τοῦ ὄντος ᾗ ὄν· ἢ τὸ "περὶ πάσης οὐσίας," ὅτι καὶ ἡ περὶ τοῦ ὄντος ἐπιστήμη περὶ οὐσίας ἐστὶ μάλιστα· κυριώτατον γὰρ τοῦτο ἐν τοῖς οὖσιν, ὡς ἐρρέθη, καὶ πρὸς τοῦτο τἆλλα. τὸ δὲ "περὶ πάσης οὐσίας" ἴσον ἐστὶ τῷ καθόλου περὶ οὐσίας ἀλλ' οὐ τῆσδε ἢ τῆσδε. τὸ δὲ "ᾗ πέφυκε" σημαίνει ἂν ἤτοι θεωροῦντος τίς καθόλου φύσις οὐσίας, ἢ τίς ἡ φύσις ἑκάστης οὐσίας· οὐ γὰρ τῆς αὐτῆς πᾶσαι, εἴ γε αἱ μὲν ἀσώματοι αἱ δέ γε σωματικαί, καὶ αἱ μὲν ἀκίνητοι αἱ δὲ ἐν κινήσει, καὶ αἱ μὲν ἀγένητοι αἱ δὲ ἐν γενέσει, καὶ αἱ μὲν ἔμψυχοι αἱ δὲ ἄψυχοι, καὶ τούτων ἑκατέρων πλείους διαφοραί. διὰ δὲ τῆς λέξεως δέδεικται ὅτι τοῦ φιλοσόφου ἐστὶ τὸ καὶ περὶ τῶν συλλογιστικῶν ἀρχῶν ἐπισκέψασθαι. συλλογιστικὰς δὲ ἀρχὰς λέγει τὰς ἀποδεικτικάς· ἀποδείξεων γὰρ καθόλου ἀρχαὶ τὰ ἀξιώματα. αἱ γὰρ καθ' ἑκάστην ἐπιστήμην οἰκεῖαι τοῖς ἀποδεικνυμένοις ἀρχαί τε καὶ προτάσεις τοῦ

3. ἔξω ὑπεῖναι καὶ C. ‖ 6. οὐδὲν A. ‖ 10. τὸ ὂν om A. ‖ 13. φυσική A. ‖ ἀρχὴ om C. ‖ κινήσεως A. ‖ 15. τοῦ φυσικοῦ περὶ A. ‖ 16. ποιούμενος A. ‖ 18. φυσική C. ‖ 20. θεωροῦσα om A. ‖ αὐτῆς τι εἶναι ὄντων A. ‖ 21. ἐστι] γίνεται A. ‖ 27. ταύτην om A. ‖ 31. λέγων A. ‖ 34. ἐγγίγνεται A. ‖ 36. τῶν om C. ‖ 37. ἢ τοῦδε om A. ‖ 38. καὶ — ἀπόδειξις om A. ‖ 39. ἐπὶ] ἐν C.

1. ὅτι] ἔτι C. ‖ 4. ἀποδείξεις A. ‖ 8. ἐν ἐκείνοις] ἐκεῖ A. ‖ 9. οὐδὲ] οὐ C. ‖ 16. ἀποδεικτικὰ A. ‖ 17. πρὸς τῷ ὑπὸ C. ‖ 19. ἰσὰς C. ‖ 20. μαθόντας οὔτε ζητήσαντας C. ‖ 25. αὐτό V. ‖ 29. θεωροῦντος — οὐσίας om A. ‖ τοῦ om C. ‖ 30. τὸ] καὶ A. ‖ 31. γὰρ] δὲ C. ‖ 32. τούτῳ A. ‖ 39. δείκνυται A. ‖ καὶ om C.

ἐδείχθη τὰ ὑγιεινὰ τὰ ἰατρικὰ τὰ ὄντα· τὰ δὲ τῷ ἐφεξῆς κατὰ τοῦτο ἐστὶ τῶν πολλαχῶς λεγομένων μόνον, ὅτι τὸ μὲν πρῶτόν ἐστιν αὐτῶν τὸ δὲ δεύτερον· οὐ γὰρ τῷ τῇ δυάδι ὑπάρχειν ἢ συντελεῖν τι εἰς δυάδα τὰ τρία καὶ τέσσαρα καὶ οἱ ἐφεξῆς εἰσὶν ἀριθμοί· τοὐναντίον γὰρ τὸ οὕτως πρῶτον τοῖς μετ' αὐτὸ συντελεῖ. διὸ ἐπὶ μὲν τῶν οὕτω πολλαχῶς λεγομένων τὰ ὕστερα τελειότερα, ἐπὶ δὲ τῶν πρὸς τὸ ἓν πρὸς τὸ ἓν τὰ ἄλλα ἀναφέρεται. δύναται δὲ τὸ "τὸ δὲ ἐφεξῆς" δηλωτικὸν εἶναι τοῦ ἀφ' ἑνός. διεῖλε γὰρ τὰ οὕτω λεγόμενα πολλαχῶς εἴς τε τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· εἰπὼν δὲ ὅτι τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἓν λεγομένων ἐστὶ ταῦτα καὶ τῶν ἐχόντων τὸ πρότερον καὶ ὕστερον (ταῦτα γάρ ἐστι τὰ ἐφεξῆς, περὶ ὧν ἡ θεωρία τοῦ φιλοσόφου, διὰ τὸ πρὸς τὸ πρῶτον καὶ κυρίως λεγόμενον τἆλλα τὴν ἀναφορὰν ἔχειν, περὶ οὗ τοῦ φιλοσόφου τὸ θεωρεῖν, διὸ καὶ περὶ τούτων· ἔστι γὰρ τὸ πρῶτον ἡ οὐσία), οὔτε γεωμέτρου φησὶν εἶναι τὸ θεωρῆσαι περὶ αὐτῶν οὔτε ἄλλου τινός, ἀλλὰ τοῦ φιλοσόφου· τῶν γὰρ ἄλλων ἐπιστημῶν ἑκάστη περί τι μόριον τοῦ ὄντος πραγματεύεται. πρὸς δὲ τοῖς ἐναντίοις καὶ οἷς ἔφθασεν εἰρηκέναι, προστίθησι τὰ νῦν, περὶ ὧν καὶ αὐτῶν τοῦ φιλοσόφου διαλαμβάνειν, φησίν, ἀλλ' οὐκ ἄλλου τινός, διότι καὶ αὐτὰ τοῦ ὄντος ᾗ ὄν ἐστι πάθη. εἰπὼν δὲ μὴ εἶναι τοῦ γεω-
1005a μέτρου τὸ περὶ τούτων θεωρῆσαι προσέθηκεν "ἀλλ' ἐξ ὑποθέσεως·"
12. τοῦτο δέ ἐστιν ὅτι χρῆται μὲν αὐτοῖς καὶ ὁ γεωμέτρης, οὐ μὴν δείξας τί ποτέ ἐστιν αὐτῶν ἕκαστον, ἀλλ' ὑποθέμενος καὶ λαβὼν παρὰ τοῦ φιλοσόφου· οἷον ὑποθέμενος ὅμοια εἶναι μεγέθη ὧν αἱ πλευραὶ ἀνάλογον, τούτῳ ὑποτεθέντι ὑπ' αὐτοῦ, οὐ δειχθέντι, χρῆται τῷ ὁμοίῳ καὶ ἴσῳ καὶ ταὐτῷ καὶ τοῖς ἄλλοις. ἀλλὰ καὶ ὁ ἀριθμητικὸς ὑποθέμενος τέλειον ἀριθμὸν εἶναι τὸν πᾶσιν ἴσον τοῖς αὑτοῦ μέρεσι, θεωρεῖ τίνες ἀριθμοὶ πεπόνθασι τοῦτο, ἁπλῶς δὲ περὶ τελείου οὐκ οἶδε· μόνου γὰρ τοῦ φιλοσόφου ἡ τούτων ἐπιστήμη τί ποτέ ἐστιν αὐτῶν ἕκα-
1005a στον. λείπει δὲ τῇ λέξει τῇ "καὶ ὅτι οὐ μόνον τῶν οὐσιῶν ἀλλὰ καὶ
14. τῶν ὑπαρχόντων" τῇ οὐσίᾳ καὶ τῷ ὄντι. πρὸς δὲ τοῖς φθάνουσιν εἰρῆσθαι λαμβάνει, ὡς εἶπον, καὶ ἄλλα τινά, εἰπὼν ταῦτα περὶ ὧν φησὶν εἶναι θεωρεῖν καὶ αὐτῶν τοῦ φιλοσόφου· ἔστι δὲ ταῦτα πρότερον ὕστερον, γένος εἶδος, ὅλον μέρος, καὶ τὰ τούτοις ὅμοια· καὶ γὰρ καὶ ταῦτα καὶ τὰ τοῦ ὄντος ᾗ ὂν πάθη· ἢ γὰρ ἐν οὐσίᾳ ἕκαστον αὐτῶν ἢ ἔν τινι τῶν τῇ οὐσίᾳ συμβεβηκότων, ἀλλ' οὐκ ἀφωρισμένου τινὸς γένους. ἐκ δὲ τούτων δῆλον ὅτι εἰ περὶ πάντων τῶν ὄντων τοῦ φιλοσόφου θεωρεῖν, καὶ ὁ περὶ τῶν αἰτίων πάντων καθόλου λόγος οἰκεῖος τῷ φιλοσόφῳ, καὶ οὐ πλειόνων ἐπιστημῶν ἐστὶ τὰ αἴτια θεωρῆσαι· καὶ γὰρ ταῦτα ἢ ἐναντία ἢ ἐξ ἐναντίων. ἦν δὲ ἐν τῷ πρὸ τούτου πρῶτον τοῦτο τῶν ἀπορηθέντων. Alex.

1005a (*) ἀναπέμπει πάλιν ἡμᾶς εἰς τὰ ἐν τῷ δευτέρῳ περὶ
1. τ' Ἀγαθοῦ δεδειγμένα· πολλὰ γάρ εἰσι τὰ ἐναντία, ὡς εἶπεν ἀνωτέρω, ὡς εἴρηται ἡμῖν ἐν τῇ περὶ τῶν ἐναντίων ἐκλογῇ· ἐκεῖσε γὰρ τοῦτο δείκνυσι διεξερχόμενος περὶ πάντων τῶν ἐναντίων. φησὶν οὖν ὅτι αἱ ἀρχαὶ αἱ π. τ. α. κτλ... "φαμὲν οὖν καὶ ἐκ τούτων ὅτι μιᾶς." εἰπὼν ὅτι τὰ ἐναντία πάντα εἰς τὸ ἓν καὶ τὸ πλῆθος ἀναφέρονται, καὶ τοῦτο δι' ἧς πεποίηται ἀναγωγῆς τῶν ἐναντίων ἐν τῷ δευτέρῳ περὶ τοῦ Ἀγαθοῦ... Asclep.

"λεκτέον — αὐτῆς." τῶν ἐν τῷ δευτέρῳ κειμένων ἀποριῶν 1005a
19. μέμνηται νῦν· ἔστι δὲ αὕτη, πότερον τὰς τῆς οὐσίας ἀρχὰς τὰς πρώτας ἐστὶ τῆς ἐπιστήμης τῆς προκειμένης ἰδεῖν μόνον, ἢ καὶ περὶ τῶν ἀρχῶν ἐξ ὧν δεικνύουσι πάντες, ἃ ἀξιώματά εἰσιν· περὶ ὧν νῦν ζητεῖ εἰ τῆς αὐτῆς ἐπιστήμης ἐστὶ περί τε τῆς οὐσίας θεωρεῖν καὶ περὶ ἐκείνων. ἔστι δὲ τὰ ἀξιώματα ἀρχαὶ κοιναὶ καὶ ἀναπόδεικτοι πρὸς τὰ κατὰ πάσας τὰς ἐπιστήμας δεικνύμενα χρήσιμοι, οἷον τὸ ἐπὶ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν, καὶ τὸ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα, καὶ ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, καὶ τὰ καταλειπόμενά ἐστιν ἴσα, καὶ τὰ τούτοις ὅμοια. εἶπε δὲ "περί τε τῶν ἐν τοῖς μαθήμασι καλουμένων ἀξιωμάτων," ὡς τῶν μαθηματικῶν, οἱ καὶ μάλιστα αὐτοῖς προσχρῶνται τῷ καὶ ἀποδείξει χρῆσθαι μάλιστα, οὕτω καλούντων αὐτά. λέγει δὲ μιᾶς καὶ τῆς αὐτῆς εἶναι ἐπιστήμης τήν τε περὶ οὐσίας τε καὶ τοῦ ὄντος θεωρίαν καὶ τὴν περὶ τῶν ἀξιωμάτων· αὕτη δέ ἐστιν ἡ πρώτη φιλοσοφία. καὶ ὅτι τῆς αὐτῆς ἐστὶ δείκνυσι διὰ τοῦ πᾶσιν αὐτὰ τοῖς οὖσιν ὑπάρχειν, ἀλλ' οὐκ ἀφωρισμένῳ τινὶ τοῦ ὄντος γένει. διὰ τοῦτο γὰρ καὶ πᾶσαι αἱ ἐπιστῆμαι αὐτοῖς χρῶνται· ὅτι γὰρ πᾶσιν ἐνυπάρχει, δῆλον. τῷ γὰρ τῷ ὄντι αὐτὰ ὑπάρχειν ᾗ ὄν, ἑκάστην δὲ ἐπιστήμην περί τι καταγίνεσθαι γένος, ὅ ἐστιν ὄν, ταύτῃ καὶ τούτοις ὑπάρχει, καὶ χρῶνται αὐτοῖς αἱ καθ' ἑκάστην ἐπιστήμην προσοικειοῦντες αὐτὰ καὶ προσάγοντες τῷ ὑποκειμένῳ αὐταῖς γένει· ἕκαστον γὰρ τῶν γενῶν, περὶ ἃ αἱ ἐπιστῆμαι, ὄν, καὶ τοῦτο αὐτοὶ ἀπὸ τοῦ κοινοῦ ἀποτεμνόμενοι, εἰς ὅσον αὐτοῖς ἐστὶ καὶ χρήσιμον, χρῶνται αὐτοῖς· ὁ μὲν γὰρ γεωμέτρης ἐπὶ τὰ μεγέθη αὐτὰ ἄγων καὶ ἐπὶ τοσοῦτον αὐτοῖς χρώμενος, ὁ δὲ ἀριθμητικὸς ἐπὶ ἀριθμούς. τοῦτο δὲ διὰ τὸ πᾶσιν ὑπάρχειν αὐτὰ καὶ μηδενὸς ἴδια εἶναι. ὁ μὲν γὰρ γεωμέτρης λαβὼν ἀξίωμα τὸ "τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα ἐστίν" προστίθησι τῷ μεγέθει, περὶ γὰρ μεγέθους ἡ πραγματεία τούτοις· ὁ δὲ ἀριθμητικὸς ἐπὶ τὸν ἀριθμὸν αὐτὰ μεταφέρει πάλιν. τοῦτο γὰρ λέγει διὰ τοῦ "ἐπὶ τοσοῦτον δὲ χρῶνται 1005a
25. ἐφ' ὅσον αὐτοῖς ἱκανόν, τουτέστιν ὅσον ἐπέχει τὸ γένος περὶ οὗ φέρουσι τὰς ἀποδείξεις." πάντες οὖν διὰ τοῦτο αὐτοῖς χρῶνται, ὅτι καθὸ ὄντα ἐστὶ περὶ ἃ πραγματεύονται, κατὰ τοῦτο αὐτοῖς ὑπάρχει· πᾶσι γὰρ αὐτοῖς τὸ ὂν κοινόν, καὶ οὐδεμία τῶν κατὰ μέρος ἐπιστημῶν ἐπιχειρεῖ περὶ αὐτῶν λέγειν ὅτι ἀληθῆ ἢ οὐκ ἀληθῆ· οὔτε γὰρ γεωμέτρης, καίτοι χρώμενος αὐτοῖς, οὔτε ἀριθμητικὸς οὔτε τῶν ἄλλων τις, ἰατρὸς ἢ ἀστρολόγος ἢ μουσικός. "ἀλλὰ τῶν φυσικῶν 1005a
31. ἔνιοι." καὶ διὰ τούτου συνίστησι τὸ εἶναι ταῦτα τῷ ὄντι ᾗ ὂν ὑπάρ-

28. ἢ om C. ‖ 32. αὐτοῦ A. ‖ 36. τῶν ὄντων om C. ‖ 39. τῷ β' πρῶτον τούτων A. ‖ 41. τῷ om Asclep.

9. περὶ ταύτης A in mg. ‖ 10. ζητεῖ νῦν A. ‖ 12. χρήσιμα A. ‖ 14. ἀλλήλοις ἐστιν ἴσα C. ‖ ἀπὸ τῶν ἴσων C. ‖ 15. ἐστὶν om A. ‖ 22. χρῶνται· τῷ καὶ ἀποδεῖξαι χρῆσθαι μάλιστα. ὅτι C. ‖ 23. δῆλον om AC. ‖ 25. ἕκαστα A. ‖ 27. ἃ] ὃ A. ‖ 28. ἀποτεμόμενοι A. ‖ 29. γὰρ om A. ‖ ἄγων αὐτὰ A. ‖ 33. τῷ μεγέθει A. ‖ μεγέθει A. ‖ 35. πάλιν om A. ‖ 40. ὅτι ἐστὶν ἀληθῆ C.

λέγει· εἰ γὰρ τὰ ὄντα καὶ αἱ οὐσίαι ἐξ ἐναντίων, ὡς ἐδόκει τοῖς πλείστοις, εἶεν ἂν αἱ μὲν ἀρχαὶ τῶν ὄντων ἐναντίαι, τὰ δὲ ἐκ τούτων ἐξ ἐναντίων· πάντα ἄρα τὰ ὄντα ἢ ἐναντία ἢ ἐξ ἐναντίων. ἀλλὰ μὴν μιᾶς ἐπιστήμης τά τε ἐναντία καὶ τὰ ἐκ τούτων εἰδέναι· μιᾶς ἄρα ἐπιστήμης καὶ ἡ τῶν ὄντων καθόλου θεωρία. καὶ τοῦτο μὲν τὸ τῆς ἐπιχειρήσεως κεφάλαιον. τὰ δὲ περὶ τὴν λέξιν, "τὰ δ' ὄντα καὶ τὴν οὐσίαν ὁμολογοῦσι σχεδὸν ἅπαντες ἐξ ἐναντίων συγκεῖσθαι," δεικτικὸν καὶ τοῦτό ἐστι τοῦ τῷ φιλοσόφῳ ἀνακεῖσθαι τὴν περὶ τῶν ἐναντίων θεωρίαν, οὐ μὴν ταὐτόν ἐστι τοῖς εἰρημένοις πρὸ αὐτοῦ πάντῃ, ἀλλ' εἴη ἂν τὸ λεγόμενον νῦν ἤτοι ὅτι ἐπεὶ τοῦ φιλοσόφου ἡ περὶ τῆς οὐσίας θεωρία, ἥτις περιέχει καὶ τὸν περὶ τῶν ἀρχῶν λόγον, ἀρχαὶ δὲ τῆς οὐσίας καὶ στοιχεῖα ὑπὸ πάντων ὁμολογεῖται τὰ ἐναντία, εἴη ἂν καὶ διὰ τοῦτο ἀναγκαῖος ὁ περὶ τῶν ἐναντίων λόγος τῷ φιλοσόφῳ· εἰ γὰρ τὰ ὄντα ἐξ ἐναντίων σύγκειται, τὰ δὲ ἐναντία ἀνάγεται εἴς τε τὸ ἓν καὶ τὸ πλῆθος, τοῦ περὶ ἑνὸς καὶ πλήθους λέγοντος εἴη ἂν τὸ καὶ περὶ τῶν ἐναντίων λέγειν· λέγων γὰρ περὶ ἐναντίων λέγοι ἂν περὶ τῶν τοῦ ὄντος ἀρχῶν, εἰ δὲ περὶ τούτων, καὶ τοῦ ὄντος. ἢ δεικτικὸν τὸ λεγόμενον τοῦ τὸν περὶ τοῦ ὄντος θεωροῦντα καὶ περὶ τῶν ἐναντίων θεωρεῖν, εἴγε δεῖ μὲν τὸν περὶ τοῦ ὄντος διαλαμβάνοντα περὶ τῶν στοιχείων τοῦ ὄντος διαλαμβάνειν, ἔστι δὲ αὐτοῦ στοιχεῖα τὰ ἐναντία. κατασκευάζων δὲ τοῦτο παρατίθεται τὰς τούτων δόξας οἳ τὰς ἀρχὰς ἐναντίας ἔθεντο· οἱ μὲν γὰρ περιττὸν καὶ ἄρτιον, ὡς οἱ Πυθαγορικοί, οἱ δὲ θερμὸν καὶ ψυχρόν, ὡς οἱ μανώσει καὶ πυκνώσει τἆλλα γεννῶντες, ἢ ὡς Παρμενίδης πῦρ καὶ γῆν στοιχεῖα ποιῶν, οἱ δὲ πέρας καὶ ἄπειρον (εἶεν δ' ἂν οὗτοι οἱ τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ἐν ταῖς ἀρχαῖς θέμενοι), οἱ δὲ φιλίαν καὶ νεῖκος, ὡς Ἐμπεδοκλῆς. διά τε οὖν τὸ τὰς ἀρχὰς τῆς οὐσίας εἶναι τἀναντία καὶ διὰ τὸ πάντα μὲν τὰ ἐναντία ἀνάγεσθαι ὑπὸ τὸ ἕν τε καὶ πλῆθος, φανερώτατα δὲ ταῦτα ἐν ταῖς ἀρχαῖς τίθεσθαι, προσήκοι ἂν τῷ φιλοσόφῳ ὁ περὶ αὐτῶν λόγος· τὸ μὲν γὰρ περιττὸν καὶ τὸ θερμὸν καὶ τὸ πέρας καὶ ἡ φιλία ὑπὸ τὸ ἕν, ὑπὸ δὲ τὸ πλῆθος τὰ τούτοις ἐναντία. δύναται δὲ τὸ "τὰ δ' ὄντα καὶ τὴν οὐσίαν ὁμολογοῦσιν ἐξ ἐναντίων σχεδὸν ἅπαντες" ὡς ἑπόμενον ὂν τῷ "καὶ πάντα ἀνάγεται εἰς τὸ ὂν καὶ μὴ ὂν καὶ ἓν καὶ πλῆθος" εἰρηκέναι· δεικτικὸν γὰρ τούτου τὸ καὶ πάντας τοὺς τὰ ὄντα καὶ τὴν οὐσίαν ἐξ ἐναντίων συγκεῖσθαι λέγοντας φανερῶς τοιαῦτα λαβεῖν ἐναντία ἃ ὑπὸ τὸ ἕν τε καὶ τὸ πλῆθός ἐστιν (*).

1004 b 34. διὰ δὲ τοῦ "εἰλήφθω γὰρ ἡ ἀναγωγὴ ἡμῖν" ἀναπέμπει πάλιν ἡμᾶς εἰς τὰ ἐν τῷ Β περὶ τἀγαθοῦ δεδειγμένα. 1005 a 2. "φανερὸν οὖν καὶ ἐκ τούτων ὅτι μιᾶς ἐπιστήμης τὸ ὂν ᾗ ὂν θεωρῆσαι." εἰπὼν ὅτι πως τὰ ἐναντία πάντα εἰς τὸ ἓν καὶ πλῆθος ἀνάγεται, καὶ τοῦτο δι' ἧς πεποίηται ἀναγωγῆς τῶν ἐναντίων ἐν τῷ Β περὶ τἀγαθοῦ εἰς ταῦτα πιστωσάμενος, λαβὼν δὲ ὅτι καὶ τῶν ὄντων καὶ τῆς οὐσίας στοιχεῖα τὰ ἐναντία, δῆλόν φησι καὶ ἐκ τούτων εἶναι ὅτι μιᾶς ἐστιν ἐπιστήμης ἡ περὶ τοῦ ὄντος ᾗ ὂν θεωρία. ἐπεὶ γὰρ πάντα τὰ ὄντα ἢ ἐναντία ἐστὶν ἢ ἐξ ἐναντίων συνέστηκεν, ὥσπερ ἔλεγον οἱ φυσικοί, (ἢ γὰρ ἀρχαὶ ἢ ἐκ τῶν ἀρχῶν, ὧν αἱ μὲν ἀρχαὶ ἐναντίαι, τὰ δὲ ἄλλα ἐκ τῶν ἀρχῶν), πάντα δὲ τὰ ἐναντία ἀνάγεται ὑπὸ τὸ ἓν καὶ τὰ πολλά, μιᾶς δὲ τὸ περὶ τούτων θεωρεῖν (ἡ γὰρ αὐτὴ τῶν ἀντικειμένων), μιᾶς ἂν εἴη καὶ περὶ πάντων τῶν ὄντων ἡ θεωρία· κἂν γὰρ μὴ ἔχῃ τινὰ ἐναντία, ὥσπερ δοκεῖ ἡ οὐσία, ἡ δὲ ἐξ ἐναντίων τῷ τὴν γνῶσιν ἑκάστου ἠρτῆσθαι ἐκ τῆς γνώσεως τῶν ἐξ ὧν ἔστιν, ἐν τῇ τῶν ἐναντίων ἐξ ὧν ἔστι γνώσει εἴη ἂν ἡ γνῶσις τούτων. τῶν δὲ ἐναντίων ἀρχαὶ τό τε ἓν καὶ τὸ πλῆθος· ὥστε τοῦ περὶ τοῦ ἑνὸς καὶ πλήθους θεωρεῖν, τούτου καὶ περὶ τῶν ὑπ' αὐτό. ταῦτα δ' ἐστὶ πάντα τὰ ὄντα· πάντα μὲν γὰρ τὰ ὄντα ἢ ἐναντία ἐστὶν ἢ ἐξ ἐναντίων, πάντα δὲ τὰ ἐναντία ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος. μιᾶς δέ φησιν ἐπιστήμης εἶναι τὴν περὶ ἑνός τε καὶ πλήθους θεωρίαν, ἄντε ᾖ ταὐτὰ καθ' ἓν λεγόμενον ἑκάτερον αὐτῶν, τουτέστιν ἕνα λόγον ἔχοντα καὶ μίαν φύσιν καὶ ὡς γένη τῶν ἄλλων τῶν ὑπ' αὐτὰ κατηγορούμενα, ἄντε καὶ μὴ οὕτως ἔχῃ ἀλλ' ᾖ τῶν πολλαχῶς λεγομένων, ὥσπερ προείρηταί τε καὶ ἀληθές ἐστιν. καὶ γὰρ εἰ πολλαχῶς τὸ ἓν λέγεται καὶ οὐ κατὰ μίαν φύσιν, ὁμοίως δὲ καὶ τὸ πλῆθος, ἀλλ' οὖν πρὸς τὸ πρῶτον καὶ κυρίως ἓν λεγόμενον τὰ ἄλλα ἀναφέρεται. πρῶτον δὲ ὥσπερ καὶ ὂν ἡ οὐσία, καὶ πλῆθος δὲ πρῶτον ἐν οὐσίᾳ. εἰπὼν δὲ περὶ τοῦ ἑνός, ὅτι εἰ καὶ πολλαχῶς λέγεται, ὁμοίως φησὶ καὶ τὰ τῷ ἑνὶ πολλαχῶς λεγομένῳ ἐναντία ἕξειν· καὶ γὰρ ἐν τούτοις πρὸς τὸ πρῶτον τἆλλα ῥηθήσεται. διὰ γὰρ τὸ πρὸς μίαν φύσιν τὴν ἀναφορὰν αὐτῶν εἶναι καὶ ἀφ' ἑνὸς λέγεσθαι καὶ πρὸς ἕν τι συντείνειν, ἡ μία ἐστὶν αὐτῶν ἐπιστήμη τοῦ τε ὄντος καὶ τοῦ ἑνός, εἰ καὶ μή ἐστι γένη τε καὶ καθόλου ὁμοίως κατὰ πάντων τῶν ὄντων κατηγορούμενα, ἀλλὰ μηδὲ φύσεις τινὲς κεχωρισμέναι τῶν τῇδε, οὐχ ὥσπερ τὰ γένη ἐν τοῖς ὧν κατηγορεῖται τὸ εἶναι ἔχει· ἀχώριστα γὰρ τὰ γένη τούτων ὧν ἐστι γένη, ἀλλὰ ταῦτα καθ' αὑτὰ τὴν ὑπόστασιν ἔχοντα, ὡς δοκεῖ τοῖς ἰδέας εἰσάγουσιν. οὐ γὰρ μόνων τῶν τοιούτων τῶν καθ' ἓν οὕτω λεγομένων μία ἐπιστήμη, ἀλλὰ καὶ τῶν πολλαχῶς λεγομένων, ὃν εἰρήκαμεν τρόπον. ἴσως δὲ οὐκ εἶναι εἶπε χωριστήν τινα φύσιν τό τε ὂν καὶ τὸ ἕν, τὸ "ἴσως" προ- 1005 a 10. σθείς, ἐπεὶ μὴ νῦν αὐτῷ πρόκειται τοῦτο δεικνύναι, μηδέ τι πρὸς τὴν τοῦ προκειμένου κατασκευὴν συντελεῖ αὐτῷ τὸ μετὰ διαστάσεως λαμβάνειν ὅτι ἔστι χωριστά. δύναται δὲ τὸ "ὥσπερ ἴσως οὐκ ἔστιν" οὐκ ἐπὶ τοῦ χωριστοῦ μόνον εἰρῆσθαι, ἀλλὰ καὶ ἐπὶ τοῦ καθόλου τε καὶ γένους· οὐδὲ γὰρ τοιαῦτα τὸ ὄν τε καὶ ἕν, ἀλλ' ὡς ἐπιφέρει, "τὰ μὲν πρὸς ἓν τὰ δὲ ὡς ἐφεξῆς." διαφέρει δὲ τὰ ἑξῆς τῶν πρὸς ἕν, ἀμφότερα τῶν πολλαχῶς λεγομένων ὄντα, ὅτι τὰ μὲν πρὸς ἓν τῷ ἐκείνου τι εἶναι τοῦ ἑνὸς οὕτω λέγεται, τάξιν τινὰ ἔχοντα πρὸς ἄλληλα, ὡς

5. ὄντων] ὅλων *C.* ‖ 6. περὶ] πρὸς *C.* ‖ 15. τε om *A.* ‖ 24. γῆν καὶ στοιχεῖα *L.* ‖ 25. αὐτοὶ *V.* ‖ 27. τὰς om *A.* ‖ τὸ ἐναντίον *A.* ‖ 28. τἀναντία *C.* ‖ 33. τῷ ἅπαντα *C.* ‖ 34. γὰρ om *A.* ‖ 36. λαμβάνειν *C.* ‖ τὸ post καὶ om *C.* ‖ 38. καὶ om *L.* ‖ 39. πως] τε *L,* om *C.* ‖ 40. ἀνάγεσθαι *V.* ‖ 41. πιστωσαμένου *A.* ‖ 42. ὄντων] ἐναντίων *CL.*

2. ᾗ om *A.* ‖ 8. τῷ] τὸ *C.* ‖ 11. οὐ] ὁ *A.* ‖ 13. ἐστὶν et 15. et 18. τε om *A.* ‖ 28. *sed neque sint naturae quaedam ab iis, quae nobis notae sunt, separatae, nec ut genera in iis esse habent, de quibus praedicantur* Sepulv. ‖ 34. εἶπε om *C.*

ἄλλα δὲ τῷ κυκλοφορικῷ τῷ πέμπτῳ σώματι, ὃ κινεῖται μὲν οὔτε δὲ βάρος οὔτε κουφότητα ἔχει. ὡς οὖν τούτων ἑκάστῳ ἔστι τινὰ οἰκείως ὑπάρχοντα, οὕτως ἔστι τινὰ οἰκεῖα καὶ τοῦ ὄντος ᾗ ὄν, οὐκ ἀφωρισμένου τινὸς γένους τῶν ὑπὸ τὸ ὄν, ἀλλ᾽ ἐν πᾶσιν ὡρισμένα ὄντα τοῖς οὖσι, περὶ ὧν ὁ θεωρητικὸς φιλόσοφος. id.

1004b 17. "σημεῖον — σοφισταί." καὶ διὰ τούτου δεικνύουσιν ὅτι τοῦ φιλοσόφου ἡ περὶ τῶν προειρημένων θεωρία, τοῦ ἴσου ὁμοίου ἀνίσου ἀνομοίου ἑτέρου ἐναντίου, τῶν ἄλλων οἷα προείρηται (*)· οἱ γὰρ σοφισταὶ καὶ οἱ διαλεκτικοὶ ὑποδυόμενοι τὸ φιλοσόφου ὄνομα, καὶ περὶ ὧν οἱ φιλόσοφοι πραγματεύονται πειρώμενοι λέγειν, περὶ τούτων τὸν λόγον ποιοῦνται, δῆλον ὡς οἰκείων ὄντων τῷ φιλοσόφῳ. εἰπὼν δὲ τοὺς σοφιστὰς καὶ τοὺς διαλεκτικοὺς περὶ τούτων λέγειν ἃ οἰκεῖά ἐστι τοῖς φιλοσόφοις, τῷ ὑποδύεσθαι τὸ φιλοσοφίας ὄνομα, ἑξῆς πῶς τε ὑποδύονται καὶ κατὰ τί καὶ τίνι διαφέρουσι τοῦ τε φιλοσόφου καὶ ἀλλήλων
1004b 22. λέγει. "περὶ μὲν γὰρ τὸ αὐτὸ γένος στρέφεται καὶ ἡ σοφιστικὴ καὶ ἡ διαλεκτικὴ τῇ φιλοσοφίᾳ." οὐ γὰρ ἴδιόν τι ἀφωρισμένον ἔχουσιν, ὡς γεωμετρία ἢ ἡ μουσική, ἀλλὰ περὶ τὸ ὂν πᾶσιν αὐτοῖς ἡ πραγματεία. "ἀλλὰ διαφέρει τῆς μὲν τῷ τρόπῳ τῆς δυνάμεως, τῆς δὲ τοῦ βίου τῇ προαιρέσει." τὴν φιλοσοφίαν λέγει τῆς μὲν διαλεκτικῆς διαφέρειν τῷ τρόπῳ τῆς δυνάμεως. ἀμφότεραι μὲν γὰρ περὶ τὸ ὂν καὶ τὰ τούτῳ ὑπάρχοντα, καὶ ἀμφότεραι συλλογιστικαί, ἀλλ᾽ ἡ μὲν τὴν δύναμιν ταύτην τὴν συλλογιστικὴν ἀποδεικτικὴν ἔχει τῶν ἀληθῶν, ἡ δὲ διαλεκτικὴ πειραστικὴ περὶ τῶν ἀληθῶν καὶ τοῦ ἐνδόξου συλλογιστική· διὸ καὶ εἰς ἑκάτερον ὁ διαλεκτικὸς ἐπιχειρεῖ, καὶ ἔστι περὶ ὧν ὁ φιλόσοφος ἀποδεικτικός τε καὶ ἐπιστήμων, περὶ τούτων ὁ διαλεκτικὸς πειραστικός, τουτέστι πεῖραν λαμβάνων τῶν προσποιουμένων αὐτὰ εἰδέναι, οὐκ εἰδότων δέ, ἥτις πεῖρα διὰ τῶν ἑπομένων τοῖς κατὰ τὰς ἐπιστήμας γινομένη, ἃ ἐνδέχεται εἰδέναι καὶ τοὺς οὐκ ἔχοντας αὐτῶν τὴν ἐπιστήμην, οὐκ ἤδη δείκνυσιν ἐπιστήμονα τὸν χρώμενον αὐτῇ. τῇ δὲ προαιρέσει οὐκ ἂν διαφέροι ὁ διαλεκτικὸς τοῦ φιλοσόφου, ἐφ᾽ ὅσον καὶ οὗτος ἐπ᾽ ὠφελείᾳ τῶν συνόντων τοὺς λόγους δοκεῖ ποιεῖσθαι, γυμνασίας χάριν πεῖραν αὐτῶν λαμβάνων, εἴτε ἐπιστήμην ἔχουσιν ὧν λέγουσιν εἴτε καὶ μή. τῆς δέ γε σοφιστικῆς τὴν φιλοσοφίαν φησὶ διαφέρειν τοῦ βίου τῇ προαιρέσει· τῷ μὲν γὰρ φιλοσόφῳ τὸ εἶναι ἐπιστήμονι τούτων ἃ οἰκεῖά ἐστιν αὐτῷ πρόκειται, τῷ δὲ σοφιστῇ τὸ φαίνεσθαι· φαινομένη γάρ τις σοφία ἡ σοφιστικὴ ἀλλ᾽ οὐκ οὖσα. ἕπεται δὲ αὐτῇ διαφερούσῃ τῇ τοῦ βίου προαιρέσει τὸ καὶ τῷ τρόπῳ τῆς δυνάμεως διαφέρειν αὐτῆς τε καὶ τῆς διαλεκτικῆς· οὐδὲ γὰρ συλλογιστικὸς οὗτος, ἀλλὰ καὶ ἐν τούτοις τὸ φαίνεσθαι μᾶλλον τοῦ ἀληθοῦς μέτεισιν. id.

1004b 18. (*) αἰτιᾶται οὖν τοὺς σοφιστάς, οἵ τινες ὑποδυόμενοι τὸ τῆς φιλοσοφίας ὄνομα περὶ μὲν τῆς οὐσίας, περὶ ἧς οἰκειότατος καὶ προηγούμενος ὁ λόγος τῷ φιλοσόφῳ, οὐδένα ποιοῦνται λόγον, περὶ δὲ ἐναντίων καὶ ἀντικειμένων, ὥς φησιν ὁ ἀπὸ τῆς Ἀφροδισιάδος ἐξηγητής, καὶ τῶν πλεοναχῶς λεγομένων καὶ τῶν συμβεβηκότων καὶ τῶν τοιούτων πᾶσα αὐτοῖς πραγματεία, ὅσα πρὸς τὰ σοφίσματα καὶ τοὺς ἀγῶνας χρῶνται παρακρουόμενοι πρὸς τοὺς διαλεγομένους. Asclep.

"ἔστι — πειραστική." περὶ ὧν, φησίν, ἡ φιλοσοφία ἐπιστήμην τε 1004b 25.
ἔχει καὶ γνῶσιν, περὶ τούτων τὴν διαλεκτικὴν πειραστικὴν καὶ δι᾽ ἐνδόξων ἐπιχειρητικὴν εἶναι· διὰ τοιούτων γὰρ ἡ πεῖρα· καὶ γὰρ πρὸς τὸ διελέγξαι πολλάκις τἀληθῆ χρῶνται τῇ πειραστικῇ, ὃ οὐ γίνεται δι᾽ ἀληθῶν τε καὶ ἀποδεικτικῶν, ἀλλὰ διὰ πιθανῶν τε καὶ ἐνδόξων. τὴν δὲ σοφιστικὴν φαινομένην φησίν, οὖσαν δὲ οὔ, ἤτοι διαλεκτικὴν φαινομένην, ὅτι ἐκ φαινομένων ἐνδόξων, ἢ φαινομένην σοφίαν οὖσαν δ᾽ οὔ, εἴγε ἐστὶν ἀπὸ φαινομένης σοφίας χρηματιστική. Alex.

"ἔτι — πλῆθος." διὰ τούτων προκατασκευάζει ὅτι ὁ περὶ τῶν 1004b 27.
ἐναντίων λόγος οἰκεῖός ἐστι τῷ φιλοσόφῳ (*)· εἰ γὰρ πάντων τῶν ἐναντίων στέρησις ἡ ἑτέρα συστοιχία, ἡ δὲ ἑτέρα εἶδος (ὑπάγεται γὰρ πάντα τὰ ἐναντία εἰς τὸ ὂν καὶ τὸ μὴ ὂν καὶ εἰς τὸ ἕν τε καὶ πλῆθος, ὧν τὸ μὴ ὂν καὶ τὸ πλῆθος στέρησις), οὗ περὶ τοῦ μὴ ὄντος, ὅ ἐστι στέρησις τοῦ ὄντος, καὶ περὶ τοῦ οὐχ ἑνὸς καὶ πλήθους, ὅ ἐστι στέρησις τοῦ ἑνός, θεωρεῖν, τούτου καὶ περὶ τῶν ἄλλων ἐναντίων. τοῦ μὲν οὖν τοῦ αὐτοῦ εἶναι τὸ περὶ τῶν ἐναντίων λέγειν δεικτικὸν τὸ στέρησιν εἶναι τὸ ἕτερον τῶν ἐναντίων, τοῦ δὲ περὶ πάντων τῶν ἐναντίων καθόλου τὸν φιλόσοφον ἐρεῖν δεικτικὸν πάλιν τὸ πάντα τὰ ἐναντία ἀνάγεσθαι εἰς τὸ ὂν καὶ μὴ ὂν καὶ ἓν καὶ πλῆθος· ὃ καὶ αὐτὸ ἅμα δεικτικόν ἐστι τοῦ τὸ ἕτερον τῶν ἐναντίων εἶναι στέρησιν. ὡς γὰρ ἀμφοτέρων τούτων δεικτικῶν ἐχρήσατο τοῦ περὶ πάντων τῶν ἐναντίων ἐρεῖν τὸν φιλόσοφον καὶ τοῦ τὸ ἕτερον τῶν ἐναντίων στέρησιν εἶναι. δύνανται δὲ καὶ δύο ἐπιχειρήσεις τὸ εἰρημένον εἶναι τῶν αὐτῶν δεικτικαί, πρώτη μὲν ἡ "ἔτι τῶν ἐναντίων ἡ ἑτέρα συστοιχία στέρησις·" εἰ γὰρ τοῦ αὐτοῦ αὐτά τε εἰδέναι καὶ τὰς στερήσεις αὐτῶν, οὗ περὶ τοῦ ἑτέρου μέρους τῶν ἐναντίων θεωρῆσαι τοῦ ὑπὸ τὸ ἕν, τούτου ἔσται καὶ τὸ περὶ ἑτέρου, εἴγε στέρησις ταῦτα ἐκείνων. δευτέρα δ᾽ ἂν ἐπιχείρησις εἴη "καὶ πάντα ἀνάγεται εἰς τὸ ὂν καὶ μὴ ὂν καὶ ἓν καὶ πλῆθος·" εἰ γὰρ πάντα τὰ ἐναντία ὑπὸ ταῦτα, οὗ περὶ τούτων, τούτου καὶ περὶ πάντων τῶν ἐναντίων θεωρεῖν. id.

(*) φησὶν οὖν ὅτι δύο συστοιχίας ἐποίουν οἱ Πυθαγόρειοι, καὶ τὴν μὲν κρείττονα πρὸς τὸ εἶδος ἀνῆγον, τὴν δὲ χείρονα πρὸς τὴν στέρησιν, ἃ ἦν φῶς καὶ σκότος, τὸ μὲν τοῦ εἴδους τὸ φῶς, τὸ δὲ τῆς στερήσεως τὸ σκότος, ἀγαθὸν καὶ κακόν, λευκὸν καὶ μέλαν, ἄπειρον καὶ πέρας, θερμὸν καὶ ψυχρόν. δέκα δὲ ἐποίουν τὰς συστοιχίας. Asclep.

"τὰ — συγκεῖσθαι." διὰ ταύτης τῆς ἐπιχειρήσεως ἅμα μὲν 1004b 29.
δείκνυσιν ὅτι περὶ πάντων τῶν ἐναντίων ὁ φιλόσοφος ἐρεῖ, ἐπειδὴ πάντα ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος, ἅμα δὲ συστήσει καὶ τὸ ὅτι μιᾶς ἐπιστήμης ἐστὶ τὸ περὶ τοῦ ὄντος ᾗ ὂν θεωρῆσαι, ὡς δι᾽ ὧν ἐπιφέρει

7. ἀνίσου om *A*. ‖ 9. καὶ om *C*. ‖ 33. καὶ om *A*. ‖ 38. οὐδὲν *C*.
21. τοῦ — ἐναντίων om *A*. ‖ 30. ἐν τοῦ αὐτοῦ ἔσται *A*. ‖ 33. τούτων om *C*.

οὐσίας ἔχειν ἐπιστήμην. ἦν δὲ περὶ οὐσίας ἡ πραγματεία τῷ φιλοσόφῳ, καὶ περὶ τούτων ἄρα τοῦ φιλοσόφου διαλαμβάνειν. εἰπὼν δὲ ταῦτα καὶ δείξας ὅτι τοῦ φιλοσόφου τὸ περὶ πάντων ὄντων γνῶσιν ἔχειν, ἐπισημαίνεται ὅτι διὰ τῶν δεδειγμένων λύεται τῶν ἀποριῶν μία τῶν ἀπορηθεισῶν ἐν τῷ δευτέρῳ, περὶ ἧς ἠπόρει, πότερον μιᾶς ἢ πλειόνων ἐστὶν ἐπιστημῶν τὸ θεωρῆσαι περί τε τῆς οὐσίας καὶ τῶν τῇ οὐσίᾳ συμβεβηκότων, καὶ τῶν οἷς εἶπε χρῆσθαι τὴν διαλεκτικὴν κατὰ τὸ ἔνδοξον, ἃ ἦν ἐναντία, ταὐτὸν ἕτερον καὶ τὰ ἄλλα ἃ φθάνομεν εἰρηκότες. id.

1004 b 1. “εἰ — καθήμενος.” ὅτι τοῦ φιλοσόφου ἥ τε περὶ τῆς οὐσίας θεωρία καὶ περὶ τῶν τῇ οὐσίᾳ συμβεβηκότων, ὁμοίως δὲ καὶ περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὅσα καθόλου περὶ ἐναντίων ζητεῖται, δείκνυσι καὶ ἐκ τοῦ μηδεμιᾶς ἄλλης ἐπιστήμης οἰκεῖον εἶναι τὸν περὶ τούτων λόγον· οὐδὲ γὰρ γεωμέτρου οὔτε μουσικοῦ οὔτ' ἄλλου τινὸς ἐπιστήμην ἔχοντός τινα ἄλλην παρὰ τὴν τοῦ ὄντος ᾗ ὄν, τὸ διαλαβεῖν καὶ ἰδεῖν πότερον ταὐτόν ἐστιν ἡ οὐσία ἁπλῶς λαμβανομένη καὶ μετά τινος συμβεβηκότος ἢ ἕτερον, οἷον ὁ Σωκράτης αὐτός τε καθ' αὑτὸν ληφθεὶς καὶ μετά τινος τῶν συμβεβηκότων, οἷον τοῦ καθῆσθαι· οὐ γὰρ ἁπλῶς ταὐτόν, ἀλλὰ κατὰ τὸ ὑποκείμενον, κατὰ δὲ τὸν λόγον οὐ ταὐτόν. ἀλλ' οὐδὲ τὸ εἰδέναι ὅτι ἓν ἑνί ἐστιν ἐναντίον ἄλλης ἐπιστήμης ἐστὶν ἴδιον. ἀλλ' οὐδὲ τί ποτέ ἐστι τὸ ἐναντίον, καὶ πότερον ἐν ποιότητι μόνῃ ἢ καὶ ἐν οὐσίᾳ ἐστὶν ἡ ἐναντιότης καὶ ἐν ἑκάστῳ τῶν ἄλλων γενῶν· ἀλλ' οὐδὲ τίνες τοῦ ἐναντίου διαφοραί, ὅτι φέρε εἰπεῖν τὰ μὲν ἄμεσα τὰ δὲ ἔμμεσα, καὶ ὅτι τὸ μεταξὺ μίξει τῶν ἄκρων, καὶ ὅτι τῶν μεταξὺ τὰ μὲν ὠνόμασται τὰ δὲ τῇ τῶν ἄκρων ἀποφάσει δηλοῦται, καὶ τίνι διαφέρει τῶν ἄλλων ἀντικειμένων τὰ ἐναντία. ὁμοίως δὲ οὐδὲ τὰ ἀντικείμενα ποσαχῶς λέγεται, τὸ διελέσθαι ἄλλου τινός ἐστι παρὰ τὸν φιλόσοφον. δείξας δὲ ὅτι τοῦ φιλοσόφου ἐστὶ τὸ περί τε τούτων
1004 b 5. καὶ τῶν τοιούτων θεωρεῖν, ἑξῆς ἐπήνεγκε λέγων “ἐπεὶ οὖν τοῦ ἑνὸς ᾗ ἓν καὶ τοῦ ὄντος ᾗ ὂν ταῦτα καθ' αὑτά ἐστι πάθη, ἀλλ' οὐχ ᾗ ἀριθμὸς ἢ γραμμαὶ ἢ πῦρ, δῆλον ὡς ἐκείνης τῆς ἐπιστήμης καὶ τί ἐστι γνωρίσαι καὶ τὰ συμβεβηκότα αὐτοῖς,” δεικνὺς διὰ τούτων ὅτι οὐκ ἄλλης μὲν ἡ περὶ τοῦ ἑνός τε καὶ ὄντος καὶ τῶν ὑπ' αὐτὰ θεωρία, τί ποτέ ἐστιν αὐτῶν ἕκαστον, ἄλλης δὲ περὶ τῶν τούτοις καθ' αὑτὰ ὑπαρχόντων ἀποδεικνύναι περὶ ὧν προειρήκαμεν· τῆς γὰρ αὐτῆς ὥσπερ ἐπὶ τῶν ἄλλων ἐπιστημῶν τό τε ὑποκείμενον γνωρίζειν καὶ τίνα ἐστὶν αὐτῷ τὰ καθ' αὑτὰ ὑπάρχοντα ἀποδεικνύναι, οὕτω καὶ ἐπὶ τῆς τοῦ ὄντος. κεῖται γὰρ ὅτι τοῦ φιλοσόφου ἐστὶν ἡ περὶ τοῦ ὄντος ᾗ ὂν γνῶσις καὶ τῶν τούτῳ ὑπαρχόντων καθ' αὑτό, ἐδείχθη δὲ καὶ τὸ ἓν ταὐτὸν ὂν τῷ ὄντι· καὶ ἡ περὶ τοῦ ἑνὸς οὖν θεωρία καὶ τῶν τούτῳ καθ' αὑτὰ ὑπαρχόντων ὁμοίως τοῦ φιλοσόφου ὡς καὶ ἡ περὶ τοῦ ὄντος. τὰ δὲ προειρημένα ὅτι καθ' αὑτὰ τοῦ ὄντος ᾗ ὄν ἐστι πάθη, ἔδειξε διὰ τοῦ εἰπεῖν “ἀλλ' οὐχ ᾗ ἀριθμὸς ἢ γραμμαὶ ἢ πῦρ·” εἰ γάρ τινι τούτων καθ' αὑτὸ ὑπῆρχέ τι τούτων, κατὰ συμβεβηκός τε ἂν ἦν τῷ ὄντι ὑπάρχον, καὶ οὐκ ἂν ἄλλῳ τινὶ ὑπῆρχεν οὐδὲ κοινῶς· διὸ οὐκέτ' ἂν τοῦ φιλοσόφου οἰκεία ἡ περὶ αὐτῶν θεωρία, ἀλλ' εἰ μὲν τοῖς ἀριθμοῖς ὑπῆρχε, τῆς ἀριθμητικῆς, εἰ δὲ γραμμαῖς, γεωμετρίας, εἰ δὲ πυρί, τῆς φυσικῆς. ἐπεὶ δὲ μηδενὶ ἀφωρισμένως τῶν ὄντων, τῷ ὄντι ἂν ᾗ ὂν ὑπάρχοι καὶ καθ' αὑτό, ὥστε τῆς περὶ τὸ ὂν πραγματευομένης ἐπιστήμης καὶ ἡ τούτων γνῶσις οἰκεία καὶ τῶν τούτοις συμβεβηκότων, ὡς τοῖς ἐναντίοις τὸ ἔμμεσον τὸ ἄμεσον. ἔστι δὲ αὕτη ἡ καθόλου τε καὶ κοινὴ φιλοσοφία. id.

1004 b 8. “καὶ — σκοπούμενοι.” λέγει δὲ περὶ τῶν σοφιστῶν, οἳ ὑποδυόμενοι τὸ φιλοσόφου ὄνομα περὶ τῆς οὐσίας, περὶ ἧς οἰκειότατος καὶ προηγούμενος ὁ λόγος τῷ φιλοσόφῳ, οὐδένα ποιοῦνται λόγον, περὶ δὲ ἐναντίων καὶ ἀντικειμένων καὶ τῶν πλεοναχῶς λεγομένων καὶ τῶν συμβεβηκότων καὶ τῶν τοιούτων ἡ πᾶσα αὐτοῖς πραγματεία, οἷς πρὸς τὰ σοφίσματα καὶ τοὺς ἀγῶνας χρῶνται παρακρουόμενοι τοὺς προσδιαλεγομένους. αἰτιᾶται δὴ αὐτῶν οὐ τὸ περὶ τούτων λέγειν ὡς οὐκ ὂν φιλοσόφῳ οἰκεῖον (οἰκεῖος γὰρ καὶ ὁ περὶ τούτων λόγος τοῖς φιλοσόφοις, οὓς ὑποδύονται), ἀλλ' ὅτι περὶ μόνων τούτων καὶ προηγουμένως ὁ λόγος αὐτοῖς γίγνεται, περὶ δὲ τῆς οὐσίας, ἥτις ἐστὶ πρώτη, παρ' ἧς κἀκείνοις τὸ εἶναι καὶ δι' ἣν ὁ φιλόσοφος καὶ περὶ ἐκείνων λέγει τῷ ταύτης τι αὐτὰ εἶναι, οὐδένα λόγον ποιοῦνται οὐδὲ ἴσασί τι περὶ αὐτῆς. διὸ οὐδὲ φιλόσοφοι ἔτι, σοφισταὶ δέ· καὶ γὰρ οὐδὲ οἷόν τε μηδὲν ἐπαΐοντας περὶ τῆς οὐσίας περὶ τῶν τῇ οὐσίᾳ ὑπαρχόντων ἐπιστημονικῶς τε καὶ πρὸς ἀλήθειαν λέγειν· διὸ οὕτως λέγουσιν. id.

1004 b 10. “ἐπεὶ — πάθη.” ἔτι τὸ αὐτὸ ἐπεξεργάζεται, δεικνὺς ὅτι τῷ φιλοσόφῳ τὸ περὶ τῶν προειρημένων λέγειν οἰκεῖον· οἰκεῖα γὰρ πάθη καὶ καθ' αὑτὰ ὑπάρχοντα τῷ ὄντι ταῦτα ᾗ ὄν, ἑκάστῃ δὲ ἐπιστήμῃ ἴδιον τὸ τὰ οἰκεῖα καὶ καθ' αὑτὰ ὑπάρχοντα τῷ ὑποκειμένῳ γένει, περὶ ὃ ἡ ἐπιστήμη, σκοπεῖν. οὕτως γὰρ ἀριθμητικῆς τὸ τὰ ἴδια τῶν ἀριθμῶν πάθη καὶ οἰκεῖα αὐτῶν περὶ ὃ καταγίνεται, θεωρεῖν· ταῦτα δέ ἐστι τὸ περιττὸν τὸ ἄρτιον, συμμετρία ἡ ἐν ἀριθμοῖς καὶ ἰσότης, ὑπεροχὴ καὶ ἔλλειψις, ὧν τὰ μὲν καθ' αὑτοὺς ὑπάρχει τοῖς ἀριθμοῖς, ὡς τὸ περιττὸν καὶ ἄρτιον, τὰ δὲ πρὸς ἀλλήλους, ὡς τὸ ἕτερον (τούτῳ γὰρ διαφέρουσιν οἱ ἄρτιοι ἀριθμοὶ τῶν περιττῶν), ἔτι καὶ τὸ σύμμετρον καὶ τὸ ἴσον, ὑπεροχή τε καὶ ἔλλειψις. ὁμοίως καὶ γεωμετρίας τὸ τὰ ταῖς γραμμαῖς ὑπάρχοντα εἰδέναι καὶ τὰ τοῖς ἐπιπέδοις τε καὶ σχήμασιν· ἔστι γάρ τινα καὶ τούτων οἰκεῖα, καὶ πάλιν ἄλλα τοῖς στερεοῖς, καὶ τούτων ἄλλα μὲν τοῖς ἀκινήτοις, περὶ ἃ ἡ στερεομετρία, ἄλλα δὲ τοῖς κινουμένοις, περὶ ἃ ἡ ἀστρολογικὴ καὶ ἡ φυσική. ἀλλὰ καὶ τῶν κινουμένων ἄλλα μὲν τοῖς βάρος ἔχουσιν, ὡς γῇ ὕδατι, ἄλλα δὲ καὶ τοῖς βάρος οὐκ ἔχουσιν, ὥσπερ τοῖς κούφοις, πυρί τε καὶ ἀέρι,

1. ἐπιστήμην] λόγον C. ‖ περὶ τὴν οὐσίαν C. ‖ 3. τὸ om A. ‖ 4. ἐπεὶ σημαίνεται A. ‖ 6. θεωρεῖν C. ‖ 8. ὡς φθάνομεν C. ‖ 12. καὶ post δείκνυσι om A. ‖ 13. τούτου A. ‖ 15. ὄν, ἔστι λαβεῖν A. ‖ 17. οἷον] ἢ C. ‖ 20. ἄλλου A. ‖ 23. l. τίνες. ‖ 26. οὐδὲ τὸ τὰ A. ‖ 27. τὸ et 28. τε ante τούτων om A. ‖ 28. τε post τούτων et 29. ἑξῆς om C. ‖ 30. ταὐτὰ A. ‖ 34. δὲ] ἔστιν A. ‖ τούτων A. ‖ 35. ὥσπερ γὰρ ἐπὶ C. ‖ 39. αὐτά C.

2. ὑπάρχει C. ‖ 7. καὶ om AC. ‖ 12. ὄνομα] αἷμα A. ‖ 17. δὲ A. ‖ 18. φιλοσόφου C. ‖ 19. οἷς C. ‖ 21. καὶ ante δι' om A. ‖ 28. τῷ — 29. ὑπάρχοντα om C. ‖ 30. γὰρ ἐπὶ ἀριθμητικῆς καὶ μὲν τὰ C. ‖ 33. τοὺς ἀριθμοὺς A. ‖ 34. τούτων A. ‖ 35. καὶ] δὲ C. ‖ 36. καὶ et τε καὶ om C.

ἔσται, ἀλλ' οὐκ ἐν ἑκατέρῳ αὐτῶν· ὥστε τὸ μὲν ταὐτὸν καὶ θάτερον ἢ τὸ λευκὸν ἢ τὸ μέλαν ὑπὸ τὴν ἑτερότητα ἄμφω λαμβανόμενα ὡς ἐναντία, οὐκέτι μέντοι τὸ ταὐτὸν καθ' αὑτὸ ἢ τὸ λευκόν. id.

1004a 12. (*) "οὐ — λεγομένη." ὡς συντόμως φάναι ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ἡ μὲν ἀπόφασις ἁπλῶς λέγεται, ἐπειδὴ πάντων τῶν ὄντων διαιρεῖ τἀληθὲς καὶ τὸ ψεῦδος ἡ ἀντίφασις, καὶ ὥς φησι Πλάτων, οὐδὲν καυχήσεται τῶν ὄντων ἐκφυγεῖν τὴν ἀντίφασιν, ἡ μέντοι γε ἕξις καὶ ἡ στέρησις οὐκ ἐπὶ πάντα τὰ ὄντα θεωροῦνται. Asclep.

1004a 14. (*) ἰστέον ὅτι διαφορὰν καλεῖ τὴν ἀπόφασιν, ἐπειδὴ αὐτὴ προστιθεμένη ποιεῖ ἀντὶ καταφάσεως ἀπόφασιν. id.

1004a 22. "ὥστε — λεχθήσεται." τὰ εἴδη, φησί, τοῦ ἑνός, τουτέστι τὰ ὑπὸ τὸ ἓν (ἦν δὲ ταῦτα τὸ ταὐτόν, τὸ ὅμοιον, τὸ ἴσον, τὰ ὅσα τοιαῦτα), πολλαχῶς ῥηθήσεται, ὥσπερ καὶ τὸ ἓν ᾧ ὑποτέτακται. ἓν γὰρ καὶ τούτων ἕκαστον· καὶ γὰρ ἕν τι γένος ἕξει, τὸ δὲ ἓν τοσαυταχῶς ὁσαχῶς καὶ τὸ ὄν, καὶ τούτων δὴ ἕκαστόν φησι πολλαχῶς λέγεσθαι, ὡς καὶ τὸ ἕν. οὐ μὴν ἐπεὶ πολλαχῶς λέγεται, καὶ τὸ μὲν κυρίως ταὐτὸν ἐν οὐσίᾳ καὶ τὸ κυρίως ὅμοιον καὶ τὸ κυρίως ἴσον, ἔστι δὲ ἕκαστον αὐτῶν καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις, ἤδη καὶ ἑτέρας ἔσται ἐπιστήμης τὸ καθ' ἕκαστον αὐτῶν γένος τοῦ ὄντος θεωρεῖν, ἀλλὰ μιᾶς· οὐ γὰρ πάντα τὰ πολλαχῶς λεγόμενα ὑπὸ ἑτέρας καὶ διαφόρους ἐπιστήμας τέτακται, ἀλλὰ ταῦτα μόνα τῶν πολλαχῶς λεγομένων, ὅσων μήτε ἀφ' ἑνός τινος ἠρτημένοι εἰσὶν οἱ λόγοι μήτε ἐπί τι ἓν ἀναφέρονται, ἀφ' ἑνὸς μέν, ὡς ἐπὶ τῶν ἰατρικῶν ἐδείχθη (ἀπὸ γὰρ τῆς τοῦ ἰατροῦ χρήσεως τὰ ἰατρικά), πρὸς ἓν δὲ τὰ ὑγιεινά· ἐπὶ γὰρ τὸν τῆς ὑγιείας λόγον πάντων τῶν ὑγιεινῶν ἡ ἀναφορά, διὸ καὶ ἔστι μιᾶς ἐπιστήμης ἡ γνῶ-1004a σις αὐτῶν. δύναται δέ τις ἀκούειν τοῦ "ἀλλ' εἰ μήτε καθ' ἓν" ὡς 21. εἰρημένου, ἀλλ' εἰ μήτε ὑφ' ἓν γένος καὶ μίαν φύσιν μήτε πρὸς ἕν, ἀλλ' ὡς τὰ ὁμώνυμα καὶ τὰ γένη, κοινότερον λέγων πολλαχῶς λέγεσθαι, ὡς καὶ ἐν Κατηγορίαις (c. 8) περὶ ποιότητος λέγων εἶπεν "ἔστι δὲ ἡ ποιότης τῶν πλεοναχῶς λεγομένων." ὡς δὲ ἐπὶ τούτων μιᾶς ἐπιστήμης, οὕτω καὶ ἐπὶ τῶν προκειμένων, περὶ ὧν ὁ λόγος, ταὐτοῦ ὁμοίου ἴσου, μιᾶς ἐπιστήμης θεωρεῖν· πάντα γὰρ ταῦτα πρὸς ἕν τι τὴν ἀναφορὰν ἔχει. τὸ γὰρ πρῶτον καὶ κυρίως τοιοῦτον τῶν καθ' ὧν κατηγορεῖται, οἷον πάντα καθ' ὧν τὸ ὄν, πρὸς τὸ πρῶτον τῶν ὄντων, τοῦτο δέ ἐστιν ἡ οὐσία· καὶ πάντα καθ' ὧν τὸ ἕν, πρὸς τὸ πρῶτον ἓν καὶ κυρίως ἕν, ὅ ἐστιν ἡ οὐσία. ὁμοίως καὶ ἐπὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου· καὶ γὰρ καθ' ὧν ταῦτα, καὶ τούτοις ἡ ἀναφορὰ ἐπὶ τὴν οὐσίαν· ἐν ἐκείνῃ γὰρ κυρίως τὸ ταὐτὸν καὶ τὸ ἕτερον. 1004a εἰπὼν δὲ περὶ ταὐτοῦ καὶ ἑτέρου προσέθηκε τὸ "καὶ τῶν ἐναντίων," ἴσον 27. λέγων τῷ καὶ τῶν ἄλλων ἐναντίων, παραιτούμενος ἐξαρίθμησιν πάντων τῶν ἐναντίων ποιεῖσθαι τῶν ὑπὸ τὸ ἕν· ταῦτα δὲ ἦν ὅμοιον ἀνόμοιον, ἴσον ἄνισον, τἆλλα ὅσα ὑπὸ τὸ ἓν καὶ τὸ πλῆθος. ὥστε ἐπεὶ καὶ ταῦτα τῷ ὄντι ὁμοίως τῶν πλεοναχῶς λεγομένων, ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν, χρὴ διαιρουμένους καὶ λαμβάνοντας καθ' ἕκαστον αὐτῶν τὸ κυρίως τοιοῦτον τἆλλα δεικνύναι κατά τί ἀπ' ἐκείνου καὶ ταῦτα οὕτω λέγεται, οἷον καθ' ὅσων τὸ ταὐτὸν κατηγορεῖται λαβόντας πρὸς τὸ κυρίως ταὐτόν, τουτέστι τὸ ἐν οὐσίᾳ, τὴν τῶν ἄλλων ἀναφορὰν ποιεῖσθαι, δεικνύντας τῷ τί ἐκείνου εἶναι καὶ τούτων ἕκαστον ταὐτὸν λέγεται. πάλιν τὸ ἕτερον, εἶτα τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον καὶ τὰ ἄλλα οὕτως. τὸ δὲ "οὕτως ἀποδοτέον πρὸς τὸ πρῶτον ἐν ἑκάστῃ κα- 1004a 28. τηγορίᾳ, πῶς πρὸς ἐκεῖνο λέγεται," εἶπεν ἀντὶ τοῦ πῶς ἕκαστον τῶν καθ' ἑκάστην κατηγορίαν οὕτως λεγομένων προσκατηγορούμενον πρὸς τὸ πρῶτον καὶ κυρίως τοιοῦτον λεγόμενον ἔχει, ὅ ἐστι τὸ ἓν τῇ οὐσίᾳ, καὶ πῶς ἀπ' ἐκείνου λέγεται τὸ ἓν πρὸς τὸ πρῶτον καὶ κυρίως ἕν, πῶς τὸ ταὐτὸν πρὸς τὸ πρῶτον καὶ κυρίως ταὐτόν, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων, οἷον καθ' ὧν ἡ ταὐτοῦ κατηγορία, καὶ καθ' ὧν ταὐτὸν κατηγορεῖται, διελομένους καὶ λαβόντας τὰ ἐν ταῖς ἄλλαις κατηγορίαις, πῶς τὰ ἄλλα πρὸς τὸ πρῶτον τῶν ὑπὸ ταὐτό, τουτέστι τῶν ἐν τῇ οὐσίᾳ, ἀναφέρεται, καὶ δι' ἐκεῖνο καὶ αὐτὸ τῆς αὐτῆς τυγχάνει κατηγορίας. ὁμοίως καὶ ἐπὶ ὁμοίου, ἴσου, τῶν ἄλλων. ὡς γὰρ περὶ τοῦ ὄντος λέγοντες, λαβόντες τὸ κυρίως εἶναι τὴν οὐσίαν, ἓν ἕκαστον τῶν ἄλλων ὧν τὸ ὂν κατηγορεῖται δείκνυμεν ἓν ἢ τῷ πάθος εἶναι τῆς οὐσίας ἢ τῷ γένεσιν ἢ τῷ ἐνέργειαν ἢ τῷ ἄλλο τι, οὕτω φησὶ δεῖν καὶ ἐπὶ τούτων ποιεῖν. Alex.

"τὰ μὲν — τρόπους." εὑρόντας φησὶ τὸ κυρίως καθ' ἕκαστον 1004a 30. τούτων λεγόμενον μεταλαβεῖν ἐν πόσοις ἐστὶ καὶ ἄλλοις τοῦτο πρὸς τὸ κυρίως λεγόμενον, οὕτως φησὶ χρῆναι δεῖν τὴν τῶν ἄλλων ἀναφορὰν ποιεῖσθαι τῶν καθ' ὧν καὶ αὐτῶν λέγεται. καὶ προσυπογράφει γε ἡμῖν καὶ τὸν τρόπον τῆς εὑρέσεως τῆς κατὰ τὴν διαίρεσιν αὐτῶν· τῶν γὰρ ἄλλων ἕκαστον τὸ μὲν τῷ ἔχειν τὸ κυρίως λεγόμενον ἢ ὂν ἢ ἓν ἢ ταὐτὸν ἢ τῶν ἄλλων τι, καὶ αὐτὸ οὕτως λέγεσθαι. δύναται τὸ "ἔχειν" καὶ ἀντὶ τοῦ ἔχεσθαι εἰρῆσθαι· τῷ γὰρ ἔχεσθαι ὑπὸ τοῦ κυρίως ὄντος τε καὶ ἑνός, τουτέστι τῆς οὐσίας, καὶ εἶναι ἐν αὐτῇ λέγεται ὄντα τε καὶ ἓν ἕκαστον τῶν συμβεβηκότων αὐτῇ, ὡς τὸ ποσόν τε καὶ ποιὸν καὶ ὅσα ὁμοίως τούτοις ἐν τῇ οὐσίᾳ ἐστίν. οὕτω δὲ καὶ τὸ ταὐτὸν καὶ θάτερον καὶ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον ἕξει, ἐπειδὰν αὐτῶν κατηγορῆται τό τε ἴσον καὶ τὸ ἄνισον καὶ τὰ ἄλλα· ταὐτὸν μὲν γὰρ κυρίως ἐπὶ τῶν οὐσιῶν, ὡσαύτως δὲ καὶ ὅμοιον τὸ κατὰ τὸ ἐν οὐσίᾳ εἶδος ῥηθήσεται, καὶ ἐπὶ τῶν ἄλλων τῶν ὅσα ἔχει τὴν πρὸς ἐκεῖνο ὁμοιότητα. τὰ μὲν οὖν τῷ ἔχεσθαι ὑπ' ἐκείνου οὕτως ῥηθήσεται, τὰ δὲ τῷ ἐνεργείᾳ τινὶ εἶναι αὐτοῦ· τῶν γὰρ τῆς οὐσίας ἐνεργειῶν ἑκάστη ὄν τε καὶ ἕν, ὅτι ἔστιν αὐτὰς ἡ οὐσία ποιοῦσα. ὁμοίως πάλιν ἄλλα ὄντα λέγεται τῷ πάθη τὰς οὐσίας εἶναι, καὶ ἄλλα τῷ σχέσεις. ὡς δὲ τὸ ὂν ἀναδέχεται ἕκαστον αὐτῶν, οὕτως καὶ τὸ ἓν καὶ τῶν ὑπὸ τὸ ἓν ἕκαστον. δείξας δὲ πῶς ἀφ' ἑνός ἐστι καὶ πρὸς ἓν ταῦτα λεγόμενα, ἐπιφέρει τὸ τῆς αὐτῆς εἶναι περί τε τούτων τῶν ἀπὸ τῆς οὐσίας τὸ εἶναι ἐχόντων καὶ περὶ τῆς

2. ἢ τὸ] ἢ καὶ *C.* ‖ 12. ταὐτὸν καὶ τὸ *A.* ‖ 15. δὴ] δὲ *C.* ‖ 25. ἐστι om *C.* ‖ 28. τὸ γενικώτερον *C.* ‖ 30. πολλαχῶς *C.*

3. καθόλου τὸ *A.* ‖ 5. διακόπτας *A.* ‖ 11. ἓν — 12. κυρίως et 14. ἄλλαις om *C.* ‖ 15. τουτέστι τὸ ἐν *A.* ‖ 16. καὶ αὐτὸ] κατ' αὐτὸ *A.* ‖ 17. ὡς — 18. ἄλλων om *A.* ‖ 28. λέγεται *C.* ‖ 30. καὶ ante εἶναι om *A.* ‖ αὐτῷ *A.* ‖ 31. καὶ post ποιὸν et 32. δὲ om *A.* ‖ 35. ῥηθήσεται δὲ καὶ *C.* ‖ 36. ἐκεῖνα *C.* ‖ τὰ] τὸ *A.* ‖ 40. σχέσει *C.* ‖ 43. εἶναι ἐπιστήμης περὶ *C* in mg. ‖ τῶν] ἃ *A.* ‖ ἐχόντων] ἔχει *A.*

γὰρ τις καὶ ἀναίρεσις καὶ ἀπουσία ἀμφότερα ἐκείνου· ἧς γὰρ τὸ τόδε τι
θεωρῆσαι, ταύτης καὶ τὴν ἀπουσίαν τὴν ἐκείνου. εἰπὼν δὲ κοινῶς
ἀπόφασιν καὶ στέρησιν μιᾶς εἶναι θεωρῆσαι, καὶ δι' ἃ προσθεὶς τῷ ἑνὶ
καὶ τοῖς πολλοῖς, προσάγει τὸν λόγον περὶ ὧν αὐτῷ πρόκειται λέγειν·
ἀμφοτέρως γάρ φησι τοῦ τὸ ἓν θεωροῦντος, τοῦ αὐτοῦ καὶ τὰ πολλὰ
θεωρῆσαι, ἄντε τὰ πολλὰ ὡς ἀπόφασίν τις λέγοι τῷ ἑνὶ ἀντι-
κεῖσθαι σημαινόμενα ὑπὸ τοῦ οὐχὶ ἕν, ἄντε ὡς στέρησιν· καὶ γὰρ ἐν τῷ
οὐχ ἑνὶ περιέχεται τὸ ἕν, οὗ ἡ ἀπόφασις, καὶ ἡ τινὸς δὲ στέρησις ἔχει
ἐν αὐτῇ περιεχόμενον καὶ τὸ οὗ στέρησις. ἑξῆς δὲ ᾧ διαφέρει στέ-
1004a 12. ρησις ἀποφάσεως προστίθησιν· ἢ γὰρ ἁπλῶς, φησί, λέγομεν ὅτι
οὐχ ὑπάρχει ἐκείνῳ ἢ τινι γένει. καὶ τί τούτων ἑκάτερον σημαίνει
δεικνὺς ἐπιφέρει· ἡ μὲν γὰρ ἁπλῶς λέγουσα ὅτι οὐχ ὑπάρχει ἐκεῖνο
ἀπόφασίς ἐστιν· ἡ γὰρ ἁπλῶς τῷ ἑνὶ τὴν διαφορὰν ἔχουσα προσκει-
μένην τὴν ἀναιρετικὴν ἀπόφασίς ἐστιν αὐτοῦ κατὰ πάντων ἁπλῶς
λεγομένη τε καὶ ἀληθευομένη ἄνευ τοῦ ᾧ πρόσκειται τὸ ἀποφατικόν·
τὸ γὰρ οὐχ ἓν κατὰ πάντων (') ἀληθὲς χωρὶς τοῦ ἑνὸς τοῦ ἐν τῇ ἀπο-
φάσει, ᾧ πρόσκειται τὸ ἀποφατικόν· ὁμοίως καὶ τὸ οὐκ ἄνθρωπος χω-
ρὶς τοῦ ἀνθρώπου, ᾧ πρόσκειται ἡ ἀπόφασις, κατὰ πάντων τῶν ἄλλων
1004a 13. ἀληθεύεται. βραχέως δὲ καὶ ἐλλιπῶς εἶπε· διὸ καὶ ἀσαφῶς τὸ "ἔνθα
μὲν οὖν τῷ ἑνὶ ἡ διαφορὰ πρόσεστι παρὰ τὸ ἐν τῇ ἀποφάσει." ἐπεὶ
γὰρ περὶ τὸ ἐν τῇ ἀποφάσει ἀληθεύεται κατὰ πάντων (παρὰ μόνον γὰρ
ἐκεῖνο ᾧ ἡ διαφορὰ ἡ ἀποφατικὴ ἐν τῇ ἀποφάσει πρόσκειται, κατὰ
πάντων τῶν ἄλλων ἀληθεύεται ἡ ἀπόφασις) ('), καὶ τὴν αἰτίαν τοῦ
κατὰ πάντων αὐτὴν τῶν ἄλλων ἀληθεύεσθαι παρὰ τὸ οὗ ἐστιν ἀπόφασις
προσέθηκεν εἰπὼν "ἀπουσία γὰρ ἡ ἀπόφασις ἐκείνου ἐστίν." ἢ τὸ "ἔνθα
μὲν οὖν τῷ ἑνὶ ἡ διαφορὰ πρόσεστι παρὰ τὸ ἐν τῇ ἀποφάσει" ἴσον
ἐστὶ τῷ ἔνθα μὲν ἡ διαφορά, τουτέστιν ἡ ἀπόφασις, τῷ ἑνί, ὅπερ ἐστὶ
τὸ ἀποφασκόμενον, πρόσκειται, τὰ ἄλλα πάντα δηλοῦται. παρὰ τὸ
ἀποφασκόμενον εἶπεν, ἐπεὶ διαφορὰν δηλοῖ τοῦ ἀποφασκομένου
τοῦτο προσκείμενον τῷ ἀποφασκομένῳ. ἐπὶ δὲ τῆς στερήσεως
οὐκέτι ἀποφάσεως οὔσης οὐδὲ ἀποφατικῶς λεγομένης οὐχ ἁπλῶς
ἀληθὲς τὸ ἀναιρετικὸν καὶ στερητικὸν μετὰ τοῦ ᾧ πρόσκειται κατὰ πάντων
χωρὶς τοῦ ᾧ πρόσκειται, ἀλλὰ καὶ ὑποκείμενόν τι γένος ἐστί, καθ' οὗ
ἀληθεύεται μόνου· τοῦτο δέ ἐστι τὸ δεκτικὸν τοῦ ἀποφασκομένου τε καὶ
ἀναιρουμένου. ἡ γὰρ στέρησις οὐχ ἁπλῶς ἀπουσία τινός ἐστιν, ὡς ἡ
ἀπόφασις, ἀλλ' ἀπουσία τοῦ πεφυκότος ὑπάρχειν ὅτε πέφυκε.
δείξας δὲ τίνι ἀπόφασις καὶ στέρησις διαφέρουσιν, ἐπάνεισιν ἐπὶ
1004a 16. τοῦτο οὗ χάριν πάντων τούτων ἐμνημόνευσε, καί φησι "τῷ δ' ἑνὶ
πλῆθος ἀντίκειται, ὥστε καὶ τὰ ἀντικείμενα τοῖς εἰρημένοις," ὧν
ἕκαστον ἦν ὑπὸ τὸ ἕν (ἔστι δὲ ταῦτα τό τε ἕτερον καὶ τὸ ἀνόμοιον καὶ τὸ
ἄνισον δῆλον ὅτι καὶ τὰ ἄλλα τὰ ἀντικείμενα πάντα τοῖς ὑπὸ τὸ
ἓν τεταγμένοις, περὶ ὧν προείρηκε), τοῦ αὐτοῦ γιγνώσκειν ἐστὶν οὐ
μόνον ἐκεῖνα, ἃ ἦν τὸ ταὐτὸν καὶ τὸ ὅμοιον καὶ τὸ ἴσον, ταῦτα γὰρ ἦν
ὑπὸ τὸ ἕν... ὃ δ' ἑξῆς εἴρηκε τὸ "καὶ ὅσα ἄλλα λέγεται ἢ κατὰ ταῦτα 1004a
ἢ κατὰ τὸ πλῆθός τε καὶ τὸ ἕν, τῆς εἰρημένης γνωρίζειν ἐπιστήμης," 18.
ταὐτόν ἐστιν. καὶ ὅσα ἄλλα ἀντίκειται καὶ ὑποτέτακται καὶ ἀνάγεται ἤτοι
ὑπὸ τὸ ταὐτὸν δηλονότι καὶ τὸ ἀντικείμενον αὐτῷ θάτερον ὡς γενι-
κώτερον ἀντικείμενον, ἢ ὑπὸ τὸ ἴσον τε καὶ ἄνισον ἢ ὑπὸ τὸ ὅμοιόν
τε καὶ ἀνόμοιον ἢ ὑπὸ τὸ ἕν τε καὶ πλῆθος, ἅ ἐστι γενικώτατα, τοῦ
φιλοσόφου γνωρίζειν. τοῦτο δὲ εἴρηκεν ὑπὲρ τοῦ δεῖξαι ὅτι περὶ
πάντων τῶν ἀντικειμένων ὁ φιλόσοφος διαλαμβάνει, οὐ περὶ ἐνίων.
ἐπεὶ γὰρ ἔνια τῶν ἀντικειμένων αὐτόθεν ἀνάγειν καὶ ὑπάγειν τῷ τε
ἑνὶ καὶ τῷ πλήθει οὐχ οἷόν τε, τῷ μέντοι ταὐτῷ καὶ ἑτέρῳ ἢ τῷ
ὁμοίῳ καὶ ἀνομοίῳ ἢ τῷ ἴσῳ καὶ ἀνίσῳ ὑπάγεται, διὰ τοῦτο εἶπεν ἢ
"ὅσα ἄλλα λέγεται ἢ κατὰ ταῦτα ἢ κατὰ τὸ πλῆθός τε καὶ τὸ ἕν." λευ-
κὸν γὰρ καὶ μέλαν καὶ γλυκὺ καὶ πικρὸν ὑπὸ μὲν τὸ ἓν καὶ πλῆθος πῶς ἂν
αὐτόθεν ὑπάγοιτο; ὑπὸ μέντοι ταὐτὸν καὶ θάτερον ὑπαχθήσεται· τὰ
μὲν γὰρ συγκριτικὰ αὐτῶν, ἅ ἐστι τό τε λευκὸν καὶ τὸ γλυκύ, ὑπὸ τὸ
ταὐτόν, τὰ δὲ ἀντικείμενα τούτοις ὄντα διακριτικὰ τῆς θατέρου
φύσεως. δείκνυσι δὲ ὅτι τὸ ταὐτόν τε καὶ θάτερον πάλιν ὑπὸ τὸ ἕν
τε καὶ τὰ πολλά. "ὧν ἐστὶ καὶ ἡ ἐναντιότης." τῶν ἀναγομένων ὑπὸ 1004a
τὴν ἑτερότητα καὶ τὸ πλῆθος καὶ τὴν ἐναντιότητά φησιν εἶναι, καὶ πῶς, 20.
ἔδειξεν εἰπὼν "διαφορὰ γάρ τις ἡ ἐναντιότης, ἡ δὲ διαφορὰ ἑτερό-
της." ἑτερότης δὲ οὖσα τῷ πλήθει ἂν ὑπάγοιτο, ὥστε καὶ ἡ ἐναν-
τιότης κατὰ τὴν ἐπὶ τὴν ἑτερότητα ἀναφορὰν ὑπάγοιτο ἂν τῷ πλή-
θει, ἀλλ' οὐκ αὐτόθεν· ὥστε καὶ κατὰ τοῦτο, οὗ τὸ περὶ ταὐτοῦ θεωρεῖν,
τούτου καὶ περὶ τῶν ἐναντίων, εἴγε τὰ ἐναντία ὑπὸ τὴν ἑτερότητα·
οὗ γὰρ περὶ τῆς ἐναντιώσεως, τούτου καὶ περὶ τῶν ἐναντίων. προσέ-
θηκε δὲ τὴν ἐναντιότητα βουλόμενος προηγουμένως δεῖξαι ὅτι καὶ τὸ
περὶ ἐναντιότητος καὶ ἐναντίων εἰπεῖν τοῦ σοφοῦ· ἦν γὰρ δεδειγμένον
ὅτι καὶ περὶ στερήσεως καὶ ἀποφάσεως τοῦ αὐτοῦ, ἐπεὶ οὕτως ἐδόκει
τὰ πολλὰ τῷ ἑνὶ ἀντικεῖσθαι. τὴν δὲ ἐναντιότητα εἶπεν ὑπὸ τὴν
ἑτερότητα τετάχθαι, οὐ τὰ ἐναντία, ἐπεὶ οὕτως ἂν ἦν καὶ τὸ ταὐτὸν
ὑπὸ τὴν ἑτερότητα τασσόμενον, εἴγε τὰ μὲν ἐναντία ὑπὸ τὴν ἑτερό-
τητα, ἐναντίον δὲ τὸ ταὐτὸν τῷ ἑτέρῳ. ὁμοίως καὶ τὸ ἄνισον τῷ ἴσῳ
ἐναντίον· ὥστε καὶ τὸ ἴσον ἂν ἦν ἡ ἑτερότης. ἀλλ' οὐ τὰ ἐναντία τῇ
ἑτερότητι ὑπάγεται. εἰ δὲ μὴ ταῦτα ἐναντία, ἀλλ' ἐπὶ τῶν ὁμο-
λογουμένως ἐναντίων ἦν ἂν ἀμφότερα ὡς ἑκάτερον ἰδίᾳ λαμβανό-
μενον ὑπὸ τὴν ἑτερότητα, οὐ δὴ τὰ ἐναντία ἀλλ' ἡ ἐναντιότης. ἡ
δὲ ἐναντιότης ἐν ἀμφοτέροις ἅμα λαμβανομένοις τοῖς ἐναντίοις

11. ἐκεῖνο *V.* ‖ 18. ἀλλήλων *V.* ‖ 25. ἐκείνων *C.* ‖ 27. μὲν om *C.* ‖ *illud autem "praeter id autem quod negatur" dixit, quoniam discrimen negati ad alia significat, hoc addito ei quod negatur* Sepulv. ‖ 28. δηλοῦται — 29. ἀποφασκομένου om *A.* ‖ 32. μεθ' οὗ *C.* ‖ 40. ἕκαστον ἓν ἦν *C*, *quorum quodque unum esse diximus* Sepulv. ‖ ὑπὸ τὸ ἓν om *C.* ‖ ἕτερον καὶ ἀνόμοιον *A.*

2. *de quibus supra mentionem fecimus, quo planum fit eiusdem munus esse non solum illa, idem scilicet, simile et aequale (haec enim subiiciuntur uni), sed haec etiam quae modo memoravi, disserere* Sepulv. ‖ 3. καὶ post ταὐτὸν om *C.* ‖ τὸ ἄνισον *A.* ‖ γὰρ] δὲ *C.* ‖ 9. ὅ ἐστι γενικώτατον *A.* ‖ 15. ταὐτὰ *C.* ‖ 18. τὸ post ὑπὸ et 31. καὶ ante περὶ om *A.* ‖ 37. ἐπὶ — 39. ἀλλ' om *A* Sepulv.

συγγενεῖς. δέδειχε γὰρ ὅτι πλείονες, ἀλλ' ὡς ὑπὸ μίαν πᾶσαι τῷ
1004a 4. γένει τὴν φιλοσοφίαν. τὸ δὲ "ὑπάρχει γὰρ εὐθὺς γένη ἔχοντα τὸ ὂν καὶ τὸ ἕν" ἴσον ἐστὶ τῷ ἔστι γὰρ καὶ τοῦ ἑνὸς καὶ τοῦ ὄντος γένη τινά, τουτέστι κατὰ γενῶν τινῶν τό τε ἓν καὶ τὸ ὂν κατηγορεῖται. ὂν δὲ τὸ κυρίως ὂν λαμβάνει, ὁμοίως καὶ ἕν· τοῦτο δέ ἐστιν ἡ οὐσία. εἶναι οὖν φησὶ ταῖς οὐσίαις γένη τινὰ καὶ διαφοράς, αἷς οὐσίαις γένεσιν οὔσαις ἄλλου γένους τινὸς καὶ εἴδεσιν ἑκάστῃ ὑπάρχει καθ' αὑτὸ καὶ τὸ ὂν καὶ τὸ ἕν· τοῖς μὲν γὰρ συμβεβηκόσιν οὐ καθ' αὑτὸ οὔτε τὸ ὂν οὔτε τὸ ἓν ὑπάρχει, ταῖς δὲ οὐσίαις· ὥστε εἰ ὁ μὲν φιλόσοφος περὶ τὸ κυρίως ὂν καὶ κυρίως ἓν πραγματεύεται, πλείω δέ ἐστι τὰ οἷς τὸ κυρίως ἕν τε καὶ ὂν ὑπάρχει, διαφέροντα τῷ γένει, πλείω οὖν καὶ μέρη ἔσται φιλοσοφίας· κατὰ γὰρ τὰς τῶν οὐσιῶν διαφορὰς διάφορός τις ἔσται καὶ φιλοσοφία τῷ ἑκάστην αὐτῶν περί τι ἓν γένος ἀφωρισμένον πραγματεύεσθαι. γράφεται καὶ "γένη ἔχον·" εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη ἓν γένος λέγων τὴν οὐσίαν, ἀλλὰ καὶ αὐτὴν ἔχειν τὸ πρότερον καὶ ὕστερον. ἢ "γένη" λέγει ἀντὶ τοῦ φύσεις διαφερούσας ἀλλήλων· εἰσὶ γὰρ τῶν οὐσιῶν διαφοραί. εἰπὼν δὲ ἔσεσθαι τὴν μὲν πρώτην φιλοσοφίαν τὴν δὲ δευτέραν κατὰ τὴν τῶν οὐσιῶν τάξιν πρὸς ἀλλήλας περὶ ἃς καταγίνονται, οὕτως φησὶν εἶναι τὸν φιλόσοφον ὡς τὸν μαθηματικόν. ὡς γὰρ μιᾶς οὔσης τῷ γένει τῆς μαθηματικῆς, κατὰ τὰς διαφορὰς καὶ τάξεις τῶν περὶ ἅ ἐστιν ἡ μαθηματική, τάξις τίς ἐστι καὶ διαφορὰ καὶ τῶν τῆς μαθηματικῆς μερῶν (τῷ γὰρ εἶναι τὰ μέν τινα πρῶτα ἐν τοῖς μαθήμασι τὰ δὲ δεύτερα καὶ τῆς μαθηματικῆς ἡ μέν τίς ἐστι πρώτη ἡ δὲ δευτέρα ἡ δὲ τρίτη, πρώτη μέν, ἂν οὕτω τύχῃ, ἡ περὶ τὰ ἐπίπεδα καταγινομένη, καὶ μετὰ ταῦτα ἡ περὶ τὰ στερεά, εἶτα ἥ τε ἀστρολογική, οὖσα ἡ εἰς τὰ στερεὰ κινούμενα, καὶ μετὰ ταῦτα ἡ μηχανική, ἤδη περὶ γιγνόμενά τε καὶ φθειρόμενα πραγματευομένη), οὕτω καὶ περὶ τῶν οὐσιῶν πρῶται μὲν αἱ ἀγέννητοί τε καὶ ἄφθαρτοι, ἀσώματοί τε καὶ ἀκίνητοι, περὶ ἃς ἂν εἴη ἡ πρώτη φιλοσοφία· ἡ δὲ περὶ τὰς ἀϊδίους μὲν ἐν κινήσει δὲ δευτέρα, τρίτη δὲ ἡ περὶ τὰς οὐσίας τὰς ἐν γενέσει καὶ φθορᾷ, ἐπειδὴ καὶ αὗται τῶν οὐσιῶν τελευταῖαι. id.

1004a 5. (ʽ) ἐπεὶ πλείους αἱ οὐσίαι, ἔσται καὶ τῆς ἐπιστήμης τῆς περὶ τὴν οὐσίαν (αὕτη δὲ ἦν ἡ φιλοσοφία) μιᾶς οὔσης τῷ γένει τοσαῦτα μέρη τε καὶ εἴδη ὅσαι καὶ οὐσίαι· καὶ ὡς τῶν οὐσιῶν αἱ μὲν πρῶται αἱ δὲ δεύτεραι, οὕτως ἡ φιλοσοφία ἡ μέν τις ἔσται πρώτη ἡ δέ τις δευτέρα· καὶ μετ' ἐκείνας δὲ ἡ τάξις ἡ ἐν αὐταῖς. καὶ εἴη ἂν ἀκόλουθος ἡ λέξις αὕτη τῇ πρὸ ὀλίγου εἰρημένῃ, τῇ (p. 1003 *b* 17) "εἰ οὖν τοῦτ' ἐστὶν ἡ οὐσία, τῶν οὐσιῶν ἂν δέοι τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχειν τὸν φιλόσοφον·" ταύτῃ γὰρ ἀκολουθεῖ τὸ καὶ τοσαῦτα μέρη φιλοσοφίας ὅσαιπερ αἱ οὐσίαι. διὸ καὶ ἦν ἂν σαφέστερα τὰ λεγόμενα, εἰ ἦν ἡ λέξις αὕτη κειμένη πρὸ τῆς (p. 1003 *b* 22) "εἰ δὴ τὸ ὂν καὶ τὸ ἓν ταὐτό," συνάπτουσα τῇ "διὸ καὶ τοῦ ὄντος τὰ εἴδη θεωρῆσαι μιᾶς ἐστὶν ἐπιστήμης τῷ γένει, τὰ δὲ εἴδη τῶν εἰδῶν·" ἀκόλουθον γὰρ τούτῳ τὸ "καὶ τοσαῦτα μέρη φιλοσοφίας ἐστὶν ὅσαιπερ αἱ οὐσίαι." ἦν δὲ ἐν τοῖς ἠπορημένοις καὶ τοῦτο, ὡς προεῖπεν ἤδη πότερον, μία περὶ πάσας οὐσίας εἴη ἢ πλείονές εἰσιν, κἂν εἰ πλείονες, πότερον συγγενεῖς· δέδειχε γὰρ ὅτι πλείονες, ἀλλ' ὡς ὑπὸ μίαν πᾶσαι τῷ γένει τὴν φιλοσοφίαν. τὸ δὲ "ὑπάρχει γὰρ εὐθὺς γένη ἔχοντα τὸ ὂν καὶ τὸ ἕν" ἴσον ἐστὶ τῷ ἔστι γὰρ καὶ τοῦ ἑνὸς καὶ τοῦ ὄντος γένη τινά, τουτέστι κατὰ γενῶν τινῶν τό τε ὂν καὶ τὸ ἓν κατηγορεῖται. ὂν δὲ τὸ κυρίως ὂν λαμβάνει, ὁμοίως ὡς ἕν· τοῦτο δέ ἐστιν ἡ οὐσία. εἶναι οὖν φησὶ ταῖς οὐσίαις γένη τινὰ καὶ διαφοράς, αἷς οὐσίαις γένεσιν οὔσαις ἄλλου γένους τινὸς καὶ εἴδεσιν ἑκάστῃ ὑπάρχει καθ' αὑτὸ καὶ τὸ ὂν καὶ τὸ ἕν· τοῖς μὲν γὰρ συμβεβηκὸς οὐ καθ' αὑτὸ οὔτε τὸ ὂν οὔτε τὸ ἓν ὑπάρχει, ταῖς δὲ οὐσίαις. ὥστε εἰ ὁ μὲν φιλόσοφος περὶ τὸ κυρίως ὂν καὶ κυρίως ἓν πραγματεύεται, πλείω δέ ἐστι τὰ οἷς τὸ κυρίως ἕν τε καὶ ὂν ὑπάρχει, διαφέροντα τῷ γένει, πλείω καὶ μέρη ἔσται φιλοσοφίας· κατὰ γὰρ τὰς τῶν οὐσιῶν διαφορὰς διάφορός τις ἔσται καὶ φιλοσοφία τῷ ἑκάστην αὐτῶν περί τι ἓν γένος ἀφωρισμένον πραγματεύεσθαι. γράφεται καὶ κτλ. (vid. Alex. *a* 14.) cod. Laur.

"ἐπεὶ — πλῆθος." εἴη ἂν αὕτη ἡ λέξις πᾶσα συνάπτουσα 1004a 9.
τῇ "τεθεώρηται δὲ τοῦτο ἡμῖν ἐν τῇ Ἐκλογῇ τῶν ἐναντίων." δείξας γὰρ τῆς περὶ τὸ ὂν ᾗ ὂν ἐπιστήμης ὂν τὸ καὶ περὶ τῶν ὑπὸ τὸ ἓν διαλαμβάνειν, νῦν δείκνυσιν ὅτι καὶ περὶ τῶν ὑπὸ τὰ πολλά. εἰπὼν γὰρ ἀνάγεσθαι πάσας τὰς ἐναντιώσεις ὡς ἐπὶ ἀρχὴν τὸ ἓν καὶ τὸ τούτῳ ἀντικείμενον, ὑφ' ὃ ἡ ἑτέρα τῶν ἐναντίων ὑπάγεται συστοιχία, λέγει καὶ δείκνυσιν ὅτι ἅμα τοῦ λέγοντος περὶ τοῦ ἑνὸς τοῦ αὐτοῦ τούτου ἐστὶ τὸ λέγειν καὶ περὶ τοῦ τῷ ἑνὶ ἀντικειμένου· μιᾶς γὰρ ἐπιστήμης ἡ περὶ τῶν ἀντικειμένων θεωρία. εἰ δὲ περὶ τούτων μιᾶς, πάντα δὲ τὰ ἐναντία ὑπὸ ταῦτα, περὶ πάντων τῶν ἐναντίων μιᾶς εἶναι τὸ θεωρεῖν, ἐπειδὴ ἧς περὶ τοῦ καθόλου, ταύτης καὶ περὶ τῶν ὑπ' αὐτό· αὕτη δέ ἐστιν ἡ περὶ τοῦ ὄντος ᾗ ὄν. ἧς γὰρ περὶ τοῦ ὄντος, ταύτης περὶ τοῦ ἑνός· ἧς δὲ περὶ τοῦ ἑνός, ταύτης καὶ περὶ τῶν τούτῳ ἀντικειμένων· ἧς δὲ τὸ περὶ τούτων, ταύτης καὶ περὶ τῶν ὑπὸ ταῦτα. πάντα δὲ τὰ ἐναντία ὑπὸ ταῦτα. Alex.

"ἀπόφασιν — θεωρῆσαι." εἰπὼν ἀντικεῖσθαι τῷ ἑνὶ τὸ πλῆθος, 1004a 10.
μιᾶς δὲ τὰ ἀντικείμενα, ἐπεὶ τὰ ἀντικείμενα πλεοναχῶς λέγεται (καὶ γὰρ ὡς ἕξις καὶ στέρησις καὶ ὡς κατάφασις καὶ ἀπόφασις καὶ ὡς τὰ ἐναντία καὶ τὰ πρός τι), ἐπεὶ τὰ πολλὰ στέρησις εἶναι δοκεῖ, ἔστι δὲ καὶ ἀποφάσει πως ἡ στέρησις ἐοικυῖα, διαφορὰν ἔχουσα ἣν ἐρεῖ, δείκνυσι κατά τί τῆς αὐτῆς ἐστὶ περί τε τοῦ ἑνὸς καὶ τῶν πολλῶν θεωρεῖν· τῆς γὰρ αὐτῆς ἐστὶ τό τε στέρησίν τινος εἰδέναι καὶ τὸ οὗ στέρησις, καὶ τὴν ἀπόφασίν τε καὶ τὸ οὗ ἀπόφασις· διὰ γὰρ τούτων ἀμφοτέρων, καὶ διὰ τῆς ἀποφάσεως καὶ διὰ τῆς στερήσεως, ἐκείνου γίγνεσθαι τὴν θεωρίαν οὗ ἐστὶν ἡ ἀπόφασις καὶ ἡ στέρησις. διὰ τοῦτο τῆς αὐτῆς ἐπιστήμης ἐστὶν ἡ ἀμφοτέρων γνῶσις· οὔτε γὰρ τὴν στέρησίν τινος οἷόν τε εἰδέναι ἀγνοοῦντα τὸ οὗ ἡ στέρησις, οὔτε τὴν ἀπόφασιν· ἄρνησις

5. λαμβάνων *A.* ‖ 14. γένει *V.* ‖ ἓν om *A.* ‖ 16. λέγεται *C.* ‖ ἀλλήλαις *L.* ‖ 20. μιᾶς] μικρᾶς *C.* ‖ 22. τῷ] τὸ *C.* ‖ τὰ et 23. τίς om *A.* ‖ 24. τύχει περὶ *V.* ‖ 26. τὰ om *C.* ‖ 30. δὲ καὶ ἡ *V.*

19. θεωρεῖσθαι *C.* ‖ 20. λαμβάνειν *C.* ‖ 30. τῶν om *A.* ‖ ἀντικειμένου *A.* ‖ 32. τἀναντία *C.* ‖ 43. ἐπιστήμης] φύσεως *C.* ‖ τινὸς om *C.*

1003b 30 τῶν σημαινομένων. διὰ δὲ τοῦ ἐπενεγκεῖν τὸ "ὥστε φανερὸν ὅτι ἡ πρόσθεσις ἐν τούτοις ταὐτὸ δηλοῖ, καὶ οὐδὲν ἕτερον τὸ ὂν παρὰ τὸ ἕν," ἔδειξεν ὅτι ὑπὲρ τοῦ δεῖξαι τὴν τούτων σύνοδον καὶ ἐπαναδίπλωσιν μὴ σημαίνουσαν ἄλλο τι παρὰ τὴν ἑκατέρου αὐτῶν κατ' ἰδίαν λῆψιν ἐποιήσατο περὶ τῆς τοῦ ἀνθρώπου ἐπαναδιπλώσεως τὸν λόγον. "ὅτι δὲ ἡ ἑκάστου οὐσία ἕν ἐστι, καὶ οὐ κατὰ συμβεβηκός," ἐστὶ ταὐτὸν τό τε ὂν καὶ τὸ ἕν. καὶ οὕτω δείκνυσιν εἰ τὸ καθὸ τὸ αὐτὸ εἶναι ἑκάστῳ ἐστὶν ἕν, τοῦτό ἐστι καὶ κυρίως καὶ οὐ κατὰ συμβεβηκός· οὐ γὰρ συμβεβηκός ἐστι τῇ ἑκάστου οὐσίᾳ τὸ ἕν, ἀλλὰ κυρίως καὶ καθ' αὑτὸ ἓν ἡ ἑκάστου οὐσία. διὸ καὶ ἐν τῷ τί ἐστι τὸ ἓν τῆς ἑκάστου οὐσίας κατηγορεῖται. ὁμοίως δὲ καὶ τὸ ὂν τῇ ἑκάστου οὐσίᾳ οὐ κατὰ συμβεβηκός· ὅπερ γὰρ ὄν τι καὶ ὅπερ ἓν ὁμοίως ἡ ἑκάστου οὐσία, οὐ κατὰ συμβεβηκός. καὶ οὕτως ἂν δεικνύοιτο ταὐτὸν τό τε ἓν καὶ τὸ ὄν. ἢ οὕτως. εἰ ἡ ἑκάστου οὐσία ὁμοίως ἕν τέ ἐστι καὶ ὂν (ἑκάτερον γὰρ αὐτῶν καθ' αὑτὸ ἑκάστου κατηγορεῖται), ὁμοίως ἕν τε καὶ ὂν ἕκαστόν ἐστι, ταὐτόν ἐστι τό τε ὂν καὶ τὸ ἕν· ὡς γὰρ ὄν, καὶ ἕν, καὶ ἅμα τὸ ἕτερον καὶ τὸ ἕτερον. δύναται δὲ τὸ εἰρημένον καὶ τοιοῦτον εἶναι. ὥσπερ ἡ οὐσία ὅπερ ὄν ἐστι καὶ κυρίως ὄν, οὕτω καὶ τὸ ἓν ὅπερ ἓν καὶ κυρίως ἕν, ἀλλ' οὐ κατὰ συμβεβηκός· ὥστε εἴη ἂν καὶ τὸ ἓν ὁμοίως τῷ ὄντι, τὸ μὲν κυρίως τὸ δὲ οὐ κυρίως, καὶ τὸ μὲν πρώτως τὸ δὲ δευτέρως· κυρίως μὲν γὰρ ὂν καὶ ἓν ἡ οὐσία, κατὰ συμβεβηκὸς δὲ ὂν καὶ ἓν ἕκαστον τῶν κατὰ τὴν οὐσίαν ὄντων. δείξας δὲ διὰ τούτων ὅτι ταὐτὸν τό τε ὂν καὶ τὸ ἕν, οὗ χάριν ἔδειξε τοῦτο,
1003b 33 ἐπιφέρει λέγων "ὥστε ὅσαπερ τοῦ ἑνὸς εἴδη, τοσαῦτα καὶ τοῦ ὄντος," εἰπὼν τῆς αὐτῆς ἐπιστήμης εἶναι τῷ γένει τὰ τοῦ ὄντος εἴδη θεωρῆσαι· αἱ γὰρ τὰ τοῦ ὄντος εἴδη τίνα τέ ἐστι καὶ πόσα θεωροῦσαι αἱ αὐταὶ ἀλλήλαις τῷ γένει. δείξας ὅτι ταὐτόν ἐστι κατὰ τὸ ὑποκείμενον τό τε ὂν καὶ τὸ ἕν, εὐλόγως ἐπήνεγκε τὸ ὅσα τοῦ ἑνὸς εἴδη τοσαῦτα καὶ τοῦ ὄντος εἶναι, περὶ ὧν εἰδῶν τὸ τί ἐστιν ἕκαστον αὐτῶν κατὰ τὸ γένος τῆς αὐτῆς ἐπιστήμης θεωρῆσαι· γένει γὰρ αἱ αὐταὶ ἀλλήλαις αἱ τὸ τί ἐστιν ἑκάστῳ τούτων θεωροῦσαι. ἡ γὰρ φιλοσοφία μία τῷ γένει ἐπιστήμη ἔκειτο εἶναι, ἥτις ὥσπερ περὶ τὸ ὂν ᾗ ὂν καὶ τὰ τούτου εἴδη, ὡς εἶπεν, οὕτως δὲ καὶ περὶ τοῦ ἑνὸς ᾗ ἓν καὶ τὰ εἴδη αὐτοῦ πραγματεύεται, ἐπεὶ ταὐτά τό τε ὂν καὶ τὸ ἕν. κοινότερον δὲ εἴδη λέγει τοῦ τε ὄντος καὶ τοῦ ἑνός· οὔτε γὰρ τὸ ὂν ἢ τὸ ἓν κυρίως γένος οὔτε τὰ ὑπ' αὐτὰ εἴδη. ἐν γὰρ τοῖς πολλαχῶς λεγομένοις τὸ κοινὸν κατ' αὐτῶν οὐ γένος, τοιαῦτα δὲ τὸ ὂν καὶ τὸ ἕν· οἷον γάρ πως γένος ἐστὶ τὸ κατηγορούμενον τῶν ἐν οἷς ἐστὶ τὸ πρῶτον καὶ τὸ ὕστερον, σῶζον μέν τινα πρὸς γένος ὁμοιότητα, οὐ μὴν ὂν κυρίως γένος. τίνα δὲ εἴδη τοῦ ἑνός ἐστι, τίθεται ἐφεξῆς, ἃ δῆλον ὅτι καὶ τοῦ ὄντος ᾗ ὂν λέγει. "λέγω δὲ οἷον περὶ ταὐτοῦ καὶ ὁμοίου καὶ τῶν ἄλλων τῶν τοιούτων." ἓν γὰρ καὶ τὸ ταὐτὸν καθὸ ταὐτόν, ἑνότης γὰρ κατ' οὐσίαν τὸ ταὐτόν· καὶ τὸ ὅμοιον καθὸ ὅμοιον, ἑνότης γὰρ ἐν ποιότητι ὁμοίως· καὶ τὸ ἴσον, ἑνότης γὰρ καὶ τοῦτο ἐν ποσῷ. διὰ δὲ τούτων δείκνυσιν ὅτι τοῦ φιλοσόφου ἴδιόν ἐστι τοῦ τῆς οὐσίας θεωρητικοῦ τὸ καὶ τί ἐστιν ἕκαστον τούτων θεωρῆσαι, ὃ καὶ αὐτὸ ἐζητεῖτό τε καὶ ἠπορεῖτο ἐν τῷ πρὸ τούτου. δείξας δὲ ὅτι τοῦ φιλοσόφου τὸ περὶ τῶν τοῦ ὄντος εἰδῶν θεωρῆσαι, ὁμοίως δὲ καὶ περὶ τοῦ ἑνὸς καὶ τῶν εἰδῶν τῶν τούτου, ἔτι τε τῶν προειρημένων τοῦ τε ταὐτοῦ καὶ τοῦ ὁμοίου καὶ τοῦ ἴσου καὶ ὅσα τοιαῦτα ὡς ὑπὸ γένος τι τὸ ἕν ἐστιν, λέγει καὶ ὅτι καὶ περὶ τῶν τούτοις ἀντικειμένων ὁμοίως τὸ διαλαβεῖν τοῦ φιλοσόφου. ἀντίκειται δὲ τῷ μὲν ταὐτῷ τὸ ἕτερον, τῷ δὲ ὁμοίῳ τὸ ἀνόμοιον, τῷ δὲ ἴσῳ τὸ ἄνισον. ὅτι μὲν οὖν ἀνωτέρω τὸ ἓν τοῦ τε ταὐτοῦ καὶ ὁμοίου καὶ τοῦ ἴσου καὶ τῶν τοιούτων, δηλοῖ δι' ὧν λέγει "σχεδὸν δὲ πάντα ἀνάγεται 1003b 36
τἀναντία εἰς τὴν ἀρχὴν ταύτην." λέγει δὲ ἀρχὴν τὴν ἐναντίωσιν τό τε ἓν καὶ τὸ τῷ ἑνὶ ἀντικείμενον, τοῦτο δέ ἐστι τὰ πολλά· τὸ μὲν γὰρ ταὐτὸν ἕν τι, τὸ δὲ ἕτερον πλῆθός τε καὶ ἐν πλήθει. ὁμοίως δὲ καὶ τὸ μὲν ὅμοιον καὶ τὸ ἴσον ὑπὸ τὸ ἕν, τὸ δὲ ἀνόμοιον καὶ τὸ ἄνισον ὑπὸ τὸ πλῆθος. ἀναπέμπει δὲ ἡμᾶς περὶ τοῦ γνῶναι ὅτι σχεδὸν πάντα τὰ ἐναντία ὡς εἰς ἀρχὴν ἀνάγεται τό τε ἓν καὶ τὸ πλῆθος εἰς τὴν Ἐκλογὴν τῶν Ἐναντίων, ὡς ἰδίᾳ περὶ τούτων πραγματευόμενος. εἴρηκε δὲ περὶ τῆς τοιαύτης ἐκλογῆς καὶ ἐν τῷ δευτέρῳ περὶ τ' Ἀγαθοῦ. Alex.

"καὶ — οὐσίαι." ἐπεὶ τοῦ ὄντος τὸ μὲν ἦν κυρίως καὶ καθ' αὑτὸ ὄν, 1004a 2
ἡ οὐσία, κατὰ συμβεβηκὸς δὲ τά τε τῇ οὐσίᾳ ὑπάρχοντα καὶ τὰ ὅλως ἐπὶ ταύτην ἔχοντα τὴν ἀναφοράν, πανταχοῦ δέ, ὡς ἔφαμεν, οἵα ἡ τάξις αὕτη, ἡ περὶ αὐτὰ ἐπιστήμη κυρίως τοῦ πρώτου, ἐξ οὗ τὰ ἄλλα ἤρτηται καὶ δι' ὃ καὶ τὰ ἄλλα ὄντα λέγεται, ἡ δὲ φιλοσοφία ἐπιστήμη περὶ οὐσίας (αὕτη γὰρ κυρίως ὄν)· καὶ ἐπεὶ πλείους αἱ οὐσίαι, ἔσται καὶ τῆς ἐπιστήμης τῆς περὶ τὴν οὐσίαν (αὕτη δὲ ἦν ἡ φιλοσοφία), μιᾶς οὔσης τῷ γένει, τοσαῦτα μέρη τε καὶ εἴδη ὅσα καὶ οὐσίαι. καὶ ὡς τῶν οὐσιῶν αἱ μὲν πρῶται αἱ δὲ δεύτεραι, οὕτως ἡ φιλοσοφία ἡ μέν τις ἔσται πρώτη ἡ δέ τις δευτέρα καὶ μετ' ἐκείνην, ὡς ἡ τάξις ἡ ἐν αὐταῖς (ʹ). καὶ εἴη ἂν ἀκόλουθος ἡ λέξις αὕτη τῇ πρὸ ὀλίγου εἰρημένῃ, τῇ "εἰ οὖν τοῦτ' ἐστὶν ἡ οὐσία, τῶν οὐσιῶν ἂν δέοι τὰς ἀρχὰς 1003b 17
καὶ τὰς αἰτίας ἔχειν τὸν φιλόσοφον·" ταύτῃ γὰρ ἀκολουθεῖ τὸ καὶ "τοσαῦτα μέρη φιλοσοφίας ὅσαιπερ αἱ οὐσίαι." διὸ καὶ ἦν ἂν σαφέστερα τὰ λεγόμενα, εἰ ἦν ἡ λέξις αὕτη κειμένη πρὸ τῆς "εἰ δὴ τὸ ὂν 1003b 22
καὶ τὸ ἓν ταὐτόν," συνάπτουσα τῇ "διὸ καὶ τοῦ ὄντος τὰ εἴδη θεωρῆσαι μιᾶς ἐστὶν ἐπιστήμης τῷ γένει, τὰ δὲ εἴδη τῶν εἰδῶν·" ἀκόλουθον γὰρ τούτῳ τὸ "καὶ τοσαῦτα μέρη φιλοσοφίας ἐστὶν ὅσαι περ αἱ οὐσίαι." 1004a 2
ἦν δὲ ἐν τοῖς ἠπορημένοις καὶ τοῦτο, ὡς προεῖπον ἤδη, πότερον μία περὶ πάσας οὐσίας εἴη ἢ πλείονές εἰσι, κἂν εἰ πλείονες, πότερον

1. ὑπενεγκεῖν *A.* ‖ φανερὸν ὅτι om *C.* ‖ 7. αὐτὸ om *A.* ‖ 10. τὸ et 12. οὐ κατὰ συμβεβηκός om *C.* ‖ 12. συμβεβηκὸς ὅπερ γὰρ ὄν τι καὶ ὅπερ ἓν ὁμοίως ἡ ἑκάστου οὐσία. καὶ *A.* ‖ 16. δὲ om *C.* ‖ 18. τὸ ἓν om *CV.* ‖ 22. τε om *A.* ‖ 31. ἐπιστήμη om *C.* ‖ καὶ τὰ] κατὰ *A.* ‖ 34. τε om *A.* ‖ ἢ τὸ] καὶ *C.* ‖ γένη *C.* ‖ 40. ταὐτοῦ] τὸν τοῦ *A.*

2. ἐν τῷ ποσῷ *A.* ‖ 6. θεωρῆσαι om *C.* ‖ 7. τοῦ ante ὁμοίου om *AV.* ‖ 8. τὸ ἓν τὸ τί ἐστι *V.* ‖ τῶν om *A.* ‖ 11. ἀνώτερον *A.* ‖ 17. ἀναπέμπων *A*, ἀνάγει Asclep. ‖ περὶ τὸ γνωστικὸν Asclep. ‖ 19. πραγματευσάμενος Asclep. ‖ 20. εἴρηται *L.* ‖ τὰς τοιαύτας ἐκλογὰς Asclep. ‖ 22. καὶ om *A.* ‖ ὄν, τὸ δὲ κατὰ συμβεβηκὸς κυρίως μὲν καὶ καθ' αὑτὸ ἡ *C.* ‖ 26. καὶ post ὃ et 28. τῆς om *C.* ‖ 33. δέῃ *C.* ‖ 39. αἱ om *A.*

δείκνυσιν ὅσα καὶ τίνα εἴδη τοῦ ὄντος, πρῶτον δείξας ὅτι τὸ ἓν καὶ τὸ ὂν ταὐτὰ ἀλλήλοις ἐστὶ κατὰ τὸ ὑποκείμενον· τούτου γὰρ δειχθέντος, ὅσα ἂν τοῦ ἑνὸς εἴδη ᾖ, τοσαῦτα ἂν εἴη καὶ τοῦ ὄντος, ἐπειδὴ ταὐτὸν κατὰ τὸ ὑποκείμενον τό τε ὂν καὶ τὸ ἕν, εἰ καὶ μὴ ὁ λόγος αὐτῶν ὁ αὐτός, ὡς ἔδειξε. διὸ ὅσα ἂν εὑρεθῇ εἴδη τοῦ ἑνός, τοσαῦτα καὶ τοῦ ὄντος ἔσται· πρὸς γὰρ τὴν εὕρεσιν τῶν εἰδῶν, ὡς ἔφην, τοῦ ὄντος τὸ ἓν παραλαμβάνει. λήψεται δὲ καὶ ὅτι ἐπεὶ ἐναντίον τῷ ἑνὶ τὸ πλῆθος, τῶν δὲ ἐναντίων ἡ αὐτὴ ἐπιστήμη, τῆς αὐτῆς εἶναι καὶ τὴν περὶ τοῦ πλήθους θεωρίαν καὶ ὅσα ὑπὸ τὸ πλῆθος ὡς γένος τέτακται· ὥστε ὁ φιλόσοφος ᾗ φιλόσοφος καὶ περὶ ἑνὸς καὶ πλήθους διαλήψεται καὶ τῶν ὑπὸ ταῦτα, καὶ περὶ μὲν τοῦ ἑνὸς καὶ τῶν ὑπὸ τοῦτο, ἅ ἐστι τὸ ταὐτόν, τὸ ἴσον, τὸ ὅμοιον καὶ ὅσα τοιαῦτα, ὅτι τὸ ἓν τῷ ὄντι ὁμοίως τε καὶ κατὰ τῶν αὐτῶν λέγεται, περὶ δὲ τοῦ ὄντος τούτου τὸ θεωρεῖν, περὶ δὲ πλήθους καὶ τῶν ὑπὸ τοῦτο, ὅτι τῆς αὐτῆς ἐπιστήμης ἡ τῶν ἐναντίων γνῶσις, ἐναντίον δὲ τὸ μὲν πλῆθος τῷ ἑνί, τὰ δὲ ὑπὸ τὸ πλῆθος εἴδη τοῖς τοῦ ἑνὸς εἴδεσι. λέγει δὲ τὸ ἓν τῷ ὄντι οὕτω ταὐτὸν εἶναι ὡς ἔστι ταὐτὰ ἀρχή τε καὶ αἴτιον. ὡς γὰρ ταῦτα ἀμφότερα μὲν ἀκολουθεῖ τε ἀλλήλοις καὶ κατὰ τοῦ αὐτοῦ κατηγορεῖται (ὃ γὰρ ἀρχή, τοῦτο καὶ αἴτιον, καὶ ὃ αἴτιον, τοῦτο καὶ ἀρχή), ἄλλος μέντοι λόγος αὐτοῦ καὶ ἄλλη ἐπιβολὴ τῆς διανοίας καθὸ ἀρχὴ λέγεται καὶ ἄλλος καθὸ αἴτιον (ἡ μὲν γὰρ ἀρχὴ καθὸ πρῶτόν ἐστι τοῦ οὗ ἐστιν ἀρχή, καὶ καθὸ ἐξ αὐτοῦ τὰ ὧν ἐστιν ἀρχή, τὸ δὲ αἴτιον καθό ἐστι δι' αὐτὸ τὸ οὗ αἴτιον· ἄλλο δὲ τὸ ἐξ οὗ ἐστι καὶ ἄλλο τὸ δι' ὅ), οὕτω δέ φησιν ἔχειν πρὸς ἄλληλα τό τε ὂν καὶ τὸ ἕν· καθ' ὧν μὲν γὰρ θάτερον, πάντως καὶ θάτερον, διὸ καὶ ἀμφότερα τῶν πολλαχῶς λεγομένων ἐστὶ τῶν, ὡς εἴρηκε, πρὸς ἓν καὶ πρὸς μίαν φύσιν λεγομένων. κατὰ διάφορον δὲ ἐπίνοιαν τό τε ὂν καὶ τὸ ἓν κατηγοροῦμεν, διὰ μὲν τοῦ ὂν εἰπεῖν τι τὴν ὕπαρξιν σημαίνοντες αὐτοῦ, διὰ δὲ τοῦ ἓν τὸν ἀπὸ τῶν ἄλλων χωρισμὸν καὶ τὸν ἀπὸ τοῦ πλήθους· ἅμα δὲ ὄν τί ἐστι καὶ διαφέρον τῶν ἄλλων καὶ ἔστιν ἓν καὶ οὐ πλῆθος. οὕτως ἔχει πρὸς ἄλληλα καὶ τὸ ἀμερὲς καὶ τὸ ἐλάχιστον, καὶ σπέρμα καὶ καρπός, καὶ ἀνάβασις καὶ κατάβασις, καὶ πάνθ' ὅσα κυρίως ἑτερώνυμα καλεῖται. εἰπὼν δὲ τὸ ὂν καὶ τὸ ἓν ταὐτὰ εἶναι καὶ μίαν τινὰ φύσιν, οὐ μέντοι ὡς ἑνὶ λόγῳ δηλούμενα, ἐπήνεγκεν ὅτι "διαφέρει δὲ οὐδὲν" οὐδ' ἂν κατὰ τὸν λόγον αὐτὰ ταὐτὰ ὑπολάβωμεν εἶναι, μὴ μόνον κατὰ τὴν ὑποκειμένην φύσιν, ὡς εἶναι τῶν πολυωνύμων τὸ ὑποκείμενον αὐτοῖς, ὧν πλείω μὲν ὀνόματα καθ' ἕκαστον δὲ τῶν ὀνομάτων ὁ αὐτὸς λόγος, ὡς φασγάνου καὶ μαχαίρας, καὶ λωπίου καὶ ἱματίου· τὸ γὰρ λαβεῖν αὐτὰ καὶ κατὰ τὸν λόγον εἶναι ταὐτὰ πρὸ ἔργου μᾶλλον ἡμῖν πρὸς τὸ προκείμενον. ἔτι γὰρ μᾶλλον τῆς αὐτῆς ἐπιστήμης ἔσται ὁ περὶ ἑκατέρου αὐτῶν λόγος, εἰ μόνον κατὰ τὸ ὄνομα διαφέροιεν. ὅτι δὲ ταὐτὸν τό τε ὂν καὶ τὸ ἕν, ὡς προείρηκε, δεικνὺς ἐπήνεγκε "ταὐτὸν γὰρ εἷς ἄνθρωπος καὶ ἄνθρωπος," καὶ τὸ ὢν ἄνθρωπος 1003 b 26. ταὐτὸν τῷ ἄνθρωπος εἴη ἄν, ὥστε καὶ ἀλλήλοις ταὐτά. ὅ τε γὰρ ἄνθρωπον σημαίνων ἕνα ἄνθρωπον σημαίνει καὶ ὄντα ἄνθρωπον· ἀλλὰ κἂν τὸ εἷς προστεθῇ καὶ ὅτι ὢν ἐστι σημαίνων, κἂν τὸ ὢν ὅτι εἷς. εἰπὼν δὲ ὅτι τὸ εἷς ἄνθρωπος καὶ τὸ ὢν ἄνθρωπος ταὐτὸν ἑκάτερον αὐτῶν ἐστὶ τῷ ἄνθρωπος, καὶ διὰ τοῦτο καὶ ἀλλήλοις, καὶ ὅτι τὸ ὢν καὶ τὸ εἷς ἐπὶ τοῦ ἀνθρώπου τὸ ὡς οὐσίαν ἓν σημαίνει, δείκνυσι διὰ τοῦ λαβεῖν ὅτι τὸ εἷς ἐστὶν ἄνθρωπος οὐχ ἕτερόν τι σημαίνει τοῦ ἔστιν ἄνθρωπος ἁπλοῦν. τὸ δὲ ἔστιν ἄνθρωπος τὸ ὡς οὐσίαν εἶναι τὸν ἄνθρωπον δηλοῖ, καὶ τὸ ἔστιν ἄρα εἷς ἄνθρωπος τὸ ὡς οὐσίαν σημαίνει, ὥστε καὶ τὰ τούτῳ ἴσον δυνάμενα τό τε ὢν ἄνθρωπος καὶ εἷς ἄνθρωπος. τὸ δὲ ὡς οὐσίαν ὂν καὶ ὡς οὐσίαν ἓν σημαίνει. ἢ ὃ λέγει ἐστίν· ἐπεὶ τὸ ὂν καὶ τὸ ἓν ταὐτά, καὶ ὁ τὸ ἔστι τινὸς κατηγορῶν τὸ ὂν αὐτοῦ κατηγορεῖ, ὁ λέγων "ὢν ἐστιν ἄνθρωπος" ἢ πάλιν "ἓν ἐστιν ἄνθρωπος" ἐπαναδίπλωσίν τινα ποιεῖται τοῦ ἔστι, διὸ ἑκάτερον τούτων ἴσον ἐστὶ τῷ ἔστιν ἄνθρωπος· οὐ γὰρ θάτερόν τι κατὰ τὴν λέξιν δηλοῖ τὸ ἐπαναδιπλούμενον τῷ ἁπλῶς λεγομένῳ, ὡς ἔδειξε διὰ τοῦ παραδείγματος, ἐπαναδίπλωσιν ποιησάμενος τοῦ ἄνθρωπος. ἐπεὶ γὰρ τὸ ἓν τῷ ὄντι ταὐτόν, ὁ λέγων "εἷς ἐστὶν ἄνθρωπος" ἐπαναδιπλοῖ καὶ δὶς λέγει τὸ ἔστι καὶ τὸ ἕν, ὡς καὶ ὁ λέγων "ἔστιν ἄνθρωπος ἄνθρωπος" ἐπαναδιπλοῖ τὸν ἄνθρωπον. δείξας δὲ ἐπὶ τοῦ ἀνθρώπου ταὐτὸν δυνάμενα τό τε ἓν καὶ τὸ ὂν καὶ μὴ χωριζόμενα ἀλλήλων (ὑπὸ γὰρ τοῦ αὐτοῦ ἥ τε οὐσία καὶ τὸ ἓν σημαίνεται τὸ ἐν αὐτῇ), φησὶν ὅτι "οὐ χωρίζεται" 1003 b 29. ἀλλήλων "οὔτε ἐπὶ γενέσεως οὔτε ἐπὶ φθορᾶς" τὸ ὂν καὶ τὸ ἕν· ὡς γὰρ ἕκαστον αὐτῶν ὄν ἐστιν, οὕτω καὶ ἕν. ἅμα γὰρ τό τε ὂν καὶ τὸ ἓν ἑκάστου κατηγορεῖται· καὶ γὰρ τούτων ἕκαστον ὡς ὂν οὕτω καὶ ἕν. τῷ δὲ "ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἑνός" προσθετέον τὸ ἔχει· ὡς γὰρ ἐπὶ τοῦ ὄντος ἔχει ἡ κατηγορία, οὕτω καὶ ἐπὶ τοῦ ἑνός. ἢ δείξας ὅτι μηδὲν διαφέρει τὸ ἔστιν ἄνθρωπος τοῦ εἷς ἐστὶν ἄνθρωπος, προσέθηκεν ὅτι μηδὲ εἰ τὸ γίνεσθαι ἄνθρωπον λέγοιμεν ἢ φθείρεσθαι, ἡ ἐπαναδίπλωσις τοῦ ἀνθρώπου ἄλλο τι ποιήσει τὸ λεγόμενον· ὥστε ὡς τοῦ ἔστιν ἢ τοῦ γίνεσθαι ἢ τοῦ φθείρεσθαι προστασσομένου οὐ γίνεται τὰ σημαινόμενα διαφέροντα ἐπαναδιπλουμένου τοῦ ἀνθρώπου, οὕτως οὐδ' ἂν τὸ ἓν τοῦ ἀνθρώπου προσταχθῇ ἄλλο τι ἔσται σημαίνουσα ἡ ἐπαναδίπλωσις τοῦ κατηγορουμένου καὶ ἄλλο εἰ ἅπαξ ῥηθείη. ὡς δὲ τὸ κατηγορούμενον ὁ ἄνθρωπος δὶς λαμβανόμενον οὐ ποιεῖ διαφοράν, οὕτως οὐδὲ τὸ τοῦ ὑποκειμένου χώραν ἔχον· τοῦτο δέ ἐστι τὸ "ἓν ἐστιν," ἃ τῷ ἐπὶ τοῦ αὐτοῦ λέγεσθαι, εἰ ἀμφότερα λαμβάνοιτο, ἔσται ἐπαναδιπλούμενον ἢ τὸ ἔστιν ἢ τὸ ἕν· διὸ οὐδὲ αὐτὸ ἐπαναδιπλωθὲν διαφοράν τινα ποιήσει

6. ἔφη *A.* ‖ 8. τοῦ om *C.* ‖ 13. *ad hunc igitur pertinet de ente contemplari, item de multitudine et quae huic subiiciuntur* Sepulv. ‖ f. l. καὶ περὶ τοῦ πλήθους. ‖ 16. ἓν] ὂν *C.* ‖ 28. αὐτῶν *A.* ‖ alterum ἀπὸ om *C.* ‖ 34. ἂν καὶ κατὰ *AC.* ‖ ταὐτὰ ταῦτα ὑπολάβωμεν *C.* ‖ 36. αὐτῆς *V.* ‖ 38. πρόεργον *V.*

5. προστεθῇ ἅμα καὶ *A.* ‖ 9. εἷς om *A.* ‖ ἄνθρωπος ὢν καὶ εἷς ἄνθρωπος οὐχ *A.* ‖ 10. οὐσίαν ὂν εἶναι *A.* ‖ 11. εἷς om *C.* ‖ οὐσίαν ὂν σημαίνει *A.* ‖ ὥστε κατὰ τοῦτο δυνάμενον τοῦτε ὢν *A.* ‖ 13. δὲ om *C.* ‖ ἓν] ἐν *C.* ‖ 14. ἔστι δὲ τινὸς *C.* ‖ 16. ἐστὶ om *C.* ‖ 18. ἁπλῷ *C.* ‖ 22. δὲ καὶ ἐπὶ *C.* ‖ 26. τούτων *AC.* ‖ ἅμα — 27. ἓν et 30. τοῦ — ἄνθρωπος om *A.* ‖ 31. ἄνθρωποι om *C.* ‖ ἐπ' ἀναδιπλώσεως *V.* ‖ 35. προταχθῇ *C.* ‖ 36. ἀπορηθείη *C.* ‖ ὁ — 37. λαμβανόμενον om *V.* ‖ 37. τοῦ om *VC.* ‖ ὑποκείμενον *AC.*

ὄντα μετέχουσιν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, δῆλον ὅτι περὶ πάντων τῶν ὄντων διαλέξεται ὁ πρῶτος φιλόσοφος... περὶ μέντοι γε τοῦ τρίτου ἐλέχθη ἡμῖν ἐν τῇ Φυσικῇ πραγματείᾳ· ἀρχόμενος γὰρ ἐκείνης τῆς πραγματείας ἔλεγεν ὅτι ἐπειδὴ τὸ εἰδέναι καὶ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους, ὅταν τὰ αἴτια γνωρίσωμεν καὶ τὰ στοιχεῖα, οὕτως καὶ αἱ οὐσίαι γνωρίζονται τῶν ἀρχῶν γινωσκομένων, τὰς δὲ ἀρχὰς πασῶν δείκνυσιν ὁ πρῶτος φιλόσοφος, φανερὸν ὅτι καὶ τὰς οὐσίας τῶν ὄντων γινώσκει... τὸ μέντοι γε δεύτερον διὰ τῶν νῦν λεγομένων ἀπ' αὐτοῦ κατασκευάζει, ὅτι καὶ τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασιν οἶδεν ὁ πρῶτος φιλόσοφος. Asclep.

"ἅπαντος — ἐπιστήμης." εἰπὼν δὲ ὅτι τοῦ φιλοσόφου ἐστὶ τὸ τῶν οὐσιῶν εἰδέναι τὰς ἀρχὰς καὶ τὰς αἰτίας, ὅτι μὴ μόνον περὶ τῆς οὐσίας αὐτῷ ἡ πραγματεία ἀλλὰ καὶ καθόλου περὶ παντὸς τοῦ ὄντος ᾗ ὄν, ὡς ἔφθη εἰρηκέναι, δείκνυσι καὶ διὰ τούτων. παντὸς γάρ φησι γένους ἑνὸς καὶ ἐν τοῖς αἰσθητοῖς αἴσθησιν μίαν εἶναι καὶ ἐν τοῖς ἐπιστητοῖς ἐπιστήμην μίαν, γένους μὲν κοινότερον λαμβάνων ἀντὶ τοῦ φύσεως μιᾶς· γένη γὰρ κοινότερον πάντα ὅσα κατά τινα μίαν φύσιν κεκοινώνηκεν ἀλλήλοις· τοιαῦτα δὲ καὶ τὰ ἀφ' ἑνός τινος τὸ εἶναι ἔχοντα. καὶ γὰρ ἐν τοῖς αἰσθητοῖς πάντων τῶν τῆς αὐτῆς φύσεως τῷδέ τινι, οὗ ἐστιν ἥδε ἡ αἴσθησις ἀντιληπτική, κεκοινωνηκότων ἡ αὐτὴ αἴσθησις ἀντιλαμβάνεται· οἷον τῶν τῷ λευκῷ ὁμογενῶν πάντων (ταῦτα δέ ἐστι τὰ χρώματα) ὄψις ἐστὶν ἀντιληπτική, ὁμοίως καὶ ψόφων μία καὶ χυμῶν μία καὶ καθ' ἕκαστον γένος τῶν αἰσθητῶν. ὁμοίως πάλιν ἡ γραμματικὴ οὐ τῆσδε τῆς φωνῆς, φέρε εἰπεῖν τῆς ὀξείας, ἐστὶ θεωρητικὴ μόνης, ἀλλὰ καὶ πάσης φωνῆς καθὸ φωνή. ἐπεὶ τοίνυν καὶ τὸ ὂν μιᾶς φύσεως κεκοινώνηκε καθὸ ὄν (τοιοῦτον γὰρ ἐδείχθη), οὗ τὸ θεωρεῖν περὶ τῆς οὐσίας, τούτου καὶ περὶ παντὸς τοῦ ὄντος ᾗ ὂν ἔσται τὸ θεωρεῖν. ὥστε εἰ ἡ σοφία περὶ τὴν οὐσίαν τε καὶ τὰς τῆς οὐσίας ἀρχάς, καὶ περὶ πάντα τὰ ὄντα καὶ τὰς πάντων ἀρχὰς ἂν εἴη. ἧς δὲ περὶ πᾶν τὸ ὂν ἡ πραγματεία, ταύτης καὶ τὸ εἰδέναι πόσα εἴδη τοῦ ὄντος, τουτέστι πόσα γένη· τοῦ γὰρ εἰδότος τινὰ τὸ καὶ τὴν διαφορὰν αὐτῶν εἰδέναι τὴν πρὸς ἄλληλα· ὁ γὰρ μὴ ταῦτα τὰ αὐτὰ ἀλλήλοις ἡγούμενος, οὐδ' ἂν τὴν ἀρχὴν εἰδείη τι αὐτῶν. Alex.

1003 b 21. "διὸ — εἰδῶν." δείξας ὅτι μιᾶς ἐστιν ἐπιστήμης ἡ περὶ παντὸς τοῦ ὄντος ᾗ ὂν θεωρία, ἥτις ἐστὶ σοφία τε καὶ φιλοσοφία (εἴρηται δὲ ὅτι μιᾶς ἐστὶ τῷ γένει, τουτέστι μιᾶς κατὰ τὸ γένος ἐπιστήμης, ὅσα εἴδη καὶ ὅσαι διαφοραὶ τοῦ ὄντος ᾗ ὂν θεωρῆσαι), ἐπήνεγκε τὸ "τὰ δὲ εἴδη τῶν εἰδῶν·" ὡς γὰρ ἔχει τὸ γένος τὸ ἐπιστητὸν πρὸς τὰ ὑπ' αὐτὸ εἴδη, οὕτω καὶ τὸ γένος τῆς τούτου ἐπιστήμης πρὸς τὰ εἴδη τὰ αὐτῆς· καὶ ἐναλλὰξ ἄρα, ὡς τὸ γένος τὸ ἐπιστητὸν πρὸς τὸ γένος τῆς οἰκείας ἐπιστήμης, οὕτω καὶ τὰ εἴδη τοῦ ἐπιστητοῦ πρὸς τὰ εἴδη τῆς ἐπιστήμης. ἔστι δὲ τὸ γένος καὶ ἡ τοῦ ὄντος κοινὴ φύσις ἐπιστητὴ τῇ κοινῇ τε καὶ γενικῇ φιλοσοφίᾳ, καὶ τὰ μέρη ἄρα τοῦ ὄντος ἐπιστητὰ τοῖς τῆς φιλοσοφίας μέρεσιν· ὥστε ἑκάστου τῶν τοῦ ὄντος εἰδῶν ἐπιστήμη ἂν εἴη ἑκάστη τούτων, ὅσαι ὑπὸ φιλοσοφίαν ὡς γενικήν τινα ἐπιστήμην τεταγμέναι εἰσὶν ἐπιστῆμαι. διὰ δὲ τῶν νῦν εἰρημένων δέδεικται ὅτι τῆς πρώτης φιλοσοφίας ἡ εἰς τὰ γένη τοῦ ὄντος διαίρεσις, ὃ πεποίηκεν αὐτὸς ἐν ταῖς Κατηγορίαις. ἅμα δὲ καὶ ἐνεδείξατο ἡμῖν διὰ τούτων καὶ πῶς ἐστὶ μία ἐπιστήμη ἡ φιλοσοφία· τῷ γὰρ καθόλου. εἴδη δὲ αὐτῆς ὅσα τὰ τοῦ ὄντος· εἴδη γὰρ αὐτῆς ἥ τε πρώτη φιλοσοφία, ἥτις καὶ κυρίως σοφία καλεῖται, οὖσα ἐπιστήμη τῶν ἀϊδίων τε καὶ ἀκινήτων καὶ θείων. ἡ μὲν γὰρ σοφία ἐστὶν ἡ καθόλου τε καὶ πρώτη, εἴγε αὐτή ἐστιν ἡ περὶ τὸ ὂν ᾗ ὂν ἀλλ' οὐ τὶ ὄν· ἔστι δὲ ὑπὸ ταύτην ἡ μέν τις πρώτη φιλοσοφία ἡ περὶ τὰς πρώτας οὐσίας, ἡ δὲ φυσικὴ οὖσα περὶ τὰ φυσικά, ἐν οἷς ἤδη κίνησις καὶ μεταβολή, ἡ δέ τίς ἐστι τῶν πρακτῶν θεωρητική· τοιαῦτα γὰρ καὶ τῶν ὄντων τινά. ὅτι δὲ μία τῷ γένει ἡ περὶ τὸ ἓν ᾗ ὂν πραγματευομένη φιλοσοφία, ἐδήλωσε καὶ ἐξ ὧν εὐθὺς ἀρχόμενος τοῦ βιβλίου εἶπεν· αὕτη δέ ἐστιν οὐδεμιᾷ τῶν ἐν μέρει λεγομένων ἡ αὐτή, ἡ περὶ τὰς ἀρχὰς καὶ τὰ πρῶτα αἴτια καὶ τὴν οὐσίαν πραγματευομένη, ἀλλ' ἅμα τέ ἐστι πρώτη καὶ καθόλου· ἐν γὰρ τοῖς ἀφ' ἑνός τε καὶ πρὸς ἓν λεγομένοις τὸ πρῶτον καὶ καθόλου τῷ καὶ τοῖς ἄλλοις αὐτὸ αἴτιον τοῦ εἶναι, ὡς καὶ αὐτὸς ἐν τῷ Ε τῆσδε τῆς πραγματείας ἐρεῖ. δι' ὧν δὲ εἴρηκέ τε καὶ κατεσκεύασε, λέλυκεν ἀπορίας τῶν ἐν τῷ Β βιβλίῳ ῥηθεισῶν, τήν τε εἰ τῆς αὐτῆς ἐπιστήμης ἐστὶ περὶ τῶν οὐσιῶν πασῶν τὴν θεωρίαν ποιεῖσθαι ἢ ἄλλη ἄλλης οὐσίας ἐστὶν ἐπιστήμη, ἔτι καὶ τὴν εἰ τῆς αὐτῆς ἐστὶ περί τε τῆς οὐσίας θεωρεῖν καὶ τῶν συμβεβηκότων αὐτῇ. ἀλλ' εἰ δέδεικται ὅτι τῆς αὐτῆς τῷ γένει περί τε πασῶν τῶν οὐσιῶν καὶ ἔτι περὶ τῶν ὑπαρχόντων αὐταῖς, διὰ τοῦτο τῆς αὐτῆς ἔσται καὶ ἡ τοῦ τί ἐστιν ἀπόδειξις· οὐδὲν γὰρ κωλύει ὑπὸ τὴν αὐτὴν τῷ γένει ἐπιστήμην εἶναι καὶ τὴν ὁριστικήν, ἥτις τοῦ τί ἐστι θεωρητική, καὶ τὴν ἀποδεικτικήν, ἣ τῶν καθ' αὑτὰ ὑπαρχόντων ἑκάστῳ γένει ἐστὶν ἀποδεικτική. καὶ τὸ ἐφεξῆς δὲ τούτῳ ἀπορηθὲν ἑξῆς λύει, πρὸς δὲ τούτοις περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου καὶ ἀνομοίου καὶ περὶ ἐναντιότητος (*)· δείκνυσι γὰρ ὅτι καὶ ἡ περὶ τούτων θεωρία οἰκεία τῇ περὶ τοῦ ὄντος. id.

(*) καὶ ὁ μὲν Ἀριστοτέλης ἐνταῦθά φησιν ὅτι ἐπακολουθοῦσιν 1003 a 22
ἀλλήλοις τὸ ὂν καὶ τὸ ἓν (πάντα γὰρ μετέχουσι καὶ τοῦ ὄντος καὶ τοῦ ἑνός), οἱ μέντοι γε ἄλλοι φιλόσοφοι διακρίνουσιν αὐτὰ ἐξ ἀλλήλων, καὶ ὁ αὐτὸς δέ, ὡς φησιν ὁ ἡμέτερος φιλόσοφος, ἐν ἄλλοις. Asclep.

"εἰ — δηλούμενα." δείξας ὅτι μιᾶς ἐστιν ἐπιστήμης ἥ τε περὶ τοῦ ὄντος ᾗ ὂν θεωρία καὶ ἡ περὶ τοῦ πόσα καὶ τίνα τοῦ ὄντος εἴδη, ἑξῆς

16. καὶ ἐπὶ τοῖς ἐπιστητοῖς *A.* ‖ 18. μιᾶς om *C.* ‖ 27. ἐπεὶ — ὂν om *A.* ‖ 28. οὗ] ὂν *A.* ‖ περὶ τῆς — 29. θεωρεῖν om *A.* ‖ 33. γὰρ τὰ μὴ *A.* ‖ 39. δὲ] τε *C.*

5. εἰσὶ τεταγμέναι *C.* ‖ 12. γὰρ om *C.* ‖ 16. *tum si qua est quae agenda contempletur* Sepulv. ‖ ἐστι πρακτική· τοιαῦτα δὲ τῶν *C.* ‖ 18. βιβλίου δι' ὧν εἶπεν *C.* ‖ 20. ἀλλ' om *C.* ‖ 22. τῷ et αὐτὸ om *A.* ‖ 26. καὶ τὴν om *C.* ‖ 29. ἔτι] ὅτι *A.* ‖ αὐτοῖς καὶ οὐ διὰ *C.* ‖ τῆς αὐτῆς om *C.* ‖ 42. ὄντος ᾗ — p. 641 a 1. ὄντος, πρῶτον] ὄντος. σκέψις πρῶτον *A.*

ὅσα αἴτια τοῦ μεταβάλλειν τινὰ εἰς οὐσίαν, ὡς τὸ θερμαίνεσθαι γενέσεως τινῶν ζῴων αἴτιον. εἰπὼν δὲ ποιητικὰ καὶ γεννητικὰ οὐσίας, 1003 b 9. ἐπήνεγκεν "ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων," τουτέστι τῶν τῇ οὐσίᾳ συμβεβηκότων, ἃ λέγεται ὄντα τῷ πρὸς οὐσίαν πως ἔχειν· ἔστι γάρ τινα καὶ τούτων ποιητικά, οἷον χρωμάτων παθῶν ἐπιστημῶν· αἱ γὰρ μαθήσεις ποιητικαὶ καὶ γεννητικαὶ τῶν ἐπιστημῶν, ὡς εὐεξίας γυμνάσια καὶ πόνοι, ὡς ὑγιείας δίαιτα. ἔτι τὰ πρὸς τὴν οὐσίαν ὄντα τε καὶ λεγόμενα ποιά, τὰ πρός τι· τὰ γὰρ πρός τι ἐν οὐσιῶν σχέσει. τοῖς δὲ παραδείγμασιν οὐχ οὕτως νῦν κεχρήμεθα ὡς ἐξ ἑκάστου γένους ἓν παραθέσθαι, ἀλλὰ δι' αὐτῶν ἐξαρίθμησίν τινα τῶν ὑπαρχόντων τῇ οὐσίᾳ καὶ δι' αὐτὴν ὄντων καὶ δι' αὐτὴν λεγομένων πεποιήμεθα, ὧν πολλὰ καὶ ὑφ' ἓν γένος καὶ τὴν αὐτήν ἐστι κατηγορίαν. ὥστε τῇ πρώτῃ διαιρέσει τῶν ἐν Κατηγορίαις τοῦ ὄντος γεγονυιῶν μᾶλλον εἴημεν κεχρημένοι, καθ' ἣν διῃρεῖτο τὰ ὄντα εἰς οὐσίαν καὶ συμβεβηκότα. καὶ μὴν αὐτῶν δύναται ὡς κατ' ἰδίαν εἰρημένου τις ἀκοῦσαι. ἢ τῶν πρὸς τὴν οὐσίαν τὰ πρός τι λέγει· τὰ γὰρ πρός τι ἐν οὐσίᾳ σχέσις. εἰπὼν δὲ ταῦτα ἐπήνεγκεν "ἢ τούτων τινὸς ἀποφάσεις ἢ οὐσίας· διὸ καὶ τὸ μὴ ὂν εἶναι μὴ ὄν φαμεν," λέγων τούτων μέν τινος τῶν τῇ οὐσίᾳ ὑπαρχόντων, "ἢ οὐσίας" δὲ αὐτῆς τῆς οὐσίας. ἐνδείκνυται δὲ τὴν τῆς οὐσίας ἰσχὺν πρὸς τὸ εἶναί τε καὶ τὸ ὄν· καὶ γὰρ αἱ ἀποφάσεις αὐτῆς τε τῆς οὐσίας καὶ τῶν τῇ οὐσίᾳ ὑπαρχόντων, καίπερ ἀναιρετικαὶ οὖσαι τούτων ὧν εἰσὶν ἀποφάσεις, ὅμως, ἐπεὶ σχέσιν ἔχουσί τινα πρὸς οὐσίαν, λέγονται ὄντα. εἰ γὰρ μὴ ἦν οὐσία, οὐδ' ἂν ὂν ἦν· οὕτω δὲ οὐδ' ἂν ἀπόφασις ὄντος ἦν ἄν, οὐδὲ δέ τινος ἀπόφασις, ἀλλὰ διὰ τοῦτο καὶ αὐτὰ ὄντα. "οὕτως οὖν καὶ τὸ μὴ ὂν εἶναι μὴ ὄν φαμεν," τοῦ μὴ ὄντος, ὅ ἐστι τοῦ ὄντος ἀπόφασις, τὸ εἶναι κατηγοροῦντες, ὅτι τοῦ ὄντος τί ἐστιν, οὐ μὴν ἁπλῶς εἶναι αὐτὸ λέγοντες, ἀλλὰ τὸ ὅλον τοῦτο μὴ ὂν εἶναι. δείξας δὲ ὅτι τὸ ὂν οὕτω λέγεται ὡς τὸ ὑγιεινὸν καὶ ἰατρικόν (πρὸς τὸ ἓν γὰρ καὶ ἀφ' ἑνὸς καὶ ταῦτα καὶ τὸ ὄν· πρὸς γὰρ τὴν οὐσίαν), κατὰ τὴν πρὸς ταῦτα ὁμοιότητα αὐτοῦ λαμβάνει καὶ τὸ μίαν ἐπιστήμην εἶναι αὐτοῦ· ὡς γὰρ τῶν ὑγιεινῶν πολλαχῶς μὲν λεγομένων, οὐχ ὁμωνύμως δέ, μία πάντων ἐστὶν ἐπιστήμη (ἰατρικῆς γὰρ τὸ περὶ τῶν ὑγιεινῶν τῶνδε θεωρεῖν), ὥστε καὶ τῶν ἄλλων ἁπάντων τῶν ὁμοίως ἐκείνοις λεγομένων, τοιαῦτα δὲ καὶ τὰ ἰατρικὰ καὶ τὰ ὄντα· τῶν μὲν γὰρ ὁμωνύμων οὐδὲν κοινὸν ἐχόντων ἢ τοὔνομα οὐχ οἷόν τε ἐπιστήμην εἶναι μίαν, τῷ μηδὲν ὑπὸ τοῦ κοινοῦ ὀνόματος ἴδιον δηλοῦσθαι, εἶναι δὲ ἑκάστην ἐπιστήμην περὶ ἓν γένος καὶ μίαν τινὰ φύσιν. οἷς δὲ οὐ κατὰ τοὔνομα μόνον ἐστὶ κοινωνία, ἀλλ' ἤρτηται ἡ κατὰ τοῦτο κοινωνία τῆς τῶν πραγμάτων κοινωνίας, τούτων καὶ ἐπιστήμη μία. Alex.

1003 b 12. "οὐ — μιᾶς." καθ' ἓν μὲν λεγόμενα λέγει τὰ συνώνυμα καὶ ὑφ' ἕν τι κοινὸν τεταγμένα γένος. οὐ μόνον δέ, φησί, τῶν οὕτως ἐχόντων πρὸς ἄλληλα μία ἐπιστήμη, ἀλλὰ καὶ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν. τρόπον δέ τινα καὶ ταῦτα πρὸς μίαν φύσιν τὴν ἀναφορὰν ἔχοντα καθ' ἓν λέγεται, καθ' ὅσον ἐν πᾶσί πως αὐτοῖς ὁρᾶται ἡ φύσις αὕτη, ἀφ' ἧς καὶ δι' ἣν οὕτως καλεῖται, εἰ καὶ μὴ ὁμοίως καὶ ἐπίσης αὐτῆς πάντα μετέχει. καὶ γὰρ ἐν τῷ φυλακτικῷ τῆς ὑγιείας καὶ ἐν τῷ ποιητικῷ καὶ ἐν τῷ δεκτικῷ ὑγίειά ἐστιν ἡ θεωρουμένη· διὸ καὶ ἔστι πως αὐτῶν εἷς λόγος καὶ μιᾶς ἐπιστήμης ἡ πάντων τούτων θεωρία· τῆς γὰρ ἰατρικῆς. οὕτω καὶ περὶ τοῦ ὄντος μιᾶς ἐπιστήμης θεωρῆσαι καθὸ ὄν ἐστιν· οὐ γὰρ καθὸ μουσικὰ ἢ ἰατρικά, ἀλλὰ καθὸ ὄντα καὶ τῆς τοῦ ὄντος κεκοινώνηκε φύσεως. id.

"πανταχοῦ — ἐπιστήμη." λαβὼν ὅτι τῶν πολλαχῶς λεγο- 1003 b 16.
μένων ὡς ἀφ' ἑνός τε καὶ πρὸς ἓν ἐπιστήμη μία, ἑξῆς δείκνυσιν ὅτι ἐν τοῖς οὕτως ἔχουσιν, ἐν οἷς τὸ μὲν πρῶτόν τί ἐστι καὶ κυρίως λεγόμενον, τὰ δὲ ἀπ' ἐκείνου, ὡς ἔχει ἐν τοῖς ἀφ' ἑνὸς καὶ πρὸς ἓν λεγομένοις, τοῦ πρώτου κυρίως καὶ μάλιστά ἐστιν ἡ περὶ ἐκείνην τὴν φύσιν καταγινομένη ἐπιστήμη· οἷον ἡ περὶ ὑγιεινῶν κυρίως μάλιστα τῆς ὑγιείας ἐστί, πρὸς ἣν τὰ ἄλλα λέγεται. ὁμοίως καὶ ἡ περὶ ἀγαθῶν κυρίως καὶ μάλιστά ἐστι περὶ τοῦ τελειοτάτου τῶν ἀγαθῶν. καὶ ἡ περὶ τοῦ ὄντος δὴ παντός, ἐπεὶ τῆς αὐτῆς ἐστὶ φύσεως τὸ ὄν, μία μὲν ἐπιστήμη, αὕτη δὲ μάλιστα ἐπὶ τοῦ πρώτου καὶ κυρίως ὄντος ἔσται, δι' ὃ καὶ τὰ ἄλλα ὄντα. τὴν δὲ οὐσίαν τοιοῦτον λέγουσιν· ἐκ ταύτης γὰρ ἤρτηται τὸ εἶναι τῶν ἄλλων, καὶ διὰ ταύτην ὄντα κἀκεῖνα. τῶν οὐσιῶν ἄρα τὰς ἀρχὰς καὶ τὰς αἰτίας ζητητέον τῷ φιλοσόφῳ, οὗ ἡ πραγματεία περὶ τὸ ὂν ᾗ ὄν· αἱ γὰρ ταύτης ἀρχαὶ καὶ τοῦ ὄντος ἂν παντὸς εἶεν, εἴ γε τοῖς ἄλλοις ἡ οὐσία ἀρχή τε καὶ αἰτία τοῦ εἶναι. δείξας δὲ πρῶτον ὅτι μιᾶς ἐστὶν ἐπιστήμης ἡ περὶ τοῦ ὄντος θεωρία καὶ πῶς, παραστήσας νῦν προσέθηκε καὶ τίς ἐστιν αὕτη (γ)· ὅτι γὰρ ἡ φιλοσοφία ἡ καθόλου καὶ ταύτῃ διαφέρουσα τῶν ἄλλων ᾗ ἐκείνων τῶν ἐπιστημῶν περί τι ὂν ἑκάστη, ἡ δὲ φιλοσοφία ἡ καθόλου περὶ τὸ ὂν ᾗ ὄν ἐστιν, οὐ τὸ τὶ ὄν. id.

(γ) τρία προέθηκεν ἐξ ἀρχῆς ζητῆσαι, πρῶτον μὲν εἰ τῷ 1003 b 19.
ὄντι περὶ τὸ ὄντως ὂν καταγίνεται ὁ πρῶτος φιλόσοφος καὶ γινώσκει πάντα τὰ ὄντα, δεύτερον δὲ εἰ γινώσκει τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασι, τρίτον εἰ καὶ τὰς οὐσίας τῶν ὄντων γινώσκει ὁ πρῶτος φιλόσοφος. τὸ μὲν οὖν πρῶτον λεληθότως ἐπέλυσε τοῖς προλεχθεῖσιν· ἐζήτησε γὰρ τὸ ὄντως ὂν πῶς κατηγορεῖται τῶν ὄντων, πότερον ὁμωνύμως ἢ συνωνύμως, ἢ γοῦν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, καθάπερ καὶ ὁ ἀληθὴς ἔχει λόγος· καὶ ἔδειξεν ὅτι ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν κατηγορεῖται πάντων τῶν ὄντων τὸ ὄντως ὄν, ὥστε πάντα τὰ ὄντα μετέχουσι τοῦ ὄντος, καὶ κατὰ τὴν γόνιμον αὐτοῦ δύναμιν, ὡς εἴρηται, ἐν ἐκείνοις πάντα παράγει. εἰ οὖν ἐδείχθη ὅτι περὶ τὸ ὄντως ὂν καταγίνεται ὁ πρῶτος φιλόσοφος, τούτου δὲ πάντα τὰ

7. δίαιται *A.* ‖ 17. οὐσιῶν σχέσει *C.* ‖ 23. λέγονται ὄντα om *C.* ‖ 24. ἦν post ὂν om *C.* ‖ *si enim substantia non esset, ne ens quidem haberetur. at negatio alicuius entis est, ac idcirco negationes entia nuncupentur. "quod non est"* Sepulv. ‖ ἦν ἄν, οὐδὲ om *C.* ‖ 25. δέ om *A.* ‖ ἡ ἀπόφασις διὰ τοῦτο καὶ αὗται *C.* ‖ 26. οὖν om *C.* ‖ 30. γὰρ ταῦτα καὶ ἀφ' ἑνὸς ὡς ταῦτα *C.* ‖ 31. τὸ καὶ μίαν *A.* ‖ 34. ὥστε] f. l. οὕτως. ‖ 35. καὶ post δὲ om *A.* ‖ 38. δὲ] καὶ *C.*

3. αὐτῆς *C.* ‖ f. αὕτη ἡ φύσις. ‖ 8. τῆς] ὡς *A.* ‖ οὕτω om *C.* ‖ ὄντος δὲ μιᾶς *C.* ‖ 16. οἷον — ὑγιεινῶν et 27. γὰρ om *C.* ‖ 28. καὶ om *A.* ‖ ἀλλ' ἐστὶν ἢ *C.*

καθ' αὑτά· εἰ γὰρ αἴτια, καί τινων, καὶ ἡ ὡς ἀληθῶς αἰτία καθ' αὑτά. καὶ τοῦτο λαβὼν μετὰ ταῦτα προσάγει ὅτι ἡ φύσις αὕτη, ἧς αἱ ἀκρόταταί τε καὶ πρῶται ἀρχαί εἰσιν, ἣν ζητοῦμεν, τὸ ὂν ᾗ ὄν ἐστιν. ὃ συνέστησε τοιούτῳ χρησάμενος λόγῳ. ὥσπερ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες τὰς τοιαύτας ἀρχὰς ἐζήτουν καὶ τὰ τοιαῦτα αὐτῶν στοιχεῖα ἃ καθ' αὑτὰ ἦν αὐτῶν στοιχεῖα ἀλλ' οὐ κατὰ συμβεβηκός, οὕτω καὶ ἡμῖν ζητοῦσι τὰς τοῦ ὄντος πρώτας ἀρχὰς καὶ τὰ αἴτια δεῖ τοιαῦτα ζητεῖν ἃ κυρίως καὶ καθ' αὑτό εἰσιν αὐτοῦ ἀρχαί. ἡ δὲ λέξις ἀσαφῶς ἔχει διὰ τὴν συντομίαν. Alex.

1003a 31. (°) ἀλλ' αὐτὸ κυρίως ἐστὶν ὂν καὶ διὰ τὴν γόνιμον αὐτοῦ δύναμιν πᾶσι τὸ εἶναι χαριζόμενον, καὶ νῷ καὶ ἀγγέλοις καὶ ἀρχαῖς καὶ πᾶσι τοῖς οὖσιν. Asclep.

1003a 33. "τὸ — φύσιν." εἰπὼν εἶναί τινα ἐπιστήμην περὶ τὸ ὂν ᾗ ὂν καὶ τὰς τούτου ἀρχάς τε καὶ αἰτίας, καὶ αὐτὴν οὖσαν τὴν σοφίαν συστήσας, ἐφεξῆς δείκνυσι πῶς οἷόν τε εἶναι περὶ τὸ ὂν ἐπιστήμην μίαν, ἐπεὶ δοκεῖ ὁμώνυμον εἶναι τὸ ὄν, τῶν δὲ ὁμωνύμων οὔτε μία φύσις οὔτε μία τέχνη ἢ ἐπιστήμη οὔτε αἱ ἀρχαὶ αἱ αὐταί. διαίρεσιν δὲ ποιεῖται τῶν ὑπό τι κοινὸν τεταγμένων, ὡς ἔχει τά τε ὁμώνυμα καὶ τὰ συνώνυμα καὶ τὰ ἀφ' ἑνός τινος ἢ πρὸς ἓν λεγόμενα. ᾗ διαιρέσει προσχρησάμενος δείξει τὸ ὂν μήτε γένος ὂν τῶν καθ' ὧν κατηγορεῖται (ἔχει γάρ τινας ἀπορίας τὸ οὕτω λέγειν, ὡς δείκνυσιν ἐν πολλοῖς) μήτε ὁμώνυμον (καὶ γὰρ καὶ τὸ τοῦτο λέγειν ἀπορίας τινὰς ἔχει), μεταξὺ δὲ εἶναι τῶν τε ὁμωνύμων καὶ τῶν συνωνύμων· εἶναι γὰρ μεταξὺ αὐτῶν τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν λεγόμενα, ὧν ἐστὶ καὶ τὸ ὄν. διαφέρει δὲ τὰ οὕτω λεγόμενα ἐκείνων ἑκατέρου, ὅτι τὰ μὲν συνώνυμα καὶ ὑπό τι κοινὸν γένος καὶ ἰσοτίμως καὶ ὁμοίως πάντα τῆς ὑπὸ τοῦ κατηγορουμένου γένους αὐτῶν δηλουμένης οὐσίας κοινωνεῖ τε καὶ μετέχει, τὰ δέ γε ὁμώνυμα οὐδενὸς κοινωνεῖ ἀλλήλοις ἄλλου κατὰ τὸ κοινῶς κατηγορούμενον αὐτῶν ὄνομα ἢ τοῦ ὀνόματος μόνου, εἴγε ὁμώνυμά ἐστιν οὗ ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος (Categor. 1). τὰ δὲ ἀφ' ἑνός τε καὶ πρὸς ἓν λεγόμενα οὔτε τὴν τῶν συνωνύμων ἰσοτιμίαν πρὸς τὸ κατηγορούμενον σώζει πρὸς ἄλληλα, οὔτε πάλιν ἔχει τὴν τῶν ὁμωνύμων ἄκρατόν τε καὶ ἄμικτον ἑτερότητα, ἀλλ' ἔστι τις αὐτοῖς κοινωνία κατὰ τὸ εἶναι ταῦτα ἃ λέγεται τῷ εἶναί τινα φύσιν ἐκείνου τοῦ πράγματος, καὶ ταύτην ἐν τούτοις πως ἐνορᾶσθαι πᾶσιν, ἀφ' οὗ ὄντα ἢ πρὸς ὃ λόγον ἔχοντά τινα διὰ τοῦτο καὶ τοῦ ὀνόματος κεκοινώνηκεν αὐτοῦ. τὴν δὲ τοιαύτην φύσιν ἐν ἄλλοις μὲν ὑπὸ τὰ ὁμώνυμα κοινότερον ἐπίθει· ἐνταῦθα δὲ ἐπιμελεστέραν ποιούμενος τὴν διαίρεσιν διαφέρειν τε αὐτήν φησι τῶν ὁμωνύμων, καὶ τίνι διαφέρει λέγει. οὐ γὰρ μόνον ὀνόματος κεκοινώνηκε τὰ τοιαῦτα καὶ οὕτως ἔχοντα πρὸς ἄλληλα ὡς τὰ κυρίως ὁμώνυμα λεγόμενα, ἅ ἐστι τὰ ἀπὸ τύχης, ἀλλὰ καὶ αἰτίαν τινὰ ἔχει τοῦ ὁμοίως ἀλλήλοις ὠνομάσθαι. κατὰ κοινὴν γάρ τινα φύσιν τοιαῦτά φησιν εἶναι τά τε ὑγιεινὰ καὶ τὰ ἰατρικά· τὰ μὲν γὰρ ὑγιεινὰ τῷ πρὸς ὑγίειαν ἔχειν πως οὕτως ὠνόμασται· τὸ μὲν γάρ τι ὑγιεινὸν λέγεται τῷ φυλάσσειν ὑγίειαν, ὡς δίαιται τοιαῦται, γυμνάσια, περίπατοι, τὸ δέ τι τῷ ποιεῖν, ὡς τὰ φάρμακα καὶ πάντα τὰ βοηθήματα, τὸ δὲ τῷ σημεῖον εἶναι τῆς ὑγιείας, ὡς ἡ εὔχροια ἢ εὔπνοια, τὸ δὲ τῷ δεκτικὸν ὑγιείας εἶναι, ὡς τὸ σῶμα τὸ ἐπιτήδειον πρὸς τὸ ὑγιαίνειν. ὥστε τό γε μηδὲν εἰς ὑγίειαν συντελοῦν, εἰ ὑγιεινὸν λέγοιτο, ὁμωνύμως ἂν εἴη τοῦτο, τοῖς ἄλλοις ὑγιεινοῖς λεγόμενον ὁμοίως. καὶ τὸ ἰατρικὸν τὸ μὲν λέγεται οὕτως τῷ ἔχειν ἰατρικήν, ὡς ὁ ἰατρός, ὃ καὶ κυρίως καὶ μάλιστα ἰατρικόν, τὸ δὲ τῷ εὐφυὲς εἶναι πρὸς τὸ ἀναλαβεῖν ἰατρικήν, τὸ δὲ ὡς ἔργον καὶ ἀποτέλεσμα ἰατρικῆς, ὡς λέγομεν ἰατρικῶς τετμῆσθαί τι, τὸ δὲ ὡς ὄργανον πρὸς ἰατρικὴν συντελοῦν ἢ φάρμακον. λέγεται δὲ καὶ βιβλίον ἰατρικὸν τὸ περὶ ἰατρικῆς συντεταγμένον. τὸ δὲ "ὁμοιοτρόπως δὲ καὶ ἄλλα ληψόμεθα" ἤτοι εἴρηκεν ἐπὶ 1003b 4. τῶν τοῦ ἰατρικοῦ παραδειγμάτων, ἢ ὅτι καὶ ἄλλα ἔστιν ὁμοίως τούτοις πρὸς ἓν καὶ μίαν φύσιν λεγόμενα λαβεῖν· δόξει γὰρ καὶ τὸ ἀγαθὸν τούτων εἶναι καὶ τὸ σχῆμα καὶ ὁ ἀριθμός. ὁμοίως δὲ τούτοις φησὶν ἔχειν καὶ τὸ ὄν· λέγεσθαι μὲν γὰρ καὶ αὐτὸ πολλαχῶς καὶ μὴ ὑφ' ἓν γένος εἶναι, ὡς καὶ τὰ προειρημένα, οὐ μὴν ἤδη καὶ ὁμωνύμως· οὐ γὰρ μόνα τὰ ὁμώνυμα τῶν πολλαχῶς λεγομένων ἐστίν, ἀλλὰ καὶ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. καὶ ὡς ἔχει τά γε προειρημένα, οὕτως ἔχει καὶ τὸ ὄν. ὂν γὰρ λέγεται κυρίως μὲν ἡ οὐσία, λέγεται δέ γε ὄντα καὶ τὰ τῇ οὐσίᾳ συμβεβηκότα, ἅ ἐστι τὰ ἐννέα γένη. οὐ μὴν αὐτοῖς οὕτως νῦν χρῆται τοῖς παραδείγμασιν, ἑκάστου γένους ἓν τιθείς, ἀλλὰ δι' αὐτῶν ἐξαρίθμησίν τινα τῶν ὑπαρχόντων τῇ οὐσίᾳ καὶ δι' αὐτὴν ὄντων καὶ δι' αὐτὴν λεγομένων ποιεῖται, ὧν πολλὰ καὶ ὑφ' ἓν γένος καὶ τὴν αὐτήν ἐστι κατηγορίαν. καὶ εἴη ἂν τῇ πρώτῃ διαιρέσει τῶν ἐν ταῖς Κατηγορίαις (c. 2) τοῦ ὄντος γεγονυιῶν μᾶλλον χρησάμενος, καθ' ἣν διαιρεῖ τὰ ὄντα εἰς οὐσίαν καὶ συμβεβηκότα. λέγει δὲ τὰ συμβεβηκότα τῇ οὐσίᾳ ὄντα λέγεσθαι τὰ μὲν ὅτι οὐσίας πάθη, ὡς θερμότητες καὶ ψυχρότητες, ὑγρότητες ξηρότητες, καὶ ὅλως αἱ παθητικαὶ ποιότητες· τὰ δὲ ὡς ὁδοὶ εἰς οὐσίαν· οὕτω καὶ τὴν γένεσιν τῶν ὄντων λέγομεν καὶ τὴν αὔξησιν. καὶ τὰς φθορὰς δὲ τῆς οὐσίας καὶ μεταβολὰς ὄντα λέγομεν, ὅτι καὶ ταῦτα οὐσίας τί ἐστιν, ὡς ἡ μείωσις καὶ τὸ γῆρας. ὁμοίως καὶ αἱ στερήσεις· ἡ γὰρ τυφλότης ὄν τι ὅτι οὐσίας τι· στέρησις γάρ. τὰ δὲ ὡς ποιότητες, ὡς ἕξεις διαθέσεις σχήματα, καὶ τὰ πάθη δὲ ὧν πρώτων ἐμνημόνευσε, τῶν ποιοτήτων. ποιητικὰ δὲ καὶ γεννητικὰ οὐσίας ἤτοι ὡς ἓν εἴρηκε, καὶ εἶεν ἂν τοιαῦται αἱ ἐνέργειαι δι' ὧν ἡ γένεσις τῶν οὐσιῶν (τὸ γὰρ σπέρμα καθ' αὑτὸ οὐσία), ἢ τὸ ποιητικὸν ὡς ἄλλο τοῦ γεννητικοῦ, καὶ εἴη ἂν τοιαῦτα

1. εἰ — 2. αὑτά om *A.* ‖ 2. ἐπάγει *C.* ‖ 7. οὕτω δὲ καὶ *A.* ‖ 17. τέχνη — 18. ἔχει] τέχνη. τίθεται οὖν τὸ ὂν διαιρεῖσθαι εἰς τά τε *A.* ‖ 20. κατηγορεῖται ὂν ἔχει *C.* ‖ 22. καὶ τὸ om *C.* ‖ 34. τις] τε *C.* ‖ 40. τε om *A.*

1. κοινὴν om *A.* ‖ 2. τοιαύτην *C.* ‖ 7. τῷ] τὸ *C.* ‖ 11. τῷ] ὡς *A.* ‖ 14. πρὸς] εἰς *A.* ‖ 16. ἐπὶ] περὶ *V.* ‖ 19. δὲ et 23. καὶ post ὂν om *C.* ‖ 23. γε] τε *C.* ‖ οὕτως ἔχει om *C.* ‖ 25. νῦν om *A.* ‖ 26. παραδείγμασι νῦν ἑκάστου *A.* ‖ 28. δι' om *C.* ‖ 29. ταῖς om *A.* ‖ 30. χρώμενος *C.* ‖ 33. καὶ ante ψυχρότητες om *A.* ‖ 39. καὶ] ὁ *A.* ‖ δὲ om *A.* ‖ πρῶτον *C.*

τοιαῦτα δὲ καὶ τὰ ἀξιώματα. ἐφ' οἷς δείκνυσιν ὅτι κοινότατον καὶ γνωριμώτατον τῶν ἀξιωμάτων ἐστὶ τὸ μὴ δύνασθαι συνυπάρχειν τὴν ἀντίφασιν. πρῶτον δὲ ἐν αὐτῷ δείκνυσι λαβὼν ὅτι ἡ σοφία περὶ τὸ ὄν, καὶ ὅτι τὸ ὂν οὕτω λέγεται πολλαχῶς ὡς τὰ ἀφ' ἑνός τε καὶ πρὸς ἕν· ὡς δὲ λέγεται τὸ ὂν ἕν, οὕτω μία ἐπιστήμη δοκεῖ τοῦ ὄντος ᾗ ὄν· διὸ καὶ περὶ τὴν τούτου θεωρίαν ἐστὶν ἡ προκειμένη ἐπιστήμη, πρώτη τε οὖσα ἁπασῶν ἐπιστημῶν καὶ κυριωτάτη. ἐρεῖ δὲ ὅτι καὶ περὶ ταὐτὰ τῷ σοφῷ ὅ τε διαλεκτικὸς καὶ ὁ σοφιστής· περὶ γὰρ τῶν κοινῶς τῷ ὄντι ᾗ ὂν ὑπαρχόντων καὶ οὗτοι τοὺς λόγους ποιοῦνται· οὐ γὰρ περί τι ἓν γένος ἡ πραγματεία αὐτοῖς ὡς ἑκάστῃ τῶν ἄλλων τεχνῶν τε καὶ ἐπιστημῶν, ἀλλ' ὁ μὲν αὐτῶν ψευδὴς καὶ διὰ ψευδῶν ἐπιχειρητικός, ὁ δὲ διὰ πιθανῶν τε καὶ ἐνδόξων (*)· ἡ δὲ σοφία ἐπιστημονικῶς τούτων ἐστὶ τῶν κοινῶς τῷ ὄντι ᾗ ὂν ὑπαρχόντων θεωρητική. δεικνὺς δὲ τὸ μὴ δύνασθαι ἅμα τὴν ἀντίφασιν εἶναι ἀληθῆ ἢ ψευδῆ, ἀλλὰ κατὰ παντὸς δεῖν θάτερον μέρος τῆς ἀντιφάσεως ἀληθὲς τὸ δὲ ψεῦδος εἶναι, ἀντερεῖ καὶ πρὸς Ἡράκλειτον καὶ Πρωταγόραν, οἳ ᾤοντο εἶναί τι τῆς ἀντιφάσεως μεταξύ. ἤδη δὲ αὐτῶν τῶν προκειμένων ἀρχόμεθα. Alex.

1003a 21. (*) τὸ προκείμενον βιβλίον, ὡς εἴρηται, ὑφηγητικὸν ὑπάρχει, τὸ δὲ πρὸ αὐτοῦ ἀπορητικόν· διὰ τοῦτο τοίνυν τὰς ἀπορίας τὰς εἰρημένας ἐν τῷ παρόντι βιβλίῳ ἐπιλύεται καὶ ζητεῖ περὶ τῶν ἀρχῶν πάσης τέχνης. εἶτα ὕστερον ζητεῖ καὶ περὶ τῆς ἀντιφάσεως, καὶ πολυπραγμονεῖ αὐτὴν ζητῶν εἴτε αὐτόπιστός ἐστιν εἴτε καὶ ἀποδείξει ὑποβάλλεται, καὶ πειρᾶται ἀποδεῖξαι αὐτῷ. καὶ ἔστιν ἁπλῶς εἰπεῖν ἡ παροῦσα θεωρία λογικωτάτη. Asclep.

"ἔστιν — αὐτά." λαμβάνει πρῶτον μὲν τὸ εἶναί τινα ἐπιστήμην περὶ τὸ ὂν ᾗ ὄν, τουτέστι τοῦ ὄντος ᾗ ὂν θεωρητικήν τε καὶ ἀποδεικτικὴν τῶν τούτῳ καθ' αὑτὰ ὑπαρχόντων. πᾶσα γὰρ ἡ οὑτινοσοῦν ἐπιστήμη τῶν ἐκείνῳ καθ' αὑτὰ ὑπαρχόντων ἐστὶν ἀποδεικτική. καὶ τὸ μὲν εἶναί τινα περὶ τὸ ὂν ἐπιστήμην ᾗ ὄν, προϊὼν δείξει, νῦν δὲ προστίθησι τῷ εἰρημένῳ τὸ καὶ ἄλλην εἶναι ταύτην τὴν ἐπιστήμην τῶν ἄλλων ἁπασῶν ἐπιστημῶν. ἔπειτα δείκνυσιν ὅτι αὕτη ἡ ἐπιστήμη σοφία, περὶ ἧς ἦν ὁ ἐνεστὼς λόγος. τοῦτο δὲ δείκνυσι διὰ τοῦ δεῖξαι τὰς ἀκροτάτας ἀρχάς τε καὶ αἰτίας, περὶ ἃς ὁ σοφὸς καταγίνεται, πρῶτον μὲν οὔσας φύσεώς τινος ἀρχὰς καθ' αὑτάς, ἔπειτα ὅτι ταύτης τῆς φύσεως· τοῦ γὰρ ὄντος ᾗ ὂν αἱ τοιαῦται ἀρχαί. ὅτι μὲν οὖν ἡ περὶ τὸ ὂν ᾗ ὂν ἐπιστήμη ἄλλη τῶν λοιπῶν ἐπιστημῶν, δῆλον ἐκ τοῦ ἑκάστην περί τι ὂν καὶ μέρος τοῦ ὄντος πραγματεύεσθαι· ἡ μὲν γὰρ ἀριθμητικὴ περὶ ἀριθμούς, οἵ τινές τι ὄν εἰσιν, ἡ δὲ γεωμετρία περὶ γραμμὰς καὶ ἐπίπεδα καὶ στερεά, καὶ αὐτά τινα ὄντα. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν ἄλλων ἑκάστη περὶ μέρος τι τοῦ ὄντος καταγίνεται καὶ τὰ τούτῳ ὑπάρχοντα καθ' αὑτὰ θεωρεῖ· τὰ γὰρ συμβεβηκότα τούτῳ σημαίνει· τοῦτο γὰρ τῆς περὶ ἕκαστον ἐπιστήμης ἴδιον. ἡ δὲ μὴ περὶ ὄν τι καταγινομένη μηδὲ περὶ μέρος τοῦ ὄντος, ἀλλ' ἁπλῶς περὶ τὸ ὂν καθὸ ὄν ἐστιν (°)· διὸ καὶ τά τινα ὄντα καὶ τοῦτο ὑποκείμενον ἔχουσα ἄλλη ἐκείνων εἴη ἄν. λαβὼν δὲ τὸ εἶναί τινα ἐπιστήμην περὶ τὸ ὂν ᾗ ὄν, καὶ δείξας αὐτῆς τὴν πρὸς τὰς ἄλλας ἐπιστήμας διαφοράν, μετὰ ταῦτα δείκνυσιν ὅτι αἱ ἀρχαὶ αἱ πρῶται καὶ τὰ αἴτια τὰ ἀκρότατα, περὶ ὧν τὴν ζήτησιν ἡ σοφία ποιεῖται καὶ ἡμεῖς νῦν ζητοῦμεν διὰ τὸ περὶ τῆς σοφίας ἡμῖν εἶναι τὸν ἐνεστῶτα λόγον, οὐκ ἄλλου τινός εἰσιν ἀρχαὶ καθ' αὑτό, ἀλλὰ τοῦ ὄντος ᾗ ὄν. εἰ δὲ τοῦτο, εἴη ἂν ἣν περὶ τοῦ ὄντος εἰρήκαμεν ᾗ ὂν ἐπιστήμην, αὕτη οὖσα ἡ σοφία· ἧς γὰρ τὸ θεωρεῖν τὰς καθ' αὑτὸ ἀρχάς τε καὶ αἰτίας φύσεως τινός, εἴη ἂν ταύτης τὸ καὶ τῆς φύσεως ταύτης, ἧς αἱ ἀρχαί, θεωρητικὴν εἶναι. τοῦτο δὲ δείκνυσιν οὕτως. λαμβάνει τὸ δεῖν τὰς ἀρχὰς τὰς πρώτας καὶ τὰς ἀκροτάτας αἰτίας, ἃς νῦν φησὶν εἶναι τὰς ζητουμένας ὑπ' αὐτοῦ, τουτέστιν ὑπὸ τοῦ σοφοῦ τε καὶ πρώτου φιλοσόφου, φύσεώς τινος ἀρχὰς εἶναι καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός· πᾶσα γὰρ ἀρχὴ καὶ πᾶν αἴτιον τινός ἐστι, καὶ αὕτη γε κυρίως ἀρχὴ καὶ αἰτία ἡ καθ' αὑτὸ οὖσά τινος καὶ μὴ κατὰ συμβεβηκός· ὥστε καὶ αἱ πρῶται ἀρχαί, μάλιστα οὖσαι ἀρχαί, φύσεώς τινος ἂν εἶεν ἀρχαὶ καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός. τῶν μὲν οὖν καθ' ἕκαστα ἐπιστητῶν οὐδενὸς αἱ τοιαῦται ἀρχαί· οὐδενὸς γὰρ τούτων αἱ ἀρχαὶ πρῶταί εἰσιν ἀρχαί· ἄλλαι γὰρ ἑκάστου τούτων ἀρχαί. σημεῖον δὲ τὸ τὰς περὶ αὐτῶν ἐπιστήμας ἔχειν μὲν αὐτῶν τὰς ἀρχάς, ἄλλας δὲ καὶ μὴ ταύτας ἔχειν. ἄλλου τινὸς ἄρα ἀρχαὶ αἱ πρῶται ἀρχαὶ καὶ ἀκρόταται. τίνα δὲ τὰ κατὰ συμβεβηκὸς αἴτια καὶ τίνα τὰ καθ' αὑτά, ἔδειξεν ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 3)· τά τε γὰρ μὴ καθ' αὑτό τινος ὄντα μηδὲ πρώτως, ἀλλὰ κατὰ τὴν ἐπ' ἄλλο ἀναφοράν. οὕτως τοῦ ἰσοσκελοῦς τριγώνου οὔ φαμεν καθ' αὑτὸ αἴτιον εἶναι τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς τρεῖς γωνίας, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι ἄλλου τοῦτο καθ' αὑτὸ αἴτιον προαναβεβηκότος καὶ πρώτου· τοῦ γὰρ τριγώνου. ἀλλὰ καὶ τὰ τοῖς καθ' αὑτὰ οὖσι τινῶν αἰτίοις συμβεβηκότα, ὡς ὁ Πολύκλειτος τοῦ ἀνδριάντος, κἀκεῖνα λέγεται κατὰ συμβεβηκὸς αἴτια· ὧν τὰ μὲν τελευταῖα οὐδὲ ὅλως ἐστὶν αἴτια, τὰ δὲ πρῶτα εἰρημένα ἔστι μὲν τινῶν αἴτια ἀλλ' οὐ τούτων. τὰ δὴ πρῶτα αἴτια οὔτε κατὰ τὸν δεύτερον τρόπον τοῦ κατὰ συμβεβηκὸς αἴτια οἷόν τε τοῦ ὄντος λέγειν (οὐ γὰρ οἷόν τε πρῶτα αὐτὰ αἴτια ὄντα μὴ αἴτια εἶναι) οὔτε κατὰ τὸν πρῶτον τρόπον· εἰ γὰρ κατὰ συμβεβηκὸς τοῦ ὄντος ᾗ ὄν, ἄλλου τινὸς ἐπαναβεβηκότος ἔσται καθ' αὑτό· ἀλλ' οὐδὲν ὑπὲρ τὰ ὄντα. τὰ πρῶτα ἄρα αἴτια καθ' αὑτὸ αἴτιά τέ ἐστι τοῦ ὄντος ᾗ ὄν. αὐτὸς δὲ πρῶτον μὲν λαμβάνει ὅτι τινῶν ἐστὶν αἴτια

4. ὂν πως λέγεται τὰ ὄντα ὂν καὶ Asclep. ‖ 6—18. apud Asclep. ‖ 15. ἢ] καὶ Asclep. ‖ πάντα C. ‖ 16. ἀντιφέρει V. ‖ 26. αὐτό Asclep. ‖ 31. εἰλημμένῳ C. ‖ 33. ἦν] ἣν ἐστιν C. ‖ 37. ᾗ ὂν om A. ‖ 38. τοῦ ὄντος et 39. δὲ om C.

2. τοῦτο A. ‖ τῆς] τὸ A. ‖ 4. *quoniam si versaretur in particularibus entibus, non esset ab illis diversa* Sepulv. ‖ 5. f. l. οὐκ ἄλλη. ‖ ἂν om A. ‖ 8. f. l. οὐ τινος ἄλλου. ‖ 11. ἐπιστήμη C. ‖ 18. αὐτή γε A. ‖ 19. τινὸς om A. ‖ 23. ἄλλη C. ‖ ἑκάστης AC. ‖ ἀρχή C. ‖ 24. τὸ] τῷ γὰρ C. ‖ 25. ἄρα] ἂν εἶεν C. ‖ 31. τοῦτο] τοῦ A. ‖ 35. ἀλλ' οὐ om A. ‖ 38. τρόπον om C. ‖ 39. ἔσται] εἶναι C.

ἔστιν· εἰ γὰρ τὸ γινόμενον οὐκ ἔστι, τὸ δυνατὸν οὐκ ἔστιν. Ἔλαβε δὲ τὴν δευτέραν πρότασιν διὰ τὸ "οὐθὲν δὲ γίγνεται τῶν εἶναι ἀδυνάτων." τοῦτο γὰρ ἴσον τῷ τὸ δυνάμει καὶ τὸ δυνατὸν τὸ γινόμενον εἶναι. ἐπὶ τούτοις πάλιν μέμνηται τῆς πρόσθεν ἤδη ῥηθείσης ἀπορίας· ἔστι δὲ αὕτη, πότερον τὰ στοιχεῖα καὶ αἱ ἀρχαὶ τῶν ὄντων καθόλου εἰσὶ καὶ κοινά τινα ἢ καθ' ἕκαστα· καὶ προστίθησιν ἄλλην ἀπορίαν παρὰ τὴν ῥηθεῖσαν τότε. ἡ μὲν γὰρ οὐσία ὑποκείμενον καὶ τόδε ἀλλ' οὐ τοιόνδε· οὐ γὰρ τὰ τῶν οὐσιῶν γένη καὶ εἴδη τόδε τι σημαίνει, ἀλλὰ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει, ὡς εἶπεν ἐν Κατηγορίαις (c. 5). ὅτι δὲ μὴ ἔστι τὸ κοινόν, οὕτως δείκνυσιν. εἴ τις λέγει τὸ κοινὸν τόδε τι εἶναι καὶ ὑπὸ ἔκθεσιν καὶ δεῖξιν πίπτειν, ὡς ὁ Σωκράτης καὶ ἡ ἄτομος οὐσία, πολλὰ ἔσται ζῷα κατ' ἀριθμόν· καὶ γὰρ αὐτὸς ὁ Σωκράτης καὶ ζῷον καὶ ἄνθρωπος, εἴγε καὶ ἄνθρωπος ζῷον καὶ τόδε τι καὶ καθ' αὑτὸ καὶ ὑπὸ ἀπόδειξιν καὶ ἔκθεσιν πῖπτον· ἔστι γὰρ ὁ Σωκράτης ἄνθρωπος, καὶ οὐ ταὐτόν ἐστι τῷ Σωκράτει καὶ τῷ ἀνθρώπῳ εἶναι· ἀλλὰ καὶ ζῴῳ, καὶ γὰρ ζῷον ὁ Σωκράτης, ὃ καὶ αὐτὸ ὑπέκειτο καὶ εἶναι καὶ καθ' αὑτὸ ὑφεστάναι· καθόλου γὰρ καὶ τοῦτο. ἀλλὰ τοῦτο ἄτοπον. "εἰ δὲ μὴ καθόλου." ἐπικεχείρηκε γὰρ πρὸς τοῦτο, ὡς εἴρηται, τὸ "πολλὰ ἔσται ζῷα ὁ Σωκράτης." ἢ τοῦτό ἐστί τὸ εἰρημένον. ἀλλ' εἴ τις τὸ καθόλου ἀξιώσαι τοιοῦτον εἶναι ὡς μὴ τοιόνδε σημαίνειν ἀλλὰ τόδε τι καὶ οὐσίαν καὶ εἶναι τοιοῦτον ὡς τὰ τῇ ἐκθέσει δηλούμενα. εἶπεν οὖν καὶ ἐκθέσθαι τὸ κοινῇ κατηγορούμενον, τοιοῦτον δὲ τὸ καθόλου· διὸ εἰκότως νῦν ἐπὶ τὸ ἕτερον μόριον τῆς ἀπορίας μεταβαίνων οὕτως εἶπεν "εἰ δὲ μὴ καθόλου." ἔστι δὲ τὸ λεγόμενον, εἰ δέ τις μὴ λέγοι τὰς ἀρχὰς καθόλου εἶναι ἀλλὰ καθ' ἕκαστα καὶ ἀτόμους, πάλιν φησὶ μὴ ἔσεσθαι αὐτῶν ἐπιστήμην· ἡ γὰρ ἐπιστήμη τῶν καθόλου, ὥσπερ ἡ τῶν ἀρχῶν. ἄλλαι τινὲς ἀρχαὶ πάλιν ἔσονται καθόλου, εἰ ἔσται αὐτῶν ἐπιστήμη, καὶ οὕτως πάλιν τὰ καθόλου ἀρχαί, ἢ οὐκ ἔσονται ἀρχαὶ ἐπιστηταί ("). ταῦτα τὰ ἐν τῷ Β ἠπορημένα, ἐξ ἐνδόξων τὰς ἐπιχειρήσεις ἔχοντα καὶ κατὰ τὸ πιθανόν· καὶ γὰρ οὐδὲ οἷόν τε εἰς τὰ ἀντικείμενα ἐπιχειροῦντας μὴ λογικαῖς ἐπιχειρήσεσι χρήσασθαι· οὐδὲ γὰρ ἂν λύεσθαι δύναιντο, εἰ μὴ εἶχεν οὕτως. id.

(ʹ) εἶτα πάλιν ἐπιφέρει ἑτέραν ἀπορίαν τοιαύτην περὶ τῶν 1002b 33.
ἀρχῶν, φάσκων οὕτως ὅτι πότερον δυνάμει ὑπάρχουσιν αἱ ἀρχαὶ ἢ ἐνεργείᾳ. καὶ βουλόμενος κρύψαι τὸν παραλογισμόν, ἐσιώπησε τὸ ἐνεργείᾳ. Ascl. (cf. Syrian.)

(") ἰστέον οὖν ὅτι τὰ πλεῖστα ἐξ ἐνδόξων ἔχουσι τὰς ἐπιχειρή- 1003a 17.
σεις καὶ κατὰ τὸ πιθανόν. id.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟ Γ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΥΠΟΜΝΗΜΑ ΤΩΝ ΕΙΣ ΔΥΟ ΤΟ Β.

Προθέμενος ἐν τῇ Μετὰ τὰ Φυσικὰ πραγματείᾳ, ἣν καὶ σοφίαν καὶ πρώτην φιλοσοφίαν, ἔστι δὲ ὅτε καὶ θεολογικὴν ἔθος αὐτῷ καλεῖν, περὶ τοῦ ὄντος ᾗ ὂν θεωρῆσαι, καὶ δείξας ὅτι ἡ προκειμένη πραγματεία μήτε τῶν περὶ τὴν τῶν ἀναγκαίων γνῶσιν καταγινομένων ἐστὶ τεχνῶν ἢ ἐπιστημῶν μήτε τῶν περὶ τὰ χρήσιμα, ἀλλ' ἔστιν αὐτῆς χάριν τῆς γνώσεώς τε καὶ ἐπιστήμης τε καὶ αἰτίων (ταῦτα γὰρ μάλιστα ὄντα), πρὸ τοῦ ζητεῖν τίνες αἱ πρῶται ἀρχαί, κινήσας καθόλου τὸν περὶ τῶν αἰτίων λόγον καὶ τὰς δόξας τῶν πρὸ αὐτοῦ τὰς περὶ τῶν ἀρχῶν ἐκθέμενός τε καὶ ἱστορήσας καὶ ἀντειπὼν πρὸς αὐτάς, δείξας δὲ ὅτι εἰσί τινες ἀρχαὶ πρῶται καὶ οὐκ ἐπ' ἄπειρον ἡ τῶν ἀρχῶν ἄνοδος, καὶ ἐπὶ τούτοις ὡς χρήσιμον καὶ ἀναγκαῖον πρὸς τὴν εὕρεσιν τῶν τῇ σοφίᾳ προκειμένων, ἀπορήσας τινὰς ἀπορίας περί τε τοῦ ὄντος καὶ τῶν ἀρχῶν καὶ τῶν τούτοις παρακειμένων, μετὰ τὰς ἀπορίας ἄρχεται λοιπὸν τοῦ προκειμένου τοῦ Γ βιβλίου, ἐν τούτῳ λέγων τε καὶ κατασκευάζων τὰ αὐτῷ δοκοῦντα καὶ λύων τὰ ἠπορημένα. δείκνυσι δὲ ἐν τῷδε τῷ βιβλίῳ περὶ τίνα ἐστὶν ἡ σοφία, ἣν καὶ φιλοσοφίαν ὀνομάζει καὶ πρώτην φιλοσοφίαν. καὶ πρῶτον μὲν συνίστησιν ὅτι περὶ τὸ ὂν καθόλου, καὶ ἐπεὶ τῷ ὄντι τὸ ἓν κατὰ τὸ ὑποκείμενον τὸ αὐτό, ὅτι καὶ περὶ τοῦτο. ἀλλὰ καὶ περὶ τῶν ὑπὸ τὸ ἕν, ὧν ἐστὶ τὸ ταὐτὸν τὸ ἴσον τὸ ὅμοιον. ἀλλὰ καὶ περὶ τῶν ἀντικειμένων τῷ ἑνί, ταῦτα δέ ἐστι τὰ πολλά· τῆς γὰρ αὐτῆς ἡ γνῶσις τῶν ἀντικειμένων. καὶ οὐ περὶ τῶν τοῖς εἰρημένοις μόνον ἀντικειμένων, ἀλλὰ καὶ περὶ πάντων τῶν ἐναντίων· πάντα γὰρ τὰ ἐναντία ὑπὸ τὴν ἑτερότητα, ἡ δὲ ἑτερότης ὑπὸ τὰ πολλά, τὰ δὲ πολλὰ καὶ ἓν ἀντικείμενα. εἰ δὲ περὶ πάντων τῶν ἐναντίων τε καὶ ἀντικειμένων, δῆλον καὶ ἐκ τούτου ὅτι καὶ περὶ παντὸς τοῦ ὄντος· πάντα γὰρ τὰ ὄντα ἐν τούτοις· ἢ γὰρ ἐναντία ἢ ἐξ ἐναντίων. ἀλλ' εἰ περὶ πάντα τὰ ὄντα, καὶ περὶ πάντα τὰ καθ' αὑτά τε καὶ κοινῶς τῷ ὄντι ᾗ ὂν ὑπάρχοντα·

2. δὲ] γὰρ *C.* ‖ 7. τόδε] διατὶ *C.* ‖ 8. οὐ καὶ *A.* ‖ εἴδη οὐ τόδε *A.* ‖ 9. ἔστι] τόδε *C.* ‖ 12. καὶ ante ζῷον om *C.* ‖ 13. καὶ ὑπόδειξιν *C.* ‖ 16. *et per se subsistens. at hoc non universalis est, sed individui. si vero non sint universalia* Sepulv. ‖ 18. ἐπεχείρησε *C.* ‖ ὡς om *C.* ‖ τὸ om *A.*

1. ἀλλὰ καὶ τόδε τι καὶ οὐκ οὐσίαν *A.* ‖ 2. τοσοῦτον *A.* ‖ 6. *quoniam scientia est universalium quare principiorum erunt alia principia* Sepulv. ‖ 7. f. l. ὥστε τῶν. ‖ 8. ἔσεσθαι *A.* ‖ 13. οὕτως ἔχουσιν *C.*

in titulo τῶν εἰς δύο τὸ β′ om *CL.*

25. ἐπιστήμης μετιοῦσα αὐτά, μέτεισι, δείξας δὲ αὐτὴν θεωρητικὴν οὖσαν τῶν πρώτων ἀρχῶν τε καὶ *C.* f. l. ἐπιστήμης θεωρητικὴ οὖσα τῶν πρώτων ἀρχῶν τε καὶ. *eandemque primorum principiorum causarumque* Sepulv. ‖ 27. τὰς δόξας — 28. ἀρχῶν om *C.* ‖ 31. περί τε om *A.* ‖ 33. προκειμένου *A.* ‖ βιβλίου om *A.*

22. συνίστησι — p. 637 *a* 5. apud Asclep. ‖ 24. ἀλλὰ — 25. ὅμοιον om Asclep. ‖ 27. καὶ — ἀντικειμένων om Asclep. ‖ οὐ om *C.* ‖ εἰρημένοις ἄρα μόνον *C.* ‖ 28. πάντα — 30. ἐναντίων om Asclep. ‖ 31. καὶ post ὅτι om *A.* ‖ 32. τὰ — 33. τὰ om *C.* ‖ 33. κοινῇ *C.*

ἀρχῶν οὐσῶν οὐσίαι κυρίως ταῖς καὶ ὡρισμέναις ἀναγκαῖον, ἔδοξέ τε ἄλλας τινὰς οὐσίας θέσθαι ὧν ἑκάστη κυρίως οὐσία ἔσται, οὐ κατὰ μετουσίαν τινὸς οὐδὲ κατὰ συμβεβηκὸς τὸ εἶναί τε καὶ ἓν ἐχούσας· κατὰ συμβεβηκὸς γὰρ ἓν τὸ τῷ εἴδει ἕν, ἀλλ' οὐ κυρίως. ἀλλ' εἰ τοῦτό τις θήσεται εἶναί τινας τοιαύτας οὐσίας, ὑπομιμνήσκει ἡμᾶς ἃ ἔδειξεν ἑπόμενα δυσχερῆ τῇ τῶν ἰδεῶν ὑποθέσει. ὁ δὲ τῶν λεγομένων νοῦς τοιοῦτος. παρέθετο τὰ στοιχεῖα τῶν συλλαβῶν, δεικνὺς ἐπὶ τούτων πῶς αἱ ἀρχαὶ καὶ τὰ κατηγορούμενα κοινῶς τινὸς οὐκ ἔστιν ἀριθμῷ ὡρισμένα ἀλλ' εἴδει· τῶν γὰρ καθ' ἕκαστα α' τὸ κοινὸν α' ἀρχή, εἴδει ἕν, οὐχ ἓν ἀριθμῷ· ὁμοίως καὶ τῶν ἄλλων στοιχείων· ὡς δὲ ἐπὶ τῶν στοιχείων, οὕτω καὶ ἐπὶ τῶν καθ' ἕκαστα ἀνθρώπων ὁ ἄνθρωπος, καὶ
1002b 17. τῶν ἄλλων αἰσθητῶν ὁμοίως. εἰπὼν δὲ "τῶν ἐνταῦθα γραμμάτων αἱ ἀρχαὶ ἀριθμῷ μὲν οὐκ εἰσὶν ὡρισμέναι, εἴδει δέ," ἐπὶ τῆς ἀφωρισμένης ὅμως, οἷον τῆσδε τῆς βα συλλαβῆς τόδε τὸ β καὶ τόδε τὸ α ἀρχαί, φησί, καὶ στοιχεῖα ἀφωρισμένα εἰσὶ κατ' ἀριθμόν. παρέθετο οὖν καὶ τοῦτο, καὶ ἔδειξεν ὅτι εἰ καὶ ἐπὶ τῶν οὕτως λαμβανομένων συλλαβῶν καὶ ἐπὶ πάντων ἀρχῶν τῶν συνθέτων ὡρισμένας ἀριθμῷ τὰς ἀρχὰς ἔστι λαβεῖν, ἀλλ' αὐτῶν πάλιν τούτων τὰ κοινὰ ἀρχαί· τὰ γὰρ ἐν τῇδε τῇ συλλαβῇ α καὶ ἐν τῇδε τὸ κοινῶς κατηγορούμενον α ἀρχὴν ἔχουσι. δείξας δὲ ἐπὶ τῶν στοιχείων τὸ κοινὸν καὶ ἓν κατ' εἶδος ἀρχὴν γενόμενον, ὁμοίως, φησίν, ἔχει καὶ ἐπὶ τῶν μεταξύ, λέγων τῶν μαθηματικῶν (1)· καὶ γὰρ ἐκείναις, ὥσπερ καὶ ἐν τοῖς στοιχείοις, πολλὰ καὶ ἐπ' ἄπειρα τὰ καθ' ἕκαστα λαμβάνομεν, ἃ καὶ ὁμοειδῆ ἀλλήλοις. εἰ δὲ τὰ παρὰ τὰ καθ' ἕκαστα ταῦτα ὁμοειδῆ ἐστιν ἀλλήλοις (λέγει δὲ ὁμοίως ἐπί τε τῶν φυσικῶν καὶ τῶν μαθηματικῶν· ὁ γὰρ αὐτὸς ἐπ' ἀμφοτέρων λόγος), μὴ ἔσται τις ἄλλη οὐσία ἀριθμῷ μία ἢ ὁποίαν βούλονται τίθεσθαι οἱ τὰς ἰδέας δοξάζοντες. Alex.

1002b 18. (1) εἶτα λοιπὸν ἀντιλέγει πρὸς αὐτοὺς ὁ Ἀριστοτέλης, φάσκων οὕτως ὅτι τὰ εἴδη ταῦτα ἢ ἀριθμῷ ἔχουσι τὸ εἶναι ἢ εἴδει. ἀλλ' εἰ μὲν οὖν εἴδει τὰ αὐτὰ ὑποθώμεθα αὐτὰ εἶναι, συμβήσεται πάντα τὰ ἐνταῦθα ὁμοειδῆ εἶναι, εἴγε καὶ τὰ παράγοντα τὸ αὐτὸ εἶδος ἔχουσιν, ὅπερ ἐστὶ παρὰ τὴν ἐνέργειαν· ἄλλο γὰρ εἶδος ἀνθρώπου καὶ ἄλλο ἵππου, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων· εἰ δὲ πάλιν ἀριθμῷ αὐτὰ ὑποθώμεθα, ἔσονται ἄτομα· οὕτως δὲ ἔνυλα ἔσονται· τὸ γὰρ ἄτομον τέμνεται καὶ μερίζεται ὑπὸ τῆς ὕλης. ἔπειτα δὲ συνέβαινε καὶ ἓν ἀριθμῷ εἶναι πάντα τὰ ὄντα· τὰ γὰρ ὑπὸ ἑνὸς ἀριθμοῦ παραγόμενα ἕν ἐστι καὶ αὐτό. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης, φαμὲν δὲ ἡμεῖς πρὸς αὐτόν. Asclep.

1002b 24. "οὐκ — οὐσία," τουτέστιν οὐκ ἔσται τις εἰδικὴ οὐσία κατὰ τὸν ἀριθμὸν μία, οὐδὲ αἱ ἀρχαὶ ἄρα τῶν ὄντων ὡρισμένων κατὰ τὸν ἀριθμὸν καὶ ποσὰ ἄλλα ὄντα τῷ εἴδει. εἰ δέ ἐστιν ἀναγκαῖον τοῦτο, ἀριθμῷ ὡρίσθαι τὰς τῶν ὄντων ἀρχάς (οὕτω γὰρ οὐσίαι ἔσονται· τὸ γὰρ κοινὸν οὐ κυρίως οὐσίαι, διὸ οὐδὲ ἀρχή τε καὶ στοιχεῖον), ἀναγκαίως δόξουσι κινηθέντες οἱ τὰς ἰδέας ὑποθέμενοι ἐπὶ τοῦτο ἐλθεῖν. καὶ γὰρ εἰ μὴ ἄντικρυς τοῦτο λέγουσι τῷ μὴ διαρθροῦν πάνυ τι τὴν αὐτῶν δόξαν, ἀλλὰ τοῦτό γε φαίνεται εἶναι τὸ ἀγαγὸν αὐτοὺς ἐπὶ τὸ τὰς ἰδέας τῶν ὄντων ἀρχὰς ὑποτίθεσθαι, τὸ δεῖν τὰς ἀρχὰς οὐσίας τε εἶναι καὶ ὡρισμένας· οὕτω γὰρ οὐσίαι αὐτοῖς αἱ ἀρχαὶ γίνονται, καὶ καθ' αὑτὰς οὐσίαι, καὶ διαφέρουσαι τῶν ἄλλων, οἷς τὸ ἓν κατὰ τὸ εἶδος καὶ οὐ κατὰ συμβεβηκός, ὡς δοκεῖ τὰ κοινά· οὐ γὰρ καθ' αὑτὴν ἡ τῶν κοινῶν ὑπόστασις, ἀλλὰ κατὰ συμβεβηκός. εἰπὼν δὲ ταῦτα καὶ προσαγαγὼν τὸ ὅτι εὔλογον εἶναι τοιαύτας τῶν ὄντων ἀρχάς, ἐπήνεγκεν ὑπομιμνήσκων ἡμᾶς τῶν πρὸς ταύτην τὴν δόξαν ἠπορημένων καὶ ὅλως πρὸς τὸ μίαν ἀριθμῷ τῶν ἀρχῶν ἑκάστην εἶναι. ἐρρέθη γὰρ ὅτι οὐδὲν ἄλλο παρὰ τὰς ἀρχὰς ἔσται· ὧν γὰρ αἱ ἀρχαὶ ἀριθμῷ ὡρισμέναι, ταῦτα ἰσάριθμα ταῖς ἀρχαῖς ἐδείχθη ὄντα, ὥστε οὐκ ἔσται ἄλλα παρὰ τὰς ἀρχάς. ἀλλὰ καὶ ὅσα πρὸς τὰς ἰδέας ἠπορήθη ἐν τῷ πρώτῳ (c. 9), καὶ μᾶλλον ἐκείνων ἂν ἡμᾶς ὑπομιμνήσκοι. Alex.

"σύνεγγυς — τρόπον." ἡ ἀπορία πάνυ λογική (1), ζητεῖ 1002b 32.
δὲ πότερον τὰ στοιχεῖα καὶ αἱ τῶν ὄντων ἀρχαὶ δυνάμει εἰσὶν ἢ ἐνεργείᾳ· τοῦτο γὰρ σημαίνεται διὰ τοῦ "ἤ τινα ἕτερον τρόπον." εἰ μὲν γὰρ ἐνεργείᾳ (τοῦτο γὰρ σημαίνει τὸ "εἰ μὲν γὰρ ἄλλως πως"), ἔσονται τῶν ἀρχῶν ἀρχαί, ὥς φησι, καὶ πρότερόν τι ἔσται τῶν ἀρχῶν· τοῦτο δὲ ἄτοπον. τί δὲ ἔσται πρότερον ἢ τὸ δυνάμει; δοκεῖ γὰρ ἐπὶ τοῦ αὐτοῦ πρῶτον εἶναι τὸ δυνάμει τῆς ἐνεργείας, ὥστε ἡ τῆς κατ' ἐνέργειαν αἰτίας καὶ ἀρχῆς δύναμις πρότερον ἔσται τῆς ἀρχῆς οὔσης γε κατ' ἐνέργειαν· τὸ γὰρ δυνατὸν οὐκ ἀναγκαῖον ἤδη καὶ ἐνεργείᾳ εἶναι. ὥστε εἰ μὴ ἀντιστρέφει ἀλλὰ τοῦ μὲν ἐνεργείᾳ ὄντος προηγεῖται ἡ δύναμις, καὶ παντί γε τῷ δυνατῷ ἕπεται ἐνέργεια, προτέρα ἡ δύναμις ἔσται. πάνυ δὲ βραχέως ἡρμήνευσε συνάψας τῷ "πρότερον γὰρ ἡ δύναμις 1003a 1.
ἐκείνης τῆς αἰτίας· τὸ δὲ δυνατὸν οὐκ ἀναγκαῖον ἐκείνως πᾶν ἔχειν," τουτέστιν ἐνεργείᾳ εἶναι. τὸ δὲ "ἐκείνης τῆς αἰτίας" εἶπεν ἀντὶ τοῦ ἐκείνης τῆς ἀρχῆς, ἥτις ἦν ἡ κατ' ἐνέργειαν. λαβὼν δὴ τὸ "πρότερον μὲν γὰρ ἡ δύναμις ἐκείνης τῆς αἰτίας" τὸ εἴ τι ἐνεργείᾳ ἐστὶ πρότερον τὸ δυνάμει ἐσχηκέναι, ἐπάγει, εἰ δέ τις θήσεται τὰ στοιχεῖα δυνάμει εἶναι καὶ μὴ ἐνεργείᾳ, τούτῳ ἀκολουθήσει τὸ ἐνδέχεσθαι μηδὲν ὅλως εἶναι· δύναται γὰρ εἶναι τὸ μήπω ὄν, ὥστε καὶ ἀρχαὶ εἰ δυνάμει εἰσί, δύνανται καὶ μὴ εἶναι· εἰ δὲ αὗται μὴ εἶεν, οὐδὲ τὰ ἐξ αὐτῶν. ὅτι δὲ δυνατὸν εἶναι καὶ τὸ μὴ ὄν, ἔδειξεν, εἰ τὸ γινόμενον οὐκ ἔστιν· τοῦτο γὰρ εἶπε διὰ τοῦ "γίγνεται μὲν γὰρ τὸ μὴ ὄν." τὸ δὲ δυνατὸν οὐκ

1. καὶ om *L.* ‖ *nec principia proprie sunt substantiae, cum non sint substantiae definitae, necessarium esse videtur* Sepulv. ‖ 4. ἀλλ' — 7. τοιοῦτος om *L.* ‖ 12. εἶτα *C.* ‖ 14. ὅμως, οἷον] εἶναι *C.* ‖ 15. φησὶ et εἰσὶ om *C.* ‖ 17. *et in omnibus principiis compositorum* Sepulv. πάντων ἐπὶ μὲν τῶν συνθέτων ἐφ' ὧν ὡρισμένας *C.* dele ἀρχῶν. ‖ 20. ἔχουσι πάλιν δείξας *C.* ‖ 23. λαμβανόμενα *A.* ‖ 24. τὰ ante παρὰ om *C.* ‖ 26. μὴ ἔστι δὲ ταῦτά τις *A.*

3. στοιχεῖα *A.* ‖ 4. τούτῳ *C.* ‖ 9. ἓν καὶ τὸ *C.* ‖ 17. *et caetera quae in primo libro contra idearum assertores adducta sunt* (om 18. καὶ — ὑπομιμνήσκοι) Sepulv. ‖ 22. τοῦ] τούτων *A.* ‖ 23. τοῦτο εἶπε διὰ τοῦ *C.* ‖ 29. ἀλλὰ καὶ τοῦ μὴ ἐνεργείᾳ *A.* ‖ 30. ἕπεται] ἤδη *C.* ‖ ἡ] ἢ *C.* ‖ 34. δὴ] δὲ *A.* ‖ 35. γὰρ om *A.* ‖ 36. ἐπάγει om *C.* ‖ 39. δύναται *C.*

αὐτῷ, ὅτι μηδὲ τὰ ἐνεργείᾳ δοκοῦντα εἶναι ἐν αὐτῷ ἔστιν ἐν αὐτῷ δεικνύναι. δείξας δὲ διὰ τούτων ὅτι μὴ οὐσία ἡ ἐπιφάνεια καὶ γραμμὴ καὶ στιγμὴ καὶ ἡ μονάς, ὡς ἀκόλουθον τοῖς δεδειγμένοις λαμβάνει τὸ μηδὲ τὸ σῶμα ἔσεσθαι οὐσίαν τὸ ὑπὸ τούτων ὁριζόμενον. ἔδειξε δὲ ταῦτα οὐ μόνον οὐκ οὐσίας ὄντα, ἀλλὰ τὴν ἀρχὴν οὐδὲ
1002a 27 ὄντα. τὸ δὲ "μὴ ἔστι δὲ ταῦτα μηδὲ οὐσίαι τινές" ἴσον ἐστὶ τῷ μήτε ἐστὶν ὄντα ταῦτα μήτε οὐσίαι τινές. "πρὸς γὰρ τοῖς εἰρημένοις καὶ τὰ περὶ τὴν γένεσιν καὶ τὴν φθορὰν συμβαίνει ἄλογα." καὶ αὕτη ἡ ἐπιχείρησις αὐτῷ δείκνυσιν ὅτι μὴ οὐσίαι τὰ πέρατα τοῦ σώματος, ἃ μᾶλλον οὐσίαν ἔδειξε τοῦ σώματος. αἱ μὲν γὰρ οὐσίαι, πρότερον μὴ οὖσαι, διὰ γενέσεως εἰς τὸ εἶναι προΐασιν, ὁμοίως δὲ καὶ αἱ πρότερον οὖσαι εἰς τὸ μὴ εἶναι διὰ φθορᾶς, ὥστε τῶν μὲν οὐσιῶν τοῦ εἶναι καὶ μὴ εἶναι γένεσις καὶ φθορὰ προηγεῖται, ταῦτα δὲ ἄνευ γενέσεως καὶ φθορᾶς ὁτὲ μὲν ἔστιν ὁτὲ δὲ οὐκ ἔστιν, ὥστε οὐκ οὐσίαι. τὸ
1002b 1 γὰρ "ἅμα ὁτὲ μὲν μία ἁπτομένων, ὁτὲ δὲ δύο διαιρουμένων γίγνεται" τοῦ χωρὶς γενέσεώς ἐστι δηλωτικόν· ἁπτομένων μὲν γὰρ εὐθὺς καὶ ἅμα μία, διαιρουμένων δὲ πάλιν καὶ κεχωρισμένων εὐθὺς καὶ ἅμα δύο, οὐδεμιᾶς γενέσεως προηγησαμένης. ὅτι δὲ ὁτὲ μὲν εἰσὶν ὁτὲ δὲ οὐκ εἰσὶ χωρὶς γενέσεως καὶ φθορᾶς, δείκνυσιν οὕτως. ὅταν ἅπτηται τὰ σώματα ἀλλήλων καὶ πάλιν ὅταν διιστῆται, ποτὲ μὲν μία ἡ ἐπιφάνεια καὶ ἡ γραμμὴ καὶ τὸ σημεῖόν ἐστιν ἀθρόως· ὅταν γὰρ ἅπτωνται, ἓν τὰ ἀμφοτέρων πέρατα τῷ ἐφαρμόζειν, ὅταν δὲ αὖ χωρισθῇ, δύο πάλιν ἀθρόως· ὥστε ποτὲ μὲν ἔστιν ἡ ἐπιφάνεια καὶ τὰ ἄλλα, ὅταν μὴ ἅπτηται τὰ σώματα ἀλλήλων, ποτὲ δὲ οὐκ ἔστιν, ὅταν ἅπτηται, καὶ ταῦτα χωρὶς γενέσεως καὶ φθορᾶς. οὐ γὰρ δὴ ἡ στιγμὴ ἡ ἀδιαίρετος τῇ αὐτῆς φύσει διῃρέθη εἰς δύο, ὥστε εἶναι ταύτην τὴν διαίρεσιν γένεσιν τῆς ἑτέρας στιγμῆς, ἀλλ' ἡ πρότερον οὐκ οὖσα ὕστερόν ἐστι χωρὶς γενέσεως. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ γραμμῆς καὶ ἐπιφανείας· οὔτε γὰρ τὴν γραμμὴν οἷόν τε διαιρεῖσθαι κατὰ πλάτος, ὡς οὕτως γίνεσθαι τὴν μίαν δύο, ἀπολυομένης τῆς ἁφῆς, οὔτε τὴν ἐπιφάνειαν κατὰ βάθος. προστίθησι δὲ τούτοις ὅτι εἰ πᾶν μὲν τὸ γινόμενον ἐξ ὑποκειμένου τινὸς γίνεται καὶ ὕλης, τούτοις δὲ οὐδὲν ὑπόκειται, οὐ γίνεται ταῦτα· εἰ γὰρ χωρὶς τοῦ γίνεσθαι ποτὲ μὲν ἔστι ποτὲ δὲ οὐκ ἔστιν, οὐκ ἔστι τὰ προειρημένα. ἔτι ὡς ἐπὶ τοῦ νῦν πέρατος ὄντος τοῦ χρόνου ἔχει, οὕτως ἕξει καὶ ἐπὶ τῆς στιγμῆς καὶ γραμμῆς καὶ ἐπιφανείας· ἅπαντα γὰρ ὁμοίως ταῦτα πέρατά ἐστι τὸ μὲν σώματος τὸ δὲ ἐπιφανείας τὸ δὲ γραμμῆς τὸ δὲ χρόνου ἡ διαίρεσις· κατὰ γὰρ ταῦτα αἱ διαιρέσεις τῶν προκειμένων. εἰ τοίνυν ὁμοίως ἔχειν ἀνάγκη ἐν πᾶσιν αὐτοῖς τὸ ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι, τῆς αὐτῆς γε οὖσι φύσεως, τὸ δὲ νῦν ποτὲ μὲν ἔστι ποτὲ δὲ οὐκ ἔστι, καὶ ἄλλοτε ἄλλο ἐστὶ χωρὶς γενέσεως καὶ φθορᾶς (πᾶσα γὰρ γένεσις ἐν χρόνῳ, ὁμοίως δὲ καὶ φθορά)· ὥστε καὶ τὸ νῦν εἰ ἐγένετο, ἐν χρόνῳ πρῶτον ἐγένετο, γινόμενον δὲ ἐν χρόνῳ ἦν ἂν καὶ μεριστὸν καὶ ἐν διαστήματι τινί· τοῦ γὰρ ἐν χρόνῳ γιγνομένου τὸ μέν τι γέγονε τὸ δὲ γίγνεται· κατὰ γὰρ τὰ τοῦ χρόνου μόρια καὶ τοῦ γινομένου τὰ μόρια γίνεται, ἐπεὶ πᾶν τὸ γινόμενον ὑποκείμενόν τι ἔχει, ὡς προείρηκε· τῷ δὲ νῦν οὐδὲν ὑπόκειται. ὥστε εἰ τοῦτο χωρὶς γενέσεως ποτὲ μὲν ἔστι ποτὲ δὲ οὐκ ἔστιν, οὕτως ἕξει καὶ τὰ προειρημένα· εἰ δὲ τοῦτο, οὐκ οὐσίαι. id.

(1) δυνάμει γάρ ἐστιν ὁ χαλκὸς ἀνδριὰς καὶ πρόβατον καὶ ἵπ- 1002a 21
πος μέχρις ὅτε γένηται· ἡνίκα δὲ γένηται, τότε λοιπὸν ἐνεργείᾳ ἐστίν. οὕτως οὖν, φησί, καὶ ἐπιφάνεια δυνάμει ἐστὶν ἐν τῷ κύκλῳ, ἡνίκα τμηθῇ δίχα ὁ κύκλος· εἰ μὴ γὰρ ἦν δυνάμει, ἔδει αὐτὴν φαίνεσθαι καὶ πρὸ τῆς τομῆς. Asclep.

"ὅλως — εἰσίν." ἡ μὲν ἀπορία πῶς εὔλογον παρὰ τὰς αἰσθη- 1002b 11
τὰς οὐσίας καὶ τὰ μεταξὺ (ταῦτα δέ ἐστι τὰ μαθηματικά) ἄλλας τινὰς αἰτίας ζητεῖν τε καὶ τίθεσθαι, ὥσπερ οἱ τὰς ἰδέας εἶναι λέγοντες. εἶτα δι' ἃ εὔλογον παριστάμενος τῇ δόξῃ τίθησιν. εἰ γάρ, διὰ τοῦτο ὅτι τὰ μαθηματικὰ εἰ καὶ κατὰ τὰ ἄλλα διαφέρει τῶν αἰσθητῶν (τῷ γὰρ ἀΐδια εἶναι καὶ τῷ ἀκίνητα, ὥσπερ πρότερον εἶπεν), ἀλλὰ κατά γε τὸ πολλὰ ὁμοειδῆ ἐν αὐτοῖς εἶναι οὐ διαφέρει τῶν αἰσθητῶν· οὐ γὰρ ἓν κατ' ἀριθμὸν οὐδὲ τούτων ἕκαστον, ὡς εἶπε καὶ ἐν τοῖς ἐπάνω, ἀλλ' ἔστιν ἕκαστον αὐτῶν εἴδει μὲν ἕν, ἀριθμῷ δὲ πάντα τὰ τοιαῦτα καθ' ἕκαστα ὅμοια ἀλλήλοις, οὐδὲν ἂν αὐτῶν οὐσία καὶ στοιχεῖα τῶν ἄλλων εἴη· ὥστε εἰ μήτε τούτων μήτε τῶν αἰσθητῶν ἀριθμῷ αἱ ἀρχαὶ ἀφωρισμέναι, οὐκ ἔσονται τῶν ὄντων ἀρχαὶ ἀριθμῷ ἀφωρισμέναι· οὐδὲ ἔσται τις ἀριθμῷ οὐσία μία ἐν ταῖς ἀρχαῖς καὶ ὡρισμένη, εἰ μὴ ἄλλαι τινὲς εἶεν οὐσίαι παρά τε τὰς αἰσθητὰς καὶ τὰς μαθηματικάς, ὁποίας τὰς ἰδέας λέγουσιν· οὐδεμία γὰρ ἔσται τῶν ἀρχῶν ἀριθμῷ οὐσία, εἰ αἱ μὲν αἰσθηταὶ καὶ αἱ μαθηματικαὶ τῷ εἴδει μία, ἄλλη δὲ μή ἐστι παρὰ ταῦτα οὐσία. ἔτι οὐδὲ οὐσίαι ἔσονται αἱ ἀρχαὶ τῶν ὄντων, εἰ μὴ ἑκάστη αὐτῶν ἀριθμῷ μία· τοῖς γὰρ καθόλου συμβεβηκὸς τὸ εἶναι, ὡς προελθὼν ἐρεῖ. εἰπὼν δὲ "οὐκ ἔσται μία ἀριθμῷ ὡς ἀρχὴ οὐσία," προσέθηκε τὸ "καὶ 1002b 21
τῷ εἴδει," ἤτοι λέγων τῇ φύσει καὶ τῇ ὑποστάσει, ἢ ὅτι οὐκ ἔσται ἀρχὴ ἡ μὲν τῷ ἀριθμῷ μία ἡ δὲ τῷ εἴδει· μόνη γὰρ ἔσται ἡ τῷ εἴδει, ἥτις οὐδὲ ἀρχὴ κυρίως, ἐν τούτοις ἔχουσα τὸ εἶναι καὶ ἀπὸ τούτων νοουμένη ὧν αἱ ἀρχαὶ εἶναι λέγονται. ἄμεινον δὲ γεγράφθαι "οὐκ ἔσται μία ἀριθμῷ ἀλλ' εἴδει·" τοῦτο γὰρ συνάγει τά τε προειρημένα καὶ τὸ ἐπιφερόμενον τὸ "οὐδ' αἱ ἀρχαὶ τῶν ὄντων ἀριθμῷ ἔσονται ποσαί τινες ἀλλ' εἴδει." εἰ δὴ μὴ οὔσης οὐσίας τινὸς παρὰ τὰς μαθηματικάς τε καὶ αἰσθητὰς οὐκ ἔσονταί τινες ὡρισμέναι οὐσίαι. οὕτω δὲ οὐδὲ

6. ἐστὶ] εἰσὶ *C.* ‖ 10. οὐσίαι μὴ οὐσίαι πρότερον οὖσαι *C.* ‖ 15. ἐγένοντο *C.* ‖ 26. αὐτῇ *A.* ‖ διαιρεθῇ *C.* ‖ 29. διαιρεῖσθαι *AV.* ‖ 31. εἰ om *CV.* ‖ 32. ἐκ τινὸς ὑποκειμένου *C.* ‖ ὕλης ταῦτα δὲ ἐκ τίνος ὑποκειμένου ἐρεῖ τις γίνεσθαι, οὐκ ἔστιν· ὥστε εἰ πᾶν τὸ γινόμενον ἐξ ὑποκειμένου τινὸς γίνεται καὶ ὕλης, τούτοις *C.* ‖ 39. εἶναι post μὴ om *C.*

1. διαφθορὰ *A.* ‖ εἰ et 14. μὲν om *A.* ‖ 17. *deinde opinioni favens, probabilitatem subiungit* Sepulv. ‖ 18. κατὰ om *A.* ‖ 26. οὐδὲ τις ἔσται *A.* ‖ 33. ἀριθμῷ om *L.* ‖ 34. τῷ] τὸ *V.* ‖ 35. γὰρ καὶ ἔσται *V.* ‖ 38. ἀριθμῷ ἀλλ' ἰδίᾳ· τούτῳ *L.* ‖ 39. οὐκ *L.* ‖ αἱ om *AC.* ‖ 40. εἰ δὴ] εἰ δὲ *V*, τὸ *AC.* ‖ 41. οὐσίαι ἐπεὶ δέ εἰσιν οὐσίαι ὡρισμέναι ἀναγκαῖον *A.*

ἁπλῶς σώματα οὐσίας εἶναι μάλιστα, χωρίσας δὲ τούτων τὰς ποιότητας καὶ τἆλλα πάθη ὡς συμβεβηκότα τοῖς σώμασι, λαμβάνει τὸ ὑποκείμενον τούτοις σῶμα, λέγω δὲ τοῖς πάθεσιν, εἶναι τὴν οὐσίαν, ὅ ἐστι τὸ τριχῇ διεστώς. τοῦτο δὲ λαβὼν μετὰ ταῦτα δείκνυσιν ὅτι τὸ σῶμα τοῦτο ἧττόν ἐστιν οὐσία τῶν ποιοτήτων καὶ τῶν ἄλλων παθῶν καὶ διαθέσεων· μᾶλλον γὰρ οὐσία ἐπιφάνεια μὲν σώματος, ἐπιφανείας δὲ γραμμή, καὶ ταύτης στιγμή. εἶτα μέλλων ἐπὶ τούτοις τῷ ταῦτα οὐσίας εἶναι συναναιρήσειν καὶ τὸ τὸ σῶμα οὐσίαν εἶναι, τῷ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον χρησάμενος τόπῳ. εἰ γὰρ ἃ μᾶλλον οὐσίαι, ταῦτα μὴ οὐσίαι, οὐδὲ ἂν αἱ ἧττον ἐκείνων οὐσίαι οὐσίαι ἂν εἶεν. ὅτι δὲ ἧττον οὐσία τὸ σῶμα τούτων, δείκνυσι πρῶτον μὲν τοιαύτῃ ἐπιχειρήσει. οἷς ὁρίζεταί τι καὶ εἰδοποιεῖται, ἐκεῖνα τοῦ ὁριζομένου ὑπ' αὐτῶν μᾶλλον οὐσίαι· τὰ γὰρ ὁρίζοντά τι μᾶλλον ὄντα καὶ μᾶλλον οὐσίαι τοῦ ὁριζομένου καὶ εἰδοποιουμένου· διὰ τοῦτο γοῦν καὶ αὐτὸς τὸ εἶδος μᾶλλον τῆς ὕλης εἶναί φησιν. ὑπὸ δὲ ἐπιφανείας καὶ γραμμῆς καὶ στιγμῆς ὁρίζεται τὸ σῶμα· ταῦτα ἄρα μᾶλλον οὐσίαι τοῦ σώματος. δεύτερον δὲ τοιαύτῃ. ὧν τὸ μὲν καθ' αὑτὸ δύναται εἶναι χωρὶς θατέρου τὸ δ' οὐ δύναται, τὸ καθ' αὑτὸ δυνάμενον εἶναι μᾶλλον οὐσία· τῶν δὲ περάτων τοῦ σώματος καὶ τοῦ σώματος τὰ μὲν πέρατα χωρὶς εἶναι δύναται τοῦ σώματος, τὸ δὲ σῶμα χωρὶς τῶν περάτων οὔ· ἄρα τὰ πέρατα τοῦ σώματος μᾶλ-
1002a λον οὐσίαι τοῦ σώματος. τὸ δὲ "ἐνδέχεσθαι δοκεῖ εἶναι" πάνυ καλῶς
7. προσέθηκε· τῇ μὲν γὰρ ὑποστάσει οὐδὲν τούτων χωρὶς σώματος οἷόν τε εἶναι, ὥσπερ οὐδὲ τὸ σῶμα ἄνευ τούτων, τῇ δὲ ἐπινοίᾳ καὶ τῷ λόγῳ οἷόν τε· σῶμα μὲν γὰρ ἄνευ ἐπιφανείας οὐχ οἷόν τε νοηθῆναι, οὐδ' ἂν ἐπιφάνειαν ἄνευ γραμμῆς, οὐδὲ ταύτην χωρὶς σημείου· ἐν γὰρ τοῖς ὁρισμοῖς αὐτῶν συμπαραλαμβάνεται κἀκεῖνα· σῶμα μὲν γὰρ λέγεται εἶναι ὃ μῆκος καὶ πλάτος ἔχει, γραμμὴ δὲ μῆκος ἀπλατές, ἧς πέρατα σημεῖα· σημεῖον δὲ νοεῖται καὶ χωρὶς γραμμῆς, καὶ αὕτη χωρὶς ἐπιπέδου, καὶ ἐπίπεδον ἄνευ σώματος. προστίθησι δὲ τούτοις εἰς πίστωσιν τοῦ ταῦτα μᾶλλον οὐσίας εἶναι τοῦ σώματος καὶ τὰς τῶν πρὸ αὐτοῦ δόξας, ὧν οἱ μὲν ἀρχαιότεροι καὶ μηδέπω μετ' ἐπιστασίας περὶ τῶν ὄντων λέγοντες τὰς οὐσίας τῶν ὄντων καὶ τὰς ἀρχὰς σωματικὰς ὑπετίθεντο, οἱ δὲ μετ' ἐκείνους γενόμενοι καὶ σοφώτεροι δοκοῦντες ἤδη εἶναι ἀριθμοὺς τὰς ἀρχὰς ἔφησαν, ὡς οἱ Πυθαγόρειοι καὶ Πλάτων, ὡς τούτων μᾶλλον οὐσιῶν ὄντων τῶν σωμάτων. τὸ
1002a δὲ "ὥστε καὶ τὰς ἀρχὰς τὰς τῶν σωμάτων τῶν ὄντων εἶναι ἀρ-
10. χάς" ὡς ἴσον εἶπε τῷ ὥστε καὶ τὰς ἀρχὰς τῶν σωμάτων κυρίως ὄντα εἶναι ἔλεγον, διότι ὄντων καὶ σωμάτων ἦσαν ἀρχαί. τοῦτο λαβὼν μετὰ ταῦτά φησιν ὅτι εἰ μηδὲν τούτων οὐσία, οὐδ' ἂν ἄλλο τι οὐσία εἴη· οὔτε γὰρ τὰ σώματα, ἧττον γὰρ ταῦτα οὐσίαι, οὔτε ἔτι μᾶλλον τὰ τῷ σώματι συμβεβηκότα. ὅτι δ' αὖ μή ἐστι ταῦτα ὄντα, τουτέστιν οὐσίαι, δείκνυσιν οὕτως. εἰ ἔστι σημεῖον καὶ γραμμὴ καὶ ἐπίπεδον ὄντα τε καὶ οὐσίαι, δῆλον ὅτι καὶ ἐν σώμασιν αὐτῶν ἡ ὑπόστασις, καὶ εἰ ἐν σώμασιν, ἐν τοῖς αἰσθητοῖς· ἀλλὰ μὴν οὐδὲν τούτων ἐστὶν ἐν τοῖς αἰσθητοῖς· οὔτε γὰρ οἷον ὁριζόμεθα τὸ σημεῖον ἔστιν εὑρεῖν τὸ τοιοῦτον ἐν τοῖς αἰσθητοῖς, οὔτε ὁποίαν τὴν γραμμήν· οὐδὲν γὰρ ἔστι λαβεῖν ἐν αἰσθητῷ σώματι μῆκος παντάπασι κεχωρισμένον πλάτους, ὁμοίως δὲ οὐδ' ἐπιφάνειαν χωρὶς βάθους. εἰ δὴ ὄντα μὲν ἦσαν καὶ οὐσίαι, ἦν ἂν ἐν τοῖς σώμασι τοῖς αἰσθητοῖς, ταῦτα γὰρ ἐν ὑποστάσει μόνα· εἰ δὲ μή ἐστι, μηδ' οὐσίαι εἶεν ἄν. δείκνυσι δὲ μὴ ὄντα ταῦτα ἐν ὑποστάσει καὶ ἐκ τοῦ πάθη ταῦτα εἶναι καὶ διαιρέσεις τῶν σωμάτων γίγνεσθαι· αἱ δὲ διαιρέσεις αἱ τοῦ σώματος οὐχ ὑποκείμενα οὐδὲ ὄντα τινὰ ἐπ' οἰκείας φύσεως· πάθη γάρ, τὰ δὲ πάθη οὐκ οὐσίαι. κατὰ μέντοι τὸ πλάτος ὑπὸ γραμμῆς τέμνεται τὸ σῶμα, κατὰ δὲ τὸ βάθος ὑπὸ ἐπιφανείας, κατὰ δὲ τὸ μῆκος ὑπὸ στιγμῆς. ἐπὶ τούτοις ὅτι μή ἐστιν ἐν τοῖς σώμασι ταῦτα, ἥ τε ἐπιφάνεια καὶ ἡ γραμμὴ καὶ τὸ σημεῖον, οὕτω δείκνυσιν. ἐπινοίᾳ ταῦτα ἐν τοῖς σώμασι λέγεται εἶναι· οὐ γὰρ δὴ τῇ ὑποστάσει καὶ τῷ χωρίζεσθαι δύνασθαι. τούτῳ προσχρώμενος λέγει ὅτι ἐν τῷ σώματι ἔστιν ὁποιονοῦν σχῆμα καὶ ὁποιανοῦν ἐπιφάνειαν ὁμοίως ὄντα λαβεῖν. τῇ γὰρ ἐπινοίᾳ ἐν τῷ λίθῳ τῷ ἀργῷ καὶ τὸ τοῦ Ἑρμοῦ καὶ τὸ τοῦ Ἀπόλλωνος καὶ ἄλλου τινὸς ὁμοίως ἔστι λαβεῖν ὁτιοῦν σχῆμα· ἀλλὰ καὶ ἐν τῷ κύβῳ τὸ ἥμισυ τοῦ κύβου τῇ ἐπινοίᾳ ἔστι, καὶ ἡ ἐπιφάνεια ἡ διαιροῦσα αὐτὸν εἰς δύο ἐν τῷ βάθει ληφθῆναι δυναμένη, ὁμοίως καὶ ἡτισοῦν. εἰ οὖν πάντα μὲν ὁμοίως τὰ σχήματα καὶ αἱ ἐπιφάνειαι ἐν τῷ σώματι, τῇ γὰρ ἐπινοίᾳ, μή ἐστι δὲ ἐν αὐτῇ ὑπόστασιν λαμβανόμενα, οὐδ' ἂν ἄλλο τι εἴη· ὥστε εἰ μὴ τὸ τοῦ Ἑρμοῦ σχῆμα ἐν τῷ λίθῳ, οὐδὲ ὃ δοκεῖ ἔχειν, καὶ εἰ μὴ ἐν τῷ κύβῳ ἡ διαιροῦσα δίχα ἐπιφάνεια, οὐδ' ἣν δοκεῖ ἔχειν. ἡ δὲ τοῦ λόγου παραγωγὴ τὸ ὁμοίως λαβεῖν πάντα εἶναι τὰ σχήματα ἐν τῷ ὑποκειμένῳ τά τε δυνάμει καὶ τὰ ἐνεργείᾳ. τούτου δὲ τὸ πιθανὸν ἐκ τοῦ ἐπινοίᾳ καὶ τὰ ἐνεργείᾳ ὄντα δοκεῖν εἶναι ἐν τῷ ὑποκειμένῳ, ὡς καὶ τὰ δυνάμει· τοῦτο δὲ ἐπεὶ μή ἐστι χωριστά (¹). ὡς δὲ ἐπὶ τῆς ἐπιφανείας, οὕτω καὶ ἐπὶ τῆς γραμμῆς καὶ ἐπὶ στιγμῆς καὶ μονάδος· καὶ γὰρ ἡ μονὰς στιγμή τις ἐστίν· ἔνεστι γὰρ ἐπὶ τούτων ὁμοίως τῇ ἐπινοίᾳ ἐν τῷ ὑποκειμένῳ σώματι λέγειν ὁποιανοῦν εἶναι, καὶ λαμβάνοντάς τινα τῶν δυνάμει καὶ δεικνύναι ὅτι μὴ ἔστιν ἐν αὐτῷ· τὸ γὰρ δυνάμει ὂν ἔν τινι οὐδέπω ἐστὶν ἐν

1. χωρὶς *A.* ‖ 5. οὐσία — 6. οὐσία] οὐσία κατά τι τῶν εἰκείων παρὰ τῶν μᾶλλον οὐσία *C.* ‖ 8. ταὐτὰ *A.* ‖ 10. ἂν om *A.* ‖ 13. μᾶλλον post αὐτῶν et 15. εἶναί φησιν et 16. ἄρα om *C.* ‖ 18. χωρὶς] ἄνευ *C.* ‖ 19. εἶναι om *A.* ‖ 21. οὐκ ἄρα *C.* ‖ 27. συλλαμβάνεται *A.* ‖ λέγει *A.* ‖ 38. τῶν om *AV.* ‖ 39. ὄντα om *V.*

3. τὰ ἐν τῷ *A.* ‖ αὖ] οὖν *C.* ‖ 6. ἐν τούτοις· ἀλλὰ *C.* ‖ 11. ἦσαν καὶ om *C.* ‖ 12. μόνα· δῆλον ὡς εἰ μὴ *A.* ‖ 13. ὄντα αὐτὰ *C.* ‖ διαιρέσεις εἶναι τῶν *C.* ‖ 15. γάρ, τὰ δὲ πάθη et 17. τὸ ante βάθος et 18. ταῦτα om *A.* ‖ 19. καὶ τὸ] κατὰ τὸ *C.* ‖ 21. συγχρώμενος *A.* ‖ 22. ὁποιανοῦν ἐπιφανείας *A.* ‖ 23. τὸ — τὸ] τῷ — τῷ *A.* ‖ 24. ὁτιοῦν om *C.* ‖ 25. αὐτὸ *C.* ‖ 26. ἡτισοῦν *C.* ‖ 27. αἱ] ἡ *C.* ‖ 28. ὑπόστασιν] ἐπινοίᾳ *C.* ‖ 31. τὸ] f. l. τῷ. ‖ 33. τοῦτο *A.* ‖ δοκεῖ *C.* ‖ 35. *nam unitas punctus quidam est atque in superficie* Sepulv. ‖ 38. *et ostendere, quae potentia sunt in subiecto, ea non esse in ipso* Sepulv.

νον μεῖζον ἢ ἔλαττον ποιεῖ, τοῦτο οὐκ ἔστιν· εἰ τοίνυν τὸ σημεῖον τοιοῦτον, δῆλον ὡς ὅτι οὐκ ἔστιν, καὶ ἔτι πᾶν ἀδιαίρετον. πάλιν τὴν γραμμὴν καὶ τὴν ἐπιφάνειαν πῇ μὲν ὄντα ἔλεγε πῇ δὲ οὐκ ὄντα. ἡ μὲν γὰρ γραμμὴ κατὰ μῆκος προστιθεμένη ποιεῖ αὔξησιν καὶ μείωσιν, κατὰ δὲ πλάτος οὐκέτι· ὁμοίως δὲ καὶ ἡ ἐπιφάνεια κατὰ πλάτος προστιθεμένη καὶ ἀφαιρουμένη ποιεῖ αὔξησιν καὶ μείωσιν, κατὰ δὲ τὸ βάθος οὐκέτι. τὸ μέντοι γε σῶμα κατὰ πάσης διαστάσεως καὶ αὔξησιν καὶ μείωσιν ὑπομένει. διὰ ταῦτα τοίνυν τὴν μὲν ἐπιφάνειαν καὶ τὴν γραμμὴν ἔλεγε πῇ μὲν εἶναι ὄντα πῇ δὲ οὐκ ὄντα. ὁ τοίνυν Ἀριστοτέλης φορτικὴν ἀποκαλεῖ τὴν ἀπορίαν αὐτοῦ· ὅσον γὰρ ἐπὶ τούτῳ, ἀναιροῦνται πάντα τὰ ἀσώματα, ἐπειδὴ οὔτε μεῖζον ποιοῦσιν ὡς προστίθενται, οὔτε δὲ ἔλαττον ἀφαιρούμενα. τὸ οὖν σημεῖον αὐτὸ καθ' αὑτὸ οὐχ ὑφέστηκεν, ἀλλ' ἐν τῇ γραμμῇ τὸ εἶναι ἔχει. ἄλλως τε δή, φησίν, ἡ ἑνὰς μέγεθος μὲν οὐ ποιεῖ προστιθεμένη, αὐξήσει δὲ τὸ πλῆθος. τοῦτο οὖν ἐστὶν ὃ λέγει... ἐπειδή, φησίν, οὕτως φορτικῶς διαλέγεται ὁ Ζήνων, καὶ ἐνδέχεται εἶναι ἀδιαίρετόν τι, ὥσπερ τὸ ἀσώματον, ὅμως καὶ εἰ ὑποθώμεθα ἀληθῆ τὰ παρ' αὐτοῦ, καὶ οὕτως δυνατόν ἐστιν ἀπολογίας εὐπορῆσαι· ἡ γὰρ μονὰς προστιθεμένη μεῖζον μὲν οὐ ποιεῖ, πλέον δὲ ποιεῖ. ἀλλὰ πῶς γίνεται μέγεθος ἐκ μιᾶς μονάδος, ἤγουν πλεῖον, τουτέστιν ἄπορον· ὅμοιον γὰρ τοῦτο λέγειν καὶ τὴν γραμμὴν λέγειν συντίθεσθαι ἐκ σημείων, ὅπερ ἐστὶν ἀδύνατον· δέδεικται γὰρ ὅτι ἀδύνατον. πῶς οὖν ἐκ τῆς μονάδος καὶ τοῦ αὐτοενὸς παράγονται τὰ μεγέθη;... ἀλλὰ εἰ καὶ ὑποθώμεθα γίνεσθαι τὸν ἀριθμὸν ἐκ τῆς μονάδος καὶ τῆς δυάδος, οὐδὲν ἧττον ἄξιόν ἐστιν ἀπορῆσαι... ταῦτα δὲ λέγει πρὸς τοὺς ἀρχὰς καὶ στοιχεῖα πάντων τοὺς ἀριθμοὺς ὑποτιθεμένους· ἐγίνοντο γὰρ καὶ τῶν μεγεθῶν ἀρχαί. οὗτοι δὲ ἦσαν οἱ Πυθαγόρειοι. ἑξῆς δὲ προσαπορεῖ τῇ Πλάτωνος δόξῃ. **Asclep.**

1001 b 11. "τοῦτο — ὄν." διὸ καὶ πάντῃ προστιθέμενον τὸ τοιοῦτον μέγεθος αὔξει· τὰ δὲ ἄλλα μεγέθη οὐχ ἁπλῶς συντιθέμενα αὔξει τὸ ὅλον, πὼς δέ, ὡς οὐ κυρίως ὄντα μεγέθη οὐδὲ ὁλοκλήρως. μόνον γὰρ αὔξει ἡ γραμμὴ καὶ τὸ ἐπίπεδον κατὰ τὰ πέρατα ἀλλήλοις συντιθέμενα· ἡ γὰρ ἐπιφάνεια κατὰ μὲν γραμμὴν συντιθεμένη, ἥτις αὐτή ἐστι πέρας τῇ ἐπιφανείᾳ, αὔξει αὐτήν, κατὰ δὲ ἐπιφάνειαν καὶ κατὰ πλάτος οὐκ αὔξει· ἐφαρμόζει γὰρ διὰ τὸ μὴ δύνασθαι βάθος ἐξ ἐπιφανειῶν συντιθεμένων γενέσθαι. ὁμοίως καὶ ἡ γραμμὴ μέγεθος οὖσα κατὰ μὲν σημεῖον γραμμῇ συντιθεμένη, ὅ ἐστιν αὐτῆς πέρας, μείζω τὴν ὅλην ποιεῖ, κατὰ δὲ γραμμὴν ἐφαρμόζει καὶ οὐκ αὔξει, διὰ τὸ μὴ συμπληροῦσθαι πλάτος ὑπὸ γραμμῆς· τούτων δὲ ἑκάτερα, εἰ καὶ μὴ κυρίως ὄν, ἀλλὰ ὄν πως, καθόσον καὶ αὔξει τὰ ὄντα· ἡ δὲ στιγμὴ καὶ ἡ μονὰς οὐδ' ὅλως ἔτι ὄντα κατ' αὐτόν, ἐπεὶ πάντῃ ἀμεγέθη· οὐ γάρ εἰσιν αὐξητικά. μνημονεύσας δὲ τῆς Ζήνωνος δόξης ὡς παντάπασιν ἀναιρούσης τὸ ἕν, ἐπὶ τούτοις φησὶν ὅτι ἀλλ' εἰ καὶ ὁ τοῦ Ζήνωνος λόγος φορτικός, μηδὲν ἄλλο εἶναι λέγων ἢ μόνον τὸ μέγεθος· ἐνδέχεται γὰρ εἶναί τι καὶ ἀδιαίρετον καὶ ὅμως αὔξειν, οὐ γὰρ πάντῃ τὸ ἀδιαίρετον ἐστέρηται τοῦ αὔξειν, ἀλλ' ἔστι πρὸς αὐτὸν λέγειν, μεῖζον μὲν γὰρ οὐ ποιεῖ, πλεῖον δέ, καὶ κατὰ τοῦτο αὔξει καὶ τὸ ἓν καὶ τὸ ἀδιαίρετον. ὥστε κατὰ τοῦτο μὲν οὐκ ἐκπίπτει τοῦ εἶναί τι τὸ αὐτοὲν συναυξόν γε αὐτό. ἐκεῖνο δέ, φησίν, ἄξιον ἀπορῆσαι, πῶς ἐκ τοῦ τοιούτου ἑνὸς ἢ πλειόνων τοιούτων γίγνεται μέγεθος· ὅμοιον γὰρ τοῦτο τῷ τὴν γραμμὴν ἐκ στιγμῶν λέγειν συγκεῖσθαι. ταῦτα δὲ λέγει πρὸς τοὺς ἀρχὰς καὶ στοιχεῖα πάντων τοὺς ἀριθμοὺς ὑποτιθεμένους· γίγνονται γὰρ τῶν μεγεθῶν ἀρχαί. οὗτοι δὲ ἦσαν οἱ Πυθαγόρειοι. ἑξῆς δὲ προσαπορεῖ τῇ Πλάτωνος δόξῃ, ὃς ἀρχὴν ὑπετίθετο τοῦ ἀριθμοῦ τε καὶ τῶν ἄλλων τὸ ἓν καὶ ἄλλο τι οὐχ ἕν, τουτέστιν ἀριθμόν τινα· τούτου γὰρ δηλωτικὸν τὸ καὶ "ἄλλου μὴ ἑνός·" τοῦτο δ' 1001 b 21.
ἦν ἡ ἀνισότης καὶ ἡ ἀόριστος δυάς, ὃ μέγα καὶ μικρὸν ἔλεγε, πρῶτον μὲν τὸν ἀριθμὸν γεννᾶσθαι ὁριζομένης ἐκ τῆς ἀορίστου δυάδος ὑπὸ τοῦ ἑνὸς καὶ γιγνομένης δυάδος, ἔπειτα τὰ ἄλλα. ἀπορεῖ δὲ πῶς ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος συνελθόντων τὸ μὲν ἀριθμὸς γίνεται τὸ δὲ μέγεθος· οὐ γὰρ οἱ ἀριθμοὶ μόνοι ἀλλὰ καὶ τὰ μεγέθη ἐξ ἐκείνων κατ' αὐτόν. εἰ γὰρ ἡ ἀνισότης καὶ ἡ ἀόριστος δυὰς ἡ αὐτὴ φύσει οὖσα ἀρχὴ καὶ ἀριθμῶν καὶ μεγεθῶν ἐστί, πῶς ἐξ ἑνὸς καὶ ταύτης συντεθειμένων οἷόν τε μέγεθός τι γενέσθαι; ἀριθμοῦ γὰρ ταῦτα γεννητικά. ἢ εἰ πρῶτόν τις λέγοι τὸν ἀριθμὸν ἐκ τούτων γίγνεσθαι, εἶθ' οὕτως ἐκ τοῦ ἀριθμοῦ τὰ μεγέθη, πῶς ἢ ἐξ ἀριθμῶν ἢ ἐξ ἀριθμοῦ καὶ τῆς ἀνισότητος οἷόν τε μέγεθος συντεθέντων γενέσθαι, ἄξιον ἀπαιτεῖν· ἄπορον γὰρ πῶς τὰ ἀμερῆ μεγέθους οἷόν τε εἶναι ποιητικά. τὸ δὲ "εἴπερ τὸ μὴ ἓν ἀνισότης, καὶ ἡ αὐτὴ φύσις ἦν" ἴσον 1001 b 23.
ἐστὶ τῷ εἴπερ τὸ μὴ ἓν ἦν κατ' αὐτὸν ἡ ἀνισότης καὶ αὕτη ἡ φύσις οὖσα καὶ ἀριθμῶν καὶ μεγεθῶν ἡ αὐτὴ κατ' αὐτόν· πῶς γὰρ ἐκ τῶν αὐτῶν ἀρχῶν οἷόν τε καὶ ἀριθμοὺς καὶ μεγέθη γεννᾶσθαι; **Alex.**

"τούτων — οὔ." δείξας δι' ὧν ἠπόρησεν, ὅτι οἱ ἀριθμοὶ οὐκ 1001 b 26.
οὐσίαι ἔσονται, ἐφεξῆς ἀπορεῖ τοῖς προειρημένοις, πότερον οἱ ἀριθμοὶ καὶ τὰ σώματα καὶ αἱ στιγμαί, δηλονότι καὶ αἱ ἐπιφάνειαι καὶ αἱ γραμμαί, οὐσίαι εἰσὶν ἢ οὔ· εἰ γὰρ μὴ ταῦτα οὐσίαι, οὐδ' ἂν ὅλως εἴη τις οὐσία· τίνες γὰρ ἔσονται οὐσίαι; ἔστι δὲ οὐκ οὐσία, οἷον αἵ τε ποιότητες (ταύτας γὰρ εἶπε παθητικὰς κινήσεις) καὶ τὰ πρός τι καὶ αἱ διαθέσεις, ἃ καὶ αὐτὰ ποιότητες. καὶ οἱ λόγοι δέ, οὓς ἀριθμοὺς λέγει, εἰ καὶ οὐσιῶν εἰσίν, ἀλλ' οὐκ αὐταί γε οὐσίαι. τὸ δὲ "οὐδενὸς δοκοῦσιν οὐσίαν σημαίνειν" εἶπεν ὡς ἴσον τῷ οὐκ εἰσὶν οὐσίαι. ὁμοίως δὲ τούτοις καὶ τὰ ἄλλα τὰ ὑπὸ τὰς δέκα κατηγορίας οὐκ εἰσίν· ἅπαντα γὰρ καθ' ὑποκειμένου τινὸς λέγεται, τουτέστιν ἐν ὑποκειμένῳ τινί ἐστι, καὶ ὑποκείμενόν τι ἄλλο ἔχει καὶ οὐκ αὐτὰ ὑπόκειται, οὐδέ ἐστιν αὐτῶν τι ὑπὸ ἀπόδειξιν πῖπτον ὡς ὑποκείμενον καθ' αὑτό. ὃν δὲ τὴν οὐσίαν νῦν λέγει. εἰπὼν δὲ ταῦτα μετὰ ταῦτα τίθησι μὲν ὡς ἐναργὲς τὸ τὰ

30. δὲ] δ' *L*, om *C*. ‖ 31. ὄντα τὰ μεγέθη *V*. ‖ μόνα *AC*. ‖ 33. αὐτοῦ *V*. ‖ 34. τῆς ἐπιφανείας *AC*. ‖ κατὰ post καὶ om *AV*. ‖ 40. αὔξεται ὄντα *A*. ‖ 43. ὁ om *A*.

2. καὶ ὅμως αὔξειν om *C*. ‖ 4. δὲ ποιεῖ καὶ *C*. ‖ 11. ὑπέθετο *C*. ‖ 12. τε — 13. τὸ om *A*. ‖ 13. μηδενός *L*. ‖ 14. ἡ post ἦν om *A*. ‖ 15. ὑπὸ — 16. δυάδος om *AC*. ‖ 23. ἢ ἐξ ἀριθμῶν om *C*. ‖ 32. καὶ αἱ στιγμαί om *C*. ‖ αἱ et 35. ταύτας — 36. ποιότητες om *A*.

ἐκατηγόρουν τὸ ὄν· τὴν γὰρ ἐνάδα ἔλεγον εἶναι καὶ ὑπὲρ αὐτὸ τὸ ὄν, εἴγε τὸ ὂν εἶδός ἐστιν, ὑπὲρ πᾶν δὲ εἶδος ἔλεγον εἶναι τὴν ἐνάδα ὡς καὶ πάντων προακτικὴν καὶ αὐτῶν τῶν εἰδῶν καὶ πάντα καταλάμπουσαν... φαμὲν οὖν ὅτι ὁ Ἐμπεδοκλῆς ὡς Πυθαγόρειος συμβολικῶς ταῦτα ὑπετίθετο· ἔλεγε γὰρ ἐκεῖνος ὅτι τὸ ὂν ἕν ἐστιν, ἔλεγε δὲ ἓν τὴν φιλίαν, ἥτις δευτέρα μέτρα ἔχει ἀπὸ τῆς ἐνάδος. καὶ διὰ μὲν τῆς φιλίας ἐδήλου τὴν μονάδα, ἥτις αἰτία ἐστὶ τῆς ἑνώσεως τοῖς οὖσιν· οὐδὲν γάρ ἐστιν ὃ οὐ μετέχει τῆς ἐνάδος... διὰ μέντοι γε τοῦ νείκους τὴν δυάδα ἐδήλου, τουτέστι τὴν πρόοδον τῶν πραγμάτων· πρώτη γὰρ ἡ δυὰς ἔχει τὸ πόθεν ποῖ. πᾶσα ἄρα ἀνάγκη αὐτὸ τὸ ὂν καὶ τὸ ἓν κεχωρίσθαι καὶ μὴ ἐν ὑποκειμένῳ ἔχειν τὸ εἶναι. ἡ γὰρ ἐνὰς διὰ τὴν μόνιμον αὐτῆς δύναμιν μένουσα ὅπερ ἐστὶ καὶ μὴ ἐλαττουμένη πάντα παράγει. ὁ γὰρ Παρμενίδης ἔλεγε τὸ παρὰ τὸ ὂν οὐκ ὂν ὡς νοητόν· τῷ ὄντι γὰρ τὰ αἰσθητὰ ὡς νοητὰ οὐκ ὄντα ὑπάρχουσιν, ὡς καὶ ὁ Πλάτων φησίν, τί τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γινόμενον, ὂν δὲ οὐδέποτε; ὅτι γὰρ οἶδεν ὁ Παρμενίδης πλῆθος ἐν τοῖς οὖσιν, φανερὸν ἐντεῦθεν. τί γάρ φησιν; "οὐ γὰρ ἔην, οὐκ ἔσται ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον;" εἰ οὖν πᾶν λέγει, δῆλον ὡς ὅτι οἶδε τό γε πλῆθος. καὶ πάλιν ἀλλαχοῦ "μεσσόθεν ἰσοπαγές." εἴγε μέσα ἔχει, φανερὸν ὅτι καὶ ἄκρα. ὥστε οἶδε τὸ πλῆθος. ἡ οὖν ἐνὰς γόνιμος οὖσα, ὡς εἰρήκαμεν, πάντα παράγει· καὶ οὐ διὰ τοῦτο μειοῦταί τι αὐτῆς, ὥσπερ τὸ παράδειγμα, τουτέστιν ὁ Σωκράτης, οὐδὲν μειοῦται μυρίων εἰκόνων γινομένων ἐξ αὐτοῦ. προέρχεται οὖν ἐκ τῆς ἐνάδος ἐκείνης ὁ νοητὸς ἀριθμός, τουτέστιν ἡ μονὰς καὶ ἡ δυάς· εἶτα κατὰ τάξιν ἐκεῖθεν ἡ ἐνταῦθα μονάς, ἥτις ἐστὶν ἡ φύσις, καὶ ἡ δυάς, ἥτις ἐστὶν ἡ ὕλη· καὶ οὕτως γίνεται ἐνταῦθα τὰ σύνθετα πράγματα· ἐν γὰρ τῷ σπέρματι ὑπάρχουσιν οἱ λόγοι οἱ δημιουργικοὶ ἐν παντὶ μέρει τοῦ σπέρματος, καὶ οὕτως ἡ ὕλη δεχομένη διαιρεῖ αὐτούς. ὅτι γὰρ πρὸ πάντων ἐστὶν ἡ ἐνάς, δῆλον ἐντεῦθεν. ἡ γὰρ ζωὴ ὑπὲρ τὸν νοῦν ἐστίν· πᾶν γὰρ τὸ μετέχον νοῦ καὶ ζωῆς μετέχει, τὸ δὲ ζωῆς μετέχον οὐ μετέχει νοῦ πάντως. πάλιν τὸ ὂν ὑπὲρ τὴν ζωήν ἐστιν· τὸ γὰρ μετέχον ζωῆς καὶ τοῦ ὄντος μετέχει, τὸ δὲ τοῦ ὄντος μετέχον ζωῆς οὐ πάντως μετέχει. ἡ μέντοι γε ἐνὰς καὶ ὑπὲρ τὸ ὄν ἐστιν, εἴγε ὑπὲρ ὕπαρξιν ἐστίν... οἱ μὲν αὐτῶν φύσιν τινὰ τοῦ ἀπείρου ἐποίουν, τουτέστιν οἱ Πυθαγόρειοι τὸν ἄρτιον ἀριθμόν· οἱ δὲ συμβεβηκέναι τινὶ τὸ ἄπειρον ἔλεγον. Asclep.

1001a29. "ἀλλὰ — ἕτερον." δείξας ὅτι ὧν κατηγορεῖται τό τε ὂν καὶ τὸ ἕν, τούτων ἡ οὐσία ἔσται ὄν τε καὶ τὸ ἕν, οὐσίαι τινές, οὐ συμβεβηκότα οὐσίαις, ἄπορόν φησι γίνεσθαι τὸ δεῖξαί τι παρὰ τὸ ἕν τε καὶ τὸ ὂν ἄλλο τι ὄν. τὸ μὲν γὰρ παρὰ τὸ ὂν οὐκ ὄν, ὡς Παρμενίδης ἔλεγε· τοῦτο δὲ ἦν τὸ ἕν, ὥστε ὅ τι ἂν παρὰ τὸ ἓν ᾖ, τοῦτο οὐκ ἔσται· τὸ γὰρ αὐτὸ γίγνεται καὶ παρὰ τὸ ἕν· τοῦτο δὲ ὡς τοῦ ὄντος καὶ τοῦ ἑνὸς τοῦ αὐτοῦ ὄντος. ὥστε οὐκ ἔσται τὰ πολλά· τὰ γὰρ πολλὰ παρὰ τὸ ἕν, τὸ δὲ παρὰ τὸ ἓν οὐκ ἦν, καὶ τὸ δὲ παρὰ τὸ ὂν οὐκ ἦν. τοῦτο γὰρ συμβαίνει εἰ τὸ ἓν καὶ ὂν οὐσίαι εἰσὶ καὶ μὴ ὁμωνύμως λέγεται. ἔσται δή, καθάπερ Παρμενίδης ἔλεγεν, ἓν ἅπαντα τὰ ὄντα καὶ τοῦτο τὸ ἓν μόνον ἔσται ὄν. Alex.

"ἀμφοτέρως — εἶναι." πρότερον δείξας ὅτι εἰ μὴ εἴη τὸ ἓν 1001b1.
οὐσία, οὐδὲ ἀριθμὸς οὐσία τις ἔσται κεχωρισμένη, τῷ εἶναι μὲν τὸν ἀριθμὸν μονάδων σύνθεσιν, μὴ εἶναι δὲ τὰς μονάδας οὐσίας, νῦν λέγει ὅτι οὐδ᾽ ἂν ᾖ τὸ ἓν οὐσία, οὐδ᾽ οὕτως ὁ ἀριθμὸς οὐσία εἶναι δύναται· οὐδὲ γὰρ τὴν ἀρχὴν εἶναι· οὐδὲν γὰρ ἄλλο ἔσται παρ᾽ αὐτὸ τὸ ἕν· τὸ γὰρ παρὰ τὸ ἓν οὐχ ἕν, ὥσπερ καὶ τὸ παρὰ τὸ ὂν οὐκ ὄν." λαβὼν δὲ ὅτι εἰ ἔστι τι παρὰ τὸ ἕν, οὐχ ἓν ἔσται ἀλλὰ πολλά, ὅτι μηδὲ οἷόν τε ἔσται πολλὰ εἶναι ἔδειξε διὰ τοῦ λαβεῖν τὰ πολλὰ συγκεῖσθαι ἐκ πολλῶν μονάδων, ἃς ἀδύνατον εἶναι· ἔσται γάρ, εἰ τοῦτο, παρὰ τὸ ἕν. εἰ δὲ μὴ εἶεν πλείους μονάδες, οὐδ᾽ ἂν ἀριθμὸς εἴη· ἀνάγκη μὲν γὰρ πᾶσα πολλὴν μονάδα παρὰ τὸ αὐτοὲν εἶναι καὶ τὸ ὡς οὐσίαν ἕν, οὐσία δὲ παρὰ τὸ ἓν οὐκ ἂν εἴη ἕν. εἰ δὲ μὴ πλείους μονάδες, οὐδ᾽ ἂν ἀριθμὸς εἴη· πάντα γὰρ τὰ ὄντα ἢ ἕν ἐστιν ἢ πολλά, ἀδύνατον δέ ἐστι τὰ πολλά, τῷ εἶναι τὰ πολλὰ ἐκ πολλῶν μονάδων, μὴ δύνασθαι δὲ παρὰ τὸ αὐτοέν· τὸ γὰρ παρὰ τὸ ἓν οὐχ ἕν, ὥσπερ καὶ παρὰ τὸ ὂν οὐκ ὄν. εἰ δὲ μὴ οἷόν τε εἶναι τὰ πολλά, οὐδ᾽ ἀριθμὸς εἴη· πλῆθος γὰρ μονάδων τὰ πολλά. τὸ δὲ "ἡ αὐτὴ ἀπορία καὶ περὶ τοῦ ὄντος" δηλοῖ ὅτι τὸ αὐτὸ ἀπορηθήσεται ὃ ἐπὶ τοῦ ἑνός, καὶ περὶ τοῦ ὄντος· ὡς γὰρ παρὰ τὸ ὂν οὐκ ὄν, οὕτω καὶ παρὰ τὸ ἓν οὐχ ἕν. οὗ δηλωτικὸν τὸ "ἐκ τίνος γὰρ παρὰ τὸ ἓν ἄλλο;" ἐξ οὗ ἔσται τὸ ἄλλο ἕν· ὡς γὰρ οὔσης οὐσίας τοῦ ὄντος οὐδεμία ἄλλη οὐσία ἐστὶ τῷ τὸ παρὰ τὴν οὐσίαν μὴ οὐσίαν εἶναι, οὕτως εἰ καὶ τὸ ἓν οὐσία ἐστίν, ἓν ἔσται· εἰ δὲ οὕτως, οὐδὲ πολλά· τῶν γὰρ πολλῶν ἕκαστον ἕν ἐστιν· ἐξ ἑνάδων γὰρ τὰ πολλὰ καὶ ὁ ἀριθμός· ἃ εἰ μὴ εἴη ἕν, οὔτ᾽ ἂν πολλὰ οὔτ᾽ ἂν ἀριθμὸς εἴη. ἢ οὕτως. εἰ ἔστιν αὐτοέν, δεῖ, εἰ μέλλοιεν ἀριθμοὶ ἔσεσθαι, καὶ ἄλλο ἓν προσγενέσθαι· τοῦτο δὲ τὸ γιγνόμενον ἓν ἀνάγκη μὴ ὂν ἓν γίνεσθαι· ἐκ μὴ ἑνὸς οὖν ἔσται τοῦτο τὸ μὴ ἕν· εἰ γὰρ πάντα τὰ ὄντα ἢ ἓν ἢ πολλά, τὰ δὲ πολλὰ ἐξ ἑνάδων ἐστίν, ἐξ ὧν οὐ γίγνεται ἕν, οὐδὲ ἓν ἂν εἴη, ἐξ οὗ τὸ ἓν γίγνεται. id.

"ἔτι — εἴη." πρὸς τοῖς εἰρημένοις ἀπορεῖ περὶ τοῦ ἑνός, εἰ 1001b7.
ἀδιαίρετον πάντη καὶ ἀμεγεθές ἐστι, πῶς δύναται εἶναι μεγέθους ἀρχή; ἔσται γὰρ κατὰ μὲν Ζήνωνα οὐδέν. ἠξίου γὰρ Ζήνων (Ζήνωνα δὲ λέγει τὸν Ἐλεάτην τὸν Παρμενίδου γνώριμον), ὃ μήτε προστιθέμενόν τινι μεῖζον αὐτὸ οἷόν τέ ἐστι ποιῆσαι μήτε ἀφαιρούμενον ἔλαττον, τοῦτο τὴν ἀρχὴν μηδὲ εἶναί τι (¹)· τοιοῦτον δὲ καὶ τὸ αὐτοέν. ἐκεῖνος μὲν οὖν τοῦτο ἠξίου ὡς παντὸς τοῦ ὄντος μεγέθους τε ὄντος καὶ σώματος· οὐδὲν γὰρ ἄλλο μέγεθος ἐν ὑποστάσει ὡς ἢ αὔξεσθαι ἢ αὔξειν κατ᾽ αὐτὸν χωρὶς σώματος. id.

(¹) σπουδάζει γὰρ ἀναιρεῖν τὰ ἀδιαίρετα (ὁ Ζήνων) κεχρημένος λόγῳ τοιούτῳ. ὅπερ μήτε προστιθέμενον μήτε δὲ ἀφαιρούμε-

21. al. μόνιμος. ‖ 37. ὧν] οἱ A. ‖ 38. οὐσίαις, ὅτι ἄπορον A. ‖ γίνεσθαι A. ‖ 43. τὰ πολλά — b 1. δὲ om C.
1. γὰρ] δὴ A. ‖ 3. ἔσται μόνον A. ‖ 5. κεχωρισμένοις A. ‖ 8. αὐτὸν ἓν A. ‖ 10. μηδὲ] μὴ C. ‖ 11. ἔσται om A. ‖ 14. μὲν om C. ‖ 15. ἓν οὐσία δὲ A. ‖ 17. εἶναι ἓν τὰ C. ‖ 24. τῷ] ἔτι C. ‖ 25. τὸ ἓν οὐσία om C. ‖ 27. μὴ εἴη, οὔτ᾽ A. ‖ alterum ἂν om A. ‖ 30. γίνεσθαι· ἓν ἐκ A. ‖ 32. οὐδὲν ἂν A. ‖ 33. ἑνὸς τοῦ αὐτοενός, εἰ C. ‖ 39. τοῦτο — 40. ὑποστάσει om A. ‖ 40. ὡς om AV.

σεως" ἴσον ἐστὶ τῷ ἢ δεῖ ζητεῖν τί ἐστιν ὑποκείμενον τῷ τε ἑνὶ καὶ τῷ ὄντι, ὡς τούτων συμβεβηκότων ὄντων αὐτοῖς, ἀλλ' οὐ τὴν οὐσίαν τὴν αὐτῶν δηλούντων. Πλάτων μὲν οὖν καὶ οἱ Πυθαγόρειοι οὐχ ἑτέρῳ τινὶ ὑποκειμένῳ ταῦτα ὑπάρχειν ἔλεγον, ἀλλ' εἶναι τὴν φύσιν αὐτῶν ὑποκείμενον καὶ τὴν οὐσίαν αὐτὸ τοῦτο τὸ ἓν καὶ τὸ ὂν (f)· 1001a 11. τὸ δὲ "ὡς οὔσης τῆς οὐσίας αὐτὸ τὸ ἓν εἶναι καὶ ὄν τι" ἴσον ἐστὶ τῷ ὡς τῆς αὐτῆς οὐσίας οὔσης τοῦ ἑνός τε καὶ τοῦ ὄντος, καὶ ταὐτοῦ ὄντος ἑνὶ εἶναι καὶ ὄντι. ὅτι δὲ Πλάτων οὐσίαν τινὰ τό τε ἓν καὶ τὸ ὂν ἔλεγε, δῆλον ἐκ τοῦ καὶ ἰδέας αὐτὸν λέγειν αὐτοὸν καὶ αὐτοέν. οἱ δὲ φυσικοί, ὧν καὶ Ἐμπεδοκλῆς, ἄλλο τι ὑπετίθεσαν τῷ ὄντι καὶ τῷ ἑνὶ κἀκείνοις ἔλεγον ὑπάρχειν ταῦτα. Ἐμπεδοκλῆς μὲν γὰρ ὡς εἰς γνωριμώτερόν τι ἀνάγων τὸ ἕν, τὴν φιλίαν ὑποτιθείς, ταύτης κατηγόρει τὸ ἕν, ἐπεὶ αἴτιον κατ' αὐτὸν αὕτη πᾶσι τοῦ ἕκαστον αὐτῶν ἓν εἶναι, συνάγουσα καὶ συγκρίνουσα αὐτά. ἄλλοι δὲ τῶν φυσικῶν πῦρ ὑπέβαλον τῷ ἑνὶ καὶ τῷ ὄντι, ὡς Ἡράκλειτος, οἱ δὲ ἀέρα, ὡς Ἀναξιμένης, οἱ δὲ ἄλλο τι· ὃ γὰρ ἕκαστος αὐτῶν ἀρχὴν τῶν ὄντων καὶ αἰτίαν ὑπετίθετο, ταύτης καὶ τὸ ὂν καὶ τὸ ἓν κατηγόρει. ἀλλὰ καὶ καθ' οὓς πλείω τὰ στοιχεῖα τῶν ὄντων ἦν, καὶ κατὰ τούτους τούτων ἕκαστον ἕν τι ἦν καὶ ὄν. ἱστορήσας δὲ καὶ ἐκθέμενος τὰς κατὰ τὰς δόξας τῶν ἀρχῶν διαφωνίας, ἑξῆς τῆς ἀπορίας ἄρχεται, καὶ πρῶτον μὲν ἀπορεῖ εἰ μὴ λέγοι τις τὸ ἓν καὶ τὸ ὂν οὐσίας εἶναι· τοῦτο γὰρ ἡ λέξις 1001a 11. δηλοῖ ἡ "εἰ μέν τις μὴ θήσεται εἶναί τινα οὐσίαν τὸ ἓν καὶ τὸ ὄν." τὸ αὐτὸ δὲ σημαίνει κἂν ᾖ γεγραμμένον "τινὸς οὐσίαν λέγει." μάλιστα γὰρ πάντων κατηγορεῖται τὸ ὄν· ἄνθρωπος μὲν γὰρ κατ' ἀνθρώπων μόνον, ὁμοίως καὶ ζῷον κατ' ἀφωρισμένων τινῶν, τὸ δὲ ἓν καὶ τὸ ὂν κατὰ πάντων τῶν ὄντων κατηγορεῖται. ὥστε εἰ τὰ μάλιστα καθόλου μὴ οὐσία μηδὲ ὄντα, οὐδὲ ἂν τῶν ἄλλων τι τῶν καθόλου εἴη. "εἰ δὲ μή ἐστί τι αὐτοὲν μηδ' αὐτοόν," εἶπεν ἀντὶ τοῦ εἰ γὰρ μὴ ἔστι λαμβάνειν ὡς γένη τό τε ἓν καὶ τὸ ὂν τῶν ὄντων καὶ οὕτως αὐτῶν κατηγορούμενα, ἀλλ' οὐχ ὡς ὁμώνυμα, ὡς αὐτὸς ἐν ἄλλοις ἔδειξεν. εἶπε δὲ "τινὸς οὐσίαν" ἀντὶ τοῦ οὐσίαν τινὸς εἶναι καὶ ἐν τῇ οὐσίᾳ κατηγορεῖσθαι, ὧν τι κατηγορεῖται· μόνα δὲ τὰ καθ' ἕκαστα ἔσται, οὐ τὰ καθόλου. τοῦτο δὲ ὅτι ἄτοπον ἔδειξεν· οὔτε γὰρ αἱ ἐπιστῆμαι ἔσονται οὔτε τι νοητόν, ἀλλὰ πάντα ἂν αἰσθητά. ἀλλ' οὐδὲ ἀΐδιον. προστίθησι δὲ νῦν τούτοις καὶ τὸ μὴ ἔσεσθαι οὐσίαν τὸν ἀριθμὸν ὡς κεχωρισμένον καὶ καθ' αὑτὸν ὄντα, ὡς δοκεῖ τοῖς Πυθαγορικοῖς τε καὶ Πλάτωνι, εἰ μὴ εἴη τὸ ἓν οὐσία τις· καὶ λέγει τὴν αἰτίαν. ὁ γὰρ ἀριθμὸς μονάδων ἐστὶ σύνθεσις, ἡ δὲ μονὰς ταὐτὸν καὶ τὸ ἕν· ὥστε εἰ μὴ τὸ ἓν οὐσία, οὐδὲ αἱ μονάδες· εἰ μὴ αἱ μονάδες, οὐδ' ὁ ἀριθμός· ὥστε συμβεβηκὸς ὁ ἀριθμὸς ἔσται ἀλλ' οὐκ οὐσία, εἴγε καὶ τὸ ἓν μὴ οὐσία τις ἀλλὰ ἄλλῳ τινὶ συμβεβηκός (τὸ δὲ "ὅπερ ἓν" ἴσον ἐστὶ τῷ κυρίως ἕν), ἢ ὑπὸ τὸ ἓν καὶ γένος· κατηγορεῖται γὰρ τὸ ἓν αὐτῆς. τοῦτο δὲ εἶπεν ὡς ἄτοπον ἂν δόξαν τοῖς τὸν ἀριθμὸν οὐσίαν τινὰ λέγουσι κεχωρισμένην· οὐ γὰρ δὴ αὐτῷ. ἦν γάρ, ὡς εἶπεν, οἷς τοῦτο ἐδόκει· ὁ γὰρ τὰ μαθηματικὰ οὐσίας τινὰς μεταξὺ λέγων ἐν ταύταις ἐτίθει καὶ τὸν ἀριθμόν. ἑξῆς δὲ ἐπιχειρεῖ μὲν εἰς τὸ μὴ εἶναι τὸ ἓν καὶ τὸ ὂν οὐσίας καθ' αὑτάς, πρῶτον δὲ τίθησι καὶ δείκνυσιν ὅτι ἀκολουθεῖ τοῖς αὐτοὲν καὶ αὐτοὸν λέγουσι, τουτέστι μὴ συμβεβηκότα λέγουσιν ἄλλοις τὸ ἓν εἶναι καὶ τὸ ὂν ἀλλὰ κυρίως ὄντα καὶ οὐσίας, αὐτὰ λέγειν καὶ τὸ εἶναι αὐτοῖς εἶναι ἐν τῷ ἑνὶ εἶναι καὶ ὄντι. τὸ γὰρ "οὐσίας 1001a 27. αὐτὸ εἶναι τὸ ἓν καὶ τὸ ὄν" δηλωτικόν ἐστι τοῦ ἑνὸς καὶ τοῦ ὄντος οὐσίας ταῦτα εἶναι, ἀλλὰ μὴ ἐν ἄλλῳ τινὶ εἶναι, ἢ τὸ ἑνὶ εἶναι ἢ τὸ ὄντι εἶναι, οὗ δεῖξιν παρέθετο τὸ "οὐ γὰρ ἕτερόν τι καθόλου κατηγορεῖται," ὃ ἴσον ἐστὶ τῷ οὐ γὰρ ἕτερά τινα ὄντα τὸ ἓν καὶ τὸ ὂν τῶν ὑποκειμένων αὐτοῖς καθ' ὧν κατηγορεῖται αὐτῶν καθόλου, ἀλλ' αὐτὰ ταῦτα ὄντα ἕν τε καὶ ὂν κατηγορεῖται αὐτῶν. ἢ οὕτως, οὐ γὰρ ἕτερόν τι τῆς οὐσίας κατηγορηθήσεται, ἀλλὰ ταῦτα τὰ ὄντα καὶ τὸ ἕν, ὡς πᾶν ὃ ἂν ᾖ οὐσία ἕν τε καὶ ὂν εἶναι, οὐκ ἄλλο τι ὄν, ἀλλ' αὐτὸ τοῦτο. ὡς γὰρ τῶν ἀνθρώπων, ἐπεὶ τὸ κατηγορούμενον ἦν ἄνθρωπος, ἄνθρωπος ταῦτα ὧν κατηγορεῖται, οὐκ ἄλλο τι, οὕτως καὶ ὧν τὸ ὂν καὶ τὸ ἓν κατηγορεῖται ἐν τῇ οὐσίᾳ, ὂν καὶ ἓν ἔσται ἡ τούτων οὐσία, εἰ τὸ ὂν καὶ τὸ ἓν οὐσίαι τινές εἰσιν· οὐ γὰρ τὸ ὕδωρ ἢ πῦρ τῶν ὄντων κατηγορεῖται, ἵνα αὐτῶν τὴν οὐσίαν τοῦτο εἴπωμεν, ἀλλὰ τὸ ὄν τε καὶ τὸ ἕν. εἰ δὲ ταῦτα οὐσίαι ὄντα κατηγορεῖται τῶν ὄντων καθόλου, εἴη ἂν καὶ ἡ οὐσία τούτων ὧν κατηγορεῖται ταὐτό τε ἓν καὶ τὸ ὄν. δύναται δὲ τὸ "εἰ δ' ἐστί τι αὐτοὲν καὶ ὄν, ἀναγκαῖον αὐτῶν οὐσίας εἶναι τὸ ἓν καὶ τὸ ὄν" εἰρῆσθαι πρὸς τοὺς ἰδέας αὐτὰ λέγοντας· καθ' οὓς γάρ ἐστιν ἰδέα αὐτοὲν καὶ αὐτοόν, κατὰ τούτους ἀναγκαῖον οὐσίαν τούτων εἶναι τὸ ἕν τε καὶ τὸ ὄν· τὸ γὰρ αὐτοὸν τε καὶ ἓν οὐχ ἕτερά τινα ὄντα καθόλου τῶν ὄντων κατηγορεῖται· οὐ γὰρ ἂν ἔτι ἦν αὐτοὸν καὶ αὐτοέν, ἀλλ' ἔστι ταῦτα καθὸ ἓν καὶ ὂν κατηγορούμενα τῶν ἄλλων καθόλου. ἢ οὕτως. "οὐ γὰρ ἕτερόν τι καθόλου κατηγορεῖται ἀλλ' αὐτὰ ταῦτα," τουτέστιν οὐ γὰρ ἕτερόν τι τοῦ αὐτοενὸς καὶ αὐτοόντος καθόλου κατηγορεῖται, ὡς εἶναι ἐκείνης αὐτὰ τῆς φύσεως, ἧς σημαίνει τὸ κατηγορούμενον αὐτῶν καθόλου, ἀλλ' ἐστὶν αὐτὰ ταῦτα τὸ ἓν καὶ τὸ ὂν κατηγορούμενα αὐτῶν. Alex.

(f) οἱ τοίνυν Πυθαγόρειοι καὶ ὁ Πλάτων αὐτὸ ἔλεγον εἶναι τὸ 1001a 10. ὂν καὶ αὐτοέν, καὶ οὐχ ἕτερόν τι ὄν· οὔτε γὰρ ἐν ὑποκειμένῳ ἔλεγον εἶναι τὸ ὂν ἤγουν τὸ ἕν, ἀλλ' αὐτὰ καθ' ἑαυτὰ ὄντα ἐν οἰκείᾳ περιγραφῇ καὶ ὅρῳ. καὶ τὸ μὲν ἓν ἐκατηγόρουν τοῦ ὄντος, τοῦ δὲ ἑνὸς οὐκ

1. ἴσον ἐστὶ τῷ om *A.* ‖ 3. οὖν] γὰρ *C.* ‖ 8. ὄντι τῷ δὲ ὄντι ἐν τῷ ὄντι. ὄντι *C.* ‖ 9. αὐτὸν] αὐτῶν *C.* ‖ 13. αὐτὴ *C.* ‖ 14. καὶ συγκρίνουσα om *AV.* ‖ 17. καὶ αἰτίας om *C.* ‖ 23. λέγοι *C.* ‖ 27. ἂν om *A.* ‖ 28. αὐτοόν, καὶ εἶπεν *A.* ‖ 34. ἀΐδιον] ἀεὶ ὂν *A.* ‖ 35. νῦν om *C.*

7. οὐσίας αὐτὰς καθ' *C.* ‖ 11. αὐτῶν *C.* ‖ τοῦ om *C.* ‖ 12. ἢ τῷ ἑνὶ ἢ τῷ ὄντι *A.* ‖ 13. δεικτικὸν *C.* ‖ 18. ὂν om *A.* ‖ 20. τὸ ἓν καὶ τὸ ὂν *C.* ‖ 21. εἰ] ἢ *C.* ‖ 23. εἴπωμεν τοῦτο *A.* ‖ 25. αὐτὸ *C.* ‖ δὲ om *C.* ‖ 28 et 29. τε et 30. ὁ — 31. οὕτως om *A.* ‖ 30. *postquam docuit, si ens et unum de his ut substantia praedicentur, fore ut ens et unum substantiae quaedam sint, non accidentia, difficile quoque factu esse ait demonstrare quid aliud supersit praeter ens et unum* Sepulv. ‖ 33. καθόλου om *A.* ‖ 34. αὐτοῦ] αὐτοὸν *C.* ‖ 35. τὸ ὂν καὶ τὸ ἓν *C.*

οὐσῶν ἐκεῖνα ἄφθαρτα; σχεδὸν γὰρ ἡ αὐτὴ τῇ πρόσθεν ἀπορία μένει. καὶ πρὸς τούτοις δέ φησι μηδὲ τὴν ἀρχὴν εἰρηκέναι τινὰ ἄλλας ἀρχὰς τῶν φθαρτῶν καὶ ἄλλας τῶν ἀφθάρτων εἶναι· τὰς γὰρ αὐτὰς πάντες ὑποτίθενται· ὑποθέμενοι δὲ τὸ πρῶτον ἀπορηθέν, πῶς ἐκ τῶν ἀρχῶν τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα γίγνεται, παραπέμπονται
1001a 2. καὶ ἀποροῦσι· τοῦτο γὰρ σημαίνει τὸ "ἀποτρώγουσιν," ὡς δῆλον καὶ ἐξ οὗ ἐπήνεγκε τοῦ "ὥσπερ τοῦτο μικρόν τι λαμβάνοντες," ὡς μικρόν τι καὶ οὐκ ἔχον ἀπορίαν ὑποτιθέμενοι τὸ τὰς αὐτὰς ἀρχὰς πάντων εἶναι, οὐδένα λόγον ἐποιοῦντο τῆς ἀπορίας (f). ἢ τὸ "ἀποτρώγουσιν" εἴρηκεν ἀντὶ τοῦ διά τινων πιθανῶν αὐτοῖς δοκούντων παραμυθεῖσθαι πειρῶνται, ὡς εἶπε περὶ Ἡσιόδου καὶ τῶν ἀρχαίων θεολόγων, ἔτι δὲ περὶ Ἐμπεδοκλέους, ὃς ἐκ τῶν αὐτῶν ποιῶν πάντα τὸ μέν τι αἴτιον γενέσεως ἐφίστη τὸ δὲ φθορᾶς, ὡς οὐ μέγα καὶ δύσλυτόν τι ὑποθέμενοι. κατὰ μέντοι αὐτὸν οὔτε αἱ αὐταὶ ἀρχαὶ τῶν ἀϊδίων τε καὶ τῶν φθαρτῶν, ἔν τε τοῖς φθαρτοῖς οὔτε πᾶσαι αἱ ἀρχαὶ ἀΐδιοι (τὸ γὰρ εἶδος οὐκ ἀΐδιον) ἥ τε ὕλη ἀΐδιος μὲν ἀλλ' οὐκ ἀπαθὴς ἀλλὰ παθητή τε καὶ ἀλλοιωτή. Alex.

1000a 27. (d) τὸ γὰρ νεῖκος φθείρει μὲν τὸν σφαῖρον, γεννᾷ δὲ τὸν αἰσθητὸν κόσμον· καὶ πάλιν ἡ φιλία φθείρει μὲν τὸν αἰσθητὸν κόσμον, γεννᾷ δὲ τὸν σφαῖρον. ἄλλως τε δή, φησίν, ἐπειδὴ πρὸ τῆς δυάδος εἶναι τὴν μονάδα . . . ὁ Ἐμπεδοκλῆς, τί ἐστιν αἴτιον τῆς ἁπλῶς κινήσεως; οὐ γὰρ δεῖ λέγειν ἁπλῶς ὅτι οὕτως πέφυκεν, ἐπεὶ οὕτως πάντα ῥᾷστα ἐπιλύεσθαι. λέγομεν οὖν ὃ πολλάκις εἴρηται, ὅτι πάντα ταῦτα συμβολικῶς ἔλεγεν ὁ Ἐμπεδοκλῆς· οὔτε γὰρ τὸν σφαῖρον ὑπετίθετο φθείρεσθαι, ὥς φησιν, οὔτε δὲ τὸν αἰσθητὸν κόσμον, ἀλλὰ διὰ τούτων ἐδήλου τὴν ἄνοδον καὶ τὴν κάθοδον τῆς ψυχῆς· διὸ ἔλεγεν "ὡς καὶ ἐγὼ δεῦρ' εἰμὶ φυγὰς θεόθεν καὶ ἀλήτης νείκεϊ αἰθομένῳ (μαινομένῳ?) πίσυνος." ἔστι γὰρ καὶ ἐν τῷ σφαίρῳ διάκρισις, εἴγε πολλὰ νοητά· ἀλλὰ καλύπτεται ὑπὸ τῆς ἀφράστου ἑνώσεως. καὶ ἐν τῷ αἰσθητῷ δέ ἐστιν ἕνωσις, ἀλλὰ μᾶλλον ἐπικρατεῖ ἡ διάκρισις. . . . ἰστέον οὖν ὅτι ἡ μονὰς αἰτία ἐστὶ τῆς ἑνώσεως καὶ συνεχείας τῶν πραγμάτων, ἡ δὲ δυὰς τῆς προόδου· τὸ οὖν ἁπλῶς αἴτιον τῆς ἑνώσεως τῆς προόδου τὸ ἔχον ἀμφότερα, Πυθαγόρας καὶ Παρμενίδης καὶ Ἐμπεδοκλῆς, ὡς Πυθαγόρειοι, χρόνον ἐκάλουν, ἐπειδὴ ὥσπερ ὁ χρόνος μετρητικὸς καὶ περιοριστικὸς ὑπάρχει τῶν ὑπὸ τὸν χρόνον, οὕτως καὶ τὸ πρῶτον μετρητικὸν καὶ περιοριστικὸν τῶν πάντων ὑπάρχει. ἔλεγον δὲ αὐτὸν καὶ ὅρκον ὡς περατοῦντα καὶ συνέχοντα πάντα. τοῦτο οὖν φησὶν ὁ Ἐμπεδοκλῆς ὅτι ἡνίκα τὸ νεῖκος ἐπεκράτησε καὶ ὥρμησεν εἰς τιμὰς προελθεῖν ἐκ τοῦ χρόνου, "ὅς σφιν ἀμειβαῖος πλατέος παρελήλα τὸ ὅρκου·" καὶ πλατὺν αὐτὸν ἐκάλεσεν ὡς πάλιν χορηγοῦντα τὰ πράγματα . "ἀμειβαῖον" δέ φησιν οὐχ ὅτι ἐκ διαδοχῆς μετὰ τὴν φιλίαν τὸ νεῖκος, ἀλλ' ὥσπερ λέγομεν ἐν τῇ συνηθείᾳ ὅτι ἀμείψασθαι αὐτὸν βούλομαι, τουτέστιν εὐεργετῆσαι ὡς εὐεργετήσαντα, καὶ ἀμειβαῖον λέγει τὴν ἐπιτηδειότητα ἣν ἔχει ἡ δυὰς πρὸς τὸ δέξασθαι τὴν ἔλλαμψιν τοῦ χρόνου, φημὶ δὴ τῆς ἑνάδος, καὶ παραπέμψαι τοῖς τῇδε. ταῦτα οὖν φησὶν ὁ Ἐμπεδοκλῆς ὡς δέον ἐξ ἀνάγκης μεταβάλλειν ἐκ τοῦ σφαίρου εἰς τὸν αἰσθητὸν κόσμον· αἰτίαν δὲ τῆς ἀνάγκης οὐδεμίαν δηλοῖ. ἀλλ' ὅμως κατὰ τοῦτο ἀκόλουθα ἑαυτῷ λέγει· οὐ γὰρ τὰ μὲν φθαρτὰ ποιεῖ τὰ δὲ ἄφθαρτα τῶν ὄντων, ἀλλὰ πάντα φθαρτὰ πλὴν τῶν στοιχείων. Asclep.

(e) φησὶν ὁ Ἀλέξανδρος ὅτι κατὰ Ἀριστοτέλην ὁ πρῶτος νοῦς 1000b 4.
ἑαυτὸν μόνον νοεῖ, καί φησιν ὅτι ἄμεινον ἔνια μὴ νοεῖν, οἷον τὰ κακά. id.

(f) ἀποτρώγουσιν, ὥσπερ οἱ κύνες οἱ ἐσθίοντες ἄρτον, καὶ φθεί- 1001a 2.
ρουσι δὲ εἰ τοῦ ἀλῶναι πρὶν ἢ ὅλον καταφάγωσιν· ὥστε οὖν καὶ οἱ πρὸ ἡμῶν ἀδιαρθρώτως, φησίν, εἰρήκασι περὶ αὐτῶν καὶ ἀτελῶς, ὥσπερ τοῦτο μικρόν τι λαμβάνοντες τὸ διαρθρωτὸν παραδοῦναι. id.

"πάντων — ἀναγκαιότατον." ἣν ἀπορίαν χαλεπωτάτην φη- 1001a 4.
σὶν εἶναι καὶ πρὸς τὴν τῆς ἀληθείας γνῶσιν ἀναγκαιοτάτην, ἐστὶ πότερον τὸ ὂν καὶ ἓν οὐσίαι τῶν ὄντων εἰσί, τουτέστιν ἀρχαὶ αὐτὸ τοῦτο τὸ ὂν καὶ τὸ ἓν οὖσαι, οὐκ ἄλλῳ τινὶ ὄντι ὑπάρχουσαι, καὶ ταύτην τὴν φύσιν δηλοῦσαι καὶ ἐν ἐκείνοις ὑφιστάμεναι ὧν κατηγοροῦνται, ἢ ἔστι τις ἄλλη φύσις ὑποκειμένη τούτοις, ἥ ἐστιν ἀρχὴ καὶ οὐσία τῶν ὄντων, ἣν δεῖ ζητεῖν τί ἐστι, πότερον πῦρ ἢ ἀὴρ ἢ ἄλλο τι ἢ καὶ πλείω, τὸ δὲ ἓν καὶ τὸ ὂν ἐκείνῳ ἢ ἐκείνοις ὑποκειμένοις ὑπάρχει. ὅτι δὲ ἀναγκαία ἡ ζήτησις, δῆλον καὶ ἐκ τοῦ τοὺς μὲν ἐκείνως τοὺς δὲ οὕτως ἀποφήνασθαι περὶ αὐτῶν, καὶ ἐξ ὧν δὲ ἀπορήσει προϊών, καὶ ὅτι ἐν τῇ περὶ τῆς ἀληθείας θεωρίᾳ ἡ περὶ τοῦ ὄντος ζήτησις κυριωτάτη, καὶ ὅτι ἐκ τούτου ἤρτηται τὸ τοὺς ἀριθμοὺς δύνασθαι τῶν ὄντων ἀρχὰς καὶ στοιχεῖα ἔσεσθαι. ἀναγκαιοτάτη γοῦν πρὸς τὴν τῆς ἀληθείας γνῶσιν ἡ περὶ τούτου ζήτησις, ἀλλὰ καὶ χαλεπωτάτη ἡ περὶ αὐτῶν διάκρισις· ἡ γὰρ τῶν νοητῶν καὶ τῶν πρώτων αἰτίων τε καὶ ὄντων γνῶσις χαλεπωτάτη. ἐξηγήσατο δὲ αὐτὸς τὸ πότερον τὸ ἓν καὶ τὸ ὂν οὐσία τῶν ὄντων εἰσί, διὰ τοῦ "καὶ ἑκάτερον αὐτῶν οὐχ ἕτερόν τι ὂν τὸ μὲν ἓν τὸ δὲ ὄν ἐστιν." ἴσον γὰρ τὸ εἰρημένον τῷ, ἐπεὶ τὸ ὂν καὶ τὸ ἓν τῶν ὄντων ἐστί, πότερον ὡς οὐσίαι ὄντα ἐστὶν ἢ ὡς συμβεβηκότα τῇ οὐσίᾳ. εἰπὼν δὲ τοὺς μὲν οὕτω περὶ τοῦ ἑνὸς καὶ τοῦ ὄντος διανοηθῆναι ὡς οὐσῶν φύσεων τινῶν καθ' αὑτάς, τοὺς δὲ ὡς ἄλλαις τισὶ φύσεσι συμβεβηκότων, ὥσπερ ἀμέλει καὶ περὶ ἀπείρου ἔδειξε διαφερομένους τοὺς εἰρηκότας περὶ αὐτοῦ ἐν τῷ α' (3 4) τῆς Φυσικῆς Ἀκροάσεως (οἱ μὲν γὰρ φύσιν τινὰ αὐτοῦ τοῦ ἀπείρου ἐποίουν, ὥσπερ καὶ οἱ Πυθαγόρειοι, τοιοῦτος γὰρ αὐτοῖς ὁ ἄρτιος ἀριθμός· οἱ δὲ συμβεβηκέναι τινὶ τὸ ἄπειρον ἔλεγον), εἰπὼν δὲ ταῦτα παρατίθεται καὶ ἱστορεῖ τίνες μὲν οὕτως τίνες δὲ ἐκείνως περὶ αὐτῶν ὑπέλαβον. τὸ δὲ
"ἢ δεῖ ζητεῖν τί ποτ' ἔστι τὸ ἓν καὶ τὸ ὂν ὡς ὑποκειμένης ἄλλης φύ- 1001a 7.

1. προσθέσει A. ‖ 2. καὶ om A. ‖ 5. τῶν αὐτῶν ἀρχῶν V. ‖ παραπέμπονται φησὶ τοῦτο καὶ L. ‖ 13. ὡς] καὶ A. ‖ δυσκόλυτον AC. ‖ 40. loge παρελήλατο ὅρκου. ‖ 41. al. πάντα. f. l. πάντα τὰ πράγματα.

13. f. εἴ τι ἀλῷεν. ‖ 15. ἀδιαρθρώτως Asclep. ‖ 17. ἐστὶ δὲ πότερον A. ‖ 19. οὐσία C. ‖ 20. ὑφιστάμεναι om C. ‖ 21. ὄντων ἐστὶν ἢ C. ‖ 24. καὶ om C. ‖ 28. τὴν περὶ τῆς A. ‖ 29. τούτου] τοῦδε C. ‖ 32. καὶ om A. ‖ 34. πότερον — ἐστὶν om C. ‖ 39. αὐτὸ C. ‖ 43. ἢ] εἰ A.

τὸ ἐν τοῖς οὖσι, τὸ τῆς φιλίας ἔργον, τὸ νεῖκος μιγνύμενον αἴτιον. ὅταν γὰρ συνίῃ πάντα καὶ ἓν γίγνηται, τότε τελευταῖον χωρίζεσθαί φησιν αὐτῶν τὸ νεῖκος ὡς αἴτιον τῆς τῶν διαφερόντων οὐσίας, ἐν τῷ τούτου χωρισμῷ ἐνθάδε δυναμένων αὐτῶν. διὰ δὲ τοῦτο, φησί, καὶ ἐν μὲν τοῖς ἄλλοις πᾶσίν ἐστι τὸ νεῖκος κατ' αὐτόν, ὥσπερ καὶ τῶν ἄλλων στοιχείων ἕκαστον· οὕτω μὲν γὰρ εἶεν διακεκριμένα καὶ ἐπὶ τῆς οἰκείας φύσεως· μόνον δὲ οὐκ ἔστιν ἐν τῷ ἑνὶ τῷ θεῷ, ὥστε μόνῳ τούτῳ οὐκ ἔστι τὸ νεῖκος αἴτιον τοῦ εἶναι, τοῖς δὲ ἄλλοις πᾶσιν. εἰπὼν δὲ πῶς οὐχ ὁμολογούμενα ἀλλήλοις τὰ ὑπὸ Ἐμπεδοκλέους εἰρημένα, καὶ μνημονεύσας ὅτι κατ' αὐτὸν μόνον οὐκ ἔστι τὸ νεῖκος ἐν τῷ θεῷ, διὸ οὐδὲ ποιητικὸν τούτου ἐστίν, αἰτιᾶται αὐτὸν ὡς καὶ κατὰ τοῦτο τῶν ἄλλων ἀφρονέστερον ποιοῦντα τὸν θεόν· τὰ μὲν γὰρ ἄλλα πάντα κατ' Ἐμπεδοκλέα νοήσει τῷ πάσας μὲν τὰς ἀρχὰς ἔχειν ἐν αὐτοῖς, γίγνεσθαι δὲ τὴν νόησιν τῷ ὁμοίῳ τοῦ ὁμοίου, ὁ δὲ θεὸς τὰ μὲν ἄλλα νοήσει τῷ ἔχειν καὶ αὐτὸς τὰ τῶν ἄλλων ἐν αὑτῷ στοιχεῖα, μόνον δὲ τὸ νεῖκος οὐκ ἔσται νοῶν, ἐπεὶ μηδὲ τὴν ἀρχήν ἐστιν ἐν αὐτῷ. ἀπορήσαι δ' ἄν τις πῶς ἀφρονέστερον λέγει γίγνεσθαι τὸν θεὸν κατ' Ἐμπεδοκλέα, ἐπεὶ μὴ πάντα νοεῖ· οὕτω γὰρ καὶ κατ' Ἀριστοτέλην αὐτὸν ἄφρων ἂν εἴη. ἀλλὰ καὶ λέγει που αὐτὸς ὅτι ἔνια ἄμεινον μὴ νοεῖν, ὥσπερ τὰ κακά (*). ἢ κατὰ τοῦτο κατ' Ἐμπεδοκλέα ἀφρονέστερος, ὅτι μὴ πλεονεκτῶν τῶν ἄλλων· ἐκ γὰρ τῶν στοιχείων καὶ αὐτός, παρὰ τὸ νεῖκος, καὶ γινόμενος καὶ φθειρόμενος, καὶ μηδὲν ἄλλο τιμιώτερον νοῶν ἢ ταῦτα ἐξ ὧν ἐστίν, αὐτός τε καὶ τὰ ἄλλα τῶν στοιχείων οὐ νοεῖ· ἀλλὰ τὰ μὲν πάντα τὰ στοιχεῖα νοεῖ, ὁ δὲ θεὸς μόνος ἐξ αὐτῶν οὐχ οἷός τέ ἐστι νοεῖν. ἔτι τὰ μὲν ὑλικὰ στοιχεῖα ἔσται πάντα νοῶν, οὐκέτι δὲ καὶ τὰ ποιητικὰ πάντα, ἃ τιμιώτερα τῶν ὑλικῶν. λέγει δὲ ἐν ἄλλοις ὅτι καὶ μόνον ἄφθαρτον τὸ νεῖκος κατ' αὐτόν. ἔξωθεν δὲ τοῦτο ἀπορήσας πρὸς Ἐμπεδοκλέα, ἐπάνεισιν ἐπὶ τὸ τὴν ἀνομολογίαν αὐτοῦ δεικνύναι μὴ φυλάττοντος μήτε τὴν φιλίαν γενέσεως αἴτιον μήτε τὸ νεῖκος φθορᾶς, ἀλλὰ μηδὲν μᾶλλον θάτερον θατέρου αἴτιον ποιοῦντος, τὸ μὲν νεῖκος γενέσεως τὴν δὲ φιλίαν φθορᾶς. ὅτι δὲ ἡ φιλία φθείρει καὶ ὡς, παρέθετο· συνάγουσα γὰρ πάντα εἰς τὸ ἓν δῆλον ὅτι φθείρει ταῦτα ἃ πρὸ τῆς συνόδου ταύτης ἦν. εἰ δὲ μηδὲν μᾶλλον τὸ νεῖκος τῆς φιλίας φθορᾶς αἴτιον, καὶ κατὰ τοῦτο ἂν εὔλογον εἴη ἀφρονέστερον εἶναι τῶν ἄλλων τὸν θεὸν κατ' Ἐμπεδοκλέα· οὐδὲ γὰρ κακία τις ἐξαίρετος κατ' αὐτόν ἐστιν ἐν τῷ οἰκείῳ εὐλόγως αὐτὸ τὸν θεὸν μὴ νοεῖν· μόνον γὰρ διὰ τοῦτο αὐτὸ σύνθεσίς τις ἐστέρηται αὐτοῦ, ὡς εἰ καὶ τὴν φιλίαν ἢ ἄλλο τι ὑπέθετο μὴ εἶναι ἐν αὐτῷ· οὐχ ὡς εὔλογον γὰρ μὴ νοεῖν αὐτὸν τὸ νεῖκος οὐ νοήσει, ἀλλ' ὡς μὴ δυνάμενος τῷ μὴ εἶναι ἐξ αὐτοῦ. αἰτιᾶται δὲ αὐτὸν καὶ ὡς τὸ αἴτιον μὴ λέγοντος τοῦ ποτὲ μὲν τὴν φιλίαν ἐπικρατεῖν τὸν θεόν, ποτὲ δὲ τὸ νεῖκος τῶν ὅλων· οὐ γὰρ ἱκανὸν τὸ εἰπεῖν, οὕτως πέφυκε καὶ ὅτι οὕτως ἀνάγκη· δύναται γάρ τις τοῦτο ἐπὶ πάντων τῶν γινομένων καὶ ὄντων λέγειν, ἀλλ' οὐκ ἔστιν αἰτίας ἀπόδοσις τὸ πεφυκέναι οὕτως εἰπεῖν. εἰπὼν δὲ ταῦτα πρὸς αὐτόν, φησὶ τοῦτο μόνον αὐτὸν μέχρι γε τοσούτου ὁμολογούμενον εἰρηκέναι, τὸ τὰ ἐκ τῶν αὐτῶν ἀρχῶν φθαρτὰ εἶναι πάντα ὁμοίως, ἀλλὰ μὴ τὰ μὲν τὰ δ' οὔ· ὃ δοκεῖ τὴν ἀνομολογίαν ἔχειν, πῶς ἐκ τῶν αὐτῶν τὰ μέν ἐστιν ἄφθαρτα τὰ δὲ φθαρτά, καθ' οὓς πάντα ἐστὶν ἐκ τῶν αὐτῶν. ἀπορήσας δὲ πρὸς τοὺς πάντων τῶν ὄντων τὰς αὐτὰς ἀρχὰς ὑποθεμένους, ἐφεξῆς ἀπορεῖ πρὸς τοὺς ἄλλας μὲν ἀρχὰς τῶν ἀφθάρτων ἄλλας δὲ τῶν φθαρτῶν ὑποτιθεμένους. πρῶτον μὲν οὖν ἀπορίαν ταύτην ἀπορεῖ, πότερον τῶν φθαρτῶν καὶ αἱ ἀρχαὶ φθαρταὶ ἢ ἄφθαρτοι. εἰ μὲν οὖν φθαρταί, δῆλον ὡς ἔσονται ἐξ ἐκείνων εἰς ἃ φθείρονται. οὐ γὰρ δὴ εἰς τὸ μὴ ὂν φθείρονται· εἰς ἃ γὰρ φθείρεταί τι ἕκαστον, ἐκ τούτων καὶ συνέστηκεν· ὥστε ἔσονται τῶν ἀρχῶν ἀρχαί. ἀλλ' εἰ τοῦτο, οὐκ αὗται ἀρχαὶ ἀλλ' ἐκεῖναι ἐξ ὧν αὗται· ἀδύνατον δὲ τῶν ἀρχῶν ἀρχὰς εἶναι· οὐ γὰρ γίγνονται ἐκ τῶν ἀρχῶν ἀρχαί, εἴτε ἵστανται ἐπί τινος εἴτε εἰς ἄπειρον προχωροῖεν. εἰ μὲν γὰρ ἵστανται, ἐκεῖναί τε ἂν εἶεν ἀρχαὶ τῶν ὑποτεθεισῶν ἀρχῶν, ἐν αἷς ἵσταται ἡ φθορά, καὶ ἔτι ἀΐδιοι ἂν εἶεν, ὡς δέδεικται, ἢ ἐκ τοῦ μὴ ὄντος ἂν ἡ γένεσις εἴη, εἰ εἰς τὸ μὴ ὂν ἵσταιτο ἡ φθορά· εἰ δὲ εἰς ἄπειρον προΐοιεν, ἀεὶ τῆς φθειρομένης ἀρχῆς ἐκείνης εἰς ἣν φθείρεται ἔσται ἀρχή. πρὸς δὲ τούτῳ οὐδὲ τὴν ἀρχὴν ἀρχή τις ἔσται· δέδεικται γὰρ τοῦτο ἐν τῷ πρὸ τούτου βιβλίῳ. ἢ τῷ "ὥστε συμβαίνει τῶν ἀρχῶν 1000 b
ἑτέρας εἶναι προτέρας" ἀκολουθεῖ τὸ "καὶ εἰ ἵσταται καὶ εἰ βαδίζει εἰς 26
ἄπειρον·" ἑκατέρῳ γὰρ αὐτῶν ἕπεται τὸ τῶν ἀρχῶν ἀρχὰς εἶναι. μεθ' ὃ λέγοι ἂν τὸ "τοῦτο δὲ ἀδύνατον," ὃ ἐν μέσῳ τεθὲν ἀσαφεστέραν πεποίηκε τὴν λέξιν. "ἔτι δὲ πῶς ἔσται τὰ φθαρτά, εἰ αἱ ἀρχαὶ ἀναιρεθήσονται;" τὸ λεγόμενον ἐστίν, εἰ τὰ φθαρτὰ ἐκ φθαρτῶν ἀρχῶν γίνεται, πῶς ἂν γένοιτο τῶν ἀρχῶν φθαρεισῶν; φθαρεισῶν γὰρ τῶν ἀρχῶν οὐκέτι ἂν οἷόν τε εἴη γίνεσθαι τὰ ἐξ αὐτῶν. καὶ εἴη ἂν τὸ λεγόμενον "ἔτι δὲ πῶς ἔσται τὰ φθαρτά;" πῶς γὰρ ἔσται τὰ φθαρτὰ φθειρόμενα καὶ γιγνόμενα, εἰ μὴ εἶεν αὐτῶν ἀρχαί; ᾧ ἐδείχθη ἀκολουθῆσαι, εἰ φθαρταὶ εἶεν αἱ ἀρχαί. τὰ γὰρ γιγνόμενα καὶ φθειρόμενα καὶ γίγνεται καὶ φθείρεται τῷ ἔχειν ἀρχὰς ἐξ ὧν καὶ ὑφ' ὧν γίγνεται καὶ φθείρεται· τῷ γὰρ εἰς ἐκεῖνα ἀναλύεσθαι ἡ φθορά· πῶς οὖν φθείροιντο μὴ ὄντων τῶν εἰς ἃ φθειρόμενα διαλυθήσεται; εἰ δέ τις λέγοι τῶν ἀφθάρτων ἀφθάρτους τὰς ἀρχὰς εἶναι, πάλιν ἀπορεῖ πῶς καὶ διὰ τί ἐκ μὲν τῶνδε τῶν ἀρχῶν ἀφθάρτων

3. αἴτιον] ἔτι δὲ C. ‖ 4. τούτων C. ‖ 5. ὥσπερ ἓν καὶ A. ‖ 18. ἐπεὶ — 19. λέγει om A. ‖ 20. ὅτι πλέον ἐκ τῶν τῶν C. ‖ 21. ἐκ] ἐν F. ‖ 22. καὶ et καὶ φθειρόμενος om F. ‖ 23 et 24. νοῶν F. ‖ 25. ἔσω C. ‖ 26. ἃ om F. ‖ 29. μηδὲ C. ‖ 32. φιλία τοῦτον, φανερόν. συνάγουσα A. ‖ 35. εὐλόγως C. ‖ *neque enim per ipsum discordia est vitium quoddam egregium, ut merito deus ipsum non intelligat: ipse enim solus cum sit, compositio quaedam discordia vacat* Sepulv. ‖ 37. αὐτὸν τὸν C. ‖ 38. ἢ καὶ ἄλλο A.

5. τοῦτο et 6. τὸ et 7. εἶναι πάντα et μὴ et 9. ἄφθαρτα τὰ δὲ om C. ‖ 9. καθ' — αὐτῶν et 13. αἱ om A. ‖ 15. ὃν φθείρεται A. ‖ 18. οὐ] εἰ C. ‖ 22. ἵσταιτο A. ‖ 25. ἢ τὸ "ὥστε AC. ‖ συμβαίνειν A. ‖ 26. ἀκολουθεῖ τῷ εἴτε καὶ ἵσταται εἴτε καὶ βαδίζει A. ‖ 28. σαφεστέραν F. ‖ 29. πεποίηκε C. ‖ εἰ — 33. φθαρτά et 35. ᾧ — ἀρχαί om A. ‖ 38. τῶν om C.

1000a 1. βανόμενον, τοῦτο δέ ἐστιν εἶδός τε καὶ γένος. εἰπὼν δὲ "ὥσπερ οὖν εἰ τὰ τῆς φωνῆς ἀριθμῷ ἦν στοιχεῖα ὡρισμένα, εἴη ἂν καὶ τὰ γράμματα τοσαῦτα γραφόμενα ὅσα αὐτῶν καὶ τὰ στοιχεῖα," οὐκέτι ἀνταπέδωκε τὸ οὕτω δὲ καὶ ἐπὶ τῶν ὄντων καὶ τοῦ ἀριθμοῦ τούτων ἕξει· οὐδὲν γὰρ ἄλλο παρὰ τὰ στοιχεῖα ἔσται, τουτέστιν οὐ πλείω τὰ ὄντα τῶν στοιχείων ἔσται· ἀλλ' ὡς γνωρίμου τῆς ἀκολουθίας οὔσης παραλιπὼν αὐτήν, ἐπήνεγκεν, εἰ γάρ ἐστι μία τῷ ἀριθμῷ γῆ καὶ ἕκαστον τῶν τεσσάρων, ταῦτα δὲ ἦν ἐν τῷδέ τινι τῷ σώματι, ἀδύνατον ἐξ αὐτῶν δῆλον ὅτι ἄλλο τι σῶμα εἶναι. σφόδρα δὲ λογικῶς καὶ διαλεκτικῶς ἡ ἐπιχείρησις ἔχει. id.

999b 27. (b) φαμὲν δὲ ἡμεῖς ὅτι τῷ ὄντι οὔτε ἀριθμῷ ἐστὶν οὔτε εἴδει· ὑπὲρ γὰρ ἀριθμόν ἐστι καὶ ὑπὲρ εἶδος ἡ πρώτη ἀρχή. Asclep.

1000a 5. "οὐθενὸς — πρότερον." ἣν ἀναγκαίαν οὖσαν ἀπορίαν κατευθυνθῆναί φησι πᾶσι τοῖς πρὸ αὐτοῦ παραλελεῖφθαι, εἴρηται μὲν καὶ αὕτη ὥσπερ καὶ αἱ πρὸ ταύτης κατ' ἀρχὰς τοῦ βιβλίου ἐν τῇ ἐκθέσει τῶν ἀποριῶν (c), ἔστι δὲ αὕτη. ζητεῖ πότερον αἱ αὐταὶ τῶν τε φθαρτῶν καὶ τῶν ἀφθάρτων ἀρχαί. εἰ μὲν γὰρ αἱ αὐταί, τί τὸ αἴτιον τοῦ ἐκ τῶν αὐτῶν ἀρχῶν πάντων ὄντων τὰ μὲν αὐτῶν φθαρτὰ εἶναι τὰ δὲ ἄφθαρτα; ἔνθα Ἡσιόδου τε καὶ τῶν ἀρχαίων μνημονεύει θεολόγων, οἳ ἐκ τῶν αὐτῶν ἀρχῶν ὑποτιθέμενοι πάντα ἀϊδίων οὐσῶν καὶ ἀφθάρτων τὸ αὐτοῖς δόξαν πιθανὸν εἶναι τοῦ τὰ μὲν ἄφθαρτα τὰ δὲ φθαρτὰ εἶναι ἔφασαν μόνον, ἡμῶν δὲ καὶ τοῦ ἡμᾶς διδάξαι τε καὶ πεῖσαι ὠλιγώρησαν· ὑποθέμενοι γὰρ τὰς ἀρχὰς ἀϊδίους τε καὶ θείας εἶναι καὶ πάντα ἐξ ἐκείνων τὰ ὄντα εἶναι καὶ γεγονέναι, τὰ μὲν γευσάμενα τῆς ἀμβροσίας καὶ τοῦ νέκταρός φασι θεοὺς γενέσθαι, ὅσα δὲ μὴ ἐγεύσατο, ταῦτα φθαρτά, πρῶτον μὲν τὴν ἀμβροσίαν καὶ τὸ νέκταρ τὰ θεοποιὰ νάματα αὐτοῖς ἴσως γνώριμα λέγοντες· οὐ γὰρ δὴ ἡμῖν ἢ τῶν ἄλλων τινί. δεύτερον δὲ καὶ περὶ αὐτῆς τῆς προσφορᾶς τούτων ἁπλῶς εἶπον καὶ οὐδαμῶς γνωρίμως· τίνος γὰρ χάριν ἦλθον ἐπὶ τὸ γεύσασθαι τούτων ἃ αἴτια αὐτοῖς τῆς ἀθανασίας; εἰ μὲν γὰρ ἡδονῆς χάριν αὐτῶν γεύονται, οὐδὲν αὐτοῖς εἰς τὸ εἶναι συντελεῖ τὸ νέκταρ καὶ ἡ ἀμβροσία, ὥστε οὐ διὰ τὸ γεύσασθαι ἀθάνατα· εἰ δὲ εἰς τὸ εἶναι ἡ τούτων αὐτοῖς γεῦσις συντελεῖ, δῆλον ὡς τροφή ἐστιν αὐτοῖς, τὰ δὲ τρεφόμενα καὶ μὴ ἂν ὄντα εἰ μὴ τρέφοιτο, πῶς οἷόν τε λέγειν ἀΐδια εἶναι; τοσαῦτα δὲ Ἡσιόδου τε καὶ τῶν ἄλλων θεολόγων ἐπιμνησθεὶς τὸ μὲν τὰς τούτων δόξας μετὰ σπουδῆς ἐξετάζειν μύθους λεγόντων καὶ διὰ μύθων τὰ ψευδῆ συναγόντων τε καὶ συνιστάντων παραιτεῖται (τὸ γὰρ "μυθικῶς σοφιζομένων" ἴσον τῷ διὰ μύθων παρακρυομένων τἀληθές), ἐπὶ δὲ τοὺς μετ' ἀποδείξεως δοκοῦντας λέγειν παρὰ τούτων μέτεισι, καί φησι δεῖν περὶ τούτων ἐξετάζειν τὴν αἰτίαν τοῦ, πάντων ἐκ τῶν αὐτῶν ἀρχῶν καὶ στοιχείων γεγονότων, τὰ μέν τινα τῶν ἐξ ἐκείνων ἀΐδιά τε εἶναι καὶ ἄφθαρτα τὰ δὲ φθαρτά. εἰ γάρ, φησί, μήτε αἰτίαν τινὰ τούτου λέγουσι, μήτε ἄλλως εὔλογον τι ἔχει ἡ δόξα, δῆλον ὡς οὐκ ἂν εἶεν αἱ αὐταὶ πάντων ἀρχαί. φησὶ δὲ μηδὲ Ἐμπεδοκλέα, ὃς δοκεῖ μάλιστα τῶν ἄλλων φυσιολόγων ὁμολογούμενα λέγειν· ἄλλο μὲν γὰρ στοιχεῖον γενέσεώς τε καὶ τοῦ εἶναι αἴτιον εἰσάγει, τοιοῦτον γὰρ ἡ φιλία αὐτῷ, ἄλλο δὲ φθορᾶς, τὸ γὰρ νεῖκος τοιοῦτον· οὐ μὴν ἀλλὰ φαίνεται καὶ γενέσεως τὸ νεῖκος αὐτῷ ἐν πολλοῖς τὴν αἰτίαν ἔχειν καὶ φιλία φθορᾶς. καὶ δείκνυσί γε πῶς μὲν δοκεῖ λέγειν ὁμολογουμένως, πῶς δὲ οὐκ ἐκφεύγει τὴν ἀπορίαν. τίθησι μὲν γὰρ ἐν ταῖς ἀρχαῖς Ἐμπεδοκλῆς καὶ τὸ νεῖκος, ὅ ἐστιν αἴτιον αὐτῷ τῆς φθορᾶς· διὸ πάντα κατ' αὐτὸν τὰ γινόμενα φθείρεται, καὶ οὐ τὰ μὲν τὰ δ' οὔ. τοῦτο γὰρ ὁμολογούμενον δοκεῖ λέγεσθαι ὑπ' αὐτοῦ τὸ πάντα τὰ γινόμενα ἐκ τῶν αὐτῶν ἀρχῶν ὄντα ὁμοίως καὶ φθείρεσθαι πάντα, ἀλλ' οὐ τὰ μὲν φθείρεσθαι τὰ δὲ μένειν ἀΐδια. μόνα δὲ ἄφθαρτα τὰ στοιχεῖα ὑποτίθεται, ταῦτα δέ ἐστι τὰ δ' σώματα καὶ τὸ νεῖκος καὶ ἡ φιλία. καὶ ταύτῃ μὲν δοκεῖ τοῦ φθείρεσθαι τὰ φθειρόμενα αἰτιά τινα ἀπολείπειν καὶ ὁμολογούμενα λέγειν αὐτῷ, ἄλλην μὲν γενέσεως ἄλλην δὲ φθορᾶς ἀποδιδοὺς αἰτίας. ᾗ δὲ λέγει καὶ τὸ νεῖκος αὐτὸ τοῦτο γεννᾶν, τουτέστι γενέσεως αἴτιον οὐ φθορᾶς γίγνεσθαι μόνον, ὥσπερ οὖν καὶ τὴν φιλίαν φθορᾶς, οὐ γὰρ γενέσεως (ἐκ γὰρ τοῦ ἑνός, ὃν θεὸν ἐκεῖνος καὶ σφαῖρον λέγει, τοῦ ὑπὸ τῆς φιλίας γενομένου, πάντα τὰ ὄντα ὑπὸ τοῦ νείκους κατ' αὐτὸν γίνεται πλὴν τοῦ θεοῦ, λέγων τοῦ σφαίρου, ὃν καὶ ἓν λέγει, ὡς δι' ὧν παρέθετο ἐπῶν δηλοῦται), ταύτῃ δ' οὐκέθ' ὁμολογούμενα λέγοι ἂν αὐτῷ· οὐ γὰρ ἂν ἔτι τηροῖ τὸ ἄλλο μὲν εἶναι τῆς φθορᾶς γενέσεως δὲ ἄλλο αἴτιον εἶναι, δι' ὃ ἐδόκει ἡ δόξα αὐτοῦ τὸ εὔλογον λέγειν. Alex.

(c) ἰστέον δὲ ὅτι ὡς τοῦ διδασκαλείου ὢν τοῦ Πλατωνικοῦ φησὶν ὅτι οὐδεὶς οὐδὲν εἶπε περὶ τῆς τοιαύτης ἀπορίας· ἄντικρυς γὰρ φαίνεται ὁ Πλάτων διαλεγόμενος περὶ αὐτῆς ἐν Τιμαίῳ. . . ἀλλὰ καὶ ἐνταῦθα ἀκολουθεῖ τοῖς εἰρημένοις ἐν τῷ Τιμαίῳ· κατ' οὐσίαν μὲν γὰρ φθαρτός ἐστιν ὁ οὐρανός. διό φησιν ἐν ἐκείνοις ὁ Πλάτων ὡς ἀπὸ τοῦ θεοῦ λέγοντος πρὸς τὰ οὐράνια ὅτι ἀθάνατα μὲν οὐκ ἔστε, ἐπεὶ ὅλως ἐγένεσθε, ἔσεσθε δὲ ἄφθαρτα καὶ ἀγήρω ἐμοῦ ἐθέλοντος. Asclep.

"δόξειε — γεννᾶν," τουτέστι γεννητικὸν εἶναι καὶ ποιητικόν. 1000a 27. τῷ δὲ ἐκ γὰρ τοῦ ἑνὸς ἅπαντα καὶ ἐκ τούτου τὰ ἄλλα ἐστὶ πλὴν θεός, δεῖ προστιθέναι τὰ γιγνόμενα ὑπὸ τοῦ νείκους. παραθέμενος δὲ τὰ ἔπη δι' ὧν τὸ νεῖκος γενέσεως κατ' αὐτὸν πάντων αἴτιον, "ὅσα τ' ἦν ὅσα τ' ἔστιν," ὃ καὶ ὡς φθορᾶς ποιητικὸν ἐν ταῖς ἀρχαῖς ὑπέθετο, καὶ ἄνευ τῶν ἐπῶν, φησί, τούτων δῆλόν ἐστιν ὅτι κατ' αὐτὸν τὸ νεῖκός ἐστι γεννητικόν (d)· εἰ γὰρ μὴ ἐν τοῖς οὖσι τὸ νεῖκος ἦν, ἓν ἄν, φησί, πάντα ἦν, καὶ οὐκ ἂν διεκρίνετο οὐδ' ἐγίνετο· τοῦ γὰρ μὴ μένειν

2. εἴη] ἦν A. ‖ 17. μὲν om A. ‖ 21. τοῦ] f. τὸ. ‖ 23. γὰρ αὐτὰς ἀϊδίους A. ‖ 28. δὴ om A. ‖ ἡμῖν τοῦτ' ἐστιν ἢ C. ‖ 40. περὶ A. ‖ ἐξετάζειν περὶ τούτων A.

1. τινὰ λέγουσι τούτου, μήτε A. ‖ 2. εὔλογον ἔχει τι ἡ A. ‖ 3. τῶν ἄλλων μάλιστα C. ‖ 8. ὁμολογούμενα AL. ‖ 10. αὐτῷ] αὐτὸ A. ‖ 12. πάντων V. ‖ 16. αἰτίαν A. ‖ τινὰς ὑπολείπειν V. ‖ 18. ᾗ δὲ] ἤδη L. ‖ αὐτῷ A. ‖ 21. γινομένου C. ‖ 23. δ' οὐκέθ'] δὲ οὐκ A. ‖ 24. ἂν post γὰρ om C. ‖ 26. λέγειν] ἔχειν A. ‖ 39. καὶ om A. ‖ ὑπετίθετο C. ‖ 42. μὴ om A.

ἡμεῖς ὃ λέγεται καὶ ἐν τῷ Φαίδωνι, ὅτι οὔτε ὡς μόριον θεωρεῖται οὔτε δὲ ὡς ὅλον ἐν ἡμῖν τὸ κεχωρισμένον εἶδος, ἀλλὰ μόνον καταλάμπει τὴν ὕλην. Asclep.

999 b 23. (*) ἡμεῖς δέ φαμεν ὅτι πρῶτον μὲν καθὸ ἄνθρωποι οὐδὲν ἀλλήλων διαφέρουσιν, πρὸς δὲ τούτοις τὸ κατατεταγμένον εἶδος τὸ κατ' ἀριθμὸν ὑπάρχον διάφορόν ἐστιν· ἄλλο γὰρ εἶδος τοῦ Σωκράτους καὶ ἄλλο τοῦ Πλάτωνος. τὸ δὲ ἀκατάτακτον ὡς ἐξῃρημένον ἕν ἐστι καὶ μονοειδές, καὶ διὰ τὴν γόνιμον αὐτοῦ δύναμιν καὶ μονοειδὲς ὑπάρχον διάφορα καὶ πολλὰ ἀπογεννᾷ. id.

999 b 24. "ἔτι — ἕν." ἡ ἀπορία ἀκόλουθος μέν ἐστι τῷ ἠπορημένῳ τῷ εἰ ἓν κατ' ἀριθμὸν τὸ εἶδος ἢ πλείω, δύναται δὲ καὶ ἐπὶ τὰς ἰδέας τὴν ἀναφορὰν ἔχειν διὰ τὸ παρατίθεσθαι αὐτὸν τὸ αὐτοὲν καὶ αὐτοόν. ἢ δύναται κοινῶς ἀπορεῖσθαι περὶ τῶν ἀρχῶν· κυρίως γὰρ ὄντα αἱ ἀρχαί· διὸ καὶ τὸ αὐτὸ προστίθησιν αὐταῖς. κοινῶς οὖν ἀπορουμένη δύναται ἐφαρμόζειν καὶ τοῖς ὑποκειμένοις λεγομένοις. ἔστι δὲ ὃ ἀπορεῖ περὶ τῶν ἀρχῶν, πότερον ἑκάστη αὐτῶν, εἴτε μίαν τις εἴτε πλείους ὑποτίθεται τὰς ἀρχάς, κατὰ τὸ εἶδος τὸ ἓν ἔχουσιν ἢ κατὰ ἀριθμόν, οἷον εἰ ὕλη μία ἀριθμῷ μία ἢ εἴδει, καὶ εἰ τὸ εἶδος ἓν ἀριθμῷ ἢ εἴδει. εἰ μὲν γὰρ εἴδει μία ἑκάστη τῶν ἀρχῶν, ἀριθμῷ δὲ πολλαί, οὐδὲν ἔσται, φησίν, ἐν ταῖς τῶν γιγνομένων ἀρχαῖς ἓν κατ' ἀριθμόν· εἰ δὲ μηδεμία τῶν ἀρχῶν ἓν κατ' ἀριθμὸν ἔσται, οὐδ' ἂν τῶν ἐκ τῶν ἀρχῶν συγκειμένων ἕν τι εἴη κατ' ἀριθμόν· τὰ γὰρ ἐξ ἑνὸς οὐ τῷ ἀριθμῷ ἀλλὰ τῷ εἴδει συγκείμενα ἓν τῷ εἴδει, οὐ τῷ ἀριθμῷ· εἰ γὰρ τὰ ἐξ ἑνὸς κατ' ἀριθμὸν συγκείμενα ἓν τῷ ἀριθμῷ, δῆλον ὡς τὰ ἐξ ἑνὸς τὸ εἶναι ἔχοντα ὁμοίως ἐκείνοις ἕξει τὸ ἕν. ᾧ ἄτοπον ἑπόμενον ἐπήνεγκε τὸ μηδὲ τὸ αὐτοὲν καὶ αὐτοὸν κατ' ἀριθμὸν ἓν ἔσεσθαι, ἃ καὶ αὐτὰ ἐν ταῖς ἀρχαῖς ἐτίθεντο οἱ τὰς ἰδέας ἀρχὰς εἶναι λέγοντες. ἀλλὰ μὴν εἰ μή ἐστι τὸ αὐτοὲν ἓν κατ' ἀριθμόν, τούτου δὲ μετουσίᾳ πάντα ἐστὶν ἕν, οὐδ' ἂν τῶν ἄλλων τι ἓν κατ' ἀριθμὸν εἴη τῶν πρὸς ἐκεῖνο τὸ εἶναι ἐχόντων· πρὸς γὰρ ἓν τῷ εἴδει ὁμοιούμενα ὁμοίως ἂν ἐκείνῳ καὶ αὐτὰ τὸ ἓν ἔχοι· οὐδὲν ἄρα ἔσται ἓν κατ' ἀριθμόν, εἰ μήτε τῶν γινομένων πρός τι ἓν κατ' ἀριθμὸν ἔσται, μήτε τὸ αὐτοὲν ἡ ἀρχή, ἀλλὰ μηδ' ἄλλη τις τῶν ἀρχῶν. καὶ προστίθησι τούτῳ ὅτι οὐδ' ἐπιστήμη ἔσται, εἰ μὴ εἴη ἕν τι κατ' ἀριθμόν· αἱ γὰρ ἐπιστῆμαι γίνονται τῷ ἕν τι ἐπὶ πολλῶν λαμβάνεσθαι, ὡς εἴρηκε καὶ πρὸ βραχέος· κατὰ γὰρ τὸ κοινὸν αἱ ἐπιστῆμαι, ὃ κοινὸν ἓν κατ' ἀριθμὸν ὂν δείκνυται· οὐ γὰρ δὴ ὥσπερ τὰ ὑπὸ τὸ κοινόν ἐστιν ἀλλήλοις ἓν τῷ εἴδει ἢ τῷ γένει, οὕτω δὲ καὶ τὸ κοινὸν τὸ εἶδος τὸ ἐπ' ἐκείνοις ἢ τὸ γένος ἓν τῷ εἴδει ἢ τῷ γένει ἔσται. οὕτω γὰρ ἐπ' ἄπειρον προελεύσεται· εἰ γὰρ τὸ ζῷον ἔσται ἓν κατὰ τὸ εἶδος κοινὸν τὸ εἶναι ἓν ἔχον, ὁμοίως πάλιν καὶ τὰ καθ' ἃ τὰ ζῷα ἕν, εἰ κατὰ τὸ εἶδός ἐστιν ἕν, κἀκεῖνα πολλὰ κατ' ἀριθμὸν ἔσται, καὶ οὕτως εἰς ἄπειρον προελεύσεται. ἀλλ' ἐστὶ τῶν κοινῶν ἕκαστον ἓν κατ' ἀριθμόν· εἰ δὲ τοῦτο τῶν μὲν αἱ ἐπιστῆμαι, ἅ ἐστιν ἓν κατ' ἀριθμόν, μηδὲν δέ ἐστιν ἓν κατὰ τὸν ἀριθμόν. εἰ δὲ αἱ ἀρχαὶ τῷ εἴδει ἔχοιεν τὸ ἕν, ἀναιροῖτο ἂν ἡ ἐπιστήμη. εἰ γάρ τις λέγοι ἓν κατ' ἀριθμὸν εἶναι τὸ ἐπὶ ταῖς ἀρχαῖς, ἐπεὶ ἓν κατὰ τὸ εἶδος ὑπέκειτο εἶναι, λέγοι ἂν οὗτος οὐκέτι τῷ εἴδει τὸ ἓν ἔχειν τὰς ἀρχάς· τὸ γὰρ εἶδος ἐκεῖνο τὸ ἓν τῷ ἀριθμῷ ἀρχὴ μᾶλλον τῶν ὑπ' αὐτό, καὶ οὐκέτι ἓν τῷ εἴδει ἀλλὰ τῷ ἀριθμῷ. ἔτι οὐδὲ τῷ εἴδει ἕν τι δύναται εἶναι, ὧν μή ἐστί τι ἓν κατ' ἀριθμὸν κοινὸν εἶδος· πολλὰ γὰρ ὄντα κατ' ἀριθμὸν ἔχοντα ἂν κοινωνίαν ἀλλήλοις, ἃ μή ἐστι τὰ κατ' ἀριθμὸν ἕν, οὐδ' ἂν ταῦτα ἔτι εἴη τὰ αὐτὰ τῷ εἴδει. δύναταί τις ἀκούειν τοῦ "καὶ τὸ ἐπίστασθαι πῶς ἔσται, 999 b 26. εἰ μή τι ἔσται ἓν ἐπὶ πάντων;" ὡς εἰρημένου πρὸς τοὺς τὰς ἰδέας τιθεμένους· ἔλεγον γὰρ ἐκεῖνοι μὴ ἄλλως ἐπιστήμην ἔσεσθαι, εἰ μὴ αἱ ἰδέαι εἶεν· τὰ μὲν γὰρ αἰσθητὰ ἄπειρά τε καὶ ἐν ῥύσει συνεχεῖ, καὶ διὰ τοῦτο οὐδὲ ἐπιστητά, παρὰ δὲ τὰ αἰσθητά γε καὶ καθ' ἕκαστα ἡ ἰδέα μία τῷ ἀριθμῷ ἐπὶ πολλῶν λαμβανομένη ἀκίνητός τε καὶ ἀΐδιος αἰτία ἐπιστήμης γίνεται· ἀναιρεῖται δὲ τοῦτο, εἰ μηδὲ ἐκεῖναι τὸ κατ' ἀριθμὸν ἔχοιεν ἕν. Alex.

"ἀλλὰ — ἀρχῶν." δείξας τι ἄτοπον ἑπόμενον, εἰ λέγοιντο 999 b 27. αἱ ἀρχαὶ τῷ εἴδει μία, νῦν πάλιν ἐπιχειρεῖ πρὸς τὸ μηδὲ κατ' ἀριθμὸν δύνασθαι τὸ ἓν ἔχειν τὰς ἀρχάς (*). ἄγει δὲ πάλιν τὸν λόγον ἐπὶ τὰς ἀρχὰς τὰς ὡς στοιχεῖα λεγομένας, ἐξ ὧν κατὰ σύνθεσιν γίνεται τὸ ἐξ αὐτῶν ὡς ἐπὶ τῶν στοιχείων, καὶ δείκνυσιν ἐπὶ τῶν οὕτως λεγομένων ἀρχῶν, εἰ ἑκάστη αὐτῶν μία κατ' ἀριθμὸν εἴη, ὅτι οὐ πλείω τὰ ὄντα τῶν στοιχείων ἔσται· ὡς γὰρ κατὰ τὸ εἶδος ἀλλήλαις αἱ αὐταὶ συλλαβαί, κατὰ δὲ τὸν ἀριθμὸν ἄπειροι, τῷ τὰ στοιχεῖα ἐξ ὧν συντίθενται κατ' ἀριθμὸν ἄπειρα δύνασθαι λαμβάνεσθαι, κατ' εἶδος ὄντα ταὐτὰ γίγνονται, οὕτως, εἰ μὴ εἴη κατ' ἀριθμὸν τὰ στοιχεῖα πολλά, ἀλλ' ἓν εἴη κατ' ἀριθμὸν α' καὶ ἓν β', ἀνάγκη καὶ συλλαβὴν ἐξ αὐτῶν τούτων συντιθεμένων γενέσθαι μίαν, οὐδὲ ἔσται λαβεῖν πλείους συλλαβὰς ἐχούσας τὸ β', εἰ ἕν ἐστι τῷ ἀριθμῷ τὸ β', πλὴν τῆς βα'· ἄλλως γὰρ οὐδενὶ ἄλλῳ β' ἔτι ἐνυπάρχει, εἰ ἓν ὄν ἐστιν, ἢ ἐν τῇ βα' συλλαβῇ. ὡς οὖν ἐπὶ τῶν συλλαβῶν καὶ τῶν στοιχείων ἔχει, εἰ ἓν κατ' ἀριθμὸν τὰ στοιχεῖα, οὐ πλείω ἔσται ἐν ταῖς συλλαβαῖς, ἀλλὰ τοσαῦτα ὅσα ἐστὶν αὐτά, οὕτω καὶ ἐπὶ τῶν ὄντων φησὶν ἕξειν, εἰ ἓν αὐτῶν αἱ ἀρχαὶ καὶ κατ' ἀριθμὸν ἑκάστη μία. ἐξηγήσατο δὲ καὶ τί τῷ ἀριθμῷ ἕν ἐστιν, ὅτι τὸ καθ' ἕκαστον, καὶ τί τὸ καθόλου, ὅτι τὸ ἐπὶ τοῖς καθ' ἕκαστον κοινὸν λαμ-

10. μὲν om *A.* ‖ 12. καὶ τὸ αὐτοὸν *C.* ‖ 13. κοινῶς] κυρίως *C.* ‖ 15. λεγομένοις om *C.* ‖ 17. κατ' *C.* ‖ 19. *ne compositorum quidem ex principiis quodpiam unum numero fuerit* Sepulv. ‖ 20. κατὰ τὸν ἀριθμόν *A.* ‖ 21. ἂν τῶν αὐτῶν ἀρχῶν *C.* ‖ 24. τὰ μὴ ἐξ *A.* ‖ 27. εἶναι et 32. πρός om *A.* ‖ 34. κατὰ τὸν ἀριθμόν *A.* ‖ 38. γίνει ἔσται *C.* ‖ οὕτω — 39. ἔσται om *C.*

1. ἃ τὰ] αὐτὰ *C.* ‖ 2. κἀκεῖνο *C.* ‖ 3. *quod si scientiae eorum sunt quae unum numero existant, numero autem unum nihil est, siquidem principia unum specie habent, fit ut scientia penitus tollatur* Sepulv. ‖ 5. τὸν et ἡ om *C.* ‖ 6. γάρ om *A.* ‖ 7. οὕτως *A.* ‖ 10. εἶναι et 17. ἡ om *C.* ‖ 23. πάλιν] παρὰ *A.* ‖ 29. κατὰ τὸν ἀριθμὸν *A.* ‖ 30. γίγνονται om *A.* ‖ κατὰ τὸν ἀριθμὸν *C.* ‖ 32. οὐδ' *C.* ‖ 38. καὶ om *A.* ‖ 40. καθόλου ἐστὶν ὅτι *A.*

σατο τῷ "τὸ δὲ γεγονὸς ἀνάγκη εἶναι ὅτε πρῶτον γέγονεν." ἔστιν ἄρα καὶ ἀρχὴ παντὸς γινομένου τε καὶ κινουμένου. εἰ δὲ τοῦτο, οὐκ ἐπ' ἄπειρον ἄλλο ἐξ ἄλλου γίγνεται. εἰ μὴ τοῦτο, ἔστι τι ἀΐδιον ἔσχατον ὑποκείμενον. ἀσαφὴς δὲ ἡ ἐπιχείρησις δοκεῖ τῷ παραλιπεῖν αὐτὸν τὸ ἀκολουθοῦν τῷ εἶναι πάσης κινήσεως καὶ γενέσεως πέρας. ἦν δὲ τὸ ὧν ἐστὶ πέρας, καὶ ἀρχὴν τούτων εἶναι. τοῦτο γὰρ ὡς γνωρίμως ἑπόμενον παραλιπών, μόνον ἔδειξεν ὅτι πάσης κινήσεως καὶ γενέσεως ἔστι πέρας. καὶ ἡ κυκλοφορητικὴ δὲ κίνησις πέρας ἔχει· ἀπὸ γὰρ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ γίνεται. καὶ ἡ ἀπειρία ταύτης τῷ πάλιν τὴν αὐτὴν γίγνεσθαι κίνησιν, οὐ τῷ ἄλλοτε ἄλλην. Alex.

999 b 10. (γ) ἐπειδὴ ἡ γένεσις οὐκ ἄνευ κινήσεως, ὡς δέδεικται ἐν τοῖς τελευταίοις λόγοις τῆς Φυσικῆς Ἀκροάσεως, καὶ ἔστι δὲ ἄπειρος οὐδεμία κίνησις. Asclep.

999 b 12. "ἔτι — οὐσίαν." δείξας ὅτι ἔστι τι ἔσχατον ἀΐδιον ὑποκείμενον (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ "ἔτι δὲ εἴπερ ἡ ὕλη ἐστὶ διὰ τὸ ἀγένητος εἶναι·" ἀδύνατον γάρ, εἰ μὴ εἴη τι τοιοῦτον, γένεσιν εἶναι· καὶ γὰρ εἰ ἐπ' ἄπειρον ἡ ὕλη προΐοι, οὐδὲν ἂν ἐκ τῆς ὕλης γίνοιτο τῷ μηδέποτε ἄλλην ἐξ ἄλλης γινομένην ὕλην παύεσθαι, ἐκλυούσης (?) τῆς ὕλης τὰ ἐκ τῆς ἄλλης ἀλλ' οὐκ ἐγγινομένης) δείξας οὖν ὅτι τὸ πρῶτον ὑποκείμενον δεῖ ἀγέννητον εἶναι καὶ οὐκ ἐπ' ἄπειρον γίγνεσθαι ἄλλο ἐξ ἄλλου, νῦν δείκνυσιν ὅτι καὶ τὸ εἶδος, ὃ γίνεται ἐν τῇ ὕλῃ, εἶναι δεῖ ἀΐδιον, δεικνὺς διὰ τούτων καὶ κατασκευάζων ὅτι ἔσται τις οὐσία μοναδικὴ ἀΐδιος. εἰ ἔστι γὰρ φύσις τῆς ὕλης, εὐλογώτερον καὶ τὴν οὐσίαν εἶναι ταύτην, ἣν ἡ ὕλη δέχεται· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰπεῖν "ὅ ποτε ἐκείνη γίνεται." οὐσίαν δὲ τὸ εἶδος λέγει· καθ' ὃ γὰρ ἑκάστῳ τὸ εἶναι, τοῦτο οὐσία· ἡ γὰρ ὕλη δεξαμένη εἶδος παρέχεται τὸ γιγνόμενον ἐξ αὐτῆς γεγονός, τουτέστιν ὃ δέχεταί τε καὶ γίνεται. ὅτι οὖν εὔλογον καὶ τὸ εἶδος προϋπάρχειν ἀΐδιον ὄν, ὃ ἡ ὕλη δέχεται, οὕτω δείκνυσιν. ὥσπερ μὴ ὄντος τοῦ ὑποκειμένου ἀδύνατον ἦν γενέσθαι τι, οὕτω καὶ μὴ ὄντος τοῦ ὃ δέχεται τὸ ὑποκείμενον, ἀδύνατον γένεσιν εἶναι· ὃ εἶπε διὰ τοῦ "εἰ γὰρ μήτε τοῦτο ἔσται μήτε ἐκεῖνο, οὐδὲν ἔσται τὸ παράπαν," ὃ ἴσον ἐστὶ τῷ, εἰ γὰρ μὴ ἀμφότερα εἴη ἥ τε ὕλη καὶ τὸ εἶδος ἀΐδια, οὐδὲν ἂν τὸ παράπαν γένοιτο. ὅτι γὰρ τοῦτο λέγει, ἐδήλωσεν εἰπὼν "ἀνάγκη τι εἶναι παρὰ τὸ σύνολον τὴν μορφὴν καὶ τὸ εἶδος," τὸ μὲν σύνολον λέγων τὸ γεγονός, τὸ συναμφότερον καὶ αἰσθητόν, δεῖν δὲ ἑκάτερον εἶναι λέγων, ἐξ ὧν εἶναι τὸ σύνολον, τήν τε ὕλην καὶ τὴν μορφὴν καὶ τὸ εἶδος. εἰπὼν γάρ, εἰ μήτε τοῦτο ἔσται μήτε ἐκείνη," λέγων τὸ εἶδος καὶ τὴν ὕλην, "οὐθὲν ἔσται τὸ παράπαν," ἐπήνεγκεν, "εἰ δὲ τοῦτο ἀδύνατον," λέγων ἀδύνατον τὸ μηδὲν ἔσεσθαι, "ἀνάγκη εἶναι παρὰ σύνολον," τουτέστι τὸ συναμφότερον, ὅ ἐστιν εἶδος ἐν ὕλῃ, "τὴν μορφὴν καὶ τὸ εἶδος," ὑγιὲς μὲν λαμβάνων τὸ δεῖν, ὡς ἡ ὕλη, οὕτως εἶναί τι καὶ εἶδος ἀΐδιον, οὐ μὴν τὸ ἐν τῇ ὕλῃ γινόμενον εἶναι δεῖ τοῦτο, ἀλλὰ τὸ ποιητικόν, ὃ εἰ εἴη τῷ ποιουμένῳ ὅμοιον, εἴη ἂν προϋπάρχον πως. λαβὼν δὲ ἐκ τῆς ἐπιχειρήσεως τὸ δεῖν καὶ τὸ εἶδος προϋπάρχειν ὥσπερ καὶ τὴν ὕλην, ἵνα ἐξ αὐτῶν προϋπαρχόντων τὸ σύνολον καὶ συναμφότερον γένηται, ἐπὶ τούτοις ἀπορεῖ, ὃ καὶ αὐτὸ ἀρχόμενος τῆσδε τῆς ἀπορίας ἀπορήσειν προέθετο, εἰπὼν "πότερον εἰ ἔστι παρὰ πάντα εἶναι δεῖ" (p. 999 *a* 33). εἰ γὰρ καὶ τὸ εἶδός τις θήσεται προϋπάρχειν καὶ ἀΐδιον εἶναι τὸ γινόμενον ἐν τῇ ὕλῃ, ἐπὶ τίνων τῶν ὄντων τε καὶ γινομένων ἐρεῖ προϋπάρχειν τὸ εἶδος ἀΐδιον ὄν, καὶ ἐπὶ τίνων οὔ; οὐ γὰρ ἐπὶ πάντων τῶν γιγνομένων οἷόν τε τοῦτο λέγειν. καὶ παρατίθεται τὸ κατὰ τέχνην γιγνόμενον, ἐφ' ὧν ἄτοπον λέγειν τὸ ὑπὸ τοῦ τεχνίτου εἶδος ἐγγινόμενον τῇ ὕλῃ προϋπάρχειν τε καὶ ἀΐδιον εἶναι. ταῦτα δὲ δύναται μὲν καὶ περὶ τῶν ἰδεῶν λέγεσθαι τε καὶ ἀπορεῖσθαι, δύναται δὲ καὶ ἁπλῶς περὶ τοῦ ἐνύλου εἴδους κατ' ἀκολουθίαν τῆς ἀπορίας λέγεσθαι. Alex.

999 b 20. "πρὸς — μία." καὶ τοῦτο πρὸς τοῖς εἰρημένοις ἀπορεῖ, εἰ ἔστι καὶ τὰ εἴδη προϋπάρχοντα ὥσπερ καὶ ἡ ὕλη, πότερον ἓν εἶδος κατ' ἀριθμόν ἐστι καὶ μία οὐσία κατὰ τὸν ἀριθμὸν πάντων τῶν ἀνθρώπων, ἢ πολλὰ καὶ τοσαῦτα ὅσοι οἱ ἄνθρωποι οἱ καθ' ἕκαστα (δ). εἰ μὲν γὰρ ἕν τις θήσεται κατὰ τὸν ἀριθμόν, εἷς ἄνθρωπος γενήσεται ἐκ τῆς ὕλης ἐκεῖνο δεξαμένης τὸ εἶδος (ε)· εἰ δὲ τοσαῦτα ὅσοι καὶ ἄνθρωποι καθ' ἕκαστα, ἄλογον· τίνι γὰρ ἐκεῖνα τὰ χωρὶς ὕλης εἴδη τοῦ ἀνθρώπου λαμβανόμενα ἀλλήλων διοίσει; ὑλικαὶ γὰρ αἱ τῶν καθ' ἕκαστα ἀνθρώπων πρὸς ἀλλήλους διαφοραί. ἐπὶ τούτοις ἀπορεῖ καὶ πῶς ἡ ὕλη δέχεται ταῦτα τὰ προϋπάρχοντα εἴδη ἢ ὁπωσοῦν τὰ εἴδη, καὶ πῶς γίνεται καὶ ἔστιν ἕκαστον τῶν αἰσθητῶν, ἃ ὅλα ἐστὶν ἐξ ἀμφοτέρων τούτων, πότερον συντεθέντων ἢ κραθέντων τούτων ἢ μιχθέντων; ἢ τίς ὁ τρόπος καθ' ὃν ἡ ὕλη δεξαμένη τὰ εἴδη γίγνεται ἃ γίνεται; ταῦτα δὲ καὶ ἐν ἄλλοις ἠπόρηκε, ζητῶν τί τὸ ἑνοῦν καὶ συνέχον τὸ εἶδος ἐν ὕλῃ, ἐν οἷς τὸ δυνάμει τῆς ὕλης αἴτιόν φησι γίγνεσθαι τοῦ λαμβάνειν αὐτὸ καὶ μένειν ἐν αὐτῇ εἰς τοῦτο μεταβάλλουσαν, ὅτε ὡς ἐδύνατο δηλονότι ποιητικοῦ τινὸς προϋπάρχοντος αἰτίου. id.

(δ) πάνυ δριμυτάτην ἀπορίαν κινεῖ ἐνταῦθα ὁ Ἀριστοτέλης, ἥντινα ἐζήτησε καὶ ὁ Πλάτων ἐν τῷ Φαίδωνι καὶ ἐν τῷ Παρμενίδῃ, καί φησιν ὅτι πῶς τὸ εἶδος θεωρεῖται ἐν τῇ ὕλῃ; πῶς λέγεται ἕκαστον τέλειον εἶδος ἔχειν, ὅλον δὲ πάλιν οὐ δυνατὸν [ὅλον εἶναι τὸ ὑπάρχον], διότι ἐν διαφόροις ὑποκειμένοις ὑπάρχει; πῶς δὲ ἐν ἑνὶ δυνατὸν ὅλον εἶναι τὸ ὑπάρχον ἐν διαφόροις ὑποκειμένοις; φαμὲν οὖν

1. δὲ om *A.* ‖ 2. ἄρα om *C.* ‖ 5. ἦν — 8. ἐστὶ πέρας om *A.* ‖ 9. πάλαι *V.* ‖ 10. οὕτω *V*, οὐ τὸ *AC.* ‖ 14. οὐσίαν — 19. ἐγγινομένης om *A.* ‖ 19. *excludente materia quae ex alia nondum genita generari debeant* Sepulv. ‖ 27. τε] τις *V.* ‖ 32. ὃ — 33. γένοιτο om *A.* ‖ 37. εἶδος εἰπών. λέγει *C.*

4. ποιοῦντι *C.* ‖ 10. ἐν om *C.* ‖ 12. καὶ — 13. λέγειν om *C.* ‖ 14. δὲ et 15. τῶν om *C.* ‖ 15. τε om *A.* ‖ 16. ἁπλῶς καὶ *C.* ‖ 19. καὶ ante ἡ om *A.* ‖ 22. τὸν om *C.* ‖ 26. ἀπορεῖ καὶ] προσαπορεῖ *C.* ‖ *vel utcunque formas excipit, ad summum quomodo formae coniunguntur cum materia, et quomodo* Sepulv. ‖ 27. εἴδη ὅλως ἢ τὰ εἴδη· καὶ *C.* ‖ 29. τούτων et 30. ὁ et 31. δὲ om *A.* ‖ 32. ὕλης φησὶν αἴτιον *A.*

ἀπὸ τοῦ τελευταίου τοῦ εἰ παρὰ μηθέν, καὶ δείκνυσι τίνα ἕπεται ἄτοπα, εἰ μηδ' ὅλως εἴη παρὰ μηδὲν τῶν καθ' ἕκαστα τὸ κοινόν· οὐδὲν γὰρ ἔσται τὸ νοητόν, ἀλλὰ πάντα τὰ ὄντα αἰσθητά (*)· τοιαῦτα γὰρ τὰ ὅλα καὶ συναμφότερα, παρ' ἃ κεῖται μηδὲν ἄλλο. εἰ δὲ μή ἐστι νοητόν τι, οὐδὲ ἐπιστήμη οὐδενὸς ἔσται· κατὰ γὰρ τὰ κοινά, ἅ ἐστι νοητά, αἱ ἐπιστῆμαι, εἰ μὴ βούλοιτό τις λέγειν τὴν αἴσθησιν ἐπιστήμην· ἐπιστητὰ γὰρ πάντα ἔσται καὶ οὕτω γνωστὰ οὐ κατὰ τὴν κυρίως ἐπιστήμην λεγόμενα. προστίθησι δὲ τούτοις ὅτι οὐδὲ ἀΐδιον οὐδὲ ἀκίνητον·
999b 4. "τὰ γὰρ αἰσθητὰ πάντα φθείρεται καὶ ἐν κινήσει ἐστίν," τουτέστιν ἐν ῥύσει· κατὰ τὸ ἔνδοξον ἐπιχειρῶν, καὶ καθ' οὓς ἐδόκει πάντα τὰ αἰσθητὰ γεννητὰ εἶναι καὶ φθαρτά. μάλιστα δὲ τοῦτο ἐδόκει Πλάτωνι· καὶ γὰρ εἰ ὑπετίθετο τὸν κόσμον μὴ φθείρεσθαι, ἀλλὰ τῇ γε αὐτοῦ φύσει φθαρτὸν αὐτὸν ἔλεγεν εἶναι. ἄλλως δὲ καὶ εἵπετο φθαρτὸν αὐτὸν εἶναι, γεννητόν τε ὄντα, ἐπεὶ αὐτῷ γε κινεῖσθαι μὲν πάντα δοκεῖ τὰ αἰσθητά, οὐ μὴν καὶ φθαρτὰ εἶναι· τὸ γὰρ κυκλοφορητικὸν σῶμα πᾶν ἀγέννητόν τε καὶ ἄφθαρτον ἡγεῖται. ἀλλὰ νῦν, ὡς ἔφην, κατὰ τὸ ἔνδοξον ἐπιχειρεῖ· οἷς γὰρ δοκεῖ πάντα τὰ αἰσθητὰ ἔνυλα εἶναι καὶ ἐν ῥύσει συνεχεῖ, τούτοις καὶ φθαρτὰ αὐτὰ εἶναι δοκεῖ. λαβὼν δὲ τὸ μηδὲν ἔσεσθαι ἀΐδιον, εἰ μή τι εἴη παρὰ τὰ αἰσθητά, ἐπιφέρει τούτῳ
999b 5. ὡς ἀκόλουθον τὸ "ἀλλὰ μὴν εἴγε ἀΐδιον οὐδέν ἐστιν, οὐδὲ γένεσιν εἶναι δυνατόν· ἀνάγκη γὰρ εἶναί τι τὸ γιγνόμενον καὶ ἐξ οὗ γίγνεται, καὶ τούτων τὸ ἔσχατον ἀγέννητον, εἴπερ ἵσταταί τε καὶ ἐκ μὴ ὄντος γίγνεσθαι ἀδύνατον," δεικνὺς ὅτι εἰ μή ἐστί τι ἀΐδιον, οὐδὲ γένεσις ἔσται, εἰ δὲ μὴ γένεσις, οὐδὲ τὰ γενητά, εἰ δὲ μὴ τὰ γενητά, οὐδὲ τὰ αἰσθητά· ᾧ ἀκολουθεῖ τό, εἰ μόνα τὰ αἰσθητά ἐστι, μηδὲ τὰ αἰσθητὰ ἔσεσθαι. ὅτι δὲ εἰ μή ἐστί τι ἀΐδιον, οὐδὲ γένεσις ἔσται, οὕτως ἔδειξεν. εἰ γίγνεταί τι, ἀνάγκη εἶναι τὸ γιγνόμενον καὶ ἄλλο τούτου τὸ ἐξ οὗ γίγνεται· οἷον εἰ ἄνθρωπος γίγνεται, δεῖ εἶναι καὶ δύνασθαι εἶναι καὶ τοῦτο ὃ γίνεται ἄνθρωπος· ἀνυπάρκτου γὰρ ὄντος τοῦ ἀνθρώπου οὐδ' ἂν γένοιτο ἄνθρωπος. δεῖ οὖν εἶναί τι τὸν ἄνθρωπον ὃ λέγεται γίνεσθαι, καὶ ἔτι τὸ ἐξ οὗ γίγνεται οὗτος· πᾶν γὰρ τὸ γιγνόμενον ἐξ οὐ τοιούτου· εἰ γὰρ ἦν τοῦτο, οὐκ ἂν ἐγίνετο· τοῦτο δέ ἐστι τὸ ὑποκείμενον καὶ ὕλη, τούτων ὑποκειμένων ἐξ ὧν γίνεται τὰ γινόμενα· ἐν ἀϊδίῳ γὰρ τὰ προσεχῆ ὑποκείμενα, ἄλλο γὰρ ἄλλῳ τῶν ὑποκειμένων τὸ προσεχῶς ὑποκείμενον. τούτων δὴ τῶν ὑποκειμένων, φησίν, ἀνάγκη τὸ ἔσχατον ὑποκείμενον ἀΐδιον εἶναι. ἔσχατον δὲ ὑποκείμενόν ἐστιν ἡ πρώτη ὕλη· ἀναλύοντες γὰρ τὰς προσεχεῖς ὕλας τῶν γιγνομένων ἐν ἐκείνῃ ἐσχάτῃ παυόμεθα. ἣν ἐσχάτην ὅτι ἀναγκαῖόν ἐστιν ἀΐδιον εἶναι, δείκνυσιν ἐκ τοῦ, εἰ μή ἐστί τι ἔσχατον ὑποκείμενον, ἐξ οὗ ἡ γένεσις, ἀκολουθήσει ἢ ἐπ' ἄπειρον γίνεσθαι ἄλλο ἐξ ἄλλου ἢ ἐκ τοῦ μὴ ὄντος γίνεσθαι· ἀμφότερα δὲ ἀδύνατα. εἰ γὰρ πᾶν τὸ ληφθὲν ὑποκείμενον γέγονε, δεήσει αὐτὸ ἢ ἐξ ἄλλου ὑποκειμένου γεγονέναι ἢ ἐκ τοῦ μὴ ὄντος, εἰ γέγονε μέν, οὐκ ἐξ ὑποκειμένου δέ. ἀλλὰ μὴν ἀμφοτέρως ἀδύνατον. οὔτε γὰρ ἐκ μὴ ὄντος οἷόν τε γίνεσθαι· κοινὴ γὰρ αὕτη δόξα τῶν περὶ φύσεως εἰπόντων τι, τὸ μηδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, καὶ φανερῶς ἄτοπον καὶ ἀδύνατον τὸ οὕτω τι λέγειν γίνεσθαι. ἀλλὰ μὴν οὐδὲ ἐπ' ἄπειρον οἷόν τε ἄλλο ἄλλου αἴτιον εἶναι καὶ ἄλλο ἄλλῳ ὑποκεῖσθαι κατ' εὐθυωρίαν, ὡς ἔδειξεν ἐν τῷ ἐλάττονι τῶν Α (c. 2) ὄντι πρὸ τούτου. εἰ τοίνυν μηδέτερον, ἢ οὐκ ἔσται γένεσις, ἢ τὸ πρῶτον ὑποκείμενον ἀΐδιον καὶ ἀγένητον ἔσται. ἕπεται ἄρα τῷ μηδὲν ἀΐδιον εἶναι τὸ μηδὲ γένεσιν εἶναι. δύναται δὲ τὸ καὶ "τούτων" εἰρῆσθαι μὴ μόνον ἐπὶ τῆς ὕλης, ἥτις ἐστὶ τὸ ἐξ οὗ γίγνεται, ἀλλὰ καὶ ἐπὶ τοῦ γενομένου· δοκεῖ γὰρ ἐν τοῖς κατὰ φύσιν γιγνομένοις τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου γίγνεσθαι· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ὥστε εἰ γίνεται ἄνθρωπός τις, δεῖ ἄνθρωπον εἶναι, τὸν γὰρ ποιοῦντα καὶ γεννῶντα. ἀναγκαῖον δὲ καὶ ἐπὶ τούτων εἶναι ποιητικὸν ἀΐδιον, καὶ αὐτὸς μετὰ τὸ περὶ ὕλης εἰπεῖν ἐπιχειρεῖ δεικνύναι ὅτι καὶ τὸ γινόμενον ἀΐδιον εἶναι δεῖ (*). Alex.

(*) εἰ μή τις κατὰ τὸν Πρωταγόραν εἰς τὸ αὐτὸ περιάγει τὴν 999b 3.
αἴσθησιν καὶ τὴν ἐπιστήμην. Asclep.

(*) ἐμνήσθη καὶ ταύτης τῆς ἀπορίας ἀνωτέρω, οὐκ ἐφεξῆς δὲ 999b 7.
αὐτῶν μνησθεὶς εἰκότως ἐνταῦθα συνέταξεν αὐτὰς ὡς ἔχονται ἀλλήλων, ὥς φησιν αὐτός. μετὰ γὰρ τὸ διαπορῆσαι περὶ τῶν γενῶν τῶν πόρρω καὶ τῶν ἐσχάτων, ἐφεξῆς ἀπορεῖ καὶ περὶ τῶν αἰσθητῶν. id.

"ἔτι — εἶναι." ἡ ἐπιχείρησις καὶ αὕτη γίνεται εἰς τὸ εἶναί τινα 999b 8.
ἀρχὴν γενέσεως, ὅ ἐστι πρῶτον ὑποκείμενον ἀγέννητον, καὶ μὴ ἐπ' ἄπειρον γίνεσθαι ἄλλο ἐξ ἄλλου. ἔστι δὲ δυνάμει τοιαύτη. εἰ πάσης κινήσεως καὶ πάσης γενέσεώς ἐστι πέρας, ἐστὶν αὐτῶν ἀρχή· οὗ γάρ ἐστι πέρας, τούτου ἀνάγκη καὶ ἀρχὴν εἶναι· μὴ οὔσης γὰρ ἀρχῆς ἀλλ' ἐπ' ἄπειρον ἀνιούσης τῆς γενέσεως ἢ τῆς κινήσεως, οὐδ' ἂν εἴη τέλος τι αὐτῶν. ἀλλὰ μὴν πάσης γενέσεως καὶ κινήσεως τέλος ἐστίν, ὃ ἔλαβε διὰ τοῦ "οὔτε γὰρ ἄπειρός ἐστιν οὐδεμία κίνησις," ὃ ἐν ἄλλοις δέδεικται, διὰ τὸ πᾶσαν κίνησιν εἶναι πόθεν ποῖ· τότε γὰρ αὐξανόμενον πέρας ἔχει τῆς αὐξήσεώς τι, ὁμοίως δὲ καὶ τὸ ἀλλοιούμενον, ὁμοίως δὲ καὶ τὸ φθειρόμενον. ὥσπερ δὲ πάσης κινήσεώς ἐστι πέρας, οὕτω καὶ γενέσεως· οὐδὲν γὰρ ἀδύνατον γενέσθαι γίγνεται· καὶ γὰρ καὶ τοῦτο δέδεικται. ὃ γὰρ οὐχ οἷόν τε γενέσθαι οὐδὲ γίνεται· οὐ γὰρ γίνεται σύμμετρος ἡ διάμετρος, ὅτι οὐ δύναται γενέσθαι τε καὶ ἐπιτελεσθῆναι. ἀδύνατον δὲ γενέσθαι τὸ πέρας μὴ ἔχον τῆς γενέσεως ἀλλὰ γιγνόμενον ἐπ' ἄπειρον, ὥστε οὐδὲ τὴν ἀρχὴν γίγνεται. πᾶν ἄρα τὸ γιγνόμενον γενέσθαι δύναται, τὸ δὲ δυνάμενον γενέσθαι κἂν γένοιτο. ἀλλὰ μὴν τὸ γεγονὸς ἀνάγκη εἶναι ὅτε πρῶτον γέγονεν· ὅτε γὰρ πρῶτόν ἐστι, πέπαυται γινόμενον (*)· δέδεικται γὰρ τοῦτο ἐν τῷ Ζ τῆς Φυσικῆς Ἀκροάσεως (c. 5). εἰ δὲ ἔστιν ὅτε πρῶτον γέγονεν, ἔστι πέρας παντὸς τοῦ γιγνομένου· τοῦ γὰρ τοῦτο λαβεῖν χάριν ἐχρή-

13. αὐτὸν ante ἔλεγεν om *C.* ‖ 14. τε] γε *A.* ‖ 15. καὶ om *V.* ‖ 17. εἶναι et 24. εἰ δὲ μὴ τὰ γενητά om *A.* ‖ 27. τό τε γιγνόμενον τουτέστι ὃ γίνεται τὸ γινόμενον *C.* ‖ 29. ἀνυπάρκτου — 30. ἄνθρωπος om *A.* ‖ 34. τὸ] τῶν *AC.*

4. γίνεσθαι om *A.* ‖ οὐδ' *C.* ‖ 6. τῶν om *C.* ‖ μηδέτερον ἢ παρὰ τὰ καθ' ἕκαστα ἢ οὐκ *A.* ‖ 13. ἀΐδιον — 15. δεῖ] τοῦτο δὲ ἀΐδιον δεῖ εἶναι *A.* ‖ 36. τε om *A.* ‖ 40. γέγονε· τὸ γὰρ ὅτε ἔστι πέπαυται γιγνόμενον *C.* ‖ ἔστι περὶ ταῦτα γινόμενον *A.*

χεῖρον τῶν εἰδῶν· ὥστε οὐδὲν τῶν γενῶν ἀρχή, ἀλλὰ μᾶλλον ἔσται τὰ ἄτομα εἴδη ἀρχαί, ὅτι τῶν ὑπ' αὐτὰ ἀτόμων οὐκ ἔστι τὸ μέν τι πρότερον τὸ δὲ ὕστερον. συνεχρήσατο δὲ πρὸς τὴν ἀπορίαν τῇ τοῦ πρώτου ὁμωνυμίᾳ· τῇ δὲ τοῦ πρώτου ὁμωνυμίᾳ χρῆται πρὸς τὸ δεικνύναι μηδὲν ὂν τὸ γένος παρὰ τὰ ὧν κατηγορεῖται. ἐπὶ γοῦν τῶν ζῴων τὸ μὲν βέλτιον τὸ δὲ χεῖρον. ὁ θεὸς βέλτιον· διὰ τοῦτο καὶ πρῶτον. τῶν ἄλλων πάντων ζῴων ὁ ἄνθρωπος ζῷον βέλτιόν τε καὶ πρῶτον. ἀλλὰ καὶ ἐν χρώμασι τὸ λευκὸν βέλτιον τῶν ἄλλων, καὶ ἐν χυμοῖς ὁ γλυκύς. εἰπὼν δὲ ταῦτα ὑπὲρ τοῦ δεῖξαι τὰ εἴδη μᾶλλον καὶ τὰ ἔσχατα γένη ἀρχὰς τῶν κοινῶν καὶ γενικωτάτων ἐπιφέρει
999a 14. "ἐκ μὲν οὖν τούτων μᾶλλον φαίνεται τὰ ἐπὶ τῶν ἀτόμων κατηγορούμενα ἀρχὰς εἶναι τῶν γενῶν." ἑξῆς δὲ πάλιν ἐπιχειρεῖ πρὸς τὸ μὴ δύνασθαι τὰ ἄτομα εἴδη ἀρχὰς εἶναι (′). ἡ δὲ ἐπιχείρησις τοιαύτη. δεῖ τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τινὸς εἶναι παρὰ τὸ πρᾶγμα τοῦτο οὗ ἀρχὴ καὶ αἰτία ἐστί, καὶ δύνασθαι χωρὶς ἐκείνου εἶναι οὗ ἐστιν αἰτία. οὐδὲν δὲ δύναται εἶναι καθ' αὑτὸ κεχωρισμένον, εἰ μὴ ὃ μή ἐστι καθ' ἕκαστον. εἰ γάρ τις τὰ εἴδη λέγει εἶναι, ὅτι καθόλου πάντων τῶν ὑφ' ἑαυτὰ καὶ τῶν καθ' ἕκαστα ὃ κατηγορεῖται, καὶ ἔστιν ἄλλα ἑκάστου αὐτῶν, καὶ διὰ τοῦτο ἀρχὰς αὐτὰ λέγοι, τούτῳ τῷ λόγῳ τὰ ἐπαναβεβηκότα γένη μᾶλλον ἀρχαὶ τῶν εἰδῶν ἔσονται· μᾶλλον γὰρ ἐκεῖνα κοινὰ καὶ πλειόνων κατηγορεῖται. πάνυ δὲ κατὰ τὸ ἔνδοξον καὶ λογικῶς ἐπικεχείρηκε ταῦτα. id.

999a 16. (′) ἐντεῦθεν αὐτοφυῶς καὶ τῇ φύσει τῶν πραγμάτων ἑπόμενος δείκνυσιν ὅτι μᾶλλον τὰ γένη ἀρχαὶ τῶν ὄντων ὑπάρχουσι, τὰ ἐξηρημένα δηλονότι. καὶ τοῦτο σαφῶς ἐνδείκνυται. Asclep.

999a 24. "ἔστι — νῦν." χαλεπωτάτην τέ φησιν ἀπορίαν καὶ ἀναγκαιοτάτην εἶναι τὸ διορισθῆναι πρὸς τὴν γνῶσιν τῶν ἀρχῶν καὶ ὅλως πρὸς τὴν προκειμένην πραγματείαν, ἣ ἤρτηται μὲν τῶν εἰρημένων πρὸ ὀλίγου περί τε τῶν γενῶν καὶ τῶν εἰδῶν, ἐχομένη δέ ἐστι τῆς προειρημένης, ὅτι ἐν ἐκείνῃ μὲν ἐζητοῦμεν ποῖον μᾶλλον ἀρχὴ τῶν κοινῶν, τὸ κοινότερον ἢ τὸ προσεχέστερον· ἔπειτα ὅτι δεῖ τὴν ἀρχὴν χωριστὴν εἶναι καὶ αὐτὴν καθ' αὑτὴν ὑφίστασθαι, ἀνείλομέν τε τὸ εἶναί τι ἐκείνων ἀρχήν. ἐνταῦθα δὲ ζητεῖται εἰ ἔστι τι παρὰ τὰ καθ' ἕκαστα καὶ τὰ ἄτομα τὸ κοινὸν τοῦτο, ὃ λέγομεν γένος καὶ εἶδος, εἴτε καὶ μή· καὶ τίνα τε ἄτοπα ἕπεται τεθέντος μὴ εἶναι δείκνυσι, κἂν λέγοι τις εἶναι, πάλιν τὰ τῇ ὑποθέσει ταύτῃ χαλεπὰ ἑπόμενα ἐρεῖ. εἰ μὲν οὖν μηδὲν εἴη παρὰ τὰ καθ' ἕκαστα, ἀναιρεθήσεται ἐπιστήμη· τὰ μὲν γὰρ καθ' ἕκαστα ἄπειρα, τῶν δὲ ἀπείρων ἀδύνατον γνῶσιν καὶ ἐπιστήμην καὶ περίληψιν γενέσθαι· ἡ γὰρ γνῶσις καὶ ἡ ἐπιστήμη τῶν καθ' ἕκαστα γίγνεσθαι δοκεῖ, καθὸ ἕν τι καὶ ταὐτόν ἐστιν ἐν πᾶσιν αὐτοῖς, κατὰ γὰρ τὸ καθόλου κοινῶς αὐτῶν κατηγορούμενον· ὅπερ εἰ μὴ εἴη, οὐδ' ἂν γνῶσις αὐτῶν δύναται γίγνεσθαι. εἰ δέ ἐστιν ἐπιστήμη καὶ γνῶσις, ὅλως ἀκολουθήσει τὸ καὶ παρὰ τὰ καθ' ἕκαστα εἶναί τι κοινόν, καθ' ὃ ἡ γνῶσις καὶ ἡ ἐπιστήμη συστήσεται, τοῦτο δέ ἐστι τὸ γένος ἢ τὸ ἔσχατον, ὃ κυρίως εἶδος καλεῖται, ἢ τὸ πρῶτον, ὃ γένος ἐστίν (″). καὶ ὅτι μηδὲν τούτων ἐστίν, ἄρτι, φησί, διηπορήσαμεν, ἀναπέμπων ἡμᾶς ἐφ' ἃ εἴρηκε ζητῶν εἰ τὸ εἶδος ἀρχή· εἶπε γὰρ "τὴν μὲν ἀρχὴν δεῖ καὶ τὴν αἰτίαν εἶναι παρὰ τὰ πράγματα ὧν ἀρχή, καὶ δύνασθαι εἶναι χωριζομένην αὐτῶν" (l. 17)· τοιοῦτον δέ τι παρὰ τὰ καθ' ἕκαστον εἶναι ἄν τις ὑπολάβοι. ἀλλὰ καὶ πρὸ ὀλίγου δοκεῖ δεδεῖχθαι ὅτι τὸ κοινῶς κατηγορούμενον τινῶν οὐδέν ἐστι παρὰ τὰ ὧν κατηγορεῖται (′)· δείξας γὰρ ἐπὶ τῶν σχημάτων καὶ τῶν ἀριθμῶν τοῦτο ὁμολογούμενον, ὅτι ἐν αὐτοῖς ἐστὶ τὸ πρῶτον καὶ τὸ ὕστερον, ἐπήνεγκεν ὅτι εἰ μὴ ἐπὶ τούτων, οὐδὲ ἐπὶ τῶν ἄλλων ἔσται τι τὸ κοινὸν παρὰ τὰ καθ' ἕκαστα· εἰ γὰρ ἦν, μάλιστα ἐπὶ τούτων ἦν. Alex.

(″) εἰ οὖν τοῦτο ἀναγκαῖόν ἐστι καὶ δεῖ τι εἶναι παρὰ τὰ καθ' 999a 30. ἕκαστα, ἀναγκαῖον ἂν εἴη τὰ γένη εἶναι παρὰ τὰ καθ' ἕκαστα· ταῦτα γάρ ἐστι τὰ καθόλου· καὶ φανερὸν ὡς ὅτι ἤτοι τὰ ἔσχατα ἢ τὰ πρῶτα. Asclep.

(′) καλῶς ἔθηκεν τὸ "διηπορήσαμεν·" τῷ ὄντι γὰρ ἠπορήσε 999a 31. μὲν οὐκ ἤλεγξε δέ· τὸ γὰρ ἀληθὲς οὐδέποτε ἐλέγχεται. id.

"ἔτι — ὕλης." τὸ μὲν σύνολον λέγει τὸ καθ' ἕκαστον καὶ αἰσθητὸν 999a 33. καὶ συναμφότερον ἐξ ὕλης καὶ εἴδους· τοῦτο γὰρ μᾶλλον ἔθος αὐτῷ λέγειν τὸ καθ' ἕκαστα καὶ συγκεχυμένον. τὸ δὲ "ὅταν κατηγορηθῇ τι τῆς ὕλης" ἤτοι δηλωτικόν ἐστι τοῦ ὅλου καὶ συνόλου· τότε γὰρ ὅλον τί ἐστιν, ὅταν κατηγορηθῇ τι τῆς ὕλης, τουτέστιν ὅταν ἐν τῇ ὕλῃ ἐπιγένηται· τοῦτο δέ ἐστι τὸ εἶδος· εἶδος γὰρ ἡ ὕλη λαβοῦσα γίγνεται τὸ σῶμα. ἢ "τῆς ὕλης" τοῦ ὑποκειμένου νῦν λέγει, ὃ σύνολον εἶπεν, ὅταν κατηγορήσωμεν αὐτῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. εἰ καὶ δοθείη εἶναι τὸ καθόλου, τουτέστι τὰ γένη καὶ εἴδη (ταῦτα γὰρ τὰ κατηγορούμενα τῆς ὡς ὕλης οὐσίας, ἥτις ἐστὶν ἡ ἄτομος παρὰ τὰ ὧν ἐστι γένη καὶ εἴδη ἀτόμων), πότερον παρὰ πάντα τὰ ἄτομά ἐστι ταῦτα τὰ καθόλου καὶ ἐπὶ πᾶσιν ἀτόμοις, εἴτε φυσικὰ εἴη εἴτε τεχνικά, εἶναί τι τὸ κοινὸν παρ' ἐκεῖνα, ἢ παρὰ μὲν ἔνια ἄτομά ἐστί τι τὸ κοινόν, παρὰ δὲ ἔνια οὐδέν ἐστι κοινόν. εἰπὼν δὲ ταῦτα, ἃ εἵπετο τῇ ὑποθέσει, ἑξῆς ὑπήνεγκε τὸ "ἢ παρ' οὐθέν ἐστιν," ἀναιρετικὸν ὂν τῆς ὑποθέσεως. εἰ γὰρ περὶ μηδὲν εὑρίσκοιτο τῶν καθ' ἕκαστα δυνάμενον κοινὸν εἶναι, χωριστόν. προσθεὶς δὲ ταῦτα, ἄρχεται

1. οὐδὲ C. ‖ 3. πρῶτον A. ‖ 10. γενικωτάτων ἔλαβε δι' ὧν ἐπιφέρει C. ‖ 16. οὐδενὶ C. ‖ εἰ μὴ om C. ‖ 16. *nam si quis hoc tribuat speciebus, quoniam universaliter de omnibus sibi subiectis individuis praedicatur, cum praedicatum diversum ab ipsorum singulis sit, ac idcirco has principia esse dicat, nimirum eadem ratione suprema genera potius quam species principia esse reperientur.* Sepulv. ‖ 18. ἕκαστα εἰ γὰρ ὁ C. ‖ 19. ἄλλο C. ‖ αὐτοῦ C. ‖ 32. ὑφίστασθαι λαμβάνοντες· ἀνῃρημένον τὸ C.

3. δέ ἐστιν] δὲ ἡ C. ‖ 9. περὶ C. ‖ 10. χωριζομένων C. ‖ 25. ὅταν] ὅ τις ἂν L. ‖ 26. ἤτοι — 27. τῆς ὕλης om A. ‖ 26. τε om AV. ‖ 29. ἢ om L. ‖ ὃ — 30. αὐτῶν om AC. ‖ 30. ὅταν κατηγορηθῶμεν τι τῶν αἰσθητῶν, ἃ ἐστιν ὅλα καὶ ὡς ὅλαι ὑπόκεινται τῷ κατηγορουμένῳ ἐστί τι τοῦτο ὁ L. ‖ ὃ δὲ λέγει] τὸ δὲ ἐπιχείρημα A. ‖ *quod totum appellavit, cum aliquid de ipsis praedicatur. est autem sensus ect.* Sepulv. ‖ 32 et 33. περὶ C. ‖ 33. τὰ om A. ‖ 35. εἶναί] ἐστὶ A. ‖ περὶ C. ‖ 36. περὶ C. ‖ 38. ὂν om C. ‖ γὰρ] δὲ A. ‖ *si enim nihil commune reperiatur, quod a singulis seiunctum esse possit, ne fuerit quidem aliquid praeter singularia.* Sepulv.

ὅτι ἐν τῇ οὐσίᾳ ἔχουσι τὸ εἶναι τὰ συμβεβηκότα. εἰ οὖν μή ἐστι γένος, δῆλον ὡς ὅτι οὐδὲ ἀρχαί. ἰστέον οὖν ὅτι οἱ ἐκ τοῦ Περιπάτου οὐ πάνυ διήρθρωσαν τὴν περὶ τῶν διαφορῶν θεωρίαν· δυνάμει γὰρ λέγουσιν εἶναι τὰς διαφορὰς ἐν τοῖς γένεσι. διὰ τοῦτο γὰρ καὶ ὁ Πορφύριος φησὶν ἄλλως ἀξιοῦσιν, ὡς μὴ δεχόμενος τὰ παρ' αὐτῶν· ἐνεργείᾳ γὰρ ὑπάρχουσιν αἱ διαφοραί. καὶ οὐδὲν ἄτοπον· οὔτε γὰρ τόπος ἐστὶν ἐκεῖσε οὔτε μόριον, οὔτε δὲ ἐναντία ὑπάρχουσι. τί οὖν ἄτοπον τὸ θεωρεῖσθαι τὰς διαφορὰς ἐν τοῖς γένεσιν; ὡς γὰρ εἴρηται, οὐκ εἰσὶν αὗται καθ' αὑτὰς αἱ διαφοραί. φαμὲν οὖν ἡμεῖς πρὸς αὐτὸν ὅτι τῷ ὄντι ἐπὶ τῶν κατατεταγμένων γενῶν εἴρηται ὁ λόγος, καὶ ἔνθα τὸ πρότερον καὶ τὸ ὕστερον θεωρεῖται, τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος, ἐπειδὴ ἐν τῇ ὕλῃ θεωροῦνται καὶ ὑπάρχουσιν ἐννοηματικά. διὸ ἐπὶ τῶν ὑστερογενῶν καὶ ἐννοηματικῶν κρείττονα τὰ αἰσθητὰ καὶ τὰ ἄτομα τῶν γενῶν, ὡς ἐν Κατηγορίαις (c. 5) ἐλέγετο. ἐπὶ μέντοι γε τῶν ἐξῃρημένων οὐδέν ἐστιν ἄτοπον τὸ ὂν καὶ τὸ ἓν γένη ὑποτίθεσθαι· τὰ γὰρ ἐξῃρημένα γένη ὑπὸ περιουσίας δυνάμεως προέχουσιν ἅμα πάσας τὰς διαφοράς· αἵτινες διαφοραὶ παρακτικαὶ γίνονται τῶν τῇδε, καὶ τῷ ὄντι γένος ἐστὶ τό τε ὂν καὶ τὸ ἓν ὡς παρακτικὸν πάντων ὑπάρχον ἀθρόως. Asclep.

999a 1. "ἀλλὰ — ἐστιν." ἐπιχειρήσας πρῶτον ὅτι τὰ ἀνωτάτω γένη μᾶλλον ἀρχαὶ τῶν ὄντων, νῦν ὅτι τὰ εἴδη μᾶλλον ἀρχὴ τῶν γενῶν ἐπιχειρεῖ δεικνύναι. εἰ γὰρ τὸ ἓν ἀρχῆς ἐπέχει χώραν, τὸ μᾶλλον ἓν μᾶλλον ἂν ἀρχὴ εἴη. ἀλλὰ μὴν τὸ ἓν ἀδιαίρετόν ἐστι· τὸ γὰρ μὴ διῃρημένον ἢ ἀδιαίρετον μᾶλλον ἀρχή· ἔστι δὲ μᾶλλον ἀδιαίρετον τὸ εἶδος τοῦ γένους, ὥστε καὶ μᾶλλον ἀρχή. ὅτι δὲ μᾶλλον ἀδιαίρετον, οὕτως ἔδειξε. τὸ ἀδιαίρετον ἢ κατ' εἶδος ἢ κατὰ τὸ ποσόν· κατ' εἶδος μὲν ἀδιαίρετον τὸ μηκέτι εἰς εἴδη διαιρούμενον, ὁποῖά ἐστι τὰ ἄτομα εἴδη, κατὰ δὲ τὸ ποσὸν ἀδιαίρετον τὸ μὴ τῷ ἀριθμῷ διαιρούμενον, οἷόν ἐστι τὸ ἓν τῷ ἀριθμῷ καὶ καθ' ἕκαστον· ἕκαστον γὰρ τούτων ἓν ὂν τῷ ἀριθμῷ οὐκέτι εἰς ποσὰ πολλὰ κατ' ἀριθμὸν ὅμοια αὐτῷ διαιρεῖται· τὸ γὰρ κατὰ τὸ ποσὸν διαιρετὸν κατὰ ἀριθμὸν νῦν λέγει. πρῶτον δὲ τῇ τάξει καὶ τῇ φύσει τῶν ἀδιαιρέτων τούτων τὸ τῷ εἴδει ἀδιαίρετον τοῦ κατὰ τὸ ποσὸν διαιρουμένου. τὸ δὲ τῷ ποσῷ ἀδιαίρετον τοῦτο ἔξωθεν ἱστορήσας, μετὰ ταῦτα δείκνυσιν ὅτι τὰ μὲν γένη εἰς εἴδη διαιρεῖται, τὰ δὲ ἔσχατα εἴδη ἀδιαίρετα κατ' εἶδος, διὸ καὶ μᾶλλον ἀρχαὶ εἶεν τὰ ἔσχατα εἴδη μᾶλλον ὄντα ἕν. εἰπὼν δὲ τὰ γένη διαιρεῖσθαι εἰς εἴδη, ἵνα μή τις ἡγῆται καὶ τὰ ἄτομα εἴδη αὐτὸν λέγειν, ὃ μέχρι νῦν ἔλεγεν, ἐπήνεγκε τὸ "οὐ γὰρ γένος ἄνθρωπος τῶν τινῶν," ὧν κατηγορεῖται ἀνθρώπων, καὶ εἰς οὓς διαιρεῖται· διαιρεῖται μὲν γὰρ ὁ ἄνθρωπος, ἀλλ' οὐκ εἰς εἴδη (οὐ γάρ ἐστι γένος) ἀλλ' εἰς ἄτομον μόνον, τὸ δὲ γένος κατὰ τὰ εἴδη καὶ κατὰ τὰ ἄτομα διαιρεῖται. Alex.

"ἔτι — ταῦτα." καὶ τοῦτο ἐπιχειρεῖ πρὸς τὸ ὅτι δεῖ τὰ ἔσχατα 999a 6.
γένη, τουτέστι τὰ ἄτομα, ἤδη μᾶλλον ἀρχὰς λέγειν τῶν ἀνωτάτω καὶ κοινοτάτων γενῶν· τὰ γὰρ γένη τὰ κατὰ τῶν εἰδῶν κατηγορούμενα οὐδὲ τὴν ἀρχήν ἐστί τι παρὰ τὰ εἴδη ὧν κατηγορεῖται. δείκνυσι δ' αὐτὸ οὕτως. ἐν οἷς τὸ πρότερον καὶ ὕστερόν ἐστι, τὸ ἐπὶ τούτοις κοινῶς κατηγορούμενον ὡς γένος οὐδέν ἐστι παρὰ ταῦτα ὧν κατηγορεῖται· οἷον εἰ ἐπ' ἀριθμῶν πρώτη τῶν ἀριθμῶν δυὰς ἢ τριάς, οὐκ ἔστιν ἀριθμοῦ τις ἄλλη φύσις παρὰ τούτους τοὺς ἀριθμούς, δυάδα καὶ τριάδα καὶ τὰ ἑξῆς, ὧν ὡς γένος κατηγορεῖται. ὁμοίως καὶ περὶ τῶν σχημάτων οὐδέν ἐστι τὸ κοινῶς κατηγορούμενον τῶν σχημάτων ὡς σχῆμα παρὰ τρίγωνον καὶ τετράγωνον καὶ τὰ ἄλλα ἀκολούθως τούτοις κατὰ τὴν τάξιν. τοῦτο δὲ λαμβάνει ὡς κἀκείνοις δοκοῦν· οὗτοι γὰρ ἀρχὰς τῶν ὄντων τὰ ἀνωτάτω ἐτίθεντο γένη, ὡς ἱστόρησε, τὸ ἓν καὶ τὸ ὂν καὶ τὸ μέγα καὶ μικρόν (εἰσὶ δὲ οὗτοι οἱ περὶ Πλάτωνα)· ἐν οἷς γὰρ τὸ πρότερον καὶ ὕστερόν ἐστιν, ἐν τούτοις ἔλεγον μὴ εἶναί τι τὸ κοινὸν παρὰ τὰ ὧν κατηγορεῖται. διὰ τοῦτο γοῦν οὐδὲ ἰδέαν ἔλεγον εἶναι τούτων, ὡς ἱστορεῖ ἔν τε ἄλλοις καὶ ἐν τῷ πρώτῳ τῶν Νικομαχείων Ἠθικῶν (c. 4). λαβὼν οὖν τὸ ἐν τούτοις κατ' αὐτοὺς ἐκείνους μηδὲν εἶναι τὸ κοινὸν παρὰ τὰ ὧν κατηγορεῖται (μήτε γὰρ ἐν ἀριθμοῖς μήτε ἐν σχήμασι), προστίθησιν αὐτὸς τὸ εἰ μὴ ἐπὶ τούτοις ἐστὶ κοινὸν παρὰ τὰ ὧν κατηγορεῖται. τοῦτο δὲ ἤτοι ὡς πᾶσι τοῖς γένεσιν ὄντος τινὸς προτέρου καὶ ὑστέρου καὶ μέσης τινὸς διαφορᾶς ἔν τε τοῖς αὐτοῖς κατηγορουμένοις καὶ ἐν τοῖς ἄλλοις γένεσιν, ἀλλ' ὁμοίως τούτων τε καὶ ἐκείνων ὄντων γενῶν. εἰ οὖν ἐν τοῖς μάλιστα δοκοῦσι γένεσιν εἶναι μὴ ἔστι τι τὸ κοινὸν παρὰ τὰ ὧν κατηγορεῖται, οὐδὲ ἐν τοῖς ἄλλοις ἂν εἴη, κἂν εἰ μή ἐστιν ἐν αὐτοῖς τὸ πρότερον καὶ ὕστερον. διὰ τοῦτο δὲ μάλιστα δοκοῦσι γένη τε καὶ ἀρχαὶ εἶναι, ὅτι μάλιστα ὄντα ἐδόκουν αὐτοῖς εἶναι οἱ ἀριθμοὶ καὶ τὰ σχήματα, ὧν τὰ γένη μάλιστα ἂν εἴη. ἔτι δοκεῖ ἐναργῶς τὸ μὲν σχῆμα τῶν σχημάτων ὁ δὲ ἀριθμὸς τῶν ἀριθμῶν ὡς γένος κατηγορεῖσθαι. εἰ οὖν τὸ ἐν τούτοις κοινὸν μὴ ἀρχή, οὐδ' ἂν τὸ ἐν τοῖς ἄλλοις. εἰ γὰρ μηδέν ἐστι τὸ κοινὸν καὶ γένος παρὰ τὰ εἴδη ὧν κατηγορεῖται, οὐδ' ἂν ἀρχὴ εἴη, ἀλλὰ μᾶλλον τὰ εἴδη τὰ κατὰ τῶν ἀτόμων κατηγορούμενα· ἐν γὰρ τοῖς ἀτόμοις οὐκ ἔστι τὸ μὲν πρότερον τὸ δ' ὕστερον· ὥστε τὸ κατὰ τούτων κατηγορούμενον εἶδος μηδὲν εἶναι δοκεῖν παρὰ τὰ ἄτομα. εἰ δὲ ἐπὶ τῶν σχημάτων καὶ τῶν ἀριθμῶν μή ἐστι τὸ σχῆμα, ὁ ἀριθμός, τὰ κοινὰ ἀρχαί, ἀλλὰ τὸ τρίγωνον καὶ ἡ δυὰς τῶν καθ' ἕκαστα δυάδων, οὕτως ἂν καὶ ἐπὶ τῶν ἄλλων ἔχοι, καὶ εἴη ἂν τὰ ἄτομα εἴδη ἀρχαί, οὐ τὰ κοινὰ γένη. τοῖς δὲ προειρημένοις προστίθησι, δεικνὺς ὅτι ἐν πᾶσι τοῖς γένεσιν ἔστι τὸ μὲν πρότερον τὸ δ' ὕστερον· ἔστι γὰρ εἷς τοῦ προτέρου τρόπος καὶ τὸ βέλτιον, ὡς ἐν τῇ τοῦ προτέρου διαιρέσει ἐν Κατηγορίαις (c. 12) ἔδειξεν, ἐν πᾶσι δὲ τοῖς γένεσίν ἐστι τὸ μὲν βέλτιον τὸ δὲ

21. ὄντων, ἐπιχειρεῖ δεικνύναι νῦν C. || 23. διαιρετὸν C. || 24. ἐστι] ὅτι C. || 31. διαιρετικὸν C. || 32. f. l. πρότερον. || 33. ἀδιαίρετον οἷον τοῦ C. || διαιρεῖσθαι C. || 34. f. δὲ τὸ τῷ. || f. l. ἱστορήσας. || 41. ἄτομα C.

1. δεῖ] εἴδη C. || 4. ἐστί om C. || περὶ C. || δ' αὐτὸ om C. || 8. ἀριθμοῦ] ἀριθμῶν C. || 9. περὶ] ἐπὶ L. || 11. καὶ τετράγωνον om V. || 14. καὶ τὸ μικρόν V. || 15. καὶ ὕστερόν ἐστι om V. || 18. ἐν et 19. μήτε γὰρ — 21. κατηγορεῖται om C. || 24. κἀκείνων C. || 34. ὥστε] ὡς C.

νων ὑπ' αὐτοῦ· τὰς γὰρ διαφορὰς ὑπὸ τί ἂν τάξαιμεν γένος; δεῖ γὰρ ἔκ τινος γένους αὐτὰς εἶναι, εἴγε τῶν ὄντων καὶ αὐταὶ καὶ τῶν ἐκείνου τοῦ γένους διαφορῶν τὸ οἰκεῖον γένος κατηγορεῖσθαι ἀνάγκη. ἢ γὰρ οὐχ ἕξουσι γένος αἱ διαφοραί, ἢ ἔσονται ὑπὸ τὸ γένος ὃ διαιροῦσιν. εἰ γάρ εἰσι διαφοραὶ ὑπὸ τὴν ποιότητα, πᾶσαι αἱ τῆς ποιότητος αὐτῆς διαφοραὶ δῆλον ὅτι ὑπὸ τὴν ποιότητα ἂν εἶεν. οὕτως τε ἂν κατηγοροῖτο τὸ γένος τῶν οἰκείων διαφορῶν· τὸ γὰρ τὰς μὲν ἄλλας διαφορὰς ποιότητας λέγειν, τὰς δὲ τῆς ποιότητος μηκέτι, ἀλλὰ ὑπὸ ἄλλο τι γένος αὐτὰς τιθέναι, πλασματῶδές τε καὶ ἄτοπον. μή ποτε οὖν αἱ ἐν ἑκάστῳ γένει διαφοραὶ ἐν τῷ αὐτῷ γένει εἰσί, τουτέστιν ἐν τῇ αὐτῇ κατηγορίᾳ· καὶ γὰρ εἰ καὶ μὴ τὸ προσεχές τινων γένος κατηγοροῖτο τῆς διαφορᾶς τῷ ἤδη συναμφότερόν τι τοῦτο εἶναι, ὃ ἐπὶ τῶν οὐσιῶν μόνων γίγνεται (ἐκ γὰρ ταύτης ἐστί τις καὶ ἡ συναμφότερος οὐσία, ἣν οὐχ οἷόν τε ἁπλῶς κατηγορεῖσθαι τοῦ γένους), ἀλλά τό γε ἀνωτέρω ἂν κατηγοροῖτο τὸ ὂν κοινότερόν τε καὶ ἁπλούστερον· ἡ γὰρ οὐσία κοινῶν καὶ ἁπλῶν καὶ συνθέτων οὐσιῶν. ὥστε εἰ καὶ τὸ ζῷον σύνθετός τις εἴη καὶ συναμφότερος οὐσία, καὶ διὰ τοῦτο τῆς διαφορᾶς καθ' αὑτὴν λαμβανομένης οὐ κατηγορεῖται, ἀλλ' ἡ οὐσία αὐτῆς κατηγορηθήσεται· ἢ εἰ καὶ ἡ οὐσία αὐτῆς τῆς τὸ ζῷον διαιρούσης διαφορᾶς κατηγορεῖται, ἤδη δέδεικται τὸ διαιρούμενον γένος ὑπὸ τῆς διαφορᾶς κατηγορούμενον αὐτῆς· τοιοῦτον δὲ ἦν καὶ τὸ λεγόμενον. ἀλλ' εἰ καὶ τοῦτο ἐπί τινων ἀληθές, ἀλλ' οὐκ ἀδύνατον γένος τι τῆς διαιρούσης αὐτὸ κατηγορεῖσθαι διαφορᾶς· ἥτις γὰρ ἂν ληφθῇ τῆς οὐσίας διαιρετικὴ διαφορά, ἀνάγκη ταύτην οὐσίαν εἶναι. οὐ δοκεῖ δὲ τὰ γένη ἴδια τῶν διαφορῶν κατηγορεῖσθαι διὰ τὰς ὁμωνυμίας· τὸ γοῦν διακριτικὸν καὶ ἐν χρώμασι καὶ ἐν χυμοῖς· ποῖον οὖν αὐτοῦ κατηγορηθήσεται; συντεθέντος δὲ αὐτῷ τοῦ οἰκείου γένους εἶδος ἤδη. δεί-
998b 27. ξας δὲ ὅτι τὸ ὂν καὶ τὸ ἓν οὐ γένη, ἀκολούθως ἐπήνεγκε τὸ "ἀλλὰ μὴν εἰ μὴ γένη, οὐκ ἀρχαὶ ἔσονται, εἴπερ ἀρχαὶ τὰ γένη. ἔτι καὶ τὰ μεταξὺ συλλαμβανόμενα μετὰ τῶν διαφορῶν ἔσται γένη." ὃ λέγει νῦν, οὐ πρὸς τὸ τὰ πρῶτα γένη ἀρχὰς εἶναι ἢ μὴ εἶναι λέγειν δόξει μόνον, ἀλλὰ καὶ πρὸς τὸ μὴ εἶναι τὰ γένη ἀρχάς· ἄπειροι γὰρ καὶ πολλαὶ ἔσονται αἱ ἀρχαὶ τῶν ὄντων ἑκάστου. ἑκάστη γὰρ διαφορὰ τῶν ἐν τῷ ἀτόμῳ εἴδει τῷ γένει συντιθεμένη, οὐ ἐστὶ διαφορά, γένος ποιεῖ. ἕκαστον γὰρ τῶν μεταξὺ γενῶν τοῦ τε πρώτου καὶ τοῦ ἀτόμου εἴδους συντιθέμενον τῇ οἰκείᾳ διαφορᾷ γένος ποιεῖ, εἰ καὶ ἐπί τινων μὴ δοκεῖ τῷ μὴ ὠνομάσθαι οἰκείῳ ὀνόματι τὸ γένος ἐκεῖνο· τοῦτο γὰρ σημαίνει τὸ "τὰ μὲν δοκεῖ τὰ δὲ οὐ δοκεῖ." τὸ γὰρ ζῷον πτηνὸν γένος ἐστίν, ὥσπερ τὸ ζῷον, εἰ καὶ μὴ δοκεῖ ὠνομάσθαι. ἢ "τὰ μὲν δοκεῖ" εἶπε, "τὰ δὲ οὐ δοκεῖ," ὅτι, ὡς εἶπεν ἐν τῷ πρώτῳ περὶ Ζῴων (de Part. An. 1 2 et 3), μόνον αἱ στερητικαὶ διαφοραὶ συντιθέμεναι τοῖς γένεσιν οὐ ποιοῦσιν εἴδη οὐδὲ γένη, ὅτι οὐδὲ ὡρισμένον δηλοῦσι. καὶ εἴη ἂν καὶ τοῦτο ὡς ἄτοπον ἑπόμενον τοῖς τὸ ἓν καὶ τὸ ὂν γένος λέγουσιν, ἔπειτα τῇ τοῦ γένους εἰς δύο διαιρέσει τὰ εἴδη καὶ τοὺς ὁρισμοὺς ποιοῦσι. δεῖ μὲν γὰρ καὶ μεταξύ, ἃ γίνεται συντιθεμένων τῶν διαφορῶν τοῖς γένεσι, γένη καὶ τὰ αὐτὰ εἴδη γίνεσθαι· ἐκείνοις δὲ τοῖς εἰς δύο διαιροῦσι τὰ γένη οὐκ ἀκολουθεῖ τοῦτο. ἔτι στερήσει ἀναγκάζονται διαιρεῖν, οὐ ποιεῖ δὲ ἡ στερητικὴ διαφορὰ συντιθεμένη τῷ γένει εἶδος. πολλαὶ οὖν τῶν αὐτῶν ἀτόμων ἐστὶ καὶ πολλαὶ ἀρχαί, εἰ τὸ ὂν καὶ τὸ ἓν γένη τε καὶ ἀρχαὶ τῶν ὄντων. τὸ δὲ "μέχρι τῶν ἀτόμων" λέγοι ἂν τῶν ἐσχάτων εἰδῶν· ταῦτα γὰρ οὐκέτι διαφοραῖς διαιρεῖται. ἔτι δὲ οὐδὲν ἧττον κατά γε τοῦτον τὸν λόγον αἱ διαφοραὶ ἀρχαὶ ἢ τὰ γένη· κοιναὶ γὰρ καὶ αὗται καὶ κατὰ πλειόνων κατηγοροῦνται. εἰ δὴ καὶ αἱ διαφοραὶ ἀρχαί (κοινὰ γὰρ καὶ τὰ γένη τὰ ταῖς διαφοραῖς συλλαμβανόμενα), πολλαὶ καὶ σχεδὸν ἄπειροι ἔσονται αἱ ἀρχαί, ἄλλως τε καὶ εἰ τὸ ἀνωτάτω τις γένος ὡς ἀρχὴν λαμβάνει· πλείους γὰρ τοῦ τοιούτου γένους διαφοραί. ὃ δοκεῖ ἀνάλογον εἶναι· καὶ γὰρ οἱ τὰ γένη τιθέμενοι ἀρχάς, ἐκφυγεῖν οἰόμενοι τὸ πλῆθος τῷ τὸ κοινὸν λαμβάνειν, ἀρχὴν ἐτίθεντο τοῦτο. ὡς δὴ ἀκόλουθον τῷ τὸ πρῶτον γένος ἀρχὴν τιθεμένῳ τὸ καὶ τἄλλα γένη τὰ μετὰ τὸ πρῶτον ἀρχὰς λέγειν, οὕτως εἶπεν· αἱ γὰρ διαφοραὶ εἰ καὶ ἐπὶ πλέον λέγονται τῶν εἰδῶν τῶν γιγνομένων ὑπ' αὐτῶν, ἀλλ' οὐ κατηγοροῦνται αὐτῶν ἐν τῷ τί ἐστιν, οὐδὲ ὡς γένη. id.

998b 24. (') τί οὖν φησὶν ὅτι οὐδέποτε οὔτε τὰ εἴδη διαφορῶν κατηγοροῦνται οὔτε δὲ τὰ γένη αὐτῶν καθ' αὑτῶν τῶν διαφορῶν, δῆλον· οὐδεὶς γὰρ κατηγορεῖ τὸν ἄνθρωπον τοῦ λογικοῦ, οὔτε δὲ τὸ ζῷον κατηγορεῖται τῆς λογικότητος, ἀλλ' εἰ ἄρα, τοῦ λογικοῦ τοῦ ἐν ὑποκειμένῳ θεωρουμένου. εἰ τοίνυν τὸ ὂν καὶ τὸ ἓν κατηγοροῦνται καὶ τῶν διαφορῶν αὐτῶν καθ' αὑτῶν, τουτέστι τῆς λογικότητος, φανερὸν ὅτι οὐχ ὑπάρχουσι γένη. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης· ὁ δὲ ἡμέτερος φιλόσοφός φησι πρὸς αὐτὸν ὅτι ἡ λογικότης αὐτὴ καθ' αὑτὴν ἀνυπόστατος ὑπάρχει. ἀμέλει τοι καὶ ὁ λόγος ὁ παρὰ τῷ δημιουργῷ οὐκ ἔστι τῆς λογικότητος, ἀλλὰ τοῦ λογικοῦ· αὗται γὰρ καθ' αὑτὰς αἱ διαφοραὶ ἀνύπαρκτοι καὶ ἀνυπόστατοι ὑπάρχουσιν, ὥστε οὐδὲ τὸ ὂν οὐδὲ τὸ ἓν τῆς λογικότητος κατηγορεῖται τῆς μὴ οὔσης ἀλλὰ σὺν τῷ μετεχομένῳ, τουτέστι τοῦ λογικοῦ, ὥσπερ καὶ τὸ ζῷον, ὥστε γένη ὑπάρχουσι καὶ τὸ ὂν καὶ τὸ ἕν, καὶ διὰ τοῦτο καὶ ἀρχαί. πάλιν τοίνυν φησὶν ὁ Ἀριστοτέλης ὅτι ἔνθα τὸ πρότερον καὶ τὸ ὕστερον ἐστί, τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος· διὰ τοῦτο καί φαμεν τὴν ψυχὴν μὴ εἶναι γένος τῶν κατὰ μέρος ψυχῶν, ἐπειδὴ ἡ φυσικὴ προτέρα ἐστὶν ὡς συναναιροῦσα μὴ συναναιρουμένη δέ· τὸ γὰρ συναναιροῦν μὲν μὴ συναναιρούμενον δὲ φύσει πρότερον ὑπάρχει. εἰ τοίνυν καὶ ἐπὶ τῶν ὄντων φύσει πρότερον ὑπάρχει ἡ οὐσία ὡς συναναιροῦσα μὴ συναναιρουμένη δὲ τοῖς συμβεβηκόσι, δῆλον ὡς ἔτι τὸ ὂν καὶ τὸ ἓν οὐκ ἔστι γένος, ἐπειδὴ θεωρεῖται ἐπ' αὐτῶν τὸ πρότερον καὶ τὸ ὕστερον (δυνατὸν γάρ ἐστιν εἶναι οὐσίαν καὶ ποσὸν ἄνευ τῶν ἄλλων συμβεβηκότων) καὶ

1. ὑπὸ τί] ὑφ' ὃ C. ‖ τάξωμεν C. ‖ 2. καὶ post αὐταὶ om C. ‖ 4. ἔξω γένος ἐν διαφορᾷ C. ‖ 5. γὰρ αἱ διαφοραὶ C. ‖ 10. αἱ ἐν om C. ‖ 12. εἶδει C. ‖ 13. ἡ om C. ‖ 14. τε τῆς ἁπλῶς C. ‖ 25. *nam discretivum differentia et in coloribus et in saporibus habetur, de ipsa tamen genus quale praedicatur* Sepulv. ‖ 32. δόξει AC.
9. ἢ — 11. ἀρχαί] om C. ‖ 13. λαμβάνει C. ‖ 16. δὴ C. ‖ 17. τε] τῷ C. ‖ 36. καί] γὰρ M.

998b 9. "φαίνονται — χρῆσθαι." πρὸς τὸ εὐλόγως ἂν δόξαι τὰ γένη τὰς τῶν ὄντων ἀρχὰς εἶναι, νῦν συνίστησι τὴν δόξαν καὶ ἐκ τῶν χρησαμένων ταῖς αὐταῖς ἀρχαῖς. οἱ γὰρ τὸ ἓν καὶ τὸ ὂν καὶ τὸ μέγα καὶ τὸ μικρὸν ἀρχὰς ὑποθέμενοι τῶν ὄντων ὡς γένη ταῦτα τῶν ὄντων ἀρχὰς ὑπέθεντο. εἴη δ' ἂν ἡ δόξα Πλάτωνος· οὗτος γὰρ τὸ ἕν, ὃ κυρίως ὂν ἔλεγε, καὶ τὴν ἀόριστον δυάδα, ἣν μέγα καὶ μικρὸν ὠνόμαζεν, ἀρχὰς ὑπέθετο. ὡς γένη δὲ ταῦτα ὑπελάμβανε τῶν ὄντων, ὅτι καθ' ἕκαστα τῶν ὄντων καὶ τὸ ἓν ἑώρα κατηγορούμενον καὶ τὴν ἀνισότητα. καθ' ὅσον μὲν γὰρ τόδε τι ἐστὶν ἕκαστον τῶν ὄντων, τοιοῦτον δὲ κατὰ τὸ εἶδος, τὸ ἓν αὐτοῦ καὶ τὸ ὂν κατηγορεῖται· καθ' ὅσον δὲ ἐν ῥύσει συνεχεῖ καὶ μεταβολῇ ἑώρα τὸ ὑποκείμενον, κατὰ τοῦτο τὸ μέγα καὶ τὸ μικρόν. κοινὰ ἄρα καὶ τὰ γένη ταῦτα, καὶ ὡς γένη τὰ ἀνωτάτω ἀρχαὶ κατ' αὐτόν. Alex.

998b 11. "ἀλλὰ — ἀρχάς." ἐπιχειρήσας καὶ πρὸς τὸ τὰ στοιχεῖα εὐλογώτερον ἂν ἀρχὰς εἶναι τοῦ γένους, καὶ πάλιν πρὸς τὸ τὸ γένος καὶ μᾶλλον ἢ τὰ στοιχεῖα, νῦν ὅτι μηδὲ ἀμφότερα οἷόν τε λέγειν ἀρχὰς τῶν ὄντων καὶ τὰ γένη καὶ τὰ στοιχεῖα ἐπιχειρεῖ. ἡ δὲ ἐπιχείρησις τοιαύτη. λαμβάνει τὸν ὁρισμὸν τὸν τῆς οὐσίας ἑκάστου δηλωτικὸν ἕνα εἶναι δεδειγμένον ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (2 9 et 10)· ἑκάστῳ γὰρ τῶν ὄντων τὸ εἶναί ἐστιν ὅ ἐστιν, οὗ ὁ κυρίως ὁρισμὸς δηλωτικός. ἀλλὰ καὶ τὸ ἐκ τῶν ἀρχῶν δεῖ ὁ ὁρισμός. τούτων κειμένων λαμβάνει τὸ εἶναι ἀρχὰς τῶν ὄντων καὶ τὰ γένη καὶ τὰ στοιχεῖα, καί φησιν, εἰ ἐκ τῶν ἀρχῶν ἑκάστου ὁ ὁρισμός, ἄλλος ἔσται ὁ ὁρισμὸς ὁ διὰ τῶν γενῶν (γένη δέ, ὡς ἔφαμεν, καὶ τὰς διαφορὰς λέγει) καὶ ἄλλος ὁ διὰ τῶν στοιχείων· ὥστε εἰ ἐκ μὲν τῶν ἀρχῶν ὁ ὁρισμός, ἄλλος δὲ ὁ ἐξ ἐκείνων καὶ ἄλλος ὁ ἐκ τούτων, πλείους ὁρισμοὶ τοῦ αὐτοῦ ἔσονται. ἀλλὰ μὴν οὐ πλείους, εἷς γὰρ ἑκάστου ὁρισμός· οὐκ ἄρα ἀμφότερα στοιχεῖα. id.

998b 14. "πρὸς — ἀρχάς." ἀπορία καὶ αὕτη τῶν προειρημένων· ἔστι δὲ τοιαύτη. εἰ δοθείη καὶ συγχωρηθείη τὰ γένη ἀρχὰς εἶναι, ζητῆσαι, φησίν, ἄξιον πότερον τὰ ἀνωτάτω γένη χρὴ τίθεσθαι ἀρχὰς τὰ κοινότατα, ἢ τὰ ἔσχατα καὶ προσεχῆ τοῖς καθ' ἕκαστα, ἃ ἄτομα εἴδη καλεῖται· γένη γὰρ καὶ τὰ εἴδη νῦν λέγει. εἰ μὲν γὰρ ἀεὶ τὰ καθόλου τῶν μὴ ὁμοίως καθόλου μᾶλλον ἀρχαί, διὰ τὸ τὴν ἀρχὴν κεῖσθαι τὸ καθόλου εἶναι, τὰ ἀνώτατα ἂν γένη καὶ τὰ κοινότατα εἶεν ἀρχαί· οὕτως τε τὰ ἀνωτάτω γένη τῶν ὄντων ἀρχαὶ ἂν εἶεν, καὶ τοσαῦται αἱ ἀρχαὶ ἔσονται ὅσα ἐστὶ τὰ γένη τὰ πρῶτα. λαβὼν δὲ τοῦτο ἐπιφέρει "ὥστε ἔσται τό τε ἓν καὶ τὸ ὂν ἀρχαὶ καὶ οὐσίαι· ταῦτα γὰρ μάλιστα λέγεται κατὰ πάντων." εἰ γὰρ εἴη ταῦτα κατὰ πάντων τῶν ὄντων κατηγορούμενα ὡς γένη, ταῦτα ἂν ἀρχαὶ καὶ αἴτια τῶν ὄντων εἴη· τοῦτο γὰρ σημαίνει τὸ οὐσία. εἰπὼν δὲ ταῦτα καὶ ἀναγαγὼν ἐπὶ τοῦτον τὸν λόγον τό, εἰ τὰ γενικώτατα καὶ κοινότατα ἀρχαί, τὸ ὂν καὶ τὸ ἓν ἔσονται ἁπάντων τῶν ὄντων ἀρχαί, ἐπεὶ κοινότατα ταῦτα, ἑξῆς ἐπιχειρεῖ καὶ δείκνυσιν ὅτι τὸ ὂν καὶ τὸ ἓν οὐκ ἔστι τῶν ὄντων γένη, εἰ δὲ μὴ γένη, δῆλον ὡς οὐδὲ ἀρχαί. οὕτως καὶ οὐδ' ἂν εἴη ἡ αὐτὴ ἀρχὴ τῶν πάντων, εἰ μὴ εἴη τι κοινὸν γένος αὐτῶν, εἰ τὸ γένος ἀρχή· κεῖνται γὰρ ἀρχαὶ τὰ γένη εἶναι, καὶ τούτων τὰ κοινότατα. ὡς δὲ δοκοῦν τισὶν οὕτως ἀντιλέγει πρὸς τὴν δόξαν, καὶ εἰρηκέ γε πρὸ ὀλίγου περὶ αὐτῆς. ὅτι οὖν μὴ γένη τὸ ὂν καὶ τὸ ἕν, οὕτω δείκνυσι. πᾶσα διαφορὰ γένους διαιρετικὴ καὶ ὂν καὶ ἕν ἐστιν, ὥστε καὶ αἱ τοῦ ἑνὸς καὶ τοῦ ὄντος διαφοραί, εἰ γένη ταῦτα, καὶ ἐν ἑκάστῃ αὐτῶν καὶ ὂν καὶ ἓν ἔσται. ἀλλὰ εἰ τὸ ὂν καὶ ἓν ἐν ἑκάστῃ τοῦ ὄντος διαφορᾷ, γένους ὄντος τοῦ ὄντος καὶ τοῦ ἑνὸς κατηγοροῖτο ἂν τῶν οἰκείων διαφορῶν τὰ γένη. τοῦτο δὲ ἀδύνατόν φησιν εἶναι· καθόλου γὰρ οὕτως εἶναί τι τὸ ὡς γένος ὂν εἶδος· πολλαχῶς γὰρ τὸ εἶδος, ὡς εἴρηται πρὸ ὀλίγου, τῆς οἰκείας κατηγορεῖται διαφορᾶς, εἰ καθ' αὑτὴν ἡ διαφορὰ λαμβάνοιτο· ἡ γὰρ διαφορὰ ἐπὶ πλέον κατηγορεῖται τοῦ εἴδους, ὡς τὸ λογικὸν τοῦ ἀνθρώπου ἢ θνητόν, τὸ δ' ἐπ' ἔλαττον λεγόμενον τοῦ ἐπὶ πλέον λεγομένου οὐχ οἷόν τε ἀληθῶς κατηγορεῖσθαι (*). καὶ διὰ τοῦτο γὰρ εἶπε "τῶν οἰκείων διαφορῶν," ἴσον λέγων τῷ ἐφ' ὧν εἴδη ποιεῖται. ἔτι τὸ μὲν εἶδος συναμφότερόν τι, ἡ δὲ διαφορὰ μέρος τοῦ συναμφοτέρου. ἔτι μόριόν ἐστιν ἡ διαφορὰ τοῦ εἴδους, καθ' ὅσον τῶν ἐν τῷ ὁριστικῷ λόγῳ παραλαμβανομένων ἕκαστον μόριόν ἐστιν ἐκείνου οὗ συμπληροῖ τὴν οὐσίαν, καὶ μόριον ἀνομοιομερές· οὐ γὰρ ταὐτὸν τὸ γένος σημαίνει ἐν τῷ ὁρισμῷ ἑκάστῃ τῶν διαφορῶν, τὸ δὲ τοιοῦτον ὅλον οὐ κατηγορεῖται τῶν αὐτοῦ μερῶν. ὥστε οὐδετέρως τὸ εἶδος τῆς οἰκείας κατηγορεῖται διαφορᾶς· τὸ γὰρ γένος οὐχ οὕτως ἔχει μέρη τὰ εἴδη· οὐ γὰρ ἐν τῷ τῶν γενῶν ὁρισμῷ τὰ εἴδη. ἀλλ' οὐδὲ τὰ γένη κατηγορεῖται τῶν οἰκείων διαφορῶν, ὅταν αἱ διαφοραὶ χωρὶς τῶν εἰδῶν λαμβάνωνται καὶ μὴ ἐν αὐταῖς τὰ εἴδη περιέχωνται. τὸ γὰρ ζῷον ὅταν λογικοῦ κατηγορῆται τοῦ ζῴου λογικοῦ (τοῦτο γὰρ ἐξακούεται τότε), οὐ τοῦ λογικοῦ κατηγορεῖται, ἐπεὶ αὐτῆς τε καθ' αὑτῆς τῆς διαφορᾶς ἄνευ τοῦ εἴδους λαμβανομένης οὐ κατηγορεῖται, οἷον τῆς λογικότητος· ποιότητες γάρ τινες αἱ διαφοραί, καθ' ὧν πῶς οἷόν τε τὸ ζῷον οὐσίαν συναμφότερον σημαῖνον κατηγορεῖν; οὔτε γὰρ τὰ εἴδη οὔτε τὰ γένη τῶν διαφορῶν κατηγορεῖται. εἰ δὲ τοῦτο, αἱ τοῦ ὄντος καὶ ἑνὸς διαφοραί, εἰ γένη ταῦτα, οὔτε ὄντα οὔτε ἑκάστη αὐτῶν ἕν ἐστι, τουτέστιν οὐδεμία διαφορὰ οὔτε ἓν οὔτε ὂν ἔσται· πᾶσαι γὰρ τοῦ ὄντος ἔσονται, ὅπερ ἄτοπον. ὥστε οὐδὲ γένη ταῦτα. εἰ δὲ μὴ γένη, οὐδὲ ἀρχαί, εἰ τὰ γένη ἀρχαί. σημαίνει δὲ τὸ μὲν "ἀδύνατον δὲ κα- 998b 21.
τηγορεῖσθαι ἢ τὰ εἴδη τοῦ γένους ἐπὶ τῶν οἰκείων διαφορῶν," τουτέστι τῶν ἰδίων διαφορῶν· τὸ δὲ "ἢ τὸ γένος ἄνευ τῶν εἰδῶν" ἤτοι ἴσον ἐστὶ τῷ ἢ τὸ γένος ἄλλου τινὸς χωρὶς τῶν αὐτοῦ εἰδῶν κατηγορεῖσθαι, ἢ τὸ γένος τῶν διαφορῶν κατηγορεῖσθαι, μὴ λαμβανομένων τῶν διαφορῶν ὡς εἰδῶν ἤδη καὶ συναμφοτέρων. δοκεῖ δέ μοι ἡ ἐπιχείρησις λογικωτέρα εἶναι, ὥσπερ οὖν καὶ αἱ πλεῖσται τῶν λεγομέ-

8. ἕκαστοι *L.* ‖ 11. ἐν om *L.* ‖ 15. alterum τὸ om *C.* ‖ 20. *item sumit definitionem ex ipsis principiis confici* Sepulv. ‖ ὁ] δεῖ 24. ὁ et 26. ὁ ante ἐκ om *C.* ‖ 35. εἶναι ἀρχὴν τὰ *C.*

8. καὶ ἓν ἑκάστῃ *A.* ‖ καὶ ἓν om *A.* ‖ 9. ἔσται om *L.* ‖ 11. οὗτος *A.* ‖ τὸ om *A.* ‖ 28. τότε ἐκ τοῦ *C.* ‖ 29. κατηγορεῖται *C.* ‖ 30. τ' εἴδους *C.* ‖ 37. εἶτα *A.* ‖ 41. κατηγορεῖσθαι — 42. διαφορῶν om *C.*

998 a 21. τος αὐτά τις τἀληθοῦς ἐπιτεύξεται. καὶ ἔτι περὶ ὧν προστίθησι "καὶ περὶ τῶν ἀρχῶν πότερον δεῖ τὰ γένη στοιχεῖα καὶ ἀρχὰς ὑπολαμβάνειν ἢ μᾶλλον ἐξ ὧν ἐνυπαρχόντων ἐστὶν ἕκαστα πρώτων." καὶ περὶ ταύτης τῆς ἀπορίας προείρηται μὲν ἐν τῇ τῶν ἀποριῶν ἐκθέσει, ἔστι δέ, πότερον δεῖ ἀρχὰς καὶ πρῶτα τῶν ὄντων τὰ γένη καὶ τὰ κοινὰ τίθεσθαι, ἢ τὰ στοιχεῖα ἐξ ὧν συνέστηκε τὰ ὄντα πρώτων καὶ εἰς ἃ ἔσχατα ἀναλύεται (ʳ). ἃ βουλόμενος σημῆναι ἔδειξεν ἐπὶ τῶν φωνῶν· αἱ γὰρ φωναὶ ἐκ τῶν στοιχείων σύγκεινται, ἀλλ᾽ οὐ τῆς κοινῆς φωνῆς, ὃ εἴη ἂν γένος τῶν φωνῶν. ἀλλὰ καὶ ἐπὶ τῶν διαγραμμάτων οὐ τὸ κοινὸν στοιχεῖον, ἀλλὰ τὰ ἐνυπάρχοντα ἐν ταῖς ἀποδείξεσι χρώμεθα εἰς παντὸς ἀπόδειξιν θεωρήματος, ὡς λέγομεν τὰ Εὐκλείδου στοιχεῖα· διὰ τοῦτο γὰρ τὰ τοιαῦτα στοιχεῖα λέγεται, ὅτι δι᾽ ὧν ταῦτα ἀποδείκνυται πρὸς τὰς πάντων τῶν θεωρημάτων δείξεις ἐστὶν ἡμῖν χρήσιμα ἐνυπάρχοντα ἐν πᾶσι. καὶ ἐν αὐτοῖς δὲ τούτοις τὰ πρῶτα τῶν δευτέρων στοιχεῖα, ὅτι ταῖς τούτων ἀποδείξεσι πρὸς τὰ δεύτερα χρώμεθα. παρατίθεται δὲ καὶ τῶν φυσικῶν τοὺς ἢ πλείω τὰ πρῶτα σώματα ὑποθεμένους ἢ ἕν, καὶ δείκνυσιν ὅτι καὶ οὗτοι, ἃς ἀρχὰς καὶ τῶν ὄντων ἔλεγον, ἐνυπάρχειν ταύτας τοῖς ἄλλοις ᾤοντο καὶ ἐξ αὐτῶν ἐκεῖνα εἶναι. Ἐμπεδοκλῆς τε γὰρ τὰ τέσσαρα σώματα στοιχεῖα τῶν ὄντων ὑποθέμενος οὐχ ὡς γένη αὐτὰ ἔλεγεν ἀρχάς, ἀλλ᾽ ὡς ἐνυπάρχοντα τοῖς ἐξ αὐτῶν τὴν γένεσιν ἔχουσιν· ὁμοίως καὶ τῶν ἄλλων φυσικῶν ἕκαστος τῶν σωματικὴν τὴν ἀρχὴν ὑποθεμένων. πρὸς τούτοις δείκνυσιν ὅτι τὸ ὡς ἐνυπάρχον καὶ στοιχεῖον καὶ οὐχὶ τὸ γένος ἐστὶν ἀρχὴ καὶ ἀπὸ τῶν τεχνητῶν· καὶ γὰρ κλίνης καὶ ἑκάστου τῶν τοιούτων τοῖς βουλομένοις τίς ἡ φύσις ἑκάστου αὐτῶν ἰδεῖν, ἡ γνῶσις ἐξ ὧν συνέστηκε μορίων γίγνεται. ἀρχαὶ γὰρ ἑκάστου αὐτῶν τὰ ἐξ ὧν συνέστηκεν· ἐκ μὲν γὰρ τοῦ γνωρίσαι τὰς ἀρχὰς γνώριμον καὶ τὸ ἐκ τῶν ἀρχῶν γίγνεται, τούτων δὲ ἕκαστον γνωρίζεται ὅταν τὰ ἐξ ὧν σύγκειται καὶ ὁ τρόπος τῆς συνθέσεως φανερὸς γένηται, ὥστε καὶ αἱ τούτων ἀρχαί. ἐπιχειρήσας δὲ καὶ δείξας τῇ ἐπαγωγῇ τὰ ἐνυπάρχοντα ἀρχὰς ὄντα, οὐ τὰ κοινὰ καὶ τὰ γένη, ἑξῆς ὅτι δόξει εὔλογον εἶναι τὰ γένη λέγειν πάσας ἀρχὰς ἐπιχειρεῖ. Alex.

997 b 26. (ⁿ) φησὶν οὖν ὅτι ἡ γεωδαισία περὶ τὰ αἰσθητὰ καταγίνεται· διὰ τοῦτο γὰρ καὶ γεωδαισία λέγεται παρὰ τοὺς δασμοὺς τῆς γῆς. ἡ μέντοι γεωμετρία περὶ αἰσθητῶν διαλέγεται, ἀλλὰ περὶ τῶν ἐξ ἀφαιρέσεως... λέγομεν τοίνυν ἡμεῖς ὅτι εἰ μὲν περὶ ἓν αἰσθητὸν εἴη ἡ γεωδαισία καὶ ὡς ἐν ὑποκειμένῳ ἐθεωρεῖτο ἡ γεωδαισία, εὖ ἂν εἶχεν· ἐπειδὴ δὲ οὐκ ἔχει περὶ ἕν, ἀλλὰ κἂν τοῦτο φθαρῇ τὸ αἰσθητόν, φανερὸν ὡς ὅτι σώζεται τὸ ἕτερον, οὐ δεῖ λέγειν ὅτι συμφθείρεται ἡ ἐπιστήμη. Asclep.

997 b 28. (°) φαμὲν δὲ πρὸς αὐτὸν ὅτι ἔστι καὶ διανοητὴ ἰατρική, αὐτὸς ὁ λόγος ὁ τῆς ἰατρικῆς ὑπάρχων ἐν τῇ ἡμετέρᾳ ψυχῇ, ἔστι δὲ καὶ νοητὴ ἰατρική, ὁ λόγος ὁ παρὰ τῷ δημιουργῷ φημί, καθ᾽ ὃν λόγον ἐστὶν ὁ κόσμος, ὥς φησιν, ἄνοσος καὶ ἀγήρως (Plat. Tim.). id.

(ᵖ) ἔφερε δὲ κανόνα (ὁ Πρωταγόρας) καὶ προσῆπτε τῷ κύκλῳ καὶ ἐδείκνυεν ὅτι οὐ κατὰ ἓν σημεῖον γίνεται ἡ ἁφή. id. 998 a 3.

(ʳ) ἦσαν οὖν τῶν προβλημάτων τῶν ἐκτεθέντων ὑπ᾽ αὐτοῦ καὶ ἡ περὶ τούτων ζήτησις καὶ ὁμοίου καὶ ἀνομοίου· παρέλιπε δὲ τὸν περὶ αὐτῶν λόγον ἐνταῦθα, λέγει δὲ ἀκριβῶς περὶ αὐτῶν ἐν τῷ Γ στοιχείῳ καὶ ἐν τῷ I. πρόκειται τοίνυν αὐτῷ ἐνταῦθα ζητῆσαι περὶ τῶν ἀρχῶν. id. 998 a 25.

"ἢ — εἰσίν." ἡ ἐπιχείρησις δυνάμει τοιαύτη ἐστίν. ἐξ ὧν ἕκαστον γνωρίζομεν, ταῦτα ἐκείνων ἀρχαί (κεῖται γὰρ ὅτι ἐκ τοῦ τὰ αἴτια καὶ τὰ στοιχεῖα τινῶν εἰδέναι καὶ τὰς ἀρχὰς γίνεται τὸ αὐτὰ εἰδέναι), ἐκ δὲ τῶν ὁρισμῶν γνωρίζομεν ἕκαστον τῶν ὄντων, οἱ ὁρισμοὶ ἄρα ἀρχαί· ἀρχὴ δὲ τῶν ὁρισμῶν ἡ τοῦ γένους λῆψις, ὥστε τὸ γένος ἀρχή. δύναται δὲ γένη καὶ αἱ διαφοραὶ λέγεσθαι, ὡς ἐν τοῖς Τοπικοῖς (1 4) εἶπεν, ὡς εἶναι τὸ λεγόμενον, ὅτι εἰ τῶν ὁρισμῶν ἀρχὴ ἡ τοῦ γένους λῆψις, δύναται τὰ γένη ἀρχαὶ εἶναι, ἅπερ ἐστὶ τὸ γένος καὶ αἱ διαφοραί· ἐκ γὰρ τούτων οἱ ὁρισμοὶ σύγκεινται· ὥστε τὰ γένη ἀρχαί· οἱ μὲν γὰρ ὁρισμοὶ τῶν ὁριστῶν, τούτων δὲ τὰ γένη. "καὶ εἰ ἔστι τῶν ὄντων λαβεῖν ἐπιστήμην τὸ τῶν εἰδῶν λαβεῖν." ἡ ἐπιχείρησις τοιαύτη. κατὰ τὰ εἴδη ἡ ἐπιστήμη καὶ ἡ γνῶσις τῶν ὄντων γίγνεται· οὐ γάρ ἐστι τῶν καθ᾽ ἕκαστα ἐπιστήμη· καὶ γὰρ οἱ ὁρισμοὶ αὐτῶν κατὰ τὰ εἴδη. εἰ δ᾽ ἐκ τῆς τούτων γνώσεως ἡ τῶν ὄντων γνῶσις ἤρτηται, τὰ εἴδη ἂν εἶεν ἀρχαὶ τῶν καθ᾽ ἕκαστα, καθ᾽ ἃ εἴδη ἐστὶν ἑκάστοις τοῖσδέ τισιν εἶναι. ἀλλὰ μὴν τῶν εἰδῶν ἀρχαὶ τὰ γένη· ἐκ γὰρ τῆς τούτων διαιρέσεως τὰ εἴδη καὶ οἱ τῶν εἰδῶν ὁρισμοὶ διὰ τῶν γενῶν· καὶ τῶν ὄντων ἄρα ἀρχαὶ πάντων τὰ γένη. ἢ κατὰ τὰ εἴδη μὲν ἡ γνῶσις ἑκάστου· κατὰ γὰρ ταῦτα τὸ εἶναι ἑκάστῳ (ˢ)· οὐ μὴν κατὰ τὸ εἶδος τὸ ὡς ἐκ γένους διῃρημένον, ἀλλὰ τὸ εἶδος τὸ ἀντιδιαιρούμενον τῇ ὕλῃ· ὁ δὲ λαβὼν τὸ εἶδος τοῦτο ἐπὶ τὸ ἐκ γένους μετῆλθε. Alex. 998 b 4.

(ˢ) τῶν γὰρ καθ᾽ ἕκαστα οὐκ ἔστι κυρίως ὁρισμός, ἀλλ᾽ ὑπογραφή... ὅτι γένη ὑπάρχουσιν ἀρχαὶ τῶν ὄντων, μάρτυρας παράγει Πλάτωνα καὶ τοὺς Πυθαγορείους· φησὶ γὰρ ὅτι ἀρχὰς τῶν ὄντων ἔλεγον ἐκεῖνοι τὸ ἓν τὸ ὂν καὶ τὴν δυάδα, καὶ γένη ταῦτα ὑπετίθεντο δηλονότι συμβολικῶς, τὸ μὲν ἓν ὡς παρακτικὸν τῶν πάντων, τὸ δὲ ὂν ὡς αἴτιον τῆς τῶν πάντων ὑποστάσεως, τὴν δὲ δυάδα ὡς αἰτίαν τῆς προόδου. τοῦτο οὖν ἐστὶν ὃ λέγει ὅτι φ. δ. τ. κ. τ. λ. σ. τ. ο. τὸ ἓν ἢ τὸ ὄν, ἢ τ. μ. κ. τ. μ. ὡς γ. α. χρ. κατὰ πάντων γὰρ τῶν ὄντων κατηγορεῖ ὁ Πλάτων τὸ ἓν καὶ τὴν δυάδα καὶ τὸ ὄν· καθόσον μὲν γὰρ τόδε τί ἐστιν ἕκαστον τῶν ὄντων, ταὐτὸν δὲ κατὰ τὸ εἶδος, τὸ ἓν αὐτοῦ καὶ τὸ ὂν κατηγορεῖ· καθόσον δὲ ἐν ῥύσει συνεχεῖ καὶ μεταβολῇ παρὰ τοῦ ὑποκειμένου ἐστί, παρὰ τοῦτο τὸ μέγα καὶ τὸ μικρὸν αὐτοῦ κατηγορεῖ. Asclep. 998 b 8.

3. πρῶτον ἡ ἀπορία καὶ C. ‖ 4. τῆς ἀπορίας om C. ‖ 6. πρῶτον C. ‖ 7. διαλύεται C. ‖ 8. τὴν κοινὴν φωνὴν C. ‖ 19. καὶ et 24. ἐστὶν ἀρχὴ om C. ‖ 26. ἑκάστη C. ‖ γίγνεται om C. ‖ 29. δὲ] γὰρ C. ‖ 30. φανερὸς] γνώριμος C.

14. δὲ] γὰρ C. ‖ ὥστε — 15. ἀρχή om C. ‖ 15. δὲ et 16. εἰ om C. ‖ 17. ἀρχαὶ C. ‖ ἢ — δύναται et ἀρχαὶ εἶναι om C.

γεωμετρία τῷ αὐτὴ περὶ νοητὰ εἶναι· καὶ γὰρ ἐκείνη περὶ τὰ τοιαῦτα κατὰ τὸν αὐτὸν λόγον. οὐδὲ ἰατρική ἐστι περὶ αἰσθητὴν ὑγίειαν· συμφθείροιτο γὰρ ἂν φθειρομένοις τοῖς περὶ ἅ ἐστιν. ἑξῆς δὲ δείκνυσιν ὅτι οὐδὲ ἡ ἀστρολογία περὶ τῶν αἰσθητῶν λέγει, οἷον περὶ τοῦδε τοῦ οὐρανοῦ καὶ τῶνδε τῶν ἄστρων· καὶ γὰρ ἄφθαρτα ταῦτα, καὶ μηκέτι τὸ φθείρεσθαι μὲν μὴ συναναιρεῖν δὲ ἐκείνην τὴν λεγομένην περὶ αὐτὰ εἶναι, ἥτις ἦν ἡ ἀστρολογία, δείκνυσί τις, ὅτι μὴ περὶ ταῦτά ἐστιν, ἀλλὰ ἄλλου καὶ δι' ἄλλα ἡ τούτων οὐσία δείκνυται. οὔτε γὰρ αἰσθητὰς γραμμὰς τοιαύτας ἔστι λαβεῖν ὁποίας ὁ ἀστρονόμος λαμβάνει ἐν ταῖς δείξεσιν· οὐδὲν γὰρ τῶν αἰσθητῶν οὕτως εὐθύ. ἀντὶ δὲ τοῦ ἀστρολόγου τὸν γεωμέτρην εἶπεν· ἀλλ' οἵας ὁ γεωμέτρης τὰς γραμμὰς εἶναι λέγει, τοιαύταις ὁ ἀστρολόγος χρῆται πρὸς τὰς δείξεις τὰς ἀστρολογικάς. ὁμοίως δὲ οὐδὲ περιφερὲς οὐδὲ στρογγύλον οὐδὲν τοιοῦτόν ἐστιν αἰσθητόν, ὁποῖα ὁ γεωμέτρης αὐτὰ ὁρίζεται· ὁ γὰρ κύκλος ὁ αἰσθητὸς τοῦ κανόνος καὶ τοῦ ἐπιπέδου τοῦ αἰσθητοῦ οὐ κατὰ στιγμὴν ἅπτεται, οἱ δὲ μαθηματικοί τε καὶ ἀστρολόγοι οὕτω λέγουσι καὶ περὶ τοῦ κύκλου καὶ τῆς σφαίρας ὡς κατὰ σημεῖον ἁπτομένου τοῦ ἐπιπέδου (*). Πρωταγόρας οὖν τοῖς αἰσθητοῖς προσχρώμενος ᾤετο τοὺς γεωμέτρας ἐλέγχειν ὡς ψευδομένους, δεικνὺς ὅτι οὐδὲν τούτων τοιοῦτόν ἐστιν ὁποῖον ἐκεῖνοι λέγουσιν, ἀγνοῶν καὶ αὐτὸς ὅτι μὴ περὶ τούτων ὁ λόγος αὐτοῖς, ὥσπερ οὖν οὐδὲ ἄλλῳ τινὶ τεχνίτῃ. ἀλλ' οὐδὲ αἱ κινήσεις αὐτῶν κατὰ τὸν οὐρανόν, ἀλλ' οὐδὲ αὐτοῦ τοῦ οὐρανοῦ, αἵ τε κύκλῳ γινόμεναι καὶ αἱ κατὰ ἕλικας, τοιαῦται ὁποίας ὁ ἀστρολόγος λαμβάνει· γραμμὰς γὰρ λαμβάνει ὁ ἀστρολόγος καὶ τὴν ἕλικα καὶ τὸν κύκλον, ἃ ἔστι μήκη ἀπλατῆ, καὶ ἐπὶ τούτων τὰς κινήσεις ὑποτίθεται γίγνεσθαι· οὐδὲν δὲ ἔστιν ἐν τοῖς αἰσθητοῖς μῆκος ἄνευ πλάτους. ἔτι οἱ μὲν λαμβάνουσι τὰ ἄστρα σημεῖά τινα καὶ σημείων ἐπέχειν λόγον ἐν τῷ οὐρανῷ, τὸ δὲ σημεῖόν ἐστιν οὗ μέρος οὐδέν, οὐδὲν δὲ τῶν ἄστρων τοιοῦτον. εἰ δὲ μηδεμία τέχνη περὶ τὰ αἰσθητά, οὐκ ἂν εἴη ταῖς τέχναις πρὸς τὰς μαθηματικὰς ἐπιστήμας ἡ διαφορὰ τῷ ταύτας μὲν εἶναι περὶ αἰσθητὰς τὰς δὲ μαθηματικὰς περί τινας νοητὰς οὐσίας· ὑπὲρ γὰρ
998a 7. τοῦ ταῦτα δεῖξαι παρέθετο "εἰσὶ δέ τινες οἵ φασιν εἶναι μὲν τὰ μεταξὺ ταῦτα λεγόμενα τῶν τε εἰδῶν καὶ τῶν αἰσθητῶν, οὐ μήν γε χωρὶς τῶν αἰσθητῶν." εἰπὼν διὰ τοὺς τὰ μαθηματικὰ οὐσίας λέγοντας εἶναι αὐτὰς καθ' αὑτὰς κεχωρισμένας τῶν τε ἰδεῶν καὶ τῶν αἰσθητῶν, νῦν μέτεισιν ἐπὶ τοὺς λέγοντας μὲν τὰ μαθηματικὰ εἶναι κατά τινα φύσιν οἰκείαν, οὐ μὴν ἔξω αὐτὰ τῶν αἰσθητῶν εἶναι, ἀλλ' ἐν τούτοις. διαφέροι δ' ἂν ἡ δόξα αὕτη τῆς λεγούσης ἐξ ἀφαιρέσεως τὰ μαθηματικὰ λαμβάνεσθαί τε καὶ νοεῖσθαι, ἧς καὶ αὐτός ἐστιν, ὅτι ἐκεῖνοι μὲν οἰκείαν τινὰ φύσιν ἀποδόντες αὐτοῖς, ἄλλην παρὰ τὰ αἰσθητά, ἐν τοῖς αἰσθητοῖς αὐτὰ λέγουσιν εἶναι οὐκ αὐτῶν τι ὄντα, ἀλλ' ἐν τούτοις ὄντα ἄλλα εἶναι αὐτῶν, οἱ δὲ ἐξ ἀφαιρέσεως λαμβάνοντες αὐτὰ τῷ λόγῳ, τινὰ τῶν αἰσθητῶν χωρίσαντες, καταλείπουσιν αὐτὰ σὺν τοῖς χωρισθεῖσι πάντα τὰ κατὰ τὰ ὅλα αἰσθητά, οὐκέτι ἐκείνων τῶν κεχωρισμένων αὐτῶν ἐφ' αὑτῶν δυναμένων τὴν αἰσθητὴν ἀποπληροῦν φύσιν, οὐδ' ἐπὶ διαστάσεώς τινος νοουμένων. ἡ γὰρ ἐν τοῖς μαθηματικοῖς νοουμένη διάστασις μετὰ τῶν τῷ λόγῳ κεχωρισμένων παθητικῶν ἡ αἰσθητὴ φύσις· ἐν ἀμφοῖν γὰρ ἡ αἰσθητικὴ φύσις ἐν ὑποστάσει οὖσα φύσει. φησὶ δὲ πολὺ ἀτοπωτέραν τήνδε τὴν δόξαν εἶναι τῆς κεχωρισμένα λεγούσης αὐτά. τὰ μὲν οὖν πλείω τῶν ἀτόπων τῶν ἑπομένων τῇδε τῇ δόξῃ τὸ νῦν παραιτεῖται καταλέγειν, παρατίθεται δὲ τό τε κατὰ τὸν αὐτὸν λόγον καὶ τὰς ἰδέας θέσθαι ἐν τοῖς αἰσθητοῖς· εἰ γὰρ ταῦτα ὄντα οὐσίαι καθ' αὑτὰς νοηταὶ ἐν αἰσθητοῖς ἐστί, τί δήποτε καὶ αἱ ἰδέαι, οὖσαι καὶ αὐταὶ οὐσίαι τινὲς νοηταί, οὐκ ἔσονται ἐν τοῖς αἰσθητοῖς; δεῖ γὰρ λόγου τινός, δι' ὃν ταῦτα μὲν ἔσται ἐν τοῖς αἰσθητοῖς, ἐκεῖνα δὲ οὐκέτι. ὅτι δὲ πολλὰ ἕπεται τῇδε τῇ δόξῃ, εἴρηκε μὲν καὶ ἐν τῷ δευτέρῳ, ὑπέμνησε δὲ καὶ ἐν τῷ πρώτῳ τῷ μείζονι A (c. 9) λέγων περὶ τῆς Εὐδόξου δόξης, ἐρεῖ δὲ καὶ ἐν τῷ N (c. 2 extr. et 3) τῆσδε τῆς πραγματείας. ἔτι δὲ δύο στερεὰ ἐν τῷ αὐτῷ τόπῳ ἔσται, τό τε μαθηματικὸν (ἔστι γὰρ καὶ μαθηματικὸν στερεόν, περὶ ὃ ἡ στερεομετρία) καὶ τὸ αἰσθητόν, εἰ ἐκεῖνο ἐν τούτῳ ἔσται. ἔσται γὰρ σῶμα διὰ σώματος οὕτω διιόν, εἰ ἑκάτερον αὐτῶν κατ' οἰκείαν φύσιν ἕν, τὸ ἕτερον ἐν τῷ ἑτέρῳ ἐστίν. ἔτι δὲ οὐδὲ ἀκίνητα ἔσται τὰ μαθηματικά, ὄντα τε ἐν τοῖς αἰσθητοῖς· κινουμένων γὰρ τούτων ἀνάγκη καὶ τὰ ἐν αὐτοῖς κινεῖσθαι, κινεῖσθαι δὲ οὐχ ὡς τὰ συμβεβηκότα, ἀλλ' ὡς καὶ αὐτὰ ἐν τόπῳ· εἰ γὰρ μεγέθη καὶ ἐν διαστάσει, ἔσται κινούμενα ὁμοίως τοῖς τῶν σωμάτων βίᾳ καὶ ὑπό τινος κινουμένοις, οὐ κατὰ τὴν ἐν αὐτοῖς ῥοπήν. καθόλου δὲ τίνος χάριν δεῖ λέγειν αὐτὰ εἶναι, εἶναι δὲ ἐν τοῖς αἰσθητοῖς; οὐδεμίαν γὰρ ἔτι φαίνεται χρείαν αὐτοῖς παρεχόμενα, ὄντα γε καὶ καθ' αὑτά. ἀλλ' ἐπὶ τούτοις τοῖς προειρημένοις ἀτόποις καὶ ὅσα εἵπετο τοῖς κεχωρισμένα ποιοῦσιν αὐτά, καὶ τούτοις ἀκολουθήσει· ἔσται γάρ τις οὐρανὸς ἄλλος καὶ κατὰ τούτους παρὰ τὸν αἰσθητὸν οὐρανόν, ὁμοίως καὶ ἥλιος καὶ τῶν ἄστρων ἕκαστον, πλὴν οὐ καθ' αὑτοὺς ὄντες ἀλλ' ἐν αὐτοῖς τούτοις, ἥλιος ἐν ἡλίῳ καὶ σελήνη ἐν σελήνῃ καὶ οὐρανὸς ἐν οὐρανῷ, πρὸς ἐκείνῳ δὲ τῷ ἀτόπῳ καὶ τοῦτο προσειληφότα τὸ δύο σώματα ἐν τῷ αὐτῷ τόπῳ εἶναι. περί τε οὖν τῶν προειρημένων τούτων πάντων ἀπορίαν φησὶν οὐ τὴν τυχοῦσαν εἶναι, πῶς θέμε-

1. τὰ et 3. δὲ om *C.* ‖ 3 — 5. et 22 — 26. apud Asclep. ‖ 23. τοσαῦται Asclep. ‖ 25. γίγνεσθαι om Asclep. ‖ 34. *postquam eos redarguit, qui mathematica substantias quasdam per se ab ideis et sensibilibus separatas esse tradebant, ad eorum sententiam refellendam transit* Sepulv.

3. ἀλλ' — ὄντα et 15. ἐστί — 17. αἰσθητοῖς om *C.* ‖ 16 — 38. apud Asclep. ‖ 17. δι' ὃν] διότι Asclep. ‖ 18. ὅτι — 21. πραγματείας om Asclep. ‖ 18. *in secundo libro* Sepulv. ‖ καὶ om *A.* ‖ 20. ἀδόξου *C.* ‖ 21. συμβήσεται οὖν δύο στερεὰ ἐν τῷ αὐτῷ εἶναι τό Asclep. ‖ 23. prius ἔσται et 24. διιὸν — 25. ἐστίν om Asclep. ‖ 27. κινεῖσθαι καὶ κινεῖσθαι οὐχ *V.* ‖ δὲ om *C.* ‖ 28. τόπῳ· εἴγε καὶ αὐτὰ μεγέθη Asclep. ‖ 29. τοῖς] τῆς Asclep. ‖ τὴν ἑαυτῶν ῥοπήν Asclep. ‖ 31. ἔτι om Asclep. ‖ 32. καὶ om *A.* ‖ ὄντα τε μὴ καθ' αὑτά. ἐν τούτοις πρὸς γὰρ τούτοις τοῖς προειρημένοις Asclep. ‖ εἵπετο] εἴπερ *AC.* ‖ 35. πλὴν ὅτι οὐ Asclep. ‖ 36. αὐτοῖς et καὶ σελήνη — 37. οὐρανῷ om Asclep.

ἢ ἀστρολόγος λέγει (ʹ). πῶς δὲ οἷόν τε εἶναι ἥλιόν τινα μαθηματικὸν μὴ κινούμενον, ἢ κόσμον ἢ ἄλλο τι τῶν ἄστρων; ἡ γὰρ οὐσία καὶ ἡ φύσις τούτων μετὰ τῆς τοιᾶσδε κινήσεως· εἰ δὲ λέγουσι τὰ μαθηματικὰ ἀκίνητα εἶναι. πολὺ δ' ἔτι ἀλογώτερον τοῦ λέγειν κόσμον καὶ ἥλιον ἀκίνητα, τὸ λέγειν εἶναι μὲν αὐτὰ κινούμενα, οὐκ αἰσθητὰ δὲ ἀλλὰ μαθηματικά· ἀδύνατον γὰρ κινεῖσθαί τι μὴ ὂν ἔνυλον καὶ τῇ αὑτοῦ φύσει αἰσθητόν. ἕποιτο δ' ἂν τοῦτο τὸ ἄτοπον καὶ τοῖς λέγουσιν ἰδέαν τινὰ εἶναι οὐρανοῦ αὐτοούρανον καὶ ἡλίου αὐτοήλιον· πῶς γὰρ οἷόν τε ἐπινοῆσαί τι τούτων ἀκίνητον; ὁ αὐτὸς δὲ λόγος ὁ ἐπὶ τῆς ἀστρολογίας οὗτος καὶ ἐπὶ τῆς ὀπτικῆς, περὶ ὧν πραγματεύεται αὕτη, καὶ περὶ τῆς ἁρμονικῆς τῆς μαθηματικῆς· αὕτη δέ ἐστιν οὐχ ᾗ τὰς χορδὰς ἁρμόζομεν (αὕτη γὰρ δοκεῖ αὐτοῖς περὶ τὰ αἰσθητὰ εἶναι), ἀλλ' ἡ δεικνῦσα ἐν τίνι λόγῳ ἀριθμῶν ἐστὶν ἑκάστη συμφωνία· αὕτη γὰρ ἡ μαθηματική, ἥτις δηλονότι περὶ τὰ μαθηματικὰ ἔσται. πᾶσαι γὰρ αὗται μαθηματικαὶ οὖσαι ἔχουσί τινας οὐσίας μαθηματικὰς ὑποκειμένας, μεταξὺ οὔσας τῶν τε αἰσθητῶν καὶ τῶν ἰδεῶν (ʺ). πῶς δὲ οἷόν τε ὁρατά τινα εἶναι μὴ αἰσθητά, περὶ ἃ ἡ ὀπτική, ἢ ἀκουστὰ μὴ αἰσθητά, περὶ ἃ ἡ ἁρμονική; τὸ γὰρ ὀπτικὴ εἶναι τὸ περὶ ὁρατῶν λέγειν καὶ τὸ ἁρμονικὴ τὸ περὶ ἀκουστῶν. τούτῳ γὰρ ἀκολουθήσει καὶ αἰσθήσεις τινὰς μεταξὺ λέγειν, καὶ ἄλλας τινὰς παρὰ ταύτας δι' ὧν ἡ ἀντίληψις ἐκείνων τῶν μεταξύ. εἰ δὲ αἰσθήσεις, δῆλον ὅτι καὶ ζῷα τὰ τὰς αἰσθήσεις ἐκείνας ἔχοντα, μεταξὺ ὄντα αὐτῶν τε τῶν ζῴων, τουτέστι τῶν ἰδεῶν, καὶ τῶν φθαρτῶν· οὐ γὰρ δὴ αἰσθήσεις οἷόν τε ἄνευ ζῴων εἶναι. id.

997b 16. (ʹ) λέγομεν τοίνυν πρὸς τοῦτο ὅτι καὶ αἰσθητός ἐστιν ὁ οὐρανὸς ὁ φαινόμενος, καὶ διανοητὸς ὁ λόγος τοῦ οὐρανοῦ ὁ ἐν τῇ ψυχῇ ἡμῶν ὑπάρχων· οὗτος δὲ ἀκίνητός ἐστι λόγος ὑπάρχων. ἔστι δὲ καὶ νοητὸς οὐρανὸς ὁ λόγος ὁ ἐν τῷ δημιουργῷ, καθ' ὃν προήχθη ἐξ αὐτοῦ. ὁμοίως δὲ καὶ ἐπὶ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων ἁπάντων. Asclep.

997b 19. (ʺ) φαμὲν οὖν πρὸς τοῦτο, ὅπερ αὐτὸς ὁ Ἀριστοτέλης φησὶν ἐν τοῖς Μετεώροις, ὅτι οἱ ἐπὶ σμικρὸν βλέποντες. τῷ ὄντι γάρ ἐστι καὶ αἰσθητὴ ὄψις, καθ' ἣν ὁρῶμεν, ἔστι δὲ καὶ νοητή, καθ' ἥν φαμεν νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει· ἄνευ γὰρ νοῦ οὔτε τῶν αἰσθητῶν γίνεται ἀντίληψις. ἔστιν οὖν ὁ λόγος ὁ δημιουργικὸς ὁ καὶ εἰς τὸ εἶναι παράγων τὴν ὄψιν, ἔστι δὲ καὶ ὁ λόγος ὁ τῆς ὀπτικῆς αἰσθήσεως, καθ' ὃν πολυπραγμονοῦμεν πῶς ὁρᾷ ὁ ὀφθαλμός. Asclep.

997b 25. "ἀπορήσειε — ἐπιστήμας." ὃ ἀπορεῖ τοιοῦτόν ἐστιν. ἐπεὶ ἔλεγον τὰς μαθηματικὰς ἐπιστήμας περὶ τὰ μεταξὺ εἶναι τῶν τε αἰσθητῶν καὶ τῶν ἰδεῶν, ζητεῖ περὶ τίνα τῶν αἰσθητῶν ἐστὶ τὰ μεταξὺ ταῦτα, περὶ ἃ αἱ μαθηματικαί. ὡς δὲ περὶ τὴν γεωδαισίαν φησὶ τὴν γεωμετρίαν εἶναι, οὐδενὶ ἄλλῳ διαφέρουσαν τῆς γεωδαισίας ἢ τῷ ταύτην μὲν περὶ τὰ αἰσθητὰ εἶναι καὶ τὰ τούτων μέτρα, εὑρεθεῖσαν ἐν Αἰγύπτῳ διὰ τὴν χρείαν τῆς κατὰ τὴν χώραν διαιρέσεως τῷ τοὺς φθάσαντας ὅρους κεῖσθαι συγχεῖσθαι ὑπὸ τῆς ἀναβάσεως τοῦ Νείλου, τὴν γεωμετρίαν δὲ μὴ περὶ τὰ αἰσθητά, εἶναι δὲ ἄλλην τὴν περὶ τὰς τούτων ἰδέας (ᵒ). ὡς οὖν ἐπὶ τῆς γεωδαισίας καὶ γεωμετρίας, οὕτω χρὴ καὶ ἐπὶ ἰατρικῆς τὴν μέν τινα εἶναι ἰατρικὴν περὶ τῶν αἰσθητῶν ζῴων ὑγίειαν καταγινομένην, ἀνάλογον οὖσαν τῇ γεωδαισίᾳ, ἄλλην δὲ παρ' αὐτὴν τὴν νοητὴν τὴν μεταξὺ οὖσαν τῆς περὶ τὴν αὐτοϋγίειαν πραγματευομένης καὶ τῆς περὶ τὴν ἀνάλογον οὖσαν τῇ γεωμετρίᾳ. εἰ δὲ τοῦτο, ἔσται τις ὑγίεια παρὰ τὴν αὐτοϋγίειαν καὶ τὴν ἐν τοῖς αἰσθητοῖς ὑγίειαν, νοητὴ καὶ νοητοῖς ζῴοις (°). ὡς γὰρ ὄντος αὐτοτριγώνου καὶ αὐτογραμμῆς, ὄντων δὲ καὶ αἰσθητῶν, περὶ ἃ ἡ γεωδαισία, ἔστι τινὰ μεταξὺ καὶ τούτων, περὶ ἃ ἡ γεωμετρία, οὕτως καὶ οὔσης τῆς αὐτοϋγιείας, οὔσης δὲ καὶ τῆς ἐν τοῖς αἰσθητοῖς, περὶ ἣν ἰατρική, ἔσται τις καὶ μεταξὺ αὐτῶν ὑγίειά τε καὶ ἰατρική· ὁ γὰρ αὐτὸς λόγος. εἰ δὲ ὑγίειά τις ἔσται μεταξὺ καὶ ἰατρική, ἔσται καὶ ὑγιεινά τινα ἄλλα, δι' ὧν τὴν ὑγίειαν ἐκεῖνος ὁ ἰατρικὸς περιποιεῖ, καὶ δῆλον ὅτι ζῷά τινα, ἐν οἷς ἐκείνη ἡ ὑγίεια. ὃ οὐκέτι τοῖς τὰ μαθηματικὰ ἐξ ἀφαιρέσεως ἀπὸ τῶν αἰσθητῶν νοοῦσι καὶ μὴ διδοῦσιν αὐτοῖς ἰδίαν ὑπόστασιν ἕπεται, τὸ καὶ ὑγίειάν τινα ἐξ ἀφαιρέσεως ἀνάλογον τοῖς μαθηματικοῖς νοεῖσθαι· οὐ γάρ ἐστιν ἐπινοίᾳ χωρίσαι οὐσίαν ἀπὸ τοῦ φυσικοῦ σώματος. ὡς δὲ ἐπὶ ἰατρικῆς, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν ῥηθήσεται· διὰ τί γὰρ ἐπὶ μὲν γεωμετρίας ἔσται τοῦτο, οὐκέτι δὲ καὶ ἐφ' ἡστινοσοῦν ἐπιστήμης; δεῖ γὰρ αἰτίαν τινὰ τοῦ οὕτως ἔχειν λέγεσθαι. ἀπορήσας δὲ τοῦτο ἑξῆς φησὶ μηδὲ τοῦτο ὑγιῶς ὑπ' αὐτῶν λέγεσθαι, 997b 26.
τὸ εἶναι τὴν μὲν γεωδαισίαν περὶ τὰ αἰσθητά, τὴν δὲ γεωμετρίαν περὶ ἄλλα τινά· οὐδὲ γὰρ ἡ γεωδαισία περὶ αἰσθητά ἐστιν. οὗ πίστιν φέρει τό, εἰ ἦν περὶ τὰ αἰσθητά, συμφθείρεσθαι ἂν αὐτὴν φθειρομένων. ἀνάγκη γὰρ ἀναιρουμένου τοῦ περὶ ὅ ἐστί τι, ἀναιρεῖσθαι καὶ τὸ περὶ ἐκεῖνο ὄν· εἰ γὰρ περὶ τόδε τί ἐστι, φθαρέντος τούτου ἀνάγκη καὶ τὸ περὶ αὐτὸ ὂν ἐφθάρθαι, εἴγε καὶ αὐτῷ τὸ εἶναι ἐν τῷ περὶ τοῦτο εἶναι. νυνὶ δὲ οὐδεμία οὔτε τέχνη οὔτε ἐπιστήμη συμφθείρεται τούτοις, ὥσπερ οὐδὲ ἡ γεωδαισία· ὡς δῆλον ὅτι οὐδὲ περὶ τούτων οὐδὲ περὶ ταῦτα ἐστίν, ἅ ἐστιν αἰσθητὰ καὶ φθαρτά, ἀλλὰ περὶ τὸ καθόλου, ὅ ἐστιν ἀΐδιον. πᾶσα γὰρ ἐπιστήμη τε καὶ τέχνη περὶ τὸ καθόλου συνίσταται, ὃ οὐκ ἔστιν αἰσθητόν· οὐ γὰρ εἰ χρῆταί τις πρὸς τὰ αἰσθητὰ ταῖς ἐπιστήμαις καὶ τέχναις, ἤδη περὶ ταῦτα εἰσίν· ἀλλὰ καὶ οὖσαι περὶ τὰ καθόλου καὶ τὰ τοιαῦτα περὶ τὰ αἰσθητὰ πραγματεύονται, οὐχ ᾗ αἰσθητὰ καὶ τάδε, ἀλλ' ᾗ τοιάδε καὶ τοῦ κοινοῦ μετέχει. ὥστε εἰ μηδὲ ἡ γεωδαισία περὶ τὰ αἰσθητὰ μεγέθη, οὐκ ἂν διαφέροι αὐτῆς ἡ

2. ἢ τινὰ τῶν ἄλλων ἄστρων Asclep. ‖ 6. τι] τὸ *L.* ‖ 7. αὐτῇ *V.* ‖ 9. τε] τὸ *V*, om *L.* ‖ 9 — 14. apud Asclep. ‖ 10. οὕτως *A.* ‖ ὀπτικῆς καὶ περὶ Asclep. ‖ 18. τὸ γὰρ — 19. ἁρμονικὴ τὸ om *AC.* ‖ 21. δὲ ὅτι αἰσθήσεις Asclep. ‖ 37 — *b* 4. apud Asclep. ‖ 39. παρὰ Asclep. ‖ 40. ὡς γὰρ φησὶν ἔχει ἡ γεωδαισία πρὸς τὴν γεωμετρίαν Asclep. ‖ γεωδεσίαν *L.* ‖ 41. γεωδισίας *L.*

3. κεῖσθαι om Asclep. ‖ 4. εἶναι ἀλλὰ περὶ τὰ νοητὰ τὰ μεταξύ· εἶναι δὲ Asclep. ‖ 5. οὖν Asclep. ‖ 8. τὴν ante νοητὴν om *A.* ‖ 15. αἰσθητῆς *C.* ‖ 31. εἰ] ἡ *AC.*

τὰς μέν τινας ἰδέας τε καὶ παραδείγματα, τὰς δέ τινας μεταξὺ τῶν τε ἰδεῶν καὶ τῶν αἰσθητῶν, ὡς τὰς μαθηματικάς (¹)· ταύτην γὰρ τὴν χώραν τοῖς μαθηματικοῖς ἔταττον οἱ περὶ Πλάτωνα, οὐσίας καθ' αὑτὰς λέγοντες εἶναι, ἐξ ὧν τὰ κεχωρισμένα τῶν τε αἰσθητῶν καὶ τῶν ἰδεῶν. καὶ περί γε τούτου τὰ ἑξῆς λέγει, ζητῶν εἰ πλείω γένη τῶν οὐσιῶν. καὶ ὅτι μὴ δόξει πλείω εἶναι, δείξει διὰ τοῦ ἀνελεῖν τὰ λεγόμενα. id.

997a 35. (¹) καὶ πότερον αἱ ἄλλαι οὐσίαι αἱ παρὰ τὰς αἰσθητὰς μοναχῶς ὑπάρχουσιν ἢ πλείονα γένη τετύχηκεν ὄντα τῶν οὐσιῶν, οἷον λέγοντες τά τε εἴδη, τουτέστι τὰ νοητά, καὶ τὰ μεταξύ, τουτέστι τὰ διανοητικά. Asclep.

997b 3. "ὡς — λόγοις" (²). ἐλθὼν ἐπὶ τὸ ἀπορεῖν πότερον αἱ αἰσθηταὶ μόναι εἰσὶν οὐσίαι ἢ καὶ ἄλλαι παρὰ ταύτας, καὶ εἰ πλείω γένη τῶν παρὰ τὰς αἰσθητὰς οὐσίας, ὡς ἐδόκει τοῖς παλαιοῖς τοῖς περὶ Πλάτωνα τιθεμένοις καὶ τὰς ἰδέας καὶ τὰς μαθηματικάς, περὶ τούτων ζητεῖ εἰ εἶναι δύνανται τοιαῦται οὐσίαι τινές. μέλλων δὲ πρὸς αὐτὰς λέγειν, πρῶτον ὑπομιμνήσκει ἡμᾶς ὁποίας τινὰς ἔλεγον αὐτὰς εἶναι, ἀναπέμπων εἰς τὰ εἰρημένα ἐν τῷ πρώτῳ. ὅθεν καὶ δῆλον ἐκ πλειόνων ἤδη ὅτι κἀκεῖνα Ἀριστοτέλους τέ ἐστι καὶ ἐκ ταύτης τῆς πραγματείας. καὶ γὰρ ἐν τῷ ἤθει ὁμοίως ἐκεῖ τε περὶ αὐτῶν εἴρηκε καὶ ἐνταῦθα ἐμνημόνευσεν· ὡς γὰρ περὶ οἰκείας τῆς δόξης τῆς περὶ ἰδεῶν οὔσης τοὺς λόγους ἐν ἀμφοτέροις πεποίηται. τὸ δὲ "ὡς μὲν οὖν" ἴσον ἐστὶ τῷ πῶς μὲν οὖν. εἴρηκεν ἐν τῷ πρώτῳ ὅτι οὐσίας ἐριστικὰς αὐτὰς καθ' αὑτὰς ἔλεγον εἶναι τὰς ἰδέας, κεχωρισμένας τῶν αἰσθητῶν, πρὸς παραδείγματα δὲ τὰς αἰσθητὰς τὸ εἶναι ἔχειν, καὶ ὑπῆγον αὐτὰς αἰτίῳ τῷ κατ' εἶδος καὶ τὸ τί ἦν εἶναι. Alex.

(²) ὡς τοῦ αὐτοῦ διδασκαλίου ὑπάρχων ὁ Ἀριστοτέλης φησὶ τὸ "λέγομεν." ἱκανῶς οὖν ἀντείπομεν ἐν τῷ μείζονι Α πρὸς τὰς ἰδέας, ἐλέγχοντες ὅτι οὔτε ἀριθμοὺς δυνατὸν λέγειν αὐτοὺς οὔτε ἕτερόν τι τοιοῦτον, καὶ ὅσα ἄλλα εἴρηνται ἐν ἐκείνοις. καὶ πρὸς πάντα δὲ ἀπελογησάμεθα, ὡς φησὶν ὁ ἡμέτερος φιλόσοφος, δεικνύντες ὡς ὅτι αἴτια ὑπάρχουσι τῶν τῇδε· οἱ γὰρ λόγοι οἱ δημιουργικοὶ πρακτικοὶ ὑπάρχουσι τῶν τῇδε καὶ οὐσίαι οὖσαι ἐν τῷ δημιουργῷ· οὔτε γὰρ αὐταὶ καθ' αὑτὰς ὑπάρχουσιν, ὥσπερ τὰ αἰσθητά· οὐ γὰρ τοῦτο ἔλεγεν ὁ Πλάτων ὅτι ἄνθρωπός τις ἐστὶν αὐτὸς καθ' αὑτὸν ὑπάρχων, ὁ ἔχων ὄνυχας καὶ τρίχας, καὶ ἵππος καὶ ὅσα ἄλλα τοιαῦτα· ἀλλὰ λόγους δημιουργικοὺς ὑπετίθετο ὄντας ἐν τῷ δημιουργῷ, καθ' οὓς λόγους παράγει πάντα ἅπερ παράγει· οὐ γὰρ ἀλόγως ποιεῖ καθάπερ τὰ ἄψυχα. ὁ οὖν Ἀριστοτέλης διαμάχεται τοῖς κακῶς ἐκλαμβάνουσι τὰ τοῦ Πλάτωνος. Asclep.

997b 5. "πολλὰς — οὐρανῷ." τίνες μὲν αἱ πολλαὶ δυσκολίαι, εἴρηκεν ἐν τῷ πρώτῳ. τὸ δὲ "παρὰ τὰς ἐν τῷ οὐρανῷ" λέγει ἀντὶ τοῦ παρὰ τὰς αἰσθητάς τε καὶ ἐν τῷ κόσμῳ (οὐρανὸν γὰρ τὸν κόσμον λέγει) ὡς καὶ ἐν τόπῳ οὔσας καὶ φύσει συνεστώσας· ταῦτα γὰρ λέγοιτ' ἂν κυρίως ἐν οὐρανῷ. φησὶ δὲ πολλῶν ὄντων ἀτόπων τῶν ἑπομένων τῷ περὶ τῶν ἰδεῶν δόγματι, καὶ τίς ἡ ὑπόστασις αὐτῶν ἀπορεῖ, πότερον ἡ οὐσία ἢ οὔ, καὶ τίς ὁ τῆς μεθέξεως τρόπος, καὶ ὅσα ἐν τῷ πρώτῳ προσηπόρησε τῇ δόξῃ, οὐδενὸς ἧττον ἄτοπον εἶναι καὶ ὃ νῦν τίθησιν ὡς ἑπόμενον αὐτοῖς. λέγουσι μὲν γὰρ εἶναί τινας φύσεις παρὰ τὰς αἰσθητὰς καὶ φύσεις συνεστώσας ταύτας, ἃς δὴ καὶ ἰδέας λέγουσι, ταύτας δὲ τὰς φύσεις τὰς αὐτὰς τίθενται τοῖς αἰσθητοῖς καὶ ἐν τῷ οὐρανῷ οὖσι, μόνῳ τῷ ἀϊδίους εἶναι τῶν αἰσθητῶν διαφερούσας. ὃ ὅτι ἕπεται τῷ δόγματι, ἐπιστώσατο ἐκ τοῦ ὑπ' αὐτῶν λεγομένου· αὐτὸ γὰρ ἄνθρωπόν φασιν εἶναι καὶ αὐτοΐππον καὶ αὐτοϋγίειαν, ἄλλο δὲ οὐδὲν λέγουσι περὶ αὐτῶν. εἰ δὲ ἔτι κἀκεῖνα ἄνθρωποι καὶ ἵπποι, μόνῳ τῷ αὐτό διαφέροντες τῶν αἰσθητῶν, τὰ μὲν ἄλλα τοῖς αἰσθητοῖς ἔχουσι ταὐτά (τοὺς γοῦν ὁρισμοὺς ἐκείνων λέγοντες εἶναι ἐφαρμόζειν φασὶν αὐτοὺς καὶ τούτοις), διοίσουσι δὲ μόνῳ τῷ ἀϊδίοι εἶναι· τούτου γὰρ μηνυτικὸν εἶναι δοκεῖ τὸ προσκείμενον, ὅπερ ἐστὶ τὸ αὐτό· ὥστε ἔσται κἀκεῖνα αἰσθητά. ὡς γὰρ οἱ θεοὺς λέγοντες καὶ τούτους ἀνθρωπομόρφους ποιοῦντες ἀνθρώπους ἀϊδίους αὐτοὺς ἐποίουν, διὰ τοῦ θεοῦ ὀνόματος τὸ ἀΐδιον αὐτῶν κατηγοροῦντες, οὕτω καὶ οἱ τὰ αὐτὰ τοῖς αἰσθητοῖς τὰ εἴδη ποιοῦντες πλεονεκτοῦντα τῇ τοῦ αὐτό προσθήκῃ αἰσθητὰ ἐποίουν ἀΐδια τὰς ἰδέας· ἀδύνατον γὰρ ἄνθρωπόν τι ὂν ἢ ἵππον, καὶ τὸν τούτων λόγον ἀναδεξάμενον, μὴ αἰσθητὸν καὶ αἰσθητικὸν εἶναι. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη διὰ τῆς τῶν ἰδεῶν θέσεως ἀναιρούμενον τὸ μὴ μόνον εἶναι τὰς αἰσθητὰς οὐσίας. ὃ δὲ ἐν τῷ Α τῷ μείζονι (c. 9) λέγων πρὸς τὰς ἰδέας πρῶτον ἔθηκε, τὸ ὅτι βουλόμενοι ἐπιστήμην τινὰ τῶν ὄντων λαβεῖν ἦλθον ἐπὶ τὸ τὰς αἰτίας αὐτῶν ζητεῖν, ἰσαρίθμους δὲ ποιήσαντες ταῖς προϋπαρχούσαις ἡγοῦντο τὴν ἐπιστήμην αὐτῶν οὕτως ἕξειν, καὶ νῦν ἐξηγήσατο πῶς εἴρηται διὰ τοῦ οὐδὲν γὰρ ἄλλο ἢ ἴσας καὶ τὰς αὐτὰς ταῖς ζητουμέναις οὐσίαις οὐσίας ἀϊδίους ἔλαβον οἱ τὰς ἰδέας θέμενοι, εἴγε μόνῃ τῇ τοῦ αὐτό προσθήκῃ διαφέρει τῶν αἰσθητῶν, ὃ τοῦ ἀϊδίου ἂν εἴη δηλωτικόν. Alex.

"ἔτι — ἕξει." ἀπορήσας πρὸς τὰς ἰδέας μετελήλυθεν ἐπὶ 997b 12.
τὰ μεταξὺ λεγόμενα εἶναι αὐτῶν τῶν ἰδεῶν καὶ τῶν αἰσθητῶν, ταῦτα δέ ἐστι τὰ μαθηματικά, ἃ οὐσίας ἔλεγον καὶ αὐτὰς καθ' αὑτὰς ὑφεστώσας, καί φησι πολλὰς ἀπορίας ἕπεσθαι τῇ δόξῃ ταύτῃ. διὰ δὲ τούτων δείκνυσιν ὅτι ἡ τῶν οὐσιῶν παρὰ τὰς τῶν αἰσθητῶν φύσις δύσληπτος. τίθησι δὲ καὶ τὰς ἀπορίας. ὡς γὰρ ἐπὶ γραμμῆς ἔχει (ἔστι γάρ τις γραμμὴ κατ' αὐτοὺς παρά τε τὴν αἰσθητὴν καὶ τὴν ἰδέαν ἡ μαθηματική, περὶ ἣν ἡ γεωμετρία πραγματεύεται), οὕτως ἕξει καὶ ἐπὶ τῶν ἄλλων, δῆλον ὅτι τῶν μαθηματικῶν· πάντες γὰρ οἱ μαθηματικοὶ ἔχουσί τινας μεταξὺ φύσεις, περὶ ὧν θεωροῦσιν. ἐπεὶ οὖν ἐστὶν ἐν ταῖς μαθηματικαῖς καὶ ἡ ἀστρολογία, οὖσα περὶ τοῦ οὐρανοῦ καὶ περὶ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων, ἔσται καὶ τούτων ἕκαστον μεταξὺ τῶν αἰσθητῶν, οὐρανοῦ καὶ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων καὶ τῶν ἰδεῶν, περὶ ὧν ὁ μαθηματικὸς

26. τὸ] τῷ *C.* ‖ 43. τὸ — 44. κόσμῳ om *V.* ‖ δὲ περὶ τὰς *L.*
11. δέ ἐστι *A.* ‖ 16. ὡς τὸ ἔσται *A.* ‖ 17. αὐτοὺς om *C.* ‖ 37. δυσλήπτη *A.* ‖ ὡς] εἰ Asclep. ‖ 41. λέξουσι Asclep. ‖ 45. ἰδίων Asclep.

τὰ καθ' αὑτὸ ὑπάρχοντα τῷ αὐτῷ τούτῳ, τουτέστιν εἰ ἡ αὐτὴ ἐπιστήμη ἐστὶν ὁριστική τε καὶ ἀποδεικτική, εἴτε ἑτέρα ἐστὶ καὶ μὴ μιᾶς ἄμφω μόρια. ἀκολουθήσει οὖν τὰ καθ' αὑτὸ συμβεβηκότα τῷ αὐτῷ γένει μίαν ἀποδεικνύναι· λείπει γὰρ τοῦτο τῇ λέξει τῇ "ὥστε καὶ τὰ συμβεβηκότα·" ἐνδεῖ γὰρ αὐτῷ τὸ μιᾶς ἔσται θεωρεῖν τε καὶ δεικνύναι· ἦν γὰρ τὸ εἰδέναι τὰ ἐξ ὧν ταύτης τε καὶ τὸ τὰ συμβεβηκότα τῷ ὑποκειμένῳ δεικνύναι· εἴτε ἑκατέρα τούτων ἑτέρα οὖσα τὰ καθ' αὑτὸ ὑπάρχοντα τῷ ὑποκειμένῳ θεωρεῖ, ἡ μὲν λαμβάνουσα ὁριστική, ἡ δὲ ἀποδεικνύουσα ἀποδεικτική, εἴτε καὶ μία τίς ἐστιν ἐπιστήμη ἐξ ἀμφοτέρων τοῦ τε ὁρίζεσθαι καὶ τοῦ ἀποδεικνύναι συγκειμένη· ὡς γὰρ μία ἡ ὁριστική τε καὶ δεικτικὴ τοῦ τί ἦν εἶναι, τοῦ ἑνός, οὕτω μία καὶ ἡ ἀποδεικτική. γράφεται ἔν τισιν ἀντὶ τοῦ εἴθ' αὗται "εἴθ' αἱ αὐταί·" καὶ εἴη ἂν διὰ τούτου τὸ λεγόμενον, εἴτε αἱ αὐταὶ ἀλλήλαις εἰσίν, εἴτε ἡ ὁριστικὴ περὶ τοῦ αὐτοῦ γένους καὶ ἡ ἀποδεικτική, εἴτε οὐκ εἰσὶ μὲν αἱ αὐταί, μόρια δέ ἐστι μιᾶς, ὥστε ἐξ ἀμφοτέρων συγκεῖσθαι τὴν τοῦ ὑποκειμένου γένους ἐπιστήμην. id.

997a 25. "ἔτι — οὐσίας." καὶ αὕτη ἡ ἀπορία προείρηται ὑπ' αὐτοῦ ἐν τῇ τῶν ἀποριῶν ἐκθέσει. ὃ δὲ ἀπορεῖ διὰ τούτων, δόξει τῷ προειρη-
997a 22. μένῳ ἀκόλουθον εἶναι τῷ "περί τε γὰρ ὃ μιᾶς καὶ ἐξ ὧν μιᾶς, εἴτε τῆς αὐτῆς εἴτε ἄλλης." εἰπὼν γὰρ δι' ἐκείνων τὸ μιᾶς εἶναι ὥσπερ τὸ ὁρίσασθαι τὸ ὑποκείμενον γένος, οὕτω καὶ τὸ ἀποδεῖξαι τὰ καθ' αὑτὰ συμβεβηκότα αὐτῷ, εἶτα ἀπορήσας τὸ εἴτε τῆς αὐτῆς ἄμφω ἐστίν, εἴτε ἄλλης μὲν τὸ ὁρίσασθαι ἄλλης δὲ τὸ ἀποδεῖξαι, νῦν περὶ τούτου καθ' αὑτὸ ἀπορεῖ καὶ ζητεῖ πότερον ἡ ἐπιστήμη ἡ προκειμένη ἡμῖν (αὕτη δέ ἐστιν ἡ σοφία) τῶν οὐσιῶν μόνον ἐστὶ θεωρητική, τί ἐστι τὸ εἶναι ἐξετάζουσα καὶ τίς ἡ φύσις αὐτῆς ὁριζομένη, ἢ τὰ συμβεβηκότα καθ' αὑτὰ τῇ οὐσίᾳ ἡ αὐτὴ θεωρεῖ, ὡς εἶναι ἅμα καὶ ἀποδεικτική. ἡ μὲν γὰρ τῆς αὐτῆς τὴν οὐσίαν θεωρεῖν καὶ τὰ καθ' αὑτὰ συμβεβηκότα, αὕτη ἂν εἴη ἀποδεικτική· ἀποδεικτικῆς γὰρ τὸ ἀποδεικνύναι τὰ καθ' αὑτὰ ὑπάρχοντα τῇ οὐσίᾳ. ᾧ
997a 30. ἐπήνεγκεν ὡς ἄτοπον τὸ "ἀποδεικτικὴ ἂν εἴη καὶ ἡ τῆς οὐσίας," ὡς ἑπόμενον τῇ ἀποδεικτικῇ λαμβάνων τὸ περὶ ὧν τὸν λόγον καὶ τὴν θεωρίαν ποιεῖται ταῦτα ἀποδεικνύναι. οὐ δοκεῖ δὲ τοῦτο, φησί, τοῦ τί ἐστιν ἀπόδειξις εἶναι, τὸ μὲν τοῦ ὁρισμοῦ καὶ τοῦ τί ἐστι μὴ εἶναι ἀπόδειξιν ὑγιῶς λαμβάνων (ἔδειξε γὰρ τοῦτο ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς 2 3 sq.)· οὐ μὴν πάντως ἕπεται, εἰ ἡ αὐτὴ εἴη τῆς τε οὐσίας καὶ τοῦ τί ἐστιν ἡ οὐσία θεωρητική, καὶ τῶν καθ' αὑτὰ τῇ οὐσίᾳ ὑπαρχόντων ἤδη τοῦ τί ἐστιν ἀποδεικτικὴν αὐτὴν εἶναι· οὐ γὰρ εἴη τῆς οὐσίας θεωρητικὴ καὶ ἀποδεικτικὴ ἤδη καὶ τῆς οὐσίας ἀποδεικτική· τὸ μὲν γὰρ τί ἐστιν ὁριστικῶς λήψεται, ἀποδείξει δὲ τὰ καθ' αὑτὸ ὑπάρχοντα, ταῦτα γάρ ἐστιν ἀποδεικτικά. οὐ γὰρ εἰ ἡ αὐτὴ περὶ ἀμφοῖν, ἤδη καὶ ὁμοίως περὶ ἀμφοῖν· οὐ γὰρ γίνεται ταὐτὸν θάτερον θατέρῳ τὸ ὁρίσασθαι τῷ ἀποδεῖξαι, εἰ ἄμφω ἑνὸς εἴη. ὁ δὲ λαβὼν τὸ ἀποδεικτικὴν ἔσεσθαι τὴν τῆς οὐσίας ἐπιστήμην, μετήνεγκε τὸ καὶ τὴν οὐσίαν τῆς ἀποδείξεως ἔσεσθαι, ὡς τῆς ἀποδεικτικῆς τὸ δι' ἀποδείξεως τὸ προκείμενον αὐτῇ θεωρεῖν οἰκεῖον. βουλόμενος δὲ ἡμῖν ἐνδείξασθαι πῶς ἐστὶ τὸ πότερον περὶ τῆς οὐσίας ἡ θεωρία μόνον ἐστὶν ἢ περὶ τὰ συμβεβηκότα ταύταις, παρέθετο τὰ τῇ γεωμετρίᾳ ὑποκείμενα στερεά, ἐπίπεδα καὶ γραμμάς, εἴγε ταῦτα τῆς οὐσίας λέγειν, ἐπεὶ τούτοις ἐστί τινα καθ' ἑαυτὰ ὑπάρχοντα, περὶ ὧν ἡ ἀπόδειξις τῷ γεωμέτρῃ λέγει, εἰ τοῦ αὐτοῦ ἔσται τί ἕκαστον τούτων ἐστὶ θεωρεῖν, καὶ ὁρίζεσθαι τί στερεὸν ἢ ἐπίπεδον, τί γραμμὴ καὶ τίνα ἐστὶν ἑκάστῳ τούτων τὰ καθ' αὑτὰ ὑπάρχοντα· ὁρισμὸς μὲν γὰρ γραμμῆς μῆκος ἀπλατές, καθ' αὑτὸ δὲ αὐτῇ ὑπάρχει, ἂν οὕτω τύχῃ, τὸ εἶναι ἢ εὐθείᾳ ἢ περιφερεῖ, καὶ τὸ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ ὀρθὴν ἑκατέραν εἶναι τῶν ἴσων γωνιῶν καὶ τὴν ἐφεστηκυῖαν κάθετον εἶναι ἐφ' ἣν ἐφέστηκε, καὶ ὅσα τοιαῦτα. σχεδὸν δὲ καὶ διὰ τοῦ παραδείγματος ἔλυσε τὴν ἀπορίαν, ἣν ἐπιφέρει. οἱ γοῦν γεωμέτραι περὶ ἀμφοτέρων λέγοντες οὐκ ἀποδεικνύουσι τοὺς ὁρισμούς, ἀλλὰ τὸ μὲν εἶναι ἐπίπεδον τὸ μῆκος καὶ πλάτος μόνον ἔχον λαμβάνοντες χωρὶς ἀποδείξεως αὐτῷ χρῶνται, τὸ δὲ τινὰ μὲν τοῖς εὐθυγράμμοις ὑπάρχειν τῶν ἐπιπέδων τινὰ δὲ τοῖς περιφερογράμμοις καθ' αὑτὸ ἀποδεικνύουσι, καὶ διὰ τοῦτο γίνεται τοῦ τί ἐστιν ἀπόδειξις. οἱ μὲν οὖν γεωμέτραι οὐκ ἔχουσιν οὐσίας τὰ ὑποκείμενα αὐτοῖς ὁρίζονται, ἡ δὲ φυσικὴ οὐσίας τε ἔχει τὰ ὑποκείμενα καὶ οὐδὲν ἔλαττον αὐτάς τε ὁρίζεται, καὶ τίνα ἐστὶν αὐταῖς τὰ καθ' αὑτὰ ὑπάρχοντα ἀποδείκνυσιν· οὐ γὰρ δὴ τί μέν ἐστι κόσμος ἢ ἥλιος ἤ τις ἄλλη τῶν φυσικῶν οὐσιῶν ἀποδείκνυσιν, οὐκέτι δὲ περὶ τῶν σχημάτων ἢ κινήσεως ἢ τόπων, ἢ ὅσα ἄλλα καθ' αὑτὰ ὑπάρχει τοῖς φυσικοῖς, λέγει τε καὶ ἀποδείκνυσιν. ὁμοίως δὴ εἰ καὶ ταῖς πρώταις οὐσίαις ἐστί τι συμβεβηκός, ὁ περὶ τῆς οὐσίας αὐτῶν θεωρῶν καὶ περὶ ἐκείνων ἐρεῖ τε καὶ ἀποδείξει. ἐπενεγκὼν δὲ τῷ εἰ τῆς αὐτῆς ἐπιστήμης περὶ ἀμφοτέρων ἐπισκοπεῖν, ὡς ἄτοπον τὸ ἔσεσθαι ὁρισμοῦ καὶ τοῦ τί ἦν εἶναι ἀπόδειξιν, εἰ μὴ οὕτως ἔχει, ὡς τῆς αὐτῆς εἶναι τὸ περὶ ἀμφοτέρων θεωρῆσαι, πάλιν τί ἕπεται ἄτοπον λέγει· τίς γὰρ ἔσται ἐπιστήμη περὶ τὴν τῆς οὐσίας θεωρητικὴν ἢ τῶν καθ' αὑτὰ ὑπαρχόντων τῇ οὐσίᾳ θεωρητική τε καὶ ἀποδεικτική, διαφέρουσα ἐκείνης, εὑρεῖν χαλεπόν· τὸ ὑγιὲς ἐπενεγκών, ὅτι οὐ ῥᾴδιον εὑρεῖν ἄλλην μὲν τὴν περὶ τοῦ τί ἐστι τὸ ὑποκείμενον πραγματευομένην, ἄλλην δὲ περὶ τοῦ τὰ ὑπάρχοντα αὐτῷ καθ' αὑτά, οὔτε ἐπ' ἄλλου τινὸς γένους οὔτε ἐπὶ τῆς οὐσίας· οὐ γὰρ οἷόν τε ἀγνοοῦντά τινα τὴν οὐσίαν τὰ καθ' αὑτὸ αὐτῷ ὑπάρχοντα δεικνύναι. ἐπὶ τούτοις ἀπορεῖ, ὃ καὶ αὐτὸ κατ' ἀρχὰς προέβαλε (τέταρτον γὰρ τοῦτο ὧν προέβαλε), πότερον δεῖ τὰς αἰσθητὰς οὐσίας μόνας ἡγεῖσθαι εἶναι, ἢ εἰσί τινες καὶ ἄλλαι παρὰ ταύτας οὐσίαι καθ' αὑτάς. προστίθησι δὲ τούτῳ τῷ εἶναί τινας παρὰ τὰς αἰσθητάς, ὃ καὶ ἐν τῇ ἐκθέσει τῶν ἀποριῶν προσέθηκε, πότερον μοναχῶς εἰσὶν αὗται ἢ πλείω γένη τῶν τοιούτων εἰσὶν οὐσιῶν, ὡς εἶναι

1. τούτῳ om Asclep. ‖ 2. εἴτε καὶ ἑκατέρα αὐτῶν ἑτέρα Asclep. ‖ 5. ἐνδεῖ] ἕν· δεῖ Asclep. ‖ 7. ἥτε AC. ‖ 8. θεωρεῖν AC. ‖ 12. εἰ αὗται F. ‖ 13. εἴθ' ἑαυταί F. ‖ εἴτ' ἑαυταὶ F, εἴτ' αὐταὶ V. ‖ 14. ἥτε ἡ A, ἡ om F.
9. αὐτὸ C. ‖ 12. κοινῇ C.

ἡμῖν· ἔστι δὲ αὕτη ἡ σοφία. τὸ γὰρ μίαν πασῶν ὑπολαμβάνειν τῶν οὐσιῶν ἐπιστήμην εἶναι οὔ φησιν εὔλογον εἶναι, καὶ δι' ὃ ἐπιφέρει· εἰ γὰρ μίαν, μία ἂν εἴη καὶ ἡ ἀποδεικτικὴ πάντων τῶν ταῖς οὐσίαις καθ' αὑτὰ συμβεβηκότων. πᾶσα γὰρ ἀποδεικτικὴ ἐπιστήμη τῶν τῷ γένει ἐκείνῳ, περὶ ὃ καταγίνεται, καθ' αὑτὰ ὑπαρχόντων ἐστὶν ἀποδεικτική· ὥστε εἰ καὶ περὶ τῆς οὐσίας μία τις ἐπιστήμη, ἓν ἄν τι γένος εἴη καὶ ἡ οὐσία. εἰ γὰρ ἑνὸς γένους μία ἐπιστήμη, καὶ οὗ ἐπιστήμη μία, ἓν γένος τοῦτο· εἰ δὲ ἓν γένος καὶ ἡ οὐσία, ἑνὶ δὲ γένει τὰ καθ' αὑτὸ συμβεβηκότα μιᾶς ἀποδείκνυται, μία ἂν εἴη καὶ ἡ τὰ ταῖς οὐσίαις πάσαις καθ' αὑτὰ ὑπάρχοντα ἀποδεικνῦσα· ἀποδεικτικῆς γὰρ ἴδιον τὸ περί τι ὑποκείμενον θεωρεῖν τὰ καθ' αὑτὰ συμβεβηκότα
997a 21. διὰ τῶν ἀξιωμάτων τε καὶ κοινῶν δοξῶν. "περὶ οὗ τὸ αὐτὸ γένος" ἀντὶ τοῦ περὶ οὗ ἓν γένος, τὰ καθ' αὑτὰ συμβεβηκότα διὰ τῶν κοινῶν δοξῶν, τουτέστι μιᾶς ἐστὶ τὸ θεωρῆσαι τὰ καθ' αὑτὸ συμβεβηκότα τοῖς μεγέθεσι, καὶ πάλιν ἑτέρας τοὺς ἀριθμούς, ὥστε καὶ τῶν οὐσιῶν διάφοροι ἐπιστῆμαι, ἐπεὶ καὶ τῶν καθ' αὑτὰ ὑπαρχουσῶν ταῖς οὐσίαις. δοκεῖ δὲ ἀπὸ τοῦ συμβεβηκότος τὸ ἄτοπον ἐπάγειν· λαβὼν γὰρ ὅτι τῆς ἐπιστήμης καὶ τὸ τὰ συμβεβηκότα τῷ γένει τῷ ὑποκειμένῳ αὐτῇ ἀποδεικνύναι, ἐπεὶ τῇ οὐσίᾳ πάντα τὰ ἄλλα συμβέβηκε κατὰ τοὺς λέγοντας μίαν εἶναι τὴν περὶ τὰς οὐσίας ἐπιστήμην, κατὰ τούτους γίγνεται μιᾶς περὶ πάντων τῶν ὄντων λέγειν· πάντα γὰρ τὰ περὶ τὴν οὐσίαν ὄντα τῇ οὐσίᾳ συμβέβηκε. διὰ τοῦτο γὰρ καὶ οὕτως εἶπε, "καὶ γὰρ ἂν ἀποδεικτικὴ μία περὶ πάντων εἴη τῶν συμβεβηκότων," οὐκέτι τὸ ἑξῆς προστιθεὶς αὐτῷ. "περί τε γὰρ μιᾶς καὶ ἐξ ὧν μιᾶς, εἴτε τῆς αὐτῆς εἴτε ἄλλης." τοῦτό μοι δοκεῖ τοιοῦτον εἶναι. εἰπὼν ὅτι εἰ ἓν γένος ἐστὶν ἡ οὐσία ὑποκείμενον, ἔσται μία καὶ ἡ ἁπάντων τῶν καθ' αὑτὰ ὑπαρχόντων τῇ οὐσίᾳ ἀποδεικτικὴ ἐπιστήμη, ἐπήνεγκε καθόλου "περί τε γὰρ μιᾶς καὶ ἐξ ὧν μιᾶς, εἴτε τῆς αὐτῆς εἴτε ἄλλης· ὥστε καὶ τὰ συμβεβηκότα, εἴτε αὐταὶ θεωροῦσιν εἴτε ἐκ τούτων μία." εἴη τὸ λεγόμενον τοιοῦτον. τῆς αὐτῆς ἐστὶν ἐπιστήμης τὸ ὑποκείμενον θεωρεῖν τί ποτε ἐστί, καὶ τὰ τούτῳ καθ' αὑτὸ ὑπάρχοντα· ἐκ γὰρ τούτων καὶ ἐν τούτοις ἐκείνῳ τὸ εἶναι. ἀλλὰ μὴν ἧς τὸ τὰ καθ' αὑτά τινι ὑπάρχοντα εἰδέναι, ταύτης καὶ τὸ ἀποδεικνύναι τὰ καθ' αὑτὰ συμβεβηκότα ἐκείνῳ. δύναται δὲ καὶ τὰ "ἐξ ὧν μιᾶς" εἰρηκέναι ἀντὶ τοῦ καὶ ἐξ ὧν αἱ περὶ ἐκείνου τοῦ ὑποκειμένου ἀποδείξεις γιγνόμεναι· διὰ γὰρ τῶν καθ' αὑτὰ ὑπαρχόντων αἱ ἀποδείξεις, ἃ δεῖ εἰδέναι τὸν περὶ ἐκεῖνο καταγινόμενον· ὥστε οὗ τὸ εἰδέναι τὴν ὑποκειμένην φύσιν, τούτου καὶ τὸ τὰ ταύτῃ ὑπάρχοντα εἰδέναι καθ' αὑτά· διὰ γὰρ τούτων ἡ γνῶσις τῆς οὐσίας τοῦ προκειμένου, δι' ὧν καὶ αἱ περὶ τῶν ὑπαρχόντων αὐτῇ ἀποδείξεις. ἧς δὲ τὸ ταῦτα εἰδέναι, ταύτης καὶ τὸ τὰ καθ' αὑτὰ συμβεβηκότα συμβεβηκότα τῷ γένει τούτῳ δεικνύναι, τουτέστι τὰ δι' ἀποδείξεως ὑπάρχειν δεικνύμενα αὐτῷ. οὗ γὰρ τὸ εἰδέναι τό τε ὑποκείμενον γένος καὶ δι' ὧν τὰ τούτῳ ὑπάρχοντα δείκνυται, τούτου καὶ τὸ ἀποδεικνύναι τὰ ὑπάρχοντα αὐτῷ· οὗ δὲ τὸ ἀποδεικνύναι τινά, τούτου καὶ τὸ εἰδέναι. εἰ οὖν μία ἐστὶν ἡ περὶ τὸ ὑποκείμενον γένος καὶ τὴν οὐσίαν πραγματευομένη τῷ ἓν αὐτῷ εἶναι καὶ μίαν τινὰ φύσιν, ἔσται καὶ τὸ πάντα τούτῳ τὰ καθ' αὑτὸ συμβεβηκότα ἀποδεικνύναι, εἴτε πλειόνων καὶ ἄλλης ἢ περὶ τὸ λαμβανόμενον γένος καὶ τὴν οὐσίαν πραγματεύεσθαι τῷ μὴ εἶναί τινα μίαν φύσιν αὐτοῦ· οὐ γὰρ εἴ τινα ὑφ' ἓν τὸ ἀνωτέρω γένος ἐστίν, ἤδη περὶ τούτων μιᾶς τὸ θεωρεῖν ἐπιστήμης, ἀλλὰ δεῖ ὁμοειδὲς εἶναι καὶ μιᾶς φύσεως τὸ ἑκάστῃ ἐπιστήμῃ ὑποκείμενον, περὶ ὃ πραγματεύεται· πλειόνων δὴ καὶ τῶν αὐτῶν ἔσται τὸ καὶ τὰ ὑπάρχοντα αὐτῷ ἀποδεικνύναι· ὅσαι γὰρ περὶ τὸ ὑποκείμενον, τοσαῦται καὶ περὶ τὰ καθ' αὑτὰ τούτῳ ὑπάρχοντα καὶ συμβεβηκότα. τὸ δὲ "ὥστε καὶ τὰ συμβεβηκότα, εἴτε αὗται θεωροῦσιν εἴτε ἐκ τού- 997a 24.
των μία" ἴσον ἂν σημαίνοι τῷ τῶν αὐτῶν ἔσται, ὧν ἥ τε περὶ τοῦ ὑποκειμένου γένους θεωρία καὶ ἡ περὶ τὰ δι' ὧν τὰ τούτῳ ὑπάρχοντα ἀποδείκνυται, καὶ ἡ τῶν καθ' αὑτὰ συμβεβηκότων καὶ ἀποδεικνυμένων ὑπάρχειν αὐτῷ γνῶσις. εἴτε οὖν πλείους ἐκεῖναι ὡς κεχωρίσθαι ἀπ' ἀλλήλων, πλείους καὶ αἱ ταῦτα ἀποδεικνῦσαι, εἴτε ἐκεῖναι μία ἐκ πλειόνων ἐπιστημῶν ὡς μερῶν οὖσα, οὕτως ἕξει καὶ ἡ τὰ καθ' αὑτὰ ὑπάρχοντα δεικνῦσα τούτῳ τῷ γένει· μία μὲν γὰρ ἔσται, ἐκ πλειόνων μέντοι ἐπιστημῶν ὡς μερῶν ἠθροισμένη. τοῦτο δὲ προστέθηκεν, ἐπεὶ δοκεῖ ἡ περὶ τὴν οὐσίαν πραγματεία ἅπασα φιλοσοφία εἶναι, οὐ μὴν πᾶσα πάσης τῆς οὐσίας ἐστίν, ἀλλὰ κατὰ μὲν ἄλλο μέρος αὐτῆς τῆς αἰσθητῆς τε καὶ φυσικῆς, κατ' ἄλλο δὲ τῆς νοητῆς. ὡς δὲ ἐπ' ἄτοπόν τι ἐπαγαγὼν τὸ μίαν ἔσεσθαι τῶν καθ' αὑτὸ ὑπαρχόντων τῆς οὐσίας ἀποδεικτικήν, ἐπαύσατο μηδὲν ἐπενεγκών· ἄλογον γὰρ δόξει τὴν αὐτὴν ἐπιστήμην εἶναι θεωρητικὴν περί τε τῶν τῇ αἰσθητῇ οὐσίᾳ συμβεβηκότων καὶ περὶ τῶν τῇ νοητῇ. πῶς οὖν οὐχ ἓν γένος ἡ οὐσία; ἐπιζητήσαι δ' ἄν τις εἰ περὶ ἓν γένος, οὗ τὸ κοινόν, ὡς εἶπε, νῦν λέγει, ἀλλὰ καὶ περὶ ἓν εἶδος καὶ μίαν τινὰ ὁμοειδῆ φύσιν. οὕτω γὰρ ἡ ἐπιστήμη περὶ ἓν γένος, οὐχ ὅτι μία περὶ πάντα τὰ ἐκ τοῦ αὐτοῦ τοῦ ἀνωτάτου καὶ κοινοτάτου γένους, ἀλλ' ὅτι περὶ τὰ τοῦ αὐτοῦ εἴδους καὶ λόγου κεκοινωνηκότα. δύναται καὶ οὕτως τις ἀκοῦσαι τοῦ "περί τε γὰρ ὃ μιᾶς καὶ ἐξ ὧν μιᾶς," οὗ γένους μία, ἡ τὸ τί ἐστιν ἑκάστου τῶν ὑπ' αὐτὸ καὶ τὸν ὁρισμὸν ζητοῦσα, τούτῳ μία καὶ ἡ τῶν ὑπαρχόντων αὐτῷ, καὶ ἐξ ὧν ἐστὶν αὐτῇ τὸ εἶναι γνωστική τε καὶ δεικτική· διὰ γὰρ τῶν καθ' αὑτὰ ὑπαρχόντων ἑκάστῳ καὶ τῶν συμβεβηκότων αὐτῷ καθ' αὑτὸ αἱ ἀποδείξεις. μιᾶς δὲ ἐπιστήμης τὸ τὰ καθ' αὑτὰ ὑπάρχοντα ἑνί τινι γένει εἰδέναι· οὗ γὰρ ἡ ὁριστικὴ μία, καὶ ἡ ἀποδεικτική. τὸ μὲν γὰρ ὃ τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι σημαίνει, τὸ δὲ "εἴτε τῆς αὐτῆς" τό τε ὁρίσασθαι τὸ αὐτὸ καὶ ἀποδεῖξαι

12 — 14. apud Asclep. ‖ 14. τὰ — 17. οὐσίαις add Asclep. ‖ 30 — 42. apud Asclep. ‖ 31. τούτου *A*, om *C*. ‖ 35. καὶ om *C*. ‖ 36. γιγνόμεναι om *A* in lacuna. ‖ 41. τὰ om *A*. ‖ alterum συμβεβηκότα om *A* Asclep.

16. τούτου *C*, τούτων *A*. ‖ 17. τῶν] τοῦ τούτων *V*. ‖ 22. ὡς] ἢ *AC*. ‖ 23. πᾶσα *C*. ‖ 29. τῶν post τε om *V*. ‖ 30. οὖν] δὲ *V*, γ' ἂν *C*. ‖ εἴπερ ἐν *C*. ‖ 31. εἶδος] γένος *C*. ‖ 34. τις *C*. ‖ 35. ὁμοίας *V*. ‖ 42 — p. 615 *a* 12. apud Asclep.

πᾶσα γὰρ ἀπόδειξις γένει τινὶ καὶ φύσει ὑποκειμένῃ μιᾷ δείκνυσιν ὑπάρχοντα ἃ ἀποδείκνυσιν, ἃ εἶπεν αὐτοῦ πάθη, διά τινων ἀξιωμάτων, δι' ὧν αἱ ἀποδείξεις, τουτέστιν ἀμέσους προτάσεις καὶ ἀναποδείκτους. εἰ γὰρ δεῖ μὲν δι' ἀξιωμάτων δεικνύναι τὰ δεικνύμενα, δεικνύοιτο δὲ καὶ τὰ ἀξιώματα, ἐπ' ἄπειρον ἂν προΐοι, οὕτω δὲ οὐδὲν ἀποδεικτικὸν ἂν εἴη· οὐ γὰρ πάντα ἐστὶν ἀποδεικτικά. ᾧ ἐνῆν καὶ αὐτὸν χρησάμενον ἀποδεῖξαι ὅτι μή ἐστιν ἀπόδειξις τῶν ἀξιωμάτων. ὅτι δὲ ταῦτα δεῖ τὰ εἰρημένα ὑπάρχειν ἐν πάσῃ ἀποδείξει, ἐδήλωσε καὶ διὰ τοῦ ἐπενεγκεῖν "ἀνάγκη γὰρ ἔκ τινων εἶναι," δι' ὧν δείκνυται καὶ περί τι εἶναι, οὗ ἡ ἀπόδειξις, καὶ τινῶν τὴν ἀπόδειξιν, αὐτῶν τῶν ἀποδεικνυμένων. ἀλλὰ εἰ τοῖς ἀξιώμασιν ἕν τι γένος ὑπόκειται, πᾶσι τοῖς ἀποδεικνυμένοις καὶ πάσαις ταῖς ἐπιστήμαις ἓν καὶ ταὐτὸ γένος ὑποκείμενον ἔσται. ὁ γὰρ χρώμενός τινι πρὸς ἀπόδειξιν, ὃ γένει τινὶ καὶ φύσει μιᾷ καθ' αὑτὸ ὑπάρχει, οὐ περὶ ἄλλο αὐτῷ χρῆται ἢ περὶ ἐκεῖνο ᾧ ὑπάρχει καθ' αὑτό· οὐ γὰρ διὰ τοῦ τυχόντος τὸ τυχὸν δείκνυται. οὔτε γὰρ ὁ τοῖς ἐν γεωμετρίᾳ δεικνυμένοις χρώμενός τισι πρὸς ἄλλο τι αὐτοῖς χρῆται ἢ πρὸς τὰ γεωμετρικὰ ὑποκείμενα, ὅτι τούτοις ὑπάρχει καθ' αὑτά· οὔτε ὁ ἐν τοῖς μουσικοῖς τινὶ πρός τι ἄλλο ἢ πρὸς τὰ τοῖς μουσικοῖς ὑποκείμενα. διὰ γὰρ τῶν καθ' αὑτὰ ὑπαρχόντων αἱ τῶν καθ' αὑτὰ ὑπαρχόντων ἀποδείξεις· καὶ οἱ τοῖς ἀξιώμασι δὴ χρώμενοι πρὸς τὸ γένος ἂν ἐκεῖνο ἐχρῶντο αὐτοῖς, ᾧ ὑπάρχει τὰ ἀξιώματα τὰ καθ' αὑτά· ὑπάρχει δὲ ἔν τινι, εἴγε ἔστιν αὐτῶν ἐπιστήμη τις ἀποδεικτική. πᾶσαι δὲ αἱ ἐπιστῆμαι πρὸς τὰ ἀποδεικνύμενα ὑπ' αὐτῶν χρῶνται τοῖς ἀξιώμασι· πάσαις ἄρα ἔσται τὸ αὐτὸ γένος ὑποκείμενον ταῖς ἐπιστήμαις τῷ πάσας αὐτοῖς χρῆσθαι· ταῦτα δὲ ἑνὶ γένει τινὶ ὑπάρχει, καὶ μὴ οἷόν τε εἶναι πρὸς ἄλλο τι χρῆσθαι τοῖς τινὶ καθ' αὑτὸ ὑπάρχουσιν ἀποδεικτικοῖς ἢ πρὸς ἐκεῖνο μόνον, ᾧ καθ' αὑτὸ ἐκεῖνο ὑπάρχει. εἰ δὲ πάσαις ταῖς ἐπιστήμαις τὸ αὐτὸ γένος ὑπόκειται, καὶ πᾶσαι διὰ τῶν αὐτῶν δεικνύουσι· διὰ γὰρ τῶν ἀξιωμάτων πᾶσαι ἂν αἱ αὐταὶ εἶεν. Alex.

996b 29. (c) καί φησιν ὅτι ἀδύνατόν ἐστι τὴν ἀντίφασίν ποτε συναληθεύειν ἢ συμψεύδεσθαι. ὡς γὰρ πολλάκις εἴρηται, ἐπὶ πάντων τῶν ὄντων διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, καὶ ὥς φησιν ὁ Πλάτων ὡς ὅτι οὐδὲν τῶν ὄντων καυχήσεται ἐκφυγεῖν τὴν ἀντίφασιν. καὶ ταῦτα μὲν οἱ περὶ τὸν Ἀριστοτέλους, εἰδέναι μέντοι χρὴ ὅτι τῶν ἀδυνάτων ἐστί ποτε ἀληθεῦσαι τὴν ἀντίφασιν, συμψεύσασθαι μέντοι γε αὐτὴν οὐκ ἔστιν ἀδύνατον. ἐπὶ γὰρ τοῦ πρώτου οὔτε ἡ κατάφασις ἔχει χώραν οὔτε δὲ ἡ ἀπόφασις, εἴγε ὑπερβέβηκε καὶ τὸ ὂν καὶ πᾶσαν ἔννοιαν ἀνθρωπίνην καὶ ἁπλῶς εἰπεῖν νοερὰν ἐνέργειαν· καὶ γὰρ λέγει ὁ Πλάτων "ὅτι μέν ἐστιν, οὐκ οἶδα, τί δέ ἐστιν οἶδα." Asclep.

996b 34. (d) φαμὲν δὲ ἡμεῖς πρὸς αὐτὸν λέγοντες ὅτι τὸ μὲν συνημμένον τοῦ συλλογισμοῦ ἔρρωται, ἡ δὲ πρόληψις οὐδαμῶς ὑγιῶς ἔχει. τὸ γὰρ λέγειν ὅτι αἱ ἀποδείξεις, καθὸ ἀποδείξεις ὑπάρχουσιν, οὐδὲν ἀλλήλων διαφέρουσι, καὶ ὅτι ἀποδείξεσι κέχρηνται καὶ αἱ κατὰ μέρος καὶ αἱ πρῶται, οὐκ ἄτοπον· τὸ δὲ λέγειν ἀλλὰ μὴν ὅμοιαι, διὰ τοῦτο πάνυ ἐστὶν ἄτοπον. ἡ μὲν γὰρ πρώτη ἐπιστήμη οἶδε καὶ τὰς οὐσίας τῶν πραγμάτων καὶ τὰς ἀρχὰς τῶν ἀποδείξεων, τὰς μὲν οὐσίας διὰ τῶν ὁρισμῶν τὰς δὲ ἀποδείξεις διὰ τῶν ἀρχῶν, διὰ τὰς εἰρημένας αἰτίας ἐν τῇ θεωρίᾳ· αἱ μέντοι γε κατὰ μέρος ἐπιστῆμαι τὰς μὲν ἀποδείξεις ἴσασι, τὰς δὲ ἀρχὰς οὐκ ἴσασιν· ἀρκοῦνται γὰρ τῇ δόξῃ τῆς πρώτης φιλοσοφίας. id.

"ἀλλὰ — τούτων." ἐπιχειρήσας πρὸς τὸ μὴ εἶναι τῆς αὐτῆς 997a 11. περί τε τῶν τῆς οὐσίας ἀρχῶν καὶ περὶ τῶν ἀποδεικτικῶν εἰπεῖν ἀλλ' ἑτέρας, ἔξωθεν δὲ προσεπιχειρήσας ὅτι μηδὲ ἔστιν ἀποδεικτικά, ἐφεξῆς ταύτῃ συνεχῆ ἀπορίαν ἀπορεῖ· ζητεῖ γάρ, ποτέρα αὐτῶν ἐστὶ σοφία καὶ ποτέρα κυριωτάτη καὶ ποτέρα πρότερον, ἡ περὶ τὰς τῆς οὐσίας ἀρχὰς ἢ ἡ περὶ τὰς τῆς ἀποδείξεως. καὶ ὅτι δὴ εὔλογον εἶναι λέγειν τοιαύτην τὴν περὶ τὰ ἀξιώματα, οὕτως ἐπιχειρεῖ. εἰ ἡ περὶ τὰ πρῶτα πρώτη, τὰ δὲ ἀξιώματα πρῶτα, ὃ ἔδειξε διὰ τοῦ εἰπεῖν ὅτι καθόλου· τὰ γὰρ καθόλου πρῶτα τῶν ὑφ' αὑτὰ δέδεικται τῇ φύσει ὄντα, τοιαῦτα δὲ τὰ ἀξιώματα, κοινὰ πάντων καὶ καθόλου, ἐπεὶ πάντα τὰ δεικνύμενα διὰ τούτων δείκνυται καὶ πάντων ἀρχαὶ ταῦτα· αἱ δὲ ἀρχαὶ πρῶται οὗ εἰσὶν ἀρχαί· ὥστε καὶ ταύτῃ καθόλου ἡ παραγωγὴ παρὰ τὸ ληφθῆναι ἁπλῶς πρῶτα εἶναι καὶ καθόλου τὰ ἀξιώματα· οὔτε γὰρ τὰ κοινά τινων ἤδη καὶ καθόλου ἐστὶν αὐτῶν, οὔτε τὰ καθόλου ἁπλῶς καὶ κυρίως πρῶτα· ὥστε οὐδ' ἡ περὶ τὰ καθόλου ἁπλῶς πρώτη καὶ τιμιωτέρα. ἔτι δὲ οὐδὲ δείκνυνται αἱ ἀρχαὶ διὰ τῶν ἀξιωμάτων· οὐδὲ γὰρ ἀποδεικτικαί. Alex.

"εἴτε — φιλοσόφου." ὅπερ ἠπόρησε πρὸς τὸ τινὸς εἶναι, ἢ γὰρ 997a 14. πασῶν τῶν χρωμένων αὐτοῖς ἢ οὐδεμιᾶς, νῦν δείκνυσιν ὅτι εὔλογον τὸν φιλόσοφον περὶ τῶν ἀξιωμάτων, αἵ εἰσιν ἀποδείξεως ἀρχαί, δι' ὧν τὸ ἐν πᾶσι τοῖς ζητουμένοις ἀληθὲς πρῶτα δείκνυται, πραγματεύεσθαι, ὃ ἐνεδείξατο διὰ τοῦ δεῖξαι ὅτι ἄτοπον τὸ ἄλλον τινὰ λέγειν περὶ τἀληθοῦς καὶ ψευδοῦς πραγματεύεσθαι. τὸ δὲ "περὶ αὐτῶν" λέγοιτ' ἂν περὶ τῶν προτάσεων, ἐν αἷς καὶ τὰ ἀξιώματα· τίνος γὰρ ἄλλου τὸ περὶ τοῦ ἐν προτάσεσιν ἀληθοῦς τε καὶ ψευδοῦς διαλαμβάνειν παρὰ τὸν φιλόσοφον; δείκνυται δὲ διὰ τούτων ὅτι εἰ καὶ μὴ τοῦ πρώτου φιλοσόφου ἐστὶ τὸ περὶ ἀποδείξεως καὶ τῶν ταύτης ἀρχῶν διαλαμβάνειν, ἀλλὰ τοῦ φιλοσόφου γε. εἴη δ' ἄν πως διὰ τούτων καὶ τὸ μέρος φιλοσοφίας εἶναι τὴν ἀποδεικτικὴν πραγματείαν τιθέμενον. id.

"ὅλως — ἐπιστῆμαι." ἐπεὶ τῶν οὐσιῶν αἱ μέν εἰσι νοηταὶ καὶ 997a 15. ἀκίνητοι αἱ δὲ ἐν κινήσει τε καὶ αἰσθηταί, ζητεῖ πότερον περὶ πασῶν τῶν οὐσιῶν μιᾶς ἐστὶ τὸ θεωρεῖν ἐπιστήμης, ἢ πλειόνων καὶ διαφόρων, καὶ εἰ μὴ μιᾶς, ποίας οὐσίας ἐπιστήμην ἡγητέον τὴν προκειμένην νῦν

3. ἀμέσους et 27. καὶ — 29. ὑπάρχει om *C.* ‖ 31. ἂν om *A.*

13 — 20. apud Asclep. ‖ 14. ἢ] ἡ *A.* ‖ τὰς] τῶν *A.* ‖ 16. εἰ om Asclep. ‖ 30. δείκνυσθαι *C.* ‖ 31. τὸ om *AC.* ‖ 32 — 37. apud Asclep. ‖ 34. διαλέγεσθαι Asclep. ‖ 37. τοῦ] ἁπλῶς Asclep. ‖ 40 — p. 614 *a* 2. apud Asclep. ‖ 43. μὴ om Asclep.

996b 26. "ἀλλὰ — ἐστιν." ἦν δεύτερον τοῦτο ἐν οἷς ἐξηριθμήσατο ὡς ἀπορηθησομένοις, τὸ περὶ τῶν ἀξιωμάτων, ἅ εἰσιν ἀποδείξεων ἀρχαί, ἃ καὶ κοινὰς δόξας λέγει τῷ πάντας ἀποδεικνύντας προσχρῆσθαι αὐτοῖς. εἶπε δὲ αὐτά, ὅτε ἐμέμνητο τῆς ἀπορίας (c. 1 p. 995 b 8), ἀρχὰς [ἐξ ὧν περὶ τούτων] "ἐξ ὧν δεικνύουσι πάντες." ζητεῖ δὴ πότερον περὶ τούτων τῆς αὐτῆς ἐστὶν εἰδέναι ἧς καὶ περὶ τῶν τῆς οὐσίας καὶ τοῦ ὄντος ἀρχῶν, ἢ ἄλλης, ὡς εἶναι πλείους ἐπιστήμας περὶ τῶν ἀρχῶν, ἄλλην μὲν τούτων ἄλλην δὲ τῶν τῆς οὐσίας· καὶ εἰ διαφερουσῶν ἐπιστημῶν ἡ τῶν ἀρχῶν γνῶσις τῶν τε τῆς οὐσίας καὶ τῶν τῆς ἀποδείξεως, ποτέραν χρὴ καὶ τὴν περὶ ποῖα αἴτια καὶ ἀρχὰς ποίας καταγινομένην σοφίαν καλεῖν. ἀπορεῖ δὲ περὶ τούτου, καὶ πρός γε τὸ μὴ εἶναι τῆς αὐτῆς ἐπιστήμης περί τε τούτων καὶ περὶ ἐκείνων διαλαμβάνειν πρώτῃ ἐπιχειρήσει τοιαύτῃ χρᾶται. εἰ πᾶσαι ὁμοίως αἱ ἀποδεικτικαὶ ἐπιστῆμαι χρῶνται τοῖς ἀξιώμασι κατὰ τὰ οἰκεῖα ἀποδεικτικά, καὶ μὴ πᾶσαι περὶ αὐτῶν λέγουσιν, οὐδεμία τῶν ὁμοίως αὐτοῖς χρωμένων ἐρεῖ περὶ αὐτῶν (6). ἀλλὰ μὴν τὸ πρῶτον· πᾶσαί τε γὰρ αὐτοῖς χρῶνται, ὥσπερ καὶ ἡ περὶ τὰς τῆς οὐσίας ἀρχὰς οὖσα, καὶ οὐ λέγουσι πᾶσαι περὶ αὐτῶν· οὔτε γὰρ γεωμετρία περὶ αὐτῶν οὔτε μουσικὴ λέγει, καίτοι χρώμεναι αὐτοῖς. τὸ ἄρα δεύτερον. ἢ οὕτως. εἰ ὁμοίως πᾶσαι ἐπιστῆμαι περὶ τὰ ἀξιώματα ἔχουσαι ὡς καὶ ἡ περὶ τὴν οὐσίαν, ἢ πᾶσαι περὶ αὐτῶν ἐροῦσιν ἢ οὐδὲ αὐτή. ἀλλὰ μὴν ὁμοίως πᾶσαι ἔχουσι περὶ αὐτῶν ὡς αὐτή, καὶ οὐ πᾶσαι περὶ αὐτῶν λέγουσιν, ὥστε οὐδ' ἂν ἡ περὶ τῆς οὐσίας λέγοι. εἰ δὲ τοῦτο, οὐχ ἡ αὐτὴ περί τε τῆς οὐσίας καὶ τῶν ἀξιωμάτων· ὡς γὰρ τῶν ἄλλων τῶν χρωμένων αὐτοῖς ὁμοίως ταύτῃ οὐκ ἔστιν οἰκεῖον τὸ περὶ αὐτῶν λέγειν, οὕτως οὐδὲ ταύτης ἂν εἴη, ἐπεὶ τῶν ὁμοίως μὲν ὁποιασοῦν ἐστίν, ἁπασῶν δὲ μὴ ἐνδέχεται (h). διὰ τί μὴ ἐνδέχεται ἁπασῶν; ἢ ὅτι καὶ ἡ ἐπιστήμη τῶν καθ' αὑτὸ ὑπαρχόντων τῷ ὑποκειμένῳ ἐστὶν ἀποδεικτική, ὧν δὲ τὰ ὑποκείμενα ἕτερα, τούτων καὶ τὰ δεικνύμενα· οὐ γὰρ οἷόν τε τὰ αὐτὰ καθ' αὑτὰ ὑπάρχειν τοῖς διαφέρουσι, διὸ οὐδὲ τὰ ἀξιώματα καθ' αὑτὰ ὑπάρχειν τοῖς πάσαις ταῖς ἐπιστήμαις ὑποκειμένοις. εἰ δὲ μὴ τοῦτο, οὐδ' ἂν οἷαί τε εἶεν πᾶσαι ἀποδεικνύναι αὐτά. ἐπιχειρήσας δὲ πρῶτον τὸ μὴ εἶναι μιᾶς ἐπιστήμης περί τε τῶν τῆς οὐσίας ἀρχῶν εἰπεῖν καὶ περὶ τῶν ἀξιωμάτων, αἵ εἰσιν ἀποδείξεως ἀρχαί, ἑξῆς
997a 2. ὅτι μηδὲ ἔστι τῶν ἀξιωμάτων ἐπιστήμη τις ἐπιχειρεῖ, λέγων "ἅμα δὲ καὶ τίνα τρόπον ἔσται αὐτοῖς ἡ γνῶσις; τί μὲν γὰρ ἕκαστον τούτων τυγχάνει ὂν καὶ νῦν γνωρίζομεν." ἔστι δὲ ὃ λέγει τοιοῦτον. ἤτοι δι' ὁρισμοῦ τι ἐπιστάμεθα ἢ δι' ἀποδείξεως· καὶ τῶν ἀξιωμάτων δή, εἰ ἔστιν ἐπιστήμη, ἀποδεικτικὴ περί τινος ἂν εἴη τῶν ὑπαρχόντων αὐτοῖς. ἀλλὰ τὸ μὲν τί ἐστιν ἕκαστον αὐτῶν γνώριμον πᾶσιν αὐτόθεν· χωρὶς γὰρ ἐπιστήμης γνώριμόν τι σημαίνει τὸ ἐπὶ παντός, ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις, καὶ τί σημαίνει τὸ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἶναι ἴσα· ὡς γὰρ γνωρίμοις αὐτοῖς πᾶσαι αἱ ἐπιστῆμαι χρῶνται, οὐδὲν δεόμεναι τῆς διδαξάσης ἐπιστήμης. ὥστε τοῦ μὲν τί ἐστιν ἕκαστον τούτων οὐκ ἔσται τις ἐπιστήμη μὴ ἀφωρισμένη. εἰ δὲ ἔστιν ἀπόδειξις περὶ αὐτῶν καὶ ἐπιστήμη τις ἀποδεικτική, δεήσει τὰ ἀξιώματα εἶναί τε αὐτῶν τὰ μὲν πάθη, τουτέστι τὰ ἀποδεικνύμενα αὐτοῖς ὑπάρχειν (τὰ γὰρ καθ' ἑαυτὰ ὑπάρχοντα, ἅπερ ἐστὶ τὰ ἀποδεικτικά, πάθη εἶπε), τὰ δέ τινα ἀξιώματα, δι' ὧν τὰ ὑπάρχοντα αὐτοῖς καθ' ἑαυτὰ ἀποδείκνυται, ἀξιώματα λέγων τὰς ἀναποδείκτους καὶ ἀμέσους προτάσεις. τὸ δὲ "περὶ πάντων γὰρ ἀδύνατον ἀπό- 997a 7.
δειξιν εἶναι" εἶπεν ὡς ἀκόλουθον τῷ "δεήσει τι γένος εἶναι ὑποκείμενον, καὶ τὰ μὲν πάθη τὰ δὲ ἀξιώματα αὐτῶν·" τούτῳ γὰρ ἀκόλουθον τὸ "περὶ πάντων γὰρ ἀδύνατον ἀπόδειξιν εἶναι." περὶ γὰρ τῶν καθ' ἑαυτὰ ὑπαρχόντων τῷ ὑποκειμένῳ τῇ ἐπιστήμῃ, ἃ πάθη εἶπεν, αἱ ἀποδείξεις, ἀλλ' οὐ περὶ πάντων, οὐδὲ τῶν τυχόντων, ἀλλ' οὐδὲ τῶν λαμβανομένων πρὸς τὴν τινων δεῖξιν οἷόν τε πάντων ἀπόδειξιν εἶναι. τὸ δὲ ἑξῆς τὸ "ἀνάγκη γὰρ ἔκ τινων εἶναι καὶ περί τι καὶ τινῶν τὴν ἀπόδειξιν" συνάπτει τῷ "δεήσει τι γένος εἶναι τὸ ὑποκείμενον, καὶ τὰ μὲν πάθη τὰ δὲ ἀξιώματα αὐτῶν·" διὰ μέσου δὲ εἴρηται διὰ τὰ ἀξιώματα τὸ "περὶ πάντων γὰρ ἀδύνατον ἀπόδειξιν εἶναι." καὶ ἔστι τὸ μὲν "ἔκ τινων" τῶν ἀξιωμάτων ἡ δεῖξις δηλωτική, τὸ δὲ "περί τι" τοῦ ὑποκειμένου γένους, ᾧ δείκνυταί τι ὑπάρχον ἢ μὴ ὑπάρχον, τὸ δὲ "τινῶν" τῶν ἀποδεικνυμένων ὑπάρχειν ἢ μὴ ὑπάρχειν τῷ ὑποκειμένῳ, ἃ εἶπε πάθη. τὸ δὲ "ὥστε συμβαίνει πάντων εἶναι γένος ἕν τι τῶν δεικνυμένων" ἴσον ἂν εἴη τῷ οὕτως τε συμβήσεται, εἰ ἔστιν ἀπόδειξις περὶ τῶν ἀξιωμάτων καὶ ἔστιν ἕν τι γένος καὶ μία τις φύσις ὑποκειμένη, τὰ ἀξιώματα πάντα τὰ ἀποδεικνύμενα διὰ τῶν ἀξιωμάτων μιᾶς φύσεως εἶναι, διότι πᾶσαι μὲν αἱ ἐπιστῆμαι καὶ ἀποδείξεις διὰ τῶν ἀξιωμάτων δεικνύουσι τὰ προκείμενα, τὰ δὲ ἀξιώματα μιᾶς καὶ τῆς αὐτῆς φύσεως, τὰ δὲ τῆς αὐτῆς φύσεως ἀλλήλοις ὄντα μιᾶς τινὸς φύσεώς ἐστι δεικτικά· εἴτε ἐκ τῶν καθ' ἑαυτὰ ὑπαρχόντων αἱ ἀποδείξεις, μιᾷ φύσει καθ' αὑτὰ ὑπάρχειν ἀνάγκη τὰ μιᾶς καὶ τῆς αὐτῆς φύσεως ὄντα ἀλλήλοις. ἓν δὲ γένος εἶπεν ἀντὶ τοῦ μίαν φύσιν. ἢ τὸ λεγόμενόν ἐστιν, εἰ ἔστιν ἐπιστήμη τις καὶ ἀπόδειξις τῶν ἀξιωμάτων, δεήσει τι εἶναι γένος ὑποκείμενον αὐτοῖς· πᾶσα γὰρ ἀπόδειξις καὶ πᾶσα ἐπιστήμη ἀποδεικτικὴ περί τι γένος ὡρισμένον καὶ πᾶν τὸ ἀποδεικτὸν γένει τινὶ ὡρισμένῳ ὑπάρχει. καὶ τοῖς ἀξιώμασιν ἄρα, εἰ ἔστιν ἀποδεικτὰ καὶ ἔστιν ἐπιστήμη τις αὐτῶν ἀποδεικτική, ὡρισμένον τι γένος ὑπόκειται ᾧ δείκνυται ὑπάρχοντα·

5. ἐξ — τούτων dele. ‖ ἐξ ὧν om C. ‖ 9. καὶ — 10. οὐσίας om C. ‖ 17. ἡ] αἱ C. ‖ 18. οὖσαι C. ‖ 21. ἡ] αἱ C. ‖ 38 — b 3. apud Asclep. ‖ 40. ἐπιστήμη, ἤτοι τοῦ τί ἐστιν αὐτῶν ἔσται δεικτικὴ ἢ ἀποδεικτική, ἢ περί τινος Asclep.

1. ἐπὶ] κατὰ Asclep. ‖ ἡ κατάφασις ἢ om Asclep. ‖ 5 — 14. apud Asclep. ‖ 7. εἶναι τὰ ποτὲ ἕν τι γένος καὶ μίαν τινὰ φύσιν ὑποκειμένην εἶναί τε Asclep. ‖ 9. τινὰ ἄλλα ἀξιώματα Asclep. ‖ 11. δὲ om F. ‖ 17 — 37. apud Asclep. ‖ 18. ἀποδείξεις C. ‖ 20. διὰ — 22. εἶναι om Asclep. ‖ 22. δηλωτικὸν Asclep. ‖ 27. ἅπερ Asclep. ‖ 33. εἰ δὲ ἐκ Asclep. ‖ ὑπάρχοντα Asclep. ‖ 34. ὑπάρχει Asclep. ‖ 36. ἢ — ἐστιν om Asclep. ‖ 37. εἶναί τι γένος Asclep. ‖ 39. ὡρισμένον Asclep.

ἐστιν ἐπιστήμη τοῦ πράγματος, ἡ δὲ μάλιστα ἐπιστήμη σοφία, εἴη ἂν κατὰ τοῦτον πάλιν τὸν λόγον σοφία ἡ τῆς κατὰ τὸ εἶδος αἰτίας ἐπιστήμη. Alex.

996b 13. "ἔτι — ἕκαστον." τὸ κατάλληλόν ἐστι τῆς λέξεως· ἔτι δὲ καὶ ἐν τοῖς ἄλλοις τὸ εἰδέναι ἕκαστον τότε οἰόμεθα ὑπάρχειν ὧν ἀποδείξεις εἰσίν, ὅταν εἰδῶμεν τὸ τί ἐστιν. τὸ δὲ ἐν τοῖς ἄλλοις εἶπεν ὡς ἴσον τῷ ἐν πᾶσιν ὧν εἰσὶν ἀποδείξεις. ὅτι δὲ ἡ τοῦ εἴδους γνῶσις μάλιστα γνῶσίς ἐστι τοῦ πράγματος, δείκνυσι διὰ τοῦ καὶ ἐν ταῖς ἀποδείξεσι τότε ἡμᾶς οἴεσθαι ἀπόδειξιν ἔχειν τοῦ προκειμένου, ὅταν εἰδῶμεν τὸν λόγον καὶ τὸν ὁρισμὸν τοῦ προκειμένου, καὶ διὰ τοῦ ὁρισμοῦ τὸ δεικνύμενόν τινι ὑπάρχειν δείξωμεν ὑπάρχον αὐτῷ, τότε ἡγούμεθα τὴν κυριωτάτην ἀπόδειξιν ἔχειν αὐτοῦ. οἷον τί ἐστι σελήνης ἔκλειψις τότε ἴσμεν, ὅταν μάθωμεν ὅτι ἀντίφραξις γῆς ἐστὶν ὁ ὁρισμὸς τῆς ἐκλείψεως. ὁμοίως καὶ τί ἐστι τετραγωνισμὸς εὐθυγράμμου τότε ἴσμεν, ὅταν μάθωμεν ὅτι μέσης εὕρεσις· ἀπὸ γὰρ τῆς μέσης τὸ ἀναγραφόμενον τετράγωνον ἴσον τῷ εὐθυγράμμῳ· μέση δὲ δή που μείζων μὲν τῆς ἐλάττονός ἐστι τῶν τοῦ εὐθυγράμμου πλευρῶν, ἐλάττων δὲ τῆς μείζονος, ἀφ' ἧς τὸ ἀναγραφόμενον τετράγωνον ἴσον ἐστὶ τῷ δοθέντι εὐθυγράμμῳ· ὁ γὰρ μετὰ τῆς αἰτίας ὁρισμὸς ἀπόδειξις θέσει διαφέρουσα, ὡς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (2 10) ἔδειξε. id.

996b 22. "περὶ — πράξεις." δείξας ὅτι δύναται σοφία εἶναι κατὰ τὴν τοῦ εἰδικοῦ αἰτίου γνῶσιν, νῦν ὅτι καὶ κατὰ τὴν τοῦ ποιητικοῦ αἰτίου γνῶσιν δύναται ἡ σοφία εἶναι δείκνυσιν· ἐν γὰρ πᾶσι τοῖς γιγνομένοις καὶ πραττομένοις καὶ ὅλως μεταβάλλουσιν αἴτιον τῆς γνώσεως αὐτῶν ἡ τοῦ ποιητικοῦ γνῶσις αἰτίου, ὅπερ ἐστὶν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· τότε γὰρ ἴσμεν τὴν αἰτίαν τοῦ Τρωϊκοῦ πολέμου, ὅταν εἰδῶμεν ὅτι διὰ τὴν τῆς Ἑλένης ἁρπαγήν, ὅπερ ἐστὶν ἀρχὴ καὶ αἰτία τοῦ πολέμου, καὶ τότε ἴσμεν τὴν αἰτίαν τῆς μάχης, ὅταν τὴν λοιδορίαν γνῶμεν ἥτις ἤρξατο τῆς μάχης. εἰπὼν δὲ περὶ τοῦ ποιητικοῦ αἰτίου ἐπήνεγκε "τοῦτο δὲ ἕτερον καὶ ἀντικείμενον τῷ τέλει," κατὰ τοῦτο λέγων ἀντικεῖσθαι ταῦτα τὰ αἴτια . . . ἀντικείμενα εἶναι, ἐπήνεγκε τὸ "ὥστε ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι τὸ θεωρῆσαι τῶν αἰτίων τούτων ἕκαστον," ὅπερ οὐδαμῶς κατάλληλον εἶναι δόξει τῷ προκειμένῳ. πρόκειτο γὰρ αὐτῷ ζητῆσαι, εἰ μὴ τῆς αὐτῆς ἐπιστήμης ἐστὶν ἡ γνῶσις ἁπάντων τῶν αἰτίων, τὴν τίνος τῶν αἰτίων γνῶσιν χρὴ σοφίαν καλεῖν. εἶτα ἔδειξεν ὅτι ἔστι πως κατὰ τὰς περὶ τῆς σοφίας προλήψεις σοφίαν λέγειν τήν τε τοῦ κατὰ τὸ τέλος αἰτίου γνῶσιν καὶ τὴν τοῦ κατὰ τὸ εἶδος καὶ τὴν τοῦ κατὰ τὸ ποιητικόν. οἷς δειχθεῖσιν ἀκόλουθον ἦν ἐπενεγκεῖν τὸ πλείους τὰς σοφίας ἔσεσθαι. δεῖ οὖν τοῦ εἰρημένου ἀκούειν ὡς ἴσον δυναμένου τῷ ὥστε ἄλλης ἂν σοφίας καὶ ἄλλης εἴη τὸ θεωρῆσαι τούτων τῶν αἰτίων ἕκαστον καὶ οὐ μιᾶς ἡ σοφία, εἴγε μὴ μιᾶς μὲν ἐπιστήμης τὸ τὰς αἰτίας θεωρῆσαι, ἡ δὲ ἑκάστου τῶν τριῶν θεωρητικὴ σοφία. δύναται τὸ "ὥστ' ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι τὸ θεωρῆσαι τῶν αἰτίων τούτων ἕκαστον" μὴ ὡς τοῖς νῦν εἰρημένοις ἀκόλουθον ἐπενηνοχέναι ἀλλ' ὡς τοῖς πρώτοις προειρημένοις συνάπτων τὸ ἄλλην ἄλλου αἰτίου ἐπιστήμην γνωστικὴν εἶναι. ἢ προειπὼν περὶ τοῦ ποιητικοῦ αἰτίου ὅτι ἕτερον τοῦτο καὶ ἀντικείμενον τῷ τέλει, περὶ τούτων ἐπήνεγκεν ὅτι διότι ἐστὶν ἐναντία, διὰ τοῦτο οὐ τῆς αὐτῆς ἀλλὰ ἄλλης ἐπιστήμης ἔσται ἑκάστου τούτων τῶν αἰτίων γνῶσις ([1]). ἢ ἄμεινον γεγράφθαι "ὥστε οὐκ ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι τὸ θεωρῆσαι τῶν αἰτίων τούτων" τοῖς προειρημένοις· διὰ τοῦτο γὰρ οὐκ ἐδόθη αὕτη τῶν αἰτίων πάντων γνωστικὴ εἶναι, ὅτι μὴ ἐναντία, εὗρε δὲ ἐναντιότητα ἐν τοῖς αἰτίοις τῷ τελικῷ καὶ τῷ ποιητικῷ. ἔτι δὲ καὶ διὰ τὰ ἄλλα τὰ εἰρημένα πρὸς τὸ μὴ εὔλογον εἶναι πλείους ἐπιστήμας εἶναι περὶ τὴν γνῶσιν τῶν αἰτίων, ἐπιφέρει ἂν ὅτι κατὰ τὰ προειρημένα οὐκ ἄλλης καὶ ἄλλης ἐπιστήμης ἡ τῶν αἰτίων τούτων γνῶσις. εἴη δ' ἂν ἅμα δεδειγμένον καὶ ὅτι τῆς σοφίας οἰκεῖος ὁ περὶ τῶν αἰτίων ἁπάντων λόγος. σημειωτέον δὲ ὅτι δι' ὧν νῦν εἴρηκε πάλιν ἐμνημόνευσε τοῦ Α τοῦ μείζονος· ἐν ἐκείνῳ γὰρ ἐξέθετο τὰς περὶ τοῦ σοφοῦ κοινὰς προλήψεις. μνημονεύσας δὲ τῶν τριῶν αἰτίων καὶ δείξας κατὰ τί δύναται ἡ ἑκάστου τούτων γνωστικὴ ἐπιστήμη σοφία εἶναι ἡ ζητουμένη νῦν, οὐκέτι τῆς κατὰ τὴν ὕλην αἰτίας ἐμνημόνευσεν ὡς τῆς ἐκείνων τῶν αἰτίων γνώσεως κυριωτέρας καὶ μᾶλλον ἐπιστήμης οὔσης τῆς ὑλικῆς· κυριώτερον γὰρ ἐκεῖνο καὶ μᾶλλον αἴτιον· ἡ γὰρ ὕλη ἐν τοῖς ἐξ αὐτῆς γινομένοις τὸν τοῦ οὐ δ' οὐκ ἄνευ λόγον ἔχειν δοκεῖ. id.

([1]) καταντήσαντες οὖν εἰς τὸν ὁρισμὸν παυόμεθα τῆς ζητήσεως. 996b 24. τοῦτο δὲ τὸ εἰδικὸν ἕτερόν ἐστι καὶ ἀντικείμενον τῷ τέλει, ἐπεὶ τὸ τέλος πράξεών ἐστι τὸ δὲ εἶδος θεωρίας, ὡς πολλάκις μεμαθήκαμεν. ἡ ἀρχὴ τῆς θεωρίας γίνεται τέλος τῆς πράξεως, καὶ τὸ τέλος τῆς πράξεως ἀρχὴ τῆς θεωρίας. "ὥστε ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι." ὁ Ἀλέξανδρος "οὐκ ἄλλης" γράφει· φησὶ γὰρ ὅτι εἰ ταῦτα οὕτως ἔχει, οὐκ ἄλλης ἂν δόξειεν εἶναι ἐπιστήμης τὸ θεωρῆσαι τῶν αἰτίων τούτων ἕκαστον, ἀλλὰ μιᾶς καὶ τῆς αὐτῆς, ἐπειδὴ ἕκαστον αὐτῶν ἀναγκαῖόν ἐστι καὶ πρὸς τούτοις καὶ συνεζευγμέναι ἀλλήλαις ὑπάρχουσι. κἂν μὴ γράφηται δὲ "οὐκ ἄλλης" δυνατόν ἐστιν ἴστασθαι· ὥστε ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι τὸ θεωρῆσαι τῶν αἰτίων τούτων ἕκαστον, ὅπερ ἐστὶν ἄτοπον· ἵνα ἔξωθεν ὑπακούσωμεν τὸ ὅπερ ἐστὶν ἄτοπον διὰ τὰ εἰρημένα, ὅτι οὐ δυνατὸν πλείονας εἶναι ἐπιστήμας τῶν ἀρχῶν, ἀλλὰ μίαν, ὡς ὁ λόγος ἔδειξεν. Asclep.

2. πάλαι *A.* ‖ 10. ὁρισμὸν εἰδῶμεν τοῦ *C.* ‖ 17. δή που] διότι *C.* ‖ 23. νῦν om *C* Asclep. ‖ 32. τὰ om *V.* ‖ inter v. αἴτια et ἀντικείμενα lacunam 20 litterarum *A.* καὶ *A* in mg. ταῦτα τὰ αἴτια ὅτι τὸ μὲν προϋπάρχει, τοῦτο γὰρ τὸ ποιητικὸν αἴτιον, τὸ δὲ ὕστερον ἐπιγίνεται· ὥστε οὐκ ἔστιν ἄλλης ἐπιστήμης Asclep. ‖ 33. εἶναι τῷ θεωρῆσαι *V.* ‖ 38. λέγει *ACV.* ‖ αἰτίας *V.* ‖ 39. τοῦ prius om *V.* ‖ 40. ἔσεσθαι] εἶναι *A.* ‖ 41. τῷ om *V.*

1. τῶν αἰτίων τούτων *C.* ‖ 3. δυνατὸν οὖν *A.* ‖ 8. ἐπενεγκὼν *A.* ‖ 9. τοιαύτης *B.* ‖ ἑκατέρου *ACL.* ‖ 11. τοῖς προειρημένοις] ἕκαστον *A.* ‖ 13. εὑρὼν *ACL.* ‖ 15. παρὰ *C.* ‖ 18. ὅτι καὶ *V.* ‖ 22. εἶναι καὶ ζητουμένη *C.* ‖ 26. τὸν τῶν ὧν οὐκ *C.*

χρῆναι ἕκαστον τῶν ἐπιστητῶν πᾶσι τοῖς αἰτίοις, τίνος τῶν αἰτίων γνωστικὴν εἶναι δεῖ τὴν ζητουμένην ἐπιστήμην (αὕτη δέ ἐστιν ἡ σοφία, ὡς ἐπιφέρει), ἢ τίνα μάλιστα τοῦ πράγματος τοῦ ζητουμένου ἐπιστήμονα τῶν ἐχόντων πάντα τὰ αἴτια λέγεσθαι χρή (c)· ἐνδέχεται γὰρ τῷ αὐτῷ πάντας τοὺς τρόπους τῶν αἰτίων ὑπάρχειν. κατὰ ποίου οὖν αἰτίου γνῶσιν καὶ ὁ ποῖον εἰδὼς τῶν αἰτίων τούτων ἔσται τοῦ πράγματος τοῦ ὑποκειμένου ἐπιστήμων; εἰ γὰρ ἄλλης αἰτίας ἄλλη ἐπιστήμη γνωστική, ἐν οἷς πράγμασι τὰ δ' ἐστὶν αἴτια, τούτων τῶν πραγμάτων ὁ ποῖον τῶν τεσσάρων αἰτίων εἰδὼς ἐπιστήμων ἔσται; διὰ δὲ τούτων ὄντων ἅμα καὶ τὸ μὴ εἶναι δεικνύουσαν ἀπορίαν ἄλλην ἄλλων αἰτίων ἐπιστήμην εἶναι γνωστικὴν καὶ μὴ πάντων μίαν, διότι μὴ ἐν πάσαις τὰ αἴτια, ἐλέγχει, παρατιθέμενος ὅτι εἰ ἔν τισι πάντα ἐστὶ τὰ αἴτια, ὧν αἱ ἐπιστῆμαι, δῆλον ὡς πάντων ἔσονται, ὡς ἔχει ἐφ' ἧς παρέθετο. αὕτη δέ ἐστιν ἡ οἰκοδομική, ἐφ' ἧς εἶπε τὸ εἶδος εἶναι τὸν λόγον, ὅτι κατὰ τὸ εἶδος ὁ ἑκάστου ὁρισμός (d). "οὗ δὲ ἕνεκα, τὸ ἔργον" εἶπεν ἤτοι λέγων τὸ οὗ ἕνεκα εἶναι ἐν αὐτῇ, οὗ χάριν τὸ ἔργον γίγνεται (γίγνεται δὲ σκέπης), ἢ τὸ ἔργον τὸ γιγνόμενον λέγων ἐν αὐτῇ τὸ οὗ ἕνεκα εἶναι, ὅπερ ἐστὶ τὸ εἶδος· ὡς τὴν αὐτὴν εἶναι τήν τε κατὰ τὸ τέλος καὶ τὴν κατὰ τὸ εἶδος αἰτίαν, ὡς καὶ ἐπί τινων φύσει γιγνομένων ἔστιν εὑρεῖν. ἢ τὸ ἔργον οὐ τὸ εἶδός ἐστιν ἀλλὰ τὸ συναμφότερον, ὃ οὐκ ἂν εἴη ταὐτὸν τῇ κατὰ τὸν λόγον αἰτίᾳ. δύναται καὶ τοιοῦτόν τι λέγεσθαι· ἐν οἷς τὰ τέσσαρα αἴτια, κατὰ ποίου αἰτίου γνῶσιν τὸ ἐπίστασθαι μάλιστα γίγνεται τῷ πάντα τὰ αἴτια αὐτοῦ εἰδότι; εἴη γὰρ ἂν τῆς σοφίας ἡ τοῦ τοιούτου αἰτίου γνῶσις οἰκεία. δείξας δὲ ἄτοπον ὂν τὸ τὰ αἴτια τοῦ αὐτοῦ τινὸς ὑπὸ πλειόνων γνωρίζεσθαι ἐπιστημῶν, 996 b 3 ἄλλης ἄλλο γνωριζούσης, διὰ τοῦ εἰπεῖν "ἢ τίνα μάλιστα τοῦ πράγματος τοῦ ζητουμένου ἐπιστήμονα τῶν ἐχόντων αὐτάς;" τοῦτο μὲν καταλείπει, ἀπαντᾷ δὲ πρὸς τὸ τίνα τούτων φατέον εἶναι τὴν ζητουμένην. Alex.

(c) ἐντεῦθεν τῷ ὄντι μαρτυρεῖ καὶ συνηγορεῖ τὴν ἀλήθειαν, δεικνὺς ὅτι μία καὶ μόνη ἐπιστήμη ἐστὶ τῶν ἀρχῶν καὶ οὐ πολλαί. Asclep.

(d) ἄλλως τε δὲ ἀδύνατόν ἐστι συντρέχειν ἅμα πάντα τὰ αἴτια, ὥστε ἐξ ἀνάγκης γινώσκειν τὸν αὐτὸν πάντα τὰ αἴτια, οἷον ὡς ἐπὶ οἴκου... διότι ἐπί τινων ἀδύνατον, μᾶλλον δὲ ἐπὶ πάντων, εἶναι ἐπιστήμονα τὸν μὴ γινώσκοντα τὰ τέσσαρα αἴτια. ἄλλως τε δέ, ὡς ὁ λόγος ἔδειξε, συντρέχει τὸ εἰδικὸν τῷ τελικῷ καὶ ταὐτόν ἐστι τῷ ἀριθμῷ, καὶ μάλιστα ἐπὶ τῶν πρώτων καὶ τῶν φυσικῶν, ὥστε ὁ εἰδὼς τὸ εἰδικὸν ἐξ ἀνάγκης εἴσεται καὶ τὸ τελικὸν καὶ τὸ ποιητικόν. εἰ τοίνυν ὑπόκειται εἰδυῖα σοφία τὸ εἰδικόν, ἐξ ἀνάγκης εἴσεται καὶ τὰς ἄλλας· ἀδύνατον γὰρ εἶναι ἐπιστήμονα ἄνευ πάντων αἰτίων, ὡς ἐπὶ τοῦ οἴκου ἐδείχθη τῷ λόγῳ. μάλιστα δὲ ταῦτα συντρέχει ἐπὶ τοῦ πρώτου. id.

"ἐκ — λόγον." εἰπὼν τίνα τούτων φατέον τὴν ζητουμένην, 996 b 8 ὅτι πάσας ἐνδέχεται λέγειν δείκνυσι, χρώμενος τοῖς ἐν τῷ A περὶ τῆς σοφίας εἰρημένοις. εἶπε γὰρ ἐν τῷ πρὸ τούτου τῷ μείζονι τίνες κοιναὶ περὶ τοῦ σοφοῦ προλήψεις, ἐν οἷς ἦν τὸ δεῖν ἀρχικωτάτην καὶ ἀρχιτεκτονικωτάτην αὐτὴν εἶναι, ἀλλὰ καὶ ἀκριβεστάτην καὶ μάλιστα εἰδυῖαν, ἀλλὰ καὶ τῶν χαλεπῶν γνωστικήν, ἀλλὰ καὶ πάντα εἰδυῖαν ὡς ἐνδέχεται, ἀλλὰ καὶ διδασκαλικήν. τούτοις οὖν φησὶ προσχρώμενος ὡς ἔνεστιν ἴσως καθ' ἕκαστον αἴτιον ἐπιοῦσι δεικνύναι τὴν γνωστικὴν αὐτοῦ σοφίαν οὖσαν (e). καθ' ὅσον μὲν γὰρ ἡ σοφία ἡγεμονικωτάτη τέ ἐστι καὶ ἀρχιτεκτονικωτάτη ἐπιστήμη, καὶ καθάπερ δέσποινα τῶν ἄλλων ἐπιστημῶν, ἡ τοῦ τέλους ἂν γνῶσις εἴη· τοῦτο γὰρ τὸ ἀγαθὸν καὶ τούτου χάριν τἆλλα· πρὸς γὰρ τὸ τέλος ὁρῶντες ἐπιτάσσουσιν ἃ δεῖ ποιεῖν. ἀρχικωτάτη οὖν καὶ τελειοτάτη καὶ ἀρίστη ἡ τοῦ ἀρίστου τῶν αἰτίων γνῶσις, τοιοῦτον δὲ οὗ χάριν τὰ ἄλλα. κατὰ μὲν οὖν τοῦτο δόξει ἡ σοφία εἶναι τοῦ τέλους γνωστική. Alex.

(e) διότι τὴν ὑγίειαν τελικόν φαμεν αἴτιον, καὶ πάντα τὰ 996 b 10 ἄλλα δι' αὐτὸ γίνεται, οἷον ποιμεντάριοι, ἔφεσις βοτανῶν διάφορα, ὄργανα, τροῦλλα καὶ ὅσα ἄλλα τοιαῦτα ἕνεκα τοῦ ἰατροῦ παραλαμβάνεται. Asclep.

"ἢ — τοιαύτη." καθ' ὅσον, φησί, πάλιν ἡ σοφία ἐρρήθη τῶν 996 b 13 πρώτων αἰτίων εἶναι γνωστικὴ καὶ τῶν μάλιστα ἐπιστητῶν, κατὰ τοῦτο πάλιν δόξει ἡ τοῦ εἴδους τῆς τοιαύτης αἰτίας γνῶσις σοφία εἶναι. εἰπών τε πρῶτον περὶ τοῦ ὡς τέλους αἰτίου τοῦ ἐν πρακτοῖς, δεύτερον εἶπε περὶ τοῦ ὡς τέλους αἰτίου τοῦ ἐν τοῖς θεωρητικοῖς. ὅτι δὲ τὸ εἶδος μάλιστα γνωστόν, δείκνυσι διὰ τοῦ ἐπὶ πάντων τότε λέγεσθαι ἐπίστασθαι, ὅταν τὸ εἶδος εἰδῇ τίς τινος καὶ τὴν τοιαύτην αἰτίαν. "πολλαχῶς γὰρ ἐπισταμένων τὸ αὐτὸ μᾶλλον μὲν εἰδέναι φαμὲν τὸν τῷ εἶναι γνωρίζοντα τί τὸ πρᾶγμα ἢ τῷ μὴ εἶναι." δεικνὺς ὅτι ὁ τὴν κατὰ τὸ εἶδος αἰτίαν τοῦ ἐπιστητοῦ γνωρίζων μάλιστα οἶδεν αὐτό, λαμβάνει πρῶτον μὲν ὅτι μᾶλλον ἴσμεν τὸ προκείμενον, ὅταν ἐκ τῶν ὑπαρχόντων αὐτῷ εἰδῶμεν ἢ ὅταν ἐκ τῶν μὴ ὑπαρχόντων· τοῦτο γάρ ἐστι τὸ τῷ μὴ εἶναι· γίγνονται γάρ τινες καὶ διδασκαλίαι καὶ λόγοι τινῶν ἐξ ἀποφάσεως, ἥτις γνῶσις ἐκ τοῦ μὴ εἶναι εἴη ἄν. ὁ γοῦν τὸ σημεῖον ὁριζόμενος τῷ μὴ ἔχειν μέρος, τῷ μὴ εἶναι γνωρίζει αὐτό, καὶ ἐκ τοῦ μὴ ὑπάρχοντος αὐτῷ τὴν ἀπόδοσιν τοῦ λόγου ποιεῖται. ὁμοίως δὲ καὶ ὁ λέγων συμβεβηκὸς εἶναι ὃ μήτε ὅρος ἐστὶ μήτε γένος μήτε ἴδιον, ὑπάρχει δὲ τῷ πράγματι, ἐκ τοῦ μὴ εἶναι ὁρίζεται. αὐτὸς δὲ ὁ λέγων ὃ οἷόν τε ὑπάρχειν τῷ αὐτῷ καὶ μὴ ὑπάρχειν, οὗτος τῷ εἶναι γνωρίζει τὸ συμβεβηκός· ἐκ γὰρ τοῦ ὑπάρχοντος αὐτῷ. τῶν δὲ τῷ εἶναι γνωριζόντων μάλιστα εἰδέναι λέγομεν τὸν τί ἐστι τὸ πρᾶγμα εἰδότα ἢ τὸν ὅτι αὐτῷ συμβέβηκεν. ἕκαστον δέ ἐστι τοῦτο ὅ ἐστι κατὰ τὸ εἶδος, ὥστε ὁ τὸ εἶδος εἰδὼς μάλιστα οἶδεν αὐτό. εἰ δὴ ἡ μὲν τοῦ εἴδους καὶ ταύτης τῆς αἰτίας γνῶσις μάλιστά

6. ὁ ποῖον A. ‖ 8. τὰ δ'] ταδὶ A. ‖ 24. δίξας A.
20 et 22. πάλιν] πᾶσα A. ‖ 28. ὁ τὴν] τὰ C. ‖ 37. ὁρίζηται A. ‖ 38. αὐτῷ] αὐτὸ καὶ C. ‖ 41. συμβέβηκε. τὸν γὰρ ἀπὸ τῆς οὐσίας γνωρίζοντα αὐτὸ εἰ δὲ ἀπό τινος συμβεβηκότος· ἕκαστον C.

γνωστικαί, δηλονότι καὶ τὰ αἴτια ταῦτα ἂν εἰδείη, ἅ ἐστιν ἐν τοῖς οἰκείοις ἐπιστητοῖς αὐτῆς. οὕτω τε ἂν ἄλλη ἄλλων εἴη γνωστικὴ ἐπιστήμη αἰτίων το   γὰρ ἐν τοῖς οἰκείοις ἐπιστητοῖς δείκνυσιν ἐπὶ τῶν ἀκινήτων· τὰ γὰρ ἀκίνητα ἂν εἴη λέγων τὰ ἀγένητά τε καὶ ἄφθαρτα, κινήσεως δὲ ἀρχὴν λέγει τὸ ποιητικὸν αἴτιον. ἐν δὲ τοῖς ἀκινήτοις τίθησι καὶ τὰ μαθηματικά· ἐν γὰρ τούτοις οὔτε τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως ἔστιν αἴτιον, τοῦτο δέ ἐστι τὸ ποιητικόν· πῶς γὰρ ἂν εἴη ἐν τοῖς ἀγεννήτοις καὶ ἀκινήτοις αἴτιον ποιητικὸν καὶ κινητικόν; ἀλλ' οὐδὲ ἡ τοῦ ἀγαθοῦ φύσις (αὕτη δέ ἐστι τὸ τέλος καὶ τὸ οὗ ἕνεκα) ἐν τούτοις ἐστίν· τὸ γὰρ ὡς ἀγαθὸν αἴτιόν ἐστι τὸ οὗ χάριν τὰ ἄλλα, αὐτὸ δὲ οὐδενός, τὸ δὲ τοιοῦτον τέλος. ἀλλὰ μὴν τὸ τέλος καὶ τὸ τίνος χάριν τὰ πρὸ τοῦ τέλους ποιεῖν ἐν πράξεσίν ἐστι καὶ ἐν ταῖς ποιητικαῖς καὶ πρακτικαῖς τῶν ἐπιστημῶν· ἐν οἷς δὲ ποίησις καὶ πρᾶξις, καὶ κίνησις ἐν τούτοις, ὥστε ἐν τοῖς ἀκινήτοις οὐκ ἂν εἴη οὐδὲ αὐτὴ ἡ αἰτία ἡ τελική, ἥτις ἐστὶ τὸ ἀγαθὸν τὸ τῇ αὐτοῦ φύσει καὶ ἁπλῶς· τοῦτο γὰρ λέγει ἂν διὰ τοῦ καθ' αὑτὸ καὶ διὰ τὴν αὐτοῦ φύσιν, ὃ καὶ αὐτοαγαθὸν εἶπε. βουλόμενος δὲ δεῖξαι ὅτι οὐδὲ ἡ κατὰ τὸ τέλος αἰτία ἐν πᾶσιν ἐστίν, ὥσπερ οὖν οὐδὲ ἡ ποιητική (ἐν γὰρ τοῖς ἀκινήτοις οὐδετέρα), οὐκ αὐτόθεν εἶπε τὴν κατὰ τὸ τέλος αἰτίαν μὴ εἶναι ἐν αὐτοῖς, ἀλλὰ τὴν τοῦ ἀγαθοῦ φύσιν ᾗ συμβέβηκε τέλει εἶναι· διὸ καὶ προβιβάζει ἀπὸ τοῦ ἀγαθοῦ ἀρξάμενος, ὅτι μηδὲ ὡς τέλος αἰτία ἐστὶν ἐν τοῖς ἀκινήτοις, δεικνὺς τὸ ἀγαθὸν τέλος ἐν πᾶσιν ὄν. ἐπεὶ δὲ ἐστί τινα ἀγαθὰ καὶ ποιητικά, ποῖα ἀγαθὰ τελικά ἐστιν ἐδήλωσεν
996 a 23. εἰπὼν "εἴπερ ἅπαν, ὃ ἂν ᾖ ἀγαθὸν καθ' αὑτὸ καὶ διὰ τὴν αὑτοῦ φύσιν, τέλος ἐστίν." λαβὼν δὲ τὸ ἀγαθὸν τὸ καθ' αὑτὸ ὡς τέλος αἴτιον εἶναι, δείξας ὅτι τὸ ὡς τέλος αἴτιον πράξεώς τινός ἐστι τέλος, αἱ δὲ πράξεις πᾶσαι μετὰ κινήσεως (αἵ τε γὰρ κατὰ τὰς ἀρετὰς ἐνέργειαι σκοπὸν ἔχουσαι τὸ καλὸν μετὰ κινήσεως γίγνονται, ἀλλὰ καὶ τῶν τεχνῶν ἑκάστη ἀγαθοῦ τινὸς ἐφιεμένη δι' ἐνεργείας τε καὶ κινήσεως αὐτοῦ τυγχάνει), διὰ τούτων ἔδειξεν ὅτι ἐν τοῖς ἀκινήτοις οὐκ ἔστιν ἡ κατὰ τὸ ἀγαθόν τε καὶ τὸ τέλος αἰτία. τὸ δὲ "οὐδὲ εἶναί τι αὐτοαγαθόν" καὶ τῇ αὐτοῦ φύσει, τὸ δὲ οὕτως ἀγαθὸν εἶπεν εἶναι τέλος. ὅτι δὲ τοῦτο οὕτως ἔχει, παρέθετο τὰ μαθηματικά (*)· ἐν γὰρ τούτοις οὐκ ἔστιν οὔτε ποιητικὴ οὔτε ἡ ὡς τέλος αἰτία, οὐδὲ ἔστιν ἀπόδειξίς τις ἐν γεωμετρίᾳ τινὸς προσχρωμένη τῷ βέλτιον γὰρ οὕτως, οἷον τῷ τὰς τριγώνου γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι, διότι τοῦτο ἄμεινον, ὥσπερ ἐπὶ τῶν φύσει γιγνομένων καὶ τῶν κατὰ τέχνην κινουμένων τὸ οὗ ἕνεκα· οὐδὲ τὴν ἀρχὴν μέμνηταί τις γεωμετρῶν τοῦ ὡς τέλους αἰτίου. τούτου δ' οὕτως ἔχοντος ἄλλαι ἄλλων ἂν εἶεν ἐπιστῆμαι αἰτίων γνωστικαί· τοῦ γὰρ τοῦτο λαβεῖν χάριν ἐκείνων ἐμνημόνευσεν. εἰπὼν δὲ περὶ τῶν μαθηματικῶν ὅτι μή ἐστιν ἐν αὐτοῖς τὸ τελικὸν αἴτιον, ὅπερ ἐστὶ τὸ ἀγαθόν, εἰς βεβαίωσιν τούτου παρατίθεται τὴν κατὰ τοὺς σοφιστὰς ἱστορίαν, καὶ Ἀριστίππου μνημονεύει, ὃς καὶ αὐτὸς ὁμοίως ἄλλοις τισὶ τῶν σοφιστῶν ἔλεγε τὰς μαθηματικὰς ἐπιστήμας ὡς καὶ τῶν εὐτελεστάτων τεχνῶν καταδεεστέρας· ἐκείνων μὲν γὰρ ἑκάστης εἶναί τι τέλος καὶ ἀγαθὸν προσκείμενον καὶ μεμνῆσθαι αὐτοὺς ἐν τοῖς γιγνομένοις ὑπ' αὐτῶν τοῦ ὅτι βέλτιον γὰρ οὕτως (**), τὰς δὲ μαθηματικὰς μηδὲν ἔχειν αἴτιον τοιοῦτον μηδὲ ποιεῖσθαί τινα λόγον περὶ ἀγαθῶν καὶ κακῶν. δοκεῖ δὲ ἐν τῷ λόγῳ τούτῳ παραγωγή τις πάλιν εἶναι· οὐ γὰρ εἰ ἔν τισι τῶν ἐπιστητῶν μὴ πάντα ἐστὶ τὰ αἴτια, διὰ τοῦτο οὐκ ἔσται μιᾶς τὸ περὶ πάντων εἰδέναι· τῷ γὰρ αὐτῷ λόγῳ προσχρωμένους ἔνεστι δεῖξαι ὅτι ἐπεὶ ἔν τισιν ἐπιστητοῖς πάντα ἐστὶ τὰ αἴτια μιᾶς ἐπιστήμης εἴη τὸ εἰδέναι αὐτά· οὐ γὰρ εἰ μὴ πᾶσαι πάντα, ἀλλ' εἰσί τινες ἐν αἷς τινὰ ἐξ αὐτῶν, ἤδη διὰ τοῦτο οὐδεμία ἔσται ἡ πάντα εἰσομένη, ὡς μετ' ὀλίγον καὶ αὐτὸς ἐνδείξεται ζητῶν, ἐν αἷς πάντα τὰ αἴτια τῷ ἔχειν τὸ ὑποκείμενον αὐταῖς τὰ τέσσαρα αἴτια, κατὰ ποίου αἰτίου γνῶσιν μάλιστα ἡ τοῦ προκειμένου ἐπιστήμη γίγνεται. ἔτι δὲ καὶ οὐ πᾶν ἀγαθὸν τῇ αὐτοῦ φύσει πρακτέον ἐστίν, ἀλλ' ἐστὶ τὸ μὲν πρακτέον ἀγαθόν, τὸ δὲ θεωρητικὸν καὶ οὐ πρακτέον, ὅ ἐστι καὶ ἐν ταῖς μαθηματικαῖς· ἡ γὰρ ἀλήθεια ἡ περὶ ἐκεῖνα ἀγαθὸν οὖσα ἐκείνοις τέλος. τοιοῦτον γὰρ καὶ τὸ τῆς σοφίας τέλος· ἡ γὰρ τοῦ κυριωτάτου τε καὶ ἀρίστου τῶν ὄντων καὶ μάλιστα ὄντος γνῶσις μέγιστον οὖσα ἀγαθὸν ἐκείνῳ τέλος. Alex.

(*) διὸ καὶ ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ οὔ φησι τὰ μαθήματα 996 a 31.
κυρίως εἶναι ἐπιστήμας, ἐπειδὴ καὶ τὰς ἀρχὰς ἀποδεικτὰς οὔσας ὁμολογουμένως λαμβάνουσιν, οἷον ὅτι τὸ σημεῖον ἀμερὲς καὶ τὰ ἄλλα ὅσα προλαμβάνουσιν ὡς ὁμολογούμενα. ὥστε οὐχ ὁρᾷ πρὸς τέλος τι ὁ μαθηματικὸς καθὸ μαθηματικός. καὶ διὰ ταῦτα Ἀρίστιππος ὁ σοφιστὴς προεπηλάκιζε τὰ μαθήματα. Asclep.

(**) ἡμεῖς δέ φαμεν ὅτι καὶ ἐπὶ τῶν μαθημάτων θεωρεῖται τὸ τελικὸν αἴτιον· τῷ γὰρ ὄντι ὁ μαθηματικὸς καθὸ μαθηματικὸς ὑπάρχει καὶ οὐκ ἐπισκοπεῖ τὸ τελικὸν αἴτιον, ἀλλ' ὡς εἴρηται τὰ καθ' αὑτὸ ὑπάρχοντα, ὁ μέντοι γε πρῶτος φιλόσοφος καὶ τοῦτο ἐπισκοπεῖ. διό φησιν ὁ Πλωτῖνος δοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως· ὥστε πάνυ ἡμῖν συμβάλλονται πρὸς τὸ ἐθίζεσθαι ἀφαντασιάστως ἐνεργεῖν, ὅπερ ἐστὶ κεφάλαιον τῶν ἀγαθῶν. ἄλλως τε δέ, ὥς φησι καὶ ὁ Πλάτων (Tim. p. 34), ὅτι ὁ κύκλος συμβολικῶς λαμβάνεται εἰς τὸν νοῦν. διὰ τί γάρ, φησί, κύκλῳ κινεῖται ὁ οὐρανός; ὅτι νοῦν μιμεῖται. ὥσπερ οὖν ὁ κύκλος πρὸς αὑτὸν ἐπέστραπται, οὕτω καὶ ὁ νοῦς πρὸς ἑαυτὸν καὶ τὰ νοητὰ ἐπεστραμμένα πρὸς αὐτόν. id.

"ἀλλὰ — ἐπιστῆμαι." εἰς τὸ ἐναντίον μέτεισιν· ἀπορεῖ γάρ, εἰ 996 b 1.
πλείους εἰσὶν αἱ τῶν αἰτίων καὶ τῶν ἀρχῶν γνωστικαὶ ἐπιστῆμαι καὶ μὴ μία τις, ὥσπερ δοκεῖ διὰ τῶν προηπορημένων δεδεῖχθαι τῷ μηδὲ

3. lacunam *C.* nonne τοῦτο? ‖ 4 — 9. et 11 — 17. apud Asclep. ‖ 14. κίνησις ὑπάρχει ἐν Asclep. ‖ 31. καθ' αὑτὸ ἀγαθὸν *C* in mg. ‖ 34. ὡς] εἰς *C.*

1. καὶ ἔτι Ἀριστίππου *C.* ‖ 4. καὶ ἀγαθὸν — 5. γιγνομένοις om *AC* in lacuna. ‖ 8. πάλιν] πᾶσα *AC.* ‖ ἐπιστημῶν *C*, ἐπιστήμη *A.* ‖ 9. τὰ om *AC.* ‖ προσχρωμένοις *V.* ‖ 12. οἷς *V.* ‖ 13. ἤδη] εἴδη *C.* ‖ 14. αὐτοῖς *A.* ‖ 21. ἐκεῖνο *C*, ἐκεῖνα *A*: lege ἐκείνῳ. ‖ 23. ἀποδεικτικὰς *A.* ‖ 31. τούτων *A.* ‖ 33. συνεθισμοὺς *A.* ‖ 37. πρὸς] περὶ *A.*

τῷ ἐπ᾽ ἐκείνης μὲν ζητεῖσθαι εἰ τὰ ἐνυπάρχοντα τοῖς καθ᾽ ἕκαστα εἰς ἃ διαιρεῖται ἀρχαὶ αὐτῶν, μὴ τὰ κοινὰ τὰ κατηγορούμενα αὐτῶν, ἐνταῦθα δὲ καὶ κοινῶς καὶ καθόλου ζητεῖσθαι περὶ τῶν ἀρχῶν, πότερον οὕτως εἰσὶν ὡς τὰ κοινά, ἃ οὐχ ἔχει κατ᾽ ἰδίαν ὑπόστασιν, ἢ οὕτως ὡς καθ᾽ ἕκαστα (*). καὶ εἰ οὕτως, ἔτι πότερον δυνάμει εἰσὶν αἱ ἀρχαί, ὡς ἡ ὕλη δοκεῖ, ἢ κατ᾽ ἐνέργειαν ὑφεστήκασιν, ὡς καθ᾽ οὓς πῦρ ἤ τι τῶν σωμάτων στοιχεῖόν ἐστιν. Alex.

996 a 4. (*) ἡ ἀπορία ἣν πλείστην παρέχειν φησὶν ἀπορίαν ἐστὶν αὕτη, πότερον τὸ ἓν καὶ τὸ ὂν αὐτὰ οὐσίαι εἰσὶ καὶ τῶν ὄντων ἀρχαί (τοῦτο γὰρ εἶπεν, ἀλλ᾽ οὐσίαι τῶν ὄντων), ὡς δοκεῖ τοῖς Πυθαγορείοις καὶ Πλάτωνι λέγοντι αὐτοτιὸν καὶ αὐτοτιέν (ἐμνημόνευσε δὲ τῆς δόξης ταύτης καὶ ἐν τῷ περὶ τοῦ ἀπείρου λόγῳ ἐν τῷ τρίτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 4) καὶ ἐν τῷ Λ τῆσδε τῆς πραγματείας τῷ μείζονι) ἢ ἄλλαι. cod. Laur.

996 a 8. (*) ἐφεξῆς φησὶ καὶ περὶ Ἐμπεδοκλέους, ὅτι ὑπετίθετο τὸ νεῖκος καὶ τὴν φιλίαν, τοῦτο δὲ ὡς Πυθαγόρειος· διὰ μὲν γὰρ τῆς φιλίας τὴν ἕνωσιν ἐδείκνυε, διὰ δὲ τοῦ νείκους τὴν διάστασιν, ἐπειδὴ ἐκεῖθεν προέρχεται καὶ ἡ ἕνωσις καὶ τὸ πλῆθος. Asclep.

996 a 11. "ἔτι — πολλήν." ὃ ζητεῖ ἐστιν, ὅτι πότερον αἱ ἀρχαὶ ἀρχαί εἰσι τῷ κινεῖν καὶ ποιεῖν τὰ ὧν εἰσὶν ἀρχαὶ ἢ ἄλλως· δοκεῖ γὰρ ἡ μέν τις εἶναι κινητικὴ ἀρχή, ὡς ἡ ποιητική, ἡ δὲ οὐκέτι, ὡς ἡ ὑλική. δύναται λέγεσθαι καὶ τοιοῦτόν τι, πότερον κινούμεναι αὗται αἱ ἀρχαὶ αἰτίαι τοῖς ἐξ αὐτῶν ἢ αὐταὶ ἀκίνητοι οὖσαι, ὥσπερ τὰς ἰδέας ἔλεγον οἱ λέγοντες· τοιοῦτον δὲ καὶ τὸ πρῶτον αἴτιον. ἢ δύναται ἐκ τοῦ προειρημένου ἀκούεσθαι, πότερον αἱ ἀρχαὶ κινοῦνται καὶ μεταβάλλουσιν εἰς ἄλληλα ἢ εἰσὶν ἀμετάβλητοι. πρὸς δὲ τούτοις ἄξιον φησὶν ἀπορῆσαι καὶ περὶ τῶν μαθηματικῶν· μαθηματικὰ γὰρ οἵ τε ἀριθμοὶ καὶ τὰ μήκη καὶ τὰ σχήματα (λέγοι δ᾽ ἂν τὰ ἐπίπεδα, τρίγωνον, τετράγωνον, κύκλον, τὰ τοιαῦτα), ἔτι αἱ στιγμαί· περὶ δὲ τούτων πότερον οὐσίαι καὶ ταῦτα, ὡς δοκεῖ τισίν, ἢ οὔ, καὶ εἰ οὐσίαι, πότερον κεχωρισμέναι τῶν αἰσθητῶν καὶ αὐταὶ καθ᾽ αὑτὰς ἢ ἐν τούτοις τὸ εἶναι τοῖς μαθηματικοῖς. προειπὼν δὲ περὶ ὧν φησὶ δεῖν προσαπορῆσαι, φησὶν ὅτι περὶ τούτων οὐ μόνον χαλεπὸν εὑρεῖν τὴν ἀλήθειαν, πῶς ἔχει (ἔστι γὰρ ἡ εὕρεσις τῆς ἐν τοῖς προειρημένοις ἀληθείας τὸ κεφάλαιον τῆς προκειμένης ἐπιστήμης), ἀλλὰ καὶ τὸ διαπορῆσαι αὐτῶν χαλεπόν. Alex.

996 a 18. καὶ ἐπάνεισι γε ἐπὶ τὸ περὶ οὗ πρῶτον ἀπορίαν προέθετο, ἦν δὲ τοῦτο, πότερον μιᾶς ἐπιστήμης περὶ πασῶν τῶν ἀρχῶν καὶ πάντων τῶν αἰτίων εἰπεῖν ἢ πλειόνων, καθ᾽ ἕκαστον εἶδος αἰτίου ἄλλης. καὶ πρῶτον εἰς τὸ μὴ εἶναι τῆς αὐτῆς ἐπιστήμης τὸ περὶ πάντων εἰπεῖν τῶν αἰτίων ἐπιχειρεῖ (*). πρὸς ὃ πρῶτον μὲν τοιούτῳ τινὶ δυνάμει λόγῳ χρῆται. ὧν διαφερόντων κατ᾽ εἶδος ἡ αὐτὴ ἐπιστήμη, ταῦτα ἐναντία ἀλλήλοις, τὰ δὲ αἴτια οὐκ ἔστιν ἐναντία ἀλλήλοις, οὐκ ἄρα ἡ αὐτὴ ἐπιστήμη τῶν διαφερόντων κατ᾽ εἶδος αἰτίων. ἔστι μὲν οὖν ὁ λόγος ἐν δευτέρῳ σχήματι, ὅσον ἐπὶ τῷ τρόπῳ ὑγιής τε καὶ συλλογιστικός, ἔχει δὲ τὴν πρώτην εἰλημμένην πρότασιν οὐκ ἀληθῆ· οὐ γὰρ ἀληθὲς τὸ ὧν διαφερόντων κατ᾽ εἶδος ἡ αὐτὴ ἐπιστήμη, ταῦτα ἐναντία ἀλλήλοις, ἀλλ᾽ ἔστιν ὑγιὲς τὸ τῶν ἐναντίων τὴν αὐτὴν ἐπιστήμην· διὸ καὶ τὸ τούτῳ ἀντιστρέφον τὸ ὧν μή ἐστιν ἡ αὐτὴ ἐπιστήμη, ταῦτα μὴ εἶναι ἐναντία, οὐκ ἔστι τῷ προειρημένῳ τῷ, ὧν ἡ αὐτὴ ἐπιστήμη, ταῦτα ἀλλήλοις ἐναντία, ταὐτόν. ἐκείνως μὲν γὰρ ἀξιοῦται μόνων τῶν διαφερόντων κατ᾽ εἶδος, εἰ ἐναντία εἶεν, τὴν αὐτὴν ἐπιστήμην εἶναι (τοῦτο γὰρ λέγει ὁ λέγων "μιᾶς μὲν γὰρ ἐπιστήμης πῶς ἂν 996 a 20. εἴη μὴ ἐναντίας οὔσας τὰς ἀρχὰς γνωρίζειν"), ἐνταῦθα δὲ εἴληπται μὲν τὸ τῶν ἐναντίων εἶναι τὴν αὐτὴν ἐπιστήμην, οὐ μὴν καὶ μόνων (*)· οὐ γὰρ κεκώλυται εἶναι τινῶν ἡ αὐτὴ ἐπιστήμη καὶ μὴ ἐναντίων· οὐ γάρ ἐστι τὰ κατὰ γεωμετρίαν ἐναντία ἀλλήλοις. ἀλλὰ καὶ ἡ φυσικὴ καὶ ἡ πρακτικὴ φιλοσοφία διαφέρουσαι κατ᾽ εἶδος, οὐ μὴν οὖσαι ἐναντίαι, ὑπὸ μίαν ἐπιστήμην εἰσίν. ἔτι ἐρεῖ τις δύνασθαι καὶ τὰς ἀρχὰς ἀνάγεσθαι εἰς ἀντικείμενα τό τε ποιητικὸν καὶ τὸ παθητικόν, εἴγε ἡ μὲν ὕλη παθητική, τὰ δὲ παρὰ τὴν ὕλην τρία αἴτια εἰς τὸ εἰδικὸν ἀνάγεται, τοῦτο δὲ ποιητικόν· πᾶν γὰρ τὸ ποιοῦν κατὰ τὸ εἶδος καὶ τὴν τελειότητα ἣν ἔχει ποιεῖ. id.

(*) ἐκθέμενος τὰς ἀπορίας διὰ τῶν προλαβόντων τὰς περὶ τῆς 996 a 22. πρώτης φιλοσοφίας, ἐντεῦθεν πειρᾶται ἐφ᾽ ἑκάτερα ἐπιχειρεῖν, καὶ ἀνασκευάζειν αὐτὰς καὶ κατασκευάζειν, διὰ τὸ γυμνάσαι τὴν διάνοιαν. δεῖ δὲ ἡμᾶς τὰ μὲν ἀληθῶς λεγόμενα ὑπ᾽ αὐτοῦ κρατῦναι, τὰ δὲ γυμνασίας χάριν λεγόμενα διελέγξαι. χρὴ δὲ καὶ τοῦτο ἐπισημήνασθαι, ὅτι οὐ κατὰ τὴν αὐτὴν τάξιν καθ᾽ ἣν ἐξέθετο τὰς ἀπορίας, καὶ τὴν ἐπιχείρησιν ποιεῖται τὴν ἐφ᾽ ἑκάτερα, ἀλλὰ πολλάκις τὴν τρίτην ἀπορίαν τετάρτην τάττει καὶ τὴν τετάρτην, εἰ τύχοι, δευτέραν, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. Asclep.

(*) φαμὲν δὲ ἡμεῖς συνηγοροῦντες τῇ ἀληθείᾳ κατὰ τὰ ἐπηγ- 996 a 20. γελμένα, ὅτι ὁ παραλογισμὸς γέγονε παρὰ τὴν μείζονα πρότασιν. τῶν μὲν γὰρ ἐναντίων ὁμολογουμένως μία ἐστὶν ἐπιστήμη, οὐκέτι δὲ τῶν μὴ ἐναντίων οὐκ ἔστι μία ἐπιστήμη· ἐπί τινων γὰρ καὶ τῶν μὴ ἐναντίων μία ἐστὶν ἐπιστήμη. οἶδε γὰρ ὁ γεωμέτρης ἐπιστημονικῶς ὅτι αἱ τρεῖς γωνίαι τοῦ τριγώνου δυσὶν ὀρθαῖς ἴσαι ὑπάρχουσι, καὶ ὅμως τῷ τοιούτῳ οὐδέν ἐστιν ἐναντίον. ὁμοίως δὲ καὶ ἐπὶ ἄλλων πολλῶν. id.

"ἔτι — πᾶσαι." καὶ αὕτη ἡ ἐπιχείρησις πρὸς τὸ μὴ εἶναι πάν- 996 a 21. των τῶν αἰτίων μίαν ἐπιστήμην γνωστικήν. ἀπὸ δὲ τῶν ἐπιστητῶν ποιεῖ τὴν ἐπιχείρησιν· εἰ γὰρ μὴ φαίνοιτο πάντα τὰ ἐπιστητὰ πάσας ἔχοντα τὰς αἰτίας, αἱ δὲ ἐπιστῆμαι τῶν οἰκείων ἐπιστητῶν εἰσὶ

1. τῷ] τὸ *AC.* ‖ 3. καὶ ante κοινῶς om *L.* ‖ 5. καθ᾽ ἕκαστα] τὰ φύσει *A.* ‖ 16. γὰρ om *A.* ‖ 20. ἡ] εἰ *A*, ἢ *C.* ‖ 37. ἀπορήσειν *C.* ‖ 42. ὧν — *b* 7. apud Asclep.

2. ὁ συλλογισμὸς Asclep. ‖ 4. τὴν μείζονα πρότασιν Asclep. ‖ 22. τὰς ante περὶ om *A.* ‖ 25. δὲ] οὖν *A.* ‖ 26. λεγόμενα om *BM.* ‖ ἐπισημήνασθαι *A.* ‖ 27. οὐ et αὐτὴν et 33. οὐκέτι — 35. ἐπιστήμη om *A.* ‖ 36. ὑπάρχουσι] εἰσὶ *A.* ‖ 37. ἐπὶ τῶν ἄλλων πάντων *A.*

εἶναι ζητεῖν πότερον τὰ ἀνωτάτω γένη ἢ τὰ προσεχῆ τοῖς ἀτόμοις, ἃ ἤδη ὄντα ἄτομα κοινότερον γένη ὠνόμαζε καὶ αὐτά, τῷ τοῦ γένους ὀνόματι ἀντὶ τοῦ κοινοῦ χρώμενος. Alex.

995b 31. "μάλιστα — αὐτό." ὃ λέγει τοιοῦτόν ἐστιν. τῶν ἀρχαίων φυσικῶν τινὲς τὴν ὕλην αἰτίαν ὑποθέμενοι μόνον καθ' αὑτήν, τὰ ταύτης πάθη κατὰ συμβεβηκὸς αἰτίας ἔλεγον, οὐ καθ' αὑτά. καθ' αὑτὸ μὲν γὰρ αἴτιον ἦν αὐτοῖς ὁ ἀὴρ ἢ τὸ ὕδωρ ἢ τὸ μεταξύ, ἤ τι ἄλλο ὃ ἀρχὴν καὶ στοιχεῖον ὑπετίθεντο, ἐπεὶ καὶ μόνα καθ' αὑτὰ ὄντα τούτων ἕκαστα κατ' αὐτούς, κατὰ συμβεβηκὸς δὲ ἡ μανότης καὶ πυκνότης, ἡ σύγκρισις καὶ διάκρισις. οὗτοι μὲν οὖν τὴν ὕλην καθ' αὑτὸ αἴτιον λέγοντες, καὶ τὸ ὑποκείμενον ἐτίθεντό τι αἴτιον καὶ ἄλλο, ἀλλὰ κατὰ συμβεβηκός· συμβεβηκότα γὰρ ταῦτα τῇ ὕλῃ. αὐτὸς δὲ νῦν οὐκ εἰ παρὰ τὴν ὕλην ἐστί τι κατὰ συμβεβηκὸς αἴτιον ζητεῖν φησὶ δεῖν, ἀλλ' εἰ καθ' ἑαυτό, ὡς ἔδειξεν ἐν τῇ Φυσικῇ Ἀκροάσει (1 7)· οὐδὲ γὰρ ἔλαττον ἀλλὰ καὶ μᾶλλον ἂν φανεῖεν αἴτια τὰ ἄλλα τῆς ὕλης, ἀλλ' εἰ καὶ ἔστι τι καθ' αὑτὸ αἴτιον παρὰ τὴν ὕλην. καὶ ἄλλο τί φησι δεῖν ἐπισκέψασθαι, πότερον τοῦτό ἐστι κεχωρισμένον ὕλης καὶ αὐτὸ καθ' αὑτὸ ὑφεστώς, ἢ ἐν τῇ ὕλῃ, ὁποῖόν ἐστι τὸ ἔνυλον εἶδος, καὶ ὡς τοῖς ἀπὸ τῆς Στοᾶς ἔδοξεν ὁ θεὸς καὶ τὸ ποιητικὸν αἴτιον ἐν τῇ ὕλῃ εἶναι. καὶ εἰ ἔστι τι αἴτιον χωριστὸν καὶ ἄϋλον, πότερον τοῦτο κατ' ἀριθμὸν ἕν ἐστιν ἢ πλείω, περὶ ὧν αὐτὸς ἐν τῷ Λ τῆσδε τῆς πραγματείας λέγει. id.

995b 34. "καὶ — ὕλης." σύνολον ἤτοι τὸ κοινὸν λέγει, τὸ κατὰ τῶν καθ' ἕκαστα καὶ τὸ ἐν ὕλῃ εἰρηκώς· καὶ εἰ τοῦτο λέγει τὸ σύνολον, λέγοι ἄν, εἰ ἔστι τι παρὰ τὸ κοινὸν καὶ τὸ σύνολον, ὃ τοῦ ἐνύλου κατηγορεῖται, ἄλλο τι εἶδος κεχωρισμένον, ἢ οὐδέν ἐστι παρὰ τὸ κοινὸν εἶδός τι καὶ ἰδέα, ἢ τῶν μὲν τῶν δὲ οὔκ, ὡς δοκοῦσι λέγειν οἱ λέγοντες μήτε τῶν παρὰ φύσιν μήτε τῶν τεχνητῶν ἰδέας εἶναι. ἢ σύνολον λέγει τὸ συναμφότερον. εἰπὼν δὲ σύνολον, πῶς σύνολόν τί ἐστιν ἐδήλωσε, προσθεὶς ὅταν κατηγορηθῇ τι τῆς ὕλης, τουτέστιν ὅταν ἡ ὕλη μετά τινος εἴδους ληφθῇ. ἢ σύνολον τὸ ἔνυλον· καὶ εἴη ἂν ζητῶν πότερον ἔστι τι εἶδος κεχωρισμένον παρὰ τὸ ἔνυλον (τοῦτο γὰρ τῆς ὕλης κατηγορεῖται, καὶ ἔστι τὸ σύνολον ἡ ὕλη σὺν τῷ ἐν αὐτῇ εἴδει) ἢ οὐδέν ἐστι τοιοῦτον, ἢ τὰ μέν τινα εἴδη ἐστὶ κεχωρισμένα ὕλης, τὰ δὲ οὔ· τοῦτο γὰρ λέγοιτ' ἂν διὰ τοῦ "ἢ τῶν μὲν τῶν δὲ οὔ." καὶ εἰ ἔστιν ὅλως ἄϋλά τινα εἴδη, ὁπόσα ταῦτα ἐστί, περὶ ὧν, ὡς προεῖπον, ποιήσεται λόγον ἐν τῇ περὶ τῶν ἀνελιττουσῶν θεωρίᾳ. εἴη δ' ἂν διὰ μὲν τῆς πρὸ ταύτης ἀπορίας ζητῶν εἰ ἔστι τι παρὰ τὴν ὕλην καὶ ἄλλο αἴτιον καθ' αὑτό, καὶ εἰ ἔστι, πότερον κεχωρισμένον ὕλης ἢ σὺν ὕλῃ καὶ αὐτό, διὰ δὲ τῆς δευτέρας ἁπλῶς εἰ ἔστι τι εἶδος ἄϋλον. id.

996a 1. "ἔτι — ὡρισμέναι." ζητῆσαι, φησί, δεῖ καὶ περὶ τῶν ἀρχῶν καὶ αἰτίων, εἰ εἰσὶ πεπερασμέναι, πότερον κατὰ τὸ εἶδος μόνον εἰσὶ πεπερασμέναι ὡς εἶναι ἓν κατ' ἀριθμὸν τὸ ποιητικὸν καὶ μίαν ἀριθμῷ ὕλην, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ἢ εἰ καὶ μὴ ἓν ἀριθμῷ τὸ αἴτιον καθ' ἕκαστον εἶδος αἰτίου, ἀλλὰ πεπερασμένον γε (*). τὸ γὰρ κατ' εἶδος ἀπείρους ὑποτίθεσθαι τὰς ἀρχὰς ὡς ἄτοπόν τε παρῃτήσατο καὶ ὡς δεδειγμένον ἐν τῷ πρὸ τούτου. δέδεικται δὲ ἐν τῷ πρὸ τούτου καὶ ὅτι καθ' ἕκαστον εἶδος αἰτίου πεπερασμένα τὰ αἴτια. ζητῆσαι δέ φησιν ὁμοίως δεῖν τοῦτο περί τε τῶν εἰδικῶν αἰτίων (ταῦτα γάρ ἐστι τὰ ἐν τῷ λόγῳ· ταῦτα γὰρ καθ' ἃ ὁ λόγος ἑκάστου καὶ ὁ ὁρισμός) καὶ περὶ τῶν ὑλικῶν· ταῦτα γὰρ τὰ ὑποκείμενα. εἰ δὲ καὶ τὸ ποιητικὸν καὶ τὸ τελικὸν αἴτιον εἴδη καὶ αὐτά, ὡς εἶπεν ἐν Φυσικῇ Ἀκροάσει (2 3), περὶ πάντων ἂν εἴη τῶν αἰτίων εἰρηκώς. δύναται καὶ τὰ μὲν ἐν τοῖς λόγοις αἴτια εἰρηκέναι περὶ τῶν ἐν ταῖς ἀποδείξεσιν ἀρχῶν (αὗται δέ εἰσι τὰ ἀξιώματα· καὶ γὰρ ἤδη τούτων ἐμνημόνευσε), τὰ δὲ ἐν τῷ ὑποκειμένῳ τὰς τῶν οὐσιῶν ἀρχάς· ὑποκείμεναι γὰρ αἱ οὐσίαι (**). προστίθησι δὲ ταύτῃ τῇ ἀπορίᾳ ὡς ἄξιον προσαπορεῖσθαι, πότερον αἱ αὐταὶ ἀρχαί εἰσι τῶν φθαρτῶν καὶ τῶν ἀφθάρτων ἢ ἕτεραι· καὶ εἰ ἄλλαι, πότερόν εἰσι πᾶσαι ἄφθαρτοι ἢ τῶν μὲν φθαρτῶν φθαρταί, ἄφθαρτοι δὲ τῶν ἀφθάρτων. id.

(*) "καὶ εἰ — ὑποκειμένῳ." διπλῆ ἐξήγησις φέρεται τοῦ ῥησειδίου τούτου· μία μὲν τοιαύτη. 996a 2.
ἢ ἐν τοῖς λόγοις, τουτέστι τὸ ποιητικὸν αἴτιον καὶ τὸ τελικὸν καὶ τὸ εἰδικόν, ὑποκείμενον δὲ τὸ ὑλικόν. ἢ ἐν τοῖς λόγοις ταῖς τῶν παλαιῶν δόξαις, ὅτι καὶ οἱ παλαιότεροι πεπερασμένας ὑπέθεντο τὰς ἀρχὰς καὶ τὸ ὑποκείμενον. καὶ ἀληθῶς οὕτως ἔχει, ὅτι οὐχ ὑπάρχουσιν ἄπειροι αἱ ἀρχαί. Asclep.

(**) διό φησι καὶ ὁ Τίμαιος ὅτι δανειζομένη ἐκ τῆς ὁλότητος 996a 4.
τῶν στοιχείων καὶ πάλιν εὐγνωμόνως ἀποδίδωσιν ἡ φύσις. id.

"ἔτι — ἐστιν." ἡ ἀπορία, ἣν πλείστην παρέχειν φησὶν ἀπορίαν, ἔσται αὕτη, πότερον τὸ ἓν καὶ τὸ ὂν αὐτὰ οὐσίαι εἰσὶ καὶ τῶν ὄντων ἀρχαί. τοῦτο γὰρ εἶπε διὰ τοῦ "ἀλλ' οὐσίαι τῶν ὄντων," ὡς δοκεῖ τοῖς Πυθαγορικοῖς καὶ Πλάτωνι λέγοντι αὐτοτιὸν καὶ αὐτοτιέν. ἐμνημόνευσε δὲ τῆς δόξης ταύτης καὶ ἐν τῷ περὶ τοῦ ἀπείρου λόγῳ ἐν τῷ Γ τῆς Φυσικῆς Ἀκροάσεως (c. 4) καὶ ἐν τῷ Α τῆσδε τῆς πραγματείας τῷ μείζονι (c. 5. 6. 8 sq.). ἢ ἄλλαι τινὲς φύσεις ὑπόκεινται, ταύταις δὲ τό τε ἓν καὶ τὸ ὂν ἐκείναις συμβέβηκεν, ὡς ἔλεγον οἱ φυσικοί, ἢ ὕδωρ ἢ ἀέρα ἢ φιλίαν ἢ νοῦν ἤ τι τοιοῦτον ὑποτιθέμενοι τῶν ὄντων ἀρχήν· ἐκείνοις γὰρ ἔλεγον ταῦτα συμβεβηκέναι τό τε ἓν καὶ τὸ ὄν (*). ἔτι πότερον αἱ ἀρχαὶ ἐν οἰκείᾳ ὑποστάσει εἰσὶ καὶ καθ' αὑτὰς ὡς τὰ καθ' ἕκαστα τῶν ὄντων, ἢ οὔ, ἀλλ' ὡς τὰ καθ' ἕκαστα καὶ τὰ καθόλου καὶ κοινά, οἷς ἐν τῷ κατηγορεῖσθαι τῶν καθ' ἕκαστα τὸ εἶναι. εἴη δ' ἂν αὕτη ἡ ἀπορία διαφέρουσα τῆς ἀπορηθείσης πρὸ ὀλίγου τῆς "καὶ πότερον αἱ ἀρχαὶ καὶ 995b 27.
τὰ στοιχεῖα τὰ γένη ἐστὶν ἢ εἰς ἃ διαιρεῖται ἐνυπάρχοντα ἕκαστον,"

2. εἴδη Asclep. ‖ ἄτομα om C. ‖ 19. ἔδειξεν A. ‖ ὁ θεὸς] ἔδει V. ‖ 24. εἰ om V. ‖ 26. ἀλλ' ὅτι V. ‖ 27. εἴδει A. ‖ ἢ τόδε τῶνδε ὄν, ὡς AL. ‖ 29. πῶς σύνολόν om AC. ‖ 31. ἢ om L. ‖ 33. ἢ] ἡ C. ‖ σὺν τούτῳ τῷ L. ‖ 35. λέγοι AC. ‖ 37. εἴη δ' ἂν om AC. ‖ 38. τῆς et τι om B. ‖ 39. καί τί ἐστι L. ‖ καὶ — 40. αὐτό V.

8. καὶ om V. ‖ 10. τὸ om V. ‖ εἴδει V. ‖ 13. αὐταὶ C. ‖ 15. αἱ om C. ‖ 16. αὐταὶ om A. ‖ 20. ἢ] εἰ B. ‖ 23. ὑποκείμενον δέ. καὶ B. ‖ 24. αἱ om A. ‖ 39. καθ' ἕκαστα] γένη L. ‖ 41. ὀλίγον τε καὶ AC.

εἰδῶν καὶ τῶν αἰσθητῶν δῆλον ὡς πλείω εἴδη ἐποίουν οὐσιῶν παρὰ τὰς αἰσθητάς. Alex.

(¹) φαμὲν οὖν ὅτι κυρίως σοφία ἐστὶν ἡ πρωτίστη, συγγενεῖς δὲ αὐτῆς αἱ ἄλλαι ὑπάρχουσιν, ἀλλ' αἱ μὲν πλησιαίτερον αἱ δὲ πορρώτερον, οἷον ἀριθμητικὴ μᾶλλον πλησιάζει τῇ πρώτῃ φιλοσοφίᾳ ἤπερ γεωμετρία, καὶ γεωμετρία μᾶλλον ἁρμονικῆς, εἰ τύχοι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. αὗται δὲ πᾶσαι ἐπιστῆμαι ὑπάρχουσιν. Asclep.

995 b 18. "καὶ — οὐσίαις." τὰ συμβεβηκότα λέγει τὰ καθ' αὑτὸ ὑπάρχοντα, ἵνα ᾖ τὸ λεγόμενον, πότερον περὶ τῶν οὐσιῶν ὁ σοφὸς μόνον διαλήψεται ἢ καὶ περὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων. ἔστι δὲ καθ' αὑτὰ ὑπάρχοντα κυρίως τὰ ἐν τοῖς ὁρισμοῖς παραλαμβανόμενα. περὶ μὲν τούτων ἀναγκαῖος ὁ λόγος αὐτῷ· οὐδὲ γὰρ ἄλλως οἷόν τε περί τινων ἐπιστήμην λαβεῖν χωρὶς τοῦ γιγνώσκειν τὰ οὕτως ὑπάρχοντα. λέγει δὲ τὰ καθ' αὑτὰ συμβεβηκότα ἀχώριστα καὶ ἴδια καὶ ἐγγὺς οὐσιώδη, δι' ὧν εἰώθασι καὶ δι' ὑπογραφῆς γινόμενοι τινῶν λόγοι ἀποδίδοσθαι, οἷον τῷ τριγώνῳ εἴη ἂν καθ' αὑτὸ συμβεβηκὸς τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν καὶ τὸ τὰς δύο πλευρὰς τῆς λοιπῆς μείζους εἶναι πάντῃ μεταλαμβανομένας (¹) — οὐ γὰρ δὴ ἐκ τούτων ὁ ὁρισμὸς αὐτῷ — καὶ τῷ ἀριθμῷ τὸ περιττῷ εἶναι ἢ ἀρτίῳ, καὶ ἑκάστῳ τῶν ὄντων τὸ εἶναι ἓν καθὸ τόδε τι ἐστι, καὶ ὅσα οὕτως ὑπάρχει τῶν συμβεβηκότων. Alex.

(¹) εἰδέναι οὖν χρὴ ὅτι ἐν ταῖς πρωτίσταις οὐσίαις οὐ θεωροῦνται τὰ συμβεβηκότα· ἐκεῖναι γὰρ ἐνέργειαι ὑπάρχουσιν ἄνευ δυνάμεως, ὡς φησὶν ἀλλαχοῦ, καὶ ὁ νοῦς αὐτὰς θιγγάνων αἱρεῖ αὐτὸ ἁπλαῖς ἐπιβολαῖς, ὡς φησὶν ὁ Πλάτων... φησὶν οὖν ὁ Πορφύριος ὅτι πρώτως ἐν τοῖς ἀτόμοις θεωροῦνται τὰ συμβεβηκότα καὶ δεύτερον ἐν τοῖς εἴδεσι· καὶ οὐδὲν οὕτως ἐθαύμαζε τῶν εἰρημένων ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου ὁ Πρόκλος ὡς τοῦτο, ὥς φησιν ὁ ἡμέτερος φιλόσοφος Ἀμμώνιος· τὰ γὰρ εἴδη ὡς ἀσώματα οὐκ ἔχουσιν ἐν ἑαυτοῖς συμβεβηκότα. ὁ γὰρ λόγος ὁ παρὰ τῷ δημιουργῷ τοῦ κόρακος οὐκ ἔστι μέλας, ἀλλὰ κατὰ συμβεβηκὸς λέγεται τὸ εἶδος εἶναι μέλαν τῷ θεωρεῖσθαι ἐν τοῖς κατὰ μέρος ἀτόμοις, τουτέστιν ἐν τοῖς καθ' ἕκαστα κόραξιν. ὡς οὖν εἴρηται, τὰ καθ' αὑτὸ συμβεβηκότα ἐν τοῖς καθόλου θεωρεῖται, ἅ τινα συμβάλλονται ἡμῖν εἰς τοὺς ὁρισμοὺς τῶν πραγμάτων. Asclep.

995 b 20. "πρὸς — ὑστέρου." ζητεῖ εἰ καὶ περὶ τούτων εἰς ἡ διαλεκτικὴ κέχρηται, οὖσα ἐξ ἐνδόξων ἐπιχειρητική τε καὶ δεικτικὴ τῶν προκειμένων, τοῦ σοφοῦ ἐστὶ τὸ πρὸς ἀλήθειαν καὶ ἐπιστήμην διαλαβεῖν τίνα ἐστὶ ταῦτα (¹)· εἰ γὰρ τοῦ διαλεκτικοῦ τὸ ἐνδόξως αὐτὸν διαλαμβάνειν, τίνος τὸ ἀληθῶς; προτίθεται δὲ ζητεῖν καὶ περὶ τούτων, ἐπειδὴ αὐτὸς χρῆται αὐτοῖς ἐν τοῖς ἀποδεικνυμένοις πρὸ αὐτοῦ κατὰ τήνδε τὴν πραγματείαν· καὶ γὰρ τῷ αὐτῷ ὅπερ ἐπ' οὐσιῶν λέγεται χρῆται. ζητεῖ οὖν εἰ αἱ αὐταί εἰσι πᾶσαι αἱ οὐσίαι ἀλλήλαις ἢ οὐ ἀλλ' ἕτεραι. ἀλλὰ καὶ τοῖς ἄλλοις οἷς κατέλεξε πᾶσιν ἐν ταῖς ἀποδείξεσιν ἀναγκαῖον αὐτῷ προσχρῆσθαι· κοινὰ γὰρ ταῦτα ὄργανα τοῖς ἀποδεικνύουσι. προελθὼν δὲ αὐτὸς δείξει κατὰ τί καὶ ἡ περὶ τούτων ζήτησίς τε καὶ θεωρία οἰκεία τῷ πρώτῳ φιλοσόφῳ. οὐ γὰρ λογικὴ ἡ πραγματεία, ὥς τισιν ἔδοξε διὰ τὸ πολλὰ τοιαῦτα ζητεῖσθαι ἐν αὐτῇ· οὐ γὰρ δι' αὐτὰ περὶ τούτων διαλαμβάνει, οὐδὲ τοῦτον ποιεῖται σκοπόν, ἀλλ' ὅτι τῆς πρώτης φιλοσοφίας καὶ τῆς περὶ τοῦ ὄντος ᾗ ὂν θεωρητικῆς τὸ καὶ περὶ τῶν κοινῶς τῷ ὄντι ὑπαρχόντων τὴν θεωρίαν ποιεῖσθαι. τοιαῦτα δὲ καὶ ταῦτα, ὡς δείξει. Alex.

(¹) ἀμέλει τοι καὶ τὰς Κατηγορίας ἔγραψεν ὁ Ἀριστοτέλης ὡς πρῶτος φιλόσοφος, ἐπειδὴ διὰ πάντων τῶν ὄντων διαπεφοιτήκασιν ἡ οὐσία, τὸ ποσὸν καὶ αἱ ἄλλαι κατηγορίαι· τὸ γὰρ περὶ τούτων διαλέγεσθαι, ὡς πολλάκις εἰρήκαμεν, τοῦ πρώτου ἐστὶ φιλοσόφου· λοιπὸν οἱ καθ' ἕκαστα ἐπιστήμονες περὶ τῶν ὑποβεβλημένων αὐτοῖς διαλέγονται. ἠπόρησε δὲ ὁ Ἀσκληπιὸς ὁ τῆς ἰατρικῆς τέχνης διδάσκαλος ὁ σὺν ἡμῖν ἐνδιατρίψας τοῖς μαθήμασιν, εἰ δέ τις ἀπορήσειεν ὅτι καὶ πῶς ἐν Τόποις διαλέγεται περὶ ταὐτοῦ καὶ ἑτέρου, ἅ τινα λέγομεν πεφοιτηκέναι διὰ πάντων τῶν ὄντων; ὁ δὲ ἡμέτερος φιλόσοφός φησι πρὸς αὐτὸν ὅτι ἐπειδὴ ὁ διαλεκτικὸς ὑποδύεται τὸν πρῶτον φιλόσοφον, τούτου χάριν καὶ αὐτὸς διαλέγεται περὶ τῶν διαπεφοιτηκότων διὰ πάντων τῶν ὄντων, ἀλλ' ἐνδόξως, ὥσπερ ὁ σοφιστὴς σοφιστικῶς· ὁ μέντοι γε πρῶτος φιλόσοφος ἀληθινῶς καὶ σπουδαστικῶς διαλέγεται. Asclep.

"ἔτι — ἕκαστον." ἐξηγήσατο τίνα λέγει τὰ καθ' αὑτὰ συμβεβηκότα διὰ τοῦ εἰπεῖν "καὶ μὴ μόνον τί ἐστιν·" ἐν γὰρ τῷ τί ἐστι τὰ καθ' αὑτὰ ὑπάρχοντα ἐμπεριέχεται. φησὶν εἶναι τὰ καθ' αὑτὰ συμβεβηκότα, οἷον πάσης ἐναντιότητος καθ' αὑτὸ συμβεβηκὸς τὸ ἔμμεσον, τὸ ἄμεσον, ἢ οἷόν ἐστι τὸ ὑπ' αὐτοῦ προστιθέμενον περὶ τοῦ εἰ ἓν ἑνὶ ἐναντίον ἐστίν, ἢ μὴ ἕν, ὃ καὶ αὐτὸ δοκεῖ θεώρημα εἶναι διαλεκτικόν (¹)· δεῖ γάρ, φησίν, ἐπισκέψασθαι εἰ καὶ τὸ περὶ τούτου τινὸς τὴν ἀλήθειαν ἐξετάσαι τοῦ σοφοῦ ἐστίν. Alex. 995 b 25.

(¹) οἷον εἰ ἄρα τῷ ἑνὶ ἓν συμβέβηκεν ἐναντίον ἢ πολλά, καὶ εἰ δυνατόν ἐστι τὰ ἐναντία ὑπὸ διάφορα γένη ἀνάγεσθαι. Asclep. 995 b 27.

"καὶ πότερον — ἕκαστον." περὶ οὗ νῦν φησὶ δεῖν ζητεῖν, ἔστιν, εἰ τὰ γένη ἀρχαὶ τούτων ὧν ἐστὶ γένη (δοκεῖ γὰρ τὰ γένη πρῶτα εἶναι τῇ φύσει, τὰ δὲ πρῶτα ἀρχαί), ἢ ὡς οὐσία δοκεῖ εἰς ὕλην τε καὶ εἶδος, ἢ τὰ τέσσαρα στοιχεῖα, ἢ ἃ ἄν τις ὑποθῆται τοιαῦτα· εἰς μὲν γὰρ ταῦτα διαιρεῖται, ἐξ ὧν σύγκειται ἕκαστον πρώτων. ταῦτα δὲ ἑκάστου ἀρχαὶ δοκοῦσιν εἶναι, ἐξ ὧν πρώτων σύγκειται, ὡς τῆς φωνῆς τὰ στοιχεῖα. ἀλλ' εἰ καὶ τὰ γένη ἀρχαί, πάλιν φησὶν ἄξιον

5. ἀριθμητικὴ καὶ γεωμετρία μᾶλλον *B.* ‖ 6. καὶ γεωμετρία om *AB.* ‖ 7. δὲ ante καὶ et 25. θιγγάνων om *A.* ‖ 25. αὐτὸ] αὐτὰ Asclep. ‖ 28. τῶν εἰρημένων om *A.* ‖ 42. αὐτοῖς] αὐτῆς *C.* ‖ πρὸς *A.*

1. ταὐτῷ *C.* ‖ 14. τοιοῦτον *BM.* ‖ 15. εἰρήκαμεν] ἡμῖν εἴρηται *BM.* ‖ 18. ὅσον ἡμῖν *A.* ‖ 19. πῶς] ἁπλῶς *A.* ‖ 24. σπουδαστικῶς] ἀποδεικτικῶς *AM.* ‖ 36. ζητητέον εἶναι *A.* ‖ 38 — p. 607 *a* 3. apud Asclep. ‖ 39. ἢ] εἰ Asclep. ‖ ἢ ἃ] ἢ ἅπερ Asclep.

ρῆσαι τὰς πάντων αἰτίας ἢ πλειόνων, ὡς ἄλλην ἐπιστήμην ἄλλων ἀρχῶν καὶ αἰτίων εἶναι θεωρητικήν. ταύτην δὲ τὴν ἀπορίαν ἐδόκει κεκινηκέναι ἐν τοῖς πρὸ τούτου βιβλίοις· ἐν γὰρ τῷ πρώτῳ περὶ Ψυχῆς (1 1) δοκεῖ αὐτῆς μεμνημονευκέναι· διὸ εἴη ἂν τὸ εἰρημένον περὶ ὧν ἠπορήσαμεν ἐν τοῖς πεφροιμιασμένοις ἡμῖν. πρώτη ἐστὶν ἀπορία, ἣν καὶ πρώτην τίθησιν· ἠπόρησε γὰρ ἐν ἐκείνοις περὶ αἰτίων· περὶ δὲ τῶν αἰτίων δὴ πρώτην φησὶν ἀπορίαν εἶναι ἧς μνημονεύει. διηπόρησε δὲ τριῶν. ἐν μὲν τῷ μείζονι Α ζητῶν πόσα τὰ εἴδη τῶν αἰτίων, καὶ τὰς τῶν ἄλλων δόξας ἐκθέμενος περὶ αἰτίων καὶ πρὸς αὐτὰς εἰπών, ἐπιστώσατο εἶναι τέσσαρα αἰτίων εἴδη· ἐν δὲ τῷ ἐλάττονι ζητήσας εἰ ἐπ' ἄπειρόν ἐστι τὸ αἴτιον ἢ κατ' εὐθυωρίαν ἢ κατ' εἶδος, ἢ ἵσταται καὶ ἔστι πεπερασμένον. πρώτη δὲ ἀπορία ἡ περὶ τούτων εἴη ἂν ἡ νῦν λεγομένη. ἢ γοῦν τοῦτ' ἔστιν ὃ λέγει, ἢ ὅτι ἡ πρώτη ἀπορία ἐστὶ περὶ τούτων περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις διηπορήσαμεν, ὡς οὐ πασῶν περὶ τούτων οὐσῶν περὶ ὧν ἐν ἐκείνοις ἠπορήσαμεν, ζητοῦντες εἰ ἔστι καὶ πόσα ἐστίν· περὶ τούτων νῦν ἀπορήσομεν. πρώτη δ' ἀπορία ἔσται· περὶ γὰρ αἰτίων καὶ αὐτή. τινὲς μέντοι διὰ τὸ νῦν εἰρημένον ὑπ' αὐτοῦ ἐπὶ τέλει τοῦ τῶν α' α' ἐλάττονος ταύτην τὴν ἀπορίαν προσγράφουσι, κατ' οὐδένα λόγον ἐκεῖ κειμένην. τῷ δὲ "πότερον μιᾶς ἢ πολλῶν ἐπιστημῶν θεωρῆσαι," σημαίνοι ἂν ἴσον τῷ, εἰ ὧν ἐθέμεθα αἰτίων τεσσάρων μία ἐστὶ θεωρητικὴ πάντων ἐπιστήμη, ἢ ἄλλου αἰτίου ἄλλη ἐπιστήμη, ὡς ὕστερον ἀπορῶν ἐπιχειρήσει (*). καὶ εἴη ἂν εὐλόγως λέγων τὸ περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις διηπορήσαμεν· ἐν γὰρ τῷ α' τῷ μείζονι εἰ τέσσαρα τὰ τῶν αἰτίων εἴδη ἐζήτησε, περὶ ὧν τεσσάρων ζητήσει νῦν, εἰ μιᾶς ἐπιστήμης ἐστὶν ἡ γνῶσις αὐτῶν. Alex.

995 b 6. (*) ἡμεῖς δέ φαμεν ὅτι μία καὶ μόνη ἐπιστήμη γινώσκει τὰ τέσσαρα αἴτια καθόλου· οὐ γὰρ διαφόρους δυνατὸν ἐπιστήμας εἰδέναι αὐτά, ἐπεὶ οὕτως οὐκ εἴσεται κυρίως τὴν πρώτην φιλοσοφίαν ἡ εἰδυῖα ἓν μόνον αἴτιον, ὥστε οὐδὲ ἐπιστήμη ἐστὶν ἡ ἀγνοοῦσα τὰς ἀρχάς· νῦν δὲ καὶ ὑπόκειται ἐπιστήμην εἶναι. καὶ ὡς μὲν τῆς πρώτης φιλοσοφίας τὰς ἁπλῶς ἀρχὰς εἰδέναι, ὡς δὲ τῶν μερικῶν τὰ κατὰ μέρος, οἷον ἐπὶ ἰατρικῆς τὸ ὑλικὸν τὰ ἀνθρώπεια σώματα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν καὶ αἰτίων. "ἔστιν" οὖν φησὶν "ἀπορία πρώτη μ.. διηπ." ἠπόρησε πρὸς τῷ τέλει τοῦ ἐλάττονος ἄλφα, ἡνίκα ἔλεγεν "ἢ μιᾶς ἐπιστήμης ἐστὶν ἢ πλειόνων τὰ αἴτια καὶ τὰς ἀρχὰς θεωρῆσαι." τοῦτο οὖν καὶ ἐνταῦθα λέγει. Asclep.

"καὶ — μόνον." ἡ δευτέρα ἀπορία ἐστὶ περὶ ἧς φησὶ δεῖν ἀπορῆσαι, εἰ τοῦ σοφοῦ καὶ τοῦ πρώτου φιλοσόφου καὶ τῆς πρώτης ἐπιστήμης ἐστὶ μόνον τὸ τὰς τῆς οὐσίας ἀρχὰς ἰδεῖν τὰς πρώτας, ἢ οἰκεῖόν ἐστιν αὐτῇ καὶ τὰς ἀποδεικτικὰς ἀρχὰς ἰδεῖν, ἐξ ὧν αἱ ἀποδείξεις κοινῶν ἀρχῶν οὐσῶν γίγνονται, ἃ ἀξιώματα καλεῖται (*)· ἀρχαὶ γὰρ ταῦτα πάσης ἐπιστήμης. ὅτι δὴ τοῦτο λέγει, ἐδήλωσε διὰ τοῦ προσθεῖναι τὸ "μόνον." λείπειν δὲ τῇ λέξει δόξει τὸ ἀκόλουθον γὰρ τῷ προειρημένῳ τῷ καὶ περὶ τῶν ἀρχῶν. ἀξίωμα δὲ τὸ μὴ ἐνδέχεσθαι ἅμα τὴν ἀντίφασιν ἀληθῆ καὶ ψευδῆ εἶναι, ὥσπερ καὶ τὸ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἶναι ἴσα, καὶ τὸ ἂν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, καὶ τὰ καταλειπόμενα ἴσα εἶναι, καὶ τὸ πᾶσαν ἔφεσιν ἢ ἀγαθοῦ ἢ φαινομένου ἀγαθοῦ εἶναι, καὶ τὰ τούτοις ὅμοια. καὶ κοινότατόν γε τὸ τῆς ἀντιφάσεως ἁπάντων τῶν ἀξιωμάτων· ἀληθὲς γὰρ ἐπὶ πάντων. Alex.

(*) καί φαμεν ἡμεῖς ἐπιλυόμενοι ὅτι καὶ μία καὶ πλείους, καὶ κατὰ τὸ εἶναι μία οὐσία εἰσὶ πᾶσαι, κατὰ δὲ τὴν ὑπόστασιν πολλαὶ ὑπάρχουσιν. ὡς οὖν μίαν οὐσίαν οὖσαν μία ἐπιστήμη λαμβάνει αὐτήν, ὡς δὲ πλείους οὐσίαι, πολλαὶ ἐπιστῆμαι. Asclep. 995 b 10.

"εἴτε — πλείονες." τὸ τρίτον τῶν προτιθεμένων ἐστίν, εἰ ἔστι τῆς προκειμένης ἐπιστήμης περὶ τῆς οὐσίας καὶ τῶν αἰτίων τῆς οὐσίας θεωρεῖν, πλείους δὲ οὐσίαι, αἱ μὲν γὰρ νοηταὶ αἱ δὲ αἰσθηταί, ὥστε καὶ αἱ ἀρχαὶ διάφοροι· πότερον οὖν περὶ πασῶν τῶν ἀρχῶν, αἳ οὐσιῶν εἰσὶν ἀρχαί, τῆς προκειμένης ἐπιστήμης τὸ θεωρεῖν, ὡς μίαν εἶναι τὴν πασῶν τῶν ἀρχῶν γνωστικήν, αἳ τῶν οὐσιῶν εἰσίν (*)· ἢ πλείους εἰσὶ καὶ διαφέρουσαι τῶν ἀρχῶν, αἳ τῶν διαφερουσῶν εἰσὶν οὐσιῶν ἀρχαί. ἀλλὰ καὶ εἰ πλείους, ἄξιόν φησιν εἶναι ἐπὶ τούτῳ ἀπορηθῆναι, πότερον αὗται αἱ πλείους ἐπιστῆμαι συγγενεῖς εἰσὶν ἀλλήλαις καὶ πάσας αὐτὰς εὔλογον εἶναι σοφίας καλεῖν, ἢ οὐκ εἰσὶ σοφίαι πᾶσαι, ἀλλ' αἱ μέν τινες σοφίαι, αἱ δὲ ἄλλο τι γένος ἔχουσιν. εἰπὼν δὲ ταῦτα φησὶ καὶ αὐτὸ δὴ τοῦτο ζητῆσαι, πότερον αὗται μόνον αἱ αἰσθηταί εἰσιν οὐσίαι ἢ καὶ παρὰ ταύτας εἰσὶν ἄλλαι τινές· οὐδὲ γὰρ αὐτὸ γνώριμον οὐδὲ ἀναμφίλεκτον. διαφέροι δ' ἂν αὕτη ἡ ἀπορία τῆς πρώτης καὶ τῷ ἐν ἐκείνῃ μὲν ἁπλῶς περὶ τῶν αἰτίων εἰρηκέναι, οὐ τῶν τῆς οὐσίας, ἐν ταύτῃ δέ, εἰ τῶν τῆς οὐσίας αἰτίων μία ἐπιστήμη ἢ πλείους εἶεν, πότερον πᾶσαι συγγενεῖς καὶ σοφίαι, ἢ αἱ μὲν σοφίαι αἱ δὲ ἄλλο τι ἐπιστημῶν εἶδος. ἑξῆς τοῖς προειρημένοις προστίθησιν ὡς ἄξιον ἀπορεῖσθαι καὶ περὶ τοῦ πότερον μοναχῶς, τουτέστι καθ' ἓν εἶδος καὶ καθ' ἕνα λόγον, οὐσίαι πᾶσαι ἢ πλείω τῶν οὐσιῶν εἴδη καὶ πλείους λόγοι, ὃ πῶς εἴρηκε, δηλοῖ δι' ὧν ἐπιφέρει εἰπὼν "οἷον οἱ ποιοῦντες τά τε εἴδη καὶ τὰ μαθηματικὰ μεταξὺ τούτων τε καὶ τῶν αἰσθητῶν." οἱ γὰρ τὰς ἰδέας θέμενοι οὐσίας 995 b 16. ἔλεγον τὰ μαθηματικά, οὐσίας δὲ καὶ αὐτὰ ὄντα οὔτε ταῖς ἰδέαις οὔτε ταῖς αἰσθηταῖς οὐσίαις ὁμοειδεῖς εἶναι, ἀλλὰ ταύτην οὐσιῶν φύσιν ἔλεγον εἶναι μεταξὺ ἐκείνων, ὡς εἶναι τρία κατ' οὐσίαν, ὡς περὶ Πλάτωνος εἴρηκεν ἐν τῷ μείζονι Α (c. 6). καὶ εἴη ἂν πλέον τι ἔχουσα τῆς πρὸ αὐτῆς ἡ ζήτησις αὕτη. οὐ γὰρ ζητεῖ ἐν αὐτῇ εἰ πλείω οὐσιῶν εἴδη (τοῦτο γὰρ ἔκειτο), ἀλλ' εἰ τὰ αὐτὰ καὶ ταῦτα ἅ τινες εἰρήκασι. καὶ εἴη ἂν τὸ "πότερον μοναχῶς" ὡς ἀκόλουθον εἰρηκὼς τῷ προειρημένῳ. προειπὼν γὰρ πότερον τὰς αἰσθητὰς εἶναι μόνον φατέον ἢ καὶ παρὰ ταύτας ἄλλας, ἐπήνεγκε τὸ καὶ πότερον μοναχῶς τὰς αἰσθητὰς οὐσίας· οἱ γὰρ ποιοῦντες μεταξὺ τῶν τε

13. εἰ τοῦτ' ἔστιν A. ‖ 15. ἐν] οὖν V. ‖ 16. διηπορήσαμεν C. ‖ τούτων ἢ νῦν A: f. l. τούτων δὴ νῦν ‖ ἠπορήσαμεν V. ‖ 33. τὸ] ὅτι M. ‖ 42. ἃ] μὲν A. ‖ 43. δὲ C.

3. ἀφέλης C. ‖ 17. γνωστικήν] γνῶσιν A. ‖ 42. πρότερον AC. ‖ 43. μόνον om AV. ‖ 44. τῆς αἰσθητῆς V.

ἂν εἴη αὐτῆς καὶ εἰς τὴν προκατάστασιν συντελοῦντα. διό τισιν ἔδοξε τῆς Μετὰ τὰ Φυσικὰ πραγματείας τοῦτο εἶναι τὸ πρῶτον. Alex.

(**) "ἀνάγκη — δεῖ." ἐν τῷ μείζονι ἄλφα διελέχθη ἡμῖν περὶ τῆς πρώτης φιλοσοφίας, ἥτις καταγίνεται περὶ τὸ ὄντως ὄν· εἶτα πρὸς τούτοις ἐζήτησε περὶ τῶν ἀρχῶν καὶ ἐξέθετο τὰς τῶν παλαιοτέρων δόξας περὶ αὐτῶν, καὶ τὰς μὲν ἤλεγξε τὰς δὲ ἀπεδέξατο, καὶ ὕστερον ἐπήγαγε τὴν ἑαυτοῦ δόξαν, δεικνὺς ὅτι τέσσαρες ὑπάρχουσιν ἀρχαί, ὑλικὸν εἰδικὸν ποιητικὸν καὶ τελικόν, καὶ ἐπιστώσατο τὸν λόγον καὶ ἐκ τῶν παλαιοτέρων καὶ ἐκ τοῦ λόγου. ἐφεξῆς ἐν τῷ ἐλάττονι ἄλφα ἔδειξεν ὅτι πεπερασμέναι ὑπάρχουσιν αἱ ἀρχαὶ καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω καὶ κατ᾽ εἶδος. ἐνταῦθα σκοπός ἐστι τῷ προκειμένῳ βιβλίῳ, τουτέστι τῷ βῆτα, ἀπορῆσαι πρὸς τὴν πρώτην φιλοσοφίαν, καὶ ἐκτίθεται πλείστας ὅσας ἀπορίας, φάσκων ὅτι ὥσπερ οἱ δεδεμένοι οὐ δύνανται προελθεῖν, ἐὰν μὴ πρότερον τὸν δεσμὸν διαρρήξωσι, διαρρῆξαι δὲ οὐ δύνανται τὸν δεσμόν, εἰ μὴ γνῶσι τὸν τρόπον τῆς λύσεως τοῦ δεσμοῦ, οὕτως φησὶ καὶ ἐπὶ τῶν ἀπορούντων ὅτι οὐ δυνατὸν αὐτοὺς γνῶναι τὸ πρᾶγμα καὶ τὴν ἀλήθειαν εἰς ἣν ἐπείγονται, εἰ μὴ πρότερον μάθωσι τὰς ἀπορίας τὰς φερομένας κατ᾽ αὐτῆς τῆς ἐπιστήμης καὶ ἐπιλύσωνται αὐτάς· ἐπιλύσασθαι δὲ αὐτὰς τῶν ἀδυνάτων ἐστίν, εἰ μὴ πρότερον γνῶσιν αὐτὴν τὴν ἀπορίαν καὶ τὸ πρᾶγμα καθ᾽ οὗ φέρεται ἡ ἀπορία. ἐκτίθεται οὖν, ὡς εἴρηται, πάσας τὰς ἀπορίας καὶ ἐπιχειρεῖ ἐφ᾽ ἑκάτερα καὶ τὰς λύσεις τῶν ἀποριῶν ἐπάγειν ἐν τῷ γάμμα. ἡμεῖς δὲ ἐννοίας ἐξ αὐτῶν καὶ ἐνταῦθα ἐπιλυόμεθα. Asclep.

995a 29. "λύειν — δεσμόν." εἰ ἡ εὕρεσις καὶ κατασκευὴ τῶν ζητουμένων ἤρτηται τῆς τῶν ἀπορουμένων λύσεως, λύειν δὲ οὐχ οἷόν τε δεσμόν τινα μὴ πρότερον εἰδότας αὐτόν, τουτέστι καθὸ δέδεται (πῶς γὰρ ἂν λύσαι τις κατ᾽ ἐπιστήμην τὸν ἀγνοούμενον δεσμόν;), δεσμὸς δὲ ἐν τοῖς ζητουμένοις ἡ τῆς διανοίας ἀπορία (αὕτη γὰρ τὸν δεσμὸν δεικνύει τοῦ πράγματος), ἀναγκαῖον πρῶτον τὸ περὶ τῶν ζητουμένων καὶ μελλόντων δείκνυσθαι ἀπορεῖν, εἴγε τὸ μὲν εὑρεῖν ἐκ τοῦ λύειν τὰ ἀπορούμενα, λύειν δὲ τὰ ἀπορούμενα οὐχ οἷόν τε μὴ εἰδότας πῶς ἠπόρηται. "ἀλλ᾽ ἡ τῆς διανοίας ἀπορία δηλοῖ τοῦτο περὶ τοῦ πράγματος." ἴσον ἐστὶ τὸ εἰρημένον τῷ ἀλλ᾽ ἡ τῆς διανοίας ἀπορία δηλοῖ τὸν δεσμὸν τὸν ἐν τῷ πράγματι. εἰπὼν δὲ δεσμὸν τὴν ἀπορίαν, κατὰ τί ὅμοιόν ἐστι δεσμῷ ἐπήνεγκε· κωλυτικὸς γὰρ ὁ δεσμὸς τῆς εἰς τὸ πρόσθεν καὶ εἰς τὸ προκείμενον προόδου τε καὶ προχωρήσεως, τοῦτο δὲ καὶ ἡ ἀπορία ποιεῖ· ἡ γὰρ διάνοια εἰς τὸ πρόσθεν προϊέναι κωλύεται διὰ τὴν περὶ τοῦ πράγματος ἀπορίαν. Alex.

995a 32. "ἀδύνατον — πρόσθεν." οὔτε γὰρ ὁ δεδεμένος οὔτε ὁ ἀπορῶν δύναται εἰς τὸ πρόσθεν καὶ τὸ προκείμενον αὐτοῖς προϊέναι. καὶ διὰ τὸ δεῖν οὖν γνωρίζειν τὸν δεσμόν, εἰ μέλλει τις λύσειν αὐτόν, ἀναγκαῖόν φησιν εἶναι προαπορεῖν, καὶ διὰ τὸ τοὺς χωρὶς τοῦ διαπορεῖν ζητοῦντας περί τινος ἐοικέναι τυφλοῦ πορείαις· οὐ γὰρ ἔχουσι σκοπὸν οἱ χωρὶς τοῦ ἐπεσκέφθαι τὰ ἀπορούμενα περὶ τῶν ζητουμένων λέγοντες περὶ αὐτῶν, πρὸς ὃν χρὴ τὰ λεγόμενα συνείρειν τε καὶ συντείνειν. ὁδηγεῖ γὰρ τὰ προειρημένα τοὺς ἀπορήσαντας πρὸς τὸ τὰς ζητήσεις ποιεῖσθαι κατὰ λόγον· οἱ γὰρ χωρὶς τοῦ ἀπορῆσαι ζητοῦντες περί τινων, οὐκ εἰδότες περὶ ὧν δεῖ ζητεῖν ζητοῦσι. προστίθησι δὲ τούτοις χωρὶς τὸ τοὺς ζητοῦντας περί τινος μηδέποτε εἰ εὐπόρηταί τε καὶ τέλος ἔχει τὸ ζητούμενον γνωρίζειν δύνασθαι· οὗ αἰτίαν ἀποδέδωκε τὸ τοῖς μὲν οὕτω ζητοῦσι περί τινος μὴ εἶναι γνώριμον τὸ τέλος τοῦ ζητουμένου· διὰ τοῦτο γὰρ ἐοικέναι εἶπεν αὐτοὺς καὶ ὁμοίους εἶναι τοῖς ποῖ βαδίζειν ἀγνοοῦσιν, οἷς ἀγνοεῖται τὸ τέλος· τούτοις δὲ οὐδέποτε εὕρηται γνώριμον τὸ τέλος καὶ ὁ σκοπός· ἡ γὰρ τῶν ἀπορεῖσθαι δυναμένων περί τινα λύσις τὸ τέλος τε καὶ εὕρεσις αὐτοῦ (*). προστίθησι δὲ τοῖς προειρημένοις καὶ ἄλλην αἰτίαν τοῦ τὸ προαπορεῖν ἀναγκαῖον εἶναι· ἔστι δὲ αὕτη ὅτι ὥσπερ ἐν ταῖς κρίσεσιν ἄμεινον κρινοῦσιν οἱ ἀμφοτέρων τῶν ἀντιδικούντων ἀλλήλοις ἀκούσαντες καὶ μὴ μόνου θατέρου, οὕτως καὶ ἐπὶ τῶν ζητουμένων ὑγιεστέρα ἡ κρίσις ἡ περὶ αὐτῶν γίγνεται, εἰ πάντα τις τὰ ἀπορεῖσθαι δυνάμενα καὶ λέγεσθαι πρὸς τὴν κατασκευὴν αὐτῶν καὶ θέσιν προεπέλθοι τε καὶ λύσαι. διὰ δὲ τῶν προειρημένων περὶ τοῦ δεῖν διαπορεῖν πρῶτον εἴη ἂν αὐτῷ δεικνύμενον ἅμα καὶ τὸ χρήσιμον τῆς διαλεκτικῆς πρὸς φιλοσοφίαν καὶ τὴν τῆς ἀληθείας εὕρεσιν· τῆς γὰρ διαλεκτικῆς τὸ διαπορεῖν καὶ ἐπιχειρεῖν εἰς ἑκάτερα. ἀληθὲς ἄρα τὸ ἐν τοῖς Τοπικοῖς (1 2) εἰρημένον τὸ χρήσιμον εἶναι τὴν διαλεκτικὴν πρὸς τὰς κατὰ φιλοσοφίαν ζητήσεις. id.

(*) ἡ γὰρ ἀπορία συμβάλλεται ἡμῖν καὶ πρὸς τὴν κατάληψιν 995a 35. τῶν πραγμάτων· ὡς γάρ φησιν ὁ Πλάτων, καθάπερ τὰ πυρία παρατριβόμενα ἀλλήλοις φῶς ἐκπέμπουσιν, οὕτω καὶ αἱ ἀπορίαι γεννῶσιν εὐπορίας. συμβάλλονται δὲ ἡμῖν καὶ πρὸς ἕξιν· ἀσφαλεστέραν γὰρ ἕξιν λαμβάνει ὁ ἀπορῶν διὰ τὴν συνεχῆ κίνησιν τῶν θεωρημάτων. συμβάλλεται δὲ ἡμῖν, φησί, καὶ πρὸς τὸ μὴ πιστεύειν ὡς ἔτυχε τοῖς λεγομένοις· δεῖ γὰρ ἑκατέρους λέγειν τοὺς λόγους καὶ ὕστερον κρατύνειν τὸ ἀληθὲς ἀδεκάστως κρίνοντας, πάντων προτιμῶντας τὴν ἀλήθειαν. διὸ καὶ ὁ Πλάτων συνάγει πρόσωπα τὰ συνηγοροῦντα τῇ ἀδικίᾳ, τῇ ἀκολασίᾳ, τῷ εἶναι θνητὴν τὴν ψυχήν, καὶ τότε ἐπιρραπίζει αὐτὰ συναγορεύσας αὐτοῖς πρότερον κατὰ τὸ καρτερόν. Asclep.

"ἔστι — διηπορήσαμεν." οὐ τὴν ἀπορίαν, ἣν τίθησι, φησὶν 995b 4. ἠπορῆσθαι ἐν τοῖς πεφροιμιασμένοις· ἔστι γὰρ ἡ ἀπορία ἡ πρώτη, ὡς λέγει, ὀφείλουσα ἀπορηθῆναι περὶ τοῦ πότερον μιᾶς ἐπιστήμης θεω-

1. αὐτῷ *V*. ‖ 2. τὸ om *ACV*. ‖ 42. δύνανται *C*.

1. δεῖ Asclep. ‖ μέλλει τις λύειν Asclep. ‖ αὐτόν — 3. οὐ] αὐτόν· οὐκ ἔστι γὰρ προελθεῖν εἰς τὸ ἔμπροσθεν. οἱ οὖν ἀποροῦντες ἐοίκασι τυφλοῦ πορείᾳ· οὐ Asclep. ‖ 4. περὶ τῶν — 5. συντείνειν om Asclep. ‖ 6. προηπορημένα Asclep. f. l. προηπορημένα. ‖ 8. χωρὶς — 12. καὶ om Asclep. ‖ 13. οἷς δὲ ἀγνοεῖται Asclep. ‖ τούτοις οὐδέποτε γίνεται γνώριμον, τοῖς δὲ προηπορηκόσι γνώριμον Asclep. ‖ 16. τοῦ — 17. αὕτη om Asclep. ‖ 19. αὐτὸ *A*. ‖ 21. λύσει Asclep. ‖ 41. ἡ post ἀπορία om *V*.

τοῖς διὰ σχεδίας πλέουσιν· οὐ γὰρ ἀκριβῶς οἱ τοιοῦτοι ναυτίλλονται ἀλλ' ἐπιπολαίως καὶ σφαλερῶς. id.

995a 10. (ᵍ) "μικρολογίαν" οἷον τὸ εἰπεῖν τὸν Δημοσθένην "μὴ ἐγκείσθω ὑπὸ τοῦ Φιλίππου τὸ δίδωμι, ἀλλὰ τὸ ἀποδίδωμι." καὶ πάλιν ὅ φησιν ὁ Ἀριστοφάνης διαβάλλων τοὺς φιλοσοφοῦντας, ὅτι σπεύδουσιν ἴχνη ψυλλῶν μετρεῖν, τῶν δὲ ἄλλων καταφρονοῦσι· "μισῶ δὲ καὶ Σωκράτην τὸν πτωχὸν ἀδολέσχην, ὃς τῶν ἄλλων μὲν πεφρόντικε, πόθεν δὲ φάγῃ, τούτου κατημέληκεν" ὡς τῶν ἐν τῷ βίῳ ὄντων μειζόνων. ὁμοίως δὲ καὶ ὁ Καλλικλῆς φησὶ πρὸς τὸν Σωκράτην ὅτι οὐ δεῖ περὶ τὰ οὕτω σμικρὰ καταγίνεσθαι καὶ ἐντεῦθεν πειρᾶσθαι παράλογα. id.

995a 12. (ʰ) δεῖ οὖν, φησί, πρῶτον ἐν τοῖς ἀναλυτικοῖς γεγυμνάσθαι καὶ τοῖς λογικοῖς καὶ εἰδέναι τοὺς τρόπους τῶν ἀποδείξεων καὶ τὰς τῶν λόγων συναγωγάς· ἄτοπον γὰρ ἅμα τε ζητεῖν ἐπιστήμην τινὸς καὶ περὶ αὐτῆς τῆς ἐπιστήμης ζητεῖν τίνα τρόπον γίνεται. id.

995a 16. (ⁱ) ἐν μέντοι γε τοῖς φυσικοῖς πράγμασιν οὐ δεῖ τοιαύτην ἀπαιτεῖν λεπτουργίαν, ἐπειδὴ μετὰ ὕλης ὑπάρχουσιν· ἡ δὲ ὕλη ἀόριστός ἐστι καὶ ἐπισκοτεῖ διὰ τὴν αὐτῆς ἀοριστίαν. διὸ οὔτε τὰ ἐν τοῖς Μετεώροις εἰρημένα δεῖ ἀκριβῶς ἐξετάζειν, ἀλλὰ πιθανῶς καὶ ἡνίκα μηδὲν ἔχουσιν ἐναντίον προφανές. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων φυσικῶν πραγμάτων. id.

995a 17. (ᵏ) καλῶς τὸ "ἴσως" προσέθεικε διὰ τὰ οὐράνια· οὐ γὰρ κυρίως ἐπ' ἐκείνων ὕλη θεωρεῖται. διὸ σκεπτέον τί ἐστι φύσις. διὰ τοῦ εἰπεῖν, δεῖ ἡμᾶς πρότερον ἐπισκέψασθαι τί ἐστι φύσις, ἐπανατρέχει πάλιν ἐπὶ τὰ φυσικὰ καὶ περὶ φύσεως διαλέγεται καὶ οὐκέτι ἐστὶ θεολογία ἡ πραγματεία. λέγομεν οὖν πρὸς τοῦτο ἢ ὅτι κυρίως τὸ βιβλίον τοῦτο τῆς μετὰ τὰ φυσικὰ οὐκ ἔστι πραγματείας, ἀλλὰ προγραφόμενον πάσης τῆς θεωρητικῆς φιλοσοφίας, ἢ ὅτι δεῖ πρότερον προγυμνάζεσθαι εἰς τὰ φυσικὰ θεωρήματα· τότε οὖν δυνατὸν παρακολουθῆσαι τοῖς ἐνταῦθα λεγομένοις· μανθάνοντες γὰρ τί ἐστι φύσις, γινώσκομεν καὶ περὶ τίνος ἡ φυσική ἐστι πραγματεία καὶ εἰ μιᾶς ἐπιστήμης ἢ πλειόνων τὰ αἴτια καὶ τὰς ἀρχὰς θεωρῆσαι ἐστίν. καὶ λέγομεν ὅτι μιᾶς ἐπιστήμης θεωρῆσαι τὰ τέσσαρα αἴτια, τὸ ποιητικόν, τὸ τελικόν, τὸ εἰδικὸν καὶ τὸ ὑλικόν· οἷον τῆς φυσικῆς τὰ ἄλλα προσεχῆ· τὰ γὰρ πορρωτέρω αἴτια, ἤγουν περὶ τοῦ ὄντος πρώτου αἰτίου καὶ τῆς ἀνειδέου ὕλης καὶ τοῦ τελικοῦ αἰτίου καὶ τοῦ εἰδικοῦ τοῦ πρώτου, ἐστὶ φιλοσόφου ἔργον θεωρῆσαι. id.

(ˡ) τὸ δὲ "διὸ σκ. πρ. τί ἐστι φ." οἱ μὲν οὕτως εἶπον· δεῖ, φησί, τὸν μέλλοντα τῆς προκειμένης ἀκροᾶσθαι φιλοσοφίας προεπεσκεμμένον εἶναι τῶν περὶ φύσεως, γινώσκοντα τάς τε ἀρχὰς αὐτῶν ἀκριβῶς καὶ τὰ περὶ ταύτης. οἱ δ' οὕτως· χρὴ πάσης φύσεως τὰς ἀρχὰς γινώσκειν τὸν τῆς προκειμένης πραγματείας ἀκροατήν, ὡς ἂν τῶν τε ἀϊδίων καὶ ἀεὶ ὡσαύτως ἐχόντων ἐπίσταιτο τὰς ἀρχὰς καὶ προσέτι καὶ τῶν ἐν γενέσει καὶ φθορᾷ. καὶ φαίνεται ἡ ἐξήγησις καταλληλοτέρα πρὸς τὰ ἑξῆς· οὕτως γάρ, φησί, κατάδηλον ἔσται περὶ τί μὲν ἡ φυσική, περὶ τί δ' ἡ μετὰ τὰ φυσικὰ καταγίνεται πραγματεία, καὶ εἰ μιᾶς ἐπιστήμης τὰ αἴτια καὶ τὰς ἀρχὰς τῆς προκειμένης φιλοσοφίας, ὡς ἐν τῷ ἑξῆς βιβλίῳ ἀπορηθήσεται, ἐξετάσαι, ἢ πλειόνων. cod. Reg.

ΕΙΣ ΤΟ ΒΗΤΑ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΥΠΟΜΝΗΜΑ.

995a 24. Ἀνάγκη — πρῶτον." ἡ μὲν ἐπιζητουμένη ἐπιστήμη καὶ προκειμένη νῦν αὐτή ἐστιν ἡ σοφία τε καὶ ἡ θεολογική, ἣν καὶ Μετὰ τὰ Φυσικὰ ἐπιγράφει τῷ τῇ τάξει μετ' ἐκείνην εἶναι πρὸς ἡμᾶς. λέγει δὲ αὐτὴν καὶ πρώτην σοφίαν, ὅτι τῶν πρώτων καὶ τιμιωτάτων ἐστὶ θεωρητική (ᵐ). διὰ τὸ αὐτὸ δὲ τοῦτο καὶ θεολογική· περὶ γὰρ τοῦ αἰτίου καὶ εἴδους, ὃ πάντη ἄϋλός ἐστιν οὐσία κατ' αὐτόν, ἣν καὶ πρῶτον θεὸν καὶ νοῦν καλεῖ, ὁ λόγος ἐν τούτοις προηγουμένως αὐτῷ γίνεται. φησὶ δὲ ἀναγκαῖον εἶναι πρὸς τὴν εὕρεσιν τῆς τε ἐπιστήμης αὐτῆς καὶ τῶν κατὰ τὴν ἐπιστήμην ταύτην ζητουμένων πρῶτον ἐπελθεῖν καὶ ἐξαριθμήσασθαι περὶ ὧν ἀπορῆσαι δεῖ πρῶτον, εἶτα ἀπορῆσαι περὶ αὐτῶν· καὶ οὕτως ποιεῖ. δύναταί τις ἀκοῦσαι καὶ καθολικώτερον τοῦ εἰρημένου "περὶ ὧν ἀπορῆσαι δεῖ πρῶτον·" διὰ γὰρ τούτων ἡ τῶν ἐπιστημῶν εὕρεσις· εἰ δὲ πρὸς πᾶσαν, καὶ τὴν προκειμένην. τίνα δὲ δεῖ ἀπορεῖν καθ' ἑκάστην ἐπιστήμην προσέθηκε διὰ τοῦ "ταῦτα δέ ἐστιν ὅσα τε περὶ αὐτῶν ἄλλως ὑπειλήφασί τινες." τοῦτο δ' ἂν σημαίνοι ἢ τὸ μὴ προσηκόντως ἢ δεόντως ἀλλὰ διημαρτημένως, ἢ ὅτι ἄλλοι ἄλλως· ταῦτα γὰρ μάλιστα ἀπορίας παρέχει, περὶ ὧν προκαταβέβληνται διάφοροι δόξαι ὑπὸ τῶν πραγματευσαμένων περὶ αὐτά, ἢ ὅσα παρεώραται ὑπὸ τῶν πρόσθεν, καίπερ ἀναγκαῖα ὄντα γιγνώσκεσθαι. ὡς δὲ καὶ περὶ τούτων διαπορήσων λέγει. εἰπὼν δὲ ἀπορῆσαι δεῖν, ἑξῆς καθόλου κατασκευάζει τε καὶ δείκνυσιν ὅτι χρήσιμον πᾶσι τοῖς πραγματευσαμένοις περί τινος πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν τὸ πρῶτον περὶ αὐτῶν διαπορεῖν· ἡ γὰρ εὐπορία καὶ ἡ εὕρεσις αὐτῶν καὶ κατασκευὴ ἐκ τῆς εὑρέσεως τῶν ἠπορημένων ἤρτηται. εἴη δὲ ἂν καταλληλότερον, εἰ ἀντὶ τοῦ "ἔστι δέ" εἴη γεγραμμένον "ἔστι γάρ·" ἡ γὰρ ὕστερον εὐπορία λύσις τῶν προειρημένων ἀπόρων ἐστίν. ἴσον δέ ἐστι τοῦτο τῷ ἡ γὰρ λύσις τῶν προηπορημένων αἰτία τῆς ὕστερον γιγνομένης εὐπορίας. ἢ οὕτως· ἡ γὰρ ὕστερον εὐπορία γιγνομένη ἐκ τῆς λύσεως τῶν πρώτων ἠπορημένων γίγνεται. ἔστι δὲ αὐτῷ τῆς προκειμένης πραγματείας ἐντεῦθεν ἡ ἀρχή· περὶ γὰρ τῶν ἀναγκαίως συντεινόντων εἰς τὰ προκείμενα ἐνταῦθα λέγειν ἄρχεται· ὅσα δὲ ἐν τοῖς α' εἴρηται, προλεγόμενα

26. ἡ—32. γίνεται] ἔστι δὲ ἡ ἐπιζητουμένη νῦν αὐτῷ ἐπιστήμη, ὡς εἴρηται, ἡ πρώτη φιλοσοφία *L*. ‖ 29. δὲ καὶ αὐτὴν *V*. ‖ 33. ἐπιστήμης ταύτης, τουτέστι τῆς πρώτης φιλοσοφίας, καὶ τῶν Asclep. ‖ 35. δεῖ ἀπορῆσαι *C*, δεῖ, τοῦτο λέγει ὡς πρῶτον *C2* in mg. ‖ 36. καὶ ante οὕτως in lacuna om *A*.
35. ἀπορία *C*. ‖ 36. ἡ — 37. οὕτως om *A*.

τὴν δόξαν (e)· ἀνελεύθερον γάρ τισιν ἤδη δοκεῖ καὶ τὸ ἐν τοῖς λόγοις ἄγαν ἀκριβὲς καὶ περὶ τῶν μικρῶν ἐξεταστικόν, ὥσπερ καὶ τὸ ἐν τοῖς συναλλάγμασι. προειπὼν δὲ ταῦτα καὶ δείξας τὴν τῶν ἐθῶν ἰσχύν, καὶ διότι κατ' οἰκειότητα τὴν κατὰ τὰ ἔθη καὶ τὰ λεγόμενα ἀπο-
995 a 12. δέχονται, ἐπιφέρει "διὸ δεῖ πεπαιδεῦσθαι πῶς ἕκαστα ἀποδεκτέον," ἴσον λέγων τῷ καὶ αὐτῷ ἐν τοῖς Ἠθικοῖς (I 1) εἰρημένῳ τῷ πεπαιδευμένου γάρ ἐστιν ἐπὶ τοσοῦτον τἀκριβὲς ἐπιζητεῖν καθ' ἕκαστον γένος, ἐφ' ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται, ὃ διὰ τῶν Ὑστέρων Ἀναλυτικῶν (I 13. 24) δείκνυται (h), ἐνδεικνύμενος ἡμῖν ὅτι καθόλου μὲν δεῖ πεπαιδεῦσθαι καὶ εἰδέναι πῶς χρὴ τῶν λεγομένων ἀκούειν ἕκαστον (οὐ γὰρ πάντα ὅμοια, οὐδὲ ἴσην τὴν ἀκρίβειαν ἐπιδεχόμενα), ἐξαιρέτως δὲ τοὺς τούτων τῶν ῥηθησομένων ἀκούσοντας (οὐ γάρ ἐστιν αἰσθητὰ ἢ περὶ αἰσθητῶν, οὔτε συνήθη τε καὶ ἐν ποσί). ταῦτα δὲ λέγων ἐνδείκνυται ἡμῖν ὅτι δεῖ πρῶτον ἐν τοῖς ἀναλυτικοῖς ἐγγυμνάζεσθαι καὶ τοῖς λογικοῖς ὅλως, καὶ εἰδέναι τοὺς τρόπους τῶν ἀποδείξεων καὶ τὰς τῶν λόγων συναγωγάς· ἄτοπον γὰρ ἅμα ζητεῖν ἐπιστήμην τινός, καὶ περὶ αὐτῆς τῆς ἐπιστήμης ζητεῖν τίνα τρόπον γίγνεται καὶ ἀναλαμβάνεται· οὐδὲ γὰρ τὸ ἕτερον ἤδη τούτων εὑρίσκεται ῥᾴδιον. ὅπερ δὲ εἶπε καὶ αὐτὸ ἐν τῷ πρώτῳ τῶν Νικομαχείων Ἠθικῶν (c. 1 p. 1094 *b* 25) λέγων πῶς ἐκείνους τοὺς λόγους ἀποδέχεσθαι δεῖ (εἶπε γὰρ "παραπλήσιον γὰρ μαθηματικοῦ πιθανολογοῦντος ἀποδέχεσθαι καὶ ῥητορικὰς ἀποδείξεις ἀπαιτεῖν"), τοῦτο καὶ νῦν λέγει. τὴν ἀκριβολογίαν γάρ φησι τὴν μαθηματικὴν οὐκ ἐν ἅπασιν ἀπαιτητέον, ἀλλ' ἐν τοῖς ἀΰλοις, ὁποῖά ἐστι τὰ ἐξ ἀφαιρέσεώς τε καὶ μαθηματικά (i), ἴσως ἐνδεικνύμενος ἡμῖν ὅτι τοιαύτης ἀκριβολογίας χρεία καὶ πρὸς τὰ παρόντα· περὶ ἀΰλων γὰρ ὁ περὶ τῶν πρώτων ἀρχῶν λόγος καὶ οὐ συνήθων. τὸ δὲ "διόπερ οὐ φυσικὸς ὁ λόγος" ἤτοι λέγει ὅτι ἀκριβής· προείρηκε γὰρ τοῦτο. γράφεται δὲ καὶ "ὁ τρόπος," καὶ εἴη ἂν ὁ λόγος ὡς οὐ φυσικοῦ. ἢ τὸ λεγόμενον τοιοῦτόν ἐστιν. τὰ φυσικὰ δοκεῖ πάντα σὺν ὕλῃ εἶναι, ἄϋλα δὲ τὰ μαθηματικά, διὸ καὶ ἀκριβολογίαν ἐπιδέχεται, τὰ δὲ φυσικὰ οὐχ ὁμοίως. οἱ δὴ περὶ τῶν μαθηματικῶν λόγοι περὶ τῶν ἀΰλων ὄντες οὐκ εἰσὶ φυσικοί· οὐ γὰρ τοσαύτην ἀκριβολογίαν τὰ φυσικὰ ὄντα γε σὺν ὕλῃ χωρεῖ. δύναται δὲ καὶ περὶ τῶν προκειμένων λόγων λέγειν, ὅτι οὐκ εἰσὶ φυσικοί· ἄϋλα γὰρ περὶ ὧν λέγειν ἡμῖν πρόκειται, καὶ ἀκριβεστέρων λόγων ἢ κατὰ φυσικὰ δεόμενα. τὸ δὲ "ἴσως" τῷ "ἅπασα γὰρ ἡ φύσις ἔχει ὕλην" προσέθηκεν, ἐπεὶ καὶ τὸ κυκλοφορικὸν σῶμα φυσικὸν μέν, οὐ μὴν ὕλη τὸ τούτῳ ὑποκείμενον. τὸ δὲ ἑξῆς εἰρημένον ἐπ' αὐτοῦ "διὸ σκεπτέον πρῶτον 995 a
τί ἐστιν ἡ φύσις· οὕτω γὰρ καὶ περὶ τίνων ἡ φυσική, δῆλον ἔσται," 17.
εἰ μὲν ἁπλῶς οὕτως εἴη εἰρημένον ὡς δοκεῖ, δεικτικὸν ἂν εἴη τοῦ τοῦτο τὸ βιβλίον μὴ τῆς Μετὰ τὰ Φυσικὰ εἶναι πραγματείας, ὡς καὶ ἀρχόμενοι αὐτοῦ ἐπεσημηνάμεθα, ἀλλὰ προγραφόμενόν τι πάσης τῆς θεωρητικῆς φιλοσοφίας, ἧς ὡς πρὸς ἡμᾶς πρώτη ἡ φυσική ἦν (k)· ὁποία τις ἐστὶ καὶ περὶ τίνων, εὕροιμεν ἂν εἰ πρῶτον τί ποτέ ἐστιν ἡ φύσις ἐπισκεψαίμεθα (l). εἰ δέ τις ἀκούοι τοῦ λόγου οὕτως εἰρημένου πρὸς διάκρισιν τῶν τε φυσικῶν λόγων καὶ τῶν κατὰ τήνδε τὴν πραγματείαν (ὁ γὰρ ἐπεσκεμμένος πρῶτον τί ἐστι φύσις καὶ εἰδὼς περὶ τίνων ἡ φυσική, οἶδεν οὗτος ὅτι οἵδε οἱ λόγοι οὐ φυσικοὶ ἀλλ' ἀκριβέστεροί τε καὶ περὶ ἀΰλων), οὐχ ὅτι δὲ χρὴ νῦν ἐπισκέπτεσθαι τί ἐστι φύσις λέγοι ἄν, ἀλλ' ὅτι πρὸ τῆσδε τῆς πραγματείας δεῖ περὶ τῶν φυσικῶν πεπραγματεῦσθαι· αὕτη γὰρ ἡ τάξις τῶν πραγματειῶν, καὶ ὁ ἐν τῇ περὶ ἐκείνων θεωρίᾳ γεγυμνασμένος οὕτως ἂν καὶ τοῖς εἰς τήνδε συντείνουσι παρακολουθεῖν δύναται. "αἱ δὲ ἀκροάσεις κατὰ τὰ ἔθη συμβαίνουσιν" (p. 994 *b* 32). ἔστι μὲν ἡ λέξις ἐξ ὧν ὑπεμνηματίσμεθα, δύναται δὲ καὶ οὕτως ἐξακούεσθαι. προειπὼν ὅτι ἡ γνῶσις καὶ αἱ μαθήσεις ἐκ προγινωσκομένων (ὧν γὰρ τὰ αἴτια ἄγνωστα, καὶ αὐτὰ τοιαῦτα), εἰς πίστιν τοῦ ἐκ τῶν προγινωσκομένων γίγνεσθαι τὰς γνώσεις παρέθετο τὸ κατὰ τὰ ἔθη καὶ τὰς ἀκροάσεις γίγνεσθαι, καὶ οὕτως ἕκαστον τῶν λεγομένων ἀκούειν βούλεσθαι ὡς προσειθίσθη, ὡς κατ' οἰκειότητα καὶ τὸ προειδέναι διὰ τὰ ἔθη ἀποδεχομένων τὰ λεγόμενα τῶν ἀκουόντων. Alex.

(e) δῆλον δὲ τοῦτο ἐκ τοῦ τοὺς μυθώδεις παρὰ τοῖς παλαιοῖς 995 a
νόμους μεγάλα δύνασθαι. οἱ Σπαρτιᾶται γὰρ τὴν γῆν μητέρα σφῶν 4.
λέγοντες εἶναι καὶ τὸ ταύτης προκινδυνεύειν ἔχοντες νόμον, ἅτε σπαρτοὶ καὶ ταύτης ἀναφυέντες, μέχρι καὶ προέσεως ψυχῆς αὐτῆς ὑπερίσαντο. καὶ Ἀθηναῖοι δὲ ὁμοίως Ἐρεχθεῖδαί τε καὶ γῆς ἀναδοθῆναι λεγόμενοι. cod. Reg.

(h) διό φησι καὶ ὁ Πλάτων ὅτι δεῖ ἡμᾶς ψεύσασθαι πρὸς τοὺς πολίτας ἡμῶν τὸ φοινικὸν ψεῦσμα, ἵνα νομίζοντες τῷ ὄντι τὴν ἀρχὴν ἐκ τῆς γῆς ἐσχηκέναι μᾶλλον ἀγαπήσωσι τὴν πατρίδα. Asclep.

(i) "παραδειγματικῶς" καθάπερ καὶ ὁ Πλάτων ἐποίει· διὰ γὰρ 995 a
παραδειγμάτων, φησί, φῶς ἀνάπτει τοῖς λεγομένοις ὑπ' αὐτοῦ. id. 7.

(l) οἱ γὰρ τοῖς ποιηταῖς σχολάσαντες ἢ τοῖς μύθοις οὐ χαίρου- 995 a
σιν ἀκριβείᾳ, ἀλλὰ καθάπερ φησὶν ὁ Πλάτων, ἐοίκασιν οἱ τοιοῦτοι 6.

6. Ἠθικοῖς om *M.* ‖ 8. ἀπεδέχεται *M.* ‖ 11. ἑκάστ *M.* ‖ 12. *neque enim sunt omnia similia, nec similiter exacta doctrina postulatur omnium, praesertim qui de rebus audituri sunt de quibus susceptus est sermo, quae* Sepulv. ‖ ἐπιδεχόμεθα *A.* ‖ 22. ἀποδείξας *M.* ‖ 27. γὰρ deerat: *quaestio enim* Sepulv. ‖ 29. *sed in quibusdam exemplaribus* Sepulv. δὲ καὶ ὁ *L.* καὶ om *AVM.* ‖ εἴη ἂν λέγων ὡς φυσικοῦ τὸ τοιαύτῃ ἀκριβολογίᾳ χρῆσθαι *L*: *modum esse physici* Sepulv.

1. ἐπ' — 10. πραγματείας] τὸ διὸ σκεπτέον πρῶτον τί ἐστιν ἡ φύσις, οὕτω γὰρ καὶ περὶ τίνων ἡ φυσική, δῆλον ἔσται πρὸς διάκρισιν εἴρηκε τῶν τε φυσικῶν λόγων καὶ τῶν κατὰ τήνδε τὴν πραγματείαν *L.* ‖ 7. *quae qualis sit* Sepulv. ‖ 11. φύσις *L.* ‖ οὕτως *V.* ‖ 12. οὐ γὰρ ὅτι χρὴ *L.* ‖ 13. ἐστι] ἡ *L.* ‖ πρὸς *L.* ‖ 14. πεπραγματεῦσθαι· καὶ ἐν τῇ περὶ ἐκείνων θεωρίᾳ γεγυμνάσθαι, καὶ οὕτως ἤδη εἰς τὴν περὶ τούτων θεωρίαν ἔρχεσθαι. αὕτη *L.* ‖ 15. πραγματειῶν τούτων *L.* ‖ ὁ — γεγυμνασμένος om *L.* ‖ 16. οὗτος *V.* ‖ ἂν δυνατὸν ᾖ καὶ τοῖς ἐνταῦθα λεγομένοις παρακολουθεῖν *L.* ‖ δύναται — 24. ἀκουόντων om *L.* ‖ 18. *at dictio quidem illa, auscultationes autem ect., ex iis quae memoravimus est aperta* Sepulv.

οὐκέτι δὲ ὅτι μηδὲ τὰ ποιητικὰ αἴτια ἄπειρα ἰδίᾳ ἔδειξεν ὡς φανερά· εἰ γὰρ μηδὲ τὰ γιγνόμενα ἄπειρα κατὰ τὸ εἶδος, ἀλλ' ἀνακάμπτει, δῆλον ὡς πολὺ μᾶλλον οὐκ ἂν εἴη αὐτὰ τὰ ποιητικὰ αἴτια
994 b 27. ἄπειρα. "ἀλλὰ μὴν καὶ εἰ ἄπειρά γε ἦσαν πλήθει τὰ εἴδη τῶν αἰτίων." προθέμενος δεῖξαι ὅτι μή ἐστιν ἄπειρα τὰ αἴτια μήτε εἰς εὐθυωρίαν μήτε ἐπὶ τὸ ἄνω μήτε εἰς τὸ κάτω, ὅτι μηδὲ κατ' εἶδος οἷόν τε ἄπειρα εἶναι τὰ αἴτια νῦν λέγει, συγχρώμενος τῷ προειρημένῳ τῷ τὰ ἄπειρα τὰ κατ' ἐνέργειαν ἄγνωστα εἶναι, τὰ δὲ κατ' εἶδος ἄπειρα, ἄπειρα δηλονότι ἐνεργείᾳ, ὥστε ἄγνωστα. εἰ δὲ τὰ αἴτια καὶ αἱ ἀρχαί, δηλονότι ἄγνωστα καὶ τὰ ἐκ τούτων· τότε γὰρ εἰδέναι τι οἰόμεθα ὅταν τὰ αἴτια αὐτοῦ γνωρίσωμεν. ὥστε καὶ τοιαύτης οὔσης τῆς τῶν αἰτίων ἀπειρίας ἀναιρεῖται ἐπιστήμη, ἀναιρουμένης τῆς τῶν ἀρχῶν γνώσεως. τὸ δὲ ἑξῆς εἰρημένον τὸ
994 b 30. "τὸ δ' ἄπειρον κατὰ τὴν πρόσθεσιν οὐκ ἔστιν ἐν πεπερασμένῳ διεξελθεῖν" τοιοῦτόν ἐστιν. πᾶσα νόησις περίληψίς τις οὖσα τοῦ νοουμένου ἐν πεπερασμένῳ γίγνεται χρόνῳ· τὸ δὲ ἄπειρον τὸ τῇ προσθέσει, τουτέστι τὸ κατ' ἐνέργειαν — ἔστι γὰρ τὸ κατ' ἐνέργειαν ἄπειρον, οὗ λαμβανόντων ἀεί τι ἔστιν ἔξω, καὶ ἐφ' οὗ παντὸς τοῦ λαμβανομένου ἔστι τι ἐκτός (b). τὸ δὴ οὕτως ἄπειρον οὐχ οἷόν τε ἐν πεπερασμένῳ χρόνῳ διεξελθεῖν· τὸ μὲν γὰρ δυνάμει καὶ διχοτομίᾳ οἷόν τε ἐν πεπερασμένῳ χρόνῳ διεξελθεῖν, τὸ δὲ ἐνεργείᾳ καὶ τῇ προσθέσει ἀδύνατον τῷ ἀεὶ τῷ περιληφθέντι καὶ νοηθέντι ἄλλο τι ὑπολειπόμενον προστίθεσθαι. εἰ δὴ ὁ μὲν νοῦς ἃ νοεῖ ἐν πεπερασμένῳ χρόνῳ νοεῖ τε καὶ διέξεισι, τὰ δὲ ἄπειρα ἀδύνατον ἐν πεπερασμένῳ χρόνῳ διεξελθεῖν τε καὶ νοῆσαι τῷ ἀεί τι τοῖς περιειλημμένοις καὶ νενοημένοις προστίθεσθαι, οὐκ ἂν ὁ νοῦς νοοίη τὰ ἄπειρα. αὐτὸς μὲν οὕτως ἐφοδεύσας ἔδειξεν ὅτι μὴ οἷόν τε ἄπειρα εἶναι τὰ αἴτια· ὁ δὲ ἡμέτερος Ἀριστοτέλης καὶ αὐτὸς ἐπιχειρῶν ἐδείκνυεν. ἐπεὶ ἔστιν αἴτια τῶν ὄντων, ἤτοι πλείω ταῦτά ἐστιν ἢ ἕν. ἀλλ' ἓν μὲν οὐχ οἷόν τε μόνον αἴτιον εἶναι τῶν ὄντων τε καὶ γινομένων, ὡς ἐν ἄλλοις δέδεικται· καὶ γὰρ ὑποκειμένου τινὸς χρεία τῷ γιγνομένῳ καὶ τοῦ ποιοῦντος. ἀλλὰ καὶ κατὰ εἶδος δείκνυταί τι γίγνεσθαι· ὥστε οὐχ ἓν τὸ αἴτιον. πλείω ἄρα. εἰ δὲ πλείω, ἤτοι πάντα ἄπειρα ἢ τινὰ ἢ ἕν. πάντα μὲν οὖν ἢ τινὰ ἄπειρα εἶναι ἀδύνατον· οὐ γὰρ οἷόν τε πολλὰ ἄπειρα εἶναι. ἀλλ' οὐδὲ ἓν μὲν ἄπειρον τὰ ἄλλα δὲ πεπερασμένα λέγειν οἷόν τε· τὸ γὰρ ἄπειρον πανταχῇ ὂν ἄλλῳ παρείσδυσιν οὐ δίδωσιν, οὔτε ἀπείρῳ οὔτε πεπερασμένῳ. ἀλλὰ μὴν οὐδ' εἰ ἓν μόνον αἴτιον εἴη, οἷόν τε τοῦτο ἄπειρον εἶναι· οὐδενὸς γὰρ ἔσται αἴτιον· οὐ γὰρ ἕξει χώραν τὸ οὗ ἐστιν αἴτιον, τοῦ αἰτίου ὄντος πανταχῇ. δῆλον γὰρ ὡς ἄπειρον ὂν ποσόν τι ἔσται κατ' αὐτό, καὶ τοῦτο ἄντε κατὰ τὸ ποσὸν ᾖ πανταχῇ ἄντε κατὰ χρόνον. δοκεῖ δὲ ἡ ἐπιχείρησις ἔχειν μέν τι διαλεκτικὸν καὶ εἶναι λογική, οὐ μὴν καὶ ὁμοίως οἰκεία τοῖς προειρημένοις εἶναι. id.

(b) τὸ μὲν γὰρ δυνάμει καὶ τῇ διχοτομίᾳ οἷόν τε διελθεῖν ἐν πεπερασμένῳ χρόνῳ, τὸ δὲ ἐνεργείᾳ καὶ τῇ προσθέσει ἀδύνατον, τῷ ἀεὶ τῷ περιληφθέντι καὶ νοηθέντι ἄλλο τι ὑπολειπόμενον προστίθεσθαι. ἄλλως τε δὴ εἰ τοῦτο ὑποθώμεθα, τετραπλασιασθήσεται τὸ ἄπειρον πρὸς τὰ τέσσαρα αἴτια. εἰ δέ τις ὑπόθηται τὸ μὲν ποιητικὸν ἄπειρον εἶναι τὰ δ' ἄλλα πεπερασμένα, πρῶτον μὲν ἀποκληρωτικὸς ἔσται ὁ λόγος, ἔπειτα πάλιν ταῦτα προστιθέμενα τῷ ἀπείρῳ ἐπαύξουσι τὸ ἄπειρον, ὅπερ ἀδύνατον. Asclep.

"αἱ — συμβαίνουσαι." διὰ τούτων ἡμᾶς διδάσκει τίνες τῶν 994 b 32.
τοιούτων ἀκροαταὶ λόγων εἶναι δύνανται, καὶ ὅτι πεπαιδεῦσθαι δεῖ καὶ ἠσκῆσθαι ἄκρως τοὺς ἀκουσομένους τῶν λόγων. αἱ γὰρ ἀκροάσεις γίγνονται κατὰ τὴν ἰδίαν τῶν ἐθῶν οἰκειότητα· οἷς γὰρ συνειθίσμεθα, τούτοις ἀξιοῦμεν καὶ τὰ λεγόμενα συμφωνεῖν, τὰ δὲ παρὰ τὰ συνήθη ἡμῖν τῶν λεγομένων ἀγνωστότερα φαίνεται τῷ ξένα εἶναι. ὃ εἶπε διὰ τοῦ "ἔτι τὸ λέγεσθαι, καὶ τὰ παρὰ ταῦτα οὐχ ὅμοια φαίνεται." 995 a 1.
δοκεῖ δὲ τὸ ἔτι περιττὸν εἶναι. εἰ δὲ εἴη γεγραμμένον, λείποι ἂν τῷ ἔτι τὸ λέγεσθαι ἄλλως· τὸ γὰρ ἄλλως λέγεσθαί τινα καὶ ὡς μὴ εἰθίσμεθα, καὶ ἄλλα, ἀλλὰ μὴ ὧν εἰθίσμεθα ἀκούειν, ὃ εἶπε διὰ τοῦ καὶ παρὰ ταῦτα, ἀγνωστότερα ποιεῖ τὰ λεγόμενα. τοῦτο εἰπὼν ἐφεξῆς δείκνυσι πόσην ἰσχὺν ἔχει τὰ συνήθη. πολλὰ γὰρ οἱ νομοθέται μυθώδη νομοθετοῦντες διὰ τὸ χρήσιμα εἶναι πιστεύεσθαι οὕτως ἔχειν, ἔχουσι πειθομένους τοὺς χρωμένους τῷ νόμῳ διὰ τὴν τῶν λεγομένων συντροφίαν (c), οἷον ὅτι αὐτόχθονές τινες ἐγένοντο ἐκ τῆς γῆς φύντες, καὶ ἄλλοι ὅτι ἐξ ὀδόντων σπαρέντων ἔφυσαν, καὶ διὰ τοῦτο χρὴ ὑπερμαχεῖν ὡς μητρὸς τῆς γῆς, ἢ ὅτι θεοὶ περὶ αὐτῆς ἤρισαν· οὕτως ἀξιοσπούδαστός ἐστιν (d). τὸ δὲ "μεῖζον ἰσχύει τοῦ γι- 995 a 5.
γνώσκειν περὶ αὐτῶν διὰ τὸ ἔθος" ἴσον ἐστὶ τῷ μεῖζον ἰσχύει τῆς περὶ αὐτὰ ἀληθείας τὸ ἔθος· κατὰ γὰρ τὴν ἀλήθειαν ἡ γνῶσις. εἰπὼν δὲ ταῦτα καὶ ἐνδειξάμενος δι' αὐτῶν τὴν τῶν ἐθῶν ἰσχύν, ἐπὶ τούτοις λέγει τὰς διαφορὰς τῶν ἀκροατῶν ἃς διὰ τὰ ἔθη ἔχουσι πρὸς ἀλλήλους. οἱ μὲν τοῖς μαθήμασιν εἰθισμένοι μαθηματικὰς τῶν λεγομένων πάντων καὶ ἀκριβεῖς ἀποδείξεις ἀπαιτοῦσι καὶ τῶν ἄλλως λεγόντων οὐκ ἀποδέχονται, οἱ δὲ διὰ παραδειγμάτων ἐθισθέντες μανθάνειν τοῖς οὕτω λέγουσιν ἥδονται, οἱ δὲ τοῖς ποιήμασι χαίροντες καὶ τούτοις σύντροφοι οὐκ ἀποδέχονται τοὺς λέγοντας ἂν μὴ καὶ ποιητὴν τῶν λεγομένων παράσχωνται μάρτυρα (e). καὶ οἱ μὲν πάντα ἀκριβῶς ἐξετάζουσιν, εἰσὶ δὲ οἳ τῇ ἀκριβολογίᾳ ἄχθονται, ἢ διὰ τὸ μὴ δύνασθαι ἐπακολουθεῖν (τοῦτο γὰρ τὸ "συνείρειν") ἀλλὰ κάμνειν, ἢ διὰ τὸ προειληφέναι ὅτι τὸ ἄκρως ἀκριβολογεῖσθαι μικρολογία (f)· τοῦτο γάρ ἐστι τὸ "διὰ τὴν μικρολογίαν·" τοιαύτην γάρ τινα φαντασίαν ἀποτελεῖ ἡ ἄγαν περὶ τὰ λεγόμενα ἀκρίβεια, ἀπὸ τῶν συναλλαγμάτων καὶ τῆς περὶ τὰ ἐν χρήσει ἀκριβείας σπάσασα τήνδε

1. ἰδίᾳ — 4. ἄπειρα om *A.* ‖ 10. ἄγνωστοι *A.* ‖ 14. πρόθεσιν *M.* ‖ 26. *noster itaque Aristoteles ad hunc modum causas infinitas esse non posse demonstravit. caeterum potest idem alia via demonstrari ad hunc modum. rerum causae* Sepulv. ‖ 31. εἶδος τι γίγνεται, omisso δείκνυται, *M.* ‖ 39. πανταχοῦ *M.*

14. ἡμῶν *A.* ‖ 17. ἐστι *A.* ‖ τὸ om *M.* ‖ 19. περὶ *A.* ‖ 21. χρήσιμον *M.* ‖ 27. αὐτῶν — 28. ἀληθείας om *A.* ‖ 28. αὐτοῦ ἀλήθειαν τὸ ἔθος *A.* ‖ 37. τὴν ἀκριβολογίαν *M.* ‖ 42. σπάσας *A.*

καὶ ἀπείρῳ, φησίν, οὐδενὶ ἔσται εἶναι, ἐπειδὴ οὐκ ἄπειρόν γε ἔστι τῷ ἀπείρῳ εἶναι τὸ λέγειν, οὐσιῶσθαι τὸ ἄπειρον, πέρας αὐτοῦ παρεχομένη· ὡς γὰρ μεμαθήκαμεν ἐν Κατηγορίαις, ἄλλο ἐστὶ τὸ ζῷον εἶναι καὶ ἄλλο τὸ ζῴῳ εἶναι, καὶ ζῷον μέν ἐστι τὸ σύνθετον, ζῴῳ δὲ εἶναι αὐτὸ τὸ εἶδος. εἰ οὖν ὑποθώμεθα λέγοντες ὅτι συνουσίωται τὸ ἀπείρῳ εἶναι, εἶδος αὐτῷ προσάψομεν· εἰ δὲ εἶδος, καὶ πέρας, καὶ οὕτως οὐδὲν ἔσται κατ' οὐσίαν ἄπειρον τῶν ἐνταῦθα. "ἔτι τὸ ἐπ. ἀν. οἱ οὕτ. λέγ." ἔστι καὶ οὕτως ἐξηγήσασθαι τὸ χωρίον. ἄτομα, φησί, λέγει τὰ ἀμέσως ὑπάρχοντα· ἐκ γὰρ τῶν προσεχῶς ἀμέσων ὑπαρχόντων αἱ ἐπιστῆμαι, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ, ὅπερ ἀδύνατόν ἐστιν εἶναι. Asclep.

994b 21. "καὶ — ἔστιν." τὸ λεγόμενον τοιοῦτόν ἐστιν. εἰπὼν τῶν ἐνεργείᾳ ἀπείρων ἀδύνατον γνῶσιν εἶναι, καὶ ὅτι οἱ οὕτως αὔξοντες ἢ τοὺς ὁρισμοὺς ἢ τὰ αἴτια (κοινὸς γὰρ ὁ περὶ πάντων λόγος) ἀναιροῦσι γνῶσιν, εἴγε ἐκ τῆς τῶν αἰτίων γνώσεως ἡ ἐπιστημονικὴ τῶν πραγμάτων γνῶσις, — εἰπὼν δὲ τὰ ἄπειρα ἄγνωστα εἶναι, ἐπεὶ δοκεῖ καὶ τὰ συνεχῆ ἄπειρά πως εἶναι διὰ τὴν ἐπ' ἄπειρον τομὴν καὶ μὴ εἶναι ἄγνωστα (ἔστι γὰρ τούτων τῆς ἐπ' ἄπειρον τομῆς νόησις), ὅτι μὴ ὁμοίως ἔνεστιν ἐν ἐκείνοις τε ἡ ἀπειρία καὶ ἐν τοῖς αἰτίοις ἡ ἐπ' ἄπειρον κατ' εὐθυωρίαν πρόοδος, δείκνυσιν ἑξῆς
994b 22. εἰπὼν "τὰ — νοεῖν;" λέγων τὰ ἐνεργείᾳ· ἐπ' ἄπειρον μὲν γὰρ ἡ γραμμὴ διαιρεῖται ὁμολογουμένως τῷ μὴ ἵστασθαι τὴν τομήν, ἀλλ' ἡμεῖς γε οὐδέποτε νοοῦμεν αὐτὴν εἰς ἄπειρα διῃρημένην, ἀλλ' ὅταν νοῶμεν, τὰς τομὰς ἱστῶμεν καὶ παυόμεθα τοῦ τέμνειν καὶ λαμβάνομεν πεπερασμένας· πῶς γὰρ ἐπ' ἄπειρον ἡ τομὴ γίνεται τῆς γραμμῆς καὶ ὅλως τῶν συνεχῶν, νοοῦμεν, οὐ μὴν καὶ τὰς ἀπείρους αὐτῆς ἔτι διαιρέσεις· ἀεὶ γὰρ ἃς νοοῦμεν πεπερασμένας νοοῦμεν. τοῦτο γάρ ἐστι τὸ "νοῆσαι δὲ οὐκ ἔστι μὴ στήσαντα·" τὰς γὰρ πεπερασμένας νοοῦμεν. διὸ οὐδὲ διεξιὼν τὴν συνεχῆ γραμμὴν τὴν ἐπ' ἄπειρον διαιρετήν, ἀριθμῶν τὰς τομὰς καὶ ἐνεργείᾳ λαμβάνων καθόσον οἷόν τε τμηθῆναι αὐτὰς ἦν, οὕτω δίεισιν· οὐδέποτε γὰρ ἂν διεξέλθοι ὁ οὕτως αὐτὴν διεξιών. εἶπε δὲ "ὁ τὴν ἄπειρον διεξιών" ἀντὶ τοῦ ὁ τὴν ἐπ' ἄπειρον διαιρετήν. ἀλλὰ κατ' ἀθρόα μόρια δίεισι διὰ τὸ μὴ εἶναι ἐν αὐτῇ ἐνεργείᾳ τὴν ἀπειρίαν ἀλλὰ δυνάμει. ἐπὶ δέ γε τῶν αἰτίων, εἰ ἐπ' ἄπειρον εἰς τὸ κάτω ἐστὶν ἄλλο ἄλλου αἴτιον, ἀδύνατον ἔσται γνῶσιν τῶν αἰτίων γενέσθαι πάντων, ἄπειρα δὲ γίγνεται τὰ πάντα ἐνεργείᾳ. εἰ δὴ ἤρτηται μὲν ἡ τῶν ὄντων γνῶσις ἐκ τῆς τῶν αἰτίων γνώσεως, ὡς προείρηται, ἄγνωστα δὲ τὰ αἴτια δι' ἀπειρίαν, ἄγνωστα καὶ τὰ ὧν αἴτια ταῦτα. Alex.

"ἀλλὰ — ἀνάγκη." τοῦ τὸ ἄπειρον ἄγνωστον εἶναι τῇ αὐτοῦ 994b 25.
φύσει παρατίθεται σημεῖον τὴν ὕλην, ἐπεὶ δοκεῖ κατὰ τὸν αὐτῆς λόγον ἄπειρος εἶναι, ἀσχημάτιστος οὖσα κατὰ τὴν ἰδίαν φύσιν καὶ οἰκεῖον πέρας οὐκ ἔχουσα. τῷ δὴ τοιαύτην αὐτὴν εἶναι οὐδὲ ἐπιστήμην αὐτῆς ἔχομεν· κινουμένῳ γάρ τινι γιγνώσκομεν αὐτήν· δοξαστὴ γάρ ἐστι καὶ οὐκ ἐπιστητή, καὶ ὡς μὲν ὁ Πλάτων φησί, νόθῳ λογισμῷ γνωστή, ὡς δὲ Ἀριστοτέλης, ἀναλογίᾳ γνωστὴ καὶ δοξαστή, ὡς καὶ τοῦτο εἴρηκεν ἐν τοῖς Φυσικοῖς (1 7). τὸ αὐτὸ δὲ σημαίνοι ἂν καὶ εἰ ᾖ γεγραμμένον "ἀλλὰ καὶ τὴν ὕλην ἐν κινουμένῳ νοεῖν ἀνάγκη." τινὲς δὲ "κινουμένην" γράφουσι, καὶ ἐξηγοῦνται τὴν λέξιν ὅτι οὐκ ἔστιν ἄπειρος ὡς τὰ ἐνεργείᾳ ἄπειρα. διὸ ἐκεῖνα μὲν ἄγνωστα, αὕτη δὲ ἄπειρος οὖσα καὶ λεγομένη κατὰ τὸ ἀεὶ ἐν κινήσει καὶ μεταβολῇ τινὶ νοῆσαι· τῷ γὰρ μὴ ἔχειν οἰκεῖον σχῆμα ἤ τινα ποιότητα ἄλλοτε ἄλλο εἶδος ἀμείβειν καὶ μεταβάλλειν. οὕτω δὴ οὖσα ἄπειρος ὡς διὰ τὸ κινεῖσθαι συνεχῶς λέγεσθαι τοιαύτη νοητή τέ ἐστι καὶ ἐπιστητή· οὐ γὰρ ὁμοίως τοῖς ἀγνώστοις ἄπειρος. ἵνα ἴσον ᾖ τὸ εἰρημένον τῷ ἀλλὰ καὶ τὴν ὕλην κινουμένην ἀεὶ καὶ ἐν ῥύσει οὖσαν καὶ διὰ τοῦτο ἄπειρον εἶναι λεγομένην, ὥσπερ καὶ τὴν γραμμὴν διὰ τὰς τομὰς νοεῖν ἀνάγκη, ἐπεὶ μὴ ἐκείνως ἐστὶν ἄπειρος. ἢ "κινουμένην νοεῖν" ἀντὶ τοῦ ὡς κινουμένην καὶ ἐν ῥύσει καὶ τῇ τοιαύτῃ ἀπειρίᾳ οὖσαν· διὰ τοῦτο γὰρ οὐδὲ ἡ ὕλη ἐπιστητή. εἰπὼν δὲ ταῦτα ἐπιφέρει καθολικὸν τὸ "καὶ ἀπείρῳ οὐδενὶ ἔστιν εἶναι." id.

"εἰ — εἶναι." ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ὥσπερ τὸ ἄνθρωπος 994b 27.
καὶ τὸ ἀνθρώπῳ εἶναι διαφέρει, καὶ ἐπὶ πάντων ἐφ' ὧν τὸ πρᾶγμα σύνθετον· τὸ γὰρ εἶναι ἑκάστῳ κατὰ τὸν λόγον καὶ κατὰ τὸ εἶδος· ὁ μὲν γὰρ ἄνθρωπος ἐξ ὕλης καὶ εἴδους, τὸ δὲ ἀνθρώπῳ εἶναι ἁπλοῦν· κατὰ γὰρ τὸ εἶδός ἐστιν αὐτῷ τὸ εἶναι ἀνθρώπῳ. ἐπὶ μὲν γὰρ τῶν ἀσωμάτων ταὐτὸν τὸ πρᾶγμα καὶ τὸ εἶναι αὐτῷ (ταὐτὸν γὰρ ψυχὴ καὶ τὸ εἶναι ψυχῇ), ἐπὶ δὲ τῶν ἐν ὕλῃ τὸ εἶναι ἐχόντων διαφέρει. εἰ καὶ τὸ ἄπειρον ὂν τὸ ἐνεργείᾳ ἄγνωστόν ἐστιν, ἀλλὰ τὸ ἀπείρῳ αὐτῷ εἶναι οὔτε ἄπειρον οὔτε ἄγνωστον· ὁ γὰρ λόγος ὁ δηλῶν αὐτοῦ τὴν φύσιν καὶ τὸ εἶδος οὐκ ἄπειρος οὐδὲ ἄγνωστος. εἰπὼν δὲ καὶ "ἀπείρῳ οὐδενὶ ἔστιν εἶναι," ὃ ἴσον ἐστὶ τῷ τὸ ἄπειρον οὐχ οἷόν τε ἐνεργείᾳ εἶναι, ἐπήνεγκε τὸ "εἰ δὲ μή, οὐκ ἄπειρόν γέ ἐστι τὸ ἀπείρῳ εἶναι," τουτέστι καθὸ γνωστόν ἐστι τὸ ἄπειρον (γνωστὸν δέ ἐστι κατὰ τὸν λόγον), τοῦτο οὐκ ἄπειρον· οὐδὲ γὰρ τὸ ἄπειρον ἄγνωστον καθὸ ἄπειρον. τὸ δὲ "καὶ ἀπείρῳ οὐδενὶ ἔστιν εἶναι" ἤτοι εἶπεν ἀντὶ τοῦ ἄπειρον οὐδέν ἐστιν ἐνεργείᾳ, ἢ ὅτι οὐδέν ἐστι πρᾶγμα ᾧ ὁ τοῦ ἀπείρου λόγος ἐφαρμόζει, τῷ δηλονότι μηδὲν εἶναι ἄπειρον. εἰ δὲ καὶ τεθείη ἐφαρμόζειν τινί, ἀλλ' αὐτός γε ὁ λόγος καθ' ὃν ἡ γνῶσις ἡ τοῦ ἀπείρου, οὐκ ἄπειρος.

17. τομὴν — 18. ἄπειρον om Asclep. ‖ 18. ταὐτὸν *A*, ceteri ταὐτῶν ‖ 23. διῃρημένην Asclep. ‖ 24. ἱστάμεθα Asclep. ‖ f. l. καὶ τὰς τομὰς ἱστῶμεν, παυόμεθα ‖ 28. τοῦτο — 29. νοοῦμεν om *A*. ‖ 29. οὐδὲ ὁ ἐξιὼν *M*. ‖ 32. διέλθοι *M*. ‖ 33. *caeterum ille partes universas lineae transit* Sepulv.

5. κινουμένῳ — αὐτήν om Asclep. ‖ 6. Plat. Tim. p. 52. ‖ 8 — 21. τοῖς ἠθικοῖς. γράφεται δὲ καὶ κινουμένην νοεῖν ἀνάγκη. καὶ γεγραμμένον οὕτως σημαίνοι ἂν ὅτι καὶ τὴν ὕλην ὡς κινουμένην ἀεὶ καὶ ἐν ῥύσει καὶ τῇ τοιαύτῃ ἀπειρίᾳ οὖσαν, οὐδὲ ἔχομεν αὐτῆς ἐπιστήμην. εἰπὼν *L*. ‖ 13. ἄλλη τε *A*. ‖ 19. ἐπεὶ — νοεῖν om *A*. ‖ 25. εἶδός ἐστιν· ὁ Asclep. ‖ 26. κατὰ] καὶ *M*. ‖ 29. εἰ om Asclep. f. l. εἰ οὖν καὶ τὸ ἄπειρον τὸ ἐνεργείᾳ ‖ 32. εἰπὼν — 36. ἄπειρον om Asclep. ‖ 33. τε τι ἐνεργείᾳ *M*. ‖ 38. ὁ om *M*. ‖ 40. λόγος τοῦ ἀπείρου καθ' Asclep.

ζοντα τῷ λόγῳ." δοκεῖ γὰρ ὁ ὁρισμὸς τοῦ ὁριστοῦ τῷ λόγῳ πλεονάζειν (*)· οὐ γάρ ἐστι τῇ λέξει ἴσον ἄνθρωπος καὶ ζῷον λογικὸν θνητόν· ἕκαστον δὲ ὁριστὸν ὀνόματος χώραν πρὸς τὸν ἀποδιδόμενον αὐτοῦ ὁρισμὸν ἔχει. δοκεῖ δέ μοι καὶ αὐτὸ τοῦτο ὡς ἄτοπον προστεθεῖναι· εἰ γὰρ ὁ μὲν πλεονάζει τοῦ ὁριστοῦ τῷ λόγῳ, ἐπ' ἄπειρον ἂν οἱ λόγοι αὔξοιντο δι' ὧν οἱ ὁρισμοί· τοῦτο δὲ ἄτοπον. οὐ δὴ οἷόν τε ἀεὶ τοῦ ἀποδοθέντος ὁρισμοῦ ὁρισμόν τινα εἶναι, ὡς εἶναι τοῦ μὲν ζῴου τὸ οὐσίαν ἔμψυχον αἰσθητικὴν ὁρισμόν, τοῦ δὲ ὁρισμοῦ τούτου πάλιν ἄλλον τινὰ ὁρισμόν, ἢ καὶ ἑκάστου τῶν ἐν τῷ ὁρισμῷ. ὅσῳ γὰρ ἂν πορρωτέρω προέλθοι τοῦ προσεχοῦς λόγου τοῦ ἀνθρώπου ὧν ὡρίζετο, ἔλαττον ἀποδώσει τὸ εἶδος τοῦ ἀνθρώπου καὶ ἔλαττον αὐτὸν ὁριεῖται· ἀεὶ γὰρ ὁ πρῶτος καὶ προσεχὴς λόγος ἀποδοθεὶς ὁρισμός ἐστι τοῦ πράγματος, ὁ δὲ ὕστερος οὐκέτι ἐκείνου ἀλλὰ τοῦ περὶ ἐκείνου ἀποδοθέντος. ἐφ' ὧν οὖν ὁ πρῶτος ἀποδοθεὶς μή ἐστιν ὁρισμός, οὐδ' ἂν ὁ δεύτερος ἢ ὁ τρίτος ἢ ἄλλος τις εἴη· ἕκαστος γὰρ τούτων ὁρισμὸς γίνεται τοῦ πρὸ αὐτοῦ ἀποδοθέντος ὁρισμοῦ, ἀλλ' οὐ τοῦ πράγματος· οὗ γὰρ μή ἐστιν ὁρισμὸς τὸ πρῶτον ἀποδοθέν, τούτου πολὺ ἧττον ἂν εἴη ὁρισμὸς τὸ μετὰ τὸ πρῶτον ἀποδοθέν. εἰ γὰρ ὁ μὲν πρῶτος ἀποδοθεὶς ὡς τοῦ πράγματος ἀποδέδοται, ὁ δὲ δεύτερος ὡς τοῦ λόγου τοῦ περὶ τοῦ πράγματος ἀποδεδομένου, εἰ ὁ πρῶτος μή ἐστι τοῦ πράγματος, οὐδ' ἂν ὁ δεύτερος αὐτοῦ εἴη· ἦν γὰρ καὶ οὗτος δυνάμενος αὐτοῦ εἶναι, εἰ ὁ πρῶτος ἀποδεδομένος, οὗ ὁ δεύτερος ἀποδέδοται, ἦν αὐτοῦ. καθόλου γὰρ ἐν οἷς τὸ πρῶτον μή ἐστιν, οὐδὲ τὸ δεύτερον· τὸ γὰρ δεύτερον πρώτου τινὸς δεύτερον· ὥστε ὧν μή ἐστιν ὁρισμός τις πρῶτος, οὐκ ἂν δεύτερος εἴη. δύναται καὶ τὸ πρῶτον τὸ ἔσχατον εἰρηκέναι· ὁ γὰρ ἔσχατος λόγος καὶ ἡ ἐσχάτη αἰτία καὶ τὸ ἔσχατον εἶδος, μεθ' ὃ οὐκέτι τὸ διὰ τί ἀπαιτοῦμεν, οὗτος ἂν ὁ κυρίως ὁρισμὸς εἴη, οὗ μὴ ὄντος τῷ ἐπ' ἄπειρον εἶναι τὴν πρόοδον, οὐκ ἂν τῶν πρὸ αὐτοῦ κατὰ τὸν λόγον τῷ προστίθεσθαί τι αὐτῷ, οἷον τοῦ ἀνθρώπου τις εἴη. τινὲς ἤκουσαν τοῦ "πλεονάζοντα τῷ λόγῳ," ὡς λέγοντος αὐτοῦ, εἴη τῷ πρώτῳ ἀποδοθέντι ὁρισμῷ προστίθεσθαί τι ὡς πλεονάζειν τὸν δεύτερον τοῦ πρὸ αὐτοῦ κατὰ τὸν λόγον τῷ προστίθεσθαί τι αὐτῷ· οἷον τοῦ ἀνθρώπου, εἰ ὁ μὲν πρῶτος εἴη ζῷον πεζὸν δίπουν, ἄλλον δὲ πάλιν ἄλλο μετὰ τοῦτον ἔχοντα ἄλλην τινὰ τῶν προειρημένων διαφορὰν προσκειμένην, οἷον τὸ λογικόν, καὶ πάλιν τούτῳ ἄλλην, ὡς εἶναι ἐπ' ἄπειρον αὐξανόμενον τὸν πρῶτον ἀποδοθέντα ὅρον. id.

(γ) ἐντεῦθεν δείκνυσιν ὅτι οὐδὲ τὸ εἰδικὸν αἴτιόν ἐστιν ἐπ' ἄπειρον· τὸ γὰρ εἰδικὸν αἴτιον οὐδέν ἐστιν ἄλλο ἢ ὁρισμός, οἱ δὲ ὁρισμοὶ κρατύνονται ἐκ τῶν ἀμέσων προτάσεων· εἰ οὖν ἐπ' ἄπειρον ὑποθώμεθα εἶναι τοὺς ὁρισμούς, οὐκ ἔσται ἄμεσος πρότασις· εἰ δὲ μὴ ὑπάρχουσιν ἄμεσοι προτάσεις, ἀναιρεθήσεται γνῶσις. ὡς γὰρ εἴρηται ἐν τῇ Ἀποδεικτικῇ (1 2), μὴ οὔσης προτάσεως ἀναποδείκτου καὶ ἀμέσου οὐδὲν ἔσται ἀποδεικτικόν· δεήσει γὰρ πασῶν τῶν προτάσεων ζητεῖν ἡμᾶς ἀποδείξεις ἐπ' ἄπειρον, τὸ δὲ ἄπειρον ἀδιεξίτητον. Asclep.

(*) τὸ δὲ "πλεονάζοντα τῷ λόγῳ" πάνυ καλῶς προσέθηκε, 994 b 15.
διότι οἱ ὁρισμοὶ ἀεὶ πλεονάζουσι τῶν πραγμάτων, οἷον ζῷον λογικὸν θνητὸν πλεονάζει τοῦ ἀνθρώπου. id.

"ἔτι — ἐλθεῖν." ἄτομα λέγει νῦν τὰ ἀμέσως ὑπάρχοντα· 994 b 20.
ἐκ γὰρ τῶν προσεχῶς καὶ ἀμέσως ὑπαρχόντων αἱ ἐπιστῆμαι, ὡς εἴρηται ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (*)· ὃ ἀδύνατόν ἐστιν εἶναι, εἰ τῶν ἐν τῷ ὁρισμῷ παραλαμβανομένων πάντων εἶεν ὁρισμοὶ καὶ ἐκ τούτων τῶν ὁρισμῶν ὁ ὁρισμὸς εἴη τοῦ προκειμένου συμπληρούμενος. νῦν μὲν γὰρ τὸ διὰ τὸν ὁρισμόν τινι ὑπάρχειν δειχθὲν ἀμέσως ὑπάρχειν αὐτῷ δοκεῖ· ἂν δὲ ᾖ παντὸς ὁρισμοῦ ὁρισμὸς ἐπ' ἄπειρον, ἀεί τις μέσος ὅρος ἔσται τοῦ τε αἰτίου δι' οὗ δείκνυται ὑπάρχον τί τινι καὶ τοῦ ὑποκειμένου ᾧ ὑπάρχειν τι δείκνυται. οὐδέποτε γὰρ δυνήσεται ἀμέσως τι ὑπάρχον τινὶ ληφθῆναι, εἰ ἀεὶ τοῦ εἰλημμένου παντὸς ὁρισμὸς εἴη· οὐ γὰρ ἀμέσως τὸ ζῷον τῷ ἀνθρώπῳ ὑπάρξει, ἀλλὰ διὰ τὸ εἶναι αὐτὸν οὐσίαν ἔμψυχον αἰσθητικήν. πάλιν δὲ αὖ τὸ οὐσία ἔμψυχος αἰσθητικὴ ὑπάρξει αὐτῷ διὰ τὸν ἴδιον ὁρισμόν, πάλιν κἀκεῖνα ὁμοίως διὰ τὸν ἴδιον, καὶ τοῦτο ἐπ' ἄπειρον· ἀεὶ γὰρ οἱ λαμβανόμενοι ὁρισμοὶ τῶν ὁρισμῶν μέσοι ὅροι ἔσονται, δι' ὧν ὑπάρξει τὰ ὧν οἱ ὁρισμοὶ τοῖς ὁριστοῖς. ἀναιρεθήσονται ἄρα αἱ ἄτομοι καὶ ἄμεσοι προτάσεις, ὧν ἀναιρεθεισῶν ἀναιρεῖται ἐπιστήμη τε καὶ ἀπόδειξις. τινὲς δὲ ἄτομα ἤκουσαν τὰ καθ' ἕκαστα, καὶ φασὶ τὰς μὲν ἐπιστήμας τότε τὸ ἐπιστητὸν ἔχειν, ὅταν περὶ ὧν εἰσίν, εὑρίσκονται ταῦτα τοῖς ἀτόμοις τοῖς οἰκείοις ἐφαρμόζοντα. τότε γάρ τις ἐπιστήμην ἔχει τῶν τῷ ἀνθρώπῳ ὑπαρχόντων ὅταν τοῖς καθ' ἕκαστα ἀνθρώποις ἐφαρμόζῃ τὰ λεγόμενα. οὐχ οἷόν τε δὲ ἐπὶ τὰ ἄτομα ἐλθεῖν ἐπ' ἄπειρον τῶν αἰτίων ἐπὶ τὸ κάτω τὴν πρόοδον λαμβανόντων· ἔσχατον μὲν γὰρ τὸ ἄτομον, οὐχ οἷόν τε δὲ ἐπὶ τοῦτο ἐλθεῖν ἀπείρων ὄντων τῶν μεταξὺ αἰτίων. ὡς εἶναι τὸ λεγόμενον κοινῶς περὶ πάντων τῶν αἰτίων λεγόμενον, ἀλλ' οὐ περὶ τοῦ εἴδους τε καὶ ὁρισμοῦ μόνον. Alex.

(*) "ἐν — ἀνάγκη." τουτέστιν ἐν αἰσθητῷ πράγματι· οὔτε γάρ, 994 b 26.
ὡς εἴρηται, αὐτὴν καθ' αὑτὴν γινώσκομεν τὴν ὕλην, ἀλλὰ μετά τινος εἴδους ἢ ἀνθρωπείου ἢ ἱππείου ἢ φυτοῦ ἢ λίθου ἢ τινος ἄλλου τοιούτου.

1. ὁρισμὸς ἀεὶ τοῦ Asclep. ‖ 2. γὰρ ἔνεστι τῇ Asclep. ‖ ἴσον] ὅσον *V*, om Asclep. ‖ ἄνθρωπος ὅπερ ἐστὶν ὁριστόν, καὶ ζῷον λογικὸν θνητόν. τὸ μὲν γὰρ ὁριστὸν μία λέξις, ὁ δὲ ὁρισμὸς τρεῖς, εἰ τύχῃ, ἢ ἄλλος τις ἀριθμὸς παρὰ τὸ ἕν. ἕκαστον *L*. ‖ 4. ἔχει — τοῦτο om *L*. ‖ ὡς ἄτοπον δὲ τοῦτο ἐπήγαγεν ἤγουν τὸ "πλεονάζοντα τῷ λόγῳ·" εἰ γὰρ πλεονάζει ὁ ὁρισμὸς τοῦ ὁριστοῦ τῷ λόγῳ, ὡς εἴρηται, ἤτοι τῇ λέξει, ἐπ' ἄπειρον ἂν οἱ λόγοι αὔξοιντο δι' ὧν οἱ ὁρισμοὶ *L*. ‖ 6. οὐ δὴ] οὐχ *L*. ‖ 13. οὐκ ἐστὶ *A*. ‖ 16. οὗ] οὐ Asclep. ‖ 17. τὸ μετὰ τὸ πρῶτον Asclep. ‖ τούτου — 18. ἀποδοθέν om Asclep. ‖ 27. οὗτος *M*. ‖ 28. *re priores quidem ipsa fuerint* Sepulv. ‖ κατὰ — 29. ἀνθρώπου om *M* Sepulv. ‖ 29. τις εἴη om *A*. ‖ τινὲς — 36. ὅρον om *L* Asclep.

10. λέγειν *V*. ‖ νῦν τὰς ἀμέσους προτάσεις· ἐκ *L*. ‖ 11. τῶν ἀμέσων αἱ ἐπιστῆμαι *L*. ‖ 12. τοῖς om *AV*. ‖ ὃ] ὅπερ *L* Asclep. ‖ εἶναι, εἰ om *L*. ‖ 13. εἰσὶν *L*. ‖ 14. εἴη om *L*. ‖ συμπληροῦται *L*. ‖ 15. ὑπάρχον *AM*. ‖ 16. ᾖ *M*. ‖ 17. ὑπάρχον — 18. δείκνυται om *A*. ‖ 19. ἀμέσως ὑπάρχον τινί τι ληφθῆναι Asclep. ‖ ὑπάρχειν *M*. ‖ 20. ὁρισμοῦ *M*. ‖ 21. αὖ τὸ] αὐτὸ *M*. ‖ 23. κἀκεῖνο Asclep. ‖ 27. τινὲς — 36. μόνον om *L* Asclep. ‖ 28. εὑρίσκεσθαι *A*. ‖ 31. δὲ — 33. δὲ om *V*.

οὐκ ἔστι τοῦτο τὸ πρῶτον ὑποκείμενον· οὐ γὰρ ἀΐδιον τὸ φθειρόμενον, τὸ δὲ πρῶτον ὑποκείμενον ἀΐδιον. οὐκ ἄρα ἡ ὕλη φθείρεται ἀλλ' ἡ αὐτὴ μένει. πρώτου δὲ φθαρέντος εἶπεν ὡς ἴσον τῷ ἐξ οὗ καθ' αὑτό τι καὶ οὐ κατὰ συμβεβηκὸς φθαρέντος ἐγένετό τι, τοῦτο μὴ ἀΐδιον εἶναι· κατὰ συμβεβηκὸς μὲν γὰρ ἡ ὕλη φθείρεται· ὅτι γὰρ τὸ συμβεβηκὸς αὐτῇ ἡ στέρησις, φθείρεται ἐν τῇ γενέσει τῶν ἐκ τῆς ὕλης γιγνομένων (τοῦτο γὰρ τὸ καθ' αὑτὸ φθειρόμενον), καθ' αὑτὴν δὲ ἄφθαρτος. φθείροιτο δ' ἂν καθ' αὑτήν, εἰ ἐπ' ἄπειρον ἄλλο ἐξ ἄλλου γίγνοιτο καὶ μὴ πᾶσιν ἡ αὐτὴ μένοι τοῖς γιγνομένοις. καὶ εἴη ἂν τὸ λεγόμενον ἴσον τῷ, ὁ λέγων ἄπειρον ἐπὶ τὸ ἄνω ἄλλο ἄλλου ὕλην γίγνεσθαι, οὗτος φθείρεσθαι λέγοι ἂν τὸ πρῶτον ὑποκείμενον, ὃ ἀνάγκη ἀΐδιον εἶναι, εἴγε τούτῳ μηκέτι ἄλλο ὑπόκειται· οὐ γὰρ ἐπ' ἄπειρον εἰς τὸ ἄνω τὰ αἴτια. τοῦτο δὴ λέγοι ἂν φθείρεσθαι, εἰ μὴ πᾶσιν αὐτὸ ὑποκεῖσθαι λέγοι τοῖς γιγνομένοις, ταὐτὸν μένον, ἀλλὰ λέγοι κατὰ φθορὰν τοῦ ὑποκειμένου τὸ μετ' αὐτὸ ὑποκείμενον φθαρέντος αὐτοῦ τὸ ἐξ αὐτοῦ ἐγένετο οὐκ ἀΐδιον. εἰ γὰρ ἵσταται ἐπὶ τὸ ἄνω τὰ αἴτια, δεῖ τι ἄρξασθαι καὶ πρῶτόν γε ἐκ τῆς ὕλης τῆς πρώτης γενέσθαι· εἰ δὲ φθειρομένης αὐτῆς γίγνεται, οὔτε ἀΐδιος ἡ κίνησις εἴη, οὔτε ἔτι πρώτη καὶ ἀΐδιος αὐτὴ ἂν εἴη ἡ πᾶσιν ὑποκειμένη πρώτη. καὶ οὐκ ἐπ' ἄπειρον ἄρα ἡ ὑλικὴ αἰτία εἰς τὸ ἄνω πρόεισιν· ἔστι γὰρ σφόδρα συντόνως τὸ εἰρημένον. εἰπὼν γὰρ "ἅμα δὲ καὶ ἀδύνατον τὸ πρῶτον ἀΐδιον ὂν φθαρῆναι," τὸ δεικτικὸν τοῦ εἶναι τὸ πρῶτον ἀΐδιον παρέθετο "ἐπεὶ γὰρ οὐκ ἄπειρος ἡ γένεσις ἐπὶ τὸ ἄνω," οὐκέτι προσθεὶς τὸ διὰ τοῦτο τὸ πρῶτον ὑποκείμενον ἀΐδιον. ἢ εἰπὼν "τὰ δὲ εἰς ἄλληλα ἀνακάμπτει· ἡ γὰρ θατέρου φθορὰ θατέρου γένεσίς ἐστιν," ἐπιστώσατο τοῦτο διὰ τοῦ τὸ πρῶτον ὑποκείμενον, ὅ ἐστιν ἡ κυρίως ὕλη, δεῖξαι ἀΐδιον ὄν· φθείρηται γὰρ ἄν, εἰ μὴ ὑπομένοι καὶ σῴζοιτο ἐν πᾶσι τοῖς γιγνομένοις, ἀλλὰ τὰ γιγνόμενα ἐξ αὐτοῦ φθειρομένου αὐτοῦ γίγνοιτο, καὶ πάλιν οὕτω τὰ ἐκ τούτων, καὶ ἐπ' ἄπειρον τοῦτον τὸν τρόπον ἡ ὑλικὴ αἰτία ἐπὶ τὸ κάτω προΐοι. εἰ δὲ τοῦτο, ἄτοπον· δεῖ γὰρ εἶναί τι τὸ πρῶτον ὑποκείμενον, ὡς δέδεικται, καὶ τοῦτο ἐν πᾶσι τοῖς γιγνομένοις ἄφθαρτον μένον ἐνυπάρχειν. οὕτως οὖν ἔχοντος εἰς ἄλληλα ἂν τὰ ἐξ αὐτοῦ γιγνόμενα ἀνακάμπτοι, ὡς τὴν θατέρου φθορὰν θατέρου γένεσιν εἶναι. ἐν ᾧ γὰρ ἂν ἐνυπάρχοι τῶν ἐξ αὐτῆς γιγνομένων, φυλάξει καὶ τὴν τοῦ δύνασθαι πάλιν ἐν τούτῳ γενέσθαι τῷ εἴδει ἐξ οὗ μεταβάλλει. καὶ αὕτη ἔσται εἰς τὰ γιγνόμενα μεταβάλλουσα, ἀλλ' οὐκ ἀεὶ ἀληθῶς ἐπ' ἄπειρον ἄλλο ἄλλῳ ὑποκείμενον γίγνεται, αὐτὴ δὲ μεταβάλλουσα εἰς τὰ ἐναντία μεταβάλλει, εἰς ἃ μεταβαλλούσης αὐτῆς ἀνακάμπτοι ἂν ἡ γένεσις. οὐ γὰρ αὐτή ἐστιν ἡ ἐν τῇ μεταβολῇ τῇ εἰς τὴν γένεσιν φθειρομένη (οὐκέτι γὰρ ἂν ἀΐδιος εἴη), ἀλλὰ ἄλλο τί ἐστιν ἐξ οὗ καθ' αὑτὸ καὶ πρώτως φθειρομένου γίγνεται· τοῦτο δὲ ἐδείχθη ἐν τῷ α' τῆς Φυσικῆς (c. 8) ἡ στέρησις. δείξας δὲ ἐπὶ τῆς ὕλης ὅτι μὴ οἷόν τε ἐπ' ἄπειρον εἰς τὸ κάτω τὰ ὑλικὰ αἴτια προϊέναι, ἑξῆς δείκνυσι
πάλιν τὸ αὐτὸ ἐπὶ τοῦ τελικοῦ αἰτίου. λέγει δὲ "ἐπεὶ δὲ τὸ οὗ ἕνεκα 994b
τέλος, τοιοῦτον δὲ ὃ μὴ ἄλλου ἕνεκα." ἔστι δὲ ὃ λέγει τοιοῦτον. εἰ 9.
ἔστι τι οὗ ἕνεκα καὶ τὸ τελικὸν αἴτιον, οὐκ ἐπ' ἄπειρον ἡ πρόοδος τοῦ οὕτως αἰτίου· ἔστι γὰρ τὸ τελικὸν αἴτιον οὗ χάριν τὰ ἄλλα, αὐτὸ δὲ μηδενός, τὸ δὲ τοιοῦτον ἔσχατον. ὥστε εἰ μέν ἐστιν ἔσχατον αἴτιον ἐν τοῖς φύσει γιγνομένοις, τοῦτο δέ ἐστι τὸ τελικόν, οὐκ ἐπ' ἄπειρον ἡ πρόοδος ἐπὶ τὸ κάτω· εἰ δέ ἐστιν ἐπ' ἄπειρον, οὐκ ἔστι τὸ τελικὸν αἴτιον οὐδὲ τὸ οὗ ἕνεκεν ἐν τοῖς γιγνομένοις φύσει. ἀλλὰ τὸ λέγειν μὴ εἶναι τὴν τοιαύτην ἐν τοῖς φύσει γιγνομένοις αἰτίαν ἐξαιρεῖν ἐστὶ τὴν τοῦ ἀγαθοῦ φύσιν ἐκ τῶν γιγνομένων· τὸ γὰρ οὗ ἕνεκεν τὰ ἄλλα γίγνεται, τὸ ἀγαθόν. τοῦτο δὲ δῆλον ἐκ τῆς ἐπαγωγῆς· "πᾶσα γὰρ τέχνη καὶ πᾶσα μέθοδος ὁμοίως πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ," ὡς εἶπεν ἀρχόμενος τῶν Νικομαχείων. καὶ ἔστι τὸ κυριώτατον ἀγαθόν, οὗ πάντα ἐφίεται· ὥστε ἐν πᾶσι τοῖς κατὰ λόγον ἢ φύσιν γιγνομένοις τὸ ἀγαθὸν τέλος ἐστίν· οὔτε γὰρ τὴν ἀρχὴν ἐγχειρεῖ τις πράττειν τι καὶ ποιεῖν, εἰ μὴ μέλλοι ἐπὶ τὸ τέλος ἄξειν αὐτό. ὥστε εἰ σκοπὸς τῶν πραττομένων τὸ τέλος καὶ τὸ τοιοῦτον αἴτιον, εἰ τοῦτο μὴ εἴη, οὐκ ἂν τὴν ἀρχὴν εἴη τι γιγνόμενον. ἔτι ἀναιρεθήσεται τὸ νοῦν εἶναι καὶ φύσιν ποιητικὰ ἐν τοῖς οὖσι· πάντα μὲν γὰρ τὰ κατὰ φύσιν καὶ κατὰ νοῦν γιγνόμενα ἕνεκά τινος γίγνεται, μὴ ὄντος δὲ τοῦ οὗ ἕνεκα κατὰ φύσιν καὶ κατὰ νοῦν γίγνεται, οὐκ ἂν κατὰ νοῦν τι ἢ φύσιν γίγνοιτο. ἔτι, ὡς εἶπεν ἐν τοῖς Ἠθικοῖς (1 1), μάτην ἂν ἡ ὄρεξις εἴη, εἰ μὴ εἴη τέλος τι πάντων τῶν πρακτῶν, ἀλλ' ἐπ' ἄπειρον ἄλλο ἄλλου χάριν γίγνοιτο. id.

"καίτοι — ἐγχειρήσειεν." διὰ τῆς ἐναργείας ἔδειξεν ὅτι ἀδύ- 994b
νατον τὴν τοιαύτην αἰτίαν ἐκ τῶν ὄντων ἀνῃρῆσθαι. ἔτι δὲ εἰ ἔστιν 13.
ἐφ' ἑκάστῳ τῶν γιγνομένων τέλος ὡρισμένον, οὐκ ἂν ἐπ' ἄπειρον ἡ κατὰ τὸ τέλος αἰτία προΐοι. συστήσας δὲ τὸ εἶναι κατὰ τὸ τέλος αἰτίαν, μεταλαβὼν τὸ τέλος εἰς τὸ πέρας, ἔδειξε καὶ οὕτως ὅτι μὴ ἐπ' ἄπειρον τὰ αἴτια· ὧν γὰρ πέρας ἐστί, ταῦτα οὐκ ἄπειρα. id.

"ἀλλὰ — λόγῳ." δείκνυσι καὶ ἐπὶ τῆς κατὰ τὸ εἶδος αἰτίας 994b
(τοῦτο γάρ ἐστι τὸ τί ἦν εἶναι) μὴ γιγνομένην ἐπ' ἄπειρον τὴν πρό- 16.
οδον ὡς ἀεὶ τοῦ ληφθέντος εἴδους καὶ ὁρισμοῦ ἄλλον πάλιν ὁρισμὸν καὶ ἄλλο τι εἶδος εἶναι (7). τοῦτο δὲ ἐδήλωσε προσθεὶς τὸ "πλεονά-

3. πρῶτον Asclep. ‖ τὸ A. ‖ 8. ἄλλη Asclep. ‖ 10. ἄνω] κάτω Asclep. ‖ 12. τοῦτο M. ‖ 13. αἴτια· οὔτε γὰρ ἄνω οὔτε κάτω τὰ αἴτια Asclep. ‖ 14. *sed subiecti interitum asseveret: nam si quod est ipso posterius, ex ipso abolito generatur, profecto ipsum non est sempiternum* Sepulv. lege τὸ μετ' αὐτὸ ὑποκείμενον· φθαρέντος δὲ αὐτοῦ ὃ ἐξ αὐτοῦ ἐγένετο οὐκ ἀΐδιον. ‖ 18. οὔτε οὐκ ἀΐδιος A. ‖ 19. 20. ἄρα] ἂν M. ‖ 25. γένεσιν ἐπιστώσατο M. ‖ 27. φθείρεται M. ‖ 35. ὑπάρχοι M. ‖ φυλάξοι M. *in quocunque enim efficiendorum fuerit, potentiam retinet, ut iterum in eodem specie possit esse ex quo mutatur. et haec est quae in efficiendo mutatur, non autem semper vere in infinitum aliud alii subiectum fit, sed ipsa mutando in opposita mutatur, in quae dum ipsa transit, generatio reciprocatur. neque enim haec est, quae interit in mutatione in generationem* Sepulv.

1. γένεσις καὶ γὰρ M. ‖ 7. ὃ om M. ‖ 10. ἐστὶ τὸ ἔσχατον Asclep. ‖ 12. ἐστιν ἐπ' ἄπειρον Asclep. ‖ 20. οὐδὲ Asclep. ‖ 21. αὔξειν A. ‖ 22. τοιοῦτον Asclep. ‖ 25. γιγνόμενα — 26. κατὰ νοῦν om A Asclep. ‖ 26. οὐκ] οὐδ' Asclep. ‖ 28. πρακτικῶν M. ‖ 33. συστησάμενος οὖν τὸ Asclep.

διὰ τὸ δοκεῖν πᾶν τὸ γινόμενον διά τινος μεταξὺ γίγνεσθαι καὶ ἔκ τινος μεταξύ. ὡς γὰρ ἐκ τῆς γενέσεως μεταξὺ οὔσης τοῦ τε εἶναι καὶ τοῦ μὴ εἶναι γίγνεται τὰ οὕτως γιγνόμενα, οὕτως καὶ τὸ ἐκ τοῦ γιγνομένου γιγνόμενον ἐκ μεταξύ τινος καὶ αὐτὸ γίγνεται· μεταξὺ γὰρ τὸ γιγνόμενον τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος. πῇ γὰρ ὂν τὸ γιγνόμενον ἤδη καὶ πῇ μὴ ὄν, οὔτε δὲ ἁπλῶς ὄν, ὅτι μὴ τέλειον (τὸ γὰρ ὂν τέλειόν τι ἤδη), οὔτε ἁπλῶς μὴ ὄν, διὸ οὐδὲ μεταξύ τι τῆς ἀντιφάσεως· τὸ γὰρ πῇ ὂν καὶ αὐτὸ ὄν. πῶς δὲ τὰ οὕτως ἔκ τινος γιγνόμενα ἐκ τοῦ γιγνομένου ἐπιτελεῖται, ἐπεδήλωσε παραθέμενος τὸν μανθάνοντα. ὁ γὰρ μανθάνων ἐστὶν ὁ γιγνόμενος ἐπιστήμων, ὃς ἐκ τοῦ μανθάνοντος οὕτως γίγνεται, ὅτι ὁ μανθάνων γίγνεται καὶ ὑπομένων πρόεισιν ἐπὶ τὸ ἐπίστασθαι, ἥτις ἐστὶν τελειότης τοῦ μανθάνοντος· οὐ γὰρ ἁπλῶς ὁ μανθάνων γίγνεται, ἀλλ' ἐπιστήμων (*). ἣ καὶ αὐτὸ τὸ μανθάνειν μεταξύ ἐστι τοῦ ἐπίστασθαι, ὃ κυρίως ὄν, καὶ τῆς τελείας ἀμαθίας, ὃ εἴη ἂν ἁπλῶς μὴ ὄν. τὰ δὴ τοῦτον τὸν τρόπον ἔκ τινος γιγνόμενα ἐκ τοῦ μεταξὺ τοῦ τε ὄντος ἤδη καὶ τοῦ μὴ ὄντος γίγνεται. Alex.

994a 28. (*) διό φησιν "ἔστι δὲ ὁ μανθάνων γινόμενος ἐπιστήμων." καὶ τοῦτό ἐστιν ὅπερ λέγουσιν ὅτι γίνεται ἐπιστήμων ἐκ μανθάνοντος, ἡ μεταβολὴ ἡ ἀπὸ ἀγνοίας ἐπὶ γνῶσιν. Asclep.

994a 30. "τὸ — θατέρου." ἐπὶ τὸ ἕτερον σημαινόμενον τῶν ἐκ τῆς διαιρέσεως μετελήλυθεν, αὐτὸ τιθεὶς καὶ αὐτοῦ παράδειγμα τὸ ὡς ἐξ ἀέρος ὕδωρ γίγνεται. καὶ ὅτι μὴ ὁμοίως ὡς ἐκ μανθάνοντος ὁ ἐπιστήμων, μηδὲ ἐκ τοῦ μεταξύ, δείκνυσι· φθειρομένου γὰρ τοῦ ἑτέρου λέγεται γίγνεσθαι ἡ γένεσις τοῦ γιγνομένου, ἀλλ' οὐχ ὑπομένοντος καὶ τελειουμένου. "διὸ ἐκεῖνα μὲν οὐκ ἀνακάμπτει εἰς ἄλληλα," τὰ κατὰ τὸ πρῶτον σημαινόμενον γιγνόμενα, ἣν δὲ τὰ κατὰ τὸ τελεοῦσθαι· οὐ γὰρ ἀνακάμπτει ταῦτα ὥστε γίγνεσθαι ἐκ παιδὸς ἄνδρα καὶ πάλιν ἐξ ἀνδρὸς παῖδα, ὅτι τὸ τέλειον οὐκ ἐπάνεισιν ἐπὶ τὸ ἀτελές. οὗ τὴν αἰτίαν ἀποδιδοὺς εἶπεν "οὐ γὰρ γίγνεται ἐκ τῆς γενέσεως τὸ γιγνόμενον, ἀλλὰ μετὰ τὴν γένεσιν," τουτέστιν, οὐ γὰρ ἐκ τῆς ἄλλου φθορᾶς καὶ τῆς γενέσεως αὐτῆς τὸ οὕτω γιγνόμενον γίγνεται, ἀλλ' ἐκ τοῦ ἤδη γεγονότος· μετὰ γὰρ τὴν γένεσιν τὸ γεγονέναι. τὰ μὲν γὰρ κατὰ φθορὰν τῶν ἔξωθεν γιγνόμενα ἀρχὴν τοῦ εἶναι τὴν γένεσιν ἔχει· ἡ γὰρ ἐκείνων μεταβολὴ καὶ φθορὰ τούτων γένεσις, ἀλλ' οὐκ ἐκεῖνα ὑπομένοντα καὶ γιγνόμενα. τὰ δὲ τελεούμενα καὶ οὕτως ἔκ τινων λεγόμενα γίγνεσθαι οὐκ ἐκ τῆς γενέσεως καὶ τῆς πρώτης μεταβολῆς γίγνεται, ἀλλὰ μετὰ τὴν γένεσιν· τὸ μὲν γὰρ γιγνόμενόν ἐστι τὸ ἐκ τῆς γενέσεως γεγονός, οἷον τὸ βρέφος ὃ προϊὸν παῖς καὶ ἀνὴρ γίγνεται, ὁ δὲ ἀνὴρ οὐκ ἐκ τῆς γενέσεως ἀλλ' ἐκ τοῦ γιγνομένου ἐκ τῆς γενέσεως καὶ τελειουμένου γίγνεται (*). ὥστε οὐκ ἐκ τῆς γενέσεως ἀλλὰ μετὰ τὴν γένεσιν γίνεται τὰ οὕτως γιγνόμενα. εἰπὼν δὲ ὅτι μετὰ τὴν γένεσιν, οὐκ ἐκ τῆς γενέσεως τὰ τελεούμενα γίγνεται, παρέθετο οὕτως γίγνεσθαι ὡς καὶ ἡμέραν ἐκ τοῦ πρωΐ, διὸ ἐκ μὲν τοῦ πρωῒ ἡμέρα γίγνεται, οὐκέτι δ' ἐξ ἡμέρας πρωΐ, πρωῒ τὸν ὄρθρον λέγων. ἀτελὲς γὰρ τὸ πρωΐ· οὐχ ὁμοίως γὰρ ἐκ τοῦ πρωῒ ἡμέρα καὶ ἐξ Ὀλυμπίων Ἴσθμια· ἐπὶ μὲν γὰρ ἐκείνων μόνον τόδε μετὰ τόδε καὶ χρόνου τάξις, οὐκέτι δὲ ὑποκείμενον θατέρου θάτερον· τὸ δὲ πρωῒ ἡμέρα γίγνεται μεταβάλλον καὶ ὑπομένον καὶ τελεούμενον· ἀτελὴς γὰρ ἡμέρα τὸ πρωῒ τῷ μηδέπω διηρθρῶσθαι ἐν αὐτῷ τὸ ἡμερήσιον φῶς, ἀλλ' ἔτι ἀμυδρὸν εἶναι. τὸ δὲ ὅτι μετὰ τοῦτο εἶπεν, ὅτι γενόμενος ὁ ὄρθρος μετὰ ταῦτα αὐτὸς τελειούμενος ἡμέρα γίγνεται. εἰπὼν δὲ τὰ οὕτως γιγνόμενα μὴ ἀνακάμπτειν εἰς ἄλληλα, ὡς καὶ ἐκ τῶν παραδειγμάτων δῆλον καὶ ἐκ τῆς ῥηθείσης αἰτίας, λέγει περὶ τῶν κατὰ φθοράν τινων ἐξ αὐτῶν λεγομένων γίγνεσθαι, ἃ εἶπεν ἐκ τῆς γενέσεως γίγνεσθαι, ὅτι ταῦτα ἀνακάμπτει εἰς ἄλληλα. ὡς γὰρ ἐξ ὕδατος ἀήρ, οὕτως ἐξ ἀέρος ὕδωρ· οὐ γάρ ἐστι θατέρου θάτερον τέλος, ἀλλ' ἐστὶ πάντα τὰ τοιαῦτα, ὅσα ἐκ τῆς γενέσεως γίγνεται, οἰκείαν μέν τινα ἔχοντα τελειότητα, κοινὴν δὲ ὕλην ἐπ' ἴσης αὐτῶν δεκτικήν. ὅτι δὲ τὰ οὕτω γινόμενα ἀνακάμπτει εἰς ἄλληλα, δῆλον καὶ ἐκ τῆς ἐναργείας καὶ ἐκ τοῦ μὴ εἶναι ἐπ' ἄπειρον τὴν κατ' εἶδος τῶν σωμάτων διαφοράν, ἥτις ἦν ἂν εἰ ἐπ' ἄπειρον τοῦτον τὸν τρόπον ἄλλο ἐξ ἄλλου ἐγίγνετο. Alex.

(*) ὡς γὰρ εἴρηται ἐν τῇ Φυσικῇ (1 7), οὐκ ἔστι γενέσεως γένεσις οὔτε κινήσεως κίνησις. Asclep. 994a 32.

"τῶν — εἶναι." τῶν ἐκ τῶν μεταξὺ γιγνομένων καὶ οὐκ ἐκ 994b 4. τῆς γενέσεως, ἃ μὲν ἤδη ἔστιν ὄντα, λέγει ὡς ἐγίγνετο τὰ τελεούμενα· τούτων γὰρ τέλος τι ἔστιν ἃ ὄντα ἤδη τινά ἐστι μεταξύ. ταῦτα μὲν διὰ τοῦτο οὐκ εἰς ἄπειρον ἔχει τὴν ἐπὶ τὸ κάτω γένεσιν, ὅτι ἔχει τι τέλος ἐφ' ὃ διὰ τῶν μεταξὺ πρόεισι, τὰ δὲ διὰ τὸ εἰς ἄλληλα ἀνακάμπτειν. καὶ προσέθηκε τὸ "ἡ γὰρ θατέρου φθορὰ ἑτέρου γένεσίς ἐστιν." δέδεικται δὲ τοῦτο ἐν τῇ Φυσικῇ Ἀκροάσει (1 7). δύναται καὶ τὸ "τῶν μὲν γὰρ ὄντων μεταξύ" εἰρηκέναι ὡς ἴσον τῷ ἐφ' ὧν μὲν γὰρ ὄντων τινῶν μεταξύ, τούτων μεταξὺ τέλος τί ἐστιν. Alex.

"ἅμα — εἶναι." δείξας κοινῶς πρῶτον μὲν ὅτι μὴ ἐπὶ τὸ ἄνω 994b 6. οἷόν τε ἄπειρα τὰ αἴτια εἶναι, δεύτερον δὲ ὅτι μηδὲ ἐπὶ τὸ κάτω, νῦν καὶ περὶ ἑκάστου τῶν αἰτίων ἰδίᾳ δείκνυσιν ὅτι μὴ ἐπ' ἄπειρόν τι αὐτῶν εἶναι οἷόν τε, καὶ πρῶτόν γε ὅτι μὴ ἡ ὑλικὴ αἰτία ἐπ' ἄπειρον ἐστίν. συγχρῆται δὲ εἰς τὴν δεῖξιν τοῦ μὴ εἶναι εἰς τὸ ἄνω ἐπ' ἄπειρον προϊόντα τὰ αἴτια τῷ τὸ πρῶτον ὑποκείμενον ἀΐδιον εἶναι· εἰ γὰρ ἐγένετο, ἦν ἄν τι πρῶτον αὐτοῦ ἐξ οὗ ὑποκειμένου ἐγίγνετο, οὕτως δὲ οὐκέτ' ἂν πρῶτον ἦν· ἐπεὶ δὲ μὴ τοῦτο, ἀΐδιον καὶ ἀγένητον γίγνεται τὸ πρῶτον ὑποκείμενον. ἐξ οὗ ἄρα φθειρομένου γίγνεταί τι,

7. οὐδὲ] οὐ *M.* ‖ 9. ἐδήλωσε *M.* ‖ 23. ὁ om *M.* ‖ 26. ἀνακάμπτειν *A.* ‖ 32. αὐτῶν *M.* ‖ 34. τῶν ἐξ ὧν λέγεται γίνεσθαι γινόμενα Asclep. *per externorum interitum* Sepulv. ‖ 35. οὐκ om *M.* ‖ ἐκεῖνα τὰ δὲ τελεούμενα μένοντα καὶ γιγνόμενα καὶ οὕτως Asclep. ‖ 38. κινούμενον Asclep.

2. ἡμέρα — 4. πρωῒ om *A.* πρωῒ ἡμέραν, ἐκ δὲ τῆς ἡμέρας οὐκέτι πρωΐ, ἐπειδὴ τοῦ χρόνου οὐκ ἔστιν ἡ τοιαύτη ἀναλογία. "ἀμφοτέρως δὲ" Asclep. ‖ 10. οἶμαι ἐκείνως λέγει περὶ ἧς εἶπεν ὅτι τὸ τέλειον εἰς τὸ ἀτελὲς οὐκ ἀνακάμπτει *A* in mg. ‖ 17. ἐκείνως *A.* ‖ 25. ἃ om *A.* ‖ μὲν et 28. τι om *M.* ‖ 29. καὶ] ἢ *M.* ‖ 38. δόξαν Asclep. ‖ 40. ἐγένετο *A.* ‖ αὐτοῦ om Asclep.

μετὰ Ἴσθμια Ὀλύμπια ἢ μετὰ Ὀλύμπια Ἴσθμια, οὐχ ὡς ἐξ αἰτίου γιγνομένου τοῦ ἑτέρου λέγεται ἐπὶ τῶν οὕτω γιγνομένων ἐκ τοῦδε τόδε γίγνεσθαι. διὸ τὸ σημαινόμενον παρῃτήσατο τοῦτο· περὶ γὰρ αἰτίων καὶ τῶν ἐξ αἰτίων γινομένων ὁ λόγος ἐστὶν αὐτῷ, ταῦτα δὲ μόνον χρόνου τάξιν τινὰ σημαίνει· οὐ γὰρ θάτερον αὐτῶν εἰς θάτερον μεταβάλλει ἢ συντελεῖ τι. λαβὼν δὴ τοὺς δύο τρόπους τοὺς προρρηθέντας, καθ' οὓς κατὰ μεταβολήν τινος ὑποκειμένου τόδε τι γίγνεται, δείκνυσι κατὰ μηδέτερον αὐτῶν ἐπ' ἄπειρον δυναμένην γενέσθαι τὴν πρόοδον. τὰ μὲν γὰρ κατὰ φθοράν τινος ἐξ αὐτοῦ λεγόμενα γίγνεσθαι λέγει, οὐκ ἐκ τοῦ γενομένου ἤδη καὶ ὄντος, ἃ καὶ ἀνακάμπτει εἰς ἄλληλα· ὡς γὰρ ἐξ ὕδατος ἀήρ, οὕτω καὶ ἐξ ἀέρος ὕδωρ γίγνεται, καὶ τοῦτο ἐναργές· διὸ καὶ ταὐτὸ αὐτοῖς τὸ ὑποκείμενόν τε καὶ ἡ ὕλη. τὰ δὲ ἀνακάμπτοντα δῆλον ὅτι μὴ ἐπ' ἄπειρον πρόεισιν· ἐπὶ γὰρ ταὐτὸν αὐτοῖς ἐπάνοδος. τὰ δὲ ἐκ τοῦ γεγονότος ἤδη καὶ ὑπομένοντος αὐτοῦ καὶ γιγνομένου μεταβάλλοντα, εἴτε κατ' αὔξησιν εἴτε κατ' ἀλλοίωσιν εἴτε τὴν κατ' εἶδος τελειότητα, οὐκ ἀνακάμπτει μὲν εἰς ἄλληλα, ἐπὶ δὲ τὸ τελειωθῆναι ἡ πρόοδος αὐτοῖς ἀπὸ τῶν μεταξύ. τῶν μὲν οὖν οὕτως ὡς τῶν μεταξὺ ὑπομενόντων καὶ τελειουμένων ὁρῶμεν ὅτι πάντων τέλος τι ἐστὶν ὃ γίγνεται, καὶ οὐκ ἔστιν εἰς ἄπειρον ἡ εἰς τὴν τελειότητα τὴν οἰκείαν γιγνομένη πρόοδος αὐτῶν ἐκάστου. τῶν δὲ κατὰ φθορὰν γιγνομένων θατέρου ὁρῶμεν ἀνακάμπτουσαν τὴν γένεσιν· ἡ γὰρ τοῦ ἑτέρου φθορὰ τοῦ ἑτέρου γένεσίς ἐστιν. εἰ δὲ ἀνακάμπτει, οὐκ ἐπ' ἄπειρον πρόεισι κατ' εὐθυωρίαν ἐπὶ τὸ κάτω τὰ οὕτως αἴτια. εἰ δὲ μήτε ἐπὶ τῶν οὕτω γιγνομένων μήτε ἐπὶ τῶν ἐκείνως ἐπ' ἄπειρον γίγνεται ἄλλο ἄλλου αἴτιον κατ' εὐθυωρίαν, μόνως δὲ οὕτως ἄλλο ἐξ ἄλλου γίγνεται, οὐδ' ὅλως ἂν εἴη ἐπ' ἄπειρον κατ' εὐθυωρίαν ἄλλο ἐξ ἄλλου γιγνόμενον. Alex.

994a 19. (ʻ) ἐντεῦθεν δείκνυσι πάλιν ὅτι τῆς ἀρχῆς ὡρισμένης ὑπαρχούσης ἀδύνατόν ἐστι τὰ ἐξ αὐτῆς προερχόμενα ἄπειρα εἶναι. καὶ μή τις οἰηθείη ὅτι τὰ ἐνταῦθα λεγόμενα ὅμοιά ἐστι τοῖς ἐν τῇ Ἀποδεικτικῇ εἰρημένοις· ἐκεῖσε γὰρ περὶ τῶν κατηγοριῶν τὸν λόγον ἐποιεῖτο, δεικνὺς ὅτι οὐχ ὑπάρχουσιν ἄπειροι αἱ κατηγορίαι οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω· ἐνταῦθα μέντοι γε περὶ τῶν πραγμάτων αὐτῶν ἀποδείκνυσιν, ὅτι οὐχ ὑπάρχουσι τὰ πράγματα ἄπειρα οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω, ὥστε πᾶσά ἐστιν ἀνάγκη εἶναι τὸ τελικὸν αἴτιον. διό φησιν ἐκεῖνος "ἐκ σέο πάντα πέφηνε, σὺ δ' οὐδενὸς εἵνεκα μοῦνος." Asclep.

994a 22. (ʺ) "διχῶς — τοῦδε." ὑλικῶς καὶ πραγματειωδῶς. οὔτε γὰρ κυρίως λέγεται τόδε ἐκ τοῦδε ἐπὶ τοῦ χρόνου, οἷον ἐξ Ἰσθμίων Ὀλύμπια. καὶ διὰ τοῦ εἰπεῖν "μὴ ὡς τόδε" ἐδήλωσεν ὅτι οὐ κυρίως λέγεται ἐπ' αὐτῶν τόδε ἐκ τοῦδε... ἀλλὰ κυρίως τόδε ἐκ τοῦδε γίνεσθαι λέγεται καὶ πραγματειωδῶς ἡνίκα ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον ἡ πρόοδος γίνεται ... καὶ ἐξ ὕλης ... καὶ κατὰ ἀλλοίωσιν ... καὶ κατ' εἶδος. id.

(ʺ) γρ. καὶ οὕτως, "μὴ ὡς τόδε λέγεται μετὰ τόδε" καὶ ἑξῆς, "ἀλλ' ὡς ἢ ἐκ παιδός·" ἐπὶ γὰρ τοῦ χρόνου οὐ λέγεται τὸ ἐξ οὗ κυρίως, ἀλλὰ τὸ μετὰ τόδε. εἰ δὲ γράφοντες "ἢ ὡς τόδε" δύο παραδείγματά φασιν ἐπενηνέχθαι ἐπὶ τοῦ κατὰ πρόβασιν καὶ προκοπὴν σημαινομένου τοῦ ἐκ τοῦδε, τό τε ἐξ Ἰσθμίων καὶ τὸ ἐκ παιδός· πλὴν διενήνοχε τοῦ προτέρου τὸ δεύτερον, ὅτι ἐπὶ μὲν τοῦ προτέρου φθειρομένων καὶ παρερχομένων τῶν Ἰσθμίων ἐπέρχεται τὰ Ὀλύμπια, ἐπὶ δέ γε τοῦ παιδὸς τοῦ ὑποκειμένου μένοντος καὶ κατὰ πρόβασιν αὐξομένου ἐπιγίνεται ὁ ἀνήρ. τὸ δὲ κυρίως δεύτερον σημαινόμενον τοῦ ἐκ τοῦδε φθειρομένου καὶ τῆς φύσεως ἐξισταμένου γίνεται τοῦ ὑποκειμένου· ὁ γὰρ ἀὴρ κατὰ διάκρισιν μὲν μεταβαλλόμενος πῦρ ἀποτελεῖ, λεπτυνόμενον μᾶλλον. cod. Reg.

994a 25. "ὡς — φαμεν." δηλώσας τὸ διττὸν τοῦ ἔκ τινος εἴς τι μεταβάλλειν λεγομένου καὶ διὰ παραδειγμάτων, ἑκάτερον λαβὼν τῶν παραδειγμάτων, πῶς γίγνεται δείκνυσι, καὶ τίς αὐτῶν ἡ πρὸς ἄλληλα διαφορά. τὰ μὲν δὴ οὕτως λεγόμενα γίγνεσθαι ὡς ἐκ παιδὸς ἀνὴρ καὶ ἐκ τοῦ μανθάνοντος ὁ ἐπιστήμων, ἴδιον ἔχει τὸ ἐκ τοῦ γιγνομένου τε καὶ ὄντος ἤδη καὶ τελειουμένου καὶ μεταξὺ ὄντος μεταβεβληκέναι εἰς τὸ γεγονὸς καὶ τέλειον· ὅ τε γὰρ ἀνὴρ ἐκ παιδὸς γέγονεν ὄντος τε ἤδη καὶ ὑπομένοντος τοῦ ἐξ οὗ γίγνεται, καὶ αὐτοῦ γιγνομένου καὶ μεταβάλλοντος εἰς τὸ τέλειον εἶδος τὸ τοῦ ἀνδρὸς ἐκ τοῦ ἀτελεστέρου. ὁμοίως δὲ καὶ ὁ μεμαθηκὼς ἐκ τοῦ μανθάνοντος καὶ μεταβάλλοντος εἰς τελειότητα. ὁμοίως τούτῳ καὶ ὁ νοῶν· γένεσις γὰρ ἡ κατὰ τὴν τελειότητα καὶ ἡ εἰς τὸ νοεῖν μεταβολή. καὶ εἴη ἂν οὕτως τὸ νοούμενον εἶδός τε καὶ τελειότης τοῦ νοοῦντος, τοῦ νοῦ· πάντα γὰρ τὰ οὕτως ἔκ τινος γιγνόμενα ὑπομένοντος, τοῦ ἐξ οὗ γίνεται σωζομένου καὶ εἰς τελειότητα μεταβάλλοντος γίνεται. εἰπὼν δὲ "ὡς ἐκ τοῦ γιγνομένου τὸ γεγονός, προσέθηκε τὸ "ἢ τοῦ ἐπιτελουμένου τὸ τετελεσμένον" οὐχ ὡς ἄλλο τι σημαινόμενον, ἀλλ' ὅτι τὸ αὐτὸ ἀμφοτέρως εἰπεῖν ἔστιν. τὸ γὰρ οὕτως γεγονὸς ἐκ τοῦ γιγνομένου καὶ ὄντος ἤδη γέγονε, καὶ ἐκ τοῦ ἐπιτελουμένου τετελείωται· τὸ γὰρ γιγνόμενον τὸ ἐπιτελούμενόν ἐστιν. εἰπὼν δὲ οὕτω γίγνεσθαι τὰ τοιαῦτα ὡς ἐκ τοῦ γιγνομένου, δείκνυσι καὶ ὅτι ἔστι τὸ γιγνόμενον μεταξὺ τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος. ὡς γὰρ τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι μεταξὺ γένεσίς ἐστιν οὖσα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι μεταβολή, ἥτις οὔτε μὴ ὄν ἐστιν οὔτε ὂν ἤδη (διὰ γὰρ γενέσεως ἐκ τοῦ μὴ εἶναί τι εἰς τὸ εἶναι μεταβάλλει), οὕτως ἀναλόγως ἔχει καὶ τοῦ γιγνομένου, οὗ ἐστὶν ἡ γένεσις, πρός τε τὸ ἁπλῶς ὂν καὶ τὸ ἁπλῶς μὴ ὄν, μεταξὺ ὂν αὐτῶν. καὶ δεικνύοι δ' ἂν τοῦτο

2. τῶν] τοῖς *A.* ‖ 4. δὲ om *A.* ‖ 6. δὴ] δὲ *A.* ‖ 8. δυνάμενον *A.* ‖ 17. μεταξύ. τῶν μὲν οὖν οὕτως γιγνομένων εἰς τὸ μεταξύ. τῶν μὲν *A.* ‖ 19. οὐκ ἔστιν ὃ γίγνεται καὶ οὐκ ἔστιν εἰς *M.* ‖ 24. εἰ δὲ] οὐδὲ *A.* ‖ 25. ἐκείνως ἐπ' ἄπειρον] οὕτως *M.* ‖ ἄλλῃ ἄλλου *A.*

17. καὶ et 19. ὡς om *A.* ‖ 19. οὕτως ὤφελε γραφῆναι: καὶ ὁ μεμαθηκὼς ἐκ τοῦ μανθάνοντος καὶ μεταβάλλοντος εἰς τελειότητα *A* in mg. ‖ 22. καὶ τὸ τέλειον Asclep. ‖ 23. καὶ μὴ ὑπομένοντος Asclep. ‖ 24. εἶδος] ἤδη Asclep. ‖ 25. ὁ — καὶ et 26. ὁμοίως — τελειότητα om *A.* ‖ 25. δὲ καὶ τοῦ μεμαθηκότος καὶ οὐ φθειρομένου ἀλλ' ὑπομένοντος καὶ μεταβάλλοντος Asclep. ‖ 32. ἀμφοτέρως ὡς εἰπεῖν *A.* ‖ 38. ἥτις — 39. μεταβάλλει om *M.* ‖ 40. οὗ om *A.* ‖ *sic quod fit, cuius est generatio, sese habet ad simpliciter ens* Sepulv.

αἴτιον εἶναι ἴσως ἀληθές, εἰ καὶ μὴ ἁπλῶς αἴτιον· τὸ γὰρ πρότερον τοῦ μετ' αὐτό· ἐν οἷς δὲ μηδέν ἐστι τῶν μέσων ἄλλο ἄλλου πρότερον ἐν τῇ τοιαύτῃ τάξει τοῦ οὗ αἴτιον· ἐν δὲ τοῖς ἀπείροις οὐκ ἔστιν ἄλλου πρότερον· πάντα γὰρ ὁμοίως ἐστὶ μέσα, ὡς καὶ αὐτὸς εἶπεν· εἰ γὰρ πρότερά ἐστι τὰ τῆς ἀρχῆς καὶ τοῦ πρώτου ἐγγυτέρω, ἐν οἷς μηδέν ἐστιν ἀρχὴ μηδὲ πρῶτον, ἐν τούτοις οὐδὲ ἐγγυτέρω τί ἐστι τῆς ἀρχῆς καὶ πορρωτέρω· διὸ οὐδὲ τάξιν τινὰ ἔχει ἔτι τὰ μέσα· εἰ δὲ μὴ τοῦτο, οὐδὲ πρότερόν τι αὐτῶν ἔσται, οὐδὲ θάτερον θατέρῳ αἴτιον. οὐ μόνον δὲ ἐπὶ τῶν κατ' εὐθυωρίαν καὶ τοῦτον τὸν τρόπον ἀπείρων πάντα τὰ μόρια μέσα, ἀλλὰ καὶ τῶν ὁπωσοῦν ἀπείρων, οἷον εἰ κατὰ μέγεθός τι ἄπειρον ἢ κατ' εἶδος ἢ χρόνον εἴη· πάντων γὰρ τῶν ἐνεργείᾳ ὄντων ἀπείρων ὅ τι ἂν ληφθῇ μόριον, μέσον ἐστίν· εἰ γὰρ μὴ μέσον, πέρας· ἀλλ' εἰ πέρας ἔχει, οὐκ ἄπειρον. τὸ δὲ
994a 18. "ὁμοίως μέχρι τοῦ νῦν" προσέθηκεν ἐπεὶ τὴν δεῖξιν ἐποιεῖτο ἐπὶ τῶν αἰτίων τῶν κατ' εὐθυωρίαν ἀπείρων ἐπὶ τὸ ἄνω· ἀπὸ γὰρ τοῦ ἐνεστῶτος καὶ ὄντος νῦν λαμβανόντων ἡμῶν τὰ αἴτια, ἅπαντα τὰ λαμβανόμενα μέσα, εἰ ἐπ' ἄπειρον ἡ πρόοδος. δείκνυται μὲν οὖν τῇ τοιαύτῃ τῶν αἰτίων ἀπειρίᾳ τὸ μηδὲ ἔσεσθαί τι ἐκ τῶν αἰτίων τῷ ἀδιεξίτητα τὰ πρὸ παντὸς τοῦ ληφθέντος αἴτια ἐπὶ τὸ ἄνω εἶναι, ἄπειρά γε ὄντα· οὕτως δὲ οὐδ' ἂν αἴτια εἴη. αὐτὸς δὲ οὐχ οὕτω δείκνυσιν, ἀλλὰ διὰ τοῦ λαβεῖν τι ὡς ἔσχατον καὶ ὁρίσαι καὶ δεῖξαι ὅτι μὴ οἷόν τε τούτου αἴτιον εἶναί τι ἐπ' ἄπειρον ὄντων ἐπὶ τὸ ἄνω τῶν αἰτίων· καὶ γὰρ οὐκ ἄλλως ἐνῆν ἢ ἐπὶ τὸ ἄνω ἢ ἐπὶ τὸ κάτω δεῖξαι μὴ οὖσαν ἀπειρίαν τῶν αἰτίων, μὴ κειμένου τινὸς ἀφ' οὗ δὲ εἴη ἢ ἐπὶ τὸ ἄνω ἢ ἐπὶ τὸ κάτω λαμβάνειν. ὥστε εἴπερ μή ἐστι πρῶτον, ὅλως αἴτιον οὐδέν ἐστιν· εἰ γὰρ εἴη, πάντα τὰ ὡς αἴτια λαμβανόμενα τῷ παρ' ἄλλου τὴν αἰτίαν ἔχειν τοῦ εἶναι τοιοῦτον αἴτια, ἀλλ' οὐ τῇ φύσει αὐτῶν· εἰ μηδέν ἐστι πρῶτον, οὐδ' ἂν αἴτιόν τι εἴη τῷ μηδὲν τῶν ὡς αἰτίων λαμβανομένων τῇ οἰκείᾳ φύσει τοιοῦτον εἶναι. id.

994a 17. (') ὁμοίως αἴτιον. καὶ ταῦτα μὲν ὁ Ἀλέξανδρος, ὁ δὲ ἡμέτερος φιλόσοφος Ἀμμώνιός φησιν ὅτι τὸ "τοῦτον τὸν τρόπον" δηλωτικόν ἐστι καὶ ἀντιδιασταλτικὸν τῆς δυνάμεως, ὅτι δυνατόν ἐστιν ἀπείρου δυνάμεως οὔσης εἶναί τι πρῶτον αἴτιον· τὸ γὰρ πρῶτον αἴτιον ἀπειροδύναμόν ἐστι καὶ ὁμοίως αἴτιον ἁπάντων. τὸ γοῦν κατὰ δύναμιν ἄπειρον ἐνδέχεται, τὸ δὲ κατὰ ἀριθμὸν οὐκ ἐνδέχεται. τουτέστι μέχρι τοῦ πέρατος. Asclep.

(') τὸ "τοῦτον τὸν τρόπον" εἶπεν ἐμφαίνων τὸ κατ' ἐνέργειαν ἄπειρον. ὁ δὲ Ἀμμώνιος τὸ "τοῦτον τὸν τρόπον" ἀντιδιασταλτικὸν εἶναί φησι τοῦ ἀνωτάτω ἀπείρου· τὸ γὰρ θεῖον ἀπειροδύναμον, ὅμως πρῶτον αἴτιον. cod. Reg.

"ἀλλὰ — ἀρχήν." δείξας ὅτι οὐκ ἔστιν εἰς ἄπειρον τῶν αἰτίων 994a 19.
κατ' εὐθυωρίαν ἐπὶ τὸ ἄνω ἡ πρόοδος, ἀλλ' ἀνάγκη, εἰ ἔστι τι αἴτιον, ὅλως εἶναί τι πρῶτον καὶ ἀρχήν, νῦν πάλιν δείκνυσιν ὅτι οὐδὲ ἐπὶ τὸ κάτω οἷόν τε κατ' εὐθυωρίαν ἐπ' ἄπειρον ἰέναι τὰ αἴτια, οὔσης ἀρχῆς τῶν αἰτίων καὶ πρώτου τινὸς αἰτίου, ὡς εἶναι πᾶν τὸ αἰτιατὸν ἄλλου πάλιν αὐτὸ αἴτιον διαφέροντος κατ' εἶδος τῶν ἤδη γεγονότων ('). εἰ γὰρ οὕτως γένοιτο ὥστε ταὐτὸν πάλιν τι γένος τῶν ἐφθαρκότων γενέσθαι, ἀνακάμπτει ἂν καὶ οὐκ ἐπ' ἄπειρον κατ' εὐθυωρίαν ἐπὶ τὸ κάτω τὰ αἴτια πρόεισι· τῶν γὰρ αὐτῶν κατ' εἶδος τὰ αὐτὰ αἴτια τῷ εἴδει. τοῦτο δὲ ἐδήλωσε διὰ τοῦ ἐπὶ τῆς ὕλης παραδείγματος, εἰπὼν "ὥστε ἐκ πυρὸς μὲν ὕδωρ, ἐκ δὲ τούτου γῆν, 994a 20.
καὶ οὕτως ἀεὶ ἄλλο τι γίγνεσθαι γένος," γένος εἰπὼν ἀντὶ τοῦ εἶδος. ἔχει μὲν οὖν ἡ λέξις δι' ὧν τὸ προκείμενον δείκνυσιν ἀσάφειαν, τὸ δ' οὖν λεγόμενον δι' αὐτῆς ὡς συνελόντα εἰπεῖν τοιοῦτον ἐστίν ("). λαβὼν διχῶς λέγεσθαι γίγνεσθαι καὶ γεγονέναι τόδε ἐκ τοῦδε· ἢ γὰρ ὡς ἐκ τοῦ γιγνομένου ἤδη καὶ ἐπιτελουμένου τὸ γεγονός, ὡς καὶ τὸ τετελεσμένον τῶν καὶ εἰς τὴν οἰκείαν προϊόντων τελειότητα κατὰ τὴν ἐν αὐτοῖς μεταβολήν· οὕτως γὰρ ἐκ παιδὸς ἀνὴρ γίνεται, καὶ ἔστιν αὕτη μὲν ἡ γένεσις κατ' αὔξησιν· ἀλλὰ καὶ ἐκ τοῦ μανθάνοντος ὁ ἐπιστήμων, αὕτη κατ' ἀλλοίωσιν ("). καὶ ἐκ τοῦ μὴ νοοῦντος ὁ νοῶν, αὕτη κατ' εἶδος ἡ μεταβολή· τελειότης γάρ. τοιαύτη καὶ ἡ ἐκ τοῦ πρωῒ εἰς τὴν ἡμέραν μεταβολή· τελειοῦται γὰρ ὁ ὄρθρος προϊὼν ἐπὶ τὴν ἡμέραν, καὶ τὸ οἰκεῖον εἶδος λαμβάνει. τὴν μὲν οὖν τοιαύτην γένεσιν ἐκ τοῦ γιγνομένου γίνεσθαι λέγει, ὅτι ἐξ ἤδη γεγονότος καὶ ὄντος τινὸς εἰς τὸ τέλειον πρόοδος. ἡ δέ τις γένεσίς ἐστιν ἐκ τοῦ μηδέπω ὄντος εἰς τὸ εἶναι τόδε τι μεταβολή, ὡς λέγεται γίγνεσθαι ἐξ ὕδατος ἀήρ, ἣν λέγει πάλιν ἐκ τῆς γενέσεως, ὅτι τὸ οὕτως γινόμενον οὐ γεγονὸς ἢ προϋπάρχον τε καὶ γιγνόμενον γίνεται καὶ τελειοῦται, ἀλλ' ἔστιν ἐξ αὐτῆς τῆς γενέσεως γιγνόμενον, οὐκ ὂν πρὸ τούτου. ἡ γὰρ ἐκ τοῦ μηδ' ὅλως εἶναι εἰς τὸ εἶναι μεταβολὴ ἡ κυρίως γένεσις, ἥτις γίγνεται ἐκ τῆς τοῦ προϋπάρχοντος φθορᾶς· γίγνεται γὰρ ὁ ἀὴρ ἐκ τοῦ ὕδατος, οὐ τοῦ ὕδατος γιγνομένου ἀέρος, ἀλλ' ἐκ φθορᾶς ὕδατος καὶ μεταβολῆς τοιαύτης. εἰς δύο τούτους τοὺς τρόπους εὑρὼν διαιρούμενον τὸ ἔκ τινος εἴς τι μεταβάλλον καὶ γιγνόμενον, ὡς ἐξ αἰτίου τινὸς καὶ ὑποκειμένου — παρῃτήσατο γὰρ τὸ σημαίνεσθαι καὶ αὐτὸ δυνάμενον ἐκ τῆς λέξεως τῆς ἐκ τοῦδε γίγνεσθαι λεγούσης· ἔστι δὲ τοῦτο τὸ τόδε μετὰ τόδε· λέγεται γὰρ ἐξ Ἰσθμίων Ὀλύμπια ἢ ἀνάπαλιν, ὅτι γίγνεται

3. ἐν τῇ — 4. πρότερον om *A.* ‖ *in quibus vero nullum medium alterum altero prius est per huiusmodi ordinem, in his ne causa quidem sumi potest. in infinitis autem non est aliud alio prius, nam omnia* Sepulv. 5. τάξει, οὐδέ τι αἴτιον· ἐν δὲ τοῖς ἀπείροις οὐκ ἔστιν ἄλλο ἄλλου πρότερον. ‖ 7. τάξιν τι ἃ ἔχειν ἐπὶ τὰ *M.* ‖ 8. αὐτῶν ἐστὶ *M.* ‖ 14. ἐπεὶ] ἐπὶ *M.* ‖ 17. μέσαι *M.* ‖ 20. δ' ἂν οὐδ' *M.* ‖ 24. ἀπειρίας *M.* ‖ εἴη om *M.* ‖ 27. τὸ παρ' ἄλλου τὴν ἐναντίαν ἔχειν *M.* ‖ 28. τῇ] τὴν *M.* ‖ τι om *M.*

9. πάλαι *A.* ‖ 14 — 17. εἶδος. εἰ γὰρ ἀνακάμπτοι, οὐκ ἐπ' ἄπειρον ἡ τῶν αἰτιῶν πρόοδος· τῶν γὰρ αὐτῶν κατ' εἶδος τὰ αὐτὰ αἴτια τῷ εἴδει. "διχῶς γὰρ γίγνεται" διὰ τούτου δείκνυσι μὴ εἶναι δυνατὸν ἐπ' ἄπειρον ἐπὶ τὸ κάτω τὴν τῶν αἰτίων πρόοδον γίνεσθαι. ἔχει δέ τι ἀσαφὲς ἡ λέξις αὕτη, ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. λαβὼν *L.* ‖ 18. τὸ τελούμενον τῶν *V.* ‖ 19. τὸ καὶ εἰς *A,* ὡς εἰς *L.* ‖ 21. ἀλλὰ — 22. ἀλλοίωσιν bis *V.* ‖ 28. ἣν — 30. τε καὶ om *A.* ‖ 30. γίνεσθαι *M.* ‖ 38. τόδε] τοῦ *M.*

ὄντων μάλιστά ἐστιν ἀληθῆ, ἀναγκαῖον ἀκολούθως τοῖς προειρημένοις δείκνυσιν ὅτι ἔστι τινὰ αἴτια καὶ ἔστι τις ἀρχὴ ἐν αὐτοῖς, τουτέστι πρῶτον αἴτιον, καὶ οὐκ ἐπ' ἄπειρον ἡ πρόοδος τῶν αἰτίων· οὕτω γὰρ οὐκ ἂν εἴη γνωστὰ τὰ αἴτια, ἀλλ' οὐδὲ εἴη τι τὴν ἀρχὴν αἴτιον, ὡς δείξει. διὰ δὲ τοῦ δεικνύναι ὅτι οὐκ ἄπειρα τὰ αἴτια, δείκνυται αὐτῷ καὶ ὅτι ἔστι τὴν ἀρχὴν καὶ ὅτι γνωστά. φησὶ δὲ μήτε κατ' εὐθυωρίαν τὰς ἀρχὰς καὶ αἰτίας ἀπείρους εἶναι δύνασθαι μήτε κατ' εἶδος. ἔστι δὲ κατ' εὐθυωρίαν μὲν ἄπειρα, εἴ τις ἐπὶ τοῦ ληφθέντος αἰτίου καθ' ἕκαστον εἶδος αἰτίου προαναβεβηκὼς ἄλλο τι πάλιν αἴτιον λέγοι, ὡς εἶναι ἐπὶ μὲν τῆς ὑλικῆς αἰτίας ἀεὶ τοῦδέ τινος ὕλην ἄλλην τινὰ ὕλην ἔχουσαν, κἀκείνην πάλιν ἄλλην, καὶ τοῦτο ἐπ' ἄπειρον, μηδεμιᾶς οὔσης ἐσχάτης ὕλης, ἣ οὐκέτ' ἐξ ὕλης ἐστίν· οἷον, ὡς αὐτὸς παρέθετο, εἰ εἴη τῆς μὲν σαρκὸς ὕλη γῆ, τῆς δὲ γῆς ἀήρ, τοῦ ἀέρος πῦρ, τοῦ δὲ πυρὸς ἄλλο τι, καὶ τοῦτο ἐπ' ἄπειρον. καὶ ἐπὶ τῆς ποιητι- 994a 5. κῆς πάλιν αἰτίας, ἣν αὐτὸς εἶπεν "ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως," ὁμοίως, ὡς τόδε μὲν τοῦδέ τινος ποιητικὸν εἶναι καὶ κινητικὸν αἴτιον, αὐτοῦ δὲ τούτου πάλιν ἄλλο, κἀκείνου πάλιν ὁμοίως ἄλλα, καὶ τοῦτο ἐπ' ἄπειρον· οἷον αὐτὸς πάλιν δεικνὺς παρέθετο, εἰ εἴη τοῦ μὲν ἀνθρώπου κινητικὸν αἴτιον ὁ ἀήρ, τοῦ δὲ ἀέρος ὁ ἥλιος, τοῦ δὲ ἡλίου πάλιν τὸ νεῖκος καὶ τοῦ νείκους αὖ πάλιν ἄλλο τι, καὶ τοῦτο ἐπ' ἄπειρον. ὅμοιος δὲ ὁ λόγος καὶ ἐπὶ τῆς κατὰ τὸ τέλος καὶ τὸ οὗ ἕνεκα αἰτίας, ὡς εἶναι τῶν τελῶν τῶν λαμβανομένων ἕκαστον ἄλλου χάριν γιγνόμενον καὶ ἐπὶ ἄλλο τι τέλος ἀναφερόμενον, ὡς μὴ εἶναί τι ἔσχατον, οὗ χάριν τὰ ἄλλα, αὐτὸ δὲ μηδενός. ὁμοίως καὶ ἐπὶ τοῦ εἰδικοῦ αἰτίου καὶ ὡς αὐτὸς λέγει τοῦ τί ἦν εἶναι, εἰ πάλιν καὶ ἐπὶ τούτων ἑκάστου τῶν λαμβανομένων εἰδῶν ἄλλο τι εἶδος εἴη ἄν, ζῴου μὲν εἶδος ψυχή, ψυχῆς δὲ ἄλλο τι, φέρε εἰπεῖν οἷον νοῦς, νοῦ δὲ πάλιν ἄλλο τι. τοιαύτη μὲν ἡ κατ' εὐθυωρίαν τῶν αἰτίων ἀπειρία, ἡ δὲ κατ' εἶδος, εἰ μὴ τέσσαρα εἴη εἴδη τῶν αἰτίων, ὡς αὐτὸς ἔδειξεν, ἤ τις ἄλλος ἀριθμὸς ὡρισμένος, ἀλλ' εἴη ἄπειρα, ὡς φέρε εἰπεῖν οἱ ὑποτιθέμενοι ἐν ταῖς ἀρχαῖς ἀπείρους σχημάτων διαφοράς. ὅτι δὲ κατὰ μηδέτερον τῶν τρόπων τούτων οἷόν τε ἄπειρα εἶναι αἴτια, δείκνυσι, καὶ πρῶτόν γε ὅτι ἀδύνατόν ἐστιν εἶναι κατ' εὐθυωρίαν ἄπειρα τὰ αἴτια παρίστησι. δεῖ δὲ τὴν κατ' εὐθυωρίαν τῶν αἰτίων ἀπειρίαν ὅτι μή ἐστιν ἐλέγχειν, μὴ τὴν κατὰ χρόνον ἀπειρίαν λαμβάνοντα καὶ οὕτως ἀεὶ τοῦ γεγονότος ἔκ τινος τὸ αἴτιον λαμβάνοντα· οὕτω μὲν γὰρ ἀνάγκη ἐπ' ἄπειρον τὴν ἄνοδον εἶναι, ἀπείρου τε τοῦ χρόνου οὕτως ὄντος καὶ ἀϊδίου τοῦ κόσμου· ἡ γὰρ τοιαύτη λῆψις οὐκ αἰτίων δείκνυσιν ἀπειρίαν ἀλλὰ χρόνου. ἡ δὲ τῶν αἰτίων ἀπειρία δεικνύοιτο ἄν, εἰ ἐπ' ἄπειρον ἄλλο πρὸ ἄλλου αἴτιον κατὰ τὸ εἶδος διαφέρον λαμβάνοιτο, ἐπεὶ τῆς γε ἀδιαλείπτου γενέσεως τῆς ἐν τῷ ἀπείρῳ χρόνῳ τὰ αὐτὰ αἴτια ὄντα δείκνυται. Alex.

"τῶν — μέσων." ὅτι μὴ οἷόν τε εἰς εὐθυωρίαν εἶναι ἄπει- 994a 11. ρόν τι εἶδος αἰτίων, καθολικῇ δείξει χρώμενος τοιαύτῃ παρίστησιν. ἐν οἷς ἔστι μέσα τινά, ὡς εἶναί τι πρῶτον καὶ εἶναί τι ἔσχατον καὶ τούτων μεταξύ τινα, ἀνάγκη τούτων τὸ πρῶτον αἴτιον εἶναι τῶν μέσων τε καὶ μετ' αὐτὰ ὄντων, εἰ δῆλον ὅτι οὕτως ἔχοιεν πρὸς ἄλληλα ταῦτα ὡς τὸ μὲν αὐτῶν αἴτιον εἶναι τὸ δὲ αἰτιατόν. καὶ διὰ τί τοῦτο, δείκνυσιν ἐπὶ τριῶν ποιησάμενος τὸν λόγον. πρῶτον δὲ καὶ ἔσχατον οὐ τῷ χρόνῳ λαμβάνει, ἀλλὰ τὴν κατ' εἶδος διαφορὰν δεικνὺς τῶν αἰτίων. τῶν γὰρ ὁμοειδῶν οὐδὲν μᾶλλον ἄλλο ἄλλου κατὰ τὴν οἰκείαν φύσιν πρῶτόν ἐστιν. εἰ οὖν τρία οὕτως ἔχοντα πρὸς ἄλληλα ληφθείη, καὶ δέοι τίνα τούτων αἴτιά ἐστι τῶν ἄλλων ἀποδοῦναι, τὸ πρῶτον ἂν εἴποιμεν. οὔτε γὰρ τὸ ἔσχατον· οὐδενὸς γὰρ τοῦτο αἴτιον, μηδέν γε ἔχον μετ' αὐτό. ἀλλ' οὐδὲ τὸ μέσον· τοῦ γὰρ μετ' αὐτὸ τοῦτο αἴτιον, εἴπερ ἄρα εἶναι δύναται, μόνου· ἦν δὲ ζητούμενον τί ἐκ τῶν εἰλημμένων τῶν ἄλλων ἐστὶν αἴτιον. ἐπεὶ ὡς τὸ μέσον πρὸς τὸ μετ' αὐτὸ ἔχει, οὕτω τὸ πρῶτον πρὸς τὸ μέσον· ὥστε τοῦτο οὐκ αἴτιον τοῦ μετ' αὐτὸ τῷ ἄλλο τι αὐτὸ αἴτιον ἔχειν· μὴ ὄντος γὰρ ἐκείνου οὐκ ἂν τὸ δεύτερον ἦν, μὴ ὂν δὲ οὐκ ἂν αἴτιον ἦν τοῦ τρίτου. δῆλον ἄρα ὡς αἴτιον τὸ πρῶτον τῶν μετ' αὐτό. ποιησάμενος δὲ τὸν λόγον ἐπὶ τριῶν, οὐδέν φησι διαφέρειν, ὡς πρὸς τὴν δεῖξιν, ἢ ἓν μέσον λαβεῖν ἢ πλείω ἢ ἄπειρα· ὁ γὰρ αὐτὸς λόγος ἐπὶ πάντων· ἐν πᾶσι γάρ, ὅσα ἂν ληφθῇ, τὸ πρῶτον αὐτῶν ἐστὶν αἴτιον κυρίως, ἀλλ' οὐ τὸ μέσον τι ἢ τὸ ἔσχατον, τὸ ἔσχατον μέν, ὅτι μηδὲ τὴν ἀρχὴν τοῦτό τινος αἴτιον· οὐδὲ τῶν μεταξὺ δέ τι, ὅτι ἄλλου τοῦτο πρὸς τὸ εἶναι δεῖται· τοῦ γὰρ πρὸ αὐτοῦ, οὗ μὴ ὄντος οὐδ' ἂν ἦν. δείξας δὲ τοῦτο καὶ λαβὼν τὸ εἶναι τὸ πρῶτον ἐν ἅπασιν αἴτιον τῶν μετ' αὐτό, μέτεισιν ἐπὶ τὸ κατ' εὐθυωρίαν λεγόμενον ἄπειρον, καὶ εὑρὼν ὅτι ἐν τῷ οὕτως ἀπείρῳ οὐδέν ἐστι πρῶτον, λαμβάνει τὸ ἀκόλουθον τούτῳ, ὅτι μηδὲ αἴτιον· εἰ γὰρ ἐν πᾶσιν αἴτιον τὸ πρῶτον, ἀλλ' οὐχὶ τῶν μέσων τι, ἐφ' ὧν ἡ τοιάδε τάξις, ἐν οἷς μηδέν ἐστι πρῶτον ἀλλὰ μέσα πάντα, ἐν τούτοις οὐδὲ αἰτιόν τί ἐστιν, οὐ μόνον οὐ πρῶτον, ἀλλ' οὐδὲ τῶν μεταξύ τι. τὸ δὲ "τοῦτον τὸν τρόπον" προσκεί- 994a 17. μενον τοῖς αἰτίοις τοῦ κατ' ἐνέργειαν ἀπείρου δηλωτικόν ἐστιν· ἐν γὰρ τοῖς οὕτως ἀπείροις οὐδέν ἐστι πρῶτον, καὶ ἐπὶ τοῦ ἀνομοειδοῦς· τῶν ἀπείρων μὲν ὁμοειδῶν δὲ πάλιν τὸ ληφθὲν ὁμοίως αἴτιον ('). τὸ δὲ μέχρι τοῦ νῦν εἶπεν ἀντὶ τοῦ μέχρι τοῦ ἐσχάτου, ἀφ' οὗ ἡμῖν ἡ ἀρχὴ τῆς τῶν αἰτίων ζητήσεως ('). καὶ γὰρ ἐν οἷς μὲν ἔστι πρότερόν τι καὶ δεύτερον λαβεῖν ἐν τῇ τάξει, ἐν τούτοις καὶ ἄλλο ἄλλου φῆσαι

1. ἀναγκαίως *M.*, ἀναγκαίως καὶ Asclep. ‖ 4. τις *M.* ‖ 5. *docet esse principium et causas posse cognosci* Sepulv. ‖ 6. δὲ ὅτι μήτε *M.* ‖ 7. αἰτίους *M.* ‖ 13. εἰ om *M.* ‖ 21. καὶ τοῦ οὗ *A.* ‖ 22. γιγνόμενον *M.* ‖ 25. πάλαι *A.* ‖ 29. ὡς om *M.* ‖ 33. γε] δὲ *M.*

5. εἶναί τι πρῶτον καὶ om *M.* ‖ 7. αὐτὸ *M.* ‖ 8. εἶναι αἴτιον *M.* ‖ τί et 11. μᾶλλον om *M.* ‖ 12. οὕτως ἐστὶν ἔχοντα *A.* ‖ 13. τίνα δέοι *A.* ‖ αἴτιον *M.* ‖ 16. ἀδύναται *M.* ‖ 28. εἶναι τὸ om *A.* ‖ εἶναι τὴν ἀρχὴν τὸ πρῶτον *M.* ‖ 31 — 37. apud Asclep. ‖ 33. οὐ post μόνον om Asclep. ‖ 34. οὐδὲ] οὐ *A.* ‖ 36. ἐπὶ] ἔτι Asclep. ‖ τῶν γὰρ ἀπείρων Asclep. ‖ 37. πάλιν] κἂν Asclep. ‖ *quemadmodum in difformi, rursus quod sumtum fuerit, similiter est causa usque ad hoc praesens, inquit* Sepulv.

τὰ ἀΐδια μάλιστα ὄντα, καὶ μάλιστα ἡ ἐκείνων γνῶσις ἀλήθεια, εἴγε ἐπιστήμη. εἰ δὲ τὰ ἀΐδια μάλιστα ὄντα, ἔτι μᾶλλον ὄντα τὰ τούτοις αἴτια τοῦ εἶναι ἀεί· διὰ γὰρ τὸ εἶναι αἴτια τούτοις ἐκεῖνα τούτων μᾶλλον ὄντα καὶ μάλιστα ὄντα. οὗ τὴν αἰτίαν παρέθετο εἰπὼν "ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον." δι' ὃ γάρ τισιν ὑπάρχει τὸ τοιοῖσδέ τισιν εἶναι καὶ συνωνύμοις κατὰ τοῦτο ἀλλήλοις, οἷον θερμοῖς, ἐκεῖνο μάλιστα θερμόν. δεῖ γὰρ μὴ μόνον ἀλλήλοις αὐτὰ εἶναι συνώνυμα, ἀλλὰ καὶ τὸ αἴτιον αὐτοῖς τοῦ εἶναι τοιούτοις συνώνυμον αὐτοῖς εἶναι· τότε γὰρ ἔσται μάλιστα τοιοῦτον αὐτό, ὅταν ᾖ πρῶτον τοιοῦτον, οἷον μάλιστα θερμὸν ἔσται τὸ τοῖς θερμοῖς αἴτιον καὶ τὸ αἴτιον αὐτοῖς τοῦ εἶναι τοιούτοις συνώνυμον αὐτοῖς εἶναι· τότε γὰρ ἔσται μάλιστα τοιοῦτον αὐτό, ὅταν ᾖ πρῶτον, οἷον μᾶλλον τοῦ εἶναι θερμοῖς, πρῶτον θερμὸν ὂν αὐτό. οὕτως αἴτιον τὸ πῦρ τοῖς θερμοῖς τοῦ εἶναι θερμοῖς· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰπεῖν καθὸ καὶ τοῖς ἄλλοις, ἐπεὶ δύναται αἴτιόν τισιν εἶναι τοῦ τοιοῖσδε εἶναι μὴ ὂν αὐτὸ τοιοῦτον, οἷον ἡ τρῖψις αἰτία θερμότητός τισιν, ἀλλ' οὐ μάλιστα θερμὴ οὖσα αἰτία τῆς θερμότητος ἐκείνοις. τὸ δὲ πῦρ, ἐπεὶ τοῖς θερμοῖς αἴτιον τῆς θερμότητος θερμὸν ὂν καὶ αὐτό, διὰ τοῦτο μάλιστα καὶ αὐτὸ θερμόν. καὶ τὰ τῶν ὄντων δὴ μάλιστα αἴτια ὄντα, καὶ αὐτὰ ὄντα μᾶλλον ἐκείνων, τῷ αἴτια αὐτῶν εἶναι, καὶ ἀληθῆ ἔτι μᾶλλον· ἦν γὰρ κείμενον τό, ἣ ἕκαστον τοῦ ὄντος μετέχει, οὕτω καὶ τῆς ἀληθείας ἔχειν. καθ' ὅσον μὲν οὖν ἀΐδια καὶ τὰ ἀεὶ ὄντα λέγω καὶ τὰ τούτων αἴτια, κατὰ τοσοῦτον συνωνύμως ἀλλήλοις τε καὶ τοῖς αἰτίοις αὐτῶν ἀληθῆ· καθ' ὅσον δὲ αἰτιά τισι τοῦ εἶναι μάλιστα τοιαῦτα, κατὰ τοσοῦτον μᾶλλον ἐν τοῖς ἀϊδίοις ἀληθῆ τὰ αἴτια αὐτῶν· ὥστε μάλιστα ἂν εἴη περὶ ἀληθείας ἡ περὶ τῶν τοιούτων αἰτίων γνῶσις. καὶ γὰρ εἰ τὰ ἀεὶ ὄντα, περὶ ἃ ἡ θεωρία, ἀεὶ ἀληθῆ τῷ ἀεὶ εἶναι, ἀλλ' οὖν καὶ ἐν τούτοις μάλιστα τὰ αἴτια τῶν αἰτιατῶν ἀληθῆ· τὰ μὲν γὰρ πρῶτα τὰ δὲ ὕστερα, οὐ τῷ χρόνῳ (ἀμφότερα γὰρ ἀΐδια) ἀλλὰ τῇ φύσει· φύσει γὰρ πρῶτον τὸ αἴτιον τῶν οἷς ἐστὶν αἴτιον. οὐδὲν δὲ ἄτοπον λέγειν ἀληθὲς ἀληθοῦς διαφέρειν, εἴγε τὸ μὲν ἀληθὲς τοῦ εἶναι ἤρτηται, διαφέρει δὲ τὸ εἶναι τοῖς γνωστοῖς· τὰ μὲν γὰρ αὐτῶν ἐστὶν ἐπιστητὰ τὰ δὲ δοξαστά. τὴν γὰρ ὕλην, ὡς προελθὼν ἐρεῖ, κινουμένην εἶναι ἀνάγκη· οὐ γὰρ ἐπιστητὰ τὰ ὄντα πάντα, ἀληθῆ δὲ τὰ ὄντα, ἀλλὰ καθ' ἕκαστον ἡ τοῦ ὄντος ὡς ἔχει γνῶσις, ἀλήθεια, οὐ κατ' αὐτά (οὐ γὰρ ἐν τοῖς πράγμασιν ἡ ἀλήθεια) ἀλλὰ καθ' ὅσον ἡ τοῦ ὄντος ἔχει γνῶσις, ἀλήθεια. εἰ δὲ τοῦτο, καὶ ἡ τοῦ μάλιστα ὡς ἔχει γνῶσις, μάλιστα ἀλήθεια, εἴγε καὶ ἐπιστήμη. ὥστ' ἐπεὶ τῷ ὄντι ἕπεται τὸ ἀληθές, τῷ μάλιστα ὄντι ἕποιτο ἂν τὸ μάλιστα ἀληθές. Alex.

(e) "ἕκαστον — ἄλλων." φησὶν ὅτι τὸ αὐτὸ αἴτιόν ἐστι τῶν ἄλλων. καὶ ἐχρήσατο Πλατωνικῇ λέξει τῇ αὐτό, ἐνδεικνύμενος τὰς ἰδέας· τὸ γὰρ αὐτὸ αἴτιον τοῖς ἄλλοις τοῦ εἶναι, τουτέστι τὸ νοητόν. φημὶ δὴ τὴν ὕπαρξιν τοῦ νοητοῦ, καθ' ὃ τοῖς ἄλλοις ὑπάρχει συνωνύμως, τουτέστιν ὁμώνυμον ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν, οἷον τὸ πῦρ φαμὲν εἶναι θερμότατον, ἐπειδὴ καὶ τοῖς ἄλλοις αἴτιόν ἐστι θερμότητος. Asclep.

(f) διό φησι καὶ ἐν τῇ Ἀποδεικτικῇ (1 3) ὅτι οὐκ ἐπ' ἄπειρον 993b 28. αἱ ἀρχαί, καὶ ἐν τῇ Φυσικῇ ὅτι ἀναγκαία ἐστὶν ἡ περὶ τῶν ἀρχῶν θεωρία. id.

"διὸ — ἀληθεστάτας." τουτέστι τὴν γνῶσιν αὐτῶν εἶναι ἀεὶ ἀληθεστάτην· εἰ γὰρ τὸ ὂν ἀληθές, τὸ ἀεὶ ὂν ἀληθὲς ἀεί. ὃ δὴ τοῦ ἀεὶ ἀληθοῦς ἐστὶν ἀληθέστερον, ἀεὶ ἀληθέστατον ἂν εἴη. τοιαῦτα δὲ τὰ αἴτια τῶν ὄντων ἀεί, οἷον κόσμου τοῦδε καὶ τῶν ἄστρων, ἢ τῶν τεσσάρων σωμάτων, ὧν κατ' εἶδος ἡ ἀϊδιότης, καὶ τῶν ἐπὶ τοῖς καθ' ἕκαστά τε καὶ ἐν γενέσει ἀϊδίων· καὶ γὰρ αὐτὰ ἀΐδια. τὰ γὰρ τῶν τοιούτων ἀΐδια τῷ μὲν ἀεὶ εἶναι (οὐ γὰρ δὴ τῶν ἀϊδίων οὐκ ἀΐδια τὰ αἴτια) ἀεὶ ἔσται ἀληθῆ· τῷ δὲ αἴτια εἶναι τῶν ἀϊδίων τε καὶ ἀεὶ ἀληθῶν μᾶλλον αὐτῶν ἀληθῆ ἔσται, ὥστε καὶ ἀληθέστατα. κεῖται γὰρ ὅτι τὸ τοῦ εἶναί τισιν αἴτιον, τοῦτο καὶ τοῦ ἀληθέσιν αὐτοῖς εἶναί ἐστιν αἴτιον, καὶ ὅτι ἀληθέστατον τοῦτο ὡς ἀεὶ ὄν, καὶ ὅτι μηδέν ἐστιν αἴτιον τοῦ εἶναι αὐτῷ, ἀλλ' αὐτὸ τοῖς ἄλλοις. εἰπὼν δὲ "ὥστε καὶ ἀληθέστατον τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι," ἐπήνεγκε τὸ "καὶ γὰρ τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεστάτας," ὡς ὁμολογουμένου τοῦ ὅτι τὸ τοῦ εἶναί τισιν αἴτιον, τοῦτο καὶ τοῦ ἀληθέσιν αὐτοῖς εἶναί ἐστιν αἴτιον. οὗ οὕτως ἔχοντος ἕπεται τὸ τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς ἀληθεστάτας εἶναι· τὰ γὰρ τῶν ἀεὶ ὄντων ἀληθῶν ἀληθέστερα ἀληθέστατα. διὰ τούτων δὲ δείκνυσιν ὡς συνηρτημένου τοῦ ἀληθοῦς τῷ ὄντι· διὸ καὶ ἐπιφέρει "ὥστε ἕκαστον ὡς ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας," ἴσον λέγων τῷ, ὡς γὰρ ἕκαστον ἔχει τε καὶ μετέχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας. οὐ γὰρ ποτὲ ἀληθεῖς, τοῦτο δὲ διὰ τὸ ἀΐδια εἶναι, ἀλλὰ κατά γε τοῦτο κοινωνεῖ αὐτοῖς καὶ τὰ ἄλλα τὰ ἀΐδια (g). τὸ δὲ "οὐδὲ ἐκείνων αἴτιον τοῦ εἶναι, ἀλλ' 993b 29. ἐκεῖνα τοῖς ἄλλοις" δεικτικὸν τῆς καὶ ἐν τοῖς ἀϊδίοις αὐτῶν κατὰ τὴν ἀλήθειαν ὑπεροχῆς. Alex.

(g) ἐντεῦθεν δείκνυσιν ὅτι σύνδρομοι ὑπάρχουσιν αἱ ἐνέργειαι 993b 30. ταῖς οὐσίαις· διό φησι τέσσαρας εἶναι ἐνεργείας, ἐπειδὴ καὶ τέσσαρες οὐσίαι, νοηταὶ καὶ διανοηταί, δοξασταί, αἰσθηταί. φησὶν οὖν, ὡς ἕκαστον ἔχει οὐσίας, οὕτω καὶ ἀληθείας· σύνδρομοι γὰρ αἱ ἐνέργειαι ταῖς οὐσίαις. εἰ τοίνυν αἱ νοεραὶ οὐσίαι θεῖαι ὑπάρχουσι καὶ ἀληθεῖς καὶ ἀεὶ ὡσαύτως ἔχουσαι καὶ ἀναίτιοι, φανερὸν ὅτι καὶ αἱ ἐνέργειαι αὐτῶν τοιαῦται. ἐπὶ μέντοι γε ἡμῶν ἡ οὐσία οὐ τοιαύτη, οὐκοῦν οὐδὲ αἱ ἐνέργειαι· ἐκεῖθεν γὰρ ἐπινάονται. Asclep.

"ἀλλὰ — δῆλον." εἰπὼν τὴν θεωρητικὴν φιλοσοφίαν περὶ 994a 1. ἀληθείας ἐπιστήμην εἶναι, ἥτις διὰ τῆς τῶν αἰτίων γνώσεως γίνεται, εἰπὼν δὲ καὶ μάλιστα ἀληθῆ τὰ αἴτια εἶναι, καὶ διὰ τούτων συστήσας ἀναγκαίαν οὖσαν τῇ θεωρητικῇ φιλοσοφίᾳ τὴν τῶν αἰτίων γνῶσιν, οὔσῃ τἀληθοῦς θεωρητικῇ, ἐπεὶ τὰ αἴτια τοῦ εἶναι τοῖς ἀϊδίοις τῶν

11. καὶ — 13. μᾶλλον om A. ‖ 23. λέγων M. ‖ 34. κινουμένων M. ‖ 39. εἰ δὲ τοῦτο — ἐπιστήμη iterat A. ‖ ἐπὶ A.

14. καὶ ἀκολουθῶν μᾶλλον M. ‖ 22. ὃ om M. ‖ τὸ et 26. ἴσον — 27. ἀληθείας om A. ‖ 40 — p. 594 a 3. apud Asclep. ‖ 41. διὰ τὴν τῶν αἰτίων γνῶσιν Asclep. ‖ 42. συστησάμενος Asclep. ‖ 44. οὔσῃ τἀληθοῦς θεωρητικῇ om Asclep.

γιγνομένου τε καὶ ἀρξαμένου (l). ὡς δὲ ἐπ' ἐκείνων ἔχει, οὕτω δὲ καὶ ἐπὶ τῆς καλῆς κατὰ τὴν ἀλήθειαν θεωρίας· παρὰ μὲν γάρ τινων ἔχομεν δόξας τινάς, αἷς ἄξιον χρῆσθαι ὡς ἐχούσαις περιττόν τι, ἄλλοι δὲ τοῦ τούτους εἰπεῖν τι καὶ εὑρεῖν τοιοῦτον ἐγένοντο αἴτιοι. id.

993b 15. (l) ἀρχαιότερος γὰρ Φρύνις Τιμοθέου, ὃς καὶ τὴν ἀρχὴν εὗρε τῆς μελοποιΐας. Asclep.

993b 19. "ὀρθῶς — ἀληθείας." χρησάμενος τῷ τῆς ἀληθείας ὀνόματι ἐπὶ τῆς θεωρητικῆς φιλοσοφίας, νῦν ὅτι εὐλόγως οὕτως καλεῖται συνίστησι· φιλοσοφίαν γὰρ ἰδίως τὴν θεωρητικὴν λέγει, ὡς δι' ὧν ἐπιφέρει δηλοῖ, λέγων "θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια·" καὶ ταύτης ἔτι μᾶλλον ἡ περὶ τῶν πρώτων ἀρχῶν τε καὶ αἰτίων τῶν παντάπασιν αἰσθήσεως κεχωρισμένων καὶ τῇ αὐτῶν φύσει ὄντων, ἣν καὶ σοφίαν καλεῖ. συνίστησι δὲ τὸ προειρημένον οὕτως. ἐπεὶ τέλος τῆς θεωρητικῆς φιλοσοφίας ἐστὶν ἡ ἀλήθεια, ἀπὸ δὲ τοῦ τέλους καὶ τοῦ σκοποῦ ἑκάστη μέθοδος χαρακτηρίζεταί τε καὶ τὸ εἶναι ἔχει, εἰκότως περὶ τῆς ἀληθείας αὕτη καλεῖται· τοῦτο γὰρ αὐτῆς τέλος. καὶ τῇ τῶν πρακτικῶν ἐπιστημῶν δὲ παραθέσει ἔδειξε τὸ εὐλόγως καλεῖσθαι παρὰ τῆς ἀληθείας τὴν θεωρητικήν· τέλος γὰρ τῇ πρακτικῇ ἡ πρᾶξις, καὶ οὐχ ἡ γνῶσις, τέλος τῆς ἐν τοῖς πρακτικοῖς ἀληθείας· καὶ γὰρ ἐν οἷς τὸ πῶς ἔχει τὸ ὑποκείμενον ἀληθείας σκοποῦσιν οἱ πρακτικοί, οὐ περὶ ἀϊδίου τινὸς ἀληθείας σκοποῦσιν. ὡς δὲ τῆς περὶ τὰ ἀΐδια ἀληθείας κυρίως καὶ μάλιστα ἀληθείας οὔσης, οὐ τῆς ἐν τοῖς πρακτικοῖς, τοῦτο προσέθηκεν. οὐ δὴ περὶ ταύτης οἱ πρακτικοί, ἀλλὰ τῆς τινὶ καὶ ποτέ, καὶ ἐπὶ τὴν πρᾶξιν τὴν ἀναφορὰν τῆς θεωρίας ποιούμενοι· τοιαῦτα γὰρ τὰ πρακτικὰ οὐ καθόλου, ἀλλὰ μεταπίπτοντα καὶ κατὰ τὰς ἡλικίας τῶν πραττόντων καὶ κατὰ τὰς τύχας καὶ κατὰ τὰς πρὸς οὓς πράττεται σχέσεις. καὶ γὰρ αἱ περὶ τῶν ἀρετῶν καὶ τῶν κατὰ ταύτας ἐνεργειῶν ζητήσεις, αἳ μὴ θεωρίας χάριν ἐγίνοντο μόνης, ἐν τοῖς πρακτικοῖς εἰσὶ καὶ περὶ τὰ καθ' ἕκαστα· περὶ γὰρ
993b 22. ταῦτα ἡ αὐτῶν ἀναφορά. διὰ δὲ τοῦ εἰπεῖν "οὐκ ἀΐδιον" ἔδειξεν ὅτι μὴ τὸ τέλος τοῖς πρακτικοῖς ἀλήθειά τε καὶ ἐπιστήμη· ἀϊδίων γὰρ αἱ ἐπιστῆμαι καὶ θεωρίαι. γράφεται δὲ ἔν τισιν ἀντιγράφοις "οὐ τὸ αἴτιον καθ' αὑτὸ ἀλλὰ πρός τι καὶ νῦν θεωροῦσιν." οὕτω γεγραμμένου εἴη ἂν λέγων ὅτι οὐ τὸ κυρίως καὶ καθ' αὑτὸ αἴτιον, ὃ τοῦ ἁπλῶς ἀληθέσιν αὐτοῖς εἶναι αἴτιόν ἐστι, θεωροῦσιν οἱ πρακτικοί, ἀλλὰ τὸ πρὸς τόδε καὶ νῦν ἀληθὲς αὐτὸ εἶναι (m)· τοιοῦτον γὰρ τό τε ἐν τοῖς πρακτικοῖς ἀληθὲς καὶ τὸ ὡς πρακτικῶν αὐτῶν αἴτιον (n). "οὐκ ἴσμεν δὲ τὸ ἀληθὲς ἄνευ αἰτίας." τὸ λεγόμενον ἴσον ἐστὶ τῷ ἀλλὰ μὴν τὸ ἀληθὲς οὐχ οἷόν τε ἄνευ αἰτίας εἰδέναι· ὥστε εἰ οἱ πρακτικοὶ μὴ κατὰ τὸ κυρίως αἴτιον τὴν γνῶσιν περὶ τῶν προκειμένων ποιοῦνται, οὐδὲ τὸ ὄντως ἀληθὲς ἐν αὐτοῖς θεωροῦσι. καὶ εἴη ἂν οὕτως μὲν λεγόμενον ἀκολούθως εἰρημένον τῇ δευτέρᾳ γραφῇ· εἰ δὲ ἁπλῶς λέγοιτο, ὡς δεικτικὸν ἂν λέγοιτο τοῦ δεῖν τὸν περὶ τὸ ἀληθὲς πραγματευόμενον τῶν αἰτιῶν εἶναι θεωρητικόν. ἐνδειξάμενος δὲ ὅτι ἐστὶν αὐτῷ ἡ προκειμένη πραγματεία περὶ τῆς ἀληθείας θεωρία, καὶ τίς ἐστιν αὕτη δείξας, ὅτι ἡ σοφία καὶ ἡ θεωρητικὴ φιλοσοφία, προστίθησι τοῖς εἰρημένοις ὅτι ἀδύνατον τὸ ἀληθὲς γνῶναι ἀγνοοῦντας τὴν αἰτίαν, διδάσκων ἡμᾶς διὰ τούτου καὶ τοῦ ἐπὶ τούτῳ λεγομένου ὅτι ἀναγκαία ἂν εἴη τῷ περὶ ἀλήθειαν καταγινομένῳ ἡ τῶν αἰτίων γνῶσις, ὡς εἶπε καὶ τῆς Φυσικῆς μὲν ἀρχόμενος· καὶ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (1 2) ἔδειξεν ἐπιστήμην οὖσαν τὴν δι' αἰτίου γνῶσιν· ἔδειξε δὲ καὶ ἐν τῷ πρώτῳ τὴν κυρίως γνῶσίν τινος ἐκ τῆς τῶν αἰτίων αὐτοῦ γνώσεως ἠρτημένην. οὐχ ὅτι δὲ πᾶν ἀληθὲς ἐξ αἰτίας γνωρίζεται λέγει· οὕτως γὰρ ἐπ' ἄπειρόν τε ἂν εἴη τὰ αἴτια, καὶ οὐδὲν γνωστὸν ἂν εἴη, ὡς μετ' ὀλίγον δείξει· ἀλλὰ δῆλον ὅτι τούτων τὸ ἀληθὲς οὐχ οἷόν τε γνῶναι χωρὶς αἰτίας τῶν ἐχόντων αἰτίας. ἔστι δέ τινα γνωστὰ χωρὶς αἰτίας· τὰ γὰρ οὐκ ἔχοντα αἰτίας τοιαῦτα, οἷα τὰ πρῶτα καὶ αἱ ἀρχαί, ὧν οὐκ ἔστιν αἴτια. ἢ οὖν ἐνδεῶς εἴρηκε· λείπει γὰρ τὸ ὧν εἰσὶν ἀρχαὶ καὶ αἴτια, ὃ εἶπεν ἐν τῇ Φυσικῇ Ἀκροάσει. ἢ τὸ "οὐκ ἴσμεν" ἴσον ἐστὶ τῷ οὐκ ἔχομεν ἐπιστήμην· ἡ γὰρ ἐπιστήμη ἐστὶ κυρίως ἡ δι' ἀποδείξεως γνῶσις, τῶν δὲ ἀρχῶν οὐκ ἔστιν ἀπόδειξις, ὥστε οὐδὲ γνῶσις τοιαύτη. ἢ δι' ὧν ἐπιφέρει καὶ περὶ τούτου λέγει· τοιοῦτον γὰρ τὸ "ὥστε καὶ ἀληθέστερον τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι," καὶ διὰ τοῦ "τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς δέον ἀεὶ εἶναι ἀληθεστάτας." οὐ γάρ ποτε ἀληθεῖς, οὐδὲ ἐκείνων αἴτιον τοῦ εἶναι ἄλλο, ἀλλ' ἐκεῖναι τοῖς ἄλλοις. Alex.

(m) γρ. "οὐ τὸ αἴτιον καθ' αὑτό," καὶ οὐ "τὸ ἀΐδιον." cod. Reg.

(n) ἡ πρᾶξις οὐ τὸ ἀΐδιον καθ' αὑτὸ ἔχει ἀλλὰ πρός τι. ἡ γὰρ πρᾶξις πρός τινα καιρὸν συμβάλλεται, καὶ ἔστιν ἀληθὲς τὸ μερικῶν πραγμάτων τὰς πράξεις ὑπάρχειν. Asclep.

"ἕκαστον — συνώνυμον." εἰπὼν ὅτι μὴ οἷόν τε τὴν ἀλήθειαν 993b 24.
τὴν ἐν τοῖς ἔχουσιν αἰτίας γνῶναι χωρὶς τῆς γνώσεως τῶν αἰτιῶν αὐτῶν, καὶ διὰ τούτου δείξας ἀναγκαίαν τῇ θεωρητικῇ φιλοσοφίᾳ τὴν τῶν αἰτίων γνῶσιν, νῦν ὅτι ἀναγκαία δείκνυσι πάλιν διὰ τοῦ δεῖν μὲν τὸν περὶ τῆς ἀληθείας φιλοσοφοῦντα τὰ μάλιστα ἀληθῆ γνωρίζειν, μάλιστα δὲ ἀληθῆ τὰ ἀΐδια αἴτια· ταῦτα γὰρ καὶ τῆς τῶν δι' αὐτὴν ὄντων ἀληθείας αἴτια (o). ἀληθέστατον μὲν γὰρ ὃ καὶ τοῖς ἄλλοις αἴτιον τοῦ ἀληθέσιν εἶναι, αἱ δὲ ἀρχαὶ αἴτια τῆς ἐν τοῖς δι' αὐτὰς οὖσιν ἀληθείας (p). ἕκαστον γὰρ τῶν ὄντων ἐφ' ὅσον τοῦ εἶναι μετέχει, ἐπὶ τοσοῦτον καὶ τῆς ἀληθείας· τὸ γοῦν ψεῦδος μὴ ὄν. διὸ

1. lege γιγνομένου. ‖ 2. καλῆς om *M.* ‖ 7 sqq. apud Asclep. ‖ 12. αὐτῇ Asclep. ‖ 16. γὰρ αὐτῇ Asclep. ‖ 18. περὶ *M.* ‖ 19. καὶ om *V.* ‖ ἐν τοῖς πρακτικοῖς *MV*, πρακτοῖς *A.* ‖ 21. ἀληθείας *V.* ‖ 22. ἴδια *M.* ‖ 23. πρακτοῖς *A.* ‖ 24. ἀλλὰ τίς τίνι καὶ *M.* ‖ 25. τὰ γὰρ Asclep. ‖ πρακτὰ *A.* ‖ οὐ] καὶ *AM.* ‖ 29 et 31. πρακτοῖς *A.* ‖ 32. δὲ om *V.* ‖ οὐ τὸ αἴτιον οὐ καθ' *L.* ‖ 33. θεωροῦσιν οἱ πρακτικοί. οὕτως δὲ γεγραμμένου *L.* ‖ 34. τοῦ ἀληθέσιν αὐτοῖς εἶναι ἁπλῶς αἴτιόν *L.* ‖ 36. τὸ ἐν *L.* ‖ πρακτοῖς *A.* ‖ 37. πρακτῶν αὐτὸ *L.* ‖ οὐκ — *b* 4. θεωρητικόν om *L.* ‖ 39. πρακτοὶ *A.*

1. μὲν om *V.* ‖ 15. τοῦτο *L.* ‖ 18. αἴτια. ὥστε ἐνδεῶς ἂν εἴη εἰρημένον τὸ "οὐκ ἴσμεν δὲ τὸ ἀληθὲς ἄνευ αἰτίας·" λείπει *L.* ‖ 20. οὐκ post τὸ om *A.* ‖ 21. κυρίως ἐστὶν ἡ *L.* ‖ γνῶσις, ἡ δὲ ἀπόδειξις ἐξ ἀρχῆς. τῶν *L.* ‖ 22. τοιαύτη, ἀλλὰ κρείττων ἢ κατὰ ἀπόδειξιν. *L.* ‖ ἢ — 26. ἄλλοις om *L.*

τὴν θεωρητικὴν φιλοσοφίαν· εἰ γὰρ τὰ γνώριμα καὶ πρῶτα τῇ αὐτῶν φύσει ἡμῖν ἐστὶ δύσγνωστα, διὰ τὴν ἀργίαν τοῦ νοῦ δηλονότι, δεῖ γυμνάζειν τε καὶ ἐπεγείρειν πρὸς αὐτὰ τὸν νοῦν, ὅπως αὐτῷ εὔγνωστα γίγνηται τὰ τῇ αὐτῶν φύσει γνώριμα. πῶς δὲ ἐπεί ἐστι χαλεπὰ παρὰ τὴν τῶν μετιόντων αὐτὰ ἀσθένειαν, οὐ παρὰ τὴν αὐτῶν φύσιν, ἔδειξεν ἐπὶ τῶν νυκτερίδων, αἷς τὸ μεθημερινὸν φῶς δι' ἀσθένειαν τῶν ὀφθαλμῶν πρὸς τὸ ὁρᾶν ἐμποδίζει, ὂν τῇ αὐτοῦ φύσει μάλιστα ὁρατόν τε καὶ αἴτιον τοῦ ὁρᾶσθαι τὰ ὁρώμενα. ὡς δὴ ἐκείνων οἱ ὀφθαλμοὶ πρὸς τὸ φῶς ἔχουσιν, οὕτω καὶ ἐφ' ἡμῖν φησὶ τὸν νοῦν τὸν ἡμέτερον ἔχειν πρὸς τὰ τῇ φύσει φανερώτατα· ταῦτα δέ ἐστι τὰ ἀπλούστατα, τοιαῦται δὲ αἱ ἀρχαί (δ). οὕτω δὲ ὁ ἡμέτερος νοῦς πρὸς τὰ φανερώτατα τῶν ὄντων ἔχει διὰ τὸ μὴ ἀπολελυμένος καὶ κεχωρισμένος εἶναι, ἀλλ' εἶναι σὺν αἰσθήσει καὶ ταῖς παθητικαῖς δυνάμεσι τῆς ψυχῆς, ἃ πάντα ἐμπόδια τῇ οἰκείᾳ τοῦ νοῦ ἐνεργείᾳ· ἡ γὰρ περὶ τὰ αἰσθητὰ συνεχὴς ἡμῶν ἐνέργεια ταῖς κεχωρισμέναις τῆς αἰσθήσεως ἐνεργείαις ἐμποδὼν γίνεται. εἰ δὲ διὰ ταῦτά ἐστι τῆς ἀληθείας γνῶσις χαλεπή, ἀληθὲς τὸ προειρημένον τὸ ἡ περὶ τῆς ἀληθείας γνῶσις τῇ μὲν χαλεπὴ τῇ δὲ ῥᾳδία· χαλεπὴ γὰρ ἡμῖν, τῇ δὲ αὐτῆς φύσει ῥᾳδία. καὶ εἴη ἂν κἀκεῖνα τούτου χάριν εἰρημένα κατασκευαστικὰ ὄντα τοῦ ἄμφω ταῦτα ἔχειν αὐτήν, ὃ οὐ παρ' ἄλλο τί ἐστιν ἢ παρὰ τὸ τῇ μὲν αὐτῆς φύσει τοιαύτην εἶναι, ἡμῖν δὲ διὰ τὴν ἡμετέραν ἀσθένειαν χαλεπὴν εἶναι γνωσθῆναι. Alex.

993b 5. (ε) ἔνιοι δὲ εἰς τὸ παροιμιαζόμενος διαστέλλουσι. cod. Reg.

(ζ) ἀλλ' εἴποι ἄν τις ὅτι πῶς φησὶν ἐνταῦθα ὅτι τὸ μέρος 993b 6. οὐ δυνατόν ἐστι γνῶναι, ἀνωτέρω δὲ ἔλεγεν ὅτι μέρη νοοῦσι διάφοροι καὶ τὸ ἐκ πάντων συναθροιζόμενον ἕν τι γίνεται; πρὸς ὃ ἐροῦμεν ὅτι ἀνωτέρω μέρος ἔλεγε τὸ ὅλως ἐλθεῖν εἰς ἔννοιαν καὶ ἐφάψασθαι αὐτῆς, οὐ τῆς οὐσίας αὐτῆς, ἀλλ' ἐννοῆσαι περὶ αὐτῆς ὅτι ἀσώματός ἐστιν, εἰ τύχοι· ἐνταῦθα δέ φησι περὶ τῆς οὐσίας. ἡ γὰρ ὕπαρξις αὐτῆς ἢ ὅλη διαγινώσκεται ἢ οὐ γινώσκεται. δοκεῖ οὖν ὁ φιλόσοφος, ὡς εἴρηται, τὰ ἀντικείμενα λέγειν· προείρηκε μὲν γὰρ ὅτι κατὰ μέρος ἕκαστος ἐπιβάλλει τῇ τῶν ὄντων ἀληθείᾳ, ὅλου δὲ ἀποτυγχάνει· νῦν δὲ δοκεῖ λέγειν τὸ μὲν ὅλον ἔχειν τοὺς ἐπιβάλλοντας αὐτῇ, τὸ δὲ μέρος μὴ δύνασθαι. μήποτε δὲ οὕτως ἀκούειν ἄμεινον τῆς λέξεως, τὸ δείκνυσθαι τὸ χαλεπὸν τῆς πραγματείας διὰ τοῦ πρὸς τὸ ὅλον ἔχειν, μηδὲ μέρος ὁλοκλήρως ἔχειν δύνασθαι. Asclep.

(η) τοῦτο οἱ μὲν ἐναντίως ἀποδεδώκασι, τὸ δὲ μέρος ἔχειν καὶ ὅλον μὴ δύνασθαι τῶν φυσικῶν ἕκαστον δηλοῖ τὸ τῆς φιλοσοφίας ταύτης χαλεπόν. οἱ δὲ οὕτως· τὸ δὲ τὸ ὅλον ἔχειν μὴ δύνασθαι καὶ προσέτι μηδὲ τὸ μέρος· οὐδεὶς γὰρ αὐτῶν οὔτε περὶ ὅλης τῆς θεωρίας ταύτης οὔτε περὶ μέρους αὐτῆς διήρθρωσε καθαρῶς. ἢ καὶ οὕτως· τὸ δὲ περὶ ὅλου μὴ δύνασθαι καὶ περὶ μέρους λέγειν τι τούτων ἕκαστον. εἰκὸς δὲ καὶ οὕτως ἐξηγήσασθαι τοῦτο, τὸ δὲ ὁλοσχερῶς μὲν δύνασθαι καὶ ἁπλῶς λέγειν τοὺς φυσικούς, κατὰ μέρος δὲ μὴ δύνασθαι, δηλοῖ τὸ δυσχερὲς αὐτῆς. ἔθος γὰρ τῷ φιλοσόφῳ πολλάκις ἀντὶ τοῦ ὁλοσχεροῦς τὸ ὅλον παραλαμβάνειν. καὶ ἐν τῷ προλαβόντι δὲ βιβλίῳ τοῦτ' ἔλεγεν, ὡς ἀσυμφανὴς καὶ ἀδιάρθρωτος καὶ οἷον ψελλίζουσα ἡ τῶν προτέρων φυσικῶν φιλοσοφία. cod. Reg.

(δ) καὶ ὡς φησὶν ὁ Ἀλέξανδρος, ὅτι διὰ τοῦτο οὐ δυνατὸν ἡμᾶς 993b 10. ἀντιλαβέσθαι τῶν νοητῶν, ἐπειδὴ ὁ ἡμέτερος νοῦς ἀσθενής ἐστι πρὸς τὴν τῶν φύσει σαφῶν γνῶσιν, διότι συμπλέκεται αἰσθήσει καὶ φαντασίᾳ. εἰ δὲ χωρισθείη ποτέ, φησίν, ἀντιλήψεται. ὥστε οἶδε καὶ αὐτὸς ἄκων τε καὶ ἑκὼν ὅτι χωριστή ἐστιν ἡ ἡμετέρα ψυχὴ τοῦ σώματος. Asclep.

"οὐ — δόξαις." εἰπὼν περὶ τῆς θεωρητικῆς φιλοσοφίας ὅτι 993b 11. τῇ μὲν χαλεπὴ τῇ δὲ ῥᾳδία, εἰπὼν δὲ καὶ ὅτι μηδεὶς τῶν ἁψαμένων αὐτῆς ἱκανῶς τι περὶ αὐτῆς εἶπε, λέγει ὅτι μὴ διὰ τοῦτο χρὴ παραπέμπεσθαι αὐτούς, ἀλλὰ χάριν αὐτοῖς ἐκτέον ὡς οὐ μικρὰ ὠφελήσασι τοὺς ὑστέρους. ἅμα δὲ τὴν θεωρίαν διὰ τούτων συνίστησιν ὡς πάσης σπουδῆς ἀξίαν. ἀξιοῖ γὰρ χάριν ἡμᾶς ἔχειν μὴ μόνον τοῖς εἰρηκόσι τοιοῦτον ᾧ κἂν ἡμεῖς ὡς καλῶς εἰρημένῳ χρησαίμεθα καὶ κοινωνήσαιμεν τῆς δόξης, ἀλλὰ καὶ τοῖς ἀρχαιοτέροις, εἰ καὶ ἐπιπολαιότερον δοκοῦσι περὶ τούτων εἰρηκέναι. καὶ λέγει τούτου τὴν αἰτίαν· καὶ γὰρ οὗτοι συνετέλεσάν τι ἡμῖν πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν. Alex.

"τὴν γὰρ ἕξιν." τουτέστι τὴν δύναμιν ἡμῶν, ᾗ δυνάμει τῆς 993b 14. ψυχῆς τὰ τοιαῦτα ζητεῖν δυνάμεθα (αὕτη δέ ἐστιν ἡ κατὰ τὸν νοῦν), ταύτην "προήσκησαν" θήξαντές πως καὶ κινήσαντες ταῖς ζητήσεσιν, ἅτε ὁδοποιήσαντες καὶ ἐπιστήσαντες εἰς τὸ καὶ αὐτοὺς ζητεῖν περὶ τούτων, καὶ εἰς ἔννοιαν ἀγαγόντες ὡς ἔστιν οἰκεία ἡμῖν ἡ περὶ ὧν ἐπραγματεύσαντο θεωρία. εἴη δ' ἂν καὶ διὰ τούτου προτρέπων ἡμᾶς ἐπὶ τὸ πάσαις ταῖς παρὰ τούτων καταβεβλημέναις δόξαις ἐντυγχάνειν· ἡ γὰρ τῶν καταβεβλημένων δοξῶν εὐπορία εὑρετικωτέρους ἡμᾶς τῆς ἀληθείας παρασκευάσει. πῶς γὰρ οἷόν τε χάριν ἔχειν τούτοις, ὡς ἀξιοῖ, μὴ πρῶτον αὐτῶν τὰς δόξας ἱστορηκότας; δόξαι δ' ἂν ἐκ ταύτης τῆς λέξεως τὸ βιβλίον τοῦτο ἀκόλουθον εἶναί πως τῷ πρὸ αὐτοῦ τεταγμένῳ· ἐν ἐκείνῳ γὰρ ἱστορήσας τὰς τῶν πρὸ αὐτοῦ περὶ τῶν πρώτων ἀρχῶν δόξας καὶ ἀντειπών τινα πρὸς αὐτούς, ἐν τούτῳ φησίν, οὐκ ἐπειδὴ ἀντιλέγομεν ταῖς τινῶν δόξαις διὰ τοῦτο ὡς μηδὲν ἡμῖν εἰς τὰ προκείμενα συντελέσαντας παραπέμπεσθαι χρή, ἀλλὰ καὶ τοῖς εὐκαταφρονήτως εἰρηκέναι δοκοῦσί τινα χάριν ἐκτέον· καὶ γὰρ παρὰ τούτων ὠνάμεθά τι· προησκήθημεν γὰρ τὴν ἕξιν. ὅτι γὰρ χρήσιμοι οἱ ὁπωσοῦν ἀρξάμενοί τινος καὶ οὐχ οἱ ἐπὶ πλέον ἐργασάμενοι μόνον, δῆλον ἐποίησε παραθέμενος Τιμόθεόν τε ὃς ἄριστος ἐδόκει γεγενέναι μελοποιός, καὶ Φρύνιν ὃς ἀρχαιότερος ἐγένετο Τιμοθέου, οὐ μὴν τοιοῦτος τὴν τέχνην· τούτων γὰρ παρὰ μὲν Τιμοθέου τὴν μελοποιίαν, παρὰ δὲ Φρυνίχου τὸν Τιμόθεον τοιοῦτον γενέσθαι· οὐ γὰρ ἂν ἐπὶ τοσοῦτον οὗτος ἐξειργάσατο ταῦτα μὴ πρώτου ἐκείνου

2. ἀργείας M. ‖ 3. αὐτὰ M. ‖ 5. περὶ — περὶ A. ‖ οὐ om M. ‖ 34. μήτε δὲ Asclep.
18. κοινωνήσωμεν A. ‖ 22 — 27. apud Asclep. ‖ 24. ζητήσεσιν, ἃς ἐτοιήσαντο καὶ Asclep. ‖ 28. περὶ M. ‖ 38. ὠνάμεθά τι om A. ‖ 41. γρ. Φρύνιχος in mg. A.

993b 1. "μήτε πάντας ἀποτυγχάνειν." τοῦτο εἴρηκεν ὡς ἴσον τῷ μήτε τινὰ τῶν πάντων ἀποτυγχάνειν αὐτοῦ πάντῃ. ὅτι δὲ τοῦτο λέγει, ἐδήλωσεν ἐπενεγκὼν "ἀλλ' ἕκαστον λέγειν τι περὶ τῆς φύσεως·" τοῦτο γὰρ συνῳδὸν τῷ μηδένα ἀποτυγχάνειν. τὸ δὲ "τῆς φύσεως" προσκείμενον τὸ πρὸ πάσης τοῦτο τῆς θεωρητικῆς εἶναι φιλοσοφίας τὸ βιβλίον συνίστησι καὶ αὐτό ([1]). δοκεῖ δέ μοι διὰ μὲν τοῦ πολλούς τε ἐπιβάλλεσθαι λέγειν περὶ αὐτῆς καὶ μηδένα αὐτῶν πάντῃ διαμαρτάνειν δείκνυσθαι τὸ κατὰ φύσιν ἡμῖν εἶναι τήνδε τὴν πραγματείαν, διὰ δὲ τοῦ μηδένα κατ' ἀξίαν εἰρηκέναι περὶ αὐτῆς τὸ μέγεθος αὐτῆς ἐνδείκνυσθαι καὶ τὴν χαλεπότητα, καὶ ὅτι μὴ χρὴ πάρεργον ποιεῖσθαι τὴν ζήτησιν αὐτῆς. ἔχεσθαι μὲν γὰρ αὐτῆς χρή, ὅτι ἡμῖν ἐστὶ κατὰ φύσιν, μὴ παρέργως δέ, ὅτι ἐστὶ χαλεπή. προτρέποι δ' ἂν ἡμᾶς δι' ὧν εἴρηκε καὶ ἐπὶ τὸ μήτε καταφρονεῖν αὐτῆς ὡς ῥᾳδίας πάντῃ μήτε ἀπογινώσκειν ὡς πάντῃ χαλεπῆς. id.

993b 2. ([1]) οὐχ ὅτι περὶ φυσικῶν διελάμβανον, ἀλλ' ὅτι περὶ τῶν ἀϊδίων διεξιόντες ὑπὸ τῆς σφῶν ἀπειρίας, καθάπερ Παρμενίδης καὶ Μέλισσος, εἰς τοὺς περὶ φύσεως ἐνέπιπτον λόγους. cod. Reg.

993b 4. "ὥστε — ἁμάρτοι;" ὅτι τὸ πάντας τι ὑγιὲς εἰρηκέναι τοὺς περὶ αὐτῆς λέγοντας σημεῖον ἂν εἴη τοῦ ῥᾳδίαν αὐτὴν εἶναι, ἔδειξε τῇ παροιμίᾳ προσχρησάμενος τῇ "τίς ἂν θύρας ἁμάρτοι;" ἣ λέγεται μὲν ἐπὶ τῶν εὐκόλων καὶ μηδὲν χαλεπὸν καὶ δυσεύρετον ἐχόντων, εἴληπται δὲ ἀπὸ τῶν τοξοτῶν τῶν ἐπὶ σκοπὸν τοξευόντων ([2])· οὗτοι γάρ, ἂν μὲν στενὸς ὁ προκείμενος ᾖ σκοπός, οὐ ῥᾳδίως αὐτοῦ τυγχάνουσιν, ἂν δὲ ᾖ πλατύς, οὐ χαλεπὸν τὸ τούτου τυγχάνειν, διὸ καὶ πάντες αὐτοῦ τυγχάνουσιν. εἰ οὖν τοῦ ῥᾳδίου πάντες ἐπιτυγχάνουσι, καὶ οὗ πάντες ἐπιτυγχάνουσι, ῥᾴδιον τοῦτο. "τὸ δὲ ὅλον τε ἔχειν καὶ μέρος μὴ δύνασθαι δηλοῖ τὸ χαλεπὸν αὐτῆς." πάλιν τοῦ χαλεπὴν καὶ δύσκολον τὴν πραγματείαν εἶναι σημεῖον ποιεῖται τὸ ἕτερον τῶν προρρηθέντων. ἦν δὲ τὸ καθ' ἕνα μὲν ἢ μικρὸν ἢ μηδὲν ἐπιβάλλειν αὐτῇ τῷ τοὺς καθ' ἕνα μήτε περὶ ὅλης λέγειν τῆς πραγματείας μήτε περὶ μέρους αὐτῆς ὁλοκλήρως· οἱ γὰρ μηδὲν ἢ μικρὸν ἐπιβάλλοντες αὐτῇ πρὸς τῷ τοῦ παντὸς ἀπολείπεσθαι ἀπολείποιντο ἂν καὶ τῶν μερῶν αὐτῆς ([3]). οὗτοι δὴ τὸ χαλεπὸν αὐτῆς δεικνύουσιν ([4]). ἔχει δέ τι ἡ λέξις ἀκατάλληλον ἡ "τὸ δ' ὅλον τε ἔχειν καὶ μέρος μὴ δύνασθαι δηλοῖ τὸ χαλεπὸν αὐτῆς." δοκεῖ γὰρ δι' αὐτῆς τὸ ἀντικείμενον λέγειν οὗ προείρηκε. προείρηκε μὲν γὰρ ὅτι κατὰ μέρος μὲν ἕκαστος ἐπιβάλλει τῇ τῶν ὄντων ἀληθείᾳ, ὅλου δὲ ἀποτυγχάνει· νῦν δὲ δοκεῖ λέγειν τὸ μὲν ὅλον ἔχειν τοὺς ἐπιβάλλοντας αὐτῇ, τὸ δὲ μέρος μὴ δύνασθαι. ὃ φεύγοντές τινες ἐνηλλάχθαι φασὶ τὴν λέξιν καὶ εἶναι τὸ κατάλληλον αὐτῆς "τὸ δὲ ὅλον μὴ δύνασθαι καὶ μέρος ἔχειν δηλοῖ τὸ χαλεπὸν αὐτῆς·" τοῦτο γὰρ σύμφωνον εἶναι τοῖς προειρημένοις. μήποτε δὲ ἄμεινον τῆς λέξεως ἀκούειν ὡς προειρήκαμεν, τὸ δείκνυσθαι τὸ χαλεπὸν τῆς πραγματείας διὰ τοῦ μήτε τὸ ὅλον ἔχειν μήτε μέρος ὁλοκλήρως ἔχειν δύνασθαι· ὡς εἶναι τὸ λεγόμενον ἴσον τῷ τὸ δὲ μήτε ὅλον τι ἔχειν ἀλλὰ μηδὲ μέρος δύνασθαι· τὸ γὰρ ἢ μικρὸν ἢ μηδὲν ἐπιβάλλειν αὐτῇ οὔτε τὸ ὅλον ἔχειν ἦν οὔτε μέρος αὐτῆς ὅλον· οὗ γὰρ καὶ τὸ μέρος δύσληπτον, χαλεπὸν τοῦτο. καὶ εἴη ἂν ὑπερβατὸν ἐν τῇ λέξει τοιοῦτον, τὸ μὴ δύνασθαι ὅλον τι ἔχειν καὶ μέρος, ὡς εἰ ἔλεγε, τὸ δὲ μηδέτερον δύνασθαι δηλοῖ τὸ χαλεπὸν αὐτῆς. δύναταί τις καὶ οὕτως ἀκοῦσαι· τοῦτο δ' ὅλον τι ἔχειν καὶ μέρος μὴ δύνασθαι, τὸ εἰς ἔννοιαν μὲν τοῦ ὅλου καὶ ἐπίστασιν πάντας ἐλθεῖν, μηδὲν δὲ μέρος αὐτῆς ἐξακριβώσασθαι δυνηθῆναι, δηλοῖ τὸ χαλεπὸν αὐτῆς. δύναται καὶ λείπειν τῇ λέξει τὸ πάντας ἅμα, ἵν' ᾖ τὸ δ' ὅλον τι ἔχειν πάντας ἅμα, μέρος δὲ ἕκαστον μὴ δύνασθαι, δηλοῖ τὸ χαλεπὸν αὐτῆς. καὶ τοῦτό γε μᾶλλον ἀκολουθεῖν δόξει τοῖς προειρημένοις τοῖς "καθ' ἕνα μὲν ἢ μικρὸν ἢ μηδὲν ἐπιβάλλειν αὐτῇ, ἐκ πάντων δὲ τῶν συναθροιζομένων γίγνεταί τι μέγεθος." δύναται ἴσον εἶναι τὸ εἰρημένον τῷ τὸ δὲ μὴ δύνασθαι καὶ ὅλον τι ἔχειν καὶ μέρος, ἀλλὰ μέρος τι μόνον λαμβάνειν αὐτοῦ. τὸ δὲ "τῇ μὲν χαλεπὴ τῇ δὲ ῥᾳδία" λέγοι ἂν οὐχ ὡς κατὰ ταὐτὸν ὄντων ἀμφοτέρων περὶ αὐτήν, ἀλλ' ὡς φαντασιῶν καὶ δοξῶν ἀμφοτέρων οὐσῶν περὶ αὐτῆς, κατὰ μέν τι ὅτι ῥᾳδία, κατὰ δέ τι ὅτι χαλεπή· διὰ μὲν γὰρ τὸ καὶ πάντας ἐπιβάλλειν αὐτῇ οὐ χαλεπή, διὰ δὲ τὸ μηδένα κατορθοῦν μηδὲ κατὰ μέρος ὅλον οὐ ῥᾴδιον. "ἴσως δὲ καὶ τῆς χαλεπότητος οὔσης κατὰ δύο τρόπους." δείξας τῇ μὲν ῥᾳδίαν τὴν θεωρητικὴν φιλοσοφίαν τῇ δὲ χαλεπήν, διαίρεσιν ποιεῖται τοῦ χαλεποῦ, δεικνὺς κατὰ τί ἡ φιλοσοφία, δι' οὗ πάλιν δείκνυται τὸ πῇ μὲν χαλεπὴν αὐτὴν εἶναι πῇ δὲ ῥᾳδίαν. οἱ δὲ τρόποι τῆς χαλεπότητος δύο, εἷς μὲν ὁ περὶ τὴν τοῦ πράγματος θεωρουμένην φύσιν, τοιούτου ὄντος ὡς τῇ αὐτοῦ φύσει δυσθεώρητον εἶναι, δεύτερος ὁ διὰ τὴν τοῦ θεωροῦντος αὐτὸ ἀσθένειαν· δύναται γάρ τι τῇ αὐτοῦ φύσει ὂν εὐθεώρητον τῷ ἁπλοῦν εἶναι, διὰ τὴν ἡμετέραν ἀσθένειαν ἡμῖν εἶναι χαλεπόν τε καὶ δυσθεώρητον. ᾧ τρόπῳ τῆς χαλεπότητος ὑπάγει καὶ τὴν θεωρητικὴν τέχνην καὶ περὶ τῆς ἀληθείας φιλοσοφίαν. προτρέποι δ' ἂν ἡμᾶς καὶ διὰ τούτου πρὸς

1. μήτε — ἀποτυγχάνειν om Asclep. ‖ 2. αὐτῆς A. ‖ 3. ἐδήλωσεν] δῆλον ἐποίησεν A. ‖ 5. φιλοσοφίας εἶναι Asclep. ‖ 6. καὶ αὐτό om Asclep. ‖ δοκεῖ — 14. χαλεπῆς] δῆλον οὖν ὅτι κατὰ φύσιν ἡμῖν ἁρμόττει ἥδε ἡ πραγματεία διὰ τὸ μηδένα ἀποτυγχάνειν ταύτης ποτέ Asclep. ‖ 6. διὰ τὸ μὲν A. ‖ 14. πάντα μήτε ὑπογιγνώσκειν M. ‖ 18. ὅτι — 20. ἁμάρτοι om M. ‖ 33. ἔχει — 34. ἀκατάλληλον ἡ om L. ‖ 34 — b 27. δύνασθαι ἔχει τι ἀκατάλληλον. πρότερον μὲν γὰρ εἴρηκεν ὅτι ὅλην μὲν οὐδεὶς τῶν περὶ αὐτῆς εἰπόντων λαβεῖν ἠδυνήθη, μέρος δέ τι τῶν εἰπόντων ἕκαστος αὐτῆς ἔσχε, καὶ οὐδὲ τοῦτο ἀκριβῶς. νῦν δὲ λέγειν ἔοικεν, ὅτι τὸ ὅλον ἔχουσι, τὸ δὲ μέρος μὴ δύνασθαι. ὑπερβατῶς δὲ ληφθὲν οὐ δόξει ἂν ἀκαταλλήλως εἰρῆσθαι. μεταρυθμιστέον δὲ τὴν λέξιν οὕτως. τὸ δὲ μὴ δύνασθαι ὅλως τι ἔχειν, μηδὲ μέρος αὐτῆς ὁλοκλήρως, δηλοῖ τὸ χαλεπὸν αὐτῆς· τὸ γὰρ μήτε ὅλον μήτε μέρος ἔχειν αὐτῆς ἱκανῶς, κἂν εἴ τι δὲ ἔχῃ μικρόν, τοῦτο καὶ ἀμυδρῶς τὸ χαλεπὸν ταύτης δείκνυσι. τὸ δὲ "τῇ μὲν ῥᾳδία τῇ δὲ χαλεπή," οὐχ ὡς κατ' αὐτὴν ὄντων ἀμφοτέρων περὶ αὐτὴν ὡς εἶναι χαλεπὴν καὶ ῥᾳδίαν ἅμα λέγοι ἄν, ἀλλ' ὡς οὐσῶν περὶ αὐτῆς δοξῶν καὶ φαντασιῶν ἀμφοτέρων, κατὰ μέν τι ὅτι ῥᾳδίας οὔσης κατὰ δέ τι ὅτι χαλεπῆς· διὰ μὲν γὰρ τὸ πάντας ἐπιβάλλειν αὐτῇ, ὡς εἴρηται, οὐ χαλεπή, διὰ δὲ τὸ μηδένα κατορθοῦν μηδὲ κατὰ μέρος ὅλως οὐ ῥᾳδία. ἴσως L.

6. τοῦ] τὸ A. ‖ 14. πάντων V. ‖ 29. διαιρέσεις A. ‖ 31. παρὰ M. ‖ 32. δυσθεώρητα M. ‖ 33. τῶν θεωρούντων M. ‖ 37. φιλοσοφίας M.

θεωρίας ἡ γνῶσις, δείκνυσιν ὅτι πλεῖστον εἰς θεωρίαν τε καὶ τὴν τῆς ἀληθείας γνῶσιν ἡ τῶν ἀρχῶν τε καὶ τῶν αἰτίων γνῶσις συντελεῖ· μάλιστα γάρ ἐστι τὰ πρῶτα αἴτια καὶ αἱ ἀρχαί, τὰ δὲ μάλιστα ὄντα καὶ ἀληθῆ μάλιστα καὶ τοῖς ἄλλοις αἴτια τοῦ τε εἶναι καὶ τῆς ἐν αὐτοῖς ἀληθείας ταῦτα. δείκνυσι δὲ ἐν αὐτοῖς καθόλου τε καὶ κοινῶς, καὶ ὅτι εἰσὶν ἀρχαὶ καὶ αἰτίαι τῶν ὄντων, ἀνελὼν τὸ ἐπ' ἄπειρον τὴν πρόοδον τῶν αἰτίων εἶναι. Alex.

(ᵈ) "ἡ περὶ — ἀξίως." πληρώσαντες τὸ μεῖζον ἄλφα νῦν ἥκομεν ἐπὶ τὸ ἔλαττον ἄλφα. γνήσιον δέ ἐστι καὶ αὐτὸ τοῦ Ἀριστοτέλους τὸ βιβλίον, καὶ τοῦτο δῆλον ἔκ τε τῶν δογμάτων καὶ ἐκ τῆς λέξεως· καὶ τῆς φράσεως γὰρ τὸ ποικίλον πατέρα τὸν Ἀριστοτέλην προσαγορεύει. τινὲς δὲ ὑπέλαβον ἀλλότριον αὐτοῦ εἶναι, ἀποβλέψαντες εἴς τε τὴν ἀρχὴν τοῦ βιβλίου καὶ εἰς τὸ συμπέρασμα αὐτοῦ. ἐν μὲν γὰρ τῇ ἀρχῇ περὶ τῶν αἰτίων τῶν πρώτων διαλέγεται, τουτέστι τῶν πρωτίστων ἀρχῶν, ἐν δὲ τῷ συμπεράσματι περὶ φύσεως, ζητῶν τί ἐστι φύσις· τὸ δὲ τοιοῦτον τοῖς φυσικοῖς μᾶλλον ἁρμόττει ἤπερ τοῖς μετὰ τὰ φυσικά. ἄλλως τε δὴ ἐν τῷ τέλει τοῦ μείζονος Α ἔλεγε δεῖν ἀπορῆσαι περὶ τῶν ἀρχῶν, ἐνταῦθα δὲ τοῦτο οὐ πεποίηκεν, ἀλλ' ἐν ἀρχῇ τοῦ Β ἀπορεῖ περὶ τῶν ἀρχῶν, ὥστε μᾶλλον τὸ Β ἐστὶν ἐφεξῆς, τοῦτο δὲ παρεμβέβληται. λέγομεν τοίνυν πρὸς ταῦτα ὅτι ἠβουλήθη πρότερον διαλεχθῆναι περὶ τῶν πρωτίστων ἀρχῶν· αἱ γὰρ πρώτισται ἀρχαὶ κυρίως ὄντα ὑπάρχουσι, τὰ δὲ κυρίως ὄντα ἀληθείας ἐστὶ δηλωτικά, ἡ δὲ κυρίως ἀλήθεια καὶ τοῖς ἄλλοις αἰτία γίνεται ἀληθείας. διὰ τοῦτο τοίνυν ἐνταῦθα πρότερον περὶ τῶν πρωτίστων ἀρχῶν διαλέγεται. ἀμέλει τοι καὶ διὰ τοῦτο εἰρήκασιν ἔλαττον αὐτὸ α' προσαγορεύεσθαι, ὡς ἂν ἀρχῆς οὔσης τοῦ ὄντος πρωτίστου μέρους τοῦ βιβλίου, ἐπειδὴ περὶ τῶν πρωτίστων ἀρχῶν διαλέγεται, εἶτα λοιπὸν πρὸς τῷ συμπεράσματι διαλέγεται καὶ περὶ τῶν φυσικῶν ἀρχῶν. ἔδει γὰρ περὶ πασῶν ἁπλῶς τῶν ἀρχῶν διαλεχθῆναι· ἡ γὰρ ἀρχὴ ὁμώνυμός ἐστι φωνὴ ἢ ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἐφεξῆς τοίνυν διαλέγεται ἡμῖν περὶ τῆς θεωρητικῆς φιλοσοφίας, καὶ δείκνυσιν ὅτι ἡ θεωρητικὴ φιλοσοφία προτέρα ἐστὶ τῆς πρακτικῆς, καὶ ὅτι οὐχ ὑπάρχουσιν αἱ ἀρχαὶ ἄπειροι, οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω. ὃ δὲ λέγει ἐν προοιμίοις τοιοῦτον ἐστίν, ὅτι ἡ περὶ τ. ἀλ... οὐκ ἔστιν οὖν, ὡς εἴρηται, ἀλλότρια τὰ νῦν λεγόμενα τῆς προκειμένης πραγματείας, ἀλλ' ἐστὶ προγραφόμενα. τελείως γὰρ ἐνταῦθα διαλέγεται περὶ τῆς θεωρητικῆς φιλοσοφίας, καὶ τί διαφέρει ἡ θεωρητικὴ τῆς πρακτικῆς, καὶ ὅτι ἡ τῆς αἰτίας γνῶσις ἐστὶ κυρίως ἡ θεωρητικὴ φιλοσοφία, καὶ ὅτι εἰς τὴν εὕρεσιν αὐτῆς ἡ τῶν ἀρχῶν καὶ αἰτίων γνῶσις συντελεῖ. Asclep.

993a 30. (ᵉ) τοῦτο τὸ βιβλίον ἔνιοι Πασικλέους εἶναί φασι τοῦ Ῥοδίου, ὃς ἦν ἀκροατὴς Ἀριστοτέλους, υἱὸς δὲ Βοναίου (Βοηθοῦ ?) τοῦ Εὐδήμου ἀδελφοῦ. Ἀλέξανδρος δὲ ὁ Ἀφροδισιεὺς Ἀριστοτέλους αὐτό φησιν εἶναι. καὶ ἔνιοι μὲν αὐτὸ πρὸ τῆς φυσικῆς πραγματείας δεῖν ἔφασαν τάττεσθαι, τεκμηράμενοι τοῦτο ἀπὸ τοῦ τέλους τοῦ προκειμένου βιβλίου· λέγει γὰρ "διὸ σκεπτέον πρῶτον τί ἐστι φύσις." ἕτεροι δὲ πρὸ πάσης ἁπλῶς θεωρίας φυσικῆς τε καὶ μετὰ τὰ φυσικά, ἀπὸ τοῦ ἐφεξῆς τῷ ἀνωτέρω λεχθέντι τοῦ τέλους ῥητῷ καὶ αὐτοὶ τοῦτο κατασκευάζοντες, τοῦ "οὕτω γὰρ καὶ περὶ τίνος ἡ φυσικὴ δῆλον ἔσται" καὶ τοῦ ἑξῆς. ἄλλοι δὲ πρὸ αὐτοῦ τοῦ μείζονος Α τὸ παρὸν ἠξίωσαν τάττεσθαι. φαίνεται γὰρ ἐφεξῆς μετ' ἐκεῖνο τὸ Β· ἐκεῖσε γὰρ τὰς τῶν πρὸ αὐτοῦ δόξας ἐκθέμενος, καὶ δείξας ὡς οὐδὲ παρ' ἐκείνοις ἅπασι πλείους αἰτίαι τῶν τεττάρων εὑρέθησαν, ὑπέσχετο ἐν τῷ τέλει περὶ αὐτῶν ἀπορῆσαι, καὶ ἀπορεῖ περὶ τούτων ἐν τῷ Β. τὸ δ' ἀληθὲς ὧδε ἔχει. τὸ παρὸν βιβλίον τοῦ πρὸ αὐτοῦ ἐστὶν ἔλλειμμα· ὑστερήσας γὰρ ἐκεῖσε περί τινων, περὶ τούτων ἐν τῷ προκειμένῳ διέξεισιν. εὐθὺς δὲ ἀρχόμενος τοῦ βιβλίου προθυμοτέρους τε καθίστησι τοὺς ἀκροατάς, κατασκευάζων μὴ ἀποκνεῖν, ἔτι δὲ καὶ προσεκτικωτέρους καὶ ἐπιμελεστέρους προετοιμάζει γενέσθαι· διὰ μὲν γὰρ τοῦ λέγειν ὅτι ῥᾳδία πή ἐστιν ἡ περὶ τῶν ἀρχῶν τῶν ἀϊδίων θεωρία, καὶ ὡς αὐτῆς οὐ πάντες ἀποτυγχάνουσιν ἀλλ' ἕκαστος λέγει τι... cod. Reg.

"ἡ — σημεῖον δέ." γράφεται καὶ χωρὶς τοῦ ὅτι, "ἡ περὶ τῆς ἀληθείας θεωρία·" καὶ μᾶλλον δοκεῖ ἐκεῖνο ἀρχὴ εἶναι, τὸ δὲ μετὰ τοῦ "ὅτι" οὐκ ἀρχὴ ἀλλ' ἑπόμενον προειρημένῳ τινί. περὶ δὲ τὴν τῆς ἀληθείας θεωρίαν λέγει πᾶσαν τὴν θεωρητικὴν φιλοσοφίαν, οὐχ ὡς μόνην περὶ τὴν ἀλήθειαν πραγματευομένην (καὶ γὰρ ἡ πολιτική τε καὶ πρακτικὴ φιλοσοφία περὶ τὸ ἐν ἐκείναις ἀληθές, ἀλλὰ καὶ αἱ τέχναι περὶ τῆς τῶν ὑπ' αὐτὰς ἀληθείας εἰσὶ θεωρητικαί, εἴγε ἐστὶ τέχνη ἕξις μετ' ἀληθοῦς λόγου ποιητική), ἀλλ' ὅτι ταύτης μόνης τέλος ἡ γνῶσις τῆς ἀληθείας καὶ τῆς κυρίως ἀληθείας· τὸ γὰρ ἀΐδιον ἀληθὲς αὕτη θεωρεῖ. συνιστὰς δὲ τὴν θεωρητικὴν φιλοσοφίαν ὡς μάλιστα οἰκείαν ἡμῖν καὶ κατὰ φύσιν, τῇ μέν φησι χαλεπὴν αὐτὴν δόξαι ἂν εἶναι τῇ δὲ αὖ ῥᾳδίαν, χαλεπὴν μὲν καθ' ὅσον πολλῶν ἐπιχειρησάντων αὐτῇ οὐδεὶς κατ' ἀξίαν τοὺς περὶ αὐτῆς πεποίηται λόγους· τοῦ γὰρ δυσεύρετον καὶ χαλεπὴν τὴν περὶ αὐτῆς εἶναι θεωρίαν σημεῖον ἱκανὸν τὸ μὴ δύνασθαι τοὺς περὶ αὐτῆς λέγοντας κατ' ἀξίαν εἰπεῖν περὶ αὐτῆς· τοῦ δὲ αὖ ῥᾳδίαν εἶναι σημεῖον πάλιν ποιεῖται τὸ μὴ πάντῃ τοὺς περὶ αὐτῆς εἰπόντας ἀποπλανηθῆναι, ἀλλὰ τῶν εἰπόντων ἕκαστον εἰπεῖν ὑγιές τι περὶ αὐτῆς. καθ' ἕκαστον μὲν γὰρ τῶν φιλοσοφησάντων εἰ ἐπισκοποίημεν, ὀλίγον παντελῶς ἕκαστον αὐτῶν ὑγιῶς ἂν εὕροιμεν λέγοντα· εἰ δὲ τὰς ἁπάντων ἀθροίσαιμεν εἰς ταὐτὸ δόξας, ἀξιόλογος ἤδη καὶ μεγάλη ἡ περὶ αὐτῆς θεωρία φανεῖται. περὶ γοῦν τῶν ἀρχῶν, ὡς ἐν τῷ πρὸ τούτου προείρηκεν, ἕκαστος μὲν τῶν εἰπόντων μέρος τι αὐτῶν εἶπε, καὶ οὐδὲ τοῦτο σαφῶς, τρόπον μέντοι τινὰ εἶπε πάσας εἰρῆσθαι τῷ ἄλλον ἄλλης μνημονεῦσαι. Alex.

5. αὐτῷ *A.*

19. ἐν τισι γράφεται μετὰ τῆς τοῦ ὅτι προσθήκης, ὅτι ἡ περὶ τῆς ἀληθείας θεωρία. ἀλλ' οὕτως μὲν οὐκ ἀρχὴ βιβλίου ἀλλ' ἑπόμενον προειρημένῳ τινί· χωρὶς δὲ τοῦ ὅτι ἀρχὴν τοῦτο ποιεῖ *L.* ‖ 30 — p. 590 *a* 6. apud Asclep. ‖ 32. εἶναι om *M.* ‖ 33. λέγοντας ἀξίως τι εἰπεῖν Asclep. ‖ 34. ῥᾴδιον *M.* ‖ 36. τῶν ταῦτα φιλοσοφησάντων Asclep. ‖ 38. ἀθροίσομεν Asclep.

993a 15. (b) φησὶ δὲ ὁ ἡμέτερος φιλόσοφος ὅτι καὶ διηρθρωμένως (ἐμνημόνευσε τῶν τεσσάρων) ὁ Πλάτων καὶ πρὸ σοῦ, καὶ αὐτοὺς ἐξ αὐτῶν λαβὼν λέγεις, ἐπεὶ καὶ Ἐμπ. Asclep.

993a 24. "περὶ — πρότερον." λέγοι ἂν "περὶ τῶν τοιούτων" ὡς εἰρηκὼς ἤδη (c. 7. 4) ὅτι εἶπε καὶ ἐν τούτοις πρὸ τούτου περὶ Ἀναξαγόρου λέγων καὶ τὴν δόξαν αὐτοῦ ἐπανορθῶν, ὅτι ἄλλῳ μὲν οὖν λέγοντι ταῦτα ἐπηκολούθησεν, οὐ μὴν αὐτὸς σαφῶς τι περὶ τούτων εἶπεν, ὥσπερ οὐδὲ Ἐμπεδοκλῆς, περὶ οὗ νῦν εἶπεν. ἐπὶ τούτοις ἀπορίας τινὰς ἀπορήσειν ἐπαγγέλλεται συντεινούσας εἰς τὸν περὶ τῶν ἀρχῶν λόγον, ἐξ ὧν ῥηθεισῶν φησὶ καὶ καλῶς ἀπορηθεισῶν εὐπορωτέρους ἡμᾶς ἔσεσθαι πρὸς τὰς λύσεις τῶν ἐν τοῖς ὑστέροις ἀπορουμένων· αἱ γὰρ περὶ τῶν ἀρχῶν ἀπορίαι τε καὶ λύσεις ἀρχαὶ τῆς τῶν μετὰ ταῦτα ἀπορουμένων λύσεως γίνονται (c). καὶ λέγει περὶ τῶν ἀπορουμένων ἐν τῷ Β· διὸ καὶ δόξαι ἂν ὅσον ἐκ τῶν νῦν εἰρημένων συνῆφθαι τούτῳ τῷ βιβλίῳ τὸ Β. οὐ μὴν ἀλλὰ λέγει γε περὶ ὧν ἐνταῦθα προτίθεται καὶ ἐν τῷ ἐλάττονι α'· εἰπὼν γὰρ "ὅσα δὴ περὶ τῶν αὐτῶν τούτων ἀπορήσειεν ἄν τις ἐπανέλθωμεν πάλιν," περὶ τῶν ἀρχῶν καὶ τῶν αἰτίων καὶ ἐν τῷ μετὰ τοῦτο ἐλάττονι α' ζητεῖ τε καὶ ἀπορεῖ. Alex.

(c) ὥσπερ καὶ περὶ Ἀναξαγόρου εἶπεν τὴν δόξαν αὐτοῦ ἐπανορθῶν, ὅτι ἄλλῳ μὲν ἂν λέγοντι ταῦτα ἐπηκολούθησεν, οὐ μὴν αὐτὸς διήρθρωσεν. 993a 22. περὶ γοῦν τῶν ἀρχῶν τούτων, φησί, καὶ πρότερον εἰρήκαμεν ἐν τοῖς Φυσικοῖς· εἶτα πάλιν ἐπαγγέλλεται λέγειν περὶ αὐτῶν ἐν τῷ ἐλάττονι ἄλφα καὶ ἀπορεῖν περὶ αὐτῶν καὶ ἐπιλύεσθαι τὰς ἀπορίας ἐν τοῖς περὶ Φιλοσοφίας. ἐκ γὰρ τῶν ἀποριῶν εὐπορώτεροι γινόμεθα εἰς τὰς λύσεις τῶν ἐν τοῖς ὑστέροις ἀπορουμένων· αἱ γὰρ περὶ τῶν ἀρχῶν ἀπορίαι τε καὶ λύσεις ἀρχαὶ τῆς τῶν μετὰ ταῦτα ἀπορουμένων λύσεως γίνονται. καὶ λέγει περὶ τῶν ἀπορουμένων ἐν τῷ ἐλάττονι ἄλφα. διὸ ἐφεξῆς ἀναγινώσκεται. Asclep.

ΤΟ ΕΛΑΤΤΟΝ ΑΛΦΑ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.

Τὸ ἔλαττον ἄλφα τῶν Μετὰ τὰ Φυσικὰ ἔστι μὲν Ἀριστοτέλους ὅσα καὶ τῇ λέξει καὶ τῇ θεωρίᾳ τεκμήρασθαι, οὐ μὴν ὁλόκληρον ἔοικεν εἶναι, ἀλλ' ἔστιν ὡς μέρος βιβλίου, τεκμαιρομένοις τῇ τε ἀρχῇ καὶ τῇ τοῦ βιβλίου μικρότητι. ὅσον μὲν οὖν ἐπὶ τῷ περὶ ἀρχῶν καὶ ἐν τούτῳ ποιεῖσθαί τινα λόγον, δόξει καὶ οὐκ ἀπᾴδειν τοῦτο τοῦ μείζονος Α, ἀλλ' ἕπεσθαι ἐκείνῳ περὶ ἀρχῶν καὶ αἰτίων, ἐξ ὧν ἐν ἐκείνῳ παυσάμενος τοῦ βιβλίου εἶπεν "ὅσα δὲ περὶ τῶν αὐτῶν τούτων ἀπορήσειεν ἄν τις, ἐπανέλθωμεν πάλιν· τάχα γὰρ ἂν ἐξ αὐτῶν εὐπορήσαιμεν πρὸς τὰς ὕστερον ἀπορίας." προειπὼν δὲ τοῦτο ἐν ἐκείνῳ, ἐν τούτῳ ζητεῖν ἀκολούθως δοκεῖ εἰ ἐπ' ἄπειρον αἱ ἀρχαὶ καὶ τὰ αἴτια, καὶ δείκνυσιν ὅτι ἔστιν ἀρχή τις ἐν αὐτοῖς καὶ οὐκ ἐπ' ἄπειρον ἡ πρόοδος. ὅσον δὲ πάλιν ἐπὶ τῷ τέλει αὐτοῦ, οὐ δόξει τοῦτο ἐκ ταύτης εἶναι τῆς συντάξεως, ἀλλὰ τῆς φυσικῆς πραγματείας προοίμιόν τι (d)· ὡς γὰρ περὶ φύσεως ἐν τοῖς ἑξῆς ἐρῶν, καὶ ζητήσων τί ἔστιν ἡ φύσις, ἐπαύσατο (e). εἶπε γὰρ "διὸ σκεπτέον πρῶτον τί ἔστιν ἡ φύσις· οὕτω γὰρ καὶ περὶ τίνων ἡ φυσικὴ δῆλον ἔσται." φυσικοῦ δὲ τὸ περὶ τούτου σκέπτεσθαι· διὸ καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 1) πεποίηται τὸν περὶ φύσεως λόγον. ἔτι δὲ οὐδ' ἡ ἀρχὴ αὐτῷ τοῦ Β τὸν περὶ φύσεως περιέχει λόγον, ὡς δοκεῖν ἕπεσθαι τούτῳ ἐκεῖνο, ἀλλὰ περὶ ὧν ὅσα ἀναγκαῖόν ἐστι προαπορῆσαι ἐν τῇδε τῇ πραγματείᾳ, ταῦτα ἐν αὐτῷ καταλέγει τε καὶ ἐκτίθεται. διὸ δόξει τῷ μείζονι Α τὸ Β μᾶλλον ἂν ἀκολουθεῖν· συνῳδὸς γὰρ ἡ τούτου ἀρχὴ τῷ ἐκείνου τέλει. ἐκεῖ τε γὰρ προέθετο περὶ ὧν ἀπορήσειεν ἄν τις περὶ τῶν εἰς τὰς ἀρχὰς καὶ τὴν εὕρεσιν αὐτῶν συντεινόντων εἰπεῖν, ἔν τε τῷ Β φαίνεται τοῦτο ποιῶν. οὐ μὴν οὐδὲ τὰ ἐν τούτῳ λεγόμενα ἀλλότρια πάντη τῆς προκειμένης πραγματείας εἶναί μοι δοκεῖ, ἀλλ' ἔστιν ὥσπερ τινὰ προγραφόμενα καὶ προλεγόμενα κοινῶς πάσης τῆς θεωρητικῆς φιλοσοφίας τὰ ἐν τούτῳ λεγόμενα. πρῶτον μὲν γὰρ ἐν αὐτῷ περὶ τῆς θεωρητικῆς φιλοσοφίας κοινῶς πάσης λέγει, δεικνὺς ὅτι πῇ μὲν ἐστι χαλεπή, τεκμαιρόμενος ἀπὸ τοῦ μηδένα ἀξίως περὶ αὐτῆς εἰρηκέναι, πῇ δὲ ῥᾳδία, τεκμαιρόμενος πάλιν ἀπὸ τοῦ μηδένα αὐτῆς παντάπασιν ἀποτυγχάνειν. ἀλλὰ καὶ διὰ τί δυσχερὴς μᾶλλον προστίθησι, δεικνὺς τοῦτο τὸ αἴτιον ἐν ἡμῖν ὄν· ὁ γὰρ ἡμέτερος νοῦς ἀσθενής ἐστι πρὸς τὴν τῶν φύσει σαφῶν γνῶσιν. καὶ ἐπὶ τούτοις ἐπαινέσας τοὺς ὁπωσοῦν ἡμμένους αὐτῆς ὡς οὐ μικρὸν συμβεβλημένους, καὶ ᾗ διαφέρει ἡ θεωρητικὴ τῆς πρακτικῆς εἰπών, καὶ ὅτι τὸ κύριον τῆς

4 — 6. τὸ μὲν οὖν "περὶ τούτων" λέγοι ἂν ὡς εἰρηκὼς ἤδη ἐν τοῖς πρὸ τούτου λόγοις περὶ Ἀναξαγόρου καὶ τὴν *L.* ‖ 4. τούτων *A.* ‖ 7. ἐπηκολούθησεν Ἀναξαγόρας οὐ *L.* ‖ μὲν *A.* ‖ αὐτὸς τι σαφῶς περὶ τούτων εἴρηκεν, ὥσπερ *L.* ‖ 12. τε et τῆς om *L.* ‖ ἀπορουμένων τῆς λύσεως *L.* ‖ 13. γίνονται. λέγει δὲ περὶ τῶν ἀπορουμένων ἐν τῷ β' τῆσδε τῆς πραγματείας *L.* ‖ 14. δόξειεν *V*, δόξαν *M.* ‖ ἴσον *V.*

1. γε om *V.* ‖ 2. εἰπόντες γὰρ codd. *praefatus enim* Sepulv.

15 — 20. Καὶ τοῦτο τὸ βιβλίον Ἀριστοτέλους ἐστίν, ὡς ἔστιν ἀπὸ τῆς λέξεως καὶ τῆς θεωρίας τούτου τεκμήρασθαι. ἔστι δὲ μέρος βιβλίου ἀλλ' οὐ βιβλίον ὁλόκληρον· δηλοῖ δὲ τοῦτο ἡ ἀρχὴ τοῦδε τοῦ βιβλίου, ὅτι καὶ ἐν τούτῳ περὶ ἀρχῶν ποιεῖται τὸν λόγον καὶ οὐκ ἀπᾴδει τὰ ἐν τούτῳ λεγόμενα τῶν ἐν τῷ μείζονι Α. ὡσαύτως δὲ καὶ ἡ μικρότης τούτου τεκμήριον ἱκανώτατον τοῦ μέρος εἶναι βιβλίου ἀλλ' οὐ βιβλίον ὅλον. ἔοικε δὲ ἕπεσθαι τοῦτο τῷ μείζονι Α ἐξ ὧν *L.* ‖ 20. τῷ βιβλίῳ *L.* ‖ 23 — 26. ταῦτα εἰπὼν πρὸς τὸ τέλος ἐκείνου, ἀκολούθως ἐν τούτῳ ζητεῖται εἰ ἐπ' ἄπειρον ἡ πρόοδος. ἐκ τούτου δὲ φαίνεται ὅτι συντέτακται τοῦτο τὸ βιβλίον τῇ πραγματείᾳ ταύτῃ, εἴτε μέρος ὂν τοῦ μείζονος Α, εἴτε καὶ μὴ ἀλλ' ἰδίαν ἔχον περιγραφήν. πάλιν δὲ σκοποῦσιν ἐκ τοῦ τέλους αὐτοῦ οὐ δόξει *L.* ‖ 29. ἐπαύσατο τοῦδε τοῦ βιβλίου *L.* ‖ 31. τούτου] τοῦδε *L.* ‖ διὸ — 32. λόγον om *L.* ‖ 32. αὐτῷ om *L.* ‖ Β τῆσδε τῆς συντάξεως τὸν περὶ τῆς φύσεως *L.*

15. δοκεῖν ἐκεῖνο τούτῳ τῷ ἐλάττονι ἕπεσθαι α' ἀλλὰ *L.* ‖ 17. αὐτῷ] ἀρχῇ τοῦ Β *L.* ‖ διὸ καὶ δόξει μᾶλλον τὸ Β ἀκολουθεῖν τῷ μείζονι Α· συνῳδὸς *L.* ‖ 18. ἂν om *A.* ‖ συνᾴδει *L.* ‖ 19. ἐκεῖ — 21. ποιῶν om *L.* ‖ 21. ἐν τῷ ἐλάττονι λεγόμενα α' ἀλλότρια *L.* ‖ 22. μοι om *L.* ‖ 23. τῆς θεωρητικῆς πάσης *L.* ‖ 24. τὰ ἐν τῷ ἐλάττονι λεγόμενα α'. πρῶτον *L.* ‖ 25. κοινῶς et ὅτι om *L.* ‖ 31. αὐτοῖς *A.*

ἐστί" δηλωτικὸν ἔοικεν αὐτῶν τῶν ἀρχῶν, ὁποίας ἐζήτουν ἐκεῖνοι κοινὰς πάντων· τὴν γὰρ ὕλην καὶ τὸ εἶδος ἐζήτουν. Alex.

993a 5. (a) οἱ ἀγνοοῦντες τὰ στοιχεῖα ἐξ ὧν σύγκειται ἡ σμα΄ συλλαβή, οὐδέποτε δύνανται γνῶναι εἴτε ἐκ τοῦ σ΄ σύγκειται εἴτε ἐκ τοῦ ζ΄ ἢ δ΄· ὥσπερ γὰρ ἦν ἄδηλον τὸ τί τῶν Ἀλεξανδρέων, ὥς φησιν ὁ ἡμέτερος φιλόσοφος. Asclep.

993a 7. "ἔτι — αἴσθησιν ἔχοι;" καὶ τοῦτο πρὸς τὸ μὴ τὰς αὐτὰς ἁπάντων ἀρχὰς εἶναι καὶ στοιχεῖα λέγει. εἰ γὰρ εἶεν πάντων τῶν ὄντων κοιναί τινες ἀρχαί, ὁ μαθὼν ταύτας πάντα ἂν δι' αὐτῶν γνωρίζειν δύναιτο τὰ ὄντα. ὡς γὰρ ὁ τὰ γράμματα καὶ τὰ στοιχεῖα εἰδὼς πάντα γνωρίζει καὶ πάσας τὰς ἐξ αὐτῶν συγκειμένας φωνάς, οὕτως ἀκολουθήσει καὶ τῷ τὰς τῶν ὄντων ἀρχὰς εἰδότι τὰ ἐξ αὐτῶν ὄντα γνωρίζειν δι' αὐτῶν. εἰ δὲ τοῦτο, δυνήσεται ὁ τὰς ἀρχὰς εἰδὼς ταύτας καὶ τὰ αἰσθητὰ γνωρίζειν· ἐξ ἐκείνων γὰρ καὶ ταῦτα, εἴγε ὄντα (b). πῶς οὖν ὁ μὴ ἔχων τὴν αἴσθησιν γνωρίσει τὰ αἰσθητά; αἰσθήσει γὰρ τὰ αἰσθητὰ καὶ οὐκ ἄλλῳ τινὶ γνωρίζεται· ἀκολουθεῖ δὲ τῷ τὰς ἀρχὰς αὐτῶν εἰδότι γνωρίζειν αὐτὰ δι' ἐκείνων· εἴσεται δὲ τὰς ἀρχὰς αὐτῶν ὁ τὰς κοινὰς πάντων τῶν ὄντων ἀρχὰς εἰδώς, κἂν μὴ ἔχῃ τὴν αἴσθησιν (οὐ γὰρ δὴ αἱ τῶν ὄντων ἀρχαὶ αἰσθηταί)· ὡς γὰρ τὰ μὴ αἰσθητὰ διὰ τῶν ἀρχῶν γνωρίζει, οὕτω γνωρίσει καὶ τὰ αἰσθητὰ δι' αὐτῶν, εἰ ὁμοίως καὶ τούτων ἐκεῖνα ἀρχαί. ὡς γὰρ αἱ σύνθετοι φωναὶ πᾶσαι, ὧν τὰ αὐτὰ στοιχεῖα, ἐκ τῶν αὐτῶν σύγκεινται στοιχείων, οὕτω καὶ τὰ ὄντα πάντα ἐκ τῶν αὐτῶν στοιχείων ἔσται γνωριζόμενα, εἰ τὰ αὐτὰ πάντων αὐτῶν ἐστὶ στοιχεῖα. οὐ μαχόμενος δὲ αὐτῷ λέγοι ἂν ζητῶν μὲν τὰς τοῦ ὄντος ᾗ ὂν ἀρχάς τε καὶ αἰτίας, δεικνὺς δὲ διὰ τούτων ὅτι ἄγνωστοί εἰσιν. δείξει γὰρ ὅτι μηδέ εἰσι πάντων τῶν ὄντων κοιναί τινες ἀρχαί, ὡς ἡγοῦντο οἱ εἰς τὸ ἓν πάντα πειρώμενοι διὰ τῶν κοινῶν ἀνάγειν ὁμοιοτήτων, ἀλλ' εἰσὶν αἱ ζητούμεναι ὑπ' αὐτοῦ τοῦ ὄντος ᾗ ὂν οἷον ἀρχαὶ κοιναὶ πάντων ἀρχαὶ αὗται· ἀλλ' αἱ τῆς οὐσίας οὐκ οὖσαι ὁμοίως καὶ τῶν ἄλλων τῶν παρὰ τὴν οὐσίαν ὄντων ἀρχαί, γίγνονταί πως κἀκείνων ἀρχαὶ τῷ καὶ τῶν ἄλλων τῶν ὄντων ἕκαστον παρὰ τῆς οὐσίας τὸ εἶναι ἔχειν. Alex.

993a 8. (b) ὁ γοῦν ἐκ γενετῆς τυφλὸς ἢ κωφὸς εἰδὼς τὰς κοινὰς ἀρχὰς εἴσεται καὶ περὶ χρωμάτων καὶ ψόφων. λέγομεν οὖν πρὸς τοῦτο ὅτι ἐὰν οἶδε τὰς κοινὰς ἀρχάς, εἰ καὶ μὴ ὡς ψόφους οἶδεν ἢ ὡς χρώματα, ἀλλ' οὖν ὡς ὄντα οἶδεν αὐτὰ καὶ ὡς ἔχοντα ὕπαρξιν, ὥσπερ καὶ αὐτὸς φῂς ὦ Ἀριστότελες, ὅτι ἴσμεν καὶ τὸν ἰδίᾳ ἄνθρωπον καὶ πάντας ὡς ζῷον λογικὸν θνητὸν ὑπάρχοντας. Asclep.

"ὅτι — πάντες." ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 3) εἰς τέσσαρα εἴδη αἰτίων ἀνήχθη ὑπ' αὐτοῦ τὰ αἴτια πάντα. ὃ βουλόμενος καὶ νῦν πιστώσασθαι ἦλθεν ἐπὶ τὸ τὰς τῶν περὶ αἰτίων εἰπεῖν δόξας, ἐξετάζων εἰ μή τις ἄρα αὐτῶν ἄλλο τι εἶδος ἐζήτησεν αἰτίου· καὶ εὗρε πάντας τοὺς περὶ αἰτίων εἰρηκότας τούτων τι τῶν εἰρημένων αἰτίων λέγοντας αἴτιον, τοὺς μέν τινας ἓν ἐξ αὐτῶν, ὡς οἱ τὸ ὑλικὸν αἴτιον ἀποδιδόντες, τοὺς δὲ δύο, τοὺς δὲ τρία, ὧν οἱ μὲν τὸ ποιητικὸν πρὸς τῇ ὕλῃ ὑπελάμβανον, ὡς Ἀναξαγόρας τε καὶ Ἐμπεδοκλῆς, οἱ δὲ τὸ εἶδος, ὡς οἱ τὰς ἰδέας, οἱ δὲ καὶ ἀμφοτέρων πως ἐφήπτοντο, τοῦ τε ποιητικοῦ καὶ τοῦ κατὰ τὸ εἶδος, ὡς ἐρεῖ περὶ Ἐμπεδοκλέους. πλὴν οὐδείς γε ἔξω τούτων τῶν εἰδῶν ἄλλο τι εἶδος αἰτίου ἐζήτησεν ἢ ὑπέθετο, ἀμυδρῶς μέντοι περὶ αὐτῶν εἶπον πάντες καὶ οὐ διηρθρωμένως. καὶ γὰρ Πλάτων τῶν τεσσάρων μνημονεύων αἰτίων εὑρεθείη ἄν, καὶ Ἐμπεδοκλῆς τῶν τριῶν, ὡς ἐρεῖ, οὐ σαφῶς δὲ οὐδὲ διωρισμένως (a). αἰτίαν δέ φησι τοῦ περὶ τῶν αἰτίων ἀδιαρθρώτως αὐτοὺς εἰρηκέναι, καίτοι τούτους ἐπιβάλλοντας, τὸ μηδέπω τὴν κατὰ φιλοσοφίαν ἐπιστήμην τινὰ πρὸ Ἀριστοτέλους ἀκριβῶς εὑρῆσθαι, ἀλλ' ἔτι ἀδιαρθρώτως, ὥσπερ οἱ ψελλίζοντες τὰς φωνὰς λέγουσιν, οὕτω δὲ καὶ τοὺς πρὸ αὐτοῦ περὶ φιλοσοφίας λέγειν. ὅτι δὲ ταῦτα ἔλεγον οὐ διαρθροῦντες, Ἐμπεδοκλέους μέμνηται λέγοντος τὸ ὀστοῦν κατὰ τὸν λόγον ὀστοῦν εἶναι, οὐ κατὰ τὴν ὕλην· ἡ μὲν γὰρ ὕλη κοινὴ καὶ τοῖς ἄλλοις κατ' αὐτόν (τὰ γὰρ τέσσαρα στοιχεῖα), ὀστοῦν δὲ ἐν τῇ ποιᾷ τούτων καὶ ποσῇ κράσει φησὶ γίγνεσθαι, λέγων

ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐτύκτοις χοάνοισι
τὰς δύο τῶν ὀκτὼ μερέων λάχε Νήστιδος αἴγλη,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα λεύκ' ἐγένοντο.

εἰ δὲ τοῖς ὀστοῖς κατὰ τὸν λόγον, τουτέστι κατὰ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι (τοῦτο γάρ ἐστιν ὁ λόγος), τὸ ὀστοῦν εἶναι κατ' αὐτόν, δῆλον ὡς καὶ τῇ σαρκὶ καὶ τῷ νεύρῳ καὶ ἑκάστῳ τῶν ὄντων, οἷον λίθῳ ξύλῳ, κατὰ τὸν λόγον καὶ τὸ εἶδος· ἢ γὰρ ἐπὶ πάντων τὸ εἶδος καὶ ὁ λόγος αἴτιος τοῦ ἕκαστον εἶναι ὅ ἐστιν, ἢ ἐπ' οὐδενός. διὰ γὰρ τὸν λόγον καὶ διὰ τὸ εἶδος ἡ διαφορὰ καὶ ἐν τοῖς οὖσι, καὶ ἔστιν αὐτῶν τὸ μέν τι σὰρξ τὸ δέ τι ὀστοῦν τὸ δὲ ἄλλο τι, ἐπεὶ ἥ γε ὕλη κατ' αὐτὸν πᾶσι τοῖς οὖσιν ἡ αὐτή, ὡς ἔφαμεν· τὰ γὰρ τέσσαρα στοιχεῖα ἡ ὑλικὴ ἀρχὴ αὐτῷ. ὅτι μὲν οὖν ταῦτα τοῦτον ἔχει τὸν τρόπον καὶ τὸ εἶδος αἴτιον ἑκάστῳ τοῦ τῷδέ τινι εἶναι, πάντως ἂν συνέφησεν Ἐμπεδοκλῆς, εἴ τις αὐτὸν ἐπῆγε τῷ λόγῳ, παραδεικνὺς ἕκαστον οὕτως ἔχον· αὐτὸς μέντοι ἐφ' ἑαυτοῦ λέγων οὐδὲν περὶ αὐτοῦ σαφῶς διώρικεν, οὐδὲ κατ' ἐπιστήμην εἰρηκέ τινα τῷ μὴ περὶ πάντων ὁμοίως τῶν ὁμοίων εἰρηκέναι. Alex.

1. αὐτοῦ *M.* ‖ 5. ἦν] ἐστιν Asclep. ‖ 12. ἀκολουθήσεται *M.* ‖ μὴ] μὲν *M.* ‖ 36. ζητοῦμεν τὰς τῶν ὄντων *M.* ‖ 28. *sed principia entis qua ens est, quae ab ipso indagantur, sunt omnium entium principia, non tamen eodem modo, sed proprie substantiae, caeterorum vero a substantia, cum proprie non sint principia, efficiuntur quodammodo, quoniam caeterorum entium quodque suum esse a substantia mutuatur* Sepulv. ‖ 29. εἰσι om *M.* ‖ 30. ἀρχὴν *M.* ‖ αὗται] adde ἀλλ' οὐχ ὁμοίως vel simile quid. ‖ 31. περὶ *A.*

13. διηρθρωμένων *M.* ‖ 14. οὐδὲ] οὐ *M.* ‖ 20. ὀστοῦν οὐ κατὰ τὴν ὕλην ἀλλὰ κατὰ τὸν *L.* ‖ 23. φησὶ ἔλεγεν (om γίγνεσθαι) *L.* ‖ cf. Sturz. Empedoclis fr. v. 208 sqq. ‖ 24. ἐπίηρος *V*, ἀπέτυχε ἐν εὐστέρνοις Asclep., ἐπίηρος ἐν εὐστέρνοις *L.* ‖ 25. μερέων *V*, μοιρῶν ἔλαχε *L.* ‖ 26. τὰ om *M.* ‖ 28. ὀστοῖς *M.* ‖ 30. ἐπὶ] ὧν *M.* ‖ 31. ἑκάστου *M.* ‖ διὰ post καὶ om *M.* ‖ 32. τῷ μήτε σὰρξ *M.*

ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα, ἢ ὅτι ἐπὶ παντὸς ἢ κατάφασις ἢ ἀπόφασις, ἢ ὅτι τὸ ἀγαθὸν ὠφέλιμόν ἐστι τῇ αὐτοῦ φύσει. καὶ πᾶσα δὲ ἡ διὰ συλλογισμοῦ γνῶσις διὰ προγιγνωσκομένων· διὰ γὰρ τῶν προτάσεων ἃς ὁμολογεῖσθαί τε καὶ κεῖσθαι δεῖ. καὶ ἡ δι' ὁρισμῶν δὲ ἐκ προγιγνωσκομένων γίγνεται· ὁ γὰρ μανθάνων τὸν τοῦ ἀνθρώπου ὁρισμόν, ὅτι ἐστὶ ζῷον πεζὸν δίπουν, οὐ προγιγνώσκει μὲν ὅτι ταῦτά ἐστιν ὁ ἄνθρωπος, ἕκαστον δὲ τούτων γνωρίζει, τὸ ζῷον, τὸ πεζόν, τὸ δίπουν, ἢ οὐκ ἂν μάθοι ὅτι ταῦτα ὁ ἄνθρωπος ἐστίν. ὁμοίως δὲ καὶ ἡ δι' ἐπαγωγῆς διδασκαλία τὸ μὲν καθόλου βούλεται διδάσκειν, δι' ὧν δὲ διδάσκει (ἔστι δὲ ταῦτα τὰ καθ' ἕκαστα), ταῦτα δεῖ γνωρίζειν τὸν μανθάνοντα. εἰ δὴ οὕτως μὲν πᾶσα διδασκαλία, οἱ δὲ τὰς πάντων τῶν ὄντων ἀρχὰς ζητοῦντες καὶ διδάσκειν λέγοντες ἀναιροῦσι τὸ δύνασθαί τι γνωρίζειν καὶ εἰδέναι τὸν μανθάνοντα, ἀναιροῦσι καθόλου διδασκαλίαν τε καὶ μάθησιν. τὸ δὲ "ἢ πάντων ἢ τινῶν" εἶπεν, ὅτι ἐν τῇ ἀποδείξει καὶ ἐν τῷ συλλογισμῷ ἐνδέχεται ἀμφοτέρας τινὰ τὰς προτάσεις προγιγνώσκειν τε καὶ γνωρίζειν, ὁμοίως καὶ ἐν τῷ ὁρισμῷ πάντα γνωρίζειν καὶ προγιγνώσκειν τὰ ἐξ ὧν ὁ ὁρισμός· καὶ ἡ ἐπαγωγὴ δὲ διὰ πάντων γνωρίμων ἢ προγιγνωσκομένων. ἢ πάντων, ὡς ἐν τοῖς ὁρισμοῖς καὶ ἐν ταῖς ἐπαγωγαῖς, τινῶν, ὡς ἐν ταῖς ἀποδείξεσιν. Alex.

992b 26. (x) καίτοι κοινὰς ἀρχάς, καθάπερ αὐτὸς λέγεις, ἀνιχνεύομεν ἢ διὰ τῶν κοινῶν ἐννοιῶν ἢ δι' ἀναλογίας, ἤγουν ἐξ ἀποφάσεως. οὕτως τοίνυν καὶ αὐτὸς ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 1) πεποίηκας· ἐξ ἀναλογίας γάρ τινος ἔννοιαν ἡμῖν τῆς ὕλης δέδωκας, φάσκων ὅτι ὃν τρόπον ὁ χαλκὸς πρὸς ἀνδριάντα καὶ λέβητα καὶ ξύλον καὶ πρὸς ναῦν καὶ κλίνην, τοῦτον καὶ ἡ ὕλη πρὸς τὰ φυσικὰ πράγματα. Asclep.

992b 33. "ἀλλὰ — οὖσα." ἀνελὼν τὸ εἶναι μάθησιν εἰ τῶν ὄντων πάντων κοιναὶ ἀρχαὶ καὶ αἰτίαι, διδάσκει νῦν ὅτι μηδὲ χωρὶς διδασκαλίας σύμφυτον τὴν γνῶσιν ἔχειν αὐτῶν οἷόν τε, ὡς μὴ δεῖσθαι διδασκαλίας εἰς τὴν ἐπιστήμην αὐτῶν, μηδὲ προγιγνωσκομένων τινῶν (y). ἡ μὲν γὰρ τῶν κυριωτάτων γνῶσις κρατίστη τῶν ἐπιστημῶν, ἡ δὲ τῶν ἀρχῶν, αἵ τινες ἁπάντων τῶν ὄντων εἰσὶν ἀρχαί, γνῶσις τῶν κυριωτάτων ἐστὶ γνῶσις· κυριώτερον γὰρ ἀεὶ τὸ διότι ἐστί τι τοῦ δι' ἐκεῖνο ὄντος, διὰ δὲ τὰς ἀρχὰς τὰ μετὰ τὰς ἀρχάς· ἡ τῶν ἀρχῶν ἄρα γνῶσις ἡ τῶν ἐπιστημῶν κρατίστη. τὸ δὲ τὴν κρατίστην τῶν ἐπιστημῶν σύμφυτον ἔχοντας μηδ' εἰδέναι, τοῦτο παράλογον. ἀλλ' ὅτι μὲν αἴσθησιν ἔχομεν σύμφυτον, οὐ λελήθαμεν αὐτούς, οὐδὲ ὅτι βαδίζειν δυνάμεθα· ὅτι δὲ τὴν τῶν ὄντων ἐπιστήμην ἔχομεν ἔχοντες αὐτῶν τὰς ἀρχάς, ἢ ὅτι γε τὰς τῶν ὄντων πάντων ἀρχὰς ἐπιστάμεθα, λελήθαμεν ἑαυτούς, καὶ οὐδὲ ἐξετασθέντες καὶ ἐπιστήσαντες εἰπεῖν δυνάμεθα. πῶς ἂν οὖν ἔχοιμεν ἐπιστήμην σύμφυτον τούτων ἃ μὴ ἴσμεν; δύναται τοῦτο καὶ ὡς ἀρέσκον αὐτοῖς τὸ σύμφυτον ἔχειν ἡμᾶς τὴν τῶν ὄντων ἐπιστήμην εὐθύνειν· τοῦτο δέ, ἐπεὶ δοκοῦσιν αὐτοῖς αἱ μαθήσεις ἀναμνήσεις εἶναι. Alex.

(y) λέγομεν οὖν πρὸς αὐτὸν ὅτι σύμφυτον αὐτὴν ἔχομεν, 993a 1. ἀλλὰ λοιπὸν πίπτουσα ἡ ψυχὴ εἰς τὴν λήθην τῆς γενέσεως καὶ πληρουμένη τῆς ἐντεῦθεν ἀχλύος ἐπιλανθάνεται καὶ σκοτίζεται. εἰ γὰρ μὴ εἴχομεν, οὐκ ἄν ποτε μεμαθήκαμεν, καθάπερ εἴρηται ἐν τῷ Φαίδωνι. Asclep.

"ἔτι — ἀπορίαν." εἰ καὶ εἰσὶ πάντων ἀρχαὶ κοιναὶ καὶ αἱ 993a 2. αὐταί, πῶς τις ταύτας γνωρίσει, ὅτι αἵδε τινές εἰσι καὶ ὅτι ἐκ τούτων ἐστὶ τὰ ὄντα, εἰ μὴ προειδείη τινὰ δι' ὧν γνωρίζειν τε καὶ δεικνύναι δυνήσεται ὅτι εἰσὶν αἵδε; τί γὰρ μᾶλλον ὅτι αἵδε τινὲς ἀλλ' οὐχὶ αἵδε εἴσεται ὁ μὴ ἔχων πρὸς τὸ γνωρίζειν τὸ ζητούμενον ἀρχάς; οὐ γὰρ δὴ χωρὶς ἀμφισβητήσεως ὁμολογηθήσεται τάσδε τινὰς πρὸς ἁπάντων εἶναι· ἀλλ' ὡς ἀμφισβητεῖται περὶ τῆς ζα' συλλαβῆς πότερον αὐτὴν δεῖ διὰ τοῦ ζ' καὶ α' γράφειν ἢ διὰ τοῦ σ' καὶ δ' καὶ α' (z), οὕτω δὴ καὶ ἡ περὶ τῶν ἀρχῶν ἀμφισβήτησις ἂν εἴη. ἐγράφετο δὲ ταῦτα διὰ δύο πάλαι ἕκαστον αὐτῶν γραμμάτων, διὸ καὶ διπλάσια τῶν στοιχείων ταῦτα ἐκαλεῖτο, καὶ τὸ μὲν ζ' διὰ τῶν σδ', τὸ δὲ ξ' διὰ τῶν κσ', τὸ δὲ ψ' διὰ τῶν πσ'. γνωρίσει γάρ τις αὐτὰ καὶ ζητήσει, εἰ ἀμφισβητοῖτο, ἢ δι' ὁρισμοῦ ἢ διὰ συλλογισμοῦ ἢ δι' ἐπαγωγῆς, ἃ πάντα διὰ προγιγνωσκομένων δείκνυσιν, ὡς προείρηται. ἔοικε δὲ τὴν ἐν τῷ Μένωνι τὴν ὑπὸ Πλάτωνος ἀπορίαν εἰρημένην λέγειν ὡς δυναμένην ἀπορεῖσθαι πρὸς τοὺς ἁπάντων τῶν ὄντων κοινάς τινας καὶ τὰς αὐτὰς ἀρχὰς τιθεμένους· τούτοις γὰρ ἀνάγκη μὲν λέγειν τὰς ἀρχὰς διδακτάς. οὐ γὰρ δὴ λανθάνομεν αὐτοὺς ἔχοντες τὴν κρατίστην τῶν ἐπιστημῶν, ἥτις ἐστὶν ἡ τῶν ὄντων ἁπάντων. τῷ δὲ τὸν τὰς τῶν ὄντων ἀρχὰς ἀγνοοῦντα μηδὲν δύνασθαι τῶν ὄντων εἰδέναι, οἱ μανθάνοντες τὰς τοιαύτας ἀρχὰς οὐδὲν ἂν εἶεν τῶν ὄντων προειδότες. ἀλλ' εἰ τοῦτο, οὐδὲ γνωρίζειν ἂν δύναιντο τὰς τοῦ ὄντος ἀρχάς, ὅτι ἐκεῖναι εἰσίν, εἰ καὶ εὑρεθεῖεν, τῷ γίνεσθαι μὲν τοῦτο διά τινων προϋπαρχουσῶν γνώσεων, ταύτας δὲ ἀδύνατον ἔχειν τὸν μηδέπω τὰς τοῦ ὄντος ἀρχὰς ἔχοντα, τῷ καὶ τούτων αὐτὰς ἀρχὰς εἶναι, εἴγε καὶ αὐτὰ τῶν ὄντων. τὸ δὲ "ἐκ τίνων

1. παντὸς ἡ κατάφασις ἢ ἡ ἀπόφασις *M.* ‖ 6. ζῷον om *M.* ‖ 11. διδασκαλία τὸ μὲν καθόλου βούλεται διδάσκειν, δι' ὧν δὲ διδάσκει ἐστι, εἰ *M.* ‖ 16. τε — 17. προγιγνώσκειν om *A.* ‖ 17. τὰς *A.* ‖ 18. ἡ ἐπαγωγὴ δὲ om *A* in lacuna. ‖ 19. ἐπαγωγαῖς· ἢ τινῶν *A.* ‖ 23. vid. Arist. Phys. Auscult. 1. ‖ 30. γνῶσιν αὐτῶν ἔχειν *M.* ‖ 32. τινῶν δείκνυσιν· ἡ *A.* ‖ 37. ἔχοντα *A.*

2. ἔχομεν om *M.* ‖ γε] δὲ *M.* ‖ 3. ἐπιστάμεθα αὐτοὺς λελήθαμεν καὶ *M.* ‖ 5. *et fortasse haec idcirco ab ipso dicta sunt, ut hac quoque parte ipsorum placita corrigeret, qui* Sepulv. ‖ 11. Plat. Phaed. cf. Menon. ‖ 19 — 21. ὥσπερ ἀμφισβητεῖται περὶ τῆς ζα' συλλαβῆς πότερον διὰ τοῦ ζ' γράφεται (ἢ ἕτερον φθόγγον εἶπεν), ἢ διὰ τοῦ σ' καὶ δ'. τινὰ γὰρ τῶν βιβλίων ἀντὶ τοῦ ζα' σμα' ἔχει γεγραμμένον. καλλίων δὲ ἡ διὰ τοῦ ζα' γραφή. οὕτω δὴ καὶ ἡ περὶ τῶν ἀρχῶν ἀμφισβήτησις ἂν εἴη. ἐγράφοντο γὰρ πάλαι παρὰ τῶν παλαιῶν τινὲς συλλαβαὶ διὰ δύο γραμμάτων, ὕστερον δὲ τοὺς φθόγγους τῶν δύο τούτων εἰς ἕνα φθόγγον κεράσαντες δι' ἑνὸς στοιχείου ἔγραφον· ὅθεν καὶ διπλᾶ ταῦτα ἐκάλουν, οἷον τὸ ξ ἐκ τοῦ κ' καὶ σ', τὸ δὲ ψ' ἐκ τοῦ σ' καὶ δ'. *L.* ‖ 19. τὴν ζα' συλλαβὴν *A.* ‖ 21. δὴ *V*, δὲ *AM.* ‖ 24. σδ'] σ' καὶ δ' *MV.* ‖ 27. δὲ om *A.* ‖ 28. δυναμένων *AM.* ‖ 30. μὲν] μὴ *V.* ‖ 37. τῷ — 38. ὄντων om Sepulv.

ἐκείνων μαθηματικά, οὐχ αἱ ἀρχαὶ αὐτῶν. τὰ μὲν γὰρ μαθηματικὰ οὔτε ἀρχαὶ ϗ διαιρετὰ ϗ πολλά, ἐκεῖνα δὲ ἀρχαί τε ϗ ἀδιαίρετα ϗ ἀεὶ αὐτῶν ἕκαστα. ἀλλ' οὐδὲ φθαρτὰ ταῦτα· ἀρχαὶ γὰρ ϗ ἄφθαρτα ταῦτα. πάλιν οὖν τετάρτη φύσις τῶν ὄντων ἔσται αὐτοῖς αὕτη ϗ τέταρτόν τι γένος παρὰ τὰ τρία τὰ ὑπ' αὐτῶν τιθέμενα, ἃ ἦν αἱ ἰδέαι, τὰ μαθηματικά, τὰ αἰσθητά. αἱ γὰρ τῶν μαθηματικῶν ἀρχαὶ πάντων τούτων διάφοροι· οὔτε γὰρ ἰδέαι ὅτι μὴ ἀριθμοί, οὔτε τῶν λοιπῶν δύο, προείρηται· ταῦτα γὰρ ἓν λέγουσιν εἶναι ϗ τὴν τάξιν αὐτοῖς τὴν προειρημένην ἀποδιδόασιν. οὔτε δὲ πῶς ἐστιν οὔτε ἐν τίνι φύσει τῶν ὄντων ἔσται κατ' αὐτούς, οἷόν τε εἰπεῖν. τὰ μὲν γὰρ φύσει ὄντα ἐστὶν αὐτοῖς ἢ ἰδέαι ἢ μαθηματικὰ ἢ αἰσθητά, τὸ δὲ αὐτομῆκες ϗ τὸ αὐτοεπίπεδον ϗ αὐτοστερεὸν ἰδέαι μὲν οὐκ ἔσονται, ὅτι αἱ μὲν ἰδέαι ἀριθμοὶ κατ' αὐτούς, ταῦτα δὲ ἔλεγον μετ' αὐτοὺς τοὺς ἀριθμοὺς εἶναι. ἀλλ' οὐδὲ μεταξύ· μεταξὺ γὰρ τὰ μαθηματικὰ κατ' αὐτούς. ἓν δὲ ϗ πολλά, οὐ πολλὰ δὲ τὸ αὐτομῆκες ἢ τὸ αὐτοεπίπεδον ἢ τὸ αὐτοστερεόν. ἀλλ' οὐδὲ ἐν τοῖς αἰσθητοῖς ταῦτα ϗ φθαρτοῖς· οὐδὲ γὰρ τούτων τι κυρίως ὄν. φαίνεται οὖν τέταρτόν τι γένος τοῦτο τῶν ὄντων γενέσθαι κατ' αὐτούς. Alex.

(*) εἰ τοίνυν τὰ μεγέθη δεύτερα ὑπάρχουσι τῶν ἀριθμῶν, αἱ δὲ ἰδέαι ἀριθμοί, δηλονότι οὐχ ὑπάρχουσι μεγεθῶν ἰδέαι. λέγομεν οὖν πρὸς αὐτὸν ὅτι παραλογίζῃ ἡμᾶς ἐκ τῆς ὁμωνυμίας· αἱ μὲν γὰρ ἰδέαι τῶν μεγεθῶν ὑπάρχουσιν, ἐπειδὴ ἐκεῖναι τῶν ἀριθμῶν οὐκ εἰσὶ δεύτεραι· τὰ γὰρ αἰσθητὰ μεγέθη ὑπάρχουσι δεύτερα τῶν ἀριθμῶν, οὐκ ἰδέαι τῶν μεγεθῶν. Asclep.

992b 13. "ὅλως — εὑρεῖν." ὁ λόγος τοιοῦτος. ὧν μή εἰσι κοιναὶ ἀρχαί, τούτων ἀδύνατον κοινάς τινας ἀρχὰς εὑρεῖν· τῶν δὲ ὄντων οὐκ εἰσὶν ἀρχαὶ κοιναί, ὥστε ϗ ἀδύνατον αὐτῶν εὑρεῖν κοινὰς ἀρχάς. ὅτι δὲ τῶν ὄντων οὐκ εἰσὶν ἀρχαὶ κοιναί τε ϗ αἱ αὐταί, τὰ δὲ ὄντα πολλαχῶς λέγεται, τῶν ὄντων ἄρα οὐκ εἰσὶν ἀρχαὶ αἱ αὐταί. ὅτι δὲ τὸ ὂν τῶν πολλαχῶς λεγομένων, ἐν πολλοῖς εἴρηται. αἰτιᾶται δὴ αὐτοὺς ὅτι ἐζήτουν ἀρχὰς τῶν ὄντων μὴ πρότερον διελόμενοι αὐτὰ ϗ τὰ σημαινόμενα ἐκθέμενοι τοῦ ὄντος. ἄλλως τε ἔτι ἀτοπώτερον τὸ τὰς τοιαύτας τῶν ὄντων ἀρχὰς τὰς αὐτὰς ζητεῖν τὰς ἐξ ὧν εἰσίν, αὗται δέ εἰσιν ἥ τε ὕλη ϗ τὸ εἶδος· τοιαῦται γὰρ ἃς ὑποτίθενται ἀρχάς, ἥ τε ἀόριστος δυὰς ϗ ἡ μονάς. ἔνια γὰρ τῶν ὄντων οὐδὲ ἔχει κατὰ τὴν οἰκείαν φύσιν τοιαύτας ἀρχὰς ϗ στοιχεῖα, εἰ μὴ κατὰ συμβεβηκός· ἔκ τινος γὰρ ὕλης τὸ ποιεῖν τι ἔστιν ἢ τὸ πάσχειν· κατὰ συμβεβηκὸς μὲν γὰρ ϗ ταῦτα ὕλην ἔχει (*). ὅτι γὰρ ταῖς οὐσίαις, ὧν ἔστι τις ὕλη, ταῦτα ὑπάρχει, κατὰ τοῦτο ἂν εἴη τις ὕλη ϗ τῶν τοιούτων, καθ' αὑτὰ δὲ οὔ. ὁμοίως δὲ οὐδὲ τοῦ εὐθέος ὕλη τις ἐστίν, οὐδέ τινος ἄλλου παρὰ τὴν οὐσίαν· διὰ τοῦτο γὰρ εἶπε μὴ εἶναι τούτων λαβεῖν τοιαῦτα στοιχεῖα, ὅτι μηδὲ τὴν ἀρχὴν ἔστιν· τὰς γὰρ τοιαύτας ἀρχὰς τὰς ὡς στοιχεῖα ϗ ἐνυπάρχοντα ϗ ἐξ ὧν λέγεταί τι εἶναι, μόνης τῆς οὐσίας εὑρεῖν ἔστιν· μόνη γὰρ αὕτη τῶν ὄντων ὑποκείμενον, τὰ δ' ἄλλα ἐν ταύτῃ ϗ ταύτης τι. τὸ οὖν τῶν οὐκ ἐχόντων τοιαύτας ἀρχὰς ἢ ζητεῖν ἢ οἴεσθαι εὑρηκέναι μάταιον. Alex.

(*) λέγομεν οὖν ὅτι τὸ μὲν ποιητικὸν ϗ τὸ τελικὸν πάντων τῶν ὄντων ἐστὶν αἴτια· ὁ γὰρ θεὸς πάντων ἐστὶν αἴτιος τῶν ὄντων, ὥς φησι ϗ αὐτός, ϗ τελικόν, διότι πρὸς αὐτὸν ἐπεστραμμένα ὑπάρχουσι. πάντων μέντοι τῶν ὄντων ὑλικὰ αἴτια ὑποτίθεσθαι οὐκ ἔστιν ἀληθές. ϗ Πλάτων μὲν συμβολικῶς ταῦτα ὑποτίθεται· τὴν γὰρ δυάδα ἀρχὴν τῆς προόδου ὑπετίθετο, τὴν δὲ μονάδα τῆς ἑνώσεως, ἐπειδὴ ϗ ἕνωσίς ἐστιν ἐν πᾶσι τοῖς οὖσι ϗ πρόοδος. Asclep.

"πῶς — στοιχεῖα;" ὅτι εἰ ϗ ἔστι κοινὰ πάντων τὰ τῶν ὄντων στοιχεῖα, ἀδύνατον αὐτῶν μάθησιν ϗ ἐπιστήμην εἶναι, δείκνυσι. 992b 24. δι' ἣν δὲ αἰτίαν ἀδύνατον τοῦτο μαθεῖν τὰ πάντων στοιχεῖα, αὐτὸς ἐπήνεγκεν εἰπὼν "δῆλον γὰρ ὡς οὐδὲν οἷόν τε προϋπάρχειν γνωρίζοντας πρότερον." ὁ δὲ λόγος τοιοῦτος. ἀδύνατόν τι τῶν ἐχόντων ἀρχὰς εἰδέναι μὴ τὰς ἀρχὰς εἰδότα αὐτοῦ· ὧν γὰρ διὰ τῶν ἀρχῶν ἡ γνῶσις, ταῦτα ἀδύνατον εἰδέναι πρὸ τῆς τῶν ἀρχῶν γνώσεως. τῶν δὲ ὄντων πάντων εἰσὶ κατ' αὐτοὺς ἀρχαὶ κοιναί· ἀδύνατον ἄρα τῶν ὄντων εἰδέναι τι μὴ πρότερον τὰς ἀρχὰς μαθόντας (*). ἀλλὰ μὴν ὧν ἐχόντων ἀρχὰς ἀδύνατον τὰς ἀρχὰς μαθεῖν, ἀδύνατον τούτων ἐπιστήμην ἔχειν· ἀδύνατον δὲ τὰς τῶν ὄντων ἀρχὰς μαθεῖν, ἀδύνατον ἄρα τῶν ὄντων ἐπιστήμην ἔχειν. ὅτι δὲ ἀδύνατον τὰς τῶν ὄντων ἀρχὰς μαθεῖν, δείκνυσιν οὕτως. πᾶσα μάθησις ἐκ προγινωσκομένων γίνεται· ὡς γὰρ ϗ ἀρχόμενος τῶν Ὑστέρων Ἀναλυτικῶν εἶπε, "πᾶσα διδασκαλία ϗ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίγνεται γνώσεως." ἃ μὲν γὰρ μανθάνει τις οὐκ εἰδώς, ταῦτα οὐχ οἷόν τε προγινώσκειν· ἀλλὰ μέντοι τινὰ ἀναγκαῖον προγινώσκειν δι' ὧν γνωρίσει τὰ δι' ὧν ἡ μάθησις· ὁ γοῦν γεωμετρεῖν μανθάνων, ὧν μέν ἐστιν ἡ γεωμετρία ἐπιστήμη, τούτων οὐδὲν προγιγνώσκει ὅτε τοῦ μανθάνειν ἄρχεται, ἀλλὰ μέντοι τινὰ οἶδεν ἐξ ὧν γνωρίζει τὰ δι' ὧν ἡ διδασκαλία, οἷον μεῖζον ἔλαττον ἴσον, εὐθὺ κεκλασμένον, ἀλλὰ ϗ μήκους ἔννοιαν ϗ πλάτους ϗ σώματος. εἰ δὴ πᾶσα μάθησις ἐκ προγινωσκομένων ἄλλων τινῶν, οὐ τῶν μανθανομένων, δεήσει ϗ τὸν τὰς τῶν ὄντων ἀρχὰς μαθησόμενον ἄλλα τινὰ εἰδέναι. ἀλλ' ἦν ἀδύνατον· πᾶν γὰρ ὅ τι ἂν εἰδέναι ληφθῇ, ὄν τι ἔσται ϗ ὑπὸ τὰς τοῦ ὄντος ἀρχάς, ἀδύνατον δέ ἐστι τι τῶν ὄντων εἰδέναι πρὸ τοῦ τὰς ἀρχὰς μαθεῖν αὐτοῦ. ἢ οὖν προειδὼς ἔσται ἃ μανθάνει, ἢ οὐ μαθήσεται. ὅτι δὲ πᾶσα μάθησις ἐκ προγιγνωσκομένων, ἔδειξε λαβὼν τὰς μαθήσεις. ἢ γὰρ δι' ἀποδείξεώς τι μανθάνομεν ἢ δι' ὁρισμοῦ ἢ δι' ἐπαγωγῆς. ϗ ἔστι τινὰ ϗ ἐν ταῖς δι' ἀποδείξεως διδασκαλίαις γνωριζόμενα ὑπὸ τοῦ μανθάνοντος, ἄλλα ὄντα τῶν ἀποδεικνυμένων· τοιαῦτα γὰρ τὰ ἀξιώματα, φυσικαί τινες οὖσαι ἔννοιαι ϗ προτάσεις ἄμεσοι, οἷον

11. ὄντος *M.* ‖ 25 — *b* 6. apud Asclep. ‖ 28. αὐταί, τὰ — 30. ὂν *MV* Asclep., αὐταί, δῆλον ἐπειδὴ τῶν *A.* ‖ 30. δὴ] δὲ *AV.* ‖ 31. αὐτὰ *MV*, αὐτὰς *A.* ‖ 43. ὡς *M* Asclep., εἰς *A.*

2. καὶ ταύτης et 11. τὰ om *M.* ‖ 16. αὐτῶν *V.* ‖ 28. τὰ] τὸ *A.* ‖ ὁ γεωμέτρης μανθάνων *A.*

εἶναι, αὐτό τι ἓν ποιοῦντες, πάντα τὰ ὄντα εἰς ἓν τοῦτο ὑπῆγον. καὶ οὕτως αὐτοῖς ἐφοδεύουσι καὶ τῇ ἐκθέσει χρωμένοις πάντα τὰ ὄντα εἰς τὸ ἓν καὶ τὴν ἀρχὴν ἀνάγεσθαι ἐδόκει. τοῦτο γοῦν καίτοι δοκοῦν ὑπ᾽ αὐτῶν λαμβάνεσθαί τε τῇ ἐκθέσει καὶ δείκνυσθαι ὡς φανερὸν τὸ πάντα γίγνεσθαι ἕν, οὔ φησιν οὕτως γίγνεσθαι ὡς οἴονται. οὐ γὰρ ὅταν ἐκθέμενοί τινα πλείω, καὶ κοινωνίαν τούτων κατά τι λαβόντες, τοῦτο ἕν τε ποιήσωσι καὶ ἰδέαν, καθὸ ἡ κοινωνία καὶ ἡ ὁμοιότης ἐκείνοις γίγνεται αὐτοῖς, αὐτὰ τὰ ἐκτεθέντα ἕν, οἷον οἱ ἄνθρωποι ἢ ἄνθρωποι· ἀλλ᾽ αὐτὸ μὲν ἄνθρωπος ἕν τι ἔσται δεικνύμενος ὑπ᾽ αὐτῶν ἐκ τῆς ἐκείνων πρὸς ἄλληλα ὁμοιότητος, οὗτοι δὲ οἱ πολλοὶ οὐχ ἕν. ὥστε οὐ τὰ πολλὰ καὶ τὰ πάντα ἓν γίγνεται, κἂν συγχωρήσῃ τις αὐτοῖς πάντα ἃ λαμβάνουσιν, ἀλλὰ πρὸς ἕν τι γεγονότα πολλὰ μέντοι ὄντα καὶ μένοντα. οὐ γὰρ οἱ πολλοὶ καὶ οἱ καθ᾽ ἕκαστα ἄνθρωποι αὐτοάνθρωποι ὄντες δείκνυνται (ἄλλος γὰρ ἐκεῖνος τούτων), οὐδὲ πάντα τὰ ὄντα αὐτοὸν καὶ αὐτοέν, ἀλλὰ κοινόν τι ἐπ᾽ αὐτοῖς οὖσι πολλοῖς τὸ ἕν τε καὶ τὸ ὄν. ὥστε οὐδὲ δοθέντος αὐτοῖς καὶ συγχωρηθέντος τοῦ πρὸς παράδειγμά τι ταῦτα γίγνεσθαι, τὸ αὐτοέν, καὶ εἶναί τι ἓν οὗ μεταχέσει τὰ πολλὰ ταῦτα ἀλλήλοις ἢ κατὰ τὸ εἶδος ἢ κατὰ τὸ γένος λέγεται, οὐδ᾽ οὕτως γίγνεται τὰ πάντα ἕν, ἀλλὰ καθ᾽ ἑκάστην ὁμοιότητα τῶν πολλῶν τούτων αὐτό τι ἓν γίγνεται καὶ ἑνάς τις, οὐ ταῦτα ἕν. ἀλλ᾽ οὐδὲ τοῦτο, φησίν, ἐπὶ πασῶν τῶν ὁμοιοτήτων οἷόν τε δείκνυσθαι καὶ λέγεσθαι ὡς κατὰ πᾶσαν ὁμοιότητα ὑπό τι ἓν εἶναι, ἂν μὴ κατὰ τὸ εἶδος ἢ γένος ὁμοιότης ᾖ τῶν λαμβανομένων· ἡ γὰρ κατὰ τὴν οὐσίαν καὶ τὸ γένος τε καὶ τὸ εἶδος ταυτότης τε καὶ ὁμοιότης ἰδέα, ἀλλ᾽ οὐχ ἡ κατὰ τὸ συμβεβηκός. πολλὰ γάρ ἐστιν ἃ διά τινα ὁμοιότητα ἀλλήλοις ὁμοίως λέγεται, τῷ μὴ εἶναι ταύτην τὴν ὁμοιότητα γένος ἢ εἶδος αὐτῶν οὐδὲ αὐτό τι ἓν ἔσται ἐπ᾽ αὐτῶν· τοιαῦτα δέ ἐστι τὰ ἀποφατικῶς λεγόμενα. τὸ γὰρ οὐ τρέχει κοινὸν μὲν καὶ ὅμοιον τούτοις ὧν ἀληθῶς κατηγορεῖται, ἀλλ᾽ οὔτε γένος τοῦτο ἔχει οὔτε εἶδος, οὔτε ἰδέα τις τὸ οὐ τρέχει. πάλιν ἐπὶ καθημένων ἢ περιπατούντων ἢ τεθνεώτων ἢ φθειρομένων, ἐπὶ μυρίων ἄλλων, ἃ κεκοινώνηκε μέν τινος, οὐ μὴν ἔστι λαβεῖν ἐπ᾽ αὐτῶν αὐτό τι ἕν. ἀλλὰ καὶ οἱ πατέρες κατὰ κοινὴν μέν τινα σχέσιν πατέρες πάντες εἰσίν, οὐκ ἔστι δέ τι ἓν αὐτοπατήρ. ἀλλὰ καὶ τὸ τῶν τριγώνων τὰς ἐν ταῖς γωνίαις δυσὶν ὀρθαῖς ἴσας εἶναι καθόλου μέν ἐστι τῶν τριγώνων, οὐ μὴν καὶ γένος. ὥστε οὐκ ἐπὶ πάντων ἔστι τῇ ἐκθέσει τὸ ἓν λαμβάνοντας, αὐτό τι ἓν ποιοῦντας, εἰς τοῦτο ἀναγαγεῖν τὰ πάντα, μόνων δὲ ἐφ᾽ ὧν τὸ κοινῶς κατηγορούμενον καὶ καθόλου λεγόμενον ἢ γένος ἢ εἶδός ἐστιν. ὅθεν καὶ δῆλον ὅτι οὐκ ἄλλο τι αὐτοῖς ἐστὶν ἡ ἰδέα ἢ τὰ γένη καὶ τὰ εἴδη, ἢ κοινῶς τε λέγεται καὶ συνωνύμως κατηγορεῖται ὧν ἔστιν ἢ εἴδη ἢ γένη. τοσοῦτον οὖν ἀπέχει τοῦ εἰς ἕν τι πάντα ἀνάγεσθαι ὑπ᾽ αὐτῶν, ὡς οἴονται, ὡς μηδὲ κατὰ πᾶσαν ὁμοιότητα δύνασθαι τὸ ἓν ἐπὶ τῶν πολλῶν λαμβάνεσθαι. τὸ δὲ "ἐὰν διδῷ τις πάντα" 992b 11. δοκεῖ μοι προσθεῖναι ἐνδεικνύμενος ὅτι μὴ συγχωρηθήσεται αὐτοῖς, εἰ κατὰ κοινωνίαν τινὰ τὴν πρὸς ἄλληλα ὁμοίως ἀλλήλοις λέγεταί τινα, ἤδη καὶ ἓν τίθεσθαι ἐκεῖνο, ὡς πάντα τὰ ὑπ᾽ αὐτὸ πρὸς ἐκεῖνο τὸ εἶναι ἔχειν ὡς κεχωρισμένον αὐτῶν. ἢ τὸ "ἂν διδῷ τις πάντα" σημαίνοι ἂν τό, ἂν συγχωρῇ τις πάντα τὰ ὁμοίως ἀλλήλοις λεγόμενα κατὰ ἑνός τινος κοινωνίαν οὕτω λέγεσθαι, καὶ συγχωροῖ τὸ ἓν ἐπὶ πολλοῖς τοιοῦτον εἶναι, οὐδὲ τοῦτο ἔσται ἐπ᾽ ἄλλων τινῶν ἢ τῶν ὡς γενῶν καὶ εἰδῶν κοινῶν· τὰ γὰρ οὕτως κοινά τε καὶ καθόλου μόνα ἰδέαν τινά, φησί, σημαίνειν δοκεῖ. καίτοι τοῦτό γε ἐν ἐνίοις ἀδύνατον· συμβαίνει γὰρ ἔνια τῶν κοινῶς κατά τινων κατηγορουμένων μὴ δύνασθαι γένη εἶναι τούτων ὧν κοινῶς κατηγορεῖται· τοιαῦτα γὰρ τὰ πολλαχῶς λεγόμενα. λέγοι δ᾽ ἂν μάλιστα αὐτὰ διὰ τὸ ὄν, ὃ ἐκεῖνοι μὲν ὡς γένος τι κοινὸν τῶν ὅλων λαμβάνοντες ἰδέαν ἐποίουν τὸ αὐτοὸν καὶ αὐτοέν, καὶ εἰς τοῦτο πάντα ὑπῆγον. εἰ δὲ μή ἐστι γένος τὸ ἕν, ἀλλὰ τῶν πολλαχῶς λεγομένων, δῆλον ὡς οὐδὲ ὁμοιότης ἂν τοῖς οὖσιν οὐσιώδης κατὰ τοῦτο εἴη. Alex.

(*) λέγομεν οὖν ἡμεῖς πρὸς αὐτὸν ὅτι καὶ πάνυ ἀκριβῶς λέγουσι περὶ τῆς πρώτης ἑνάδος. φησὶ γὰρ ὅτι πάντα ὀρεγόμενα αὐτοῦ ἀπέστραπται πρὸς αὐτόν. εἰ τοίνυν ἕτερόν ἐστι τὸ ὀρεκτὸν παρὰ τὸ ὀρεγόμενον (οὐδεὶς γὰρ ὀρέγεται οὗ ἔχει), φανερὸν ὅτι ἕτερόν τι ὑποτίθενται τὴν πρώτην ἑνάδα ἥν φασιν ὀρεκτόν, πρὸς ἣν πάντα τὰ ὄντα ἐπεστραμμένα ὑπάρχουσι. διὸ καὶ αὐτὸς ἐπεδέχετο αὐτοὺς λέγοντας τἀγαθὸν οὗ πάντα ἐφίεται. Asclep.

"οὐδένα — ἀριθμούς." τίνα μὲν τὰ μετὰ τοὺς ἀριθμούς, αὐτὸς ἐπι- 992b 11 φέρει· μήκη γὰρ καὶ ἐπίπεδα καὶ στερεά. διαιροῦντες γὰρ εἰς ταῦτα τὰ ὄντα οἵ τε Πυθαγόρειοι καὶ Πλάτων ἀρχὰς μὲν τῶν ὄντων καὶ πρῶτα τοὺς ἀριθμοὺς ἔλεγον, μετὰ δὲ τοὺς ἀριθμοὺς ἔτασσον μήκη καὶ μετὰ ταῦτα ἐπίπεδα, εἶτα τὰ στερεά, ὡς οὐκ ὄντα ταῦτα ἀριθμούς. ὡς δὲ ταῦτα πρὸς ἄλληλα τάξεως ἔχει, δῆλον ὡς καὶ ἀρχαὶ αὐτῶν ἕξουσι πρὸς ἀλλήλας· εἰσὶ γὰρ κατ᾽ αὐτοὺς ἑκάστου τούτων οἰκεῖαι ἀρχαί· ἐτίθεντο γὰρ καὶ τούτων ἰδέας, αἳ ἤδη τῶν μετὰ τοὺς ἀριθμοὺς ἀρχαί. ἀλλ᾽ εἰ ἀρχαὶ μήκους καὶ ἐπιπέδου καὶ στερεοῦ τὸ αὐτόμηκες καὶ τὸ αὐτόπλατος καὶ αὐτοστερεόν, τίνος φύσεως καὶ δυνάμεως μετέχουσι κατὰ τοὺς τὰς ἰδέας τιθεμένους, ἔργον εὑρεῖν (*). οὔτε γὰρ ἰδέαι ταῦτα, ἐπεὶ αἱ μὲν ἰδέαι ἀριθμοὶ ταῦτα δὲ οὐκ ἀριθμοί· τὴν γὰρ μετὰ τοὺς ἀριθμοὺς τάξιν αὐτοῖς εἶχε ταῦτα. ἀλλ᾽ οὐδὲ τὸ βραχὺ καὶ μακρὸν καὶ στενὸν καὶ πλατὺ καὶ βαθὺ καὶ ταπεινόν, αἱ ἀρχαὶ τούτων, οὐκέτι ἀριθμοί. ἀλλ᾽ οὐδὲ ἐν τοῖς μαθηματικοῖς ἔσται ταῦτα, ἃ μεταξὺ ἐτίθεντο ἐκεῖνοι τῶν τε ἰδεῶν καὶ τῶν αἰσθητῶν· τὰ γὰρ ἐξ

6. λαμβάνοντες *M.* ‖ 12. τι καὶ γεγόνοτα *A.* ‖ μὲν τὰ ὄντα *A.* ‖ 16 — 30. apud Asclep. ‖ 16. τοῦ καὶ πρὸς *M.* ‖ 19. ἀλλὰ — 21. ἓν om *A.* ‖ 20. ἓν γίνεται καὶ ἑνάς τις ἐπιστηματική· οὐ γὰρ ταῦτα ἕν. ἀλλ᾽ Asclep. ‖ 22. γνῶσθαι Asclep. ‖ ὁμοιότητα αὐτό τι ἓν εἶναι καὶ μὴ Asclep. ‖ 28. γὰρ οὔτε ἔχει κοινὸν *M.* ‖ ὁμοίως *A.* ‖ 29. ἀληθὲς *A.* ‖ 34. τὸ] κατὰ *M.* ‖ *trianguli internos angulos duobus rectis esse aequales* Sepulv. lege τὰς ἐντὸς γωνίας δυσὶν. ‖ 40. *species, quae communiter dicuntur et univoce* Sepulv. lege εἴδη, ἃ κοινῶς.

9. καὶ συγχωρεῖτο ἓν *M.* ‖ 12. τινα φύσεως σημαίνειν *M.* ‖ 18. τῶν om *M.* ‖ 28 — 38. om *L.* ‖ 30. τοὺς μὲν ἀριθμοὺς *V.* ‖ 31. στερεὰ καὶ οὐκ *A.* ‖ 40. μικρὸν *M.* ‖ ἀρχαὶ αἱ τούτων *M.*

μᾶλλον δόξαιεν εἶναι ὑποκειμένου τινός, καθ' ἃς ἡ μεταβολὴ αὐτοῖς, 992b 6. ἀλλ' οὐχὶ αὐτὰ ὑποκείμενα. τὸ δὲ "ταῦτα δέ ἐστιν ἡ ὑπεροχή τις καὶ ἔλλειψις" εἶπεν ἐπὶ τοῦ μανοῦ τε καὶ τοῦ πυκνοῦ, δεικνὺς αὐτῶν τὴν πρὸς τὸ μέγα καὶ τὸ μικρὸν καὶ ὅλως ὑπεροχήν τε καὶ ἔλλειψιν ὁμοιότητα, ἃ διαφοραὶ τῆς ὕλης ἀλλ' οὐχ ὕλη· ἀνάλογον γὰρ τὸ μὲν μανὸν τῇ ὑπεροχῇ τὸ δὲ πυκνὸν τῇ ἐλλείψει. ἀπορήσας δὲ περὶ τοῦ ἑνός, ἥτις αὐτοῖς ἦν κατὰ τὸ εἶδος ἀρχή, ἠπόρησε καὶ περὶ τῆς ἀορίστου δυάδος, ἣν ὡς ὕλην ὑπετίθεντο. ἀλλ' οὐδὲ περὶ κινήσεώς τι λέγουσι τῶν φύσει γιγνομένων, πόθεν ἡ κίνησις ἐν αὐτοῖς· καίτοι τῷ περὶ τῶν φυσικῶν λέγοντι καὶ παραδείγματα τὰς ἰδέας τιθέντι ἀναγκαιότατος ὁ περὶ κινήσεως λόγος. εἰ μὲν γὰρ ἔσται ταῦτα κίνησις, ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις, ἔσται κινούμενα τὰ εἴδη, ἔχοντά γε ὡς ἀρχὰς ἐν αὐτοῖς τὴν ὑπεροχὴν ἢ τὴν ἔλλειψιν οὔσας κινήσεις (¹). ὃ οὐ βούλονται· ἀκίνητα γὰρ τὰ εἴδη κατ' αὐτούς. εἰ δὲ μὴ κινήσεις, πόθεν ἡ κίνησις ἐν τοῖς φυσικοῖς τοῖς κατὰ τὴν ἐκείνων μετοχὴν οὖσι τούτοις ἃ ἔστιν; τὸ γὰρ πρός τι παράδειγμα τὸ εἶναι ἔχον καὶ σύμφυτον τὴν κίνησιν ἢ παρὰ τοῦ παραδείγματος ἔχειν δεῖ τοῦτο, ὄντος καὶ αὐτοῦ τοιούτου, ἢ παρά τινος ἄλλης αἰτίας· ἀναιρουμένης δὲ κινήσεως πᾶσα ἡ περὶ τῆς φύσεως θεωρία ἀναιρεῖται. Alex.

992a 25. (¹) λέγομεν οὖν ὅτι καὶ τελικὸν αἴτιον ὑπετίθετο ὁ Πλάτων, ἐξ οὗ λαβὼν ἔφη ὅτι καλῶς ἀπεφήναντο τἀγαθόν, οὗ πάντα ἐφίεται· καὶ ποιητικὸν δὲ λέγων "θεοὶ θεῶν ὧν ἐγὼ δημιουργός" καὶ ὅτι περὶ τὸν βασιλέα πάντων. Asclep.

992a 28. (¹) λέγουσιν ὥσπερ λέγει καὶ ἀλλαχοῦ, ὅτι ἐδιπλασίασαν τὰ ὄντα ὡς ἐντεῦθεν καὶ τὰς αἰτίας τῶν ὄντων ἀποδιδόασι. id.

992b 4. (¹) αὖθις δὲ ὁ φιλόσοφός φησιν ὅτι συμβολικῶς ὁ Πλάτων διὰ τοῦ μεγάλου καὶ τοῦ μικροῦ τὴν ὕλην ἐδήλου, ἐπειδὴ πρῶτον ἡ ὕλη ποσοῦται καὶ ὄγκον δέχεται καὶ τότε ποιότητας, τὸ δὲ μέγα καὶ τὸ μικρὸν τοῦ ποσοῦ ὑπάρχουσιν. id.

992b 7. (¹) εἰ μὲν γὰρ ἐν κινήσει ὑπάρχουσι τὰ εἴδη, φανερὸν ὅτι καὶ αἱ ἰδέαι κινηθήσονται. . . οὐδὲν δὲ ἧττον καὶ πρὸς τοῦτο ἐνίσταται ὁ φιλόσοφος, πρὸς αὐτὸν λέγων· ὥσπερ σὺ λέγεις τὴν μίαν τῶν πάντων ἀρχὴν ἀκίνητον εἶναι, καὶ ἐξ αὐτῆς προαχθῆναι τὴν ψυχήν, καὶ ὑπὸ τῆς ψυχῆς κινεῖσθαι τὰ σώματα διὰ τῆς ὀρεκτικῆς δυνάμεως, οὕτως καὶ αὐτοί φασι τοὺς λόγους τοὺς δημιουργικοὺς ἀκινήτους εἶναι καὶ γίνεσθαι αἰτίους κινήσεως τοῖς ἐνθάδε. χρὴ δὲ εἰδέναι ὅτι τὸ ἐζωωμένον σῶμα τὸ σύνθετον καθ' αὑτὸ κινεῖται καὶ ἐνεργοῦν καὶ κατὰ τόπον. τοῦτο δέ φημι διὰ τὴν φυσικὴν ψυχήν, ἐπειδὴ ζωή ἐστι τοῦ σώματος, καὶ οὐχ ὥσπερ ἡ λογικὴ ψυχὴ κατὰ συμβεβηκὸς κινεῖται κινουμένου τοῦ σώματος, οὕτως καὶ ἡ φυσικὴ σύνθετος οὖσα. ὥστε, φησίν, οὐδὲ περὶ κινήσεως, εἰ λέγουσι τῶν φύσει γινομένων, πόθεν ἡ κίνησις ἐν αὐτοῖς, καίτοι τῶν φυσικῶν λεγόντων, παραδείγματα τὰς ἰδέας τίθενται, ἀναγκαιότερος ὁ περὶ κινήσεως λόγος. id.

992b 9. "ὃ — ἀδύνατον." οἱ τὰς ἰδέας θέμενοι τὸ ἓν τὴν κυριωτάτην οὐσίαν ὑπολαμβάνοντες εἶναι, ὥσπερ οὖν καὶ οἱ Πυθαγόρειοι τὴν κατὰ τὸ εἶδος τῶν ὄντων ἀρχήν τε καὶ αἰτίαν ταύτην ἐπίστευσαν εἶναι, διὰ τὸ ὁρᾶν τοῦ μὲν εἶναί τε καὶ σώζεσθαι ἑκάστῳ τὴν τοῦ ἑνὸς φύσιν οὖσαν αἰτίαν (ἓν γάρ τι ἕκαστον τῶν ὄντων καθὸ ἔστι), φθορᾶς δὲ αἰτίαν τὴν εἰς πολλὰ διάλυσιν τοῦ ἑνός· ἕκαστον γὰρ τῶν ὄντων ἔσται μὲν ἐπὶ τῆς ἑαυτοῦ φύσεως, ἢ καὶ ἐν μονῇ σώζεται, διαλυόμενον δὲ φθείρεται· καὶ τοῦτο ἐπιστοῦντο τοῦτο μὲν ἀπὸ τῶν ζῴων, οἷς ἦν ἡ ἐν τῷ ἑνὶ μονὴ καὶ ἐν τῷ αὐτῷ εἴδει σωτηρία, φθορὰ δὲ ἡ εἰς πολλὰ διάλυσις, τοῦτο δὲ καὶ ἐπὶ τῶν ἀψύχων ἑκάστου. ἀλλὰ καὶ τὸν κόσμον διὰ τὴν ἐν τῷ ἑνί τε καὶ τῷ αὐτῷ μονὴν σωζόμενον, φθαρέντα δ' ἂν εἰ τῆς ταὐτότητος καὶ ἑνότητος ἐκσταίη. ἐκ τούτου δὴ πιστεύσαντες τὴν τοῦ ἑνὸς φύσιν τοῦ τε εὖ καὶ τοῦ εἶναι ἑκάστῳ τῶν ὄντων αἰτίαν εἶναι, διὰ τοῦτο ἀρχὴν αὐτὸ τὴν κυριωτάτην πάντων τῶν ὄντων ὑπέθεντο, καὶ δὴ τὰς ἰδέας αἰτίας ἔλεγον τοῖς ἄλλοις τοῦ εἶναι ὥσπερ ἑνάδας τινὰς οὔσας, καὶ κατὰ τοῦτο τοῦ εἶναι τοῖς εἰς αὐτὰς ἀναγομένοις τε καὶ ὑπαγομένοις δύο δὶς οὔσας αἰτίας (¹). ἐπειρῶντο δὲ καὶ ἐκθέσει τινὶ χρώμενοι πάντα εἰς τὸ ἕν τε καὶ τὴν οἰκείαν οὐσίαν ἀνάγειν, ὁ δὲ τρόπος αὐτοῖς τῆς ἐκθέσεως ἦν τοιοῦτος. τοὺς καθ' ἕκαστα ἀνθρώπους προχειριζόμενοι ἐπεσκόπουν τὴν ἐν ἅπασιν αὐτοῖς ὁμοιότητα, καὶ ταύτην εὑρίσκοντες μίαν καὶ τὴν αὐτὴν ἐν πᾶσιν οὖσαν καθὸ ἄνθρωποι, ἐς ταύτην τὴν ἑνάδα πάντας ἀνῆγον καὶ τῇ τοῦ ἑνὸς μετοχῇ τοὺς ἀνθρώπους ἔλεγον εἶναι, καὶ τὸ ἓν τοῦτο ἐπὶ τοῖς ἀνθρώποις αὐτοάνθρωπον ἔλεγον· ὁμοίως πάλιν ἐπὶ ἵππων κυνῶν καὶ τῶν ἄλλων ἐποίουν. ἀλλὰ καὶ τοὺς ἀνθρώπους πάλιν ἐπὶ τοὺς κύνας καὶ τὰ ἄλλα ζῷα ἐκτιθέμενοι, πάλιν ἐλάμβανον τούτοις τὸ εἶναι ζῴοις κατά τι ἕν, ὃ ἓν αἴτιόν τε αὐτοῖς τοῦ εἶναι ζῴοις ἐτίθεντο, καὶ δὴ καὶ πάλιν ἑνάδα τινὰ ἐποίουν καὶ ἰδέαν, καὶ τοῦτο ἔλεγον τὸ αὐτόζῳον, εἰς ἣν ἀνῆγον τὰ ζῷα. ὁμοίως δὲ πάλιν καὶ τὰ ζῷα λαμβάνοντες καὶ φυτὰ καὶ τὰ ἄλλα σώματα, ἑνὸς εὑρίσκοντες μετουσίᾳ ταῦτα οὐσίας ὄντα, ἰδέαν τινὰ καὶ ἑνάδα οὐσίας λαμβάνοντες τὴν αὐτουσίαν, ὑπὸ μίαν ταύτην πάλιν ἀνήγαγον πάσας τὰς οὐσίας. οὕτω δὲ πάλιν τὴν οὐσίαν καὶ τὴν ποιότητα ἐν τῇ τοῦ ὄντος μεταχέσει λέγοντες ὄντα

1. αὐτῶν *M.* ‖ 3. τὸ post καὶ om *A.* ‖ 8 — 19. apud Asclep. ‖ 13. ἐν ἑαυτοῖς Asclep. ‖ 15. κινήσεις ἐκείνας, πόθεν Asclep. ‖ 16. τούτοις ἃ ἔστιν οὖσι ἃ ἐστι; τὸ Asclep. τούτοις ᾗ ἐστι *A.* ‖ 28. διὰ τὸ μέγα καὶ τὸ μικρὸν Asclep. ‖ 33. λέγων om Asclep. ‖ 37. ἐνταῦθα Asclep. ‖ 38. ἐνεργείᾳ κατὰ τόπον Asclep.

9. ἑκάστου *A.* ‖ 11. διαίρεσις *A.* ‖ 12. ᾗ *M.* ‖ 23. οἰκείαν] αὐτὴν *L.* ‖ 24. αὐτὸς *V.* ‖ ἦν om *V.* ‖ 26. καθὸ ἄνθρωποι om *L.* ‖ 27. εἰς ταύτην τὴν τῆς ὁμοιότητος ἑνάδα πάντα ἀνῆγον *L.* ‖ 28. καὶ τοῦτο τὸ ἓν τὸ ἐπὶ *L.* ‖ 29. ἔλεγον· ὡσαύτως καὶ ἐπὶ ἵππων καὶ κυνῶν καὶ βοῶν καὶ τῶν *L.* ‖ καὶ om *AM.* ‖ 30. ἐπὶ] καὶ *A* Asclep. ‖ κύνας καὶ τοὺς ἵππους καὶ τοὺς βοῦς καὶ τὰ ἄλλα σύμπαντα ζῷα *L.* ‖ 31. τούτοις om *L.* ‖ 32. τοῦ] τὸ *L.* ‖ 33. καὶ αὐτοζῷον τοῦτο δὴ ἔλεγον, καὶ ἑνάδα τοῦτο ἐποίουν, εἰς *L.* ‖ 34. τὰ post καὶ om *M.* ‖ 36. καὶ ἑνάδα οὐσίας om *L.* ‖ ἰδίαν τὴν αὐτουσίαν λαμβάνοντες εἰς ταύτην πάλιν ἀνῆγον τὰς οὐσίας πάσας *L.* ‖ 38. ποιότητα καὶ τὸ ποσὸν μετουσίᾳ τοῦ ὄντος αὐτοῦ ἐκεῖνο καὶ πάντα ὄντα καλοῦντες εἰς τὸ ἓν τοῦτο ἀνῆγον καὶ ἀρχὴν πάντων ἐτίθεν αὐτὸ καὶ κυρίως οὐσίαν τοῦτο ἐνόμιζον. τοῦτο γοῦν *L.*

εἶναι, εἴτε ἄτομοι εἶεν εἴτε μή· καὶ γὰρ ἡ γραμμὴ ἄλλη τις οὖσα φύσις ὤφθη τοῦ ἐπιπέδου, οὐχ ὅτι ἐστὶ καθ' αὑτήν· οὐδὲ γὰρ τὸ ἐπίπεδον, ὅτι ἦν πέρας τοῦ στερεοῦ, οὐκ ἦν παρ' αὐτὸ ἕτερον· οὕτω δὴ καὶ τῆς γραμμῆς ἐστί τι πέρας, τοῦτο δέ ἐστιν ἡ στιγμή. ὁμοίως δὴ καὶ κατὰ τὸν αὐτὸν λόγον ἔσται ἡ στιγμή· ὥστε τῷ αὐτῷ λόγῳ δειχθήσεται οὖσα ἡ στιγμή, ᾧ λόγῳ καὶ γραμμὴ οὖσα δείκνυται καὶ ἐπίπεδον (p). ἀρχὴν δὲ τὸ μέγα καὶ τὸ μικρὸν Πλάτων ἐτίθετο τῶν ὄντων τὴν ὑλικήν, ὡς ἐν τοῖς πρὸ τούτων ἱστόρηται· τὸ γὰρ ἓν ἡ κατὰ τὸ εἶδος ἦν αὐτῷ ἀρχή. Alex.

992a 20. (p) ἔλεγε γὰρ (ὁ Πλάτων) ὅτι οὐχ ἁρμόττει τῷ πρώτῳ φιλοσόφῳ περὶ στιγμῆς διαλέγεσθαι, ἀλλὰ τῷ μαθηματικῷ. καὶ ταῦτα λέγων, φησίν, οὐδὲν ἧττον εἰσέφερε τὰς στιγμάς· ἐκάλει γὰρ ἀρχὴν γραμμῆς, τὴν δὲ ἀρχὴν τῆς γραμμῆς ἔλεγεν τὰς ἀτόμους γραμμάς. εἰ τοίνυν πέρατα τῶν γραμμῶν ὑπάρχουσι τὰ σημεῖα, φανερὸν ὅτι εἰσάγων ἄτομον γραμμὴν εἰσῆγε καὶ τὰς στιγμάς. λέγομεν οὖν ἡμεῖς ὅτι συμβολικῶς ταῦτα ἔλεγεν ὁ Πλάτων· διὰ γὰρ τῆς ἀτόμου γραμμῆς τοὺς ἀμερίστους λόγους τῆς ψυχῆς ἐδήλου· ὥσπερ γὰρ ἡ ἄτομος γραμμὴ ἀμέριστος, οὕτω καὶ οἱ λόγοι τῆς ψυχῆς. Asclep.

992a 24. "ὅλως — εἰάκαμεν." καὶ ταύτῃ αἰτιᾶται τοὺς περὶ τῶν ἰδεῶν τι πραγματευσαμένους, ὅτι προκειμένης ζητήσεως τοῖς τὴν τῶν ὄντων θεωρίαν ἐπανῃρημένοις ἰδεῖν τί ποτέ ἐστιν αἴτιον ποιητικὸν τούτων τῶν αἰσθητῶν καὶ φανερῶν, καὶ πῶς ἕκαστα τούτων γίγνεται, τὸ μὲν ζητεῖν τίς ποτέ ἐστιν ἡ αἰτία αὕτη παρέλιπον (q) (οὐδὲν γὰρ λέγουσι περὶ τῆς αἰτίας τοῦ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἥ τις ἐστὶν ἡ ποιητική· οὐδενὸς γὰρ ποιητικὸν ἡ ἰδέα), οἰόμενοι δὲ τὴν οὐσίαν καὶ τὴν κατὰ τὸ εἶδος αἰτίαν αὐτῶν ἀποδιδόναι (τετραχῶς γὰρ πάντα τὰ αἴτια) ἄλλας μέν τινας οὐσίας καὶ ἄλλα εἴδη παρὰ τὰ τῶν φανερῶν ὑποτίθενται (τὰς γὰρ ἰδέας), πῶς δὲ τούτων ἐκεῖνά ἐστιν εἴδη οὐκέτι λέγουσιν (r)· κενὴν γὰρ φωνὴν προφέρονται τὴν μετοχήν· οὐ γὰρ διασαφοῦσι πῶς ταῦτα τῶν ἰδεῶν μετέχει, ὡς ἤδη φθάνει εἰρηκώς. ὥστε εὐλόγως καὶ κατὰ τὴν ἀρχὴν αὐτοὺς ᾐτιάσατο ὡς τοῖς ζητουμένοις ἰσάριθμα προσθέντας ἄλλα, μηδὲν αὐτοῖς εἰς τὰ ζητούμενα συντελοῦντα. δείξας δὲ ὅτι μήτε ποιητικὰ αἴτια αἱ ἰδέαι μήτε ὡς εἴδη (τὸ γὰρ εἶδος ἐν τούτῳ οὗ ἐστιν εἶδος, αἱ δὲ οὔτε ἐν τούτοις οὔτε τὸ τῆς μετοχῆς ὄνομα σημαίνει τι), λέγει ἐπὶ τούτοις ὅτι μηδὲ ὡς τὸ οὗ ἕνεκα καὶ τὸ τέλος αἴτιαι τοῖς οὖσιν αἱ ἰδέαι κατ' αὐτούς, ἥτις αἰτία ἐν πᾶσι τοῖς κατὰ νοῦν καὶ ἐπιστήμην καὶ φύσιν γιγνομένοις ἐστὶ κυριωτάτη αἰτία· πάντα γὰρ τά τε κατὰ φύσιν καὶ τὰ κατὰ τέχνην καὶ ἐπιστήμην, ἔτι δὲ καὶ τὰ κατὰ προαίρεσιν γιγνόμενα ἕνεκά του γίγνεται, καὶ ἔστιν ἐν αὐτοῖς ἡ κυριωτάτη αἰτία. οὐχ οὕτως δὲ αἱ ἰδέαι αἴτιαι τοῖς οὖσι κατ' αὐτούς· οὐ γὰρ τοῦ εὖ εἶναι τὰ πρὸς τὰς ἰδέας γιγνόμενα αἰτίας τὰς ἰδέας λέγουσιν, ἀλλὰ τοῦ ὅλως εἶναι· παραδείγματα γὰρ ἀλλ' οὐ τέλη λέγουσιν αὐτάς. πῶς γὰρ ἂν καὶ εἶεν ἐκεῖναι τέλη τούτων; οὔτε γὰρ προϋφέστηκε τὸ τέλος τοῦ οὗ ἐστὶ τέλος, ἀλλὰ μόνον προεπινοεῖται ὕστερον ἐπιγιγνόμενον τούτῳ οὗ ἐστὶ τέλος, αἱ δὲ ἰδέαι καὶ προϋφίστανται καὶ οὔτε γίγνονται οὔτε εἰσὶν ἐν τοῖς γιγνομένοις. δείξας δὲ ὅτι μήτε ποιητικὰ αἴτια αἱ ἰδέαι μήτε εἴδη τῶν γιγνομένων μήτε τέλη, λέγει πόθεν αὐτοῖς ἡ τῆς περὶ αὐτὰς πλάνης αἰτία· τῷ γὰρ σπουδάσαι περὶ τὰ μαθήματα καὶ τὸ φιλοσοφεῖν ὑπολαβεῖν εἶναι ἐν τῇ περὶ ταῦτα θεωρίᾳ, καὶ διὰ τοῦτο περὶ ταῦτα μόνα διατρῖψαι, ἦλθον ἐπὶ τὸ ταύτας ἀρχὰς ὑποτίθεσθαι τῶν ὄντων, ἃς ᾤοντο καὶ τῶν μαθηματικῶν ἀρχὰς εἶναι, καίτοι λέγοντες περὶ τῶν μαθηματικῶν ὅτι μὴ χρὴ ταῦτα ποιεῖσθαι τέλη, ἀλλ' ὅτι δεῖ ἄλλων αὐτὰ χάριν μεταδιώκειν. προπαιδείαν γοῦν τὴν τούτων θεωρίαν ἔλεγον, καὶ συνεχῶς ὁ Πλάτων φιλοσοφίας τὰς μαθηματικὰς ἐπιστήμας ἐκάλει. ὅτι δὲ ταῦτα λέγοντες οὐδὲν ἄλλο περὶ τούτων φιλοσοφοῦσί τε καὶ πραγματεύονται, δηλοῦσιν ἔκ τε τοῦ ἀρχὰς τῶν ὄντων ἁπάντων τοὺς ἀριθμοὺς λέγειν καὶ τὰς ἰδέας ἀριθμούς τινας ὑποτίθεσθαι καὶ τὰ φυσικὰ γεννᾶν ἐκ τῶν μαθηματικῶν. καὶ γὰρ ἡ οὐσία αὕτη ἣν ὡς ὕλην ὑποτίθενται τῶν φύσει γινομένων ἀρχὴν (αὕτη δέ ἐστιν ἡ ἀόριστος δυὰς καὶ τὸ μέγα καὶ τὸ μικρόν), μαθηματικὴ μᾶλλόν ἐστιν ἢ φυσική (s)· ἡ γὰρ δυὰς ἀριθμοῦ μᾶλλον ἢ τῶν φύσει συνεστώτων ἀρχή, μαθηματικωτέρα μᾶλλον καὶ οὐχ ὑποκειμένη τις φύσις, ἀλλὰ μᾶλλον κατηγορούμενόν τι τῆς ὕλης δόξειεν ἂν εἶναι καὶ διαφορὰν αὐτῆς δηλοῦν ἢ ὑποκείμενόν τι αὐτὸ καὶ ὕλην. εἰπὼν δὲ καὶ μᾶλλον κατηγορεῖσθαι, πῶς κατηγορεῖται ἐδήλωσεν ἐπενεγκὼν τὸ "καὶ διαφορὰν εἶναι τῆς οὐσίας καὶ τῆς ὕλης ἢ ὕλη." ὡς 992b 2
γὰρ καθ' οὓς ἐν ταῖς ἀρχαῖς εἰσὶ τῶν φυσικῶν τὸ μανὸν καὶ πυκνόν, οὐχ ὕλη ταῦτα ἀλλὰ διαφοραὶ τῆς ὕλης καὶ τοῦ ὑποκειμένου κατ' αὐτούς, εἴτε ἀὴρ τοῦτο εἴτε ὕδωρ εἴτε τὸ μεταξὺ τούτων, οὕτω καὶ τὸ μέγα καὶ τὸ μικρὸν καὶ ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις διαφοραί τινες ἂν

2. οὐδὲ] οὐ *A.* ‖ 4. κατὰ — 5. δειχθήσεται om *A.* ‖ 20 — *b* 20. apud Asclep. ‖ 24. μὲν οὖν ζητεῖν Asclep. ‖ 26. ἰδέα· οὐδὲ γὰρ τὴν ἀρχὴν ποιητικήν, οἰόμενοι Asclep. ‖ 32. καὶ om Asclep.

3. τὰ post καὶ om *A.* ‖ 6. εὖ om Asclep. ‖ 8. ἐκεῖνα Asclep. ‖ 10. ὕστερόν τε ἐπιγιγνόμενον Asclep. ‖ 11. προϋφεστᾶσι Asclep. ‖ 12. μήτε δὲ εἴδη Asclep. ‖ 16. ὑποθέσθαι Asclep. ‖ 18. τέλη ποιεῖσθαι *L.* ‖ 19. μεταδιώκειν. πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως. προπαιδείαν Asclep. ‖ γοῦν] γὰρ *L.* ‖ 20. συνεχῶς φιλοσοφίας ὁ Πλάτων τὰς μαθηματικὰς ἐκάλει *L.* ‖ 21. ἄλλο περὶ] πλέον *L*, ἄλλο χωρὶς Asclep. ‖ 22. τε καὶ πραγματεύονται om *L.* ‖ δῆλον ἐκ τοῦ καὶ τὰς ἀρχὰς τῶν ὄντων πάντων μαθηματικὰς ὑποθέσθαι, τήν τε ἀόριστον δυάδα καὶ τὸ ἓν καὶ τὰς ἰδέας αὐτὰς ἀριθμοὺς ὀνομάζοντες καὶ τὰ φυσικὰ γεννᾶν ἐκ τῶν μαθηματικῶν. καὶ γὰρ καὶ τὴν ἀρχήν, ἣν ὡς ὕλην ὑπετίθεντο, οὐ τῶν φύσει γιγνομένων ἀλλὰ καὶ τῶν μαθηματικῶν μᾶλλον ἀρχὴ νομίζεται καὶ ἔστι. ταύτην τε μέγα καὶ μικρὸν ὀνομάζοντες οὐχ ὑποκειμένην τινὰ φύσιν ἐδήλουν, ἀλλὰ κατηγορούμενόν τι μᾶλλον τῆς ὕλης. ὃ καὶ ἐδήλωσεν ἐπενεγκὼν καὶ διαφορὰν εἶναι τῆς οὐσίας καὶ τῆς ὕλης ἢ ὕλην *L.* ‖ 24. μαθηματικῶν. ἔτι δὲ τὴν ὑποκειμένην… ὑπολάβοι ἔτι ἐνστάσεις πρὸς τὰς ἰδίας Asclep. ‖ 24 — p. 583 *a* 4. apud Asclep. ‖ 25. ἡ om *M.* ‖ 26. καὶ post δυὰς om Asclep. ‖ 28. ἀρχή, διὸ μαθηματικωτέρα Asclep. ‖ 30. αὐτῆς] αὐτὴ *V*, αὐτοῖς *A.* ‖ αὐτῷ *A.* ‖ 31. κατηγορεῖσθαι *A.* ‖ εἰσενεγκὼν Asclep. ‖ 32. ὕλης· αἱ γὰρ διαφοραὶ τοῖς εἴδεσι μᾶλλον ἁρμόττουσιν ἤπερ τῇ ὕλῃ Asclep. ‖ 33. τῶν μανῶν καὶ τῶν πυκνῶν *M.* ‖ 35. αὐτούς, εἴτε ἄπειρον εἴτε πῦρ εἴτε ἄλλο τι ὑποκείμενον· οὕτω Asclep. ‖ 36. ἡ ante ἔλλειψις om Asclep.

λήθως τοῖς προειρημένοις καὶ νῦν ἤδη λέγει· ὡς γὰρ οἰκείαν τὴν περὶ τῶν ἰδεῶν δόξαν εὐθύνει (°). ἐκτίθεται δὲ τὸ ἀρέσκον αὐτοῖς, ὃ καὶ ἐν τοῖς περὶ Φιλοσοφίας εἴρηκε· βουλόμενοι γὰρ τὰ ὄντα (ἀεὶ γὰρ οὐσίας τὰ ὄντα λέγει) ταῦτα δὴ τὰ ὄντα βουλόμενοι ἀνάγειν εἰς τὰς ἀρχὰς ἃς ὑπέθεντο (ἦσαν δὲ αὐτοῖς ἀρχαὶ τῶν ὄντων τὸ μέγα καὶ τὸ μικρόν, ἣν ἔλεγον ἀόριστον δυάδα), εἰς δὴ ταύτην θέλοντες πάντα ἀναγαγεῖν, τοῦ μὲν μήκους ἀρχὰς ἔλεγον τὸ βραχὺ καὶ μακρόν, ὡς ἐκ μακροῦ τινὸς καὶ βραχέος τὴν γένεσιν ἔχοντος τοῦ μήκους, ἅ ἐστι μέγα καὶ μικρόν, ἢ ὡς πάσης γραμμῆς ἐν τῷ ἑτέρῳ τούτων οὔσης, τοῦ δὲ ἐπιπέδου τὸ στενὸν καὶ πλατύ, ἅ καὶ αὐτά ἐστι μέγα καὶ μικρόν. εἰπὼν δὲ ταῦτα καὶ ἐκθέμενος τὴν δόξαν αὐτῶν ἐπὶ τούτῳ ἐπιφέρει τὸ τῇ
992a 13. δόξῃ ἑπόμενον ἄτοπον, λέγων "καὶ πῶς ἕξει ἢ τὸ ἐπίπεδον γραμμὴν ἢ τὸ στερεὸν γραμμὴν καὶ ἐπίπεδον;" ἔστι δὲ ὃ λέγει τοιοῦτον. δοκεῖ τοῦ μὲν σώματος, ὃ στερεόν ἐστι, πέρας εἶναι ἡ ἐπιφάνεια, ὃ ἐπίπεδον λέγει, τῆς δὲ ἐπιφανείας καὶ τοῦ ἐπιπέδου πέρας ἡ γραμμή, ὃ μῆκος εἶπεν· ὥστε καὶ ἐν τῷ ἐπιπέδῳ τὸ μῆκός ἐστι, καὶ ἐν τῷ στερεῷ καὶ τὸ ἐπίπεδον καὶ τὸ μῆκος. λέγεται γοῦν ἡ μὲν ἐπιφάνεια, ὃ ἐπίπεδον λέγει, τὸ μῆκος καὶ πλάτος ἔχον, τὸ δὲ στερεὸν ὃ πρὸς τούτοις καὶ βάθος ἔχει. οὕτω μὲν οὖν ταῦτα φύσεως ἔχει· κατὰ δὲ ἐκείνους ἄλλα λέγοντας καὶ διαφέροντα γένη εἶναι τὸ βραχὺ καὶ μακρὸν καὶ τὸ στενὸν καὶ πλατὺ καὶ βαθὺ καὶ ταπεινόν, καὶ εἰ ὡς ὑπὸ διαφέροντα τὰ γένη καὶ οὐχ ὑπ' ἄλληλα αὐτὰ ὄντα τίθενται, πῶς δυνήσεται ἔτι ἢ τὸ μῆκος ἐν τῷ ἐπιπέδῳ εἶναι ἢ ταῦτα ἐν τῷ στερεῷ; ὥσπερ γὰρ οὐδὲ ὁ ἀριθμός ἐστιν ἐν τούτων τινί, ὅτι ἄλλαι τοῦ ἀριθμοῦ ἀρχαὶ κατ' αὐτοὺς ἦσαν (τὸ γὰρ πολὺ καὶ τὸ ὀλίγον τοῦ ἀριθμοῦ ἀρχαί, ἅ ἐστιν ἄλλα τῶν προειρημένων), οὕτως οὐδὲ ἐπὶ τούτων οὐδὲν ὑπάρξει τῶν ἄνω ἐν τοῖς κάτω, τουτέστι τῶν πρώτων ἐν τοῖς ὑστέροις. ἔστι γὰρ τούτων τῶν τριῶν πρῶτον καὶ ἄνω ἡ γραμμή, δεύτερον δὲ τὸ ἐπίπεδον, τρίτον δὲ τὸ στερεόν· ἔστι γὰρ ἁπλούστερα ἐκεῖνα τοῦ στερεοῦ καὶ προεπινοούμενα· τούτων δὲ πάντων ἐστὶ πρῶτον ἀριθμός. ὡς οὖν ὁ ἀριθμὸς οὐκ ἔστιν ἐν τούτοις, καίτοι πρῶτος ὤν, διότι ἄλλο γένος τὸ πολὺ καὶ τὸ ὀλίγον, ὑφ' ὃ ὁ ἀριθμός, τῶν γενῶν τούτων ἑκάστου ὑφ' ἃ ταῦτα, οὕτως οὐδ' ἐπὶ τούτων αὐτῶν ἔσται κατ' αὐτοὺς θάτερον ἐν θατέρῳ. οὔτε γὰρ τὸ μῆκος ἐν τῷ ἐπιπέδῳ ἔσται, ἐπεὶ τὸ μὲν μῆκος ἐκ βραχέος καὶ μακροῦ, τὸ δὲ ἐπίπεδον ἐκ στενοῦ καὶ πλατέος, ἅ ἐστιν ἕτερα ἀλλήλων γένη, οὔτε ταῦτα ἐν τῷ στερεῷ. οὔτε γὰρ τοῦτο ἔνεστι λέγειν, ὅτι ταῦτα διαφέρει μὲν ἀλλήλων τὰ γένη καὶ ἔστιν ἕτερα, ὑπ' ἄλληλα μέντοι ἐστίν, ὡς εἶναι ὑπὸ τὸ πλατὺ τὸ βαθὺ καὶ ὁμοίως ὑπὸ τὸ μακρὸν τὸ πλατύ, καὶ διὰ τοῦτο δύνασθαι ἐν τῷ στερεῷ ἐκεῖνα εἶναι, ὡς ἔστιν ἐν τῷ ὄρνιθι τό τε πτερωτὸν καὶ τὸ ζῷον. ταῦτα γὰρ τῶν διαφερόντων γενῶν κοινωνίαν ἔχει πρὸς ἄλληλα ὅσα ἐστὶν ὑπ' ἄλληλα· τὸ γὰρ γένος τινὸς ἐν τῷ τί ἐστι καὶ αὐτοῦ κατηγορεῖται, καὶ τὸ ὑπό τι ὡς ὑπὸ τὸ γένος ὂν ὅπερ τὸ γένος ἐστίν, ὁ ἄνθρωπος ὅπερ τὸ ζῷον, τὸ λευκὸν ὅπερ χρῶμα. ὥστε εἰ ἐστὶ τοῦ βαθέος γένος τὸ πλατύ, καὶ ἔστι τι βαθὺ μὲν τὸ στερεὸν πλατὺ δὲ τὸ ἐπίπεδον, ἔσται τὸ στερεὸν ὅπερ ἐπίπεδον· καὶ γὰρ τὸ ὄρνεον ὅπερ ζῷον. ἄτοπον δὲ τὸ σῶμα ἐπίπεδον λέγειν, ὁμοίως δὲ καὶ τὸ ἐπίπεδον μῆκος. id.

(°) ὁ δὲ ἡμέτερος φιλόσοφός φησι πρὸς αὐτὸν ὅτι θεωροῦνται 992a 10.
ταῦτα ἐν ἀλλήλοις οὐχ ὡς ὑπάλληλα γένη, ἀλλ' ὡς δεκτικὰ ἀλλήλων· δεκτικὴ γὰρ ἡ μὲν ἐπιφάνεια τῶν γραμμῶν, τὰ δὲ σώματα τῶν ἐπιφανειῶν, ὥσπερ καὶ αὐτὸς λέγει τοὺς ἀριθμοὺς θεωρεῖσθαι ἐν τοῖς μεγέθεσι. λέγομεν γὰρ δέκα μεγέθη οὐχ ὡς ὑπάλληλα γένη, ἀλλ' ὅτι δεκτικόν ἐστι τὸ μέγεθος τῶν ἀριθμῶν· ἐπὶ μὲν γὰρ τοῦ μεγέθους θεωρεῖται τὸ μέγα καὶ τὸ μικρόν, ἐπὶ δὲ τοῦ ἀριθμοῦ τὸ πολὺ καὶ τὸ ὀλίγον· ταῦτα δὲ οὐχ ὁμογενῆ ὑπάρχουσιν, ἀλλὰ τὸ μέν ἐστι τοῦ συνεχοῦς, τὸ δὲ τοῦ διωρισμένου... "τίθεμεν" (φησὶν) ὡς τοῦ αὐτοῦ διδασκαλείου ὑπάρχων. Asclep.

"ἔτι — ὑπάρξουσιν." ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. δοκεῖ μὲν τὰ 992a
19. σημεῖα καὶ αἱ στιγμαὶ ἐνυπάρχειν τῷ μήκει καὶ τῇ γραμμῇ, ὥσπερ καὶ αὕτη ἐν τῷ ἐπιπέδῳ καὶ τὸ ἐπίπεδον ἐν τῷ στερεῷ, εἶναι δὲ ἄλλης φύσεως παρ' ἐκεῖνα ὡς κἀκεῖνα ἀλλήλων. τίνες οὖν αἱ τούτων ἀρχαί; καὶ εἰς τί γένος ταῦτα ὑπαχθήσεται; καὶ πῶς ἀναχθήσεται εἰς τὸ μέγα καὶ τὸ μικρόν; καὶ πῶς ἔσονται ἐν τῷ μήκει; ἀπορήσας δὲ τοῦτο ἑξῆς ἱστορεῖ τὴν Πλάτωνος περὶ τῶν στιγμῶν δόξαν· φησὶ γὰρ αὐτὸν μηδὲ τὴν ἀρχὴν παραδέχεσθαι ὡς οὖσαν φύσιν τινὰ σημείου, ἀλλὰ λέγειν δόγμα τι τοῦτο καὶ θέσιν τινὰ γεωμετρικὴν εἶναι, οὐκ ἐν τῇ φύσει τῶν ὄντων οὖσαν. τὸ μὲν οὖν σημεῖον οὐκ ἔλεγεν εἶναί τι οὐδὲ ὠνόμαζεν, ἐκάλει δὲ ἀρχὴν τῆς γραμμῆς πολλάκις, ἣν ἄτομον γραμμὴν ἔλεγεν. ἱστορεῖ δὲ ὡς καὶ Πλάτωνος, οὐ μόνον Ξενοκράτους, ἀτόμους γραμμὰς τιθεμένου, ἣν δηλονότι ὑπὸ τὸ αὐτὸ γένος ὑπῆγεν τῇ γραμμῇ, τὸ βραχὺ καὶ μακρόν. πρὸς ἃ διαπορῶν λέγει, καίτοι ἀνάγκη καὶ τούτων, τῶν γραμμῶν δηλονότι, πέρας τι

4. δὲ *A.* ‖ 7. ἀνάγειν *V.* ‖ 13 — *b* 11. apud Asclep. ‖ 14. ὅπερ ἐπίπεδον et 16. ὅπερ μῆκος Asclep. ‖ 17. καὶ post στερεῷ et καὶ τὸ μῆκος — ἐπίπεδον om Asclep. ‖ 18. λέγει οὖν, τὸ μὲν σῶμα βάθος ἔχει καὶ πλάτος καὶ μῆκος, ἡ δὲ ἐπιφάνεια πλάτος καὶ μῆκος, ἡ δὲ γραμμὴ μῆκος. ταῦτα δὲ οὕτως ἔχει, φησί· κατὰ Asclep. ‖ 19. οὖν om *M.* ‖ 20. καὶ ἀφαιροῦντα ἂν εἶναι Asclep. ‖ 21. ὡς om *A*, εἰ ὡς om Asclep. ‖ 22. τιθέντας Asclep. ‖ 24. ἄλλαι ἀρχαὶ τοῦ *A*, ἄλλαι αἱ τοῦ Asclep. ‖ 25. τὸ γὰρ — 26. προειρημένων om Asclep. ‖ 25. ἃ om *M.* ‖ 26. τούτων ὅτι ὑπάρχουσι τῶν ἀνωτάτω ἐν τοῖς Asclep. ‖ 30. πάντων ἐν πρῶτον ὁ ἀριθμός Asclep. ‖ 32. ἐφ' ᾧ ὁ ἀριθμός Asclep. ‖ ἐφ' ἑαυτά· οὕτως Asclep. ‖ 34. ἐπειδὴ Asclep. ‖ 36 ἔν ἐστι Asclep.

4. ὡς] καὶ Asclep. ‖ 5. γενῶν ἡ κοινωνίαν Asclep. ‖ 22. ἐνυπάρξουσι *M.* ‖ δὲ om *M.* ‖ 23 — 36. apud Asclep. ‖ 23. στιγμαὶ] γραμμαὶ Asclep. ‖ 24. ἐν utramque om Asclep. ‖ 25. τίνες Asclep. ‖ 28. ἐφεξῆς Asclep. ‖ 28—35. cod. Laur. ‖ 28. καὶ φησὶ *L.* ‖ γὰρ αὐτὸν om *L.* ‖ 29. παραδέχεσθαι τὸν Πλάτωνα *L.* ‖ οὖσαν τὴν φύσιν *A*, οὖσαν τινὸς φύσιν σημείου Asclep. ‖ σημείου, μηδὲ ἔχειν αὐτὴν ὑπόστασιν ὅλως ἐν τῇ φύσει τῶν ὄντων, ἀλλὰ δόγμα τι τοῦτο καὶ θέσιν τινὰ παράδοξον γεωμετρικὴν εἶναι *L.* ‖ 30. οὐκ — 31. οὖσαν om *L.* ‖ 31. οὐκ ἔλεγεν οὖν εἶναι τὸ σημεῖόν τι οὐδὲ ὠνόμαζεν ἀρχὴν δὲ γραμμῆς ἔλεγεν, καὶ ἐκάλει ταύτην ἄτομον γραμμήν *L.* ‖ 33. δὲ πάντως ὡς *L.* ‖ 34. ἣν — 35. λέγει om Asclep. ‖ 34. δηλονότι ἄτομον γραμμὴν ὑπὸ *L.* ‖ 35. γραμμῇ ἢ τὸ τὸ βραχὺ *L.* ‖ μικρὸν *M.*

992a 2 "ἔτι — διάφοροι." ἂν ᾖ ἀδιάφοροι γεγραμμένον, τοιοῦτον ἂν εἴη τὸ λεγόμενον. τοῖς τὸ ἓν ἀρχὴν ὑποτιθεμένοις καὶ τοῦτο ἄτοπον ἂν ἕποιτο τὸ κοινὸν κατηγορούμενον στοιχεῖον λέγειν εἶναι τούτων ὧν ἐστὶ κοινόν, ὅπερ ἀδύνατον. εἰ γάρ εἰσιν αἱ μονάδες τῆς αὐτῆς φύσεως, ἔσται κείμενον κατ' αὐτῶν κατηγορούμενον τὸ μονάς· ἀλλὰ μὴν ὕστερον τὸ κοινόν, καὶ ἀπὸ τούτων καὶ ἐν τούτοις αὐτῷ τὸ εἶναι. ὅτι δὲ τοῦτο ἕπεται αὐτοῖς, δείκνυσι διὰ τοῦ ὁμοειδεῖς μὲν εἶναι τὰς μονάδας (τὸ γὰρ "εἴπερ ὁμοειδεῖς" ἔθηκεν ὡς ὁμολογουμένου τοῦ ὁμοειδεῖς αὐτὰς εἶναι), ὁμοειδῶν δὲ οὐσῶν τὴν μονάδα ἁπλῶς λαμβανομένην τὴν κοινῶς κατὰ πασῶν τῶν μονάδων κατηγορουμένην ὡς εἶδος λαμβάνεσθαι. ἐχρῆν γὰρ αὐτοὺς μὴ οὕτως τὸ ἓν ἁπλῶς ἀρχὴν ὑποτίθεσθαι, ἀλλ' ὥσπερ ποιοῦσι καθ' οὓς σῶμα τὸ στοιχεῖον· οὐ γὰρ λέγουσι σῶμα τὸ κοινόν, ἀλλ' ὁρίσαντές τι τῶν ὑπὸ τὸ κοινὸν σωμάτων τόδε τι, φέρε εἰπεῖν πῦρ ἢ ἀέρα, τοῦτο λέγουσι τὸ στοιχεῖον, ὃ ἤδη μετά τινος διαφορᾶς ἐστίν· τὸ γὰρ σῶμα ἁπλῶς κοινὸν πάντων τῶν σωμάτων, ἃ κατὰ τὸ εἶναι σώματα ἀδιάφορά ἐστιν ἀλλήλων· οὔτε γὰρ ἔστι τι κοινὸν σῶμα ὃ στοιχεῖον εἶναι δύναται, οὔτε μᾶλλον κοινὸν ὃ μηδέ ἐστιν αὐτὸ καθ' αὑτὸ κοινόν, ὡς καὶ αὐτοῦ τοῦ εἶναί τι ὅλως τὸ κοινὸν ἔχοντος ἀμφισβήτησιν. ἐχρῆν μὲν οὖν ὁμοίως καὶ τούτους ὁρίσαντας τὸ ἕν τι, ὥσπερ οἱ σῶμά τι τὸ στοιχεῖον λέγοντες, τοῦτο ἀρχὴν ὑποτίθεσθαι· νῦν δὲ τὸ ἓν ἁπλῶς λέγουσιν ἀρχήν, ὥστε πολλῶν οὐσῶν τῶν μονάδων καὶ κεχωρισμένων ἀλλήλων καὶ τοῦ ἑνὸς κατηγορουμένου κοινῶς κατ' αὐτῶν, ἀλλ' οὐχ ὅλου τινὸς ὄντος τῆς μονάδος καὶ ἑνὸς καὶ ὁμοιομεροῦς καὶ μόρια ἔχοντος ὅμοια αὐτῷ τὰς μονάδας, ὡς τὸ πῦρ καὶ τὸ ὕδωρ· καὶ γὰρ καὶ τούτων ἑκάτερον ἕν τι ὂν καὶ ὁμοιομερές ἐστιν. εἰ δὲ οὕτως, οὐκ ἔσονται οὐσίαι οἱ ἀριθμοί. τουτέστιν, εἰ δὲ οὕτως λέγοιεν τὸ ἓν ὡς ὁμοιομερές, οὐκέτι αὐτοὶ οἱ ἀριθμοὶ οὐσίαι καὶ ἰδέαι ἔσονται ἀλλ' ὑποκείμενα καὶ ὑλικά (τοιαῦτα γὰρ τὰ ὁμοιομερῆ), καὶ ἔτι τὸ ὅλον οὐκ ἔσται τῶν αὐτοῦ μερῶν ἰδέα. ἔτι τε οὐσία μὲν οὐκ ἔσται κυρίως τὸ εἶδος, οὐδὲ οἱ ἀριθμοὶ οὐχ ὕλης οὐκ εἴδους λόγον ἕξουσιν. ἢ δύναται τὸ λεγόμενον τοιοῦτον εἶναι. εἰ δὲ λέγοιεν τὸ ἓν τοιοῦτον εἶναι ὡς φύσιν τινὰ μίαν, ὡς τὸ πῦρ, ὡς τὸ ὕδωρ, καὶ τοιοῦτον ὂν ἀρχὴν εἶναι, οὐκέτι αὐτοῖς ἔσονται οὐσίαι τε καὶ ἰδέαι καὶ ἀρχαὶ οἱ ἀριθμοί· οὐ γὰρ ἐκ τῆς τοῦ τοιούτου συνθέσεως ὁ ἀριθμός (ἓν γάρ τι γίγνεται καὶ τὸ αὐτὸ ἐκ τῆς τούτου συνθέσεως, ὡς ἐπὶ τῆς τοῦ πυρὸς συνθέσεως), ἀλλ' αἱ ἰδέαι καὶ αἱ ἀρχαὶ ἐκ τοιούτου δηλονότι ὁμοιομεροῦς, ἀλλ' οὐκ ἀριθμός τις. οὐκέτι οὖν ἔσονται αὐτοῖς οὐσίαι καὶ ἰδέαι καὶ ἀριθμοί, ἀλλὰ δηλονότι ἐκεῖνο, εἴπερ ἔστι, τὸ αὐτὸ ἕν. ὃ εἰ ἔστι τι κατ' αὐτοὺς καὶ ἔστιν ἀρχή, πλεοναχῶς ἂν τὸ ἓν λέγοιτο· ἄλλως γὰρ ἀδύνατον τὸ ἓν ἀρχὴν λέγειν αὐτοῖς. δύναται
992a 8 τὸ "ἀλλὰ δῆλον ὅτι, εἴπερ ἔστι τι ἓν αὐτὸ" ἐπενηνοχέναι ὡς εὔλογον ὂν τοῦτο αὐτοὺς λέγειν. οὔτε γὰρ ὡς γένος καὶ κοινὸν λέγοιεν ἄν, οὔτε ὡς ὁμοιομερὲς τὸ ἕν, ἀλλ' ὡς ἄλλην τινὰ φύσιν ἔχον ἐκεῖνο τὸ ἓν τὸ ὡς ἀρχὴν παρὰ τὰ ἄλλα πάντα. ᾧ ἐπιφέρει τὸ ἔσεσθαι αὐτοῖς τὸ ἓν τῶν πολλαχῶς λεγομένων καὶ ὁμωνύμων. εἴρηκε δὲ ὅτι εἰ εἰσὶν ὁμώνυμα ταῦτα ἐκείνοις, οὐκέτι ἂν αὐτῶν ἐκεῖνα παραδείγματα οὐδὲ ἀεὶ ὄν. ἀλλὰ δηλονότι, εἴπερ ἔστι τι ἓν αὐτό, καὶ ἔστι τοῦτο αὐτοαρχὴ αὐτοῖς ἄλλης ὂν φύσεως παρὰ τὰς ἄλλας ἑνάδας, ἀκολουθεῖ τὸ πολλαχῶς λέγεσθαι τὰς μονάδας καὶ μὴ εἶναι ὁμοειδεῖς. ὅτι δὲ τοῦτο ἄτοπον, πρόδηλον· τίνες γὰρ ἔσονται μονάδων διαφοραί, καὶ τίνες οἱ διαφέροντες λόγοι; καὶ ὅτι οὐκ ἔσται τούτων ἰδέα καὶ παράδειγμα ἐκείνη ἡ μονάς. δοκεῖ δέ μοι ἡ λέξις μὴ οὕτως ἔχειν, "ἔτι δὲ πρὸς τοῖς εἰρημένοις, εἴπερ εἰσὶν αἱ μονάδες ἀδιάφοροι," ἀλλὰ "διάφοροι·" τοῦτο γὰρ ἦν περὶ οὗ τὸν λόγον ἐποιεῖτο, καὶ τοῦτο αὐτοῖς ἐδόκει, διαφέρειν τὰς μονάδας, καὶ ἄλλας μὲν εἶναι τὰς ἐν ταῖς ἰδέαις ἄλλας δὲ τὰς μαθηματικάς. οὕτω δὲ ἐχούσης τῆς λέξεως, ὃ λέγει τοιοῦτον ἂν εἴη. εἰ αἱ μονάδες κατ' αὐτοὺς διάφοροί εἰσι καὶ μὴ πᾶσαι ὁμοειδεῖς, ἐχρῆν αὐτοὺς ὁρίσαντας λέγειν στοιχεῖον καὶ ἀρχὴν εἶναι τήνδε τινὰ τὴν μονάδα, ἀλλ' οὐχ ἁπλῶς μονάδα τὸ κοινόν. ὡς γὰρ οἱ περὶ τῶν σωματικῶν στοιχείων λέγοντες οὐχ ἁπλῶς σῶμα τὸ στοιχεῖον λέγουσιν, ἀλλ' ἐπεὶ διαφέρει κατ' εἶδος ἀλλήλων τὰ σώματα, ὁρίζονται καὶ λέγουσι τί δοκεῖ αὐτοῖς τῶν σωμάτων στοιχεῖον εἶναι, ὅτι γὰρ ἀὴρ ἢ πῦρ ἢ τοιοῦτόν τι, ἀλλ' οὐ τὸ κοινὸν σῶμα ἁπλῶς. εἴτε γάρ τι ἔστι τὸ κοινὸν σῶμα παρὰ τὰ ὧν κατηγορεῖται, εἴτε μή, οὐ τοῦτο στοιχεῖον λέγουσιν· ἐγένετο γὰρ ἂν αὐτοῖς οὐ μᾶλλόν τι τούτων λέγειν στοιχεῖον ὧν λέγουσιν, ἢ καὶ ἄλλο τι καθ' ὧν τὸ σῶμα κατηγορεῖται. οὕτως ἔδει καὶ τούτους ὁρίσαι ποῖον ἓν στοιχεῖον λέγουσι καὶ ποίαν μονάδα, ἐπεὶ διαφέρουσιν αἱ μονάδες. νῦν δὲ ἁπλῶς λέγοντες τὸ ἓν οὕτω λέγουσιν ὡς ὁμοειδῶν καὶ ἀδιαφόρων οὐσῶν πασῶν τῶν μονάδων· τοῦτο γὰρ ἐσήμανε διὰ τοῦ εἰπεῖν "ὡς ὄντος τοῦ ἑνὸς ὥσπερ πυρὸς ἢ ὕδατος ὁμοιομεροῦς." τὸ γὰρ 992a
6 ἀδιάφορον τῶν μονάδων καὶ ὁμοειδὲς διὰ τοῦ ὁμοιομερὲς εἰπεῖν ἔδειξεν. ἀλλ' εἰ οὕτως ἔχοιεν αἱ μονάδες, οὐκ ἂν εἶεν ἔτι οὐσίαι οἱ ἀριθμοί, τουτέστιν αἱ ἰδέαι· περὶ γὰρ ἐκείνων τῶν ἀριθμῶν λέγει. εἰ γὰρ ὁμοειδεῖς πᾶσαι αἱ μονάδες ὡς ὁ παρ' ἡμῖν ἀριθμός, οὐκέτι οὐσία οὗτος, οὐδ' ἂν ἐκεῖνος εἴη ἐξ ὁμοειδῶν τούτῳ τῷ ἀριθμῷ τῶν μονάδων συγκείμενος. ἀλλὰ δηλονότι οὐχ οὕτως λέγουσιν, ἀλλ' ἔστι κατ' αὐτοὺς ἕν τι οὐ ταὐτὸν οὐδ' ὁμοειδὲς τοῖς ἄλλοις, καὶ τοῦτο ἀρχή· εἰ δὲ τοῦτο, οὐχ ὁμοειδεῖς αἱ μονάδες, ἀλλὰ πλεοναχῶς τὸ ἓν λέγεται· ἄλλως γὰρ ἀδύνατον τὸ ἓν τὴν ἀρχὴν λέγειν, ὥστε ἐχρῆν αὐτοὺς ποῖον λέγουσιν ἀρχὴν ὡρικέναι. ἕπεται δὲ μὴ ὁμοειδεῖς λέγουσιν εἶναι τὰς μονάδας αὐτοῖς καὶ τὸ προειρημένον ἄπορον, τίς ἡ τῶν μονάδων οὐσῶν ἀπαθῶν διαφορά. "βουλόμενοι δὲ τὰς οὐσίας ἀνάγειν εἰς τὰς 992a
10 ἀρχὰς μήκη μὲν τίθεμεν ἐκ βραχέος καὶ μακροῦ." τὸ μὲν τίθεμεν ἀκο-

1. ἂν ᾖ ἀδιάφοροι om *M.* ‖ 15. σῶμα τὸ κοινόν, ἀλλ' ὁρίσαντές τι τῶν ὑπὸ τὸ κοινὸν σωμάτων, ἃ *M.* ‖ 20. καὶ κατὰ τούτους *M.* ‖ 25. τὸ ὕδωρ — 26. ἔσονται om *A.* ‖ 29. *et cum sit forma proprie substantia, numeri tamen materiae non formae rationem habebant* Sepulv. ‖ 31. ἕξουσι. ἠδύνατο *M.* ‖ 33. ὂν om *M.* ‖ 42. ὂν] ἓν *M.*

5. lege ὄντα. om Sepulv. ‖ 13 et 14. ἄλλοις *M.* ‖ 15. ἀδιάφοροι *A.* ‖ 18. σωμάτων στοιχεῖα *A.* ‖ 21. στοιχεῖα *A.* ‖ ἢ τοτέ, ἀλλ' *V.* ‖ 23. ἐγένετο — 24. λέγουσιν om *V.* ‖ 34. οὕτως *M.*

991 b 27. "ἔτι — ἀριθμητική." εἰ ἀνομοειδεῖς αἱ μονάδες ἀλλήλαις καὶ μὴ πάσαις πᾶσαι ὁμοειδεῖς, δῆλον ὡς ἄλλαι μὲν ἔσονται ἐξ ὧν αἱ ἰδέαι, ἄλλαι δὲ αἷς οἱ ἀριθμητικοὶ χρῶνται· ὥστε ἔσται ἕτερον γένος ἀριθμῶν τι περὶ ὃ ἡ ἀριθμητική, καὶ ἕτερόν τι ἐξ ὧν αἱ ἰδέαι. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ πάντα τὰ μαθηματικὰ περὶ ἕτερον γένος ἔσται, τουτέστιν ἄλλο εἶδος ἀριθμῶν ἕξουσι τὰ μαθηματικά· τὰ γὰρ μαθηματικά ἐστι τὰ μεταξὺ λεγόμενα τῶν τε πρὸς τὰς ἰδέας τὸ εἶναι ἐχόντων, ὅ ἐστιν αἰσθητά τε εἴδη καὶ ἐν τοῖς αἰσθητοῖς, καὶ τῶν ἰδεῶν πρὸς ἃ ταῦτα τὸ εἶναι ἔχει (*). ταῦτα δὴ τὰ παρὰ τούτοις τοῖς μαθηματικοῖς ὑποκείμενα ἕτερά τινα γένη ἔσται καὶ ἑτέρου εἴδους, εἰ ἔστιν εἰδητικὴ τῶν ἀριθμῶν διαφορὰ τῶν τε ἐξ ὧν ταῦτα ἔστι περὶ ἃ οἱ μαθηματικοί, καὶ τῶν ἐξ ὧν αἱ ἰδέαι (ἀριθμοὶ γὰρ αὐτοῖς καὶ τῶν μαθηματικῶν αἱ ἀρχαί, εἴγε πάντων τῶν ὄντων ἁπλῶς) ἕτερα γένη ἔσται. "ἁπλῶς" φησί, λέγων περὶ τῶν μαθηματικῶν. ἢ ἐκ τίνων αὐτοῖς ἀρχῶν ἔσται, εἰ μὴ ἐκ τῶν αὐτῶν ἐξ ὧν καὶ αἱ ἰδέαι καὶ ὁ εἰδητικὸς ἀριθμός, ἅτινα πάντων ἀρχὰς ὑπέθεντο; πῶς δὲ καὶ ἔτι αὐτοῖς μεταξὺ τὰ μαθηματικὰ ἔσται τῶν τε αἰσθητῶν καὶ τῶν ἰδεῶν, ἄλλης ὄντα φύσεως καὶ ἐξ ἄλλων ἀρχῶν; πῶς ἂν ἔτι μεταξὺ εἴη τῶν τε ἰδεῶν καὶ τῶν πρὸς αὐτὰ λεγομένων τὸ εἶναι ἔχειν, οὐ τῶνδε καὶ οὐ τῶνδε διαφερουσῶν τούτων τε καὶ ἐκείνων· καὶ γὰρ τούτοις ἄλλων ἀρχῶν δεήσει. τὰ γὰρ ὡς ἐξ ἀφαιρέσεως λαμβανόμενα μεταξύ ἐστιν, οὐκ ἔστι δὲ ἐξ ἀφαιρέσεως τισίν, εἰ ἐκ τῶν αὐτῶν ἀρχῶν εἴη. ἔτι καὶ κατὰ τοῦτο ἄτοπον τὸ μεταξὺ λέγειν τὰ μαθηματικά, καθ' ὅσον ἀνθρώπου μὲν καὶ ἵππου καὶ τῶν οὐσιῶν τῶν αἰσθητῶν καὶ τῶν ἰδεῶν οὐκ ἔλεγον μεταξύ τινα, ἐπὶ δὲ τοῦ ἀριθμοῦ καὶ τῶν μαθηματικῶν τοῦτο ἔλεγον· τί γὰρ τὸ αἴτιον τούτου; "αὐτῶν δὲ" τῶν ἰδεῶν εἶπεν, ἐπειδὴ μετὰ τῆς τοῦ αὐτό προσθήκης δηλοῦνται. Alex.

(*) λέγομεν οὖν ἡμεῖς πρὸς αὐτόν· καίτοι αὐτός, ὦ Ἀριστότελες, ἐγκαλεῖς αὐτοῖς ὡς διατρίψασι περὶ τὰ μαθήματα καὶ μὴ φροντίσασι φυσικῆς θεωρίας, ὡς εἴρηται ἐν τῷ πρώτῳ τῶν περὶ Ψυχῆς (c. 3), καὶ προϊὼν δὲ τοῦτο ἐγκαλεῖς αὐτοῖς. εἰδέναι γὰρ χρὴ ὅτι ἐπειδὴ μέσην τάξιν ἀνεδέξατο ἡ ψυχή, καὶ ποτὲ μέν ἐστιν ἐν τοῖς νοητοῖς ποτὲ δὲ ἐν τοῖς αἰσθητοῖς, ἐδεήθη καὶ φαντασίας, ἵνα δι' αὐτῆς φυλάττῃ τοὺς τύπους τῶν αἰσθητῶν. χρεία οὖν ἐστὶ μαθημάτων πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως· ἀπὸ γὰρ τῶν μαθημάτων ἄνιμεν ἐπὶ τὰ νοητά· οὔτε γὰρ ἀμέσως δυνατόν ἐστιν ἀπὸ τῶν φυσικῶν ἐπὶ τὰ νοητὰ ἀνελθεῖν· οὔτε γὰρ δεῖ κατὰ τὸ εἰρημένον ὑπερβάθμιον πόδα ἀποτείνειν. διὰ τοῦτο οὖν καὶ διαφόρους ἐνέργειας προβάλλεται πρὸς τὸ ἀμφίβιον τῆς ζωῆς αὐτῆς, ποτὲ μὲν νοερῶς ποτὲ δὲ μετὰ αἰσθήσεως ἐνεργοῦσα. ἔχει δὲ καὶ φαντασίαν ἥτις τῶν μερικῶν ἀντιλαμβάνεται· τὰ γὰρ καθόλου φαντασθῆναι τῶν ἀδυνάτων ἐστίν. ὥσπερ οὖν ψυχὴ μεταξύ ἐστι τῶν ἀϊδίων καὶ φθαρτῶν, οὕτω καὶ τὰ μαθήματα μεταξὺ τῶν πάντῃ χωριστῶν εἰδῶν τῆς ὕλης καὶ τῶν ἀχωρίστων τῇ ἐπινοίᾳ χωρίζομεν. τοῦτο οὖν φησὶν ὁ Ἀριστοτέλης, ὅτι ἔδει αὐτοὺς καὶ ἕτερον γένος ἀριθμοῦ κατασκευάζειν, περὶ ὃ ἡ ἀριθμητικὴ καταγίνεται, τουτέστι τὰ μαθήματα, καὶ πάντα τὰ μεταξὺ λεγόμενα, τουτέστι τὰ μαθήματα, ὑπὸ τίνων ἐστὶν ἀρχῶν ἤγουν ἐκ τίνων, καὶ ποῖαι ἀρχαὶ τῶν μαθημάτων ὑπάρχουσιν. εἰπεῖν δὲ ἔδει αὐτὸν καὶ δι' ἣν αἰτίαν μεταξύ ἐστιν· τὰ μαθήματα γὰρ μεταξύ, εἰ μὴ ἐκ τῶν αὐτῶν ἐξ ὧν καὶ αἱ ἰδέαι καὶ ὁ εἰδητικὸς ἀριθμός, ἅ τινα πάντων ἀρχὰς ὑπέθεντο, τίνων κατὰ κοινωνίαν καὶ οἰκειότητα μεταξύ τί ἐστι; ταῦτα δὲ ἑτέρου γένους καὶ ἑτέρας ὄντα φύσεως, πῶς ἂν ἔτι μεταξὺ εἴη τῶν ἰδεῶν καὶ τῶν πρὸς αὐτὰς λεγομένων τὸ εἶναι ἔχειν τῶν αἰσθητῶν καὶ τῶν νοητῶν; Asclep.

"ἔτι — τινος." ἐπεὶ ἡ δυάς ἐστιν ἀρχή (λέγοι δ' ἂν τὴν ἀόρι- 991 b
στον), πάντα δὲ τὰ ὄντα ἢ ἀρχαὶ ἢ ἐξ ἀρχῶν, εἰσὶ δὲ καὶ ἐν τῇ 31.
δυάδι τῇ ἀρχῇ ὑπ' αὐτῶν τιθεμένῃ μονάδες, ἐπεὶ μή εἰσιν ἀρχαὶ αὗται (ἡ γὰρ δυὰς ἀρχὴ αὕτη), αἱ μονάδες αἱ ἐν αὐτῇ ἐκ τῶν ἀρχῶν ἔσονται. ἐκ τίνων οὖν; δεήσει γὰρ ἑκατέραν αὐτῶν ἐκ τῆς δυάδος εἶναι· ἄτοπον δὲ τὰ μόρια τῆς δυάδος ἐκ τῆς δυάδος συγκεῖσθαι λέγειν καὶ τὴν μονάδα ἐκ δυάδος εἶναι· οὐ γὰρ δὴ ἑκατέρα τούτων τῶν ἐν τῇ μονάδι δυάδων ἀνα εται, ἡ εἰδοποιός πως ἀρχὴ λέγεται· πολλαὶ γὰρ αὗται ἐκείνη ἄντι πρότεραι τῆς δυάδος. καίτοι ἀδύνατον, αἱ μονάδες αἱ ἐν τῇ δυάδι πρότεραι μὲν ἔσονται τῆς δυάδος κατὰ λόγον, εἴτε ἐκ τούτων τῇ δυάδι τὸ εἶναι, ἀρχὴ δὲ τοῦ ἔκ τινος τὰ ἐξ οὗ. ἀδύνατον δὲ τοῦτο λέγειν τοῖς λέγουσιν ἀρχὴν τὴν δυάδα· ἔσται γάρ τις ἀρχὴ τῆς ἀρχῆς καὶ πρῶτόν τι τῆς ἀρχῆς. Alex.

"ἔτι — συλλαμβανόμενος." ἐπεὶ ἑκάστη ἰδέα ἕν τί ἐστιν, 992 a
ἀριθμὸς δὲ ἑκάστη ἰδέα, διὰ τί εἷς; καὶ ὑπὸ τίνος, τῶν ἀριθμῶν 1.
τινὸς ἐκ τῶν μονάδων προελθόντος, ἕν τι τὸ ἐξ αὐτῶν γίγνεται; καὶ τί τὸ εἰδοποιὸν καὶ ἑνοποιὸν αὐτῶν; καὶ πῶς ἕν τι γίνεται; εἰ γὰρ μὴ εἷς, οὐδὲ ἡ ἰδέα ἀριθμός· ἓν γὰρ ἡ ἰδέα. εἰ δὲ εἷς, διὰ τί εἷς; καὶ ὑπὸ τίνος τὸ ἑνὶ εἶναι αὐτῷ; εἰ γάρ ἐστιν ἑνοποιοῦν τοὺς ἀριθμοὺς καὶ ποιοῦν τὰς ἰδέας, οὐκέτι αἱ ἰδέαι ἐν ἀριθμοῖς ἔσονται, ἀλλ' ἐκεῖνο μᾶλλον ὃ ἔπαυσεν αὐτοὺς τοῦ πλήθους, ἕνα δὲ ἐποίησεν ἕκαστον αὐτῶν· ἄλλο γάρ τι ἡ δεκὰς παρὰ τὰ δέκα. id.

24. μὲν ἀνθρώπου *V.*

22. αὐτῶν om *M.* ‖ 24. *neque enim utraque horum dualitatum in unitate contentarum referetur ad unitatem, quae principium informans quodammodo dicitur* Sepulv. ‖ 25. ἀνα εσται *M.* ‖ 26. *hae namque multo priores sunt quam illa dualitas; itaque unitates quae sunt in dualitate priores erunt ratione quam ipsa dualitas, siquidem ab his esse dualitati suppetit; est autem principium eius quod ex aliquo fit id ex quo fit. at hoc fieri non potest, si dualitas principium esse dicatur* Sepulv. tanquam legerit πολλῷ γὰρ αὗται ἐκείνης ἄν. ‖ 27. lege ἀδύνατον εἰ αἱ. ‖ 32. *et cui numero, qua unitate adiuncta, quod ex ipsis conflatur, unum efficitur? aut a quo in specie et unitate constituitur? breviter, quomodo unum efficitur? nam si non est unus* Sepulv. ‖ 33. καὶ — 34. γίνεται om *V.*

γίνεσθαι (τὰ γὰρ τρία καὶ τέσσαρα συντεθέντα ἀλλήλοις ἕνα ἀριθμὸν τὸν ἑπτὰ ποιεῖ), ἐξ εἰδῶν δὲ πλειόνων συντεθέντων μὴ οἷόν τε ἓν εἶδος γενέσθαι (ⁱ)· οὐ γὰρ τὸ ἀνθρώπου εἶδος καὶ τὸ κυνός, ἂν οὕτω τύχῃ, συντεθέντα ἓν εἶδος ποιεῖ (ᵏ)· οὐ γὰρ ἐπεὶ ἐν τῷ ἀνθρώπῳ τὸ ζῷον περιέχεται, σύνθετον ὁ ἄνθρωπος ἐκ ζῴου τε καὶ ἄλλου εἴδους· οὔτε γὰρ τὸ ζῷον καθ' αὑτὸ ὑφεστὼς εἶδός ἐστιν, οὔτε ὁ ἄνθρωπος χωρὶς τοῦ ζῴου ἄνθρωπος εἶναι δύναται, ἀλλ' ἔστιν ἑκάστου τῶν ἐν ὑποστάσει ζῴων τὸ ζῷον μόριον. ἕκαστος δὲ τῶν ἀριθμῶν τῶν ἐν τῷ συνθέτῳ μέρος τοῦ ὅλου γίγνεται σωζόμενος αὐτός· ὥστε οὐκ ἂν εἶεν αἱ ἰδέαι ἀριθμοί. εἰ δέ τις λέγοι καὶ τῶν ἰδεῶν ἑκάστην ἐκ πλειόνων ἰδεῶν εἶναι, οἷον τὸν ἄνθρωπον ἐκ ζῴου καὶ δίποδος φέρε εἰπεῖν, πρῶτον μὲν οὐχ ἁπλαῖ ἔτι αἱ ἰδέαι ἔσονται αὐτοῖς ἀλλὰ σύνθετοι, ἔπειτα αἱ μὲν πρῶται αὐτῶν αἱ δὲ δεύτεραι· πρῶτον γὰρ τὸ τοῦ ζῴου εἶδος, εἶτα τὸ τοῦ ἀνθρώπου ἢ ἵππου. ἔτι ἐπὶ μὲν τῶν ἀριθμῶν ἐκ πάντων τῶν διαφερόντων συντεθέντων εἷς ἀριθμὸς γίνεται, ἐπὶ δὲ τῶν ἰδεῶν ἀδύνατον τοῦτο· οὐ γὰρ πάντα τὰ διαφέροντα εἴδη ἕν τι ποιεῖ σύνθετον, οἷον ἵππος καὶ κύων. ἔτι τὰ μὲν συντιθέμενα ἰδίᾳ προϋπάρχοντα συντίθενται· οὐχ οἷόν τε δὲ ἄνθρωπον καὶ ζῷον κεχωρισμένα ποτὲ ἢ λαβεῖν ἢ ἐπινοῆσαι. Alex.

(ⁱ) ἐκ γὰρ ἡμιόνου καὶ ἵππου οὐκ ἄν ποτε γένοιτό τι εἶδος ἕτερον, ὡς φησὶ καὶ Πορφύριος ἐν ταῖς Εἰσαγωγαῖς. Asclep.

991 b 22 "εἰ — ἀλλήλαις." εἴ τις, φησί, λέγοι διὰ τοῦτο μὴ ἐκ τῶν εἰδῶν αὐτῶν συντεθειμένων ἓν εἶδος γίνεσθαι, ὅτι μηδὲ ἐπὶ τῶν ἀριθμῶν συμβαίνει τῶν συντιθεμένων ἕνα γίγνεσθαι ἀριθμόν, ἀλλὰ τῶν μονάδων· πᾶς γὰρ ἀριθμὸς ἐκ μονάδων συνθέσεως, οὐ τριάδων καὶ τετράδων, εἰ πλείους εἰσὶν ἀριθμοί· καὶ γὰρ ἡ μυριὰς ἐκ μονάδων σύγκειται, οὐ χιλιάδων ἢ ἑκατοντάδων (*). εἰ δὲ καὶ τοῦτο, ἀλλὰ τάς γε ἰδέας μὴ κατὰ τοῦτο ἐοικέναι τοῖς ἀριθμοῖς καθ' ὃ γίγνεται ἐξ ἐκείνων εἷς ἀριθμός, ἀλλὰ καθ' ὅσον ἐκ μονάδων σύγκειται, ἄξιον παρ' αὐτῶν μαθεῖν πότερον αἱ μονάδες ἐξ ὧν αἱ ἰδέαι συντεθειμένων ὁμοειδεῖς εἰσιν ἀλλήλαις ἢ ἀνομοειδεῖς. εἴτε γὰρ ὁμοειδεῖς, πολλά φησι συμβήσεσθαι ἄτοπα, ἃ οὐκ ἐπήνεγκεν ὡς ὄντα γνώριμα (ˡ)· λέγει δὲ περὶ αὐτῶν ἐν τῷ M τῆσδε τῆς πραγματείας. συμβήσεται γὰρ τὸ πᾶσαν ἐκείνων τῶν μονάδων σύνθεσιν ἰδέαν ποιεῖν· εἰ γὰρ πᾶσαι αἱ μονάδες ὁμοειδεῖς, τί δήποτε αἵδε μὲν ἰδέαν ποιοῦσιν αἵδε δὲ οὔ; οὕτω τε πᾶς ἀριθμὸς ἰδέα ἔσται, οὐχ ὁ τοσοῦτος καὶ ἐκ τοσούτων μονάδων ἐξ ὅσων καὶ τὴν ἰδέαν βούλονται συγκεῖσθαι, ἢ ἐκ τοσῶνδε, εἴγε ἐξ ὧν εἰσίν, ὁμοειδεῖς πᾶσαι. ἔτι πᾶσαι αἱ ἰδέαι ὁμοειδεῖς ἀλλήλαις ἔσονται κατ' οὐδὲν ἀλλήλων ἢ κατὰ τὸ πλῆθος μονάδων διαφέρουσαι· οὕτω δὲ καὶ τὰ μετέχοντα αὐτῶν ὁμοειδῆ ἔσται ἀλλήλοις. ἀλλ' οὐ δοκεῖ τὸ λογικὸν καὶ ἄλογον πλήθει τινὶ διαφέρειν, ἀλλὰ ποιότητι μᾶλλον. εἰ γὰρ λέγοιεν ἐν ἐλάττοσι τὸ ἄλογον εἶναι μονάσι, δῆλον ὅτι ἂν προστεθῶσι μονάδες τῷ ἀλόγῳ, αἷς ὑπερεῖχε τὸ λογικὸν τοῦ ἀλόγου, τὸ ἄλογον λογικὸν ἔσται. τοιαῦτα μὲν τὰ ἄτοπα, εἰ ὁμοειδεῖς αἱ μονάδες ὑποτεθεῖεν. εἰ δὲ ἀνομοειδεῖς λέγοιεν αὐτάς, αὐτὸς ἐπιφέρει τὰ ἄτοπα τὰ ἑπόμενα. εἰ γὰρ μήτε αἱ κοιναὶ ἀλλήλαις ὁμοειδεῖς, μήτε πᾶσαι πάσαις ὁμοειδεῖς αἱ μονάδες, μηδὲ αἱ αὐταὶ κατὰ τὸ εἶδος (τούτου γὰρ δηλωτικὸν τὸ "μήτε αἱ αὐταί"), ἀλλ' ἔσται τις ἐν αὐταῖς διαφορὰ ὡς τάσδε μὲν ἰδεῶν εἶναι ποιητικὰς τάσδε δὲ μή, ἢ τάσδε μὲν τῶνδε τάσδε δὲ τῶνδε, τίς ἔσται ἡ ἐν αὐταῖς διαφορὰ ἀπαθέσι πάσαις οὔσαις καὶ μηδεμίαν διαφορὰν κατὰ μηδὲν ἐν αὐταῖς ἀναδέξασθαι δυναμέναις; μόνη γὰρ ἐν μονάσι διαφορά, ὡς εἶπεν ἐν τῷ πρώτῳ περὶ Ψυχῆς (c. 4 p. 409 a 20), θέσις· ἀλλ' αἱ θέσιν ἔχουσαι μονάδες οὐκέτι μονάδες ἁπλῶς, ἀλλὰ σώματα καὶ στιγμαί (ᵐ)· οὐδὲν γὰρ τούτων εὔλογον οὐδὲ ὁμολογούμενον τῇ περὶ τῶν μονάδων νοήσει. τὸ δὲ πρὸς τὴν λέξιν, εἰπὼν πῶς ἔχουσιν αἱ μονάδες, κατὰ τί τὸ "πῶς ἔχουσιν" εἶπεν, ἐπήνεγκεν· ἢ γὰρ ὁμοειδεῖς ἢ ἀνομοειδεῖς αὐτὰς εἶναι ἀλλήλαις. Alex.

(ᵏ) "εἰ — αὐτῶν." φησὶν ὅτι εἰ μὴ γίνεται ἡ σύνθεσις ἐξ αὐτῶν, τουτέστιν ἐκ τοῦ ἑπτὰ καὶ τοῦ τρία, διότι οὐκ ἀπόλλυται τὰ οἰκεῖα εἴδη, ὡς εἴρηται, ἀλλ' ἐκ τῶν ἀριθμῶν, τουτέστιν ἐκ τῶν μονάδων, ἐστὶν ἡ σύνθεσις. γράφεται δὲ "ἐκ τῶν ἀριθμῶν," ἵνα δηλώσῃ τὸ ἐκ τῶν λόγων τοῦ ἀριθμοῦ. "οἷον ἐν τῇ μυριάδι" ὡς φησὶν αὐτὸς "πῶς ἔχουσιν αἱ μονάδες;" Asclep. 991 b 22

(ˡ) εἰ μὲν οὖν φασιν ἀνομοειδεῖς αὐτὰς εἶναι, παρὰ τὰ δοκοῦντα αὐτοῖς λέγουσιν. ἡ γὰρ μονὰς πρὸς τὸ σημεῖον, ὡς εἴρηται ἐν τῇ Ἀποδεικτικῇ (Analyt. Post. 1 27), θέσει καὶ μονῇ (?) διαφέρει. αὐτοὶ δὲ ταύτας τὰς ἰδέας οὐχ ὑποτίθενται θέσιν ἔχειν, εἴγε καὶ νοητὰς αὐτὰς εἶναι πρεσβεύουσιν. ὥστε οὐ δυνατὸν εἶναι τὰς μονάδας κατ' αὐτοὺς ἀνομοειδεῖς· οὐδὲν γὰρ ἀλλήλων διαφέρουσι καθὸ νοηταὶ ὑπάρχουσιν. εἰ δὲ πάλιν φῶσιν αὐτὰς ὁμοειδεῖς εἶναι, δηλονότι πλῆθος μὲν γίνεται ἐκ τῆς συνθέσεως αὐτῶν, διάφορα δὲ εἴδη οὐ γίνονται, καὶ ἔσται ταὐτὸν ἄνθρωπος καὶ ἵππος κατὰ τὸ εἶδος· ὅπερ ἐστὶν ἀδύνατον. εἰ δέ φασιν ἐκ μὲν τῆς τριάδος γίνεσθαι τὸν ἵππον, ἐκ δὲ τῆς τετράδος τὸν ἄνθρωπον, ἐὰν προστεθῇ μία μονάς, γίνεται ἐξ ἵππου ἄνθρωπος· ὅπερ ἐστὶν ἀδύνατον. καὶ ἐνταῦθα μὲν οὐ λέγει τὰ ἄτοπα τὰ ἐπακολουθοῦντα, ἅπερ ἡμεῖς εἰρήκαμεν, ἀλλ' ἐν τῷ M· ἀντιλέγει γὰρ ἐκεῖσε ταῖς ἰδέαις. Asclep. 991 b 24

(ᵐ) τίς ἔσται αὐταῖς διαφορὰ ἀπαθέσιν τε οὔσαις; οὔτε γὰρ αἱ μὲν λευκαὶ αἱ δὲ μέλανες. θέσιν δὲ οὐ δυνατὸν εἰπεῖν, ἐπεὶ οὕτως σημεῖα λέγουσι τὰς μονάδας. ἄλλως τε δὲ τὰ νοητὰ θέσιν ἔχειν οὐ βούλονται. id. 992 a 2

(*) γρ. "ἀλλὰ ἐκ τῶν ἀριθμῶν." τὸ δὲ ἐνάριθμον ἀντὶ τοῦ ἐκ τῶν λόγων τοῦ ἀριθμοῦ. cod. Reg.

7. ἑκάστου *A.* ‖ 10. λέγει *A.* ‖ 17. συνθετὰ *A.* ‖ 18. δὲ om *A.*

2. τινῶν *M.* ‖ 7. αἱ κοιναὶ] ἐκεῖναι Asclep. ‖ 9. μηδὲ Asclep. ‖ 10. ἢ — 11. τῶνδε om Asclep. ‖ 16. *declarat penes quid quaerat quomodo se habeant, num scilicet oporteat ipsas inter se eiusdem esse speciei an diversae* Sepulv. ‖ 26. φῶσιν Asclep. ‖ 29. εἴγε αὐτὰς καθ' αὐτὰς εἶναι Asclep.

καὶ γῆς, καὶ αὐτοάνθρωπος, τουτέστιν ἡ ἰδέα, εἴτε ἀριθμός τίς ἐστιν εἴτε καὶ μή, ὅμως ἔσται λόγος ἐν ἀριθμοῖς τινῶν ἡ ἰδέα καὶ οὐκ ἀριθμός. αὐτοὶ δὲ τὰς ἰδέας ἀριθμοὺς βούλονται εἶναι. Asclep.

991 b 13. "εἰ — ἐνταῦθα." πρόκειται μὲν αὐτῷ δεῖξαι ὅτι αἱ ἰδέαι, εἰ ἀριθμοί εἰσιν, οὐ δύνανται εἶναι αἴτιοι τοῖς ἐνταῦθα (f)· ὃ δεῖξαι βουλόμενος, πρῶτον μὲν ἔλαβε τὸ καὶ τὰ ἐνθάδε, ἅ φασι πρὸς ἐκεῖνα γίνεσθαι, ἀριθμοὺς λέγεσθαι εἶναι ὑπ' αὐτῶν ἴσους ἐκείνοις ἀϊδίοις οὖσιν, οὐκ ὄντας τούτους ἀϊδίους, καὶ ἔδειξεν ὅτι οὐδὲ οἱ ἴσοι ἀριθμοὶ τοῖς ἴσοις αἴτιοι τοῦ εἶναι δύνανται εἶναι, οὐδὲ εἰ οἱ μὲν εἶεν ἀΐδιοι οἱ δὲ μή (h). νῦν δὲ πάλιν λαμβάνει τὰ ἐνταῦθα μὴ ἀριθμοὺς εἶναι λέγεσθαι ὑπ' αὐτῶν, ἀλλ' ἐν λόγῳ τινὶ ἀριθμῶν συνεστάναι, ὃ καὶ βούλονται λέγειν· καὶ δείκνυσιν ὅτι οὐδὲ οὕτως αἱ ἰδέαι καὶ ἐκεῖνοι οἱ ἀριθμοὶ αἴτιοι δύνανται εἶναι τοῖς ἐνθάδε οὖσιν ἐν ἀριθμῶν λόγῳ. βουλόμενος δὲ δεῖξαι τί ἐστι τὸ λέγειν λόγους ἀριθμῶν τὰ ἐνταῦθα εἶναι, παρέθετο τὴν συμφωνίαν· καὶ γὰρ ἡ συμφωνία οὐκ ἀριθμός ἐστιν ἀλλὰ λόγος τις ἀριθμῶν, τουτέστι πράγματά τινα λόγον ἀριθμῶν πρὸς ἄλληλα ἔχοντα. τὸ γὰρ ἐν διπλασίῳ εἶναι ἐν λόγῳ ἀριθμῶν ἐστὶν εἶναι, ὅπερ ἔχει ἡ διὰ πασῶν συμφωνία· ἐν ταύτῃ γὰρ αὐτὴ τὸ εἶναι, καὶ αὖ πάλιν ἄλλη ἐν ἐπιτρίτῳ, καὶ αὖ πάλιν ἄλλη ἐν ἡμιολίῳ, ἃ πάντα ἀριθμῶν εἰσὶ λόγοι. εἰ δὴ καὶ τὰ ὄντα πάντα λέγοι τις λόγους ἀριθμῶν εἶναι, οὐδὲ οὕτως αἴτιοι αἱ ἰδέαι καὶ οἱ ἀριθμοὶ ἐκεῖνοι τούτοις ἔσονται. εἰ γὰρ τοῦτο, οὐδὲ ἐπ' ἐκείνοις οἱ ἀριθμοὶ ἔτι ἔσονται. εἰ γάρ ἐστι τὰ ἐνταῦθα λόγοι τινὲς ἀριθμῶν, δηλονότι τινά ἐστιν ἐν αὐτοῖς ἃ τὸν λόγον ἔχει τοῦτον ἐν ᾧ ἑκάστῳ αὐτῶν τὸ εἶναι, ὥσπερ ἡ συμφωνία λόγος ἀριθμῶν οὖσα ἔχει τι ἓν ὑποκείμενον καὶ φύσιν τινὰ ὑποκειμένην ἧς ὁ ὁρισμός ἐστι καὶ λόγος ἡ συμφωνία, καὶ ἔστι τοῦτο οἱ φθόγγοι. εἰ δὴ τὰ πράγματα πρὸς τὰς ἰδέας λεγόμενα τὸ εἶναι ἔχει ἐν λόγῳ ἀριθμῶν, ἔστι τι ἐν αὐτοῖς ὑποκείμενον ὃ τὸν τῶν ἀριθμῶν λόγον ἀναδεχόμενον ποτὲ μὲν ἄνθρωπος γίνεται ποτὲ δὲ ἄλλο τι, κατὰ τοὺς διαφέροντας λόγους ἄλλοτε ἄλλο γινόμενον, ὡς ἡ συμφωνία τῇ τῶν ἐν τοῖς φθόγγοις λόγων ἑτερότητι. τοῦτο δὲ οὐκ ἄλλο τι εὑρεθήσεται ὂν ἢ τὸ ὑποκείμενον καὶ ἡ ὕλη, ἧς ἐν ἀριθμῷ καὶ ἐν λόγῳ τινὶ ἕκαστον ἔσται τῶν ὄντων, οἷον πυρὸς ἀέρος ὕδατος γῆς, ἢ ὅ τι ποτε ἂν καὶ ᾖ τοῦτο· ἐν γὰρ τῷ τούτων λόγῳ πρὸς ἄλληλα τὸ εἶναι τοῖς ἐξ αὐτῶν καὶ εἰδοπεποιῆσθαι. εἰ δὲ τοῦτο, δεήσει καὶ τὰς ἰδέας παραδείγματα τούτων οὔσας καὶ αὐτὰς λόγους ἀριθμῶν εἶναι καὶ οὐκ ἀριθμοὺς ἁπλῶς· εἰ γὰρ ὁ Καλλίας φέρε εἰπεῖν ἢ ὁ ἄνθρωπος ὁ ὡμοιωμένος τῇ ἰδέᾳ λόγος ἐν ἀριθμοῖς τισίν ἐστι πυρὸς καὶ γῆς καὶ ὕδατος καὶ ἀέρος ἢ ἄλλων τινῶν ὑποκειμένων, ἔσται καὶ ἡ ἰδέα ἀριθμὸς εἶναι λεγόμενος ὁ αὐτοάνθρωπος, πρὸς ἣν ὁ ἄνθρωπος λόγος ἐν ἀριθμοῖς, ἤτοι τῶν ἀριθμῶν αὐτῶν, εἰ εἴη τοῦτο ὑποκείμενον ἐν αὐτοῖς (τοῦτο γὰρ ἐσήμανε διὰ τοῦ "εἴτε ἀριθμός τις ὢν εἴτε μή"), καὶ οὐχ ὁ αὐτοάριθμος· οὐ γὰρ δὴ ὁ ἀριθμὸς αἴτιος τοῦ ἐναρίθμων λόγου εἴη· ἐν γὰρ τῷ αὐτῷ ἀριθμῷ διαφέροντες γίγνονται λόγοι· ἐν γὰρ τῷ ϛ' καὶ ὁ διπλάσιος καὶ ὁ ἡμιόλιος. εἰ δὲ τοῦτο, οὐκ ἀριθμὸς ἁπλῶς ἡ ἰδέα· οὐδὲ γάρ ἐστι ταὐτὸν ἀριθμός τε καὶ λόγος ἐν ἀριθμοῖς· οὐδέ ἐστιν ἄρα ὁ αὐτοάριθμος ἡ ἰδέα. ὥστε ἢ οὐκ ἀριθμοὶ αἱ ἰδέαι ἢ οὐκ αἴτιοι τοῖς τὸ εἶναι ἔχουσιν ἐν λόγῳ ἀριθμῶν. οὗτος δὲ ὁ λόγος πρῶτον μὲν ἀναιρεῖ τὸ εἶναι ἀριθμοὺς τὰς ἰδέας, ἔπειτα καὶ συνθέτους δείκνυσιν αὐτάς, οὐχ ἁπλῶς. εἰ γάρ εἰσι λόγοι ἀριθμῶν ἐκ πλειόνων φθόγγων, καὶ ἔσται τι ἐν αὐταῖς ὑποκείμενον, ὃν ἐν λόγῳ ἀριθμῶν τὸ εἶναι ἐκ τῶν ἑκάστῃ ποιήσει· ἀκολουθήσει τε τούτῳ μηδ' εἶναί τινα ἀριθμόν· εἰ γὰρ μή ἐστιν αὐτοάριθμος, οὐδ' ἂν ἀριθμὸς εἴη οὐδὲ τὰ ὄντα πρὸς παράδειγμα ἀριθμόν. ἀλλὰ μὴν μὴ ὄντος ἀριθμοῦ οὐδὲ λόγος ἀριθμοῦ εἴη ἄν, ὥστε οὐδὲ ἐν λόγῳ ἀριθμῶν οἷόν τε λέγειν αὐτοῖς τὰ ὄντα εἶναι. τὸ δὲ "οὐδὲ ἔσται τις διὰ ταῦτα ἀριθμός" ἴσον ἂν εἴη τῷ οὐδὲ ἔσται διὰ ταῦτα ἡ ἰδέα ἀριθμός, ἐπεὶ μὴ τὸ ἐν λόγῳ ἀριθμῶν ὂν ἤδη ἀριθμός. Alex.

(f) εἰ δὲ πάλιν φῶσι μὴ εἶναι ἀριθμοὺς τὰ αἰσθητὰ πράγ- 991 b 9.
ματα, ἀλλὰ λόγους ἐξ ἀριθμῶν συγκειμένους, ὥσπερ καὶ ὁ Ἐμπεδοκλῆς ἔλεγε περὶ τοῦ ὀστέου ὅτι ἐκ τοσῶνδε λόγων σύγκειται, οἷον πυρὸς μὲν ἔχει τοσόνδε γῆς δὲ τοσόνδε, καὶ οὕτως ῥᾴδιόν ἐστι διελέγξαι αὐτούς. Asclep.

(h) ὁ δὲ ἥρως Ἀμμώνιος ὁ Πρόκλου μὲν γεγονὼς ἀκροατής, 991 b 13.
ἐμοῦ δὲ Ἀσκληπιοῦ διδάσκαλος, ἔλεγεν ὅτι συμβολικῶς ἐκεῖνοι ἔλεγον τὰς ἰδέας ἀριθμούς· οὔτε γὰρ τούτους τοὺς ψηφιζομένους, ἐπεὶ τῷ ὄντι εὐλόγως αὐτῶν ἐλαμβάνετο ὁ Ἀριστοτέλης. ἀλλ' ἐπειδὴ οἱ ἀριθμοὶ περατοῦσι καὶ περιορίζουσι τὰ πράγματα ὧν εἰσὶν ἀριθμοί, τοιαῦτα δὲ καὶ τὰ εἴδη περιοριστικὰ τῆς ὕλης, συμβολικῶς ἀριθμοὺς προσηγόρευσαν τὰς ἰδέας. διὸ καὶ τὰ αἰσθητὰ καὶ τὰ νοητὰ ἀριθμοὺς ἔλεγον· ὥσπερ γὰρ λέγεται καὶ τὸ μέτρον ξέστης καὶ τὸ μετρούμενον, οὕτως ἔφασκον καὶ τὰ νοητὰ καὶ τὰ αἰσθητὰ ἀριθμούς, ἀλλὰ τὰ μὲν νοητὰ ἀριθμοὺς μετρητικούς, τὰ δὲ αἰσθητὰ ἀριθμοὺς μετρουμένους. id.

"ἔτι — πῶς;" ὅτι μὴ οἷόν τε ἀριθμοὺς τὰς ἰδέας εἶναι δεί- 991 b 21.
κνυσι καὶ διὰ τοῦ ἐκ μὲν πολλῶν ἀριθμῶν συντεθειμένων ἕνα ἀριθμὸν

8. τούτους] αὐτοὺς Asclep. ‖ 14. παρέθετο εἶναι τὴν Asclep. ‖ 18. αὐτῇ *M.* ‖ lege εἶναι ἔχει, καὶ ‖ 22. οὐδὲ ἐκεῖναι ἀριθμοὶ ἔτι ἔσονται Asclep., *non iam in illis erunt numeri* Sepulv. ‖ 23. ἐστι] εἰσι Asclep. ‖ 24. τούτων Asclep. ‖ 25. ἓν om Asclep. ‖ καί φησί τινα Asclep. ‖ 26. ἀριθμός Asclep. ‖ 27. εἰ δὲ καὶ τὰ Asclep. ‖ 28. ἔχειν λόγῳ Asclep. ‖ 30. ὥσπερ ἡ *M.* ‖ αἱ συμφωνίαι Asclep. ‖ 31. δὲ οὐ καλῶς ὅτι εὑρεθήσεται Asclep. ‖ 32. ἡ om *A.*

1. ὁρισμὸς Asclep. ‖ 4. αὐτοῖς ἢ ἄλλων τινὸς ὅ τι ποτ' ἄν, ἢ ἐν αὐτοῖς (τοῦτο Asclep. ‖ τις — 5. αὐτοάριθμος om Asclep. ‖ 6. εἴη] εἶναι Asclep. ‖ ἀριθμῷ om *V.* ‖ γίγνονται οἱ λόγοι Asclep. ‖ 7. ϛ'] ε' Asclep. ‖ 8. ἐνάριθμος *A.* ‖ 9. ὁ] τις Asclep. ‖ ἢ — 10. εἶναι om Asclep. ‖ 10. ἢ ἰδέαι ante ἔχουσιν add Asclep. ‖ 12. ἁπλᾶς Asclep. ‖ εἰ γὰρ λόγοι ἀριθμῶν ἐκ πλειόνων φθόγγων τι ἔσονται καὶ ἔσται αὐταῖς ὑποκείμενόν τι ὃ ἐν λόγῳ ἀριθμῶν τὸ εἶναι αὐτῶν ἑκάστῃ ἀκολουθήσει τε τούτοις Asclep. ‖ 14. *quod in proportione numerorum ipsarum cuique suum esse efficiat* Sepulv. fortasse legendum εἶναι αὐτῶν ἑκάστῃ. ‖ 15. αὐτὸ om Asclep. ‖ 16. οὐδ' εἴγε τῶν ὄντων πρὸς παράδειγμα ἀριθμός Asclep. ‖ 19. ἰδέα ὁ ἀριθμός *A.* ‖ 20. ἤδη om Asclep.

θετον τὴν ἰατρικήν. ὁμοίως δὲ καὶ ἐπὶ πασῶν τῶν ἄλλων ἐπιστημῶν. Asclep.

991b 1. "ἔτι — οὐσία." ὃ λέγει ἐστίν, ὅτι τὴν οὐσίαν τινὸς ἀδύνατον κεχωρίσθαι τοῦ οὗ ἐστὶν οὐσία· ἡ γὰρ ἑκάστου οὐσία ἐν ἐκείνῳ. εἰ οὖν αἱ ἰδέαι οὐσίαι, οὐκ εἰσὶν αὐτῶν κεχωρισμέναι· εἰ δέ εἰσι κεχωρισμέναι, οὐκ εἰσὶν αὐτῶν οὐσίαι. ἀλλὰ μὴν οἱ λέγοντες τοὺς ὁρισμοὺς τῶν ἐνταῦθα γίγνεσθαι κατὰ τὰς ἰδέας οὐσίας ποιοῦσι τὰς ἰδέας τῶν αἰσθητῶν· οἱ γὰρ ὁρισμοὶ ἑκάστου τὴν οὐσίαν δηλοῦσι καὶ κατὰ τὰ οἰκεῖα εἴδη γίγνονται· τὸ γὰρ εἶναι ἑκάστῳ, οὗ ὁ ὁρισμὸς δηλωτικός, κατὰ τὴν οἰκείαν οὐσίαν. οὕτω τε εἶεν ἂν αἱ ἰδέαι τὰ εἴδη τῶν τῇδε. Alex.

991b 3. "ἐν — ἐστιν." τὸ μὲν "λέγομεν" ὁμοίως εἴρηται τοῖς πρόσθεν· κοινοῦται γὰρ τὴν δόξαν ὡς οὖσαν καὶ αὐτοῦ (c). δείκνυσι δὲ ψεῦδος ὂν τὸ εἰρημένον ἐν τῷ Φαίδωνι. εἴρηται μὲν γὰρ ὅτι καὶ τοῦ εἶναι τὰ ἐνταῦθα καὶ τοῦ γίγνεσθαι αἴτια τὰ εἴδη· τοῦτο δὲ οὐκ ἀληθές, εἴγε ἀδύνατον, ὡς προείρηται, χωρὶς τὴν οὐσίαν εἶναι καὶ τὸ οὗ ἐκείνη οὐσία. εἰπὼν δὲ "καὶ τοῦ εἶναι καὶ τοῦ γίγνεσθαι," ὅτι μηδὲ τοῦ γίγνεσθαι νῦν λέγει (d)· πῶς γὰρ οὐδὲ τοῦ γίγνεσθαι; κἂν γὰρ ᾖ τὰ εἴδη, ὅμως οὐκ αὐτὰ αἴτια τοῦ καὶ εἶναί τινα καὶ γίγνεσθαι πρὸς ἐκεῖνα· οὐδὲ γὰρ ἔσται πρὸς αὐτὰ οὐδὲν μὴ ὄντος τοῦ κινοῦντος καὶ ποιοῦντος· οὐ γὰρ δὴ αἱ ἰδέαι αὐτοῖς εἰσιν αἰτίαι ὡς ποιοῦσαι. ὅτι γὰρ τὸ ποιοῦν τοῖς γιγνομένοις αἴτιον καὶ οὐ τὸ παράδειγμα, ἔδειξε διὰ τοῦ πολλὰ καὶ γίνεσθαι καὶ εἶναι ὧν οὔ φασιν ἰδέας εἶναι, ὥσπερ τὰ τεχνητά· οἰκία γὰρ καὶ δακτύλιος οὐ πρὸς ἰδέας. εἰ δὲ ταῦτα, καὶ μὴ ὄντων εἰδῶν οὐδὲν κωλύεται καὶ γίνεσθαι καὶ εἶναι τῷ τὸ ποιοῦν ἔχειν, οὐδὲ τὰ ὧν φασὶν ἰδέας εἶναι κωλυθήσεται καὶ εἶναί τε καὶ γίνεσθαι καὶ μὴ οὐσῶν τῶν ἰδεῶν (e)· δι' ἃς γὰρ αἰτίας γίνεται τὰ ὧν οὔ φασιν ἰδέας εἶναι, διὰ τὰς ὁμοίας ἔσται καὶ τὰ ὧν φασίν· ὡς γὰρ ἐκεῖνα κατὰ τέχνην γίγνεται οὐ πρὸς ἰδέαν τινά, οὕτω καὶ τὰ κατὰ φύσιν ἔσται κατὰ τὴν φύσιν χωρὶς παραδείγματος, ἀνάλογον ὄντος τοῦ μὲν γεννῶντος τῷ τεχνίτῃ, τοῦ δὲ θήλεος τὴν τῆς ὕλης χώραν ἐπέχοντος· τὰ μὲν γὰρ παραδείγματα ἄχρηστα μὴ ὄντος τοῦ ποιοῦντος πρὸς αὐτά, τὸ δὲ ποιοῦν τι οὐ κεκώλυται ποιεῖν καὶ χωρὶς παραδείγματος, ὡς αὐτοὶ συγχωροῦσιν ἔχειν ἐπὶ τῶν τεχνητῶν. id.

(c) "ἐν δὲ τῷ Φαίδωνι οὕτως λέγομεν." ὅτι τοῦ Πλάτωνός ἐστιν ὁ Φαίδων, σαφῶς ὁ Ἀριστοτέλης δηλοῖ· ἀντιλέγων γὰρ πρὸς τὸν Πλάτωνα παράγει μαρτυρίαν ἐκ τῶν παρ' αὐτοῦ εἰρημένων ἐν τῷ Φαίδωνι. καὶ ἐν τοῖς Μετεώροις δὲ παρήγαγε τὸν Φαίδωνα, ἡνίκα περὶ τοῦ Ταρτάρου λόγον ἐποιεῖτο. Παναίτιος γάρ τις ἐτόλμησε νοθεῦσαι τὸν διάλογον. ἐπειδὴ γὰρ ἔλεγεν εἶναι θνητὴν τὴν ψυχήν, ἐβούλετο συγκατασπάσαι καὶ τὸν Πλάτωνα· ἐπεὶ οὖν ἐν τῷ Φαίδωνι σαφῶς ἀπαθανατίζει τὴν λογικὴν ψυχήν, τούτου χάριν ἐνόθευσε τὸν διάλογον. ἐν δὲ τῷ Φαίδωνί φησιν ὁ Πλάτων ὅτι πᾶσα ψυχὴ ἀθάνατος, καὶ ὡς ὁ ἡμέτερος διδάσκαλος ἔφασκε, περὶ τῆς τοῦ κόσμου ψυχῆς λέγει. καὶ ἐν τῇ Πολιτείᾳ δὲ ἀθανατίζει τὴν ψυχήν, ἀλλ' οὐχ ὁμοίως ὡς ἐν τῷ Φαίδωνι. τὸ οὖν λέγομεν ὁμοίως εἴρηται τοῖς πρόσθεν· κοινοῦται γὰρ τὴν δόξαν ὡς οὖσαν καὶ αὐτοῦ, ἐπειδὴ τοῦ αὐτοῦ διδασκαλείου ἦν. Asclep.

(d) καὶ τοῦ μὲν εἶναι (αἴτια) λέγει περὶ τῶν θείων σωμάτων, 991b 4.
ἐπειδὴ ἀεὶ ὑπάρχουσιν, τοῦ δὲ γίνεσθαι περὶ τῶν τῇδε. ἢ τὸ εἶναί φησι περὶ τῶν τῇδε καὶ τὸ γίνεσθαι· εἰσὶ μὲν γὰρ ἀεὶ τὰ εἴδη, γινόμενα δὲ τὰ καθ' ἕκαστα. id.

(e) ὁ δὲ ἡμέτερος φιλόσοφος προσέχων τῷ δόγματι, μᾶλ- 991b 7.
λον δὲ τῷ πατρὶ τοῦ δόγματος, ἔλεγεν ὅτι τῶν φύσει ὑπαρχουσῶν αἱ ἰδέαι καὶ τῶν εἰδῶν· οὐ γὰρ τῶν καθ' ἕκαστα, ἐπεὶ οὕτως ἄπειροί εἰσιν αἱ ἰδέαι. τῶν δὲ τεχνητῶν οὔ φαμεν εἶναι ἰδέας, ἀλλὰ λόγους ἐν τῇ ψυχῇ τῶν ποιούντων· οὐκ ἠδύνατο οὖν φύσις ποιεῖν μὴ ἔχουσα ἐν ἑαυτῇ τοὺς δημιουργικοὺς λόγους, ὥσπερ οὐδὲ ὁ ἰατρὸς ἐποίει ὑγίειαν μὴ ἔχων ἐν ἑαυτῷ τοὺς λόγους τῆς ὑγιείας. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. id.

"ἔτι — ἔσονται;" πειρᾶται καὶ κατὰ ταύτην τὴν δόξαν, καθ' ἣν 991b 9.
ἀριθμοὺς ἔλεγον τὰς ἰδέας, εὐθύνειν τὸν λόγον· εἰ γὰρ ἀριθμοὺς μὲν ἔλεγον αὐτὰς εἶναι, μὴ δύνανται δὲ ἀριθμοὶ εἶναι, δῆλον ὅτι οὐδὲ εἶεν ἂν κατ' αὐτούς (f). ἔτι ζητεῖ, εἰ εἰσὶν αἱ ἰδέαι ἀριθμοί, πῶς αἴτιοι ἔσονται τοῖς ἐνθάδε; πότερον ὅτι καὶ τὰ ἐνθάδε εἰσὶν ἀριθμοὶ ὥσπερ καὶ αἱ ἰδέαι, ἕτεροι δὲ ἐκείνων τε δηλονότι, ἀλλὰ καὶ ἀλλήλων ὡς κἀκεῖναι ἀλλήλων ἕτεραι, καὶ ἄλλος μέν ἐστιν ἀριθμὸς ἄνθρωπος ἄλλος δὲ ἵππος, ἄλλος Πλάτων καὶ ἄλλος Σωκράτης, καὶ κατὰ τὴν διαφορὰν τῶν ἀριθμῶν διαφέρειν ἀλλήλων τὰ ὄντα; ἀλλ' εἰ τοῦτο, πῶς αἴτιοι ἐκεῖνοι οἱ ἀριθμοὶ οἱ τῶν ἰδεῶν τοῖς ἐνθάδε ἀριθμοῖς, ἐν οἷς ἐστι τὰ ὄντα, ἔσονται; εἰ γὰρ καὶ εἶεν ἴσοι οἱ ἐνταῦθα ἐκείνοις, ὡς εἶναι φέρε εἰπεῖν πεντάδα τόν τε αὐτοάνθρωπον καὶ τὸν αἰσθητόν, ἀλλὰ τὴν μὲν ἀΐδιον πεντάδα τὴν δὲ μὴ ἀΐδιον, πῶς ἐκείνη ἡ πεντὰς ταύτῃ τῇ πεντάδι αἰτία ἔσται τοῦ εἶναι; οὐ γὰρ δὴ οἱ ἴσοι ἀριθμοὶ ἀλλήλοις τοῦ εἶναι αἴτιοι· πῶς γὰρ ὅλως ἀριθμὸς ἀριθμῷ αἴτιος τοῦ εἶναι; Alex.

(f) ὥστε καὶ αὐτοὶ οἱ ἀριθμοὶ λόγοι τινὲς ἔσονται ἑτέρου πρὸς ἕτερον· οἷον εἰ ἔστι Καλλίας λόγος ἐν ἀριθμοῖς ἐκ πυρὸς καὶ ὕδατος

3 — 11. apud Asclep. ‖ 4. οὐσία· ὥστε πῶς αἱ ἰδέαι οὐσίαι τῶν πραγμάτων ὑπάρχουσιν, οὖσαι χωρισταὶ κατ' αὐτούς; εἰ οὖν Asclep. ‖ ἢ] εἰ *A*. ‖ 5. εἰ δὲ εἰσὶ κεχωρισμέναι] ὥστε Asclep. ‖ 9. δηλωτικὸς καὶ κατὰ *M*. ‖ 10. τε ἂν εἶεν αἱ Asclep. ‖ 16. χωριστὴν οὐσίαν *A*. ‖ 17. *dixit, ut sint hae res et ut fiant. nunc docet ideas non esse causas ut res nostrates fiant* Sepulv. ‖ 20. οὐδὲν om *A*. ‖ 20 — 34. apud Asclep. ‖ 21. αὐτοῖς Asclep., αὐταῖς *M*, αὐταῖς *A*. ‖ 23. φαμὲν Asclep. ‖ 24. ἰδέαν Asclep. ‖ 25. τὰ om *M*. ‖ 29. καὶ τὰ om *A*. ‖ τὰ φύσει ἔσται *M*. ‖ 32. τῷ δὲ πάσχοντι Asclep.

3. λογικὴν om Asclep. ‖ 5. ἡμέτερος φιλόσοφος Asclep. ‖ 6. ἀπαθανατίζει Asclep. ‖ 19. τοὺς ποιητικοὺς λόγους Asclep. ‖ 24. *haud dubie per ipsos nullae sunt ideae* Sepulv. ‖ 25. ζητεῖ δὲ ὅτι εἴπερ εἰσὶν Asclep. ‖ 26. αἴτιαι Asclep. ‖ τοῖς] τῶν *M*. ‖ 28. ἄλλως *M*. ‖ 32. γὰρ] δὴ *M*. ‖ 35. ἐστι *A*. ‖ 36. τοῦ εἶναι αἴτιοι *A*, αἴτιοι τοῦ εἶναι Asclep.

κατὰ φύσιν δὲ πολλὰ καὶ ὑπὸ ἀλόγων καὶ ὑπὸ ἀψύχων γίνεται. οὐδὲν ἄρα τῶν νῦν κατὰ φύσιν τι ποιούντων πρὸς παράδειγμα ποιεῖ τι· εἰ δὲ μὴ νῦν, οὐδὲ πρότερον· ἀεὶ γὰρ ἡ γένεσις τῶν φύσει γιγνομένων ὁμοία. τὸ δὲ λέγειν κατὰ ἀριθμούς τινας ὡρισμένους τε καὶ τεταγμένους τὰ φύσει γιγνόμενα γίγνεσθαι (οὐ γὰρ ἀπὸ τύχης τε καὶ αὐτομάτου· διὰ τοῦτο γὰρ ἄνθρωπος ἄνθρωπον γεννᾷ), καὶ διὰ τοῦτο ἀξιοῦν τὴν φύσιν πρὸς παράδειγμά τι καὶ λόγον τινὰ ποιεῖν πρὸς ἐκεῖνα ἀφορῶσαν, τὸ μὲν ἀληθὲς ἔχει τὸ δὲ ψευδές τι. γίγνεται μὲν γὰρ πάντα τὰ φύσει κατὰ τάξιν τινὰ καὶ ἀριθμούς τινας ὡρισμένους καὶ οὔτε ἀπὸ τύχης οὔτε αὐτομάτου, οὐ μὴν διὰ τοῦτο καὶ πρὸς παράδειγμα. οὐ γὰρ ἐννοοῦσα ἡ φύσις ποιεῖ ἃ ποιεῖ (ἄλογος γὰρ αὕτη δύναμίς ἐστιν), ἀλλ' ἐστὶν αἰτία τοῦ εἶναι ἐν τεταγμένῃ κινήσει, καὶ ὥστε τῇ πρώτῃ τὴν μετ' αὐτὴν ἀκολουθεῖν τεταγμένως οὐ κατὰ λογισμόν τινα, κἀκείνῃ πάλιν τὴν τρίτην, ἕως ἂν ἐπὶ τὸ τέλος αἱ κινήσεις προέλθωσιν, οὗ χάριν ἐγίγνοντο. ἣν τάξιν ἡ τέχνη ἐστὶ μιμουμένη· κατὰ τὸν λόγον γὰρ ταῦτα συντίθησι καὶ ποιεῖ ἃ ποιεῖ. διὸ ἡ μὲν τέχνη δύναμίς ἐστι λογική, ἡ δὲ φύσις ἄλογος. τὸ δὲ λέγειν θείαν τινὰ τέχνην οὖσαν τὴν φύσιν μηδὲν ἀλόγως ποιεῖν, καὶ τὸ ἀξιοῦν τῷ θείαν αὐτὴν εἶναι ἔχειν τοῦτο δῶρον παρὰ θεῶν, τὸ πρὸς τεταγμένον τι καὶ ὡρισμένον παράδειγμα ποιεῖν ἃ ποιεῖ, οὐ καλῶς λέγεται· οὐ γὰρ οὕτως λέγεται ἡ φύσις θεία τέχνη ὡς τῶν θεῶν ταύτῃ τῇ τέχνῃ χρωμένων, ἀλλὰ τῷ ἀπὸ θεῶν οὖσα δύναμις τὸ εὔτακτον τῆς κινήσεως σώζειν κατ' ἀκολουθίαν τινὰ ἡρμοσμένην, μὴ κατὰ λογισμόν τινα καὶ νόησιν, ἀλλὰ τῷ ἀπ' ἐκείνων εἶναι. δῶρον δὲ ἀπὸ θεῶν ἔχοι ἂν οὐ τὸ πρὸς παράδειγμα ποιεῖν· πῶς γὰρ ἂν ποιήσαι τι πρὸς παράδειγμα οὗ τέλεόν ἐστιν ἀνεννόητον; ἀλλ' ἔχειν ἄν τις παρὰ θεῶν αὐτὴν κατὰ τὸ εὐλογώτερον λέγοι τὸ ὅμοιον τῷ ποιοῦντι, ἐν ᾧ ἔστι καὶ ὅθεν τὴν ἀρχὴν λαμβάνει τὸ γινόμενον, ποιεῖν κατὰ τὴν χωρὶς λόγου τῶν κινήσεων εὐταξίαν. ἔτι τὸ εὔτακτον ἔστιν εὑρεῖν καὶ ἐν τοῖς κακοῖς καὶ παρὰ φύσιν γιγνομένοις, οἷον ἀποστήματα, τραύματα, φλεγμοναί, νόσων περίοδοι. ἀλλὰ καὶ ζῴων τινῶν γενέσεις τεταγμέναι μέν, ἀλλ' οὐ πρὸς ἰδέαν, οἷον σκωλήκων ἐμπίδων τερηδόνων. **Alex.**

991 a 25. (*) λέγομεν οὖν αὖθις πρὸς τοῦτο ὅτι τὸ κατὰ τύχην τῶν σπανίων ἐστὶ καὶ ἐνταῦθα ἔχει χώραν, ἐπὶ μέντοι γε τῶν ἀεὶ γινομένων οὐ θεωρεῖται τὸ κατὰ τύχην, ἀλλὰ δεῖ πάντως παραδείγματος πρὸς ὃ γίνεται τὸ γινόμενον... λέγομεν οὖν ὅτι οὐ τῶν καθ' ἕκαστα ὑπάρχουσιν ἰδέαι ἀλλὰ τῶν καθόλου· οὐ γὰρ Σωκράτους ἀλλ' ἀνθρώπου· διὸ καὶ τὸ εἶδος μένει ἀεὶ διὰ τὸν λόγον ὃν ἔχει ἡ φύσις καὶ οὕτως ποιεῖν. **Asclep.**

991 a 27. "ἔσται — εἴδη." αὕτη ἡ λέξις ἕως τοῦ ἔτι δόξειεν ἂν ἀδύνατον εἶναι ἔν τισιν οὐ φέρεται· διὸ οὐδὲ ὑπεμνηματίσαντο αὐτήν.

δείκνυσι δὲ δι' αὐτῆς καὶ τοῦτο τὸ ἄτοπον ἑπόμενον τῇ περὶ τῶν ἰδεῶν δόξῃ· εἰ γὰρ παραδείγματα ἐκεῖνα τούτων, ἔσται τοῦ αὐτοῦ πλείω παραδείγματα, καὶ ἰδέαι πλείους ἔσονται αὐτοῦ. εἰ γὰρ ὁ ἄνθρωπος καὶ ζῷόν ἐστι καὶ δίπουν καὶ ἄνθρωπος, καὶ ταῦτα ἀλλήλων διαφέρει, ἑκάστου ἂν αὐτῶν εἴη παράδειγμα καὶ ἰδέα, καὶ μεθέξει ὁ ἄνθρωπος τοῦ αὐτοανθρώπου καὶ τοῦ αὐτοζῴου καὶ τοῦ αὐτοδίποδος. ἀλλ' εἰ μὲν ἅμα ἔστιν ἐν τῷ αὐτοανθρώπῳ διαφέροντα ἀλλήλων, οὐχ ἁπλοῦν ἡ ἰδέα, ἀλλ' ἔσται ἐξ ἰδεῶν συγκειμένη· εἰ δὲ μή ἐστιν ἰδέα ἕκαστον αὐτῶν, προτέρα ἔσται ἰδέα ἰδέας· τὸ γὰρ αὐτοζῷον πρῶτον τοῦ αὐτοανθρώπου· γένος γὰρ τὸ ζῷον τοῦ αὐτοανθρώπου, ἡ ἰδέα ἔσται χωρὶς ζῴου. ἀδύνατον δὲ τοῦτο, καὶ μετέχον ὁ αὐτοάνθρωπος τοῦ αὐτοζῴου, εἴγε ζῷον κἀκεῖνο· ὥστε εἴη ἂν ὁ αὐτοάνθρωπος. ἀλλὰ καὶ ζῴου παράδειγμα· τοῦ ἄρα αὐτοανθρώπου καὶ τοῦ ζῴου μία εἰκών· μετέχει γὰρ τοῦ ζῴου. οὐ μόνον δὲ τοῦ αὐτοζῴου ἀλλὰ καὶ τοῦ αὐτοδίποδος μεθέξει, ὥστε πλειόνων ἰδεῶν καὶ ἡ μία ἰδέα μεθέξει. εἰ γὰρ ἔστι τι ὃν ἐστὶν ὁ ἄνθρωπος, οὐ κατὰ ἰδέας μετοχήν, δίπους γὰρ ὁ ἄνθρωπος· οὔτε καθὸ ζῷον, ἔστι γάρ τινα τῶν ζῴων οὐ τοιαῦτα· οὔτε καθὸ ἄνθρωπος, ἔστι γὰρ καὶ ἄλλα δίποδα. ἔτι τε εἰ τὸ ζῷον τὸ εἶναι οὐκ ἔχει παρὰ τοῦ ἄνθρωπος εἶναι, οὐδ' ἂν τὸ δίπουν ἔχοι παρὰ τῆς τοῦ ἀνθρώπου ἰδέας. οὕτω δὲ συγχωροῖτο ἂν τὸ μὴ πάντως πρὸς ἰδέαν εἶναι τοῖς τῇδε τὸ εἶναι. ἔτι ἔσται ἐν ταῖς ἰδέαις τὸ μὲν πρότερον τὸ δὲ ὕστερον. εἰ δὲ αὐτοάνθρωπος μὴ μετέχει τοῦ αὐτοζῴου καὶ ὅμως ζῷόν ἐστιν, οὐκ ἀνάγκη οὐδὲ τὸ ἐνταῦθα ζῷον εἶναι μετουσίᾳ τοῦ αὐτοζῴου· οὕτως δὲ οὐδὲ τοῦ αὐτοανθρώπου (1). τὸ γὰρ λέγειν τὸν αὐτοάνθρωπον μὴ εἶναι ζῷον, ἄνθρωπον ὄντα, ἀτοπώτατον. "ἔτι οὐ μόνον τῶν αἰσθητῶν παραδείγματα τὰ εἴδη ἀλλὰ καὶ αὐτῶν τῶν ἰδεῶν." ἐφθάκαμεν εἰρηκέναι πῶς. τὸ γὰρ αὐτοζῷον παράδειγμα τοῦ αὐτοανθρώπου· τὸ γὰρ γένος τῶν αὐτοῦ εἰδῶν ἔσται παράδειγμα, ἐπεὶ ἕκαστον αὐτῶν ἐστὶ κἀκεῖνο· ἔσται τε οὕτως τὰ εἴδη παραδείγματα ὄντα τῶν αἰσθητῶν αὐτὰ εἰκόνες τῶν ἰδεῶν. **Alex.**

(1) φαμὲν οὖν πρὸς ταῦτα ὅτι ἡ μὲν ψυχὴ τῷ ὄντι καὶ εἰκὼν καὶ παράδειγμά ἐστιν, παράδειγμα μὲν τῶν τῇδε ὡς ἔχουσα τοὺς λόγους τῶν εἰδῶν ἐν αὐτῇ, εἰκὼν δὲ τοῦ παντελείου νοῦ τοῦ ἀεὶ ἐνεργείᾳ ὄντος καὶ ἔχοντος τὴν ἐνέργειαν οὐσίαν. ἐπὶ μέντοι γε τῶν ἰδεῶν οὐ δυνατόν ἐστι τοῦτο· οἱ γὰρ λόγοι οἱ δημιουργικοὶ ἀεὶ παραδείγματα ὑπάρχουσιν· οὐκ ἔστι δὲ ἰδέα καὶ ἀνθρώπου καὶ δίποδος καὶ ζῴου, ἀλλὰ ἀνθρώπου μόνου· ἐν γὰρ τοῖς καθολικωτέροις ἐμπεριέχεται τὰ μερικά· ἐν οὖν τῷ λόγῳ τοῦ ἀνθρώπου καθολικῷ ὄντι ἐμπεριέχεται καὶ τὸ ζῷον καὶ τὸ λογικὸν καὶ τὸ δίπουν καὶ ὅσα ἄλλα τοιαῦτα. ὥσπερ καὶ ὁ ἰατρὸς ἔχει τὸν λόγον τῆς ἰατρικῆς καὶ ἐμπεριέχεται ἐν τῷ λόγῳ τούτου καὶ τὸ χειρουργικὸν καὶ διαιτητικὸν καὶ τὰ ἄλλα μέρη, καὶ ὅμως οὐ φαμεν σύν-

12. καὶ γὰρ ὥστε *M.* ‖ 16. lege γὰρ αὕτη συντίθησι. *ars, quae duce ratione opera sua conficit* Sepulv. ‖ 18. ἀξιοῦντο θείας *M.*

8. *at si haec singula sunt ideae, idea prior idea* Sepulv. expungenda negatio μή. ‖ 10. *aut erit idea sine anim.* Sepulv. lege ἢ ἡ ἰδέα. ‖ 14. τι ὃν ἐστιν *A.* *nam si homo est aliquod ens, nimirum homo non erit hominis participatione bipes, cum animalia bipeda sint* Sepulv. omissis 15. οὐ — 16. τοιαῦτα. lege εἰ γάρ ἐστί τι ὃν ὁ ἄνθρωπος ‖ 15. οὔτε — 16. ἄνθρωπος et 17. τὸ post ζῷον et 21. καὶ — 23. αὐτοζῴου om *A.* ‖ 36. ἐμπεριέχονται *B.*

εἰδῶν λέγειν τὰ ἄλλα γεγονέναι, ἑξῆς ἐπὶ τὸ δεῖξαι τὸ λεγόμενον ὑπ' αὐτῶν μετελήλυθε, τὸ παραδείγματα λέγειν αὐτάς· καὶ τοῦτο, μετέχειν τὰ τῇδε ἐκείνων, κενολογεῖν ἐστὶ καὶ μεταφοραῖς χρῆσθαι ποιητικαῖς· τοῦτο δέ, ὅτι τοῖς ποιηταῖς οἰκεῖον τὸ χρῆσθαι μεταφοραῖς. μετενήνεκται δὲ ἀπὸ τῶν γραφέων τὸ παράδειγμα, οἱ γράφειν λέγονται πρὸς παράδειγμα. ὅτι δὲ κενολογοῦσιν οἱ τὰς ἰδέας παρα-
991 a 22. δείγματα λέγοντες ἔδειξε διὰ τοῦ "τί γάρ ἐστι τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον;" δεῖ γάρ, εἰ παραδείγματα ἐκεῖναι, εἶναί τι τὸ πρὸς αὐτὰ ποιοῦν, ὡς τοὺς γραφεῖς ὁρῶμεν πρὸς τὰ παραδείγματα γράφοντας. τὸ δὲ λέγειν παραδείγματα εἶναι καὶ μετέχειν αὐτῶν κενολογεῖν ἐστίν. ζητήσας πῶς αἱ ἰδέαι αἰτίαι τῶν ἐνταῦθα καὶ τίνος, καὶ δείξας ὅτι οὔτε τῆς κινήσεως οἷόν τε αὐτὰς αἰτίας εἶναι οὔτε τῆς ἐπιστήμης καὶ γνώσεως τῶν ἐνταῦθα οὔτε τοῦ εἶναι, ἀλλ' οὔτε κατά τινα τῶν ἔκ τινος λεγομένων τρόπων γίγνεσθαί τι τὰ ἐνταῦθα ἔστιν ἐξ ἐκείνων, εὐλόγως ἐπὶ τούτοις δεδειγμένοις τὸ τῆς μετοχῆς ὄνομα, ᾧ χρῶνται, ὡς κενὸν διαβάλλει. λέγουσι γὰρ αὐτὰς παραδείγματα εἶναι καὶ μετέχειν αὐτῶν τὰ ἐνταῦθα· τὸ δὴ οὕτως λέγειν, φησί, κενολογεῖν ἐστὶ καὶ μεταφορὰς λέγειν ὡς οἱ ποιηταί· οὐδὲν γὰρ τούτων ὧν μετέχει τὸ μετέχον σημαίνουσιν οἱ ἐπὶ τῶν ἰδεῶν τῷ μετέχειν χρώμενοι. ὅτι δὲ κενολογεῖν βραχέως ἔδειξε διὰ τοῦ "τί γάρ ἐστι τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον;" πάντως μὲν γὰρ τὸ πρός τι παράδειγμα γενόμενον ὑπό τινος ὁμοιοῦντος αὐτὸ ἐκείνῳ καὶ ποιοῦντος γίνεται· ἐπὶ δὲ τῶν ἰδεῶν τί ἐστι τὸ ποιοῦν τὰ ἐνταῦθα πρὸς τὰς ἰδέας ἀποβλέπον; ὁρῶμεν γὰρ ἄνθρωπον ὑπὸ ἀνθρώπου γινόμενον τὸν καθ' ἕκαστα ὑπὸ τοῦ καθ' ἕκαστα καὶ ἵππον ὑπὸ τοῦ ἵππου, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ὧν οὐδὲν πρὸς τὴν ἰδέαν ἀποβλέπον ποιεῖ ὃ ποιεῖ, ἀλλὰ φυσική τις ἡ γένεσις καὶ ἡ τάξις ἑκάστου, τοῦ μὲν τὴν ἀρχὴν ἐνδιδόντος, τοῦ δὲ ὑποδεχομένου τε καὶ σώζοντος καὶ προάγοντος ταύτην κατά τινα ἀκολουθίαν. ἀλλ' οὐδὲ οἱ ἐπιστήμονες ποιοῦσι τὰ κατὰ τὰς ἐπιστήμας πρὸς ἰδέαν τινὰ ἀποβλέποντες. Alex.

991 a 19. (*) φαμὲν οὖν ἡμεῖς πρὸς ταῦτα ὅτι τῷ ὄντι καλῶς φησὶν ὁ Ἀριστοτέλης ὅτι κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι φαμὲν τὰ τῇδε γινόμενα ὑπὸ τῶν ἰδεῶν, εἴγε ἐξῃρημένα ὑπάρχουσιν. ἀλλ' οὕτω φαμὲν γίνεσθαι ἐκ τῶν ἰδεῶν ὡς παρακτικὰ καὶ αἴτια τῆς ἀϊδιότητος· οὔτε γὰρ ὡς τελικὸν οὔτε ὡς ὑλικὸν ἢ εἰδικόν, ἀλλ' ὡς συμβαλλόμενον τῷ ποιητικῷ· πρὸς γὰρ τούτους τοὺς λόγους ἀποβλέπουσα ἡ φύσις δημιουργεῖ, καὶ διὰ τὴν ἀϊδιότητα τῶν ἰδεῶν ὑπάρχει ἡ διαμονὴ καὶ ἡ ἀϊδιότης τοῖς ἐνταῦθα γινομένοις. Asclep.

991 a 23. "ἐνδέχεται — εἰκαζόμενον." τὸ λεγόμενον νῦν πρὸς τὸ εἶναι παραδείγματα τὰς ἰδέας λέγεται (*). καὶ γὰρ εἰ δοθείη εἴδη τε εἶναι καὶ τὰ ἐνταῦθα ὅμοια γενέσθαι ἐκείνοις ἃς ἰδέας λέγεσθαι, οὐκ ἤδη καὶ παραδείγματα ἐκεῖνα τούτων, εἴγε μὴ εἴη τὸ ποιοῦν πρὸς αὐτάς. ἐνδέχεται γὰρ ὅμοιά τινά τισι γενέσθαι καὶ μηδενὸς εἰκάζοντος αὐτὰ καὶ πρὸς ἐκεῖνα ποιοῦντος. καὶ τοῦτο ἔδειξεν ἐναργῶς ἐπὶ Σωκράτους· οὐ γὰρ εἰ Θεαίτητος ἦν ὅμοιος Σωκράτει, ἤδη καὶ εἴκασται αὐτῷ· καὶ γὰρ ὄντος Σωκράτους ὅμοιός τις αὐτῷ δύναται γενέσθαι, καὶ μὴ εἰκαζόμενος, ὡς Θεαίτητος, καὶ μηκέτι ὄντος. δύναται γὰρ καὶ νῦν οἷος ἦν Σωκράτης εἶναί τε καὶ γίνεσθαι. εἰ δὲ καὶ μηκέτι ὄντι τινὶ ὅμοιον γίνεται, ἐναργές ἐστιν ὅτι μὴ πάντως εἰκάζοντός τινος καὶ πρὸς παράδειγμα ποιοῦντος ὅμοιά τισί τινα γίνεται. ὡς γὰρ ὁ τῷ μηκέτι ὄντι ὅμοιος ὢν οὐ πρὸς ἐκεῖνον γέγονεν, οὕτως οὐδὲ ἂν ἀΐδιόν τι εἶδος εἴη καὶ συγχωρηθῇ εἶναί τις τοιαύτη φύσις, ἡ πρὸς αὐτὴν ὁμοιότης ὡς πρὸς παράδειγμα ἔσται, μηδενός γε ὄντος τοῦ πρὸς ἐκεῖνο ποιοῦντος. τοῦτο δὲ ἂν λέγοιτο καὶ πρὸς τοὺς λόγους τινὰς λέγοντας εἶναι τὰς ἰδέας καὶ νοήματα. καὶ γὰρ εἰ ἔστιν, οὐ διὰ τοῦτο ἤδη καὶ γίγνεται ταῦτα πρὸς ἐκεῖνα, μηδενὸς τοῦ πρὸς αὐτὰ ποιοῦντος ὄντος. ὅτι γὰρ μὴ πρὸς παράδειγμά τι καὶ ἰδέαν γίνεταί τι ἢ γέγονε τῶν φύσει συνεστώτων, δείξαι τις ἂν καὶ διὰ τοιούτου λόγου. εἰ ἀΐδιός ἐστιν ὁ κόσμος καὶ μηδὲν τῶν νῦν γινομένων κατὰ φύσιν ὡς πρὸς παράδειγμα ἰδέαν τινὰ γίνεται, οὐδ' ἂν πρότερόν τι οὕτως εἴη γεγονός. ἀλλὰ μὴν ἀΐδιός τε ὁ κόσμος, ὥς φασι, καὶ οὐδὲν τῶν νῦν κατὰ φύσιν γιγνομένων πρὸς παράδειγμα ἰδέαν τινὰ γίγνεται, ὡς δείξω. οὐδὲ πρότερον ἄρα τι τῶν φύσει γεγονότων ὡς πρὸς παράδειγμα ἰδέαν γέγονε· πάντα γὰρ ὁμοίως ἀεὶ ἐν ἀϊδίῳ ὄντι τῷ κόσμῳ γίγνεται. εἰ δὲ τοῦτο, οὐδ' ἂν παραδείγματά εἰσιν αἱ ἰδέαι. ὅτι δὲ μηδὲν τῶν φύσει νῦν γινομένων πρὸς παράδειγμα ἰδέαν τινὰ γίνεται, δῆλον ἐντεῦθεν. πάντα τὰ γιγνόμενα τῶν καθ' ἕκαστά τινα ἔστιν ἃ ἐστι, καὶ ὑπὸ τῶν καθ' ἕκαστά τινος γίνεται· ὥστε καὶ τὰ φύσει, οἷον φύσει ὅδε ὁ ἄνθρωπος ὑπὸ τοῦδε τοῦ ἀνθρώπου γίγνεται, καὶ ὅδε ὁ ἵππος ὑπὸ τοῦδε τοῦ ἵππου, καὶ ἥδε ἡ ἄμπελος ὑπὸ τῆσδε τῆς ἀμπέλου. ἀλλὰ μὴν καὶ ἕκαστον τῶν κατὰ φύσιν τι ποιούντων κατὰ τὴν ἐν αὐτῷ φύσιν, τοῦτ' ἔστι κατὰ τὴν ἐν αὐτῷ αἰτίαν τε καὶ ἀρχὴν καὶ δύναμιν τοῦ πως κινεῖσθαι. ταῦτα γὰρ φύσει τε ἐστι καὶ ἔχει φύσιν, ὅσα ἀρχὴν κινήσεως ἐν αὐτοῖς ἔχει, καθὸ καὶ ἔστι τάδε τινά, ἀλλὰ μὴ κατὰ συμβεβηκός. καὶ ὁ ἵππος δὴ τὸν ἵππον ποιεῖ κατὰ τὴν ἐν αὐτῷ τοιαύτην ἀρχήν. ἀλλὰ μὴν οὔτε ἄνθρωπος οὔτε ἵππος οὔτε ἄλλο τι τῶν φύσει γεννώντων τε καὶ ποιούντων πρός τι παράδειγμα βλέπον ποιεῖ τὸ γιγνόμενον ὑπ' αὐτοῦ· οὐδὲ γὰρ τὴν ἀρχὴν νοοῦν τι περὶ τοῦ ἐσομένου πῶς ἂν γένοιτο, οὕτως ἔχεται τοῦ ποιεῖν ὃ ποιεῖ, ὡς ἐπὶ τῶν τεχνῶν ὁρῶμεν· διὰ τοῦτο γὰρ αἱ μὲν τέχναι ἐν μόνοις γίγνονται τοῖς δυναμένοις ποιεῖσθαι τὴν τοιαύτην πρόνοιαν τοῦ κατὰ τέχνην ἐσομένου· ἐν γὰρ ἀνθρώποις·

2. *deinde transit ad id quod isti dicebant, ideas esse quasi exemplaria. est autem sensus: putare ideas esse exemplaria, et hoc esse nostratia ideis quasi exemplaribus participare, inane dictu est* Sepulv. ‖ 2 — 8. apud Asclep. ‖ 2. ὅτι τὸ λέγειν παραδείγματα καὶ ὅτι μετέχειν Asclep. ‖ 3. κεχρῆσθαι Asclep. ‖ 20. κενολογοῦσι *M.* ‖ 21. βραχέως om *A.* ‖ 22. πάντως — 24. ἀποβλέπον om *M.*

1. lege ἃ ἰδέαι λέγεται. ‖ 12. lege συγχωρηθείη. ‖ *non tamen similitudo eius fuerit quasi ad exemplar, utique cum sit nullus qui ad illius exemplar operetur* Sepulv. qui legit οὐ πρὸς αὐτήν. ‖ αὐτὰ *M.*

εἰ γὰρ ἄλλη μὲν ζῴου ἰδέα ἄλλη δὲ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος καὶ ζῷόν ἐστι καὶ ἄνθρωπος, ἀμφοτέρων ἂν μετέχοι τῶν ἰδεῶν· καὶ ὁ αὐτοάνθρωπος δὲ ἰδέα, ᾗ μὲν καὶ ζῷόν ἐστι, μετέχει ἂν καὶ αὐτὸ τοῦ ζῴου· οὕτως δὲ οὐκέτι ἂν ἁπλαῖ αἱ ἰδέαι εἶεν, ἀλλ' ἐκ πολλῶν συγκείμεναι, καὶ αἱ μὲν αὐτῶν πρῶται αἱ δὲ δεύτεραι. εἰ δὲ μή εἰσι ζῷον, πῶς οὐκ ἄτοπον ἄνθρωπον λέγειν μὴ εἶναι ζῷον; ἔτι δέ, εἰ μίγνυται τοῖς πρὸς αὐτὰ οὖσι, πῶς ἂν ἔτι εἶεν παραδείγματα, ὡς λέγουσιν; οὐδὲ γὰρ οὕτως τὰ παραδείγματα ταῖς εἰκόσι τῆς ὁμοιότητος τῆς πρὸς αὐτὰ αἴτια τῷ μεμῖχθαι. ἔτι τε καὶ συμφθείροιντο ἂν τοῖς ἐν οἷς εἰσὶ φθειρομένοις. ἀλλ' οὐδὲ χωρισταὶ ἂν εἶεν αὐταὶ καθ' αὑτάς, ἀλλ' ἐν τοῖς μετέχουσιν αὐτῶν. πρὸς δὲ τούτοις οὐδὲ ἀκίνητοι ἔτι ἔσονται, καὶ ὅσα ἄλλα ἐν τῷ δευτέρῳ περὶ Ἰδεῶν τὴν δόξαν ταύτην ἐξετά-
991a 13. ζων ἔδειξεν ἄτοπα ἔχουσαν. διὰ τοῦτο γὰρ εἶπε τὸ "ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς τὴν δόξαν ταύτην." ἐκεῖ γὰρ συνῆκται. Alex.

991a 16. (y) ὃ λέγει τοιοῦτον ἐστίν, ὅτι οἱ περὶ Ἀναξαγόραν καὶ Εὔδοξον τὸν ἀστρονόμον τὸν Πλατωνικόν (ἀκροατὴς γὰρ γέγονε Πλάτωνος καί τινα τῶν Εὐκλείδου αὐτοῦ φασὶν εἶναι), φησὶν οὖν ὅτι οὗτοι πάντα ἐν πᾶσιν ὑπετίθεντο εἶναι, καὶ ἔλεγον ἐκ τοῦ ἐπικρατοῦντος ὀνομάζεσθαι σάρκα ἢ λευκὸν ἤ τι τοιοῦτον ἄλλο. Asclep.

991a 19. "ἀλλὰ — λέγεσθαι. δείξας ὅτι οὔτε κινήσεως καὶ μεταβολῆς τοῖς ἐνταῦθα αἴτιαι αἱ ἰδέαι, οὔτε πρὸς τὴν γνῶσιν αὐτῶν καὶ ἐπιστήμην συντείνουσί τι, οὔτε εἰς τὴν οὐσίαν καὶ τὸ εἶναι αὐτά, ὡς τὰ μεμιγμένα ὄντα ἔν τισιν εἰς τὸ εἶναι συντελεῖ αὐτοῖς, οὔτε ὅλως αἴτια, ἐπήνεγκεν ὅτι ἀλλ' οὐδὲ ἔστιν ἐκ τῶν εἰδῶν τὰ ἄλλα κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι, ἤτοι δεικνὺς ὅτι κατὰ μηδένα τρόπον τῶν ἔκ τινος λεγομένων γίγνεσθαι δύναται δείκνυσθαι ἐκ τῶν ἰδεῶν γιγνόμενα πρὸς αὐτά. εἰσὶ δὲ οἱ εἰωθότες λέγεσθαι τοῦ ἔκ τινος τρόποι οἱ μὲν κυρίως ὅ τε ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους. ἐκ γὰρ τῆς ὕλης λέγομεν εἶναι τὰ ἔνυλα, ὁμοίως δὲ καὶ ἐκ τοῦ εἴδους τοῦ ἐν αὐτῷ, ἀλλὰ καὶ ἐξ ἀμφοῖν. ὧν τρόπων κατ' οὐδένα ἐκ τῆς ἰδέας τὰ πρὸς αὐτάς, ὡς δέδεικται· ἐνυπῆρχε γὰρ ἂν αὐτοῖς. λέγεται δὲ ἔκ τινος καὶ ὡς ἐκ τοῦ ποιοῦντος καὶ ὡς ἐκ τοῦ ἀτελοῦς τὸ τέλειον, ὡς λέγομεν ἐκ παιδὸς ἄνδρα γίγνεσθαι, καὶ ὡς ἐκ τῶν μερῶν τὸ ὅλον, καὶ ὡς ἐκ τῶν ἐναντίων τὰ ἐναντία. λέγεται ἔκ τινος καὶ τὸ μεταγιγνόμενον, ὡς ἐξ Ὀλυμπίων Ἴσθμια. κατ' οὐδένα δὴ τῶν τρόπων τοῦ ἔκ τινος ἐκ τῶν ἰδεῶν τὰ ἐνταῦθα· οὔτε γὰρ ὕλη αὐτῶν, ὡς ἐδείχθη, οὔτε εἶδος αἱ ἰδέαι. ἀλλ' οὐδὲ μέρη. ἀλλ' οὐδὲ ὡς ἐξ ἐναντίων ταῦτα ἐκείνων· τὸ γὰρ ἐξ ἐναντίου γιγνόμενον ὑπομένοντος τοῦ αὐτοῦ ὑποκειμένου καὶ μεταβάλλοντος ἐκ τοῦ ἐναντίου γίγνεται· εἰ δὲ οὕτως, εἴη ἂν ταὐτὸν ὑποκείμενον ταῖς τε ἰδέαις καὶ τοῖς πρὸς αὐτάς, ὥστε αἱ ἰδέαι ἐναντίαι ἂν εἶεν τοῖς πρὸς αὐτὰς γιγνομένοις, ἀλλ' οὐχ ὅμοιαι. ἔτι φθειρόμεναι ἐν τῇ τούτων γενέσει, ὡς ἐξ ἐκείνων ταῦτα καὶ ἐκ τούτων ἐκεῖναι· τοιαύτη γὰρ ἡ ἐξ ἐναντίων γένεσις. ἀλλ' οὐδὲ ὡς ὑπομενουσῶν καὶ τελειότητά τινα προσλαμβανουσῶν γίνεται τὰ πρὸς αὐτάς, ὡς ἐκ τοῦ παιδὸς ἀνὴρ ἐλέγετο γίγνεσθαι. οὔτε γὰρ ἐνυπάρχει τούτοις, οὔτε τελειοῦται ἐκεῖνα ὑπὸ τούτων. εἴη γὰρ ἂν ἀτελέστερά τε τούτων καὶ ἐν τούτοις καὶ φθαρτά· ἡ γὰρ τῶν τελείων φθορὰ κἀκείνων ἐστὶ φθορά (*). ἀλλ' οὐδὲ ποιητικαὶ αἱ ἰδέαι τῶν ἐνταῦθα, ὡς ὁ πατὴρ τοῦ τέκνου· ἀκίνητοι γὰρ ἐκεῖναι· καὶ ἄνθρωπος ἄνθρωπον γεννᾷ ὁ καθ' ἕκαστα τὸν καθ' ἕκαστα, ἀλλ' οὐχ ὁ αὐτοάνθρωπος. ἀλλ' οὐδὲ οὕτως ὡς ἐξ Ὀλυμπίων Ἴσθμια. ἤτοι οὖν τὸ "ἀλλὰ μὴν οὐδὲ ἐκ τῶν εἰδῶν ἐστι τἆλλα κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι" διὰ τοὺς ἔκ τινος τρόπους εἶπεν, ὡσεὶ πολλαχῶς τὸ ἔκ τινος· καὶ δέδεικται τοῦτο. ἢ λέγοι ἄν, ὥς τινες ἤκουσαν, τὸ "κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι," ὑπὸ τῶν τὰς ἰδέας τιθεμένων. ζητοῦντες γὰρ τίνα τρόπον ἡ μετοχὴ ἡ τῶν εἰδῶν, ἢ οὕτως φασὶν ὡς ἐν ἑκάστῳ τῶν κατὰ μέρος ἐνυπάρχειν τὴν ἰδέαν, οἷον ἐν ἑκάστῳ τῶν τινῶν ἀνθρώπων τὸν αὐτοάνθρωπον, ἢ ἐν ἑκάστῳ μέρος τῆς ἰδέας, ἢ παράδειγμα τὸ εἶδός ἐστι τοῖς μετέχουσιν. ὧν οἱ μὲν πρῶτοι δύο τρόποι τῆς μετοχῆς ἀδύνατοι, ὡς ἡμεῖς τε ἐδείξαμεν πρὸ ὀλίγου, καὶ αὐτὸς εἶπεν Εὐδόξου μνημονεύσας, ὅτι "ῥᾴδιον συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς τὴν τοιαύτην δόξαν," οἷς ἐπήνεγκε τὸ "ἀλλὰ μὴν οὐδὲ ἐκ τῶν εἰδῶν ἐστι τὰ ἄλλα κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι," ὡς ἴσον λέγων τῷ οὐδὲ ἐκ τοῦ παρὰ τούτους τοὺς ἔτι καταλειπομένους τρόπους οἷόν τε εἶναι ἐκ τῶν εἰδῶν τὰ ἄλλα· τούτου γὰρ δειχθέντος εἴη ἂν δεδειγμένον καὶ τὸ μὴ κατ' οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι. ἔστι δὲ οὗτος ὃς πρὸς παράδειγμα λέγει γίγνεσθαι τὰ τῇδε πρὸς τὰς ἰδέας, οὗ καὶ ἐφεξῆς μνημονεύει λέγων "τὸ δὲ λέγειν παραδείγ- 991a 20.
ματα." εἴτε δὲ διὰ τοῦτο ἐπήνεγκε τοῦτο, εἴτε καὶ ἐνδειξάμενος ὅτι κατὰ μηδένα τῶν τοῦ ἔκ τινος τρόπων λεγομένων οἷόν τε ἐκ τῶν

1. εἰ — 9. συμφθείροιντο] ἄλλη γὰρ ἰδέα ζῴου καὶ ἄλλη ἀνθρώπου, ἔστι δὲ ὁ ἄνθρωπος καὶ ζῷον καὶ ἄνθρωπος, μετέχει ἄρα ἀμφοτέρων. ἀλλὰ καὶ ὁ αὐτοάνθρωπος μετέχοι ἂν τοῦ ζῴου· καὶ οὐκέτι ἁπλαῖ αἱ ἰδέαι ἔσονται ἀλλὰ σύνθετοι, καὶ ἔσται ἡ μὲν αὐτῶν πρώτη ἡ δὲ δευτέρα. τοῦτο δὲ οὐκ ἐβούλοντο. εἰ δὲ μὴ μετέχει ὁ ἄνθρωπος τοῦ ζῴου, ἔσται ἄνθρωπος μὴ ζῷον, ὅπερ ἀδύνατον. ἔτι οὐδὲ παραδείγματα αἱ ἰδέαι ἔσονται τοῖς τῇδε, εἴπερ μίγνυνται· τὸ γὰρ παράδειγμα οὐ μίγνυται τοῖς ὧν ἐστὶ παράδειγμα. ἔτι καὶ συμφθείροιντο *L.* ‖ 10. φθειρομένοις. καὶ οὐδὲ χωριστὰ ἂν εἶεν καθ' αὑτά *L.* ‖ εἶεν αὐτὰς καθ' *A.* ‖ 11. πρὸς τούτοις δὲ *L.* ‖ ἀκίνητοι ἔσονται, εἴγε κινοῦνται τὰ μετέχοντα αὐτῶν, καὶ ὅσα ἄλλα τοιαῦτα ἐν *L.* ‖ 13. ἄτοπα ἔχουσαν ἔδειξεν. διὸ καὶ ἐπήγαγεν εἰπὼν τὸ ῥᾴδιον συναγαγεῖν *L.* ‖ 21. οὔτε om *M.* ‖ 24. μεμιγμένα καὶ ὄντα *M.* ‖ 26. ἤτοι — 28. αὐτά om Sepulv. ‖ 28. γ. τὰ πρὸς *M.* ‖ 29. ὅ — εἴδους om *A.* ‖ 32 — *b* 16. apud Asclep.

2. ἰδέαι, εἴγε τὰ μὲν εἴδη ὑπάρχουσιν, αἱ δὲ ἰδέαι οὐχ ὑπάρχουσιν. ἀλλ' Asclep. ‖ 3. ἐναντίων Asclep. ‖ 6. αὐτάς — πρὸς om *A* cum Asclep. ‖ αὐτὰ γιγνομένοις *A.* ‖ 7. ὅμοιαι. φθειρόμεναι ἐν τῇ τούτων γενέσει ἔτι ὡς Asclep. ‖ 10. γίνονται Asclep. ‖ 11. τελειοῦται οὕτως ἀπὸ τούτων Asclep. ‖ 12. καὶ οὕτως φθαρτά Asclep. ‖ 16. Ἴσθμια· χρόνου γὰρ περίστασίς ἐστιν ἐπὶ τούτων. Asclep. ‖ 31. δειχθέντος ἐστὶ τὸ μὴ *M.* ‖ 33. ὃς καὶ πρὸς *A.* ‖ 35. *sive ut innueret* Sepulv. lego ἐνδειξάμενος.

θρώποις ἢ ἵπποις ἢ κυσί, τὴν ἰδέαν εἶναι. εἰ γὰρ ἦν εἴδη τῶν ἐνταῦθα, ἐκεῖνα καὶ οὐσία (οὐσία γὰρ κυρίως ἑκάστου τὸ εἶδος καθὸ ἔστιν αὐτῷ τὸ εἶναι)· κατὰ τοῦτο δὲ καὶ γνωστὸν ἕκαστον ἂν ἦν ἐν τούτοις. ἑκάστου γὰρ ἡ οὐσία καὶ τὸ εἶδος ἐν τούτῳ ἐστὶν ὅ ἐστιν οὐσία· οὐκ εἰσὶ δὲ ἐν τοῖς ἐνταῦθα, εἴγε εἰσὶ καθ' αὑτὰς κεχωρισμέναι. ἀλλ' οὐδὲ εἰς τὸ εἶναι αὐτοῖς συντελεῖ τι. δείξας ὅτι μήτε κινήσεως μήτε μεταβολῆς ὅλως τὰ εἴδη αἴτια τοῖς πρὸς αὐτὰ λεγομένοις οἷόν τε εἶναι, μήτε ἐπιστήμης τε καὶ γνώσεως, διὰ τὸ μὴ ἐνυπάρχειν αὐτοῖς, τούτῳ προσχρώμενος ἐφεξῆς τοῖς προειρημένοις δι' ὧν λέγει δείκνυσιν ὅτι μηδὲ εἰς τὸ εἶναι τὰ εἴδη αὐτοῖς συντελεῖ τι. τὰ μὲν γὰρ εἰς τὸ εἶναι συντελοῦντα ἐνυπάρχει τοῖς βοηθουμένοις εἰς τοῦτο ὑπ' αὐτῶν ἢ ὕλη ὄντα ἢ εἴδη αὐτῶν, τὰ δὲ εἴδη οὐκ ἐνυπάρχει τούτοις ἀλλ' ἐστὶν αὐτῶν κεχωρισμένα. εἰπὼν δὲ μὴ δύνασθαι εἰς τὸ εἶναι συντελεῖν τὰ εἴδη τοῖς συνεστῶσι φύσει διὰ τὸ μὴ ἐνυπάρχειν αὐτοῖς, λέγοι δ' ἂν νῦν συντέλειαν εἰς τὸ εἶναι, ἣν ὡς τὰ στοιχεῖα ἑκάστοις, ὧν ἐστὶ στοιχεῖα, συντελεῖν λέγεται· ὡς γὰρ ἐνυπάρχοντα ταῦτα συντελεῖ, οὕτω καὶ ἡ ὕλη καὶ τὸ εἶδος. ὅτι γὰρ μὴ ὡς ποιητικά, ἔδειξε διὰ τοῦ μὴ δύνασθαι ἐκεῖνα τούτοις αἴτια κινήσεώς τινος ἢ μεταβολῆς εἶναι. Alex.

(*) φαμὲν οὖν ὅτι τῷ ὄντι οὔτε ποιητικὸν οὔτε ἄλλο τι τῶν τριῶν δυνατόν ἐστι λέγειν τὰς ἰδέας, εἴγε ἐξῃρημέναι ὑπάρχουσι· φαμὲν δὲ αὐτὰς συμβάλλεσθαι τῷ ποιητικῷ αἰτίῳ, τουτέστι τῇ φύσει. ἡ γὰρ φύσις ἔχουσα ἐν ἑαυτῇ τὰς ἰδέας τουτέστι τοὺς λόγους τοὺς δημιουργικούς, ποιεῖ ἃ ποιεῖ, καὶ οὐ δυνατὸν ἄνευ αὐτῶν ποιῆσαι εἶδός τι. πάλιν φησὶν ὅτι οὔτε πρὸς τὴν ἐπιστήμην συμβάλλονται ἡμῖν αἱ ἰδέαι. αἱ γὰρ ἐπιστῆμαι ὁρισμοὶ ὑπάρχουσιν, οἱ δὲ ὁρισμοὶ τῶν συντεταγμένων εἰδῶν ὑπάρχουσιν, αὗται δὲ τὰς ἰδέας ἐξαιροῦσι τῆς ὕλης· ὥστε οὐδὲ πρὸς ἐπιστήμην συμβάλλονται ἡμῖν αἱ ἰδέαι. φαμὲν τοίνυν πρὸς αὐτὰ ὅτι τῷ μὲν ὄντι οἱ ὁρισμοὶ τῶν συντεταγμένων εἰδῶν ὑπάρχουσιν· αἱ μέντοι γε ἰδέαι τῆς νοερᾶς ἂν ἐπιστήμης εἶεν αἰτίαι, εἴγε ἀρχαὶ τῶν ὄντων ὑπάρχουσιν αἱ ἰδέαι. ἀδύνατον δέ ἐστι γνῶναι τὸν ἐπιστήμονα τὰ τοῦ κόσμου πράγματα ἀγνοοῦντα τὰς ἀρχὰς τοῦ κόσμου καὶ τὸ πρῶτον. ὥστε εἰς τὴν κυρίως ἐπιστήμην συμβάλλονται ἡμῖν αἱ ἰδέαι. Asclep.

991 a 14. ἐφεξῆς λέγει πῶς τὰ μεμιγμένα ἔν τισιν αἴτια ἐκείνοις ἐστὶ τοῦ τοιούτοις αὐτοῖς εἶναι, δεικνὺς ὅτι εὐλόγως κεῖται τὸ κεχωρίσθαι αὐτὰ τῶν τῇδε. εἰ γὰρ ἦν τῷ μεμῖχθαι τούτοις αἴτια αὐτοῖς τοῦ εἶναι, οὕτως ἂν ἦν ὡς εἰ τὸ λευκὸν λέγοιτο αἴτιον εἶναι τῷ λευκῷ σώματι τοῦ λευκῷ εἶναι διὰ τὸ μεμῖχθαι αὐτῷ ὥς τις φύσις καθ' αὑτὴν εἶναι δυναμένη· οὕτω γὰρ ἂν ἦν τὸ λευκὸν τῷ μεμῖχθαι αἴτιον τοῦ λευκοῖς εἶναι οἷς μέμικται. ὥστε καὶ αἱ ἰδέαι, εἰ ἦσαν μεμιγμέναι τοῖς φύσει οὖσιν, αἰτίαι ἂν αὐτοῖς ἠδύναντο εἶναι ὁποῖά ἐστιν, ὡς εἶναι τὸν ἄνθρωπον ἄνθρωπον διὰ τὴν τῆς ἰδέας τοῦ αὐτοανθρώπου μῖξιν. εἰπὼν δὲ πῶς ἠδύναντο αἰτίαι τοῖς φύσει συνεστῶσι λέγεσθαι εἶναι αἱ ἰδέαι τοῦ εἶναι τοιούτοις ὁποῖά ἐστι (τῷ γὰρ μεμῖχθαι), ἑξῆς ὅτι μὴ οἷόν τε λέγειν τὰ εἴδη τοῖς πρὸς ταῦτα λεγομένοις τὸ εἶναι ἔχειν μεμῖχθαι, δείκνυσι λέγων λίαν τὸν τοῦτο λέγοντα λόγον εὐκίνητον εἶναι καὶ σαθρόν. καὶ παρατίθεταί γε τινων ἣν δόξα ἡ λέγουσα ἕκαστον τῶν ὄντων εἶναι τοῦτο ὅ ἐστι τῷ μεμῖχθαί τι αὐτῷ δι' ὃ ἔστι τοῦτο ὅ ἐστιν. Ἀναξαγόρας τε γὰρ ἕκαστον τῶν ὄντων ἔλεγε μὲν ἐκ πάντων μεμῖχθαι τῶν ὁμοιομερῶν· οὗ δὲ πλεῖστον ἐν αὐτῷ μέμικται, ἐξ αὐτοῦ τούτου δοκεῖν εἶναι τὴν οὐσίαν τοῦ πράγματος· ὥστε ἕκαστον αὐτῶν ἦν τοῦτο ὃ ἦν τῷ μεμῖχθαι αὐτῷ τινὰ ἄλλα. καὶ Εὔδοξος τῶν Πλάτωνος γνωρίμων μίξει τῶν ἰδεῶν ἐν τοῖς πρὸς αὐτὰς τὸ εἶναι ἔχουσιν ἡγεῖτο ἕκαστον εἶναι, καὶ ἄλλοι δέ τινες, ὡς ἔλεγε (†). τοῦτον δὲ τὸν λόγον λίαν φησὶν εὐέλεγκτον εἶναι τὸν μεθέξει τινὸς ἕκαστον τῶν ὄντων τὸ εἶναι τόδε τι ἔχειν λέγοντα. καὶ ὅτι μὲν οὐχ οὕτως ἔχει καθόλου ἡ τῶν ὄντων φύσις, ἔδειξεν ἐν οἷς πρὸς Ἀναξαγόραν εἶπεν. οὔτε γὰρ πᾶν παντὶ μεμῖχθαι πέφυκε· τῶν γὰρ κεχωρισμένων καὶ καθ' αὑτὰ ὑφίστασθαι δυναμένων ἡ μῖξις, οὐ τοιαῦτα δὲ τὰ συμβεβηκότα. εἰ δὲ τὸ μεμιγμένον οἷόν τε χωρισθῆναι, χωριστὰ ἂν εἴη τὰ πάθη τῶν οὐσιῶν. ἀναιρεῖταί τε καὶ γένεσις καὶ φθορὰ κατὰ τοὺς οὕτω λέγοντας, καὶ ὅσα ἄλλα εἶπεν ἐν τῷ πρώτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 4) πρὸς τήνδε τὴν δόξαν. ὅτι δὲ μὴ ὡς Εὔδοξος ἡγεῖτο καὶ ἄλλοι τινές, μίξει τῶν ἰδεῶν τὰ ἄλλα, ῥᾴδιόν φησιν εἶναι συναγαγεῖν πολλὰ καὶ ἀδύνατα ἑπόμενα τῇ δόξῃ τῇδε. εἴη δ' ἂν τοιαῦτα. εἰ μίγνυνται αἱ ἰδέαι τοῖς ἄλλοις, πρῶτον μὲν σώματα ἂν εἶεν· σωμάτων γὰρ ἡ μῖξις. ἔτι ἕξουσιν ἐναντίωσιν πρὸς ἀλλήλας· ἡ γὰρ μῖξις κατ' ἐναντίωσίν ἐστιν. ἔτι οὕτως μιχθήσεται ὡς ἢ ὅλην ἐν ἑκάστῳ τῶν οἷς μίγνυται εἶναι ἢ μέρος. ἀλλ' εἰ μὲν ὅλη, ἔσται ἐν πλείοσι τὸ ἓν κατὰ τὸν ἀριθμόν· ἓν γὰρ κατὰ τὸν ἀριθμὸν ἡ ἰδέα· εἰ δὲ πρὸς μέρος, τὸ μέρους τοῦ αὐτοανθρώπου μετέχον, οὐ τὸ αὐτοανθρώπου ἔσται ἄνθρωπος. ἔτι διαιρεταὶ ἂν εἶεν αἱ ἰδέαι καὶ μερισταί, οὖσαι ἀπαθεῖς. ἔπειτα ἔσται μὲν ὁμοιομερῆ, εἴγε πάντα τὰ ἔχοντά τι μέρος ἐξ αὐτοῦ ὅμοιά ἐστιν ἀλλήλοις· πῶς δὲ οἷόν τε τὰ εἴδη ὁμοιομερῆ εἶναι; οὐ γὰρ οἷόν τε τὸ μέρος τοῦ ἀνθρώπου ἄνθρωπον εἶναι, ὡς τὸ τοῦ χρυσοῦ μέρος χρυσόν. ἔτι, ὡς καὶ αὐτὸς ὀλίγον προελθὼν λέγει, ἐν ἑκάστῳ οὐ μία ἔσται ἰδέα μεμιγμένη ἀλλὰ πολλαί·

3. αὐτοῖς *A.* ‖ 4. ὃ] οὐ *M.* ‖ 14. φύσει, *M.* ‖ 26. ἀριθμοὶ ὑπάρχουσι *A.* ‖ 27. εἰδῶν om *A.* ‖ 32. τῷ ἐπιστήμονι *A.* ‖ 39. ὡς] ὃν *M.*

2. λευκῷ *M.* ‖ 10. τῷ] τὸ *L.* ‖ τι et 11. δι' — ἐστιν et τε et 12. μὲν om *L.* ‖ 12. ὁμοιομερῶν· κατὰ δὲ τὴν ἐπικράτειαν ἑνὸς τῶν ἐν τῇ μίξει τὸ εἶναι δοκεῖν ἔχειν, καὶ τοῦτο εἶναι τὴν οὐσίαν τοῦ πράγματος, καὶ λέγεσθαι κατ' αὐτὸ οἷον σάρκα ἢ ὀστοῦν ἢ ἄλλο τι τῶν ὁμοιομερῶν. ἀλλὰ καὶ Εὔδοξος εἷς ὢν τῶν τοῦ Πλάτωνος γνωρίμων μίξει τῶν ἰδεῶν τὸ εἶναι ἔχειν ἡγεῖτο ἕκαστον τῶν κατὰ φύσιν, οἷον ἄνθρωπος μίξει τοῦ αὐτοανθρώπου τοῦτο ὃ λέγεται εἶναι ἐστίν. *L.* ‖ 20. μίγνυσθαι *A.* ‖ 25. μηδὲ ὡς *L.* ‖ 26. εἶναι ῥᾴδιόν φησιν *L.* ‖ 27. ἑπόμενα ταύτῃ τῇ *L.* ‖ 29. ἐναντιώσεις *L.* ‖ 31. ἢ om *L.* ‖ ἑκάστῳ εἶναι τῶν οἷς μίγνυνται ἢ *L.* ‖ εἰ] ἢ *L.* ‖ 32. ἔσται om *L.* ‖ ἀριθμὸν ἔσται *L.* ‖ 33. εἰ] ἢ *L.* ‖ τὸ μετέχον μέρος τοῦ αὐτοανθρώπου *L.* ‖ οὐ τὸ αὐτοανθρώπου om *L.* ‖ 34. ἄνθρωπος ἀλλ' οὐ τῷ μετέχειν ὅλου τοῦ αὐτοανθρώπου. ἔτι *L.* ‖ διαιρεταὶ καὶ μερισταὶ αἱ ἰδέαι ἔσονται, ἀπαθεῖς οὖσαι *L.* ‖ 36. μέρος τῆς ἰδέας ὅμοιά *L.* ‖ δὲ δυνατόν ἐστι τὰ *L.* ‖ 37. γὰρ εἴσονται τὸ *A.* ‖ τοῦ om *V.* ‖ 38. ὡς] καθάπερ *L.* ‖ μέρος om *L.* ‖ ὡς] ὃ *L.* ‖ 39. ἑκάστῳ τῶν ὄντων οὐ μία ἐστὶν ἰδέα *L.*

γνόμεναι τὸν τρίτον ἄνθρωπον δεύτερον ἐθήκαμεν. δείξας ὅτι τὰ μὲν τῶν ἰδεῶν μετέχοντα οὐ κατὰ συμβεβηκὸς αὐτῶν μεθέξει, εἴγε τὸ εἶναί τε καὶ αὐταῖς ὅλως καὶ τοῖσδέ τισι διὰ τὸ μετέχειν ἐκείνων, ἐπήνεγκε τοῦτο ὡς ἴσον ὂν τῷ, εἰ μὲν οὖν, ὡς ἀποδέδεικται, τὸ αὐτὸ εἶδος τῶν τε ἰδεῶν καὶ τῶν μετεχόντων ἔσται, τί κοινὸν ἐπί τε τῇ ἰδέᾳ ἑκάστῃ καὶ τοῖς πρὸς ἑκάστην αὐτῶν οὖσιν; οὕτως δὲ ὁμοειδῆ ὄντα τὰ τῇδε ἐκείνοις, ἐπεὶ οὐσίαι ἐκεῖναι, οὐσίαι καὶ τὰ πρὸς αὐτὰ ἔσται· οὕτω δὲ μόνων ἂν εἶεν τῶν οὐσιῶν ἰδέαι. εἰ δὲ μή, καὶ οὕτως ἐρεῖ τὸ
991 a 3. ἑπόμενον ἄτοπον. τὸ δὲ "τί γὰρ μᾶλλον ἐπὶ τῶν φθαρτῶν δυάδων, καὶ τῶν δυάδων τῶν πολλῶν μὲν ἀϊδίων δέ, τὸ δυὰς εἶναι ἓν καὶ ταὐτόν, ἢ ἐπὶ ταύτης καὶ τῆς τινός;" τοῦτο κατασκευαστικὸν τοῦ ἔσεσθαί τι κοινὸν τῶν τε ἰδεῶν καὶ τῶν πρὸς αὐτάς. εἰ γὰρ τῷ ὁμοειδεῖς εἶναι τὰς ἐν τοῖς αἰσθητοῖς καὶ φθαρτοῖς δυάδας ταῖς δυσὶ ταῖς ἀφθάρτοις, καθ' ἃς τὰ αἰσθητὰ ἀριθμοῦμεν (αὗται δ' ἂν εἶεν αἱ μαθηματικαί), ἔλεγον μεταξὺ εἶναι τῶν τε αἰσθητῶν καὶ τῶν ἰδεῶν τὰ μαθηματικὰ ἀΐδια μένοντα, πλείω δὲ ὅμοια ἀλλήλοις· εἰ δὲ τούτων ἓν καὶ ταὐτὸν ἡ δυὰς κατηγορεῖται, οὐδὲν φυλασσομένων ἡμῶν περὶ τὸ τὴν μὲν ἀΐδιον εἶναι τὴν δὲ μὴ ἀΐδιον, ἀλλ' ἐπεὶ ὁμοειδεῖς εἰσὶ καθὸ δυάδες, τὸ κατὰ μετουσίαν τῆς αὐτοδυάδος ἑκατέρᾳ δυάδι τὸ εἶναι κατηγορούντων ἡμῶν κοινῶς κατὰ πάντων αὐτῶν ὁμοίως τὴν δυάδα, οὐδὲν ἔλαττον καὶ ἐπὶ τῆς αὐτῆς ἰδέας τῆς αὐτοδυάδος καὶ τῶν τούτων δυάδων τῶν ἀπ' ἐκείνης τὸ εἶναι ἐχόντων κοινῶς τὸ δυὰς κατηγορηθήσεται, διότι εἰσὶν ὁμοειδεῖς. εἰ δὲ μὴ εἶεν τὰ πρὸς τὰς ἰδέας μηδὲ κατὰ τὴν οὐσίαν αὐταῖς ὡμοιωμένα καὶ τὸ εἶδος, ὁμώνυμα ἂν εἴη ταῦτα ταῖς ἰδέαις. εἰ δὲ τοῦτο, τί μᾶλλον ἰδέα τις εἴη ἰδέα τῶν ὁμωνύμων αὕτη αἰτία τοῦ εἶναι ἢ ἄλλων τινῶν, εἴγε μὴ κατὰ τὴν οὐσίαν καὶ τὸ εἶδος ὁμοιοῦται ταῦτα αὐτῇ τὰ ὁμωνύμως αὐτῇ λεγόμενα. ὁμοίως γὰρ ἕξει ὡς εἴ τις καλοίη ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον μηδὲν ὅμοιον ἔχοντα ἀλλήλοις καθὸ ἄνθρωποι. καὶ καθόλου πῶς ἂν λέγοιτο μετέχειν αὐτὰ ἐκείνων μὴ ἔχοντα μηδεμίαν κοινωνίαν κατὰ τὴν οὐσίαν πρὸς αὐτά; καὶ εἴη ἂν τοῦτο ἴσον τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ "ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν;" εἰ γὰρ λέγοιμεν ὡς τὰς εἰκόνας ὁμωνύμως τοῖς ἀφ' ὧν γεγόνασιν εἶναι, οὕτως καὶ τὰ τῇδε ταῖς ἰδέαις, κατὰ τί ἐροῦσιν ὡμοιῶσθαι ταῦτα ἐκείνοις, εἰ μὴ κατὰ τὴν οὐσίαν; πότερον κατὰ σχῆμα καὶ χρῶμα εἰκόνες; ἀλλ' οὐδὲν ἐκείνοις τοιοῦτον. ἀλλὰ κατὰ τὸ ἀΐδιον ἢ τὸ ἀσώματον ἢ τὸ ἀκίνητον ταύταις ὡμοίωνται; ἀλλ' ἀδύνατον. οὕτως τ' ἐξετάζοντες εὑρήσομεν κατ' οὐδὲν ἢ κατὰ τὴν οὐσίαν. καὶ γὰρ εἰ μὲν κατά τι τῶν ἄλλων τῶν συμβεβηκότων αὐταῖς μετεῖχεν αὐτῶν τὰ μετέχοντα, κατά τι τούτων ἂν μετεῖχεν ἃ κοινὰ ταῖς ἰδέαις. ἔστι δὴ πρὸς ἄλληλα, οἷον τὸ ἀΐδιον, τὸ ἀσώματον, τὸ ἀκίνητον. ἀλλὰ κατά τι τῶν κοινῶν εἰ μετεῖχε, τί δήποτε τῶν μετεχόντων τὸ μὲν ἄνθρωπός ἐστι τὸ δὲ ἵππος τὸ δὲ δυάς; μὴ καθὸ ταὐτά ἐστιν ἢ καὶ ἐκεῖνα μετέχοντα αὐτῶν, ἀλλὰ διὰ τί τῶν κοινῶς αὐτοῖς ὑπαρχόντων; Alex.

"πάντων — αἰσθητῶν" (*). διὰ τῶν νῦν λεγομένων δει- 991 a 8.
κνύοιτο ἂν τὸ ἀρχόμενον αὐτὸν τῆς πρὸς τὰς ἰδέας ἀντιλογίας καλῶς εἰπεῖν τὸ "πρῶτον μὲν ζητοῦντες τωνδὶ τῶν ὄντων λαβεῖν τὰς αἰτίας ἕτερα τούτοις ἴσα τὸν ἀριθμὸν ἐκόμισαν" (p. 990 *b* 1). εἰ γὰρ μηδὲν τὰ τιθέμενα ὑπ' αὐτῶν τούτοις περὶ ὧν ἐζήτουν συμβάλλεται, ὡς νῦν δείκνυται, οὐδὲν ἄλλο ἐποίησαν ἢ ἰσάριθμα ἕτερα τοῖς ζητουμένοις προσέθεσαν, ὡς μᾶλλον ἐπιστήμην ἕξοντες τῶν ὄντων, εἰ πλείω καὶ διπλάσια εἶναι ὑποτεθείη. ἔστι δὲ τὸ διαπορούμενον ὑπ' αὐτοῦ νῦν, τίνος αἴτια αἱ ἰδέαι τούτοις ὧν εἶναι ἰδέαι λέγονται. τὸ δὲ "ἢ τοῖς ἀϊδίοις τῶν αἰσθητῶν ἢ τοῖς γινομένοις καὶ φθειρομένοις" εἴρηκεν, ἐπεὶ καὶ τῶν θείων σωμάτων ἦσαν ἰδέαι αὐτοῖς, οἷον ἡλίου καὶ σελήνης καὶ τῶν ἄστρων· ἐποίουν γὰρ καὶ τούτων ἰδέας καὶ τοῦ οὐρανοῦ παντός. διὰ τοῦτο γὰρ εἶπε καὶ πρὸ ὀλίγου "τῶν τε ἄλλων ἐστὶν ἓν ἐπὶ πολλῶν καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις." ταῦτα οὖν λέγει ἀΐδια μὲν αἰσθητὰ δέ, γινόμενα δὲ καὶ φθειρόμενα τὰ ἐνταῦθα. τί οὖν αἱ ἰδέαι συμβάλλονται τῶν φύσει ὄντων ἢ τοῖς θείοις ἢ τοῖς ἐν γενέσει καὶ φθορᾷ, ἀπορεῖ. καὶ πρῶτον μέν, ὅ ἐστιν οἰκειότατον τοῖς φυσικοῖς σώμασιν, ἡ κίνησις· τὰ μὲν γὰρ θεῖα τὴν ἐγκύκλιον κίνησιν ἀεὶ καὶ συνεχῶς κινεῖται, τὰ δὲ ἐν γενέσει καὶ κατὰ πάσας μεταβάλλει τὰς μεταβολὰς κατὰ τὴν αὐτῶν φύσιν. ὅτι δὴ εἰς τοῦτο οὐδὲν συμβάλλονται τοῖς σώμασιν αἱ ἰδέαι, οὔτε εἰς γένεσιν οὔτε εἰς κίνησίν τινα, ὅλως δείκνυσι· στάσεως γὰρ μᾶλλον ἂν αἱ ἰδέαι αἰτίαι εἶεν τοῖς οὖσιν ἢ κινήσεως, οὖσαί γε ἀκίνητοι κατ' αὐτούς· ὥστε οὐδ' ἂν ποιητικὸν αἴτιον αἱ ἰδέαι εἶεν. δεύτερον δὲ ὅτι οὐδ' εἰς ἐπιστήμην τῶν ἐνταῦθα καὶ γνῶσιν τῶν παρὰ τὰς ἰδέας αἱ ἰδέαι συντελοῦσί τι, λέγει. ἡ μὲν γὰρ γνῶσις ἡ ἑκάστου κατὰ τὴν τοῦ εἴδους αὐτοῦ γίνεται γνῶσιν· κατὰ τοῦτο γὰρ καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ· αἱ ἰδέαι δὲ οὔτε εἴδη εἰσὶ τῶν ἐνταῦθα, οὔτε τὴν γνῶσιν αὐτῶν κατὰ τὴν τῶν εἰδῶν γνῶσιν εἶναι τῷ τὸ εἶδος τῶν ἐνταῦθα καθὸ τὸ εἶναι ἐστὶν αὐτοῖς, τοῖς δέ τισι φέρε εἰπεῖν ἀν-

9. *sin autem non eiusdem speciei esse dicantur, nihilominus incommodum sequi declarabitur* Sepulv. ‖ 11. τοῦ] ἐστι τοῦ *M.* ‖ 16 sqq. *si ergo de his dualitas ut unum et idem praedicatur, cum tamen altera sit sempiterna altera sesus, non alia ratione nisi quia sunt eiusdem speciei, quatenus utraque dualitas societate ipsius dualitatis habet ut sit, utique pari ratione dualitas nihilominus de dualitate idea et de aliquibus dualitatibus, quibus esse ab illa suppetit, praedicabitur, cum sint eiusdem speciei* Sepulv. (omissis 19. τὸ — 21. δυάδα.) ‖ 18. παρὰ *M.* ‖ 22. κοινῶν *M.* ‖ 23 — 31. apud Asclep. ‖ 25. ταῦτα om Asclep. ‖ *quod si ita est, cur aliqua erit aequivocorum idea, quae causa est existendi, potius quam aliorum quorumpiam?* Sepulv. ‖ μᾶλλον μηδέ τις ἰδέα τῶν Asclep. ‖ 27. ταῦτα αὕτη τὰ ὁμωνύμως λεγόμενα Asclep. ‖ ὁμώνυμα *AV.* ‖ 30. πῶς ἂν γένοιτο ταῦτα Asclep.

3. *quae sunt ideis communia inter ipsas, ut sempiternum* (omissa δὴ) Sepulv. ‖ 6. μὴ — 8. ὑπαρχόντων om Sepulv. ‖ 11. ἔστιν ἓν ἐστὶν *M.* ‖ 20. καὶ post σελήνης om *M.* ‖ 36. ἰδεῶν *M.* ‖ *neque harum cognitio pendet ab idearum cognitione, propterea quod forma horum, v. gr. hominum equorum canumque, per quam esse obtinent, idea sit* Sepulv. ‖ 37. τις codd.

ὄντος ὑγιοῦς, τῶν παρ' ἡμῖν οὐσιῶν μόνων ἀκολουθήσει λέγειν αὐτοῖς
990 b 30. ἰδέας εἶναι, εἰ αἱ ἰδέαι οὐσίαι. γράφεται ἔν τισιν "ἀλλὰ δὴ ταῦτα ἑκάστου μετέχειν, ἢ καθ' ὑποκειμένου λέγεται." καὶ εἴη ἂν λέγων διὰ ταύτης τῆς γραφῆς τὸ δεῖν τὰ μετέχοντα τῆς ἰδέας καθ' αὑτὸ μετέχειν αὐτῆς, καὶ κατὰ τοῦτο καθὸ καθ' ὑποκειμένων αὐτῶν κατηγορηθήσεται. ὥστε εἰ μὲν τῆς δυάδος ὁ λόγος ἐφαρμόζει τῷ μετέχειν δυάδος λεγομένῳ, δυάδος μετέχειν, εἰ δὲ μὴ δυάδος ἀλλ' ἀϊδίου ὁ λόγος ἐφαρμόζει τῷ μετασχόντι, ἐκείνου μετέχειν. τὸ δὲ "ὥστε ἔσται οὐσία τὰ εἴδη" εἶπεν ἀντὶ τοῦ ὥστε εἰ ἔσται τὰ εἴδη, οὐσία· ἢ ὥστε ἔσται μόνη οὐσία τὰ εἴδη. τοῦτο γὰρ κεῖται. "ταῦτα δὲ ἐνταῦθα οὐσίαν σημαίνει κἀκεῖ." οὐ γὰρ δὴ εἰ ἡ παρ' ἡμῖν ποιότης ἐν ἐκείνοις ἐστὶν οὐσία, δεήσει τῶν οὐσιῶν τῶν ἐνταῦθα μόνων ἰδέας εἶναι λέγειν· οὐ γὰρ δὴ οἷόν τε ἐκείνων οὐσιῶν οὐσῶν, τῶν πρὸς αὐτὰς γιγνομένων τὰ μὲν οὐσίας αὐτοῦ τὰ δὲ ἄλλο τι. "ταῦτα γὰρ ἐνταῦθά τε οὐσίαν
991 a 1. σημαίνει κἀκεῖ. ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα, τὸ ἓν ἐπὶ πολλῶν;" εἰ μὴ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς μετέχει τὰ ἐνταῦθα τῶν ἰδεῶν, τί, φησί, σημαίνει αὐτοῖς τὸ λέγειν εἶναί τι παρὰ ταῦτα, τουτέστι τὰ αἰσθητά, τοῦτο ὃ ἓν ὂν ἐπὶ πολλῶν λέγεται καὶ ἔστιν ἓν πολλῶν τῶν ἐνταῦθα παράδειγμα (*); οὐ γὰρ ἔσται τὸ ἓν ἐπὶ πολλῶν ἐπὶ τῶν πρὸς αὐτὸ γεγονότων λεγόμενον κατὰ συμβεβηκός (οὕτω γὰρ πάντα πάντων μετέχειν δύναται)· καὶ οὐκ ἔστι τὸ κατὰ συμβεβηκὸς μετέχειν τινός, οὔτε κυρίως ἐκείνου μετέχον, οὔτε τὸ εἶναι ἔχον ἀπ' ἐκείνου καθὸ ἐκεῖνο ἐστίν, οὔτε ὡμοιωμένον αὐτῷ. ἢ δύναται τὸ "ἢ τί ἔσται τὸ εἶναι φάναι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν;" εἰρῆσθαι ὡς ἑπόμενον τῷ "ταῦτα δὲ ἐνταῦθα οὐσίας σημαίνει κἀκεῖ·" εἰ γὰρ μὴ τοῦτο, τί ἐστι τὸ λεγόμενον ὑπ' αὐτῶν τὸ εἶναί τι παρὰ αὐτὰ τὰ αἰσθητὰ τὸ ἓν ἐπὶ πολλῶν κατηγορούμενον; ὡς γὰρ τῆς αὐτῆς φύσεως δηλουμένης ὑπό τε τοῦ ἑνὸς ἐπὶ πολλῶν καὶ τῶν πολλῶν, καθ' ὧν τὸ ἕν, οὕτω λέγεται. δεδειγμένου δὲ τούτου προσθείη ἄν τις τούτῳ τό, εἰ κατὰ τὴν οὐσίαν τὰ ἐνθάδε τῶν ἰδεῶν μετέχει, διαφέρει δὲ τὰ ἐνθάδε, ἤτοι καὶ ἐν ταῖς ἰδέαις, πρὸς ἃς τὰ διαφέροντά ἐστιν, αἱ αὐταί εἰσι διαφοραί, ἢ ἀνάλογον ταύταις. παρὰ γὰρ ἐκείνων τὰ ἐνταῦθα τὸ εἶναι ἔχοντα, παρ' ἐκείνων ἕξει τὸ διαφέρειν, ἐπεὶ κατ' οὐσίαν αὐτοῖς ἡ διαφορά, ἣν παρ' ἐκείνων ἔχουσι. διὰ τοῦτο γὰρ ἄλλη ἰδέα ἄλλου εἴδους ἐστὶ παρεκτική, ἐπεὶ οὐδὲν ἐκώλυεν ἂν μίαν αὐτῶν πάντων. ὥστε ἑκάστη ἰδέα ἤτοι κατὰ τὴν οὐσίαν καὶ τὸ εἶδος ἡ αὐτὴ ἔσται τοῖς πρὸς αὐτὴν γιγνομένοις, ἢ πάντως γε δύναμίν τινα ἕξει τοῦ ἡ μὲν τοῦδε ἡ δὲ τοῦδέ τινος ποιητικὴ εἶναι καὶ παρεκτική, καθὸ καὶ αἱ διαφοραὶ τοῖς πρὸς αὐτὰς τὸ εἶναι ἔχουσιν. ἔσται δὲ ἡ τοιαύτη καὶ ἐν ἐκείναις διαφορά, ἥτις καὶ τοῖς ἐνθάδε τοῖς διαφέρουσιν ἀλλήλων, ἢ ἀνάλογόν γε. ἔστι δὲ τῶν ἐνταῦθα τὸ μὲν ζῷον λογικὸν τὸ δὲ ζῷον ἄλογον, καὶ ἔστιν ἑκατέρου τῶν ἰδίων τούτων ἰδέα παρεκτική· καὶ ἐν ἐκείναις ἄρα ἐστὶ τὸ λογικόν τε καὶ ἄλογον ἢ ἀνάλογόν τι τούτοις, καθ' ἃ ἡ μὲν τοῦ λογικοῦ ἡ δὲ τοῦ ἀλόγου ἐστὶ παρεκτική. καὶ ὃν λόγον ἔχει πρὸς ἄλληλα τὰ πρὸς ἐκείνας καὶ ἀπ' ἐκείνων τὸ εἶναι ἔχοντα, τοῦτον κἀκεῖνα πρὸς ἃ ταῦτα γέγονε, τὸ λογικὸν καὶ ἄλογον, ἤτοι ἐναντία, ἢ τὸ μὲν ἕξις τὸ δὲ στέρησις. ἔστιν ἄρα καὶ ἐν ταῖς ἰδέαις θάτερον τούτων. εἰ δὲ τοῦτο, πῶς ἁπλαῖ ἔτι; ἔτι δέ, εἰ ἔστι νοήματα, ὥσπερ φασί τινες, καὶ ἐν τῷ νοεῖσθαι ἰδέας ἡ ὑπόστασις, πῶς ἅμα ὁ νοῶν αὐτοῖς νοήσεις; ἀδύνατον γὰρ ἅμα τὰ ἐναντία νοεῖν ἢ τὰ ἀντικείμενα, ὅπου γε οὐδὲ ἁπλῶς πλείω. εἰ δὲ παρὰ μέρος νοοῦνται, ὠκύμοροι, οὐκ ἀΐδιοι· ὅτε γὰρ μὴ νοοῦνται, οὐκ ἔσονται. εἰ δὲ τὸ αὐτὸ αὐτῶν ἐν τῷ νοεῖσθαι· τὰ γὰρ τῇ αὐτῇ φύσει ἀδύνατα πᾶσίν ἐστιν ἀδύνατα, ὥσπερ ἀδύνατον ἦν τὸ τὴν διάμετρον σύμμετρον εἶναι τῇ πλευρᾷ, ὁμοίως πανταχοῦ καὶ παρὰ πᾶσίν ἐστι τοιοῦτον· καὶ γὰρ καὶ παρὰ τοῖς θεοῖς. ἔτι εἰ νοήματα, οὐκ οὐσίαι, καὶ ἔσονται αἱ ἀρχαὶ οὐκ οὐσίαι. ἔτι πῶς πρὸς μὴ οὐσίαν οὐσία γίνεται; ὡς γὰρ ἄτοπον τὸ πρὸς οὐσίαν γινόμενον μὴ εἶναι οὐσίαν, οὕτως ἄτοπον καὶ τὸ πρὸς μὴ οὐσίαν οὐσίαν γίνεσθαι. Alex.

(*) ὥστε τῶν οὐσιῶν καὶ μόνον συμβαίνει λέγειν αὐτοὺς ἰδέας, 991 a 1.
ἐπειδὴ οὐκ εἰσὶ παρὰ τῷ δημιουργῷ συμβεβηκότα. λέγομεν οὖν ἡμεῖς πρὸς τοῦτο ὅτι καὶ τῶν συμβεβηκότων τῶν οὐσιωδῶν εἰσὶν ἰδέαι· οὐσίαι γὰρ κἀκεῖνα, καὶ δι' αὐτῶν ὑπάρχουσι καὶ τῶν ἐπεισοδιωδῶν συμβεβηκότων, ὡς πολλάκις εἰρήκαμεν. "ἢ ἔτι ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα, ἓν ἐπὶ πολλῶν;" φησὶν ὅτι τοῦτο ὃ λέγουσι τὸ ἓν εἶναι πρὸ τῶν πολλῶν, πότερον ὁμωνύμως κατηγορεῖται ἢ συνωνύμως; εἰ μὲν οὖν συνωνύμως, ταὐτὰ ὑπάρχουσιν ἀπαραλλάκτως αἱ ἰδέαι τοῖς αἰσθητοῖς· εἰ δὲ ὁμωνύμως, ὅμοιον ὡς εἴ τις εἴποι ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον· τὰ γὰρ ὁμώνυμα οὐδὲν δηλοῦσι. λέγομεν οὖν πρὸς τοῦτο... Asclep.

"καὶ — μετεχόντων." ἐκ διαιρέσεως ἡ ἐπιχείρησις, καὶ ἐκ διαι- 991 a 2
ρέσεως ἀντιφάσεως διῃρημένης. ἤτοι γὰρ ταὐτὸν εἶδος καὶ ὁ λόγος τῶν τε ἰδεῶν καὶ τῶν μετεχόντων αὐτῶν, ἢ οὐ τὸ αὐτό. εἰ μὲν οὖν τὸ αὐτό, ὥσπερ ἐπὶ τοῖς μετέχουσιν, οὖσιν ὁμοειδέσιν, ἔστι τι κοινόν, οὕτω καὶ ἐπὶ τούτοις καὶ τῇ ἰδέᾳ ἀφ' ἧς ταῦτα, κοινόν τι ἔσται κατηγορούμενον· ὁμοειδὴς γὰρ κἀκείνη τούτοις. εἰ δὲ τοῦτο, ἔσται αὐτῶν τὸ κοινῶς κατηγορούμενον ἰδέα, καὶ οὕτως ἰδέα ἂν ἰδέας εἴη, καὶ τοῦτο εἰς ἄπειρον ἂν προΐοι. ἔστι δὲ τὸ νῦν λεγόμενον ὑπ' αὐτοῦ, ὃ ἐξη-

2. ἀλλὰ δὴ ταῦτα ἑκάστου μετέχειν ἢ καθ' ὑποκειμένου *V*, δὴ ταύτῃ ἑκάστῃ μετέχειν ἢ καθ' *A*. *sed cuiusque particeps esse oportet, quatenus de subiecto dicitur* Sepulv. lege aut δεῖ ταῦτα ἑκάστου μετέχειν aut δεῖ ταύτῃ ἕκαστον μετέχειν ‖ 7. *itaque si dualitatis ratio ei congruit quod dualitate dicitur participare, dualitate participat* Sepulv. ‖ 8. ἐκείνου *V*. ‖ 13. *ut ipsarum aemula partim substantiae sint partim secus* Sepulv. lege τὰ μὲν οὐσίας εἶναι, τὰ δὲ ‖ 19. ἐστιν] ἔσται *V*. ‖ 31. ἤτοι] ἢ ὅτι *A*. ‖ 33. γὰρ ἐκείνοις *M*. ‖ 36. αὐτοῦ *M*. ‖ post πάντων adde εἶναι. ‖ 39. τὸ om *A*.

9. *horum utrumque* Sepulv. ‖ 11. *quomodo intelligens simul queat ipsa intelligere?* Sepulv. ‖ 12. τὸ ἐναντίον *A*. ‖ 14. νοῶν τε *A*. ‖ 32 — 39. apud Asclep. ‖ 32. ἐξ ἀντιφάσεως ὃν προέρχεται ἡ διαίρεσις Asclep. ‖ καὶ ἐκ — 33. διῃρημένης om Asclep. ‖ 33. καὶ ὁ λόγος et 34. αὐτῶν om Asclep. ‖ 34. αὐτὸ εἶδος. εἰ Asclep. ‖ 35. οὖσιν om *V*. ‖ ὁμοειδέσιν καὶ ἔστι Asclep. ‖ 37. τοῦτο, εἴη ἂν τὸ κοινῶς αὐτῶν κατηγορούμενον ἡ ἰδέα Asclep. *quod si ita est, cum idea sit quod communiter praedicatur* Sepulv. ‖ 38. εἴη om Asclep.

νοεῖσθαι, ἔτι φθειρομένων τούτων ὧν κατηγορεῖται), ἀλλὰ καὶ ἐπὶ ποιῶν καὶ ἐπὶ ποσῶν καὶ ἐφ' ἑκάστου τούτων τῶν ὄντων. οὔτε ἐπιστῆμαι οὐσιῶν εἰσὶ μόνων, ἀλλὰ καὶ εἰ τῶν ἀρετῶν εἰσὶν ἰδέαι, οὐ μόνον τῶν οὐσιῶν εἶεν ἄν· αἱ γὰρ ἀρεταὶ οὐκ οὐσίαι. τὸ δὲ "καὶ ἄλλα μυρία συμβαίνει" εἶπεν, ἐπεὶ καὶ ἄλλοι τινές εἰσι λόγοι δεικνύναι βουλόμενοι τὰς ἰδέας, ἐξ ὧν συμβαίνει μὴ μόνων τῶν οὐσιῶν τὰ εἴδη λέγειν. ὅ τε γὰρ ἀπὸ τοῦ κατηγορεῖσθαι ἓν ἐπὶ πολλῶν, ὃ ταὐτὸν πᾶσι διαφέρουσιν ἀλλήλων ὑπάρχει καὶ ἄλλο ὂν ἑκάστου αὐτῶν, οὐκ οὐσιῶν μόνον τὰς ἰδέας λέγει· τὸ γὰρ ἓν ἐπὶ πολλῶν κατηγορεῖσθαι οὐκ ἐν οὐσίᾳ μόνον ἀλλὰ καὶ ἐπὶ τῶν συμβεβηκότων. καὶ ὁ τῶν τεταγμένως γινομένων αἰτίαν λέγων τὸ πρὸς ἔξω γίνεσθαί τι παράδειγμα, τοῦτο δὲ τὴν ἰδέαν εἶναι, οὐκ ἐπὶ οὐσιῶν μόνων. ἀλλὰ καὶ ὁ ἀπὸ τοῦ ὅ τι ἂν ἀληθεύωμεν λέγοντες, τοῦτο ὑπάρχειν λέγων (συμφωνίας δὲ λέγοντες εἶναι πέντε ἢ τρεῖς καὶ ἁρμονίας τρεῖς ἀληθεύομεν, εἰσὶν ἄρα καὶ τοσαῦται· ἀλλὰ μὴν τῶν ἐνταῦθα ὁ ἀριθμὸς ἄπειρος, ἕτερα ἄττα ἄρα ἐστὶν ἀΐδια καθ' ἃ ἀληθεύομεν), καὶ οὗτος δὴ οὐκ οὐσιῶν μόνων. εἰσὶ δὲ καὶ ἄλλοι πλείους τοιοῦτοι λόγοι. κατὰ δὲ τὸ ἀναγκαῖον καὶ ἀκόλουθον ταῖς δόξαις ταῖς περὶ αὐτῶν, καθ' ἃς μεθεκτὰ λέγουσι τὰ εἴδη, μόνων τῶν οὐσιῶν αὐτοῖς ἰδέαι ἔσονται. εἰ γὰρ κατ' αὐτοὺς αἰτίαι τοῖς πρὸς αὐτὰς οὖσι τοῦ εἶναι, καὶ τῷ μετέχειν αὐτῶν τὰ πρὸς αὐτὰς ὄντα τὸ εἶναι ἔχει, δῆλον ὡς οὐ κατὰ συμβεβηκὸς μετέχοιντο καὶ εἶεν αἴτια τοῖς πρὸς αὐτὰς καὶ δι' αὐτὰς οὖσιν, ἀλλὰ καθ' αὑτὸ καθό εἰσιν αὗται. κατὰ συμβεβηκὸς δὲ λέγοιτ' ἂν μετέχειν τινῶν τὰ μὴ καθὸ τοῖς μετεχομένοις τὸ εἶναί ἐστι, κατὰ τοῦτο μετέχοντα αὐτῶν. οὐδὲ αἱ κατὰ συμβεβηκὸς μετεχόμεναι τὸ εἶναι ἂν τοῖς πρὸς αὐτὰς οὖσι παρέχοιεν· οὐ γὰρ τὸ συμβεβηκότος τινὸς τῷ ἀνθρώπῳ μετασχὸν ἄνθρωπος, ἀλλὰ τὸ ἀνθρώπου καθὸ ἄνθρωπος. εἰσὶ δὲ οὐσίαι (οὐ γὰρ δὴ τὰς ἀρχὰς οὐκ οὐσίας ἐροῦσιν· ἔσται γὰρ οὕτως μὴ οὐσία οὐσίας πρώτη), καὶ εἰς ἄρα τῇ αὐτῶν μετασχέσει αἰτίαι αὗται τοῦ εἶναι, καὶ ταῦτα ἀνάγκη οὐσίας εἶναι. τῶν οὐσιῶν ἄρα μόνων ἔσονται ἰδέαι αὐτοῖς. εἰ γὰρ καὶ τῶν οὐκ οὐσιῶν ἰδέαι, οἷον τῶν συμβεβηκότων, πρῶτον μὲν διὰ τί οὐ πάντων τῶν συμβεβηκότων ἀλλὰ τῶν μὲν τῶν δὲ οὔ; ἔτι ἤτοι οὐσίαι ἔσονται αὖ αἱ τῶν συμβεβηκότων ἰδέαι, ἢ οὔ. εἰ μὲν μὴ οὐσίαι, ἔσονται αἱ ἰδέαι οὐκ οὐσίαι ἀρχαὶ οὖσαι· λέγουσι δὲ αὐτὰς οὐσίας. ἔτι ἄτοπον μὴ πάσας τὰς ἰδέας τῆς αὐτῆς εἶναι φύσεως μάλιστα. καὶ εἴ τις λέγοι νοήματα αὐτὰς εἶναι ἢ οὐσίας, πῶς τῶν μετεχόντων οὐσιῶν καθ' αὑτὸ τὰ μὲν οὐσίαι γίνονται καὶ εἰσί, τὰ δὲ οὐκ οὐσίαι; Alex.

990 b 25. (*) φησὶ γὰρ ὅτι κατὰ τὴν ὑπόληψιν ἣν ἔχομεν περὶ τῶν ἰδεῶν, οὐ μόνον τῶν οὐσιῶν ἔσονται ἰδέαι ἀλλὰ καὶ τῶν συμβεβηκότων. πάντων γὰρ τῶν ἐνταῦθα ὄντων φασὶν εἶναι ἰδέας· οὐ μόνον δέ εἰσιν οὐσίαι ἀλλὰ καὶ συμβεβηκότα, ὅπερ οὐ θέμις. λέγομεν τοίνυν πρὸς τοῦτο ὅτι καὶ συμβεβηκότα οὐσιώδη ὑπάρχουσιν, ὥσπερ τὸ θερμὸν τὸ ἐν πυρί. τοῦτο οὖν ἐστὶν ἰδέα, καὶ λοιπὸν καὶ διὰ τὸ οὐσιῶδες θερμὸν ὑπάρχουσι καὶ τὰ ἐπουσιώδη. . . τὰ γὰρ πρὸ τῶν πολλῶν διὰ ταῦτα ὑπάρχουσι· τὰ μὲν γὰρ ἔστι παρὰ τῷ δημιουργῷ, τὰ δὲ ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ· ἀλλ' ἐκεῖ μὲν τῷ πάντα ποιεῖν, ἐνταῦθα δὲ τῷ πάντα γίνεσθαι· ὁ γὰρ νοῦς ἀεὶ ἔχει τὰ εἴδη ἐνεργείᾳ, ἡ δὲ ψυχὴ δέχεται πάντα ἐκεῖθεν. τὰ δὲ ἐπὶ τοῖς πολλοῖς καὶ ὑστερογενῆ ἐνταῦθα φαντασία ἐστίν· οὔτε γὰρ ἐν τῇ ψυχῇ. τὰ δὲ ἐν τοῖς πολλοῖς τὰ καθ' ἕκαστον ὑπάρχει. ἔχουσιν οὖν καὶ ὁ θεὸς καὶ ἡ ψυχὴ καὶ ἡ φύσις τοὺς λόγους· ἀλλ' ὁ μὲν θεὸς ἔχει αὐτοὺς καὶ γνωστικοὺς καὶ δημιουργικούς, ἡ δὲ ψυχὴ γνωστικούς, ἡ δὲ φύσις δημιουργικούς. εἰ τοίνυν, φησίν, ἔχομεν νοήματα καὶ τῶν συμβεβηκότων, δηλονότι καὶ αὐτῶν ἰδέαι ὑπάρχουσι καὶ ἐπιστῆμαι. οὐ μόνον οὖν οὐσιῶν ὑπάρχουσιν ἀλλὰ καὶ ἑτέρων, τουτέστι τεχνητῶν πραγμάτων καὶ κατὰ προαίρεσιν γινομένων· ὥστε κἀκείνων ἔσονται ἰδέαι, τουτέστι φιλίας καὶ ἔχθρας, τοῦδε τοῦ οἰκήματος. εἰρήκαμεν δὲ ἐν τῇ θεωρίᾳ ὅτι ἰδέα ἐστὶ διαστάσεως καὶ ἑνώσεως καὶ ὅτι τῶν φύσει ὑπαρχόντων ἰδέαι· οὔτε γὰρ τῶν τεχνητῶν λέγουσιν εἶναι ἰδέας. ὥστε οὐ μόνον, φησί, τῶν ἰδεῶν ὑπάρχουσιν ἰδέαι ἀλλὰ καὶ ἄλλων πολλῶν· οὔτε γὰρ ἐπὶ τῶν οὐσιῶν μόνον τὸ νοεῖσθαι. Asclep.

"ἀλλὰ — λέγεται." τουτέστιν, ἀλλὰ δεῖ ταύτῃ ἑκάστου τῶν 990 b 30.
εἰδῶν τὰ πρὸς αὐτὰ τὸ εἶναι ἔχοντα μετέχειν, ᾗ μὴ ἐν ὑποκειμένῳ τι καὶ αὐτὸ ἔχει, τουτέστιν ᾗ μὴ κατὰ συμβεβηκὸς καὶ ἀπὸ συμβεβηκότος τινὸς αὐτῷ λέγεται. τῷ γὰρ "καθ' ὑποκειμένου" νῦν ἀντὶ συμβεβηκότος κέχρηται. καθ' αὑτὸ οὖν φησὶ τὰ πρὸς τὰς ἰδέας ὄντα τε καὶ γινόμενα καὶ δι' αὐτὰς ὄντα μεθέξει αὐτῶν, οὐκέτ' ἂν συμβεβηκότος τινὸς αὐτοῖς. οὕτως δὲ οὐσίαι τὰ πρὸς τὰς ἰδέας ὄντα εἶεν, τῶν οὐσιῶν καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκὸς μετέχοντα. παρέθετο δὲ τοῦ κατὰ συμβεβηκὸς παράδειγμα· ἡ γὰρ δυὰς ἡ κατὰ μετουσίαν τῆς δυάδος οὖσα δυάς, εἰ ἀϊδίου μετέχει, ἀλλὰ κατὰ συμβεβηκὸς ἀϊδίου, ἐπεὶ ἀϊδίου ἡ δυὰς μετέχουσα δυάς ἐστιν· οὐκέτι δὲ κατὰ συμβεβηκὸς δυάδος, ἐπεὶ ὁμοίως ἂν ἦν δυὰς ὡς καὶ ἀΐδιος· οὐκ ἐκείνῃ δὲ τῇ δυάδι τὸ εἶναι δυάδι ἐν τῷ ἀϊδίῳ αὐτῇ εἶναι, ἀλλ' ἦν τοῦτο συμβεβηκὸς αὐτῇ. διὸ εἰ καὶ ἀϊδίου τι μετέχον δυάδος λέγοιτο μετέχειν, κατὰ συμβεβηκὸς ἂν μετέχοι δυάδος. ἐπεὶ τοίνυν δυάδος μὲν καθ' αὑτὸ μετέχει, ἀϊδίου δὲ κατὰ συμβεβηκός, δυὰς μέν ἐστι καὶ κατὰ τοῦτο ὁμοία ἐκείνῃ, ἀΐδιος δὲ οὔ· οὐ γὰρ ὅμοια τὰ κατὰ συμβεβηκὸς μετέχοντά τινων ἐκείνῳ ᾧ οὕτω μετέχει. εἰ τοίνυν τὰ ἐνταῦθα ὅμοια ταῖς ἰδέαις, οὐ κατὰ συμβεβηκὸς αὐτῶν ἀλλὰ καθ' αὑτὸ μετέχει· τὸ δὲ οὐσίας καθ' αὑτὸ μετέχον οὐσία. τῶν οὐσιῶν ἄρα μόνων ἔσονται ἰδέαι κατὰ τὸ ἀκόλουθον αὐτοῖς καὶ τὸ ἀναγκαῖον, εἴγε οὐσίαι μὲν ἐκεῖναι, τὰ δὲ τῶν οὐσιῶν μετέχοντα καθ' αὑτὸ οὐσίαι· τὰ γὰρ αὐτὰ ἐνθάδε οὐσίαν σημαίνει καὶ ἐπὶ τῶν ἀϊδίων, οἷον ἄνθρωπος ἐνταῦθα οὐσία κἀκεῖ, τὸ θερμὸν ποιὸν καὶ ἐνταῦθα κἀκεῖ. οὐ

1. ἔτι — κατηγορεῖται om Asclep. ‖ 4. ἄλλα δὲ μυρία *M.* ‖ 6. λέγειν. ἐκ γὰρ τοῦ ἓν ἐπὶ πολλῶν κατηγορεῖσθαι εἰσέφερον τὰς οὐσίας. τὸ γὰρ ἓν ἐπὶ Asclep. ‖ 10. ἐπὶ — καὶ om *A.* ‖ συμβεβηκότων. ὥστε εἰ ἄπειρος ὁ τρόπος τῶν ἐνταῦθα, καὶ ἰδέαι ἄπειροι Asclep. ‖ 15. τῶν om *M.* ‖ 27. μετασχόντος ἄνθρωπος, ἀλλὰ τὸ ἀνθρώπῳ Asclep.

23. αὐτῷ scripsi cum Sepulv. pro codd. αὐτοῦ.

ταῦτα, ἔσται τῆς ἀορίστου δυάδος, ἥτις ἐστὶν αὐτοῖς ἀρχή, ὁ ἀριθμὸς πρῶτος, ἀλλ' οὐ τοῦ ἀριθμοῦ ἡ δυάς· εἰ δὲ τοῦτο, οὐκέτι ἂν ἀρχὴ ἐκείνη, εἴγε μεταχέσει τινός ἐστι τοιαύτη. ἔτι δὲ ὑπόκειται μὲν εἶναι ἀρχὴ τοῦ ἀριθμοῦ, γίγνεται δὲ ὁ ἀριθμὸς κατὰ τὸν προειρημένον λόγον πρῶτος αὐτῆς· ἀλλ' εἰ ὁ ἀριθμὸς πρός τι (πᾶς γὰρ ἀριθμός τινός ἐστι), καὶ ἔστι πρῶτος ὁ ἀριθμὸς τῶν ὄντων, εἴγε καὶ τῆς δυάδος ἣν ἀρχὴν ὑπέθεντο, εἴη ἂν κατ' αὐτοὺς τὸ πρός τι πρῶτον τοῦ καθ' αὑτὸ ὄντος. τοῦτο δὲ ἄτοπον· πᾶν γὰρ τὸ πρός τι δεύτερον. σχέσιν γὰρ προϋποκειμένης φύσεως τὸ πρός τι σημαίνει, ἥτις πρώτη τῆς συμβεβηκυίας σχέσεως αὐτῇ· παραφυάδι γὰρ ἔοικε τὸ πρός τι, ὡς εἶπεν ἐν τοῖς Ἠθικοῖς (1 4). ἀλλ' εἰ καὶ λέγοι τις εἶναι τὸν ἀριθμὸν ποσὸν ἀλλὰ μὴ πρός τι, εἴη ἂν ἑπόμενον αὐτοῖς τὸ ποσὸν τῆς οὐσίας πρῶτον εἶναι, αὐτὸ δὲ τὸ μέγα καὶ τὸ μικρὸν τῶν πρός τι. ἔτι ἕπεται αὐτοῖς τὸ πρός τι τοῦ καθ' αὑτὸ ἀρχήν τε καὶ πρῶτον λέγειν εἶναι, καθ' ὅσον ἀρχὴ μὲν ἡ ἰδέα κατ' αὐτοὺς τῶν οὐσιῶν, ἔστι δὲ τῇ ἰδέᾳ τὸ εἶναι ἰδέα ἐν τῷ παραδείγματι εἶναι, τὸ δὲ παράδειγμα πρός τι· τινὸς γὰρ τὸ παράδειγμα παράδειγμα. ἔτι εἰ ταῖς ἰδέαις τὸ εἶναι ἐν τῷ παραδείγμασιν εἶναι, εἴη ἂν τὰ πρὸς αὐτὰ γιγνόμενα καὶ ὧν εἰσὶν αἱ ἰδέαι εἰκόνες εἰκόνων, οὕτως τε λέγοι ἄν τις πάντα τὰ κατὰ φύσιν συνεστῶτα πρός τι γενέσθαι κατ' αὐτούς· πάντα γὰρ εἰκόνες καὶ παραδείγματα. ἔτι εἰ τὸ εἶναι ταῖς ἰδέαις ἐν τῷ παραδείγμασιν εἶναί ἐστι, τὸ δὲ παράδειγμα τοῦ πρὸς αὐτὸ γιγνομένου χάριν ἐστί, τὸ δὲ δι' ἄλλο ὂν ἀτιμότερον ἐκείνου, ἔσονται αἱ ἰδέαι ἀτιμότεραι τῶν γιγνομένων πρὸς αὐτάς. Alex.

990 b 20. (*) ἡμεῖς δέ φαμεν πρὸς τοῦτο ὅτι οὐκ ἀριθμοὺς οὕτως ἔλεγον, ἀλλὰ συμβολικῶς, ἐπειδὴ οἱ ἀριθμοὶ περιοριστικοί εἰσι τῶν πραγμάτων ὧν εἰσίν, τοιαῦτα δὲ καὶ τὰ εἴδη, περιοριστικὰ τῆς ὕλης, τούτου χάριν ἔλεγον ἀριθμοὺς τὰς ἰδέας. ἄλλως τε δὴ τὴν μονάδα ἔλεγον αἰτίαν τῆς συνοχῆς καὶ τῆς ἑνώσεως τῆς τῶν πραγμάτων, τὴν δὲ δυάδα τῆς διαστάσεως, ἐπειδὴ πρώτη ἄρχεται ἡ δυὰς τοῦ πόθεν ποῖ. τοῦτο οὖν ἐστὶν ὃ λέγει, ὅτι ἀναιροῦσιν οἱ περὶ τῶν ἰδεῶν λόγοι οἱ λέγοντες εἴδη τὰς ἰδέας εἶναι, τουτέστι τὰς ἀρχὰς τῶν ἰδεῶν, ἃς μᾶλλον εἶναι βουλόμεθα. ἐπειδὴ τὸν ἀριθμὸν ὑποτίθενται ἰδέας, συμβαίνει τὴν δυάδα μὴ εἶναι πρώτην (οὔτε γάρ ἐστιν ἀριθμός, ὡς ἐδείξαμεν), ἀλλὰ τὸν ἀριθμόν. καὶ πάλιν συμβαίνει κατ' αὐτοὺς τὸ πρός τι πρότερον εἶναι τοῦ καθ' αὑτό. ὁ γὰρ Πλάτων τὸ μέγα καὶ τὸ μικρὸν πρότερον ἔλεγε, καὶ ἐκ τούτου τὰ ἄλλα ἐγέννα, τουτέστι τὴν δυάδα· τὸ δὲ μέγα καὶ τὸ μικρόν, ὡς εἴρηται ἐν ταῖς Κατηγορίαις (c. 6), τῶν πρός τι ὑπάρχουσιν. εἰ τοίνυν τὸ μέγα καὶ τὸ μικρὸν πρότερον ὑποτίθενται, ταῦτα δὲ πρός τι, τὰ πρός τι ἄρα πρότερον ἔλεγον τῶν καθ' αὑτό, τῶν πρός τι ἐν τοῖς καθ' αὑτὸ θεωρουμένων. λέγομεν τοίνυν καὶ πρὸς τοῦτο ὅτι τὸ μέγα καὶ τὸ μικρὸν ὁ Πλάτων ἐν τοῖς αἰσθητοῖς ὑπετίθετο· τὴν ὕλην γὰρ διὰ τούτων ἐδήλου, ὡς εἴρηται ἐν τοῖς Φυσικοῖς (3 4)· τὴν δυάδα δὲ ἔλεγε πρώτην ὡς ἀρχὴν τῆς διαστάσεως. Asclep.

“καὶ — ἀρχαῖς.” τοιοῦτοί τινές εἰσι λόγοι οἱ διὰ τῆς τῶν ἰδεῶν 990 b 21. θέσεως τὰς ἀρχὰς αὐτῶν ἀναιροῦντες πρὸς τοῖς προειρημένοις. εἰ τὸ κοινῶς τινῶν κατηγορούμενον ἀρχή τε καὶ ἰδέα ἐκείνων, κατὰ δὲ τῶν ἀρχῶν κοινῶς ἡ ἀρχὴ κατηγορεῖται καὶ κατὰ τῶν στοιχείων τὸ στοιχεῖον, εἴη ἂν τῶν ἀρχῶν πρῶτόν τι καὶ ἀρχὴ καὶ τῶν στοιχείων· οὕτως δὲ οὔτε ἀρχὴ οὔτε στοιχεῖον εἴη. ἔτι ἰδέα ἰδέας οὐκ ἔστι πρότερον· ὁμοίως γὰρ αἱ ἰδέαι ἅπασαι ἀρχαί· ἔστι δὲ τὸ αὐτοὲν καὶ ἡ αὐτοδυὰς ὁμοίως ἰδέα καὶ αὐτοάνθρωπος καὶ αὐτόϊππος καὶ ἑκάστη τῶν ἄλλων ἰδεῶν· οὐκ ἔσται ἄρα αὐτῶν ἄλλη ἄλλης πρώτη, ὥστε οὐδὲ ἀρχή· οὐκ ἄρα ἀρχὴ τὸ ἓν καὶ ἡ ἀόριστος δυάς. ἔτι ἰδέαν ὑπὸ ἰδέας εἰδοποιεῖσθαι ἄτοπον, πᾶσι γὰρ εἴδη· εἰ δέ εἰσιν ἀρχαὶ τὸ ἓν καὶ ἡ ἀόριστος δυάς, ἔσται ἰδέα ὑπὸ ἰδέας εἰδοποιουμένη· ἡ γὰρ αὐτοδυὰς ὑπὸ τοῦ αὐτοενός· οὕτως γὰρ αὐτὰς ἀρχὰς λέγουσιν εἶναι, ὡς τοῦ μὲν ἑνὸς εἴδους ὄντος, ὕλης δὲ τῆς δυάδος· οὐκ ἄρα ἀρχὴ ταῦτα. εἰ δὲ μὴ φήσουσι τὴν ἀόριστον δυάδα ἰδέαν εἶναι, πρῶτον μὲν ἔσται πρῶτόν τι αὐτῆς οὔσης ἀρχῆς· ἡ γὰρ αὐτοδυάς, ἧς κατὰ μετουσίαν καὶ αὕτη δυάς, ἐπεὶ μή ἐστιν αὕτη ἡ αὐτοδυὰς κατὰ μετουσίαν· κατηγορηθήσεται γὰρ αὐτῆς ἡ δυάς, ἐπεὶ καὶ τῶν δυάδων. ἔτι εἰ ἁπλαῖ αἱ ἰδέαι, οὐκ ἂν ἐξ ἀρχῶν διαφόρων εἶεν, διάφορα δὲ τὸ ἓν καὶ ἡ ἀόριστος δυάς. ἔτι τὸ πλῆθος τῶν δυάδων θαυμαστὸν ἔσται, εἰ ἔστιν ἄλλη μὲν ἡ αὐτοδυάς, ἄλλη δὲ ἡ ἀόριστος δυάς, ἄλλη δὲ ἡ μαθηματική, ᾗ ἀριθμοῦντες χρώμεθα, οὐδεμιᾷ ἐκείνων ἡ αὐτὴ οὖσα, καὶ ἔτι παρὰ ταύτας ἡ ἐν τοῖς ἀριθμητοῖς καὶ αἰσθητοῖς. ἄτοπα δὲ ταῦτα, ὥστε δηλονότι αὐτοῖς τοῖς τιθεμένοις ὑπ' αὐτῶν περὶ τῶν ἰδεῶν ἕν ἐστιν ἀκόλουθον τὸ ἀναιρεῖν τὰς ἀρχάς, αἵ εἰσιν αὐτοῖς προτιμότεραι τῶν ἰδεῶν. Alex.

“ἔτι — ἰδέας.” ἐκ μὲν τῶν κατασκευαζόντων, φησί, λόγων 990 b 22. τὰς ἰδέας ἕπεται αὐτοῖς τὸ μὴ μόνον τῶν οὐσιῶν λέγειν ἰδέας εἶναι ἀλλὰ καὶ ἄλλων πολλῶν, ὡς δέδεικται διὰ τῶν προειρημένων (*). ὅ τε γὰρ ἀπὸ τοῦ νοεῖσθαί τι κοινὸν ἐπὶ πλείοσι, νοεῖσθαι δὲ καὶ μηκέτι ὄντων τῶν καθ' ἕκαστα, τῶν φθαρτῶν μόνων οὔσας ἰδέας δεικνύουσι. ἀλλὰ καὶ οἱ ἀπὸ τῶν ἐπιστημῶν ὁμοίως οὐκ οὐσιῶν μόνον ἰδέας δεικνύουσιν ἀλλὰ καὶ ἑτέρων πολλῶν· οὔτε γὰρ ἐπὶ τῶν οὐσιῶν μόνων τὸ

1. αὐτοῖς ἡ ἀρχή *V*. ‖ ὁ ἀριθμὸς πρῶτος Asclep. ‖ 2. ἀλλ' οὐκέτι τοῦ πρώτου ἡ δυάς Asclep. ‖ 3. *μετασχέσεως M.* ‖ ἔτι — 8. ἄτοπον] εἰ τοίνυν ὑπόκειται εἶναι ἀρχῆς ἀριθμός, ἔστι δὲ τῶν πρός τι (ὁ γὰρ ἀριθμὸς ἀριθμητοῦ ἐστιν ἀριθμός), εἴη ἂν κατ' αὐτοὺς τὸ πρός τι πρῶτον τοῦ καθ' αὑτό· τοῦτο δὲ ἄτοπον Asclep. ‖ 9. ὑποκειμένης Asclep. ‖ 11. λέγει Asclep. ‖ 12. πρός — 14. τὸ om *A*. ‖ 13. μέγα καὶ τὸ μικρὸν ἀρχὴν λέγει, ὅπερ ἐστὶν ἀριθμοῖς· τὸ δὲ μέγα καὶ τὸ μικρὸν τῶν ἀρχῶν Asclep. ‖ 14. εἶναι om Asclep. ‖ 16. εἶναί τι· τὸ Asclep. ‖ 18. αὐτὰς Asclep. ‖ 19. ἐκείνων Asclep. κατὰ φύσιν] φύσει Asclep. ‖ 20. γίνεσθαι Asclep.

8. ἀναιροῦντες ὡς εἴρηται ἀνωτέρω Asclep. ‖ 13. ἅπασαι] αἱ πᾶσαι *A*. ‖ 23. ἡ om *M*. ‖ 36. *illa enim ratio, quiddam commune in pluribus intelligi, quod etiam sublatis sensibilibus intelligatur, mortalium tantum rerum ideas esse demonstrat* Sepulv. ‖ 39 sqq. apud Asclep.

συμβεβηκότα οὐσιώδη ὑπάρχουσιν, ὥσπερ λέγομεν λόγον εἶναι τῆς θερμότητος παρὰ τῷ δημιουργῷ διὰ τὸ οὐσιῶδες θερμὸν τὸ ἐν τῷ πυρί, καὶ τῆς ψυχρότητος διὰ τὸ ἐν ὕδατι· διὰ δὲ ταῦτα καὶ τὰ ἄλλα ὑπάρχουσιν. ὁμοίως δὲ καὶ τοῦ λευκοῦ διὰ τὴν χιόνα· συμπληροῖ γὰρ τὸ λευκὸν τὴν οὐσίαν τῆς χιόνος· εἰ γὰρ καὶ δυνατόν ἐστι κατ' ἐπίνοιαν χωρίζειν τὸ λευκὸν ἐκ τῆς χιόνος, ἀλλ' οὖν γε συμπληρωτικόν ἐστι τῆς οὐσίας αὐτῷ καὶ ἐγγὺς τοῦ οὐσιώδους. οὕτως οὖν φημὶ καὶ τῆς δικαιοσύνης καὶ τῶν ἄλλων ἀρετῶν εἶναι ἰδέας· καίτοι οὐ θεωροῦνται τὰ τοιαῦτα ἄνευ οὐσιῶν, ἀλλὰ τελειωτικὰ τῶν οὐσιῶν ὑπάρχουσι καὶ οὕτως παράγονται ἐκεῖθεν ὡς τελειῶσαι τὰς οὐσίας. καὶ οὐ διὰ τοῦτό φαμεν αὐτὰ εἶναι συμβεβηκότα, καὶ διὰ τοῦτο τὰς ἰδέας αὐτῶν τὰς παρὰ τῷ δημιουργῷ φαμὲν μὴ εἶναι οὐσιώδεις· οὐσιώδεις γὰρ ὑπάρχουσιν αἱ τελειότητες τῶν πραγμάτων, καὶ ἐν τῇ οὐσίᾳ τὸ εἶναι ἔχουσιν ὡς συμπληρωτικαὶ τῶν οὐσιῶν· τὰ γὰρ συμπληρωτικὰ τῶν οὐσιῶν μέρη τῶν οὐσιῶν ὑπάρχουσιν· ὥστε καὶ αἱ τοιαῦται ἰδέαι καθ' αὑτὰς ὑπάρχουσι παρὰ τῷ δημιουργῷ. ὁμοίως δέ φημι καὶ ἐπὶ τῶν πρός τι· ἐπειδὴ τὰ εἰρημένα οὐσιώδη πρός τι ὑπάρχουσι καὶ συντελοῦντα εἰς τὴν τῆς φύσεως δημιουργίαν, ἀδύνατόν ἐστιν αὐτὰ καθ' αὑτὰ ὑφίστασθαι διὰ τὸ τὴν οὐσίαν αὐτῶν οὕτως παραχθῆναι ὥστε ἐν τοῖς τοιούτοις θεωρεῖσθαι καὶ διὰ τὴν ὕλην τὴν δεχομένην. εἰ δέ τις εἴποι, τί οὖν; καὶ ἔχθρας καὶ φιλίας φαμὲν εἶναι ἰδέας καὶ τῶν τοιούτων; ἐροῦμεν πρὸς αὐτὸν ὅτι ἰδέα ἁπλῶς ἐκεῖσέ ἐστι συγκρίσεως καὶ διακρίσεως, δεῖ δὲ εἶναι καὶ διάστασιν ἐν τοῖς πράγμασι μάλιστα τοῖς αἰσθητοῖς. κακῶν μέντοι γε οὔ φαμεν εἶναι ἰδέας· τὰ γὰρ κακὰ τῷ ὄντι ἀνυπόστατα ὑπάρχουσι καὶ παρυφίστανται, ὡς λέγεται ἐν ταῖς Πλατωνικαῖς συνουσίαις· ἄκρατον γὰρ τὸ κακὸν οὐκ ἔστιν ἐν τῷ παντί· εἰ γὰρ καὶ τὸ μερικὸν κακόν ἐστιν, ἀλλ' οὖν γε πρὸς τὸ πᾶν οὐκ ἔστι κακόν· ἀξία γὰρ ἦν ἡ ψυχὴ τοῦ τελευτήσαντος παθεῖν καὶ τοῦ ποιήσαντος ποιῆσαι. εἰ γὰρ ἄρχοντος δραστηρίου ὄντος οὐδὲν κακὸν γίνεται, πολλῷ μᾶλλον θεοῦ ὄντος ἐν τῷ παντί. διό, φησίν, ὁ Ἰάμβλιχος ἐπισκήπτει τῷ λέγοντι ὅτι κατὰ συγχώρησιν θεοῦ γίνεται τὸ κακόν, ὥς φησιν ὁ Θουκυδίδης· ὁ γὰρ δυνάμενος παῦσαι, περιορῶν δέ, τἀληθέστερον αὐτὸ δρᾷ. πῶς οὖν δυνατόν ἐστι τὸν θεὸν περιιδεῖν κακὰ γινόμενα, εἰ μή τί γε πρὸς τὸ πᾶν ἀποβλέψομεν; εἰ γάρ τις εἴποι ὅτι διὰ τὸ αὐτοκίνητον τῆς ψυχῆς, οὐδὲ οὕτως, φησίν, ἔστιν. ὁ γὰρ θεὸς οὐ συγχωρεῖ τὸ ὄντως κακὸν ὑποστῆναι, ἀλλ' ἐν τούτοις κωλύει· οὔτε γὰρ θεὸς κακῶν αἴτιος οὔτε θέμις τοῦτο λέγειν· εἰ δὲ δυνάμενος κωλῦσαι οὐ κωλύει, αἴτιός ἐστιν. εἰδέναι οὖν χρὴ ὅτι τὸ ἀγαθὸν ὑπερβέβηκε τὸ ὄν, ὑπὲρ τὸ ὂν γάρ ἐστι, τὸ δὲ ἀγαθὸν τὸ ἀντιδιαιρούμενον τῷ ὄντι ἧττον αὐτοῦ ἐστίν. Asclep.

990b 17. (*) τρίτον μὲν οὖν ἄνθρωπον εἰσάγουσι τοῦτον τὸν τρόπον. φασὶ γὰρ ὅτι τῶν ὁμοιοτήτων ὑπάρχουσιν αἱ ἰδέαι· εἰ τοίνυν φασὶν ὁμοίαν τὴν ἰδέαν εἶναι τῷ αἰσθητῷ, τῷ ἀνθρώπῳ, ἐξ ἧς καὶ γέγονε, φανερὸν ὅτι ἔσται ἰδέα τῆς ὁμοιότητος ταύτης, καὶ οὕτως ἔσται τρίτος ἄνθρωπος. πάλιν τοίνυν, ἐπειδὴ ὁ τρίτος ἄνθρωπος ἰδεῶν ἔχει ὁμοιότητα πρὸς τὸν αἰσθητὸν ἄνθρωπον, ἐξ οὗ καὶ γέγονεν, δηλονότι ἔσται καὶ τῆς ὁμοιότητος ταύτης ἰδέα, καὶ τοῦτο ἐπ' ἄπειρον. καὶ οὕτως μὲν ὁ Ἀριστοτέλης ἐλέγχει τοὺς ὑποτιθεμένους εἶναι ἰδέας αὐτὰς καθ' αὑτὰς κεχωρισμένας τοῦ δημιουργοῦ. ἀπολογούμεθα τοίνυν ἡμεῖς ὑπὲρ τοῦ Πλάτωνος τοῦτον τὸν τρόπον, φάσκοντες ὅτι ἡ ὁμοιότης ἐν τοῖς στοιχείοις θεωρεῖται, τουτέστιν ἐν τοῖς καθ' ἕκαστα αἰσθητοῖς· ἡ γὰρ ἰδέα οὐκ ἔστιν ὁμοία τῷ αἰσθητῷ, εἴγε τὸ μὲν αἰσθητόν ἐστι, τὸ δὲ λόγος ἐξῃρημένος τοῦ αἰσθητοῦ, ὥστε οὐ δυνατὸν εἶναι ἰδέαν ἰδέας, φημὶ δὴ τοῦ λόγου τοῦ δημιουργικοῦ· οὔτε γὰρ ἔστιν ἰδέα ἰδέας. id.

(*) "οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγ." οἱ τὰς ἰδέας δεικνύντες λόγοι τρίτον εἰσάγουσιν ἄνθρωπον. ἔστι δὲ ὁ λόγος τοιοῦτος. ἐπειδὴ τὰ ὅμοια μετουσίᾳ τινὸς ὅμοια ἀλλήλοις εἰσί, τοῦτο ἔλεγον εἶναι τὰς ἰδέας. ὅμοιος δὲ ὁ αἰσθητὸς ἄνθρωπος τῷ αὐτοανθρώπῳ ἤτοι τῇ ἰδέᾳ. οὗτοι οὖν μετουσίᾳ τινὸς παρ' αὐτόν εἰσιν ὅμοιοι, καὶ ἔστιν οὗτος τρίτος ἄνθρωπος. εἷς ὁ αἰσθητός, ἄλλος ἡ ἰδέα, καὶ ἕτερος ἤγουν τρίτος πρὸς ὃν ἀναφερόμενοι οὗτοι ὅμοιοι λέγονται εἶναι πάλιν, ἐπεὶ τὸ κατηγορούμενον τινῶν κοινῶς, ἐὰν μὴ ταὐτὸν ᾖ ἐκείνων τινὶ ὧν κατηγορεῖται, ἄλλο τί ἐστι παρ' ἐκεῖνο. ἐπεὶ οὖν ὁ ἄνθρωπος κατηγορεῖται κατὰ Σωκράτους καὶ Πλάτωνος καὶ τῆς ἰδέας ἤτοι τοῦ αὐτοανθρώπου, καὶ οὐκ ἔστι τὸ κατηγορούμενον πάντῃ ταὐτὸν τῷ Σωκράτει οὔτε τῷ Πλάτωνι οὔτε τῇ ἰδέᾳ (εἰ γὰρ ἦν ταὐτόν, ἡ ἰδέα Σωκράτης ἂν ὑπῆρχεν, ὡσαύτως καὶ ὁ Πλάτων, ἢ πάλιν Πλάτων ἢ Σωκράτης ἡ ἰδέα, ἢ ὁ Σωκράτης καὶ ἡ ἰδέα Πλάτωνος) — εἰ δὲ τοῦτο οὐκ ἔστιν, ἄλλος τίς ἐστι παρὰ τὸν καθ' ἕκαστον καὶ τὴν ἰδέαν ὁ κατηγορούμενος, καὶ οὗτός ἐστιν ὁ τρίτος ἄνθρωπος. εἰ δὲ πάλιν καὶ κατὰ τοῦ τρίτου ἀνθρώπου καὶ τῆς ἰδέας καὶ τοῦ καθ' ἕκαστα κατηγορουμένου, καὶ τέταρτος ἔσται ἄνθρωπος, εἴπερ μή ἐστι τὸ κατηγορούμενον ταὐτόν τινι ὧν κατηγορεῖται, καὶ τοῦτο ἐπ' ἄπειρον. cod. Laur.

"ὅλως — εἶναι." μᾶλλον μὲν καὶ μάλιστα βούλονται τὰς ἀρχὰς εἶναι· αἱ γὰρ ἀρχαὶ αὐτοῖς καὶ αὐτῶν τῶν ἰδεῶν εἰσὶν ἀρχαί. ἀρχαὶ δέ εἰσι τό τε ἓν καὶ ἡ ἀόριστος δυάς, ὡς πρὸ ὀλίγου τε εἴρηκε καὶ ἱστόρηκεν αὐτοὺς ἐν τοῖς περὶ τ' Ἀγαθοῦ· ἀλλὰ καὶ τοῦ ἀριθμοῦ ἀρχαὶ αὗται κατ' αὐτούς (*). ταύτας δή φησι τὰς ἀρχὰς τοὺς λόγους τούτους τοὺς κατασκευάζοντας τὰς ἰδέας ἀναιρεῖν· ἀναιρουμένων δὲ τούτων ἀναιρεθήσεται καὶ τὰ μετὰ τὰς ἀρχάς, εἴγε ταῦτα ἐκ τῶν ἀρχῶν, ὥστε καὶ αἱ ἰδέαι. εἰ γὰρ ἐπὶ πάντων ὧν τὸ κοινὸν κατηγορεῖται χωριστόν τε καὶ ἰδέα, κατηγορεῖται δὲ καὶ κατὰ τῆς ἀορίστου δυάδος ἡ δυάς, εἴη ἂν αὐτῆς πρῶτόν τι καὶ ἰδέα· οὕτως δὲ ἂν οὐκέτι ἀρχὴ εἴη ἡ ἀόριστος δυάς. ἀλλ' οὐδὲ ἡ δυὰς πάλιν εἴη ἂν πρώτη τε καὶ ἀρχή· πάλιν γὰρ κἀκείνης ὁ ἀριθμὸς κατηγορεῖται ὡς ἰδέας, αἱ γὰρ ἰδέαι ἀριθμοὶ αὐτοῖς κεῖνται· ὥστε εἴη ἂν αὐτοῖς πρῶτον ὁ ἀριθμός, ἰδέα τις ὤν. εἰ δὲ

b 31 — p. 568 a 24. apud Asclep. ‖ 32. ἀρχαὶ αὗται δὲ Asclep. ‖ 33. ἱστόρηκεν οὗτος περὶ τοῦ ἀγαθοῦ Asclep. ‖ 35. καὶ κατ' Asclep. ‖ ταῦτα δὲ Asclep. ‖ τούτους et 37. εἴγε — ἀρχῶν et 38. ὧν om Asclep. ‖ 38. τε] τι codd. ‖ 40. τε Asclep. ‖ δὲ ἂν om Asclep. ‖ οὐκέτι ἔσται ἀρχή, ἧς χωρὶς ὁριστὸν ἡ δυὰς Asclep. ‖ 41. δυὰς πρώτη ἐστὶ καὶ ἀρχή, πάλιν Asclep. ‖ 42. ὡς — 43. κεῖνται om Asclep. ‖ 43. αὐτῆς πρῶτος Asclep. ‖ ὤν. ἔσται ἄρα αὐτοῖς ἀριθμὸς πρῶτος τῆς δυάδος, ἥτις Asclep.

πρός τι οὐκ ἔλεγον ἰδέας εἶναι διὰ τὸ τὰς μὲν ἰδέας καθ' αὑτὰς ὑφεστάναι αὐτοῖς οὐσίας τινὰς οὔσας, τὰ δὲ πρός τι ἐν τῇ πρὸς ἄλληλα σχέσει τὸ εἶναι ἔχειν. ἔτι δὲ εἰ τὸ ἴσον ἴσῳ ἴσον, πλείους ἰδέαι τοῦ ἴσου ἂν εἶεν· τὸ γὰρ αὐτόϊσον αὐτοΐσῳ ἴσον· εἰ γὰρ μηδενὶ ἴσον, οὐδὲ ἴσον ἂν εἴη. ἔτι δεήσει καὶ τῶν ἀνίσων κατὰ τὸν αὐτὸν λόγον ἰδέας εἶναι· ὁμοίως γὰρ τῶν ἀντικειμένων ἔσονταί γε ἢ οὐκ ἔσονται ἰδέαι· τὸ δὲ ἄνισον ὁμολογεῖται καὶ κατ' αὐτοὺς ἐν πλείοσιν εἶναι (¹). πάλιν δὲ ἐκοινοποίησε τὴν δόξαν ὡς πρὸς οἰκείαν οὖσαν αὐτὴν λέγων, διὰ τοῦ εἰπεῖν "ὧν οὔ φαμεν εἶναι καθ' αὑτὸ γένος," γένος λέγων ἀντὶ τοῦ ὑπόστασιν καὶ φύσιν, εἴγε τὸ πρός τι παραφυάδι ἔοικεν, ὡς ἐν ἄλλοις εἶπεν (²). ὁ δὲ λόγος ὁ τὸν τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτος. λέγουσι τὰ κοινῶς κατηγορούμενα τῶν οὐσιῶν κυρίως τε εἶναι τοιαῦτα, καὶ ταῦτα εἶναι τὰ ἴσα. ἔτι τὰ ὅμοια ἀλλήλοις τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια ἀλλήλοις εἶναι, ὃ κυρίως ἐστὶ τοῦτο· καὶ τοῦτο εἶναι τὴν ἰδέαν. ἀλλ' εἰ τοῦτο, καὶ τὸ κατηγορούμενον τινῶν κοινῶς, ἂν μὴ ταὐτὸν ᾖ ἐκείνων τινὶ ὧν κατηγορεῖται, ἄλλο τί ἐστι παρ' ἐκεῖνα· διὰ τοῦτο γὰρ γένος ὁ αὐτοάνθρωπος, ὅτι κατηγορούμενος τῶν καθ' ἕκαστα οὐδενὶ αὐτῶν ἦν ὁ αὐτός. τρίτος ἄνθρωπος ἔσται τις παρά τε τὸν καθ' ἕκαστα, οἷον Σωκράτη καὶ Πλάτωνα, καὶ παρὰ τὴν ἰδέαν, ἥτις καὶ αὐτὴ μία κατ' ἀριθμόν ἐστιν. ἦν δέ τις λόγος ὑπὸ τῶν σοφιστῶν λεγόμενος τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτος. εἰ λέγοντες "ἄνθρωπος περιπατεῖ" οὔτε τὸν ὡς ἰδέαν ἄνθρωπον περιπατεῖν λέγομεν (ἀκίνητος γὰρ ἐκείνη) οὔτε τῶν καθ' ἕκαστά τινα (πῶς γὰρ ὃν μὴ γνωρίζομεν; τὸ μὲν γὰρ ἄνθρωπον περιπατεῖν γνωρίζομεν, τίς δὲ τῶν καθ' ἕκαστά ἐστιν ἐφ' οὗ λέγομεν, οὐ γνωρίζομεν), ἄλλον τινὰ παρὰ τούτους τρίτον ἄνθρωπον λέγομεν περιπατεῖν· τρίτος ἄρα ἄνθρωπος ἔσται, οὗ τὸ περιπατεῖν κατηγορήσαμεν. τούτῳ δὴ τῷ λόγῳ ὄντι σοφιστικῷ ἀφορμὰς ἐνδιδόασιν οἱ χωρίζοντες τὸ κοινὸν τῶν καθ' ἕκαστα, ὃ ποιοῦσιν οἱ τὰς ἰδέας τιθέμενοι. λέγει δὲ Φανίας ἐν τῷ πρὸς Διόδωρον Πολύξενον τὸν σοφιστὴν τὸν τρίτον ἄνθρωπον εἰσάγειν λέγοντα "εἰ κατὰ μετοχήν τε καὶ μετουσίαν τῆς ἰδέας καὶ τοῦ αὐτοανθρώπου ὁ ἄνθρωπός ἐστι, δεῖ τινὰ εἶναι ἄνθρωπον ὃς πρὸς τὴν ἰδέαν ἕξει τὸ εἶναι. οὔτε δὲ ὁ αὐτοάνθρωπος, ὅ ἐστιν ἰδέα, κατὰ μετοχὴν ἰδέας, οὔτε ὁ τὶς ἄνθρωπος. λείπεται ἄλλον τινὰ εἶναι τρίτον ἄνθρωπον τὸν πρὸς τὴν ἰδέαν τὸ εἶναι ἔχοντα." δείκνυται καὶ οὕτως ὁ τρίτος ἄνθρωπος. εἰ τὸ κατηγορούμενον τινῶν πλειόνων ἀληθῶς καὶ ἔστιν ἄλλο παρὰ τὰ ὧν κατηγορεῖται, κεχωρισμένον αὐτῶν (τοῦτο γὰρ ἡγοῦνται δεικνύναι οἱ τὰς ἰδέας τιθέμενοι· διὰ τοῦτο γάρ ἐστί τι αὐτοάνθρωπος κατ' αὐτούς, ὅτι ὁ ἄνθρωπος κατὰ τῶν καθ' ἕκαστα ἀνθρώπων πλειόνων ὄντων ἀληθῶς κατηγορεῖται καὶ ἄλλος τῶν καθ' ἕκαστα ἀνθρώπων ἐστίν) — ἀλλ' εἰ τοῦτο, ἔσται τις τρίτος ἄνθρωπος. εἰ γὰρ ἄλλος ὁ κατηγορούμενος ὧν κατηγορεῖται, καὶ κατ' ἰδίαν ὑφεστώς, κατηγορεῖται δὲ κατά τε τῶν καθ' ἕκαστα καὶ κατὰ τῆς ἰδέας ὁ ἄνθρωπος, ἔσται τρίτος τις ἄνθρωπος παρά τε τοὺς καθ' ἕκαστα καὶ τὴν ἰδέαν. οὕτως δὲ καὶ τέταρτος ὁ κατά τε τούτου καὶ τῆς ἰδέας καὶ τῶν καθ' ἕκαστα κατηγορούμενος, ὁμοίως δὲ καὶ πέμπτος, καὶ τοῦτο ἐπ' ἄπειρον. ἔστι δὲ ὁ λόγος οὗτος τῷ πρώτῳ ὁ αὐτός. τοῦτο δὲ συμβαίνει αὐτοῖς, ἐπεὶ ἔθεντο τὰ ὅμοια τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια εἶναι· ὅμοιοι γὰρ οἵ τε ἄνθρωποι καὶ αἱ ἰδέαι. ἀμφοτέρους δὴ τοὺς δοκοῦντας ἀκριβεστέρους εἶναι λόγους διήλεγξε, τὸν μὲν ὡς καὶ τῶν πρός τι κατασκευάζοντα ἰδέας, τὸν δὲ ὡς τρίτον ἄνθρωπον εἰσάγοντα, εἶτα ἐπ' ἄπειρον αὔξοντα τοὺς ἀνθρώπους. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον αὐξηθήσεται ὧν λέγουσιν ἰδέας εἶναι. τῇ μὲν οὖν πρώτῃ τοῦ τρίτου ἀνθρώπου ἐξηγήσει ἄλλοι τε κέχρηνται καὶ Εὔδημος σαφῶς ἐν τοῖς περὶ Λέξεως, τῇ δὲ τελευταίᾳ αὐτὸς ἔν τε τῷ τετάρτῳ περὶ Ἰδεῶν καὶ ἐν τούτῳ μετ' ὀλίγον. id.

(²) ὡς γὰρ εἴρηται ἐν τοῖς Ἠθικοῖς (1 4), παραφυάσιν ἐοίκασι 990b 16
τὰ πρός τι καὶ ἀντερείδουσι ξύλοις· ἐν γὰρ ταῖς ἄλλαις κατηγορίαις τὸ εἶναι ἔχουσιν. ἐπειδὴ οὖν ὑπάρχουσι τὰ πρός τι, οἷον πατὴρ υἱὸς καὶ τὸ δεξιὸν καὶ ἀριστερόν, τῶν δὲ ὑπαρχόντων φασὶν εἶναι ἰδέας, δῆλον ὅτι καὶ τῶν πρός τι ὑπάρχουσιν ἰδέαι, εἴγε καὶ αὐτὸς ὑπετίθετο τὸ μέγα καὶ τὸ μικρόν, ἅ τινα τῶν πρός τι ἐδείχθησαν ἐν Κατηγορίαις (c. 6), καὶ ὅτι πρότερα ὑπάρχουσι τὰ πρός τι τῶν ἄλλων, ἐπειδὴ τὸ μέγα καὶ τὸ μικρὸν πρότερα ὑπετίθετο, ἐκ τούτων γὰρ τὰ ἄλλα γεννᾷ· ὥστε ἔσονται καὶ τῶν πρός τι ἰδέαι, οὐ μόνον τῶν καθ' αὑτὸ ὄντων, ὥσπερ ἔλεγεν, καὶ πρότερα τῶν καθ' αὑτό. καὶ οὕτως μὲν ὁ Ἀριστοτέλης, ἡμεῖς τοίνυν φαμὲν πρὸς ταῦτα ὅτι τῷ ὄντι ὑπάρχουσι πρός τι ἐν τῇ φύσει τῶν πραγμάτων οὐσιώδη, καὶ τούτων ὑπάρχουσιν ἰδέαι, καὶ διὰ τὰ οὐσιώδη πρός τι ὑπάρχουσι καὶ τὰ μὴ οὐσιώδη. οἷον ἔστι δεξιὸν τὸ ἧπαρ, ἀριστερὸν δὲ σπλήν, καὶ ἀδύνατόν ἐστιν αὐτὰ μετατεθῆναι· ἡ γὰρ μετάθεσις αὐτῶν φθορὰν ἐργάζεται. ὁμοίως καὶ ἡ γῆ ἔλαχε τὸν μέσον τόπον, ὁ δὲ οὐρανὸς τὸν πέριξ. καὶ τούτων ὑπάρχουσι λόγοι δημιουργικοὶ οὐσιώδεις, ἐπειδὴ καὶ τὰ τοιαῦτα πρός τι ἐν τῇ οὐσίᾳ τῶν πραγμάτων θεωροῦνται. καὶ εἰ μὴ δύναται τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν ἄνευ τῶν πραγμάτων θεωρεῖσθαι παρὰ τῷ δημιουργῷ, οὐ διὰ τοῦτο καὶ ὁ λόγος αὐτοῦ κατὰ συμβεβηκὸς ὑπάρχει· ἀδύνατον γὰρ συμβεβηκός τι θεωρεῖσθαι παρὰ τῷ δημιουργῷ· τὰ γὰρ τοιαῦτα

1. ἰδίας αὐτὰς καθ' Asclep. ‖ 2. αὐτῆς *V*, om Asclep. ‖ 4. μηδενὶ ἦ, κατὰ (omissis ἴσον — 5. ἀνίσων) Asclep. ‖ 6. ἢ] καὶ Asclep. ‖ 7 — 9. εἶναι. τοῦτο οὖν φησίν, ὅτι οἱ ἀκριβέστατοι τῶν λόγων καὶ τῶν πρός τι ποιοῦσιν ἰδέας, ὡς εἰρήκαμεν ἐν τῇ θεωρίᾳ. ὧν Asclep. ‖ 9. γένος λέγων om Asclep. ‖ 11. vid. Aristot. Ethica Nicom. 1 4. ‖ 12. τοιοῦτός ἐστι· λέγουσι Asclep. ‖ 13. καὶ ταῦτα om *V*. ‖ εἶναι ἰδέας· ἔτι τε ὅμοια ἀλλήλοις εἶναι ὅμοια. εἰ τοίνυν τὰ ἐνταῦθα μετέχουσιν ἐκείνων τῶν εἰδῶν καὶ κατὰ μέθεξιν αὐτῶν λέγονται, φανερὸν ὅτι ὅμοια αὐτοῖς ὑπάρχουσι. φασὶ δὲ τῶν ὁμοίων εἶναι ἰδέας, ὥστε καὶ τούτων ἐστὶν ἰδέα. καὶ οὕτως ἔσται τρίτος ἄνθρωπος. ἐπεὶ οὖν οὗτος ἔχει ὁμοιότητα πρὸς τὸν ἐνταῦθα, διότι κατηγορεῖται αὐτοῦ καὶ τῇ μετουσίᾳ αὐτοῦ ταῦτα λέγονται, δῆλον ὅτι ἔσται καὶ τῆς ὁμοιότητος ταύτης ἕτερος ἄνθρωπος, καὶ τοῦτο ἐπ' ἄπειρον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ὅλως τε ἀναιρ. Asclep. ‖ 16. μὴ] μὲν *A*. ‖ 17. ὅτι] ὁ *V*. ‖ 25. τίς — γνωρίζομεν om *V*.

3. ἔστι *A*. ‖ 5. τῆς] τὰς *A*. ‖ ἔσται τις τρίτος *V*. ‖ 11. αἱ om *V*. ‖ 13. αὔξοντα *A*.

καὶ τῶν ζῴων ζῷον καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ οὐκ ἔστιν ἐφ' ἑκάστου αὐτῶν αὐτὸ αὑτοῦ τι κατηγορούμενον, ἀλλ' ἔστι τι ὃ καὶ πάντων αὐτῶν κατηγορεῖται οὐδενὶ αὐτῶν ταὐτὸν ὄν, εἴη ἄν τι τούτων παρὰ τὰ καθ' ἕκαστα ὄντα ὂν κεχωρισμένον αὐτῶν ἀΐδιον· ἀεὶ γὰρ ὁμοίως κατηγορεῖται πάντων τῶν κατ' ἀριθμὸν ἀλλασσομένων. ὃ δὲ ἕν ἐστιν ἐπὶ πολλοῖς κεχωρισμένον τε αὐτῶν καὶ ἀΐδιον, τοῦτ' ἔστιν ἰδέα· εἰσὶν ἄρα ἰδέαι. τοῦτόν φησι τὸν λόγον κατασκευάζειν ἰδέας καὶ τῶν ἀποφάσεων καὶ τῶν μὴ ὄντων· καὶ γὰρ ἡ ἀπόφασις κατὰ πολλῶν κατηγορεῖται μία καὶ ἡ αὐτὴ καὶ κατὰ μὴ ὄντων, καὶ οὐδενὶ τῶν καθ' ὧν ἀληθεύεταί ἐστιν ἡ αὐτή· τὸ γὰρ οὐκ ἄνθρωπος κατηγορεῖται μὲν καὶ καθ' ἵππου καὶ κυνὸς καὶ πάντων τῶν παρὰ τὸν ἄνθρωπον, καὶ διὰ τοῦτό ἐστιν ἓν ἐπὶ πολλῶν καὶ οὐδενὶ τῶν καθ' ὧν κατηγορεῖται ταὐτόν ἐστιν. ἔτι ἀεὶ μένει κατὰ τῶν ὁμοίων ὁμοίως ἀληθευόμενον· τὸ γὰρ οὐ μουσικὸν κατὰ πολλῶν ἀληθεύεται, πάντων γὰρ τῶν μὴ μουσικῶν, ὁμοίως καὶ τῶν οὐκ ἀνθρώπων τὸ οὐκ ἄνθρωπος· ὥστε εἰσὶ καὶ τῶν ἀποφάσεων ἰδέαι. ὅπερ ἐστὶν ἄτοπον· πῶς γὰρ ἂν εἴη τοῦ μὴ εἶναι ἰδέα; εἰ γὰρ τοῦτό τις παραδέξεται, τῶν γε ἀνομογενῶν καὶ πάντη διαφερόντων μία ἔσται ἰδέα, γραμμῆς, ἂν οὕτω τύχῃ, καὶ ἀνθρώπου· οὐχ ἵπποι γὰρ ταῦτα πάντα. ἔτι ἔσται καὶ τῶν ἀορίστων τε καὶ τῶν ἀπείρων μία ἰδέα. ἀλλὰ καὶ τοῦ πρώτου καὶ τοῦ δευτέρου· οὐ ξύλον γὰρ ὅ τε ἄνθρωπος καὶ τὸ ζῷον, ὧν τὸ μὲν πρῶτον τὸ δὲ δεύτερον, ὧν οὔτε γένη οὔτε ἰδέας ἐβούλοντο εἶναι. δῆλον δὲ ὅτι οὐδὲ οὗτος ὁ λόγος ἰδέας εἶναι συλλογίζεται, ἀλλὰ δεικνύναι βούλεται καὶ αὐτὸς ἄλλο εἶναι τὸ κοινῶς κατηγορούμενον τῶν καθ' ἕκαστα ὧν κατηγορεῖται. ἔτι αὐτοὶ οἱ βουλόμενοι δεικνύναι ὅτι ἕν τι τὸ κοινῶς κατηγορούμενόν ἐστι πλειόνων καὶ τοῦτό ἐστιν ἰδέα, ἀπὸ τῶν ἀποφάσεων αὐτὸ κατασκευάζουσιν. εἰ γὰρ ὁ πλειόνων τι ἀποφάσκων πρὸς ἕν τι ἐπαναφέρων ἀποφήσει (ὁ γὰρ λέγων, ἄνθρωπος οὐκ ἔστι λευκός, ἵππος οὐκ ἔστιν, οὐ καθ' ἕκαστον αὐτῶν ἴδιόν τι ἀποφάσκει, ἀλλὰ πρὸς ἕν τι τὴν ἀναφορὰν ποιούμενος τὸ λευκὸν ἀποφάσκει τὸ αὐτὸ πάντων), καὶ ὁ καταφάσκων ἂν πλειόνων τὸ αὐτὸ οὐ καθ' ἕκαστον ἄλλο, ἀλλὰ ἕν τι ἂν εἴη ὃ καταφάσκει, οἷον τὸν ἄνθρωπον κατὰ τὴν πρὸς ἕν τι καὶ ταὐτὸν ἀναφοράν· ὁμοίως γὰρ ὡς ἡ ἀπόφασις καὶ ἡ κατάφασις. ἔστιν ἄρα τι ἓν ἄλλο παρὰ τὸ ἐν τοῖς αἰσθητοῖς, ὃ αἴτιόν ἐστι τῆς ἀληθοῦς ἐπὶ πλειόνων τε καὶ τῆς κοινῆς καταφάσεως, καὶ τοῦτό ἐστιν ἡ ἰδέα. τοῦτον δὴ τὸν λόγον φησὶν οὐ μόνον τῶν καταφασκομένων ἀλλὰ καὶ τῶν ἀποφασκομένων ἰδέας ποιεῖν· ὁμοίως γὰρ ἐν ἀμφοτέροις τὸ ἕν. id.

990 b 14. "κατὰ — ἐστίν." ὁ λόγος ὁ ἀπὸ τοῦ νοεῖν κατασκευάζων τὸ εἶναι ἰδέας τοιοῦτός ἐστιν. εἰ ἐπειδὰν νοῶμεν ἄνθρωπον ἢ πεζὸν ἢ ζῷον, τῶν ὄντων τέ τι νοοῦμεν καὶ οὐδὲν τῶν καθ' ἕκαστον (καὶ γὰρ φθαρέντων τούτων μένει ἡ αὐτὴ ἔννοια), δῆλον ὡς ἔστι παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά, ὃ καὶ ὄντων ἐκείνων καὶ μὴ ὄντων νοοῦμεν· οὐ γὰρ δὴ μὴ ὄν τι νοοῦμεν τότε. τοῦτο δὲ εἶδός τε καὶ ἰδέα ἐστίν. φησὶ δὴ τοῦτον τὸν λόγον καὶ τῶν φθειρομένων τε καὶ ἐφθαρμένων καὶ ὅλως τῶν καθ' ἕκαστά τε καὶ φθαρτῶν ἰδέας κατασκευάζειν, οἷον Σωκράτους, Πλάτωνος· καὶ γὰρ τούτους νοοῦμεν καὶ φαντασίαν αὐτῶν φυλάσσομεν καὶ μηκέτι ὄντων σώζομεν· φάντασμα γάρ τι καὶ τῶν μηκέτι ὄντων. ἀλλὰ καὶ τὰ μηδ' ὅλως ὄντα νοοῦμεν, ὡς Ἱπποκένταυρον, Χίμαιραν· ὥστε οὐδὲ ὁ τοιοῦτος λόγος ἰδέας εἶναι συλλογίζεται. id.

"ἔτι — λέγουσιν." ὁ μὲν ἐκ τῶν πρός τι κατασκευάζων ἰδέας 990 b 15.
λόγος τοιοῦτός ἐστιν. ἐφ' ὧν ταὐτόν τι πλειόνων κατηγορεῖται μὴ ὁμωνύμως, ἀλλ' ὡς μίαν τινὰ δηλοῦν φύσιν, ἤτοι τὸ κυρίως τὸ ὑπὸ τοῦ κατηγορουμένου σημαινόμενον εἶναι ταῦτα ἀληθεύεται κατ' αὐτῶν, ὡς ὅταν ἄνθρωπον λέγωμεν Σωκράτην καὶ Πλάτωνα, ἢ τῷ εἰκόνας αὐτὰ εἶναι τῶν ἀληθινῶν, ὡς ἐπὶ τῶν γεγραμμένων ὅταν τὸν ἄνθρωπον κατηγορῶμεν· δηλοῦμεν γὰρ ἐπ' ἐκείνων τὰς τῶν ἀνθρώπων εἰκόνας τὴν αὐτήν τινα φύσιν ἐπὶ πάντων σημαίνειν· ἢ ὡς τὸ μὲν αὐτῶν ὂν τὸ παράδειγμα, τὰ δὲ εἰκόνας, ὡς εἰ ἀνθρώπους Σωκράτη τε καὶ τὰς εἰκόνας αὐτοῦ λέγοιμεν. κατηγοροῦμεν δὲ τῶν ἐνταῦθα τὸ ἴσον αὐτὸ ὁμωνύμως αὐτῶν κατηγορούμενον· οὔτε γὰρ ὁ αὐτὸς πᾶσιν αὐτοῖς ἐφαρμόζει λόγος, οὔτε τὰ ἀληθῶς ἴσα σημαίνομεν· κινεῖται γὰρ τὸ ποσὸν ἐν τοῖς αἰσθητοῖς καὶ μεταβάλλει συνεχῶς καὶ οὐκ ἔστιν ἀφωρισμένον. ἀλλ' οὐδὲ ἀκριβῶς τὸν τοῦ ἴσου λόγον ἀναδεχόμενον τῶν ἐνταῦθά ἐστί τι. ἀλλὰ μὴν ἀλλ' οὐδὲ ὡς τὸ μὲν παράδειγμα αὐτῶν τὸ δὲ εἰκόνα· οὐδὲν γὰρ μᾶλλον θάτερον θατέρου παράδειγμα ἢ εἰκών. εἰ δὲ καὶ δέξαιτό τις μὴ ὁμώνυμον εἶναι τὴν εἰκόνα τῷ παραδείγματι, ἀεὶ ἕπεται ταῦτα τὰ ἴσα ὡς εἰκόνας εἶναι ἴσα τοῦ κυρίως καὶ ἀληθῶς ἴσου. εἰ δὲ τοῦτο, ἔστι τι αὐτόϊσον καὶ κυρίως, πρὸς ὃ τὰ ἐνθάδε ὡς εἰκόνες γίνεταί τε καὶ λέγεται ἴσα, τοῦτο δέ ἐστιν ἰδέα, παράδειγμα καὶ εἰκὼν τοῖς πρὸς αὐτὸ γινομένοις ('). εἷς μὲν οὖν οὗτος λόγος ὁ καὶ τῶν πρός τι κατασκευάζων ἰδέας, δοκῶν ἐπιμελέστερον καὶ ἀκριβέστερον καὶ προσεχέστερον ἅπτεσθαι τῆς δείξεως τῶν ἰδεῶν. οὐδὲ γὰρ τὸ κοινὸν εἶναί τι παρὰ τὰ καθ' ἕκαστα ἁπλῶς οὗτος ὁ λόγος δοκεῖ δεικνύναι, ὥσπερ οἱ πρὸ αὐτοῦ, ἀλλὰ τὸ παράδειγμά τι εἶναι τῶν ἐνταῦθα ὄντων κυρίως ὄν· τοῦτο γὰρ χαρακτηριστικὸν εἶναι δοκεῖ τῶν ἰδεῶν μάλιστα. τοῦτον δὴ τὸν λόγον φησὶ καὶ τῶν πρός τι ἰδέας κατασκευάζειν. ἡ γοῦν δεῖξις ἡ νῦν ἐπὶ τοῦ ἴσου προῆλθεν, ὅ ἐστι τῶν πρός τι· τῶν δὲ

1. ἐπὶ] κατὰ *M.* ‖ 3. εἴη] οὐκ *M.* ‖ τι τούτων] τοῦτο Asclep. ‖ 4. ἕκαστα ὂν καὶ κεχωρισμένον αὐτῶν ἀΐδιον ἐπεὶ καὶ ἀΐδιον κατηγορεῖται καὶ πάντων Asclep. ‖ 5. δὲ ἕν ἐστιν *M.* ‖ 13. ὁμοίως om *M.* ‖ 20. ξύλω *M.* ‖ 28. ἔστιν αὐτῶν, ὃ *M.* ‖ 38 — *b* 10. apud Asclep. ‖ 39. εἰ addidit Asclep. ‖ ἄνθρωπον ἵππον ζῷον Asclep.

2. δῆλον ὡς] φανερὸν ὅτι Asclep. ‖ 3. καὶ et ὃ om Asclep. ‖ οὐ γὰρ τοῦ μὴ ὄντος ἐστὶν ἰδέα καὶ εἶδος. φησὶ δὲ Asclep. ‖ 8. σώζομεν om Asclep. ‖ φάντασμα — ὄντων om *A* Asclep. ‖ 9. Ἱπποκένταυρον καὶ Χίμαιραν Asclep. ‖ 10. οὐδὲ οὗτος ὁ λόγος Asclep. ‖ 11. πρός τι λόγος κατασκευάζων τὰς ἰδέας τοιοῦτός *L.* ‖ 12. ὧν κατὰ πλειόνων τι κατηγορεῖται ἢ ὁμωνύμως ἢ συνωνύμως κατηγορεῖται. καὶ εἰ συνωνύμως, ἢ κυρίως ἐκεῖνο λέγεται εἶναι τὰ καθ' ὧν κατηγορεῖται, οἷον ἄνθρωποι Καλλίας καὶ Θεαίτητος, καθ' ὧν ὁ ἄνθρωπος κατηγορεῖται, ἢ οὐ κυρίως λέγεται εἶναι ἐκεῖνο τὰ καθ' ὧν κατηγορεῖται *L.* ‖ 30. αὐτόϊσον κυρίως *V.* ‖ 39 sqq. apud Asclep.

λόγους τοὺς τ. ἐπ.» εἰ ἀπὸ τῶν ἐπιστημῶν ὁρμώμενοι λόγοι καὶ κατασκευάζοντες εἶναι ἰδέας πλεοναχῶς μὲν λαμβάνονται, ὧν δὲ νῦν μνημονεύει, εἰσὶν οὗτοι. εἰ πᾶσα ἐπιστήμη πρὸς ἕν τι καὶ τὸ αὐτὸ ἐπαναφέρουσα ποιεῖ τὸ ἑαυτῆς ἔργον καὶ πρὸς οὐδὲν τῶν καθ' ἕκαστα, οἷον ὁ γεωμέτρης πρὸς ἕν τι τρίγωνον καὶ οὐ πρὸς τόδε τι τὸ καταγεγραμμένον, καὶ ὁμοίως αἱ ἄλλαι ἐπιστῆμαι, ἕτερόν τι ἂν εἴη καθ' ἑκάστων αὐτῶν παρὰ τὰ αἰσθητὰ ἀΐδιον, καὶ παράδειγμα τῶν καθ' ἑκάστων ἐπιστημῶν γινόμενον· τοῦτο δ' ἂν εἴη ἡ ἰδέα. πάλιν ὧν ἐστὶν ἐπιστήμη, ταῦτα ἔστιν· ἄλλα δὲ ταῦτα παρὰ τὰ καθ' ἕκαστα· τὰ γὰρ καθ' ἕκαστα ἄπειρα καὶ ἀόριστα, αἱ δὲ ἐπιστῆμαι ὡρισμένων εἰσίν· τούτων ἄρα εἶεν αἱ ἰδέαι. ἔτι εἰ ἡ ἰατρικὴ οὐκ ἔστιν ἐπιστήμη τῆσδε τῆς ὑγιείας ἀλλ' ἁπλῶς ὑγιείας, ἔσται τις αὐτοϋγίεια· καὶ εἰ ὁ γεωμέτρης οὐ τοῦδε τοῦ συμμέτρου ἢ τοῦδε τοῦ ἴσου ἐπιστήμην ἔχει ἀλλὰ ἁπλῶς ἴσου καὶ ἁπλῶς συμμέτρου, πρὸς ἃ τὰ ἄλλα ἀναφέρων ἀποδείκνυσι τάδε τινὰ εἶναι, ἔστιν ἄρα τὸ αὐτόϊσον καὶ αὐτοσύμμετρον· ταῦτα ἄρα ἰδέαι. τούτων οὖν τῶν τριῶν λόγων οἱ δύο οἱ πρῶτοι οὐ δεικνύουσιν ὅτι εἰσὶν ἰδέαι, ἀλλὰ ἄλλα τινὰ παρὰ τὰ καθ' ἕκαστα· οὐκ ἐξ ἀνάγκης δέ, εἰ ἄλλα τινὰ παρὰ τὰ καθ' ἕκαστα εἰσί, ταῦτα ἰδέας εἶναι· ἔστι γὰρ τὰ καθόλου ὧν φαμὲν εἶναι τὰς ἐπιστήμας. πρὸς τούτοις δὲ δεικνύουσιν ὅτι καὶ τῶν τεχνητῶν εἰσὶν ἰδέαι· πᾶσα γὰρ τέχνη πρὸς ἕν τι καὶ κοινὸν ἀναφέρουσα ποιεῖ τὰ καθ' ἕκαστα, καὶ ὧν εἰσὶ τέχναι, ταῦτα ἔστιν, οἷον τέχνη οἰκίας, καὶ ἔστιν οἰκία παρὰ τὰς καθ' ἕκαστα οἰκίας. καὶ ὁ τρίτος δὲ λόγος οὐδὲ αὐτὸς δείκνυσιν εἶναι ἰδέας· οὐ γὰρ διότι ἡ ἰατρικὴ μή ἐστι τῆσδε τῆς ὑγιείας ἐπιστήμη ἀλλ' ἁπλῶς ὑγιείας ἐστίν, αὐτοϋγίειά τις ἔσται. ἀλλὰ καὶ ὧν οὐ βούλονται εἶναι ἰδέας κατασκευάζει ἰδέας εἶναι· ἑκάστη γὰρ τῶν τεχνῶν οὐ τοῦ καθ' ἕκαστα οὐδὲ τοῦδέ ἐστι τέχνη, ἀλλ' ἁπλῶς ἐκείνου περὶ ὅ ἐστιν, οἷον τεκτονικὴ ἁπλῶς βάθρου καὶ ἁπλῶς κλίνης καὶ βάθρον ἐποίει· νῦν δὲ ποιεῖ πολλὰ διαφέροντα καὶ τοῖς σχήμασι καὶ τοῖς μεγέθεσιν· εἰ δὴ ἄρα, οἱ τοιοῦτοι λόγοι καὶ ὧν οὐκ
990 b 14. ἐβούλοντο εἶναι ἰδέας. «κατὰ δὲ τὸ νοεῖν.» ὁ λόγος ὁ ἀπὸ τοῦ νοεῖν κατασκευάζων εἶναι τὰς ἰδέας τοιοῦτός ἐστιν. ὅταν νοῶμεν ἄνθρωπον ἢ ἵππον ἢ πεζὸν ἢ ζῷον, ὄν τι νοοῦμεν καὶ οὐδὲν τῶν καθ' ἕκαστα· καὶ γὰρ φθαρέντων τῶν καθ' ἕκαστα οὐδὲν ἧττον ἡ ἔννοια μένει τῶν τοιούτων. δῆλον ἄρα ὡς ἔστι τι παρὰ τὰ καθ' ἕκαστα, ὃ καὶ ὄντων καὶ μὴ ὄντων ἐκείνων νοοῦμεν· οὐ γὰρ δὴ τὸ μὴ ὂν νοοῦμεν τότε. τοῦτο δὲ οὐδὲν ἂν εἴη ἕτερον ἢ ἡ ἰδέα ἄφθαρτος οὖσα. φησὶν οὖν ὁ Ἀριστοτέλης... «ἔτι δὲ οἱ ἀκριβέστατοι τ. λ.» ὁ μὲν ἐκ τῶν πρός τι λόγος κατασκευάζων τὰς ἰδέας τοιοῦτός ἐστιν. ἐφ' ὧν κατὰ πλειόνων τι κατηγορεῖται, ἢ ὁμωνύμως ἢ συνωνύμως κατηγορεῖται. καὶ εἰ συνωνύμως, ἢ κυρίως ἐκεῖνο λέγεται εἶναι τὰ καθ' ὧν κατηγορεῖται, οἷον ἄνθρωποι Καλλίας καὶ Θεαίτητος καθ' ὧν ὁ ἄνθρωπος κατηγορεῖται, ἢ οὐ κυρίως λέγεται εἶναι ἐκεῖνο τὰ καθ' ὧν κατηγορεῖται, ὡς ὅταν τῶν εἰκόνων Σωκράτους καὶ Πλάτωνος τὸ ἄνθρωπος κατηγορεῖται· οὐ κυρίως γὰρ αἱ εἰκόνες Σωκράτους καὶ Πλάτωνος ἄνθρωποι λέγονται. ἢ ὁμωνύμως, ὡς ὅταν τὸ καθ' οὗ κατηγορεῖται, τὸ μὲν κυρίως λέγεται ἐκεῖνο τὸ κατηγορούμενον τὸ δ' οὐ κυρίως, οἷον ὅταν ὁ Σωκράτης καὶ ἡ Σωκράτους εἰκὼν ἄνθρωπος λέγεται. τὸ γοῦν αὐτὸ ἴσον κατηγορεῖται κατὰ τῶν αἰσθητῶν ἴσων, καὶ λέγονται ταῦτα αὐτόϊσα· ἢ ὁμωνύμως ἢ συνωνύμως ἄρα. συνωνύμως μὲν καὶ κυρίως αὐτόϊσα οὐκ ἂν ῥηθεῖεν· τὸ γὰρ αὐτόϊσον τὸ ἀληθῶς ἴσον εἴη, ῥεῖ δὲ τὸ ποσὸν ἀεὶ τῶν αἰσθητῶν τῶν ἴσων. ἀλλ' οὐδὲ ὁμωνύμως αὐτόϊσα λεχθεῖεν, ὥστε εἶναι τὸ μὲν κυρίως τὸ δ' οὐ κυρίως, καὶ τὸ μὲν ὡς παράδειγμα θατέρου τῶν ἴσων τὸ δ' ὡς εἰκών· τί γὰρ μᾶλλον τοῦτο ἐκείνου παράδειγμα, ἐκεῖνο δὲ εἰκών, ἐπεὶ καὶ ἄμφω τὸ ποσὸν ὁμοίως ῥεῖ; λείπεται οὖν τὸ αὐτόϊσον κατηγορεῖσθαι αὐτοῦ συνωνύμως, οὐ κυρίως δέ. τὸ γοῦν αὐτόϊσον οὐ τῶνδε τῶν ἴσων τῶν αἰσθητῶν κυρίως κατηγορεῖται ἀλλὰ ἄλλου παρὰ ταῦτα, οὗ εἰκόνες ὡς ὁμοιώματα τὰ τῇδε εἰσιν ἴσα· τοῦτο δ' ἐστὶν ἡ ἰδέα. cod. Laur.

«κατά — εἰσί.» πλεοναχῶς μὲν ταῖς ἐπιστήμαις πρὸς τὴν τῶν 990 b 11.
ἰδεῶν κατασκευὴν προσεχρήσαντο, ὡς ἐν τῷ πρώτῳ περὶ Ἰδεῶν λέγει, ὧν δὲ νῦν μνημονεύειν ἔοικε λόγων, εἰσὶ τοιοῦτοι. εἰ πᾶσα ἐπιστήμη πρὸς ἕν τι καὶ τὸ αὐτὸ ἐπαναφέρουσα ποιεῖ τὸ αὐτῆς ἔργον καὶ πρὸς οὐδὲν τῶν καθ' ἕκαστον, εἴη ἄν τι ἄλλο καθ' ἑκάστην παρὰ τὰ αἰσθητὰ ἀΐδιον καὶ παράδειγμα τῶν καθ' ἑκάστην ἐπιστήμην γινομένων· τοιοῦτον δὲ ἡ ἰδέα. ἔτι ὧν ἐπιστῆμαί εἰσι, ταῦτα ἔστιν· ἄλλων δέ τινων παρὰ τὰ καθ' ἕκαστά εἰσιν αἱ ἐπιστῆμαι, ταῦτα γὰρ ἄπειρά τε καὶ ἀόριστα, αἱ δὲ ἐπιστῆμαι ὡρισμένων· ἔστιν ἄρα τινὰ παρὰ τὰ καθ' ἕκαστα, ταῦτα δὲ αἱ ἰδέαι. ἔτι εἰ ἡ ἰατρικὴ οὐκ ἔστιν ἐπιστήμη τῆσδε τῆς ὑγιείας ἀλλ' ἁπλῶς ὑγιείας, ἔσται τις αὐτοϋγίεια· καὶ εἰ ἡ γεωμετρία μή ἐστι τοῦδε τοῦ ἴσου καὶ τοῦδε τοῦ συμμέτρου ἐπιστήμη ἀλλ' ἁπλῶς ἴσου καὶ ἁπλῶς συμμέτρου, ἔσται τι αὐτόϊσον καὶ αὐτοσύμμετρον, ταῦτα δὲ αἱ ἰδέαι. οἱ δὴ τοιοῦτοι λόγοι τὸ μὲν προκείμενον οὐ δεικνύουσιν, ὃ ἦν τὸ ἰδέας εἶναι, ἀλλὰ δεικνύουσι τὸ εἶναί τινα παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά. οὐ πάντως δέ, εἴ τινα ἔστιν ἃ εἰσι παρὰ τὰ καθ' ἕκαστα, ταῦτά εἰσιν ἰδέαι· ἔστι γὰρ παρὰ τὰ καθ' ἕκαστα τὰ κοινά, ὧν φαμὲν καὶ τὰς ἐπιστήμας εἶναι. ἔτι τε τὸ καὶ τῶν ὑπὸ τὰς τέχνας ἰδέας εἶναι· καὶ γὰρ πᾶσα τέχνη πρὸς ἕν τι ἀναφέρει τὰ γιγνόμενα ὑπ' αὐτῶν, καὶ ὧν εἰσὶν αἱ τέχναι, ταῦτα ἔστι, καὶ ἄλλων τινῶν παρὰ τὰ καθ' ἕκαστά εἰσιν αἱ τέχναι. καὶ ὁ ὕστερος δέ, πρὸς τῷ μηδὲ οὗτος δεικνύναι τὸ εἶναι ἰδέας, καὶ ὧν οὐ βούλονται ἰδέας εἶναι κατασκευάζειν ἰδέας δόξει. εἰ γὰρ διότι ἡ ἰατρικὴ μή ἐστι τῆσδε τῆς ὑγιείας ἐπιστήμη ἀλλ' ἁπλῶς ὑγιείας ἐστίν, αὐτό τις ὑγίεια ἔσται, καὶ ἐπὶ τῶν τεχνῶν ἑκάστης (οὐ γὰρ τοῦ καθ' ἕκαστα οὐδὲ τοῦδέ ἐστιν, ἀλλ' ἁπλῶς ἐκείνου περὶ ὅ ἐστιν, οἷον ἡ τεκτονικὴ ἁπλῶς βάθρου ἀλλ' οὐ τοῦδε, καὶ ἁπλῶς κλίνης ἀλλ' οὐ τῆσδε· ὁμοίως καὶ ἡ ἀνδριαντοποιητικὴ καὶ ἡ γραφικὴ καὶ ἡ οἰκοδομικὴ δὲ καὶ τῶν ἄλλων ἑκάστη τεχνῶν ἔχει πρὸς τὰ ὑφ' ἑαυτήν), ἔσται ἄρα καὶ τῶν ὑπὸ τὰς τέχνας ἑκάστου ἰδέα, ὅπερ οὐ βούλονται. Alex.

«καὶ κατὰ — ἀποφάσεων.» χρῶνται καὶ τοιούτῳ λόγῳ εἰς κατα- 990 b 13.
σκευὴν τῶν ἰδεῶν. εἰ ἕκαστος τῶν πολλῶν ἀνθρώπων ἄνθρωπός ἐστι

b 46 — p. 565 *a* 8. apud Asclep. ‖ 46. εἰ γὰρ ἕκαστος Asclep.

τῇ ἐξηγήσει τοῦ Θεαιτήτου. οὔτε δὲ πάλιν τῶν τεχνητῶν ὑπάρχουσιν ἰδέαι, εἴγε κατὰ μίμησιν τῶν φυσικῶν γίνονται τὰ τεχνητὰ πάντα, καὶ ἔστι μὲν ἡ φύσις παράδειγμα, εἰκὼν δὲ ἡ τέχνη. οὔτε δὲ πάλιν τῶν παρὰ φύσιν ὑπάρχουσιν ἰδέαι· ἡ γὰρ ἔλλαμψις ἐκεῖθεν, ὡς εἴρηται, προέρχεται ἐπὶ τῶν κατὰ φύσιν, οὐκ ἐπὶ τῶν παρὰ φύσιν. διὰ τοῦτο νῦν πάνυ ἀσφαλῶς προσέθεικε τὸ "σχεδὸν γὰρ ἴσα" πού, οὐ πολλῷ ἐλάττω τε δή ἐστι τούτοις, οὐ τοῖς καθ' ἕκαστα ἀτόμοις λέγων, ἀλλὰ τοῖς ὑπ' αὐτοῖς εἴδεσιν... συνώνυμον γὰρ οὐ δυνατὸν εἶναι, ἐπειδὴ ἐν τοῖς συνωνύμοις τὸ κατηγορούμενον τὸ εἶναι ἔχει ἐν τοῖς καθ' ἕκαστα, καὶ μέρος ἐστὶ τὸ ὑποκείμενον τοῦ κατηγορουμένου· ἐνταῦθα δὲ ὁ ἄνθρωπος οὐκ ἔστι μέρος τοῦ δημιουργικοῦ λόγου, ἀλλὰ τὸ εἶναι προάγει ὁ λόγος. οὔτε δὲ πάλιν ὁμώνυμον ὡς ἡ Αἴας φωνή· αὕτη γὰρ καὶ ἀνυπόστατός ἐστιν, τὰ δὲ εἴδη οὐκ ἀνυπόστατα ὑπάρχουσι. καθ' ἕκαστον οὖν εἶδός ἐστιν ἰδέα. καὶ περὶ τὰς οὐσίας τῶν φυσικῶν πραγμάτων ἔστι τὸ ἓν τὸ πρὸ τῶν πολλῶν, ἰδέα ἀνθρώπου πρὸ τῶν πολλῶν ἀνθρώπων, καὶ ἵππου καὶ τῶν ἄλλων ὁμοίως. ὑπάρχουσιν οὖν ἰδέαι καὶ τῶν φυσικῶν καὶ τῶν ἐν γενέσει καὶ τῶν ἀϊδίων· ἔστι γὰρ ἰδέα καὶ ἡλίου καὶ σελήνης καὶ πάντων τῶν ἀϊδίων παρὰ τῷ δη-
990b 8. μιουργῷ. "ἔτι δὲ καθ' οὓς τρόπους δείκνυμεν ὅτι ἔστι τὰ εἴδη." ἐντεῦθεν βούλεται εἰπεῖν τὰς αἰτίας ἐξ ὧν ὑπέλαβον εἶναι ἰδέας, καὶ διὰ τοῦ εἰπεῖν "ἔτι δὲ καθ' οὓς τρόπους ἐδείκνυμεν τὰ εἴδη" συμπεριέλαβε καὶ αὐτὸν ὡς τοῦ αὐτοῦ διδασκαλείου ὑπάρχοντα, φημὶ δὲ τοῦ Πλατωνικοῦ. τέσσαρα οὖν αἴτια ὑπάρχουσι τὰ δεικνύντα ὅτι αἱ ἰδέαι ὑπάρχουσιν, ἀλήθεια, μονὴ καὶ μνήμη, ἀριθμὸς καὶ ὁρισμός. ἐκ μὲν οὖν τῆς ἀληθείας οὕτω κατεσκεύαζον ὅτι ὑπάρχουσιν αἱ ἰδέαι. ἔλεγον γὰρ οὕτως ὅτι ἐνταῦθα οὐκ ἔστι καθαρὰ ἀλήθεια, ἀλλ' ἔχει μεμιγμένον τὸ ψεῦδος καὶ οὐκ ἔστιν ἀλήθεια. ὡμολόγηται δὲ ὅτι ἔστιν ἀλήθεια· ἐὰν γὰρ μὴ ᾖ ἀλήθεια, οὐδ' ἄλλο τί ἐστιν, εἴ γε ἐκ τῆς ἀληθείας τὰ ἄλλα προέρχεται. φανερὸν οὖν ὅτι ὑπάρχουσιν αἱ ἰδέαι· παρ' αὐταῖς γὰρ σώζεται τὸ ἀμιγὲς καὶ καθαρὸν πάντων τῶν πραγμάτων, ὥστε καὶ ἡ κυρίως ἀλήθεια. πάλιν δέ φασιν ὅτι εἰ μὴ ἔστιν ἐνταῦθα μονὴ μηδὲ καθαρὰ μνήμη διὰ τὸ ῥευστὸν τῆς ὕλης (ἡ γὰρ ῥεῦσις αὕτη οὐκ ἐᾷ μόνιμον εἶναι καὶ στάσιμον τὴν μνήμην), ἔστι δὲ ὁμολογουμένως καθαρὰ μνήμη καὶ εἰλικρινὴς καὶ ἀθόλωτος καὶ ἀεὶ ὡσαύτως ἔχουσα, ἔστιν ἄρα ἰδέα μνήμης παρὰ τῷ δημιουργῷ, ἐπειδὴ καὶ δεῖ εἶναι τὴν ὄντως μνήμην, ἐξ ἧς πᾶσι τοῖς ἄλλοις τὸ εἶναι. ἔπειτα καὶ ἐκ τῶν ἀριθμῶν· εἰ γὰρ τὰ ἐνταῦθα πάντα ἀριθμητὰ ὑπάρχουσιν, εἰσὶ δὲ καὶ ἀριθμοὶ αὐτοὶ καθ' αὑτοὺς μετροῦντες τὰ ἀριθμητά, ἐπεὶ οὐδὲ ἀριθμητὰ ὑπάρχουσι μὴ ὄντων τῶν ἀριθμῶν τῶν ἀριθμούντων, φανερὸν ὅτι ὑπάρχουσιν ἰδέαι· οἱ γὰρ κυρίως ἀριθμοὶ οἱ μετρητικοὶ παρὰ τῷ δημιουργῷ ὑπάρχουσι. πάλιν δὲ καὶ ἐκ τῶν ὁρισμῶν· τὰ γὰρ ἐνταῦθα ἀόριστα ὑπάρχουσιν, οἱ δὲ κυρίως ὅροι τῶν ἀϊδίων πραγμάτων ὑπάρχουσι καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων καὶ μὴ ποτὲ μὲν ὄντων ποτὲ δὲ μὴ ὄντων, τὰ δὲ ἐνταῦθα τοιάδε· εἰ οὖν ὑπάρχουσιν ὁρισμοί, φανερὸν ὅτι καὶ ἰδέαι ὑπάρχουσι. φησὶν οὖν πρὸς ταῦτα ὁ Ἀριστοτέλης... φαμὲν δὲ ἡμεῖς ὅτι ὁ Πλάτων περὶ τῆς ὄντως ἀληθείας διελέγετο τῆς καθαρᾶς καὶ εἰλικρινοῦς καὶ ἀπαραλογίστου καὶ μηδὲν θολὸν ἐχούσης· ἡ δὲ τοιαύτη ἀλήθεια εἰλικρινὴς οὐ θεωρεῖται ἐν τοῖς τῇδε... ὁ δὲ ἡμέτερος φιλόσοφος ἔφασκεν ὅτι ὁ Πλάτων οὐ περὶ τῆς τοιαύτης ἐπιστήμης εἴρηκεν, ἀλλὰ περὶ τῆς ἀΰλου καὶ καθόλου, ἥτις ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, ἥτις καὶ πάντα ἁπλῶς τὰ ὄντα οἶδεν ᾗ ὄντα ἐστί, καὶ τὰ ἐσόμενα καὶ τὰ μέλλοντα, καὶ τὰ καθόλου καὶ τὰ καθ' ἕκαστα· τοιαύτη δὲ ἐπιστήμη οὐκ ἔστιν εἰ μὴ παρὰ μόνῳ τῷ θεῷ· ὥστε καὶ ἐντεῦθεν συνάγομεν ὅτι ἔστιν ἰδέα. "καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν." εἰ ἔστιν ἓν κατὰ πολλῶν κατηγορούμενον, τοῦτο δὲ ἐν τοῖς καθ' ἕκαστα οὐ θεωρεῖται, φανερὸν ὅτι ἔστιν ἰδέα. εἰ γὰρ ἕκαστος τῶν πολλῶν ἀνθρώπων ἄνθρωπός ἐστι καὶ τῶν πολλῶν ζῴων ζῷον καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ οὐκ ἔστιν ἐφ' ἑκάστου αὐτῶν αὐτὸ αὑτοῦ κατηγορούμενον, ἀλλ' ἔστι τι ὃ κατὰ πάντων αὐτῶν κατηγορεῖται, οὐδενὶ αὐτῶν ὂν ταὐτόν, εἴη ἂν τοῦτο παρὰ τὰ καθ' ἕκαστα ὄν, κεχωρισμένον αὐτῶν, ἀΐδιον, ἐπεὶ καὶ ἀϊδίων κατηγορεῖται καὶ πάντων τῶν κατ' ἀριθμὸν ἀλλασσομένων· ὃ δὲ ἕν ἐστιν ἐπὶ πολλοῖς κεχωρισμένον αὐτῶν καὶ ἀΐδιον, τοῦτό ἐστιν ἰδέα· εἰσὶν ἄρα ἰδέαι. φησὶν οὖν πρὸς τοῦτο ὁ Ἀριστοτέλης ὅτι οὗτος ὁ λόγος κατασκευάζει ἰδέας καὶ τῶν ἀποφάσεων... φαμὲν οὖν πρὸς τοῦτο ὅτι αἱ ἀποφάσεις κατὰ συμβεβηκὸς κατηγοροῦνται, αἱ δὲ ἰδέαι καθ' αὑτό, εἴ γε καὶ ἐξ αὐτῶν τὸ εἶναι τῶν πραγμάτων· ὥστε οὐχ ὑπάρχουσιν ἰδέαι τῶν ἀποφάσεων, οὔτε δὲ ἐκεῖνοι ὑποτίθενται, ἀλλὰ τὸ ἕν ἐστιν ἰδέα τὸ κατὰ πλειόνων καθ' αὑτὸ λεγόμενον... λέγομεν τοίνυν πάλιν πρὸς τοῦτο ὅτι ὁ Πλάτων ἰδέας ὑπετίθετο τῆς ὄντως νοήσεως καὶ κυρίως, ἐπειδὴ τῶν φθαρέντων οὐκέτι ἐστὶ νόησις ἀλλὰ φαντασία· ὥστε οὐδ' ἐνταῦθα καλῶς αὐτῷ ἐγκαλεῖ· οὐκ ἔστι γὰρ φαντασία ἡ κυρία νόησις. id.

(⁷) καθ' οὓς τρόπους "δείκνυμεν" τὰ εἴδη. οὐκ εἶπε δείκνυται τὰ εἴδη, ἀλλὰ δείκνυμεν· οὐ γὰρ ὡς ἀλλοτρίοις ἀντιλέγει λόγοις ἢ δόγμασι τὴν περὶ τῶν ἰδεῶν βασανίζων δόξαν, ἀλλ' ὡς οἰκείαν ὑπόληψιν ἐξετάζων, οὕτως ποιεῖται τὰς ἀντιλογίας τῆς τοῦ ἀληθοῦς εὑρέσεως χάριν· διὸ καὶ κοινοποιεῖται τὸ δόγμα· τοῦ Πλατωνικοῦ γὰρ ἦν καὶ αὐτὸς ἀκροατηρίου. κατ' οὐδένα οὖν τρόπον ἀποδείξεων τῶν δεικνύντων τὰς ἰδέας δείκνυται ὅτι εἰσὶν αὗται· τινὲς γὰρ λόγοι ψευδεῖς εἰσὶ καὶ οὐ δεικνύουσιν ὅτι εἰσὶν ἰδέαι, ὧν οὐδὲ μνημονεύει. ἔστι δὲ πρῶτος μὲν ὁ λέγων, εἰ ἔστιν ἀληθές, εἰσὶν ἰδέαι· τῶν γὰρ ἐνταῦθα οὐδὲν ἀληθές. δεύτερος δέ, εἰ ἔστι μνήμη, εἰσὶν ἰδέαι· ἡ γὰρ μνήμη τοῦ μένοντος, ῥεῖ δὲ τὰ ἐνταῦθα. τρίτος ὅτι ὁ ἀριθμὸς τῶν ὄντων ἐστί, τὰ δὲ ἐνταῦθα μὴ ὄντα· ἔστιν ἄρα ὁ ἀριθμὸς τῶν ἰδεῶν. τέταρτος ὅτι οἱ ὁρισμοὶ τῶν ὄντων εἰσί, τὰ δὲ ἐνταῦθα μὴ ὄντα· εἰσὶν ἄρα ἰδέαι, εἴπερ καὶ ὁρισμοὶ καὶ ἀριθμοί εἰσιν. οἱ τοιοῦτοι οὖν λόγοι ψευδεῖς τέ εἰσι καὶ οὐδὲν δεικνύντες, ἐσήμανεν εἰπὼν "ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίνεσθαι συλλογισμόν, ἐξ ἐνίων δὲ καὶ οὐχ ὧν οἰόμεθα τούτων ἤδη γίγνεται," τουτέστιν ἔκ τινων δὲ λόγων τῶν κατασκευαζόντων τὰς ἰδέας οὐ μόνον οὐ δείκνυται ὅτι εἰσὶν ἰδέαι, ἀλλὰ καὶ κατασκευάζεται ἐξ αὐτῶν ἰδέας εἶναι καὶ ὧν πραγμάτων οὐκ ἔλαβον εἶναι ἰδέας, οἷον τῶν τεχνητῶν· τοῦτο γὰρ ἐσήμανεν εἰπὼν "εἴδη ἔσται πάντων ὅσων ἐπιστῆμαί εἰσι, καὶ τῶν ἀποφάσεων καὶ τῶν φθαρτῶν," ὃ ἴσον ἂν εἴη τῶν μὴ ὄντων εἶναι καὶ τῶν πρός τι· τούτων δὲ ἰδέας οὐκ ἔλεγον, ἀλλ' οὐδὲ τῶν κακῶν. "κατά τε γὰρ τοὺς 990b 11.

τούτων ὧν ζητοῦντες τὰς αἰτίας ἐπ' ἐκείνας προῆλθον, δεικτικὸν πα-
990 b 6. ρέθετο "καθ' ἕκαστον γὰρ ὁμώνυμόν τί ἐστιν," ὁμώνυμον μὲν λέγων τὸ συνώνυμον, ἐπεὶ καὶ Πλάτων οὕτως αὐτὰς εἶπε. δείκνυσι δὲ διὰ τοῦ ἑκάστου τῶν ζητουμένων αὐτοὺς συνώνυμόν τι εἶδος θέσθαι τὸ ἰσάριθμα τὰ εἴδη αὐτοῖς τοῖς αἰσθητοῖς λέγειν. ἢ δύναται τὸ ὁμώνυμον ὅτι, ὡς λέγουσιν, οὐδὲν ἂν συμβάλλοιντο πρὸς τὴν γνῶσιν τοῖς ἐνταῦθα. εἰπὼν δὲ "καθ' ἕκαστον γὰρ ὁμώνυμόν τί ἐστιν," πῶς "καθ' ἕκαστον," δείκνυσι. τὸ δὲ "καὶ παρὰ τὰς οὐσίας τῶν τε ἄλλων ἅ ἐστιν ἓν ἐπὶ πολλῶν, καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις" ἴσον ἂν εἴη τῷ παρά τε γὰρ τὰς τῇδε οὐσίας ἔστιν ὁμώνυμα αὐτοῖς εἴδη, ὁμοίως δὲ καὶ παρὰ τὰ ἄλλα ὄντα τὰ παρὰ τὴν οὐσίαν, ἅ ἐστι τὰ ἄλλα γένη, ἐφ' ὧν ἔστιν ἕν τι καὶ κοινὸν ἐπὶ πολλῶν τοῖς καθ' ἕκαστα. οἷς γάρ ἐστι τὰ κοινὰ τὰ ἐπὶ τοῖς καθ' ἕκαστα, ὧν κοινῶν αἱ ἰδέαι, εἴησαν ἂν κατ' αὐτοὺς αἰτίαι τοῦ εἶναί τε καὶ γίγνεσθαι. τὸ δὲ "καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις" δηλωτικὸν ἂν εἴη τοῦ καὶ ἐπὶ τοῖς ἐν γενέσει καὶ φθορᾷ (τούτων γὰρ τὸ "ἐπὶ τοῖσδε" δηλωτικόν) καὶ ἐπὶ τοῖς ἀϊδίοις· καὶ γὰρ ὁ κόσμος κατ' αὐτοὺς καὶ τὰ ἐν αὐτῷ ἀϊδίως τὸ εἶναι ἔχει. διὸ εὐλόγως εἴρηται τὸ ἰσάριθμα τῶν τε ἄλλων "ὧν ἐστὶν ἓν ἐπὶ πολλῶν," ἀντὶ τοῦ τῶν τε ἄλλων ἐφ' ὧν ἐστὶν ἓν ἐπὶ πολλῶν τινῶν· καὶ γὰρ ἄλλων βουληθεὶς δηλῶσαι τοῦτο προσέθηκε· τῶν γὰρ κοινῶν τῶν ἐπὶ τοῖς καθ' ἕκαστα αἰτίαι αἱ ἰδέαι κατ' αὐτούς (a). ἢ τὸ "ἓν ἐπὶ πολλῶν" ἐπὶ τῆς ἰδέας εἴρηκε· καὶ γὰρ εἰ μὴ τῶν καθ' ἕκαστά ἐστιν ἰδέα, ἀλλὰ τοῦ ἐν τοῖς καθ' ἕκαστα κοινοῦ (b)· ἀνθρώπου γάρ, ἀλλ' οὐ Σωκράτους καὶ Πλάτωνος, ὃς ἄνθρωπος ἐν τούτοις τε καὶ ἐν πᾶσι τοῖς ὁμοειδέσιν αὐτοῖς κοινὸς εἴη διὰ τὸ ἐνυπάρχειν
990 b 8. πᾶσι. τοῦ δὲ "καθ' οὓς τρόπους δείκνυμεν τὰ εἴδη, κατ' οὐδένα φαίνεται τούτων," τὸ "δείκνυμεν" δηλωτικόν ἐστι τοῦ ὡς πρὸς οἰκείαν δόξαν λέγειν αὐτόν, λέγοντα τὰ Πλάτωνος· οὐ γὰρ ὡς ἀλλοτρίοις ἀντιλέγων λόγοις καὶ δόγμασιν, ἀλλ' ὡς οἰκείαν δόξαν βασανίζων τε καὶ ἐξετάζων, οὕτως ποιεῖ τὴν ἀντιλογίαν τῆς τοῦ ἀληθοῦς εὑρέσεως χάριν. πειρᾶται δὲ δεικνύναι ὅτι οὐδεὶς τῶν λόγων τῶν εἰς κατασκευὴν τῶν ἰδεῶν φερομένων εἶναι δείκνυσιν ἰδέας. οἱ μὲν γὰρ αὐτῶν οὔτε συλλογίζονται οὔτε συνάγουσι τὸ προκείμενον, πρὸς τῷ καὶ ὧν μὴ βούλονται ἰδέας εἶναι, καὶ τούτων τίθεσθαι· οἱ δὲ καὶ δοκοῦντες συλλογίζεσθαί τι περὶ ἰδεῶν οὐκ ἐκφεύγουσι τῶν ὧν οὐ βούλονται εἶναι ἰδέας, καὶ τούτων κατασκευάζειν· οὐ γὰρ ὡς ἄλλων πάντη ὄντων τῶν ἀσυλλογίστως ἐρωτωμένων, ἄλλων δὲ τῶν κατασκευαζόντων ἰδέας καὶ ὧν οὐ βούλονται λέγειν, ἀλλ' ὅτι τῶν αὐτῶν λόγων οἱ μὲν κατ' ἄμφω ἡμάρτηνται, οἱ δὲ πάντως καθ' ἕτερον. ἢ τινὰς τῶν λεγομένων λόγων ὑπ' αὐτῶν ὡς τέλεον ψευδεῖς καὶ μηδὲν δεικνύντας αἰτιᾶται, οἷος εἴη ἂν ὁ λέγων, εἰ ἔστι τι τἀληθές, εἴη ἂν τὰ εἴδη, τῶν γὰρ ἐνταῦθα οὐδὲν ἀληθές· καὶ εἰ μνήμη ἐστίν, ἔστι τὰ εἴδη, ἡ γὰρ μνήμη τοῦ μένοντος· καὶ ὁ τὸν ἀριθμὸν ὄντος εἶναι λέγων, ταῦτα δὲ οὐκ ὄντα, εἰ δέ, τῶν εἰδῶν, ἔστιν ἄρα τὰ εἴδη. ὁμοίως καὶ ὁ τοὺς ὁρισμοὺς τῶν ὄντων εἶναι λέγων, τούτων δὲ μηδὲν εἶναι. οἱ δὲ τοιοῦτοι λόγοι ψευδεῖς τε καὶ τὸ δέον οὐδὲν δεικνύντες. διὸ τῶν μὲν τοιούτων οὐδενὸς μνημονεύει νῦν, εὐθύνει δέ τινας τῶν δοκούντων τι δεικνύναι, καὶ πρῶτόν γε τὸν ἀπὸ τῶν ἐπιστημῶν τὰς ἰδέας κατασκευάζοντα. εἰ δὲ αὐτοὶ οἱ λόγοι οἱ ὑπὲρ αὐτῶν λεγόμενοι εἰς κατασκευὴν τῶν ἰδεῶν εἰσὶ τοιοῦτοι ὡς ἢ μὴ συλλογίζεσθαι τὸ προκείμενον ἢ ἄλλων τινῶν ἰδέας εἰσάγειν καὶ μὴ ὧν βούλονται, οὐδὲν ἔξωθεν ἄλλων δεῖ λόγων, ἀλλ' αὔταρκες πρὸς ἀναίρεσιν τοῦ δόγματος τὸ τὴν ἀσθένειαν δεῖξαι τῶν λεγομένων. id.

(a) ἐντεῦθεν δοκεῖ πρὸς τὸν Πλάτωνα ἀποτείνεσθαι περὶ τῶν 990 a 33.
ἰδεῶν. εἰρήκαμεν δὲ τὸν σκοπὸν τοῦ Ἀριστοτέλους περὶ τούτου· αὐτὸς γάρ ἐστιν ὁ λέγων ἐν τῇ περὶ Ψυχῆς πραγματείᾳ (3 4) "καὶ εὖ γε οἱ τὴν ψυχὴν εἰρηκότες τόπον εἰδῶν," καὶ ὅτι ὁ ἐνεργείᾳ νοῦς ἐστὶ τὰ πράγματα, καὶ πάλιν ὅτι ὁ μὲν δυνάμει νοῦς ἐνεργεῖ, ὁ δὲ ἐνεργείᾳ νοῦς ποιεῖ. ὥστε ἄντικρυς καὶ αὐτὸς ἐναποτίθεται ἰδέας τῷ νῷ. πῶς οὖν, εἴποι ἄν τις, καὶ αὐτὸς πρεσβεύων ἰδέας δοκεῖ τῷ Πλάτωνι μάχεσθαι; καὶ λέγομεν ὅτι κατ' ἀλήθειαν οὐ τῷ Πλάτωνι μάχεται, ἀλλὰ τῷ ἐν ἄλλῳ καὶ ἄλλῳ ὄντι Πλάτωνι μάχεται, τοῖς ὑποτιθεμένοις τὰς ἰδέας ταύτας αὐτὰς καθ' αὑτὰς ὑπαρχούσας καὶ οὔσας κεχωρισμένας τοῦ νοῦ. ὥστε φανερὰ ἡμῖν γέγονεν ἡ ὅλη ἔννοια τοῦ Ἀριστοτέλους ἡ περὶ τῶν ἰδεῶν. Asclep.

(b) εἰδέναι μέντοι γε χρὴ ὅτι οὐ διπλασιάζεται ὁ ἀριθμὸς ἐκ 990 b 1.
τῶν ἰδεῶν. τὰ μὲν γὰρ αἴτια ὑπάρχουσι, τὰ δὲ αἰτιατά· τὰ οὖν αἴτια τὰ ἐξῃρημένα ὑπάρχουσι, τουτέστιν αἱ ἰδέαι καὶ οἱ παρὰ τῷ δημιουργῷ τῶν πραγμάτων λόγοι, καὶ οὐδέποτε συγκαταριθμοῦνται τοῖς αἰσθητοῖς, ἐπειδὴ οὔτε συμφύονται αὐτοῖς. καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐκ τῶν αἰτιατῶν προϊὼν ἀνέρχεται ἐπὶ τὰ αἴτια. ὅτι γὰρ καὶ αὐτὸς ὑποτίθεται αἴτια τῶν πραγμάτων ὁμολογεῖται. διαλεγόμενος δὲ περὶ τῶν οὐρανίων σφαιρῶν φησὶν ὅτι ὅσαι σφαῖραι ὑπάρχουσι, τοσαῦτα καὶ αἴτια κινοῦντα τὰς σφαίρας· καθ' ἑκάστην γὰρ σφαῖραν ἐφέστηκε δύναμις ἡ κινοῦσα. οὔτε γὰρ ἀπὸ ταὐτομάτου ἐφήκει ἡ κίνησις, οὔτε δὲ πάλιν δεῖ λέγειν, φησίν, ὅτι ὁ θεὸς κινεῖ αὐτάς, ἐπεὶ τοῦτο περὶ πάντων ἐρῶ, ὅτι καὶ τοὺς ἀνθρώπους καὶ τὰ ἄλογα ζῷα ὁ θεὸς κινεῖ, καὶ οὐκ ἔστιν αἴτιον εἰδικὸν τὸ κινητικὸν τῶν σωμάτων. ὥστε καὶ ὁ Ἀριστοτέλης αἴτια ὑποτίθεται τῶν πραγμάτων. id.

(c) δεῖ προσθεῖναι τὸ πολλῷ ἀντὶ τοῦ οὐ πολλῷ ἐλάττονα τὰ 990 b 5.
εἴδη ἐστὶ τῶν αἰσθητῶν· ἐπεὶ οὔτε τῶν τεχνητῶν ἰδέαι ὑπάρχουσιν οὔτε τῶν κακῶν κατ' αὐτούς, οὔτε δὴ τῶν παρὰ φύσιν ἀλλὰ μόνον τῶν κατὰ φύσιν. ἡ γὰρ φύσις οὐδέν ἐστιν ἕτερον ἢ ἔλλαμψις ἐκεῖθεν προϊοῦσα καὶ καταλάμπουσα τὰ τῇδε, καὶ ἔχουσα ἐν ἑαυτῇ τοὺς δημιουργικοὺς λόγους, οὐ μέντοι γε ἐπιστρέφουσα πρὸς ἑαυτήν. διό φαμεν καὶ ἀλόγως αὐτὴν ποιεῖν, ἐπεὶ καὶ ἐν φυτοῖς ὁρᾶται καὶ ἐν ἀλόγοις ζῴοις. ὥστε μόνων τῶν κατὰ φύσιν φανῆναι ἰδέας, οὐ μέντοι τῶν κακῶν, εἴ γε τὰ κακὰ καὶ ἀνυπόστατα ὑπάρχουσιν, ὡς δείκνυται ἐν

a 10. ὁμώνυμα — 11. ἃ om *A.* ‖ 11. καὶ περὶ τὰ *L.* ‖ 12. πολλοῖς *A.* ‖ τοῖς ἀϊδίοις καθ' *V.* ‖ 18. διὸ καὶ εὐλόγως εἴρηται τὸ ἰσαριθμητῶν τε *V.* ‖ 20. δηλῶσαι καὶ τοῦτο *L.* ‖ 21. αἱ et 22. εἰ om *V.* ‖ 24. γὰρ καὶ ἄλλου *V.* ‖ 25. αὐτοῖς καὶ κοινοῦ εἴη *V.* ‖ 26. τοῦ] τὸ codd. ‖ 30. ποιεῖται *M.* ‖ 34. εἶναι om *M.* ‖ 36. καὶ — 37. ἐρωτωμένων om *A.*

κόσμου ἀριθμοῦ ὄντος καὶ ἐξ ἀριθμῶν τὸ εἶναι ἔχοντος· καὶ ἑκάστῳ τόπῳ τοῦ κόσμου οἰκεῖός ἐστιν ἀριθμός, οἷον τῷ μέσῳ ἤτοι τῷ κέντρῳ τὸ ἕν, μετὰ δὲ τὸ μέσον τὰ δύο, ἃ δόξαν καὶ τόλμην ἔλεγον, καὶ οὕτως ἀεὶ ἀφιστάμενον ἀπὸ τοῦ μέσου πλείονα τὸν ἀριθμὸν γίνεσθαι τῶν συνισταμένων, οἷον τριάδα καὶ τετράδα καὶ πεντάδα· ἐξ ὧν ἀριθμῶν πρῶτον τρίγωνον ὀρθογώνιον συνίστασθαι ῥητὰς τὰς πλευρὰς περιέχοντα, τὴν μὲν τριῶν τὴν δὲ τεσσάρων τῶν περιεχουσῶν τὴν ὀρθήν, τὴν δὲ ὑποτείνουσαν ταύτην πέντε· τρὶς γὰρ τρεῖς καὶ τετράκις τέσσαρα ἴσα εἰσὶ τῷ πεντάκις πέντε. ἐν τούτοις οὖν τοῖς ἀριθμοῖς καὶ ταῖς ἐξ αὐτῶν δυνάμεσι τό τε ἄνισον θεωρεῖται, ὅπερ ἀδικίας ἴδιόν ἐστι, καὶ τὸ ἴσον, ὅπερ κρίσεως εἴτε δικαιοσύνης. ἀλλὰ καὶ ἡ μῖξις ἐν τῇ ἰσότητι ἧς σύμβολόν ἐστιν ἡ ὀρθὴ γωνία. ἔν τισι δὲ τῶν βιβλίων γράφεται καὶ "ἀνικία." ἀνικίαν δὲ ἔλεγον οἱ Πυθαγόρειοι τὴν πεντάδα, ἐπεὶ ὑποτείνουσα τὴν ὀρθὴν ἴσον δύναται ἀμαφοτέραις ἅμα ταῖς περιεχούσαις τὴν ὀρθήν. ἔλεγον δὲ ταύτην ἀνικίαν ὡς μὴ νικωμένην ὑπὸ τῶν δύο τῶν περιεχουσῶν τὴν ὀρθήν. εἴτε "ἀνικίαν" γράφει τις εἴτε "ἀδικίαν," ὁ νοῦς τῶν λεγομένων γνώριμος. "πότερον δέ." αἰτιᾶται τοὺς Πυθαγορείους, ὅτι τὰ πάθη τοῦ ἀριθμοῦ καὶ τοὺς ἀριθμοὺς ἀρχὰς τῶν ὄντων λέγοντες εἶναι οὐκ ἐποίουν τούτων ἄλλους παρὰ τὰ πράγματα τὰ κατὰ τὸν οὐρανὸν ὄντα καὶ γινόμενα ἐξ ἀρχῆς τε καὶ νῦν· οὐδὲ γὰρ ἄλλο τι εἶναι ἡγοῦντο παρὰ τὰ ἐν τῷ οὐρανῷ, ἐξ ὧν αὐτοὺς ὁ κόσμος συνέστη. cod. Laur.

990a 26. (*) τὴν γὰρ γῆν κέντρον ἔλεγον καὶ ἀναλογεῖν τῇ μονάδι. ὥσπερ οὖν αἱ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν περιφέρειαν ἠγμέναι εὐθεῖαι εἰσὶ μείζονες, οὕτως καὶ ὁ ἀπὸ τῆς μονάδος ἀρχόμενος ἀριθμὸς ἐπ' ἄπειρον αὔξεται. συμβαίνει οὖν κατὰ τοῦτον τὸν τρόπον ἤδη πλῆθος εἶναι μεγεθῶν. λέγει δὲ περὶ τοῦ ἐν τῇ γῇ τόπου ὡς ἐν τούτῳ διὰ τοῦτο πλήθους μεγεθῶν συνισταμένου, διὰ τὸ καὶ τῶν ἀριθμῶν εἴδη πλείονα ἐν τούτῳ εἶναι, ἐπειδὴ αἱ ἀπὸ τοῦ κέντρου, ὡς εἰρήκαμεν, περιφέρειαι μείζονές εἰσι τῶν μὴ ἀπὸ τοῦ κέντρου. καὶ τὸ ἀπὸ τῆς μονάδος οὖν ἐπ' ἄπειρον αὔξεται· μονὰς δὲ ἡ γῆ ὡς κέντρον. ἢ πλῆθος λέγει τὸν ἀριθμὸν ὡς τῷ πλήθει τῶν ἀριθμῶν ἀκολουθοῦντος τοῦ τῶν πραγμάτων πλήθους διὰ τὸ τὰ πράγματα τοὺς ἀριθμοὺς εἶναι. Asclep.

990a 23. "μικρὸν — κρίσις." οἱ τὰ πράγματα τοὺς ἀριθμοὺς εἶναι λέγοντες ταύτην τὴν τάξιν αὐτοῖς ἀπένειμαν ἐν τῷ οὐρανῷ, ἣν ἔχειν ᾤοντο καὶ τοὺς ἀριθμούς, οὓς ἔλεγον εἶναι ταὐτά. οἷον ἣν ᾤοντο τάξιν ἔχειν τὴν δυάδα, ταύτην ἔλεγον ἔχειν τὴν τάξιν ἐν τῷ κόσμῳ τὴν δόξαν, ἐπειδὴ δυὰς ἦν δόξα αὐτοῖς. πάλιν ἣν τάξιν ἡ ἑπτάς, ταύτην ἀπεδίδοσαν ἐν τῷ κόσμῳ τῷ καιρῷ, ἐπεὶ καὶ τὸν ἑπτὰ ἀριθμὸν καὶ καιρὸν ἡγοῦντο εἶναι. μικρὸν δὲ ἄνωθεν τοῦ καιροῦ ἢ κάτωθεν ἐποίουν, εἰ ἔτυχεν, ἀδικίαν ἢ κρίσιν, ὅτι καὶ ἡ τῶν αὐτῶν τούτοις ἀριθμῶν τάξις ἡ αὐτὴ ἦν. γράφεται δὲ ἔν τισιν ἀντιγράφαις ἀντὶ τοῦ ἀδικίαν "ἀνικίαν·" ἀνικίαν δέ φασιν ὑπὸ τῶν Πυθαγορείων λέγεσθαι τὴν πεντάδα, τοῦτο δὲ ὅτι τῶν ὀρθογωνίων τριγώνων τῶν ἐχόντων ῥητὰς τὰς πλευρὰς πρῶτόν ἐστι τῶν περιεχουσῶν ὀρθὴν γωνίαν πλευρῶν, ἡ μὲν τριῶν ἡ δὲ τεττάρων, ἡ δὲ ὑποτείνουσα πέντε. ἐπεὶ τοίνυν ἡ ὑποτείνουσα ἴσον δύναται ἀμφοτέραις ἅμα, διὰ τοῦτο ἡ μὲν δυναμένη καλεῖται αἱ δὲ δυναστευόμεναι, καὶ ἔστι πέντε. τήν τε πεντάδα ἀνικίαν ἔλεγον ὡς μὴ νικωμένην ἀλλ' ἀήττητον καὶ κρατοῦσαν. εἴτε δὲ "ἀνικίαν" χρὴ γράφειν εἴτε "ἀδικίαν," ὁ νοῦς τῶν λεγομένων γνώριμος. καὶ περὶ μὲν τῶν Πυθαγορικῶν, φησίν, ἀφείσθω τὰ νῦν, ἱκανὸν γὰρ αὐτῶν ἅψασθαι μόνον, παραιτούμενος τὴν ἐπιπλεῖον ἐξέτασιν τούτων τὰ νῦν, ὅτι μηδὲν πλέον ἐν τοῖς οὖσι τῶν φυσικῶν κατέλιπον· ἐρεῖ μέντοι τὴν περὶ τῶν ἀρχῶν δόξαν αὐτῶν ἔτι πᾶσαν τῆσδε τῆς πραγματείας ἐπὶ τέλει. Alex.

"οἱ — αἰτίας." αἰτιᾶται τῶν τὰς ἰδέας αἰτίας θεμένων πρῶτον μὲν ὅτι ζητοῦντες τῶν φύσει συνεστώτων τὰς αἰτίας (τοῦτο γὰρ αὐτῷ δύναται δὴ τὸ "τωνδὶ τῶν ὄντων") ἄλλας ἰσαρίθμους τούτοις οὐσίας προσέθεσαν ὡς ἐσομένων μᾶλλον γνωρίμων τῶν πραγμάτων, εἰ πλείω τὰ αὐτὰ γένοιτο (*)· οὐδενὶ γὰρ ἢ τῷ ἀϊδίῳ διαφερούσας τὰς ἰδέας τῶν πρὸς αὐτὰς ὄντων ἐποίουν, ὥστε ἐπεὶ ταῦτα ἄγνωστα, ὁμοίως ἂν κἀκεῖνα τούτοις, ὧν εἶναί φασιν αὐτὰς παραδείγματα, εἶεν ἂν ἄγνωστοι. ἰσάριθμα οὖν ἄλλα θέμενοι καὶ ὅμοια τούτοις ὧν ἐζήτουν τὴν γνῶσίν τε καὶ ἐπιστήμην, διὰ τούτων ᾤοντο κἀκεῖνα καταλαμβάνειν δύνασθαι ἃ ἐζήτουν, ὡς ὀλίγον προελθὼν δείξει. ἢ ὃ αἰτιᾶται ἔστι τῶν τὰ αἴτιά τε καὶ ἐπιστήμη καὶ διὰ τοῦτο ἐζήτουν αὐτῶν τὰ αἴτια· ᾤοντο γὰρ τὰς αἰτίας ταύτας τούτων ἀποδιδόναι, ὅμοιόν τι ποιοῦντες τοῖς ἀριθμῆσαί τι βουλομένοις πλῆθος, εἶθ' ὡς μὴ δυναμένων ἐκείνων, εἰ εἴη τοσαῦτα, ἀριθμηθῆναι, ἄλλο αὐτοῖς ἰσάριθμον πλῆθος προστιθεῖσι, κἄπειθ' οὕτως ἀριθμοῦσιν. εἴη δ' ἂν μάλιστα τὸ ἀπορούμενον ἰσχὺν ἔχον οὐ κατὰ τὸ ἰσάριθμον τοῖς ζητουμένοις αὐτοὺς τὸ πλῆθος τίθεσθαι, ἀλλὰ κατὰ τὸ ὅμοια καὶ διὰ τοῦτο ὁμοίως ἄγνωστα (*). ὅτι γὰρ μηδὲν διαφέρει τὰ εἴδη τῶν πρὸς αὐτὰ τὸ εἶναι ἐχόντων κατ' αὐτούς, ἢ μόνῳ τῷ ἀϊδίῳ, ἐρεῖ· τὸ δὲ εἶναι ὁμοίως ἄγνωστα διὰ τῆς τοῦ ἀριθμοῦ παραθέσεως ἐνεδείξατο. ὅτι δὲ μὴ αἴτια ἃ προσέθεσαν τούτοις περὶ ὧν ἐζήτουν, ὀλίγον προελθὼν δείξει. ἢ ὃ αἰτιᾶται ἔστιν ὅτι προσθέντες ἰσάριθμα σχεδὸν τοῖς περὶ ὧν ἐζήτουν, οὕτως ἁπάντων ἐζήτουν καὶ ἀπεδίδοσαν τὰς αἰτίας τῶν τε πρώτων καὶ τῶν προστεθέντων· τούτῳ γὰρ ὅμοιον καὶ τὸ τοῦ ἀριθμοῦ παράδειγμα. σχεδὸν δὲ εἶπεν οὐκ ἐλάττω εἶναι τὰ εἴδη τούτοις, οὐ τοῖς καθ' ἕκαστα καὶ ἀτόμοις λέγων, ἀλλὰ τοῖς ἐπ' αὐτοῖς εἴδεσιν. οὐδὲ γὰρ Σωκράτους καὶ Πλάτωνος ἐζήτουν τὰς αἰτίας, ἀλλ' ἀνθρώπου καὶ ἵππου. τούτοις γὰρ σχεδὸν ἰσάριθμα τὰ εἴδη κατ' αὐτούς. τὸ "σχεδόν" δὲ προσέθηκεν ἴσως, ἐπεὶ μὴ πάντων τῶν κοινῶν ἰδέας ἐτίθεντο· οὐδὲ γὰρ τῶν ἐπὶ τοῖς τεχνητοῖς, οὔτε τῶν ἐπὶ τοῖς κακοῖς, εἰ καὶ εἵπετο αὐτοῖς καὶ τούτων εἶναι λέγειν ἰδέας, δι' ὧν περὶ αὐτῶν λέγουσιν, ὡς ἐρεῖ μετ' ὀλίγον. τοῦ δὲ μὴ ἐλάττους εἶναι τὰς ἰδέας

39. δυὰς δόξα ἦν αὐτοῖς. πάλαι ἦν *A.*

4. ἀμφοτέραις *A.* ‖ 23. *vel quod accusat est, quod volentes entium causas cognoscere, per haec quaerebant ipsorum causas* Sepulv. ‖ 27. αὐτῷ *A.* ‖ 30. διαφέροντα τὰ *L.* ‖ 36. τοῦτο *A.* ‖ 38. ἀλλὰ γὰρ τοῖς *V.* ‖ 40. τὰ εἴδη om *L.*

εἴδη, διὰ δὲ τῶν ἀριθμῶν τὰ εἴδη ἐδήλουν· τούτου χάριν οὕτως ἔλεγον. id.

990a 15. "ἔτι — οὐρανόν." καὶ τοῦτο δείκνυσιν αὐτοῖς ἄτοπον ἑπόμενον, ὅτι αἴτια τῶν κατὰ τὸν οὐρανὸν ὄντων τε καὶ γινομένων ἐξ ἀρχῆς τε καὶ νῦν τὰ πάθη τῶν ἀριθμῶν καὶ τοὺς ἀριθμοὺς λέγοντες (οὐδὲ γὰρ ἄλλο τι ἡγοῦντο εἶναι παρὰ τὰ ἐν τῷ οὐρανῷ) (h) οὐκ ἄλλους τινὰς ἀριθμοὺς λέγουσι καὶ καταλείπουσιν ἔξω τούτων, ἐξ ὧν αὐτοῖς ὁ κόσμος συνέστηκε (i). δεῖ μὲν γὰρ ἄλλο τι εἶναι τὸ αἴτιον καὶ τὸ αἰτιατόν, οἱ δὲ ἀριθμοὺς λέγοντες εἶναι τόν τε κόσμον καὶ ἕκαστον τῶν ἐν τῷ κόσμῳ, καὶ τούτων ἀρχὰς τοὺς ἀριθμοὺς ὑποθέμενοι, ἀριθμὸν ἄλλον παρὰ τοῦτον οὐ λέγουσιν, ὥσπερ Πλάτων ἐποίει, ἄλλον μὲν λέγων τὸν εἰδητικὸν ἀριθμόν, ὃν καὶ αἴτιον ἐτίθετο, ἄλλον δὲ τὸν ἐν τοῖς αἰσθητοῖς. οὕτως δὲ λέγοντες αὐτὸν αὑτοῦ ἂν τὸν ἀριθμὸν αἴτιον λέγοιεν, εἴγε αἴτιον ὢν ἐστι τῶν ἐν τῷ κόσμῳ ὄντων, ταῦτα δὲ αὐτός ἐστιν. Alex.

990a 15. (h) ἀμέλει τοι ἐζήτησεν ἐν τῷ δευτέρῳ λόγῳ τῶν Φυσικῶν (c. 2) τὰς διαφορὰς τοῦ φυσικοῦ καὶ τοῦ ἀστρονόμου... οὐδὲν γάρ ἐστιν ἔξω τοῦ οὐρανοῦ, ὡς ἀρέσκει καὶ τῷ Πλάτωνι καὶ τῷ Ἀριστοτέλει. καὶ πολλοὺς λόγους τέθεικεν ἐν τῇ Φυσικῇ Ἀκροάσει (4 δ) κατασκευαστικοὺς τοῦ τοιούτου, ὅτι οὐδέν ἐστι παντάπασιν ἔξω τοῦ οὐρανοῦ. Asclep.

990a 15. (i) "ἔτι δέ πως δεῖ." ἐπειδὴ τοὺς ἀριθμοὺς ἀρχὰς ἔλεγον τοῦ τε οὐρανοῦ καὶ τῶν κατ' οὐρανὸν πάντων οἱ Πυθαγόρειοι, καὶ τὰ πάθη τῶν ἀριθμῶν, οἷον ἄρτιον καὶ περισσὸν καὶ τὸ πεπερασμένον καὶ τὸ ἄπειρον, ὡς πολλάκις εἴρηται, ἄλλους δὲ ἀριθμοὺς κεχωρισμένους τῶν αἰσθητῶν, καθάπερ Πλάτων, οὐκ ἔλεγον εἶναι, ἵν' ᾖ ὁ μὲν κεχωρισμένος αἴτιος, ὁ δὲ θεωρούμενος ἐν τῷ παντὶ καὶ ἀπ' ἐκείνου, πῶς, φησί, δεῖ λαβεῖν τὸν ἀριθμὸν καὶ τὰ τοῦ ἀριθμοῦ πάθη αἴτια τῶν ὄντων καὶ γινομένων καὶ τῶν ἐξ ἀρχῆς ὄντων καὶ νῦν; εἴπερ ἕτερος οὐκ ἔστιν ἀριθμός, αὐτὸς ἄρα αὑτοῦ αἴτιός ἐστιν. τὸ δὴ αἴτιον ἕτερον δεῖ εἶναι τοῦ οὗ ἐστὶν αἴτιον, καὶ πρότερον τὸ αἴτιον αὐτοῦ· αὐτὸς ἄρα ὁ ἀριθμὸς πρότερος αὐτὸς αὑτοῦ ἐστὶ καὶ ὕστερος, καὶ ὢν καὶ γινόμενος. τοῦτο δὲ ἄτοπον. δείκνυσι δὲ τὸ ἄτοπον ἐφεξῆς λέγων "ὅταν γάρ." cod. Laur.

990a 22. "ὅταν — ᾖ." διὰ τούτων δείκνυσι πῶς ἐποίουν τὸν κόσμον καὶ τοὺς ἐν αὐτῷ ἀριθμούς. ἀεὶ ἀριθμοὺς λέγοντες καὶ αἰτίας αὐτῶν ἀριθμοὺς τιθέμενοι, ἄλλους ἀριθμοὺς παρὰ τούτους οὐκ ἔλεγον, αὐτοὺς δὲ αὐτῶν ἔλεγον εἶναι τοὺς ἀριθμοὺς αἰτίους, καὶ τὸ αὐτὸ αὐτοῖς γίνεται αἴτιόν τε καὶ αἰτιατόν (k). ἔλεγον γὰρ ἐν τινὶ μὲν μέρει τοῦ κόσμου δόξαν συνίστασθαι, ἐν ἄλλῳ δὲ καιρόν (l), πάλιν δ' αὖ ἐν ἄλλῳ ἢ κάτωθεν τούτων ἢ ἄνωθεν ἢ ἀδικίαν ἢ κρίσιν ἢ μῖξιν ἢ ἄλλο τι τῶν ἐν τῷ οὐρανῷ. τῆς δὲ τούτων κατὰ τὴν τάξιν τὴν τοιαύτην συστάσεως ἀπόδειξιν ἔφερον ὅτι τούτων μὲν ἕκαστον τοῦ ἀριθμοῦ ἐστίν, ἑκάστῳ δὲ τόπῳ ἐν τῷ κόσμῳ οἰκεῖός τίς ἐστιν ἀριθμός. τῷ μὲν γὰρ μέσῳ τὸ ἕν, πρῶτον γάρ ἐστιν ἐνταῦθα· μετὰ δὲ τὸ μέσον τὰ δύο, ἃ δόξαν τε ἔλεγον καὶ τόλμαν· καὶ οὕτως ἀεὶ ἀφισταμένων ἀπὸ τοῦ μέσου πλείονα τὸν ἀριθμὸν γίγνεσθαι τῶν συνισταμένων διὰ τὸ καὶ τοὺς ἀριθμοὺς ἐξ ὧν συνίστανται, μᾶλλον δὲ οἷς ἔστι ταῦτα, τοιούτους εἶναι· τὰ γὰρ τῶν ἀριθμῶν πάθη καὶ τοὺς ἀριθμοὺς τοῖς τόποις ἀκολουθεῖν τοῖς ἐν τῷ οὐρανῷ καὶ οἰκείους αὐτοῖς εἶναι· διὸ καὶ τὰ μεγέθη ἐκ τούτων ἐπισυμβαίνειν (m). δύναται τὸ "συμβαίνει δὲ κατὰ τὸν τόπον τοῦτον ἤδη πλῆθος εἶναι τῶν συνισταμένων μεγεθῶν" εἰρηκέναι ἢ τοὺς παρ' ἡμῖν καὶ ἐπὶ τῆς γῆς τόπους, ὡς ἐν τούτῳ διὰ τοῦτο πλήθους μεγεθῶν συνισταμένου, διὰ τὸ καὶ τὸν ἀριθμὸν ἤδη ἐν τούτῳ πλείω εἶναι, ὧν τὰ πλείω ὄντα τὰς διαφοράς τε κατὰ τὸ πλῆθος τῶν μεγεθῶν ποιεῖν· τοὺς γὰρ ἀριθμοὺς καὶ τὰ πάθη αὐτῶν ἀκολουθεῖν κατ' οἰκειότητα τοῖς τόποις ἑκάστοις. ἢ καὶ ἁπλούστερον καὶ κοινότερον τοῦ ἔν τινι τόπῳ πλείοσιν αὐτὰ συνιστάμενα αἴτια λέγειν τε καὶ ἀριθμοὺς ἤδη πλείους εἶναι ἐν τῷ τόπῳ τούτῳ, ὡς τῷ πλήθει τούτων ἀκολουθοῦντος τοῦ τῶν πραγμάτων πλήθους· διὰ τὸ τὰ πράγματα καὶ τοὺς ἀριθμοὺς αὐτοῦ καὶ αὐτὸν ἐν ἀριθμῷ τὸν κόσμον ποιοῦσι. πότερον δὲ οὗτος ὁ ἐν τῷ οὐρανῷ ἀριθμός ἐστιν ὃν δεῖ λαβεῖν τὸν αἴτιον τῶν ἐν τῷ οὐρανῷ γινομένων, ὡς αὐτὸν αὑτοῦ εἶναι αἴτιον, ἢ ἄλλος τις τούτου αἴτιος; εὐλογώτερον γὰρ ἄλλον λέγειν, ὡς καὶ Πλάτων ἐποίει. τῆς δὲ τάξεως τῆς ἐν τῷ οὐρανῷ, ἣν ἐποιοῦντο τῶν ἀριθμῶν οἱ Πυθαγόρειοι, μνημονεύει ἐν τῷ δευτέρῳ περὶ τῆς Πυθαγορικῶν δόξης. Alex.

(k) οἷον ἐν τῷ περιγείῳ τούτῳ τόπῳ, ὅπου πολὺ τὸ ἀμφίδοξον, διὰ τὸ τῆς γενέσεως ῥεῦμα παρασυρομένης τῆς ἀληθείας καὶ μὴ ἐχούσης τὸ κατὰ τὴν ἐπιστήμην στάσιμον. cod. Laur.

(l) οἷον ἐν ταῖς περὶ τὴν σελήνην καὶ τὸν ἥλιον σφαίραις, καθ' 990a 24.
ἃς μᾶλλον οἱ καιροὶ γίνονται, ἐκφανέστεροι μὲν ὑπὸ τοῦ ἡλίου, ἀμυδρότεροι δὲ ὑπὸ τῆς σελήνης. μικρὸν δὲ κάτωθεν τοῦ καιροῦ, ἄνωθεν δὲ τῆς δόξης, ὁ μεταξύ πως, ἀδικία καὶ κρίσις ἢ μῖξις· πολὺ γὰρ ἐν τῷ μεταξὺ γῆς τε καὶ οὐρανοῦ τόπῳ τὸ ταραχῶδες καὶ ἄτακτον, ἐν ᾧ μάχη πνευμάτων, φορὰ καὶ διάκρισις αὖθις καὶ μῖξις ζῴων καὶ γένεσις καὶ μυρία ἄττα τὰ περὶ τούτους τοὺς τόπους συμβαίνοντα. ἐρωτώμενοι δὲ ἔλεγον ὅτι τούτων ἕκαστον τῶν εἰρημένων ἀριθμός ἐστι, καὶ καθάπερ ἐπὶ τοῦ ἀριθμοῦ θεωρεῖται τάξις τις, οὕτω καὶ ἐπὶ τοῦ

5. λέγουσιν Asclep. ‖ 7. τούτων τῶν ἐν τοῖς αἰσθητοῖς ἐξ ὧν ἐστιν αὐτοῖς Asclep. ‖ 8. ἀεὶ μὲν γὰρ δεῖ ἄλλο εἶναι τὸ αἴτιον καὶ ἄλλο τὸ αἰτιατόν Asclep. ‖ 9. καὶ τὰ ἐν τῷ κόσμῳ, τουτέστιν ἕκαστα Asclep. ‖ 11. περὶ τούτων Asclep. ‖ 14. αἴτιος μέν ἐστι Asclep. ‖ ἐστιν ὁ ἐν τοῖς αἰσθητοῖς Asclep. ‖ 37. ἔλεγον ὥστε αὐτοὺς ἑαυτῶν Asclep.

2. ἀνικίας Asclep. ‖ 3. κατὰ τὴν τοιαύτην τάξιν Asclep., κατὰ τὴν στάσιν τὴν τοιαύτην *A*. ‖ 4. ἕκαστος ἀριθμός ἐστιν Asclep. ‖ 6. γάρ ἐστιν] ἔστι τι Asclep. ‖ 7. ἃ et τε ἔλεγον καὶ τόλμαν om Asclep. ‖ 8. γίγνεται τῶν συνισταμένων μεγεθῶν διὰ Asclep. ‖ 12. τὸ συμβαίνειν *V*. ‖ 14. πλῆθος μεγέθους codd. *quasi in hoc loco idcirco multitudo magnitudinum consistat* Sepulv. ‖ 16. πλείω ... ὄντα om in lacuna *A*. ‖ 18. τοῦ] τὸ Sepulveda: *dicere in aliquo loco compluribus ipsas consistentes causas esse.* ‖ 21. διὰ τὸ] διότι Sepulveda: *quoniam res et numeros ipsius et ipsum in numero mundum efficiunt.*

μάτων καὶ ὑπὲρ τὰ φυσικὰ ὄντων ἀρχαὶ λέγεσθαι. "καὶ μᾶλλον ἢ τοῖς περὶ φύσεως λόγοις ἁρμοττούσας." αἰτιᾶται δὲ αὐτοὺς κατὰ τοῦτο, ὅτι οὐδὲ τούτων ἱκανῶς ἀπέδοσαν τὰς αἰτίας. ὃ γὰρ φαίνεται ἴδιον τούτων, ἡ κίνησις, πῶς αὕτη γίνεται ἐν αὐτοῖς ἐκ τοιούτων ἀρχῶν οὖσί τε καὶ γιγνομένοις, τοῦ πεπερασμένου τε καὶ τοῦ ἀπείρου; ὧν τὸ μὲν πεπερασμένον ἐστὶ τὸ περιττόν, ὃ πέρας εἶπε, τὸ δὲ ἄπειρον, ὃ ἄρτιον λέγουσιν· ἀκίνητοι γὰρ οἱ ἀριθμοὶ καὶ οὐδεμιᾶς κινήσεως αἴτιοι. ἀλλ' οὐδὲ ὅτι δυνατόν ἐστιν ἄνευ κινήσεως καὶ μεταβολῆς ἐξ ἐκείνων τῶν ἀρχῶν γενέσθαι ταῦτα ἃ ἐξ αὐτῶν γεννῶσιν, ἢ αὐτὰ τὰ τῶν ἀστέρων ἔργα, ἃ διὰ τὴν διαφορὰν αὐτῶν καὶ τὴν κίνησιν γίνεται, διδάσκουσιν (ε)· ἔστι γὰρ ἔργα αὐτῶν ἀνατολαὶ καὶ δύσεις καὶ τὰ τοιαῦτα, ἃ πῶς οἷόν τε γίγνεσθαι χωρὶς κινήσεων; πάνυ δὲ ἐναργῶς τῇ τῶν ἀστέρων παραθέσει, ὧν διὰ κινήσεως ἡ ἐνέργεια, ἔδειξε τὸ ἐλλιπὲς τῆς δόξης. ἀλλ' οὐδ' εἰ συγχωρηθείη αὐτοῖς δύνασθαι τὰ μεγέθη καὶ τὰ σώματα ἐκ τῶν ἀριθμῶν καὶ τῶν πάντη ἀδιαστάτων εἶναι συγκείμενα, ὃ παντὸς μᾶλλον ἀδύνατον, ἀλλ' οὖν οὐδὲ τούτου τεθέντος ἀποδέδοται πρὸς αὐτῶν πόθεν ἐν τοῖς φυσικοῖς σώμασιν αἱ κατὰ φύσιν αὐτῶν ῥοπαί, κουφότητές τε καὶ βαρύτητες· οὐ γὰρ δὴ δυνάμει ταῦτα τοιαῦτα, ὥσπερ ἐστὶ καθ' οὓς ὕλη τις ὑπόκειται ἢ σῶμά τι οὖσα ἢ δυνάμει σῶμα· ἃ γὰρ λέγουσι περὶ τῶν σωμάτων, οὐ μᾶλλον ταῦτα ἁρμόζει τοῖς φυσικοῖς ἢ τοῖς μαθηματικοῖς σώμασιν· ἰσότητες γὰρ καὶ ἀνισότητες καὶ σχήματα καὶ τὰ τοιαῦτα κοινὰ τούτων τε κἀκείνων τῶν σωμάτων. εἰ δὲ τὰ ἴδια μὲν τοῖς φυσικοῖς σώμασι καθ' ἅ ἐστι φυσικὰ μὴ ἀποδιδόασι (ταῦτα δέ ἐστι βαρύτης κουφότης, θερμότης ψυχρότης, ὑγρότης ξηρότης), οὐδ' ἂν περὶ τῶν φυσικῶν σωμάτων εἶεν λέγοντες, περὶ ὧν λέγειν ἐβούλοντο τότε καὶ προετίθεντο. id.

989 b 30. (ζ) "ἐκτοπωτέρως." τουτέστι καινοτέρως καὶ ξενικωτέρως, ξενικωτέρως μὲν ὅτι ὑποτίθενται ἀρχὰς σωμάτων τοὺς ἀριθμοὺς καὶ ὑλικὰς καὶ ποιητικὰς καὶ εἰδικάς, ὁμοίως δὲ καὶ τῶν ἀσωμάτων, καινοτέρως δὲ ὅτι τούτους τοὺς ἀριθμοὺς λέγουσιν εἶναι καὶ τῶν σωμάτων καὶ τῶν ἀσωμάτων... ἄλλως τε δέ, φησίν, ὑποτίθενται τοὺς ἀριθμοὺς ἐν τοῖς αἰσθητοῖς εἶναι καὶ οὐδέποτε ἄνευ τῶν αἰσθητῶν ὑπάρχειν· εἰ τοίνυν ἡ ἀρχὴ θέλει εἶναι προτέρα τῷ χρόνῳ, ἀξιώματι φησὶ καὶ τῇ τάξει, οἱ δ' ἀριθμοὶ κατ' αὐτοὺς ἐν τοῖς αἰσθητοῖς ὑπάρχουσι, φανερὸν ὅτι οὐκ ἔσονται πρότεροι οἱ ἀριθμοὶ τῇ τάξει ἤγουν τῷ ἀξιώματι, εἴγε καὶ ἐν αὐτοῖς τοῖς αἰσθητοῖς τὸ εἶναι ἔχουσιν. ἀμέλει τοι κατὰ τοῦτο μᾶλλον αὐτῶν κατορθοῖ ὁ Πλάτων· ὑποτίθεται γὰρ καὶ αὐτὸς πάντα γίνεσθαι ἐκ τῶν ἀριθμῶν, ἀλλὰ τὰς ἀρχὰς τῶν αἰσθητῶν τῷ ὄντι καὶ αὐτὸς ἐν τοῖς αἰσθητοῖς ὑποτίθεται, τῶν δὲ νοητῶν κεχωρισμένους ἀριθμοὺς καὶ ἐξῃρημένους ὑποτίθεται, οὓς προσαγορεύει εἰδητικοὺς ἀριθμούς. ἐπειδὴ οὖν, φησίν, ἀδύνατόν ἐστιν ἐκ τῆς τῶν ἀριθμῶν συνθέσεως πῦρ γενέσθαι ἢ ἕτερόν τι τῶν στοιχείων, παντελῶς οὐδὲ εἰρήκασι περὶ τῶν στοιχείων. ἢ πως ἄνευ κινήσεως· ἐξ ὧν γὰρ ἀρχῶν ὑποτίθενται, μᾶλλον μαθηματικὰ λέγουσι σώματα ἤπερ φυσικά. Asclep.

990 a 10. (ε) ὁ δὲ ἡμέτερος φιλόσοφος Ἀμμώνιος, συμβολικῶς, φησί, πάντα ταῦτα οἱ Πυθαγόρειοι ἔλεγον. ἐπειδὴ γὰρ ὁ ἀριθμὸς ὁριστικός ἐστι τοῦ πράγματος οὗ ἐστί, τοιαῦτα δὲ καὶ τὰ εἴδη, ὁριστικὰ τῆς ὕλης καὶ περιεκτικὰ αὐτῆς, διὰ τῶν ἀριθμῶν ἐδήλουν τὰ εἴδη ὑπάρχοντα ἐν τῷ παντί, ἐπεὶ μεστός ἐστιν ὁ κόσμος εἰδῶν. διὸ καὶ ἔλεγον τὴν δυάδα δόξαν, ἐπειδὴ ἄρχεται διαιρεῖσθαι ἡ δυάς· τοιαύτη δὲ καὶ ἡ δόξα ἐπαμφοτερίζουσα. πάλιν δὲ τὸν ἑπτὰ ἀριθμὸν ἐκάλουν καιρόν, ἐπειδὴ τὰ ἑπτάμηνα τικτόμενα ζῶσι, καὶ διὰ τὰς διαφόρους ἡλικίας, ὅτι μέχρι ἑπτὰ ἐτῶν καὶ ἐκεῖθεν ἄρχεται ὀδοντοφυεῖν, εἶτα ἐν τῇ τρίτῃ ἑβδομάδι πάνυ αὔξει καὶ ἄρχεται σπερμαίνειν, ὡς ἀνωτέρω ἐπὶ πολὺ εἴρηται περὶ αὐτοῦ, πρὸς τούτοις δὲ ὅτι ἡ ἑβδόμη ἡμέρα κρίσιμος ὑπάρχει. πάλιν δὲ τὸν ἓξ ἀριθμὸν ἔλεγον κρίσιν, ὃς καὶ ἔστιν ἀρτιοπέριττος. ἀρτιάκις γὰρ ἄρτιός ἐστιν ἀριθμὸς ὁ ἀναλυόμενος μέχρι μονάδος αὐτῆς, ὥσπερ ὁ λβʹ, ιϛʹ, ηʹ, δʹ, βʹ, αʹ, περισσάρτιος δὲ ὁ διαιρούμενος εἰς ἀρτίους κατὰ τὴν πρώτην διαίρεσιν, ὕστερον δὲ εἰς περιττούς, ὥσπερ ὁ ιβʹ· διαιρεῖται γὰρ εἰς ϛʹ, καὶ ϛʹ πάλιν εἰς γʹ καὶ γʹ. ἐκάλουν οὖν τὸν ϛʹ ἀριθμὸν κρίσιν, ἐπειδὴ πρότερος διαιρεῖται εἰς δύο περιττοὺς ἀριθμούς· ὁ γὰρ δύο διαιρεῖται εἰς μονάδα, ἡ δὲ μονὰς οὐκ ἔστιν ἀριθμός. πάλιν τὸν περισσάρτιον, τουτέστι τὸν ιβʹ, ἐκάλουν μῖξιν, ἐπεὶ καὶ εἰς ἀρτίους διαιρεῖται, εἰς ϛʹ καὶ ϛʹ, καὶ εἰς περιττούς, εἰς γʹ καὶ γʹ. πάλιν δὲ τὸν πέντε ἀριθμὸν ἐκάλουν ἱερὸν δικαιοσύνης καὶ ἀνικίαν, ἐπειδὴ ὁ πέντε διαιρεῖ δίχα τὸν τέλειον ἀριθμόν, καὶ οὐδέτερον μέρος νικᾷ ἐν αὐτῷ, ἀλλὰ τὸ ἴσον ἔχει ἑκάτερον· διὸ καὶ ἀνικίαν ἔλεγον τὸν τοιοῦτον καὶ ἱερὸν δικαιοσύνης. αὖθις δέ φησι πρὸς αὐτοὺς ὁ Ἀριστοτέλης, ἐγκαλῶν αὐτοῖς, ὅτι πῶς δεῖ λαβεῖν ἀρχὰς τοὺς ἀριθμοὺς τῶν καὶ νῦν ὄντων καὶ κινουμένων καὶ ἐξ ἀρχῆς ὄντων, ἐπειδὴ ἐν τοῖς αἰσθητοῖς ἱδρύετε τοὺς ἀριθμούς; πῶς οὖν τὰ ἐν αὐτοῖς ἱδρυμένα ἀρχαὶ αὐτῶν ὑπάρχουσι καὶ τῶν μελλόντων γίνεσθαι καὶ τῶν ἤδη γενομένων; ἔπειτα ἐκ τοῦ μίγματος λαμβάνεται αὐτῶν· φασὶ γὰρ τοὺς ἀριθμοὺς ἐγκαταμεμῖχθαι ἐν ἅπασι τοῖς οὖσι. καὶ τοῦτο δὲ συμβολικῶς λέγουσιν, ἐπειδὴ πανταχοῦ τὰ

a 1. καὶ μᾶλλον ἁρμόττουσαι τοῖς ὑπὲρ φύσιν ἢ τοῖς περὶ φύσεως· οἱ γὰρ ἀριθμοὶ μᾶλλον ἀρχαὶ τῶν ἀσωμάτων ἤπερ τῶν σωμάτων· αἰτιᾶται οὖν αὐτοὺς καὶ κατὰ Asclep. ‖ 3. φαίνεται] μάλιστα Asclep. ‖ 6. ἄρτιον οὖ λέγουσιν Asclep. ‖ 9. ἃ om Asclep. ‖ 11. γὰρ] δὲ Asclep. ‖ 12. οἷόν τε] οἴονται *A*. ‖ 13. αἱ ἐνέργειαι Asclep. ‖ 14. ἀλλ' — 16. οὐδὲ] ὅτε δὲ γένεσιν δυνατόν ἐστι γενέσθαι ἢ φθορὰν ἄνευ μεταβολῆς. "Ἔτι δὲ εἴτε δοίη τις αὐτοῖς ἐκ τούτων εἶναι μέγεθος." κἂν ὑποθώμεθα, φησί, κατὰ συγχώρησιν ἐκ τῆς τῶν ἀριθμῶν συνθέσεως μέγεθος ἀποτελεῖσθαι καὶ ἐκ τῶν πάντῃ ἀδιαστάτων εἶναι συγκείμενον, ὃν τῶν μᾶλλον ἀδύνατον, οὐδὲ Asclep. ‖ 17. πρὸς] παρ' Asclep. ‖ ἐν τοῖς] αὐτοῖς *M*. ‖ φυσικοῖς om Asclep. ‖ 18. αὐτῶν] αὗται Asclep. ‖ 19. ταῦτα] τὰ Asclep. ‖ 20. γὰρ] δὲ *L*. ‖ 21. ταῦτα om *L*. ‖ ἁρμόζουσι *L*. ‖ ἢ] παρὰ *L*. ‖ 22 — 23. καὶ εὐθύτητες οὐ μόνον τοῖς φυσικοῖς ἁρμόζουσι σώμασιν ἀλλὰ κοινὰ ταῦτα καὶ τῶν μαθηματικῶν σωμάτων εἰσί *L*. ‖ 24. καθ' — φυσικὰ om *L*. ‖ 25. βαρύτης καὶ κουφότης καὶ θερμότης καὶ ψυχρότης καὶ ὑγρότης καὶ ξηρότης *L*. ‖ 26. οὐδὲν περὶ *L*. ‖ 27. εἶεν λέγοντες] λέγουσι *L*.

μενος συνδιώρθου αὐτά, ὅτι ἦν κατ' αὐτὸν ἀρχὴ τό τε ἓν (ὁ γὰρ νοῦς ἁπλοῦς ὢν κατ' αὐτὸν καὶ ἀμιγὴς εἴη ἂν ἀνάλογον τῷ ἑνί) καὶ θάτερον, τουτέστι τὸ ἀόριστον· τοιοῦτον γὰρ ἦν ἡ ὕλη πρὶν ὁρισθῆναι καὶ εἰδοποιηθῆναι, ἀόριστος καὶ μηδὲν ἐνεργείᾳ ἀλλ' ἅπαντα δυνάμει ἔχουσα ἃ δύναται γενέσθαι, ὁποῖον ἐκεῖνος τὸ μῖγμα ὑπέθετο· ὥστε λέγειν μὲν οὔτε ὀρθῶς οὔτε σαφῶς. ἀλλ' οὐδ' εἰ οὕτως λέγει ὡς αὐτὸς αὐτῷ βοηθῶν εἴρηκεν αὐτὸν βούλεσθαι λέγειν, ὀρθῶς ἂν λέγοι πάντῃ· δύο γὰρ μόνας ἀρχὰς ἂν λέγοι ἀντὶ τεσσάρων. ἔτι οὐδὲ πάντῃ οἷόν τε λέγειν αὐτὸν οὕτως εἰρηκέναι· τὰ γὰρ ὁμοιομερῆ τὰ ἐν τῷ μίγματι φαίνεται οὐ δυνάμει λέγων εἶναι ἀλλ' ἐνεργείᾳ, ἀλλ' οὐδὲ σαφῶς τι τούτων ὧν λέγει εἰρηκέναι (d). "βούλεται μέντοι παραπλήσιον τοῖς τε ὕστερον λέγουσι," τοῖς περὶ Πλάτωνα λέγει, τοῖς τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ἀρχὰς θεμένοις τῶν ὄντων (e). "καὶ τοῖς φαινομένοις μᾶλλον," ἐλλείπει τὸ ἀκόλουθα· ἀκόλουθα γὰρ ταῦτα μᾶλλον τοῖς φαινομένοις ὧν λέγει δοκεῖ. id.

989 a 30. (d) τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα, καθάπερ ὁ Πλάτων· τὸν γὰρ νοῦν καὶ τὰς ὁμοιομερείας ἀρχὰς τῶν ὄντων ὁ Ἀναξαγόρας ἐτίθετο, καὶ ἀπὸ μὲν τοῦ λέγειν νοῦν ἔοικε καὶ αὐτὸς ἓν εἶναι ὑποτίθεσθαι τὴν ἀρχήν, ἀπὸ δὲ τοῦ τὰς ὁμοιομερείας εἰσάγειν, ἐν αἷς τὰ πάντα ἐν πᾶσιν εἶναι ἐδόξαζε, τὸ δὲ τοιοῦτον οὐκ ἔστιν ἑνός τινος ὡρισμένου εἴδους, ἀλλὰ τοῦ τυχόντος καὶ ἀορίστου, φαίνεται κατὰ τοῦτο καὶ αὐτὸς τὴν ἀόριστον δυάδα ὑποτιθέναι ἀρχήν. συνελαύνει δὲ τὴν Ἀναξαγόρου δόξαν εἰς τὴν τοῦ Πλάτωνος καὶ τὴν τῶν Πυθαγορείων ἐξῆς τρόπον ἄλλον, τῷ λόγῳ στρατιωτικώτερόν τε καὶ στρατηγικώτερον χρώμενος. κἀκεῖνοι γὰρ τοὺς ἐναντίους ἄλλον ἀλλαχῇ κατεσκεδασμένον ὁρῶντες οὐ πρότερον τούτοις συνάπτουσι πρὶν ἂν εἰς ἓν αὐτοὺς ὁμαδεύσωσιν, ἵνα μὴ καὶ τὸ στράτευμα τούτοις συσκεδαννύμενον διαρρήγνυται· καὶ ὁ φιλοσοφώτατος Ἀριστοτέλης εἰς τὴν τοῦ Πλάτωνος δόξαν τὴν Ἀναξαγόρου τε καὶ τῶν Πυθαγορείων συναγαγών, καὶ ταύτας ἀξίως εὐθύνας, καὶ τὰς τῶν ῥηθέντων ἀνδρῶν δόξας ταύτῃ συνανατρέπει. cod. Reg.

989 b 24. (e) ὁ γοῦν Ἀναξαγόρας εἰ καὶ εἶπε νοῦν ἀσώματον, ἀλλ' οὖν γε περὶ τῶν κατὰ μέρος ἀσωμάτων οὐ διαλέγεται, ψυχῆς καὶ ὅσα ἄλλα τοιαῦτα· ὁμοίως δὲ καὶ οἱ ἄλλοι φυσικοί. οὐδὲ Πυθαγόραν φασὶ περὶ πάντων. οὗτοι οὖν οὐ περὶ πάντων τῶν ὄντων ποιοῦνται τὴν θεωρίαν οἱ Πυθαγόρειοι· τῶν γὰρ ὄντων τὰ μὲν αἰσθητὰ τιθέασιν εἶναι, τὰ δὲ οὐκ αἰσθητὰ ἀλλὰ νοητά· καὶ φανερὸν ὅτι περὶ ἀμφοτέρων τῶν γενῶν ποιοῦνται τὴν σκέψιν. Asclep.

"ἀλλὰ — μόνον." ἱστορήσας τὰς τῶν ἀρχαίων δόξας τὰς 989 b 21.
περὶ τῶν ἀρχῶν, χωρίζει νῦν τοὺς φυσικοὺς ἀπὸ τῶν ἀσωμάτους ὑποθεμένων οὐσίας, καὶ παραιτησάμενος ἐκείνους ὡς οὐ περὶ πάσης τῆς οὐσίας πραγματευσαμένους, οὐδὲ ὄντα χρήσιμα τὰ ὑπ' αὐτῶν λεγόμενα εἰς τὴν προκειμένην πραγματείαν, ἐπὶ τὸ διερευνᾶσθαι τὰς δόξας τῶν τε Πυθαγορείων καὶ Πλάτωνος ὡς οἰκειοτέρας τῆς προκειμένης πραγματείας μέτεισιν· οὗτοι γὰρ περὶ πάντων τῶν ὄντων λέγοντες ἐτίθεντό τινας οὐσίας ἑτέρας παρὰ τὰς γενητάς τε καὶ φυσικὰς καὶ ὅλως σωματικάς τε καὶ αἰσθητάς, ὥστε χρησιμωτέρα εἰς τὴν προκειμένην πραγματείαν ἡ τῆς τούτων δόξης ἐξέτασις, ἐπεὶ ἡ ζήτησις ἡμῖν περὶ τοιούτων αἰτίων ἃ οὐδὲ τῶν φύσει οὐδὲ τῶν ἐν κινήσει ἐστίν, ἀλλὰ περὶ νοητῶν τε καὶ ἀσωμάτων. Alex.

"οἱ — χρῶνται." αἰτιᾶται τοὺς Πυθαγορικούς, οἳ δοκοῦσι καὶ αὐτοὶ 989 b 29.
τῆς ἀσωμάτου φύσεως μνημονεύειν, ὅτι ἀρχὰς μὲν ὑπέθεντο ξενικωτέρας καὶ ἀπηρτημένας τῶν φυσικῶν καὶ ἐκτοπωτέρας, τουτέστιν ἐπὶ πλέον ἐκτεταμένας καὶ ἐκβεβηκυίας καὶ δυναμένας καὶ ἄλλων φύσεων ἀρχὰς εἶναι· ἀσωμάτους γὰρ καὶ ἀκινήτους· οἱ γὰρ ἀριθμοὶ τοιοῦτοι· οὐ γὰρ προσεχεῖς τοῖς φυσικοῖς (f). οὐδὲ οἰκείας καὶ ὁμολογουμένας ταῖς κοιναῖς προλήψεσι καὶ ταῖς τῶν φυσικῶν δόξαις ὑπέθεντο τὰς ἀρχάς· προσεχέστεραι γὰρ τοῖς φυσικοῖς σώμασιν αἱ ὑπ' ἐκείνων ἀρχαὶ τεθεῖσαι καὶ φανερώτεραι. οὗ τὸ αἴτιον ἅμα ἀποδίδωσιν, ὅτι οὐκ ἐκ τῶν αἰσθητῶν ὁρμώμενοι ἔθεντο καὶ ἔλαβον αὐτάς (τὸ γὰρ "παρέλαβον" ἀντὶ τοῦ ἔλαβον εἶπεν), ἀλλὰ ἐκ τῶν μαθημάτων, οἷς ἐντραφέντες ἐκ τούτων καὶ τούτοις ἀκολούθως ἔθεντο καὶ τὰς ἀρχάς. ταῦτα δέ ἐστι τὰ μαθηματικά, ὧν κατ' αὐτοὺς ἀρχαὶ οἱ ἀριθμοί. ταῦτα δὲ ἔξω κινήσεως πάντῃ καὶ οὐ φυσικά, χωρὶς τῶν ἐν ἀστρολογίᾳ· καὶ γὰρ ἡ ἀστρολογικὴ μαθηματικὴ μέν, ἀλλὰ περὶ φυσικῶν τε καὶ κινουμένων ὁ λόγος αὐτῇ· τὰ γὰρ ἄστρα, περὶ ὧν πραγματεύεται, φυσικά τε καὶ ἐν κινήσει. θέμενοι μέντοι τοιαύτας ἀρχὰς οὐδὲν ἄλλο ἢ περὶ τὰ φυσικὰ πραγματεύονται, καὶ ταῦτα γεννῶσιν ἐξ ἐκείνων· τόν τε γὰρ οὐρανὸν καὶ τὰ ἐκείνου μέρη γεννῶσιν ἐκ τῶν ἀρχῶν ἃς ὑποτίθενται· αὗται δέ εἰσι τὸ ἄρτιόν τε καὶ περιττόν, ὡς προείρηται. καὶ τὰ συμβαίνοντα περὶ ταῦτα ἀποδιδόασι, ταῦτα λέγω τὰ ἐν τῷ οὐρανῷ, ὡς οὐδενὸς ὄντος ἢ γιγνομένου ἐξ αὐτῶν ἄλλου παρὰ τὰ αἰσθητὰ καὶ σώματα, ὁμολογοῦντες κατὰ τοῦτο τοῖς φυσικοῖς, οἳ οὐδὲν ἡγοῦντο παρὰ τὰ φυσικά τε καὶ ἐν κινήσει εἶναι, καίτοι τοιαύτας ἀρχὰς ὑποθέμενοι αἳ ἱκαναὶ ἦσαν καὶ τῶν ἀσω-

1. συνδιορθοῦν Asclep., συνδιώρθε *A*. ‖ ἦν] ἐστι Asclep. ‖ 2. ἁπλῶς *A*. ‖ ἂν ἄρα λέγοι τῷ *A*. ‖ 2 — *b* 10. apud Asclep. ‖ 4. ἀόριστος — 5. ὁποῖον om *A*. ‖ 5. ἐκεῖνο Asclep. ‖ 7. πάντα *M*. ‖ 8. μόνον Asclep. ‖ 11. τούτων λέγει ὧν εἴρηκε Asclep. ‖ μέντοι, κἂν οὐ σαφῶς λέγων, παραπλήσιον *L*. ‖ 12. λέγουσι λέγειν τοῖς *L*. ‖ λέγει τοῖς om *L*. ‖ 13. τιθεμένοις Asclep. ‖ 14. ἐλλείπει τὰ ἀκόλουθα γὰρ μᾶλλον Asclep. ‖ 15. λεγομένοις *L*. ‖ λέγειν *AV*.

1. οἰκ. τυγχ. μόνον om Asclep. ‖ ἃς περὶ τῶν ἀρχῶν ἔσχον, χωρίζει Asclep. ‖ 2. τῶν καὶ ἀσωμάτους Asclep. ‖ 3. πάσας τὰς *A*. ‖ 6. οἰκειοτάτης τῇ προκειμένῃ πραγματείᾳ Asclep. ‖ 8. ἑτέρας] καὶ Asclep. ‖ 9. αἰσθητάς. χρησιμωτέρα γὰρ εἰς Asclep. ‖ 11. ἡμῖν] ἡ μὲν *A*. ‖ τῶν φύσει οὐδὲ om *M*. ‖ 13 — 29. apud Asclep. ‖ 13. αὐτοὶ καὶ τῆς Asclep. ‖ 18. οὐ — 21. φανερώτεραι om Asclep. ‖ 21. τὸ δὲ αἴτιον ὅτι παρέλαβον αὐτὰς οὐκ ἐξ αἰσθητῶν. τὴν αἰτίαν λέγει, δι' ἣν οὐκ ἐκ τῶν Asclep. ‖ 22. ὁρμώμενοι ἐχρήσαντο ταῖς τοιαύταις ἀρχαῖς καὶ ἔλαβον Asclep. ‖ 23. ἔλαβον ἐστι, ἀλλ' ἀπὸ τῶν μαθημάτων, ἐν οἷς Asclep. ‖ 26. ταῦτα δὲ] ἃ Asclep. ‖ πάντα Asclep. ‖ 30 — p. 559 *b* 8. apud Asclep. ‖ 30. ταῦτα ἂν γεννῶσι Asclep. ‖ 33. εἴρηται Asclep. ‖ καὶ τὰ συμβαίνοντα om *L*. ‖ περὶ] καὶ περὶ Asclep. ‖ ἀπέδοσαν τὰς αἰτίας *L*. ‖ 35. περὶ Asclep. ‖ καὶ σώματα om Asclep. ‖ 36. περὶ Asclep. ‖ 37. καίτοι] καὶ Asclep. ‖ αἳ] μὲν *V*.

ἀμεταβλήτων κατ' αὐτούς, καί τις ἔστι φύσις μία καί τις γίνεται πῦρ καὶ ὕδωρ· ὅπερ ἐκεῖνος ὁ Ἐμπεδοκλῆς οὐ λέγει. οὐκ ἂν οὖν τὸ πῦρ μετεβάλλετο εἰς ὕδωρ ἢ τὸ ὕδωρ εἰς πῦρ, εἰ μὴ ὑπῆρχέ τις ὕλη ἀνείδεος ἥτις παρὰ μέρος δέχεται ἀμφότερα τὰ ἐναντία. τοῦτο δὲ ὁ Ἐμπεδοκλῆς σαφῶς οὐ λέγει· ὅμως ἐξ ὧν ὑποτίθεται ἀναγκάζεται λέγειν, ἡνίκα φησὶν γίνεσθαι θερμὸν ἐκ ψυχροῦ καὶ τὸ ἐναντίον. Asclep.

989 a 25. (b) ταὐτὸ δὴ καὶ τοῦτο ἐκείνοις συνέβαινε λέγειν αὐτῷ, ἴδιον δ' ὅτι δύο τὰ ποιητικὰ αἴτια ὑποθέμενος οὐ δύο ἀλλ' ἓν εἶναι καὶ ταὐτὸ τἀναντία ποιεῖ· τὴν γὰρ φιλίαν ἑνώσεως αἰτίαν εἶναι λέγων, διακρίσεως ἐποίει μᾶλλον ταύτην αἰτίαν· ὅταν γὰρ τὰ εἴδη ἀπὸ τῆς ὕλης τῶν στοιχείων διακρίνουσα καὶ ἐν τῇ πρὸς ἄλληλα τούτων πάντων ἑνώσει εἰς σμικρότατα κερματίζουσα τὰ τοῦ πυρὸς μόρια καὶ τῶν ἄλλων ἕκαστον οὕτως καταδιαιροῦσα· οὐ γὰρ δὴ ὅλα πρὸς ἄλληλα ἔκειτο· οὕτω γὰρ οὐκ ἂν ἦν εἰς ἓν ἡ ἕνωσις αὐτῆς. εἰ οὖν ταῦτα ἔλεγε ποιεῖν τὴν φιλίαν, πῶς οὐ μᾶλλον διακρίσεως αὐτὴν αἰτίαν ἢ ἑνώσεως ἐτίθετο; τὸ δὲ νεῖκος ταύτης μᾶλλον αἴτιον ἢ διακρίσεως, ὅταν αὖθις τοῦτο ἐν τῇ διακρίσει τῶν στοιχείων τῇ ἀπὸ τοῦ σφαίρου εἰς ἓν συνῆπται πρὸς ἑαυτὰ τὰ διεσπασμένα τοῦ πυρὸς μόρια, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἑκάστου. τοῦτο οὖν ἴδιον αὐτῷ παρὰ τοὺς ἄλλους συνέβαινε τὸ ἀδύνατον, τὸ εἶναι τὸ αὐτὸ τῶν ἐναντίων ποιητικὸν πρὸς τῷ καὶ οὐ μᾶλλον δύο ἢ ἓν αὐτὸ λέγειν. οὕτως γὰρ οὔτ' ὀρθῶς οὔτ' εὐλόγως οἰητέον εἰρῆσθαι αὐτῷ παντελῶς. γράφεται δὲ ἐν ἄλλοις "οὔτε ὀρθῶς οὔτε ἀλόγως·" οὕτω δὲ ἐχούσης τῆς γραφῆς λέγοι ἂν οὔτε ὀρθῶς πάντῃ ἤτοι εὐλόγως οὔτε ἀλόγως πάντῃ οἰητέον αὐτὸν εἰρηκέναι περὶ τῶν αἰτίων. εὐλόγως μέν πως δοκεῖ εἰρηκέναι τέσσαρα ὑποθέμενος τὰ στοιχεῖα τὰ ὡς ἐν ὕλης εἴδει, ἀλόγως δὲ τὸ μὴ λέγειν ἐξ ἀλλήλων αὐτὰ γίνεσθαι, ὅπερ προδήλως ὁρᾶται γινόμενον· ὅταν γὰρ ἐξ ὕδατος ἀὴρ γίνηται, φθείρεται τοῦτο πάντῃ καὶ οὐχ ὑπομένει, οὐδ' εἰ οὕτως τύχῃ. καὶ αὖθις ἐπὶ τοῦ ποιητικοῦ· τὸ γὰρ τῶν ἐναντίων ἐναντία ποιῆσαι τὰ αἴτια εὔλογόν πως δοκεῖ, τὸ δὲ αὐτὸ τῶν ἐναντίων καθ' αὐτὸ καὶ μὴ κατὰ συμβεβηκὸς θατέρου ποιητικὸν ἄλογον. cod. Laur.

989 a 30. "Ἀναξαγόραν — λέγειν." ἑξῆς Ἀναξαγόρου μνημονεύει ἐκφαυλίζων μὲν τὰ ἄντικρυς ὑπ' αὐτοῦ καὶ φανερῶς λέγεσθαι δοκοῦντα ὡς ἄτοπα, ἐνδεικνύμενος δὲ διὰ τῆς ἀτοπίας τῶν δοκούντων λέγεσθαι τὸ ἄλλα αὐτὸν δι' αὐτῶν βούλεσθαι λέγειν, προσβοηθῶν δὲ τῇ λέξει αὐτοῦ καὶ διαρθρῶν αὐτοῖς τὸ βούλημα, ὡς καὶ αὐτὸς λέγει. συνάγει γὰρ ἐκ μὲν τοῦ λέγειν πάντα αὐτὸν ἐν πᾶσι μεμῖχθαι ὅτι τὴν ὕλην ὀνειροπολεῖ, ἥτις δυνάμει μέν ἐστι πάντα, ἐνεργείᾳ δὲ οὐδὲν ὧν δύναται. καὶ γὰρ εἰ μὴ εἶπε σαφῶς ταῦτα, ἀλλ' ἐπηκολούθησε τοῖς τὴν δόξαν αὐτοῦ οὕτως ἐξηγουμένοις, ὡς καὶ αὐτὸς ταῦτα βουλόμενος λέγειν, ὅτι ταῦτα μὲν λόγον ἔχει, ἃ δὲ δοκεῖ λέγεσθαι ὑπ' αὐτοῦ ἄτοπα παντάπασιν. "ἀτόπου γὰρ ὄντος καὶ ἄλλως," τουτέστιν ὄντος γὰρ ἀτόπου τοῦ λέγειν πάντα ἐν πᾶσι μεμῖχθαι διά τε τὸ δεῖν προϋπάρχειν πρῶτον πρὸ τῆς μίξεως (ἄμικτα γὰρ δεῖ αὐτὰ τὰ μιγνύμενα ἀλλήλοις ὄντα πρῶτον κεχωρισμένα μίγνυσθαι, οὕτως δὲ οὐκέτι ἡ μῖξις πρώτη), καὶ διὰ τὸ μὴ δύνασθαι μηδὲ φύσιν ἔχειν τῷ τυχόντι τὸ τυχὸν μίγνυσθαι· πῶς γὰρ ἂν γραμμὴ καὶ λευκὸν ἢ λευκὸν καὶ μουσικὸν μιχθείη; ἔτι δὲ διὰ τὸ ἀκολουθεῖν τῷ οὕτως λέγοντι τὰ πάθη καὶ τὰ συμβεβηκότα χωρίζεσθαι τῆς οὐσίας καὶ καθ' αὐτὰ ὑφεστάναι· ὧν γὰρ μῖξις, τούτων καὶ χωρισμός· ὥστε καὶ εἰ ταῦτα μέμικται, τῶν πάντων γὰρ καὶ ταῦτα, χωρίζοιτο ἄν (c). ὄντος δὴ τοῦ ταῦτα λέγειν ἀτόπου (ὁ γὰρ καί σύνδεσμος ἐκ περισσοῦ δοκεῖ προσκεῖσθαι), ὅμως εἴ τις ἐπακολουθήσει τοῖς λεγομένοις ὑπ' αὐτοῦ συνδιαρθρῶν καὶ ἐξηγούμενος ἃ βούλεται λέγειν, φανείη ἂν καινοπρεπέστερον λέγων καὶ ἰδιαίτερον παρὰ τοὺς ἄλλους. εἴη δ' ἂν ταὐτὸ τῷ εἰρημένῳ ὑπ' αὐτοῦ κατὰ τὴν ἀρχὴν περὶ Ἀναξαγόρου, τῷ "τὴν μὲν ἡλικίαν πρότερος, τοῖς δὲ ἔργοις ὕστερος" (p. 984 *a* 12). λέγει δὲ καὶ πῶς ἔστιν ἐπακολουθοῦντα τοῖς λεγομένοις ὑπ' αὐτοῦ συνδιαρθροῦν αὐτά. Alex.

989 b 5. (c) ἰστέον οὖν ὅτι ἢ συμβολικῶς ἔλεγε ταῦτα ὁ Ἀναξαγόρας, ὅτι πάντα ἐν πᾶσι, βουλόμενος ἐκδηλῶσαι τὴν ὕλην, ἐπειδὴ πάντα ἐν τῇ ὕλῃ ὑπάρχουσιν· ἢ τῷ ὄντι περιφανταζόμενος τὴν ὕλην ταῦτα ἔλεγεν· ἐπεὶ γὰρ ἑώρα πάντα ἐκ πάντων γινόμενα, μὴ ἐπιστήσας τῇ εἰς τὴν ὕλην ἀναλύσει ἀπεφήνατο πάντα ἐν πᾶσιν εἶναι ἐνεργείᾳ, ὅπερ ἐστὶν ἀδύνατον· δυνάμει μὲν γὰρ ἔστιν, ἐνεργείᾳ δὲ οὐκ ἔστιν. Asclep.

"ὅτε — ἀποκεκριμένον" τε καὶ καθ' αὑτὸ ὂν ἐνεργείᾳ, δῆλον ὡς οὐδὲ ἓν ἦν κατὰ τῆς οὐσίας ἐκείνης καὶ τοῦ μίγματος τοῦ ὑπ' αὐτοῦ λεγομένου κατηγορῆσαι ἀληθῶς τῶν ὄντων· οὔτε γὰρ λευκὸν οὔτε μέλαν οὔτε φαιὸν οὔτε τὸ χρῶμα, ἀλλ' οὐδὲ χυμόν τινα οὐδὲ ἄλλο τι τῶν τοιούτων. οὔτε γὰρ ποιὸν λέγοντα αὐτὸ εἶναι ἀληθεύειν οὔτε ποσόν, οὔτε τινὰ τῶν ἐνεργείᾳ οὐσιῶν· ἦν γὰρ ἄν τι τούτων ἐν τῷ λεγομένῳ μίγματι ἀποκεκριμένον ἤδη καὶ ἐνεργείᾳ ὄν, ὃ ἀδύνατον μεμιγμένων πάντων· ἦν γὰρ ἂν τοῦτο ἄμικτον. λέγει γὰρ πλὴν τοῦ νοῦ πάντα μεμῖχθαι, τοῦτον δὲ μόνον ἀμιγῆ καὶ καθαρὸν εἶναι. τὸ δὲ "ἐξ ἀνάγκης" τοῦ ἤδη εἶναι καὶ ἐνεργείᾳ δηλωτικὸν παρέθετο. Alex.

989 b 16. "ἐκ — ἕν." συγκεφαλαιοῦται τὴν Ἀναξαγόρου δόξαν περὶ τῶν ἀρχῶν, ᾗ συγκατέθετο ἄν, εἴ τις τοῖς λεγομένοις ὑπ' αὐτοῦ ἐπο-

40. ὢν codd. *nihil est eorum quae esse potest* Sepulv.

6. *ἄμικτα αὐτά· δεῖ γὰρ αὐτὰ M.* ‖ 7 — 13. apud Asclep. ‖ 7. *δὲ οὐκ ἔσται ἡ μίξις προτέρα* Asclep. ‖ 8. *μὴ πεφυκέναι τῷ τυχόντι μίγνυσθαι τὸ τυχόν* Asclep. ‖ 9. *λευκὸν καὶ* om *A.* ‖ 10. *λεχθείη A.* ‖ 12. *μίξις γίνεται, τούτων* Asclep. ‖ *ὥστε εἰ καὶ ταῦτα* Asclep. ‖ 13. *χωρίζοιτο* Asclep. ‖ *ὄντος* — 14. *προσκεῖσθαι* om *L.* ‖ 16. *καινοπρεπεστέραν A.* ‖ 17. *εἰ δ' ἂν ταὐτῷ A.* ‖ 19 — p. 558 *a* 1. apud Asclep. ‖ 19. *λέγει οὖν καὶ* Asclep. ‖ 21. *ἔλεγεν ὁ Ἀναξαγόρας B.* ‖ 22. *βουλόμενος ἐντεῦθεν δηλῶσαι B.* ‖ 24. *ἔλεγεν B.* ‖ 28. *ὅτι* Asclep. ‖ 29. *οὐδὲν ἦν* Asclep. ‖ 30. *κατηγορεῖσθαι A.* ‖ 31. *οὔτε τι χρῶμα ἄλλο, οὐδὲ* Asclep. ‖ 32. *τοιούτων ποιὸν οἷόν τε αὐτὸ λέγοντα ἀληθεύειν, οὔτε ποσὸν* Asclep. ‖ *αὐτὸν* codd. ‖ 33. *ἄν τι*] *ἀντὶ AM*, *ἂν ἕν τι* Asclep. ‖ 34. *ὃ*] *ὅπερ ἦν* Asclep. ‖ 35. *γὰρ αὐτοῦ τὸ ἄμικτον* Asclep. ‖ 36 — 38. *μεμῖχθαι. τὸ δὲ οὕτως λέγειν οὐδὲν ἦν ἄλλο λέγειν ἢ ὅτι ἡ ὕλη πάντων ἐστὶ δυνάμει, ἐνεργείᾳ οὐδὲν ἐστιν. L.* ‖ 36. *τὸ* — 37. *παρέθετο* om Asclep.

πρότερον τῇ φύσει ὕστερον." ἔστι γὰρ ὃ λέγει τοιοῦτον· δοκεῖ ἀεὶ τῇ φύσει πρότερον εἶναι τὸ τελειότερον τοῦ ἀτελεστέρου, καὶ ἔστι τὸ ὕστερον μὲν τῇ γενέσει γινόμενον τελειότερον, προϋπάρχον τῷ χρόνῳ, ὡς ὁ θεμέλιος οἰκίας, παῖς ἀνδρός. κατὰ δὴ τὸν λόγον τοῦτόν φησι πάλιν ἔσεσθαι κάλλιον εἰρηκότας τοὺς τὰ παχυμερέστερα τῶν σωμάτων ὑποθεμένους στοιχεῖα· μᾶλλον γὰρ ταῦτα πεπέφθαι καὶ τετελειῶσθαι δοκεῖ τῶν ἁπλουστέρων τε καὶ λεπτοτέρων καὶ πρώτων τῇ γενέσει· τὰ γὰρ λεπτομερέστερα πρῶτα τῇ γενέσει· ἐξ ἐκείνων γὰρ εἰς τὰ παχυμερέστερα ἡ μεταβολή. ὥστε εἰ τὸ πρότερον ἀρχή, τὸ τῇ φύσει τε καὶ οὐσίᾳ πρότερον μᾶλλον ἂν εἴη ἀρχὴ τοῦ τῇ γενέσει προτέρου. εἰ γὰρ τὸ πρῶτον τῇ γενέσει ὕστερον τῇ φύσει, τὸ ὕστερον τῇ γενέσει πρῶτον ἂν εἴη τῇ φύσει. ὑστέρα δέ, καθ' οὓς συγκρίσει ἡ γένεσις, ἡ γῆ· αὕτη ἄρα μᾶλλον ἀρχή, ἐξ ἧς μᾶλλον διακρίσει ἡ τῶν ἄλλων γένεσις. περὶ μὲν οὖν τῶν μίαν τιθεμένων αἰτίαν ὑπομνήσας τῶν εἰρημένων, πρὸς τοὺς μίαν τε καὶ σωματικὴν τὴν ἀρχὴν θεμένους 989a 20. τὰ αὐτά φησιν ἁμαρτάνειν "καὶ εἴ τις ταῦτα πλείω τίθησι," τουτέστι καὶ εἴ τις τὰς σωματικὰς ἀρχὰς πλείους τίθησιν. ἢ οὐχ ἁπλῶς περὶ τῶν σωματικάς τε τὰς ἀρχὰς καὶ πλείους θεμένων λέγει, ἀλλὰ καὶ περὶ τῶν μὴ ἓν ἀλλὰ πλείω τῶν σωμάτων τούτων τῶν τεσσάρων ἐν ταῖς ἀρχαῖς θεμένων, ὧν σωμάτων ἕν τι ἐν ἀρχῇ ὑπὸ τῶν προειρημένων ἐτίθετο. μνημονεύει γὰρ Ἐμπεδοκλέους, ὃς τὰ τέσσαρα σώματα ὕλην τῶν ὄντων ἐτίθετο. "καὶ γὰρ τούτῳ τὰ μὲν τὰ αὐτὰ τὰ δὲ ἴδια συμβαίνειν ἀνάγκη" (*). λέγει μέν, ὡς εἶπον, πρὸς Ἐμπεδοκλέα (a), φησὶ δὲ ἕπεσθαι ἄτοπα καὶ καὶ τούτῳ τὰ μὲν ταὐτά, καίτοι τὰ τέσσαρα σώματα ἀρχὰς λέγοντι, τοῖς ἓν αὐτῶν τὴν ἀρχὴν θεμένοις, τὰ δὲ ἄλλα τε καὶ ἴδια. ταῦτα μέν, ὅτι ταῦτα γίνεται ἐξ ἀλλήλων καὶ οὐκ ἀεὶ τὰ αὐτὰ κατὰ τὸν ἀριθμὸν ὄντα διαμένει, ὅπερ ἴδιόν ἐστι τοῦ στοιχείου· τοῦτο γὰρ καὶ τοῖς ἕν τι τῶν σωμάτων στοιχεῖόν τε καὶ ὕλην λέγουσιν ἕπεται, τὸ φθείρεσθαι ἣν ὑποτίθεται ἀρχὴν ἕκαστος αὐτῶν. ἐπὶ πλέον δὲ εἴρηκε περὶ τούτων καὶ ἐν τῷ τρίτῳ περὶ Οὐρανοῦ (c. 7), ὡς ὑπομιμνήσκων ἡμᾶς εἶπεν 989a 24. "εἴρηται δὲ ἐν τοῖς περὶ φύσεως περὶ αὐτῶν." ἢ γὰρ οὐκ ἔσται ἐξ ἀλλήλων, εἰ ἀΐδια κατὰ ἀριθμόν, φαίνεται δὲ γιγνόμενα, ἢ ἔσται ἅμα τὰ ἐναντία περὶ τὸ αὐτό. ἔτι τὸ τὴν οὐσίαν καὶ τὸ εἶδος μὴ θεῖναι ἐν τοῖς αἰτίοις· καὶ γὰρ τοῦτο κοινόν. ἴδιον δὲ πρὸς τὰς κινητικὰς ἀρχὰς λεγόμενον ὑπ' αὐτοῦ, εἶεν δὲ αὗται ἥ τε φιλία καὶ τὸ νεῖκος, πότερον δύο ἀρχὰς κατ' αὐτὸν θετέον ταύτας ἢ μίαν. φαίνεται γὰρ καὶ ἡ φιλία τὰ τοῦ νείκους ποιοῦσα· διαιρεῖ γὰρ καὶ διακρίνει τὰ κατ' ἰδίαν ὅλα ὄντα, ἵνα συγκρίνῃ καὶ ἓν σῶμα ποιήσῃ. ἀλλὰ καὶ τὸ νεῖκος αὐτῷ οὐ μόνον διακρίνει, ἀλλὰ καὶ συγκρίνει καὶ συνάγει τὰ ὅμοια πρὸς ἄλληλα, χωρίζον ἐκ τῆς ἑνώσεως αὐτά· ὥστε οὐδὲν θάτερον θατέρου μᾶλλον τῶν ἀντικειμένων ἐστὶν αὐτῷ ποιητικόν. ἢ ἄμεινον γεγράφθαι τὸ "οὔτε ἀλόγως," ἵνα ᾖ τὸ λεγόμενον οὔτε πάντῃ ὀρθῶς οὔτε ἀλόγως πάντῃ. Alex.

(y) πρὸς τούτοις δὲ τὸ εἰδικὸν αἴτιον οὐδενὸς αἴτιον τιθέασιν 988b 34. εἶναι, κατὰ δὲ τὸ εἶδος χαρακτηρίζονται τὰ πράγματα καὶ ὑφίστανται· ἡ γὰρ οὐσία ἑκάστου τὸ εἶδος αὐτοῦ ἐστίν, ὡς δηλοῦσι καὶ οἱ ὁρισμοί· ὁ γὰρ ἄνθρωπος ζῷον λογικὸν ὑπάρχει· αἱ γὰρ διαφοραὶ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους... γῆν γὰρ μόνον αὐτὴν καθ' αὑτὴν οὐδεὶς ὑπέθετο· ὁ γὰρ Ξενοφάνης γῆν καὶ πῦρ ὑπετίθετο ἀρχὰς τῶν ὄντων... εἰπὼν δὲ ταῦτα ἀπορεῖ λέγων δι' ἣν αἰτίαν μὴ καὶ τὴν γῆν ὑπέθεντο εἶναι στοιχεῖον, ὥσπερ δοκεῖ καὶ πολλοῖς τῶν ἀνθρώπων· γῆ καὶ σποδός. ἀλλὰ καὶ ὁ ποιητὴς τοῦτο λέγει· "ἀλλ' ὑμεῖς μὲν αὖθις ὕδωρ καὶ γαῖα γένοισθε." ἀλλὰ καὶ Ἡσίοδος... διάκρισις γάρ ἐστιν, ὡς εἴρηται, ἡνίκα ἐκ τῶν παχυτέρων γίνεται τὰ λεπτότερα. Asclep.

(z) ὡς Ἀναξίμανδρος. κατὰ γοῦν τοῦτον, φησί, τὸν λόγον οὐδ' 989a 14. οὗτος ἂν λέγοι καλῶς, ὡς μὴ τὸ στοιχεῖον λεπτομερὲς ὑποθέμενος. ἐπαινεῖ δὲ μᾶλλον αὐτὸν ἐν τῇ Φυσικῇ, ὅτι διὰ τοῦ ὑποθέσθαι τὸ μεταξὺ ἀέρος καὶ ὕδατος στοιχεῖον τὴν ἀσχημάτιστον καὶ ἀνείδεον ὑπενόησεν ὕλην· τὸ γὰρ μήτε τόδε μήτε τόδε καθαρῶς, ἀλλὰ μεταξύ, τοιοῦτόν πώς ἐστιν. cod. Reg.

(*) οἷον ὥσπερ ὁ Ἐμπεδοκλῆς· τέσσαρα γὰρ αἴτια ὑποτίθεται 989a 19. ὑλικά, καὶ οὔτε ποιητικὸν αἴτιον κυρίως λέγει τῶν κατὰ μέρος οὔτε εἰδικόν. διὸ συμβαίνει κατά τι μὲν τὰ αὐτὰ λέγειν τοῖς μίαν ὑποτιθεμένοις ἀρχήν, κατά τι δὲ διαφέρειν. ὅτι γὰρ οὐκ εἰσὶν ἀμετάβλητα (τὰ στοιχεῖα) αὐτὴ ἡ ἐνάργεια ἡμῖν ὑπαγορεύει· γινόμενά τε γὰρ αὐτὰ ὁρῶμεν ἐξ ἀλλήλων (τὰ στοιχεῖα)· τὸ γὰρ ὕδωρ τὸ ἐν τῷ λέβητι τελέως ἐξατμιζόμενον καὶ εἰς ἀέρα μεταβάλλει, ὡς οὐκ ἀεὶ διαμένοντος πυρὸς καὶ γῆς τοῦ αὐτοῦ σώματος, ὡς εἴρηται ἡμῖν περὶ αὐτῶν καὶ ἐν τῷ δευτέρῳ λόγῳ τῆς περὶ Γενέσεως (c. 6) καὶ ἐν τῷ τρίτῳ τῆς περὶ Οὐρανοῦ (c. 7) ὅτι, εἰ μὴ μεταβάλλονται, ἔσονται ἅμα τὰ ἐναντία καὶ οὐκ ἔσται γένεσις ἀλλ' ἀλλοίωσις... καθὸ δὲ οὐδὲν διελέχθη (ὁ Ἐμπεδοκλῆς) περὶ τοῦ ἁπλῶς αἰτίου, οὐκ ἀποδέχεται. ἔδει γὰρ αὐτὸν εἰπεῖν καὶ τὸ αἴτιον τῆς ἁπλῶς εἰδοποιίας ἅμα καὶ ἑνώσεως καὶ ἀοριστίας καὶ διακρίσεως καὶ συγκρίσεως· πρὸ γὰρ τῶν δύο τὸ ἕν, τὰ γὰρ δύο ἐκ τοῦ ἑνός· ὥστε ἀνάγκη εἶναι μίαν τὴν πάντων ἀρχήν. διὰ τοῦτο οὖν φησὶν ὁ Ἀριστοτέλης ὅτι καὶ περὶ τῶν ποιητικῶν αἰτίων, πότερον ἓν ἢ δύο θετέον, οὔτε ὀρθῶς οὔτε ἀλόγως, ὡς ἐνεδείξαμεν. ἢ ὅτι ἀμφότεραι καὶ συγκρίνουσι καὶ διακρίνουσιν, ὡς εἴρηται ἐν τῇ περὶ Γενέσεως καὶ Φθορᾶς. ἔσχεν οὖν πλεῖον τῶν ἄλλων φυσικῶν κατὰ τὰ ποιητικὰ αἴτια. ὅλως δὲ οἱ οὕτω λέγοντες καὶ γένεσιν καὶ ἀλλοίωσιν ἀναιροῦσιν· οἱ γὰρ ἄνθρωποι ἀμετάβλητα ὑποτιθέμενοι τὰ στοιχεῖα λέγουσιν ὡς ἐκ θερμοῦ καὶ ψυχροῦ γίνεται ἤγουν τὸ ἐναντίον, ἐπεὶ οὕτως ἔσονται τὰ ἐναντία, τῶν στοιχείων ὄντων

1. ἔστι — 3. χρόνῳ om *L*. ‖ 3 — 14. apud Asclep. ‖ 4. δὴ om *M*. ‖ 7. τὰ — 8. γενέσει om *M* Asclep. ‖ 8. παχύτερα Asclep. ‖ 10. εἴη ἐν ἀρχαῖς, οὐ τὸ τῇ γενέσει. εἰ Asclep. ‖ 11. ὕστερον δὲ τῇ φύσει Asclep. ‖ 12. ὑστέρα δὲ καθὸ συγκρίσει ἡ γένεσις Asclep. *terra autem per eos qui concretione res putant generari, posterior est* Sepulv. ‖ 13. μᾶλλον] πάλιν Asclep. ‖ 23. τούτων *M*. ‖ 32. εἰ] ἢ codd. *si numero sempiterna sint* Sepulv.

7. ὁ Ξενοφάνης γῆν καὶ πῦρ ὑπέθετο ἀρχὰς τῶν ὄντων· οὐδεὶς μόνην γῆν cod. Reg.

λόμενοι τὴν αἰτίαν. τὸ δὲ "ἢ οὕτως" σημαίνοι ἂν ἴσον τῷ ἢ οὕτως ἁπάσας ζητεῖσθαι, ἢ ἐκ τῶν τεσσάρων τούτων τινάς· καὶ γὰρ εἰ μὴ ἡ παροῦσα πραγματεία ἀπαιτεῖ τὸν περὶ πάντων τῶν αἰτίων λόγον, ἀλλ' ὅ γε ζητούμενος τῶν αἰτίων τρόπος ἐν τοῖς τέτρασι καὶ αὐτός ἐστι, καὶ οὐκ ἐκπίπτει τὰ αἴτια ταῦτα, διὰ τὸ μηδὲ εἶναι τρόπον ἄλλον τινὰ παρὰ τούτους αἰτίου. πρῶτον δὲ προτίθεται εἰπεῖν πῶς ἕκαστος τῶν προειρημένων εἴρηκε, καὶ τίνα δόξῃ ἑκάστῃ ἄπορα ἕπεται. id.

988b 22 "ὅσοι — ἁμαρτάνουσι." πῶς ἓν τὸ πᾶν, αὐτὸς ἐξηγήσατο διὰ τοῦ "καὶ μίαν τινὰ φύσιν ὡς ὕλην τιθέασι καὶ ταύτην σωματικήν." οὕτως γὰρ ἓν ὡς ἐξ ἑνός. μετὰ δὲ τὸ τὰς δόξας τῶν πρὸ αὐτοῦ περὶ τῶν ἀρχῶν καὶ τῶν αἰτίων καταριθμήσασθαι, ἐξετάζων τί τε ὑγιῶς εἴρηται ὑπ' αὐτῶν καὶ τί μή, πρῶτον ποιεῖται τὸν λόγον περὶ τῶν μίαν τὴν ἀρχὴν καὶ ταύτην σῶμα θεμένων. καὶ λέγει τούτους κατὰ πολλὰ ἁμαρτάνειν (x), πρῶτον μὲν ὅτι βουλόμενοι τῶν ὄντων ἀρχὰς ἐκθέσθαι πάντων, οἱ δὲ τῶν σωμάτων μόνον ἀποδιδόασιν, ὄντων τινῶν καὶ ἀσωμάτων· οὐ γὰρ οἷόν τε ἀρχὴν ἀσωμάτου σῶμα εἶναι. δεύτερον δὲ ὅτι γένεσιν εἰσάγοντες τὴν αἰτίαν τοῦ γίνεσθαί τε καὶ τοῦ κινεῖσθαι καὶ ὅλως τὸ ποιητικὸν αἴτιον παρέλιπον· οὐ γὰρ δὴ ἡ ὕλη γε ἐξ αὑτῆς ἔχει τὸ κινεῖσθαι. τὸ δὲ "καὶ περὶ γενέσεως" ἀντὶ τοῦ καὶ γενέσεως καὶ φθορᾶς. "ἐπιχειροῦντες τὰς αἰτίας λέγειν καὶ περὶ πάντων φυσιολογοῦντες," δηλονότι τῶν ὄντων, ὧν ἐν κινήσει τὰ πλεῖστα, "τὸ τῆς κινήσεως αἴτιον" ἀντὶ τοῦ κινητικὸν αἴτιον "παρέλιπον." τρίτον δὲ τὸ τὸ εἶδος μηδενὸς αἴτιον θέσθαι, πάντων τῶν ὄντων παρὰ τοῦ εἴδους τὸ εἶναι ἅπερ ἐστὶν ἐχόντων· κατὰ γὰρ τὴν ὕλην οὐδὲν ἀλλήλων διαφέρουσιν· ἡ αὐτὴ γὰρ ἐν πᾶσιν (*). εὐλόγως δὲ οὐσίαν εἶπε τὸ εἶδος· τὸ γὰρ εἶναι ἑκάστῳ παρ' αὐτοῦ. τετάρτη ἁμαρτία τὸ τῶν πρώτων σωμάτων λαβόντας προχείρως τὸ δόξαν αὐτοῖς τοῦτο ἀρχὴν θέσθαι· τοῦτο δὲ ὅτι ἀδύνατον, δείκνυσι καὶ ἐν τῷ δευτέρῳ περὶ Γενέσεως (c. 6), καὶ αὐτὸ ἐπισημαίνεται εἰρηκέναι ἐν τοῖς περὶ φύσεως, λέγων οὕτως πᾶσαν τὴν φυσικὴν πραγματείαν. εἰ γὰρ ἢ τὰ τέσσαρα σώματα ἤ τινα ἐξ αὐτῶν ἀρχαὶ ἢ ἕν τι τὸ τυχὸν τῶν τεσσάρων, ἢ οὐκ ἔσονται ἐξ ἀλλήλων, ἵνα ᾖ ἄφθαρτα, ἢ ὅταν γένηται ἐξ ἀλλήλων, ὑπομένοντα ἅ ποτε ἔστιν ἅμα καὶ τἀναντία εἰς ἃ μεταβάλλει ἔσται, καὶ οὕτως τῷ ὄντι ἅμα ἔσται τὰ ἐναντία, πῦρ τε καὶ ὕδωρ, ἂν οὕτω τύχοι. ἢ εἰ μὴ ὑπομένει, φθαρήσεται καὶ οὕτως καὶ ἡ ἀρχή· ὅπερ ἄτοπον· ἔστι γὰρ ἀρχὴ ἐξ ἧς πρώτης γίγνεται καὶ εἰς ἣν ἐσχάτην ἀναλύεται, αὕτη δὲ ἐκ μηδενός. ἀλλὰ τούτου μὲν οὐ νῦν τοῦ καὶ αὐτοῦ ἑπομένου αὐτοῖς ἀτόπου μνημονεύει· ἐκεῖνο δὲ αἰτιᾶται, ὅτι ῥᾳδίως καὶ χωρὶς τοῦ ἐπισκέψασθαι πῶς τοῖς ἁπλοῖς σώμασιν ἡ γένεσις ἐξ ἀλλήλων, ἔθεντό τι τῶν ἁπλῶν σωμάτων τῶν τριῶν ἓν στοιχεῖον τῶν ἄλλων· χωρὶς γὰρ τῆς γῆς τῶν ἄλλων ἕκαστον ὑπό τινων στοιχεῖον εἴρηται. ὃ δὲ αἰτιᾶται αὐτοὺς ἐστιν ὅτι ἔδει μὴ ἀπὸ τοῦ τρόπου τῆς ἐξ ἀλλήλων γενέσεως ἐξ αὐτῶν τὸ πρῶτον καὶ τὴν ἀρχὴν λαβεῖν, ἐπεὶ τὸ ἐξ ἀλλήλων αὐτὰ γίνεσθαι κοινὸν πᾶσι, καὶ κατὰ τοῦτο οὐδὲν αὐτῶν ἄλλο ἄλλου πρῶτον ἢ ὕστερον· οἱ δὲ οὐκ ἐποίησαν τοῦτο. τίς δὲ ἡ τῆς ἐξ ἀλλήλων γενέσεως αὐτοῖς διαφορά, αὐτὸς εἶπε· τὰ μὲν γὰρ διακρίσει γίγνεται ἐξ ἀλλήλων, ἐξ ὧν ἔστι λαβεῖν τὸ πρῶτόν τε καὶ ὕστερον, τὰ δὲ συγκρίσει (*). εἰπὼν δὲ ταῦτα δείκνυσιν ὅτι κατὰ τοὺς τῆς γενέσεως τρόπους σκοπουμένους κατὰ τὶ μὲν δόξει πρῶτον εἶναι τῶν σωμάτων, ἐξ οὗ πρώτου κατὰ σύγκρισιν ἡ τῶν ἄλλων γένεσις· τοιοῦτον δ' ἂν εἴη τὸ μικρομερέστατον καὶ λεπτότατον. διὸ οἱ πῦρ τὸ στοιχεῖον θέμενοι κατὰ τοῦτον τὸν λόγον εἶεν ἂν εὐλόγως λέγοντες· καὶ γὰρ τῶν ἄλλο τι λεγόντων σῶμα στοιχεῖον καὶ μὴ τὸ πῦρ ἕκαστος ὁμολογεῖ τὸ δεῖν τοιοῦτον τὸ στοιχεῖον εἶναι τῶν σωμάτων. διὰ γὰρ τοῦτο οὐδεὶς αὐτῶν τὴν γῆν μόνην στοιχεῖον ἔθετο ὡς μεγαλομερέστατον δηλονότι τῶν ἄλλων. id.

(x) φαμὲν οὖν πρὸς τὸν Ἀριστοτέλην ὅτι ὡς φυσιολόγοι περὶ 988b
24. μόνων τῶν σωματικῶν ἀρχῶν διελέχθησαν· καὶ αὐτὸς γὰρ τοῦτο λέγεις, ὅτι κεχώρισται ἡ φυσιολογία τῆς θεολογίας καὶ οὐ δεῖ τὸν φυσικὸν διαλέγεσθαι περὶ τῆς πρώτης αἰτίας· μείζονος γὰρ φιλοσοφίας τοῦτο ἔργον ἐστίν. εἰ οὖν τῷ ὄντι περὶ πάντων τῶν ὄντων διαλεγόμενοι οὐχ ὑπετίθεντο καὶ ἀσώματον ἀρχήν, τῷ ὄντι καλῶς αὐτοὺς πειρᾶται ἐλέγχειν ὁ Ἀριστοτέλης... τῶν σωμάτων ἀρχὰς μόνον ὑποτίθενται, οὐκέτι δὲ καὶ τῶν ἀσωμάτων, οἷον ψυχῆς ἀγγέλων καὶ πασῶν τῶν νοερῶν δυνάμεων. Asclep.

εἰπὼν δὲ ταῦτα ἀπορεῖ διὰ τί μὴ εἴη ἂν κατά τινα λόγον καὶ 989a
5. ἡ γῆ τῶν ἄλλων στοιχεῖον, ὥσπερ καὶ δοκεῖ πολλοῖς τῶν ἀνθρώπων, ἀλλὰ καὶ Ἡσιόδῳ· μετὰ γὰρ τὸ χάος ταύτην πρώτην γεννᾷ, συστήσας καὶ τὴν δόξαν τῇ τῶν πολλῶν μαρτυρίᾳ (y). ἴσως δ' ἂν περὶ τῆς γῆς λέγοι τὸ ὅτι εἰ μὴ διὰ τὸν τρόπον τῆς γενέσεως ἔλεγον ἐκεῖνα στοιχεῖα, διὰ τί ποτε οὐ καὶ τὴν γῆν ἔλεγον, τῆς κοινῆς ταύτην δόξης λεγούσης; εἰπὼν δὲ ταῦτα ἀνατρέχει πάλιν ἐπὶ τὰ εἰρημένα, τὰ ὅτι δοκεῖ τὸ λεπτομερέστερον στοιχεῖον, καί φησιν ὅτι κατὰ τὴν δόξαν ταύτην οὐδεὶς τῶν παρὰ τὸ πῦρ ἄλλο τι σῶμα τὸ στοιχεῖον θεμένων ἢ τούτων τῶν τεσσάρων ἢ τῶν μεταξὺ σῶμα πυρός τε καὶ ἀέρος ὀρθῶς ἂν εἴη λέγων (*). ὃ εἰπὼν προστίθησι καθ' ὃν λόγον δύναιτο ἂν πάλιν ἡ γῆ στοιχεῖον λέγεσθαι, λέγων "εἰ δέ ἐστι τὸ τῇ γενέσει 989a
15.

(*) p. 988 b 34. γρ. "τί μὲν" καὶ "νῦν μέν," ἔστιν ὅτε καὶ "τῇ μέν." cod. Reg.

(*) p. 989 a 5. ὁ Ξενοφάνης γῆν καὶ πῦρ ὑπέθετο ἀρχὰς τῶν ὄντων, οὐδεὶς μόνην γῆν. cod. Reg.

1. οὕτως ἁπάσας, σημαίνοι Asclep. ‖ ἂν — 3. παροῦσα om A. ‖ 1. ἴσον τὸ L. ‖ 2. τούτων om Asclep. ‖ 4. τέτταρσι L. ‖ αὐτὸς αἰτίοις ἐστί Asclep. ‖ 9. ὡς] καὶ A. ‖ 16. ἀρχὴν ἀσώματον σῶμα A. ‖ 17 — 22. apud Asclep. ‖ 17. γένεσιν οὖν εἰσάγοντες Asclep. ‖ 19. ἴσχει M. ‖ καὶ post τοῦ om M Asclep. ‖ 21. δηλονότι om Asclep. ‖ 22. αἴτιον, τουτέστι τὸ ποιητικὸν ἀναιροῦσι Asclep. ‖ 23. alterum τὸ om AV. ‖ 32. ἢ] ἢ V. ‖ 33. ὑπομένοντα ταῦτα ἃ L. ‖ 36. καὶ post οὕτως om L. ‖ 38. μὲν] μόνον L.

14. καὶ] ὁ M. ‖ 16. ἀσωμάτων M.

οὐ τὴν ὑλικὴν μόνον ἔθεντο αἰτίαν· οὔτε γὰρ Ἀναξαγόρας οὔτε οἱ Πυθαγόρειοι οὔτε Πλάτων. προςτίθησι δὲ ὅτι ἕτεροί τινες ἐμνημόνευσαν καὶ τῶν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἥτις ποιητική, καὶ λέγει τούτων τοὺς φιλίαν καὶ νεῖκος εἰπόντας, ὡς Ἐμπεδοκλέα, καὶ νοῦν, ὡς Ἀναξαγόραν, ἢ ἔρωτα, ὡς Παρμενίδην καὶ Ἡσίοδον. Alex.

988a 34. "τὸ — ἀποδέδωκεν." εἰπὼν Ἀναξαγόραν καὶ Ἐμπεδοκλέα καὶ τῆς ποιητικῆς ἀρχῆς μνημονεῦσαι πρὸς τῇ ὑλικῇ, τίθησιν ἐν τοῖς τῆς ποιητικῆς ἀρχῆς μνημονεύσασι καὶ τοὺς ἔρωτα ἐν ταῖς ἀρχαῖς θεμένους· καίτοι δόξειε κατὰ τούτους μᾶλλον εἶναι τελικὸν αἴτιον· τοιοῦτον γὰρ τὸ ὀρεκτόν (*). ἢ εἰ μὲν ἔλεγον τίνος ὁ ἔρως ἐφιέμενος ἐποίει ἃ ἐποίει, ἐμνημόνευον ἂν καὶ τῆς κατὰ τὸ τέλος αἰτίας· μόνον δὲ τῷ ἔρωτι ἐν ταῖς ἀρχαῖς χρώμενοι ὡς ποιοῦντι, οὐκέτι δὲ λέγοντες καὶ τίνος χάριν, οὐκέτι ἂν μνημονεύοιεν τῆς ὡς τέλους ἀρχῆς. ὅτι δὲ τῆς κατὰ τὸ εἶδος Πλάτων πως ἐμνημόνευσε, δείκνυσιν· αἱ γὰρ ἰδέαι κατ' αὐτὸν αἰτίαι καὶ ἀρχαὶ οὖσαι οὔτε ὡς ἡ ὕλη εἰσὶν αἰτίαι· οὐ γὰρ ἐνυπάρχουσι τοῖς αἰσθητοῖς. "τὰ δὲ ἐν τοῖς εἴδεσι" λέγοι ἂν τὰς ἀρχὰς τῶν εἰδῶν· οὐδὲ γὰρ ταῦτα ὕλη τοῖς αἰσθητοῖς, ἀλλὰ αὐτὰ στοιχεῖα τῶν εἰδῶν, ὅτι ἐν ταῖς ἰδέαις εἰσὶν ὡς στοιχεῖα αὐτῶν. οὐ γὰρ τὰ στοιχεῖα ἐπὶ τῆς ὕλης λέγεται μόνης· τὸ γοῦν νεῖκος καὶ ἡ φιλία στοιχεῖα μὲν κατ' Ἐμπεδοκλέα καὶ ἐν τοῖς στοιχείοις, ἀλλ' οὐχ ὡς ὕλη οὔτε ὡς ποιητικαὶ αἱ ἰδέαι· τοῦ μὲν γὰρ ποιοῦντος τὸ κινεῖν, αὗται δὲ στάσεως καὶ ἀκινησίας τοῖς οὖσι μᾶλλον αἰτίαι εἰσὶ κατ' αὐτόν. ἀλλ' εἰσὶ τοῦ εἴδους καὶ τοῦ τί ἦν εἶναι παρεκτικαὶ κατ' αὐτὸν τοῖς γινομένοις πρὸς αὐτάς. ὥσπερ οὖν καὶ αὐταῖς ἐκείναις τὸ ἕν, αἱ δὲ τοῦ εἴδους τοῖς ἄλλοις αἰτίαι, καὶ οὕτως ὡς κατὰ ὁμοίωσιν τὴν πρὸς ἐκείνας τούτων εἰδοποιουμένων· ὡς οὖν ὁμοειδῆ ταῖς ἰδέαις τὰ πρὸς αὐτὰς γεγονότα τε καὶ ὄντα. id.

988a 36. (*) τὸ δὲ τελικὸν αἴτιον κινήσεώς ἐστιν αἴτιον· κινεῖ γὰρ πρὸς ἑαυτὸ τὰ πάντα. ὅτι δὲ μνημονεύει καὶ τοῦ τελικοῦ, ἐδείξαμεν διὰ τοῦ λέγειν αὐτοὺς τἀγαθὸν οὗ πάντα ἐφίεται, καὶ ὅτι πάντα ἀποβλέπουσιν εἰς τὸν βασιλέα τῶν πάντων. "ἢ ἔρωτα ποιοῦσιν ἀρχήν." δοκοῦσι λέγειν τελικὸν αἴτιον οἱ ὑποτιθέμενοι εἶναι ἔρωτα· τοιοῦτον γὰρ τὸ ὀρεκτόν. λέγομεν οὖν ὅτι εἰ μὲν οὕτως ἔλεγον, ὅτι ὁ ἔρως τινὸς ἐφιέμενος ποιεῖ ἃ ποιεῖ, τῷ ὄντι ἔλεγον τελικὸν αἴτιον· μόνον δὲ τῷ ἔρωτι ἐν ταῖς ἀρχαῖς χρώμενοι ὡς ποιοῦντι, οὐκέτι δὲ λέγοντες τίνος χάριν, οὔ φασι τὸ τελικὸν αἴτιον. Asclep.

988b 6. "τὸ — κινήσεις." λέγει μὲν περὶ τῆς κατὰ τὸ τέλος αἰτίας (αὕτη γάρ ἐστι τἀγαθόν τε καὶ τὸ ὡς τέλος αἴτιον τοῖς οὖσι), δείκνυσι δὲ ὅτι οὐδεὶς οἰκείως τῶν πρὸ αὐτοῦ περὶ ταύτης τῆς αἰτίας ἐποιήσατο τὸν λόγον. τρόπον μὲν γάρ τινα λέγουσι τὸ ἀγαθὸν αἴτιον, οὐ μὴν ὡς τέλος, καὶ ὡς τούτου χάριν γιγνομένων τῶν ἄλλων, ὡς πέφυκεν εἶναι τὸ ἀγαθὸν αἴτιον, ἀλλ' ὡς ποιητικῷ αὐτῷ χρῶνται. ὁ γὰρ Ἀναξαγόρας τὸν νοῦν εἰσαγαγὼν καὶ ὁ μὲν Ἐμπεδοκλῆς τὴν φιλίαν ἀγαθὰ μὲν καὶ ἀγαθοποιὰ αἴτια τίθενται ταῦτα, οὐ μὴν τούτου χάριν τὰ γινόμενα γίνεσθαί φασιν, ἀλλ' αὐτὰ ταῦτα τὰ ποιητικὰ ἀγαθὰ ἔστω αὐτοῖς (*). τούτων δὲ ὁμοίως καὶ τοὺς τὸ ἓν καὶ τὴν ἰδέαν ἀρχὰς θεμένους φησὶν εἰρηκέναι (**)· τοὺς αὐτοὺς δὲ λέγοι ἂν καὶ τὸ ἓν λέγειν· τὸ γὰρ ἓν καὶ τὸ ἓν Πλάτων ἔλεγεν, ὃν λέγων τό τε ἓν καὶ τὴν ἰδέαν· ταῦτα γὰρ κυρίως ὄντα. οὐ γὰρ τούτων ἕνεκεν γίγνεσθαι τὰ γιγνόμενα, ἀλλ' ἔστι ταῦτα αὐτοῖς τοῦ εἶναι αἴτια παρεκτικά· τοῦ γὰρ εἴδους τοῦτο αἴτιον, ἀλλ' οὐ τούτων χάριν ἐκεῖνα γίγνεταί τε καὶ ἔστι κατ' αὐτούς. καὶ μνημονεύουσιν οὖν τοῦ ἀγαθοῦ ἐν τοῖς αἰτίοις, καὶ τρόπον τινὰ παραλείπουσιν αὐτὸ τῷ τὴν οἰκείαν αὐτῷ χώραν μὴ φυλάσσειν. Alex.

(*) ὁμοίως δὲ καὶ οἱ ἓν λέγοντες εἶναι τὴν τῶν πάντων οὐσίαν, 988b 11. τουτέστιν οἱ περὶ Πλάτωνα, τὴν τοιαύτης φύσιν αἰτίαν φασὶν εἶναι τῆς οὐσίας, οὐ μέντοι γε τούτου ἕνεκα ἢ εἶναι ἢ γίνεσθαι· ὥστε λέγειν τε καὶ μὴ λέγειν αὐτοὺς περιέχεσθαι τὸ ἀγαθὸν αἴτιον· οὐ γὰρ ἁπλῶς ἀλλὰ κατὰ συμβεβηκός. Asclep.

(**) τὸ γὰρ ἓν καὶ τὸ ὂν ὁ Πλάτων ἔλεγεν, ἓν λέγων τό τε ἓν καὶ τὴν ἰδέαν· ταῦτα γὰρ κυρίως ὄντα. οὐ γὰρ τούτων ἕνεκα γίνεσθαι τὰ γινόμενα, ἀλλ' ἔστι ταῦτα αὐτοῖς τοῦ εἶναι αἴτια καὶ πρακτικά· τοῦ γὰρ εἴδους τοῦτο αἴτιον, ἀλλ' οὐ τούτων χάριν ἐκεῖνα γίνεταί τε καὶ ἔστι κατ' αὐτούς. id.

"κατὰ συμβεβηκός." καὶ λέγει αὐτοὺς τοῦ ὡς ἀγαθοῦ αἰτίου μνη- 988b 15. μονεύειν, ὅτι τὸ ἀγαθῷ αὐτῷ αἴτιον εἶναι ἔστι τὸ τούτου ἕνεκα τὰ γιγνόμενα γίγνεσθαι. οἱ οὖν μὴ φυλάσσοντες τῷ ὑπ' αὐτῶν λεγομένῳ ἀγαθῷ τὴν τάξιν ταύτην ἐν ταῖς αἰτίαις οὐχ ᾗ ἀγαθὸν αὐτὸ αἴτιον ποιοῦσιν, ἀλλ' ᾧ συμβέβηκεν ἀγαθῷ εἶναι, τοῦτο ποιητικὸν αἴτιον τίθενται. ἐπιζητήσαι ἄν τις πῶς Πλάτων ἐν Ἐπιστολαῖς (2 p. 312 e) λέγων "περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶ καὶ τούτου ἕνεκα πάντα" οὐ λέγει διὰ τούτων τὸ ἀγαθὸν ὡς τέλος αἴτιον. ἢ εἰ λέγει, πῶς οὔ φησιν αὐτὸν Ἀριστοτέλης λέγειν; ἢ ἰδίᾳ ἐπὶ τέλει τοῦ βιβλίου τούτου αὐτὸς οὕτως λέγει. Alex.

"ὅτι — αἰτίας." ὅτι μὲν οὖν ὀρθῶς διώρισθο, ἐκ τῆς ἱστορίας τῆς 988b 16. τῶν εἰρηκότων περὶ αἰτίων δῆλόν φησι γεγονέναι τὸ καλῶς ὑπ' αὐτοῦ περὶ τῶν αἰτίων διωρίσθαι πόσα τε καὶ τίνα· μαρτυροῦσι γὰρ τοῦ τὰ τοιαῦτα εἶναι αὐτά, οὐ δυνηθέντες ἄλλου τινὸς αἰτίας εἴδους μνημονεῦσαι. "πρὸς δὲ τούτοις, ὅτι ζητητέαι αἱ ἀρχαί, ἢ οὕτως ἅπασαι." καὶ τοῦτό φησι δῆλον ἐκ τῶν προειρημένων εἶναι, ὅτι χρὴ ζητεῖν περὶ τῶν ἀρχῶν ἢ περὶ πασῶν ὧν ἐξεθέμεθα, τετραχῶς διε-

3. τῶν] τῆς *M.* ‖ 5. post Ἡσίοδον codd. εἶπε. ‖ 10. *si ipsi dixissent — videri possent* Sepulv. i. e. ἔλεγον — ἐμνημόνευον. ‖ 14 — 16. apud Asclep. ‖ 14. εἶδος ἀρχῆς Πλάτων Asclep. ‖ πως om Asclep. ‖ 15. ἰδέαι αὐτοαίτια καὶ Asclep. ‖ 16. τὰ — 17. αἰσθητοῖς om *A.* ‖ 17. ἀλλὰ — 19. τὸ γοῦν om Asclep. ‖ 25. καὶ] ἢ *M.* ‖ 38 sqq. apud Asclep. ‖ 38. δὲ] οὖν Asclep. ‖ 39. οἰκείως om Asclep. ‖ αὐτοῦ λόγον ἐποιήσατο περὶ τῆς τελικῆς αἰτίας Asclep. ‖ ταύτας τὰς *A.*

3. εἰσαγαγὼν καὶ Παρμενίδης τὸν Ἔρωτα, ἀγαθὰ Asclep. ‖ 4. τούτου] τούτων Asclep. ‖ 6. τούτοις δὲ Asclep., τούτου *M.* ‖ 7. ὂν] ἓν *M.* ‖ 8. ἔλεγεν ὁ λέγων *AM.* ‖ 10. αἴτια καὶ παρεκτικά Asclep. ‖ 13. αὐτὸ διὰ τὸ μὴ Asclep. ‖ αὐτῶν χώραν *A.* ‖ 24. καὶ λέγει] δὲ ἂν λέγοι Asclep. ‖ 25. ὅτι τῷ ὡς ἀγαθῷ αἰτίῳ εἶναι αὐτῷ ἐστι τὸ τούτου Asclep. αἰτίῳ etiam *M.* ‖ τούτου] τοῦ *A.* ‖ 36. τοῦ τὰ] οὕτοι *M.*

ἧς τὰ εἴδη, τουτέστιν ἡ εἰδοποιουμένη· ὅτι γὰρ δυάς ἐστιν αὕτη, δυὰς δὲ ποταπή, διὰ τῆς προσθήκης ἐδήλωσεν· οὐ γὰρ ἡ ὡρισμένη καὶ ἐν τοῖς ἀριθμοῖς, ἀλλ' ἡ ἀόριστος· τοιαύτη γὰρ τὸ μέγα καὶ τὸ μικρόν. γράφεται καὶ οὕτως "καθ' ἧς τὰ εἴδη μὲν ἐπὶ τῶν αἰσθητῶν, τὸ δὲ ἓν ἐν τοῖς εἴδεσι λέγεται," καὶ εἴη ἂν τὸ λεγόμενον, καθ' ἧς ὕλης τὰ μὲν εἴδη ἐστί τε καὶ λέγεται ἐν τοῖς αἰσθητοῖς· ἐν γὰρ τῇ ὕλῃ ταύτῃ τὰ εἴδη ἐστὶ τὰ τῶν αἰσθητῶν, τὸ δὲ ἓν ἐπὶ τῶν ἐν τοῖς εἴδεσι καὶ ταῖς ἰδέαις· ἡ γὰρ ἐν ἐκείνοις ὕλη ὑπὸ τοῦ ἑνὸς εἰδοποιεῖται. ζητήσαι δ' ἄν τις πῶς λέγοντος Πλάτωνος καὶ ποιητικὸν αἴτιον, ἐν οἷς λέγει "τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦ παντὸς εὑρεῖν τε καὶ δεῖξαι ἔργον," ἀλλὰ καὶ τὸ οὗ ἕνεκεν καὶ τέλος, δι' ὧν πάλιν λέγει "περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶ κἀκείνου ἕνεκα," οὐδετέρου τούτων τῶν αἰτίων ἐμνημόνευσεν ὁ Ἀριστοτέλης ἐν τῇ δόξῃ τῇ τοῦ Πλάτωνος; ἢ ὅτι ἐν οἷς περὶ αἰτίων ἔλεγεν, οὐδενὸς τούτων ἐμέμνητο, ὡς ἐν τοῖς περὶ τἀγαθοῦ δέδειχεν· ἢ ὅτι τῶν ἐν γενέσει καὶ φθορᾷ οὐ τίθεται ταῦτα αἴτια, ἀλλ' οὐδὲ ἐξειργάσατό τι περὶ αὐτῶν. εἰπὼν δὲ τὴν ὑλικὴν ἀρχὴν τοὺς μὲν σωματικὴν τοὺς δὲ ἀσώματον ὑποτιθέναι, πρῶτον ἐμνημόνευσε τῶν ἀσώματον λεγόντων Πλάτωνος, ὃς τὸ μέγα καὶ τὸ μικρὸν ἔλεγεν, καὶ τῶν Πυθαγορικῶν, οἳ τὸ ἄπειρον, τοῦτο δ' ἦν τὸ ἄρτιον. οὐκ ἐμνημόνευσε δὲ Λευκίππου τε καὶ Δημοκρίτου, καθ' οὓς καὶ σῶμά τι καὶ ἀσώματον ἡ ὕλη· τὸ γὰρ κενὸν οὕτως ἦν. φθάνει δὲ καὶ προειρηκέναι περὶ τούτων. προσέθηκε δὲ τῇ ἱστορίᾳ καὶ τὴν Ἀναξιμάνδρου δόξαν, ὃς ἀρχὴν ἔθετο τὴν μεταξὺ φύσιν ἀέρος τε καὶ πυρός, ἢ ἀέρος τε καὶ ὕδατος· λέγεται γὰρ ἀμφοτέρως. id.

988a 14. "ἔτι — ἑκατέραν." καὶ τοῦτο περὶ Πλάτωνος λέγει, ὅτι τὴν τοῦ εὖ τε καὶ τοῦ κακῶς αἰτίαν, τουτέστι τὴν τῶν ἀγαθῶν τε καὶ τὴν τῶν κακῶν αἰτίαν, τοῖς στοιχείοις ἀπέδωκεν ἑκατέροις ἑκατέραν, τὴν μὲν τοῦ εὖ τῷ ἑνί (τοῦτο γὰρ τὸ ὁρίζον αὐτὸ καὶ τὸ εἰδοποιοῦν), τὴν δὲ τοῦ κακῶς τῇ ἀορίστῳ δυάδι· αὕτη γὰρ τοῦ τε πλήθους καὶ τῆς ἀνισότητος καὶ τῆς ἐν τοῖς οὖσιν ἀοριστίας αἰτία κατ' αὐτόν. εἰπὼν δὲ εἰρηκέναι Πλάτωνα περὶ τῆς ποιητικῆς αἰτίας (ἑκατέρῳ γὰρ τῶν στοιχείων ἀνατεθεικέναι αὐτὸν αἰτίαν ποιητικήν, τῷ μὲν ἑνὶ τὴν τοῦ εὖ, τῇ δὲ ἀορίστῳ δυάδι τὴν τοῦ κακῶς), ὑπέμνησεν ἡμᾶς ὡς περὶ τῆς τοιαύτης αἰτίας καὶ πρότερον τινῶν ἐπιζητησάντων τε καὶ εἰπόντων, εἰπὼν "ὥσπερ φαμὲν καὶ τῶν προτέρων ἐπιζητῆσαί τινας φιλοσόφων, οἷον Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν·" ὧν Ἐμπεδοκλῆς μὲν οὐ μόνον τῷ τοῦ εὖ αἰτίῳ ἐχρήσατο ἀλλὰ καὶ τῷ τοῦ κακῶς, διελὼν τὸ ποιητικὸν αἴτιον, ὡς εἴρηκε καὶ περὶ Πλάτωνος· Ἀναξαγόρᾳ δὲ ὁ νοῦς τοῦ εὖ τε καὶ κακῶς μόνον ἦν ποιητικὸν αἴτιον, ὡς εἴρηκε. id.

"συντόμως — κεφαλαιωδῶς." συντόμως φησὶ καὶ ἐπὶ κεφαλαίων ἐπεληλυθέναι τίνες τὰ περὶ ἀρχῶν εἶπον τῶν πρὸ αὐτοῦ καὶ πῶς. "περὶ δὲ τῆς ἀληθείας." ἀλήθειαν ἔθος αὐτῷ λέγειν τὴν θεωρητικὴν φιλοσοφίαν. "ὅμως δὲ τοσοῦτον ἔχομεν ἐξ αὐτῶν." οὗ χάριν ἦλθεν ἐπὶ τὴν περὶ τῶν ἀρχῶν ἱστορίαν, ὑπέμνησεν ἡμᾶς· τοῦ γὰρ βεβαιώσασθαι ὅτι μηδεὶς τρόπος αἰτίας ἄλλος ἐστὶ παρὰ τοὺς τέσσαρας τοὺς δεδειγμένους ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 3). ὃ δῆλον γέγονε· πάντες γὰρ οἱ περὶ αἰτίων εἰρηκότες τούτων τινὸς τῶν αἰτίων μνημονεύουσιν. εἰ γὰρ καὶ μὴ ἐναργῶς μηδὲ διηρθρωμένως εἰρήκασιν ἀλλ' ἀμυδρῶς καὶ ἀδιαρθρώτως, ἀλλ' οὖν ἐκείνων πως ἁπτόμενοι φαίνονται. ὅτι δὲ καὶ περὶ τῶν τεσσάρων αἰτίων λόγον ἐν τῷ πρώτῳ τῆς Φυσικῆς Ἀκροάσεως προηγουμένως πεποίηται, πρόχειρον εἰδέναι τοῖς ἐντυγχάνουσι· διὸ εἶπε "τῶν ἐν τοῖς περὶ φύσεως ἡμῖν διωρισμένων." καὶ ἔπεισι καὶ δείκνυσι πῶς οὐδεὶς ἔξω τῶν ἐν τοῖς περὶ φύσεως αἰτίων εἰρημένων ἥψατο. id. 988a 18.

"οἱ — λέγουσι." καταριθμεῖται ὅτι τῶν ὡς ὕλην τὴν ἀρχὴν θεμένων οἱ μὲν μίαν οἱ δὲ πλείους ἔθεντο, καὶ οἱ μὲν σῶμα οἱ δὲ ἀσώματον. εἰπὼν δὲ τὴν ὑλικὴν ἀρχὴν τοὺς μὲν σωματικὴν τοὺς δὲ ἀσώματον ὑποθέσθαι, πρῶτον ἐμνημόνευσε τῶν ἀσώματον ὑποθεμένων Πλάτωνος, ὃς τὸ μέγα καὶ τὸ μικρὸν ἔλεγεν, ἔπειτα καὶ τῶν Πυθαγορείων, οἳ τὸ ἄπειρον, τοῦτο δὲ ἦν τὸ ἄρτιον· οὗτος γὰρ ἦν ὁ ἀριθμὸς αὐτοῖς ἐν ὕλῃ τιθέμενος· ὁ γὰρ περισσὸς πεπερασμένος τε καὶ εἴδους ἐπέχων χώραν. id. 988a 23.

"Ἀναξαγόρας — ἀπειρίαν." οὗτος τῶν σῶμα τὴν ὑλικὴν ἀρχὴν θεμένων ἦν, ὥσπερ καὶ ὧν ἑξῆς μνημονεύει. οὐκ ἐμνημόνευσε δὲ Λευκίππου τε καὶ Δημοκρίτου, καθ' οὓς καὶ σῶμα καὶ ἀσώματον ἡ ὕλη· τὸ γὰρ κενὸν οὐ σῶμα· φθάνει δὲ προειρηκέναι καὶ περὶ τούτων (¹). προσέθηκε δὲ τῇ ἱστορίᾳ καὶ τὴν Ἀναξιμάνδρου δόξαν, ὃς ἀρχὴν ἔθετο τὴν μεταξὺ φύσιν ἀέρος τε καὶ πυρός. id. 988a 28.

(¹) καὶ ἔτι ὅσοι ἀέρα, καθάπερ Ἀναξιμένης, ἢ ὕδωρ καθάπερ Θαλῆς, ἢ πῦρ, καθάπερ Ἡράκλειτος, ἢ τὸ μεταξὺ καθάπερ Ἀναξίμανδρος, σωματικὴν ὕλην ὑπετίθεντο. Asclep. 988a 27.

"οὗτοι — μόνον." τοῦτο λέγοι ἂν περὶ τούτων ὧν ὕστερον (?) ἐμνημόνευσεν, εἰπὼν "καὶ ἔτι ὅσοι ἀέρα ἢ πῦρ ἢ ὕδωρ ἢ πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον" (v. 29), ἐπεὶ οἵ γε πρὸ τούτων 988a 32.

2. ὡρισμένη φησὶ καὶ Asclep. ‖ 4. ἐν om *AV*. ‖ 7. ἐπὶ τῶν om *L*. ‖ 8 — 16. apud Asclep. ‖ 8. ζητήσαι δὴ ἄν τις *L*, ἄξιον δὲ ζητῆσαι Asclep. ‖ 9. v. Platonis Tim. p. 28. ‖ 10. οὖν] νῦν Asclep. ‖ 11. λέγει — 12. οὐδετέρου om *L*. ‖ 12. κἀκείνου ἕτερα πάντα· καὶ ὅμως οὐδετέρου Asclep. ‖ τῶν om *AV*. ‖ 13. τοῦ om *V* Asclep. ‖ 15. ὁ om *L*. ‖ ὅτι] οὐ πάνυ διηρθρωμένως ὅτι Asclep. ‖ 16. αἴτια om *L*. ‖ ἐξείργαστό Asclep. ‖ 21. τι] τε *A*. ‖ οὕτως] τοῦτο *L*. ‖ 25. ἑκατ. ἑκατέραν om Asclep. ‖ 25 — *b* 6. apud Asclep. ‖ 25. Πλάτωνος οὖν λέγει Asclep. ‖ 26. τουτέστι — 27. ἑκατέραν om *A*. ‖ 34. αἰτίας ἐζήτησαν καὶ παλαιότεροι φιλόσοφοι, οἱ περὶ Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν. καὶ ὁ μὲν Ἐμπεδοκλῆς ἐχρήσατο οὐ μόνον Asclep.

3. καὶ ὡς ἐν κεφαλαίῳ Asclep. ‖ 4. ἐπεληλυθέναι ὅτι τίνες Asclep. ‖ 5. δὲ] γὰρ Asclep. ‖ λέγειν] καλεῖν Asclep. ‖ 7. ἤλθομεν Asclep. ‖ ὑπέμνησεν — 8. βεβαιώσασθαι om Asclep. ‖ 8 — 10. ὅτι οὐδὲ εἷς ἄλλος τρόπος αἰτίας ἐστὶ παρὰ τοὺς τέσσαρας τοὺς εἰρημένους ὑπ' αὐτοῦ ἐν τῇ Φυσικῇ Ἀκροάσει καὶ τοῦτο φανερὸν γέγονε Asclep. ‖ 11. αἰτίων οὐδὲ πάντων μνημονεύουσι Asclep. ‖ 20. εἰπὼν — 23. ἄρτιον et 27. οὐκ — 31. πυρός] recurrunt quae fere ad verbum iam legimus *a* 16 — 24. ‖ 23 — 26. apud Asclep. ‖ 23. ἦν αὐτοῖς ὁ ἀριθμὸς ἐν Asclep. ‖ 27. καὶ ὧν scripsi pro τῶν: *et qui deinceps memorantur* Sepulv.

δ' ἂν καὶ ἡ δυὰς τοιαύτη. πρὸς ἀλλήλους οἱ κοινὸν μέτρον μονάδα μόνην ἔχοντες, μετρούμενοι μέντοι καθ' ἑαυτοὺς καὶ ὑπ' ἀριθμοῦ τινός. οὕτως ἔχουσι πρὸς ἀλλήλους ὁ ὀκτὼ καὶ ὁ ἐννέα· κοινὸν γὰρ τούτων μέτρον μόνη μονάς, καίτοι ἑκάτερος αὐτῶν ἔχει τινὰ ἀριθμὸν μέτρον, ὁ μὲν ὀκτὼ τόν τε δύο καὶ τὸν τέσσαρα, ὁ δὲ ἐννέα τὸν τρία. νῦν μέντοι πρώτους λέγοι ἂν πάντας τοὺς περιττοὺς ὡς πρώτους τῶν ἀρτίων ὄντας· οὐδεὶς γὰρ αὐτοῖς κατὰ τὸν προειρημένον τρόπον ὑπὸ τῆς δυάδος γεννᾶται· μονάδος γὰρ προστιθεμένης ἑκάστῳ τῶν ἀρτίων ἀριθμῶν οἱ περισσοὶ γίγνονται· μονάδος δὲ καὶ τοῦ ἑνὸς ὡς ἀρχῆς· εἰδοποιὸν γὰρ τοῦτο ἀλλ' οὐχ ὑλικόν. ἀλλ' ὥσπερ ἦν δυὰς τὸ μέγα καὶ τὸ μικρὸν ὁρισθέντα τῷ ἑνί, οὕτω καὶ ἑκάτερον ἐκείνων ὁριζόμενον τῷ ἑνὶ μονὰς αὐτοῦ λέγεται. τὸ δὲ "ἔξω τῶν πρώτων" εἴρηκεν ἀντὶ τοῦ τῶν ἁπλῶς πρώτων· οὗτοι δὲ ἦσαν οἱ μονάδι μόνῃ μετρούμενοι, ὡς τρία, πέντε, ἑπτά. τούτους δὲ μόνους μὴ γεννᾶσθαι ὑπὸ τῆς δυάδος, ὅτι οἱ μὲν ἄλλοι πάντες οἱ παρὰ τοὺς πρώτους γεννῶνται ἀριθμοὶ ὑπ' ἀριθμῷ γενομένου. διὸ ἐπειδὴ ἡ γένεσις αὐτῶν ἐκ δύο ἀριθμῶν, ἐκ δυάδος ἂν εἶεν γενόμενοι· οἱ δὲ ἁπλῶς πρῶτοι μὴ γενόμενοι οὕτως οὐδ' ἂν ὑπὸ τῆς δυάδος γεννᾶσθαι λέγοιντο. id.

(') ἐπεὶ οὖν πάντα ἐκ τῆς ὕλης γίνεται, διὸ καὶ πανδεχῆ αὐτὴν λέγουσι καὶ τιθήνην ὡς δεχομένην πάντα τὰ εἴδη, διὰ τοῦτο οὖν, φησίν, ἐποίησεν ὁ Πλάτων δυάδα τὴν ἑτέραν φύσιν, τουτέστι τὴν ὑλικήν, διὰ τὸ τοὺς ἀριθμοὺς πάντας, ὡς ἐδείξαμεν, ἔξω τῶν πρώτων ἐξ αὐτῆς γεννᾶσθαι, "ὥσπερ ἔκ τινος ἐκμαγείου," τουτέστι φαντασίας· καὶ ὁ Πλάτων γὰρ ἐν τῷ Θεαιτήτῳ τὴν φαντασίαν ἐκμαγεῖον ἐκάλεσεν. καὶ οὕτως μὲν ὁ ἡμέτερος φιλόσοφος, ὁ δὲ ἐκ τῆς Ἀφροδισιάδος οὕτως ἐξηγεῖται τὸ χωρίον· λέγει γάρ, φησί, νῦν καὶ διὰ τοῦτο αὐτὸν τὴν δυάδα ποιῆσαι τὴν ἑτέραν φύσιν τῶν ἀρχῶν... ταῦτα μὲν ὁ Ἀριστοτέλης, ἡμεῖς δέ φαμεν ὅτι ὁ Ἀριστοτέλης τὴν προσεχῆ ὕλην λαμβάνει τὴν μίαν κατ' ἀριθμόν· εἰδέναι γὰρ χρὴ ὅτι ἐκ τῆς πρώτης ὕλης πάντα γίνεται, καὶ ἄνθρωποι καὶ κλῖναι καὶ ἵπποι καὶ πάντα. Ἀριστοτέλης οὖν λαμβάνων τὴν προσεχῆ ὕλην παραλογίζεται, ὥς φησιν ὁ φιλόσοφος. Πλάτων μὲν οὖν, φησί, περὶ τῶν ζητουμένων νῦν ὑφ' ἡμῶν οὕτως διώρισε, ζητοῦνται δὲ αἱ ἀρχαὶ καὶ τὰ αἴτια τῶν ὄντων. περὶ οὖν τῶν ἀρχῶν ταῦτα εἴρηται Πλάτωνι. Asclep.

933a 1. "καίτοι — οὕτω." εἰπὼν ὡς ὕλην ἀρχὴν εἶναι κατὰ Πλάτωνα τὴν ἀόριστον δυάδα, καὶ ἔτι ὅτι ἡ δυὰς αὐτῷ ἀρχὴ ὑλικὴ δοκεῖ, προσθεὶς ὅτι γὰρ ἄπειρος τῇ αὑτῆς φύσει καὶ γεννητικὴ πλήθους, αἰτιᾶται τῆς δόξης τοῦτο ὡς μὴ τοῖς φαινομένοις τε καὶ γινομένοις ὁμολογουμένως λεγόμενον. οἱ μὲν γὰρ τὴν δυάδα ὡς ὕλην ἀρχὴν τιθέμενοι πολλῶν αὐτὴν ποιοῦσι γεννητικήν· αὕτη γὰρ αὐτοῖς ἡ αὐτὴ λαμβανομένη τοῦ πλήθους καὶ τῶν ἀρτίων ἀριθμῶν πάντων γεννητική, τοὺς μὲν συντιθεῖσά τε καὶ οὕτως γεννῶσα, τοὺς δὲ διαιροῦσα δίχα. ἡ δὲ κατὰ τὸ εἶδος αὐτοῖς ἀρχὴ ἑνοποιός ἐστι τῷ ἕν τι εἶναι πᾶν τὸ εἶδος πεπερασμένον τε καὶ ὡρισμένον κατὰ τὸ εἶναι· καὶ γὰρ τῶν ἀριθμῶν ἕκαστος ἕν τι· ἑνοποιὸν μὲν γάρ τι τὸ ἓν αὐτό, διχοποιὸς δὲ ἡ ἀόριστος δυάς. οὐ μὴν οὕτως ἐπὶ τῶν γινομένων ἔχει, ἃ ἐκείνοις ὡμοίωται καὶ πρὸς ἐκεῖνα τὸ εἶναι ἔχει, ἀλλ' ἔμπαλιν· ἡ μὲν γὰρ ὕλη μία κατ' ἀριθμὸν ἑνός τινος εἴδους ἐστὶ δεκτική τε καὶ γεννητική· οὐ γὰρ οἷόν τε ἐπὶ τῇ αὐτῇ ὕλῃ κατὰ τὸν ἀριθμὸν ἅμα εἴδη πλείω εἶναι, ὡς εἶναι τὸ αὐτὸ ξύλον καὶ κλίνην καὶ τράπεζαν καὶ βάθρον, ἀλλ' ἡ μία ὕλη ἕν τι εἶδος ἐνεργείᾳ μόνον ἔχει. τὸ μέντοι εἶδος ἓν ὂν τῷ ἀριθμῷ πλείονα εἴδη ποιεῖ· ἡ γὰρ τέχνη εἶδός τι ἐν οὖσα καὶ ὁ τεχνίτης τις εἷς ὢν κατ' ἀριθμὸν πλειόνων ἐστὶ καὶ διαφερόντων ποιητικός· ἡ γοῦν τεκτονικὴ καὶ ὁ ἔχων αὐτὴν καὶ κλίνην ποιεῖ καὶ βάθρον καὶ τράπεζαν, ὁ αὐτὸς καὶ εἷς ὢν κατὰ ἀριθμόν. ὁμοίως δὲ ἔχει τοῦτο καὶ ἐπὶ τοῦ ἄρρενος καὶ θήλεος, ὧν τὸ μὲν θῆλυ ὕλην παρέχον τῷ γινομένῳ ὑπὸ μιᾶς πληροῦται ὀχείας, τὸ δὲ ἄρρεν πολλὰ θήλεα πληροῖ. Alex.

"Πλάτων — διώρισε." ὑφ' ἡμῶν δὲ ζητοῦνται αἱ ἀρχαὶ καὶ τὰ 933a 7. αἴτια τῶν ὄντων. περὶ μὲν οὖν τῶν ἀρχῶν ταῦτα εἴρηται Πλάτωνι. "φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι δυοῖν αἰτίαιν ἐστὶ μόνον κεχρημένος." τῶν τεσσάρων αἰτίων ὧν ἐξέθετο οὗτος, τοῖς δύο φησὶ κεχρῆσθαι Πλάτωνα, τῇ τε ὑλικῇ καὶ τῇ κατὰ τὸ εἶδος· τὰ γὰρ εἴδη καὶ αἱ ἰδέαι αὐτῷ τοῦ εἴδους εἰσὶ παρεκτικαὶ αἰτίαι, ὥσπερ οὖν καὶ αὐτοῖς πάλιν τοῖς εἴδεσι καὶ ταῖς ἰδέαις τὸ ἓν αἴτιον τοῦ εἴδους· ἡ γὰρ δυὰς ὕλης ἐν αὐτοῖς ἐπέχει λόγον. φέρεται ἔν τισι γραφὴ τοιαύτη "τὰ γὰρ εἴδη τοῦ τί ἐστιν αἴτια τοῖς ἄλλοις, τοῖς δὲ εἴδεσι τὸ ἓν καὶ τῇ ὕλῃ." καὶ εἴη ἂν δι' αὐτῆς λεγόμενον ἔτι τοῖς οὐκ εἰδόσι τὴν Πλάτωνος δόξαν τὴν περὶ τῶν ἀρχῶν ὅτι τὸ ἓν καὶ τῇ ἰδέᾳ αἴτιον τοῦ τί ἐστιν. ἀμείνων μέντοι ἡ πρώτη γραφὴ ἡ δηλοῦσα ὅτι τὰ μὲν εἴδη τοῖς ἄλλοις τοῦ τί ἐστιν αἴτιον, τοῖς δὲ εἴδεσι τὸ ἕν. ἱστορεῖ δὲ Ἀσπάσιος ὡς ἐκείνης μὲν ἀρχαιοτέρας οὔσης τῆς γραφῆς, μεταγραφείσης δὲ ταύτης ὕστερον ὑπὸ Εὐδώρου καὶ Εὐαρμόστου. id.

"καὶ — εἴδη." εἰπὼν δύο αἰτίαις αὐτὸν κεχρῆσθαι, καὶ μνημο- 933a 11. νεύσας τῆς κατὰ τὸ εἶδος αἰτίας, καὶ δείξας πῶς αὕτη ἐστὶν αἰτία, προστίθησι τὴν δευτέραν, καί φησι ταύτην εἶναι τὴν ὑλικήν. τίς γὰρ ἦν ἡ ὕλη; ἡ ὑποκειμένη, καθ' ἧς τὰ εἴδη ἔν τε τοῖς αἰσθητοῖς καὶ ἐν ταῖς ἰδέαις λέγεται ὑπ' αὐτοῦ. εἰπὼν δὲ "τὰ γὰρ εἴδη τοῦ τί ἐστιν αἴτια τοῖς ἄλλοις, τοῖς δὲ εἴδεσι τὸ ἕν," λέγων καὶ περὶ τῆς ὕλης τῆς ὑπὸ τῶν προειρημένων εἰδοποιουμένης, ἧς ἐν ἀμφοτέροις ἐμνημόνευσεν εἰπὼν "καθ' ἧς τὰ εἴδη τὰ μὲν ἐπὶ τῶν αἰσθητῶν τὰ δὲ ἐπὶ τοῖς εἴδεσι λέγεται," ἴσον λέγων τῷ καθ' ἧς τὰ εἴδη λέγεται τά τε ἐπὶ τοῖς αἰσθητοῖς καὶ τὰ ἐπὶ τοῖς εἴδεσι, τουτέστι ταῖς ἰδέαις· λέγεται γὰρ καὶ ἐν ἐκείναις καὶ ἐν τοῖς αἰσθητοῖς εἶναί τις ὕλη ὑποκειμένη, καθ'

40 — b 16. apud Asclep.

1. συνθεῖσα *M.* ‖ 2. αὐτοῖς om Asclep. ‖ ἓν τιθέναι πᾶν Asclep. ‖ 5. ἃ ἐκείνοις] ὡς Asclep. ‖ 6. ὕλη ἡ μία Asclep. ‖ 7. ἐστὶ om *A.* ‖ 11. τι ἐνοῦσα *M.* ‖ 21. καὶ κατὰ εἶδος *L.* ‖ 22. καὶ om *L.* ‖ 24. φέρεται — 31. Εὐαρμόστου om *L.* ‖ 31. ἁρμίου *A*, *ab Eudoro et Harmostio* Sepulv. ‖ 32 — p. 553 a 3. apud Asclep. ‖ 32. δυσὶν Asclep. ‖ 35. γάρ ἐστιν ἡ ὕλη; δῆλον ὅτι ἡ Asclep. ‖ 36. εἰπὼν καὶ τὰ εἴδη γὰρ Asclep. ‖ 39. τὰ μὲν — p. 553 a 1. εἴδη om Asclep. ‖ 40. τά τε ἐπὶ] τὰ ἐν Asclep. ‖ 41. τουτέστι] φημὶ δὲ Asclep. ‖ 42. εἶναι ὑποκειμένη τις ὕλη Asclep.

θεωρητικὸς γενόμενος Πλάτων καὶ διαιρέσει συνεθισθεὶς ἐκ διαλεκτικῆς χρῆσθαι καὶ ὁρισμοῖς (ἄμφω γὰρ ταῦτα τοῦ διαλεκτικοῦ) ἦλθεν εἰς ἐπίνοιαν διὰ τούτων τοῦ χωρίζειν τινὰ τῶν αἰσθητῶν καὶ ὑπολαμβάνειν εἶναί τινας ἄλλας φύσεις παρὰ τὰ αἰσθητά. ἥ τε γὰρ διαίρεσις, ἡ μὲν τῶν γενῶν τε καὶ εἰδῶν οὐκ αἰσθητῶν ἡ δὲ τῶν αἰσθητῶν, ἀνάλυσίς ἐστι τῶν αἰσθητῶν εἰς τὰ στοιχεῖα καὶ τὰς ἀρχάς, ἃ οὐκ αἰσθητά. οὐ γὰρ ταὐτὸν τῶν αἰσθητῶν ἕκαστον τῷ καθ' ὃ τὸ εἶναί ἐστιν αὐτῷ τοιοῦτον· οὔτε γὰρ τὸ τεχνικὸν τῇ τέχνῃ οὔτε τὸ φυσικὸν τῇ φύσει. ὥστε εἰ καὶ οἱ ἀριθμοὶ αἴτιοι τοῖς αἰσθητοῖς τοῦ τοιοῖσδε ἢ τοιοῖσδε εἶναι, ὁμοίως δὲ καὶ αἱ ἰδέαι, εἴη ἂν κεχωρισμένα αὐτῶν. ἀλλὰ καὶ οἱ ὁρισμοὶ οὐκ αἰσθητῶν· οὐ γὰρ τῶν καθ' ἕκαστα ἀλλὰ τῶν καθόλου. διὰ τούτων οὖν τῶν διαλεκτικῶν θεωρημάτων συνήθης ἐγένετο τῇ τῶν νοητῶν θεωρίᾳ. τὸ δὲ ἓν οὐσίαν μὲν καὶ φύσιν τινὰ καὶ αὐτὸς ἔλεγε καθ' αὑτήν, ὥσπερ κἀκεῖνοι· ἀλλ' ἐκεῖνοι μὲν τὰ πράγματα ἔκ τε τούτου καὶ τῶν ἄλλων ἀριθμῶν ἐγέννων, ὁ δὲ Πλάτων οὔ. id.

987b 33. "τὸ δὲ — ἐκμαγείου." ἀρχὰς μὲν τῶν ὄντων τοὺς ἀριθμοὺς Πλάτων τε καὶ οἱ Πυθαγόρειοι ὑπετίθεντο, ὅτι ἐδόκει αὐτοῖς τὸ πρῶτον ἀρχὴ εἶναι καὶ τὸ ἀσύνθετον, τῶν δὲ σωμάτων πρῶτα τὰ ἐπίπεδα εἶναι (τὰ γὰρ ἁπλούστερά τε καὶ μὴ συναναιρούμενα πρῶτα τῇ φύσει), ἐπιπέδων δὲ γραμμαὶ κατὰ τὸν αὐτὸν λόγον, γραμμῶν δὲ στιγμαί, ἃς οἱ μαθηματικοὶ σημεῖα, αὐτοὶ δὲ μονάδας ἔλεγον, ἀσύνθετα παντάπασιν ὄντα καὶ οὐδὲν πρὸ αὐτῶν ἔχοντα· αἱ δὲ μονάδες ἀριθμοί, οἱ ἀριθμοὶ ἄρα πρῶτοι τῶν ὄντων (*). καὶ ἐπεὶ τὰ εἴδη πρῶτά τε καὶ αἱ ἰδέαι πρῶται τῶν πρὸς αὐτὰ ὄντων κατ' αὐτὸν καὶ παρ' αὐτῶν τὸ εἶναι ἐχόντων (ἃ ὅτι ἔστι, διὰ πλειόνων ἐπειρᾶτο δεικνύναι), τὰ εἴδη ἀριθμοὺς ἔλεγεν. εἰ γὰρ τὸ μονοειδὲς πρῶτον τῶν πρὸ αὐτοῦ ὄντων, μηδὲν δὲ πρῶτον ἀριθμοῦ, τὰ εἴδη ἀριθμοί. διὸ καὶ καὶ τὰς τοῦ ἀριθμοῦ ἀρχὰς τῶν τε εἰδῶν ἀρχὰς ἔλεγεν εἶναι καὶ τὸ ἓν τῶν πάντων. ἔτι τὰ μὲν εἴδη τῶν ἄλλων ἀρχαί, τῶν δὲ ἰδεῶν ἀριθμῶν οὐσῶν ἀρχαὶ αἱ τοῦ ἀριθμοῦ ἀρχαί· ἀρχὰς δὲ ἀριθμοῦ ἔλεγεν εἶναι τήν τε μονάδα καὶ τὴν δυάδα. ἐπεὶ γὰρ ἔστιν ἐν τοῖς ἀριθμοῖς τὸ ἕν τε καὶ τὸ παρὰ τὸ ἕν, ὅ ἐστι πολλά τε καὶ ὀλίγα, ὃ πρῶτον παρὰ τὸ ἓν ἔστιν ἐν αὐτοῖς, τοῦτο ἀρχὴν ἐτίθετο τῶν τε πολλῶν καὶ τῶν ὀλίγων. ἔστι δὲ ἡ δυὰς πρώτη παρὰ τὸ ἕν, ἔχουσα ἐν αὑτῇ καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον· τὸ μὲν γὰρ διπλάσιον πολύ, τὸ δὲ ἥμισυ ὀλίγον, ἃ ἔστιν ἐν τῇ δυάδι· ἔστι δὲ ἐναντία τῷ ἑνί, εἴ γε τὸ μὲν ἀδιαίρετον τὸ δὲ διῃρημένον. ἔτι δὲ τὸ ἴσον καὶ τὸ ἄνισον ἀρχὰς ἁπάντων τῶν τε καθ' αὑτὰ ὄντων καὶ τῶν ἀντικειμένων ἡγούμενος δεικνύναι (πάντα γὰρ ἐπειρᾶτο ὡς εἰς ἁπλούστατα ταῦτα ἀνάγειν), τὸ μὲν ἴσον τῇ μονάδι ἀνετίθει, τὸ δὲ ἄνισον τῇ ὑπεροχῇ καὶ τῇ ἐλλείψει· ἐν δυσὶ γὰρ ἡ ἀνισότης, μεγάλῳ τε καὶ μικρῷ, ἅ ἐστιν ὑπερέχον τε καὶ ἐλλεῖπον. διὸ καὶ ἀόριστον αὐτὴν ἐκάλει δυάδα, ὅτι μηδέτερον, μήτε τὸ ὑπερέχον μήτε τὸ ὑπερεχόμενον, καθὸ τοιοῦτον, ὡρισμένον, ἀλλ' ἀόριστόν τε καὶ ἄπειρον. ὁρισθεῖσαν δὲ τῷ ἑνὶ τὴν ἀόριστον δυάδα γίγνεσθαι τὴν ἐν τοῖς ἀριθμοῖς δυάδα· ἓν γὰρ τῷ εἴδει ἡ δυὰς ἡ τοιαύτη. ἔτι πρῶτος μὲν ἀριθμὸς ἡ δυάς· ταύτης δὲ ἀρχαὶ τό τε ὑπερέχον καὶ τὸ ὑπερεχόμενον, ἐπεὶ ἐν μὲν τῇ δυάδι πρώτῃ· τὸ μὲν γὰρ διπλάσιον καὶ τὸ ἥμισυ ὑπερέχον τε καὶ ὑπερεχόμενον, οὐκέτι δὲ τὸ ὑπερέχον τε καὶ ὑπερεχόμενον διπλάσιον καὶ ἥμισυ· ὥστε ταῦτα τοῦ διπλασίου εἶναι στοιχεῖα. καὶ ἐπεὶ ὁρισθέντα τὸ ὑπερέχον τε καὶ τὸ ὑπερεχόμενον διπλάσιον καὶ ἥμισυ γίγνεται (οὐκέτι γὰρ ἀόριστα ταῦτα, ὥσπερ οὐδὲ τὸ τριπλάσιον καὶ τὸ τρίτον ἢ τετραπλάσιον καὶ τέταρτον ἤ τι τῶν ἄλλων τῶν ὡρισμένην ἐχόντων τὴν ὑπεροχὴν ἤδη), τοῦτο δὲ ἡ τοῦ ἑνὸς φύσις ποιεῖ (ἓν γὰρ ἕκαστον, καθὸ τόδε τί ἐστι καὶ ὡρισμένον), εἴη ἂν στοιχεῖον τῆς δυάδος τῆς ἐν τοῖς ἀριθμοῖς τό τε ἓν καὶ τὸ μέγα καὶ τὸ μικρόν. ἀλλὰ μὴν πρῶτος ἀριθμὸς ἡ δυάς· ταῦτα ἄρα τῆς δυάδος στοιχεῖα. καὶ διὰ τοιαῦτα μέν τινα ἀρχὰς τῶν τε ἀριθμῶν καὶ τῶν ὄντων ἁπάντων ἐτίθετο Πλάτων τό τε ἓν καὶ τὴν δυάδα, ὡς ἐν τοῖς περὶ τἀγαθοῦ Ἀριστοτέλης λέγει. λέγει δὲ νῦν καὶ διὰ τοῦτο αὐτὸν δυάδα ποιῆσαι τὴν ἑτέραν φύσιν τῶν ἀρχῶν, διὰ τὸ τοὺς ἀριθμοὺς ἔξω τῶν πρώτων εὐφυῶς ἐξ αὐτῆς γεννᾶσθαι ὥσπερ ἔκ τινος ἐκμαγείου· τοῦτο δὲ ὅτι δοκεῖ αὐτῷ ἡ δυὰς διαιρετικὴ παντὸς εἶναι ᾧ προσήγετο· διὸ καὶ δυοποιὸν αὐτὴν ἐκάλει. δὶς γὰρ ἕκαστον τῶν οἷς προσάγεται ποιοῦσα διαιρεῖ πως αὐτό, οὐκ ἐῶσα μένειν ὃ ἦν· ἥτις διαίρεσις γένεσίς ἐστιν ἀριθμῶν. ὥσπερ τὰ ἐκμαγεῖα καὶ οἱ τύποι πάντα τὰ ἐναρμοσθέντα αὐτοῖς ὅμοια ποιοῦσιν, οὕτω καὶ ἡ δυὰς ὥσπέρ τι οὖσα ἐκμαγεῖον τῶν μετ' αὐτὴν γεννητικὴ ἀριθμῶν γίνεται ἑκάστῳ ᾧ ἂν προσαχθῇ, δύο τε καὶ διπλοῦν ποιοῦσα. τῷ μὲν γὰρ ἑνὶ προσαχθεῖσα τὰ δύο ἐποίησε, δὶς γὰρ ἓν δύο, τοῖς δὲ δύο τὰ τέσσαρα, δὶς γὰρ δύο τὰ τέσσαρα, τοῖς δὲ τρισὶ τὰ ἕξ, δὶς γὰρ τρία ἕξ. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. τὸ δὲ "ἔξω τῶν πρώτων" εἶπεν ἀντὶ τοῦ ἔξω τῶν περιττῶν. οὐκέτι γὰρ τοῦτον τὸν τρόπον ἡ γένεσις τῶν περιττῶν ἀριθμῶν γίνεται· οὐ γὰρ κατὰ διπλασιασμὸν ἢ τὴν εἰς δύο διαίρεσιν ἡ γένεσις τῶν περιττῶν ἀριθμῶν. νῦν μὲν οὖν πρώτους ἀριθμοὺς ἁπλῶς πάντας εἶπε τοὺς περιττούς· πρῶτοι γὰρ οὗτοι τῶν ἀρτίων συνήθως. πρῶτοι δὲ ἀριθμοὶ λέγονται ἁπλῶς οἱ μονάδι μόνῃ μετρούμενοι, ὡς ὁ τρία καὶ ὁ πέντε καὶ ὁ ἑπτά· εἴη

1. καὶ διαιρέσεσι χρῆσθαι συνεθισθεὶς καὶ ὁρισμοῖς ἐκ διαλεκτικῆς Asclep. ‖ 3. ἔννοιαν Asclep. ‖ 8. τοιούτῳ M. ‖ τεχνητὸν Asclep. ‖ 10. ἰδίαι, ἀλλὰ κεχώρισται αὐτῶν. καὶ οἱ ὁρισμοὶ Asclep. ‖ 11. οὐκ] οὐ καὶ M. ‖ ἀλλὰ δὲ ἐν καθόλου M. ‖ 25. αὐτῶν L. ‖ 26. ὅτι κείμενά ἐστι V. ‖ 37. δὲ καὶ ἐναντία V.

1. ἁπλούστατοι πάντα ἀνάγειν A. ‖ 5. ὡρισμένον om L. ‖ 9. ἐπεὶ — πρώτῃ om A. ‖ μὲν γὰρ om V. ‖ 11. ὥστε — 13. ἥμισυ om A. ‖ 11. εἶναι et 12. τὸ post καὶ om L. ‖ 21 — 33. apud Asclep. ‖ 22. αὐτὸν τὴν δυάδα Asclep. ‖ φύσιν τὴν τῶν V. ‖ 24. ἔκ τινος om A. ‖ 25. καὶ εἰδοποιὸν αὐτὴν λέγει. δὶς Asclep. ‖ 26. ἐῶσα] ἐᾷ Asclep. ‖ 27. ἥ τις om Asclep. ‖ γένεσις om A. ‖ ἀριθμῶν. ὡς γὰρ τὰ Asclep. ‖ 29. ἐκμαγεῖον οὖσα Asclep. ‖ αὐτῶν L. ‖ 30. ἑκάστῳ om Asclep. ‖ διπλᾶ Asclep. ‖ 31. τοῖς δυσὶ δὲ τὰ Asclep. ‖ 32. δὶς γὰρ δύο τὰ τέσσαρα om A. ‖ 36. εἰς] ἐκ L.

ριθείσης τῶν ἐνύλων τῆς τε ὕλης καὶ τῆς κινήσεως, καθ' ἃ καὶ
987 b 18. μεθ' ὧν ἐστίν. "ἐπειδὴ αἴτια τὰ εἴδη τοῖς ἄλλοις." ἐπειδή, φησίν, αἰτίας ὑπετίθεντο τῶν τῇδε πραγμάτων τὰς ἰδέας (κατὰ μέθεξιν γὰρ ἔλεγον γίνεσθαι τὰ τῇδε ἐκ τῶν ἰδεῶν), τὰ ἐκείνων στοιχεῖα καὶ ἀρχὰς τῶν ἰδεῶν ἀρχὰς πάντων τῶν ὄντων ὑπέλαβον. τῷ ὄντι γὰρ ἐκ τῆς ἑνάδος αἱ ἰδέαι, τουτέστιν ἐκ τῆς μιᾶς τῶν πάντων ἀρχῆς οἱ δημιουργικοὶ λόγοι, ἐκ δὲ τῶν δημιουργικῶν λόγων τὰ τῇδε γίνεται πάντα. ὡς μὲν οὖν ὕλην τὸ μέγα καὶ μικρὸν ἀρχὰς ὑπετίθεντο τῶν ὄντων, τουτέστι τὴν δυάδα· ἡ γὰρ δυὰς ἄρχεται πρώτη διαιρέσεως, τοιαύτη δὲ ἡ ὕλη ἐπ' ἄπειρον οὖσα διαιρετή. τὰς οὖν ἰδέας ἀρχὰς καὶ αἰτίας εἶναι τοῖς ἄλλοις ἅπασι τοῦ εἶναι· κατὰ μέθεξιν γὰρ ἐκείνων τὰ ἄλλα· τὰς δὲ τῶν ἰδεῶν ἀρχὰς πάντων ἀρχὰς ἔθεντο. ἀρχὰς δὲ τῶν ἰδεῶν ὡς μὲν ὕλην καὶ ὑποκείμενον τὸ μέγα καὶ τὸ μικρόν, δυάδα τινὰ οὖσαν ὡς φύσιν ἀόριστον, ὡς δὲ οὐσίαν καὶ εἶδος τὸ ἕν· τουτέστιν ἐξ ὕλης καὶ εἴδους. τοῦτο δὲ ὅπως ἔλεγεν ἑξῆς
987 b 21. λέγει. "ἐξ ἐκείνων γὰρ κατὰ μέθεξιν τοῦ ἑνὸς τὰ εἴδη εἶναι καὶ τοὺς ἀριθμούς." "ἐξ ἐκείνων," τουτέστι τοῦ μεγάλου καὶ τοῦ μικροῦ, συνιόντων καὶ εἰδοποιουμένων ὑπὸ τοῦ ἑνός. κατὰ μέθεξιν, τουτέστι μεταλαμβάνειν αὐτοῦ τὰ εἴδη, φημὶ δὴ τὰς ἰδέας, αἵτινες καὶ αὐταί εἰσιν
987 b 22. ἀριθμοί· εἰδητικοὺς γὰρ ἀριθμοὺς τὰς ἰδέας λέγουσι. "τὸ μέντοι γε ἓν οὐσίαν εἶναι, καὶ μὴ ἕτερόν τι τὸ ἓν λέγεσθαι." τὸ γὰρ ἓν τοῦτο οὐ κατά τινος ἄλλου ὄντος κατηγόρουν, ἀλλ' οὐσίαν τινὰ τὸ ἓν ὑπετίθεντο εἶναι ἐν τῷ ἓν εἶναι τὸ εἶναι ἔχουσαν. τοῦτο δὲ καὶ περὶ Πλάτωνος ἱστορεῖ, ὅτι παραπλησίως ἐκείνοις τὸ ἓν οὐσίαν ἔλεγεν εἶναι, καὶ οὐκ ἄλλο τι ὂν κατὰ τὸ ὑποκείμενον. τοῦτό τε οὖν, φησί, παραπλησίως ἐκείνοις ὁ Πλάτων λέγει, καὶ τὸ ἀρχὰς καὶ αἰτίας τῶν ὄντων τοὺς
987 b 25. ἀριθμοὺς τίθεσθαι. "τὸ δὲ ἀντὶ τοῦ ἀπείρου ὡς ἑνὸς δυάδα ποιῆσαι." φησὶν ὅτι οἱ Πυθαγόρειοι τὸ ἓν ἄπειρον ὑπετίθεντο ὡς ἀπειροδύναμον, ὁ δὲ Πλάτων δυάδα, εἴγε τὸ ἄπειρον ἐκ μεγάλου καὶ μικροῦ, τὴν ὕλην αἰνιττόμενος διὰ τὸ ἀόριστον αὐτῆς, καὶ διὰ τοῦτο ἐπ' ἄπειρον εἶναι διαιρετήν. ἐκεῖνοι οὖν τὸ ἄπειρον μίαν τινὰ φύσιν ὑπετίθεντο, τουτέστι τὸ ὑποκείμενον καὶ τὸ ὑλικόν· Πλάτων δὲ δυάδα ἐποίει τὸ ὑποκείμενον καὶ τὸ ἄπειρον, λέγων ἄπειρον καθὸ μή ἐστι καθ' αὑτὸ εἰδοπεποιημένον· μέγα γὰρ καὶ μικρόν, καὶ ὑπεροχὴν καὶ ἔλλειψιν· ἐν τούτοις δὲ ἡ τοῦ ἀπείρου φύσις. οὐ ταὐτὰ δὲ τῷ εἴδει τὸ μέγα τῷ μικρῷ ὑπάρχει, οὐδὲ ὑπεροχῇ καὶ ἐλλείψει· ἐναντία γάρ, ὥστε οὐχ ἕν. "τὸ δὲ ἄπειρον" εἶπεν ἀντὶ τοῦ τὸ γὰρ ἄπειρον κατ' αὐτὸν ἐκ μεγάλου καὶ μικροῦ· τοῦτο γὰρ τὸ ἐν τῇ λέξει ἀκατάλληλον. τοῦτο οὖν ἴδιον Πλάτωνος παρὰ τοὺς Πυθαγορείους. καὶ ὅτι ὁ μὲν Πλάτων τοὺς ἀριθμοὺς ἔξω τῶν αἰσθητῶν κατέλιπεν, οὐχ ὡς ὕλην αὐτοὺς τοῖς οὖσιν ὑποβάλλων, οὐδὲ οὕτως αἰτίους τιθεὶς αὐτούς· οἱ δὲ Πυθαγόρειοι τὰ πράγματα καὶ τὰ ὄντα ἐκ τῶν ἀριθμῶν ἔλεγον συγκεῖσθαι, ἐξ ὧν εἵπετο αὐτοῖς τὸ πάντα τὰ ὄντα ἀριθμοὺς λέγειν. διαφέρουσι δὲ ἀλλήλων καὶ ὅτι ὁ μὲν Πλάτων τὰ μαθήματα μεταξὺ τῶν εἰδῶν καὶ τῶν αἰσθητῶν λέγει, οἱ δὲ Πυθαγόρειοι οὐδαμῶς. Asclep.

"τὸ — ἕν." εἴρηκε καὶ περὶ τῶν Πυθαγορικῶν ὅτι οὐχ ὑπετί- 987 b 22.
θεσαν ἄλλην τινὰ φύσιν τοῖς ἀριθμοῖς, ἀλλ' αὐτοὺς τοὺς ἀριθμοὺς οὐσίας ἔλεγεν εἶναι, καὶ δὴ καὶ τὸ ἓν οὐ κατά τινος ἄλλου ὄντος κατηγόρουν, ἀλλ' οὐσίαν τινὰ τὸ ἓν ὑπετίθεντο εἶναι ἐν τῷ ἓν εἶναι τὸ εἶναι ἔχουσαν. τοῦτο δὴ καὶ περὶ Πλάτωνος ἱστορεῖ, ὅτι παραπλησίως ἐκείνοις τὸ ἓν οὐσίαν ἔλεγεν εἶναι, οὐκ ἄλλο τι ὂν κατὰ τὸ ὑποκείμενον, ἔπειτα τὸ ἓν εἶναι πεπονθός (*). τοῦτό τε οὖν παραπλησίως φησὶ Πλάτωνα ἐκείνοις λέγειν, καὶ τὸ ἀρχὰς καὶ αἴτια τῶν ὄντων τοὺς ἀριθμοὺς τίθεσθαι, εἰ καὶ μὴ τὸν αὐτὸν τρόπον· οἱ μὲν γὰρ ὡς ἐνυπάρχοντας τοῖς πράγμασι καὶ ὡς ὕλην (ὡς γὰρ ἐξ αὐτῶν πάντων τῶν ὄντων συγκειμένων), Πλάτων δὲ ἐκτὸς αὐτοὺς ἐποίει τῶν οἷς εἰσιν αἴτια· ὡς παραδείγματα γάρ. τὸ δὲ "ὡσαύτως" εἶπεν οὐχ ὡς ὁμοίως αἰτίους τῆς οὐσίας τοὺς ἀριθμοὺς Πλάτωνος τοῖς Πυθαγορικοῖς λέγοντος, ἀλλ' ὡς καὶ αὐτοῦ ὥσπερ καὶ ἐκείνων αἰτίους τῶν ὄντων τοὺς ἀριθμοὺς εἰπόντος. Alex.

"τὸ — ἴδιον." εἰπὼν τίνα παραπλησίως ᾤετο Πλάτων τοῖς 987 b 25.
Πυθαγορικοῖς, προστίθησι πάλιν καὶ ἐν τίσι διηνέχθη, ὅτι ἐκεῖνοι μὲν ἓν τὸ ἄπειρον καὶ μίαν τινὰ φύσιν ἔθεντο, τοῦτο δὲ ἦν ὑποκείμενον καὶ ὑλικὸν αὐτοῖς (ἔστι δὲ τοῦτο ὁ ἄρτιος ἀριθμός· ἐν γὰρ τῷ εἴδει τὸ ἄρτιον, τὸ γὰρ εἰς ἴσα διαιρούμενον), Πλάτων δὲ δυάδα ἐποίει τὸ ὑποκείμενον καὶ τὸ ἄπειρον λέγων, καθὸ μὴ εἰδοποιεῖται καθ' αὑτό· μέγα γὰρ καὶ μικρὸν καὶ ὑπεροχὴν καὶ ἔλλειψιν· ἐν τούτοις γὰρ εἶναι τὴν τοῦ ἀπείρου φύσιν, ἃ ἦν αὐτῷ ἡ ὑλικὴ αἰτία. οὐ ταὐτὸν δὲ τῷ εἴδει τὸ μέγα τῷ μικρῷ, οὐδὲ ἡ ὑπεροχὴ τῇ ἐλλείψει· ἐναντία γὰρ ὥστε οὐχ ἕν. "τὸ δὲ ἄπειρον" εἶπεν ἀντὶ τοῦ τὸ γὰρ ἄπειρον, ὃ κατ' αὐτὸν ἐκ μεγάλου γίνεται καὶ μικροῦ· τοῦτο γὰρ τὸ ἐν τῇ λέξει κατάλληλον. ἔτι Πλάτων μὲν τοὺς ἀριθμοὺς ἔξω τῶν αἰσθητῶν ἀπέλιπεν, οὐχ ὡς ὕλην αὐτοὺς τοῖς οὖσιν ὑποβάλλων, οὐδὲ οὕτως αὐτῶν αἰτίους τιθεὶς αὐτούς· οἱ δὲ Πυθαγορικοὶ τὰ πράγματα καὶ τὰ ὄντα ἐκ τῶν ἀριθμῶν ἔλεγον συγκεῖσθαι, ἐξ ὧν εἵπετο αὐτοῖς τὸ πάντα τὰ ὄντα ἀριθμοὺς λέγειν. διαφέρουσι δὲ ἀλλήλων καὶ ὅτι Πλάτων μὲν τὰ μαθηματικὰ μεταξὺ τῶν αἰσθητῶν καὶ τῶν ἰδεῶν ἔθετο, οἱ δὲ Πυθαγορικοὶ οὐδαμῶς. id.

"τὸ μὲν — σκέψιν." εἰπὼν ἐν οἷς διαφωνοῦσι, νῦν λέγει τὴν 987 b 29.
αἰτίαν δι' ἣν οὐχ ὁμοίως Πλάτων τοὺς ἀριθμοὺς τῶν ὄντων ἀρχὰς ἔθετο τοῖς Πυθαγορείοις, ἀλλὰ καὶ τούτους ἐχώρισε τῶν αἰσθητῶν καὶ τὰς ἰδέας ἄλλας τινὰς οὐσίας τε καὶ φύσεις παρὰ τὰς αἰσθητὰς οὐσίας ἐτίθετο· διὰ γὰρ τὴν ἐν τοῖς λόγοις ἐξέτασιν, φησί, καὶ τὴν διαλεκτικήν, ἧς οἱ πρότεροι ἔτι ἦσαν ἄγευστοι· τοῦ δὲ ἀκολούθου

(*) p. 987 b 24. γρ. τῆς ὅλης οὐσίας cod. Reg.

b 3. ὂν A. ‖ 7. δὲ A. ‖ 14. παράδειγμα A. ‖ 19. μὲν οἱ Πυθαγόρειοι ἓν L. ‖ 20. ἔθεντο] ἔλεγον L. ‖ 21. ἴσαι V. ‖ ἓν — 22. διαιρούμενον om L. ‖ 22. δὲ τὸ ὑποκείμενον δυάδα ἐποίει ὃ καὶ ἄπειρον λέγει L. ‖ 24. ἐν — 25. φύσιν om L. ‖ 25. ταὐτῷ A. ‖ 26. τῷ μέγα τὸ μικρόν L. ‖ 28. γίνεται om L. ‖ 29. κατέλιπεν L. ‖ 30. οὕτος L. ‖ αἰτίας V. ‖ 31. καὶ τὰ ὄντα et 33. καὶ om L. ‖ 36 — p. 551 a 13. apud Asclep. ‖ 40. ἔθετο Asclep.

τὸ γὰρ ζῷον λογικὸν θνητὸν καὶ κατὰ τῶν αἰσθητῶν ἀνθρώπων κατηγορεῖται, εἰ καὶ μὴ κυρίως τούτων ἐστὶν ὁ ὁρισμός. Alex.

987 b 10. (ᵃ) γρ. ἔν τισι καὶ οὕτως "τὰ πολλὰ τῶν συνωνύμων τοῖς εἴδεσιν." cod. Reg.

987 b 12. (ᵇ) τὰ καθ' ἕκαστα καὶ κατὰ μέρος ταῦτα καὶ αἰσθητὰ τῶν πραγμάτων ἐν μεθέξει, φησίν, ἔλεγεν ὁ Πλάτων εἶναι τῶν ἰδεῶν ἀϊδίων οὐσῶν καὶ καθόλου ὄντα, λεγόμενα ὁμωνύμως τοῖς εἴδεσι. τὸ δὲ "τῶν συνωνύμων" οἱ μὲν ἀντὶ τῶν ὁμωνύμων, ὡς εἴπομεν, ἐξελάβοντο, οἱ δὲ ἀντὶ τοῦ συνωνύμων· τὰ γὰρ πολλὰ τῶν συνωνύμων, ὡς οἱ καθ' ἕκαστα πάντες ἄνθρωποι, οἵ εἰσιν ἀλλήλοις συνώνυμοι, καὶ οἱ ἵπποι καὶ τῶν ἄλλων ἕκαστοι, μεθέξει τῶν ἰδεῶν εἰσίν. εἴρηκε δὲ τοῦτο "τὰ πολλά" διὰ τὸ μὴ πάντων ἰδέας τὸν Πλάτωνα τίθεσθαι· τῶν γὰρ κατὰ σχέσιν, οἷον τῶν πρός τι, οὐκ ἐτίθετο ἰδέας, ἀλλ' οὐδέ τινος τῶν παρὰ φύσιν, οὐδὲ ὅλως τῶν κακῶν. id.

987 b 9. (ᶜ) ἰστέον δὲ ὅτι εἶπεν ὁ Πλάτων ἐν τῷ Παρμενίδῃ περὶ αὐτῶν ὅτι τὰ ἐφιέμενα τοῦ ἀγαθοῦ πάντα οὕτως γίνονται· πάντα γὰρ ἐφίενται τοῦ ἀγαθοῦ καὶ πλωτὰ καὶ πεζὰ καὶ ἀέρια, ὥς φησι καὶ ὁ Ἀριστοτέλης. κατὰ μίμησιν οὖν λέγουσιν οἱ Πυθαγόρειοι γίνεσθαι τὰ ἄλλα τῶν πρώτων ἀριθμῶν, οὓς καὶ λέγουσι κυρίως εἶναι καὶ ἐξ αὐτῶν τὰ ἄλλα γίνεσθαι, φημὶ δὲ ἐκ τῆς μονάδος καὶ τῆς δυάδος, ταὐτὸν δὲ εἰπεῖν ἐξ ὕλης καὶ εἴδους. Asclep.

987 b 10. "τὴν — μετέβαλε." τουτέστι μετέθηκε· τὴν γὰρ ὑπὸ τῶν Πυθαγορικῶν μίμησιν λεγομένην αὐτὸς μεταβαλὼν μέθεξιν εἶπε. ταύτην δὲ τὴν μέθεξίν τε καὶ μίμησιν τί τ' ἐστὶ καὶ πῶς γίνεται, οὔτε τῶν Πυθαγορικῶν τις οὔτε Πλάτων ἀπέδοσαν, ἀλλ' εἴασαν ἐν κοινῷ ζητεῖσθαι πῶς γίνεται καὶ τίνα τρόπον. ἔοικε δὲ τοῦτο καὶ ὑπὸ Πλάτωνος ἐν τῷ Παρμενίδῃ δηλοῦσθαι. εἶεν δ' ἂν οἱ Πυθαγορικοὶ λέγοντες κατὰ μίμησιν τῶν πρώτων ἀριθμῶν, οὓς ἔλεγον κυρίως εἶναι

987 b 14. ἃ κατηγορεῖται αὐτῶν, τοὺς ἄλλους εἶναι τοιούτους. "ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη." ἱστορεῖ καὶ τοῦτο ὅτι Πλάτων τὰ μαθηματικὰ μεταξὺ φύσεις τινὰς καὶ οὐσίας τῶν τε ἰδεῶν καὶ τῶν αἰσθητῶν ἔθετο. μεταξὺ γὰρ ἦν αὐτῶν κατ' αὐτόν, διαφέροντα τῶν μὲν αἰσθητῶν τῷ ἀΐδιά τε εἶναι καὶ ἀκίνητα παντάπασιν, τῶν δὲ ἰδεῶν τῷ τὰς μὲν ἰδέας ἕν τι τῷ ἀριθμῷ εἶναι, τὰ δὲ μαθηματικὰ τὴν ἐν τοῖς πολλοῖς, τουτέστι τοῖς αἰσθητοῖς καὶ τοῖς καθ' ἕκαστα, δηλοῦν ὁμοιότητα, ἐνυπάρχοντα τούτοις (ᵈ). οὐ γάρ ἐστιν αὐτὰ καθ' αὐτὰ ὑφεστῶτα, ἀλλ' ἐπινοίᾳ· χωρισθείσης γὰρ τῶν ἐνύλων τῆς τε ὕλης καὶ τῆς κινήσεως, καθ' ἃ καὶ μεθ' ὧν ἐστιν αὐτοῖς τὸ ὑφεστάναι, καταλείπεται τὰ μαθηματικὰ τὴν ἐν τοῖς ἐνύλοις καὶ πολλοῖς καὶ διαφέρουσι κατὰ τὰ ὑλικὰ συμπτώματα ὁμοιότητα δηλοῦν. ἢ τὸ μὲν ἀληθὲς οὕτως ἔχει, οὐ μὴν Πλάτων οὕτως ἔλεγεν, ὅς γε φύσεις αὐτὰς καὶ οὐσίας καθ' αὑτάς τε καὶ ἀϊδίους ἐποίει· ἀλλὰ λέγοι ἂν "πολλὰ ὅμοια" εἶναι ἐπὶ τῶν μαθηματικῶν, ὡς οὐχ ἑνὸς κατὰ τὸν ἀριθμὸν ἑκάστου αὐτῶν ὄντος· πολλὰ γὰρ κατ' ἀριθμὸν τὰ μαθηματικὰ τρίγωνα καὶ τετράγωνα καὶ τῶν ἄλλων ἕκαστον εἶναι, ὥσπερ καὶ τὰ αἰσθητά, σώζοντα τὴν ὁμοιότητα πρὸς ἄλληλα κατὰ τὸν ὁρισμόν· τῶν δὲ ἰδεῶν ἑκάστη κατ' ἀριθμὸν μία. "ἐπεὶ δὲ αἴτια τὰ εἴδη." ἡγούμενος, φησί, τὰ εἴδη, 987 b 18.
τουτέστι τὰς ἰδέας, ἀρχὰς εἶναι καὶ αἰτίας τοῖς ἄλλοις πᾶσι τοῦ εἶναι (κατὰ μέθεξιν γὰρ ἐκείνων τὰ ἄλλα), τὰς τῶν ἰδεῶν αὐτῶν πάλιν ἀρχὰς πάντων ἀρχὰς ἔθετο· ἀρχὰς δὲ τῶν ἰδεῶν ὡς μὲν ὕλην καὶ τὸ ὑποκείμενον ἔλεγε τὸ μέγα καὶ τὸ μικρόν, δυάδα τινὰ οὖσαν, ὥς φησιν, ἀόριστον, ὡς δὲ οὐσίαν καὶ εἶδος τὸ ἕν. τοῦτο δὲ ὅπως ἔλεγεν ἑξῆς λέγει. "ἐξ ἐκείνων γὰρ κατὰ μέθεξιν τοῦ ἑνὸς τὰ εἴδη εἶναι τοὺς 987 b 21.
ἀριθμούς." ἐξ ἐκείνων, τουτέστι τοῦ μεγάλου καὶ μικροῦ, συνιόντων καὶ εἰδοποιουμένων ὑπὸ τοῦ ἑνός. κατὰ μέθεξιν, τουτέστι τῷ μεταλαμβάνειν αὐτοῦ, τὰ εἴδη εἶναι, τουτέστι τὰς ἰδέας, αἵτινες καὶ αὐταὶ ἀριθμοί εἰσιν· εἰδητικοὺς γὰρ ἀριθμοὺς τὰς ἰδέας λέγουσιν. εἰπὼν δὲ τὰ εἴδη προσέθηκε "τοὺς ἀριθμούς·" τὰ γὰρ ὡς ἀριθμοὶ εἴδη αἱ ἰδέαι, ἐπεὶ εἴδη καὶ ἄλλα ἐστίν, ὥσπερ οὖν καὶ ἀριθμοί. Alex.

(ᵈ) "ἔτι — εἴδη." μεταξὺ λέγει ὁ Πλάτων τὰ μαθήματα 987 b 14.
τῶν ἰδεῶν καὶ τῶν αἰσθητῶν· οὔτε γὰρ πάντα αὐτὰ καθ' αὑτὰ ἐν ὑποστάσει ὑπάρχουσιν ἀχώριστα παντελῶς ὕλης, ὥσπερ αἱ ἰδέαι. τὰ γὰρ μαθήματα καὶ ἐν τῇ ὕλῃ θεωροῦνται (ἔστι γὰρ χαλκοῦν τρίγωνον), καὶ κατὰ ἀφαίρεσιν δὲ θεωροῦνται τῇ ἐπινοίᾳ. οὔτε ὅμοια ὑπάρχουσι τοῖς αἰσθητοῖς· τὰ γὰρ αἰσθητὰ καὶ ἐν κινήσει ὑπάρχουσι καὶ φθαρτά εἰσιν, τὰ δὲ μαθήματα ἀΐδια καὶ ἀκίνητα. εἰδέναι δὲ χρὴ ὅτι συμβολικῶς ὁ Πλάτων διὰ τῶν μαθημάτων τὴν ψυχὴν δηλοῖ, ἥτις μέση ἐστὶ τῶν πάντη χωριστῶν τῆς ὕλης καὶ ἀϊδίων καὶ τῶν πάντη ἀχωρίστων, τουτέστι τῶν ἐνύλων εἰδῶν, ἐπειδή, φησί, ποτὲ μὲν χωρίζεται σώματος, ποτὲ δ' ἐλλάμπει ἐν αὐτῷ. τοῦτο οὖν φησίν, ὅτι ἐπεὶ παρὰ τὰ αἰσθητὰ καὶ τὰς ἰδέας τὰ μαθηματικὰ τῶν πραγμάτων, μεταξύ φησιν εἶναι τούτων. διαφέρουσι γὰρ τῶν μὲν αἰσθητῶν τὰ μαθηματικὰ τῷ εἶναι ἀΐδια καὶ ἀκίνητα· ἡ γὰρ ψυχὴ ἀκίνητός ἐστι καὶ ἀΐδιος, τὰ δὲ αἰσθητὰ φθαρτὰ ὑπάρχουσι καὶ ἐν κινήσει. τῶν εἰδῶν διαφέρουσι τῷ τὰς μὲν ἰδέας ἕν τι τῶν ἀριθμῶν εἶναι· ἓν γὰρ εἶδος πάντων τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ὁμοίως. καὶ ἔθος αὐτῷ τῷ Πλάτωνι ἕν τι καλεῖν τὰ παντελῶς χωριστὰ τῆς ὕλης· τὰ δέ ποτε ἐλλάμποντα αὐτῇ πολλὰ καλεῖ. τὰ δὲ μαθηματικὰ τὰ ἐν τοῖς πολλοῖς, τουτέστι τοῖς αἰσθητοῖς καὶ τοῖς καθ' ἕκαστα, δηλοῦν ὁμοιότητα· οὐ γάρ ἐστιν αὐτὰ καθ' αὑτὰ ὑφεστῶτα, ἀλλ' ἐπινοίᾳ, χω-

22. μετέλαβε *AV.* ‖ 23. μεταβαλὼν Asclep., μεταλαβὼν *AV.* ‖ 24. δὲ] μέντοι Asclep. ‖ 25. πυθαγορείων *A.* ‖ ἀπέδωκεν *A.* ‖ 26. ταῦτα ζητεῖσθαι παρὰ τοῖς βουλομένοις πῶς *L.* ‖ ἔοικε — 27. δηλοῦσθαι om *L.* ‖ 27. οἱ πυθαγόρειοι οἱ λέγοντες *L.* ‖ 29. τοιούτους. οἷον εἰ κυρίως ἐστὶ φιλία ὁ ἰσάκις ἴσος πρῶτος ὁ τέσσαρα, οἱ ἄλλοι πάντες ἰσάκις ἴσοι ὁμοίως ἐκείνῳ λεχθήσονται, καὶ ὅσα ἐκ τῶν τοιούτων ἀριθμῶν τὸ εἶναι ἔχει. ἔτι *L.* ‖ 32. ἦν] εἶναι *V.* ‖ 35. καὶ τοῖς om *V.* ‖ 40. δηλοῦντα *V.*

5. καὶ om *A.* ‖ 6. κατὰ] καὶ *L.* ‖ ἀριθμόν *V.* ‖ 7. φησὶ Πλάτων τὰ *L.* ‖ 9. τ' ἄλλα ἤτοι τὰ αἰσθητά, τὰς *L.* ‖ αὐτὰς *A.* ‖ 12. φασιν *L.* ‖ 13. κατὰ — 15. μέθεξιν] τοῦ μικροῦ καὶ τοῦ μεγάλου συνιόντων κατὰ μέθεξιν τοῦ ἑνὸς καὶ εἰδοποιουμένων ὑπ' αὐτοῦ κατὰ μέθεξιν *L.* ‖ 19. ἤδη *V.* ‖ καὶ οἱ ἀριθμοί *V.*

ὁ λόγος ἀληθεύεται, ταῦτά ἐστι τὰ αὐτὰ τοῖς κατ' αὐτῶν λεγομένοις, πολλοὶ δὲ λόγοι ἑνὶ πρώτῳ ἐφαρμόζουσι (τὸν αὐτὸν γὰρ ἀριθμόν, εἰ οὕτω τύχοι, ἔλεγον καιρὸν καὶ Ἀθηνᾶν), πολλὰ ἄρα ἔσται ὁ αὐτὸς καὶ εἷς ἀριθμός, πολλῶν ἐφαρμοζόντων αὐτῷ λόγων διαφερόντων. Alex.

987 a 27. "παρὰ — ἄλλων." τουτέστι καὶ τῶν ἄλλων πάντων τῶν μετ' ἐκείνους. id.

987 a 29. ἑξῆς τὴν Πλάτωνος ἐκτίθεται δόξαν, καὶ τὰ μὲν πολλά φησι τοῖς Πυθαγορικοῖς αὐτὸν ἀκολουθῆσαι, τὰ δὲ καὶ ἰδίᾳ θέσθαι· ὧν ἰδίων ἐν ἦν αὐτοῦ καὶ τὸ περὶ τῶν ἰδεῶν (*). καὶ λέγει πόθεν ἐκινήθη ἐπὶ τὸ ἰδέας θέσθαι, καὶ ἱστορεῖ ὅτι παρὰ μὲν Κρατύλου ἔλαβε, συνήθης αὐτῷ γενόμενος ὄντι Ἡρακλειτείῳ, ὅτι πάντα τὰ αἰσθητὰ ἐν ῥύσει ἐστὶ καὶ οὐδέποτε ἵσταται, καὶ ταύτην ἐφύλαξε τὴν δόξαν ὡς ἀληθῆ. Σωκράτους δὲ ἐν τοῖς ἠθικοῖς πεπραγματευμένου καὶ τὸ καθόλου ζητοῦντος (διαλαμβάνων γὰρ περὶ καλοῦ ἢ τινος ἄλλου ἐζήτει καθόλου τί τὸ καλόν ἐστιν, οὐ τόδε τὸ καλὸν λαμβάνων), καὶ ὁρίζεσθαι τὸ προκείμενον ἀεὶ πειρωμένου· λέγει δὲ περὶ Σωκράτους ὡς μὴ πραγματευσαμένου περὶ τῶν φυσικῶν. πῶς δὲ λέγει Σωκράτην πρῶτον ἐπιστῆσαι περὶ ὁρισμῶν, εἴγε καὶ οἱ Πυθαγόρειοι ταὐτὸν ἐπειρῶντο ποιεῖν, ὡς προείρηκεν, ὄντες αὐτοῦ πρεσβύτεροι; ἢ ὅτι ἐκεῖνοι, ὡς εἶπε, μαλακῶς καὶ ἀμεθόδως. ἀποδεξάμενος οὖν Σωκράτους τὴν περὶ τοὺς ὁρισμούς τε καὶ τὸ καθόλου πραγματείαν, ὑπέλαβε τούτους ἑτέρων τινῶν γίγνεσθαί τε καὶ εἶναι φύσεων καὶ οὐ τῶν αἰσθητῶν τινός, οὐδὲ τοῦ ἐπὶ τούτοις καθόλου, τῷ ταῦτα καὶ τὰ ἐν τούτοις πάντα, ἐν οἷς καὶ τὰ καθόλου, ἀεὶ ῥεῖν τε καὶ μεταβάλλειν καὶ μηδέποτε ἐπὶ τῆς αὐτῆς φύσεως μένειν· διὸ καὶ ἀδύνατον εἶναι τὸν κοινὸν καὶ καθόλου ὅρον (τοιοῦτοι γὰρ οἱ ὁρισμοί) τῶν αἰσθητῶν τινὸς εἶναι· διὸ ταῦτα μηδὲ ὁριστὰ εἶναι τῷ μηδὲ εἶναι ταῦτα. καὶ ταύτας δὲ τὰς φύσεις τὰς παρὰ τὰ αἰσθητά, ὧν οἱ ὁρισμοί εἰσιν, ἰδέας προσηγόρευσεν, ἀφ' ὧν καὶ τὰ αἰσθητὰ εἶναί τε καὶ λέγεσθαι. id.

(*) ἐκθέμενος τὰς τῶν Πυθαγορείων δόξας καὶ τῶν ἄλλων, τῶν φυσικῶν, περὶ τοῦ γνῶναι ποίαις ἀρχαῖς τῶν ὄντων ἐκέχρηντο, ἐντεῦθεν ἐκτίθεται καὶ τὴν Πλάτωνος δόξαν, βουλόμενος δεῖξαι ποίαις ἀρχαῖς τῶν ὄντων καὶ αὐτὸς ἐκέχρητο, καί φησιν ὅτι τὰ πολλὰ τοῖς Πυθαγορείοις ἠκολούθησεν. ἡμεῖς δέ φαμεν ὅτι οὐ τὰ πολλὰ ἀλλὰ τὰ πάντα· Πυθαγόρειος γὰρ ἦν ὁ φιλόσοφος, εἰ καὶ μὴ πᾶσι κέχρηται τοῖς παραπετάσμασιν αὐτῶν. οἱ γὰρ Πυθαγόρειοι μύθοις μὲν οὐκ ἐκέχρηντο ἀλλὰ συμβόλοις, ἵνα κἂν μείνωσιν οἱ ἀκούοντες μέχρι τοῦ φαινομένου, μὴ ἀδικηθῶσιν, ὥσπερ ἐπὶ τῶν Πυθαγορείων. πρὸς τούτοις δὲ σαφῶς οὐκ ἐβούλοντο ἐκθέσθαι διὰ τὸ μὴ καταφανῆ γενέσθαι τὴν ἑαυτῶν σοφίαν καὶ σκυτεῦσιν. Asclep.

"κατὰ μέθεξιν — εἴδεσιν" (*). εἰπὼν τὰ δὲ αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα (παρὰ ταῦτα γὰρ ὄντα καὶ ἄλλα τούτων ὄντα), κατὰ ταῦτα λέγεσθαι, ὃ ἐξηγήσατο διὰ τοῦ κατὰ μέθεξιν 987 b 2 γὰρ τὸ εἶναι ἔχει τὰ πολλὰ τῶν αἰσθητῶν, εἶτα τίνα τὰ πολλὰ ἐξηγούμενος προσέθεικε τὸ "τῶν συνωνύμων τοῖς εἴδεσιν," ὃ ἴσον ἂν εἴη τοῖς συνωνύμοις αὐτοῖς εἴδεσι· τὰ γὰρ συνώνυμα τοῖς εἴδεσι τοιαῦτα. τοῦτο δέ ἐστιν ὅτι μὴ πάντων τῶν αἰσθητῶν ἔλεγεν εἶναι ἰδέας· τῶν γὰρ κατὰ σχέσιν τῶν ἐν τοῖς πρός τι οὐκ ἔθεντο εἶναι ἰδέας, ἀλλ' οὐδὲ τῶν παρὰ φύσιν τινός, οὐδ' ὅλως τῶν κακῶν. ἢ εἴη ἂν λέγων "τὰ πολλὰ" ἀντὶ τοῦ τὰ αἰσθητά, ὡς εἶναι τὸ λεγόμενον, κατὰ μέθεξιν τὰ πολλά τε καὶ αἰσθητά ἐστι τῶν εἰδῶν τούτων οἷς ἐστὶ συνώνυμα· οἱ γὰρ ἄνθρωποι κατὰ μέθεξιν ἀνθρώπου καὶ ἵπποι ἵππου (¹)· ὡς εἶναι τὸ λεγόμενον, κατὰ μέθεξιν γὰρ τὸ εἶναι ἔχει τὰ αἰσθητά τε καὶ συνώνυμα τοῖς εἴδεσι, τὴν τῶν εἰδῶν. δύναται καὶ οὕτω τις ἀκούειν τῆς λέξεως· κατὰ μέθεξιν γὰρ τῶν εἰδῶν εἶναι τὰ πολλά, πολλὰ δὲ ταῦτα τὰ συνώνυμα ἀλλήλοις· τὰ γὰρ πολλὰ καὶ συνώνυμα ἀλλήλοις τὸ εἶναι ἔχει κατὰ μέθεξιν ἰδέας μιᾶς. οὐ γὰρ πάντα μιᾶς ἰδέας μετέχει, ἀλλ' ὅσα ὁμοειδῆ τέ ἐστιν ἀλλήλοις καὶ συνώνυμα. οὐ γὰρ ἂν ταῖς ἰδέαις λέγοι τὰ αἰσθητὰ συνώνυμα εἶναι, ἱστορῶν τὴν Πλάτωνος δόξαν, ὁμωνύμους ἐκείνου λέγοντος τὰς ἰδέας τοῖς γινομένοις πρὸς αὐτάς. ἢ καὶ κατὰ Πλάτωνα οὐχ ὁμώνυμοι ἂν εἶεν αἱ ἰδέαι τοῖς πρὸς αὐτάς, ἀλλὰ συνώνυμοι· ἐν οἷς γὰρ χρῆται τῷ ὁμωνύμῳ ὀνόματι, κοινότερον ἀντὶ τοῦ συνωνύμου χρῷτο ἄν. εἰ γὰρ μὴ κατὰ τὸν λόγον καὶ τὸ εἶδος ὡμοίωται τῇ ἰδέᾳ τὰ πρὸς αὐτήν, κατὰ τί ἂν ἄλλο; οὐδὲν γὰρ ἐκείναις ἄλλο ὑπάρχει, οὐδέ τι αὐταῖς συμβέβηκε. τὰ δὲ κατὰ τὸ εἶδος ὅμοια συνώνυμα· εἰ γὰρ ὁ αὐτοάνθρωπος εἶδός τί ἐστιν ἁπλοῦν, δῆλον ὅτι τὸ ὡμοιωμένον αὐτῷ κατὰ τὸ εἶδος ἂν ὡμοίωτο· ἀλλὰ μὴν καὶ οἱ ὁρισμοὶ κατὰ τὸ εἶδος καὶ τῶν ἐνύλων· ὥστε εἰ κατὰ τὸ εἶδος ὅμοιοί εἰσιν οἱ ἄνθρωποι τῇ ἰδέᾳ οὐδὲν ἄλλο οὔσῃ, καὶ ὁ ὁρισμὸς ἂν αὐτῶν ὁ αὐτὸς καὶ τῆς ἰδέας εἴη. ἔτι εἰ καὶ μὴ ὁριστὰ ταῦτα ἀλλὰ τὰ εἴδη, ἄλλοι γε ὁρισμοὶ ἐκείνων καὶ ἐπὶ τούτων λέγονται (¹)·

1. ἀληθεύει *V*. ‖ 3. οὕτω ἔτυχε, τὸ ζ' ἔλεγον *L*. ‖ ἔλεγον καὶ καιρὸν *V*. ‖ 4. καὶ εἷς om *A*, καὶ εἷς ἔσται ante πολλῶν *L*. ‖ 9. αὐτῶν *M*. ‖ 13 — *b* 1. apud Asclep. ‖ 14. πραγματευσαμένου καὶ ἐν τούτοις τὸ Asclep. ‖ 17. πειρώμενον *M*. ‖ πειρώμενος, περὶ δὲ τῶν φυσικῶν οὐδέν, φησίν, ἐπραγματεύσατο. πῶς λέγει περὶ Σωκράτους Asclep. ‖ 19. πυθαγόρειοι ἐπειρῶντο τοῦτο Asclep. ‖ 24. καθόλου ταῦτα γὰρ καὶ Asclep. ‖ 26. αὐτῆς om Asclep. ‖ κοινοῦ *A*. ‖ 27. διὸ] διὰ τὸ Asclep. ‖ 28. τῷ μὴ μένειν τὰ αὐτὰ Asclep., *haec inepta esse definiendo, quoniam ne esse quidem* Sepulv. ‖ 29. αἰσθητά, φημὶ δὴ τὰ καθόλου, ὧν οἱ ὁρισμοὶ ὑπάρχουσιν, ἰδέας προσηγόρευσεν, τὰ δὲ αἰσθητὰ ἔφασκεν εἶναι Asclep. ‖ 32. ἀρχαῖς ἐκέχρητο τῶν ὄντων *A*. ‖ 35. πολλὰ τοῖς πυθαγορείοις ἀλλὰ *A*.

3. τῶν φαινομένων *A*. ‖ 12 — 14. apud Asclep. ‖ 13. σχέσιν τε καὶ τῶν πρός τι Asclep. ‖ 14. περὶ Asclep. ‖ οὔτε δὲ ὅλως Asclep. ‖ 16. μέθεξιν γὰρ τὸ εἶναι τὰ *M*. ‖ 16 — 21. μέθεξιν οὖν τῶν εἰδῶν ὑπάρχουσι τὰ πολλά, συνώνυμα ὄντα ἀλλήλοις τὰ πολλά· οὔτε γὰρ τοῖς εἴδεσι συνώνυμα· τὰ Asclep. ‖ 22. κατὰ μέθεξιν τὸ εἶναι ἔχει Asclep. ‖ μιᾶς post πάντα om Asclep. ‖ 23. συνώνυμα ὡς ἄνθρωποι, ἵπποι, βόες ἀλλήλοις· οὐ γὰρ Asclep. ‖ 25. δόξαν, ἐκείνου ὁμωνύμους λέγοντος τὰς ἰδέας ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἢ οὐδὲ κατὰ πλάτωνα ὁμώνυμοι, ἀεὶ δὲ τοῖς Asclep. ‖ 28. χρῷτο *M*. ‖ 32. φανερὸν ὅτι τὸ ὁμοιούμενον Asclep. ‖ αὐτὸ *M*. ‖ ὡμοίωτο Asclep., ὁμοίωται *AV*. ‖ 34. εἶδος οἱ ἄνθρωποι τὸ εἶναι ἔχουσιν, ὅμοιοι ἂν εἶεν τῇ ἰδέᾳ Asclep.

οὐσίαν αὐτοῦ. οὐ γὰρ ἐν τῷ τοσοῦτος εἶναι ὁ ἄρτιος ἀριθμὸς ἄπειρος κατ' αὐτούς, ἀλλ' ἐν τῷ τοιοῦτος· πᾶν γὰρ ἄρτιον καθὸ ἄρτιον ἄπειρον κατ' αὐτούς. ὁμοίως δὲ καὶ τὸ ἓν οὐσίαν αὐτὴν καθ' αὑτήν, ἀλλ' οὐκ ἄλλῳ τινὶ ὄντι ὑπάρχειν τὸ ἑνὶ εἶναι. ἀλλὰ διὰ τὸ ταῦτα εἶναι τὸ ὑποκείμενον, ἔλεγον ἀριθμὸν αὐτοῦ τὴν πάντων οὐσίαν, ὡς ἐκ τῶν ἀριθμῶν πάντων τῶν ὄντων συγκειμένων· ὡς γὰρ οἱ πῦρ ὑποκείμενον, πῦρ ἡ οὐσία πάντων, οὕτω καὶ οἱ ἀριθμόν, ἀριθμὸς ἡ πάντων οὐσία. λέγει δὲ περὶ αὐτῶν ὡς ἐπιχειρησάντων μὲν πρώτων καὶ τί ποτε ἐστιν ἕκαστον τῶν ὄντων ἀποδιδόναι καὶ ὁρίζεσθαι, λίαν μέντοι πραγματευσαμένων τοῦτο ἁπλῶς καὶ ἀβασανίστως καὶ χωρὶς ἐπιστάσεώς τινος. καὶ ἐπὶ τούτοις ἐκτίθεται τὴν δόξαν αὐτῶν, ἣν εἶχον περὶ τούτων. ᾧ γὰρ πρώτῳ ὑπῆρχεν ὁ λεγόμενος ὅρος ὑπ' αὐτῶν, ἐκεῖνο ἔλεγον εἶναι τὸ ὑπὸ τοῦ ὁρισμοῦ δηλούμενον, καὶ τὴν οὐσίαν τὴν τοῦ πράγματος τὴν ὑπὸ τοῦ ὁρισμοῦ δηλουμένην ἐκεῖνο ἔχειν ἔλεγον. οἷον τὴν φιλίαν λέγοντες, εἰ οὕτως ἔτυχεν, ἰσότητα, καὶ διὰ τοῦτο ὑπολαμβάνοντες λόγον αὐτῆς εἶναι τὸ ἰσάκις ἴσον, ᾧ πρώτῳ τῶν ἀριθμῶν ὑπῆρχε τοῦτο, τοῦτον τὸν ἀριθμὸν ἔλεγον φιλίαν, ταὐτὸ ποιοῦντες τῷ ἡγουμένῳ ταὐτὸν εἶναι διπλάσιον καὶ δυάδα, ἐπειδὴ πρώτη ταύτῃ τὸ διπλάσιον ὑπάρχει. ἥν τινα δόξαν εὐθύνων προσέθηκεν ἀλλ' — συνέβαινε (v. 25). id.

(ˡ) ἄλλοι δέ τινες καὶ πρὸς τῇ ὑλικῇ αἰτίᾳ καὶ ποιητικὴν εἰρήκασι, καθάπερ Ἐμπεδοκλῆς καὶ Ἑρμότιμος καὶ Ἀναξαγόρας, οἱ μὲν τὸν νοῦν, οἱ δὲ νεῖκος καὶ φιλίαν. καὶ ὁ μὲν Ἐμπεδοκλῆς δύο ὑπετίθετο εἶναι τὰ ποιητικά, καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν, οἱ δὲ περὶ Ἑρμότιμον μίαν τὸν νοῦν. ἤρξαντο οὖν οἱ παλαιοὶ φυσικοὶ πρὸ τῶν Ἰταλικῶν, φημὶ δὲ τῶν Πυθαγορείων· καὶ συνήκμασαν γὰρ καὶ συνεπεξετάσθησαν τοῖς Πυθαγορείοις. μέχρις οὖν τῶν Ἰταλικῶν ἐγένοντο καὶ πάλιν χωρὶς ἐκείνων. "μονιμώτερον" εἰρήκασιν, τουτέστι μετριώτερον, ἤγουν σκοτεινότερον ἢ μαλακώτερον· οὐ γὰρ διηρθρωμένως εἰρήκασιν οἱ Πυθαγόρειοι περὶ τῶν ἀρχῶν. πλὴν οἱ μὲν αὐτῶν μίαν ποιοῦσι τὴν ἀρχὴν τὴν ὑλικήν, οἱ δὲ δύο· πρὸς γὰρ τῇ
987a 11 ὑλικῇ ὑπετίθεντο καὶ ποιητικήν, ὥσπερ οἱ περὶ Ἀναξαγόραν. "οἱ δὲ Πυθαγόρειοι δύο μὲν τὰς ἀρχὰς κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον." φησὶν ὅτι καὶ οἱ Πυθαγόρειοι δύο ἀρχὰς ὑπετίθεντο ὁμοίως, ὑλικὴν καὶ ποιητικήν. διαφέρουσι δὲ ἐκείνων, ὅτι οἱ μὲν ἓν τῶν στοιχείων εἰρήκασι) τὴν ἀρχήν, οἷον πῦρ ἢ ὕδωρ ἤ τι τοιοῦτον λέγοντες τὸ πεπερασμένον καὶ τὸ ἄπειρον· αὐτοὶ δὲ οἱ Πυθαγόρειοι ἑτέρας φύσεις ὑπετίθεντο αὐτὸ καθ' αὑτὸ εἶναι τὸ ἄπειρον, καὶ ἐξ αὐτοῦ γίνεσθαι τὴν ἀπειρίαν, καὶ πάλιν αὐτὸ καθ' αὑτὸ πεπερασμένον, καὶ ἐξ αὐτοῦ γίνεσθαι τὴν πρόοδον τῶν πεπερασμένων, τουτέστι τοὺς λόγους τῶν εἰδῶν καὶ τῆς ὕλης. καὶ ἀληθῶς λέγει Ἀριστοτέλης, αὐτὸ οὖν τὸ ἓν οὐσίαν εἶναι τούτων ἔλεγον ὧν κατηγορεῖται· διὸ καὶ τὸν ἀριθμὸν εἶναι τὴν οὐσίαν πάντων ἔλεγον, ἐπειδὴ καὶ τὰ πάντα ἐξ ἀριθμῶν συνεστάναι ἔλεγον. περὶ τούτων οὖν τοῦτον τὸν τρόπον ἀπεφήναντο, ἤρξαντο δὲ λέγειν καὶ περὶ τοῦ τί ἐστι, φημὶ δὴ περὶ τῶν ὁρισμῶν· ἔλεγον γὰρ ὅτι τὸ πρῶτόν τινι ὑπάρχον τοῦτό ἐστιν ὁ ὁρισμὸς αὐτοῦ, οἷον ἐπεὶ πρώτως ὑπάρχει τῇ ἐπιφανείᾳ τὸ χρῶμα, τὸ χρῶμα ἄρα ὁρισμός ἐστι τῆς ἐπιφανείας, καὶ πάλιν ἐπειδὴ τὸ διπλάσιον ὑπάρχει τῇ δυάδι, ὁρισμὸς τῆς δυάδος τὸ διπλάσιον. οἱ δὲ ὁρισμοὶ θέλουσιν ἀντιστρέφειν πρὸς τὰ ὁριστά, οὐκ ἀντιστρέφει δέ· οὐ γὰρ εἴ τι διπλάσιον, δυάς· τὰ γὰρ ὀκτὼ διπλάσια μέν ἐστιν, οὐ δυὰς δέ. εἰ δὲ τοῦτο ὑποθώμεθα, πολλὰ ἔσται τὸ ἕν· εἰ γὰρ ἡ δυὰς διπλάσιον, πολλὰ δὲ τὰ διπλάσια, πολλὰ ἔσται καὶ ἡ δυὰς ἓν οὖσα πρᾶγμα· ἔσται γὰρ καὶ η' καὶ ι' καὶ ιβ' καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ οὕτως μὲν ὁ Ἀριστοτέλης, εἰδέναι μέντοι χρὴ ὡς οἱ Πυθαγόρειοι, ὥς φησιν ὁ ἡμέτερος φιλόσοφος Ἀμμώνιος, τὴν δυάδα ἀντὶ ἀρτίου ἀριθμοῦ ἐλάμβανον, καὶ ἔλεγον ὅτι ἡ δυὰς διπλάσιον, καὶ οὕτως ἀντιστρέφει πρὸς τὸ ὁριστόν· εἴ τι γὰρ διπλάσιον, τοῦτο καὶ ἄρτιον, εἴ τι ἄρτιον, τοῦτο καὶ διπλάσιον· καὶ τὰ η' γὰρ ἄρτια καὶ ὅσα τοιαῦτα. ἐπεὶ οὖν πρῶτόν ἐστιν ἡ δυὰς ἐν τοῖς ἀρτίοις, τούτου χάριν ἐλάμβανον τὴν δυάδα ἀντὶ παντὸς ἀρτίου ἀριθμοῦ, καὶ οὕτως ὡρίζοντο ὑγιῶς. Asclep.

(ᵐ) πλὴν διαφέρουσιν ἐκείνων, ὅτι οἱ μὲν πρὸ αὐτῶν φυσικοὶ 987a 16.
ἕν τι ἢ πολλὰ ὑποτιθέντες κατὰ τούτων τὸ πέρας ἢ τὸ ἄπειρον κατηγόρουν, οὗτοι δὲ αὐτὸ καθ' αὑτὸ εἶναι τὸ ἄπειρόν φασι καὶ ἐξ αὐτῶν γενέσθαι τὴν ἀπειρίαν, καὶ πάλιν αὐτὸ καθ' αὑτὸ τὸ πέρας καὶ ἐξ αὐτοῦ γίνεσθαι τὴν πρόοδον τῶν πεπερασμένων. ἠνίττοντο δὲ διὰ τούτων τοὺς λόγους τῶν εἰδῶν καὶ τῆς ὕλης. cod. Reg.

"ἀλλ' — συνέβαινε." πολλὰ γὰρ αὐτοῖς τὸ ἓν ἐγίνετο· ὡς 987a 25.
γὰρ τῷ λέγοντι ταὐτὸν εἶναι δυάδα τε καὶ διπλάσιον πολλὰ ἡ δυὰς γίνεται (πάντα γὰρ οἷς ὁ τοῦ διπλασίου λόγος ἐφαρμόττει), οὕτω κἀκείνοις ἕκαστον τῶν πραγμάτων πολλὰ ἐγίγνετο οὕτως λέγουσιν. εἰ γὰρ φιλία κατ' αὐτοὺς ὁ ἀριθμὸς ᾧ πρώτῳ ἐφαρμόζει τὸ ἰσάκις ἴσον, γίγνεται μὲν αὐτοῖς ὁ ὁρισμὸς τῆς φιλίας τὸ ἰσάκις ἴσον, τούτου δὲ ὄντος τοῦ ὁρισμοῦ αὐτῆς πάντες οἷς οὗτος ὁ ὁρισμὸς ἐφαρμόζει οἱ ἀριθμοὶ φιλία ἔσονται, οὕτω τε πολλὰ τὸ ἓν ἔσται. ἐκεῖνοι μὲν γὰρ ᾧ πρώτῳ ὑπῆρχε τῶν ἀριθμῶν ὁ λόγος, τοῦτον ἐνόμιζον ἐκείνου εἶναι τὴν οὐσίαν τοῦ πράγματος· οὐχ οὕτω δὲ συμβαίνει· ᾧ γὰρ ἂν ἐφαρμόζει ὁ ὁρισμὸς πράγματός τινος, ἐκεῖνό ἐστι τὸ πρᾶγμα οὗ ὁ ὁρισμός, καὶ ἀντιστρέφει ἀλλήλοις. πολλὰ δέ ἐστι τὰ ἰσάκις ἴσα· καὶ γὰρ τὰ τέτταρα καὶ τὰ ἐννέα καὶ τὰ ἑκκαίδεκα διαφέροντες ὄντες ἀλλήλων ἀριθμοὶ φιλία ἔσονται· οὕτως δὲ ἓν οὖσα ἡ φιλία πολλὰ γίγνεται, ἐπεὶ καὶ τὸ ἰσάκις ἴσον τῷ τὸν λόγον τὸν αὐτὸν εἶναι, ὃν ἔθεντο φιλίαν, κατὰ πολλῶν ἀληθεύεται. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει αὐτοῖς. ἥ ἐστι τὸ λεγόμενον τοιοῦτον. εἰ καθ' ὧν πρώτων

7. ὁ post πῦρ om *M.* ‖ ἀριθμὸς om *A.* ‖ 8. λέγω *M.* ‖ 15. exspectes οἷον τὴν δικαιοσύνην. in vulgata vero (τὴν φιλίαν) tuenda consentiunt et codices et interpres Lat. ‖ 20. προσέθεικεν *A.* ‖ 30. πλὴν οὖν οἱ *A.*

1. συνίστασθαι *B.* ‖ 17. πρώτη ἐστὶν *B.* ‖ 30. πρώτως *M.* ‖ 34. λόγος οὗτος, ἐνόμιζον ἐκεῖνον *M.* ‖ 39. δὲ] τε *A.* ‖ 40. τὸν post τῷ om *A.* ‖ 41. ἀληθεύεσθαι codd., Sepulv. *vere dicitur.* ‖ αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τούτοις συμβαίνει οὕτως λέγουσι. ἢ ἔσται τὸ λεγόμενον τὸ "εἰ δὲ μή, πολλὰ τὸ ἓν ἔσται," τοιοῦτον. εἰ καθ' ὃν πρῶτον ὁ ἀριθμὸς ἀληθεύεται, ταῦτα αὐτὰ ἔσται τοῖς κατ' αὐτοὺς λεγομένοις *L.*

τῶν δοξῶν, εἶθ' οὕτως τῶν Πυθαγορείων ἐμνημόνευσεν (*). εἰπὼν δὲ μέχρι τῆς τῶν Πυθαγορικῶν δόξης τοὺς πλείστους μαλακώτερον περὶ αἰτίας εἰρηκέναι, τουτέστιν ἐνὶ αἰτίῳ χρήσασθαι, τῷ γὰρ ὑλικῷ, χωρὶς τῶν δύο Ἀναξαγόρου τε καὶ Ἐμπεδοκλέους· οὗτοι γὰρ πρὸς τῇ ὑλικῇ καὶ τὴν ποιητικὴν προσέλαβον, ὁ μὲν ἓν τοῦτο λέγων ὁ Ἀναξαγόρας, ὁ δὲ διελὼν εἰς δύο, Ἐμπεδοκλῆς γάρ· ὃ ἐδήλωσε διὰ τοῦ εἰπεῖν "πλὴν ὥσπερ εἴπομεν δυοῖν αἰτίαιν τυγχάνουσι κεχρημένοι, καὶ τούτων τὴν ἑτέραν οἱ μὲν μίαν ποιοῦσιν οἱ δὲ δύο, τὴν ὅθεν ἡ κίνησις," οὗ λείποι ἂν τὸ τινὲς ἐξ αὐτῶν (**). γράφεται ἔν τισιν ἀντὶ τοῦ μοναχώτερον "μορυχώτερον," ὃ ἐξηγούμενοι οἱ μὲν σκοτεινότερον λέγουσιν, οἱ δὲ μαλακώτερον. οὔτε δὲ τὸ ὄνομα γνώριμον, οὔτε ἀκόλουθον τοῖς προειρημένοις τὸ τοὺς μέχρι τῶν Πυθαγορείων εἰρηκότας περὶ ἀρχῶν σκοτεινότερον εἰρηκέναι· μᾶλλον γὰρ ἔστιν εὑρεῖν σκοτεινότερον εἰρημένα τὰ ὑπὸ τῶν Πυθαγορείων λεγόμενα. εἰ δὲ μαλακώτερον εἰπεῖν ἐβούλετο, ἐχρήσατο ἂν τῷ ὀνόματι αὐτῷ, ὥσπερ καὶ ἐν ἄλλοις. προελθὼν μέντοι περὶ πάντων τῶν εἰρηκότων πρὸ αὐτοῦ περὶ ἀρχῶν λέγει "ἀλλὰ πάντες ἀμυδρῶς μέν." τοὺς δὲ Πυθαγορικούς φησι δύο μὲν καὶ αὐτοὺς τὰς ἀρχὰς λέγειν ὥσπερ καὶ ἄλλοι· τὸ γὰρ κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον τούτου ἂν εἴη σημαντικόν. ἀλλὰ καὶ πρὸ ὀλίγου εἴρηκε καὶ αὐτοὺς μόνῃ τῇ ὑλικῇ αἰτίᾳ κεχρῆσθαι, πῶς οὖν νῦν δύο λέγει; ἢ δύο λέγει οὐκ εἴδη αἰτίων, ἀλλὰ δύο τὰς ἀρχὰς τὰς ὑλικὰς ἐποίουν, ὥσπερ καὶ ἄλλοι· οἱ γὰρ γῆν καὶ πῦρ θέμενοι δύο καὶ αὐτοὶ τὰς ὑλικὰς ἀρχὰς ἐποίουν. ἢ λέγει ὡς ἀρέσκει αὐτοῖς, ἢ καὶ ἑπόμενον ἐξ ὧν ἔλεγον, τὸ εἶναι μὲν αὐτοῖς ὕλην τὸν ἄπειρον ἀριθμόν (οὗτος δὲ ἦν ὁ ἄρτιος), εἶδος δὲ τὸν πεπερασμένον, ὃς ἦν ὁ περιττός· καὶ γὰρ προελθὼν οὕτως περὶ αὐτῶν μνημονεύει. πῶς δὲ δύο ἔτι αἱ ἀρχαὶ κατὰ τοὺς Πυθαγορικούς, εἴγε, ὡς λέγει, τὸ πεπερασμένον καὶ τὸ ἄπειρον καὶ τὸ ἕν; τρεῖς γὰρ οὕτω γίγνονται. ἢ τὸ ἓν οὐκ ἦν ἔξω τούτων· προείρηκε γὰρ ὅτι ἀρτιοπέριττον ἔλεγον τὴν μονάδα· εἰ δὲ ἀρτιοπέριττον, καὶ πεπερασμένον καὶ ἄπειρον, ἄπειρον δὲ τὸ περιττὸν καὶ πεπερασμένον τὸ ἄρτιον κατ' αὐτούς· ἀρχαὶ γὰρ κατ' αὐτοὺς περιττὸν καὶ ἄρτιον πρώτης τῆς μονάδος. καὶ οἱ τὰς δέκα δὲ ἐναντιώσεις ἐν ταῖς ἀρχαῖς θέμενοι τῶν Πυθαγορικῶν εἶεν καὶ αὐτοὶ δυοῖν ἀρχαῖν χρώμενοι· ἀνήγαγον γὰρ ταύτας εἴς τε τὸ ἀγαθὸν καὶ κακόν, τὴν μὲν ἑτέραν τῶν συστοιχιῶν ἀγαθὸν τὴν δὲ ἑτέραν κακὸν λέγοντες. διαφέρειν δέ φησι τῶν ἄλλων τὴν τούτων δόξαν, καθ' ὅσον οἱ μὲν ἄλλοι τῷ ἀπείρῳ ἐν τῇ ἀρχῇ χρησάμενοι ἢ τῷ πεπερασμένῳ ἄλλο τι καὶ σῶμα τὸ ἄπειρον καὶ τὸ πεπερασμένον ἐποίουν, συμβεβηκὸς ἔχον τὸ ἄπειρον ἢ τὸ πεπερασμένον· οἱ μὲν γὰρ ὕδωρ ἄπειρον εἶναι, οἱ δὲ ἀέρα, οἱ δέ τινα μεταξὺ φύσιν, ὡς Ἀναξίμανδρος· οὗτοι δὲ αὐτὸ τὸ ἄπειρον καὶ αὐτὸ τὸ πεπερασμένον ὑποκεῖσθαι λέγουσι· τὸν γὰρ ἄρτιον ἀριθμὸν τῇ αὐτοῦ φύσει ἄπειρον ὄντα (τὸ γὰρ ἀρτίῳ εἶναι ἀπείρῳ εἶναί ἐστι κατ' αὐτούς) καὶ τὸν περιττὸν ὄντα τὴν πεπερασμένην φύσιν ὑπετίθεσαν τοῖς οὖσι. τὸ γὰρ ἄπειρον οὗτοι οὐ συμβεβηκὸς ἔλεγον εἶναι ἐκείνου οὗ κατηγορεῖται (κατηγόρουν δὲ αὐτὸ τοῦ ἀρτίου ἀριθμοῦ), ἀλλ'

(*) p. 987 *a* 12. "καὶ τὴν μὲν μίαν." παρὰ μὲν τοῦ Ἀναξαγόρου μίαν, παρὰ δὲ τοῦ Ἐμπεδοκλέους δύο· ἐκεῖνος γὰρ νοῦν ἔλεγεν, οὗτος δὲ φιλίαν καὶ νεῖκος. περὶ ὧν μαλακώτερον οἱ παλαιοὶ εἶπον μέχρι τῶν Ἰταλικῶν καὶ αὐτοὶ δὲ καὶ χωρὶς αὐτῶν οἱ πρὸ αὐτῶν. "τοσοῦτον δέ." Πυθαγόρειοι δὲ καὶ αὐτοὶ δύο τὰς ἀρχὰς εἰρήκασι, τὸ πεπερασμένον καὶ τὸ ἄπειρον, τὸ δὲ ἓν ἐκ τούτων ἐποίουν, καθὼς ἀνωτέρω ἐλέγομεν. λοιπὸν τὸν αὐτὸν τρόπον ἔλεγον ἐκείνοις καὶ οἱ Πυθαγόρειοι κατὰ τὸ διττὸν τῶν ἀρχῶν· διέφερον δὲ οὗτοι πρὸς ἐκείνους, ὅτι τὸ ἄπειρον καὶ τὸ πεπερασμένον αὐτὰ ταῦτα φύσεις καὶ οὐσίας ἐποίουν, καὶ οὐ καθ' ὑποκειμένου ἑτέρου· διὰ τοῦτο γὰρ καὶ τὴν οὐσίαν πάντων ἀριθμὸν ἔλεγον, ὅτι τοῦτον αὐτὸν τὸν ἀριθμὸν καὶ τὸ ἓν καὶ τὸ περιττὸν καὶ ἄρτιον κατηγόρουν τῶν πραγμάτων, οὐχ ὡς πάθη τινά, ἀλλ' ὡς εἴ τις κατηγορήσει ζῷον καὶ οὐσίαν τοῦ ἀνθρώπου, ἅπερ οὐχ ἕτερα ὄντα εἰσὶν ἅπερ εἰσίν.

p. 987 *a* 23. "ὁ λεχθεὶς ὅρος." ἐπιχειρῶν καὶ περὶ ὁρισμοῦ λέγειν οἱ τοιοῦτοι, ἀλλ' ἐπιπολαίως ὡρίζοντο. ὁ γὰρ ὁρισμὸς ἴδιος θέλει εἶναι τοῦ πράγματος καὶ μόνῳ τούτῳ εἶναι κἀκείνῳ τοῦτο· οἱ δὲ ᾧπερ ἂν πρώτως ὑπάρξειεν ὁ ὅρος, τοῦτο ἔλεγον τὴν οὐσίαν εἶναι τοῦ πράγματος ἐκείνου· τὸ δὲ καὶ ἄλλοις ἦν ὑπάρχον, ὥστε τὸ ἓν πολλὰ ἔσται. τίθησι δὲ καὶ περὶ τοῦ τοιούτου, ὅτι τὸ διπλάσιον πρώτως ὑπάρχει τῇ δυάδι, ἀλλὰ καὶ τετράδι καὶ ἑξάδι καὶ ὀγδοάδι καὶ δεκάδι. ἐκεῖνοι δὲ ἐνόμιζον οὐσίαν εἶναι τῆς δυάδος τὸ διπλάσιον, ὥσπερ τὸ ἀσύνθετον πρώτῃ τῶν ἀριθμῶν τῇ τριάδι ὑπάρχει, ἀλλὰ καὶ τῇ πεντάδι καὶ ἑπτάδι καὶ ἄλλοις πολλοῖς. καλῶς οὖν ὡρίζοντο· οὐδὲ γὰρ ἐποίουν τοὺς ὅρους ἀντιστρέφοντας.

p. 987 *a* 29. "μετὰ τὰς εἰρημένας φιλ." λοιπὸν λέγει περὶ Πλάτωνος ὡς νεωτέρου, ὥστε ἐποίησε παρὰ τὰ καθ' ἕκαστά τινα ἰδίαν· ἐπεὶ γὰρ τῶν ῥεόντων ἐπιστήμη οὐκ ἔστιν, Ἡράκλειτος δὲ οὐκ ἔστιν ἐπὶ τοῦ αὐτοῦ δὶς βάψαι ἔλεγεν, ὁ δὲ Κρατύλος οὐδὲ ἅπαξ, ᾧ τινὶ συνήθης ὁ Πλάτων γέγονεν, ὑπέλαβε καὶ οὗτος κατὰ τοὺς πρώτους τὰ εἴδη, πλὴν συγκροτηθεὶς καὶ παρὰ Σωκράτους, ὅστις ἠθικὸς γενόμενος καὶ οὐ φυσικὸς τέως δὲ ὡρίζετο τὸ καθόλου ὡς ἀΐδιον καὶ οὐ τὸ καθ' ἕκαστον ἀεί γε μεταβάλλον. ἰδέας γοῦν τιθεὶς κατὰ μέθεξιν τούτων ἔλεγε τὰ πολλά, ἃ καὶ ἀνώνυμα ἔλεγεν ὡς μεταβάλλοντα ἀεί. μόνῃ δὲ τῇ λέξει πρὸς τοὺς Πυθαγορείους διήλλαττε τὸ λεγόμενον· τῶν γὰρ Πυθαγορείων κατὰ μίμησιν λεγόντων τῶν ἰδεῶν τὰ παρόντα, αὐτὸς κατὰ μέθεξιν ἔλεγε. τίς δὲ ἡ μίμησις καὶ τίς ἡ μέθεξις, ἀφῆκαν ἡμῖν ζητεῖν. Anon. Urbin.

2. μαλακώτερον codd. legendum esse μοναχώτερον, patet ex paraphrasi. ‖ 3. γὰρ om *L.* ‖ 6. ὁ] Ἐμπεδοκλῆς *L.* ‖ 8. καὶ — *b* 1. κίνησις add *L.*
1. οὗ — 10. ἀμυδρῶς om *L.* ‖ 2. μοναχώτερον] μαλακώτερον *AV.* ‖ 10. τοὺς πυθαγορικοὺς καὶ αὐτούς φησι δύο τὰς *L.* ‖ 11. κατὰ om *V.* ‖ 12. σημαντικὸν τοῦ τὸ δύο καὶ αὐτοὺς λέγειν εἶναι τὰς ἀρχάς. ἀλλὰ μὴν καὶ πρὸ ὀλίγου εἰρήκει *L.* ‖ 13. κεχρῆσθαι καὶ πῶς νῦν *L.* ‖ ἢ] ἢ ἴσως *L.* ‖ 14. αἰτίων, οἷον ὑλικὸν καὶ ποιητικόν, ἀλλὰ *L.* ‖ ἀρχὰς τὰς ἀρχικὰς ἀρχάς, ὥσπερ *L.* ‖ 16. ἢ μᾶλλον λέγει *L.* ‖ αὐτοῖς τοῖς πυθαγορείοις. ἢ *L.* ‖ ἐξ ὧν om *L.* ‖ 18. οὗτος *L.* ‖ 19. πυθαγορείους *L.* ‖ 20. λέγει *V.* ‖ 21. τούτων] τῶν λοιπῶν δύο *L.* ‖ 23. ἄπειρον δὲ — 25. καὶ] δύο ἄρα ἀλλ' οὐ τρεῖς τὰς ἀρχὰς ἔλεγον, εἴγε τὸ ἓν ἐκ τῶν δύο τούτων, καὶ ἀρχαὶ πρώτης τῆς μονάδος τὸ ἄρτιον καὶ τὸ περιττόν, ἐξ ἧς καὶ οἱ ἄλλοι ἀριθμοὶ ἐγεννῶντο. καὶ *L.* ‖ 27. γὰρ καὶ ταύτας et καὶ τὸ κακὸν *L.* ‖ 28. συστοιχιῶν om *L.* ‖ κακὸν λέγοντες] τῶν κακῶν *L.* ‖ 29. δόξαν (τοῦτο γὰρ ἐσήμαινεν ἐν τῷ εἰπεῖν "τοῦτο δὲ προσεπέθεσαν," ταῖς ἀρχαῖς δηλονότι, "ὃ καὶ ἴδιόν ἐστιν αὐτῶν"), καθ' *L.* ‖ ἄλλοι, φυσικοὶ δηλαδή, τῷ *L.* ‖ 30. ἄλλο — 33. οὗτοι] οὐ καθ' αὑτὰ τούτοις ἐχρῶντο, ἀλλὰ τὸ ἄπειρον ἔλεγον ἢ τὸ πεπερασμένον, τὸ δὲ ἄπειρον ἢ τὸ πεπερασμένον συμβεβηκὸς αὐτῷ, οἷον ὕδωρ ἢ ἀέρα ἢ καὶ τὸ μεταξύ, ὡς Ἀναξίμανδρος ὁ Μιλήσιος· οὗτοι *L.*

οὐ γὰρ οὕτως λέγοντες οὐχ ὡς ἀρχὴν τὸ ἓν τίθενται, οὐδὲ ὡς αἴτιον (*). ἐπὶ τοσοῦτον δέ φησι χρήσιμον εἶναι καὶ τὴν τούτων ἱστορίαν, ὅτι καὶ τούτων ὁ μὲν ἐπὶ τὴν ὕλην βλέψας ἄπειρον εἶπε τὸ ἕν, ὁ δὲ ἐπὶ τὸ εἶδος πεπερασμένον· ἐν μὲν γὰρ ταῖς αἰτίαις καὶ ἡ ὕλη καὶ τὸ εἶδος, ὥστε εἰ καὶ μὴ αἴτιόν τι λέγουσιν, ἀλλὰ ἅ γε λέγουσι καὶ καθ' ἃ κινηθέντες, ἐν ταῖς κατηριθμημέναις αἰτίαις ἐστίν. Ξενοφάνην δὲ αἰτιᾶται ὡς πρῶτον μὲν τῆσδε τῆς δόξης ἀψάμενον (Παρμενίδην γὰρ τούτου μαθητὴν γενέσθαι), οὐδὲν μέντοι διαρθρώσαντα, οὐδὲ τῆς φύσεως τούτων τινός, εἴτ' οὖν εἴδους ἢ τῆς ὕλης, ἀψάμενον ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψαντα καὶ ἁπλῶς ἀποφηνάμενον τὸ ἓν εἶναι τὸν θεόν (*). τὸ δὲ "ἑνίσας" ἴσον ἐστὶ τῷ πρῶτος ἓν εἶναι τὸ ὂν εἰπών. ἐπαινεῖ δὲ Παρμενίδην ὡς εὐλογώτερον ἐκείνων θέμενον ἓν εἶναι τὸ ὄν· ἐχρήσατο γὰρ λόγῳ τινὶ καὶ συλλογισμῷ πρὸς τὴν δεῖξιν τούτου, οἱ δὲ ἀγροικότερον ἀπεφήναντο. ὁ δὲ λόγος ᾧ ἐχρῆτο οὗτος ἐλάμβανε τὸ παρὰ τὸ ὂν μὴ ὄν, ὥσπερ τὸ παρὰ τὸ λευκὸν οὐ λευκόν, τὸ δὲ μὴ ὂν μηδὲν εἶναι· οἷς κειμένοις ἡγεῖτο ἐξ ἀνάγκης ἕπεσθαι τὸ ὂν ἓν εἶναι. αὕτη μὲν οὖν ἡ τοῦ λόγου πιθανότης, περὶ δὲ τούτων ἐν τῷ πρώτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 23) ἐπὶ πλέον ἐπεξελήλυθεν, ἐφ' ἃ ἡμᾶς καὶ νῦν ἀναπέμπει. ὁμώνυμόν τε γὰρ τὸ ὄν· κἂν εἰ ὡς φύσιν δὲ μίαν σημαῖνον λαμβάνοιτο, οὐδὲ οὕτως ἂν δεικνύοιτο ἓν εἶναι κατ' ἀριθμὸν τὸ ὄν. ἐπισυνάγεται μὲν ἐκ τοῦ λόγου τὸ παρὰ τὸ ὂν μηδὲν εἶναι, οὐ μὴν ἓν ἢ μὴ ὄν· τούτῳ δὲ ἀντιστρέφει οὐ τὸ τὸ ὂν ἓν εἶναι. ἱστορεῖ δὲ Παρμενίδου καὶ τὴν διττὴν δόξαν, ὃς ἀναγκαζόμενος καὶ τοῖς φαινομένοις ἀκολουθεῖν ἓν μὲν κατὰ λόγον καὶ τὴν ἀλήθειαν ἔλεγε τὸ ὂν εἶναι, πλείω δὲ κατὰ τὴν αἴσθησιν· καθ' ἣν δόξαν γενητὸν τὸν κόσμον καὶ δύο ἀρχὰς ὑπέθετο αὐτοῦ τε καὶ τῶν οὕτως ὄντων, πῦρ τε καὶ γῆν, ὧν τὸ μὲν πῦρ ὂν τὴν δὲ γῆν μὴ ὂν καὶ τὸ ψυχρὸν ἔλεγεν· ὥστε οὐ Δημόκριτος μόνος καὶ Λεύκιππος ἐν ταῖς ἀρχαῖς τὸ ὂν καὶ τὸ μὴ ὂν ἐτίθεντο. ἔλεγε δὲ ἴσως Παρμενίδης μὴ ὂν τὸ ψυχρὸν καθὸ ὑλικὴ αἰτία μᾶλλον αὕτη, δοκεῖ δὲ ἡ ὕλη μὴ ὄν τι εἶναι. Alex.

(*) ὁ Ξενοφάνης πρότερος Παρμενίδου καὶ Μελίσσου ἓν εἰρηκὼς τὸ ὂν οὐδὲν παντελῶς ἐσαφήνισε περὶ αὐτοῦ· οὔτε γὰρ ἀκίνητον 986 b 21.
αὐτὸ εἶπεν οὔτε ἄπειρον οὔτε κινούμενον οὔτε πεπερασμένον, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας, τοῦτ' ἐστὶ τὸν κόσμον, ἓν εἶναί φησι τὸ ὂν καὶ τοῦτο θεὸν ἀποκαλεῖ, τὸν κόσμον λέγων τὸ ἕν. εἰ δὲ τοῦτο, οὐ καλῶς ἔλεγε πάντως· ὁ γὰρ θεὸς δημιουργὸς τοῦ κόσμου ἐστί, καὶ οὐκ αὐτὸς ὁ κόσμος θεός. ἔοικεν οὖν τὸν θεὸν λέγειν τὸ ἕν· οὐ γὰρ οὕτως ἠλιθίως εἶχεν. cod. Reg.

"συνηδρευκότων" ἀντὶ τοῦ ἐζητηκότων τε καὶ πεφροντικότων 987 a
περὶ ὧν λέγομεν. ἢ συνηδρευκότων ἤδη τῷ λόγῳ σοφῶν, τούτων ὧν εἰρήκαμεν· ὧν γὰρ ἐμνημόνευσεν ἤδη, τούτους λέγοι ἂν συνηδρευκέναι ἤδη τούτῳ τῷ λόγῳ καὶ οἷον παραγεγονέναι. "παρὰ μὲν τῶν πρώτων." ὑπομιμνήσκει τῶν εἰρημένων ἀρχαίων, ὅτι οἱ μὲν ἀρχαιότεροί τε καὶ πρῶτοι σωματικὴν ἀρχὴν ἐποίουν καὶ ὑλικήν, ὡς ὕδωρ μὲν Θαλῆς πῦρ δὲ Ἵππασός τε καὶ Ἡράκλειτος, καὶ τὰ τούτοις ὅμοια· καὶ ἀέρα γάρ, ὡς εἴρηκεν, ἐτίθεντο ἀρχὴν Ἀναξιμένης τε καὶ Διογένης. ἐν τούτοις δ' ἂν καὶ Ἀναξίμανδρος εἴη ὁ τὴν μεταξὺ φύσιν θέμενος, ἧς δόξης ἐμνημόνευσε ἐν τοῖς περὶ Γενέσεως. τοιοῦτος δὲ καὶ Λεύκιππος καὶ Δημόκριτος· καὶ γὰρ οὗτοι ὑλικὰς τὰς ἀρχὰς ἔθεντο. "καὶ τῶν μὲν μίαν τῶν δὲ πλείους." ἔθεντο μίαν, 987 a
ὡς Θαλῆς Ἀναξιμένης Ἡράκλειτος, πλείους, ὡς οἱ περὶ Λεύκιππόν τε καὶ Δημόκριτον· κατὰ γὰρ τούτους πάντας αἱ ὑλικαὶ ἀρχαὶ πλείους, καὶ κατὰ Παρμενίδην. "παρὰ δέ τινων ταύτην τε τὴν αἰτίαν τιθέντων καὶ πρὸς ταύτην τὴν ὅθεν ἡ κίνησις." ταύτην μὲν τὴν ὑλικήν. λέγει δὲ τοὺς πρὸς ταύτην τιθεμένους τὴν ὅθεν ἡ κίνησις Ἀναξαγόραν τε καὶ ὅσοι τὸν νοῦν ἐν ταῖς ἀρχαῖς ἔθεντο ὡς ἀρχὴν ποιητικήν, καὶ Ἐμπεδοκλέα, ὃς τὴν φιλίαν καὶ τὸ νεῖκος προσθεὶς τοῖς τέτταρσι στοιχείοις, ἃ ὕλη ἦν αὐτῷ, ἀρχαῖς ἐχρήσατο· διὸ καὶ εἶπε τὸν μὲν μίαν θέσθαι τὴν ποιητικὴν ἀρχήν, Ἀναξαγόραν λέγων, τὸν δὲ δύο, οὗτος γὰρ Ἐμπεδοκλῆς ἦν. Alex.

"μέχρι — εἰρήκασιν." Ἰταλικοὺς μὲν τοὺς Πυθαγορικοὺς λέγει· 987 a
ἐκεῖ γὰρ αὐτῶν Πυθαγόρας τὸ διδασκαλεῖον συνεστήσατο (¹)· ἐν γὰρ 9.
Τάραντι. εἰπὼν δὲ μέχρι τῶν Ἰταλικῶν προσέθηκε τὸ "καὶ χωρὶς ἐκείνων," ἵνα μὴ ἐγκαταριθμῶμεν καὶ τούτους ταῖς λεγομέναις δόξαις, ἐπεὶ τοῦ μέχρι τινὸς ἔστιν ἀκούειν ὡς ἐκείνου τοῦ μέχρι ἐγκαταριθμουμένου τοῖς πρὸ αὐτοῦ. τὸ δὲ "μέχρι" οὐ κατὰ χρόνον λέγοι ἄν· οὐ γὰρ πρὸ Πυθαγόρου Ἐμπεδοκλῆς, οὗ τῆς δόξης μνημονεύει ὡς οὔσης ἐν τοῖς μέχρι τῶν Ἰταλικῶν· ἀλλὰ τὸ μέχρι ἐπὶ τῆς ἐξαριθμήσεως τῶν δοξῶν ὧν καταριθμεῖται κέχρηται. πρῶτον γὰρ ἐκείνων

καὶ τὸ μὲν ἓν κατὰ τὸν λόγον ἐτίθει τοῖς πράγμασιν (ὁριστικὸς γὰρ καὶ ἑνωτικὸς ὁ λόγος), τὰ δὲ κατὰ τὴν αἴσθησιν πλείω ὑπολαβὼν πάλιν εἰς δύο συγκεφαλαιοῖ τὰς αἰτίας, πῦρ καὶ γῆν, εἴτ' οὖν θερμὸν καὶ ψυχρόν, δηλονότι ὂν καὶ μὴ ὄν. Anon. Urbin.

(*) ἕτεροι δὲ γεγόνασι, λέγει δὲ Παρμενίδην καὶ Μέλισσον καὶ Ἀναξαγόραν (l. Ξενοφάνην) τὸν διδάσκαλον Παρμενίδου, οἵτινες περὶ τοῦ παντὸς ὡς μιᾶς φύσεως ἀπεφήναντο. ὁ μὲν γὰρ Παρμενίδης ἔλεγεν ἓν εἶναι τὸ ὂν καὶ ἀκίνητον καὶ πεπερασμένον, ὁ δὲ Μέλισσος ἓν καὶ ἀκίνητον καὶ ἄπειρον, ὁ δὲ Ξενοφάνης ἓν μόνον. διό φησι "τρόπον δὲ οὐ τὸν αὐτὸν πάντες οὔτε τοῦ καλῶς οὔτε τοῦ κατὰ φύσιν." μᾶλλον δὲ κατορθοῖ ὁ Παρμενίδης λέγων πεπερασμένον, διότι ἡ φύσις ὅρον τινὰ καὶ εἶδος περιτίθησιν, οὐκ ἀπειρίαν· ὅθεν οὗτος μᾶλλον καὶ καλῶς εἶπεν· κατὰ τοῦτο γὰρ καὶ τῇ φύσει ἠκολούθησεν. ὁ δὲ Μέλισσος τὸ ἐναντίον, λέγων ἄπειρον· διὸ καὶ ἐν τῇ Φυσικῇ ἔλεγεν ὅτι φορτικώτερος ὁ τοῦ Μελίσσου λόγος ὑπάρχει. οὐδαμῶς οὖν ἐν τῇ νῦν σκέψει τῶν αἰτιῶν ἁρμόττει περὶ αὐτῶν λέγειν· εἰ γὰρ ἓν τὸ ὄν, φανερὸν ὅτι οὐδὲν ὑπετίθεντο αἴτιον οὔτε ὑλικὸν οὔτε ἄλλο τι· οὔτε γὰρ γεννῶσί τι ἐκ τοῦ ἑνός, καθάπερ οἱ φυσιολόγοι οἱ ὑποτιθέμενοι ἓν εἶναι τὸ ὑλικὸν αἴτιον καὶ τὰ ἄλλα ἐξ αὐτοῦ γεννῶντες· διὸ καὶ ἐν τῇ Φυσικῇ ἔλεγεν ὅτι ἐξαγώνιός ἐστιν ὁ περὶ τούτων λόγος. Anon. Urbin.

11. ἓν om *A.* ‖ 16. οἷς — 22. εἶναι om *A.* ‖ 16. *praeterea ex ratione colligitur, quod praeter ens est nihil esse, non tamen unum esse aut non ens, cum hoc autem convertitur non quidem ens esse unum, sed unum esse ens* Sepulv.

1. καὶ post ὂν om *M.* ‖ 14. πεφροντηκότων *A.* ‖ 18. σῶμα τὴν *M.* ‖ 25. ὡς οἱ — 27. πλείους om *A.* ‖ 28. ταύτῃ utrobique *M.* ‖ 36. ἐκεῖ μὲν γὰρ Πυθαγόρας *L.* ‖ 37. Τάραντι τῆς Ἰταλίας. εἰπὼν *L.* ‖ 39. ὡς καὶ ἐκείνου *L.*

θόν, σκότος κακόν· τετράγωνον ἀγαθόν, ἑτερόμηκες ἐναντίον ὡς μὴ ἰσόπλευρον. δέκα οὖν ὑπετίθεντο, ἐπεὶ τέλειος οὗτος ὑπάρχει ὁ ἀριθμός. εἰς ταῦτα οὖν ἀνῆγον πάντα τὰ ὄντα. ἱστορεῖ δὲ ὅτι καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης τὸν αὐτὸν τρόπον τούτοις ἀπεφήνατο. Asclep.

986 a 22. (^h) ἄλλοι τινές, φησί, καὶ αὐτοὶ Πυθαγόρειοι, δέκα τῶν ὄντων ἀρχὰς εἶναι ὑπέθεντο, δέκα τῶν ἀγαθῶν καὶ δέκα τῶν κακῶν, οὐχ ὅτι τὰ κακὰ ὅλως ἐν ὑποστάσει εἰσίν, ἀλλὰ τὰ ἥττονα ἀγαθὰ κακὰ λέγοντες. καὶ τὴν μὲν μίαν συστοιχίαν ἔταττον πρὸς τῷ ἀγαθῷ, τὴν δὲ ἑτέραν πρὸς τῷ κακῷ· ὑπετίθεντο δὲ δέκα τὰς ἀρχὰς καὶ εἰς ταύτας τὰ ἄλλα ἀνῆγον. cod. Reg.

986 b 8. "τῶν — φύσεως." τουτέστι τὰ τῶν φυσικῶς γιγνομένων στοιχεῖα. "πλείω" δὲ λέγει ἤτοι τὰ ὑλικά, ἢ πλείω τὰ στοιχεῖα ἀντὶ τοῦ τὰ αἴτια· πρὸς γὰρ τῇ ὕλῃ καὶ τὴν ποιητικήν τινες εἶπον, ὡς ἱστόρησε. μετὰ δὲ τὴν τούτων ἱστορίαν μνημονεύει πάλιν τῶν ἓν τὸ ὂν εἶναι θεμένων, οὐκ ἀρχὴν μίαν, ὡς τῶν φυσικῶν τινές, ἀλλ' ὡς τοῦ παντὸς μιᾶς φύσεως οὔσης (^i)· ὧν ἦν Ξενοφάνης τε καὶ Μέλισσος καὶ Παρμενίδης. ἣν καὶ ἱστορίαν ἄχρηστον εἰς τὴν περὶ τῶν ἀρχῶν καὶ αἰτίων ζήτησίν φησιν· οὐ γὰρ ἀρχὴν οὐδ' αἴτιον τὸ ἓν ἐτίθεντο οὕτως ὡς οἱ ὕδωρ ἢ πῦρ ἢ ἀέρα λέγοντες, ἔπειτα ἐκ τούτου κινουμένου τὰ ἄλλα γεννῶντες, ἀλλὰ τὸ ὂν ἓν ἔλεγον καὶ ἀκίνητον. προσιστορεῖ δὲ καὶ τὴν διαφορὰν τὴν Μελίσσου τε καὶ Παρμενίδου περὶ τοῦ ἑνός· οὐ γὰρ τὸν αὐτὸν τρόπον ἀμφότεροι ἀπεφήναντο περὶ τοῦ παντός, ἓν αὐτὸ λέγοντες εἶναι, οὔτε τοῦ καλῶς οὔτε τοῦ κατὰ φύσιν, τοῦ μὲν κατὰ φύσιν, ὅτι αὐτῶν ὁ μὲν ἐπὶ τὴν ὕλην, φησίν, ἔβλεψεν, ὁ δὲ ἐπὶ τὴν ὡς εἶδος· τοῦ δὲ καλῶς, ὅτι ὁ μὲν αὐτῶν κάλλιον ὁ δὲ χεῖρον εἶπε καὶ ὁ μὲν εὐλογώτερον ὁ δὲ ἧττον. τὸν μὲν γὰρ Παρμενίδην φησὶν ἐπὶ τὸ εἶδος βλέψαντα καὶ τὸν λόγον ἀποφήνασθαι τὸ ὂν ἓν εἶναι, διὰ τοῦτο καὶ πεπερασμένον (τοῦ γὰρ λόγου καὶ εἴδους τὸ περατοῦν τοῦτο ἐν ᾧ ἂν γένηται), Μέλισσον δὲ ἐπὶ τὴν ὕλην ἐνεχθῆναι, διὸ καὶ ἄπειρον αὐτὸ ὑποθέσθαι· ἡ γὰρ ἀπειρία τῆς ὕλης. Alex.

986 b 10. (^i) ἕτεροι δὲ γεγόνασι (λέγει δὲ Παρμενίδην καὶ Μέλισσον καὶ Ξενοφάνην τὸν διδάσκαλον Παρμενίδου) οἵ τινες περὶ τοῦ παντὸς ὡς περὶ μιᾶς φύσεως ἀπεφήναντο. ὁ μὲν γὰρ Παρμενίδης ἔλεγεν ἓν εἶναι τὸ ὂν καὶ ἀκίνητον καὶ πεπερασμένον, ὁ δὲ Μέλισσος ἓν καὶ ἀκίνητον καὶ ἄπειρον, ὁ δὲ Ξενοφάνης ἓν μόνον... ὁ μὲν γὰρ Παρμενίδης ἐπὶ τὸν λόγον βλέψας καὶ τὸ εἶδος εἶπε τὸ ὂν ἓν εἶναι καὶ πεπερασμένον (τοῦ γὰρ λόγου καὶ τοῦ εἴδους τὸ περατοῦν τοῦτο ἐν ᾧ ἐστίν), Μέλισσος δὲ ἐπὶ τὴν ὕλην ἠνέχθη, ὅθεν ἄπειρον αὐτὸ ὑπετίθετο· ἡ γὰρ ἀπειρία τῆς ὕλης... ἱστορεῖ δὲ τὸν Ξενοφάνην πρῶτον τῆς δόξης ταύτης ἀψάμενον (ὁ γὰρ Παρμενίδης μαθητὴς τούτου ἐγένετο), διό φησιν (v. 21) "Ξενοφάνης δὲ πρῶτον τούτων ἑνίσας" (ἀντὶ τοῦ ἓν εἴρηκεν) οὐδὲν παντελῶς διεσάφησεν, οὐδὲ τῆς φύσεως οὐδετέρας ἥψατο· οὔτε γὰρ ἄπειρον ὑπέθετο οὔτε πεπερασμένον, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας, τουτέστι τὸν κόσμον, τὸ ἓν εἶναί φησι τὸν θεόν. φησὶ δὲ τὸν κόσμον, οὐ καλῶς· ὁ γὰρ δημιουργὸς τοῦ κόσμου ἐστὶν ὁ θεός. λέγομεν οὖν ὅτι ἕνα ἔλεγε τὸν θεὸν τὸ πρῶτον αἴτιον· οὐ γὰρ οὕτως ἠλιθίως εἶχεν, ὥς φησιν ὁ ἡμέτερος φιλόσοφος, ὥστε τὸν κόσμον ὅλον καὶ θεὸν ὑποτίθεσθαι καὶ ἕνα λέγειν αὐτόν... ὁ μέντοι γε τοῦ Παρμενίδου λόγος δοκεῖ εὔλογος εἶναι. ἔλεγε γὰρ οὕτως· τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν. καὶ ὁ μὲν Πλάτων δέχεται τὴν πρότασιν ταύτην τὴν λέγουσαν τὸ παρὰ τὸ ὂν οὐκ ὄν· τῷ ὄντι γὰρ ὂν ἔλεγε τὸ νοητόν· τὸ οὖν μὴ νοητὸν οὐκ ὄν ἐστιν· κυρίως γὰρ ὄντα τὰ νοητὰ ὑπάρχουσιν ὡς καὶ ἀεὶ ὄντα (Plat. Tim. p. 29 e)· "τί τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γινόμενον, ὂν δὲ οὐδέποτε;" ὥστε τὰ αἰσθητὰ ὡς πρὸς τὰ νοητὰ οὐκ ὄντα ἐστίν. τὴν δὲ πρότασιν τὴν λέγουσαν τὸ οὐκ ὂν οὐδὲν οὐκ ἐδέχετο· ἐπειδὴ γὰρ τὰ αἰσθητὰ οὐκ ὄντα ὑπάρχουσιν, ἤδη καὶ παντελῶς οὐκ εἰσίν· εἰσὶ γὰρ τὰ πῆ μὲν ὄντα πῆ δὲ οὐκ ὄντα, τὸ δὲ μηδαμῇ μηδαμῶς ὑπάρχον οὔτε δοξαστόν ἐστιν οὔτε νοητόν. διὸ καὶ τὸ πρῶτον λέγει ὂν μηδαμῇ μηδαμῶς εἶναι, καὶ ὑπερβεβηκὸς πᾶν εἶδος καὶ ἐπέκεινα ὑπάρχον τοῦ ὄντος. ὁ μέντοι γε Ἀριστοτέλης τῶν δύο προτάσεων ἐπιλαμβάνεται· κακῶς γάρ, φησί, λέγεις τὸ ὂν οὐκ ὄν· τὸ γὰρ ὂν κατά τι μέν ἐστιν ὄν, κατά τι δὲ οὐκ ὄν... λέγομεν οὖν ὅτι ἐν τοῖς περὶ δόξης, ἐπειδὴ περὶ αἰσθητῶν διελέγετο, ὑπετίθετο δύο εἶναι τὰ στοιχεῖα, πῦρ καὶ γῆν, καὶ τὰ μεταξὺ συνεποιεῖτο, καὶ ἐκ τούτων τὰ αἰσθητὰ πάντα ὑπετίθετο· ἡνίκα δὲ περὶ νοητῶν διελέγετο, ἓν εἶναι τὸ ὄν, δηλῶν τὴν μίαν τῶν πάντων ἀρχὴν ἐξ ἧς τὰ πάντα· διό φησιν

οὐ γὰρ ἔην, οὐκ ἔσται ὁμοῦ πάντ,' ἔστι δὲ μοῦνον,
οὐλοφυές.

λέγων οὖν πῦρ καὶ γῆν τὸ μὲν θερμὸν ἔλεγεν εἶναι ὄν, τὸ δὲ ψυχρὸν μὴ ὄν, ὡς χεῖρον καὶ κρεῖττον. Asclep.

"οὐ — σκέψει." τὰ μὲν ἄλλα οὐκ οἰκεῖά φησιν εἶναι τῷ περὶ 986 b 17.
αἰτίων λόγῳ, τὸ τὴν δόξαν ἐκτίθεσθαι τῶν ἓν τὸ πᾶν λεγόντων (*)·

(*) p. 986 b 18. "Παρμενίδης μὲν γάρ". πλὴν ὁ μὲν Παρμενίδης πεπερασμένον λέγει τὸ ὄν· μέσσοθι γὰρ ἰσοπαλὲς φησίν· ὁ δὲ Μέλισσος ἄπειρον. προσβιβάζων δὲ ὁ φιλόσοφος τὰς δόξας αὐτῶν, ἐπεὶ ἡ μὲν ὕλη ἄπειρος τὸ δὲ εἶδος πεπερασμένον, φησὶν ὅτι ἔοικε τοῦ κατὰ λόγον ἑνὸς ἅπτεσθαι Παρμενίδης, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην, τὰ δὲ δύο ἔπισε Ξενοφάνης... "τούτου λέγεται" ὁ μαθητὴς Παρμενίδης. Ξενοφάνης ἑνίσας τὴν ὕλην καὶ τὸ εἶδος οὐδὲν διεσάφησεν, οὔτε μὴν θίγειν ἠξίωσεν οὐδετέρας φύσεως ἢ τῆς ὕλης ἢ τοῦ εἴδους· ἀλλ' ἀπέβλεψε μὲν εἰς τὸν ὅλον οὐρανὸν καὶ ἥνωσε τὴν ὕλην καὶ τὸ εἶδος, πάλιν δὲ τὸ συναχθὲν ἐξ ἐκείνων ἓν φησιν εἶναι τὸν θεόν. οἱ γοῦν δύο, Μέλισσος καὶ Ξενοφάνης, ὡς ἀγροικότεροι οὐχ ἁπλῶς ἀλλὰ πρὸς τὴν νῦν φυσικὴν ὑπόθεσιν ἐατέοι. Παρμενίδης δὲ ἔοικέ τι λέγειν· τὸ γὰρ παρὰ τὸ ὂν οὐδὲν λέγει· λέγει γὰρ τὸ παρὰ τὸ ὂν οὐκ ὄν, καὶ τοῦτο μὴ εἶναι ἀξιῶν συντίθησιν ἑτέραν πρότασιν, τὸ μὴ ὂν οὐδέν, τὸ ὂν ἄρα ἕν, ὅπερ ἕπεται τῷ συμπεράσματι τῷ παρὰ τὸ ὂν οὐδέν. τέως δὲ ταῦτα εἰπὼν καὶ τὰ πάντα τῷ ἓν περικλείσας, ἠναγκάζετο ἀκολουθεῖν καὶ τοῖς φαινομένοις,

12. φυσικῶν *M.* ‖ 22. καὶ post δὲ om *M.* ‖ διαφορὰν τοῦ Μελίσσου *A.* ‖ 23. ἀπεφήναντο om *M.* ‖ 26. post εἶδος adde ἀρχήν. ‖ αὐτοῦ *M.* ‖ 31. ἀποδέσθαι *M.*
29. οἰκεῖον *A.*

ἐστιν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ζῴων· εἰ δὲ ὑπῆρχε διαιρετόν, ἔδει ἄλλο εἶδος ἔχειν τὸν μέγαν κύκλον καὶ ἄλλο τὸν μικρόν. ὥστε πάλιν διὰ τοῦ περιττοῦ ἀριθμοῦ συμβολικῶς τὸ εἶδος ἐδήλουν. αὖθις δὲ αἰσθητῶς ἐδήλουν διὰ μὲν τῆς δυάδος τὴν ὕλην, διὰ δὲ τῆς μονάδος τὸ εἶδος, διὰ δὲ τῆς ἑνάδος τὴν φύσιν τὴν προαγωγόν· νοητῶς δὲ διὰ τῆς δυάδος τὴν ἀπειρίαν, ἐπειδὴ καὶ ἐν τοῖς νοητοῖς ἀπειρία ἐστὶ κατὰ τὴν πρόοδον ἤγουν κατὰ τὴν δύναμιν, διὰ δὲ τῆς μονάδος τὸ πέρας, ἐπειδὴ οὐ διεσπασμένα ἀπ' ἀλλήλων ὑπάρχουσιν, ἀλλ' ἡνωμένα ἀφράστῳ φησὶν ἑνώσει. διὸ παγκάλως φησὶν ὁ ποιητὴς τὸ "σειρὴν χρυσείην" (Il. 8 19), καὶ πάλιν ὁ Παρμενίδης "οὐ γὰρ ἔην, οὐκ ἔστιν ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον." διὰ δὲ τῆς ἑνάδος τὴν πρωτίστην καὶ ἐξῃρημένην αἰτίαν· "κλῦθι κύδιμε ἀριθμέ, πατὴρ μακάρων τε καὶ ἀνδρῶν." τούτων δέ φησιν ὅτι τοῦ ἀριθμοῦ τὸ μὲν πεπερασμένον ἔλεγον τὸ δὲ ἄπειρον, πεπερασμένον μὲν τὸ περιττόν, ἐπειδὴ τὸ εἶδος ἐδήλουν δι' αὐτοῦ, ἔστι δὲ πέρας τὸ εἶδος, εἴγε καὶ περατοῖ τὴν ὕλην· τὸ δὲ ἄρτιον ἄπειρον ἔλεγον εἶναι, ἐπεὶ τὴν ὕλην ἐδήλουν δι' αὐτοῦ, ἥτις ἐπ' ἄπειρόν ἐστι διαιρετή. τὸ δὲ ἕν, φησίν, ἔλεγον ἐξ ἀμφοτέρων εἶναι τούτων, μᾶλλον δὲ ἀμφότερα ἐκ τοῦ ἑνός· ὅτι γὰρ τοῦτο λέγει, σαφῶς ἐδήλωσεν ἐπαγαγὼν "τὸν δὲ ἀριθμὸν ἐκ τοῦ ἑνός·" ἔστι δὲ ἀριθμὸς τὸ περιττὸν καὶ τὸ ἄρτιον, ὥστε τὸ περιττὸν καὶ τὸ ἄρτιον ἐκ τοῦ ἑνὸς ὑπάρχουσιν· πάντα γὰρ ἐκ τῆς πρωτίστης αἰτίας ὑπάρχουσιν. ἀριθμοὺς δέ, καθάπερ εἴρηται, τὸν ὅλον οὐρανὸν ὑπετίθεντο· ὥσπερ γὰρ ὁ κόσμος δεκτικός ἐστι τῶν εἰδῶν, οὕτω καὶ ὁ δέκα ἀριθμὸς ἐν ἑαυτῷ ἔχει πάντας τοὺς ἀριθμούς, οἷον δεχάς τις οὖσα. χρήσιμον οὖν αὐτῷ... Asclep.

τὸ δὲ "ὡς πάθη τε καὶ ἕξεις" εἴη ἂν δηλωτικὸν τοῦ τοὺς ἀριθμοὺς αὐτοῖς καὶ τῶν παθῶν καὶ τῶν ἕξεων εἶναι γεννητικούς τε καὶ αἰτίους, ὅπερ εἴη ἂν τὸ ὡς ποιητικὸν αἴτιον· κατὰ γὰρ τὰς ἐν τούτοις διαφορὰς τά τε πάθη καὶ τὰς ἕξεις ἐγγίνεσθαι τοῖς ἐξ αὐτῶν συγκειμένοις. τὰ γὰρ πάθη τε καὶ αἱ ἕξεις τῶν ἀριθμῶν τῶν ἐν τοῖς οὖσι παθῶν τε καὶ ἕξεων αἴτια, οἷον τὸ διπλάσιον, τὸ ἐπίτριτον, τὸ ἡμιόλιον. ἢ ὡς Ἀσπάσιος, ὁ μὲν ἀριθμὸς ὕλη, πάθος δὲ τὸ ἄρτιον, ἕξις δὲ τὸ περιττόν. ἢ τῶν ἀριθμῶν ὁ μὲν ἄρτιος ὕλη τε καὶ πάθος, ὁ δὲ περιττὸς ἕξις. σαφῆ δὲ ἃ τούτοις προστίθησιν, ὅτι πεπερασμένον τὸ περιττὸν κατ' αὐτούς, ἄπειρον δὲ τὸ ἄρτιον, τὸ δὲ ἓν ἐξ ἀμφοῖν (1)· διὸ καὶ ἄρτιον καὶ περιττὸν ἡ μονάς· καὶ ὅτι ἐκ τοῦ ἑνὸς συγκειμένου ἐκ περιττοῦ τε καὶ ἀρτίου ἡ γένεσις τῷ ἀριθμῷ καὶ πῶς· ὡς γὰρ προειρήκαμεν (2). ἱστορεῖ δὲ ὅτι τινὲς τῶν Πυθαγορείων τὰς ἀρχὰς δέκα ὑπετίθεντο ἐναντιώσεις, ὃς καὶ πρῶτος τέλειος ἀριθμὸς αὐτοῖς ἐστί, κατὰ συστοιχίας τινὰς τιθέντες, εἰς ἃς ἀνῆγον καὶ τὰ ὄντα (3). καὶ τίνες αὗται εἰσίν, ἐκτίθεται· πέρας γὰρ καὶ ἄπειρον, περιττόν τε καὶ ἄρτιον, ἓν καὶ πλῆθος, δεξιὸν καὶ ἀριστερόν, ἄρρεν θῆλυ, ἠρεμοῦν κινούμενον, εὐθὺ καμπύλον, φῶς σκότος, ἀγαθὸν κακόν, τετράγωνον ἑτερόμηκες. ἱστορεῖ δὲ ὡς καὶ Ἀλκμαίωνος τοῦ Κροτωνιάτου τὸν αὐτὸν τούτοις τρόπον περὶ τῶν ἀρχῶν ἀποφηναμένου· εἰς γὰρ ἐναντίωσίν τινα ἕκαστον τῶν ὄντων ἀνάγειν ἐπειρᾶτο καὶ οὕτως ὡς ἀρχῶν οὐσῶν τῶν ἐναντιώσεων. διαφέρει δὲ τῶν Πυθαγορικῶν ὅτι οἱ μὲν δεκάδας ποιοῦντες ταύτας μὲν ἐξετίθεντο ὁρίζοντες, ὁ δὲ τὴν τυχοῦσαν ἐναντίωσιν ἀρχὴν ἔλεγεν ἀδιορίστως· οὕτως δὲ πᾶσα ἂν ἐναντίωσις ἀρχὴ γίνοιτο αὐτῷ. κοινὸν μὲν οὖν τῶν Πυθαγορικῶν, οἳ ταύτης ἐγένοντο τῆς δόξης, καὶ Ἀλκμαίωνος τὸ ἐναντίας εἶναι τὰς ἀρχὰς τῶν ὄντων· πόσαι δὲ καὶ τίνες, αὐτῶν τῶν Πυθαγορικῶν ἴδιον. προσιστορεῖ δὲ ὅτι καὶ ἀρχὴν καὶ αἴτιον τὸν ἀριθμὸν ἔλεγον ὡς ὕλην, οὐχ ὡς ἀντικρὺς μὲν αὐτῶν ἀποφηναμένων οὕτως (οὐδεὶς γὰρ περὶ τούτων, ὥς φησιν αὐτός, διεσάφησεν), ὡς δὲ ἑπόμενον αὐτοῖς ἐξ ὧν ἔλεγον· ἐκ γὰρ τούτων συγκεῖσθαί τε καὶ συνεστάναι πάντα φασὶ τὰ ὄντα ἐνυπαρχόντων. εὐλόγως δὲ ἐχρήσατο ἐπὶ τῆς τοιαύτης γενέσεως τῷ πεπλασμένῳ· πλάσματι γὰρ ἔοικεν ἡ γένεσις ἡ τοιαύτη οὐδὲν εὔλογον ἔχουσα. Alex.

(1) αὐτῶν περὶ Φιλοσοφίας (m. 1) καὶ ἐν τοῖς περὶ Οὐρανοῦ 986a 14.
(m. 2) οἱ Πυθαγόρειοι ὑλικὴν αἰτίαν ἐτίθεντο τὴν δυάδα καὶ ἁπλῶς τὸ ἄρτιον, εἰδικὸν δὲ τὴν τριάδα καὶ ἁπλῶς τὸ περιττόν, τὸ δὲ ἓν ἐξ ἀμφοτέρων τούτων εἶναι. τοῦτο δὲ ἔνιοι μέν φασιν ἀντὶ τοῦ ἀμφότερα ταῦτα τὸ περιττὸν καὶ ἄρτιον εἶναι ἐκ τοῦ ἑνός· πῶς γὰρ ἀριθμὸς ἤτοι πᾶν τὸ ὂν ἐκ τοῦ ἑνός, τῆς πρώτης δηλονότι αἰτίας. ὁ δὲ Ἀλέξανδρος τὸ ἓν περὶ τῆς μονάδος ἐκλαμβάνεται· φησὶν οὖν τὸ ἓν τοῖς Πυθαγορείοις περισσάρτιον λέγεσθαι· πῶς γὰρ ἀριθμὸς καὶ περισσὸς καὶ ἄρτιος τὴν ἀρχὴν ἔχει ἐκ τοῦ ἑνός. cod. Reg.

(2) ἅπας οὖν ἀριθμὸς ὕλη, πάθος δὲ τὸ ἄρτιον, ἕξεις δὲ τὸ 986a 17.
περιττόν, ὡς εἶδος· τὸ δὲ ἓν ἐξ ἀμφοῖν, διὸ καὶ ἀρτιοπέριττον ἡ μονάς· καὶ ὅτι ἐκ τοῦ ἑνὸς συγκειμένου καὶ ἐκ περιττοῦ τε καὶ ἀρτίου ἡ γένεσις τῶν ἀριθμῶν. ἐσαφήνισε δὲ τὴν δόξαν αὐτῶν διὰ τοῦ εἰπεῖν πεπερασμένον καὶ ἄπειρον· τὸ γὰρ ἄπειρον ἡ ὕλη, τὸ δὲ πέρας τὸ εἶδος. "ἕτεροι δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς δέκα λέγουσιν εἶναι." ἄλλοι τινὲς Πυθαγόρειοι ὑποτίθενται δέκα ἀρχὰς εἶναι τῶν ἀγαθῶν καὶ δέκα τῶν κακῶν, οὐχ ὅτι τὰ κακὰ ἐν ὑποστάσει εἰσίν, ἀλλὰ τὰ ἥττονα κακὰ λέγει, οἷον πέρας πρὸς τῷ ἀγαθῷ, ἄπειρον πρὸς τῷ ἐναντίῳ· περιττὸν ἀγαθόν, ἄρτιον ἐναντίον· ἓν ἀγαθόν, πλῆθος οὐ καλόν· δεξιὸν καλόν, ἀριστερὸν ἐναντίον· ἄρρεν ἀγαθόν, θῆλυ ἐναντίον· ἠρεμοῦν ἀγαθόν, διὸ καὶ τὸ πρῶτον αἴτιον ἀκίνητον, κινούμενον ἐναντίον, οὐχ ὅτι κακόν, ἀλλ' ἧττον ἀγαθόν, εἴγε ἡ φύσις ἐν κινήσει ἐστίν· εὐθὺ ἀγαθόν, καμπύλον ἐναντίον· φῶς ἀγα-

27. καὶ τῶν παθῶν om *L.* ‖ γεννητικοὺς Asclep. ‖ 28. κατὰ] καὶ *L.* ‖ 29. ἕξεις αἰτίας γενέσθαι *A.* ‖ 31. ἡμιόλιον. ἅπας οὖν ἀριθμὸς Asclep. ‖ 32. ἕξεις Asclep.

4. τρόπον om *M.* ‖ 4 — 11. et 12 — p. 544 *a* 12. apud Asclep. ‖ 12. ἱστορεῖ Asclep. ‖ 13. ἀντικρὺς ἀποφηναμένων αὐτῶν οὕτως Asclep. ‖ οὐδὲν γὰρ περὶ τούτου, ὥς φησιν, αὐτοὶ διεσάφησαν Asclep. ‖ 14. αὐτοῖς Asclep. ‖ 15. ἔλεγε *A.* ‖ φησὶ *AM*, φασὶ πάντα Asclep. ‖ 16. ὄντα· διό φησιν, ἐοίκ. δὲ ὡς... πεπλάσθαι τὴν οὐσίαν. εὐλόγως δὲ ἐχρήσατο ἐπὶ τῇ τοιαύτῃ γενέσει τῷ πεπλάσθαι Asclep. ‖ 17. πλάσματι ἔοικεν ἡ τοιαύτη γένεσις Asclep.

σῶν καὶ διὰ ε′ ἐν τριπλασίῳ ὡς ὁ β′ πρὸς τὸν ϛ′, ὁ δὶς διὰ πασῶν ἐν τετραπλασίῳ ὡς ὁ β′ πρὸς τὸν ὀκτώ. cod. Reg. 1853.

986 a 2 ἔλεγον δὲ καὶ τὸν ὅλον οὐρανὸν κατὰ ἁρμονίαν συγκεῖσθαί τινα (τούτου γὰρ δηλωτικὸν αὐτῷ τὸ καὶ "τὸν ὅλον οὐρανὸν εἶναι ἀριθμόν") διότι ἐξ ἀριθμῶν καὶ κατ' ἀριθμὸν καὶ ἁρμονίαν. τῶν γὰρ σωμάτων τῶν περὶ τὸ μέσον φερομένων ἐν ἀναλογίᾳ τὰς ἀποστάσεις ἐχόντων, καὶ τῶν μὲν θᾶττον φερομένων τῶν δὲ βραδύτερον, ποιούντων δὲ καὶ ψόφον ἐν τῷ κινεῖσθαι τῶν μὲν βραδυτέρων βαρὺν τῶν δὲ ταχυτέρων ὀξύν, τοὺς ψόφους τούτους κατὰ τὴν τῶν ἀποστάσεων ἀναλογίαν γινομένους ἐναρμόνιον τὸν ἐξ αὐτῶν ἦχον ποιεῖν· ἧς ἁρμονίας τὸν ἀριθμὸν ἀρχὴν λέγοντες εἰκότως καὶ τοῦ οὐρανοῦ καὶ τοῦ παντὸς τὸν ἀριθμὸν ἐτίθεντο ἀρχήν. ἐν διπλασίῳ μὲν γὰρ λόγῳ φέρε εἰπεῖν τὸ διάστημα τὸ τοῦ ἡλίου ἀπὸ τῆς γῆς εἶναι ἢ τὸ τῆς σελήνης, ἐν τριπλασίῳ δὲ τὸ τῆς Ἀφροδίτης, ἐν τετραπλασίῳ δὲ τὸ τοῦ Ἑρμοῦ, καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου εἶναί τινα λόγον ἀριθμητικὸν ἡγοῦντο, καὶ ἐναρμόνιον τὴν κίνησιν εἶναι τοῦ οὐρανοῦ· κινεῖσθαι δὲ τάχιστα μὲν τὰ τὸ μέγιστον διάστημα κινούμενα, βραδύτατα δὲ τὰ τὸ ἐλάχιστον, τὰ δὲ μεταξὺ κατὰ τὴν ἀναλογίαν τοῦ μεγέθους τῆς περιφορᾶς. ἐκ δὲ τούτων τῶν ὁμοιοτήτων ἐν τοῖς οὖσι πρὸς τοὺς ἀριθμοὺς τὰ μὲν πράγματα καὶ τὰ ὄντα ἐξ ἀριθμῶν τε συγκεῖσθαι καὶ ἀριθμούς τινας εἶναι ὑπελάμβανον. τοὺς δὲ ἀριθμοὺς ἡγούμενοι πάσης τῆς φύσεως καὶ τῶν φύσει ὄντων πρώτους (μήτε γὰρ δύνασθαί τι τῶν ὄντων χωρὶς ἀριθμοῦ εἶναι μήτε γνωρίζεσθαι ὅλως, τοὺς δὲ ἀριθμοὺς καὶ χωρὶς τῶν ἄλλων γινώσκεσθαι) τὰ τῶν ἀριθμῶν στοιχεῖα καὶ τὰς ἀρχὰς τούτων πάντων τῶν ὄντων ἀρχὰς ἔθεντο. ταῦτα δὲ ἦν, ὡς εἴρηται, ἄρτιον καὶ περιττόν, ὧν τὸ μὲν περιττὸν πεπερασμένον τὸ δὲ ἄρτιον ἄπειρον ἡγοῦντο εἶναι· τῶν δὲ ἀριθμῶν τὴν μονάδα ἀρχήν, αὐτῆς συγκειμένης ἔκ τε τοῦ ἀρτίου καὶ περιττοῦ· εἶναι γὰρ τὴν μονάδα ἅμα ἀρτιοπέριττον, ὃ ἐδείκνυε διὰ τοῦ γεννητικὴν αὐτὴν εἶναι καὶ τοῦ περιττοῦ καὶ τοῦ ἀρτίου ἀριθμοῦ· ἀρτίῳ μὲν γὰρ προστιθεμένη περιττὸν γεννᾷ, περιττῷ δὲ ἄρτιον. Alex.

986 a 3 καὶ ὅσα μὲν εἶχον ὁμολογούμενα ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς κατὰ τὰς ἁρμονίας συνθέσεσι πρὸς τὰ τοῦ οὐρανοῦ καὶ πάθη τε καὶ μέρη, ταῦτα μὲν αὐτόθι ὡς φανερὰ λαμβάνοντες ἐδείκνυον τὸν οὐρανὸν ἐξ ἀριθμῶν τε συγκεῖσθαι καὶ καθ' ἁρμονίαν. εἰ δέ τινα ἐφαίνοντο διαφωνεῖν τῇ κατὰ τοὺς ἀριθμοὺς ἀκολουθίᾳ τῶν κατὰ τὸν οὐρανὸν φαινομένων, ταῦτα δὲ προσετίθεσαν αὐτοὶ καὶ ἐπειρῶντο ἀναπληροῦν πρὸς τὸ ὡμολογημένην αὐτοῖς εἶναι τὴν πραγματείαν πᾶσαν. αὐτίκα γοῦν τέλειον ἀριθμὸν ἡγούμενοι τὴν δεκάδα, ὁρῶντες δὲ ἐν τοῖς φαινομένοις ἐννέα τὰς κινουμένας σφαίρας, ἑπτὰ μὲν τὰς τῶν πλανωμένων, ὀγδόην δὲ τὴν τῶν ἀπλανῶν, ἐνάτην δὲ τὴν γῆν (καὶ γὰρ καὶ ταύτην ἡγοῦντο κινεῖσθαι κύκλῳ περὶ μένουσαν τὴν ἑστίαν, ὃ πῦρ ἐστὶ κατ' αὐτούς), αὐτοῖς προσέθεσαν ἐν τοῖς δόγμασι καὶ τὴν ἀντίχθονά τινα, ἣν ἀντικινεῖσθαι ὑπέθεντο τῇ γῇ καὶ διὰ τοῦτο τοῖς ἐπὶ τῆς γῆς ἀόρατον εἶναι. λέγει δὲ περὶ τούτων καὶ ἐν τοῖς περὶ Οὐρανοῦ (3 1 p. 300 a 14) μὲν καὶ ἐν ταῖς τῶν Πυθαγορικῶν δόξαις ἀκριβέστερον. καθ' ἁρμονίαν δὲ τὴν τούτων τάξιν ἐποίουν λαβόντες τε τὰ δέκα τὰ κινούμενα σώματα, ἐξ ὧν ὁ κόσμος, διεστάναι ἀπ' ἀλλήλων κατὰ τὰς ἁρμονικὰς ἀποστάσεις, κινεῖσθαί τε κατὰ ἀναλογίαν τῶν διαστημάτων, ὡς προείρηκε, τὰ μὲν θᾶττον αὐτῶν τὰ δὲ βραδύτερον, καὶ φερόμενα ἤχους ποιεῖν τὰ μὲν βραδύτερον βαρυτέρους τὰ δὲ θᾶττον ὀξυτέρους, ἐξ ὧν γιγνομένων ἀναλογίαις ἁρμονικαῖς ἐναρμόνιον ἦχον γίγνεσθαι, οὐ μὴν κατακούειν ἡμᾶς διὰ τὴν ἐκ παίδων συντροφίαν. εἴρηκε δὲ περὶ τούτου καὶ ἐν τοῖς περὶ Οὐρανοῦ (2 9), καὶ ὅτι μὴ ἀληθές ἐστιν ἐν ἐκείνοις ἔδειξεν. ὅτι δὲ καὶ τὸ μὲν ἄρτιον αὐτοῖς τὸ ἄπειρόν ἐστι τὸ δὲ περιττὸν πεπερασμένον, καὶ ἀρχὴ τῆς τε μονάδες (ἐκ τούτων γὰρ ἡ μονὰς οὖσα ἀρτιοπέριττός ἐστιν), ἀλλὰ καὶ τοῦ παντὸς ἀριθμοῦ, εἴγε αἱ μονάδες πάλιν αἱ ἀρχαὶ τῶν ἀριθμῶν, ἀριθμὸς δὲ ὁ ὅλος οὐρανός, τουτέστι πάντα τὰ ἐν τῷ οὐρανῷ, ἅπερ ἐστὶ τὰ ὄντα, ταῦτα δὲ λέγει μὲν καὶ νῦν, ἐπὶ πλέον δὲ ἐν ἐκείνοις εἴρηκεν ὑπὲρ αὐτοῦ. id.

"ἀλλ' — ἐπερχόμεθα." ὑπομιμνήσκει τοῦ ἐκ τῆς προειρημέ- 986 a 13
νης ἱστορίας πρὸς τὰ προκείμενα χρησίμου (*)· χρήσιμον γὰρ τὸ ἰδεῖν εἰς τί τῶν αἰτίων ἀνῆγον καὶ οἱ Πυθαγόρειοι τὰς ἀρχάς. φαίνεται δή φησιν ἐξ ὧν λέγουσιν ὅτι ὁ ἀριθμὸς αὐτοῖς ἀρχὴ τῶν ὄντων ἦν ὡς ὕλη· ἐκ γὰρ τῆς συνθέσεως τούτων ἐγέννων πάντα τὰ ἄλλα. id.

(*) ἔλεγον γὰρ ὅτι στοιχεῖα τοῦ ἀριθμοῦ ὑπάρχουσι τὸ περιττὸν 986 a 17
καὶ τὸ ἄρτιον, καὶ διὰ μὲν τοῦ ἀρτίου τὴν ὕλην συμβολικῶς ὑπετίθεντο, διὰ δὲ τοῦ περιττοῦ τὸ εἶδος. ἐπεὶ τοίνυν ὁ ἄρτιος ἀριθμός ἐστι διαιρετός, τοιαύτη δὲ καὶ ἡ ὕλη, ἐπ' ἄπειρον διαιρετὴ καὶ αὐτὴ γίνεται αἰτία τῆς τῶν εἰδῶν διαιρέσεως· ἀδιαίρετον γὰρ ὑπάρχει τὸ εἶδος, γινόμενον δὲ ἐν τῇ ὕλῃ διαιρεῖται καὶ συνδιίσταται εἰς πόδας καὶ χεῖρας καὶ κεφαλὴν καὶ ὅσα ἄλλα τοιαῦτα. διὰ ταύτην οὖν τὴν αἰτίαν διὰ μὲν τῆς δυάδος συμβολικῶς τὴν ὕλην ἔλεγον, διὰ δὲ τοῦ περιττοῦ τὸ εἶδος. ὥσπερ γὰρ ὁ περιττὸς ἀριθμὸς ἀδιαίρετος ὑπάρχει, οὕτω καὶ τὸ εἶδος αὐτὸ καθ' αὑτὸ ἀδιαίρετον ὑπάρχει. ἀμέλει τοι καὶ αὐτὸ διορίζει καὶ περατοῖ τὴν ὕλην ἄπειρον οὖσαν τῷ ἑαυτῆς λόγῳ· ὅθεν ἕκαστον μέρος τοῦ σπέρματος τέλειον ἔχει τὸν τοῦ εἴδους λόγον. ἄλλως τε δὴ ὅτι ἀδιαίρετον ὑπάρχει τὸ εἶδος προφανὲς καὶ ἐντεῦθεν. ὁρῶμεν γὰρ ὅτι καὶ ἐπὶ μεγάλου κύκλου καὶ ἐπὶ μικροῦ τὸ αὐτὸ εἶδος

4. τοῦτο γὰρ δηλοῖ τὸ *L.* ‖ οὐρανὸν ἁρμονίας τινὰ εἶναι· ἐξ ἀριθμῶν γὰρ καὶ κατ' ἀριθμοὺς αἱ ἁρμονίαι Asclep. ‖ 5. ἐξ ἀριθμῶν καὶ om *L.* ‖ κατ' ἀριθμοὺς καὶ ἁρμονίαν ὁρᾶται συγκείμενος. τῶν *L.* ‖ 6. μέσον] οὐράνιον σῶμα Asclep. ‖ τὴν ἀπόστασιν *L.* ‖ 9. τοῦ ψόφου τούτου κατὰ τὴν τῆς ἀποστάσεως ἀναλογίαν ποιουμένου ἐναρμόνιον *L.* ‖ 17. κινούμενα, ὡς τὸ μεῖζον ἐν ἴσῳ χρόνῳ· βραδύτατον δὲ τὰ τὸ ἐλάχιστον, ὡς τοὔλαττον ἐν ἴσῳ· τὰ δὲ *L.* ‖ βραδύτερον *A.* ‖ 18. δὴ *L.* ‖ 21. φύσει] φύσεων *M.* ‖ 27. αὐτοῦ συγκειμένης *M,* εἶναι συγκειμένην *L.* ‖ 28. καὶ] καὶ τοῦ *L.* ‖ 29. ὃ — εἶναι] ὡς γεννητικὴν οὖσαν *L.* ‖ 37. αὐτοῖς *A.*

1. καὶ post γὰρ om *A.* ‖ 5. αὐτῶν περὶ φιλοσοφίας καὶ ἐν *A.* ‖ 6. ταῖς Πυθαγορικαῖς *L.* ‖ 7. λαμβάνοντες τὸ τὰ δέκα *M.* ‖ 18. αἱ post πάλιν om *M.* ‖ 22 — 26. cf p. 543 *a* 26 — 32. apud Asclep. ‖ 23. χρήσιμον οὖν αὐτῷ τὸ γνῶναι Asclep. ‖ 25. δὴ ἐξ ὧν ἔλεγον Asclep. ‖ 26. τῆς τούτων συνθέσεως τὰ ἄλλα πάντα ἐγέννων Asclep.

ὁριστικοὶ καὶ περαντικοὶ ὑπάρχουσι τῶν ὑπ' αὐτῶν ἀριθμουμένων, τοιαῦτα δὲ ὑπάρχουσι καὶ τὰ εἴδη ὁριστικὰ καὶ συνεκτικὰ τῆς ὕλης, διὰ τῶν ἀριθμῶν τὰ εἴδη τὰ φυσικὰ ἐβούλοντο δηλοῦν. οὐ γὰρ δὴ καὶ τὴν ὕλην· πῶς γὰρ οἷόν τέ ἐστιν ἐξ ἀριθμῶν συγκεῖσθαι τὰ φυσικὰ πράγματα; ἀμέλει τοι καὶ τὸν πέντε ἀριθμὸν ἔλεγον δικαιοσύνην, ἐπειδὴ μέσος ἐστὶ τοῦ δέκα, ἥτις δεκὰς δεκτική ἐστι πάντων τῶν ἀριθμῶν· ἐπεὶ οὖν τὸ μέσον ἔχει τοῦ παντὸς ὁ πέντε ἀριθμός, ἐκάλουν αὐτὸν δικαιοσύνην, οἷον δίχην τινὰ οὖσαν. καὶ δικαστὴς ἐντεῦθεν λέγεται ὁ διχάζων καὶ ὁρίζων τὰ κατ' ἀξίαν ἑκάστῳ. πάλιν δὲ ἐκάλουν τὸν ἑπτὰ ἀριθμὸν καιρόν, ἐπεὶ ἡ σελήνη, ἡνίκα ἐστὶν ἑπτὰ ἡμερῶν, τετραγωνίζει τὸν ἥλιον· δύο ἥμισυ γὰρ ἡμέρας ποιεῖ ἐν ἑκάστῳ ζωδίῳ. διὸ καὶ κρίσιμός ἐστιν ἡ ἑβδόμη ἡμέρα καὶ ἡ δὶς ἑβδόμη. πάλιν δὲ καὶ τὰ ἑπταμηνιαῖα βρέφη ζῶσι, καὶ ἡ ἀρχὴ τῆς ἀποκυήσεώς ἐστιν ὁ ἕβδομος μήν. πρὸς ἐπὶ τούτοις μέχρι τῶν ἑπτὰ ἐνιαυτῶν ῥίπτουσιν οἱ παῖδες τοὺς ὀδόντας, εἶτα μέχρι τῶν δεκατεσσάρων ἄρχονται μειράκια γίνεσθαι, λοιπὸν ἡ τρίτη ἑβδομὰς ποιεῖ αὐτοὺς σπερμαίνειν. ἔλεγον οὖν τὴν μονάδα τὸν νοῦν διὰ τὸ ἀμερὲς καὶ τὸ πρῶτον. τὴν δὲ δυάδα ἔλεγον εἶναι τὴν ψυχήν, ἐπειδὴ ἔχει τὸ πόθεν ποῖ· ἄρχεται γὰρ ἀπὸ προτάσεων καὶ τελευτᾷ ἐπὶ συμπέρασμα. τὸν δὲ τρία ἀριθμὸν ἔλεγον τὴν δόξαν, ἐπεὶ οὐχ ὥρισται, ἀλλὰ πρώτη ἐστὶν ἀδιόριστος, καὶ οὐκ ἔχει βεβαίως εἴτε ἀθάνατός ἐστιν ἡ ψυχὴ εἴτε θνητή, καὶ εἴτε ἀΐδιος ὁ κόσμος εἴτε φθαρτός, ὥσπερ ἐνταῦθα καὶ ἔστιν. τὸν δὲ τέσσαρα ἀριθμὸν ἔλεγον τὸ σῶμα τὸ ἁπλῶς, τὸν δὲ πέντε τὸ φυσικὸν σῶμα, τὸν δὲ ἓξ τὸ ἔμψυχον, ἐπειδὴ ὁ ἓξ πρῶτός ἐστιν ἀπὸ τριάδος καὶ δυάδος πολυπλασιαζόμενος, τουτέστιν ἀπὸ περιττοῦ καὶ ἀρτίου. ἔστι δὲ ἡ ψυχὴ πρὸς τῷ περιττῷ ὡς ἀδιαίρετος, τὸ δὲ σῶμα πρὸς τῷ ἀρτίῳ ὡς διαιρετῷ. ἐπεὶ οὖν ἔστιν ἐν τοῖς οὖσι καὶ ἕνωσις καὶ ὁμοιότης καὶ εἰδοποιΐα καὶ ταυτότης, ἔστι δὲ καὶ ἑτερότης καὶ ἀνομοιότης καὶ πάντα τὰ τοιαῦτα, τὴν μὲν μονάδα ἔλεγον ἀρχὴν εἶναι τῆς ἑνώσεως καὶ τῆς ὁμοιότητος καὶ τῆς εἰδοποιΐας καὶ τῆς ταυτότητος καὶ πάσης συνεχείας καὶ ἁπλῶς, τὴν δὲ δυάδα ἔλεγον ἀρχὴν εἶναι τῆς ἑτερότητος καὶ διαιρέσεως καὶ ἀνομοιότητος· διὸ καὶ τὴν ὕλην δυάδα ἔλεγον, ἐπειδὴ αἰτία ἐστὶ τῆς διαιρέσεως. πάντων οὖν τὸ ἁπλῶς αἴτιον, καὶ ἑνώσεως καὶ διαιρέσεως καὶ ὁμοιότητος καὶ ἀνομοιότητος καὶ εἰδοποιΐας ἀρχὴν καὶ αἰτίαν ἔλεγον τὴν ἑνάδα, ἥτις ἐστὶ τὸ πρῶτον αἴτιον· δεῖ γὰρ εἶναι πρῶτον αἴτιον ἐν τοῖς οὖσιν. εἰ γὰρ ὑποθώμεθα εἶναί τι ἄλλο σὺν αὐτῷ, ἔσται οὕτως ἕνωσις καὶ οὐκέτι ἕν· ἀνάγκη δὲ πάντως ἓν εἶναι αἴτιον τὸ παρακτικὸν κοινῶς πάντων καὶ ὁμοίων καὶ ἀνομοίων. εἰ γὰρ ἀριθμός ἐστι τὸ ἐκ μονάδων συγκείμενον πλῆθος, ἔστι δὲ δύο, ἀνάγκη εἶναι καὶ ἕν, ἥτις ἐστὶν ἡ ἑνάς, τὸ πρῶτον αἴτιον τὸ παρακτικὸν πάντων· ὥστε κρείττων ἐστὶν ἡ ἑνὰς τῆς μονάδος· πολλὰ γὰρ πρῶτα εἶναι οὐ δύναται. πάλιν τοίνυν τὸν δέκα ἀριθμὸν ἐκάλουν τὸν κόσμον, ἐπεὶ ὥσπερ ὁ δέκα ἀριθμὸς δεκτικός ἐστι παντὸς ἀριθμοῦ, οὕτω καὶ ὁ κόσμος δεκτικός ἐστι πάντων τῶν εἰδῶν. τινὲς δέ φασιν ὅτι οἱ Πυθαγόρειοι βουλόμενοι δεῖξαι ὅτι δέκα σφαῖραι ὑπάρχουσι διὰ τὸ ἀναγαγεῖν τὸν οὐρανὸν εἰς τὸν δέκα ἀριθμόν, ἔλεγον εἶναι τὴν ἀπλανῆ καὶ τὰς ἑπτὰ τῶν ἑπτὰ πλανήτων καὶ τὴν ὑπὸ σελήνην, τουτέστι τὰ τέσσαρα στοιχεῖα, ἰδοὺ ἐννέα, καὶ τὴν ἀντίχθονα· οὕτως γὰρ αὐτὴν ἐκάλουν, ὥς φησιν Ἀριστοτέλης. εἰδέναι μέντοι γε χρὴ ὅτι οἱ γνήσιοι Πυθαγόρειοι ἀντίχθονα ἐκάλουν τὴν σεληνιακὴν σφαῖραν, ἐπειδὴ ὥσπερ ἡ γῆ ἀντιφράττουσα αἰτία γίνεται τῆς ἐκλείψεως τῆς σελήνης, οὕτω καὶ ἡ σελήνη ἀντιφράττουσα τῷ ἡλίῳ ποιεῖ αὐτὸν ἐκλιμπάνειν. Asclep.

(4) δικαιοσύνην οἱ Πυθαγόρειοι τὸν ἐν τοῖς ἐνεργείᾳ τετραγώνοις πρῶτον, τὸν δ', ἔλεγον, ὅτι περ ἰσάκις ἴσος ἐστίν· τὰς γὰρ ἐπιπεδικὰς πλευρὰς ἑαυτοῦ πάντοθεν ἴσας ἔχει, ἀπὸ τῆς εἰς ἑαυτὸν τοῦ β' πολλαπλασιάσεως γενόμενος. ὡς δ' ἔνιοί φασι, τὸν θ', ὅτι ὁ δ' ἀπὸ τῶν δὶς δύο ἐγένετο, ὁ δὲ β' ἄρτιος ὢν ὕλης καὶ ἀπειρίας λόγον παρ' ἐκείνοις ἐπέχει. καὶ ἄλλως δὲ οὐδὲ ἀριθμὸς ὅλως παρὰ τούτοις ὁ β', ὅτι τὸν αὐτὸν ἀριθμὸν τὸν δ' καὶ πολλαπλασιαζόμενος ἀποτελεῖ καὶ διπλασιαζόμενος, ὅπερ οὐκ ἐπί τινος ἄλλου τῶν ἔμπροσθεν εὑρεθήσεται. ὁ δὲ θ' ἅτε ἀπὸ τῶν γ' γ' ἀποτελεσθεὶς καὶ ἰσάκις ἴσος ὢν καὶ προσέτι τὴν ἑαυτοῦ πλευρὰν τὴν γ' περιττήν τε ἔχων καὶ εἴδους λόγον ἐπέχουσαν, ἕτερόν τε καὶ ἕτερον ἀριθμὸν ἀποτελοῦσαν, ἀπό τε τοῦ διπλασιασμοῦ αὐτῆς καὶ τοῦ πολλαπλασιασμοῦ κυριωτέρως μᾶλλον δικαιοσύνη ἐλέγετο. κατ' ἄλλον δὲ πάλιν λόγον τὸν ε' δικαιοσύνην ἐκάλουν, ὅτι περιστατικός ἐστι τῶν πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν μέχρι δεκάδος ἀριθμῶν· κατὰ γὰρ τὴν ἑαυτοῦ ποσότητα τὰς ἐλλείψεις τε καὶ πλεονεξίας αὐτῶν ἀντανισοῖ, τοῦ μὲν θ' φέρε τέτταρα ἀφαιρούμενος καὶ αὐτὰ ταῦτα τῷ ἑνὶ προστιθείς, καὶ ἴσους ἑαυτοῖς ἀμφοτέρους ποιῶν, τοῦ δὲ η' γ'· τούτοις γὰρ αὐτοῦ τοῦ ε' πλεονεκτῶν καὶ ταῦτα πάλιν τὰ γ' τῷ ἐλαττουμένῳ τῷ β' προστιθεὶς ἐνὶ ὄντι καὶ αὐτῷ ἐπίσης τῷ η' τῶν ἐντὸς τῆς μονάδος, καὶ οὕτως οἷά τις δικαστὴς καὶ κριτὴς ἑαυτοῖς καὶ ἀλλήλοις πάντας ἰσάζων τοὺς ἐντὸς τῆς δεκάδος. ἔνιοι δέ φασιν ὅτι ὡς μεταξὺ τῆς δεκάδος ὢν ὁ ε' δικαστὴς ἐκαλεῖτο τοῖς Πυθαγορείοις, οἷόν τις διχαστὴς ὤν. νοῦν δὲ καὶ ψυχὴν διὰ τὸ μοναδικὸν καὶ ἑνιαῖον τὴν μονάδα ἔλεγον, μὴ προσδιοριζόμενοι μηδὲ χωρίζοντες ὅλως τὸν νοῦν τῆς ψυχῆς. καιρὸν δὲ τὸν ζ' ἀριθμὸν ὠνόμαζον, ὅτι κατ' αὐτὸν αἱ ἡλικίαι, ὡς δοκεῖ καὶ Ἱπποκράτει, διαμερίζονται· μέχρι μὲν γὰρ τῆς πρώτης ἑβδομάδος ἔμφας καὶ παιδίον λέγεται ὁ ἄνθρωπος, παῖς δὲ μέχρι τῆς δευτέρας ἤγουν τῶν ιδ' ἐτῶν, μειράκιον μέχρι τῆς τρίτης ἑβδομάδος ἤτοι κα' χρόνου, νεανίσκος μέχρι τῶν εἴκοσι ὀκτώ, τῆς δ' δηλαδὴ ἑβδομάδος, εἶτα τῆς πέμπτης ἄχρι ἀνήρ· ἐκ δὲ τούτου φθίνει καὶ τὸν τῆς ἀκμῆς τε καὶ τῆς παρακμῆς καὶ τὸν τοῦ ὠμογήρως τε καὶ τοῦ γήρως χρόνον κατὰ πρόβασιν πάλιν ἑβδομάδος λαμβάνει, μέχρι πέντε πάλιν ἑπτάδων τὴν πρόβασιν λαμβάνων καθ' ἡλικίας ὑφαίρεσιν. ὡς συμβαίνειν εὐλόγως λέγεσθαι τὰ ἔτη ἡμῶν ο' εἶναι (δὶς γὰρ λε' τοσαῦτα), ἐλαττονάκις δὲ μέχρις π', ἄχρι μ' χρόνων γενομένης τῆς τελειώσεως. ἔκ τε οὖν τούτων καὶ τῶν τοιούτων καιρὸν ἐκάλουν τὸν ζ' ἀριθμόν· οὐ μὴν ἀλλὰ καὶ τὴν τοῦ ἡλίου σφαῖραν, ὃς ἡμέρας τε καὶ νύκτας καὶ χρόνου ἁπλῶς ἐστὶν αἴτιος, ἐν τῇ ἑβδόμῃ τῶν σφαιρῶν ἔταττον χώρᾳ, ἐπάνω τῆς σεληνιακῆς εὐθὺς προσεχῶς... ὁ μὲν γὰρ διὰ τεσσάρων λόγος ἐν ἐπιτρίτῳ θεωρεῖται ὡς ὁ δ' πρὸς τὸν γ', ὁ διὰ ε' ἐν ἡμιολίῳ ὡς ὁ γ' πρὸς τὸν β', ὁ διὰ πασῶν ἐν διπλασίῳ ὡς ὁ β' πρὸς τὸν δ', ὁ διὰ πα-

985 b 26. (¹) δείκνυσι τοῦτο ὁ Πυθαγορικὸς Νικόμαχος εὐθὺς ἐν προοιμίοις τῆς ἀριθμητικῆς αὐτοῦ εἰσαγωγῆς. cod. Reg.

"ἐπεὶ — πρῶτοι." εἰπὼν ὅτι οἱ Πυθαγόρειοι διὰ τὸ τοῖς μαθήμασιν ἐντραφῆναι τὰς τούτων ἀρχὰς τῶν ὄντων πάντων ἀρχὰς ᾠήθησαν εἶναι, λέγει ἑξῆς ᾧ λόγῳ χρώμενοι ἐπὶ τοῦτο ἦλθον. εἴη δ' ἂν καταλληλότερον ἔχουσα ἡ λέξις εἰ ἀντὶ τοῦ δέ τὸ γάρ εἴη· ἐπεὶ γὰρ τῶν ὄντων οἱ ἀριθμοὶ φύσει πρῶτοι (ἐξ ἀφαιρέσεως γὰρ οὗτοι) καὶ ὅτι ἐδόκουν ἐν αὐτοῖς ὁμοιώματα πολλὰ πρὸς τὰ ὄντα ὁρᾶν καὶ πρὸς τὰ γιγνόμενα, καὶ μᾶλλον ἐν τούτοις ἢ ἐν τοῖς ἁπλοῖς σώμασιν ὁρῶντες, ὁρῶντες δὲ καὶ τῶν ἁρμονιῶν τοὺς λόγους καὶ τὰ πάθη ἐν ἀριθμοῖς ὄντα, ἐπεὶ τὰ μὲν ἄλλα πάντα ὁμοιότητα πρὸς τοὺς ἀριθμοὺς εἶχεν, οἱ δὲ ἀριθμοὶ πάσης τῆς φύσεως, τουτέστι πάντων τῶν ὄντων τε καὶ κατὰ φύσιν συνεστώτων πρῶτοι, τὰς τῶν ἀριθμῶν ἀρχὰς ἔθεντο. ὁμοιώματα δὲ μᾶλλον πρὸς τὰ ὄντα καὶ γινόμενα ἡγοῦντο ἐν τούτοις εἶναι, τουτέστι τοῖς ἀριθμοῖς, ἢ ἐν τούτοις τοῖς σώμασιν ἃ στοιχεῖά φαμεν, οἷον γῆς καὶ τῶν ἄλλων, ἐπήνεγκε, διὸ καὶ εἰς τούτους τὰ ὄντα ἀνήγαγον καὶ ταῦτα στοιχεῖα ἔλεγον αὐτῶν, ἀλλ' οὐ τὰ σώματα. τίνα δὲ τὰ ὁμοιώματα ἐν τοῖς ἀριθμοῖς ἔλεγον εἶναι πρὸς τὰ ὄντα τε καὶ γινόμενα, ἐδήλωσε (²)· τῆς μὲν γὰρ δικαιοσύνης ἴδιον ὑπολαμβάνοντες εἶναι τὸ ἀντιπεπονθός τε καὶ ἴσον, ἐν τοῖς ἀριθμοῖς τοῦτο εὑρίσκοντες ὄν, διὰ τοῦτο καὶ τὸν ἰσάκις ἴσον ἀριθμὸν πρῶτον ἔλεγον εἶναι δικαιοσύνην· τὸ γὰρ πρῶτον ἐν ἑκάστῳ τῶν τὸν αὐτὸν λόγον ἐχόντων μάλιστα εἶναι τοῦτο ὃ λέγεται (³). τοῦτον δὲ οἱ μὲν τὸν τέσσαρα ἔλεγον, ἐπεὶ πρῶτος ὢν τετράγωνος εἰς ἴσα διαιρεῖται καὶ ἔστιν ἴσος, δὶς γὰρ δύο· οἱ δὲ τὸν ἐννέα, ὅς ἐστι πρῶτος στερεὸς ἀπὸ περιττοῦ τοῦ τρία ἐφ' αὐτὸν γενομένου (*). καιρὸν δὲ πάλιν ἔλεγον τὸν ἑπτά· δοκεῖ γὰρ τὰ φυσικὰ τοὺς τελείους καιροὺς ἔχειν καὶ γενέσεως καὶ τελειώσεως κατὰ ἑβδομάδας, ὡς ἐπ' ἀνθρώπου. καὶ γὰρ τίκτεται ἑπταμηνιαῖα, καὶ ὀδοντοφυεῖ τοσούτων ἐτῶν, καὶ ἡβάσκει περὶ τὴν δευτέραν ἑβδομάδα, καὶ γενειᾷ περὶ τὴν τρίτην. καὶ τὸν ἥλιον δέ, ἐπεὶ αὐτὸς αἴτιος εἶναι τῶν καρπῶν, φησί, δοκεῖ, ἐνταῦθά φασιν ἱδρῦσθαι καθ' ὃ ὁ ἕβδομος ἀριθμός ἐστιν, ὃν καιρὸν λέγουσιν· ἑβδόμην γὰρ αὐτὸν τάξιν ἔχειν τῶν περὶ τὸ μέσον καὶ τὴν ἑστίαν κινουμένων δέκα σωμάτων· κινεῖσθαι γὰρ μετὰ τὴν τῶν ἀπλανῶν σφαῖραν καὶ τὰς πέντε τὰς τῶν πλανήτων, μεθ' ἣν ὀγδόην τὴν σελήνην, καὶ τὴν γῆν ἐνάτην, μεθ' ἣν τὴν ἀντίχθονα. ἐπεὶ δὲ οὔτε γεννᾷ τινὰ τῶν ἐν τῇ δεκάδι ἀριθμῶν ὁ ἑπτὰ οὔτε γεννᾶται ὑπό τινος αὐτῶν, διὰ τοῦτο καὶ Ἀθηνᾶν ἔλεγον αὐτόν. ὁ μὲν γὰρ δύο τὸν τέσσαρα καὶ ὁ τρία τὸν ἐννέα καὶ τὸν ἓξ καὶ ὁ τέσσαρα τὸν ὀκτὼ καὶ ὁ πέντε τὸν δέκα γεννᾷ, γεννῶνται δὲ ὁ τέσσαρα καὶ ὁ ἓξ καὶ ὁ ὀκτὼ καὶ ὁ ἐννέα καὶ ὁ δέκα· ὁ δὲ ἑπτὰ οὔτε τινὰ γεννᾷ οὔτε ἔκ τινος γεννᾶται· τοιαύτη δὲ καὶ ἡ Ἀθηνᾶ ἀμήτωρ καὶ ἀεὶ παρθένος. γάμον δὲ ἔλεγον τὸν πέντε, ὅτι ὁ μὲν γάμος σύνοδος ἄρρενός ἐστι καὶ θήλεος, ἔστι δὲ κατ' αὐτοὺς ἄρρεν μὲν τὸ περιττὸν θῆλυ δὲ τὸ ἄρτιον, πρῶτος δὲ οὗτος ἐξ ἀρτίου τοῦ δύο πρώτου καὶ πρώτου τοῦ τρία περιττοῦ τὴν γένεσιν ἔχει· τὸ μὲν γὰρ περιττὸν ἄρρεν αὐτοῖς ἐστίν, ὡς εἶπον, τὸ δὲ ἄρτιον θῆλυ. νοῦν δὲ καὶ οὐσίαν ἔλεγον τὸ ἕν· τὴν γὰρ ψυχὴν ὡς τὸν νοῦν εἶπε. διὰ τὸ μόνιμον δὲ καὶ τὸ ὅμοιον πάντη καὶ ἀρχικὸν τὸν νοῦν μονάδα τε καὶ ἓν ἔλεγον· ἀλλὰ καὶ οὐσίαν, ὅτι πρῶτον ἡ οὐσία. δόξαν δὲ τὰ δύο διὰ τὸ ἐπ' ἄμφω μεταβλητὴν εἶναι· ἔλεγον δὲ καὶ κίνησιν αὐτὴν καὶ ἐπίθεσιν. τὰς δὴ τοιαύτας τῶν πραγμάτων πρὸς τοὺς ἀριθμοὺς ἐκλέγοντες ὁμοιότητας ἀρχὰς αὐτῶν τοὺς ἀριθμοὺς ὑπέθεντο, πάντα τὰ ὄντα ἐξ ἀριθμῶν συγκεῖσθαι λέγοντες. ἀλλὰ καὶ τὰς ἁρμονίας κατ' ἀριθμόν τινα ὁρῶντες συγκειμένας καὶ τούτων ἀρχὰς ἔλεγον τοὺς ἀριθμούς· ἡ μὲν γὰρ διὰ πασῶν ἐν διπλασίῳ ἐστὶ λόγῳ, ἡ δὲ διὰ πέντε ἐν ἡμιολίῳ, ἡ δὲ διὰ τεσσάρων ἐν ἐπιτρίτῳ. Alex.

(³) λέγομεν δὲ ἡμεῖς ὅτι οἱ Πυθαγόρειοι οὐκ ἐβούλοντο κατάδηλον ποιῆσαι τὴν ἑαυτῶν σοφίαν καὶ σκυτεῦσι. τούτου χάριν συμβολικῶς παρεδίδοσαν τὰ μαθήματα, ὥσπερ οἱ ποιηταὶ περικεκαλυμμένως ἔλεγον, καὶ εἰ ἐμμένει τις τῷ φαινομένῳ, λώβην γεννᾷ τῇ ψυχῇ. καὶ ἐκέχρηντο τοῖς ἀριθμοῖς, ἐπειδὴ πασῶν τῶν ἐπιστημῶν πρωτίστη ἐστίν, ὡς μεμαθήκαμεν ἐν τῇ ἀποδεικτικῇ πραγματείᾳ καὶ ἐν τῇ ἀριθμητικῇ· κέχρηται γὰρ ὁ γεωμέτρης ἀριθμοῖς, αὕτη δὲ μεγέθεσιν οὐ κέχρηται. ἐπειδὴ τοίνυν οἱ ἀριθμοὶ 985 b 29.

(*) p. 985 b 32. "ἐπειδὴ — ἄλλα." οἱ τὰ πράγματα τοὺς ἀριθμοὺς εἶναι λέγοντες ταύτην τὴν τάξιν αὐτοῖς ἀπένειμαν ἐν τῷ οὐρανῷ, ἣν ἔχειν ᾤοντο καὶ τοὺς ἀριθμούς, οἷς ἔλεγον εἶναι ταῦτα· οἷον τὴν τῆς δυάδος τάξιν τὴν τῆς δόξης τάξιν ἐν τῷ κόσμῳ, ἐπειδὴ ἡ δυὰς δόξα παρ' αὐτοῖς· ῥέπει γὰρ ἐν τῷ δοξάζειν εἰς δύο ὁ δοξάζων. καὶ ἐπειδὴ τέλειον ἡ δεκάς, βλέποντες ἐν τῷ οὐρανῷ ἑπτὰ μὲν κύκλους τῶν πλανήτων, καὶ τὴν ἀπλανῆ καὶ τὴν γῆν καὶ τὴν ἀντίχθονα προσετίθουν εἰς τὸ τελειῶσαι τὴν δεκάδα. Anon. Urbin.

9. πρὸς om *M.* ‖ 10. dele ὁρῶντες, omissum a Sepulv. ‖ 14. lege ἀρχὰς πάντων τῶν ὄντων ἀρχὰς ἔθεντο. ‖ 15. *quoniam enim rebus numeri priores sunt (numeri enim ex abstractione sumuntur) et quoniam cernere videbantur multa in his similia rebus quae sunt vel fiunt, atque in his magis quam in corporibus simplicibus, quia item videbant concentuum rationes affectiones esse in numeris, idcirco numeros principia rerum esse dicebant. nam cum cetera omnia similitudinem habeant cum numeris... numeros principia esse omnium rerum putabant.* Sepulv. ‖ 16. *ut terrae et similibus. adiecit autem et ceterorum, quoniam* Sepulv. ‖ 25. ἐστ] ὁ *A.* ‖ 26 — p. 541 b 99. ap. Asclep. ‖ 28. ἑβδομάδα Asclep.

1. μηνῶν, ἀλλὰ καὶ ἡβᾷ περὶ Asclep. ‖ 2. αὐτὸς δοκεῖ τῶν καιρῶν αἴτιος εἶναι Asclep. ‖ 3. ἱδρύσθαι ἐν τῇ ἑβδόμῃ σφαίρᾳ, καὶ τούτους καθ' ὃ ὁ ἑπτὰ ἀριθμός Asclep. ‖ 5. κεῖσθαι Asclep. ‖ 6. ὃν ὀγδόην Asclep. ‖ 12. γεννᾶται τῶν ὑπὸ τὴν δεκάδα· τοιαύτη Asclep. ‖ 13. ἀμήτωρ γάρ, φασί. γάμον Asclep. ‖ 15. ἔτι Asclep. ‖ ἄρτιον κατὰ σύνθεσιν δὲ καὶ συμπλοκὴν ἐξ ἀρτίου *L.* ‖ 16. ἀρτίου πρώτου τοῦ δύο καὶ ἐκ πρώτου περιττοῦ τοῦ τρία τὴν *L*, ἀρτίου πρώτου δύο καὶ περιττοῦ πρώτου τοῦ τρία τὴν Asclep. ‖ 17. τὸ μὲν — 18. θῆλυ om *L.* ‖ 18. τὸ γὰρ ψυχικὸν *L.* ‖ 19. εἶπον Asclep. ‖ διὰ τὸ ὅμοιον δὲ καὶ μόνιμον πάντη καὶ ἀρχικὸν εἶναι τὸν νοῦν Asclep. ‖ 21. εἶναι, καὶ τὸ πόθεν ποῖ ἔχειν, καὶ πρώτην διάστασιν· ἔλεγον *L.* ‖ 23. αὐτῶν καὶ ἀριθμοὺς Asclep. ‖ 24. ἐτίθεντο *L.* ‖ 25. τὴν ἁρμονίαν *L.* ‖ ἀριθμούς τινας *L*, Asclep. ‖ συγκειμένην *L.* ‖ 26. ἔλεγον] ἐπρέσβευον *L*, Asclep.

φησὶν οὖν πρὸς αὐτὸν ὅτι ἐπειδὴ πάντα τὸ ἓν ὑπερβέβηκεν, εἰπέ μοι ποῖόν ἐστι τὸ ἁπλῶς αἴτιον τούτων. Asclep.

(c) οἱ περὶ Λεύκιππον καὶ Δημόκριτον στοιχεῖα τῶν ὄντων τὸ κενὸν καὶ τὸ πλῆρες τιθέμενοι, καὶ πλήρη μὲν λέγοντες τὰς ἀτόμους τὰς διαφερούσας ἀλλήλων τῷ σχήματι, ἃς δὴ καὶ ἀτόμους ὡς ναστὰς καὶ ἀδιαιρέτους ὠνόμαζον, κενὸν δὲ τὸν ἐν τῷ παντὶ ἀέρα, ἐν ᾧ αὗται, ὡς ἐκεῖνοι ἐδόξαζον, φέρονται. cod. Reg.

985 b 10. (d) ὡς Θαλῆς τὸ ὕδωρ, καὶ Ἡράκλειτος τὸ πῦρ, καὶ Ἀναξιμένης καὶ Ἀναξίμανδρος τὸ μεταξύ. id.

985 b 19. "περὶ — ἀφεῖσαν." λέγει μὲν περὶ Λευκίππου τε καὶ Δημοκρίτου· οὗτοι γὰρ λέγουσιν ἀλληλοτυπούσας καὶ κρουομένας πρὸς ἀλλήλας κινεῖσθαι τὰς ἀτόμους, πόθεν μέντοι ἡ ἀρχὴ τῆς κινήσεως τοῖς κατὰ φύσιν, οὐ λέγουσιν· ἡ γὰρ κατὰ τὴν ἀλληλοτυπίαν βίαιός ἐστι κίνησις καὶ οὐ κατὰ φύσιν, ὑστέρα δὲ ἡ βίαιος τῆς κατὰ φύσιν. οὐδὲ γὰρ τὸ πόθεν ἡ βαρύτης ἐν ταῖς ἀτόμοις λέγουσι· τὰ γὰρ ἀμερῆ τὰ ἐπινοούμενα ταῖς ἀτόμοις καὶ μέρη ὄντα αὐτῶν ἀβαρῆ φασὶν εἶναι· ἐκ δὲ ἀβαρῶν συγκειμένων πῶς ἂν βάρος γένηται; εἴρηκε δὲ περὶ τούτων ἐπὶ πλέον ἐν τῷ τρίτῳ περὶ Οὐρανοῦ (c. 4). "παραπλησίως δὲ τοῖς ἄλλοις" εἶπεν, ὅτι μηδ' ἐκείνων τις τὴν τῆς κινήσεως αἰτίαν τὴν ἐν τοῖς φυσικοῖς σώμασιν ἀποδέδωκεν· οὐδεὶς γοῦν οὐδὲ τῶν ἄλλων φυσικῶν περὶ κινήσεώς τι εἶπεν, ὡς καὶ ἐν τοῖς Φυσικοῖς εἶπεν (8 1), ὅτε περὶ κινήσεως ἔλεγε. περὶ μὲν οὖν τούτων τῶν δύο αἰτίων τῆς τε ὑλικῆς λέγει καὶ τῆς ποιητικῆς. Alex.

985 b 23. "ἐν — τούτων" ἕως "ἐπεὶ δὲ τούτων οἱ ἀριθμοὶ φύσει πρῶτοι." λέγει περὶ τῶν Πυθαγορείων, ὅτι οἱ μὲν πρὸ Δημοκρίτου τε καὶ Λευκίππου γεγόνασιν, οἱ δέ τινες ἦσαν καὶ κατὰ τούτους. ἢ τὸ "ἐν δὲ τούτοις καὶ πρὸ τούτων" οὐ περὶ Δημοκρίτου τε καὶ Λευκίππου μόνον λέγει, ἀλλὰ περὶ πάντων τῶν φυσικῶν τῶν προειρημένων (a)· τῶν μὲν γὰρ ἦσαν πρεσβύτεροι, τοῖς δὲ συνήκμασαν (b). ἢ μᾶλλον ὅτι αὐτὸς μὲν Πυθαγόρας πρὸ Δημοκρίτου τε καὶ Λευκίππου ὀλίγον ἐγένετο, πολλοὶ δὲ τῶν Πυθαγόρου ἀκουσάντων συνήκμασαν τούτοις (*). τούτους δέ φησιν ἐντραφέντας τοῖς μαθήμασι τὰς τῶν μαθημάτων ἀρχὰς τῶν ὄντων ἀρχὰς θέσθαι. ἀρχαὶ δὲ τῶν μαθημάτων οἱ ἀριθμοί, καὶ τῇ φύσει πρῶτα κατ' αὐτούς, ὅτι ἐκ προσθέσεως τὰ ἄλλα· θέσιν γὰρ προσείληφε τὰ μεγέθη, ὡς φθάσας ἐμνημόνευσεν ἤδη. id.

(a) λέγει δὲ "ἐν τούτοις καὶ πρὸ τούτων οἱ καλούμενοι Πυθαγόρειοι," ὅτι οἱ μὲν πρὸ Δημοκρίτου τε καὶ Λευκίππου γεγόνασιν (αὐτὸς δηλαδὴ ὁ Πυθαγόρας· μικρῷ γὰρ ἀρχαιότερος αὐτῶν γέγονε), πολλοὶ δὲ τῶν Πυθαγόρου ἀκουσάντων συνήκμασαν τούτοις... λέγει δὲ καὶ τὰ αἴτια, πόθεν ὁρμηθέντες τὰς ἀρχὰς τῶν ὄντων τὰς τῶν μαθημάτων ἀρχὰς εἰρήκασιν· ἐπεὶ γὰρ τῶν ὄντων οἱ ἀριθμοὶ φύσει πρῶτοι· ἐξ ἀφαιρέσεως γὰρ οὗτοι, τὰ δὲ ἄλλα ἐκ προσθέσεως, ὡς εἴρηται... τῆς μὲν γὰρ δικαιοσύνης ἴδιον ὑπολαμβάνοντες τὸ ἀντιπεπονθός τε καὶ ἴσον ἐν τοῖς ἀριθμοῖς τοῦτο εὕρισκον ὄν· διὰ τοῦτο τὸν ἰσάκις ἴσον ἀριθμὸν ἤγουν τὸν πρῶτον τετράγωνον (πρῶτος δὲ ἐν τετραγώνοις ὁ τέσσαρα) δικαιοσύνην ἔλεγον εἶναι, ἄλλοι δὲ τὸν ἐννέα ὡς πρῶτον τετράγωνον ἀπὸ περιττοῦ πρώτου τοῦ τρία. καιρὸν δὲ πάλιν ἔλεγον τὸν ἑπτά· δοκεῖ γὰρ τὰ φυσικὰ τοὺς τελείους καιροὺς ἴσχειν καὶ γενέσεως καὶ τελειώσεως κατὰ ἑβδομάδα, ὡς ἐπ' ἀνθρώπου τοῦτο ὁρᾶται· καὶ γὰρ τίκτεται ἑπταμηνιαῖα, καὶ ὀδοντοφυεῖ τὰ παιδία ἐν τῷ ἑβδόμῳ μηνί, καὶ ἡβάσκει περὶ τὴν δευτέραν ἑβδομάδα ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ἐνιαυτῷ, καὶ γενειᾷ περὶ τὴν τρίτην, τὸν εἰκοστὸν δηλαδὴ πρῶτον. ἀλλὰ καὶ τὸν ἥλιον δέ, ἐπεὶ αὐτὸς αἴτιός ἐστι τῶν καρπῶν καὶ τῇ κινήσει τούτου ἐνιαυτὸς μετρεῖται, τὴν ἑβδομάδα λαχεῖν τῶν περὶ τὸν οὐρανὸν φερομένων σφαῖραν, ἄνωθεν ἀπὸ τῆς ἀπλανοῦς ἀρχομένων αὐτῶν ἀριθμεῖσθαι· κἂν παρὰ τὰς τῶν μαθηματικῶν ὑπολήψεις ὑπελάμβανον τοῦτο. κινεῖσθαι γὰρ μετὰ τὴν τῶν ἀπλανῶν σφαῖραν καὶ τὰς πέντε τὰς τῶν πλανήτων, μεθ' ὧν ἑβδόμην τὴν τοῦ ἡλίου καὶ ὀγδόην τὴν τῆς σελήνης, καὶ τὴν τῆς γῆς ἐννάτην· κινεῖσθαι γὰρ ἔλεγον καὶ τὴν γῆν, καθάπερ τὰς λοιπὰς σφαίρας, περὶ τὸ μέσον καὶ τὴν ἑστίαν, ἣν ἐκάλουν τὸ πῦρ. ἐπεὶ δὲ ὁ ἑπτὰ οὔτε γεννᾷ τινὰ τῶν ἐν τῇ δεκάδι ἀριθμῶν οὔτε γεννᾶται ὑπό τινος αὐτῶν, διὰ τοῦτο καὶ Ἀθηνᾶν ἔλεγον αὐτόν. ὁ μὲν γὰρ δύο τὸν τέσσαρα καὶ ὁ τρία τὸν ἐννέα, ἀμφότεροι δὲ τὰ ἕξ· ὁ τέσσαρα μετὰ τοῦ δύο τὰ ὀκτώ, καὶ ὁ δύο μετὰ τοῦ πέντε τὰ δέκα γεννᾷ. γεννῶνται δὲ ὁ τέσσαρα καὶ ἓξ καὶ ὀκτὼ καὶ ἐννέα καὶ ὁ δέκα γεννῶσι δὲ μόνον ὁ δύο καὶ ὁ τρία καὶ ὁ πέντε· γεννῶνται δὲ μόνον ὁ ἕξ, ὁ ὀκτώ, ὁ ἐννέα καὶ ὁ δέκα· ὁ δὲ τέσσαρα καὶ γεννᾷ καὶ γεννᾶται· ὁ ἑπτὰ δὲ οὔτε τινὰ γεννᾷ οὔτ' ἔκ τινος γεννᾶται. cod. Laur.

(*) p. 985 b 23. "Πυθαγόρειοι".. ὁμοίως τούτοις καὶ Πλάτων, περὶ οὗ ἔλεγόν τινες ὡς κατεμαθηματικεύσατο τὴν φύσιν ὁ Πλάτων. ἐπεὶ δὲ πρῶτοι φύσει τῶν μαθημάτων οἱ ἀριθμοί, ἐν δὲ τούτοις ἐδόκουν θεωρεῖν πολλὰ τοῖς οὖσι καὶ γινομένοις ὁμοιώματα μᾶλλον ἢ ἐν πυρὶ καὶ ὕδατι (τί γὰρ ὁμοίωμα ἐν πυρὶ τῆς δικαιοσύνης, ὡς ἐν τῷ ἀρτιάκις τυχὸν ἀρτίῳ ἢ ἐν τῷ τελείῳ ἢ τῷ ἐμμέσῳ; τί δὲ ὁμοίωμα ἐν ὕδατι ψυχῆς τε καὶ νοῦ, ὡς ἐν τῷ πρώτῳ, τῇ μονάδι; πρόεισι γὰρ ἀπρόϊτος, καὶ ᾧ τινὶ ἀριθμῷ συμπλακείη, πάλιν ὁ αὐτὸς μένει ὥσπερ ὁ νοῦς. ἢ ὡς ἐν τῷ κύκλῳ τῷ ἀριθμῷ τῷ κε' τῷ λς'· ἐν αὐτῷ γὰρ καὶ προϊὼν μένει. τί δὲ ὁμοίωμα καιροῦ ἐν γῇ, ὡς ἐν τῷ ἑπτά; ἐπειδὴ τὴν ἑπτάδα καιρὸν ἐκάλουν οἱ Πυθαγόρειοι διὰ τὸ ἐπανακυκλεῖν τὸν χρόνον ἐν ταύτῃ, ἢ διὰ τοὺς σχηματισμοὺς τῆς σελήνης) διὰ τοῦτο τὰ στοιχεῖα τῶν ἀριθμῶν τῶν ὄντων στοιχεῖα ὑπέλαβεν. Anon. Urbin.

14. ὑστέρα — φύσιν om *A*. ‖ 19. μὴ δεικνύς τε τὴν *A*. ‖ 27. μόνον *M*.

3. προσείληφε codd. ‖ 17. καιρὸν οὖν ἔλεγον τὸν ἑπτά· πάλιν δοκεῖ Asclep. ‖ 18. ἴσχειν καιροὺς Asclep. ‖ 19. τοῦτο ὁρᾶται om Asclep. ‖ τίκτονται Asclep. ‖ 20. ὀδοντοφυεῖ τοσούτων μηνῶν, ἀλλὰ καὶ ἡβᾷ περὶ δευτέραν Asclep. ‖ 21. ἐν — ἐνιαυτῷ et 22. τὸν — ἀλλὰ om Asclep. ‖ 23. αὐτὸς δοκεῖ τῶν καιρῶν αἴτιος εἶναι Asclep. ‖ 31. ὁ ἑπτὰ post ἀριθμῶν Asclep. ‖ 33. ἐννέα καὶ τὸν ἕξ Asclep. ‖ 34. μετὰ τοῦ δύο om Asclep. ‖ τὰ] τὸν Asclep.

ρος εἰς πῦρ καὶ τὰ ὅμοια τοῦ ἀέρος εἰς ἀέρα, ὡς εἶναι μετ' ἀλλήλων τὰ τοῦ ἀέρος καὶ τὰ τοῦ πυρὸς ὁμοίως. ὡσαύτως καὶ τὰ τῶν ἄλλων ἑκάστου· οὕτως γὰρ ἡ εἰς τὰ στοιχεῖα τοῦ ἑνὸς διαίρεσις. καὶ οὕτως μὲν αὐτῷ τὸ νεῖκος οὐ διακρίσεως μᾶλλον ἢ συγκρίσεως αἴτιον. πάλιν δ' αὖ ἡ φιλία, ὅταν τὰ αὐτὰ σώματά τε καὶ στοιχεῖα συγκρίνῃ τε καὶ εἰς ἓν συνάγῃ, πρῶτον αὐτὰ διαιρεῖ τε καὶ κατακερματίζει καὶ διακρίνει (*). οὐ γὰρ δὴ ὁλόκληρα ὄντα, καὶ ἰδίᾳ ἕκαστον αὐτῶν τι ὄν, οὗ ποιητικὴ ἡ φιλία, γίνεται· τὸ γὰρ ἅπτεσθαι ἀλλήλων καὶ ἐπὶ τοῦ νείκους εἴη ἂν ἐν ἑνί· ἀλλὰ συνανακιρνᾶται ἀλλήλοις· τούτου γὰρ ποιητικὴ ἡ φιλία γίνεται· οὐ γὰρ τοῦ ἅπτεσθαι ἀλλήλων, ὃ καὶ ἐπὶ τοῦ νείκους εἴη ἄν. Alex.

985 a 13. (*) λέγομεν οὖν ὡς εἰ ὁμολογοῦμεν ὅτι ὁ Ἐμπεδοκλῆς Πυθαγόρειος ἦν, φανερὸν ὅτι κατὰ τὴν διάταξιν τῶν Πυθαγορείων ἔλεγε περικεκαλυμμένως· οὐδὲ γὰρ ἐβούλοντο τὴν ἑαυτῶν σοφίαν κατάδηλον καὶ σκυτεῦσι γενέσθαι. ἔλεγον οὖν καὶ οἱ Πυθαγόρειοι ἀρχὰς τῶν ἀγαθῶν καὶ τῶν κακῶν, καὶ τῶν μὲν εἰδῶν ἀρχὴν ἀγαθὴν ἔλεγον, τῆς δὲ ὕλης κακήν, ἐπειδὴ πρὸς τῇ διαιρέσει ἡ ὕλη· ὥσπερ καὶ σὺ αὐτός, ὦ σοφώτατε Ἀριστότελες, λέγεις ὅτι ἁπλῶς γένεσίς ἐστιν ἡ τῶν κρειττόνων, τὶς δὲ γένεσις ἡ τῶν χειρόνων· διὸ τοῦ μὲν θερμοῦ ἁπλῶς ἐστὶ γένεσις, τοῦ δὲ ψυχροῦ τις γένεσις ὡς χείρονος. οὕτως οὖν καὶ οἱ Πυθαγόρειοι συμβολικῶς τὰ μὲν κρείττονα ἔλεγον ὑπὸ τοῦ ἀγαθοῦ γίνεσθαι, τὰ δὲ χείρονα ὑπὸ τοῦ κακοῦ· τῷ ὄντι γάρ, ὡς καὶ ὁ Πλάτων φησίν, ἐν παρυποστάσει ὑπάρχουσι καὶ περὶ τόνδε τὸν θνητὸν τόπον περιπολοῦσιν. ἄλλως τε δὴ οὔτε ἄκρατόν ἐστι κακόν· ἡ γὰρ μοιχεία καὶ ὁ φθόνος κακὰ μὲν ὡς πρὸς τὰ μερικά, ἀγαθὰ δὲ ὡς πρὸς τὸ πᾶν, διότι ἡ ψυχὴ τοῦ παθόντος ἀξία ἦν παθεῖν καὶ τοῦ ποιήσαντος ποιῆσαι. ἄλλως τε δὴ τῷ σώματι οὐκ ἔστι κακὸν ἡ μοιχεία. ὁμοίως φησὶ καὶ ἐπὶ τοῦ βλασφημοῦντος ὅτι τοῖς ὀργάνοις οὐκ ἔστι φαῦλον· ἡ γὰρ ἐνέργεια κρατύνει, ὥς φασιν ἰατροὶ "κίνησις κρατύνει, ἀργίη τήκει." ὥστε οὐδὲν παντελῶς ἐστὶν ἄκρατον κακόν. ἔπειτα εἰ τὸ νεῖκός φησιν Ἐμπεδοκλῆς αἴτιον τῷ κόσμῳ τοῦ εἶναι, ὁ δὲ κόσμος οὐ κακόν, δῆλον ὅτι οὐχ ὑποτίθεται ἀρχὰς δύο, μίαν τοῦ ἀγαθοῦ καὶ μίαν τοῦ κακοῦ. ἡ τοίνυν μοιχεία προηγουμένως διὰ τὴν τοῦ σώματος θεραπείαν γίνεται· οὐ γὰρ διὰ τὸ κακὸν τὸ ἐξ αὐτῆς συμβαῖνον· ὥστε παρυφίσταται τὸ κακόν, ὥς φησι Πλάτων. Asclep.

(*) σημειωτέον ὅτι οἱ παλαιοὶ μὴ βουλόμενοι οἰκέταις ἑαυτῶν τέχνην κατάδηλον εἶναι καὶ σκυτεῦσι καὶ τέκτοσι, συμβολικῶς καὶ περικεκαλυμμένως ἐδίδασκον ἕκαστα. διὰ τοῦτο καὶ Ἐμπεδοκλῆς Πυθαγόρειος ὢν τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἔλεγε τῶν ὄντων ἀρχάς, τὸ μὲν τῶν ἀϊδίων, τὸ δὲ τῶν γενητῶν καὶ φθαρτῶν, τὸ κακόν, διὰ μὲν τοῦ ἀγαθοῦ τὸ ἓν τῶν τοῦ εἴδους δηλῶν, διὰ δὲ τοῦ κακοῦ τὸ διαιρετικὸν τῆς ὕλης, ἐπειδὴ ἡ ὕλη πρὸς τῇ διαιρέσει. cod. Reg.

(*) ἐρῶμεν δὲ τὸ ἐναντίον πολλάκις γινόμενον, τὴν μὲν φιλίαν 985 a 25. διακρίσεως αἰτίαν· αὕτη γὰρ διακρίνει τὰ εἴδη ἐκ τῆς ὕλης κατ' αὐτὰ καὶ ποιεῖ τὸν σφαῖρον· καὶ πάλιν τὸ νεῖκος συγκρίνει τὰ στοιχεῖα· τὸ γὰρ πῦρ τὸ τῇδε κἀκεῖσε καὶ διεσπαρμένον ὑπάρχον ἐν τῷ σφαίρῳ συνάγει εἰς ἓν καὶ τὰ εἴδη ἐπιτίθησι καὶ συνάπτει τῇ ὕλῃ. cod. Laur.

ἑξῆς δὲ τὴν Λευκίππου τε καὶ Δημοκρίτου περὶ στοιχείων δόξαν 985 b 4. ἱστορεῖ, καὶ σαφῶς ἐκτίθεται τήν τε δόξαν αὐτῶν καὶ τὴν πρὸς τοὺς ἄλλους διαφοράν τε καὶ κοινωνίαν τὴν κατὰ τὴν δόξαν (*). πλῆρες δὲ ἔλεγον τὸ σῶμα τὸ τῶν ἀτόμων διὰ ναστότητά τε καὶ ἀμιξίαν τοῦ κενοῦ. ὀνομάζοντες δὲ τὸ μὲν πλῆρες ὂν τὸ δὲ κενὸν μὴ ὂν (*), ἐπεὶ ὁμοίως αὐτοῖς ἦν ἐν ὑπάρξει τό τε πλῆρες καὶ τὸ κενόν, οὐδὲν μᾶλλον ἔλεγον εἶναι τὸ πλῆρες τοῦ κενοῦ. λέγει δὲ ὅτι καὶ οὗτοι τὴν κατὰ τὴν ὕλην μόνην ἀρχὴν ἔθεντο· οὕτως γὰρ αὐτοῖς ἀρχαὶ αἵ τε ἄτομοι καὶ τὸ κενόν, ἐξ ὧν καὶ ἡ τῶν ἄλλων γένεσις κατὰ τὰς διαφορὰς τῶν σχημάτων καὶ τῶν τάξεων καὶ τῶν θέσεων κατ' αὐτούς· ὧν τὸ μὲν σχῆμα ῥυσμὸν ἔλεγον, τὴν δὲ τάξιν διαθιγήν, τὴν δὲ θέσιν τροπήν. ὁμοίως δὲ καὶ οὗτοι τοῖς ἀρχαιοτέροις ἠρκοῦντο τοῖς πάθεσι τῆς ὑλικῆς αἰτίας πρὸς τὴν γένεσιν τῶν ὄντων, ποιητικὸν δὲ αἴτιον οὐδὲν ἔλεγον, ὥσπερ καὶ οἱ μανώσει καὶ πυκνώσει τῆς ὕλης τὰ ἄλλα γεννῶντες· πλὴν ὅτι ἐκεῖνοι μὲν δύο διαφοραῖς ἐχρῶντο πρὸς τὴν γένεσιν τῶν ἐκ τῆς ὕλης γινομένων, τῇ μανώσει καὶ τῇ πυκνώσει, οὗτοι δὲ τρισὶ ταῖς εἰρημέναις, σχήματι τάξει θέσει (*). φέρεται δὲ ἔν τισι γραφὴ τοιαύτη "καὶ ὥσπερ τῶν μαθηματικῶν τὸν αὐτὸν τρόπον καὶ οὗτοι·" κἂν ᾖ αὕτη ἡ γραφή, λέγει ἂν περὶ Πλάτωνος, ὅτι ὡς ἐκεῖνος ἐκ τῶν μαθηματικῶν γένεσιν ποιῶν τῶν σωμάτων κατὰ τὴν τῶν τριγώνων διαφορὰν καὶ τὸ πλῆθος τὰς τῶν σωμάτων γεννᾷ διαφοράς, οὕτως καὶ οὗτοι κατὰ τὰς διαφορὰς τῶν ἐν τοῖς πρώτοις σώμασι σχημάτων ἐγέννων τὰ ἐξ αὐτῶν. Alex.

(*) καὶ ἔλεγον (Λεύκιππος καὶ Δημόκριτος) ὅτι οὐκ ἔστιν ἐπὶ 985 b 6. πλέον τὸ ὂν τοῦ μὴ ὄντος, ἐπειδὴ οὔτε τὸ σῶμα, τουτέστιν αἱ ἄτομοι, πλείονες ὑπάρχουσι τοῦ κενοῦ· πανταχοῦ γὰρ καὶ κενὸν καὶ ἄτομοι ὑπάρχουσιν. οὕτως φησὶ καὶ ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ ὅτι οὐκ ἔστιν ἐπ' ἔλαττον τὸ μὴ ὂν τοῦ ὄντος (μὴ ὂν δὲ λέγει τὸ κατὰ τὴν ἑτερότητα)· διὰ πάντων γὰρ τῶν ὄντων πεφοίτηκε. πάντα γὰρ τὰ ὄντα ὡς πρὸς ἄλληλα παραβαλλόμενα μὴ ὄντα ὑπάρχουσιν· ὁ γὰρ ἄνθρωπος μὴ ὄν ἐστιν ὡς πρὸς ἵππον. τὸ δὲ μηδαμῇ μηδαμῶς ὂν οὔτε ῥητὸν λέγει εἶναι οὔτε δοξαστόν· περὶ οὗ ὁ Δημόκριτός φησι μὴ εἶναι ἐπ' ἔλαττον τοῦ ὄντος... καὶ διαφέρειν φασὶ τὸ ὂν ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ, Ἀβδηριτικαῖς φωναῖς... διὸ καὶ Ἐμπεδοκλέα εὐθύνει λέγοντα τοῦ μὲν σφαίρου τὴν φιλίαν, τοῦ δὲ αἰσθητοῦ κόσμου τὸ νεῖκος.

1. ἀλλήλων καὶ τὰ τοῦ ἀέρος ὡσαύτως· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων ἑκάστων Asclep. ‖ 4. οὐ] ἦν *A*. ‖ ἢ] ἀλλὰ Asclep. ‖ 5. συγκρίνεται εἰς *A*, συγκρίνηται καὶ εἰς *M*. ‖ 10. καὶ om *A*.

1. πολλάκις δὲ τὸ ἐναντίον ἐρῶμεν Asclep. ‖ 2. αἰτίαν om id. ‖ 3. καὶ post σφαῖρον om id. ‖ 4. καὶ διεσπαρμένον om Asclep. ‖ ὑπάρχον Asclep., ὑπάρχει *L*. ‖ ἐν τῷ σφαίρῳ om Asclep. ‖ 5. εἰς ἓν συνάγει καὶ τὰ εἴδη πάλιν τῇ ὕλῃ ἐπιτίθησι Asclep. ‖ 10. ἔλεγε *A*. ‖ 12. οὐδὲ *M*. ‖ 17. ῥοισμὸν *L*.

τίθενται οἱ λέγοντες εὖ τετάχθαι τὸ ὄν· ἕκαστον γὰρ τῶν ὄντων τοῦ οἰκείου ἀγαθοῦ ἐφιέμενον καὶ τοῦ οἰκείου τέλους σπεύδει ἐξομοιωθῆναι ὡς δυνατὸν τῷ παραγαγόντι· καὶ διὰ τοῦτό φασι τὸ πᾶν καλῶς τετάχθαι· διό φησι "τἀγαθὸν οὗ πάντα ἐφίεται." πάλιν δὲ οἱ ὑποτιθέμενοι εἶναι πρόοδον ἐν τοῖς οὖσι λέγουσιν εἶναι ποιητικὸν αἴτιον· ἡ γὰρ τάξις τῆς προόδου οὐκ ἀπὸ ταὐτομάτου, ὡς προϊὼν ἐρεῖ. id.

984 b 23. οὐ μὴν ἀλλ' ὑποπτεύσαι ἄν τις, φησί, καὶ Ἡσίοδον πρὸ τούτων οὕτως κινηθῆναι, καὶ εἴ τις ἄλλος ἔρωτα ἢ ἐπιθυμίαν ἐν ταῖς ἀρχαῖς ἔθετο, ὡς δοκεῖ καὶ ὁ Παρμενίδης λέγειν (1). καὶ παρέθετο τὰ ἔπη αὐτῶν δι' ὧν λέγουσι ταῦτα· ὁ γὰρ ἔρως καὶ ἡ ἔφεσις τοῦ καλοῦ κατὰ τοὺς οὕτω λέγοντας ἀρχὴ κινήσεως ἂν εἴη (2). οὗτοι μὲν οὖν τὴν τῶν ἀγαθῶν αἰτίαν ἐν ταῖς ἀρχαῖς ἔθεντο· ἀλλ' Ἀναξαγόρας μὲν ὡς ποιητικὸν τὸ ἀγαθόν, οἱ δὲ ἔρωτα καὶ ἐπιθυμίαν αἰτιώμενοι ἴσως τὸ ὡς τελικὸν ἀγαθὸν λέγοιεν ἄν· τοιοῦτον γὰρ τὸ ὀρεκτόν. ἢ τὸ μὲν ὀρεκτὸν τοιοῦτον, ὁ δὲ ἔρως ποιητικόν, εἰ τῇ ὀρέξει ἑπόμενος ἐποίει ἃ ἐποίει. Alex.

984 b 25. (1) καὶ Παρμενίδης γάρ φησι τὸν ἔρωτα τὸν θεῖον δημιουργῆσαι τὸ πᾶν. cod. Reg.

984 b 29. (2) ὁ γὰρ ἔρως τοῦ καλοῦ ἔχει ἔφεσιν, διὸ καὶ ἔρως λέγεται, παρὰ τὸ ἐρᾶν τοῦ καλοῦ καὶ τοῦ ἀγαθοῦ. ὅθεν καὶ ἡμεῖς λεγόμεθα ἐρᾶν τῶν ὑπερτέρων καὶ τὰ ὑπέρτερα ἡμῶν, ὡς προνοούμενα ἡμῶν· ἡμεῖς δὲ λεγόμεθα ἐρᾶν τῶν ὑπερτέρων ὡς θαυμάζοντες αὐτά. Asclep.

"ὡς δέον ἐν τοῖς οὖσι." λέγει περὶ τῶν περὶ ἔρωτος ὡς ἀρχῆς εἰρηκότων, ᾗ διανοίᾳ ἐχρήσαντο· ἔθεντο γὰρ τὸν ἔρωτα ἀρχήν, ὡς δέον ἐν τοῖς οὖσιν ὑπάρχειν τινὰ αἰτίαν κινητικήν τε καὶ ποιητικήν. τίς δὲ πρότερος τῆς τοιαύτης αἰτίας ἤρξατο, πότερον Ἀναξαγόρας, ὡς δοκεῖ, ἢ Ἑρμότιμος πρὸ αὐτοῦ, καὶ πρὸ τούτου οἱ περὶ Ἡσίοδον, ὕστερον, φησίν, ἔξεστι ζητεῖν. Alex.

984 b 32. "ἐπεὶ — ἀγαθοῖς." εἰπὼν περὶ τῶν ἐν ταῖς ἀρχαῖς τὴν τοῦ εὖ τε καὶ τοῦ καλῶς ποιητικὴν ἀρχὴν θεμένων (ὁ γὰρ νοῦς τοιοῦτος· καὶ γὰρ ἐν τοῖς νοῦν ἔχουσι τῶν ζῴων ταύτην ἔχει τὴν τάξιν), λέγει πάλιν πόθεν κινηθεὶς Ἐμπεδοκλῆς ἐν ταῖς ποιητικαῖς ἀρχαῖς καὶ τὴν τῶν κακῶν ποιητικὴν ἀρχὴν ἔθετο. ἐπειδὴ γὰρ ἐν τοῖς οὖσιν ἔστι καὶ τὰ κακά, Ἐμπεδοκλῆς ἐν τοῖς αἰτίοις ἔθετο οὐ τὴν τῶν ἀγαθῶν ἀρχὴν μόνον, ἥτις ἐστὶ φιλία, ἀλλὰ καὶ τὴν τῶν κακῶν, ἥ ἐστι τὸ νεῖκος. εἰ γάρ τις ἐξ ὧν λέγει τὴν διάνοιαν ἐκλαμβάνοι καὶ μὴ ἁπλῶς ἐπακολουθοίη τοῖς ἔπεσι, τούτων ἂν χάριν εὕροι αὐτῷ τὴν φιλίαν καὶ τὸ νεῖκος ἀρχὰς κειμένας, ὡς τὴν μὲν τῶν ἀγαθῶν τὴν δὲ τῶν κακῶν ποιητικήν. id.

985 a 5. "ψελλίζεσθαι" δὲ εἶπε τὸ μὴ σαφῶς λέγειν· οὕτω γὰρ οἱ ψελλιζόμενοι λαλοῦσιν. εἰ δὲ τὸ τῶν ἀγαθῶν αἴτιον ἀγαθὸν καὶ τὸ τῶν κακῶν κακόν, ἀρχὰς ἂν εἴη Ἐμπεδοκλῆς τὸ ἀγαθὸν καὶ τὸ κακὸν τιθέμενος, ἀγαθὸν μὲν τὴν φιλίαν, τὸ νεῖκος δὲ κακόν. εἰπὼν δὲ οὕτως περὶ τοῦ ἀγαθοῦ, περὶ τοῦ κακοῦ ἡμῖν προσθεῖναι κατέλιπε. τούτους μὲν οὖν φησίν, Ἐμπεδοκλέα τε καὶ Ἀναξαγόραν, ἔτι δὲ Ἑρμότιμον καὶ τῶν ποιητῶν Ἡσίοδόν τε καὶ Παρμενίδην, πρὸς τῇ ὑλικῇ αἰτίᾳ ποιητικῆς μνημονεῦσαι αἰτίας· ἃ ἐν τοῖς ὑφ' ἡμῶν, φησίν, εἰρημένοις, ἐν τοῖς περὶ Φύσεως, καὶ αὐτά ἐστι καὶ οὐκ ἔξω ἐκείνων πίπτει, οὐκ ἐναργῶς μέντοι, ἀλλ' ἀμυδρῶς καὶ ἐπ' ὀλίγον χρήσασθαι τῷ ποιητικῷ αἰτίῳ. καὶ ὅτι οὕτως ἐποίουν, παρέθετό τε καὶ ἔδειξεν εἰπών. id.

985 a 17. "σχεδὸν — μικρόν." μαρτυρεῖ δὲ Ἐμπεδοκλεῖ ὡς πρώτῳ τε διελόντι ποιητικὸν αἴτιον καὶ ταῖς ὑλικαῖς ἀρχαῖς καὶ στοιχείοις τοῖς τέτταρσι σώμασι κεχρημένῳ· οὐ μὴν ἰσοτιμίας αὐτοῖς διδόναι φησὶν αὐτόν, ἀλλὰ τῷ πυρὶ τὰ ἄλλα ἀντιτιθέναι ὡς μίαν τινὰ φύσιν ὄντα τὰ τρία, ὡς εἶναί φησι δῆλον ἐκ τῶν ἐπῶν αὐτῶν. ὅτι δὲ μὴ χρῶνται τῷ ποιητικῷ αἰτίῳ Ἀναξαγόρας τε καὶ Ἐμπεδοκλῆς ὑπέμνησεν ἡμᾶς, ἐνδεικνύμενος ὅτι καλῶς εἴρηται πρὸ ὀλίγου (p. 984 *a* 16) τὸ "ἐκ μὲν οὖν τούτων μόνην τις αἰτίαν νομίσειε τὴν ἐν ὕλης εἴδει λεγομένην" (1). μηχανῇ δὲ τῷ νῷ Ἀναξαγόραν εἶπε χρῆσθαι, ὡς ἐν ταῖς τραγῳδίαις οἱ θεοὶ παράγονται ἀπὸ μηχανῆς ἐν τοῖς ἀπόροις· ὃ καὶ αὐτὸς ἐξηγήσατο (2). λέγει δὲ τὰ αὐτὰ περὶ Ἀναξαγόρου ἃ καὶ Πλάτων ἐν Φαίδωνι (p. 98). id.

985 a 18. (1) εἶπε δὲ μηχανῇ χρῆσθαι ὡς ἐν ταῖς τραγῳδίαις ἐποίουν οἱ ἐν τῇ σκηνῇ τοὺς θεοὺς παράγοντες ἐν ταῖς ἀπορίαις πρὸς ἀντίληψιν τῶν ἀπορουμένων, οἷον ἐν τῷ Ἱππολύτῳ ἐφάνη ἡ Ἄρτεμις ἀποροῦντι τῷ Θησεῖ· οὕτως οὖν καὶ ὁ Ἀναξαγόρας... ἐν τοῖς κατὰ μέρος πάντα μᾶλλον αἰτιᾶται ἤπερ τὸν νοῦν. cod. Laur.

(2) ἐρχόμενος δὲ εἰς τὰ κατὰ μέρος, ὥς φησι καὶ Πλάτων ἐν Φαίδωνι, αὖθις ὑλικὰ αἴτια ἀπεδίδου. Asclep.

985 a 21. "καὶ — χρῆται." χρήσασθαι μὲν Ἐμπεδοκλέα ἐπὶ πλέον φησὶν Ἀναξαγόρου τοῖς ποιητικοῖς αἰτίοις, οὐ μὴν οὐδὲ αὐτὸν ἱκανῶς, ἀλλ' οὐδὲ συνέχειν τὸ ὁμολογούμενον. ἔδει μὲν γὰρ τὴν φιλίαν ἐν πᾶσι συγκρίσεως αὐτῷ αἰτίαν εἶναι, τὸ δὲ νεῖκος διακρίσεως (*)· οὐ μὴν τοῦτο ποιεῖ, ἀλλὰ πολλαχοῦ αὐτῷ ἡ μὲν φιλία διακρίνει, συγκρίνει δὲ τὸ νεῖκος. καὶ λέγει ἐν τίσιν (*). ὅταν μὲν γὰρ ὑπὸ τοῦ νείκους ἐκ τοῦ ἑνὸς εἰς τὰ στοιχεῖα διίστηται καὶ διαιρῆται καὶ χωρίζηται, τότε τὰ τέως τῶν στοιχείων μόρια ἀνακεκραμένα ἀλλήλοις (οὕτως γὰρ ἦν ἓν τὰ πάντα) συγκρίνεται καὶ συνάγεται εἰς ταὐτὸν τὰ ὅμοια τὰ τοῦ πυ-

10 — 16. apud Asclep. ‖ 10. γὰρ] οὖν Asclep. ‖ 12. τοῦ ἀγαθοῦ *L.* ‖ ἀλλ' ὁ μὲν Ἀν. *L.* μὲν om *A.* ‖ 13. τὸ om Asclep. ‖ οἱ] οὗτοι *L.* ‖ οἱ δὲ τὸν ἔρωτα καὶ τὴν ἐπιθυμίαν ἴσως ὡς *L.* ‖ 14. ἴσως et ἂν om Asclep. ‖ 16. ἃ ποιεῖ Asclep., ἅπερ ἐποίει. λέγει δὲ τίνι διανοίᾳ ἐχρήσαντο οὗτοι οἱ περὶ τὸν Παρμενίδην καὶ Ἡσίοδον τὸν ἔρωτα ἢ τὴν ἐπιθυμίαν ἀρχὴν τιθέντες, ὡς δέον καὶ πρέπον ἐν τοῖς οὖσιν ὑπάρχειν τινὰ αἰτίαν κινητικήν τε καὶ ποιητικήν. *L.* ‖ 24. λεγόντων περὶ ἔρωτος *A.* ‖ 25. ἢ διανοίας *A.* ‖ 27 — 29. apud Asclep. ‖ 27. ἥψατο Asclep. ‖ Ἑρμότιμος ἢ Ἡσίοδος ἢ Παρμενίδης ἢ οἱ πρὸ τούτων, ἔξεστιν ὕστερον ζητεῖν Asclep. ‖ 33 — 38. apud Asclep. ‖ 33. κινηθεὶς ὁ Ἐμπ. Asclep. ‖ 34. ἐπεὶ οὖν ἐν Asclep. ‖ 35. οὐ μόνον τὴν τῶν ἀγαθῶν ἀρχὴν Asclep. ‖ 36. ἣ] ὃ Asclep. ‖ 37. φησὶ τὴν διάνοιαν αὐτοῦ ἐκλαμβάνοι Asclep.

1. σαφῶς] καλῶς *L.* ‖ 33. ταῖς ποιητικαῖς αἰτίαις *A.* ‖ 34. συνέχειν] *neque constantem sententiam continuisse* Sepulv. ‖ 34 — p. 538 *a* 4. apud Asclep. ‖ 36. διακρίνει τὸ δὲ νεῖκος συγκρίνει Asclep. ‖ 38. τότε τά τε ὡς *A.* ‖ 39. τοῖς στοιχείοις *AM.* ‖ 40. τὰ τοῦ] τὰ μόρια τὰ τοῦ Asclep.

984 b 1. "τὴν τοιαύτην" τὴν ποιητικήν· οὐδὲ γὰρ γίνεταί τι κατ' αὐτούς. ὅμως ἢ τοῦτο οὐ περὶ τῶν ἓν καὶ ἀκίνητον τὸ πᾶν θεμένων εἶναι λέγει μόνον, ἀλλὰ καὶ περὶ τῶν ἓν τὸ ὑποκείμενον καὶ τὴν ὕλην μίαν· καὶ γὰρ αὐτοὶ ἓν ἐποίουν τὸ πᾶν. ἐκ δὲ τῶν νῦν λεγομένων ἴσως καὶ πρὸ ὀλίγου, ὅτε εἶπεν (α 16) "ἐκ μὲν οὖν τούτων μόνην τις αἰτίαν νομίσειε," περὶ τῶν ἓν τὸ στοιχεῖον ὑποθεμένων ἔλεγε. Alex. Aphrod.

984 b 3. "πλὴν εἰ ἄρα" (k). περὶ Παρμενίδου καὶ τῆς δόξης αὐτοῦ καὶ Θεόφραστος ἐν τῷ πρώτῳ περὶ τῶν Φυσικῶν οὕτως λέγει (l) "τούτῳ δὲ ἐπιγενόμενος Παρμενίδης Πύρητος ὁ Ἐλεάτης" (λέγει δὲ καὶ Ξενοφάνην) "ἐπ' ἀμφοτέρας ἦλθε τὰς ὁδούς. καὶ γὰρ ὡς ἀΐδιόν ἐστι τὸ πᾶν ἀποφαίνεται καὶ γένεσιν ἀποδιδόναι πειρᾶται τῶν ὄντων, οὐχ ὁμοίως περὶ ἀμφοτέρων δοξάζων, ἀλλὰ κατ' ἀλήθειαν μὲν ἓν τὸ πᾶν καὶ ἀγέννητον καὶ σφαιροειδὲς ὑπολαμβάνων, κατὰ δόξαν δὲ τῶν πολλῶν εἰς τὸ γένεσιν ἀποδοῦναι τῶν φαινομένων δύο ποιῶν τὰς ἀρχάς, πῦρ καὶ γῆν, τὸ μὲν ὡς ὕλην τὸ δὲ ὡς αἴτιον καὶ ποιοῦν." διὰ τοῦτο εἶπε τὸ "πλὴν εἰ ἄρα Παρμενίδῃ," καὶ τοῦτο δὲ καθόσον δύο αἰτίας ἔθετο, ἀλλ' οὐ καθὸ ἓν εἶναι τὸ ὂν ἔλεγε. id.

984 b 1. (k) "τῶν — φασκόντων." Ξενοφάνην λέγει καὶ Παρμενίδην καὶ Μέλισσον. ἓν λεγόντων εἶναι τὸ πᾶν καὶ ἀκίνητον οὐδενὶ τούτων συνέβη, φησίν, τὴν ποιητικὴν ἰδεῖν αἰτίαν, εἰ μὴ μόνῳ τῷ Παρμενίδῃ, ἀλλὰ καὶ τούτῳ οὐ καθ' ὅσον ἓν ἔλεγεν εἶναι τὸ ὄν, ὅταν πρὸς ἀληθῆ ἔβλεπεν· εἰ γὰρ ὡς ἓν αὐτὸ ἐσκόπει, πῶς ποιητικὸν αὐτὸ εἰρήκει; οὐ καθὸ οὖν τὸ ὂν ἓν ἔλεγε, τὴν ποιητικὴν ἐθεώρει αἰτίαν· ἀλλὰ καθ' ὅσον ἐν τοῖς πρὸς δόξαν, δυσωπούμενος ὑπὸ τῶν αἰσθητῶν, λέγει ἀρχὰς τὸ πῦρ καὶ τὴν γῆν, ἤτοι τὸ θερμὸν καὶ ψυχρόν, τὴν μὲν γῆν ὡς ὕλην, τὸ δὲ πῦρ ὡς ποιητικὸν αἴτιον· ὃ δὴ καὶ ὂν πάλιν ἐκάλει, μὴ ὂν δὲ τὴν γῆν· καθόλου γὰρ τὸ χεῖρον τῶν ἐναντίων μὴ ὂν ἐκάλει. ἔλεγεν ἄρα καὶ Παρμενίδης ἐν τοῖς πρὸς δόξαν τὸ ὂν καὶ τὸ μὴ ὂν ἀρχὰς εἶναι τῶν ὄντων, ὥσπερ καὶ Δημόκριτος ὁ Λευκίππου ὁμιλητὴς ὂν μὲν τὰς ἀτόμους, μὴ ὂν δὲ δὲ τὸ κενόν. ἀρχὰς δὴ καὶ οὗτοι δῆλον ὡς τὰ ἐναντία ἐτίθουν· ἀντίκειται γὰρ τῷ τε θερμῷ τὸ ψυχρὸν καὶ τὸ κενὸν τῷ πλήρει ἤτοι ταῖς ἀτόμοις, ἃς καὶ σώματα Δημόκριτος ἐκάλει, κενὸν δὲ τὴν χώραν ἐν ᾗ ταῦτ' ἔκειτο τὰ ἄτομα, κινούμενα δι' αἰῶνος. cod. Laur.

984 b 2. (l) οὐδενὶ συνέβη συνιδεῖν τὴν τοιαύτην αἰτίαν πλὴν τῷ Παρμενίδῃ· δύο γὰρ ὑπετίθετο αἴτια, πῦρ καὶ γῆν· καὶ διὰ μὲν τοῦ πυρὸς λέγει τὸ ποιητικὸν αἴτιον, διὰ δὲ τῆς γῆς τὸ ὑλικόν. εἰδέναι μέντοι γε χρὴ ὅτι διὰ τοῦ ἑνός, φησίν, αἰτίου τὴν τῶν πάντων μίαν ἀρχὴν ἔλεγε, διὸ καὶ ἀκίνητον αὐτὴν ὑπετίθετο· φυσιολογῶν δὲ ἔλεγε τὸ πῦρ, καὶ διὰ τοῦ πυρὸς ἐδήλου τὸν ἀέρα συγγενῆ ὄντα, διὰ δὲ τῆς γῆς τὸ ὕδωρ. Asclep.

984 b 5. "τοῖς — λέγειν" δηλονότι ὡς καὶ ποιητικὴν αἰτίαν πρὸς τῇ ὑλικῇ. λέγει δ' ἂν οὐ περὶ τῶν ἄντικρυς καὶ ποιητικὸν αἴτιον ὑποθεμένων (Ἀναξαγόρας δέ ἐστι καὶ Ἐμπεδοκλῆς), ἀλλὰ περὶ τῶν πλείω τὰ αἴτια λεγόντων. ἐνδέχεται γὰρ τούτους ποιεῖν τῶν ὑποκειμένων τούτων τὸ μὲν ποιητικὸν τὸ δὲ παθητικόν, ὡς εἶπε καὶ περὶ Παρμενίδου. ὁ γὰρ λέγων τὰς ἀρχὰς θερμὸν καὶ ψυχρόν, ἢ πῦρ καὶ γῆν, ὡς Παρμενίδης, τὸ θερμὸν καὶ τὸ πῦρ ὡς ποιητικὸν λέγει. ὑπολαμβάνουσι γὰρ τὸ μὲν πῦρ κινητικὴν ἔχειν φύσιν, τὸ δὲ ὕδωρ καὶ τὴν γῆν καὶ τὰ τοιαῦτα (λέγοι δ' ἂν περὶ τοῦ ἀέρος ἢ περὶ τῶν ἐξ ἐκείνων μεμιγμένων, ὕδατός τε καὶ γῆς) παθητικήν. Alex. Aphrod.

"τούτους" τοὺς πάνυ παλαιούς, "τὰς δὲ τοιαύτας ἀρχάς" 984 b 8.
τὰς ὑλικάς. λέγοι δ' ἂν καὶ μετὰ τοὺς ἐν ταῖς ὑλικαῖς ἀρχαῖς καὶ τὴν ποιητικὴν αἰτίαν θεμένους, ὡς οὐκ οὐσῶν τούτων ἱκανῶν τῶν ἀρχῶν πρὸς τὸ τὴν τῶν ὄντων γεννῆσαι φύσιν· τὰ μὲν γὰρ τάξεως μετέχει καὶ κατά τινα ἀκολουθίαν ὁρᾶται γινόμενα, ἐκείνων δὲ οὐδὲν τοιαύτης τάξεως εἶεν τε αἰτίαν παρέχειν (m). ἀλλ' οὐδὲ τὸ αὐτόματον εὔλογον τούτων αἰτιάσασθαι· διὰ τοῦτο ἐζήτησαν τὴν τῆς τοιαύτης γενέσεως αἰτίαν, ὥσπερ ὑπ' αὐτῶν τῶν πραγμάτων καὶ τῆς ἐν αὐτοῖς ἀληθείας ὁδηγηθέντες καὶ ἐπαχθέντες καὶ ἀναγκασθέντες. ἐχομένη δὲ ἀρχὴ γενέσεως μετὰ τὴν ὑλικὴν ἡ ποιητική. καὶ δὴ καὶ Ἀναξαγόρας νοῦν εἰπὼν τὴν ἀρχὴν τῆς τῶν ὄντων γενέσεως ἐθαυμάσθη ὡς μόνος εἰπὼν κατὰ λόγον, τῶν ἄλλων εἰκῇ εἰπόντων ἃ εἶπον διὰ τὸ χωρὶς τῆς τοιαύτης εἰπεῖν αἰτίας. id.

(m) οὔτε δὲ δίκαιόν ἐστιν αὐτοματῳ καὶ τύχῃ τοσοῦτον ἐπιτρέψαι 984 b 14.
πρᾶγμα, ἀλλὰ θεῷ μόνῳ τῷ διὰ τὴν αὐτοῦ ἀγαθότητα πάντα παραγαγόντι. Asclep.

τὸ δὲ "καθάπερ ἐν τοῖς ζῴοις" προσέθηκε· καὶ γὰρ ἐν τοῖς ζῴοις 984 b 15.
τοῖς ἔχουσι νοῦν οὗτος ἀρχὴ καὶ αἰτία τῶν γινομένων καλῶς ὑπ' αὐτῶν (n). δοκεῖ μὲν οὖν, φησί, φανερῶς πρῶτος ἐπὶ τὴν τοιαύτην αἰτίαν ἐλθεῖν Ἀναξαγόρας, οὐ μὴν ἀλλὰ πρὸ αὐτοῦ Ἑρμότιμος ὁ πολίτης αὐτοῦ δόξαι ἂν τῆς τοιαύτης αἰτίας μνημονεῦσαι (o). οὗτοι μὲν οὖν ἅμα τῇ ποιητικῇ αἰτίᾳ τήν τε τοῦ καλῶς καὶ τεταγμένως γίνεσθαι τὰ γινόμενα ἀρχὴν καὶ αἰτίαν τῶν ὄντων ἔθεντο (τοιοῦτος γὰρ ὁ νοῦς), καὶ τὴν τοιαύτην κίνησιν τὴν ἐπὶ τὸ εὖ ἔχουσαν, ἐκ τῆς αἰτίας δηλονότι τῆς ποιητικῆς (p)· τὴν γὰρ τοῦ καλῶς κινεῖσθαι καὶ γίνεσθαι, οὐ τὴν τοῦ μόνον γίνεσθαι καὶ κινεῖσθαι αἰτίαν ἀρχὴν ἔθεντο· τοιοῦτος γὰρ ὁ νοῦς. Alex. Aphrod.

(n) ὅτι Ἑρμότιμος ὁ πολίτης Ἀναξαγόρου (Κλαζομενίω γὰρ 984 b 19.
ἄμφω ἤστην) αἴτιος γέγονε καὶ τοῦ Ἀναξαγόραν εἰπεῖν νοῦν εἶναι τοῦ παντὸς αἴτιον τοῦ τε καλῶς καὶ γίνεσθαι καὶ κινεῖσθαι, πρῶτος τοῦτο εἰπών. cod. Laur.

(o) δοκεῖ οὖν καὶ Ἑρμότιμος ὁ πολίτης αὐτοῦ τῆς τοιαύτης αἰτίας μνημονεῦσαι. Asclep.

(p) φησὶν ὅτι οἱ λέγοντες καὶ καλῶς τετάχθαι τὸ πᾶν καὶ 984 b 20.
πρόοδον εἶναι ἐν τοῖς οὖσι καὶ τελικόν τι ὑποτίθενται καὶ ποιητικόν, ὥσπερ καὶ Ἀριστοτέλης. καὶ τελικὸν γὰρ αἴτιον ὑποτίθεται εἶναι τὸ αὐτὸ καὶ ποιητικόν, ὥς φησι καὶ Ἀλέξανδρος. τελικὸν μὲν οὖν αἴτιον ὑπο-

2. ὅμως] ὅλως *M*, om Sepulv. ‖ 6. τις] τὴν *M*. ‖ 18. ἀλλὰ καὶ καθὸ *A*.
3. καὶ — καὶ] ἢ — ἢ *M*. ‖ 7. παθητικὰ *A*. ‖ 17. τούτοις *M*. ‖ 21. ἃ] μὲν *A*. ‖ 29. ποιητὴς *A*. ‖ 34. μόνον *M*.

ἀέρα ὁμοιομερῆ ὄντα, ὡς ἔστιν ἐκ τῆς ἐναργείας μαθεῖν, οὐκ ἔλεγε στοιχεῖα εἶναι, ἀλλὰ συγκρίματα. id.

(ᵈ*) Ἀναξαγόρας ἀπείρους ὑπετίθετο τὰς ἀρχάς, αὐτὰ τὰ ὁμοιομερῆ· διὸ καὶ εἶπεν αὐτὸν Ἐμπεδοκλέους πρεσβύτερον μὲν τῷ χρόνῳ, ὕστερον δὲ τοῖς ἔργοις, ἐπειδὴ συνετώτερόν ἐστι τὸ αὐτὸ ποιεῖν ἐκ τῶν πεπερασμένων παρὰ ἐκ τῶν ἀπείρων, ὁ δὲ Ἐμπεδοκλῆς πεπερασμένας ἔλεγε τὰς ἀρχάς, ὡς πολλάκις εἴρηται, αὐτὰ τὰ τέσσαρα στοιχεῖα, Ἀναξαγόρας δὲ ἀπείρους τὰς ὁμοιομερείας. πῶς οὖν δυνατόν ἐστι τῶν ἀπείρων ἀρχῶν ἐπιστήμην εἶναι; ἀσύνθετον γὰρ τὸ ἄπειρον. φησὶν οὖν ὅτι σχεδὸν ἅπαντα τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ ἢ πῦρ, οὕτω γίγνεσθαι καὶ ἀπόλλυσθαί φησι συγκρίσει καὶ διακρίσει μόνον. ἐτίθει γὰρ τὸ ὕδωρ καὶ τὸ πῦρ τῶν ὁμοιομερῶν, ὡς ἐκ τῆς ἐναργείας αὐτῆς ἐστὶ δῆλον· τὰ γὰρ μέρη τοῦ ὕδατος ἢ τοῦ πυρὸς ὕδωρ ἢ πῦρ λέγονταί τε καὶ εἰσίν. καὶ ταῦτα οὖν τῶν ὁμοιομερῶν ὄντα γίνεσθαί τε καὶ φθείρεσθαι ἐδόκει, γίνεσθαι μὲν τῇ τῶν ὁμοίων καὶ πλειόνων συνόδῳ, φθείρεσθαι δὲ τῇ διακρίσει. προσέθηκε δὲ τὸ σχεδόν, ὅτι τὸ πῦρ καὶ τὸ ὕδωρ καὶ τὰ σύστοιχα τούτοις ὁμοιομερῆ ὄντα οὐκ ἔλεγεν ἀρχὰς εἶναι καὶ στοιχεῖα, ἀλλὰ συγκρίματι ἢ συνθέσει ἐκ τούτων τῶν ὁμοιομερῶν· καὶ τὴν γένεσιν τούτων ἔλεγε σύγκρισιν τῶν ὁμοίων, φθορὰν δὲ τὴν διάκρισιν γίνεσθαι. cod. Laur.

Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος πρεσβύτερος μὲν ὑπῆρχεν Ἐμπεδοκλέους, τοῖς δὲ ἔργοις ὕστερος, διότι ὁ μὲν Ἐμπεδοκλῆς πεπερασμένας ὑπετίθετο εἶναι τὰς ἀρχάς, τέσσαρας λέγων, ὁ δὲ Ἀναξαγόρας ἀπείρους. πῶς δὲ δυνατόν ἐστιν εἶναι ἐπιστήμην ἀπείρων οὐσῶν τῶν ἀρχῶν; τὸ γὰρ ἄπειρον οὐ γίνεται· πάντα γὰρ τὰ ὁμοιομερῆ καθάπερ ὕδωρ καὶ πῦρ φησὶ γίνεσθαι καὶ ἀπόλλυσθαι· καὶ τὸ ὕδωρ γὰρ καὶ τὸ πῦρ ἐκ τῶν ὁμοιομερῶν ἐγέννα· συγκρίσει δὲ τὴν γένεσιν, οὐδὲν δὲ ἀπόλλυσθαι ἔλεγε, ταῦτα λέγων οὔτε γίνεσθαι ἀλλὰ μένειν ἀΐδια· διακρινόμενα γὰρ ἐν ἄλλῳ εὑρίσκεται, καὶ πάλιν πρὸ τῆς συγκρίσεως ἴσα. ἐκ μὲν οὖν τούτων ἁπάντων μόνη αἰτία φαίνεται ἡ ἐν ὕλης εἴδει. Asclep.

984a 16. "ἐκ — νομίσειεν." ἐκ τούτων τῶν εἰρημένων· παρέθετο γὰρ τὰς ὑλικάς τε καὶ σωματικὰς ἀρχάς, καίτοι ἐμνημόνευσε καὶ Ἐμπεδοκλέους καὶ Ἀναξαγόρου, οἳ καὶ ποιητικὰ ἔθεντο αἴτια. ἀλλὰ καὶ τούτων ἐμνημόνευσε δηλῶν τίσι καὶ οὗτοι παρὰ τοὺς πρὸ αὐτῶν ὑλικοῖς αἰτίοις ἐχρήσαντο, ἐπεὶ καὶ τούτους ᾐτιάσατο ὡς μέχρι λόγου κεχρημένους τοῖς ποιητικοῖς αἰτίοις, οὐκέτι δὲ αὐτὰ περιλαμβάνοντας ἐν τῇ γενέσει τούτων ἃ ἐκ τῶν στοιχείων γεννῶσι. Alex. Aphrod.

984a 18. "προϊόντων δὲ οὕτως." λέγει πόθεν ἦλθεν ἐπὶ τὸ ζητῆσαι μετὰ τὴν ὑλικὴν αἰτίαν τὴν ποιητικήν· ὅτι γὰρ δεῖ τι αἴτιον εἶναι τῷ ὑποκειμένῳ τῆς εἰς ἃ γίνεται μεταβολῆς· οὐ γὰρ δὴ αὐτό τι αὑτὸ μεταβάλλειν ποιεῖ χωρὶς αἰτίας ἔξωθέν τινος. id.

984a 27. "εἰ — ἀρχῆς (ᶠ)." λέγει πάλιν περὶ τῶν μόνῃ τῇ ὑλικῇ τε αἰτίᾳ καὶ ἀρχῇ χρησαμένων (ᵍ)· δόξει δὲ τὸ πάμπαν ἐξ ἀρχῆς προστεθεικέναι ὑπὲρ τοῦ δηλῶσαι τοὺς περὶ Θαλῆν καὶ Ἀναξιμένην, ἐπεὶ ὧν γε ἐμνημόνευσεν, Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς δοκοῦσι τι εἰρηκέναι καὶ περὶ τῆς ποιητικῆς ἀρχῆς, ὡς καὶ αὐτός τε προϊὼν μνημονεύσει (ʰ), οὐδὲν ἐδυσχέραναν ἐν αὐτοῖς, οἷον οὐκ ἐπέστησαν τῇ τῶν λεγομένων ὑπ' αὐτῶν ἀτοπίᾳ, οὐδ' ἐμέμψαντο τοῖς λεγομένοις ὡς οὐχὶ καλῶς λεγομένοις, οὐδ' ἐζήτησάν τινα καὶ ἄλλην ἀρχὴν πρὸς τῇ ὑλικῇ, ὡς οὐχ ἱκανῶς ἐχούσης τε καὶ λεγομένης ὑπ' αὐτῶν. id.

(ᶠ) "εἰ — ἀρχῆς." πάμπαν ἀρχαίους λέγει τοὺς περὶ Θαλῆν καὶ Ἀναξιμένην ὡς ἀρχηγοὺς τῆς φυσικῆς φιλοσοφίας, καὶ μᾶλλον Θαλῆν τὸν Μιλήσιον. λέγει οὖν πάλιν περὶ τῶν μόνῃ τῇ ὑλικῇ τε καὶ ἀρχῇ χρησαμένων, ἐπεὶ ὧν ἐμνημόνευσεν ὅ τε Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς δοκοῦσί τι καὶ περὶ τῆς ποιητικῆς ἀρχῆς εἰρηκέναι. cod. Laur.

984a 28. (ᵍ) γρ. καὶ "ταύτης" ἤτοι τῆς φυσικῆς. cod. Reg.

(ʰ) τῶν γὰρ μνημονευομένων φυσικῶν ἀρχαιότατος (ὁ Θαλῆς). καλῶς δὲ εἶπε τὸ "λέγεται·" οὔτε γὰρ φέρεται αὐτοῦ βιβλίον τοῦτο ἔχον. εἰ οὖν περὶ Θαλῆν καὶ Ἀναξιμένην οὐδὲ ἐδυσχέραναν πρὸς ἑαυτοὺς κτλ. Asclep.

984a 29. "ἀλλ' — εἶναι." λέγει μὲν περὶ Ξενοφάνους καὶ Μελίσσου καὶ Παρμενίδου· οὗτοι γὰρ τὸ ἓν τὸ πᾶν ἀπεφήναντο. ἡττηθῆναι δὲ αὐτούς φησιν ὑπὸ ταύτης τῆς ζητήσεως, ὅτι ὑποθέμενοι ἓν τὸ πᾶν καὶ ζητοῦντες πῶς οἷόν τε τοῦτο τὸ ἓν ἐξ ἑαυτοῦ μεταβάλλειν, μὴ δυνάμενοι σώζειν ἔτι αὐτὸ ἓν εἰ μὴ ἀναιροῖεν τὰ φανερά, καὶ ταῦτα μικροῦ δεῖν ἐναργέστατα, κίνησίν τε γὰρ καὶ μεταβολὴν ἐκ τῶν ὄντων ἀνῄρουν τῷ τούτων ὄντων μηκέτι αὐτοῖς ἓν τὸ ὂν μένειν. εἰπὼν δὲ "τὸ ἓν ἀκίνητόν φασιν εἶναι," προσέθηκε τὸ "καὶ τὴν φύσιν ὅλην (ⁱ)·" ἡ γὰρ φύσις ὅλη τὸ ἓν αὐτοῖς ἦν. ὡς δὲ φανερωτέρου τοῦ ἀτόπου ὄντος τοῦ λέγειν τὴν φύσιν ὅλην ἀκίνητον, προσέθηκε τὸ ἀκίνητόν τε οὐ κατὰ γένεσιν καὶ φθορὰν μόνον (καὶ γὰρ αὗται αἱ μεταβολαί, εἰ καὶ μὴ κινήσεις, ἀλλὰ κινουμένων τινῶν) ἀλλὰ καὶ κατὰ τὰς ἄλλας μεταβολὰς πάσας. Alex. Aphrod.

984a 31. (ⁱ) "καὶ — ὅλην." φησὶν ὅτι καθόλου τὴν φύσιν ἕν τι ὑπετίθεντο, οὐ μόνον κατὰ γένεσιν καὶ φθοράν (τοῦτο μὲν γὰρ ἀρχαῖόν τε καὶ πάντες ὡμολόγησαν τὸ εἶναι ἀμετάβλητον τὴν ὕλην) ἀλλὰ καὶ κατὰ τὴν ἄλλην μεταβολὴν πᾶσαν κτλ. Asclep.

34. εἰ οὐ μόνον ὑλικὰς αἰτίας εἰσῆγον ἀλλὰ καὶ ποιητικάς. *L.* ‖ 38. τούτων τῶν ἐκ τῶν σ. γινομένων *L.*

1. τι αὐτὸ om *M.* ‖ 3—5. ap. Asclep. ‖ 3. ὑλ. αἰτ. τε καὶ Asclep. ‖ 4. πάμπαν] πᾶν Asclep. ‖ 6. ὧν γε ἐμνημόνευσεν om Asclep. ‖ ὅ τε Ἀναξαγόρας *L.* ‖ εἰ περὶ Ἀναξαγόραν καὶ Ἐμπεδοκλέα ἐμνημόνευσαι τῶν ποιητικῶν ἀρχῶν, ὁ μὲν λέγων νεῖκος καὶ φιλίαν. καὶ προϊὼν ἐρεῖ περὶ αὐτῶν. Asclep. ‖ 12. ὑλικῇ καὶ οὐχ *M.* ‖ 24—26. εἶναι — ζητήσεως om *M.* ‖ 24—36. ap. Asclep. ‖ 25. τὸ ante ἓν om Asclep. ‖ 26. πᾶν εἶναι ἀκολουθοῦντες τῇ ὑποθέσει καὶ Asclep. ‖ 27. τοῦτο ἓν ὂν ἐξ αὑτοῦ μ. Asclep. ‖ 28. ἔτι σώζειν Asclep. ‖ ἀνέλοιεν *A.* ‖ ταῦτα ἀνῄρουν ἃ ἐστιν ἐναργέστατα Asclep. ‖ 29. δεῖν *A.* ‖ ἐκ τῶν] αὐτῶν *M.* ‖ 30. μηκέτι αὐτοὺς ἓν τὸ ὂν λέγειν. εἰπὼν Asclep. ‖ 31. φασιν om Asclep. ‖ 32. ἦν om Asclep. ‖ 33. λέγεσθαι Asclep. ‖ τὸ] αὐτὸ Asclep. ‖ 35. ἀλλὰ ante καὶ om Asclep. ‖ μεταβολὰς πάσας, ὥστε φύσεως λέγοντες τὴν οὖσαν ἀρχήν, κίνησιν ἀνῄρουν· καὶ κατὰ φύσιν ὅλην Asclep.

984 a 2. "Θαλῆς — αἰτίας." εἰκότως τὸ "λέγεται οὕτως ἀποφήνασθαι·" οὐδὲν γὰρ προφέρεται αὐτοῦ σύγγραμμα, ἐξ οὗ τις τὸ βέβαιον ἕξει τοῦ ταῦτα λέγεσθαι τοῦτον τὸν τρόπον ὑπ' αὐτοῦ. id.

984 a 3. Ἵππωνα ἱστοροῦσιν ἀρχὴν ἁπλῶς τὸ ὑγρὸν ἀδιορίστως ὑποθέσθαι, οὐ διασαφήσαντα πότερον ὕδωρ, ὡς Θαλῆς, ἢ ἀήρ, ὡς Ἀναξιμένης καὶ Διογένης. διὸ καὶ παραιτεῖται αὐτοῦ τὴν δόξαν ὡς ἐπιπόλαιον καὶ οὐδὲν διασαφοῦσαν. ἢ οὐχ ὡς ἀδιάρθρωτον αὐτοῦ τὴν δόξαν παραιτεῖται (³)· οὐ γὰρ εἶπε διὰ τὴν εὐτέλειαν αὐτοῦ τῆς δόξης, ἀλλ' ὡς οὐκ ὀφείλοντα ἐν τοῖς φιλοσόφοις ἐγκαταριθμεῖσθαι διὰ τὴν τῆς διανοίας εὐτέλειαν (⁴). διὰ γὰρ τοῦτο εἶπε τὸ "μετὰ τούτων," λέγων τῶν φιλοσόφων (⁵). τοῦτο δὲ λέγοι ἂν περὶ αὐτοῦ, ὅτι ἄθεος ἦν· τοιοῦτο γὰρ καὶ τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα

Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἶσον ἐποίησεν μοῖρα καταφθίμενον. id.

(³) Ἵππων τὴν αὐτὴν εἶχε δόξαν Θαλῇ, ἀρχὴν λέγων καὶ αἰτίαν τῶν ὄντων τὸ ὕδωρ. φησὶ δὲ ὅτι οὐ δίκαιόν ἐστι συντάττειν τοῦτον τοῖς φυσικοῖς διὰ τὴν εὐτέλειαν αὐτοῦ τῆς διανοίας. οὐκ εἶπε δὲ τῆς δόξης· ὕδωρ γὰρ καὶ αὐτὸς ἐδόξαζεν ὡς Θαλῆς· ἀλλὰ διὰ τὴν ἀθεότητα· θεὸν γὰρ οὐ προεστήσατο τῶν ὄντων δημιουργόν· διὸ καὶ ἀπέπτυσε πρὸς αὐτὸν εἰπὼν δ. τ. εὐτ. α. τ. δ. cod. Laur.

(⁴) ἄθεος γάρ ἐστιν (ὁ Ἵππων)· οὐ λέγει γὰρ ἄλλο τι εἶναι παρὰ τὰ φαινόμενα φυσικὰ πράγματα. Asclep.

(⁵) ἔλεγε γὰρ (ὁ Ἵππων) μηδὲν ἕτερον εἶναι παρὰ τὰ φαινόμενα φυσικὰ πράγματα· ὅθεν καὶ ὡς μηδὲν ἄλλο τι παρὰ τὰ αἰσθητὰ δοξάζων εἶναι ἄθεος ἐπεκλήθη. cod. Reg.

984 a 5. ἑξῆς δὲ λέγει περὶ τῶν τὸν ἀέρα ἀρχὴν εἰπόντων καὶ πρὸ τοῦ ὕδατος τοῦτον θεμένων· οὗτοι δὲ ἦσαν Ἀναξιμένης τε ὁ Μιλήσιος καὶ Διογένης ὁ Ἀπολλωνιάτης. Ἵππασον δὲ τὸν Μεταποντῖνον καὶ Ἡράκλειτον τὸν Ἐφέσιον λέγει πῦρ εἰπεῖν τὴν ἀρχὴν τῶν ὅλων (⁶). Ἐμπεδοκλῆς δὲ τέτταρα, πρὸς τοῖς εἰρημένοις γῆν προσθεὶς τέταρτον (⁷)· τῶν γὰρ πρὸ αὐτοῦ οἱ μὲν πῦρ, οἱ δὲ ὕδωρ, οἱ δὲ ἀέρα ὑπέθεντο· τούτοις οὖν τοῖς τρισὶ τὴν γῆν Ἐμπεδοκλῆς προσέθηκε τέταρτον. Alex. Aphrod.

984 a 8. (⁶) ὁ δὲ Ἐμπεδοκλῆς τέσσαρα στοιχεῖα ὑπετίθετο εἶναι τὰ πολυθρύλλητα. ταῦτα δὲ ἔλεγεν ἀΐδια διαμένειν καὶ οὐδέποτέ φησι φθείρεσθαι, ἀλλὰ πλήθει καὶ ὀλιγότητι συγκρινόμενα καὶ διακρινόμενα· συγκρινόμενα μὲν ἔλεγεν ἓν γίνεσθαι, ὅ ἐστιν ὅλον, διακρινόμενα δὲ πλείονα, ὅ ἐστι πλῆθος. Asclep.

(⁷) Ἐμπεδοκλῆς μὲν ἓξ στοιχεῖα τιθέμενος, τὰ τέσσαρα στοιχεῖα καὶ προσέτι τὸ νεῖκος καὶ τὴν φιλίαν, ἔλεγεν ὡς ὅταν μὲν τὰ τέσσαρα στοιχεῖα τῇ φιλίᾳ συγκριθῶσιν, ὁ σφαῖρος ἀποτελεῖται, ὃν νοητὸν ὠνόμαζεν ἐκεῖνος διάκοσμον, ὅταν δὲ τοῦ νείκους ἐπικράτησις γένηται, τότε διάκρισίς τε καὶ διάσπασις τῶν ἐν τῷ σφαίρῳ, καὶ τῶν ἐν τῷ αἰσθητῷ κόσμῳ τελεσιούργησις· ὡς συμβαίνειν κατ' ἐκεῖνον ἓν μὲν γίνεσθαι καὶ ὅλον συγκρίσει, πλῆθος δὲ καὶ πλείονα διακρίσει. cod. Reg.

"ταῦτα ... ἑνός." εἶπε πῶς πλήθει καὶ ὀλιγότητι. ἡ μὲν γὰρ 984 a 9. μῖξις αὐτῶν καὶ ἡ εἰς τὸ ἓν σύνοδος ὑπὸ τῆς φιλίας γιγνομένη εἰς ὀλιγότητα καὶ ἑνότητα εἶχε τὴν μεταβολήν, ἡ δὲ ὑπὸ τοῦ νείκους γιγνομένη διάκρισις καὶ χωρισμὸς τούτων ἐκ τοῦ ἑνὸς πολλὰ ἐποίει· ὡς δὲ δυναμένης ἐν τῇ τοιαύτῃ μεταβολῇ σώζειν αὐτῆς τὴν οἰκείαν φύσιν λέγει. ἢ οὐ περὶ τῆς συγκρίσεως καὶ τῆς διακρίσεως ὑπὸ τοῦ νείκους καὶ τῆς φιλίας γιγνομένων λέγει ταῦτα, ἀλλὰ περὶ τῆς δοκούσης αὐτῶν γενέσεώς τε καὶ φθορᾶς· γίγνεσθαι μὲν γὰρ δοκεῖ ἕκαστον αὐτῶν ὅταν πλῆθός τι αὐτῶν ἅμα συγκριθῇ· ὅταν γὰρ ἔν τινι μίγματι πλείω τὰ τοῦ πυρὸς ᾖ μόρια, δοκεῖ γένεσις γίγνεσθαι πυρός, ὅταν δὲ ἐλάττω, φθορά. ἢ τὸ λεγόμενόν ἐστιν ὅτι αὐτὰ μὲν οὐ γίγνεται, τὸ δὲ πλῆθος καὶ ἡ ὀλιγότης τῶν ὄντων ἐκ τῆς τούτων διακρίσεως καὶ συγκρίσεως γίνονται. Alex. Aphrod.

"Ἀναξαγόρας — ὕστερος (*)." Ἀναξαγόραν Ἐμπεδοκλέους 984 a 11. πρότερον γενόμενον τοῖς ἔργοις φησὶ καὶ τῇ περὶ τῶν φυσικῶν δόξῃ ὕστερον εἶναι, οὐ προκρίνων αὐτοῦ πάντως τὴν δόξαν τῆς Ἐμπεδοκλέους ὡς συνετωτέραν καὶ πλέον τι ἔχουσαν, ἀλλ' ὑστέραν καὶ εὐτελεστέραν ἡγούμενος. ἐν ἄλλοις οὖν αὐτοῦ προκρίνει τὸν Ἐμπεδοκλέα, ὅτι τὰ αὐτὰ σώζει πεπερασμένας ὑποθέμενος τὰς ἀρχάς· ἄμεινον γὰρ τὸ πεπερασμένας τὰς ἀρχὰς ποιεῖν τοῦ ἀπείρους, εἰ δύναιτό τις διὰ τῶν πεπερασμένων ἀποδιδόναι τὰ αὐτά (*). ἔστι μέντοι ἐν οἷς καὶ τὴν Ἀναξαγόρου δόξαν τῆς Ἐμπεδοκλέους δόξης προκρίνει. νῦν μέντοι ἔοικεν ὕστερον αὐτὸν τοῖς ἔργοις λέγειν διὰ τὴν τῶν στοιχείων ἀπειρίαν· προειπὼν γὰρ ταῦτα ἐπήνεγκε τὸ ἀπείρους εἶναι τὰς ἀρχάς. προελθὼν μέντοι τὴν δόξαν αὐτοῦ σύμφωνον δείκνυσι τῇ Πλάτωνος, ὃς ὕστερος ἐγένετο. ἐξηγησάμενος γὰρ τὴν βούλησιν αὐτοῦ καὶ ὅτι δι' ὧν λέγει λέγει ἂν τὸ ἓν καὶ τὸ ἀόριστον ἀρχάς, ἐπιλέγει (c. 8 p. 989 *b* 19) "βούλεται μέντοι τι παραπλήσιον τοῖς τε ὕστερον λέγουσι καὶ τοῖς φαινομένοις μᾶλλον." σχεδὸν γὰρ ἅπαντα τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ πῦρ καὶ ἕκαστον τῶν τεσσάρων σωμάτων, συγκρίσει γίνεσθαί τε καὶ φθείρεσθαι δοκεῖ· τῇ γὰρ τῶν πλειόνων ὁμοίων συνόδῳ ἕκαστον τόδε γίγνεσθαι. οὕτως Ἀναξαγόραν φησὶ ταῦτα τὰ ὁμοιομερῆ ἄπειρα ὄντα καὶ ἀΐδια γίγνεσθαί τε δοκεῖν καὶ φθείρεσθαι, γίγνεσθαι μὲν τῇ τῶν πλειόνων ὁμοίων συνόδῳ, φθείρεσθαι δὲ τῇ διακρίσει. σχεδὸν δὲ πάντα εἶπε τὰ ὁμοιομερῆ· οὐ γὰρ πάντα ἐν ταῖς ἀρχαῖς ἐτίθετο· τὸ γοῦν ὕδωρ καὶ τὸ πῦρ καὶ τὴν γῆν καὶ τὸν

(*) p. 984 *a* 12. "πρότερος ὤν." πρότερος γοῦν τῷ χρόνῳ, ἀλλ' ὕστερος καὶ ἐλλείπων κατὰ τὴν δόξαν, λέγων τὰς ὁμοιομερείας· ἀπείρους γὰρ ἔλεγε τὰς ἀρχάς, καὶ συγκρίσει καὶ διακρίσει τὴν γένεσιν καὶ φθοράν, ἦν ὁμοῦ χρήματα πάντα προοιμιαζόμενος. Anon. Urbin.

1. αἰτίας — ἀποφήνασθαι om *A*.
6. καὶ ἑνότητα om *M*. ‖ 8. αὐτὸν τὰς οἰκείας φύσεις *M*. ‖ 13. ᾖ] ἐστι *A*. ‖ 16. γίνεται *L*. ‖ 20. καὶ πλέον — εὐτελεστέραν om *A*. ‖ 23. ἀπείρους εἰδέναι τό *M*. ‖ 31. τι om *A*.

φιλοσοφίας." "τοιαύτης (*)," τῆς φυσικῆς τε καὶ θεωρητικῆς· αὐτὸς γὰρ τῶν μνημονευομένων φυσικῶν ἀρχαιότατος (*). ὅτι δὲ κατὰ τοῦτον τὸ ὕδωρ ἡ ἀρχή, καὶ διὰ τί, σαφῶς παρατίθεται. ὅτι τε γὰρ ἡ τροφὴ πάντων ὑγρά, ἐκ δὲ τῆς τροφῆς ἑκάστῳ τὸ εἶναι, καὶ ὅτι πάντων τὰ σπέρματα, ἐξ ὧν ἡ γένεσις αὐτῶν, ὑγρὰ τὴν φύσιν, καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γινόμενον, ἐκ τοῦ ὑγροῦ (*)· ἐκ γὰρ τῆς ἀναθυμιάσεως τῆς ἀπὸ τοῦ ὑγροῦ τὴν γένεσιν τοῦ θερμοῦ τε καὶ πυρὸς οἱ περὶ Θαλῆν γίγνεσθαι ἐτίθεντο· καὶ γὰρ τρέφεσθαι ὑπὸ τούτου αὐτὸ καὶ εἶναί τε καὶ σώζεσθαι. id.

983b 21. (*) διὸ καὶ φησὶ τὴν γῆν ἐπὶ ὑδάτων ὀχεῖσθαι ὡς ἀρχῆς οὔσης. ταύτην δὲ ἔσχε τὴν ὑπόληψιν ἐκ τοῦ ὁρᾶν πάντων τὴν τροφὴν ὑγρὰν οὖσαν (ἀδύνατον γάρ ἐστιν ἄνευ ὑγρότητος τρέφεσθαι τὰ ζῷα), καὶ ὅτι τὰ σπέρματα πάντα, ἐξ ὧν τὰ ζῷα ὑπάρχουσιν, ὑγρά ἐστιν. ἀρχὴ δὲ τῶν ὑγρῶν τὸ ὕδωρ τοῦ ἐμφύτου θερμοῦ, οὐχ ὡς φύσεως οὔσης τοῦ ἐμφύτου θερμοῦ· χεῖρον γὰρ ἢ κατ' ὄργανόν ἐστι τὸ πῦρ, διὸ ἐὰν μὴ ῥυθμισθῇ βλάπτει· τὸ δὲ χεῖρον ἢ κατ' ὄργανον εἶναι φύσις οὐ δύναται. Asclep.

983b 20. (*) ταύτην τὴν δόξαν ἐξ Αἰγύπτου μετακομίσαι φασὶ τὸν Θαλῆν· ἀπελθεῖν γὰρ ἐκεῖσε ὑπὸ Φαραὼ τοῦ τῶν Αἰγυπτίων ἄρχοντος μετακελευθέντα, ἐφ' ᾧ τὴν τῶν μαθημάτων παιδείαν ἐκπαιδεῦσαι τὸν Μωσέα αὐτῷ υἱοθετηθέντα, παρά τινων ἱστορεῖται. ἕτεροι δὲ περὶ Παρμενίδου ἱστορήκασι καὶ Μελίσσου ταῦτα. cod. Reg.

983b 24. (τοῦτο γάρ ἐστι "καὶ τούτῳ ζῆν") ὥστε καὶ τοῦ θερμοῦ τὸ ὑγρὸν αὐτοῖς ἀρχή τε καὶ στοιχεῖον, εἴγε τρέφεται καὶ γίνεται ἐκ τούτου· καὶ γὰρ ἐξ οὗ γίγνεται τὰ γινόμενα, τοῦτο αὐτῶν ἐστὶν ἀρχή· ὥστε καὶ τοῦ πυρὸς τὸ ὕδωρ, εἰ ἐκ τούτου γίγνεται· γίγνεται δὲ ἐκ τούτου, ἐπεὶ καὶ τρέφεται. τὸ δ' ὕδωρ ἀρχὴ φύσεώς ἐστι τοῖς ὑγροῖς, ἀντὶ τοῦ τὸ ὕδωρ ἀρχὴ καὶ φύσις καὶ αἰτία τοῦ εἶναί ἐστι τοῖς ὑγροῖς. εἰ δὲ τοῖς μὲν ἄλλοις ὡς καὶ τοῖς σπέρμασιν ἀρχὴ τὸ ὑγρόν, τῶν δὲ ὑγρῶν ἀρχὴ τὸ ὕδωρ, εἴη ἂν τοῦτο καὶ τῶν ὑπ' αὐτὸ ἀρχή. Alex. Aphrod.

983b 27. "εἰσὶ — παλαιούς." ἱστοροῦσιν, ὡς τῆς δόξης ταύτης καὶ εἰς τοὺς ἀρχαιοτάτους ἀναφερομένης ὑπό τινων καὶ τοὺς πρώτους εἰπόντας τι περὶ θεῶν· καὶ πῶς, λέγει. λέγοι δ' ἂν περὶ Ὁμήρου τε καὶ Ἡσιόδου ὡς πρώτων θεολόγων (*). id.

983b 30. (*) οἵτινες δὴ ποιηταὶ Ὠκεανὸν ἔλεγον θεῶν πατέρα καὶ μητέρα Τηθύν, Ὠκεανὸν μὲν λέγοντες τὸ ὕδωρ τὸ κυκλοῦν τὴν γῆν, Τηθὺν δὲ τὴν γῆν ὡς θρέπτειραν πάντων τῶν γινομένων· τήθη γὰρ ἡ τροφός... φησὶ γὰρ ὁ ποιητὴς (Il. 15 37: cf. 14 271) "καὶ τὸ κατειβόμενον Στυγὸς ἄωτον ὕδωρ," διὰ τούτων τὴν ῥευστὴν γένεσιν αἰνιττομένων τῶν ποιητῶν· ῥεῖ γὰρ ἡ τῶν αἰσθητῶν γένεσις· ἄωτον μὲν λέγων ὁ ποιητὴς τὸ ἐξάκουστον, Στύγα δὲ τὸ μισητόν. ὁ γὰρ ὅρκος ἐν ἀπίστοις παραλαμβάνεται, μισεῖ δέ πως ὁ μὴ πιστευόμενος τὸν μὴ πιστεύοντα· εἰ οὖν ὁ ὅρκος πρὸς βεβαίωσιν τῆς ἀπιστίας λαμβάνεται, εἰκότως ὁ ὅρκος μισητόν. διὰ δὴ τοῦτο καὶ τὸ ὕδωρ Στὺξ ὠνομάζετο. ἐπεὶ δὲ σύγγραμμα Θαλοῦ φέρεται οὐδαμοῦ, ἐξ οὗ τις τὸ βέβαιον ἕξει τοῦ ταῦτα τοῦτον λέγεσθαι τὸν τρόπον ὑπ' αὐτοῦ, εἰκότως τὸ "λέγεται οὕτως ἀποφήνασθαι" εἶπεν. cod. Laur.

"τιμιώτατον — τὸ τιμιώτατον." ὃ βούλεται μὲν συνάγειν ἔστιν 983b 32.
ὅτι οἱ τὸν τῶν θεῶν ὅρκον ὕδωρ ὑποθέμενοι παραπλησίως Θαλῇ ἀρχὴν τῶν ὄντων τὸ ὕδωρ ὑποτίθενται. διὰ τοιούτου συλλογισμοῦ τοῦτο λαμβάνομεν (*). τὸ τιμιώτατον καὶ πρεσβύτατον δηλονότι καὶ ἀρχή· ὅρκος δὲ τὸ τιμιώτατον· ὃ γὰρ ὄμνυμεν ὡς τιμιώτατον ὄμνυμεν· ὁ ὅρκος ἄρα πρεσβύτατόν ἐστι καὶ ἀρχή (*). τοῦτο δὲ ἦν ὕδωρ· ἡ γὰρ Στὺξ τὸ ὕδωρ κατ' αὐτούς. δόξει δὲ ἐπὶ τῇ λέξει ἐν δευτέρῳ σχήματι δύο λαμβάνειν καταφατικὰς προτάσεις, τῷ μὴ εἰπεῖν τὸ τιμιώτατον πρεσβύτατον, ἀλλὰ τιμιώτατον τὸ πρεσβύτατον, ὃ ἴσον φαίνεται τῷ τιμιώτατον πρεσβύτατον. οὕτω δὲ ἐχούσης τῆς προτάσεως γίνεται τὸ δεύτερον σχῆμα, τοῦ μὲν ὅρου τοῦ τιμιωτάτου ἐν ἀμφοτέραις ταῖς προτάσεσι κατηγορουμένου καταφατικῶς, ὅπερ ἐστὶν ἀσυλλόγιστον. οὐ μὴν οὕτως ἔχει, ἀλλ' ἔστιν ὁ λόγος ἐν τῷ πρώτῳ σχήματι, καὶ τὸ τιμιώτατον κατηγορεῖται μὲν τοῦ ὅρκου, ὑπόκειται δὲ τὸ πρεσβύτατον. οὕτως δὲ εἶπεν ὡς ἀντιστραφέντων τοῦ πρεσβυτάτου τε καὶ τῆς ἀρχῆς πρὸς τὸ τιμιώτατον. καὶ ἔστιν ἴσον τὸ εἰρημένον τῷ τὸ μὲν γὰρ τιμιώτατον πρεσβύτατον· ὅτι γὰρ ὡς τούτῳ ἴσον τοῦτο εἶπεν, ἐδήλωσεν ἐπενεγκὼν "ὅρκος δὲ τὸ τιμιώτατον," τηρήσας τῷ τιμιωτάτῳ τοῦτο. Alex. Aphrod.

(*) "καὶ τὸ κατειβόμενον Στυγὸς ἄατον ὤμοσεν ὕδωρ." ἠνίττοντο δὲ διὰ τούτων τὴν ῥευστὴν γένεσιν. cod. Reg.

"εἰ — αὕτη." ὡς ἀδήλου τούτου, εἴτε οἱ πρῶτοι θεολόγοι 983b 33.
ταύτης ἦσαν τῆς δόξης εἴτε μή, ταῦτα λέγει· οὐ γὰρ ἄντικρυς τοῦτο ἔλεγον, ἀλλὰ πειρῶνταί τινες διὰ συλλογισμοῦ δεικνύναι. εἰ δὲ καὶ συνελογίζοντο δύο καταφάσεις ἐν δευτέρῳ σχήματι λαμβάνοντες, ὡς δοκεῖ ἔχειν ὁ εἰρημένος λόγος, ἐστὶν ἀδηλότερον. Alex. Aphrod.

(p. 983 b 23. "τὸ θερμὸν ἐκ τούτου γιγνόμ." τρέφεται δὲ καὶ τὸ θερμὸν ἐκ τοῦ ὑγροῦ, ὅτι εἰ μή ἐστί τις ὑγρότης ἐν τῇ ὑποκειμένῃ ὕλῃ τῷ πυρί, οὐκ ἂν ἐπιλάβηται ταύτης τὸ πῦρ. καὶ ἡ φλὸξ αὐτὴ ἐξ ὑγρότητος γίνεται. Anon. Urbin.

(*) p. 983 b 27. "εἰσὶ δέ τινες"... φαίνεται δὲ ὁ συλλογισμὸς καταφατικὸς εἶναι ἐν β' σχήματι, τὸ τιμιώτατον δὲ μέσον. οὐκ ἔστι δέ· ἀλλὰ πρῶτον ἡ ἐλάσσων πρότασίς ἐστιν· τὸ πρεσβύτατον τιμιώτατον, τὸ τιμιώτατον ὅρκος, τὸ πρεσβύτατον ἄρα ὅρκος. Ἀλέξανδρος δὲ μείζονα ὅρον ἐκλαμβάνει τὸ πρεσβύτατον, καὶ ἀντιστρέψας ποιεῖ τὴν μείζονα πρότασιν, τὸ τιμιώτατον πρεσβύτατον, καὶ συνάγει τὸ σύμπαν, ὁ ὅρκος ἄρα πρεσβύτατον. Anon. Urbin.

5. αὐτῆς *M*, αὐτοῖς *L*. ‖ 8. ἐπίθετο *M*. ‖ 23. τοῦτο *AM*. ‖ 25. ὥστε — 30. ἀρχή om *A*. ‖ 35. διὸ ἔλεγον Ὠκεανόν τε γένεσιν θεῶν καὶ μητέρα Asclep. ‖ 38. φησὶ — ποιητὴς et 39. ἄωτον om Asclep. ‖ τὴν ῥευστὴν γένεσιν διὰ τούτων ᾐνίττοντο Asclep., reliquis omissis.
24. ἀντιστραφέντων *A*. ‖ 36. ἔτι *M*.

ἐσχάτη γίγνεται· ὃ ἐδήλωσεν αὐτὸς προσθεὶς τὸ "τέλος γὰρ γενέσεως καὶ κινήσεως πάσης τοῦτ᾽ ἐστίν·" εἰ γὰρ ἐκεῖνο μὲν ἀρχὴ τοῦτο δὲ τέλος, εἰκότως ἀντίκειται. ἔστι δὲ τὸ τέλος αἴτιον τοῦ ποιητικοῦ, τῇ μὲν γενέσει ἔσχατον ὄν, τῇ δὲ φύσει καὶ τῷ λόγῳ πρῶτον· τοῦτο γὰρ τῷ λόγῳ προλαβόντες διὰ τοῦτο τῆς πράξεως ἀρχόμεθα. ἀλλὰ καὶ ἐν τοῖς φύσει γινομένοις σκοπὸς τοῦτο, ὁ δὲ σκοπὸς προϋπάρχει. ὅτι δὲ τὸ ἀγαθόν ἐστι τὸ ὡς τέλος αἴτιον καὶ ἡ τοιαύτη ἀρχὴ τέλος γενέσεως καὶ κινήσεως πάσης, καὶ τῶν Ἠθικῶν ἀρχόμενος, ὡς ἤδη προεῖπον, ἐδήλωσεν εἰπὼν "πᾶσα τέχνη καὶ πᾶσα μέθοδος ἀγαθοῦ τινός." εἰ δὲ πάντα τοῦ οἰκείου τέλους ὡς ἀγαθοῦ ἐφίεται, τὸ κυρίως τέλος καὶ οὗ πάντα ἐφίεται τὰ ἐν κινήσει εἴη ἂν τὸ ἀγαθὸν καὶ τὸ τῶν ὄντων ἄριστον· ὃ καὶ αὐτὸς ἐν τοῖς Ἠθικοῖς ἐδήλωσεν εἰπὼν "διὸ καλῶς ἀπεφήναντο τὸ ἀγαθόν, οὗ πάντα ἐφίεται." Alex. Aphrod.

983 b 29. (r) νῦν οὖν δεῖ ἡμᾶς μαθεῖν ποίου αἰτίου ἐστὶ κυρίως ἡ τοιαύτη ἐπιστήμη· καί φησιν ὅτι τέσσαρα ὑπάρχουσι τὰ αἴτια, ὑλικόν, εἰδικόν, ποιητικόν, τελικόν. πολυπραγμονήσαντες οὖν εἰ δυνατὸν καὶ τὰς ἰδέας παραλαβεῖν εἰς μίαν τῶν αἰτίων τούτων, καὶ προϊὼν ἐρεῖ περὶ αὐτῶν· φησὶν ὅτι οὐδενὸς τῶν αἰτίων τούτων δύναται ἐπιστήμη εἶναι αὕτη τῶν ἀΰλων, ἀλλ᾽ ἔστιν ἐπιστήμη τοῦ ἐξῃρημένου αἰτίου, φημὶ δὴ τοῦ ποιητικοῦ καὶ τελικοῦ καὶ εἰδικοῦ. συντρέχει γὰρ ἐπὶ τοῦ πρώτου αἰτίου τὰ τρία ταῦτα. ὁ γὰρ θεός, φησίν, ἀεὶ ποιητής, καὶ οὐχ ὥσπερ ἡμεῖς ποτὲ μὲν ποιοῦμεν ποτὲ δὲ οὐ ποιοῦμεν, οὕτω καὶ ὁ θεός, ἀλλ᾽ ἀεὶ ἐπινοεῖ· οὔτε γὰρ ἔν τινι χρόνῳ περιλέλειπται αὐτοῦ ἡ ἐνέργεια, ὥς φησιν, ἐν ἑκάστῃ ἡμέρᾳ. ἡμεῖς γὰρ ποτὲ μὲν ποιοῦμεν ποτὲ δὲ οὐ ποιοῦμεν· ὁ δὲ θεός, φησίν, αὐτῷ τῷ εἶναι πάντα παράγει καὶ δημιουργεῖ καὶ ἐπινοεῖ. διό φησι καὶ ὁ Ἀλέξανδρος ὅτι ἀεὶ ὁ Ἀριστοτέλης λέγει συντρέχειν τὸ τελικὸν αἴτιον τῷ εἰδικῷ. Asclep.

983 b 1. ποιησάμενος δὲ τὴν τῶν αἰτίων διαίρεσιν μέλλων ζητεῖν περὶ ποίας αἰτίας μάλιστα τοῦ σοφοῦ εἰδέναι, ἐπεὶ πλεοναχῶς τὰ αἴτια, εἰκότως πρῶτον τὰς τῶν ἄλλων δόξας ἐπισκοπεῖ τῶν πρὸ αὐτοῦ, ἐπὶ ποῖον αἴτιον ἢ ποῖα κατηνέχθησαν (*). τοῦτο δέ, φησίν, ἔσται χρήσιμον ἡμῖν καὶ πρὸς τὴν τῶν αἰτίων τῶν εἰρημένων βεβαίωσιν. ἢ γὰρ καὶ ἄλλον τρόπον εὑρήσομεν αἰτίων, εἰ μὴ φαίνονται τὰ ὑπὸ τῶν ἀρχαίων περὶ αἰτίων λεγόμενα ὑπὸ τὴν διαίρεσιν πίπτοντα· ἢ εἰ τὰ πρὸς ἐκείνων λεγόμενα μὴ ἐκβαίνει τὰ ὑφ᾽ ἡμῶν κατηριθμημένα τῶν αἰτίων, ἤδη μᾶλλον τῇ διαιρέσει ὡς ὑγιῶς ἐχούσῃ πιστεύσομεν. Alex. Aphrod.

983 b 6. "τῶν — πλεῖστοι." τὴν μὲν αἰτίαν δι᾽ ἣν τὰ ὑπὸ τῶν ἄλλων εἰρημένα ἱστορεῖ νῦν, σαφῶς αὐτὸς εἴρηκε. μνημονεύει δὲ τῶν ἀρχαίων οὐχ ὡς τῶν φυσικῶν οὐσιῶν τὰς ἀρχὰς ταύτας οἰομένων (οὐκέτι γὰρ οἰκεία δόξει τοῖς προκειμένοις ἡ ἱστορία), ἀλλ᾽ ὡς τῶν ὄντων πάντων, ἐν οἷς ἦν καὶ τὰ προκείμενα νῦν (s). ἔθεντο μὲν γὰρ τῶν φυσικῶν ἀρχὰς ἐκεῖνοι ταύτας ἃς λέγει· οἰόμενοι δὲ ταῦτα μόνον εἶναι καὶ οὐδὲν παρὰ ταῦτα, τὰς αὐτὰς ἀρχὰς τῶν τε φυσικῶν καὶ τῶν ὄντων ἁπάντων ἐζήτουν. ὅτι δὲ τὴν κατὰ τὴν ὕλην μόνην αἰτίαν ὑπετίθεντο, ἐδήλωσε διὰ τοῦ δεῖξαι λέγοντας αὐτοὺς αἰτίαν καὶ ἀρχὴν εἶναι τῶν ὄντων, ἐξ οὗ τι γίνεται πρώτου καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς οὐσίας μενούσης, τοῖς δὲ πάθεσι μεταβαλλούσης. τὸ γὰρ τοιοῦτον ὕλη, ἥτις τὴν μὲν αὑτῆς οὐσίαν ἐν οἷς ἂν ᾖ σώζει ἄφθαρτον καὶ ἀγέννητον, κατὰ δὲ τὰ πάθη ἡ μεταβολὴ αὐτῆς ἐν τοῖς τῶν ἐξ αὐτῆς γινομένων γένεσιν (t). τὸ δὲ "τὰς ἐν ὕλης εἴδει" ἀντὶ τοῦ τὰς ἐν τῷδε τῷ εἴδει τῶν ἀρχῶν τῷ κατὰ τὴν ὕλην μόνον ᾠήθησαν εἶναι. Alex. Aphrod.

983 b 5. (s) ἐντεῦθεν δὲ καὶ τὸ ἕτερον γένος τῆς αἰτίας εὑρήσομεν ἢ λοιπὸν ἀσφαλῶς ταῖς οὔσαις τέτρασι μόναις πιστεύσομεν. εἰ μὲν οὖν πρῶτοι φιλοσοφήσαντες πάντες ὑλικὰς ἀρχὰς μόνας ὑπέθεντο. Asclep.

983 b 7. (t) ἤτοι τὰς ὑλικάς. τὸ δὲ εἴδει ὁ Ἀλέξανδρος ἀντὶ τοῦ φύσει ἑρμηνεύει· ὁ δὲ Σιμπλίκιος τὸ τῆς ἀρχῆς φησὶν ὄνομα καθολικὸν εἶναι καὶ γενικόν, ἔχειν δὲ ὡς ἐν εἴδει τὴν ποιητικήν τε ἀρχὴν καὶ τὴν εἰδικὴν καὶ τελικὴν καὶ προσέτι τὴν ὑλικήν. ἐν ὕλης οὖν εἴδει ἀρχὰς τὰς ὑλικὰς λέγει τὰς ὡς εἰς γένος εἴδη ἀναγομένας εἰς τὸ τῆς ἀρχῆς ὄνομα. cod. Reg.

983 b 11. "καὶ διὰ — σωζομένης." τοῖς δὲ ποιοῦσι τὴν μὲν ὕλην σῶμά τι ἐνεργείᾳ, καὶ μὴ ὡς Ἀριστοτέλης λέγει δυνάμει, ἀκολουθεῖ τὸ μηδὲ γίνεσθαι καὶ φθείρεσθαι ἁπλῶς τι, ἀλλ᾽ εἶναι τὴν καλουμένην γένεσιν ἀλλοίωσιν, ὡς ἐν τοῖς περὶ Γενέσεως (1 4) ἔδειξε· τὴν γὰρ ὕλην ἐνεργείᾳ οὖσαν καὶ ὑπομένουσαν ἀεὶ τὴν αὐτήν (ἄφθαρτον γὰρ τὴν ἀρχὴν καὶ κατ᾽ οὐσίαν ἀμετάβλητον ὑποτίθενται οὖσαν) καὶ τῶν ἐξ αὐτῆς γιγνομένων οὐσιῶν ἀλλάσσειν τὰ πάθη· ἀλλοίωσις γάρ ἐστιν ἡ κατὰ πάθος μεταβολή. τίνες δέ εἰσιν οἱ τὴν ὑλικὴν αἰτίαν μόνην ὑποθέμενοι, καθ᾽ οὓς ἡ κυρίως λεγομένη γένεσις σώζεται, ἑξῆς παρατίθεται. ὧν πρῶτόν φησι Θαλῆν γενέσθαι (ἀρχηγὸς γὰρ οὗτος τῆς φυσικῆς φιλοσοφίας δοκεῖ τῶν μνημονευομένων γεγονέναι) καὶ σαφῶς ἐκτίθεται τὴν δόξαν αὐτοῦ. ἔδειξε δὲ γνωρίμως διὰ τοῦ παραδείγματος ἐπὶ τοῦ Σωκράτους, πῶς οὐ σώζεται γένεσις καθ᾽ οὓς τὸ ὑποκείμενον παντάπασιν ἐνεργείᾳ ἐστί, σῶζον ἀεὶ τὴν οἰκείαν οὐσίαν ἐν οἷς ἂν ᾖ· ἕκαστον γὰρ τῶν ἐκ τούτου γιγνομένων πως ἔχον τὸ ὑποκείμενόν ἐστιν. Alex. Aphrod.

983 b 17. τὸ δὲ "δεῖ γὰρ εἶναί τινα φύσιν ἢ μίαν ἢ πλείους μιᾶς, ἐξ ὧν γίγνεται τὰ ἄλλα σωζομένης ἐκείνης" εἶπε καθ᾽ οὓς μὲν ἓν τὸ ὑποκείμενον καὶ ἡ ὕλη ἐνεργείᾳ τι ὂν ἤδη καθ᾽ αὑτό ἐστι, καθ᾽ οὓς δὲ πλείω, ὡς καὶ αὐτὸς δι᾽ ὧν ἐπιφέρει δηλοῖ. οὐδὲ καθ᾽ οὓς πλείω, κατὰ τούτους οὐ τὰ αὐτά. id.

983 b 18. διὸ εἶπε "τὸ μέντοι πλῆθος καὶ τὸ εἶδος τῆς τοιαύτης ἀρχῆς οὐ τὸ αὐτὸ πάντες λέγουσιν, ἀλλὰ Θαλῆς μὲν ὁ τῆς τοιαύτης ἀρχηγὸς

(*) p. 983 b 2. φιλοσοφήσαντας περὶ τῆς ἀληθείας λέγει τοὺς θεωρητικοὺς φιλοσόφους· θεωρητικῆς γὰρ τέλος ἀλήθεια, ὡς πρακτικῆς τὸ ἀγαθόν. πρὸς διαστολὴν οὖν τῶν πρακτικῶν φιλοσόφων τοὺς τοιούτους λέγει περὶ τῆς ἀληθείας φιλοσοφήσαντας. Anon. Urb.

b 13. μόνην *M.* | 24. μὲν om *M.* | 26. τὰ καλούμενα *A.*

τὸ εἶναι ἐπιστήμαις παρὰ τῆς σοφίας τῆς τῶν πρώτων αἰτίων θεωρητικῆς παραγίνεσθαι. ib.

983a 27. "ὧν — ἦν εἶναι." λέγει μὲν τὴν κατὰ τὸ εἶδος οὐσίαν, εἰκότως δὲ εἶπεν οὐσίαν ἑκάστου τὸ εἶδος· κατὰ γὰρ τὸ εἶδος ἑκάστῳ τὸ εἶναι τοῦτο ὅ ἐστιν· διὰ γὰρ τοῦτο καὶ οἱ ὁρισμοὶ κατὰ τοῦτο γίνονται τῶν ὁριστῶν· τί ἦν εἶναι γὰρ τὸν ὁρισμὸν καὶ τὸν λόγον λέγει. ib.

983a 28. "ἀνάγεται — ἔσχατον," τουτέστι τὸν ὁρισμόν· τοῦτο δέ ἐστιν ἡ κατὰ τὸ εἶδος αἰτία· εἰς γὰρ τοῦτό φησιν ἔσχατον ἀνάγεσθαι τὸ διὰ τί. "ἔσχατον" δέ, ὅτι μετὰ τὴν ἀπόδοσιν τοῦ ὁρισμοῦ οὐκέτι τὸ διὰ τί ἐξετάζομεν, ὡς μεμαθηκότες δηλονότι τὸ τοιοῦτον αἴτιον, περὶ οὗ ἡ ζήτησις ἡμῖν. διὰ τί γὰρ τὸ πῦρ θερμαίνει ζητοῦντες, ὅταν μάθωμεν ὅτι τὸ εἶναι αὐτῷ πυρὶ τὸ πρώτως εἶναι θερμῷ καὶ θερμαντικῷ ἐστίν, οὐκέτι ζητοῦμεν διὰ τί θερμαίνει, ὡς μεμαθηκότες ὃ ἐπιζητοῦμεν. πάλιν διὰ τί ἡ χιὼν διακριτικὴ ὄψεώς ἐστιν ὅταν ζητῇ τις, ἂν μὲν ἀκούσῃ ὅτι λευκή, οὐδέπω πέπαυται τοῦ τὸ διὰ τί πολυπραγμονεῖν· ἔτι γὰρ ἀπαιτεῖ διὰ τί δὲ τὸ λευκὸν διακρίνει τὴν ὄψιν, ὁ δὲ μετὰ τὴν ἀπόδοσίν τινος ἔτι τὸ διὰ τί ζητῶν οὐδέπω τὴν αἰτίαν ἀκήκοεν. ὅταν δὲ μάθῃ ὅτι τοῦτ' ἐστὶ τὸ εἶναι αὐτῷ λευκῷ (ἔστι γὰρ λόγος καὶ ὁρισμὸς λευκοῦ τὸ διακριτικὸν ὄψεως), οὐκέτι τὴν τοῦ διακρίνειν τὴν ὄψιν τὸ λευκὸν αἰτίαν ζητεῖ· οὐ γάρ ἐστι μετὰ τὴν τοιαύτην ἀπόδοσιν ἔτι ὑπολειπομένη τοῦ διὰ τί οὕτως ζήτησις. εἰκότως ἄρα μίαν εἶπεν εἶναι αἰτίαν τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι ἑκάστου (a). τοῦ δὲ αἰτίαν εἶναι ταύτην δεικτικὸν παρέθετο τὸ ὅτι "ἀνάγεται γὰρ τὸ διὰ τί εἰς τὸν λόγον ἔσχατον·" ἔσχατον δὲ εἶπεν· εἶεν γὰρ ἄν τινες καὶ ἄλλαι ἀποκρίσεις πρὸς τὴν τοῦ διὰ τί ἀπαίτησιν οὐδέπω τὸν λόγον καὶ τὸν ὁρισμὸν ἔχουσαι· διὸ οὐδέπω αἱ τοιαῦται ἀποδόσεις τῆς αἰτίας τῆς κατὰ τὸ εἶδός εἰσι διδασκαλικαί, οὐδὲ ὁ ζητῶν τὸ διὰ τί τῆς ζητήσεως ἤδη παύεται. οὐ γὰρ οἷόν τε ζητουμένου ἔτι τοῦ διὰ τί λέγειν ἀποδεδόσθαι τὴν αἰτίαν· ἡ γὰρ τοῦ διὰ τί ζήτησις αἰτίας ζήτησίς ἐστιν. ὃ οὖν ἀκούσαντες ἐν τῇ τοῦ διὰ τί ζητήσει παυόμεθα τῆς κατὰ τοῦτο τὸ διὰ τί ζητήσεως τοῦ αἰτίου· παυόμεθα δὲ τὸν ὁρισμὸν καὶ τὸ εἶδος ἀκούσαντες τῆς διὰ τί ζητήσεως· αἴτιον ἄρα καὶ τοῦτο. εἰπὼν δὲ ἐπὶ ἔσχατον τὸν ὁρισμὸν τὸ διὰ τί ἀνάγεσθαι, πῶς τὸ ἔσχατον πρῶτόν ἐστι καὶ αἴτιον διὰ τοῦ ἑξῆς ἐδήλωσε· τὸ γὰρ ἔσχατον λεγόμενον ἐν τῇ ἀποδόσει πρῶτόν ἐστιν ἐν τῇ φύσει καὶ αἴτιον· διὸ ἐπήνεγκεν "αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον." τὸ μὲν γὰρ ἐν τῇ τοῦ διὰ τί ἀπαιτήσει ἔσχατον ἀποδιδόμενον κυρίως αἴτιον· τὸ δὲ οὕτως αἴτιον πρῶτον αἴτιον τῶν οὕτως αἰτίων· τὸ ἄρα ἐν τῇ τοῦ διὰ τί ἀπαιτήσει ἔσχατον ἀποδιδόμενον πρῶτον αἴτιον τῶν οὕτως αἰτίων ἐστίν. ὥστ' εἰ προσληφθείη τὸ ὁ δὲ ὁρισμὸς ἔσχατον ἐν τῇ τοῦ διὰ τί ἀποδόσει, συνάγοιτο ἂν τὸ τὸν ὁρισμὸν πρῶτον αἴτιον εἶναι τῶν κατὰ τὸ εἶδος αἰτίων. τὸ τί ἦν εἶναι ἄρα καὶ ὁ ὁρισμὸς πρῶτον αἴτιον, τουτέστι τὸ εἶδος· κατὰ γὰρ τὸ εἶδος ἑκάστου τὸ τί ἦν εἶναι. ἢ τὸ "αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον" ὡς ἴσον εἴρηκε τῷ αἴτιον δὲ καὶ ἀρχὴ καὶ πρῶτον τὸ διὰ τί, τουτέστιν ἡ οὐσία καὶ τὸ τί ἦν εἶναι, ἐπεὶ τὸ ἔσχατον ἀποδιδόμενον ἐν τῇ τοῦ διὰ τί ἀπαιτήσει πρῶτόν ἐστιν αἴτιον. ἢ τῶν πρὸ αὐτοῦ ἀποδοθέντων εἶπεν αἴτιον καὶ ἀρχὴν εἶναι τῶν ἐν τῇ τοῦ διὰ τί ἀποδόσει· τοῦτο γάρ ἐστι τὸ ἔσχατον ἀποδιδόμενον· τὸ γὰρ ἐν τῇ τοῦ διὰ τί ἀποδόσει ἔσχατον πρῶτόν ἐστιν αἴτιον καὶ ἀρχή. οὐκ εἶπε δὲ ὅτι τὸ ἔσχατον ἐν τῇ ἀποδόσει πρῶτόν ἐστιν ἐν τῇ φύσει, ἀλλὰ καὶ χωρὶς τοῦ τοῦτο εἰπεῖν τὸ ἑπόμενον αὐτοῦ εἰπών, τὸ "αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον," ἀσαφῆ τὴν λέξιν ἐποίησε. διὰ γὰρ τοῦτο τὸ διὰ τί πρῶτον, ὅτι τὸ ἔσχατον ἐν τῇ ἀποδόσει τοῦ διὰ τί τὸ πρῶτον τῇ φύσει ἐν τῇ τοῦ διὰ τί ἀποδόσει αἴτιόν τε καὶ ἀρχή. ὅτι δὲ ἡ τοῦ διὰ τί ἀπόδοσις ἡ ὑστάτη πρώτης αἰτίας ἐστὶ δηλωτική, πρόδηλον ἐκ τοῦ ἀρχῆς ἀπαίτησιν εἶναι τὸ διὰ τί· μεθ' ἣν δὲ ἀπόδοσιν οὐκ ἐπιζητεῖται τὸ διὰ τί, τοῦτ' ἂν εἴη ἡ κυρίως ἀρχή, ἡ δὲ ἀρχὴ πρῶτον. Alex. Aphrod.

(a) ἀνάγεται γὰρ τὸ διὰ τί πρῶτον εἰς τ. λ. ἔσχ. οἷον λέγει ὅτι διὰ τί αἱ τρεῖς τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς ἴσαι ὑπάρχουσιν; εἶτά φησιν ἐκεῖνος, ἐπειδὴ αἱ ἐφεξῆς γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἐπειδὴ ὅταν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἔσται ἑκατέρα τῶν ἴσων γωνιῶν. καὶ μετὰ τὸ ἀποδοῦναι τὸν ὁρισμὸν οὐκέτι ἐρωτώμεθα τὸ διὰ τί φησιν. "ἀνάγεται γὰρ τὸ δ. πρῶτον εἰς τ. λόγον," τουτέστιν εἰς τὸν ὁρισμόν, "ἔσχατον·" μετὰ γὰρ τὸ ὁρίσασθαι οὐκέτι ζητοῦμεν τὸ διὰ τί. "αἴτιον δὲ καὶ ἀρχ. τ. δ. πρῶτ." διὰ τί γὰρ τόδε τὸ πρᾶγμα τοιόνδε ἐστίν. καλῶς δὲ προσέθηκε... Asclep.

"μίαν — ὑποκείμενον." ἐπὶ πλέον τὸ ὑποκείμενον τῆς ὕλης· 983a
τὸ γὰρ ἐν τοῖς θείοις ὑποκείμενον οὐχ ὕλη (b). Alex. Aphrod. 29.

(b) "ἑτέραν — ὑποκείμενον." ἐπὶ πλέον τὸ ὑποκείμενον τῆς ὕλης· οὐ γὰρ πᾶν τὸ ὑποκείμενον ὕλη ἐστίν. ἡ ὕλη γὰρ ἐν τῷ δυνάμει θεωρεῖται, τὸ δὲ δυνάμει δύναται ὃ κατέχει ἀποβαλεῖν καὶ ἄλλο δέξασθαι· τὸ δὲ τοῖς θείοις ὑποκείμενον σώμασιν οὐ τοιοῦτον· ἀΐδια γὰρ ἐκεῖνα καὶ ἀναλλοίωτα· ἅπαξ γὰρ ἐκεῖνα τὸ εἶδος δεξάμενα καὶ ὑπ' ἐκείνου κατασχεθέντα οὐ δύναται τοῦτο ἔτι ἀποβαλέσθαι. εἰ οὖν ἀπέβαλε τὸ ὑποκείμενον τὸ δυνάμει, οὐδ' ὕλη ἐστίν· ἐπὶ πλέον ἄρα τὸ ὑποκείμενον τῆς ὕλης. cod. Laur.

"τετάρτην — ἐστίν" (c). μνημονεύσας τοῦ ποιητικοῦ αἰτίου, 983a
τοῦτο δέ ἐστι τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἀντικειμένην φησὶν αἰτίαν 31.
εἶναι τῇ ποιητικῇ τὴν τελικήν, καθ' ὃ ἡ μὲν προϋπάρχει ἡ δὲ

1. τὸ εἶναι ἐπιστήμαις om *A.* ‖ 5. *propterea enim per hanc definita definiuntur.* Sepulv. ‖ τῆς ὁριστικῆς· τί ἦν εἶναι εἶναι γὰρ *L.* ‖ 7. ἐστι τὸ εἰδικὸν αἴτιον *L.* ‖ 8. διὰ τί] δυνατόν *L.* ‖ 12. τῷ — τῷ *M.* ‖ 15. ἀκούῃ *A.* ‖ 16. διότι π. *A.* ‖ 24 — 40. ap. Asclep. ‖ 24. καλῶς δὲ προσέθηκε τὸ ἔσχατον· εἶεν Asclep. ‖ 26. ἀπ. ἰδὲ τὸν Asclep. ‖ 30. ὃ] εἰ Asclep. ‖ 31. τὸ] τῆς Asclep. ‖ τοῦ — 32. ζητήσεως om *A.* ‖ 35. ἐν post ἐστὶν om Asclep. ‖ 36. διὰ τί· πρῶτον μὲν γὰρ ἐν Asclep. ‖ 37. ἔσχατον δὲ ἀποδιδόμενον Asclep. ‖ 41. ἂν] ὅτι ἂν *A.*

1. αἰτίων — 2. εἶδος· om *A.* ‖ 4. ὡς εἶναι ἴσον *M.* ‖ 7. ἐν τῇ] ἀντὶ *M.* ‖ 10. χωρὶς τὸ τοῦτο, ἐπεὶ τὸ ἑπόμενον αὐτῇ εἰπὼν *M.* ‖ 14. δὲ om *M.* ‖ 15. ὑποστάτη *M.* ‖ πρώτη αἰτία *A.* ‖ 17. τοῦτ'] τότ' *A.*

983a 2. "ἀλλ' — εἶναι." φθόνος γάρ, ὥς φησιν ὁ θεῖος Πλάτων, ἔξω θείου χοροῦ (a)· ἀλλὰ πολλὰ ψεύδονται ἀοιδοί, ἐν οἷς καὶ τοῦτο. οὔτε τινὰ τῆς τοιαύτης ἐπιστήμης ἡγητέον εἶναι τιμιωτέραν. ἡ γὰρ θειοτάτη κατὰ τοῦτο μάλιστα τιμιωτάτη· ἡ δὲ τοιαύτη θειοτάτη κατά τε τὸ μάλιστα ὁμοίαν τῇ τῶν θείων ἐνεργείᾳ εἶναι· ἐνεργεῖν μὲν γὰρ εὔλογον τὸ θεῖον, οὐκ ἄλλη δέ τις ἐνέργεια θεῶν ἀξία παρὰ τὴν τοιαύτην. ἀλλὰ καὶ διὰ τὸ τῶν θείων γνῶσιν εἶναι, εἴγε τῶν πρώτων αἰτίων γνῶσίς ἐστι καὶ τῶν ἀρχῶν, ὁ δὲ θεὸς ἀρχὴ πρώτη καὶ αἰτία τῶν ἄλλων (b). διὰ τούτων δὲ ἔδειξεν ὅτι καὶ εὐλόγως ἥδε ἡ πραγματεία θεολογικὴ καλεῖται. λέγει δὲ ὅτι ἀναγκαιότεραι μὲν αὐτῆς πᾶσαι αἱ ἄλλαι ἐπιστῆμαι (οὐδ' ὅλως γὰρ αὕτη ἀναγκαία), ἀμείνων δὲ οὐδεμία· αὕτη γὰρ πασῶν ἀμείνων, εἴγε καὶ τιμιωτέρα. Alex. Aphrod.

(a) ἀλλ' οὔτε τὸ θεῖον φθονερόν· πόρρω γάρ ἐστιν, ὥς φησιν ὁ Πλάτων, ὁ φθόνος θείου χοροῦ. ὁ γὰρ φθόνος γίνεται διὰ τὸ ὁρᾶν πέλας ἡμῶν κρείττονας ὄντας· πῶς οὖν δυνατὸν εἶναι τὸν θεὸν φθονερόν, ὄντα πηγὴν ἀγαθότητος, ἐξ οὗ πάντα τοῖς ἄλλοις χορηγοῦνται, ὥς φησι καὶ ὁ Πλάτων ὅτι διὰ τὴν αὐτοῦ ἀγαθότητα ὁ θεὸς παρήγαγεν τὰ πάντα· ἀγαθὸς γὰρ ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος· πῶς οὖν δυνατὸν τὴν πηγὴν τῆς ἀγαθότητος φθονεῖν; cod. Laur.

983a 8. (b) δοκεῖ γὰρ θεὸς τῶν αἰτιῶν πᾶσιν εἶναι καὶ ἀρχή. Asclep.

983a 11. ἑξῆς δὲ λέγει τὴν μέθοδον τῆς κτήσεως αὐτῆς (c)· τὸ γὰρ τἀναντία θαυμάζειν ὧν τὴν ἀρχὴν θαυμάζοντες ἦλθον ἐπὶ τὴν γνῶσιν αὐτῶν (d). πρὸ μὲν γὰρ τοῦ εἰδέναι ἐθαύμαζον εἰ δύναται οὕτως ἔχειν, γνόντες δὲ θαυμάζουσιν εἰ δύναται μὴ ἔχειν οὕτως. θαύματα δὲ εἶπε τὰ ὑπὸ τῶν θαυματοποιῶν δεικνύμενα παίγνια, ἃ ἐξ αὑτῶν δοκεῖ καὶ αὐτομάτως κινεῖσθαι· ἡλίου δὲ τροπάς, καθ' ἃς χειμὼν καὶ θέρος. Alex. Aphrod.

(c) τοῦτο οὖν φησὶν ὅτι "δεῖ μέντοι πως καταστῆναι τὴν τάξιν αὐτῆς εἰς τοὐναντίον," ὥσπερ ἐπὶ τῶν μηχανικῶν. Asclep.

983a 13. (d) πρὸ μὲν γὰρ τοῦ εἰδέναι ἐθαύμαζον εἰ οὕτως ἔχειν δύναται, οἷον εἰ δύναται ἡ διάμετρος ἀσύμμετρος εἶναι τῇ πλευρᾷ. θαυμαστὰ δὲ λέγει τὰ ὑπὸ τῶν θαυματοποιῶν δεικνύμενα παίγνια, οἷον ἄψυχά τινα εἴδωλα δοκοῦντα ἐξ ἑαυτῶν κινεῖσθαι. cod. Laur.

983a 16. θαυμαστὸν γὰρ εἶναι δοκεῖ πᾶσιν εἴ τι τῷ ἐλαχίστῳ μὴ μετρεῖται· λέγει δὲ ἐπὶ τῆς διαμέτρου (e)· ὡς ὄντος δὲ καὶ ἐν γραμμαῖς ἐλαχίστου τινὸς ὥσπερ καὶ ἐν τοῖς ἀριθμοῖς, θαυμαστὸν φαίνεται τὸ μὴ ἐλαχίστῳ αὐτὰς μετρεῖσθαι πάσας καὶ εἶναι συμμέτρους ἀλλήλαις, ἐχούσας κοινόν τι μέτρον. τὸ δὲ οὐχ οὕτως ἔχει, διότι οἱ μὲν ἀριθμοὶ πάντες μονάδι μετροῦνται, οὐ πᾶσαι δὲ αἱ γραμμαὶ ἑνὶ μετροῦνταί τινι τῷ μὴ εἶναι ἐλαχίστην γραμμήν (f). διὰ τοῦτο γὰρ οὐδὲ σύμμετροί εἰσι πᾶσαι· σύμμετρα γὰρ μεγέθη ἐστὶ τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα. εἰς τοὐναντίον δὲ καὶ τὸ ἄμεινον ἀποτελευτῶσιν οἱ ἐκ τοῦ ἀγνοεῖν καὶ διὰ τοῦτο θαυμάζειν τὰ ἀληθῆ, ὡς οὐχ οἷά τε οὕτως ἔχειν, εἰς τὸ εἰδέναι μεθιστάμενοι. θαυμάζουσι γὰρ οἱ τὴν ἐπιστήμην λαμβάνοντες αὐτῶν εἰ ἐνδέχεταί τι αὐτῶν ἄλλως ἔχειν. Alex. Aphrod.

(e) γρ. "τῷ ἐλαχίστῳ." καὶ ταύτην μᾶλλον τὴν γραφὴν οἶδεν 983a 17.
Ἀλέξανδρος. cod. Reg.

(f) τῷ ὄντι γὰρ θαυμαστὸν εἶναι δοκεῖ πᾶσιν εἴ τι τῶν οὐκ ἐλαχίστων μὴ μετρεῖται· δεῖ δέ... ἀποτελευτῆσαι· παροιμία γάρ ἐστιν ἡ λέγουσα, δευτέρων ἀμεινόνων, δεῦρο ἄμεινον, ἐπὶ τῶν ἐξ ἀρχῆς μὲν ὁρμώντων καὶ μὴ κατορθούντων, ὕστερον δὲ κατορθούντων. οὕτως οὖν καὶ ἐνταῦθα, ὅταν μάθωσι, καίτοι πρώτην θαυμάζοντες, εἰς τὸ ἐναντίον περιΐστανται. Asclep.

"κατὰ τὴν παροιμίαν." ἴσως λέγοι ἂν τὴν λέγουσαν "δευτέ- 983a 18.
ρων ἀμεινόνων" (g). "τίς μὲν οὖν ἡ φύσις τῆς ἐπιστήμης τῆς ζητουμένης εἴρηται," ὅτι θεωρητικὴ ἀλλ' οὐ πρακτική, καὶ ὅτι τῶν πρώτων αἰτίων τε καὶ ἀρχῶν γνωστική. "καὶ τίς ὁ σκοπὸς οὗ δεῖ τυγχάνειν τὴν ζήτησιν καὶ τὴν ὅλην μέθοδον," ὅτι ἐκ τοῦ θαυμάζειν δι' ἄγνοιαν τἀληθῆ δεῖ μεταστῆναι εἰς τὸ θαυμάζειν δι' ἐπιστήμην τὰ ἐναντία τῶν ἀληθῶν, εἰ ἐνδέχεται ἄλλως πως ἔχειν καὶ μὴ οὕτως ὡς ἐπίσταται. Alex. Aphrod.

(g) ἐκ τοῦ δι' ἄγνοιαν θαυμάζειν δεῖ μεταστῆναι διὰ τῆς ἐπιστήμης εἰς τὸ ἐναντίον θαυμάζειν. ἔστι δὲ ἡ παροιμία ἡ "δεύτερον ἄμεινον" ἐπὶ τῶν πρῶτον μὲν ὁρμησάντων καὶ μὴ κατορθωσάντων, ὕστερον δὲ ἐπιχειρησάντων καὶ ἀποτελεσάντων. παρῆκται δὲ ἀπὸ τῶν θυομένων ἐκ δευτέρας, ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καλῶς ἀποβῇ. cod. Reg.

προκειμένου δὲ καὶ γεγονότος φανεροῦ τοῦ τῶν πρώτων εἶναι τὴν σοφίαν θεωρητικήν, εὐλόγως πρῶτον τὴν τῶν αἰτίων ποιεῖται διαίρεσιν, καθὸ καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (2 3), εἰς τέσσαρα αἴτια διαιρῶν. καὶ τῶν μὲν ἄλλων σαφῶς ἐμνημόνευσε, περὶ δὲ τοῦ εἴδους τὰ εἰρημένα ἀσάφειάν τινα ἔχει. Alex. Aphrod.

"ἐπεὶ — γνωρίζειν." τῶν μὲν "ἐξ ἀρχῆς αἰτίων" εἶπεν ἀντὶ τοῦ 983a 24.
τῶν πρώτων. ὅτι δὲ ἡ γνῶσις ἡ κατ' ἐπιστήμην ἐν τοῖς ἔχουσιν ἀρχὰς καὶ αἴτια ἐκ τῆς τῶν ἀρχῶν καὶ αἰτίων τῶν πρώτων γνώσεως ἤρτηται, καὶ ἀρχόμενος τῆς Φυσικῆς Ἀκροάσεως εἶπεν· ἀλλὰ καὶ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (1 2) ἔδειξεν αὐτό, καὶ νῦν ὁμοίως λέγει. ὁ γὰρ μὴ ἀπὸ τῶν πρώτων αἰτίων εἰδώς τινα, ἀλλ' ἀπὸ τῶν προσεχῶν τισὶν ὧν εἰσὶν ἄλλαι αἰτίαι πρῶται, οὐκ ἂν τὰ αἴτια αὐτὰ τὰ προσεχῆ τῷ προκειμένῳ εἰδείη, εἴγε τότε ἔστιν εἰδέναι τι ἔχον ἀρχὰς καὶ αἰτίας, ὅταν τις τὰς ἀρχὰς αὐτοῦ εἰδῇ· ᾧ δὲ ἡ γνῶσις τὴν ἀρχὴν ἀπὸ μὴ γιγνωσκομένων πρόεισιν, οὐκ ἂν οὗτος εἰδέναι ταῦτα κυρίως λέγοιτο. εἰκότως οὖν τῆς τῶν πρώτων αἰτίων γνώσεως ἠρτῆσθαί φησι τὸ εἰδέναι, συνιστὰς διὰ τούτου καὶ ταῖς ἄλλαις ἐπιστήμαις

5. τε om *A.* ‖ 23. κτίσεως *A.* ‖ 27. θαυμαστά *M.* ‖ 28. τροπαί *M.* ‖ 37. τῶν οὐκ ἐλαχίστων Ascl. ‖ 40. συμμέτρας *A.* ‖ 43. ἐλαχίστων *M.*

2. f. l. τοῦτο ἐκ τοῦ θαυμάζ. ‖ 3. μεθιστάμενοι *M.* ‖ 14. δευτέραν *L.* ‖ 17. τυχεῖν *M.* ‖ 28. πρώτων αἰτίων εἶναι *L.* ‖ 33. εἶπεν om *M.*

βροντάς, πόθεν, ἢ περὶ τῶν ἀστραπῶν, πῶς γίνεται. εἶτα κατ' ὀλίγον προϊόντες ἦλθον καὶ ἐπὶ τὸ περὶ τῶν μειζόνων διαπορεῖν τε καὶ θαυμάζειν καὶ φιλοσοφεῖν. id. ib.

982b 15. καὶ διὰ τοῦτο παρέθετο τὸ "τινων." σελήνης δὲ παθήματα εἶπε τάς τε ἐκλείψεις αὐτῆς καὶ τὰς αὐξήσεις καὶ τὰς μειώσεις, ὁμοίως δὲ καὶ ἡλίου τάς τε ἐκλείψεις καὶ τὰς ἀνατολάς τε καὶ δύσεις. τὸ δὲ ἀπορεῖν τε καὶ θαυμάζειν δι' ὑπόληψιν ἀγνοίας γίνεται. id. ib.

982b 18. προστίθησι δὲ ὅτι καὶ φιλόμυθος ὁ φιλόσοφός πως (a)· ταῦτα γὰρ σπουδάζει μανθάνειν ἃ ἐστι δι' ἄγνοιαν θαυμάσια· ἐκ γὰρ θαυμασίων τε καὶ παραδόξων οἱ μῦθοι σύγκεινται, οἱ δὲ διὰ τὸ θαυμάζειν τινὰ σπουδάζοντες μανθάνειν φιλόσοφοι. id. ib.

982b 12. (a) ὁ δὲ ἀπορῶν καὶ θαυμάζων ὡς ἀγνοῶν θαυμάζει· διὸ καὶ ὁ Πλάτων περὶ τοῦ Ἀλκιβιάδου φησὶν οἶμαί σε θαυμάζειν· διὸ καὶ τὴν Ἶριν ὁ ποιητὴς Θαύμαντος θυγατέρα εἶπε. φιλόμυθος δὲ ὁ φιλόσοφός πως ἐστίν, ἢ ὅτι κέχρηται μύθοις διὰ τὸ μὴ πρόδηλον τοῖς τυχοῦσι ποιῆσαι τὴν ἑαυτοῦ σοφίαν, ὥσπερ ἐποίουν οἱ Πυθαγόρειοι, ἢ ὅτι τὸ φιλόμυθον ἀνακαλύπτεται, ἐπεὶ ἔχει τοὺς λόγους πάντων ἐν ἑαυτῇ ἡ ψυχή· ἐκ τῆς φιλοσοφίας οὖν ἐκδιώκεται ἡ τέφρα καὶ ἀναφαίνεται ὁ σπινθήρ. καὶ ὁ τοιοῦτος φιλόμυθος, ὥστε καὶ ὁ τὸ καθόλου ἔχων ἐπαίνου ἄξιος· οὕτως γὰρ καὶ ὁ Πλάτων τὴν φιλοσοφίαν ἐκάλεσεν. ὁ δὲ φιλόμυθος ὁ ἐπὶ τῶν καθ' ἕκαστα οὐκ ἐπαινετός, διότι ἄπειρα ὑπάρχουσιν· ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμάτων ὁ τοῦ φιλοσόφου. Asclep.

982b 22. ὅτι δὲ μὴ χρείας τινὸς μηδὲ πράξεως χάριν ἀλλὰ γνώσεως ἦλθον τὴν ἀρχὴν ἐπὶ τὸ φιλοσοφεῖν, συνέστησε καὶ ἀπὸ τῆς ἱστορίας (b)· μετὰ γὰρ τὴν τῶν ἀναγκαίων τε καὶ τῶν πρὸς ῥαστώνην τὴν τοῦ βίου παρασκευὴν ἦλθον ἐπὶ τὴν τῶν κατὰ φιλοσοφίαν ζήτησιν καὶ τὴν τῶν τοιούτων θεωρίαν (c). εἰ δὲ πάντων ὑπαρχόντων, τῶν τε ἀναγκαίων καὶ τῶν πρὸς ῥαστώνην, ἤρξαντο τῆς κατὰ φιλοσοφίαν ζητήσεως, δῆλον ὡς ἐπ' οὐδενὸς ἀναγκαίου τῶν πρὸς διαγωγὴν τοῦ βίου συντελούντων εὑρέσεως τὴν ζήτησιν ἐποιοῦντο. ἀλλὰ μὴν πᾶσαι αἱ ποιητικαί· ἢ γὰρ τῶν ἀναγκαίων τινὰ καὶ χρησίμων ζητοῦσί τε καὶ ποιοῦσιν, ἢ τῶν πρὸς διαγωγήν (d). φρόνησιν δὲ εἶπε τὴν τοιαύτην σοφίαν τε καὶ τὴν θεωρίαν. εἰκάζει δὲ τὴν τοιαύτην γνῶσίν τε καὶ θεωρίαν τοῖς ἐλευθέροις τῶν ἀνθρώπων, οἳ αὑτῶν ἕνεκεν εἰσίν, οὐκ ἄλλων, ὥσπερ οἱ δοῦλοι. τὸν γὰρ δοῦλον ἐν τοῖς Πολιτικοῖς εἶναι εἶπεν ὃς ἄνθρωπος ὢν ἄλλου ἐστίν· τοιοῦτος δὲ ὁ μὴ διοικητικὸς τῶν πρακτέων δι' ἀφυΐαν, ἀλλὰ ὑπηρετικός. καὶ γὰρ ἡ τοιαύτη γνῶσις ὡς μόνη οὖσα ἐλευθέρα τῶν ἄλλων ἐπιστημῶν αὐτὴ αὑτῆς χάριν ἐστίν. σημεῖον δὲ τοῦ δι' αὑτὴν αὐτὴν αἱρετὴν εἶναι καὶ τὸ μηδὲν χρειῶδες παρεχομένην, ἀλλὰ τοὐναντίον καὶ ἐμποδίζουσαν αὐτοῖς τῷ τοσοῦτον φίλτρον ἐμποιεῖν τοῖς ἁψαμένοις αὐτῆς ὡς μηδὲν ἄλλο βούλεσθαι ποιεῖν, ἀλλὰ πᾶν τὸ ἀπάγον αὐτοὺς τῆς κατ' αὐτὴν ἐνεργείας περίστασίν τε καὶ ἐνόχλησιν ἡγεῖσθαι. διὸ καὶ εὐλόγως ἄν φησιν οὐκ ἀνθρωπίνην ἀλλὰ θείαν τὴν γνῶσιν αὐτῆς νομίζεσθαι (e). οἱ μὲν γὰρ ἄνθρωποι ἐν πολλοῖς δοῦλοι διὰ τὰς χρείας εἰσὶ καὶ τούτων χάριν πολλὰ πράττειν ἀναγκάζονται (f)· διὰ γὰρ τὸ εἶναι αὐτοὺς τοιούτους, καὶ ἡ ὑγεία ἀγαθὸν αὐτοῖς καὶ ἡ εὐπορία καὶ ἕκαστον τῶν τοιούτων ἀγαθῶν· διὸ καὶ ἀσχολοῦνται περὶ αὐτά (g). τὸ δὲ θεῖον πάσης χρείας ἐλεύθερον· ἀκολούθως λέγων τοῖς ἐν τοῖς Νικομαχείοις (10 7) εἰρημένοις αὐτῷ, ἔνθα λέγει "οὐ γὰρ χρὴ κατὰ τοὺς παραινοῦντας ἀνθρώπινα φρονεῖν ἄνθρωπον ὄντα καὶ θνητὰ θνητόν." τοιαῦτα γὰρ καὶ ταῦτα. διό φησιν, εἰ ἦν ἀληθῆ τὰ ὑπὸ τῶν ποιητῶν λεγόμενα περὶ τοῦ θείου, ὅτι φθονερὸν τοῖς ὑπερέχουσι, διὸ καὶ δυστυχεῖς πάντας εἶναι τοὺς περιττοὺς καὶ ὑπὲρ τοὺς ἄλλους, τούτοις ἂν μάλιστα ἐφθόνει· οὗτοι γὰρ ὡς ἀληθῶς πλέον τι ἔχουσιν ἢ κατὰ θνητὴν φύσιν. Alex. Aphrod.

(b) ἰστέον δὲ ὅτι ὥσπερ ἐπὶ τῆς ψυχῆς φέρε εἰπεῖν εἴπεν ὅτι δεῖ λαμβάνειν τὰ συμβεβηκότα καὶ ἐφαρμόζειν καὶ οὕτως ἀποδιδόναι τὸν ὅρον, οὕτως καὶ ἐπὶ τῆς φιλοσοφίας ἐποίησε· φιλόσοφος γάρ ἐστιν ὁ φιλῶν τὸ σαφές, ὅ ἐστι τὴν σοφίαν. Asclep.

(c) ἀλλ' ἀρτίως ἔχοντος ἄλλως τοῦ βίου, τρυφῆς τε πάσης 982b 24.
ἐκλιπούσης ἀθρόως, καὶ τῶν ἀναγκαίων δὲ παρόντων, μόλις ἡ φρόνησις ἐξέλειψεν ἡ μαθημάτων. cod. Reg.

(d) ὅμως μέντοι γε ὁ Πλάτων (RP. 7 p. 520) παρακε- 982b 28.
λεύεται τοὺς φύλακας ἀνάγειν μέχρι τῆς πρώτης θεωρίας· εἶτα φησὶν ὅτι καὶ πάλιν μετὰ τὸ ἀναγαγεῖν αὐτοὺς καταγάγωμεν ἐπὶ τὴν ὕλην καὶ τὴν φροντίδα τῶν ὑλικῶν πραγμάτων. Asclep.

(e) διό φησι τὸν θεὸν μόνον εἶναι ἐλεύθερον, ἐπειδὴ αὐτὸς μὲν 982b 30.
οὐδενὸς προσδεῖται, αὐτοῦ δὲ τὰ ἄλλα προσδέονται. διὸ παγκάλως φησὶν ἐκεῖνος "ἐκ σέο πάντα πέφηνε, σὺ δ' οὐδενὸς εἵνεκα μοῦνος." id.

(f) πανταχῇ γὰρ ἡ φύσις δούλη τῶν ἀνθρώπων, οὐχ ὅτι ἡ 982b 29.
φύσις δουλεύει τοῖς ἀνθρώποις, ἀλλ' ὅτι οἱ ἄνθρωποι δουλεύουσι διὰ τὰς περιεχούσας αὐτοὺς σωματικὰς ἀνάγκας, ἄρχουσι δουλεύοντες καὶ ἄλλοις μείζοσι διὰ τὸ τραφῆναι ἢ δι' ἄλλο τοιοῦτο. ὥστε καλῶς ἔλεγεν ὁ Σιμωνίδης ὅτι τοῦτο τὸ γέρας ὁ θεὸς μόνος ἔχει τὴν ἄκραν ἐπιστήμην τὴν καθ' αὑτήν, τὴν σύμμετρον αὐτῷ· ὥστε εἰ δυνατὸν κἂν τὰ καθόλου μόνον γιγνώσκειν, οὐκέτι δὲ δυνατὸν αὐτοὺς ἐπεκτείνεσθαι καὶ ἐπὶ τὴν ἀπειρίαν τῶν καθ' ἕκαστα. "εἰ δὲ λέγουσιν οἱ ποιηταί." φησὶν ὅτι οἱ ποιηταί φασιν ὅτι φθονερόν ἐστι τὸ θεῖον, καὶ Ἡρόδοτος "φθονερὸν ἐὸν τὸ θεῖον." εἰ τοίνυν φθονερὸν τὸ θεῖον, δυστυχεῖς ὑπάρχουσιν οἱ περιττοί, τουτέστιν οἱ σοφοί, πλέον τι ἔχοντες τῶν ἄλλων, ὥς φησιν ἐκεῖνος "πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει." id.

(g) λέγει γὰρ ὁ Σιμωνίδης ὅτι θεὸς μόνος ἔχει τὴν ἄκραν 982b 30.
ἐπιστήμην. cod. Reg.

1. ἀστραπῶν] ἄστρων Asclep. ‖ 4. καὶ — τινων om Asclep. Sepulv. ‖ 5. τὰς ante μειώσεις om Asclep. ‖ 6. καὶ τὰς δύσεις Asclep. ‖ 8. ὁ φιλόσ. φιλόμ. Asclep. ‖ 31. εὑρέσει *M.* ‖ 36. τοῖς om *A.* ‖ 37. εἶπεν εἶναι τὸν ἄνθρωπον τὸν ἄλλου ὄντα καὶ μὴ ἑαυτοῦ· τοιοῦτος δὲ ἐστιν ὁ *L.* ‖ 42. τῷ om *M.*

7. ἀκόλουθα λέγων τοῖς ἐν τῷ κ' τῶν Νικομαχείων εἰρ. *L.* ‖ 11. φθονεῖ *M.*

μάλιστα ὑπάρχει· ταῦτα γὰρ μάλιστα ἐπιστητά, δι' ἃ γε καὶ τῶν ἄλλων ἐπιστητῶν ἕκαστον ἐπιστητόν. ὥστε εἰσί τινες ἐπιστῆμαι δι' αὑτὰς αἱρεταί, ὅπερ ἔκειτο· μάλιστα δ' ἂν εἴη ἡ τοιαύτη. id. ib.

982a 32. "ὁ γὰρ τὸ ἐπίστασθαι δι' αὑτὸ αἱρούμενος τὴν μάλιστα ἐπιστήμην μάλιστα αἱρήσεται." ᾧ γὰρ ὅλως τὸ ἐπίστασθαι δι' αὑτὸ αἱρετόν, τούτῳ μάλιστα αἱρετὸν τοιοῦτον, τὸ μάλιστα ἐπιστητόν· τοιαῦτα δὲ τὰ πρῶτα αἴτια καὶ αἱ ἀρχαί, εἴγε καὶ ἡ τῶν ἄλλων γνῶσις τῆς τούτων γνώσεως ἤρτηται· τότε γὰρ οἰόμεθα εἰδέναι ἕκαστον, ὡς καὶ αὐτὸς εἶπεν ἐν Φυσικῇ (1 1), ὅταν τὰς ἀρχὰς καὶ τὰς αἰτίας τινὸς εἰδῶμεν. ὅτι δὲ μάλιστα ἐπιστητά, ἔδειξε παραθέμενος τὸ ὅτι αἱ ἀποδείξεις ἐκ τῶν πρώτων, διὰ δὲ ἀποδείξεως ἡ τῶν ἐπιστητῶν γνῶσις· ὥστε τὰ πρῶτα αἴτια εἴη ἂν καὶ τοῖς ἄλλοις τοῖς ἀποδεικτικοῖς τε καὶ ἐπιστητοῖς αἴτια τοῦ ἐπιστητοῖς εἶναι, ἀλλ' οὐ ταῦτα ἐκείνοις· ὕστερον γὰρ ταῦτα, οὐδεμία δὲ ἀπόδειξις δι' ὑστέρων. ἔτι πᾶσιν αἴτια τοῖς ἐπιστητοῖς τοῦ εἶναι ἐπιστητοῖς ταῦτα, εἴγε καὶ αἱ τῶν ἐπιστημῶν ἀρχαὶ ταύτας ἀρχὰς ἔχουσιν. id. ib.

982b 4. ἀλλὰ καὶ ἀρχικωτάτη τῶν ἐπιστημῶν ἡ τῶν κυριωτάτων αἰτίων γνωστική. ταῦτα δέ ἐστι τὰ ὧν ἕνεκα τὰ ἄλλα ἐστίν. ἀρχικωτέρα γὰρ ἐν ἅπασιν ἡ γνωρίζουσα τίνος ἕνεκα ἕκαστον δεῖ ποιεῖν τῶν γιγνομένων τῆς ποιούσης αὐτὰ καὶ ὑπηρετούσης, ὡς δῆλον ὑπάρχει ἐπὶ ἀρχιτεκτονικῆς. εἰπὼν δὲ "ἡ γνωρίζουσα τίνος ἕνεκα πρακτέον ἕκαστόν ἐστι," τὸ τοιοῦτον αἴτιον οὗ ἕνεκεν αἰτίου ἕκαστον πρακτέον ἐδήλωσεν εἰπὼν "τοῦτο δέ ἐστι τἀγαθόν·" τοιοῦτο γὰρ τὸ τελικὸν αἴτιον, ὡς εἶπε καὶ τῶν Νικομαχείων Ἠθικῶν ἀρχόμενος "πᾶσα τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ." τοιοῦτον δὲ καὶ τὸ τῶν ὄντων ἁπάντων αἴτιον· πάντα γὰρ ἐκείνου χάριν ἐστί τε καὶ γίγνεται. τὰ δὲ φύσει γιγνόμενα καὶ πρὸς ἐκεῖνο νένευκε κατὰ τὴν σύμφυτον ὄρεξιν αὐτοῖς· ὥστε ἡ τοῦ τοιούτου ἀγαθοῦ γνωστικὴ ἀρχικωτάτη ἂν εἴη. βουληθεὶς δὲ δηλῶσαι πῶς τὸ πρῶτον αἴτιον τοῖς οὖσιν αἴτιον, ὅτι ὡς τέλος, καὶ ὅτι ἡ τοῦ τοιούτου αἰτίου γνωστικὴ ἀρχιτεκτονικωτέρα τῶν ποιουσῶν τὰ ἐκείνου χάριν, εἶπε τὸ "μᾶλλον ἀρχικὴ τῆς ὑπηρετούσης ἡ γνωρίζουσα τίνος ἕνεκέν ἐστι πρακτέον ἕκαστον." ἡ δὲ ἐπιχείρησις τοιαύτη. εἰ ἐν πάσαις τέχναις τε καὶ ἐπιστήμαις ἀρχικωτέρα τε καὶ ἀρχιτεκτονικωτέρα τῆς ποιούσης τι ἡ γιγνώσκουσα τὸ οὗ χάριν καὶ τὸ τέλος, καὶ ἡ τὸ πάντων τέλος καὶ οὗ χάριν τὰ πάντα ἐστί τε καὶ γίγνεται εἰδυῖα ἀρχικωτάτη ἂν εἴη καὶ πρώτη· τοιαύτη δέ ἐστιν ἡ σοφία ἡ τοῦ πρώτου αἰτίου θεωρητική· πάντα γὰρ τὰ ὄντα τοῦ κυριωτάτου τῶν ἀγαθῶν ἐφίεται καὶ τἀγαθοῦ, τἀγαθὸν δὲ τὸ πρῶτον αἴτιον. ἐφ' οἷς δειχθεῖσι συγκεφαλαιοῦται τὰ εἰρημένα, δεικνὺς ὅτι ἐξ ἁπάντων τῶν τοῖς σοφοῖς ἑπομένων δέδεικται σοφία οὖσα ἡ τῶν πρώτων ἀρχῶν τε καὶ αἰτίων θεωρητική· τὸ γὰρ ἀγαθὸν καὶ οὗ ἕνεκά ἐστι τε καὶ γίγνεται πάντα, οὗ ἐστὶν ἡ προκειμένη ἐπιστήμη θεωρητική, τῶν αἰτίων ἐστίν· τοιοῦτον γὰρ τὸ ὡς τέλος αἴτιον· δεῖ γὰρ αὐτὴν τῶν πρώτων ἀρχῶν καὶ αἰτίων εἶναι θεωρητικήν. ἐξ ἁπάντων οὖν τῶν εἰρημένων γίγνεται ἡ σοφία ἡ τῶν πρώτων ἀρχῶν τε καὶ αἰτίων θεωρητική. id. ib.

προσέθηκε δὲ "καὶ γὰρ τὸ ἀγαθὸν καὶ τὸ οὗ ἕνεκα τῶν αἰτίων ἐστίν," 982b 10.
ἐπεὶ εἶπε δεῖν μὲν τὴν σοφίαν κατὰ τὰς κοινὰς προλήψεις ἀρχικὴν εἶναι ἐπιστήμην καὶ μὴ ὑπηρετικήν, εἶπε δὲ ἀρχικωτέραν εἶναι τὴν γνωρίζουσαν τὸ τίνος ἕνεκέν ἐστι πρακτέον ἕκαστον, τοῦτο δ' ἐστὶ τἀγαθόν. εἰπὼν οὖν ἀρχικωτέραν εἶναι τὴν γνωστικὴν τοῦ τίνος ἕνεκεν ἕκαστον ἐστιν, ὅπερ ἐστὶ τἀγαθόν, ὅτι ἡ τῶν πρώτων γνωστικὴ καὶ τούτου ἐστὶ γνωστική, δι' ὃ καὶ ἔστιν ἀρχική, ἔδειξε διὰ τῆς προσθήκης ταύτης. id. ib.

"ὅτι δ' οὐ ποιητική, δῆλον ἐκ τῶν πρώτων φιλοσοφησάντων." 982b 11.
ὅτι μή ἐστι ποιητική τε καὶ πρακτικὴ ἡ φιλοσοφία τε καὶ ἡ σοφία ἀλλὰ θεωρητική, δείκνυσι καὶ ἐκ τοῦ τὴν ἀρχὴν ἐπὶ ζήτησιν τὴν τούτων καὶ τὴν εὕρεσιν ἐλθεῖν τοὺς πρώτως φιλοσοφήσαντας διὰ τὸ θαυμάσαι ἕκαστον αὐτῶν πῶς ἔχει· τὸ δὲ θαυμάζειν ἀγνοούντων ἐστίν. οὐκοῦν εἰ διὰ μὲν τὸ ἀγνοεῖν ἐθαύμαζον, διὰ δὲ τὸ θαυμάζειν ἐπὶ τὸ φιλοσοφεῖν ἦλθον, διὰ τὸ ἀγνοεῖν ἄρα ἐπὶ τὸ φιλοσοφεῖν ἦλθον. ὃ δὴ ἔμελλε τῆς ἀγνοίας παύσειν αὐτούς, τούτου χάριν ἦλθον ἐπὶ τὸ φιλοσοφεῖν· γνῶσις δὲ ἔμελλεν ἀλλ' οὐ πρᾶξις τῆς ἀγνοίας παύσειν αὐτούς· γνώσεως ἄρα ἀλλ' οὐ πράξεως χάριν ἦλθον ἐπὶ τὸ φιλοσοφεῖν. εἰ γὰρ δι' ἄγνοιαν ἦλθον ἐπὶ τὴν ζήτησιν αὐτῶν, δῆλον ὡς γνώσεως ἐφίεσει· τῆς γὰρ ἀγνοίας οὐχ ἡ ποίησις ἀλλ' ἡ γνῶσις ἴασις. τὴν αὐτὴν δὲ ἔθος αὐτῷ καλεῖν σοφίαν τε καὶ πρώτην φιλοσοφίαν. ἡ γὰρ τελειοτάτη φιλοσοφία ἡ ἀρξαμένη ἀπὸ τοῦ θαυμάζειν ἐπὶ τὸ ζητεῖν προελήλυθεν· ἔπειτα εὑροῦσα τὰ ζητούμενα οὕτως ἔχει περὶ αὐτά, ὡς θαυμάζειν εἰ ἐνδέχεται αὐτὰ ἄλλως ἔχειν, ὡς προελθὼν ἐρεῖ. λέγει δὲ ὅτι τὴν μὲν ἀρχὴν ἦλθον ἐπὶ τὸ ζητεῖν τε καὶ φιλοσοφεῖν τὰ πρόχειρά τε καὶ ἐν ποσὶ διὰ τὴν φαινομένην ἀτοπίαν θαυμάσαντες, οἷον, εἰ οὕτως τύχοι, διὰ τί τὸ ἤλεκτρον ἕλκει τὰ ἀχυρώδη, ἡ ἡρακλεία λίθος τὸν σίδηρον, ἢ τίς ἐστιν ἡ Ἶρις, ἢ ὅλως τὴν τῶν νεφῶν σύστασιν, τὰς

7. αἱ om *M.* ‖ 8—10. ap. Asclep. ‖ 8. ὡς αὐτός φησιν ἐν τῇ Φυσ. Asclep. ‖ 9. καὶ τὰ αἴτια Asclep. ‖ 14. οὐδεμίαν δὲ ἀπόδειξιν *M.* ‖ 18—*b* 8. ap. Asclep. ‖ 19. τίνος χάριν Asclep. ‖ 20. ὑπάρχει om Asclep. ‖ 21 ἀρχιτεκτονικοῖς *A.* ‖ ἀρχ. "ὅλως... πάσχ." αὕτη ἐπίσταται ἡ σοφία· αἱ μὲν γὰρ ἄλλαι ἐπὶ τῶν κατὰ μέρος, αὕτη δὲ ἐπὶ πάντων. εἰκὼν οὖν ἡ γν. Asclep. ‖ 22. ἕκαστον — πρακτέον om Asclep. ‖ 23. τοιοῦτον δὲ τὸ Asel. ‖ 24. εἶπεν ἐν τοῖς Ἠθικοῖς ἀρχ. Asclep. ‖ 27. δὲ om Asclep. ‖ 28. αὐτοῖς, ὡς ἐπὶ τοῦ τοιούτου ἀγαθοῦ μὴ ὄ. ὥστε Asclep. ‖ 32. τὸ καὶ μᾶλλ. Asel. ‖ 33. ἐστὶ om Asclep. ‖ εἰ] ἐστίν· εἰ Asclep., ἡ *A.* ‖ 34. τῶν ποιουσῶν *A.*

1. τὰ γὰρ ὄντα (om πάντα) Asclep. ‖ καὶ — 2. δειχθεῖσι] εἶτα Asclep. ‖ 3. δεικν. ἐξ ἁπάντ. ὅτι τοῖς τοιούτοις σοφοῖς ἕπεται ἡ σοφία οὖσα τῶν πρ. Asclep. ‖ 5. καὶ τὸ οὗ] εἶτα Asclep. ‖ πάντων *M.* ‖ 7. αἴτιον. ἐπειδὴ καὶ τὸ ἀγαθὸν τῶν αἰτίων ἐστὶ τῶν τελικῶν, οὗ τινός ἐστιν εὑρετικὴ ἡ σοφία. "ὅτι δὲ οὐ ποιητική" (p. 982 *b* 11). ‖ 14. γν. οὗ τινος *A.* ‖ 17. πρῶτον *M.* ‖ 21. — 529 *a* 11. ap. Asclep. ‖ 21. ἀγνοοῦντος *A.* ‖ 22. εἰ om Asclep. ‖ 23. ἄρα ἦλθον ἐπὶ τὸ φιλ. Asclep. ‖ 26. ἀγνωσίας Asclep. ‖ 28. δῆλον] φανερὸν Asclep. ‖ 29 — 33 τὴν αὐτ. — ἐρεῖ om Asclep. ‖ 35. διὰ τὴν ἀγνωσίαν τε καὶ ἀτοπίαν θαυμ. αὐτά. οἷον Asclep. ‖ 36. τὸ ἀχυρῶδες *A.* ‖ ἡ] ἢ ἡ Asclep. ‖ 37. τί Asclep. ‖ σύσ. ἢ τὴν βροντὴν Asclep.

ὡς ἀκριβέσται ἂν εἶεν αἱ τῶν ἀρχῶν αὐτῶν ἐπιστῆμαι, δι' ἃς καὶ αἱ ἐγγὺς αὐτῶν ἀκριβέστεραι τῶν ἄλλων. ὅτι δὲ αἱ ἐξ ἐλαττόνων καὶ ἐγγυτέρω τῶν ἀρχῶν τῶν διὰ πλειόνων καὶ πορρωτέρω ἀκριβέστεραι, δέδεικται μέν, ὡς ἔφην, καὶ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (αἱ γὰρ δι' ἐλαττόνων προτάσεων καὶ ἀμέσων ἀκριβέστεραι), καὶ νῦν δὲ ἐνεδείξατο παραθέμενος τὴν ἀριθμητικὴν καὶ τὴν γεωμετρίαν, ἧς διαφορά, ὅτι ἡ γεωμετρία μὲν περὶ τὰ θέσιν ἔχοντα· τὸ γὰρ σημεῖον καὶ ἡ γραμμὴ καὶ τὰ ἄλλα περὶ ἃ ὁ γεωμέτρης, θέσιν ἔχει, ἡ δὲ μονὰς καὶ ὁ ἀριθμὸς ἄθετα· διὸ οἱ μὲν γεωμέτραι προσχρῶνται δείξεσιν ἀριθμητικαῖς ὡς προσδεόμενοι αὐτῶν εἰς τὴν τῶν οἰκείων σύστασιν, οἱ δὲ ἀριθμητικοὶ γεωμετρικαῖς οὐκέτι. Alex. Aphrod.

(¹) ἔν τισι τῶν ἀντιγράφων λείπει τὸ πάντα, ὡς ἀπὸ κοινοῦ λαμβανόμενον. cod. Reg.

(²) "τούτων δὲ τὸ μὲν ἅπαντα ἐπίστασθαι." ἐλλείπει τῇ λέξει τὸ πάντα ἐπίστασθαι, ἵν' ᾖ τὸ ὅλον οὕτως· τούτων δὲ τῶν εἰρημένων ὑπάρχει τὸ πάντα ἐπίστασθαι τῷ μάλιστα ἔχοντι τὴν καθόλου ἐπιστήμην. οὗτος γὰρ οἶδε πῶς ἔχει πάντα τὰ ὑποκείμενα, ἤτοι πῶς ἔχει φύσει ἕκαστα, οἷον ἄνθρωπος κατὰ τὴν αὐτοῦ τελειότητα, καὶ ἵππος καὶ ἰχθὺς καὶ τἆλλα φυσικά, τά τε ἁπλᾶ καὶ τὰ σύνθετα, καὶ ἁπλῶς πάντα τὰ ἐν τῷ κόσμῳ, εἰδὼς τὴν πρώτην αὐτῶν αἰτίαν καὶ τὴν ἀρχὴν τὴν πρώτην, εἴτε καθ' αὑτὰ ὄντα εἴτε κατὰ συμβεβηκότα. cod. Laur.

(³) "τούτων οὖν τὸ μὲν πάντα . . . ὑπάρχει." καθόλου τε γὰρ μάλιστα καὶ κοινῶς περὶ πάντων ἐπίσταται ὁ τὰς πρώτας ἀρχὰς εἰδώς, ὥς φησι, γνῶσις τῶν ὄντων ᾗ ὄντα εἰσίν· ὁ γὰρ ὁ τάς τινος ἀρχὰς εἰδὼς καθολικήν τινα γνῶσιν πάντων ἔχει. διό φησιν, οὗτος γὰρ οἶδε πάντα τὰ ὑποκείμενα. "σχεδὸν. . . ἀνθρώπ." τουτέστι τὰ φανότατα εἴδη, ἅ ἐστι τὰ καθόλου, ἐπειδὴ κατ' αἴσθησιν ζῶσι, πόρρω δὲ ταῦτα τῶν αἰσθήσεων. Asclep. (vid. Alex.)

(⁴) φανερὸν οὖν ὅτι σοφώτερός ἐστιν ὁ ἔχων τὴν κυρίως ἐπιστήμην, τουτέστι τὴν πρώτην φιλοσοφίαν, ἐν ἑαυτῷ· μᾶλλον γὰρ γινώσκει· ὁ γὰρ ἔχων τὴν καθόλου ἐπιστήμην, οὗτος οἶδε καὶ τὰ ἄλλα πάντα, καὶ πάλιν οὗτος καὶ τὰ δυσχερέστερα γινώσκει, φημὶ δὴ τὰ φανότατα εἴδη. ἅτε γὰρ ἔχων τὴν κυρίως ἐπιστήμην τὴν ἀναπόδεικτον καὶ κατὰ νοῦν ἐνεργῶν δηλονότι τῶν φανοτάτων ἀντιλήψεται. ταῦτα δὲ τοῖς πολλοῖς ἄβατα καὶ χαλεπὰ διὰ τὴν ἀσθένειαν. ἀλλὰ καὶ ἀκριβέστερον ὅσῳ καὶ ἀρχικώτερον· καὶ μᾶλλον διδάσκει. Asclep.

982a 25. "ἀκριβέσταταί τε τῶν ἐπιστημῶν αἳ μάλιστα τῶν πρώτων εἰσίν." οὐχ ὑποληπτέον τοῦτο μάχεσθαι τῷ ἐν τῷ προοιμίῳ τῆς Φυσικῆς (1 1) εἰρημένῳ, ἔνθα λέγων ὅθεν δεῖ ἄρχεσθαι, ἀπὸ τῶν ἡμῖν γνωρίμων λέγει· τὸ γὰρ ὅλον κατὰ τὴν αἴσθησιν γνωριμώτερον, τὸ δὲ καθόλου ὅλον τί ἐστιν· οὔτε γὰρ τὸ πρῶτον καὶ τὸ καθόλου ταὐτόν. τὸ γοῦν πρῶτον αἴτιον τὸ κινητικόν, περὶ οὗ νῦν αὐτῷ λέγειν πρόκειται, πρὸ ἁπάντων μέν ἐστιν, οὐ μὴν οὕτως καθόλου ὡς τὰ γένη. ἀλλ' οὐδὲ τὸ ὡς γένος λεγόμενον καθόλου ἐκεῖ πρὸς τὴν αἴσθησιν πρῶτον εἶπεν, ἀλλὰ τὸ κοινότερον καὶ πλείοσι συμβεβηκός, ὡς ἐδήλωσε διὰ τῶν παραδειγμάτων (¹). Alex. Aphrod.

(¹) "ἀκριβέσταταί τε τῶν ἐπισ.". . οἷον ἀκριβεστέρα γεωμετρία ὀπτικῆς, γεωμετρίας δὲ ἀριθμητική. αἱ πρῶται γὰρ οἰκείαις ἀρχαῖς χρῶνται μόνον, αἱ δὲ ὑπ' αὐτὰς καὶ ταῖς αὐτῶν καὶ ταῖς πρὸ αὐτῶν, οἷον ἀριθμητικὴ μὲν ἀριθμοῖς μόνον, γεωμετρία δὲ καὶ ἀριθμοῖς καὶ μεγέθεσι. καὶ ἡ μὲν ἀριθμητικὴ ἀθέτοις χρῆται τοῖς ἀριθμοῖς καὶ τῇ μονάδι, ἡ δὲ γεωμετρία τῷ σημείῳ καὶ τῇ γραμμῇ θέσιν ἔχουσιν. cod. Laur.

"αἱ γὰρ ἐξ ἐλαττόνων ἀκριβέστεραι·" ᾧ γὰρ ἐλάττονα τὰ συμ- 982a 26.
βεβηκότα, δυσγνωστότερον τοῦτο καὶ πλείονος ἀκριβείας δεῖται· καὶ ᾧ μηδέν ἐστι συμβεβηκός, ἡ τούτου γνῶσις χαλεπωτάτη, διὸ καὶ πλείονος ἀκριβείας δεῖται, ἅτε οὐκ ἀπὸ συμβεβηκότων εἰς τὴν γνῶσιν τῆς οὐσίας αὐτῶν βοηθουμένη, ἀλλ' ἀπὸ μόνης τῆς οὐσίας γιγνομένη. βελτίων τε ἡ τούτων ἐπιστήμη τῷ μᾶλλον γιγνώσκειν ποιεῖν. ἔτι ἡ ἀπόδειξις ἡ κυρίως ἐκ προτέρων· καὶ γὰρ τὰ ἄλλα τότε ἀποδείκνυται ὅταν διὰ τοιούτων δειχθῇ ἃ διά τινων πρώτων τὴν περὶ αὐτῶν πίστιν εἴληφεν· ἡ δὲ ἐκ πρώτων ἐξ ἐλαττόνων, ἡ δὲ ἐξ ἐλαττόνων ἀκριβεστέρα· ὥστε καὶ ἡ ἐκ πρώτων εἴγε τὰ διὰ τούτων δειχθέντα αἴτια καὶ τοῖς ὑστέροις τοῦ ἀποδείκνυσθαι. ἐπιζητήσειε δ' ἄν τις πῶς ἡ τῶν πρώτων ἀρχῶν τε καὶ αἰτίων γνῶσις χαλεπωτάτη, εἰ βέλτιον ἔχομεν περὶ αὐτὰς τῆς δι' ἀποδείξεως γνώσεως. ἢ οὕτως ἔχομεν περὶ τὰς ὡς ἀξιώματα ἀρχάς, δι' ὧν τὰ ἄλλα δείκνυται, ἤτοι τὰς ἀποδεικτικὰς ἀρχάς, οὐ τὰς τοῦ ὄντος; πῶς οὖν αὗται ἐπίστανται; ἢ καὶ αὗται δι' ἀποδείξεων; ἀρχαὶ γὰρ καὶ τῆς τούτων δείξεως τὰ ἀξιώματα. ἀλλ' ἐπεὶ πᾶσα ἀπόδειξις ἐκ πρώτων, εἴη ἄν τινα καὶ τούτων πρῶτα. ἢ οὐδὲν κωλύει ὡς ἀποδεικτικῶν αὐτῶν πρῶτά τινα λέγειν εἶναι; ἀλλ' εἰ ἀπόδειξις ἐκ πρώτων, εἴη ἄν τινα λέγειν εἶναι. ἀλλ' εἰ ἡ ἀπόδειξις δι' αἰτίου γνῶσις, εἴη ἂν καὶ τούτων αἴτιον, οὕτως δὲ καὶ πρῶτα. ἢ οὐ πᾶσα δι' αἰτίου ἀπόδειξις. Alex. Aphrod.

δῆλον δὲ ὅτι καὶ διδασκαλικώτεροι οἱ τὰ αἴτια εἰδότες· τῶν 982a 28.
γὰρ διδασκόντων ἴδιον τὸ τὰς αἰτίας λέγειν τῶν διδασκομένων, ὡς προείρηκεν. ἤτοι δὲ μᾶλλον λέγει διδασκαλικὴν τὴν τῶν αἰτίων θεωρητικὴν τῆς μὴ τοιαύτης· διὰ γὰρ τῶν αἰτίων ἡ διδασκαλία, ὡς μόνης ταύτης οὔσης τῶν αἰτίων θεωρητικῆς· τὰ γὰρ κυρίως αἴτια ταῦτα. ἢ τὸ λεγόμενόν ἐστιν ὅτι ἡ τῶν μᾶλλον αἰτίων θεωρητικὴ καὶ διδασκαλικὴ μᾶλλον, ἐπειδὴ διὰ τῶν αἰτίων ἡ διδασκαλία· αὕτη δὲ ἡ τῶν μᾶλλον αἰτίων θεωρητικὴ καὶ διδασκαλικὴ μᾶλλον. ἀλλὰ καὶ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι αὐτῶν χάριν τῶν νοουμένων τε καὶ γινωσκομένων καὶ μὴ ἄλλου τινὸς τῇ τῶν αἰτίων καὶ ἀρχῶν γνώσει

7. τὰ] τὴν *M.* ‖ 8. τὰ om *A.* ‖ 39. τέον τοῦτο μάχ. om *M.* ‖ 41. τὴν om *A.* ‖ 42. καθὸ ὅλον τι *A.* ‖ ταὐτόν. τὸ γοῦν om *M.* ‖ 43. κοινητικὸν *A.*
1. πρῶτον πάντων *M.* ‖ μέν ἐστιν om *A.* ‖ 2. γένη *A.* ‖ 12. οὗ *M.* ‖ 14. χαλεπωτέρα *M.* ‖ 18. ἔτι εἰ ἡ *M.* ‖ 19. πρῶτον *A.* *quae per alia priora fidem sui non acceperunt,* Sepulv. ‖ 20. ἡ δὲ ἐκ πρώτων] εἰ δὲ *M.* ‖ 21. διὰ τούτων *M.* ‖ 30. ἐκ — 31. ἀπόδειξις om *M* et Sepulv. ‖ 39. ταῦτα om *A.* ‖ 40. καὶ — 41. μᾶλλον om *A.*

βεβαιοῦντι τὸ εἶναι τὴν γνῶσιν καὶ τὴν τῆς ἐπιστήμης ὄρεξιν κατὰ φύσιν τοῖς ἀνθρώποις καὶ διὰ τοῦ ταύτας τὰς ἀρχὰς φύσει ἡμῖν δεδόσθαι· αὗται γάρ εἰσιν αἱ κοιναὶ ἔννοιαι. οὕτως καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει πεποίηκε περὶ τόπου ζητῶν, ὁμοίως δὲ καὶ περὶ χρόνου, σχεδὸν δὲ καὶ περὶ τῶν ἄλλων ἁπάντων προβλημάτων τῇ ὁδῷ ταύτῃ κέχρηται. τοῦτο οὖν καὶ νῦν ποιεῖ· ζητῶν γὰρ περὶ ποίας ἀρχάς ἐστιν ἡ σοφία, καὶ τί ἔργον τοῦ σοφοῦ, καὶ τίς ὅλως ὁ σοφός, τὰς κοινὰς καὶ φυσικὰς ἐννοίας ἃς ἔχομεν περὶ τῶν σοφῶν ἐκτίθεται ἵνα ταύταις τὰ ἀκόλουθα ζητοῦντες συμφώνως λαμβάνωμέν τε καὶ τιθῶμεν. ἔστι δὲ ἃ ἡ κοινὴ πρόληψις τῷ σοφῷ καὶ τῇ σοφίᾳ ὑπάρχειν τίθησιν, ὥς φησι, τό τε πάντα ἐπίστασθαι κοινῇ καὶ καθόλου, καὶ περὶ πάντων δύνασθαι διαλαμβάνειν περιληπτικῶς καὶ μὴ ὡς ὁ καθ' ἑκάστην ἐπιστήμην ἢ τέχνην σοφός· τοὺς γὰρ οὕτως εἰδότας οὐ σοφοὺς ἔτι ἀλλὰ τεχνίτας καὶ ἐπιστήμονας ἐκείνου περὶ οὗ λέγουσιν οὕτως ὑπολαμβάνουσιν. ἔτι δὲ οὐδὲ οἷόν τε πάντα τινὰ ἐπίστασθαι ἄλλως ἢ ὡς εἴρηται. διὸ προσέθηκε τὸ "ὡς ἐνδέχεται" (v. 9). ἀλλὰ καὶ τὸν τὰ περιττὰ καὶ χαλεπὰ καὶ μὴ ῥᾴδια γνωσθῆναι εἰδότα, τοῦτον σοφόν φασιν· τοὺς γὰρ τὰ κοινὰ καὶ ῥᾴδια εἰδότας οὔ φασι σοφούς. διὸ οὐδὲ τὴν αἴσθησιν σοφίαν λέγουσιν, οὔτε σοφοὺς τοὺς αἰσθανομένους καθὸ αἰσθάνονται· κοινὴ γὰρ καὶ ῥᾳδία ἡ αἰσθητικὴ γνῶσις. ἔτι τε τὸν ἀκριβῆ καὶ περιττὸν περὶ ἕκαστον τῶν νοουμένων καὶ ἀναμάρτητον σοφὸν λέγουσιν. ἀλλὰ καὶ τὸν διδασκαλικώτερον τῶν αἰτίων, τουτέστι τὸν τὴν διδασκαλίαν διὰ τῆς τῶν αἰτίων παραδόσεως ποιούμενον, μᾶλλον σοφὸν λέγουσι τῶν μὴ οὕτως διδασκόντων. καὶ τῶν ἐπιστημῶν δὲ σοφίαν ταύτην λέγουσι τὴν αὐτῆς τῆς γνώσεως τῆς κατὰ τὴν ἐπιστήμην ἕνεκα μετιοῦσαν αὐτὰ καὶ αἱρουμένην, ἀλλὰ μὴ διά τινα ἀποβαίνοντα, καὶ σοφοὺς αὖ δηλονότι τοὺς τὴν τοιαύτην ἐπιστήμην ἔχοντας· τοὺς γὰρ διὰ τὴν γνῶσιν αὐτὴν αἱρετὰ εἰδότας, οὐκ ἄλλων τινῶν ἀποβαινόντων χάριν. ib.

982a 12. τὸ δὲ "ἔτι τὸν ἀκριβέστερον καὶ διδασκαλικώτερον τῶν αἰτίων" οὐχ ὡς ἑνὸς ἀκούειν δεῖ, ἀλλὰ δύο· διαφέρει γὰρ ταῦτά γε ἀλλήλων. καὶ οὕτως γίνεται τὰ τιθέμενα ἕξ (''). ἔτι τοὺς τὰ ἀρχικώτερα καὶ ἐπιστατικώτερα εἰδότας τῶν τὰ ὑποτεταγμένα εἰδότων μᾶλλον λέγουσι σοφούς, καὶ σοφίαν τῶν ἐπιστημῶν τὴν ἀρχικωτέραν τε καὶ ἀρχιτεκτονικωτέραν τῆς ὑπηρετούσης. ταῦτα δὴ λαβὼν ὡς κατὰ τὰς κοινὰς ὑπολήψεις δοξαζόμενα περὶ τοὺς σοφούς, μετὰ ταῦτα πειρᾶται ἕκαστον αὐτῶν προσάγειν τῷ τὰς πρώτας καὶ τὰς καθόλου αἰτίας εἰδότι, δεικνὺς διὰ τούτων ὃ φθάσας εἶπεν, τὸ ὅτι τὴν ὀνομαζομένην σοφίαν περὶ τὰ πρῶτα αἴτια καὶ τὰς ἀρχὰς ὑπολαμβάνουσι πάντες (*)· καθόλου τε γὰρ μάλιστα καὶ κοινῶς περὶ πάντων οὗτος ἐπίσταται ὁ τὰς πρώτας ἀρχὰς εἰδώς· ὡς γὰρ ὁ τάς τινων ἀρχὰς εἰδὼς καθολικήν τινα γνῶσιν ἐκείνων ἔχει, οὕτως καὶ ὁ τὰς πάντων εἰδὼς ἀρχὰς καθολικὴν ἄν τινα γνῶσιν ἁπάντων ἔχοι. Alex. Aphrod.

(') ἀρχικωτέραν λέγει σοφίαν ἀντὶ τοῦ ἀρχικωτάτην, τὴν πάντων τῶν ἐπιστημῶν γινώσκουσαν τὰς ἀρχάς, τῶν κατὰ μέρος δηλαδή. καὶ αὐτῶν δὴ τῶν κατὰ μέρος ἐπιστημῶν ἄλλη ἄλλης ἀρχικωτέρα ἐστίν. cod. Laur. 982a 16.

('') καὶ σοφοὺς οὖν δηλονότι φησὶ τοὺς τὴν τοιαύτην ἐπιστήμην ἔχοντας, καὶ τὴν ἀρχικωτέραν τῆς ὑπηρετούσης μᾶλλον σοφίαν· οὐ γὰρ δεῖ ἐπιτάττεσθαι τὸν σοφὸν ἀλλ' ἐπιτάττειν, ὡς ἔχοντα τὰς ἀρχάς. Asclep. 982a 17.

(*) τὰ νῦν δὲ φεῦ πάρεστιν ἔμπαλιν βλέπειν· 982a 18.
ἀνδραπόδων δίκην γὰρ ἠθλιωμένων
σοφοὶ καθυπείκουσι πλουσίων βίᾳ,
καὶ ταῦτα κυκλήσαντος ἡμῖν τοῦ χρόνου. cod. Reg.

"τούτων δὲ τὸ μὲν ἐπίστασθαι τῷ μάλιστα ἔχοντι τὴν κατὰ πάντων ἐπιστήμην" (*)· ἐλλείπει τῷ ἐπίστασθαι τὸ τὰ πάντα· τὸ γὰρ πάντα ἐπίστασθαι τῷ μάλιστα ἔχοντι τὴν καθόλου ἐπιστήμην ὑπάρχει· τοῦτο γὰρ ἦν τὸ κείμενον (*). μάλιστα δὲ καθόλου ἐστὶν ἐπιστήμη ἡ περὶ τῶν ὄντων ᾗ ὄντα (*)· κοινὸν γὰρ τὸ ὂν πᾶσι τοῖς οὖσιν ὑπάρξει (*). ἀλλὰ καὶ χαλεπώτατα μάλιστα τὰ καθόλου τῶν τῷ ἀνθρώπῳ γνωστῶν, τῷ πάμπολυ τῶν αἰσθήσεων ἀφεστάναι· ὃ ἦν δεύτερον τῶν τεθέντων δοξάζεσθαι περὶ τοῦ σοφοῦ· τὰ γὰρ τῶν ὄντων ἁπλούστατά τε καὶ πρῶτα πορρωτάτω τῶν αἰσθήσεων. τὸ δὲ "τοῖς ἀνθρώποις" προσέθηκε πρὸς ἀντιδιαστολὴν τῆς φύσεως· τῇ φύσει γὰρ ἐκεῖνα τῶν αἰσθητῶν γνωριμώτερα. ἀλλὰ καὶ ἀκριβεστάτη τῶν ἐπιστημῶν ἡ τῶν μάλιστα πρώτων γνῶσις· καὶ γὰρ τῶν ἄλλων ἐπιστημῶν ἀκριβέστεραι αἱ ἐκ τῶν πρώτων εἰσίν, εἴγε αἱ ἐξ ἐλαττόνων ἀκριβέστεραι· ἐξ ἐλαττόνων δὲ αἱ ἐγγυτέρω τῶν ἀρχῶν, ὡς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (I 27) εἴρηται· διὰ τοῦτο γὰρ καὶ κυριωτάτας καὶ μάλιστα ἀποδείξεις εἶπεν εἶναι τὰς ἐξ ἀμέσων τε καὶ πρώτων τῶν προτάσεων, δευτέρας δὲ τὰς διὰ τούτων δεικνυμένας. εἰ δ' αἱ ἐγγυτέρω τῶν ἀρχῶν διὰ τὴν τῶν ἀρχῶν γνῶσιν ἀκριβέστεραι, δῆλον 982a 21.

1. βεβ. καὶ διὰ τοῦτο τὸ Asclep. ‖ 2. τοῦ τὰς τῆς γνώσεως ἀρχὰς Asclep. ‖ 4. περὶ τοῦ τόπου Asclep. ‖ 5. περὶ] ἐπὶ Asclep. ‖ ἁπάντων] ὑπὸ πάντων *M.* ‖ 7. τίς ὁ ὅλως σοφὸς Asclep., τίς ὅλος *M.* ‖ 9. συμφώνως ζητοῦντες Asclep. ‖ τιθῶμεν. "εἰ δὴ λάβοι.... γίν. μᾶλλον" (v. 6) πρόληψις τῷ σοφῷ καὶ τῇ σοφίᾳ ὑπάρχουσα αὕτη τίθησι, ὥς φησι Asclep. ‖ 11. κοινῶς Asclep., om in lacuna *M.* ‖ 12. ἢ τέχνην σοφός] ἐπιστήμων Asclep. ‖ 13. οὐ ἔτι, ὡ in lacuna om *M.* ‖ ἔτι] εἶναι Asclep. ‖ 14. καὶ ἐπισ. om Asclep. ‖ λέγουσι. καλῶς δὲ προσέθηκε τὸ "σχεδὸν"· τελείως γὰρ γνῶσιν οὐδεὶς ἔχει, εἰ μὴ μόνος ὁ θεός. ἀλλὰ καὶ τὸν Asclep. ‖ 17. τοῦτον] καὶ τούτους Asclep. ‖ 19. οὐδὲ Asclep. ‖ 20. ἀκριβέστερον περὶ (om καὶ περιττὸν) Asclep. ‖ 21. σοφὸς *M*, σοφὸν εἶναι Asclep. ‖ 22. καὶ τῶν διδασκ. *M.* ‖ 24. "καὶ τῶν ἐπιστημῶν δέ." εἰρηκὼς τὰ κατὰ τὴν κοινὴν ἔννοιαν ὑπάρχοντα τῇ σοφίᾳ, φησὶν οὕτως καὶ τῶν ἐπισ. Asclep. ‖ 26. ἕνεκεν *M.* ‖ καὶ om *A.* ‖ τινος *M.* ‖ 27. αὖ om *M*, οὖν Asclep. ‖ 31. ὡς om *A.*

2. ἀπολαμβάνουσι *M.* ‖ 4. τινῶν om *M.* ‖ 23. ἐστὶν om *A.* ‖ 28-30. ap. Asclep. ‖ 28. προσέθηκε Asclep. ‖ 30. γνωριμ. πάλιν δὲ αἱ πρῶται τῶν ἐπιστημῶν ἀκριβέστεραί εἰσι τῶν ὑπ' αὐτὰς τῶν ὑπ' ἀλλήλων, ὥς φησιν ἐν τῇ Ἀποδεικτικῇ (I 27), ἐπειδὴ τὰς ἀρχὰς αὐτῶν ἀποδεικνύουσι. διὸ ἀκριβεστέρα ἐστὶν ἀριθμητικὴ γεωμετρίας κτλ. Asclep. ‖ 32. αἱ ante ἐξ om *A.* ‖ 34. κυριώτατα *M.* ‖ 36. δευτέρως *M.*

ἐκεῖσε γὰρ πρῶτον συνέστησαν αἱ μαθηματικαὶ ἐπιστῆμαι, ἐπειδὴ οἱ ἱερεῖς τὰ ἀναγκαῖα εἶχον ἄλλοθεν αὐτοῖς παρεχόμενα, καὶ ἐσχόλαζον μόνοις τοῖς μαθήμασι· διὸ καὶ ἐν τοῖς ἱερογλυφικοῖς γράμμασι ταῦτα εἶχον γεγραμμένα. ὅτι δὲ καὶ αἱ μαθηματικαὶ ἐπιστῆμαι ἐξ ἐμπειρίας ἤρξαντο... ib. (cf. Alex.)

981 b 25. "εἴρηται μὲν οὖν ἐν τοῖς Ἠθικοῖς τίς διαφορὰ τέχνης καὶ ἐπιστήμης." τῷ τῆς τέχνης ὀνόματι χρησάμενος καὶ κατὰ τῆς ἐπιστήμης, περὶ τῆς διαφορᾶς αὐτῶν ἀνέπεμψεν ἡμᾶς εἰς τὰ Ἠθικά· ἐν γὰρ τῷ Ζ (c. 3) τῶν Νικομαχείων ἡ τούτων διαίρεσις αὐτῷ παραδέδοται, ἐν αἷς λέγει πέντε εἶναι οἷς ἀληθεύει ἡ ψυχὴ τὴν ἐν λόγῳ καὶ συνέσει ἀλήθειαν, ἐπεὶ καὶ τῷ αἰσθάνεσθαι ἀληθεύειν λέγεται, τέχνην φρόνησιν ἐπιστήμην σοφίαν νοῦν. καὶ τέχνην μέν φησιν εἶναι ἕξιν μετ' ἀληθοῦς λόγου ποιητικήν, ἐπιστήμην δὲ ἕξιν ἀποδεικτικήν, ἀποδεικτικὴν δὲ τὴν ἐκ προτέρων καὶ ἀμέσων καὶ γνωριμωτέρων τοῦ συμπεράσματος συλλογιστικήν, ἢ ὑπόληψιν περὶ τῶν καθόλου καὶ ἐξ ἀνάγκης ὄντων, ἢ γνῶσιν τῆς αἰτίας δι' ἣν τὸ πρᾶγμά ἐστιν, ὅτι ἐκείνου ἐστί, καὶ ὅτι οὐκ ἐνδέχεται αὐτὸ ἄλλως ἔχειν· φρόνησιν δὲ ἕξιν μετ' ἀληθοῦς λόγου πρακτικὴν περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ ἢ καὶ κακά, περὶ ὧν ἐστὶ καὶ τὸ βουλεύεσθαι, ἢ ἀρετὴν τοῦ δοξαστικοῦ μέρους τῆς ψυχῆς· νοῦν δὲ δύναμιν ψυχῆς ᾗ τὰς τῶν ἀποδεικτικῶν ἀρχὰς τὰς ἀναποδείκτους γνωρίζομεν· σοφίαν δὲ νοῦν καὶ ἐπιστήμην τῶν τιμιωτάτων τῇ φύσει. ἀναπέμψας δὲ εἰς ἐκεῖνα περὶ τῆς διαφορᾶς ἡμᾶς τῆς τέχνης καὶ τῆς ἐπιστήμης (ἡ μὲν γὰρ αὐτῶν ἐν ποιήσει τε καὶ πράξει, ἡ δ' ἐπιστήμη ἐν γνώσει), οὗ χάριν τούτων μνημονεύει, τούτου ἔχεται· τοῦ γὰρ λαβεῖν τε καὶ δεῖξαι ὅτι τὴν κυριωτάτην τε καὶ μάλιστα ἐπιστήμην, ἣν καὶ ἁπλῶς σοφίαν καλοῦμεν, περὶ τὰ πρῶτα αἴτια καὶ τὰς πρώτας ἀρχὰς πάντες ὑπολαμβάνουσιν εἶναι. τούτου χάριν τῆς ἐμπειρίας τὴν τέχνην ἔδειξε τῇ τῆς αἰτίας γνώσει διαφέρουσαν, καὶ ὅτι τιμιώτεραι αἱ περὶ τὴν τῆς αἰτίας τῶν ὑπ' αὐτῶν μεταχειριζομένων γνῶσιν καταγιγνόμεναι. Alex. Aphr.

981 b 27. "ὧν οὖν ἕνεκα ποιούμεθα τὸν λόγον." αὐτὸς διὰ τούτων σαφῶς τήν τε πρόθεσιν τῶν λεγομένων καὶ ὧν χάριν εἴρηται τὰ εἰρημένα λέγει· ὑπὲρ γὰρ τοῦ δεῖξαι ὅτι πᾶσι δοκεῖ τὰς θεωρητικὰς τέχνας τῶν πρακτικῶν τιμιωτέρας εἶναι, καὶ τὴν σοφίαν τῶν πρώτων ἀρχῶν εἶναι γνωστικήν· ὃ ἐδείξαμεν δείξαντες αὐτοὺς ἀεὶ μᾶλλον τὸ τῆς σοφίας κατηγοροῦντας ὄνομα κατὰ τῶν εἰδότων μᾶλλον. σοφωτέρα γὰρ τῆς μὲν αἰσθήσεως ἡ ἐμπειρία διὰ τὸ ἤδη λογική τις εἶναι γνῶσις (λογικὴ γὰρ ἡ τοῦ καθόλου περίληψις), ἡ δὲ τέχνη τῆς ἐμπειρίας, ὅτι αὕτη ἤδη καὶ τῆς αἰτίας ἐστὶ γνῶσις. ἡ γὰρ τοῦ ὁμοίου θεωρία κατὰ τὴν τῆς αἰτίας γνῶσιν γίγνεται· χειροτέχνου τε γὰρ ὁ ἀρχιτέκτων, ἀντὶ δὲ τοῦ τεχνίτου τοῦ ποιοῦντος ὁ ἀρχιτέκτων. αἱ δὲ θεωρητικαὶ τῶν ποιητικῶν, ὅτι οὐ πρὸς χρῆσιν ἀλλὰ πρὸς διαγωγὴν αὗται καὶ αὐτῆς χάριν τῆς γνώσεως. ib.

"ἐπεὶ δὲ ταύτην τὴν ἐπιστήμην ζητοῦμεν." τουτέστιν ἐπειδὴ ἡ 982 a 6. προκειμένη ἡμῖν πραγματεία ζήτησίς ἐστι ταύτης τῆς ἐπιστήμης, δεῖ ἰδεῖν περὶ ποῖά ἐστιν ἐπιστήμη ἡ ζητουμένη. ὅτι μὲν γὰρ περί τινας ἀρχάς ἐστι καὶ αἰτίας ἐπιστήμη, δῆλον ἐξ ὧν προείρηκε· πάντες γὰρ τὴν σοφίαν τῶν ἀρχῶν καὶ τῶν αἰτίων φασὶν εἶναι γνῶσιν, καὶ σοφὸς ὁ τούτων ἐπιστήμων. ἐπεὶ οὖν ἡ σοφία τῶν ἀρχῶν καὶ αἰτίων γνῶσίς ἐστι κατὰ τὴν κοινὴν περὶ αὐτῆς ἔννοιαν, τὰ δ' αἴτια πολλαχῶς, εἰκότως πρῶτον ζητεῖ ποίων αἰτίων καὶ τίνων ἀρχῶν γνῶσίς ἐστιν ἡ σοφία περὶ ἧς πρόκειται λέγειν ἡμῖν. φθάνει μὲν οὖν εἰρηκέναι ὅτι τὴν ὀνομαζομένην σοφίαν περὶ τὰ πρῶτα αἴτια καὶ τὰς ἀρχὰς ὑπολαμβάνουσι πάντες· ἐπεὶ δὲ τίνες αἱ πρῶται ἀρχαὶ καὶ τὰ πρῶτα αἴτια εὔδηλον, λαβὼν τὸ περὶ ἀρχὰς καὶ αἰτίας τὴν σοφίαν εἶναι ὡς ὁμολογούμενον, τὸ περὶ ποίας ζητήσει, καὶ ὅτι περὶ τὰς πρώτας δείξει. ἢ οὐδὲ ἐκεῖ ἔλαβεν αὐτὸ ὡς ἤδη ὁμολογούμενον, ἀλλ' ὡς ὀφεῖλον δειχθῆναι· διὸ ἀναγκαίως καὶ τῆς τῶν αἰτίων διαιρέσεως μνημονεύει, ὅτι τετραχῶς τὰ αἴτια λέγεται. καὶ τὴν ἱστορίαν τὴν πρὸ αὐτοῦ τι περὶ αἰτιῶν εἰρηκότων παρατίθεται εὐλόγως, ὡς εἰ μὲν ὀρθῶς εὑρεθῇ τι τῶν εἰρημένων ὑπ' ἐκείνων, ἀκολουθοίημεν αὐτῷ, εἰ δὲ μή, πλέον τι ζητοίημεν αὐτοί. χρὴ οὖν ἐκ τῆσδε τῆς πραγματείας ἀπαιτεῖν τὴν γνῶσιν τῶν πρώτων ἀρχῶν καὶ αἰτίων· αὗται δ' ἂν εἶεν τοῦ ὄντος οἷον ἀρχαί, δι' ἃς τῶν ὄντων ἕκαστόν ἐστιν ὧν τὸ εἶναι κατηγοροῦμεν· τοιαῦται δὲ αἱ πρῶται καὶ κυριώταται οὐσίαι· αὗται μὲν γὰρ τῶν οὐσιῶν ἀρχαί, αἱ δὲ οὐσίαι τῶν ἄλλων ἁπάντων, ὡς δείξει. τήν τε οὖν τούτων γνῶσιν ἀπαιτεῖν χρὴ ἐκ τῆσδε τῆς πραγματείας, καὶ ἔτι ὅσα εἰς τὴν τούτων γνῶσιν συντελεῖ, εἰς ἃ καὶ ὁ πλεῖστος αὐτῷ λόγος ἀναλίσκεται· οὐ γὰρ οἷόν τε ἦν ἐκείνων γνῶσιν ἄλλως λαβεῖν, μὴ προκαταστήσαντα καὶ προεκκαθάραντα τὰ ἐμποδών. ib.

"εἰ δὴ λάβοι τις τὰς ὑπολήψεις ἃς ἔχομεν περὶ τοῦ σοφοῦ." ἐν πᾶσιν ἔθος ἀεὶ Ἀριστοτέλει ταῖς κοιναῖς καὶ φυσικαῖς τῶν ἀνθρώπων προλήψεσιν ἀρχαῖς εἰς τὰ δεικνύμενα πρὸς αὐτοῦ χρῆσθαι,

6. ἐπιστήμης. ἐντεῦθεν βούλεται ἡμῖν εἰπεῖν ἐκ τίνων ἡ γνῶσις τῆς ψυχῆς κατορθοῦται καὶ ἀναζωπυροῦται. καί φησιν ὅτι πέντε ταῦτα τὸν ἀριθμὸν ὑπάρχουσι, τέχνη φρόνησις ἐπιστήμη σοφία νοῦς. τῷ τῆς τέχνης οὖν ὀνόματι χρησάμενος. Asclep. ‖ 10. εἶναι λέγει οἷς Asclep. ‖ 11. τῷ] τὸ *M*, Asclep. ‖ 12. πέντε οὖν εἰσίν, ὡς εἰρήκαμεν, τέχνη φρόνησις ἐπιστήμη σοφία νοῦς. Asclep. ‖ νοῦν] οὖν *A*. ‖ 13. ποιητικήν· φρόνησιν δὲ ἕξιν μετὰ ἀληθοῦς λόγου πρακτικήν. καὶ διαφέρει ἡ ποίησις τῆς πράξεως· ἐπὶ μὲν γὰρ τῆς ποιήσεως σώζεται τὸ ἀποτέλεσμα, ἐπὶ δὲ τῆς πράξεως οὐ σώζεται. Asclep. ‖ 15. συλλογιστικήν, ὅταν καὶ τὸ συμπέρασμα ᾖ ἀναγκαῖον καὶ αἱ προτάσεις· ἡ ὑπολ. Asclep. ‖ 17. ἄλλου *A*. ‖ δὲ om *A*. ‖ 18. τὰ ἄνω ἀγ. *A*, τὰ ἀνθρώπινα ἢ ἀγ. Asclep. ‖ 20. νοῦν — 21. γνωρίζομεν om Asclep. ‖ 25. δεῖξειν ὅτι τὰ *M*. ‖ 28. τῆς] τε *A*. ‖ 30. γνῶσιν καὶ τὸ γιγνόμενον *A*. ‖ 36. κατηγοροῦντες *A*. ‖ σοφώτεροι *M*. ‖ 9. — *b* 6. ap. Asclep.

2. ἐστὶ γνωστική *M*, αἰτίας ἐπιστημονική Asclep. ‖ 6. αὐτῆς] αὐτοῦ *A*. ‖ 8. ταύτης et 9. τινας et 11. τὴν σοφίαν in lacuna om *A*. ‖ 11. καὶ ὁ σοφὸς ὁ *M*. *sapientia enim confessione omnium est cognitio principiorum et causarum, et sapiens, qui harum rerum scientia praeditus est.* Sepulv. ‖ 13. αὐτοῦ *A*. ‖ 15. περὶ — 16. σοφίας om *M*. ‖ 16. καὶ — 18. αἴτια om *A*. ‖ 18. εὔδηλοι. Sepulveda etiam *perspicuum est.* exspectaveris tamen οὐ δῆλον. ‖ 20. οὐδὲ] οὐδεὶς *M*. ‖ 23. πρὸ] περὶ *M*. ‖ εὐλόγως εἰ codices. rescripsi εὐλ. ὡς εἰ cum Sepulv. qui *ut siquid.* ‖ 24. ὑπ'] ὑπὲρ *A*. ‖ 36. — p. 526 *a* 27. ap. Asclep. ‖ 36. πᾶσιν οὖν ἔθ. Asclep. ‖ 37. αὐτοῖς *A*.

Περικλῆς· οὔτε γὰρ δύναται διδάσκειν· οὐδένα γὰρ ἐποίησε καλόν, οὔτε τοὺς παῖδας οὔτε ἄλλον τινά. Asclep.

981 b 13. "τὸ μὲν οὖν πρῶτον εἰκὸς τὸν ὁποιανοῦν εὑρίσκοντα τέχνην παρὰ τὰς κοινὰς αἰσθήσεις." καὶ ταῦτα κατασκευαστικὰ μέν ἐστι καὶ αὐτὰ καὶ δεικτικὰ τοῦ ὅτι θαυμαστόν τε καὶ τίμιον ἡ γνῶσις (r), εἴγε ἀεὶ τοὺς προσεξευρίσκοντάς τι παρὰ τὸ χρήσιμον ἐθαύμαζον οἱ ἄνθρωποι ὡς σοφοὺς καὶ διαφέροντας τῶν ἄλλων (s)· ἅμα δὲ διὰ τούτων δείκνυσι τὴν ἐπὶ τὴν σοφίαν καὶ τὴν τελειοτάτην γνῶσιν ὁδόν, καὶ πῶς παρῆλθεν εἰς ἀνθρώπους ἡ σοφία καὶ ἡ τῶν τιμιωτάτων ζήτησίς τε καὶ θεωρία, ὅτι μετὰ τὴν τῶν ἀναγκαίων καὶ χρειωδῶν εὕρεσιν περιττότερόν τι καὶ ἐλεύθερον ἤδη νοεῖν σχολαζόντων τῶν ἀνθρώπων. τὰς δὲ τῶν ἡδέων ποριστικὰς τέχνας καὶ αὐτὰς τοῖς χρειώδεσιν ἐγκατατάττει· ὡς γὰρ δεόμενοι καὶ χρείαν ἔχοντες ἡδονῶν τε καὶ ἀναπαύσεως τὰ ποιητικὰ αὐτῶν ἐζήτουν. ἔστι δὲ καὶ τῶν τοιούτων τεχνῶν πρᾶξίς τις τὸ τέλος· αἱ γὰρ ἀπὸ θεωρίας ἡδοναὶ οὐ τέλος τὴν ἡδονὴν ποιοῦνται, ἀλλ' ἔχουσιν αὐτὴν παρεπομένην (t). ὅτι δὲ καὶ αἱ μαθηματικαὶ ἐπιστῆμαι ἐξ ἐμπειρίας ἤρξαντο, ἐνεδείξατο διὰ τῶν ἱερέων τῶν ἐν Αἰγύπτῳ, οἳ τῷ σχολάζειν διὰ τῶν τηρήσεων τῶν κατ' οὐρανὸν γιγνομένων ἐμπειρίαν πρῶτον ἔσχον, εἶτα τέχνην συνεστήσαντο. οὕτως δὲ καὶ ἡ γεωμετρία κατὰ τὴν ἀρχὴν εὑρέθη ἀπὸ τῆς γεωδαισίας (*). ὥσπερ δὲ ἡ εὕρεσις τῶν τοιούτων ὑπὸ τῶν σχολαζόντων, οὕτω καὶ ἡ περὶ αὐτὰ ἐνέργεια σχολῆς δεῖται. Alex. Aphrod.

(r) "τὸ μὲν οὖν πρῶτον εἰκὸς τὸν ὁποιανοῦν εὑρόντα τέχνην." πρόκειται αὐτῷ ἐντεῦθεν εἰπεῖν τὸν χρόνον καθ' ὃν ἐφοίτησεν εἰς ἡμᾶς ἡ σοφία· οὐχ ὅτι, φησίν, ἐν χρόνῳ ἐφοίτησεν, ἀλλ' ὡς πρὸς τὴν ἡμετέραν περίοδον· ἦν γὰρ καὶ πρώην. γίγνονται γὰρ κατακλυσμοὶ καὶ σεισμοί, καὶ ἀφανίζονται τὰ πράγματα καὶ πάλιν εὑρίσκονται, ὥς φησι καὶ αὐτὸς Ἀριστοτέλης ἐν τοῖς Μετεώροις (1 14) περὶ τοῦ μεγάλου σεισμοῦ τοῦ γενομένου ἐν τῇ Ἀχαΐᾳ, καὶ ὅτι ἐπὶ τοῦ Δευκαλίωνος φησὶν ἐγένετο μέγας κατακλυσμός, καὶ πολλοὶ ἠφανίσθησαν τόποι, καὶ πᾶσαι αἱ πεδιάδες ἀπώλοντο, καὶ μόνοι ἠδυνήθησαν περισωθῆναι οἱ ἐν ταῖς ἀκρωρείαις τῶν ὀρέων ὄντες, ὡς δηλοῖ καὶ ὁ ποιητὴς (Il. 20 216) εἰρηκὼς κτίσε δὲ Δαρδανίην, ἐπεὶ οὔπω Ἴλιος ἱρὴ ἐν πεδίῳ πεπόλιστο πόλις μερόπων ἀνθρώπων, ἀλλ' ἔθ' ὑπωρείας ἔναιον πολυπιδάκου Ἴδης. εἶτα λοιπὸν μετὰ τὸ παύσασθαι τὸν κατακλυσμὸν κατῆλθον οἱ περισωθέντες ἐν ταῖς πεδιάσι, καὶ ἦσαν πατέρες μετὰ τέκνων ὡς δεσπόται δούλοις κελεύοντες καὶ συμβουλεύοντες, καὶ οὐκ ἦν ἐν ἐκείνοις ἀδικία· διὸ καὶ τὸ συμβουλευτικὸν εἶδος πρότερόν ἐστιν. ὕστερον δὲ ἐφρόντιζον τῶν ἀναγκαίων μόνων, οἷον ἀρτοποιίας καὶ ὑφαντικῆς, ὧν ἄνευ οὐ δυνατὸν εἶναι ἡμᾶς. εἶτα λοιπὸν μετὰ τὸ περιγενέσθαι τούτων ἐφρόντιζον καὶ τῶν πρὸς εὐκολίαν τοῦ βίου, οἷον τοῦ νομίσματος, ὥς φησι καὶ αὐτὸς ἐν τοῖς Ἠθικοῖς (5 8) ὅτι ἐγγυητοῦ τάξιν ἐπέχει τὰ νομίσματα καὶ πολλὴ ῥᾳστώνη γίνεται ἐντεῦθεν τοῖς ἀνθρώποις. ἐπόριζε γὰρ λόγου χάριν ὁ ὑφάντης ἱμάτιον, καὶ ἀπήρχετο εἰς τὴν ἀγορὰν ἄρτου δεόμενος, καὶ περιέμενεν ἕως ὅτε ἔλθοι ὁ ἀρτοποιὸς ἐσθῆτος δεόμενος καὶ δῴη ἄρτους καὶ λάβοι ἐσθῆτα· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων συναλλαγμάτων. ἐπενοήθη οὖν τὸ ἀργύριον ὥσπερ ἐγγυώμενον ἕκαστον, καὶ διδόντες ἀπαλλάττονται, καὶ οὐκέτι ἀναμένει τις ἄλλον, ἐπειδὴ ἕκαστος δέχεται τὰ νομίσματα ἀντὶ ἐγγυητοῦ ἀσφαλῶς· βούλεται γὰρ καὶ αὐτὸς δι' αὐτοῦ ὠνεῖσθαι. εἶτα πάλιν ἐπενοήσαντο τὰ λουτρὰ δυνάμενα ἐπὶ πολὺ σώζειν τὰ τῶν ἀνθρώπων σώματα. καὶ ἔστι τὰ τοιαῦτα ἀντὶ ἐγγυητοῦ ἀναγκαίου. μετὰ τοίνυν τὸ εὑρεῖν τὰ ἀναγκαῖα καὶ τὰ ῥᾳστώνην ἐμποιοῦντα καὶ εὐκολίαν, ἤρξαντο καὶ ἐπὶ τὰ μείζονα ἀνιέναι, ἅτινα κρείττονα ὑπάρχει ἢ κατ' αἴσθησιν· οὐδεὶς γὰρ θαυμάζεται ἔχων αἴσθησιν· φύσεως γὰρ δῶρόν ἐστι καὶ θεοῦ. τὸ οὖν ζητεῖν τὰ ὑπὲρ τὴν αἴσθησιν τῷ ὄντι λογικῆς ψυχῆς ἐστιν ἴδιον. καὶ πρῶτον μὲν τὰ ἐπιπολαιότερα ἐζήτησαν, οἷον, εἰ τύχοι, διὰ τί οὐκ αὔξεται ἡ θάλαττα τοσούτων ποταμῶν εἰς αὐτὴν ἐμβαλλόντων· καὶ ἡ αἰτία τούτου εἴρηται ἐν τοῖς Μετεώροις (2 2), διὰ τὸ ἐξατμίζεσθαι πάλιν ἐξ αὐτῆς τὸ ὕδωρ ὑπὸ τοῦ ἡλίου καὶ καταφέρεσθαι καὶ ποιεῖν τοὺς ποταμούς. ἔπειτα καὶ βαθύτερα ἐζήτησαν, διὰ τί ἡ σελήνη τοιῶσδε αὔξεται, ἢ διὰ τί ἐκλιμπάνει συνοδεύουσα τῷ ἡλίῳ, καὶ περὶ τῶν ἄλλων κινήσεων τοῦ οὐρανοῦ. καὶ ἦλθον μέχρι τοῦ πρώτου αἰτίου, καὶ τότε πάλιν ἤρξαντο νοερῶς ἐνεργεῖν. οὕτως οὖν κατὰ μέρος ἦλθον εἰς ἔννοιαν τῆς σοφίας καὶ κατὰ νοῦν ἐνήργουν ἁπλαῖς ἐπιβολαῖς ἀντιλαμβανόμενοι τῶν νοητῶν καὶ φανοτάτων δυνάμεων. "τὸ μὲν οὖν πρῶτον εἰκός" (p. 981 b 13). κατὰ κοινοῦ δεῖ ἀκούειν τὸ εἰκός· φησὶν οὖν ὅτι τὸ πρῶτον μετὰ τὸν κατακλυσμὸν τὸν εὑρηκότα τέχνην ὁποιανοῦν παρὰ τὰς κοινὰς αἰσθήσεις θαυμάζεσθαι ὑπὸ τῶν ἀνθρώπων, οὐ μόνον διὰ τὸ χρήσιμον, ἀλλὰ καὶ ὡς σοφὸν καὶ διαφέροντα τῶν ἄλλων τῶν κατ' αἴσθησίν τι πραττόντων. τὸ δὲ "παρὰ τὰς κοινὰς αἰσθήσεις" οὐ λέγει καθὼς εἴρηται αὐτῷ ἐν τῇ περὶ Ψυχῆς πραγματείᾳ (3 1), ὅτι οὐκ ἔστιν ἑτέρα αἴσθησις παρὰ τὰς πέντε αἰσθήσεις, ἀλλ' ὅτι τὸ εὑρεῖν δύνασθαι ἐνεργεῖν ἐστὶ κρειττόνως ἢ κατ' αἴσθησιν, οἷον τὸ ζητεῖν αἰτίαν δι' ἣν οὐκ αὔξεται ἡ θάλαττα τοσούτων ποταμῶν εἰς αὐτὴν ἐμβαλλόντων. Asclep.

(s) σοφωτέρους οὖν κρίνομεν τοὺς τοιούτους ἐκείνων, τουτέστι 981 b 18. τοὺς τὴν εὐκολίαν εὑρηκότας, διὰ τὸ μὴ πρὸς χρῆσιν εἶναι τὰς ἐπιστήμας αὐτῶν. ib.

(t) ἐζήτησαν γὰρ διὰ τί ποτὲ μὲν γίνονται μεγάλαι αἱ ἡμέραι 981 b 22. ποτὲ δὲ μικραί, καὶ διὰ τί ποτὲ μὲν θέρος ποτὲ δὲ χειμών, καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ μάλιστα τὰ τοιαῦτα κατωρθώθησαν ἐν τοῖς τόποις ἐν οἷς ἐσχόλαζον τούτοις οἱ ἄνθρωποι. λέγει δὲ τὴν Αἴγυπτον·

(*) p. 981 b 24. "σχολάζειν." ἐκ τῆς σχολῆς δὲ τῶν εὑρόντων καὶ τῶν διαφορῶν τῶν τόπων τὸ τίμιον τῆς γνώσεως παριστᾷ· οὐ γὰρ δημώδης αὕτη, ὡς ἄν τις εἴπῃ, καὶ δυνατὴ εὑρίσκεσθαι καὶ τοῖς συγχεομένοις ἐν τοῖς τοῦ βίου πράγμασιν· οὐδὲ γὰρ τοῖς τυχοῦσι παριστᾷ ἀλλὰ τοῖς ἱερεῦσιν. Anon. Urbin.

12. πορισάς *A.* ‖ 13. ἐγκαταλάττει *A.* ‖ ἡδονῆς *M.* ‖ 14. ἀναπλάσεως *A.* ‖ 16. ὅτι — 525 *a* 20. ap. Asclep. ‖ 17. ἐνεδείξατο Asclep. *CM*, om *A.* ‖ 18. τῶν Αἰγυπτίων *A.* ‖ οἳ] ἐν γὰρ Asclep. ‖ 21. γεωδησίας *M*, γεωδαισίας Asclep. ‖ 22. περὶ ταῦτα Asclep.

τὸ φάρμακον χρήσιμον, ἐκ τῆς τέχνης δὲ τὸ τοῖς τοιάνδε νόσον νοσοῦσι τοιοῖσδε συμφέρει χρῆσθαι· ἐξ οὗ τὰ ὅμοια τοῖς ἐξ ἐμπειρίας ληφθεῖσι συνορᾷ. τέχνης γὰρ ἡ τοῦ ὁμοίου μετάβασις (g), ὡς καὶ αὐτὸς σαφῶς ἔδειξε διὰ τῶν παραδειγμάτων. "τήνδε τὴν νόσον" ἀντὶ τοῦ τὴν τοιάνδε νόσον· οὐ γὰρ ἐπὶ τῶν βοηθημάτων μόνον ἀλλὰ καὶ ἐπὶ τῶν νόσων ἡ κατὰ τὸ ὅμοιον τῇ τέχνῃ μετάβασις. οὐχ ὅτι δὲ τέχνην ἀδύνατον ἀναλαβεῖν χωρὶς ἐμπειρίας λέγει, ἀλλ' ὅτι τὴν ἀρχὴν ἡ τῆς τέχνης εὕρεσις δι' ἐμπειρίας, ἐπεὶ ὡς ἐρεῖ, ἐνδέχεταί τινας τεχνίτας μὲν εἶναι μὴ ἐμπείρους δέ. ὅτι δὲ οἱ μὴ μετ' ἐμπειρίας τι ποιοῦντες ἀπὸ τύχης ἀκολουθοῦν τὸ τέλος ἔχουσιν, ἀλλ' οὐκ ἐκ προνοίας καὶ τέχνης, ὡς ἔλεγε Πῶλος, δῆλον (h). Alex. Aphrod.

980 b 26. (e) μικρὸν λέγει ἢ οὔτε ὀλίγον, ὡς τὸ "ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς" (Il. 5 800) ἀντὶ τοῦ οὐδ' ὀλίγον, ἢ μικρόν φησιν ὀλίγον· ἔχουσι γὰρ τὰ ἄλλα ζῷα ὀλίγον ἐμπειρίας ἴχνος. Asclep.

(f) τὸ μικρὸν ἢ ἀντὶ τοῦ μηδὲν εἶπεν, ἢ ἐπ' ὀλίγον τούτων τῶν ζῴων τισὶν ἐπιγιγνομένης ἐμπειρίας, ἀνάλογον εἰπὼν μετέχειν ἐμπειρίας καθάπερ καὶ φρονήσεως. cod. Laur.

(g) τέχνης γὰρ ἡ τοῦ ὁμοίου μετάβασις· οὐ γὰρ ἐπὶ τῶν βοηθημάτων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν νόσων ἡ κατὰ τὸ ὅμοιον τῇ τέχνῃ μετάβασις. τὸ γὰρ τοιόνδε φάρμακον τοῖς τοιοῖσδε κατ' εἶδος ἓν ἀφορισθεῖσι κάμνουσι. "τηνδὶ τὴν νόσον" (p. 981 a 8) ἓν εἶδος εἴρηκε νοσήματος, οἷον πυρετόν· πᾶσι γὰρ τοῖς κάμνουσι καῦσον πυρετὸν τόδε τὸ φάρμακον συνήνεγκεν, ἢ τοῖς κάμνουσιν ἐπὶ φλέγματι ἢ μελαγχολικῷ τόδε τὸ βοήθημα. id.

981 a 4. (h) αἱ γὰρ πολλαὶ ἐμπειρίαι ποιοῦσι τὴν τέχνην, ὥς φησι Πῶλος ὁ παρὰ τῷ Πλάτωνι (Gorg. p. 448 c) "ἐμπειρία γὰρ ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην, ἀπειρία δὲ κατὰ τύχην." Asclep.

981 a 12. "πρὸς μὲν οὖν — οὐδὲν διήνεγκε." διὰ τούτων ἤδη δείκνυσιν ὅτι ἡ γνῶσις τιμιώτερον τῆς πράξεως, καὶ ὅτι ἡ κυρίως σοφία ἐν γνώσει ἐστὶν ἀλλ' οὐκ ἐν πράξει (i)· ἡ γὰρ τέχνη τῆς ἐμπειρίας τιμιωτέρα, καίτοι μηδὲν πρὸς πρᾶξιν ἐλαττουμένης δὲ εἰς γνῶσιν (k). δῆλον καὶ ἐντεῦθεν ὡς τὸ εἰδέναι τοῦ πράττειν τοῖς ἀνθρώποις τιμιώτερον. εἰ γὰρ τοὺς τεχνίτας τῶν ἐμπείρων κατὰ τὸ εἰδέναι πλεονεκτοῦντας σοφωτέρους λέγομεν, δῆλον ὡς τὴν σοφίαν ἐπιστήμην καὶ γνῶσίν τινα εἶναι συμβέβηκε. διὰ τί δὲ οἱ ἔμπειροι τῶν χωρὶς ἐμπειρίας τεχνιτῶν πρὸς τὰς πράξεις πλέον ἔχουσι, σαφῶς εἶπεν. ἄνθρωπον δὲ ὑγιάζει κατὰ συμβεβηκὸς ὁ Καλλίαν ἰώμενος, ὅτι συμβέβηκε Καλλίᾳ ἀνθρώπῳ εἶναι. εἰπὼν δὲ ὅτι οἱ τεχνῖται καὶ οἱ σοφοὶ τῶν ἐμπείρων κατὰ τὴν γνῶσιν διαφέρουσι, καὶ τοῦτο συστήσας ἐκ τῆς κοινῆς προλήψεως (σοφοὺς γὰρ τοὺς εἰδότας καλεῖν πᾶσιν ἐν χρήσει), τί μάλιστά ἐστιν ἴδιον τοῦ εἰδότος προστίθησιν· ὅτι γὰρ ἡ γνῶσις τῆς αἰτίας, συνιστὰς καὶ δεικνὺς ὅτι μάλιστα τῆς σοφίας ἐστὶν ἴδιον τὸ τὰς αἰτίας γιγνώσκειν, περὶ ἧς ἡ προκειμένη πραγματεία, καὶ μάλιστα σοφία ἡ τῶν πρώτων γνῶσις αἰτίων. σαφῶς δὲ ἐπὶ τῶν ἀρχιτεκτόνων ἔδειξεν ὅτι τὴν σοφίαν οὐκ ἐπὶ πρᾶξιν ἀλλ' ἐπὶ γνῶσιν τὴν ἀναφορὰν ἔχειν συμβέβηκε, καὶ ὅτι τιμιώτερον ἡ γνῶσις τῆς πράξεως· ἀλλὰ καὶ ὅτι τῆς ἐμπειρίας ἡ τέχνη τῇ γνώσει τε καὶ ἐπιστήμῃ τῆς αἰτίας διαφέρει ἀπὸ τοῦ τοὺς μὲν δύνασθαι διδάσκειν, τοὺς δὲ ἐμπείρους οὔ, τοῦ δὲ ἐπιστήμονος ἴδιον εἶναι τὸ διδάσκειν (l). ὅτι δὲ καὶ ἡ τῆς αἰτίας γνῶσις ἐπιστήμη τέ ἐστι καὶ σοφία (m), καὶ ἀπὸ τῶν αἰσθήσεων ἐναργῶς παρέστησεν (n), ἃς καίτοι τῶν καθ' ἕκαστα γνωστικωτέρας οὔσας οὐ λέγομεν σοφίας, ὅτι μὴ τῶν αἰτίων εἰσὶ γνωστικαί (o). Alex. Aphrod.

(i) οὐδὲν οὖν ἄτοπον εἰδότα τὸ καθόλου ἀγνοεῖν τὸ καθ' ἕκαστον, 981 a 14. ὡς φησιν ἐν τῇ Ἀποδεικτικῇ (1 18). Asclep.

(k) "αἱ δὲ πράξεις καὶ αἱ γενέσεις περὶ τὰ καθ' ἕκαστον." 981 a 16. πράξεις δὲ καὶ γενέσεις εἴρηκε τὰς περὶ τὰ καθ' ἕκαστα ἐνεργείας, ταὐτὸν ἐκ παραλλήλου εἰπὼν πρᾶξιν καὶ γένεσιν· ἢ πρᾶξιν μὲν ἐφ' ὧν ἐνέργεια τὸ τέλος, ὡς ἐπὶ αὐλητικῆς, γένεσιν δὲ ἐφ' ὧν ἕτερόν τι τὸ τέλος τῆς ἐνεργείας, ὡς ἐπὶ οἰκίας· ἕτερον γὰρ οἰκία οἰκοδομήσεως, ἡ μὲν τέλος οὖσα ἡ δὲ ἐνέργεια. "τὸ δὲ εἰδέναι καὶ τὸ ἐπαΐειν" (v. 24). ἢ καὶ τοῦτο ἐκ παραλλήλου εἴρηται, ταὐτὸν σημαίνοντα, τὴν ὑπὲρ τὴν αἴσθησιν γνῶσιν· ἢ τὸ μὲν εἰδέναι τὴν ἐξ εὑρέσεως εἴδησιν, τὸ ἐπαΐειν δὲ τὴν ἐκ μαθήσεως, ὡς ἐξ ἀκοῆς γενομένην. cod. Laur.

(l) ἀμέλει τοι καὶ τοὺς ἀρχιτέκτονας τιμιωτέρους νομίζομεν 981 a 30. καὶ μᾶλλον ἐπίστασθαι τῶν χειροτεχνῶν καὶ σοφωτέρους αὐτοὺς λέγομεν, ἐπειδὴ ἴσασι τὰς αἰτίας καὶ ἐπιτάττουσιν· ὁμοίως δὲ καὶ τοὺς στρατηγούς, διό φησιν οὐ γάρ πω σάφα ἴσμεν οἷος νόος Ἀτρείδαο. ἐοίκασιν οὖν οἱ ἐμπειρικοὶ τοῖς ἀψύχοις· ὥσπερ γὰρ τὸ πῦρ καίει, οὐκ οἶδε δὲ διὰ τί καίει, καὶ ἡ χιὼν ψύχει, οὐκ οἶδε δὲ διὰ τί ψύχει, οὕτως καὶ οἱ ἐμπειρικοὶ ποιοῦσι μὲν οὐκ ἴσασι δὲ διὰ τί ποιοῦσι. Asclep.

(m) οἱ μέντοι γε ἐμπειρικοὶ μετὰ λόγου τινὸς ποιοῦσιν ἃ ποιοῦσιν, 981 b 4. εἰ καὶ μὴ τελείου· διό φησι "τοὺς δὲ χειροτέχνας δι' ἔθος," οὐκ ὄντας σοφωτέρους κατὰ τὸ εἶναι πρακτικοὺς τῶν ἄλλων, ἀλλὰ κατὰ τό τινα λόγον ἔχειν αὐτοὺς καὶ τὰς αἰτίας γνωρίζειν, εἰ καὶ μὴ ὁμοίως τοῖς ἐπιστήμοσι. id.

(n) ὅτι ὁ μὲν λόγος τὴν αἰτίαν οἶδε καὶ τὸ διὰ τί· οἷον διὰ τί τὸ 981 b 6. πῦρ θερμόν; ὅτι καίει καὶ ξηραίνει· τοιοῦτον δὲ τὸ θερμόν· ἡ δὲ αἴσθησις ὅτι θερμόν ἐστι μόνον οἶδεν, οὐ μὴν καὶ τὴν αἰτίαν διὰ τί τὸ πῦρ θερμόν. cod. Laur.

(o) ἐπειδὴ ἡ μὲν διδάσκει ἡ δὲ οὐ διδάσκει. διὸ καὶ ἔλεγεν ὁ 981 b 7. Σωκράτης ἐν τῷ Ἀλκιβιάδῃ (1 p. 118) ὅτι οὐκ ἔστιν ἐπιστήμων ὁ

2. τοῖς ἐκ πείρας *M*: unde rescripsi τοῖς ἐξ ἐμπ. *quam ob rem ars similia conspicit iis quae ab experientia sumta sunt* Sepulv. τοῖς ἐμπείροις σὺν στοᾶς τέχνῃ (omisso ληφθ.) *A*. ‖ 5. βοηθη om *M*. ‖ 8. ἐρεῖ om *A*. ‖ 10. τύχαι ἐπακολουθοῦσι *M*. ‖ τέλος καὶ ἔχουσι *M*. ‖ 37. λέγωμεν *M*.

12. τῶν] vulgo πᾶν. *et si magis singularia cognoscunt* Sepulv.

ἤθει τινὰ αὐτῶν καὶ φωνάς τινας μανθάνειν καὶ μιμεῖσθαι, ὡς πολλὰ τῶν ὀρνέων· ἀλλὰ καὶ πράσσει τινά, ὡς κύνες, ἐλέφαντες, ἄλλα τινά. δύναται τὰ μαθητικώτερα εἰρῆσθαι καὶ ἐπὶ τοῦ γνωστικώτερα· τὰ γὰρ μεμνημένα τῶν ζῴων γνωρίζει ὧν ἡ   ἰδών τε γὰρ μέμνηται   τὸ οἰκεῖόν τε καὶ τὸ ἀλλότριον διαγιγνώσκειν· ἅμα διὰ τούτων δεικνὺς ὅτι ἑκάστη τῶν ἐπὶ τῇ αἰσθήσει δυνάμεων εἰς γνώσεως περουσίαν τοῖς ἔχουσιν αὐτὰ ζῴοις συντελεῖ, τὴν ἀρχὴν ἀπὸ τῆς αἰσθήσεως λαμβάνουσα· μάθησις μὲν γάρ τις καὶ ἡ διὰ τῆς αἰσθήσεως ἀντίληψις, μαθητικώτερα δὲ τὰ καὶ μὴ παρόντων ἔτι τῶν αἰσθητῶν φυλάσσειν δυνάμενα τὴν κίνησιν τὴν ἀπ᾽ αὐτῶν. δοκεῖ δὲ ἀντιστρέφειν ἥ τε φαντασία καὶ ἡ αἴσθησις· ἓν εἶς γὰρ τὸ ἕτερον τούτων, καὶ τὸ ἕτερον, ὡς ἐν τῷ τρίτῳ περὶ Ψυχῆς (c. 2) εἶπεν.

(β) "φύσει — τὰ ζῷα." ἐντεῦθεν ἀπὸ τῶν αἰσθήσεων ἀνέρχεται μέχρι τοῦ θεωρητικοῦ νοῦ· διὰ γὰρ τούτου τοὺς ὅρους γιγνώσκομεν, ὥστε θεῖον λέγει εἶναι τὸν θεωρητικὸν νοῦν, εἴγε ἁπλαῖς ἐπιβολαῖς δι᾽ αὐτοῦ τὰ θεῖα λαμβάνομεν. ὁ δὲ θεωρητικὸς τοῦ πρακτικοῦ, ὥς φησιν ἐν τῇ περὶ Ψυχῆς πραγματείᾳ (3 9. 10), τῷ τέλει καὶ μόνῳ διαφέρει· τοῦ μὲν γὰρ θεωρητικοῦ τέλος ἡ γνῶσις τῶν ὄντων καὶ ἡ τοῦ θείου κατάληψις, τοῦ δὲ πρακτικοῦ τὸ ἀγαθόν. Asclepius.

(γ) φησὶν οὖν ὅτι ἡ αἴσθησις κοινόν ἐστι πάντων τῶν ζῴων, καὶ ἐν τούτῳ τὰ ζῷα τὸ εἶναι ἔχει. πάντα οὖν αἰσθάνεται τὰ ζῷα. καὶ ἀντιστρέφει· εἴ τι οὖν αἰσθάνεται, τοῦτο ζῷον, καὶ εἴ τι ζῷον, τοῦτο αἰσθάνεται ἤτοι αἴσθησιν ἔχει. τῶν οὖν αἴσθησιν ἐχόντων τὰ μὲν οὐ φαντάζεται, ἢ ἀμυδρῶς καὶ οὐ διηρθρωμένως, οἷον σκώληκες· τὰ δὲ φαντάζεται διηρθρωμένως τε καὶ ὡρισμένως, ὥστε κρίνειν σχῆμα καὶ τόπον, οἷον μέλιττα, μύρμηξ, τὰ δὲ πρὸς τούτοις καὶ κίνησιν καὶ σφοδρότητα ψόφων καὶ ἄνεσιν. καὶ ταύτας μὲν τὰς διαφορὰς τῆς αἰσθήσεως καὶ ἡ τῶν ἀλόγων ζῴων ἔχει φύσις, ἄνθρωπος δὲ πρὸς τούτοις καὶ χρόνου μνήμην. ὅσα μὲν οὖν τῶν ζῴων φαντάζεται διηρθρωμένως, μὴ μέντοι καὶ κίνησιν καὶ σφοδρότητα ἢ ἄνεσιν ψόφου, περιποιητικὰ τοῦ ἑαυτῶν βίου καὶ εὔστροφα ὄντα, ταῦτα φρόνιμά ἐστιν, οἷον μύρμηξ καὶ μέλιττα· ὅσα δὲ καὶ ταύτην τὴν αἴσθησιν ἔχει ὥστε φαντάζεσθαι καὶ κίνησιν καὶ σφοδρότητα καὶ ἄνεσιν ψόφου, ταῦτα δὴ καὶ μαθητικώτερα τῶν ζῴων ἐστίν· ὡς εἶναι τὰ μὲν μαθηματικὰ καὶ φρόνιμα, οὐ μὴν τὰ φρόνιμα καὶ μαθηματικά. ἄνθρωπος δὲ πρὸς τούτοις καὶ κρεῖττόν τι, τὴν τέχνην, ἔχει· ἡ γὰρ τέχνη τῶν καθόλου, ἄνθρωπος δὲ μόνον τῶν ζῴων, οὐδὲν δὲ ἄλλο, τὸ καθόλου οἶδε. καὶ ταύτην οὖν τὴν αἴσθησιν εἶπε τὴν δυναμένην ψόφων κρίνειν διαφορὰς φαντασίαν· αἴσθησιν γὰρ τὴν φαντασίαν εἶπε. λέγεται οὖν καὶ ἡ κατὰ τὴν φαντασίαν ἀκρίβεια καὶ διάρθρωσις καὶ ἡ περὶ τὰ πρακτὰ φυσικὴ εὐστροφία, ἥτις ἐν τοῖς μνημονεύειν δυναμένοις γίνεται, φρόνησις· κοινότερον ταύτην φρόνησιν καλέσας· κυρίως γὰρ φρόνησίς ἐστιν ἡ περὶ τὰ βουλευτὰ ἕξις βουλευτική. λέγεται δὲ καθ᾽ ἕτερον τρόπον φρόνησις καὶ αὐτὴ ἡ λογικὴ δύναμις τῆς ψυχῆς. cod. Laur.

(δ) "ἐκ δὲ τῆς αἰσθήσεως τοῖς μὲν αὐτῶν οὐ γίνεται μνήμη, τοῖς δὲ γίνεται." οὐκ ἔχουσι μνήμην σκώληκες, ἐμπίδες· τὰ δὲ ἄλλα ἔχουσιν, οἷον κύων ψιττακὸς μύρμηξ χελιδὼν καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ διὰ ταύτην τὴν αἰτίαν τὰ μὲν φρόνιμα ὑπάρχουσι τὰ δὲ μαθηματικώτερα τῶν ζῴων τῶν μὴ δυναμένων ἔχειν μνήμην· τῶν γὰρ ἐχόντων μνήμην τὰ μὲν φρόνιμα ὑπάρχει, τὰ δὲ μαθηματικώτερα. φρόνιμα τοίνυν ὑπάρχει ἄνευ τοῦ μανθάνειν, ὅσα μὴ δύναται διακρίνειν τοὺς ψόφους, περὶ δὲ τὸν βίον εἰσὶν εὐπερίστροφα, οἷον μέλιττα καὶ χελιδὼν καὶ μύρμηξ· προνοοῦνται γὰρ τοῦ ἑαυτῶν βίου. μανθάνει δ᾽ ὅσα πρὸς τῇ μνήμῃ καὶ ταύτην ἔχει τὴν αἴσθησιν, οἷον κύων ψιττακὸς ἵππος ὄνος καὶ ὅσα ἄλλα τοιαῦτα. Ascl.

"τὰ μὲν ... μνήμαις." πρότερον εἰπὼν "φύσει μὲν οὖν αἴσθησιν 980 b 25.
ἔχοντα γίγνεται τὰ ζῷα," ἐμπειρίας δὲ μετέχειν παρὰ τὸν ἄνθρωπον τὰ ἄλλα ζῷα μικρὸν εἶπεν, ἤτοι ὅτι μηδὲν λέγων, ἢ ὡς καὶ ἐν ἐκείνων τισὶν ἐπ᾽ ὀλίγον ἐγγιγνομένης ἐμπειρίας, ἀνάλογον ὥσπερ εἶπε καὶ περὶ φρονήσεως (ε). ὅτι δὲ ὁ ἄνθρωπος πρὸς τῇ μνήμῃ καὶ ἐμπειρίας μετέχει, δείκνυσι διὰ τοῦ εἰπεῖν αὐτὸν τέχνην ἔχειν καὶ λογισμόν. τὴν δὲ τέχνην ἔδειξεν ἐξ ἐμπειρίας τὴν σύστασιν λαμβάνουσαν, τὸν δὲ περὶ τὰ πρακτὰ λόγον, περὶ ἃ καὶ ἡ φρόνησις, ἰδίως λογισμὸν ἔχειν. ὅτι δὲ τῶν ἀνθρώπων ἴδιον ἡ ἐμπειρία, ἐδήλωσεν εἰπὼν "γίγνεται δὲ ἐκ τῆς μνήμης ἐμπειρία τοῖς ἀνθρώποις" (v. 28) (*). πῶς δὲ γίγνεται ἡ ἐμπειρία ἐκ τῆς μνήμης, σαφῶς λέγει. λογικὴ γάρ τις γνῶσις ἤδη ἡ ἐμπειρία, ταύτῃ τῆς τέχνης ἐλαττουμένη, ὅτι ἡ μὲν ἐμπειρία γνῶσίς τίς ἐστι καθολικὴ τοῦ πολλάκις μνημονευθέντος, ὅπερ ἦν τὸ καθ᾽ ἕκαστον, ἡ δὲ τέχνη οὐ μόνον τούτου γνῶσις ἐστίν, ἀλλὰ καὶ παντὸς τοῦ τούτῳ ὁμοίου ὡς ἑνός· καὶ ἔχει ὡς ἐμπειρία πρὸς μνήμην οὖσαν ἑνός τινος κατ᾽ ἀριθμὸν ἢ πράγματος ἢ λόγου, οὕτως τέχνη καὶ ἐπιστήμη πρὸς ἐμπειρίαν. ἡ μὲν γὰρ ἐμπειρία τῶν πολλῶν τε καὶ καθ᾽ ἕκαστα ἤγουν αἰσθητῶν, ὧν ἐστὶν ἡ μνήμη, εἰς μίαν περίληψιν καὶ γνῶσίν ἐστι συστολή, ἡ δὲ τέχνη τῶν πολλῶν ἐμπειριῶν συγκεφαλαίωσίς ἐστιν. ἐξ ἐμπειρίας μὲν γὰρ τὸ εἰδέναι ὅτι τοῖς τήνδε τὴν νόσον νοσοῦσι τόδε

(*) p. 980 *b* 26. "ἐμπειρίας δὲ μετέχει" οὐχ ἁπλῶς ἐμπειρίας μετέχει· καὶ τοῦτο γὰρ τῶν λογικῶν ἐστίν. ὅμως ἐπεὶ ταῖς φαντασίαις ζῇ καὶ τὰ ἄλογα, ἐμποιεῖ δὲ ἡ φαντασία, διὰ τοῦτο καὶ τοῖς ἀλόγοις μικρόν ἐστιν ἡ ἐμπειρία. Anon. Urb.

4. hae lacunae iam in Sepulvedae codice Gr. erant; vertit enim *cognoscunt et suum ab alieno dignoscere valent. et per haec simul ostendit.* ‖ ἰδών τε add *M*, δεῖναι γάρ *C.* ‖ 5. διαγιγνώσκει *C.*

22. ὥσπ. καὶ εἶπε *A.* ‖ 25. φρόν. καὶ ἰδίως *A.* ‖ 30. ταῖς τέχναις *A.* ‖ τίς om *M.* ‖ καθόλου *A*, καθολικὴ *CLM.* ‖ 31. ἕκαστα *A.* ‖ ὅπερ — ἕκ. om Sepulv. ‖ 32 ὁμοίου τούτῳ *AL.* ‖ 33. καὶ ἔχει ὡς om *A.* ‖ 34. λόγου ἢ καὶ (omissis οὕτως τέχνη) *A.* ‖ 35. ἤγουν om *A.* ‖ 36. ὧν om *A.* ‖ γνῶσις *A.* ‖ συστολή om *A.*

θεωρία καὶ ἐπιστήμη οὐκ ἐπ' ἄλλο τι τὴν ἀναφορὰν ἔχουσα φαίνεται· ἡ γοῦν γνῶσις τῶν φύσει συνεστώτων, ὥσπερ οὖν καὶ ἄλλαι πλείους, δι' αὑτήν ἐστιν αἱρετή. ἀλλ' οὐ μόνον, ὡς ἔφην, ἐκ τούτου δεικνύοιτο ἂν τοῦτο ἀλλὰ κἀκεῖθεν. ἂν γὰρ δύο τινῶν καταγινομένων περὶ ταὐτό, τοῦ μὲν εἰδότος αὐτὸ μόνον, τοῦ δὲ ποιοῦντός τε καὶ πράττοντος, ὁ μόνον εἰδὼς ὅπως δεῖ πράσσειν τοῦ πράσσοντος αὐτὸ καὶ ποιοῦντος τιμιώτερος. εἰ δὲ ἁπλῶς γνῶσις πράξεως τιμιώτερον (τιμιώτεροι γὰρ ἀρχιτέκτονες τῶν τεχνιτῶν, οἱ εἰδότες τῶν πρασσόντων τε καὶ ποιούντων), καὶ τὸ εἰδέναι ἄρα τοῦ πράσσειν ἁπλῶς ἄμεινόν τε καὶ τιμιώτερον. εἰ δὲ καὶ ἐν τοῖς πρακτοῖς αὐτοῖς ἡ γνῶσις τῆς πράξεως πλέον φέρεται, δῆλον ὡς τιμιώτατον τὸ μάλιστα εἰδέναι· ὅπερ ἡ τῶν ἀρχῶν γνῶσις παρέχεται μάλιστα, ἣ δὴ σοφία καλεῖται· τιμιωτάτη ἄρα αὕτη.

(a) "πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται." ἐπειδὴ ἡ γνῶσις τελειότης ἐστὶ τῆς ψυχῆς, καθόλου μὲν τῆς ἁπλῶς γιγνωσκούσης, μᾶλλον δὲ τῆς λογικῆς, καὶ ταύτης ἔτι μᾶλλον ἧς θεωρία τὸ τέλος, πᾶσα δὲ τελειότης ἑκάστου τὸ ἑκάστου ἀγαθόν ἐστιν, ἐν δὲ τῷ ἀγαθῷ ἕκαστον ἔχει τὸ εἰδέναι τε καὶ σώζεσθαι, διὰ τοῦτο καθόλου ἐπήγαγεν ὅτι πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει, τουτέστιν αὐτοφυῶς ἐρῶσι τῆς γνώσεως ὡς ταύτης τελειότητος οὔσης αὐτῶν. σημεῖον δὲ τούτου παρέθετο ἐναργέστατον τὴν πρὸς τὰς αἰσθήσεις φιλίαν· χαίρομεν γὰρ ταῖς αἰσθήσεσιν, ἐπειδὴ δι' αὐτῶν τὴν τῶν αἰσθητῶν πραγμάτων λαμβάνομεν γνῶσιν. ἀλλὰ καὶ χωρὶς τούτου αὐτὰς δι' ἑαυτὰς ἀγαπῶμεν τὰς αἰσθήσεις, καὶ μάλιστα πλέον τῶν ἄλλων τὴν ὁρατικὴν αἴσθησιν· καὶ γὰρ χωρὶς τοῦ πράττειν καὶ ἐνεργεῖν τὸ ὁρᾶν αἱρούμεθα ἀντὶ πάντων ὡς εἰπεῖν τῶν ἄλλων. αὕτη οὖν ἡ ὁρατικὴ μάλιστα τῶν ἄλλων αἰσθήσεων ποιεῖ ἡμᾶς γνωρίζειν οὐ μόνον ἀλλήλους ἀλλὰ καὶ τὰ θεῖα καὶ οὐράνια σώματα. καὶ γὰρ ὥς φησι Πλάτων, διὰ ταύτης τῆς αἰσθήσεως τὸ τῆς φιλοσοφίας ἐποριστάμεθα γένος· ἀτενίζοντες γὰρ εἰς τὸν οὐρανὸν καὶ θεωροῦντες τὴν τάξιν καὶ τὸ ἄφραστον κάλλος, ἐρχόμεθα εἰς ἔννοιαν τοῦ δημιουργήσαντος. ἀλλὰ καὶ οὐδὲ δι' ἄλλης αἰσθήσεως οὕτω συμπάσχομεν τοῖς πράγμασιν ὥσπερ διὰ ταύτης· διὸ καί φησιν ὅτι πολλὰς δηλοῖ διαφορὰς αὕτη τῶν αἰσθητῶν. πολλαὶ γὰρ αἱ τῶν χρωμάτων διαφοραὶ μεταξὺ τῶν ἄκρων λευκοῦ καὶ μέλανος τυγχάνουσιν, οἷον φαιόν, ξανθόν, πυρρόν, ἐρυθρόν, ὠχρόν· μεταξὺ δὲ θερμοῦ καὶ ψυχροῦ ἢ ξηροῦ καὶ ὑγροῦ οὐδέν ἐστι πλῆθος τοιούτων διαφορῶν. ἐκ τούτου δείκνυται ὅτι τιμιωτέρα ἐστὶ γνῶσις πράξεως. ἔτι δὲ ἐναργὲς ἐκ τοῦ πᾶσαν μὲν πρᾶξιν ἐπ' ἄλλο τι τέλος τὴν ἀναφορὰν ἔχειν· καὶ γὰρ αἱ κατὰ τὰς ἀρετὰς πράξεις, αἳ μάλιστα δοκοῦσαι τῶν πράξεων δι' ἑαυτὰς εἶναι αἱρεταί, ἐπ' ἄλλο τι τὴν ἀναφορὰν ἔχουσαι φαίνονται· ἐν οἷς γὰρ τῶν ζῴων οὐκ ἔστι πάθη, ὥσπερ ἐν τοῖς θεοῖς, οὐδὲ τῶν κατὰ τὰς ἀρετὰς πράξεων οὗτοι δέονται. cod. Laur.

"φύσει ... ζῷα" (b). εἰπὼν ὅτι ὁ ἄνθρωπος καὶ τὰς αἰσθή- 980 a 27. σεις τοῦ εἰδέναι χάριν ἀγαπᾷ, οὐ τῆς χρείας μόνον, διότι καὶ ἡ αἴσθησις εἰς γνῶσιν αὐτῷ συμβάλλεταί τι, ὅτι οὐ μόνον δι' αἰσθήσεως τὸ γιγνώσκειν αὐτῷ, ἀλλ' ἔχει τι πρὸς γνῶσιν πλέον παρὰ τὰ ἄλλα ζῷα, τὸν λόγον, οὗ τὸ γινώσκειν ἴδιον, καὶ ὅτι τελειότερον διὰ τοῦτο τῶν ἄλλων ζῴων ὁ ἄνθρωπος, καὶ ὅτι ἡ σοφία γνῶσις εἶναι πᾶσι δοκεῖ οὖσα τιμιωτάτη, διὰ τούτων ἡμᾶς διδάσκει, ἅμα καὶ βεβαιῶν τὸ προειρημένον ὅτι εὐλόγως εἴρηται, τὸ τοὺς ἀνθρώπους τὰς αἰσθήσεις καὶ τοῦ εἰδέναι χάριν ἀγαπᾶν. ἐκτίθεται δὲ καὶ τὴν τάξιν τῶν ἐπὶ ταῖς αἰσθήσεσι γινομένων δυνάμεων τῆς ψυχῆς, ᾗ καὶ τὰ τελειότερα ζῷα τῶν ἀτελεστέρων διαιρεῖταί τε καὶ χωρίζεται, καὶ ὅτι πλέον τι παρὰ τὰ ἄλλα ζῷα ὁ ἄνθρωπος τὸν λόγον ἔχων κατὰ τοῦτο τελειότερος ἐκείνων ἐστίν (c). τείνει δ' αὐτῷ ταῦτα πάντα εἰς τὸν περὶ σοφίας λόγον καὶ τὸ δεῖξαι τίς ἐστιν ὁ σοφός. λέγει δὲ τῶν μὲν μόνην αἴσθησιν ἐχόντων τελειότερα εἶναι τὰ πρὸς τῷ αἰσθάνεσθαι καὶ μνημονεύειν ὧν αἰσθάνονται δυνάμενα, ἃ καὶ φρονιμώτερα καὶ μαθητικώτερα εἶναι εἶπε τῶν μὴ δυναμένων μνημονεύειν, καινότερον χρησάμενος τῷ φρονιμώτερα. κυρίως μὲν οὖν ἡ φρόνησις περὶ τὰ βουλευτὰ καὶ ἐν τῷ βουλεύεσθαι, καὶ λέγεται ἕξις βουλευτική. λέγεται δὲ καθ' ἕτερον φρόνησις καὶ αὐτὴ ἡ λογικὴ δύναμις. παρὰ δὲ τὰ σημαινόμενα ταῦτα λέγεται φρόνησις καὶ ἡ κατὰ τὰς φαντασίας ἀκρίβεια καὶ διάρθρωσις, καὶ ἡ περὶ τὰ πρακτὰ φυσικὴ εὐστροφία, ἥτις ἐν τοῖς μνημονεύειν δυναμένοις γίγνεται. ἔστι δὲ μνήμη ἕξις φαντάσματος ὡς εἰκόνος οὗ ἐστὶ φαντασία· οὐ γὰρ ἱκανὸς πρὸς μνήμην ὁ τύπος ὁ κατὰ τὴν φαντασίαν, ἀλλὰ δεῖ τὴν περὶ αὐτὸν ἐνέργειαν καὶ περὶ εἰκόνα γίγνεσθαι, τουτέστιν ὡς ἀπ' ἄλλου γεγονότος, ὡς ἐν τοῖς περὶ Μνήμης (c. 1 p. 450 b 25) δέδειχε (d). πῶς δὲ εἶπε φρονιμώτερα, ἐξηγήσατο προσθεὶς τὸ μαθητικώτερα· κατὰ γὰρ τοῦτο μαθητικώτερα εἶπεν, ὅτι διὰ τὸ δύνασθαι μνημονεύειν

9. εἰδέναι ἄρα τοῦ πράσσειν ἁπλῶς ἄμεινόν τε ὅπερ *M* in mg. ‖ τιμιωτέρα *CM*. ‖ 10. ἐν τοῖς πρακτικοῖς *CM*. ‖ 12. ἣ] ἡ *A*. ‖ 14. similia ap. Asclepium. ‖ 28. ἐπειδή, ὥς φησιν ἐν τῷ Φαίδωνι, διὰ ταύτης τῆς αἰσθήσεως τὸ τῆς φιλοσοφίας ἐπορισάμεθα γένος. ἀτ. γὰρ ε. τ. οὐρ. κ. θ. τ. τ. κ. τ. α. κάλλος. αὕτη οὖν ἡ ὀπτικὴ μάλιστα τῶν αἰσθήσεων ποιεῖ ἡμᾶς γνωρίζειν, οὐ λέγει ἀλλήλους, ἀλλὰ τὰ θεῖα· οὔτε γὰρ δι' ἄλλης αἰσθήσεως οὕτω συμπάσχομεν τοῖς πράγμασιν ὡς διὰ ταύτης. καὶ πολλάς, φησί, δηλοῖ διαφοράς, τὰ μεταξὺ τῶν ὁρατῶν αὐτῆς· μεταξὺ γὰρ τοῦ λευκοῦ καὶ τοῦ μέλανος πολλὰ ὑπάρχει χρώματα, οἷον, εἰ τύχοι, φαιόν, ξανθόν, πυρρόν, ἐρυθρόν. μεταξὺ δὲ θερμοῦ καὶ ψυχροῦ οὐδὲν ὑπάρχει, ἤγουν ξηροῦ καὶ ὑγροῦ. Asclepius: cf. Plat. Tim. p. 47. 89.

8. post verba in secunda nota allata Asclepius pergit: εἰπὼν οὖν ὅτι κτλ. ‖ 9. μόνον, ἐπειδὴ καὶ Asclep. ‖ 10. συμβάλλ. φησὶν οὖν ὅτι οὐ μόνη ἡ αἴσθησις πρὸς γνῶσιν αὐτῷ συμβάλλεται, ἀλλὰ καὶ ὁ λόγος οὗ Asclep. ‖ 13. ἄλλων] ἁπλῶν *A*. ‖ 15. βεβαιοῖ Asclep. ‖ 16. πρᾶξιν *L*. ‖ 17. ταῖς ψυχαῖς Ascl. ‖ 17. ᾗ καὶ — 20. ἐκείνων ἐστίν om Ascl. ‖ 18. τελ. τῶν ζῴων *L*. ‖ 20. ταῦτα δὲ πάντα συντείνει αὐτῷ εἰς τὸν περὶ τῆς σοφίας λόγον *L*. ‖ 21. ὁ σοφὸς ὁ ἀποδεικνύων τὰς ἀρχὰς πασῶν τῶν ἐπιστημῶν, καὶ ὁ διαλεγόμενος περὶ τῶν θείων καὶ τοῦ θεωρητικοῦ νοῦ. τοῦτο οὖν φησὶν ὅτι πάντα τὰ ζῷα αἰσθητικὰ γίνονται ὑπὸ φύσεως. ἐκ δὲ τῆς αἰσθήσεως Asclep. ‖ 23. μαθηματικώτερα *A*. ‖ 24. κοινότερον *M*. ‖ 33. καὶ ὡς περὶ *M*. παρὰ *M*. ‖ 34. Alex. legit ταῦτα φρονιμώτερα καὶ μαθητικώτερα: cf. 2 9. Asclepius et commentator Laur. τὰ μὲν φρόνιμα τὰ δὲ μαθητικώτερα. ‖ 36. ὅτι] fort. addendum οὐ μόνον.

δυνατόν. οὐ μὴν ἀλλὰ καὶ ἐν τούτοις σωζομένην εὕροι ἄν τις τὴν τῶν λεγομένων ἀκολουθίαν. εἶτα λοιπὸν δεῖ εἰπεῖν καὶ περὶ τοῦ μεγάλου ἄλφα καὶ περὶ τοῦ μικροῦ ἄλφα. εἰδέναι τοίνυν χρὴ ὅτι δεκατέσσαρα βιβλία ἔγραψεν ὁ Ἀριστοτέλης ἐν τῇ παρούσῃ πραγματείᾳ· μέχρι γὰρ τοῦ ν στοιχείου ἔγραψε καὶ αὐτοῦ. τινὲς δὲ εἰρήκασιν ὅτι δεκατρία· τὸ γὰρ μεῖζον ἄλφα, περὶ οὗ νῦν πρώτως διαλέγεται, οὔ φασιν εἶναι αὐτοῦ, ἀλλὰ Πασικλέους τοῦ υἱοῦ Βοήθου τοῦ ἀδελφοῦ Εὐδήμου τοῦ ἑταίρου αὐτοῦ. οὐκ ἔστι δὲ ἀληθές· σώζεται γὰρ ἡ τοῦ Ἀριστοτέλους δεινότης καὶ ἐκ τῆς λέξεως καὶ ἐκ τῆς θεωρίας, καὶ πολὺ πλέον ὅτι μέμνηται αὐτοῦ ἐν τῷ ἐλάττονι ἄλφα. ἐν γοῦν τῷ μείζονι ἄλφα διαλέγεται περὶ τῆς ἐννοίας τῆς φιλοσοφίας, καὶ δείκνυσιν ὅτι οὐκ εἰσὶ τὰ ὑλικὰ αἴτια κυρίως ἀρχαί, ὥσπερ καὶ Πλάτων φησίν· διὸ καὶ ἀποδέχεται τὸν Ἀναξαγόραν· τῶν γὰρ ἄλλων, φησί, καθευδόντων ὥσπερ ἀπὸ κάρου ἀναστὰς Ἀναξαγόρας μόνος ἐπέστησε νοῦν βασιλεύειν τοῦ παντός. οὔτε δὲ τὰς ἰδέας φησὶν εἶναι τὰς πρώτας ἀρχάς, καθώς τινες ἐκλαμβάνουσιν, ἀλλὰ τοὺς λόγους. ἐν δὲ τῷ ἐλάττονι ἄλφα διαλέγεται περὶ τῶν φανοτάτων, τουτέστι τῶν πρώτων αἰτίων, ἅτινα φανότατα ὑπάρχει τῇ ἑαυτῶν φύσει, ἀλλ' ἡμεῖς διὰ τὴν πολλὴν ἀσθένειαν οὐ δυνάμεθα προσβάλλειν αὐτοῖς, ὥσπερ καὶ τὸν ἥλιον φανότατον ὑπάρχοντα οὐ φέρουσιν αἱ νυκτερίδες διὰ τὸ ἀσθενὲς τῆς φύσεως.

Ἐπειδὴ τοίνυν περὶ τῆς ἐννοίας τῆς φιλοσοφίας εἰρήκαμεν, ἄξιον μαθεῖν πόθεν ἦλθεν εἰς ἔννοιαν τῆς φιλοσοφίας ὁ Ἀριστοτέλης. ἵνα οὖν τοῦτο γνῶμεν, δεῖ ἡμᾶς εἰπεῖν οὕτως, ὅτι ἔχουσι τὰ ζῷα τὰς γνωστικὰς δυνάμεις (αἱ γὰρ αἰσθητικαὶ δυνάμεις γνωστικαὶ ὑπάρχουσι· καὶ τούτων τῶν ἐχόντων μνήμην καὶ αἴσθησιν τὰ μὲν ὑπάρχουσι μαθηματικὰ τὰ δὲ φρόνιμα. καὶ μαθηματικὰ μὲν λέγει τὰ αἰσθανόμενα τῶν ψόφων καὶ γινώσκοντα ποῖαι μὲν φωναὶ ἀπειλητικαὶ ὑπάρχουσι ποῖαι δ' οὔ· τοιαῦτα δὲ ὑπάρχει κύων, ἵππος, οἱ ὄνοι τῶν Ἀλεξανδρέων, ὥς φησιν ὁ φιλόσοφος, καὶ τὰ ἄλλα τὰ τοιαῦτα· ψιττακὸς δὲ αἰσθάνεται καὶ μανθάνει. φρόνιμα δὲ ὑπάρχει οἷον τὰ περὶ τὰς πράξεις τὰς βιωτικὰς εὐπερίστροφα, χελιδὼν μέλιττα μύρμηξ. πάλιν τὰ ἔχοντα μνήμην ζῷα πάντως καὶ αἴσθησιν ἔχουσιν, οὐ πάντα δὲ τὰ ἔχοντα αἴσθησιν πάντως καὶ μνήμην ἔχουσι. καὶ ὅτι ἡ αἴσθησις δεῖται τῶν ἔξωθεν πρὸς τὸ ἐνεργεῖν, ἡ δὲ μνήμη οὐ δεῖται τῶν ἐκτὸς πρὸς τὸ ἐνεργεῖν. καὶ ὅτι ἡ πεῖρα μερικωτέρα ἐστὶ τῆς μνήμης· ἀπὸ γὰρ τῆς πείρας λαμβάνομεν καὶ ὕστερον μνημονεύομεν. καὶ ὅτι ἡ ἐμπειρία καθολικωτέρα ὑπάρχει τῆς μνήμης. διό φησιν ὁ Πλάτων "ἐμπειρία μὲν γὰρ ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην, ἀπειρία δὲ κατὰ τύχην." πολλαὶ γὰρ πεῖραι ὑπάρχει ἡ ἐμπειρία καὶ μνῆμαι, δύναται δὲ ὁ πειραθεὶς πολλάκις ἀναδραμεῖν ἐπὶ τὸ καθόλου. καὶ ἡ μὲν μνήμη θεωρεῖται καὶ ἐπὶ τῶν οὐσιῶν καὶ ἐπὶ τῶν πράξεων· λέγομεν γὰρ ὅτι ἔχω μνήμην τοῦ πατρὸς ἢ τοῦδε τοῦ φίλου, καὶ ὅτι μέμνημαι πράξας τόδε. ἡ μέντοι γε πεῖρα ἐπὶ μόνης τῆς πράξεως λέγεται· οὔτε γὰρ ἐπὶ τῶν οὐσιῶν· οὐδεὶς γὰρ λέγει ὅτι πεῖραν ἔχω τοῦ πατρός, πεῖραν δὲ ἔχω τοῦ πράγματος· οὐ γὰρ τῆς οὐσίας ἀλλὰ τῆς πράξεως τῆς γενομένης ἐκ τῆς οὐσίας. ἡ δὲ τέχνη κρείττων ἐστὶ τῆς ἐμπειρίας· ἔχει γὰρ καὶ τὸ διότι. διό φησιν ὁ θεσπέσιος Πλάτων "τέχνην γὰρ οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα."

ΑΝΩΝΥΜΟΥ ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΑ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.

Μετὰ τὰ Φυσικὰ ἐπιγέγραπται ἡ πραγματεία οὐ κατὰ τὴν ἕξιν τοῦ πράγματος ἀλλὰ κατὰ τὴν τάξιν τῆς ἀναγνώσεως· διαλαμβάνει γὰρ περὶ ἀρχῶν φυσικῶν. ἐπεὶ δέ, ὡς αὐτός φησιν, οἱ Πυθαγόρειοι ἐντραφέντες τοῖς μαθήμασι τὰς τούτων ἀρχὰς πάντων ᾠήθησαν εἶναι, διὰ τοῦτο περὶ πάντων τῶν ἀρχῶν διαλέγεται, καὶ περὶ τοῦ ὄντος ᾗ ὄν. ἐκλήθη γοῦν καὶ πρώτη φιλοσοφία καὶ θεολογική· ἓν γὰρ τῶν αἰτίων καὶ ἀρχῶν καὶ κυριώτατον τὸ ποιητικόν, ὅ ἐστι τὸ θεῖον. ἐν πρώτοις οὖν συνιστᾷ ὅτι ἡ γνῶσις τιμιωτέρα τῆς πράξεως, ἡ δὲ φιλοσοφία αὕτη γνῶσίς ἐστι καὶ οὐ πρᾶξις. ὅτι δὲ τοῦτό ἐστι, καὶ αὐτὸς διὰ τῆς τῶν αἰσθήσεων ἀγαπήσεως κατασκευάζει καὶ ἄλλοθεν δηλόν ἐστιν· ἡ γὰρ γνῶσις καθ' αὑτὸ αἱρετόν, ἡ δὲ πρᾶξις δι' ἄλλο καὶ οὐ καθ' αὑτό. καὶ δῆλον μᾶλλον ἐκ τῶν πράξεων τῶν κατ' ἀρετὴν τῶν δοκουσῶν καθ' αὑτὰς εἶναι· καὶ αὗται γὰρ διὰ τὴν ἐνόχλησιν τῶν παθῶν εἰσίν. καὶ δῆλον ὅτι οὐκ εἰσὶν αὗται ἐν τοῖς θείοις, διότι λείπουσι τὰ πάθη. πολλὰς δὲ διαφορὰς δηλοῖ ἡ ὅρασις, ὅτι ἐκ τῆς ὁράσεως μανθάνομεν πολλάκις καὶ τὸ γλυκὺ τοῦ μέλιτος καὶ τὸ εὔοσμον τοῦ ῥόδου καὶ τὸ βάρος τῆς μνᾶς κατὰ συμβεβηκός. Anon. cod. Urbin. 49.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΑ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

ΤΩΝ ΕΙΣ ΔΥΟ ΤΟ ΠΡΩΤΟΝ.

Ὅτι δὲ ἐστι τιμιώτερον γνῶσις πράξεως, δῆλον οὐ μόνον ἐκ τοῦ πᾶσαν μὲν πρᾶξιν ἐπ' ἄλλο τι τέλος τὴν ἀναφορὰν ἔχειν (*)· καὶ γὰρ αὐταὶ αἱ κατὰ τὰς ἀρετὰς πράξεις αἱ μάλιστα δοκοῦσαι δι' ἑαυτὰς εἶναι αἱρεταὶ τῶν πράξεων ἐπ' ἄλλο τι τὴν ἀναφορὰν ἔχουσαι φαίνονται· ἐν οἷς γὰρ τῶν ζῴων οὐκ ἔστι πάθη, ὥσπερ ἐν τοῖς θεοῖς, οὐδὲ τῶν κατὰ τὰς ἀρετὰς πράξεων οὗτοι δέονται· διὰ τὰ πάθη οὖν καὶ διὰ τὴν ἐπὶ ταῦτα ἀναφορὰν καὶ τὴν τούτων παιδαγωγίαν τε καὶ καταστολὴν καὶ ἡμῖν αἱρεταί, ἐπεὶ ἐσμὲν ἐμπαθεῖς φύσει. πᾶσα δὲ

13. διὸ ἀποδ. καὶ τὸν Α. cf. Plat. Phaed. p. 96 sqq. ‖ 14. v. Metaphys. A 3.
13. v. Plat. Gorg. p. 448 C. ‖ 23. v. Plat. Gorg. p. 465 A.

δεῖ ἡμᾶς ἀρχομένους τῆς παρούσης πραγματείας εἰπεῖν τὸν σκοπόν, τὸ χρήσιμον, τὴν τάξιν, τὴν αἰτίαν τῶν ἐπιγραφῶν (πολλαὶ γὰρ ἐπιγραφαὶ φέρονται), αἷς δείκνυμεν τὸν τρόπον τοῦ συγγράμματος ὅλου), καὶ περὶ τοῦ μεγάλου ἄλφα καὶ τοῦ μικροῦ ἄλφα, καὶ πόθεν ὥρμησεν εἰς ἔννοιαν τῆς πρώτης φιλοσοφίας Ἀριστοτέλης. ὁ μὲν οὖν σκοπὸς τοῦ παρόντος συγγράμματος εἰπεῖν περὶ τῶν ὄντων καὶ ᾗ ὄντα ἐστί, καὶ περὶ πάντων ἁπλῶς τῶν ὄντων διαλεχθῆναι καθὸ ὄντα ἐστίν. διὸ καὶ τὸν ὅρον τῆς φιλοσοφίας οὕτως ἐλέγομεν, γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν. οὔτε γὰρ περὶ τῶν μερικῶν διαλέγεται ἐνταῦθα, οἷον περὶ κομητῶν, καθάπερ ἐν τοῖς Μετεώροις, οὔτε περὶ τῶν καθόλου, καθάπερ ἐν τῇ περὶ Οὐρανοῦ πραγματείᾳ, ἀλλὰ καθόλου περὶ πάντων τῶν ὄντων· θεολογῆσαι γὰρ αὐτῷ πρόκειται ἐν τῷ παρόντι συγγράμματι. ἀμέλει τοι καὶ περὶ στοιχείων διαλέγεται καὶ περὶ ἀρχῶν· μόνης γάρ ἐστιν ἔργον τῆς πρώτης φιλοσοφίας ἀποδεῖξαι τὰς ἀρχὰς πασῶν τῶν ἐπιστημῶν. αἱ μὲν γὰρ ἄλλαι ἐπιστῆμαι οὐκ ἀποδεικνύουσι τὰς οἰκείας ἀρχάς, ἀλλὰ μόνη ἡ πρώτη φιλοσοφία ἀποδείκνυσι πασῶν τῶν ἐπιστημῶν τὰς ἀρχάς. καὶ ταῦτα μὲν περὶ τοῦ σκοποῦ, ἐφεξῆς δὲ δεῖ εἰπεῖν περὶ τοῦ μεγίστου ἀγαθοῦ, λέγω δὴ τοῦ χρησίμου. χρήσιμος γάρ ἐστιν ἡ παροῦσα πραγματεία· συμβάλλεται γὰρ τῷ νῷ, οὐ τῷ πρακτικῷ ἀλλὰ τῷ θεωρητικῷ, διδάσκουσα αὐτὸν περὶ τῶν θείων, τουτέστι διακρίνειν ἀλήθειαν ἀπὸ ψεύδους. μέγιστον γὰρ ἀγαθόν ἐστι τῶν ἐν ἀνθρώποις ὁ θεωρητικὸς νοῦς· ἕκαστον γὰρ κατ' ἐκεῖνο χαρακτηρίζεται καθ' ὃ τῶν ἄλλων διαφέρει, οἷον ἵππῳ μὲν καθὸ ἵππος, κυνὶ δὲ καθὸ κύων· αἴτιον γάρ, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, τὸ ὁμολογεῖσθαι μὲν τὴν οἰκείαν ἐν ἑκάστῳ τελειότητα, καθ' ἣν φύσιν ἔστιν ἕκαστον ὅ ποτε ἔστιν, οἰκειότατόν τε εἶναι καὶ μέγιστον ἀγαθὸν ἑκάστῳ· ἡ γὰρ τελειότης τε καὶ ἡ ἀκρότης τῆς φύσεως ἑκάστου τὸ τελειότατον τῶν ἀγαθῶν ἑκάστῳ, ἵππῳ μέν, ὡς εἴρηται, καθὸ ἵππος, κυνὶ δὲ καθὸ κύων, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἐμψύχων τε καὶ ἀψύχων, καὶ ἀνθρώπῳ δὲ καθὸ ἄνθρωπος. ἀλλὰ μὴν ὁμολογεῖται καὶ τοῦτο, ἑκάστῳ τῶν ὄντων κατὰ τὸ οἰκεῖον εἶδος εἶναι τὸ εἶναι· εἶδος δὲ οἰκεῖον ἑκάστῳ καθὸ τῶν ἄλλων ἁπάντων διαφέρει. ἆρ' οὖν οὐχ ὁμολογεῖται ὑπὸ πάντων ὁ ἄνθρωπος τῶν ἄλλων διαφέρειν κατὰ τὸν θεωρητικὸν νοῦν; τοῦ μὲν γὰρ πρακτικοῦ τε καὶ τεχνικοῦ μετέχουσί πως καὶ τὰ ἄλλα ζῷα, τοῦ ἴχνους αὐτοῦ τοῦ πρακτικοῦ νοῦ. πολλὰ γὰρ ἕκαστον τῶν ζῴων μηχανᾶται πρὸς τὴν οἰκείαν σωτηρίαν, οἷον μύρμηξ θησαυρίζει αὐτῷ τροφὰς ἐν χειμῶνι καὶ χελιδὼν ποιεῖ νεοττιὰν διὰ τὴν διαδοχήν· ὁμοίως δὲ καὶ ἡ μέλιττα συνάγουσα θησαυρίζει τροφάς. τοῦτο δὲ τὸ δῶρον ὑπὸ τῆς φύσεως διὰ τοῦ θεοῦ ἔλαχον, ὅπως διασώζωνται. πάλιν δὲ ὥπλισεν ἡ φύσις τὰ ζῷα πρὸς τὰς ἐπιβουλὰς τῶν ἐπερχομένων. ταῦτα δὲ πάντα οὐκ ἔξω λογικῆς συνέσεως ὑπάρχουσιν· ἐπιστήμης δὲ καὶ θεωρίας πρὸς τὴν τῶν ἀληθῶν τε καὶ ψευδῶν διάκρισιν καὶ τῆς λογικῆς δυνάμεως παντάπασιν ἄμοιρα τὰ ἄλλα ζῷα. εἰ τοίνυν διὰ τῆς παρούσης πραγματείας ὁ θεωρητικὸς νοῦς ἐνεργεῖ περὶ τὰ θεῖα καὶ κυρίως ὄντα, εἴγε τῆς πρώτης ἐστὶ φιλοσοφίας τὸ ἀποδεικνύναι καὶ τὰς ἀρχὰς τῶν ἄλλων ἐπιστημῶν, καὶ ἔστιν αὕτη ἡ ἐπιστήμη ἀναπόδεικτος, δῆλον ὅτι πάνυ χρησιμωτάτη ἐστὶν ἡ παροῦσα πραγματεία. ἐπειδὴ οὖν τὴν πρώτην ἐπιστήμην παραδίδωσιν ἐν τῇ πραγματείᾳ ταύτῃ, εἴη ἂν οἰκειοτάτη τῷ ἀνθρώπῳ. τὰ μὲν γὰρ ἄλλα ζῷα ἔλαχον τὴν φρόνησιν ταύτην πρὸς τὰς βιωτικὰς διαγωγάς, ἵνα σώζωνται καὶ τρέφωνται· οἱ δὲ ἄνθρωποι καὶ πρὸς τὰς βιωτικὰς διαγωγὰς ἔχουσι τὰς μαθήσεις καὶ πρὸς τὸ νοερὸν αὐτό· ἐὰν γὰρ γνῶμεν ὅτι τοιόνδε σχῆμα φυλάττει οὗτος ὁ ἀστὴρ πρὸς τοῦτον τὸν ἀστέρα πως, οὐδὲν ἡμῖν συμβάλλεται πρὸς τὰς βιωτικὰς ἀγωγάς. ὁμοίως καὶ ἐπὶ ἄλλων πλείστων. καὶ ταῦτα μὲν ὅτι χρήσιμος ἡ παροῦσα πραγματεία· ἡ δὲ τάξις προφανὴς ἐκ τῶν τῇ προτεραίᾳ ῥηθέντων. ἐπεὶ γὰρ ἡ μὲν φύσις ἄρχεται ἀπὸ τῶν τελειοτέρων, ἡμῖν δὲ διὰ τὴν ἡμετέραν ἀσθένειαν ἀσύμμετρόν ἐστι τὸ εὐθέως τοῖς τελειοτέροις προσβάλλειν, ἀγαπῶμεν πρότερον ἀπὸ τῶν τῇ φύσει ὑστέρων καὶ τῶν ἀτελῶν ἄρξασθαι, καὶ οὕτως δραμεῖν ἐπὶ τὰ τέλεια. ἐπεὶ οὖν ἐν τοῖς φυσικοῖς περὶ τῶν ἀτελῶν διελέχθη, ἐνταῦθα δὲ περὶ τῶν τελείων, εἰκότως ὡς πρὸς ἡμᾶς τελευταία ἐστὶν ἡ παροῦσα πραγματεία. ἰστέον δὲ ὅτι ἐπιγράφεται καὶ Σοφία καὶ Φιλοσοφία καὶ πρώτη Φιλοσοφία καὶ Μετὰ τὰ Φυσικά, ἐπειδὴ πρότερον διαλεχθεὶς περὶ τῶν φυσικῶν ἐν ταύτῃ τῇ πραγματείᾳ διαλέγεται περὶ τῶν θείων. διὰ τὴν τάξιν οὖν ἔλαχε τὴν προσηγορίαν. Σοφία δὲ οἱονεὶ σάφειά τις οὖσα· τὰ γὰρ θεῖα σαφῆ καὶ φανερώτατα· περὶ γὰρ θείων διαλέγεται· τούτου χάριν εἶπε σοφίαν. ἀμέλει τοι καὶ ἐν τῇ Ἀποδεικτικῇ φησὶν "ὡς εἴρηταί μοι ἐν τοῖς περὶ σοφίας λόγοις·" ἡ γὰρ ἀναποδείκτοις ἀρχαῖς χρωμένη ἐπιστήμη σοφία ἐστίν. πρώτην δὲ Φιλοσοφίαν, ἐπεὶ περὶ τῶν πρώτων αἰτιῶν καὶ ἀρχῶν ἀναποδείκτων διαλέγεται. Φιλοσοφία δέ, διότι κυριωτάτη καὶ μάλιστα φιλοσοφία ἡ ἐν θεωρίᾳ τε καὶ τῇ τῶν ὄντων γνώσει, εἴγε ἡ μὲν φιλοσοφία κυρίως περὶ τὰ δι' ἑαυτὰ αἱρετὰ καὶ οὐ δι' ἄλλα, μόνη δὲ ἡ τῶν ἀρίστων θεωρία δι' ἑαυτὴν αἱρετή. καὶ Θεολογίαν δὲ καλοῦσιν αὐτήν, ἐπεὶ αἱ τῶν ὄντων ἀρχαὶ καὶ τὰ τῶν ὄντων αἴτια τὰ πρῶτα καὶ τελειότατα μάλιστα τὰ ὄντα θεῖα, περὶ ὧν ἐνταῦθα θεωρεῖ. ὁ δὲ τρόπος τῆς συντάξεως, ὅτι ἔστιν ἡ παροῦσα πραγματεία οὐχ ὁμοίως ταῖς ἄλλαις ταῖς τοῦ Ἀριστοτέλους συγκεκροτημένη, οὐδὲ τὸ εὔτακτόν τε καὶ συνεχὲς ἔχειν δοκοῦσα, ἀλλὰ τινὰ μὲν λείπει ὡς πρὸς τὸ συνεχὲς τῆς λέξεως, τὰ δὲ ἐξ ἄλλων πραγματειῶν ὁλόκληρα μετενήνεκται, καὶ πολλάκις τὰ αὐτὰ λέγει. ἀπολογοῦνται δὲ ὑπὲρ τούτου, καὶ καλῶς ἀπολογοῦνται, ὅτι γράψας τὴν παροῦσαν πραγματείαν ἔπεμψεν αὐτὴν Εὐδήμῳ τῷ ἑταίρῳ αὐτοῦ τῷ Ῥοδίῳ· εἶτα ἐκεῖνος ἐνόμισε μὴ εἶναι καλὸν ὡς ἔτυχεν ἐκδοθῆναι εἰς πολλοὺς τηλικαύτην πραγματείαν. ἐν τῷ οὖν μέσῳ χρόνῳ ἐτελεύτησε, καὶ διεφθάρησάν τινα τοῦ βιβλίου· μὴ τολμῶντες δὲ προσθεῖναι οἴκοθεν οἱ μεταγενέστεροι διὰ τὸ πολὺ πάνυ λείπεσθαι τῆς τοῦ ἀνδρὸς ἐννοίας, μετήγαγον ἐκ τῶν ἄλλων αὐτοῦ πραγματειῶν τὰ λείποντα, ἁρμόσαντες ὡς ἦν

23. 24. exspectaveris: οἷον ἵππος μὲν et κύων δὲ: tres autem, quos inspexi, codices ἵππῳ et κυνί.

3. ἐπειδὴ — 4. τῇ πραγματείᾳ om *AM*. ‖ 26. πρώτην δὲ Φιλοσοφίαν omnes tres codd. ‖ 37. codd. μετενηνέχθαι. ‖ 38. λέγειν *M*.

313a 22. Ἔλυσε τὴν ἀπορίαν τέως ὁ Δημόκριτος, λέγων τὰ ἐκ τοῦ ὕδατος ἀναφερόμενα θερμά· εἶναι γὰρ πάντων σπέρματα ἐν πᾶσι, διὸ καὶ γίνεσθαι πάντα ἐκ πάντων· ταῦτα δὴ τοῖς πλατέσιν ἀντικρούοντα πολλὰ ὄντα ἐκ πλείονος τοῦ ὑπὸ τὰ πλατέα ὕδατος ἀναμοχλεύειν αὐτά, τουτέστιν ἀνέχειν, τὰ δὲ στενὰ ὀλίγων ὄντων τῶν ὑπαντώντων αὐτοῖς θερμῶν διολισθαίνειν· αὐτῶν τὴν ἀντέρεισιν. οὕτω λύσας Δημόκριτος τὴν ἐξ ἀρχῆς ἀπορίαν ἐνέστη μὲν καλῶς ἑαυτῷ, λέγων ὡς εἰ τοῦτο αἴτιον ἦν τοῦ τὰ πλατέα ἐποχεῖσθαι τοῖς ὕδασιν, ἔδει μᾶλλον ἐν τῷ ἀέρι τοῦτο ποιεῖν· πλείονα γὰρ ἐν τῷ ἀέρι τὰ θερμὰ ἢ ἐν τῷ ὕδατι. οὕτως ἐνστὰς ὁ Δημόκριτος καλῶς τὴν λύσιν ἀσθενῶς καὶ ἀτόνως ἐπήγαγε· διὰ τοῦτο γάρ φησιν ἐν τῷ ἀέρι μὴ ἀνέχεσθαι τὰ πλατέα ὑπὸ τῶν ἀναδιδομένων θερμῶν, ὅτι μὴ πεπύκνωται ταῦτα ἐν τῷ ἀέρι λεπτῷ τε ὄντι καὶ κεχυμένῳ, ὥσπερ ἐν τῷ ὕδατι. διεσπαρμένων οὖν αὐτῶν οὐκ εἰς ἓν ὁρμᾷ ἡ κίνησις αὐτῶν ὥστε ἀνέχειν τὸ ὑπερκείμενον, κἂν πλατὺ ᾖ. ἐν δὲ τῷ ὕδατι παχυτέρῳ τε καὶ στερροτέρῳ ὄντι συγκροτεῖται καὶ πυκνοῦται μᾶλλον τὰ ἀναφερόμενα θερμά. λέγοι δὲ ἂν ἴσως καὶ τὸ εὐκίνητον τοῦ ἀέρος αἴτιον τοῦ σκεδασμοῦ. ταύτην τὴν λύσιν, καίπερ πιθανῶς ἀποδοθεῖσαν, μαλακὴν ὁ Ἀριστοτέλης εἶπεν ὡς οὐκ εὐτονοῦσαν τὰς ἐναργεῖς αἰτίας ἀπολογίσασθαι, ὅπερ αὐτὸς ποιήσει. id. f. 177 *b*.

τοῦτο δὲ αὐτὸ καὶ Δημόκριτος ἀπορεῖ, διότι ἐν ἀέρι ἀνοχεῖται, καὶ λύει ἀσθενῶς· φησὶ γὰρ ὅτι ὁ ἀὴρ κεχυμένος ἐστὶ καὶ ῥευστός, καὶ ἧττον δύναται ἀνοχεῖν. cod. Coisl. 166.

τὸ σοῦς Ἀβδηριτική ἐστι φωνὴ τὴν κίνησιν καὶ τὴν ὁρμὴν δηλοῦσα, ἀπὸ τοῦ θέω, ὃ δηλοῖ τὸ ὁρμῶ· καὶ σεῖος γὰρ ὁ θεῖος παρὰ 313b 5.
Δωριεῦσι λέγεται. ἢ ἀπὸ τοῦ σεύω τὸ ὁρμῶ. cod. Reg. 1853.

---

p. 312 *b* 17. causamque adiecit cur ad alia loca revertatur, cum ad huius totius ambitum protrahitur, siquidem, inquit, forte et durum ad propriam essentiam sese colligere conatur, nec inanitas quippiam relinquit efficitque *hinticurosas*, ut horum causas praeter eos quippiam assequi non valeat. quo autem huius totius ambitus distinguatur, et quomodo isthaec alia separentur et distinguantur, id ex iis quae scriptis mandavit, ex sociis eius ac sequacibus perspici potest. modo autem de eo quod hac in oratione dicendum remanet disseramus. Themist. f. 65 *b*.

ΕΙΣ ΤΑ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΜΕΙΖΟΝ ΑΛΦΑ ΤΗΣ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ, ΓΕΝΟΜΕΝΑ ΥΠΟ ΑΣΚΛΗΠΙΟΥ ΑΠΟ ΦΩΝΗΣ ΑΜΜΩΝΙΟΥ ΤΟΥ ΕΡΜΕΙΟΥ.

Δεῖ ἡμᾶς ἀρχομένους τῆς παρούσης πραγματείας εἰπεῖν τὸν σκοπόν, τὴν τάξιν, τὴν αἰτίαν τῆς ἐπιγραφῆς. σκοπὸς μὲν οὖν ἐστὶ τῆς παρούσης πραγματείας τὸ θεολογῆσαι· θεολογεῖ γὰρ ἐν αὐτῇ Ἀριστοτέλης. ἡ δὲ τάξις, ὅτι ἐκ τῶν φύσει ὑστέρων ἡμεῖς τὰς ἀρχὰς ποιούμεθα, ἐπειδὴ ταῦτα μᾶλλον συνεγνωσμένα ἡμῖν ὑπάρχουσι. διὰ τοῦτο τοίνυν ὁ Ἀριστοτέλης πρότερον διελέχθη ἡμῖν περὶ τῶν φυσικῶν πραγμάτων· ταῦτα γὰρ τῇ φύσει ὕστερα ὑπάρχουσιν, ἡμῖν δὲ πρότερα. ἡ δὲ παροῦσα πραγματεία τῇ μὲν φύσει προτέρα ὡς τὸ τέλειον ἔχουσα, ἡμῖν δὲ ὑστέρα· πρότερα γὰρ τὰ ἄφθαρτα τῶν φθαρτῶν καὶ τὰ ἀγένητα τῶν γινομένων. διὰ τοῦτο τοίνυν ὁ Ἀριστοτέλης πρότερον διελέχθη ἡμῖν περὶ τῶν ἀτάκτως κινουμένων ἐν τοῖς Μετεώροις, καὶ πάλιν περὶ τῶν τεταγμένως κινουμένων ἐν τῇ περὶ Οὐρανοῦ, φημὶ δὲ περὶ ἀστέρων καὶ σφαιρῶν· καὶ λοιπὸν ἐν ταύτῃ τῇ πραγματείᾳ διαλέγεται ἡμῖν περὶ τῶν πάντῃ ἀκινήτων. τοῦτο δέ ἐστι θεολογία· τοῖς γὰρ θείοις ἁρμόττει τὸ τοιοῦτο. διὰ τοίνυν ταύτην τὴν αἰτίαν καὶ ἐπιγέγραπται Μετὰ τὰ Φυσικά, ἐπειδὴ πρότερον διελέχθη ἡμῖν περὶ τῶν φυσικῶν πραγμάτων, εἶθ' οὕτως περὶ ταύτης. μετὰ γοῦν τὰς φυσικὰς πραγματείας δεῖ ταύτην ἀναγινώσκειν, ὡς δηλοῖ καὶ ἡ ἐπιγραφή. καὶ ἐν ταῖς φυσικαῖς δὲ αὐτοῦ πραγματείαις, καὶ μάλιστα πρὸς τοῖς πέρασι, θεολογεῖ καὶ ἀνάγει ἑαυτόν· φησὶ γὰρ πρὸς τῷ τέλει τῆς περὶ Γενέσεως καὶ Φθορᾶς (c. 10 p. 236 *b* 31) "τῷ λειπομένῳ τρόπῳ ἀνεπλήρωσε τὸ ὅλον ὁ θεὸς ἐνδελεχῆ ποιήσας τὴν γένεσιν." ὁμοίως δὲ καὶ ἐν τῷ ὀγδόῳ λόγῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 5 sqq.) καὶ ἐν τῇ περὶ Ψυχῆς (3 4 sqq.) πραγματείᾳ καὶ ἐν πάσαις αὐτοῦ ταῖς φυσικαῖς πραγματείαις τοῦτο πεποίηκε.

Alexandri Commentarii in Aristotelis Metaphysicorum quinque libros priores e cod. Reg. Paris. 1876 (*A*) vel descripti vel cum eo collati sunt, adhibitis ad libros A, α, Γ a quarto inde capite, et Δ codice Monacensi (*M*), ad libros B et priorem partem libri Γ codice Coisliniano 161 (*C*). ad loca insigniora omnium quinque librorum, praeter cod. Coisl., excussi sunt cod. Vatican. Bibl. Reginae 108 (*V*), cod. Laurent. 87 12 (*L*) et Asclepii codices. accedunt scholia partim ex illo *L*, partim ex Asclepii codd. Reg. Par. 1901 (*B*) Monac. (*M*) et Laurentiano 81 1 (*A*), partim e cod. Reg. Par. 1853 excerpta. ex Anonymi brevi expositione Metaphysicorum, quae sub Ioh. Philoponi nomine a Fr. Patricio Latine Ferrariae a. 1583 edita est et in cod. Vat. Urbin. 49 Graece legitur, addidi scholia quaedam ad primum librum (Anon. Urbin.).

a 20. περὶ] πρὸς *M*. ‖ 26. τεταγμένων *AM*.

ρεία, ταὐτὸ δὲ εἰπεῖν πυκνώσει καὶ μανώσει, διορίζοντες, καὶ μίαν ὕλην ταῖς διαφοραῖς ταύταις καὶ αὐτοὶ ὑποτιθέντες. id. ib.

310 a 13. τοῦτο δέ, φησὶν Ἀλέξανδρος, δύναται καὶ πρὸς τοὺς περὶ Δημόκριτον λέγεσθαι, οἳ ἐκ τῶν μικρῶν σφαιρικῶν ἀτόμων ἔλεγον συντίθεσθαι τὸ πῦρ. εἰ γὰρ πᾶσαι αἱ ἄτομοι τῆς αὐτῆς οὖσαι φύσεως βάρος ἔχουσι, καὶ εἰσὶν αἱ μείζους βαρύτεραι τῷ μείζους εἶναι, διὰ τοῦτο δὲ καὶ τὰ σώματα ἐκ τῶν μειζόνων ἀτόμων συγκείμενα βαρύτερα, αἱ πολλαὶ ἄτομοι μικραὶ ὀλίγων μεγάλων ἔσονται βαρύτεραι· εἰ δὲ τοῦτο, πολὺ πῦρ ἔσται βαρύτερον ὀλίγης γῆς. ἢ τοῦτο ἄν, φησί, πρὸς αὐτοὺς λέγοιτο, εἰ μὴ τὸ κενὸν ἠτιῶντο. id. f. 169 *b*.

310 a 31. κατὰ τὴν λέξιν, εἰ μέν, ὡς ἔν τισι τῶν ἀντιγράφων, "εἰ μὲν εἰς τὸ ἄνω καὶ τὸ κάτω κινητικὸν μὲν τὸ βαρυντικόν" γέγραπται, σαφὲς τὸ λεγόμενον ἐστίν· εἰ δέ, ὡς ὁ Ἀλέξανδρος γράφει, "εἰ μὲν τὸ ἄνω καὶ τὸ κάτω κινητικὸν τὸ βαρυντικόν" γέγραπται, τὸ ἄνω καὶ τὸ κάτω ἀρχαιοπρεπῶς ἑρμηνευθὲν ἀντὶ τοῦ ἐπὶ τὸ ἄνω καὶ τὸ κάτω εἴρηται. id. f. 170 *b*.

310 b 10. τὸ περιέχον, φησί, τρόπον τινὰ εἶδος γίνεται τοῦ περιεχομένου, ὃ ἐχόμενον εἶπεν ὡς ἐφεξῆς κείμενον. εἰ γὰρ τοῖς μὲν τὸ εἶδος ὁ ἄνω τόπος δίδωσι κούφοις τότε γινομένοις ὅταν ἐν τῷ ἄνω τόπῳ γένωνται, τοῖς δὲ βαρέσιν ὁ κάτω, τῷ μὲν πυρὶ τὸ ἔσχατον ἄνω ἐστὶν τὸ εἶδος ὡς ἐν ἐκείνῳ τὸ τέλειον ἔχοντι, τῷ δὲ ἀέρι τὸ πῦρ, ὅτι μέχρι ἐκείνου ἡ ἄνοδος. καὶ πάλιν τῇ γῇ μὲν τὸ μέσον ἐστὶν εἶδος, τῷ δὲ ὕδατι ἡ γῆ, διότι ὕδωρ ἐν γῇ γενόμενον ὡς τὸ ἑαυτοῦ εἶδος ἀπειληφὸς τὸ κατὰ τὸ βάρος ἠρεμεῖ. καὶ ἔστι τὰ μὲν εἴδει ἀνάλογον τὰ ἄκρα ὡς εἰδοποιὰ τῶν ἐφεξῆς κειμένων, τὰ δὲ ὕλῃ τὰ μέσα ὡς εἰδοποιούμενα παρ' ἐκείνων· τὸ μὲν γὰρ πῦρ τῷ ἀέρι κουφότητα ἐνδίδωσιν, ἡ δὲ γῆ τῷ ὕδατι βαρύτητα. ἄλλος δὲ ὁ τρόπος οὗτός ἐστι τῆς εἰς τὰ εἰδικὰ καὶ ὑλικὰ τῶν τεσσάρων στοιχείων διαιρέσεως, καὶ ἄλλος ἐκεῖνος καθ' ὃν τὰ μὲν βαρέα καὶ ψυχρὰ ὕλης λόγον ἔχει, τὰ δὲ κοῦφα καὶ θερμὰ εἴδους. αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐν ἄλλοις λέγει καὶ Θεόφραστος ἐν τῷ περὶ τῆς τῶν Στοιχείων Γενέσεως, καὶ Ποσειδώνιος ὁ Στωϊκὸς παρὰ τούτων λαβὼν πανταχοῦ χρῆται. ὁ δὲ ἐξηγητὴς Ἀλέξανδρος ἐφιστάνει μὲν τὸ ἄλλην εἶναι τὴν νῦν παραδιδομένην κατὰ τὸ ὑλικὸν καὶ εἰδικὸν τῶν στοιχείων διαίρεσιν. id. ib.

310 b 16. ἐπισημαίνεται δὲ πρὸς τὰς γραφὰς ὁ Ἀλέξανδρος, λέγων ὅτι ἀντὶ τοῦ "τὸ δὲ ζητεῖν" ἄμεινον ἦν "τὸ δὴ ζητεῖν" γεγράφθαι, διότι τοῦτο ὡς ἐπὶ προδεδειγμένοις ἐπήχθη. δύναται δὲ καὶ διὰ τοῦτο, εἰ γέγραπται καλῶς, τὴν ὁμοιότητα τὴν πρὸς τὰς ἄλλας κινήσεις τῶν κατὰ τόπον κινουμένων παραδεικνύον καὶ ἀπ' ἐκείνων ταύτην πιστούμενον, καὶ τὸ "ὁμοίως δὲ καὶ τούτων ἕκαστον." τὸ γὰρ ἀκόλουθον, φησίν, ἐστίν, ὡς ταῦτα, οὕτω καὶ τὰ ἐν τόπῳ. μήποτε δὲ οὐδεμιᾶς ὑπαλλαγῆς ἡ λέξις δεῖται, ἐὰν κατὰ συναφὴν ἀναγνωσθῇ· λέγει γὰρ "ὁμοίως δὲ καὶ τούτων ἕκαστον τὸ μὲν ἐν τῷ ποιῷ τὸ δὲ ἐν τῷ ποσῷ μεταβάλλει," καὶ ἐν τόπῳ τὰ μὲν κοῦφα ἄνω, τὰ δὲ βαρέα κάτω. id. f. 171.

311 b 8. ταῦτα μὲν ὁ Ἀριστοτέλης. Πτολεμαῖος δὲ ὁ μαθηματικὸς ἐν τῷ περὶ Ῥοπῶν τὴν ἐναντίαν ἔχων τῷ Ἀριστοτέλει δόξαν, πειρᾶται κατασκευάζειν καὶ αὐτὸς ὅτι ἐν τῇ αὐτῶν χώρᾳ οὔτε τὸ ὕδωρ οὔτε ὁ ἀὴρ βάρος ἔχει. καὶ ὅτι μὲν τὸ ὕδωρ οὐκ ἔχει, δείκνυσιν ἐκ τοῦ τοὺς καταδύοντας μὴ αἰσθάνεσθαι βάρους τοῦ ἐπικειμένου ὕδατος, καίτοι τινὰς εἰς πολὺ καταδύοντας βάθος. δυνατὸν δὲ ἐπὶ τούτῳ λέγειν... τὸ δὲ τὸν ἀέρα ἐν τῇ ὁλότητι τῇ ἑαυτοῦ μὴ ἔχειν βάρος καὶ ὁ Πτολεμαῖος ἐκ τοῦ αὐτοῦ τεκμηρίου τοῦ κατὰ τὸν ἀσκὸν δείκνυσιν, οὐ μόνον πρὸς τὸ βαρύτερον εἶναι τὸν πεφυσημένον ἀσκὸν τοῦ ἀφυσήτου, ὅπερ ἐδόκει τῷ Ἀριστοτέλει, ἀντιλέγων, ἀλλὰ καὶ κουφότερον αὐτὸν φυσηθέντα γενέσθαι βουλόμενος. ἐγὼ δὲ πειραθεὶς μετὰ τῆς δυνατῆς ἀκριβείας τὸν αὐτὸν εὗρον σταθμὸν ἀφυσήτου τε ὄντος καὶ φυσηθέντος τοῦ ἀσκοῦ. τῶν δὲ πρὸ ἐμοῦ τις καὶ αὐτὸς πειραθεὶς τὸν αὐτὸν εὑρηκέναι σταθμὸν ἔγραψε, μᾶλλον δὲ πρὶν φυσηθῆναι βαρύτερον ὄντα ἐλαχίστῳ τινί, ὅπερ τῷ Πτολεμαίῳ συμφθέγγεται. καὶ δῆλον ὅτι εἰ μὲν ὡς ἐπειράθην ἐγὼ τὸ ἀληθές, ἀρρεπῆ ἂν ἐν τοῖς οἰκείοις τόποις εἴη τὰ στοιχεῖα, μήτε βάρος ἔχον μηδὲν αὐτῶν μήτε κουφότητα... ἀλλὰ ταῦτα μὲν τῷ σοφωτάτῳ Συριανῷ δοκοῦντα εἰρήσθω. μήποτε δέ, κἂν ἀληθῶς εἴρηται ταῦτα, ἄλλως μὲν ὁ ἀὴρ ἐν τοῖς μετ' αὐτὸν στοιχείοις εἴρηται κοῦφος, ἄλλως δὲ ἐν τῇ αὐτοῦ χώρᾳ. id. f. 173.

προσέθηκε "τοιαῦτα γάρ ἐστιν," ἀντὶ τοῦ ἔστι γὰρ τοιαῦτα σώ- 311 b 16.
ματα, καὶ οὐχ ὥσπερ οἱ περὶ Δημόκριτον οἴονται, πάντα μὲν ἔχει βάρος, τὸ δὲ ἔλαττον ἔχον βάρος, τὸ πῦρ, ἐκθλιβόμενον ὑπὸ τῶν προλαμβανόντων ἄνω φέρεται καὶ διὰ τοῦτο κοῦφον δοκεῖ. id f. 173 *b*.

πάντα τὰ βάρη πρὸς ἴσας γωνίας καταφέρεται, ἃς ἡ λέξις 311 b 34.
ὁμοίας καλεῖ, δέον ἴσας. cod. Coisl. 166.

οἶδε καὶ ἄλλην γραφὴν ὁ Ἀλέξανδρος, τοιαύτην "τὸ δὲ πέρας 312 a 23.
μὲν τούτων ἐχούσας," καὶ ἐλλιπῆ ταύτην οἴεται τὴν γραφήν, καὶ εἶναι τὸ πλῆρες, τόδε τι σῶμα πέρας μὲν τούτων ἐστίν, ἔχει δὲ ὕλας οὕτως ἐχούσας πρὸς ἀλλήλας ὡς αὐται ἁπλῶς, καὶ διὰ τοῦτο καὶ ἄνω καὶ κάτω φερομένας, διότι πῇ μὲν κοῦφαι πῇ δὲ βαρεῖαι εἰσίν (*). Simpl. f. 175.

τὸ ὕδωρ καὶ εἰς τοὺς σίφωνας μὲν σπᾶται, μάλιστα δὲ εἰς τὸ πυ- 312 b 9.
ρωθὲν ἀγγεῖον· ἂν γὰρ ποτήριον τῶν στενοστόμων κατὰ τὸ στόμα καθῶμεν εἰς ὕδωρ, οὐκ εἰσρεῖται ὕδωρ εἰς αὐτό· ἂν μέντοι τὸ ποτήριον θερμανθὲν δι' ὕδατος θερμοῦ ἢ προκλύσαντος αὐτὸ ἢ τῷ πυθμένι αὐτοῦ ἐπιχεθέντος καθῶμεν ὁμοίως εἰς τὸ ὕδωρ, κατὰ τὸ στόμα σπᾷ τὸ ὕδωρ καὶ πληροῦται (**). id. f. 176.

(*) p. 312 *a* 31. et inquit Alexander: qui omnino quadruplicem materiam efficit, quae uniuscuiusque elementorum inclinationi accommodatur, difficultates omnes evadet. Themist. f. 64 *b*.

(**) p. 312 *b* 12. parva illa vasa, quae a medicis extruuntur quaeque cucurbitulae dicuntur... Alexander autem inquit, quod si aër attenuetur ac in maiorem mensuram effundatur, repleaturque inanitas quae eodem in vase consistit, versus principium occultabitur, secundum quod ex aquae frigiditate incrassatur, statim ac eam tanget; et hac quidem ratione attrahit quod ei proximum extiterit. Themist. f. 65.

Δ.

307b 28. Τινὲς τῇ εἰρημένῃ τῶν λόγων ἀκολουθίᾳ μὴ προσεσχηκότες νοθεύειν τοῦτο τὸ βιβλίον ἐτόλμησαν ὡς οὐ προσῆκον τοῖς περὶ οὐρανοῦ σκέμμασιν ἀλλ', εἴπερ ἄρα, τοῖς περὶ γενέσεως καὶ φθορᾶς. εἴρηται δὲ ὅτι τοῖς ὑπὸ σελήνην ἁπλοῖς σώμασιν οἰκειότατα τὸ βαρὺ καὶ κοῦφον. καὶ μέντοι ὅτι τοῖς οὐρανίοις οὐ προσήκει ταῦτα, ἀκριβέστερον εἰσόμεθα νῦν· διὸ καὶ αὐτὸς κατ' ἀρχὰς τοῦ πρώτου βιβλίου (c. 3) "δεῖ" φησὶν "ὑποθέσθαι τί λέγομεν τὸ βαρὺ καὶ τὸ κοῦφον νῦν μὲν ἱκανῶς ὡς πρὸς τὴν παροῦσαν χρείαν, ἀκριβέστερον δὲ πάλιν ὅταν ἐπισκοπῶμεν περὶ τῆς οὐσίας αὐτῶν," εἰς τούτους ὑπερθέμενος τοὺς λόγους. id. f. 164 *b*.

ὁ σκοπὸς τῷ Ἀριστοτέλει ἐν τῷ παρόντι βιβλίῳ διδάξαι τίς ἐστιν ἡ τῶν ῥοπῶν φύσις... Θαλῆς μανώσει κοῦφον γίγνεσθαί φησι, μανώσει βαρύ... ἐν τῷ παρόντι βιβλίῳ ὁ Ἀριστοτέλης διαλέγεται περὶ ῥοπῶν. ἐπεχείρησαν δέ τινες εἰπεῖν τοῦτο τὸ βιβλίον μηδὲν προσήκειν τῇ περὶ Οὐρανοῦ πραγματείᾳ, μᾶλλον δὲ προσήκειν τῇ περὶ Γενέσεως καὶ φθορᾶς, πρῶτον μὲν ὅτι ἐν ἐκείνοις, φημὶ δὴ τοῖς γενητοῖς καὶ φθαρτοῖς, τὸ βαρὺ καὶ τὸ κοῦφον, δεύτερον ὅτι πρὸς τῷ πέρατι τοῦ τρίτου λόγου τῆς παρούσης πραγματείας εἶπε δεῖν διαλέγεσθαι περὶ τῶν στοιχείων, ζητοῦντας τά πάθη τε καὶ τὰς δυνάμεις καὶ τὰς κινήσεις, πάθη μὲν λέγων τὰς παθητικὰς δυνάμεις, θερμότητας ψυχρότητας ξηρότητας καὶ ὑγρότητας, δυνάμεις δὲ τὴν κουφότητα καὶ βαρύτητα, κίνησιν δὲ τὴν κατὰ τὰς δυνάμεις ταύτας ἐνέργειαν. περὶ δὲ τῶν παθητικῶν ποιοτήτων καὶ τῶν κινήσεων αὐτῶν καὶ τῆς εἰς ἄλληλα μεταβολῆς ἐν τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς διαλέγεται, περὶ δὲ τῶν δυνάμεων αὐτῶν ἤτοι τῶν ῥοπῶν ἐνταῦθα. δέον ἄρα τὸ παρὸν βιβλίον μᾶλλον ἀκόλουθον εἶναι τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς γράμμασιν ἢ τοῖς περὶ Οὐρανοῦ σκέμμασι· τί γὰρ κοινὸν τὸ διαλέγεσθαι περὶ βαρέος καὶ κούφου καὶ περὶ τῶν οὐρανίων σωμάτων; λέγομεν οὖν ἡμεῖς ὅτι μᾶλλον πολλὴν ἀκολουθίαν τὸ παρὸν ἔχει βιβλίον πρὸς τὰ φθάσαντα· γνόντες γὰρ τί τὸ βαρὺ καὶ τί τὸ κοῦφον, εἰσόμεθα ὡς οὐδὲν προσήκει ταῦτα τοῖς οὐρανίοις ἐναποτίθεσθαι. διόπερ καὶ αὐτὸς κατ' ἀρχὰς τοῦ α' βιβλίου (c. 3), ἀναγκαῖον εἰδὼς τὸν περὶ τούτου λόγον, εἶπε "δεῖ ὑποτίθεσθαι τί λέγομεν τὸ βαρὺ καὶ τὸ κοῦφον." cod. Coisl. 166.

308a 17. ἀντιλέγει μεταξὺ πρὸς τοὺς μὴ νομίζοντας εἶναί τι ἐν τῷ κόσμῳ τὸ μὲν ἄνω τὸ δὲ κάτω. ταύτης δὲ γεγόνασι τῆς δόξης Ἀναξίμανδρος μὲν καὶ Δημόκριτος διὰ τὸ ἄπειρον ὑποτίθεσθαι τὸ πᾶν· ἐν γὰρ τῷ ἀπείρῳ οὐδέν ἐστιν ἄνω ἢ κάτω φύσει· ὅρα γὰρ ταῦτα καὶ πέρατα διαστάσεως. ἄλλοι δέ, ὧν καὶ ὁ παρὰ Πλάτωνι Τίμαιος, πρὸς ὃν μάλιστα ἀποτείνεται, οὐκ ἀξιοῦσιν ἐν τῷ κόσμῳ εἶναι τὸ μὲν ἄνω τὸ δὲ κάτω διὰ τὴν ὁμοιότητα, τῆς δὲ ὁμοιότητος σημεῖον ἔλεγον τὸ δύνασθαι κατὰ πάντα μέρη τῆς γῆς ἀντίποδά τινα αὐτὸν ἑαυτῷ γενέσθαι (*). Simpl. f. 165 *b*. cf. Themist. f. 56 *b*.

308b 30. μέτεισιν ἐπὶ τοὺς περὶ Λεύκιππον καὶ Δημόκριτον, τοῦ μὲν βάρους τὴν τῶν ἀτόμων αἰτιωμένους ναστότητα, τῆς δὲ κουφότητος τὴν τοῦ κενοῦ παρεμπλοκήν. Simpl. f. 167.

308b 31. καινοτέρως δὲ ἀντὶ τοῦ περινενοημένως μᾶλλον καὶ ἐπιβλητικώτερον (*). id. ib.

309a 13. τὰ μὲν οὖν πολλὰ τῶν ἀντιγράφων οὕτως ἔχοντα "εἰ μὴ καὶ στερεὸν ἕξει πολλαπλάσιον" τοιαύτην ἔννοιαν ἀποδίδωσιν. ὁ δὲ Ἀλέξανδρος ὡς τῆς γραφῆς ἐχούσης "εἰ καὶ τὸ στερεὸν ἕξει πολλαπλάσιον" οὕτως ἐξηγεῖται, λέγων ὥστε κατὰ τοῦτο εἴη ἂν ὁ πολὺς χρυσὸς τοῦ ὀλίγου πυρὸς κουφότερος· νῦν δὲ οὐκ ἔστιν, εἰ καὶ τὸ στερεὸν ἔχει πολλαπλάσιον τοῦ ἐν τῷ πυρί. νῦν μὲν οὖν ὡς μὴ προσλογιζομένους τὴν ἀναλογίαν ταύτην αἰτιᾶται, μετ' ὀλίγον δὲ καὶ προσλογιζομένους ὑποτιθέμενος καὶ οὕτως εὐθύνει. id. f. 167 *b*, cf. Themist. f. 58.

309b 29. νῦν τὴν Θαλοῦ δόξαν ἐλέγχει τὴν μανότητι καὶ πυκνότητι λέγουσαν τὸ βαρὺ καὶ κοῦφον, καὶ καλεῖ τὸ μὲν μανὸν μέγα τὸ δὲ πυκνὸν μικρόν, εἰκότως· εἰς ὀλίγον γὰρ ὄγκον συνάγεται τὸ πυκνόν, ὥσπερ τὸ μανὸν εἰς πολὺν ἐξαπλοῦται. cod. Coisl. 166.

309b 31. λέγει οὖν ὅτι κἂν ἄλλος τις μεγέθει καὶ σμικρότητι διορίζῃ τὰ βαρύτερα καὶ κουφότερα, καὶ μὴ ὡς ὁ Πλάτων, ἀλλ' ἢ ὡς οἱ περὶ Δημόκριτον (οὗτοι γὰρ ἐκ μὲν μικρῶν σφαιρῶν ἔλεγον τὸ πῦρ γίνεσθαι, διὸ λεπτομερέστατον εἶναι, ἐκ μειζόνων δὲ ἀτόμων τὴν γῆν, ἐκ δὲ τῶν μέσων τὰ μεταξὺ) ἢ ὡς οἱ ἓν τὸ στοιχεῖον ὑποτιθέμενοι καὶ τῇ τούτου πυκνότητι καὶ μανότητι τὰ ἄλλα γεννῶντες· καὶ οὗτοι γὰρ τῆς μανότητος τὸ κενὸν ᾐτιάσαντο. καὶ πρὸς τούτους γὰρ κἂν μάλιστα τοῦτο ἁρμόττοι τὸ "κἂν ἄλλον ἐντιναοῦν τρόπον κατασκευάζων," τουτέστι κἂν μὴ μέγεθος καὶ σμικρότητα ὀνομάζῃ, ἀλλὰ πυκνότητα καὶ μανότητα, μόνον δὲ τὴν αὐτὴν ὕλην ἅπασιν ἀποδιδούς. Simpl. f. 168 *b*.

310a 1. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος τὰ μεταξὺ τῶν ἁπλῶς βαρέων καὶ κούφων τὰ σύνθετα ἐκ τοῦ κενοῦ καὶ πλήρους ἀκούων ἐξηγεῖται. μήποτε δὲ ἁπλῶς βαρὺ καὶ κοῦφον γῆν καὶ πῦρ λέγει, μεταξὺ δὲ ἀέρα καὶ ὕδωρ, καὶ ὅτι οὐκ ἔσται ταῦτα· οὐ γὰρ ἔχουσιν εἰπεῖν διὰ τίνα αἰτίαν βαρύτερά καὶ κουφότερά ἐστιν ἀλλήλων τε καὶ τῶν ἁπλῶς. καὶ νῦν μὲν τοσοῦτον εἶπε μόνον, πρὸς δὲ τὸ τέλος τοῦ βιβλίου τὸ αὐτὸ ἐπιχείρημα θείς, σαφέστερον λέγει τὰ ἑπόμενα ἄτοπα καὶ τοῖς ἓν τὸ ὑποκείμενον λέγουσι καὶ τοῖς τὰ ἐναντία· καὶ ἐκεῖ σαφῶς τὰ μεταξὺ τὸν ἀέρα λέγει καὶ τὸ ὕδωρ. ἰστέον δὲ ὅτι ὁ μὲν Ἀλέξανδρος "ἀλλήλων τε καὶ τῶν ἁπλῶν" γράφει, εὗρε δὲ ἔν τισι "τῶν ἁπλῶς" γεγραμμένον. id. f. 169.

310a 3. μέτεισιν ἐπὶ τοὺς μεγέθει καὶ σμικρότητι τὴν διαφορὰν τῶν στοιχείων ἀποδιδόντας. οὗτοι δὲ ἂν εἶεν οἱ παχυμερείᾳ καὶ λεπτομε-

---

(*) p. 308 *b* 6. hos autem sermones retulit ad eius impugnationem quod in Timaeo scriptum est, nempe ignem levissimum esse, cum ex paucissimis partibus constat, perinde ac si ipse non recte Platonis sententiam assequatur: non enim ullo modo Plato fatetur leve vel grave quippiam inveniri, dum in proprio loco manet. Themist. f. 57.

(*) p. 308 *b* 31. dixi aetate vetustiores, perinde ac si dixissem minus peccantes. per novam autem rationem maiorem finem facilitatemqne maiorem intelligo. hoc autem adversus Democritum et Leucippum pronuntiavit. Themist. f. 57 *b*.

Τιμαίῳ λεγομένων προσλαβέσθαι τὸν τῆς γενέσεως τρόπον... ὅτι μὲν οὖν οὐ Πλάτωνός ἐστιν ὁ σχηματισμός, κἂν ἀπὸ τῶν Πλάτωνος ἐλήφθη λόγων, δῆλον. id. f. 156.

306a 1. ἐπειδὴ δὲ πρὸς ταύτας τὰς ἐνστάσεις τὰς τῇ γενέσει τῶν σωμάτων τῇ ἐκ τῶν ἐπιπέδων λεγομένῃ προσενεχθείσας τινὲς μὲν καὶ ἄλλοι τῶν Πλατωνικῶν ἀντειρήκασι, Πρόκλος δὲ ὁ ἐκ Λυκίας ὀλίγον πρὸ ἐμοῦ γεγονὼς τοῦ Πλάτωνος διάδοχος βιβλίον ἔγραψε τὰς ἐνταῦθα τοῦ Ἀριστοτέλους ἐνστάσεις διαλύων, καλῶς ἔχειν ἔδοξέ μοι συντόμως ὡς δυνατὸν τὰς ἐνστάσεις καὶ τὰς λύσεις ἐκείνας ὑποτάξαι... καὶ γὰρ ὅτι μὲν τῆς τῶν τεσσάρων τούτων σωμάτων, πυρὸς ἀέρος ὕδατος καὶ γῆς, γενέσεως πρώτων κατὰ θερμότητα καὶ ψῦξιν καὶ ξηρότητα καὶ ὑγρότητα ποιοτήτων ἄλλας ἀρχὰς προτέρας ἀπὸ τῶν ἐν τῷ ποσῷ διαφορῶν ὡς συγγενεστέρων οὐσῶν πρὸς τὰ σώματα ζητεῖ, πρόδηλον ἐκ τοῦ τὰς τῶν ποιοτήτων ἐκείνων διαφορὰς ἀπὸ τῆς τῶν σχημάτων διαφορᾶς αἰτιολογεῖν. αἱ γὰρ κατὰ τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὰ τοιαῦτα ἀποδόσεις ἰδιωτικῶς ἀποδεδόσθαι καὶ ὑπὸ Δημοκρίτου πρότερον ἐλέγοντο, ὡς Θεόφραστος ἱστορεῖ, τῆς ψυχῆς ἐπιποθούσης ἀρχὴν ἄλλην ἀκοῦσαι τῷ σώματι οἰκειοτέραν τῆς τοιαύτης τοῦ θερμοῦ ἐνεργείας. ὅτι μέντοι ἐξ ὕλης καὶ εἴδους τὰ τέσσαρα ταῦτα λέγουσι γίνεσθαι, δηλοῖ μὲν συντόμως αὐτὸς ὁ Τίμαιος (p. 97. 98) εἰπὼν "ἀρχαὶ μὲν οὖν τῶν γενομένων ὡς μὲν ὑποκείμενον ἁ ὕλα, ὡς δὲ λόγος μορφᾶς τὸ εἶδος· ἀπογεννάματα δὲ τούτων ἐστὶ τὰ σώματα, γᾶ τε καὶ ὕδωρ, ἀήρ τε καὶ πῦρ, ὧν ἀπογένη τοιαῦτα. ἅπαν σῶμα ἐξ ἐπιπέδων ἐστίν, τοῦτο δὲ ἐκ τριγώνων·" ἀρχοειδέστερον τοῦ σώματος τὸ ἐπίπεδον λαβών, καὶ ἐν τῷ ἐπιπέδῳ τὸ τρίγωνον. id. f. 156 *b*.

306a 3. εἰπὼν δὲ τοῦτο ἐξ ἀνάγκης λέγειν αὐτοὺς ὡς ἑπόμενον τῇ τῶν τριγώνων ὑποθέσει, ἐπήγαγε "καὶ λέγουσι." καὶ γὰρ καὶ αὐτόθεν λέγουσιν καὶ τὴν αἰτίαν ἀποδιδόασι τοῦ μὴ μεταβάλλειν τὴν γῆν. διχῶς οὖν αἰτιᾶται τοῦτο. id. f. 157 *b*.

306a 18. τοῦ δὲ πρεσβυτάτην εἶναι τὴν γῆν τῶν ἐντὸς οὐρανοῦ ὁ μὲν Πλάτων οὐκ εἶπε τὴν αἰτίαν· ὁ δὲ Τίμαιος (p. 97) αὐτὸς ἐν τῷ συγγράμματι, ὅπερ ὁ Πλάτων παρέξεσεν, οὕτως ἔγραψε περὶ τῆς γῆς "πρεσβίστα δὲ ἐντι τῶν ἐντὸς ὠρανῶ σωμάτων, οὐδὲ ποκα ὕδωρ ἐγενναθη δίχα γᾶς, οὐδὲ μέντοι ἀὴρ χωρὶς ὑγρῶ· πῦρ τε ἔρημον ὑγρῶ καὶ ὕλας ἃς ἐξάπτοι οὐκ ἂν διαμένοι. ὥστε ῥίζα πάντων καὶ βάσις τῶν ἄλλων ἁ γᾶ." ἐν δὲ τοῖς κόλποις τῆς γῆς ἀὴρ ἡδράσαι καὶ πῦρ, οὐ τὰ καθαρὰ ἀλλὰ τὰ λιμνάζοντα. καὶ τά γε ἄκρα τῆς γῆς ἐν τῷ Φαίδωνι ὁ Πλάτων ἐξυμνεῖ. id. f. 158.

306a 33. ἐπειδὴ σφαῖραν τὸ πῦρ οἱ περὶ Δημόκριτον ἔλεγον. id. f. 159.

306b 3. καὶ ὅ γε Ποταμών, ὡς Ἀλέξανδρος ἱστορεῖ, διὰ συντόμου τὰς τῶν εἰρημένων σχημάτων συμπληρώσεις ἐπὶ καταγραφῆς παραδέδωκεν. ἔστω γάρ, φησί, κτλ. (*) id. f. 159 *b*.

λέγει δὲ πάθη μὲν τὰς παθητικὰς καλουμένας ποιότητας, οἷον 306b 29.
θερμότητας ψύξεις καὶ τὰς τοιαύτας, δυνάμεις δὲ καθ' ἃς ἡ κατὰ φύσιν κίνησις, βαρύτητας κουφότητας, κινήσεις δὲ τὰς κατὰ τόπον· ἢ δυνάμεις μὲν τὰς τῶν ποιούντων πρὸς τὸ ποιεῖν παρασκευάς, οἷον καθ' ἣν θερμαίνει τὸ θερμαῖνον, πάθος δὲ καθὸ θερμαίνεται τὸ θερμαινόμενον, κίνησις δὲ ἡ μεταξὺ ἀμφοῖν ἡ θέρμανσις. ἀλλ' ἐν μὲν τοῖς ὑστέροις οὕτω μᾶλλον αὐτὰ διαιρεῖ, νῦν δὲ κατὰ τὴν προτέραν εἰρημένην ἐπιβολήν. id. f. 161 *b*.

ὁ μὲν Ἀλέξανδρος ἐξέλαβεν ὅτι ἔνεισιν ἄτομα σχήματα 307a 21.
μήπω διαιρεθέντα, δυνάμενα δὲ διαιρεθῆναι. ἀλλ' οὐδὲν πρὸς τὰς ἀτόμους· αὗται γὰρ οὐδὲ διαιρεθῆναι ἐδύναντο. ἄμεινον οὖν ἐξέλαβεν αὐτὸ ὁ φιλόσοφος Ἀμμώνιος ἐν τῷ εἰπεῖν ὅτι κατὰ δόξαν λέγεται· εἰ γὰρ εἰσι κατὰ Ξενοκράτην ἄτομα γράμματα, διὰ τί μὴ καὶ ἄτομα σχήματα; cod. Coisl. 166.

ὅτι κατὰ τὰ πάθη καὶ τὰ ἔργα καὶ τὰς δυνάμεις. διορίζει δὲ 307b 20.
ταῦτα ὁ Ἀλέξανδρος πολλαχῶς, ποτὲ μὲν πάθη λέγων κουφότητας βαρύτητας, σκληρότητας μαλακότητας, μανότητας πυκνότητας, δυνάμεις δὲ θερμότητας ψυχρότητας· ποτὲ δὲ πάθη μὲν τὰς παθητικὰς ποιότητας, δυνάμεις δὲ τὰς κατὰ τὰς ῥοπάς, ἔργα δὲ τὰς ἐνεργείας· καὶ πάλιν δυνάμεις μὲν τὰς ποιητικὰς αὐτῶν ποιότητας, θερμότητας ξηρότητας κουφότητας (αὗται γὰρ αἱ δυνάμεις ποιητικαί), πάθη δὲ τὰς ἀντικειμένας αὐταῖς ψυχρότητας ὑγρότητας βαρύτητας ὡς παθητικὰς καὶ ὑλικωτέρας. καὶ γὰρ καὶ ἐν τοῖς περὶ Γενέσεως (2 2) ἐκείνας μὲν μᾶλλον ποιητικάς, ταύτας δὲ μᾶλλον παθητικὰς εἶναι φησί, καὶ δὴ καὶ στερήσεις ταύτας ἐκείνων καλεῖ. κατ' ἄλλην δὲ ἐπιβολὴν ταὐτό, φησί, δύναμις καὶ πάθος ἐστίν, ἀπὸ μὲν τοῦ πάθος ἐμποιεῖν παχύνσης τῆς ὕλης γίνεσθαι πάθος, δύναμις δὲ ἀπὸ τοῦ δύνασθαι. καὶ τάχα μᾶλλον οὕτως ἐκδεκτέον. βούλεται μὲν γὰρ μὴ κατὰ τὰ σχήματα τὰς τῶν στοιχείων ἀφορίζεσθαι διαφοράς, ὅτι μηδέ ἐστιν ἐν τούτοις ἐναντίωσις κυρίως, ἀλλὰ κατὰ τὰς παθητικὰς καλουμένας ποιότητας, θερμότητας ξηρότητας μαλακότητας κουφότητας καὶ τὰς ἀντικειμένας αὐταῖς καὶ ὅσαι τοιαῦται· ἐν γὰρ ταύταις ἐστὶν ἐναντίωσις καθ' ἣν ἡ εἰς ἄλληλα τῶν στοιχείων γίνεται μεταβολή, ὅπερ ἐστὶ νῦν προβεβλημένον. τῶν δὲ ποιοτήτων τούτων ἑκάστη τριχῶς θεωρεῖται· ἢ γὰρ ὡς δύναμις (αὕτη γάρ ἐστιν ἡ τῆς οὐσίας πρὸς ἐνέργειαν παρασκευή, καθ' ἣν τὸ πῦρ δύναμιν θερμαντικὴν ἔχειν λέγομεν), ἢ ὡς ἡ κατὰ τὴν δύναμιν ταύτην ἐνέργεια, ὥστε τὸ θερμαίνειν, ἢ ὡς τὸ ἀπὸ τῆς δυνάμεως διὰ τῆς ἐνεργείας ἐγγινόμενον τῷ πάσχοντι πάθος, ὡς τὸ θερμαίνεσθαι. ἀπὸ δὲ τούτων τῆς τε δυνάμεως καὶ τῆς ἐνεργείας καὶ τοῦ πάθους καὶ αἱ οὐσίαι γνωρίζονται καὶ ἡ εἰς ἄλληλα τῶν στοιχείων μεταβολὴ καταλαμβάνεται. Simpl. f. 163 *b*.

(*) p. 306 *b* 22. Alexandri vero sententiam, quam de loco hic affert, minime intelligimus, eo quia a vera intelligentia recedit... Alexander vero dicebat primam huius sermonis partem ab Aristotele dictam fuisse, ut Democrito responsum daret, qui de positu disseruit, ipsa vero corpora ex extremitatibus non componi; in reliqua sermonis parte narravit ac responsum dedit ad eos qui corpora ex extremitatibus ponunt: sed ab eo quidem loco quo sermonem exorditur, totum quidem in universum retulit, ut illis responsum daret qui elementis figuras accommodant. Themist. f. 54 *b*.

ποιοῦσιν εἶναι καὶ πόλεις συνῳκημένας καὶ ἔργα κατεσκευασμένα... καὶ τὰ ἄλλα ὥσπερ παρ' ἡμῖν. καὶ ταῦτα δῆλον ὅτι σπερματικῶς ἐκεῖ καὶ κατ' ἰδέας, ὡς εἶπεν, προειρημένας. id. ib.

303 a 4. μετέβη πρὸς τοὺς περὶ Λεύκιππον καὶ Δημόκριτον στοιχεῖα λέγοντας τὰς διὰ σμικρότητα καὶ ναστότητα ἀτόμους, ἀπείρους οὔσας κατά τε τὸν ἀριθμὸν καὶ τὰ σχήματα. ταύτας δὲ μόνας ἔλεγον συνεχεῖς· τὰ γὰρ ἄλλα τὰ δοκοῦντα εἶναι συνεχῆ ἁφῇ προσεγγίζειν ἀλλήλοις. διὸ καὶ τὴν τομὴν ἀνῄρουν, ἀπόλυσιν τῶν ἁπτομένων λέγοντες τὴν δοκοῦσαν τομήν· καὶ διὰ τοῦτο οὐδ' ἐξ ἑνὸς πολλὰ γίνεσθαι ἔλεγον (οὐ γὰρ διαιρεῖσθαι τὴν ἄτομον) οὔτε ἐκ πολλῶν ἓν κατ' ἀλήθειαν συνεχές, ἀλλὰ τῇ συμπλοκῇ τῶν ἀτόμων ἕκαστον ἓν δοκεῖ γίνεσθαι. τὴν δὲ συμπλοκὴν Ἀβδηρῖται ἐπάλλαξιν ἐκάλουν ὥσπερ Δημόκριτος. id. f. 150.

303 a 8. καὶ γὰρ καὶ τὰς μονάδας τῷ κενῷ φασὶν οἱ Πυθαγόρειοι διορίζεσθαι. id. ib.

303 a 10. ταῦτα ὁ Ἀλέξανδρος ὡς ἐναντιολογίαν τινὰ αὐτῶν πρὸς ἑαυτοὺς συναγαγόντα ἐξεδέξατο τῶν ἀρχὰς τὰς ἀτόμους λεγόντων, διότι λέγουσι μὲν κατὰ τὸ σχῆμα διαφέρειν ἀλλήλων τὰ στοιχεῖα καὶ οὐ κατὰ τὸ ὑποκείμενον... μήποτε δὲ καὶ ταῦτα ἔτι ὡς τὴν δόξαν αὐτῶν σαφηνίζοντα προσέθεικεν ὁ Ἀριστοτέλης. id. ib.

303 b 1. πῶς δὲ τὴν σφαῖραν ἐξ ὀκτὼ μορίων συγκεῖσθαί φησι, μαντείας ὄντως ἐδεήθησαν οἱ ἐξηγηταί. καλῶς δὲ οἶμαι ἐπέστησεν ὁ Ἀλέξανδρος ὅτι πάντα τὰ σώματα ἐκ πυραμίδων συγκεῖσθαί φησι, τὰ μὲν εὐθύγραμμα ἐξ εὐθυγράμμων, τὴν δὲ σφαῖραν ἐξ ὀκτὼ πυραμίδων σφαιρικὰς ἐχουσῶν τὰς βάσεις. id. f. 151.

303 b 10. Θαλῆς μὲν ὁ Μιλήσιος καὶ Ἵππων ὕδωρ τὸ ἓν ὑπέθεντο, ἐπειδὴ ἐξ ὕδατος τά τε σπέρματα τῶν ζῴων ἑώρων καὶ τὰς τροφὰς τῶν τε ζῴων καὶ τῶν φυτῶν· Ἀναξίμανδρος δὲ Θαλοῦ πολίτης καὶ ἑταῖρος ἀόριστόν τι, ὕδατος μὲν λεπτότερον ἀέρος δὲ πυκνότερον, διότι τὸ ὑποκείμενον εὐφυὲς ἐχρῆν εἶναι πρὸς τὴν ἐφ' ἑκάτερα μετάβασιν. ἄπειρον δὲ πρώτως ὑπέθετο, ἵνα ἔχῃ χρῆσθαι πρὸς τὰς γενέσεις ἀφθόνως. καὶ κόσμους δὲ ἀπείρους οὗτος καὶ ἕκαστον τῶν κόσμων ἐξ ἀπείρου τοῦ τοιούτου στοιχείου ὑπέθετο, ὡς δοκεῖ. Ἀναξιμένης δὲ ἑταῖρος Ἀναξιμάνδρου καὶ πολίτης ἄπειρον μὲν καὶ αὐτὸς ὑπέθετο τὴν ἀρχήν, οὐ μὴν ἔτι ἀόριστον· ἀέρα γὰρ ἔλεγεν εἶναι, ἀρκεῖν νομίζων τὸ τοῦ ἀέρος εὐαλλοίωτον πρὸς μεταβολήν. τὸ δὲ αὐτὸ καὶ Διογένης ὁ Ἀπολλωνιάτης ὑπέθετο. Ἵππασος δὲ ὁ Μεταποντῖνος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος πῦρ ἔλεγον τὴν ἀρχήν, εἰς τὸ δραστήριον τοῦ πυρὸς ἀποβλέψαντες. id. ib.

304 a 7. ὅμοιοι δὲ τούτοις εἰσίν, ὥς φησιν Ἀλέξανδρος, καὶ οἱ τὸ πῦρ πολλαπλασίῳ λέγοντες ἀναλογίᾳ, ὅτι καὶ τὸ πῦρ καὶ ἡ πολλαπλάσιος ἀναλογία αὔξονται ταχύ. id. f. 152 *b*.

304 a 10. ζητῆσαι δὲ χρὴ τίνος ἐστὶν αὕτη ἡ δόξα ἡ τὸ πῦρ πυραμίδα λέγουσα, διότι πρῶτον τῶν σωμάτων ἐστίν. Ἡράκλειτος μὲν γὰρ ὁ στοιχεῖον τῶν ἄλλων λέγων τὸ πῦρ οὐ λέγει πυραμίδα εἶναι τὸ πῦρ, οἱ δὲ Πυθαγόρειοι ἐκ πυραμίδων συγκεῖσθαι τὸ πῦρ λέγοντες οὐ λέγουσι τὸ πῦρ πρῶτον τῶν ἄλλων στοιχείων, εἴπερ καὶ αὐτὸ λέγουσιν ἐξ ὕδατος καὶ ἀέρος γίνεσθαι, ὥσπερ καὶ ἐκ πυρὸς ἀέρα καὶ ὕδωρ. id. ib.

304 a 21. δοκεῖ δέ μοι διὰ τούτου, φησὶν ὁ Ἀλέξανδρος, τοῦ παραδείγματος τὸ ἄτοπον τῆς δόξης παραδεικνύναι· ὡς γὰρ ἐπὶ τοῦ συμφυομένου ψήγματος παχύτερον μέν τι ἐξ αὐτοῦ γίνεται σῶμα, χρυσὸς μέντοι καὶ αὐτό, οὕτω καὶ ἐκ τοῦ πυρός. id. f. 153.

304 b 4. ἐπειδὴ γὰρ ἐνδέχεται διελεῖν τὴν πυραμίδα καὶ παραλλήλῳ ἐπιπέδῳ τμηθῆναι, τὸ μὲν πρὸς τῇ κορυφῇ πυραμὶς ἔσται, τὸ δὲ πρὸς τῇ βάσει οὐκέτι πυραμίς, ἀλλ' ὥς οὗτοί φασι, κόλουρος πυραμίς. cod. Coisl. 166.

304 b 7. ὡς οἱ περὶ Δημόκριτον τὰ τρία, ἀέρα καὶ ὕδωρ καὶ γῆν, τῇ σμικρότητι τῶν στοιχείων ὁμοιοσχήμων ὄντων διαφέρειν ἔλεγον. Simpl. f. 153 *b*.

305 a 17. καὶ ἡ μὲν ἔννοια τῶν λεγομένων τοιαύτη, ἡ δὲ λέξις ἡ λέγουσα "πᾶν γὰρ τὸ γινόμενον ἤτοι ἀσώματον ἔσται, ἐν ᾧ ἡ γένεσις" ἀσαφὴς ὄντως ἐστί, καὶ ἔοικεν, ὡς καὶ τῷ Ἀλεξάνδρῳ δοκεῖ, ἡμαρτῆσθαι μέρους τινὸς αὐτῆς ἀφαιρεθέντος, εἶναι δὲ τὸ πλῆρες πᾶν γὰρ τὸ γινόμενον ἔν τινι γίνεται, καὶ ἤτοι ἀσώματον ἔσται ἐν ᾧ ἡ γένεσις, τουτέστι τὸ γινόμενον, ἤτοι ἄλλο τι περιέχον ἔσται σῶμα ἢ οὔ., τὸν δὲ μὴ ἔχοντα σῶμα τόπον ἀσώματον εἶπεν (*). id. f. 154 *b*.

305 a 34. καὶ ἐπειδὴ διάφοροι καὶ περὶ τούτου δόξαι ἐγένοντο, τοῦ μὲν Ἐμπεδοκλέους ἀΐδια μὲν λέγοντος τὰ στοιχεῖα, τῇ μίξει τε καὶ διακρίσει τούτων τὴν γένεσιν ἀποδιδόντος, τοῦ δὲ Ἀναξαγόρου πάντα ἐν πᾶσι λέγοντος καὶ τὴν γένεσιν ἔκκρισιν τιθέντος, Δημοκρίτου δὲ καὶ τῶν τὰ ἐπίπεδα λεγόντων τῇ συγκρίσει καὶ διακρίσει τῶν ἀτόμων καὶ τῶν ἐπιπέδων τὴν τῶν στοιχείων ἐξ ἀλλήλων γένεσιν ποιούντων, πρὸς πρώτους ὑπαντᾷ τοὺς περὶ Ἐμπεδοκλέα καὶ Δημόκριτον καὶ Ἀναξαγόραν. id. f. 155.

305 b 14. τοῦ γὰρ γλεύκους εἰς ἀτμὸν ἀναλυομένου καὶ πνευματουμένου, ἐν τῇ τοιαύτῃ μεταβολῇ ῥήγνυται πολλάκις τὰ περιέχοντα ἀγγεῖα διὰ τὴν στενοχωρίαν. id. f. 155 *b*.

305 b 26. εἰ μὲν ὅλως μηδὲν ἔστι κενὸν μήτε τὸ χωριστὸν μήτε τὸ παρεσπαρμένον, μήτε ἐπεκτείνεται τὰ σώματα, ὡς οἱ περὶ Δημόκριτον τῇ παρεμπτώσει τοῦ κενοῦ ἐπεκτείνεσθαι λέγουσιν αὐτά, ἀλλὰ τὴν ἑαυτῶν φύσιν καὶ μεμιγμένα φυλάττει, ὡς Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας διετάττοντο... "φανερὸν τὸ ἀδύνατον" (**). id. ib.

305 b 31. πρὸς πρῶτον τοίνυν ἀντιλέγει τὸν κατὰ μετάπλασιν τοῦ ἑνὸς ὑποκειμένου μετασχηματισμόν. ἔοικε δὲ καὶ τοῦτον ἀπὸ τῶν ἐν τῷ

(*) p. 305 *a* 18. in eadem autem Aristotelis sententia hoc in loco et difficultas et magna verborum contrarietas inest. cum enim dicere debuisset, non est in eo corpus, vel corpus in loco invenitur, inquit "vel habebit vel non habebit corpus;" siquidem omne quod nascitur, in aliquo consistit, et vel corpus non habebit, in quo ortus existit, nec in eo duo sunt corpora: dicit autem corpus non habere pro loco in quo corpus non consistit. quamobrem recte quidem inquit Alexander, quod dum ait "quod nascitur, in aliquo consistit," consonum non est ut intelligamus materiam in loco: qui enim dicit in materia corpus non inesse, quod posuit, de medio tollit. Themist. f. 51 *b*.

(**) p. 305 *b* 26. sed Alexander hunc locum alio quidem modo explicavit. Themist. f. 52 *b*.

301 b 29. τὸ συνεπουρίζειν ἀπὸ τῶν ὄπισθεν πνεόντων καὶ τὴν ναῦν ὠθούντων ἀνέμων μετείληπται, οὓς διὰ τοῦτο οὐρίους καλοῦσιν ὡς κατὰ τὸ οὐραῖον τῆς νεὼς πνέοντας. μήποτε δὲ καὶ ἀπὸ μεταφορᾶς τῶν λεόντων λέγεται, οὕς φασι τῇ ἑαυτῶν οὐρᾷ ἀντὶ μάστιγος πλήττοντας ἑαυτοὺς εἰς δρόμον ἐλαύνειν. id. f. 147.

301 b 31. ὁ δὲ Ἀλέξανδρος ἐλλειπτικῶς ἔχειν κατὰ τὴν λέξιν νομίζει τὸ ἐν τούτοις· λείπειν γὰρ τὸ καὶ προείρηται, ἢ ὡς ἂν εἰ ἔλεγεν ἐν τούτοις εἴρηται, ἵνα μηκέτι ἐν τούτοις ἀκούωμεν τοῖς βάρος ἢ κουφότητα ἔχουσιν, ἀλλ' ἐν τούτοις τοῖς λόγοις. τοῦτο δὲ πέπονθε τὰ "φανερόν" τῷ ἐφεξῆς συντάξας καὶ οὕτως γράψας "φανερὸν δὲ ὅτι οὔτε πάντων ἐστὶ γένεσις." ἐγὼ μέντοι τὸ μὲν φανερόν ὡς τέλος εὑρίσκω τοῦ προτέρου λόγου χωρὶς τοῦ δέ συνδέσμου γεγραμμένον, τὸ δὲ ἐφεξῆς οὕτως ἔχον· ὅτι δὲ οὔτε πάντων ἐστὶ γένεσις οὔτε ἁπλῶς οὐδενός, δῆλον ἐκ τῶν εἰρημένων. ὁ δὲ Ἀλέξανδρος, ὡς ἔοικεν, ἔν τισιν ἀντιγράφοις εὑρὼν "ὡς δῆλον ἐκ τῶν εἰρημένων" τὸ φανερόν ἠναγκάσθη τοῖς ἐφεξῆς συντάξαι. κάλλιον δὲ οἶμαι πταῖσμα τοῦτο τοῦ γράψαντος λέγειν ἢ ὡς ἐλλιπῆ τὴν ἑρμηνείαν ἀποδέχεσθαι· καὶ γὰρ οὐδὲ συντάττειν οὕτως εἰκὸς ἦν ἐπ' ἄλληλα τὸ φανερόν καὶ τὸ δῆλον λέγοντα "φανερὸν δὲ ὅτι οὔτε πάντων ἐστὶ γένεσις οὔτε ἁπλῶς οὐδενός, ὡς δῆλον ἐκ τῶν εἰρημένων." ἀλλὰ τοῦτο μὲν ὅπως ἂν ἔχῃ, οὐδὲν ἂν εἴη πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν. id. ib.

302 a 8. ἀλλ' ὅτι μὲν τὸ κοινὸν ἐν τοῖς κατὰ μέρος ἀεὶ ῥέουσιν ὑφεστὸς ἐξαλλαττόμενον μένει, καὶ τοῖς ἀπὸ τοῦ Περιπάτου δοκεῖ, πάντα τὰ κοινὰ ἐν τοῖς κατὰ μέρος τιθεμένοις. id. f. 147 *b*.

302 a 15. ἐπειδὴ τοῖς συγκρίσει ἢ ἐκκρίσει λέγουσι τὴν γένεσιν γίνεσθαι, ὥσπερ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας, ἀκολουθεῖ τὸ ἐνεργείᾳ τὰ στοιχεῖα ἐνυπάρχειν, τοῖς δὲ ἄλλοις σῶσαι τὰ δυνάμει. id. f. 148.

302 a 22. ὅτι δὲ ἐκκρίνεται πῦρ ἐκ σαρκός, Θεόφραστος μὲν ἀπὸ ὀφθαλμῶν ἀνθρώπου φλόγα ἐκκριθῆναι ἱστορεῖ, Μεγέθιος δὲ ὁ Ἀλεξανδρεὺς ἰατρὸς ἐμοὶ διηγήσατο τεθεᾶσθαι ἰσχιαδικοῦ ἀνδρὸς πῦρ ἀπὸ τοῦ ἰσχίου ἐξελθὸν καὶ καῦσαν τὰ στρώματα, ἐφ' ᾧ καὶ ἐπαύσατο τὸ πάθος. δηλοῦσι δὲ καὶ αἱ τῶν ἀνθράκων ἐσχάρες ἀπὸ πυρὸς γινόμεναι καὶ οἱ διακαεῖς πυρετοί. id. ib.

302 a 25. ἐπειδὴ δὲ οὐδέπω δέδεικται τὸ εἶναι τέσσαρα στοιχεῖα, ἦσαν δέ τινες οἱ ἓν λέγοντες, Θαλῆς μὲν καὶ Ἵππων ὕδωρ, Ἀναξιμένης δὲ καὶ Διογένης ἀέρα, Ἵππασος δὲ καὶ Ἡράκλειτος πῦρ, καὶ τὸ μεταξὺ Ἀναξίμανδρος, εἰκότως προσέθηκεν ὅτι εἰ καὶ μὴ τέσσαρα εἴη τὰ πρῶτα σώματα. id. ib.

302 b 2. Ἀναξαγόρας τὰ ὁμοιομερῆ, οἷον σάρκα καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα, ἅπερ σπέρματα ἐκάλει, ἐξ ὧν καὶ τὰ ὑπὸ Ἐμπεδοκλέους λεγόμενα στοιχεῖα μεμῖχθαι ἔλεγεν, ἀέρα καὶ πῦρ καὶ τὰ ἄλλα πάντα, καὶ εἶναι ἀθροίσματα τῶν ὁμοιομερῶν πάντα, μὴ δοκεῖν δὲ ἐξ αὐτῶν εἶναι διὰ τὸ ἀόρατα καὶ ἀναίσθητα διὰ σμικρότητα εἶναι τὰ ὁμοιομερῆ. ὁ δὲ Ἀναξαγόρας πολλαχοῦ τῷ τοῦ αἰθέρος ὀνόματι ἀντὶ τοῦ πυρὸς κέχρηται. id. f. 148 *b*.

302 b 12. τῶν ἄπειρα λεγόντων τὰ στοιχεῖα Λεύκιππος μὲν καὶ Δημόκριτος τὰς ἀπείρους ἀτόμους ὑπέθεντο, Ἀναξαγόρας δὲ καὶ Ἀρχέλαος τὰς ὁμοιομερείας. id. ib.

. . πλὴν ὅτι Ἐμπεδοκλῆς μὲν ἁπλᾶ ταῦτα ὑποτίθεται, Ἀναξαγόρας δὲ καὶ ταῦτα σύνθετα ἐξ ὁμοιομερῶν, ὥσπερ καὶ τὰ ἄλλα πάντα αἰσθητὰ σύνθετα ἐξ ὁμοιομερῶν ποιεῖ κατ' ἐπικράτειαν ἑνὸς τῶν ἐν αὐτοῖς χαρακτηριζομένων. id. f. 149. 302 b 23.

διὸ καὶ οἱ μαθηματικοὶ ἐπιστημονικὴν ἔχειν γνῶσιν τῶν ὑποκειμένων βουλόμενοι πεπερασμένας τὰς ἀρχὰς λαμβάνουσιν ἢ τῷ εἴδει ἢ τῷ ποσῷ, τῷ μὲν εἴδει, ὅταν σημεῖον καὶ γραμμὴν καὶ ἐπίπεδον ὁρίζωνται· οὐ γὰρ ἐν ἀριθμῷ τούτων ἕκαστον ἀλλὰ τῷ εἴδει. τῷ δὲ ποσῷ μαθηματικὰς ἀρχὰς ὡρίσθαι ὁ μὲν Ποταμὼν λέγει ὅταν τὴν μονάδα ἀρχὴν ἀριθμοῦ λαμβάνωσιν, Ἀσπάσιος δὲ τῷ ποσῷ ὡρίσθαι τὰ πέντε αἰτήματα φησίν· ταῦτα γὰρ οὐ κατ' εἶδος ἀλλὰ κατ' ἀριθμὸν πέντε ἐστίν. δύναται δέ, φησὶν Ἀλέξανδρος, ἀρχὰς τῷ ποσῷ λέγειν πεπερασμένας καὶ αὐτὰς ταύτας, ὧν ἑκάστην κατὰ τὸ εἶδος ὡρισμένην ἐλάμβανον. ὧν οὖν τοὺς ὁρισμοὺς ὡς στοιχείων καὶ ἀρχῶν ἀποδιδόασιν, ὥρισται ταῦτα κατὰ τὸν ἀριθμόν, εἰ τῷ μὲν εἴδει, φησίν, ὡρισμένα τὰ στοιχεῖα κατ' αὐτούς ἐστιν, ὅτι σημεῖον καὶ γραμμὴ ἡ μὲν εὐθεῖα ἡ δὲ περιφερής, καὶ ὅσα πρῶτα λαμβάνοντες ὁρίζονται, ἃ καὶ ὅρους καλοῦσιν· οὐ γὰρ ἄπειρα τὰ εἴδη αὐτῶν, ἀλλ' ἔστιν αὐτῶν ἀριθμός· τῷ δὲ ποσῷ, ὅτι οὐδενὶ ἀπείρῳ χρῶνται οὔτε εὐθείᾳ οὔτε ἐπιπέδῳ, ἐπειδάν τι δεικνύωσι. κἂν γὰρ ἄπειρον ὑπόθωνται, ἀλλ' ἀεὶ πεπερασμένον ἀφαιροῦντες χρῶνται. μή ποτε δὲ τῷ μὲν εἴδει πεπερασμένας, ὅτι οὐδὲν ἄπειρον ὑποτίθενται ἀλλὰ τρίγωνα καὶ τετράγωνα καὶ κύκλους καὶ σημεῖα καὶ γραμμὰς καὶ ἐπίπεδα, τῷ δὲ ποσῷ, ὅτι ἠρίθμηνται αἱ λαμβανόμεναι ἀρχαί, ὥστε ὅροι ποσοὶ καὶ τὰ ἀξιώματα καὶ τὰ αἰτήματα, οἷς ἀρκοῦνται πρὸς τὰς ἀποδείξεις τῶν ἑξῆς. id. ib. 302 b 29.

λέγει δὲ Ἀναξαγόρας ἀρχόμενος τοῦ συγγράμματος "ὁμοῦ χρήματα ἦν ἄπειρα πάντα καὶ πλῆθος καὶ μικρότητα· καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν, καὶ πάντων ὁμοῦ ἐόντων οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος," καὶ ὅτι ἐν σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι πάντα χρήματα. μή ποτε δὲ τὸ ἄπειρον ὡς ἡμῖν ἀπερίληπτον καὶ ἄγνωστον λέγει· τοῦτο γὰρ ἐνδείκνυται διὰ τοῦ ὥστε τῶν ἀποκρινομένων μὴ εἰδέναι τὸ πλῆθος μήτε λόγῳ μήτε ἔργῳ, ἐπεὶ ὅτι τῷ εἴδει πεπερασμένα ᾤετο, δηλοῖ λέγων πάντα γινώσκειν τὸν νοῦν· καίτοι εἰ ἄπειρα ὄντως ἦν, παντελῶς ἦν ἄγνωσται· ἡ γὰρ γνῶσις ὁρίζει καὶ περατοῖ τὸ γνωσθέν. λέγει δὲ ὅτι καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα πάντα ἔγνω νοῦς, καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι καὶ ὁποῖα ἦν. ἔοικε δὲ διττὴν ἐνδείκνυσθαι διακόσμησιν Ἀναξαγόρας, τὴν μὲν νοητὴν καὶ ἡνωμένην, ὁμοῦ πάντα χρήματα ἦν καὶ ἕκαστον πάντα ἦν τὰ ἄλλα διὰ τὴν νοητὴν γνῶσιν, τὴν δὲ αἰσθητὴν καὶ διακεκριμένην ἀπ' ἐκείνης τῆς ἑνώσεως ὑπὸ τοῦ δημιουργικοῦ νοῦ, ὃν καὶ αὐτὸν ἀπὸ τοῦ νοητοῦ προελθόντα διακοσμῆσαι πάντα φησίν. ὅτι γὰρ νοητὴν ἐνδείκνυταί τινα διακόσμησιν πρὸ ταύτης τῆς αἰσθητῆς κατ' αἰτίαν καὶ σπερματικῶς ταύτην προειληφυῖαν, ἐκεῖνα οἶμαι σαφῶς παρίστησι τὰ ῥητά "τούτων δὲ οὕτως ἐχόντων χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινομένοις, καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα καὶ ἡδονὰς καὶ χροιάς, καὶ ἀνθρώπους συμπαγῆναι καὶ τὰ ἄλλα ζῷα, ὅσα ψυχὴν ἔχει, καὶ τοῖς γε ἀνθρώ-

300 b 29. τὸ "καθάπερ Ἐμπεδοκλῆς γίνεσθαί φησιν ἐπὶ τῆς φιλότητος" ὁ μὲν Ἀλέξανδρος ὡς μίξεως παράδειγμα ἀκούει, ἐξ ἧς συνίσταται τὰ κατὰ φύσιν σώματα· καὶ συναίρεσθαι δοκεῖ τῷ λόγῳ αὐτοῦ τὸ ἐπὶ τῆς φιλότητος τοῦτο λέγεσθαι μίξεως αἰτίας οὔσης, ὥσπερ τοῦ νείκους διακρίσεως. πῶς δὲ ἂν εἴη μίξεως σημαντικὸν ἡ ἀναύχενος κόρση καὶ τὰ ἄλλα τὰ ὑπὸ τοῦ Ἐμπεδοκλέους λεγόμενα ἐν τούτοις,

γυμνοὶ δ' ἐπλάζοντο βραχίονες εὔνιδες ὤμων,
ὄμματά τ' οἶ' ἐπλανᾶτο πενητεύοντα μετώπων,

καὶ πολλὰ ἄλλα ἅπερ οὐκ ἔστι μίξεως παραδείγματα, ἐξ ἧς τὰ κατὰ φύσιν συνίστανται. μήποτε οὖν εἰπὼν ὁ Ἀριστοτέλης πρότερον οὐχ οἷά τε ἦν κινούμενα ἀτάκτως καὶ μίγνυσθαι τοιαύτας μίξεις ἔνια, ἐξ ὧν συνίσταται τὰ κατὰ φύσιν συνιστάμενα σώματα, ἐπήγαγε "καθάπερ Ἐμπεδοκλῆς γίνεσθαί φησι," τουτέστι κινούμενα ἀτάκτως μὴ μίγνυσθαι· τὸ γὰρ πλανᾶσθαι καὶ τὸ πλάζεσθαι ἄτακτον κίνησιν δηλοῖ. καὶ πῶς ταῦτα, φαίη ἄν τις, ἐπὶ τῆς φιλότητος γίνεσθαι λέγει ὁ Ἀριστοτέλης δι' ἣν πάντα ἐγγίνεσθαι ὁ Ἐμπεδοκλῆς φησίν;

ἐν τῇ δὴ τάδε πάντα συνέρχεται ἓν μόνον εἶναι.

μήποτε οὖν οὐκ ἐν τῇ ἐπικρατείᾳ τῆς φιλίας ταῦτα λέγει γίνεσθαι ὁ Ἐμπεδοκλῆς, ὡς ἐνόμισεν ὁ Ἀλέξανδρος, ἀλλὰ τότε ὅτε οὔπω τὸ νεῖκος

πᾶν ἐξεστήκειν ἐπ' ἔσχατα τέρματα κύκλου,
ἀλλὰ τὰ μέν τ' ἐνέμιμνε μελέων τὰ δ' ἐξεβεβήκει.
ὅσσον δ' αἰὲν ὑπεκπροθέοι (φησὶ τὸ νεῖκος), τόσον αἰὲν ἐπῄει
ἠπιόφρων φιλότητος ἀμεμφέος ἄμβροτος ὁρμή.

ἐν ταύτῃ οὖν τῇ καταστάσει μουνομελῆ ἔτι τὰ γυῖα ἀπὸ τῆς τοῦ νείκους διακρίσεως ὄντα ἐπλανᾶτο, τῆς πρὸς ἄλληλα μίξεως ἐφιέμενα·

αὐτὰρ ἐπεί, φησί, κατὰ μεῖζον ἐμίσγετο δαίμονι δαίμων,
ὅτε τοῦ νείκους ἐπεκράτει λοιπὸν ἡ φιλότης,
ταῦτά τε συμπίπτεσκον ὅπῃ συνέκυρσεν ἕκαστα,
ἄλλα τε πρὸς τοῖς πολλὰ διηνεκῆ ἐξεγένοντο.

ἐπὶ τῆς φιλότητος οὖν ὁ Ἐμπεδοκλῆς ἐκεῖνα εἶπεν, οὐχ ὡς ἐπικρατούσης ἤδη τῆς φιλότητος, ἀλλ' ὡς μελλούσης ἐπικρατεῖν, ἔτι δὲ τὰ ἄμικτα καὶ μονόγυια δηλούσης. id. f. 144 *b*.

301 a 4. εἴπερ ἡ τάξις τὸ κατὰ φύσιν, ὅπερ αὐτὸς φύσιν εἶπε. καὶ ἕτερον, ὅτι φύσις ἐκείνη τῶν πραγμάτων οἷον ἔχει τὰ πλείω καὶ τὸν πλείω χρόνον ὑπάρχει (*). id. f. 145.

301 a 12. αἰτιασάμενος τοὺς ἐξ ἀτάκτως πρότερον κινουμένων τῶν στοιχείων κοσμοποιοῦντας, καὶ ὅτι τὸ παρὰ φύσιν πρὸ τοῦ κατὰ φύσιν ὑπετίθεντο, καὶ ὅτι τὴν ἄτακτον κίνησιν, ὡς ἄτακτον παρὰ φύσιν οὖσαν, ὡς πρώτην καὶ ἄπειρον καὶ ἀπείρων κατὰ φύσιν ἔλεγον, τὸν Ἀναξαγόραν ἀποδέχεται κατ' αὐτὸ τοῦτο, ὅτι οὐκ ἐκ κινουμένων καὶ διακεκριμένων ἀλλ' ἐξ ἠρεμούντων καὶ ἡνωμένων κοσμοποιεῖ· λέγει γὰρ ὅτι ἦν ὁμοῦ πάντα χρήματα, νοῦς δὲ αὐτὰ διακρίνας διεκόσμησε. καίτοι ἔνεστι, φησὶν ὁ Ἀλέξανδρος, καὶ ἐπὶ τούτου λέγειν, εἰ ἐξ ἠρεμούντων κοσμοποιεῖ τῇ διακρίσει, καὶ ἔστιν ἡ κίνησις καὶ ἡ διάκρισις τοῖς σώμασι κατὰ φύσιν, ἡ ἠρεμία ἦν αὐτοῖς παρὰ φύσιν· ἡ γὰρ ἐκ τῆς παρὰ φύσιν μονῆς τῶν σωμάτων κίνησις κατὰ φύσιν· εἰ δὲ παρὰ φύσιν ἡ μονὴ αὐτοῖς, καὶ ἐπ' ἄπειρον χρόνον εἴη ἂν ἡ παρὰ φύσιν αὐτοῖς κατὰ φύσιν. ἔτι δὲ εἰ ἐκείνη ἡ ἠρεμία παρὰ φύσιν, ἄλλη τις ἦν προϋπάρχουσα κατάστασις κατὰ φύσιν, ἐπειδὴ τοῦ παρὰ φύσιν ἀνάγκη προϋπάρχειν τὸ κατὰ φύσιν· εἰ δὲ τοῦτο, ἦν κόσμος πρὸ τοῦ γενέσθαι. ταῦτα μὲν ὁ Ἀλέξανδρος· ὁ δὲ Ἀριστοτέλης τοῦτό γε αὐτὸ μόνον ἀποδέχεται τοῦ Ἀναξαγόρου, τὸ ἐξ ἀκινήτων καὶ ἡνωμένων κοσμοποιεῖν. id. ib.

301 a 13. μαρτύρεται δὲ καὶ τοὺς ἄλλους φυσιολόγους, τοὺς μὲν ἐξ ἑνὸς ποιοῦντας, ὥσπερ οἱ περὶ Θαλῆν καὶ Ἀναξιμένην καὶ Ἡράκλειτον, τοὺς δὲ ἐκ συγκεκριμένων, ὥσπερ Ἐμπεδοκλῆς· συγκρινόμενα γὰρ πρότερον ὑπὸ τῆς φιλίας τὰ στοιχεῖα, ὕστερον ὑπὸ τοῦ νείκους διακρινόμενα τόνδε τὸν κόσμον ποιεῖν λέγει. ἐκ διεστώτων δέ, φησί, καὶ κινουμένων οὐκ εὔλογον ποιεῖν τὴν γένεσιν τοῦ κόσμου· εἰ γὰρ διακεκριμένα καὶ κινούμενά ἐστι τὰ ἐν τῷ κόσμῳ, ἀπὸ δὲ τῶν ἐναντίων γένεσις, ἐκ συγκεκριμένων εἶναι χρὴ καὶ ἠρεμούντων. διό, φησί, καὶ Ἐμπεδοκλῆς παραλείπει τὴν ἐπὶ τῆς φιλότητος διάθεσιν τῶν στοιχείων, τουτέστιν οὐ ταύτην αἰτιᾶται τῆς κοσμοποιίας, ἀλλὰ τὴν ἐπὶ τοῦ νείκους διάκρισιν. id. f. 145 *b*.

301 b 16. φανερὸν οὖν ὅτι ἀνάγκη πᾶν σῶμα διωρισμένον βάρος ἔχειν ἢ κουφότητα. διωρισμένον δὲ λέγει, ὥς φησιν ὁ Ἀλέξανδρος, ἢ τὸ διῃρημένον καὶ διακεκριμένον, ὡς τὸ μὲν κουφότητα ἔχειν τὸ δὲ βαρύτητα, ἢ διωρισμένον τὸ διῃρημένον καὶ μὴ ἐγκύκλιον. ἄμεινον δέ, φησί, τοῦ διωρισμένον ἀκούειν ἀντὶ τοῦ ἐνεργείᾳ ὂν καὶ ἐν τόπῳ, ἀλλὰ μὴ δυνάμει· τὸ γὰρ δυνάμει οὐδέπω οὔτε σῶμά ἐστιν οὔτε ἐν τόπῳ. καὶ εἴη ἂν τοῦτο διὰ τὸ μαθηματικὸν σῶμα προσθείς· ἐκεῖνο γάρ, ὥσπερ οὐκ ἔχει βάρος οὐδὲ κουφότητα, οὕτως οὔτε διωρισμένον ἐστὶ καὶ ἐνεργείᾳ ὄν. ἀλλὰ τοῦτο μὲν οὐκ οἶδ' ὅπως εἴρηται· τὸ γὰρ μαθηματικὸν ὡς μαθηματικὸν καὶ διωρισμένον ἐστὶ καὶ ἐνεργείᾳ. ἐκεῖνο δὲ ἔχειν μοι δοκεῖ τὸ διωρισμένον τὸ εὐθυπορούμενον λέγεσθαι ὡς ἀντιδιαιρεθὲν κουφότητι καὶ βαρύτητι τοῦ κυκλικοῦ ὑπὲρ τοῦτον ὄντος τὸν διορισμόν, τὸ καθ' αὑτὸ καὶ περιγεγραμμένον καὶ ἐν τόπῳ ὄν· τοῦτο γὰρ καὶ κατὰ τόπον δύναται κινεῖσθαι. ἀντὶ οὖν τοῦ εἰπεῖν σῶμα πᾶν ἐπ' εὐθείας κινούμενον, διωρισμένον εἶπε (*). id. f. 146 *b*.

(*) p. 301 *a* 6. Alexander vero postremum hunc sermonem hoc quidem modo minime explicavit, sed mancum ac diminutum esse illum affirmavit; dicere namque debuerat, fieri non posse ut species motus ac ipsi quoque motus infiniti existant. Themist. f. 44 *b*. cf. Simpl. f. 145.

(*) p. 301 *b* 16. Alexander autem nobis commemoravit hunc Aristotelis sermonem, in quo dicitur omnino consentaneum esse ut inclinationem habeant, absolute de omnibus corporibus non esse intelligendum, sed de nonnullis tantum, quandoquidem quintum corpus inclinationem non habet... Alexander autem per segregatum id non intelligit, quod sane seiunctum ac segregatum est, in tantum ut vel gravitas in eo vel levitas inveniatur: sed quod per segregatum illud corpus intelligi debeat, quod terminatum, non autem rotundum est. Themist. f. 45 *b*.

δὲ ἐπάγει δεικνὺς ὅτι οἱ ἐξ ἀβαρῶν συνελθόντων λέγοντες γίνεσθαι βάρος ἀντιφάσει περιπίπτουσι· δειχθήσεται γὰρ ἃ λέγουσιν ἀβαρῆ βάρος ἔχοντα ἕκαστον. id. f. 141 *b*.

299 *b* 21. καὶ ὁ μὲν Ἀλέξανδρος οὕτως συνήγαγε τὸν λόγον "οὗ ἀφαιρεθέντος τὸ μεῖζον βάρος ἔλαττον γίνεται, τοῦτο βαρύ· τοῦ σημείου δὲ ἀφαιρεθέντος τὸ μεῖζον βάρος ἔλαττον γίνεται· τὸ σημεῖον ἄρα βαρύ· ἡ στιγμὴ ἄρα βαρύ." ἐπειδὴ δὲ ὁ Ἀριστοτέλης οὐ τῆς στιγμῆς ἀφαιρεθείσης εἶπεν ἀλλὰ τοῦ ἴσου, μή ποτε οὕτω μᾶλλον συνακτέον τὸν λόγον. ὃ τοῦ ἴσου βάρους ἀφαιρεθέντος καταλείπεται ἐν τῷ βαρυτέρῳ, βαρύ· τοῦτό ἐστι στιγμὴ δέ ἐστιν ἡ καταλειπομένη. ταῦτα τοίνυν ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθέντα ὡς μὲν πρὸς ἄνδρας ἐξ ἐπιπέδων μαθηματικῶν ὄντως γεννῶντας τὰ σώματα καλῶς εἴρηται καὶ φυσικῶς· ὡς δὲ πρὸς τοὺς Πυθαγορείους φυσικὰ καὶ ἔνυλα καὶ βάθος τι ἔχοντα λέγοντας τὰ ἐπίπεδα, οὐκ ἂν ἁρμόττοι τὰ εἰρημένα. καὶ γὰρ ὁ Τίμαιος (p. 98) αὐτὸς διὰ τὸ πλῆθος τῶν ἐπιπέδων βαρύτερα γίνεσθαι τὰ σώματά φησι, λέγων "τρίτον δὲ τὸ εἰκοσαέδρον βάσεων μὲν εἴκοσι γωνιῶν δὲ δώδεκα, ὕδατος στοιχεῖον πολυμερέστατον." καὶ ὁ τοῦ Πλάτωνος δὲ Τίμαιος (p. 56) ἐλαφρότατόν φησι τὸ ἐξ ὀλιγίστων συνεστὼς τῶν αὐτοῦ μερῶν. id. ib.

299 *b* 23. ἀλλὰ τί, φησί, διοίσει τῆς Δημοκρίτου δόξης ἡ ἐκ τῶν ἐπιπέδων λέγουσα, εἴπερ καὶ αὐτὴ κατὰ τὰ σχήματα εἰδοποιεῖσθαι τὰ φυσικὰ σώματά φησι; ῥᾴδιον δὴ καὶ πρὸς τοῦτο λέγειν, ὅτι κατὰ τοῦτο μὲν οὐδὲν διαφέρει· καὶ γάρ, ὅπερ καὶ πρότερον εἶπον, Δημόκριτον ὁ Θεόφραστος ἱστορεῖ, ἰδιωτικῶς ἀποδιδόντων τῶν κατὰ τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὰ τοιαῦτα αἰτιολογούντων, ἐπὶ τὰς ἀτόμους ἀναβῆναι. καὶ διαφέρει δὲ ἴσως ταύτης ἐκείνη ἡ δόξα καὶ τῷ ἁπλούστερόν τι τῶν σωμάτων προϋποθέσθαι τὸ ἐπίπεδον, τῶν ἀτόμων σωμάτων οὐσῶν, καὶ τῷ συμμετρίας καὶ ἀναλογίας τινὰς δημιουργικὰς τοῖς σχήμασιν ἐπιδεῖν, καὶ τῷ περὶ τῆς γῆς ἀλλοίως διατάττεσθαι. id. f. 142.

300 *a* 9. μονάδα λέγει νῦν τὸ σημεῖον κατὰ Πυθαγόρειον ἔθος, οἳ τὴν μονάδα θέσιν ἔχουσαν ἔλεγον εἶναι σημεῖον. cod. Coisl. 166.

300 *a* 15. οὐρανὸν λέγει τὸν κόσμον, φύσιν δὲ τὰ ὄντα, ὧν καὶ ὁ κόσμος. ὥσπερ δὲ εἴωθεν ἐπὶ τῶν τοιούτων, παρὰ θύρας ἀπαντᾷ· τίς γὰρ ἂν τῶν οὐ μαινομένων εἶπεν ἐξ ἀριθμῶν τῶν ὡς ἀριθμούντων συνεστάναι τὸ πᾶν; ἀλλ' ἢ τοὺς κατὰ τὰ ἀριθμητὰ ἔλεγον, ἢ θεολογικώτερον τοὺς δημιουργικούς, καθ' οὓς τὰ ἐν τῷ κόσμῳ συνέστηκε· δηλοῦσι δὲ τοῦτο καὶ τὰς ἰδέας ἀριθμοὺς προσαγορεύοντες, καθὸ ζʹ τε αἱ πλανώμεναι καὶ δʹ στοιχεῖα καὶ ὅσα τοιαῦτα· οὐ γὰρ δὴ μάτην καὶ οἱ ἀριθμοὶ οὗτοι. τούτοις γὰρ καὶ Πλάτων ἑπόμενος τὰς ἰδέας ἀριθμοὺς προσηγόρευσε. πῶς δὲ ἂν καὶ ἡ φύσις δύο ἔχοντα ὀφθαλμοὺς τὸν ἄνθρωπον ἐδημιούργει, εἰ μὴ καὶ αὐτὴ δημιουργικοὺς εἶχεν ἀριθμούς; τὴν οὖν διακριτικὴν δύναμιν τῶν ἀριθμῶν τοῖς ἀριθμητοῖς ἐπωνόμαζον, καὶ ἔλεγον τὴν σύστασιν πάντων τῶν ὄντων εἶναι ἐν τῷ δημιουργικῷ νῷ. ἔστι δὲ καὶ ὁ ἀριθμὸς δηλονότι αἴτιος διακρίσεως. id. ib.

300 *a* 12. πάλιν ὁ Ἀλέξανδρος πρὸς τοὺς λέγοντάς φησιν ὅτι οὐ τὰ φυσικὰ σώματα ὁ Πλάτων ἐκ τῶν ἐπιπέδων ἐν τῷ Τιμαίῳ συνίστησιν ἀλλὰ τὸ εἶδος ἑκάστου τῶν σωμάτων, καθ' ὃ ἕκαστόν ἐστιν αὐτῶν τοῦτο ὅπερ ἐστί, τὸ δὲ εἶδος ἀσώματον, τοῦτο δὲ τὸ γεννώμενον εἶδος ἐκ τῶν ἐπιπέδων γενόμενον ἐν τῇ ὕλῃ τὸ μὲν πῦρ ποιεῖ τὸ δὲ ὕδωρ τὸ δὲ γῆν τὸ δὲ ἀέρα· ὥστε οὐ τὸ ἔνυλον σῶμα, ὥς φησιν ὁ Ἀριστοτέλης, ἐξ ἐπιπέδων γεννᾷ ὁ Πλάτων, — πρὸς τούτους οὖν, φησί, ῥητέον ὅτι κἂν δέξηταί τις τοῦτο αὐτὸν βούλεσθαι λέγειν, ἀλλ' οὖν καὶ οὕτως ἐξ ἐπιπέδων αὐτῷ γεννᾶται τὸ βάθος· οὐ γὰρ ἀβαθὴς ἡ ἐκ τῶν τριγώνων γινομένη πυραμίς· πυραμὶς γὰρ ἐπίπεδος οὐκ ἔστιν, οὐδὲ τῶν ἄλλων τῶν στοιχείων τῇ πυραμίδι τι (*). Simpl. f. 142 *b*.

300 *a* 13. ὅτι τοῖς ἐξ ἀριθμῶν λέγουσι τὰ ὄντα ἀκολουθεῖ τὸ καὶ ἐκ μονάδων λέγειν, πρόδηλον, εἴπερ οἱ ἀριθμοὶ ἐκ μονάδων εἰσίν. δῆλον δὲ ὅτι ἐξ ἀριθμῶν ἔλεγον οὗτοι τὰ ὄντα, ὡς τῶν ἀριθμῶν πάντα τὰ εἴδη ἀρχοειδῶς ἐν ἑαυτοῖς προειληφότων, καὶ ὡς πάντων τῶν ἐν τῷ κόσμῳ εἰδῶν τοῖς ἀριθμοῖς διακεκοσμημένων· διὸ οὗ καὶ πατέρα μακάρων καὶ ἀνδρῶν τὸν ἀριθμὸν ἐξύμνουν, καὶ "ἀριθμῷ δέ τε πάντ' ἐπέοικεν" ἔλεγον. id. f. 143.

300 *b* 8. εἰ μὲν γὰρ περὶ Λεύκιππον καὶ Δημόκριτον ἔλεγον ἀεὶ κινεῖσθαι τὰ πρῶτα κατ' αὐτοὺς σώματα, τουτέστι τὰς ἀτόμους, ἐν τῷ ἀπείρῳ κενῷ βίᾳ. ὁ δὲ Τίμαιος πρὶν γενέσθαι τὸν κόσμον ἀτάκτως κινεῖσθαι τὰ στοιχεῖα φησίν. . . εἰ δὲ κατὰ φύσιν λέγει τις εἶναι τὴν πρὸ τοῦ κόσμου κίνησιν, ἀνάγκη κόσμον εἶναι καὶ πρὸ τοῦ κόσμου, ἄν τις βούληται θεωρεῖν, ἐπιστήσας τινὰ πρὸς ἄλληλα τάξιν τοῖς σώμασι κατὰ φύσιν κίνησιν παρέχεται. τό τε γὰρ πρῶτον κινοῦν αὐτὸ κινούμενον κατὰ φύσιν οὕτως ἀνάγκη κινεῖν, ἵνα μὴ ἀεὶ ἄλλο ὑπ' ἄλλου βίᾳ κινούμενον ὑποτιθέμενοι ἐπ' ἄπειρον ἴωμεν, τὴν κατὰ φύσιν προϋπάρχουσαν ζητοῦντες. ἔστι δὲ ὁ οὐρανὸς τὸ πρῶτον κατὰ φύσιν κινούμενον ἢ ὑφ' ἑαυτοῦ, ἂν ᾖ γεγραμμένον "ἀνάγκη κινεῖν ἑαυτό, κινούμενον κατὰ φύσιν·" εἰ δὲ ὡς ὁ Ἀλέξανδρος ἀξιοῖ χωρὶς τοῦ ε̄ γέγραπται "αὐτὸ κινούμενον κατὰ φύσιν," ὑπὸ τοῦ ἀκινήτου δηλονότι αἰτίου κινούμενον. οὕτω δὲ ὁ Ἀλέξανδρος γράφει, καίτοι πολλῶν βιβλίων τὸ ε̄ ἐχόντων, δείσας οἶμαι μὴ καὶ κατ' Ἀριστοτέλους τὸ πρῶτον κινοῦν τὰς φυσικὰς κινήσεις τὸ αὐτοκίνητον εὑρεθῇ. οὐδὲ γὰρ ἦν, φησί, πρὸ τοῦ τὸν κόσμον γενέσθαι κατὰ Πλάτωνα τὸ κινητόν, τουτέστιν ἡ ψυχή· ἢ κἀκεῖνό φησιν αὐτοκίνητον, εἴγε μὴ ὑπ' ἄλλου ἐκινεῖτο. οὐ πάντως δέ, εἰ αὐτοκίνητον ἡ ψυχή· καὶ γὰρ καὶ τὰ κατὰ φύσιν κινούμενα αὐτοκίνητά πως τῷ τὴν ἀρχὴν τῆς κινήσεως ἔχειν ἐν ἑαυτοῖς. χρὴ δὲ ἐπιστῆσαι ὅτι διττὴ ἡ ἀρχὴ τῆς κινήσεως, ἡ μὲν κατὰ τὸ κινεῖν ἡ δὲ κατὰ τὸ κινεῖσθαι. μήποτε δὲ οὐκ ἀκολουθεῖ τοῦτο λέγειν τοῖς περὶ Δημόκριτον· ἐκεῖνοι γὰρ ἡ βίᾳ κινεῖσθαι ἔλεγον καὶ κόσμου ὄντος ἄλλου πρὸ τῆς κοσμοποιίας μόνον, ὡς ὁ Τίμαιος ἔγραψε. id. f. 144.

(*) p. 300 *a* 14. qua autem ratione eiusmodi sermo, iuxta sententiam Aristotelis, duabus sententiis eorum adversetur qui corpora ex extremitatibus conflant, captu id me Hercule facile non est, nisi captiosus quis esse velit. idem etiam expositione Anaxagorae necessario sequitur, qui mundum ex numeris constare pronuntiabat, siquidem ex iis mundum generari asserit quae gravitatem habent. . . quod autem in Timaeo circa hunc sermonem inquit Plato, id profecto est. sed Anaxagoras dixit Socrati. Themist. f. 43 *b*.

μὸν ψυχρὸν γίνεται καὶ τὰ ἑξῆς, ἐξ ὕδατός τε καὶ γῆ καὶ λίθοι γίνεται. Παρμενίδης δὲ περὶ τῶν αἰσθητῶν ἄρξασθαί φησι λέγειν

. . . . πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη
αἰθήρ τε ξυνὸς γάλα τ' οὐράνιον καὶ Ὄλυμπος
ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὡρμήθησαν
γίγνεσθαι,

καὶ τῶν γιγνομένων καὶ φθειρομένων μέχρι τῶν μορίων τῶν ζῴων τὴν γένεσιν παραδίδωσι. δῆλον δὲ ὅτι οὐκ ἠγνόει Παρμενίδης ὅτι γεννητὸς αὐτὸς ἦν, ὥσπερ οὐδὲ ὅτι δύο πόδας εἶχεν, ἓν λέγων τὸ ὄν, ἀλλ' ὅπερ ἐν τῇ Μετὰ τὰ Φυσικὰ (Α 5 p. 986 *b* 27) καλῶς ὁ Ἀριστοτέλης ἐπεφθέγξατο, τὸ Παρμενίδης δὲ ἔοικέν που βλέπειν, τοῦτο πανταχοῦ μετὰ τὸν τοῦ φαινομένου ἔλεγχον ἐπιφέρειν τὸν Ἀριστοτέλην νομιστέον. Simpl. f. 137.

298b 21. ὁ Ἀλέξανδρος οὕτως αὐτοὺς συλλογίζεσθαι φησίν. τὰ αἰσθητὰ μόνα ὄντα, τῶν ὄντων ἐπιστήμη, τῶν αἰσθητῶν μόνων ἐπιστήμη, ὧν δὲ ἐπιστήμη ταῦτα ἀκίνητα ἐστί, τὰ αἰσθητὰ ἄρα ἀκίνητα. τούτῳ δέ, φησίν, ἀκολουθήσαντες τῷ λόγῳ τὰ ἐπὶ τῶν ἀκινήτων οὐσιῶν ἀληθῶς λεγόμενα μετήνεγκαν ἐπὶ τὰ αἰσθητά, οὐχ ὑγιῶς δέ· διὸ συνέβαινεν αὐτοὺς περὶ τῶν φυσικῶν οὐ φυσικῶς λέγοντας ἀναιρεῖν τὴν φύσιν. id. f. 138 *b*.

298b 29. τῶν δὲ ἄλλων πρώτους φυσιολογῆσαι τοὺς περὶ Ὀρφέα καὶ Μουσαῖον λέγειν εἰκός, οἵτινες πλὴν τοῦ πρώτου πάντα γενέσθαι λέγουσι. δῆλον δὲ ὅτι διὰ μύθων οὗτοι θεολογοῦντες γένεσιν ἐκάλουν τὴν ἀπὸ τῶν αἰτίων πρόοδον... Ἀναξιμάνδρου δὲ τὸ μεταξύ... τετάρτους δὲ ἐπάγει τοὺς πᾶν σῶμα γεννητὸν λέγοντας, οὕτω δὲ γεννητὸν ὡς ἐξ ἐπιπέδων συγκείμενον καὶ εἰς τὰ ἐπίπεδα πάλιν διαιρούμενον· τοιαύτη δέ ἐστιν ἡ τοῦ Πυθαγορικοῦ Τιμαίου φυσιολογία, ἣν καὶ ὁ Πλάτων ἐν τῷ ὁμωνύμῳ διαλόγῳ παραδέδωκε... πρὸς τὴν τελευταίαν ῥηθεῖσαν ὑπαντᾷ (ὁ Ἀρ.), τὴν ἐξ ἐπιπέδων συνιστῶσαν, ὡς μὲν ὁ πολυτίμητος τῶν Πλάτωνος φίλων χαριέντως ἀπέσκωψεν,

αὐτὰρ Ἀχιλλεὺς
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον,

ὡς δὲ Ἀλέξανδρος ἀπολογεῖται, διότι καὶ νοτερὰ ἦν ἡ δόξα. id. f. 139.

299a 10. ἀλλὰ μὴν δέδεικται ἐν τῇ Φυσικῇ Ἀκροάσει (6 2) ἐν τοῖς περὶ κινήσεως λόγοις, ἐν οἷς ἀντέλεγε πρὸς Ξενοκράτην γραμμὰς ἀτόμους λέγοντα... ὅτι δὲ φυσικὰ καὶ οὐ μαθηματικὰ τὰ ἐπίπεδα ὑποτίθενται, δῆλον ἐκ τοῦ ἔνυλα λέγειν αὐτά· διὸ καὶ τὴν ὕλην πρότερον παραδόντες διεσχηματίσθαι ταύτην εἴδεσί τε καὶ ἀριθμοῖς λέγουσι. καὶ αὐτὸς δὲ ὁ Τίμαιος ἐν τῷ οἰκείῳ συγγράμματι τάδε γέγραφεν "ἀρχὰς μὲν οὖν τῶν γενομένων" (p. 97. 98)... Δημόκριτος δέ, ὡς Θεόφραστος ἐν τοῖς Φυσικοῖς ἱστορεῖ, ὡς ἰδιωτικῶς ἀποδιδόντων τῶν κατὰ τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὰ τοιαῦτα αἰτιολογούντων, ἐπὶ τὰς ἀτόμους ἀνέβη. ὁμοίως δὲ καὶ οἱ Πυθαγόρειοι ἐπίπεδα νομίζοντες τὰ σχήματα αἴτια καὶ τὰ μεγέθη τῆς θερμότητος εἶναι καὶ τῆς ψύξεως· τὰ μὲν γὰρ διακριτικὰ καὶ διαιρετικὰ θερμότητος αἴσθησιν παρέχεσθαι, τὰ δὲ συγκριτικὰ καὶ πιλητικὰ ψύξεως· καὶ γὰρ πᾶν σῶμα κατ' οὐσίαν εὐθὺς πεπόσωται· τὸ δὲ σχῆμα, εἰ καὶ ποιότης ἐστίν, ἀλλ' ἐκ τοῦ γένους εἴληπται τῶν ποσῶν... ἀλλὰ ταῦτα μὲν εἰς ἔνδειξιν παρεθέμην τοῦ μὴ ἀλόγως καὶ τοὺς Πυθαγορείους καὶ Δημόκριτον ἀρχὰς τῶν ποιοτήτων ἐπιζητοῦντας εἰς τὰ σχήματα ἀνελθεῖν. μή ποτε δὲ οὐχ ὡς πάντη πάντως τῆς συστάσεως ἐκ τριγώνων τοιούτων οὔσης ὑπέθεντο αὐτὴν οἵ τε Πυθαγόρειοι καὶ ὁ Πλάτων, ἀλλ' ὥσπερ οἱ ἀστρονόμοι ὑποθέσεις ὑπέθεντό τινας ἄλλοι ἄλλας. id. f. 139 *b*. 140.

299a 11. τὰς μὲν ἀπὸ τῶν μαθημάτων ὁρμωμένας ἐνστάσεις πρὸς τοὺς ἐξ ἐπιπέδων τὰ σώματα γεννῶντας, ὡς μὲν ἄν τῳ δόξειεν, ὑπερέθετο νῦν καὶ ὡς προχείρους ἰδεῖν καὶ ὡς ἐν τῷ περὶ τῶν Ἀτόμων Γραμμῶν περὶ αὐτῶν εἰρηκώς, ὅ τινες εἰς Θεόφραστον ἀναφέρουσιν. id. f. 140. cf. Themist. f. 41.

299a 23. τοῦτο μάλιστα τὸ σημαινόμενον ἴδιόν ἐστι τῆς τῶν παθῶν διαιρέσεως· τὸ γὰρ κατ' εἶδος καὶ ἐν τοῖς μαθηματικοῖς ἐστίν, ὥστε φησὶν "ὅσα ἁπλᾶ τῶν μαθημάτων ἐστί," τουτέστιν ὅσα ἄτομα καὶ μὴ ἄλλων περιεκτικά, ὥσπερ τὰ εἴδη, ταῦτα διαιρετά ἐστι κατὰ συμβεβηκός. εἰ οὖν ἐν ἀδιαιρέτῳ διαιρετὸν ἀδύνατον εἶναι, τὰ ἐν τοῖς φυσικοῖς ὄντα πάθη ἐν τοῖς μαθηματικοῖς οὐκ ἔστιν. οὕτω μὲν εἰ τοῖς ἀδιαιρέτοις ἐξ ἀρχῆς τοῖς μαθηματικοῖς ἔλεγεν. εἰ δὲ ἀδιαιρέτοις ἔλεγε τοῖς ἐπιπέδοις ἐξ ὧν τὰ σώματα συνιστῶσιν, ἢ ὅτι καὶ αὐτὰ ἀβαθῆ ὄντα τὴν τῶν σωμάτων διαίρεσιν οὐχ ὑπομένει, ἢ ὅτι τὰ σώματα ἐξ ἐπιπέδων ἐστί, τὰ δὲ ἐπίπεδα ἐκ γραμμῶν, αἱ δὲ γραμμαὶ ἐκ στιγμῶν, καὶ τὰ σώματα ἐκ στιγμῶν ἂν εἴη κατ' αὐτούς, ὥστε ἐξ ἀδιαιρέτων, πολλὰ δὲ ἔστι ἃ τοῖς μὲν φυσικοῖς σώμασιν ὑπάρχει ταῖς δὲ στιγμαῖς οὐχ ὑπάρχει, οὐκ ἂν εἴη τὰ σώματα ἐξ ἀδιαιρέτων· εἰ γὰρ τὰ ἀδιαίρετα μηδὲν ἔχει διαιρετόν, οὐδ' ἂν τὰ ἐξ αὐτῶν ἔχοι. ὥστε διὰ τούτου τοῦ ἐπιχειρήματος ἀπὸ καθολικοῦ τοῦ διαιρετοῦ πᾶσι τοῖς σωματικοῖς ὑπάρχοντος, καθόλου ἂν εἴη δεδειχὼς ὅτι οὐκ ἔστιν ἐξ ἐπιπέδων τὸ σῶμα. Simpl. f. 140 *b*.

299a 31. οἱ γὰρ περὶ Δημόκριτον καὶ ὕστερον Ἐπίκουρος τὰς ἀτόμους πάσας ὁμοφυεῖς οὔσας βάρος ἔχειν φασί, τῷ δὲ εἶναί τινα βαρύτερα ἐξωθούμενα τὰ κουφότερα ὑπ' αὐτῶν ὑφιζανόντων ἐπὶ τὸ ἄνω φέρεσθαι· καὶ οὕτω λέγουσιν οὗτοι δοκεῖν τὰ μὲν κοῦφα εἶναι τὰ δὲ βαρέα, καὶ εἰ μὴ πάντα δὲ εἴη βαρέα τὰ φυσικὰ σώματα, ἀλλ' ἔνια, ὃ ὑπὸ πάντων ὡμολόγηται, ὥσπερ ἡ γῆ καὶ τὸ ὕδωρ. id. ib.

299b 7. ἐφιστάνει ὁ Ἀλέξανδρος ὅτι τῷ αὐτῷ λόγῳ χρωμένους δυνατὸν δεικνύναι ὅτι οὐδὲ ἄλλο τι πάθος τῇ στιγμῇ συμβέβηκεν, εἴπερ πᾶν τὸ ἁπλῶς τι ἔχον καὶ ὑπερέχει κατ' αὐτὸ τινός· καὶ γὰρ εἰ μὴ ἄλλου τινός, ἀλλὰ τοῦ γε μὴ ἁπλῶς τοιούτου ὑπερέχοι ἄν· ὥστε οὐδὲ κατὰ συμβεβηκός ἐστι τὸ διαιρετὸν ἐν ἀδιαιρέτῳ. id. f. 141.

οἱ δὲ Πλατωνικοὶ οὐ λέγουσι τὸ βαρὺ διὰ πυκνότητα εἶναι βαρύ· τὸ γοῦν πῦρ τῆς γῆς πυκνότερόν φασι, τὸ δὲ βάρος τὴν μεγαλομέρειαν ποιεῖν. id. ib.

299b 15. εἰ ἐξ ἀβαρῶν τὸ βάρος ἔχον γίνεται, πόσα ἄρα ἀβαρῆ συνελθόντα βάρος ποιήσει; δῆλον γὰρ ὡς ἀριθμὸς ἀβαρῶν συνελθὼν ποιήσει τι βάρος· τοῦτον δὲ πῶς ὁριοῦσι; τί γὰρ μᾶλλον ὁ ῥηθεὶς ὑπ' αὐτῶν ἀριθμὸς ἀληθὴς ἢ ὁ ἑνὶ ἐλάττων ἢ ὁ ἑνὶ πλείων, οὐχ ἕξουσιν εἰπεῖν, πάντων ὁμοίως τῶν συνιόντων ἀβαρῶν λεγομένων. δεύτερον

Γ.

298a 27. Ἐν τοῖς ὑποθετικοῖς, ἐν οἷς τὸ ἡγούμενον οὐ μόνον ἀληθές ἐστιν ἀλλὰ καὶ ἐναργὲς καὶ ἀναμφίλεκτον, ἀντὶ τοῦ εἰ συνδέσμου τῷ ἐπεὶ χρῶνται παρασυναπτικῷ ἀντὶ τοῦ συναπτικοῦ· διὸ τὸ τοιοῦτον ἀξίωμα οἱ νεώτεροι παρασυναπτικὸν καλοῦσι. καὶ Θεόφραστος δὲ ἐν τῷ πρώτῳ τῶν Προτέρων Ἀναλυτικῶν τὴν αἰτίαν τῆς τοιαύτης χρήσεως ἐδήλωσε. διὰ τοῦτο οὖν καὶ ὁ Ἀριστοτέλης νῦν οὐκ εἶπεν εἰ τῶν φύσει λεγομένων, ἀλλ' "ἐπειδὴ τῶν φ. λ." (*) Simpl. f. 137 *b.*

298a 28. σωμάτων ἔργα μὲν καλεῖ τὴν κατὰ τόπον κίνησιν, πάθος δὲ τὴν ἀλλοίωσιν, ἣν καὶ διττὴν λέγομεν, ἢ τελείαν καὶ ποιεῖν γένεσιν, ἢ ἀτελῆ μὲν φυλάττειν δὲ τὸ ὑποκείμενον καὶ ποιεῖν τὴν κυρίως ἀλλοίωσιν. cod. Coisl. 166.

ἔργα μὲν αἱ κατὰ τόπον κινήσεις, πάθη δὲ θερμότητες καὶ ψυχρότητες καὶ τὰ ἄλλα, ὧν εἰσὶν αἰτίαι τὰ σώματα κατὰ τὰς ἐν αὐτοῖς δυνάμεις. ἔχοντα γὰρ τὰ σώματα δυνάμεις τινὰς ποιητικὰς ἢ παθητικὰς ἢ ψυκτικάς, κατὰ ταύτας ἢ ποιοῦσιν ἢ πάσχουσι. καὶ ἔστι τὸ γινόμενον, οἷον ἡ θερμότης, τοῦ μὲν ποιοῦντος ἔργον, τοῦ δὲ πάσχοντος, οἷον τοῦ θερμαινομένου ὕδατος, πάθος. cod. Reg. 1853.

298b 1. τοῦ ἀλλοιουμένου πάθη καὶ εἰς ἄλληλα μεταβάσεις, τουτέστιν αἱ γενέσεις καὶ αἱ φθοραί. Simpl. f. 137 *b.*

298b 6. τοῦ κόσμου οὐ στοιχεῖόν ἐστιν ἀλλὰ μέρος μᾶλλον, ὡς Ἀλέξανδρος· τὸ γὰρ στοιχεῖον δι' ὅλου τοῦ στοιχειωτοῦ διήκει καὶ τοῖς μεθ' ἑαυτοῦ στοιχείοις συγκεράννυται. cod. Reg. 1853.

298b 14. τετραχῇ διεῖλε τὰς περὶ γενέσεως δόξας. καὶ γὰρ οἱ μὲν τελέως τὴν γένεσιν ἀναιροῦσι, πάντα τὰ ὄντα ἀγένητα λέγοντες διὰ τὸ τῶν γενητῶν καὶ φθαρτῶν μὴ εἶναι γνῶσιν, ἀεὶ ῥεόντων αὐτῶν, ὡς Παρμενίδης καὶ Μέλισσος ἐδόκουν λέγειν· οἱ δὲ ἀπ' ἐναντίας τούτων, ὡς Ἡσίοδος, καὶ τὸ πρώτιστον τῶν παρ' αὐτοῦ γενέσθαι λέγων (Theog. 116) "ἤτοι μὲν πρώτιστα χάος γένετ'·" οἱ δὲ τὰ μὲν ἄλλα γενέσθαι λέγουσιν, ἓν δὲ μόνον τὸ κοινὸν ὑποκείμενον ἀγένητόν φασιν, ἐξ οὗ τὰ ἄλλα γίνεται, ὥσπερ Ἡράκλειτος· οἱ δὲ οὐδὲν ἀγένητον σῶμα λέγουσιν, ἀλλὰ πάντα γίνεσθαι, ἐξ ἐπιπέδων μέντοι συντιθέμενα. πρώτους δὲ προχειρίζεται τοὺς περὶ Μέλισσον καὶ Παρμενίδην, ὧν ὁ μὲν οὐδὲ ὅλως γένεσιν εἶναί φησιν, Παρμενίδης δὲ οὐ πρὸς ἀλήθειαν ἀλλὰ πρὸς δόξαν. διὰ τοῦτο προσέθηκε τὸ "ἀλλὰ μόνον δοκεῖν ἡμῖν.".. ἢ τί κωλύει, φαίη ἄν τις, μὴ λέγεσθαι φυσικοὺς ἐκείνους, μηδὲ ὡς φυσικοὺς εὐθύνεσθαι; ἢ ὅτι περὶ φύσεως ἐπέγραφον τὰ γράμματα καὶ Μέλισσος καὶ Παρμενίδης; τοῦτο δὲ οὐκ ἂν εἴη τοσοῦτον· καὶ γὰρ καὶ κοινὸν ἦν ὄνομα τῆς φύσεως, ὥσπερ καὶ θεοῦ φύσιν πολλάκις τολμῶμεν εἰπεῖν, καὶ τὴν τῶν ὄντων φύσιν λέγομεν. καὶ μέντοι οὐ περὶ τῶν ὑπὲρ φύσιν μόνον, ἀλλὰ καὶ περὶ τῶν φυσικῶν ἐν αὐτοῖς τοῖς συγγράμμασι διελέγοντο, καὶ διὰ τοῦτο ἴσως οὐ παρῃτοῦντο περὶ φύσεως ἐπιγράφειν... λέγει δὲ ὁ Μέλισσος "εἰ γὰρ εἴη, ἓν ἂν εἴη· εἰ γὰρ δύο εἴη, οὐκ ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ' ἔχοι ἂν πέρατα πρὸς ἄλληλα." Παρμενίδης (*) δὲ "οὖλον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀγένητον.".. λέγει γοῦν ὁ Παρμενίδης

χρεὼ δέ σε πάντα πυθέσθαι,
ἠμὲν ἀληθείης εὐκύκλεος ἀτρεμὲς ἦτορ,
ἠδὲ βροτῶν δόξας, ταῖς οὐκ ἔνι πίστις ἀληθής.
ἀλλ' ἔμπης καὶ ταῦτα μαθήσεαι, ὡς τὰ δοκοῦντα
χρὴ δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα.

ἀλλὰ καὶ συμπληρώσας τὸν περὶ τοῦ ὄντως ὄντος λογον καὶ μέλλων περὶ τῶν αἰσθητῶν διδάσκειν ἐπήγαγεν

δόξας δ' ἀπὸ τοῦδε βροτείας
μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων.

παραδοὺς δὲ τὴν τῶν αἰσθητῶν διακόσμησιν ἐπήγαγε παλιν

οὕτω τοι κατὰ δόξαν ἔφυ τάδε νῦν τε ἔασι,
καὶ μετέπειτ' ἀπὸ τοῦδε τελευτήσουσι τραφέντα,
τοῖς δ' ὄνομ' ἄνθρωποι κατέθεντ' ἐπίσημον ἑκάστῳ...

ἀλλὰ καὶ Μέλισσος, ὡς καταλογάδην γράψας, σαφέστερον ἔτι τὴν ἑαυτοῦ περὶ τούτων γνώμην ἐξέφηνεν· εἰπὼν γὰρ περὶ τοῦ ὄντος ὅτι ἕν ἐστι καὶ ἀγένητον καὶ ἀκίνητον καὶ μηδενὶ κενῷ διειλημμένον ἀλλ' ὅλον ἑαυτοῦ πλῆρες, ἐπάγει "μέγιστον μὲν οὖν σημεῖον οὗτος ὁ λόγος ὅτι ἓν μόνον ἐστίν. ἀτὰρ καὶ τάδε σημεῖα· εἰ γὰρ ἦν πολλὰ τοιαῦτα, χρὴ αὐτὰ εἶναι οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι. εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ σίδηρος καὶ χρυσὸς καὶ πῦρ, καὶ τὸ μὲν ζῶον τὸ δὲ τεθνηκός, καὶ μέλαν καὶ λευκόν, καὶ τὰ ἄλλα ὅσα φασὶν οἱ ἄνθρωποι εἶναι ἀληθῆ, — εἰ δὴ ταῦτα ἔστι καὶ ἡμεῖς ὀρθῶς ὁρῶμεν καὶ ἀκούομεν, εἶναι χρὴ ἕκαστον τοιοῦτον οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖν, καὶ μὴ μεταπίπτειν μηδὲ γίνεσθαι ἑτεροῖον, ἀλλὰ ἀεὶ εἶναι ἕκαστον οἷόν περ ἔστιν. νῦν δέ φαμεν ὀρθῶς ὁρᾶν καὶ ἀκούειν καὶ συνιέναι, δοκεῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίγνεσθαι καὶ τὸ ψυχρὸν θερμὸν καὶ τὸ σκληρὸν μαλθακὸν καὶ τὸ μαλθακὸν σκληρὸν καὶ τὸ ζῶον ἀποθνήσκειν καὶ ἐκ μὴ ζῶντος γίγνεσθαι καὶ ταῦτα πάντα ἑτεροιοῦσθαι, καὶ ὅ τι ἦν τε καὶ ὃ νῦν οὐδὲν ὅμοιον εἶναι, ἀλλ' ὅ τε σίδηρος σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι, ὁμοῦ ῥέων, καὶ χρυσὸς καὶ λίθος, καὶ ἄλλο ὅτι ἰσχυρὸν δοκεῖ εἶναι πᾶν· ὥστε συμβαίνει μήτε ὁρᾶν μήτε τὰ ὄντα γιγνώσκειν, ἐξ ὕδατός τε γῆ καὶ λίθοις γίνεσθαι. οὐ τοίνυν ταῦτα ἀλλήλοις ὁμολογεῖ. φαμένοις γὰρ εἶναι πολλὰ ἀΐδια καὶ εἴδη τε καὶ ἰσχὺν ἔχοντα πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρωμένου. δῆλον τοίνυν ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν, οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δοκεῖ εἶναι· οὐ γὰρ ἂν μετέπιπτεν, εἰ ἀληθῆ ἦν, ἀλλ' ἦν οἷόν περ ἐδόκει ἕκαστον τοιοῦτον· τοῦ γὰρ ἐόντος ἀληθινοῦ κρεῖσσον οὐδέν. ἢν δὲ μεταπέσῃ, τὸ μὲν ὂν ἀπώλετο, τὸ δὲ οὐκ ἐὸν γέγονεν. οὕτως οὖν εἰ πολλὰ εἴη, τοιαῦτα χρὴ εἶναι οἷόν περ τὸ ἕν.".. ἐπ' ἐκείνου γὰρ καὶ Παρμενίδης εἶπε τὸ "γένεσις μὲν ἀπέσβεσται καὶ ἄπιστος ὄλεθρος." καὶ Μέλισσος καὶ Παρμενίδης τῶν μέντοι αἰσθητῶν γένεσιν σαφῶς λέγουσι, καὶ Μέλισσος μὲν ἐν τούτοις τὸ θερ-

(*) p. 298 *a* 25. quoniam de primo quidem caelo, nempe praestantiore, et eius partibus, quae octo sphaerae sunt, tametsi plures octo esse dicantur, — in praecedenti sermone satis nobis explicatum fuit..., relinquitur ut cet. Themist. f. 40.

(*) cf. Peyron. l. l. p. 55 sq.

τοῦ κέντρου τυγχάνῃ κειμένη, τοῦτο ἄν τις ἀπορήσειεν, ἐπειδὴ ταὐτὸν τῷ ὑποκειμένῳ τὸ μέσον ἐστὶν ἀμφοτέρων, τοῦ τε παντὸς καὶ τῆς γῆς, ὡς πρὸς πότερον μέσον φέρεται τὰ βάρος ἔχοντα καὶ τὰ μόρια τῆς γῆς κατὰ φύσιν. id. ib.

296 b 20. ὁ δὲ Πτολεμαῖος ἐν τῇ ἀρχῇ τῆς Συντάξεως ὑποθέμενος τὰ βάρη πρὸς ἴσας γωνίας καταφέρεσθαι, διὸ καὶ μένειν ἀκλινῆ καὶ οὐ πίπτειν, δείκνυσιν ὅτι πάντα ἐπὶ τὸ κέντρον ἐπείγεται. id. f. 131 *b*.

297 a 4. οὐδ' ἂν αἱ τῆς σελήνης ἐκλείψεις τοιαύτην εἶχον τάξιν τῶν σχηματισμῶν ὥστε κατὰ τὴν διάμετρον αὐτῆς ἀεὶ τὴν πρὸς τὸν ἥλιον στάσιν ἀποτελεῖσθαι, ἀλλὰ καὶ ἐν τοῖς ἐλάττοσι τοῦ ἡμικυκλίου διαστήματος. τοῦτο δὲ ἂν συνέβαινε καὶ εἰ μεταβατικῶς ἐποιεῖτο τὴν κίνησιν ἡ γῆ· εἰ δὲ κύκλῳ περὶ τὸ κέντρον, ὡς Ἡρακλείδης ὁ Ποντικὸς ὑπετίθετο, τῶν οὐρανίων ἠρεμούντων... ὃ δὴ λέγει καὶ ὁ Πτολεμαῖος, ὅτι πάντα ἂν τὰ μὴ βεβηκότα μίαν ἀεὶ τὴν ἐναντίαν τῇ γῇ κίνησιν ἐφαίνετο ποιούμενα, καὶ οὔτ' ἂν νέφος ποτὲ ἐδείκνυτο παροδεῦον πρὸς ἀνατολὴν οὔτε ἄλλο τι τῶν ἱπταμένων ἢ βαλλομένων, φθανούσης ἀεὶ πάντα τῷ τάχει τῆς γῆς, εἴπερ τοσαύτην ἐν βραχεῖ χρόνῳ ποιεῖται τὴν ἀποκατάστασιν. id. f. 132.

297 a 10. εἶτα καὶ τὴν φαντασίαν ἡμῶν διορθοῖ τὴν ἄλλο μόριον ἐπ' ἄλλο τιθεῖσαν εἰς ὕψος πολύ, ἕως ἂν ἐκπεσὸν τῆς ἐπὶ τὸ μέσον σπουδῆς ἀλλαχοῦ ὑπενεχθῇ· οὐ γὰρ κυμαίνει, φησί, τουτέστιν οὐκ ὀγκοῦται μέχρι τοῦ ὑπερεκχεῖσθαι· οὔτε γὰρ τὸ ὠθοῦν οὔτε τὸ ὠθούμενον πρὸς ἄλλο τι τὴν ῥοπὴν ἔχουσιν ἢ πρὸς τὸ μέσον. ἢ τὸ "οὐχ οἷόν τε κυμαίνειν" εἶπεν ἀντὶ τοῦ ὑποχωρεῖν καὶ ἀντιπεριίστασθαι τῷ πλείονι τὸ ἔλαττον· τοῦτο γὰρ τὰ ὑγρὰ πάσχει. id. f. 132 *b*.

297 a 17. ὑποθέμενος οὖν τὴν γῆν μεμιγμένην τέως τοῖς ἄλλοις, εἶτα διακρινομένην, ὡς Ἀναξαγόρας ἐδόκει λέγειν, καὶ ἐνεργείᾳ ἐκ τοῦ δυνάμει γινομένην καὶ φερομένην ἐπὶ τὸ μέσον..., ἀπορίαν ἐπάγει τινὰ ἀπὸ τῶν κεντροβαρικῶν παρὰ τοῖς μηχανικοῖς λεγομένων ἀναφυομένην. τὰ μὲν οὖν κεντροβαρικά, οἷα πολλὰ καὶ χαριέστατα ὅ τε Ἀρχιμήδης καὶ ἄλλοι γεγράφασι πολλοί, σκοπὸν ἔχει πῶς τοῦ δοθέντος βάρους τὸ κέντρον εὑρεθείη, τουτέστι σημεῖόν τι ἐπὶ τοῦ σώματος ἀφ' οὗ, σπάρτου τινὸς ἐξαφθείσης, μετεωριζόμενον ἀκλινὲς ἔσται τὸ σῶμα. id. ib.

297 b 11. ἀντὶ δὲ τοῦ "ἀναγκαῖον μέχρι τούτου φέρεσθαι" λέγει ὁ Ἀλέξανδρός τινας γράφειν "ἀναγκαῖον μετὰ τούτου φέρεσθαι," τουτέστι τῆς ἐπὶ τοῦ μέσου ῥοπῆς. ἀποδέχεται δὲ τὴν ἑτέραν γραφήν. id. f. 133.

298 a 11. ἀμέλει ἔν τισι μέρεσι τῆς Αἰγύπτου ἡ οὐρὰ τῆς ἄρκτου οὐ φαίνεται, καὶ ἔν τισι τόποις ὁ Κάνωβος οὐχ ὁρᾶται, ὃ καὶ Ἀσκληπιόδοτος ἱστόρησεν ὁ φιλόσοφος. cod. Coisl. 166. cf. Simpl. f. 133 *b* extr.

298 a 15. καὶ οἱ ἀστρονόμοι δὲ τὸ μέγεθος τῆς γῆς εὗρον διά τινων ἀστρολάβων καὶ κλιματολάβων εὑρόντες τὸ κατὰ κορυφὴν δύο ζωδίων θαλαττοδρομ πεζοδρομ ἀριθμήσαντα τὸ μεταξὺ διάστημά τι καὶ τὸ λοιπὸν εὑρόντες· τέμνεται γὰρ ἡ γῆ εἰς ιβ' ζώδια. ἡ δὲ μέθοδος ἀκριβεστέρα τοῖς μαθηματικοῖς. cod. Coisl. 166.

ἐπειδὴ δὲ τοῦ μέτρου τῆς γῆς ἐμνημόνευσεν ὁ Ἀριστοτέλης, τετταράκοντα μυριάδων αὐτῆς λέγεσθαι τὴν περιφέρειαν εἰπών, καλῶς ἂν ἔχοι καὶ διὰ τοὺς ἀπιστοῦντας τῇ σοφίᾳ τῶν παλαιῶν ἀνδρῶν τὴν μέθοδον τῆς μετρήσεως συντόμως προσαναγράψαι. λαβόντες ἀπὸ διόπτρου δύο τῶν ἀπλανῶν ἀστέρων μοιραῖον ἀλλήλων ἀπέχοντας διάστημα, τουτέστι τριακοσιοστοεξηκοστὸν μέρος τοῦ μεγίστου ἐν τῇ ἀπλανεῖ κύκλου, καὶ εὑρόντες πάλιν ἀπὸ διόπτρας τοὺς τόπους οἷς κατὰ κορυφήν εἰσιν οἱ δύο ἀστέρες, καὶ τὸ μεταξὺ διάστημα διὰ ὁδομέτρου μετρήσαντες ηὗρον πεντακοσίων αὐτὸ σταδίων· ἐξ οὗ συνάγεται ὅτι ὁ μέγιστος τῶν ἐν τῇ γῇ κύκλων περίμετρον ἔχει μυριάδων δεκαοκτώ, ὡς ὁ Πτολεμαῖος ἐν τῇ γεωγραφίᾳ συνελογίσατο. ἐπεὶ δὲ δείκνυται ὑπὸ τοῦ Ἀρχιμήδους ἡ περίμετρος τοῦ κύκλου τριπλασίων τῆς διαμέτρου καὶ ἔτι ἑβδόμῳ μέρει αὐτῆς ὑπερέχουσα, ἔσται ἡ διάμετρος μυριάδων πέντε καὶ ἑπτάκις χιλίων διακοσίων ἑβδομήκοντα τριῶν. δείκνυται δὲ πάλιν τὸ ὑπὸ τῆς διαμέτρου καὶ τοῦ τετάρτου μέρους τῆς περιμέτρου ἴσον τῷ ἐμβαδῷ τοῦ κύκλου, ὡς γίνεσθαι τὸ ἐπίπεδον τοῦ κύκλου μυριάδων διπλῶν ἐμβαδῶν εἰκοσιπέντε, καὶ ἁπλῶν ἑπτακισχιλίων ἑπτακοσίων εἰκοσιοκτώ, καὶ ἔτι σταδίων πεντακισχιλίων. πάλιν δὲ δείκνυται ὅτι ἡ ὅλη τῆς σφαίρας ἐπιφάνεια τετραπλασίων ἐστὶ τοῦ ἐμβαδοῦ τοῦ ἐν αὐτῇ μεγίστου κύκλου, ὡς συνάγεσθαι τὸ τῆς ἐπιφανείας μέγεθος σταδίων μυριάδων διπλῶν ἑκατὸν τριῶν καὶ ἑπτακοσίων δεκατεσσάρων. ἵνα δὲ καὶ τὸ στερεὸν εὑρεθῇ τῆς γῆς μέγεθος, ὁ μέγιστος κύκλος ὁ ἔχων μυριάδας διπλᾶς εἰκοσιπέντε καὶ ἁπλᾶς ἑπτάκις χιλίας ἑπτακοσίας εἰκοσιοκτὼ καὶ ἔτι πεντακισχιλίας μονάδας πολλαπλασιάζεται ἐπὶ τὴν διάμετρον, καὶ γίνεται κύλινδρος ὁ βάσιν μὲν ἔχων ἴσην τῷ μεγίστῳ κύκλῳ, ὕψος δὲ ἴσον τῇ διαμέτρῳ μυριάδων τριπλῶν ἑκατὸν τεσσαράκοντα ἑπτά, καὶ διπλῶν ἑξακισχιλίων πη', καὶ ἁπλῶν τετρακισχιλίων τριακοσίων ὀγδοήκοντα, καὶ ἔτι πεντακισχιλίων μονάδων. καὶ ἐπειδὴ ὁ οὕτως ἔχων κύλινδρος ἡμιόλιός ἐστι τῆς σφαίρας, ἀφαιρῶ τούτων τὸ τρίτον, καὶ τὸν καταλειπόμενον ἀριθμὸν ἔχω τοῦ στερεοῦ τῆς σφαίρας τῆς γῆς μυριάδων τριπλῶν ἐνενήκοντα ὀκτώ, καὶ διπλῶν τετρακισχιλίων ἑξήκοντα τριῶν, καὶ ἁπλῶν ἑξακισχιλίων τετρακοσίων τεσσαράκοντα ἕξ, καὶ ἔτι μονάδων ἐνακισχιλίων πεντακοσίων τριῶν. πρὸς δὲ τοσοῦτον μέγεθος τῆς γῆς τὰ τῶν ὀρῶν ἀναστήματα οὐκ ἔστιν ἱκανὰ τὸ σφαιρικὸν αὐτῆς ἀφελέσθαι σχῆμα, οὐδὲ τὰ μέτρα τὰ ὡς σφαιρικῆς οὔσης αὐτῆς συναχθέντα διαβάλλειν· ὁ γὰρ Ἐρατοσθένης τὴν ἀπὸ τῶν ὑψηλοτάτων ὀρῶν ἐπὶ τὰ χθαμαλώτατα πίπτουσαν κάθετον δείκνυσι διὰ τῶν ἐξ ἀποστημάτων μετρουσῶν διόπτρων σταδίων οὖσαν δέκα. εἰ δὲ ὁ Ἀριστοτέλης τὸ τῆς περιφερείας τῆς γῆς μέγεθος εἰς τεσσαράκοντα μυριάδας συλλογίζεσθαι τοὺς μαθηματικούς φησι, περιφέρειαν πάντως τὴν ἐπιφάνειαν αὐτῆς λέγων, ἐπειδὴ μὴ προστέθεικε σταδίων εἶναι τοῦτο τὸ μέτρον, ἄδηλον εἰ διαφωνεῖ πρὸς τὸν ὕστερον συλλογισθέντα τῆς ἐπιφανείας τῆς γῆς τῶν σταδίων ἀριθμόν. κἂν διαφωνῇ δέ, θαυμαστὸν οὐδέν· οὔπω γὰρ ηὕρητο τὰ ὑπὸ Ἀρχιμήδους πορισθέντα θεωρήματα πρὸς τὴν ἀκαμπῆ τοῦ προκειμένου κατάληψιν. μή ποτε δὲ οὐδὲ ὁ Ἀριστοτέλης φαίνεται ὡς ἀκριβὲς τοῦτο τὸ μέτρον ἀποδεχόμενος, ἀλλὰ τοσοῦτον ἔλαβεν ἐξ αὐτοῦ μόνον, ὅτι οὐ λίαν ἐστὶ μεγάλη τοσούτων οὖσα μέτρων. Simpl. f. 136.

295a 19. μᾶλλον δὲ ἐβιάσθη (ὁ Ἀλέξανδρος) νομίζων τὸν κόσμον τοῦτον ὑπὸ μόνου τοῦ νείκους κατὰ τὸν Ἐμπεδοκλέα (*) γενέσθαι. μήποτε δὲ κἂν ἐπικρατῇ ἐν τούτῳ τὸ νεῖκος, ὥσπερ ἐν τῷ σφαίρῳ ἡ φιλία, ἀλλ' ἄμφω ὑπ' ἀμφοῖν λέγονται γίνεσθαι. καὶ τάχα οὐδὲ κωλύει παραθέσθαι τινὰ τῶν τοῦ Ἐμπεδοκλέους ἐπῶν τοῦτο δηλοῦντα.

αὐτὰρ ἐγὼ παλίνορσος ἐλεύσομαι ἐς πόρον ὕμνων,
τὸν πρότερον κατέλεξα λόγῳ λόγον ἐξοχετεύων
κεῖνον. ἐπεὶ νεῖκος μὲν ἐνέρτατον ἵκετο βένθος
δίνης, ἐν δὲ μέσῃ φιλότης στροφάλιγγι γένηται,
ἐν τῇ δὴ τάδε πάντα συνέρχεται ἓν μόνον εἶναι,
οὐκ ἄφαρ, ἀλλ' ἐθέλημα συνιστάμεν' ἄλλοθεν ἄλλα.
τῶν δέ τε μισγομένων χεῖτ' ἔθνεα μυρία θνητῶν,
πολλὰ δ' ἄμικτα ἔστηκε κεραιομένοισιν ἐναλλάξ,
ὅσσ' ἔτι νεῖκος ἔρυκε μετάρσιον· οὐ γὰρ ἀμεμφέως
πᾶν ἐξεστήκειν ἐπ' ἔσχατα τέρματα κύκλου,
ἀλλὰ τὰ μέν τ' ἐνέμιμνε μελέων, τὰ δ' ἐξεβεβήκει.
ὅσσον δ' αἰὲν ὑπεκπροθέοι, τόσον αἰὲν ἐπῄει
ἠπιόφρων φιλότητος ἀμεμφέος ἄμβροτος ὁρμή.
αἶψα δ' ἔθνεά τ' ἐφύοντο, τὰ πρὶν μάθον ἀθάνατ' εἶναι,
ζωρά τε τὰ πρὶν ἄκρητα διαλλάξαντα κελεύθους.

ἐν τούτοις δηλοῦται ὅτι ἐν τῇ ἁπλῇ διακοσμήσει ὑποστέλλεται μὲν τὸ νεῖκος, ἡ δὲ φιλότης ἐπικρατεῖ, ὅταν ἐν μέσῃ τῇ στροφάλιγγι, τουτέστι τῇ δίνῃ, γένηται, ὥστε καὶ τῆς φιλότητος ἐπικρατούσης ἐστὶν ἡ δίνη· καὶ ὅτι τὰ μὲν τῶν στοιχείων ἄμικτα μένει ὑπὸ τοῦ νείκους, τὰ δὲ μιγνύμενα ποιεῖ τὰ θνητὰ καὶ ζῷα καὶ φυτά, διότι πάλιν διαλύεται τὰ μιγνύμενα. ἀλλὰ καὶ περὶ γενέσεως τῶν ὀφθαλμῶν τῶν σωματικῶν τούτων λέγων ἐπήγαγεν

ἐξ ὧν ὄμματ' ἔπηξεν ἀτειρέα δῖ' Ἀφροδίτη,

καὶ μετ' ὀλίγον

γόμφοις ἀσκήσασα καταστόργοις Ἀφροδίτη.

καὶ τὴν αἰτίαν λέγων τοῦ τοὺς μὲν ἐν ἡμέρᾳ τοὺς δὲ ἐν νυκτὶ κάλλιον ὁρᾶν

Κύπριδος (φησὶν) ἐν παλάμῃσιν ὅτε ξύμπρωτ' ἐφύοντο.

ὅτι δὲ περὶ τούτων λέγει τῶν ἐν τούτῳ τῷ κόσμῳ, ἄκουε τούτων τῶν ἐπῶν·

εἰ δέ τί σοι περὶ τῶνδε λιπόξυλος ἔπλετο πίστις,
πῶς ὕδατος γαίης τε καὶ αἰθέρος ἠελίου τε
κιρναμένων εἴδη τε γενοίατο χροιά τε θνητῶν
τοῖ' ὅσα νῦν γεγάασι συναρμοσθέντ' Ἀφροδίτη.

καὶ μετ' ὀλίγα

ὡς δὲ τότε χθόνα Κύπρις, ἔπειτ' ἐδίηνεν ἐν ὄμβρῳ,
ἡ δ' ἀποπειπνύουσα θοῷ πυρὶ δῶκε κρατῦναι.

καὶ πάλιν

τῶνδ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μανὰ πέπηγε,
Κύπριδος ἐν παλάμῃσι πλάδης τοιῆσδε τυχόντα.

ταῦτα ἐξ ὀλίγων τῶν εὐθὺς προσπεσόντων ἐπῶν ἀναλεξάμενος παρεθέμην. μήποτε δὲ τοῦ Ἐμπεδοκλέους ὡς ποιητοῦ μυθικώτερον παρὰ μέρος τὴν ἐπικράτειαν αὐτῶν λέγοντος,

ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα νείκεος ἔχθει,

ὁ Ἀριστοτέλης μυθικωτέρῳ τούτῳ ἀποχρησάμενος ἐρωτᾷ τοὺς τὴν δίνην τῆς μονῆς τῆς γῆς αἰτιωμένους, ὅτε τὰ στοιχεῖα διειστήκει χωρὶς ὑπὸ τοῦ νείκους. id. f. 128 b.

δόξει δὲ ἡ ἀπάντησις μὴ κατὰ θύρας εἶναι· ὁ γὰρ Ἐμπεδοκλῆς 295a 24.
τῆς διακοσμήσεως ταύτης τὸ νεῖκος αἰτιᾶται. διὸ βιαίως ἐξηγήσασθαι ἠνάγκασται ὁ Ἀλέξανδρος. ἐρωτᾷ γάρ, φησίν, ὅτε τὰ στοιχεῖα τοῦ νείκους χωρὶς ἦν πρὸ τῆς διακοσμήσεως, πῶς διειστήκει ἡ γῆ, τὸ διεστηκὸς ἵνα μὴ ἀλλήλων ἀκούσωμεν ἀλλὰ τοῦ νείκους, τουτέστιν ὅτε ἡ φιλία κατεκράτει καὶ τὰ στοιχεῖα ἀπὸ τοῦ νείκους. τὴν γὰρ ὑπό ἀντὶ τῆς ἀπό ἀκουστέον, πρόθεσιν ἀντὶ προθέσεως· ἔθος γὰρ τοῦτο τοῖς Ἀττικοῖς (*). cod. Coisl. 166.

καὶ ἔοικε τοῦτο παρέκβασις εἶναι πρὸς Δημόκριτον ἄπειρον 295b 8.
ὑποτιθέμενον τὸ μεταξύ. id.

ταύτης μὲν οὖν τῆς δόξης καὶ Πλάτων ἐστὶν ἐν οἷς ἐν Φαίδωνι 295b 11.
(p. 109) λέγει... ἀλλ' ὅ γε Ἀριστοτέλης εὑρὼν προειλημμένην αὐτὴν ὑπὸ Ἀναξιμάνδρου ἐμμελέστερον οἴεται τοῦτον ἐλέγχειν τοῦ ἀντιλέγειν πρὸς Πλάτωνα... ὁ δὲ Ἀλέξανδρος, διὰ τοῦ εἰπεῖν, φησίν, "ὥσπερ τῶν ἀρχαίων Ἀναξίμανδρος" ἐδήλωσεν ὡς καὶ ἄλλων ὄντων οὐκ ἀρχαίων ταύτης τῆς δόξης. ἦ καὶ ἄδηλον, φησίν, ὅσον ἐπὶ τῇ λέξει ταύτῃ, πότερον καὶ ἠρεμεῖ ἐν τῷ μέσῳ οὖσα, ἢ μένει μὲν ἐν τῷ μέσῳ διά τε τὴν ἰσορροπίαν τὴν οἰκείαν καὶ τὴν τοῦ περιέχοντος ὁμοιότητα, μένουσα δὲ ἴλλεταί τε καὶ κινεῖται περὶ τὸν διὰ παντὸς τεταμένον πόλον. Ἀναξιμάνδρῳ δὲ δοκεῖ καὶ διὰ τὸν ἀέρα τὸν ἀνέχοντα μένειν ἡ γῆ καὶ διὰ τὴν ἰσορροπίαν καὶ ὁμοιότητα. Simpl. f. 129 b.

ταῦτα μὲν οὖν τοῦ Ἀριστοτέλους, καὶ τάχα ἄν τις ὑπονοήσειε τῷ 296a 23.
ὄντι μὴ πρὸς τὴν Πλατωνικὴν ἀπόδειξιν αὐτὸν ἁπλῶς ἀποτείνεσθαι· τοῦ γὰρ Πλάτωνος τὴν ἰσορροπίαν καὶ τὴν ὁμοιότητα αἰτιωμένου, ὁ Ἀριστοτέλης οὐδαμοῦ φαίνεται τῆς ἰσορροπίας μνησθείς, κἂν ὁ Ἀλέξανδρος ἀντὶ τῆς ὁμοιότητος πανταχοῦ τὴν ἰσορροπίαν παραλαμβάνῃ. πλὴν κἂν πρὸς ἐκεῖνον ἀποτείνηται τὸν λόγον ὁ Ἀριστοτέλης, ῥητέον ὅτι ὁ Σωκράτης ἐξ ὑποθέσεως προάγει τὸν λόγον. id. f. 130.

πρῶτον προτίθεται δεῖξαι ὅτι οὐ κινεῖται ἡ γῆ κύκλῳ, οὔτε περὶ 296a 27.
τὸ μέσον ὡς ἓν τῶν ἄστρων οὖσα, ὡς ἔλεγον οἱ Πυθαγόρειοι, οὔτε ὡς ἐν τῷ μέσῳ περὶ τὸν ἄξονα τοῦ παντὸς ἰλλομένη. id. f. 131.

καὶ γὰρ ἡ φορὰ τῶν μορίων καὶ ὅλης αὐτῆς ἐπὶ τὸ μέσον ἐστὶ τοῦ 296b 8.
παντός. εἰπὼν δὲ ὅτι ἡ φορὰ τῆς γῆς ἐπὶ τὸ τοῦ παντός ἐστι μέσον, ἐπάγει ὅτι κἂν μὴ κινῆται ἡ γῆ, ὥς τινες λέγουσιν, ἀλλ' ἐπὶ

(*) cf. Empedoclis et Parmenidis fragm. ex cod. Taur. restit. ab Am. Peyron Lips. 1810 p. 27 sqq. ad versus Empedocleos praeter cod. Reg. 1910 inspexi codd. Laurent. (29 Plut. 76) et Oxon. Colleg. Corp. Christi.

(*) p. 295 a 35. ac praeterea, quemadmodum inquit Alexander, quod conversione pellitur, non ea ratione pellitur ut scilicet quiescat, sed ut ad medium tantum feratur, et secundum quod in medio invenitur, etiam movebitur. Themist. f. 35 b.

293 b 34. οἱ δὲ τυμπανοειδῆ λέγουσιν. ἐν τῷ κέντρῳ δὲ οὖσαν τὴν γῆν καὶ κύκλῳ κινουμένην, τὸν δὲ οὐρανὸν ἠρεμεῖν Ἡρακλείδης ὁ Ποντικὸς ὑποθέμενος, σώζειν ᾤετο τὰ φαινόμενα. Simpl. f. 126.

294 a 9. εἰπὼν μόνιμον εἶναι τὴν γῆν διὰ τὸ τυμπανοειδὲς σχῆμα, ἐπήγαγεν ὅτι πολλοὶ τυγχάνουσιν εἰρημένοι τρόποι τῆς κατὰ τὴν γῆν διαθέσεως, ὧν τινὲς μὲν πρὸς κίνησιν αὐτὴν τινὲς δὲ πρὸς μονὴν ἐπιτήδειον εἶναι λέγουσιν, ὥσπερ ὁ νῦν εἰρημένος πρὸς μονήν. id. f. 126 *b*.

294 a 10. καὶ πρῶτον μνημονεύει τῶν μένειν λεγόντων (τὴν γῆν) διὰ τὸ ἄπειρον αὐτὴν εἶναι, ὥσπερ Ξενοφάνης ὁ Κολοφώνιος, δευτέρων δὲ τῶν ἐφ' ὕδατος ὀχουμένην μένειν, ὡς Θαλῆς ὁ Μιλήσιος, τρίτων δὲ τῶν λεγόντων μένειν αὐτὴν ἀνεχομένην ὑπὸ τοῦ ὑποκειμένου ἀέρος, ὃν ἐπιπωματίζει πλατεῖα οὖσα καὶ τυμπανοειδὴς ἡ γῆ, καὶ οὐ συγχωρεῖ ἀναχωρεῖν· οὕτω δὲ Ἀναξιμένης καὶ Ἀναξαγόρας καὶ Δημόκριτος ἐδόκουν λέγειν. τετάρτων τῶν περὶ Ἐμπεδοκλέα τῶν τὴν δίνην τοῦ οὐρανοῦ τῆς μονῆς τῆς γῆς αἰτιωμένων, καὶ πέμπτων τῶν τὴν ὁμοιότητα καὶ τὴν ἰσορροπίαν αἰτίαν τῆς μονῆς λεγόντων, ὡς Ἀναξίμανδρος καὶ Πλάτων... τάχα γὰρ ἀλογωτέρας, τουτέστιν ἀργοτέρας, διανοίας ἐστὶ τὸ μὴ θαυμάζειν πῶς κτλ. id. ib.

294 a 18. καὶ τοῦτο δὲ ἄξιον ἀπορίας περὶ τοῦ αὐτοῦ φησί, πῶς ἄνωθεν καταφερομένων μορίων τῆς γῆς, εἴ τις πρὸ τοῦ πεσεῖν αὐτὰ ἀποσπῷ τι ἀεὶ τὴν ὑποκειμένην γῆν, μένει φερόμενα ἕως ἂν ἀντερείδῃ τι αὐτοῖς, ἡ δὲ ὅλη γῆ μηδενὸς κάτωθεν ἀντερείδοντος οὐ φέρεται ἀλλ' ἠρεμεῖ. διὰ ταῦτα μὲν γάρ, φησί, τὸ ἀπορεῖν περὶ τῆς γῆς ἐγένετο φιλοσόφημα πᾶσι· φιλόσοφον γὰρ ὄντως ἐστὶ τὸ τὰς αἰτίας τῶν ὄντων ζητεῖν· τὸ δὲ περὶ τὰς τούτου λύσεις μὴ φυλάξασθαι τὸ μᾶλλον ἀτόπους εἶναι τῆς ἀπορίας, θαυμάσειεν ἄν τις· δοκεῖν γὰρ λύειν τὴν ἐν τούτοις ἀπορίαν βουληθέντες πλείονος ἀπορίας ἀξίοις προσχρῶνται. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος ἐξηγήσατο τὴν λέξιν, οὕτω γράψας "τὸ δὲ περὶ τὰς τούτου λύσεις μὴ μᾶλλον ἀτόπους εἶναι δοκεῖν," καὶ ὡς ἐλλειπούσης τὸ πλῆρες, ὡς εἴρηται, ἀποδούς. μήποτε δὲ κἂν οὕτως ἔχῃ ἡ λέξις συντόμως, οὐ μέντοι ἐλλιπῶς ἀπήγγελται· εἰπὼν γὰρ ὅτι τὸ μὲν ἀπορεῖν εἰκότως ἐγένετο φιλοσόφημα πᾶσιν, ἐπάγει "τὸ δὲ περὶ τὰς τούτου λύσεις μὴ μᾶλλον ἀτόπους εἶναι δοκεῖν τῆς ἀπορίας," τοὺς οὕτω λύοντας δηλονότι, θαυμάσειεν ἄν τις, ὡς τὸ ἀτόπους μὴ πρὸς τὰς λύσεις ἀκούειν ἀλλὰ πρὸς τοὺς λύοντας. ἐγὼ μέντοι πολλὰ τῶν ἀντιγράφων ηὗρον οὕτως ἔχοντα "τὸ δὲ τὰς περὶ τούτου λύσεις μὴ μᾶλλον ἀτόπους εἶναι δοκεῖν," καὶ ἔστιν οὕτως καταλληλότερον. id. ib.

294 a 25. ἀγνοῶ ἐγώ, τοῖς Ξενοφάνους ἔπεσι τοῖς περὶ τούτου μὴ ἐντυχών, πότερον τὸ κάτω τῆς γῆς μέρος ἄπειρον λέγων διὰ τοῦτο μένειν αὐτήν φησιν, ἢ τὸν ὑποκάτω τῆς γῆς τόπον καὶ αἰθέρα ἄπειρον, καὶ διὰ τοῦτο ἐπ' ἄπειρον καταφερομένην τὴν γῆν δοκεῖν ἠρεμεῖν. οὔτε γὰρ Ἀριστοτέλης διεσάφησεν οὔτε τὰ Ἐμπεδοκλέους ἔπη διορίζει σαφῶς· γῆς γὰρ βάθη λέγοιτ' ἂν καὶ ἐκεῖνα εἰς ἃ κάτεισιν. ἀλλὰ ταύτην μὲν τὴν δόξαν οὐδὲ ἀντιλογίας ἠξίωσεν ὡς παντελῶς ἀπίθανον· ἐπ' αὐτῇ δὲ τὴν Θαλοῦ τοῦ Μιλησίου τίθησιν, ἐφ' ὕδατος λέγοντος ὀχεῖσθαι τὴν γῆν ὥσπερ ξύλον ἢ ἄλλο τι τῶν ἐπινήχεσθαι τῷ ὕδατι πεφυκότων. πρὸς ταύτην δὲ τὴν δόξαν ὁ Ἀριστοτέλης ἀντιλέγει, μᾶλλον ἴσως ἐπικρατοῦσαν διὰ τὸ παρ' Αἰγυπτίοις οὕτως ἐν μύθου σχήματι λέγεσθαι καὶ τὸν Θαλῆν ἴσως ἐκεῖθεν τὸν λόγον κεκομικέναι. id. f. 127.

μετὰ τὸν κατακλυσμὸν γὰρ ἦν τῶν φυσικῶν ἀρχαιότατος ὢν 294 a 28.
οὗτος ὁ Μιλήσιος, οὗπερ ἡ δόξα αὕτη ἐστί, τὸ ὅτι ἡ γῆ ἐφ' ὕδατος κεῖται. φασὶ δὲ τοῦτον τὸν Θαλῆν ὑπὸ τοῦ Φαραὼ μετακαλεσθῆναι ὡς τῷ παρ' ἡμῶν Μωϋσῇ τὰ περὶ φύσεως καλῶς ἐκπαιδεύσειεν· υἱοθετησάμενος γὰρ τὸν Μωϋσέα ὁ Φαραώ, ὡς κἀκ τῶν γραφῶν τῶν ἡμετέρων μανθάνομεν, πάσας τὰς διὰ γραμμάτων παιδείας ὡς ἄριστα μαθεῖν τὸν τοιοῦτον ἐσπούδαζε. τὸ δὲ τοιοῦτον δόγμα, τὸ ὅτι ἡ γῆ τοῖς ὕδασιν ὑπανέχεται, ὁ Θαλῆς ἐξ Αἰγύπτου μετακεκόμικεν. cod. Reg. 1853.

τὸ γὰρ τυχὸν μόριον ἐμβληθὲν εἰς ὕδωρ οὐχ ἵσταται, ἕως ἂν εἰς 294 b 5.
τὸν πυθμένα τοῦ ὕδατος ἔλθῃ (τοῦτο γὰρ σημαίνει τὸ βυθίζεται), καὶ θᾶττον φέρεται τὸ μεῖζον. Simpl. f. 127.

κλεψύδραν λέγεσθαί φησιν ὁ Ἀλέξανδρος τὰ στενὸν μὲν ἔχοντα 294 b 20.
τὸ στόμα, τρήσεις δέ τινας ἐν τῷ πυθμένι. ταῦτα οὖν τὰ ἀγγεῖα, ἐμφραττόντων ἡμῶν τὸ στόμα βαπτιζόμενα ἐν τῷ ὕδατι, ἐπὶ τὴν βάσιν οὐδὲν εἰσδέχονται διὰ τὸ πεπληρῶσθαι πνεύματος μὴ δυναμένου μεταστῆναι καὶ ὑποχωρῆσαι τῷ ὕδατι διὰ τὸ πεφράχθαι τὸ στόμα. cod. Coisl. 166.

εἶδος ἀγγείου ἡ κλεψύδρα ἐστί, τὸ αὐτὸ δὲ καὶ ὑδράρπαξ παρά τισιν ὀνομάζεται, ἔχον δὲ ἄνωθεν μίαν ὀπὴν οὐ πάντη πλατεῖαν, κάτω δὲ πάλιν πολλάς τε καὶ πάνυ μικράς. εἰ γοῦν τις τὴν ἄνω τε καὶ πλατεῖαν ὀπὴν ἐπιφράξας ἐπικαλύψειεν, εἶτα τὸ τοιοῦτον ἀγγεῖον καθ' ὕδατός τινος ἐπαφήσειεν, οὐδὲ μικρόν τι ἔνδοθεν ὕδωρ εἰσρυήσεται διὰ τῶν μικρῶν τε καὶ πάντη στενωτάτων ὀπῶν τῶν κάτωθεν ὄντων· γέμει γὰρ ἀέρος τὸ τοιοῦτον ἀγγεῖον, ὃς οὐκ ἔχει πόθεν ποῖ διεξέλθοι τῆς πλατείας ὀπῆς τῆς ἄνωθεν οὔσης ἐμπεφραγμένης, ὡς ἔφημεν. ταῦτ' ἄρα καὶ ἐπεὶ σῶμα διὰ σώματος οὐ χωρεῖ, οὐδὲ μικρὸν ὕδωρ ἐν τῷ ἀγγείῳ εἰσέρχεται λεπτομερεστάτου σώματος, ἀέρος δηλαδή, γεγεμισμένῳ, ὡς προειρήκειμεν. ὑδράρπαξ δὲ τὸ τοιοῦτον ἀγγεῖον καλεῖται, ὅτι οἱ ἐν χώραις τισὶν ἀλλοδαπαῖς περιπλέοντες, ἐπὰν ποτίμων ὑδάτων ἐν ἐνδείᾳ γενήσονται, χαλῶσι τὸ τοιοῦτον ἀγγεῖον ἐν τῇ θαλάσσῃ, πλὴν οὐχ ὅλον, ἀλλὰ μέχρι τοῦ μέσου τῷ θαλασσίῳ ἐῶσιν ἐμβαπτίζεσθαι ὕδατι· ὅθεν καὶ διὰ τῶν σμικροτάτων ὀπῶν τῶν κάτωθεν οὐσῶν, πλὴν καὶ τῆς ἄνωθεν ὀπῆς τῆς πλατείας ἠνοιγμένης, τὸ λεπτομερέστερόν τε καὶ καθαρώτερον ὕδωρ τοῦ ἀγγείου ἔνδοθεν εἰσρέον δεχόμενοι θᾶττον ὑφαρπάζουσί τε καὶ πίνουσιν ὕδωρ γλυκύ τε καὶ πότιμον· τὸ γὰρ παχύτερον καὶ ὑλικώτερον ἅτε λεπτοτάτων καὶ πάνυ βραχυτάτων οὐσῶν τῶν ὀπῶν ἔξωθεν μένει, διηθεῖται δὲ ὅσον λεπτότερόν ἐστι καὶ ποτιμώτερον. cod. Reg. 1853.

ὅλως γάρ, φησί, πρὸς τοὺς οὕτω λέγοντας περὶ τῆς κινήσεως 294 b 30.
τῆς γῆς ὡς οὐκ ἐχούσης κίνησιν, οὐ περὶ τῆς γῆς αὐτῆς ἐστὶν ἡ ἀμφισβήτησις μορίου οὔσης τοῦ παντός, ἀλλὰ περὶ ὅλης τῆς τῶν φυσικῶν σωμάτων συστάσεως. Simpl. f. 128.

καὶ αὐτὴν οὖσαν. ἡ δὲ ἀντίχθων αὐτοῖς τὴν σελήνην ἐδήλου· αἰθερία γὰρ γῆ προσηγορεύετο κατὰ τὴν εἰς ιβ′ τομὴν τοῦ παντός, ἐν ᾗ τρία τὰ στοιχεῖα παρελάμβανον. τοῦτο δὲ τὸ ἄστρον φερόμενον νύκτα καὶ τὴν ἡμέραν ποιεῖν διὰ τὸ τὸν ἀπὸ τῆς σκιᾶς αὐτῆς κῶνον εἶναι νύκτα, ἡμέραν δὲ τὸ καταλαμπόμενον αὐτῆς ἐν ἡλίῳ. p. 293 *b* 1. διὸ καὶ Διὸς πύργον καὶ φυλακὴν αὐτὸ (τὸ πῦρ) ἀπεφήναντο. ἐκάλουν δὲ αὐτὸ καὶ Ἑστίας οἶκον καὶ Διὸς θρόνον, καὶ τὰς φρουρητικὰς δυνάμεις τούτων τῶν θεῶν δεχομένου τοῦ κέντρου καὶ συνοχῆς ὄντος τῷ παντὶ αἰτίου. διὸ καὶ πλεχθῆναι τὴν τοῦ παντὸς ψυχὴν ἐκ μέσου πρὸς τὸν ἔσχατον οὐρανόν, διὰ τὸ πεπλέχθαι, φησίν, ὡς τὰς φρουρητικὰς ἑαυτῆς δυνάμεις ἐν τούτοις ἱδρυμένας. ib. v. 6. ἐντεῦθεν τὸν ἔλεγχον προάγει. σχετλιαστικῶς δὲ κατὰ τὸ σύνηθες προάγει αὐτόν, ὡς καὶ ὁ Δημοσθένης "Ἀνδροτίων, ὦ γῆ καὶ θεοί." cod. Coisl. 166.

τῶν πεπερασμένον τὸν κόσμον λεγόντων οἱ μὲν πλεῖστοι ἐπὶ τοῦ μέσου κεῖσθαι λέγουσι τὴν γῆν, ὥσπερ Ἐμπεδοκλῆς καὶ Ἀναξίμανδρος καὶ Ἀναξιμένης καὶ Ἀναξαγόρας καὶ Δημόκριτος καὶ Πλάτων· ἀντιφάσκουσι δὲ οἱ Πυθαγόρειοι (τοῦτο γὰρ σημαίνει τὸ ἐναντίως), οὐ περὶ τὸ μέσον λέγοντες αὐτήν, ἀλλ' ἐν μὲν τῷ μέσῳ τοῦ παντὸς πῦρ εἶναι φασί, περὶ δὲ τὸ μέσον τὴν ἀντίχθονα φέρεσθαί φασι, γῆν οὖσαν καὶ αὐτήν, ἀντίχθονα δὲ καλουμένην διὰ τὸ ἐξ ἐναντίας τῇδε τῇ γῇ εἶναι· μετὰ δὲ τὴν ἀντίχθονα ἡ γῆ ἥδε, φερομένη καὶ αὐτὴ περὶ τὸ μέσον, μετὰ δὲ τὴν γῆν ἡ σελήνη (οὕτω γὰρ αὐτὸς ἐν τῷ πέρατι τῶν Πυθαγορικῶν ἱστορεῖ)· τὴν δὲ γῆν ὡς ἓν τῶν ἄστρων οὖσαν κινουμένην περὶ τὸ μέσον κατὰ τὴν πρὸς τὸν ἥλιον σχέσιν νύκτα καὶ ἡμέραν ποιεῖν· ἡ δὲ ἀντίχθων κινουμένη περὶ τὸ μέσον καὶ ἑπομένη τῇ γῇ οὐχ ὁρᾶται ὑφ' ἡμῶν διὰ τὸ ἐπιπροσθεῖν ἡμῖν ἀεὶ τὸ τῆς γῆς σῶμα... τέλειον γὰρ ἀριθμὸν ὑποθέμενοι τὴν δεκάδα ἐβούλοντο καὶ τῶν κυκλοφορητικῶν σωμάτων τὸν ἀριθμὸν εἰς δέκα συνάγειν (*). θέντες οὖν, φησί, τὴν ἀπλανῆ μίαν καὶ τὰς πλανωμένας ἑπτὰ καὶ τὴν γῆν ταύτην σὺν τῇ ἀντίχθονι, τὴν δεκάδα ἐπλήρωσαν. καὶ οὕτω μὲν αὐτὸς τὰ τῶν Πυθαγορείων ἀπεδέξατο. οἱ δὲ γνησιώτερον αὐτῶν μετασχόντες πῦρ μὲν ἐν τῷ μέσῳ λέγουσι τὴν δημιουργικὴν δύναμιν τὴν ἐκ μέσου πᾶσαν τὴν γῆν ζῳογονοῦσαν καὶ τὸ ἀπεψυγμένον αὐτῆς ἀναθάλπουσαν. διὸ οἱ μὲν Ζανὸς πύργον αὐτὸ καλοῦσιν, ὡς αὐτὸς ἐν τοῖς Πυθαγορικοῖς ἱστόρησεν, οἱ δὲ Διὸς φυλακήν, ὡς ἐν τούτοις, οἱ δὲ Διὸς θρόνον, ὡς ἄλλοι φασίν. ἄστρον δὲ τὴν γῆν ἔλεγον ὡς ὄργανον καὶ αὐτὴν χρόνου· ἡμερῶν γάρ ἐστιν αὕτη καὶ νυκτῶν αἰτία. ἡμέραν μὲν γὰρ ποιεῖ τὸ πρὸς τῷ ἡλίῳ μέρος καταλαμπόμενον, νύκτα δὲ τὸ κατὰ τὸν κῶνον τῆς γινομένης ἀπ' αὐτῆς σκιᾶς. ἀντίχθονα δὲ τὴν σελήνην ἐκάλουν οἱ Πυθαγόρειοι, ὥσπερ καὶ αἰθερίαν γῆν, καὶ ὡς ἀντιφράττουσαν καὶ ἐπιπροσθοῦσαν τῷ ἡλιακῷ φωτί, ὅπερ ἴδιον γῆς, καὶ ὡς ἀποπερατοῦσαν τὰ οὐράνια, καθάπερ ἡ γῆ τὰ ὑπὸ σελήνην. Simpl. f. 124.

293a 28. ταύτης τῆς δόξης νεώτερος μὲν Ἀριστοτέλους Ἀρχέδημος γέγονε· πρὸ δὲ Ἀριστοτέλους τίνες οὕτως ἐδόξασαν, ἐκ τῆς ἱστορίας, φησὶν ὁ Ἀλέξανδρος, ζητητέον. μήποτε δὲ οὐχ ὡς ἄλλων τινῶν παρὰ τοὺς Πυθαγορείους δοξασάντων οὕτως εἶπεν "πολλοῖς δ' ἂν καὶ ἑτέροις συνδόξειεν." id. f. 124 *b*.

τίνων δὲ ἡ τοιαύτη δόξα, οὐκ εἶπε. λέγει δὲ ὁ Ἀλέξανδρος 293b 21. ὅτι δύναται τοῦτο καὶ ὡς Πυθαγορείων τινῶν ταύτης γενομένων τῆς δόξης ἀκούεσθαι. τεκμήριον δὲ ἐποιοῦντο τοῦ λόγου τοῦδε τὸ τὴν σελήνην πλεονάκις ἐκλείπειν ἤπερ τὸν ἥλιον· διὰ γὰρ τὸ μὴ μόνον ὑπὸ τῆς γῆς ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων τούτων σωμάτων τῶν περὶ τὸ μέσον κινουμένων ἀντιφράττεσθαι, πλεονάκις αὐτὴν ἐκλείπειν. id. f. 125 *b*.

ἐπάγει ὅτι ἔνιοι καὶ κειμένην αὐτὴν ἐπὶ τοῦ κέντρου λέγουσιν 293b 30. εἱλεῖσθαι καὶ κινεῖσθαι, ὥσπερ ἐν τῷ Πλάτωνος Τιμαίῳ (p. 40) γέγραπται... τὸ δὲ ἰλλομένην, εἴτε διὰ τοῦ ἰῶτα γράφεται, τὸ δεδεμένην δηλοῖ· καὶ οὕτως καὶ Ἀπολλώνιος ὁ ποιητὴς (1 129)

δεσμοῖς ἰλλόμενον μεγάλων ἀπεσείσατο νώτων,

καὶ Ὅμηρος (Il. 13 572)

ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν.

εἴτε διὰ τῆς ει διφθόγγου γράφοιτο, καὶ οὕτως εἰργομένην δηλοῖ, ὡς καὶ Αἰσχύλος ἐν Βασσάραις. καὶ ὅτι τὸ ἰλλομένην οὕτως ὑπὸ τοῦ Πλάτωνος εἴρηται, δηλοῖ τὰ ἐν Φαίδωνι (p. 109) περὶ τῆς γῆς εἰρημένα, ἐν οἷς φησὶν "ἰσόρροπον γὰρ πρᾶγμα ὁμοίου τινὸς ἐν μέσῳ τεθὲν οὐχ ἕξει μᾶλλον οὐδὲ ἧττον οὐδαμόσε κλιθῆναι." δηλοῖ δὲ καὶ τὸ τοῦ Τιμαίου ῥητόν, ὅπερ ὁ Πλάτων ἐν τούτοις παρέξεσεν, οὕτως ἔχον "Γᾶ δὲ ἐν μέσῳ ἱδρυμένα, ἑστία θεῶν, ὅρος τ' ὄρφνας καὶ ἀοῦς γίνεται, δύσιάς τε καὶ ἀνατολὰς γεννῶσα κατὰ ἀποτομὰς τῶν ὁριζόντων· πρέσβιστα δὲ ἔντι τῶν ἐντὸς τοῦ οὐρανοῦ σωμάτων." εἶτα ὀλίγα εἰπὼν περὶ τῶν ἄλλων στοιχείων ἐπάγει "ὥστε ῥίζα πάντων καὶ βάσις τῶν ἄλλων ἁ γᾶ καὶ ἥρεισται ἐπὶ τὰς αὐτὰς ῥοπάς."... τῆς δὲ λέξεως δηλούσης μὲν ὡς ἐπίπαν τὸ δεδεμένην, ὡς αἱ παρατεθεῖσαι χρήσεις ἐσήμαινον, δηλούσης δὲ καὶ τὸ συστρεφομένην, ὅταν διὰ τῆς ει διφθόγγου γράφηται, πρῶτον μὲν δι' ἑνὸς τοῦ λ′ γράφεται, ἔπειτα καὶ ἐπὶ τῶν κυκλικῶν σχημάτων λέγεται τὸ συνεστράφθαι, κἂν ἀκίνητα ᾖ. πρὸς δὲ τούτοις κἂν ἑκάτερον ἡ λέξις σημαίνῃ, καὶ τὸ δεδεμένην καὶ τὸ κινουμένην, πῶς ἔδει τοῦ Πλάτωνος ἀποδέχεσθαι τὸν λόγον τοῦ Τιμαίου παραξέοντος; id. ib.

ἐντεῦθεν πρὸς Πλάτωνα αἰνίττεται... τὸ εἱλεῖσθαι σπεύδει διὰ 293b 31. πολλῶν ὁ Σιμπλίκιος συμβιβάσαι καὶ ἐκ τῶν τοῦ Πλάτωνος ῥήσεων νοεῖν ἡμᾶς, εἰ μὲν διὰ τοῦ ι γράφομεν, ἀντὶ τοῦ δεσμεῖσθαι, εἰ δὲ διὰ τῆς διφθόγγου, ἀντὶ τοῦ   λέγει δὲ σφάλμα γραφικὸν εἶναι τὸ κινεῖσθαι. ἴλλεσθαι, κἂν διὰ τοῦ ι′, τὸ δεσμεῖσθαι δηλοῖ· ὅθεν καὶ τὸ

ἰλλάσι δ' οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσι,

κἂν διὰ διφθόγγου, καὶ οὕτως εἴργομεν... ὡς Αἰσχύλος ἐν Βασσάραις. καὶ ὁ μὲν Πλάτων οὕτω χρᾶται, ὁ δὲ Ἀριστοτέλης ἀντὶ τοῦ βιάζεσθαι κινεῖσθαι   στρέφεσθαι, ὅτε καὶ μᾶλλον διὰ τῆς ει διφθόγγου. Ἡρακλείδης ὁ Ποντικὸς κινεῖσθαι περὶ τὸ μέσον τὴν γῆν, τὸν δὲ οὐρανὸν ἠρεμεῖν ὑποθέμενος, σώζειν ᾤετο τὰ φαινόμενα. cod. Coisl. 166.

(*) ornareque conantur contumeliosis verbis orationem suam. Themist. f. 34.

τὴν πρὸς τῷ ζ′ γωνίαν τῆς πρὸς τῷ ε′, καὶ ἔσται ἐπὶ μὲν τῆς κατὰ τὸ β′ τοῦ ἀστέρος θέσεως ὁμαλὴ μὲν ἡ ὑπὸ αεβ′, φαινομένη δὲ ἡ ὑπὸ αζβ′, διαφορὰ δὲ ἡ ὑπὸ εβζ′, ἐπὶ δὲ τῆς κατὰ τὸ δ′ τοῦ ἀστέρος θέσεως ὁμαλὴ μὲν ἡ ὑπὸ αεβ′, φαινομένη δὲ ἡ ὑπὸ γζδ′, διαφορὰ δὲ ἡ ὑπὸ εζδ′. ταύτης οὖν τῆς ὑποθέσεως κατὰ τὸ ἁπλούστερον ἁρμοζούσης τῷ εἰρημένῳ τοῦ μαθηματικοῦ σκοπῷ καὶ ἑτέραν ἐξεῦρον τὰ αὐτὰ τῇ προειρημένῃ δυναμένην ἐπιδεικνύναι, τουτέστιν ὥστε ὁμαλῶς τῶν ἀστέρων κινουμένων ἀνωμάλως αὐτοὺς φαίνεσθαι διεξιόντας τὰς τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου περιφερείας. νοείσθω γὰρ πάλιν ὁ αβγδ′ κύκλος ὁμόκεντρος τῷ διὰ μέσων περὶ κέντρον τὸ ε′, ἐφ' οὗ πάλιν ἡ ἡμετέρα ὄψις, ὁ δὲ ἀστὴρ μὴ ἐπ' αὐτοῦ ποιούμενος τὴν κίνησιν, ἀλλ' ἐπὶ τοῦ ζηθκ′ κυκλικοῦ καλουμένου ἐπικύκλου, τὸ α′ κέντρον πάντοτε ἔχοντος ἐπὶ τῆς τοῦ αβγδ′ κύκλου περιφερείας, ὥστε κατὰ μὲν τὸ ζ′ ἀπογειότατον ὁμοίως γίνεσθαι τὸν ἀστέρα, κατὰ δὲ τὸ θ′ περιγειότατον· καὶ δῆλον ὅτι ὅταν μὲν ὁ ἐπίκυκλος τοῦ αβ′ περιφέρειαν ὁμαλῶς κινηθεὶς γένηται κατὰ τὸ β′, συμπεριαγομένης πάλιν καὶ τῆς εβ′ ὁμαλῶς, ὁ δὲ ἀστὴρ ἀπὸ τοῦ ζ′ ἀπογείου ὡς ἐπὶ τὸ η′ ποιούμενος τὴν πάροδον τὴν ζη′ πάλιν ὁμαλῶς κινηθῇ καὶ ἐπιζεύξωμεν ἀπὸ τῆς κατὰ τὸ ε′ ὄψεως τὴν εη′ εὐθεῖαν, ὁμαλῶς μὲν πάλιν ὁ ἀστὴρ περιενεχθεὶς ἔσται ὑπὸ τοῦ ἐπικύκλου τὴν αβ′ περιφέρειαν, τουτέστι τὴν ὑπὸ αεβ′ γωνίαν, φαίνεται δὲ τὴν ὑπὸ αεη′ μείζονα τῆς ὁμαλῆς. διαφορὰ δὲ αὐτῶν γίνεται ἡ ὑπὸ βεη′ γωνία. ὅταν δὲ ἀπὸ τοῦ ζ′ ἀπογείου μὴ ὡς ἐπὶ τὸ η′ ποιῆται τὴν πάροδον, ἀλλ' ὡς ἐπὶ τὸ κ′, ἡ μὲν ὑπὸ αεβ′ γωνία πάλιν ἔσται τῆς ὁμαλῆς παρόδου, ἡ δὲ ὑπὸ κεβ′· ὥστε ἡ τοιαύτη ὑπόθεσις δύναται πρὸς τοῖς ἀπογειοτέροις τὰς τῶν ἀστέρων παρόδους καὶ μείζονας καὶ ἐλάττονας ἀποδεικνύναι, μείζονας μὲν δηλονότι ὅταν ὁ ἀστὴρ ἀπὸ τοῦ ἀπογείου τοῦ ἐπικύκλου ἐπὶ τὰ αὐτὰ τῷ κύκλῳ ποιῆται τὴν πάροδον, ἐλάττονας δὲ ὅταν ἐπὶ τἀναντία. ἡ δὲ κατ' ἔκκεντρον ἀεὶ τὴν μὲν πρὸς τῷ ἀπογειοτέρῳ φαινομένην ἐλάττονα τῆς ὁμαλῆς, ἐπεὶ καὶ πάντοτε ἡ ὑπὸ αζβ′ φαινομένη ἐλάττων ἐστὶ τῆς ὑπὸ αεβ′ ὁμαλοῦς. τούτων τῶν ὑποθέσεων ἑκατέρα τὸν ἀστρολογικὸν σκοπὸν ἀποδίδωσιν ἰδίᾳ λαμβανομένη, πλὴν ὅτι ἐπὶ τῆς σελήνης ἀμφοῖν δέονται συντιθεμένων· τὸν γὰρ φέροντα τὴν σελήνην ἐπίκυκλον ἐπὶ ἐκκέντρου κύκλου περιαγόμενον ὑποτίθενται, ἵνα σωθῇ τὰ φαινόμενα ὑπ' αὐτῆς. αὗται δὲ αἱ ὑποθέσεις καὶ ἁπλούστεραι τῶν προτέρων εἰσίν, οὐ δεόμεναι τοσαῦτα σώματα οὐράνια ἀναπλάττειν, καὶ σώζουσι τὰ φαινόμενα τά τε ἄλλα καὶ μάλιστα τὰ περὶ τὸ βάθος καὶ τὴν ἀνωμαλίαν. οὔτε δὲ τὸ ἀξίωμα τοῦ Ἀριστοτέλους φυλάττουσι τὸ βουλόμενον πᾶν κυκλοφορητικὸν σῶμα περὶ τὸ τοῦ παντὸς μέσον κινεῖσθαι. ἀλλ' οὐδὲ ἡ τῆς ἀπορίας λύσις ἡ εἰρημένη χώραν ἔχει λοιπόν, δι' ἣν οἱ λόγοι πάντες οὗτοι κεκίνηνται· οὐδὲ γὰρ ὁ ἀνισασμὸς ἔτι ἔχει χώραν, εἴπερ μηκέτι ἀληθὲς τὸ εἰρημένον ὅτι ἡ μὲν πρώτη φορὰ μία οὖσα πολλὰ κινεῖ τῶν θείων σωμάτων, αἱ δὲ πολλαὶ οὖσαι ἓν μόνον ἑκάστη· οὐ γὰρ πολλὰ σώματα κινοῦσιν αἱ πρὸ τῆς τελευταίας καὶ τῆς ἓν ἄστρον ἐχούσης. καὶ ταῦτα τὰ ἄτοπα ἐπάγει ταύταις ταῖς ὑποθέσεσιν ὁ Σωσιγένης, οὐδὲ τῇ τῶν ἀνελιττουσῶν ἀρεσκόμενος διὰ τὰς εἰρημένας ἔμπροσθεν αἰτίας. ἀλλὰ πρὸς μὲν τὸ πρῶτον ἐνίσταται ἀνάγκη τοὺς νομίζοντας καὶ τοὺς ἀστέρας ἐμψύχους ὄντας ἰδίαν ἔχειν κίνησιν· οὐδὲ γὰρ μέρη μόνον εἰσὶ τοῦ οὐρανοῦ, ἀλλὰ καὶ ὅλως καθ' αὑτὸν ἕκαστος· ἀληθὲς οὖν ἂν εἴη μᾶλλον ἀξίωμα τὸ λέγον ὅτι πᾶν τὸ κυκλοφορητικὸν σῶμα περὶ τὸ ἑαυτοῦ κέντρον κινεῖται· διὸ ὅσα μὲν τῶν οὐρανίων σωμάτων μέσον ἔχει τὸ τοῦ παντὸς μέσον, ἀληθὲς εἰπεῖν περὶ τὸ μέσον τοῦ παντὸς κινεῖσθαι, ὅσα δὲ ἐκτὸς ἐκείνου τοῦ μέσου ἐστὶ μερικώτερα ὄντα, περὶ τὸ ἑαυτῶν κινεῖται μέσον, ὥσπερ οἱ ἀστέρες καὶ οἱ ἐπίκυκλοι καὶ οἱ ἔκκεντροι, εἴπερ ἔστι καὶ τοιαῦτα ἐν τῷ οὐρανῷ σώματα, καὶ ταῦτα δὲ κινεῖται περὶ τὸ τοῦ παντὸς μέσον, κἂν μὴ τὴν ἰδίαν κίνησιν ἀλλὰ τὴν τῆς φερούσης αὐτὰ σφαίρας, ὁμοκέντρου τῷ παντὶ οὔσης. καὶ ταύτῃ γε καὶ ὁ τοῦ Ἀριστοτέλους λόγος ἀληθὴς ἂν εἴη ὅτι πᾶν κυκλοφορητικὸν σῶμα περὶ τὸ μέσον φέρεται τοῦ παντός, εἰ μὴ προσθείη τις ὅτι κατὰ τὴν ἰδίαν κίνησιν φέρεται. ἡ δὲ λύσις τῆς ἀπορίας μερικῶς ἕξει χώραν καὶ ἐπὶ τούτων τῶν ὑποθέσεων. καὶ γὰρ ἐπὶ τούτων ἀληθές πως εἰπεῖν ὅτι ἀνισάζει ἡ φύσις καὶ ποιεῖ τινὰ τάξιν τῇ μὲν μιᾷ φορᾷ πολλὰ ἀποδιδοῦσα σώματα, τῷ δὲ ἑνὶ σώματι πολλὰς φοράς· κἂν γὰρ μίαν ἕκαστον τὴν ἰδίαν κινῆται κίνησιν, ἀλλὰ καὶ τὴν τῆς ἀπλανοῦς πάντα κινεῖται τὰ ὑπ' αὐτήν, καὶ οἱ ἐπίκυκλοι ταύτην τε καὶ τὴν τῶν ὁμοκέντρων ἢ ἐκκέντρων, καὶ ὁ ἀστήρ, ὃν ἓν σῶμα εἶπε, τήν τε τοῦ ἐπικύκλου καὶ τοῦ ὁμοκέντρου ἢ ἐκκέντρου καὶ τὴν τῆς ἀπλανοῦς. ἔτι δὲ καὶ οἱ ἔκκεντροι κύκλοι οὐκ ἂν εἶεν κύκλῳ κινούμενοι, εἴπερ μὴ περὶ μέσον ἀλλὰ περὶ τὸ ἔξω τοῦ μέσου κινοῦνται, ἔν τε τῷ στρέφεσθαι ἐπιλαμβάνοντες τόπον καὶ καταλείποντες κενὸν ἀναγκάζουσιν εἶναι, τό τε σχῆμα αὐτῶν ἀλλόκοτον ἔσται τοῦ ἐντὸς ἀεὶ μέρος τοῦ ἐκτὸς ἀποτέμνοντος. μήποτε δὲ πάντα διαφευξόμεθα ταῦτα ἐκκέντρους σφαίρας ὁμοκέντροις ἐναρμόζοντες, καὶ τὴν ὁμόκεντρον περὶ τὸ ἑαυτῆς κέντρον κινουμένην περιάγειν λέγοντες τὴν ἔκκεντρον, καὶ αὐτὴν περὶ τὸ αὐτῆς κέντρον κινουμένην. καὶ πάσας τελείας ἐροῦμεν σφαίρας, μὴ δεδοικότες ἐπ' ἐκείνων τὸ σῶμα διὰ σώματος χωρεῖν. καὶ ἄλλας δὲ ἀστρονομικὰς ἀπορίας οὐκ ὀλίγας ὁ Σωσιγένης ἀπορεῖ καὶ πρὸς ταύτας τὰς ὑποθέσεις εὐφυῶς, ἃς ἄλλης ἂν εἴη σχολῆς ἐπισκέπτεσθαι· νῦν δὲ ἐδόκει τοὺς περὶ τοῦ οὐρανοῦ καὶ τῶν οὐρανίων κινήσεων λόγους ἀνερευνῶντα, καὶ τὰς ἀποδείξεις βεβαιωσάμενον δι' ὧν ἐγκύκλιοί τε καὶ ὁμαλεῖς καὶ τεταγμέναι ἐδείχθησαν, ἐπειδὴ φαίνονται ἀνώμαλοί τε καὶ ἀνόδους ἔχουσαι καὶ καθόδους, ἔννοιαν παρασχεῖν τίνων ὑποτεθέντων δι' ὁμαλῶν καὶ ἐγκυκλίων καὶ τεταγμένων κινήσεων οἵ τε παλαιοὶ ἀστρονόμοι καὶ οἱ μεταγενέστεροι σώζουσι τὰ φαινόμενα. εἰ οὖν μᾶλλον τοῖς περὶ τοῦ οὐρανοῦ λόγοις τοῦτο πρέπει ἤπερ τοῖς περὶ τῆς πρώτης φιλοσοφίας, μηδεὶς ἡμῶν αἰτιάσηται τὴν πλείονα τοῦ λόγου παρέκβασιν, εἰ κατὰ καιρὸν εἴη γεγενημένη (*). Simpl. f. 120-124.

Ἔλεγον οἱ Πυθαγόρειοι πῦρ εἶναι δημιουργικὸν περὶ τὸ μέσον 293 a 20.
τε καὶ κέντρον τῆς γῆς τὸ ἀναθάλπον τὴν γῆν καὶ ζωοποιοῦν, καὶ τὴν περὶ αὐτὴν φυλάττον διακόσμησιν· ἄστρον δὲ τὴν γῆν ὡς ὄργανον

(*) p. 293 a 11. in hoc autem non videtur Alexander recte sensisse, siquidem in suae explicationis margine colligit id secundum imaginationem dictum esse. Themist. f. 34.

μαρχος δὲ ὁ Κυζικηνὸς γνωρίζων μὲν αὐτὴν φαίνεται, ὀλιγωρῶν δὲ ὡς οὐκ αἰσθητῆς οὔσης, διὰ τὸ ἀγαπᾶν μᾶλλον τὴν περὶ αὐτὸ τὸ μέσον ἐν τῷ παντὶ τῶν σφαιρῶν αὐτῶν θέσιν. δηλοῖ δὲ καὶ ὁ Ἀριστοτέλης ἐν τοῖς Φυσικοῖς Προβλήμασι προσαπορῶν ταῖς τῶν ἀστρολόγων ὑποθέσεσιν ἐκ τοῦ μὴ ἴσα τὰ μεγέθη τῶν πλανητῶν φαίνεσθαι· οὕτως οὐ παντάπασιν ἠρέσκετο ταῖς ἀνελιττούσαις, κἂν τὸ ὁμοκέντρους οὔσας τῷ παντὶ περὶ τὸ μέσον αὐτοῦ κινεῖσθαι ἐπήγαγετο αὐτόν. καὶ μέντοι καὶ ἐξ ὧν ἐν τῷ λάβδα τῶν Μετὰ τὰ Φυσικά φησι φανερός ἐστιν οὐχ ἡγούμενος αὐτάρκως ὑπὸ τῶν μέχρι καθ' αὐτὸν ἀστρολόγων εἰρῆσθαι τὰ περὶ τὰς κινήσεις τῶν πλανωμένων. λέγει γοῦν ὧδέ πως (c. 8 p. 1073 a 11) "νῦν μὲν οὖν ἡμεῖς ἃ λέγουσι τῶν μαθηματικῶν τινὲς ἐννοίας χάριν λέγομεν, ὅπως ᾖ τι τῇ διανοίᾳ πλῆθος ὡρισμένον ὑπολαμβάνειν· τὸ δὲ λοιπὸν τὰ μὲν ζητοῦντας αὐτοὺς δεῖ, τὰ δὲ πυνθανομένους τῶν ζητούντων, ἐάν τι φαίνηται παρὰ τὰ νῦν εἰρημένα τοῖς ταῦτα πραγματευομένοις, φιλεῖν μὲν ἀμφοτέρους, πείθεσθαι δὲ τοῖς ἀκριβεστέροις." ἀλλὰ καὶ καταριθμησάμενος ἐν τῷ αὐτῷ βιβλίῳ τὰς συμπάσας φορὰς ἐπάγει (p. 1074 a 14) "τὸ μὲν πλῆθος τῶν φορῶν ἔστω τοσοῦτον, ὥστε καὶ τὰς οὐσίας καὶ τὰς ἀρχὰς τὰς ἀκινήτους καὶ τὰς αἰσθητὰς τοσαύτας εὔλογον ὑπολαβεῖν· τὸ γὰρ ἀναγκαῖον ἀφείσθω τοῖς ἰσχυροτέροις λέγειν." τό τε οὖν "ἔστω" καὶ τὸ "εὔλογον" καὶ τὸ ἄλλα ἰσχυροτέροις καταλιπεῖν τὸν περὶ αὐτὰ ἐνδοιασμὸν ἐνδείκνυται. τῷ οὖν Ἀριστοτέλει πειθομένους ἀκολουθεῖν χρὴ μᾶλλον τοῖς μεταγενεστέροις ὡς μᾶλλον σῴζουσι τὰ φαινόμενα, κἂν εἰ μηδὲ οὗτοι τελέως διασῴζουσιν, ἐκείνων μήποτε τοσαῦτα ἐπισταμένων φαινόμενα διὰ τὸ μήπω τὰς ὑπὸ Καλλισθένους ἐκ Βαβυλῶνος ἐκπεμφθείσας τηρήσεις ἥκειν εἰς τὴν Ἑλλάδα, Ἀριστοτέλους τοῦτο ἐπισκήψαντος αὐτῷ, ἃς ἱστορεῖ Πορφύριος ἐτῶν εἶναι χιλίων καὶ μυριάδων τριῶν ἕως τῶν Ἀλεξάνδρου τοῦ Μακεδόνος σῳζομένας χρόνων, μήτε ὁπόσα ἠπίσταντο διὰ τῶν ὑποθέσεων ἐπιδεικνύναι δυναμένων. ἐγκαλεῖ δὲ αὐτοῖς ὁ Πτολεμαῖος καὶ ὡς πολὺ πλῆθος σφαιρῶν εἰσάγουσι μόνης ἕνεκα τῆς συναποκαταστάσεως τῶν ἑπτὰ πλανητῶν πρὸς τὴν περιφορὰν τῆς ἀπλανοῦς, καὶ τὸ λέγειν τὰς περιεχομένας ταῖς περιεχούσαις καὶ τὰς ἐσχάτας ταῖς ὑπὲρ αὐτὰς αἰτίας εἶναι τῆς συναποκαταστάσεως, καίτοι τῆς φύσεως ἀεὶ τὰ ἀνωτέρω τοῖς κατωτέρω αἴτια ποιούσης τῆς κινήσεως· καὶ γὰρ ἐφ' ἡμῶν ἄνωθεν ἀπὸ τοῦ ἡγεμονοῦντος μορίου τὰς ὁρμὰς τῆς κινήσεως διὰ τῶν νεύρων εἰς πάντα τὰ ὄργανα διαδίδοσθαι. ἐγὼ δὲ ἀγνοῶ τί δή ποτε καθ' ἕκαστον ἀστέρα τὴν πρώτην σφαῖραν τάττουσιν ὁμοίως τῇ ἀπλανεῖ καὶ ἰσοταχῶς κινουμένην, καὶ τὰς μετ' αὐτὴν πάσας μέχρι τῆς τὸν ἀστέρα ἐχούσης τῇ ἀπλανεῖ συναποκαθιστώσας· εἰ γὰρ διαδίδωσιν ἡ ὑπερκειμένη ταῖς ὑποκειμέναις τὸ τῆς οἰκείας κινήσεως εἶδος, διὰ τί μὴ τὴν ἀπλανῆ λέγομεν ἰσχυροτάτην καὶ ἐπικρατεστάτην πασῶν οὖσαν πάσας τὰς ὑφ' ἑαυτὴν ἑαυτῇ συναποκαθιστάνειν; τὰς μὲν γὰρ τὴν κατὰ τὸ μῆκος καὶ τὴν κατὰ τὸ πλάτος κινήσεις φερούσας, ἐπειδὴ διάφοροι αὗται καθ' ἕκαστον ἀστέρα, ἀναγκαῖον ἦν διαφόρους εἶναι· ἡ δὲ μετὰ τῆς ἀπλανοῦς συναποκατάστασις, ἡ αὐτὴ οὖσα πασῶν τῶν σφαιρῶν, πῶς οὐκ ἠρκέσθη τῇ τῆς ἀπλανοῦς συμπεριαγωγῇ, ἀλλ' ἐδεήθη τῶν ταύτην τὴν κίνησιν φερουσῶν ἕκαστον ἀστέρα καὶ τῶν ἐκείνας ἀνελιττουσῶν κατὰ τὸν Ἀριστοτέλην; λέγοιεν δ' ἂν ἴσως ὅτι κἂν συναποκαθιστῶνται τῇ ἀπλανεῖ τὴν αὐτὴν αὐτῇ κίνησιν τὴν ἀπ' ἀνατολῶν κινούμεναι, ἀλλὰ διάφορον ἔχουσαι τὸ μέγεθος διάφορον πάντως καὶ τὸ τάχος ἔχουσι τῆς κινήσεως· πῶς οὖν ἦν εἰκὸς ἀπολελυμένας αὐτὰς καὶ μὴ συνδεδεμένας ὑπὸ μιᾶς τῆς ἀπλανοῦς τὰς διαφόρους κινεῖσθαι κινήσεις; κατεγνωκότες οὖν τῆς τῶν ἀνελιττουσῶν ὑποθέσεως οἱ μεταγενέστεροι μάλιστα διὰ τὴν κατὰ τὸ βάθος διαφορὰν καὶ τὴν ἀνωμαλίαν τῶν κινήσεων μὴ ἀποσῴζειν, τὰς μὲν ὁμοκέντρους ἀνελιττούσας παρῃτήσαντο, ἐκκέντρους δὲ καὶ ἐπικύκλους ὑπέθεντο, εἰ μὴ ἄρα ἡ τῶν ἐκκέντρων κύκλων ὑπόθεσις ὑπὸ τῶν Πυθαγορείων ἐπενοήθη, ὡς ἄλλοι τινὲς ἱστοροῦσι καὶ Νικόμαχος καὶ Νικομάχῳ κατακολουθῶν Ἰάμβλιχος. ἵνα δὲ καὶ τούτων τῶν ὑποθέσεων τῆς χρείας ἔννοιάν τινα λάβωμεν, περὶ οὐρανοῦ τὴν πραγματείαν ποιούμενοι, ἐκκείσθω πρῶτον ὡς ἐπὶ καταγραφῆς ἡ κατὰ τὸν ἔκκεντρον ὑπόθεσις τῇ κατὰ τὸν ὁμόκεντρον παραβαλλομένη. νοείσθω ὁ διὰ μέσων τῶν ζῳδίων κύκλος ὁμόκεντρος ὁ αβγδ' περὶ κέντρον τὸ ε', ἐφ' οὗ ὑποκείσθω ἡ ἡμετέρα ὄψις, καὶ διάμετρον τὴν αεγ'. εἰ μὲν οὖν ὁ ἀστὴρ ὡς ἀπὸ τοῦ α' ἐπὶ τὸ β' ποιεῖται τὴν ὁμαλὴν πάροδον ἐπὶ τοῦ αβγδ' κύκλου, φανερὸν ὅτι τῆς ὄψεως πρὸς τῷ ε' κέντρῳ τυγχανούσης, ἐὰν νοήσωμεν τὴν ἀπ' αὐτῆς ἐπὶ τὸν ἀστέρα πίπτουσαν ἀκτῖνα, ὡς τὴν αε' εὐθεῖαν καὶ αὐτὴν ὁμαλῶς συμπεριενεχθῆναι, φανήσεται δηλαδὴ ὁ ἀστὴρ καὶ ὁμαλῆ ποιούμενος τὴν πάροδον καὶ ἀπόστασιν ἀεὶ τὴν ἴσην ἡμῶν ἀπέχων. ἀλλ' ἐπεὶ οὐχ οὕτως ὁρῶνται, ἀλλὰ πάντοτε ἀνώμαλον ποιούμενοι τὴν πάροδον καὶ ἄλλοτε ἄλλην ἀπόστασιν ἀφεστῶτες, ὡς δῆλον γίνεται ἐκ τῆς τῶν μεγεθῶν διαφορᾶς, ὑποκείσθω ὁ αβγδ' κύκλος μηκέτι ὁμόκεντρος τῷ ζῳδιακῷ· οἷον ἵνα μηκέτι ἐπὶ τοῦ ε' τυγχάνῃ τὸ τοῦ ζῳδιακοῦ κέντρον, ἐφ' οὗ φαμὲν τὴν ὄψιν εἶναι, ἀλλ' ἐπὶ τοῦ ζ', καὶ γίνεσθαι τὸν αβγδ' μηκέτι ὁμόκεντρον τῷ διὰ μέσων τῶν ζῳδίων κύκλῳ ἀλλ' ἔκκεντρον πρὸς αὐτόν, καὶ ἀπογειότατον μὲν αὐτοῦ τὸ α', τουτέστι τὸ μέγιστον ἀπὸ τῆς κατὰ τὸ ζ' ὄψεως ἀπέχον, περιγειότατον δὲ τὸ γ', τὸ ἐλάχιστον τῆς κατὰ τὸ ζ' ὄψεως ἀπέχον. ἐὰν οὖν νοήσωμεν ἐπὶ τοῦ αβγδ' ἐκκέντρου κύκλου τὸν ἀστέρα ὁμοίως ἀπὸ τοῦ α' ἀπογείου ἐπὶ τὸ β' τὴν αβ' περιφέρειαν ὁμαλῶς κινούμενον καὶ εὐθεῖάν τινα ἀπὸ τοῦ ε' κέντρου συμπεριαγομένην αὐτῷ, καὶ αὐτὴ ὁμαλῶς συμπεριενεχθήσεται. ἔστω οὖν ὡς ἡ εβ'· συμβήσεται οὖν, ἐπιζευχθείσης ἀπὸ τῆς κατὰ τὸ ζ' ὄψεως ἐπὶ τὸν ἀστέρα τῆς ζβ', ὁμαλῶς μὲν κεκινῆσθαι τὸν ἀστέρα τὴν ὑπὸ αεβ' γωνίαν, πεφηνέναι δὲ ἐλάττονα τὴν ὑπὸ αζβ'· ἡ γὰρ πρὸς τὸ ε' γωνία ἐκτὸς οὖσα τοῦ βεζ' τριγώνου μείζων ἐστὶ τῆς ἐντὸς καὶ ἀπεναντίον τῆς πρὸς τῷ ζ'. ἐὰν δὲ ὡς ἀπὸ τοῦ γ' περιγείου ποιούμενος τὴν πάροδον κινηθῇ ὁμαλῶς τὴν γδ' περιφέρειαν, ὥστε καὶ τὴν εδ' εὐθεῖαν ὁμαλῶς συμπεριενεχθῆναι, καὶ ἐπιζεύξωμεν πάλιν ἀπὸ τῆς κατὰ τὸ ζ' ὄψεως τὴν ζδ' εὐθεῖαν, ἔσται πάλιν ἡ μὲν ὁμαλὴς ἀπὸ τοῦ περιγείου πάροδος περιεχομένη ὑπὸ τῆς ὑπὸ γεδ' γωνίας, ἡ δὲ ἀνώμαλος καὶ φαινομένη ὑπὸ τῆς γζδ', καὶ μείζων ἔσται δηλονότι κατὰ τὴν ἀπὸ τοῦ γ' περιγείου φαινομένη τῆς ὁμαλῆς διὰ τὸ μείζονα εἶναι

τούσας· ἐπὶ δὲ τῶν λοιπῶν τεττάρων, Ἄρεος Ἀφροδίτης Ἑρμοῦ Ἡλίου, πέντε καθ' ἕκαστον οὐσῶν τῶν φερουσῶν, τέτταρας. γίνονται οὖν ἅπασαι ἀνελίττουσαι δὶς μὲν τρεῖς αἱ Κρόνου καὶ Διός, τετράκις δὲ τέτταρες αἱ Ἄρεος Ἀφροδίτης Ἑρμοῦ Ἡλίου, ὥστε πᾶσαι δύο καὶ εἴκοσιν. ἦσαν δὲ αἱ φέρουσαι ὀκτὼ μὲν αἱ Κρόνου καὶ Διός, πέντε δὲ καὶ εἴκοσι τῶν λοιπῶν πέντε. τριῶν οὖν οὕτως καὶ τριάκοντα ταῖς δύο καὶ εἴκοσι συντεθεισῶν ἀνελιττούσαις αἱ πᾶσαί εἰσι πέντε καὶ πεντήκοντα· ταῖς γὰρ σελήνην φερούσαις οὐδὲν δεῖ ἀνελιττουσῶν, ἐσχάτης οὔσης, τοῦτο καὶ τοῦ Ἀριστοτέλους εἰπόντος ὅτι μόνας οὐ δεῖ ἀνελιχθῆναι ἐν αἷς φέρεται τὸ κάτω τεταγμένον ἄστρον. ἀλλ' ὅτι μὲν ὁ πασῶν ἀριθμὸς τοσοῦτος δῆλον. ἐπεὶ δὲ ἐπήνεγκεν ὁ Ἀριστοτέλης ὅτι εἴ τις μὴ προσθείη τῷ ἡλίῳ καὶ τῇ σελήνῃ ἃς εἴπομεν κινήσεις, ἑπτὰ καὶ τετταράκοντα ἔσονται πᾶσαι, τοῦτο ταραχὴν ἐποίησεν· ἐὰν γὰρ ἀφέλωμεν τὰς τοῦ ἡλίου δύο καὶ τῆς σελήνης δύο, ἃς προσέθηκε Κάλλιππος, καὶ δῆλον ὅτι καὶ δύο ἄλλας ἀπὸ ἡλίου τὰς ἀνελιττούσας ἐκείνας (ἀφῃρημένων γὰρ ἐκείνων δεῖ συναφαιρεῖν καὶ τὰς μελλούσας αὐτὰς ἀνελίττειν), ἓξ μὲν ἔσονται ἀφῃρημέναι, δύο φέρουσαι τὸν ἥλιον καὶ δύο αἱ ταύτας ἀνελίττουσαι πρὸς ταῖς δύο ταῖς τῇ σελήνῃ προστεθείσαις ὑπὸ Καλλίππου, οὐκέτι δὲ συμβαίνει τούτων ἀφαιρεθεισῶν ἀπὸ τῶν πέντε καὶ πεντήκοντα λοιπὰς εἶναι πάσας ζʹ καὶ μʹ, ἀλλ' ἐννέα καὶ μʹ. λέγει δὲ ὁ Ἀριστοτέλης ζʹ καὶ μʹ καταλιμπάνεσθαι ἢ ὡς ἐπιλελησμένος ὅτι τῆς σελήνης οὐ τέτταρας ἀλλὰ δύο μόνας ἀφεῖλεν· εἰ μὴ ἄρα δεῖ λέγειν ὅτι τοῦ μὲν ἡλίου τὰς τέσσαρας ἀφεῖλεν, ἃς προσετεθείκει αὐτὸς ἀνελιττούσας, καὶ ἀμφοτέρων ἃς ὁ Κάλλιππος, καὶ οὕτως ὀκτὼ τῶν ἀφαιρεθεισῶν οὐσῶν ἀπὸ τῶν νʹ καὶ εʹ αἱ λοιπαί εἰσι ζʹ καὶ μʹ. συμβαίνει μὲν οὖν οὕτως ὁ ἀριθμός· διὰ τί δὲ τοῦ ἡλίου τὰς δύο, τὴν δευτέραν καὶ τρίτην, οὐκ ἀνελίττουσί τινες, οὐκ ἔχομεν λέγειν, καὶ ταῦτα εἰπόντος αὐτοῦ μόνον τὸ κάτω κείμενον οὐκ ἀνελίττεσθαι. καίτοι καὶ τοῦτο καλῶς ὁ Σωσιγένης ἐπέστησεν, ὅτι καὶ ἐπὶ σελήνης ἀναγκαῖον ὑποθέσθαι τὰς ἀνελιττούσας, ἵνα μὴ τὸ ἀπὸ τῶν ἀνωτέρω κινήσεων τάχος ταῖς φερούσαις αὐτὴν προστιθέμενον ποιῇ μηκέτι τῇ ἀπλανεῖ ἰσοταχῶς ἐπὶ δυσμὰς αὐτὴν παραχωρεῖν. ἀλλ' οὖν καὶ τούτου δοθέντος, τοῦ μόνην αὐτὴν μὴ ἔχειν ἀνελίττουσαν, οὐ συμβαίνει ὁ ἀριθμός· καὶ τοῦτο τόν τε Ἀλέξανδρον καὶ τὸν Πορφύριον διετάραξεν ἐν ταῖς εἰς τὸ λάβδα τῆς Μετὰ τὰ Φυσικὰ σχολαῖς. Σωσιγένης δὲ ἐπιστήσας βέλτιον εἶναί φησι τοῦ ἀριθμοῦ παρόραμα νομίζειν τοῖς γράφουσι γεγονέναι ἢ τὰς αὐτὰς ἑβδόμας καὶ ὀγδόας σφαίρας ποιεῖν, οὐδὲ εἰ τοῦτο γένοιτο συνᾴδοντος τοῦ ἀριθμοῦ ταῖς ῥήσεσιν· οὐ γὰρ ἔτι ἔσονται αἱ πᾶσαι εʹ καὶ νʹ, καθάπερ αὐτός φησιν. προστίθησι δὲ καὶ τοῦτο ὁ Σωσιγένης, δῆλον εἶναι λέγων ἐκ τῶν εἰρημένων ὅτι κατ' ἄλλο μὲν ἀνελιττούσας αὐτὰς ὁ Ἀριστοτέλης προσαγορεύει, κατ' ἄλλο δὲ Θεόφραστος ἀνταναφερούσας. ἔστι γὰρ ἄμφω περὶ αὐτάς· ἀνελίττουσι γὰρ τὰς τῶν ὑπεράνω κινήσεις καὶ ἀνταναφέρουσι τοὺς τῶν ὑπ' αὐτὰς σφαιρῶν πόλους, τὰς μὲν ἀφαιροῦσαι, τὰς δὲ εἰς τὸ δέον καθιστῶσαι. δεῖ γὰρ τὰς μὲν ἄνωθεν κινήσεις μὴ διικνεῖσθαι πρὸς τὰς τῶν κατωτέρω φορὰς ἄστρων, τοὺς δὲ τῶν ὑποκάτω πόλους ὑπὸ τὴν αὐτὴν κάθετον ταῖς τῶν ὁμοίων σφαιρῶν πίπτειν πόλοις, ὅπως εἰς ταὐτὸν εἶεν ἀποκαθεστηκυῖαι τῇ θέσει, καθάπερ φησίν, αἱ πρῶται σφαῖραι τῶν ὑποκάτω τεταγμένων ἄστρων, καὶ δῆλον ὅτι διὰ τὰς πρώτας καὶ αἱ μετ' αὐτάς· οὕτω γὰρ μόνως, φησίν, ἐνδέχεται τὴν τῶν ἀπλανῶν φορὰν ἅπαντα ποιεῖσθαι, καθάπερ ἤδη ἔφαμεν, εὖ λέγων. τοιαύτη τίς ἐστιν ἡ διὰ τῶν ἀνελιττουσῶν σφαιροποιΐα, μὴ δυνηθεῖσα διασῶσαι τὰ φαινόμενα, ὡς καὶ ὁ Σωσιγένης ἐπισκήπτει λέγων· οὐ μὴν αἵ γε τῶν περὶ Εὔδοξον σώζουσι τὰ φαινόμενα, οὐχ ὅπως τὰ ὕστερον καταληφθέντα, ἀλλ' οὐδὲ τὰ πρότερον γνωσθέντα καὶ ὑπ' αὐτῶν ἐκείνων πιστευθέντα. καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν, ὧν ἔνια καὶ Κάλλιππος ὁ Κυζικηνός, Εὐδόξου μὴ δυνηθέντος, ἐπειράθη διασῶσαι, εἴπερ ἄρα καὶ διέσωσεν. ἀλλὰ αὐτό γε τοῦτο, ὅπερ καὶ τῇ ὄψει πρόδηλόν ἐστιν, οὐδεὶς αὐτῶν μέχρι καὶ τοῦ Αὐτολύκου τοῦ Πιταναίου ἐπεβάλετο διὰ τῶν ὑποθέσεων ἐπιδεῖξαι. καίτοι οὐδὲ αὐτὸς Αὐτόλυκος ἠδυνήθη· δηλοῖ δὲ ἡ πρὸς Ἀριστόθηρον αὐτοῦ διαφορά. ἔστι δὲ ὃ λέγω τὸ ποτὲ μὲν πλησίον ἔστι δὲ ὅτε ἀποκεχωρηκότας ἡμῶν αὐτοὺς φαντάζεσθαι. καὶ γὰρ τῇ ὄψει συμφανὲς ἐπ' ἐνίων τοῦτό ἐστιν· ὅ τε γὰρ τῆς Ἀφροδίτης λεγόμενος ἀστὴρ καὶ δὴ καὶ ὁ τοῦ Ἄρεος κατὰ μέσας τὰς προηγήσεις αὐτῶν πολλαπλάσιοι φαίνονται, ὥστε ὅ γε τῆς Ἀφροδίτης ἐν ἀσελήνοις νυξὶ σκιὰς πίπτειν ἀπὸ τῶν σωμάτων ποιεῖ. ἥ τε οὖν σελήνη καὶ ἐν αὐτῇ μὲν τῇ ὄψει συμφανής ἐστιν οὐκ ἀεὶ τὸ ἴσον ἡμῶν ἀφισταμένη, διὰ τὸ μὴ ἀεὶ τὸ ἴσον ἔχουσα μέγεθος ἡμῖν φαίνεσθαι, τῶν αὐτῶν περὶ τὸ δι' οὗ θεωρεῖται καθεστώτων· οὐ μὴν ἀλλὰ καὶ ὀργανικώτερον παραφυλάττουσι ταὐτὸ συνδοκεῖ διὰ τὸ ποτὲ μὲν ἑνδεκαδάκτυλον ποτὲ δὲ αὖ δωδεκαδάκτυλον τύμπανον ἐξ ἴσης ἀποστάσεως τοῦ θεωμένου τιθέμενον ἀντιφράττειν αὐτοῦ τῇ ὄψει, ὥστε μὴ πίπτειν ἐπ' αὐτήν. πρὸς δὲ τούτοις καὶ τὰ περὶ τὰς τοῦ ἡλίου παντελεῖς ἐκλείψεις συμβαίνοντα τῷ λεγομένῳ μαρτυρεῖ, καὶ ἔστι γε τεκμήρια τῆς περὶ τούτου ἀληθείας. ὅτε γὰρ τύχοι κατὰ στάθμην ὄντα τό τε κέντρον αὐτοῦ καὶ τὸ τῆς σελήνης καὶ δὴ καὶ ἡ ἡμετέρα ὄψις, οὐχ ὅμοια ἀεὶ τὰ συμβαίνοντα φαίνεται, ἀλλ' ὁτὲ μὲν τῷ περιλαμβάνοντι τὴν σελήνην κώνῳ, κορυφὴν δὲ ἔχοντι τὴν ἡμετέραν ὄψιν, καὶ αὐτὸς ὁ ἥλιος συμπεριλαμβάνεται, ὁτὲ δὲ καὶ διατελεῖ χρόνον τινὰ μὴ φαινόμενος ἡμῖν, ὁτὲ δὲ αὖ τοσοῦτον ἀποδεῖ τούτου ὥστε καὶ ἔξωθεν ἴτυν αὐτοῦ τινὰ περιφαινόμενον ἀπολείπεσθαι κατὰ τὸν μέσον τῆς ἐκλείψεως χρόνον· ὥστε ἀναγκαῖον ἂν εἴη τὴν περὶ τὰ μεγέθη αὐτῶν διαφορὰν φαίνεσθαι διὰ τὴν τῶν ἀποστάσεων ἀνισότητα, τῶν γε περὶ τὸν ἀέρα παραπλησίων ὄντων. ὅπερ δὲ ἐπὶ τούτων συμβαῖνον καὶ τῇ ὄψει καταφανές ἐστιν, εἰκὸς καὶ τοῖς ἄλλοις συμβαίνειν, κἂν εἰ μὴ τῇ ὄψει πρόδηλον εἴη. καὶ οὐ μόνον εἰκὸς ἀλλὰ καὶ ἀληθές, εἴπερ ἡ καθ' ἑκάστην ἡμέραν κίνησις αὐτῶν ἀνώμαλος φαίνεται. ἀλλὰ περὶ τὰ φανταζόμενα αὐτῶν μεγέθη οὐ προσπίπτει τις διαφορὰ διὰ τὸ μηδὲ πολὺ διαφέρειν τὴν εἰς τὸ ὕψος τε καὶ τοὐναντίον μετάστασιν, ἣν δὴ καὶ κατὰ βάθος κίνησιν οἱ ἀπὸ τῶν μαθημάτων καλεῖν εἰώθασιν. τοῦτο τοίνυν οὐδαμῶς ἐπειράθησαν διασῶσαι, ὥστε μὴ καθ' ἑκάστην ἡμέραν παραλλάττουσαν ἐπιδεικνύναι, καίτοι τοῦ προβλήματος τοῦτο ἀξιοῦντος. ἀλλὰ μὴν οὐδὲ ὡς ἐλελήθει γε αὐτοὺς ἡ ἀνισότης τῶν ἀποστημάτων ἑκάστου πρὸς ἑαυτόν, ἐνδέχεται λέγειν. Πολέ-

φέρεται καὶ ἀντιφέρεται τῇ δε΄ ἡ ζη΄, ὅσον συμφερομένη προςίθησιν ἀντιφερομένη, τοσοῦτον ἀναλύει, καὶ γίνεται ὅτε τὸ δ΄ ὑπὸ τὸ β΄, τὸ ζ΄ ὑπὸ τὸ α΄, καθάπερ ἐξ ἀρχῆς ἐφαίνετο, ὥςε ἀληθὲς τὸ προτεθέν. μενούσης μὲν οὖν τῆς αβ΄ δῆλον τὸ δειχθέν, καὶ ὅπως ἀμφοτέρων ὑπαρχόντων, τὸ τὴν ἐντὸς συμπεριφερομένην καὶ ἀντιφερομένην τῇ ἐκτὸς τοῖς αὐτοῖς ἀεὶ σημείοις τὴν αὐτὴν ἔχειν θέσιν, καὶ οὔτε μόνον συμφερομένην οὔτε μόνον ἀντιφερομένην. εἰ δὲ δὴ καὶ κινοῖτο ἡ αβ΄, εἴτε ἐναντίως εἴτε ἐπὶ ταὐτὸ τῇ δευτέρᾳ σφαίρᾳ, τῇ δε΄, τὰ αὐτὰ συμβήσεται περὶ τὰ σημεῖα τῆς τρίτης τῆς ζη΄ συμφερομένης τῇ δε΄ καὶ ἀντιφερομένης ὁμοίως· εἰ γὰρ τῆς αβ΄ σφαίρας ἀπὸ τοῦ α΄ ὡς ἐπὶ τὸ β΄ ςραφείσης καὶ συνεπισπώσης τὴν δε΄, ὡς τὸ δ΄ ἐπὶ τὸ ε΄ ἐλθεῖν, ἡ μέση σφαῖρα αὐτὴ ἡ δε΄ ἐπὶ τἀναντία ἢ ἐπὶ ταὐτὰ φέροιτο τῇ αβ΄ ᾡτινιοῦν τάχει πρὸς τὴν αβ΄, πρός τε τὴν ζη΄ ἰσοχρονίως, καὶ διὰ τὸ συνεπιςρέφειν τὴν τρίτην τὸ ζ΄ σημεῖον ποιεῖ παραλλάττειν τὸ α΄. ἀλλ' ἡ τρίτη σφαῖρα ἀντικινουμένη πάλιν ὑπὸ τὸ α΄ ποιήσει τὸ ζ΄, καὶ ἀεὶ τούτου γινομένου πάντα τὰ ἐπὶ τῆς ζη΄ σφαίρας σημεῖα ὑπὸ τὰ αὐτὰ ἔςαι σημεῖα τῆς αβ΄ σφαίρας. νῦν μὲν οὖν ὡς περὶ τὸν αὐτὸν ἄξονα κινουμένων τῶν σφαιρῶν δέδεικται τὸ προτεθέν· ὁ αὐτὸς δὲ λόγος κἂν μὴ περὶ τὸν αὐτὸν ἄξονα κινῶνται· οὐ γὰρ διὰ τὴν κατὰ τῶν αὐτῶν παραλλήλων κίνησιν ἡ τῶν σημείων ὑπὸ τὰ αὐτὰ σημεῖα συμβαίνει θέσις, ἀλλὰ διὰ τὴν τῆς περιεχομένης συμπεριαγωγὴν πρὸς τὴν περιέχουσαν καὶ ἀντιπεριαγωγήν, ὅσον προσέθηκεν, ἀφαιροῦσαν, εἴτε ἐπὶ λοξοῦ κύκλου εἴτε ὀρθοῦ τῆς τε περιαγωγῆς γινομένης καὶ τῆς ἀντιπεριαγωγῆς. πάλιν δύο σφαιρῶν ὁμοκέντρων ἐπὶ τὰ αὐτὰ κινουμένων, ἑκατέρας ἐν τάχει τινί, καὶ τῆς ἐλάσσονος οὐ μόνον συμφερομένης τῇ μείζονι ἀλλὰ καὶ ἰδίαν ἐπὶ τὰ αὐτὰ κινουμένης κίνησιν, εἰ μὲν κατὰ τάχη, ἡ συγκειμένη κίνησις διπλάσιον δείξει τὸ τάχος· εἰ δὲ διπλάσιον τὸ τῆς ἑτέρας τάχος, τριπλάσιον ἔςαι τὸ τῆς συγκειμένης, καὶ ἑξῆς ὡσαύτως· εἰ γὰρ ἡ μείζων κινεῖ τὴν ἐλάσσονα τεταρτημόριον, καὶ αὐτὴ δὲ ἰσοταχὴς οὖσα τεταρτημόριον κινεῖται, δὶς ἔςαι κεκινημένη τεταρτημόριον, ὥςε ἡ ἐξ ἀμφοῖν διπλασία τῆς ἑτέρας κινήσεως. ταῦτα δὲ λέγομεν, φησίν, εἰ περὶ τοὺς αὐτοὺς εἶεν πόλους αἱ κινήσεις· εἰ δὲ μὴ περὶ τοὺς αὐτούς, ἄλλο τι συμβήσεται διὰ τὴν λοξότητα τῆς ἑτέρας σφαίρας· οὐ γὰρ οὕτω συγκείσεται τὰ τάχη, ἀλλ' ὡς ἐπὶ τοῦ παραλληλογράμμου δείκνυσθαι εἴωθε τῆς ἐπὶ τῆς διαμέτρου κινήσεως ἀποτελουμένης ἐκ δύο κινήσεων, μιᾶς μὲν σημείου τινὸς ἐπὶ τοῦ μήκους τοῦ παραλληλογράμμου κινουμένου, μιᾶς δὲ τούτου αὐτοῦ τοῦ μήκους καταγομένου ἰσοχρονίως διὰ τοῦ πλάτους τοῦ παραλληλογράμμου· ἔςαι γὰρ ὁμοῦ τό τε σημεῖον ἐπὶ θατέρου πέρατος τῆς διαμέτρου καὶ ἡ τοῦ μήκους πλευρὰ κατηγμένη, καὶ οὐκ ἔςιν ἡ διάμετρος ἀμφοτέραις ἴση ταῖς περὶ αὐτὴν κεκλασμέναις, ἀλλ' ἐλάσσων, ὡς καὶ τὸ τάχος ἔλασσον μὲν τοῦ ἐξ ἀμφοῖν, σύγκειται δὲ ὅμως ἐξ ἀμφοῖν. τούτοις τοίνυν κἀκεῖνο λέγεται παραπλήσιον, δύο σφαιρῶν ὁμοκέντρων οὐσῶν, εἴτε περὶ τοὺς αὐτοὺς πόλους εἴτε περὶ ἑτέρους, ἐναντίως δὲ ἀλλήλαις περιαγομένων, καὶ ἐλάσσονα τῆς ἐλάσσονος ἀντικειμένης, συμπεριφερομένης δὲ ὑπὸ τῆς μείζονος, τὰ ἐν τῇ ἐλάσσονι σημεῖα ἐν πλείονι χρόνῳ ἐπὶ τὸ αὐτὸ ἥξει ἢ εἰ ἐνδεδεμένη μόνως ἐτύγχανεν ἡ ἐλάσσων σφαῖρα ἐν τῇ μείζονι. διὰ γὰρ τοῦτο καὶ ἡ τοῦ ἡλίου αὐτοῦ ἀπ' ἀνατολῆς ἐπ' ἀνατολὴν ἀποκατάςασις βραδυτέρα ἐςὶ τῆς τοῦ κόσμου περιςροφῆς, διότι ἐπὶ τἀναντία κινεῖται τῷ παντὶ βραδύτερον· ὡς εἴπερ ἴσον ἐκινεῖτο τῇ ἀπλανεῖ ἀντιπεριαγόμενος, ἀεὶ κατὰ τὸν αὐτὸν χρόνον ἀποκαθιςάμενος, ἤμελλεν ἀεὶ τῷ αὐτῷ σημείῳ συνανατέλλειν. τούτων οὖν προληφθέντων ὁ Σωσιγένης ἐλθὼν ἐπὶ τὰ ὑπὸ τοῦ Ἀριςοτέλους εἰρημένα περὶ τοῦ δεῖν καθ' ἕκαςον τῶν πλανωμένων ἑτέρας ἀνελιττούσας εἶναι σφαίρας μιᾷ ἐλάττους, εἰ μέλλοι τὰ φαινόμενα ἀποδοθήσεσθαι, ἐκτίθεται τὴν θεωρίαν τῆς κατὰ τὸν Ἀριςοτέλην σφαιροποιίας λέγων. ἦν τοίνυν τῶν τὸν Κρόνον φερουσῶν σφαιρῶν ἡ μὲν πρώτη κατὰ τὴν τῶν ἀπλανῶν φερομένη, ἡ δὲ δευτέρα κατὰ τὴν διὰ μέσων τῶν ζῳδίων ὑπολειπομένη, τρίτη δὲ ἡ κατὰ τὴν πρὸς ὀρθὰς τῷ διὰ μέσων τῶν ζῳδίων κύκλῳ, ἥτις παρέφερεν αὐτὸν κατὰ τὸ πλάτος ἀπὸ μεσημβρίας πρὸς ἄρκτους, πρὸς ὀρθὰς δὲ ἦν ὁ κύκλος οὗτος τῷ διὰ μέσων τῶν ζῳδίων, διότι ἐπ' αὐτοῦ τοὺς πόλους εἶχεν, οἱ δὲ διὰ τῶν πόλων τέμνοντες καὶ πρὸς ὀρθὰς τέμνουσιν. ἡ δὲ τετάρτη ἡ τὸν ἀςέρα ἔχουσα κατὰ λοξοῦ κύκλου τινὸς αὐτὸν ἐκίνει τοῦ τὸ πλάτος τῆς ἐκτροπῆς ὁρίζοντος ἐπὶ τὴν ἄρκτον, ἵνα μὴ πλησίον γένηται τῶν τοῦ κόσμου πόλων. δεῖ τοίνυν νοῆσαι πέμπτην σφαῖραν ἄλλην πρὸ τῶν φερουσῶν τῶν διὰ τεττάρων, περὶ πόλους τοὺς αὐτοὺς τῇ τετάρτῃ κινουμένην, ἐναντίως δὲ αὐτῇ καὶ ἐν ἴσῳ χρόνῳ ςρεφομένην· αὕτη γὰρ ἀφαιρήσει τὴν τῆς τετάρτης κίνησιν διὰ τὸ περὶ τοὺς αὐτοὺς αὐτῇ φέρεσθαι πόλους, ἐναντίως μέντοι καὶ ἰσοχρονίως (τοῦτο γὰρ δέδεικται), καὶ μειώσει κατὰ τὸ φαινόμενον τὸ τάχος. μετὰ δὲ τὴν πέμπτην καὶ ἄλλην νοητέον ἕκτην, τῇ μὲν τρίτῃ τοὺς πόλους τοὺς αὐτοὺς ἔχουσαν, ἀνελίσσουσαν δὲ αὐτὴν καὶ ἰσοχρόνως καὶ ἐναντίως κινουμένην, ἵνα σωθῇ τὰ φαινόμενα, καὶ τὰ σημεῖα τὰ ἐπὶ τῆς τρίτης ἀεὶ κατὰ τὴν αὐτὴν ἐπὶ τῆς πέμπτης φαίνηται καθετόν. μετὰ δὲ ταύτην ἑβδόμην προςθετέον τὴν ἀνελίττουσαν τὴν δευτέραν, ἐνηρμοσμένην περὶ τοὺς πόλους τοῦ διὰ μέσων, περὶ οὓς καὶ ἐκείνη ἐκινεῖτο, ἐναντίως μέντοι καὶ ἰσοχρονίως τῇ δευτέρᾳ ςρεφομένην, ἀφαιροῦσαν τὴν κίνησιν καὶ τὸ τάχος τὸ ἀπ' αὐτῆς διικνούμενον εἰς τὰς ὑπ' αὐτὴν σφαίρας· καὶ γὰρ ἡ δευτέρα συγκινουμένη τῇ ἀπλανεῖ προσετίθη τῷ τάχει τῶν ὑπ' αὐτὴν τῷ ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς. ςραφήσεται μὲν οὖν οὕτως ὁμοίως κινουμένη τῇ ἀπλανεῖ· οὐ μέντοι καὶ τὴν τάξιν ἕξει τῆς ἀπλανοῦς, περὶ ἄλλους ςρεφομένη πόλους καὶ οὐ τοὺς τῆς ἀπλανοῦς, ἀπ' ἀνατολῶν δὲ ὅμως ἐπὶ δυσμάς. μετὰ δὲ ταύτην ὀγδόην λοιπὸν νοητέον τὴν πρώτην τοῦ Διός, ὀρθῶς τοῦ Σωσιγένους ἐπιςήσαντος ὡς οὐκ ἔςιν ἡ τελευταία τῶν τριῶν ἀνελιττουσῶν πρώτη τῶν τοῦ Διός, ὥσπερ τινὲς ᾠήθησαν ὅτι ἡ τελευταία τῶν τὰς ἐπάνω φορὰς ἀνελιττουσῶν πρώτη ἔςαι τῶν τὸν ὑποκάτω ἀςέρα φερουσῶν, ὡς εἶναι τὴν αὐτὴν ἑβδόμην τε καὶ ἣν ἡμεῖς φαμὲν ὀγδόην, πρώτην οὖσαν τῶν τοῦ Διός· τοῦτο γὰρ συμβαίνει αὐτοῖς, δὶς τὴν αὐτὴν ἀριθμεῖν, σώζειν πειρωμένοις τὸν ἀριθμὸν τῶν ἀνελιττουσῶν τὸν ὑπ' Ἀριςοτέλους λεγόμενον· δεῖ γὰρ ἐλάττους εἶναι καθ' ἕκαςον ἀςέρα τῶν φερουσῶν τὰς ἀνελιττούσας, ὥςε ἐπὶ μὲν Κρόνου καὶ ἐπὶ Διὸς τεττάρων καθ' ἑκάτερον οὐσῶν τῶν φερουσῶν τρεῖς εἶναι τὰς ἀνελιτ-

βρίας τε πρὸς ἄρκτον στρεφομένη καὶ ἀπ' ἄρκτου πρὸς μεσημβρίαν, συνεπιστρέψει τὴν τετάρτην καὶ ἐν αὐτῇ τὸν ἀστέρα ἔχουσαν, καὶ δὴ τῆς κατὰ πλάτος κινήσεως ἕξει τὴν αἰτίαν. οὐ μὴν αὕτη μόνη· ὅσον γὰρ ἐπὶ ταύτῃ, καὶ πρὸς τοὺς πόλους τοὺς διὰ μέσων τῶν ζῳδίων ἧκεν ἂν ὁ ἀστήρ, καὶ πλησίον τῶν τοῦ κόσμου πόλων ἐγένετο. νυνὶ δὲ ἡ τετάρτη σφαῖρα περὶ τοὺς τοῦ ἀστέρος λοξοῦ κύκλου στρεφομένη πόλους ἐπὶ τἀναντία τῇ τρίτῃ ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς, καὶ ἐν ἴσῳ χρόνῳ τὴν στροφὴν αὐτῶν ποιουμένη, τό τε ἐπὶ πλέον ὑπερβάλλειν τὸν διὰ μέσων τῶν ζῳδίων παραιτήσεται, καὶ τὴν λεγομένην ὑπὸ Εὐδόξου ἱπποπέδην περὶ τὸν αὐτὸν τοῦτον κύκλον τῷ ἀστέρι γράφειν παρέξεται, ὥστε ὁπόσον τὸ τῆς γραμμῆς ταύτης πλάτος, τοσοῦτον καὶ ὁ ἀστὴρ εἰς πλάτος δόξει παραχωρεῖν· ὅπερ ἐγκαλοῦσι τῷ Εὐδόξῳ. αὕτη μὲν ἡ κατὰ Εὔδοξον σφαιροποιία, εἴκοσι καὶ ἓξ τὰς πάσας ἐπὶ τῶν ἑπτὰ παραλαμβάνουσα, ἓξ μὲν ἐπὶ ἡλίου καὶ σελήνης, εἴκοσι δὲ ἐπὶ τῶν πέντε. περὶ δὲ Καλλίππου τάδε γέγραφεν Ἀριστοτέλης ἐν τῷ Λ τῆς Μετὰ τὰ Φυσικά (c. 8 p. 1073 *b* 32) "Κάλλιππος δὲ τὴν μὲν θέσιν τῶν σφαιρῶν τὴν αὐτὴν ἐτίθετο Εὐδόξῳ, τουτέστι τῶν ἀποστημάτων τὴν τάξιν, τὸ δὲ πλῆθος τῷ μὲν τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου τὸ αὐτὸ ἐκείνῳ ἀπεδίδου, τῷ δὲ ἡλίῳ καὶ τῇ σελήνῃ δύο ᾤετο προσθετέας εἶναι σφαίρας, τὰ φαινόμενα εἰ μέλλοι τις ἀποδώσειν, τοῖς δὲ λοιποῖς τῶν πλανητῶν ἑκάστῳ ἀνὰ μίαν," ὡς εἶναι κατὰ Κάλλιππον τὰς πάσας πεντάκις πέντε καὶ δὶς τέσσαρας, τουτέστι τριάκοντα καὶ τρεῖς σφαίρας. οὔτε δὲ Καλλίππου φέρεται σύγγραμμα τὴν αἰτίαν τῶν προστεθεισῶν τούτων σφαιρῶν λέγον, οὔτε Ἀριστοτέλης αὐτὴν προσέθηκεν· Εὔδημος δὲ συντόμως ἱστόρησε τίνων φαινομένων ἕνεκα ταύτας προσθετέας εἶναι τὰς σφαίρας ᾤετο· λέγειν γὰρ αὐτόν φησιν ὡς εἴπερ οἱ μεταξὺ τροπῶν τε καὶ ἰσημεριῶν χρόνοι τοσοῦτον διαφέρουσιν ὅσον Εὐκτήμονι καὶ Μέτωνι ἐδόκει, οὐχ ἱκανὰς εἶναι τὰς τρεῖς σφαίρας ἑκατέρῳ πρὸς τὸ σῴζειν τὰ φαινόμενα, διὰ τὴν ἐπιφαινομένην δηλονότι ταῖς κινήσεσιν αὐτῶν ἀνωμαλίαν. τὴν δὲ μίαν, ἣν ἐν ἑκάστῳ τῶν τριῶν πλανητῶν Ἄρεος καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ προσετίθει φοράν, τίνος ἕνεκεν προσετίθει, συντόμως καὶ σαφῶς ὁ Εὔδημος ἱστόρησεν. ὁ δὲ Ἀριστοτέλης μετὰ τὸ ἱστορῆσαι καὶ τὴν Καλλίππου δόξαν περὶ τῶν ἀνελιττουσῶν ἐπήγαγεν (ib. p. 1073 *b* 38) "ἀναγκαῖον δέ, εἰ μέλλουσι συντεθεῖσαι πᾶσαι τὰ φαινόμενα ἀποδώσειν, καθ' ἕκαστον τῶν πλανωμένων ἑτέρας σφαίρας μιᾷ ἐλάττονας εἶναι τὰς ἀνελιττούσας καὶ εἰς ταὐτὸν ἀποκαθιστώσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου· οὕτω γὰρ μόνως ἐνδέχεται τὴν τῶν πλανητῶν φορὰν ἅπαντα ποιεῖσθαι." ταῦτα τοίνυν τοῦ Ἀριστοτέλους συντόμως οὕτως καὶ σαφῶς εἰρηκότος, ὁ Σωσιγένης ἐγκωμιάσας τὴν ἀγχίνοιαν αὐτοῦ, ἐπεχείρησεν εὑρεῖν τὴν χρείαν τῶν ὑπ' αὐτοῦ προστιθεμένων σφαιρῶν, καὶ λέγει ὅτι δυοῖν ἕνεκα ταύτας ἀνελιττούσας καλεῖ καί φησιν ἀναγκαῖον εἶναι προσγενέσθαι ταῖς ὑποθέσεσιν, ἵνα τε θέσις ἡ οἰκεία ᾖ τῇ τε καθ' ἕκαστον ἀπλανεῖ καὶ ταῖς ὑπ' αὐτῇ, καὶ ὅπως τάχος τὸ οἰκεῖον ἑκάστοις ὑπάρχῃ· ἔδει γὰρ τήν γε ὁμοίαν τῇ τῶν ἀπλανῶν ἢ ἄλλῃ τινὶ σφαίρᾳ περί τε τὸν αὐτὸν ἄξονα ἐκείνῃ φέρεσθαι καὶ χρόνῳ ἴσῳ αὐτὴν περιστρέφεσθαι· ὧν οὐδὲν ἄνευ τῆς προσθέσεως τῶν ὑπὸ Ἀριστοτέλους λεγομένων σφαιρῶν ὑπάρξαι δυνατόν. ποιώμεθα δέ, φησί, τὸν λόγον τοῦ σαφοῦς ἕνεκα ἐπὶ τῶν φερουσῶν τὸν τοῦ Διὸς σφαιρῶν. εἰ τοίνυν ἐν τῇ τελευταίᾳ τῶν τοῦ Κρόνου τεττάρων, ἐν ᾗ καὶ αὐτὸς ἐνδέδεται, τοὺς πόλους τῆς πρώτης τῶν τοῦ Διὸς ἐναρμόσαιμεν, τίνα τρόπον καὶ οὗτοι μένειν δύναιντο ἂν ἐπὶ τοῦ ἄξονος τῆς τῶν ἀπλανῶν σφαίρας, ὅτε γε ἡ φέρουσα αὐτοὺς περὶ ἄλλον ἄξονα στρέφεται πλάγιον; ἀλλὰ μὴν δεῖ γε μένειν αὐτοὺς ἐπὶ τοῦ εἰρημένου ἄξονος ἐπὶ τῆς ἐξωτάτω φορᾶς, εἴπερ μέλλοι τὴν τάξιν τῆς τῶν ἀπλανῶν σφαίρας δέχεσθαι ἡ στρεφομένη σφαῖρα περὶ αὐτούς. ἔτι τοίνυν ἐπειδὴ τῶν φερουσῶν τὸν τοῦ Κρόνου σφαιρῶν αἱ τρεῖς ὑπ' ἀλλήλων τε καὶ τῆς πρώτης συνεπιστρέφονται, ἔχουσαι μέντοι καὶ αὗται οἰκεῖόν τι τάχος, εἴη ἂν περὶ τὴν τετάρτην οὐχ ἁπλῆ τις ἡ κίνησις, ἀλλὰ πασῶν τῶν ὑπεράνω μετέχουσα. δειχθήσεται γὰρ ὅτι τῶν μὲν ἀντιφερομένων ἀφαιρεῖταί τι τοῦ διὰ τὴν συνεπιστρέφουσαν αὐτὰς τάχους ὑπάρχοντος αὐταῖς, τῶν δὲ συνεπιστρεφομένων προστίθεταί τι τῇ διικνουμένῃ εἰς αὐτὰς ἐκ τῆς ὑπεράνω σφαίρας κινήσει διὰ τὴν ἰδίαν αὐτῶν κίνησιν. ὥστε εἴπερ ἐνδεθείη τῇ σφαίρᾳ τῇ φερούσῃ τὴν τοῦ Κρόνου σφαῖραν ἡ πρώτη τῶν τοῦ Διός, καὶ τάχος οἰκεῖον ἔχοι, ὡς ἐν κόσμου περιστροφῇ ἐπὶ ταὐτὸν πάλιν ἀναπολεῖσθαι, αἱ τῶν ὑπεράνω σφαιρῶν κινήσεις οὐκ ἐάσουσι τουτὶ τὸ τάχος αὐτῇ παρεῖναι, ἀλλ' ἔσται τις πρόσθεσις· φέρονται γὰρ ἐπὶ δυσμὰς καὶ αὗται φερομένης καὶ αὐτῆς ἐκείνης ἐπὶ ταὐτά. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἑξῆς· ἥ τε γὰρ κίνησις μᾶλλον καὶ μᾶλλον συντεθήσεται, καὶ τὴν οἰκείαν θέσιν παραλλάξουσιν αὐτῶν οἱ πόλοι. δεῖ δέ, καθάπερ ἔφαμεν, οὐδέτερον τούτων συμβαίνειν. ὅπως οὖν τοῦτο μὴ γίνοιτο μηδὲ ἀπαντῴη τι τούτου γε ἕνεκα πλημμελές, ἐπενόησε τὰς ἀνελιττούσας καὶ εἰς ταὐτὸν ἀποκαθιστώσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου. οὕτω γὰρ δὴ καὶ κατὰ λέξιν εἶπεν, ἄμφω μηνύων ὧν ἕνεκα παρεισήγαγεν αὐτά, διὰ μὲν τοῦ φάναι "ἀνελιττούσας" τὴν τῆς κινήσεως ἀποκατάστασιν εἰς τὸ τάχος τὸ οἰκεῖον, διὰ δὲ τοῦ εἰπεῖν "εἰς ταὐτὸν ἀποκαθιστώσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου" τὴν τῶν πόλων ἐν τῷ προσήκοντι μονήν· κατὰ τούτους γὰρ ἡ τῶν φερομένων σφαιρῶν θέσις νοεῖται, εἴπερ μόναι μένουσι. τὴν δὲ πρώτην ἔφη σφαῖραν ὑπ' αὐτῶν ἀποκαθίστασθαι τοῦ ὑποκάτω τεταγμένου ἄστρου, ἐπειδὴ ταύτης τήν τε οἰκείαν θέσιν καὶ τὸ οἰκεῖον τάχος διὰ τὴν ἀνείλησιν λαβούσης· τὰ τῶν ἑξῆς σφαιρῶν ἅπαντα διασῴζεται. ὅτι δὲ ταῦτα συμβαίνει, ἔδειξεν ὁ Σωσιγένης προεκθέμενός τινα χρήσιμα πρὸς τὸν λόγον, ὧν ἡ σύντομος ἔκθεσίς ἐστι τοιαύτη. δύο σφαιρῶν ὁμοκέντρων οὐσῶν, οἷον τῶν δε ζη', καὶ περιεχομένων ἔξωθεν ὑπ' ἄλλης, εἴτε μενούσης εἴτε περιαγομένης ἐκείνας, ἐκείνων δὲ ἐναντίως κινουμένων ἀλλήλαις καὶ δι' ἴσου χρόνου, τουτέστιν ἰσοταχῶς, πάντα τὰ ἐν τῇ περιεχομένῃ σημεῖα κατὰ ταὐτὸν ἀεὶ ἔσται πρὸς τὴν περιέχουσαν ὡς ἂν εἰ καὶ μένουσα ἐτύγχανε. τῆς γὰρ δε κινουμένης ὡς ἀπὸ τοῦ α' ἐπὶ τὸ β', εἰ μὲν ἡ ἐλάσσων ἡ ζη' συνεπεστρέφετο μόνον καὶ μὴ ἀντεφέρετο, ὤφθη ἂν ὡς τὸ δ' ποτὲ ὑπὸ τοῦ β', οὕτω καὶ τὸ ζ' συμφερόμενον τῷ α' καὶ ἐν τῷ ἴσῳ χρόνῳ. ἐπεὶ δὲ καὶ συμ-

ἐπὶ καὶ τῷ αὐτῷ χρόνῳ ἐποιεῖτο, αὐτάρκως ἂν ἦσαν δύο σφαῖραι, μία μὲν ἡ τῶν ἀπλανῶν ἐπὶ δυσμὰς περιοῦσα, ἑτέρα δὲ πρὸς ἕω περὶ ἄξονα στρεφομένη, ἐνδεδεμένη μὲν τῇ προτέρᾳ, πρὸς ὀρθὰς δὲ ὄντα τῷ λοξῷ κύκλῳ, καθ' οὗ τὴν πορείαν ἔδοξεν ἂν ποιεῖσθαι ὁ ἥλιος. ἐπεὶ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τὸν μὲν κύκλον ἐν ἄλλῳ χρόνῳ περίεισι τὴν δὲ κατὰ πλάτος παραχώρησιν ἐν ἄλλῳ τῳ ποιεῖται, ἀνάγκη καὶ τρίτην προσλαβεῖν σφαῖραν, ὅπως ἑκάστη κίνησις ἑκάστην τῶν φαινομένων περὶ αὐτὸν ἀποδιδῷ. ταύτῃ τοίνυν τριῶν οὐσῶν τῶν σφαιρῶν καὶ πασῶν ὁμοκέντρων ἀλλήλαις τε καὶ τῷ παντὶ τὴν μὲν τὰς δύο περιέχουσαν περὶ τοὺς τοῦ κόσμου πόλους ὑπετίθετο στρέφεσθαι ἐπὶ ταὐτὰ τῇ τῶν ἀπλανῶν καὶ ἰσοχρονίως ταύτῃ ἀποκαθισταμένην, τὴν δὲ ταύτης μὲν ἐλάττω μείζω δὲ τῆς λοιπῆς ἐπιστρέφεσθαι περὶ ἄξονα, καθάπερ εἴρηται, πρὸς ὀρθὰς ὄντα τῷ διὰ μέσων τῶν ζωδίων ἐπιπέδῳ ἀπὸ δυσμῶν ἐπ' ἀνατολάς, τὴν δὲ ἐλαχίστην καὶ αὐτὴν μὲν ἐπιστρέφεσθαι ἐπὶ ταὐτὰ τῇ δευτέρᾳ, περὶ ἄξονα μέντοι ἕτερον, ὃς νοοῖτο ἂν ὀρθὸς πρός τινος κύκλου ἐπίπεδον μεγίστου καὶ λοξοῦ, ὃν ὁ ἥλιος τῷ ἑαυτοῦ κέντρῳ γράφειν δοκεῖ φερόμενος ὑπὸ τῆς ἐλαχίστης σφαίρας, ἐν ᾗ καὶ ἐνδέδεται. τὴν δ' οὖν ὑπόληψιν τῆς σφαίρας ταύτης βραδυτέραν πολλῷ τίθεται ἢ τὴν τῆς περιεχούσης αὐτήν, μέσης δὲ οὔσης τῷ μεγέθει καὶ τῇ θέσει, ὡς ἐστι δῆλον ἐκ τοῦ περὶ Ταχῶν αὐτῷ γεγραμμένου συγγράμματος. ἡ μὲν οὖν μεγίστη τῶν σφαιρῶν ἐπὶ ταὐτὰ τοῖς ἀπλανέσιν ἄμφω τὰς λοιπὰς ἐπιστρέφει διὰ τὸ τῆς μὲν φέρειν ἐν ἑαυτῇ ὄντας τοὺς πόλους, κἀκείνην δὲ τοὺς τῆς τρίτης τῆς φερούσης τὸν ἥλιον, ὁμοίως δὲ ἐχούσας ἐν ἑαυτῇ τοὺς πόλους, μεθ' ἑαυτῆς, ἐφ' ἃ περιάγεται, συνεπιστρέφειν καὶ ταύτην καὶ ἅμα ταύτῃ τὸν ἥλιον, οὕτω τε φαίνεσθαι αὐτὸν ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς φερόμενον συμβαίνει. καὶ εἰ μέν γε ἀκίνητοι ἦσαν καθ' ἑαυτὰς αἱ δύο σφαῖραι, ἥ τε μέση καὶ ἡ ἐλαχίστη, ἰσοχρόνιος κόσμου στροφῇ γίνοιτο ἂν ἡ τοῦ ἡλίου περιαγωγή· νῦν δὲ ἐπεὶ πρὸς τοὐναντίον αὗται μεταστρέφονται, ὑστερεῖ τοῦ εἰρημένου χρόνου ἡ ἀπ' ἀνατολῆς ἐπὶ τὴν ἑξῆς ἀνατολὴν τοῦ ἡλίου ἀπονόστησις. καὶ ταῦτα μὲν περὶ τὸν ἥλιον, περὶ δὲ τὴν σελήνην τὰ μὲν κατὰ ταὐτὰ τὰ δὲ οὐ κατὰ ταὐτὰ διετάξατο· τρεῖς μὲν γὰρ σφαίρας καὶ ταύτην εἶναι τὰς φερούσας, διότι καὶ τρεῖς αὐτῆς ἐφαίνοντο εἶναι κινήσεις· τούτων δὲ μίαν μὲν τὴν ὁμοίως κινουμένην τῇ τῶν ἀπλανῶν, ἑτέραν δὲ ἐναντίως μὲν ταύτῃ περὶ ἄξονα δὲ στρεφομένην πρὸς ὀρθὰς ὄντα τῷ ἐπιπέδῳ τοῦ διαμέτρου τῶν ζωδίων, καθάπερ καὶ ἐφ' ἡλίου· τρίτην δὲ οὐκέτι, καθάπερ ἐφ' ἡλίου, ὅτι κατὰ μὲν τὴν θέσιν ὁμοίως κατὰ δὲ τὴν κίνησιν οὐχ ὁμοίως, ἀλλ' ἐναντίως μὲν τῇ δευτέρᾳ, τῇ δὲ πρώτῃ φερομένην ἐπὶ ταὐτά, βραδεῖαν μὲν κίνησιν κινουμένην, περὶ ἄξονα δὲ στρεφομένην ὀρθὸν πρὸς τὸ ἐπίπεδον τοῦ κύκλου, ὡς ἐπινοηθείη ἂν ὑπὸ τοῦ κέντρου τῆς σελήνης γραφόμενος ἐγκεκλιμένος πρὸς τὸν διὰ μέσων τῶν ζωδίων τοσοῦτον ὅσον ἡ πλείστη κατὰ πλάτος τῇ σελήνῃ παραχώρησις γίνεται. φανερὸν δὲ ὅτι οἱ τῆς τρίτης σφαίρας πόλοι ἀπὸ τῶν τῆς δευτέρας διεστῶτες ἂν εἶεν περιφερείας ἐπὶ τοῦ δι' ἀμφοῖν νοουμένου μεγίστου κύκλου, ἡλίκη ἐστὶν ἡ ἡμίσεια τὸ πλάτος, ὃ κινεῖται ἡ σελήνη. τὴν μὲν οὖν πρώτην ὑπέθετο σφαῖραν διὰ τὴν ἀπ' ἀνατολῶν αὐτῆς ἐπὶ δυσμὰς περίοδον, τὴν δὲ δευτέραν διὰ τὴν ὑπὸ τὰ ζώδια φαινομένην αὐτῆς ὑπόλειψιν, τρίτην δὲ διὰ τὸ μὴ ἐν τοῖς αὐτοῖς τοῦ ζωδιακοῦ σημείοις βορειοτάτην τε καὶ νοτιωτάτην φαίνεσθαι γινομένην, ἀλλὰ μεταπίπτειν τὰ τοιαῦτα σημεῖα τῶν ζωδίων ἀεὶ ἐπὶ τὰ προηγούμενα, διὸ δὴ καὶ τὴν σφαῖραν ταύτην ἐπὶ ταὐτὰ τῇ τῶν ἀπλανῶν κινεῖσθαι, τῷ δὲ τὴν μετάπτωσιν παντάπασιν ὀλίγην γίνεσθαι καθ' ἕκαστον μῆνα τῶν εἰρημένων σημείων βραδεῖαν αὐτῆς τὴν ἐπὶ δυσμὰς κίνησιν ὑπεστήσατο. τοσαῦτα μὲν δὴ καὶ περὶ σελήνης. περὶ δὲ τῶν πέντε πλανήτων τὴν δόξαν ἐκτιθέμενος αὐτοῦ ὁ Ἀριστοτέλης διὰ τεσσάρων σφαιρῶν τούτους κινεῖσθαί φησιν, ὧν ἥ τε πρώτη καὶ ἡ δευτέρα αἱ αὐταὶ καὶ τὴν αὐτὴν ἔχουσαι θέσιν ταῖς ἐπί τε τοῦ ἡλίου καὶ σελήνης πρώταις δύο· ἥ τε γὰρ ἁπάσας περιέχουσα καθ' ἕκαστον αὐτῶν ἐστὶ σφαῖρα περὶ τὸν ἄξονα τοῦ κόσμου στρεφομένη ἐπὶ δυσμὰς ἀπ' ἀνατολῶν ἰσοχρονίως τῇ τῶν ἀπλανῶν, καὶ ἡ δευτέρα τοὺς πόλους ἐν τῇ πρώτῃ ἔχουσα περὶ ἄξονα καὶ πόλους τοῦ διὰ μέσων τῶν ζωδίων ἔμπαλιν τὴν στροφὴν ποιεῖται ἀπὸ δυσμῶν ἐπ' ἀνατολάς, ἐν ᾧ χρόνῳ ἕκαστος αὐτῶν δοκεῖ τὸν ζωδιακὸν κύκλον διεξιέναι. διὸ ἐπὶ μὲν τοῦ τε Ἑρμοῦ ἀστέρος καὶ τοῦ Ἑωσφόρου ἐνιαυτῷ φησὶ τὴν τῆς δευτέρας σφαίρας συντελεῖσθαι, ἐπὶ δὲ τοῦ Ἄρεος ἔτεσι δυσίν, ἐπὶ δὲ τοῦ Διὸς δώδεκα ἔτεσι, τριάκοντα δὲ ἐπὶ τοῦ Κρόνου, ὃν Ἥλιον ἀστέρα οἱ παλαιοὶ προσηγόρευον. αἱ δὲ λοιπαὶ δύο ὧδέ πως ἔχουσιν· ἡ μὲν τρίτη καθ' ἕκαστον τοὺς πόλους ἔχουσα ἐπὶ τοῦ διὰ μέσων τῶν ζωδίων τοῦ τε ἐν τῇ καθ' ἕκαστον δευτέρᾳ σφαίρᾳ νοουμένου ἐπὶ μεσημβρίαν τε ἀπὸ ἄρκτων καὶ ἀπὸ μεσημβρίας ἐπὶ τὰς ἄρκτους ἐπιστρέφεται, ἐν ᾧ ἕκαστος χρόνῳ ἀποφάσεως ἐπὶ τὴν ἐφεξῆς φάσιν παραγίνεται, τὰς πρὸς ἥλιον ἁπάσας σχέσεις διεξιών, ὃν καὶ διεξόδου χρόνον οἱ ἀπὸ τῶν μαθημάτων καλοῦσιν· ἔστι δὲ οὗτος ἄλλῳ ἄλλος, διὸ καὶ οὐκ ἰσοχρόνιος ἅπασιν ἡ τῆς τρίτης σφαίρας στροφή, ἀλλὰ καθάπερ Εὔδοξος ᾤετο, τῷ μὲν Ἀφροδίτης ἀστέρι ἐν μησὶν ἐννεακαίδεκα, τῷ δὲ τοῦ Ἑρμοῦ ἐν ἡμέραις δέκα καὶ ἑκατόν, τῷ δὲ τοῦ Ἄρεος ἐν μησὶν ὀκτὼ καὶ ἡμέραις εἴκοσιν, τῷ δὲ τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου ἑκατέρῳ ἔγγιστα ἐν μησὶ τρισκαίδεκα. ἡ μὲν οὖν τρίτη σφαῖρα οὕτω καὶ ἐν τοσούτῳ χρόνῳ κινεῖται, ἡ δὲ τετάρτη σφαῖρα, ἥτις καὶ τὸ ἄστρον φέρει, παρὰ λοξοῦ τινὸς κύκλου στρέφεται πόλους ἰδίους καθ' ἕκαστον, ἐν ἴσῳ μέντοι χρόνῳ τὴν στροφὴν τῇ τρίτῃ ποιεῖται, ἐναντίως ἐκείνῃ κινουμένη ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς. ὁ δὲ λοξὸς οὗτος κύκλος ἐγκέκλιται πρὸς τὸν μέγιστον τῶν ἐν τῇ τρίτῃ σφαίρᾳ παραλλήλων, ὑπ' αὐτοῦ λέγεται οὐκ ἴσον οὐδὲ ταὐτὸν ἐφ' ἁπάντων. φανερὸν οὖν ὅτι ἡ μὲν ὁμοίως τῇ τῶν ἀπλανῶν στρεφομένη πάσας τὰς λοιπὰς ἅτε ἐν ἀλλήλαις τοὺς πόλους ἐχούσας ἐπιστρέφει ἐπὶ ταὐτά, ὥστε καὶ τὴν τὸ ἄστρον φέρουσαν καὶ αὐτὸ τὸ ἄστρον, καὶ διὰ ταύτην δὴ τὴν αἰτίαν ἀνατέλλειν τε καὶ δύνειν ὑπάρξει ἑκάστῳ αὐτῶν. ἡ δὲ δευτέρα σφαῖρα τὴν ὑπὸ τὰ δώδεκα ζώδια πάροδον αὐτῷ παρέξεται· στρέφεται γὰρ περὶ τοὺς διὰ μέσων τῶν ζωδίων πόλους, καὶ συνεπιστρέφει τάς τε λοιπὰς δύο σφαίρας καὶ τὸν ἀστέρα ἐπὶ τὰ ἑπόμενα τῶν ζωδίων, ἐν ᾧ χρόνῳ ἕκαστος δοκεῖ τὸν ζωδιακὸν διανύειν κύκλον. ἡ δὲ τρίτη σφαῖρα τοὺς πόλους ἔχουσα ἐπὶ τοῦ ἐν τῇ δευτέρᾳ διὰ μέσων τῶν ζωδίων ἀπὸ μεσημ-

γάλων ἐν ἀμφοτέραις γινομένων ταῖς νήσοις) οὐ μόνον δύσκολόν ἐστιν ἀλλὰ καὶ ἀδύνατον. id. ib.

292b 6. ἡ γὰρ πρᾶξις ἐν δυσὶν ὅταν καὶ οὗ ἕνεκα ᾖ καὶ τὸ τούτου ἕνεκα· εἰ γὰρ πᾶν τὸ πρᾶττον δι' ἀγαθοῦ ἔφεσιν πράττει ὃ πράττει, ἄλλο ἂν εἴη τὸ ἀγαθὸν καὶ ἄλλο τὸ πρᾶττον. συνάγεται οὖν ἐν δευτέρῳ σχήματι ὅτι τὸ ἄριστα ἔχον οὐ δεῖται πράξεως, εἴπερ τὸ μὲν ἄριστα ἔχον τὸ οὗ ἕνεκά ἐστιν, τὸ δὲ πρᾶττον οὐκ ἔστι τὸ οὗ ἕνεκα. εἰπὼν δὲ διὰ μέσου τὰ περὶ τοῦ ἀρίστου, συνάπτει τῷ περὶ τοῦ ἀνθρώπου προειρημένῳ τὸ καὶ δὴ καὶ τῶν ἄλλων ζῴων ἐλάττους. id. ib.

292b 9. ἀλλ' οὖν τὰ πολλὰ ταῦτα πρὸ ὁδοῦ ἐστὶ πρὸς τὸ ἄριστον τῷ πάντα τὰ ἄλλα πρὸς ἐκεῖνο νεύειν καὶ δι' ἐκεῖνο αἱρετὰ εἶναι. δύναται δὲ τὸ "ἡ γὰρ ἕν τί ἐστι" καὶ ἐπὶ τῶν φυτῶν εἰρῆσθαι πρὸς τὸ "μικρά τις καὶ μία ἴσως" ἀποδιδόμενον, καὶ λέγον ὅτι ἡ γὰρ ἕν τί ἐστιν ἀγαθὸν τοῦ φυτοῦ, οὗ τύχοι ἄν, ὥσπερ καὶ ὁ ἄνθρωπος ἑκάστου τῶν πολλῶν ἑαυτοῦ ἀγαθῶν· ἢ εἰ καὶ πολλὰ εἶναι δοκεῖ τὰ ἀγαθὰ αὐτοῦ, οἷον τὸ τρέφεσθαι, τὸ αὔξεσθαι, τὸ γεννᾶν, πάντα ταῦτα πρὸ ὁδοῦ ἐστὶ πρὸς τὸ ἐν αὐτοῦ καὶ τελικώτατον ἀγαθόν, ἀπεξενωμένον ὂν πρὸς τὸ ἀνθρώπινον... καὶ εἴη ἂν τὸ μὲν ἔχειν ἐπὶ τῆς ὑπερουσίου λέγων ἀγαθότητος καὶ τοῦ ἑνός, τὸ δὲ μετέχειν ἐπὶ τοῦ νοῦ τοῦ προσεχῶς ἡνωμένου τῷ ἀγαθῷ καὶ μετέχοντος αὐτοῦ· τὸ μὲν γὰρ κατὰ τὴν ἑαυτοῦ τι προβεβλημένον οὐσίαν ἔχειν λέγεται, τὸ δὲ ἀπ' ἄλλου λαμβάνον μετέχειν. id. ib.

292b 20. γῆν εἰκὸς αὐτὸν λέγειν πᾶν τὸ ὑπὸ τὴν σελήνην, ὥς φησιν ὁ Ἀλέξανδρος. βέλτιον δέ ἐστι τὴν κυρίως ἀκούειν γῆν, ἵνα μὴ περὶ ἡλίου καὶ σελήνης εὑρεθῇ λέγων ὅτι οὐκ ἀφικνεῖται πρὸς τὸ ἔσχατον (τοῦτο γὰρ δοκεῖ λέγειν ἡ λέξις), ἀλλὰ περὶ ἀέρος καὶ τῶν ὁμοίων στοιχείων. οἶδε δὲ καὶ ταύτην τὴν ἐξήγησιν ὁ Ἀλέξανδρος. cod. Coisl. 166.

292b 24. οὕτω μὲν οὖν τὴν λύσιν ὁ Ἀριστοτέλης τῆς ἀπορίας ἀποδέδωκεν, ἐνδοὺς τῇ ἀπορίᾳ καὶ συγχωρήσας τοὺς πλάνητας πολλὰς κινεῖσθαι κινήσεις τῷ εἴδει, διὰ τοὺς φαινομένους αὐτῶν οὐ μόνον προποδισμοὺς ἀλλὰ καὶ ὑποποδισμοὺς καὶ στηριγμοὺς καὶ φάσεις διαφόρους καὶ προηγήσεις καὶ ἀκολουθήσεις καὶ πολυειδεῖς ἀνωμαλίας. διὰ γὰρ τὸ ταῦτα σώζεσθαι πλείονας καθ' ἕκαστον κινήσεις παραλαμβάνουσιν, οἱ μὲν ἐκκέντρους καὶ ἐπικύκλους, οἱ δὲ ὁμοκέντρους τὰς ἀνελιττούσας καλουμένας ὑποτιθέμενοι. ὁ δέ γε ἀληθὴς λόγος οὔτε στηριγμοὺς αὐτῶν ἢ ὑποποδισμούς, οὔτε προσθέσεις ἢ ἀφαιρέσεις τῶν ἐν ταῖς κινήσεσιν ἀριθμῶν παραδεχόμενος, κἂν οὕτω φαίνωνται κινούμενοι, οὐδὲ τὰς ὑποθέσεις ὡς οὕτως ἐχούσας προσίεται, ἀλλ' ἁπλᾶς καὶ ἐγκυκλίους καὶ ὁμαλεῖς καὶ τεταγμένας τὰς οὐρανίας κινήσεις ἀπὸ τῆς οὐσίας αὐτῶν τεκμαιρόμενος ἀποδείκνυσι. μὴ δυνάμενοι δὲ δι' ἀκριβείας ἑλεῖν πῶς αὐτῶν διακειμένων φαντασία μόνον ἐστὶ καὶ οὐκ ἀλήθεια τὰ συμβαίνοντα, ἠγάπησαν εὑρεῖν τίνων ὑποτεθέντων δι' ὁμαλῶν καὶ τεταγμένων καὶ ἐγκυκλίων κινήσεων δυνήσεται σωθῆναι τὰ περὶ τὰς κινήσεις τῶν πλανᾶσθαι λεγομένων φαινόμενα. καὶ πρῶτος τῶν Ἑλλήνων Εὔδοξος ὁ Κνίδιος, ὡς Εὔδημός τε ἐν τῷ δευτέρῳ τῆς Ἀστρολογικῆς Ἱστορίας ἀπεμνημόνευσε καὶ Σωσιγένης παρὰ Εὐδήμου τοῦτο λαβών, ἅψασθαι λέγεται τῶν τοιούτων ὑποθέσεων, Πλάτωνος, ὥς φησι Σωσιγένης, πρόβλημα τοῦτο ποιησαμένου τοῖς περὶ ταῦτα ἐσπουδακόσι, τίνων ὑποτεθεισῶν ὁμαλῶν καὶ τεταγμένων κινήσεων διασωθῇ τὰ περὶ τὰς κινήσεις τῶν πλανωμένων φαινόμενα. Simpl. f. 119.

ἄλλο τοῦτο ἐπιχείρημα, ἢ δεύτερον ἢ τρίτον, τὴν αἰτίαν ἀπὸ 293a 4.
τῶν ἀνελιττουσῶν καλουμένων σφαιρῶν ἀποδιδὸν τοῦ τὰς μὲν πλανωμένας ἓν ἄστρον ἔχειν ἑκάστην, τὴν δὲ ἀπλανῆ τοσαῦτα. λέγει οὖν ὅτι ἡ σφαῖρα ἡ τὸ ἓν ἄστρον ἔχουσα τὸ πλανᾶσθαι λεγόμενον ἐν πολλαῖς σφαίραις ταῖς ἀνελιττούσαις καλουμέναις, ἢ ὡς ὁ Θεόφραστος αὐτὰς καλεῖ, ταῖς ἀνάστροις, ἐνδεδεμένη φέρεται τελευταία οὖσα τῆς ὅλης αὐτῶν συντάξεως, οἷον τῶν τὸν Κρόνον ἢ τὸν Δία ἢ τῶν ἄλλων τινὰ κινουσῶν· καὶ ἑκάστη μὲν τούτων τῶν σφαιρῶν, τῇ τε τὸ ἄστρον ἐχούσῃ καὶ ταῖς ταύτην περιεχούσαις, ἰδίως ἐστὶ κατὰ φύσιν ἁπλῆ κίνησις, ἡ δὲ ποικιλία καὶ ἀνωμαλία τοῦ ἀστέρος προποδίζειν τε καὶ ὑποποδίζειν δοκοῦντος, καὶ προστιθέναι καὶ ἀφαιρεῖν τοῖς ἀριθμοῖς καὶ στηρίζειν, ἔξωθεν πρόσκειται· ὑπὸ γὰρ τῶν ἀνελιττουσῶν γίνεται κινουμένης μὲν ἑκάστης αὐτῶν, ὡς εἴρηται, κατὰ τὴν ἑαυτῆς ἰδίαν κίνησιν, κινούσης δὲ τὴν τὸ ἄστρον ἔχουσαν ἄλλης ἄλλως κατὰ τὴν ἑαυτῆς οἰκείαν κίνησιν. ἐπειδὴ οὖν ἑκάστη σφαῖρα σῶμα τυγχάνει ὄν, τῇ δὲ ἐξωτάτω καθ' ἑκάστην σύνταξιν σὺν τῇ ἀπλανεῖ κινουμένῃ πρὸς τῇ ἰδίᾳ κινήσει πρόσκειται τὸ καὶ τὰς ἄλλας τὰς ὑφ' ἑαυτῆς περιεχομένας κινεῖν κοινῶς τὴν αὐτὴν κίνησιν πάσας ἣν αὐτὴ κινεῖται, ἐργῶδες ἂν ἦν αὐτῇ κινεῖν καὶ σφαίρας σωματικὰς τοσαύτας καὶ τὴν τὸ ἓν ἄστρον ἔχουσαν μηκέτι ἓν ἔχουσαν ἀλλὰ πολλά, ὥσπερ καὶ τὴν ἀπλανῆ. τὸ δὲ ἐργῶδες ἔδειξεν ὁ Ἀριστοτέλης διὰ τοῦ εἰπεῖν "παντὸς δὲ πεπερασμένου σώματος πρὸς πεπερασμένον ἡ δύναμίς ἐστιν."... εἴρηται καὶ ὅτι πρῶτος Εὔδοξος ὁ Κνίδιος ἐπέβαλε ταῖς διὰ τῶν ἀνελιττουσῶν καλουμένων σφαιρῶν ὑποθέσεσι, Κάλλιππος δὲ ὁ Κυζικηνὸς Πολεμάρχῳ συσχολάσας τῷ Εὐδόξου γνωρίμῳ, καὶ μετ' ἐκεῖνον εἰς Ἀθήνας ἐλθών, τῷ Ἀριστοτέλει συγκατεβίω, τὰ ὑπὸ τοῦ Εὐδόξου εὑρεθέντα σὺν τῷ Ἀριστοτέλει διορθούμενός τε καὶ προσαναπληρῶν· τῷ γὰρ Ἀριστοτέλει νομίζοντι δεῖν τὰ οὐράνια πάντα περὶ τὸ μέσον τοῦ παντὸς κινεῖσθαι ἤρεσεν ἡ τῶν ἀνελιττουσῶν ὑπόθεσις, ὡς ὁμοκέντρους τῷ παντὶ τὰς ἀνελιττούσας ὑποτιθεμένη καὶ οὐκ ἐκκέντρους, ὥσπερ οἱ ὕστερον. Εὐδόξῳ τοίνυν καὶ τοῖς πρὸ αὐτοῦ τρεῖς ὁ ἥλιος ἐδόκει κινεῖσθαι κινήσεις, τῇ τε τῶν ἀπλανῶν σφαίρᾳ ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς συμπεριαγόμενος, καὶ αὐτὸς τὴν ἐναντίαν διὰ τῶν δώδεκα ζωδίων φερόμενος, καὶ τρίτον ἐπὶ τοῦ διὰ μέσων τῶν ζωδίων εἰς τὰ πλάγια παρεκτρεπόμενος· καὶ γὰρ καὶ τοῦτο κατείληπτο ἐκ τοῦ μὴ κατὰ τὸν αὐτὸν ἀεὶ τόπον ἐν ταῖς τροπαῖς ταῖς θεριναῖς καὶ χειμεριναῖς ἀνατέλλειν. διὰ τοῦτο οὖν ἐν τρισὶν αὐτὸν ἔλεγον φέρεσθαι σφαίραις, ἃς Θεόφραστος ἀνάστρους ἐκάλει ὡς μηδὲν ἐχούσας ἄστρον καὶ ἀνταναφερούσας μὲν πρὸς τὰς κατωτέρω, ἀνελιττούσας δὲ πρὸς τὰς ἀνωτέρω. τριῶν γὰρ οὐσῶν περὶ αὐτὸν κινήσεων ἀδύνατον ἦν τὰς ἐναντίας ὑπὸ τοῦ αὐτοῦ κινεῖσθαι, εἴγε μὴ καθ' ἑαυτὸν μήτε ὁ ἥλιος μήτε ἡ σελήνη μήτε ἄλλο τι τῶν ἀστέρων κινεῖται, πάντα δὲ ἐνδεδεμένα φέρεται τῷ κυκλικῷ σώματι. εἰ μὲν δὴ τήν τε κατὰ μῆκος περίοδον καὶ τὴν εἰς πλάτος παραχώρησιν ἐν

291 a 31. διείλαβεν γὰρ περὶ τούτων πρὸ αὐτοῦ μὲν Εὔδοξος καὶ Κάλλιππος, μετ' αὐτὸν δὲ Πτολεμαῖος, καὶ δέδεικται αὐτῷ ἐν τῇ Μεγάλῃ Συντάξει ὅσον ἀπέχει φέρε εἰπεῖν ἡ τῆς σελήνης σφαῖρα ἀπὸ τοῦ κέντρου τῆς γῆς κατὰ τὸ μέγιστον καὶ ἐλάχιστον διάστημα· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐξέθετο δὲ αὐτῶν καὶ τὰς μοίρας καὶ τὰς μυριάδας τῶν σταδίων ἐν τῷ α' λόγῳ τῶν Περὶ τῶν ἄστρων ὑποθέσεων. cod. Coisl. 166.

"ταῦτα οὖν" φησὶν "ἐκ τῶν περὶ ἀστρολογίαν θεωρείσθω·" καὶ γὰρ ἐκεῖ περὶ τῆς τάξεως τῶν πλανωμένων καὶ περὶ μεγεθῶν καὶ ἀποστημάτων ἀποδέδεικται, Ἀναξιμάνδρου πρώτου τὸν περὶ μεγεθῶν καὶ ἀποστημάτων λόγον εὑρηκότος, ὡς Εὔδημος ἱστορεῖ, τὴν τῆς θέσεως τάξιν εἰς τοὺς Πυθαγορείους πρώτους ἀναφέρων· τὰ δὲ μεγέθη καὶ τὰ ἀποστήματα ἡλίου καὶ σελήνης μέχρι νῦν ἔγνωσται, ἀπὸ τῶν ἐκλείψεων τὴν ἀφορμὴν τῆς καταλήψεως λαβόντα. καὶ εἰκὸς ἦν ταῦτα καὶ τὸν Ἀναξίμανδρον εὑρηκέναι, καὶ Ἑρμοῦ δὲ καὶ Ἀφροδίτης ἀπὸ τῆς πρὸς τούτους παραβολῆς, ὥσπερ τὰ μεγέθη καὶ τὰ ἀποστήματα ὑπὸ τῶν μετ' Ἀριστοτέλην πλέον ἠκριβώθη, καὶ τελεώτατά γε ὑπὸ τῶν περὶ Ἵππαρχον καὶ Ἀρίσταρχον καὶ Πτολεμαῖον... ὁ δὲ Ἀλέξανδρος τὸ ταχυτέρας μὲν εἶναι τὰς μείζονας σφαίρας κατὰ τὴν αὐτῶν φύσιν, βραδύτερον δὲ τὰς ἀνωτέρω κινεῖσθαι ὡς ὑπὸ τῆς ἀπλανοῦς ἐμποδιζομένας, πιστοῦται καὶ ἐκ τῆς τοῦ Ἄρεος καὶ ἐκ τοῦ Ἑρμοῦ, ὥς φησί, σφαίρας, ἀνωτέρας οὔσας, ὡς λέγει, τῆς Ἀφροδισιακῆς, καὶ διὰ τοῦτο καὶ μείζονας, ἰσοταχῶς ἀλλήλαις τε καὶ τῇ τῆς Ἀφροδίτης ἀποκαθίστασθαι· οὐκέτι γὰρ ὁμοίως ἐμποδιζόμεναι ὑπὸ τῆς ἐσχάτης περιφορᾶς, ἐλάττους διὰ τὸ ἀπόστημα, ἰσοταχῶς κινοῦνται ταῖς μείζοσιν αὐτῶν... ἀλλὰ τὸ μὲν τὴν τοῦ Ἑρμοῦ σφαῖραν ὑπὲρ τὴν Ἀφροδίτης εἰπεῖν ἢ γραφικόν ἐστι πταῖσμα, ἀντὶ ἡλίου τὸν Ἑρμῆν ἔχον, ἢ κατὰ τὴν τῶν παλαιῶν εἴρηται δόξαν, καθ' ἣν καὶ ὁ Πλάτων ἐν Πολιτείᾳ (X p. 616) σφαιροποιεῖ, λέγων ἕκτον μὲν ἄνωθεν τὸν τῆς Ἀφροδίτης καὶ δεύτερον ὄντα λευκότητι μετὰ τὸν τοῦ Διός, ἕβδομον δὲ τὸν ἥλιον καὶ ὀγδόην τὴν σελήνην, ὥστε ὑπὲρ τὴν Ἀφροδίτην τετάχθαι τὸν Ἑρμῆν. ὅτι δὲ ὁ Ἑρμῆς ὑπὸ τὴν Ἀφροδίτην κατείληπται, δηλοῦσι καὶ αἱ τηρήσεις, ἐν αἷς ὁ τοῦ Ἑρμοῦ ἀστὴρ ὑποδραμὼν τὴν τῆς Ἀφροδίτης ἱστόρηται. δέδεικται δὲ τοῦτο καὶ ἀπὸ τοῦ λόγου τῆς τῶν ἀπογείων καὶ περιγείων αὐτῶν ἀποστάσεως· τὸ γὰρ μέγιστον ἀπόστημα τῆς Ἀφροδίτης τὸ αὐτό πως δέδεικται τῷ τοῦ ἡλίου ἀποστήματι, ὡς πλησίον εἶναι τοῦ ἡλίου τὴν Ἀφροδίτην, καὶ τὸ μέγιστον δὲ τοῦ Ἑρμοῦ καὶ ἐγγύς πως τῷ ἐλαχίστῳ τῆς Ἀφροδίτης, καὶ τὸ τῆς σελήνης μέγιστον ἐγγὺς τῷ ἐλαχίστῳ τοῦ Ἑρμοῦ· ταῦτα γὰρ δείκνυται ἐν τῇ Πτολεμαίου συντάξει, μεταφερομένου τοῦ λόγου τῆς τῶν ἀστέρων ἐκκεντρότητος εἰς τὸν λόγον τῆς ἐκκεντρότητος τῆς γῆς. ἀλλὰ τοῦτο μέν, ὡς εἴρηται, ἢ γραφικὸν πταῖσμα ὑπάρχον ἢ κατὰ παλαιοτέραν σφαιροποιίαν εἰρημένον, οὐ πολλοῦ δεῖται λόγου. καὶ ἄλλην δὲ αἰτίαν ὁ Ἀλέξανδρος λέγει τοῦ τὰ πλησιαίτερον τῆς ἀπλανοῦς βραδύτερον ἀποκαθίστασθαι, τὸ μείζονας εἶναι τὰς ἀνωτέρω σφαίρας (*). Simpl. f. 115.

291 b 19. ὡς αὐξανομένην φησὶ καὶ φθίνουσαν (τὴν σελήνην) τὰ μὲν πλεῖστα μηνοειδῆ φαίνεσθαι ἢ ἀμφίκυρτον, ἅπαξ δὲ διχότομον. ἀλλ' εἰ μὲν διχότομον, τὴν πανσέληνον ἔλεγεν, ὡς διχόμηνον αὐτὴν ἐκάλεσεν Ἄρατος (v. 808) διὰ τὸ διχῇ τέμνειν τὸν μῆνα, καὶ τὰ ἄλλα συνεφώνει τῷ πλεονάκις μηνοειδῆ φαίνεσθαι· καὶ γὰρ αὐξανομένη καὶ φθίνουσα, καὶ ἀμφίκυρτος ὁμοίως. ἐπειδὴ δὲ μετ' ὀλίγον (p. 292 a 3) διχότομον τὴν παρ' ἡμῖν λεγομένην ὀνομάζει, ὅταν λέγῃ "τὴν γὰρ σελήνην ἑωράκαμεν διχότομον μὲν οὖσαν, ὑπελθοῦσαν δὲ τῶν ἀστέρων τὸν τοῦ Ἄρεος, καὶ ἀποκρυφθέντα μὲν κατὰ τὸ μέλαν αὐτῆς, ἐξελθόντα δὲ κατὰ τὸ φανερὸν καὶ λαμπρόν," καλῶς ἐξηγοῦνται τὸ "ἅπαξ διχότομος·" καὶ γὰρ αὐξανομένη καὶ φθίνουσα καὶ μηνοειδὴς καὶ ἀμφίκυρτος ἐπὶ χρόνον γίνεται πλείονα. id. f. 117.

292 a 4. ὁ μέντοι Ἀλέξανδρος ὑπομνηματίζων οὐ λέγει τὸν τοῦ Ἄρεος ἀλλὰ τὸν τοῦ Ἑρμοῦ. cod. Coisl. 166.

ὅτι τῶν ἄλλων κατωτέρω ἐστὶν ἡ σελήνη, δείκνυσιν ἐκ τῶν ἱστορημένων αὐτῆς ὑποδρομῶν, ὧν μίαν καὶ αὐτὸς ἑωρακέναι φησί, τὴν τοῦ Ἄρεος· διχότομον γὰρ οὖσαν ὑπελθεῖν φησὶ τὸν τοῦ Ἄρεος, καὶ ἀποκρυφθῆναι μὲν αὐτὴν κατὰ τὸ μέλαν αὐτῆς, ἐξελθεῖν δὲ κατὰ τὸ λαμπρόν, ὡς αὐξανομένην αὐτὴν εἶναι διχότομον. ἀλλὰ τοῦτο μὲν αὐτὸς ἐθεάσατο· καὶ περὶ τοὺς ἄλλους δὲ ἀστέρας τὸ αὐτὸ συμβὰν τοὺς ἀνωτέρω ἐτήρησαν Αἰγύπτιοί τε καὶ Βαβυλώνιοι, ὡς πολλὰς αὐτῶν περὶ ἑκάστου τῶν ἀστέρων τηρήσεις παραδεδόσθαι. εἶτα καὶ τὴν δευτέραν ἀπορίαν ἐπάγει, διὰ τίνα ποτὲ αἰτίαν ἐν μὲν τῇ ἀπλανεῖ τοσοῦτόν ἐστιν ἀστέρων πλῆθος ὥστε τῶν ἀναριθμήτων εἶναι δοκεῖν, ἐν ἑκάστῃ δὲ τῶν ὑπ' αὐτὴν σφαιρῶν οὐ φαίνεται πλέον ἑνὸς ὑπάρχον ἄστρου; καὶ τότε πρὸς τὸ παράβολον τῆς ζητήσεως ἀπιδών, καὶ φοβερὰν αὐτὴν εἶναι διὰ τὸ μέγεθος τῶν ἀποριῶν λογισάμενος, παραμυθεῖται λέγων, περὶ μὲν δὴ τούτων ζητεῖν καὶ καλῶς ἔχειν, καὶ τὴν ἐπὶ πλέον σύνεσιν ἀποδέχεσθαι ἢ μᾶλλον ἀπαιτεῖν. τοῦτο γὰρ μᾶλλον ἐλλείπειν τὸν λόγον οἴεται ὁ Ἀλέξανδρος, διότι τὸ ἐπιφερόμενον τούτῳ μᾶλλον κατάλληλον εἶναι δοκεῖ. μή ποτε δὲ οὐκ ἐκλειπτικῶς εἴρηται ὁ λόγος (οὐδὲ γὰρ εἴωθεν Ἀριστοτέλης, κἂν βραχυλόγος ᾖ, ἐλλειπτικῶς ἑρμηνεύειν), ἀλλὰ τοὺς μάλιστα συνετοὺς φησὶ δεῖν τὰ τοιαῦτα ζητεῖν καὶ οὐ τοὺς τυχόντας, καὶ μὴ ἀποδειλιᾶν, κἂν μικρὰς ἔχωσιν ἀφορμὰς περὶ αὐτῶν. Simpl. f. 117 *b*.

292 a 24. τῷ δὲ πλειόνων δεῖ γυμνασιῶν πρὸς τὸ ὑγιαίνειν, οἷον δρόμου καὶ πάλης καὶ τῆς ἐν τῷ παλαίειν γυμναστικῆς διατριβῆς· τοιαύτη γὰρ ἡ κόνισις διὰ τὸ ἐν κόνει γυμνάζεσθαι τὰ παλαιστρικά. τοῦτο δὲ ὡς τῷ πλανωμένῳ ἀνάλογον παρείληπται· τῷ δὲ ἐσχάτως διακειμένῳ οὐδὲ ὁποσαοῦν πονοῦντι τὸ εἰλικρινὲς τῆς ὑγιείας ἀγαθὸν ὑπάρχει. id. f. 118.

292 a 29. ὅπερ ἐστὶ χαλεπώτατον, οἷον μυρίους ἀστραγάλους Χίους βαλεῖν ἀστραγαλίζοντα ἢ Κῴους (γράφεται γὰρ οὕτως, ὡς μεγάλων ἀστρα-

(*) p. 291 *b* 15. nuper vero declaratum fuit ipsa globosa esse, quoniam motu aliquo per se ac proprie non moventur; existimaturque eius demonstrationis species esse quae dialemma vocitatur, hoc est, quando ignotum per ignotum demonstratur; qualis est demonstratio circularis. Themist. f. 32 *b*. cf. f. 33 *b* extr.

λάττης ἢ τῶν ὀρῶν, δύναται, φησὶν ὁ Ἀλέξανδρος, καὶ κυλιομένης αὐτῆς ὁμοία μένειν ἡ ἔμφασις τῷ καὶ ταῦτα ἀφ' ὧν ἡ ἔμφασις τὰ αὐτὰ μένειν. id. ib.

290 b 8. "ἐπεὶ οὖν δεῖ" φησί "τὸν μὲν οὐρανὸν κινεῖσθαι τὴν ἐν αὑτῷ κίνησιν," ἤτοι τὴν ἐν τῷ αὐτῷ τόπῳ λέγων, ἐπειδὴ οὐ συνεχώρησε κατέχειν τὸν αὐτὸν τόπον, ἢ πρὸς ἀντιδιαστολὴν τῆς ἐν τόπῳ κινήσεως ἐπὶ τοῦ μὴ ὄντος ἐν τόπῳ εἶπε "τὴν ἐν ἑαυτῷ κίνησιν," τὰ δὲ ἄλλα οὐράνια σώματα, τουτέστι τὰ ἄστρα, μὴ προϊέναι δι' ἑαυτῶν εἰς τὸ πρόσω, ὥσπερ τὰ πορευόμενα καὶ μεταβάλλοντα τὸν τόπον, "εὐλόγως ἂν ἑκάτερον εἴη σφαιροειδές·" οὕτω γὰρ μάλιστα τὸ μὲν οὐράνιον σῶμα κινηθήσεται τὴν ἐν αὑτῷ κίνησιν, τὴν καὶ ὁρωμένην, τὰ δὲ ἄστρα τὸν αὐτὸν ἀεὶ τόπον καθέξει. γράφεται δὲ καὶ "τὸ μὲν κινήσει τὸ δὲ ἠρεμήσει·" καὶ ἔστιν αὕτη σαφεστέρα ἡ γραφή, εἴπερ ὁ μὲν οὐρανὸς περιφέρει τὰ ἄστρα, αὐτὰ δὲ ἐν τῷ αὐτῷ μένει τόπῳ... ἐρωτητέον δὲ τὸ μεταξὺ τῶν ἄστρων τί ποτε ἂν εἴη; κενὸν μὲν γὰρ οὐκ ἔστι, τοῦτο γὰρ δέδεικται μὴ ὄν· εἰ οὖν σῶμα, ἢ τὸ ἀΐδιον τοῦτο, ὅπερ ζητοῦμεν, τὸ οὐράνιον, ἢ γινόμενόν τι καὶ φθειρόμενον, οἷον ὁ ἀὴρ ἤ τι αἰθερῶδες ὑπέκκαυμα. καὶ πῶς δυνατὸν τῶν κατ' οὐσίαν τοσοῦτον διαφερόντων, τῶν τε ἀστέρων φημὶ ἀϊδίων ὄντων καὶ τοῦ μεταξὺ σώματος, εἴπερ εἴη γενητὸν καὶ φθαρτόν, τὸν αὐτὸν εἶναι κατὰ φύσιν τόπον;... τοσοῦτον δὲ προσθετέον τοῖς εἰρημένοις, ὅτι ἡ μὲν ἀπλανὴς καλουμένη σφαῖρα, εἴπερ ὄντως ἀπλανὴς εἴη, καὶ μὴ δέχεταί τις ἐπ' αὐτῆς τὴν Ἱππάρχου τε καὶ Πτολεμαίου τήρησιν (*) ὡς δι' ἑκατὸν ἐτῶν μίαν μοῖραν καὶ αὐτῆς ἀνάπαλιν κινουμένης, μίαν ἂν κινοῖτο κίνησιν, καὶ ταύτην ἁπλῆν, οἱ δὲ ἐν αὐτῇ ἀστέρες δύο, τήν τε ἑαυτῶν δίνησιν καὶ τὴν τοῦ παντός, οἱ δὲ πλανώμενοι τρεῖς τήν τε οἰκείαν καὶ τὴν τῶν περιεχουσῶν αὐτοὺς σφαιρῶν καὶ τὴν τοῦ παντός. ἐπειδὴ δὲ καὶ ὁ ἡμέτερος καθηγεμὼν Ἀμμώνιος ἐμοῦ παρόντος ἐν τῇ Ἀλεξανδρείᾳ τηρήσας διὰ τοῦ στερεοῦ ἀστρολάβου τὸν Ἀρκτοῦρον, εὗρε πρὸς τὴν κατὰ Πτολεμαῖον ἐποχὴν αὐτοῦ τοσοῦτον ἐπικινηθέντα ὅσον ἐχρῆν κατὰ ἑκατὸν ἔτη μίαν μοῖραν ἀντικινούμενον, ἀληθέστερον ἴσως ἂν εἴη λέγειν ὅτι ἡ μὲν ἄναστρος σφαῖρα ἡ πάσας περιέχουσα, ἧς οὔπω γνῶσις ἦν, ὡς ἔοικεν, ἐν τοῖς κατὰ Ἀριστοτέλην χρόνοις, μίαν καὶ ἁπλῆν τὴν ἀπ' ἀνατολῆς κινουμένη κίνησιν τὰς ἄλλας πάσας ταύτῃ συμπεριάγει, ἡ δὲ ἀπλανὴς παρ' ἡμῶν λεγομένη δύο κινεῖται κινήσεις, τήν τε ἀπ' ἀνατολῶν τοῦ παντὸς οὖσαν καὶ τὴν ἀπὸ δύσεως οἰκείαν, οἱ δὲ ἐν αὐτῇ ἀστέρες ταύτας τε τὰς δύο καὶ τὴν οἰκείαν δίνησιν. ὁμοίως δὲ καὶ αἱ ἐφεξῆς σφαῖραι καὶ οἱ ἐν αὐταῖς ἀστέρες, αἱ μὲν δύο τὰς αὐτάς, οἱ δὲ τρεῖς τὰς αὐτὰς κινοῦνται κινήσεις (**). id. f. 112 *b*.

ἔστι μὲν ὁ λόγος τῶν Πυθαγορείων· οὗτοι γὰρ καὶ αἰσθάνεσθαι τὸν 290 b 13. Πυθαγόραν ἔλεγον τοῦ ἐναρμονίου ψόφου τοῦ γινομένου ἐκ τῆς τῶν οὐρανίων σωμάτων κινήσεως (*). id. f. 113.

τὸ συνημμένον τῷ φερομένῳ, ὅπερ συνεχὲς καλεῖ, οἷον ὁ 291 a 17. ἱστὸς ἐν τῇ νηῒ ἢ τὸ ὕδωρ ἐν τῷ κεράμῳ ἢ τὸ πλοῖον ἐν τῷ ῥέοντι ποταμῷ, καὶ μὴ καθ' αὑτὸ πλῆττον, ἀδύνατον ψοφεῖν... οἱ δὲ Πυθαγόρειοι ἐναρμόνιον ἦχον ἀπὸ τῆς τῶν οὐρανίων σωμάτων κινήσεως ἔλεγον ἀποτελεῖσθαι, καὶ ἐκ τῆς τῶν ἀποστημάτων αὐτῶν ἀναλογίας μετ' ἐπιστήμης συνελογίζοντο, εἴπερ οὐ μόνον ἡλίου καὶ σελήνης καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ ἀλλὰ καὶ τῶν ἄλλων ἀστέρων οἱ λόγοι τῶν ἀποστημάτων ὑπ' αὐτῶν κατελήφθησαν. ἡ μέντοι τοῦ μὴ ἀκούειν ἡμᾶς ἀποδοθεῖσα αἰτία, ἡ διὰ συντροφίαν καὶ συνήθειαν λέγουσα, θαυμάζω εἰ τοῖς Πυθαγορείοις ἐπιτρέπει τὸν Πυθαγόραν ἱστοροῦσιν ἀκοῦσαί ποτε τῆς τοιαύτης ἁρμονίας, καίπερ καὶ ἐκείνῳ σύντροφος ἦν, ὥσπερ καὶ τοῖς ἄλλοις ἀνθρώποις. μήποτε οὖν κατὰ τὴν τῶν ἀνδρῶν φιλοσοφίαν λυτέον τὴν ἔνστασιν, λέγοντας ὅτι οὐ πάντα ἀλλήλοις ἐστὶ σύμμετρα, οὐδὲ παντί ἐστιν αἰσθητὸν οὐδὲ παρ' ἡμῖν. δηλοῦσι δὲ οἱ κύνες ὀσφραινόμενοι τῶν ζῴων πόρρωθεν, ὧν οἱ ἄνθρωποι οὐκ ὀσφραίνονται. πόσῳ δὴ μᾶλλον ἐπὶ τῶν τοσοῦτον τῇ φύσει διεστηκότων ὅσον τὰ ἄφθαρτα τῶν φθαρτῶν καὶ τὰ οὐράνια τῶν ἐπιγείων, ἀληθὲς εἰπεῖν ὅτι ὁ τῶν θείων σωμάτων ἦχος ταῖς ἐπικήροις ἀκοαῖς οὐκ ἔστιν ἀκουστός. εἰ δέ τις καὶ τοῦτο τὸ σῶμα τὸ ἐπίκηρον ἐξηρτημένος, τὸ αὐτοειδὲς αὐτοῦ καὶ οὐράνιον ὄχημα καὶ τὰς ἐν αὐτῷ αἰσθήσεις κεκαθαρμένας χείᾳ ἢ δι' εὐμοιρίαν ἢ δι' εὐζωΐαν ἢ πρὸς τούτοις δι' ἱερατικὴν τελεσιουργίαν, οὗτος ἂν ἴδοι τὰ τοῖς ἄλλοις ἀόρατα καὶ ἀκούσοι τῶν τοῖς ἄλλοις μὴ ἀκουομένων, ὥσπερ ὁ Πυθαγόρας ἱστόρηται. θείων τε καὶ ἀΰλων σωμάτων, κἂν εἰ γένοιτό τις ψόφος, οὔτε πληκτικὸς οὔτε ἀποκναίων γίνεται, ἀλλὰ τῶν τε γενεσιουργῶν ἤχων διεγείρει τὰς δυνάμεις καὶ τὰς ἐνεργείας, καὶ τὴν σύστοιχον αἴσθησιν τελειοῖ, καὶ ἀναλογίαν μέν ἔχει τινὰ πρὸς τὸν ψόφον τὸν συνεδρεύοντα τῇ κινήσει τῶν ἐπικήρων σωμάτων, ἐνέργεια δέ τίς ἐστι τῆς ἐκείνων κινήσεως ἀπαθής, τοῦ ψόφου παρ' ἡμῖν γινομένου διὰ τὴν ἠχητὴν τοῦ ἀέρος φύσιν. εἰ οὖν ἐκεῖ ἀὴρ παθητικὸς οὐκ ἔστι, δῆλον ὅτι οὐδὲ ψόφος ἂν εἴη. ἀλλ' ἔοικεν ὁ Πυθαγόρας οὕτω λέγεσθαι τῆς ἁρμονίας ἐκείνης ἀκούειν, ὡς εἰ καὶ τοὺς ἐν τοῖς ἀριθμοῖς ἁρμονικοὺς λόγους ἐννοῶν καὶ τὸ ἐν αὐτοῖς ἀκουστὸν ἀκούειν ἔλεγε τῆς ἁρμονίας... συνήργησε δὲ αὐτῷ πρὸς τὸ ἀπὸ τοῦ μὴ ψοφεῖν τὸ μὴ κινεῖσθαι συναγαγεῖν, τὸ τοὺς Πυθαγορείους, ὥς φησιν (ἢ οὐκ οἶδα τίνας· οὐ γὰρ σαφῶς τοῦτο περὶ τῶν Πυθαγορείων λέγει), δοκεῖν ἀναγκαῖον εἶναι τηλικούτων σωμάτων φερομένων γίνεσθαι ψόφον. id. f. 114.

(*) tametsi posteriores mathematicae disciplinae professores nonnulli, veluti Hipparchus nec non etiam Ptolemaeus, qui inhaerentium stellarum coniunctiones assecuti, eas anteversus centum annorum curriculo unum gradum conficere pronuntiaverint. Themist. f. 31 *b*.

(**) p. 290 *b* 8. Alexander hoc in loco de orbe in universum deque singulo quoque orbe credidit Aristotelem disseruisse. et tametsi ita res se haberet quemadmodum Alexander opinatur... ratione tamen, quam deduxit, non convenit ut de quodam orbe dicatur. Themist. f. 32.

(*) p. 290 *b* 29. huic autem aliam rationem addidit Alexander. ait enim: si ex stellarum motu sonus conficeretur, sonum ceterorum corporum, quae stellis minora sunt, nullo modo perciperemus, siquidem maiores soni minores semper corrumpunt. Themist. f. 32.

ἔσται, οὐ πάσης δέ; ἀλλὰ μὴν ἡ ἄνεσις κατὰ ἀδυναμίαν, τοῦτο δὲ παρὰ φύσιν, τὸ δὲ παρὰ φύσιν οὐχ οἷόν τε ἴσον εἶναι τῷ κατὰ φύσιν· ὁδὸς γὰρ ἐπὶ φθορὰν τὸ παρὰ φύσιν. ὥστε οὐκ ἂν εἴη ἄνεσις· εἰ δὲ μὴ ἄνεσις, οὐδὲ ἐπίτασις." ταῦτα μὲν οὖν καὶ τὰ τοῦ Ἑρμίνου κατὰ τὸν Ἀσπάσιον εἰρημένα. καὶ δῆλον ὅτι καὶ οὗτοι οὐχ ὡς κατὰ τὴν τῆς διαιρέσεως ἀνάγκην ληφθὲν τὸ ἐπ' ἄπειρον ἀνιέναι καὶ ἐπ' ἄπειρον ἐπιτείνεσθαι ἐνόησαν, ἀλλ' ὡς ἐξ ἀνάγκης, εἰ ἔστιν ἀνώμαλος ἡ κίνησις, ἀνέσεως καὶ ἐπιτάσεως οὔσης. καὶ τοῦτο μὲν δῆλον, ἀλλ' ὅτι καὶ ὡς ἄπειροι πάντως ἐσόμεναι ἥ τε ἄνεσις καὶ ἡ ἐπίτασις ὑπὸ τοῦ Ἀριστοτέλους ἐλέγχονται. ὅτι δὲ οὐχ οὕτως εἴληπται, δηλοῖ τὰ ἐφεξῆς τμήματα τῆς διαιρέσεως, ἐν οἷς φησὶν "ἀλλὰ μὴν οὐδὲ ἐπιτείνειν ἀεὶ ἢ πάλιν ἀνιέναι δυνατόν." καὶ πάλιν λείπεται δὴ λέγειν ἐναλλὰξ εἶναι τῇ κινήσει τὸ θᾶττον καὶ τὸ βραδύτερον· ἐν γὰρ τούτοις καὶ τὰ ἄλλα τμήματα τῆς διαιρέσεως ἐλέγχει, τὰ μὴ ἄπειρον ἐπίτασιν καὶ ἄνεσιν ὑποτιθέμενα, ἀλλ' ἢ ἀεὶ ἐπίτασιν ἢ ἀεὶ ἄνεσιν ἢ ἐναλλάξ. ἐκεῖνο δὲ ἄξιον ζητεῖν, διὰ τί προσέθεικεν ὁ Ἀριστοτέλης τὸ "ἀνάγκη δέ, εἰ ἀνίησιν ἡ κίνησις, ἄπειρον ἀνιέναι χρόνον·" τοῦτο γὰρ τὸ "ἀνάγκη" καὶ τοὺς προτέρους ἐνεπόδισεν ἐξηγητὰς μὴ ὡς ἐκ διαιρέσεως τεθὲν ἀκούειν, ἀλλὰ τὴν αἰτίαν τῆς ἀνάγκης ζητεῖν. ὁ δὲ Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς ἐπιστήσας, τούτῳ δεῖ, φησί, προσυπακούειν τῷ εἰρημένῳ τὸ μετὰ τὴν ἄπειρον ἐπίτασιν... ἴσως δὲ οὐκ ἀναγκαῖον. id. f. 105.

289 b 1. διαλαβὼν ὁ Ἀριστοτέλης περὶ τῆς οὐσίας τῶν ἀστέρων, νῦν καὶ περὶ τῆς κινήσεως αὐτῶν διαλέγεται. καὶ ὁ μὲν Ἀμμώνιός φησιν ὅτι περὶ τῆς κινήσεως τῶν ἀπλανῶν ἄστρων διαλέγεται· Ἀλέξανδρος δὲ πολύς ἐστι βουλόμενος τὴν λέξιν περὶ πάντων τῶν τε ἀπλανῶν καὶ τῶν πλανωμένων διαλέγεσθαι. τοῦτο δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ περὶ μόνων τῶν ἀπλανῶν διαλέγεται. cod. Coisl. 166.

289 b 2. ὑποθέσεως ἠξίωσε καὶ τὸ ἀμφοτέρων ἠρεμούντων, καίτοι ἀπεμφαῖνον δοκοῦν τὸ σώζεσθαι τὴν φαινομένην αὐτῶν μετάβασιν ἀμφοτέρων ἠρεμούντων, διὰ τὸ γεγονέναι τινάς, ὧν Ἡρακλείδης τε ὁ Ποντικὸς ἦν καὶ Ἀρίσταρχος, νομίζοντας σώζεσθαι τὰ φαινόμενα τοῦ μὲν οὐρανοῦ καὶ τῶν ἀστέρων ἠρεμούντων, τῆς δὲ γῆς περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους ἀπὸ δυσμῶν κινουμένης ἑκάστης ἡμέρας μίαν ἔγγιστα περιστροφήν. τὸ δὲ ἔγγιστα πρόσκειται διὰ τὴν τοῦ ἡλίου τῆς μιᾶς μοίρας ἐπικίνησιν, ὡς εἴγε μὴ κινοῖτο ἡ γῆ, ὅπερ μετ' ὀλίγον μὲν ἀποδείξει, νῦν δὲ ὡς ὑπόθεσιν ἔλαβεν, ἀδύνατον τοῦ οὐρανοῦ καὶ τῶν ἄστρων φαινομένων σώζεσθαι τὰ φαινόμενα. Simpl. f. 109.

Ἀριστάρχου καὶ τῶν περὶ αὐτόν ἐστιν ἡ δόξα αὕτη ἡ λέγουσα καὶ τὰ ἄστρα καὶ τὸν οὐρανὸν ἠρεμεῖν, κινεῖσθαι δὲ ἀπὸ ἀνατολῆς εἰς δύσιν καὶ ἀνάπαλιν τὴν γῆν. cod. Reg. 1853.

289 b 32. δείξας ὅτι οὔτε ἄμφω ἠρεμεῖν οὔτε ἄμφω κινεῖσθαι εὔλογον, τούς τε κύκλους καὶ τοὺς ἀστέρας, οὔτε τὸ ἕτερον μόνον, δηλαδὴ τοὺς ἀστέρας (περὶ τούτων γὰρ προσεχῶς ἔδειξεν), ἐπάγει εἰκότως ὅτι λείπεται "τοὺς μὲν κύκλους κινεῖσθαι, τὰ δὲ ἄστρα ἠρεμεῖν." Simpl. f. 110.

290 a 5. τοῦτο οὖν ἀναγκαίως συμβαίνει τῷ ἀνάλογον εἶναι τὰ τάχη τοῖς μεγέθεσι, τὸ τοὺς μείζονας καὶ ἐλάττονας κύκλους ἐν τῷ ἴσῳ χρόνῳ συναποκαθίστασθαι, καὶ ἔτι τὸ μὴ διεσπάσθαι τὸν οὐρανόν· τοῦτο γὰρ ὑπάρχει μὲν αὐτῷ μάλιστα διότι δέδεικται συνεχὲς ὂν τὸ ὅλον, συμβαίνει δὲ καὶ διὰ τὴν ἀναλογίαν τῶν κατὰ τὰ μέρη αὐτοῦ κινήσεων πρὸς τὰ μεγέθη. εἰ γὰρ ἰσοταχῶς ὁ μείζων κύκλος ἐκινεῖτο τῷ ἐλάττονι, οἷον ὁ ἰσημερινὸς τῷ ἀεὶ φανερῷ, μὴ συναποκαθισταμένων αὐτῶν ἐν τῷ αὐτῷ χρόνῳ διεσπᾶτο ἂν ἡ τοῦ ὅλου συνέχεια. ἐπιστῆσαι δὲ χρὴ ὅτι πρὸς ἐκεῖνον τὸν λέγοντα "τότε γὰρ θᾶττον εἶναι τοῦ μείζονος κύκλου τὸ τάχος" ἀποδέδοται οὗτος ὁ λέγων "τό τε μὴ διεσπάσθαι τὸν οὐρανόν." ὁ δὲ Ἀλέξανδρος ἀκούσας αὐτοῦ λέγοντος περὶ τὸ αὐτὸ κέντρον ἐνδεδεμένων, δύναται, φησί, τοῦτο ὡς ἐπὶ τῶν σφαιρῶν ἀκούεσθαι, καὶ εἴη ἂν διὰ τούτου ἀναιρῶν τὴν δόξαν τῶν κατὰ ἐκκεντρότητα τὴν κίνησιν τοῖς πλάνησιν ἀποδιδόντων καὶ οὕτω τὰ φαινόμενα σώζειν πειρωμένων (*). id. ib.

ἀλλ' ὅσον ἐπὶ τοῦτο, φησὶν ὁ Πρόκλος, ἔδει φαίνεσθαι μάλιστα τοὺς ἀπλανεῖς δινουμένους, ὅσον καὶ πλέον ἐστὶν ἡ ἀπόστασις· οὐχ ὁρᾶται δὲ τοῦτο, εἰ μὴ ἐπὶ μόνου τοῦ ἡλίου. καὶ τοῦτο εἰκότως, διότι πηγή ἐστι φωτός, καὶ διαφαίνεται ἐπ' αὐτοῦ ἡ δίνησις, ἡνίκα ἀντωπεῖν πρὸς αὐτὸν δυνάμεθα, περὶ ἀνατολάς φημι καὶ δύσεις. cod. Coisl. 166. 290 a 13.

φησὶν ὁ Ἀριστοτέλης ὅτι τὸ τῆς ἀποστάσεως αἴτιόν ἐστι τοῦ τοὺς ἀπλανεῖς στίλβειν, τουτέστι μαρμαρυγάς τινας ἀποπέμπειν, τοὺς δὲ πλάνητας μὴ στίλβειν διὰ τὸ εἶναι ἐγγύς. τοῦτο δὲ ψεῦδος· καὶ οἱ πλάνητες γὰρ στίλβουσι, καὶ μάλιστα ὁ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ, ὅς γε δι' αὐτὸ τοῦτο καὶ Στίλβων ἐκλήθη. id. ib. 290 a 18.

καὶ τοῦτο κατὰ τὸ ἐπικρατοῦν εἶπεν· ὅτι γὰρ καὶ ὁ Ἑρμῆς ἐν τοῖς πλάνησι στίλβει, δηλοῖ καὶ τὸ ὄνομα τοῦτο προσκείμενον αὐτῷ. τισὶ δὲ καὶ ὁ τῆς Ἀφροδίτης ἀστὴρ δοκεῖ τοιοῦτος. καὶ κάλλιον εἰς τὰς ἰδιότητας μᾶλλον ταῦτα τῶν ἀστέρων ἀναφέρειν, ὥσπερ τὰ χρώματα... ἀκοῦσαι δὲ χρὴ καὶ τοῦ ἀρίστου τῶν ἀστρονόμων τοῦ Πτολεμαίου λέγοντος ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν Ὑποθέσεων ὡς εὐλογώτερον τὸ κινεῖν μὲν τῶν ἄστρων ἕκαστον, ὅτι τοῦτο ἐστὶ καὶ δύναμις καὶ ἐνέργεια αὐτῶν, κατὰ τὸν ἴδιον μέντοι τόπον καὶ περὶ τὸ αὐτοῦ μέσον ὁμαλῶς πάνυ καὶ ἐγκυκλίως· ὑπάρχειν γὰρ αὐτῷ πρώτῳ δίκαιον, ὃ καὶ ταῖς περιεχούσαις αὐτὸ συστάσεσι περιποιεῖ. Simpl. f. 112. 290 a 19.

ἔχει λόγον ἐπὶ τῶν θείων τὸ ἀξίωμα. ἀλλ' εἰ μὲν τὸ ἐμφαινόμενον πρόσωπον διαφορά τις οὐσιώδης ἐστὶ τοῦ σεληνιακοῦ σώματος ἢ παραδειγματικῶς περιέχοντος τὸ πολυειδὲς καὶ διάφορον τῆς γενέσεως, ὡς Ἰάμβλιχός φησιν, ἢ διὰ τὸ μεσότης εἶναι τῶν οὐρανίων καὶ τῶν ὑπὸ σελήνην τὸ μὲν εὐφώτιστον ἔχει τὸ δὲ σκιερώτερον κατ' οὐσίαν, ὡς ἄλλοις ἀρέσκει, ἰσχυρὸν δοκεῖ πρὸς ἀπόδειξιν τὸ εἰρημένον· πῶς γὰρ τοῦ ὅλου σώματος κυλιομένου τὴν αὐτὴν ἐκεῖνο θέσιν ἐφύλαττε συνεχὲς ὂν πρὸς τὸν ἥλιον; εἰ δέ, ὥς τινες λέγουσιν, ἔμφασίς τίς ἐστιν ὡς ἐν κατόπτρῳ ἤτοι τῆς γῆς ἢ τῆς θα- 290 a 26.

(*) p. 290 *a* 5. et hinc optimam rationem desumpsit Alexander, ut haec de inhaerentibus stellis dicantur: vagae enim nec scindere neque etiam dividere dicuntur, quoniam non inhaerent, seu continuae non sunt. haec autem de vagantibus stellis et earum sphaeris asserimus. Themist. f. 31 *b*.

λεμαῖος τὸ σφαιρικὸν σχῆμα συνελογίσατο καὶ ἐκ τοῦ μὴ δύνασθαι κατ' ἄλλην ὑπόθεσιν τὰς τῶν ὡροσκοπίων κατασκευὰς συμφωνεῖν, καὶ φυσικῶς δὲ ἐπιβάλλων ὁ θαυμάσιος τῶν Πλάτωνι ῥηθέντων μέμνηται· τῶν σωμάτων γάρ, φησί, πάντων λεπτομερέστερος καὶ ὁμοιομερέστερός ἐστιν ὁ αἰθήρ, τῶν δὲ ὁμοιομερῶν ὁμοιομερεῖς αἱ ἐπιφάνειαι μόναι, ἥ τε κυκλοτερὴς ἐν τοῖς ἐπιπέδοις καὶ τῶν στερεῶν ἡ σφαιρική. id. f. 100.

287a 27. ἐλαχίστη δὲ τῶν ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτό, τουτέστι τῶν σχῆμα περιεχουσῶν τι καὶ ὁριζουσῶν διαστάσεων, ἐν μὲν ἐπιπέδοις ἡ κυκλική, ἐν δὲ στερεοῖς ἡ σφαιρική, διότι δέδεικται καὶ πρὸ Ἀριστοτέλους μὲν πάντως, εἴπερ αὐτὸς ὡς δεδειγμένῳ συγκέχρηται, καὶ παρὰ Ἀρχιμήδους καὶ παρὰ Ζηνοδώρου πλατύτερον, ὅτι τῶν ἰσοπεριμέτρων σχημάτων πολυχωρητότερός ἐστιν ἐν μὲν τοῖς ἐπιπέδοις ὁ κύκλος, ἐν δὲ τοῖς στερεοῖς ἡ σφαῖρα. id. f. 100 *b*.

287b 4. ὅτι σφαιρικὴ ἡ τοῦ ὕδατος ἐπιφάνεια δῆλον καὶ τῷ τὰς ῥανίδας εἰς λεῖον ἐμπιπτούσας τι, οἷον εἰς φύλλον λαχάνου ἢ δένδρου ἢ τῶν Νειλῴων κιβωρίων, συστρεφομένας καὶ σφαιρουμένας ἠρεμεῖν. id. ib.

287b 15. ἐπιστῆσαι χρὴ ὅτι τὸ "ἐτόρνευεν" ἀπὸ τῆς Πλάτωνος (Tim. p. 33) μετείληπται λέξεως τῆς λεγούσης ὅτι σφαιροειδές, ἐκ μέσου πάντῃ πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον, κυκλοτερὲς αὐτὸ ἐτορνεύσατο. id. f. 102.

287b 34. μετὰ φιλοσόφου εὐλαβείας ὑπὲρ αὐτοῦ προαπολογεῖται λέγων ὅτι ὅταν τις ἐντύχῃ τοῖς εὑρίσκουσι τὰς ἀκριβεστέρας ἀνάγκας τῆς ζητουμένης αἰτίας, τότε χάριν αὐτοῖς ἔχειν δεῖ, ἕως δ' ἂν ἐκείνοις μὴ περιτύχωμεν, τὸ νῦν φαινόμενον τέως ῥητέον. id. f. 102 *b*.

288a 6. ἐπειδὴ πρότερον δείξας ὅτι τὸ ἄνω καὶ τὸ κάτω καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν ἔχει τὸ πᾶν, περὶ τοῦ ἔμπροσθεν καὶ ὄπισθεν οὐδὲν εἶπε, νῦν δὲ αὐτῷ ὡς ὄντι ἐχρήσατο, εἰκότως ἀπέδειξεν ὅτι ἔχει καὶ ταῦτα, εἴπερ ἔχει τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. id. ib.

288a 15. ταῦτα ὑπάρχει μὲν ἑκάστῃ τῶν οὐρανίων σφαιρῶν· θεῖαι γὰρ οὖσαι πᾶσαι καὶ συνεχῆ καὶ ὁμαλῆ καὶ ἀΐδιον κινοῦνται κίνησιν. ἀλλ' αὗται μὲν διὰ τὸ πλείονας ἑκάστην κινεῖσθαι κινήσεις, τὴν μὲν οἰκείαν, τὴν δὲ τῇ ἀπλανεῖ συμπεριφερομένην, τὰς δὲ ὑπὸ τῶν ἀνελιττουσῶν καλουμένων σφαιρῶν περιαγομένας, εἰ καὶ μὴ ἀληθῆ ἀλλὰ φαινομένην γε ἔχουσι τὴν ἀνωμαλίαν. καὶ ἔστι τὸ θαυμαστὸν πρόβλημα τῶν ἀστρονόμων τοῦτο, τὸ διδομένων αὐτοῖς τινῶν ὑποθέσεων, τοῖς μὲν πάλαι τοῖς περὶ Εὔδοξον καὶ Κάλλιππον, οἷς Ἀριστοτέλης ἀκολουθεῖ, τῶν καλουμένων ἀνελιττουσῶν σφαιρῶν, περὶ ὧν αὐτὸς ἐν τῇ Μετὰ τὰ Φυσικὰ διδάσκει (Λ 8), τοῖς δὲ μετ' ἐκείνους ἐκκέντρων τινῶν καὶ ἐπικύκλων, δεῖξαι πάντα τὰ οὐράνια ἐγκυκλίαν τε καὶ ὁμαλῆ φερόμενα κίνησιν, τὴν δὲ δοκοῦσαν ἀνωμαλίαν ἑκάστων ποτὲ μὲν θᾶττον ποτὲ δὲ βραδύτερον κινουμένων, καὶ ποτὲ μὲν πρόσω ποτὲ δὲ ὀπίσω καὶ ἄνω καὶ κάτω, ἔστι δὲ ὅτε καὶ ἠρεμεῖν ἐπὶ τοῦ αὐτοῦ τόπου καὶ μείζονας καὶ ἐλάττονας ὁρᾶσθαι τοὺς αὐτούς, ταῦτα πάντα καὶ τὰ τοιαῦτα φαινόμενα μόνον εἶναι καὶ οὐκ ἀληθῆ. ἀλλὰ τούτων μὲν τὴν ὁμαλότητα δείξει ὅταν περὶ τῶν ἀνελιττουσῶν σφαιρῶν ἐν τῇ Μετὰ τὰ Φυσικὰ λέγῃ. id. f. 103.

τίνα οὖν ἐστὶ τὰ ῥιπτούμενα; ἢ δῆλον ὅτι οὐ τὰ ἁπλᾶ καὶ φυσικὰ σώματα (ταῦτα γὰρ ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν κινούμενα ἤδη ἀποδέδοται), ἀλλὰ τὰ μικτὰ τῶν ζῴων, ἅπερ οὔτε ἄνω κινεῖται, διὰ τὸ ἔχειν καὶ τὰ κάτω βρίθοντα, οὔτε κάτω, διὰ τὰ ἐν αὐτοῖς ἀναφορά, ἀλλὰ εἰς τὸ πλάγιον· ἅτινα ῥιπτούμενα εἶπεν ἢ ἀπὸ τῆς πρὸς τὰ ῥιπτεῖσθαι λεγόμενα βέλη τε καὶ δόρατα ὁμοιότητος, ὅτι καὶ ἐκεῖνα εἰς τὰ πλάγια πεμπόμενα ῥιπτεῖσθαι λέγεται, ἢ ῥιπτούμενα τὰ τῶν ζῴων σώματα καλεῖ, ὡς τῆς ἐν αὐτοῖς ψυχῆς ἀκοντιζούσης αὐτὰ ἐπὶ τὰ πλάγια παρὰ τὴν κατὰ φύσιν ἑκάστου τῶν ἐν αὐτοῖς κίνησιν. ἄνευ γοῦν τῆς ψυχικῆς ὁρμῆς κινούμενα οὐ ταύτην κινεῖται τὴν κίνησιν, ἀλλ' ἐπὶ τὸ κατὰ φύσιν τοῦ ἐπικρατοῦντος ἐν αὐτῷ τῶν ἁπλῶν. id. f. 103 *b*. 288a 22.

288b 10. εἰ γὰρ ἐν τοσαύταις ἐτῶν μυριάσιν, ἀφ' οὗ μνήμη τῆς τῶν οὐρανίων θέσεως διεσώθη, οὐδεμία φαίνεται παραλλαγὴ γενομένη τῆς πρὸς ἀλλήλους τῶν ἀστέρων σχέσεως οὐδὲ διαφορὰ τῆς διαστάσεως αὐτῶν, ὡς αἱ νῦν σχηματογραφίαι δηλοῦσιν, οὐδὲν πρὸς τὰς πάλαι παραλλάττουσαι, δῆλον ὅτι οὐδεμία γέγονεν ἀνωμαλία τῆς τῶν μερῶν πρὸς ἄλληλα κινήσεως, ὥστε τὰ μὲν θᾶττον κινηθῆναι τὰ δὲ βραδύτερον. id. f. 104 *b*.

288b 22. ταῦτα εἰπὼν ὁ Ἀλέξανδρος (*) ἐφιστάνει καλῶς ὅτι οὐ προὔκειτο νῦν τῷ Ἀριστοτέλει δεῖξαι ὅτι εἰ ἀνωμάλως κινεῖται ἀνιέμενον καὶ ἐπιτεινόμενον, ἐπ' ἄπειρον ἀνεθήσεται καὶ ἐπ' ἄπειρον ἐπιταθήσεται, ἀλλ' ὅτι προθέμενος δεῖξαι ὁμαλῆ τὴν τοῦ οὐρανοῦ κίνησιν, πάντας ἀναιρεῖ τοὺς τῆς ἀνωμαλίας τρόπους, ἐκ διαιρέσεως αὐτοὺς λαβὼν ἧς ἤδη προεξεθέμην. ἀσαφεστέρα δέ, φησίν, ἡ λέξις ἐστὶ τῷ μὴ θεῖναι τὴν διαίρεσιν πρώτην. καὶ ἔοικε τούτῳ, τῷ ἐκ διαιρέσεως εἰλῆφθαι τὴν ἀπόδειξιν, πρῶτος αὐτὸς ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος ἐπιστῆσαι. τὴν γοῦν προηγουμένην ἐξήγησιν τοῦ ἀναγκαίαν εἶναι τὴν ἐπ' ἄπειρον ἄνεσιν διὰ τὸ μὴ εἶναι τὸ ἀναληψόμενον τὴν δύναμιν τοῦ πρώτου κινοῦντος, καὶ διόρθωσιν τὴν ἀδυναμίαν, ὡς Ἀλεξάνδρου τοῦ Αἰγαίου παρατίθεται. Ἑρμείνου δέ, φησίν, ἤκουσα, καθὰ ἦν καὶ ἐν τοῖς Ἀσπασίου φερόμενον, "εἰ ἔστιν ἄνεσις περὶ τὸ θεῖον σῶμα, ἦν ἐπίτασις πρὸ τοῦ· πᾶσα γὰρ ἄνεσις ἐπιτάσεως. ἀλλὰ μὴν εἰ ἦν ἐπίτασις πρὸ τῆς ἀνέσεως, ἐπ' ἄπειρον ἦν αὕτη· διὰ τί γὰρ μέχρι τοῦδε ἦν καὶ οὐχὶ καὶ πρό, ἀπείρου τῆς κινήσεως οὔσης, οὐχ οἷόν τε εὔλογον εἰπεῖν αἰτίαν. ἀλλὰ μὴν καὶ εἰ ἄνεσίς ἐστιν, ἐπ' ἄπειρον πάλιν ἐστὶν αὕτη· τί γὰρ τὸ αἴτιον τὸ τὴν ἄνεσιν ἀναληψόμενον ταύτην, καὶ διὰ τί μέχρι τοῦδε ἀνίεται, οὐχ οἷόν τε αἰτίαν ἀποδοῦναι, εἰς ἄπειρον κινουμένου τοῦ σώματος, ὥστε ἐπ' ἄπειρον καὶ ἡ ἄνεσις ἔσται. ἐπιτάσεως μὲν γὰρ ἡ ἄνεσις ἄνεσις, ἀπείρου δὲ ἐπιτάσεως ἄπειρος ἡ ἄνεσις· διὰ τί γὰρ μέρους τῆς ἐπιτάσεως ἡ ἄνεσις

(*) p. 288 *b* 22. quod autem duobus modis simul infinito tempore esse non possit, hac ratione doceri potest, siquidem fieri non potest ut unum idemque immensis temporibus multorum vim habeat, et quod a natura alienum est ei quod naturae aptum est aequale existat; ac ita, quemadmodum inquit Alexander, vel hoc secundum naturam vel illud contra naturam minime diceretur, si pari tempore sint. Themist. f. 29 *b*.

ἄνω τοῦ οὐρανοῦ δεξιὸν εἶναι τὸ δὲ κάτω ἀριστερόν, καὶ ἡμᾶς ἐν τῷ ἄνω εἶναι," οὐχὶ "ἐν τῷ κάτω," ὡς γέγραπται· οὕτω γὰρ ἂν συνᾴδοι τοῖς ἐνταῦθα λεγομένοις, ὅτι ἡμᾶς κάτω λέγοντες οἰκεῖν, καὶ διὰ τοῦτο καὶ ἐν τοῖς ἀριστεροῖς, εἴπερ τῷ ἀριστερῷ τὸ κάτω συντέτακται, ἐναντίως λεγόμενον ἢ ὡς οἱ Πυθαγόρειοι λέγουσιν ἄνω καὶ ἐν τοῖς δεξιοῖς. καὶ τάχα ἔχει λόγον τὸ μεταγεγράφθαι, εἴπερ οἶδεν ὁ Ἀριστοτέλης τῷ μὲν δεξιῷ τὸ ἄνω τῷ δὲ ἀριστερῷ τὸ κάτω συντάττοντας. ὅτι δὲ οἱ πόλοι τὸ ἄνω καὶ τὸ κάτω τοῦ οὐρανοῦ εἰσί, καὶ οὕτω δείκνυσιν ὁ Ἀλέξανδρος. Simpl. f. 95 *b*.

286a 4. — τὸ δὲ χαλεπὸν τῆς ἐν τοῖς τοιούτοις αἰτίαν ἐδήλωσε διὰ τοῦ πόρρωθεν ἡμᾶς ποιεῖσθαι τὴν ταύτης ζήτησιν, οὐχ ὅτι πολὺ τῷ τόπῳ διεστήκαμεν ἐκείνων, ἀλλ' ὅτι πολὺ μᾶλλον διεστήκαμεν αὐτῶν τῷ περὶ ὀλίγων συμβεβηκότων αὐτοῖς αἴσθησιν ἔχειν. id. f. 96 *b*.

286a 8. Ἀλεξάνδρου ἀπορία εἰς τὸ "ἕκαστόν ἐστιν, ὧν ἔργον ἐστίν, ἕνεκα τοῦ ἔργου, θεοῦ δὲ ἐνέργεια ἀθανασία" καὶ τὰ ἑξῆς. εἰ ταῦτα ἀληθῆ, πῶς ἂν ἀκίνητον εἴη κατ' Ἀριστοτέλην τὸ πρῶτον κινοῦν; ἢ οὐκ ἔστιν ἐκεῖνο, ὧν ἐστὶν ἔργον τι, εἴγε ἔργον μὲν τὴν ἐνέργειαν λέγει τὴν ὡς τέλος, τοῦ δὲ οὐδὲν τέλος ἐστίν· ἡ γὰρ οὐσία αὐτοῦ ἐνέργειά ἐστιν, ἀλλ' οὐκ ὄν τι ἄλλο ἔπειτα ἐνεργεῖ. δῆλον δὲ τοῦτο δι' οὗ ἐπήνεγκεν, ὅ ἐστιν "ἐπεὶ δὲ ὁ οὐρανὸς τοιοῦτος· σῶμα γάρ τι θεῖον·" ἐκεῖνο γὰρ οὐ τοιοῦτον. cod. Coisl. 166.

286a 12. Νικόλαος ὁ Περιπατητικὸς παραφράζων τὰ ἐνταῦθα λεγόμενα ἐν τοῖς περὶ Ἀριστοτέλους Φιλοσοφίας οὕτω τέθεικε τὴν λέξιν. διὰ τί οὖν οὐχ ὅλος ὁ κόσμος τοιοῦτος; ὅτι ἀνάγκη μένειν τι περὶ τὸ μέσον τοῦ κύκλῳ φερομένου, τὸ δὲ πέμπτον σῶμα οὔτε μένειν ἐδύνατο οὔτε ἐν τῷ μέσῳ εἶναι. καὶ αὐτὸς δὲ ὁ Ἀλέξανδρος καλῶς τῷ Ἀριστοτέλει παρακολουθεῖ δεικνύντι τὸ μένον ἐπὶ τὸ μέσον μόριόν τι μὴ εἶναι τοῦ κυκλοφορητικοῦ· οὐδὲν γὰρ τούτου μένειν οἷόν τε οὔτε ἀλλαχοῦ που, πάντῃ γὰρ αὐτῷ κίνησις ἀΐδιος ὑπάρχει, οὔτε ἔτι μᾶλλον ἐπὶ τοῦ μέσου· εἰ γὰρ ἔμενεν ἐπὶ τοῦ μέσου κατὰ φύσιν, (ἐν ᾧ γάρ τι μένει κατὰ φύσιν, καὶ φέρεται εἰς τοῦτο κατὰ φύσιν) καὶ ἦν αὐτῷ ἡ κατὰ φύσιν κίνησις αὕτη· μία δὲ ἡ κατὰ φύσιν ἑκάστῳ τῶν ἁπλῶν, τοῦτο δὲ ἡ κύκλῳ κίνησις κατὰ φύσιν, εἴπερ ἀΐδιος· οὐκ ἄρα ἡ ἐπὶ τὸ μέσον· οὐδὲ ἄρα ἡ ἐν τῷ μέσῳ μονὴ οὔτε τῷ ὅλῳ οὔτε τῷ μέρει αὐτοῦ κατὰ φύσιν. ἀλλ' οὐδὲ παρὰ φύσιν· τοῦτο μὲν γὰρ τὸ κυκλοφορητικὸν ἀΐδιον ἔχει τὴν κίνησιν, τὸ δὲ παρὰ φύσιν οὐκ ἀΐδιον· ὕστερον γάρ ἐστι τοῦ κατὰ φύσιν τὸ παρὰ φύσιν. Simpl. f. 97.

286a 23. δύναται, φησὶν ὁ Ἀλέξανδρος, καλῶς οἶμαι λέγων, μὴ τὰ μεταξὺ νῦν μόνα τοῖς ἄκροις ἐναντία λέγειν, ἀλλὰ περὶ πάντων εἰρηκέναι· ὃ γὰρ ἂν λάβοις, εὑρήσεις αὐτὸ ἐναντίωσιν ἔχον πρὸς τὰ λοιπὰ τρία, εἰ δὲ πάντα ἐναντίωσιν ἔχει τινὰ φύσει πρὸς ἄλληλα, πάντα ἀνάγκη εἶναι ἐναντία. καὶ τῷ ὄντι, εἰ τὰ δύο πρὸς τὰ δύο παρέβαλεν, οὐκ ἦν οἶμαι τῆς Ἀριστοτέλους ἑρμηνευτικῆς ἀκριβείας τὸ μὴ ἑκάτερον πρὸς ἑκάτερον εἰπεῖν, ἀλλ' ἕκαστον πρὸς ἕκαστον. id. f. 97 *b*.

286b 1. λείπει τῷ "τούτων δέ ἐστι κίνησις" τὸ καὶ οὐκ ἀΐδιος αὕτη. οὕτως ὁ Ἀλέξανδρος τοῦτο τὸ χωρίον ἐξηγήσατο, τὸ μὲν τὴν ἀΐδιον ζωὴν κίνησιν ἀΐδιον εἶναι, καὶ λέγεσθαι ὑπὸ τοῦ Ἀριστοτέλους οὐκ ἐπὶ πάντων ἁπλῶς ἀλλ' ἐπὶ τῶν κινουμένων, καλῶς οἶμαι ἐπιστήσας, τῷ δὲ κινητῷ παρέργως προσεσχηκώς· καὶ γὰρ ἔοικεν ἀντὶ τοῦ κινουμένου αὐτοῦ ἀκοῦσαι, ὡς καὶ ἐπὶ τῶν ἀϊδίως κινουμένων αὐτὸ δέξασθαι, τοῦ Ἀριστοτέλους εἰπόντος "οὐκ εὔλογον εἶναί τι κινητὸν ἀΐδιον." μή ποτε δὲ κινητὸν τὸ δυνάμει ποτὲ ἔχον τὸ κινεῖσθαι λέγει, τοιοῦτον δὲ τὸ ποτὲ ἠρεμοῦν, τοιοῦτον δὲ τὸ ἐπ' εὐθείας κινούμενον. καὶ ὁ Ἀριστοτέλης γὰρ ἐξηγούμενος πῶς εἶπε τὸ κινητόν, ἐπήγαγεν "οὗ μὴ ἐνδέχεται κατὰ φύσιν τὴν κίνησιν εἶναι ἀΐδιον." εἰ γὰρ ἦν ἀΐδιος, οὐκ ἦν κινητὸν ἀλλὰ κινούμενον. μή ποτε δὲ καὶ τὸ "τούτων δέ ἐστι κίνησις" οὐκ ἐλλιπῶς εἴρηται, ἀλλ' ἀντὶ τοῦ ταῦτα δέ ποτε καὶ οὐκ ἀεὶ κινεῖται, τουτέστι κινητά ἐστι καὶ οὐκ ἀΐδιον ἔχοντα κατὰ φύσιν κίνησιν, καὶ διὰ τοῦτο οὐκ εὔλογον αὐτὰ ἀΐδια εἶναι, ἀλλὰ γενητὰ καὶ φθαρτά (*). id. ib.

287a 2. πρῶτον δὲ σῶμα τὸ τῆς ἀπλανοῦς, ὅπερ εἶπεν ἐν τῇ ἐσχάτῃ περιφορᾷ· τὸ ἄρα σφαιρικὸν σχῆμα τοῦ ἀπλανοῦς οὐρανίου σώματός ἐστι τοῦ τὴν κύκλῳ φορὰν περιφερομένου. id. f. 99 *b*.

287a 3. τὰ ὑπὸ σελήνην ἅπτεται τῆς σεληνιακῆς σφαίρας. καὶ ὅτι μὲν παντὸς ἅμα τοῦ ἐν γενέσει σώματος ὡς ἑνὸς τὸ σχῆμα σφαιρικόν ἐστιν, ἔδειξε νῦν· ὅτι δὲ καὶ ἑκάστου τῶν τεσσάρων τὸ οἰκεῖον σχῆμα σφαιρικόν ἐστιν, ὀλίγον προελθὼν ἀποδείξει. id. ib.

287a 20. ταῦτα τοῦ Ἀριστοτέλους εἰπόντος καὶ ὁ Ἀλέξανδρος ἀνθυπάγει καλῶς ὅτι οὐχ ἁπλῶς ὑγιὴς ἐπὶ τούτων ὁ λόγος, ἀλλ' εἰ μὲν φακοειδὲς ὂν τοὺς πόλους ἔχοι κατὰ τὰ κέντρα τῶν ἐπιπέδων, τὸν αὐτὸν ἀεὶ καθέξει τόπον περιφερόμενον, εἰ δὲ κατὰ τὴν περιφέρειαν ἔχοι τοὺς πόλους, ὡς μὴ ἐπὶ τὸ κυκλικὸν σχῆμα γίνεσθαι τὴν περιφοράν, ἀνάγκη κενὸν ἀπολείπεσθαι καὶ τόπον. ὁμοίως δὲ καὶ εἰ ᾠοειδὲς ὂν μὴ κατὰ τὸ μῆκος ἔχοι τοὺς πόλους ἀλλὰ πλαγίους, ὡς κατὰ τὸ μῆκος γίνεσθαι τὴν περιστροφήν, ἀνάγκη κενὸν ἀπολείπειν· εἰ δὲ κατὰ τὸ μῆκος ἔχοι τοὺς πόλους, οὐκέτι. καὶ ὁ κύλινδρος δὲ καὶ ὁ κῶνος καὶ τὸ ῥομβοειδὲς καλούμενον στερεόν, ὅπερ ἐκ δυοῖν κώνων κατὰ τὰς βάσεις συνημμένων συνέστηκεν, ἐὰν περὶ τὸν αὐτὸν ἄξονα κινῶνται, τὸν αὐτὸν ἀεὶ καθέξουσι τόπον. τί δή ποτε οὖν οὕτως αὐτῶν ἐχόντων ἀορίστως αὐτὸ τέθεικεν ὁ Ἀριστοτέλης; ἢ τὸ "συμβήσεται" νῦν κυρίως ἀκουόμενον λύει τὴν ἀπορίαν· ἐν ἅπασι γὰρ τούτοις ἄλλως καὶ ἄλλως τῶν πόλων λαμβανομένων συμβήσεται κατά τινα λῆψιν καὶ τόπον ἔξω καὶ κενὸν εἶναι τῆς περιφορᾶς, τὸ δὲ σφαιρικὸν σχῆμα διὰ τὴν ὁμοιότητα, ὅπως ἂν ληφθῶσιν οἱ πόλοι, ἐν τῷ αὐτῷ ἀεὶ τόπῳ περιστραφήσεται, διότι πάσας ἴσας ἔχει τὰς ἀπὸ τοῦ μέσου· ὁμοιομερὲς γὰρ ὂν τί μᾶλλον τόδε πλέον ἢ ἔλαττον διέστηκε τοῦ μέσου; . . . ὁ δὲ Πτο-

---

(*) p. 286 *b* 25. Aristoteles propriae sententiae veritatem, nempe rotundam figuram simplicem esse, testimonio quorundam comprobavit; quemadmodum in Timaeo fecit Plato. ii enim qui ceteras figuras dividunt ac in simpliciores eas secant, quemadmodum figuram euthygramma in triangulum partiuntur et triangulos in rectos angulos habentes, eademque ratione ceteras figuras resolvunt; sphaeram autem non secant. Themist. f. 27 *b*.

γων τοῦ ἐπ' ἄπειρον κινεῖσθαι μὴ τὴν οἰκείαν ψυχὴν αἰτίαν εἶναι ἀλλὰ τὸ κινοῦν πρῶτον... πρὸς δὲ τὸν Ἰουλιανὸν μηδὲν εἰπόντος τοῦ Ἀλεξάνδρου ῥητέον ὅτι εἰ τῆς ἐπὶ δεξιὰ κινήσεως ἡ ψυχὴ τῷ οὐρανῷ αἰτία, δῆλον ὅτι τῆς ἀπλανοῦς· αὕτη γὰρ ἡ ἐπὶ δεξιὰ κινουμένη. Simpl. f. 91 *b*.

284b 7. οἱ Πυθαγόρειοι τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν ἐτίθεσαν ἐν ταῖς δέκα συστοιχίαις, ἃς ἁπάντων κοινὰς ἀρχὰς ἔλεγον, ὥστε καὶ τοῦ οὐρανοῦ. id. f. 93 *b*.

285a 3. ὡς ἀντιπρόσωπα δοκεῖν ἡμῖν εἶναι, ὡς ἐν τοῖς κατόπτροις δεξιὸν μὲν τὸ κατὰ τὸ ἡμέτερον ἀριστερόν, ἀριστερὸν δὲ τὸ κατὰ τὸ ἡμέτερον δεξιόν. id. ib.

285a 10. καί πη καλῶς ἐκείνων λεγόντων, ὁ Ἀριστοτέλης πρὸς τὸ φαινόμενον ἀντεῖπε τοῦ λόγου. οἱ μὲν οὖν Πυθαγόρειοι εἰς δύο συστοιχίας πάσας τὰς ἀντιθέσεις ἀναγαγόντες, τὴν μὲν χείρονα τὴν δὲ βελτίονα ἤτοι τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ τῇ δεκάδι συμβολικῶς ὡς τῷ παντὶ ἀριθμῷ συμπληρώσαντες ἑκατέραν, ἑκάστην ἀντίθεσιν τῶν δέκα οὕτω παρέλαβον ὡς πάσας τὰς ἑαυτῆς συγγενείας συνεμφαίνουσαν. καὶ τῶν τοπικῶν οὖν σχέσεων τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν παρέλαβον, ἅμα μὲν ὅτι τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐνδείκνυται ταῦτα (δεξιὰν γοῦν φύσιν καὶ δεξιὰν τύχην λέγομεν, τὰς ἀγαθὰς δηλοῦντες, καὶ λαιὰς τὰς ἐναντίας), ἅμα δὲ ὅτι ἐν οἷς μὲν τὸ δεξιὸν καὶ τὸ ἀριστερόν ἐστιν, ἐν τούτοις καὶ τὸ ἄνω καὶ τὸ κάτω καὶ τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν, ὡς καὶ Ἀριστοτέλης διώρισεν, οὐ μέντοι ἀνάπαλιν. εἰκότως οὖν ἐκ τούτων καὶ τὰς ἄλλας τοπικὰς ἀντιθέσεις ἐδήλωσαν. τὸ οὖν δεξιὸν καὶ ἄνω καὶ ἔμπροσθεν ἀγαθὸν ἐκάλουν, τὸ δὲ ἀριστερὸν καὶ κάτω καὶ ὄπισθεν κακὸν ἔλεγον, ὡς αὐτὸς Ἀριστοτέλης ἱστόρησεν ἐν τῇ τῶν Πυθαγορείοις ἀρεσκόντων συναγωγῇ (*). id. f. 94.

285b 2. οἱ μὲν τοῦτο ἔφασαν λέγειν ἐνταῦθα τὸν Ἀριστοτέλην, ὅτι οὕτω νοητέον τὸν οὐρανὸν τὸ δεξιὸν ἔχειν καὶ τὸ ἀριστερόν, ὥσπερ εἴ τις λόγου χάριν ἄνθρωπον λαβὼν ἀπὸ γραμμικοῦ ἐπὶ σφαιροειδὲς μετατρέψει καὶ σφαιρικὸν τοῦτον ποιήσει· πάλιν γὰρ τὸ δεξιὸν αὐτοῦ τί ἐστι καὶ τὸ ἀριστερὸν κατὰ τὴν ἐνέργειαν ὁριζόμενα εἰ γοῦν τις ὑπέθετο καὶ τὸν οὐρανὸν γενητὸν καὶ ἀρξάμενον τῆς κινήσεως, ἀπὸ τοῦ δεξιοῦ ἂν αὐτὸν ἄρξασθαι εἰκὸς ἦν· ἢ εἰ καὶ νῦν ἐπαύσατο τῆς κινήσεως καὶ πάλιν ἤρξατο, ἐκ τῶν δεξιῶν ἂν ἤρξατο. cod. Coisl. 166.

285b 11. οἱ δὲ πόλοι ἀκίνητοί εἰσι διότι καὶ ὁ ἄξων, οὗ πέρατα οὗτοι. περὶ οὗ καὶ Ἄρατος (Φαιν. v. 22 sq.) λέγει

> αὐτὰρ ὅγ' οὐδ' ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ' αὔτως
> ἄξων αἰὲν ἄρηρώς.

ὁ δ' Ἄρατος τὸν βόρειον πόλον φησὶν εἶναι ἄνω. καὶ οὐδέν τι καινόν, εἰ οὕτω φησίν· φαινόμενα γὰρ ἐπαγγειλάμενος γράφειν, καὶ τὴν πραγματείαν οὕτως ἐπιγράψας, εἰκότως ἀπὸ τῆς πρὸς ἡμᾶς σκέψεως τὸ ὕψος ἤτοι τὸ ἄνω τοῦ πόλου ἔλαβεν. id. ib. cf. Simpl. f. 95 extr.

ὁ Ἀλέξανδρος καὶ τὸν Σολέα Ἄρατον εὐθύνει ὡς καὶ αὐτὸν κατὰ 285b 17.
τοὺς πολλοὺς βόρειον πόλον ἄνω λέγοντα, ἐν οἷς φησὶ (Φαιν. 24 sqq.) περὶ τοῦ ἄξονος λέγων

> καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν,
> ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ' ἀντίος ἐκ Βορέαο
> ὑψόθεν Ὠκεανοῖο.

καὶ ὁ μὲν Ἀλέξανδρος μόνον παραγράψας τὸ "ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος" τῷ ἐπιόπτῳ καὶ μή τὸ ἄνω καὶ τὸ κάτω σημαίνειν τὸν Ἄρατόν φησιν· μᾶλλον δὲ τὸ "ὑψόθεν Ὠκεανοῖο" τὸ ἄνω δηλοῖ. οὐ χρὴ δὲ τοῦ Ἀράτου καταγινώσκειν· φαινόμενα γὰρ ἐπαγγειλάμενος γράφειν, καὶ τὴν πραγματείαν οὕτως ἐπιγράψας, εἰκότως ἀπὸ τῆς πρὸς ἡμᾶς σχέσεως τὸ ὕψος ἤτοι τὸ ἄνω τοῦ πόλου ἔλαβεν. id. f. 95.

οἱ γὰρ ἀρχαιότατοι τῶν μαθηματικῶν κατὰ πέντε κύκλους ἔτεμον 285b 23.
τὸν οὐρανόν. τὸν μὲν πρῶτον ἀρκτικὸν ὠνόμαζον, διότι ὁ ἀστὴρ ἡ ἄρκτος ἐστὶν ἐκεῖ κατηστερισμένη. λέγει δὲ καὶ Ἄρατος (v. 26)

> δύο δέ μιν ἀμφὶς ἔχουσαι
> Ἄρκτοι ἅμα τροχόωσι, τὸ δὲ καλέονται Ἅμαξαι.

τὸν δὲ δεύτερον κύκλον θερινὸν ὠνόμασαν τροπικόν, τὸν δὲ τρίτον ἰσημερινόν, καὶ τὸν τέταρτον χειμερινὸν τροπικόν, τὸν δὲ πέμπτον ἀνταρκτικόν· πάλιν γὰρ κἀκεῖσε ἄρκτος ἐστὶ κατηστερισμένη. τοὺς μὲν οὖν τρεῖς κύκλους τοὺς μέσους ὁ ἥλιος διεισιν, οὓς καὶ ἀοικήτους εἶναί φασι διὰ τὸ ἐν αὐτοῖς τὸν ἥλιον δύεσθαι. ὁμοίως δὲ πάλιν ἀοικήτους εἶναι λέγουσι καὶ τοὺς ἑτέρους δύο κύκλους, τόν τε ἀρκτικὸν καὶ τὸν ἀνταρκτικόν, κατὰ τὸ καθὸ τοῖς πόλοις πλησιάζουσιν. ἀοικήτους δὲ καὶ τούτους εἶναί φασι διὰ τὰς ὑπερβαλλούσας ψύξεις καὶ διὰ τὸ πάντη πόρρω τούτων ἀφεστηκέναι τὸν ἥλιον. μέσον δὲ ἡμᾶς λέγουσι κατοικεῖν τοῦ τε ἀρκτικοῦ κύκλου τοῦ τῷ βορείῳ πόλῳ ἐγγίζοντος καὶ τοῦ θερινοῦ τροπικοῦ, τοὺς μὲν Σκύθας τοὺς Ῥῶς καὶ τἆλλα ἔθνη τὰ ὑπερβόρεια τῷ κύκλῳ τῷ ἀρκτικῷ πλησιάζοντα, τοὺς δὲ Αἰθίοπας καὶ τοὺς Ἄραβας καὶ τοὺς ἄλλους τῷ θερινῷ τροπικῷ, ὅθεν οὐδὲ ψύχους αἰσθάνεσθαί φασι τούτους· τοὺς δὲ Ἕλληνας μέσους τῶν τε ὑπερβορείων ἐθνῶν καὶ τῶν τῇ ἀνατολῇ πλησιαζόντων οἰκεῖν, ὅθεν καὶ φρονιμωτάτους εἶναι τῶν ἄλλων καὶ τὰς μάχας ῥωμαλεωτέρους καὶ ἀνδρικωτέρους, ὡς τὸν εὐκρατότερον τόπον οἰκοῦντας. ζῷον οὖν, ὡς ἔφαμεν, δοξάζοντες τὸν οὐρανόν, ἄνω μὲν αὐτοῦ καὶ κεφαλὴν τὸν νότιον πόλον εἶναί φασι, κάτω δὲ καὶ πόδας τὸν βόρειον, δεξιὸν δὲ τὸ ἀνατολικὸν μέρος, ἀριστερὸν δὲ πάλιν τὸ δυτικόν. cod. Reg. 1853.

πῶς δὲ τοὺς Πυθαγορείους ἡμᾶς ἄνω ποιεῖν φησὶ καὶ ἐν τῷ 285b 25.
δεξιῷ, τοὺς δὲ ἐκεῖ κάτω καὶ ἐν τῷ ἀριστερῷ, εἴπερ, ὡς αὐτὸς ἐν τῷ δευτέρῳ τῆς συναγωγῆς τῶν Πυθαγορικῶν ἱστορεῖ, τοῦ ὅλου οὐρανοῦ τὰ μὲν ἄνω λέγουσιν εἶναι τὰ δὲ κάτω, καὶ τὸ μὲν κάτω τοῦ οὐρανοῦ δεξιὸν εἶναι τὸ δὲ ἄνω ἀριστερόν, καὶ ἡμᾶς ἐν τῷ κάτω εἶναι; ἢ τὸ μὲν ἄνω καὶ πρὸς τοῖς δεξιοῖς ἐνταῦθα λεγόμενον οὐ κατὰ τὸ ἑαυτῷ ἀρέσκον εἶπεν ἀλλὰ κατὰ τοὺς Πυθαγορείους· ἐκεῖνοι γὰρ τῷ δεξιῷ τὸ ἄνω καὶ τὸ ἔμπροσθεν συνέταττον, τῷ δὲ ἀριστερῷ τὸ κάτω καὶ τὸ ὄπισθεν. τὰ δὲ ἐν τῇ τῶν Πυθαγορικῶν συναγωγῇ μεταγεγράφθαι μᾶλλον ὑπό τινος ὁ Ἀλέξανδρος οἴεται, ὀφείλοντα ἔχειν οὕτω "τὸ μὲν

(*) p. 285 *a* 31. Aristoteles per hunc sermonem Platonem insinuavit: is enim supra infraque naturam in caelo inesse non animadvertebat, cum globosum ac sphaericum existat. Themist. f. 26 *b*.

283a 25. ὁ Ἀλέξανδρος ὑπερβιβάζειν μᾶλλον ἀξιοῖ τὴν λέξιν οὕτως· ἀεὶ δὲ ἔσται ἐντελεχείᾳ, ἅμα δὲ καὶ φθαρτόν. καὶ μᾶλλον, φησίν, ὑπὸ τῆς λέξεως ἔοικε τοῦτο δηλοῦσθαι· εἰ γὰρ ἀεὶ ἔσται ἐντελεχείᾳ ὂν φθαρτόν, τοῦ μὲν ἀεὶ εἶναι δύναμιν ἕξει, διότι καὶ ἔστιν ἀεί, τοῦ δὲ μὴ ἀεὶ εἶναι, ὅτι φθαρτὸν ὑπόκειται· φθαρτὸν γάρ ἐστι τὸ δύναμιν ἔχον τοῦ μὴ ἀεὶ εἶναι ἢ τοῦ ποτὲ μὴ εἶναι· οὕτως οὖν ἔσται ποτὲ δύναμιν ἔχον τοῦ ἅμα εἶναί τε καὶ μὴ εἶναι. μή ποτε δὲ ἐναργέστερόν ἐστι τὸ ἔσται γὰρ ἀΐδιον ἅμα καὶ φθαρτὸν ἐντελεχείᾳ, ὡς ἕπεσθαι τὸ ἅμα ἀεί τε εἶναι καὶ μὴ ἀεὶ εἶναι, ὅπερ ἐστὶ τὴν ἀντίφασιν συναληθεύειν. αὐτὸς δὲ πάλιν τὸ δυνατὸν τέθεικεν ὡς κοινὸν ἐπί τε τοῦ ἐνεργείᾳ ὄντος καὶ τοῦ δυνάμει· καὶ γὰρ τὸ ἐνεργοῦν δύναται. γράφεται δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ οὕτως "ἀεὶ γὰρ ἔσται καὶ ἅμα καὶ ἄφθαρτον ἐντελεχείᾳ." καὶ εἴη ἄν, φησίν, ὁ νοῦς τοῦ λεγομένου τοιοῦτος· εἰ φθαρτόν τι ὂν μηδέποτε φθείροιτο κατ' ἐνέργειαν, ἀεὶ ἂν εἴη, τουτέστιν ἀΐδιον ἂν εἴη καὶ ἄφθαρτον. εἰ δὲ τοῦτο, τοῦ μὲν ἀεὶ εἶναι κατ' ἐνέργειαν καὶ τοῦ εἶναι ἀεὶ δύναμιν ἔχοι ἄν, τοῦ δὲ φθαρτὸν εἶναι οὐκ ἀεὶ εἶναι δυνατὸν ἔσται· τοιοῦτον γὰρ τὸ φθαρτόν. ἅμα ἄρα τὸ αὐτὸ ἀεί τε εἶναι δυνατὸν ἔσται καὶ μὴ ἀεί, ὅπερ ἀδύνατον. κἂν οὕτως ἔχῃ, φησίν, ἡ γραφὴ καταλίποι ἂν ἡμῖν προστιθέναι τὸ καὶ τὸ ἄφθαρτον, ὡς εἶναι τὸ ὅλον "ἀεὶ γὰρ ἔσται ἅμα καὶ ἄφθαρτον καὶ φθαρτὸν ἐντελεχείᾳ." καὶ περιέτυχον ἐγὼ καὶ οὕτως ἐχούσῃ γραφῇ. id. f. 82.

283b 5. τοῦτο πρὸς Πλάτωνα λέγοντα τὸν κόσμον τῇ οἰκείᾳ φύσει φθαρτόν· ἄφθαρτον δὲ διὰ τὴν βούλησιν τοῦ θεοῦ ἀποτεινόμενος, ζητεῖ πότε φθείρεται. cod. Coisl. 166.

ταῦτα πρὸς τὸν Ξενοκράτην λέγοντα ὑπὲρ τοῦ Πλάτωνος ὅτι λέγων ὁ Πλάτων τὸν κόσμον γενητὸν καὶ ἄφθαρτον, οὐ τοῦτο δηλοῖ, ὅτι οὐχὶ πεφυκώς ἐστι φθαρῆναι, ἀλλ' ὅτι ἐφθάρθαι δυνάμενος συγκρατούμενος παρὰ τοῦ θεοῦ μένει. οὗ καὶ δραξάμενος ὁ Ἀριστοτέλης τὰ πολλὰ ταῦτα συνάγει τῶν ἀπόρων. cod. Reg. 1853.

283b 12. εἰ οὖν ἐπὶ μηδενὸς ἀληθές ἐστιν εἰπεῖν νῦν "ὅτι ἔστι πέρυσιν" ἢ "οὐκ ἔστι πέρυσιν" (ἀμφοτέρως γὰρ γράφεται)· οὐ γὰρ ἀληθὲς νῦν εἰπεῖν ὅτι ἔστιν ὁ πέρυσι χρόνος, οὐδέ τι τῶν ἐν τῷ χρόνῳ τῶν πέρυσι ὄντων, ὅτι νῦν ἐστιν· ἀλλ' οὐδὲ πέρυσιν ἀληθὲς ἦν εἰπεῖν ὅτι τὸ νῦν μέρος τοῦ χρόνου ἐστὶν ὃ μετ' ἐνιαυτὸν γέγονεν· οὐ γὰρ ἔστιν ἀπαλλάσσειν τοὺς χρόνους. εἰ οὖν τοῦτο ἀληθές, ἀδύνατον τὸ μὴ ὄν ποτε ὕστερον ἀΐδιον εἶναι... ὅρα οὖν ὅτι ἀκολουθοτέρα ἡ γραφή ἐστιν ἡ λέγουσα "ὅτι οὐκ ἔστι πέρυσι·" καὶ γὰρ τοῦτο συνεπεράνατο εἰπὼν "ἔσται ἄρα ἀληθὲς εἰπεῖν νῦν ὅτι οὐκ ἔστι πέρυσι." καὶ μέντοι τῷ ἔστι πέρυσι χρήσεται ἐφεξῆς ἐπὶ τοῦ ἀγενήτου μὲν φθαρτοῦ δέ. εἰκότως δὲ εἶπεν ὅτι οὐδεμία δύναμις τοῦ γεγονέναι ἐστίν· τὸ γὰρ παρεληλυθὸς πᾶν ἀναγκαῖον καὶ οὔτε δυνατὸν οὔτε ἐνδεχόμενον λέγεται. Simpl. f. 82 b.

B.

283b 26. Οὐ γὰρ εἴ τινα τῶν σωμάτων εἰς ἄλληλα μεταβάλλει, διὰ τοῦτο μέρη τινὰ τοῦ κόσμου φθείρεται, ἀλλ' ὡς αὐτὸς ἀντιλέγων τοῖς περὶ Ἐμπεδοκλέα καὶ Ἡράκλειτον παρὰ μέρος γίνεσθαι λέγουσι καὶ φθείρεσθαι τὸν κόσμον εἶπεν οὐ τὸν κόσμον γίνεσθαι καὶ φθείρεσθαι, ἀλλὰ τοῦτον μὲν διαμένειν ἀΐδιον, τὰς δὲ διαθέσεις αὐτοῦ ὑπαλλάσσεσθαι, οὕτως ἂν καὶ ἡμεῖς λέγωμεν. id. f. 89 b.

εἰ δὲ φυσικὴν ἀνάγκην αἰτιῶνται τοῦ μὴ φέρεσθαι κάτω, τὴν 284a 24.
δίνησιν ἐπικρατοῦσαν τῆς ἰδίας αὐτοῦ ῥοπῆς ἐλάττονος οὔσης, ὥσπερ Ἐμπεδοκλῆς λέγει καὶ Ἀναξαγόρας. εἰ δὲ ψυχικὴν τὴν ἀνάγκην εἶναί φασι, τῆς ψυχῆς αὐτοῦ ἀναγκαζούσης ἀΐδιον μένειν τὴν τοιαύτην κίνησιν, ὥσπερ ὁ Πλάτων ἐν Τιμαίῳ λέγειν ἐδόκει περὶ τῆς τοῦ οὐρανοῦ ψυχῆς... καὶ γὰρ αἱ κίονες τὴν συναμφότερον ἔχουσι δύναμιν διακριτικήν τε ἅμα καὶ συνεχικὴν τῶν ὑπερκειμένων πρὸς τὰ ὑποκείμενα. ἀλλ' οὐδὲ διὰ τὴν ταχεῖαν τοῦ αἰθερίου σώματος δίνησιν ἐλαττουμένης τῆς κατὰ τὴν οἰκείαν ῥοπὴν βαρείαν οὖσαν φορᾶς αὐτοῦ τε τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἥ τε τοῦ οὐρανοῦ κύκλῳ κίνησις ἀΐδιος μένει καὶ ἡ τῆς γῆς ἐν τῷ μέσῳ στάσις, ὡς Ἐμπεδοκλῆς τε ἐδόκει λέγειν καὶ Ἀναξαγόρας καὶ Δημόκριτος· κἂν γὰρ βάρος ἔχῃ καὶ τὸ αἰθέριον σῶμα καὶ ἡ γῆ, ἀλλὰ ταχυτέρας οὔσης τῆς κυκλοφορίας ἢ κατὰ τὴν ἐπὶ τὸ κάτω ῥοπήν, καὶ ἐπικρατούσης ἐκείνης μένειν ἐν τοῖς αὐτοῖς τόποις, τὴν μὲν γῆν ἐπὶ τοῦ μέσου ἑστῶσαν τὸν δὲ οὐρανὸν ἐπὶ τοῦ πέριξ κινούμενον, ὥσπερ, φασί, τὸ ἐν τῇ φιάλῃ ὕδωρ οὐκ ἐκχεῖται περιδινουμένης τῆς φιάλης, ἐὰν θάττων ἡ δίνησις γίνηται τῆς ἐπὶ τὸ κάτω τοῦ ὕδατος φορᾶς. καὶ τοῦτο οὖν ἀπίθανόν φησι τὸ τοσοῦτον χρόνον σώζεσθαι ταῦτα οὕτως ἔχοντα παρὰ φύσιν· ὀλίγον μὲν γὰρ χρόνον εἰκὸς ἦν διαρκέσαι βεβιασμένην τὴν ἐπὶ τὸ κάτω ῥοπήν, εἰς ἀεὶ δὲ ἀδύνατον, ὥστε οὐδὲ κινεῖσθαι διὰ παντός. id. f. 91.

κατὰ γὰρ τὸν Ἐμπεδοκλῆν κάτω πεφυκὼς φέρεσθαι ὑπὸ τῆς ἀει- 284a
κινήτου φορᾶς ἀνασειράζεται καὶ κατέχεται κύκλῳ φερόμενος, ὥσπερ 26.
εἴ τις ξεστίον ὕδατος γέμον [διὰ σχοίνου τινὸς δεδεμένον κατέχων] συχνάκις περιστρέφει [καὶ κύκλῳ περιδινεῖ]· οὐ γὰρ ἄν ποτε τὸ ὕδωρ ὑπερχυθήσεται, ὑπὸ τῆς συγκινητικῆς φορᾶς τοῦ ἔξωθεν κινοῦντος τῆς ῥοπῆς νικωμένης τοῦ ὕδατος. cod. Coisl. 166. verba uncis inclusa addit cod. Reg. 1853.

λοιπὸν δὲ καὶ ἀπὸ τῆς κινούσης ψυχῆς, ὅτι οὐδὲ ταύτης οἷόν τε 284a
εἶναι τὴν τοιαύτην ζωὴν ἄλυπον καὶ μακαρίαν, ἀλλ' ἄσχολον καὶ πά- 28.
σης ἀπηλλαγμένην ῥᾳστώνης ἔμφρονος, εἴπερ ἄλλως πεφυκότος φέρεσθαι τοῦ πρώτου σώματος, οἷον ἐπὶ τὸ μέσον, ἡ ψυχὴ μετὰ βίας ἄλλως ἀντικινεῖσθαι ἀναγκάζει κυκλοφορούμενον... καὶ πάντων οἶμαι μᾶλλον ὁ Ἀριστοτέλης τὴν ἐν Τιμαίῳ περὶ τούτων τοῦ Πλάτωνος γνώμην ἠπίστατο, ὃς καὶ σύνοψιν ἢ ἐπιτομὴν τοῦ Τιμαίου γράφειν οὐκ ἀπηξίωσε... τὰ δὲ ἐφεξῆς ὑπὸ τοῦ Ἀλεξάνδρου λεγόμενα πλείονος ἢ οὐκ ἐλάττονος ἐπιστασίας τῶν ἤδη ῥηθέντων ἄξια νομίζω. ἐζητήσαμεν γάρ, φησί, κατὰ τούσδε τοὺς τόπους τοῦ βιβλίου γενόμενοι, τίνα κίνησιν ἡ ψυχὴ τὸ κυκλοφορητικὸν σῶμα κινεῖ, εἴγε τὴν κύκλῳ φύσει κινεῖται. καὶ ἡ μὲν ζήτησις ἀναγκαία καὶ πάντως ὀφείλουσα προβεβλῆσθαι, τὰς δὲ λύσεις ἐπισκεπτέον. Ἰουλιανοῦ μέν, φησίν, τοῦ Τραλλιανοῦ δόξα ἦν τῆς ἐπὶ δεξιὰ κινήσεως αἰτίαν αὐτῷ τὴν ψυχὴν εἶναι καὶ τῆς ὁμαλοῦς καὶ τεταγμένης, Ἑρμίνου δὲ τοῦ εἰς ἄπειρον αὐτὸ κινεῖσθαι αἰτίαν τὴν ψυχὴν ἔλεγεν· μηδὲν γὰρ σῶμα πεπερασμένον ἔχειν τῇ ἑαυτοῦ φύσει δύναμιν τῆς ἐπ' ἄπειρον κινήσεως. καὶ τούτῳ μὲν ἐπέσκηψεν ὁ Ἀλέξανδρος λέ-

230 b 28. αὕτη, φησὶν Ἀλέξανδρος, ἡ λέξις πᾶσα σχεδὸν δοκεῖ πᾶσι μὴ οἰκείως κεῖσθαι ἐν τῇ τοῦ ἀφθάρτου διαιρέσει· φθαρτοῦ γὰρ τὸ σημαινόμενον, ἀλλ' οὐκ ἀφθάρτου δι' αὐτῆς ἐκτίθεσθαι δοκεῖ. τὸ γὰρ "καὶ σὺ γὰρ εἶ καὶ ἡ ἁφὴ νῦν" ταὐτόν τινα φθαρτοῦ τρόπον σημαίνει, καὶ δοκεῖ ταὐτὸν σημαίνεσθαι ἐν τῇ τοῦ φθαρτοῦ διαιρέσει τῇ λεγούσῃ "εἴτε γὰρ πρότερον ὄν τι ὕστερον μή ἐστιν ἢ ἐνδέχεται μὴ εἶναι, φθαρτὸν εἶναί φαμεν, εἴτε φθειρόμενόν τι καὶ μεταβάλλον εἴτε μή" (v. 20). διὸ καὶ οἱ μὲν λέγουσιν ἐκεῖ τὴν ὀφείλουσαν γεγράφθαι ταύτην ἐν τῇ τοῦ φθαρτοῦ διαιρέσει ὡς δευτέραν γραφὴν μετενεγκεῖν τὸν γραφέα διχῶς ἁμαρτόντα, καὶ ὅτι μὴ ἔξω ἐτήρησεν αὐτὴν ὡς διπλῆν γραφήν, καὶ ὅτι μετήνεγκεν ἐκεῖθεν. ἄλλοι δέ φασιν εἶναι μὲν ἐπὶ τοῦ ἀφθάρτου λέγειν, ταὐτὸν δὲ σημαίνουσαν τῇ μελλούσῃ λέγεσθαι τῇ "ἢ καὶ τὸ μήπω ἐφθαρμένον, ἐνδεχόμενον δὲ ὕστερον μὴ εἶναι" μὴ δεόντως ἐν τῷ ἐδαφίῳ φέρεσθαί φασιν· πρὸς γὰρ ἐκείνῃ διπλῆν ποιεῖν γραφήν. οὐ μήν, φησί, πάντῃ ἀπᾴδοι ἂν τῆς τοῦ ἀφθάρτου διαιρέσεως· ἔοικε γὰρ λέγειν ἄφθαρτον δι' αὐτῆς τὸ ὂν ὅτε ἔστιν, εἴτε δυνατὸν εἴη ποτὲ μὴ εἶναι, εἴτε καὶ φθαρησόμενόν ποτε καὶ διὰ τοῦτο μὴ ἐσόμενον, νῦν μέντοι ὄν, πρὸς μηδὲν τούτων ἀποβλεπόντων ἡμῶν ἀλλ' ἢ πρὸς τὸ εἶναι αὐτοῦ μόνον καὶ διὰ τοῦτο ἄφθαρτον αὐτὸ λεγόντων. ταῦτα μὲν ὁ Ἀλέξανδρος. καὶ ὅτι μὲν καὶ τὸ ὂν ὅτε ἔστι, δι' αὐτὸ τοῦτο τὸ νῦν εἶναι ἄφθαρτον καλεῖ, κἂν μέλλῃ φθείρεσθαι, δῆλον καὶ ἐκ τοῦ μετ' ὀλίγον λεγομένου τοῦ "καὶ τὸ μήπω ἐφθαρμένον, ἐνδεχόμενον δὲ ὕστερον μὴ εἶναι." οὐ μέντοι πᾶσαν τὴν λέξιν οἶμαι τοῦτο σημαίνειν· καὶ γὰρ ἡ ἀρχὴ τῆς λέξεως ἐν τοῖς πλείοσι τῶν εἰς ἐμὲ ἐλθόντων βιβλίων οὐχ οὕτως ἔχει ὡς ὁ Ἀλέξανδρος ἔγραψεν "ἢ τὸ ὂν μὲν καὶ δυνατὸν μὴ εἶναι," ἀλλ' οὕτως "ἢ τὸ ὂν μὲν ἀδύνατον δὲ μὴ εἶναι." καὶ εἴπερ οὕτως, ἔχει τὰ δύο σημαινόμενα τοῦ ἀφθάρτου. εἰπὼν δὲ ἀσαφέστερόν τό τε κυρίως διὰ τοῦ "ἢ τὸ ὂν μὲν ἀδύνατον δὲ μὴ εἶναι" καὶ τὸ ἀκύρως τὸ κατὰ τὸ νῦν ὂν διὰ τοῦ "ἢ καὶ οὐκ ἐσόμενόν ποτε, νῦν δὲ ὄν," καὶ παραδείγματα τοῦ τοιούτου προσθεὶς τὸ "σὺ γὰρ εἶ καὶ ἡ ἁφὴ νῦν," ἐπαγαγὼν ὅτι κἂν κατὰ τὸ νῦν εἶναι ἄφθαρτα ταῦτα λέγηται, ἀλλ' ὅμως φθαρτά ἐστι κατ' ἀλήθειαν, ὅτι ἔσται ποτὲ ὅτε οὐκ ἀληθὲς εἰπεῖν τὸ εἶ, οὐδὲ ταῦτα ἅπτεσθαι, ὧν τὸ μὲν μετὰ φθορᾶς οὐκέτι ἔστιν τὸ δὲ ἄνευ φθορᾶς, — ταῦτα οὖν εἰπὼν ἀσαφέστερον ἐφεξῆς τὰ αὐτὰ σαφέστερον παραδίδωσιν. id. f. 74.

281 a 5. ἀγένητον γάρ ἐστι τὸ μὴ δυνάμενον γενέσθαι ὥστε πρότερον μὴ ὂν ὕστερον εἶναι. καὶ ἄφθαρτον δὲ κυρίως ἐκεῖνο λέγεται ὅπερ νῦν ὂν ἀδύνατον ὕστερον μὴ εἶναι. τὸ δὲ γενητὸν καὶ φθαρτὸν τῷ δυνατῷ ὁρίζεται. id. f. 74 b.

281 a 18. εἰπὼν τὴν δύναμιν ὡρίσθαι τῷ πλείστῳ οὗ δύναται, καὶ ὅτι ὁ τὸ πλέον δυνάμενος καὶ τὸ ἔλαττον δύναται, ἐνενόησε τὴν ἀπὸ τῶν αἰσθήσεων ἔνστασιν· ἀντιπεπονθότως γὰρ ἔχειν αἱ αἰσθήσεις πρὸς τὰς δυνάμεις δοκοῦσιν, ὡς καὶ ὁ Πλάτων ἐν τοῖς Νόμοις ἐπέστησε... ὥσπερ δὲ ἡ δύναμις τῷ ἐσχάτῳ καὶ τῇ ὑπεροχῇ οὗ δύναται ὁρίζεται, οὕτως ἡ ἀδυναμία τῷ πρώτῳ οὗ οὐ δύναται, ὅπερ καθ' ὑπερβολὴν εἶπεν ὁ Ἀριστοτέλης, οὐχ οὕτως ὡς ἐπὶ τῆς δυνάμεως τὴν ὑπεροχὴν ἔλεγεν· ἐκείνῃ μὲν γὰρ τὸ μέγιστον ἐσήμαινεν οὗ δύναμις, ἡ δὲ ὑπερβολὴ αὕτη τὸ πρῶτον καὶ ἐλάχιστον οὗ οὐ δύναται σημαίνει, ὅπερ καθ' ὑπερβολὴν οὐ δύναται τὴν ὑπόστασιν ἔχει... ταύτην τὴν ἔνστασιν καὶ πρὸ τοῦ φανερὰν αὐτὴν ποιῆσαι λύων, διωρίσθω, φησί, κατὰ τῆς ὑπεροχῆς τὸ τέλος λεγόμενον. τὸ κυρίως δυνατόν, φησί, τὸ τῇ ἀκρότητι πανταχοῦ τῆς δυνάμεως προσῆκον, μὴ τῷ μείζονι ἢ ἐλάττονι ὡρίσθω· οὕτω γὰρ διαφωνήσουσι τὰ τῶν αἰσθήσεων δυνατὰ πρὸς τὰ ἄλλα· εἰ μὲν γὰρ τῷ μείζονι ὁρίζεται τὸ δυνατόν, οὐκέτι δυνατωτέρα αἴσθησις ἡ τοῦ ἐλάττονος ἀντιληπτική, εἰ δὲ τῷ ἐλάττονι, οὐκέτι δυνατώτερος ὁ πλέον ἆραι βάρος δυνάμενος καὶ ὁ πλείονα στάδια βαδίσαι. ἀλλὰ χρή, φησί, τὴν ὑπεροχὴν πανταχοῦ τῆς δυνάμεως τῷ τέλει ὡρίσθαι ἐκείνου οὗ δύναται τὸ δυνάμενον, εἴτε τὸ μεῖζόν ἐστι τὸ τέλος εἴτε τὸ ἔλαττον. ἐπὶ μὲν γὰρ τῶν βαρῶν τέλος ἐστὶν ἐκεῖνο ὃ δύναται ἆραι ὁ αἴρων τὸ μέγιστον· εἰ γὰρ αἴρων τις δέκα τάλαντα δύναιτο καὶ εἴκοσι ἆραι καὶ τριάκοντα καὶ μέχρι πεντήκοντα, τὸ τέλος ἐστὶν οὗ δύναται τὰ πεντήκοντα. ἐπὶ δὲ τῶν αἰσθητῶν τὸ ἐλάχιστον ἔσται τὸ τέλος. id. f. 75.

μάτην οἶμαι τὸν Ἀλέξανδρον ἀξιοῦν προσυπακούειν τῷ μὲν "εἰ δὴ 281 b 21.
ἄπειρον χρόνον" τὸ ἀμφοτέρων τι τὴν δύναμιν ἔχειν, καὶ πάλιν τῷ "ἔστω ὑπάρχον ὃ δύναται" τό τε εἶναι καὶ τὸ μὴ εἶναι· ἀρκεῖ γὰρ πρὸς τὸ ἀεὶ αὐτὸ εἶναι τὸ ὑποθέσθαι ἄπειρον χρόνον ὄν, καὶ μέντοι καὶ τὸ ἐπ' ἄπειρον δύναμιν ἔχειν τοῦ μὴ εἶναι· τὸ γὰρ ἄφθαρτον εἶναι εἰς ἄπειρον οὐδὲν ἄλλο τι δηλοῖ ἢ ὄντι εἰς ἄπειρον. id. f. 76.

ὁ μέντοι Ἀλέξανδρος καίτοι ἐν τῇ τῆς λέξεως ἐκθέσει γρά- 282 a 26.
ψας "ὁμοίως δὲ καὶ εἰ ἄφθαρτον ὂν δέ," ἐν τῇ ἐξηγήσει ὡς οὕτως ἐχούσαν τὴν γραφὴν ἐξηγεῖται, ὁμοίως δὲ καὶ εἰ ἀΐδιον ὂν δέ. καὶ λέγει τὸ ἀγένητον λέγεσθαι καὶ κατὰ τὸ ὃ ἀδύνατον γενέσθαι· ἀγένητον γὰρ οὕτω τὸ τὴν διάμετρον εἶναι τῇ πλευρᾷ σύμμετρον. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἀΐδιον οἷόν τε εἰπεῖν· ἀϊδίως γὰρ ἀδύνατον εἶναι σύμμετρον. ἵνα οὖν, φησί, τὰ οὕτω λεγόμενα ἀΐδια καὶ ἀγένητα ἢ τῷ μήτε εἶναι μήτε ἔσεσθαί ποτε, ἢ κατά τι ἄλλο τῶν κατ' αὐτὸ σημαινομένων, χωρίσῃ τῶν λεγομένων, διὰ τοῦτο προσέθηκεν ἑκατέρῳ αὐτῶν τὸ ὄν. καίτοι καὶ τὰ τοῦ Ἀριστοτέλους βιβλία, ὅσα εἰς ἐμὲ ἦλθεν, οὕτω γέγραπται "ὁμοίως δὲ καὶ εἰ ἄφθαρτον ὂν δέ." καὶ μέντοι καὶ περὶ ἀμφοῖν ἡ ζήτησις, τοῦ τε ἀγενήτου καὶ ἀφθάρτου, εἰ ἀΐδιά ἐστιν· διὸ καὶ ἄμφω ταῦτα ὡρίσατο, τό τε κυρίως ἀγένητον καὶ τὸ κυρίως ἄφθαρτον, ἅπερ ἀντίκειται τῷ κυρίως γενητῷ καὶ φθαρτῷ· καὶ γὰρ γενητὸν κυρίως ἔλεγεν ὃ νῦν ὂν πρότερον οἷόν τε μὴ εἶναι, καὶ φθαρτὸν κυρίως ὃ πρότερον ὂν ὕστερον οἷόν τε μὴ εἶναι. id. f. 78 b.

ὑπώπτευσε δὲ καὶ αὐτὸς (ὁ Ἀλέξανδρος) ἐν τοῖς ἐφεξῆς ἄλλα 283 a 7.
τινὰ τὰ ἀναιρούμενα λέγειν τὸν Ἀριστοτέλην, ἐν οἷς φησιν "ἢ γὰρ ἄπειρον ἢ ποσόν τινα ὡρισμένον χρόνον δύναται ἅπαντα ποιεῖν ἢ πάσχειν." καὶ μάτην τὸν γὰρ αἰτιολογικὸν σύνδεσμον ὁ Ἀλέξανδρος ἀφαιρεῖται, σαφῶς συνάπτοντα τὸ ἀναιρούμενον δεδομένον ὑπὸ τῶν οὕτω λεγόντων. id. f. 81.

ἐν δὲ τῇ λέξει τὸ "ἢ μὴ ὂν ἄπειρον ἐγένετο," ὁ μὲν Ἀλέξαν- 283 a 12.
δρος ἐλλιπῶς εἰρῆσθαί φησιν· εἶναι γὰρ τὸ ὅλον, ἢ μὴ ὂν ἄπειρον χρόνον ἐγένετο. μήποτε δὲ τὸ ἄπειρον ἀντὶ τοῦ ἐπ' ἄπειρον ἐπιρρηματικῶς ῥηθὲν οὐδὲν ἐλλείπει. id. f.

ἢ τοῦ μεταξὺ γενέσθαι τὸν κόσμον φασίν, ἀλλ' ἐνυπαρχόντων τῶν ἁπλῶν, ἐξ αὐτῶν γίνεσθαι τὰ σύνθετα καὶ εἰς αὐτὰ ἀναλύεσθαι. id. ib.

ταῦτα πρὸς Ξενοκράτην εἴρηται ἀπολογούμενον ὑπὲρ Πλάτωνος καὶ λέγοντα ὅτι γενόμενον εἶπε τὸν κόσμον ὁ Πλάτων οὐ τοῦτο βουλόμενος, ἀλλὰ διδασκαλίας χάριν ἔφησεν ἐκ τῆς ὕλης τῆς προηγουμένης καὶ τοῦ εἴδους γεγονέναι τὸν κόσμον, ὡς ἔχει ἐπὶ τῶν μαθημάτων. cod. Coisl. 166.

ὁ Ξενοκράτης καὶ ὁ Σπεύσιππος ἐπιχειροῦντες βοηθῆσαι τῷ Πλάτωνι ἔλεγον ὅτι οὐ γενητὸν τὸν κόσμον ὁ Πλάτων ἐδόξαζεν ἀλλὰ ἀγένητον, χάριν δὲ διδασκαλίας καὶ τοῦ γνωρίσαι καὶ παραστῆσαι αὐτὸ ἀκριβέστερον ἔλεγε τοῦτον γενητόν. cod. Reg. 1853.

280 a 11. μετὰ τὸ ἀντειπεῖν τοῖς γενητὸν μὲν ἄφθαρτον δὲ λέγουσι τὸν κόσμον, μεταβέβηκεν ἐπὶ τοὺς γενητὸν μὲν αὐτόν, φθειρόμενον δὲ καὶ πάλιν γινόμενον ἐναλλὰξ λέγοντας, καὶ τοῦτο διηνεκῶς, ὡς Ἐμπεδοκλῆς καὶ Ἡράκλειτος ἐδόκουν λέγειν καὶ ὕστερον τῶν Στωϊκῶν τινές. Simpl. f. 71 *b*.

280 a 16. οὕτω καὶ εἰ ἐκ τούτου τοῦ κόσμου γίνοιτο κόσμος ἄλλος ὁ καλούμενος σφαῖρος, ἢ ὡς οἱ νῦν λέγουσιν, ὁ καινός, καὶ ἐξ ἐκείνου πάλιν οὗτος, ἀλλοίωσις ἂν εἴη κόσμου καὶ οὐ γένεσις ἢ φθορά. κἂν γὰρ ἡ φιλία συνάγουσα τὰ στοιχεῖα τούτου τοῦ κόσμου λυομένου τὸν σφαῖρον ποιῇ, κοσμοποιὸς πάλιν ἐστὶ καὶ ἐκείνη τῶν στοιχείων ἡ συγκριτικὴ τάξις, καὶ οὐχ ἡ τυχοῦσα. id. ib.

280 a 19. μάλιστα δέ, φησίν, ἀκολουθεῖν τὸ ἑκάτερον τῶν κόσμων ἀεὶ τὸ αὐτὸ εἶδος ἔχειν Ἐμπεδοκλεῖ τῷ τὰ αὐτὰ αἴτια ὡρισμένα, εἴπερ ἐναντία, τῆς γενέσεως καὶ τῆς φθορᾶς λέγοντι, τὸ νεῖκος καὶ τὴν φιλίαν. id. ib.

280 a 25. τὸ "ἣν μὴ γενομένην οὐχ οἷόν τε εἶναί φαμεν μεταβάλλειν," ἀσαφὲς ὄντως ὄν, διαφόρως ἐξηγεῖται ὁ Ἀλέξανδρος. τὴν χωρὶς γενέσεως σύστασιν, ἥτις καὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι ἦν περὶ τὸ ἐξ οὗ ὁ κόσμος ἐγένετο, οὐχ οἷόν τε ἦν εἰς τὸν κόσμον μεταβάλλειν ἄνευ γενέσεως, ἵνα ἐξ αὐτῆς ὁ κόσμος γένηται. εἰ δὲ διὰ γενέσεως, δῆλον ὡς εἶχε δύναμιν ἐκείνη ἡ σύστασις πρὸ τοῦ τὸν κόσμον γενέσθαι ὥστε κόσμος γενέσθαι· πᾶσα γὰρ γένεσις ἀπὸ δυνάμεως ἢ ἕπεται. καὶ ὅταν φθαρῇ ὁ κόσμος καὶ μεταβάλλῃ πάλιν εἰς τὴν τοιαύτην σύστασιν, μετὰ δυνάμεως πάλιν εἶναι ταύτην τοῦ ἐξ αὐτῆς κόσμον γενέσθαι. δυνατόν, φησί, μᾶλλον τοιοῦτον εἶναι τὸ "ἣν μὴ γενομένην." εἰ ἦν ἀγένητος καὶ ἀΐδιος ἡ πρὸ τοῦ γενέσθαι τὸν κόσμον σύστασις, ἀδύνατος ἂν ἦν καὶ μεταβάλλειν· τοῦτο γὰρ αὐτῷ κεῖται. οὕτω δὲ οὐδὲ ὁ κόσμος ἐγεγόνει. ἐπεὶ δὲ γέγονεν, οὐδὲ ἡ πρὸ τοῦ τοῦτον γενέσθαι σύστασις ἀγέννητος ἦν καὶ ἀΐδιος. δύναται ἄρα εἰς ἐκείνην καὶ ἐξ ἐκείνης τὰ ὑποκείμενα αὐτῇ μεταβάλλειν, ὥστε καὶ πάλιν ἐξ αὐτῆς γενέσθαι· ὁπότερον γὰρ ἂν αὐτῶν δειχθῇ γεγονός, ἄντε ὁ κόσμος ἄντε τὸ ἐξ οὗ ὁ κόσμος, δέδεικται ἀνακάμπτοντα. καὶ καλῶς οἶμαι οὕτως ἐπέβαλεν· εἰ γὰρ ἀπὸ χρόνου γενητὸς ὁ κόσμος, πρὶν γενέσθαι αὐτὸν ἀϊδίως προϋπῆρχεν ἡ πρὸ αὐτοῦ σύστασις, ἥν τινα μὴ γενομένην ἀλλ' ἀϊδίως οὖσαν τῷ ὁμοίως ἀεὶ ἔχειν οὔ φαμεν μεταβάλλειν εἰς τὸν κόσμον· δέδεικται γὰρ τοῦτο ὅτι τὰ ἐν ἀϊδίῳ καὶ ἀπείρῳ τῷ πρόσθεν χρόνῳ μὴ μεταβάλλοντα οὐκ ἂν ἔτι μεταβάλλοι. ταῦτα δὲ λέγει ὁ Ἀριστοτέλης ὁμολογούμενον λαβὼν τὸ πᾶν τὸ ἐν μέρει χρόνου γινόμενον, τοῦτο δ' ἐστὶ κατ' αὐτὸν τὸ γινόμενον, ἐκ μεταβολῆς γίνεσθαί τινος, διότι οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεται. διὸ πολλάκις εἶπον ὅτι ἀδύνατον εἰπεῖν αἰτίαν δι' ἣν τότε γέγονεν ἀλλὰ μὴ πρότερον ἢ ὕστερον. οἱ δὲ καθ' ἡμᾶς σοφοὶ ἀπ' ἀρχῆς χρόνου γεγονέναι τὸν κόσμον λέγοντες οὔτε προϋπάρχειν τινὰ σύστασιν νομίζουσιν ἐξ ἧς ἂν ὁ κόσμος ἐγένετο, οὔτε κατὰ μεταβολὴν ὅλως γεγονέναι ἀλλ' ἐκ τοῦ μὴ ὄντος ὑποστῆναι, μὴ δυνάμενοι λέγειν δι' ἣν αἰτίαν τότε ἀλλὰ μὴ πρότερον ἢ ὕστερον ὑπέστη. δείξας οὖν ὁ Ἀριστοτέλης ὅτι ἀδύνατον ἕνα ὄντα γενόμενον φθαρῆναι καὶ μηκέτι ἀνακάμπτειν, ἐπάγει ὅτι ἀπείρων ὄντων ἐνδέχεται μᾶλλον τοῦτο. καὶ τὴν αἰτίαν ὁ Ἀλέξανδρος προστίθησιν· οὐ γὰρ εἰς ὕλην τοῦ κόσμου, φησίν, ἡ διάλυσις αὐτοῦ καὶ φθορά, ἥτις δύναμιν εἶχε τοῦ γενέσθαι κόσμον, ἀλλ' εἰς ἄλλον κόσμον, ὧν ἀπείρων ὄντων καὶ ἀλλήλους διαδεχομένων οὐκ ἀνάγκη πάλιν ἐπὶ τὸν αὐτὸν τὴν ἐπάνοδον γίνεσθαι· οὕτω δὲ ἐδόκει τοῖς περὶ Λεύκιππον καὶ Δημόκριτον. πρόχειρον δὲ οἶμαι ζητεῖν τί διενήνοχεν αὕτη ἡ ὑπόθεσις τῆς ἐναλλὰξ συνιστώσης καὶ διαλυούσης, ἣν ἔλεγεν Ἀριστοτέλης οὐδὲν ἀλλοιότερον ποιεῖν ἢ ἀΐδιον μὲν κατασκευάζειν τὸν κόσμον, μεταβάλλοντα δὲ τὴν μορφήν, ὡς Ἐμπεδοκλῆς ἐδόκει λέγειν. μή ποτε δὲ καὶ μᾶλλον τοῦτο τοῖς περὶ Δημόκριτον προσήκει, εἴπερ Ἐμπεδοκλῆς μὲν διάφορα τῶν παρ' αὐτῷ κόσμων ἔλεγε τὰ εἴδη, ὡς καὶ ὀνόμασι χρῆσθαι διαφόροις, τὸν μὲν σφαῖρον τὸν δὲ κόσμον ἰδίως καλῶν, οἱ δὲ Δημοκρίτου κόσμοι εἰς ἑτέρους κόσμους μεταβάλλοντες ἐκ τῶν αὐτῶν ἀτόμων ὄντες οἱ αὐτοὶ τῷ εἴδει γίνονται, εἰ καὶ μὴ τῷ ἀριθμῷ. εἰ μὴ ἄρα διὰ τὸ μὴ ὑποτίθεσθαι τούτους ποιητικὰ αἴτια ὡρισμένα, ἀλλὰ τῇ κινήσει τῶν ἀτόμων ὡς ἔτυχε γινομένῃ συνιστᾶν τὰ ἀποτελούμενα, συμβαίνει μὴ τὰ αὐτὰ γίνεσθαι τῶν κόσμων εἴδη ἀλλ' ἄλλοτε ἄλλα, καὶ διὰ τοῦτο μὴ εἶναι ἀλλοίωσιν ὡς ἐπ' ἐκείνων τὴν μεταβολήν, ἀλλὰ γένεσιν καὶ φθοράν. καὶ τάχα εἰς τοῦτο βλέπων Ἀριστοτέλης ἔλεγεν ἐπ' ἐκείνων τὴν αὐτὴν τάξιν καὶ σύστασιν γίνεσθαι "οἷ τῆς διαθέσεως ἑκατέρας αἰτιῶνται τὸ ἐναντίον." ἀλλ' εἰ, ὥς φησιν Ἀλέξανδρος, ἡ διάλυσις τοῖς περὶ Δημόκριτον οὐκ εἰς ὕλην γίνεται ἀλλ' εἰς ἄλλον κόσμον, πῶς τοῖς ἀπείρους λέγουσι κόσμους τοῦτο προχωρεῖ λέγειν, ἀλλ' οὐχὶ καὶ τοῖς ἕνα ἢ πλείονας; μή ποτε οὖν Ἀριστοτέλης τὴν ὑπόθεσιν γυμνάζων τῶν λεγόντων γενητὸν μὲν φθαρτὸν δὲ οὕτως ὡς μὴ ἀνακάμπτειν, οὐκ ἔλαβεν εἰς κόσμους γινομένην τὴν διάλυσιν (ταύτην γὰρ ἀλλοίωσιν ἔλεγεν) ἀλλ' εἰς τὸ μὴ ὄν, καὶ τοῦτο τοῖς μὲν ἕνα τὸν κόσμον ὑποτιθεμένοις ἔλεγε μὴ προχωρεῖν. id. f. 72.

280 a 28. ὁ μὲν Ἀλέξανδρός φησιν ὅτι διὰ τὸ τέλειον τῆς διαιρέσεως τούτου ἐμνημόνευσεν, ἐπεὶ οὐδεὶς τοῦτο ἐδόξασε. ψευδὲς δὲ τοῦτο· ὁ γὰρ Πλάτων ἐν Τιμαίῳ τὸ πλημμελῶς καὶ ἀτάκτως κινούμενον ἀγένητον εἶπε καὶ φθαρτόν. cod. Coisl. 166. cf. Simpl. f. 72 *b*.

280 b 21. ὑποστικτέον εἰς τὸ "ἢ ἐνδέχεται," ἵνα τὸ ἐλλεῖπον τὸ ὕστερον μὴ εἶναι διὰ τῆς ὑποστιγμῆς προσεννοῶμεν. καὶ ἔστιν οὗτος ὁ τρόπος τῷ πρώτῳ τοῦ γενητοῦ ἀντικείμενος. Simpl. f. 73 *b*.

μενα, φησί, λέγει, ὡς ἄν τῳ δόξαι· κόσμον γάρ φησιν ἐνταῦθα οὐ τόνδε λέγειν τὴν διακόσμησιν, ἀλλὰ καθόλου τὰ ὄντα καὶ τὴν τούτων διάταξιν, καθ' ἣν εἰς ἑκάτερον ἐν μέρει ἡ μεταβολὴ τοῦ παντός, ποτὲ μὲν εἰς πῦρ ποτὲ δὲ εἰς τὸν τοιόνδε κόσμον· ἡ γὰρ τοιαύτη τούτων ἐν μέρει μεταβολὴ καὶ ὁ τοιοῦτος κόσμος οὐκ ἤρξατό ποτε, ἀλλ' ἦν ἀεί. καὶ ταῦτα δὲ προστίθησιν ὁ Ἀλέξανδρος, ὅτι οἱ λέγοντες ποτὲ μὲν οὕτω τὸ πᾶν ποτὲ δὲ ἄλλως ἔχειν, ἀλλοίωσιν μᾶλλον τοῦ παντός, ἀλλ' οὐ γένεσιν καὶ φθορὰν λέγουσιν. εἰ δὲ γενητόν, φησί, καὶ φθαρτὸν λέγοντες τὸν κόσμον ὡς ὁτιοῦν ἄλλο τῶν συνισταμένων εἶεν ἂν οἱ περὶ Δημόκριτον· ὡς γὰρ ἕκαστον τῶν ἄλλων γίνεται καὶ φθείρεται κατ' αὐτούς, οὕτω δὲ καὶ τῶν κόσμων τῶν ἀπείρων ἕκαστος· ὡς γὰρ ἐπὶ τῶν ἄλλων τὸ γινόμενον οὐ ταὐτὸν τῷ φθαρέντι, εἰ μὴ ἄρα κατ' εἶδος, οὕτω καὶ ἐπὶ τῶν κόσμων λέγουσιν. εἰ δὲ αἱ ἄτομοι αἱ αὐταὶ μένουσιν ἀπαθεῖς οὖσαι, δῆλον ὅτι καὶ οὗτοι ἀλλοίωσιν ἂν λέγοιεν τῶν κόσμων ἀλλ' οὐ φθοράν, ὥσπερ Ἐμπεδοκλῆς δοκεῖ λέγειν καὶ Ἡράκλειτος· ὀλίγα γὰρ ἐκ τῶν Ἀριστοτέλει περὶ Δημοκρίτου παραγραφέντων δηλώσει τὴν τῶν ἀνδρῶν ἐκείνων διάνοιαν. Δημόκριτος ἡγεῖται τὴν τῶν ἀϊδίων φύσιν εἶναι μικρὰς οὐσίας, πλῆθος ἀπείρους, ταύταις δὲ τόπον ἄλλον ὑποτίθησιν ἄπειρον τῷ μεγέθει, προσαγορεύει δὲ τὸν μὲν τόπον τοῖσδε τοῖς ὀνόμασι, τῷ τε κενῷ καὶ τῷ οὐδενὶ καὶ τῷ ἀπείρῳ, τῶν δὲ οὐσιῶν ἑκάστην τῷ τῷδε καὶ τῷ ναστῷ καὶ τῷ ὄντι. νομίζει δὲ εἶναι οὕτω μικρὰς τὰς οὐσίας ὥστε ἐκφυγεῖν τὰς ἡμετέρας αἰσθήσεις, ὑπάρχειν δὲ αὐταῖς παντοίας μορφὰς καὶ σχήματα παντοῖα καὶ κατὰ μέγεθος διαφοράν. ἐκ τούτων οὖν ἤδη, καθάπερ ἐκ στοιχείων, γεννᾶν καὶ συγκρίνειν τοὺς ὀφθαλμοφανεῖς καὶ τοὺς αἰσθητοὺς ὄγκους. στασιάζειν δὲ καὶ φέρεσθαι ἐν τῷ κενῷ διά τε τὴν ἀνομοιότητα καὶ τὰς ἄλλας τὰς εἰρημένας διαφοράς, φερομένας δὲ ἐμπίπτειν καὶ περιπλέκεσθαι περιπλοκὴν τοιαύτην ἣ συμψαύειν μὲν αὐτὰ καὶ πλησίον ἀλλήλων εἶναι ποιεῖ, φύσιν μέντοι μίαν ἐξ ἐκείνων κατ' ἀλήθειαν οὐδ' ἡντιναοῦν γεννᾷ· κομιδῇ γὰρ εὔηθες εἶναι τὰ δύο ἢ τὰ πλείονα γενέσθαι ἄν ποτε ἕν. τοῦ δὲ συμμένειν τὰς οὐσίας μετ' ἀλλήλων μέχρι τινὸς αἰτιᾶται τὰς ἐπαλλαγὰς καὶ τὰς ἀντιλήψεις τῶν σωμάτων· τὰ μὲν γὰρ αὐτῶν εἶναι σκαληνά, τὰ δὲ ἀγκιστρώδη, τὰ δὲ ἄλλα ἀναρίθμους ἔχοντα διαφοράς. ἐπὶ τοσοῦτον οὖν χρόνον σφῶν αὐτῶν ἀντέχεσθαι νομίζει καὶ συμμένειν, ἕως ἰσχυροτέρα τις ἐκ τοῦ περιέχοντος ἀνάγκη παραγενομένη καὶ διασείσῃ καὶ χωρὶς αὐτὰς διασπείρῃ. λέγει δὲ τὴν γένεσιν καὶ τὴν ἐναντίαν αὐτῇ διάκρισιν οὐ μόνον περὶ ζῴων, ἀλλὰ καὶ περὶ φυτῶν καὶ περὶ κόσμων καὶ συλλήβδην περὶ τῶν αἰσθητῶν σωμάτων ἁπάντων. εἰ τοίνυν ἡ μὲν γένεσις σύγκρισις τῶν ἀτόμων ἐστίν, ἡ δὲ φθορὰ διάκρισις, καὶ κατὰ Δημόκριτον ἀλλοίωσις ἂν εἴη ἡ γένεσις. καὶ γὰρ καὶ Ἐμπεδοκλῆς τὸ γινόμενον οὐ ταὐτὸ τῷ φθαρέντι φησίν, εἰ μὴ ἄρα κατ' εἶδος, καὶ ὅλως τοῦτον ἀλλοίωσιν ἀλλ' οὐ γένεσιν ὑποτίθεσθαί φησιν Ἀλέξανδρος. ἐφιστάνειν δὲ ἐν τούτοις ἀξιῶ ὅτι οὐδεὶς τῶν παλαιῶν ἱστορεῖται φθορὰν τοῦ κόσμου τοιαύτην λέγων οἵαν οἱ νῦν λέγουσιν, ὡς φθαρέντα μὴ πάλιν ἀνακάμπτειν. id. ib.

279 b 17. ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος οὐχ οὕτω τὰ Πλάτωνος νοήσας ὡς ὁ Ἀριστοτέλης ἐνόησεν, οὐδὲ παρακολουθήσας τῇ περὶ τὰς ἐννοίας αὐτῶν συμφωνίᾳ, ἐξ ἀρχῆς, ὡς ἔοικε, πρὸς τὰ τοῦ Πλάτωνος ὑπόπτως διατεθείς, ὥσπερ ὀλίγον πρὸ ἡμῶν τινὲς πρὸς τὰ Ἀριστοτέλους, οὐκ ἀξιοῖ τὴν δόξαν αὐτὴν εὐθύνειν ὥσπερ Ἀριστοτέλης, οὐδὲ μνημονεύων ὅλως τοῦ Πλάτωνος ὀνόματος πλὴν ὀλιγάκις, ἀλλ' αὐτὸν εἰς τὰς εὐθύνας ἕλκει τὸν Πλάτωνα... ταῦτα πρὸς τὸν Ἀλέξανδρον εἶχον λέγειν, αἰδούμενος μὲν τὸν ἄνδρα καὶ χάριτας ὀφείλων αὐτῷ, νομίζων δὲ καὶ αὐτῷ φίλον εἶναι τὸ τὴν ἀλήθειαν προτιμᾶν. id. f. 69.

δύναται, φησὶν Ἀλέξανδρος, τὸ "οὔτε εἰ ἄλλως ἔχει ποτὲ οὔτε 279 b 31.
εἰ δυνατὸν ἄλλως ἔχειν" εἰρηκέναι τὸ μὲν ὡς ἴσον τῷ οὔτε εἰ γενόμενον πρότερον ἐφθάρη, τὸ δὲ τῷ οὔτε εἰ μὴ ἐφθάρη μὲν ἤδη πρότερον, δύναμιν δὲ ἔχει τοῦ φθαρῆναι τῷ τὰ ἐξ ὧν γέγονεν εἶναι τῆς φύσεως ταύτης. ἔστι δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ οὕτως εἰς τὸ προκείμενον ἐπιχειρῆσαι. id. f. 70 b.

δοκεῖ μὲν πρὸς Ξενοκράτην μάλιστα καὶ τοὺς Πλατωνικοὺς ὁ λόγος 279 b 32.
τείνειν, διότι ἐξ ἀτάκτου καὶ πλημμελῶς γεγονέναι τὸν κόσμον φασί, τοῦ Πλάτωνος εἰπόντος "παραλαβὼν γὰρ ὁ θεὸς πᾶν ὅσον ἦν ὁρατὸν οὐχ ἡσυχίαν ἄγον ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας" (Tim. p. 30). οὗτοι οὖν γενητὸν καὶ ἄφθαρτον λέγοντες τὸν κόσμον τὴν γένεσιν οὐχ ὡς ἀπὸ χρόνου φασὶ δεῖν ἀκούειν, ἀλλ' ἐξ ὑποθέσεως εἰρημένην, διδασκαλίας χάριν τῆς τάξεως τῶν ἐν αὐτῷ προτέρων τε καὶ συνθετωτέρων· ἐπειδὴ γὰρ τῶν ἐν τῷ κόσμῳ τὰ μὲν στοιχεῖά ἐστι τὰ δὲ ἐκ τῶν στοιχείων, οὐκ ἦν ῥᾴδιον γνῶναι τὴν τούτων διαφοράν, καὶ ὅπως ἐκ τῶν ἁπλουστέρων γίνεται τὰ σύνθετα, μὴ ἀναλύσαντα τῇ ἐπινοίᾳ τὰ σύνθετα εἰς τὰ ἁπλᾶ, καὶ σκοποῦντα πῶς, εἰ τὰ ἁπλᾶ καθ' αὑτὰ ἦν ἐξ ἀρχῆς, ἀπ' αὐτῶν ἐγεγόνει τὰ σύνθετα, ὥσπερ ἐπὶ τῶν διαγραμμάτων οἱ μαθηματικοὶ τὴν φύσιν αὐτῶν ζητοῦντες τὰ σύνθετα εἰς τὰ ἁπλᾶ ἀναλύουσι, καὶ ὅπως ἐξ ἐκείνων ἐγένετο ἄν, εἴπερ ἐξ ἀρχῆς ἐγένετο, σκοποῦσιν, οἷον ὅτι τὸ τρίγωνον ἐκ τριῶν εὐθειῶν κατὰ γωνίας συντιθεμένων, ὁ δὲ κύβος ἐκ τετραγώνων ἓξ κατὰ γωνίας καὶ γραμμὰς ἀλλ' οὐχὶ ὡς κατὰ ἐπίπεδα συντιθεμένων. μή ποτε δὲ καὶ τοῖς ἄλλοις φυσικοῖς τοῖς γενητὸν καὶ ἄφθαρτον δοκοῦσι λέγειν τὸν κόσμον, ὅσοι ἐξ ἑνὸς ἢ δυοῖν ἢ τεσσάρων στοιχείων προϋπαρχόντων αὐτὸν λέγουσι γεγονέναι, προσήκει τὴν γένεσιν οὕτως ἐξηγεῖσθαι ὡς εἴρηται· καὶ γὰρ οἱ λέγοντες ὕδωρ ἢ ἀέρα ἢ πῦρ ἢ τὰ τέσσαρα τὴν ἀρχήν, τὰ νῦν φαινόμενα σύνθετα ἀναλύσαντες ὡς ἁπλούστατα ταῦτα προϋποτίθενται, καὶ ὅπως ἐξ αὐτῶν γίνεται τὰ σύνθετα σκοποῦντες, εἰ καὶ ἐξ ἀρχῆς τινὸς χρονικῆς ὁ κόσμος ἐγένετο, οὕτως ἂν γενέσθαι φαῖεν... ἐπεὶ δὲ καὶ Πλάτων καὶ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας καὶ οἱ ἄλλοι φυσικοὶ τὴν τῶν συνθέτων ἀπὸ τῶν ἁπλῶν γένεσιν κατὰ τὸν ἐξ ὑποθέσεως τοῦτον τρόπον φαίνονται παραδιδόντες ἀπὸ τῶν νῦν ὁρωμένων τὴν ἀνάλυσιν ποιούμενοι τὴν ἐπὶ τὰ ἁπλᾶ καὶ τὴν ἐκ τῶν ἁπλῶν σύνθεσιν ἐξιστοροῦντες, ὡς εἰ καὶ προϋπῆρχε τῷ χρόνῳ τὰ ἐξ ὧν γίνεται τὰ γινόμενα, ῥητέον οἶμαι πρὸς τὴν Ἀριστοτέλους ἔνστασιν ὅτι... ὁ γοῦν Ἐμπεδοκλῆς οὐδὲν ἄλλο φησὶν ἢ γένεσίς ἐστι καὶ ἡ φθορὰ "ἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων." καὶ οἱ ἄλλοι δὲ φυσικοὶ οὐχὶ φθαρέντος τοῦ ὕδατος ἢ τοῦ ἀέρος

279a 25. κυριώτερον δὲ αἰῶνα λέγεσθαί φησιν Ἀριστοτέλης τὴν ὁλότητα καὶ τελειότητα καιροῦ, τὴν συναναιροῦσαν τὸν ἄπειρον χρόνον τοῦ παντὸς οὐρανοῦ... ἐγκύκλια δὲ καλεῖ φιλοσοφήματα τὰ κατὰ τάξιν ἐξ ἀρχῆς τοῖς πολλοῖς προτιθέμενα, ἅπερ καὶ ἐξωτερικὰ καλεῖν εἴωθεν, ὥσπερ καὶ ἀκροαματικὰ καὶ συνταγματικὰ τὰ σπουδαιότερα. λέγει δὲ περὶ τούτου ἐν τοῖς περὶ Φιλοσοφίας. καθόλου γὰρ ἐν οἷς ἐστί τι βέλτιον, ἐν τούτοις ἐστί τι καὶ ἄριστον. ἐπεὶ οὖν ἐστὶν ἐν τοῖς οὖσιν ἄλλο ἄλλου βέλτιον, ἔστιν ἄρα τι καὶ ἄριστον, ὅπερ εἴη ἂν τὸ θεῖον. εἰ οὖν τὸ μεταβάλλον ἢ ὑπ' ἄλλου μεταβάλλει ἢ ὑφ' ἑαυτοῦ, καὶ εἰ ὑπ' ἄλλου, ἢ κρείττονος ἢ χείρονος, εἰ δὲ ὑφ' ἑαυτοῦ, ἢ ὡς πρός τι χεῖρον ἢ ὡς καλλιόνός τινος ἐφιέμενον, τὸ δὲ θεῖον οὔτε κρεῖττόν τι ἔχει αὐτοῦ, ὑφ' οὗ μεταβληθήσεται (ἐκεῖνο γὰρ ἂν ἦν θειότερον), οὔτε ὑπὸ χείρονος τὸ κρεῖττον πάσχειν θέμις ἐστίν· καὶ μέντοι εἰ ὑπὸ χείρονος, φαῦλον ἄν τι προσελάμβανεν, οὐδὲν δὲ ἐν ἐκείνῳ φαῦλον. ἀλλ' οὐδὲ ἑαυτὸ μεταβάλλει ὡς καλλιόνός τινος ἐφιέμενον· οὐδὲ γὰρ ἐνδεές τι τῶν αὐτοῦ καλῶν οὐδενός· οὐ μέντοι οὐδὲ πρὸς τὸ χεῖρον, ὅτε μηδὲ ἄνθρωπος ἑκὼν ἑαυτὸν χείρω ποιεῖ, μήτε δὲ ἔχει τι φαῦλον μηδὲν ὅπερ ἂν ἐκ τῆς εἰς τὸ χεῖρον μεταβολῆς προσέλαβεν. καὶ ταύτην δὲ ἀπὸ τοῦ δευτέρου τῆς Πλάτωνος Πολιτείας Ἀριστοτέλης μετέλαβε τὴν ἀπόδειξιν... ταῦτα, ὅπερ εἶπον, πάντα ἀπ' ἀρχῆς τῆς ῥήσεως μέχρι τέλους (*) ἐπὶ τοῦ κυκλοφορητικοῦ σώματος ἀκούειν μᾶλλον ἀξιοῖ ὁ Ἀλέξανδρος, οἱ δὲ νεώτεροι τῶν ἐξηγητῶν πάντα ὡς ἐπὶ τῶν ἀκινήτων αἰτίων τῶν τὰ οὐράνια κινούντων τὰ εἰρημένα παραινοῦσιν ἀκούειν... ἀλλ' ὅτι μὲν τὸ ποιῆσαν καὶ τὰ πρότερα περὶ τῶν οὐρανίων ὑπονοεῖσθαι τοῦτο μάλιστα τὸ ῥητόν ἐστιν τὸ "καὶ ἄπαυστον δὴ κίνησιν κινεῖται εὐλόγως" (*b* 1) καὶ τὰ συνεχῆ αὐτῷ, πρόδηλον. εἰ μέντοι οὕτως ἔχοι ἡ γραφὴ ὡς ἔν τισιν εὗρον ἀντιγράφοις "καὶ ἄπαυστον δὴ κίνησιν κινεῖ εὐλόγως," ἀλλ' οὐχὶ "κινεῖται," ὡς Ἀλεξάνδρῳ δοκεῖ, καὶ τοῦτο καὶ τὰ πρὸ αὐτοῦ πάντα δυνατὸν ἀβιάστως ἐπὶ τὰ νοητὰ καὶ ἀκίνητα αἴτια καὶ ἔξω τοῦ κόσμου λεγόμενα ὡς ὑπερκόσμια ἀνάγειν. id. f. 67 *b*.

279a 18. ὁ μὲν Ἀλέξανδρος οἴεται πάντα τὰ ἐντεῦθεν περὶ τῶν οὐρανίων λέγεσθαι σωμάτων· ὅπερ οὐ συνᾴδει τῇ λέξει, ἀλλὰ τὰ μὲν ἐπὶ τοῦ θείου λέλεκται τὰ δὲ ἐπὶ τοῦ οὐρανίου σώματος. ἡνίκα μὲν γὰρ λέγει τὸ θεῖον ἀκίνητον, πῶς ἐνδέχεται τοῦτο λαβεῖν ἐπὶ τοῦ οὐρανοῦ; πάλιν ὅταν ἐπιφέρῃ ὅτι πέρας οὐκ ἔχει τῆς κινήσεως, ὡμολογηται ὅτι περὶ τοῦ οὐρανίου σώματος λέγει. πῶς δὲ πάλιν λέγει τὰ οὐράνια ἀμετάβλητα ἀεὶ μεταβάλλοντα, καὶ πάλιν μὴ εἶναι ἐν τόπῳ ἐν τόπῳ ὑπάρχοντα; ἀλλὰ μᾶλλον, ὡς ἔδοξε τῷ φιλοσόφῳ Ἀμμωνίῳ, περί τινων λέγεται ταῦτα τῶν κινούντων τὰ οὐράνια, εἰ καί τινά ἐστι κοινὰ καὶ τοῖς οὐρανίοις ἁρμόττοντα. cod. Coisl. 166.

(*) p. 279 *a* 18. Alexander autem existimavit una cum harum rerum explicatione Aristotelem declarasse mundum esse aeternum... Alexander vero imaginatur hoc de primo mobili ac de motrice causa dictum fuisse... hac itaque ratione invenimus Alexandrum duplici modo hunc sermonem intellexisse: mihi tamen secunda explicatio magis arridet. Themist. f. 15 *b*. cf. Simpl. f. 67.

279a 25. τὰ μὲν τῶν Ἀριστοτέλους συγγραμμάτων λέγεται ἀκροαματικά, ὅσα πρὸς τοὺς γνησίους δηλονότι αὐτοῦ μαθητὰς ἐρρέθη, οἷα ἐστὶν ἡ λογικὴ αὐτοῦ πραγματεία καὶ ἡ φυσική, τὰ δὲ ἑταιρικά, ὅσα πρὸς τοὺς ἑαυτοῦ φίλους ἐγράφη, τὰ δὲ ἐξωτερικά, ὅσα δι' ἐπιστολὰς ἔγραφε πρός τινας τῶν μὴ συνηθῶν αὐτῷ, ἀξιούμενος παρ' ἐκείνων· ἃ καὶ ἐγκύκλια λέγεται, διότι στελλομένων τούτων τοῖς ἐρωτήσασιν οὕτως ἀνεγινώσκοντο κατὰ κύκλον πάντων ἱσταμένων, ἵνα πάντες αὐτῶν ἀκούωσιν ἐπ' ἴσης. ἐν τούτοις οὖν πολλάκις ὁ Ἀριστοτέλης περὶ τῶν θείων φιλοσοφήσας ἔδειξεν ὅτι τὸ θεῖον τὸ ἀκρότατον πάντων καὶ πρῶτον ὁ πρῶτος νοῦς, ὃν ἐν τῇ ἀπλανεῖ ἀναγκαῖον ἀμετάβλητον εἶναι. cod. Reg. 1853. ἐγκύκλιά φησι τὰ ἐξωτερικά. cod. Coisl. 166.

279b 10. τὸ καταδικάζεσθαι ἀντὶ τοῦ καταψηφίζεσθαι εἴρηται, ταὐτὸ σημαῖνον τῷ καταδικάζειν, παθητικὸν ἀντὶ ἐνεργητικοῦ ῥηθέν. Simpl. f. 68 *b*.

279b 13. τῶν γεγονέναι λεγόντων αὐτὸν οἱ μὲν ἀΐδιον λέγουσιν, ὥσπερ Ὀρφεὺς καὶ Ἡσίοδος καὶ μετ' αὐτοὺς ὁ Πλάτων, ὥς φησιν Ἀλέξανδρος. τινὲς δὲ τῶν γενητὸν λεγόντων καὶ φθαρτὸν λέγουσι, διχῶς δὲ τοῦτο· οἱ μὲν γὰρ οὕτω φθαρτὸν ὥσπερ ὁτιοῦν ἄλλο τῶν συνισταμένων ἀτόμων, οἷον Σωκράτην φθειρόμενον ἅπαξ καὶ μηκέτι ἀνακάμπτοντα, οἱ δὲ ἐναλλὰξ γίνεσθαι καὶ φθείρεσθαι λέγουσι καὶ ἀΐδιον εἶναι τὴν διαδοχήν, ὥσπερ Ἐμπεδοκλῆς τὴν φιλίαν καὶ τὸ νεῖκος παρὰ μέρος λέγων ἐπικρατοῦντα τὴν μὲν συνάγειν τὰ πάντα εἰς ἓν καὶ φθείρειν τὸν τοῦ νείκους κόσμον καὶ ποιεῖν ἐξ αὐτοῦ τὸν σφαῖρον, τὸ δὲ νεῖκος διακρίνειν πάλιν τὰ στοιχεῖα καὶ ποιεῖν τὸν τοιοῦτον κόσμον. ταῦτα δὲ Ἐμπεδοκλῆς σημαίνει λέγων

ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορούμενα νείκεος ἔχθει.
ᾗ δὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσιν,
τῇ μὲν γίγνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών·
ᾗ δὲ διαλλάσσοντα διάμπερες οὐδαμὰ λήγει,
ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον.

καὶ Ἡράκλειτος δὲ ποτὲ μὲν πυροῦσθαι τὸν κόσμον λέγει, ποτὲ δὲ ἐκ τοῦ πυρὸς συνίστασθαι πάλιν αὐτὸν κατά τινας χρόνων περιόδους, ἐν οἷς φησὶ "μέτρα ἁπτόμενος καὶ μέτρα σβεννύμενος." ταύτης δὲ τῆς δόξης ὕστερον ἐγένοντο καὶ οἱ Στωϊκοί. ἀλλ' οὗτοι μὲν ἰάσθωσαν. ὅτι δὲ οἱ θεολόγοι οὐχ ὡς ἀπὸ χρονικῆς ἀρχῆς ἀλλ' ὡς ἀπ' αἰτίας ποιητικῆς λέγουσι τὴν γένεσιν τοῦ κόσμου, καὶ ταύτην μυθικῶς ὥσπερ καὶ τὰ ἄλλα, πρόδηλον. Ἐμπεδοκλῆς δὲ ὅτι δύο κόσμους ἐνδείκνυται, τὸν μὲν ἡνωμένον καὶ νοητὸν τὸν δὲ διακεκριμένον καὶ αἰσθητόν, καὶ ὅτι καὶ ἐν τούτῳ τῷ κόσμῳ τὴν ἕνωσιν ὁρᾷ καὶ τὴν διάκρισιν ἐν ἀλλήλοις, οἶμαι μετρίως ἐκ τῶν αὐτοῦ δεδειχέναι ῥημάτων. καὶ Ἡράκλειτος δὲ δι' αἰνιγμάτων τὴν ἑαυτοῦ σοφίαν ἐκφέρων, οὐ ταῦτα ἅπερ δοκεῖ τοῖς πολλοῖς σημαίνει· ὁ γοῦν ἐκεῖνα εἰπὼν περὶ γενέσεως, ὡς δοκεῖ, τοῦ κόσμου καὶ τάδε γέγραφε "κόσμον τόνδε οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν, ἀλλ' ἦν ἀεί." πλὴν ὅτι ὁ Ἀλέξανδρος, βουλόμενος τὸν Ἡράκλειτον γενητὸν καὶ φθαρτὸν λέγειν τὸν κόσμον, ἄλλως ἀκούει τοῦ κόσμου νῦν· οὐ γὰρ μαχό-

ἑστῶτος τοῦ σταθμίζοντος. ὅπερ πλασματῶδες δοκεῖ, εἰ μὴ ἄρα ἐπὶ τούτων ἀνεπαίσθητόν τις λέγοι γίνεσθαι τὴν διαφοράν. id. f. 61 *b*.

277 a 33. τὰ στοιχειώδη σώματα ἢ κατὰ τὴν αὐτῶν φύσιν κινεῖται, ἢ ὑπ' ἄλλου τινὸς φερόμενα, ἢ ὑπ' ἀλλήλων ἐκθλιβόμενα... ὅτι δὲ οὔτε τῇ ὑπ' ἀλλήλων ἐκθλίψει βιαζόμενα κινεῖται, δείκνυσιν ἐφεξῆς. ταύτης δὲ γεγόνασι τῆς δόξης μετ' αὐτὸν Στράτων ὁ Λαμψακηνός τε καὶ Ἐπίκουρος, πᾶν σῶμα βαρύτητα ἔχειν νομίζοντες καὶ πρὸς τὸ μέσον φέρεσθαι, τῷ δὲ τὰ βαρύτερα ὑφιζάνειν τὰ ἧττον βαρέα ὑπ' ἐκείνων ἐκθλίβεσθαι βίᾳ πρὸς τὸ ἄνω, ὥστε εἴ τις ὑφεῖλε τὴν γῆν, ἐλθεῖν ἂν τὸ ὕδωρ εἰς τὸ κέντρον, καὶ εἴ τις τὸ ὕδωρ, τὸν ἀέρα, καὶ εἰ τὸν ἀέρα, τὸ πῦρ... οἱ δὲ τοῦ πάντα πρὸς τὸ μέσον φέρεσθαι κατὰ φύσιν τεκμήριον κομίζοντες τὸ τῆς γῆς ὑποσπωμένης τὸ ὕδωρ ἐπὶ τὸ κάτω φέρεσθαι καὶ τοῦ ὕδατος τὸν ἀέρα, ἀγνοοῦσι τὴν τούτου αἰτίαν τὴν ἀντιπερίστασιν οὖσαν· τῶν γὰρ παχυτέρων εἰς τὴν τῶν λεπτοτέρων χώραν μετατιθεμένων τὰ λεπτότερα τὴν τῶν παχυτέρων χώραν μεταλαμβάνει, περιωθούμενα πρὸς τὸ κάτω διὰ τὸ μηδὲν εἶναι κενόν, μηδὲ σῶμα διὰ σώματος χωρεῖν. ἰστέον δὲ ὅτι οὐ Στράτων μόνος οὐδὲ Ἐπίκουρος πάντα ἔλεγον εἶναι τὰ σώματα βαρέα, καὶ φύσει μὲν ἐπὶ τὸ κάτω φερόμενα παρὰ φύσιν δὲ ἐπὶ τὸ ἄνω, ἀλλὰ καὶ ὁ Πλάτων οἶδε φερομένην τὴν δόξαν καὶ διελέγχει... καὶ γὰρ καὶ οἱ τὰς ἀτόμους λέγοντες εἶναι πάσας οὔσας βαρείας ἔλεγον αὐτὰς καὶ βάρους τοῖς συνθέτοις αἰτίας, ὥσπερ οὖν κουφότητος τὸ κενόν... ἀλλ' ὡς ἔοικε, τῷ ὄντι πρῶτος ὁ Ἀριστοτέλης τί ποτε ἐστιν ὁ τόπος ἐπιχειρήσας ζητεῖν μερικῆς ἐννοίας αὐτοῦ τῆς κατὰ τὸ περιέχειν ἔξωθεν κατεδράξατο, καὶ διὰ τοῦτο πολλαῖς ἐπιστάσεσιν ὑπεύθυνον ἐποίησε τὸν λόγον. id. f. 62 *b*. cf. Themist. f. 14 *b*.

277 b 10. πρώτης μὲν φιλοσοφίας λόγους τὴν Μετὰ τὰ Φυσικὰ πραγματείαν καλεῖ, καί φησιν ἔκ τε τῶν ἐκεῖ ῥηθέντων καὶ ἐκ τῶν ἐν τῷ θ' τῆς Φυσικῆς Ἀκροάσεως δείκνυσθαι ὅτι εἷς ὁ κόσμος ἐστίν... ἐν δὲ τῇ Μετὰ τὰ Φυσικά, ὡς φησὶν Ἀλέξανδρος, δείκνυσιν ὅτι ἓν ἐστι τὸ κινητικὸν τοῦτο τοῦ κυκλοφορητικοῦ σώματος... ἀρκεῖ δὲ ἱκανῶς καὶ ὁ ἡμέτερος καθηγεμὼν Ἀμμώνιος, ἐν ὅλῳ βιβλίῳ τοῦτο δεικνὺς ὅτι οὐ τελικὸν μόνον ἀλλὰ καὶ ποιητικὸν αἴτιον οἶδε τοῦ κόσμου τὸν θεὸν ὁ Ἀριστοτέλης. Simpl. f. 63. cf. Themist. f. 14 *b*.

277 b 17. καὶ τρίτος (τόπος) ὁ τοῦ μεταξὺ εἰς πλείονα διῃρημένου, εἷς τε γὰρ τὸ κοῦφον καὶ πᾶσιν ἐπιπολάζον τοῖς ἐπ' εὐθείας κινουμένοις, ὅπερ ἐστὶ πῦρ, καὶ εἰς τὰ μεταξὺ τούτου τε καὶ τοῦ βαρυτάτου δύο σώματα, τόν τε ἀέρα καὶ τὸ ὕδωρ. ὅτι δὲ ἐν τούτῳ τῷ κόσμῳ εἰσὶν οἶδε οἱ τόποι, καὶ οὐκ ἐν ἄλλῳ, δείκνυσιν οἶμαι ἐφ' ἑνὸς τοῦ πυρός, ὥσπερ πρότερον ἐπὶ τῆς γῆς ἐδείκνυεν· ἀνάγκη γὰρ τὸ ἐπιπολάζον, τουτέστι τὸ πῦρ, ἢ ἐν τούτῳ εἶναι τῷ μεταξύ, ἢ ἔξω τοῦδε τοῦ τόπου ἐν ᾧ κεῖται. οὕτως γὰρ ὁ Ἀλέξανδρος ἀκούει, οὐχ ὡς ἐν ἄλλῳ κόσμῳ τὸ ἔξω, ἀλλ' ἐν τούτῳ· ὁ γὰρ αὐτὸς φησὶ λόγος κἂν ἔξω τοῦδε τοῦ κόσμου ᾖ. Simpl. f. 63 *b*.

277 b 22. ἄλλο δὲ σῶμα παρὰ ταῦτα, τό τε βαρὺ καὶ τὸ κοῦφον, οὐκ ἦν... σημειοῦται δὲ ἐν τούτοις ὁ Ἀλέξανδρος ὅτι καὶ τὸ αἰθέριον σῶμα στοιχεῖον εἶπεν ὁ Ἀριστοτέλης, εἰπὼν "τριῶν γ. ο. τ. σ. σ." (v. 13). τοῦτο δέ, φησίν, εἶπεν ἢ ὡς καὶ αὐτοῦ πρὸς τὴν τοῦ κόσμου σύστασίν τε καὶ οὐσίαν στοιχείου λόγον ἔχοντος, ἢ ὡς τῶν ἁπλῶν σωμάτων πάντων κοινότερον στοιχείων καλουμένων, διότι καὶ τὸ στοιχεῖον ἁπλούστατον εἶναι βούλεται. καὶ ἐφεξῆς δὲ εὐθὺς συμπεραινόμενος στοιχεῖα τὰ ἁπλᾶ σώματα καλεῖ, καὶ ἔτι σαφέστερον ἀρχόμενος τοῦ τρίτου βιβλίου. σωματικὰ δὲ στοιχεῖα λέγει τὰ σώματα ὄντα στοιχειώδη, ἀντιδιαστέλλων αὐτὰ πρός γε τὸ εἶδος καὶ τὴν ὕλην· ἐκεῖνα γὰρ στοιχεῖα μὲν τῶν σωμάτων καὶ κυρίως γε καὶ πρώτως, οὐ μὴν σώματος στοιχεῖα. id. ib.

277 b 27. προστίθησιν ἐπισημαντικῶς ὅτι καὶ ἀδύνατον ἄλλως ἔχειν, ὥστε οὐ μόνον ἐστὶν εἷς, ἀλλ' οὐδ' ἂν γένοιντο πλείους. τάχα γὰρ ἄν τις εἴποι νῦν μὲν ἕνα εἶναι, μηδὲν δὲ κωλύειν καὶ πλείους γενέσθαι... τοῦτο γὰρ ἡ ἀπορία συνάγει, ὅτι ἢ εἰσὶ πλείους κόσμοι ἢ ἐνδέχεται πλείους γενέσθαι τοὺς καθ' ἕκαστα. διόπερ ὁ Ἀλέξανδρος προσυπακούειν ἀξιοῖ τῷ "δόξειε γὰρ ἀδύνατον" τὸ ἐξ ἀνάγκης ἕνα καὶ μόνον εἶναι. ἡ δὲ ἀπορία τοιαύτη. id. f. 64.

278 a 16. ἀπὸ τῆς τοῦ εἴδους κοινότητος τὴν ἀπορίαν κρατύνας, ἐπειδὴ τὸ κοινὸν οἱ μὲν χωριστὸν ἔλεγον καὶ ἐξῃρημένον, ὥσπερ καὶ οἱ Πυθαγόρειοι καὶ ὁ Σωκράτης καὶ Πλάτων, νομίζοντες δεῖν πρὸ τῶν πολλῶν ὁμοίων εἶναί τι τὸ τῆς ὁμοιότητος αὐτοῖς αἴτιον ἐξῃρημένον αὐτῶν, οἱ δὲ ἀχώριστον τῶν πολλῶν ὑπάρχειν, εἴτε οὕτω, φησίν, εἴτε ἐκείνως, ἐπὶ πάντων ὁρῶμεν τὸ αὐτὸ εἶδος πλείοσιν ἐνύλοις καὶ ὁμοειδέσιν ὑπάρχον... ὥστε καὶ οὐρανοὶ ἢ εἰσὶ πλείους ἢ ἐνδέχεταί γε εἶναι, ταὐτὸν δὲ εἰπεῖν κόσμοι· γένος γάρ, φησὶν Ἀλέξανδρος, ἢ εἶδος ὁ κόσμος ἔσται χωρὶς τῆς ὕλης λαμβανόμενος... τινὲς δὲ τῶν Πλάτωνος φίλων πρὸς τὸν Πλάτωνά φασιν αὐτὸν ἀποτείνεσθαι, ὅτι ὅσον ἐκ τῶν παραδειγμάτων, πολλοὶ ὤφελον εἶναι κόσμοι, εἴπερ πρὸς ἕκαστον παράδειγμα πολλὰς ὁρῶμεν γινομένας εἰκόνας· ὁ δὲ Πλάτων ἐκ τοῦ ἓν εἶναι τὸ παράδειγμα ἕνα τὸν κόσμον ἀποδεικνύναι νομίζει. ταύτης δὲ καὶ Ἀλέξανδρος ἐγένετο τῆς ὑπονοίας, καὶ ἐγκαλεῖ τῷ Πλάτωνι διὰ τὸ ἓν εἶναι τὸ παράδειγμα ἕνα τὸν κόσμον λέγοντι... ὁ δὲ Ἀλέξανδρος καὶ ἄλλα προστίθησιν ἐπιχειρήματα οὐ μόνον ὅτι ἐνδέχεται ἀλλ' ὅτι ἀνάγκη πλείονας εἶναι κόσμους λέγοντα, οἷς οὐκ ἐπήγαγε τὰς λύσεις, εἰ μὴ ἄρα τὴν Ἀριστοτέλει ἐπαχθησομένην καὶ ταύτας λύειν νομίζει. λέγει τοίνυν. id. f. 64 *b*.

ὁ Πλάτων ἔλεγεν εἶναι τὰς ἰδέας, δι' ἃς καὶ τὸ πλῆθος ἐν τοῖς καθ' ἕκαστα. τοῦτο δὲ ψεῦδος· ὁ γὰρ Πλάτων καὶ τῶν μοναδικῶν ἔλεγεν εἶναι ἰδέας. φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι αἱ παρὰ τῷ Πλάτωνι ἰδέαι οὐκ εἰσάγουσι τὸ πλῆθος τῶν καθ' ἕκαστα. cod. Coisl. 166.

278 a 27. καὶ πλατωνίζει ἐνταῦθα ὁ Ἀριστοτέλης· αὐτὸς γὰρ ἐν τῷ Τιμαίῳ φησὶ τὸν κόσμον τέλειον εἶναι ὡς ἐκ τελείων. id. ib.

278 b 16. δεύτερον σημαινόμενον τοῦ οὐρανοῦ λέγει καθ' ὃ καὶ τὸ πλανώμενον οὐρανὸν λέγομεν· τοῦτο γάρ ἐστι τὸ συνεχὲς ἤτοι προσεχὲς σῶμα τῇ ἐσχάτῃ περιφορᾷ τοῦ παντός... καὶ κατὰ τοῦτο τὸν ὅλον κόσμον οὐρανὸν λέγει. καὶ ἔστι καὶ τοῖς πρὸ τοῦ Ἀριστοτέλους τὸ ὄνομα σύνηθες· πολλαχοῦ γοῦν καὶ ὁ Πλάτων τὸν οὐρανὸν κόσμον καλεῖ, ὥσπερ καὶ ἐν τῷ Πολιτικῷ... καὶ ἐν τῷ Τιμαίῳ. Simpl. f. 65 *b*.

ἀτάκτως φερόμενα ἀκοσμίαν μᾶλλον, ἀλλ' οὐχὶ κόσμους πλείονας ἐποίουν. id. ib.

276 b 32 εἴ τις οὖν τοῦτο λέγοι ὅτι, ὥσπερ αὐτὰ τὰ βαρέα καὶ αὐτὰ τὰ κοῦφα εἴδει μὲν ἑκάτερον ἕν ἐστιν ἀριθμῷ δὲ πλείονα, οὕτω καὶ τὸ μέσον, ἐφ' ὃ φέρεται τὰ βαρέα, καὶ τὸ ἔσχατον, ἐφ' ὃ φέρεται τὰ κοῦφα, εἴδει μὲν ἕν ἐστιν ἑκάτερον ἀριθμῷ δὲ πλείονα... εἴ τις οὖν ταῦτα λέγοι, φησί, ῥητέον ὅτι τὸ καθ' ἕκαστον οὐ τῷ μὲν τῶν μορίων τοιόνδε ἔσται τῷ δὲ ἀλλοῖον, ἀλλ' ὅμοιον... ἐνστάσεις δέ τινας πρὸς τὸν λόγον τοῦτον φερομένας διαλύων ὁ Ἀλέξανδρός φησιν. id. f. 60.

277 a 24 ἡ γὰρ ὡρισμένη καὶ πλείστη αὕτη ἐστὶν ἐν κύκλῳ διάστασις, ὥστε καὶ τούτοις τρόπον τινὰ ἡ κίνησις εἰς ἀντικείμενα καὶ πεπερασμένα. id. f. 61.

277 a 28 τὴν αἰτίαν ἄλλοι ἄλλην ἀπολογίζονται. Ἀριστοτέλης μὲν γὰρ ἀπὸ τῆς οἰκείας ὁλότητος δυναμοῦσθαι μᾶλλον τὰ πλησιάζοντα νομίζει καὶ τὸ εἶδος τελειότερον ἀπολαμβάνειν, βάρους γοῦν προσθήκῃ τὴν γῆν θᾶττον φέρεσθαι πρὸς τῷ μέσῳ γινομένην. Ἵππαρχος δὲ ἐν τῷ ἐπιγραφομένῳ περὶ τῶν διὰ βαρύτητα κάτω φερομένων, ἐπὶ μὲν τῆς ἀναρριφθείσης ἄνω γῆς τὴν ἀναρρίψασαν ἰσχύν, ἕως ἂν κρατῇ τῆς τοῦ ῥιπτομένου δυνάμεως, αἰτίαν εἶναί φησι τῆς ἄνω φορᾶς, καὶ ὅσῳ αὕτη κρατεῖ, τοσούτῳ θᾶττον ἐπὶ τὸ ἄνω φέρεσθαι τὸ φερόμενον· ἐλαττουμένης δὲ ἐκείνης πρῶτον μὲν μηκέτι ἐν ὁμοίῳ τάχει ἄνω φέρεσθαι, λοιπὸν δὲ κάτω φέρεσθαι χρώμενον τῇ οἰκείᾳ ῥοπῇ, παραμενούσης πως καὶ τῆς ἀναπεμψάσης δυνάμεως, ἐξιτήλου δὲ μᾶλλον γινομένης τὸ καταφερόμενον ἀεὶ μᾶλλον θᾶττον φέρεσθαι, καὶ τάχιστα ὅταν ἐκείνη τελέως ἐπιλίπῃ. τὴν αὐτὴν δὲ αἰτίαν ἀποδίδωσι καὶ τῶν ἄνωθεν ἀφιεμένων· καὶ γὰρ τούτοις μέχρι τινὸς παραμένειν τὴν τοῦ κατασχόντος αὐτὰ δύναμιν, ἣν ἐναντιουμένην αἰτίαν γίνεσθαι τοῦ βραδύτερον κατ' ἀρχὰς φέρεσθαι τὸ ἀφεθέν. ταῦτα δέ, φησὶν ὁ Ἀλέξανδρος, ἐπὶ μὲν τῶν βίᾳ κινηθέντων ἢ βίᾳ μεινάντων ἐν τῷ παρὰ φύσιν τόπῳ ὀρθῶς ἂν λέγοιτο, ἐπὶ δὲ τῶν μετὰ τὸ γενέσθαι φερομένων κατὰ τὴν οἰκείαν φύσιν ἐπὶ τὸν οἰκεῖον αὐτοῖς τόπον οὐκέτι ἁρμόζει λέγεσθαι. περὶ δὲ τοῦ βάρους τὰ ἐναντία τῷ Ἀριστοτέλει φησὶν ὁ Ἵππαρχος· βαρύτερα γὰρ καὶ τὰ πλεῖον ἀφεστῶτα. ἀπίθανον δὲ καὶ τοῦτο τῷ Ἀλεξάνδρῳ δοκεῖ· πολὺ γάρ, φησίν, εὐλογώτερον τὰ μεταβάλλοντα ἐκ τῆς ἐναντίας φύσεως καὶ γινόμενα ἐκ κούφων βαρέα ἔτι τῆς φύσεώς τι τῆς πρώτης ἔχειν, ἐν τῇ πρώτῃ καταφορᾷ σχεδὸν ἔτι γινόμενα καὶ μεταβάλλοντα ἐπὶ τὸ εἶδος τοῦτο εἰς ὃ μεταβάλλοντα κάτω φέρεται, βαρύτερα ἀεὶ προϊόντα γίνεσθαι, ἤπερ φυλάσσειν ἔτι τὴν ἀπὸ τοῦ κρατήσαντος αὐτὰ ἄνω τὴν ἀρχὴν καὶ κωλύσαντος κάτω φέρεσθαι δύναμιν. ἔτι δέ, φησί, καὶ εἰ τῷ βαρεῖ κατὰ φύσιν ἐστὶ τὸ εἶναι ἐν τῷ κάτω· διὰ γὰρ τοῦτο καὶ τὰ ἐπὶ τοῦτο κινούμενα εἴη ἂν τελέως βαρέα καὶ τὸ οἰκεῖον κατὰ τοῦτο εἶδος ἀπειληφότα, ὅταν ἐν τῷ κάτω ἤδη ᾖ, καὶ ἐγγυτέρω γινόμενα καὶ πλησιάζοντα τῷ κατὰ τὴν ῥοπὴν τελειότητα ἔχειν εὔλογον προσθήκην τινὰ καὶ ἐπίδοσιν κατὰ τὸ βάρος λαμβάνειν. καὶ γὰρ ἄτοπον ἀεὶ τῶν κάτω κινουμένων καὶ φερομένων κατὰ φύσιν θᾶττον κινουμένων κατὰ τὴν πλείονα ἀπὸ τοῦ ἄνω ἀπόστασιν λέγειν αὐτά, ὅτε ἧττόν ἐστι βαρέα, τοῦτο πάσχειν· ἀναιρεθήσεται γὰρ τὸ διὰ βαρύτητα αὐτὰ φέρεσθαι κάτω. εἰ γὰρ μὴ ἐπὶ πάντων οὕτως ἐγίνετο, ἴσως ἂν ἦν τι ἀντιλέγειν· νῦν δὲ καὶ ἐπὶ τῶν ἀναρριφθέντων ἄνω βίᾳ καὶ ἐπὶ τῶν κρατηθέντων ἄνω καὶ ἐπὶ τῶν μεταβαλλόντων ἐν τῷ ἄνω εἴς τι τούτων οἷς κατὰ φύσιν ἐστὶ τὸ φέρεσθαι κάτω, τὸ αὐτὸ ὁρᾶται γινόμενον. ταῦτα πρὸς τὸν Ἵππαρχον ὁ Ἀλέξανδρος, καὶ λέγει καλῶς οἶμαι, μάλιστα ὅτι εἰ διὰ βαρύτητα ἡ ταχυτής, ὡς ἐπὶ τῆς τῶν πλαστίγγων κινήσεως δῆλον γίνεται προκατασπωμένου τοῦ βαρυτέρου, ἀδύνατον ἦν βαρύτερον μὲν εἶναι τὸ πορρώτερον, θᾶττον δὲ κινεῖσθαι τὸ πλησιαίτερον ὑπάρχον. τινὲς δὲ καὶ οὐκ ὀλίγοι αἴτιον εἶναί φασι τοῦ τὰ φερόμενα πρὸς τὸ κάτω ὅσῳ πλησιαίτερον γίνεται τοῦ κάτω τοσούτου θᾶττον φέρεσθαι τὸ τὰ μὲν ἀνωτέρω ὄντα ὑπὸ πλείονος ἀέρος ὀχεῖσθαι τοῦ ὑποκειμένου, τὰ δὲ κατωτέρω γινόμενα ὑπὸ ἐλάττονος, καὶ τὰ βαρύτερα δὲ διὰ τοῦτο ταχύτερον φέρεσθαι ὅτι ῥᾷον ἐκεῖνα διαιρεῖ τὸν ὑποκείμενον ἀέρα· ὡς γὰρ τὰ ἐν ὕδατι καταφερόμενα κουφότερα δοκεῖ τοῦ ὕδατος ἀνέχοντος καὶ ἀντιπράττοντος αὐτῶν τῇ κάτω φορᾷ, οὕτω καὶ τὰ ἐν ἀέρι πάσχειν εὔλογον, καὶ ὅσῳ πλείων ὁ ὑποκείμενος ἀήρ ἐστι, τοσούτῳ μᾶλλον ἀνεχόμενα κουφότερα δοκεῖν. ὁμοίως δὲ καὶ τὸ πλεῖον πῦρ θᾶττον ἄνω φέρεται ὡς εὐκολώτερον διαιροῦν τὸν ὑπερκείμενον ἀέρα, καὶ ὅσῳ πλείων ὁ ὑπερκείμενός ἐστι, τοσούτῳ ἀργότερον κινεῖται τὸ δι' αὐτοῦ φερόμενον· κἂν γὰρ μὴ ὁμοίως τῷ ὕδατι πέφυκεν ἔχειν ὁ ἀήρ, ἀλλὰ καὶ αὐτὸς σῶμα ὢν ἐμποδίζει τῇ κινήσει τῶν δι' αὐτοῦ φερομένων. εἰ δὲ τοῦτο ἀληθές, οὐ προσθήκῃ βάρους, ὡς ὁ Ἀριστοτέλης φησίν, ἡ κατὰ τὴν ταχυτῆτα ἐπίδοσις γίνεται, ἀλλ' ἀναιρέσει τοῦ ἐμποδίζοντος. καλῶς δὲ ἐπέστησεν ὁ Ἀλέξανδρος ὅτι κἂν τοῦτο οὕτως ἔχῃ, ἡ τοῦ Ἀριστοτέλους ἐπιχείρησις ἀνέλεγκτος μένει ἡ δεικνῦσα ὡρισμένους τοὺς τόπους τῶν σωμάτων καὶ μὴ ἐπ' ἄπειρον αὐτὰ φέρεσθαι ἐκ τοῦ θᾶττον φέρεσθαι τὰ ἐγγυτέρω γινόμενα τῶν οἰκείων τόπων· τὸ γὰρ ἐπὶ ἄπειρον διάστημα φερόμενον οὐδέποτε ἐγγυτέρω γίνεται, οὐδὲ ἐλάττων ἢ πλείων ὁ ὑποκείμενος ἀὴρ ἄπειρος ὤν, εἴπερ ἄπειρον τὸ διάστημα· ὥστε κἂν ταύτην τις αἰτίαν ἀποδέχοιτο τῆς θάττονος πρὸς τὸ κάτω κινήσεως, καὶ οὕτω δείκνυται ἐξ αὐτῆς τὸ μὴ εἰς ἄπειρον φέρεσθαι τὰ φερόμενα. εἰ δὲ ἀπείρου ὄντος τοῦ διαστήματος θᾶττον φέρεσθαι πρὸς τὸ κάτω μὴ διὰ τὸ ἐλάττονα εἶναι τὸν ὑποκείμενον ἀέρα, δηλονότι διὰ προσθήκην βάρους θᾶττον οἰσθήσεται· τί γὰρ ἂν ἄλλο εἴη αἴτιον ἐπὶ τῶν φύσει φερομένων καὶ μὴ βίᾳ, ὡς Ἵππαρχος ἔλεγεν; ἀμείνων δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ φυσικωτέρα αἰτία τοῦ θᾶττον φέρεσθαι τὰ ἐγγυτέρω γινόμενα τῶν οἰκείων τόπων ἡ ὑπὸ Ἀριστοτέλους ῥηθεῖσα, τὸ προσθήκην ἴσχειν τὸ βάρος καὶ τὴν κουφότητα. τοῦτο δὲ ἂν εἴποι γίνεσθαι Ἀριστοτέλης τοῦ πλησιάζοντος τῷ οἰκείῳ τόπῳ εἰλικρινέστερον ἀεὶ τὸ εἶδος ἀπολαμβάνοντος, καὶ διὰ τοῦτο, εἰ μὲν βαρὺ τυγχάνει, βαρυτέρου γινομένου, εἰ δὲ κοῦφον, κουφοτέρου. ἐγὼ δὲ πρῶτον μὲν αὐτὸ τοῦτο ζητεῖν ἀξιῶ τὸ παρὰ πάντων λεγόμενον ὁμολογεῖσθαι, πῶς ἂν καταληφθείη τὸ πρὸς τοῖς οἰκείοις τόποις γινόμενα θᾶττον φέρεσθαι· ἔπειτα εἰ προσθήκη βάρους ἢ κουφότητος γίνεται, συμβήσεται τὸ ἐν ἀέρι σταθμιζόμενον, ὅταν ἀπὸ ὑψηλοῦ πύργου τις ἢ δένδρου ἢ ἀκρωρείας ἀποτόμου ἑαυτὸν ἐκτείνας ἐν ἀέρι σταθμίζῃ, βαρύτερον φαίνεσθαι ἢ ἐν τῷ ὑποκειμένῳ τῆς γῆς ἐδάφει

οὖν ἄτοπα ἀκολουθεῖ τοῖς ἔξω τοῦ οὐρανοῦ νοητὸν σῶμα ὑποτιθεμένοις, ἓν μὲν τὸ μηκέτι νοητὸν ἀλλ' αἰσθητὸν αὐτὸ ποιεῖν, εἴπερ ἔξω καὶ ἐν τόπῳ ἐστίν, ὅπερ καὶ Ἀριστοτέλης ἐδήλωσε διὰ τοῦ "ὥστε ἔσται αἰσθητόν" καὶ οὐκέτι δηλονότι νοητόν· τῷ δὲ αἰσθητὸν εἶναι τὸ μηδὲ εἶναι ὅλως ἕπεται, εἴπερ οὔτε ἄπειρόν ἐστιν, ὡς δέδεικται, οὔτε πεπερασμένον, ὡς ὑπόκειται. δύναται δέ, φησὶν ὁ Ἀλέξανδρος, μὴ ὡς ὑποτιθέμενος λέγειν τὸ "ἀλλὰ μὴν οὐδὲ μέχρι τινός," ὃ ταὐτόν ἐστι τῷ οὐδὲ πεπερασμένον· δέδειχε γὰρ ὅτι πᾶν αἰσθητὸν σῶμα ἢ ἄνω ἢ κάτω ἐστὶν ἢ πέριξ, ὧν τὸ μὲν ἄνω καὶ κάτω ἐντὸς τοῦ οὐρανοῦ, τὸ δὲ πέριξ αὐτὸς ὁ οὐρανός. εἰ οὖν μηδέν ἐστι παρὰ ταῦτα σῶμα αἰσθητόν, οὐδ' ἂν ἔξω τοῦ οὐρανοῦ εἴη αἰσθητὸν σῶμα. "λογικώτερον δέ ἐστιν ἐπιχειρεῖν καὶ ὧδε." τὰ λογικώτερα ἐπιχειρήματα πρὸς ἀντιδιαστολὴν τῶν πραγματικῶν λέγεται. id. f. 55. cf. Themist. f. 12.

275 b 13. τὸ "ὁμοιομερὲς ὂν" πρόσκειται.., ὅτι περὶ τῶν ἁπλῶν σωμάτων ὁ λόγος ἦν· τὸ γὰρ "ὁμοιομερὲς ὂν" ἀντὶ τοῦ ἁπλοῦν πρόσκειται (*). Simpl. f. 55 *b*.

275 b 18. εἰκότως εἶπεν ὅτι κἂν φύσει κἂν βίᾳ τὸ ἄπειρον ἐπ' εὐθὺ κινηθῇ, ὑπὸ ἀπείρου κινηθήσεται... δείξας, ὁ Ἀλέξανδρός φησι, τὸ ἑπόμενον ἄτοπον τῷ βίᾳ κινεῖσθαι τὸ ἄπειρον, ὅτι ἀνάγκη ἔξωθεν ἄλλο ἄπειρον εἶναι τὸ κινοῦν αὐτό, νῦν δείκνυσιν ὅτι κἂν κατὰ φύσιν κινῆται, τὸ αὐτὸ ἄτοπον ἕπεται... δύναται δέ, φησὶν ὁ Ἀλέξανδρος, τὰ προειρημένα καὶ πλείους ἐπιχειρήσεις εἶναι. id. f. 56.

275 b 30. ὡς οἱ περὶ Λεύκιππον καὶ Δημόκριτον ὑπετίθεντο, πρὸ αὐτοῦ γεγονότες, καὶ μετ' αὐτὸν Ἐπίκουρος. οὗτοι γὰρ ἔλεγον ἀπείρους εἶναι τῷ πλήθει τὰς ἀρχάς, ἃς καὶ ἀτόμους καὶ ἀδιαιρέτους ἐνόμιζον καὶ ἀπαθεῖς διὰ τὸ ναστὰς εἶναι καὶ ἀμοίρους τοῦ κενοῦ· τὴν γὰρ διαίρεσιν κατὰ τὸ κενὸν τὸ ἐν τοῖς σώμασιν ἔλεγον γίνεσθαι, ταύτας δὲ τὰς ἀτόμους ἐν ἀπείρῳ τῷ κενῷ κεχωρισμένας ἀλλήλων καὶ διαφερούσας σχήμασί τε καὶ μεγέθεσι καὶ θέσει καὶ τάξει φέρεσθαι ἐν τῷ κενῷ, καὶ ἐπικαταλαμβανούσας ἀλλήλας συγκρούεσθαι, καὶ τὰς μὲν ἀποπάλλεσθαι ὅπῃ ἂν τύχωσι, τὰς δὲ περιπλέκεσθαι ἀλλήλαις κατὰ τὴν τῶν σχημάτων καὶ μεγεθῶν καὶ θέσεων καὶ τάξεων συμμετρίαν, καὶ συμβαίνειν καὶ οὕτω τὴν τῶν συνθέτων γένεσιν ἀποτελεῖσθαι... ταῦτα δὴ τὰ ἐπιχειρήματα τὸ μὲν ἀτόμους ὁμοίας τὴν φύσιν ἀπείρῳ τῷ κενῷ φερομένας εἶναι τὰ πρῶτα στοιχεῖα, ὡς ἐδόκει Λευκίππῳ καὶ Δημοκρίτῳ, ἀναιρεῖ γενναίως. id. f. 56 *b*.

276 a 21. τὸ "ἀορίστως κειμένων" ὁ Ἀλέξανδρος ἐπὶ τῶν ἀπείρων ἀκούει καὶ ἐξηγεῖται οὕτως. εἰ γάρ τις, φησί, μὴ ἡγεῖται ἡμᾶς ἀποδεδειχέναι καθόλου ὅτι οὐδέν ἐστι σῶμα ἐκτὸς τοῦδε τοῦ κόσμου, τούτων ἐξ ὧν ὁ κόσμος συνέστηκεν, ὃ δέδεικται καὶ αὐτό, ἀλλὰ μόνον ἡμῖν ἡγεῖται τὸν λόγον γεγονέναι καὶ περὶ τοῦ μηδὲν ἄπειρον εἶναι σῶμα (τὸ γὰρ ἄπειρον λέγει τὸ ἀορίστως κείμενον, ἐπεὶ μηδείς ἐστι τόπος ἀφωρισμένος τοῦ ἀπείρου τῷ καὶ αὐτὸ ἀόριστον εἶναι ἄπειρόν γε ὄν), δείξομεν ἐφεξῆς ὅτι μηδὲν σῶμα ἐκτός ἐστι τοῦδε τοῦ κόσμου, οὗ δειχθέντος ἕπεται τὸ μηδὲ κόσμους εἶναι δύνασθαι πλείους. μήποτε δὲ τὸ ἀορίστως κειμένων οὐ τὸ ἄπειρον σημαίνει· οὐ γὰρ ἂν αὐτὸ πληθυντικῶς εἶπεν, οὐ γάρ ἐστι πολλὰ ἄπειρα. ἀλλὰ καὶ τὸ "εἴ τις μὴ νομίζει καθόλου δεδεῖχθαι περὶ τῶν σωμάτων ὅτι ἀδύνατον ἐκτὸς εἶναι τοῦ κόσμου τοῦδε ὁτιοῦν αὐτῶν" οὐκ ἐπὶ τούτων οἶμαι λέγεσθαι ἐξ ὧν ὁ κόσμος συνέστηκεν (οὐ γὰρ ἦν τοῦτο καθόλου ὡς πρὸς μερικώτερα τὰ ἀορίστως κείμενα ἀντιδιαιρεθέν), ἀλλὰ περὶ ἐκείνου περὶ οὗ δείξει ἐφεξῆς ὅτι μηδὲν ὅλως σῶμα ἐκτός ἐστι τοῦδε τοῦ κόσμου, οὗ δειχθέντος, ὡς καὶ ὁ Ἀλέξανδρος ὁμολογεῖ, ἕπεται τὸ μηδὲ κόσμους εἶναι δύνασθαι πλείους. καὶ τὸ "ἀορίστως δὲ κειμένων" πρὸς ἀντιδιαστολὴν εἰρῆσθαι νομίζω τῶν συντελούντων πρὸς τὴν τοῦ κόσμου διάθεσιν (*). id. f. 57 *b*.

276 a 30. δείκνυσιν αὐτὸ οὕτως. οἱ πλείους λέγοντες κόσμους ὁμοίους αὐτοὺς εἶναι λέγουσιν, ὡς τῷ εἴδει μὲν τοὺς αὐτοὺς ὄντας, ἀριθμῷ δὲ μόνῳ διαφέροντας... εἰ δὲ ὁμώνυμα τὰ ἐνθένδε τοῖς ἐν ἄλλῳ κόσμῳ λέγει τις, ἀλλὰ μὴ συνώνυμα καὶ τοῦ αὐτοῦ εἴδους, ἀνάγκη καὶ τὰ ἐξ αὐτῶν συνιστάμενα οὐκέτι ὁμοειδῆ εἶναι, ὡς ὑπετέθη, ἀλλ' ὁμωνύμως λέγεσθαι κόσμους. id. f. 58 *b*.

276 b 14. τούτου συμβαίνοντος ἀνάγκη φέρεσθαι ἄνω μὲν τὴν γῆν ἐν τῷ οἰκείῳ κόσμῳ... διὰ τὸ τοὺς πλείονας κόσμους, εἴπερ εἰσί, κατὰ τὰ ἔσχατα ἐφάπτεσθαι ἀλλήλων ἢ πλησιάζειν ἀλλήλοις. κἀγὼ μὲν τὴν λέξιν ἐκείνην τὴν λέγουσαν "τούτου γὰρ συμβαίνοντος ἀνάγκη φέρεσθαι ἄνω μὲν τὴν γῆν ἐν τῷ οἰκείῳ κόσμῳ, κάτω δὲ τὸ πῦρ," οὕτως ἐνόησα ὡς τῆς μὲν γῆς ἐν τῷ οἰκείῳ κόσμῳ ἄνω φερομένης, τοῦ δὲ πυρὸς κάτω ἐν τῷδε τῷ κόσμῳ. ὁ δὲ Ἀλέξανδρος κατὰ κοινοῦ τὸ ἐν τῷ οἰκείῳ κόσμῳ ἀκούσας λέγει ὅτι καὶ τὸ πῦρ ἐπὶ τὸ μέσον τότε πρῶτον οἰσθήσεται τὸ ἐν τῷ οἰκείῳ κόσμῳ, ἵνα ἐπὶ τὸ ἄνω ἐν τῷδε τῷ κόσμῳ κινηθῇ. id. f. 59.

276 b 24. ἢ τούτῳ μόνον διοίσει, τῷ τὰ πόρρωθεν ἐπὶ τοὺς οἰκείους τόπους κινούμενα ἀσθενέστερον ἄρχεσθαι τῆς κινήσεως καὶ κατὰ λόγον, ὅσῳ πλεῖον τὸ μῆκος τῆς ἀποστάσεως, τοσούτῳ μᾶλλον ἀσθενέστερον· τὸ μέντοι εἶδος τῆς κινήσεως, κἂν πλείων ᾖ κἂν ἐλάττων ἡ ἀπόστασις, τὸ αὐτὸ μένει. id. f. 59 *b*.

276 b 27. ὁ Ἀλέξανδρός φησιν, εἰ μὴ ἦν τις τοῖς σώμασι κίνησις κατὰ φύσιν, ἐδύνατο ἄλλα ὑπ' ἄλλων κινούμενα ἐπ' ἄλλα καὶ ἄλλα πλείους ποιεῖν κόσμους τῷ μὴ ἐπὶ τὰ αὐτὰ φέρεσθαι. μήποτε δὲ

(*) p. 275 *b* 14. infinitum medium nullum habet. haec autem ratio dialectica est, quandoquidem propria exquisitaque minime existit. Themist. f. 12 *b*.

(*) p. 276 *a* 21. ne quispiam putet in universum absoluteque minime fuisse declaratum fieri non posse ut extra caelum corpus sit, sed de iis tantum ostensum fuisse quorum locus interminatus existit, praeter ea quae mundi ordinem ingrediuntur. Themist. f. 13.

p. 276 *a* 30. "praeterea necesse est" non est alterius demonstrationis principium, quemadmodum nonnulli existimarunt; verum dissidium commemoratum ad illorum sententiam consequi demonstrat, qui plures esse mundos affirmant. id vero hac morula consequemur, nempe cum primum explicaverimus plures mundos non aequivoce tantum iuxtaque communem nominis appellationem dici, sed univoce quoque, quia et nomen et substantiae rationem eandem habent. id. ib.

274b 31. εἰ οὖν καὶ κατὰ φύσιν πέφυκε κινεῖσθαι, κατὰ φύσιν δὲ κινεῖται τὸ εἰς τὸν αὐτοῦ τόπον κινούμενον, εἴη ἂν ἄλλος ἴσος αὐτῷ τόπος, εἰς ὃν οἰσθήσεται. τοῦτο δὲ ἀδύνατον· εἰ γὰρ ἄπειρον ἦν καὶ πρὸ τοῦ κινηθῆναι πάντα κατειλήφει τὸν τόπον... ἐπιστῆσαι δὲ ἄξιον, οἶμαι, ὅτι νῦν τὸν τόπον οὐχ ὡς πέρας τοῦ περιέχοντος ἐνόησεν, ἀλλ' ὡς χώραν καὶ διάστημα (*). id. f. 53 *b*.

275a 1. ἀσάφειαν ἐνεποίησε τῷ λόγῳ μεταξὺ παρενθεὶς τὰ ἀξιώματα, ἐν οἷς φησὶν "ἔστω δὴ τὸ μὲν ἴσον ἐν ἴσῳ χρόνῳ ἴσον ἀλλοιοῦν" (v. 16) καὶ τὰ ἑξῆς, καὶ οὕτω τὸ συμπέρασμα ἐπάγει διὰ τοῦ "οὐκ ἄρα τὸ ἄπειρον ὑπ' οὐδενὸς πεπερασμένου κινηθήσεται ἐν οὐδενὶ χρόνῳ." καὶ τὴν αἰτίαν ἀσαφῶς ἐπήγαγεν "ἔλαττον γὰρ ἄλλο" τὸ ε' λέγων, "ἐν τῷ ἴσῳ χρόνῳ, τῷ γ', ὑπὸ ἐλάττονος τοῦ δ', κινηθήσεται," πρὸς ὃ ἔλαττον, τουτέστι τὸ ε'. τὸ ἀνάλογον ἔχον, ὅταν γένηται ὡς τὸ δ' πρὸς τὸ β', οὕτω τὸ ε' πρὸς ἄλλο· πεπερασμένον γὰρ ἔσται τοῦτο ἐν τῷ αὐτῷ λόγῳ γενόμενον πρὸς τὸ β', ἐν ᾧ καὶ τὸ ἄπειρον ἦν τὸ ὑπὸ τοῦ β' κινούμενον. εἰ οὖν τοῦτο ἀκολουθεῖ, εἰκότως εἶπεν ὅτι τὸ ἄπειρον ὑπ' οὐδενὸς πεπερασμένου κινηθήσεται, καὶ τὴν αἰτίαν ἐπήγαγεν ἐπὶ τῷ τέλει εἰπὼν "τὸ γὰρ ἄπειρον πρὸς τὸ πεπερασμένον ἐν οὐδενὶ λόγῳ ἐστίν." ὥστε τὴν ὅλην τοῦ λόγου συναγωγὴν τοιαύτην εἶναι· εἰ τὸ ἄπειρον ὑπὸ πεπερασμένου κινηθήσεται ἢ πάσχει, ἔσται τοῦ ἀπείρου λόγος πρὸς πεπερασμένον, καὶ ὑπὸ τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ χρόνῳ πεπερασμένον τι καὶ ἄπειρον κινηθήσεται. ἀλλὰ μὴν ταῦτα ἀδύνατα κατὰ τὸν δεύτερον ἀναπόδεικτον· οὐκ ἄρα τὸ ἄπειρον ὑπὸ πεπερασμένου πείσεται. id. f. 54. cf. Themist. f. 11 *b*.

275a 14. ἔστω ὑπὸ ἀπείρου δυνάμεως τῆς α' πεπερασμένον τι μέγεθος τὸ βζ' κινεῖσθαι ἐν τῷ γ' χρόνῳ, καὶ εἰλήφθω τις πεπερασμένη δύναμις ἡ δ'. αὕτη δὴ ἐν τῷ γ' χρόνῳ ἔλαττον τοῦ βζ' κινήσει· ἐλάττων γάρ ἐστι τῆς α' ἀπείρου οὔσης οὖσα πεπερασμένη. ἔστω δὴ κινούμενον ὑπὸ τοῦ δ' ἐν τῷ γ' χρόνῳ ἔλαττον τοῦ βζ' τὸ ζ'. καὶ εἰ πεπερασμένον ἐστὶ μέγεθος τὸ βζ', πεπερασμένον δὲ καὶ τὸ ζ', ἔστι τις λόγος αὐτῶν πρὸς ἄλληλα. ὃν δὴ ἔχει λόγον τὸ ζ' πρὸς τὸ βζ', τοῦτον ἐχέτω ἡ δ' δύναμις πρὸς ἄλλην τινὰ δύναμιν πεπερασμένην. ἔστω αὕτη ἡ ε'· ἔσται οὖν ὡς τὸ ζ' πρὸς τὸ βζ', οὕτως ἡ δ' δύναμις πρὸς τὴν ε', καὶ ὡς ἡ δ' πρὸς τὴν ε', οὕτω τὸ ζ' πρὸς τὸ βζ'. καὶ ἐναλλὰξ ἄρα, ὡς ἡ δ' πρὸς τὸ ζ', οὕτως ἡ ε' πρὸς τὸ βζ'. ἔστι δὲ ἡ δ' δύναμις τοῦ ζ' κινητικὴ ἐν τῷ γ' χρόνῳ· ἔσται ἄρα ἡ ε' κινητικὴ τοῦ βζ' ἐν τῷ γ' χρόνῳ. ἦν δὲ καὶ ἡ α' ἄπειρος τοῦ βζ' κινητικὴ ἐν τῷ γ' χρόνῳ· ἐν ἄρα τῷ ἴσῳ χρόνῳ κινεῖται τὸ βζ' ὑπό τε τῆς ἀπείρου α' δυνάμεως καὶ τῆς πεπερασμένης τῆς ε', ὅπερ ἀδύνατον. οὐκ ἄρα πείσεταί τι τὸ πεπερασμένον ὑπὸ τοῦ ἀπείρου. ἀσάφειαν δὲ ἐνεποίησε τῇ λέξει τὸ τὸ β', ὅπερ ἡ ἄπειρος ἐκίνει δύναμις, διὰ τὸ περιέχειν ἐν ἑαυτῷ τὸ ζ' ἔλαττον ὂν αὐτοῦ, βζ' προϊόντα ὀνομάσαι. συναγαγὼν δὲ ὅτι ἀνάγκη, εἰ τὸ πεπερασμένον ὑπὸ τοῦ ἀπείρου πάσχει, ἐν τῷ ἴσῳ χρόνῳ τὸ ἄπειρον καὶ τὸ πεπερασμένον ἀλλοιοῦν τὴν αὐτὴν ἀλλοίωσιν (ὅπερ ἀδύνατον, διότι κεῖται τὸ μεῖζον ἐν ἐλάσσονι ποιεῖν), ἐπάγει "ἀλλ' ἀεὶ ὁ ληφθεὶς χρόνος ταὐτὸ ποιήσει" (v. 21), ὡς εἰ ἔλεγε, κἂν ἐλάττονα ἢ μείζονα χρόνον λάβοις τοῦ γ', τὸ αὐτὸ ποιήσει. Simpl. f. 54.

275a 25. ὑποτίθεται τὸ μὲν κινοῦν ἄπειρον, τὸ α', τὸ δὲ κινούμενον ὑπὸ τοῦ α' ἄπειρον ὂν καὶ αὐτό, τὸ β', τὸν δὲ χρόνον τὸν πεπερασμένον, ἐν ᾧ τὸ β' ἔπαθεν ὑπὸ τοῦ α', τὸν γδ', καὶ λαμβάνει μόριον τοῦ β' τὸ ε'... τὸ γὰρ ἔλαττον ἐν ἐλάττονι πάσχειν χρόνῳ ὑπὸ τοῦ αὐτοῦ ἠξίωται... "ἐπεὶ ὅλον πέπονθε τὸ β', οὐκ ἐν ἴσῳ χρόνῳ τὸ αὐτό," τουτέστιν οὐκ ἐν ἴσῳ χρόνῳ κινήσει τὸ αὐτό... ὥστε οὐχ ἁπλῶς τὸ μεῖζον καὶ ἁπλῶς τὸ ἔλαττον πάσχει, ἀλλὰ τὰ κατὰ τὴν ἀναλογίαν τοῦ χρόνου διῃρημένα μεῖζόν τε καὶ ἔλαττον. id. f. 54 *b*.

275b 3. ἀλλ' ὁ μὲν ἀπ. χρ. οὐκ ἔχει τέλος, τὸ δὲ κεκινημένον ἔχει· τὸ μὲν γὰρ ἐν ἀπείρῳ χρόνῳ πάσχον ἢ ποιοῦν ἐπ' ἄπειρον προϊὸν οὐκ ἔρχεται εἰς τέλος, οὐδὲ ῥηθείη ἂν πεποιηκέναι ἢ πεπονθέναι. id. ib.

275b 7. ὁ μέντοι Ἀλέξανδρος ἐν δευτέρῳ σχήματι συνάγει τὰ συμπεράσματα οὕτως... δῆλον δὲ ὅτι ὅπου δυνατὸν εἰς ἄμφω τὰ σχήματα τό τε πρῶτον καὶ τὸ δεύτερον ἀναλύειν τοὺς συλλογισμούς, προτιμητέον εἰς τὸ πρῶτον, εἴπερ καὶ οἱ ἐν τῷ δευτέρῳ σχήματι συλλογισμοὶ διὰ τοῦ πρώτου τελειοῦνται. ἡ δὲ τοιαύτη ἀνάλυσις τοῦ λόγου, ἡ τὸ συμπέρασμα λαμβάνουσα καὶ προσλαμβάνουσα ἄλλην πρότασιν, κατὰ τὸ τρίτον λεγόμενον παρὰ τοῖς Στωϊκοῖς θέμα περαίνεται, οὗ λόγος κατὰ τοὺς παλαιοὺς τοιοῦτος· ἐὰν ἐκ δυεῖν τρίτον τι συνάγηται, τὸ δὲ συναγόμενον μετ' ἄλλου τινὸς ἔξωθεν συνάγῃ τι, καὶ ἐκ τῶν προτέρων δυεῖν καὶ τοῦ ἔξωθεν προσληφθέντος συναχθήσεται τὸ αὐτό· οἷον διὰ τῆς λεγούσης "πᾶν τὸ ἐν τόπῳ σῶμα αἰσθητόν" καὶ τῆς "οὐδὲν σῶμα αἰσθητὸν ἄπειρον" καὶ τῆς προσληφθείσης τῷ τούτων συμπεράσματι, τῆς λεγούσης "τὸ ἔξω τοῦ οὐρανοῦ ἐν τόπῳ," συνάγεται τὸ μηδὲν ἄπειρον σῶμα ἔξω τοῦ οὐρανοῦ εἶναι... δείξας οὖν ὅτι ἄπειρον σῶμα οὐκ ἔστιν ἔξω τοῦ κόσμου, ἑξῆς προτίθησιν ὅτι οὐδὲ πεπερασμένον, ὅπερ καλεῖ "μέχρι τινός·" τὸ γὰρ μέχρι τινὸς καὶ μὴ ἐπὶ πᾶν ἐκτεινόμενον σῶμα πεπερασμένον ἐστίν... ἐπήγαγε τὸ συμπέρασμα "οὐδὲν ἄρα ὅλως σῶμα τοῦ οὐρανοῦ ἔξω," οὔτε νοητὸν οὔτε αἰσθητόν. εἰ μὲν γὰρ νοητόν τις λέγει τὸ ἔξω τοῦ οὐρανοῦ σῶμα, ἐν τόπῳ αὐτὸ ποιήσει· τὸ γὰρ ἔξω καὶ εἴσω τόπον σημαίνει. τὸ δὲ ἐν τόπῳ σῶμα πᾶν αἰσθητόν, ὡς ἤδη ἐλήφθη· τὰ γὰρ ἐν τόπῳ σώματα μετά τινός ἐστιν αἰσθητῆς διαφορᾶς καὶ τέως τῆς κατὰ τὴν ῥοπὴν καθ' ἣν ἕκαστον καὶ φέρεται ἐπὶ τὸν οἰκεῖον τόπον καὶ μένει. εἰ δὲ περιέχεται ὑπὸ τοῦ τόπου καὶ τὴν ἐπιφάνειαν ἁπτήν τε ἔχει καὶ χρῶμά τι ἐπιφαίνουσαν, οὐκέτι νοητὸν ἀλλ' αἰσθητόν ἐστιν, εἴπερ ἔξω τοῦ οὐρανοῦ ὑποτίθεται. ἀλλὰ μὴν αἰσθητὸν σῶμα οὐδέν ἐστιν ἔξω τοῦ οὐρανοῦ· οὔτε γὰρ ἄπειρον, ὡς ἐδείχθη, οὔτε πεπερασμένον, ὡς ὑποτίθεται. δύο

---

ut caro et os, quandoquidem, ut inquit Alexander, a ratione alienum non est. Themist. f. 11.

(*) p. 274 *b* 33. Alexander ait eiusmodi sermones ita invicem coniungi. cum, inquit, omne sensile corpus vel efficiendi naturalem vim habet vel patiendi vel utrorumque... infinitum igitur neque agere quicquam neque affici poterit, quamobrem neque etiam inveniri; quo ablato, qui fieri poterit ut sensile esse dicatur? nobis autem id tantum asserendum videtur: nempe quoniam de infinito illi sermo erat, fierique non poterat ut sursum vel deorsum vel in circulum moveretur, reliquum erat ut ageret affierereturque. Themist. f. 11.

εἶπεν "ὥστε οὐδὲ τὸν κόσμον, εἰ ἦν ἄπειρος," κόσμον, φησί, τὸ κυκλοφορητικὸν εἶπε σῶμα, ὃ πρὸ ὀλίγου οὐρανὸν εἶπεν, ὥστε κἂν δείκνυσιν ὅτι οὐκ ἔστιν ἄπειρος ὁ κόσμος κατὰ μέγεθος, προηγουμένως τὸν οὐρανὸν δείκνυσι πεπερασμένον· διὰ γὰρ τὸ τὸν οὐρανὸν πεπερασμένον εἶναι καὶ ὁ κόσμος πεπέρασται. καὶ αἱ ἀπὸ τῆς κινήσεως δὲ καὶ τοῦ χρόνου ἐν ᾧ ἡ κίνησις ἔφοδοι τοῦ οὐρανοῦ εἰσὶν οἰκεῖαι πλεῖσται τοιαῦται ἐν τούτοις παρειλημμέναι, καὶ ὅλως περὶ τοῦ κυκλοφορητικοῦ πρόκειτο δεικνύναι (*). id. ib.

272a 21. ταῦτα οὖν δεῖξαι βουλόμενος ἐναργῶς πρῶτον μὲν δύο γραμμὰς λαμβάνει πεπερασμένας, κινουμένην τὴν ἑτέραν παρὰ τὴν ἑτέραν, καὶ δείκνυσιν ὅτι κἄν τε ἄμφω ἀντικινῶνται κἄν τε ἡ ἑτέρα παρὰ μένουσαν τὴν ἑτέραν, ἐπειδὴ ἅμα ἀλλήλων ἀπολύονται (τὸ γὰρ χωριζόμενον χωριζομένου χωρίζεται), δῆλον ὅτι καὶ ὁ χρόνος ἔσται πεπερασμένος, ὅταν ἄμφω πεπερασμέναι ὦσιν. ὅπερ παραλιπών, ὡς οἶμαι, προσθεῖναι, ἀσάφειαν πολλὴν ἐνεποίησε τῷ λόγῳ. ἀλλ' εἰ μὲν ἀντικινοῦνται, ἐλάττων ὁ χρόνος ἔσται τῆς ἀπολύσεως· εἰ δὲ μενούσης τῆς ἑτέρας ἡ ἑτέρα δι' αὐτῆς κινεῖται, πλείων, εἰ μὴ ἄρα θᾶττον κινεῖται τότε κινούμενον ἤπερ ὅτε ἀντεκινοῦντο. ὅπως δ' ἂν ἔχοι, πεπερασμένος ἔσται ὁ χρόνος. id. f. 48 *b*.

272b 9. κατὰ τὴν λέξιν ὅταν λέγῃ "εἰ οὖν ἄπειρος ὁ χρόνος ἐν ᾧ ἡ πεπερασμένη ἀπολύεται κινουμένη," προσυπακούειν δεῖ τὸ διὰ τῆς ἀπείρου· ἐφεξῆς γὰρ τὸ ἀντίστροφον ἀποδίδωσι διὰ τοῦ "καὶ ἐν ᾧ ἡ ἄπειρος τὴν πεπερασμένην ἐκινήθη." ἐπὶ γραμμῶν δὲ τὸν λόγον διὰ τὴν ἐκθετικὴν ἐνάργειαν ἐποιήσατο, ἀντὶ τοῦ κινουμένου καὶ τοῦ δι' οὗ κινεῖται τὰς γραμμὰς λαβών. id. ib.

272b 18. κατὰ τὴν ἀρχὴν τῆς λέξεως τινὲς ἀντὶ τοῦ "ἀλλ' εἴπερ, ἐπὶ μῆκος" ἀλλ' εἴπερ, ἐπὶ θάτερα γράφουσι, σαφεστέραν ποιοῦντες τὴν ἔννοιαν. id. f. 49.

272b 27. ἀσαφῶς εἴρηται ἐν τούτοις τὸ "τέμνει γὰρ ἡ τὸ ζ'," τὴν γδ' καλέσαντος αὐτοῦ ζ', ὅτι κατὰ τὸ ζ' γέγραπται, τέμνουσα τὴν ε', ἡ γδ', ὥσπερ τὴν αβγε' ἐκάλεσεν, ὅτι κατὰ ταύτην τέμνει τὴν ε' ἡ αβ'. id. ib.

272b 28. δείξας ὅτι οὐκ ἔστιν ἄπειρον τὸ κυκλοφορητικὸν σῶμα ἐκ τοῦ μὴ ἂν αὐτὸ περιελθεῖν κύκλῳ, εἴπερ ἄπειρον εἴη, τουτέστιν ἐκ τῆς κινήσεως, νῦν ὑποθέμενος περιιέναι κύκλῳ, συνάγει ὅτι τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ διελεύσεται· ὅπερ ἀδύνατον. ἐναργῶς δὲ τοῦτο ἔδειξεν, οὐχ ὡς ὁ Ἀλέξανδρος οἶμαι φησί, δύο σφαίρας ὑποθέμενος, τὴν μὲν ἐκτὸς καὶ περιέχουσαν, τὴν δὲ ἐντὸς καὶ περιεχομένην. id. ib.

273a 3. ἀνάγκη τοῦ χρόνου πεπερασμένου καὶ τὸ μέγεθος πεπερασμένον εἶναι, ὃ περιελήλυθεν· ἴσον δέ ἐστι τό τε κινούμενον καὶ τὸ διάστημα. id. ib.

ἐκ τούτου συνάγει ὅτι καὶ τὰ ἐν τῷ μεταξὺ στοιχεῖα, τουτέστι 273a 15.
τό τε ὕδωρ καὶ ὁ ἀήρ, ὡρισμένα τέ ἐστι καὶ πεπερασμένα τῷ μεγέθει. id. f. 49 *b*.

ἐπειδὴ δὲ τῶν σωμάτων τὰ μέν ἐστιν ὁμοιομερῆ τὰ δὲ ἀνο- 273b 23.
μοιομερῆ, ταὐτὸν δὲ εἰπεῖν ὁμοιοβαρῆ καὶ ἀνομοιοβαρῆ, οὐδέν, φησίν, οὐδὲ τοῦτο διοίσει πρὸς τὴν ἀπόδειξιν τὸ ὁμοιομερὲς λαβεῖν ἢ ἀνομοιομερὲς τὸ ἄπειρον· ἐπὶ γὰρ τῶν ἀνομοιομερῶν οὐ κατὰ τὸ μέγεθος ἡ ἀναλογία ληφθήσεται, ἀλλὰ κατὰ βάρος. id. f. 50 *b*.

τρίτον προλαμβάνει, ὅτι τὸ πεπερασμένον βάρος πᾶσαν πε- 274a 2.
περασμένην διάστασιν ἐν πεπερασμένῳ δίεισι χρόνῳ. id. f. 51.

λέγει οὖν ὅτι οὐδὲ τὸ ὑποθέσθαι χρόνον ἐλάχιστον, ἐν ᾧ τὸ ἄπειρον 274a 10.
βάρος τὴν πεπερασμένην διάστασιν κινεῖται, ἐκφεύγει τὴν ἀτοπίαν· ἐλήφθη γάρ, ἀντὶ τοῦ ληφθείη γὰρ ἄν, ἄλλο τι πεπερασμένον μέγεθος τὴν αὐτὴν διάστασιν ἐν πεπερασμένῳ χρόνῳ κινούμενον, ἐν τῷ αὐτῷ λόγῳ ὂν πρὸς ἕτερόν τι μεῖζον ἑαυτοῦ βάρος τῷ τοῦ ἐλαχίστου χρόνου, ἐν ᾧ τὸ ἄπειρον βάρος ἐκινεῖτο, πρὸς τὸν χρόνον τὸν μείζονα τοῦ ἐλαχίστου, ἐν ᾧ τὸ ἔλαττον τῶν πεπερασμένων βαρῶν ἐκινεῖτο· ἀνάπαλιν γὰρ ἔχει τὰ βάρη πρὸς τοὺς χρόνους, ὡς εἴρηται... ἢ ἀκριβέστερον αὐτὸς εἶπε τὸ ἐλήφθη. ἐὰν γὰρ ὑποτεθῇ τὸ ἄπειρον ἐν ἐλαχίστῳ χρόνῳ κινούμενον, αὐτῷ τούτῳ ἄλλο ἄν τι πεπερασμένον βάρος ἐλήφθη ἐν τῷ αὐτῷ λόγῳ πρὸς ἕτερον μεῖζον ἐν ᾧ τὸ ἄπειρον... λέγει δὲ ὁ Ἀλέξανδρος ὅτι ταύτην ἐποιήσατο τὴν ἀπόδειξιν τῷ τρίτῳ τῶν προαξιωθέντων χρησάμενος τῷ τὸ πεπερασμένον βάρος ἅπασαν πεπερασμένην ἐν χρόνῳ διεξιέναι πεπερασμένῳ. καὶ ἡ λέξις, φησίν, οὕτως ἂν ἔχοι τὸ κατάλληλον "ἄλλο γὰρ ἂν πεπερασμένον ἐλήφθη ἐν τῷ αὐτῷ λόγῳ," ὅνπερ ἕτερον μεῖζον, ἐν ᾧ πρὸς τὸ ἄπειρον αὐτὸ τοῦτο. id. f. 51 *b*.

ἀλλ' οὐδὲ ὑπόκειταί τι τοῖς στοιχείοις ἄπειρον μέγεθος, ὡς 274a 26.
Ἀναξίμανδρος καὶ Ἀναξιμένης ἔλεγον, ἐξ οὗ γίνεται· ἢ γὰρ ἂν καὶ φθειρομένων εἰς αὐτὸ ἐγίνετο ἡ ἀνάλυσις. id. f. 52 *b*.

λέγει νῦν πρώτας ὑποθέσεις τὰ ἐν τῷ η' τῆς Φυσικῆς Ἀκροά- 274a 34.
σεως δεδειγμένα. id. ib.

τρίτον ἐπιχείρημα προσθεῖναι βουληθείς, δεικνύων ὅτι ἀδύνα- 274b 18.
τον ἕκαστον τῶν τοῦ ἀνομοιομεροῦς μορίων ἄπειρον εἶναι, ἐκ τοῦ ἕκαστον πανταχοῦ ἂν μὴ διδόναι τοῖς λοιποῖς χώραν, πρῶτον δείκνυσιν ὅτι κἂν μὴ ὂν συνεχὲς ἄπειρον ἕκαστον ὑποτεθῇ, ἀλλ' ἐκ διεσπασμένων ἀπείρων τῷ πλήθει συνεστώς, ὡς Ἀναξαγόρας ἐδόκει λέγειν, καὶ καθ' ἕκαστον εἶδος ἀπείρους τῷ πλήθει ὁμοιομερείας, ἢ ὡς οἱ λέγοντες ἀπείρους εἶναι τῷ ἀριθμῷ κόσμους (καὶ γὰρ παρ' ἐκείνοις ἄπειροι γαῖαι καὶ ὕδατα καὶ τῶν ἄλλων ἕκαστον, διότι καθ' ἕκαστον κόσμον καὶ τούτων ἕκαστον ἐστίν), καὶ οὕτω τὸ ἐξ ἁπάντων τῶν διεστώτων τοῦ πυρὸς μορίων ἄπειρον ἔσται πῦρ. εἰ οὖν σῶμα μέν ἐστι τὸ πάντῃ διάστασιν ἔχον, ἄπειρον δὲ σῶμα τὸ πάντῃ ἐπ' ἄπειρον διεστώς, πῶς οἷόν τε ἀνόμοια εἶναι ἄπειρα; (*) id. f. 53.

(*) p. 272 *a* 21. haec autem ratio congruit corpori quod in orbem convertitur quodque ad sensum moveri conspicitur. de hoc namque corpore pertractare intendit, minime autem de infinito in universum, quod moveri non possit, quemadmodum existimatur. Themist. f. 8.

(*) p. 274 *b* 22. transtulit autem sermonem ex corpore consimilium partium in corpus simplex, tametsi corpora quaedam consimilium partium inveniuntur, quae simplicia non sunt,

κατὰ ἀναλογίαν τῆς τῶν γραμμῶν αὐξήσεως αὔξεσθαι καὶ τὸ μεταξὺ αὐτῶν διάστημα· διὸ καὶ τὸ πεπερασμένον ἀεὶ ἔσται πεπερασμένον, ὡς καὶ αὐτός φησιν Ἀριστοτέλης. τούτῳ δὲ ἀκολουθεῖ τὸ μὴ πεπερασμένων τὸ μεταξὺ ἄπειρον εἶναι. id. f. 46 b.

271 b 33. διχῶς φέρεται ἡ γραφή, ἡ μὲν "ἔτι δὲ εἰ ἔστιν," ἡ δὲ "ἔτι δὲ ἀεὶ ἔστιν." καὶ δῆλον ὅτι σαφεστέρα αὕτη· ἀνελλιπὴς γὰρ οἶμαι καὶ ἡ προτέρα· δῆλον γὰρ ὅτι περὶ τοῦ ἄπειρον εἶναι τὸ μεταξὺ διάστημά ἐστιν ἡ ἀπόδειξις, ὅπερ ἀκολουθεῖ καὶ τῷ μηδὲν ἔχειν ἐκτὸς ἐπ' ἄπειρον προϊὸν καὶ τῷ τοῦ δοθέντος εἶναι μεῖζον λαβεῖν. τὸ δὲ τοῦ δοθέντος μεῖζον λαβεῖν κατὰ τὴν γεωμετρικὴν εἰρημένην συνήθειαν ἔχει τὸ ἀεὶ συνεμφαινόμενον. id. ib.

272 a 5. εἰ οὖν τὸν οὐρανὸν ὁρῶμεν κύκλῳ στρεφόμενον... φαίνεται δὲ ὁ οὐρανὸς κύκλῳ περιφερόμενος καὶ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ καθιστάμενος... εἰπὼν δὲ ὅτι τὸν δὲ οὐρανὸν ὁρῶμεν κύκλῳ στρεφόμενον... ὁ δὲ Ἀλέξανδρος κοινῶς ἐπιχειρῶν δεικνύειν ὅτι οὐδὲν σῶμα οὔτε τῶν ἁπλῶν οὔτε τῶν συνθέτων εἴη ἂν ἄπειρον. πᾶν γὰρ σῶμα, φησίν, ὡς ἐπὶ τῶν ἁπλῶν λέγων, ἤτοι πυκνόν ἐστιν ἢ μανόν (ὑπὸ γὰρ ταύτας τὰς διαφορὰς πᾶν σῶμα πίπτει), ταῦτα δὲ ἤτοι ἄμφω πεπερασμένα ἢ ἄμφω ἄπειρα, ἢ τὸ μὲν ἄπειρόν ἐστιν αὐτῶν τὸ δὲ πεπερασμένον. ἀμφότερα μὲν οὖν ἀδύνατον ἄπειρα εἶναι· ἔσται γὰρ πλείω σώματα ἄπειρα, ὅπερ ἐστὶν ἀδύνατον· τὸ γὰρ ἄπειρον πανταχοῦ. ὥστε εἰ θάτερον εἴη ἄπειρον, οὐκ ἂν εἴη θάτερον. ἀλλὰ καὶ τὸ ἐξ ἀμφοτέρων τῶν ἀπείρων συγκείμενον ἢ ἴσον ἔσται ἑκατέρῳ αὐτῶν ἢ μεῖζον ἑκατέρου· οὐ γὰρ δὴ ἔλαττον. ἀλλ' εἰ μὲν μεῖζον, ἄπειρον ἀπείρου μεῖζον ἔσται· καὶ ἄπειρον ἀπείρου διπλάσιον, εἴπερ ἴσα εἴη ἄμφω τὰ ἄπειρα, τὸ δὲ διπλάσιον καὶ τὸ ἥμισυ ἐν πεπερασμένοις ἐστίν. εἰ δὲ ἴσον ἑκατέρῳ τῶν ἀπείρων τὸ ἐξ ἀμφοῖν, ἄτοπον ἀπείρου διαστήματος προστεθέντος τινὶ μηδεμίαν αὔξησιν γεγονέναι, ὅπου γε κἂν μικρότατον σῶμα προστεθῇ σώματι ἀνάγκη τὸ ὅλον γεγονέναι μεῖζον. ἔτι δέ, φησίν, εἰ ἄμφω τὰ ἁπλᾶ ἄπειρα, ἤτοι ἴσα ἔσται ἢ ἄνισα· ἀλλ' εἰ μὲν ἴσα, ἔσται ἴσων μέτρων, τὰ δὲ ἴσων ὄντα μέτρων μεμέτρηται καὶ πεπέρανται, ὥστ' οὐκ ἄπειρα, ὥστ' οὐδὲ τὸ ἐξ αὐτῶν ἄπειρον· εἰ δὲ ἄνισα, τὸ ἕτερον αὐτῶν μεῖζον ἔσται καὶ ὑπερέχον, ἀλλὰ τὸ ὑπερεχόμενον πᾶν καθὸ ὑπερέχεται πεπέρανται, ὥστ' οὐκ ἄμφω ἄπειρα. ὅλως δὲ ᾧ ὑπερέχει τὸ ἄπειρον τοῦ ἀπείρου, ἢ πεπερασμένον ἀνάγκη τοῦτο εἶναι ἢ ἄπειρον. καὶ εἰ μὲν πεπερασμένον, καὶ τὸ ὅλον ἔσται πεπερασμένον· καὶ γὰρ τὸ μέχρι τῆς ὑπεροχῆς πεπερασμένον, καὶ πεπερασμένῳ μέρει καταμετρεῖται τὸ ὅλον. εἰ δὲ ἡ ὑπεροχὴ ἄπειρος, ἔσται τὸ μέρος τῷ ὅλῳ ἴσον καὶ ἄπειρον ἀπείρου μεῖζον, ὅπερ ἄτοπον, εἴγε τὸ ὅλον ἀνάγκη μεῖζον εἶναι τοῦ μορίου. εἰ δὲ ἄμφω πεπέρανται, καὶ τὸ ἐξ αὐτῶν ἔσται πεπερασμένον· εἰ δὲ τοῦτο, οὐδὲν οὔτε ἁπλοῦν οὔτε σύνθετον ἄπειρον ἔσται σῶμα. ἀλλ' οὐδὲ τὸ ἕτερον αὐτῶν οἷόν τε λέγειν ἄπειρον εἶναι, καὶ ὅτι ὡς πανταχοῦ ὂν τὸ ἄπειρον τῷ ἑτέρῳ παρείσδυσιν οὐ καταλείψει, καὶ ὅτι, ὡς ἔδειξεν αὐτὸς ἐν τῷ τρίτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 5), ἐν τῇ μίξει καὶ συνθέσει πλεονάζον θάτερον διαφθείρει ἂν τὸ ἕτερον· εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη σύνθετον τὸ τοιοῦτον. ὥστε οὐδὲ ὁ κόσμος· ἐκ γὰρ τῆς τῶν στοιχείων συνθέσεως ὁ κόσμος. ὅτι δὲ μήτε τὸ ἐγκύκλιόν τε καὶ σφαιρικὸν σῶμα οἷόν τε ἄπειρον εἶναι, οὕτως ὁ Ἀλέξανδρος ἐπιχειρεῖ δεικνύναι. κύκλον γὰρ ἢ σφαῖραν ἄπειρον εἶναι οὐχ οἷόν τε, εἴγε κύκλος ἐστὶν οὗ ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος κειμένων πᾶσαι αἱ πρὸς τὴν περιφέρειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσί, τὸ δὲ ἴσον ἐν πεπερασμένοις. ὁ αὐτὸς δὲ καὶ ἐπὶ σφαίρας λόγος. ἔτι τὸ μὲν πεπερασμένον ἀνάγκη πρός τι περαίνειν, τὸ δὲ πρός τι περαῖνον ἀνάγκη πεπεράνθαι, αἱ δὲ εὐθεῖαι πρὸς τὴν περιφέρειαν περαίνουσιν· ὥστε καὶ τὸ διάστημα τοῦ κύκλου καὶ τῆς σφαίρας πεπερασμένον ἐστίν, ὥστε καὶ ὁ κύκλος καὶ ἡ σφαῖρα· ὅσον γὰρ τὸ διάστημα αὐτῶν, τοσοῦτον καὶ οὗτοι. ὅλως δὲ τὸ ἄπειρον κύκλον ἢ σφαῖραν λέγειν ἀναιρεῖν ἐστὶ κύκλον καὶ σφαῖραν· τὸ γὰρ εἶναι αὐτοῖς ἐν τῷ σχήματι εἶναι ἐστίν, οὐδὲν δὲ σχῆμα ἄπειρον. δηλοῦσι δὲ καὶ οἱ ὁρισμοὶ αὐτῶν. ἔτι ἐν ᾧ τί ἐστιν ἔξω, τούτῳ καὶ μέσον, τοῦτο οὐχ οἷόν τε ἄπειρον λέγειν. ἔτι ἐν ᾧ ἐστὶν ἀρχὴ καὶ πέρας, τοῦτο οὐκ ἄπειρον· ἐν δὲ τούτοις πᾶν τὸ ληφθὲν σημεῖον ἐπὶ τῆς περιφερείας ἀρχή τε καὶ πέρας τοῦ παντός ἐστιν. ἔτι αἱ ἄπειροι ἀπὸ τοῦ κέντρου ἀγόμεναι, ἐξ ὧν ἡ διάμετρος, ἤτοι ἀμφότεραι ἄπειροι ἔσονται ἢ ἀμφότεραι πεπερασμέναι, ἢ ἡ ἑτέρα αὐτῶν. ἀλλ' εἰ μὲν ἡ ἑτέρα μόνη ἄπειρος, οὐκ ἔσονται αἱ ἀπὸ τοῦ κέντρου ἴσαι, ὥστε οὐδὲ κύκλος οὐδὲ σφαῖρα· εἰ δὲ ἴσαι, ἐκ τοῦ κέντρου πεπερασμένον ἀπείρῳ ἴσον ἔσται· εἰ δὲ ἄμφω πεπερασμέναι, καὶ ὅλη ἡ διάμετρος πεπερασμένη καὶ ὅλος ὁ κύκλος καὶ ἡ σφαῖρα. εἰ δὲ ἄμφω ἄπειροι, ἔσται πλείω τὰ ἄπειρα καὶ ἄπειρον ἀπείρου μεῖζον καὶ διπλάσιον. ἔτι εἰ ἄπειρος ἡ διάμετρος, οὐκ ἔσται αὐτῆς μέσον, εἰ δὲ μὴ ταύτης, οὐδὲ τοῦ κύκλου οὐδὲ τῆς σφαίρας, εἰ δὲ μὴ μέσον, οὐδὲ κέντρον, εἰ δὲ μὴ κέντρον, οὐδὲ κύκλος ἢ σφαῖρα ἔσται. ἐπιστῆσαι δὲ ἄξιον ὅτι ὁ Ἀριστοτέλης, ὡς μήπω δείξας ὅτι σφαιρικός ἐστιν ὁ οὐρανός, οὐκ ἠξίωσε τοιαύτῃ χρήσασθαι ἀποδείξει· καὶ γὰρ εἰ σφαιρικὸς ὁ οὐρανὸς ὁμολογηθῇ, περιττόν ἐστι τὸ ζητεῖν εἰ πεπερασμένος ἢ ἄπειρος. καὶ ὅλως ἐχρῆν πρῶτον πεπερασμένον δεῖξαι καὶ οὕτω περὶ τοῦ σχήματος ζητεῖν. id. ib.

ὁ Ἀλέξανδρος δύο φησὶν εἶναι τὰ συναγόμενα ἄτοπα, τοῦτό 272 a 13.
τε τὸ ἐν πεπερασμένῳ χρόνῳ τὸ ἄπειρον διάστημα διεξιέναι, ὅπερ ἐσήμηνε διὰ τοῦ "τέμνουσά ποτε οἰσθήσεται κύκλῳ τὴν τὰ ββ' ἢ τὸ αγε' πεπερασμένον χρόνον," καὶ ἔτι μέντοι ὅτι τοῦ ἀπείρου ἔσται ἀρχή, ὅπερ δηλεῖ διὰ τοῦ "ἔσται ἄρα τις ἀρχὴ πρῶτον ἢ τὸ αγε' τὴν τὰ ββ' ἔτεμεν. ἀλλ' ἀδύνατον." δῆλον δὲ ὅτι καὶ ἐκείνῳ τῷ ἀτόπῳ ἀκολουθεῖ τὸ τὸ ἄπειρον μέγεθος, οἷον τὴν αγε', ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον διάστασιν διεξιέναι· καὶ γὰρ τοῦτο ἀδύνατον ἐδείχθη ἐν τῇ Φυσικῇ. εἰ μὴ ἄρα οὐ μάτην τοῦτο παρῆκεν τὸ ἀδύνατον ὁ Ἀριστοτέλης (*). id. f. 48.

ἐπιστῆσαι δὲ χρὴ ὅτι καὶ ὁ Ἀλέξανδρος ὁμολογεῖ ὅτι ἐν τούτοις 272 a 20.
ἡ πρόθεσίς ἐστιν οὐ τὸν κόσμον δεῖξαι μὴ ὄντα ἄπειρον, ἀλλὰ τὸ ἐγκύκλιον σῶμα, οὑτωσὶ καὶ τῷ ῥήματι λέγων· καὶ ὅτε, φησίν,

(*) p. 272 a 12. nec te praetereat velim Aristotelem per *ace* distantiam tantum intelligere, non autem lineam in universum. Themist. f. 7 b.

τοῦ κύκλου ἀνάπαλιν γινόμεναι ἐναντίαι εἰσίν, προὐβάλετο δεικνύναι, καὶ δείξας αὐτὸ πρότερον ἀπὸ τοῦ τῶν ἐναντίων κινήσεων ὁρισμοῦ, νῦν τὸ αὐτὸ διὰ τῆς εἰς ἀδύνατον ἐπαγωγῆς δείκνυσι. καὶ ταῦτα οὐ χρὴ δισσολογεῖν πρὸ ὀλίγου ῥηθέντα, ἀλλ' ἐκείνοις ἐντυχόντα μαθεῖν ὅτι τὴν ἀγωγὴν ἠγνόησεν οὗτος τοῦ λόγου... καὶ τὸν Ἀλέξανδρόν φησιν αἰσθανόμενον τοῦ σαθροῦ τῆς προκειμένης ἐπιχειρήσεως πειρᾶσθαι τῷ λόγῳ βοηθεῖν, ἀξιοῦντα, φησί, τὰς μὲν ἐπ' εὐθείας ἐναντίας κινήσεις διὰ τὸ ἀπ' ἐναντίων εἰς ἐναντίους γίνεσθαι τόπους, κἂν μὴ ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς εὐθείας γίνωνται, μηδὲν ἧττον ἐναντίας εἶναι, τὰς δὲ κύκλῳ καὶ ἀνάπαλιν γινομένας, εἴπερ ἐναντίαι εἶεν, ἐπὶ ἑνὸς γίνεσθαι κύκλου· ἀλογώτατον γάρ, φησί, τὴν ἐπ' ἄλλου κύκλου γινομένην κίνησιν τῇ ἐπ' ἄλλου ἐναντίαν εἶναι, μὴ προστιθεὶς μηδὲ κατασκευάζων διὰ τίνα λόγον. καὶ ὅτι μὲν τῷ Ἀλεξάνδρῳ τέως οὐ καλῶς ἐπισκήπτει, δῆλον, εἰ φυλάττει μὲν τὸν τῶν ἐναντίων κινήσεων ὁρισμὸν τὸν λέγοντα ἐναντίας εἶναι κινήσεις τὰς ἐξ ἐναντίων τόπων. id. f. 34-44.

271 b 1. ὁ Ἀλέξανδρος (*) προκεῖσθαί φησι περὶ τοῦ παντὸς κόσμου ζητεῖν εἰ ἄπειρος ἢ πεπερασμένος· καὶ γὰρ ἐν ἀρχῇ τοῦτο προβαλλόμενος ἀνεβάλλετο, ὅτε ἔλεγε "περὶ μὲν οὖν τῆς τοῦ παντὸς φύσεως, εἴτε ἄπειρός ἐστι κατὰ τὸ μέγεθος εἴτε πεπέρανται τὸν σύνολον ὄγκον, ὕστερον ἐπισκεπτέον" (p. 268 *b* 11). μέλλων δὲ τὸ πεπερασμένον αὐτοῦ δεικνύναι ἐκ τοῦ μηδὲν τῶν ἁπλῶν ἐξ ὧν συνέστηκεν ἄπειρον εἶναι, ἐπειδὴ οὐκ ἦν περὶ τοῦ ε' σώματος δεικνύναι ὅτι οὐκ ἔστιν ἄπειρον, μὴ πρότερον περὶ τῆς οὐσίας αὐτοῦ εἰπόντα καὶ δείξαντα ὅτι ἔστι τι ε' σῶμα, διὰ τοῦτο μετ' ἐκείνους τοὺς λόγους ἐπὶ τὸ προκείμενον ἐλθὼν δείκνυσιν ὅτι καὶ τῷ μεγέθει πεπερασμένα ἐστὶ τὰ ἁπλᾶ πέντε σώματα. τῷ γὰρ ὄντι προδείξας ἐκ τῶν κινήσεων ὅτι τῷ ἀριθμῷ πεπέρανται τὰ ἁπλᾶ πέντε ὄντα, δεικνὺς δὲ νῦν καὶ τῷ μεγέθει, ἔχει πεπερασμένον ὅτι πᾶς ὁ κόσμος πεπερασμένος τῷ μεγέθει ἐστίν. ἀλλ' ὁ μὲν Ἀλέξανδρος καὶ τὴν ὅλην πραγματείαν περὶ τοῦ παντὸς κόσμου προηγουμένως εἶναι νομίζων, ἀκολούθως καὶ ταῦτα πρὸς τὴν περὶ τοῦ παντὸς θεωρίαν ἐκδέχεται... διὰ ταύτην (τὴν ἐναντίωσιν) οἱ μὲν ἕνα κόσμον πεπερασμένον ἔλεγον, ὅσοι μὴ ἐδέχοντο τὸ ἄπειρον ἐν ἀρχῇ, ὡς Ἀριστοτέλης καὶ Πλάτων, οἱ δὲ ἓν ἄπειρον, ὡς Ἀναξιμένης ἀέρα ἄπειρον τὴν ἀρχὴν εἶναι λέγων, οἱ δὲ καὶ τῷ πλήθει ἀπείρους κόσμους, ὡς Ἀναξίμανδρος μὲν ἄπειρον τῷ μεγέθει τὴν ἀρχὴν θέμενος ἀπείρους ἐξ αὐτοῦ τῷ πλήθει κόσμους ποιεῖν δοκεῖ, Λεύκιππος δὲ καὶ Δημόκριτος ἀπείρους τῷ πλήθει τοὺς κόσμους ἐν ἀπείρῳ τῷ κενῷ καὶ ἐξ ἀπείρων τῷ πλήθει τῶν ἀτόμων συνίστασθαί φασιν. καὶ εἴη ἂν λέγων ἀρχὴν πασῶν τῶν ἐναντιώσεων τὸ ὑποθέσθαι τὸ ἄπειρον ἢ μὴ ὑποθέσθαι, ὅτι οἱ κόσμοι καὶ τὰς ἄλλας ἐναντιώσεις πάσας περιέχουσι. καὶ μέντοι διὰ ταύτην τὴν διαφωνίαν οἱ μὲν ἀναιροῦσι τὴν γένεσιν, ἐν κρίσει πάντα ὑφίστασθαι λέγοντες, ὥσπερ Ἀναξαγόρας, οἱ δὲ ἐξ ἑνὸς πάντα γίνεσθαι λέγουσι κατ' εὐθεῖαν, ὡς Ἀναξίμανδρος καὶ Ἀναξιμένης, οἱ δὲ καὶ γένεσιν εἶναι λέγουσι καὶ ἐξ ἀλλήλων τὴν γένεσιν ποιοῦσι, τὴν ἄλλου φθορὰν ἄλλου γένεσιν ὁρῶντες, ὡς οἱ πεπερασμένας τὰς ἀρχὰς λέγοντες. ὅτι δὲ τὸ ἐν ταῖς ἀρχαῖς ἐλάχιστον δοκοῦν παρόραμα προϊοῦσι μυριοπλάσιον φαίνεται, καὶ ἐκ τῆς ἐπαγωγῆς ἐπιστώσατο καὶ ἐκ τοῦ λόγου, ἐκ μὲν τῆς ἐπαγωγῆς, ὅτι Δημόκριτος ἢ ὅστις ἂν οὕτως ὑπόθοιτο, μικρά τινα ὑποθέμενος τὰς ἀρχὰς καὶ ἐλάχιστα μεγέθη, διὰ τὸ μεγίστην δύναμιν ὡς ἀρχὰς ἔχειν, ἁμαρτόντες περὶ αὐτά, τὰ μέγιστα τῶν ἐν γεωμετρίᾳ ἐκίνησαν, τό τε ἐπ' ἄπειρον εἶναι τὰ μεγέθη διαιρετά (*). id. f. 45 *b*.

ὅτι τὸ μεταξὺ τῶν ἀπείρων κατὰ μῆκος γραμμῶν διάστημα 271 b 30.
ἄπειρον ἔσται, δείκνυσι πρῶτον σαφηνίσας ποῖόν ἐστι τοῦτο τὸ διάστημα, ὅτι τὸ "οὗ μηδέν ἐστιν ἔξω λαβεῖν μέγεθος ἁπτόμενον τῶν γραμμῶν·" τούτου γὰρ τοῦ μεταξὺ τῶν γραμμῶν πλάτους οὐδέν ἐστιν ἔξω λαβεῖν μέρος ἁπτόμενον αὐτῶν. ἔνδοθεν γάρ ἐστι τὸ ὅλον, καὶ ἔνδοθεν ἅπτεται τῶν περιεχουσῶν αὐτὸ γραμμῶν. ὅλως γὰρ ἄπειροι οὖσαι αἱ γραμμαὶ κατὰ μῆκος πῶς ἕξουσί τι ἔξω ἑαυτῶν ἁπτόμενον αὐτῶν; ὥστε οὐδὲ τὸ μεταξὺ τῶν εἰς ἄπειρον ἐκταθεισῶν γραμμῶν διάστημα ἕξει μέρος τι ἑαυτοῦ ἔξω μέγεθος· ἐφάψεται γὰρ τοῦτο τῶν κατὰ τὰς γραμμὰς περάτων, καὶ οὐκέτι ἔσονται ἄπειροι. εἰ οὖν ἄπειροι αὗται, τὸ μεταξὺ τῶν γραμμῶν διάστημα οὐχ ἕξει τι ἔξω ἑαυτοῦ, τὸ δὲ ἐπ' ἄπειρον ἐκτεινόμενον καὶ μηδὲν ἔχον ἑαυτοῦ ἔξω δῆλον ὅτι ἄπειρόν ἐστιν· εἰ γὰρ ἐπ' ἄπειρον προϊὸν ἔτι πεπερασμένον ἦν, πάντως εἶχέ τι ἑαυτοῦ ἔξω. καλῶς οὖν ἀπὸ τοῦ μηδὲν ἔχειν ἔξω ἑαυτοῦ μέγεθος τὸ ἐπ' ἄπειρον προϊὸν μεταξὺ τῶν γραμμῶν διάστημα ἐδήλωσε, καὶ ἀπέδειξεν ἅμα τὸ μεταξὺ τῶν γραμμῶν διάστημα ἄπειρον ὄν· τὸ γὰρ πεπερασμένον, φησί, διάστημα μεταξὺ τῶν γραμμῶν ὄν, καὶ αὐτῶν πεπερασμένων ἐστὶ μεταξύ. ὁ μέντοι Ἀλέξανδρος, οὗ μεγέθους; φησίν· τὸ γὰρ διάστημα μεγέθους μηδέν ἐστιν, ὃ τῷ ἐκτὸς εἶναι τῶν γραμμῶν ἅπτεται αὐτῶν, ἀλλὰ ἁπτόμενόν τε αὐτῶν καὶ οὐκ ἐκτὸς αὐτῶν τοῦτο μεταξύ τέ ἐστιν αὐτῶν διάστημα. καὶ καλῶς καὶ αὐτὸς ἐνόησε τὸ τοῦ μεταξὺ διαστήματος μηδὲν εἶναι ἐκτὸς τῶν ἀπείρων γραμμῶν· εἰ γὰρ ἦν τι αὐτοῦ μέρος ἐκτὸς τῶν γραμμῶν, τὸ ἐντὸς ἐκείνου τοῦ μεταξὺ τῶν γραμμῶν πεπερασμένον ἔμελλεν εἶναι. πλὴν ὅτι ὁ Ἀλέξανδρος οὐκ ἐκ τοῦ μηδὲν ἔξω ἔχειν νομίζει συνάγεσθαι τὸ ἄπειρον τοῦ μεταξὺ διαστήματος, ἀλλ' ἐκ μόνου τοῦ ἀπείρους εἶναι τὰς ἐκ τοῦ κέντρου. μήποτε δὲ ὁ Ἀριστοτέλης τούτῳ μὲν ἑπόμενον ἔλαβε τὸ μηδὲν ἐκτὸς εἶναι τοῦ μεταξὺ τῶν ἐκ τοῦ κέντρου γραμμῶν διαστήματος, τούτῳ δὲ τὸ ἄπειρον εἶναι τὸ μεταξὺ τῶν γραμμῶν διάστημα. οὗ γὰρ ἐπ' ἄπειρον προϊόντος μηδέν ἐστιν ἐκτός, τοῦτο ἄπειρον ἀνάγκη εἶναι· τοῦ γὰρ πεπερασμένου καὶ ἐπ' ἄπειρον ἰόντος πάντως ἔστι τι ἐκτὸς λαβεῖν. προδῆλον δὲ τὸ μεταξὺ τῶν ἀπείρων γραμμῶν διαστήματα ἄπειρα εἶναι καὶ ἐκ τοῦ

(*) cf. Themist. f. 6 *b*.

(*) p. 271 *b* 11. hoc namque exempli gratia subverterentur mathematicae omnes disciplinae: non enim darentur magnitudines numero carentes vel eum admittentes, neque etiam unicuique magnitudini altera illi aequalis inveniretur, falsaque scientia Euclidis, quam iis de rebus instituit, extitisset. Themist. f. 6 *b*.

τοῦ ἡμικυκλίου ἐναντίαι κινήσεις αἱ ἐπὶ τοῦ γδ διαστήματος. ἆρα τούτων τις τὴν εὐθεῖαν μέτρον εἶπε τῆς περιφερείας, ἀλλ' οὐχὶ τὴν μεταξὺ τοῦ γ καὶ δ διάστασιν; . . . εἰπόντος δὲ τοῦ Ἀλεξάνδρου ὅτι τὰ ἐπὶ τοῦ ἡμικυκλίου ὡς ἐξ ἐναντίων τόπων κινούμενα, εἰ καὶ μὴ ἐπὶ τῆς εὐθείας κινεῖται, ἀλλ' οὖν τῷ τοσοῦτον τὸ μεταξὺ αὐτῶν διάστημα κινεῖσθαι ὅσον κατ' εὐθεῖαν ἀφέστηκε, ταύτην τὴν ἐναντίαν κινεῖται, τουτέστι τὴν ἀπὸ τῶν πλεῖστον διεστηκότων τόπων, οὐδὲ οὕτως, φησὶν οὗτος, τὸ ἐναντίας εἶναι ὁμολογεῖν τὰς ἐπὶ τοῦ ἡμικυκλίου ἔμπαλιν γινομένας ἐκφεύξεται, κἄν τε διὰ τὸν κύκλον ἔχωσι τὸ εἶναι ἐναντία κἄν τε διὰ τὴν τούτου διάμετρον. καίτοι εἰ διὰ τὴν διάμετρον, οὐχ ὡς ἐπὶ τοῦ ἡμικυκλίου κινούμεναί εἰσιν ἐναντίαι· οὐ γὰρ ὡς ἐπὶ τοῦ ἡμικυκλίου πέρατα τὰ γδ ἀλλήλων διεστηκέναι, ἀλλ' ὡς ἐπὶ τῆς εὐθείας. εἶτα τοῦ Ἀλεξάνδρου εἰπόντος ὡς εἰ μὴ τῇ εὐθείᾳ πᾶν διάστημα ἐμετρεῖτο ἀλλὰ τῇ περιφερεῖ, οὐδὲν ἦν δυνατὸν ληφθῆναι διεστὼς πλεῖστον τῷ δύνασθαι καὶ τῶν ἐγγὺς ὄντων ποιῆσαι περιφέρειαν μεταξὺ μεγίστην σφόδρα περιγράψαντας κυρτὴν περιφέρειαν καὶ τῶν πάμπολυ διεστώτων ἐλάττονα, οὗτος πάλιν μακροὺς ἀποτείνει λόγους δεικνύναι φιλονεικῶν ὅτι καὶ ἐπὶ τῆς περιφερείας ἡ πλείστη διάστασις ἡ κατὰ τὸ πανταχόθεν ἴσον ἀφεστάναι ἐστίν, ὡς ἡ τοῦ κριοῦ πρὸς τὸν ζυγόν. . . εἰ δὲ ἐπὶ τῶν περιφερειῶν ἡ διάστασις λαμβάνοιτο, δυνατὸν πλειόνων περιφερειῶν ἐπὶ τὰ αὐτὰ σημεῖα γραφομένων, ὡς εἶπεν ὁ Ἀλέξανδρος, ἄλλοτε κατ' ἄλλην περιφέρειαν τῆς πρὸς ἄλληλα τῶν σημείων διαστάσεως λαμβανομένης, μηκέτι ὡρισμένον εἶναι τὸ πλεῖστον. οὗτος δέ. . . προσθεὶς δὲ καὶ τὸ δ' ἐπιχείρημα τὸ δεικνύον ὅτι κἂν ἐπὶ ἑνὸς κύκλου δύο τις κινήσεις λαμβάνῃ, τὴν μὲν ἀπὸ τοῦ ε' ἐπὶ τὸ ζ' διὰ τοῦ η' ἡμικυκλίου, τὴν δὲ ἀπὸ τοῦ ε' ἐπὶ τὸ ζ' διὰ τοῦ θ' ἡμικυκλίου, οὐδὲ αὗται ἐναντίαι αἱ κινήσεις εἰσί, διότι οὐκ ἀπ' ἐναντίων τόπων, οὐ γὰρ ὡρισμένην ἐχόντων τὴν διάστασιν, — ὁ χρηστὸς οὗτος ἐθάρρησεν οὕτω τοῖς ὑπ' αὐτοῦ διακενῆς ῥηθεῖσι λόγοις, ὡς εἰπεῖν ὅτι εἰ διὰ τῶν αὐτῶν ἐπιχειρημάτων τῷ πρὸ αὐτοῦ καὶ οὗτος περαίνεται, οὐδὲν ἡμᾶς πρὸς τοῦτον δεήσει λέγειν, ἤδη πρὸς τὸν πρὸ αὐτοῦ κατὰ δύναμιν ἀπαντήσαντας. εἶτα μέμφεται τῷ Θεμιστίῳ (*) εἰπόντι ὅτι τὰ αὐτὰ λεκτέον τοῖς ἐπὶ τοῦ λόγου τοῦ πρὸ τούτου τοῖς περὶ τῶν ἐπὶ μόνου τοῦ ἡμικυκλίου κινουμένων, καὶ φησὶν ὅτι οὐ διὰ τῶν αὐτῶν ὑποθέσεων οὗτος ὁ λόγος τῷ πρὸ αὐτοῦ περαίνεται. . . καὶ τοῦ Θεμιστίου μερίσαντος ἐν τῇ παραφράσει τοὺς λόγους, καὶ ἐπὶ μὲν τοῦ προτέρου λέγοντος ὅτι τὰ αὐτὰ λεκτέον τοῖς ἐπὶ τοῦ πρὸ τούτου λόγοις, ἐπὶ δὲ τοῦ δευτέρου κἂν συγχωρήσῃ τις, φησί, ταῖς ἐπὶ τῶν ἡμικυκλίων φοραῖς ἐναντίας εἶναι, ἀλλ' οὐ τὴν ἐπὶ τοῦ ὅλου κύκλου, περὶ ἧς ὁ λόγος, συγχωρήσειεν ἄν τις μερίζεσθαι ὡς εἰς ἐναντίας. ὅπως δὲ εἰς τὴν τῶν δύο τούτων ἡμικυκλίων ὑπόθεσιν προῆλθεν ὁ λόγος, τῷ Ἀριστοτέλει εἴρηται μὲν ἐν ταῖς ἐξηγήσεσι τῶν ἐπιχειρημάτων, οὐ χεῖρον δὲ καὶ νῦν ὑπομνῆσαι. τὸ μὲν γὰρ πρῶτον ἐπιχείρημα τῶν δεικνύντων ὅτι τῇ κυκλικῇ κινήσει οὐκ ἔστιν ἐναντία κίνησις, καθολικώτερον ἀπὸ τοῦ μᾶλλον ἐπεχείρει λέγων, ὥστ' εἴπερ ἐναντία τις ἔστι, τὴν ἐπ' εὐθείας μάλιστα ἀναγκαῖον ἐναντίαν εἶναι πρὸς τὴν κύκλῳ κίνησιν, αἱ δὲ ἐπὶ τῆς εὐθείας ἀλλήλαις ἀντίκεινται διὰ τοὺς τόπους. τὸ δὲ δεύτερον ἔδειξεν ὅτι αἱ ἐπὶ τῆς τυχούσης περιφερείας ἀνάπαλιν γινόμεναι κινήσεις οὐκ εἰσὶν ἐναντίαι διὰ τὸ ἀπείρους εἶναι περὶ τὰ αὐτὰ πέρατα περιφερείας. τὸ δὲ τρίτον ἐπὶ ὡρισμένης περιφερείας τῆς τοῦ ἡμικυκλίου τὴν ὑπόθεσιν ποιησάμενον τὰ αὐτὰ συνήγαγεν. ἀκολούθως οὖν τὸ τέταρτον τοῦτο δύο ἡμικύκλια ὑποθέμενον συνημμένα καὶ ἐπὶ τούτων τὰ αὐτὰ συμβαίνειν φησίν. συγχωρήσας δὲ τούτοις ὡς ἐκτὸς οὖσι τοῦ προβλήματος, ἐπὶ τοῦ κύκλου σκοπεῖν ἀξιοῖ. ἦν γὰρ τὸ πρόβλημα ὅτι τῇ κύκλῳ κινήσει οὐκ ἔστιν ἐναντία κίνησις. εἰ δὲ ταῦτα ἀληθῆ λέγω, παντὸς οἶμαι τὸ λοιπὸν συνιδεῖν ἐστίν, ὅτι οὗτος ὁ ἀνὴρ οὔτε τοῦ σκοποῦ τῶν Ἀριστοτέλους λόγων συναισθάνεται οὔτε τοῖς τῶν ἐξηγητῶν παρακολουθεῖ. ἀλλὰ δὴ καὶ ἐπὶ τὸ ε' τῶν ἐπιχειρημάτων ἀναζωσάμενος, τὸ τὰς ἐπὶ τοῦ αὐτοῦ κύκλου δύο κινήσεις ἀπὸ τοῦ αὐτοῦ μὲν σημείου ἐπὶ τὸ αὐτό, ἀνάπαλιν δὲ γινομένας, τῷ τὸ μὲν ἀπὸ τοῦ α' διὰ τοῦ β' ἡμικυκλίου ἐπὶ τὸ α' κινεῖσθαι, τὸ δὲ ἀπὸ τοῦ α' δι' ἑτέρου ἡμικυκλίου τοῦ γ' ἐπὶ τὸ αὐτὸ πάλιν τὸ α', καὶ ταύτας δεικνύων μὴ οὔσας ἐναντίας διὰ τὸ ταύτας μὲν ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ εἶναι, τὰς δὲ ἐναντίας ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον, δαπανήσας ὡς ἔοικε τὰς ἑαυτοῦ ἀντιλογίας καὶ συγχωρηθεὶς νῦν ἐνίσταται πρὸς τὸ ἐναντίας κινήσεις ἐκείνας εἶναι καθόλου τὰς ἀπὸ τῶν ἐναντίων τόπων, καίτοι καὶ ἐν τοῖς ἄλλοις ἐπιχειρήμασι τούτῳ χρησαμένου τοῦ Ἀριστοτέλους, τῷ ἀξιώματι καὶ διὰ τοῦτο τῇ κύκλῳ κινήσει μὴ βουλομένου εἶναι ἐναντίαν κίνησιν, διὰ τὸ μὴ εἶναι ἐν τῷ κύκλῳ τοὺς πλεῖστον ἀλλήλων διεστηκότας τόπους, εἰ μὴ κατὰ τὴν διάμετρον ὁρίζοιντο. λέγει οὖν. . . τοῦτο τοίνυν ἡμῖν ἀποδεῖξαι πρόκειται ὡς οὐδεὶς λόγος τῶν κατασκευαζόντων τῇ κύκλῳ κινήσει μὴ εἶναι κίνησιν ἐναντίαν ὑγιὴς ὑπάρχει. . . ἀλλ' εἰ δοκεῖ, καὶ τὰ πρὸς τὸ ἕκτον, ὡς οὗτος φησίν, ἐπιχείρημα τούτῳ ῥηθέντα περικρούσωμεν, καὶ πρῶτόν γε ὅτι μηδὲ τούτῳ ἐπέστησεν, ὅτι τοῦ ε' ἐπιχειρήματος μέρος τοῦτο ἐστί, καίτοι τοῦ Ἀλεξάνδρου εἰπόντος ὅτι προσεπιχείρημα ἐκ περιουσίας ἐστίν. καὶ ἤδη μὲν αὐτοῦ τὴν ὅλην ἔννοιαν, ὡς ἐμοὶ δυνατὸν ἦν, διεσάφησα τὴν Ἀριστοτέλους ἐξηγούμενος τὴν λέξιν, ἀνάγκη δὲ καὶ νῦν τινῶν ἐκεῖ ῥηθέντων ὑπομνῆσαι, ὅτι μετὰ τὸ δεῖξαι καὶ τὰς ἐπὶ περιφερείας καὶ τὰς ἐπὶ ἡμικυκλίου ἑνὸς καὶ τὰς ἐπὶ δυεῖν ἡμικυκλίων ἔμπαλιν γινομένας κινήσεις μὴ οὔσας ἐναντίας, ἐπ' αὐτὸ λοιπὸν ἐλθὼν τὸ προκείμενον, ὅτι μηδὲ αἱ ἐπὶ ὅλου

(*) p. 271 *a* 13. similiter se res habet et in toto circulo, quandoquidem si unum eundemque circulum statuerimus, qui in duos semicirculos per diametrum dissecetur, velimusque motum eum qui ab H diametri extremitate exorditur et per C in Z alteram diametri extremitatem tendit, ei contrarium esse qui a Z initium sumens per T in H proficiscitur, ex hoc etiam congruum id esse videretur quod paulo ante de iis quae per semicirculum moventur dicebamus, nempe lineam contrariam dici comparatione ad rectam. sed quamvis et concedamus hos motus in semicirculo esse contrarios, congruum tamen ideo non est ut etiam iis qui in toto circulo fiunt contrariorum differentia competat, siquidem duo illi motus qui in duobus semicirculis fiunt, in toto quidem circulo unum motum constituunt. Themist. f. 6.

λέγει ὁ Ἀριστοτέλης; κατὰ τὰς εἰδοποιοὺς δηλονότι διαφοράς, φήσομεν, αἵτινες οὐκ εἰσὶν οὐσίαι. τὸ μὲν οὖν ψυχρὸν καὶ θερμὸν καὶ ξηρὸν καὶ ὑγρὸν ἀλλήλοις ἐναντία ὑπάρχει, αἱ δὲ ὅλαι οὐσίαι πρὸς τὰς ὅλας οὐσίας οὐκ ἔχουσιν ἐναντιώσεις καὶ ἐπὶ τῆς αὐτῆς ὕλης συνυφεστήκασι. καὶ τί δεῖ μηκύνειν, τῶν ἐξηγητῶν μακρὰς παράγραφοντα ῥήσεις, ὅτε δυνατὸν αὐτὸν παράγειν τὸν Ἀριστοτέλην τὴν ἑαυτοῦ γνώμην σαφῶς ἀποκαλύπτοντα μετ᾽ ὀλίγα τῆς ἀρχῆς τοῦ δευτέρου τῶν περὶ Γενέσεως καὶ Φθορᾶς βιβλίων. γράφει δὲ οὕτως "ὄντων δέ" (c. 3 p. 330 *b* 30)... ἔρα πῶς οὐδὲ παρακολουθῶν φαίνεται τοῖς γεγραμμένοις· παραθέμενος γὰρ τὴν Ἀριστοτέλους ῥῆσιν τοῦ πρώτου ἐπιχειρήματος καὶ τὴν Ἀλεξάνδρου ἐξήγησιν, ἐάσας τὸν Ἀριστοτέλην κατὰ τοῦ Ἀλεξάνδρου κεχώρηκε, λέγων ὅτι ἐπαγγειλάμενος δεῖξαι ὡς οὐκ ἔστι τῇ περιφερεῖ γραμμῇ ἡ εὐθεῖα ἐναντία, οὐδὲν δεδειχὼς φαίνεται. τοῦτο δὲ οὔτε Ἀριστοτέλης οὔτε Ἀλέξανδρος ἐπηγγείλαντο δεικνύναι... τοῦ δὲ Ἀλεξάνδρου τὴν εὐθεῖαν κίνησιν τῇ κύκλῳ παραβάλλοντος ἐν οἷς φησὶν "ἡ δὲ εὐθεῖα ἐναντία δοκεῖ τῇ κύκλῳ διὰ τὸ ἐκείνην μὲν δοκεῖν πανταχόθεν παρακεκλάσθαι, τὴν δὲ εὐθεῖαν ὡς ὅτι μάλιστα ἀκλαστοτάτην εἶναι πασῶν τῶν γραμμῶν· εἰ οὖν αὕτη μή ἐστιν ἐναντία τῇ κύκλῳ, οὐδ᾽ ἂν τῶν ἄλλων τις τῶν ἧττον ἀντικεῖσθαι δοκουσῶν αὐτῇ," οὗτος νομίσας τὴν εὐθεῖαν τῷ κύκλῳ συγκρίνεσθαι, καὶ μεταγράφειν ἐτόλμησε τὴν Ἀλεξάνδρου λέξιν ἐν οἷς ἔγραψεν· "μάλιστα δέ, φησίν, ἡ εὐθεῖα ἀντικεῖσθαι δοκεῖ τῷ κύκλῳ," καίτοι ἐκείνου τῇ κυκλοτερεῖ γράψαντος, ὡς καὶ τὰ ἐφεξῆς δηλοῖ. κἂν γὰρ ἀπὸ τῶν γραμμῶν ἡ ἐπιχείρησις, ἀλλ᾽ ἐπὶ τῶν κινήσεων ἐρρέθη, καὶ τὸ ἄκλαστον καὶ κεκλασμένον ἀπὸ μὲν τῶν γραμμῶν, ἐπὶ δὲ τῶν κινήσεων εἴρηται ὑπὸ τοῦ Ἀλεξάνδρου, ὡς δηλοῖ τὸ ἐπαχθέν. εἰ οὖν αὕτη μή ἐστιν ἐναντία τῇ κύκλῳ, ἀλλ᾽ οὐδὲ ἐκ τοῦ τὴν εὐθεῖαν γραμμὴν μὴ εἶναι ἐναντίαν τῷ γραμμικῷ κύκλῳ νομίζει περαίνεσθαι τὴν ἀπόδειξιν ὁ Ἀλέξανδρος, ἵνα καὶ ἐπηγγείλατο τοῦτο δεῖξαι. κἂν γὰρ αἱ γραμμαὶ ἐναντίαι, ἀλλ᾽ αἱ κινήσεις οὐ δύνανται ἐναντίαι εἶναι διὰ τὸ τὴν ἐπ᾽ εὐθείας τῇ ἐπ᾽ εὐθείᾳ ἀντικεῖσθαι καὶ ἓν ἑνὶ ἐναντίον εἶναι ... καὶ διὰ τοῦτο καὶ τῷ Ἀλεξάνδρῳ μέμφεται εἰπόντι ὅτι εἴπερ εἴη ἐναντίον τὸ κοῖλον τῷ κυρτῷ ἐπὶ μιᾶς γραμμῆς θεωρούμενον, αὐτὴ ἂν εἴη ἐναντία αὐτῇ ἡ γραμμή. καίτοι εἰ τὸ κοῖλον καὶ τὸ κυρτὸν ὁ Ἀριστοτέλης κατὰ τὴν διάστασιν ἔλαβε, καθ᾽ ἣν ἡ κύκλου κίνησις γίνεται, ἀπλατὴς δὲ αὕτη, δηλονότι καλῶς καὶ ὁ Ἀλέξανδρος εἴρηκεν· οὐ γὰρ περὶ τούτου τοῦ κοίλου καὶ κυρτοῦ οὔτε ὁ Ἀλέξανδρος οὔτε ὁ Ἀριστοτέλης εἰρήκασι τοῦ ἐν ἄλλῳ καὶ ἄλλῳ πέρατι τοῦ σφαιρικοῦ σώματος ὄντος, ἀλλὰ τῶν ἐν τῇ γραμμῇ διαστάσεων, καθ᾽ ἣν ἡ κύκλῳ κίνησις ἐπιτελεῖται... οὕτω μὲν οὖν ὁ χρηστὸς οὗτος μάτην τοὺς πολλοὺς λόγους τοὺς ἀντιλέγοντας τῷ πρώτῳ τῶν ἐπιχειρημάτων συνέγραψεν. ἴδωμεν δὲ ὅπως καὶ πρὸς τὸν δεύτερον ὑπαντᾷ λόγον. τοῦ τοίνυν Ἀριστοτέλους ἐκ τῶν προειρημένων ἔχοντος ὅτι ἐναντίαι κατὰ τόπον εἰσὶ κινήσεις αἱ ἀπὸ ἐναντίων τόπων, καὶ ὅτι ἐναντίοι τόποι εἰσὶν οἱ πλεῖστον διεστηκότες, καὶ ὅτι ἡ πλείστη διάστασις ὡρισμένη ἐστὶν ὥσπερ καὶ ἡ ἐλαχίστη, καὶ ὅτι πᾶσα διάστασις ὡρισμένον ἔχουσα ποσὸν τῇ μεταξὺ τῶν διαστάσεων εὐθείᾳ μετρεῖται· αὕτη γὰρ μία καὶ ὡρισμένη ἐστί, διότι ἡ ἐλαχίστη ἐστὶ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, αἱ δὲ περιφέρειαι ἄπειροι αἱ ἐπὶ τὰ αὐτὰ σημεῖα ἐπιζευγνύμεναι, καὶ διὰ τοῦτο ἀόριστοι, καὶ διὰ τοῦτο τὴν μεταξὺ τοῦ α′ καὶ τοῦ β′ διάστασιν οὐχ ὁρίζουσι, καὶ διὰ τοῦτο κατ᾽ ἐκείνας οὐκ ἔστιν ἡ πλείστη διάστασις αὕτη, καὶ διὰ τοῦτο οὐκ εἰσὶν ἐναντίοι τόποι οἱ τοῦ α′ καὶ β′, καὶ διὰ τοῦτο οὐκ εἰσὶν ἐναντίαι αἱ ἀπὸ α′ καὶ β′ κινήσεις, ἐὰν ὡς ἐπὶ περιφερείας καὶ μὴ ὡς ἐπ᾽ εὐθείας γίνωνται... παραθέμενος πρῶτον τὴν Θεμιστίου (*) παράφρασιν τῆς Ἀριστοτέλους λέξεως, εἶτα καὶ τὴν Ἀλεξάνδρου τοῦ Ἀφροδισιέως ἐξήγησιν, ἵνα καὶ ταύτῃ δοκῇ σοφός, καθ᾽ ἑκατέραν ἐλέγχειν τὴν Ἀριστοτέλους δόξαν προτίθεται. καὶ δὴ τοῦ Θεμιστίου τοὺς λέγοντας τὰς ἐπὶ τῆς περιφερείας ἐναντίας εἶναι εἰς ἄτοπον ἐπάγεσθαι λέγοντος τῷ μιᾷ ἀπείρους ἀντιτιθέναι, διότι ἄπειροί εἰσιν αἱ περὶ τὰ αβ′ γραφόμεναι περιφέρειαι, οὗτος διαπαίζει τὸν λόγον ταῖς ἀπείροις κινήσεσιν ἀπείρους ἐναντίας εἶναι λέγων... τοῦ δὲ Ἀλεξάνδρου προσφυέστερον εἰς τοῦτο τὸν λόγον ἀπαγαγόντος, εἰς τὸ μὴ εἶναι ὅλως ἐναντίας τὰς ἐπὶ τῆς περιφεροῦς διὰ τὸ μὴ πλεῖστον ἀλλήλων διεστηκέναι τὸ α′ τοῦ β′ κατὰ τὴν περιφέρειαν, ὡς δηλοῖ τὸ ἀπείρους δυνατὸν εἶναι γράφειν περιφερείας ἐπὶ τὸ α′ καὶ β′ σημεῖον διάφορα ἐχούσας τὰ διαστήματα, οὗτος πάλιν μακρὰ φλυαρεῖ... ἀλλὰ πάντα μάτην αὐτῷ συνῆκται, τὰ ὑπὸ τοῦ Ἀριστοτέλους εἰρημένα καὶ τῶν αὐτοῦ ἐξηγητῶν ἀγνοήσαντι. πρὸς δὲ τὸ τρίτον τῶν Ἀριστοτέλους ἐπιχειρημάτων ἀντεπιχειρῶν οὗτος, τὸ λέγον ὅτι κἂν μὴ ἐπ᾽ ἀορίστου περιφερείας ἡ ἀντικίνησις λαμβάνηται, ὡς δυνατὸν εἶναι ἀπείρους περιφερείας περὶ τὰ αὐτὰ σημεῖα περιγράφειν, ἀλλ᾽ ἐπὶ μιᾶς ὡρισμένης, οἷον τοῦ ἡμικυκλίου, καὶ οὕτως ἡ διάστασις τοῦ γ′ πρὸς τὸ δ′ κατὰ τὴν εὐθεῖαν μετρηθήσεται, μήτε τῶν Ἀριστοτέλους λόγων μήτε τῶν ἐξηγητῶν συναισθόμενος πολλοὺς κατατείνει λόγους, δεικνύναι πειρώμενος ὅτι οὐ παντὸς μεγέθους μέτρον εἶναι τὴν εὐθεῖαν ἀνάγκη οὐδὲ πάσης γραμμῆς, ἀλλὰ τῶν ὁμοειδῶν μόνον καὶ οἷς ἂν ἐφαρμόζοι, οὐκ ἐφαρμόζει δὲ τῇ περιφερείᾳ. καὶ οὕτως πάντας ποιεῖται τοὺς λόγους ὡς λέγοντος τοῦ Ἀριστοτέλους καὶ τῶν ἐξηγητῶν ὅτι τὸ τῆς περιφερείας διάστημα ὑπὸ τῆς εὐθείας μετρεῖται. καὶ τάχα πάλιν ἀνάγκη διὰ τοὺς ἀπιστήσοντας τινὰ τῶν ὑπ᾽ αὐτοῦ ῥηθέντων παραγράψαι... ποῦ γὰρ Ἀριστοτέλης ἤ τις τῶν Ἀριστοτέλους ἐξηγητῶν τὴν περιφέρειαν ὑπὸ τῆς εὐθείας εἶπε μετρεῖσθαι; ἀλλ᾽ οὐ συνῆκεν οὗτος ὅτι τὴν μεταξὺ τῶν περάτων διάστασιν, οἷον τοῦ γ′ καὶ δ′, ὡς Ἀριστοτέλης φησί, τῇ εὐθείᾳ τῇ ἐπ᾽ αὐτὰ ἐπιζευγνυμένῃ λέγουσι μετρεῖσθαι, ἀλλ᾽ οὐ τῇ περὶ αὐτὰ γραφομένῃ περιφερείᾳ· οὐ μέντοι ὅτι ἡ περιφερὴς τῇ εὐθείᾳ μετρεῖται· τοῦτο γὰρ κἂν ἀληθὲς ἦν, οὐ πάνυ τι πρὸς τὸν λόγον... καὶ ὁ Ἀλέξανδρος ἐξηγούμενος, ἀλλὰ μήν, φησί, τῷ καταμετροῦντι ἔστιν εὑρεῖν τὸ πλεῖστον διεστηκὸς καὶ ἐναντίον τῇ εὐθείᾳ ἄρα, καὶ ἐπὶ ταύτης τὸ ἐν τοῖς διαστήμασίν ἐστιν ἐναντίον· οὐκ ἄρα ἐπὶ τῆς περιφεροῦς οὐδὲ ἐπὶ

(*) p. 271 *a* 9. ac vero in curva linea infinitae curvae lineae describi possunt a puncto A ad punctum B; unde sequeretur, quod illi motui qui fit ab A per lineam curvam infiniti motus contrarii extitissent, ii, inquam, qui ex B ad A super curva linea describerentur. Themist. f. 6.

τῆς λέξεως ταύτης λεγόμεναι, μία μὲν ὅτι μάτην ἡ ἑτέρα ἐστίν, ὃ εἰπὼν ὕστερον αὐτοῦ τὴν αἰτίαν ἀποδίδωσι μετὰ τὴν ἑτέραν ἐπιχείρησιν, δι' ὧν ἐπιφέρει "εἰ μὲν γὰρ ἴσαι ἦσαν, οὐκ ἂν ἦν κίνησις αὐτῶν·" ταῦτα γὰρ τοῦ μάτην ἂν εἶναι τὴν ἑτέραν δεικτικά. καίτοι τὸ "οὐκ ἂν ἦν κίνησις αὐτῶν" ἀμφότερα μάτην ἔσεσθαι σημαίνει, καὶ ὁ Ἀριστοτέλης τὸ "μάτην ἂν θάτερον ἦν σῶμα" ἐπὶ τῆς ἑτέρας ὑποθέσεως ἐπήγαγε, καθ' ἣν τὸ μὲν κρατεῖ τὸ δὲ κρατεῖται, κοινῶς δὲ τὸ "ὁ δὲ θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσιν." τὸ δὲ μεταξύ, φησὶν Ἀλέξανδρος, τῶν λέξεων τούτων ἄλλη τις ἂν ἐπιχείρησις εἴη. καὶ γὰρ ἔν τισιν ἀντιγράφοις οὐχ οὕτως γράφεται "ὅτι ἀνάγκη τὸ κύκλῳ φερόμενον," ἀλλ' οὕτως "ἔτι ἀνάγκη τὸ κ. φ.," ὡς ἄλλο τι προστιθέντος αὐτοῦ τῷ προειρημένῳ. καὶ εἴη ἂν τὸ προστιθέμενον, ὅτι ἂν γένωνταί τινες ἐπὶ τοῦ αὐτοῦ κύκλου ἐναντίαι κινήσεις, ἀνάγκη διὰ πασῶν ἐνεχθῆναι τῶν ἐν τῷ κύκλῳ κατὰ τόπον ἐναντιώσεων. καὶ τίνες αἱ τῶν τόπων ἐναντιώσεις προσέθηκεν, ὥστε ἀναγκαῖον ἐπὶ τῆς περιφερείας εἶναι κατὰ τόπον ἐναντιώσεις. ἢ γὰρ τῷ ἐπ' ἐναντία, φησίν, κινεῖσθαι ἡ ἐναντία κίνησις ἐπὶ τοῦ κύκλου ὡς ἐπ' εὐθείας, ἢ εἰ μὴ τοῦτο, τῷ δι' ἐναντίων γίγνεσθαι τόπων, ὃ ἔχοι ἂν ἡ κύκλῳ, εἰ ἔχοι ἐναντίωσιν, ἐπεὶ μὴ τὸ ἐπ' ἐναντίους γίνεσθαι τόπους ἔχει, εἴγε ἐπὶ ταὐτόν. ὃ εἰπών, φησίν, οὐκέτι προσέθηκε τὸ τοῦτο ἄτοπον εἶναι, τὸ ἐπὶ μιᾶς καὶ συνεχοῦς οὔσης τῆς κύκλῳ περιφερείας λέγειν εἶναι ἐναντίους τόπους, τὸν μὲν ἄνω τὸν δὲ κάτω, ἢ τὰς ἄλλας ἀντιθέσεις, ἢ καὶ πάσας· ἀλλ' ἐπαναλαβὼν ἔδειξε πῶς προεῖπεν ὅτι ἡ ἑτέρα μάτην. οὕτω μὲν ὁ Ἀλέξανδρος. μήποτε δὲ ὁ "ἔτι ἀνάγκη" γράψας οὐ συνῄσθετο τῆς συνεχείας τοῦ λόγου ἑνὸς ὄντος, οὐδὲ ὅτι παρὰ τὴν Ἀριστοτέλους συνήθειάν ἐστι τὸ τοιούτοις ὑπερβατοῖς χρῆσθαι. πῶς δέ φησι τὸ ἐπὶ ἐναντίους γίνεσθαι τόπους οὐκ ἔχει ἡ κύκλῳ κίνησις, εἴγε ἐπὶ ταὐτόν; ὅλως γὰρ ἐὰν ὑποτεθῇ ὁ κύκλος ἔχων ἐναντίους τόπους, καὶ δι' ἐναντίων ἡ κίνησις, πάντως οἶμαι καὶ ἐπὶ ἐναντίους. συνηρημένως δὲ ὁ Ἀλέξανδρος, ὡς φησί, κατὰ τὸν αὐτοῦ διδάσκαλον Ἀριστοτέλην ἐξέθετο τὴν ἀπόδειξιν τοῦ τῇ κύκλῳ κινήσει μὴ εἶναι ἐναντίαν κίνησιν, μηδὲ τῷ κυκλοφορητικῷ σώματι ἐναντίον. εἰ γὰρ ἔστι, φησίν... προσκείσθω ὅτι τοῖς νομίζουσι μὴ λέγειν τὸν Ἀριστοτέλην ποιητικὸν αἴτιον τὸν θεὸν ἀλλὰ τελικόν, μόνον ἔδει καὶ τὸ ἐνταῦθα ῥηθὲν προφέρειν οὕτω σαφῶς εἰρημένον, ὅτι ὁ θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσιν. καίτοι γέ τινες καὶ τοῦτο βιαζόμενοι οἱ μὲν τὸν θεὸν τὸν οὐρανὸν ἀκούουσι, διότι ἡ τούτου κίνησις τῆς τῶν ἐνταῦθα φύσεώς ἐστιν αἰτία. καὶ ἀληθῆ λέγουσιν, εἴπερ τὸ προσεχῶς προστεθείκασιν· ὁ γὰρ θεὸς δι' ἑαυτοῦ τὰ οὐράνια ὑφιστῶν, διὰ τῆς ἐκείνων κινήσεως καὶ τὰ ὑπὸ σελήνην δημιουργεῖ γινόμενα ὄντα καὶ φθειρόμενα· τὸ γὰρ ἀκίνητον αἴτιον ὅσα δι' ἑαυτοῦ ποιεῖ, ἀΐδιά τε καὶ θεοῖς ἰσαζόμενα ποιεῖ, ὡς καὶ ὁ Πλάτων φησί. τινὲς δὲ τὸν θεὸν ἐν τούτοις τὸν Ἀριστοτέλην τῇ φύσει συντάξαι φασὶ διὰ τὸ ἀξίωμα καταχρώμενον. ἀλλὰ ... ζητεῖν ἄξιον πῶς οὐκ ἐναντία κίνησίς ἐστιν ἡ τῶν πλανωμένων τῇ τῆς ἀπλανοῦς σφαίρας ... ἐπειδὴ δὲ πάλιν ἡ ὗς παροινεῖ κατὰ τὸν μελοποιὸν Ἀλκαῖον, πάλιν ἀνάγκη πρὸς τὸν γραμματικὸν τοῦτον ἀποκλίνειν ... εἰ τὰ ἐναντίας ἔχοντα κινήσεις, ὡς ὁ Ἀλέξανδρος εἶπεν (οὐδὲ γὰρ Ἀριστοτέλης), ἐναντία

ἐστίν, ἡ οὐσία αὐτὴ ἑαυτῇ δόξει ἐναντία, καὶ οὐ μόνον ἕξει τι ἐναντίον ἡ οὐσία ἀλλὰ καὶ αὐτὴ ἑαυτῇ. εἰ δὲ μή, οὐ ζητητικῶς ἀλλὰ προπετῶς ἀποφαίνεται λέγων, ἀνάγκη ἄρα πᾶσα ἢ τὰ ἐν Κατηγορίαις δεδειγμένα ὡς ψευδῆ παραγράφεσθαι ἢ τὰ ἐνταῦθα ... ὅτι γὰρ ἐπὶ τῆς συνθέτου οὐσίας ἐν Κατηγορίαις εἰρῆσθαι τοῦτο νομίζει (ὁ γραμματικός), σαφῶς ἔγραψεν εἰπὼν ἐν τῷ γ' κεφαλαίῳ τοῦ ε' ἑαυτοῦ βιβλίου ... ὅτι δὲ οὐκ ἐμαυτοῦ ταύτας ἐπινοίας γράφω, ἀλλὰ τοῖς δοκίμοις τῶν ἐξηγητῶν δοκοῦντα καὶ ὑπ' αὐτοῦ τοῦ Ἀριστοτέλους λεγόμενα, ἄκουσον τῶν ὑπὸ Ἀλεξάνδρου γεγραμμένων ἐν τῷ τῶν Κατηγοριῶν ὑπομνήματι. προθεὶς γὰρ τὴν λέξιν τὴν λέγουσαν "ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν αὐταῖς ἐναντίον εἶναι" (p. 3 *b* 24) ἐπάγει ταῦτα "ἄλλο τι πάλιν δείκνυσι τῶν τῇ οὐσίᾳ παρακολουθούντων, ὃ οὐδὲ αὐτὸ ἴδιον τῆς οὐσίας ἐστίν, ὡς καὶ αὐτὸς λέγει· ἔστι δὲ τοῦτο τὸ μηδὲν ἐναντίον αὐτῇ εἶναι. καὶ ὁμολογουμένως ταῖς ἐκκειμέναις οὐσίαις οὐδέν ἐστιν ἐναντίον· τῇ μέντοι κατὰ τὸ εἶδος οὐσίᾳ ἐρεῖ ἐν τῇ Φυσικῇ Ἀκροάσει (1 7) τὴν στέρησιν ἐναντίαν εἶναι. ἢ κἀκεῖ κοινότερον ἡ στέρησις ἐναντία εἴρηται· ἔθος γὰρ αὐτῷ ἐναντία λέγειν καὶ τὰ κατὰ στέρησιν ἀντικείμενα." ἀλλ' ἐπί γε τῶν στοιχείων τὰ εἴδη τῶν στοιχείων καθάπερ πῦρ καὶ ἀὴρ καὶ ὕδωρ καὶ γῆ ἐναντία, ὡς καὶ αὐτὸς ἐν τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς (2 14) λέγει· διὰ τοῦτο γὰρ εἰς ἄλληλα αὐτοῖς ἡ μεταβολή. ταύταις οὖν ταῖς οὐσίαις ταῖς ἐκκειμέναις λέγει ἂν μηδὲν εἶναι ἐναντίον· ἀπέδειξέ γε ἐν τῷ β' περὶ Γενέσεως εἰδοποιοὺς τῶν ἁπλῶν καὶ πρώτων σωμάτων ξηρότητα καὶ ὑγρότητα, θερμότητα καὶ ψυχρότητα, ταῦτα δὲ ἐναντιώσεις· ἐξ οὗ καὶ αὐτὸς δηλονότι τὴν διαφορὰν τῆς οὐσίας οὐκ εἶπεν οὐσίαν, ὅτι μὴ τῶν ἐκκειμένων τις ἦν. ἀλλὰ καὶ ὁ θεῖος Ἰάμβλιχος ἐν τῷ εἰς τὰς Κατηγορίας ὑπομνήματι τάδε γέγραφεν "ὑπάρχει μὲν οὖν ταῖς οὐσίαις τὸ μηδὲν ἐναντίον αὐταῖς εἶναι· τὰ μὲν γὰρ ἐναντία ὑφ' ἓν γένος ἀεὶ ὑποτάττεται, ἡ δὲ οὐσία οὐδὲν ἔχει ἀνωτέρω γένος ἕν, ὑφ' ὃ ταχθήσεται, καὶ τὰ μὲν ἐναντία σχέσιν ἔχει πρὸς ἄλληλα, ἡ δὲ οὐσία ἄσχετός ἐστι καὶ οὐδὲν προσδεῖται τῆς κατὰ τὴν ἐναντίωσιν σχέσεως. ἔτι τὰ μὲν ἐναντία πρὸς ἄλληλα ἀπονεύει, ἡ δὲ οὐσία καθ' ἑαυτὴν ὥρισται." αὐτός γε μὴν ἀπὸ τῆς ἐπαγωγῆς τῶν πρώτων καὶ δευτέρων οὐσιῶν τὸ μηδὲν εἶναι ἐναντίον αὐτῇ κατασκευάζει, καὶ μετ' ὀλίγα τάδε γέγραφεν "ἀποροῦσι δέ τινες πῶς τὸ λογικὸν ζῷον τῷ ἀλόγῳ οὐκ ἔστιν ἐναντίον. ἡμεῖς δὲ ἐροῦμεν ὡς μὲν τινὶ διαφορᾷ τὴν ἐνυπάρχουσαν διαφορὰν ἐναντίον, τὸ δὲ ὅλον τῷ ὅλῳ οὐκ ἔσται ἐναντίον." λόγος δὲ τούτου τοιοῦτος. τὸ ἐπιδεχόμενον τὰ ἐναντία οὐκ ἔστιν αὐτὸ ἐναντίον· εἰ γὰρ κατείχετο ὑφ' ἑνὸς τῶν ἐναντίων, οὐκ ἂν δύναιτο καὶ πρὸς τὴν τοῦ ἑτέρου καταδοχὴν ἐπιτηδείως παρεσκευάσθαι, οἷον ψυχή, σῶμα, αἱ ἄτομοι οὐσίαι καὶ δεύτεραι οὐσίαι, εἴπερ ἐπιδέχοιντο τἀναντία, οὐκ ἔσται αὐτὰ ἐναντία· ἀλλ' οὐδὲ εἰ διαιροῖτό τι εἰς τὰ ἐναντία, ὥσπερ τὸ ζῷον, οὐδὲ οὕτως ἔσται ἐναντίον, εἰ κοινῶς γε περιέχει τὴν τῶν ἐναντίων διαίρεσιν. ὥστε οὐδὲν τούτων ἔσται ἐναντίον. γνοίη δὲ ἄν τις καὶ ἀπὸ τοῦ ὅρου τῶν ἐναντίων τοῦτο· πλεῖστον γὰρ κεχωρίσθαι αὐτὰ ἀπ' ἀλλήλων ἀφοριζόμεθα, ὡς δὲ νῦν λέγεται, περὶ τὴν αὐτὴν οὐσίαν τοῦ ζῴου συνυπάρχει. ἀλλὰ πῶς τὸ πῦρ τῷ ὕδατι καὶ τὸν ἀέρα τῇ γῇ ἐναντία

Φυσικοῖς περὶ γενέσεως ῥηθέντα πρὸς τὸ τῶν ἐναντίων ὄνομα φλυαρίαν ἐξέπτυσε τοσαύτην τὸ πλῆθος, ἀρκεῖν νομίσας αὐτοῦ τοῖς ἀκροαταῖς εἰς κατάπληξιν... λέγει γοῦν ὁ Ἀριστοτέλης ἐν τῷ η΄ τῆς Μετὰ τὰ Φυσικὰ (p. 1044 *b* 3) ταῦτα "περὶ μὲν οὖν τὰς φυσικὰς οὐσίας καὶ γενητὰς ἀνάγκη οὕτω μετιέναι, εἴ τις μέτεισιν ὀρθῶς·" καὶ γὰρ αἴτιά τε ταῦτα καὶ τοσαῦτα, καὶ δεῖ τὰ αἴτια γνωρίζειν· ἐπὶ δὲ τῶν φυσικῶν μὲν ἀιδίων δὲ οὐσιῶν ἄλλος λόγος· ἴσως γὰρ ἔνια οὐκ ἔχει ὕλην, ἢ οὐ τοιαύτην, ἀλλὰ μόνον κατὰ τόπον κινητήν. ἐπειδὴ γὰρ πανταχοῦ τὴν ὕλην ἀπὸ τῆς μεταβολῆς ἐθεάσατο, ἐν δὲ τῷ οὐρανῷ μόνην οἶδε τὴν κατὰ τόπον μεταβολήν, εἰκότως καὶ ὕλην μόνην αὐτῷ τὴν τοιαύτην ἀπολέλοιπεν. ἔοικε δὲ οὗτος ὕλην τὸ σῶμα νομίζων, ὃ δεύτερον ὑποκείμενον οἱ Περιπατητικοὶ καλοῦσι, πολλοὺς δαπανᾶν λόγους, δεικνύναι σπουδάζων ὅτι ἔχει σῶμα ὁ οὐρανὸς καὶ διὰ τοῦτο καὶ ὕλην. καίτοι τίς ἂν ἀμφιβάλοι σῶμα τὸν οὐρανὸν ἔχειν; οὐ μέντοι, εἰ τὸ σῶμα τοῦτό ἐστιν αὐτοῦ ἡ ὕλη, ἀνάγκη καὶ στέρησιν ἔχειν ἀντικειμένην, ὡς οὗτος οἴεται, καὶ γενητὸν εἶναι καὶ φθαρτόν... τὸ δὲ νομίζειν τὸ ἐν τοῖς οὐρανίοις τριχῇ διαστατὸν μηδὲν τοῦ παρ' ἡμῖν διαφέρειν, διότι χρὴ διάστατον ἑκάτερον, πάσης ἐστὶ παχύτητος τοῦ λογισμοῦ... ἐπειδὴ δὲ δυσχεραίνων φαίνεται πρὸς τὴν ἀσώματον ὕλην καὶ ἀποδεδειχέναι φησὶν ἐν τῷ ια΄ λόγῳ τῶν ἐλέγχων τῶν πρὸς τὰ Πρόκλου ὅτι ἀδύνατόν ἐστι τὴν μυθευομένην ἀσώματον αὖ καὶ ἀνείδεον ὕλην εἶναι, ἀλλ' εἰς ἔσχατον τὸ τριχῇ διαστατὸν ἀναλύεται τὰ σώματα, τοῖς μὲν ἐκεῖ κεκομπασμένοις αὐτῷ οὔτε ἐνέτυχον οὔτε ἡδέως ἂν ἐντύχοιμι πλατέσι φληνάφοις, ὁπότε καὶ νῦν οὐκ οἶδα ὅπως τὰ περὶ Οὐρανοῦ τοῦ Ἀριστοτέλους σαφηνίσαι προθέμενος εἰς τὴν Αὐγέου κόπρον ἐμπέπτωκα. λέγω δὲ ὅμως καὶ πρὸς τὴν ἐνθάδε περὶ τῆς ὕλης ἀπόφασιν, ὡς εἰ τὸ τριχῇ διαστατόν ἐστιν ἡ πρώτη ὕλη, καθὸ μὲν ὕλη, οὐδὲν αὐτῆς τῶν φυσικῶν εἰδῶν ὑπάρχει κατ' οὐσίαν, οὔτε σχῆμα οὔτε μέγεθος οὔτε ἀριθμὸς οὔτε χρῶμα, καθὸ δὲ τριχῇ διαστατόν ἐστι, καὶ πεπερασμένον δηλονότι (οὐ γὰρ ἄπειρον), καὶ μέγεθος ὡρισμένον ἔχει καὶ σχῆμα καὶ χρῶμα κατὰ τὴν ἐπιφάνειαν, καὶ εἴδεσι καὶ ἀριθμοῖς διακεκόσμηται. πῶς οὖν δυνατὸν τἀναντία συναληθεύειν περὶ τῆς ὕλης, λεγέτω, καὶ μὴ δεκάδας λόγων ἐπιγράφων τοὺς ἀνοήτους καταπληττέτω. καὶ ἦν μὲν πρὸς τοῦτο τὸ δόγμα, πολλὰς ἤδη παρασχὸν εὐθύνας, πολλὰ λέγειν ἐπιχειρήματα παλαιά τε καὶ νέα· ἀρκεῖ δὲ τούτῳ καὶ τὸ εἰρημένον, εἴπερ συστρέφοιτο ζητεῖν μᾶλλον τὴν ἐν τοῖς ἀπορωτέροις τῶν λόγων ἀλήθειαν ἤπερ ἀπερισκέπτως τὸ ἐπιὸν ἀποφαίνεσθαι. ἀλλὰ μέχρι τούτων, ὥς φησι, τοὺς ἀγένητον εἶναι τὸν κόσμον κατασκευάζοντας τοῦ Ἀριστοτέλους λόγους ἤλεγξεν, ὡς ἤλεγξε τοιαῦτα ληρήσας, ὁμολογεῖ δὲ ὅτι ἐκ τῶν εἰρημένων τὸ ἐκ προϋπάρχοντος αὐτὸν τοῦ ὑποκειμένου γίνεσθαι οὐ διήλεγξε. βούλεται οὖν δεῖξαι ὅτι ἐκ μὴ ὄντος ὁ κόσμος ὑπέστη. τάχα δὲ καὶ τούτου τὴν δεῖξιν εἰς τὰ πρὸς Πρόκλον ἀνέπεμψε, πλὴν τὸν ἐνιστάμενον προσφέρει λόγον καὶ διαλύειν αὐτὸν ἐπιχειρεῖ λέγων... ὅτι καὶ ἐν τῷ σχήματι εἶδεν Ἀριστοτέλης ἀντίθεσιν, ἄκουσον τῶν ἐν τῷ α΄ τῆς Φυσικῆς Ἀκροάσεως περὶ Δημοκρίτου ῥηθέντων "κ. Δ. ς. κ. κ... ὡς οὐκ ἐν φησίν... σχήματος γωνία τὸ εὐθύ, τὸ περιφερές" (p. 188 *a* 22). καὶ γὰρ Παρμενίδης ὁ πρῶτος ὧν ἀκοῇ ἴσμεν τοῦτον τὸν λόγον ἐρωτῶν ἐν τοῖς ἔπεσι περὶ τοῦ ἀγένητον εἶναι τὸ ὂν τάδε γέγραφε.

τίνα γὰρ γένναν διζήσεαι αὐτοῦ;...
πῇ πόθεν αὐξηθέν; οὔτ' ἐκ μὴ ἐόντος ἐάσω
φάσθαι σε οὐδὲ νοεῖν· οὐ γὰρ φατὸν οὐδὲ νοητὸν
ἔστιν ὅπως οὐκ ἔστιν.

καὶ Ἀριστοτέλης... ὁμοίως δὲ καὶ Ἐμπεδοκλῆς τόν τε ὑπὸ τῆς φιλίας ἑνούμενον νοητὸν κόσμον παραδιδοὺς αἰνιγματωδῶς, ὡς ἔθος ἦν τοῖς Πυθαγορείοις, καὶ τὸν ὑπὸ τοῦ νείκους ἀπ' ἐκείνου διακρινόμενον αἰσθητόν, οὔτε γινόμενα ταῦτα οὔτε φθειρόμενα ἐν χρόνῳ φησίν, ἀλλὰ τὸν μὲν νοητὸν κόσμον κατὰ τὸ ὂν ἑστάναι, τὸν δὲ αἰσθητὸν κατὰ τὸ γινόμενον, καὶ τοῦτον τῇ διαδοχῇ φησὶν ἀιδίως ἀνακυκλεῖσθαι. καὶ ἵνα μὴ δοκῶ τισὶ κενὰς μαρτυρίας ἀναπλάττειν, ὀλίγα τῶν Ἐμπεδοκλέους ἐπῶν παραθήσομαι.

ἄλλοτε μὲν φιλότητι συνερχόμενα εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχα πάντα φορεύμενα νείκεος ἔχθει.
ᾗ δὲ πάλιν διαφύντος ἑνὸς πλέονα ἐκτελέθουσι,
τῇ μὲν γίνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών·
ᾗ δὲ διαλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον.

ὥστε τὰ ἀπὸ τοῦ νοητοῦ κόσμου διὰ τοῦ νείκους διακριθέντα ἀντὶ τοῦ αἰωνίως εἶναι γίνονται μὲν "καὶ οὔ σφισιν ἔμπεδος αἰών," ἀιδίως δὲ ἀνακυκλοῦνται. καὶ οὐκ ἂν ταῦτα σαφῶς οὕτως ὡς ἐν αἰνίγμασι λεγόμενα ἠγνόησεν ὁ Ἀριστοτέλης· ἀλλὰ πρὸς τὸ φαινόμενον ὑπαντῶν καὶ πρὸς ταῦτα ἀντιλέγει. id. f. 27 *b*.

τὸ μὲν "πεπέρανται" ἀντὶ τοῦ μία ἐστίν. ἀπὸ γὰρ σημείου ἐπὶ ση- 271 a 9.
μεῖον ἀδύνατον πλείους μιᾶς εὐθείας ἐπιζεῦξαι· εὐθεῖα γὰρ ἡ ἐλαχίστη τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἡ δὲ ἐλαχίστη μία. καὶ ὅτι τῷ ἀριθμῷ ἀλλ' οὐ τῷ μεγέθει πεπερασμένην τὴν εὐθεῖαν εἶπε, δηλοῖ καὶ τὸ τὰς περιφερείας ἀπείρους εἰπεῖν· καὶ γὰρ αὗται τῷ ἀριθμῷ ἄπειροι, ἀλλ' οὐ τῷ μεγέθει· περιφερεῖς γὰρ ἀπείρους ἔστι περιγράψαι. id. f. 33 *b*.

πρῶτον μέν, φησὶν (ὁ Ἀλέξ.), οὐδὲν τῶν φύσει κινουμένων 271 a 11.
ἢ ἄνω ἢ κάτω ἐπὶ τοῦ ἡμικυκλίου κινεῖται, ἀλλὰ κατ' εὐθείας· κατὰ γὰρ τὴν ἐλαχίστην· καὶ γὰρ οἱ ὄνοι, φησὶ Διογένης, κατὰ τὰς εὐθείας ἐπὶ τὴν τροφὴν ἀπίασι καὶ τὴν πόσιν. id. ib.

νῦν τὸ αὐτὸ καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δείκνυσι συλ- 271 a 22.
λογιζόμενος οὕτως. εἰ ἦν ἡ ἐπὶ τοῦ αὐτοῦ κύκλου κίνησις ἐναντία τῇ ἐπὶ τοῦ αὐτοῦ ἔμπαλιν γινομένῃ, μάτην ἂν ἦν ἡ ἑτέρα αὐτῶν· ἀλλὰ μὴν ἀδύνατον τὸ μάτην εἶναι· οὐκ ἄρα ἐναντία ἡ κύκλῳ κίνησις τῇ κύκλῳ. καὶ τὸ μὲν συνημμένον δείκνυσιν οὕτως. τὰ ἐπὶ τοῦ αὐτοῦ κύκλου ἀντιφερόμενα, ὁπόθεν ἂν ἄρξηται, εἰς πάντας ἄμφω ἀφικνεῖται τοὺς ἐν τῷ κύκλῳ τόπους. καὶ εἴπερ ἐναντίαι εἰσὶν αὗται αἱ φοραί, ὡς ὑπόκειται, αἱ δὲ τῆς φορᾶς ἐναντιώσεις κατὰ τὰς τῶν τόπων εἰσὶν ἐναντιώσεις, εἰς πάντας ὁμοίως ἀφικνοῦνται τοὺς ἐναντίους ἐν τῷ κύκλῳ τόπους ἄμφω. εἰσὶ δὲ τόπου ἐναντιότητες τὸ ἄνω καὶ τὸ κάτω, καὶ τὸ πρόσθιον καὶ τὸ ὄπισθιον, καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερόν... ἀλλὰ καὶ δύο, φησὶν Ἀλέξανδρος, δύνανται ἐπιχειρήσεις εἶναι διὰ

σχεδὸν τῇ λέξει, πρῶτον μὲν ἐφιστάνειν ἀξιῶ εἰ ὁ Ἀριστοτέλης οὕτω σαθρῶς ἐν τοιαύτῃ πραγματείᾳ συνελογίζετο καὶ παραλόγως, κἂν κατὰ τὸ εὔλογον οὗτος εἰλῆφθαί φησιν αἰδούμενος. ἔπειτα ῥητέον οἶμαι... ἡ μέντοι σελήνη, κἂν ἀλλοιοῦταί πως ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων καὶ διαπέμπει τὸ φῶς εἰς ἡμᾶς τὸ ἡλιακόν, ἀλλὰ μετὰ τῆς οἰκείας ἰδιότητος· οὐ γὰρ μετέβαλέ τι τῆς οὐσίας αὐτῆς ἡ ἀλλοίωσις, ἀλλ' ἐτελείωσε μόνον τὰς ὑπαρχούσας δυνάμεις. καλῶς γὰρ λέγει καὶ Μέλισσος ὅτι τὸ τρὶς χιλίοις ἢ μυρίοις ἔτεσιν ἑτεροῖον γινόμενον, κατὰ τὴν οὐσίαν δηλονότι, ὀλεῖται ἂν ἐν τῷ παντὶ χρόνῳ· ὥστε εἰ καὶ ἀλλοιοῦσθαι λέγει τις τὰ οὐράνια ὑπ' ἀλλήλων, μὴ κατὰ πάθος γίνεσθαι λεγέτω τὴν ἀλλοίωσιν ταύτην, ἀλλὰ τελεσιουργόν, ὡς καὶ ψυχὴ ἂν ἀλλοιοῦσθαι λέγοιτο ἐνθεάζουσα. τὸ γὰρ πάθος κατὰ μεταβολὴν οὐσιώδους γίνεται τινός· διὸ καὶ ἄλλο εἶδος ἀλλοιώσεώς ἐστι τὸ κατὰ πάθος παρὰ τὸ κατὰ δύναμιν· καὶ διὰ τοῦτο καλῶς οἶμαι ὁ Ἀριστοτέλης οὐχ ἁπλῶς πᾶσαν ἀλλοίωσιν ἀλλὰ τὴν παθητικὴν ἀποφάσκει τῶν οὐρανίων, ᾗ πάντως καὶ αὔξησις καὶ μείωσις καὶ γένεσις καὶ φθορὰ συνυπάρχει. id. f. 25 *b*.

270 b 3. τὸ "εἴ τις τοῖς ὑποκειμένοις πιστεύει" λέγοι μὲν ἂν καὶ τὰς πρώτας ὑποθέσεις ἐξ ὧν αἱ ἀποδείξεις συνήχθησαν, περὶ ὧν καὶ ὁ Πλωτῖνος εἶπεν. Ἀριστοτέλει μὲν γὰρ οὐδὲν ἂν πρᾶγμα εἴη, εἴ τις αὐτῷ τὰς ὑποθέσεις τοῦ πέμπτου παραδέξαιτο σώματος, ἐντεῦθεν οἶμαι λαβὼν αὐτό, λέγοι δ' ἂν ὑποθέσεις καὶ τὰ λήμματα πάντα, ἐξ ὧν αἱ ἀποδείξεις συνήχθησαν. μήποτε δὲ οἰκειότερον ἀκούειν ὑπόθεσιν τὴν λέγουσαν ὅτι τῇ κύκλῳ κινήσει οὐκ ἔστιν ἐναντία κίνησις, καὶ ὅτι τὰ γινόμενα καὶ φθειρόμενα ἐξ ἐναντίων γίνεται καὶ εἰς ἐναντία φθείρεται· ταύτας γὰρ ὡς ὑποθέσεις λαβὼν ἐξ αὐτῶν πάντα συνεπεράνατο, τὴν μὲν νῦν μέλλων ἀποδεικνύναι, τὴν δὲ ἐν τοῖς φυσικοῖς ἀποδεδειγμένην. id. f. 26 *b*.

270 b 5. τὸ πρῶτον εἰς δύο διαιρεῖ ὁ Ἀλέξανδρος, εἴς τε τὸ πάντας ἀνθρώπους ἡγεῖσθαι θεοὺς εἶναι καὶ εἰς τὸ θεῖον ἐν τῷ ἄνω τόπῳ ὑπολαμβάνειν. εἶναι δέ, φησίν, ἀμφότερα ὁ λόγος ἔδειξε, καὶ ὅτι ἔστι τὸ θεῖον· ὁ γὰρ ἀγένητον καὶ ἄφθαρτον καὶ ἀναυξὲς καὶ ἀπαθὲς δείξας τι σῶμα λόγος καὶ πρότερον τῶν ἄλλων ἁπάντων καὶ τελειότερον, οὗτος εἶναι θεοὺς κατεσκεύασέ τε καὶ ἀποδέδειχεν. ἀλλὰ καὶ ὁ τοῦτο δείξας, φησίν, εἶναι τὸ κύκλῳ καὶ περὶ τὸ μέσον τοῦ παντὸς κινούμενον ὄν, ὅτι ἐν τῷ ἄνω τοῦτό ἐστιν κατεσκεύασεν. ταῦτα μὲν ὁ Ἀλέξανδρος. μήποτε δὲ νῦν τὴν περὶ τοῦ εἶναι θεοὺς ὑπόληψιν μαρτύρεται πάντων τῶν ἀνθρώπων, ὅτι πάντες ἄνθρωποι ὅσοι νομίζουσιν εἶναι θεοὺς (διά τε τοὺς Ἵππωνας Διαγόρας καὶ εἴ πού τινες ἐν ἀγνώστοις ἡμῖν τόποις εἰσὶ τοῦτο δυστυχοῦντες) οἱ δ' οὖν νομίζοντες πάντες τὸν ἄνω τόπον τῷ θείῳ ἀποδιδόασιν. ἀλλ' οὐκ ἐκ τοῦ σῶμα τοιοῦτον εἶναι θεοὺς εἶναι κατεσκεύασεν ὁ Ἀριστοτέλης, εἰ μὴ ἄρα ὡς θεῶν ὄντα ὀχήματα, ἐπεὶ ὅτι εἰσὶ θεοὶ αἰώνιοι νοεροὶ ἐν τῷ η' τῆς Φυσικῆς Ἀκροάσεως ἔδειξε καὶ ἐν τοῖς Μετὰ τὰ Φυσικά (Λ 8). καὶ τὸ "ὡς τῷ ἀθανάτῳ τὸ ἀθάνατον συνηρτημένον" ἐπὶ τοῦ τόπου καὶ τοῦ οὐρανίου σώματος ἀκούει ὁ Ἀλέξανδρος, ὡς ἐπὶ τούτου ὄντος τοῦ θεοῦ. καὶ τὸ "ἀδύνατον γὰρ ἄλλως" οὕτως ἀκούει, ὅτι ἀδύνατον τὸν ἄνω τόπον θεῖον εἶναι, μὴ ὄντος ἐκεῖ θεοῦ. καὶ τοῦτο μὲν ἀληθές, ἀθανάτῳ δὲ τῷ θεῷ ἀθάνατον καὶ τὸ οὐράνιον σῶμα συνηρτῆσθαί φησι καὶ οὐ τὸν τόπον· καὶ "ἀδύνατον ἄλλως," τουτέστι μὴ τῷ ἀθανάτῳ τὸ ἀθάνατον συνηρτῆσθαι. διὸ πάντας, καὶ οὐχ Ἕλληνας μόνους ἀλλὰ καὶ βαρβάρους, φυσικήν τινα δείκνυσιν ἐν ταῖς ψυχαῖς τὴν τοιαύτην ἔχειν ὑπόληψιν. "εἴπερ οὖν" κἀνταῦθα ὁ Ἀλέξανδρος τὸν συλλογισμὸν οὕτω προάγει. εἰ ἔστι τι θεῖον, τουτέστιν εἰ εἰσὶ θεοί, καὶ τὰ ὑφ' ἡμῶν εἰρημένα περὶ τοῦ κυκλοφορητικοῦ σώματος εἴρηται καλῶς· ἀλλὰ μὴν εἰσὶ θεοὶ ἀΐδιοί τε καὶ ἐν τῷ ἄνω τόπῳ, καὶ πάντα ὅσα εἰρήκαμεν· καὶ τὰ ὑφ' ἡμῶν ἄρα εἰρημένα περὶ τῆς πρώτης οὐσίας εἴρηται καλῶς. μήποτε δὲ οὐχὶ "εἰ εἰσὶ θεοί" εἶπεν, ἀλλ' εἰ ἔστι τι θεῖον σῶμα, τουτέστι τὸ κυκλοφορητικόν, καὶ καλῶς εἴρηται περὶ αὐτοῦ τὰ εἰρημένα. τὸ δὲ "εἴπερ οὖν" καλῶς ἐπέστησεν ὁ Ἀλέξανδρος ὅτι παρασυναπτικῷ ἔοικε διὰ τὸ ἐναργές· εἰ γὰρ εἰσὶν ἐγκόσμιοι θεοί, ὅπερ ὡς δεδειγμένον καὶ ἐναργὲς ἀφῆκεν, ἔστι τι θεῖον σῶμα τὸ ἐξημμένον αὐτῶν· εἴπερ οὖν ἔστι τι θεῖον σῶμα, καλῶς εἴρηται τὰ περὶ τοῦ κυκλοφορητικοῦ σώματος ὡς τούτου ὄντος τοῦ θείου, ὡς ἐδήλωσε καὶ ἡ κοινὴ τῶν ἀνθρώπων πρόληψις. id. f. 26 *b*.

270 b 14. ἤκουσα ἐγὼ τοὺς μὲν Αἰγυπτίους ἀστρώας τηρήσεις οὐκ ἐλαττόνων ἑξήκοντα τριῶν μυριάδων ἐτῶν ἀναγράπτους ἐχηκέναι, Βαβυλωνίους δὲ ἑκατὸν καὶ τεσσαράκοντα καὶ τεσσάρων μυριάδων... καίτοι οἶμαι καὶ τὸ μίαν ὥραν ἐν ταὐτότητι μένον ἀπαραλλάκτως δῆλόν ἐστι γενέσεως καὶ φθορᾶς ἐξῃρημένον· τὸ γὰρ γενόμενον πᾶν ἐν ἀρχῇ τινὸς χρόνου ἐξ ἀτελοῦς ἀρξάμενον εἰς τελειότητα τὴν ἑαυτοῦ καὶ τὴν ἀκμὴν προκόπτον ὁρῶμεν, καὶ οὕτως ἀπὸ τῆς ἀκμῆς εἰς παρακμὴν ὑποφερόμενον φθείρεται· τὸ δὲ πάντα τὸν συνεγνωσμένον ἀνθρώποις χρόνον ἐν ταὐτότητι μεῖναν δῆλόν ἐστι γενέσεως καὶ φθορᾶς ἀπηλλαγμένον καὶ μήτε γενόμενον μήτε φθειρόμενον. ἔσχατον δὲ οὐρανὸν τὸ κυκλοφορητικὸν εἶπε σῶμα, ἀντιδιαστέλλων αὐτὸ πρὸς ὅλον τὸν κόσμον, οὐρανὸν καὶ αὐτὸν καλούμενον. ἄρα δὲ ὅτι οἷς ἂν ἄλλος ὡς ἐναργεστάταις ἀποδείξεσιν ἐχρήσατο, τούτοις αὐτὸς ὡς πίστεσι χρῆται μετὰ τὰς ἀποδείξεις. id. f. 27.

270 b 24. αἰτιᾶται τὸν Ἀναξαγόραν οὐ καλῶς ἐτυμολογήσαντα τὸ τοῦ αἰθέρος ὄνομα ἀπὸ τοῦ αἴθειν, ὅ ἐστι τὸ καίειν, καὶ διὰ τοῦτο ἐπὶ τοῦ πυρὸς αὐτῷ χρώμενον... τὰ δὴ τοιαῦτα τῶν παροραμάτων αὐτοῦ (τοῦ γραμματικοῦ) μηκύνειν ἐπὶ πλέον ἀναγκάζομαι, οὐχ ὅτι πολλῶν δεῖται λόγων εἰς διάλυσιν (καὶ τυφλῷ γὰρ τὸ λεγόμενον ἐστὶ δῆλον), ἀλλ' ἵνα μάθωσιν οἱ διὰ τὰ μεγέθη τῶν βιβλίων αὐτοῦ καὶ πρὸ τοῦ ἀναγνῶναι τεθαυμακότες αὐτόν, εἶτα ἀγνοοῦν οὗτος εἰς οἵους ἀγῶνας παραδύεται... τὸ δὲ ἐφεξῆς τούτῳ ῥηθὲν κακοσχόλως τὸν Θεμίστιον πρὸς τὸν Ἀριστοτέλην συνέκρουσε· καὶ αὐτὸς γάρ, φησὶν ὁ Θεμίστιος, δι' ὧν εἰς τὰ κατ' εἶδος καὶ στέρησιν ἀντικείμενα τὴν τῶν ἐναντίων προσηγορίαν μετείληφεν ἠρέμα, πῶς οὐκ ἀληθὴς ἡ Ἀριστοτέλους ὑπόθεσις, ἡμᾶς ἐδίδαξε. καίτοι γε ὁ Θεμίστιος εἰδὼς τὰ ἐν τῇ Φυσικῇ Ἀκροάσει ῥηθέντα, εἰς ἃ καὶ τοῦτον ἀνέπεμψε τὸν λόγον ὁ Ἀριστοτέλης, εἰκότως εἶπεν ὅτι καθόλου λαμβάνει ὁ Ἀριστοτέλης τὸ ἐξ ἐναντίου καὶ εἰς ἐναντίον, τὴν γενικωτάτην λαμβάνων ἐναντίωσιν εἴδους καὶ στερήσεως. ἀλλ' οὗτος ἐγίνωσκε τοῖς ἀπὸ τριόδου γράφων· διὸ μηδὲ ἀναγνοὺς οἶμαι, ἢ εἰ ἀνέγνω, μὴ συνεὶς τὰ ἐν τοῖς

νοῆσαι ὅτι διὰ τούτων πρὸς ἐκείνους ἀποτείνεται τοὺς ψυχικὴν μόνον λέγοντας τὴν κύκλῳ κίνησιν, τὸ κατὰ φύσιν μὴ προσλογιζομένους; ... εἰπόντος δὲ τοῦ Ἀλεξάνδρου αἰτίαν εἶναι τοῦ σώζεσθαι καὶ συμμένειν τὰ στοιχεῖα καὶ μὴ φθείρεσθαι ὑπ' ἀλλήλων τὴν τῶν δυνάμεων αὐτῶν ἰσότητα, πολὺ δὲ ἂν ὑπερβάλλοι ὁ ἀήρ, εἰ μέχρι τοῦ οὐρανοῦ διήκοι, καὶ πρὸς ταῦτα ἀντιλέγων οὗτος καὶ ὀλίγον φησὶν ἐνδέχεσθαι ἀέρα πάνυ κατεψῦχθαι ἢ τεθερμάνθαι καὶ πολὺν ἠρεμαιότερον... ὅτι δὲ οὐδὲ τοῦτο τῆς Πλάτωνος ἀπᾴδει παραδόσεως, ὑπέμνησα καὶ πρότερον ἐκ τοῦ καὶ τὸν Πλάτωνα ἄλλοις μὲν σχήμασι τὰ ὑπὸ σελήνην στοιχεῖα διαζωγραφῆσαι τὸν δημιουργὸν εἰπεῖν, ἄλλῳ δὲ τὸ οὐράνιον σῶμα, καὶ μέντοι καὶ ἐκ τῶν ὑπὸ τοῦ Ξενοκράτους περὶ τούτων ἱστορηθέντων, ὧν οὐδὲν ἂν εἴη χεῖρον καὶ νῦν ὑπομνῆσαι, ἐν τοῖς περὶ τοῦ Πλάτωνος βίου γεγραμμένοις ὧδε "τὰ μὲν οὖν ζῷα πάλιν οὕτως διῃρεῖτο εἰς ἰδέας τε καὶ μέρη, πάντα τρόπον διαιρῶν, ἕως εἰς τὰ πάντων στοιχεῖα ἀφίκετο τῶν ζῴων, ἃ δὴ πέντε σχήματα καὶ σώματα ὠνόμαζεν, εἰς αἰθέρα καὶ πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα." καὶ ταῦτα μὲν ἀρκεῖ τῶν περὶ τῶν Πλάτωνί τε καὶ Ἀριστοτέλει δοκούντων ἐν τοῖς προκειμένοις... ἰδοὺ καὶ τῶν ἄλλων ἀστέρων πολλοῦ πυρὸς μετέχειν λεγομένων καὶ πύριον, ὥς φασιν, ἐχόντων τὸ χρῶμα ὁ τοῦ Κρόνου ἀστὴρ ψύχειν τε καὶ συγκρίνειν τὰ τῇδε πεπίστευται· καὶ δῆλον ὅτι κατὰ τὸν αὐτὸν λόγον ψυχρὸς ἂν εἴη καὶ αὐτὸς καὶ οὐ πύριος ἀλλ' ὑδάτινος μᾶλλον. ἀλλ' οὔτε ὁ ἥλιος ὡς πῦρ ὢν τοῦτο τὸ συνεγνωσμένον θερμαίνει, οὔτε ὁ Κρόνιος ἀστὴρ ὡς ὑδάτινος ψύχει, ἀλλὰ κοινῶς μὲν πάντες ταῖς αὐτῶν ἀσωμάτοις δυνάμεσι τρέπουσι τὰ τῇδε σώματα πρὸς τὰς ἑαυτῶν ἰδιότητας, ὥσπερ καὶ τῆς ψυχῆς αἰδουμένης ἢ συννευούσης τι ἡ ἀσώματος αὕτη ἐνέργεια ποτὲ μὲν ἐρυθραίνεσθαι ποτὲ δὲ συνοφρυοῦσθαι τὸ σῶμα ποιεῖ. ὁ μέντοι ἥλιος καὶ ταύτῃ τῇ δυνάμει καὶ τῇ τῶν ἀκτίνων παρατρίψει θερμὸν τὸν ἀέρα ποιεῖ καὶ δι' αὐτοῦ τὰ ἄλλα θερμαίνει. id. f. 15 *b*.

270 a 17. τῆς μείζονος (προτάσεως) τὴν ἀπόδειξιν ἀνέπεμψεν εἰς τὸ πρῶτον βιβλίον τῆς Φυσικῆς Ἀκροάσεως (c. 7)· ἐκείνους γὰρ πρώτους λόγους εἶπεν ὡς περὶ τῶν φυσικῶν ἀρχῶν πραγματευομένους... τοῦτο τέθεικε διὰ τοῦ "τῶν δὲ ἐναντίων" φυσικῶν δηλονότι "καὶ αἱ φοραὶ ἐναντίαι," καὶ τὸ συμπέρασμα, τὸ κύκλῳ φερόμενον οὐκ ἔχει ἐναντίον. ἐνταῦθα δὲ πάλιν τὴν μὲν μείζονα πρότασιν ὡς ἐναργῆ παρέλαβεν· τῶν γὰρ ἐναντίων φυσικῶν εἰδῶν καὶ αἱ φύσεις ἐναντίαι, ὥστε καὶ αἱ κινήσεις· ἀρχὴ γὰρ κινήσεως ἡ φύσις... καὶ διὰ τοῦτο θεογονίας ἡμῖν οἱ θεῖοι ἄνδρες παραδεδώκασι, θεῶν μὲν πλῆθος τὸ ἐν τῷ ἑνὶ μόνον, καὶ ὡς ἂν εἴποι τις, κατὰ πολλαπλασιασμὸν ἐκείνου προϊόν, γένεσιν δὲ ὑμνοῦντες αὐτοῦ καθ' ὅσον ἀπὸ τοῦ ἑνὸς ὑφέστηκεν, ὥσπερ καὶ ἀριθμῶν γένεσιν τὸν ἀπὸ τῆς μονάδος θεωροῦμεν προποδισμόν, καθ' ὅσον μέντοι ἐν τῷ ἑνὶ μόνον ἡνωμένον κατὰ ἄκραν ἕνωσιν ἐστίν, οὔπω διακρίσεως ἀναφανείσης... τῆς δὲ ἑτέρας (προτάσεως) τὴν ἀπόδειξιν ἀνέπεμψεν εἰς τὰ ῥηθέντα κατὰ τὸ πρῶτον τῆς Φυσικῆς Ἀκροάσεως, ὧν καὶ ἐγὼ κατὰ τὸ δυνατὸν διὰ πλειόνων τὴν διάρθρωσιν ἐποιησάμην. τούτων δὲ κειμένων συνάγεται ὅτι τὸ κυκλοφορητικὸν σῶμα, μὴ ἔχον μήτε ἐξ οὗ γένηται μήτε εἰς ὃ φθαρῇ, ἀγένητον καὶ ἄφθαρτον ἔσται. ἐπισημαίνεται δὲ ὁ Ἀλέξανδρος ἐν τούτοις ὅτι εἴπερ ἐναντία μάλιστα κατὰ φύσιν ἐστὶ τὰ τὰς ἐναντίας ἔχοντα κινήσεις, ἐναντία τῷ πυρὶ μᾶλλον ἔσται ἡ γῆ ἤπερ τὸ ὕδωρ κατὰ φύσιν· καίτοι τὸ μὲν ὕδωρ ψυχρὸν καὶ ὑγρὸν ὑπάρχον κατ' ἄμφω τὰς ποιότητας ἀντίκειται τῷ πυρὶ θερμῷ καὶ ξηρῷ ὑπάρχοντι, ἡ δὲ γῆ ψυχρὰ καὶ ξηρὰ οὖσα καθ' ἓν μόνον τὸ ψυχρόν. καὶ τοῦτο δὲ ἐπισημαίνεται, ὅτι εἰπὼν ὀρθῶς τὴν φύσιν τὸ μέλλον ἔσεσθαι ἀγένητον ἐξελέσθαι ἐκ τῶν ἐναντίων, ἐνεδείξατο ὅτι κατὰ φύσιν ἔχειν χρὴ τὸ ἀγένητον τὰ οὐράνια, καὶ μὴ ὥς τινες φθαρτὸν μὲν αὐτὸ τῇ ἑαυτοῦ φύσει ποιοῦσιν, αἰτήματα δὲ αἰτοῦνταί τινα ἄφθαρτον αὐτὸ ποιεῖν ἐθέλοντες. καὶ ἔοικεν εἰς τὸν Πλάτωνα ἀπορίπτειν εἰπόντα (Tim. p. 41) "ἀθάνατοι μὲν οὐκ ἐστὲ τὸ πάμπαν, οὔ μὴν λυθήσεσθέ γε διὰ τὴν ἐμὴν βουλήν" ὡς ἀπὸ τοῦ δημιουργοῦ λέγοντα. id. f. 21 *b*.

σημειωτέον, φησὶν ὁ Ἀλέξανδρος, ὅτι ἡ λέξις οὐχ ὡς ἀναγ- 270 a 25.
καία ἀλλὰ κατὰ τὸ εὔλογον εἴρηται· οὐδὲ γὰρ εἰ ἐν τοῖς πάσχειν πεφυκόσιν αἱ λέξεις μετὰ πάθους, ἤδη καὶ ἐν τοῖς ἀπαθέσιν ἀναγκαῖον· οὔτε εἰ τὰ ἀλλοιούμενα αὐξόμενα καὶ μειούμενα ὁρῶμεν ἐν τοῖς παρ' ἡμῖν, εὔλογον καὶ καθόλου, εἴ τι ἀλλοιοῦται, τοῦτο αὔξεσθαι· εἰ μὲν γὰρ ᾗ ἀλλοιοῦται, ταύτῃ αὔξεται καὶ μειοῦται, ἀνάγκην ὁ λόγος ἔχει, εἰ δὲ μή, οὔ. ἀλλὰ καὶ ἐν Κατηγορίαις (c. 14), φησίν, αὐτὸς ὁ Ἀριστοτέλης εἶπεν ὅτι οὔτε αὔξεσθαι ἀναγκαῖόν ἐστι τὰ κατὰ πάθος κινούμενα οὔτε μειοῦσθαι· ὧν μὲν γάρ, φησὶν ὁ Ἀλέξανδρος, καὶ τῇ οὐσίᾳ τῇ κατὰ τὸ εἶδός ἐστί τι ἐναντίον καὶ τοῖς πάθεσιν, ταῦτα διὰ μὲν τὴν κατ' οὐσίαν ἐναντίωσιν ἔσται ὁμοῦ μὲν γενητὰ καὶ φθαρτά, ὁμοῦ δὲ αὐξητά τε καὶ μειωτά, διὰ δὲ τὴν κατὰ πάθος ἀλλοιωτά· ὅσα δὲ μηδεμίαν ἔχοντα κατ' οὐσίαν ἐναντιότητα ἐν ποιότησίν ἐστιν ἐχούσαις ἐναντίωσιν, ταῦτα ἀγένητα ὄντα καὶ ἀναύξητα οὐδὲν κωλύσει ἀλλοιοῦσθαι καὶ οὕτω πάσχειν. σημειωτέον δέ, φησί, καὶ ὅτι οὐ διὰ τὸ μηδὲν ἐναντίον εἶναι αὐτῶν τῇ συμβεβηκυίᾳ ποιότητι ἀναλλοίωτα αὐτὰ δείκνυσι· καίτοι ἐχρήσατο ἂν αὐτῷ, εἰ οὕτως ᾤετο, ὥσπερ καὶ ἀγένητα ἐδείκνυ τῷ μηδὲν εἶναι ἐναντίον. καὶ τοῖς λέγουσι, φησίν, ἄποιον Ἀριστοτέλην τὸ ε΄ σῶμα λέγειν, καὶ ἐντεῦθεν δεικτέον ὅτι μὴ ἴσασιν ἃ λέγουσιν· εἰ γὰρ ἄποιον ἔλεγεν αὐτὸ εἶναι, ῥᾷστον ἦν αὐτῷ ἐντεῦθεν δεῖξαι ὅτι ἀναλλοίωτον· ὃ γὰρ μὴ τὴν ἀρχὴν ἔχει ποιότητα, οὐδ' ἂν κατὰ ποιότητα μεταβάλλει. ἐπεσημηνάμην δέ, φησί, τοῦτο ὑπὲρ τοῦ δεῖξαι ὅτι κἂν συμβαίνῃ τὸ μετὰ τὸν ἥλιον σῶμα κυκλοφορητικὸν θερμαινόμενον ὑπὸ τῆς τοῦ ἡλίου περιφορᾶς διαπέμπειν τῷ ὑπ' αὐτὸ σώματι τὴν ἀπὸ τῆς ἐκείνου κινήσεως γινομένην θερμότητα, οὐδὲν ἄτοπον ἐπιφέρεται τῇ τοῦ κυκλοφορητικοῦ σώματος οὐσίᾳ· οὐ γὰρ πάντως τὸ ἀλλοιούμενον φθαρτόν, ἀλλ' ὅσα κατ' οὐσίαν οἷά τε μεταβάλλειν· τοιαῦτα δὲ ὧν τῇ οὐσίᾳ καὶ τῷ εἴδει ἔστι τι ἐναντίον. ὡς γὰρ αὐτὸς λέγει, ἀπαθὲς ἐκεῖνο πάσης θνητῆς δυσχερείας, ἀλλ' οὐχ ἁπλῶς ἀπαθές· οὐ γὰρ εἰ τῷ συμβεβηκότι τινὶ ἐναντίον τι εἴη, ἤδη καὶ αὐτῷ ἀνάγκη τι ἐναντίον εἶναι. τὰ γοῦν ἄστρα χρῶμα μὲν ἔχει· εἰ δὲ πᾶν χρῶμα ἢ λευκὸν ἢ μέλαν ἢ μικτόν, εἴη ἂν ἢ ἐναντίον τι αὐτῷ τῷ χρώματι ἢ ἐξ ἐναντίων τὸ χρῶμα αὐτῶν συγκείμενον. ἀλλ' οὐ διὰ τοῦτο φθαρτὰ τὰ ἄστρα, ὅτι μὴ ἐν τῇ οὐσίᾳ αὐτῶν τὸ χρῶμα. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος αὐτῇ

ἠξίωσεν ἐκθέσθαι, καὶ ἐγὼ δὲ πειράσομαι λοιπὸν τὰς τοιαύτας παρατρέχειν· ὁ δὲ νεαρὸς ἡμῖν οὗτος κόραξ, μᾶλλον δὲ κολοιός, "ἄκραντα γαρυόμενος Διὸς πρὸς ὄρνιθα θεῖον" κατὰ τὸν μεγαλορρήμονα Πίνδαρον (Ol. 2 87), καὶ πρὸς τὰ ἐνταῦθα τῷ Ἀριστοτέλει ῥηθέντα παρεκδυόμενος πρώτην μὲν ἔνστασιν ἐπάγει τὴν τοῦ Ξενάρχου τρίτην ὑποβαλλόμενος. id. f. 10.

269 b 1. ἀπορεῖ πρὸς ταῦτα ὁ Ἀλέξανδρος ἐπὶ τοῦ ὑπεκκαύματος, καὶ τοῦ Ἀριστοτέλους λέγοντος ὅτι τὸ ἐφεξῆς σῶμα τῷ κυκλοφορητικῷ ἀεὶ ὑπ' ἐκείνου περιφέρεται κύκλῳ, καὶ τοῦ Ξενάρχου δὲ ἐνισταμένου. ἐρωτητέον οὖν, φησί, πότερον παρὰ φύσιν ἐστὶν ἐκείνῳ ἡ κύκλῳ κίνησις ἢ κατὰ φύσιν· καὶ εἰ λέγοι τις παρὰ φύσιν, ἔσται τις αὐτῷ κατὰ φύσιν ἡ ἐπὶ τὸ ἄνω· ἐπειδὴ οὖν παρὰ φύσιν ἐκείνῳ ἡ ἐπὶ τὸ κάτω, δύο ἑνὶ ἐναντία ἔσται, ὥστε κυκλοφορητικὸν κατὰ φύσιν ὅ τε ἀὴρ καὶ τὸ πῦρ. ἀπορεῖ δὲ πρῶτον ὡς ἐπὶ ξυλίνης ἢ λιθίνης σφαίρας· ἐὰν γάρ τις αὐτὴν κινῶν κύκλῳ ἐρωτήσῃ πότερον παρὰ φύσιν ἐστὶν ἡ κύκλῳ κίνησις αὐτῇ, δεχθήσεται ὅτι οὐ παρὰ φύσιν· ἔσται γάρ τις αὐτῇ κατὰ φύσιν ἢ ἡ ἄνω ἢ ἡ κάτω· οὐ γάρ εἰσιν ἄλλαι παρὰ ταύτας ἁπλαῖ· ὁποτέραν δὲ ἂν εἴπῃ τις, ἡ ἑτέρα ἐναντία ἔσται· ἔστι δὲ καὶ ἡ κύκλῳ παρὰ φύσιν οὖσα ἐναντία· δύο ἄρα ἑνὶ ἐναντία ἔσται. ἵνα οὖν μὴ τοῦτο συμβῇ, κατὰ φύσιν ἀνάγκη λέγειν καὶ τῇ τοιαύτῃ σφαίρᾳ τὴν κύκλῳ κίνησιν. οὐκ ἀναγκαίως δὲ οἶμαι σφαῖραν ὑπέθετο· οὐδὲ γὰρ ὁ Ἀριστοτέλης ὡς ἐπὶ σφαιρικοῦ τοῦ οὐρανοῦ ποιεῖται τὸν λόγον, ἀλλ' ἀπὸ τῆς κύκλῳ κινήσεως ἐπιχειρεῖ, κύκλῳ δὲ δύναται κινεῖσθαι καὶ κύβος καὶ ὅλως τὰ μὴ κυκλικὰ τῶν σωμάτων. λύει δὲ τὴν ἀπορίαν ὁ Ἀλέξανδρος λέγων ὅτι οὔτε τὸ συμπεριαγόμενον τῷ οὐρανῷ σῶμα κυκλοφορητικῶς κινεῖται· οὐδὲ γάρ ἐστιν ἁπλῆ ἡ κίνησις αὐτοῦ· περιφερομένου γὰρ αὐτοῦ ἀνάγκη, εἴ τι μὲν κοῦφον ἐν αὐτῷ, ἄνω φέρεσθαι, εἴ τι βαρύ, κάτω· μικτὴ οὖν ἡ κίνησις. ἀλλ' οὐδὲ ἡ λιθίνη σφαῖρα ἢ ξυλίνη κύκλῳ κινεῖται, φησίν, ἀλλ' ἄνω καὶ κάτω, εἴπερ ἄνω μὲν τὸ ἀπὸ τοῦ μέσου τοῦ παντός, κάτω δὲ τὸ πρὸς τὸ μέσον. ἀλλὰ τοῦτο μὲν ἑτοιμότερον ἦν οἶμαι λύειν λέγοντα μὴ φυσικὴν εἶναι τὴν τοιαύτην κίνησιν μηδὲ ἁπλοῦ, ἀλλὰ τεχνητὴν καὶ συνθέτου, καὶ διὰ τοῦτο μήτε ταύτῃ κατὰ φύσιν μήτε ἄλλῳ τινί· ὥστε οὐδὲ παρὰ φύσιν, εἴπερ μηδὲ ἄλλῳ κατὰ φύσιν. id. f. 12 b.

269 b 10. εἰ οὕτως ἀκούσομεν τοῦ ῥηθέντος, οὐδὲ ἐνδεῖν τι τῇ λέξει φήσομεν, καθάπερ ὁ Ἀλέξανδρος λέγει, ὃς καὶ τοῦτο προστίθησιν, ὅτι οἱ λέγοντες αὐτὸ λεπτυνόμενον καὶ ἀτροφοῦν κύκλῳ κινεῖσθαι περὶ τὴν τροφὴν διὰ τὴν ἐπ' εὐθείας εἰς ὕψος ἀνάτασιν, τῆς τροφῆς μηκέτι πρὸς αὐτὸ ἀφικνουμένης, καὶ οὗτοι ὁμολογοῦσιν αὐτὸ παρὰ φύσιν κινεῖσθαι, ὑπὸ τῆς τροφῆς ἀγόμενον βίᾳ· ἡ δὲ βίαιος κίνησις παρὰ φύσιν. id. f. 13.

269 b 14. ἐν τούτοις τοῖς ἐγκειμένοις ἤδη ῥητοῖς ὁ Ξέναρχος ἐνίσταται, καὶ πρὸς ἄλλα μέν, περὶ ὧν ἤδη εἴρηται, καὶ μέντοι πρὸς τὸ ἓν ἑνὶ λέγεσθαι ἐναντίον· ῥᾴδιον γάρ, φησί, βιασαμένοις κινῆσαι τὸ πῦρ καθ' ὁτιοῦν γραμμῆς εἶδος, εἴτε ἁπλοῦν εἴτε καὶ ποικίλον. λέγομεν δέ, φησί, καὶ ἐν τοῖς περὶ τῶν ἠθῶν λόγοις ἑκάστῃ τῶν ἀρετῶν δύο εἶναι τὰ ἐναντία, ὡς φρονήσει μὲν πανουργίαν καὶ εὐήθειαν, ἀνδρείᾳ δὲ θρασύτητά τε καὶ δειλίαν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ῥητέον δὲ πρὸς μὲν τὸ πρῶτον... τοῦτο δὲ καὶ αὐτὸς προελθὼν συνεῖδεν, ὅτι τῇ μὲν εὐηθείᾳ ἡ πανουργία ἀντίκειται καὶ τῇ θρασύτητι ἡ δειλία, τῇ δὲ φρονήσει οὔτε πανουργία οὔτε εὐήθεια ἀλλὰ τὸ ἀμφοῖν κοινόν, καὶ τῇ ἀνδρείᾳ τὸ κοινὸν θρασύτητος καὶ δειλίας, ὥσπερ τῷ μὲν ὑπερβάλλοντι τὸ ἐλλεῖπον ἀντίκειται, τὸ δὲ κοινὸν ἀμφοῖν ἡ ἀνισότης τῇ ἰσότητι. ἀλλ' εἰ ταῦτα ἀληθῆ, φησίν, οὐκ ἀνάγκη τὸν οὐρανὸν πέμπτου τινὸς εἶναι σώματος διὰ τὸ μὴ δύο ἑνὶ ἀντικεῖσθαι, τὴν κύκλῳ τοῦ πυρὸς καὶ τὴν ἐπὶ τὸ κάτω ἤτοι ἐπὶ τὸ ἄνω· ἀντίκεινται γὰρ ὡς μὲν ὑπερβολὴ καὶ ἔλλειψις ἡ ἐπὶ τὸ ἄνω τῇ ἐπὶ τὸ κάτω, ὡς δὲ ἀνισότης πρὸς ἰσότητα ἡ ἀμφοῖν κοινή, τουτέστιν ἡ ἐπ' εὐθείας πρὸς τὴν κύκλῳ. ταῦτα δὲ εἴρηται μὲν γλαφυρῶς, οὐδὲν δὲ οἶμαι πρὸς τὴν ὑπὸ τοῦ Ἀριστοτέλους λεγομένην ἐναντίωσιν. id. f. 13 b.

ἔπειτα καὶ οὕτω τὸ αὐτὸ δείκνυσιν οἶμαι κοινῶς ἐπὶ τοῦ ὅλου καὶ 270 a 9.
τῶν μορίων, ὅτι ἀδύνατον τὴν κατὰ τόπον κίνησιν κινηθῆναι ἢ ἄνω ἀνελκόμενον ἢ κάτω κατασπώμενον. δείκνυσι δὲ διὰ τῆς προσεχῶς ἐπὶ τοῦ ὅλου ῥηθείσης ἀποδείξεως, συντόμως αὐτῆς ὑπομνήσας "οὔτε γὰρ κατὰ φύσιν" φησίν... καὶ οἶδα μὲν ὅτι περὶ τοῦ βαρέος καὶ κούφου ἄλλως μὲν ὑπὸ τοῦ Πλάτωνος ἄλλως δὲ ὑπὸ τοῦ Ἀριστοτέλους τεθέντων ἔδει τι κατὰ τοῦτον τὸν τόπον εἰπεῖν· ἀλλ' ἵνα μὴ δὶς τὰ αὐτὰ λέγω, φυλάττω ταῖς ἀντιλογίαις αὐτά. ἐπειδὴ δὲ κἂν εἰς τὸ μέγα πέλαγος ἐμπέσῃ τις κἂν εἰς κολυμβήθραν, μᾶλλον δὲ κἂν εἰς βορβορῶδες τελμάτιον, νήχεσθαι ἀνάγκη, φέρε πάλιν ἐκτραπέντες τὰ τοῦ Τελχῖνος ἴδωμεν ῥήματα... πρὸς δὲ τὸν Ξέναρχον λέγοντα μὴ ὑγιῶς ἀποδεδόσθαι κοῦφον τὸ πᾶσιν ἐπιπολάζον, διότι κάτω ὂν τὸ πῦρ οὔπω ἐπιπολάζει, ὥστε οὐδὲ κοῦφον οὔπω ἐστί, μὴ ὂν δὲ κοῦφον οὐδὲ ἐπὶ τὸ ἄνω κινήσεται, ῥητέον οἶμαι προχείρως ὅτι πεφυκὸς πᾶσιν ἐπιπολάζειν εἴρηται, ὅπερ ἐπὶ τῶν ἄνω καὶ κάτω φερομένων προσέθεικεν εἰπὼν "βαρὺ μὲν οὖν ἐστίν" (p. 269 b 23)... ὅρα πόσον ἐν ὀλίγοις φαίνεται τὸ τοῦδε τοῦ ἀνδρὸς ἀνεπίστατόν τε ἅμα καὶ ἀπαίδευτον, καὶ μάλιστα εἰ καὶ γραμματικός ἐστιν, ὥσπερ ἐπιγράφει, πρῶτον μὲν ὅτι ταὐτὸν ἐνόμισε τὸ ἄνω καὶ τὸ ἐπὶ τὸ ἄνω... λέγει δὲ οὕτως (ὁ γραμματικὸς) ἐν τῷ ιγ´ κεφαλαίῳ τοῦ δευτέρου αὐτοῦ βιβλίου... ταῦτα οὖν ἐν τούτοις αἰτιώμενος αὐτὸς μὲν οὐκ ἀδύνατον εἶναί φησι τὴν αὐτὴν κίνησιν καὶ ὡς ὑπὸ ψυχῆς ἅμα καὶ ὡς ὑπὸ φύσεως γίνεσθαι, ὡς εἴ τις, φησίν, ἐπινοήσειε τῶν πτηνῶν τι ζῷον ἐπ' εὐθείας ὡς ἐπὶ τὸ κέντρον τὴν πτῆσιν ποιούμενον· συντρέχει γὰρ τῇ φυσικῇ ῥοπῇ τοῦ σώματος ἡ τῆς ψυχῆς ὁρμή. τὸν δὲ Ἀριστοτέλην νομίζει μὴ οὕτως ἔχειν ἐνταῦθα, καὶ τὴν Ἀλεξάνδρου ἐξήγησιν τοῦτο λέγουσαν ἀποσκευαζόμενος. χρὴ οὖν ἀκοῦσαι τῆς Ἀριστοτέλους λέξεως, εἰς ἣν ἀποτεινόμενος ταῦτα πάντα γέγραφεν, οὕτως ἐχούσης "ἀλλὰ μὴν οὐδὲ ὑπὸ ψυχῆς εὔλογον ἀναγκαζούσης μένειν ἀΐδιον· οὐδὲ γὰρ τῆς ψυχῆς οἷόν τε εἶναι τὴν τοιαύτην ζωὴν ἄλυπον καὶ μακαρίαν· ἀνάγκη γὰρ καὶ τὴν κίνησιν μετὰ βίας οὖσαν, εἴπερ κινεῖ, φέρεσθαι πεφυκότος τοῦ πρώτου σώματος ἄλλως κινεῖ συνεχῶς, ἄσχολον εἶναι καὶ πάσης ἀπηλλαγμένην ῥᾳστώνης ἔμφρονος." τίς οὐκ ἂν ἀκούσας τοῦ Ἀριστοτέλους καὶ φυσικὴν τὴν κύκλῳ κίνησιν καὶ ἔμψυχον τὸν οὐρανὸν λέγοντος, ἐν-

νων κατὰ φύσιν εἶναι καὶ τὴν ἐν κύκλῳ τινὸς ἢ τινῶν ἢ καὶ πάντων αὐτῶν; οὐ γὰρ δὴ καὶ τοῦτο προσυπεθέμεθα, μίαν εἶναι τὴν ἑκάστου κατὰ φύσιν. ἔστι δὲ οὐδὲ δυνατὸν προσυποθέσθαι· ψεῦδος γάρ ἐστι προφανῶς· ἑκάτερον γὰρ τῶν ἐν μέσῳ δύο τὰς κατὰ φύσιν ἔχει κινήσεις· τό τε γὰρ ὕδωρ ἐκ μὲν γῆς ἄνω φέρεται κατὰ φύσιν, ἐκ δὲ πυρὸς καὶ τοῦ ἀέρος εἰς τοὐναντίον, ὅ τ' ἀὴρ κάτω μὲν ἐκ τοῦ πυρός, ἄνω δὲ ἐκ τοῦ ὕδατος. ἀλλ' ὅτι μὲν προσυπεθέμεθα μίαν εἶναι τῶν ἁπλῶν κατὰ φύσιν κίνησιν, δῆλον... ταύτας μὲν οὖν τὰς ἐνστάσεις τοῦ Ξενάρχου ἐν τούτοις τίθησί τε καὶ διαλύει ὁ Ἀλέξανδρος· λέγει δὲ καὶ ἄλλην ὁ Ξέναρχος τοιαύτην. τὴν κύκλῳ κίνησιν ἀδύνατον ἁπλοῦ σώματος εἶναι κατὰ φύσιν, εἴπερ ἐν μὲν τοῖς ἁπλοῖς σώμασιν ὁμοιομερέσιν οὖσιν ἰσοταχῆ πάντα τὰ μόριά ἐστιν, ἐν δὲ τῷ κύκλῳ τὰ πρὸς τῷ κέντρῳ ἀεὶ βραδύτερα τῶν πρὸς τῇ περιφερείᾳ ἐστίν, εἴπερ ἐν τῷ αὐτῷ χρόνῳ ἐλάττονα κινοῦνται διάστασιν, ἀλλὰ καὶ ἐν σφαίρᾳ οἱ περὶ τοὺς πόλους κύκλοι βραδύτερον κινοῦνται τῶν πόρρωθεν, καὶ τάχιστα πάντων ὁ μέγιστος τῶν παραλλήλων. ῥητέον δέ... τελευταῖον δ' ἐν τούτοις μέμφεται Ξέναρχος ὅτι περὶ φυσικῶν διδάσκοντες μαθηματικὰς τὰς ἀποδείξεις ποιούμεθα, γραμμῶν εἴδεσι προσκεχρημένοι, ὅταν τὰς αἰτίας τῶν ἁπλῶν κινήσεων τῶν ἁπλῶν γραμμῶν ἀπαρτῶμεν... ταῦτα μὲν ὁ Ξέναρχος ἀντείρηκε πρὸς τὰς ὑπὸ τοῦ Ἀριστοτέλους παραληφθείσας ὑποθέσεις. τῶν δέ τις ἐφ' ἡμῶν, δόξης ὡς ἔοικε θηρατής, τῶν τε Ξενάρχου τινὰς ἐνστάσεις ὑποβαλόμενος καὶ ἄλλας τοιαύτας ἀθροίσας, κατήγορος ἀνέδυ τοῦ Ἀριστοτέλους, σκοπὸν μὲν τὸν ὅλον ἐνστησάμενος, ὡς φησί, φθαρτὸν ἀποδεῖξαι τὸν κόσμον, ὡς ἔπαθλόν τι μέγα παρὰ τοῦ δημιουργοῦ ληψόμενος, εἰ φθαρτῶν μόνων αὐτὸν ἀποδείξει δημιουργόν, μηδενὸς δὲ ἀφθάρτου. διὰ ταύτην δὲ τὴν προθυμίαν τοῖς ἐνταῦθα λεγομένοις ὑπὸ τοῦ Ἀριστοτέλους ἀντιλέγειν προτίθεται διὰ πολυστίχων βιβλίων, οὐ μόνον τῷ πλήθει καταπλήττειν ἐλπίσας τοὺς ἀνοήτους, ἀλλὰ καὶ ἀποτρέπων οἶμαι τοὺς πλείστους καὶ μάλιστα τοὺς καθαριωτέρους τῆς τῶν διωλυγίων φληνάφων ἐντεύξεως... εἰ δέ που φανείην πρὸς τὸν ἄνδρα τοῦτον τραχύτερον ἀπορρίπτων λόγον, μὴ νεμεσήσῃ τις· οὐ γάρ ἐστι μοί τις πρὸς τὸν ἄνδρα φιλονεικία, ὃν οὐδὲ θεασάμενος οἶδα πώποτε, ἀλλὰ πρῶτον μὲν ἐμμελῆ δίκην ἄξιον ἐπιτιθέναι τούτῳ παρὰ Ἀριστοτέλους μὲν καὶ τῶν ἐξηγητῶν αὐτοῦ μαθόντι, εἴπερ τι ἄρα περὶ τούτων μεμάθηκεν· οὐ γὰρ ἀπὸ Μενάνδρου καὶ Ἡρωδιανοῦ καὶ τῶν τοιούτων ἦλθεν ἡμῖν ἀκριβέστερον Ἀριστοτέλους τὰ περὶ τῆς φύσεως τῶν ὄντων πεπαιδευμένος... εἰ δ' ἐν ἄλλοις τὰ κύκλῳ φερόμενα σώματα περὶ τὸ τοῦ παντὸς κέντρον κινεῖσθαί φησιν, ἰστέον ὅτι κατὰ τὰς τῶν πρεσβυτέρων ἀστρονόμων ὑποθέσεις ποιεῖται τὸν λόγον (ὁ Ἀριστοτέλης)· οἱ γὰρ περὶ Εὔδοξον καὶ Κάλλιππον καὶ μέχρι τοῦ Ἀριστοτέλους τὰς ἀνελιττούσας σφαίρας ὑποθέμενοι ὁμοκέντρους τῷ παντί, δι' ἐκείνων ἐπειρῶντο σώζειν τὰ φαινόμενα, περὶ μέντοι τὸ τοῦ παντὸς κέντρον πάσας λέγοντες κινεῖσθαι τὰς σφαίρας, τῶν δὲ ἀπογείων καὶ περιγείων καὶ τῶν δοκούντων προποδισμῶν καὶ ὑποποδισμῶν καὶ τῶν ἐν ταῖς κινήσεσι φαινομένων ἀνωμαλιῶν τὰς αἰτίας οὐκ ἰσχύοντες κατ' ἐκείνας τὰς ὑποθέσεις ἀποδιδόναι. διά τοι τοῦτο οἱ περὶ τὸν Ἵππαρχον, καὶ εἴ τις πρὸ τούτου, καὶ μετὰ τοῦτον ὁ Πτολεμαῖος, τὰς ἐκκέντρους σφαίρας καὶ τὰς ἐπικύκλους ὑπέθεντο, διὰ τούτων τὸ μὲν περὶ τὸ τοῦ παντὸς κέντρον πάντα κινεῖσθαι τὰ οὐράνια παριδόντες, τῶν δὲ εἰρημένων πρότερον τὰς αἰτίας τὰς ὑπ' ἐκείνων παραληφθείσας οὔτοι κατ' αὐτὰς τὰς ὑποθέσεις ἀποδιδόντες. ὁ οὖν Ἀριστοτέλης ἐνταῦθα μὲν οὐδὲν λέγει περὶ τούτων, ἐν οἷς δὲ λέγει, ταῖς τῶν προτέρων ὑποθέσεσιν ἀκολουθῶν φαίνεται. δῆλον δὲ ὅτι τὸ περὶ τὰς ὑποθέσεις ταύτας διαφέρεσθαι οὐκ ἔστιν ἔγκλημα· τὸ γὰρ προκείμενόν ἐστι, τίνος ὑποτεθέντος σωθείη ἂν τὰ φαινόμενα. οὐδὲν οὖν θαυμαστόν, εἰ ἄλλοι ἐξ ἄλλων ὑποθέσεων ἐπειράθησαν διασῶσαι τὰ φαινόμενα. οἱ δὲ ἀστέρες εἰ κινοῦνται περὶ τὰ ἑαυτῶν κέντρα, ἀλλὰ καὶ περὶ τὸ τοῦ παντὸς ὑπὸ τῶν σφαιρῶν περιαγόμενοι κινοῦνται. παρὰ τίνι δὲ τῶν ἀστρονόμων εὗρεν οὗτος ὅτι οἱ ἀστέρες περὶ τὰ ἑαυτῶν κέντρα κινοῦνται; ἢ παρὰ τῶν ἐν τοῖς κανόσι τοῦ Πτολεμαίου παρακούσας ὅτι ἄλλοι μέν εἰσιν ἀριθμοὶ τοῦ κέντρου τοῦ ἐπικύκλου, ἄλλοι δὲ αὐτοῦ τοῦ ἀστέρος, ἐνόμισε τούτους τῆς περὶ τὸ οἰκεῖον κέντρον τοῦ ἀστέρος κινήσεως εἶναι; οὐκ ἐπιστήσας ὅτι οἱ μὲν ἀριθμοὶ οὗτοι ὡς μεταβαίνοντός εἰσι τοῦ ἀστέρος, ἡ δὲ περὶ τὸ κέντρον κίνησις οὐ γίνεται μεταβαίνοντος αὐτοῦ, ἀλλ' οἱ μὲν τοῦ κέντρου τοῦ ἐπικύκλου ἀριθμοὶ τὴν κίνησιν δηλοῦσι τοῦ ὁμοκέντρου ἢ ἐκκέντρου, ἐφ' οὗ φέρεται ὁ ἐπίκυκλος, οἱ δὲ τοῦ ἀστέρος τὴν κίνησιν τοῦ ἐπικύκλου, ἐφ' οὗ φέρεται ὁ ἀστήρ. αὐτοῦ μέντοι τοῦ ἀστέρος τὴν περὶ τὸ ἑαυτοῦ κέντρον κίνησιν ἀδύνατον καταλαβεῖν ἐν πόσῳ χρόνῳ ἀποκαθίσταται· οὔτε γὰρ μεταβαίνει τόπον ἐκ τόπου κατὰ ταύτην τὴν κίνησιν. διὸ τῶν μὲν ἀστρονόμων οὐδεὶς ἐπεχείρησε τὴν τοῦ ἀστέρος περὶ τὸ ἑαυτοῦ κέντρον ἀποκατάστασιν εἰπεῖν ἐν πόσῳ χρόνῳ γίνεται (οὐδὲ γὰρ καταληπτὸν ἦν), ὁ μέντοι Πλάτων καὶ ταύτην οἶδε τῶν ἀστέρων τὴν κίνησιν· ὁ δὲ Ἀριστοτέλης τί περὶ τῆς τῶν ἀστέρων κινήσεως δοξάζει, ἐν τῷ δευτέρῳ ταύτης τῆς πραγματείας ἐρεῖ... ἐπειδὴ δὲ πολλὰ πρὸς τὸν Ἀλέξανδρον εἶπε δεικνύντα μὴ ἁπλῆν ἀλλὰ μικτὴν οὖσαν τὴν τοῦ ὑπεκκαύματος κίνησιν, ὀλίγα τούτων βασανιστέον. id. f. 5-9.

ἀποροῦσι δέ τινες, ὥς φησιν Ἀλέξανδρος, πρὸς τὸν εἰρημένον 269 a 19.
λόγον, ὅτι τὸ τελειότερον πρῶτον τῇ φύσει καὶ τὸ πρῶτον ἁπλούστερον. εἰ γὰρ τελειότερος ὁ κόσμος τῶν ἐξ ὧν ἐστι, τὸ δὲ τελειότερον πρῶτον, τὸ δὲ πρῶτον καὶ ἁπλοῦν, ἔσται ὁ κόσμος καὶ πρῶτος τῶν ἐξ ὧν ἐστι καὶ ἁπλούστερος ἐκείνων· οὐ προϋπάρχει δὲ ὁ κόσμος τῶν αὐτοῦ μερῶν, ὥς φησιν Ἀλέξανδρος... ἀπορεῖ δὲ καὶ ἐνταῦθα τὰς αὐτὰς πάλιν ἀπορίας ὁ Ξέναρχος, πρῶτον μὲν ὅτι μαθηματικοῖς ἐχρήσατο τοῖς λήμμασιν ὁ λόγος, τῇ εὐθείᾳ καὶ τῷ κύκλῳ, δεύτερον ὅτι οὐκ ἔστιν ἁπλοῦν σῶμα φυσικὸν κατὰ τῆς περιφεροῦς κινούμενον διὰ τὴν ἀνισοταχῆ κίνησιν τῶν πρὸς τῷ κέντρῳ καὶ τῶν πρὸς τῇ περιφερείᾳ καὶ τῶν ἐν μέσῳ τούτων κινουμένων. τρίτον ὅτι κἂν ἔστι τὸ κύκλῳ κινούμενον, ἀλλ' οὐκ ἄλλο πρὸς τοῖς τέτρασιν, εἴπερ καὶ ἐκείνων τὰ μὲν μένει τὰ δὲ κύκλῳ κινεῖται. ὅταν οὖν ᾖ τελεία, μάλιστα τῷ πυρὶ ὑπάρχει· τὴν γὰρ ἐπ' εὐθείας, ὡς καὶ τῷ Ἀριστοτέλει δοκεῖ, ἀτελῆ οὖσαν ἀτελῆ ἔτι ὄντα κινεῖται. ταύτας τὰς ἐνστάσεις ὡς ἤδη προτεθείσας τε καὶ διαλυθείσας οὐδὲ ὁ Ἀλέξανδρος

μήν, καὶ τὸ παραλληλόγραμμον εἰς ταὐτὸ ἀποκαθιστάσθω πάλιν, ὅθεν ἤρξατο φέρεσθαι· ποιεῖ γὰρ οὕτως τὸ μὲν παραλληλόγραμμον κύλινδρον, τὸ δὲ φερόμενον σημεῖον ἐπὶ τῆς εὐθείας ἕλικα, καὶ ταύτην, ὥς φασιν, ἁπλῆν, διότι ὁμοιομερής. ἀλλὰ κἂν ὁμοιομερὴς ἐστιν, οὐκ ἔστιν ἁπλῆ· ἡ μὲν γὰρ ἁπλῆ γραμμὴ πάντως καὶ ὁμοιομερής, ἡ δὲ ὁμοιομερὴς ἐὰν μὴ καὶ μονοειδὴς ᾖ, καὶ εἰ ἀπὸ κινήσεως γίνοιτο ὁμοειδοῦς, ὁμοειδὴς ὑπάρχει καὶ αὐτή, μᾶλλον δὲ μία. καὶ γὰρ ἡ τῆς ἡλιακῆς κινήσεως ἕλιξ ὑπὸ δύο κυκλικῶν γινομένης, τῆς τε τοῦ ἡλίου ἐπὶ τοῦ ζωδιακοῦ καὶ τῆς ἀπλανοῦς, ἐπειδὴ περὶ διαφόρους πόλους ἑκατέρα γίνεται, καὶ ἡ ἕλιξ μικτὴν ἔχει φύσιν. ἔτι δέ, φησὶν ὁ Ἀλέξανδρος, αἱ ἁπλαῖ κινήσεις κατὰ τὴν πρὸς τὸ τοῦ παντὸς μέσον σχέσιν τὸ ἁπλαῖ εἶναι ἔχουσιν· ἡ μὲν γὰρ περὶ τὸ μέσον, αἱ δὲ ἀπὸ τοῦ μέσου καὶ πρὸς τὸ μέσον· ἡ δὲ ἕλιξ οὐ τοιαύτη. id. f. 4.

310 a 2 ὡς φησὶν ὁ Ἀλέξανδρος, εἰκότως οὐχ ὑποθετικῶς προήγαγεν, εἰ ἁπλῆ ἡ κύκλῳ κίνησις καὶ τὰ ἑξῆς, ἀλλὰ παρασυναπτικῷ ἐχρήσατο τῷ "εἴπερ," ἐπειδὴ προαπέδειξε πάντα τὰ λήμματα. μήποτε δὲ τὸ εἴπερ ὑποθετικόν τι ἐστίν, οὐκ ἰσοδυναμοῦν τῷ ἐπειδήπερ· τὸ γὰρ πέρ τῷ εἰ ὑποθετικῷ προστιθέμενον οὐκ ἀμείβει τὴν δύναμιν αὐτοῦ, ὥσπερ οὐδὲ τῷ ἐπειδὴ παρασυναπτικῷ. ὑποθετικῶς δὲ αὐτὸ διὰ φιλόσοφον ἴσως εὐλάβειαν προήγαγεν (*)... ἰστέον ὅτι καὶ Πτολεμαῖος ἐν τῷ περὶ τῶν Στοιχείων βιβλίῳ καὶ ἐν τοῖς Ὀπτικοῖς καὶ Πλωτῖνος ὁ μέγας καὶ Ξέναρχος δὲ ἐν ταῖς πρὸς τὴν πέμπτην οὐσίαν ἀπορίαις τὴν μὲν ἐπ' εὐθείας κίνησιν τῶν στοιχείων γινομένων ἔτι καὶ ἐν τῷ παρὰ φύσιν ὄντων τόπῳ, ἀλλὰ μήπω τῶν τὸν κατὰ φύσιν ἀπειληφότων εἶναι φασίν. τούτῳ δὲ καὶ Ἀριστοτέλης ἔοικε συγχωρεῖν, καὶ ἐν τῷ τετάρτῳ τῆσδε τῆς πραγματείας λέγων "τὸ εἰς τὸν αὑτοῦ τόπον φέρεσθαι εἰς τὸ αὑτοῦ εἶδός ἐστι φέρεσθαι" (p. 310 *a* 33) καὶ ἐν τῇ περὶ Γενέσεως, καὶ Ἀλέξανδρος ἐν τούτοις, ὡς λεχθήσεται. τῷ γὰρ ὄντι εἰ τῶν οἰκείων τόπων καὶ τῆς οἰκείας ὁλότητος ἐφιέμενα κινεῖται ἀπὸ τοῦ ἀλλοτρίου τόπου καὶ τῆς παρὰ φύσιν διαθέσεως, δῆλον ὅτι οὐ κατὰ φύσιν ἔχοντα τελέως κινεῖται, ἀλλ' ὥς φασιν οἱ εἰρημένοι πρότερον ἄνδρες, Πτολεμαῖος Ξέναρχος Πλωτῖνος, κατὰ φύσιν ἔχοντα καὶ ἐν τοῖς οἰκείοις τόποις ὄντα τὰ στοιχεῖα ἢ μένει ἢ κύκλῳ κινεῖται· μένει μὲν ἡ γῆ δῆλον ὅτι καὶ τὸ ὕδωρ καὶ τοῦ ἀέρος τὸ λιμνάζον, κύκλῳ δὲ κινεῖται τό τε πῦρ καὶ τοῦ ἀέρος τὸ εὐαγές, τῷ οὐρανῷ συμπεριπολοῦντα κατὰ τὴν πρὸς αὐτὸν οἰκειότητα. εἰ οὖν τοῦτο ἀληθὲς καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐν τοῖς Μετεωρολογικοῖς (1 4) τὸ ὑπέκκαυμα κύκλῳ κινεῖσθαι φησί, τεκμαιρόμενος ἀπό τε τῶν κομητῶν καὶ τῶν ἄλλων τῶν ἐν αὐτῷ συνισταμένων φασμάτων ἀνατελλόντων τε καὶ δυνόντων μετὰ τῶν ἄστρων, πῶς ἐν τούτοις ὁ Ἀριστοτέλης πρῶτον μέν πως ἀπὸ τῆς παρὰ φύσιν τῶν ὑπὸ σελήνην κινήσεων τὴν πρὸς αὐτὰ ὑπεροχὴν καὶ ἐξαίρεσιν τοῦ οὐρανίου σώματος ἐπιχειρεῖ δεικνύναι; ἀλλὰ τοῦτο τὸ ἄπορον μετ' ὀλίγον, ὡς τοῦ Ξενάρχου προβαλλομένου, διαλύσομεν. νῦν δὲ ἀπορητέον πῶς οὔτε πῦρ οὔτε ἄλλο τι τῶν τεσσάρων κύκλῳ φέρεσθαί φησιν... ὁ Ξέναρχος δὲ δευτέραν ἀπορίαν ἐν τοῖς πρὸς τὴν πέμπτην οὐσίαν ἠπορημένοις μετὰ τὴν περὶ τῶν ἁπλῶν γραμμῶν ἀπορεῖ πρὸς τὸ τοῦ ἁπλοῦ σώματος ἁπλῆν εἶναι κατὰ φύσιν τὴν κίνησιν· οὐδενὶ γάρ, φησί, τῶν τεσσάρων στοιχείων ἤδη ὄντι κατὰ φύσιν ἐστὶν ἡ ἐπ' εὐθεῖαν κίνησις, ἀλλὰ γινομένῳ μόνον· τὸ δὲ γινόμενον οὐκ ἔστιν ἁπλῶς, ἀλλὰ τοῦ τε εἶναι καὶ τοῦ μὴ εἶναι μεταξύ, καθάπερ καὶ τὸ κινούμενον (καὶ γὰρ τοῦτό ἐστιν ἐν μέσῳ τοῦ τε ἐπιλαμβανομένου τόπου καὶ τοῦ προκατεχομένου), καὶ ἔστι συγγενὴς ἡ γένεσις τῇ κινήσει, μεταβολή τις οὖσα καὶ αὕτη, καὶ διὰ τοῦτο τὸ ἀναφέρεσθαι λεγόμενον πῦρ οὔ φαμεν εἶναι κυρίως πῦρ ἀλλὰ γινόμενον, ἐλθὸν δὲ ἐπὶ τὸν οἰκεῖον τόπον καὶ ἐπιπολάσαν τοῖς ἄλλοις καὶ ἠρεμῆσαν, τότε γίνεσθαι κυρίως· εἰδοποιεῖσθαι γὰρ αὐτό, καθ' ὅσον ἐστὶ κοῦφον, τῇ θέσει ταύτῃ. καὶ ἡ γῆ τότε κυρίως ἐστὶ γῆ, ὅταν ὑποστῇ τοῖς ἄλλοις καὶ τὸν μέσον ἐπίσχῃ τόπον, καὶ τὸ ὕδωρ καὶ ὁ ἀήρ, καὶ τὸ μὲν ὕδωρ ὅταν ἐπιπολάζῃ μὲν τῇ γῇ ὑφίσταται δὲ τῷ ἀέρι, ὁ δὲ ἀήρ, ὅταν ἐπιπολάζῃ μὲν τῷ ὕδατι ὑφίσταται δὲ τῷ πυρί. τὸ οὖν τοῦ ἁπλοῦ σώματος, φησίν, ἁπλῆν εἶναι κατὰ φύσιν τὴν κίνησιν ψεῦδος ἐστίν· δέδεικται γὰρ ὡς οὐ τῷ ὄντι ἀλλὰ τῷ γινομένῳ συμβεβηκός ἐστιν ἡ κίνησις· εἰ δὲ ἄρα χρὴ καὶ τοῖς ἤδη οὖσιν ἀποδιδόναι τινὰ κίνησιν καὶ ταύτην ἁπλῆν, τὴν ἐγκύκλιον ἀποδιδόναι χρή, εἴπερ δύο μόναι αὗται ἁπλαῖ, ἥ τε κύκλῳ καὶ ἡ ἐπ' εὐθείας, ἡ δὲ ἐπ' εὐθείας γινομένων ἐστὶν ἀλλ' οὐκ ὄντων τῶν τεσσάρων. οὐκ ἂν οὖν ἀτόπως ἀποδοίη τις τῷ πυρὶ τὴν ἐγκύκλιον, τοῖς δὲ ἄλλοις τρισὶ τὴν ἠρεμίαν. ταύτην τὴν ἀπορίαν λύων ὁ Ἀλέξανδρος... ἀπορεῖ δὲ πάλιν ὁ Ξέναρχος, οὐκ ἀνάγκην εἶναι λέγων, εἰ τοῖς ἁπλοῖς φυσικοῖς σώμασιν ἁπλᾶς ἀποδέδωκε τὰς οἰκείας καὶ συγγενεῖς κινήσεις ἡ φύσις, ἤδη διὰ τοῦτο καὶ ταῖς ἁπλαῖς κινήσεσιν ἁπλᾶ ἀποδεδωκέναι τὰ φυσικὰ σώματα· οὐδὲ γὰρ σύνθετα ταῖς συνθέτοις ἀποδέδωκεν· ἦν γὰρ ἂν ἄπειρον αὐτῶν τὸ πλῆθος, ἄπειροι γάρ εἰσιν αἱ σύνθετοι κινήσεις. ὁ δὲ Ἀλέξανδρος εἴτε ταύτην ἄλλως ἐκδεξάμενος τοῦ Ξενάρχου τὴν ἔνστασιν, εἴτε ἄλλης μνημονεύων, πρὸς τοιαύτην ὑπαντᾶν μοι δοκεῖ. εἰ τὸ σύνθετον γεγονὸς ἕν ἐστι, τοῦ δ' ἑνὸς μία ἡ κίνησις, ἡ αὐτὴ ἔσται τοῦ τε ἁπλοῦ καὶ τοῦ συνθέτου κίνησις· μία γὰρ καὶ ἡ τοῦ ἁπλοῦ. λύει τοίνυν ὁ Ἀλέξανδρος λέγων... ἔστι δὲ καὶ ταῦτα τοῦ Ξενάρχου. φέρε καὶ δύο μὲν εἶναι τὰς ἁπλᾶς γραμμάς, τήν τε περιφερῆ καὶ τὴν εὐθεῖαν, τῶν δὲ τεττάρων, γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ πυρός, ἕκαστον, ἐπειδὰν ᾖ κυρίως κατὰ φύσιν, ἔχειν κίνησιν τὴν κατὰ τῆς εὐθείας. ἀλλὰ τί δὴ κωλύει καὶ τούτων ὑποκειμέ-

(*) p. 268 *b* 28. Dixi natura ad differentiam animalium et plantarum, siquidem haec quoque initium motus sortiuntur: verum secundum animam, minime autem secundum naturam hoc illis inest... dixi autem motuum nonnullos esse simplices, nonnullos vero ex illis quodammodo compositos, non ut id insinuarem quod composito, motu sursum inquam ac deorsum, simul defertur, quoniam hoc dissentaneum est ac fieri nullo modo potest, siquidem confringeretur id quod ea ratione movetur; sed id intelligi debet, secundum quod unico motu etiam movetur, verum ille motus est veluti confusus quidam motus ad duas partes. cui equidem sententiae sequentia adstipulantur, dum inquit Aristoteles "et quae hoc iure se habent, ab eo praecipue elemento moventur quod in illis praevalet." Themist. f. 2 *b*.

τέλειον δὲ ἀπὸ τοῦ ἔχειν τέλος λέγεται· τὸ δὲ ἔχον τέλος δῆλον ὅτι καὶ ἀρχὴν ἔχει καὶ μέσον. καλῶς οὖν ὁ Ἀλέξανδρος ἀπὸ τοῦ τελείου συνελογίσατο· καὶ γὰρ ὁ Ἀριστοτέλης ἐν τοῖς ἑξῆς ἀπὸ τοῦ τελείου τὸ πᾶν συνελογίσατο... ἐπιστῆσαι δὲ ἄξιον ὅτι παρὰ τὸ σύνηθες ὁ Ἀριστοτέλης ταῖς Πυθαγορικαῖς ἐνδείξεσιν εἰς ἀπόδειξιν ἐχρήσατο (*)... ὁ δὲ θαυμαστὸς Πτολεμαῖος ἐν τῷ περὶ Διαστάσεως μονοβίβλῳ καλῶς ἀπέδειξεν ὅτι οὐκ εἰσὶ πλείονες τῶν τριῶν διαστάσεων ἐκ τοῦ δεῖν μὲν τὰς διαστάσεις ὡρισμένας εἶναι, τὰς δὲ ὡρισμένας διαστάσεις κατ' εὐθεῖαν λαμβάνεσθαι καθέτους, τρεῖς δὲ μόνας πρὸς ὀρθὰς γωνίας ἀλλήλαις εὐθείας δυνατὸν εἶναι λαβεῖν, δύο μὲν καθ' ἃς τὸ ἐπίπεδον ὁρίζεται, τρίτην δὲ τὴν τὸ βάθος μετροῦσαν. ὥστε εἴ τις εἴη μετὰ τὴν τριχῆ διάστασιν ἄλλη, ἄμετρος ἂν εἴη παντελῶς καὶ ἀόριστος. τὸ οὖν μὴ εἶναι εἰς ἄλλο μέγεθος μετάστασιν ὁ μὲν Ἀριστοτέλης ἐκ τῆς ἐπαγωγῆς ἔδοξε λαμβάνειν, ὁ δὲ Πτολεμαῖος ἀπέδειξεν. Simpl. f. 2 *b*.

268a 14. ἢ ὅτι τρισὶ κρατῆρσιν ἐν ταῖς σπονδαῖς ἐχρῶντο, ἢ ὅτι προσάγομεν τῷ θεῷ εὐχὰς ἁγνείαν ἀναθήματα, ὧν τὸ μὲν πρῶτον ἀπὸ ψυχῆς, τὸ δὲ δεύτερον ἀπὸ σώματος, τὸ δὲ τρίτον ἀπὸ τῶν ἐκτός, καὶ ὅτι τὰ δραστικώτερα τῶν εὐχῶν τρίτον λέγονται καὶ αἱ ἐπῳδαί (**). cod. Coisl. 166.

268b 13. κατ' εἶδος μόρια τοῦ παντός φησι τὰ κατ' εἶδος ἀλλήλων διαφέροντα, οὐρανὸν πῦρ ἀέρα ὕδωρ γῆν· ταῦτα γάρ ἐστι τὰ προσεχῆ τοῦ παντὸς μέρη, καὶ ταῦτά ἐστι τὰ κυρίως οὐ μέρη ἀλλὰ μόρια. τὰ οὖν προσεχῆ μέρη τοῦ παντός, ταῦτά ἐστι τὰ κατ' εἶδος διαφέροντα. Simpl. f. 3 *b*.

268b 17. ὅτι καὶ Πλάτων πέντε εἶναι τὰ ἁπλᾶ σώματα νομίζει κατὰ τὰ πέντε σχήματα, ἀρκεῖ Ξενοκράτης ὁ γνησιώτατος αὐτοῦ τῶν ἀκροατῶν ἐν τῷ περὶ τοῦ Πλάτωνος βίου τάδε γράφων "τὰ μὲν οὖν ζῷα οὕτω διῄρειτο εἰς ἰδέαν τε καὶ μέρη, πάντα τρόπον διαιρῶν ἕως εἰς τὰ πάντων στοιχεῖα ἀφίκετο τῶν ζῴων, ἃ δὴ πέντε σχήματα καὶ σώματα ὠνόμαζεν, εἰς αἰθέρα καὶ πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα." ὥστε καὶ τὸ δωδεκάεδρον ἁπλοῦ σώματος ἦν σχῆμα κατ' αὐτόν, τοῦ οὐρανοῦ, ὃν αἰθέρα καλεῖ. εἰ δὲ ἐκ πυρὸς τὸν οὐρανόν φησιν, ὡς ἐκ φωτὸς λέγεται· καὶ τὸ φῶς γὰρ πυρὸς εἶδός φησιν. τὰ δὲ ἄστρα ἐκ τῶν δ', οὐ τῶν ἐν γενέσει, ἀλλὰ τοῦ μὲν πυρὸς κατὰ τὸ φωτεινόν, τῆς δὲ γῆς κατὰ τὸ ἀντιτυποῦν τῇ αἰσθήσει, κἀκ τῶν μεταξὺ κατὰ τὰ μέσα. εἰ οὖν καὶ Ἀριστοτέλης ὁμολογεῖ τὸ ὁρατὸν αὐτῶν καὶ ἁπτόν, οὐδ' ἂν αὐτὸς ἀπαξιώσαι ἐκ τούτων τῶν ἀκροτήτων συνεστάναι τὰ οὐράνια, ἐν αἷς καὶ ἡ τελειότης ἐστὶ τῶν στοιχείων· βούλεται γὰρ αὐτὸ πανταχοῦ τῶν ὑπὸ σελήνην καὶ εὐθυφορουμένων καὶ ἀτελῶν δ' ἐξῃρῆσθαι. ὁμοίως δὲ κἂν ἁπλοῦν αὐτό φησι, τὴν ἀπὸ τούτων σύνθεσιν αὐτοῦ ἀποφάσκειν εἰκός. ὅτι γὰρ ἔμψυχον αὐτὸν καὶ ζῷον λέγει, μαθησόμεθα. id. ib.

ὅτι μόναι αὗται (αἱ κινήσεις) ἁπλαῖ, τοῦτο δείκνυσι διὰ τῆς 268b 13. τῶν γραμμῶν παραθέσεως. πᾶσα γὰρ κίνησις ἐπί τινος γίνεται γραμμικοῦ διαστήματος· εἰ οὖν αἱ ἁπλαῖ γραμμαὶ δύο μόναι, καὶ αἱ ἁπλαῖ κινήσεις δύο. οὐχ ὡς ποιητικὰ δὲ τῶν κινήσεων αἴτια παρέθετο τὰ μεγέθη, ἀλλ' ὡς ὑλικὰ καὶ τὸν ὧν οὐκ ἄνευ λόγον ἔχοντα, ὡς φησὶν Ἀλέξανδρος· καὶ γὰρ κινήσεως μὲν οὔσης ἀδύνατον μὴ εἶναι μέγεθος, μεγέθους δὲ ὄντος οὐκ ἀνάγκη κίνησιν εἶναι, ὅπερ τῇ ὕλῃ προσήκει. ἐπιστῆσαι δὲ χρὴ μήποτε καὶ τὸ σχῆμα τοῦ ὑποκειμένου μεγέθους αἴτιον γίνεταί ποτε τῷ σχήματι τῆς κινήσεως, καὶ τὸ σχῆμα τῆς κινήσεως αἴτιον τοῦ σχήματος τοῦ ὑποκειμένου μεγέθους. ὁ δὲ Ξέναρχος πρὸς πολλὰ τῶν ἐνταῦθα λεγομένων ἀντειπὼν ἐν τοῖς πρὸς τὴν ε' οὐσίαν αὐτῷ γεγραμμένοις, ἀντεῖπε καὶ πρὸς τὸ "αἴτιον δὲ ὅτι καὶ τὰ μεγέθη ταῦτα ἁπλᾶ μόνον, ἥ τε εὐθεῖα καὶ ἡ περιφερής·" ἁπλῆ γάρ ἐστι, φησί, γραμμὴ καὶ ἡ ἐπὶ τοῦ κυλίνδρου ἕλιξ, διότι πᾶν μόριον αὐτῆς παντὶ ἴσῳ ἐφαρμόζει. εἰ δέ ἐστι μέγεθος ἁπλοῦν παρὰ τὰ δύο, εἴη ἂν καὶ κίνησις ἁπλῆ παρὰ τὰς δύο, καὶ σῶμα ἁπλοῦν ἄλλο παρὰ τὰ πέντε τὴν κίνησιν ἐκείνην κινούμενον. πρὸς δὲ τὸν Ξέναρχον ὁ Ἀλέξανδρος ἀπαντᾷ διχῶς, ποτὲ μὲν κατὰ ἀντιπαράστασιν. συγχωρῶν γὰρ ἁπλῆν εἶναι τὴν κυλινδρικὴν ἕλικα, λέγει ὅτι οὐχ ὡς ποιητικὰ αἴτια τῶν κινήσεων τὰ μεγέθη παρέθετο ὁ Ἀριστοτέλης· οὐ γὰρ εἰ τὸ ἁπλοῦν σῶμα ἁπλῆν κίνησιν κινεῖται κατὰ ἁπλῆς γραμμῆς, ἤδη καὶ κατὰ πάσης ἁπλῆς γραμμῆς ἁπλοῦν σῶμα φυσικὸν ἁπλῆν κινεῖται κίνησιν, ὅπερ ὁ Ξέναρχος ἀξιοῖ· οὐ γὰρ τοῦτο τίθησιν ὁ Ἀριστοτέλης. μήποτε δὲ βιαιοτέρα ἐστὶν ἡ ὑπάντησις, τοῦ Ἀριστοτέλους σαφῶς εἰπόντος ὅτι αἴτιόν ἐστι τὸ καὶ τὰ μεγέθη ταῦτα ἁπλᾶ μόνον εἶναι, τήν τε εὐθεῖαν καὶ τὴν περιφέρειαν· κἂν γὰρ ὡς ὑλικὰ αἴτιά φησι, καὶ αὐτὸ τοῦτο οὐκ ἀνάγκη, καὶ ἄλλου μεγέθους ὄντος ἁπλοῦ εἶναι καὶ ἄλλην ἁπλῆν κίνησιν, ἀλλὰ τό γε μόνα ταῦτα ἁπλᾶ εἶναι μεγέθη σαφῶς εἰρημένον ἀνατρέπεται, εἴπερ ἔστι καὶ ἄλλο. καλλίων οὖν ἡ κατὰ ἔνστασιν ἀπάντησις, τοῦ Ἀλεξάνδρου λέγοντος ὅτι οὐδὲ ἁπλῆ γραμμή ἐστιν ἡ ἐπὶ τοῦ κυλίνδρου ἕλιξ, εἴπερ ἐκ δύο κινήσεων ἀνομοίων γεννᾶται, κυκλικῆς τε καὶ ἐπ' εὐθείας· εὐθείας γὰρ κύκλῳ περὶ τὴν ἐπιφάνειαν τοῦ κυλίνδρου περιαγομένης καὶ σημείου τινὸς ἐπὶ τῆς εὐθείας ὁμαλῶς κινουμένου γεννᾶται ἡ κυλινδρικὴ ἕλιξ, ὡς καὶ αὐτὸς ὁ Ξέναρχος ὁμολογεῖ γράφων οὕτως "ἔστω τι τετράγωνον, καὶ τοῦτο περιαγέσθω κύκλῳ, μενούσης μιᾶς πλευρᾶς, ἥτις ἄξων τοῦ κυλίνδρου γίνεται, ἐπὶ δὲ ταύτης τῆς παραλλήλου τῆς καὶ περιφερομένης φερέσθω τι σημεῖον, καὶ ἐν ἴσῳ χρόνῳ τοῦτο τὸ σημεῖον ταύτην διεξίτω τὴν γραμ-

(*) quamobrem naturae lege ducimur, ternarium ut numerum in sacris administrandis constituamus, cum immortali deo sacrum facimus, aliqua in necessitate positi. Themist. f. 1 *b*.

(**) p. 268 *a* 28. sectile namque corpus, uti modo dicebamus, perfectum esse censetur, quia iuxta diametros omnes dividitur. nos autem de omni continuo loquentes minime quidem intelligimus quod dividi possit ab iis rebus quibus continuum accidit. etenim dixerunt quidam tempus non nisi secundum rationem dividi posse. insuper alii nonnulli affirmarunt dari in mundo corpora quaedam insectilia. quidam demum in eam sententiam devoluti sunt ut asseverarint lineam eiusdem rationis dari posse, prorsus videlicet insectilem. caeterum si corpus dari contingat quod tribus dimensionibus plane et absolute minime discernatur, perfectum nequaquam existimabitur. Themist. f. 1 *b*.

παντὸς εἴρηται, καὶ ταῦτα ὅσα κοινὰ πρὸς τὸν οὐρανὸν ἦν αὐτῷ, ὅτι ἀΐδιος οὗτος καὶ πεπερασμένος τῷ μεγέθει καὶ εἷς, καὶ ταῦτα διὰ τὸν οὐρανὸν ἔχων, ὅτι ἀΐδιος οὗτος καὶ πεπερασμένος καὶ εἷς. ἀλλ' εἰ βούλοιτό τις τὴν περὶ κόσμου θεωρίαν τοῦ Ἀριστοτέλους ὁρᾶν, ἐν πάσαις αὐτὸν ἅμα ταῖς φυσικαῖς ἑαυτοῦ πραγματείαις τὸν περὶ κόσμου λόγον ἀποδεδωκέναι ῥητέον. ἀμέλει καὶ Νικόλαος ὁ Περιπατητικός, εἴ τι μέμνημαι, περὶ τοῦ Παντὸς ἐπιγράψας, περὶ πάντων τῶν ἐν τῷ κόσμῳ καὶ εἴδη ποιεῖται τὸν λόγον. ἀλλὰ καὶ αὐτὸς Ἀριστοτέλης καὶ ἐν τῷ τρίτῳ βιβλίῳ ταύτης τῆς πραγματείας περὶ τῶν ἐν αὐτῇ λεγομένων συνῃρημένως ἐκθέμενος καὶ ἐν τῷ τῶν Μετεωρολογικῶν προοιμίῳ οὐδετέρωθι περὶ κόσμου φησὶν εἰρηκέναι, οὐδὲ οὕτως περὶ οὐρανοῦ ὡς περὶ κόσμου, κἂν ἔστι τι τοῦ οὐρανοῦ καὶ παρ' αὐτῷ σημαινόμενον τὸ τὸν ὅλον κόσμον δηλοῦν. παραθήσομαι δὲ μετ' ὀλίγον οἰκειοτέρως τὰς περὶ τούτων ῥήσεις. πρὸς δὲ τοὺς ἑτέρους ἐξηγητὰς ῥητέον ὅτι οὐ δοκεῖ πάρεργος ὁ περὶ τῶν τεσσάρων στοιχείων ἐν τούτοις λόγος οὐδὲ διὰ τὴν περὶ τῶν οὐρανίων ἁπλῶς θεωρίαν παραλαμβάνεσθαι, ἀλλὰ προηγουμένως περὶ αὐτῶν διδάσκει· καὶ γὰρ ἵνα παραλείπω τὸ ἥμισυ σχεδὸν τῆς ὅλης αὐτοῦ πραγματείας τὸν περὶ τούτων λόγον εἶναι, ἀλλὰ καὶ μετὰ τὴν περὶ τῶν οὐρανίων διδασκαλίαν, ἣν ἐν τοῖς πρώτοις δύο βιβλίοις ταύτης τῆς πραγματείας παραδέδωκεν, ἀρχόμενος τοῦ τρίτου τῷ ἐπὶ τοῦ πρώτου πάλαι προοιμίῳ χρῆται, τὴν συνέχειαν τοῦ συγγράμματος φυλάττων καὶ δεικνὺς ὅτι ἡ φυσικὴ πραγματεία περὶ σώματά ἐστιν, ὡς τὸν αὐτὸν σκοπὸν ἐχόντων καὶ τῶν δύο τῶν τελευταίων βιβλίων, καὶ ἐφεξῆς ἐπήγαγε τάδε (p. 298 *b* 6) "περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων εἴρηται, καὶ ποῖόν τι τὴν φύσιν, καὶ ὅτι ἄφθαρτον καὶ ἀγένητον· λοιπὸν δὲ περὶ τοῖν δυοῖν εἰπεῖν," δύο λέγων τήν τε τοῦ κούφου συστοιχίαν καὶ τὴν τοῦ βαρέος. ἐν δὲ τῷ τῶν Μετεώρων προοιμίῳ τάδε γέγραφε "περὶ μὲν οὖν τῶν πρώτων αἰτίων τῆς φύσεως καὶ περὶ πάσης φυσικῆς κινήσεως, ἔτι δὲ περὶ τῶν κατὰ τὴν ἄνω φορὰν διακεκοσμημένων ἄστρων καὶ περὶ τῶν στοιχείων τῶν σωματικῶν, πόσα τε καὶ ποῖα, καὶ τῆς εἰς ἄλληλα μεταβολῆς, καὶ περὶ γενέσεως καὶ φθορᾶς τῆς κοινῆς εἴρηται πρότερον." ἐν δὴ τούτοις μετὰ τὸν περὶ τῶν φυσικῶν ἀρχῶν λόγον κατὰ ταύτην δηλονότι τὴν πραγματείαν οὔτε περὶ κόσμου φησὶν εἰρηκέναι, ὡς ὁ Ἀλέξανδρος οἴεται, οὔτε περὶ τοῦ θείου καὶ ἀϊδίου μόνον σώματος, ὡς οἱ νεώτεροι τῶν ἐξηγητῶν, ἀλλὰ καὶ περὶ τῶν στοιχείων τῶν σωματικῶν προηγουμένως, πόσα τε καὶ ποῖα. δοκεῖ γοῦν μοι σαφῶς ὁ Ἀριστοτέλης ἐν τούτοις περὶ τοῦ οὐρανοῦ καὶ περὶ τῶν ὑπὸ σελήνην τεσσάρων στοιχείων τὸν λόγον ποιεῖσθαι. ἵνα δὲ μὴ διεσπασμένος ὁ σκοπὸς ἀλλὰ πρός ἕν τι βλέπων ἀποδειχθῇ, ῥητέον ὅτι μετὰ τὸν περὶ τῶν φυσικῶν ἀρχῶν λόγον, αἵτινες ἀρχαὶ τῶν φυσικῶν σωμάτων εἰσίν, περὶ τῶν ἁπλῶν ἐνταῦθα λέγει σωμάτων, ἅπερ ἀπὸ τῶν ἀρχῶν τῶν φυσικῶν συνίσταται προσεχῶς καὶ μέρη τοῦ παντός ἐστιν· ὧν πρῶτον μὲν τὸ οὐράνιόν ἐστι σῶμα, ἀφ' οὗ ὡς τιμιωτέρου τὴν πραγματείαν ἐπέγραψε, μετ' ἐκεῖνο δὲ τὰ ὑπὸ σελήνην τέσσαρα στοιχεῖα τῶν συνθέτων σωμάτων γινόμενα. περὶ τούτων δὲ ὡς περὶ πρώτων καὶ ἁπλῶν ποιεῖται τὸν λόγον, διὸ καὶ στοιχεῖα πάντα κέκληκεν, οὐ τὰ ὑπὸ σελήνην μόνον ἀλλὰ καὶ τὸν οὐρανόν, ὅταν λέγῃ "περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων," καθ' ὅσον καὶ αὐτὸς ἁπλοῦν ἐστὶ σῶμα, ἐπεὶ οὐκ ἂν κυρίως λέγοιτο στοιχεῖον ὁ οὐρανός, οὐδὲ συντίθεταί τι ἐξ αὐτοῦ, στοιχεῖον δέ ἐστιν ἐξ οὗ πρώτου συντέθειταί τι καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. καὶ εἴ γε μὴ καὶ περὶ κόσμου τὸν σκοπὸν εἶπεν ὁ Ἀλέξανδρος ἀλλὰ περὶ μόνων τῶν ἁπλῶν σωμάτων, οὐκ ἂν διηνέχθην πρὸς αὐτόν (*). Simpl. f. 1.

ἐν τῷ πρώτῳ τῶν περὶ Οὐρανοῦ βιβλίων πειρᾶται δεῖξαι ὁ Ἀριστοτέλης ὅτι ἀπλούστατόν ἐστι τὸ οὐράνιον σῶμα καὶ ἑτέρας οὐσίας παρὰ τὰ δ' στοιχεῖα. εἶτα μετὰ τοῦτο δείκνυσιν ὅτι πεπερασμένος ἐστὶν ὁ κόσμος διὰ πολλῶν ἀναντιρρήτων ἐπιχειρημάτων, ἔτι δὲ καὶ ὅτι εἷς ὁ κόσμος, καὶ ὅτι οὐδὲν ἔξω τοῦ κόσμου, οὐ κενὸν οὐ πλῆρες, οὐ σῶμα οὐκ ἀσώματον. εἶτα ἐν τῷ τέλει δείκνυσιν ὅτι τὸ γενητὸν τῷ φθαρτῷ ἀντίκειται καὶ τὸ ἄφθαρτον τῷ ἀγενήτῳ. ταῦτα μὲν ἐν τῷ α' λόγῳ . . . ἐν τῷ γ' διαλέγεται περὶ τῶν στοιχείων . . . καὶ τῶν ἄτομα φησάντων οἱ μὲν ἄτομα σώματα δοξάζουσιν, ὡς Λεύκιππος καὶ Δημόκριτος, οἱ δὲ ἀτόμους γραμμάς, ὡς Ξενοκράτης· ὁμοιομερείας δὲ ὁ Ἀναξαγόρας ἐδόξασε, καὶ Πλάτων ἐπίπεδα. τῶν δὲ πεπερασμένα εἰπόντων οἱ μὲν δέκα φασίν, ὡς οἱ Πυθαγόρειοι ἐν ταῖς δύο αὐτῶν συστοιχίαις τῶν καλῶν καὶ τῶν κακῶν, οἱ δὲ ς', ὡς Ἐμπεδοκλῆς τὰ δ' στοιχεῖα καὶ τὴν φιλίαν καὶ τὸ νεῖκος, οἱ δὲ δ', ὡς Ἱπποκράτης, πῦρ ἀέρα ὕδωρ γῆν, οἱ δὲ γ', ὡς ὁ Πλάτων θεὸν μέγα μικρόν, οἱ δὲ β', ὡς ὁ Παρμενίδης ἐν τοῖς κατὰ δόξαν πῦρ καὶ γῆν . . . καὶ λαβὼν ὅτι ἐξ ἀλλήλων (τὰ στοιχεῖα) ζητεῖ ἄρα κατὰ διάκρισιν καὶ σύγκρισιν, ὥς φησιν ὁ Πλάτων καὶ Δημόκριτος καὶ Ξενοκράτης, ἀλλ' ὁ μὲν ἀτόμων σωμάτων, ὁ δὲ γραμμῶν, ὁ δὲ ἐπιπέδων, ἢ κατὰ μῖξιν καὶ ἔκκρισιν, ὡς ὁ Ἀναξαγόρας φησὶ καὶ Ἐμπεδοκλῆς . . . ὁ σκοπὸς τῷ Ἀριστοτέλει διαλαβεῖν περὶ τῶν ἁπλῶν σωμάτων, ὧν πρώτιστον ὁ οὐρανός ἐστι, τῶν ἑαυτοῦ ἀγαθῶν τῷ ὅλῳ κόσμῳ μεταδιδούς. ἔλαχε δὲ τὴν ἐπιγραφὴν τὸ βιβλίον ἀπὸ τοῦ κυριωτέρου καὶ οὗ τὰ λοιπὰ ἐξήρτηται. cod. Coisl. 166.

ὅτι ὀρθῶς λέγομεν, ἔδειξαν οἱ Πυθαγόρειοι συντόμως οὕτως. 268a 9.
τὸ πᾶν ἀρχὴν ἔχει καὶ μέσον καὶ τέλος, καὶ τὸ τοιοῦτον τῷ τῆς τριάδος ἀριθμῷ ὥρισται. καὶ μήποτε καὶ τὸ τέλειον διὰ τοῦτο ἀρχὴν ἔχειν καὶ μέσον καὶ τέλος λέγομεν, ὅτι πᾶν ἐστίν· τὸ γὰρ μὴ πᾶν ἐλλείπει τι πρὸς τὸ πᾶν εἶναι καὶ ἀτελές ἐστιν. εἰ δὲ τοῦτο ἀληθές, οὐκ ἀναγκαίως, φαίη ἄν τις, ὁ Ἀλέξανδρος διὰ τοῦ τέλειον εἶναι τὸ πᾶν συνελογίσατο τὸ ἀρχὴν ἔχειν καὶ μέσον καὶ τέλος. τάχα γὰρ διὰ τοῦ παντὸς καὶ τῷ τελείῳ τοῦτο ὑπάρχει, τάχα δὲ ἀντιστρέφει μὲν ταῦτα ἀλλήλοις, τὸ πᾶν καὶ τὸ τέλειον, καὶ τὸ ἀρχὴν ἔχον καὶ μέσον καὶ τέλος.

(*) Tria veteres caeli nomine appellare consuevere: etenim inerrantium stellarum orbem tantum, insuper corpus quintum, ac demum mundum universum [caeli] nomine usurparunt. iuxta vero tertium hunc dicendi modum invenimus Aristotelem hic de eo disseruisse. Themistii paraphrasis Moyse Alatino interprete f. 1.

p. 268 *a* 3. non invenimus Aristotelem posuisse motum in affectionum numerum, si quidem motus qui in locum fiunt, haudquaquam cum eorum quae moventur transmutatione fiunt. Themist. f. 1.

τὸ μὴ ὅλως πεφυκέναι κατ' ἐκείνην ἐνεργεῖν, — οὕτως δὲ καὶ ἐπὶ τοῦ ἔξω τοῦ οὐρανοῦ λέγομεν μὴ φύσεις ἔχειν τὸ δέχεσθαι σῶμα, καὶ διὰ τοῦτο μὴ δύνασθαι σῶμα ἐκεῖσε ἐξελθεῖν. ἡ μὲν οὖν φαντασία ἐθίσασα φαντάζεσθαι πᾶν σῶμα περατοῦσθαι ἐφ' ἕτερον, κἀκεῖνο ἐπ' ἄλλο, πείθει τοὺς ἀπλουστέρους τὰ αὐτὰ δοξάζειν καὶ ἐπὶ τῶν ὑπερουρανίων, ἔνθα ὁ νοητὸς διάκοσμος ὅ πως ἀπηλλαγμένος σωματικῆς παχυμερείας· ὁ δὲ νοῦς οὐχ ἕπεται ταύτῃ, ἀλλὰ τῇ τῶν πραγμάτων φύσει ἐπακολουθεῖ (*).

Α (**).

Τὸν Θεόφραστον μαρτύρεται ὁ Ἀλέξανδρος ἐν τῷ περὶ Οὐρανοῦ μὴ περὶ τοῦ θείου σώματος λέγοντα μόνον ἀλλὰ καὶ περὶ τῶν ἐν γενέσει καὶ περὶ τῶν τούτων ἀρχῶν. περὶ κόσμου οὖν, φησὶν ὁ Ἀλέξανδρος, (ἡ περὶ Οὐρανοῦ πραγματεία) καὶ περὶ τῶν ἐν αὐτῷ πέντε σωμάτων, τοῦ τε οὐρανίου καὶ τῶν ὑπὸ σελήνην τεσσάρων, πυρὸς ἀέρος ὕδατος γῆς. ἐπήγαγε δὲ αὐτὸν εἰς ταύτην τὴν ὑπόνοιαν τά τε περὶ τοῦ ὅλου ἐν τῷ πρώτῳ προβληθέντα βιβλίῳ, πότερον εἷς ὁ κόσμος ἢ πολλοί, καὶ πότερον πεπερασμένος ἢ ἄπειρος, καὶ ἀγένητος καὶ ἄφθαρτος ἢ οὔ, καὶ τὸ ἐν τοῖς δύο τοῖς πρώτοις ταύτης τῆς πραγματείας βιβλίοις περὶ τοῦ κυρίως οὐρανοῦ εἰπόντα ἐν τῷ τελευταίῳ καὶ τετάρτῳ περὶ τῶν τεσσάρων στοιχείων ποιήσασθαι τὸν λόγον, ὡς ἀκόλουθον τῷ περὶ τοῦ πρώτου σώματος· διὸ καὶ τοῦ τρίτου πάλιν ἀρχόμενος, ὅτι περὶ σώματων ἐστὶν ἡ φυσικὴ πραγματεία διδάσκει, καὶ συμπεραίνων τὰ προειρημένα τάδε γέγραφε (p. 298*b* 6) "περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων εἴρηται, καὶ ποῖόν τι τὴν φύσιν, καὶ ὅτι ἄφθαρτον καὶ ἀγένητον· λοιπὸν δὲ περὶ τοῖν δυοῖν εἰπεῖν," δύο λέγων τὰς δύο συζυγίας, τήν τε τοῦ κούφου, ἐν ᾧ πῦρ καὶ ἀήρ, καὶ τὴν τοῦ βαρέος, ἐν ᾧ ὕδωρ καὶ γῆ. ὁ δὲ θεῖος Ἰάμβλιχος τὸν σκοπὸν περὶ τοῦ οὐρανίου καὶ θείου σώματος ἐν τούτοις ποιησάμενος, περιλαβεῖν φησι καὶ τὴν περὶ κόσμου καθόλου θεωρίαν, ὡς ἂν περιεχομένην ἐν αὐτῇ κατ' οὐσίαν καὶ δουλεύουσαν αὐτῇ πρὸς τὴν ἀπεργασίαν τῆς γενέσεως· οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν στοιχείων καὶ τῶν ἐν τοῖς στοιχείοις ἐνυπαρχουσῶν δυνάμεων, ἐπειδὴ ταῦτα πάντα ἀπ' οὐρανοῦ ἤρτηται καὶ τῶν κατ' αὐτὸν περιιόντων. Συριανὸς δὲ ὁ μέγας καὶ οἱ μετ' αὐτὸν ἀκολουθοῦντες αὐτῷ περὶ τοῦ κυρίως καλουμένου οὐρανοῦ, τουτέστι περὶ τοῦ ἀϊδίου καὶ κυκλοφορικοῦ σώματος, τὴν πραγματείαν εἶναι φασίν, εἰς τὴν ἐπιγραφὴν ὡς ἔοικεν ἀποβλέποντες καὶ οὐκ ἀποδεχόμενοι Ἀλέξανδρον περὶ κόσμου καὶ τῶν ἁπλῶν τοῦ κόσμου σωμάτων λέγοντα τὸν σκοπόν. καὶ γὰρ ὅσα, φασί, περὶ τῶν τεσσάρων στοιχείων ἐνταῦθα λέγεται, οὐ προηγουμένως ἀλλ' εἰς τὴν περὶ τῶν οὐρανίων θεωρίαν σωμάτων συντελεῖ· τοῦ γὰρ δεῖξαι χάριν ὅτι οὐκ ἐκ τῶν τέσσαρων στοιχείων τὸ οὐράνιον σῶμα, ἀλλ' ἁπλοῦν, οὔτε ἓν τῶν τεσσάρων ἀλλὰ ἕτερόν τι παρὰ ταῦτα, μήτε κουφότητα μήτε βάρος ἔχον ὥσπερ ἐκεῖνα, τὸν πρόσθεν πάντα λόγον διῆλθε, τὰ μὲν κοῦφα λέγων ἐκείνων τὸ δὲ βαρέα, καὶ εἰς δύο τὰ τέσσαρα συνεῖλε, τό τε κοῦφον καὶ τὸ βαρύ. ἕκαστος δὲ τῶν εἰρημένων τῇ διαιρέσει τῶν Ἀριστοτέλους φυσικῶν συγγραμμάτων, ὡς οἶμαι, παρακολουθοῦντες τὸν καθ' ἑαυτὸν σκοπὸν ἀποδίδωσι· τούτων γὰρ τὰ μέν ἐστι περὶ τῶν φυσικῶν ἀρχῶν τῶν κοινῇ πᾶσιν ὑπαρχουσῶν τοῖς φυσικοῖς πράγμασιν, οἷον ὕλης καὶ εἴδους καὶ κινήσεως καὶ τόπου καὶ χρόνου, καὶ περὶ τῆς φύσεως αὐτῆς καὶ τῶν παρυφισταμένων αὐτῇ ποιητικῶν αἰτίων, καὶ ἔτι τῶν δοκούντων μὲν ὑπάρχειν τοῖς φυσικοῖς μὴ ὑπαρχόντων δέ, ὡς περὶ κενοῦ καὶ ἀπείρου, περὶ ὧν τὰ βιβλία τῆς ἐπιγραφομένης Φυσικῆς Ἀκροάσεως διδάσκει. μετὰ δὲ τὰς ἀρχὰς τῶν φυσικῶν σωμάτων ἔδει λοιπὸν περὶ αὐτῶν τῶν σωμάτων διδάσκειν. τῶν δὲ σωμάτων, ὡς μὲν Ἀλέξανδρος εἴποι ἄν, τὰ μέν ἐστιν ἁπλᾶ τὰ δὲ σύνθετα, καὶ τῶν ἁπλῶν τὸ μὲν ἀΐδιον καὶ κυκλοφορικόν, τὰ δὲ ἐν γενέσει καὶ εὐθύπορα. καὶ περὶ πάντων τούτων τὸν ταύτης εἶναι τῆς πραγματείας σκοπόν φησι, καὶ περὶ τοῦ ἐκ πάντων συγκειμένου κόσμου. ὡς δὲ οἱ ἕτεροί φασιν, τῶν φυσικῶν σωμάτων τὸ μέν ἐστιν ἀΐδιον, περὶ οὗ ἡ παροῦσα πραγματεία, τὰ δὲ ἐν γενέσει καὶ φθορᾷ, περὶ ὧν μέλλων διδάσκειν κοινῶς πρῶτον περὶ γενέσεως καὶ φθορᾶς ἐποιήσατο τὸν λόγον, καὶ τότε περὶ τῶν γενητῶν καὶ φθαρτῶν τὰ μὲν ἐν τοῖς μετεώροις διὰ τῶν Μετεωρολογικῶν παραδέδωκε, τῶν δ' ἐν τῇ γῇ συνθέτων τὰ μέν ἐστιν ἔμψυχα τὰ δὲ ἄψυχα, καὶ περὶ μὲν τῶν ἀψύχων τὰ περὶ Μετάλλων γεγραμμένα διδάσκει, τῶν δὲ ἐμψύχων τὰ μέν ἐστιν αἰσθητικὰ καὶ κατὰ τόπον κινούμενα, ὡς τὰ ζῷα, τὰ δὲ ἀναίσθητα καὶ κατερριζωμένα, ὡς τὰ φυτά· καὶ δὴ καὶ περὶ Φυτῶν αὐτῷ γέγραπται καὶ περὶ Ζῴων, καὶ τὰ μὲν κοινῶς, ὡς τὰ περὶ γενέσεως αὐτῶν καὶ περὶ μορίων διαφορᾶς καὶ χρείας καὶ περὶ κινήσεως καὶ ἐνεργείας, ἐν οἷς τά τε περὶ Πορείας Ζῴων καὶ περὶ Μνήμης καὶ περὶ Ὕπνου καὶ Ἐγρηγόρσεως, τὰ δὲ ἰδίως καθ' ἕκαστον εἶδος τῶν ζῴων ἡ περὶ Ζῴων Ἱστορία παραδίδωσι. τοιαύτης οὖν οὔσης τῆς διαιρέσεως δῆλον ὅτι μετὰ τὴν Φυσικὴν Ἀκρόασιν ταύτην ἀναληπτέον τὴν πραγματείαν κατὰ πάντας τοὺς ἐξηγητὰς τῶν Ἀριστοτέλους, ἀλλ' ἢ ὡς περὶ κόσμου καὶ τῶν ἐν αὐτῷ πέντε σωμάτων τῶν ἁπλῶν, ἢ ὡς περὶ τοῦ ἀϊδίου καὶ κυκλοφορικοῦ σώματος. μήποτε δὲ χρὴ φάναι πρὸς μὲν τὸν Ἀλέξανδρον, λέγοντα σαφῶς περί τε τοῦ κόσμου παντὸς καὶ περὶ πάντων τῶν ἁπλῶν σωμάτων τὸν λόγον ἐν τούτοις ποιεῖσθαι τὸν Ἀριστοτέλην, πρῶτον μὲν ὅτι ἕνα χρὴ τὸν σκοπὸν εἶναι πάσης πραγματείας εἰς ὃν βλέποντα καὶ πρὸς ἐκεῖνο τὰ κατὰ μέρος αὐτῆς συνυφαίνοντα, ἔπειτα ὅτι οὐ φαίνεται περὶ τοῦ κόσμου διδάσκων ἐν τούτοις, ὥσπερ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ τάς τε ἀρχὰς τῶν φυσικῶν, τὴν ὕλην τε καὶ τὸ εἶδος καὶ τὴν κίνησιν καὶ τὸν χρόνον, καὶ τὴν κοινὴν σύστασιν τοῦ κόσμου παραδέδωκεν, καὶ ἰδίᾳ περί τε τῶν οὐρανίων καὶ περὶ τῶν ὑπὸ σελήνην ἐδίδαξε, καὶ τὰ τούτων καὶ τὰ περὶ τῶν μετεώρων καὶ τὰ ἐν γῇ μέταλλα καὶ φυτὰ καὶ ζῷα καὶ μέχρι τοῦ ἀνθρώπου συστάσεως καὶ τῶν μορίων αὐτοῦ πραγματεύεται. ἐνταῦθα δὲ ἐλάχιστα περὶ τοῦ κόσμου

(*) Παρεκβολὰς easdem habent codd. Ven. 257 f. 56–68 et 263 f. 140–162, ille quidem omissis quae post p. 467 8 leguntur.

(**) Simplicii scholia passim e cod. Vat. Ottobon. 83, maximam partem e cod. Reg. 1903 descripta sunt, liber secundus cum cod. Reg. 1910, reliqui tres cum Coisl. 166 collati. codices Oxon. Collegii Novi et Corp. Christi, codexque Laurent. 29 plut. 76 nonnunquam inspecti sunt.

οἶδε δὲ καὶ τὴν ἑτέραν, καθ' ἣν τὸ εἰς διάστασιν σωματικὸν ὑπελθὸν οὐ δυνάμενον ἔτι ἑαυτὸ παράγειν, ἀλλ' ἐξ ἄλλου τινὸς αἰτίου μόνως ὑφιστάμενον γενητὸν λέγει πρὸς τὸ ὄντως ὂν ἀντιδιῃρημένον ὡς πρὸς αἴτιον ἑαυτοῦ προσεχές· ἀνάγκη γὰρ τὸ γινόμενον καὶ τὸ τὴν ὑπόστασιν ἑτέρωθεν ἔχον ἀπὸ τῆς τοῦ ὄντος καθυποστάτου ὑφίστασθαι, ἢ ἐπ' ἄπειρον ἰέναι, γενητὸν ἀντιθέντας πρὸ γενητοῦ. τοῦτο δὴ τὸ γενητὸν μετὰ τοῦτο ὁριστάμενος ἐν Τιμαίῳ (p. 27 e sq.) κατ' αὐτὸ γενητὸν εἶναι τὸν κόσμον φησίν. καὶ ὁ μὲν ἀμφοῖν ὁρισμὸς ἀπὸ τῶν γνωστικῶν ἐν ἡμῖν δυνάμεων γενόμενος ὧδέ πως ἔχει "τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γινόμενον μέν, ὂν δὲ οὐδέποτε; τὸ μὲν δὴ νοήσει μετὰ λόγου περιληπτὸν ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ὂν διατελεῖ, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστόν, γινόμενόν τε καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν." κατὰ δὴ τοῦτο τὸ γενητὸν καὶ τὸν κόσμον ὑπὸ τοῦ ὄντως ὄντος ὑποστάντα θεοῦ προσεχῶς γεννητὸν εἶναί φησι γράφων οὕτως ὁ Πλάτων περὶ τοῦ κόσμου "πότερον ἦν ἀεὶ γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν; ὁρατὸς γὰρ ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων." τὸ δὲ τοιοῦτον πᾶν γενόμενον καὶ γενητὸν ἐφάνη· τὸ μὲν γὰρ αὐθυπόστατον ἀμερὲς εἶναι χρὴ καὶ ὅλον ὅλῳ αὐτῷ συνεφαρμόττειν. καὶ διὰ τοῦτο μὴ ὂν αὐθυπόστατον ὑφ' ἑτέρου πάντως ἔχει τὸ εἶναι, καὶ διὰ τοῦτο γεννητὸν λέγεται. ἐπειδὴ δέ τινες τὸ ἐν ὁρισμῷ τοῦ γενητοῦ ἀπολλύμενον ἀταλαιπώρως ἀκούσαντες φθορὰν τοῦ κόσμου καὶ τοῦ οὐρανοῦ δηλονότι καταγινώσκειν τὸν Πλάτωνα νομίζουσιν, ἀναγκαῖον εἰπεῖν τί ποτε τοῦτο τὸ ἀπολλύμενον σημαίνει. εὐθὺς μὲν οὖν τῷ γινομένῳ καὶ ἀπολλυμένῳ προστεθὲν τὸ "ὄντως δὲ οὐδέποτε ὂν" ἐναργῶς οἶμαι τοῖς μὴ προειλημμένοις ἐνδείκνυται ὅτι τὸ μέν ποτε ἐξῄρηται ἀΐδιον ὑπάρχον· τὸ γὰρ οὐδέποτε ἐπὶ τῶν ἀϊδίων λέγεται κυρίως· ἀεὶ δὲ ὑφεστὸς διὰ τὸ προσεχῶς ὑπὸ τοῦ ὄντως ὄντος καὶ τοῦ ἀκινήτου παρῆχθαι, διὰ τοῦτο πάλιν τὸ μὴ αὐθυπόστατον καὶ τὸ μὴ ὄντως ὄν, μηδὲ ὅλον ἅμα καὶ πᾶν εἶναι ὅπερ ἐστί, καὶ μεταβολὴν ἔχει τινὰ ἄλλοτε ἄλλα ὀχούμενον, διὰ τὸ ποιοῦν προσεχῶς αἴτιον, ἀκίνητον ὑπάρχον, καὶ διὰ τὴν ἑαυτοῦ ἐπιτηδειότητα προσεχῶς ἀπὸ ὄντως ὄντος ὑποστάντος. καὶ ὅτι τὴν μεταβολὴν οὐχ ὡς ἐν μέρει χρόνου γινομένῳ καὶ φθειρομένῳ νομίζει προσήκειν ὁ Πλάτων, ἀλλὰ διὰ τὴν σωματικὴν φύσιν, δι' ἣν ἅμα πᾶσαν οὐκ ἔχει τὴν ἑαυτοῦ μακαριότητα, ὥσπερ τὸ ὄντως ὄν, ἐκ τῶν ἐν τῷ Πολιτικῷ (p. 269) γεγραμμένων οἶμαι καταμαθεῖν ῥᾴδιον. ἔχει δὲ οὕτως, ὡς μνημονεύω, "ὃν δὲ οὐρανὸν ἢ κόσμον ἐπωνομάκαμεν, πολλῶν μὲν καὶ μακαρίων ὑπὸ τοῦ γεννήσαντος μετέσχεν, ἀτὰρ κεκοινώνηκέ γε καὶ σώματος· ὅθεν μεταβολῆς ἀμοίρῳ μένειν αὐτῷ παντάπασιν ἀδύνατον ἦν." καίτοι εἴπερ ἐφθείρετο, εἰ μὲν εἰς ἄλλον κόσμον, εἶχεν ἂν χώραν τὸ τῆς μεταβολῆς ὄνομα, εἰ δὲ εἰς τὸ μὴ ὄν, οὐκ ἂν μεταβαλεῖν ἐλέγετο· μεταβάλλει γὰρ τὸ μεταβαῖνον ἀπ' ἄλλου εἰς ἄλλο. πῶς δὲ ἂν ἀμοίρῳ παντάπασιν εἶπεν, εἰ μή τι καὶ ἀμετάβλητον εἶχεν; ἀλλὰ καὶ ὅτι μήτε ἐν μέρει χρόνου γεγονέναι τὸν κόσμον μήτε οὕτω φθείρεσθαι νομίζει ὁ Πλάτων, ἐκ τῶν ἐν Τιμαίῳ γεγραμμένων δῆλον, πρῶτον μὲν ὅτι τὸν χρόνον μετὰ τοῦ οὐρανοῦ γεγονέναι σαφῶς λέγει (p. 38) "χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονεν·" ἀδύνατον οὖν χρόνον εἶναι πρὸ οὐρανοῦ. ἔτι δὲ οὐκ ἂν ἀπὸ χρόνου τινὸς ὁ οὐρανὸς ἤρξατο γίνεσθαι· προϋπῆρχε γὰρ αὐτοῦ χρόνος, καὶ τοῦ ἐνεστῶτος ἐκείνου, καθ' ὃν ἐγένετο ὁ κόσμος, πάντως ἦν προηγούμενός τις παρεληλυθώς. ἀλλ' οὐδὲ ἐν μέρει χρόνου φθείρεσθαι δυνατόν· πάλιν γὰρ μετ' ἐκεῖνον τὸν ἐνεστῶτα καθ' ὃν φθείρεται ἔστι τις μέλλων. εἰ δὲ ἐπήγαγεν "ἵνα ἅμα γεννηθέντα ἅμα λυθῶσιν, ἄν ποτε λύσις τις αὐτῶν γένηται," δι' αὐτοῦ τούτου τὸ ἄλυτον ἐνεδείξατο· εἰ γὰρ ἀνάγκη τῷ χρόνῳ συλλύεσθαι τὸν κόσμον (e Simpl. f. 21 *b* med. — 24 extr.).

ἀπὸ Φιλοπόνου. ὦ Ἀριστοτέλης, εἰ ὧν αἱ κινήσεις διάφοροι, διάφοροι καὶ αἱ φύσεις, ὡς αὐτὸς φῄς, θέλων ἀποδεῖξαι τὴν οὐσίαν τοῦ οὐρανοῦ ἄλλην παρὰ τὴν τῶν δ' στοιχείων, λοιπόν, ὧν αἱ κινήσεις αἱ αὐταί, καὶ φύσεις αἱ αὐταί. καὶ μὴν ὁρῶμεν τὴν τῆς γῆς κίνησιν ἐπὶ τὰ κάτω καὶ τὴν τοῦ ὕδατος ὁμοίως· ὥστε μία φύσις ἀμφοῖν. καὶ ὁ ἀὴρ καὶ τὸ πῦρ ἀνωφερῆ μέν, ἑτέρα δὲ τὴν φύσιν ἐστίν, ὥστε ὁ Πλάτων ἐκ τοῦ ἄνθους τῶν στοιχείων δοξάζων τὸν οὐρανὸν γεγονέναι κρεῖττόν σου ἀποφαίνεται. αἱ οὐράνιαι σφαῖραι πλεῖον μετέχουσι τῆς ἀερώδους φύσεως ἢ τῆς πυρώδους, οἱ δὲ ἀστέρες ἀνάπαλιν, εἰ καὶ μὴ τῷ Σταγειρίτῃ δοκεῖ. οἱ δὲ παλαιοὶ ἀμφέβαλον καὶ ὁποῖαί εἰσι τιμιώτεραι, αἱ οὐράνιαι σφαῖραι ὡς λεπτότεραι, ἢ οἱ ἐν αὐταῖς ἀστέρες ὡς λαμπρότεροι. ταύτην δὲ τὴν ἀμφιβολίαν ἐπελύσατο ὁ Ἀριστοτέλης ἐν τῇ περὶ Οὐρανοῦ πραγματείᾳ λέγων, εἴτε τὸ φερόμενον κρεῖττον τοῦ φέροντος ὡς τούτου ἕνεκα γινομένου, φέρουσι δὲ αἱ σφαῖραι τοὺς ἀστέρας, οἱ δὲ ἀστέρες φέρονται, δῆλον ὡς τῶν σφαιρῶν οὗτοι τιμιώτεροι.

περὶ τόπου. ὁ δὲ τόπος πέρας ἐστὶ τοῦ περιέχοντος καθὸ περιέχει τὸ περιεχόμενον· οἷον εἰμὶ ἐγὼ ἐν τῷ ἀέρι· τὸ οὖν πέρας τοῦ ἀέρος τὸ προσεχές μοι καὶ περιέχον με, τοῦτό ἐστι τόπος· καὶ τὸ μεταξὺ τοῦ ὕδατος καὶ τῆς κοίλης ἐπιφανείας τοῦ ἀγγείου ἐστὶ τόπος, οὐκ αὐτὸ τὸ ἀγγεῖον. ἐπὶ γὰρ τοῦ τόπου ταῦτα ἀναγκαῖον συνδραμεῖν, τό τε περιέχειν ἐκεῖνο οὗ ἐστὶ τόπος, καὶ τὸ μηδὲν τοῦ πράγματος εἶναι, καὶ τὸ μὴ ἀπολείπεσθαι αὐτῇ, καὶ τὸ μήτε μείζονα εἶναι μήτε ἐλάττονα τοῦ περιεχομένου πράγματος, καὶ τὸ χωριστὸν αὐτὸν εἶναι. καὶ τοὺς μὲν λοιποὺς τῶν σωμάτων τόπους μερικοὺς λέγουσι, τὸν δὲ τῆς κοίλης τοῦ οὐρανοῦ ἐπιφανείας καθόλου. καὶ πάντα μὲν τὰ σώματα ἐν τόπῳ ἐστί, πλὴν τῆς ἀνάστρου σφαίρας ἧς τὸ περιέχον αὐτὴν οὐκ ἐν τόπῳ, διὰ τὸ ὑπ' ἀλλήλων περιέχεσθαι, ἡ δὲ ὁλότης οὔ. ὁ δὲ Ἀλεξανδρεὺς Στέφανος ἐξηγούμενος τὴν περὶ Οὐρανοῦ πραγματείαν περὶ τούτου ἐπαπορεῖ λέγων, εἰ ὑποθώμεθά τινα ἀνελθόντα ἄχρι τοῦ ἀκροτάτου μέρους τοῦ οὐρανοῦ καὶ τὴν χεῖρα ἐπιχειροῦντα ἐκβαλεῖν ἐπὶ τὰ ἔξω τοῦ οὐρανοῦ, ἆρά γε ὠθοῦσιν ἡ χεὶρ ἐξελεύσεται ἄνωθεν ἢ κωλυθήσεται ἐξελθεῖν; εἰ μὲν οὖν ὅτι ἐξελεύσεται, ἔσται ἐκεῖσε τόπος δεκτικὸς σώματος καί τι κενόν· εἰ δὲ μὴ ἐξελεύσεται, ἔσται ἐκεῖσέ τι σῶμα ἀντιτυποῦν καὶ κωλῦον τὴν ἔξοδον τῆς χειρός. κἀκεῖνος μὲν ἐπαπορήσας οὐδὲν ἐπελύσατο. ἡμεῖς δὲ λέγομεν ὅτι οὐ σῶμα ἀντίτυπον κωλύει τὴν χεῖρα ἐκεῖσε ἐξιέναι, ἀλλ' αὐτὸ τὸ εἶναι τὰ ἐκεῖσε σώματος ἄδεκτα, μὴ ἔχοντα φύσιν ἐπιδεκτικὴν σώματος· ὥσπερ γὰρ τὴν ὅρασιν λέγομεν μὴ ἀκούειν καὶ τὴν ἀκοὴν μὴ ὁρᾶν, οὐ διὰ τὸ ἐμποδίζεσθαι ἑκάστην πέρα τινὸς εἰς τὸ ἐνεργεῖν τὴν ἀλλοτρίαν ἐνέργειαν, ἀλλὰ διὰ

τερον, τὰς ἐναντίας ὧν εἶχε ποιότητας εἰσδεξάμενον εἰς πῦρ μετέβαλεν ἀπὸ ὕδατος, μενόντων τῶν πρὸς τὸ πῦρ κοινῶν, ἅπερ καὶ συνυπάρχειν ἠδύνατο ἑκατέραις ποιότησιν, εἴτε ἡ σωματικὴ φύσις ἐστὶν αὕτη μετά τινων ἐνίοτε κοινῶν, εἴτε ἡ πρώτη ὕλη· μεταβολῆς γὰρ γινομένης ἀνάγκη τὶ μὲν εἶναι περὶ ὅ τι γίνεται ἡ μεταβολή, τοῦτο δέ ἐστι τὸ κυρίως μεταβαλλόμενον κατὰ τὰς ποιότητας. καὶ οὐ μόνον ἐπὶ τῆς γενέσεως οὕτως ἔχει τοῦτο καὶ τῆς ἀλλοιώσεως τῶν ἑτέρων ὑπὸ τῶν ἑτέρων ποιοτήτων, ἀλλὰ καὶ ἐπὶ τῆς αὐξήσεως καὶ μειώσεως τῆς φυσικῆς· τὸ γὰρ αὐξόμενον φυσικῶς, οἷον τὸ τρεφόμενον, μεταβαλὸν τῆς τροφῆς τὰς ἐναντίας πρὸς ἑαυτὸ διαθέσεις καὶ ἐξομοιῶσαν αὐτὴν οὕτως ἑαυτῷ προσφύει καὶ αὔξεται· καὶ κἂν ἔχει τι θρεπτικὸν ἢ αὐξητικὴ δύναμις, ἀλλὰ κατὰ τὰς φυσικὰς μεταβολὰς οὕτως ἐπιτελεῖται. ἀλλὰ καὶ τὰ κατὰ τόπον κινούμενα μετέβαλον τόπον τοῦ κινουμένου μένοντος, ὥστε πᾶσα ἡ ὑπὸ σελήνην τροπὴ μεταβολή ἐστι μένοντος κατά τι τοῦ μεταβαλλομένου. διὸ οὐκ ἐκ τοῦ μὴ ὄντος ἀλλ' ἐξ ὄντος γίνεται τὰ κατὰ χρόνον γινόμενα· ὥσπερ γὰρ τοῦ χρόνου, καθ' ὃν ταῦτα γίνεται, προϋπάρχει τις ἄλλος χρόνος, μεθ' ὃν οὗτός ἐστιν, οὕτως καὶ τοῦ γινομένου προϋπάρχει τι ἄλλο, μεθ' ὃ καὶ ἐξ οὗ γέγονε τὸ γινόμενον. εἰκότως οὖν καὶ Ἀριστοτέλης τὴν μεταβολὴν ὡς γένος ἔθετο πάσης τῆς ὑπὸ σελήνην τροπῆς ἐν τοῖς φυσικοῖς. εἰκότως δὲ καὶ ἀΐδιός ἐστιν αὕτη ἡ μεταβολή, οὐ μόνον ὅτι ὑπὸ ἀϊδίου τῆς ἐν τῷ οὐρανῷ μεταβολῆς τοὺς κατὰ τὴν τοπικὴν κίνησιν καὶ τοὺς διαφόρους σχηματισμοὺς ὑφίσταται, ἀλλ' ὅτι καὶ ἡ ἄλλου φθορὰ ἄλλου πάντως ἐστὶ γένεσις. εἰκότως δὲ τὰ ἐνταῦθα ἁπλᾶ σώματα ταῖς μὲν ὁλότησιν ἀΐδια, κατὰ μέρη δὲ τὴν γένεσιν ὑπομένει καὶ τὴν φθοράν· εἰ γὰρ καὶ ἡ τῶν συνεστώτων μεταβολὴ μετὰ ταῦτα γίνεται πρώτως, καὶ διαλυόμενα φέρεται εἰς τοὺς οἰκείους τόπους φυσικῶς καὶ τὰς ἰδίας ὁλότητας, μένουσι δὲ ἐκεῖναι μέρη... ἑαυτῶν πέμπουσαι καὶ πάλιν μικρὰ δεχόμεναι, καὶ τοῦτο ἀεὶ διὰ τὴν ἀϊδιότητα τῆς μεταβολῆς. εἰκότως δὲ μεταβολῆς οὔσης τῆς ἐξ ἐναντίας ἕξεως εἰς τὴν ἐναντίαν, ὑπὸ τοῦ ἐναντίου αὐτῇ αἰτίου μεταβάλλεται. διόπερ ἐν τῷ πρώτῳ τῆς Φυσικῆς Ἀκροάσεως ὁ Ἀριστοτέλης τὰς ἀρχὰς τῶν ἐν γενέσει καὶ φθορᾷ φυσικῶν ζητῶν τὰ ἐναντία φησὶ καὶ τὸ τούτοις ὑποκείμενον. καὶ δηλονότι τὰ μὲν κατὰ ποιότητα γινόμενα καὶ φθειρόμενα ἐναντίας ἔχοντα ποιότητας ἐξ ἐκείνων μεταβάλλει, τὸ δὲ κατ' οὐσίαν μεταβάλλον, οἷον τὸ πῦρ καθὸ πῦρ ἢ ἄνθρωπος καθὸ ἄνθρωπος, αὐτὰ μὲν μεταβάλλει κατὰ τὴν τῶν ποιοτήτων εἰς ἄλληλα μεταβολήν, καθὸ δὲ πῦρ ἢ καθὸ ἄνθρωπος οὐσίαι εἰσί, τῇ δὲ οὐσίᾳ οὐκ ἔστιν ἐναντίον εἶδος. ἐκ τίνος οὖν ὡς ἄνθρωπος γίνεται; ἐκ τοῦ μὴ ἀνθρώπου πεφυκότος δὲ γενέσθαι ἀνθρώπου· τοιοῦτον δὲ τὸ σπέρμα καὶ τὸ καταμήνιον, μὴ ὂν ἄνθρωπος πεφυκὸς δέ· οὔτε γὰρ ὢν ἄνθρωπος γένοιτο ἂν ἄνθρωπος (τὸ γὰρ ὂν οὐ γίνεται) οὔτε μὴ ὢν μηδὲ πεφυκὼς γένοιτ' ἂν ἄνθρωπος. κοινῶς οὖν στέρησιν ἔθος καλεῖν τοῦτο, ὡς τὸ νεογενὲς σκυλάκιον ἐστερῆσθαι λέγεται ὀφθαλμῶν, ὅτι πέφυκεν ἔχειν· τὸ μέντοι τελείως ἐκτυφλωθὲν κατ' ἄλλην στέρησιν τὴν μὴ ἀνακάμπτουσαν ἐστερῆσθαι λέγεται ὀφθαλμοῦ· ἡ γὰρ γενεσιουργὸς στέρησις, ἀφ' ἧς εἰς τὸ εἶδος μεταβάλλει τὰ λεγόμενα γίνεσθαι, ἀνακάμπτει εἰς τὸ εἶδος. ἐπεὶ οὖν καὶ ὅταν ἀπὸ θερμοῦ γίνηται ψυχρόν, ἀπὸ τοῦ μὴ ψυχροῦ πεφυκότος δὲ γενέσθαι ψυχροῦ γίνεται, καὶ διὰ τοῦτο ἐκ θερμοῦ (τὸ γὰρ ξηρὸν οὐ πέφυκε μεταβάλλειν ὑπὸ τοῦ ψυχροῦ· συνυπάρχειν γὰρ αὐτῷ δύναται)· εἰ οὖν τὸ μὲν ἐκ τοῦ ἐναντίου εἴδους γίνεσθαι τὸ γινόμενον οὐ πᾶσιν ὑπάρχει τοῖς γινομένοις (οὐ γὰρ δὴ πρώτως καὶ ταῖς οὐσίαις· οὐ γάρ ἐστί τι τῇ οὐσίᾳ ἐναντίον, τὸ δὲ ἐκ τοῦ μὴ τοιούτου πεφυκότος δὲ πᾶσιν ὑπάρχει καὶ τοῖς ἐξ ἐναντίων εἰδῶν μεταβάλλουσιν), εἰκότως κοινῶς τῆς γενέσεως ἀρχὰς εἶδος καὶ στέρησιν καὶ τὸ ὑποκείμενον εἶπεν ὁ Ἀριστοτέλης. ἐναντίον δὲ καλεῖ τὸ εἶδος καὶ τὴν στέρησιν οὐ κατὰ τὸ κυρίως τοῦ ἐναντίου σημαινόμενον (εἴδη γάρ ἐστιν ἄμφω τὰ ἐναντία), ἀλλὰ κατὰ τὴν ἀντίθεσιν· ἀντίκειται γὰρ καὶ ταῦτα ἀλλήλοις. μεμνῆσθαι δὲ χρὴ ὅτι κἂν πρώτη ἡ οὐσία μὴ ἐξ ἐναντίου γίνηται κυρίως, μηδὲ εἰς τὸ ἐναντίον φθείρηται, διὰ τὸ μὴ εἶναι οὐσίαν οὐσίᾳ ἐναντίαν, ἀλλὰ πρῶτον μὲν ἐκ τῆς οἰκείας στερήσεως, ἔπειτα διὰ τὰς τῶν ἐναντίων γενέσεις καὶ αὕτη τὸ γίνεσθαι ἴσχει, καὶ αὖ πάλιν διὰ τὰς τῶν ἐναντίων εἰς τὸ ἐναντίον φθορὰς τὸ φθείρεσθαι· ὅτε γὰρ αἱ ἐν τῷ σπέρματι καὶ καταμηνίῳ ποιότητες καὶ ποσότητες, εἰς ἃς πεφύκασιν, ἐναντίας ἑαυταῖς οὔσας τὰς τοῦ ἀνθρώπου μεταβάλλουσι, τότε εἶδος τοῦ ἀνθρώπου παραγίνεται. καὶ πάλιν ὅταν πλεονεκτησάντων τινῶν στοιχείων καὶ τῶν ἐναντίων ἡσσηθέντων εἰς ἀναρμοστίαν ὑπεναχθῇ τὸ ὑποκείμενον, τότε φθείρεται, ἄλλως δὲ οὔ. ἀλλ' ἴδωμεν κατὰ ποῖον μὲν τοῦ γεννητοῦ σημαινόμενον ὁ Ἀριστοτέλης ἀποφάσκει τοῦ οὐρανοῦ τὸ γενητόν, ἀγέννητον αὐτὸν ἀποδεῖξαι σπουδάζων, κατὰ ποῖον δὲ ὁ Πλάτων τὸν κόσμον γενητόν φησιν. ὁ μὲν οὖν Ἀριστοτέλης ὅτι γένεσιν καλεῖ ταύτην μόνην τὴν ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι κατὰ χρόνον μεταβολήν, ἣν πάντως φθορὰ διαδέχεται, δῆλον μὲν ἐξ ὧν οὐκ ἀγέννητον μόνον ἀλλὰ καὶ ἄφθαρτον ἀποδείξει τὸν οὐρανόν, ἔτι δὲ μᾶλλον ὅταν ἀποδείξῃ ὅτι τὸ γινόμενον φθείρεται καὶ τὸ ἀνάπαλιν. δῆλον γὰρ ὅτι γένεσιν καὶ φθορὰν ταύτας λαμβάνει τὰς ἐν μέρει χρόνου γινομένας καὶ τοῖς ὑπὸ σελήνην ὑπαρχούσας· διόπερ ἄλλην τινὰ εἶπεν οὐσίαν παρὰ τὰ ὑπὸ σελήνην τὴν τοῦ οὐρανοῦ πρώτην τούτων τῇ φύσει καὶ τελειοτέραν· ὥσπερ γὰρ βάρος καὶ κουφότητα καὶ τὴν ἐπ' εὐθείας κίνησιν ἰδίᾳ τῶν ὑπὸ σελήνην ὄντα ἀποφάσκει αὐτῆς, οὕτως καὶ τὸ γενητὸν αὐτῶν καὶ φθαρτόν. καὶ τοῦτο μὲν ἀναμφίλεκτον οἶμαι καὶ ἐκ τοῦ μεταβολήν τινα τὴν γένεσιν ἔχειν καὶ τὴν φθοράν, ὡς ἄλλου μετ' ἄλλου γινομένου καὶ φθειρομένου, καὶ τοῦ πρὸς τοὺς λέγοντας γενητὸν μὲν ἄφθαρτον δὲ τὸν κόσμον ἀντιλέγειν καὶ δεικνύναι ὅτι τὸ γινόμενον πάντως καὶ φθείρεται. καὶ οὐδὲν καινὸν τὸ τὰ πᾶσι πρόδηλα βουλόμενον ἀεὶ λαμβάνειν τὸν Ἀριστοτέλην τοῦτο λέγειν, γενητὸν τὸ πάσης γενέσεως μετέχον καὶ ἐναργῶς ὁρώμενον ἐν μέρει χρόνου γινόμενόν τι καὶ φθειρόμενον. ὁ δέ γε Πλάτων οἶδε μὲν καὶ ταύτην τὴν γένεσιν τὴν τῶν ὑπὸ σελήνην τὴν ἀντικειμένην τῇ φθορᾷ, ἐν τῷ δεκάτῳ τῶν Νόμων (p. 894) γράφων οὕτως "γίνεται δὴ πάντων γένεσις, ἡνίκα ἂν τί πάθος ᾖ; δῆλον ὡς ὁπόταν ἀρχὴ λαβοῦσα αὔξην εἰς τὴν δευτέραν ἔλθῃ μετάβασιν, καὶ ἀπὸ ταύτης εἰς τὴν πλησίον, καὶ μέχρι τριῶν ἐλθοῦσα αἴσθησιν σχῇ τοῖς αἰσθανομένοις. μεταβαῖνον μὲν οὕτω καὶ μετακινούμενον γίνεται ἅπαν· ἔστι δὲ ὄντως ὄν, ὁπόταν μένῃ· μεταβαλὸν δὲ εἰς ἄλλην ἕξιν διέφθαρται παντελῶς."

πρώτοις τῶν κυρίως γινομένων διαστάσεως ἀναφανείσης καὶ μερισμοῦ καὶ μεταβολῆς, ἀλλ᾽ οὐ σωζομένης εἰλικρινοῦς τῆς πρὸς τὸ ἀμέριστον ὁμοιότητος, διακέκριται μὲν τὰ συμπληροῦντα τὴν οὐσίαν ἐκείνην καὶ μέρη καὶ εἴδη, δρᾷ δὲ εἰς ἄλληλα καὶ πάσχει ὑπ᾽ ἀλλήλων ἅτε διαστάντα ἀπ᾽ ἀλλήλων, μενούσης δὲ ὅμως τῆς οὐσίας, καὶ δρᾷ τὰ δρῶντα καὶ πάσχει τὰ πάσχοντα, τελειοτάτης οὔσης τῆς ἀλλήλων ἐνεργείας· τῇ γὰρ ἀλλήλων μετοχῇ τὴν ἐν τῷ ὄντως ὄντι ἕνωσιν ἀπεικονίζεται τὰ ἐν τῷ γινομένῳ εἴδη. ἀλλὰ τὰ μὲν ἐν τῷ προσεχῶς ὑπὸ τοῦ ὄντος ὑφισταμένῳ τελεσιουργῶς τοῦτο δρᾷ, τὰ δὲ ἀπὸ τούτων ὑφιστάμενα λοιπὸν ἀπὸ τοῦ ἀεὶ τοῦ χρονικοῦ πρὸς τὸ ποτὲ τὸ ἐν μέρει χρόνου ὑπελθόντα, διότι κατὰ τὰς ἄλλοτε ἄλλας γινομένας διαθέσεις τῶν οὐρανίων ὑφίσταται, ὡς ταδὶ μὲν ἐν τοῖσδε τοῖς ζωδίοις τοῦ ἡλίου τυγχάνοντες, ταδὶ δὲ ἐν τοῖσδε. πολλῆς οὖν γινομένης τῆς ἐν τῷ ἐσχάτῳ πλήθει διαστάσεως καὶ τῶν ὑπὸ σελήνην οὐσιῶν ἐκ τῶν οὕτω διεστηκότων συντεθειμένων, οὔτε πάντα μετέχει πάντων οὔτε πάντα ἐν πᾶσιν, ἀλλ᾽ ὅσα μὲν διάφορα ὄντα ἐν ἑνὶ εἴδει συνδεδράμηκε, ταῦτα δύναται συνυπάρχειν ἀλλήλοις ἀστασιάστως ἀλλήλων μετέχοντα, τὰ δὲ ἐναντία τὴν πᾶσαν ἐνταῦθα διάστασιν ὑπομείναντα συνάγεται μὲν εἰς τοῦτο πάντως, καὶ μάλιστα τὰ γενικώτερα, οἷον θερμότητες ψυχρότητες ξηρότητες ὑγρότητες καὶ τὰ συνεδρεύοντα τούτοις ἑκάστῃ τῶν αἰσθήσεων ἀντιληπτά, οἷον λευκότητες μελανίαι ὀξύτητες βαρύτητες γλυκύτητες πικρότητες τραχύτητες λειότητες καὶ αἱ κατὰ τὰς ὀσμὰς ἀντιθέσεις, συνάγονται δὲ οὐ καθ᾽ αὑτό, ἀλλὰ τῶν μὲν ἐνόντων αὐτοῖς σωμάτων, ἐν οἷς ὑφεστήκασι, ταῦτα δέ ἐστι τὰ πρῶτα στοιχεῖα πῦρ ἀὴρ ὕδωρ γῆ, ἐξ ὧν τὰ ἄλλα συνέστη τά τε ζῷα καὶ τὰ φυτά. ἀλλ᾽ ὅταν μὲν ἐναρμονίου καὶ συμμέτρου τινὸς ἀπὸ τῶν οὐρανίων τύχῃ συναγωγῆς, πρὸς τόδε τι ἢ τόδε τῶν συνθέτων εἰδῶν ἐπιτηδειότητα ἐχούσης, ἐλλάμπει τότε τὸ εἶδος ἐκεῖνο, καὶ αὐτό τε συνέχει τὴν τῶν ἐναντίων συνδρομὴν καὶ ὑπ᾽ αὐτῆς ἐκεῖνο συνέχεται· ὅταν δὲ τὰ ἐναντία διὰ τὸ φυσικὸν δύσμικτον, οἷον πῦρ καὶ ὕδωρ, ἐπιμένῃ μαχόμενα κατὰ τὰς ἐναντίας ποιότητας, τότε ἀνάγκη ποτὲ τὸ ἕτερον ἐπικρατοῦν ἐκ τῆς τοῦ ἀντικειμένου μειώσεως συναύξεσθαι· καὶ φθίνεται μὲν τότε τὸ σύνθετον εἶδος ἐκεῖνο τὸ τῇ τοιᾷδε συμμετρίᾳ τῶν στοιχείων πεφυκὸς ἐπιγίνεσθαι, οἷον τὸ τοῦ βοὸς ἢ τοῦ ἵππου, ἄλλου δὲ εἴδους συμμετρίας τοῖς στοιχείοις ἐγγενομένου κατὰ τὴν πλεονεξίαν καὶ μειονεξίαν τῶν στοιχείων, καὶ ἄλλης ἐπιτηδειότητος, μέλιτται μὲν ἀπὸ βοὸς σφῆκες δ᾽ ἀφ᾽ ἵππων γίνονται, καὶ σκώληκες ἀπὸ διαφόρων ζῴων καὶ φυτῶν διάφοροι. ἔστι δ᾽ ὅτε πολλῆς τινὸς πλεονεξίας τῶν στοιχείων ἐν τοῖς συνθέτοις γινομένης, ἢ καμόντα λοιπὸν καὶ γηράσαντα ἀνεπιτήδεια γίνεται πρὸς συνθέτου εἴδους ὑποδοχήν, καὶ διαλυθέντα τότε εἰς τὰς ἑαυτῶν ὁλότητας χωρεῖ, καὶ ἐκνεασθέντα ἐκεῖ καὶ ἀνηβήσαντα τότε πάλιν ἔρχεται πρὸς σύνθεσιν. δηλοῖ δὲ μάλιστα τὸ ὕδωρ ταῦτα, τότε πρὸς γένεσιν καὶ τροφὴν ἐπιτήδειον ὄν, ὅταν καθαρὸν γένηται καὶ τῆς ἑαυτοῦ ὁλότητος ἀπομερίζηται, ὡς ἀπὸ πηγῶν ὁρᾶται. καὶ δηλονότι καὶ ἡ γένεσις ἐνταῦθα καὶ ἡ φθορὰ μεταβολή τίς ἐστιν ὑπό τε τοῦ ἐναντίου γινομένη καὶ ἐκ τῆς ἐναντίας ἕξεως εἰς τὴν ἐναντίαν μεθισταμένη· ἐπὶ μὲν τῶν στοιχείων, τοῦ ὕδατος; εἰ τύχῃ ὑπὸ τοῦ πυρὸς εἰς τὴν ἐναντίαν ἑαυτοῦ σύστασιν τὴν πύρειον μεταβαλλόμενον, καὶ οὕτως γίνεται τὸ πῦρ ἐξ ἐναντίας μὲν ἑαυτοῦ τοῦ ὕδατος κατὰ τὰς ἐναντίας ποιότητας, ὑπὸ τοῦ ἐναντίου δὲ τῷ ὕδατι τοῦ πυρός. δεῖ γὰρ τὸ μὲν φθειρόμενον ἐναντίον εἶναι τῷ φθείροντι, τὸ δὲ γινόμενον ταὐτὸν τῷ ποιοῦντι· ἡ γὰρ τῶν στοιχείων ποίησις εἰς ἑαυτὰ μεταβολὴ τῶν ποιούντων ἐκ τῶν πασχόντων ἐστίν, ἐπιτηδείως ἐχόντων δηλονότι τῶν ὑποκειμένων πρὸς ἑκάτερα. καὶ ἡ φθορὰ πάλιν ὑπὸ τοῦ ἐναντίου γίνεται· φθείρεται γὰρ τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς εἰς τὸ πῦρ· ὥστε καὶ ἡ ἄλλου φθορὰ ἄλλου γένεσις καὶ ἡ ἄλλου γένεσις ἄλλου φθορά, τῶν μὲν ποιοτήτων ἀπολλυμένων εἰς τὸ μὴ ὄν· ὅταν γὰρ ἐξ ὕδατος γένηται πῦρ, ἡ ψυχρὰ καὶ ὑγρὰ ποιότης οἴχεται, τῆς σωματικῆς οὐσίας τὰς τοῦ πυρὸς μεταλαμβανούσης ποιότητας. καὶ τοῦτο μὲν ὅταν ἐξ οὐσίας εἰς οὐσίαν μεταβολὴ γίνηται· ὅταν δὲ ἀμυδροτέρα τις δρᾶσις καὶ πεῖσις εἰς ἄλληλα τῶν στοιχείων κατὰ τὰς ποιότητας γίνηται, ὥστε ἀλλήλοις ὑφ᾽ ἑαυτῶν ποιεῖν διάθεσιν, καὶ θερμαίνεσθαι μὲν τὸ ὕδωρ μένον ὕδωρ, ψύχεσθαι δὲ ἢ ὑγραίνεσθαι τὸ πῦρ μένον πῦρ, τότε ἀλλοίωσις λέγεται καὶ πάθος τὸ συμβαῖνον, ὅτι μὴ ἄλλη τις οὐσία ἐξ ἄλλης ἀλλ᾽ ἀλλοία γέγονε μόνον. καὶ δῆλον ὅτι οὐχ ἡ τυχοῦσα μόνον γίνεται ὑπὸ τοῦ τυχόντος διάθεσις, ἀλλ᾽ ἡ ἐναντία ἐκ τῆς ἐναντίας· τὸ γὰρ πάσχον ὑπὸ ποιοῦντος πάσχει, καὶ ποιοῦντος κατὰ τὴν ἑαυτοῦ φύσιν καὶ αὐτῷ τῷ εἶναι· οὕτω γὰρ ποιεῖ τὰ κατὰ φύσιν ποιοῦντα, καὶ τοιοῦτον πάσχει πάθος οἷον ἦν τὸ ποιοῦν, ἤτοι καθ᾽ αὑτὸ ἐποίει καὶ φυσικῶς. τὸ δ᾽ οὕτως ποιοῦν πάθος ἐμποιεῖ ὁποία ἦν ἡ ποιότης αὐτοῦ, καθ᾽ ἣν ποιεῖ. τὸ γὰρ ποιοῦν φυσικῶς εἰς ἑαυτὸ μεταβάλλειν βούλεται τὸ πάσχον· μεταβάλλεται δὲ τὸ ἐναντίον εἰς τὸ ἐναντίον καὶ ἡ ἐν τῷ ψυχομένῳ θερμότης εἰς τὴν ἐν τῷ ψύχοντι ψυχρότητα. ἀλλ᾽ ὅταν μὲν ὡς εἶπον ἀλλοίωσις ᾖ τὸ γινόμενον, ἀτελῶς ταῦτα γίνεται, καὶ ψύχεται μὲν τὸ πρότερον ὑπάρχον θερμόν, οὐχ οὕτως δὲ ὡς τελείως ψυχθὲν μεταβαλεῖν εἰς τὴν τοῦ ψύχοντος φύσιν, ὅπερ ἐπὶ τῶν φθειρομένων ἢ γινομένων συμβαίνει· πάντως δὲ τὸ ἐναντίον δρᾷ καὶ ἐκεῖνο φθείρει, μεταβάλλειν εἰς ἑαυτὸ βουλόμενον τὸ πάσχον· εἰ γὰρ τὸ πῦρ τὸν ἀέρα μεταβάλλει εἰς ἑαυτὸ καὶ ἐκφλογοῖ, ἀλλ᾽ οὐ τῇ θερμότητι ξηρὸν ποιεῖ καθ᾽ αὑτὸ ἀλλὰ τῇ ξηρότητι, καὶ ἡ θερμότης κατὰ συμβεβηκὸς τῇ ξηρότητι συνεργεῖ. ὥστε καὶ συλλογίσαιο ἂν οὕτως. τὰ φυσικῶς δρῶντα τῶν ὑπὸ σελήνην ἑαυτὰ πολλαπλασιάζειν ταῦτα βουλόμενα δρᾷ· τὰ διὰ τὸ πολλαπλασιάζειν ἑαυτὰ δρῶντα μεταβάλλει τὰ πάσχοντα εἰς ἑαυτά· μεταβάλλοντα εἰς ἑαυτὰ τὰ πάσχοντα τὰ ἐν τοῖς πάσχουσι μὴ δυνάμενα συνυπάρχειν ἑαυτοῖς φθείρουσι· τὰ γὰρ δυνάμενα συνυπάρχειν ἐν τῷ κοινῷ ὑποκειμένῳ οὐ φθείρει ἄλληλα. φθαρέντων οὖν τῶν ἐν τῷ πάσχοντι ἐναντίων ὑπὸ τῶν ἐν τῷ ποιοῦντι ἐναντίων, τὸ ὑποκείμενον προσλαβὸν τὰς τοῦ ποιοῦντος ποιότητας ἢ ποσότητας ἀνθ᾽ ὧν πρότερον εἶχεν ἐναντίων αὐταῖς, μεταβάλλεται εἰς τὴν τοῦ ποιοῦντος φύσιν, καὶ γίνεται πρότερον ὂν ὕδωρ ὑπὸ τοῦ πυρὸς πῦρ διὰ μέσου ἀέρος, τῆς θερμότητος πρῶτον ὡς δραστικωτέρας τὴν ψύξιν ἐκβαλλούσης ἀπὸ τοῦ ὕδατος, εἶτα καὶ τῆς ξηρότητος τὴν ὑγρότητα. καὶ μεγέθη δὲ καὶ σχήματα, ὅσα μὴ δύναται συνυπάρχειν, ἀμείβεται εἰς τὰ ἐναντία· καὶ οὕτως ἡ σωματικὴ διάστασις τοῦ ὕδατος, ἢ εἴ τι ἄλλο ἐστὶν ἐν αὐτῷ ὑλικώ-

αὐτοκίνητον, διότι τὴν ὑποστατικὴν τὴν κατὰ ἓν αἰτίαν οὐκ ἐν ἑαυτῷ ἔχει, ὥσπερ τὸ ἡνωμένον καὶ τὸ μετ' αὐτό· εὐθὺς δὲ τοῦτο καὶ διάστασιν ὑπέμεινε τῆς τε οὐσίας καὶ τῆς κατὰ τὸ εἶναι περιστάσεως, ἅτε τοῦ ἑνὸς ἀποφοιτῆσαν καὶ διαστὰν πάντῃ καὶ σῶμα γεγονὸς καὶ τῷ σώματι συγγενῆ, καὶ χρόνος αὐτῷ συμπροῆλθεν ἀπὸ τοῦ αἰῶνος ἐκείνου τὴν παράτασιν τοῦ εἶναι μετρῶν καὶ τὸ ἀεὶ τὸ χρονικὸν παρεχόμενος. οὐκέτι δὲ ἅμα ὅλον ἐνταῦθα οὔτε κατὰ τὴν οὐσίαν οὔτε κατὰ τὴν τοῦ εἶναι παράτασιν, ἢ ὡς ἂν εἴποι τις κατὰ τὸν βίον. διὸ οὐδὲ κυρίως ἓν πολλοῦ τοῦτο τοῦ μὴ ὄντος μετεσχηκός· οὔτε γὰρ τοδὶ τὸ τῆς οὐσίας αὐτοῦ μέρος ἐστὶν ὅπερ τοδί, οὔτε τὸ εἶναι ταὐτόν ἐστιν, ἀλλ' ἄλλοτε ἄλλο τοῦ χρόνου ῥέοντος· ὥστε οὐδὲ τὴν ἀπὸ τοῦ αἰτίου γένεσιν ἅμα ὅλην ὑποδέχεσθαι (ἦν γὰρ ἂν καὶ τοῦτο ὄν), ἀλλὰ κατὰ μέρος ὡς δυνατόν. ἐκστὰν δὲ ὅλως τοῦ ἑνὸς τὸ ἐν τούτῳ πλῆθος, καὶ ἐπεισάκτως αὐτοῦ μετέχον, σύνθετον ἀντὶ ἡνωμένου γέγονε, διὸ καὶ τελείως ἑτέρωθεν τὴν ὑπόστασιν ἔχει. τὸ μὲν γὰρ ἡνωμένον πλῆθος ἐν ἑαυτῷ τὸ ἓν ἔχον, ἐπειδὴ τὸ ἕν ἐστι τὸ πάντων ὑποστατικὸν καὶ κυρίως ὑποστατικόν, κἂν ἀπῆλθε τοῦ μόνως ὑφιστάνοντος, ἀλλ' ὅμως ἐν ἑαυτῷ τὸ ὑφιστάνον ἔχον αὐθυπόστατον γέγονε· τὸ δὲ σύνθετον πλῆθος ἐπείσακτον ἔχει τὸ τῆς συνθέσεως ἕν· καὶ γίνεται τοῦτο εὐθὺς τὸ ἓν εἶδος, ὡς ἐν ὕλῃ τῇ τοῦ τοιούτου πλήθους ἀοριστίᾳ καὶ διαστάσει γινόμενον, ὥσπερ τὸ αὐτοκίνητον μέσως ἀμφοῖν ἔχει. τὸ οὖν ὡς εἶδος ἐν ὕλῃ τοῦ ἑνὸς μετέχον διὰ τὴν σύνθεσιν, καὶ μὴ ἅμα ὅλον ὑφεστηκός, μήτε κατ' οὐσίαν μήτε κατὰ τὴν τοῦ εἶναι παράτασιν, καὶ μηδαμῶς τοῦ εἶναι ἑαυτῷ αἴτιον διὰ τὸν μερισμόν, δι' ὃν οὐκέτι ἐν ἑαυτῷ τὸ ὂν ἔχει· τὸ γὰρ μεριστὸν μέρει μέρος ὑφιστάνον οὐκέτι ὅλον οὐδὲ κυρίως ἐστὶν αὐθυπόστατον· ὥστε οὐδὲ τὸ μεριστὸν μέρος κινοῦν κυρίως αὐτοκίνητον· ἀμερὲς γὰρ ἀνάγκη καὶ ἀδιάστατον εἶναι καὶ ὅλον ὅλῳ ἑαυτῷ ἐφαρμόττον τὸ κυρίως αὐθυπόστατον καὶ αὐτοκίνητον· τὸ δὲ μεριστὸν καὶ διεστὸς ἔξωθεν μόνον ἔχει τὸ εἶναι. καὶ διὰ τοῦτο οὖν καὶ ὅτι σύνθετον καὶ ὅτι μὴ ὅλον ἅμα ἐστὶν ὅπερ ἐστίν, ἀλλ' ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, τοῦτο κυρίως ἤδη γεννητόν ἐστι καὶ πρὸς τὸ κυρίως ὂν ἀντιδιῃρημένον, ὃ καὶ τὸ εἶναι παρ' ἑαυτοῦ ἔχει καὶ ἅμα ὅλον ἐστὶ τοῦτο ὅπερ ἐστίν. τὸ δὲ τοιοῦτον γεννητὸν καὶ μεταβολὴν εὐθὺς ἀπὸ τοῦ ὄντος ἔχει καὶ κίνησιν, ὅτι μὴ ἔμεινεν ἐν τῷ κυρίως ὄντι, διὸ μὴ μένον ἐν τῇ αὐτῇ καταστάσει τελέως· ἔμενε γὰρ ἂν ἐν τῷ ἑνί, καθάπερ τὸ ὄντως ὂν μεταβάλλει καὶ κινεῖται ἀεὶ ἀπὸ τῆς προτέρας ἕξεως. διὸ καὶ ὁ χρόνος αὐτῷ συμπαραθέει μετρῶν αὐτὸ καὶ εὐθετίζων ταύτην τὴν ἀπόστασιν, ὥσπερ ἄλλοτε μεμερισμένην διάστασιν εὐθετίζει καὶ τὴν σωματικὴν φύσιν, εἴτε ὁ τόπος εἴτε ἄλλο τι ταύτην ἔχει τὴν δύναμιν. τοῦτο μὲν οὖν διὰ τὰς εἰρημένας αἰτίας τὸ κυρίως γεννητόν ἐστιν. αὐτοῦ δὲ τούτου τὸ μὲν προσεχῶς ἀπὸ τοῦ ὄντος ὑφιστάμενον, ἅτε ἀκινήτου τούτου ὄντος καὶ ἀεὶ τὴν αὐτὴν ἔχοντος κατάστασιν καὶ κατ' οὐσίαν καὶ κατὰ δύναμιν καὶ κατ' ἐνέργειαν, δεῖ καὶ αὐτὸ μένειν ἀεὶ γινόμενον, τοῦ μὲν κυρίως ὄντος εἰς τὸ γενόμενον ὑπελθόντος, τοῦ δὲ ἀεὶ τοῦ αἰωνίου εἰς τὸ χρονικὸν ἀεί· τὴν γὰρ τοῦ ὄντος τελειότητα καὶ παντότητα τὴν ἅμα ὅλην ὑφεστῶσαν τοῦτο κατὰ μέρος ὑποδέχεται, τὴν ἄπειρον ἐκείνου δύναμιν τῷ ἐπ' ἄπειρον τοῦτο μιμούμενον. τοιοῦτος ἡμῖν ὁ πολυτίμητος οὐρανὸς ἀνεφάνη πρῶτον ἐν τῇ σωματικῇ φύσει μετὰ τὴν νοητὴν διακόσμησιν ὑποστάσει εἰκὼν καλλίστη πρὸς τὸ τῶν παραδειγμάτων ἄριστον· ἀπὸ γὰρ ἑνώσεως καὶ ταὐτότητος εἰς ὁμοιότητα τὴν πρὸς τὸ ὂν τὸ γεννητὸν ὑπελθὼν εἰκὼν γέγονεν, ἅτε τῷ ἐοικέναι λοιπὸν ἀλλ' οὐχὶ τῷ εἶναι πρὸς τὸ ὂν συναπτόμενον. κινηθεὶς δὲ ἀκινήτως ὁ οὐρανὸς καὶ μεταβαλὼν ἀμεταβλήτως μόνας ἐκείνας ἔσχε τὰς μεταβολάς, ὅσαι τῷ μονίμῳ συνυπάρχειν ἠδύναντο· διὸ κίνησιν μὲν τὴν κατὰ τόπον ἔσχε τὴν μενούσης τῆς οὐσίας καὶ τῆς κατ' οὐσίαν διαθέσεως δυναμένην ἐπιτελεῖσθαι· αὕτη γὰρ τῶν μεταβολῶν ὡς ἥκιστα τῆς οὐσίας καὶ τῆς διαθέσεως ἅπτεται. καὶ τῆς κατὰ τόπον δὲ ἐκείνην ἔλαχε καθ' ἣν καίτοι κατὰ τόπον κινούμενος οὐκ ἐξίσταται τοῦ τόπου, ἀλλ' ἐν τῷ αὐτῷ μένει κινούμενος, τῶν κατ' εὐθεῖαν κινουμένων οὐδὲ τὸ βραχύτατον ἐν τῷ αὐτῷ μενόντων τόπῳ· ὥστε τὴν κύκλῳ κίνησιν μονὴν μᾶλλον εἶναι ἢ κίνησιν, εἴπερ τὰ κατ' αὐτὴν κινούμενα θαυμαστὸν δή τινα τρόπον τῷ μὲν ὅλῳ μένει τοῖς μέρεσι δὲ περιδινεῖται. ἀΐδιος δὲ ὢν διὰ τὴν ἀπὸ τοῦ ἀκινήτου προσεχῶς ὑπόστασιν τῆς ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ ὂν μεταβολῆς ὑπερανέχει· εἰ γὰρ ἐγίνετό ποτε, μὴ πρότερον ὤν, ἀνάγκη καὶ τὸ αἴτιον αὐτοῦ ποιεῖν τί ποτε, μὴ πρότερον πεποιηκός, καὶ μηκέτι ἀκίνητον μηδὲ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον φυλάττεσθαι· καὶ εἰ ἐφθείρετο, αὐτό τε ἐξειστήκει ἂν τῆς πρὸς τὸ ἀκίνητον αἴτιον ὁμοιότητος, καὶ τὸ αἴτιον τὸ προσεχὲς οὐκέτι αἴτιον ἦν, οὐδὲ τῷ εἶναι ποιοῦν τὰ προσεχῶς ὑπ' αὐτοῦ ὑφιστάμενα. ἡ δὲ αὔξησις καὶ μείωσις γένεσίς τις οὖσα καὶ αὐτὴ φθορὰ παντελῶς ἀλλοτρία τοῦ προσεχῶς ὑπὸ ἀκινήτου αἰτίου γινομένου γεννητοῦ καθέστηκεν· ἡ δὲ ἀλλοίωσις κατά τινα τρόπον, ὃν ἴσως προϊόντες εἰσόμεθα, δύναται μετ' αὐτοῦ θεωρεῖσθαι. τοιοῦτον δὲ ὑποστὰν τὸ πρώτιστον καὶ τελειότατον τῆς σωματικῆς ὑποστάσεως γένημον καὶ αὐτὸ ὑπάρχει, οὐ μέντοι παντελῶς ἀμετάβλητον· κἂν γὰρ πολλῶν καὶ μακαρίων μετέχον ἀπὸ τοῦ γεννήσαντος ἀγαθῶν, ὡς ἐν τῷ Πολιτικῷ φησὶν ὁ Πλάτων, ἀλλ' οὖν κεκοινώνηκέ γε καὶ σώματος, τουτέστι διέστη καὶ ἐμερίσθη, καὶ τὴν ἀπὸ τοῦ ὄντος ἔκστασιν ὑπέμεινε. διὸ μεταβολῆς ἀμοίρῳ μένειν αὐτῷ παντάπασιν ἀδύνατον ἦν· μεταβάλλον δὲ κατά τε τὴν τοπικὴν κίνησιν καὶ τοὺς σχηματισμοὺς καὶ ἄλλο τι ἐν ἄλλῃ ἕξει καθιστάμενον, κατὰ τὴν ἄλλοτε ἄλλην ὑπὸ τῶν αἰτίων μέθεξιν τῆς ἐπιβαλλούσης αὐτῷ ἀγαθότητος, παράγει τὰ ὑφ' ἑαυτόν, οὐκέτι ἀκινήτως ὥσπερ αὐτὸς παρήχθη, ἀλλὰ κινουμένως αὐτὰ ὑφιστάνων. ἐνταῦθα τοίνυν καὶ ἡ κατ' οὐσίαν ἐξεφάνη μεταβολὴ πρώτως καὶ γένεσις καὶ φθορὰ τὴν ἀρχὴν ἔσχεν, ἀλλ' οὔτε ἐκ τοῦ πάντῃ μὴ ὄντος ἡ γένεσις, οὔτε εἰς τὸ πάντῃ μὴ ὂν ἡ φθορά, διότι καὶ τὰ αἴτια ἀπὸ ἄλλης ἕξεως εἰς ἄλλην μεταβάλλοντα τὰς διαφορὰς τῶν ἐνταῦθα παραγενομένων ὑφίστησι. τάχα δὲ σαφέστερον ὧδε ῥητέον. τὸ μὲν νοητὸν πλῆθος καὶ κατὰ τὴν διάκρισιν τὴν ἑαυτοῦ τὴν ἐν νοητῷ θεωρουμένην ἡνωμένον ἐστίν, ἅτε παντὸς τοῦ ὄντως ὄντος ἐν τῷ ἑνὶ μένοντος· διὸ καὶ οὐ μόνον τὰ διάφορα εἴδη ἅμα συνυφέστηκεν ἐν ἐκείνῃ τῇ οὐσίᾳ, ἀλλὰ καὶ τὰ ἐναντία, καὶ μετέχει ἀλλήλων καὶ ἥνωται πρὸς ἄλληλα, ὡς μηκέτι ἐπείσακτον εἶναι τὴν μέθεξιν, μηδὲ τὸ ποιεῖν καὶ πάσχειν χώραν ἔχειν ἐκεῖ. διὸ καὶ γενέσεως τῆς κυρίως ἐξῄρηται ἐκεῖνα. ἐν δὲ τοῖς

ἠξίωσεν ἐκθέσθαι, καὶ ἐγὼ δὲ πειράσομαι λοιπὸν τὰς τοιαύτας παρατρέχειν· ὁ δὲ νεαρὸς ἡμῖν οὗτος κόραξ, μᾶλλον δὲ κολοιός, "ἄκραντα γαρυόμενος Διὸς πρὸς ὄρνιθα θεῖον" κατὰ τὸν μεγαλορρήμονα Πίνδαρον (Ol. 2 87), καὶ πρὸς τὰ ἐνταῦθα τῷ Ἀριστοτέλει ῥηθέντα παρεκδυόμενος πρώτην μὲν ἔνστασιν ἐπάγει τὴν τοῦ Ξενάρχου τρίτην ὑποβαλλόμενος. id. f. 10.

269 b 1. ἀπορεῖ πρὸς ταῦτα ὁ Ἀλέξανδρος ἐπὶ τοῦ ὑπεκκαύματος, καὶ τοῦ Ἀριστοτέλους λέγοντος ὅτι τὸ ἐφεξῆς σῶμα τῷ κυκλοφορητικῷ ἀεὶ ὑπ' ἐκείνου περιφέρεται κύκλῳ, καὶ τοῦ Ξενάρχου δὲ ἐνισταμένου. ἐρωτητέον οὖν, φησί, πότερον παρὰ φύσιν ἐστὶν ἐκείνῳ ἡ κύκλῳ κίνησις ἢ κατὰ φύσιν· καὶ εἰ λέγει τις παρὰ φύσιν, ἔσται τις αὐτῷ κατὰ φύσιν ἡ ἐπὶ τὸ ἄνω· ἐπειδὴ οὖν παρὰ φύσιν ἐκείνῳ ἡ ἐπὶ τὸ κάτω, δύο ἑνὶ ἐναντία ἔσται, ὥστε κυκλοφορητικὸν κατὰ φύσιν ὅ τε ἀὴρ καὶ τὸ πῦρ. ἀπορεῖ δὲ πρῶτον ὡς ἐπὶ ξυλίνης ἢ λιθίνης σφαίρας· ἐὰν γάρ τις αὐτὴν κινῶν κύκλῳ ἐρωτήσῃ πότερον παρὰ φύσιν ἐστὶν ἡ κύκλῳ κίνησις αὐτῇ, δειχθήσεται ὅτι οὐ παρὰ φύσιν· ἔσται γάρ τις αὐτῇ κατὰ φύσιν ἢ ἡ ἄνω ἢ ἡ κάτω· οὐ γάρ εἰσιν ἄλλαι παρὰ ταύτας ἁπλαῖ· ὁποτέραν δὲ ἂν εἴπῃ τις, ἡ ἑτέρα ἐναντία ἔσται· ἔστι δὲ καὶ ἡ κύκλῳ παρὰ φύσιν οὖσα ἐναντία· δύο ἄρα ἑνὶ ἐναντία ἔσται. ἵνα οὖν μὴ τοῦτο συμβῇ, κατὰ φύσιν ἀνάγκη λέγειν καὶ τῇ τοιαύτῃ σφαίρᾳ τὴν κύκλῳ κίνησιν. οὐκ ἀναγκαίως δὲ οἶμαι σφαῖραν ὑπέθετο· οὐδὲ γὰρ ὁ Ἀριστοτέλης ὡς ἐπὶ σφαιρικοῦ τοῦ οὐρανοῦ ποιεῖται τὸν λόγον, ἀλλ' ἀπὸ τῆς κύκλῳ κινήσεως ἐπιχειρεῖ, κύκλῳ δὲ δύναται κινεῖσθαι καὶ κύβος καὶ ὅλως τὰ μὴ κυκλικὰ τῶν σωμάτων. λύει δὲ τὴν ἀπορίαν ὁ Ἀλέξανδρος λέγων ὅτι οὔτε τὸ συμπεριαγόμενον τῷ οὐρανῷ σῶμα κυκλοφορητικῶς κινεῖται· οὐδὲ γάρ ἐστιν ἁπλῆ ἡ κίνησις αὐτοῦ· περιφερομένου γὰρ αὐτοῦ ἀνάγκη, εἴ τι μὲν κοῦφον ἐν αὐτῷ, ἄνω φέρεσθαι, εἴ τι βαρύ, κάτω· μικτὴ οὖν ἡ κίνησις. ἀλλ' οὐδὲ ἡ λιθίνη σφαῖρα ἢ ξυλίνη κύκλῳ κινεῖται, φησίν, ἀλλ' ἄνω καὶ κάτω, εἴπερ ἄνω μὲν τὸ ἀπὸ τοῦ μέσου τοῦ παντός, κάτω δὲ τὸ πρὸς τὸ μέσον. ἀλλὰ τοῦτο μὲν ἑτοιμότερον ἦν οἶμαι λύειν λέγοντα μὴ φυσικὴν εἶναι τὴν τοιαύτην κίνησιν μηδὲ ἁπλοῦ, ἀλλὰ τεχνητὴν καὶ συνθέτου, καὶ διὰ τοῦτο μήτε ταύτῃ κατὰ φύσιν μήτε ἄλλῳ τινί· ὥστε οὐδὲ παρὰ φύσιν, εἴπερ μηδὲ ἄλλῳ κατὰ φύσιν. id. f. 12 *b*.

269 b 10. εἰ οὕτως ἀκούσομεν τοῦ ῥηθέντος, οὐδὲ ἐνδεῖν τι τῇ λέξει φήσομεν, καθάπερ ὁ Ἀλέξανδρος λέγει, ὃς καὶ τοῦτο προστίθησιν, ὅτι οἱ λέγοντες αὐτὸ λεπτυνόμενον καὶ ἀτροφοῦν κύκλῳ κινεῖσθαι περὶ τὴν τροφὴν διὰ τὴν ἐπ' εὐθείας εἰς ὕψος ἀνάτασιν, τῆς τροφῆς μηκέτι πρὸς αὐτὸ ἀφικνουμένης, καὶ οὗτοι ὁμολογοῦσιν αὐτὸ παρὰ φύσιν κινεῖσθαι, ὑπὸ τῆς τροφῆς ἀγόμενον βίᾳ· ἡ δὲ βίαιος κίνησις παρὰ φύσιν. id. f. 13.

269 b 14. ἐν τούτοις τοῖς ἐγκειμένοις ἤδη ῥητοῖς ὁ Ξέναρχος ἐνίσταται, καὶ πρὸς ἄλλα μέν, περὶ ὧν ἤδη εἴρηται, καὶ μέντοι πρὸς τὸ ἓν ἑνὶ λέγεσθαι ἐναντίον· ῥᾴδιον γάρ, φησί, βιασαμένοις κινῆσαι τὸ πῦρ καθ' ὁτιοῦν γραμμῆς εἶδος, εἴτε ἁπλοῦν εἴτε καὶ ποικίλον. λέγομεν δέ, φησί, καὶ ἐν τοῖς περὶ τῶν ἠθῶν λόγοις ἑκάστῃ τῶν ἀρετῶν δύο εἶναι τὰ ἐναντία, ὡς φρονήσει μὲν πανουργίαν καὶ εὐήθειαν, ἀνδρείᾳ δὲ θρασύτητά τε καὶ δειλίαν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ῥητέον δὲ πρὸς μὲν τὸ πρῶτον... τοῦτο δὲ καὶ αὐτὸς προελθὼν συνεῖδεν, ὅτι τῇ μὲν εὐηθείᾳ ἡ πανουργία ἀντίκειται καὶ τῇ θρασύτητι ἡ δειλία, τῇ δὲ φρονήσει οὔτε πανουργία οὔτε εὐήθεια ἀλλὰ τὸ ἀμφοῖν κοινόν, καὶ τῇ ἀνδρείᾳ τὸ κοινὸν θρασύτητος καὶ δειλίας, ὥσπερ τῷ μὲν ὑπερβάλλοντι τὸ ἐλλεῖπον ἀντίκειται, τὸ δὲ κοινὸν ἀμφοῖν ἡ ἀνισότης τῇ ἰσότητι. ἀλλ' εἰ ταῦτα ἀληθῆ, φησίν, οὐκ ἀνάγκη τὸν οὐρανὸν πέμπτου τινὸς εἶναι σώματος διὰ τὸ μὴ δύο ἑνὶ ἀντικεῖσθαι, τὴν κύκλῳ τοῦ πυρὸς καὶ τὴν ἐπὶ τὸ κάτω ἤτοι ἐπὶ τὸ ἄνω· ἀντίκεινται γὰρ ὡς μὲν ὑπερβολὴ καὶ ἔλλειψις ἡ ἐπὶ τὸ ἄνω τῇ ἐπὶ τὸ κάτω, ὡς δὲ ἀνισότης πρὸς ἰσότητα ἡ ἀμφοῖν κοινή, τουτέστιν ἡ ἐπ' εὐθείας πρὸς τὴν κύκλῳ. ταῦτα δὲ εἴρηται μὲν γλαφυρῶς, οὐδὲν δὲ οἶμαι πρὸς τὴν ὑπὸ τοῦ Ἀριστοτέλους λεγομένην ἐναντίωσιν. id. f. 13 *b*.

270 a 9. ἔπειτα καὶ οὕτω τὸ αὐτὸ δείκνυσιν οἶμαι κοινῶς ἐπὶ τοῦ ὅλου καὶ τῶν μορίων, ὅτι ἀδύνατον τὴν κατὰ τόπον κίνησιν κινηθῆναι ἢ ἄνω ἀνελκόμενον ἢ κάτω κατασπώμενον. δείκνυσι δὲ διὰ τῆς προσεχῶς ἐπὶ τοῦ ὅλου ῥηθείσης ἀποδείξεως, συντόμως αὐτῆς ὑπομνήσας "οὔτε γὰρ κατὰ φύσιν" φησίν... καὶ οἶδα μὲν ὅτι περὶ τοῦ βαρέος καὶ κούφου ἄλλως μὲν ὑπὸ τοῦ Πλάτωνος ἄλλως δὲ ὑπὸ τοῦ Ἀριστοτέλους τεθέντων ἔδει τι κατὰ τοῦτον τὸν τόπον εἰπεῖν· ἀλλ' ἵνα μὴ δὶς τὰ αὐτὰ λέγω, φυλάττω ταῖς ἀντιλογίαις αὐτά. ἐπειδὴ δὲ κἂν εἰς τὸ μέγα πέλαγος ἐμπέσῃ τις κἂν εἰς κολυμβήθραν, μᾶλλον δὲ κἂν εἰς βορβορῶδες τελμάτιον, νήχεσθαι ἀνάγκη, φέρε πάλιν ἐκτραπέντες τὰ τοῦ Τελχῖνος ἴδωμεν ῥήματα... πρὸς δὲ τὸν Ξέναρχον λέγοντα μὴ ὑγιῶς ἀποδεδόσθαι κοῦφον τὸ πᾶσιν ἐπιπολάζον, διότι κάτω ὂν τὸ πῦρ οὔπω ἐπιπολάζει, ὥστε οὐδὲ κοῦφον οὔπω ἐστί, μὴ ὂν δὲ κοῦφον οὐδὲ ἐπὶ τὸ ἄνω κινήσεται, ῥητέον οἶμαι προχείρως ὅτι πεφυκὸς πᾶσιν ἐπιπολάζειν εἴρηται, ὅπερ ἐπὶ τῶν ἄνω καὶ κάτω φερομένων προσέθηκεν εἰπὼν "βαρὺ μὲν οὖν ἐστίν" (p. 269 *b* 23)... ὅρα πόσον ἐν ὀλίγοις φαίνεται τὸ τοῦδε τοῦ ἀνδρὸς ἀνεπίστατόν τε ἅμα καὶ ἀπαίδευτον, καὶ μάλιστα εἰ καὶ γραμματικός ἐστιν, ὥσπερ ἐπιγράφει, πρῶτον μὲν ὅτι ταὐτὸν ἐνόμισε τὸ ἄνω καὶ τὸ ἐπὶ τὸ ἄνω... λέγει δὲ οὕτως (ὁ γραμματικὸς) ἐν τῷ ιγ' κεφαλαίῳ τοῦ δευτέρου αὐτοῦ βιβλίου... ταῦτα οὖν ἐν τούτοις αἰτιώμενος αὐτὸς μὲν οὐκ ἀδύνατον εἶναί φησι τὴν αὐτὴν κίνησιν καὶ ὡς ὑπὸ ψυχῆς ἅμα καὶ ὡς ὑπὸ φύσεως γίνεσθαι, ὡς εἴ τις, φησίν, ἐπινοήσειε τῶν πτηνῶν τι ζῷον ἐπ' εὐθείας ὡς ἐπὶ τὸ κέντρον τὴν πτῆσιν ποιούμενον· συντρέχει γὰρ τῇ φυσικῇ ῥοπῇ τοῦ σώματος ἡ τῆς ψυχῆς ὁρμή. τὸν δὲ Ἀριστοτέλην νομίζει μὴ οὕτως ἔχειν ἐνταῦθα, καὶ τὴν Ἀλεξάνδρου ἐξήγησιν τοῦτο λέγουσαν ἀποσκευαζόμενος. χρὴ οὖν ἀκοῦσαι τῆς Ἀριστοτέλους λέξεως, εἰς ἣν ἀποτεινόμενος ταῦτα πάντα γέγραφεν, οὕτως ἐχούσης "ἀλλὰ μὴν οὐδὲ ὑπὸ ψυχῆς εὔλογον ἀναγκαζούσης μένειν ἀΐδιον· οὐδὲ γὰρ τῆς ψυχῆς οἷόν τε εἶναι τὴν τοιαύτην ζωὴν ἄλυπον καὶ μακαρίαν· ἀνάγκη γὰρ καὶ τὴν κίνησιν μετὰ βίας οὖσαν, εἴπερ κινεῖ, φέρεσθαι πεφυκότος τοῦ πρώτου σώματος ἄλλως κινεῖ συνεχῶς, ἄσχολον εἶναι καὶ πάσης ἀπηλλαγμένην ῥᾳστώνης ἔμφρονος." τίς οὐκ ἂν ἀκούσας τοῦ Ἀριστοτέλους καὶ φυσικὴν τὴν κύκλῳ κίνησιν καὶ ἔμψυχον τὸν οὐρανὸν λέγοντος, ἐν-

νων κατὰ φύσιν εἶναι καὶ τὴν ἐν κύκλῳ τινὸς ἢ τινῶν ἢ καὶ πάντων αὐτῶν; οὐ γὰρ δὴ καὶ τοῦτο προσυπεθέμεθα, μίαν εἶναι τὴν ἑκάστου κατὰ φύσιν. ἔστι δὲ οὐδὲ δυνατὸν προσυποθέσθαι· ψεῦδος γάρ ἐστι προφανῶς· ἑκάτερον γὰρ τῶν ἐν μέσῳ δύο τὰς κατὰ φύσιν ἔχει κινήσεις· τό τε γὰρ ὕδωρ ἐκ μὲν γῆς ἄνω φέρεται κατὰ φύσιν, ἐκ δὲ πυρὸς καὶ τοῦ ἀέρος εἰς τοὐναντίον, ὅ τ' ἀὴρ κάτω μὲν ἐκ τοῦ πυρός, ἄνω δὲ ἐκ τοῦ ὕδατος. ἀλλ' ὅτι μὲν προσυπεθέμεθα μίαν εἶναι τῶν ἁπλῶν κατὰ φύσιν κίνησιν, δῆλον... ταύτας μὲν οὖν τὰς ἐνστάσεις τοῦ Ξενάρχου ἐν τούτοις τίθησί τε καὶ διαλύει ὁ Ἀλέξανδρος· λέγει δὲ καὶ ἄλλην ὁ Ξέναρχος τοιαύτην. τὴν κύκλῳ κίνησιν ἀδύνατον ἁπλοῦ σώματος εἶναι κατὰ φύσιν, εἴπερ ἐν μὲν τοῖς ἁπλοῖς σώμασιν ὁμοιομερέσιν οὖσιν ἰσοταχῆ πάντα τὰ μόριά ἐστιν, ἐν δὲ τῷ κύκλῳ τὰ πρὸς τῷ κέντρῳ ἀεὶ βραδύτερα τῶν πρὸς τῇ περιφερείᾳ ἐστίν, εἴπερ ἐν τῷ αὐτῷ χρόνῳ ἐλάττονα κινοῦνται διάστασιν, ἀλλὰ καὶ ἐν σφαίρᾳ οἱ περὶ τοὺς πόλους κύκλοι βραδύτερον κινοῦνται τῶν πόρρωθεν, καὶ τάχιστα πάντων ὁ μέγιστος τῶν παραλλήλων. ῥητέον δέ... τελευταῖον δ' ἐν τούτοις μέμφεται Ξέναρχος ὅτι περὶ φυσικῶν διδάσκοντες μαθηματικὰς τὰς ἀποδείξεις ποιούμεθα, γραμμῶν εἴδεσι προσκεχρημένοι, ὅταν τὰς αἰτίας τῶν ἁπλῶν κινήσεων τῶν ἁπλῶν γραμμῶν ἀπαρτῶμεν... ταῦτα μὲν ὁ Ξέναρχος ἀντείρηκε πρὸς τὰς ὑπὸ τοῦ Ἀριστοτέλους παραληφθείσας ὑποθέσεις. τῶν δέ τις ἐφ' ἡμῶν, δόξης ὡς ἔοικε θηρατής, τῶν τε Ξενάρχου τινὰς ἐνστάσεις ὑποβαλόμενος καὶ ἄλλας τοιαύτας ἀθροίσας, κατήγορος ἀνέδυ τοῦ Ἀριστοτέλους, σκοπὸν μὲν τὸν ὅλον ἐνστησάμενος, ὡς φησί, φθαρτὸν ἀποδεῖξαι τὸν κόσμον, ὡς ἔπαθλόν τι μέγα παρὰ τοῦ δημιουργοῦ ληψόμενος, εἰ φθαρτῶν μόνων αὐτὸν ἀποδείξει δημιουργόν, μηδενὸς δὲ ἀφθάρτου. διὰ ταύτην δὲ τὴν προθυμίαν τοῖς ἐνταῦθα λεγομένοις ὑπὸ τοῦ Ἀριστοτέλους ἀντιλέγειν προτίθεται διὰ πολυστίχων βιβλίων, οὐ μόνον τῷ πλήθει καταπλήττειν ἐλπίσας τοὺς ἀνοήτους, ἀλλὰ καὶ ἀποτρέπων οἶμαι τοὺς πλείστους καὶ μάλιστα τοὺς καθαριωτέρους τῆς τῶν διωλυγίων φληνάφων ἐντεύξεως... εἰ δέ που φανείην πρὸς τὸν ἄνδρα τοῦτον τραχύτερον ἀπορρίπτων λόγον, μὴ νεμεσήσῃ τις· οὐ γάρ ἐστι μοί τις πρὸς τὸν ἄνδρα φιλονεικία, ὃν οὐδὲ θεασάμενος οἶδα πώποτε, ἀλλὰ πρῶτον μὲν ἐμμελῆ δίκην ἄξιον ἐπιτιθέναι τούτῳ παρὰ Ἀριστοτέλους μὲν καὶ τῶν ἐξηγητῶν αὐτοῦ μαθόντι, εἴπερ τι ἄρα περὶ τούτων μεμάθηκεν· οὐ γὰρ ἀπὸ Μενάνδρου καὶ Ἡρωδιανοῦ καὶ τῶν τοιούτων ἦλθεν ἡμῖν ἀκριβέστερον Ἀριστοτέλους τὰ περὶ τῆς φύσεως τῶν ὄντων πεπαιδευμένος... εἰ δ' ἐν ἄλλοις τὰ κύκλῳ φερόμενα σώματα περὶ τὸ τοῦ παντὸς κέντρον κινεῖσθαί φησιν, ἰστέον ὅτι κατὰ τὰς τῶν πρεσβυτέρων ἀστρονόμων ὑποθέσεις ποιεῖται τὸν λόγον (ὁ Ἀριστοτέλης)· οἱ γὰρ περὶ Εὔδοξον καὶ Κάλλιππον καὶ μέχρι τοῦ Ἀριστοτέλους τὰς ἀνελιττούσας σφαίρας ὑποθέμενοι ὁμοκέντρους τῷ παντί, δι' ἐκείνων ἐπειρῶντο σώζειν τὰ φαινόμενα, περὶ μέντοι τὸ τοῦ παντὸς κέντρον πάσας λέγοντες κινεῖσθαι τὰς σφαίρας, τῶν δὲ ἀπογείων καὶ περιγείων καὶ τῶν δοκούντων προποδισμῶν καὶ ὑποποδισμῶν καὶ τῶν ἐν ταῖς κινήσεσι φαινομένων ἀνωμαλιῶν τὰς αἰτίας οὐκ ἰσχύοντες κατ' ἐκείνας τὰς ὑποθέσεις ἀποδιδόναι. διά τοι τοῦτο οἱ περὶ τὸν Ἵππαρχον, καὶ εἴ τις πρὸ τούτου, καὶ μετὰ τοῦτον ὁ Πτολεμαῖος, τὰς ἐκκέντρους σφαίρας καὶ τὰς ἐπικύκλους ὑπέθεντο, διὰ τούτων τὸ μὲν περὶ τὸ τοῦ παντὸς κέντρον πάντα κινεῖσθαι τὰ οὐράνια παριδόντες, τῶν δὲ εἰρημένων πρότερον τὰς αἰτίας τὰς ὑπ' ἐκείνων παραληφθείσας οὕτοι κατ' αὐτὰς τὰς ὑποθέσεις ἀποδιδόντες. ὁ οὖν Ἀριστοτέλης ἐνταῦθα μὲν οὐδὲν λέγει περὶ τούτων, ἐν οἷς δὲ λέγει, ταῖς τῶν προτέρων ὑποθέσεσιν ἀκολουθῶν φαίνεται. δῆλον δὲ ὅτι τὸ περὶ τὰς ὑποθέσεις ταύτας διαφέρεσθαι οὐκ ἔστιν ἔγκλημα· τὸ γὰρ προκείμενόν ἐστι, τίνος ὑποτεθέντος σωθείη ἂν τὰ φαινόμενα. οὐδὲν οὖν θαυμαστόν, εἰ ἄλλοι ἐξ ἄλλων ὑποθέσεων ἐπειράθησαν διασῶσαι τὰ φαινόμενα. οἱ δὲ ἀστέρες εἰ κινοῦνται περὶ τὰ ἑαυτῶν κέντρα, ἀλλὰ καὶ περὶ τὸ τοῦ παντὸς ὑπὸ τῶν σφαιρῶν περιαγόμενοι κινοῦνται. παρὰ τίνι δὲ τῶν ἀστρονόμων εὗρεν οὗτος ὅτι οἱ ἀστέρες περὶ τὰ ἑαυτῶν κέντρα κινοῦνται; ἢ παρὰ τῶν ἐν τοῖς κανόσι τοῦ Πτολεμαίου παρακούσας ὅτι ἄλλοι μέν εἰσιν ἀριθμοὶ τοῦ κέντρου τοῦ ἐπικύκλου, ἄλλοι δὲ αὐτοῦ τοῦ ἀστέρος, ἐνόμισε τούτους τῆς περὶ τὸ οἰκεῖον κέντρον τοῦ ἀστέρος κινήσεως εἶναι; οὐκ ἐπιστήσας ὅτι οἱ μὲν ἀριθμοὶ οὗτοι ὡς μεταβαίνοντός εἰσι τοῦ ἀστέρος, ἡ δὲ περὶ τὸ κέντρον κίνησις οὐ γίνεται μεταβαίνοντος αὐτοῦ, ἀλλ' οἱ μὲν τοῦ κέντρου τοῦ ἐπικύκλου ἀριθμοὶ τὴν κίνησιν δηλοῦσι τοῦ ὁμοκέντρου ἢ ἐκκέντρου, ἐφ' οὗ φέρεται ὁ ἐπίκυκλος, οἱ δὲ τοῦ ἀστέρος τὴν κίνησιν τοῦ ἐπικύκλου, ἐφ' οὗ φέρεται ὁ ἀστήρ. αὐτοῦ μέντοι τοῦ ἀστέρος τὴν περὶ τὸ ἑαυτοῦ κέντρον κίνησιν ἀδύνατον καταλαβεῖν ἐν πόσῳ χρόνῳ ἀποκαθίσταται· οὔτε γὰρ μεταβαίνει τόπον ἐκ τόπου κατὰ ταύτην τὴν κίνησιν. διὸ τῶν μὲν ἀστρονόμων οὐδεὶς ἐπεχείρησε τὴν τοῦ ἀστέρος περὶ τὸ ἑαυτοῦ κέντρον ἀποκατάστασιν εἰπεῖν ἐν πόσῳ χρόνῳ γίνεται (οὐδὲ γὰρ καταληπτὸν ἦν), ὁ μέντοι Πλάτων καὶ ταύτην οἶδε τῶν ἀστέρων τὴν κίνησιν· ὁ δὲ Ἀριστοτέλης τί περὶ τῆς τῶν ἀστέρων κινήσεως δοξάζει, ἐν τῷ δευτέρῳ ταύτης τῆς πραγματείας ἐρεῖ... ἐπειδὴ δὲ πολλὰ πρὸς τὸν Ἀλέξανδρον εἶπε δεικνύντα μὴ ἁπλῆν ἀλλὰ μικτὴν οὖσαν τὴν τοῦ ὑπεκκαύματος κίνησιν, ὀλίγα τούτων βασανιστέον. id. f. 5-9.

ἀποροῦσι δέ τινες, ὥς φησιν Ἀλέξανδρος, πρὸς τὸν εἰρημένον 269 a 19
λόγον, ὅτι τὸ τελειότερον πρῶτον τῇ φύσει καὶ τὸ πρῶτον ἁπλούστερον. εἰ γὰρ τελειότερος ὁ κόσμος τῶν ἐξ ὧν ἐστι, τὸ δὲ τελειότερον πρῶτον, τὸ δὲ πρῶτον καὶ ἁπλοῦν, ἔσται ὁ κόσμος καὶ πρῶτος τῶν ἐξ ὧν ἐστι καὶ ἁπλούστερος ἐκείνων· οὐ προϋπάρχει δὲ ὁ κόσμος τῶν αὐτοῦ μερῶν, ὡς φησὶν Ἀλέξανδρος... ἀπορεῖ δὲ καὶ ἐνταῦθα τὰς αὐτὰς πάλιν ἀπορίας ὁ Ξέναρχος, πρῶτον μὲν ὅτι μαθηματικοῖς ἐχρήσατο τοῖς λήμμασιν ὁ λόγος, τῇ εὐθείᾳ καὶ τῷ κύκλῳ, δεύτερον ὅτι οὐκ ἔστιν ἁπλοῦν σῶμα φυσικὸν κατὰ τῆς περιφεροῦς κινούμενον διὰ τὴν ἀνισοταχῆ κίνησιν τῶν πρὸς τῷ κέντρῳ καὶ τῶν πρὸς τῇ περιφερείᾳ καὶ τῶν ἐν μέσῳ τούτων κινουμένων. τρίτον ὅτι κἂν ἔστι τὸ κύκλῳ κινούμενον, ἀλλ' οὐκ ἄλλο πρὸς τοῖς τέτρασιν, εἴπερ καὶ ἐκείνων τὰ μὲν μένει τὰ δὲ κύκλῳ κινεῖται. ὅταν οὖν ᾖ τελεία, μάλιστα τῷ πυρὶ ὑπάρχει· τὴν γὰρ ἐπ' εὐθείας, ὡς καὶ τῷ Ἀριστοτέλει δοκεῖ, ἀτελῆ οὖσαν ἀτελῆ ἔτι ὄντα κινεῖται. ταύτας τὰς ἐνστάσεις οὐς ἤδη προτεθείσας τε καὶ διαλυθείσας οὐδὲ ὁ Ἀλέξανδρος

μήν, καὶ τὸ παραλληλόγραμμον εἰς ταὐτὸ ἀποκαθιστάσθω πάλιν, ὅθεν ἤρξατο φέρεσθαι· ποιεῖ γὰρ οὕτως τὸ μὲν παραλληλόγραμμον κύλινδρον, τὸ δὲ φερόμενον σημεῖον ἐπὶ τῆς εὐθείας ἕλικα, καὶ ταύτην, ὥς φασιν, ἁπλῆν, διότι ὁμοιομερής. ἀλλὰ κἂν ὁμοιομερὴς ἐστιν, οὐκ ἔστιν ἁπλῆ· ἡ μὲν γὰρ ἁπλῆ γραμμὴ πάντως καὶ ὁμοιομερής, ἡ δὲ ὁμοιομερὴς ἐὰν μὴ καὶ μονοειδὴς ᾖ, καὶ εἰ ἀπὸ κινήσεως γίνοιτο ὁμοειδοῦς, ὁμοειδὴς ὑπάρχει καὶ αὐτή, μᾶλλον δὲ μία. καὶ γὰρ ἡ τῆς ἡλιακῆς κινήσεως ἕλιξ ὑπὸ δύο κυκλικῶν γινομένης, τῆς τε τοῦ ἡλίου ἐπὶ τοῦ ζωδιακοῦ καὶ τῆς ἀπλανοῦς, ἐπειδὴ περὶ διαφόρους πόλους ἑκατέρα γίνεται, καὶ ἡ ἕλιξ μικτὴν ἔχει φύσιν. ἔτι δέ, φησὶν ὁ Ἀλέξανδρος, αἱ ἁπλαῖ κινήσεις κατὰ τὴν πρὸς τὸ τοῦ παντὸς μέσον σχέσιν τὸ ἁπλαῖ εἶναι ἔχουσιν· ἡ μὲν γὰρ περὶ τὸ μέσον, αἱ δὲ ἀπὸ τοῦ μέσου καὶ πρὸς τὸ μέσον· ἡ δὲ ἕλιξ οὐ τοιαύτη. id. f. 4.

269 a 2 ὡς φησὶν ὁ Ἀλέξανδρος, εἰκότως οὐχ ὑποθετικῶς προήγαγεν, εἰ ἁπλῆ ἡ κύκλῳ κίνησις καὶ τὰ ἑξῆς, ἀλλὰ παρασυναπτικῷ ἐχρήσατο τῷ "εἴπερ," ἐπειδὴ προαπέδειξε πάντα τὰ λήμματα. μήποτε δὲ τὸ εἴπερ ὑποθετικόν τι ἐστίν, οὐκ ἰσοδυναμοῦν τῷ ἐπειδήπερ· τὸ γὰρ πέρ τῷ εἰ ὑποθετικῷ προστιθέμενον οὐκ ἀμείβει τὴν δύναμιν αὐτοῦ, ὥσπερ οὐδὲ τῷ ἐπειδή παρασυναπτικῷ. ὑποθετικῶς δὲ αὐτὸ διὰ φιλόσοφον ἴσως εὐλάβειαν προήγαγεν (*)... ἰστέον ὅτι καὶ Πτολεμαῖος ἐν τῷ περὶ τῶν Στοιχείων βιβλίῳ καὶ ἐν τοῖς Ὀπτικοῖς καὶ Πλωτῖνος ὁ μέγας καὶ Ξέναρχος δὲ ἐν ταῖς πρὸς τὴν πέμπτην οὐσίαν ἀπορίαις τὴν μὲν ἐπ' εὐθείας κίνησιν τῶν στοιχείων γινομένων ἔτι καὶ ἐν τῷ παρὰ φύσιν ὄντων τόπῳ, ἀλλὰ μήπω τῶν τὸν κατὰ φύσιν ἀπειληφότων εἶναι φασίν. τούτῳ δὲ καὶ Ἀριστοτέλης ἔοικε συγχωρεῖν, καὶ ἐν τῷ τετάρτῳ τῆσδε τῆς πραγματείας λέγων "τὸ εἰς τὸν αὑτοῦ τόπον φέρεσθαι εἰς τὸ αὑτοῦ εἶδός ἐστι φέρεσθαι" (p. 310 a 33) καὶ ἐν τῇ περὶ Γενέσεως, καὶ Ἀλέξανδρος ἐν τούτοις, ὡς λεχθήσεται. τῷ γὰρ ὄντι εἰ τῶν οἰκείων τόπων καὶ τῆς οἰκείας ὁλότητος ἐφιέμενα κινεῖται ἀπὸ τοῦ ἀλλοτρίου τόπου καὶ τῆς παρὰ φύσιν διαθέσεως, δῆλον ὅτι οὐ κατὰ φύσιν ἔχοντα τελέως κινεῖται, ἀλλ' ὥς φασιν οἱ εἰρημένοι πρότερον ἄνδρες, Πτολεμαῖος Ξέναρχος Πλωτῖνος, κατὰ φύσιν ἔχοντα καὶ ἐν τοῖς οἰκείοις τόποις ὄντα τὰ στοιχεῖα ἢ μένει ἢ κύκλῳ κινεῖται· μένει μὲν ἡ γῆ δῆλον ὅτι καὶ τὸ ὕδωρ καὶ τοῦ ἀέρος τὸ λιμνάζον, κύκλῳ δὲ κινεῖται τό τε πῦρ καὶ τοῦ ἀέρος τὸ εὐαγές, τῷ οὐρανῷ συμπεριπολοῦντα κατὰ τὴν πρὸς αὐτὸν οἰκειότητα. εἰ οὖν τοῦτο ἀληθὲς καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐν τοῖς Μετεωρολογικοῖς (I 4) τὸ ὑπέκκαυμα κύκλῳ κινεῖσθαι φησί, τεκμαιρόμενος ἀπό τε τῶν κομητῶν καὶ τῶν ἄλλων τῶν ἐν αὐτῷ συνισταμένων φασμάτων ἀνατελλόντων τε καὶ δυνόντων μετὰ τῶν ἄστρων, πῶς ἐν τούτοις ὁ Ἀριστοτέλης πρῶτον μέν πως ἀπὸ τῆς παρὰ φύσιν τῶν ὑπὸ σελήνην κινήσεων τὴν πρὸς αὐτὰ ὑπεροχὴν καὶ ἐξαίρεσιν τοῦ οὐρανίου σώματος ἐπιχειρεῖ δεικνύναι; ἀλλὰ τοῦτο τὸ ἄπορον μετ' ὀλίγον, ὡς τοῦ Ξενάρχου προβαλλομένου, διαλύσομεν. νῦν δὲ ἀπορητέον πῶς οὔτε πῦρ οὔτε ἄλλο τι τῶν τεσσάρων κύκλῳ φέρεσθαί φησιν... ὁ Ξέναρχος δὲ δευτέραν ἀπορίαν ἐν τοῖς πρὸς τὴν πέμπτην οὐσίαν ἠπορημένοις μετὰ τὴν περὶ τῶν ἁπλῶν γραμμῶν ἀπορεῖ πρὸς τὸ τοῦ ἁπλοῦ σώματος ἁπλῆν εἶναι κατὰ φύσιν τὴν κίνησιν· οὐδενὶ γάρ, φησί, τῶν τεσσάρων στοιχείων ἤδη ὄντι κατὰ φύσιν ἐστὶν ἡ ἐπ' εὐθεῖαν κίνησις, ἀλλὰ γινομένῳ μόνον· τὸ δὲ γινόμενον οὐκ ἔστιν ἁπλῶς, ἀλλὰ τοῦ τε εἶναι καὶ τοῦ μὴ εἶναι μεταξύ, καθάπερ καὶ τὸ κινούμενον (καὶ γὰρ τοῦτό ἐστιν ἐν μέσῳ τοῦ τε ἐπιλαμβανομένου τόπου καὶ τοῦ προκατεχομένου), καὶ ἔστι συγγενὴς ἡ γένεσις τῇ κινήσει, μεταβολή τις οὖσα καὶ αὐτή, καὶ διὰ τοῦτο τὸ ἀναφέρεσθαι λεγόμενον πῦρ οὔ φαμεν εἶναι κυρίως πῦρ ἀλλὰ γινόμενον, ἐλθὸν δὲ ἐπὶ τὸν οἰκεῖον τόπον καὶ ἐπιπολάσαν τοῖς ἄλλοις καὶ ἠρεμῆσαν, τότε γίνεσθαι κυρίως· εἰδοποιεῖσθαι γὰρ αὐτό, καθ' ὅσον ἐστὶ κοῦφον, τῇ θέσει ταύτῃ. καὶ ἡ γῆ τότε κυρίως ἐστὶ γῆ, ὅταν ὑποστῇ τοῖς ἄλλοις καὶ τὸν μέσον ἐπίσχῃ τόπον, καὶ τὸ ὕδωρ καὶ ὁ ἀήρ, καὶ τὸ μὲν ὕδωρ ὅταν ἐπιπολάζῃ μὲν τῇ γῇ ὑφίσταται δὲ τῷ ἀέρι, ὁ δὲ ἀήρ, ὅταν ἐπιπολάζῃ μὲν τῷ ὕδατι ὑφίσταται δὲ τῷ πυρί. τὸ οὖν τοῦ ἁπλοῦ σώματος, φησίν, ἁπλῆν εἶναι κατὰ φύσιν τὴν κίνησιν ψεῦδός ἐστιν· δέδεικται γὰρ ὡς οὐ τῷ ὄντι ἀλλὰ τῷ γινομένῳ συμβεβηκός ἐστιν ἡ κίνησις· εἰ δὲ ἄρα χρὴ καὶ τοῖς ἤδη οὖσιν ἀποδιδόναι τινὰ κίνησιν καὶ ταύτην ἁπλῆν, τὴν ἐγκύκλιον ἀποδιδόναι χρή, εἴπερ δύο μόναι αὗται ἁπλαῖ, ἥ τε κύκλῳ καὶ ἡ ἐπ' εὐθείας, ἡ δὲ ἐπ' εὐθείας γινομένων ἐστὶν ἀλλ' οὐκ ὄντων τῶν τεσσάρων. οὐκ ἂν οὖν ἀτόπως ἀποδοίη τις τῷ πυρὶ τὴν ἐγκύκλιον, τοῖς δὲ ἄλλοις τρισὶ τὴν ἠρεμίαν. ταύτην τὴν ἀπορίαν λύων ὁ Ἀλέξανδρος... ἀπορεῖ δὲ πάλιν ὁ Ξέναρχος, οὐκ ἀνάγκην εἶναι λέγων, εἰ τοῖς ἁπλοῖς φυσικοῖς σώμασιν ἁπλᾶς ἀποδέδωκε τὰς οἰκείας καὶ συγγενεῖς κινήσεις ἡ φύσις, ἤδη διὰ τοῦτο καὶ ταῖς ἁπλαῖς κινήσεσιν ἁπλᾶ ἀποδεδωκέναι τὰ φυσικὰ σώματα· οὐδὲ γὰρ σύνθετα ταῖς συνθέτοις ἀποδέδωκεν· ἦν γὰρ ἂν ἄπειρον αὐτῶν τὸ πλῆθος, ἄπειροι γάρ εἰσιν αἱ σύνθετοι κινήσεις. ὁ δὲ Ἀλέξανδρος εἴτε ταύτην ἄλλως ἐκδεξάμενος τοῦ Ξενάρχου τὴν ἔνστασιν, εἴτε ἄλλης μνημονεύων, πρὸς τοιαύτην ὑπαντᾶν μοι δοκεῖ. εἰ τὸ σύνθετον γεγονὸς ἕν ἐστι, τοῦ δ' ἑνὸς μία ἡ κίνησις, ἡ αὐτὴ ἔσται τοῦ τε ἁπλοῦ καὶ τοῦ συνθέτου κίνησις· μία γὰρ καὶ ἡ τοῦ ἁπλοῦ. λύει τοίνυν ὁ Ἀλέξανδρος λέγων... ἔστι δὲ καὶ ταῦτα τοῦ Ξενάρχου. φέρε καὶ δύο μὲν εἶναι τὰς ἁπλᾶς γραμμάς, τήν τε περιφερῆ καὶ τὴν εὐθεῖαν, τῶν δὲ τεττάρων, γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ πυρός, ἕκαστον, ἐπειδὰν ᾖ κυρίως κατὰ φύσιν, ἔχειν κίνησιν τὴν κατὰ τῆς εὐθείας. ἀλλὰ τί δὴ κωλύει καὶ τούτων ὑποκειμέ-

(*) p. 268 b 28. Dixi natura ad differentiam animalium et plantarum, siquidem haec quoque initium motus sortiuntur; verum secundum animam, minime autem secundum naturam hoc illis inest... dixi autem motuum nonnullos esse simplices, nonnullos vero ex illis quodammodo compositos, non ut id insinuarem quod composito, motu sursum inquam ac deorsum, simul defertur, quoniam hoc dissentaneum est ac fieri nullo modo potest, siquidem confringeretur id quod ea ratione movetur; sed id intelligi debet, secundum quod unico motu etiam movetur, verum ille motus est veluti confusus quidam motus ad duas partes. cui equidem sententiae sequentia adstipulantur, dum inquit Aristoteles "et quae hoc iure se habent, ab eo praecipue elemento moventur quod in illis praevalet." Themist. f. 2 b.

τέλειον δὲ ἀπὸ τοῦ ἔχειν τέλος λέγεται· τὸ δὲ ἔχον τέλος δῆλον ὅτι καὶ ἀρχὴν ἔχει καὶ μέσον. καλῶς οὖν ὁ Ἀλέξανδρος ἀπὸ τοῦ τελείου συνελογίσατο· καὶ γὰρ ὁ Ἀριστοτέλης ἐν τοῖς ἑξῆς ἀπὸ τοῦ τελείου τὸ πᾶν συνελογίσατο... ἐπιστῆσαι δὲ ἄξιον ὅτι παρὰ τὸ σύνηθες ὁ Ἀριστοτέλης ταῖς Πυθαγορικαῖς ἐνδείξεσιν εἰς ἀπόδειξιν ἐχρήσατο (*)... ὁ δὲ θαυμαστὸς Πτολεμαῖος ἐν τῷ περὶ Διαστάσεως μονοβίβλῳ καλῶς ἀπέδειξεν ὅτι οὐκ εἰσὶ πλείονες τῶν τριῶν διαστάσεων ἐκ τοῦ δεῖν μὲν τὰς διαστάσεις ὡρισμένας εἶναι, τὰς δὲ ὡρισμένας διαστάσεις κατ' εὐθείαν λαμβάνεσθαι καθέτους, τρεῖς δὲ μόνας πρὸς ὀρθὰς γωνίας ἀλλήλαις εὐθείας δυνατὸν εἶναι λαβεῖν, δύο μὲν καθ' ἃς τὸ ἐπίπεδον ὁρίζεται, τρίτην δὲ τὴν τὸ βάθος μετροῦσαν. ὥστε εἴ τις εἴη μετὰ τὴν τριχῇ διάστασιν ἄλλη, ἄμετρος ἂν εἴη παντελῶς καὶ ἀόριστος. τὸ οὖν μὴ εἶναι εἰς ἄλλο μέγεθος μετάστασιν ὁ μὲν Ἀριστοτέλης ἐκ τῆς ἐπαγωγῆς ἔδοξε λαμβάνειν, ὁ δὲ Πτολεμαῖος ἀπέδειξεν. Simpl. f. 2 *b.*

268 a 14. ἢ ὅτι τρισὶ κρατῆρσιν ἐν ταῖς σπονδαῖς ἐχρῶντο, ἢ ὅτι προσάγομεν τῷ θεῷ εὐχὰς ἁγνείαν ἀναθήματα, ὧν τὸ μὲν πρῶτον ἀπὸ ψυχῆς, τὸ δὲ δεύτερον ἀπὸ σώματος, τὸ δὲ τρίτον ἀπὸ τῶν ἐκτός, καὶ ὅτι τὰ δραστικώτερα τῶν εὐχῶν τρίτον λέγονται καὶ αἱ ἐπῳδαί (**). cod. Coisl. 166.

268 b 13. κατ' εἶδος μόρια τοῦ παντός φησι τὰ κατ' εἶδος ἀλλήλων διαφέροντα, οὐρανὸν πῦρ ἀέρα ὕδωρ γῆν· ταῦτα γάρ ἐστι τὰ προσεχῆ τοῦ παντὸς μέρη, καὶ ταῦτά ἐστι τὰ κυρίως οὐ μέρη ἀλλὰ μόρια. τὰ οὖν προσεχῆ μέρη τοῦ παντός, ταῦτά ἐστι τὰ κατ' εἶδος διαφέροντα. Simpl. f. 3 *b.*

268 b 17. ὅτι καὶ Πλάτων πέντε εἶναι τὰ ἁπλᾶ σώματα νομίζει κατὰ τὰ πέντε σχήματα, ἀρκεῖ Ξενοκράτης ὁ γνησιώτατος αὐτοῦ τῶν ἀκροατῶν ἐν τῷ περὶ τοῦ Πλάτωνος βίῳ τάδε γράφων "τὰ μὲν οὖν ζῷα οὕτω διῃρεῖτο εἰς ἰδέαν τε καὶ μέρη, πάντα τρόπον διαιρῶν ἕως εἰς τὰ πάντων στοιχεῖα ἀφίκετο τῶν ζῴων, ἃ δὴ πέντε σχήματα καὶ σώματα ὠνόμαζεν, εἰς αἰθέρα καὶ πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα." ὥστε καὶ τὸ δωδεκάεδρον ἁπλοῦ σώματος ἦν σχῆμα κατ' αὐτόν, τοῦ οὐρανοῦ, ὃν αἰθέρα καλεῖ. εἰ δὲ ἐκ πυρὸς τὸν οὐρανόν φησιν, ὡς ἐκ φωτὸς λέγεται· καὶ τὸ φῶς γὰρ πυρὸς εἶδός φησιν. τὰ δὲ ἄστρα ἐκ τῶν ἄ, οὐ τῶν ἐν γενέσει, ἀλλὰ τοῦ μὲν πυρὸς κατὰ τὸ φωτεινόν, τῆς δὲ γῆς κατὰ τὸ ἀντιτυποῦν τῇ αἰσθήσει, κἀκ τῶν μεταξὺ κατὰ τὰ μέσα. εἰ οὖν καὶ Ἀριστοτέλης ὁμολογεῖ τὸ ὁρατὸν αὐτῶν καὶ ἁπτόν, οὐδ' ἂν αὐτὸς ἀπαξιώσαι ἐκ τούτων τῶν ἀκροτήτων συνεστάναι τὰ οὐράνια, ἐν αἷς καὶ ἡ τελειότης ἐστὶ τῶν στοιχείων· βούλεται γὰρ αὐτὸ πανταχοῦ τῶν ὑπὸ σελήνην καὶ εὐθυφερομένων καὶ ἀτελῶν δ' ἐξῃρῆσθαι. ὁμοίως δὲ κἂν ἁπλοῦν αὐτό φησι, τὴν ἀπὸ τούτων σύνθεσιν αὐτὸν ἀποφάσκειν εἰκός. ὅτι γὰρ ἔμψυχον αὐτὸν καὶ ζῷον λέγει, μαθησόμεθα. id. ib.

ὅτι μόναι αὗται (αἱ κινήσεις) ἁπλαῖ, τοῦτο δείκνυσι διὰ τῆς 268 b 18.
τῶν γραμμῶν παραθέσεως. πᾶσα γὰρ κίνησις ἐπί τινος γίνεται γραμμικοῦ διαστήματος· εἰ οὖν αἱ ἁπλαῖ γραμμαὶ δύο μόναι, καὶ αἱ ἁπλαῖ κινήσεις δύο. οὐχ ὡς ποιητικὰ δὲ τῶν κινήσεων αἴτια παρέθετο τὰ μεγέθη, ἀλλ' ὡς ὑλικὰ καὶ τῶν ὧν οὐκ ἄνευ λόγον ἔχοντα, ὡς φησὶν Ἀλέξανδρος· καὶ γὰρ κινήσεως μὲν οὔσης ἀδύνατον μὴ εἶναι μέγεθος, μεγέθους δὲ ὄντος οὐκ ἀνάγκη κίνησιν εἶναι, ὅπερ τῇ ὕλῃ προσήκει. ἐπιστῆσαι δὲ χρὴ μήποτε καὶ τὸ σχῆμα τοῦ ὑποκειμένου μεγέθους αἴτιον γίνεταί ποτε τῷ σχήματι τῆς κινήσεως, καὶ τὸ σχῆμα τῆς κινήσεως αἴτιον τοῦ σχήματος τοῦ ὑποκειμένου μεγέθους. ὁ δὲ Ξέναρχος πρὸς πολλὰ τῶν ἐνταῦθα λεγομένων ἀντειπὼν ἐν τοῖς πρὸς τὴν ε' οὐσίαν αὐτῷ γεγραμμένοις, ἀντεῖπε καὶ πρὸς τὸ "αἴτιον δὲ ὅτι καὶ τὰ μεγέθη ταῦτα ἁπλᾶ μόνον, ἥ τε εὐθεῖα καὶ ἡ περιφερής·" ἁπλῆ γάρ ἐστι, φησί, γραμμὴ καὶ ἡ ἐπὶ τοῦ κυλίνδρου ἕλιξ, διότι πᾶν μόριον αὐτῆς παντὶ ἴσῳ ἐφαρμόζει. εἰ δέ ἐστι μέγεθος ἁπλοῦν παρὰ τὰ δύο, εἴη ἂν καὶ κίνησις ἁπλῆ παρὰ τὰς δύο, καὶ σῶμα ἁπλοῦν ἄλλο παρὰ τὰ πέντε τὸ τὴν κίνησιν ἐκείνην κινούμενον. πρὸς δὲ τὸν Ξέναρχον ὁ Ἀλέξανδρος ἀπαντᾷ διχῶς, ποτὲ μὲν κατὰ ἀντιπαράστασιν. συγχωρῶν γὰρ ἁπλῆν εἶναι τὴν κυλινδρικὴν ἕλικα, λέγει ὅτι οὐχ ὡς ποιητικὰ αἴτια τῶν κινήσεων τὰ μεγέθη παρέθετο ὁ Ἀριστοτέλης· οὐ γὰρ εἰ τὸ ἁπλοῦν σῶμα ἁπλῆν κίνησιν κινεῖται κατὰ ἁπλῆς γραμμῆς, ἤδη καὶ κατὰ πάσης ἁπλῆς γραμμῆς ἁπλοῦν σῶμα φυσικὸν ἁπλῆν κινεῖται κίνησιν, ὅπερ ὁ Ξέναρχος ἀξιοῖ· οὐ γὰρ τοῦτο τίθησιν ὁ Ἀριστοτέλης. μήποτε δὲ βιαιοτέρα ἐστὶν ἡ ὑπάντησις, τοῦ Ἀριστοτέλους σαφῶς εἰπόντος ὅτι αἴτιον ἐστι τὸ καὶ τὰ μεγέθη ταῦτα ἁπλᾶ μόνον εἶναι, τήν τε εὐθεῖαν καὶ τὴν περιφέρειαν· κἂν γὰρ ὡς ὑλικὰ αἴτιά φησι, καὶ αὐτὸ τοῦτο οὐκ ἀνάγκη, καὶ ἄλλου μεγέθους ὄντος ἁπλοῦ εἶναι καὶ ἄλλην ἁπλῆν κίνησιν, ἀλλὰ τό γε μόνα ταῦτα ἁπλᾶ εἶναι μεγέθη σαφῶς εἰρημένον ἀνατρέπεται, εἴπερ ἔστι καὶ ἄλλο. καλλίων οὖν ἡ κατὰ ἔνστασιν ἀπάντησις, τοῦ Ἀλεξάνδρου λέγοντος ὅτι οὐδὲ ἁπλῆ γραμμή ἐστιν ἡ ἐπὶ τοῦ κυλίνδρου ἕλιξ, εἴπερ ἐκ δύο κινήσεων ἀνομοίων γεννᾶται, κυκλικῆς τε καὶ ἐπ' εὐθείας· εὐθείας γὰρ κύκλῳ περὶ τὴν ἐπιφάνειαν τοῦ κυλίνδρου περιαγομένης καὶ σημείου τινὸς ἐπὶ τῆς εὐθείας ὁμαλῶς κινουμένου γεννᾶται ἡ κυλινδρικὴ ἕλιξ, ὡς καὶ αὐτὸς ὁ Ξέναρχος ὁμολογεῖ γράφων οὕτως "ἔστω τι τετράγωνον, καὶ τοῦτο περιαγέσθω κύκλῳ, μενούσης μιᾶς πλευρᾶς, ἥτις ἄξων τοῦ κυλίνδρου γίνεται, ἐπὶ δὲ ταύτης τῆς παραλλήλου τῆς καὶ περιφερομένης φερέσθω τι σημεῖον, καὶ ἐν ἴσῳ χρόνῳ τοῦτο τὸ σημεῖον ταύτην διεξίτω τὴν γραμ-

(*) quamobrem naturae lege ducimur, ternarium ut numerum in sacris administrandis constituamus, cum immortali deo sacrum facimus, aliqua in necessitate positi. Themist. f. 1 *b.*

(**) p. 268 *a* 28. sectile namque corpus, uti modo dicebamus, perfectum esse censetur, quia iuxta diametros omnes dividitur. nos autem de omni continuo loquentes minime quidem intelligimus quod dividi possit ab iis rebus quibus continuum accidit. etenim dixerunt quidam tempus non nisi secundum rationem dividi posse. insuper alii nonnulli affirmarunt dari in mundo corpora quaedam insectilia. quidam demum in eam sententiam devoluti sunt ut asseverarint lineam eiusdem rationis dari posse, prorsus videlicet insectilem. caeterum si corpus dari contingat quod tribus dimensionibus plane et absolute minime discernatur, perfectum nequaquam existimabitur. Themist. f. 1 *b.*

παντὸς εἴρηται, καὶ ταῦτα ὅσα κοινὰ πρὸς τὸν οὐρανὸν ἦν αὐτῷ, ὅτι ἀΐδιος οὗτος καὶ πεπερασμένος τῷ μεγέθει καὶ εἷς, καὶ ταῦτα διὰ τὸν οὐρανὸν ἔχων, ὅτι ἀΐδιος οὗτος καὶ πεπερασμένος καὶ εἷς. ἀλλ' εἰ βούλοιτό τις τὴν περὶ κόσμου θεωρίαν τοῦ Ἀριστοτέλους ὁρᾶν, ἐν πάσαις αὐτὸν ἅμα ταῖς φυσικαῖς ἑαυτοῦ πραγματείαις τὸν περὶ κόσμου λόγον ἀποδεδωκέναι ῥητέον. ἀμέλει καὶ Νικόλαος ὁ Περιπατητικός, εἴ τι μέμνημαι, περὶ τοῦ Παντὸς ἐπιγράψας, περὶ πάντων τῶν ἐν τῷ κόσμῳ καὶ εἴδη ποιεῖται τὸν λόγον. ἀλλὰ καὶ αὐτὸς Ἀριστοτέλης καὶ ἐν τῷ τρίτῳ βιβλίῳ ταύτης τῆς πραγματείας περὶ τῶν ἐν αὐτῇ λεγομένων συνηρημένως ἐκθέμενος καὶ ἐν τῷ τῶν Μετεωρολογικῶν προοιμίῳ οὐδετέρωθι περὶ κόσμου φησὶν εἰρηκέναι, οὐδὲ οὕτως περὶ οὐρανοῦ ὡς περὶ κόσμου, κἂν ἔστι τι τοῦ οὐρανοῦ καὶ παρ' αὐτῷ σημαινόμενον τὸ τὸν ὅλον κόσμον δηλοῦν. παραθήσομαι δὲ μετ' ὀλίγον οἰκειοτέρως τὰς περὶ τούτων ῥήσεις. πρὸς δὲ τοὺς ἑτέρους ἐξηγητὰς ῥητέον ὅτι οὐ δοκεῖ πάρεργος ὁ περὶ τῶν τεσσάρων στοιχείων ἐν τούτοις λόγος οὐδὲ διὰ τὴν περὶ τῶν οὐρανίων ἁπλῶς θεωρίαν παραλαμβάνεσθαι, ἀλλὰ προηγουμένως περὶ αὐτῶν διδάσκει· καὶ γὰρ ἵνα παραλείπω τὸ ἥμισυ σχεδὸν τῆς ὅλης αὐτοῦ πραγματείας τὸν περὶ τούτων λόγον εἶναι, ἀλλὰ καὶ μετὰ τὴν περὶ τῶν οὐρανίων διδασκαλίαν, ἣν ἐν τοῖς πρώτοις δύο βιβλίοις ταύτης τῆς πραγματείας παραδέδωκεν, ἀρχόμενος τοῦ τρίτου τῷ ἐπὶ τοῦ πρώτου πάλιν προοιμίῳ χρῆται, τὴν συνέχειαν τοῦ συγγράμματος φυλάττων καὶ δεικνὺς ὅτι ἡ φυσικὴ πραγματεία περὶ σώματά ἐστιν, ὡς τὸν αὐτὸν σκοπὸν ἐχόντων καὶ τῶν δύο τῶν τελευταίων βιβλίων, καὶ ἐφεξῆς ἐπήγαγε τάδε (p. 298 *b* 6) "περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων εἴρηται, καὶ ποῖόν τι τὴν φύσιν, καὶ ὅτι ἄφθαρτον καὶ ἀγένητον· λοιπὸν δὲ περὶ τοῖν δυοῖν εἰπεῖν," δύο λέγων τήν τε τοῦ κούφου συστοιχίαν καὶ τὴν τοῦ βαρέος. ἐν δὲ τῷ τῶν Μετεώρων προοιμίῳ τάδε γέγραφε "περὶ μὲν οὖν τῶν πρώτων αἰτίων τῆς φύσεως καὶ περὶ πάσης φυσικῆς κινήσεως, ἔτι δὲ περὶ τῶν κατὰ τὴν ἄνω φορὰν διακεκοσμημένων ἄστρων καὶ περὶ τῶν στοιχείων τῶν σωματικῶν, πόσα τε καὶ ποῖα, καὶ τῆς εἰς ἄλληλα μεταβολῆς, καὶ περὶ γενέσεως καὶ φθορᾶς τῆς κοινῆς εἴρηται πρότερον." ἐν δὴ τούτοις μετὰ τὸν περὶ τῶν φυσικῶν ἀρχῶν λόγον κατὰ ταύτην δηλονότι τὴν πραγματείαν οὔτε περὶ κόσμου φησὶν εἰρηκέναι, ὡς ὁ Ἀλέξανδρος οἴεται, οὔτε περὶ τοῦ θείου καὶ ἀϊδίου μόνου σώματος, ὡς οἱ νεώτεροι τῶν ἐξηγητῶν, ἀλλὰ καὶ περὶ τῶν στοιχείων τῶν σωματικῶν προηγουμένως, πόσα τε καὶ ποῖα. δοκεῖ γοῦν μοι σαφῶς ὁ Ἀριστοτέλης ἐν τούτοις περὶ τοῦ οὐρανοῦ καὶ περὶ τῶν ὑπὸ σελήνην τεσσάρων στοιχείων τὸν λόγον ποιεῖσθαι. ἵνα δὲ μὴ διεσπασμένος ὁ σκοπὸς ἀλλὰ πρὸς ἕν τι βλέπων ἀποδειχθῇ, ῥητέον ὅτι μετὰ τὸν περὶ τῶν φυσικῶν ἀρχῶν λόγον, αἵτινες ἀρχαὶ τῶν φυσικῶν σωμάτων εἰσίν, περὶ τῶν ἁπλῶν ἐνταῦθα λέγει σωμάτων, ἅπερ ἀπὸ τῶν ἀρχῶν τῶν φυσικῶν συνίσταται προσεχῶς καὶ μέρη τοῦ παντός ἐστιν· ὧν πρῶτον μὲν τὸ οὐράνιόν ἐστι σῶμα, ἀφ' οὗ ὡς τιμιωτέρου τὴν πραγματείαν ἐπέγραψε, μετ' ἐκεῖνο δὲ τὰ ὑπὸ σελήνην τέσσαρα στοιχεῖα τῶν συνθέτων σωμάτων γινόμενα. περὶ τούτων δὲ ὡς περὶ πρώτων καὶ ἁπλῶν ποιεῖται τὸν λόγον, διὸ καὶ στοιχεῖα πάντα κέκληκεν, οὐ τὰ ὑπὸ σελήνην μόνον ἀλλὰ καὶ τὸν οὐρανόν, ὅταν λέγῃ "περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων," καθ' ὅσον καὶ αὐτὸς ἁπλοῦν ἐστὶ σῶμα, ἐπεὶ οὐκ ἂν κυρίως λέγοιτο στοιχεῖον ὁ οὐρανός, οὐδὲ συντίθεταί τι ἐξ αὐτοῦ, στοιχεῖον δέ ἐστιν ἐξ οὗ πρώτου συντέθειταί τι καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. καὶ εἴ γε μὴ καὶ περὶ κόσμου τὸν σκοπὸν εἶπεν ὁ Ἀλέξανδρος ἀλλὰ περὶ μόνων τῶν ἁπλῶν σωμάτων, οὐκ ἂν διηνέχθην πρὸς αὐτόν (*). Simpl. f. 1.

ἐν τῷ πρώτῳ τῶν περὶ Οὐρανοῦ βιβλίων πειρᾶται δεῖξαι ὁ Ἀριστοτέλης ὅτι ἁπλούστατόν ἐστι τὸ οὐράνιον σῶμα καὶ ἑτέρας οὐσίας παρὰ τὰ δ' στοιχεῖα. εἶτα μετὰ τοῦτο δείκνυσιν ὅτι πεπερασμένος ἐστὶν ὁ κόσμος διὰ πολλῶν ἀναντιρρήτων ἐπιχειρημάτων, ἔτι δὲ καὶ ὅτι εἷς ὁ κόσμος; καὶ ὅτι οὐδὲν ἔξω τοῦ κόσμου, οὐ κενὸν οὐ πλῆρες, οὐ σῶμα οὐκ ἀσώματον. εἶτα ἐν τῷ τέλει δείκνυσιν ὅτι τὸ γενητὸν τῷ φθαρτῷ ἀντίκειται καὶ τὸ ἄφθαρτον τῷ ἀγενήτῳ. ταῦτα μὲν ἐν τῷ α' λόγῳ ... ἐν τῷ γ' διαλέγεται περὶ τῶν στοιχείων ... καὶ τῶν ἄτομα φησάντων οἱ μὲν ἄτομα σώματα δοξάζουσιν, ὡς Λεύκιππος καὶ Δημόκριτος, οἱ δὲ ἀτόμους γραμμάς, ὡς Ξενοκράτης· ὁμοιομερείας δὲ ὁ Ἀναξαγόρας ἐδόξασε, καὶ Πλάτων ἐπίπεδα. τῶν δὲ πεπερασμένα εἰπόντων οἱ μὲν δέκα φασίν, ὡς οἱ Πυθαγόρειοι ἐν ταῖς δύο αὐτῶν συστοιχίαις τῶν καλῶν καὶ τῶν κακῶν, οἱ δὲ ς', ὡς Ἐμπεδοκλῆς τὰ δ' στοιχεῖα καὶ τὴν φιλίαν καὶ τὸ νεῖκος, οἱ δὲ δ', ὡς Ἱπποκράτης, πῦρ ἀέρα ὕδωρ γῆν, οἱ δὲ γ', ὡς ὁ Πλάτων θεὸν μέγα μικρόν, οἱ δὲ β', ὡς ὁ Παρμενίδης ἐν τοῖς κατὰ δόξαν πῦρ καὶ γῆν ... καὶ λαβὼν ὅτι ἐξ ἀλλήλων (τὰ στοιχεῖα) ζητεῖ ἄρα κατὰ διάκρισιν καὶ σύγκρισιν, ὥς φησιν ὁ Πλάτων καὶ Δημόκριτος καὶ Ξενοκράτης, ἀλλ' ὁ μὲν ἀτόμων σωμάτων, ὁ δὲ γραμμῶν, ὁ δὲ ἐπιπέδων, ἢ κατὰ μῖξιν καὶ ἔκκρισιν, ὡς ὁ Ἀναξαγόρας φησὶ καὶ Ἐμπεδοκλῆς ... ὁ σκοπὸς τῷ Ἀριστοτέλει διαλαβεῖν περὶ τῶν ἁπλῶν σωμάτων, ὧν πρώτιστον ὁ οὐρανός ἐστι, τῶν ἑαυτοῦ ἀγαθῶν τῷ ὅλῳ κόσμῳ μεταδιδούς. ἔλαχε δὲ τὴν ἐπιγραφὴν τὸ βιβλίον ἀπὸ τοῦ κυριωτέρου καὶ οὗ τὰ λοιπὰ ἐξήρτηται. cod. Coisl. 166.

ὅτι ὀρθῶς λέγομεν, ἔδειξαν οἱ Πυθαγόρειοι συντόμως οὕτως. 268*a* 9.
τὸ πᾶν ἀρχὴν ἔχει καὶ μέσον καὶ τέλος, καὶ τὸ τοιοῦτον τῷ τῆς τριάδος ἀριθμῷ ὥρισαι. καὶ μήποτε καὶ τὸ τέλειον διὰ τοῦτο ἀρχὴν ἔχειν καὶ μέσον καὶ τέλος λέγομεν, ὅτι πᾶν ἐστίν· τὸ γὰρ μὴ πᾶν ἐλλείπει τι πρὸς τὸ πᾶν εἶναι καὶ ἀτελές ἐστιν. εἰ δὲ τοῦτο ἀληθές, οὐκ ἀναγκαίως, φαίη ἄν τις, ὁ Ἀλέξανδρος διὰ τοῦ τέλειον εἶναι τὸ πᾶν συνελογίσατο τὸ ἀρχὴν ἔχειν καὶ μέσον καὶ τέλος. τάχα γὰρ διὰ τοῦ παντὸς καὶ τῷ τελείῳ τοῦτο ὑπάρχει, τάχα δὲ ἀντιστρέφει μὲν ταῦτα ἀλλήλοις, τὸ πᾶν καὶ τὸ τέλειον, καὶ τὸ ἀρχὴν ἔχον καὶ μέσον καὶ τέλος.

(*) Tria veteres caeli nomine appellare consuevere: etenim inerrantium stellarum orbem tantum, insuper corpus quintum, ac demum mundum universum [caeli] nomine usurparunt. iuxta vero tertium hunc dicendi modum invenimus Aristotelem hic de eo disseruisse. Themistii paraphrasis Moyse Alatino interprete f. 1.

p. 268 *a* 3. non invenimus Aristotelem posuisse motum in affectionum numerum, si quidem motus qui in locum fiunt, haudquaquam cum eorum quae moventur transmutatione fiunt. Themist. f. 1.

τὸ μὴ ὅλως πεφυκέναι κατ' ἐκείνην ἐνεργεῖν, — οὕτως δὲ καὶ ἐπὶ τοῦ ἔξω τοῦ οὐρανοῦ λέγομεν μὴ φύσεις ἔχειν τὸ δέχεσθαι σῶμα, καὶ διὰ τοῦτο μὴ δύνασθαι σῶμα ἐκεῖσε ἐξελθεῖν. ἡ μὲν οὖν φαντασία ἐθίσασα φαντάζεσθαι πᾶν σῶμα περατοῦσθαι ἐφ' ἕτερον, κἀκεῖνο ἐπ' ἄλλο, πείθει τοὺς ἁπλουστέρους τὰ αὐτὰ δοξάζειν καὶ ἐπὶ τῶν ἐπουρανίων, ἔνθα ὁ νοητὸς διάκοσμος ὅ πως ἀπηλλαγμένος σωματικῆς παχυμερείας· ὁ δὲ νοῦς οὐχ ἕπεται ταύτῃ, ἀλλὰ τῇ τῶν πραγμάτων φύσει ἐπακολουθεῖ (*).

Α (**).

Τὸν Θεόφραστον μαρτύρεται ὁ Ἀλέξανδρος ἐν τῷ περὶ Οὐρανοῦ μὴ περὶ τοῦ θείου σώματος λέγοντα μόνον ἀλλὰ καὶ περὶ τῶν ἐν γενέσει καὶ περὶ τῶν τούτων ἀρχῶν. περὶ κόσμου οὖν, φησὶν ὁ Ἀλέξανδρος, (ἡ περὶ Οὐρανοῦ πραγματεία) καὶ περὶ τῶν ἐν αὐτῷ πέντε σωμάτων, τοῦ τε οὐρανίου καὶ τῶν ὑπὸ σελήνην τεσσάρων, πυρὸς ἀέρος ὕδατος γῆς. ἐπήγαγε δὲ αὐτὸν εἰς ταύτην τὴν ὑπόνοιαν τά τε περὶ τοῦ ὅλου ἐν τῷ πρώτῳ προβληθέντα βιβλίῳ, πότερον εἷς ὁ κόσμος ἢ πολλοί, καὶ πότερον πεπερασμένος ἢ ἄπειρος, καὶ ἀγένητος καὶ ἄφθαρτος ἢ οὔ, καὶ τὸ ἐν τοῖς δύο τοῖς πρώτοις ταύτης τῆς πραγματείας βιβλίοις περὶ τοῦ κυρίως οὐρανοῦ εἰπόντα ἐν τῷ τελευταίῳ καὶ τετάρτῳ περὶ τῶν τεσσάρων στοιχείων ποιήσασθαι τὸν λόγον, ὡς ἀκόλουθον τῷ περὶ τοῦ πρώτου σώματος· διὸ καὶ τοῦ τρίτου πάλιν ἀρχόμενος, ὅτι περὶ σωμάτων ἐστὶν ἡ φυσικὴ πραγματεία διδάσκει, καὶ συμπεραίνων τὰ προειρημένα τάδε γέγραφε (p. 298 b 6) "περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων εἴρηται, καὶ ποῖόν τι τὴν φύσιν, καὶ ὅτι ἄφθαρτον καὶ ἀγένητον· λοιπὸν δὲ περὶ τοῖν δυοῖν εἰπεῖν," δύο λέγων τὰς δύο συζυγίας, τήν τε τοῦ κούφου, ἐν ᾧ πῦρ καὶ ἀήρ, καὶ τὴν τοῦ βαρέος, ἐν ᾧ ὕδωρ καὶ γῆ. ὁ δὲ θεῖος Ἰάμβλιχος τὸν σκοπὸν περὶ τοῦ οὐρανίου καὶ θείου σώματος ἐν τούτοις ποιησάμενος, περιλαβεῖν φησὶ καὶ τὴν περὶ κόσμου καθόλου θεωρίαν, ὡς ἂν περιεχομένην ἐν αὐτῇ κατ' οὐσίαν καὶ δουλεύουσαν αὐτῇ πρὸς τὴν ἀπεργασίαν τῆς γενέσεως· οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν στοιχείων καὶ τῶν ἐν τοῖς στοιχείοις ἐνυπαρχουσῶν δυνάμεων, ἐπειδὴ ταῦτα πάντα ἀπ' οὐρανοῦ ἤρτηται καὶ τῶν κατ' αὐτὸν περιόντων. Συριανὸς δὲ ὁ μέγας καὶ οἱ μετ' αὐτὸν ἀκολουθοῦντες αὐτῷ περὶ τοῦ κυρίως καλουμένου οὐρανοῦ, τουτέστι περὶ τοῦ ἀιδίου καὶ κυκλοφορικοῦ σώματος, τὴν πραγματείαν εἶναι φασίν, εἰς τὴν ἐπιγραφὴν ὡς ἔοικεν ἀποβλέποντες καὶ οὐκ ἀποδεχόμενοι Ἀλέξανδρον περὶ κόσμου καὶ τῶν ἁπλῶν τοῦ κόσμου σωμάτων λέγοντα τὸν σκοπόν. καὶ γὰρ ὅσα, φασί, περὶ τῶν τεσσάρων στοιχείων ἐνταῦθα λέγεται, οὐ προηγουμένως ἀλλ' εἰς τὴν περὶ τῶν οὐρανίων θεωρίαν σωμάτων συντελεῖ· τοῦ γὰρ δεῖξαι χάριν ὅτι οὐκ ἐκ τῶν τεσσάρων στοιχείων τὸ οὐράνιον σῶμα, ἀλλ' ἁπλοῦν, οὔτε ἓν τῶν τεσσάρων ἀλλὰ ἕτερόν τι παρὰ ταῦτα, μήτε κουφότητα μήτε βάρος ἔχον ὥσπερ ἐκεῖνα, τὸν πρόσθεν πάντα λόγον διῆλθε, τὰ μὲν κοῦφα λέγων ἐκείνων τὰ δὲ βαρέα, καὶ εἰς δύο τὰ τέσσαρα συνεῖλε, τό τε κοῦφον καὶ τὸ βαρύ. ἕκαστος δὲ τῶν εἰρημένων τῇ διαιρέσει τῶν Ἀριστοτέλους φυσικῶν συγγραμμάτων, ὡς οἶμαι, παρακολουθοῦντες τὸν καθ' ἑαυτὸν σκοπὸν ἀποδιδόασι· τούτων γὰρ τὰ μέν ἐστι περὶ τῶν φυσικῶν ἀρχῶν τῶν κοινῇ πᾶσιν ὑπαρχουσῶν τοῖς φυσικοῖς πράγμασιν, οἷον ὕλης καὶ εἴδους καὶ κινήσεως καὶ τόπου καὶ χρόνου, καὶ περὶ τῆς φύσεως αὐτῆς καὶ τῶν παρυφισταμένων αὐτῇ ποιητικῶν αἰτίων, καὶ ἔτι τῶν δοκούντων μὲν ὑπάρχειν τοῖς φυσικοῖς μὴ ὑπαρχόντων δέ, ὡς περὶ κενοῦ καὶ ἀπείρου, περὶ ὧν τὰ βιβλία τῆς ἐπιγραφομένης Φυσικῆς Ἀκροάσεως διδάσκει. μετὰ δὲ τὰς ἀρχὰς τῶν φυσικῶν σωμάτων ἔδει λοιπὸν περὶ αὐτῶν τῶν σωμάτων διδάσκειν. τῶν δὲ σωμάτων, ὡς μὲν Ἀλέξανδρος εἴποι ἄν, τὰ μέν ἐστιν ἁπλᾶ τὰ δὲ σύνθετα, καὶ τῶν ἁπλῶν τὸ μὲν ἀίδιον καὶ κυκλοφορικόν, τὰ δὲ ἐν γενέσει καὶ εὐθύπορα. καὶ περὶ πάντων τούτων τὸν ταύτης εἶναι τῆς πραγματείας σκοπόν φησι, καὶ περὶ τοῦ ἐκ πάντων συγκειμένου κόσμου. ὡς δὲ οἱ ἕτεροί φασιν, τῶν φυσικῶν σωμάτων τὸ μέν ἐστιν ἀίδιον, περὶ οὗ ἡ παροῦσα πραγματεία, τὰ δὲ ἐν γενέσει καὶ φθορᾷ, περὶ ὧν μέλλων διδάσκειν κοινῶς πρῶτον περὶ γενέσεως καὶ φθορᾶς ἐποιήσατο τὸν λόγον, καὶ τότε περὶ τῶν γενητῶν καὶ φθαρτῶν τὰ μὲν ἐν τοῖς μετεώροις διὰ τῶν Μετεωρολογικῶν παραδέδωκε, τῶν δ' ἐν τῇ γῇ συνθέτων τὰ μέν ἐστιν ἔμψυχα τὰ δὲ ἄψυχα, καὶ περὶ μὲν τῶν ἀψύχων τὰ περὶ Μετάλλων γεγραμμένα διδάσκει, τῶν δὲ ἐμψύχων τὰ μέν ἐστιν αἰσθητικὰ καὶ κατὰ τόπον κινούμενα, ὡς τὰ ζῷα, τὰ δὲ ἀναίσθητα καὶ κατερριζωμένα, ὡς τὰ φυτά· καὶ δὴ καὶ περὶ Φυτῶν αὐτῷ γέγραπται καὶ περὶ Ζῴων, καὶ τὰ μὲν κοινῶς, ὡς τὰ περὶ γενέσεως αὐτῶν καὶ περὶ μορίων διαφορᾶς καὶ χρείας καὶ περὶ κινήσεως καὶ ἐνεργείας, ἐν οἷς τά τε περὶ Πορείας Ζῴων καὶ περὶ Μνήμης καὶ περὶ Ὕπνου καὶ Ἐγρηγόρσεως, τὰ δὲ ἰδίως καθ' ἕκαστον εἶδος τῶν ζῴων ἡ περὶ Ζῴων Ἱστορία παραδίδωσι. τοιαύτης οὖν οὔσης τῆς διαιρέσεως δῆλον ὅτι μετὰ τὴν Φυσικὴν Ἀκρόασιν ταύτην ἀναληπτέον τὴν πραγματείαν κατὰ πάντας τοὺς ἐξηγητὰς τῶν Ἀριστοτέλους, ἀλλ' ἢ ὡς περὶ κόσμου καὶ τῶν ἐν αὐτῷ πέντε σωμάτων τῶν ἁπλῶν, ἢ ὡς περὶ τοῦ ἀιδίου καὶ κυκλοφορικοῦ σώματος. μήποτε δὲ χρὴ φάναι πρὸς μὲν τὸν Ἀλέξανδρον, λέγοντα σαφῶς περί τε τοῦ κόσμου παντὸς καὶ περὶ πάντων τῶν ἁπλῶν σωμάτων τὸν λόγον ἐν τούτοις ποιεῖσθαι τὸν Ἀριστοτέλην, πρῶτον μὲν ὅτι ἕνα χρὴ τὸν σκοπὸν εἶναι πάσης πραγματείας εἰς ὃν βλέποντα καὶ πρὸς ἐκεῖνο τὰ κατὰ μέρος αὐτῆς συνυφαίνοντα, ἔπειτα ὅτι οὐ φαίνεται περὶ τοῦ κόσμου διδάσκων ἐν τούτοις, ὥσπερ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ τάς τε ἀρχὰς τῶν φυσικῶν, τὴν ὕλην τε καὶ τὸ εἶδος καὶ τὴν κίνησιν καὶ τὸν χρόνον, καὶ τὴν κοινὴν σύστασιν τοῦ κόσμου παραδέδωκεν, καὶ ἰδίᾳ περί τε τῶν οὐρανίων καὶ περὶ τῶν ὑπὸ σελήνην ἐδίδαξε, καὶ τὰ τούτων καὶ τὰ περὶ τῶν μετεώρων καὶ τὰ ἐν γῇ μέταλλα καὶ φυτὰ καὶ ζῷα καὶ μέχρι τοῦ ἀνθρώπου συστάσεως καὶ τῶν μορίων αὐτοῦ πραγματεύεται. ἐνταῦθα δὲ ἐλάχιστα περὶ τοῦ κόσμου

(*) Παρεκβολὰς easdem habent codd. Ven. 257 f. 56-68 et 263 f. 140-162, ille quidem omissis quae post p. 467 8 leguntur.

(**) Simplicii scholia passim e cod. Vat. Ottobon. 83, maximam partem e cod. Reg. 1903 descripta sunt, liber secundus cum cod. Reg. 1910, reliqui tres cum Coisl. 166 collati. codices Oxon. Collegii Novi et Corp. Christi, codexque Laurent. 29 plut. 76 nonnunquam inspecti sunt.

εἶδε δὲ καὶ τὴν ἑτέραν, καθ' ἣν τὸ εἰς διάστασιν σωματικὸν ὑπελθὸν οὐ δυνάμενον ἔτι ἑαυτὸ παράγειν, ἀλλ' ἐξ ἄλλου τινὸς αἰτίου μόνως ὑφιστάμενον γενητὸν λέγει πρὸς τὸ ὄντως ὂν ἀντιδιῃρημένον ὡς πρὸς αἴτιον ἑαυτοῦ προσεχές· ἀνάγκη γὰρ τὸ γινόμενον καὶ τὸ τὴν ὑπόστασιν ἑτέρωθεν ἔχον ἀπὸ τῆς τοῦ ὄντος καθυποστάτου ὑφίστασθαι, ἢ ἐπ' ἄπειρον ἰέναι, γενητὸν ἀντιθέντας πρὸ γενητοῦ. τοῦτο δὴ τὸ γενητὸν μετὰ τοῦτο ὁρισάμενος ἐν Τιμαίῳ (p. 27 c sq.) κατ' αὐτὸ γενητὸν εἶναι τὸν κόσμον φησίν. καὶ ὁ μὲν ἀμφοῖν ὁρισμὸς ἀπὸ τῶν γνωστικῶν ἐν ἡμῖν δυνάμεων γενόμενος ὧδέ πως ἔχει "τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γινόμενον μέν, ὂν δὲ οὐδέποτε; τὸ μὲν δὴ νοήσει μετὰ λόγου περιληπτὸν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ὂν διατελεῖ, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστόν, γινόμενόν τε καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν." κατὰ δὴ τοῦτο τὸ γενητὸν καὶ τὸν κόσμον ὑπὸ τοῦ ὄντως ὄντος ὑποστάντα θεοῦ προσεχῶς γεννητὸν εἶναί φησι γράφων οὕτως ὁ Πλάτων περὶ τοῦ κόσμου "πότερον ἦν ἀεὶ γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν; ὁρατὸς γὰρ ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων." τὸ δὲ τοιοῦτον πᾶν γινόμενον καὶ γενητὸν ἐφάνη· τὸ μὲν γὰρ αὐθυπόστατον ἀμερὲς εἶναι χρὴ καὶ ὅλον ὅλῳ αὐτῷ συνεφαρμόττειν. καὶ διὰ τοῦτο μὴ ὂν αὐθυπόστατον ὑφ' ἑτέρου πάντως ἔχει τὸ εἶναι, καὶ διὰ τοῦτο γεννητὸν λέγεται. ἐπειδὴ δέ τινες τὸ ἐν ὁρισμῷ τοῦ γενητοῦ ἀπολλύμενον ἀταλαιπώρως ἀκούσαντες φθορὰν τοῦ κόσμου καὶ τοῦ οὐρανοῦ δηλονότι καταγινώσκειν τὸν Πλάτωνα νομίζουσιν, ἀναγκαῖον εἰπεῖν τί ποτε τοῦτο τὸ ἀπολλύμενον σημαίνει. εὐθὺς μὲν οὖν τῷ γινομένῳ καὶ ἀπολλυμένῳ προστεθὲν τὸ "ὄντως δὲ οὐδέποτε ὂν" ἐναργῶς οἶμαι τοῖς μὴ προειλημμένοις ἐνδείκνυται ὅτι τοῦ μὲν ποτὲ ἐξήρηται ἀΐδιον ὑπάρχον· τὸ γὰρ οὐδέποτε ἐπὶ τῶν ἀϊδίων λέγεται κυρίως· ἀεὶ δὲ ὑφεστὸς διὰ τὸ προσεχῶς ὑπὸ τοῦ ὄντως ὄντος καὶ τοῦ ἀκινήτου παρῆχθαι, διὰ τοῦτο πάλιν τὸ μὴ αὐθυπόστατον καὶ τὸ μὴ ὄντως ὄν, μηδὲ ὅλον ἅμα καὶ πᾶν εἶναι ὅπερ ἐστί, καὶ μεταβολὴν ἔχει τινὰ ἄλλοτε ἄλλα δεχόμενον, διὰ τὸ ποιοῦν προσεχῶς αἴτιον, ἀκίνητον ὑπάρχον, καὶ διὰ τὴν ἑαυτοῦ ἐπιτηδειότητα προσεχῶς ἀπὸ ὄντως ὄντος ὑποστάντος. καὶ ὅτι τὴν μεταβολὴν οὐχ ὡς ἐν μέρει χρόνου γινομένῳ καὶ φθειρομένῳ νομίζει προσήκειν ὁ Πλάτων, ἀλλὰ διὰ τὴν σωματικὴν φύσιν, δι' ἣν ἅμα πᾶσαν οὐκ ἔχει τὴν ἑαυτοῦ μακαριότητα, ὥσπερ τὸ ὄντως ὄν, ἐκ τῶν ἐν τῷ Πολιτικῷ (p. 269) γεγραμμένων οἶμαι καταμαθεῖν ῥᾴδιον. ἔχει δὲ οὕτως, ὡς μνημονεύω, "ὃν δὲ οὐρανὸν ἢ κόσμον ἐπωνομάκαμεν, πολλῶν μὲν καὶ μακαρίων ὑπὸ τοῦ γεννήσαντος μετέσχεν, ἀτὰρ κεκοινώνηκέ γε καὶ σώματος· ὅθεν μεταβολῆς ἀμοίρῳ μένειν αὐτῷ παντάπασιν ἀδύνατον ἦν." καίτοι εἴπερ ἐφθείρετο, εἰ μὲν εἰς ἄλλον κόσμον, εἶχεν ἂν χώραν τὸ τῆς μεταβολῆς ὄνομα, εἰ δὲ εἰς τὸ μὴ ὄν, οὐκ ἂν μεταβαλεῖν ἐλέγετο· μεταβάλλει γὰρ τὸ μεταβαῖνον ἀπ' ἄλλου εἰς ἄλλο. πῶς δὲ ἂν ἀμοίρῳ παντάπασιν εἶπεν, εἰ μή τι καὶ ἀμετάβλητον εἶχεν; ἀλλὰ καὶ ὅτι μήτε ἐν μέρει χρόνου γεγονέναι τὸν κόσμον μήτε οὕτω φθείρεσθαι νομίζει ὁ Πλάτων, ἐκ τῶν ἐν Τιμαίῳ γεγραμμένων δῆλον, πρῶτον μὲν ὅτι τὸν χρόνον μετὰ τοῦ οὐρανοῦ γεγονέναι σαφῶς λέγει (p. 38) "χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονεν·" ἀδύνατον οὖν χρόνον εἶναι πρὸ οὐρανοῦ. ἔτι δὲ οὐκ ἂν ἀπὸ χρόνου τινὸς ὁ οὐρανὸς ἤρξατο γίνεσθαι· προϋπῆρχε γὰρ αὐτοῦ χρόνος, καὶ τοῦ ἐνεστῶτος ἐκείνου, καθ' ὃν ἐγένετο ὁ κόσμος, πάντως ἦν προηγούμενός τις παρεληλυθώς. ἀλλ' οὐδὲ ἐν μέρει χρόνου φθείρεσθαι δυνατόν· πάλιν γὰρ μετ' ἐκεῖνον τὸν ἐνεστῶτα καθ' ὃν φθείρεται ἔστι τις μέλλων. εἰ δὲ ἐπήγαγεν "ἵνα ἅμα γεννηθέντα ἅμα λυθῶσιν, ἄν ποτε λύσις τις αὐτῶν γένηται," δι' αὐτοῦ τούτου τὸ ἄλυτον ἐνεδείξατο· εἰ γὰρ ἀνάγκη τῷ χρόνῳ συλλύεσθαι τὸν κόσμον (e Simpl. f. 21 *b* med. — 24 extr.).

ἀπὸ Φιλοπόνου. ὦ Ἀριστοτέλης, εἰ ὧν αἱ κινήσεις διάφοροι, διάφοροι καὶ αἱ φύσεις, ὡς αὐτὸς φής, θέλων ἀποδεῖξαι τὴν οὐσίαν τοῦ οὐρανοῦ ἄλλην παρὰ τὴν τῶν δ' στοιχείων, λοιπόν, ὧν αἱ κινήσεις αἱ αὐταί, καὶ φύσεις αἱ αὐταί. καὶ μὴν ὁρῶμεν τὴν τῆς γῆς κίνησιν ἐπὶ τὰ κάτω καὶ τὴν τοῦ ὕδατος ὁμοίως· ὥστε μία φύσις ἀμφοῖν. καὶ ὁ ἀὴρ καὶ τὸ πῦρ ἀνωφερῆ μέν, ἕτερα δὲ τὴν φύσιν ἐστίν, ὥστε ὁ Πλάτων ἐκ τοῦ ἄνθους τῶν στοιχείων δοξάζων τὸν οὐρανὸν γεγονέναι κρεῖττόν σου ἀποφαίνεται. αἱ οὐράνιαι σφαῖραι πλεῖον μετέχουσι τῆς ἀερώδους φύσεως ἢ τῆς πυρώδους, οἱ δὲ ἀστέρες ἀνάπαλιν, εἰ καὶ μὴ τῷ Σταγειρίτῃ δοκεῖ. οἱ δὲ παλαιοὶ ἀμφέβαλον καὶ ὁποῖαί εἰσι τιμιώτεραι, αἱ οὐράνιαι σφαῖραι ὡς λεπτότεραι, ἢ οἱ ἐν αὐταῖς ἀστέρες ὡς λαμπρότεροι. ταύτην δὲ τὴν ἀμφιβολίαν ἐπελύσατο ὁ Ἀριστοτέλης ἐν τῇ περὶ Οὐρανοῦ πραγματείᾳ λέγων, εἴτε τὸ φερόμενον κρεῖττον τοῦ φέροντος ὡς τούτου ἕνεκα γινομένου, φέρουσι δὲ αἱ σφαῖραι τοὺς ἀστέρας, οἱ δὲ ἀστέρες φέρονται, δῆλον ὡς τῶν σφαιρῶν οὗτοι τιμιώτεροι.

περὶ τόπου. ὁ δὲ τόπος πέρας ἐστὶ τοῦ περιέχοντος καθὸ περιέχει τὸ περιεχόμενον· οἷον εἰμὶ ἐγὼ ἐν τῷ ἀέρι· τὸ οὖν πέρας τοῦ ἀέρος τὸ προσεχές μοι καὶ περιέχον με, τοῦτό ἐστι τόπος· καὶ τὸ μεταξὺ τοῦ ὕδατος καὶ τῆς κοίλης ἐπιφανείας τοῦ ἀγγείου ἐστὶ τόπος, οὐκ αὐτὸ τὸ ἀγγεῖον. ἐπὶ γὰρ τοῦ τόπου ταῦτα ἀναγκαῖον συνδραμεῖν, τό τε περιέχειν ἐκεῖνο οὗ ἐστὶ τόπος, καὶ τὸ μηδὲν τοῦ πράγματος εἶναι, καὶ τὸ μὴ ἀπολείπεσθαι αὐτῇ, καὶ τὸ μήτε μείζονα εἶναι μήτε ἐλάττονα τοῦ περιεχομένου πράγματος, καὶ τὸ χωριστὸν αὐτὸν εἶναι. καὶ τοὺς μὲν λοιποὺς τῶν σωμάτων τόπους μερικοὺς λέγουσι, τὸν δὲ τῆς κοίλης τοῦ οὐρανοῦ ἐπιφανείας καθόλου. καὶ πάντα μὲν τὰ σώματα ἐν τόπῳ ἐστί, πλὴν τῆς ἀνάστρου σφαίρας ἧς τὸ περιέχον αὐτὴν οὐκ ἐν τόπῳ, διὰ τὸ ὑπ' ἀλλήλων περιέχεσθαι, ἡ δὲ ὁλότης οὔ. ὁ δὲ Ἀλεξανδρεὺς Στέφανος ἐξηγούμενος τὴν περὶ Οὐρανοῦ πραγματείαν περὶ τούτου ἐπαπορεῖ λέγων, εἰ ὑποθώμεθά τινα ἀνελθόντα ἄχρι τοῦ ἀκροτάτου μέρους τοῦ οὐρανοῦ καὶ τὴν χεῖρα ἐπιχειροῦντα ἐκβαλεῖν ἐπὶ τὰ ἔξω τοῦ οὐρανοῦ, ἆρά γε οἴδασιν ἡ χεὶρ ἐξελεύσεται ἄνωθεν ἢ κωλυθήσεται ἐξελθεῖν; εἰ μὲν οὖν ὅτι ἐξελεύσεται, ἔσται ἐκεῖσε τόπος δεκτικὸς σώματος καί τι κενόν· εἰ δὲ μὴ ἐξελεύσεται, ἔσται ἐκεῖσέ τι σῶμα ἀντιτυποῦν καὶ κωλῦον τὴν ἔξοδον τῆς χειρός. κἀκεῖνος μὲν ἐπαπορήσας οὐδὲν ἐπελύσατο. ἡμεῖς δὲ λέγομεν ὅτι οὐ σῶμα ἀντίτυπον κωλύει τὴν χεῖρα ἐκεῖσε ἐξιέναι, ἀλλ' αὐτὸ τὸ εἶναι τὰ ἐκεῖσε σώματος ἄδεκτα, μὴ ἔχοντα φύσιν ἐπιδεκτικὴν σώματος· ὥσπερ γὰρ τὴν ὅρασιν λέγομεν μὴ ἀκούειν καὶ τὴν ἀκοὴν μὴ ὁρᾶν, οὐ διὰ τὸ ἐμποδίζεσθαι ἑκάστην πέρα τινὸς εἰς τὸ ἐνεργεῖν τὴν ἀλλοτρίαν ἐνέργειαν, ἀλλὰ διὰ

τερον, τὰς ἐναντίας ὧν εἶχε ποιότητας εἰσδεξάμενον εἰς πῦρ μετέβαλεν ἀπὸ ὕδατος, μενόντων τῶν πρὸς τὸ πῦρ κοινῶν, ἅπερ καὶ συνυπάρχειν ἠδύνατο ἑκατέραις ποιότησιν, εἴτε ἡ σωματικὴ φύσις ἐστὶν αὕτη μετά τινων ἐνίοτε κοινῶν, εἴτε ἡ πρώτη ὕλη· μεταβολῆς γὰρ γινομένης ἀνάγκη τὶ μὲν εἶναι περὶ ὅ τι γίνεται ἡ μεταβολή, τοῦτο δέ ἐστι τὸ κυρίως μεταβαλλόμενον κατὰ τὰς ποιότητας. καὶ οὐ μόνον ἐπὶ τῆς γενέσεως οὕτως ἔχει τοῦτο καὶ τῆς ἀλλοιώσεως τῶν ἑτέρων ὑπὸ τῶν ἑτέρων ποιοτήτων, ἀλλὰ καὶ ἐπὶ τῆς αὐξήσεως καὶ μειώσεως τῆς φυσικῆς· τὸ γὰρ αὐξόμενον φυσικῶς, οἷον τὸ τρεφόμενον, μεταβαλὸν τῆς τροφῆς τὰς ἐναντίας πρὸς ἑαυτὸ διαθέσεις καὶ ἐξομοιῶσαν αὐτὴν οὕτως ἑαυτῷ προσφύει καὶ αὔξεται· καὶ κἂν ἔχει τι θρεπτικὸν ἢ αὐξητικὴ δύναμις, ἀλλὰ κατὰ τὰς φυσικὰς μεταβολὰς οὕτως ἐπιτελεῖται. ἀλλὰ καὶ τὰ κατὰ τόπον κινούμενα μετέβαλον τόπον τοῦ κινουμένου μένοντος, ὥστε πᾶσα ἡ ὑπὸ σελήνην τροπὴ μεταβολή ἐστι μένοντος κατά τι τοῦ μεταβαλλομένου. διὸ οὐκ ἐκ τοῦ μὴ ὄντος ἀλλ' ἐξ ὄντος γίνεται τὰ κατὰ χρόνον γινόμενα· ὥσπερ γὰρ τοῦ χρόνου, καθ' ὃν ταῦτα γίνεται, προϋπάρχει τις ἄλλος χρόνος, μεθ' ὃν οὗτός ἐστιν, οὕτως καὶ τοῦ γινομένου προϋπάρχει τι ἄλλο, μεθ' ὃ καὶ ἐξ οὗ γέγονε τὸ γινόμενον. εἰκότως οὖν καὶ Ἀριστοτέλης τὴν μεταβολὴν ὡς γένος ἔθετο πάσης τῆς ὑπὸ σελήνην τροπῆς ἐν τοῖς φυσικοῖς. εἰκότως δὲ καὶ ἀΐδιός ἐστιν αὕτη ἡ μεταβολή, οὐ μόνον ὅτι ὑπὸ ἀϊδίου τῆς ἐν τῷ οὐρανῷ μεταβολῆς τοὺς κατὰ τὴν τοπικὴν κίνησιν καὶ τοὺς διαφόρους σχηματισμοὺς ὑφίσταται, ἀλλ' ὅτι καὶ ἡ ἄλλου φθορὰ ἄλλου πάντως ἐστὶ γένεσις. εἰκότως δὲ τὰ ἐνταῦθα ἁπλᾶ σώματα ταῖς μὲν ὁλότησιν ἀΐδια, κατὰ μέρη δὲ τὴν γένεσιν ὑπομένει καὶ τὴν φθοράν· εἰ γὰρ καὶ ἡ τῶν συνεστώτων μεταβολὴ μετὰ ταῦτα γίνεται πρώτως, καὶ διαλυόμενα φέρεται εἰς τοὺς οἰκείους τόπους φυσικῶς καὶ τὰς ἰδίας ὁλότητας, μένουσι δὲ ἐκεῖναι μέρη. . . ἑαυτῶν πέμπουσαι καὶ πάλιν μικρὰ δεχόμεναι, καὶ τοῦτο δεῖ διὰ τὴν ἀϊδιότητα τῆς μεταβολῆς. εἰκότως δὲ μεταβολῆς οὔσης τῆς ἐξ ἐναντίας ἕξεως εἰς τὴν ἐναντίαν, ὑπὸ τοῦ ἐναντίου αὐτῇ αἰτίου μεταβάλλεται. διόπερ ἐν τῷ πρώτῳ τῆς Φυσικῆς Ἀκροάσεως ὁ Ἀριστοτέλης τὰς ἀρχὰς τῶν ἐν γενέσει καὶ φθορᾷ φυσικῶν ζητῶν τὰ ἐναντία φησὶ καὶ τὸ τούτοις ὑποκείμενον. καὶ δηλονότι τὰ μὲν κατὰ ποιότητα γινόμενα καὶ φθειρόμενα ἐναντίας ἔχοντα ποιότητας ἐξ ἐκείνων μεταβάλλει, τὸ δὲ κατ' οὐσίαν μεταβάλλον, οἷον τὸ πῦρ καθὸ πῦρ ἢ ἄνθρωπος καθὸ ἄνθρωπος, αὐτὰ μὲν μεταβάλλει κατὰ τὴν τῶν ποιοτήτων εἰς ἄλληλα μεταβολήν, καθὸ δὲ πῦρ ἢ καθὸ ἄνθρωπος οὐσίαι εἰσί, τῇ δὲ οὐσίᾳ οὐκ ἔστιν ἐναντίον εἶδος. ἐκ τίνος οὖν ὡς ἄνθρωπος γίνεται; ἐκ τοῦ μὴ ἀνθρώπου πεφυκότος δὲ γενέσθαι ἀνθρώπου· τοιοῦτον δὲ τὸ σπέρμα καὶ τὸ καταμήνιον, μὴ ὂν ἄνθρωπος πεφυκὸς δέ· οὔτε γὰρ ὢν ἄνθρωπος γένοιτο ἂν ἄνθρωπος (τὸ γὰρ ὂν οὐ γίνεται) οὔτε μὴ ὢν μηδὲ πεφυκὼς γένοιτ' ἂν ἄνθρωπος. κοινῶς οὖν στέρησιν ἔθος καλεῖν τοῦτο, ὡς τὸ νεογενὲς σκυλάκιον ἐστερῆσθαι λέγεται ὀφθαλμῶν, ὅτι πέφυκεν ἔχειν· τὸ μέντοι τελείως ἐκτυφλωθὲν κατ' ἄλλην στέρησιν τὴν μὴ ἀνακάμπτουσαν ἐστερῆσθαι λέγεται ὀφθαλμοῦ· ἡ γὰρ γενεσιουργὸς στέρησις, ἀφ' ἧς εἰς τὸ εἶδος μεταβάλλει τὰ λεγόμενα γίνεσθαι, ἀνακάμπτει εἰς τὸ εἶδος. ἐπεὶ οὖν καὶ ὅταν ἀπὸ θερμοῦ γίνηται ψυχρόν, ἀπὸ τοῦ μὴ ψυχροῦ πεφυκότος δὲ γίνεσθαι ψυχροῦ γίνεται, καὶ διὰ τοῦτο ἐκ θερμοῦ (τὸ γὰρ ξηρὸν οὐ πέφυκε μεταβάλλειν ὑπὸ τοῦ ψυχροῦ· συνυπάρχειν γὰρ αὐτῷ δύναται)· εἰ οὖν τὸ μὲν ἐκ τοῦ ἐναντίου εἴδους γίνεσθαι τὸ γινόμενον οὐ πᾶσιν ὑπάρχει τοῖς γινομένοις (οὐ γὰρ δὴ πρώτως καὶ ταῖς οὐσίαις· οὐ γάρ ἐστι τι τῇ οὐσίᾳ ἐναντίον), τὸ δὲ ἐκ τοῦ μὴ τοιούτου πεφυκότος δὲ πᾶσιν ὑπάρχει καὶ τοῖς ἐξ ἐναντίων εἰδῶν μεταβάλλουσιν), εἰκότως κοινῶς τῆς γενέσεως ἀρχὰς εἶδος καὶ στέρησιν καὶ τὸ ὑποκείμενον εἶπεν ὁ Ἀριστοτέλης. ἐναντίον δὲ καλεῖ τὸ εἶδος καὶ τὴν στέρησιν οὐ κατὰ τὸ κυρίως τοῦ ἐναντίου σημαινόμενον (εἴδη γάρ ἐστιν ἄμφω τὰ ἐναντία), ἀλλὰ κατὰ τὴν ἀντίθεσιν· ἀντίκειται γὰρ καὶ ταῦτα ἀλλήλοις. μεμνῆσθαι δὲ χρὴ ὅτι κἂν πρώτη ἡ οὐσία μὴ ἐξ ἐναντίου γίνηται κυρίως, μηδὲ εἰς τὸ ἐναντίον φθείρηται, διὰ τὸ μὴ εἶναι οὐσίαν οὐσίᾳ ἐναντίαν, ἀλλὰ πρῶτον μὲν ἐκ τῆς οἰκείας στερήσεως, ἔπειτα διὰ τὰς τῶν ἐναντίων γενέσεις καὶ αὕτη τὸ γίνεσθαι ἴσχει, καὶ αὖ πάλιν διὰ τὰς τῶν ἐναντίων εἰς τὸ ἐναντίον φθορὰς τὸ φθείρεσθαι· ὅτε γὰρ αἱ ἐν τῷ σπέρματι καὶ καταμηνίῳ ποιότητες καὶ ποσότητες, εἰς ἃς πεφύκασιν, ἐναντίας ἑαυταῖς οὔσας τὰς τοῦ ἀνθρώπου μεταβάλλουσι, τότε εἶδος τοῦ ἀνθρώπου παραγίνεται. καὶ πάλιν ὅταν πλεονεκτησάντων τινῶν στοιχείων καὶ τῶν ἐναντίων ἡττηθέντων εἰς ἀναρμοστίαν ὑπεναχθῇ τὸ ὑποκείμενον, τότε φθείρεται, ἄλλως δὲ οὔ. ἀλλ' ἴδωμεν κατὰ ποῖον μὲν τοῦ γεννητοῦ σημαινόμενον ὁ Ἀριστοτέλης ἀποφάσκει τοῦ οὐρανοῦ τὸ γεννητόν, ἀγέννητον αὐτὸν ἀποδεῖξαι σπουδάζων; κατὰ ποῖον δὲ ὁ Πλάτων τὸν κόσμον γενητόν φησιν. ὁ μὲν οὖν Ἀριστοτέλης ὅτι γένεσιν καλεῖ ταύτην μόνην τὴν ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι κατὰ χρόνον μεταβολήν, ἣν πάντως φθορὰ διαδέχεται, δῆλον μὲν ἐξ ὧν οὐκ ἀγέννητον μόνον ἀλλὰ καὶ ἄφθαρτον ἀποδείξει τὸν οὐρανόν, ἔτι δὲ μᾶλλον ὅταν ἀποδείξῃ ὅτι τὸ γινόμενον φθείρεται καὶ τὸ ἀνάπαλιν. δῆλον γὰρ ὅτι γένεσιν καὶ φθορὰν ταύτας λαμβάνει τὰς ἐν μέρει χρόνου γινομένας καὶ τοῖς ὑπὸ σελήνην ὑπαρχούσας· διόπερ ἄλλην τινὰ εἶπεν οὐσίαν παρὰ τὰ ὑπὸ σελήνην τὴν τοῦ οὐρανοῦ πρώτην τούτων τῇ φύσει καὶ τελειοτέραν· ὥσπερ γὰρ βάρος καὶ κουφότητα καὶ τὴν ἐπ' εὐθείας κίνησιν ἰδίᾳ τῶν ὑπὸ σελήνην ὄντα ἀποφάσκει αὐτῆς, οὕτως καὶ τὸ γενητὸν αὐτῶν καὶ φθαρτόν. καὶ τοῦτο μὲν ἀναμφίλεκτον οἶμαι καὶ ἐκ τοῦ μεταβολήν τινα τὴν γένεσιν ἔχειν καὶ τὴν φθοράν, ὡς ἄλλου μετ' ἄλλου γινομένου καὶ φθειρομένου, καὶ τοῦ πρὸς τοὺς λέγοντας γενητὸν μὲν ἄφθαρτον δὲ τὸν κόσμον ἀντιλέγειν καὶ δεικνύναι ὅτι τὸ γινόμενον πάντως καὶ φθείρεται. καὶ οὐδὲν καινὸν τὸ τὰ πᾶσι πρόδηλα βουλόμενον ἀεὶ λαμβάνειν τὸν Ἀριστοτέλην τοῦτο λέγειν, γενητὸν τὸ πάσης γενέσεως μετέχον καὶ ἐναργῶς ὁρώμενον ἐν μέρει χρόνου γινόμενόν τι καὶ φθειρόμενον. ὁ δέ γε Πλάτων οἶδε μὲν καὶ ταύτην τὴν γένεσιν τὴν τῶν ὑπὸ σελήνην τὴν ἀντικειμένην τῇ φθορᾷ, ἐν τῷ δεκάτῳ τῶν Νόμων (p. 894) γράφων οὕτως "γίνεται δὴ πάντων γένεσις, ἡνίκα ἂν τί πάθος ᾖ; δῆλον ὡς ὁπόταν ἀρχὴ λαβοῦσα αὔξην εἰς τὴν δευτέραν ἔλθῃ μετάβασιν, καὶ ἀπὸ ταύτης εἰς τὴν πλησίον, καὶ μέχρι τριῶν ἐλθοῦσα αἴσθησιν σχῇ τοῖς αἰσθανομένοις. μεταβαῖνον μὲν οὕτω καὶ μετακινούμενον γίνεται ἅπαν· ἔστι δὲ ὄντως ὄν, ὁπόταν μένῃ· μεταβαλὸν δὲ εἰς ἄλλην ἕξιν διέφθαρται παντελῶς."

πρώτοις τῶν κυρίως γινομένων διαστάσεως ἀναφανείσης καὶ μερισμοῦ καὶ μεταβολῆς, ἀλλ' οὐ σωζομένης εἰλικρινοῦς τῆς πρὸς τὸ ἀμέριστον ὁμοιότητος, διακέκριται μὲν τὰ συμπληροῦντα τὴν οὐσίαν ἐκείνην καὶ μέρη καὶ εἴδη, δρᾷ δὲ εἰς ἄλληλα καὶ πάσχει ὑπ' ἀλλήλων ἅτε διαστάντα ἀπ' ἀλλήλων, μενούσης δὲ ὅμως τῆς οὐσίας, καὶ δρᾷ τὰ δρῶντα καὶ πάσχει τὰ πάσχοντα, τελειοτάτης οὔσης τῆς ἀλλήλων ἐνεργείας· τῇ γὰρ ἀλλήλων μετοχῇ τὴν ἐν τῷ ὄντως ὄντι ἕνωσιν ἀπεικονίζεται τὰ ἐν τῷ γινομένῳ εἴδη. ἀλλὰ τὰ μὲν ἐν τῷ προσεχῶς ὑπὸ τοῦ ὄντος ὑφισταμένῳ τελεσιουργῶς τοῦτο δρᾷ, τὰ δὲ ἀπὸ τούτων ὑφιστάμενα λοιπὸν ἀπὸ τοῦ ἀεὶ τοῦ χρονικοῦ πρὸς τὸ ποτὲ τὸ ἐν μέρει χρόνου ὑπελθόντα, διότι κατὰ τὰς ἄλλοτε ἄλλας γινομένας διαθέσεις τῶν οὐρανίων ὑφίσταται, ὡς ταδὶ μὲν ἐν τοῖσδε τοῖς ζωδίοις τοῦ ἡλίου τυγχάνοντος, ταδὶ δὲ ἐν τοῖσδε. πολλῆς οὖν γινομένης τῆς ἐν τῷ ἐσχάτῳ πλήθει διαστάσεως καὶ τῶν ὑπὸ σελήνην οὐσιῶν ἐκ τῶν οὕτω διεστηκότων συντεθειμένων, οὔτε πάντα μετέχει πάντων οὔτε πάντα ἐν πᾶσιν, ἀλλ' ὅσα μὲν διάφορα ὄντα ἐν ἑνὶ εἴδει συνδεδράμηκε, ταῦτα δύναται συνυπάρχειν ἀλλήλοις ἀστασιάστως ἀλλήλων μετέχοντα, τὰ δὲ ἐναντία τὴν πᾶσαν ἐνταῦθα διάστασιν ὑπομείναντα συνάγεται μὲν εἰς τοῦτο πάντως, καὶ μάλιστα τὰ γενικώτερα, οἷον θερμότητες ψυχρότητες ξηρότητες ὑγρότητες καὶ τὰ συνεδρεύοντα τούτοις ἑκάστῃ τῶν αἰσθήσεων ἀντιληπτά, οἷον λευκότητες μελανίαι ὀξύτητες βαρύτητες γλυκύτητες πικρότητες τραχύτητες λειότητες καὶ αἱ κατὰ τὰς ὀσμὰς ἀντιθέσεις, συνάγονται δὲ οὐ καθ' αὑτό, ἀλλὰ τῶν μὲν ἐνόντων αὐτοῖς σωμάτων, ἐν οἷς ὑφεστήκασι, ταῦτα δέ ἐστι τὰ πρῶτα στοιχεῖα πῦρ ἀὴρ ὕδωρ γῆ, ἐξ ὧν τὰ ἄλλα συνέστη τά τε ζῶα καὶ τὰ φυτά. ἀλλ' ὅταν μὲν ἐναρμονίου καὶ συμμέτρου τινὸς ἀπὸ τῶν οὐρανίων τύχῃ συναγωγῆς, πρὸς τόδε τι ἢ τόδε τῶν συνθέτων εἰδῶν ἐπιτηδειότητα ἐχούσης, ἐλλάμπει τότε τὸ εἶδος ἐκεῖνο, καὶ αὐτό τε συνέχει τὴν τῶν ἐναντίων συνδρομὴν καὶ ὑπ' αὐτῆς ἐκεῖνο συνέχεται· ὅταν δὲ τὰ ἐναντία διὰ τὸ φυσικὸν δύσμικτον, οἷον πῦρ καὶ ὕδωρ, ἐπιμένῃ μαχόμενα κατὰ τὰς ἐναντίας ποιότητας, τότε ἀνάγκη ποτὲ τὸ ἕτερον ἐπικρατοῦν ἐκ τῆς τοῦ ἀντικειμένου μειώσεως συναύξεσθαι· καὶ φθίνεται μὲν τότε τὸ σύνθετον εἶδος ἐκεῖνο τὸ τῇ τοιᾷδε συμμετρίᾳ τῶν στοιχείων πεφυκὸς ἐπιγίνεσθαι, οἷον τὸ τοῦ βοὸς ἢ τοῦ ἵππου, ἄλλου δὲ εἴδους συμμετρίας τοῖς στοιχείοις ἐγγενομένου κατὰ τὴν πλεονεξίαν καὶ μειονεξίαν τῶν στοιχείων, καὶ ἄλλης ἐπιτηδειότητος, μέλιτται μὲν ἀπὸ βοὸς σφῆκες δ' ἀφ' ἵππων γίνονται, καὶ σκώληκες ἀπὸ διαφόρων ζῴων καὶ φυτῶν διάφοροι. ἔστι δ' ὅτε πολλῆς τινὸς πλεονεξίας τῶν στοιχείων ἐν τοῖς συνθέτοις γινομένης, ἢ καμόντα λοιπὸν καὶ γηράσαντα ἀνεπιτήδεια γίνεται πρὸς συνθέτου εἴδους ὑποδοχήν, καὶ διαλυθέντα τότε εἰς τὰς ἑαυτῶν ὁλότητας χωρεῖ, καὶ ἐκνεασθέντα ἐκεῖ καὶ ἀνηβήσαντα τότε πάλιν ἔρχεται πρὸς σύνθεσιν. δηλοῖ δὲ μάλιστα τὸ ὕδωρ ταῦτα, τότε πρὸς γένεσιν καὶ τροφὴν ἐπιτήδειον ὄν, ὅταν καθαρὸν γένηται καὶ τῆς ἑαυτοῦ ὁλότητος ἀπομερίζηται, ὡς ἀπὸ πηγῶν ὁρᾶται. καὶ δηλονότι καὶ ἡ γένεσις ἐνταῦθα καὶ ἡ φθορὰ μεταβολή τίς ἐστιν ὑπό τε τοῦ ἐναντίου γινομένη καὶ ἐκ τῆς ἐναντίας ἕξεως εἰς τὴν ἐναντίαν μεθισταμένη· ἐπὶ μὲν τῶν στοιχείων, τοῦ ὕδατος, εἰ τύχῃ ὑπὸ τοῦ πυρὸς εἰς τὴν ἐναντίαν ἑαυτοῦ σύστασιν τὴν πύρειον μεταβαλλόμενον, καὶ οὕτως γίνεται τὸ πῦρ ἐξ ἐναντίας μὲν ἑαυτοῦ τοῦ ὕδατος κατὰ τὰς ἐναντίας ποιότητας, ὑπὸ τοῦ ἐναντίου δὲ τῷ ὕδατι τοῦ πυρός. δεῖ γὰρ τὸ μὲν φθειρόμενον ἐναντίον εἶναι τῷ φθείροντι, τὸ δὲ γινόμενον ταὐτὸν τῷ ποιοῦντι· ἡ γὰρ τῶν στοιχείων ποίησις εἰς ἑαυτὰ μεταβολὴ τῶν ποιούντων ἐκ τῶν παχόντων ἐστίν, ἐπιτηδείως ἐχόντων δηλονότι τῶν ὑποκειμένων πρὸς ἑκάτερα. καὶ ἡ φθορὰ πάλιν ὑπὸ τοῦ ἐναντίου γίνεται· φθείρεται γὰρ τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς εἰς τὸ πῦρ· ὥστε καὶ ἡ ἄλλου φθορὰ ἄλλου γένεσις καὶ ἡ ἄλλου γένεσις ἄλλου φθορά, τῶν μὲν ποιοτήτων ἀπολλυμένων εἰς τὸ μὴ ὄν· ὅταν γὰρ ἐξ ὕδατος γένηται πῦρ, ἡ ψυχρὰ καὶ ὑγρὰ ποιότης οἴχεται, τῆς σωματικῆς οὐσίας τὰς τοῦ πυρὸς μεταλαμβανούσης ποιότητας. καὶ τοῦτο μὲν ὅταν ἐξ οὐσίας εἰς οὐσίαν μεταβολὴ γίνηται· ὅταν δὲ ἀμυδροτέρα τις δρᾶσις καὶ πεῖσις εἰς ἄλληλα τῶν στοιχείων κατὰ τὰς ποιότητας γίνηται, ὥστε ἀλλήλοις ὑφ' ἑαυτῶν ποιεῖν διάθεσιν, καὶ θερμαίνεσθαι μὲν τὸ ὕδωρ μένον ὕδωρ, ψύχεσθαι δὲ ἢ ὑγραίνεσθαι τὸ πῦρ μένον πῦρ, τότε ἀλλοίωσις λέγεται καὶ πάθος τὸ συμβαῖνον, ὅτι μὴ ἄλλη τις οὐσία ἐξ ἄλλης ἀλλ' ἀλλοία γέγονε μόνον. καὶ δῆλον ὅτι οὐχ ἡ τυχοῦσα μόνον γίνεται ὑπὸ τοῦ τυχόντος διάθεσις, ἀλλ' ἡ ἐναντία ἐκ τῆς ἐναντίας· τὸ γὰρ πάσχον ὑπὸ ποιοῦντος πάσχει, καὶ ποιοῦντος κατὰ τὴν ἑαυτοῦ φύσιν καὶ αὐτῷ τῷ εἶναι· οὕτω γὰρ ποιεῖ τὰ κατὰ φύσιν ποιοῦντα, καὶ τοιοῦτον πάσχει πάθος οἷον ἦν τὸ ποιοῦν, ἤτοι καθ' αὑτὸ ἐποίει καὶ φυσικῶς. τὸ δ' οὕτως ποιοῦν πάθος ἐμποιεῖ ὁποία ἦν ἡ ποιότης αὐτοῦ, καθ' ἣν ποιεῖ. τὸ γὰρ ποιοῦν φυσικῶς εἰς ἑαυτὸ μεταβάλλειν βούλεται τὸ πάσχον· μεταβάλλεται δὲ τὸ ἐναντίον εἰς τὸ ἐναντίον καὶ ἡ ἐν τῷ ψυχομένῳ θερμότης εἰς τὴν ἐν τῷ ψύχοντι ψυχρότητα. ἀλλ' ὅταν μὲν ὡς εἶπον ἀλλοίωσις ᾖ τὸ γινόμενον, ἀτελῶς ταῦτα γίνεται, καὶ ψύχεται μὲν τὸ πρότερον ὑπάρχον θερμόν, οὐχ οὕτως δὲ ὡς τελείως ψυχθὲν μεταβαλεῖν εἰς τὴν τοῦ ψύχοντος φύσιν, ὅπερ ἐπὶ τῶν φθειρομένων ἢ γινομένων συμβαίνει· πάντως δὲ τὸ ἐναντίον δρᾷ καὶ ἐκεῖνο φθείρει, μεταβάλλειν εἰς ἑαυτὸ βουλόμενον τὸ πάσχον· εἰ γὰρ τὸ πῦρ τὸν ἀέρα μεταβάλλει εἰς ἑαυτὸ καὶ ἐκφλογοῖ, ἀλλ' οὐ τῇ θερμότητι ξηρὸν ποιεῖ καθ' αὑτὸ ἀλλὰ τῇ ξηρότητι, καὶ ἡ θερμότης κατὰ συμβεβηκὸς τῇ ξηρότητι συνεργεῖ. ὥστε καὶ συλλογίσαιο ἂν οὕτως. τὰ φυσικῶς δρῶντα τῶν ὑπὸ σελήνην ἑαυτὰ πολλαπλασιάζειν ταῦτα βουλόμενα δρᾷ· τὰ διὰ τὸ πολλαπλασιάζειν ἑαυτὰ δρῶντα μεταβάλλει τὰ πάσχοντα εἰς ἑαυτά· μεταβάλλοντα εἰς ἑαυτὰ τὰ πάσχοντα τὰ ἐν τοῖς πάσχουσι μὴ δυνάμενα συνυπάρχειν ἑαυτοῖς φθείρουσι· τὰ γὰρ δυνάμενα συνυπάρχειν ἐν τῷ κοινῷ ὑποκειμένῳ οὐ φθείρει ἄλληλα. φθαρέντων οὖν τῶν ἐν τῷ πάσχοντι ἐναντίων ὑπὸ τῶν ἐν τῷ ποιοῦντι ἐναντίων, τὸ ὑποκείμενον προσλαβὸν τὰς τοῦ ποιοῦντος ποιότητας ἢ ποσότητας ἀνθ' ὧν πρότερον εἶχεν ἐναντίων αὐταῖς, μεταβάλλεται εἰς τὴν τοῦ ποιοῦντος φύσιν, καὶ γίνεται πρότερον ὂν ὕδωρ ὑπὸ τοῦ πυρὸς πῦρ διὰ μέσου ἀέρος, τῆς θερμότητος πρῶτον ὡς δραστικωτέρας τὴν ψῦξιν ἐκβαλλούσης ἀπὸ τοῦ ὕδατος, εἶτα καὶ τῆς ξηρότητος τὴν ὑγρότητα. καὶ μεγέθη δὲ καὶ σχήματα, ὅσα μὴ δύναται συνυπάρχειν, ἀμείβεται εἰς τὰ ἐναντία· καὶ οὕτως ἡ σωματικὴ διάστασις τοῦ ὕδατος, ἢ εἴ τι ἄλλο ἐστὶν ἐν αὐτῷ ὑλικώ-

αὐτοκίνητον, διότι τὴν ὑποστατικὴν τὴν κατὰ ἓν αἰτίαν οὐκ ἐν ἑαυτῷ ἔχει, ὥσπερ τὸ ἡνωμένον καὶ τὸ μετ' αὐτό· εὐθὺς δὲ τοῦτο καὶ διάστασιν ὑπέμεινε τῆς τε οὐσίας καὶ τῆς κατὰ τὸ εἶναι περιστάσεως, ἅτε τοῦ ἑνὸς ἀποφοιτῆσαν καὶ διαστὰν πάντῃ καὶ σῶμα γεγονὸς καὶ τῷ σώματι συγγενῆ, καὶ χρόνος αὐτῷ συμπροῆλθεν ἀπὸ τοῦ αἰῶνος ἐκείνου τὴν παράτασιν τοῦ εἶναι μετρῶν καὶ τὸ ἀεὶ τὸ χρονικὸν παρεχόμενος. οὐκέτι δὲ ἅμα ὅλον ἐνταῦθα οὔτε κατὰ τὴν οὐσίαν οὔτε κατὰ τὴν τοῦ εἶναι παράτασιν, ἢ ὡς ἂν εἴποι τις κατὰ τὸν βίον. διὸ οὐδὲ κυρίως ὂν πολλοῦ τοῦτο τοῦ μὴ ὄντος μετεσχηκός· οὔτε γὰρ τοδὶ τὸ τῆς οὐσίας αὐτοῦ μέρος ἐστὶν ὅπερ τοδί, οὔτε τὸ εἶναι ταὐτόν ἐστιν, ἀλλ' ἄλλοτε ἄλλα τοῦ χρόνου ῥέοντος· ὥστε οὐδὲ τὴν ἀπὸ τοῦ αἰτίου γένεσιν ἅμα ὅλην ὑποδέχεται (ἦν γὰρ ἂν καὶ τοῦτο ὄν), ἀλλὰ κατὰ μέρος ὡς δυνατόν. ἐκστὰν δὲ ὅλως τοῦ ἑνὸς τὸ ἐν τούτῳ πλῆθος, καὶ ἐπεισάκτως αὐτοῦ μετέχον, σύνθετον ἀντὶ ἡνωμένου γέγονε, διὸ καὶ τελείως ἑτέρωθεν τὴν ὑπόστασιν ἔχει. τὸ μὲν γὰρ ἡνωμένον πλῆθος ἐν ἑαυτῷ τὸ ἓν ἔχον, ἐπειδὴ τὸ ἕν ἐστι τὸ πάντων ὑποστατικὸν καὶ κυρίως ὑποστατικόν, κἂν ἀπῆλθε τοῦ μόνως ὑφιστάνοντος, ἀλλ' ὅμως ἐν ἑαυτῷ τὸ ὑφιστάνον ἔχον αὐθυπόστατον γέγονε· τὸ δὲ σύνθετον πλῆθος ἐπείσακτον ἔχει τὸ τῆς συνθέσεως ἕν· καὶ γίνεται τοῦτο εὐθὺς τὸ ἓν εἶδος, ὡς ἐν ὕλῃ τῇ τοῦ τοιούτου πλήθους ἀοριστίᾳ καὶ διαστάσει γινόμενον, ὥσπερ τὸ αὐτοκίνητον μέσως ἀμφοῖν ἔχει. τὸ οὖν ὡς εἶδος ἐν ὕλῃ τοῦ ἑνὸς μετέχον διὰ τὴν σύνθεσιν, καὶ μὴ ἅμα ὅλον ὑφεστηκός, μήτε κατ' οὐσίαν μήτε κατὰ τὴν τοῦ εἶναι παράτασιν, καὶ μηδαμῶς τοῦ εἶναι ἑαυτῷ αἴτιον διὰ τὸν μερισμόν, δι' ὃν οὐκέτι ἐν ἑαυτῷ τὸ ὂν ἔχει· τὸ γὰρ μεριστὸν μέρει μέρος ὑφιστάνον οὐκέτι ὅλον οὐδὲ κυρίως ἐστὶν αὐθυπόστατον· ὥστε οὐδὲ τὸ μεριστὸν μέρος κινοῦν κυρίως αὐτοκίνητον· ἀμερὲς γὰρ ἀνάγκη καὶ ἀδιάστατον εἶναι καὶ ὅλον ὅλῳ ἑαυτῷ ἐφαρμόττον τὸ κυρίως αὐθυπόστατον καὶ αὐτοκίνητον· τὸ δὲ μεριστὸν καὶ διαστὸς ἔξωθεν μόνον ἔχει τὸ εἶναι. καὶ διὰ τοῦτο οὖν καὶ ὅτι σύνθετον καὶ ὅτι μὴ ὅλον ἅμα ἐστὶν ὅπερ ἐστίν, ἀλλ' ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, τοῦτο κυρίως ἤδη γεννητόν ἐστι καὶ πρὸς τὸ κυρίως ὂν ἀντιδιῃρημένον, ὃ καὶ τὸ εἶναι παρ' ἑαυτοῦ ἔχει καὶ ἅμα ὅλον ἐστὶ τοῦτο ὅπερ ἐστίν. τὸ δὲ τοιοῦτον γεννητὸν καὶ μεταβολὴν εὐθὺς ἀπὸ τοῦ ὄντος ἔχει καὶ κίνησιν, ὅτι μὴ ἔμεινεν ἐν τῷ κυρίως ὄντι, διὸ μὴ μένον ἐν τῇ αὐτῇ καταστάσει τελέως· ἔμενε γὰρ ἂν ἐν τῷ ἑνί, καθάπερ τὸ ὄντως ὂν μεταβάλλει καὶ κινεῖται ἀεὶ ἀπὸ τῆς προτέρας ἕξεως. διὸ καὶ ὁ χρόνος αὐτῷ συμπαραθέει μετρῶν αὐτοῦ καὶ εὐθετίζων ταύτην τὴν ἀπόστασιν, ὥσπερ ἄλλοτε μεμερισμένην διάστασιν εὐθετίζει καὶ τὴν σωματικὴν φύσιν, εἴτε ὁ τόπος εἴτε ἄλλο τι ταύτην ἔχει τὴν δύναμιν. τοῦτο μὲν οὖν διὰ τὰς εἰρημένας αἰτίας τὸ κυρίως γεννητόν ἐστιν. αὐτοῦ δὲ τούτου τὸ μὲν προσεχῶς ἀπὸ τοῦ ὄντος ὑφιστάμενον, ἅτε ἀκινήτου τούτου ὄντος καὶ ἀεὶ τὴν αὐτὴν ἔχοντος κατάστασιν καὶ κατ' οὐσίαν καὶ κατὰ δύναμιν καὶ κατ' ἐνέργειαν, δεῖ καὶ αὐτὸ μένειν ἀεὶ γινόμενον, τοῦ μὲν κυρίως ὄντος εἰς τὸ γενόμενον ὑπελθόντος, τοῦ δὲ ἀεὶ τοῦ αἰωνίου εἰς τὸ χρονικὸν ἀεί· τὴν γὰρ τοῦ ὄντος τελειότητα καὶ παντότητα τὴν ἅμα ὅλην ὑφεστῶσαν τοῦτο κατὰ μέρος ὑποδέχεται, τὴν ἄπειρον ἐκείνου δύναμιν τῷ ἐπ' ἄπειρον τοῦτο μιμούμενον. τοιοῦτος ἡμῖν ὁ πολυτίμητος οὐρανὸς ἀνεφάνη πρῶτον ἐν τῇ σωματικῇ φύσει μετὰ τὴν νοητὴν διακόσμησιν ὑποστάσει εἰκὼν καλλίστη πρὸς τὸ τῶν παραδειγμάτων ἄριστον· ἀπὸ γὰρ ἑνώσεως καὶ ταὐτότητος εἰς ὁμοιότητα τὴν πρὸς τὸ ὂν τὸ γεννητὸν ὑπελθὼν εἰκὼν γέγονεν, ἅτε τῷ ἐοικέναι λοιπὸν ἀλλ' οὐχὶ τῷ εἶναι πρὸς τὸ ὂν συναπτόμενον. κινηθεὶς δὲ ἀκινήτως ὁ οὐρανὸς καὶ μεταβαλὼν ἀμεταβλήτως μόνας ἐκείνας ἔσχε τὰς μεταβολάς, ὅσαι τῷ μονίμῳ συνυπάρχειν ἠδύναντο· διὸ κίνησιν μὲν τὴν κατὰ τόπον ἔσχε τὴν μενούσης τῆς οὐσίας καὶ τῆς κατ' οὐσίαν διαθέσεως δυναμένην ἐπιτελεῖσθαι· αὕτη γὰρ τῶν μεταβολῶν ὡς ἥκιστα τῆς οὐσίας καὶ τῆς διαθέσεως ἅπτεται. καὶ τῆς κατὰ τόπον δὲ ἐκείνην ἔλαχε καθ' ἣν καίτοι κατὰ τόπον κινούμενος οὐκ ἐξίσταται τοῦ τόπου, ἀλλ' ἐν τῷ αὐτῷ μένει κινούμενος, τῶν κατ' εὐθεῖαν κινουμένων οὐδὲ τὸ βραχύτατον ἐν τῷ αὐτῷ μενόντων τόπῳ· ὥστε τὴν κύκλῳ κίνησιν μονὴν μᾶλλον εἶναι ἢ κίνησιν, εἴπερ τὰ κατ' αὐτὴν κινούμενα θαυμαστόν δή τινα τρόπον τῷ μὲν ὅλῳ μένει τοῖς μέρεσι δὲ περιδινεῖται. ἀΐδιος δὲ ὢν διὰ τὴν ἀπὸ τοῦ ἀκινήτου προσεχῶς ὑπόστασιν τῆς ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ ὂν μεταβολῆς ὑπερανέχει· εἰ γὰρ ἐγίνετό ποτε, μὴ πρότερον ὤν, ἀνάγκη καὶ τὸ αἴτιον αὐτοῦ ποιεῖν τί ποτε, μὴ πρότερον πεποιηκός, καὶ μηκέτι ἀκίνητον μηδὲ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον φυλάττεσθαι· καὶ εἰ ἐφθείρετο, αὐτό τε ἐξειστήκει ἂν τῆς πρὸς τὸ ἀκίνητον αἴτιον ὁμοιότητος, καὶ τὸ αἴτιον τὸ προσεχὲς οὐκέτι αἴτιον ἦν, οὐδὲ τῷ εἶναι ποιοῦν τὰ προσεχῶς ὑπ' αὐτοῦ ὑφιστάμενα. ἡ δὲ αὔξησις καὶ μείωσις γένεσίς τις οὖσα καὶ αὐτὴ φθορὰ παντελῶς ἀλλοτρία τοῦ προσεχῶς ὑπὸ ἀκινήτου αἰτίου γινομένου γεννητοῦ καθέστηκεν· ἡ δὲ ἀλλοίωσις κατά τινα τρόπον, ὃν ἴσως προϊόντες εἰσόμεθα, δύναται μετ' αὐτοῦ θεωρεῖσθαι. τοιοῦτον δὲ ὑποστὰν τὸ πρώτιστον καὶ τελειότατον τῆς σωματικῆς ὑποστάσεως γέννημα καὶ αὐτὸ ὑπάρχει, οὐ μέντοι παντελῶς ἀμετάβλητον· κἂν γὰρ πολλῶν καὶ μακαρίων μετέχει ἀπὸ τοῦ γεννήσαντος ἀγαθῶν, ὡς ἐν τῷ Πολιτικῷ φησὶν ὁ Πλάτων, ἀλλ' οὖν κεκοινώνηκέ γε καὶ σώματος, τουτέστι διέστη καὶ ἐμερίσθη, καὶ τὴν ἀπὸ τοῦ ὄντος ἔκστασιν ὑπέμεινε. διὸ μεταβολῆς ἀμοίρῳ μένειν αὐτῷ παντάπασιν ἀδύνατον ἦν· μεταβάλλον δὲ κατά τε τὴν τοπικὴν κίνησιν καὶ τοὺς σχηματισμοὺς καὶ ἄλλο τι ἐν ἄλλῃ ἕξει καθιστάμενον, κατὰ τὴν ἄλλοτε ἄλλην ὑπὸ τῶν αἰτίων μέθεξιν τῆς ἐπιβαλλούσης αὐτῷ ἀγαθότητος, παράγει τὰ ὑφ' ἑαυτόν, οὐκέτι ἀκινήτως ὥσπερ αὐτὸς παρήχθη, ἀλλὰ κινουμένως αὐτὰ ὑφιστάνων. ἐνταῦθα τοίνυν καὶ ἡ κατ' οὐσίαν ἐξεφάνη μεταβολὴ πρώτως καὶ γένεσις καὶ φθορὰ τὴν ἀρχὴν ἔσχεν, ἀλλ' οὔτε ἐκ τοῦ πάντῃ μὴ ὄντος ἡ γένεσις, οὔτε εἰς τὸ πάντῃ μὴ ὂν ἡ φθορά, διότι καὶ τὰ αἴτια ἀπὸ ἄλλης ἕξεως εἰς ἄλλην μεταβάλλοντα τὰς διαφορὰς τῶν ἐνταῦθα παραγινομένων ὑφίστησι. τάχα δὲ σαφέστερον ὧδε ῥητέον. τὸ μὲν νοητὸν πλῆθος καὶ κατὰ τὴν διάκρισιν τὴν ἑαυτοῦ τὴν ἐν νοητῷ θεωρουμένην ἡνωμένον ἐστίν, ἅτε παντὸς τοῦ ὄντως ὄντος ἐν τῷ ἑνὶ μένοντος· διὸ καὶ οὐ μόνον τὰ διάφορα εἴδη ἅμα συνυφέστηκεν ἐν ἐκείνῃ τῇ οὐσίᾳ, ἀλλὰ καὶ τὰ ἐναντία, καὶ μετέχει ἀλλήλων καὶ ἥνωται πρὸς ἄλληλα, ὡς μηκέτι ἐπείσακτον εἶναι τὴν μέθεξιν, μηδὲ τὸ ποιεῖν καὶ πάσχειν χώραν ἔχειν ἐκεῖ. διὸ καὶ γενέσεως τῆς κυρίως ἐξῄρηται ἐκεῖνα. ἐν δὲ τοῖς

δὲ καὶ τὸ τριχῇ διαστατὸν ἐκείνων ἐκ τῶν παρ' ἡμῖν σωμάτων τὸ αὐτό φησιν εἶναι· οὐδὲν γὰρ τριχῇ διαστατόν, φησίν, ᾗ τοιοῦτον, ἑτέρου διαφέρει τοιούτου, ἐπεὶ μηδὲ σῶμα σώματος ᾗ σῶμα. ἀλλ' οὗτος ὁ λόγος οὐ μόνον τὸν οὐρανὸν ὁμοφυῆ τοῖς ἐνταῦθα ποιήσει, ἀλλὰ καὶ τὸ θεῖον αὐτὸ ὑπὲρ πάντα ὑφεστηκε, καὶ ᾗ ὑφέστηκεν οὐδὲν διαφέρει· κοινὸν γὰρ τὸ ὑφεστηκέναι. οὐκ ἄρα μάτην ὁ Ἀριστοτέλης καὶ τὸ καθόλου τοῦτο διέβαλε τὸ ἐξ ἀφαιρέσεως ἐν ἡμῖν, καθὸ καὶ οὗτος τάς τε ἄλλας ἰδιότητας καὶ τὴν τοῦ τριχῇ διαστατοῦ παρέλαβεν· καὶ μέντοι καὶ τὴν ταυτότητα τῶν ὀνομάτων τῶν ἐν τοῖς πρώτοις καὶ ὑστέροις ἐπωφελῶς παρῃτήσατο. εἰ γὰρ τὸ τοῦ οὐρανοῦ φῶς καὶ τὸ λαμπρὸν τῶν παρ' ἡμῖν τοσοῦτον διαφέροντα μὴ τοῖς αὐτοῖς ὀνόμασιν ἐκεῖ τε καὶ παρ' ἡμῖν ἐκαλεῖτο, οὐκ ἂν οὗτος ἐτόλμησεν εἰπεῖν τὸ τοῦ οὐρανοῦ φῶς ταῖς πυγολαμπίσι καὶ ταῖς λεπίσι τῶν ἰχθύων ἐνυπάρχειν. καὶ εἰ μὲν κατὰ τὴν ὡς ἀφ' ἑνὸς πρόοδον ἀπὸ τῶν πρώτων τοῖς τε μέσοις καὶ τοῖς ἐσχάτοις ἐνδιδομένην ἐθεάσατο τὴν διαφορουμένην κοινότητα, οὐκ ἂν ἐτόλμησεν ὁμοφυῆ λέγειν τὰ ἔσχατα τοῖς πρώτοις· ἀλλὰ φῶς ἀκούσας ἐκεῖνο καὶ τοῦτο, καὶ διαφανῆ καὶ λαμπρά, διὰ τὴν ἀπαίδευτον προπέτειαν ὁμοφυῆ ταῦτα ἐνόμισεν ἐκείνοις. καὶ τί μέμφομαι τὴν ἀπαιδευσίαν, ὅτε καὶ τὴν αἴσθησιν οὗτος διεφθαρμένην ἔχει, ὃς ὅμοιον καὶ ταὐτὸν ὑπολαμβάνει τὸ οὐράνιον φῶς τῷ τῶν πυγολαμπίδων; ὅτι ὁρατὸς ὤν e Simpl. f. 21 princ. ὅτι ἡ ἁφὴ ὁμωνύμως λέγεται ἐπὶ τῶν ἀψύχων, ὧν τὰ πέρατα ἅμα, καθάπερ φαμὲν τὸ πῦρ τῆς σεληνιακῆς κοιλότητος ἅπτεσθαι· τὸ γὰρ ἅπτεσθαι αἰσθάνεσθαί ἐστιν. ὅτι πάντες οἱ ἐν φιλοσοφίᾳ διαβεβοημένοι ἐκ τῶν δ' στοιχείων τὸν οὐρανὸν ὑπολαμβάνουσιν. ὅτι καὶ οἱ πέμπτην οὐσίαν λέγοντες οὐκ ἀλλοτρίαν οὐδὲ ξένην οὐδὲ ἀκοινώνητον ἔλεγον πρὸς τὰ ὑπὸ σελήνην, ἀλλ' ἐξῃρημένην ἐκείνων οὐσίᾳ καὶ δυνάμει, αἰτίαν δὲ ταύτην προσεχῆ τῆς τε γενέσεως καὶ τῆς ὑποστάσεως, σχήματός τε καὶ κινήσεως, τῆς τε ποιήσεως καὶ τῆς πείσεως ἔλεγον ὁμοίως τοῖς ἐκ τῶν δ' στοιχείων αὐτὸν λέγουσι, πρόδηλον· οὐδὲ γὰρ ὁ θεὸς ἐπειδὴ τῶν ὑπ' αὐτοῦ παραγενομένων ὑπερανέχει, ἀλλότριος ἂν καὶ ξένος καὶ ἀκοινώνητος πρὸς αὐτὰ λέγοιτο. ὅτι πάντες e Simpl. f. 21 med. v. extr. ὅτι καὶ κατὰ τὸν Ἀριστοτέλην σύνθετον τὸ οὐράνιον σῶμα, ἐν τῷ περὶ Ψυχῆς λέγοντα ὅτι πᾶν ἔμψυχον σῶμα σύνθετον ἐκ τῶν στοιχείων ἐστίν· ἐνταῦθα δὲ ὅτι ἔμψυχος ὁ οὐρανός ἐστι σαφῶς λέγει. ἆρ' οὖν ἔτι λόγου τινὸς δεόμεθα δεικνύντος ὅτι καὶ ὁ Ἀριστοτέλης τὰ μὲν αὐτὰ τῷ Πλάτωνι δοξάζει, ἀσφαλεστέρους δὲ προήγαγε τοὺς λόγους; τοῦ γὰρ οὐρανοῦ τὴν ἐξῃρημένην πρὸς τὰ ὑπὸ σελήνην φύσιν ἀναμνῆσαι βουλόμενος ἔφυγε τὴν τῶν ὀνομάτων ταυτότητα, καὶ ἁπλοῦν μὲν αὐτὸν εἶπεν, ὡς τὰ κατ' ἐπικράτειαν τῶν ὑπὸ σελήνην ἁπλᾶ λέγεται, ἄλλης δὲ εἶναι παρὰ ταῦτα φύσεως ἔδειξεν ἐκ τῶν ἀκροτήτων συνεστηκότα, καὶ τὴν διαφορὰν τῆς οὐσίας ἀπὸ τῆς τῶν κινήσεων διαφορᾶς ἔδειξε, τῆς μὲν κατ' εὐθεῖαν ἐμφαινούσης τὴν ἐν τοῖς μέρεσι γένεσιν καὶ φθορὰν καὶ πρὸς τὸ κατὰ φύσιν καὶ περὶ φύσιν μετάστασιν, τῆς δὲ κυκλικῆς τὸ ἀεὶ τέλειον τοῦ τε ὅλου καὶ τῶν μερῶν (e Simpl. f. 21 v. extr.). **p. 270 a 12.** ὅτι τῶν φυσικῶν ἐναντίων εἰδῶν καὶ αἱ φύσεις ἐναντίαι· ὥστε καὶ αἱ κινήσεις· ἀρχὴ γὰρ κινήσεως ἡ φύσις (e Simpl. f. 21 b med.). ὅτι εἰ μέλλει τι γίνεσθαι ἢ φθείρεσθαι, δεῖ ὑποκείμενόν τι εἶναι καὶ ἐναντίον ἐξ οὗ γίνεται καὶ εἰς ὃ φθείρεται (e Simpl. ib.). ὅτι διελέσθαι δεῖ τὰ τοῦ γενητοῦ σημαινόμενα, ἵνα μάθωμεν πῶς μὲν ὁ Πλάτων γενητὸν λέγει τὸ πᾶν, ὁ δὲ Ἀριστοτέλης ἀγένητον, οὐκ ἐναντιούμενοι πρὸς ἀλλήλους. γενητὸν τοίνυν κοινῶς λέγεται τὸ τὴν ἑαυτοῦ ὑπόστασιν ἀπό τινος αἰτίου δεχόμενον· καὶ γὰρ καὶ τὸ ποιούμενον ὑπό τινος ποιοῦντος ποιεῖται, καὶ τὸ γεννώμενον ὑπό τινος γεννῶντος γεννᾶται, καὶ ἀδύνατον, ὥς φησι Πλάτων, χωρὶς αἰτίου γένεσιν σχεῖν. καὶ δῆλον ὅτι κατὰ τοῦτο τὸ σημαινόμενόν ἐστι τὸ πρῶτον τῶν πάντων αἴτιον, ὃ καὶ ἓν καὶ ἁπλούστατόν ἐστιν, εἴπερ πάντα μετέχει τοῦ ἑνὸς καὶ τὸ μὴ μετέχον οὐδέν ἐστιν, τὸ δὲ ἓν οὐ μετέχει τοῦ πλήθους, ὥστε τὸ γινόμενον πᾶν πεπληθυσμένον ἐστίν· τὸ γὰρ πλῆθος προσεχῶς ὑπὸ τοῦ ἑνὸς ὑφίσταται, εἴπερ καὶ μετέχειν ἀνάγκη τὸ πλῆθος τοῦ ἑνός, ἵνα μὴ τὸ ἀπειράκις ἄπειρον ᾖ. τὸ δὲ ἓν ἀνέμφαντον καὶ ἀμέθεκτον τοῦ πλήθους ἐστίν, εἴπερ κυρίως ἕν. τὸ δέ γε ἀπὸ τοῦ ἑνὸς προελθὸν πλῆθος ἅτε προσεχῶς αὐτοῦ μετέχον ἡνωμένον τέ ἐστι καὶ ἐν τῷ ἑνὶ μένον. καὶ καθόσον μὲν ὁπωσοῦν προῆλθεν ἀπὸ τοῦ ἑνός, τὸ ὁπωσοῦν γενητὸν ἔχει. καὶ διὰ τοῦτο θεογονίας οἱ θεῖοι ἄνδρες ἡμῖν παραδεδώκασι, θεῶν μὲν πλῆθος τὸ ἐν τῷ ἑνὶ μένον καὶ ὡς ἂν εἴπῃ τις κατὰ πολλαπλασιασμὸν ἐκείνου προϊόν, γένεσιν δὲ καὶ ὑμνοῦντες αὐτῆς, καθόσον ἀπὸ τοῦ ἑνὸς ὑφέστηκεν, ὥσπερ καὶ ἀριθμῶν γένεσιν τὴν ἀπὸ τῆς μονάδος θεωροῦμεν προποδισμόν. καθόσον μέντοι ἐν τῷ ἑνὶ μένον κατ' ἄκραν ἕνωσιν ἐστίν, οὔπω διακρίσεως ἀναφανείσης, ἐν ᾗ πρῶτον τὸ μὴ ὂν ἀναφύεται, πρῶτον ὄν ἐστιν ἐκεῖνο, καὶ ἀρχὴ καὶ αὐτὸ τῶν ὄντων ἐστί, καὶ οὐκ ἀπ' ἀρχῆς μόνον. ἀρχὴ δὲ ἀγένητος, ὡς ἐν Φαίδρῳ Σωκράτης δείκνυσι· τὸ γὰρ αὐθυπόστατον ὁπωσοῦν τοῦτο πρῶτόν ἐστι καὶ κυρίως ὄν. τὸ μὲν γὰρ ἁπλῶς ἓν τοῦ ὄντος αἴτιον ὑπάρχον καὶ τὸ αὐθυπόστατον ὑπερέδραμε, διπλόην ἐμφαῖνόν τινα τοῦ τε ὑφιστάνοντος καὶ τοῦ ὑφισταμένου· τὸ δὲ πρῶτον πλῆθος τῷ ἑνὶ κεκρατημένον τὸ μὲν ὑφιστάνον ἔχει διὰ τὸ ἕν, τὸ δὲ ὑφιστάνεσθαι διὰ τὸ πλῆθος. καὶ διὰ τοῦτο ἓν μὲν ἁπλῶς οὐκ ἔστι τοῦτο, διότι ὑπὲρ αὐτὸ τὸ ἕν ἐστι τὸ πάντων τῶν ὄντων αἴτιον· τὸ δὲ πρώτιστον καὶ κυριώτατον ὄν ἐστιν ὅλον ἅμα ὑφεστηκὸς κατά τε τὸ εἶναι καὶ κατὰ τὴν τοῦ εἶναι παράτασιν. διὸ καὶ ὁ αἰὼν ἐνταῦθα τὸ ἀεὶ εἶναι παραγόμενον. ἀλλ' ἐπειδὴ καὶ οὗτος ἐν τῷ ἑνὶ μένει, τὸ δὲ ἀεὶ τοῦτο τὸ αἰώνιον συνῃρημένον ἐστίν· πλῆθος γὰρ ἡνωμένον ὑπάρχον, μᾶλλον δὲ ἓν πεπληθυσμένον, οὔτε διάστασιν κατὰ τὴν οὐσίαν οὔτε παράτασιν κατὰ τὸ εἶναι κυρίως ἐμφαίνει· διὸ καὶ ὄντως ὄν ἐστιν ὅπερ ἐστίν. μετὰ δὲ τοῦτο προσεχῶς ὑφίσταται τὸ τούτου προσεχῶς ὑφειμένον, ὅπερ κινηθὲν ἀπὸ τοῦ ὄντος ἄλλο μὲν ἐγένετο παρ' αὐτὸ καὶ κατ' αὐτὴν τὴν οὐσιώδη κίνησιν. καὶ ὥσπερ αὐθυπόστατον ἐκεῖνο, οὕτως τοῦτο γέγονεν αὐτοκίνητον. καθόσον μὲν γὰρ ἐκινήθη τοῦ ὄντος, διὰ κινήσεως ὑπέστη· καθόσον δὲ προσεχές ἐστι τῷ ὄντι, οὔπω διαστὰν ἀπ' αὐτοῦ αὐτοκίνητον γέγονεν, ὡς ἦν τὸ πρὸ αὐτοῦ αὐθυπόστατον ταὐτὸν ἔχειν τὸ κινοῦν καὶ κινούμενον διὰ τὸ κεκορέσθαι ἔτι τοῦ ἑνὸς καὶ ὑπ' αὐτοῦ κρατεῖσθαι. ἀπὸ δὲ τούτου πρόεισί τι πεπληθυσμένον, μετέχον πῃ καὶ αὐτὸ τοῦ ἑνός, οὐ μέντοι ἐν τῷ ἑνὶ μένον, οὐδὲ ὑπ' αὐτοῦ κρατούμενον· διόπερ μεμερισμένον ὂν οὐδὲ αὐθυπόστατον τοῦτό ἐστιν, οὐδὲ

ἄλλο ἄρα τὸ κινοῦν τὸν οὐρανὸν τὴν κύκλῳ κίνησιν κατ' Ἀριστοτέλην καὶ Πλάτωνα, καὶ ἤτοι ψυχή, ὡς εἴ τις ἐπινοήσειε τῶν πτηνῶν τι ζώων ἐπ' εὐθείας ὡς ἐπὶ τὸ κέντρον τὴν πτῆσιν ποιούμενον· συντρέχει γὰρ τῇ φυσικῇ ῥοπῇ τοῦ σώματος ἡ τῆς ψυχῆς ὁρμή (cf. Simpl. f. 18 *b* med. v. extr.). ὅτι ἡ γῆ πρὸς τὴν τοῦ ἡλίου σφαῖραν κέντρου λόγον ἐπέχει, ὥστε καὶ ἐλαχίστην εἶναι τοῦ ἡλίου τὴν παράλλαξιν κατὰ τοὺς τροπικοὺς πάντας. πῶς οὖν τοσούτῳ πλησιαίτερον ἡμῶν γίνεται ἢ πορρώτερον, ὥστε διὰ τοῦτο τοσαύτην γίνεσθαι τοῦ θέρους πρὸς τὸν χειμῶνα κατὰ θερμασίας διαφοράν; (cf. Simpl. f. 19 *b* v. princ.) ἀγνοοῦσι δέ τινες ὅτι ὥσπερ καθ' ἑκάστην ἡμέραν, καίτοι ἴσον ἡμῶν ἀφεστηκώς, ὁ ἥλιος κατὰ πᾶσαν αὑτοῦ θέσιν θερμαίνει μᾶλλον ἡμᾶς ἐν ταῖς μεσημβρίαις διὰ τὴν τῶν ἀκτίνων εἰς ἑαυτὰς μᾶλλον ἀνάκλασιν, οὕτω καὶ ἐν τῷ θέρει πλησιάζων οὐχ ἡμῖν μᾶλλον ἀλλὰ τῷ κατὰ κορυφὴν ἡμῖν σημείῳ, καὶ ἐν τῷ χειμῶνι ἀφιστάμενος αὐτοῦ, τὴν διαφορὰν τῶν ὡρῶν ἀπεργάζεται (e Simpl. f. 19 *b* v. med.). ὅτι εἰ τὸ οὐράνιον σῶμα πῦρ ἦν σὺν τῷ ὑπεκκαύματι, πάλαι ἂν τὰ ἄλλα στοιχεῖα μετέβαλεν, οὐχὶ ἔκκαυσεν εἰς ἑαυτό, εἴπερ δραστικόν ἐστι. τοῦτο δὲ καὶ Ἀριστοτέλης βούλεται ἐν τοῖς Μετεώροις. ὅτι εἰ καὶ τὸ μυριοπλάσιον ὕδωρ τῆς κυαθιαίου οὐκ ἔστι μυριοπλασίως ψυχρότερον κατὰ τὸ εἶδος, ἀλλ' ὁμοίως ψυχρόν, ἀλλὰ τῷ ποσῷ τοῦ ὄγκου πλεονάζει, διότι καὶ δραστικώτερον τὸ πλέον τοῦ ἐλάσσονος, κἂν ἡ αὐτὴ ποιότης τῆς ψύξεως· καὶ ἧττον πάσχει τὸ μεῖζον ἤπερ τὸ ἔλασσον, διότι πλείων ἡ ποιότης ἐν τοῖς μείζοσιν. ἀλλ' ἡ μὲν τοῦ οὐρανοῦ καταφρόνησις δικαία τις ἔσω τιμωρία τοῖς ἔνθεν ἠσεβηκόσιν. ὅτι τὰ πάντα ἀκρότατα ἀΐδια καὶ θεῖα, ἅτε τοῖς θεοῖς ἀνειμένα τοῖς πάντων ἀκροτάτοις. τοιγαροῦν καὶ οἱ πρῶτοι νοῖ θεῖοι καὶ αἱ πρῶται ψυχαί. οὕτως οὖν καὶ σώματα πρῶτα· καὶ διὰ τοῦτο καὶ κίνησιν πρώτην τὴν κυκλοφορικὴν ἐκληρώσατο ἐν ἑαυτῇ οὖσαν· πρώτη δὲ τῶν κινήσεων ἡ κατὰ τόπον (e Simpl. f. 20 v. princ.). ὅτι ἡ γῆ συνέχεται καὶ οὐ κατατέθραυσται διὰ τὸ ἐν αὐτῇ ὕδωρ, κέχρωσται δὲ καὶ ἀνεζωπύρηται διὰ τὸ πῦρ, πλήρης δὲ ἀεὶ καὶ τῷ κενῷ παρεισδύουσιν χώραν οὐ δίδωσι διὰ τὸν ἀέρα· διὸ καὶ ἕστηκεν ὀρθὴ καὶ ἀνέχεται μὴ πεπτωκυῖα. δῆλον δὲ καὶ ἐκ τῆς στοιχειώδους φύσεως· τὰ γὰρ στοιχεῖα, ὥσπερ καὶ τὰ τοῦ λόγου τὰ κδ', καθ' αὑτὰ μὲν οὐδαμοῦ ἐστί, δι' ἀλλήλων δὲ κεχωρηκότα ἀεὶ τὸ σύνθετον ἀποδιδόασιν. ὥσπερ γὰρ τὰ τοῦ λόγου μέρη καθ' ἑαυτὰ εἶναι οὐ δύναται μέρη ὄντα, οὕτω καὶ τὰ στοιχεῖα τοῦ συνθέτου ἐστίν, καὶ δι' ἀλλήλων ἀεὶ κεχώρηκε καὶ οὐδέποτε καθ' ἑαυτὸ ὑφέστηκεν, ἀλλήλων δὲ πρῶτον συνανακραθέντα, καὶ κατ' ἐπικράτειαν ἑνὸς εἰδοποιηθέντα οὕτως, ὡς ἀπὸ ἁπλῶν τῶν κατ' ἐπικράτειαν κατὰ δευτέραν σύνθεσιν τά τε ζῷα καὶ τὰ φυτὰ συνιστῶσιν, τὴν ἀρχεγόνον ἐν ταῖς ἑαυτῶν αἰτίαις ἕνωσιν τῇ πρὸς ἄλληλα αὐτῶν συμφύσει διασώζειν φιλονεικοῦντα (e Simpl. f. 20 med.). ὅτι ὁ Ἀριστοτέλης τὴν τῶν οὐρανίων πρὸς τὰ ὑπὸ σελήνην ὑπεροχὴν ἐνδείξασθαι βουλόμενος καὶ τῶν ὀνομάτων ἀπέχετο τῶν εἰς ὁμοιότητα καθέλκειν αὐτὸν ἐπιχειρούντων· διὸ καὶ τῶν ἐνταῦθα συνθέτων καὶ τῶν ἁπλῶν ὑπερίδρυσε ταῦτα, οὔτε σύνθετα ὡς ἐκ τούτων οὔτε ἁπλᾶ τοιαῦτα λέγων (e Simpl. f. 20 med. v. extr.). ὅτι ἐφάπτεται ἀλλήλων τὰ οὐράνια σώματα καὶ ὁρατά εἰσιν, καὶ ὅτι τὰ χρώματα φωτεινοῦ τινές εἰσιν ἀπαυγάσματα (e Simpl. f. 20 v. extr.). ὅτι αἱ ἰδέαι οἱ λόγοι καὶ αἱ αἰτίαι τῶν πραγμάτων εἰσί, καὶ ὅτι ὁ Ἀριστοτέλης τὰς ἰδέας ἀνεῖλε κατὰ τὸ τοῖς πολλοῖς φανταζόμενον, καὶ διὰ τοῦτο τοῖς αὐτοῖς ὀνόμασι ταύτας καλεῖν παρῃτήσατο, ἄνθρωπον καὶ ἵππον ἤ τι ἄλλο τῶν ἐνταῦθα, διὰ τὸ ῥᾳδίως τοῖς ὀνόμασι συνεκτρέχειν τὰς τῶν πολλῶν φαντασίας (cf. Simpl. f. 20 *b* v. princ.). ταῦτα περὶ τῶν Πλάτωνι καὶ Ἀριστοτέλει δοκούντων ἀρκείτω, εἴ τι ἄρα ἐκείνοις ἀρέσκον τοῖς θείοις ἀνδράσι δέδωκεν ὁ θεὸς ἐννοεῖν (e Simpl. f. 20 *b* v. med.). ὅτι ὁ Κρόνος ψυχρότατος οὐχ ὡς ἐξ ὕδατος ἢ ὁ Ἄρης θερμότατος ὡς ἐκ πυρός, ἢ ὁ ἥλιος, ἀλλὰ κοινῶς μὲν πάντες τρέπουσι ταῖς ἑαυταῖς ἀσωμάτοις δυνάμεσι τὰ τῇδε πρὸς τὰς ἑαυτῶν ἰδιότητας, ὥσπερ καὶ τῆς ψυχῆς αἰδουμένης ἢ συννοούσης τι ἡ ἀσώματος αὕτη ἐνέργεια ποτὲ μὲν ἐρυθραίνεσθαι ποτὲ δὲ καὶ συνοφρυοῦσθαι τὸ σῶμα ποιεῖ. ὁ μέντοι ἥλιος καὶ ταύτῃ τῇ δυνάμει καὶ τῇ τῶν ἀκτίνων περιτρέψει θερμὸν τὸν ἀέρα ποιεῖ, καὶ δι' αὐτοῦ τὰ ἄλλα θερμαίνει (δηλοῖ δὲ ἡ τῶν ἀκτίνων ἀνάκλασις ἐν θέρει), καὶ οὐκ ἀπόρροια θερμότητος ἀπὸ τοῦ ἡλίου ὥσπερ ἀπὸ τοῦ πυρὸς γίνεται, καὶ διὰ τοῦτο ψύχεται ἀπομεριθεῖσα τῆς ἐν αὐτῷ. ἀλλ' οὐχ ἐπὶ τοῦ ἡλίου οὕτω· ἢ γὰρ ἂν ψυχρὸς ἐγένετο ὥσπερ καὶ τὸ πῦρ πάσχον τοῦτο οὕτω τέλος ἀπομαραίνεται (cf. Simpl. f. 20 *b* v. extr.). ὅτι ζητήσαντος τοῦ Ἀριστοτέλους τί ἂν εἴη ἴδιον ὑποκείμενον τῇ ἁφῇ κατὰ γένος (θερμὸν γὰρ καὶ ψυχρὸν καὶ μαλακὸν καὶ σκληρὸν καὶ τὰ ἄλλα κατ' εἶδος ὑπόκειται), οὐδὲν ἀληθὲς εἴρηκέ τις οὐδ' ἀποδέδωκεν. ὡς γὰρ τῇ ὁράσει οὐ τὸ ὁρατόν φαμεν ὑποκείμενον ἀλλὰ τὸ χρῶμα, οὐδὲ τῇ ἀκοῇ τὸ ἀκουστὸν ἀλλὰ τὸν ψόφον, οὕτω ζητητέον καὶ ἐπὶ τῆς ἁφῆς. ἀλλ' οὐ τὸ ἁπτόν, φησὶν ὁ Δαμάσκιος, ὅτι τὸ τῶν σωμάτων ἢ σωμάτων διοριστικόν· τοῦτό ἐστι τὸ ὑποκείμενον τῇ ἁφῇ κατὰ γένος, ταὐτὸν δέ ἐστι τοῦτο τῷ εἰπεῖν τὸ ἀντερειστικὸν καὶ ἀντιβατικὸν τοῦ σώματος, διὸ καὶ ἀλλήλων χωρεῖν κωλύονται. εἰ δέ τις εἴποι, ὅτι τὸ ἁπτὸν ποιότητός τινος μεθέξει ἐστὶν ἁπτόν, μαλακὸν δὲ τὸ ὑπεῖκον καὶ σκληρὸν τὸ μὴ ὑπεῖκον, καὶ ἔσται τὸ ἀντερειστικὸν καὶ ἀντιβατικὸν σκληρόν, καὶ λοιπὸν τὸ σκληρὸν μόνον ἔσται τὸ κοινῶς ὑποκείμενον τῇ ἁφῇ καὶ ὅρων εἰς αὐτήν (τὸ γὰρ αἰσθάνεσθαι πάσχειν ἐστίν), ἐροῦμεν ὅτι καὶ τὸ μαλακὸν ἐὰν ὑπείκῃ τῇ ἁφῇ, ἀλλὰ καὶ ἀντιβαίνῃ ὡς σῶμα. καὶ δῆλον ἐκ τοῦ ἀέρος, ὅταν δι' αὐτοῦ ταχύτερον διοδεύωμεν. πρὸς δὲ τὸ ὅτι πᾶν φυσικὸν σῶμα θερμόν ἐστιν ἢ ψυχρὸν ἢ μαλακὸν ἢ σκληρόν (τούτῳ γὰρ τοῦ μαθηματικοῦ διαφέρει), λέγομεν ὅτι τὰ οὐράνια ἁπτὰ μέν εἰσιν, οὐδὲν δὲ τούτων θερμόν ἐστιν ἢ ψυχρὸν ἢ μαλακὸν ἢ σκληρόν. καὶ τὸ μὲν ὁρατὸν ἐκ πυρὸς εἴτε φωτὸς ἔχουσι, τὸ δ' ἁπτὸν ἐκ τῆς γεώδους οὐσίας. ταῦτα οὐκ ἐκ τῆς παρούσης πραγματείας ἐξελήφθησαν. ὅτι τὸ ἀντίτυπον μεθέξει γεώδους οὐσίας ἐπὶ τοιοῦτον. λέγει ὁ Φιλόπονος ὅτι ὁρατὸς ὢν καὶ ἁπτὸς τὰς ἁπτὰς ἔχει ποιότητας, σκληρότητα μαλακότητα λειότητα τραχύτητα ξηρότητα ὑγρότητα καὶ τὰ τούτοις παραπλήσια, καὶ τὰ τούτων πάντων περιεκτικά, τήν τε ψύξιν καὶ θερμότητα. καὶ ὅτι μὲν ἁπτός ἐστι, δῆλον· ὡς δὲ καὶ ἡμῖν ἁπτῶν τυγχανόντων τῶν οὐρανίων, οὕτω διατεινόμενος φαίνεται. ἐπὶ τέλει

ὄντος. ταῦτα καὶ τοιαῦτα λέγοντος αὐτοῦ πρῶτον ἐπιστῆσαι χρὴ ὅτι τὸ ἐπὶ τοῦ κόσμου ἄτοπον τῷ ἀτόπῳ τῆς ὑποθέσεως ἠκολούθησεν. τὸ γὰρ ἔχον καὶ περιέχον ἐν ἑαυτῷ τὴν τοῦ κάτω καὶ ἄνω διαφορὰν πῶς ἐπὶ τὸ κάτω καὶ ἄνω φέρεσθαι δύναται; ἢ μὴ ἔχον τὸ ἄνω καὶ τὸ κάτω ἔξω ἑαυτοῦ, πῶς ἂν βαρὺ ἢ κοῦφον εἴη; καὶ οὐ τοῦτο λέγω, ὅτι οὐκ ἐχρῆν ἀδύνατον ὑποθέσθαι· οἶδα γὰρ ὅτι ὁ τὴν γῆν ἐξιστῶν τοῦ οἰκείου τόπου ἀδύνατον ὑποτίθεται· ἀλλ' οὐ διὰ τὸ ἀδύνατον τῆς ὑποθέσεως ἀκολουθεῖ τι ἄτοπον· οὐ γὰρ ἄτοπον τὸ ἐπὶ τὸν οἰκεῖον τόπον φέρεσθαι τὸν ἐπὶ τὸ μέσον, ὥσπερ οὐδὲ τὸν κόσμον ἄτοπον ἐκστάντα τοῦ τόπου τοῦ οἰκείου πάλιν ἐπ' αὐτὸν φέρεσθαι. τὸ μέντοι ἐπὶ τὸ μέσον ἢ τὸ ἔσχατον ἢ κάτω ἢ ἄνω ἀδύνατον, ἐπειδὴ ταῦτα ἐντὸς ἑαυτοῦ ἔχει (e Simpl. f. 17). ταῦτα λέγω καὶ πρὸς Θεμίστιον, ὅς φησι, κἂν μὴ τὸν κόσμον τις ὑπόθειτο μεθιστάμενον, ἀλλ' ἀστέρα τῆς οἰκείας ἕδρας ἐπὶ τὸ ἐντὸς ἀποπίπτοντα τί κωλύει ὑποθέσθαι; ῥητέον ὅτι ἀποπεσὼν φυσικῶς, εἰ ἐπὶ τὸ ἄνω ἐνεχθῇ, κουφότητος ἂν μετέχοι. καὶ τί ἄτοπον; εἰ δὲ μὴ μόνον τὰ μέρη τῶν στοιχείων, ἀλλὰ καὶ αἱ ὁλότητες ἐφίενται τοῦ τῶν συγγενῶν καὶ κρειττόνων πλησιασμοῦ καὶ τῆς ἀπ' αὐτῶν ἀπολαύσεως, ἡ μὲν γῆ τοῦ κέντρου τὸ δὲ πῦρ τῆς οὐρανίας καθαρότητος, δηλονότι ἐπ' ἐκεῖνα ἔχουσι τὰς ῥοπὰς καὶ αἱ ὁλότητες. διὸ καὶ ὁ Ἀριστοτέλης εἶπεν εἰς ταὐτὸ φέρεσθαι τὸ ὅλον καὶ τὸ μόριον κατὰ φύσιν. ὁ δὲ οὐρανὸς οὐκ ἔχει τι κρεῖττον ἑαυτοῦ οὔτε καθ' ὅλον οὔτε κατὰ μέρη· ὥστε οὐ τὰ αὐτὰ ἀξιωτέον ἐπί τε τῆς τῶν στοιχείων ὁλότητος καὶ ἐπὶ τοῦ οὐρανοῦ. καὶ τὸ βαρὺ δὲ καὶ κοῦφον ἔχει τινὰς διαφορὰς τὰς κατὰ τὴν διάφορον ῥοπήν, κἂν αἱ ἐπὶ πάντων ῥοπαὶ βαρύτητες εἶναι δοκῶσιν, ὡς ὁ Πλάτων φησίν (e Simpl. f. 17.). περὶ ἠθικῆς ἀρετῆς. τοῦτο οὐκ ἀπὸ τῆς περὶ τοῦ οὐρανοῦ ἐξελήφθη, ἀλλ' ἑτέρωθεν εὑρεθὲν κατέστρωται ἐνταῦθα. ὅτι τισὶ τῶν σοφῶν μία ἡ ἀρετὴ δόξασα καὶ τοῦ ἡγεμονικοῦ μορίου τῆς ψυχῆς κατὰ τὰς τῶν ὑποκειμένων πραγμάτων διαφορὰς τὰς ἐπωνυμίας ἐκτήσατο, ὡς ἐν μὲν τοῖς ποιητέοις ὀνομάζεσθαι φρόνησιν, περὶ δὲ τὰ ὑπομενετέα καλεῖσθαι ἀνδρείαν, περὶ δὲ τὰς ἐπιτάσεις καὶ ἀνέσεις τοῦ θυμοῦ καλεῖσθαι πραότητα, περὶ δὲ τὰς ἐπιθυμίας καὶ ἡδονὰς σωφροσύνην, κἀν ταῖς κοινωνίαις καὶ τοῖς συμβολαίοις δικαιοσύνην· τούτοις γὰρ ὡς μονοειδὲς τὸ μέρος τῆς ψυχῆς δοξάζουσι καὶ μόνῳ τῷ ἡγεμονικῷ τὸ πᾶν ἀφορίζουσι, μία καὶ ἡ ἀρετὴ κατωνόμασται, καὶ τὸ πάθος λόγον ἡμαρτημένον ὁρίζονται τῷ λογικῷ τῆς ψυχῆς ἐκ φαύλης ἐπιγινόμενον κρίσεως. οὐχ οὕτω δὲ ἔχει τὸ πρᾶγμα, ἀλλὰ διάφορα τὰ μέρη τῆς ψυχῆς καὶ ἀντιφέροντα πολλάκις πρὸς ἄλληλα. ὅτι τὰ κυριώτερα τῶν μορίων εὐπαθέστερα, τὰ δ' ἀκυριώτερα δυσπαθέστερα· τρίχες γὰρ καὶ ὄνυχες καὶ ὀστᾶ δυσπαθέστερα ἐγκεφάλου καὶ καρδίας· ὑπὸ πυρετοῦ γὰρ πάντως πρώτη αὕτη πάσχει, καὶ οὕτω τῷ λοιπῷ σώματι τοῦ πάθους μεταδίδωσιν. ἀλλὰ τὸ πλείονος προνοίας τὰ κυριώτερα μόρια τοῦ ζῴου τυχεῖν ἀληθές· αἰσθητικοῦ δὲ ὄντος τοῦ ζῴου, τῆς αἰσθήσεως παθητικῆς οὔσης, τὰ δυσπαθέστερα τῶν μορίων δυσαισθητότερα καὶ ἀκυρότερα μᾶλλόν ἐστιν (cf. Simpl. f. 17 *b* pr. v. med.). ὅτι τὸ ἀρχὴν χρονικὴν ἔχον καὶ τελευτήν, εἴτε ἔμψυχον εἴτε ἄψυχον, ὡς ζῷον καὶ φυτόν, ἀδύνατον τὸ αὐτὸ μένειν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλ' ἀρξάμενον ἀπὸ ἀτελεστέρου πρόεισιν ἐπὶ τὸ τελειότερον ἄχρι τῆς ἀκμῆς, ἀπ' ἐκείνης δὲ κατ' ὀλίγον μαραινόμενον ἐπὶ φθορὰν ὁδεύει. εἰ τοίνυν ὁ οὐρανὸς οὔτε καθόλου οὔτε κατὰ μόρια φαίνεταί τι παραλλάξας ποτέ, πῶς οἷόν τε αὐτὸν κατὰ τὴν ἑαυτοῦ φύσιν ἐν ἀκμῇ τῇ οἰκείᾳ φθαρῆναι; ὃ μηδὲν τῶν ζῴων ἢ φυτῶν ἢ τῶν λοιπῶν συντελεστάτων ὑφίσταται ἄνευ βίας ἀπολλύμενον. ὅτι τὸ ἀπαθέστερον καὶ ἀπαθές· τὸ γὰρ συγκριτικὸν ἐπίτασις τῆς ἰδιότητος· λευκότερον γὰρ τὸ μᾶλλον λευκόν· ὥστε οὐδὲ τὸ ἀπαθέστερον παθητικόν (e Simpl. f. 17 *b* med.). ἀπὸ Φιλοπόνου. εἰ τὸ πῦρ πανταχοῦ κοῦφον καὶ ἡ γῆ πανταχοῦ βαρεῖα, τὰ δὲ μέσα ἐπαμφοτερίζουσι, πρός τι ἄρα καὶ κατὰ σχέσιν, ἀλλ' οὐ καθ' αὑτό ἐστιν ἡ κουφότης καὶ ἡ βαρύτης. οὐ γὰρ τὰ αὐτὰ κατὰ τὰς αὐτὰς δυνάμεις ἔξωθεν μηδὲν προσλαμβάνοντα ἐκ μόνης τῆς πρὸς ἄλληλα σχέσεως ἀλλαχοῦ μὲν κοῦφα ἀλλαχοῦ δὲ βαρέα ἐτύγχανε. τὸ γοῦν λευκὸν καὶ τὸ μέλαν καὶ τὸ θερμὸν καὶ τὸ ψυχρόν, ὅπως κἂν ἔχῃ πρὸς ἄλλα, τῆς ἑαυτῶν οὐκ ἐξίσταται φύσεως καὶ τάξεως. λύσις. ὅτι ὁ Ἀριστοτέλης κοῦφον μόνον τὸ πῦρ λέγει, βαρὺ δὲ μόνην τὴν γῆν, τὰ δὲ μέσα ἀμφοῖν μετέχειν πρὸς ἄλλο καὶ ἄλλο, καὶ οὐ δήπου τοῦτο ποιεῖ μὴ μετέχειν τὸ πρὸς ἄλλο καὶ ἄλλο κατ' ἄλλο καὶ ἄλλο τῶν ἑαυτοῦ ἐνεργεῖν. καὶ γὰρ τὸ φαιὸν πρὸς μὲν τοὺς εὐδιάκριτον ἔχοντας τὸ ὄμμα ὡς λευκὸν ἐνεργεῖ, πρὸς δὲ τοὺς εὐσύγκριτον ὡς μέλαν, διὰ τὸ ἀμφοτέρων μετέχειν (e Simpl. f. 17 *b* med. v. extr.). ὅτι τὸ μέσον ποτὲ μὲν μῖγμά ἐστι τῶν ἄκρων, ὡς τὸ φαιὸν καὶ ὠχρόν, ποτὲ δὲ ὡς ἀνεπίδεκτον τῶν ἄκρων, ὡς τὸ ἀτελὲς παιδίον μέσον ἀρετῆς καὶ κακίας, ποτὲ δὲ ὡς τὸ ἐν ταῖς διαθέσεσιν ἄμετρον περιαιροῦν καὶ εἰς συμμετρίαν ἄγον, ὡς ἀρετὴ μέσον ὑπερβολῆς καὶ ἐλλείψεως καὶ ἐπιτάσεως τῶν χορδῶν καὶ ἀνέσεως, ὥσπερ ἡ μέση φθογγὴ ὑπάτης καὶ νήτης, τῆς μὲν τὴν βαρύτητα τῆς δὲ τὴν ὀξύτητα φεύγουσα. λέγεται μέσον καὶ τὸ περιέχον ἅμα καὶ περιεχόμενον, ὡς ὁ δʹ ἀριθμὸς καὶ ϛʹ καὶ βʹ τυχόν. περὶ μέσου ποσαχῶς λέγεται. οἶμαι ὅτι μέσον λέγεται καὶ τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον, ὡς ἐπὶ γραμμῆς. πῶς δὲ τὸ κέντρον μέσον ἐστὶν ὡς τύπον τοὺς πόλους ἢ τὰ μέρη τοῦ ἄξονος, ἢ τὸ ἐπίσης τῶν ἄκρων ἀφεστηκός. εἰ τῶν μὲν ὑπὸ σελήνην ἀποσπᾶται μέρη, τοῦ δὲ οὐρανοῦ διὰ τὴν στερρότητα κατὰ Φιλόπονον καὶ τὴν ἰσχὺν τὴν ἀπὸ τοῦ σφαιρικοῦ σχήματος ἐνδεδομένην οὐ πέφυκεν ἀποσπᾶσθαί τι, τίς οὐκ ἂν ἄλλης οὐσίας καὶ φύσεως αὐτὸν εἴπῃ; πῶς δὲ οὐκ ἀνάγκη καὶ πολυχρονιώτερον εἶναι τῶν ἄλλων; ἰδοὺ γὰρ τὰ ὀστᾶ τῶν ζώων πολυχρονιώτερα τῶν σαρκῶν ἐστὶ καὶ τῶν φλεβῶν. ὥρα οὖν λέγειν ὡς μετὰ τὴν τοῦ κόσμου φθορὰν τοῦ ὑπὸ σελήνην ἀνάγκη τὸν οὐρανὸν ἐπί τινα χρόνον μένειν καὶ διαρκεῖν. καίτοι εἰ κατὰ τὴν αὐτὴν ἡμέραν οὐρανὸς καὶ γῆ ἐγένετο, καὶ κατὰ τὴν αὐτὴν ἀκόλουθον φθαρῆναι. (e Simpl. f. 18 *b* v. princ.). ὅτι καὶ φυσικὴ κυκλοφορία τῷ οὐρανῷ καὶ ὑπὸ ψυχῆς ἐνδέδοται· ζῷον γάρ ἐστιν. εἰ δὲ ψυχὴν ἔχει καὶ ἀρχὴν κινήσεως, ποίαν ἄλλην κινηθήσεται ἢ τὴν τοπικήν; οὔτε γὰρ γίνεται ἢ φθείρεται οὔτε ἀλλοιοῦται ἢ μειοῦται ἢ αὔξεται. εἰ δὲ πεπερασμένος ἐστὶ καὶ πεπερασμένην ἔχει δύναμιν, ἄπειρος δὲ ἡ κυκλοφορία, ἀνάγκη ἄρα αὐτὴν ὑπὸ ἀπειροδυνάμου αἰτίας δίδοσθαι. ἡ δὲ φύσις ἐν ὑποκειμένῳ οὖσα πεπερασμένῳ πεπερασμένη καὶ αὐτή ἐστιν·

ἐν ἑαυτῇ ἔχουσαν, τὴν κυκλικήν. καὶ εἰ λέγω τι ταῦτα λέγων, καλῶς εἶπεν ὁ Ἀριστοτέλης εἰς ταὐτὸ φέρεσθαι τὸ πᾶν καὶ τὸ μόριον κατὰ φύσιν, ὅτι τῶν μὲν τὸ ἐφετὸν ἔξω ἑαυτῶν ἐχόντων καὶ τὰ ὅλα καὶ τὰ μέρη ἐκείνου ἐφιέμενα εὐθύπορον ἔχει ῥοπήν· διὸ καὶ ῥοπὴν ὅλως, ὅτι ἔξω τὸ ἐφετὸν καὶ τοπικὸν τὸ ἔξω. καὶ εἴγε καθ' ὑπόθεσιν ὁ οὐρανὸς ἐξήρθη μετέωρος, ἀφ' ἧς ἔχει νῦν χώρας, καὶ τὸ πῦρ ἐπακολουθεῖ· οὔτε γὰρ τόπου μοι δοκεῖ τὰ δ' στοιχεῖα ἐφίεσθαι τοσοῦτον οὔτε ὁλότητες ὡς τῆς τοῦ κρείττονος ἐπαφῆς, ἧς οὐδὲν ἧττον τὸ ὅλον ἐφίεται ἤπερ τὰ μέρη. ταῦτα μὲν οὖν εἰ ἀληθῶς εἴρηται, πολλῶν ἐνοχλήσεων οἱ τοῦ Ἀριστοτέλους ἀπαλλάσσονται λόγοι (e Simpl. f. 15 b.). ὅτι εἰ κοῦφόν ἐστι τὸ ἀνωφόρον, κουφότατον ἔσται τὸ ἀνωφορώτατον· τοῦτο γὰρ δηλεῖ τὸ ἐπιπολάζον πᾶσι τοῖς ἄνω φερομένοις. ἤτοι δ' κάτωθεν ἀναβαῖνον πᾶσιν ἐπινήχεται, ὥσπερ τὸ πᾶσιν ὑφιστάμενον τοῖς καταφερομένοις οὐκ ἄλλο τι παρὰ τὴν γῆν ἐστίν, ἀλλ' αὕτη μόνη. εἰ δὲ ἦν ὁ οὐρανὸς τὸ κουφότατον ὡς πᾶσιν ἐπιπολάζων τοῖς ἄνω φερομένοις, ἦν ἂν τὸ βαρύτατον τὸ πᾶσιν ὑφιστάμενον ἄλλο παρὰ τῆς γῆς (cf. Simpl. f. 16.). ὅτι τὸ ἐφιέμενον ῥέπει πάντως πρὸς τὸ ἐφετόν, κἂν εἰ σώματα εἴη ἄμφω, κἂν ἐφάπτηται ἀλλήλων, τὴν ῥοπὴν ἔχοντα μόνων· καθ' ἣν οὐ παράκειται μόνον, ἀλλ' ἐχόμενα τῶν ἐφετῶν καὶ ὡς δύναται εἰς αὐτὰ χωροῦντα παράκειται. ὥστε καὶ ἡ τοῦ ὑπεκκαύματος ὁλότης τῆς τοῦ οὐρανοῦ πλησιάσεως ἐχομένη καὶ μᾶλλον ἢ τὸ μέρος αὐτῆς, ἀεὶ μένει τὴν πρὸς αὐτὸ ῥοπὴν διασώζουσα, ὥστε καὶ ἀκολουθῆσαι, εἴ τις τὸν οὐρανὸν τυχὸν ἐκίνησε. πρόδηλον οὖν ὅτι καὶ αἱ ὁλότητες τῶν στοιχείων οὐκ ἔχουσι ῥοπήν, καὶ ὥς τινες ἴσως οἴονται, κατὰ τοῦτο οὐδὲν αὐτῶν ὁ οὐρανὸς διενήνοχεν, ἀλλά τά γε μέρη τῶν στοιχείων εὐθυπορεῖται, τῶν τοῦ οὐρανοῦ μηδὲν τοιοῦτον παθόντων, καὶ ταύτῃ ἡ διαφορὰ αὐτῶν ἀφώρισται (Simpl. f. 16 med.). ὅτι ὁ Πλάτων ζῶντα πάντα τὰ ἐν τῷ κόσμῳ θεασάμενος καὶ ἔφεσιν τῶν οἰκείων ἀγαθῶν ἔχοντα, καὶ διὰ τοῦτο καὶ ῥοπὴν ἐπὶ τὰς οἰκείας ὁλότητας ἢ τὰ χρήσιμα τῶν πλησιαζόντων αὐτοῖς σωμάτων αὐτοφυῶς καὶ οὐ κατὰ προαίρεσιν γινομένην, ὁμοίως εἶδε τὸ πῦρ καὶ τὴν γῆν ἐπὶ τὰ οἰκεῖα ἐφετὰ φερόμενα, καὶ διὰ τοῦτο βαρεῖν ἕκαστον πρὸς τὸν ἑαυτοῦ τόπον φησίν· βαρεῖν γὰρ ὅπου ῥέπει ἕκαστόν φαμεν· διὰ τοῦτο τὸν τόπον εἰς ὃν τὰ τοιαῦτα φέρεται κάτω φησίν. καὶ διὰ ταύτην αἰτίαν οὐ νομίζει φύσει τὴν τοῦ βαρέος εἶναι καὶ κούφου διαφοράν· καὶ μέντοι ὅτι τὸ ἄνω καὶ κάτω ἐπὶ σφαιροειδοῦς ὄντος τοῦ παντὸς οὐ προσίεται, μέσον καὶ πέριξ αὐτὸς καλῶν· τὸ δὲ βαρὺ τὸ ἐπὶ τὸ κάτω δοκεῖ καὶ τὸ κοῦφον τὸ ἐπὶ τὸ ἄνω. ἡμεῖς δὲ τὰ πρὸς τὴν ἡμετέραν κεφαλὴν καὶ τοὺς πόδας τοιαῦτα κρίνομεν, οὐ φύσει ὄντα κάτω καὶ ἄνω διὰ τὸ σφαιροειδές· καὶ διὰ τοῦτο ὁ Πλάτων τὴν εἰκόνα παρέθετο τοῦ τὴν μὲν κεφαλὴν ἐν τῷ ἀέρι ἔχοντος, τοὺς δὲ πόδας ἐπὶ τῆς τοῦ πυρὸς σφαίρας, καὶ ζυγὸν εἰς τὸν ἀέρα ἀνέλκοντος καὶ δύο παρατιθέντος ἐπὶ τῶν πλαστίγγων, τὸ μὲν μεῖζον τὸ δ' ἔλαττον. οὕτως ὁ Πλάτων τὸ ἄνω καὶ τὸ κάτω μὴ κυρίως ἐπὶ τοῦ παντὸς λέγεσθαι νομίζων, διὰ τοῦτο καὶ τὸ κοῦφον ἐπ' αὐτοῦ καὶ τὸ βαρὺ παρῃτήσατο. οὐ περὶ πραγμάτων οὖν ἀλλὰ περὶ ὀνομάτων ἐστὶν ἐν τούτοις ἡ τῶν φιλοσόφων διαφωνία, τοῦ μὲν Πλάτωνος διὰ τὸ ἀκριβὲς ἀπορραπίσαντος τὴν τῶν ὀνομάτων συνήθειαν, τοῦ δ' Ἀριστοτέλους τῇ συνηθείᾳ χρωμένου τῶν ὀνομάτων, ὡς μηδὲν παρὰ τοῦτο βλαπτομένης τῆς ἀληθείας. καὶ γὰρ ὁ Πλάτων διαρθρῶσαι τὴν φύσιν τοῦ βαρέος καὶ κούφου προέθετο, ὁ δὲ Ἀριστοτέλης οὔ, ἀλλ' ὅτι τῶν ὑπὸ σελήνην τὰ μὲν ἐπὶ τὸ μέσον φέρεται τὰ δ' ἀπὸ τοῦ μέσου, ὁ δὲ οὐρανὸς καὶ καθ' ὅλον ἑαυτὸν καὶ κατὰ τὰ μέρη ὑπερανέχει ῥοπῆς. ἐπεὶ δὲ τὸ μέσον κάτω καὶ τὸ ἔσχατον ἄνω σύνηθες ἦν καλεῖν, καὶ βαρὺ μὲν τὸ κάτω ῥέπον κοῦφον δὲ τὸ ἐπὶ τὸ ἄνω, διὰ τοῦτο τὴν ἐπὶ τὸ μέσον ῥοπὴν καὶ τὴν ἀπὸ τοῦ μέσου κατὰ τὸ σύνηθες διωρίσατο, καὶ διὰ τοῦτο εἶπε "βαρὺ μὲν οὖν ἔστω," ἀλλ' οὐχὶ ἐστίν· οὐδὲ γὰρ αὐτὸς ὠνοματοθέτησε τὸ βαρὺ καὶ κοῦφον, ἀλλὰ συγχωρῶν τοῖς προθεμένοις εἶπεν· ἐν δὲ τῷ δ' βιβλίῳ διορίσαι πρῶτον περὶ αὐτῶν φησὶ δεῖν καὶ θέσθαι καθὸ δὴ πᾶσι φαίνεται καὶ συγχωρεῖται (e Simpl. f. 16.). τίς οὖν χρεία τῶν πολλῶν τούτων λόγων σκοπὸν μὲν ἐχόντων ἀσεβῆ πρὸς τὸ θεῖον, συστῆσαι δὲ αὐτὸ ἐκ τῶν μὴ τὸν αὐτὸν ἐχόντων σκοπὸν ἀνοήτως φιλονεικούντων; (e Simpl. f. 16 b extr.) ἀπὸ Ξενάρχου. εἰ κοῦφόν ἐστι κατὰ Ἀριστοτέλην τὸ πᾶσιν ἐπιπολάζον, τὸ δὲ πῦρ κάτω ὂν οὔπω πᾶσιν ἐπιπολάζει, ὥστε οὐδὲ κοῦφον· εἰ δὲ τοῦτο, οὐδ' ἐπὶ τὸ ἄνω κινηθήσεται· καὶ τὸ συμπέρασμα δῆλον. λύσις. εἰ τοὺς δύο τοῦ κούφου ὁρισμοὺς εἰς ταὐτὸν συναγάγωμεν, τόν τε λέγοντα κοῦφον εἶναι ὃ ἀεὶ ἄνω πέφυκε φέρεσθαι καὶ τὸν λέγοντα τὸ πᾶσιν ἐπιπολάζον, ἔσται εἷς τέλειος. μήποτε δὲ καὶ ἐν παντὶ τόπῳ ὂν τὸ κουφότατον πᾶσι τοῖς πλησιάζουσιν αὐτῷ ἐπιπολάζει· τὸ γὰρ ὑπὸ γῆν εἰ τύχῃ πῦρ, κἂν ἔχῃ ὑπὲρ αὐτὸ καὶ ἀέρα καὶ γῆν ἐνίοτε καὶ ὕδωρ, ἀλλ' ἀνωφόρον ὑπάρχον ὑπερανέχει ἀεὶ τῶν πλησιαζόντων ἐπὶ τὸ ἄνω καὶ πᾶσιν ἐκείνοις ἐπιπολάζει (e Simpl. f. 17 princip.). ἀπὸ Φιλοπόνου. ἀλλ' ἐπεὶ τόπου διαφοραί εἰσι κατὰ Ἀριστοτέλην δύο, καὶ ἐναντιώσεις μόναι δύο, τὸ ἄνω καὶ τὸ κάτω· πᾶν ἄρα σῶμα ἐν τόπῳ ὑπάρχον ἢ ἐν τῷ ἄνω τόπῳ ἐστὶν ἢ ἐν τῷ κάτω. ἐπεὶ οὖν αἱ τοῦ οὐρανοῦ σφαῖραι πλὴν τῆς ἀπλανοῦς ἐν τόπῳ εἰσί, τῷ πέρατι τῆς περιεχούσης σφαίρας ἄλλης ἄλλην, ἀνάγκη αὐτὰς ἄνω εἶναι· ὥστε κουφότητος μεθέξουσιν. λύσις. ἀλλ' οὐ ταὐτόν, ὦ γραμματικέ, τὸ ἄνω καὶ τὸ ἐπὶ τὸ ἄνω· οὐ γὰρ κοῦφον εἶπεν Ἀριστοτέλης τὸ ἄνω ὄν, ἀλλὰ τὸ ἐπὶ τὸ ἄνω φερόμενον καὶ τὸ τοῖς ἄνω φερομένοις ἐπιπολάζον· τῆς γὰρ τοῦ οὐρανοῦ πλησιάσεως τὸ πῦρ ὀρεγόμενον φέρεται. πῶς δὲ δύο μόναι τοπικαὶ ἐναντιώσεις κατὰ Ἀριστοτέλην τὸ ἄνω καὶ τὸ κάτω; καὶ αὐτὸ τοῦτο τὸ δύο νομίζειν ἐναντιώσεις τὴν τοῦ ἄνω καὶ κάτω ἄτοπον, μίαν οὖσαν ἀντίθεσιν. ἀλλ' ἔτι δὴ πολλοὺς ὁ γραμματικὸς κατατείνει λόγους οἰόμενος ἐν τοῖς οἰκείοις ὄντα τόποις τὰ στοιχεῖα μήτε βάρους μετέχειν μήτε κουφότητος, ἀλλ' ἐκ τῆς ἐν τῷ παρὰ φύσιν θέσεως αὐτοῖς ταῦτα προσγίνεσθαι· οὐδὲ γὰρ διὰ τὸ τὴν γῆν ἐξ ὑποθέσεως ἀφαιρεθεῖσαν τοῦ οἰκείου τόπου καὶ ἀφεθεῖσαν ἐπὶ τὸν αὐτὸν φέρεσθαι, διὰ τοῦτο, φησί, χρὴ νομίζειν ὅτι καὶ ὅλη ἡ γῆ βάρος ἔχει. καὶ γὰρ καὶ τὸν ὅλον κόσμον εἴ τις ἐκ τῆς ὁμοίας ὑποθέσεως μεταστήσειεν, ἐπὶ τὸν ἑαυτοῦ πάλιν ἀφεθεὶς οἰωθήσεται τόπον· καίτοι οὔτε βάρος οὔτε κουφότητα ἔχειν τὸν ὅλον κόσμον δυνατόν, ἐν ἑαυτῷ πάντα περιειληφότα. ἀλλὰ τοῦτο μὲν ἴσως οὐδὲν κωλύει κατὰ τὸ ἐπικρατοῦν τῶν ἐν αὐτῷ κεῖσθαι, ἀλλ' ὅτι οὐκ ἔχει τις εἰπεῖν πότερον ἐπὶ τὸ ἄνω ἢ ἐπὶ τὸ κάτω φέρεται, τοῦ ἄνω καὶ κάτω ἐν αὐτῷ

αὐτοῖς ψυχῶν ὡς ἑτεροκίνητα κινεῖται (e Simpl. f. 13 v. princip.). p. 269 b 10. ὅτι ἡ βίαιος κίνησις παρὰ φύσιν, ἡ δὲ παρὰ φύσιν ὑστέρα τῆς κατὰ φύσιν· ὥστε οὐ πρώτη ἡ βίαιος (e Simpl. f. 13 med.). ὅτι ἄτοπον τὸ τὸ ἁπλοῦν σῶμα δύο κινήσεων ἀρχὰς ἔχειν ἐν ἑαυτῷ (*). μήποτε δὲ κατασπασθὲν τὸ πῦρ ἀτελὲς γενόμενον τὴν ἐπ' εὐθείας ἀντὶ τῆς κύκλῳ μεταλαμβάνει, ἄνω δὲ γενόμενον καὶ τελεωθὲν ἀποβάλλει μὲν τὴν τῷ ἀτελεῖ προσήκουσαν, τὴν ἐπ' εὐθείας, ὥσπερ καὶ τὸ ἀτελὲς εἶναι ἀποβάλλει, μεταλαμβάνει δὲ τὴν τῷ τελείῳ προσήκουσαν, ὅτι τῇ τελειότητι γέγονε συγγενές. οὐκ ἀπὸ τοῦ τόπου δὲ προσλαμβάνει τὴν κύκλῳ κίνησιν, ἀλλ' ἀπὸ τοῦ γειτνιῶντος αὐτῷ τότε κυκλοφορικοῦ σώματος· οὐδὲ ἀλλάσσει τὸ εἶδος ἁπλῶς τὴν κύκλῳ μεταβαλόν, εἴπερ ἡ μὲν ἐπ' εὐθείας γινομένου πυρὸς ἦν, ἡ δὲ κύκλῳ τελειωθέντος· οὐδὲ γὰρ τὴν γῆν τὸ εἶδος ἀλλάσσειν φαμὲν ὅτε κατενεχθεῖσα ἠρεμεῖ, ἀλλὰ τὴν μὲν ἐπ' εὐθὺ αὐτῇ κίνησιν ἀτελεῖ οὔσῃ δίδομεν, τὴν δὲ μονὴν τελειωθείσῃ (e Simpl. f. 13 med. v. extr.). ὁ μέντοι τὸ πῦρ καθὸ πῦρ ἐπὶ τὸ ἄνω κινεῖσθαι λέγων καὶ τὴν γῆν καθὸ γῆ ἐπὶ τὸ κάτω, καὶ μὴ διορίζων αὐτῶν τὰς ἀτελείας καὶ τὰς τελειότητας καὶ τὰς ἑκατέρᾳ τούτων προσηκούσας κινήσεις ἢ μονάς, λέγοι ἂν τὰ τοῦ Ἀλεξάνδρου κατά τι καλῶς λέγοντος (e Simpl. f. 13 extr.). p. 269 b 13. ὅτι ἡ πίστις διττή, ἡ μὲν χωρὶς ἀποδείξεως ἀλόγως γινομένη, οἵαν τινὲς ἔχουσι καὶ ἐπὶ τοῖς ἀτοπωτάτοις, ἡ δὲ μετὰ ἀπόδειξιν ἴσως καὶ εἰς συλλογισμὸν ἀποδεικτικόν, ἥτις καὶ ἀσφαλής ἐστι καὶ ἀνέλεγκτος καὶ τῇ ἀληθείᾳ τῶν ὄντων συμπεφυκυῖα. πλεονάζει δὲ ἡ τοιαύτη πίστις τῆς ἐπιστημονικῆς εἰδήσεως τῇ συμπαθείᾳ τῇ ζωτικῇ (e Simpl. f. 13 b princ.). ὅτι κάλλιον οἶμαι λέγειν ὡς ἄρα ταῖς ἀποδεικτικαῖς ἀνάγκαις προσεῖναι παραινεῖ πανταχοῦ μέν, μάλιστα δὲ ἐν τοῖς περὶ τῶν θείων λόγοις, τὴν ἀπὸ τῆς πίστεως συμπάθειαν, οὐ μόνον βεβαίωσιν τῆς ἀληθοῦς γνώσεως ἐμποιοῦσαν, ὅταν μετὰ τὴν ἀπόδειξιν ἐπιγένηται, ἀλλὰ καὶ τὴν πρὸς τὰ γνωστὰ ἕνωσιν, ἥτις ἐστὶ τὸ τέλος τῆς ἀνθρωπίνης μακαριότητος. προηγεῖται μὲν γὰρ ὁ ἀναγωγὸς ἔρως ἔφεσιν τοῦ θείου κάλλους ἀνεγείρων ἐν ταῖς ψυχαῖς, ἕπεται δὲ ἀληθὴς ἐκείνου τοῖς ἀξίοις ἔμφανσις. ἐπὶ δὲ τούτοις ἡ πίστις βεβαίαν ἵδρυσιν ἐν ἐκείνῳ καὶ ἕνωσιν τὴν πρὸς αὐτὸ χορηγεῖ. ὅτι δὲ ὅσῳ πλέον τῷ τόπῳ κεχώρισται τῶν ἐν γενέσει καὶ ἐν φθορᾷ τὰ οὐράνια, τοσούτῳ καὶ ἔτι μᾶλλον τῇ τιμιότητι τῆς οὐσίας ὑπερανέχει, πρόδηλον ἂν εἴη· καὶ γὰρ ταῦτα μὲν εἰς τὸ ἔσχατον τοῦ παντὸς ἀπεώσθη, ὁ δὲ οὐρανὸς τὴν ἀκρότητα τοῦ σωματοειδοῦς ἐκληρώσατο (e Simpl. f. 13 b v. princ.). ὅτι τῇ φρονήσει ὡς μεσότητι πανουργία καὶ εὐήθεια ἀντίκειται (e Simpl. f. 13 b v. med.). ὅτι τὰς παρὰ φύσιν κινήσεις ἄλλων ἰδίας εἶναι χρή· φύσει γὰρ καὶ αὗται, ἀλλ' οὐκ ἐξ ἐπιτεχνήσεως ἐν ἐκείνοις (Simpl. ib.). ὅτι τῇ φρονήσει οὔτε πανουργία οὔτε εὐήθεια ἀντίκειται, ἀλλὰ τὸ κοινὸν ἀμφοῖν, ὡς συμμέτρῳ ἀσύμμετρον ἢ ἀνισότης ἰσότητι· τῷ γὰρ ὑπερβάλλοντι τὸ ἐλλεῖπον ἀντίκειται, ὥστε τῇ πανουργίᾳ ἡ εὐήθεια (cf. Simpl. ib.). ὅτι τὸ παρὰ φύσιν τριχῶς, ποτὲ μὲν τὸ ἐναντίον καὶ στερητικόν, δῆλον, ποτὲ δὲ τὸ κατὰ ἀπόφασιν τοῦ κατὰ φύσιν, ὃ καὶ ἐπὶ τοῦ μηδ' ὅλως ὑπάρχοντος δύναται λέγεσθαι, ὡς παρὰ φύσιν τῇ γῇ τὸ κύκλῳ κινεῖσθαι· καὶ ἐπὶ τοῦ ὑπὲρ φύσιν, ὡς τῷ πυρὶ τὸ κύκλῳ κινεῖσθαι παρὰ φύσιν λέγομεν· γῆ μὲν γὰρ καὶ ὕδωρ οὐδ' ὅλως κινεῖται, πῦρ δὲ καὶ ἀὴρ κινεῖται, ἀλλ' οὐ κατὰ τὴν ἑαυτῶν φύσιν ἀλλ' ὑπὲρ ταύτην (cf. Simpl. f. 14.). ὑπὸ δὲ τῆς αὐτῆς ἐναντιολόγου λύττης ἀδυνατώτερον ἀποβλέπειν πρὸς τὴν ἀλήθειαν. ὅτι ἡ ἐπ' εὐθείας κίνησις τοῖς τῶν στοιχείων μορίοις κατὰ φύσιν ὑπάρχει, ὡς ἐπὶ τὸ κατὰ φύσιν εἶδος ἐπάγουσα· ὅπερ ἕξει διὰ τοῦτον οἰκεῖον τόπον ἀπολαβεῖν. ὅτι τῷ ὑπεκκαύματι συμπεριφερομένῳ τῇ κινήσει τοῦ πλανωμένου μᾶλλον λέγειν ὑπερφυῆ εἶναι ταύτην τὴν κίνησιν, ὡς πεφυκότι μετέχειν αὐτῆς. καὶ εἴ τις οὕτως λέγει κατὰ φύσιν, οὔτε ἀτόπως οἶμαι ἐρεῖ, οὔτε τῷ Ἀριστοτέλει ἐναντιώσεται, τὴν διαφορὰν τῶν οὐρανίων πρὸς τὰ ὑπὸ σελήνην ἀπὸ τῶν μερῶν μάλιστα αὐτῶν εὑρίσκοντι, τῶν οὐρανίων μερῶν μηδέν τι τοιοῦτον πεπονθότων (e Simpl. f. 14 extr.). ὥσπερ οὗτος ὁ ὁρμίλος. δηλοῖ δὲ τὸν ἐν τῇ συνηθείᾳ λεγόμενον πικρίδην ἢ καρδαμίδην. ἀπορεῖ διὰ τὰς κρατούσας ἐντελεῖς ἐννοίας περὶ τοῦ τὸν κόσμον δημιουργήσαντος (cf. Simpl. f. 14 extr.). ἀλλὰ πῶς ὅτι τὴν αὐτὴν φέρεται τῷ ὅλῳ τὸ μέρος, ἐπιστώσατο ἀπὸ τοῦ εἰς ταὐτὸ φέρεσθαι τὴν γῆν πᾶσαν καὶ μικρὰν βῶλον; ἡ γὰρ πᾶσα γῆ οὐδεμίαν φέρεται φοράν, ἱδρυμένη περὶ τὸ μέσον. λύσις. ἢ τὴν πᾶσαν γῆν εἶπε τὴν κατὰ πάντα τὰ μόρια διαιρουμένην, ἀλλ' οὐ τὴν κατὰ τὴν ὁλότητα· διὸ καὶ πᾶσαν ἀλλ' οὐχ ὅλην εἶπεν· ὡς εἰ λέγει τις τὴν πᾶσαν γῆν γεννητὴν καὶ φθαρτὴν εἶναι, ὅτι πάντα τὰ μέρη τοιαῦτα, καὶ οὐδὲν αὐτῶν ἀΐδιόν ἐστιν· οὐ μέντοι κατὰ τὴν ὁλότητα ἀληθὲς εἰπεῖν. ἔπειτα δὲ καὶ ἡ ὅλη γῆ καθ' ὅλην κἂν μὴ κινῆται τοπικῶς, ἀλλὰ τὴν ὅλην σύννευσιν καὶ ῥοπὴν πρὸς τὸ κέντρον ἔχει. διὸ καὶ σφαιροῦται περὶ αὐτὸ ἡ ὅλη, ἑκάστου τῶν μορίων πλησιάζειν τῷ κέντρῳ φιλονεικοῦντος, ὅταν μὴ ὑπ' ἄλλου προληφθῇ μορίου. ἡ γὰρ ἔφεσις καὶ τοῦ ὅλου καὶ τῶν μορίων πρὸς τὸ μέσον ἐστί, καὶ πρὸς ἐκεῖνο συνίζεσθαι βούλεται καὶ συνέχεσθαι, σκεδαστὴν ἀφ' ἑαυτῶν φύσιν τὴν σύστασιν ἔχοντα, ὡς καὶ τοῦ πυρὸς τό τε ὅλον καὶ τὰ μέρη τοῦ θείου σώματος ὡς συγγενοῦς ἐφιέμενα πρὸς ἐκεῖνο σπεύδει πανταχόθεν· διὸ καὶ σφαιροῦται ὑπ' αὐτοῦ καὶ τοῦτο, πάντων αὐτοῦ τῶν μερῶν πλησιάζειν βουλομένων αὐτῷ καὶ τῆς ζωτικῆς αὐτοῦ κινήσεως ἀπολαύειν. τῶν δὲ μερῶν ἑκάτερον τὸ πλησιάζον κατὰ τὴν αὐτοῦ ῥοπὴν ἐφετὸν ἔχει, τὸ μὲν ὕδωρ τὴν γῆν, ἅτε ἐπ' αὐτῆς ἑδραζόμενον, ῥευστὸν ὑπάρχον τῇ ἑαυτοῦ φύσει. διὸ καὶ τοῦτο τὴν γῆν περιρρέον σφαιροῦται παρ' αὐτῆς καὶ συνέχεται, διὰ τῆς γῆς μέσης καὶ αὐτὸ τῆς κεντρικῆς ἀπολαῦον συνοχῆς· ὁ δὲ ἀὴρ ἐπὶ τὸ πῦρ ἵεται, τῆς ἑαυτοῦ θολώδους παχύτητος ἀπαλλαγῆναι καὶ ἐξαιρεθῆναι βουλόμενος, ὅ τε ὅλος καὶ τὰ μέρη. ὁ δὲ οὐρανὸς ἅτε πάντων τῶν ἐν τῷ κόσμῳ σωμάτων θειότερος καὶ ὑπέρτερος ὢν οὐδὲν ἄλλο ἐφετὸν ἔχει, οὐδὲ ἵεται πρὸς ἄλλο, ἀλλ' εἰς ἑαυτὸν συννεύων καὶ ἑαυτοῦ ἐφιέμενος καὶ τῆς ἑαυτοῦ ψυχῆς καὶ τοῦ νοῦ, οὐκέτι τὴν ἐνδεῆ καὶ ἀτελῆ καὶ τῇ δυνάμει πολλῇ συνοῦσαν καὶ πρός τι τῶν ἐκτὸς ἱεμένην τὴν κατ' εὐθεῖαν κινεῖται κίνησιν, ἀλλὰ τὴν ἀεὶ τελείαν καὶ ἐνεργητικὴν καὶ τὸ ἀγαθὸν

(*) ὁ δὲ Ἀλέξανδρος ἐνταῦθα πολλοῖς καὶ πυκνοῖς χρῆται ἐπιχειρήμασιν, ὅτι οὐχ ὑπάρχει τῷ πυρὶ κατὰ φύσιν ἡ κύκλῳ κίνησις. οὐ γὰρ εὔλογον φησὶ μόνον τῶν φυσικῶν σωμάτων δύο κινήσεις ἔχειν. Simpl. ed. f. 13.

μενον ἕτερον ἔξωθεν καὶ προσκρινόμενον μείζονα ποιεῖ. λύσις. ἀλλ' οὐ σῶμα ὁ κύκλος· ἐπίπεδον γάρ. πῶς δὲ ἂν προστίθεσθαι τῷ κύκλῳ ἢ τῇ σφαίρᾳ τὸ ἔξωθεν περιερχόμενον λέγοιτο, οὐκ ἀφανιζομένης τῆς προτέρας ἐπιφανείας; ὥσπερ ἐπὶ τῆς εὐθείας, ὅταν αὐτὴν προσαυξήσωμεν, τὸ πρότερον αὐτῆς πέρας ἀφανίζοντες ἀντὶ διπήχεος τρίπηχυν εὐθεῖαν ποιοῦμεν· ἐπὶ δὲ τοῦ κύκλου κύκλον περὶ κύκλον καὶ σφαῖραν περὶ σφαῖραν περιβάλλομεν. ἀπορία. ἀλλὰ πολλά, φησί, κυκλικὰ καὶ σφαιρικὰ ὑπὸ τῆς τροφῆς προσαύξεται, ὥσπερ τὸ κρανίον καὶ ὁ κερατοειδὴς χιτών· καίτοι οὐκ εὐθεῖαι ταῦτα. λύσις. τὴν πεπερασμένην εὐθεῖαν ἀτελῆ φησὶν ὁ Ἀριστοτέλης ὅτι ἔστι τι ἐκτὸς αὐτῆς καὶ εἰς ὃ προσαύξεται ἡ αὐτὴ μένουσα καὶ μόνον τὸν διορισμὸν ἀπολέσασα· ὁ δὲ ὑπὸ τῆς τροφῆς αὐξόμενος κύκλος ἢ σφαῖρα ἔνδοθεν αὔξεται, καὶ προσθήκης αὐτῷ ἔξωθεν γινομένης ὥσπερ ἐπὶ τῆς εὐθείας· διὸ καὶ λέγεται εἶναί τι ἐκτός. τὰ δὲ ἀπὸ τῆς τροφῆς αὐξόμενα ἔνδοθεν αὔξεται, οὐ προσθήκης αὐτῷ ἔξωθεν γινομένης, ὥσπερ ἐπὶ τῆς εὐθείας. διὸ καὶ οὐδὲ λέγεται εἶναί τι ἐκτός, ἀλλ' ὅλου τοῦ εἴδους ἐπιδιδόντος· διὸ οὐ λέγεται τούτῳ προστίθεσθαι τὸ προσιόν· οὐ γὰρ ὑπομένει τὸ δεχόμενον τὴν προσθήκην ὡς εὐθεῖα. κἂν αὐξηθῇ οὖν ἡ τοῦ παντὸς διάμετρος, οὐχ ὁμοίως αὐτῇ προσαύξεται ἡ σφαιρικὴ ἐπιφάνεια, ἀλλὰ τῆς μὲν εὐθείας μένει τὸ πρότερον μέρος τὸ τὴν προσθήκην δεχόμενον, διὸ καὶ ἀτελὲς ἐκεῖνο δοκεῖ, τῆς δὲ σφαιρικῆς ἐπιφανείας ἢ τοῦ κύκλου οὐδὲν μένει τῶν προτέρων· ἄλλη γὰρ ἡ περιαγωγὴ γίνεται τῆς περιφερείας. ὥστε οὐχ ὁμοίως ἐπί τε τοῦ κύκλου καὶ τῆς εὐθείας τὴν αὔξησιν ἐπινοητέον, ἀλλ' ὅπου μὲν κατὰ πρόσθεσιν, ἥτις κατὰ τὸ ἐλλεῖπόν ἐστιν, ὅπου δὲ ἐκ τελείου τελείου πάλιν καὶ ὡρισμένου γινομένου (e Simpl. f. 11 *b*.). ὅτι κἂν μὴ βούλοιτό τις τοῦτο τέλειον εἶναι τὸ ἔχον ἀρχὴν καὶ μέσον καὶ ἔσχατον, ἀλλὰ πᾶν γε σῶμα, ᾧ μηδὲν ἐλλείπει, πάντως ἐκ τούτων συμπεπλήρωται· καὶ γὰρ χειρὸς πρῶτον μὲν ἂν εἴη μέρος καθ' ὃ τῷ ὅλῳ συμπέφυκεν, ἔσχατον δὲ τὸ πρὸς τοῖς δακτύλοις, μέσον δὲ ὁ ὀγκών, καὶ γλώττης ὁμοίως. καὶ σφαῖρα δὲ τὴν ἀρχὴν κατὰ τὶ μὲν ἐν τοῖς κέντροις, κατὰ τὶ δὲ ἐν ταῖς περιφερείαις ἔχει. τὰ δὲ ὁμοιομερῆ, ἂν ᾖ τέλεια, ἔχει πάντως καὶ τὰ ἄλλα. καὶ ἐπὶ τοῦ σώματος τρεῖς ἔχοντος διαστάσεις οὐκ ἀπορήσομεν, ὡς οὗτος οἴεται, ποία μὲν ἀρχῆς ἔχει λόγον, ποία δὲ μεσότητος, ποία δὲ τελευτῆς· δῆλον γὰρ ὅτι ἀρχὴ μὲν ἡ κατὰ γραμμὴν καὶ μῆκος, μέση δὲ ἡ κατὰ τὴν ἐπιφάνειαν, τελευτὴ δὲ ἡ κατὰ τὸ βάθος. εἰ δὲ ὁ κύβος ἀπορεῖν ποιεῖ διὰ τὸ τὰς τρεῖς ἴσας ἔχειν διαστάσεις, ποία μὲν ἀρχή, ποία δὲ μέση, ποία δὲ τελευτή, πάλιν ἐρῶ ὅτι τὴν ὡς μῆκος ὁριζομένην γραμμὴν ἀρχὴν ληψόμεθα, κἂν ἀδιάφορον ὅθεν οὖν λαβεῖν. καὶ ἐπὶ τῆς σφαίρας τὸ μὲν μῆκος ὁ μέγιστος ὁρίζει τῶν ἐν αὐτῇ κύκλων, τὸ δὲ πλάτος ἡ ὅλη ἐπιφάνεια, τὸ δὲ βάθος ἡ καθήκουσα μέχρι τοῦ κέντρου ἀπὸ τῆς ἐπιφανείας διάστασις (e Simpl. f. 11 *b*. 12.). ὅτι ἄλλη ἄλλου τελειότης· ὁ γοῦν γραμμικὸς κύκλος οὐχ ἕξει τὴν τοῦ σώματος τελειότητα, οὐδὲ τοῦτο τὴν τοῦ ἀνθρωπείου σώματος· οὐ γὰρ ἔχει κεφαλὴν καὶ στέρνον καὶ πόδας· οὐδὲ τὴν τοῦ δικανικοῦ λόγου· προοίμια γὰρ καὶ ἐπίλογοι καὶ τὰ τούτων μέσα οὐκ ἔστιν. ἀλλὰ τὸν κοινὸν χαρακτῆρα τῆς τελειότητος, τὸ ἀρχὴν ἔχειν καὶ μέσον καὶ τέλος, καὶ ὁ κύκλος ἔχει κατὰ τὸ ἑαυτοῦ εἶδος, ὥσπερ τὸ σῶμα κατὰ τὸ οἰκεῖον (e Simpl. f. 12.). ὅτι τὸ καθόλου ποτὲ μὲν τὸ κοινὸν δηλοῖ, ποτὲ δὲ τὸ ἐκ πάντων τῶν κατὰ μέρος κατὰ τὰς διαφορὰς αὐτῶν συναγόμενον. ὅτι τέλειόν ἐστι καὶ λέγεται παρὰ τὸ ἔχειν τέλος τῶν οἰκείων συμπληρωμάτων πάντων. εἰ δὲ καὶ τέλος τὸ τελικώτατον ἀγαθὸν λέγοιμι, τέλειον ἂν εἴη τὸ πάντων τῶν ἑαυτοῦ ἀγαθῶν πεπληρωμένον, πρώτων καὶ μέσων καὶ ἐσχάτων, καὶ μέγεθος ἂν εἴη τοιοῦτον τὸ τῶν ἐπιβαλλόντων αὐτῷ μερῶν πεπληρωμένον (e Simpl. f. 12 m.). ὅτι ὁ Ἀριστοτέλης τὸ πᾶν καὶ τὸ τέλειον μηδὲν διαφέρειν κατὰ τὴν ἰδίαν φύσιν (e Simpl. f. 12 m.). ὅτι ἄπειρος εὐθὺς οὐκ ἔστιν. εἰ δὲ καὶ ἔστιν, ἀόριστον ἔχει καὶ ἀπερίληπτον τήν τε ὑπόστασιν καὶ τὴν περὶ τῆς ὑποστάσεως ἔννοιαν· τὸ δὲ τέλειον ὡρίσθαι βούλεται καὶ τοῖς ἑαυτοῦ πληρώμασι περιγράφεσθαι (e Simpl. f. 12 m.). p. 269 *a* 32. ὅτι ἡ τῆς ξυλίνης σφαίρας περιαγωγή, τεχνητὴ οὖσα, οὔτε κατὰ φύσιν οὔτε παρὰ φύσιν ἐστί, καὶ οὐδὲ πρὸς τὸ μέσον τοῦ παντὸς ἢ ἀπ' αὐτοῦ (cf. Simpl. f. 12 *b* med.). ὅτι τὸ πλανώμενον τῷ ἀπλανεῖ συμπεριφέρεται. καὶ δῆλον ὅτι οὐδέν ἐστιν ἐν τούτῳ κοῦφον ἢ βαρὺ ἢ ἀναβαῖνον ἢ καταβαῖνον, ὡς ἐπὶ τοῦ ὑπεκκαύματος ὁ Ἀλέξανδρος ἔδωκε διὰ τὴν μάνωσιν ἢ πύκνωσιν. καὶ κατὰ φύσιν μὲν οὐ συμπεριάγεται· ἄλλη γὰρ αὐτῷ ἐκείνη, μία δὲ ἑκάστου τῶν ἁπλῶν ἡ κατὰ φύσιν· παρὰ φύσιν δὲ οὐδὲ Ἀριστοτέλης συνεχώρησε λέγων θαυμαστὸν καὶ παντελῶς ἄλογον τὸ συνεχῆ καὶ ἀΐδιον οὖσαν παρὰ φύσιν εἶναι· τάχιστα γὰρ φθείρεται τὰ παρὰ φύσιν. ἀλλ' ὑπὲρ φύσιν ἐστὶ καὶ οὕτω παρὰ φύσιν, ὡς κατὰ τὴν ἄλλου φύσιν τοῦ κρείττονος ζωτικὴν ἐνδιδόντος τὴν κίνησιν κατὰ τὰ τῆς ζωῆς ὑπέρμετρα. τὸ δὲ τοιοῦτον παρὰ φύσιν οὐκ ἔστιν ἐναντίον· οὔτε γὰρ κατὰ ἐναντίας ποιότητας ὑπάρχει, ὡς ἡ ἄνω καὶ ἡ κάτω, οὔτε μάχεται ἀλλήλοις· σώζεται γὰρ μᾶλλον ἀπὸ τοῦ ὑπὲρ φύσιν τὸ κατὰ φύσιν. ἀλλὰ πῶς ὁ Ἀριστοτέλης εἶπε παρὰ φύσιν ὑπάρχειν τοῖς ὑπὸ σελήνης τὴν κύκλῳ κίνησιν; μήποτε οὖν τὸ "ἐπειδὴ τούτοις παρὰ φύσιν ἑτέρου κατὰ φύσιν," οὐχ οὕτως εἴρηται ὡς τῆς γῆς ἢ τῶν ἄλλων παρὰ φύσιν μὲν κύκλῳ δὲ κινουμένων, ἀλλ' ὡς ἀπόφασιν τοῦ κατὰ φύσιν τὸ παρὰ φύσιν ἔλαβεν, ὡς εἰ ἔλεγεν· ἐπειδὴ τοῖς δ' οὐ κατὰ φύσιν ἐστὶν ἡ κύκλῳ φυσικὴ οὖσα καὶ ἁπλῆ, εἴτε ὡς μηδ' ὅλως κινουμένοις αὐτήν, εἴτε ὡς κινουμένοις μὲν αὐτὴν οὐ μέντοι κατὰ τὴν αὐτῶν φύσιν ἀλλὰ τὴν ἄλλου, ἀνάγκη ἑτέρου τινὸς αὐτὴν εἶναι· κατὰ φύσιν κινουμένου γὰρ ἡ κίνησις (e Simpl. f. 12 *b*.). p. 269 *b* 2. ὅτι θαυμαστὸν ἦν ὃ τὴν συνήθη φύσιν τῶν πραγμάτων ἐκβέβηκεν· ἄλογον δέ, εἰ τὸ παρὰ φύσιν συνεχοῦς καὶ ἀϊδίου κινήσεως ἐστὶν αἴτιον. φαίνεται γὰρ ἐν τοῖς ἄλλοις τάχιστα φθειρόμενα τὰ παρὰ φύσιν· κάμνει γὰρ ἑκάστη φύσις μὴ κατὰ τὸ ἑαυτῆς εἶδος ἐνεργοῦσα. τὰ μὲν γὰρ κατὰ φύσιν κινούμενα ἀπὸ δυνάμεως αὐτοφυῶς ἐνεργούσης κινεῖται τῷ εἶναι συνυπαρχούσης· διὸ καὶ ἀπόνως ἐνεργεῖ· τὰ δὲ παρὰ φύσιν πάσχει μᾶλλον ἤπερ ἐνεργεῖ, οὐχ ὑπὸ τῆς φυσικῆς δυνάμεως κινούμενα, ἀλλ' ἔξωθεν ὠθούμενα βίᾳ. διὰ τοῦτο τὰ μὲν φυσικὰ σώματα ἀναπαύσεως οὐ δεῖται, ὅτι κατὰ τὴν ἑαυτῶν φύσιν ἐνεργεῖ, τὰ δὲ τῶν ζῴων σώματα δεῖται πάντως ἀναπαύεσθαι, ὅτι μὴ τῶν σωμάτων αὐτῶν εἰσὶ κατὰ φύσιν αἱ ζωτικαὶ κινήσεις, ἀλλ' ὑπὸ τῶν χρωμένων ὡς ὀργάνοις

τὸ κέντρον, πέρας δὲ τὴν ἐξωτάτην γραμμήν, μέσον δὲ τὸ μεταξὺ τούτων ἐπίπεδον. ἀλλὰ τοῦτο ἐπὶ τοῦ γραμμικοῦ κύκλου οὐχ ἁρμόζει, οὕτω δὲ μᾶλλον τέλειον ὁ κύκλος, ὅτι ὅπερ ἂν αὐτοῦ λάβῃς, τοῦτο ἀρχὴ καὶ μέσον καὶ τέλος εἶναι δύναται, ὃ τεκμήριον τοῦ παντέλειον εἶναι τοῦτον. ἀλλὰ πῶς πάσης πεπερασμένης εὐθείας ἐστί τι ἐκτός; τῆς γὰρ τοῦ παντὸς διαμέτρου πεπερασμένης οὔσης τί ἂν εἴη ἐκτός, εἴπερ μηδὲν ἐκτὸς τοῦ κόσμου; πῶς δὲ οὐκ ἄτοπον πᾶσαν εὐθεῖαν ἀτελῆ εἶναι, εἴπερ εἶδός τι τὸ τῆς εὐθείας ἐστίν, ὀφεῖλον καὶ αὐτὸ τελειότητος μετέχειν, καθάπερ τὰ ἄλλα εἴδη; ὥστε, κἂν εἰσὶν ἀτελεῖς εὐθεῖαι, ἀλλ' εἶναι πάντως καὶ τελείαν τινά. (cf. Simpl. f. 10 princip.). ὁ μὲν οὖν Ἀλέξανδρος ὡς τῷ λόγῳ δυναμένων ἡμῶν αὔξειν πᾶσαν τὴν ληφθεῖσαν, οὕτως ἀκούει, οὐχὶ τῆς εὐθείας αὐξομένης, ἀλλὰ τῆς τελικῆς δὲ εὐθείας· ὥστε τὸ μὲν εἶδος τῆς εὐθείας ὡς εὐθείας τέλειον πανταχοῦ καὶ ἐν μικρᾷ καὶ ἐν μεγάλῃ, τὸ δὲ μέγεθος τέλειον ἐν τῇ τὸ ὅλον ἀπολαβούσῃ μέτρον τῆς εὐθείας τῆς κοσμικῆς. μήποτε δὲ τὸ τέλειον αὐτῆς καὶ κατὰ τὸ εἶδος ὡς πρὸς τὸ κυκλικὸν εἶδος καὶ τὴν αὐτοῦ τελειότητα ἐλλείπῃ, τῷ μὴ συννεύειν εἰς ἑαυτό, ἀλλ' ἐκκεχύσθαι ὅσον ἐφ' ἑαυτῷ πρὸς ἀμετρίαν καὶ ἀπειρίαν, τοῖς δὲ δημιουργικοῖς μέτροις ὁρισθῆναι τὸ ποσὸν αὐτῆς. τοῦτο οὖν ἐνδείκνυται τὸ πάσης καὶ πεπερασμένης εὐθείας εἶναί τι ἐκτός, τὸ ὅσον ἐφ' ἑαυτῷ καὶ τῇ ἀορίστῳ χύσει ἔχειν τι ἀεὶ ἐλλιπὲς καὶ προστεθῆναι δυνάμενον (e Simpl. f. 10). ἀπορία. εἰ τελειότερος ὁ κόσμος κατὰ Ἀριστοτέλην ἑκάστου τῶν ἐξ ὧν ἐστί, τὸ δὲ τελειότερον πρῶτον καὶ ἁπλοῦν, ἔστιν ὁ κόσμος καὶ πρῶτος τῶν ἐξ ὧν ἐστὶ καὶ ἁπλούστερος ἐκείνων. οὐ προϋπάρχει δὲ ὁ κόσμος τῶν ἑαυτοῦ μερῶν, οὐδὲ ἁπλούστερος δοκεῖ ἐξ ἐκείνων συγκείμενος. ὁ μὲν οὖν Ἀλέξανδρος τελειότερον τὸν κόσμον φησὶν ὡς περιεκτικώτερον λέγεσθαι, ἀλλ' οὐχὶ κατὰ τὸ εἶδος, ὥσπερ ὁ κύκλος τῆς εὐθείας. ἐπὶ τούτων οὖν, φησί, τῶν κεχωρισμένων ἀληθὲς τὸ τελειότερον καὶ πρότερον καὶ ἁπλούστερον εἶναι, ἐπὶ δὲ τῶν ὅλων καὶ τῶν μερῶν οὐκέτι· τελειότερον γὰρ φησὶ καὶ τὸ ὅλον τῶν μερῶν καὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ πρῶτον, ἀλλ' οὐκέτι καὶ τῷ χρόνῳ· τὸ γὰρ πρὸς τῷ ἁπλοῦν εἶναι καὶ τέλειον, τοῦτο καὶ τῷ χρόνῳ πρῶτον. μήποτε δὲ οὐ κατὰ χρόνον εἴληπται τὸ πρότερον. οὐ γὰρ ἦν χρόνος ὅτε ἡ κυκλικὴ μὲν κίνησις ἦν, ἡ δὲ ἐπ' εὐθείας οὐκ ἦν, κἂν αἰτία ἀεὶ ταύτης ἐκείνη. καὶ ὁ κόσμος οὖν τελειότερος ὢν τῶν ἑαυτοῦ μερῶν, πρότερος αὐτῶν ἐστὶ τῇ φύσει, οἶμαι δὲ καὶ ἁπλούστερος· εἰ γὰρ πρότερος τῇ φύσει, μᾶλλον ἡνωμένος, τὸ δὲ μᾶλλον ἡνωμένον τῷ ἑνὶ συγγενέστερον, τὸ δὲ τοιοῦτον ἁπλούστερον. ἡμεῖς δὲ οὐκ εἰς τὴν ὁλότητα τὴν ἡνωμένην βλέποντες, καθ' ἣν ἓν ζῷόν ἐστιν εἰκὼν τοῦ νοητοῦ ζῴου, ἀλλ' εἰς τὸ πλῆθος αὐτοῦ τὸ διακεκριμένον, καὶ τοῦτο κόσμον λέγοντες, ἁπλούστερον τοῦ ὅλου τὸ μέρος νομίζομεν καὶ πρότερα τὰ μέρη· καίτοι τό γε ὅλον ἀπὸ τῆς ἑαυτοῦ ἑνώσεως ἐν ἑαυτῷ προάγει τὴν οἰκείαν διάκρισιν (e Simplicio ad p. 269 *a* 19 f. 10). μήποτε ἡ διάμετρος ἡ κατὰ τὸ μεσουράνημα τυχὸν καὶ ἀντιμεσουράνημα ἐναντίον κακὸν ἔχει τὸ σχῆμα διὰ τὸ ἐκ δύο ἀντικειμένων κινήσεων συγκεῖσθαι. τὸ μὲν γὰρ ἄχρι τῆς γῆς ἀπὸ τοῦ μεσουρανήματος κάτω ἐστί, τὸ δ' ἀπὸ τοῦδε ἄχρι τοῦ ἀντιμεσουρανήματος ἄνω. ὅτι τέλος ἀκούειν χρὴ τὸ ποιοῦν τέλειον τὸ ἔχον καὶ μηδεμιᾶς προσθήκης δεόμενον, ἀλλ' οὐχὶ τὸ περαῖνον μόνον (cf. Simpl. f. 10 m. v. extr.). ὅτι ἡ κύκλῳ κίνησις ἄπειρος ὡς ἐπ' ἄπειρον οὖσα, ἀλλ' οὐχ ὡς ἐνεστηκὸς ἔχουσα τὸ ἄπειρον καὶ ἀόριστον, ἀλλ' ἀεὶ πεπερασμένον εἶδος ἔχει καὶ αὐτή· πᾶν γὰρ τὸ λαμβανόμενον αὐτῆς καὶ ἀρχὴ καὶ μέσον καὶ τέλος ἐστὶ περιόδου τινός, ὥστε ἀεὶ τελείαν οὖσαν ἐπ' ἄπειρον περιάγειν τὴν τελειότητα. ὅλως γὰρ εἴποτε ἀτελὴς ἐλήφθη, οὐκ ἠδύνατο ἐπ' ἄπειρον προελθεῖν· οὐ γὰρ ἀτελὴς οὖσα δύναμιν ἔχειν ἠδύνατο ἄπειρον, οὔτε ποτὲ τελειωθεῖσα καὶ ἀρχὴν καὶ ἀκμὴν ἐν μέρει χρόνου λαβοῦσα μὴ καὶ παρακμάζειν ἐν χρόνῳ τινί. (e Simpl. f. 10 *b* extr.). ὅτι ἕκαστον κίνημα τῆς κύκλῳ κινήσεως οὐ πέρας μόνον ἀλλὰ καὶ ἀρχὴ κινήσεώς ἐστιν ἄλλης, οὐχ ὡς τῆς προτέρας ἐλλειπούσης τι τελειότητος, ἀλλ' ὡς τῆς αὐτῆς τελείας οὔσης τῷ εἴδει πάλιν καὶ πάλιν γινομένης. ἡ δ' ἐπὶ τῆς πεπερασμένης καὶ εὐθείας κίνησις, ὅτε εὐθεῖα προστεθῇ, καὶ αὐτὴ προστίθεται, ἑνὸς εἴδους τοῦ μετὰ τῆς προσθήκης γινομένου (e Simpl. f. 11 princ.). ὅτι τὸ τῆς εὐθείας ἀόριστον ὅσον ἐφ' ἑαυτῷ ἐκχεόμενον εἰς ἀμετρίαν καὶ ἀπειρίαν ὁ δημιουργικὸς λόγος ὥρισε, συνεργοῦντος οἶμαι καὶ τοῦ κυκλικοῦ σχήματος· συννεύσαντος γὰρ πρὸς ἑαυτὸ τούτου καὶ αἱ ἐν αὐτῷ εὐθεῖαι πρὸς ἀπειρίαν, ὅσον ἐφ' ἑαυταῖς, ὡρμημέναι πέρας τὸ προσῆκον ἀπέλαβον (e Simpl. f. 11.). ὅτι ὡς ὁ κύκλος, οὕτω καὶ ἑκάστης κινήσεως περίοδος καὶ ὁ μετρητικὸς αὐτῶν χρόνος διόλου καὶ ἀρχὴν ἔχουσι καὶ μέσον καὶ τέλος· ὡς πᾶν γὰρ σημεῖον ἐν τῷ κύκλῳ καὶ ἀρχὴ καὶ μέσον καὶ τέλος, οὕτω καὶ πᾶν ἐν τῇ κινήσει κίνημα καὶ πᾶν νῦν ἐν τῷ χρόνῳ· τὸ δὲ ἀνέκλειπτον τῷ πάλιν καὶ πάλιν ἔχουσι. τὸ εἶδος οὖν ἐστὶ τὸ ἀρχὴν ἔχον πανταχῇ καὶ μέσον καὶ τέλος, καὶ προσθήκην μὴ δεχόμενον· ἀλλ' οὐ τὸ ἀνέκλειπτον· τοῦτο γὰρ ἔχει τελειότητα τὴν ἀπειροδυναμίαν, ἀλλ' ἴσως ταύτην ὑπερφυῶς, εἴπερ ἀληθὲς τὸ πᾶν πεπερασμένον σῶμα πεπερασμένην ἔχειν τὴν δύναμιν τῷ αὐτοῦ λόγῳ (e Simpl. f. 11 v. med.). ὅτι δυνατὸν καὶ τὸ μὴ κυκλικὸν κύκλῳ κινεῖσθαι· καὶ γὰρ καὶ κύβον δυνατὸν περὶ ἄξονα κινεῖσθαι κύκλῳ (e Simpl. f. 11 v. extr.). ὅτι οὐκ ἀκριβὲς ἐν τοῖς ὑπὸ σελήνην τὸ σφαιρικόν, ἀλλὰ καὶ αὐτὸ ὃ ἔχει, παρὰ τῆς οὐρανίας ἔχει σφίγξεως, ὑπερφυῶς τάχα καὶ τοῦτο δεχόμενα (cf. Simpl. f. 11 *b* princ.). ἀπορία. εἰ ἐπίπεδος ὁ κύκλος λαμβάνοιτο, οὐκ ἔχει τὸ κέντρον ἐνεργείᾳ, ἵνα μὴ διῃρημένος ὢν κατ' αὐτὸ μηκέτι ἐστὶ συνεχής· ὥστε οὐκ ἔχει ἀρχήν. τῆς δὲ πεπερασμένης γραμμῆς, εἴτε φυσικῆς ἢ μαθηματικῆς, τὰ ἔσχατα ἐνεργείᾳ ἐστίν. ὅσῳ οὖν τὸ ἐνεργείᾳ τοῦ δυνάμει τελειότερον, καὶ ἡ εὐθεῖα τοῦ κύκλου. λύσις. ἀλλὰ πῶς τὸ κέντρον τοῦ παντὸς δυνάμει, περὶ ὃ πᾶς ὁ οὐρανὸς κινεῖται τὴν ἀΐδιον κίνησιν; καὶ δῆλον ὅτι καὶ τοὺς πόλους δυνάμει νομίζει μόνον εἶναι τοῦ οὐρανοῦ. πῶς δέ φησιν, ὅτι οὐ γάρ ἐστιν ἐνεργείᾳ τὸ κέντρον τοῦ κύκλου, ἵνα μὴ τὸ συνεχὲς αὐτοῦ διακόπτηται; καίτοι εἴπερ κατὰ τὸν ἀποδοθέντα τοῦ συνεχοῦς ὁρισμὸν συνεχῆ ἐστὶν ὧν τὰ ἔσχατα ἕν, τὸ δὲ κέντρον ἓν ὂν κοινόν ἐστι τῶν ἀπ' αὐτοῦ πρὸς τὴν περιφέρειαν φερομένων εὐθειῶν, πῶς ἂν ἐνεργείᾳ τοῦτο ὂν διαλύοι τὴν συνέχειαν; (e Simpl. ib.). ἀπορία. καὶ τῷ κύκλῳ γάρ, εἴγε σῶμα εἴη, καὶ τῇ σφαίρᾳ ἔτι ἐξ ἴσου σῶμα πανταχόθεν περιερχό-

εἶναι ὃ … ὁ Ἀλέξανδρος. μήποτε δέ, φησὶν ὁ Δαμάσκιος, εἶδε μὲν καὶ ὁ Ἀριστοτέλης τὴν ἐπ' εὐθείας κίνησιν ἀτελῶν καὶ ἐνδεῶν τῶν στοιχείων οὖσαν καὶ ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι ὄντων· βουλόμενος δὲ τούτων χωρίσαι τὰ οὐράνια ἀπὸ τῆς κινήσεως ἐπεχείρησεν, ἐκείνοις μὲν δεικνὺς ὑπάρχουσαν κίνησιν τὴν γενέσει καὶ φθορᾷ πρέπουσαν, τῷ δὲ οὐρανῷ τὴν ἀϊδιότητος δεκτικήν. ὅτι ὁ Ξέναρχος τὴν κύκλῳ κίνησιν κατασκευάζει ἀδύνατον εἶναι ἁπλοῦ σώματος τυγχάνειν κατὰ φύσιν, εἴγε, φησίν, ἐν μὲν τοῖς ἁπλοῖς σώμασιν ὁμοιομερέσιν οὖσιν ἰσοταχῆ πάντα τὰ μόριά ἐστιν, ἐν δὲ τῷ κύκλῳ τὰ πρὸς τὸ κέντρον ἀεὶ βραδύτερα τῶν πρὸς τὴν περιφέρειαν, εἴπερ ἐν τῷ αὐτῷ χρόνῳ ἐλάττονα κινοῦνται διάστασιν. ἀλλὰ καὶ ἐν σφαίρᾳ οἱ περὶ τοὺς πόλους κύκλοι βραδύτερον κινοῦνται τῶν πόρρωθεν, καὶ τάχιστα πάντων ὁ μέγιστος τῶν παραλλήλων. ῥητέον δὲ ὅτι ὁ Ἀριστοτέλης τὴν κύκλῳ κίνησιν εἶπε τὴν κατὰ γραμμὴν κυκλικὴν γινομένην μίαν ἑνός· ὁ δὲ ἀπορῶν λόγος πολλοὺς κύκλους ἀνισοταχεῖς λαβὼν (*) μίαν τὴν ἁπάντων κίνησιν σύνθετον πειρᾶται δεικνύναι καὶ οὐχ ἁπλῆν· ἑκάστου γὰρ κύκλου τῶν ἐν τῇ σφαίρᾳ ἑκάστη κίνησις ἁπλῆ ἐστίν· καὶ γὰρ ὁμοίως ἁπλῆ ἥ τε κατὰ τὸν ἀεὶ φανερὸν κύκλον γινομένη καὶ ἡ κατὰ τὴν ἰσημερίαν, κἂν ἡ μὲν βραδυτάτη ἐστὶν ἡ δὲ ταχίστη, καὶ ἁπλοῦ σώματός ἐστι τοῦ κατ' ἐκεῖνο τὸ μέρος. οὐ γὰρ εἶπεν ὁ Ἀριστοτέλης ὅτι αἱ πολλαὶ κυκλικαὶ κινήσεις ἁπλῆ μία κίνησίς ἐστιν, ἢ ἁπλοῦ ἑνὸς σώματος, ἀλλ' ὅτι ἡ ἁπλῆ κίνησις, ἥτις καὶ μία, πάντως ἐστὶν ἁπλοῦ σώματος, καὶ τὸ ἀντίστροφον, ὥστε καὶ τῷ ὅλῳ οὐρανῷ ὡς ἑνὶ καὶ ἀδιαιρέτῳ ἐφαρμόττειν τὸν λόγον, κἂν εἰς μέρη τις αὐτὸν διέλῃ, καὶ ἑκάστῳ ἐφαρμόττειν. μόνον ὡς περὶ μιᾶς κινήσεως καθ' ἕνα κύκλον γινομένης ληπτέον τὴν ὑπόθεσιν. [ὁ Ξέναρχος . . . τὴν ὑπόθ. e Simpl. f. 6 *b*.] ὅτι οὐ μαθηματικὰς τὰς ἀποδείξεις ποιούμεθα γραμμῶν εἴδεσι χρώμενοι, οὐδὲ παραλλάττομεν τοῦ σκοποῦ τῆς φυσικῆς. εἰ γὰρ πᾶσα κίνησις κατὰ διάστασιν γραμμικὴν γίνεται, ἡ μὲν ἁπλῆ καθ' ἁπλῆν ἡ δὲ σύνθετος κατὰ σύνθετον, καὶ εἰς δεῖγμα τῆς τῶν κινήσεων διαφορᾶς προεθέμεθα τὰ τῶν διαστάσεων εἴδη, πῶς μαθηματικῶς τὰ φυσικὰ δεικνύομεν; οὐ γὰρ τὸ γραμμαῖς ἁπλῶς χρήσασθαι μαθηματικόν ἐστιν, ἀλλὰ τὸ μαθηματικῶς· χρῶνται γὰρ ὁ μαθηματικὸς καὶ ὁ φυσικὸς γραμμαῖς καὶ ἐπιφανείαις καὶ σώμασιν, ἀλλ' ἕκαστος κατὰ τὸ ἐπιβάλλον αὐτῷ (cf. Simpl. f. 6 *b*). τῶν δέ τις ἐφ' ἡμῶν, δόξης ὡς ἔοικε θηρατής, κατήγορος ἀνέδυ τοῦ . . . ἐντεύξεως (vid. Simpl. ad p. 269 *a* 2) Ἀριστοτέλους, ὥστε ἀνεπίκριτα μείναντα τὰ γραφέντα ἐκ τοῦ πρὸς Ἀριστοτέλους μόνον ἀντειπεῖν τοσαύτας σελίδας δόξαν σοφίας παρασχέσθαι τῷ γράψαντι. ἐγὼ δὲ οἶδα τὰ τοιαῦτα τῶν τολμημάτων, ὥσπερ τοὺς Ἀδώνιδος καλουμένους κήπους, ἀνθεῖν παρὰ τοῖς ἀνοήτοις δόξαντα ἐν ὀλίγαις ἡμέραις ἀποσβεσθέντα. ἀλλ' αἱ τοιαῦται πάντως ἐνστάσεις τῶν μὲν πεπαιδευμένων ὀχλοῦσιν οὐδένα, τῶν δὲ ἀπαιδεύτων τούς τε ἀεὶ ξένοις χαίροντας καὶ τῶν παλαιῶν ἀνδρῶν ταῖς εὐκλείαις βαρυνομένους, καὶ ἔτι μέντοι τοὺς θεοσεβεῖν οἰομένους, ἐὰν τὸν οὐρανόν, ὥς φασι, πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων γεγονότα μηδὲν ἐξαίρετον ἔχειν πρὸς τὰ ὑπὸ σελήνης νομίζωσιν· οὗτοι γὰρ συνηγορεῖν αὐτῶν τῇ περὶ θεοῦ δόξῃ τὰς ἐνστάσεις ταύτας οἰόμενοι διὰ μεγάλης ἄγουσι τιμῆς, οὐδὲν μὲν οὐδὲ τούτων εἰδότες οὐδὲ τῶν Ἀριστοτέλους ἔτι μᾶλλον, πρὸς ἃ τολμῶσιν αὐτοὶ ἐνίστασθαι, ἀλλήλοις δὲ θρυλλοῦντες καὶ πρὸς ἡμᾶς νεανιευόμενοι, ὅτι τὰ τῶν φιλοσόφων ἀνατέτραπται δόγματα. τούτων οὖν εἵνεκα, καὶ τῶν εὐκολωτέραν ἐχόντων τὴν ἀκοήν, καὶ τοῦ τὴν θεοσεβῆ περὶ παντὸς ἔννοιαν ἐπὶ τῆς παλαιᾶς εὐκλείας μένειν ἀνέλεγκτον, ἔδοξέ μοι τὰς ἐνστάσεις προθεῖναι καὶ διελέγξαι. εἰ δέ που . . . ἄξιον ἐπιθεῖναι τούτῳ (vid. Simpl. ib.) ὡς ἀχαρίστῳ πρὸς τὸν διδάσκαλον καὶ μὴ αἰδουμένῳ κατ' ἐκείνου γράφειν. τῶν δὲ . . . ἐκ. γράφειν (e Simplicio transscripta, mutatis paucissimis). ὅτι οὐκ ἀτόπως ὁ Ἀριστοτέλης ὑπέθετο καὶ τὴν ὅλην γῆν ἔξω τοῦ μέσου, ἵνα δείξῃ τὴν τῆς ὅλης ῥοπὴν εἰς τὸ κέντρον συννεύουσαν. καὶ γὰρ πρόδηλον ὅτι ὅπερ ἄν τις λάβῃ μέρος αὐτῆς ταὐτόν ἐστιν. τοῦτο γὰρ ἐναργέστερον δείκνυσι τὴν διαφορὰν τῶν οὐρανίων πρὸς τὰ ὑπὸ σελήνην, ὅτι τοῦ μὲν πέφυκε χωρίζεσθαι τὰ μόρια καὶ ἐν τῷ παρὰ φύσιν γίνεσθαι, τοῦ δὲ οὔ. κἂν γοῦν κύκλῳ κινεῖται τὸ πῦρ καὶ τὸ εὐαγὲς τοῦ ἀέρος, ἀλλὰ τῇ ἀπλανεῖ συμπεριφέρονται ὥσπερ καὶ οἱ πλάνητες. καὶ ἔστι τὸ παρὰ φύσιν τοῦτο ὡς ἀπόφασις τοῦ κατὰ φύσιν, ἀλλ' οὐχ ὡς στέρησις, ἤτοι ὡς ὑπὲρ φύσιν, καθόσον ὑπὸ τοῦ κρείττονος κρατεῖται, πεφυκὸς μὲν τὴν τοῦ κρείττονος κινεῖσθαι κίνησιν, ὥσπερ καὶ ἡ ψυχὴ ἐνθουσιᾶν πέφυκεν, οὐ μέντοι ἰδίαν ταύτην κινουμένη τὴν τοῦ θεοῦ κίνησιν. ὅτι τὸ ὕδωρ ῥοπὴν ἔχει πρὸς τὸ ἐπιπολάζειν τῇ ἐπιφανείᾳ τῆς γῆς διὰ τὸ καταλαβεῖν καὶ ἐπινήξασθαι αὐτῇ. κἂν ἀφέλῃ τις τοῦ κέντρου τὴν γῆν, καὶ τὸ κέντρον οἶμαι παρελεύσεται τὸ ὕδωρ ζητοῦν γῆν. δηλοῖ δὲ τὸ γῆς μὲν ὑποκειμένης ἠρεμεῖν αὐτό, ὑποσπωμένης δὲ ῥεῖν ἐπὶ τὸ κοιλότερον. ὅτι καὶ ἐπ' εὐθείας ἐστὶν ἐν τῷ πυρὶ κίνησις, ἰδία αὐτοῦ καὶ οὐχ ὑπὲρ φύσιν, μανουμένων καὶ πυκνουμένων τινῶν μορίων αὐτοῦ καὶ ἀναβαινόντων καὶ καταβαινόντων. ὅτι τῇ ἀπλανεῖ τὸ ὑπέκκαυμα συναποκαθίσταται ὡς πεφυκός, ἀλλ' οὐχ ὡς βίᾳ ἑλκόμενον, ἀλλ' ὑπερφυῶς (p. 269 *a* 19). ὅτι τὰ πρῶτα ἁπλᾶ πάντως, διότι προηγεῖται φύσει τῶν συνθέτων, καὶ ὅτι ἡ κύκλῳ ἁπλῆ καὶ κυρίως συνεχὴς καὶ πεπερασμένη καὶ τέλος ἔχουσα ἀεὶ καὶ προσθήκην μὴ ἐπιδεχομένη, μένοντος τοῦ εἴδους, ἡ προσθήκη δηλαδή· αὕτη γὰρ κατὰ τὸ ἐλλεῖπον γίνεται (cf. Simpl. f. 9 *b* extr.). ὅτι πᾶσα γραμμὴ εὐθεῖα ἄπειρος ἢ πεπερασμένη διὰ τὸ πλῆρες τῆς διαιρέσεως· οὐ γὰρ ἔστιν ἐνεργείᾳ ἄπειρος πεπερασμένου τοῦ παντὸς ὄντος, ἀλλ' ὅτι τινὲς ᾠήθησαν εἶναι, κἂν μὴ ἔστι δέ, ἀλλὰ καὶ τὴν ὑπὸ τῆς φαντασίας ἀεὶ προσαυξανομένην περιέλαβεν ἡ διαίρεσις. ἡ μὲν οὖν ἄπειρος μὴ ἔχουσα τέλος ἢ ὅρον οὐκ ἂν εἴη τελεία· τέλειον γὰρ τὸ τετελεσμένον καὶ ὡρισμένον καὶ μηδὲν ἐλλεῖπον τῶν ἑαυτοῦ. ἡ δὲ πεπερασμένη ἔχει τι ἐκτός, ὥστε προσαύξεσθαι, τὸ δὲ αὐξανόμενον οὔπω πάντα τὰ ἑαυτοῦ ἀπειληφὸς ἀτελὲς ἂν εἴη. ὁ μέντοι κύκλος καὶ πεπερασμένος ἐστὶ καὶ τέλος ἔχων καὶ οὐδὲν ἐκτὸς ἔχει, οὐδὲ αὐξῆσαι δυνατὸς μένοντος τοῦ εἴδους. ὁ δὲ Ἀλέξανδρος τέλειον τὸν κύκλον λέγει ἐκ τοῦ ἀρχὴν

(*) καὶ αὖθις ἐν τῷ ἐπιπέδῳ τοῦ κύκλου τοὺς μὲν πρὸς τὸ κέντρον τοὺς δὲ πρὸς τὴν περιφέρειαν addit Simpl. ed.

λέγειν· ταῦτα δέ ἐστι τὰ σώματα τὰ ἁπλᾶ προσεχ καὶ συλλογίζεται λέγων οὕτως. ἡ περὶ φύσεως ἐπιστήμη ἤτοι ὁ φυσικὸς περὶ τὰ φύσει συνεστῶτά ἐστιν ἤτοι σχολάζει· τὰ δὲ φύσει συνεστῶτα ἢ σώματα ἐστίν, ὡς πῦρ καὶ ὕδωρ καὶ λίθοι καὶ ξύλα, ἢ ἔχοντα σώματα, ὡς τὰ φυτὰ καὶ τὰ ζῷα, ἢ ἀρχαὶ τῶν ἐχόντων σώματα εἰσίν, ὥσπερ ὕλη καὶ εἶδος καὶ ψυχὴ καὶ κίνησις καὶ τὰ τοιαῦτα· ἀρχὴ δὲ καὶ ἡ ψυχὴ τῶν ἐχόντων σώματα ἐστίν, ὥσπερ τῶν ζῴων καὶ τῶν φυτῶν. μετὰ οὖν τὸν περὶ τῶν ἀρχῶν τῶν φυσικῶν λόγον περὶ σωμάτων χρὴ καὶ τῶν ἐχόντων σώματα διδάσκειν. καὶ δηλονότι ἐν τούτοις πλείονα τὰ σώματά ἐστι καὶ πλείων ἡ περὶ αὐτὰ θεωρία· καὶ γὰρ τὰ ἔχοντα σώματα καὶ αἱ ἀρχαὶ τῶν ἐχόντων ἀπὸ τῶν σωμάτων μάλιστα τοῖς φυσικοῖς γινώσκονται· ὥστε ἡ περὶ φύσεως ἐπιστήμη σχεδὸν ἡ πλείστη περὶ σώματά ἐστι καὶ τὰ πάθη τῶν σωμάτων. χρὴ οὖν διδάσκειν καὶ περὶ παθῶν ἤτοι τῶν ποιοτήτων, καθ' ὅσον πάσχουσι τὰ σώματα, καὶ περὶ κινήσεως ἤτοι ἐνεργείας. διάφορα δέ εἰσιν εἴδη τῶν κινήσεων, τὸ μὲν κατὰ τόπον, τὸ δὲ κατὰ ἀλλοίωσιν, τὸ δὲ κατ' αὔξησιν καὶ μείωσιν καὶ γένεσιν καὶ φθοράν. εἰ δὲ κινήσεις, εἰσὶ καὶ τὰ πάθη, πλὴν ἐνταῦθα πρὸς ἀντιδιαίρεσιν τῶν παθῶν τὰς κινήσεις ἐπὶ τῶν ἐνεργειῶν ἐξείληφε. σχεδὸν οὖν ἐπὶ πολὺ ἡ φυσικὴ ἐπιστήμη περὶ σώματα κατάγεται. "σχεδὸν" δὲ εἶπεν, ἐπεὶ καὶ περὶ τῶν ἐχόντων σώματα διαλέγεται, ἔτι δὲ καὶ περὶ τῶν ἀρχῶν καὶ περὶ χρόνου καὶ τόπου καὶ κενοῦ καὶ ἀπείρου, ἅπερ οὐκ ἂν εἴη σώματα. εἴη δ' ἂν καὶ διὰ φιλοσοφίας εὐλάβειαν προσκείμενον τὸ "σχεδόν," καὶ διὰ τοῦτο καὶ τὸ "φαίνεται" προστέθηκε. "σώματα" δὲ "καὶ μεγέθη" εἶπεν ἢ ἐκ παραλλήλου, τὸ αὐτὸ δηλῶν εἶναι σῶμα καὶ μέγεθος κατὰ τὸν Ἀλέξανδρον, ἢ ὅτι ἄλλο τί ἐστι παρὰ τὸ σῶμα τὸ μέγεθος· πᾶν μὲν γὰρ σῶμα καὶ μέγεθος ἔχει, οὐ πᾶν δὲ μέγεθος ἤδη καὶ σῶμά ἐστιν· χρόνος μὲν γὰρ καὶ τόπος καθόλου συνεχῆ καὶ διαιρετὰ μέγεθος μὲν ἔχει, οὐ μέντοι σώματά ἐστιν, καὶ μῆκος μὲν καὶ πλάτος μέγεθος ἔχει, οὐ σώματα δ' ἐστίν. ὁ δὲ φυσικὸς οὐ μόνον περὶ σωμάτων διαλέγεται, ἀλλὰ καὶ περὶ χρόνου καὶ τόπου καὶ κινήσεως, ἔτι γε μὴν καὶ μήκους καὶ πλάτους, ἅπερ εἰσὶ σωμάτων πέρατα.

τί μὲν οὖν ὁ τοιοῦτος φυσικὸς περὶ σώματα ἔχει τὰ ἁπλᾶ· ταῦτα γάρ ἐστι καὶ φυσικὰ πρότερα καὶ ἔχοντα ἐν ἑαυτοῖς πρώτην ἀρχὴν κινήσεως φυσικῆς. βουλόμενος δὲ ὁ Ἀριστοτέλης ὁρίσασθαι τὸ σῶμα, πρῶτον ὁρίζει τὸ συνεχές, ὑφ' ὃ τὸ σῶμα καὶ τἄλλα μεγέθη, ὅτι συνεχές ἐστι πᾶν τὸ διαιρετὸν εἰς ἀεὶ διαιρετά, κἄντε ἐφ' ἓν ᾖ διαιρετὰ κἄντε ἐπὶ δύο κἄντε ἐπὶ τρία. καὶ γὰρ καὶ γραμμὴ καὶ ἐπιφάνεια συνεχῆ καὶ οὔπω σώματα· γραμμὴ μὲν γὰρ μῆκος ἀπλατὲς καὶ ἔχει μίαν διάστασιν, ἐπιφάνεια δέ, ἥτις ἔχει μόνον μῆκος καὶ πλάτος, σῶμα δέ, ὅπερ ἔχει μῆκος καὶ πλάτος καὶ βάθος, ὅθεν καὶ πάντῃ διαιρετὸν καὶ πάντῃ διαστατὸν καὶ πάντῃ συνεχὲς τὸ σῶμα. ὅτι δὲ τριχῇ διαστατὸν ὂν τὸ σῶμα πάντῃ διαστατόν ἐστι, δείκνυσιν ἐκ τοῦ μὴ εἶναι μέγεθος ἔχον διαστάσεις πλείονας τῶν τριῶν. πιστοῦται δὲ τοῦτο καὶ ἐκ τῆς τριαδικῆς ἰδιότητος· τὰ γὰρ τρία πάντα ἐστί τε καὶ λέγεται. ὅτι δὲ ὀρθῶς λέγομεν, ἔδειξαν καὶ οἱ Πυθαγόρειοι.

ΠΑΡΕΚΒΟΛΑΙ ΑΠΟ ΤΟΥ ΔΑΜΑΣΚΙΟΥ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΟΥ ΠΕΡΙ ΟΥΡΑΝΟΥ (*).

Ὅτι τοῖς φυσικοῖς φησὶ τὸ εἶναι φυσικοῖς ἐστὶν ἐν τῷ φύσιν 268 b 16 ἔχειν, ἡ δὲ φύσις ἀρχὴ κινήσεως. ἡ γοῦν ἀπὸ τῆς φυσικῆς κινήσεως ἀπόδειξις ἅμα μὲν ἐκ τῶν ἐναργεστέρων ἐστίν, ὡς ἐκ τῶν ἐνεργειῶν (προφανέστεραι γὰρ τῶν οὐσιῶν αἱ ἐνέργειαι), ἅμα δὲ ἐκ τῶν κυριωτέρων, ὡς ἐξ αἰτίων. πρὸς δὲ τὴν κατασκευὴν τὴν ἀπὸ τῶν κινήσεων προλαμβάνει ἔξω τινὰ τάδε, ὅτι δύο εἰσὶν αἱ ἁπλαῖ κινήσεις, ἥ τε κύκλῳ καὶ ἡ ἐπ' εὐθείας, καὶ ὅτι τοῦ ἁπλοῦ σώματος ἁπλῆ ἡ κίνησίς ἐστι καὶ τὸ ἁπλοῦν σῶμα ἁπλῆν κινεῖται κίνησιν καὶ ἡ ἁπλῆ κίνησις ἁπλοῦ σώματός ἐστι, καὶ ὅτι μία ἑνὸς ἡ κατὰ φύσιν κίνησις, καὶ ὅτι ἓν ἑνὶ ἐναντίον, καὶ ὅτι ὁ οὐρανὸς κύκλῳ κινεῖται, ὡς ἡ αἴσθησις ὑπαγορεύει. αὗταί εἰσιν αἱ ἓξ ὑποθέσεις τοῦ Ἀριστοτέλους. ὅτι ὁ Πλάτων εἰδοποιῶν τῶν πάντων σωμάτων νομίζει τὰ πέντε στοιχεῖα, καὶ τῷ δωδεκαέδρῳ ζωγραφεῖσθαι τὸν οὐρανὸν καὶ τῇ πυραμίδι τὸ πῦρ καὶ τῷ κύβῳ τὴν γῆν καὶ τῷ ὀκταέδρῳ καὶ εἰκοσαέδρῳ τὸν ἀέρα καὶ τὸ ὕδωρ. ὅτι Ἀριστοτέλης ὁρατὸν καὶ ἁπτὸν ὁμολογεῖ τὸν οὐρανόν, καὶ τῶν ὑπὸ σελήνην τῶν εὐθυφορουμένων καὶ ἀτελῶν ἐξηρημένον, καὶ ζῷον ἔμψυχον, καὶ ὅτι τὰ ζῷα ἐν τοῖς περὶ Ζῴων καὶ ἐν τῷ περὶ Ψυχῆς σύνθετα ἔχειν σώματα βούλεται. ὅτι πρώτη τῶν κινήσεων ἡ κατὰ τόπον καὶ κατὰ πάντα τὰ σημαινόμενα τοῦ τόπου, ὡς ἐν τῷ η' τῆς Φυσικῆς Ἀκροάσεως (c. 2 p. 268 b 26). ὅτι ἡ ἕλιξ σύνθετός ἐστιν, εἴπερ ἐκ δύο κινήσεων ἀνομοίων γεννᾶται, κυκλικῆς τε καὶ εὐθείας· εὐθείας γὰρ κύκλῳ περὶ τὴν ἐπιφάνειαν τοῦ κυλίνδρου περιαγομένης, καὶ σημείου τινὸς ἐπὶ τῆς εὐθείας ὁμαλῶς κινουμένου, γεννᾶται ἡ κυλινδρικὴ ἕλιξ. ὅτι ὁμοιομερὴς γραμμὴ οὐκ ἔστιν ἁπλῆ· ἡ μὲν γὰρ ἁπλῆ πάντως καὶ ὁμοιομερής, ἡ δὲ ὁμοιομερὴς οὐ πάντως ἁπλῆ, ἂν μὴ καὶ μονοειδὴς ᾖ. ὅτι αἱ τῶν ζῴων κινήσεις οὐκ εἰσὶν ἁπλαῖ κατὰ ἔκτασιν καὶ κάμψιν τῶν κώλων γινόμεναι, κατὰ τὸν Ἀλέξανδρον. μήποτε δέ, φησὶν ὁ Δαμάσκιος, ἡ δεξιὰ καὶ ἀριστερὰ καὶ ἔμπροσθεν καὶ ὄπισθεν οὐκ ἔστιν ἁπλῶν σωμάτων κατὰ φύσιν, ἀλλὰ ζῴων τῶν ἐχόντων ταῦτα· γῆ δὲ ἢ ὕδωρ ἤ τι τῶν ἄλλων οὐ κινεῖται τὴν τοιαύτην κίνησιν εἰ μὴ βίᾳ, ὠθούμενα ἢ ῥιπτούμενα ἢ ὑπὸ ἄλλων ἀντικοπτόμενα. ὅτι ἡ κατὰ ἔκτασιν καὶ κάμψιν τῶν κώλων οὐ μία ἐστὶ κίνησις σύνθετος, ὥσπερ ἡ τῶν διαϊσσόντων, ἀλλὰ πολλαί (cf. Simpl. f. 4). ὅτι ἔστι βία ἐπωφελής, ἥτις οὐ παρὰ φύσιν ἀλλ' ὑπὲρ φύσιν λέγοιτο ἄν, καὶ ἔστι σωστικὴ καὶ τελειωτική (cf. Simpl. f. 5 b extr.). ὅτι ἡ ῥοπὴ τοῦ πυρὸς ὅλου πρὸς τὸν οὐρανόν ἐστιν, ὥσπερ τῆς γῆς πρὸς τὸ κέντρον, τοῦ δὲ ὕδατος πρὸς τὴν ἐπιφάνειαν τῆς γῆς. ὅτι ἡ κίνησις οὐκ ἂν ἦν ἐν τοῖς στοιχείοις, εἰ μὴ ἦν τι ἐν αὐτοῖς καὶ ἀτελές· ἡ γὰρ κίνησις τοῦ δυνάμει ἐστὶν ἐντελέχεια. ἐλλείπειν δέ φησι τῷ ἄνω κινουμένῳ οὐχὶ τὸ πυρὶ εἶναι, ἀλλὰ τὸ ἐν τῷ κατὰ φύσιν εἶναι τόπῳ, ἐφ' ὃν φέρεται, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ δῆλον ἐκ τοῦ, ἐάν τις μετεωρίσῃ ἀποσπάσας γῆν τελείαν οὖσαν καὶ ἐν τῷ κατὰ φύσιν αὐτῆς τόπῳ, κἀκεῖθεν αὐτὴν ἀφῇ φέρεσθαι, εἰς τὸ κάτω πάλιν αὐτὴν φέρεσθαι· οὐ γὰρ ἀφαιρεθὲν τοῦ οἰκείου τόπου παύεται τοῦ

(*) Cod. Vat. Ottobon. 45.

θότητος, τῷ Πλάτωνι κἀνταῦθα συνακολουθῶν… ἐπεὶ δέ τινες οἴονται τὸν Ἀριστοτέλη τὸ πρώτως κινοῦν, ὅπερ καὶ νοῦν καὶ αἰῶνα καὶ θεὸν ἀνύμνησεν, τελικὸν μόνον ἀλλ᾽ οὐχὶ καὶ ποιητικὸν αἴτιον λέγειν τοῦ κόσμου, καὶ μάλιστα τοῦ οὐρανοῦ ὡς ἀϊδίου ὄντος καὶ διὰ τοῦτο ἀγενήτου, ἀκούοντες αὐτοῦ πολλάκις λέγοντος καὶ ὅτι κινεῖ ὡς ἐρώμενον, καὶ πολλάκις ὡς τελικὸν αἴτιον ἀνευφημοῦντος, καλῶς ἔχει κἂν τούτῳ δεῖξαι συμφώνως αὐτὸν τῷ σφετέρῳ καθηγεμόνι μὴ τελικὸν μόνον ἀλλὰ καὶ ποιητικὸν αἴτιον τὸν θεὸν λέγοντα τοῦ τε κόσμου παντὸς καὶ τοῦ οὐρανοῦ. id. f. 320 *b*.

ΕΙΣ ΤΑ ΠΕΡΙ ΟΥΡΑΝΟΥ.

ΔΑΜΑΣΚΙΟΥ ΠΡΟΛΕΓΟΜΕΝΑ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ ΟΥΡΑΝΟΥ (*).

Τῶν Ἀριστοτέλους φυσικῶν συγγραμμάτων τὰ μὲν περὶ τῶν φυσικῶν ἐστὶν ἀρχῶν τῶν κοινῇ πᾶσιν ὑπαρχόντων τοῖς φυσικοῖς πράγμασιν, οἷον ὕλης εἴδους κινήσεως τόπου χρόνου, καὶ περὶ αὐτῆς τῆς φύσεως καὶ τῶν παρυφισταμένων αὐτῇ ποιητικῶν αἰτίων, καὶ ἔτι τῶν δοκούντων μὲν ὑπάρχειν τοῖς φυσικοῖς μὴ ὑπαρχόντων δέ, ὡς περὶ κενοῦ καὶ ἀπείρου καὶ περὶ ὧν πάντων ἡ Φυσικὴ διέξεισιν Ἀκρόασις. ἐπεὶ δὲ αἱ ἀρχαὶ καὶ τὰ αἴτια τινῶν εἰσὶν ἀρχαὶ καὶ αἴτια, τούτων δὲ σωμάτων φυσικῶν, τῶν δὲ σωμάτων τὰ μὲν ἁπλᾶ τὰ δὲ σύνθετα, περὶ μὲν τῶν ἁπλῶν τὰ περὶ Οὐρανοῦ βιβλία διδάσκουσιν, ἤγουν τοῦ κυκλοφορικοῦ πρώτου στοιχείου, φημὶ δὴ τοῦ οὐρανοῦ, καὶ τῶν λοιπῶν ἁπλῶν τεττάρων στοιχείων, πυρὸς ἀέρος ὕδατος γῆς, περὶ δὲ τῶν συνθέτων ἡ περὶ τῶν ἐν Γενέσει καὶ Φθορᾷ διασαφηνίζει πραγματεία. τῶν δὲ γενητῶν καὶ φθαρτῶν τὰ μὲν ἐν τοῖς μετεώροις διὰ τῶν Μετεωρολογικῶν παραδίδωσι, τὰ δ᾽ ἄλλα, τουτέστι τὰ μὲν ἄψυχα διὰ τῶν περὶ Μετάλλων συγγραμμάτων γνωρίζεται, τῶν δὲ ἐμψύχων τὰ μὲν αἰσθητικὰ καὶ κατὰ τόπον κινούμενα ὡς τὰ ζῷα, καὶ δὴ καὶ περὶ ζῴων γέγραπται, κοινῶς μέν, ὡς τὰ περὶ γενέσεως αὐτῶν καὶ περὶ μορίων διαφορᾶς καὶ χρείας καὶ κινήσεως καὶ ἐνεργείας, ἐν οἷς τά τε περὶ Πορείας Ζῴων καὶ περὶ Μνήμης καὶ Ἐγρηγόρσεως, ἰδίως δέ, ὡς τὰ καθ᾽ ἕκαστον εἶδος τῶν ζῴων, περὶ ὧν ἡ περὶ Ζῴων Ἱστορία παραδίδωσι· τὰ δὲ ἀναίσθητα καὶ κατερριζωμένα, ὡς τὰ φυτά, καὶ μέντοι καὶ περὶ φυτῶν τῷ Ἀριστοτέλει γέγραπται. τοιαύτης οὖν οὔσης τῆς διαιρέσεως εἰκὸς μετὰ τοὺς περὶ τῶν φυσικῶν ἀρχῶν λόγους ἤτοι τὴν φύσιν αὐτήν, τὰ τῆς Φυσικῆς δηλαδὴ βιβλία Ἀκροάσεως, περὶ τῶν ἁπλῶν διαλαβεῖν σωμάτων, ἅπερ ἀπὸ τῶν φυσικῶν ἀρχῶν συνέστανται προσεχῶς καὶ μέρη τοῦ παντός ἐστιν, ὧν πρῶτον μὲν τὸ οὐράνιόν ἐστι σῶμα, ἀφ᾽ οὗ ὡς τιμιωτέρου τὴν πραγματείαν ἐπέγραψε, μετ᾽ ἐκεῖνο δὲ τὰ τέσσαρα στοιχεῖα. οὗτος μὲν οὖν ὁ σκοπὸς τῆς προκειμένης πραγματείας, πρῶτον μὲν εἰπεῖν περὶ τοῦ οὐρανίου σώματος, ὅπερ ἀΐδιόν φησι καὶ θεῖον σῶμα καὶ ἁπλοῦν καὶ κυκλοφορικόν, εἶθ᾽ ἑξῆς περὶ τῶν τεσσάρων ἁπλῶν στοιχείων. δεῖ δὲ εἰδέναι ὅτι τὸ πρῶτον σῶμα ἤτοι τὸ οὐράνιον στοιχεῖον καλεῖ ὁ Ἀριστοτέλης, ἐν οἷς φησὶ περὶ τοῦ τρίτου βιβλίου (p. 298 *b* 6) "περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων εἴρηται, καὶ ποῖόν τι τὴν φύσιν ἐστίν, ὅτι ἄφθαρτον καὶ ἀγένητον· λοιπὸν δὲ περὶ τοῖν δυοῖν εἰπεῖν," δύο λέγων τὰς δύο συζυγίας, τήν τε τοῦ κούφου, ἐν ᾧ ἐστὶ πῦρ καὶ ἀήρ, καὶ τοῦ βαρέος, ἐν ᾧ ὕδωρ καὶ γῆ. στοιχεῖον οὖν καλεῖ τὸ οὐράνιον σῶμα οὐκ ἐπειδὴ συντέθειταί τι ἐξ αὐτοῦ (στοιχεῖον γάρ ἐστιν ἐξ οὗ πρώτου συντέθειταί τι καὶ εἰς ὃ ἔσχατον ἀναλύεται), ἀλλὰ καθόσον

ἁπλοῦν ἐστὶ σῶμα. εἰ δὲ ὁ Ἀλέξανδρος περὶ κόσμου ἐπιγράφει ταύτην τὴν πραγματείαν, καινὸν οὐ

φησιν ὑπὸ τοῦ Ἀριστοτέλους τήν τε τῶν ἀπλανῶν σφαῖραν καὶ ὀλίγοι κυκλοφορικὸν σῶμα καὶ

ὥσπερ καὶ Πλάτων ὠνόμασεν, ὃ δὴ πᾶς οὐρανὸς λέγων, ἢ κόσμος καὶ τῶν κατ᾽ αὐτὸν περιεχόντων. διαιρεῖται δὲ ἡ πραγματεία εἴς τε τὰ τοῦ κυκλοφορικοῦ σώματος, ἅπερ ἐν τοῖς δύο βιβλίοις τοῖς πρώτοις παραδίδοται, καὶ εἰς τὰ περὶ τῶν ὑπὸ σελήνης στοιχείων, περὶ ὧν τὰ δύο γέγραπται τὰ λοιπά. ἐν δὲ τῷ πρώτῳ βιβλίῳ δείκνυσιν ἐκ τῶν ἁπλῶν κινήσεων ὅτι πέντε τὰ ἁπλᾶ σώματά ἐστι, τό τε κυκλοφορητικὸν καὶ τὰ εὐθυποροῦντα τέσσαρα, καὶ ὅτι τὸ κυκλοφορητικὸν οὔτε ἕν τι τῶν δύο ἐστὶν οὔτε ἐκ τῶν δυοῖν συγκείμενον, ἀλλὰ πέμπτη τις οὐσία τῶν δ᾽ ἐξῃρημένη καὶ ὑπερέχουσα. δείκνυσι δὲ καὶ ὅτι ἀκίνητός ἐστιν αὕτη καὶ ἄφθαρτος ἐκ τοῦ τὰς μὲν γενέσεις καὶ τὰς φθορὰς ἐξ ἐναντίων εἶναι καὶ εἰς ἐναντία λήγειν, τῷ δὲ κυκλοφορητῷ σώματι μηδὲν εἶναι ἐναντίον· τοῦτο δὲ ἐκ τοῦ τῶν μὲν ἐναντίων καὶ τὰς κινήσεις ἐναντίας εἶναι, τῇ δὲ κύκλῳ κινήσει μὴ εἶναι κίνησιν ἐναντίαν. εἶτα ἐφεξῆς ὅτι πεπερασμένος ἐστὶ τῷ μεγέθει ὁ οὐρανός, καὶ καθόλου ὅτι ἀδύνατον ἄπειρον εἶναι σῶμα καὶ ταῦτα κινούμενον, καὶ ὅτι εἷς καὶ οὔτε πλείους οὔτε ἄπειροι κατὰ τὸ πλῆθός εἰσιν οὐρανοί· οἷς ἕπεται τὸ καὶ τὸν ὅλον κόσμον ἀγένητόν τε καὶ ἄφθαρτον καὶ πεπερασμένον εἶναι τῷ μεγέθει καὶ ἕνα κατ᾽ ἀριθμόν, ἐξ ἅπαντος τοῦ φυσικοῦ τε καὶ

σώματος συνεστηκότα, μηδενὸς ἔξω ὄντος οὐρανοῦ, μήτε σώματος ὑπολειπομένου μήτε κενοῦ. μετὰ δὲ ταῦτα τὸν περὶ ἀγενήτου καὶ ἀφθάρτου λόγον ἀναλαβὼν δείκνυσιν ὅτι ἀγένητος καὶ ἄφθαρτός ἐστιν ὁ οὐρανός, καὶ δι᾽ αὐτὸν ὁ κόσμος, καὶ οὔτε γενητὸς μέν, οὐκ ἄφθαρτος δέ, ὥς τινες οἴονται, οὔτε ἀγένητος καὶ φθαρτός. καὶ πάλιν ἐπὶ τὸ καθολικώτερον ἀνάγων τὸν λόγον δείκνυσιν ὅτι ἀντακολουθοῦσιν ἀλλήλοις τό τε γενητὸν καὶ τὸ φθαρτόν, καὶ αὖ πάλιν τὸ ἀγένητον καὶ ἄφθαρτον. — τὸ προοίμιον τοῦ περὶ οὐρανοῦ τὸν σκοπὸν τῆς πραγματείας δείκνυσιν, ὅτι περὶ τῶν ἀπὸ τῶν ἀρχῶν μέλλει εἰπεῖν, καὶ τὴν τάξιν αὐτῆς, ὅτι προσεχής ἐστι τῇ Φυσικῇ Ἀκροάσει· ἐπειδὴ γὰρ ἐκείνη περὶ τῶν φυσικῶν ἀρχῶν ἦν, ἔδει μετ᾽ ἐκείνην περὶ τῶν ἀπὸ τῶν ἀρχῶν

(*) Cod. Vatic. 499 bombyc.

κινουμένῳ ὑπ' αὐτοῦ... τὸ δὲ "ἡ μόνη ἢ μάλιστα" δύναται μὲν καὶ κατὰ φιλόσοφον εὐλάβειαν εἰρῆσθαι, λέγοι δὲ ἄν τις ὅτι περὶ τοῦ κινοῦντος μόνου τέως ἐστὶ τὰ εἰρημένα, πλείονα μὲν λόγον εἰς τὴν ὁμαλότητα εἰσάγοντος, δεομένου δὲ καὶ τῆς τοῦ κινουμένου ταὐτότητος πρὸς τὸ μόνη κυρίως ὁμαλὴς εἶναι. id. f. 319.

267 b 6. εἰπὼν ὁποῖόν ἐστι τὸ πρώτως κινοῦν καὶ τὸ κινούμενον τὴν ἀΐδιον κίνησιν, καὶ ὅπως ἔχοντα πρὸς ἄλληλα, ἐπειδὴ ζητεῖν ἔθος ἦν, ὡς ἔοικεν, ποῦ τὸ κινοῦν τὸν οὐρανόν ἐστι, καὶ εἴγε Πυθαγόρειοι ἐν τῷ μέσῳ λέγειν ἐδόκουν αὐτό, καὶ τοῦτο προσθεῖναι τοῖς περὶ τοῦ κινοῦντος λόγοις ἐδοκίμασεν, καὶ λέγει ὅτι ἀνάγκη αὐτὸ ἐν τῇ ἀρχῇ εἶναι τοῦ κινουμένου, ὅπερ κυριώτατόν ἐστιν. δύο δὲ ἀρχαί εἰσιν ἐν τῇ σφαίρᾳ, τό τε μέσον καὶ τὸ πέριξ· ἀνάγκη οὖν φησὶν ἐν τούτων τινὶ εἶναι τὸ κινοῦν. ἀλλ' ἐπειδὴ τὸ ἐγγύτατα τοῦ κινοῦντος τάχιστα μᾶλλον κινεῖται, ταχεῖα δὲ ἡ τοῦ κύκλου κίνησις, τουτέστι τῆς περιφερείας, ἐκεῖ τὸ κινοῦν εἴη ἄν· τὸ γὰρ μέσον ἀκίνητον ὂν οὐ δοκεῖ πρὸς τὸ κινοῦν οἰκείως ἔχειν. ὁ δὲ Εὔδημος ἐν τῷ μεγίστῳ κύκλῳ φησὶν εἶναι τῷ διὰ τῶν πόλων· οὗτος γὰρ τάχιστα κινεῖται, τὸ δὲ κινοῦν δοκεῖ ἄρχεσθαι, ὅθεν τάχιστα ἂν κινῆσαι καὶ ῥᾷστα. ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος καὶ πρὸς τὴν ἔξω περιφέρειαν καὶ πρὸς τὸν μέγιστον κύκλον, εἰ ἐν τούτῳ τινί ἐστι τὸ κινοῦν αἴτιον, πῶς οὐ κινήσεται κατὰ συμβεβηκός. καὶ εἰπὼν ἐκτὸς εἰ μὴ ταύτης κατὰ τοὺς πόλους ἐστίν, ἐπαπορεῖ ὅτι καὶ δύο οὗτοι καὶ ἀκίνητοι, Ἀριστοτέλης δὲ καὶ Εὔδημός φασι τὸ ἐγγυτέρω τοῦ κινοῦντος τάχιστα κινεῖσθαι. λύων δὲ τὴν ἀπορίαν λέγει ὅτι εἰ μὲν ἐν μορίῳ τινὶ εἴη τῆς περιφερείας τῆς ἐξωτάτω, κινοῖτο ἂν κατὰ συμβεβηκός, τῷ κατὰ μόρια τὴν κίνησιν εἶναι τῆς σφαίρας· εἰ δὲ ἐν πάσῃ τῇ περιφερείᾳ, ἔσται τε ἐν τῷ τάχιστα φερομένῳ, καὶ οὐκέτι ἂν κινοῖτο κατὰ συμβεβηκός, τῷ πᾶσαν τὴν περιφέρειαν μὴ κινεῖσθαι μηδὲ ἀλλάσσειν τὸν τόπον, ἀλλ' ἐν τῷ αὐτῷ μένειν ἀεί... ταῦτα ὁ Ἀλέξανδρος ἔγραψεν ὡς τελικὸν μόνως αἴτιον τὸ πρώτως κινοῦν τὸν Ἀριστοτέλη λέγειν ἀποδεχόμενος. εἰ δέ, ὡς πολλοὶ λόγοι δεικνύουσι, καὶ ποιητικὸν αὐτὸν νομίζει, τὴν μὲν ψυχὴν καὶ αὐτὸς οἴεται ὥσπερ ὁ Πλάτων τοῦ μεταβατικοῦ τῆς κινήσεως αἰτίαν εἶναι, τὸν δὲ ἀκίνητον νοῦν τοῦ περὶ τὰ αὐτὰ καὶ κατὰ τὰ αὐτὰ καὶ ἐν τῷ αὐτῷ ἀεὶ κινεῖσθαι καθ' ἕνα λόγον καὶ μίαν τάξιν. εἰ οὖν ἀμερὲς τὸ κινοῦν καὶ χωριστὸν πάντῃ σωμάτων, αὐτὸ καθ' αὑτὸ τέλειον ἐξῃρημένον τοῦ παντὸς σωματικοῦ κόσμου, καλῶς ἔχει λέγειν καὶ πανταχοῦ αὐτὸ καὶ οὐδαμοῦ εἶναι. εἰ δὲ οἱ μὲν Πυθαγόρειοι ἐν τῷ κέντρῳ λέγουσιν ἱδρῦσθαι, ὁ δὲ Ἀριστοτέλης ἐν τῇ ἀπλανεῖ σφαίρᾳ φησὶν εἶναι, ἐκεῖνοι μὲν τὸ κέντρον ἐπιτηδειότερον τῶν ἄλλων τοῦ παντὸς μερῶν νομίζουσι πρὸς μέθεξιν τῆς τοῦ δημιουργοῦ συνοχικῆς καὶ ἑδρασικῆς ἀγαθότητος, ὁ δὲ Ἀριστοτέλης πρώτως ἀπολαύειν τῆς δημιουργικῆς νομίζει κινήσεως. καὶ διὰ τοῦτο οἱ μὲν Πυθαγόρειοι ἑστίας τόπον καὶ Ζανὸς πύργον ἐκάλουν τὸ κέντρον, ὁ δὲ Ἀριστοτέλης μέτρον τῶν ἄλλων κινήσεων τὴν τῆς ἀπλανοῦς ἔλεγεν ὡς πρώτην καὶ συνῃρημένην καὶ τὸ τοῦ κινοῦντος ἀμερὲς διὰ τῆς ταχυτῆτος ἐνεικονιζομένην. οὐ χρὴ οὖν δεδοικέναι μὴ κατὰ συμβεβηκὸς κινήσωμεν τὸ πρώτως κινοῦν, ἐν τῷ ἀπλανεῖ λέγοντες αὐτὸ οὐρανῷ· οὐ γάρ ἐστιν ἐν τῷ οὐρανῷ κυρίως ἐκεῖνο, ἀλλ' ὁ οὐρανὸς ἐν αὐτῷ... καὶ ἀσφαλῶς ὁ Εὔδημος τὸ πρόβλημα ἐκτιθέμενος, εἰ ἀμερές φησίν ἐστι τὸ πρώτως κινοῦν καὶ μὴ ἅπτεται τοῦ κινουμένου, πῶς ἔχει πρὸς αὐτό; τὸ οὖν ἀμερὲς καὶ μὴ ἁπτόμενον τοῦ κινουμένου, ἀλλ' ἄσχετον πρὸς αὐτὸ καὶ ἐξῃρημένον, πῶς δύναται συγκινεῖσθαι τῷ κινουμένῳ, ὥστε κατὰ συμβεβηκὸς κινεῖσθαι; τὸν δὲ Εὔδημον ὁ Ἀλέξανδρος τὸ πρώτως κινοῦν ἐν τῷ μεγίστῳ κύκλῳ φησὶ λέγειν τῷ διὰ τῶν πόλων· οὗτος γὰρ τάχιστα κινεῖται. ἐγὼ δὲ οὕτως εὗρον τὴν γραφὴν ἐν τῷ Εὐδημείῳ "τῆς δὲ σφαίρας ὁ μὲν τόπος ὁ περὶ τοὺς πόλους τάχιστα κινεῖται." καὶ τούτῳ δὲ ἐφιστάνειν ἄξιον, ὅτι ὁ μὲν Ἀλέξανδρος ἐν τῇ τῆς σφαίρας περιφερείᾳ τὸ πρώτως κινοῦν νομίζει λέγειν τὸν Ἀριστοτέλη, μήποτε δὲ ἐν τῷ κύκλῳ λέγων, ἐν τῷ ὅλῳ οὐρανῷ λέγει. id. ib.

267 b 17. εἰπὼν "καὶ πρὸς τὸ κινούμενον ὁμοίως" προστέθηκε "καὶ συνεχῶς," δηλῶν ὅτι καὶ συνεχής ἐστιν ἡ ὁμοία τοῦ ἀκινήτου πρὸς τὸ κινούμενον σχέσις, καὶ οὐ διακοπτομένη οὐδὲ ἐπιλείπουσα, ὥστε καὶ ἀΐδιον εἶναι τὴν κίνησιν ἣν προσεχῶς κινεῖ τὸ ἀκίνητον. ἀπορεῖ δὲ καλῶς ὁ Ἀλέξανδρος, πῶς οὐκ ἐρεῖ τις καὶ τὰς τῶν πλανωμένων σφαίρας τὴν κίνησιν ἣν κινοῦνται τῇ ἀπλανεῖ συμφερόμεναι, συνεχῆ τε καὶ ἀΐδιον καὶ ὁμαλῆ κινεῖσθαι, καίτοι ὑπὸ κινουμένης τῆς ἀπλανοῦς ταύτην τὴν κίνησιν κινουμένας... ὁ δὲ Εὔδημος τοῦτο μὲν οὐκ ἀπορεῖ ὅπερ ὁ Ἀριστοτέλης, εἰ ἐνδέχεταί τι κινούμενον κινεῖν συνεχῶς, ἀπορεῖ δὲ ἀντὶ τούτου εἰ ἐνδέχεται τὸ ἀκίνητον κινεῖν... καὶ λύει τὴν ἀπορίαν λέγων ὅτι τὰ μὲν κινούμενα κινεῖ τὰ δὲ ἠρεμοῦντα. id. f. 319 *b*.

267 b 17. προστίθησι καὶ τοῦ τρίτου τὴν ἀνάληψιν τοῦ δειχθέντος περὶ τοῦ πρώτως κινοῦντος· τοῦτο δὲ ἦν τὸ ἀμέγεθες αὐτὸ καὶ ἀμερὲς εἶναι. τρία γὰρ ἦν τὰ περὶ αὐτοῦ δειχθέντα, ὅτι ἕν, ὅτι ἀκίνητον, ὅτι ἀμερές... εἰ οὖν ἄπειρον μὲν οὐκ ἐνδέχεται μέγεθος εἶναι, ὡς δέδεικται ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας (εἴωθεν δὲ τὰ πρῶτα πέντε βιβλία Φυσικὰ καλεῖν ἐξαιρέτως καὶ περὶ φυσικῶν ἀρχῶν, ὥσπερ τὰ τελευταῖα τρία περὶ Κινήσεως), ἀλλὰ μὴν ὅτι οὐδὲ πεπερασμένον αὐτὸ σῶμα δυνατὸν εἶναι ἔδειξεν, εἴπερ ἀνάγκη τὸ πεπερασμένον σῶμα ἢ ἄπειρον ἔχειν δύναμιν ἢ πεπερασμένην... ἐπέστησε δὲ καλῶς ὁ Ἀλέξανδρος ἐνταῦθα, ὥσπερ ἐχρῆν ἀποδεικνυμένου τοῦ προβλήματος ἐπιστῆσαι, ὅτι ἐπὶ τοῦ κινουμένου ἐπ' ἄπειρον οὐ λεκτέον δύναμιν ἀλλ' ἢ ὁμωνύμως... καὶ ἔδει τὸν γραμματικὸν τούτοις γοῦν ἐπιστῆσαι τοῦ Ἀλεξάνδρου τοῖς λόγοις, καὶ μὴ νομίζειν ὅτι καὶ ὁ Ἀριστοτέλης καὶ ὁ Ἀλέξανδρος οἴονται τὸ μὴ κυρίως ἀπειροδύναμον ἐπ' ἄπειρον κινεῖσθαι... καὶ τοῦτο δὲ πάλιν ἐνταῦθα ζητήσας ὁ Ἀλέξανδρος, πῶς ἡ τῶν ἀπλανῶν σφαῖρα οὐχ ἕξει τοῦ κινεῖν ἄπειρον δύναμιν πεπερασμένη οὖσα, εἴγε ἀεὶ κινεῖ τὰς τῶν πλανωμένων, λύει τὴν ζήτησιν, τὰ αὐτὰ λέγων ἅπερ καὶ πρὸ ὀλίγου, ὅτι καὶ τὸ πλανώμενον τρόπον τινὰ ὑπ' ἐκείνου τοῦ ἀκινήτου κινεῖται τῇ ἀπλανεῖ συγκινούμενον... κἀνταῦθα δὲ ἐχρῆν ἐπιστῆσαι τὸν γραμματικὸν ὅτι οὐκ ἐζήτησεν ὁ Ἀλέξανδρος πῶς πεπερασμένον τὸ ἀπλανὲς ἀΐδιόν ἐστιν, ἀλλὰ πῶς πεπερασμένον ὂν ἄπειρον ἔχει δύναμιν τοῦ κινεῖν... οὕτως ὁ δαιμόνιος ὄντως Ἀριστοτέλης τὴν περὶ τῶν φυσικῶν ἀρχῶν διδασκαλίαν εἰς τὴν ὑπερφυᾶ θεολογίαν ἀπεκορύφωσε, καὶ τὴν ὅλην φυσικὴν καὶ σωματικὴν σύστασιν ἐξῃρτημένην ἔδειξε τῆς ὑπὲρ φύσιν ἀσωμάτου καὶ ἀσχέτου νοερᾶς ἀγα-

κινοῦντα κινούμενα κινεῖ. εἰ δὲ κινούμενος κινεῖ, παύεται δὲ τοῦ κινεῖσθαι, ἅμα τῷ παύσασθαι κινοῦντα τὸν ῥιπτοῦντα... μή ποτε, φησί, διὰ τοῦ λέγειν τὸν ἀέρα δύναμίν τινα τοῦ κινεῖν παρὰ τοῦ τὴν ἀρχὴν κινήσαντος λαμβάνειν, ἐκεῖνο λέγει, ὅτι οἰκείαν δύναμιν ἴσχει παρὰ τοῦ κινήσαντος αὐτὴν λαβόν. id. ib.

266 b 32. οὗτος δὲ ὁ λόγος μετατίθησι τὴν ἀπορίαν, οὐ λύει. πάλιν γὰρ ὁ ἀὴρ πῶς κινεῖται, τοῦ κινοῦντος οὐχ ἁπτομένου; οὔτε ὑπ' αὐτοῦ (οὐδὲ γὰρ ζῷον), οὔθ' ὑπὸ τοῦ ῥίψαντος· πέπαυται γάρ. ὑπὸ τίνος οὖν, εἴπερ πᾶν ὑπό τινος κινεῖται τὸ κινούμενον; ἐπεὶ καὶ ἡ λίθος οὐ τὸ πλησίον ἕλκει σιδήριον, ἀλλὰ καὶ τὸ ἐφεξῆς, οὗ μὴ ἅπτεται. ἀλλ' ὅταν ἀπέλθῃ, πέπαυται καὶ τὸ ἐγγὺς ἅμα καὶ τὸ ἐχόμενον. αἴτιον δέ, ὅτι τὸ σιδήριον ἐκεῖνο τὸ πρὸς τῇ λίθῳ οὐκ οἰκείαν ἔσχεν δύναμιν τὸ ἐπισπᾶσθαι, ἀλλ' ἐλάμβανε παρὰ τῆς λίθου, ἧς εἴπερ ἀφαιρεθείη, εὐθὺς συναφαιρεῖται καὶ τὴν δύναμιν. ἔδει τοίνυν καὶ τὸν ἀέρα ταὐτὸν ὑπομένειν καὶ παύεσθαι ἀπελθόντος τοῦ ῥίψαντος ἢ βάλλοντος. οὕτως δὲ εὐθὺς ἔδει καταφέρεσθαι καὶ τὸ ῥιπτόμενον. ἢ οὐ μόνον κινεῖται ὁ πλησίον ἀήρ, ἀλλὰ καὶ δύναμιν τοῦ κινεῖν λαμβάνει, καὶ ταύτην ἢ οὐχ οἵαν τὸ παρὰ τῆς λίθου σιδήριον, ἀλλ' ὥστε οἰκείαν ποιῆσαι καὶ αὐτοῦ, ὥσπερ οἶμαι καὶ ὑπὸ τοῦ πυρὸς τὸ πύρινον οὐ θερμαίνεται μόνον ἀλλὰ καὶ δύναμιν οἰκείαν τοῦ θερμαίνειν λαμβάνει, καὶ ταύτην ἀεὶ δίδωσιν ἐφεξῆς, καὶ τοῦτο πρόεισι μέχρι τινός, εἶτα κατ' ὀλίγον παύεται, μειουμένης ἐν τῇ διαδοχῇ τῆς δυνάμεως τῆς ἀπὸ τοῦ πυρὸς ἐνδοθείσης. οὕτω δὲ καὶ τὸν ἀέρα εἴποι τις ἂν καὶ τὸ ὕδωρ ἐπαμφοτερίζοντα ταῖς δυνάμεσιν, καὶ μετέχοντα καὶ βαρύτητος καὶ κουφότητος, ἐφ' ὅπερ ἂν τοῦ φέρεσθαι τὴν ἀρχὴν παρὰ τοῦ ῥίψαντος καὶ τὸ ἐνδόσιμον λάβῃ, ἐπὶ τοῦτο λοιπὸν φέρεσθαι ἐξ αὑτῶν, καὶ οἷον αὐτοκίνητα γίνεσθαι χρόνον τινά, κινούμενά τε ἅμα καὶ κινοῦντα, κινούμενα δὲ οὐκ ἔθ' ὑπὸ τοῦ βάλλοντος ἀλλ' ὑπὸ τῆς οἰκείας δυνάμεως, ἧς τὸ ἐνδόσιμον παρὰ τοῦ ῥίψαντος ἔσχεν. Themist. f. 63.

267 a 16. ἀντιπερίστασίς ἐστιν, ὅταν ἐξωθουμένου τινὸς σώματος ὑπὸ σώματος ἀνταλλαγὴ γένηται τῶν τόπων, καὶ τὸ μὲν ἐξωθῆσαν ἐν τῷ τοῦ ἐξωθηθέντος στῇ τόπῳ, τὸ δὲ ἐξωθηθὲν τὸ προσεχὲς ἐξωθῇ, καὶ ἐκεῖνο τὸ ἐχόμενον, ὅταν πλείονα ᾖ, ἕως ἂν τὸ ἔσχατον ἐν τῷ τόπῳ γένηται τοῦ πρώτου ἐξωθήσαντος. κἂν γίνηται δέ, φησίν, ἀντιπερίστασις ἐπὶ τοῦ ῥιπτουμένου, ἀλλ' οὐκ ἔστιν αὕτη τῆς τοῦ ῥιπτουμένου κινήσεως αἰτία. ἡ γὰρ ἀντιπερίστασις ἅμα πάντα κινεῖσθαι ποιεῖ καὶ κινεῖν, τουτέστιν ἐξωθεῖσθαι καὶ ἐξωθεῖν· εἰ δὲ ἅμα πάντα κινεῖται, ἅμα καὶ παύεται. οὔτε γὰρ τὸ πρῶτον ἐξωθοῦν καταλαμβάνει τὸν τοῦ πρώτου ἐξωθουμένου τόπον, εἰ μὴ ἐκεῖνο τὸν τοῦ ἐφεξῆς, καὶ ἐκεῖνο τὸν τοῦ ἐχομένου, καὶ τὸ τελευταῖον τὸν τοῦ πρώτου μεταβάντος καταλάβοι τόπον, καὶ τῆς κινήσεως ἅμα πάντων γινομένης, καὶ τῆς ἐν τοῖς ἀλλήλων τόποις ἱδρύσεως. τὸ δὲ τοὺς ἀλλήλων καταλαμβάνειν τόπους, ὅπερ ἐστὶν ἡ ἀντιπερίστασις, οὐδὲν πρὸς τὴν κίνησιν συντελεῖ τοῦ ῥιπτουμένου, εἰ μή τις ὑπόθοιτο, ὅπερ αὐτὸς εἶπεν, τὰ κινοῦντα καὶ κινεῖν οἷά τε ποιεῖν τὰ κινούμενα· οὕτω γὰρ τὸ καταλαβὸν τὸν τοῦ ῥιπτουμένου τόπον κινήσει καὶ αὐτὸ τὸ ῥιπτούμενον, καὶ κινεῖν τὰ ἐφεξῆς ποιήσει. ὥστε ἀδύνατον ἄλλως τὰ ἀπορηθέντα περὶ τοῦ ῥιπτουμένου λύειν, εἰ μὴ τὸ κινούμενον καὶ κινητικὴν δύναμιν λαμβάνειν παρὰ τοῦ κινοῦντος ὑποθώμεθα... ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος τοῦ Πλάτωνος δόξαν εἶναί φησι τὸ κατὰ ἀντιπερίστασιν γίνεσθαι τὴν τῶν ῥιπτουμένων κίνησιν, ἰστέον ὅτι γίνεσθαι μὲν καὶ αὐτὸς ἀντιπερίστασιν ἐπὶ τῶν κινουμένων οἴεται, καὶ τοὺς ἀλλήλων τόπους ἀντιμεταλαμβάνειν τὰ σώματα βούλεται, διὰ τὸ μηδὲν ἐν τῷ παντὶ κενὸν ἀπολείπεσθαι, οὐ μέντοι οὐδὲ αὐτὸς τὴν ἀντιπερίστασιν αἰτίαν κινήσεως νομίζει, ἀλλὰ τὴν ἀνωμαλίαν καὶ ἀνισότητα. ἔδει δὲ τὸν Ἀλέξανδρον, ὅτε ὁ Ἀριστοτέλης ἔλεγε πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τοσαύτας ἀποδείξεις ἐπόριζε τῷ λόγῳ καὶ ἐνστάσεις πρὸς αὐτὸν καὶ λύσεις τῶν ἐνστάσεων προεβάλλετο, τότε λέγειν ὅτι Πλάτωνος οὗτος ὁ λόγος ἦν, ὁ τὸ κινούμενον πάντως ὑπὸ κινοῦντος λέγων κινεῖσθαι. οὐδὲν δὲ χεῖρον ἴσως ὀλίγα παραγράψαι τοῦ Πλάτωνος αὐτό τε τοῦτο δηλοῦντα, καὶ τί τῆς κινήσεως αἴτιον οἴεται, καὶ πῶς γίνεσθαι τὰς ἀντιμεταστάσεις νομίζει. λέγει γὰρ ἐν Τιμαίῳ (p. 57 e). Simpl. f. 318.

οὕτως γὰρ ἄμεινον λέγειν ἢ τὴν ἀντιπερίστασιν αἰτιᾶσθαι, ἣ γίνεται μὲν ἐξ ἀνάγκης παρὰ τῶν ῥιπτομένων (ἀντιμεθίσταται γὰρ ὁ ἀήρ), οὐ μὴν διὰ ταῦτα ἡ κίνησις. καὶ γὰρ βαδιζόντων ἀντιπερίστασις, ἀλλ' οὐ διὰ τοῦτο βαδίζομεν. ἁπλῆ τέ ἐστι μετάστασις καὶ μεταχώρησις τῶν τόπων, δραστικὸν δὲ οὐδὲν οὔτε κινητικὸν ἡ ἀντιπερίστασις ἔχει· οὔτε γὰρ στενοχωρεῖται ἀντιμεθιστάμενος ἀήρ, ὥστε βιάζεσθαι καὶ προσωθεῖν· οὐδὲ γὰρ γίνεται πλείων ἔτι κατὰ τὴν ἀντιπερίστασιν· ἅμα τε γὰρ τὸ ῥιφθὲν ἀπωθεῖται ὑπὸ τοῦ ῥίψαντος εἰς τὸ πρόσθεν, καὶ ἀντιπεριίσταται ὁ ἀὴρ εἰς τὸ ὄπισθεν. τί οὖν αἴτιον τῆς μετὰ ταῦτα προόδου; φανερὸν δὲ ὅτι μηδὲ συνεχὴς ἡ τοιαύτη κίνησις· οὐδὲ γὰρ ἓν τὸ κινοῦν, ἀλλ' ἐχόμενα ἀλλήλων. ἀλλ' οὐδ' ὁμαλής· οὐ γὰρ ὁμοίως φέρεται ἐγγύς τε καὶ πόρρω τῆς ἀρχῆς. εἰ τοίνυν ὥσπερ ἐπὶ τῶν ῥιπτουμένων τὴν κίνησίν τις λέγῃ γίνεσθαι, εἴτε ὡς ἐπὶ τῶν ὠθούντων τε καὶ ἑλκόντων, οὐ συνεχὴς οὐδ' ὁμαλὴς οὕτω γινομένη κίνησις, ἐπὶ μὲν τῶν ῥιπτουμένων, ὅτι ἄλλο καὶ ἄλλο τὸ κινοῦν, ἐπὶ δὲ τῶν ὠθούντων τε καὶ ἑλκόντων, ὅτι εἰ καὶ ἓν τὸ κινοῦν, ἀλλὰ καθ' ἑκάστην ὦσιν ἢ ἕλξιν ἀρχή τις γίνεται, ἀναπαυομένου τοῦ ἕλκοντος καὶ ὠθοῦντος· οὐ γὰρ ἄτοπον τὸ οὕτως κινοῦν. δῆλον οὖν ὅτι ἀμερὲς τὸ πρῶτον κινοῦν, εἴπερ μὴ τῷ κινεῖσθαι κινεῖ μηδὲ συμμεταβάλλει, ἀλλ' ἀεὶ δύναται κινεῖν· ἄπονον γὰρ τὸ οὕτως κινεῖν. καὶ ὁμαλὴς αὕτη κίνησις μόνη· οὐ γὰρ ἔχει μεταβολὴν τὸ κινοῦν οὐδεμίαν· δεῖ δὲ οὔτε τὸ κινούμενον πρὸς ἐκείνην ἔχειν μεταβολήν, ἵνα ὁμοία ἡ κίνησις ᾖ. ἀνάγκη δὲ ἢ ἐν μέσῳ ἢ ἐν κύκλῳ εἶναι· τοιαῦται γὰρ αἱ ἀρχαί. ἀλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος. τοιαύτη δὲ ἡ τοῦ ὅλου κίνησις· ἐκεῖ ἄρα τὸ κινοῦν. Themist. f. 63 b.

εἰς πέρας ἐλθὼν τῶν προβληθέντων ἀναλαμβάνει λοιπὸν τὰ 267 a 21.
εἰρημένα, καὶ τῶν ἀποδείξεων συντόμως ὑπομιμνήσκων. Simpl. f. 318 b.

δέδεικται δὲ ὅτι τῶν μὲν κινουμένων καὶ κινούντων πρῶτόν ἐστι τὸ 267 b 2.
αὐτοκίνητον, ἐν τούτῳ δὲ τὸ κινοῦν καθ' αὑτὸ μὲν ἀκίνητόν ἐστι, κατὰ συμβεβηκὸς δὲ κινεῖται· τὸ δὲ κυρίως κινοῦν κατὰ συμβεβηκὸς ἀνάγκη συμμεταβάλλειν τῷ κινουμένῳ. καὶ διὰ τοῦτο προσέθηκε τὸ "τοῦτο δὲ οὐκ ἀνάγκη συμμεταβάλλειν," διορίζων αὐτὸ τοῦ ἐν τῷ αὐτοκινήτῳ κινοῦντος, ὃ ἀνάγκη κατὰ συμβεβηκὸς συμμεταβάλλειν τῷ

πλείω." κἂν γὰρ ἐν ἐλάττονι μεγέθει πλείων ᾖ δύναμις, ἀλλ' ἐν τῷ μείζονι τοῦ ἐλάττονος κατὰ τὸ αὐτὸ εἶδος ἔτι πλείων ἔσται ἡ δύναμις. ἐὰν οὖν τὸ μέγεθος εἰς ἄπειρον ἐκταθῇ, καὶ ἡ δύναμις εἰς ἄπειρον ἐκταθήσεται, εἴτε ἔλαττον ἦν τὸ ἐξ ἀρχῆς μέγεθος τῆς κατὰ τὴν δύναμιν ἀναλογίας εἴτε μεῖζον· ἡ γὰρ ἐπ' ἄπειρον τοῦ μεγέθους πρόοδος καὶ τὴν δύναμιν μέχρι τοῦ ἀπείρου συνεφέλκεται· οὐ γὰρ αὔξεται μέγεθος ἄνευ δυνάμεως. οὕτως οὖν διὰ τοῦ λῦσαι τὴν ἔνστασιν ἀποδείξας ὅτι οὐδὲ τὸ ἄπειρον μέγεθος πεπερασμένην ἕξει δύναμιν, τὸ αὐτὸ καὶ δι' ἐκθέσεως ἀποδείκνυσιν, ὡς εἴωθεν, καταγεωμετρεῖν καὶ αὐτὸς ὀρεγόμενος τὴν φύσιν. id. f. 315 *b.*

266 b 13. δείξας δὲ ἀπὸ τῆς ἐπ' ἄπειρον αὐξήσεως τοῦ ἀφαιρουμένου μεγέθους ἀπὸ τοῦ ἀπείρου ὅτι ἄπειρός ἐστιν ἡ τοῦ ἀπείρου μεγέθους δύναμις ὡς πάσης τῆς πεπερασμένης δυνάμεως ὑπερβάλλουσα, τὸ αὐτὸ δείκνυσι καὶ ἀπὸ τῆς τοῦ χρόνου ἐπ' ἄπειρον μειώσεως, ἣν καὶ διὰ τοῦτο παρέλαβεν εἰπὼν "τοῦ χρόνου δὲ τοῦ δοθέντος ἀεὶ ἐλάττω λήψομαι." id. f. 316.

266 b 20. ἄλλην τοῦ αὐτοῦ ἀπόδειξιν, τοῦ μὴ εἶναι ἐν ἀπείρῳ μεγέθει δύναμιν πεπερασμένην, παραδίδωσι, τὰ μὲν αὐτὸς σαφῶς εἰπών, τὰ δ' ἡμῖν ἀναπληρῶσαι καταλιπών. ληψόμεθα γάρ φησί τινα δύναμιν ὁμογενῆ, τουτέστιν ὁμοειδῆ οὖσαν τῇ πεπερασμένῃ δυνάμει τῇ ἐν τῷ ἀπείρῳ μεγέθει οὔσῃ, ἐν πεπερασμένῳ τινὶ σώματι οὖσαν, εἰ βαρύτης ἡ ἐν τῷ ἀπείρῳ, καὶ ἐν τῷ πεπερασμένῳ τὴν αὐτήν, εἰ κουφότης, ὁμοίως. ὁμοειδῆ δὲ λαμβάνει τὴν δύναμιν, καταμετρηθῆναι βουλόμενος τὴν ἐν τῷ ἀπείρῳ μεγέθει δύναμιν ὑπὸ τῆς ἐν τῷ πεπερασμένῳ· αἱ γὰρ ἀνομοειδεῖς οὐ καταμετροῦσιν ἀλλήλας. ὁμοειδὴς οὖν οὖσα ἡ ἐν τῷ πεπερασμένῳ μεγέθει πεπερασμένη δύναμις καταμετρήσει τὴν ἐν τῷ ἀπείρῳ πεπερασμένην, οὕτω μέντοι ὡς ἢ ἀπαρτίζειν ἢ μὴ ἀπαρτίζειν ἀλλὰ περιττεύειν τι κατὰ τὴν τελευταίαν ἐπιβολήν. εἰ δὲ τοῦτο, ἢ καὶ τὸ μέγεθος τὸ ἄπειρον καταμετρηθήσεται ὑπὸ τοῦ μεγέθους τοῦ ἐν ᾧ ἦν ἡ δύναμις ἡ καταμετρήσασα τὴν ἐν τῷ ἀπείρῳ μεγέθει δύναμιν, καὶ οὕτως οὐκέτι ἄπειρον ἔσται τὸ μέγεθος, εἴπερ καταμετρεῖται· ἢ οὐ καταμετρηθήσεται ὅλον τῆς ἐν αὐτῷ δυνάμεως καταμετρουμένης, καὶ οὕτω τὸ καταλειπόμενον τοῦ ἀπείρου μεγέθους οὐχ ἕξει δύναμιν. ὥστε ἡ πεπερασμένη δύναμις οὐκ ἐν τῷ ἀπείρῳ ἂν εἴη μεγέθει, ἀλλ' ἐν τῷ πεπερασμένῳ τῷ σὺν τῇ δυνάμει καταμετρηθέντι. γνωριμώτερον δὲ ἂν εἴη, φησὶν ὁ Ἀλέξανδρος, εἴ τις ἀπ' αὐτοῦ τοῦ ἀπείρου μεγέθους ἀφελών τι, τούτῳ καὶ τῇ ἐν αὐτῷ δυνάμει καταμετροίη τήν τε δύναμιν τὴν ἐν τῷ ἀπείρῳ καὶ αὐτὸ τὸ ἄπειρον μέγεθος. id. f. 316 *b.*

266 b 27. δείξας τὸ προσεχῶς αὐτῷ προτεθὲν περὶ τοῦ πρώτως κινοῦντος τὴν ἀΐδιον κίνησιν... βούλεται, πρὸ τοῦ τοῖς δεδειγμένοις ἐπαγαγεῖν τὸ προσῆκον συμπέρασμα, ἔνστασίν τινα προβαλέσθαι φερομένην πρὸς τὸ ἀξίωμα τὸ λέγον πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τήν τε ἀδοκίμως ἐπαγομένην λύσιν ἐκθέσθαι καὶ αὐτὸς ἐπαγαγεῖν τὴν προσήκουσαν. καὶ ἡ μὲν ἔνστασίς ἐστι τοιαύτη· εἰ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, πῶς τινὰ μὴ ἐν αὐτοῖς ἔχοντα τὸ κινητικὸν ἀλλ' ἔξωθεν κινηθέντα μένει συνεχῶς κινούμενα, καὶ τοῦ κινήσαντος μηκέτι κινοῦντος, ὥσπερ τὰ ῥιπτούμενα; τοῦ γὰρ ῥίψαντος αὐτὰ μηκέτι κινοῦντος, ἐπὶ πολὺ μένει συνεχῶς ἐκεῖνα κινούμενα· δόξει γὰρ ὑπὸ μηδενὸς κινεῖσθαι τότε, καὶ ἀναιρεῖσθαι τὸ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι. "μὴ ἁπτομένου δὲ τοῦ κινήσαντος" εἶπεν ὡς μηκέτι ἁπτομένου μηδὲ ἐπιμένοντος ἐν τῷ ἅπτεσθαι παρ' ὅλον τὸν τῆς κινήσεως χρόνον. εἶτα μνημονεύει τῆς λύσεως καθ' ἣν πειρῶνται λύειν τινὲς τὴν ἀπορίαν ταύτην. λέγουσι γὰρ ὅτι ὁ ῥίπτων ἅμα τῷ ῥιφθέντι καὶ ἄλλο τι κινεῖ, τὸν ἀέρα, ὃς κινούμενος ὑπὸ τοῦ ῥίψαντος κινεῖ τὸ ῥιφθέν. λέγει οὖν ὅτι ὁμοίως τοῦ πρώτου καὶ τοῦτο ἀδύνατον· μόνον γὰρ ὅτι τὸν ἀέρα ἀντὶ τοῦ ῥιφθέντος μετέλαβεν ὁ λόγος· εἰ γὰρ μηδὲ οὗτος ἐξ ἑαυτοῦ κινεῖται (τῶν γὰρ ἐμψύχων ἴδιον τοῦτο) ἀλλ' ὑπὸ τοῦ ῥίψαντος, ἐχρῆν εὐθὺς τῷ τὸν ῥίψαντα παύσασθαι τοῦ κινεῖν καὶ τὸν ἀέρα παύσασθαι τοῦ κινεῖσθαι, καὶ ἅμα πάντα κεκινῆσθαι καὶ πεπαῦσθαι τὰ κινούμενα, ὅταν τὸ πρῶτον κινοῦν παύσηται τοῦ κινεῖν... διάφορος δὲ ἡ γραφὴ φέρεται, πῇ μὲν "ἀλλὰ ἅμα πᾶν καὶ κινεῖσθαι καὶ πεπαῦσθαι," πῇ δὲ "ἀλλὰ ἅμα πᾶν κεκινῆσθαι καὶ πεπαῦσθαι." καὶ ἴσως αὕτη ἀμείνων· τὸ γὰρ κεκινῆσθαι τῷ πεπαῦσθαι ταὐτόν ἐστιν. εἰπὼν δὲ ὅτι πάντα ἅμα ἀνάγκη κινεῖσθαι καὶ πεπαῦσθαι, ὅταν τὸ πρῶτον κινοῦν παύσηται, ἐπήγαγε "καὶ εἰ ποιεῖ ὥσπερ ἡ λίθος, οἷον κινεῖν ὃ ἐκίνησεν." κἂν γὰρ διὰ τοῦ μεταξύ τι κινῇ μὴ ἁπτόμενον τοῦ κινουμένου, ὡς ἡ Μαγνῆτις λίθος τὸ δεύτερον σιδήριον κινεῖ, μὴ ἁπτομένη αὐτοῦ, ὅταν αὕτη μὲν ἑλκύσῃ τὸ προσεχές, τοῦτο δὲ ἑλκύσῃ τὸ μεθ' ἑαυτό (τότε γὰρ ποιεῖ ἡ λίθος τὸ σιδήριον, ὃ ἐκίνησεν αὐτή, τοῦτο κινεῖν τὸ ἐφεξῆς, διὰ τὸ μὴ μόνον κινεῖν τὸ προσεχές, ἀλλὰ καὶ δύναμιν αὐτῷ κινητικὴν ἐνδιδόναι, διὸ οὐ μόνον κινεῖται ἐκεῖνο ἀλλὰ καὶ κινεῖ), — κἂν οὕτως οὖν τι, φησί, κινῇ ὥσπερ ἡ λίθος, ἀνάγκη καὶ κινεῖσθαι ἅμα, ὅταν τὸ πρώτως κινοῦν κινῇ, καὶ πεπαῦσθαι τῆς κινήσεως, ὅταν τὸ πρώτως κινοῦν παύσηται τοῦ κινεῖν. καὶ λαβὼν τὴν ἀρχὴν ἀπὸ τῆς λίθου, κατὰ τὴν αὐτὴν ἔφοδον λύει τὴν ἀπορίαν. ὡς γὰρ ἐπὶ τῆς λίθου οὔτε ὁ ἀὴρ αἴτιός ἐστιν, οὔτε παυσαμένου τοῦ κινοῦντος μένει τὸ κινούμενον, ἀλλ' ἡ κινητικὴ δύναμις διδομένη τῷ προσεχεῖ κινεῖ τὸ κινούμενον ἕως ἂν αὐτὴ ἐνεργῇ, οὕτω φησὶν ἀνάγκη καὶ ἐπὶ τῶν ἄλλων λέγειν, ὅτι τὸ πρώτως κινῆσαν τὸ προσεχῶς ὑπ' αὐτοῦ κινηθὲν ποιεῖ οἷόν τε κινεῖν ἢ τὸν ἀέρα τοιοῦτον ἢ τὸ ὕδωρ· ταῦτα γάρ ἐστι μάλιστα δι' ὧν κινεῖται τὰ κινούμενα, ἃ δύναται καὶ ταῦτα κινεῖν. "ἤ τι ἄλλο" δὲ προσέθηκεν ἴσως διὰ τὴν λίθον καὶ τὸν σίδηρον, ἢ τὸ ἤλεκτρον καὶ τὸ ἄχυρον. καὶ τὸ ὀστοῦν δὲ τοῦ ἰχθύος τοῦ ἱέρακος λέγεται χρυσὸν ἕλκειν, καὶ ἴσως τῷ προσεχῶς ἑλκομένῳ τὴν αὐτὴν ἐνδίδωσι δύναμιν καὶ τοῦτο. εἴτε οὖν κατὰ ὦσιν κινεῖ τὰ κινούμενα, ὡς τὰ δι' ἀέρος ἢ ὕδατος κινούμενα, εἴτε κατὰ ὁλκήν, ὡς τὰ εἰρημένα, τὸ πρῶτον κινοῦν, οἷον τὸ ῥιπτοῦν, οὐ μόνον τὸ βέλος κινεῖ ἀλλὰ καὶ τὸν ἀέρα ἢ τὸ ὕδωρ, δι' οὗ ἡ ῥῖψις γίνεται, καὶ οὐ μόνον κινεῖ ταῦτα, ἀλλὰ καὶ δύναμιν αὐτοῖς ἐνδίδωσι τοῦ κινεῖν, ὥστε μὴ μόνον κινεῖσθαι ἀλλὰ καὶ κινεῖν, φύσιν ἔχοντα κινεῖν ἅμα καὶ κινεῖσθαι... ζητεῖ δὲ ὁ Ἀλέξανδρος ἐν τούτοις καλῶς, πῶς οὐχὶ καὶ τούτων ῥηθέντων μένει ἔτι ἡ αὐτὴ ἀπορία· ὁ γὰρ ἀὴρ ὁ τὴν δύναμιν τοῦ κινεῖν λαβὼν παρὰ τοῦ τὸ βέλος ῥίψαντος ἤτοι κινούμενος κινεῖ ἢ οὔ. ἀλλὰ μὴ κινούμενος μὲν οὐκ ἂν κινήσει· τὰ γὰρ σωματικῶς

νατον ὂν τὸ ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν... ὁ δὲ γραμματικὸς ἐκεῖνος οὗ κατ' ἀρχὰς τῶν εἰς τοῦτο τὸ βιβλίον σχολίων ἐμνημόνευσα, μέγα νομίζων εἰ τῶν ἰδιωτῶν πολλοὺς ὑπάγοιτο πρὸς τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου παντὸς καταφρόνησιν, ὡς ὁμοίως αὐτοῖς ὄντων φθαρτῶν, καὶ δηλονότι καὶ πρὸς τὴν αὐτοῦ τοῦ δημιουργοῦ, εἰ γενητοῦ καὶ φθαρτοῦ κόσμου ποιητὴς ἀποδειχθείη, τὸν πρὸ τοῦ δημιουργεῖν ἅπαντα αἰῶνα οὔτε δημιουργὸς ὢν οὔτε πάντων τῶν ὄντων θεὸς καὶ πατὴρ καὶ ὑποστάτης, εἴπερ μηδὲ ἐγεγόνει τι τῶν ὄντων τότε, ἀπὸ δὴ τοιούτων γιγαντικῶν ἐννοιῶν ὁ ἀνὴρ οὗτος καὶ τοῖς ἐν τῷ πρώτῳ τῆς περὶ οὐρανοῦ περὶ τῆς ἀϊδιότητος τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου δειχθεῖσιν ὑπὸ τοῦ Ἀριστοτέλους ἀντιγράφειν ἐτόλμησεν, οὐδὲ συνεὶς τῶν ἐκεῖ λεγομένων, ὡς ἐν ἐκείνοις ἐπειράθην ἀποδεῖξαι, καὶ πρὸς τὰ ἐν ἀρχῇ τοῦδε τοῦ βιβλίου τὰ τὴν κίνησιν καὶ τὸν χρόνον ἀΐδια δεικνύντα παρὰ θύρας ἁπαντῶν ἐνέστη, ὡς δυνατὸν καταμαθεῖν ἐκ τῶν ἐκεῖ πρὸς αὐτὸν εἰρημένων. εἰς δὴ τοῦτον σκοπὸν ἐνόμισεν αὐτῷ καὶ ταύτην συντελεῖν τὴν ἀπόδειξιν τοῦ Ἀριστοτέλους, δι' ἧς δείκνυσιν ὅτι οὐδὲν σῶμα πεπερασμένον ἄπειρον ἔχει δύναμιν... νομίζει γὰρ ταὐτὸν οἴεσθαι τὸν Ἀριστοτέλην τὸ δύναμιν ἄπειρον ἔχειν κινητικὴν καὶ τὸ δύνασθαι διαρκεῖν εἰς τὸν ἄπειρον χρόνον κινούμενον... καὶ οὐκ ἐπέστησεν ὅτι ἄλλο μέν ἐστι τὸ δύναμιν ἔχειν ἄπειρον ἅμα ὅλην κινητικὴν ἀϊδίως, καὶ ἄλλο τὸ δύνασθαι διαρκεῖν ἀϊδίως κινούμενον, καὶ ὅτι τὸ μὲν ἐνεργείᾳ ἀπειροδύναμον ὅλον ἅμα τῷ ἀϊδίως κινοῦντι ὑπάρχει, τὸ δὲ οὕτως ἄπειρον ὡς δύνασθαι ἐπ' ἄπειρον κινεῖσθαι οὐ κατὰ τὴν ἐνεργητικὴν καὶ κινητικὴν δύναμιν τὴν ἅμα ὅλην οὖσαν, ἀλλὰ κατὰ τὴν παθητικὴν καὶ τὸ δυνάμει ὑπάρχει τῷ ἀϊδίως κινουμένῳ... ἐπειδὴ δὲ τὸν ὅλον οὗτος σκοπὸν τῆς Ἀριστοτελικῆς ἀποδείξεως ἀγνοήσας, καὶ νομίσας ὅτι ὁ δεικνὺς τὸ πεπερασμένον σῶμα μὴ ἔχειν ἄπειρον κινητικὴν δύναμιν, εὐθὺς ἂν εἴη δεδειχὼς ὅτι ὁ οὐρανὸς πεπερασμένος ὢν φθαρτός ἐστι, καὶ διὰ τοῦτο καὶ δι' οἰκείων ἐπιχειρημάτων ἐπιβάλλεται δεικνύναι ὅτι τὸ πεπερασμένον σῶμα πεπερασμένην ἔχει δύναμιν, καὶ ὡς ἐξ ἀνάγκης ἑπόμενον τούτῳ ἐπάγει ὅτι ὁ οὐρανὸς φθαρτός ἐστι, φέρε καὶ ταύταις αὐτοῦ ταῖς παρανοίαις ἐπιδράμωμεν... ὁ τοίνυν οὐρανὸς πρὸ ἑξακισχιλίων καὶ πρὸς ἐνιαυτῶν, ὡς οὗτος οἴεται, γεγονώς, καὶ ἐπ' ἐσχάταις ὢν ἤδη τῶν ἡμερῶν, ὡς καὶ τοῦτο πάντως αὐτὸν ἀρέσκει, πῶς οὐδὲν παρακμαστικὸν καὶ πρὸς φθορὰν ὁδεῦον ἡμῖν ἐνεδείξατο;... ἐπιστῆσαι δὲ ἄξιον ὅτι κἀνταῦθα πάλιν ὁ Ἀριστοτέλης ἐν διαφόροις ὀνόμασι τὰς αὐτὰς ἐννοίας τῷ σφετέρῳ καθηγεμόνι προὐβάλετο. καὶ γὰρ ὁ μὲν Πλάτων τὴν διαφορὰν τοῦ χωριστοῦ τῶν οὐρανίων αἰτίου καὶ αὐτῶν τῶν οὐρανίων ἀπὸ τῆς οὐσίας παραδίδωσι, καθ' ὅσον τὸ μὲν αἴτιον ὄντως ὄν ἐστιν, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον καὶ μήτε κατ' οὐσίαν μήτε κατὰ δύναμιν μήτε κατ' ἐνέργειαν κίνησιν ἢ μεταβολὴν ὑφιστάμενον, τὸν δὲ οὐρανὸν σωματικὸν ὄντα καὶ διὰ τοῦτο οὐκ αὐθυπόστατον γινόμενον εἶπεν καὶ οὐκ ὄντως ὄντα... ὁ δὲ Ἀριστοτέλης φυσικώτερον ἀπὸ τῆς κινήσεως ἀρχόμενος, πρῶτον ἔδειξεν ὅτι ἀνάγκη κίνησιν ἀΐδιον εἶναι, καὶ τὸ κινούμενον ἔτι μᾶλλον, εἴπερ ἐν τῷ κινουμένῳ ἡ κίνησις, καὶ ὅτι τὸ κινούμενον ὑπό τινος πάντως κινεῖται· καὶ ὅτι τὸ μὲν πρώτως κινοῦν τὴν ἀΐδιον κίνησιν ἀνάγκη εἶναι καὶ ἀπειροδύναμον καὶ ἀμερές, τὸ δὲ πρώτως ὑπὸ τούτου τὴν ἀΐδιον κίνησιν κινούμενον μίαν οὖσαν καὶ συνεχῆ τὸ κυκλοφορητικὸν εἶναι σῶμα... ζητήσοι δὲ ἂν οἶμαι πᾶς ὁ μὴ παρέργως τῶν Ἀριστοτέλους λόγων ἀκούων περὶ τοῦ πρώτως κινοῦντος, πότερον ἐγχρόνως κινεῖ ἢ ἀχρόνως. εἰ μὲν γὰρ ἐγχρόνως, πρῶτον μὲν πῶς αὐτὸς ὁ Ἀριστοτέλης περὶ τοῦ ἀπειροδυνάμου λέγων χρόνον γε, φησίν, οὐκ ἐνδέχεται εἶναι οὐδένα καθ' ὃν κινεῖ; ἔπειτα εἰ ἀκίνητόν ἐστι καὶ κατὰ πᾶσαν μεταβολὴν ἀμετάβλητον τὸ πρώτως κινοῦν, οὐ κατ' οὐσίαν μόνον ἀλλὰ καὶ κατὰ δύναμιν καὶ κατ' ἐνέργειαν, πῶς ὁ χρόνος μέτρον κινήσεως ὢν τὰς ἀκινήτους ἐνεργείας μετρήσει τοῦ πρώτως κινοῦντος; εἰ δὲ μὴ ἐν χρόνῳ κινεῖ, πῶς ἐν χρόνῳ κινεῖται τὸ πρώτως ὑπ' αὐτοῦ κινούμενον; πρὸς ἃ ῥητέον, ὅτι τῶν κινούντων ὅσα μὲν κινούμενα κινεῖ, ὥσπερ τὰ σωματικῶς κινοῦντα ὠθοῦντα καὶ ἕλκοντα καὶ ῥιπτοῦντα, ταῦτα ἐν χρόνῳ κινεῖ, οὐ διὰ τὸ κινεῖν ἁπλῶς, ἀλλὰ διὰ τὸ κινεῖσθαι· κινήσεως γὰρ μέτρον ὁ χρόνος, ἡ δὲ κίνησις ἐν τῷ κινουμένῳ ἐστὶ καὶ οὐκ ἐν τῷ κινοῦντι. τὸ δὲ πρώτως κινοῦν ἀκίνητον ὂν καὶ κατ' οὐσίαν καὶ κατ' ἐνέργειαν, ὡς ὑπὲρ πᾶσαν κίνησιν ἱδρυμένον, καὶ ἀχρόνους ἔχει τὰς ἐνεργείας ὡς ὑπὲρ χρόνον οὔσας. id. f. 311 b—315 b.

266b 6 τοῖς προκειμένοις ἀναγκαίως δείξας ὅτι οὐδὲν μέγεθος πεπερασμένον ἄπειρον ἔχει δύναμιν, ἵνα διὰ τούτου δειχθῇ τὸ πρώτως κινοῦν ἀπειροδύναμον μὴ ὂν μέγεθος πεπερασμένον, εἰ δὲ τὸ ἄπειρον μέγεθος μηδὲ ἔστιν ὅλως ἐν τοῖς οὖσιν, δηλονότι σαφῶς ἀποδέδεικται ὅτι τὸ πρώτως κινοῦν ἀμερές ἐστι καὶ ἀμέγεθες, διὰ τοῦτο μὲν οὖν ἀναγκαίως, ὡς εἶπον, ἔδειξεν ὅτι οὐδὲν μέγεθος πεπερασμένον ἄπειρον ἔχει δύναμιν. νῦν δὲ προτίθεται δεῖξαι ὅτι οὐδὲ ἄπειρόν τι μέγεθος πεπερασμένην ἔχει δύναμιν, ὅπερ ἀναγκαῖον μὲν οὐκ ἔστι πρὸς τὰ προκείμενα (οὐδὲ γὰρ οὐδὲ ἔστιν ὅλως ἐνεργείᾳ μέγεθος ἄπειρον), ὡς ἀντίστροφον δὲ καὶ συγγενὲς τῷ προαποδεδειγμένῳ καὶ καθ' αὑτὸ θεωρίαν ἔχον ἀξιόλογον ἀποδεῖξαι καὶ τοῦτο προέθετο. καὶ δείκνυσιν αὐτὸ τὴν μὲν ἀρχὴν διὰ βραχέων ῥημάτων τὴν ἀπόδειξιν ἐνδειξάμενος οὕτως. δόξας γὰρ ἐνίστασθαι πρὸς τὸ ἑαυτοῦ πρόβλημα τὸ λέγον ἐν ἀπείρῳ μεγέθει μὴ εἶναι δύναμιν πεπερασμένην διὰ τοῦ "καίτοι ἐνδέχεται ἐν ἐλάττονι μεγέθει πλείω δύναμιν ἐνεῖναι".. εἰ οὖν τοῦτο ἀληθές, τί κωλύει καὶ τὸ τούτῳ ἀντίστροφον δοκοῦν ἀληθὲς εἶναι, τὸ καὶ ἐν τῷ πάντων μεγίστῳ σώματι τῷ ἀπείρῳ πεπερασμένην ἐνεῖναι δύναμιν; ὅτι δὲ ὡς ἔνστασιν αὐτὴν κομίζει, δηλοῖ τὸ "καίτοι" προτεταγμένον ἐνστατικὸν ἐπίρρημα. ὁ δὲ Ἀλέξανδρος χρησιμώτερον ἦν αὐτῷ φησὶν ὡς πρὸς τὸ προκείμενον τὸ εἰπεῖν "καίτοι ἐνδέχεται ἐν μείζονι μεγέθει ἐλάττονα δύναμιν εἶναι·" τοῦτο γὰρ μᾶλλον ἐνδείκνυται δύνασθαι καὶ ἐν ἀπείρῳ μεγέθει πεπερασμένην εἶναι... μήποτε δὲ πρὸς τὸν λέγοντα ὅτι ἐν ἀπείρῳ πεπερασμένη δύναμις οὐκ ἔστιν, ὁ μὲν οὕτως ἐνιστάμενος, καίτοι ἐν μείζονι ἐνδέχεται ἐλάττονα εἶναι, χωρὶς παραμυθίας λέγει τὸ αὐτό, ὁ δὲ λέγων "καίτοι ἐνδέχεται ἐν ἐλάττονι πλείω εἶναι" ἀπὸ τοῦ ἀντικειμένου τὸ ἀντικείμενον εἰσάγει· ἀντίκειται γὰρ τῷ ἐν ἐλάττονι πλείονι τὸ ἐν μείζονι ἔλαττον. ἴσως δὲ καὶ ἐναργέστερόν ἐστι τὸ ἐν ἐλάττονι μεγέθει πλείω δύναμιν ἐνεῖναι, ὡς ἐπὶ τῶν εἰρημένων... καὶ ἡ μὲν ἔνστασις τοιαύτη. λύει δὲ αὐτὴν λέγων "ἀλλ' ἔτι μᾶλλον ἐν μείζονι

τὸ κέντρον, πέρας δὲ τὴν ἐξωτάτην γραμμήν, μέσον δὲ τὸ μεταξὺ τούτων ἐπίπεδον. ἀλλὰ τοῦτο ἐπὶ τοῦ γραμμικοῦ κύκλου οὐχ ἁρμόζει, οὕτω δὲ μᾶλλον τέλειον ὁ κύκλος, ὅτι ὅπερ ἂν αὐτοῦ λάβῃς, τοῦτο ἀρχὴ καὶ μέσον καὶ τέλος εἶναι δύναται, ὃ τεκμήριον τοῦ παντέλειον εἶναι τοῦτον. ἀλλὰ πῶς πάσης πεπερασμένης εὐθείας ἐστί τι ἐκτός; τῆς γὰρ τοῦ παντὸς διαμέτρου πεπερασμένης οὔσης τί ἂν εἴη ἐκτός, εἴπερ μηδὲν ἐκτὸς τοῦ κόσμου; πῶς δὲ οὐκ ἄτοπον πᾶσαν εὐθεῖαν ἀτελῆ εἶναι, εἴπερ εἶδός τι τὸ τῆς εὐθείας ἐστίν, ὀφεῖλον καὶ αὐτὸ τελειότητος μετέχειν, καθάπερ τὰ ἄλλα εἴδη; ὥστε, κἂν εἰσὶν ἀτελεῖς εὐθεῖαι, ἀλλ' εἶναι πάντως καὶ τελείαν τινά. (cf. Simpl. f. 10 princip.). ὁ μὲν οὖν Ἀλέξανδρος ὡς τῷ λόγῳ δυναμένων ἡμῶν αὔξειν πᾶσαν τὴν ληφθεῖσαν, οὕτως ἀκούει, οὐχὶ τῆς εὐθείας αὐξομένης, ἀλλὰ τῆς τελικῆς δὲ εὐθείας· ὥστε τὸ μὲν εἶδος τῆς εὐθείας ὡς εὐθείας τέλειον πανταχοῦ καὶ ἐν μικρᾷ καὶ ἐν μεγάλῃ, τὸ δὲ μέγεθος τέλειον ἐν τῇ τὸ ὅλον ἀπολαβούσῃ μέτρον τῆς εὐθείας τῆς κοσμικῆς. μήποτε δὲ τὸ τέλειον αὐτῆς καὶ κατὰ τὸ εἶδος ὡς πρὸς τὸ κυκλικὸν εἶδος καὶ τὴν αὐτοῦ τελειότητα ἐλλείπῃ, τῷ μὴ συννεύειν εἰς ἑαυτό, ἀλλ' ἐκκεχύσθαι ἴσον ἐφ' ἑαυτῷ πρὸς ἀμετρίαν καὶ ἀπειρίαν, τοῖς δὲ δημιουργικοῖς μέτροις ὁρισθῆναι τὸ ποσὸν αὐτῆς. τοῦτο οὖν ἐνδείκνυται τὸ πάσης καὶ πεπερασμένης εὐθείας εἶναί τι ἐκτός, τὸ ὅσον ἐφ' ἑαυτῷ καὶ τῇ ἀορίστῳ χύσει ἔχειν τι ἀεὶ ἐλλιπὲς καὶ προστεθῆναι δυνάμενον (e Simpl. f. 10). ἀπορία. εἰ τελειότερος ὁ κόσμος κατὰ Ἀριστοτέλην ἑκάστου τῶν ἐξ ὧν ἐστί, τὸ δὲ τελειότερον πρῶτον καὶ ἁπλοῦν, ἔστιν ὁ κόσμος καὶ πρῶτος τῶν ἐξ ὧν ἐστὶ καὶ ἁπλούστερος ἐκείνων. οὐ προϋπάρχει δὲ ὁ κόσμος τῶν ἑαυτοῦ μερῶν, οὐδὲ ἁπλούστερος δοκεῖ ἐξ ἐκείνων συγκείμενος. ὁ μὲν οὖν Ἀλέξανδρος τελειότερον τὸν κόσμον φησὶν ὡς περιεκτικώτερον λέγεσθαι, ἀλλ' οὐχὶ κατὰ τὸ εἶδος, ὥσπερ ὁ κύκλος τῆς εὐθείας. ἐπὶ τούτων οὖν, φησί, τῶν κεχωρισμένων ἀληθὲς τὸ τελειότερον καὶ πρότερον καὶ ἁπλούστερον εἶναι, ἐπὶ δὲ τῶν ὅλων καὶ τῶν μερῶν οὐκέτι· τελειότερον γὰρ φησὶ καὶ τὸ ὅλον τῶν μερῶν καὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ πρῶτον, ἀλλ' οὐκέτι καὶ τῷ χρόνῳ· τὸ γὰρ πρὸς τῷ ἁπλοῦν εἶναι καὶ τέλειον, τοῦτο καὶ τῷ χρόνῳ πρῶτον. μήποτε δὲ οὐ κατὰ χρόνον εἴληπται τὸ πρότερον. οὐ γὰρ ἦν χρόνος ὅτε ἡ κυκλικὴ μὲν κίνησις ἦν, ἡ δὲ ἐπ' εὐθείας οὐκ ἦν, κἂν αἰτία ἀεὶ ταύτης ἐκείνη. καὶ ὁ κόσμος οὖν τελειότερος ὢν τῶν ἑαυτοῦ μερῶν, πρότερος αὐτῶν ἐστὶ τῇ φύσει, οἶμαι δὲ καὶ ἁπλούστερος· εἰ γὰρ πρότερος τῇ φύσει, μᾶλλον ἡνωμένος, τὸ δὲ μᾶλλον ἡνωμένον τῷ ἑνὶ συγγενέστερον, τὸ δὲ τοιοῦτον ἁπλούστερον. ἡμεῖς δὲ οὐκ εἰς τὴν ὁλότητα τὴν ἡνωμένην βλέποντες, καθ' ἣν ἓν ζῷόν ἐστιν εἰκὼν τοῦ νοητοῦ ζῴου, ἀλλ' εἰς τὸ πλῆθος αὐτοῦ τὸ διακεκριμένον, καὶ τοῦτο κόσμον λέγοντες, ἁπλούστερον τοῦ ὅλου τὸ μέρος νομίζομεν καὶ πρότερα τὰ μέρη· καίτοι τό γε ὅλον ἀπὸ τῆς ἑαυτοῦ ἑνώσεως ἐν ἑαυτῷ προάγει τὴν οἰκείαν διάκρισιν (e Simplicio ad p. 269 *a* 19 f. 10). μήποτε ἡ διάμετρος ἡ κατὰ τὸ μεσουράνημα τυχὸν καὶ ἀντιμεσουράνημα ἐναντίον κακὸν ἔχει τὸ σχῆμα διὰ τὸ ἐκ δύο ἀντικειμένων κινήσεων συγκεῖσθαι· τὸ μὲν γὰρ ἄχρι τῆς γῆς ἀπὸ τοῦ μεσουρανήματος κάτω ἐστί, τὸ δ' ἀπὸ τοῦδε ἄχρι τοῦ ἀντιμεσουρανήματος ἄνω. ὅτι τέλος ἀκούειν χρὴ τὸ ποιοῦν τέλειον τὸ ἔχον καὶ μηδεμιᾶς προσθήκης δεόμενον, ἀλλ' οὐχὶ τὸ περαῖνον μόνον (cf. Simpl. f. 10 m. v. extr.). ὅτι ἡ κύκλῳ κίνησις ἄπειρος ὡς ἐπ' ἄπειρον ἰοῦσα, ἀλλ' οὐχ ὡς ἐνεστηκὸς ἔχουσα τὸ ἄπειρον καὶ ἀόριστον, ἀλλ' ἀεὶ πεπερασμένον εἶδος ἔχει καὶ αὐτή· πᾶν γὰρ τὸ λαμβανόμενον αὐτῆς καὶ ἀρχὴ καὶ μέσον καὶ τέλος ἐστὶ περιόδου τινός, ὥστε ἀεὶ τελείαν οὖσαν ἐπ' ἄπειρον περιάγειν τὴν τελειότητα. ὅλως γὰρ εἴποτε ἀτελὴς ἐλήφθη, οὐκ ἠδύνατο ἐπ' ἄπειρον προελθεῖν· οὐ γὰρ ἀτελὴς οὖσα δύναμιν ἔχειν ἠδύνατο ἄπειρον, οὔτε ποτὲ τελειωθεῖσα καὶ ἀρχὴν καὶ ἀκμὴν ἐν μέρει χρόνου λαβοῦσα μὴ καὶ παρακμάζειν ἐν χρόνῳ τινί. (e Simpl. f. 10 *b* extr.). ὅτι ἕκαστον κίνημα τῆς κύκλῳ κινήσεως οὐ πέρας μόνον ἀλλὰ καὶ ἀρχὴ κινήσεώς ἐστιν ἄλλης, οὐχ ὡς τῆς προτέρας ἐλλειπούσης τι τελειότητος, ἀλλ' ὡς τῆς αὐτῆς τελείας οὔσης τῷ εἴδει πάλιν καὶ πάλιν γινομένης. ἡ δ' ἐπὶ τῆς πεπερασμένης καὶ εὐθείας κίνησις, ὅτε εὐθεῖα προστεθῇ, καὶ αὐτὴ προστίθεται, ἑνὸς εἴδους τοῦ μετὰ τῆς προσθήκης γινομένου (e Simpl. f. 11 princ.). ὅτι τὸ τῆς εὐθείας ἀόριστον ὅσον ἐφ' ἑαυτῷ ἐκχεόμενον εἰς ἀμετρίαν καὶ ἀπειρίαν ὁ δημιουργικὸς λόγος ὥρισε, συνεργοῦντος οἶμαι καὶ τοῦ κυκλικοῦ σχήματος· συννεύσαντος γὰρ πρὸς ἑαυτὸ τούτου καὶ αἱ ἐν αὐτῷ εὐθεῖαι πρὸς ἀπειρίαν, ὅσον ἐφ' ἑαυταῖς, ὡρμημέναι πέρας τὸ προσῆκον ἀπέλαβον (e Simpl. f. 11.). ὅτι ὡς ὁ κύκλος, οὕτω καὶ ἑκάστης κινήσεως περίοδος καὶ ὁ μετρητικὸς αὐτῶν χρόνος δι' ὅλου καὶ ἀρχὴν ἔχουσι καὶ μέσον καὶ τέλος· ὡς πᾶν γὰρ σημεῖον ἐν τῷ κύκλῳ καὶ ἀρχὴ καὶ μέσον καὶ τέλος, οὕτω καὶ πᾶν ἐν τῇ κινήσει κίνημα καὶ πᾶν νῦν ἐν τῷ χρόνῳ· τὸ δὲ ἀνέκλειπτον τῷ πάλιν καὶ πάλιν ἔχουσι. τὸ εἶδος οὖν ἐστὶ τὸ ἀρχὴν ἔχον πανταχῇ καὶ μέσον καὶ τέλος, καὶ προσθήκην μὴ δεχόμενον· ἀλλ' οὐ τὸ ἀνέκλειπτον· τοῦτο γὰρ ἔχει τελειότητα τὴν ἀπειροδυναμίαν, ἀλλ' ἴσως ταύτην ὑπερφυῶς, εἴπερ ἀληθὲς τὸ πᾶν πεπερασμένον σῶμα πεπερασμένην ἔχειν τὴν δύναμιν τῷ αὐτοῦ λόγῳ (e Simpl. f. 11 v. med.). ὅτι δυνατὸν καὶ τὸ μὴ κυκλικὸν κύκλῳ κινεῖσθαι· καὶ γὰρ καὶ κύβον δυνατὸν περὶ ἄξονα κινεῖσθαι κύκλῳ (e Simpl. f. 11 v. extr.). ὅτι οὐκ ἀκριβὲς ἐν τοῖς ὑπὸ σελήνην τὸ σφαιρικόν, ἀλλὰ καὶ αὐτὸ ὃ ἔχει, παρὰ τῆς οὐρανίας ἔχει σφίγξεως, ὑπερφυῶς τάχα καὶ τοῦτο δεχόμενα (cf. Simpl. f. 11 *b* princ.). ἀπορία. εἰ ἐπίπεδος ὁ κύκλος λαμβάνοιτο, οὐκ ἔχει τὸ κέντρον ἐνεργείᾳ, ἵνα μὴ διῃρημένος ὢν κατ' αὐτὸ μηκέτι ἐστὶ συνεχής· ὥστε οὐκ ἔχει ἀρχήν. τῆς δὲ πεπερασμένης γραμμῆς, εἴτε φυσικῆς ἢ μαθηματικῆς, τὰ ἔσχατα ἐνεργείᾳ ἐστίν. ὅσῳ οὖν τὸ ἐνεργείᾳ τοῦ δυνάμει τελειότερον, καὶ ἡ εὐθεῖα τοῦ κύκλου. λύσις. ἀλλὰ πῶς τὸ κέντρον τοῦ παντὸς δυνάμει, περὶ ὃ πᾶς ὁ οὐρανὸς κινεῖται τὴν ἀΐδιον κίνησιν; καὶ δῆλον ὅτι καὶ τοὺς πόλους δυνάμει νομίζει μόνον εἶναι τοῦ οὐρανοῦ. πῶς δέ φησιν, ὅτι οὐ γάρ ἐστιν ἐνεργείᾳ τὸ κέντρον τοῦ κύκλου, ἵνα μὴ τὸ συνεχὲς αὐτοῦ διακόπτηται; καίτοι εἴπερ κατὰ τὸν ἀποδοθέντα τοῦ συνεχοῦς ὁρισμὸν συνεχῆ ἐστὶν ὧν τὰ ἔσχατα ἕν, τὸ δὲ κέντρον ἓν ὂν κοινόν ἐστι τῶν ἀπ' αὐτοῦ πρὸς τὴν περιφέρειαν φερομένων εὐθειῶν, πῶς ἂν ἐνεργείᾳ τοῦτο ὂν διαλύοι τὴν συνέχειαν; (e Simpl. ib.). ἀπορία. καὶ τῷ κύκλῳ γάρ, εἴγε σῶμα εἴη, καὶ τῇ σφαίρᾳ ἔτι ἐξ ἴσου σῶμα πανταχόθεν περιερχό-

εἶναι δ [illegible] ὁ Ἀλέξανδρος. μήποτε δέ, φησὶν ὁ Δαμάσκιος, οἶδε μὲν καὶ ὁ Ἀριστοτέλης τὴν ἐπ' εὐθείας κίνησιν ἀτελῶν καὶ ἐνδεῶν τῶν στοιχείων οὖσαν καὶ ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι ὄντων· βουλόμενος δὲ τούτων χωρίσαι τὰ οὐράνια ἀπὸ τῆς κινήσεως ἐπεχείρησεν, ἐκείνοις μὲν δεικνὺς ὑπάρχουσαν κίνησιν τὴν γενέσει καὶ φθορᾷ πρέπουσαν, τῷ δὲ οὐρανῷ τὴν ἀϊδιότητος δεκτικήν. ὅτι ὁ Ξέναρχος τὴν κύκλῳ κίνησιν κατασκευάζει ἀδύνατον εἶναι ἁπλοῦ σώματος τυγχάνειν κατὰ φύσιν, εἴγε, φησίν, ἐν μὲν τοῖς ἁπλοῖς σώμασιν ὁμοιομερέσιν οὖσιν ἰσοταχῆ πάντα τὰ μόριά ἐστιν, ἐν δὲ τῷ κύκλῳ τὰ πρὸς τὸ κέντρον ἀεὶ βραδύτερα τῶν πρὸς τὴν περιφέρειαν, εἴπερ ἐν τῷ αὐτῷ χρόνῳ ἐλάττονα κινοῦνται διάστασιν. ἀλλὰ καὶ ἐν σφαίρᾳ οἱ περὶ τοὺς πόλους κύκλοι βραδύτερον κινοῦνται τῶν πόρρωθεν, καὶ τάχιστα πάντων ὁ μέγιστος τῶν παραλλήλων. ῥητέον δὲ ὅτι ὁ Ἀριστοτέλης τὴν κύκλῳ κίνησιν εἶπε τὴν κατὰ γραμμὴν κυκλικὴν γινομένην μίαν ἑνός· ὁ δὲ ἀπορῶν λόγος πολλοὺς κύκλους ἀνισοταχεῖς λαβὼν (*) μίαν τὴν ἁπάντων κίνησιν σύνθετον πειρᾶται δεικνύναι καὶ οὐχ ἁπλῆν· ἑκάστου γὰρ κύκλου τῶν ἐν τῇ σφαίρᾳ ἑκάστη κίνησις ἁπλῆ ἐστίν· καὶ γὰρ ὁμοίως ἁπλῆ ἥ τε κατὰ τὸν ἀεὶ φανερὸν κύκλον γινομένη καὶ ἡ κατὰ τὴν ἰσημερίαν, κἂν ἡ μὲν βραδυτάτη ἐστὶν ἡ δὲ ταχίστη, καὶ ἁπλοῦ σώματός ἐστι τοῦ κατ' ἐκεῖνο τὸ μέρος. οὐ γὰρ εἶπεν ὁ Ἀριστοτέλης ὅτι αἱ πολλαὶ κυκλικαὶ κινήσεις ἁπλῆ μία κίνησίς ἐστιν, ἢ ἁπλοῦ ἑνὸς σώματος, ἀλλ' ὅτι ἡ ἁπλῆ κίνησις, ἥτις καὶ μία, πάντως ἐστὶν ἁπλοῦ σώματος, καὶ τὸ ἀντίστροφον, ὥστε καὶ τῷ ὅλῳ οὐρανῷ ὡς ἑνὶ καὶ ἀδιαιρέτῳ ἐφαρμόττειν τὸν λόγον, κἂν εἰς μέρη τις αὐτὸν διέλῃ, καὶ ἑκάστῳ ἐφαρμόττειν. μόνον ὡς περὶ μιᾶς κινήσεως καθ' ἕνα κύκλον γινομένης ληπτέον τὴν ὑπόθεσιν. [ὁ Ξέναρχος . . . τὴν ὑπόθ. e Simpl. f. 6 *b*.] ὅτι οὐ μαθηματικὰς τὰς ἀποδείξεις ποιούμεθα γραμμῶν εἴδεσι χρώμενοι, οὐδὲ παραλλάττομεν τοῦ σκοποῦ τῆς φυσικῆς. εἰ γὰρ πᾶσα κίνησις κατὰ διάστασιν γραμμικὴν γίνεται, ἡ μὲν ἁπλῆ καθ' ἁπλῆν ἡ δὲ σύνθετος κατὰ σύνθετον, καὶ εἰς δεῖγμα τῆς τῶν κινήσεων διαφορᾶς προεθέμεθα τὰ τῶν διαστάσεων εἴδη, πῶς μαθηματικῶς τὰ φυσικὰ δεικνύομεν; οὐ γὰρ τὸ γραμμαῖς ἁπλῶς χρήσασθαι μαθηματικόν ἐστιν, ἀλλὰ τὸ μαθηματικῶς· χρῶνται γὰρ ὁ μαθηματικὸς καὶ ὁ φυσικὸς γραμμαῖς καὶ ἐπιφανείαις καὶ σώμασιν, ἀλλ' ἕκαστος κατὰ τὸ ἐπιβάλλον αὐτῷ (cf. Simpl. f. 6 *b*). τῶν δέ τις ἐφ' ἡμῶν, δόξης ὡς ἔοικε θηρατής, κατήγορος ἀνέδυ τοῦ . . . ἐντεύξεως (vid. Simpl. ad p. 269 *a* 2) Ἀριστοτέλους, ὥστε ἀνεπίκριτα μείναντα τὰ γραφέντα ἐκ τοῦ πρὸς Ἀριστοτέλους μόνον ἀντειπεῖν τοσαύτας σελίδας δόξαν σοφίας παρασχέσθαι τῷ γράψαντι. ἐγὼ δὲ οἶδα τὰ τοιαῦτα τῶν τολμημάτων, ὥσπερ τοὺς Ἀδώνιδος καλουμένους κήπους, ἀνθεῖν παρὰ τοῖς ἀνοήτοις δόξαντα ἐν ὀλίγαις ἡμέραις ἀποσβεσθέντα. ἀλλ' αἱ τοιαῦται πάντως ἐνστάσεις τῶν μὲν πεπαιδευμένων ὀχλοῦσιν οὐδένα, τῶν δὲ ἀπαιδεύτων τούς τε ἀεὶ ξένοις χαίροντας καὶ τῶν παλαιῶν ἀνδρῶν ταῖς εὐκλείαις βαρυνομένους, καὶ ἔτι μέντοι τοὺς θεοσεβεῖν οἰομένους, ἐὰν τὸν οὐρανόν, ὥς φασι, πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων γεγονότα μηδὲν ἐξαίρετον ἔχειν πρὸς τὰ ὑπὸ σελήνης νομίζωσιν· οὗτοι γὰρ συνηγορεῖν αὐτῶν τῇ περὶ θεοῦ δόξῃ τὰς ἐνστάσεις ταύτας οἰόμενοι διὰ μεγάλης ἄγουσι τιμῆς, οὐδὲν μὲν οὐδὲ τούτων εἰδότες οὐδὲ τῶν Ἀριστοτέλους ἔτι μᾶλλον, πρὸς ἃ τολμῶσιν αὗται ἐνίστασθαι, ἀλλήλοις δὲ θρυλλοῦντες καὶ πρὸς ἡμᾶς νεανιευόμενοι, ὅτι τὰ τῶν φιλοσόφων ἀνατέτραπται δόγματα. τούτων οὖν εἵνεκα, καὶ τῶν εὐκολωτέραν ἐχόντων τὴν ἀκοήν, καὶ τοῦ τὴν θεοσεβῆ περὶ παντὸς ἔννοιαν ἐπὶ τῆς παλαιᾶς εὐκλείας μένειν ἀνέλεγκτον, ἔδοξέ μοι τὰς ἐνστάσεις προθεῖναι καὶ διελέγξαι. εἰ δέ πῃ . . . ἄξιον ἐπιθεῖναι τούτῳ (vid. Simpl. ib.) ὡς ἀχαρίστῳ πρὸς τὸν διδάσκαλον καὶ μὴ αἰδουμένῳ κατ' ἐκείνου γράφειν. τῶν δὲ . . . ἐκ. γράφειν (e Simplicio transscripta, mutatis paucissimis). ὅτι οὐκ ἀτόπως ὁ Ἀριστοτέλης ὑπέθετο καὶ τὴν ὅλην γῆν ἔξω τοῦ μέσου, ἵνα δείξῃ τὴν τῆς ὅλης ῥοπὴν εἰς τὸ κέντρον συννεύουσαν. καὶ γὰρ πρόδηλον ὅτι ὅπερ ἂν τις λάβῃ μέρος αὐτῆς ταὐτόν ἐστιν. τοῦτο γὰρ ἐναργέστερον δείκνυσι τὴν διαφορὰν τῶν οὐρανίων πρὸς τὰ ὑπὸ σελήνην, ὅτι τοῦ μὲν πέφυκε χωρίζεσθαι τὰ μόρια καὶ ἐν τῷ παρὰ φύσιν γίνεσθαι, τοῦ δὲ οὔ. κἂν γοῦν κύκλῳ κινεῖται τὸ πῦρ καὶ τὸ εὐαγὲς τοῦ ἀέρος, ἀλλὰ τῇ ἀπλανεῖ συμπεριφέρονται ὥσπερ καὶ οἱ πλάνητες. καὶ ἔστι τὸ παρὰ φύσιν τοῦτο ὡς ἀπόφασις τοῦ κατὰ φύσιν, ἀλλ' οὐχ ὡς στέρησις, ἤτοι ὡς ὑπὲρ φύσιν, καθόσον ὑπὸ τοῦ κρείττονος κρατεῖται, πεφυκὸς μὲν τὴν τοῦ κρείττονος κινεῖσθαι κίνησιν, ὥσπερ καὶ ἡ ψυχὴ ἐνθουσιᾶν πέφυκεν, οὐ μέντοι ἰδίαν ταύτην κινουμένη τὴν τοῦ θεοῦ κίνησιν. ὅτι τὸ ὕδωρ ῥοπὴν ἔχει πρὸς τὸ ἐπιπολάζειν τῇ ἐπιφανείᾳ τῆς γῆς διὰ τὸ καταλαβεῖν καὶ ἐπινήξασθαι αὐτῇ. κἂν ἀφέλῃ τις τοῦ κέντρου τὴν γῆν, καὶ τὸ κέντρον οἶμαι παρελεύσεται τὸ ὕδωρ ζητοῦν γῆν. δηλοῖ δὲ τὸ γῆς μὲν ὑποκειμένης ἠρεμεῖν αὐτό, ὑποσπωμένης δὲ ῥεῖν ἐπὶ τὸ κοιλότερον. ὅτι καὶ ἐπ' εὐθείας ἐστὶν ἐν τῷ πυρὶ κίνησις, ἰδία αὐτοῦ καὶ οὐχ ὑπὲρ φύσιν, μανουμένων καὶ πυκνουμένων τινῶν μορίων αὐτοῦ καὶ ἀναβαινόντων καὶ καταβαινόντων. ὅτι τῇ ἀπλανεῖ τὸ ὑπέκκαυμα συναποκαθίσταται ὡς πεφυκός, ἀλλ' οὐχ ὡς βίᾳ ἑλκόμενον, ἀλλ' ὑπερφυῶς (p. 269 *a* 19). ὅτι τὰ πρῶτα ἁπλᾶ πάντως, διότι προηγεῖται φύσει τῶν συνθέτων, καὶ ὅτι ἡ κύκλῳ ἁπλῆ καὶ κυρίως συνεχὴς καὶ πεπερασμένη καὶ τέλος ἔχουσα ἀεὶ καὶ προσθήκην μὴ ἐπιδεχομένη, μένοντος τοῦ εἴδους, ἡ προσθήκη δηλαδή· αὕτη γὰρ κατὰ τὸ ἐλλεῖπον γίνεται (cf. Simpl. f. 9 *b* extr.). ὅτι πᾶσα γραμμὴ εὐθεῖα ἄπειρος ἢ πεπερασμένη διὰ τὸ πλῆρες τῆς διαιρέσεως· οὐ γὰρ ἔστιν ἐνεργείᾳ ἄπειρος πεπερασμένου τοῦ παντὸς ὄντος, ἀλλ' ὅτι τινὲς ᾠήθησαν εἶναι, κἂν μὴ ἔστι δέ, ἀλλὰ καὶ τὴν ὑπὸ τῆς φαντασίας ἀεὶ προσαυξανομένην περιέλαβεν ἡ διαίρεσις. ἡ μὲν οὖν ἄπειρος μὴ ἔχουσα τέλος ἢ ὅρον οὐκ ἂν εἴη τελεία· τέλειον γὰρ τὸ τετελεσμένον καὶ ὡρισμένον καὶ μηδὲν ἐλλεῖπον τῶν ἑαυτοῦ. ἡ δὲ πεπερασμένη ἔχει τι ἐκτός, ὥστε προσαύξεσθαι, τὸ δὲ αὐξανόμενον οὔπω πάντα τὰ ἑαυτοῦ ἀπειληφὸς ἀτελὲς ἂν εἴη. ὁ μέντοι κύκλος καὶ πεπερασμένος ἐστὶ καὶ τέλος ἔχων καὶ οὐδὲν ἐκτὸς ἔχει, οὐδὲ αὐξῆσαι δυνατὸς μένοντος τοῦ εἴδους. ὁ δὲ Ἀλέξανδρος τέλειον τὸν κύκλον λέγει ἐκ τοῦ ἀρχὴν

(*) καὶ αὖθις ἐν τῷ ἐπιπέδῳ τοῦ κύκλου τοὺς μὲν πρὸς τὸ κέντρον τοὺς δὲ πρὸς τὴν περιφέρειαν addit Simpl. ed.

κινουμένου ὑπ' αὐτοῦ... τὸ δὲ "ἢ μόνη ἢ μάλιστα" δύναται μὲν καὶ κατὰ φιλόσοφον εὐλάβειαν εἰρῆσθαι, λέγοι δὲ ἄν τις ὅτι περὶ τοῦ κινοῦντος μόνου τέως ἐστὶ τὰ εἰρημένα, πλείονα μὲν λόγον εἰς τὴν ὁμαλότητα εἰσάγοντος, δεομένου δὲ καὶ τῆς τοῦ κινουμένου ταὐτότητος πρὸς τὸ μόνη κυρίως ὁμαλὴς εἶναι. id. f. 319.

267 b 6. εἰπὼν ὁποῖόν ἐστι τὸ πρώτως κινοῦν καὶ τὸ κινούμενον τὴν ἀίδιον κίνησιν, καὶ ὅπως ἔχοντα πρὸς ἄλληλα, ἐπειδὴ ζητεῖν ἔθος ἦν, ὡς ἔοικεν, ποῦ τὸ κινοῦν τὸν οὐρανόν ἐστι, καὶ εἴγε Πυθαγόρειοι ἐν τῷ μέσῳ λέγειν ἐδόκουν αὐτό, καὶ τοῦτο προσθεῖναι τοῖς περὶ τοῦ κινοῦντος λόγοις ἐδοκίμασεν, καὶ λέγει ὅτι ἀνάγκη αὐτὸ ἐν τῇ ἀρχῇ εἶναι τοῦ κινουμένου, ὅπερ κυριώτατόν ἐστιν. δύο δὲ ἀρχαί εἰσιν ἐν τῇ σφαίρᾳ, τό τε μέσον καὶ τὸ πέριξ· ἀνάγκη οὖν φησὶν ἐν τούτων τινὶ εἶναι τὸ κινοῦν. ἀλλ' ἐπειδὴ τὸ ἐγγύτατα τοῦ κινοῦντος τάχιστα μᾶλλον κινεῖται, ταχεῖα δὲ ἡ τοῦ κύκλου κίνησις, τουτέστι τῆς περιφερείας, ἐκεῖ τὸ κινοῦν εἴη ἄν· τὸ γὰρ μέσον ἀκίνητον ὂν οὐ δοκεῖ πρὸς τὸ κινοῦν οἰκείως ἔχειν. ὁ δὲ Εὔδημος ἐν τῷ μεγίστῳ κύκλῳ φησὶν εἶναι τῷ διὰ τῶν πόλων· οὗτος γὰρ τάχιστα κινεῖται, τὸ δὲ κινοῦν δοκεῖ ἄρχεσθαι, ὅθεν τάχιστα ἂν κινήσαι καὶ ῥᾷστα. ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος καὶ πρὸς τὴν ἔξω περιφέρειαν καὶ πρὸς τὸν μέγιστον κύκλον, εἰ ἐν τούτῳ τινί ἐστι τὸ κινοῦν αἴτιον, πῶς οὐ κινήσεται κατὰ συμβεβηκός. καὶ εἰπὼν ἐκτὸς εἰ μὴ ταύτης κατὰ τοὺς πόλους ἐστίν, ἐπαπορεῖ ὅτι καὶ δύο οὗτοι καὶ ἀκίνητοι, Ἀριστοτέλης δὲ καὶ Εὔδημός φασι τὸ ἐγγυτέρω τοῦ κινοῦντος τάχιστα κινεῖσθαι. λύων δὲ τὴν ἀπορίαν λέγει ὅτι εἰ μὲν ἐν μορίῳ τινὶ εἴη τῆς περιφερείας τῆς ἐξωτάτω, κινοῖτο ἂν κατὰ συμβεβηκός, τῷ κατὰ μόρια τὴν κίνησιν εἶναι τῆς σφαίρας· εἰ δὲ ἐν πάσῃ τῇ περιφερείᾳ, ἔσται τε ἐν τῷ τάχιστα φερομένῳ, καὶ οὐκέτι ἂν κινοῖτο κατὰ συμβεβηκός, τῷ πᾶσαν τὴν περιφέρειαν μὴ κινεῖσθαι μηδὲ ἀλλάσσειν τὸν τόπον, ἀλλ' ἐν τῷ αὐτῷ μένειν ἀεί... ταῦτα ὁ Ἀλέξανδρος ἔγραψεν ὡς τελικὸν μόνως αἴτιον τὸ πρώτως κινοῦν τὸν Ἀριστοτέλη λέγειν ἀποδεχόμενος. εἰ δέ, ὡς πολλοὶ λόγοι δεικνύουσι, καὶ ποιητικὸν αὐτὸν νομίζει, τὴν μὲν ψυχὴν καὶ αὐτὸς οἴεται ὥσπερ ὁ Πλάτων τοῦ μεταβατικοῦ τῆς κινήσεως αἰτίαν εἶναι, τὸν δὲ ἀκίνητον νοῦν τοῦ περὶ τὰ αὐτὰ καὶ κατὰ τὰ αὐτὰ καὶ ἐν τῷ αὐτῷ ἀεὶ κινεῖσθαι καθ' ἕνα λόγον καὶ μίαν τάξιν. εἰ οὖν ἀμερὲς τὸ κινοῦν καὶ χωριστὸν πάντῃ σωμάτων, αὐτὸ καθ' αὐτὸ τέλειον ἐξῃρημένον τοῦ παντὸς σωματικοῦ κόσμου, καλῶς ἔχει λέγειν καὶ πανταχοῦ αὐτὸ καὶ οὐδαμοῦ εἶναι. εἰ δὲ οἱ μὲν Πυθαγόρειοι ἐν τῷ κέντρῳ λέγουσιν ἱδρῦσθαι, ὁ δὲ Ἀριστοτέλης ἐν τῇ ἀπλανεῖ σφαίρᾳ φησὶν εἶναι, ἐκεῖνοι μὲν τὸ κέντρον ἐπιτηδειότερον τῶν ἄλλων τοῦ παντὸς μερῶν νομίζουσι πρὸς μέθεξιν τῆς τοῦ δημιουργοῦ συνοχικῆς καὶ ἑδραστικῆς ἀγαθότητος, ὁ δὲ Ἀριστοτέλης πρώτως ἀπολαύειν τῆς δημιουργικῆς νομίζει κινήσεως. καὶ διὰ τοῦτο οἱ μὲν Πυθαγόρειοι ἑστίας τόπον καὶ Ζανὸς πύργον ἐκάλουν τὸ κέντρον, ὁ δὲ Ἀριστοτέλης μέτρον τῶν ἄλλων κινήσεων τὴν τῆς ἀπλανοῦς ἔλεγεν ὡς πρώτην καὶ συνῃρημένην καὶ τὸ τοῦ κινοῦντος ἀμερὲς διὰ τῆς ταχυτῆτος ἐνεικονιζομένην. οὐ χρὴ οὖν δεδοικέναι μὴ κατὰ συμβεβηκὸς κινήσωμεν τὸ πρώτως κινοῦν, ἐν τῷ ἀπλανεῖ λέγοντες αὐτὸ οὐρανῷ· οὐ γάρ ἐστιν ἐν τῷ οὐρανῷ κυρίως ἐκεῖνο, ἀλλ' ὁ οὐρανὸς ἐν αὐτῷ... καὶ ἀσφαλῶς ὁ Εὔδημος τὸ πρόβλημα ἐκτιθέμενος, εἰ ἀμερές φησιν ἐστὶ τὸ πρώτως κινοῦν καὶ μὴ ἅπτεται τοῦ κινουμένου, πῶς ἔχει πρὸς αὐτό; τὸ οὖν ἀμερὲς καὶ μὴ ἁπτόμενον τοῦ κινουμένου, ἀλλ' ἄσχετον πρὸς αὐτὸ καὶ ἐξῃρημένον, πῶς δύναται συγκινεῖσθαι τῷ κινουμένῳ, ὥστε κατὰ συμβεβηκὸς κινεῖσθαι; τὸν δὲ Εὔδημον ὁ Ἀλέξανδρος τὸ πρώτως κινοῦν ἐν τῷ μεγίστῳ κύκλῳ φησὶ λέγειν τῷ διὰ τῶν πόλων· οὗτος γὰρ τάχιστα κινεῖται. ἐγὼ δὲ οὕτως εὗρον τὴν γραφὴν ἐν τῷ Εὐδημείῳ "τῆς δὲ σφαίρας ὁ μὲν τόπος ὁ περὶ τοὺς πόλους τάχιστα κινεῖται." καὶ τούτῳ δὲ ἐφιστάνειν ἄξιον, ὅτι ὁ μὲν Ἀλέξανδρος ἐν τῇ τῆς σφαίρας περιφερείᾳ τὸ πρώτως κινοῦν νομίζει λέγειν τὸν Ἀριστοτέλη, μήποτε δὲ ἐν τῷ κύκλῳ λέγων, ἐν τῷ ὅλῳ οὐρανῷ λέγει. id. ib.

εἰπὼν "καὶ πρὸς τὸ κινούμενον ὁμοίως" προσέθηκε "καὶ συνεχῶς," 267 b 17.
δηλῶν ὅτι καὶ συνεχής ἐστιν ἡ ὁμοία τοῦ ἀκινήτου πρὸς τὸ κινούμενον σχέσις, καὶ οὐ διακοπτομένη οὐδὲ ἐπιλείπουσα, ὥστε καὶ ἀίδιον εἶναι τὴν κίνησιν ἣν προσεχῶς κινεῖ τὸ ἀκίνητον. ἀπορεῖ δὲ καλῶς ὁ Ἀλέξανδρος, πῶς οὐκ ἐρεῖ τις καὶ τὰς τῶν πλανωμένων σφαίρας τὴν κίνησιν ἣν κινοῦνται τῇ ἀπλανεῖ συμφερόμεναι, συνεχῆ τε καὶ ἀίδιον καὶ ὁμαλῆ κινεῖσθαι, καίτοι ὑπὸ κινουμένης τῆς ἀπλανοῦς ταύτην τὴν κίνησιν κινουμένας... ὁ δὲ Εὔδημος τοῦτο μὲν οὐκ ἀπορεῖ ὅπερ ὁ Ἀριστοτέλης, εἰ ἐνδέχεταί τι κινούμενον κινεῖν συνεχῶς, ἀπορεῖ δὲ ἀντὶ τούτου εἰ ἐνδέχεται τὸ ἀκίνητον κινεῖν... καὶ λύει τὴν ἀπορίαν λέγων ὅτι τὰ μὲν κινούμενα κινεῖ τὰ δὲ ἠρεμοῦντα. id. f. 319 *b*.

προστίθησι καὶ τοῦ τρίτου τὴν ἀνάληψιν τοῦ δειχθέντος περὶ τοῦ 267 b 17.
πρώτως κινοῦντος· τοῦτο δὲ ἦν τὸ ἀμέγεθες αὐτὸ καὶ ἀμερὲς εἶναι. τρία γὰρ ἦν τὰ περὶ αὐτοῦ δειχθέντα, ὅτι ἕν, ὅτι ἀκίνητον, ὅτι ἀμερές... εἰ οὖν ἄπειρον μὲν οὐκ ἐνδέχεται μέγεθος εἶναι, ὡς δέδεικται ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας (εἴωθεν δὲ τὰ πρῶτα πέντε βιβλία Φυσικὰ καλεῖν ἐξαιρέτως καὶ περὶ φυσικῶν ἀρχῶν, ὥσπερ τὰ τελευταῖα τρία περὶ Κινήσεως), ἀλλὰ μὴν ὅτι οὐδὲ πεπερασμένον αὐτὸ σῶμα δυνατὸν εἶναι ἔδειξεν, εἴπερ ἀνάγκη τὸ πεπερασμένον σῶμα ἢ ἄπειρον ἔχειν δύναμιν ἢ πεπερασμένην... ἐπέστησε δὲ καλῶς ὁ Ἀλέξανδρος ἐνταῦθα, ᾧπερ ἐχρῆν ἀποδεικνυμένου τοῦ προβλήματος ἐπιστῆσαι, ὅτι ἐπὶ τοῦ κινουμένου ἐπ' ἄπειρον οὐ λεκτέον δύναμιν ἀλλ' ἢ ὁμωνύμως... καὶ ἔδει τὸν γραμματικὸν τούτοις γοῦν ἐπιστῆσαι τοῖς Ἀλεξάνδρου λόγοις, καὶ μὴ νομίζειν ὅτι καὶ ὁ Ἀριστοτέλης καὶ ὁ Ἀλέξανδρος οἴονται τὸ μὴ κυρίως ἀπειροδύναμον ἐπ' ἄπειρον κινεῖσθαι... καὶ τοῦτο δὲ πάλιν ἐνταῦθα ζητήσας ὁ Ἀλέξανδρος, πῶς ἡ τῶν ἀπλανῶν σφαῖρα οὐχ ἕξει τοῦ κινεῖν ἄπειρον δύναμιν πεπερασμένη οὖσα, εἴγε ἀεὶ κινεῖ τὰς τῶν πλανωμένων, λύει τὴν ζήτησιν, τὰ αὐτὰ λέγων ἅπερ καὶ πρὸ ὀλίγου, ὅτι καὶ τὸ πλανώμενον τρόπον τινὰ ὑπ' ἐκείνου τοῦ ἀκινήτου κινεῖται τῇ ἀπλανεῖ συγκινούμενον... κἀνταῦθα δὲ ἐχρῆν ἐπιστῆσαι τὸν γραμματικὸν ὅτι οὐκ ἐζήτησεν ὁ Ἀλέξανδρος πῶς πεπερασμένον τὸ ἀπλανὲς ἀίδιόν ἐστιν, ἀλλὰ πῶς πεπερασμένον ὂν ἄπειρον ἔχει δύναμιν τοῦ κινεῖν... οὕτως ὁ δαιμόνιος ὄντως Ἀριστοτέλης τὴν περὶ τῶν φυσικῶν ἀρχῶν διδασκαλίαν εἰς τὴν ὑπερφυᾶ θεολογίαν ἀπεκορύφωσε, καὶ τὴν ὅλην φυσικὴν καὶ σωματικὴν σύστασιν ἐξηρτημένην ἔδειξε τῆς ὑπὲρ φύσιν ἀσωμάτου καὶ ἀσχέτου νοερᾶς ἀγα-

κινοῦντα κινούμενα κινεῖ. εἰ δὲ κινούμενος κινεῖ, παύεται δὲ τοῦ κινεῖσθαι, ἅμα τῷ παύσασθαι κινοῦντα τὸν ῥιπτοῦντα... μή ποτε, φησί, διὰ τοῦ λέγειν τὸν ἀέρα δύναμίν τινα τοῦ κινεῖν παρὰ τοῦ τὴν ἀρχὴν κινήσαντος λαμβάνειν, ἐκεῖνο λέγει, ὅτι οἰκείαν δύναμιν ἴσχει παρὰ τοῦ κινήσαντος αὐτὴν λαβόν. id. ib.

266 b 32. οὗτος δὲ ὁ λόγος μετατίθησι τὴν ἀπορίαν, οὐ λύει. πάλιν γὰρ ὁ ἀὴρ πῶς κινεῖται, τοῦ κινοῦντος οὐχ ἁπτομένου; οὔτε ὑπ' αὐτοῦ (οὐδὲ γὰρ ζῷον), οὔθ' ὑπὸ τοῦ ῥίψαντος· πέπαυται γάρ. ὑπὸ τίνος οὖν, εἴπερ πᾶν ὑπό τινος κινεῖται τὸ κινούμενον; ἐπεὶ καὶ ἡ λίθος οὐ τὸ πλησίον ἕλκει σιδήριον, ἀλλὰ καὶ τὸ ἐφεξῆς, οὗ μὴ ἅπτεται. ἀλλ' ὅταν ἀπέλθῃ, πέπαυται καὶ τὸ ἐγγὺς ἅμα καὶ τὸ ἐχόμενον. αἴτιον δέ, ὅτι τὸ σιδήριον ἐκεῖνο τὸ πρὸς τῇ λίθῳ οὐκ οἰκείαν ἔσχεν δύναμιν τὸ ἐπισπᾶσθαι, ἀλλ' ἐλάμβανε παρὰ τῆς λίθου, ἧς εἴπερ ἀφαιρεθείη, εὐθὺς συναφαιρεῖται καὶ τὴν δύναμιν. ἔδει τοίνυν καὶ τὸν ἀέρα ταὐτὸν ὑπομένειν καὶ παύεσθαι ἀπελθόντος τοῦ ῥίψαντος ἢ βάλλοντος. οὕτως δὲ εὐθὺς ἔδει καταφέρεσθαι καὶ τὸ ῥιπτόμενον. ἢ οὐ μόνον κινεῖται ὁ πλησίον ἀήρ, ἀλλὰ καὶ δύναμιν τοῦ κινεῖν λαμβάνει, καὶ ταύτην ἢ οὐχ οἵαν τὸ παρὰ τῆς λίθου σιδήριον, ἀλλ' ὥστε οἰκείαν ποιῆσαι καὶ αὐτοῦ, ὥσπερ οἶμαι καὶ ὑπὸ τοῦ πυρὸς τὸ πύρινον οὐ θερμαίνεται μόνον ἀλλὰ καὶ δύναμιν οἰκείαν τοῦ θερμαίνειν λαμβάνει, καὶ ταύτην ἀεὶ δίδωσιν ἐφεξῆς, καὶ τοῦτο πρόεισι μέχρι τινός, εἶτα κατ' ὀλίγον παύεται, μειουμένης ἐν τῇ διαδοχῇ τῆς δυνάμεως τῆς ἀπὸ τοῦ πυρὸς ἐνδοθείσης. οὕτω δὲ καὶ τὸν ἀέρα εἴποι τις ἂν καὶ τὸ ὕδωρ ἐπαμφοτερίζοντα ταῖς δυνάμεσιν, καὶ μετέχοντα καὶ βαρύτητος καὶ κουφότητος, ἐφ' ὅπερ ἂν τοῦ φέρεσθαι τὴν ἀρχὴν παρὰ τοῦ ῥίψαντος καὶ τὸ ἐνδόσιμον λάβῃ, ἐπὶ τοῦτο λοιπὸν φέρεσθαι ἐξ αὐτῶν, καὶ εἶεν αὐτοκίνητα γίνεσθαι χρόνον τινά, κινούμενά τε ἅμα καὶ κινοῦντα, κινούμενα δὲ οὐκ ἔθ' ὑπὸ τοῦ βάλλοντος ἀλλ' ὑπὸ τῆς οἰκείας δυνάμεως, ἧς τὸ ἐνδόσιμον παρὰ τοῦ ῥίψαντος ἔσχεν. Themist. f. 63.

267 a 16. ἀντιπερίστασίς ἐστιν, ὅταν ἐξωθουμένου τινὸς σώματος ὑπὸ σώματος ἀνταλλαγὴ γένηται τῶν τόπων, καὶ τὸ μὲν ἐξωθῆσαν ἐν τῷ τοῦ ἐξωθηθέντος στῇ τόπῳ, τὸ δὲ ἐξωθηθὲν τὸ προσεχὲς ἐξωθῇ, καὶ ἐκεῖνο τὸ ἐχόμενον, ὅταν πλείονα ᾖ, ἕως ἂν τὸ ἔσχατον ἐν τῷ τόπῳ γένηται τοῦ πρώτου ἐξωθήσαντος. κἂν γίνηται δέ, φησίν, ἀντιπερίστασις ἐπὶ τοῦ ῥιπτουμένου, ἀλλ' οὐκ ἔστιν αὕτη τῆς τοῦ ῥιπτουμένου κινήσεως αἰτία. ἡ γὰρ ἀντιπερίστασις ἅμα πάντα κινεῖσθαι ποιεῖ καὶ κινεῖν, τουτέστιν ἐξωθεῖσθαι καὶ ἐξωθεῖν· εἰ δὲ ἅμα πάντα κινεῖται, ἅμα καὶ παύεται. οὔτε γὰρ τὸ πρῶτον ἐξωθοῦν καταλαμβάνει τὸν τοῦ πρώτου ἐξωθουμένου τόπον, εἰ μὴ ἐκεῖνο τὸν τοῦ ἐφεξῆς, καὶ ἐκεῖνο τὸν τοῦ ἐχομένου, καὶ τὸ τελευταῖον τὸν τοῦ πρώτου μεταβάντος καταλάβοι τόπον, καὶ τῆς κινήσεως ἅμα πάντων γινομένης, καὶ τῆς ἐν τοῖς ἀλλήλων τόποις ἱδρύσεως. τὸ δὲ τοὺς ἀλλήλων καταλαμβάνειν τόπους, ὅπερ ἐστὶν ἡ ἀντιπερίστασις, οὐδὲν πρὸς τὴν κίνησιν συντελεῖ τοῦ ῥιπτουμένου, εἰ μή τις ὑπόθοιτο, ὅπερ αὐτὸς εἶπεν, τὰ κινοῦντα καὶ κινεῖν οἷά τε ποιεῖν τὰ κινούμενα· οὕτω γὰρ τὸ καταλαβὸν τὸν τοῦ ῥιπτουμένου τόπον κινήσει καὶ αὐτὸ τὸ ῥιπτούμενον, καὶ κινεῖν τὰ ἐφεξῆς ποιήσει. ὥστε ἀδύνατον ἄλλως τὰ ἀπορηθέντα περὶ τοῦ ῥιπτουμένου λύειν, εἰ μὴ τὸ κινούμενον καὶ κινητικὴν δύναμιν λαμβάνειν παρὰ τοῦ κινοῦντος ὑποθώμεθα... ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος τοῦ Πλάτωνος δόξαν εἶναί φησι τὸ κατὰ ἀντιπερίστασιν γίνεσθαι τὴν τῶν ῥιπτουμένων κίνησιν, ἰστέον ὅτι γίνεσθαι μὲν καὶ αὐτὸς ἀντιπερίστασιν ἐπὶ τῶν κινουμένων οἴεται, καὶ τοὺς ἀλλήλων τόπους ἀντιμεταλαμβάνειν τὰ σώματα βούλεται, διὰ τὸ μηδὲν ἐν τῷ παντὶ κενὸν ἀπολείπεσθαι, οὐ μέντοι οὐδὲ αὐτὸς τὴν ἀντιπερίστασιν αἰτίαν κινήσεως νομίζει, ἀλλὰ τὴν ἀνωμαλίαν καὶ ἀνισότητα. ἔδει δὲ τὸν Ἀλέξανδρον, ὅτε ὁ Ἀριστοτέλης ἔλεγε πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τοσαύτας ἀποδείξεις ἐπόριζε τῷ λόγῳ καὶ ἐνστάσεις πρὸς αὐτὸν καὶ λύσεις τῶν ἐνστάσεων προεβάλλετο, τότε λέγειν ὅτι Πλάτωνος οὗτος ὁ λόγος ἦν, ὁ τὸ κινούμενον πάντως ὑπὸ κινοῦντος λέγων κινεῖσθαι. οὐδὲν δὲ χεῖρον ἴσως ὀλίγα παραγράψαι τοῦ Πλάτωνος αὐτό τε τοῦτο δηλοῦντα, καὶ τί τῆς κινήσεως αἴτιον οἴεται, καὶ πῶς γίνεσθαι τὰς ἀντιμεταστάσεις νομίζει. λέγει γὰρ ἐν Τιμαίῳ (p. 57 *c*). Simpl. f. 318.

οὕτως γὰρ ἄμεινον λέγειν ἢ τὴν ἀντιπερίστασιν αἰτιᾶσθαι, ἣ γίνεται μὲν ἐξ ἀνάγκης παρὰ τῶν ῥιπτουμένων (ἀντιμεθίσταται γὰρ ὁ ἀήρ), οὐ μὴν διὰ ταῦτα ἡ κίνησις. καὶ γὰρ βαδιζόντων ἀντιπερίστασις, ἀλλ' οὐ διὰ τοῦτο βαδίζομεν. ἁπλῆ τέ ἐστι μετάστασις καὶ μεταχώρησις τῶν τόπων, δραστικὸν δὲ οὐδὲν οὔτε κινητικὸν ἡ ἀντιπερίστασις ἔχει· οὔτε γὰρ στενοχωρεῖται ἀντιμεθιστάμενος ἀήρ, ὥστε βαδίζεσθαι καὶ προσωθεῖν· οὐδὲ γὰρ γίνεται πλείων ἔτι κατὰ τὴν ἀντιπερίστασιν· ἅμα τε γὰρ τὸ ῥιφθὲν ἀπωθεῖται ὑπὸ τοῦ ῥίψαντος εἰς τὸ πρόσθεν, καὶ ἀντιπεριίσταται ὁ ἀὴρ εἰς τὸ ὄπισθεν. τί οὖν αἴτιον τῆς μετὰ ταῦτα προόδου; φανερὸν δὲ ὅτι μηδὲ συνεχὴς ἡ τοιαύτη κίνησις· οὐδὲ γὰρ ἓν τὸ κινοῦν, ἀλλ' ἐχόμενα ἀλλήλων. ἀλλ' οὐδ' ὁμαλής· οὐ γὰρ ὁμοίως φέρεται ἐγγύς τε καὶ πόρρω τῆς ἀρχῆς. εἰ τοίνυν ὥσπερ ἐπὶ τῶν ῥιπτουμένων τὴν κίνησίν τις λέγῃ γίνεσθαι, εἴτε ὡς ἐπὶ τῶν ὠθούντων τε καὶ ἑλκόντων, οὐ συνεχὴς οὐδ' ὁμαλὴς οὕτω γινομένη κίνησις, ἐπὶ μὲν τῶν ῥιπτουμένων, ὅτι ἄλλο καὶ ἄλλο τὸ κινοῦν, ἐπὶ δὲ τῶν ὠθούντων τε καὶ ἑλκόντων, ὅτι εἰ καὶ ἓν τὸ κινοῦν, ἀλλὰ καθ' ἑκάστην ὦσιν ἢ ἕλξιν ἀρχή τις γίνεται, ἀναπαυομένου τοῦ ἕλκοντος καὶ ὠθοῦντος· οὐ γὰρ ἄτοπον τὸ οὕτως κινοῦν. δῆλον οὖν ὅτι ἀμερὲς τὸ πρῶτον κινοῦν, εἴπερ μὴ τῷ κινεῖσθαι κινεῖ μηδὲ συμμεταβάλλει, ἀλλ' ἀεὶ δύναται κινεῖν· ἄπονον γὰρ τὸ οὕτως κινεῖν. καὶ ὁμαλὴς αὕτη κίνησις μόνη· οὐ γὰρ ἔχει μεταβολὴν τὸ κινοῦν οὐδεμίαν· δεῖ δὲ οὔτε τὸ κινούμενον πρὸς ἐκεῖνο ἔχειν μεταβολήν, ἵνα ὁμοία ἡ κίνησις ᾖ. ἀνάγκη δὲ ἢ ἐν μέσῳ ἢ ἐν κύκλῳ εἶναι· τοιαῦται γὰρ αἱ ἀρχαί. ἀλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος. τοιαύτη δὲ ἡ τοῦ ὅλου κίνησις· ἐκεῖ ἄρα τὸ κινοῦν. Themist. f. 63 *b*.

εἰς πέρας ἐλθὼν τῶν προβληθέντων ἀναλαμβάνει λοιπὸν τὰ 267 a
εἰρημένα, καὶ τῶν ἀποδείξεων συντόμως ὑπομιμνήσκων. Simpl. 21.
f. 318 *b*.

δέδεικται δὲ ὅτι τῶν μὲν κινουμένων καὶ κινούντων πρῶτόν ἐστι τὸ 267 b
αὐτοκίνητον, ἐν τούτῳ δὲ τὸ κινοῦν καθ' αὑτὸ μὲν ἀκίνητόν ἐστι, κατὰ 2.
συμβεβηκὸς δὲ κινεῖται· τὸ δὲ κυρίως κινοῦν κατὰ συμβεβηκὸς ἀνάγκη συμμεταβάλλειν τῷ κινουμένῳ. καὶ διὰ τοῦτο προσέθηκε τὸ "τοῦτο δὲ οὐκ ἀνάγκη συμμεταβάλλειν," διορίζων αὐτὸ τοῦ ἐν τῷ αὐτοκινήτῳ κινοῦντος, ὃ ἀνάγκη κατὰ συμβεβηκὸς συμμεταβάλλειν τῷ

πλείω." κἂν γὰρ ἐν ἐλάττονι μεγέθει πλείων ᾖ δύναμις, ἀλλ' ἐν τῷ μείζονι τοῦ ἐλάττονος κατὰ τὸ αὐτὸ εἶδος ἔτι πλείων ἔσται ἡ δύναμις. ἐὰν οὖν τὸ μέγεθος εἰς ἄπειρον ἐκταθῇ, καὶ ἡ δύναμις εἰς ἄπειρον ἐκταθήσεται, εἴτε ἔλαττον ἦν τὸ ἐξ ἀρχῆς μέγεθος τῆς κατὰ τὴν δύναμιν ἀναλογίας εἴτε μεῖζον· ἡ γὰρ ἐπ' ἄπειρον τοῦ μεγέθους πρόοδος καὶ τὴν δύναμιν μέχρι τοῦ ἀπείρου συνεφέλκεται· οὐ γὰρ αὔξεται μέγεθος ἄνευ δυνάμεως. οὕτως οὖν διὰ τοῦ λῦσαι τὴν ἔνστασιν ἀποδείξας ὅτι οὐδὲ τὸ ἄπειρον μέγεθος πεπερασμένην ἕξει δύναμιν, τὸ αὐτὸ καὶ δι' ἐκθέσεως ἀποδείκνυσιν, ὡς εἴωθεν, καταγεωμετρεῖν καὶ αὐτὸς ὀρεγόμενος τὴν φύσιν. id. f. 315 b.

266 b 13. δείξας δὲ ἀπὸ τῆς ἐπ' ἄπειρον αὐξήσεως τοῦ ἀφαιρουμένου μεγέθους ἀπὸ τοῦ ἀπείρου ὅτι ἄπειρός ἐστιν ἡ τοῦ ἀπείρου μεγέθους δύναμις ὡς πάσης τῆς πεπερασμένης δυνάμεως ὑπερβάλλουσα, τὸ αὐτὸ δείκνυσι καὶ ἀπὸ τῆς τοῦ χρόνου ἐπ' ἄπειρον μειώσεως, ἣν καὶ διὰ τοῦτο παρέλαβεν εἰπὼν "τοῦ χρόνου δὲ τοῦ δοθέντος ἀεὶ ἐλάττω λήψομαι." id. f. 316.

266 b 20. ἄλλην τοῦ αὐτοῦ ἀπόδειξιν, τοῦ μὴ εἶναι ἐν ἀπείρῳ μεγέθει δύναμιν πεπερασμένην, παραδίδωσι, τὰ μὲν αὐτὸς σαφῶς εἰπών, τὰ δ' ἡμῖν ἀναπληρῶσαι καταλιπών. ληψόμεθα γάρ φησί τινα δύναμιν ὁμογενῆ, τουτέστιν ὁμοειδῆ οὖσαν τῇ πεπερασμένῃ δυνάμει τῇ ἐν τῷ ἀπείρῳ μεγέθει οὔσῃ, ἐν πεπερασμένῳ τινὶ σώματι οὖσαν, εἰ βαρύτης ἡ ἐν τῷ ἀπείρῳ, καὶ ἐν τῷ πεπερασμένῳ τὴν αὐτήν, εἰ κουφότης, ὁμοίως. ὁμοειδῆ δὲ λαμβάνει τὴν δύναμιν, καταμετρηθῆναι βουλόμενος τὴν ἐν τῷ ἀπείρῳ μεγέθει δύναμιν ὑπὸ τῆς ἐν τῷ πεπερασμένῳ· αἱ γὰρ ἀνομοειδεῖς οὐ καταμετροῦσιν ἀλλήλας. ὁμοειδὴς οὖν οὖσα ἡ ἐν τῷ πεπερασμένῳ μεγέθει πεπερασμένη δύναμις καταμετρήσει τὴν ἐν τῷ ἀπείρῳ πεπερασμένην, οὕτω μέντοι ὡς ἢ ἀπαρτίζειν ἢ μὴ ἀπαρτίζειν ἀλλὰ περιττεύειν τι κατὰ τὴν τελευταίαν ἐπιβολήν. εἰ δὲ τοῦτο, ἢ καὶ τὸ μέγεθος τὸ ἄπειρον καταμετρηθήσεται ὑπὸ τοῦ μεγέθους τοῦ ἐν ᾧ ἦν ἡ δύναμις ἡ καταμετρήσασα τὴν ἐν τῷ ἀπείρῳ μεγέθει δύναμιν, καὶ οὕτως οὐκέτι ἄπειρον ἔσται τὸ μέγεθος, εἴπερ καταμετρεῖται· ἢ οὐ καταμετρηθήσεται ὅλον τῆς ἐν αὐτῷ δυνάμεως καταμετρουμένης, καὶ οὕτω τὸ καταλειπόμενον τοῦ ἀπείρου μεγέθους οὐχ ἕξει δύναμιν. ὥστε ἡ πεπερασμένη δύναμις οὐκ ἐν τῷ ἀπείρῳ ἂν εἴη μεγέθει, ἀλλ' ἐν τῷ πεπερασμένῳ τῷ σὺν τῇ δυνάμει καταμετρηθέντι. γνωριμώτερον δὲ ἂν εἴη, φησὶν ὁ Ἀλέξανδρος, εἴ τις ἀπ' αὐτοῦ τοῦ ἀπείρου μεγέθους ἀφελών τι, τούτῳ καὶ τῇ ἐν αὐτῷ δυνάμει καταμετροίη τήν τε δύναμιν τὴν ἐν τῷ ἀπείρῳ καὶ αὐτὸ τὸ ἄπειρον μέγεθος. id. f. 316 b.

266 b 27. δείξας τὸ προσεχῶς αὐτῷ προτεθὲν περὶ τοῦ πρώτως κινοῦντος τὴν ἀΐδιον κίνησιν... βούλεται, πρὸ τοῦ τοῖς δεδειγμένοις ἐπαγαγεῖν τὸ προσῆκον συμπέρασμα, ἔνστασίν τινα προβαλέσθαι φερομένην πρὸς τὸ ἀξίωμα τὸ λέγον πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τήν τε ἀδοκίμως ἐπαγομένην λύσιν ἐκθέσθαι καὶ αὐτὸς ἐπαγαγεῖν τὴν προσήκουσαν. καὶ ἡ μὲν ἔνστασίς ἐστι τοιαύτη· εἰ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, πῶς τινὰ μὴ ἐν αὐτοῖς ἔχοντα τὸ κινητικὸν ἀλλ' ἔξωθεν κινηθέντα μένει συνεχῶς κινούμενα, καὶ τοῦ κινήσαντος μηκέτι κινοῦντος, ὥσπερ τὰ ῥιπτούμενα; τοῦ γὰρ ῥίψαντος αὐτὰ μηκέτι κινοῦντος, ἐπὶ πολὺ μένει συνεχῶς ἐκεῖνα κινούμενα· δόξει γὰρ ὑπὸ μηδενὸς κινεῖσθαι τότε, καὶ ἀναιρεῖσθαι τὸ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι. "μὴ ἁπτομένου δὲ τοῦ κινήσαντος" εἶπεν ὡς μηκέτι ἁπτομένου μηδὲ ἐπιμένοντος ἐν τῷ ἅπτεσθαι παρ' ὅλον τὸν τῆς κινήσεως χρόνον. εἶτα μνημονεύει τῆς λύσεως καθ' ἣν πειρῶνται λύειν τινὲς τὴν ἀπορίαν ταύτην. λέγουσι γὰρ ὅτι ὁ ῥίπτων ἅμα τῷ ῥιφθέντι καὶ ἄλλο τι κινεῖ, τὸν ἀέρα, ὃς κινούμενος ὑπὸ τοῦ ῥίψαντος κινεῖ τὸ ῥιφθέν. λέγει οὖν ὅτι ὁμοίως τοῦ πρώτου καὶ τοῦτο ἀδύνατον· μόνον γὰρ ὅτι τὸν ἀέρα ἀντὶ τοῦ ῥιφθέντος μετέλαβεν ὁ λόγος· εἰ γὰρ μηδὲ οὗτος ἐξ ἑαυτοῦ κινεῖται (τῶν γὰρ ἐμψύχων ἴδιον τοῦτο) ἀλλ' ὑπὸ τοῦ ῥίψαντος, ἐχρῆν εὐθὺς τῷ τὸν ῥίψαντα παύσασθαι τοῦ κινεῖν καὶ τὸν ἀέρα παύσασθαι τοῦ κινεῖσθαι, καὶ ἅμα πάντα κεκινῆσθαι καὶ πεπαῦσθαι τὰ κινούμενα, ὅταν τὸ πρῶτον κινοῦν παύσηται τοῦ κινεῖν... διάφορος δὲ ἡ γραφὴ φέρεται, πῇ μὲν "ἀλλὰ ἅμα πᾶν καὶ κινεῖσθαι καὶ πεπαῦσθαι," πῇ δὲ "ἀλλὰ ἅμα πᾶν κεκινῆσθαι καὶ πεπαῦσθαι." καὶ ἴσως αὕτη ἀμείνων· τὸ γὰρ κεκινῆσθαι τῷ πεπαῦσθαι ταὐτόν ἐστιν. εἰπὼν δὲ ὅτι πάντα ἅμα ἀνάγκη κινεῖσθαι καὶ πεπαῦσθαι, ὅταν τὸ πρῶτον κινοῦν παύσηται, ἐπήγαγε "καὶ εἰ ποιεῖ ὥσπερ ἡ λίθος, οἷον κινεῖν ὃ ἐκίνησεν." κἂν γὰρ διὰ τοῦ μεταξύ τι κινῇ μὴ ἁπτόμενον τοῦ κινουμένου, ὡς ἡ Μαγνῆτις λίθος τὸ δεύτερον σιδήριον κινεῖ, μὴ ἁπτομένη αὐτοῦ, ὅταν αὕτη μὲν ἑλκύσῃ τὸ προσεχές, τοῦτο δὲ ἑλκύσῃ τὸ μεθ' ἑαυτό (τότε γὰρ ποιεῖ ἡ λίθος τὸ σιδήριον, ὃ ἐκίνησεν αὐτή, τοῦτο κινεῖν τὸ ἐφεξῆς, διὰ τὸ μὴ μόνον κινεῖν τὸ προσεχές, ἀλλὰ καὶ δύναμιν αὐτῷ κινητικὴν ἐνδιδόναι, διὸ οὐ μόνον κινεῖται ἐκεῖνο ἀλλὰ καὶ κινεῖ), — κἂν οὕτως οὖν τι, φησί, κινῇ ὥσπερ ἡ λίθος, ἀνάγκη καὶ κινεῖσθαι ἅμα, ὅταν τὸ πρώτως κινοῦν κινῇ, καὶ πεπαῦσθαι τῆς κινήσεως, ὅταν τὸ πρώτως κινοῦν παύσηται τοῦ κινεῖν. καὶ λαβὼν τὴν ἀρχὴν ἀπὸ τῆς λίθου, κατὰ τὴν αὐτὴν ἔφοδον λύει τὴν ἀπορίαν. ὡς γὰρ ἐπὶ τῆς λίθου οὔτε ὁ ἀὴρ αἴτιός ἐστιν, οὔτε παυσαμένου τοῦ κινοῦντος μένει τὸ κινούμενον, ἀλλ' ἡ κινητικὴ δύναμις διδομένη τῷ προσεχεῖ κινεῖ τὸ κινούμενον ἕως ἂν αὐτὴ ἐνεργῇ, οὕτω φησὶν ἀνάγκη καὶ ἐπὶ τῶν ἄλλων λέγειν, ὅτι τὸ πρώτως κινῆσαν τὸ προσεχῶς ὑπ' αὐτοῦ κινηθὲν ποιεῖ οἷόν τε κινεῖν ἢ τὸν ἀέρα τοιοῦτον ἢ τὸ ὕδωρ· ταῦτα γάρ ἐστι μάλιστα δι' ὧν κινεῖται τὰ κινούμενα, ἃ δύναται καὶ ταῦτα κινεῖν. "ἢ τι ἄλλο" δὲ προσέθηκεν ἴσως διὰ τὴν λίθον καὶ τὸν σίδηρον, ἢ τὸ ἤλεκτρον καὶ τὸ ἄχυρον. καὶ τὸ ὀστοῦν δὲ τοῦ ἰχθύος τοῦ ἱέρακος λέγεται χρυσὸν ἕλκειν, καὶ ἴσως τῷ προσεχῶς ἑλκομένῳ τὴν αὐτὴν ἐνδίδωσι δύναμιν καὶ τοῦτο. εἴτε οὖν κατὰ ὦσιν κινεῖ τὰ κινούμενα, ὡς τὰ δι' ἀέρος ἢ ὕδατος κινούμενα, εἴτε κατὰ ὁλκήν, ὡς τὰ εἰρημένα, τὸ πρῶτον κινοῦν, οἷον τὸ ῥιπτοῦν, οὐ μόνον τὸ βέλος κινεῖ ἀλλὰ καὶ τὸν ἀέρα ἢ τὸ ὕδωρ, δι' οὗ ἡ ῥῖψις γίνεται, καὶ οὐ μόνον κινεῖ ταῦτα, ἀλλὰ καὶ δύναμιν αὐτοῖς ἐνδίδωσι τοῦ κινεῖν, ὥστε μὴ μόνον κινεῖσθαι ἀλλὰ καὶ κινεῖν, φύσιν ἔχοντα κινεῖν ἅμα καὶ κινεῖσθαι... ζητεῖ δὲ ὁ Ἀλέξανδρος ἐν τούτοις καλῶς, πῶς οὐχὶ καὶ τούτων ῥηθέντων μένει ἔτι ἡ αὐτὴ ἀπορία· ὁ γὰρ ἀὴρ ὁ τὴν δύναμιν τοῦ κινεῖν λαβὼν παρὰ τοῦ τὸ βέλος ῥίψαντος ἤτοι κινούμενος κινεῖ ἢ οὔ. ἀλλὰ μὴ κινούμενος μὲν οὐκ ἂν κινήσοι· τὰ γὰρ σωματικῶς

νατον ὂν τὸ ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν... ὁ δὲ γραμματικὸς ἐκεῖνος οὗ κατ᾽ ἀρχὰς τῶν εἰς τοῦτο τὸ βιβλίον σχολῶν ἐμνημόνευσα, μέγα νομίζων εἰ τῶν ἰδιωτῶν πολλοὺς ὑπάγοιτο πρὸς τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου παντὸς καταφρόνησιν, ὡς ὁμοίως αὐτοῖς ὄντων φθαρτῶν, καὶ δηλονότι καὶ πρὸς τὴν αὐτοῦ τοῦ δημιουργοῦ, εἰ γενητοῦ καὶ φθαρτοῦ κόσμου ποιητὴς ἀποδειχθείη, τὸν πρὸ τοῦ δημιουργεῖν ἅπαντα αἰῶνα οὔτε δημιουργὸς ὢν οὔτε πάντων τῶν ὄντων θεὸς καὶ πατὴρ καὶ ὑποστάτης, εἴπερ μηδὲ ἐγεγόνει τι τῶν ὄντων τότε, ἀπὸ δὴ τοιούτων γιγαντικῶν ἐννοιῶν ὁ ἀνὴρ οὗτος καὶ τοῖς ἐν τῷ πρώτῳ τῆς περὶ οὐρανοῦ περὶ τῆς ἀϊδιότητος τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου δειχθεῖσιν ὑπὸ τοῦ Ἀριστοτέλους ἀντιγράφειν ἐτόλμησεν, οὐδὲ συνεὶς τῶν ἐκεῖ λεγομένων, ὡς ἐν ἐκείνοις ἐπειράθην ἀποδεῖξαι, καὶ πρὸς τὰ ἐν ἀρχῇ τοῦδε τοῦ βιβλίου τὰ τὴν κίνησιν καὶ τὸν χρόνον ἀΐδια δεικνύντα παρὰ θύρας ἀπαντῶν ἐνέστη, ὡς δυνατὸν καταμαθεῖν ἐκ τῶν ἐκεῖ πρὸς αὐτὸν εἰρημένων. εἰς δὴ τοῦτον σκοπὸν ἐνόμισεν αὐτῷ καὶ ταύτην συντελεῖν τὴν ἀπόδειξιν τοῦ Ἀριστοτέλους, δι᾽ ἧς δείκνυσιν ὅτι οὐδὲν σῶμα πεπερασμένον ἄπειρον ἔχει δύναμιν...; νομίζει γὰρ ταὐτὸν οἴεσθαι τὸν Ἀριστοτέλην τὸ δύναμιν ἄπειρον ἔχειν κινητικὴν καὶ τὸ δύνασθαι διαρκεῖν εἰς τὸν ἄπειρον χρόνον κινούμενον... καὶ οὐκ ἐπέστησεν ὅτι ἄλλο μέν ἐστι τὸ δύναμιν ἔχειν ἄπειρον ἅμα ὅλην κινητικὴν ἀϊδίως, καὶ ἄλλο τὸ δύνασθαι διαρκεῖν ἀϊδίως κινούμενον, καὶ ὅτι τὸ μὲν ἐνεργείᾳ ἀπειροδύναμον ὅλον ἅμα τῷ ἀϊδίως κινοῦντι ὑπάρχει, τὸ δὲ οὕτως ἄπειρον ὡς δύνασθαι ἐπ᾽ ἄπειρον κινεῖσθαι οὐ κατὰ τὴν ἐνεργητικὴν καὶ κινητικὴν δύναμιν τὴν ἅμα ὅλην οὖσαν, ἀλλὰ κατὰ τὴν παθητικὴν καὶ τὸ δυνάμει ὑπάρχει τῷ ἀϊδίως κινουμένῳ... ἐπειδὴ δὲ τὸν ὅλον οὗτος σκοπὸν τῆς Ἀριστοτελικῆς ἀποδείξεως ἀγνοήσας, καὶ νομίσας ὅτι ὁ δεικνὺς τὸ πεπερασμένον σῶμα μὴ ἔχειν ἄπειρον κινητικὴν δύναμιν, εὐθὺς ἂν εἴη δεδειχὼς ὅτι ὁ οὐρανὸς πεπερασμένος ὢν φθαρτός ἐστι, καὶ διὰ τοῦτο καὶ δι᾽ οἰκείων ἐπιχειρημάτων ἐπιβάλλεται δεικνύναι ὅτι τὸ πεπερασμένον σῶμα πεπερασμένην ἔχει δύναμιν, καὶ ὡς ἐξ ἀνάγκης ἑπόμενον τούτῳ ἐπάγει ὅτι ὁ οὐρανὸς φθαρτός ἐστι, φέρε καὶ ταύταις αὐτοῦ ταῖς παρανοίαις ἐπιδράμωμεν... ὁ τοίνυν οὐρανὸς πρὸ ἑξακισχιλίων καὶ πρὸς ἐνιαυτῶν, ὡς οὗτος οἴεται, γεγονώς, καὶ ἐπ᾽ ἐσχάταις ὢν ἤδη τῶν ἡμερῶν, ὡς καὶ τοῦτο πάντως αὐτὸν ἀρέσκει, πῶς οὐδὲν παρακμαστικὸν καὶ πρὸς φθορὰν ὁδεῦον ἡμῖν ἐνεδείξατο;... ἐπιστῆσαι δὲ ἄξιον ὅτι κἀνταῦθα πάλιν ὁ Ἀριστοτέλης ἐν διαφόροις ὀνόμασι τὰς αὐτὰς ἐννοίας τῷ σφετέρῳ καθηγεμόνι προυβάλετο. καὶ γὰρ ὁ μὲν Πλάτων τὴν διαφορὰν τοῦ χωριστοῦ τῶν οὐρανίων αἰτίου καὶ αὐτῶν τῶν οὐρανίων ἀπὸ τῆς οὐσίας παραδίδωσι, καθ᾽ ὅσον τὸ μὲν αἴτιον ὄντως ὄν ἐστιν, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον καὶ μήτε κατ᾽ οὐσίαν μήτε κατὰ δύναμιν μήτε κατ᾽ ἐνέργειαν κίνησιν ἢ μεταβολὴν ὑφιστάμενον, τὸν δὲ οὐρανὸν σωματικὸν ὄντα καὶ διὰ τοῦτο οὐκ αὐθυπόστατον γινόμενον εἶπεν καὶ οὐκ ὄντως ὄντα... ὁ δὲ Ἀριστοτέλης φυσικώτερον ἀπὸ τῆς κινήσεως ἀρχόμενος, πρῶτον ἔδειξεν ὅτι ἀνάγκη κίνησιν ἀΐδιον εἶναι, καὶ τὸ κινούμενον ἔτι μᾶλλον, εἴπερ ἐν τῷ κινουμένῳ ἡ κίνησις, καὶ ὅτι τὸ κινούμενον ὑπό τινος πάντως κινεῖται· καὶ ὅτι τὸ μὲν πρώτως κινοῦν τὴν ἀΐδιον κίνησιν ἀνάγκη εἶναι καὶ ἀπειροδύναμον καὶ ἀμερές, τὸ δὲ πρώτως ὑπὸ τούτου τὴν ἀΐδιον κίνησιν κινούμενον μίαν οὖσαν καὶ συνεχῆ τὸ κυκλοφορητικὸν εἶναι σῶμα... ζητήσει δὲ ἂν οἶμαι πᾶς ὁ μὴ παρέργως τῶν Ἀριστοτέλους λόγων ἀκούων περὶ τοῦ πρώτως κινοῦντος, πότερον ἐγχρόνως κινεῖ ἢ ἀχρόνως. εἰ μὲν γὰρ ἐγχρόνως, πρῶτον μὲν πῶς αὐτὸς ὁ Ἀριστοτέλης περὶ τοῦ ἀπειροδυνάμου λέγων χρόνον γε, φησίν, οὐκ ἐνδέχεται εἶναι οὐδένα καθ᾽ ὃν κινεῖ; ἔπειτα εἰ ἀκίνητόν ἐστι καὶ κατὰ πᾶσαν μεταβολὴν ἀμετάβλητον τὸ πρώτως κινοῦν, οὐ κατ᾽ οὐσίαν μόνον ἀλλὰ καὶ κατὰ δύναμιν καὶ κατ᾽ ἐνέργειαν, πῶς ὁ χρόνος μέτρον κινήσεως ὢν τὰς ἀκινήτους ἐνεργείας μετρήσει τοῦ πρώτως κινοῦντος; εἰ δὲ μὴ ἐν χρόνῳ κινεῖ, πῶς ἐν χρόνῳ κινεῖται τὸ πρώτως ὑπ᾽ αὐτοῦ κινούμενον; πρὸς ἃ ῥητέον, ὅτι τῶν κινούντων ὅσα μὲν κινούμενα κινεῖ, ὥσπερ τὰ σωματικῶς κινοῦντα ὠθοῦντα καὶ ἕλκοντα καὶ ῥιπτοῦντα, ταῦτα ἐν χρόνῳ κινεῖ, οὐ διὰ τὸ κινεῖν ἁπλῶς, ἀλλὰ διὰ τὸ κινεῖσθαι· κινήσεως γὰρ μέτρον ὁ χρόνος, ἡ δὲ κίνησις ἐν τῷ κινουμένῳ ἐστὶ καὶ οὐκ ἐν τῷ κινοῦντι. τὸ δὲ πρώτως κινοῦν ἀκίνητον ὂν καὶ κατ᾽ οὐσίαν καὶ κατ᾽ ἐνέργειαν, ὡς ὑπὲρ πᾶσαν κίνησιν ἱδρυμένον, καὶ ἀχρόνους ἔχει τὰς ἐνεργείας ὡς ὑπὲρ χρόνον οὔσας. id. f. 311 *b*—315 *b*.

266 b 6.
τοῖς προκειμένοις ἀναγκαίως δείξας ὅτι οὐδὲν μέγεθος πεπερασμένον ἄπειρον ἔχει δύναμιν, ἵνα διὰ τούτου δειχθῇ τὸ πρώτως κινοῦν ἀπειροδύναμον μὴ ὂν μέγεθος πεπερασμένον, εἰ δὲ τὸ ἄπειρον μέγεθος μηδὲ ἔστιν ὅλως ἐν τοῖς οὖσιν, δηλονότι σαφῶς ἀποδέδεικται ὅτι τὸ πρώτως κινοῦν ἀμερές ἐστι καὶ ἀμέγεθες, διὰ τοῦτο μὲν οὖν ἀναγκαίως, ὡς εἶπον, ἔδειξεν ὅτι οὐδὲν μέγεθος πεπερασμένον ἄπειρον ἔχει δύναμιν. νῦν δὲ προτίθεται δεῖξαι ὅτι οὐδὲ ἄπειρόν τι μέγεθος πεπερασμένην ἔχει δύναμιν, ὅπερ ἀναγκαῖον μὲν οὐκ ἔστι πρὸς τὰ προκείμενα (οὐδὲ γὰρ οὐδὲ ἔστιν ὅλως ἐνεργείᾳ μέγεθος ἄπειρον), ὡς ἀντίστροφον δὲ καὶ συγγενὲς τῷ προαποδεδειγμένῳ καὶ καθ᾽ αὐτὸ θεωρίαν ἔχον ἀξιόλογον ἀποδεῖξαι καὶ τοῦτο προέθετο. καὶ δείκνυσιν αὐτὸ τὴν μὲν ἀρχὴν διὰ βραχέων ῥημάτων τὴν ἀπόδειξιν ἐνδειξάμενος οὕτως. δόξας γὰρ ἐνίστασθαι πρὸς τὸ ἑαυτοῦ πρόβλημα τὸ λέγον ἐν ἀπείρῳ μεγέθει μὴ εἶναι δύναμιν πεπερασμένην διὰ τοῦ "καίτοι ἐνδέχεται ἐν ἐλάττονι μεγέθει πλείω δύναμιν ἐνεῖναι".. εἰ οὖν τοῦτο ἀληθές, τί κωλύει καὶ τὸ τούτῳ ἀντίστροφον δοκοῦν ἀληθὲς εἶναι, τὸ καὶ ἐν τῷ πάντων μεγίστῳ σώματι τῷ ἀπείρῳ πεπερασμένην ἐνεῖναι δύναμιν; ὅτι δὲ ὡς ἔνστασιν αὐτὴν κομίζει, δηλοῖ τὸ "καίτοι" προτεταγμένον ἐνστατικὸν ἐπίρρημα. ὁ δὲ Ἀλέξανδρος χρησιμώτερον ἦν αὐτῷ φησὶν ὡς πρὸς τὸ προκείμενον τὸ εἰπεῖν "καίτοι ἐνδέχεται ἐν μείζονι μεγέθει ἐλάττονα δύναμιν εἶναι·" τοῦτο γὰρ μᾶλλον ἐνδείκνυται δύνασθαι καὶ ἐν ἀπείρῳ μεγέθει πεπερασμένην εἶναι... μήποτε δὲ πρὸς τὸν λέγοντα ὅτι ἐν ἀπείρῳ πεπερασμένη δύναμις οὐκ ἔστιν, ὁ μὲν οὕτως ἐνιστάμενος, καίτοι ἐν μείζονι ἐνδέχεται ἐλάττονα εἶναι, χωρὶς παραμυθίας λέγει τὸ αὐτό, ὁ δὲ λέγων "καίτοι ἐνδέχεται ἐν ἐλάττονι πλείω εἶναι" ἀπὸ τοῦ ἀντικειμένου τὸ ἀντικείμενον εἰσάγει· ἀντίκειται γὰρ τῷ ἐν ἐλάττονι πλεῖον τὸ ἐν μείζονι ἔλαττον. ἴσως δὲ καὶ ἐναργέστερόν ἐστι τὸ ἐν ἐλάττονι μεγέθει πλείω δύναμιν ἐνεῖναι, ὡς ἐπὶ τῶν εἰρημένων... καὶ ἡ μὲν ἔνστασις τοιαύτη. λύει δὲ αὐτὴν λέγων "ἀλλ᾽ ἔτι μᾶλλον ἐν μείζονι

ἔχον τὸ αὐτὸ ἐν ἐλάττονι χρόνῳ κινεῖ τῆς ἐλάττονος δυνάμεως. id. ib.

266 a 14. τούτων τοίνυν φανερῶν ὄντων, ἀμήχανον τὸ κινούμενον ἐν ἀπείρῳ χρόνῳ συνεχῆ τε καὶ ἀΐδιον κίνησιν ὑπὸ σώματος τοῦ πρώτου κινεῖσθαι. ἢ γὰρ ἄπειρον ἢ πεπερασμένον ἔσται τὸ κινοῦν σῶμα· καὶ ἄπειρον μὲν οὐκ ἐνδέχεται, λείπεται δὲ πεπερασμένον. εἰ δὲ πεπερασμένον, ἤτοι πεπερασμένην ἢ ἄπειρον ἕξει τὴν δύναμιν. εἰ μὲν οὖν πεπερασμένην, εἰλήφθω τῆς αὐτῆς μείζων ἄλλη δύναμις, καὶ πλείονα χρόνον κινήσει ἢ ὅσον ἡ πεπερασμένη κινεῖ τὸν αὐτὸν ὄγκον. τοῦ δ' ἀπείρου πλειόνων οὐκ ἔσται. εἰ δὲ ἄπειρον, ἐν οὐδενὶ χρόνῳ κινήσει τὸ αὐτὸ μέγεθος ὅπερ ἡ πεπερασμένη τε καὶ ἐλάττων ἐν τοσῷδε χρόνῳ· οὐ γὰρ ἔχει λόγον ἡ ὑπεροχὴ τῆς δυνάμεως, ἀλλ' ὥσπερ ἀδύνατον λαβεῖν ὅσῳ μείζων ἐστὶν ἡ δύναμις τῆς πεπερασμένης ἡ ἄπειρος, οὕτως ἀδύνατον ἔσται λαβεῖν ὅσῳ ἐλάττων ὁ χρόνος τοῦ χρόνου, καθ' ὃν ἡ ἄπειρος κίνησις κινεῖ ταὐτὸν διάστημα τῷ καθ' ὃν ἡ πεπερασμένη. τοίνυν ἢ οὐ κινήσει τὸ σύνολον ἡ ἄπειρος τε καὶ μείζων ὃ κεκίνηκεν ἡ ἐλάττων, ἢ οὐκ ἐν χρόνῳ κινήσει. ἄμφω δὲ ἄλογα καὶ ἀδύνατα. Themist. f. 63.

266 a 16. εἶτα λαβὼν ἀπὸ τοῦ α' τοῦ κινοῦντος πεπερασμένου ὄντος μόριόν τι τὸ δ', ὑποτίθεται αὐτὸ κινεῖν μόριόν τι τοῦ β' τὸ ε'. δεῖ δὲ λαβεῖν τὸ δ' τὸ κινοῦν καὶ τὸ ε' τὸ κινούμενον οὐκ ἐν τῇ αὐτῇ ἀναλογίᾳ πρὸς ἄλληλα ἐν ᾗ τὸ α' ὅλον τὸ κινοῦν πρὸς τὸ β' ὅλον ἐστὶ τὸ ὑπ' αὐτοῦ κινούμενον, ἀλλ' ὑπερέχον τὸ δ' τὸ κινοῦν τοῦ ε' τοῦ κινουμένου. τοῦτο γὰρ δεῖ προσυπακούειν, εἰ μέλλει τὰ ἐφεξῆς ἀκολούθως ἐπάγεσθαι. Simpl. f. 310 b.

266 a 19. τὸ αὐτὸ ἄρα ὑπὸ τοῦ αὐτοῦ ἔσται καὶ ἐν πεπερασμένῳ χρόνῳ καὶ ἐν ἀπείρῳ κινούμενον, ὅπερ ἀδύνατον. προστιθέντες γὰρ τῷ ε' ἕως ἂν ὅλον λάβωμεν τὸ β', ἢ καταναλώσομεν καὶ τὸν γ' χρόνον ἢ οὔ. ἀλλ' εἰ μὲν καταναλώσομεν, οὐκ ἄπειρος· τὸ γὰρ καταμετρούμενον οὐκ ἄπειρον, ἔσται δὲ καταμεμετρημένος ὑπὸ τοῦ ζ' πεπερασμένου, ὅστις ἦν ὁ πρῶτος εἰλημμένος. εἰ δὲ μὴ καταναλώσομεν, ἀλλ' ἔσται μετὰ τὴν τῶν τοσούτων χρόνων τῶν ἴσων τῷ ζ' ἀφαίρεσιν, ὅσα ἦν καὶ τὰ β', ὑπολειπόμενός τις χρόνος, οὐκ ἐν τῷ γ' ἔσται ὅλῳ κεκινηκὸς τὸ α' τὸ β', ἀλλ' ἐν μέρει αὐτοῦ τῷ τοσαυτάκις ἴσῳ τῷ ζ' ὁσάκις ἐλήφθη τὰ ἐν τῷ β'. τοῦτο οὖν ἐστὶν ὃ λέγει, ὅτι τῷ δ' προσθεὶς καταναλώσω τὸ α' (πεπερασμένον γὰρ ἦν τὸ κινοῦν) καὶ τῇ ε' τὸ β' (πεπερασμένον γὰρ ἦν καὶ τὸ κινούμενον), τὸν δὲ χρόνον οὐ καταναλώσω ἄπειρον ὄντα. δυνατὸν δὲ τὸ μὲν κινοῦν τὸ αὐτὸ φυλάξαι τὸ α', τοῦ δὲ κινουμένου τοῦ β' μέρος ἀφελεῖν, ὃ δηλονότι ἐν ἐλάττονι τοῦ ἀπείρου χρόνου κινήσει τὸ α'. ἐν πεπερασμένῳ ἄρα... καλῶς δὲ τῷ καταναλώσω ἐχρήσατο, ἀλλ' οὐ τῷ καταμετρήσω. ἂν μὲν γὰρ ἴσων τῷ ἐξ ἀρχῆς ἀφαιρουμένων καὶ τὸ τελευταῖον ἴσον ᾖ, πρὸς τῷ ἀνηλωκέναι τὸ α' καὶ κατεμετρήσαμεν αὐτὸ τῷ δ'· γένοιτο δ' ἂν τοῦτο, εἰ τὴν ἀρχὴν οὕτως ἀφαιρεθείη τὸ δ' ὡς δύνασθαι εἰς ἴσα αὐτῷ ἅπαν διαιρεθῆναι τὸ α'. ἐὰν δὲ τὸ τελευταῖον ὑπολειπόμενον τοῦ α' μηκέτι ᾖ ἴσον τῷ δ' ἀλλὰ ἔλαττον αὐτοῦ, καταναλωθῆναι μὲν καὶ οὕτω λέγεται τὸ α' τῇ τοιαύτῃ ἀφαιρέσει, οὐ μέντοι καὶ καταμετρηθῆναι ὑπὸ τοῦ δ'. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ β' καὶ τοῦ ε'. id. f. 311.

προθέμενος δεῖξαι ὅτι τὸ τὴν ἀΐδιον κίνησιν προσεχῶς κινοῦν 266 a 24. (τοῦτο γάρ ἐστι τὸ πρώτως κινοῦν) πρὸς τῷ ἀκίνητον εἶναι καὶ ἀμερὲς καὶ ἀμεγεθές ἐστι, καὶ ἔχων δεδειγμένον ὅτι ἄπειρον μέγεθος οὐδὲ ἔστιν ὅλως ἐν τοῖς οὖσιν, ἔδειξε πρῶτον ὅτι πεπερασμένον αὐτὸ μέγεθος εἶναι πεπερασμένην ἔχον δύναμιν ἀδύνατον· τὸ γὰρ τοιοῦτον οὐχ οἷόν τε κίνησιν ἀΐδιον κινεῖν. λοιπὸν οὖν ἦν δεῖξαι ὅτι οὐδὲ πεπερασμένον μέγεθος αὐτὸ δυνατὸν εἶναι ἄπειρον ἔχον δύναμιν, ὅπερ οὐκ ἐπὶ μόνου τοῦ πρώτως κινοῦντος ἀλλὰ καθόλου δείκνυσιν, ὅτι ὅλως οὐκ ἐνδέχεται ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν. id. ib.

εἰ οὖν παντὸς χρόνου πεπερασμένου πρὸς πάντα πεπερασμένον 266 a 31. λόγος ἐστίν, οὐδεὶς ἂν εἴη χρόνος ἐν ᾧ ἡ ἄπειρος κινηθήσεται, καὶ τὸ ἑπόμενον τούτῳ ἄτοπον παραλιπών (εἰ γὰρ μὴ ἐν χρόνῳ, οὐδὲ κινεῖ ὅλως οὐδὲ ἔστι κινητικὴ ἡ ἄπειρος ἐκείνη δύναμις, ὅτι ἐν οὐδενὶ χρόνῳ) δείκνυσι τὸ ἀντικείμενον, ὑποθέμενος τὸ ἐν χρόνῳ κινεῖν. ἔστω γὰρ φησὶ χρόνος ὁ α', ἐν ᾧ τὸ πεπερασμένον ἀπείρῳ δυνάμει κινεῖ τι καὶ μεταβάλλει. τὸ δὴ πεπερασμένην ἔχον δύναμιν τὸ αὐτὸ κινήσει ἐν πλείονι χρόνῳ τῷ αβ'. ἐὰν οὖν τὸ τὴν πεπερασμένην ἔχον δύναμιν διπλασιάσωμεν, δηλονότι τὸ αὐτὸ ἐν ἐλάττονι χρόνῳ τοῦ αβ' μεταβάλλει, ὁμοίως δὲ κἂν αὐξηθῇ, πάλιν ἐν ἐλάττονι, καὶ ἀεὶ οὕτως αὐξόντων ἡμῶν καὶ διπλασιαζόντων τὸ μέγεθος καὶ τὴν δύναμιν κατὰ λόγον ὁ χρόνος μειωθήσεται. προστιθέντες δὲ ἀεὶ τῷ μεγέθει καὶ ἀφαιροῦντες τοῦ χρόνου ἐλευσόμεθά ποτε εἰς τὸν α' χρόνον, ἐν ᾧ τὸ αὐτὸ τοῦτο ἔκειτο κινεῖσθαι ὑπὸ τῆς ἀπείρου δυνάμεως. ἐν ἴσῳ ἄρα χρόνῳ τὸ αὐτὸ ἡ πεπερασμένη δύναμις τῇ ἀπείρῳ κινήσει· τῷ γὰρ διπλασίῳ αὐξομένη ἡ δύναμις ἀεὶ πεπερασμένη μένει τῷ πᾶν τὸ τοῦ πεπερασμένου διπλάσιον πεπερασμένον εἶναι. εἰ οὖν τοῦτο ἄτοπον, τὸ τὴν πεπερασμένην δύναμιν καὶ τὴν ἄπειρον ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ κινεῖν, καὶ ἠκολούθησε τὸ ἄτοπον τῷ τὴν ἄπειρον δύναμιν ἐν χρόνῳ τινὶ κινεῖν· ᾧ δὲ ἄτοπόν τι καὶ ἀδύνατον ἀκολουθεῖ, καὶ αὐτὸ ἄτοπον καὶ ἀδύνατόν ἐστιν· ἐν οὐδενὶ ἄρα χρόνῳ ἡ ἐν τῷ πεπερασμένῳ δύναμις ἄπειρος κινήσει. οὐδὲ κινήσει ἄρα· ὥστε οὐδὲ ἔσται δύναμις κινητικὴ ἄπειρος ἐν πεπερασμένῳ· εἰ γὰρ ἦν, ἐκίνει, καὶ ἐν χρόνῳ ἐκινεῖτο τὸ κινούμενον. ἐφιστάνει δὲ ὁ Ἀλέξανδρος ὅτι οὐχ οὕτως ὡς Ἀριστοτέλης ὑπέθετο ὑπὸ τοῦ τὴν ἄπειρον δύναμιν ἔχοντος ἄρχεσθαι χρὴ τοῦ κινοῦντος ἐν τῷ α' χρόνῳ τόδε τι τὸ κινούμενον, καὶ συνάγειν, ὡς αὐτὸς ἐποίησεν, ὅτι καὶ ὑπὸ τοῦ τὴν πεπερασμένην ἔχοντος δύναμιν τὸ αὐτὸ κινηθήσεται ἐν ἴσῳ χρόνῳ. εἰ γὰρ οὕτω φησὶ λαμβάνοιτο, ἔνστασιν ἕξει ὡς οὐκ ἀληθές· οὐ γὰρ συγχωρήσει τις δύνασθαι τὸ κεκινημένον ὑπὸ τῆς ἀπείρου δυνάμεως καὶ ὑπὸ τῆς πεπερασμένης κινηθῆναι. ἀλλ' ἀνάπαλιν χρὴ λαμβάνειν· τὸ γὰρ ὑπὸ τῆς πεπερασμένης δυνάμεως κεκινημένον ἐν χρόνῳ τινί, τοῦτο ὑποτίθεσθαι χρὴ καὶ ὑπὸ τῆς ἀπείρου κινεῖσθαι ἔν τινι πολὺ ἐλάττονι... μήποτε δὲ καλῶς καὶ ἀναγκαίως ὁ Ἀριστοτέλης ἀπὸ τοῦ τὴν ἄπειρον ἔχοντος δύναμιν ἤρξατο, καὶ οὐ χρεία τοῦ ἀνάπαλιν λαμβάνειν... ἔνεστι δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ οὕτω δεικνύναι ἀδύ-

κεῖθεν δεῦρο· ὥρισται γὰρ τὰ πέρατα καὶ εἴληπται ἤδη. ἵστασθαι οὖν ἐν αὐτῷ ἀνάγκη. Themist. f. 62 *b*.

265a 2. δῆλον οὖν ἐκ τούτων ὅτι μηδὲ οἱ φυσιολόγοι καλῶς λέγουσιν, πάντα τὰ αἰσθητὰ κινεῖσθαι φάσκοντες ἀεί, καίτοι μὴ πάντα λέγοντες κύκλῳ κινεῖσθαι, ἀλλὰ καὶ γινόμενα καὶ φθειρόμενα καὶ αὐξανόμενα καὶ μειούμενα καὶ ὅλως ἀλλοιούμενα· καὶ γὰρ τὴν γένεσιν καὶ τὴν φθορὰν ἀλλοίωσιν λέγουσιν. id. ib.

265a 6. τοὺς περὶ Ἡράκλειτον φυσιολόγους εἰς τὴν ἐνδελεχῆ τῆς γενέσεως ῥοὴν ἀφορῶντας, καὶ ὅτι γινόμενα καὶ ἀπογινόμενα πάντα ἐστὶ τὰ σωματικὰ καὶ ὄντως δὲ οὐδέποτε ὄντα, ὡς καὶ ὁ Τίμαιος εἶπεν, εἰκός ἐστι λέγειν ὅτι ἀεὶ πάντα ῥεῖ, καὶ ὅτι εἰς τὸν αὐτὸν ποταμὸν δὶς οὐκ ἂν ἐμβαίης. τὴν γὰρ μεταξὺ ταύτην τῶν ἀντικειμένων κινήσεων ἠρεμίαν, ἣν ὁ Ἀριστοτέλης ἐξέφηνε, κἂν ἐθεάσαντο, ὡς ἀνεπαίσθητον οὖσαν ἐν οὐδενὶ λόγῳ πρὸς τὴν ὅλην ῥοὴν ἐλογίσαντο. Simpl. f. 308 *b*.

265a 13. τὸ γὰρ οὕτως ἄπειρον μέγεθος ὡς ἐνεργείᾳ καὶ ἀδιεξίτητον ὅτι μὴ ἔστι, δέδεικται ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας (c. 5). ἔπειτα εἰ καὶ συγχωρήσοι τις ἄπειρον εὐθεῖαν εἶναι, οὐκ ἄν τι ἐκινεῖτο ἐπ' αὐτῆς. id. ib.

265b 1. καὶ ἅμα κινεῖται καὶ ἠρεμεῖ πως ἡ σφαῖρα· οὐ γὰρ μεταβάλλει τὸν ὅλον τόπον. τῆς δὲ τοιαύτης μονῆς τε ἅμα καὶ κινήσεως αἴτιον, ὅτι ἐπὶ τῆς σφαίρας ἡ κυρίως ἀρχὴ καὶ τὸ κυρίως πέρας τὸ μέσον ἐστίν, ἀρχὴ μέν, ὅτι ἀπὸ τούτου ἡ σφαῖρα (ἡ γὰρ ἀπὸ τούτου πανταχόθεν ἴση ἀπόστασις κύκλος), πέρας δέ, ὅτι εἰς τοῦτο τελευτῶσιν αἱ ἀπὸ τῆς περιφερείας εὐθεῖαι. ἐπεὶ τοίνυν οὐκ ἐπὶ τὸ πέρας ἀλλὰ περὶ τὸ πέρας κινεῖται, τοῦτο δὲ ἀεὶ ἐν ταὐτῷ μένει, ἀεὶ μὲν διὰ τοῦτο κινεῖται, ὅτι οὐδὲ πεπέρασται ἐπὶ τὸ πέρας, ἐν ταὐτῷ δὲ ἀεί, ὅτι ἀεὶ περιμένει τὸ πέρας. Themist. f. 63.

265b 3. ἀρχὴ δὲ καὶ μέσον καὶ τέλος τοῦ κύκλου τὸ κέντρον ἐστίν, ἀρχὴ μέν, ὅτι κατὰ τὴν ἀπὸ τοῦ κέντρου ἴσην ἀπόστασιν ὑφίσταται ὁ κύκλος, τέλος δέ, ὅτι πᾶσαι αἱ ἀπὸ τοῦ κύκλου γραμμαὶ εἰς αὐτὸ περατοῦνται, μέσον δέ, ὅτι πανταχόθεν ἴσον ἀπὸ τοῦ κύκλου διέστηκεν. Simpl. f. 309.

265b 8. καὶ διὰ τοῦ μέτρον εἶναι τὴν κυκλοφορίαν τῶν ἄλλων κινήσεων δείκνυσιν ὅτι πρώτη ἐστίν. καὶ ὅτι μὲν μέτρον, δῆλον μὲν καὶ ἐκ τῆς ἐναργείας· ἡμέρα γὰρ καὶ νὺξ τῆς κυκλοφορίας χρόνος, καὶ τούτῳ καὶ τοῖς τούτου μέρεσι τὰς κινήσεις πάσας μετροῦμεν, καὶ δέδεικταί τε ἐν τῷ τετάρτῳ τῆσδε τῆς πραγματείας (c. 14 p. 223 *b* 18) ὅτι μέτρον τῶν ἄλλων κινήσεών ἐστιν ἡ κυκλοφορία, ὅτε περὶ τοῦ χρόνου τὸν λόγον ἐποιεῖτο... ὁ Ἀλέξανδρος τὴν γραφὴν εὑρὼν οὕτως ἔχουσαν "καὶ γὰρ ὅτι μέτρον τῶν κινήσεων ἡ φορά, πρώτην ἀναγκαῖον αὐτὴν εἶναι," τὴν φοράν, φησίν, ἀντὶ τῆς κυκλοφορίας εἶπεν, τῷ τοῦ κοινοῦ ὀνόματι χρησάμενος ἐπ' αὐτῆς. ἐγὼ μέντοι ἔν τισιν ἀντιγράφοις, ἀντὶ τοῦ ἡ φορά, ἡ περιφορὰ γεγραμμένον εὗρον. id. f. 309 *b*.

265b 14. τὸ δὲ κατὰ φύσιν κινούμενον πλησίον τοῦ οἰκείου τόπου γενόμενον θᾶττον φέρεται ἢ ὡς πρὸς συγγενές, ἢ ὅτι ἔλαττον τῷ πλησιάζοντι τὸ ἐμποδίζον καὶ διαιρούμενον, τὸ δὲ ἔλαττον εὐδιαιρετώτερον, ἢ ὅτι ὁμοιότερον αὐτῷ τὸ τοῦ οἰκείου πλησίον καὶ οὐχ ὁμοίως ἐναντίον, ὥσπερ τὸ ὅθεν ἤρχετο τῆς κινήσεως, ἢ ὅτι ἄρχεται μὲν τῆς ἐπὶ τὸ οἰκεῖον κινήσεως, ἄρτι μεταβεβληκὸς ἀπὸ τοῦ ἐναντίου, καὶ μήπω τελέως τῶν ἐκείνου ποιοτήτων ἀπηλλαγμένον, ἐξ ὧν εἰς ταύτας μετέβαλλε, προϊὸν δὲ εἰλικρινέστερον γίνεται. id. ib.

265b 17. ἔθος ἐστὶ τῷ Ἀριστοτέλει μετὰ τὰς ἀποδείξεις καὶ τὰς τῶν πρὸ αὐτοῦ μαρτυρίας ὡς συμφωνούσας αὐτοῦ ταῖς ἀποδείξεσι παράγειν, ἵνα διὰ μὲν τῶν ἀποδείξεων διδάσκῃ καὶ ἀναγκάζῃ τοὺς ἐντυγχάνοντας, διὰ δὲ τῆς τῶν ἄλλων μαρτυρίας πειθὼ βεβαιοτέραν ἐμποιῇ τοῖς ἀκούουσιν. οὐδὲ γὰρ ὡς ἀποδείξει χρῆται τῇ τῶν νεωτέρων μαρτυρίᾳ, ὥσπερ τοῖς νεωτέροις ἔθος ἐστίν. id. f. 310.

265b 29. ἰστέον ὅτι πολλὰ μὲν τῶν βιβλίων οὕτως ἔχει τὴν γραφὴν "συγκρινομένων καὶ διακρινομένων τῶν ἀτόμων σωμάτων φασίν," ὁ δὲ Ἀλέξανδρος "συγκρινομένων καὶ ἀλλοιουμένων" γράφει, καὶ ἐξηγεῖται προσφόρως· παρὰ γὰρ τὴν ἀλλοίαν τῶν ἀτόμων θέσιν καὶ τάξιν ἀλλοιοῦσθαι τὰ συγκρίματα φασίν, οὐ γὰρ ὅτι τῶν ἀτόμων ἀλλοιουμένων... ἐφεξῆς λέγει καὶ ὅπως οἱ μίαν τὴν ἀρχὴν καὶ τὸ στοιχεῖον λέγοντες, ὡς οἱ περὶ Θαλῆν καὶ Ἀναξιμένην καὶ Ἀναξίμανδρον καὶ Ἡράκλειτον, φυσικοὶ καὶ οὗτοι, τὴν φορὰν πρώτην τῶν κινήσεων τίθενται· διὰ γὰρ πυκνώσεως καὶ μανώσεως τὰς γενέσεις καὶ φθορὰς ἀποδιδόασι· σύγκρισις δέ τις ἡ πύκνωσίς ἐστι, καὶ διάκρισις ἡ μάνωσις... τετάρτους δὲ καλεῖ μάρτυρας τοὺς τὴν ψυχὴν αἰτίαν κινήσεως ποιοῦντας, ὥσπερ ὁ Πλάτων τὸ αὐτοκίνητον τὴν ψυχὴν ἐν Φαίδρῳ (p. 245) δείξας ἑαυτό τε κινεῖν φησί, καὶ τοῖς ἄλλοις, ὅσα κινεῖται, τοῦτο πηγὴν καὶ ἀρχὴν εἶναι κινήσεως. id. ib.

266a 1. οἱ δὲ περὶ Δημόκριτον μόνην τὴν κατὰ τόπον κίνησιν ἔλεγον· καὶ γὰρ τὰ ἀλλοιούμενα κατὰ τόπον ἔλεγον κινεῖσθαι, λανθάνει δὲ τοῦτο τῷ μὴ ὅλον ἀλλὰ κατὰ μέρη ἀμείβειν τὸν τόπον. οἱ δὲ ἀπὸ τῆς Στοᾶς κατὰ πᾶσαν κίνησιν ἔλεγον ὑπεῖναι τὴν τοπικήν, ἢ κατὰ μεγάλα διαστήματα ἢ κατὰ λόγῳ θεωρητὰ ὑφισταμένην. id. f. 310 *b*.

266a 10. δείξας πρότερον ὅτι τὸ πρώτως κινοῦν ἀκίνητόν τε καὶ ἀΐδιόν ἐστι, νῦν προτίθεται δεῖξαι ὅτι καὶ ἀμερές ἐστιν, δεικνὺς ἅμα διὰ τούτου τὸν τρόπον τῆς ὑπ' ἐκείνου γινομένης κινήσεως, ὅτι μὴ σωματικὴ μηδὲ βίαιος... ὅτι δὲ οὐκ ἔχει μέγεθος δείκνυσιν ἐκ διαιρέσεως, ἣν αὐτὸς ἐπὶ τέλει τοῦ βιβλίου συνάγων τὸν λόγον τίθησιν οὕτως. εἰ ἔχει μέγεθος, ἢ πεπερασμένον ἢ ἄπειρον ἀνάγκη αὐτὸ εἶναι. ἀλλὰ ἄπειρον εἶναι μέγεθος ἀδύνατον, ὡς δέδεικται ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας. εἰ οὖν πεπερασμένον ἐστὶ μέγεθος, ἢ πεπερασμένην ἔχει δύναμιν ἢ ἄπειρον, καὶ παρὰ ταῦτα οὐκ ἔστιν. εἰ οὖν μήτε τὸ πεπερασμένην ἔχον δύναμιν ἐν ἀπείρῳ χρόνῳ κινεῖν δύναται, ὡς δείξει ἐν τῷ πρώτῳ ἐπιχειρήματι, μήτε πεπερασμένον τι μέγεθος ἄπειρον ἔχει δύναμιν, ὡς ἐν τοῖς ἐφεξῆς δείκνυσι, δηλονότι οὐδαμῶς τὸ τὴν ἀΐδιον κίνησιν ἐν ἀπείρῳ χρόνῳ κινοῦν μέγεθος ἕξει, οὐδὲ μεριστόν ἐστιν. ἀμέριστον ἄρα καὶ ἀμέγεθες... δείκνυσιν οὖν πρῶτον ὅτι οὐδὲν πεπερασμένον καὶ πεπερασμένην ἔχον δύναμιν δυνατὸν κινεῖν τι πεπερασμένον ἐν ἀπείρῳ χρόνῳ, ὡς ὁμολογουμένῳ χρώμενος ἐκείνῳ ὅπερ ἐν τῷ ἑξῆς ἐπιχειρήματι καὶ ἐναργῶς προλαμβάνει, ὅτι τὸ μείζονα δύναμιν

ἐπὶ τὸ κάτω διαφέρουσα καὶ ἀντικειμένη αὐτῇ, οὐ δύναται μίαν συνεχῆ μετ᾽ αὐτῆς ποιεῖν, ἀνάγκη πρὸ τῆς ἐπὶ τὸ ἄνω κινήσεως τὴν ἐναντίαν τῇ κινήσει ταύτῃ ἠρεμίαν ἠρεμεῖν τὴν ἐν τῷ κάτω. οὐ μέντοι τὸ μόριόν τι τῆς ἐπὶ τὸ ἄνω κινήσεως, τὸ πρὸς τὸ ἄνω κινούμενον, πρὸ τοῦ ἐκεῖνο κινεῖσθαι ἠρεμεῖν ἀνάγκη. Simpl. f. 306.

264 b 1. δείξας ὅτι μὴ ἔστι συνεχὴς ἡ ἐπ᾽ εὐθείας κίνησις διὰ κοινοτέρων ἐπιχειρήσεων, ἃς καὶ λογικωτέρας ἐκάλεσεν, νῦν πάλιν τὸ αὐτὸ δι᾽ οἰκειοτέρων ἐπαγγέλλεται δεικνύναι, τουτέστιν ἐκ τῶν καθ᾽ αὐτὸ ὑπαρχόντων· τὰ γὰρ καθ᾽ αὐτὸ ὑπάρχοντά τινι οἰκεῖα αὐτῷ ἐστίν· τῶν δὲ καθ᾽ αὐτὸ ὑπαρχόντων τῇ κινήσει τὸ εἶναι αὐτὴν ἐν χρόνῳ, καὶ τὸ μεταβεβληκὸς εἴς τι ἅμα τε μεταβεβληκέναι εἰς ὃ μετέβαλλεν, καὶ ἀπολελοιπέναι ἐκεῖνο ἐξ οὗ μετέβαλλεν. καθ᾽ αὐτὸ δὲ καὶ τὸ τῶν νῦν μεταξὺ εἶναι χρόνον... οἰκειοτέρα οὖν αὕτη τῶν προτέρων ἡ δεῖξις, ὅτι ἐκεῖ μὲν τὸ ἄτοπον συνήγετο περὶ τὸ ἐναντίας εἶναι τὰς κινήσεις, ἐνταῦθα δὲ παρὰ τὸ ἐν τῷ αὐτῷ νῦν ἅμα ποιεῖν τι μεταβεβληκός τε ἔκ τινος εἴς τι καὶ ἐκ τούτου πάλιν εἰς τὸ ἐξ οὗ μετέβαλλεν εἰς αὐτό· ὅσῳ οὖν οἰκειότερον κινήσει χρόνος τῶν ἐναντίων, τοσούτῳ καὶ ἡ δεῖξις ἥδε τῶν πρὸ αὐτῆς. id. f. 306 *b*.

264 b 6. τοῦτο πρόσκειται παραμυθούμενον ἡμῶν τὴν φαντασίαν τὴν ἀπὸ τῆς τοῦ χρόνου συνεχείας καὶ τὰς ἐν χρόνῳ οὔσας κινήσεις συνεχίζουσαν. οὐ γὰρ εἴ τι ἐν τῷ συνεχεῖ ἐστίν, ἀνάγκη καὶ αὐτὸ συνεχὲς εἶναι, ἐπεὶ οὕτω γε πάντα τὰ ἐν χρόνῳ, κἂν πλεῖστον ἀλλήλων ἀφεστήκῃ, κἂν ἀνομοιότατα ᾖ, συνεχῆ ἔσται... ὅτι δὲ μὴ οἷόν τε συνεχῆ καὶ μίαν κίνησιν εἶναι τὰς ἐναντίας, ἐκ τοῦ ὁρισμοῦ τῶν συνεχῶν ἔδειξε. συνεχῆ γὰρ ἦν ταῦτα ἃ πρὸς ἕνα κοινὸν ὅρον συνήπτετο, καὶ ὧν τὰ πέρατα ἓν ἦν· τῶν δὲ ἐναντίων οὐκ ἔστι κοινὸς ὅρος, οὐδὲ οἷόν τε τὰ ἔσχατα τῶν ἐναντίων καθ᾽ ἃ συναφθήσονται ἓν εἶναι... δύναται δέ τις, φησὶν Ἀλέξανδρος, τὸ ἔσχατον τῶν ἐναντίων τὸ πέρας τοῦ ὅλου συνεχοῦς ἀκούειν· μιᾶς γὰρ καὶ συνεχοῦς κινήσεως ἓν πέρας ἔσται, ὥστε τὸ λευκαινόμενον καὶ τὸ μελαινόμενον ἓν ἂν ἔχοι πέρας. τί δὲ ἂν γένοιτο τοῦτο; οὔτε γὰρ τὸ μέλαν, ὅτι μὴ τῆς λευκάνσεως τοῦτο πέρας ἦν, οὔτε τὸ λευκόν· οὐδὲ γὰρ οἷόν τε τοῦτο πέρας εἶναι τῆς μελάνσεως. ἀλλ᾽ οὐδὲ μῖγμά τι ἐξ ἀμφοῖν, ὅτι μὴ ἅμα ἀμφοτέρας ἐκινεῖτο. id. ib.

264 b 9. μόνῃ δὲ τῇ κύκλῳ καὶ ἐπὶ γραμμῆς περιφεροῦς οὐδὲν ἄτοπον ἀκολουθεῖ· τὸ γὰρ ἐκ τοῦ α´ κινούμενον ἅμα καὶ εἰς τὸ α´ κινήσεται κατὰ τὴν αὐτὴν πρόθεσιν καὶ ὁρμήν· οὐ γὰρ εἰς ἄλλο πρότερον ἥξει σημεῖον· οὐδὲ γὰρ ἐνεργείᾳ σημεῖον ἐπὶ τοῦ κύκλου. οὐδὲ ἀνακάμψει ποθὲν ἐπὶ τὸ α´, ἀλλ᾽ ἅμα τε ἐπὶ τὸ α´ καὶ ἐπὶ τὸ β´ κινεῖται, καὶ οὐχ ἅμα τὰς ἐναντίας οὐδ᾽ ἅμα τὰς ἀντικειμένας· οὐ γὰρ ἅπασα ἡ ἐκ τοῦ α´ τῇ εἰς τὸ α´ ἐστὶν ἐναντία, ἀλλ᾽ ἡ κατ᾽ εὐθεῖαν· ἐπ᾽ ἐκείνης γὰρ ἐνεργείᾳ τὰ πέρατα καὶ ἀρχαί, καὶ δὶς κέχρηται τὸ κινούμενον ἐν τῷ αὐτῷ ὡς πέρατι καὶ ὡς ἀρχῇ, καὶ ἀνάγκη γενέσθαι αὐτό τε ἐν αὐτῷ καὶ ἀπογενέσθαι ἀπ᾽ αὐτοῦ. διόπερ οὐ συνεχῶς ἀνενδυάσει νῦν καὶ ὁ μεταξὺ χρόνος τῆς ἠρεμίας. Themist. f. 62 *b*.

264 b 14. ἐναντίας γὰρ μόνας τὰς ἀπὸ τῶν ἐναντίων εἶναι φαμέν, ἐναντία δὲ τὰ κατὰ διάμετρον ὡς πλεῖστον ἀλλήλων διεστῶτα, φησὶν ὁ Ἀλέξανδρος. μή ποτε δὲ ἐναντία πέρατα εὐθείας ἐστὶ καὶ τὰ τοὺς ἐναντίους τόπους ὁρίζοντα, ὡς πρότερον εἶπον· καὶ γὰρ τῆς ἐκ τοῦ κέντρου ἡμισείας οὔσης τῆς διαμέτρου ἐναντία τὰ πέρατα ταύτης, διότι τὸ μὲν ἄνω τὸ δὲ κάτω ἐστίν. δύναται δέ, φησὶν ὁ Ἀλέξανδρος, ἀντικειμένην τὴν κατὰ τὸ μῆκος λέγειν, κἂν μὴ ἐπ᾽ εὐθείας γένηται· ἂν γὰρ ἀπό τινος σημείου ἐπί τι σημεῖον πλείους ἐπιζευχθῶσι γραμμαὶ μὴ οὖσαι εὐθεῖαι (μία γὰρ ἡ ἀπὸ ἑνὸς σημείου ἐφ᾽ ἓν εὐθεῖα), ἔσται τὰ ἐπὶ τῶν γραμμῶν τούτων κινούμενα ἀνάπαλιν, οὐκ ἐπ᾽ εὐθείας μὲν ἀντικινούμενα, ἐπὶ δὲ τοῦ αὐτοῦ μήκους. αἱ οὖν ἐπὶ τῶν τοιούτων γραμμῶν ἀντικινήσεις οὐκ ἐναντίαι μέν, ὅτι ἐπὶ τῆς εὐθείας αἱ ἐναντίαι, ἀντικείμεναι δέ, ὅτι ἀλλήλας ἀνθιστῶσι καὶ ἀλλήλων εἰσὶν ἀναιρετικαί. εἰ τοίνυν τὰ μὲν ἐπ᾽ εὐθείας κινούμενα καὶ ἀνακάμπτοντα ἢ ἐναντίας κινεῖται κινήσεις ἢ ἀντικειμένας, οὔτε δὲ τὰς ἐναντίας οὔτε τὰς ἀντικειμένας συνεχεῖς ἀλλήλαις εἶναι δυνατόν, οὐκ ἂν αἱ ἐπ᾽ εὐθείας ἀνακάμπτουσαι συνεχεῖς εἶεν. τὴν δὲ κύκλῳ ἐπὶ τοῦ αὐτοῦ οὐδὲν κωλύει συνεχῶς γίνεσθαι καὶ μηδένα διαλείπειν χρόνον. Simpl. f. 307.

δείξας διὰ τοῦ προτέρου ἐπιχειρήματος ὅτι ἡ κύκλῳ κίνησις 264 b 18.
οὐ κωλύεται εἶναι συνεχής, διὰ τὸ μὴ ἐξ ἐναντίων ἢ ἀντικειμένων κινήσεων συγκεῖσθαι ὥσπερ ἡ ἐπ᾽ εὐθείας, νῦν δείκνυσιν ὅτι οὐδὲ κατ᾽ ἐνέργειαν ἔστι τι σημεῖον ἐν ᾧ δεήσει γίνεσθαι καὶ ἀπογίνεσθαι καὶ μεταξὺ ἠρεμεῖν, ὡς ἐπὶ τῶν κατ᾽ εὐθεῖαν ἀνακαμπτόντων ἐδείκνυτο καὶ τοῦτο ἓν αἴτιον τοῦ μὴ συνεχῶς κινεῖσθαι. id. ib.

καὶ ἐκ τούτου τοῦ ἐπιχειρήματος δείκνυσι τὴν διαφορὰν τῆς κύ- 264 b 19.
κλῳ κινήσεως πρὸς τὴν κατ᾽ εὐθεῖαν, καθ᾽ ἣν διαφορὰν ἡ μὲν κύκλῳ κίνησις δύναται συνεχὴς εἶναι, ἡ δὲ κατ᾽ εὐθεῖαν οὐ δύναται. ἡ μὲν γὰρ ἐν τῷ κύκλῳ, φησί, τουτέστιν ἡ κύκλῳ, οὐδέποτε ἐν τοῖς αὐτοῖς. καὶ προσυπακούει ὁ Ἀλέξανδρος τὸ γίνεται, ἵνα ᾖ οὐδέποτε ἐν τοῖς αὐτοῖς γίνεται, τῷ μηδὲ ἐνεργείᾳ τι εἶναι ἐν τῇ περιφερείᾳ σημεῖον, ἐν ᾧ γινομένη στήσεται ἢ ὅλως γίνεται καὶ ἀπογίνεται. τὴν δὲ κατ᾽ εὐθεῖαν καὶ ἐπ᾽ εὐθείας ἐν τοῖς αὐτοῖς ἀνάγκη γίνεσθαί τε καὶ ἀπογίνεσθαι... πῶς οὖν οὐχὶ καὶ ἡ κύκλῳ πολλάκις ἔσται κατὰ ταὐτά, εἴγε πολλάκις περιφέρεται; ἢ οὐ τὸ πλεονάκις κατὰ ταὐτὸν γινόμενον εὐθέως ἤδη καὶ πολλάκις ταύτην κεκίνηται, ἀλλ᾽ ἂν κατὰ μίαν ὁρμὴν καὶ τάσιν καὶ ῥοπὴν συνεχῶς κινούμενον πλεονάκις κατὰ ταὐτὸ γένηται, δυνάμει ὂν καὶ οὐκ ἐνεργείᾳ, οὕτως ὥστε τὸ αὐτὸ ἀρχὴν καὶ πέρας γίνεσθαι καὶ μὴ ἠρεμεῖν μεταξύ, συνεχὴς ἡ κίνησις ἔσται· ἐὰν δὲ ἠρεμῆσαν μεταξὺ πάλιν κινῆται τὴν αὐτὴν ἀνάπαλιν, ὡς ἐπὶ τῶν ἀνακαμπτόντων, εἴτε ἐπ᾽ εὐθείας εἴτε ἐπὶ περιφερείας, πλεονάκις κατὰ τὸ αὐτὸ γενήσεται, τῷ μίαν ἑκάστην τῶν κινήσεων τῶν διαλαμβανομένων ὑπὸ τῶν ἠρεμιῶν ἰδίᾳ εἶναι, πολλάς τε οὕτω τὸ κινούμενον κινεῖται κινήσεις καὶ πολλάκις. id. f. 307 *b*.

μόνη τοίνυν ἡ κύκλῳ κίνησις ἀπ᾽ αὐτοῦ εἰς αὐτό, ἡ δὲ κατ᾽ 264 b 27.
εὐθεῖαν ἀπ᾽ αὐτοῦ εἰς ἄλλο. καὶ ἡ μὲν ἀπὸ τοῦ κύκλου οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ διαστήματος· οὐδὲν γὰρ ὥρισται ἐπὶ τοῦ κύκλου διάστημα ἐνεργείᾳ, οὐδ᾽ ἐστὶν ὅλως περιφερείας τινὸς εἴη τοῦ κύκλου τὰ πέρατα εἰλημμένα, ἀλλὰ καὶ ἄλλη καὶ ἄλλη, μᾶλλον δὲ ἀεὶ ἄλλη. ἐπὶ δὲ τῆς εὐθείας ταὐτὸν διάστημα κινεῖται πολλάκις ἐνθένδε ἐκεῖσε κα-

264 a 1. εἶτα ἔνστασιν λύει τὴν λέγουσαν ὅτι ἡ αὐτὴ ἀπορία δύναται ἀπορεῖσθαι καὶ πρὸς τοὺς οὐκ ἐξ ἀτόμων λέγοντας συγκεῖσθαι τὸν χρόνον· καὶ γὰρ ἐπὶ τούτων δοκεῖ εὔλογον εἶναι, ὡς ἐπ᾽ ἐκείνων, εἶναί τινα μεταξὺ τοῦ τε ἐν ᾧ ἐγίνετο καὶ τοῦ ἐν ᾧ ἔστι χρόνον· πάλιν γὰρ ὁμοίως ἐν μὲν τῷ α΄, ἐπειδὴ ἐγίνετο ἐν αὐτῷ, οὐκ ἔσται, ἐν δὲ τῷ β΄ ἔσται· μεταξὺ ἄρα τοῦ τε ἀμεροῦς τοῦ χρόνου καὶ τοῦ β΄, ἃ εἴχετο ἀλλήλων, ἔσται τις χρόνος. εἰ οὖν κοινὸν τὸ ἄπορον, οὐδέπω ἂν εἴη δεδειγμένον τὸ μὴ ἐξ ἀτόμων συγκεῖσθαι τὸν χρόνον. λέγει οὖν ὅτι οὐκ ἔστιν ἡ αὐτὴ ἀπορία καὶ πρὸς τοὺς μὴ ἐξ ἀτόμων ποιοῦντας τὸν χρόνον. καὶ τὴν αἰτίαν προστίθησιν· αὐτοῦ γὰρ τοῦ χρόνου ἐν ᾧ ἐγίνετο, ἐν τῷ ἐσχάτῳ σημείῳ γέγονε καὶ ἔστιν, οὗ σημείου οὐδὲν ἐχόμενόν ἐστιν οὐδὲ ἐφεξῆς, οἱ δὲ ἄτομοι χρόνοι ἐφεξῆς. διὸ ἐπὶ μὲν τῶν ἄτομον λεγόντων εἶναι τὸν α΄ χρόνον οὐκ ἔστιν εἰπεῖν ὅτι ἐγίνετο μὲν ἔν τινι αὐτοῦ, ἔστι δὲ ἐν τῷ πέρατι· οὐ γὰρ ἔστι πέρας τοῦ ἀτόμου... ἀπορίαν δὲ τούτοις ἐφεξῆς ὁ Ἀλέξανδρος τίθησιν, οὐ πάνυ πραγματειώδη, ὡς οἶμαι. εἰ γάρ τις λέγει, φησίν, ἐν μὲν τῷ πέρατι τοῦ α΄ χρόνου, ἐν ᾧ ἐστὶν ἤδη μεταβεβληκός, εἶναι τὸ δ΄, ἐν δὲ τῷ α΄ χρόνῳ μὴ εἶναι (ἐγίνετο γὰρ ἐν ἐκείνῳ), καὶ χρώμενος τῷ αὐτῷ λόγῳ ἀπαιτοίη μεταξὺ τοῦ α΄ χρόνου καὶ τοῦ πέρατος αὐτοῦ εἶναί τινα χρόνον ἐν ᾧ ἐγίνετο, ἔτι δοκεῖ ἡ αὐτὴ ἀπορία μένειν. id. f. 304 *b*.

264 a 4. δείξας ὅτι ἐν μὲν τῷ α΄ χρόνῳ ἐγίνετο τὸ δ΄, ἐν δὲ τῷ πέρατι τοῦ α΄ γέγονεν, ὅτι οὐκ ἔστι χρόνος τοῦτο ἐν ᾧ γέγονεν ἀλλὰ πέρας χρόνου, δείκνυσιν ἀγχινόστατα. εἰ γὰρ ἐν μὲν τῷ α΄ ὅλῳ χρόνῳ, φησίν, ἐγίνετο, ἐν δὲ τῷ πέρατι αὐτοῦ γέγονεν, δειχθείη δὲ ἴσος ὁ χρόνος ὁ ἐν ᾧ ἐγίνετο συναμφοτέρῳ τῷ τε ἐν ᾧ ἐγίνετο καὶ τῷ ἐν ᾧ γέγονε, δῆλον ὅτι τὸ ἐν ᾧ γέγονε προστεθὲν τῷ ἐν ᾧ ἐγίνετο χρόνῳ οὐκ ἐποίησε μείζονα τὸν χρόνον. ὥστε οὐκ ἦν χρόνος τὸ ἐν ᾧ γέγονε· χρόνος γὰρ χρόνῳ προστιθέμενος μείζονα τὸν ὅλον ποιεῖ. ὅτι δὲ οὐκ ἐποίησε μείζονα, δῆλον, εἴπερ ἐν πέρατι τοῦ α΄ χρόνου γέγονε, τὸ δὲ πέρας ἀμερές ἐστιν. καὶ ἦν μὲν αὐτόθεν δῆλον ὅτι τὸ πέρας τοῦ χρόνου οὐκ ἔστι χρόνος, πολλὴν δὲ ἐποίησεν ἐνάργειαν ἡ δοκοῦσα παραδοξολογία, τὸ μὴ εἶναι πλείονα τὸν χρόνον, τόν τε ἐν ᾧ ἐγίνετο καὶ τὸν ἐν ᾧ γέγονεν, τοῦ ἐν ᾧ ἐγίνετο μόνου. δοκεῖ δέ μοι μὴ μάτην προστεθεικέναι τῷ "ἢ ἐν ᾧ ἐγίνετο μόνον" τὸ "παντί," ἀλλ᾽ εἰς ἔνδειξιν τοῦ δεῖν μετὰ τοῦ πέρατος αὐτὸν λαμβάνειν. ἐκ δὴ τούτων τῶν λόγων, φησὶν ὁ Ἀλέξανδρος, δυνατὸν ὁρμώμενον δεικνύναι τὰ παρὰ τοῖς Στωϊκοῖς ἀξιώματα, ἃ μεταπίπτοντά τινες λέγουσιν ἀπεριγράφως, μὴ ὄντα τοιαῦτα. ἔστι δὲ ταῦτα τοιαῦτα· εἰ ζῇ Δίων, ζήσεται Δίων. id. ib.

264 a 7. οἰκείους λέγει τοὺς ἐκ τῶν οἰκείων τῷ προκειμένῳ γινομένους συλλογισμούς, οὓς καὶ ἀποδεικτικοὺς ἔθος αὐτῷ καλεῖν. ἐφεξῆς δὲ τὸ αὐτὸ τοῦτο λογικῶς δείξειν ἐπαγγέλλεται. λογικοὶ δέ εἰσι συλλογισμοὶ οἱ μὴ διὰ τῶν οἰκείων καὶ προσεχῶν τῷ προκειμένῳ γινόμενοι, ὥσπερ οἱ πρότεροι, διά τε τῶν διαφορῶν τῆς κατ᾽ εὐθεῖαν κινήσεως καὶ διὰ τοῦ ὑποκειμένου τῇ τοιαύτῃ κινήσει μεγέθους, ἀλλὰ διὰ κοινοτέρων καὶ καθολικωτέρων καὶ δυναμένων καὶ ἄλλοις ἐφαρμόζειν, οὓς ἔθος αὐτῷ διαλεκτικοὺς καλεῖν ὡς δι᾽ ἐνδόξων γινομένους ἐπιχειρήσεων. θήσει γὰρ ἐφεξῆς λόγους οὔτε τοῖς κατὰ τόπον μόνων κινουμένοις προσήκοντας, οὔτε ἐκ τῶν τούτοις μόνοις καθ᾽ αὑτὸ ὑπαρχόντων εἰλημμένους, ἀλλὰ καὶ πᾶσι τοῖς ἐξ ἀντικειμένων εἰς ἀντικείμενα μεταβάλλουσι, καὶ ἐκ τῶν ἀντικειμένων εἰλημμένους, ἅπερ οὐ μόνον τοῖς κατ᾽ εὐθεῖαν κινουμένοις κυρίως, ἀλλὰ καὶ πᾶσι τοῖς μεταβάλλουσιν ὑπάρχει. id. f. 305.

ὅτι μηδεμία κίνησις ἐξ ἐναντίου εἰς ἐναντίον γινομένη συνεχὴς 264 a 9.
εἶναι δύναται, δείκνυσι προλαβὼν ἀξίωμα καθολικὸν τὸ λέγον ὅτι πᾶν τὸ διὰ κινήσεως συνεχοῦς ἐπί τι ἀφικνούμενον ἀκωλύτως εἰς ὅπερ ἦλθε πληρῶσαν τὴν κίνησιν, ἐπὶ τοῦτο τὴν ὁρμὴν εἶχε καὶ ὅτε τῆς κινήσεως ἤρχετο· πᾶν γὰρ τὸ κινούμενον ὥσπερ ἀπό τινος ὡρισμένου κινεῖται, οὕτω καὶ ἐπί τι ὡρισμένον, ἂν μὴ ὑπό τινος ἐμποδίζηται... τί γὰρ μᾶλλον ἐν τῷδε ἢ ἐν τῷδε γινόμενον; τοῦτο γὰρ σημαίνει τὸ τί γὰρ μᾶλλον νῦν ἢ πρότερον; ὁμοίως δέ, φησί, καὶ ἐπὶ τῶν ἄλλων κινήσεων· οὐ γὰρ ἐπὶ μόνης τῆς φορᾶς, ἐφ᾽ ἧς ὡς ἐπὶ παραδείγματος ἐγύμνασε τὸ ἀξίωμα, ἀληθής φησίν ἐστιν ὁ λόγος, ἀλλ᾽ ὁμοίως ἀληθὴς καὶ ἐπὶ τῶν ἄλλων κινήσεων, τῆς τε ἀλλοιώσεως καὶ τῆς αὐξήσεώς τε καὶ μειώσεως καὶ ὅλως τῶν εἰς τὰ ἐναντία μεταβαλλουσῶν· οὐ γὰρ δὴ ἐπὶ τῆς γενέσεως καὶ φθορᾶς, ὡς μαθησόμεθα. τούτου οὖν ἀληθῶς ἠξιωμένου, διὰ συνημμένου τινὸς τοιούτου δείκνυται τὸ προκείμενον, ὡς ἐπὶ παραδείγματος τῆς φορᾶς γινομένου τοῦ λόγου... ὁ δὲ Ἀλέξανδρος καὶ ταύτην ταῖς εἰρημέναις προστίθησι τὴν ἐπιχείρησιν οὐκ ἀπὸ τοῦ αὐτοῦ ἀξιώματος ὁρμωμένην· εἰ γὰρ ἀδύνατον, φησί, τῇ κατὰ φύσιν κινήσει τὴν παρὰ φύσιν εἶναι συνεχῆ καὶ μίαν, τῷ δὲ ἐπὶ τῆς εὐθείας κινουμένῳ καὶ ἀνακάμπτοντι ἀνάγκη, εἰ τὴν ἑτέραν κινεῖται κατὰ φύσιν, τὴν ἑτέραν παρὰ φύσιν κινεῖσθαι, οὐκ ἂν εἴη συνεχὴς ἡ ἐκ τῆς ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω συγκειμένη. id. f. 305 *b*.

τούτου δὲ ὄντος ἀληθοῦς, τὸ κάτωθεν ἄνω κινούμενον, εἰ γενό- 264 a 14.
μενον ἂν μὴ ἡσυχάζει καὶ ἠρεμεῖ, ἀλλὰ τῇ αὐτῇ ὁρμῇ συνεχῶς φέρεται ἐπὶ τὸ κάτω, καὶ ὅτε ἤρχετο κάτωθεν κινεῖσθαι, ἐπὶ τὸ κάτω ἄρα ἐφέρετο. γελοῖον μὲν δὴ καὶ καθ᾽ αὑτό, μᾶλλον δὲ καὶ οὕτως· εἰ γὰρ ἅπαν τὸ κάτω φερόμενον ἐκ τοῦ ἄνω φέρεται κάτω, δῆλον ὡς τὸ κάτωθεν κινούμενον, εἴπερ συνεχῶς κινεῖται, ἤδη φέροιτο ἂν ἐκ τοῦ ἄνω, καὶ οὔπω γέγονεν ἐν αὐτῷ. τοῦτο δὲ ἀδύνατον. ἀνάγκη ἄρα πρότερον ἵστασθαι ἐν τῷ ἄνω. Themist. f. 62 *b*.

πρότερον μὲν ἐπὶ τῆς κατ᾽ εὐθεῖαν φορᾶς ἐποιεῖτο τὸν λόγον, 264 a 21.
εἶτα ἐπὶ πάσης τῆς κυρίως κινήσεως, ἐφ᾽ ἧς ἐξ ἐναντίου εἰς ἐναντίον ἡ μεταβολὴ γίνεται, κἂν ἐπὶ παραδείγματος καὶ τότε τῆς εὐθείας ὁ λόγος προήει. νῦν δὲ καθολικώτερον ἐπὶ πάσης μεταβολῆς ἡ ἀπόδειξις γίνεται τῆς καὶ τὴν γένεσιν περιεχούσης καὶ τὴν φθοράν· τῇ γὰρ στερήσει προσχρῆται ὡς πάντων τῶν μεταβαλλόντων εἴτε κατὰ τόπον εἴτε κατὰ ποιότητα ἢ ποσότητα ἢ κατ᾽ οὐσίαν ἐκ τῆς οἰκείας γινομένων στερήσεως... εἰπὼν δὲ "τὸ δὲ μὴ ἀεὶ κινούμενον τήνδε τὴν κίνησιν," πῶς χρὴ λαμβάνειν "τήνδε τὴν κίνησιν" ἐξηγήσατο διὰ τοῦ "λέγω δὲ ὅσαι ἕτεραι τῷ εἴδει, καὶ μὴ εἴ τι μόριον ἔσται τῆς ὅλης." τὸ γὰρ τὴν ἐπὶ τὸ ἄνω κίνησιν κινούμενον, ἥτις τῷ εἴδει τῆς

τὰ ἡμίση, ὁ δὲ συνεχῆ φυλάττει λοιπὸν οὔτε τὴν εὐθεῖαν οὔτε τὴν κίνησιν· συνδιαιρεῖ γὰρ τῇ τῆς εὐθείας τομῇ καὶ τὴν κίνησιν. ἔστι δὲ καὶ ἐν τῷ χρόνῳ καθάπερ σημεῖον τὸ νῦν· τὸ γὰρ αὐτὸ πέρας καὶ ἀρχή, πέρας μὲν τοῦ παρελθόντος, ἀρχὴ δὲ τοῦ μέλλοντος. ἀλλὰ κατὰ τὸ πρᾶγμα, καθ' ὃ γέγονεν ἡ μεταβολή, τῷ μέλλοντι μᾶλλον προσνεμητέον (b 14). λέγω δέ, οἷον ἐπειδὴ τοῦ χρόνου ἐν ᾧ ἀπέθνησκε Σωκράτης, πέρας τί ἐστιν ἐν ᾧ πρώτῳ ἀποτέθνηκεν, τοῦτο ὡς μὲν κατὰ χρόνον προσήκει καὶ τῷ παρελθόντι (πέρας γὰρ ἐκείνου ἐστίν), ὡς δὲ κατὰ τὸ πρᾶγμα, λέγω δὲ τὸ τεθνηκέναι, μᾶλλον προσήκει τῷ μέλλοντι, ἐν ᾧ ὅλον λέγεται τεθνηκέναι. εἰ δὲ ἐρεῖ τις, ἐν μὲν τῷ πέρατι τοῦ παρελθόντος ἔτι ἀποθνήσκειν Σωκράτην, ἐπειδὴ καὶ ἐν ὅλῳ τῷ παρελθόντι, ἐν δὲ τῇ ἀρχῇ τοῦ μέλλοντος τεθνηκέναι, ἐπειδὴ καὶ ἐν ὅλῳ τῷ μέλλοντι, οὗτος, εἰ μὲν ἐφυλάχθη τὸ νῦν, ὥσπερ καὶ τἀληθὲς ἔχει, πέρας τε ὂν ἅμα καὶ ἀρχή, ἅμα ἂν λέγοι καὶ ἀποθνήσκειν Σωκράτην καὶ τεθνηκέναι· τοῦτο δὲ οὐδὲν διαφέρει τοῦ ζῆν τε ἅμα καὶ τεθνηκέναι Σωκράτην. εἰ δὲ δύο ποιήσει τὰ νῦν, ἐφεξῆς ἀλλήλων ποιήσει τὰ νῦν. ἀλλ' ἄτοπον· οὐ γὰρ σύγκειται ὁ χρόνος ἐξ ἀμερῶν. ἀλλὰ ταῦτα μὲν ἴσως τοῖς καθόλου περὶ κινήσεως λόγοις οἰκειότερα. Themist. f. 62.

263 b 6. πῶς τὰ δυνάμει ἄπειρα οἷόν τε διελθεῖν, δηλοῖ, φησὶν ὁ Ἀλέξανδρος, διὰ τοῦ "ὁ γὰρ συνεχῶς κινούμενος" καὶ τῶν ἑξῆς. ἐπεὶ γὰρ ἡ γραμμὴ ἣν κεκίνηται τὸ κεκινημένον, συμβεβηκὸς ἔχει τὸ δυνάμει ἐπ' ἄπειρον εἶναι διαιρετὴ καὶ ἄπειρα ἡμίση δυνάμει ἔχειν, τὸ τὴν γραμμὴν διεξελθὸν κατὰ συμβεβηκὸς τὰ δυνάμει ἄπειρα ἡμίση διελήλυθε, τουτέστι ταύτην διελήλυθεν ᾗ κατὰ συμβεβηκός ἐστι τὸ ἔχειν ἄπειρα ἡμίση δυνάμει. οὐ γὰρ τοῦτο ἦν τῆς γραμμῆς ἡ οὐσία καὶ τὸ εἶναι, τὸ ἔχειν ἄπειρα ἡμίση, ἐπεὶ οὐκ ἂν ἔτι κατὰ συμβεβηκὸς ἦν τὸ τὴν γραμμὴν κεκινημένον ἄπειρα ἡμίση διεληλυθός, ἀλλὰ καθ' αὑτό, εἴγε καθ' αὑτὸ γραμμὴν κεκίνηται ᾗ τὸ εἶναι ἐν τῷ ἔχειν ἄπειρα ἡμίση. ἐπεὶ δὲ μὴ τοῦτό ἐστι τῇ γραμμῇ τὸ γραμμῇ εἶναι, ἀλλὰ τοῦτο μὲν αὐτῇ συμβέβηκεν, ἔστι δὲ αὐτῇ τὸ γραμμῇ εἶναι μῆκος ἀπλατές, τὸ τὴν γραμμὴν διελθὸν καθ' αὑτὸ μὲν διελήλυθε μῆκος ἀπλατές, κατὰ συμβεβηκὸς δὲ καὶ ὅσα ἦν τῇ γραμμῇ συμβεβηκότα, οἷον εἰ λευκὴ ἦν, τὸ λευκὸν καὶ ὁμοίως τῶν ἄλλων ἕκαστον, ὧν ἓν ἦν καὶ τὸ ἄπειρα ἡμίση ἔχειν δυνάμει. οὕτως ἐξηγησαμένου τοῦ Ἀλεξάνδρου καὶ αὐτοῖς τούτοις τοῖς ῥήμασι τὴν προκειμένην λέξιν, ἐπιστήσοι ἄν τις, ὡς οἶμαι, πρῶτον μὲν διὰ τί τῷ συμβεβηκέναι τῇ γραμμῇ ἄπειρα ἡμίση εἶναι, προσέθηκεν αὐτὸς τὸ δυνάμει, καὶ οὐ μόνον τὴν λέξιν οὕτως ἔγραψεν, καίτοι τῶν εἰς ἐμὲ ἐλθόντων βιβλίων οὐκ ἐχόντων τὸ δυνάμει προσκείμενον, ἀλλὰ καὶ ἐξηγήσατο οὕτως· τὸ γὰρ τὴν γραμμήν, φησί, διεξελθὸν κατὰ συμβεβηκὸς τὰ δυνάμει ἄπειρα ἡμίση διελήλυθε, τουτέστι ταύτην διελήλυθεν ᾗ κατὰ συμβεβηκός ἐστι τὸ ἔχειν ἄπειρα ἡμίση δυνάμει. πῶς δὲ συμβεβηκὸς εἶναι λέγει τῇ γραμμῇ τὸ δυνάμει ἐπ' ἄπειρον εἶναι διαιρετῇ, εἴπερ συνεχὴς μένει γραμμή, παντὸς δὲ συνεχοῦς λόγος τὸ ἐπ' ἄπειρον εἶναι διαιρετόν; ἐπιστῆσαι δὲ χρὴ καὶ ὅτι ὁ Ἀριστοτέλης οὐ λέγει τοῦτο ὅπερ ὁ Ἀλέξανδρος, ὅτι συμβεβηκὸς ἔχει ἡ γραμμὴ τὸ δυνάμει ἐπ' ἄπειρον εἶναι διαιρετή, ἀλλ' ὅτι συμβέβηκε τῇ γραμμῇ ἄπειρα ἡμίση εἶναι. πρὸς δὲ τὴν τοῦ Ἀριστοτέλους λέξιν ἀπορητέον, πῶς ὁ συνεχῶς τὴν πεπερασμένην καθ' αὑτὸ κινούμενος κατὰ συμβεβηκὸς ἄπειρα διελήλυθε;... μή ποτε οὖν συμβεβηκότος εἶδος ἄλλο τι νῦν παραδίδωσιν ἡμῖν ὁ Ἀριστοτέλης, τὸ δυνάμει τινὶ ὑπάρχον συμβεβηκὸς εἶναι λέγων αὐτοῦ. οὕτω γὰρ καὶ τῇ γραμμῇ συμβεβηκέναι φησὶ τὸ ἄπειρα ἡμίση εἶναι, ὅτι δυνάμει ἐστὶν ἐν αὐτῇ, κἂν τὸ δύνασθαι ἐπ' ἄπειρον διαιρεῖσθαι λόγος τοῦ συνεχοῦς ᾖ. ἐπειδὴ δὲ ἕκαστον κατὰ τὸ ἐνεργείᾳ μάλιστά ἐστιν ὅ ἐστι, καὶ οὐ κατὰ τὸ δυνάμει τὸ ἐν αὐτῷ, διὰ τοῦτο καὶ τῆς γραμμῆς τὴν οὐσίαν καὶ τὸ εἶναι οὐ κατὰ τὰ ἐν αὐτῇ ἄπειρά φησιν εἶναι, ὅτι δυνάμει ταῦτα ἐν αὐτῇ, ἀλλὰ κατὰ τὸ ἓν καὶ συνεχές, ὅπερ ὑπάρχει τῇ γραμμῇ κατ' ἐνέργειαν. Simpl. f. 303.

μνημονεύσας τοῦ νῦν, ὅτι τοῦ μὲν ἀρχὴ τοῦ δὲ πέρας ἐστί, καὶ ὅτι 263 b 9.
διαίρεσίς ἐστι χρόνου, οὐ χρόνος, καὶ ὅτι ἀμερές, καὶ ὅτι οὐκ ἐνδέχεται ἐν τῷ αὐτῷ νῦν γενέσθαι τι καὶ ἀπογενέσθαι ἔν τινι καὶ ἀπό τινος (εἴη γὰρ ἂν ἅμα τι ἐν τῷ αὐτῷ καὶ οὐκ εἴη), δείκνυσιν ἐφεξῆς τὸ νῦν τοῦτο, καθ' ὃ ἡ διαίρεσις γίνεται τοῦ χρόνου, ὡς μὲν πρὸς τὸν χρόνον τὸν διαιρούμενον ὁμοίως ἐν ἀμφοτέροις ἐστὶ τοῖς μορίοις αὐτοῦ, τοῦ μὲν πέρας ὂν τοῦ δὲ ἀρχή· οὕτω γὰρ συνεχὴς ὁ χρόνος τῷ κοινὸν ἔχειν ὅρον τὰ μόρια αὐτοῦ τὸ νῦν... ὅτι δὲ τοῦτο οὕτως ἔχει, δείκνυσι τὸ ἑπόμενον ἄτοπον τῷ μὴ οὕτως ἔχειν φανερὸν ποιῶν. εἰ γάρ τις, φησί, τὸ διαιροῦν τὸ πρότερον καὶ ὕστερον σημεῖον, τουτέστι τὸ νῦν, μὴ ἀεὶ τῷ ὑστέρῳ πράγματι συντάττῃ, ἀλλ' ὡς ἐπὶ τῶν χρόνων οὕτω καὶ ἐπὶ τῶν πραγμάτων κοινὸν αὐτὸ τοῦ προτέρου καὶ ὑστέρου λαμβάνει, ὡς ἐν ἀμφοτέροις εἶναι τοῖς πράγμασιν, ὥσπερ καὶ ἐν τοῖς χρόνοις ἦν, συμβήσεται ἄτοπόν τι· ἔσται γὰρ τὸ αὐτὸ ἅμα ὂν καὶ οὐκ ὄν, καὶ ὅτε γέγονέ τι, τότε οὐκ ὄν, ὅπερ οὕτως ἔχον ἀποδείξει. τὸ δὲ "τῷ δὲ πράγματι ἀεὶ τοῦ ὑστέρου πάθους ἐστίν" ἴσον ἐστὶ τῷ κατὰ δὲ τὰ πράγματα τὰ ἐν τῷ χρόνῳ λαμβανόμενα ἀεὶ τοῦ ὑστέρου γενομένου πάθους ἐστίν· πράγματα γὰρ καὶ τὰ πάθη. ἢ τῷ δὲ πράγματι ἀεὶ τοῦ ὑστέρου πάθους ἐστίν, ἀντὶ τοῦ κατὰ δὲ τὸ πρᾶγμα τὸ ἐν τῷ χρόνῳ ἀεὶ τοῦ ὑστέρου πάθους γινομένου ἐν αὐτῷ ἐστίν· ὕστερον δὲ πάθος εἶπε τὸ εἰς ὃ ἡ μεταβολὴ γέγονε, κοινῶς τὸ πάθος εἰπὼν ἐπὶ πασῶν τῶν κινήσεων... καὶ τὸ ἀπορούμενον δέ, φησὶν ὁ Ἀλέξανδρος, τὸ πότε ἀπέθανε Σωκράτης, λύοιτο ἂν οὕτως. id. f. 303 b.

ὅτε ἐδείκνυεν ὅτι τὸ ἀνακάμπτον ἀνάγκη ἠρεμῆσαι ἐν ἐκείνῳ 263 b 26.
ἀφ' οὗ ἀνακάμπτει, προσχρησάμενος ἐν τῇ δείξει τῷ μὴ δύνασθαι ἐν τῷ αὐτῷ νῦν, ὅπερ ἐστὶ πέρας χρόνου ἀλλ' οὐ χρόνος, γενέσθαι τι ἔν τινι καὶ ἀπογενέσθαι ἀπ' αὐτοῦ, ὅπερ ἠκολούθει τῷ μὴ ἐξ ἀμερῶν συγκεῖσθαι τὸν χρόνον μηδὲ δύνασθαι ἔχεσθαι ἀλλήλων τὰ νῦν (τούτου γὰρ κειμένου ἕπεται τὸ τοῖν δυοῖν νῦν, τοῦ τε ἐν ᾧ ἐγένετο κινούμενον πέρατι ὄντι τοῦ γίνεσθαι, καὶ τοῦ νῦν ἐν ᾧ ἀπεγένετο, χρόνον τινὰ μεταξὺ γεγονέναι, ἐν ᾧ ἦν ἀνάγκη ἠρεμεῖν μὴ πελαζόντων ἀλλήλοις τῶν νῦν), τοῦτο οὖν αὐτὸ προσκατασκευάζει νῦν, ὅτι μὴ σύγκειται ὁ χρόνος ἐξ ἀμερῶν μηδὲ διαιρεῖται εἰς ἀμερῆ. καὶ ἔδειξε μὲν τοῦτο διὰ πλειόνων ἐν τῷ Ζ τῷδε τῆς πραγματείας (c. 1), καθολικώτερον αὐτὸ προβαλλόμενος, ὅτι μηδὲν συνεχὲς ἐξ ἀμερῶν σύγκειται. id. f. 304.

καὶ ἐκεῖνο δὲ πρὸ τούτων τῶν ῥητῶν ἀσάφειαν ἔχει τινά "ἅμα δὲ εἴη τὸ α′ ἐπὶ τῷ β′ σημείῳ, καὶ τὸ δ′ φέροιτο ἀπὸ τῆς ζ′ ἄκρας πρὸς τὸ η′" (v. 11). πῶς γὰρ ἅμα τὸ α′ ἐπὶ τῷ β′ καὶ τὸ δ′ φέροιτο ἀπὸ τῆς ζ′ ἄκρας, εἴπερ ἅμα ἤρξαντο τὸ μὲν α′ ἀπὸ τοῦ ε′, τὸ δὲ δ′ ἀπὸ τοῦ ζ′; ἀλλ' ἔοικε λέγειν ὅτε τὸ α′ ἐπὶ τῷ β′ σημείῳ ἠρέμει, τότε τὸ δ′ ἀπὸ τῆς ζ′ ἄκρας συνεχῶς κινούμενον πρὸς τὸ η′ φέρεται, καὶ οὐκ ἠρεμεῖ που ὡς τὸ α′ κατὰ τὴν ὑπόθεσιν. id. ib.

262b 17. ἐντεῦθεν ἡ ἀρχὴ τῆς λύσεως, ἀπὸ τῶν ἤδη δεδειγμένων ἐπιχειροῦσα. id. f. 301.

262b 22. δείξας ὅπως ἐπὶ τοῦ συνεχῶς κινουμένου οὐκ ἔστι λέγειν τὸ γίνεσθαι καὶ ἀπογίνεσθαι, ἐπάγει ὅτι ἐπὶ τοῦ ἐπὶ τὸ πέρας ἐλθόντος καὶ ἀνακάμπτοντος ἀνάγκη λέγειν τὸ γεγονέναι τε αὐτὸ ἐν τῷ πέρατι καὶ ἀπογεγονέναι· οὐκέτι γὰρ τὸ πέρας τῆς εὐθείας δυνάμει ἐστίν, ὡς ἦν τὰ μεταξύ, ἀλλ' ἔστιν ἐνεργείᾳ, διὸ καὶ γενέσθαι ἐν τῷ πέρατι ἀνάγκη καὶ ἀπογενέσθαι ἀπ' αὐτοῦ. καὶ δείκνυσι τοῦτο πάλιν διὰ τῆς τῶν στοιχείων ἐκθέσεως, ἐναλλάξας, ὥς φησιν ὁ Ἀλέξανδρος, τὰ στοιχεῖα, καὶ ποιήσας νῦν τὸ η′ κινούμενον, ὥσπερ πρότερον τὸ δ′, καὶ τὸ δ′ πέρας νῦν τῆς εὐθείας, ὥσπερ πρότερον ἦν τὸ η′. καὶ λέγει ὅτι τὸ η′ ἐλθὸν ἐπὶ τὸ πέρας τὸ δ′, ὅταν ἀνακάμψῃ πάλιν, τῷ ἑνὶ σημείῳ ὡς δυσίν, ὡς γὰρ ἀρχῇ καὶ πέρατι, κέχρηται. τοῦτο δὲ ἦν τὸ γενέσθαι καὶ ἀπογενέσθαι. διὸ ἐξ ἀνάγκης δεῖ αὐτὸ τὸν μεταξὺ χρόνον τῶν νῦν, τοῦ τε ἐν ᾧ ἐγένετο ἐν τῷ πέρατι τῷ δ′ καὶ τοῦ ἐν ᾧ ἀπεγένετο, ἀνακάμψαν ἀπ' αὐτοῦ ἠρεμῆσαι. οὕτω μὲν ὁ Ἀλέξανδρος τὴν ἐναλλαγὴν τῶν στοιχείων ἐξεδέξατο. μή ποτε δὲ τὸ δ′ τὸ κινούμενον ὥσπερ πρότερον ἐπ' ἄκρῳ τέθεικε τῆς ζη′ εὐθείας, ἵνα ἀπὸ τοῦ ἄκρου κινούμενον αὐτὸ λάβῃ, οὕτω καὶ νῦν ἐν τῷ ἄκρῳ φυλάξας, ἀντὶ τοῦ ἄκρου τῆς εὐθείας αὐτὸ παρέλαβεν, τὸ δὲ η′, ὃ πέρας ἦν τῆς εὐθείας πρότερον, ἐπὶ τὴν ἀρχὴν τῆς εὐθείας, τουτέστιν ἐπὶ τὸ δ′, κινούμενον ἔλαβεν, ἵνα τὴν ἀνάκαμψιν ἐν τῇ ἀρχῇ ποιήσας τὴν ἀρχὴν ἅμα καὶ ὡς πέρας λάβῃ. id. ib.

262b 28. λύων τὴν ἀπορίαν τὴν λέγουσαν ὅτι εἰ τὸ α′ γεγονὸς ἔσται ἐν τῷ β′ καὶ ἀπογεγονός, τὸ δὲ γινόμενον καὶ ἀπογινόμενον μεταξὺ ἵσταται, συμβαίνει τὸ δ′ ἰσοταχὲς ὂν τῷ α′ τὴν ζη′ εὐθεῖαν ἴσην οὖσαν τῇ εγ′ θᾶττον διιέναι ἤπερ τὸ α′ τὴν εγ′, ὅπερ ἄτοπον (τὰ γὰρ ἰσοταχῆ τὰς ἴσας ἐν ἴσῳ χρόνῳ δίεισι), ταύτην οὖν λύων τὴν ἀπορίαν ἔλεγεν ὅτι τὸ α′ οὐ γίνεται ἐν τῷ β′ καὶ ἀπογίνεται ἐν χρόνῳ, ἀλλ' ἦν ἐν αὐτῷ ἐν τομῇ χρόνου καὶ οὐκ ἐν χρόνῳ, διότι μὴ ἔστιν ἐνεργείᾳ ἐν τῷ συνεχεῖ τὰ σημεῖα, ἀλλὰ δυνάμει. οὐ χρὴ οὖν, φησί, τὸ αὐτὸ λέγειν ἐπὶ τῶν ἀνακαμπτόντων, ὅτι ἔστι μὲν ἐν τῷ νῦν κατὰ τὸ δ′, οὐ μὴν καὶ γέγονεν ἐν αὐτῷ ἢ ἀπογέγονεν ἀπ' αὐτοῦ... δεῖ δὲ ἀφικέσθαι ποτὲ καὶ ἐπὶ τὸ πέρας καὶ ἐνεργείᾳ ἐν αὐτῷ γενέσθαι, ὄντι καὶ αὐτῷ ἐνεργείᾳ ἀλλ' οὐ δυνάμει, ὡς τὰ πρὸ αὐτοῦ... οἶδεν δὲ καὶ ἄλλην γραφὴν ὁ Ἀλέξανδρος, ἣν καὶ προηγουμένως ἀναγράφει αὐτός, τὴν ἐν τοῖς πολλοῖς βιβλίοις φερομένην, ἣν καὶ ἐξηγησάμενος πέπαυμαι, ὡς ἑτέραν παραγράφων. ἔχει δὲ ἡ ἄλλη οὕτως "ἀνάγκη γὰρ ἐπὶ τέλος ἐλθεῖν τὸ ἐνεργείᾳ ὂν δυνάμει." λέγει δὲ ἂν ὅτι τὸ κινούμενον τέως ὂν δυνάμει ἐν τῷ τέλει, ἕως ἂν κινῆται, ἀνάγκη ἐπὶ τέλος ἐλθεῖν τὸ ἐνεργείᾳ ὂν ἤδη τέλος, ὅταν ἐπ' αὐτοῦ γένηται, τὸ δὲ ἐν τῷ ἐνεργείᾳ τέλει γινόμενον ἐν τῷ κατ' ἐνέργειαν σημείῳ γίνεται ἐν χρόνῳ, καὶ οὐκ ἐν τομῇ χρόνου. ἀνάγκη γὰρ τὸ κινούμενον ἀνακάμπτον ἀπ' αὐτοῦ, ὅταν μὲν ἐπ' αὐτὸ κινῆται, ὡς τελευτῇ αὐτῷ χρήσασθαι, ὅταν δὲ ἀπ' αὐτοῦ, ὡς ἀρχῇ· τοῦ δὲ πέρατος καὶ τῆς ἀρχῆς ἠρεμίαν ἀνάγκη μεταξὺ γενέσθαι. id. f. 301 b.

263a 4. δείξας ὅτι ἐν τῷ συνεχεῖ τὰ μεταξὺ τῶν ἄκρων σημεῖα δυνάμει ἐστὶ καὶ οὐκ ἐνεργείᾳ, καὶ διὰ τοῦτο τὸ κινούμενον συνεχῶς ἐπὶ τοῦ συνεχοῦς οὔτε γίνεται κατά τι αὐτῶν οὔτε ἀπογίνεται ἀπ' αὐτῶν, ὡς ἐὰν τοῦτο ποιήσῃ διῄρηκε τὸ συνεχές, τούτῳ φησὶ δεῖν χρῆσθαι καὶ πρὸς τοὺς ἐρωτῶντας τὸν Ζήνωνος λόγον. περὶ δὲ τῶν Ζήνωνος τοῦ Ἐλεάτου λόγων, οὓς ἠρώτα γυμνάζων τοὺς προσδιαλεγομένους, καὶ δεικνύναι δοκῶν ὅτι οὐκ ἔστι κίνησις, εἶπεν αὐτὸς ἐν τῷ Ζ′ τῆσδε τῆς πραγματείας (c. 9) ὅτι τέτταρές εἰσι, καὶ τίνες, καὶ πρὸς ἕκαστον οἰκείως ἐνέστη. τῶν δὴ τεσσάρων ἐκείνων λόγων ἕνα προχειρισάμενος νῦν, ὑπομιμνήσκει μὲν ἡμᾶς τῆς τότε ῥηθείσης λύσεως αὐτοῦ, λέγει δὲ ὅτι προσφυέστερον λυθήσεται μᾶλλον ἀπὸ τῶν προσεχῶς δεδειγμένων. ἦν δὲ ὁ μὲν ὑπὸ Ζήνωνος λεγόμενος λόγος, οὗ νῦν μνημονεύει, τοιοῦτος. εἰ ἔστι κίνησις, ἔσται τι τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα διεληλυθός· τῷ γὰρ ἐπ' ἄπειρον εἶναι τὴν διχοτομίαν ἐν παντὶ συνεχεῖ ἔσται ἄπειρα ἡμίση, τῷ πᾶν μόριον αὐτοῦ ἥμισυ ἔχειν. ἔσται δὴ τὸ κεκινημένον τὴν πεπερασμένην τὰ ἄπειρα ἡμίση διεληλυθὸς ἐν πεπερασμένῳ χρόνῳ, ἐν ᾧ διῆλθε τὴν πεπερασμένην. προσλαμβάνων δὲ τὸ ἀντικείμενον τοῦ ἐν τῷ συνημμένῳ ἑπομένου, τὸ μὴ δύνασθαί τι ἐν πεπερασμένῳ χρόνῳ ἄπειρά τινα διεξελθεῖν, διότι οὐδὲ διεξελθεῖν ὅλως οἷόν τε τὰ ἄπειρα, ἀνῄρει τὸ εἶναι κίνησιν. οὕτω μὲν οὖν ὁ Ζήνων. τινὰς δὲ ἄλλως ἐρωτᾶν αὐτόν φησι λέγοντα, εἰ ἔστι κίνησις, ἐπεὶ ἔστιν ἄπειρα ἡμίση ἐν παντὶ συνεχεῖ, τὸ κινούμενον ἐπὶ τοῦ συνεχοῦς δυνατὸν καθ' ἕκαστον ἥμισυ ἀριθμεῖν. τούτου δὲ γινομένου, ὅταν τὸ κινούμενον διεληλυθὸς ᾖ τὸ πεπερασμένον μέγεθος, ἔσται ὁ ἀριθμὸς ἄπειρα ἡμίση ἠριθμηκώς. εἰ οὖν τοῦτο ἀδύνατον, τὸ ἀριθμῆσαι τὰ ἄπειρα, ἀδύνατον ἂν εἴη καὶ τὸ ᾧ τοῦτο ἕπεται. εἵπετο δὲ τῷ κίνησιν εἶναι. id. f. 302.

263a 14. ἡ δ' αὐτὴ γίνεται ἀπορία, κἂν αὐτοῦ τις τοῦ μεγέθους μόνον ἀξιώσῃ τὰ ἡμίση ἀριθμεῖσθαι, ὅταν τὸ κινούμενον διέρχηται αὐτό, κἂν μὴ προσχρήσηται τῷ χρόνῳ, ὡς Ζήνων ἐποίει. καὶ διὰ τοῦτο ἔοικεν ὁ Ἀριστοτέλης τῷ Ζήνωνος λόγῳ προσθεῖναι τὸν ἀλλοίως ἀπὸ τοῦ ἀριθμεῖν ἐρωτῶντα τὸν αὐτὸν λόγον, ὅτι πρὸς τὴν τοιαύτην ἐρώτησιν οὐκ ἦν ἱκανὴ ἡ τότε ῥηθεῖσα λύσις, ἡ καὶ τὸν χρόνον ὁμοίως ἄπειρον τῷ μεγέθει δεικνῦσα, ὥσπερ οὐδὲ πρὸς τὸν ἀπὸ τοῦ χρόνου μόνου ἐρωτώμενον ἢ τοῦ μεγέθους. id. f. 302 b.

263a 26. ἀλλ' ἐρεῖ τις ὅτι εἰ πᾶν συνεχὲς ἐπ' ἄπειρον διαιρετόν, καὶ πᾶν μόριον τοῦ συνεχοῦς συνεχές ἐστι, καὶ διαιρῶν τὸ συνεχὲς οὐκ ἀναιρεῖ τὸ συνεχὲς εἶναι. ταύτην οὖν λύων τὴν ἔνστασιν λέγει πῶς ἐστὶ τὰ συνεχῆ ἐπ' ἄπειρον διαιρετά· διότι γὰρ δυνάμει ἔχει τὰ ἄπειρα, οὐκ ἐντελεχείᾳ· τῷ γὰρ καθ' ὁτιοῦν ἑαυτοῦ μόριον δύνασθαι τομὴν δέξασθαι. id. ib.

ὥστε ὁ διαιρῶν καὶ ἀριθμῶν τὰ ἡμίση διαφθείρει τὴν ὑπόθεσιν τοῦ προβλήματος. ἡμεῖς μὲν γὰρ ζητοῦμεν εἰ ἄπειρα ἐν τῇ συνεχεῖ

χῆς φορᾷ. ὥστε οὐχ ἵσταται καθ' ἕκαστον σημεῖον τὸ φερόμενον, τῷ μηδὲ εἶναι τὰ σημεῖα ἐνεργείᾳ ἐν τῷ συνεχεῖ, διὸ οὐδὲ μέσα ἐστὶ κατ' ἐνέργειαν. ὅτι δὲ οὐκ ἔστι μέσα τῶν ἄκρων κατ' ἐνέργειαν τὰ ἐν τῷ συνεχεῖ σημεῖα, ὥστ' ἂν ὡς συνεχὲς λαμβάνηται, δείκνυσι τίνα ἐστὶ τὰ κυρίως μέσα τίνων ὁρισάμενος. ἐν οἷς γάρ ἐστιν ἀρχὴ καὶ τέλος καὶ μέσον, τὸ μέσον πρὸς ἑκάτερον τῶν μερῶν τὸ ἕτερον γίνεται, πρὸς μὲν τὴν ἀρχὴν τελευτή, πρὸς δὲ τὴν τελευτὴν ἀρχή, καὶ οὕτως ἀρχὴ γίνεται καὶ τελευτὴ κατὰ τὸν λόγον. πρὸς ἑκάτερον δὲ ἄμφω γίνεται, ὅταν καὶ τῶν ἄκρων ἑκάτερον κατ' ἄμφω λαμβάνηται καὶ ὡς ἀρχὴ καὶ ὡς πέρας· τότε γὰρ τὸ μέσον, οἷον τὸ γ' πρὸς τὸ α', ὡς μὲν πρὸς ἀρχὴν πέρας γίνεται, ὡς δὲ πρὸς πέρας ἀρχή, καὶ πρὸς τὸ β' ὁμοίως. ὁ δὲ Ἀλέξανδρος τοῦ "τὸ μέσον πρὸς ἑκάτερον ἄμφω ἐστίν" οὕτω μὲν οὐκ ἀξιοῖ ἀκούειν, ψεῦδος εἶναι νομίζων τὸ πρὸς ἑκάτερον ἄμφω γίνεσθαι, ἀλλ' ὅτι τὸ μέσον πρὸς ἑκάτερον ἀντιτιθέμενον ὡς ὂν τὸ ἕτερον ἀμφότερα γίνεται. εἰ δὲ καὶ τῶν ἄκρων ἑκάτερον ὡς ἄμφω ληφθείη, καὶ ὡς ἀρχὴ καὶ ὡς πέρας, οἷον τῆς ἄνωθεν κάτω εὐθείας καὶ τὸ ἄνω πρὸς μὲν τὸ ἀπ' αὐτοῦ κινούμενον ἀρχή, πρὸς δὲ τὸ ἐπ' αὐτὸ τέλος, καὶ τὸ κάτω ὁμοίως ἔσται, καὶ τὸ μέσον ἄμφω πρὸς ἑκάτερον τῷ λόγῳ· τῷ γὰρ ἀριθμῷ ἕν ἐστιν. τὰ δὲ ἐν τῇ εὐθείᾳ μεταξὺ τῶν ἄκρων σημεῖα, ἕως ἂν ὡς μία καὶ συνεχὴς ἡ εὐθεῖα λαμβάνηται, δυνάμει μόνον ἐστί, δυνάμει δὲ ὄντα οὐκ ἂν εἴη μέσα κυρίως. id. ib.

262 a 19. ὅτι δ' ἅπαν τὸ κάμπτον, κἂν ἐπὶ κύκλου κινῆται κἂν ἐπ' εὐθείας, ἀνάγκη πρότερον στῆναι, ἡ πίστις οὐ μόνον ἐπὶ τῆς αἰσθήσεως ἀλλὰ καὶ ἐπὶ τοῦ λόγου. πᾶν γὰρ τὸ φερόμενον, ἐν ᾧ γενέσθαι τε καὶ ἀπογενέσθαι ἀνάγκην ἔχει, καὶ εἰς ὃ ἐλθεῖν καὶ ἐξ οὗ ἀπελθεῖν, ἐν τούτῳ καὶ ἵστασθαι ἀνάγκην ἔχει, χρώμενον αὐτῷ ὡς ἀρχῇ καὶ πέρατι τῆς κινήσεως· οὐ γὰρ οἷόν τε ἐν ταὐτῷ νῦν γενέσθαι τε ἔν τινι καὶ ἀπογενέσθαι ἐξ αὐτοῦ, καὶ ἐλθεῖν καὶ ἀπελθεῖν. ἅμα γὰρ ἂν εἴη καὶ οὐκ εἴη ἐν τῷ αὐτῷ, ὥστε ἐν ἄλλῳ νῦν καὶ ἐν ἄλλῳ. εἰ δὲ τοῦτο, πάντων δὲ τῶν νῦν χρόνος μεταξύ, τὸν μεταξὺ χρόνον τοῦτον ἂν εἴη ἠρεμοῦν, ἐν ᾧ κεῖται γεγονέναι τε καὶ ἀπογεγονέναι ἀπ' αὐτοῦ. ἐπὶ μὲν οὖν τῶν μέσων σημείων τῆς πεπερασμένης εὐθείας οὐκ ἀνάγκην ἔχει τὸ φερόμενον γενέσθαι τε ἔν τινι καὶ ἀπογενέσθαι· οὐδὲν γὰρ αὐτῶν ἐστιν ἐνεργείᾳ, οὐδ' ὅλως σημεῖον ἐνεργείᾳ· δεῖ γὰρ τὸ ἐνεργείᾳ σημεῖον καὶ ἐνεργείᾳ μέσον καὶ ἀρχὴν εἶναι καὶ πέρας, καὶ τῷ μὲν ὑποκειμένῳ ἕν, τῷ λόγῳ δὲ δύο. τοῦτο δὲ οὐκ ἔστιν ἐπὶ τῆς συνεχοῦς, ἕως ἂν ᾖ συνεχής. ἀλλὰ τότε γίνεται ἐνεργείᾳ μέσον ἐνεργείᾳ σημεῖον, ὅταν στῇ ἐπ' αὐτοῦ τὸ φερόμενον, καὶ ἐπιστὰν πάλιν ἄρξηται κινεῖσθαι. Themist. f. 62.

262 a 30. εἰπὼν ὅτι ἐν οὐδενὶ χρόνῳ ἐστὶ τὸ συνεχῶς ἐπὶ τῆς εὐθείας κινούμενον κατά τι τῶν ἐν τῇ εὐθείᾳ σημείων, προσέθηκε "πλὴν οὗ τὸ νῦν ἐστὶ διαίρεσις," ἴσον λέγων τῷ κυρίως μὲν καὶ καθ' αὑτὸ μὴ εἶναι ἐν χρόνῳ τὸ κινούμενον συνεχῶς ἐπὶ τῆς εὐθείας κατά τι τῶν ἐν αὐτῇ σημείων, κοινότερον μέντοι καὶ κατὰ συμβεβηκὸς δύνασθαι καθ' ἕκαστον τῶν σημείων εἶναι λέγεσθαι ἐν χρόνῳ, τῷ τῶν νῦν ἕκαστον, καθ' ἅ ἐστιν ἐφ' ἑκάστου τῶν σημείων τὸ κινούμενον ἐπὶ τῆς εὐθείας, ἐκείνου εἶναι τοῦ χρόνου ἐν ᾧ διέξεισι τὴν εὐθεῖαν. τῷ γὰρ ἐν τῷ νῦν εἶναι, ὅ ἐστι διαίρεσις τοῦ χρόνου, τοῦτο λέγοιτο ἂν καὶ ἐν τῷ χρόνῳ εἶναι, οὗ τὸ νῦν ἐστίν, ἀλλ' οὐ τὸ κυρίως· τὸ γὰρ νῦν οὐ μέρος τοῦ χρόνου ἐστὶν ἀλλὰ τομὴ αὐτοῦ, καθ' ὃ τέμνεται καὶ δύναται τμηθῆναι ὁ χρόνος. Simpl. f. 300.

262 b 2. ... τὸ δὲ "ἐν ἄλλῳ ἄρα σημείῳ χρόνου" εἶπεν ὡς ἴσον τῷ ἐν ἄλλῳ νῦν· τὸ γὰρ νῦν τὸ ἐν τῷ χρόνῳ ἀνάλογόν ἐστι σημείῳ τῷ ἐν τῇ γραμμῇ... τὸ δὲ "διὰ τὸ δύο ποιεῖν, ὥσπερ ἂν εἰ καὶ νοήσειεν," ἴσον ἐστὶ τῷ οὕτω γὰρ τὸ ἓν τῷ ἀριθμῷ δύο ποιεῖ τῇ στάσει. οὐ γὰρ δὴ διαιρεῖ τὸ σημεῖον ἀδιαίρετον ὄν, ἀλλὰ δὶς αὐτῷ χρῆται, ποτὲ μὲν ὡς πέρατι ποτὲ δὲ ὡς ἀρχῇ, διὰ τὸ ἵστασθαι ἐν αὐτῷ. πῶς δὲ τὸ ἓν δύο ποιεῖ δεικνύς, προσέθηκεν "ὥσπερ ἂν εἰ καὶ νοήσειεν". ἔκειτο γὰρ τὸ οὕτω γινόμενον δύο τῷ λόγῳ γίνεσθαι δύο. εἶπε γὰρ "καὶ τῷ μὲν ἀριθμῷ ἕν, τῷ λόγῳ δὲ δύο" (p. 262 *a* 21), τουτέστι τῇ νοήσει. id. f. 300 *b*.

262 b 7. δείξας ὅτι τὸ γινόμενον ἔν τινι καὶ ἀπογινόμενον ἀπ' αὐτοῦ ἀνάγκην ἔχει στῆναι ἐν αὐτῷ, ἀπορίαν πρὸς τοῦτο φερομένην ἐπάγει, καὶ λύει τὴν ἀπορίαν, τὸ ἀδιορίστως ἐν αὐτῇ ληφθὲν διοριζόμενος. καὶ ἡ μὲν ἀπορία βραχέως καὶ ἀσαφῶς ὑπ' αὐτοῦ τεθεῖσα τοιοῦτον ἔχει τὸ κεφάλαιον. εἰ ἀνάγκη τὸ γινόμενον ἔν τινι καὶ ἀπογινόμενον ἀπ' αὐτοῦ χρόνον τινὰ ἠρεμεῖν ἐν αὐτῷ, συμβήσεται τὰ ἰσοταχῶς κινούμενα ἐπὶ ἴσων εὐθειῶν ἅμα ἀρξάμενα κινεῖσθαι, οὐχ ἅμα διιέναι τὰς ἴσας εὐθείας, ὅπερ ἄτοπον· ὥστε καὶ τὸ ἡγούμενον ἄτοπον, τὸ τὸ γινόμενον ἔν τινι καὶ ἀπογινόμενον χρόνον τινὰ ἠρεμεῖν. τὸ δὲ εἰρημένον ἄτοπον συμβαίνει, ἐὰν τῶν ἰσοταχῶς κινουμένων τὸ μὲν ληφθῇ γεγονέναι καὶ ἀπογεγονέναι κατά τι τῶν μεταξὺ σημείων, τὸ δὲ μὴ ληφθῇ. ἐὰν γὰρ ᾖ δύο τινὰ ἰσοταχῶς κινούμενα, οἷον τὰ αδ', ἐπὶ δύο τινῶν εὐθειῶν ἴσων τῆς τε ε' καὶ τῆς ζ', ληφθῇ δὲ τὸ α' ἐπὶ τῆς εγ' ἔν τινι τῶν μεταξὺ τοῦ ε' καὶ τοῦ γ' σημείων, οἷον τῷ β', μὴ μόνον ὂν ἀλλὰ καὶ γινόμενον καὶ ἀπογινόμενον, εἰ τὸ γεγονὸς ἔν τινι καὶ ἀπογεγονὸς χρόνον τινὰ τὸν μεταξὺ τῶν δύο νῦν, τοῦ τε ἐν ᾧ γίνεται καὶ τοῦ ἐν ᾧ ἀπογίνεται, ἠρεμεῖν ἀνάγκη, ἀκολουθήσει τὸ θᾶττον τὸ δ' τὴν ζη' εὐθεῖαν κινεῖσθαι, τὸ ἰσοταχές τε ὂν τῷ α' καὶ ἅμα ἠργμένον τῆς κινήσεως. τοῦτο δὲ συνέβη διὰ τὸ ἐπὶ μὲν τοῦ α' λαβεῖν τὸ καὶ γεγονέναι καὶ ἀπογεγονέναι ἐπί τινος τῶν μεταξὺ τῶν εγ' σημείων, ἐπὶ δὲ τοῦ δ' μηδὲν τοιοῦτον προσλαβεῖν, ἀλλὰ συνεχῆ τὴν κίνησιν ἐᾶσαι· ὥστε καὶ τὰ μεταξὺ τῶν ζη' σημεῖα δυνάμει εἶναι, καὶ τὸ δ' συνεχῶς κινούμενον εἶναι μόνον ἐπὶ τῶν σημείων, ἀλλὰ μὴ γίνεσθαι καὶ ἀπογίνεσθαι. εἰ οὖν οὕτω καὶ τὸ α' τὸ ἰσοταχὲς τῷ δ' ληφθείη συνεχῶς κινούμενον, οὐκέτι ἐπακολουθεῖ τὸ θᾶττον τὸ δ' διεξελθεῖν τὴν ζη' ἢ τὸ α' τὴν εγ'· ἀμφότερα γὰρ ὁμοίως διεξέρχεται ὄντα ἐν τοῖς μεταξὺ σημείοις τοῖς δυνάμει, ἀλλ' οὐχὶ τοῦ ἑτέρου γινομένου ἔν τινι αὐτῶν καὶ ἀπογινομένου· οὐ γὰρ ἀνάγκη τὸ ἔν τινι ὂν καὶ γίνεσθαι ἐν αὐτῷ καὶ ἀπογίνεσθαι, ὅπερ ὁ ἀπορῶν λόγος ἐπὶ τοῦ ἑτέρου τῶν κινουμένων τοῦ α' λαβὼν συνῆγεν τὸ μὴ ἀληθῶς ἀποδεδεῖχθαι τὸ ἠρεμεῖν μεταξὺ χρόνον τινὰ τὸ γινόμενον καὶ ἀπογινόμενον. ὁ δὲ Ἀριστοτέλης ἔλαβε γραμμὰς ε' μὲν τὴν τὸ εγ, ζ' δὲ τὴν τὸ ζη'. ἀσαφὲς δὲ ὂν τὸ ἐπὶ τοῦ δ' ῥηθέν (τὸ γὰρ πρότερον ὁρμῆσαν καὶ ἀπελθὸν πρότερον ἐλθεῖν ἀνάγκη) καλῶς ὁ Ἀλέξανδρος ἐσαφήνισεν...

ἀντικείμεναι. ἀλλ' ἡ διαφορὰ πρὸς τὰς ἀληθῶς κινήσεις, ὅτι καὶ ἐκείνων μὲν οὖν τι μεταξὺ πάντως, ἀλλ' ὅτι οὐ πάντως ἠρεμία μεταξύ, ἀλλὰ χρόνος. τὸ γὰρ φθειρόμενον, ὅταν εἰς τὸ μὴ ὂν μεταβάλλῃ, ἠρεμεῖν μὲν οὐκ ἂν λέγοιτο ἐν τῷ μὴ ὄντι, χρόνον δ' οὖν γίνεσθαι ἀεί τινα μεταξὺ τῆς εἰς τὸ μὴ ὂν φθορᾶς καὶ τῆς ἐκ τοῦ μὴ ὄντος πάλιν γενέσεως. Themist. f. 61 *b*.

261 b 7. "ἀλλὰ μεταξύ" φησὶν "ἔσται αὐτῶν χρόνος," καὶ οὐκ εἶπεν ἠρεμία, τὴν ἔνστασιν ἣν μετ' ὀλίγον λύσει φυλαττόμενος. οὐ γὰρ ὡς ἐπὶ τῶν ἐναντίων κινήσεων τὸ κινούμενον τὰς ἐναντίας ἠρεμεῖ μεταξύ, οὐχ οὕτω καὶ ἐπὶ τῶν εἰς τὰ ἀντικείμενα μεταβαλλόντων τὸ ὂν καὶ τὸ μὴ ὄν· τὸ γὰρ ἠρεμοῦν ὄν τι ἠρεμεῖ καὶ ἐν ὄντι, οὔτε δὲ μὴ ὂν οὔτε ἐν μὴ ὄντι τινὶ ἠρεμεῖν δυνατόν. χρόνον μέντοι μεταξὺ εἶναί τινα καὶ τούτων τῆς ἀπὸ θατέρου ἐπὶ θάτερον μεταβολῆς ἀναγκαῖον. Simpl. f. 298.

261 b 16. οὐ παρέργως δέ, φησὶν ὁ Ἀλέξανδρος, ἠσφαλίσατο τὸν λόγον τὸν ἓν ἑνὶ λέγοντα, ἀλλὰ χρησίμως εἰς τὰ προκείμενα. ἐπεὶ γὰρ κέχρηται τῷ ἐναντίας εἶναι τὰς κινήσεις τὰς εἰς τὰ ἐναντία, ἵνα μή τις ἐνίστηται πρὸς τοῦτο λέγων ἓν ἑνὶ ἐναντίον εἶναι, τῇ δὲ κινήσει τὴν ἠρεμίαν ἐναντίον, καὶ διὰ τοῦτο μὴ δύνασθαι καὶ κίνησιν αὐτῇ ἐναντίαν εἶναι, εἰ δὲ μὴ ἐναντίαι εἰσὶν αἱ ἐκ τῶν ἐναντίων μεταβολαί, οὐδὲν κωλύει μίαν γενέσθαι τὴν εἰς αὐτὰ μεταβολὴν αὐτῶν, — διὰ ταύτην δὴ τὴν ἔνστασιν παρήγαγε νῦν τὴν ἠρεμίαν, ὑπομιμνήσκων τῶν περὶ αὐτῆς δειχθέντων, ὅτι ἡ ἠρεμία οὐ κυρίως ἐναντία τῇ κινήσει, ἀλλὰ ἀντίκειται αὐτῇ ὡς στέρησις πρὸς ἕξιν, ἐναντία δὲ κίνησις κινήσει ἐστίν. id. f. 298 *b*.

261 b 22. ὅτι αἱ ἐξ ἀντικειμένων εἰς ἀντικείμενα μεταβολαὶ οὐκ εἰσὶ συνεχεῖς, ἀλλὰ διαλαμβάνονται χρόνῳ, δείκνυσιν ἐκ τῆς γενέσεως καὶ τῆς φθορᾶς, δυνάμει συλλογιζόμενος οὕτως. εἰ ἡ γένεσις καὶ ἡ φθορὰ μὴ συνεχεῖς εἰσίν, ἀλλὰ διαλαμβάνονται χρόνῳ, πιστὸν ἂν εἴη καὶ τὰς ἄλλας μεταβολὰς τὰς ἐξ ἀντικειμένων εἰς ἀντικείμενα μὴ εἶναι συνεχεῖς. ἀλλὰ μὴν τὸ ἡγούμενον, τὸ ἄρα λῆγον. καὶ τὸ μὲν συνημμένον δείκνυσιν ἐκ τοῦ φυσικὸν εἶναι τὸ ὁμοίως ἔχειν ἐν ἁπάσαις ταῖς ὁμοίαις μεταβολαῖς, ὅταν τὸ συμβαῖνον διὰ τὴν ὁμοιότητα ὑπάρχῃ. id. ib.

261 b 27. τὸ ἄπειρον τὸ ἀπεράτωτον καὶ ἀΐδιον δηλοῖ· αἱ γὰρ πέρατα ἔχουσαι ἀνακάμπτουσαι μεταξὺ ἠρεμοῦσιν. id. f. 299.

261 b 31. ὅτι οὖν ἡ ἐπ' εὐθείας οὐκ ἔστι συνεχής, δείκνυσι λαβὼν ὅτι ἡ εὐθεῖα, ἐφ' ἧς φέρεται τὸ κατ' εὐθεῖαν φερόμενον, πεπερασμένη ἐστίν, ὅπερ ἀπέδειξεν ἐν τῷ τρίτῳ τῆσδε τῆς πραγματείας (c. 5) διὰ τοῦ μηδὲν ἐνεργείᾳ μέγεθος ἄπειρον εἶναι. id. ib.

261 b 36. εἰ οὖν μὴ ἵσταται πρὶν ἀνακάμψαι τὸ ἄνω φερόμενον, φέροιτο ἂν ἅμα καὶ ἄνωθεν κάτω καὶ κάτωθεν ἄνω, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ὅλως δὲ τὰς ἐναντίας κινήσεις πῶς μίαν γενέσθαι δυνατόν; Themist. f. 62.

262 a 4. τοῦτο γάρ ἐστι, φησί, τόπος, ὡς ἐπὶ τῶν κατὰ τόπον κινουμένων τὸ ἄνω ἢ τὸ κάτω ἢ ἕτερόν τι, ἢ πάθος, ὡς ἐπὶ τῶν κατ' ἀλλοίωσιν κινουμένων, ἢ εἶδος, ὡς ἐπὶ τῶν κατὰ γένεσιν καὶ φθοράν. in hacc exit Philop. cod. Ottob. 32.

εἰ οὖν μὴ κατὰ ἓν καὶ ἀδιάφορον εἶδος αἱ ἐναντίαι κινήσεις γίνονται, 262 a 5. οὔτε συνεχὴς οὔτε μία εἴη ἂν ἡ τῶν ἀνακαμπτόντων ἐπὶ τῆς εὐθείας κίνησις. ἀλλὰ μὴν τὸ ἡγούμενον, τὸ ἄρα λῆγον. δύναται δὲ καὶ μία εἶναι ἡ ὅλη ταύτης τῆς ἐρωτήσεως ἀπόδειξις, ἔχουσα οὕτως. ἡ κατ' εὐθεῖαν κίνησις ἐξ ἐναντίων σύγκειται καὶ διαφερουσῶν τῷ εἴδει. ἡ ἐξ ἐναντίων καὶ διαφερουσῶν τῷ εἴδει κίνησις οὐ μία οὐδὲ συνεχής ἐστιν. καὶ τὸ συμπέρασμα δῆλον· καὶ ἔστι τὰ μὲν πρῶτα τῆς ῥήσεως κατασκευαστικὰ τῆς ἐλάττονος προτάσεως, τὰ δὲ τελευταῖα τῆς μείζονος, τὰ διορίζοντα τίς ἡ μία κίνησις. Simpl. f. 299.

τὰ γὰρ οὕτω κινούμενα ἀπαντῶντα ἀλλήλοις ἱστῶσιν ἄλληλα. 262 a 11. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν εὐθειῶν ἐναντία ἐστὶ τὰ πέρατα, οὕτω καὶ ἐπὶ τοῦ κύκλου, ὅτι μηδὲ ἔστιν ἐπ' αὐτοῦ πέρατα. ἵστανται μέντοι καὶ ἐπὶ τούτου τὰ ἀντικινούμενα, κἂν συνεχεῖς ὦσιν αἱ κινήσεις καὶ μὴ ᾖ ἀνάκαμψις ὡς ἐπὶ τῆς εὐθείας· οὐ γὰρ διὰ τὴν ἀνάκαμψιν ἱστῶσιν ἄλληλα τὰ ἀντικινούμενα, ἀλλὰ διὰ τὴν ἀντικίνησιν. σημεῖον δὲ ποιησάμενος τοῦ ἐναντίας εἶναι τὰς ἐπὶ τῆς εὐθείας τὸ ἀναιρετικὰς ἀλλήλων εἶναι τὰς ἀνάπαλιν γινομένας, πιστοῦται τοῦτο ἐκ τοῦ μὴ εἶναι ἀλλήλων ἀναιρετικὰς τὰς μὴ ἀντικειμένας μηδὲ ἀντικειμένως κινουμένας, ἀλλὰ μόνον ἑτέρας ἀλλήλων οὔσας, οἷον τὴν ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ γινομένην καὶ ὅλως τὴν εἰς τὰ πλάγια τῇ ἀπὸ τοῦ κάτω εἰς τὸ ἄνω. καίτοι διάφοροι καὶ οὐ συνεχεῖς οὐδὲ κατὰ τὸ αὐτὸ εἶδος· ἀλλ' ὡς μὴ ἀντικείμεναι δύνανται συνυπάρχειν. αἱ δὲ ἐπὶ τῆς εὐθείας ἀνάπαλιν καὶ ἀναιροῦσιν ἀλλήλας, ὃ πλέον ἐστὶ τοῦ μόνον διαφέρειν κατ' εἶδος. id. f. 299 *b*.

καὶ ἄλλην ἀπόδειξιν κομίζει, ἐξ ἧς οὐ μόνον μᾶλλον τῶν πρόσθεν, 262 a 12. ἀλλὰ μάλιστα φανερὸν εἶναί φησιν ὅτι ἀδύνατον συνεχῆ εἶναι τὴν ἐπὶ τῆς εὐθείας κίνησιν τὴν πάλιν καὶ πάλιν ἐπ' αὐτῆς γινομένην ἀνακάμπτοντος τοῦ κινουμένου. δείκνυσι δὲ αὐτὸ ἐκ τοῦ ἀνάγκην εἶναι πᾶν τὸ ἀνακάμπτον ἵστασθαι πρῶτον· τοῦτο γὰρ οὐ μόνον ἐπὶ τῶν ἐπὶ τῆς εὐθείας ἀνακαμπτόντων ἀναγκαῖον, ἀλλὰ κἂν ἐπὶ κύκλου τι κινηθὲν ἐλθὸν ἐπί τι σημεῖον ἀνακάμπτῃ πάλιν ἀπ' αὐτοῦ, ἀνάγκη καὶ τοῦτο στῆναι πρῶτον, τῷ μὴ δύνασθαι ἀνακάμψαι τὸ κινούμενον μὴ πρότερον στάν. εἰπὼν δὲ οὐ μόνον ἐπὶ τῆς εὐθείας ἀλλὰ κἂν κύκλον φέρηται, τουτέστιν ἐπὶ κύκλου, ταὐτὸ συμβαίνειν ὃ καὶ ἐπὶ τῆς εὐθείας, εἰ ἀνακάμπτοι, πάλιν τίνι διαφέρει τὸ κύκλῳ φέρεσθαι καὶ κύκλον, ἐδήλωσε. κύκλῳ μὲν γὰρ φέρεται τὸ συνεῖρον καὶ ἀεὶ ἐπὶ ταὐτὰ φερόμενον καὶ κατ' αὐτὴν ἔχον τὴν κίνησιν τὸ κυκλικὸν εἶδος, κύκλον δὲ τὸ ἐπὶ κύκλου κινούμενον ἀπὸ τοῦ αὐτοῦ ἀνακάμπτον πάλιν ἐπὶ τὸ αὐτὸ ἰέναι. ᾧ καὶ δῆλον ὅτι οὐκ ἔστι τῆς κινήσεως ὁ κυκλισμός, ἀλλὰ τοῦ ἐφ' οὗ ἡ κίνησις. διχῶς δὲ δείκνυσιν ὅτι ἀνάγκη τὸ ἀνακάμπτον ἵστασθαι πρότερον, ἀπό τε τῆς αἰσθήσεως καὶ ἀπὸ τοῦ λόγου... πρῶτον δὲ δείκνυσιν ὅτι οὐ κατὰ πᾶν σημεῖον ἵσταται τῶν ἐν τῇ εὐθείᾳ τὸ ἐπὶ τῆς εὐθείας κινούμενον· οὕτω γὰρ μάλιστα δείξει ἴδιον ὂν τὸ ἠρεμεῖν τοῖς ἐπ' εὐθείας κινουμένοις, ὅταν ἀνακάμπτωσιν. εἰ γὰρ κατὰ πᾶν σημεῖον ἵσταται τὸ φερόμενον, πρῶτον μὲν οὐ μᾶλλον ἐν τῷ ἀνακάμπτειν ἢ ἐν ὁτῳοῦν τῆς εὐθείας ἵσταιτο ἄν· πανταχοῦ γάρ ἐστι σημεῖον. καὶ ἐν τῇ κύκλῳ δὲ κινήσει τὸ αὐτὸ ἂν εἴη, ἐπεὶ καὶ ἐκεῖ σημεῖα πανταχοῦ· οὕτω δὲ οὐδεμία ἂν εἴη συνε-

δεκάτῳ τῶν Νόμων (p. 893) πρώτην ἁπασῶν εἶναι λέγει τὴν κατὰ τόπον κίνησιν, ἀπὸ ταύτης δὲ ὑφίσταται τὴν σύγκρισιν καὶ τὴν διάκρισιν, καὶ ἀπὸ ταύτης τὴν αὔξησιν καὶ τὴν μείωσιν. Simpl. f. 295 *b*.

260 b 12. γένεσις δὲ καὶ φθορὰ ὑστέρα φορᾶς, ὅτι εἴτε αὐτόθεν σύγκρισις ἡ γένεσις, ὡς Δημόκριτος οἴεται, καὶ διάκρισις ἡ φθορά, εἴτε κατ' ἀλλοίωσιν μὲν ἡ γένεσις, προηγεῖται δὲ σύγκρισις καὶ διάκρισις, καὶ οὕτως ἂν ἡ φορὰ πρώτη ὑπάρχοι. Themist. f. 61 *b*.

260 b 15. ὁρμήσας καὶ ἄλλας ἐπιχειρήσεις παραδοῦναι δεικνύσας ὅτι πρώτη τῶν κινήσεών ἐστιν ἡ φορά, διαίρεσιν ποιεῖται τῶν τοῦ προτέρου σημαινομένων, ὅπερ ἐν ἀρχῇ παραλιπὼν νῦν ἀνεπλήρωσε, καὶ κατὰ πάντας τοὺς τρόπους καθ' οὓς λέγεται κυρίως τὸ πρότερον, δείκνυσι πρώτην οὖσαν τὴν φορὰν τῶν ἄλλων κινήσεων. τρεῖς δὲ ἐνταῦθα τοῦ προτέρου τρόπους ἐξέθετο... ἐν δὲ ταῖς Κατηγορίαις (c. 12) πρὸς τῷ κατὰ φύσιν καὶ κατὰ χρόνον προτέρῳ τέθεικεν ἄλλα τοῦ προτέρου σημαινόμενα... ἐν δὲ τῷ δέλτα τῆς Μετὰ τὰ Φυσικὰ (c. 11) πλείονας ἐκτίθεται τρόπους τοῦ προτέρου καὶ ὑστέρου... ἐνταῦθα δὲ ἐπὶ κινήσεως ζητῶν τὸ πρότερον καὶ ὕστερον, ὅσα χρήσιμα πρὸς αὐτὴν σημαινόμενα παρέλαβεν· τὸ γὰρ κατὰ θέσιν εἴπερ ὅλως εἴη ἐν τῇ κινήσει, κατὰ τὸν χρόνον ἂν λαμβάνοιτο, ἢ τάχα ἡ τῶν προτέρων κατὰ θέσιν σωμάτων προτέρα ἂν καὶ αὐτὴ λέγοιτο τῇ θέσει. ἐκείνῳ δ' ἐφιστάνειν ἄξιον, ὅτι ἐν μὲν τῇ Μετὰ τὰ Φυσικὰ συνῆψε τὸ κατὰ φύσιν καὶ κατ' οὐσίαν, ἐνταῦθα δὲ διεῖλεν αὐτό. Simpl. f. 296.

260 b 30. ἐντεῦθεν ἡ ἀπορία· δοκεῖ γὰρ ἑνὸς ἑκάστου ἀτόμου ἡ γένεσις πρὸ τῆς κατὰ τόπον κινήσεως εἶναι. ἐπιλύεται οὖν λέγων ὅτι πρὸ ἑκάστης γενέσεώς ἐστιν ἡ κατὰ τόπον κίνησις τῶν γενητῶν, καὶ πρὸ ταύτης ἡ τῶν οὐρανίων, ἥτις καὶ αὐτὴ γεννᾷ. Philop. in cod. Ottob. 32.

261 a 1. ἀλλὰ τοῦτο δόξειεν ἂν ὑπεναντίον εἶναι τοῖς πρότερον εἰρημένοις. εὑρίσκεται γὰρ γένεσις προτέρα φορᾶς, εἴ γε δεῖ γενέσθαι πρῶτον, εἶθ' οὕτω κινεῖσθαι. τοῦτο δὲ ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν γινομένων ἀληθές, ἁπλῶς δὲ οὐκ ἀληθές· ἀνάγκη γὰρ ἕτερόν τι πρότερον κινηθῆναι κατὰ φοράν, τὸ γεννητικὸν τοῦ γιγνομένου, ὂν ἤδη καὶ οὐ τηνικαῦτα γινόμενον, καὶ τούτου ἕτερον πρότερον. ἔτι γένεσιν ἀδύνατον εἶναι πρώτην. Themist. f. 61 *b*.

261 a 10. οὐκ ἠκριβολογήσατο περὶ τὴν λέξιν· ἔδει γὰρ προτάξαι, ὡς ἄνω προείπομεν, τῆς αὐξήσεως τὴν ἀλλοίωσιν. φθίσεως δὲ καὶ φθορᾶς ἡ μὲν τῇ αὐξήσει ἡ δὲ τῇ γενέσει ἀντίκειται. "ὅλως δὲ φαίνεται τὸ γινόμενον ἀτελὲς καὶ ἐπ' ἀρχὴν ἰόν." ἐντεῦθεν ὅτι καὶ τῇ φύσει προτέρα ἡ κατὰ τόπον δείκνυσιν, ὥστε τελειοτέρα καὶ τοῖς τελειοτέροις μᾶλλον ὑπάρχουσα. "ἐπ' ἀρχὴν ἰόν," τουτέστιν ἐπὶ τὸ τέλειον εἶδος. Philop. in cod. Ottob. 32.

261 a 13. τὴν λύσιν τῆς ἐνστάσεως τῆς ἀπὸ τῆς γενέσεως ἐνεχθείσης ἀρχὴν τοῦ τρίτου ἐπιχειρήματος ἐποιήσατο, τοῦ δεικνύντος ὅτι καὶ κατ' οὐσίαν πρώτη τῶν ἄλλων ἐστὶν ἡ κατὰ φορὰν κίνησις. τὸ δὲ κατὰ φύσιν πρῶτον καὶ κατ' οὐσίαν πρῶτον ὀνομάζει, συμφώνως τοῖς ἐν τῇ Μετὰ τὰ Φυσικὰ (Δ 11) περὶ τούτων εἰρημένοις... καὶ ὅτι μὲν ἡ φορὰ τελευταία τοῖς ἐν γενέσει ὑπάρχει, δείκνυσιν ἐκ τοῦ τὰ μὲν κατ' οὐσίαν ἀτελέστερα, ὥσπερ τὰ φυτὰ καὶ τῶν ζῴων τὰ προσπεφυκότα, ἅπερ ζωόφυτα καλοῦμεν, οὐδὲ ὅλως κινεῖσθαι κατὰ τόπον, τοῖς δὲ τελειουμένοις τελευταῖον ὑπάρχειν τοῦτο. ὅτι δὲ τὸ τῇ γενέσει ὕστερον τῇ φύσει καὶ τῇ οὐσίᾳ πρότερόν ἐστι, δείκνυσιν ἐκ τοῦ τὸ γινόμενον ἐν τῷ ἔτι γίνεσθαι ἀτελὲς ὂν ὁδεύειν ἐπὶ τὴν ἑαυτοῦ τελειότητα ὡς ἐπ' ἀρχὴν καὶ πρῶτον τῇ φύσει· ἡ γὰρ τελειότης ἀρχὴ ὡς τὸ οὗ ἕνεκα καὶ τὸ τέλος. Simpl. f. 297.

τοῦτο τὸ ἐπιχείρημα δύναται δεικτικὸν εἶναι τοῦ πρώτην τῶν 261 a 23. ἄλλων κινήσεων εἶναι τὴν φορὰν κατὰ τοὺς τρεῖς τοῦ προτέρου τρόπους οὓς ἀποδέδωκεν. ἔστι δὲ τοιοῦτον. ἐδείχθη πρότερον ὅτι τὸ αὐτοκίνητον προϋπάρχον καὶ χρόνῳ καὶ οὐσίᾳ τῶν κινούντων καὶ κινουμένων ἀρχὴ τῶν τοιούτων ἐστί, καὶ ὅτι τὴν κατὰ φορὰν κίνησιν ἰδίως καὶ κυρίως κινεῖται τὸ αὐτοκίνητον. εἰ οὖν ἡ κατὰ τόπον κίνησις οἰκεία ἐστὶ τῆς ἀρχῆς καὶ αἰτίας τῶν κινουμένων, ἡ δὲ οἰκεία τῆς ἀρχῆς καὶ αἰτίας τῶν κινουμένων κίνησις αὕτη ἂν εἴη καὶ τῇ φύσει καὶ τῷ χρόνῳ προτέρα τῶν ἄλλων κινήσεων, τὸ συμπέρασμα δῆλον, ὅτι ἡ κατὰ τόπον κίνησις καὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ καὶ τῷ χρόνῳ πρώτη τῶν ἄλλων ἐστὶ κινήσεων. καὶ συμπεραίνεται λοιπὸν τὰ εἰρημένα. ὅτι δὲ καὶ τοῦτο τοῖς ἐν τῷ δεκάτῳ τῶν Πλάτωνος Νόμων κατακολουθῶν ὁ Ἀριστοτέλης ἀπέδειξε, συνιδεῖν ἔστιν. id. ib.

ἔτι τὸ αὐτοκίνητον ἀρχὴ καὶ τῶν κινουμένων καὶ τῶν κινούντων. κινεῖται δὲ τὸ αὐτοκίνητον κατὰ μόνην φοράν· καὶ οὕτως ἄρα πρώτη φορά. ἔτι κυρίως κινεῖσθαί φαμεν μόνον τὸ κινούμενον κατὰ τόπον· ὅταν δ' ἠρεμῇ μὲν κατὰ τόπον, αὐξάνηται δὲ ἢ φθίνῃ ἢ ἀλλοιούμενον τυγχάνῃ, κατά τι κινεῖσθαι, ἁπλῶς δὲ κινεῖσθαι οὔ φαμεν. ὅτι μὲν τοίνυν τῶν κινήσεων ἡ φορὰ πρώτη, φανερὸν ἐκ τῶν εἰρημένων· τίς δὲ φορὰ πρώτη, νῦν δεικτέον. Themist. f. 61 *b*.

ἐπιστῆσαι χρὴ ὅτι μέχρι νῦν ὡς ὑπόθεσις ἐλαμβάνετο τὸ 261 a 27. εἶναι συνεχῆ κίνησιν· ἡ γὰρ ἐν ἀρχῇ δειχθεῖσα ἀγένητος καὶ ἄφθαρτος κίνησις οὐχ ὡς μία καὶ συνεχής, ἀλλ' ὡς ἀεὶ μέν, ἄλλη δὲ καὶ ἄλλη κίνησις ἐν τοῖς οὖσιν ἀπεδείκνυτο. ἐπιστήμης δέ ἐστιν ἀκριβοῦς τὸ κατὰ μίαν μέθοδον πλείονα καὶ οὕτω καθολικὰ καὶ χρήσιμα θεωρήματα εὑρίσκειν. ἡ δὲ εὕρεσις αὐτῷ γίνεται δεικνύντι πρῶτον ὅτι οὐδεμία τῶν ἄλλων κινήσεων ἢ μεταβολῶν παρὰ τὴν φορὰν συνεχὴς εἶναι δύναται καὶ μία, ἀλλ' οὐδὲ τῆς φορᾶς ἡ κατ' εὐθεῖαν οὐδὲ ἡ μικτή, ἀλλὰ μόνῃ τῇ κύκλῳ κινήσει τὸ συνεχὲς καὶ ἀΐδιον ὑπάρχειν δυνατόν. καὶ οὕτως ἐκ τούτου δείκνυσιν ὅτι τῶν φορῶν πρώτη ἡ κύκλῳ τῆς κατ' εὐθεῖαν ἐστίν. Simpl. f. 297 *b*.

ὅτι δὲ λοιπὸν οὐχ οἷόν τε ἐκ τῶν ἀντικειμένων καὶ ἐναντίων κι- 261 a 33. νήσεων μίαν γενέσθαι καὶ συνεχῆ κίνησιν, δῆλον· εἰ γὰρ εἴη μία, τὸ λευκαινόμενον ἅμα ἂν καὶ μελαίνοιτο, καὶ εἰς ὑγείαν μεταβάλλον ἅμα ἂν καὶ εἰς νόσον μεταβάλλοι, καὶ τὸ αὐξόμενον ἅμα ἂν καὶ μειοῖτο, καὶ τὸ γινόμενον ἅμα ἂν καὶ φθείροιτο. id. f. 298. cf. Themist. f. 61 *b*.

εἰ δὲ νῦν μὲν ταύτην κινεῖται, πρότερον δὲ οὔ, ὑπῆρχε δὲ καὶ τό- 261 b 4. τε καὶ νῦν, δῆλον ὡς ἐκ μιᾶς εἰς αὐτὴν μεταβέβληκεν· εἰ γὰρ μὴ ἠρέμησεν μεταξύ, ἐκινεῖτο ἂν ὡς μίαν τὰς ἐναντίας. ὁμοίως δὲ ἕξει καὶ ἐπὶ γενέσεως καὶ φθορᾶς· καὶ γὰρ αὗται, εἰ μὴ ἐναντίαι, ἀλλ'

συνεχῶς κινουμένης καὶ κινούσης· ὑφ' ἑαυτῶν γὰρ οὐ κινοῦνται κατὰ συμβεβηκός, διότι τὸ κινοῦν ἐν ὅλῳ ἐστί, τὸ δὲ ὅλον οὐ κινεῖται· κατὰ μόρια γὰρ κινεῖται τὰ κύκλῳ κινούμενα καὶ οὐ καθ' ὅλα. τὸ δὲ κατὰ συμβεβηκὸς ὑφ' ἑαυτῶν κινεῖσθαι τοῖς φθαρτοῖς ὑπάρχει μόνοις· τὸ γὰρ "μόνον" ἀντὶ τοῦ μόνοις εἴρηται. καὶ ὁ μὲν Ἀλέξανδρος τὰς ἐν ταῖς πλανωμέναις σφαίραις ψυχὰς κατὰ συμβεβηκὸς κινεῖσθαί φησιν, οὐχ ὑφ' ἑαυτῶν μέντοι ἀλλ' ὑπὸ τῆς τὰ σώματα αὐτῶν κινούσης, διότι ἐν τούτοις εἰσὶ κινουμένοις οὐκ ἐπὶ τὰ αὐτὰ ἐφ' ἃ κινεῖται ὑπὸ τῶν ἐν αὐτοῖς ἀκινήτων. τὸ δὲ πρῶτον, φησίν, αἴτιον τὸ τῆς ἀπλανοῦς κινητικὸν οὔτε ὑφ' ἑαυτοῦ οὔτε ὑπ' ἄλλου κινεῖτο ἂν κατὰ συμβεβηκός, τῷ μίαν κίνησιν κινεῖσθαι τὴν ἀπλανῆ, καὶ ταύτην ἐν τῷ αὐτῷ μενόντων τῶν πόλων, ἢ τῷ μηδὲ τὴν ἀρχὴν εἶδος εἶναι τοῦ κινουμένου σώματος, ἀλλ' οὐσίαν τινὰ κεχωρισμένην. ταῦτα μὲν οὖν ὁ Ἀλέξανδρος λέγει, τὰς ἄλλας πάσας ψυχὰς εἴδη νομίζων ἀχώριστα τῶν σωμάτων. ἀλλὰ τοῦτο μὲν ἐν ἄλλοις ἐξετάζειν ἐστὶν οἰκειότερον. id. ib.

259 b 32. δείξας πρῶτον ὅτι ἔστι κίνησις ἀεί, καὶ οὔτε γέγονέ ποτε κίνησις πρότερον μὴ οὖσα οὔτε φθείρεταί ποτε ὥστε μὴ εἶναι κίνησιν, εἶτα ἐφεξῆς δείξας ὅτι τὸ πρώτως κινοῦν καθ' ἑκάστην κίνησιν, ὡς ὁ Εὔδημος προστίθησιν, ἀκίνητον εἶναι χρὴ καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, εἶναι δὲ καὶ ἀΐδιον ὡς ἀϊδίου κινήσεως αἴτιον, ἀνάγκην εἶναί φησι τὸ πρώτως κινούμενον ὑπὸ τοῦ ἀκινήτου καὶ ἀϊδίου κινητικοῦ ἀΐδιον καὶ αὐτὸ εἶναι· συνυπάρχει γὰρ ἀλλήλοις τὸ κινοῦν ὡς κινοῦν καὶ τὸ κινούμενον ὡς κινούμενον. αὐτὸς δὲ καὶ ἄλλην ἀπόδειξιν τούτου προστίθησι. λαβὼν γὰρ ὁμολογούμενον τὸ εἶναι γένεσιν καὶ φθορὰν ἐν τοῖς οὖσι, συνημμένον τι τοιοῦτον ἐπάγει. εἰ μὴ ἔστι τι ἀΐδιον κινούμενόν τε καὶ κινοῦν, οὐκ ἂν εἴη γένεσις ἀεὶ καὶ φθορά. ἀλλὰ μὴν ἔστι ταῦτα· ἔστιν ἄρα ἀΐδιόν τι κινούμενόν τε καὶ κινοῦν. id. f. 294 *b*.

259 b 33. τί ποτ' οὖν εἶπεν τὸ πρῶτον κινούμενον, καὶ οὐχ ἁπλῶς τὸ κινούμενον; ὅτι κινεῖται μὲν καὶ τὰ ἐν γενέσει καὶ φθορᾷ ὑπὸ τῆς ἀκινήτου ἀρχῆς, οὐ πρώτης δέ, ἀλλὰ διά μέσου τινός. οὐ γὰρ ἂν ἄλλως ἦν γένεσις, εἰ καὶ μή τι σῶμα ἦν μεταξύ, κινούμενον μὲν ὑπὸ τοῦ πρώτου καὶ ἀκινήτου, κινοῦντος δὲ τὰ ἄλλα, καὶ γινόμενον αὐτοῖς αἴτιον τῆς ἐς ἄλληλα μεταβολῆς. ἡ μὲν γὰρ ἀκίνητος ἀρχὴ τὸν αὐτὸν ἀεὶ κινήσει τρόπον καὶ μίαν κίνησιν, ἅτε οὐδὲν αὐτὴ μεταβάλλουσα πρὸς τὸ κινούμενον ὑπ' αὐτῆς, οἷον ὁ οὐρανός. καὶ τὸ ὑπὸ τοῦ οὐρανοῦ πάλιν κινούμενον, οἷον ὁ ἥλιος, διὰ τὸ ἄλλως καὶ ἄλλως ἔχειν πρὸς τὰ πράγματα, οὐ τῆς αὐτῆς ἐστὶ κινήσεως αἴτιον, ἀλλὰ προσιὼν μὲν τῆσδε, ἀπιὼν δὲ αὖθις ἑτέρας, καὶ ποτὲ ἠρεμεῖν ποιήσει, ποτὲ δὲ κινεῖσθαι. Themist. f. 61.

260 a 6. εἰπὼν δὲ "τὸ κινούμενον ὑπὸ τοῦ ἀκινήτου" προσέθηκεν "ἢ κινουμένου ἤδη," διότι ὑπὸ μὲν τοῦ ἀκινήτου προσεχῶς κινεῖται ἡ ἀπλανής, ὑπὸ δὲ τοῦ ἀπλανοῦς κινουμένου ἤδη τὸ πλανώμενον. "ἐν ἐναντίοις δὲ τόποις ἢ εἴδεσι" λέγει, ὅτι ποτὲ μὲν πλησιάζει ἡμῖν ὁ ἥλιος καὶ τὰ ἄλλα ἄστρα διὰ τὴν ἔγκλισιν τοῦ ζωδιακοῦ, ποτὲ δὲ ἀφίστανται, καὶ πρὸς τὰ νότια ὁμοίως διατίθενται, καὶ ὁτὲ μὲν ὑψηλότερα γίνεται ὁτὲ δὲ περιγειότερα. ἐν ἐναντίοις δὲ εἴδεσι ψυχροτέροις ἢ θερμοτέροις, ὅτι κατὰ τὰς διαφόρους ἑαυτῶν θέσεις τῶν ἐναντίων εἰδῶν τούτων καὶ τῶν τοιούτων ἐστὶ ποιητικά. τάχα δὲ ἄν τις εἴποι τὰ ἐν Φαίδρῳ τοῦ Πλάτωνος (p. 246) ἐνταῦθα παραξέειν τὸν Ἀριστοτέλην, ὅταν ἐκεῖνος λέγῃ "ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου, πάντα δὲ οὐρανὸν περιπολεῖ, ἄλλοτε ἐν ἄλλοις εἴδεσι γινομένη." πρὸς γὰρ τὴν τῶν ἐκεῖ εἰδῶν θεωρίαν διαφόρων ὄντων καὶ αἱ κινήσεις αὐτῶν γίνονται διάφοροι, καὶ ἡ ἀπὸ τῶν κινήσεων ἐνταῦθα διαφορὰ ὑφίσταται. Simpl. f. 294 *b*.

ἀρχὴν τῆς σκέψεως εἶναί φησιν, πότερον ἐνδέχεται συνεχῆ 260 a 21.
κίνησιν εἶναι ἢ οὔ, καὶ εἰ ἐνδέχεται, τίς αὕτη. αὕτη δὲ καὶ πρώτη τῶν κινήσεών ἐστιν. ἀλλὰ τὸ μὲν εἰ ἐνδέχεται συνεχῆ κίνησιν εἶναι, νῦν ὑπερθέμενος μετ' ὀλίγον ζητήσει. id. f. 295.

φυσικώτερον λέγει νῦν περὶ αὐξήσεως, τροφῆς προσθήκην 260 a 30.
λέγων αὔξεσθαι τὸ αὐξόμενον, ἥπερ ἐν ταῖς Κατηγορίαις (c. 14) ἔλεγε τὸ τετράγωνον αὔξεσθαι τῇ περιθέσει τοῦ γνώμονος. id. f. 295 *b*.

τοῦτο ὁμολογουμένως ἔνδοξον καὶ οὐκ αὐτῷ ἀρέσκον τὸ ἐπιχεί- 260 b 7.
ρημα, ἀλλὰ τοῖς λέγουσι τὰ πρῶτα στοιχεῖα ἀμετάβλητα εἶναι κατ' οὐσίαν, διακρίσει πάντα αὐτῶν καὶ συγκρίσει ποιοῦσιν, ὧν ἦν καὶ Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς λέγων "ἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων." Philop. in cod. Ottob. 32.

τοῦτο τὸ ἐπιχείρημα οὐκ ἀρέσκει αὐτῷ, ἀλλὰ δι' Ἀναξαγόραν καὶ Ἐμπεδοκλέα λέγοντας "ἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων." φησὶν οὖν ὅτι κατ' ἐκείνους πρώτη ἡ κατὰ τόπον κίνησις· εἰ γὰρ πάντα τὰ πάθη πυκνώσει καὶ ἀραιώσει γίνονται, ὅ ἐστι συγκρίσει καὶ διακρίσει, διάκρισις δὲ καὶ σύγκρισις γίνεται συνιζανόντων ἢ διισταμένων τῶν σωμάτων, πᾶσα μεταβολὴ δεῖται τῆς κατὰ τόπον κινήσεως. ἐκ δὲ τοῦ "δοκοῦσι" καὶ τοῦ "λέγεται" δείκνυσιν ὅτι οὐκ ἀρέσκεται τῷ δόγματι. cod. Reg. 1853.

εἰπὼν τὴν πύκνωσιν καὶ μάνωσιν σύγκρισιν εἶναι καὶ διάκρισιν, 260 b 11.
προσέθηκε "καθ' ἃς γένεσις καὶ φθορὰ λέγεται τῶν οὐσιῶν," δεικνὺς ὅτι οὐ μόνον ἀλλοιώσεως καὶ αὐξήσεως ἀλλὰ καὶ γενέσεως καὶ φθορᾶς ἡ κατὰ τόπον μεταβολὴ προηγεῖται. εἴτε γὰρ σύγκρισις καὶ διάκρισίς ἐστιν ἡ γένεσις καὶ φθορά, ὡς ἤρεσκε Δημοκρίτῳ τε καὶ Ἀναξαγόρᾳ καὶ Ἐμπεδοκλεῖ, καὶ ὅσοι τὰ πρῶτα σώματα ἀπαθῆ ὑποθέμενοι τελέως ἐκ τούτων ἐγέννων τὰ ἄλλα, ἢ ὅσοι ἓν ὑποθέμενοι τὸ στοιχεῖον, ὥσπερ Ἀναξίμανδρος τὸ μεταξύ, πυκνούμενον τοῦτο καὶ μανούμενον τὰ ἄλλα ἀποδιδόναι φησίν, αὐτόθεν ἀληθὲς τὸ ζητούμενον, εἴτε καὶ κατ' ἀλλοίωσιν ἡ γένεσις καὶ ἡ φθορά, καὶ οὕτως ὑγιὲς τὸ κατὰ σύγκρισιν καὶ διάκρισιν τὴν γένεσιν καὶ τὴν φθορὰν ἐπιτελεῖσθαι, εἴπερ πάσης ἀλλοιώσεως ὡς εἰπεῖν ἡγεῖται σύγκρισις καὶ διάκρισις. εἰπὼν δὲ "καθ' ἃς γένεσις καὶ φθορὰ λέγεται," προσέθηκε "τῶν οὐσιῶν·" αὗται γὰρ αἱ κυρίως γενέσεις εἰσὶ καὶ φθοραί... ἐπιστῆσαι δὲ ἄξιον, μή ποτε κατὰ τὴν αὐτὴν μέθοδον τὴν ἀπὸ τῆς συγκρίσεως καὶ διακρίσεως καὶ τοῦ αὐξομένου καὶ μειουμένου προϋπάρχειν ἐνδείκνυται τὴν κατὰ τόπον μεταβολήν· καὶ γὰρ τούτων κατὰ τόπον μεταβολὴ μεγέθους, τοῦ μὲν αὐξομένου συγκρινομένης αὐτῷ τῆς τροφῆς, τοῦ δὲ μειουμένου διακρινομένης ἀπ' αὐτοῦ τινὸς οὐσίας. κἀνταῦθα δὲ ὁ Ἀριστοτέλης συμφωνεῖν βούλεται τῷ ἑαυτοῦ καθηγεμόνι. καὶ γὰρ ὁ Πλάτων ἐν τῷ

πρώτης ὑποτιθεμένης μεταβολῆς ἄλλην ἔδειξε προτέραν καὶ μετὰ τὴν τελευταίαν ἄλλην ὑστέραν. αἱ δὲ τοιαῦται κινήσεις ἐφεξῆς εἰσὶν ἀλλ' οὐ συνεχεῖς... ῥητέον ἴσως ὅτι ἐν ἀρχῇ μὲν ἐδείχθη ὅτι ἀεί ἐστι κίνησις κινήσεως ἐφεξῆς· τοῦτο γὰρ ἐναργὲς ἦν ἐν τοῖς προσεχέσιν ἡμῖν τοῖς ὑπὸ σελήνην ὑπάρχον, ἐν οἷς πρὸ πάσης κινήσεως ἄλλην ἀνάγκη προϋπάρχειν καὶ μετὰ πᾶσαν ἄλλην μεθυπάρχειν. ἐλήφθη δὲ λοιπὸν ἐξ ὑποθέσεως, ὅτι πρὸ τῆς ἐφεξῆς ἀεὶ ἐστιν ἡ συνεχὴς ἀεί, ἡ τοῦ ἀνεκλείπτου τῆς ἐφεξῆς αἰτία. τὸ οὖν εἰρημένον ἐνταῦθα "εἰ δὲ ἀεί, ἀνάγκη συνεχῆ εἶναι· τὸ γὰρ ἀεὶ συνεχές, τὸ δὲ ἐφεξῆς οὐ συνεχές" δηλοῖ ὅτι τὸ ἐφεξῆς καθ' ὃ ἐφεξῆς οὐκ ἔστι συνεχές, οὐδὲ τὸ ἀεὶ ἐξ ἀνάγκης ἔχει... ὅτι δὲ ἐξ ὑποθέσεως ἐλήφθη τὸ ἀνεκλείπτου δειχθείσης τῆς ἐφεξῆς κινήσεως εἶναι συνεχῆ κίνησιν, δηλοῖ προελθὼν αὐτός, ἐν οἷς φησὶν "ἅμα δὲ καὶ τὸ νῦν καὶ πρότερον ὑποτεθέν, ὅτι ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ καὶ ἀΐδιον, φανερὸν ἔσται τῇ αὐτῇ μεθόδῳ" (p. 261 *a* 28). καὶ δείκνυσιν ὅτι μόνη τῶν ἄλλων κινήσεων ἡ κυκλοφορία τοιαύτη ἐστίν. Simpl. f. 292 *b*.

259 *b* 6. μία γάρ ἐστι κίνησις, ὡς καὶ πρόσθεν εἶπεν, ἣν ἑαυτὰ κινεῖ τὰ ζῷα, ἡ κατὰ τόπον μεταβατική, καὶ οὐδὲ ταύτην κυρίως καὶ πάντη ἐξ ἑαυτῶν κινεῖται· οὐ γὰρ ἐν αὐτοῖς ἡ πρώτη τῆς τοιαύτης κινήσεως ἀρχή, ἀλλὰ κινεῖται μέν τινας κινήσεις ἄλλας φυσικῶς καὶ οὐκ ἐξ ἑαυτῶν, ὡς τὴν κατὰ αὔξησιν καὶ μείωσιν καὶ τὴν κατὰ ἀναπνοὴν καὶ ὕπνον καὶ ἐγρήγορσιν. ὧν κινήσεων οὐκ αὐτὸ αὑτῷ αἴτιον τελέως τὸ ζῷον, ἀλλὰ τὸ κυκλοφορητικὸν σῶμα, καὶ τῆς μὲν ἀναπνοῆς τὸ περιέχον, ἀήρ, αὐξήσεως δὲ καὶ ὕπνου καὶ ἐγρηγόρσεως ἡ τροφὴ αἰτία. id. f. 293.

259 *b* 15. ἄλλο δὲ λέγει τὸ κυκλοφορητικὸν σῶμα· τοῦτο γάρ ἐστι τὸ τὰ ἔξωθεν προσπίπτοντα κινοῦν καὶ μεταβάλλον τῇ ἑαυτοῦ συνεχεῖ κινήσει πρὸς ἕκαστον, τουτέστιν οἰκείως ἑκάστῳ τῶν ὑπὸ σελήνην αὐτοκινήτων. κινεῖ δὲ τὰ προσπίπτοντα ἔξωθεν τὰς φυσικὰς κινήσεις, οἷον τὰς κατ' ἀλλοίωσιν. id. f. 293 *b*.

"ἄλλο γὰρ τὸ κινοῦν αὐτὸ τὸ κινούμενον καὶ αὐτὸ καὶ μετ." ἄλλο ἐστί, φησί, τὸ κινοῦν τὸ ζῷον κινούμενον καὶ αὐτό, καὶ μεταβάλλον πρὸς ἕκαστον ἀέρα ἢ καιρὸν ἢ τόπον τὸν κινοῦντα αὐτὰ τὰ ζῷα. εἴη δ' ἂν τοῦτο τὸ ἔμφυτον θερμόν, ὅπερ τῇ τοῦ ἀέρος συμμεταβάλλον κράσει τοίως ἢ τοίως κινεῖ τὸ ζῷον. ἀλλ' οὐκ ἔξωθεν τούτου, πέρας δὲ τοῦ ἔξωθεν αἰτίου ὁ λόγος. εἰ δὲ ἔχει ἡ λέξις "αὐτά," οὕτως νοητέον· ἄλλο γάρ ἐστι τὸ κινοῦν τὰ ζῷα, οἷον ὁ ἀὴρ κινούμενος καὶ ἑαυτὸν μεταβάλλων καὶ ἐφαρμοζόμενος ἄλλως καὶ ἄλλως τοῖς αὐτοκινήτοις. καὶ συμπρέπων "αὐτά," κἂν μὴ ἔχῃ τὸ ε΄, δασυντέον αὐτά· κρείττων γὰρ ἡ δευτέρα ἐξήγησις. ὃ δὲ λέγει, λέγει καὶ ἄλλως τὸ κυκλοφορητικὸν σῶμα, ὡς μετ' ὀλίγον δείξει· τοῦτο γὰρ συνεχῶς ἐν αὐτοῖς καὶ ἀεὶ κινούμενον πᾶσι τοῖς κινουμένοις αἴτιον γίνεται τῶν μεταβολῶν, καὶ δὴ καὶ τὰ προσπίπτοντα τοῖς ζῴοις ἔξωθεν καὶ κινοῦντα αὐτὰ τὰς φυσικὰς μὲν οὐκ ἐξ αὐτῶν δὲ κινήσεις, οἷον φέρε τὰς κατ' ἀλλοίωσιν, ὑπ' ἐκείνου κινούμενά τε καὶ μεταβάλλοντα προσπίπτοντα κινεῖ αὐτά, ποτὲ μὲν θερμαινόμενα ποτὲ δὲ ψυχόμενα, καί τινα ἄλλην μεταβάλλοντα μεταβολήν, ὧν ἔνια ἀποστροφῆς αἴτια γινόμενα τῆς κατὰ τόπον τῶν αὐτοκινήτων κινήσεως τὴν πρώτην ἀρχὴν ἔχει. ἐπεὶ τοίνυν καὶ τούτοις ἔξωθεν ἡ ἀρχὴ τῆς κινήσεως, διὰ τοῦτο οὐ συνεχῶς αὐτὰ κινεῖ. εἰ οὖν ἐν τῷ ἠρεμεῖν τὰ αὐτοκίνητα ἔξωθέν ἐστι τὸ κινοῦν αὐτὰς καὶ οὐ παντελῶς ἠρεμεῖν· οὐκ ἄρα οὐ παντελῶς ἐν τοῖς ζῴοις γίνεται κίνησις. "ἐν πᾶσι δὲ τούτοις." Philop. in cod. Ottob. 32.

ἐφεξῆς δείκνυσιν ὅτι οὐδὲ ἀκίνητον κυρίως ἐστὶ τὸ ἐν τοῖς αὐτοκινήτοις κινοῦν... μοχλείᾳ δὲ ἀπείκασε τὴν ὑπὸ τῆς ψυχῆς τοῦ σώματος γινομένην ἐν τοῖς ζῴοις κίνησιν, ἢ ὡς καὶ τῆς ψυχῆς ἔξωθεν ἐχούσης τὴν αἰτίαν τοῦ κινεῖν τὸ σῶμα, ὡς καὶ οἱ μοχλοὶ ὄργανα ὄντες τῶν πρώτως κινούντων, ἢ τῷ τοὺς μοχλοὺς προσκειμένους ἀεὶ κινεῖν τὰ ἀπωθούμενα καὶ οὐ χωριζομένους, οὕτω δὲ καὶ τὴν ψυχὴν συνοῦσαν ἀεὶ τῷ σώματι κινεῖν αὐτό· ἢ μᾶλλον διὰ τὸ βίαιον καὶ μὴ κατὰ φύσιν εἶναι τῷ σώματι τὴν τοιαύτην κίνησιν. Simpl. f. 293 *b*. 259 *b* 18.

ἀλλ' οὖν καὶ ἣν δοκεῖ μόνην κίνησιν ὑφ' ἑαυτῶν κινεῖσθαι, λέγω δὲ τὴν κατὰ τόπον, καὶ ταύτης τὸ ἐνδόσιμον ἔξωθεν, ὥσπερ ὅταν τῆς τροφῆς διακριθείσης ἐγείρωνται. ὅθεν οὐδὲ συνεχῶς οἷά τε κινεῖσθαι ταύτην τὴν κίνησιν· ὁ γὰρ ὕπνος διὰ τὴν τροφὴν ἀναγκαῖος, καθεύδοντα δὲ ἠρεμεῖ τὰ ζῷα καὶ οὐ κινεῖται ὑφ' ἑαυτῶν, ἀλλ' ἕτερον αἴτιόν ἐστι τοῦ ποτὲ μὲν ἠρεμεῖν τὰ ζῷα ποτὲ δὲ κινεῖσθαι, ὃ κινούμενον μὲν ἀεί, οὐχ ὁμοίως δὲ ἀεὶ πρὸς αὐτὰ ἔχον, οὐδ' ὁμοίως αὐτὰ διατίθησι. δῆλον τοίνυν ἐξ αὐτῶν τῶν εἰρημένων ὡς εἶναί τι δεῖ πρῶτον κινοῦν ἀκίνητον, εἰ μέλλει, καθάπερ εἴπομεν, ἔσεσθαι ἄπαυστός τις καὶ ἀθάνατος κίνησις, καὶ διατελέσειν τὸ πᾶν αὐτὸ ἐν αὐτῷ κινούμενον. Themist. f. 61.

τὸ γὰρ κύκλῳ κινούμενον ἐν ταὐτῷ μένον κινεῖται. καὶ οὕτως ἂν μόνως, φησὶν ὁ Ἀλέξανδρος, δύναιτο μηδὲ κατὰ συμβεβηκὸς κινεῖσθαι τὸ κινοῦν, εἰ τὸ κινούμενον ὑπ' αὐτοῦ ἐν ταὐτῷ μένον κινοῖτο. 259 *b* 26. εἰ γὰρ τὸ μὲν ὅλον ἐστὶν ἐν ᾧ τὸ τοιοῦτο κινητικόν, τοῦτο δὲ ἐν τῷ αὐτῷ μένει (κατὰ μόρια γὰρ τῷ κύκλῳ κινουμένῳ ἡ κίνησις), οὐδ' ἂν τὸ ἐν αὐτῷ ὂν κινοῖτο κατὰ συμβεβηκὸς ἔτι ὑφ' ἑαυτοῦ... οὐκ ἰδίως δὲ νῦν περὶ τοῦ πρώτου οὐρανοῦ λέγει τοῦ προσεχῶς ὑπ' αὐτοῦ κινουμένου ὅτι ἀΐδιος (τοῦτο γὰρ ἐν τοῖς ἑξῆς δείξει), ἀλλὰ κοινῶς ὅτι τὸ πᾶν καὶ ὁ κόσμος εἴη ἂν οὕτως ἀΐδιος, πάντων τῶν ἐν αὐτῷ κινουμένων ἐξ ἐκείνου τὴν ἀρχὴν ἐχόντων τῆς κινήσεως. Simpl. f. 294.

εἰπόντος αὐτοῦ ὅτι ἐπὶ τῶν ἀκινήτων μὲν κινούντων δὲ καὶ ἑαυτὰ 259 *b* 28.
κατὰ συμβεβηκὸς ἀδύνατον συνεχῆ κίνησιν κινεῖν, παντὸς ἦν ἀπορεῖν πῶς οἱ οὐρανοὶ ζῷα καὶ αὐτοὶ ὄντες αὐτοκίνητα, καὶ ἔχοντες τὸ κινοῦν ἀκίνητον μὲν καθ' αὑτό, καὶ οὐδὲ κατὰ συμβεβηκὸς ἑαυτὸ κινοῦν ἀλλ' ὑφ' ἑτέρου κατὰ συμβεβηκὸς κινούμενον (ὑπὸ γὰρ τοῦ ἀπλανοῦς οἱ πλανώμενοι τὴν ἐκείνου κίνησιν κινοῦνται), συνεχῆ ὅμως κινοῦνται κίνησιν. ταύτην οὖν τὴν ἀπορίαν λύει λέγων μὴ εἶναι τὸ αὐτὸ τὸ κινεῖσθαι κατὰ συμβεβηκὸς ὑφ' ἑαυτοῦ καὶ τὸ κινεῖσθαι ὑφ' ἑτέρου. τὸ μὲν γὰρ ὑφ' ἑτέρου, φησίν, ὑπάρχει καὶ ταῖς πλανωμέναις σφαίραις, ἄλλην μὲν τὴν οἰκείαν κινουμέναις περὶ τοὺς ἑαυτῶν πόλους, ἄλλην δὲ τὴν τῆς ἀπλανοῦς, περὶ τοὺς ἐκείνης πόλους κινουμένων τῶν οἰκείων αὐτῶν πόλων. καὶ δυνατὸν συνεχῆ κίνησιν κινεῖσθαι τὴν ὑπὸ τῆς ἀπλανοῦς

μενα, τῷ τὰ σώματα ἓν εἶς ἐστι κινεῖσθαι, τὸ δὲ πρώτως κινοῦν ἅτε πάντῃ χωριστὸν σωμάτων ὑπάρχον, οὐ μόνον τῆς καθ' αὑτὸ μεταβολῆς ὑπερανέχει, ἀλλὰ καὶ τῆς κατὰ συμβεβηκός. id. f. 291.

258b 16. ὅτι ἐστί τι ὃ πρώτως κινοῦν οὐ μόνον ἀκίνητον ἀλλὰ καὶ ἀΐδιόν ἐστι, δείκνυσι πάλιν ὑποθέμενος ὅτι ἐστὶν ἐν τοῖς οὖσιν ἀΐδιος κίνησις καὶ μεταβολή, καὶ ὅτι δεῖ τῶν ἀεὶ μεταβαλλομένων προϋπάρχειν τὸ ἀμετάβλητον τῆς μεταβολῆς αἴτιον. ἐνστάσεως δὲ οὔσης τῆς λεγούσης ὅτι αἱ ἐν τοῖς αὐτοκινήτοις ἀρχαὶ τῆς κινήσεως, τουτέστιν αἱ ἐν τοῖς ζῴοις ψυχαί, κἂν μὴ ἀΐδιοι ὦσιν, ἀρκοῦσιν εἰς ἀρχῆς κινήσεως λόγον ἀκίνητοι οὖσαι (οὐ γὰρ διὰ γενέσεως ἢ φθορᾶς ἢ ὅλως μεταβολῆς ποτὲ μὲν εἰσὶ ποτὲ δὲ οὐκ εἰσίν· εἰ μὲν γὰρ διὰ μεταβολῆς ἢ κινήσεως αὐταῖς συνέβαινε τοῦτο, ἀναγκαῖον ἦν προϋπάρχειν αὐτῶν τὸ κινοῦν, ἐπειδὴ δὲ οὐ διὰ κινήσεως ἢ ὅλως μεταβολῆς, διὰ τὸ ἀμερεῖς εἶναι αὐτάρκεις ἂν εἶεν εἰς ἀρχῆς λόγον, καὶ οὐ χρεία τῆς ἀϊδίου ἀρχῆς) — ταύτην οὖν τὴν ἔνστασιν εὐθὺς ἐν ἀρχῇ λύει, συγχωρήσας μὲν ἐνδέχεσθαί τι εἶναί ποτε καὶ μὴ εἶναι ἄνευ γενέσεως καὶ φθορᾶς, τάχα δὲ οὐκ ἐνδέχεσθαι ἀλλὰ καὶ ἀναγκαῖον εἶναι, εἴ τι ἀμερὲς ὁτὲ μὲν ἔστιν ὁτὲ δὲ μὴ ἔστιν, ἄνευ τοῦ μεταβάλλειν ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μὴ εἶναι. ἐνδεχέσθω οὖν, φησί, καὶ τῶν ἀρχῶν τοῦ κινεῖσθαι τινὰς ἄνευ κινήσεως καὶ μεταβολῆς ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μὴ εἶναι, οὐ μέντοι πάσας δυνατὸν τὰς ἀρχὰς ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μὴ εἶναι. id. f. 291 *b*.

258b 26. οὐδὲ γὰρ ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι τῶν φθειρομένων τούτων ἀρχῶν ἀεὶ τῆς ἐφεξῆς γίνεται ἡ προλαβοῦσα. ἡμεῖς μὲν γὰρ τὴν πρώτην αἰτίαν ἐπιζητοῦμεν καὶ τὴν ὄντως ἀρχήν· αἱ δὲ ἐξ ἀλλήλων ἄπειροι καὶ οὐχ ἅμα. καὶ τί μᾶλλον ἥδε ἤπερ ἥδε; ὅλως δὲ τοῦ μὴ διαλείπειν τὰς ἐξ ἀλλήλων γενέσεις τὴν μὴ διαλείπουσαν ἀρχὴν θετέον. αἱ δὲ φθαρταὶ ἀρχαί, εἴπερ εἶεν φθαρταί τινες ἐν τοῖς ζῴοις ἀρχαί, τοῖς ζῴοις δή που συνδιαφθείρονται. ἄλλη τοίνυν αἰτία παρ' ἑκάστην τούτων ἐστίν, ὅταν καὶ τούτων ἑκάστη γεννητική τινος τῶν ἐφεξῆς. ὅλως δὲ εἴπερ ἀποδέδεικται διὰ τῶν ἔμπροσθεν ἱκανῶς ὅτι ἀνάγκη κίνησιν ἀΐδιον εἶναι καὶ συνεχῆ (τὸ γὰρ ἐφεξῆς οὔτε συνεχὲς οὔτε ἀΐδιον), ἀνάγκη καὶ τὸ ταύτης αἴτιον τῆς κινήσεως ἀΐδιον εἶναι καὶ ἕν. εἰ γὰρ ἄλλο νῦν καὶ ἄλλο πάλιν, οὐκέτι συνεχὴς ἡ κίνησις, ἀλλ' ἐφεξῆς. ἐκ δὲ δὴ τούτων πιστεύσειεν ἄν τις εἶναί τι πρῶτον ἀΐδιον καὶ ἀκίνητον. Themist. f. 61.

258b 31. δυνατὸν δὲ οἶμαι καὶ οὕτως ἐκ τῶν εἰρημένων συλλογίσασθαι, ὅτι οὔτε ἓν τῶν μὴ ἀϊδίων οὔτε πάντα αἴτια τῆς συνεχοῦς καὶ ἀϊδίου κινήσεώς ἐστιν. λαβὼν γὰρ ὅτι τὸ οὕτως ἔχειν, τουτέστι τὸ αἴτιον εἶναι συνεχοῦς καὶ ἀϊδίου κινήσεως, ἀΐδιον ἐξ ἀνάγκης ἐστίν, ἢ ὡς ὁ Ἀλέξανδρος καὶ ὁ Θεμίστιος γράφουσιν "ἀΐδιον καὶ ἐξ ἀνάγκης" (καὶ γὰρ ἀνάγκη τὸ αἴτιον τοῦ ἀϊδίου ἀεὶ εἶναι), ταύτῃ τῇ καταφατικῇ προτάσει προστίθησιν ἀποφατικὴν πρότασιν τὴν λέγουσαν τὸ ἓν ἕκαστον γενητὸν καὶ φθαρτὸν καὶ πάντα τὰ τοιαῦτα οὐκ ἔστιν ἀΐδιον, ἐξ ὧν συνάγεσθαι ὅτι τὸ ἓν τὸ γενητὸν καὶ φθαρτὸν καὶ πάντα τὰ τοιαῦτα οὐκ ἔστιν αἴτια τῆς συνεχοῦς καὶ ἀϊδίου κινήσεως. Simpl. f. 291 *b*.

259a 3. δείξας οὖν ὅτι οὔτε ἓν ἕκαστον οὔτε πάντα τὰ γενητὰ καὶ φθαρτὰ τῆς κινήσεως αἴτια δύναται τῆς ἀϊδίου κινήσεως αἴτια εἶναι, εἰκότως ἐπήγαγε δῆλον εἶναι ὅτι ἐστί τι ἀΐδιον αἴτιον τῆς ἀϊδίου μεταβολῆς. εἶτα προστίθησιν ὅτι τοῦτο μὲν τὸ ἀΐδιον αἴτιον τούτοις τοῖς οὐκ ἀϊδίοις ὑποκειμένοις κινητικοῖς αἴτιον τοῦ εἶναί τε καὶ κινεῖν, καὶ τοῖς αὐτοκινήτοις, ἐν οἷς τὰ τοιαῦτα κινητικά, ἐκεῖνο αἴτιον τοῦ εἶναι, ταῦτα δὲ τὰ αὐτοκίνητα τοῖς ἄλλοις αἴτια τῆς κινήσεώς ἐστι, τοῖς κινουμένοις μέν, οὐκ ἀεὶ δὲ ἕτερα κινοῦσιν, εἴγε ἀρχὴ καὶ πρῶτον τῶν κινούντων τε καὶ κινουμένων ἐστὶ τὸ αὐτοκίνητον, ἵνα μὴ ἐπ' ἄπειρον ἴωμεν, πρὸ παντὸς ἑτεροκινήτου ἑτεροκίνητον τιθέντες. δύναται δὲ τοῦτο μὲν τούτοις λέγειν τὸ ἀΐδιον κινητικὸν τοῖς ἀεὶ καὶ συνεχῶς κινουμένοις, τουτέστι τοῖς κυκλοφορητικοῖς, ταῦτα δὲ τοῖς γινομένοις καὶ φθειρομένοις αἴτια τῆς τε κινήσεως καὶ τῆς γενέσεως. ἄμεινον δὲ ἴσως τὸ "καὶ τοῦτο μὲν τούτοις" περὶ τῶν ἐν τοῖς αὐτοκινήτοις κινητῶν ἀκούειν, ἐπειδὴ περὶ τούτων προσεχῶς ὁ λόγος ἦν. id. f. 292.

259a 8. εὐλογώτερόν φησιν ἓν μᾶλλον εἶναι τὸ πρώτως κινοῦν αἴτιον ἢ πολλά· οὐ γὰρ ἀγαθὸν πολυκοιρανίη, ὅπερ αὐτὸς ἐν τῇ Μετὰ τὰ Φυσικὰ (Λ extr.) περὶ τούτου λέγων Ὁμηρικῶς ἀνεφθέγξατο. . . καὶ κατὰ τοῦτον τὸν λόγον ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας (c. 6) τῶν ἄπειρα τὰ στοιχεῖα ὑποθεμένων Δημοκρίτου τε καὶ Ἀναξαγόρου προέκρινεν Ἐμπεδοκλέα πεπερασμένα εἰπόντα, καὶ πάντα ἀποδιδόντα ὅσα ἐκεῖνοι διὰ τῶν ἀπείρων ἀποδεδώκασι. id. ib.

259a 13. δείξας ὅτι ἐστί τι τὸ πρώτως κινοῦν ἀΐδιον καθ' ἕκαστον τῶν συνεχῶς καὶ ἀϊδίως κινουμένων, καὶ ὅτι εὔλογον ἓν τοῦτο νομίζειν, τὸ αὐτὸ καὶ δι' ἑτέρας ἐπιχειρήσεως τῆς διὰ τριῶν ἢ διὰ πλειόνων κατὰ τὸν ὑποθετικὸν τρόπον συναγομένης δείκνυσιν οὕτως. id. ib.

ἐνδέδεικται ὅτι ἀνάγκη ἀεὶ εἶναι κίνησιν· οὐκ ἐνδέχεταί ποτε μὴ εἶναι. εἰ δὲ τοῦτο, ἀνάγκη εἶναι συνεχῆ καὶ ἀΐδιον· μηδεμιᾶς γὰρ οὔσης ἀϊδίου ἐνδέχεται τὰς μερικὰς φθαρτὰς πάσας φθαρῆναι καὶ διαλιπεῖν ἐν μέσῳ· οὕτω δ' ἂν ἐφεξῆς μὲν ἦσαν, συνεχεῖς δ' οὔ. ἀϊδίου δὲ οὔσης τῆς κινήσεως συνεχῆ εἶναι αὐτὴν ἀνάγκη. εἰ δὲ συνεχής, δῆλον ὅτι καὶ μία· μία γάρ ἐστιν, ὡς ἄνω εἴρηται. μιᾶς δὲ οὔσης τῆς συνεχοῦς καὶ ἀϊδίου κινήσεως, ἀνάγκη καὶ τὸ κινητικὸν αὐταῖς ἓν εἶναι καὶ ἀΐδιον· μία γάρ ἐστι κίνησις, ὡς ἄνω εἴρηται, ἡ ἐν ἑνὶ ὑποκειμένῳ ὑπὸ τοῦ αὐτοῦ κινητικοῦ γινομένη συνεχής· εἰ γὰρ ἢ τὸ αὐτὸ ὑπ' ἄλλου καὶ ἄλλου, ἢ διάφορα ὑπὸ τοῦ αὐτοῦ κινηθῇ, οὐ λέγεται συνεχὴς ἀλλ' ἐφεξῆς. ὥστε οὕτως ἓν τὸ ἀϊδίως κινοῦν καὶ ἀκίνητον, ἐπεὶ οὐδὲ κίνησις ἀΐδιος ἂν ἦν, εἴγε τὸ αἴτιον τῆς κινήσεως ἐκινεῖτο. Philop. in cod. Ottobon. 32.

259a 19. ἐν γὰρ τῇ τῶν κινούντων διαδοχῇ γίνεταί τις στάσις· δεῖ γὰρ τὸ μὲν παύσασθαι τὸ δὲ ἄρξασθαι· οὕτω δὲ ἡ συνέχεια διασπᾶται... ἔδειξε δὲ πρότερον ὅτι οὐδὲ πάντα ἅμα. δῆλον οὖν καὶ ἐκ τῶν νῦν εἰρημένων ὅτι τὸ ἑκάστης συνεχοῦς κινήσεως ἀΐδιον κινητικὸν αἴτιον ἓν εἶναι βούλεται. οὕτω δὲ καὶ ἐν τῇ Μετὰ τὰ Φυσικὰ (Λ 8) ἐκ τῶν συνεχῶς κινουμένων κυκλοφορητικῶν σωμάτων τὸν ἀριθμὸν τῶν ἀκινήτων μὲν πρώτως δὲ κινούντων αἰτίων ἐπεχείρησεν εὑρεῖν. ἀπορήσοι δὲ ἄν τις εἰκότως, ὡς οἶμαι, πῶς τῷ ἐν ἀρχῇ δειχθέντι, ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι, ἕπεται τὸ συνεχῆ εἶναι· τὸ γὰρ ἀεί φησι συνεχές, τὸ δὲ ἐφεξῆς οὐ συνεχές. καίτοι οὐχ ὡς συνεχὴς ἀλλ' ὡς ἐφεξῆς ἀεὶ οὖσα κίνησις ἐν τοῖς φθάσασι λόγοις ἐδείχθη, εἴπερ ἀεὶ πρὸ τῆς

μως ἂν εἴη τό τε κινοῦν καὶ τὸ κινούμενον, ἀλλ' εἰ μὲν ἄμφω σώματα, ἁπτόμενα ἂν ἀλλήλων εἴη κυρίως, εἰ δὲ τὸ μὲν σῶμα τὸ δὲ ἀσώματον, ἅπτεσθαι ἂν λέγοιτο μεταφορικῶς τὸ κινοῦν τοῦ κινουμένου ἀσώματον ὂν σώματος. ἐγὼ μὲν οὖν τὴν γραφὴν οὕτως εὗρον "καὶ τὸ κινούμενον μὲν μηδὲν δὲ κινοῦν ἐξ ἀνάγκης, ἁπτόμενα δὲ ἤτοι ἄμφω ἀλλήλων ἢ θατέρου θάτερον·" ὁ δὲ Ἀλέξανδρος τὸ ἐξ ἀνάγκης τοῖς ἐφεξῆς προστίθησι γράφων οὕτως "ἁπτόμενα ἐξ ἀνάγκης ἤτοι ἄμφω ἀλλήλων ἢ θατέρου θάτερον." καὶ δύναται μὲν ἑκάτερον οἰκείαν τοῖς προκειμένοις ἀποσώζειν ἔννοιαν, οἰκειότερον δὲ οἶμαι τὸ "ἐξ ἀνάγκης" τῷ "μηδὲν κινοῦν" προσάπτειν, διότι τὸ ἐν τῷ αὐτοκινήτῳ κινούμενον, οἷον τὸ σῶμα ἐν τῷ ζῴῳ, κινοῦν καὶ αὐτὸ πολλάκις φαίνεται, οὐ μέντοι ἐξ ἀνάγκης κινοῦν. εἰ τοίνυν μὴ προστεθείη τὸ "ἐξ ἀνάγκης" τῷ κινούμενον μὲν μηδὲν δὲ κινοῦν, ἵνα σημαίνῃ τὸ μὴ ἐξ ἀνάγκης κινεῖν, νομισθήσεται τὸ κινούμενον ἐν τῷ αὐτοκινήτῳ ὑπὸ τοῦ ἀκινήτου αἰτίου μηδὲν ὅλως μηδαμῶς κινεῖν. ὅπερ οὐκ ἔστιν ἀληθές· προσεχὲς γὰρ ὂν τῷ πρώτως κινοῦντι δέχεταί τινα καὶ αὐτὸ κινητικὴν ὑπ' αὐτοῦ δύναμιν, ὡς εἴρηται πρότερον. id. ib.

258a 20. τὰ τοῦ αὐτοκινήτου μόρια ἅπτονται ἀλλήλων, εἴπερ ἀμφότερα σώματα εἶπεν· ὅσον γὰρ ἐκ τῶν εἰρημένων, οὔπω δῆλον εἰ σῶμα ἡ ψυχὴ ἢ ἀσώματον. εἰ γὰρ σῶμα ἡ ψυχή, ἀνάγκη καὶ αὐτὴν ἅπτεσθαι τοῦ σώματος, ὡς τὸ σῶμα αὐτῆς· εἰ δὲ μὴ εἴη σῶμα, αὐτὴ μὲν ἅψεται τοῦ σώματος, τὸ δὲ σῶμα αὐτῆς οὐκέτι. διὸ εἶπε "θατέρου θάτερον·" οὐ γὰρ τῷ τὰ πέρατα συμβάλλειν, ἀλλὰ τῷ πάσχειν τι εἰς τὴν οὐσίαν ὑπὸ τοῦ ἀσωμάτου τὸ σῶμα, ὡς ἐπὶ λοιδορίας καὶ λύπης· λέγομεν γὰρ ἥψατό μου ἡ λοιδορία καὶ ἡ λύπη, ἀλλ' οὐκ ἐγὼ τῆς λύπης ἢ τῆς λοιδορίας. ζωοῦται γοῦν ὑπὸ τῆς ψυχῆς τὸ σῶμα καὶ γίνεται ζῶν καὶ αἰσθητικόν, πάσχον εἰς τὴν οὐσίαν ὑπ' αὐτῆς. ἡ μέντοι ψυχὴ εἰς τὴν οὐσίαν οὐδὲν πάσχει ὑπ' αὐτοῦ, εἰ μή τι ὑπὸ τοῦ πνεύματος· εἶδος γὰρ οὖσα τοῦ πνεύματος συμφθείρεται αὐτῷ. cod. Reg. 1853.

258a 21. ἡ ἐν ἀρχῇ τῆς ὅλης ταύτης ῥήσεως λέξις ἡ λέγουσα "εἰ μὲν οὖν συνεχές ἐστι τὸ κινοῦν, τὸ μὲν γὰρ κινούμενον" καὶ τὰ ἑξῆς ἀκαταλληλότερον ἔχειν δοκεῖ τῷ Ἀλεξάνδρῳ· ὡς γὰρ ἀνταποδώσων, φησί, τὸ "εἰ δὲ μὴ συνεχές," οὕτως εἶπεν, οὐδὲν δὲ ἀνταποδίδωσι. μή ποτε οὖν, φησί, τὸ λεγόμενον τοιοῦτόν ἐστιν· εἰ μὲν οὖν συνεχές ἐστι τὸ κινοῦν, ἔτι ἄδηλον· ἐπεὶ μέντοι τὸ κινούμενον τὸ ἐν τῷ αὐτοκινήτῳ συνεχές ἐστι, δηλονότι τὸ πᾶν τὸ ἐκ τοῦ κινοῦντος καὶ τοῦ κινουμένου, ὅπερ ἐστὶ τὸ αὐτοκίνητον, αὐτὸ ἑαυτὸ κινεῖ. οὕτω μὲν ὁ Ἀλέξανδρος. μή ποτε δὲ ὡς ἐπὶ γραμμῶν ποιησάμενος τὴν ἀπόδειξιν, ἐξ ὑποθέσεως καὶ τὸ κινοῦν συνεχὲς λαμβάνει. δηλοῖ δὲ καὶ ἡ ἐπαγομένη ἀπορία, ἢ συνεχὲς ὑπέθετο καὶ τὸ κινοῦν, λέγουσα "ἀπορίαν δὲ ἔχει, ἐὰν ἀφέλῃ τις ἢ τῆς α', εἰ συνεχὲς μὲν τὸ κινοῦν ἀκίνητον δέ" (v. 27). βούλεται οὖν διὰ τοῦ νῦν λεγομένου τὸν τρόπον δεῖξαι τῆς τοῦ αὐτοκινήτου κινήσεως, προειπὼν ὅτι ἐκ κινοῦντος ἀκινήτου σύγκειται, καὶ ἐκ κινουμένου μὲν μὴ ἐξ ἀνάγκης δὲ κινοῦντος. καὶ τοῦτο πάλιν αὐτὸ βεβαιούμενος λέγει ὅτι τοῦ μὲν κινουμένου ἐξ ἀνάγκης συνεχοῦς ὄντος, ὡς δέδεικται πρότερον, τοῦ δὲ κινοῦντος ὑποτιθεμένου συνεχοῦς, δηλονότι αὐτοκίνητον λέγεται, ὡς πᾶν αὐτὸ ἑαυτὸ κινοῦν. Simpl. f. 289 b.

258a 26. ἐν τισὶ δὲ ἀντιγράφοις μετὰ τὸ "κινεῖται δὲ τὸ β' μόνον" πρόσκειται "τὸ δὲ γ' ὑπὸ τοῦ β' οὐκέτι· ἀδύνατον γάρ." οὐκ εἶδε δὲ τὴν προσθήκην ταύτην ὁ Ἀλέξανδρος, οὐδὲ τὰ πλείω, ὡς ἔοικε, τῶν ἀντιγράφων. εἰ δὲ ἐξ ἀρχαίου γεγραμμένον εἴη, λέγοι ἂν ὅτι ἡ πρώτη σύστασις τοῦ αὐτοκινήτου ἐκ κινοῦντός ἐστιν ἀκινήτου καὶ κινουμένου, ὃ κινεῖν μέν ποτε καὶ αὐτὸ κινούμενον πέφυκεν, οὐ μέντοι ἐξ ἀνάγκης κινεῖν. id. ib.

258a 28. ταύτῃ δὲ τῇ ἐπιχειρήσει καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ (7 1) κατὰ τὴν ἀρχὴν ἐχρήσατο, βουλόμενος δεῖξαι ὅτι τὸ αὐτοκίνητον ὑπό τινος κινεῖται... πῶς οὖν, φησὶν ὁ Ἀλέξανδρος αὐτοὺς ἐνιστάμενος πρὸς τὸν ἀπὸ τοῦ μέρους τοῦ αὐτὸ κινοῦντος καὶ ὅλον οὕτως αὐτοκίνητον λέγοντα, οὐκ ἔφη τὸ ὅλον ἔσεσθαι πρώτως αὐτοκίνητον ἀλλὰ τὸ μέρος αὐτοῦ, ὃ καὶ ἀφαιρεθὲν αὐτοκίνητον μένει; καὶ λύει τὴν ἀπορίαν καλῶς, ὅτι ὁ οὕτω λέγων τὸ μέρος ἐν τῷ ὅλῳ αὐτοκίνητον, ὡς ἐνεργείᾳ ἑαυτὸ κινοῦν ἤδη ὑπετίθετο... καὶ ἄλλως δὲ τούτῳ ἐπέβαλεν ὁ Ἀλέξανδρος, ὅτι κἂν διαιρετὸν ᾖ τὸ κινούμενον, οὐκ ἤδη καὶ ὡς κινούμενον διαιρετόν ἐστιν... τούτου μέντοι, φησὶν ὁ Ἀλέξανδρος, λεγομένου δεῖ ζητεῖν πῶς δυνατὴ ἡ ὑπόθεσις ἡ ἐν τῷ πρώτως αὐτοκινήτῳ μέρος τι ὑποτιθεμένη ἠρεμεῖν. id. ib.

258b 8. ἐπεὶ περὶ τοῦ αὐτοκινήτου τοῖς λόγοις ὁ Ἀριστοτέλης διαφέρεσθαι πρὸς Πλάτωνα δοκεῖ, καλῶς ἂν ἔχοι καὶ ταύτην ἰδεῖν τὴν διαφοράν... ὁ Πλάτων πρώτως μὲν καὶ κυρίως αὐτοκίνητον εἶναι τὴν ψυχὴν βούλεται πᾶσαν, ἢ ὡς τοῖς ἀκριβεστέροις τῶν ἐξηγητῶν δοκεῖ, τὴν λογικήν, διὰ δὲ ταύτην καὶ τὸ ζῷον αὐτοκίνητον γίγνεσθαι, ἴχνους αὐτοκινησίας μεταλαμβάνον... ὁ μέντοι Ἀριστοτέλης μόνας τὰς φυσικὰς μεταβολὰς κινήσεις ἀξιῶν καλεῖν, τὴν ψυχὴν ἐνεργεῖν ἀλλ' οὐχὶ κινεῖσθαι νομίζει. καὶ δῆλός ἐστιν ἐν τῷ πρώτῳ τῆς περὶ Ψυχῆς (1 3) τὰς φυσικὰς κινήσεις τῆς ψυχῆς ἀποφάσκων... ταύτας δὲ καὶ ὁ Πλάτων ἀποφάσκει τῆς ψυχῆς, ἐν ταῖς ἐννέα κινήσεσι ταῖς πρὸ τῆς ψυχῆς αὐτὰς ἐν τῷ δεκάτῳ τῶν Νόμων (p. 894) καταριθμούμενος... ὥστε οὐ περὶ πρᾶγμα νῦν ἀλλὰ περὶ ὄνομα τοῖς φιλοσόφοις ἐστὶν ἡ διαφορά, ὥσπερ καὶ ἐν τοῖς πλείοσι τῶν ἄλλων. id. ib.

258b 10. δείξας ὅτι τὸ πρώτως κινοῦν καθ' ἑκάστην κίνησιν ἀκίνητόν ἐστι, νῦν δείκνυσιν ὅτι τὸ πρώτως κινοῦν καὶ ἀΐδιον εἶναι χρή, ὥστε καὶ τῆς τοιαύτης μεταβολῆς τῆς ὡς γενέσεως καὶ φθορᾶς ἀνεπίδεκτον εἶναι. καὶ τὸ μὲν πρῶτον ἐπιχείρημα κοινόν τε ἐπὶ κινήσεως ἁπλῶς καὶ σύντομον καὶ σαφές ἐστιν... τὸ μὲν ἕκαστον τῶν ἀκινήτων μὲν κινούντων δὲ ἀΐδιον φησιν εἶναι οὐδὲν πρὸς τὸν παρόντα λόγον. οὐ γὰρ τοῦτο ζητεῖται νῦν, εἰ αἱ ψυχαὶ πᾶσαι ἀθάνατοί εἰσιν (αὗται γάρ εἰσιν αἱ ἐν τοῖς αὐτοκινήτοις ἀκίνητοι μὲν κινοῦσαι δέ)· ἄλλης γὰρ πραγματείας ἡ περὶ τῆς ψυχῆς σκέψις... πάσης δὲ ἐκτὸς μεταβολῆς εἶπε νῦν, καὶ οὐ πάσης κινήσεως, ἵνα καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν περιλάβῃ. καὶ κατὰ συμβεβηκὸς δὲ τὸ πρώτως κινοῦν ἀκίνητόν φησιν· καὶ ταύτῃ γὰρ διαφέρει τῶν ἐν τοῖς αὐτοκινήτοις ἀκινήτων μὲν κινούντων δέ, ὅτι ἐκεῖνα καθ' αὐτὰ μὲν ἀκίνητα κατὰ συμβεβηκὸς δὲ κινού-

257b 20. φέρεται δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ ἄλλη γραφὴ τοιαύτη "ἔτι οὐκ ἀνάγκη τὸ κινούμενον κινεῖν," καὶ ἀρέσκει μᾶλλον αὐτῷ αὕτη ἡ γραφή· τὸ γὰρ "ἔλαβον τοίνυν ἐνδέχεσθαι μὴ κινεῖν," ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθέν, ἀκολουθεῖν μᾶλλον τῷ "οὐκ ἀνάγκη τὸ κινούμενον κινεῖν." ἀλλ' εἰ οὕτως εἴη γεγραμμένον "οὐκ ἀνάγκη τὸ κινούμενον κινεῖν," πῶς συνᾴδει τὸ ἐπαγόμενον τὸ "εἰ μὴ ὑφ' ἑαυτοῦ;" εἰ μὴ ἄρα πρὸς τὸ κινούμενον συντάττοιτο τὸ ὑφ' ἑαυτοῦ. ἀλλ' ἔοικεν ὁ Ἀριστοτέλης βούλεσθαι δεῖξαι τὰ συντρέχοντα ἀλλήλοις τὸ μήτε τὸ α' ἐξ ἀνάγκης κινεῖσθαι ὑπὸ τοῦ β' μήτε τὸ β' ἐξ ἀνάγκης κινεῖν τὸ α'. καὶ ἀρχόμενος μὲν περὶ τοῦ α' εἶπεν ὅτι οὐκ ἀνάγκη τὸ κινοῦν κινεῖσθαι. προϊὼν δὲ περὶ τοῦ β' ὅτι ἐνδέχεται μὴ κινεῖν. id. f. 288.

257b 25. καὶ τοῦτο οὖν τέταρτον ἐπιχείρημα προστέθεικε δεικνύον ὅτι ἀδύνατον οὕτως αὐτοκίνητόν τι εἶναι ὡς τῶν μερῶν ἄλληλα ἀντικινούντων, διὰ τὸ συμβαίνειν καὶ τῶν μερῶν ἕκαστον αὐτοκίνητον εἶναι, καὶ συντρέχειν ἐπ' αὐτοῦ τὴν ἀντίφασιν. ὁ δὲ Ἀλέξανδρος τὴν ῥῆσιν ταύτην οὕτως ἔγραψεν "ὅτι ἣν κινεῖται κίνησιν κινοίη ἄν," οὐδὲν τῆς ἐννοίας διαφερούσης. id. ib.

257b 31. πίστις δὲ τούτου ὅτι χωρισθὲν τὸ μόριον αὐτὸ μὲν αὐτοκίνητον ἔσται, τὸ δὲ ὅλον οὐκέτι. εἰ δὲ ὅλον ὑφ' ὅλου κινεῖται, ἔχον ἐν ἑαυτῷ ἢ ἓν ἢ πλείω μόρια αὐτοκίνητα, ἣν μὲν εἰπεῖν ὅτι ἀδύνατον δέδεικται τὸ ὅλον ὑφ' ὅλου ἑαυτοῦ κινεῖσθαι, ἵνα μὴ συνδράμῃ ἡ ἀντίφασις, νῦν δὲ οὐ τοῦτο πρόκειται, ἀλλὰ τὸ δεῖξαι ὅτι ἀδύνατον τὸ ὅλον αὐτοκίνητον ἢ ἓν ἢ πλείω μέρη ἔχειν ἐν ἑαυτῷ αὐτοκίνητα. εἰ οὖν ὅλον ὑφ' ὅλου ἑαυτοῦ καθ' αὑτὸ κινεῖται, τὰ μέρη κατὰ συμβεβηκὸς ἂν αὐτὰ ἑαυτὰ κινοῖ· ὡς γὰρ ἐν τῷ ὅλῳ κινουμένῳ τὰ μέρη τὰ συνεχῆ κατὰ συμβεβηκὸς κινεῖται, οὕτω καὶ τὰ τοῦ αὐτοκινήτου μόρια κατὰ συμβεβηκὸς ἂν εἴη ἑαυτὰ κινοῦντα· εἰ δὲ κατὰ συμβεβηκός, οὐκ ἐξ ἀνάγκης, ὥστε ἐὰν ὑποτεθῇ μὴ κινεῖν ἑαυτά, οὐδὲν ἀδύνατον ὑποτεθήσεται. καὶ ἐγὼ μὲν οἶμαι μέχρι τοῦδε τὴν ἀπόδειξιν προαγαγεῖν τὸν Ἀριστοτέλην, δεικνύντα ὅτι οὐκ ἀνάγκη οὕτως αὐτοκίνητον εἶναι τὸ ὅλον ὡς ἢ ἓν ἢ πλείω μόρια ἐν ἑαυτῷ αὐτοκίνητα ἔχον· εἴτε γὰρ ὑπὸ τῶν μερῶν κινοῖτο, οὐκ ἔστι τὸ ὅλον πρώτως αὐτοκίνητον, εἴτε ὅλον ὑφ' ὅλου ἑαυτοῦ κινεῖται, οὐκ ἀνάγκη ἔχειν ἐν ἑαυτῷ ἢ ἓν ἢ πλείω μόρια αὐτοκίνητα, ὅπερ ἔδει δεῖξαι. ὁ δὲ Ἀλέξανδρος, ἐὰν ὑποτεθῇ, φησί, τὰ κατὰ συμβεβηκὸς αὐτοκίνητα μόρια μὴ ὄντα αὐτοκίνητα, ἀδύνατον μὲν οὐδὲν ὑποτεθήσεται, οὐκέτι δέ, φησίν, ἔσται τὸ ὅλον κινούμενον, εἰ οὕτως ἦν αὐτοκίνητον, διότι τὰ μόρια αὐτοῦ αὐτὰ ἐκίνει. ἀλλ' εἰ ἡ ὑπόθεσις καὶ ὅλον ὑφ' ὅλου κινούμενον ἐλάμβανε τὸ ἓν ἢ πλείω μέρη αὐτοκίνητα ἔχον, ταύτης μενούσης τὸ ἀδύνατον ἐπὶ τῶν μερῶν χρὴ συναγαγεῖν. id. f. 288 *b*.

258a 3. ταύτην τὴν ῥῆσιν ὁ Ἀλέξανδρος ἔδοξέ μοι καινοπρεπῶς ἐξηγεῖσθαι· σκοπὸν μὲν γὰρ αὐτῆς εἶναί φησιν ἄλλο ἄτοπον προσθεῖναι τῷ ὅλον αὐτὸ αὑτὸ κινεῖν λέγοντι λόγῳ οὕτως ὡς ἑκάστου τῶν μερῶν αὐτοῦ αὐτοκινήτου ὄντος. τὸ δὲ ἄτοπον τοιοῦτον. εἰ οὕτως ἔχει, δῆλον ὅτι τῶν μερῶν ἕκαστον ἐξ αὑτοῦ κινούμενον καὶ ἄλλο κινήσει· οὕτω γὰρ ἔσται τὸ ὅλον αὐτοκίνητον, εἰ καὶ ἄλληλα κινοίη τὰ μέρη αὐτοῦ, ὄντα αὐτοκίνητα... αὐτὸς δέ, φησί, διὰ βραχέων θεὶς τὴν ἐπιχείρησιν καὶ χωρὶς ἐξεργασίας ἐπαύσατο. οὕτω μὲν ὁ Ἀλέξανδρος, οὐδαμοῦ τοῦ Ἀριστοτέλους ὅσον ἐμὲ γινώσκειν ὑποθεμένου τὰ μέρη κινεῖν ἄλληλα, ἀλλὰ τὴν αβ' ὑφ' αὑτοῦ κινεῖσθαι λέγει καὶ ὑπὸ τοῦ α'. μήποτε οὖν ἄμεινον ἀσφαλέστερον ἀκούειν τοῦ εἰρημένου, ὅτι εἰπὼν τῆς ὅλης ἄρα τὸ μὲν κινήσει ἀκίνητον ὂν τὸ δὲ κινηθήσεται, ἐπιστώσατο διὰ τοῦ ἐφεξῆς τὸ εἰρημένον. id. ib.

258a 5. ὁ μὲν Ἀλέξανδρος δείξας φησὶν ὅτι τὸ αὐτοκίνητον ἔχει τὸ μέν τι κινοῦν ἀκίνητον τὸ δὲ ὑπ' ἐκείνου κινούμενον, διὰ τούτων δείκνυσιν ἐκ τίνων ἀνάγκη συγκεῖσθαι τὸ αὐτοκίνητον, ὅτι ἐξ ἀκινήτου μὲν κινοῦντος δέ, καὶ κινουμένου ὑπὸ τούτου οὐκ ἐξ ἀνάγκης δὲ κινοῦντος. ἐγὼ δὲ τί ταῦτα διαφέρει ἀλλήλων ἁπλῶς οὕτω λεγόμενα οὐκ ἐφιστάνω. μήποτε οὖν τὸ πρότερον συντόμως εἰρημένον ἐξαπλοῖ νῦν ὁ Ἀριστοτέλης, διελὼν πρῶτον εἰς τρία τὰ κατὰ κίνησιν ποιοῦντα ἢ πάσχοντα. ἐπειδὴ γὰρ δυοῖν ὄντων τούτων, τοῦ τε κινοῦντος καὶ τοῦ κινουμένου, καὶ τὸ κινοῦν ἀκίνητον ὂν κινεῖ ἢ κινούμενον ὑπ' ἄλλου, καὶ τὸ κινούμενον ἢ καὶ αὐτὸ κινοῦν κινεῖται ἢ οὐδὲν κινοῦν, δύο μὲν ἄκρα ἔσται τό τε κινοῦν ἀκίνητον ὂν καὶ τὸ κινούμενον μὲν μὴ κινοῦν δὲ ἕτερον, μέσον δὲ ἀμφοῖν καὶ κοινὸν τὸ κινούμενον μὲν ὑπ' ἄλλου κινοῦν δὲ ἕτερον· καὶ γὰρ καὶ ἐν τῷ κινοῦντι ἦν τὸ κινοῦν μετὰ τοῦ κινεῖσθαι, καὶ ἐν τῷ κινουμένῳ ἦν τὸ κινούμενον μετὰ τοῦ κινεῖν. ταῦτα οὖν τὰ τρία διαστησάμενος, καὶ ἐπὶ μιᾶς ἐκθέμενος γραμμῆς, δείκνυσιν ἐν τίσι τούτων πρώτως ἐστὶ τὸ αὐτοκίνητον. ὅτι μὲν γὰρ ὅλον τὸ αβγ' αὐτοκίνητόν ἐστι, δῆλον, εἴπερ ἔχει ἐν ἑαυτῷ τό τε κινεῖν ἑαυτὸ καὶ τὸ κινεῖσθαι ὑφ' ἑαυτοῦ. ἀλλ' ἐὰν ἀφέλω, φησί, τὸ γ', ὃ κινούμενον ἦν μηκέτι δὲ κινοῦν, τὸ λοιπὸν τὸ αβ' κινήσει ἑαυτό, εἴπερ τὸ μὲν α' κινοῦν ἦν ἐν αὐτῷ, τὸ δὲ β' κινούμενον, τὸ δὲ γ' οὐ κινήσει ἑαυτό, οὐδὲ ὅλως κινήσεται καθ' αὑτὸ ὄν. ἀλλ' οὐδὲ τὸ βγ' κινήσει ἑαυτὸ τοῦ α' ἀφαιρεθέντος· κἂν γὰρ κινῇ τὸ β', ἀλλ' οὐχ ἑαυτῷ κινεῖ, ἀλλὰ τῷ ὑπ' ἄλλου κινεῖσθαι τοῦ α'. τὸ αβ' ἄρα μόνον ἐν τούτοις αὐτὸ αὑτὸ κινεῖ. ἀνάγκη οὖν τὸ αὐτοκίνητον συγκεῖσθαι ἔκ τε τοῦ κινοῦντος μὲν ἀκινήτου δὲ ὄντος, καὶ τοῦ κινουμένου μὲν μὴ ἐξ ἀνάγκης δὲ κινοῦντος, ἀλλὰ κἂν κινῇ ἄλλο ὡς κινουμένου λαμβανομένου. ζητήσοι δὲ ἄν τις, ὡς οἶμαι, διὰ τί μὴ τὸ αγ' μᾶλλον αὐτοκίνητον πρώτως ἀπέδειξεν, εἴπερ τὸ μὲν α' κινεῖ μόνον. Simpl. f. 289.

258a 19. εἰπὼν ὅτι ἀνάγκη τὸ αὐτοκίνητον ἔχειν τὸ κινοῦν μὴ κινούμενον δέ, καὶ τὸ κινούμενον μηδὲν δὲ κινοῦν ἐξ ἀνάγκης ἀλλ' ὁπότερα ἔτυχεν, ἐπάγει ὅτι ταῦτα ἔχει τὸ αὐτοκίνητον "ἁπτόμενα ἤτοι ἄμφω ἀλλήλων ἢ θατέρου θάτερον." εἰ μὲν γὰρ εἴη καὶ τὸ κινοῦν σῶμα καθ' ὑπόθεσιν, ὥσπερ καὶ τὸ κινούμενον ὑπ' αὐτοῦ, ἀμφότερα ἀλλήλων ἅψεται· ἅμα γὰρ αὐτῶν ἔσται τὰ πέρατα, ταῦτα δέ ἐστι τὰ ἁπτόμενα, ὧν ἅμα τὰ πέρατά ἐστιν. εἰ δὲ τὸ μὲν κινούμενον σῶμα πάντως ἀνάγκη εἶναι, τὸ δὲ κινοῦν ἀσώματόν ἐστι καὶ ἀμέγεθες, οὐκέτι ἄμφω ἅψεται ἀλλήλων, ἀλλὰ θατέρου θάτερον, καὶ οὐ κυρίως ἀλλὰ μεταφορικῶς· τοῦ γὰρ σώματος ἅπτεται τὸ ἀσώματον, ὡς εἴρηται ἐν τῷ πρώτῳ τῶν περὶ Γενέσεως (c. 6 p. 323 *a* 31), ἐν οἷς φησὶν "ὥστε εἴ τι κινεῖ ἀκίνητον ὄν, ἐκεῖνο μὲν ἅπτοιτο ἂν τοῦ κινητοῦ, ἐκείνου δὲ οὐθέν· φαμὲν γὰρ ἐνίοτε τὸν λυποῦντα ἅπτεσθαι ἡμῶν, ἀλλ' οὐκ αὐτοὶ ἐκείνου." τὸ γὰρ ἐνεργοῦν ἅπτεσθαι λέγοιτο μᾶλλον ἤπερ τὸ πάσχον. ταῦτα δὲ εἶπεν, οἶμαι, ἐνδείξασθαι βουλόμενος ὅτι συνεχῆ μὲν οὐδα-

λέγων ὅτι οὐκ ἀνάγκη ἀεὶ ὑπ' ἄλλου κινεῖσθαι τὸ κινούμενον (τὸ γὰρ κινούμενον ὑπ' ἄλλου τινὸς δέδεικται κινούμενον), οὐδὲ ὅτι οὐχ ὑπ' ἄλλου μέν τινος κινουμένου δὲ καὶ αὐτοῦ κινήσεται (δείξει γὰρ ὅτι ὑπὸ τοῦ αὐτοκινήτου κινεῖται), ἀλλ' ὅτι οὐκ ἀνάγκη τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ αὐτοῦ ἀεὶ ὑπ' ἄλλου κινουμένου. διὸ καὶ συνάγει λοιπὸν τὸ τὸ πρώτως κινοῦν ἢ ἀκίνητον εἶναι ἢ αὐτοκίνητον, ἐξ αὐτοῦ καὶ μὴ ὑπ' ἄλλου κινούμενον. id. ib.

257a 30. τὸ γὰρ αὐτὸ καθ' αὑτὸ πρότερον ἀεὶ καὶ αἴτιον τοῦ δι' ἑτέρου. Themist. f. 60 b.

ὅτι δὲ τὸ καθ' αὑτὸ αἴτιον κινήσεως τοῦ καθ' ἕτερον ἀρχικώτερον καὶ αἰτιωδέστερόν ἐστι, καὶ τοῦτο δῆλον. τοῦ γὰρ καθ' ἕτερον διχῶς λεγομένου, ἢ κατὰ συμβεβηκὸς ἢ δι' ἄλλο, οὔτε τὸ κατὰ συμβεβηκός ἐστι μὴ προτερεύοντος τοῦ καθ' αὑτό, οὔτε τὸ δι' ἄλλο μὴ προτέρου ὄντος τοῦ δι' αὑτό, ὅπερ ἐστὶ τὸ καθ' αὑτό... ἄλλην ἀρχὴν λαμβάνειν λέγει τὴν ὅτι πᾶν τὸ κινούμενον διαιρετόν ἐστιν, ἣν ἀπέδειξε μὲν ἐν τῷ πέμπτῳ βιβλίῳ (c. 4) ταύτης τῆς πραγματείας, οὐ μέντοι ταύτῃ προσεχρήσατο ἐν τοῖς προλαβοῦσιν, ἀλλὰ τῇ λεγούσῃ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τῇ πᾶν τὸ κινούμενον ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν κινεῖσθαι. διὰ τοῦτο οὖν εἶπε "λαβοῦσιν ἄλλην ἀρχήν." ζητεῖ δὲ πῶς τὸ αὐτοκίνητον κινεῖται, καὶ τίς ὁ τρόπος αὐτῷ τῆς κινήσεως, εὑρίσκων ἐκ τούτου ὅτι τῶν ὄντων τὰ μέν ἐστιν ἀκίνητα, τὰ δὲ ἀεικίνητα, τὰ δὲ ποτὲ μὲν κινούμενα ποτὲ δὲ ἠρεμοῦντα. Simpl. f. 286 b.

257a 31. τοῦτο τοίνυν αὐτὸ σκεπτέον λαβοῦσιν ἄλλην ἀρχήν, πῶς τὸ αὐτοκίνητον κινεῖ, καὶ τίνα τρόπον. πρῶτον δὲ ἁπάντων διαιρετέον κατὰ πόσους τρόπους τὸ αὐτοκίνητον δύναται λέγεσθαι αὐτοκίνητον. ἐπειδὴ γὰρ ὁμολογεῖται τὸ κινούμενον μέγεθος εἶναι καὶ συνεχές, ἢ οὕτω λέγοιτ' ἂν ὡς τοῦ ὅλου κινοῦντος ἅμα ἑαυτὸ καὶ κινουμένου ὑφ' ἑαυτοῦ, ἢ ὡς μέρους αὐτοῦ αὐτό τε καὶ τὸ ὅλον κινοῦντος ἢ τοῦ ὅλου μέρος τι, ἢ πάλιν μέρους τινὸς τοῦ ὅλου μέρος ἕτερον τοῦ ὅλου, καὶ εἰ τοῦτο, οὕτως ὥστε ἕκαστον ὑπὸ ἑκάστου ἀντικινεῖσθαι, ἢ ὡς τὸ μὲν κινεῖν μόνον τὸ δὲ κινεῖσθαι. Themist. f. 60 b.

257a 34. ἐν τῷ πέμπτῳ ταύτης τῆς πραγματείας ἔδειξεν ὅτι πᾶν τὸ κινούμενον καθ' αὑτὸ συνεχές τέ ἐστι καὶ διαιρετόν... ἔνεστι δὲ καὶ ἐντεῦθεν συλλογίζεσθαι ὅτι ἐπειδὰν μὲν ἐν τοῖς περὶ φύσεως εἰρῆσθαί τι αὐτῷ λέγῃ, τὰ πέντε λέγει τὰ πρῶτα τῆσδε τῆς πραγματείας βιβλία, ἐπειδὰν δ' ἐν τοῖς περὶ κινήσεως, τὰ τρία ἂν λέγει τὰ τελευταῖα. Simpl. f. 286 b.

257b 2. ὁ μὲν οὖν Εὔδημος προϊστορήσας τὸ αὐτὸ κινοῦν ὡς ὑπὸ Πλάτωνος διεδόθη, διαιρεῖ πρῶτον τοὺς τρόπους καθ' οὓς ἐνδέχεταί τι αὐτοκίνητον λέγεσθαι, γράφων οὕτως "ἤτοι γὰρ ὅλον ὅλον κινεῖ, ἢ μέρος ὅλον, ἢ ἀνάπαλιν, ἢ μέρος μέρος."... ὁ δὲ Ἀριστοτέλης οὐ προέλαβε μὲν τὴν διαίρεσιν ταύτην, προελθὼν δὲ τίθησιν αὐτὴν συντόμως, ὅταν λέγῃ "τὸ γὰρ ὅλον εἰ κινεῖται αὐτὸ ὑφ' ἑαυτοῦ, ἤτοι ὑπὸ τῶν αὐτοῦ τινὸς κινήσεται ἢ ὅλον ὑπὸ ὅλου" (v. 28). νῦν δὲ εὐθὺς ἕνα ἕκαστον προχειριζόμενος τῶν τρόπων τὰ ἑπόμενα ἄτοπα δείκνυσιν... ἅπερ ὁ Εὔδημος διὰ τῶν αὐτῶν ὀνομάτων σαφέστερα πεποίηκεν γράφων οὕτως... τῷ δὲ "ἓν ὂν" προσέθηκεν ὁ Ἀριστοτέλης τὸ "καὶ ἄτομον τῷ εἴδει," ἤτοι ὥς φησιν Ἀλέξανδρος, καὶ αὐτὸ ἐπὶ τοῦ κινουμένου λεγόμενον, ὥσπερ καὶ τὸ ἓν ὄν, ὡς ἴσον δυνάμενον τῷ ἓν τὸ ἐν ἀτόμῳ εἴδει· τὸ γὰρ ἐν ἀτόμῳ εἴδει ὂν κατὰ ἀριθμόν ἐστιν ἕν. ἢ τὸ μὲν ἐπὶ τοῦ κινουμένου εἴρηται, τὸ δὲ ἄτομον τῷ εἴδει ἐπὶ τῆς κινήσεως, ἵνα ᾖ τὸ ἑξῆς, κινήσει καὶ κινήσεται ἓν ὂν τὴν αὐτὴν φορὰν καὶ ἄτομον τῷ εἴδει. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος, μή ποτε ἄμεινον ἄμφω τό τε ἓν ὂν καὶ τὸ ἄτομον τῷ εἴδει, ἐφ' ὅλου τοῦ αὐτοκινήτου ἀκούειν· τὸ δὲ ἄτομον τῷ εἴδει δηλοῦν ὅπως εἴρηται τὸ ἓν ὄν, ὅτι οὐκ ἀριθμῷ ἓν ἀλλ' εἴδει ἕν, τοῦ ἀτόμου ἀντὶ τοῦ ἑνὸς εἰλημμένου. id. ib.

ὅτι δὲ ἄτοπον ὅλον τι ὑφ' ἑαυτοῦ ὅλου κινεῖσθαι, πολλαχόθεν καταμάθοιμεν. πότερον γὰρ τὴν αὐτὴν κινεῖται κίνησιν ἣν κινεῖ τὸ αὐτοκίνητον, ἢ ἑτέραν; εἰ μὲν δὴ ἑτέραν, οὐκέτ' ἂν ἀκριβῶς αὐτοκίνητον εἴη, μᾶλλον δὲ ὅλως, ἀλλ' ἕτερον μὲν αὐτοῦ τὸ κινοῦν ἕτερον δὲ τὸ κινούμενον, εἴπερ καὶ αἱ κινήσεις αὐτῶν ἕτεραι. εἰ δὲ δὴ τὴν αὐτήν, οὐδ' ὑπονοήσαι τις ἂν πως φέροι ἂν ἅμα καὶ φέροιτο τὴν αὐτὴν φοράν, ἢ ἀλλοιοῖτο καὶ ἀλλοιοῖ. Themist. f. 60 b.

ἀποδείξας ἀπεμφαίνοντα τὸν λόγον τὸν λέγοντα ὅλον τι ὑφ' 257b 6.
ὅλου ἑαυτοῦ κινεῖσθαι, νῦν ὅτι καὶ ἀδύνατόν ἐστι τοῦτο, ὡς προεῖπεν, ἀποδείκνυσι. δείκνυσι δὲ αὐτὸ τῷ τῆς κινήσεως ὁρισμῷ προσχρώμενος καὶ τῷ τοῦ κινουμένου... προαγαγὼν δὲ ἐπὶ τοῦ θερμοῦ τὸν λόγον ὁ Ἀριστοτέλης ἐπήγαγεν "ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον, ὅσων τὸ κινοῦν ἀνάγκη ἔχειν τὸ συνώνυμον," τουτέστιν εἰς συνώνυμον αὐτῷ ἄγειν τὸ κινούμενον ὑπ' αὐτοῦ, οἷον τὸ θερμαῖνον θερμὸν ὂν θερμὸν ποιεῖ τὸ θερμαινόμενον, καὶ τὸ διδάσκον ἐπιστῆμον ὂν ἐπιστῆμον ποιεῖ τὸ διδασκόμενον. τοῦτο δὲ λέγει, ἐπεὶ μὴ πάντα τὰ ποιοῦντα ὅμοια αὐτοῖς ποιεῖ· ἡ γὰρ μάστιξ τοὺς μώλωπας ποιεῖ, οὐκ ἔχουσα αὐτὴ μώλωπας. διαιρεῖ δὲ ὁ Θεόφραστος ἐν τρίτῳ τῶν Φυσικῶν ἢ περὶ Οὐρανοῦ τὰ γινόμενα οὕτως. Simpl. f. 287.

ἅμα τε ἂν δυνάμει εἴη καὶ ἐνεργείᾳ πρὸς τὸ αὐτό, δυνάμει 257b 10.
μὲν καθὸ κινεῖται, ἐνεργείᾳ δὲ καθὸ κινεῖ. καὶ ἀτελὲς ἅμα καὶ τέλειον κατὰ ταὐτό, ἀτελὲς μὲν καθὸ δυνάμει, τέλειον δὲ ἤδη θερμὸν καὶ ψυχρὸν ἤδη ἐνεργείᾳ. ὥστ' ἅμα εἴη θερμόν τε ἤδη καὶ οὔπω θερμόν, καὶ ψυχρὸν ἤδη καὶ οὔπω ψυχρόν. Themist. f. 60 b.

διαιρεῖ δὲ καὶ τοῦτο ὁ Εὔδημος οὕτως... ὁ δὲ Ἀριστοτέλης 257b 15.
πρῶτον ἀναιρεῖ τὸ μόριον μέν τι κινεῖν, μόριον δέ τι κινεῖσθαι οὕτως ὥστε καὶ τὸ κινούμενον κινεῖν πάλιν τὸ κινοῦν αὐτὸ καὶ τὸ κινοῦν κινεῖσθαι ὑπὸ τοῦ κινουμένου ὑπ' αὐτοῦ· συμβαίνει γὰρ οὕτως ἑκάτερον ὑφ' ἑκατέρου κινεῖσθαι, ὑπό τε τοῦ κινουμένου ὑπ' αὐτοῦ καὶ ὑφ' ἑαυτοῦ... τὸ δὲ "ἐγγύτερον δὲ τὸ πορρώτερον τοῦ κινουμένου τῆς ἀρχῆς ἢ τὸ μεταξύ" εἴρηκεν ἀντὶ τοῦ συγγενέστερον καὶ οἰκειότερον εἰς ἀρχῆς λόγον ἐστὶ τὸ πορρώτερον τοῦ ἐσχάτου κινουμένου, ἤπερ τὸ μεταξὺ τούτου τε καὶ τοῦ πορρώτερον ὄντος... ὁ δὲ Ἀλέξανδρος διὰ τῶν εἰρημένων δεδεῖχθαί φησι τὸ μηδέτερον αὐτῶν ὑπό τινος ἔξωθεν καὶ ἄλλου κινηθήσεσθαι, ἀλλ' αὐτὰ ὑφ' αὑτῶν. ἄμεινον δὲ οἶμαι λέγειν ὅτι τὸ μηδὲν εἶναι πρῶτον κινοῦν ἀποδέδεικται. καὶ πρὸς τὴν τούτου κατασκευὴν παρείληπται τὸ ἑκάτερον αὐτῶν καὶ ἑαυτὸ κινεῖν, ἵνα διὰ τούτου ἀρχοειδέστερον καὶ πρῶτον δειχθῇ. Simpl. f. 287 b.

λέγεται κατ' ἄλλον τρόπον ἀποδείξεως τὸ αὐτὸ δεῖξειν τοῖς φθάσασιν, ὅτι ἐν τοῖς κινουμένοις καὶ κινοῦσι πρῶτόν ἐστι κινοῦν τὸ αὐτοκίνητον. μεταξὺ δὲ παρεμβαλὼν ὅτι τὸ πρῶτον ἁπλῶς κινοῦν ἀκίνητον ἀνάγκη εἶναι, συνάπτει τὸν περὶ τοῦ αὐτοκινήτου λόγον τοῦ πρώτου, οὐχὶ τῶν ἁπλῶς κινούντων ἀλλὰ τῶν μετὰ τοῦ κινεῖσθαι καὶ αὐτὰ κινούντων, ζητῶν τίς ὁ τρόπος τῆς ἐν τούτῳ κινήσεως, καὶ δεικνὺς ὅτι τὸ κινοῦν ἐν αὐτῷ ἀκίνητον ὂν κινεῖ. ἢ καὶ τοῦτο μὲν δείκνυσιν, οὐ μὴν ἀλλὰ καὶ συναποδείκνυσιν αὐτῷ τὸ ἀρχὴν κινήσεως ἢ τὸ ἀκίνητον ἢ τὸ αὐτοκίνητον εἶναι. Simpl. f. 284. cf. transposit. in Themistii paraphr. f. 60 *b*.

256 b 10. ἐὰν οὖν ὑποθώμεθα τὸ ἐνδεχόμενον γενέσθαι γενόμενον, τοῦτο δέ ἐστι τὸ τὸ κατὰ συμβεβηκὸς κινούμενόν ποτε μὴ κινεῖσθαι κινοῦν, ψεῦδος μὲν δυνατὸν ἀκολουθῆσαι, ἐὰν μήπω τότε μὴ κινούμενον κινῇ, ὅτε καὶ ἡ ὑπόθεσις ψευδής, οὐ μὴν ἀδύνατον τὸ μὴ κινούμενον κινῆσαι... τὸ "ψεῦδος δὲ ἴσως" ὁ Ἀλέξανδρος εἰρῆσθαί φησιν, ὅτι οὐκ ἀνάγκη, εἰ ψευδὴς ἡ πρότασις, καὶ τὸ συμπέρασμα ψευδὲς εἶναι· δέδεικται γὰρ ὅτι καὶ ἐκ ψευδῶν ἀληθές τι συνάγεται. μήποτε δὲ οὐ διὰ τοῦτο νῦν πρόσκειται τὸ "ἴσως," ἀλλ' ὅτι ἂν κατὰ συμβεβηκὸς ὑποτεθῇ κινεῖσθαι τὸ κινοῦν, ληφθῇ δὲ μὴ κινούμενον, ψεῦδος μὲν ἐνίοτέ ἐστι τὸ ληφθέν, ἐὰν τύχῃ κινούμενον, οὐ μέντοι ἀδύνατον, ὅτι τὸ κατὰ συμβεβηκὸς ὑποτεθὲν κινεῖσθαι δύναταί ποτε καὶ μὴ κινεῖσθαι. Simpl. f. 284 *b*.

256 b 13. ἐλέγξας τὸν λέγοντα λόγον ὅτι πᾶν τὸ κινούμενον καὶ αὐτὸ κατὰ συμβεβηκὸς οὕτω κινεῖ, δέον μεταβῆναι ἐπὶ τὸ δεικνύναι ὅτι μηδὲ καθ' αὑτὸ κινούμενον τὸ κινοῦν κινεῖ, πρῶτον τὴν ὅλην ὑπόθεσιν ἀναιρεῖ τὴν πρὸ τῆς διαιρέσεως τῆς εἰς τὸ κατὰ συμβεβηκὸς καὶ τὸ καθ' αὑτό. ἦν δὲ ἡ ὑπόθεσις ἡ λέγουσα πᾶν τὸ κινοῦν καὶ αὐτὸ κινούμενον ὑπ' ἄλλου κινεῖν· ἀναιρεῖ δὲ αὐτὴν δεικνὺς ὅτι πρὸ τῶν κινουμένων καὶ οὕτω κινούντων ἐστὶν ὃ ἀκίνητον ὂν οὕτω κινεῖ. καὶ τότε τὸ ἕτερον τμῆμα τῆς διαιρέσεως ἐλέγχει, τὸ λέγον ὅτι πᾶν τὸ κινοῦν καθ' αὑτὸ κινούμενον καὶ αὐτὸ κινεῖ. id. ib.

256 b 13. ὅτι μὲν οὐ μόνον τὰ κατὰ τόπον προσεχῶς κινοῦντα ἅπτεται τῶν ὑφ' ἑαυτῶν κινουμένων, ἀλλὰ καὶ τὰ κατὰ τὰς ἄλλας κινήσεις, ἔδειξεν ἐν τῷ πρὸ τούτου βιβλίῳ. νῦν δὲ ὡς ἐπὶ ἐναργεστέρων αὐτὸ τῶν κατὰ τόπον κινούντων ἀξιοῖ θεωρεῖν. προσέθηκε δὲ τὸ μέχρι τινὸς ἅπτεσθαι ἀλλήλων τὰ κατὰ τόπον κινοῦντα καὶ κινούμενα διὰ τὰ ῥιπτοῦντα καὶ ῥιπτούμενα... δυοῖν οὖν ὄντων, τοῦ τε κινουμένου μόνως καὶ τοῦ ᾧ κινεῖ τὸ κινοῦν, ὅπερ κινούμενον κινεῖ, δεῖ εἶναι καὶ τὸ κινοῦν οὐχ οὕτως ὡς τὸ ᾧ κινεῖ τὸ κινοῦν, ὅπερ κινούμενον κινεῖ, ἀλλὰ τὸ μόνως κινοῦν ἀκίνητον ὄν, ὥσπερ ἦν τὸ μόνως κινούμενον, οὐκέτι δὲ κινοῦν ἄλλο. id. ib.

256 b 24. συνίστησι καὶ δι' ἐνδόξου πίστεως τὸ ἀκίνητον εἶναι τὸ πρώτως κινοῦν, τὴν Ἀναξαγόρου δόξαν ἐπαινέσας, ὃς τὸν νοῦν τὸ πρῶτον κινοῦν ὑποθέμενος ἀκίνητον αὐτὸν καὶ ἀμιγῆ καὶ ἁπλοῦν ὑπέθετο, ὡς οὕτω μόνως δυναμένου τοῦ πρώτως κινοῦντος κρατεῖν τῶν ὅλων, εἰ καὶ ἀκίνητος εἴη καὶ ἀπαθής. εἰ γὰρ κινούμενος κινήσει, ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκὸς κινούμενος, ὧν τὸ μὲν κατὰ συμβεβηκὸς ἀδύνατόν τι ἔχον ἑπόμενον ἐφάνη, τὸ μὴ εἶναι κίνησιν, τὸ δὲ καθ' αὑτὸ δειχθήσεται ἐφεξῆς ἀδύνατον. id. f. 285.

256 b 31. τὸ "ἀλλὰ φανερὸν ὅτι ἀδύνατον" προηγουμένως μὲν ἐπῆκται τῷ κατὰ ταὐτὸν εἶδος λέγοντι κινεῖν τε καὶ κινεῖσθαι τὸ κινοῦν, ὡς δῆλον ἐκ τοῦ "δεῖ γὰρ μέχρι τῶν ἀτόμων διαιροῦντα λέγειν" καὶ τῶν ἐφεξῆς, ἅπερ ἐπὶ τῶν κατὰ ταὐτὸν εἶδος τῆς κινήσεως κινούντων τε καὶ κινουμένων ἁρμόττει. διὰ μέσου δὲ τούτου τὸ ἀδύνατον δείξει, καὶ τῷ κατ' ἄλλο μὲν εἶδος κινοῦντι κατ' ἄλλο δὲ κινουμένῳ· δείξει γὰρ ὅτι καὶ τοῦτο ἐλεύσεται ἐπὶ τὸ κατὰ ταὐτὸν εἶδος κινοῦν τε καὶ κινούμενον. τὸ δὲ ἄτοπον τὸ ἐπὶ τοῦ κατὰ ταὐτὸν εἶδος κινεῖν τε καὶ κινεῖσθαι ἐπὶ τῶν ἀτόμων μάλιστα φαίνεσθαί φησιν... μέχρι δὲ τῶν ἀτόμων εἶπε δεῖν διαιροῦντα λέγειν, οὐ τῶν κυρίως λεγομένων ἀτόμων ἀλλὰ τῶν κατ' εἶδος, ὡς ἀπὸ γένους διαιρουμένων τῶν κατὰ τὸ αὐτὸ εἶδος κινούντων τε καὶ κινουμένων. τοιαῦτα γὰρ καὶ τὰ παραδείγματα. id. ib.

257 a 3. ἐνδειξάμενος ἐκ τῶν παραδειγμάτων τὸ ἑπόμενον ἄτοπον τῇ ὑποθέσει τῇ λεγούσῃ πᾶν τὸ κινοῦν κινεῖσθαι κατὰ τὸ αὐτὸ εἶδος ὃ κινεῖ, καὶ μέλλων μετ' ὀλίγον κοινὸν τὸ ἄτοπον ἐπάγειν, ἐπὶ τὸ ἕτερον τμῆμα μετέβη τὸ λέγον κινεῖσθαι μὲν πᾶν τὸ κινοῦν, μὴ τὴν αὐτὴν δὲ κίνησιν ἣν κινεῖ, ἀλλὰ ἄλλην... προάγει δὲ τὸν λόγον ἐπ' ἀξιώματι τῷ λέγοντι πεπερασμένα εἶναι καὶ οὐκ ἄπειρα τὰ τῆς κινήσεως εἴδη. ἐν τρισὶ γὰρ ἦσαν αἱ κινήσεις, τόπῳ καὶ ποιῷ καὶ ποσῷ, καὶ ἐν ἑκάστῳ δὲ τούτων τὰ ὡς εἴδη ἄτομα πεπερασμένα. id. f. 285 *b*.

257 a 14. δείξας πρῶτον ἀπὸ τῶν τῆς κινήσεως τρόπων, τοῦ τε κατὰ συμβεβηκὸς καὶ τοῦ καθ' αὑτό, καὶ τούτου τῶν τε κατὰ τὸ αὐτὸ εἶδος κινούντων τε καὶ κινουμένων καὶ τῶν καθ' ἕτερον, ὅτι ἀδύνατόν ἐστι πᾶν τὸ κινοῦν ὑφ' ἑτέρου καὶ αὐτὸ κινούμενον κινεῖν, νῦν ταὐτὸ τοῦτο καθολικώτερον δείκνυσι, καὶ διὰ τοῦτο μᾶλλον ἄλογον φαίνεσθαι τὸ οὕτω δεικνύμενόν φησιν, ὅτι τὰ καθόλου δεικνύμενα τῶν ἐπὶ μέρους ἐστὶν ἀναγκαστικώτερα... καὶ πιστοῦται πάλιν τὸ καθόλου διὰ τῶν κατὰ μέρος παραδειγμάτων, ἐφ' ὧν πρότερον ἐποιήσατο τὴν ἀπόδειξιν. id. f. 286.

257 a 23. ὡς μὲν ὁ Ἀλέξανδρός φησιν, οὐ τοῦτο λέγει, ὅτι τὸ πλασματῶδες αὐτῶν οὐκ ἀδύνατον (ἄμφω γὰρ ἀδύνατα, ἐπὶ γὰρ ταὐτὸν ἄτοπον ἄμφω πρόεισιν), ἀλλ' ἔστιν ὃ λέγει, ὅτι τὸ μὲν ἀδύνατον αὐτῶν, τὸ δὲ πρὸς τῷ ἀδυνάτῳ καὶ πλασματῶδες καὶ ἀπίθανον. ἔστι δὲ τὸ ἄμφω ἔχον τὸ κατ' ἄλλο μὲν εἶδος κινήσεως ἀξιοῦν τὸ κινοῦν κινεῖν, κατ' ἄλλο δὲ κινεῖσθαι ἐξ ἀνάγκης· ἄτοπος γὰρ ἡ ὑπόθεσις, τὸ λέγειν ἐξ ἀνάγκης τὸ ἀλλοιοῦν τι ἀλλοιοῦν αὐξόμενον αὐτό, ἄλλως δὲ μὴ δύνασθαι. οὕτω μὲν ὁ Ἀλέξανδρος. μήποτε δὲ κυριώτερον ὁ Ἀριστοτέλης ἐπεμέρισεν, τὸ μὲν κατὰ τὸ αὐτὸ εἶδος ἀδύνατον εἰπών (ἀδύνατον γὰρ τὸ ποιεῖν καὶ τὸ πάσχειν εἰς ταὐτὸν συνδραμεῖν), τὸ δὲ κατ' ἄλλο μὲν κινεῖσθαι κατ' ἄλλο δὲ κινεῖν δυνατὸν μὲν ἂν ἦν, μὴ πεπερασμένων ὄντων τῶν εἰδῶν τῆς κινήσεως, μηδὲ τοῦ πρώτου κινουμένου μᾶλλον ὑπὸ τοῦ πρώτου κινοῦντος κινουμένου ἢ ὑπὸ τοῦ προσεχοῦς. τὸ δὲ τὰ πεπερασμένα ἄπειρα ὑποθέσθαι πλασματῶδες ὄντως ἐστί, κενὰς μακαρίας ἀναπλάττον, τὸ δύνασθαι ἄλλην κίνησιν ἀεὶ μετ' ἄλλην λαμβάνειν. οὕτω δὲ καὶ τὴν καθολικὴν ἀπόδειξιν προαγαγὼν ὁ Ἀριστοτέλης συμπέρασμα ἐπήγαγεν, ὅτι οὐκ ἄρα ἀνάγκη κινεῖσθαι τὸ κινούμενον ὑπ' ἄλλου, καὶ τούτου κινουμένου, οὐ τοῦτο

γὰρ ἐστι τὸ κούφῳ καὶ βαρεῖ εἶναι, τὸ τὸ μὲν ἄνω τὸ δὲ κάτω εἶναι. id. f. 282.

255 b 21. τῆς κατὰ φύσιν κινήσεως καὶ ἐνεργείας αἴτιον μέχρι νῦν, ὡς ἐμοὶ δοκεῖ, τὴν τοῦ εἴδους λέγει τελειότητα, ἣν ἀπολαβὸν εὐθὺς ἐνεργεῖ καθ' αὑτό, εἰ μή τι κωλύσοι· τὸ γὰρ διὰ τὸ οὕτω πεφυκέναι οὕτω κινεῖσθαι, τὴν φύσιν ἐστὶ καὶ τὸ εἶδος αἰτιωμένου. προελθὼν δὲ ὀλίγον, καὶ τὸ γεννῆσαν καὶ ποιῆσαν τοιοῦτον οἷόν ἐστιν αἴτιον τῆς τοιαύτης λέγει κινήσεως, ὅπερ οἱ ἐξηγηταὶ καὶ ἐν τοῖς ἔμπροσθεν αὐτὸν αἰτιᾶσθαι νομίζουσι. πολλαχοῦ δὲ τὸ τὴν ἕξιν ἀπολαβὸν εὐθὺς ἐνεργεῖν λέγων, καὶ προστιθεὶς ἂν μή τι κωλύῃ, λέγει νῦν ὅτι καὶ ὁ τὸ ὑφιστάμενον καὶ κωλῦον ἀφαιρῶν ἔστιν ὡς κινεῖ ἔστι δὲ ὡς οὔ... ἐπιζητεῖ δὲ ὁ Ἀλέξανδρος ἐν τούτοις πῶς ἔτι τὸ κυκλοφορητικὸν σῶμα φυσικὸν ἔσται, εἰ τὸ μὲν φυσικόν, ὡς Ἀριστοτέλης φησίν, ἀρχὴν τοῦ πάσχειν ἔχει, τὸ δὲ κυκλοφορητικὸν ἀπαθές ἐστιν. καὶ λύει πρῶτον μὲν λέγων ὅτι κἂν ἀεικίνητον ᾖ τὸ κυκλοφορητικόν, ἀλλὰ ἄλλοτε ἀπ' ἄλλου καὶ ἐπ' ἄλλο κινούμενον ἔχει τὰ δυνάμει ἐν ἑαυτῷ· ἐφ' ὅσον δὲ τοῦ δυνάμει κεκίνηκεν, ἐπὶ τοσοῦτον καὶ παθητόν πως ἐστίν... τί δὲ τὸ λεγόμενόν ἐστι, τὸ μὴ ὡς ἐπὶ τῶν ἀψύχων σωμάτων ἐπὶ τοῦ οὐρανοῦ τὴν κατὰ φύσιν κίνησιν λαμβάνειν, ἀλλ' ὡς ἐπὶ τῶν κατὰ ψυχὴν κινουμένων, εἰσόμεθα σαφέστερον ὑπομνησθέντες τῆς δόξης αὐτοῦ (τοῦ Ἀλεξάνδρου), ἣν ἔχει περὶ τῆς τοῦ οὐρανοῦ ψυχῆς· τὴν γὰρ αὐτὴν οἴεται ψυχὴν εἶναι καὶ φύσιν ἐν τῷ οὐρανῷ, καὶ γράφει δὲ ἐν τῷ εἰς τὸ δεύτερον τῆς περὶ Οὐρανοῦ ὑπομνήματι ταῦτα. id. ib.

255 b 31. φυσικώτερον νῦν ἔδειξεν ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται ἤπερ ἐν τῷ πρὸ τούτου βιβλίῳ. ὁ δὲ Εὔδημος ὅτι τὸ κινούμενον ὑπό τινος κινεῖται δείκνυσι καὶ ἐκ τῆς τῶν πρός τι συνυποστάσεως. ὡς γὰρ τὸ τεμνόμενον, φησίν, ἄλογον μὴ ὑπό τινος τέμνεσθαι καὶ τὸ ἑλκόμενον μὴ ὑπό τινος ἕλκεσθαι καὶ ὅλως τὸ ποιούμενον μὴ ὑπό τινος ποιεῖσθαι, οὕτω καὶ τὸ κινούμενον μὴ ὑπό τινος κινεῖσθαι. ἀπορήσειε δ' ἄν τις, ὡς οἶμαι, πῶς τὰ κατὰ φύσιν κινούμενα τὴν τοπικὴν κίνησιν ὑπὸ τοῦ κινήσαντος αὐτὰ καθ' αὑτὰ κινεῖσθαί φησιν, εἴπερ τὸ μὲν γεννῆσαν καὶ ποιῆσαν τὴν οὐσίαν καὶ τὸ εἶδος ποιεῖ καὶ τῆς κατὰ γένεσιν μεταβολῆς ἐστὶν αἴτιον, ἄλλη δὲ ἡ κατὰ γένεσιν μεταβολὴ καὶ ἄλλη ἡ τοπικὴ κίνησις. id. f. 282 *b*.

256 a 4. δείξας ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, ἐφεξῆς ἀκολούθως ἀναζητεῖ πότερον ὑπὸ κινουμένου κινεῖται τὸ κινούμενον ἢ ὑπὸ ἀκινήτου. διὰ δὲ τὸ πᾶσι σχεδόν, ὥς φησιν Εὔδημος, δοκεῖν τὸ κινοῦν κινεῖσθαι καὶ αὐτό, τῶν δὲ κινούντων ἅμα καὶ κινουμένων τὸ μὲν αὐτοκίνητόν ἐστι τὸ δὲ ὑπ' ἄλλου ἔξωθεν κινεῖται, δύο ὄντων τῶν ἀρχικῶν τῆς κινήσεως, τοῦ τε ἀκινήτου καὶ τοῦ αὐτοκινήτου, τὸ αὐτοκίνητον πρῶτον παραδίδωσι, καὶ δείκνυσιν ὅτι ἔστι πρῶτόν τι ἐν τοῖς κινοῦσί τε καὶ κινουμένοις, ὃ κινεῖ μὴ ὑπ' ἄλλου ἔξωθεν κινούμενον... προστίθησι δὲ ὁ Εὔδημος ὅτι καὶ τῶν ἐνταῦθα κινήσεων αἱ ζωτικαὶ φαίνονται κινήσεις αἴτιαι, καὶ ἡ οὐρανία τῆς τῶν στοιχείων δηλονότι μεταβολῆς. δοκεῖ δὲ καὶ αὕτη ζωτική πως· οὐ γὰρ ὑπ' ἄλλου κινεῖται ὁ οὐρανός, ἀλλ' ὑφ' ἑαυτοῦ. id. f. 283.

256 a 21. ὅτι μὲν ὁ αὐτός ἐστι λόγος οὗτος τῷ πρὸ αὐτοῦ, καὶ αὐτὸς λέγει. διαφέρει δέ, φησὶν ὁ Ἀλέξανδρος, τῇ ἐφόδῳ, ὅτι ἐκεῖ μὲν ἡ ἀρχὴ τῆς δείξεως ἀπὸ τοῦ τὸ κινούμενον ἢ ὑπὸ αὐτοῦ κινοῦντος κινεῖσθαι ἢ οὐχ αὐτοῦ ἀλλ' ὑπ' ἄλλου, ἐνταῦθα δὲ ἀπὸ τοῦ κινοῦντος ἡ δεῖξις αὐτῷ πρόεισι· λαμβάνει γὰρ πᾶν τὸ κινοῦν, ὥσπερ τι κινεῖ (ἀδύνατον γάρ τι κινεῖν μὲν μηδὲν δὲ κινεῖν), οὕτω καὶ τινὶ κινεῖν. μήποτε δὲ οὐ ταύτῃ διενηνόχασιν οἱ λόγοι· καὶ γὰρ καὶ ὁ ἤδη ῥηθεὶς ἀπὸ τοῦ κινοῦντος ἐπεχειρήθη λέγων· ἢ γὰρ οὐ δι' ἑαυτὸ τὸ κινοῦν, ἀλλὰ δι' ἕτερον ὃ κινεῖ τὸ κινοῦν, ἢ δι' ἑαυτό. ἀλλ' ᾧ διαφέρει τὸ δι' ἑαυτὸ κινεῖν τοῦ ἑαυτῷ κινεῖν καὶ τὸ δι' ἕτερον τοῦ ἄλλῳ, ταύτῃ διενηνόχασιν οἱ λόγοι... τοὺς μὲν οὖν λόγους οὕτως οἶμαι χρὴ διακρίνειν, τοῦ Εὐδήμου καὶ συνάψαντος αὐτούς, ἐν οἷς φησὶ "τὸ δὴ κινοῦν ἢ δι' αὑτὸ κινεῖ ἢ δι' ἄλλο καὶ ἑαυτῷ ἢ ἄλλῳ".. ἐν δὴ τούτοις δύο μοι πρόσεισιν ἀπορεῖν, ἓν μὲν πῶς ὡς ἄτοπον εἶπε τὸ μὴ εἶναί τι πρῶτον κινοῦν μηδὲ ἔσχατον, εἴπερ καὶ ἡμεῖς λέγομεν τῶν στοιχείων ἐξ ἀλλήλων γινομένων μὴ εἶναί τι τὸ πρώτως κινοῦν ἢ τελευταίως, ἀλλ' ἐπ' ἄπειρον τὴν κίνησιν εἶναι κύκλῳ περιιοῦσαν· ἐκ γὰρ γῆς ὕδωρ καὶ ἐξ ὕδατος ἀέρα καὶ ἐξ ἀέρος πῦρ καὶ ἐκ πυρὸς πάλιν ἀέρα καὶ γῆν ἐν τῇ περὶ Γενέσεως (2 3 sqq.) ἐμάθομεν γίνεσθαι. δεύτερον δὲ ἀπορήσειεν ἄν τις πῶς πᾶν τὸ κινούμενον ὑπὸ πρώτου τοῦ αὐτοκινήτου κινεῖσθαι λέγεται, εἴπερ τὰ στοιχεῖα ὑπ' ἀλλήλων κύκλῳ κινεῖσθαί φαμεν φυσικῶς, καὶ οὐχ ὡς τὰ ζῷα κινοῦντα ἄλληλα. μήποτε οὖν πρὸς ἄμφω ῥητέον τὰς ἀπορίας ὅτι τὰ μὲν στοιχεῖα ἐξ ἀλλήλων ὡς ὑλικῶν γίνεται, ἄλλο ἐξ ἄλλου, καὶ οὕτως εἰς κύκλον ἀνακάμπτει ἡ γένεσις αὐτῶν... νῦν δὲ κινοῦν ζητεῖ ὁ λόγος τὸ ποιοῦν κινεῖσθαι τὸ κινούμενον, ὡς ἐπὶ τῶν κατὰ τόπον κινουμένων καὶ κινούντων. id. f. 283 *b*.

256 a 29. οὐ γὰρ δὴ εἰς ἄπειρον πρόεισιν, ὥστ' ἀεὶ τοῦ κινοῦντος ἕτερον αἴτιον εἶναι τὸ κινητικόν. πρῶτον μὲν γὰρ οὐκέθ' οἷόν τε ἔσται λαβεῖν ἀρχὴν τῆς κινήσεως· μηδενὸς δὲ ὄντος ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οὐδ' ἂν κίνησις εἴη λοιπόν. ἔπειτα συμβήσεται ἐν πεπερασμένῳ χρόνῳ ἀπείρου μεγέθους καὶ ἄπειρον γίνεσθαι κίνησιν. δῆλον γὰρ ὡς, εἴπερ ἄπειρα εἴη τὰ κινοῦντά τε καὶ κινούμενα, ἀναγκαῖον ἕν τι μέγεθος ἐξ αὐτῶν ἄπειρον γενέσθαι. λέγω δὲ ἓν οὐχ ὅτι συνεχές, ἀλλ' ὅτι ἐξ ἁπτομένων· πάντα γὰρ τὰ κινοῦντα τῷ αὐτὸ κινεῖσθαι κατὰ τόπον ἁπτόμενα κινεῖ (p. 256 *b* 18). Themist. f. 60 *b*.

256 b 3. αὕτη ἡ ἐπιχείρησις τισὶ μὲν ἔδοξεν, ὡς ὁ Ἀλέξανδρός φησι, τῇ μετ' αὐτὴν ἀκολουθεῖν ἐπιχειρήσει, τῇ δεικνύσῃ ὅτι τοῦ αὐτοκινήτου τὸ μέν ἐστι κινούμενον τὸ δὲ κινοῦν ἀκίνητον ὄν, ἧς ἐπιχειρήσεως ἀρχὴ "ἀλλὰ μὴν εἴ γε δέοι σκοπεῖν πότερον αἴτιον κινήσεως καὶ ἀρχή" (p. 257 *a* 27). δοκεῖ γὰρ ταύτῃ μὲν ἕπεσθαι ἡ δεῖξις τοῦ τὸ πρῶτον κινοῦν ἀκίνητον εἶναι, τέλος ἔχουσα τὸ ἔτι εἴπερ ἡ ὅλη αὐτὴ αὑτὴν κινεῖ, τὸ μὲν κινήσει αὐτῆς τὸ δὲ κινήσεται. ἢ ἄρα β' ὑφ' ἑαυτῆς τε κινήσεται καὶ ὑπὸ τῆς α' (p. 258 *a* 3). τούτοις δὲ ἀκολουθεῖν δοκεῖ τὸ νῦν λεγόμενον διὰ τοῦ "πρὸς δὲ τοῖς εἰρημένοις καὶ ὧδε σκοποῦσι" καὶ τῶν ἑξῆς· προσκατασκευάζεσθαι γὰρ διὰ τούτων τὰ δι' ἐκείνων ἀποδεδειγμένα. διὸ καὶ ἀξιοῦσί τινες ἐκεῖνα προγεγράφθαι τε καὶ προαναγινώσκεσθαι. εἰ μέντοι ἡ νῦν γεγραμμένη τηροῖτο τάξις, ὅπερ ὑγιέστερον καὶ ὁ Ἀλέξανδρος ἐγκρίνει, ἐπαγγελ-

255a 1. ἐπὶ δὲ δὴ τῶν ἀψύχων, ὅταν κατὰ φύσιν κινῆται, χαλεπὸν ἀποδοῦναι ὑπὸ τίνος· οὔτε γὰρ ὑπ' ἄλλου καὶ ἔξωθεν, ὡς τὰ παρὰ φύσιν, οὔθ' ὑπὸ τῆς ἔνδον ἀρχῆς ἐν ἑαυτοῖς καὶ αἰτίας, ὥσπερ ὁρῶμεν τὰ ἔμψυχα. οὐδὲ γάρ ἐστιν ἐν ἑαυτοῖς τὸ μὲν κινοῦν τὸ δὲ κινούμενον, οὔτε διῄρηται εἰς τὸ πάσχον καὶ τὸ ποιοῦν, ὥσπερ τὰ ζῷα εἰς ψυχὴν καὶ σῶμα· οὐδὲ γὰρ διῄρηται ὅλως, ἀλλ' ἔστι συνεχῆ καὶ ἡνωμένα. ἄλλως τε εἴπερ εἶχεν ἐν ἑαυτοῖς τὴν αἰτίαν τῆς κινήσεως οἷόν τινα ψυχήν, οὐ κινεῖν ἂν αὐτὰ μόνον ἀλλὰ καὶ ἱστάναι ἐδύνατο, ὥσπερ ἐπὶ τῶν ζῴων συμβαίνει, καὶ οὐ καθ' ἕνα τρόπον ἐκινεῖτο ἂν ἀλλὰ κατὰ πλείους, ὥσπερ τὰ ζῷα. Themist. f. 60.

255a 20. βουλόμενος δεῖξαι ὅτι τῶν ἀψύχων σωμάτων καὶ τὰ κατὰ φύσιν κινούμενα ὑπό τινος ἔξωθεν κινεῖται καὶ οὐχ ὑφ' ἑαυτῶν, συνίστησι τοῦτο διελὼν καὶ τὰ κινοῦντα ὥσπερ τὰ κινούμενα, εἴς τε τὰ κατὰ φύσιν κινοῦντα καὶ εἰς τὰ παρὰ φύσιν. Simpl. f. 280 *b*.

255a 25. τούτων ἐμνήσθη τῶν κατηγοριῶν, ὅτι κατὰ ταύτας οἴεται μόνας τὴν κίνησιν γίνεσθαι... οὐκέτι δὲ προσέθηκε τίνα τὰ παρὰ φύσιν ἐστὶ κινητὰ ἐπὶ τῶν τριῶν κατηγοριῶν. id. ib.

255a 29. ὁ Ἀλέξανδρος τοὺς κατὰ φύσιν τοῖς σώμασι τόπους ἐνεργείας αὐτῶν εἰρῆσθαί φησι, τουτέστι τελειότητας· τότε γὰρ αὐτῷ δοκεῖ, φησίν, ἕκαστον τῶν σωμάτων ἐνεργείᾳ βαρὺ ἢ κοῦφον εἶναι, ὅταν ἐν τῷ οἰκείῳ τόπῳ ᾖ... εἰ μὴ πλανῶμαι, καὶ κατ' αὐτὸν οὐχὶ ὁ τόπος ὁ οἰκεῖός ἐστιν ἡ οἰκεία ἐνέργεια, ὡς ἤρξατο λέγειν, ἀλλ' ἡ ἐπὶ τὸν τόπον τὸν οἰκεῖον κίνησις. id. f. 281.

255a 28. τὸ δὴ πῦρ καὶ ἕκαστον τῶν ἁπλῶν σωμάτων κινοῦνται μέν, ὅταν κινῶνται, πάντως ὑπ' ἄλλων, ἀλλὰ βίᾳ μέν, ὅταν παρὰ φύσιν καὶ ἐφ' ὃ μὴ πεφύκασιν, φύσει δέ, ὅταν εἰς τοὺς οἰκείους τόπους καὶ ἐφ' οὓς πεφύκασι φέρεσθαι. ἡ δὲ εἰς τὸν κατὰ φύσιν τόπον φορὰ οὐδὲν ἄλλο ἐστὶν ἢ δυνάμεως ἐνέργεια καὶ τελειότης, ἣν ἕκαστον εἶχε πρὸ τοῦ κινεῖσθαι. Themist. f. 60.

255a 31. καὶ τοῦτο αἴτιόν ἐστι τοῦ μὴ φανερὸν εἶναι τὸ νῦν ζητούμενον, ὑπὸ τίνος τὰ τοιαῦτα κινεῖται, οἷον τὸ πῦρ ἄνω καὶ ἡ γῆ κάτω. δεῖ μὲν γὰρ τὸ ὑπό τινος κινούμενον αὐτὸ μὲν κινητὸν θεῖναι καὶ δυνάμει, ὑφ' οὗ δὲ κινεῖται κινητικόν τε καὶ ἐνεργείᾳ· ἀδήλου δὲ ὄντος ἐν τῷ πυρὶ καὶ τῇ γῇ τοῦ δυνάμει διὰ τὸ πλεοναχῶς λέγεσθαι τὸ δυνάμει, ἄδηλον καὶ τὸ κινητικὸν αὐτοῦ ἐνεργείᾳ ὄν. Simpl. f. 281.

255a 35. τὸ "ἐνίοτε" ἐν τισὶ μὲν ἀντιγράφοις μηδὲ προσκεῖσθαί φησιν ὁ Ἀλέξανδρος. καὶ προσκείμενον δὲ ἀληθείας ἀσφαλοῦς ἐνδεικτικόν ἐστι, πρῶτον μὲν ὅτι κἂν ἅμα ᾖ τὸ ποιητικὸν τῷ παθητικῷ, εἰ μὴ τελέως ἐνεργείᾳ ᾖ τὸ ποιητικόν, ὥστε καὶ τὴν ἕξιν ἔχειν καὶ ἀνεμποδίστως ἐνεργεῖν, οὐ γίνεται ἐνεργείᾳ τὸ δυνατόν. τοιγαροῦν καὶ αὐτὸς τὸ ἐνίοτε ἐξηγούμενος "ὅταν δέ" φησιν "οὕτως ἔχῃ, ἂν μήτι κωλύῃ, ἐνεργεῖ καὶ θεωρεῖ." ἔπειτα ἐπὶ μὲν τῶν σωμάτων καὶ σωματικῶν παθῶν ἀρκεῖ τὸ γειτνιάσαι καὶ ἅμα γενέσθαι τὸ ποιητικὸν τῷ παθητικῷ πρὸς τὸ γενέσθαι ἐνεργείᾳ τὸ δυνατόν, ἐπὶ δὲ τῶν μαθήσεων καὶ διδασκαλιῶν οὐκ αὔταρκες τὸ ἅμα γενέσθαι τὸ διδάσκον καὶ τὸ μανθάνον πρὸς τὸ τὸ μὲν διδάξαι τὸ δὲ μαθεῖν, εἰ μὴ καὶ προαίρεσις εἴη καὶ χρόνος. ὥστε χρεία τῆς τοῦ "ἐνίοτε" προσθήκης. id. f. 281 *b*.

255b 5. εἰ γὰρ ὑπὸ μηδενὸς κωλυόμενον μὴ ἐνεργοίη, εἴη ἂν ἐν ἀντιφάσει καὶ οὐχ ἁπλῶς ἐν ἀγνοίᾳ, ὡς γράφει ὁ Ἀλέξανδρος... εἰ μέντοι εἴη γεγραμμένον, ὡς ἐν τοῖς πλείστοις ἀντιγράφοις, "καὶ ἔσται ἐν τῇ ἀντιφάσει καὶ ἀγνοίᾳ," τὸ αὐτὸ μέν πως ἐστὶ τὸ λεγόμενον, λέγει δὲ ὅτι ὁ τὴν ἕξιν ἔχων καὶ εἰδὼς κατ' αὐτήν, μηδενὸς δὲ κωλύοντος μὴ ἐνεργῶν, ἔσται ἐν τῇ ἀντιφάσει, διότι καὶ ἐν ἀγνοίᾳ ἐστὶ καὶ ἐν τῷ εἰδέναι. οἶδεν δὲ καὶ ταύτην τὴν γραφὴν ὁ Ἀλέξανδρος. id. ib.

ὁ γὰρ μανθάνων, ὅταν μάθῃ, θεωρεῖ παραχρῆμα, εἰ μή τι ἕτερον ἐμποδίσειεν, οἷον προαίρεσις ἢ ἀσχολία. ὥσπερ οὖν αἴτιος τῷ μανθάνοντι τῆς θεωρίας ὁ ποιήσας οἷόν τε θεωρεῖν, οὕτως αἴτιος τῷ κούφῳ τοῦ ἄνω φέρεσθαι ἐκ τοῦ κάτω ὁ ποιήσας αὐτὸ κοῦφον ἐκ βαρέος. ἔστι δὲ ἄλλως μὲν δυνάμει κοῦφον τὸ ξύλον, ὅτι δύναται εἰς πῦρ μεταβάλλειν, ἄλλως δὲ δυνάμει τὸ πῦρ, ὅτι δύναται ἤδη φέρεσθαι ἄνω, ὥσπερ ἄλλως μὲν δυνάμει μουσικὸς ὁ μαθεῖν οἷός τε τὴν ἐπιστήμην, ἄλλως δὲ ὁ ἔχων μὲν ἤδη, μὴ χρώμενος δέ. καὶ ἔστιν ἐν μεθορίῳ τοῦ τε ἁπλῶς δυνάμει καὶ τοῦ ἁπλῶς ἐνεργείᾳ, καθάπερ ὁ τὴν ἕξιν ἔχων τῆς μουσικῆς τοῦ τε μήπω μαθόντος καὶ τοῦ χρωμένου. τὸ μὲν δὴ ἐκ τῆς πρώτης ἐκείνης δυνάμεως μεταβάλλειν πάντως ὑπ' ἄλλου καὶ ἔξωθεν· τὸ γὰρ πῦρ οὐχ ὑφ' ἑαυτοῦ γίνεται ἀλλ' ὑπ' ἄλλου· ὅταν δὲ μεταβάλῃ καὶ λάβῃ τὴν ἕξιν ἣν εἶχε δυνάμει, ὑπὸ τοῦ κατ' ἐνέργειαν αὐτὴν κεκτημένου, ἔστι μὲν καὶ τότε δυνάμει κοῦφον, ἂν μὴ ἐνεργῇ, ἀλλὰ τελειοτέρα αὕτη ἡ δύναμις καὶ εὐθὺς ἔχουσα ἑπομένην τὴν ἐνέργειαν, εἴπερ μηδὲν ἔξωθεν κωλύει... τὸ τοίνυν αἴτιον τοῦ τὴν πρώτην δύναμιν εἰς τὴν δευτέραν μεταβάλλειν αἴτιον εὐθὺς δευτέρως τῆς ἐνεργείας. Themist. f. 60.

255b 9. τὸ "τοῦτο γὰρ δυνάμει πρῶτον καὶ ἤδη κοῦφον" ὁ Ἀλέξανδρος ἐπὶ τοῦ ἀτελοῦς δυνάμει καὶ κατ' ἐνέργειαν βαρέος ἀκούει. τὸ γὰρ τοιοῦτο φησὶ καὶ οὕτως ἔχον ὡς ἐνεργείᾳ ἔτι βαρὺ εἶναι, κατὰ τὴν πρώτην ῥηθεῖσαν δύναμιν δυνάμει κοῦφόν ἐστι, μεταβληθὲν δὲ καὶ γενόμενον κοῦφον εὐθὺς ἐνεργήσει τὴν τοῦ κούφου ἐνέργειαν. ὁ δέ γε Ἀριστοτέλης τὸ "καὶ ἤδη κοῦφον" οὐ περὶ τοῦ κατ' ἐνέργειαν μὲν βαρέος δυνάμει δὲ κούφου, κατὰ τὸ ἀτελὲς δυνάμει, δοκεῖ μοι λέγειν· οὐ γὰρ ἁρμόττει ἐκείνῳ τὸ ἤδη κοῦφον, ἀλλὰ τῷ κατ' ἐνέργειαν ἤδη γενομένῳ κούφῳ. ἀλλ' οὐδὲ τὸ ἐπαχθὲν τὸ "καὶ ἐνεργήσει γε εὐθέως, ἂν μή τι κωλύῃ," τῷ ἀτελεῖ δυνάμει ἁρμόττει, ἀλλὰ τῷ κατὰ τὴν ἕξιν. εἰ τοίνυν περὶ τοῦ αὐτοῦ εἴρηται τὸ ὅλον τοῦτο "τοῦτο γὰρ δυνάμει πρῶτον καὶ ἤδη κοῦφον, καὶ ἐνεργήσει εὐθύς, ἂν μήτι κωλύῃ," τὸ δὲ ἤδη κοῦφον καὶ τὸ ἐνεργήσει εὐθὺς τῷ τελειοτέρῳ δυνάμει τῷ κατὰ τὴν ἕξιν προσήκει, ἀνάγκη καὶ τὸ "τοῦτο γὰρ δυνάμει πρῶτον" ἐπὶ τοῦ αὐτοῦ ἀκούειν, οὐ τὴν κατὰ γένεσιν τάξιν δηλοῦντος τοῦ πρώτου, ἐφ' ἧς πρῶτόν ἐστι τὸ ἀτελέστερον, ἀλλὰ τὴν τελειότητα· τελειότερον γὰρ τὸ κατὰ τὴν ἕξιν δυνάμει τοῦ κατὰ τὴν ἐπιτηδειότητα. Simpl. f. 281 *b*.

265b 13. δύναται, φησὶν Ἀλέξανδρος, τὸ "καὶ τοῦτο ζητεῖται" οὐχ ὡς νῦν ἀπορηθὲν μόνον ἀλλ' ὡς καὶ καθόλου ζητούμενον εἰρῆσθαι. ζητεῖται γὰρ ὄντως τί ποτέ ἐστιν αἴτιον τῆς ἐπὶ τοὺς οἰκείους τόπους φορᾶς τοῖς σώμασιν, εὕρηται δὲ τὸ αἴτιον, ὅτι πέφυκε μέν που εἶναι· τοῦτο

γένης παρὼν ἀνασπάς ἐβάδισεν, τοῦτο ἐκεῖνο τὸ τοῦ Ἀριστοτέλους συμβουλεύων, ἐν οἷς ἔχομεν αὐτόπιστον γνῶσιν, μὴ δεῖσθαι περινοίας λογικῆς. id. f. 278 *b*.

254 b 6. χρὴ ἐφιστάνειν ὅτι καὶ ἄλλα δύο τμήματα δυνατὸν ἦν ἐκ τῆς διαιρέσεως ἀναφαίνεσθαι, διχῇ τέμνοντα τὰ ὄντα, τῶν μὲν ἐπαμφοτεριζόντων καὶ ποτὲ μὲν κινουμένων ποτὲ δὲ ἠρεμούντων, τῶν δὲ λοιπῶν ἢ ἀεὶ κινουμένων ἢ ἀεὶ ἠρεμούντων. καὶ ὅ γε Εὔδημος παραφράζων σχεδὸν καὶ αὐτὰς τὰς Ἀριστοτέλους, τίθησι καὶ ταῦτα τὰ τμήματα συντόμως, λέγων ἢ πάντα ἐπαμφοτερίζει, ἢ τινὰ αὐτῶν, τὰ δὲ λοιπὰ κινεῖται ἢ ἠρεμεῖ. δῆλον δὲ ὅτι τῆς τριχῇ ταύτης διαιρέσεως δεικνυμένης ἀληθοῦς, καὶ τὰ νῦν διχῇ διαιρεθέντα ἐλέγχεται. id. f. 279.

254 b 7. πρὸς τὴν ἀπόδειξιν τοῦ τὰ μὲν ἀεὶ ἀκίνητα εἶναι (ὅπερ νῦν αὐτὸς ἀεὶ ἠρεμεῖν εἶπεν, οὐ κυρίως τοῦ ἠρεμεῖν ἐπὶ τῶν ἀεὶ ἀκινήτων λεγομένου) τὰ δὲ ἀεὶ κινούμενα, τὰ δὲ ποτὲ μὲν ἠρεμοῦντα ποτὲ δὲ κινούμενα, διαιρεῖ τά τε κινούμενα καὶ κινοῦντα εἴς τε τὰ καθ' αὑτὰ κινοῦντά τε καὶ κινούμενα καὶ εἰς τὰ κατὰ συμβεβηκός· ὅτι γὰρ καὶ κατὰ συμβεβηκὸς κινεῖ τινὰ καὶ κινεῖται, δέδεικται πρότερον. τῇ δὲ κατὰ συμβεβηκὸς κινήσει νῦν ὑποτάσσει καὶ τὴν κατὰ μόριον, ὅταν μορίου τινὸς αὐτῶν κινοῦντος ἢ κινουμένου τὰ ὅλα κινεῖν ἢ κινεῖσθαι λέγηται. καίτοι πρότερον ἐν τῇ τῶν κινούντων τε καὶ κινουμένων διαιρέσει τὰ κατὰ μόριον ταῦτα κινοῦντά τε καὶ κινούμενα ἀντιδιεῖλε τοῖς τε καθ' αὑτὸ καὶ τοῖς κατὰ συμβεβηκός· ἀντίκειται γὰρ τοῖς μὲν κατὰ μόριον κινοῦσιν ἢ κινουμένοις, τουτέστι τοῖς κατ' ἄλλο, τὰ πρώτως, τοῖς δὲ κατὰ συμβεβηκὸς τὰ καθ' αὑτό. νῦν μέντοι πᾶν ὃ μὴ κυρίως καὶ πρώτως καὶ καθ' αὑτὸ κινεῖ καὶ κινεῖται, κατὰ συμβεβηκὸς ὀνομάζει. διελὼν δὲ οὕτως τὴν πρώτην, τὰ μὲν κατὰ συμβεβηκὸς παρῆκεν ὡς οὐδὲν αὐτῷ συντελοῦντα πρὸς τὴν τῶν προκειμένων ζήτησιν, καὶ ὅτι τὰ οὕτω κινοῦντα καὶ κινούμενα καὶ αὐτὰ τὴν ἀναφορὰν ἐπὶ τὰ καθ' αὑτὰ ἔχει. id. ib.

254 b 17. κινεῖται δὲ καὶ τὰ σώματα τῶν ζῴων πολλάκις παρὰ φύσιν τὴν ἑαυτῶν· βαρέα γὰρ ὄντα καὶ γεηρὰ κινεῖται ἄνω πηδώντων ἢ ἁλλομένων τῶν ζῴων. τὸ μὲν δὴ ζῷον οὐδέποτε παρὰ φύσιν κινεῖται (ἐν ἑαυτῷ γὰρ ἔχει τὴν ἀρχὴν καὶ τῆς τοιαύτης κινήσεως), τὸ σῶμα δὲ παρὰ φύσιν· οὐ γὰρ ᾗ σῶμα, οὐδ' ᾗ βαρύ. ὅσα μὲν δὴ παρὰ φύσιν κινεῖται, δῆλον εὐθὺς ὅτι κινεῖται ὑπό τινος· ὑπ' ἄλλου γὰρ βιαζομένου τὴν φύσιν, ἐπεὶ οὐδ' ἂν παρὰ φύσιν ἐκινεῖτο, εἰ μὴ ὑπ' ἄλλου. ὅσα δὲ κατὰ φύσιν, ἐπὶ τούτων ἀμφισβητεῖται εἰ πάντα ὑπό τινος κινεῖται· διὰ τοῦτο γὰρ κινεῖσθαι δοκεῖ κατὰ φύσιν, ὅτι ὑφ' ἑαυτῶν καὶ οὐχ ὑπ' ἄλλου μηδὲ ἔξωθεν. ἐπὶ μὲν τοίνυν τῶν ἐμψύχων φανερὸν τὸ ὑπό τινος ταῦτα κινεῖσθαι. εἰ γὰρ καὶ μὴ ὑπ' ἄλλου μηδὲ ἔξωθεν, ἀλλ' οὖν γε ἐν ἑαυτοῖς ἐστίν· ἕτερον μὲν γὰρ τὸ κινοῦν, ἕτερον δὲ τὸ κινούμενον. καὶ οὐ τοῦτο ἀμφισβητοῦσιν, εἰ μὴ ὑπό τινος κινεῖται (κινεῖται γὰρ ὑπὸ ψυχῆς), ἀλλ' ἡ ζήτησις, πῶς δεῖ λαβεῖν ἐν αὐτοῖς τὸ κινοῦν καὶ τὸ κινούμενον. ἐῴκει γάρ, ὥσπερ ἐν τοῖς πλοίοις καὶ τοῖς μὴ φύσει συνεστάμενοις, οὕτω καὶ ἐν τοῖς ζῴοις εἶναι διῃρημένον τὸ κινοῦν καὶ τὸ κινούμενον. Themist. f. 59 *b*.

254 b 24. εἰπὼν ὅτι καὶ ἐν τοῖς ὑπ' ἄλλων κινουμένοις φανερόν ἐστι τό τε κινοῦν καὶ τὸ κινούμενον καὶ ἐν τοῖς ὑφ' ἑαυτῶν, τουτέστιν ἐν τοῖς ζῴοις, εἰπὼν δὲ ἔτι πρότερον τὰ μὲν ὑφ' ἑαυτῶν κινούμενα πάντα φύσει κινεῖσθαι, τῶν δὲ ὑπ' ἄλλων κινουμένων τὰ μὲν φύσει τὰ δὲ βίᾳ καὶ παρὰ φύσιν, καὶ περὶ μὲν τῶν ὑπ' ἄλλων βίᾳ κινουμένων εἰπὼν τίνα τέ ἐστι καὶ ὅτι φανερὸν ἔχει τό τε κινοῦν καὶ τὸ κινούμενον, τὸ λοιπὸν ἀπορεῖσθαί φησι τῆς διαιρέσεως ταύτης. λέγει δὲ τῶν ὑπ' ἄλλων κινουμένων τὰ φύσει καὶ κατὰ φύσιν κινούμενα· ταῦτα γὰρ μόνα ἀπορίαν παρέχειν φησὶν ὑπὸ τίνος κινεῖται... ἄπορον δὲ ἐπὶ τούτων ἐστί, διότι καὶ τὸ ὑφ' ἑτέρου κινεῖσθαι αὐτὰ τὴν κατὰ φύσιν κίνησιν ἄτοπον δοκεῖ, εἴπερ ἐν ἑαυτοῖς ἔχειν λέγεται τὴν τῆς κινήσεως ἀρχήν· διὰ τοῦτο γὰρ καὶ τὰ ζῷα ὑφ' ἑαυτῶν ἐλέγετο κινεῖσθαι, καὶ τὸ ὑφ' ἑαυτῶν αὐτὰ φάναι κινεῖσθαι ἀδύνατόν τι λέγειν ἐστίν. καὶ δείξας τοῦτο ἀδύνατον, ἔχει λοιπὸν ὅτι ὑπ' ἄλλου κινεῖται, καὶ ζητεῖ τὸ κινοῦν αὐτὰ τὴν κατὰ φύσιν κίνησιν, ἄλλο παρ' αὐτὰ ὄν. ὅτι δὲ ἀδύνατον ὑφ' ἑαυτῶν κινεῖσθαι ταῦτα δείκνυσι διὰ πλειόνων ἐπιχειρημάτων. ὧν τὸ μὲν πρῶτον, ὅτι ὃ ἐξ ἑαυτοῦ κινεῖται ζωτικόν ἐστιν· τὸ γὰρ ἐξ ἑαυτοῦ κινούμενον ζῆν πάντες λέγομεν, ὡς καὶ ὁ Πλάτων ἐν τῷ δεκάτῳ τῶν Νόμων φησὶν (p. 895) καὶ ἐν τῷ Φαίδρῳ (p. 245)... δεύτερον δὲ ἐπάγει πρὸς τοῦτο, ὅτι εἰ κινεῖν ἑαυτὸ ἐδύνατο, καὶ ἱστάνειν ἂν ἐδύνατο ἑαυτό.... ἀλλὰ καὶ τὰς ἐναντίας κινηθῆναι κινήσεις, ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ καὶ ἔμπαλιν, καὶ ἐπὶ τῶν ἄλλων τοπικῶν διαστάσεων ὁμοίως, ὅπερ αὐτόθεν μὲν οὐ προσέθεικεν ὁ Ἀριστοτέλης, ἐνεδείξατο δὲ αὐτὸ ἐπὶ τοῦ πυρὸς εἰπὼν "ὥστε εἰ ἐπ' αὐτῷ τὸ ἄνω φέρεσθαι τῷ πυρί, δηλονότι καὶ τὸ κάτω" (p. 255 *a* 9). καὶ διὰ τῶν ἑξῆς δὲ τὸ αὐτὸ ἐνεδείξατο εἰπὼν "ἄλογον δὲ καὶ τὸ μίαν μόνην κίνησιν κινεῖσθαι ὑφ' ἑαυτῶν, εἴγε ἑαυτὰ κινοῦσιν," ὡς τῶν ἐξ ἑαυτῶν κινουμένων μὴ μίαν καὶ ἁπλῆν ἀλλὰ πλείους καὶ τὰς ἐναντίας δυναμένων κινεῖσθαι. τὸ δὲ "ἄλογον δέ," φησὶν Ἀλέξανδρος, ἀντὶ τοῦ ἄλογον γὰρ εἴρηται, ὡς τὴν αἰτίαν ἐπάγον τοῦ πορρηθέντος. εἶτα τρίτον ἐπιχείρημα ἐπάγει, δεικνὺς ὅτι τὰ τῶν στοιχείων σώματα τὰς κατὰ φύσιν κινήσεις οὐ κινεῖται ὑφ' ἑαυτῶν... καὶ προσέθηκεν ὅτι οὐδὲ ἄλλο συνεχὲς οὐδέν, εἰκότως, εἴπερ καὶ τὰ στοιχεῖα διὰ τὸ συνεχῆ εἶναι ἀπαθῆ ὑφ' ἑαυτῶν ἐστίν. τὰ γὰρ ποιοῦντα καὶ πάσχοντα οὐ συνεχῆ εἶναι ἀλλ' ἅπτεσθαι ἀλλήλων ἀνάγκη, ὡς ἔδειξεν ἐν τῷ πρὸ τούτου βιβλίῳ· κεχώρισται γὰρ τῇ οὐσίᾳ τὸ ποιοῦν τοῦ πάσχοντος, εἴπερ τὸ μὲν δυνάμει τὸ δὲ ἐνεργείᾳ ἐστίν... πῶς οὖν, φησὶν ὁ Ἀλέξανδρος, τὰ ζῷα ἑαυτὰ κινεῖ συνεχῆ ὄντα; καὶ λύει προχείρως, ὅτι τὸ κινοῦν ἐν τοῖς ζῴοις οὐκ ἔστι συνεχὲς τῷ κινουμένῳ· οὔτε γὰρ σῶμα ἡ ψυχὴ οὔτε ποσὸν ὅλως· διὸ οὐδὲ ἅπτεται ἀλλήλων. καὶ εἶπε καὶ ὁ Ἀριστοτέλης πρὸ ὀλίγου ὅτι ὥσπερ ἐν τοῖς πλοίοις, οὕτω καὶ ἐν τοῖς ζῴοις διῃρημένον ἐστὶ φύσει τὸ κινοῦν καὶ τὸ κινούμενον... καλῶς δὲ οἶμαι ἐπέβαλεν ὁ Ἀλέξανδρος ὅτι τὸ "ἀλλὰ συμβαίνει καὶ ταῦτα ὑπό τινος ἀεὶ κινεῖσθαι" (p. 255 *a* 18) δύναται μὴ περὶ τῶν ἐμψύχων εἰρηκέναι, ἀλλὰ περὶ τῶν κατὰ φύσιν κινουμένων· καὶ γὰρ καὶ ταῦτα δειχθήσεται ὑπό τινος τὴν κατὰ φύσιν κίνησιν κινούμενα, κἂν μὴ ὁρᾶται τὸ κινοῦν αὐτὰ ταύτην τὴν κίνησιν. Simpl. f. 280.

ἐναντίον, ἀφ' οὗ καὶ ὀνομάζονται, γένεσις μὲν ἀπὸ τοῦ ὄντος, αὔξησις δὲ ἀπὸ τῆς προσθέσεως καὶ λεύκανσις ἀπὸ τοῦ λευκοῦ καὶ ἀναφορὰ ἀπὸ τοῦ ἄνω. ὅτι δὲ μὴ ἔστι συνεχὴς ἡ κατὰ τὴν ἀλλοίωσιν κίνησις, δείκνυσι καὶ ἐκ τῆς ἐναργείας· ὁ γὰρ λίθος ἐν πολλῷ χρόνῳ οὔτε σκληρότερος γίνεται οὔτε μαλακώτερος. ἀλλ' οὐδὲ ἑκάστης ἡμέρας ἀπορρεῖ τι αὐτοῦ, ὥς φησιν Εὔδημος· ἐν πολλοῖς γὰρ ἔτεσι πλείων ἔσται ἡ ἀπόρροια τοῦ σώματος ἀφ' οὗ ἀπορρεῖ. καίτοι διαμένοντά φησι φαίνεται πολλὰ καὶ σμικρά, παμπλήθη χρόνον ἄψαυστα κείμενα. Simpl. f. 277.

254a 9. εἰ γὰρ μὴ ἔστι τὸ ποτὲ μὲν ἠρεμεῖν ποτὲ δὲ κινεῖσθαι, οὔτε ἡ αὔξησις οὔτε ἡ βίαιος ἔσται κίνησις, ἀλλὰ καὶ γένεσις ἀναιρεθήσεται καὶ φθορά, καὶ σχεδὸν πᾶσα κίνησις, καὶ ἡ κατὰ φύσιν καὶ ἡ παρὰ φύσιν, ὡς μαθησόμεθα... πῶς δὲ ἡ αὔξησις ἐκ τῆς τοιαύτης θέσεως ἀναιρεῖται, δοκεῖ παραλιμπάνειν. καλῶς δὲ ὁ Ἀλέξανδρος καὶ τοῦτο διὰ τοῦ αὐτοῦ δείκνυσθαί φησιν. οὐ γὰρ ἔσται αὔξησις, εἰ μὴ κινήσεται παρὰ φύσιν τὸ ἠρεμοῦν πρότερον· ἡ γὰρ τροφὴ ἠρεμήσασα πρότερον, εἶτα ἀλλοιωθεῖσα, ἀναφέρεται εἰς τοὺς ἄνω τόπους καὶ τοὺς πλαγίους, εἰς οὓς οὐ πέφυκε φέρεσθαι κατὰ φύσιν, καὶ ἐξομοιωθεῖσα προσκρίνεται. καὶ ὅταν πλείων ᾖ τοῦ ἀπορρεύσαντος, αὔξεσθαι ποιεῖ τὸ δεξάμενον. ἔστι δὲ καὶ ἀπὸ τῶν πρότερον ῥηθέντων δεικνύναι ὅτι εἰ μὴ ἔστι μετὰ κίνησιν ἠρεμεῖν, οὐκ ἔστιν αὔξεσθαι... τὸ "γένεσιν οὖν καὶ φθορὰν ἀναιρεῖ οὗτος ὁ λόγος" δύναται ὡς ἴσον εἰρῆσθαι τῷ ἔτι γένεσιν καὶ φθορὰν ἀναιρεῖ οὗτος ὁ λόγος ὁ λέγων μὴ μεταβάλλειν ἐξ ἠρεμίας εἰς κίνησιν καὶ ἐκ κινήσεως εἰς ἠρεμίαν. ἔσται γὰρ τό τε γινόμενον πᾶν ἐπ' ἄπειρον γινόμενον, καὶ τὸ φθειρόμενον ὁμοίως. οὕτω δ' ἂν ἀδύνατον εἴη ἢ γενέσθαι τι ἢ φθαρῆναι. εἰ δὲ γένεσιν καὶ φθορὰν οὗτος ὁ λόγος ἀναιρεῖ, καὶ πᾶσαν ἂν εἴη κίνησιν ἀναιρῶν, ἵνα μὴ καθ' ἕκαστον εἶδος τῆς κινήσεως ἤτοι τῆς μεταβολῆς διατρίβωμεν· τὸ γὰρ κινεῖσθαι κοινῶς λεγόμενον σχεδὸν πᾶσι γίνεσθαι καὶ φθείρεσθαι δοκεῖ. οὐ γὰρ δὴ τοῦτο ἦν ἀκριβῶς εἰπεῖν, ὅτι πᾶσιν οὕτω δοκεῖ. τὴν δὲ αἰτίαν τοῦ πᾶσι σχεδὸν δοκοῦντος, ἢ τοῦ τὸ κινεῖσθαι σχεδὸν γίνεσθαί τι καὶ φθείρεσθαι εἶναι (δύναται γὰρ καὶ οὕτω τὸ σχεδὸν συνταχθῆναι), αὐτὸς ἐπάγει κοινὴν ἐπὶ πάσης κινήσεως. id. f. 277 b.

τὰ γὰρ παρὰ φύσιν κινούμενα ἐκ τῶν ἰδίων τόπων κινεῖται, ἐν οἷς πρότερον ἠρεμεῖ. ἀλλ' οὔτε τὸ γιγνόμενον ἀεὶ γίγνεται, ἀλλὰ παύεται ταύτης τῆς μεταβολῆς, ὅταν γένηται, οὔτε τὸ φθειρόμενον φθείρεται, ἀλλ' ἔστι πέρας αὐτοῦ τῆς φθορᾶς. Themist. f. 59 b.

254a 17. μετὰ δὲ τὰ νῦν διορισθέντα, φησίν, ἀρχὴν πάλιν ποιητέον τὴν αὐτὴν ἥνπερ ἠρξάμεθα πρότερον, καὶ τὴν διαίρεσιν τὴν αὐτὴν ἐπαναληπτέον, ἣν ἐκτίθεται μὲν σαφῶς, ἐλλείπουσαν δὲ ἑνὶ τμήματι τῷ προσεχῶς ἐλεγχθέντι καὶ διὰ τοῦτο ἴσως νῦν παραλειφθέντι. τοῦτο δὲ ἦν τὸ λέγον τὰ μὲν ἀεὶ κινεῖσθαι τῶν ὄντων τὰ δὲ ἠρεμεῖν, τὰ δὲ ποτὲ μὲν κινούμενα καὶ ποτὲ ἠρεμοῦντα μὴ εἶναι. δύναται δὲ καὶ διὰ τοῦτο παραλελεῖφθαι τοῦτο νῦν, ὅτι ὁμοίως ἀδύνατόν ἐστι τῷ πάντα ἀεὶ κινεῖσθαι ἢ πάντα ἀεὶ ἠρεμεῖν, καὶ ὁμοίως ἐκείνοις ἀναιρεῖται, ὡς προελθὼν ἐρεῖ. Simpl. f. 278.

254a 22. ὅτι γὰρ τούτου τι ἔσται καὶ σύμφωνον μόνον πρὸς τὴν ἀλήθειαν, δεικτέον ἡμῖν πάλιν ἀπ' ἄλλης ἀρχῆς ἀρξαμένοις. οὕτως γὰρ ἂν καὶ τὴν κίνησιν ἀΐδιον εἶναι ἀκριβέστερον πιστωσαίμεθα. Themist. f. 59 b.

254a 25. νῦν πάλιν ἀναλαβὼν τὸν πρὸς ἐκείνους λόγον προστίθησιν ὅτι καὶ τοῖς ἀναιροῦσι τὴν κίνησιν ἕπεται τὸ κίνησιν εἶναι. κἂν γὰρ ἀληθὲς ᾖ ὅ φασιν, ὅτι τὸ ἓν ἄπειρόν τε καὶ ἀκίνητόν ἐστιν, ὡς ἱστόρησεν ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας Μέλισσον τίθεσθαι, ἀλλ' οὐ φαίνεσθαί γε τοῦτο οὕτως ἔχειν κατὰ τὴν αἴσθησιν, ἀλλὰ πολλὰ τῶν ὄντων κινεῖσθαι δοκεῖ. εἰ δὲ ἔστι δόξα ψευδὴς καὶ φαντασία, δῆλον ὡς καὶ κίνησις ἔστιν... προσέθηκε τὸ "ἢ ὅλως δόξα·" οὐ γὰρ ἡ ψευδὴς δόξα καὶ φαντασία κινήσεις, διότι ψευδεῖς. πᾶσα γὰρ φαντασία καὶ δόξα κίνησις... οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος καὶ αὐταῖς τούτοις τοῖς ῥήμασιν ἐξηγήσατο τὰ προκείμενα. ἐπιστάσεως δὲ οἶμαι ἄξιόν ἐστι, πῶς εἰ κατὰ ἀλήθειαν οὕτως ἔχει ὥστε ἀκίνητον εἶναι τὸ ὄν, οὐ φαίνεται κατὰ τὴν αἴσθησιν οὕτως, ἀλλὰ κινεῖται πολλὰ τῶν ὄντων. πῶς γὰρ τῇ ἀληθείᾳ ἡ αἴσθησις ἡ ἀληθὴς ἀντιφθέγγεται; ἔτι δὲ εἰ κατὰ ἀλήθειαν οὕτως ἔχει ὡς λέγουσι, πῶς ψευδής ἐστι δόξα; ὡς γὰρ τοῖς προτέροις ἑπόμενον εἰρῆσθαι δοκεῖ τὸ "εἴπερ οὖν ἐστὶ δόξα ψευδής." μή ποτε οὖν τοῖς μὲν περὶ Μέλισσον ἀληθῶς λέγειν ἀκίνητον τὸ ὂν συγχωρεῖ, τὴν δὲ φαινομένην τῇ αἰσθήσει κίνησιν ψευδῶς ὑποθέμενος δοξάζεσθαι ὡς ἀκόλουθον τῷ ἀληθὲς εἶναι τὸ μὴ κινεῖσθαι τὸ ὄν· εἰ γὰρ τοῦτο ἀληθὲς ψεῦδος τὸ κινεῖσθαι, περιτρέπει τὸν λόγον αὐτοῖς, συνάγων ὅτι εἰ ἀληθὲς τὸ ἀκίνητον εἶναι τὸ ὄν, ἔστι κίνησις. καὶ οἶμαι τοιαύτην εἶναί τινα τὴν τοῦ λόγου συναγωγήν. εἰ ἀληθὲς τὸ ἀκίνητον εἶναι τὸ ἕν, ψευδής ἐστι δόξα τῶν οἰομένων φαίνεσθαι κατὰ τὴν αἴσθησιν πολλὰ τῶν ὄντων κινούμενα. εἰ δὲ ἔστι ψευδὴς δόξα, καὶ κατ' ἐκείνους ἔστι δηλονότι τὸ μὴ ὄν. εἰ δὲ ἔστι τὸ μὴ ὄν, ἔστι τὸ κενόν, εἰ δὲ τοῦτο, ἔστι κίνησις. ἀνάπαλιν γὰρ οὗτος ὁ λόγος ὁδεύει τῷ παρ' ἐκείνων ἐρωτωμένῳ. ἐπειδὴ γὰρ τὸ μὴ ὂν ἐν τῷ ὄντι, φησίν, οὐκ ἔστιν, οὐκ ἂν εἴη τὸ κενόν, εἰ δὲ τὸ κενὸν μὴ ἔστιν, οὐκ ἔστι κίνησις· ἀνάγκη γὰρ ἢ διὰ πλήρους ἢ διὰ κενοῦ κινεῖσθαι, τὸ δὲ διὰ πλήρους ἀδύνατον. εἰ οὖν ἔστι ψευδὴς δόξα, ἔστι τὸ μὴ ὄν, εἰ δὲ ἔστι τὸ μὴ ὄν, οὐκ ἀναιρεῖται τὸ μὴ ὄν· τοῦ δὲ κενοῦ ὄντος οὐκ ἀναιρεῖται ἡ κίνησις. εἰς ταύτην δέ με τὴν ἔννοιαν τῆς ἐξηγήσεως ἐπήγαγε τὸ μὴ ἂν μάτην τὸν Ἀριστοτέλη εἰπεῖν "εἴπερ οὖν ἔστι δόξα ψευδής," καὶ τότε ἐπαγαγεῖν τὸ "ἢ ὅλως δόξα." ἀλλὰ πῶς εἰ δόξα καὶ φαντασία ἐστι, καὶ κίνησις ἐστι φυσικὴ καὶ σωματική, περὶ ἧς νῦν ζητοῦμεν; οὐ γὰρ εἰσὶν ἐκεῖναι κινήσεις κατὰ τὸν Ἀριστοτέλη. ταύτην δὲ τὴν ἔνστασιν καλῶς ἔλυσεν ὁ Ἀλέξανδρος εἰπὼν κίνησιν εἶναι τὴν αἴσθησιν, τὴν δὲ φαντασίαν μονὴν τῆς κατ' ἐνέργειαν αἰσθήσεως, καὶ τὴν δόξαν συγκατάθεσιν τῆς φαντασίας. εἰ οὖν ἔστι δόξα, ἔστι φαντασία καὶ ἐνέργεια αἰσθητική, εἰ δὲ αὕτη, καὶ φυσικὴ κίνησις... καὶ ἡ περιτροπὴ τοῦ λόγου ἐκ τῶν κειμένων, πλὴν ὅτι ἀντὶ τῆς ψευδοῦς δόξης τὴν φαντασίαν ὁ Ἀλέξανδρος ἔλαβεν. ἐπιστῆσαι δὲ χρὴ ὅτι σαφῶς ὁ Ἀριστοτέλης εἶπεν ἐν τούτοις ὅτι ἡ φαντασία καὶ ἡ δόξα κινήσεις τινὲς εἶναι δοκοῦσι, καὶ οὐχὶ κινήσεσιν ἀκολουθοῦσιν. εἰ μὴ ἄρα τὸ δοκοῦσι προσκείμενον τὸ κατὰ δόξαν ἄλλων εἰρῆσθαι σημαίνει. Simpl. f. 278.

ἀποδεικνύντος γοῦν, φασί, γυμναστικῶς τινὸς κατὰ τὸν Ζήνωνος λόγον, ἐκ τῆς ἐπ' ἄπειρον διχοτομίας, ὅτι οὐκ ἂν εἴη κίνησις, Διο- 254a 30.

253a 32. πρῶτον τοίνυν εὐθύνει τὸ πρῶτον ἐν τῇ διαιρέσει κείμενον, τὸ πάντα ἠρεμεῖν λέγον, καὶ τέτρασιν ἐπιχειρήμασι συντόμως χρῆται πρὸς τοῦτο. id. ib.

253a 33. ἀρρωστία γάρ ἐστι διανοίας μὴ διακρίνειν τά τε λόγου δεόμενα καὶ τὰ μή· ὑπὲρ ἐνίων γὰρ βέλτιον ἔχομεν ἢ λόγου δεῖσθαι. Themist. f. 59.

253a 34. δεύτερον ὅτι ὁ τὴν κίνησιν ἀναιρῶν δοκεῖ μὲν μέρος τι τῶν ὑπαρχόντων τοῖς φυσικοῖς πράγμασι τὴν κίνησιν ἀναιρεῖν, ἀγνοεῖ δὲ μὴ περὶ μέρους ἀλλὰ περὶ τοῦ ὅλου ἀμφισβητῶν. εἰ γὰρ ἐν τούτῳ ἔχει τὸ εἶναι ἡ φύσις, ἐν τῷ ἀρχὴ κινήσεως τοῖς φυσικοῖς εἶναι, ἀναιρουμένης κινήσεως ἀναιρεῖται ἡ φύσις· ταύτης δὲ ἀναιρουμένης ἀναιρεῖται τὰ φυσικά, οἷς τὸ εἶναι ἐν τούτῳ ἐστίν, ἐν τῷ φύσιν ἔχειν. τρίτον ὅτι οὐ τὴν φύσιν μόνον ἀναιρεῖ καὶ τὰ φυσικὰ ὁ πάντα ἠρεμεῖν λέγων, οὐδὲ πρὸς τὸν φυσικὸν ἐνίσταται μόνον ἀλλὰ καὶ πρὸς τὰς τέχνας πάσας καὶ τὰς ἐπιστήμας τὰς πρακτικάς, δηλονότι τὰς μετὰ κινήσεως ἐνεργούσας... καὶ ἐπιστῆσαι χρὴ καὶ ἐντεῦθεν, ὡς οἶμαι, ὅτι οὐδὲ τοὺς περὶ Παρμενίδην καὶ Μέλισσον πᾶν τὸ ὂν ἀκίνητον νομίζει δεξάζειν ὁ Ἀριστοτέλης, ἀλλὰ τὸ ὄντως ὂν καὶ νοητὸν μόνον. Simpl. f. 275 b.

253b 5. ὑποθέσεις τὰς ἀρχὰς καλεῖν ἔθος ὡς ἄνευ ἀποδείξεως τιθεμένας καὶ ὑποτιθεμένας ταῖς ἐξ αὐτῶν ἀποδείξεσιν· ὁ γὰρ ἀποδεικνὺς τὰς ἀρχὰς ὅτι μὴ ἀρχαί εἰσιν ὁμολογεῖ· ἐκ προτέρων γὰρ αἱ ἀποδείξεις. id. f. 276.

253b 9. πάντα δὲ κινεῖσθαι ἔλεγον οἱ Ἡρακλείτειοι, ὧν καὶ Πλάτων ἐν τῷ Κρατύλῳ τῆς δόξης οὕτως ἀπεμνημόνευσεν. ὁ δὲ Ἀλέξανδρος τὰς ἀτόμους φησί, κατὰ τοὺς τιθεμένους αὐτὰς ἀεὶ κινουμένας, αἰτίας καὶ τοῖς ἐξ αὐτῶν συγκρίμασι γίνεσθαι, κἂν μὴ αἰσθητῶς, καὶ κατὰ τούτους δὲ φησὶ τὸ κενὸν ἀκίνητόν ἐστιν. πρὸς τούτους οὖν φησί, τοὺς πάντα λέγοντας κινεῖσθαι, καίπερ οὐ διορίζοντας ποίαν κίνησιν πάντα λέγουσι κινεῖσθαι, ἢ ἄρα πάσας πάντα, οὐ χαλεπὸν ἀπαντῆσαι, διορίζοντα τὰ τῶν κινήσεων εἴδη, καὶ δεικνύντα ὅτι κατ᾽ οὐδεμίαν δυνατὸν ἀεὶ πάντα κινεῖσθαι... καὶ πρῶτον δείκνυσιν ὅτι οὔτε αὔξεσθαι οἷόν τέ τι συνεχῶς οὔτε πάλιν συνεχῶς μειοῦσθαι, οὔτε συνάπτειν τὴν αὔξησιν τῇ μειώσει, ἀλλ᾽ ἔστι στάσις καὶ ἠρεμία ἐν μέσῳ τοῦ καθ᾽ ἑκατέραν τούτων τῶν κινήσεων κινουμένου· οὔτε γὰρ τὸ αὐξόμενον εἰς τὸ μειοῦσθαι μεταβάλλει οὔτε τὸ μειούμενον εἰς τὸ αὔξεσθαι, ἀλλὰ τὸ μὲν εἰς ἐπίδοσιν τὸ δὲ εἰς φθίσιν. ὅταν οὖν γένηται ἐν ἐκείνοις εἰς ἃ μετέβαλλε, δῆλον ὡς ἵσταται, εἶθ᾽ οὕτως εἰς τὸ μειοῦσθαι μεταβάλλει. δείξει δὲ τοῦτο οὕτως ἔχον ἐν τοῖς ἑξῆς... πρῶτον ἱστορεῖ τινι δόξῃ τὸ λεγόμενον ὑπ᾽ αὐτῶν ὅμοιόν ἐστιν, ἣν δείξας ψευδῆ συναναιρεῖ καὶ τὸ ὑπὸ τούτων λεγόμενον. τὸ γὰρ λέγειν, φησίν, ὅτι κινεῖται μὲν ἀεὶ πάντα, λανθάνει δὲ ἡμᾶς τῷ κατ᾽ ὀλίγον, ὅμοιόν ἐστιν ἐκείνῳ τῷ λόγῳ τῷ περὶ τοῦ τὸν συνεχῆ τοῦ ὕδατος σταλαγμὸν κοιλαίνειν τὴν πέτραν· "πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείη," φησὶν ὁ Χοιρίλος, ὡς ὑφ᾽ ἑκάστου μὲν σταλαγμοῦ μειουμένης τῆς πέτρας, ἀδήλου δὲ ἡμῖν οὔσης τῆς κατ᾽ ὀλίγον μειώσεως. ὁμοίως δὲ καὶ ὑπὸ τῆς ἐκφυομένης ἐν ῥαγάδι τοῦ λίθου συκῆς, εἰ τύχοι, διΐσταταί ποτε ὁ λίθος καὶ ῥήγνυται, ὡς καὶ ἐν τῷ πρὸ τοῦ χρόνῳ παντὶ κατ᾽ ὀλίγον μὲν διϊσταμένου, λανθάνοντος δὲ τῷ κατ᾽ ὀλίγον τὴν ἡμετέραν αἴσθησιν... παραθεὶς οὖν οὕτω τὴν ὁμοίαν δόξαν δείκνυσιν αὐτὴν ψευδῆ, καὶ ὅτι μὴ συνεχής ἥ τε τῆς πέτρας μείωσις καὶ ἡ τοῦ λίθου διάστασις. οὐ γὰρ εἰ σπιθαμὴν ἐν ἐνιαυτῷ διέστησε τὸν λίθον ἡ συκῆ, καὶ τὸ ἐκ τῆς κεγχραμίδος φυὲν ἐν τῇ πρώτῃ ἡμέρᾳ μέρος τι διέστησεν· οὐδὲ εἰ τὴν πέτραν ἐκοίλαναν χίλιοι σταλαγμοί, καὶ ὁ εἷς σταλαγμὸς μέρος τι πάντως ἐκοίλανεν. ἀλλ᾽ οὕτως ἔχει ταῦτα, φησίν, ὥσπερ ἡ νεωλκία· καὶ γὰρ ἐπὶ ταύτης οἱ μὲν ἑκατὸν ἅμα καθέλκουσι τὴν ναῦν, εἷς δὲ ἕκαστος οὐδ᾽ ἂν σαλεύσειε προσελθών... ὥστε καὶ ἐπὶ τῶν αὐξομένων καὶ μειουμένων, κἂν ἐπ᾽ ἄπειρον ᾖ διαιρετὸν τὸ προσιὸν καὶ τὸ ἀπιόν, οὐκ ἀνάγκη κατὰ τὸ συνεχὲς ἀεί τι προστίθεσθαι ἢ ἀφαιρεῖσθαι χωρίς, ἀλλ᾽ ὅλον τι προστίθεταί ποτε καὶ ὅλον ἀφαιρεῖται... φθίσιν δὲ λέγει τὸ ἀπιόν, καθ᾽ ὃ ἡ φθορὰ γίνεται... ἐπιστῆσαι δὲ ἐν τούτοις χρὴ πότερον ἐκείνου μνημονεύει νῦν τοῦ σωρείτου καλουμένου παρὰ τοῖς σοφισταῖς λόγου, ὡς ἐπὶ τῶν καταφερομένων τοῦ ὕδατος ῥανίδων ἐρωτᾶται. εἰ γὰρ ἡ πρώτη μηδὲν ἔδρασεν, φησίν, εἰς τὸ κοιλᾶναι τὴν πέτραν, οὐδὲ ἡ δευτέρα· εἰ δὲ μὴ αὕτη, οὐδὲ ἡ τρίτη, ὥστε οὐδὲ ἡ ἐσχάτη. πῶς οὖν πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείη; τούτου οὖν ἄρα μέμνηται, ὅταν λέγῃ "ὅμοιος ὁ λόγος τῷ περὶ τοῦ τὸν σταλαγμὸν κατατρίβειν," ἢ ἄλλου ἐπὶ ἀθρόας ὕδατος καταφορᾶς ἐρωτωμένου οὕτως· εἰ τὸ τοσόνδε ὕδωρ ἅμα κατενεχθὲν τοσόνδε τῆς πέτρας ἀφεῖλεν, ἆρα καὶ τὸ ἥμισυ αὐτοῦ τὸ ἥμισυ ἀφεῖλε, καὶ ὁ εἷς σταλαγμὸς τὸ ἀνάλογον; οὕτω γὰρ ὁ Ἀλέξανδρος ἀκούσας φαίνεται τοῦ λόγου. id. ib.

253b 13. οὔτε γὰρ αὔξεσθαί τι πέφυκε συνεχῶς οὔτε πάλιν συνεχῶς μειοῦσθαι, οὔτε συνάπτειν τὴν αὔξησιν τῇ μειώσει, ἀλλ᾽ ἔστι στάσις καὶ ἠρεμία ἐν μέσῳ, ἐπεὶ εἰ συνεχὴς ἡ κίνησις ἦν ὑπὸ τῆς αὐξήσεως εἰς τὴν μείωσιν, τὸ αὐξανόμενον ἂν εἰς τὸ μειοῦσθαι μετέβαλλεν. οὔτε εἰ δύο πήχεις ηὔξηται ἐν τοῖς εἴκοσιν ἐνιαυτοῖς, ηὔξηταί τι μόριον τῶν δύο πηχῶν ἐν ὥρᾳ μιᾷ. Themist. f. 59 b.

253b 21. φανερὸν τοίνυν ὡς οὐδὲ ἐπὶ τῶν μειουμένων ἀναγκαῖον ἀεί τι ἀπιέναι, ὅτι διαιρεῖται τὸ μειούμενον εἰς ἄπειρα, ἀλλὰ καὶ ὅλον ποτὲ ἀπιέναι ἐνδέχεται. ὁμοίως δὲ καὶ ἐπ᾽ ἀλλοιώσεως ὁποιασοῦν. οὐ γὰρ εἰ μεριστὸν εἰς ἄπειρον τὸ ἀλλοιούμενον, διὰ τοῦτο καὶ ἡ ἀλλοίωσις, ἀλλ᾽ ἀθρόα πολλάκις γίνεται ἐφ᾽ ὅλου τοῦ μεγέθους, ὥσπερ ἡ πῆξις. ὅλως γὰρ ἀλλοίωσις οὐδεμία συνεχὴς καὶ ἐπ᾽ ἄπειρον· ἐξ ἐναντίου γὰρ πᾶσαι εἰς ἐναντίον. id. ib.

253b 26. ὅτι δὲ τὸ ἀλλοιούμενον οὐκ ἐπ᾽ ἄπειρον συνεχῶς οἷόν τε κινεῖσθαι, ὡς ἔλεγον οἱ πάντα ἀεὶ κινεῖσθαι λέγοντες, δείκνυσι καὶ ἐκ τοῦ ἐξ ἐναντίου εἰς ἐναντίον τὴν μεταβολὴν τοῖς ἀλλοιουμένοις γίνεσθαι, καὶ ἐν χρόνῳ μὲν αὐτῶν γίνεσθαι τὴν μεταβολήν, εἶναι δέ τι ὡρισμένον εἰς ὃ μεταβάλλουσι, καὶ ὅταν εἰς ἐκεῖνο ἔλθωσιν ἵστανται· εἰς τοῦτο γὰρ τέταται ἡ μεταβολή... διὰ δὲ τοῦ εἰπεῖν "ἀνάγκη χρόνον γενέσθαι ἐν ᾧ ὑγιασθήσεται, καὶ μὴ ἐν πέρατι χρόνου," ἔδειξεν ὅτι κίνησίς ἐστιν ἡ ἐκ νόσου εἰς ὑγίειαν μεταβολή· οὐ γὰρ ἀχρόνως γίνεται οὐδὲ ἐν πέρατι χρόνου. οὐ μὴν διὰ τοῦτο ἤδη καὶ ἐπ᾽ ἄπειρον γίνεται. τὸ δὲ ἐπιχείρημα τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁρμόττει μεταβολῶν, εἴπερ πᾶσαι ἐξ ἐναντίου εἰς ἐναντίον γίνονται, καὶ πρὸς τέλος τι σπεύδουσι τὸ

252a 19. ἢ γὰρ ἁπλῶς ἔχειν δεῖ τὰ φυσικά, καὶ οὐχ ὁτὲ μὲν οὕτως ὁτὲ δὲ ἄλλως, οἷον τὸ πῦρ φύσει ἄνω φέρεται καὶ ἡ γῆ κάτω, ἢ τοῦ μὴ ὡσαύτως ἔχειν ἀεὶ λόγον ἀποδοτέον τῷ φυσικῷ. καίτοι οὐδὲ ὅσα ἀεί ἐστιν οὕτως ἢ γίνεται, οὐδὲ ταῦτα ἅπαντα ἄνευ λόγου τε καὶ ἀρχῆς (p. 252 b 1). Themist. f. 58 b.

252a 24. ἀλλ' εἰ μὲν περὶ ἀρχῆς τινὸς ὁ λόγος, δι' ἐπαγωγῆς αὐτὴν (ἐχρῆν) πιστοῦσθαι (τὰς γὰρ ἀρχὰς ἀπὸ τῶν ὑστέρων ἀνάγκη βεβαιοῦσθαι), εἰ δὲ περὶ τῶν μετὰ τὰς ἀρχάς, δι' ἀποδείξεως. Simpl. f. 273.

252a 32. οὐ μὴν ἀρχαὶ καὶ ἀναπόδεικτα, ἀλλ' ἔχει τοῦ εἶναι τοιαῦτα αἰτίας τινὰς καὶ ἀρχάς, ὥσπερ ἐν τοῖς μαθήμασι... διὸ οὐκ ἀποδέχεται Δημόκριτον τὰς περὶ φύσεως αἰτίας εἰς ἀρχὴν ἀνάγοντα ταύτην, ὅτι οὕτω καὶ τὰ πρότερον ἐγίνετο, καὶ μηκέτι ἀξιοῦντα τῶν ἀεὶ ὁμοίως γινομένων ἀρχὴν καὶ αἰτίαν ζητεῖν, καὶ μὴ ἐννοοῦντα ὅτι ἐφ' ὧν μὲν τὸ ἀΐδιον ἀρχή ἐστιν αὐτόπιστος καὶ ἀναπόδεικτος, ἐπὶ τούτων ὀρθῶς ἔχει τὸ μὴ ζητεῖν αἰτίαν τοῦ ἀεὶ οὕτως ἔχοντος, ἐφ' ὧν δὲ οὐκ ἔστιν ἀρχὴ τὸ ἀΐδιον, ἐπὶ τούτων ἀρχὰς καὶ αἰτίας ἀποδοτέον. οὐ γὰρ πᾶν ἀΐδιον ἀρχή, κἂν ἡ ἀρχὴ πάντως καὶ ἀΐδιός ἐστιν. id. ib.

252b 12. ἔοικεν αὕτη ἡ ἔνστασις οὐ τὸ ἀεὶ εἶναι κίνησιν ἀναιρεῖν· τί γὰρ κωλύει πρὸ ἑκάστης μεταβολῆς πεπερασμένης οὔσης εἶναι ἄλλην, καὶ μετὰ ἑκάστην ἄλλην; ἀλλὰ τὸ μίαν εἶναι συνεχῆ καὶ ἀΐδιον κίνησιν ἡ ἔνστασις αὕτη ἐπιχειρεῖ ἀναιρεῖν. id. f. 273 b.

252b 27. εἰ δὲ ἐν τῷ κόσμῳ, φησί, τοῦτο δυνατόν, καὶ ἐν τῷ ἀπείρῳ δυνατόν, ἤτοι τῷ Ἀναξαγόρου, ὡς ἤκουσεν Ἀλέξανδρος, διότι τὸ μῖγμα τὸ ἐκ τῶν ὁμοιομερειῶν ἀπείρων οὐσῶν ἄπειρον ἀνάγκη εἶναι, ἢ τῷ Ἀναξιμένους καὶ Ἀναξιμάνδρου καὶ ὅλως τῶν ἓν τὸ στοιχεῖον ἄπειρον κατὰ μέγεθος ὑποθεμένων, ἢ καὶ τούτῳ καὶ ἐκείνῳ. προσέθηκε δὲ καὶ τὸ "εἴπερ ἐνδέχεται κινεῖσθαι τὸ ἄπειρον καὶ ἠρεμεῖν ὅλον," ὅτι δέδεικται τὸ ἄπειρον κατὰ μέγεθος μὴ δυνατὸν ὂν κινηθῆναι τὴν τοπικὴν κίνησιν, ἣν κινεῖται τὰ αὐτοκίνητα· μήτε γὰρ ἐπ' εὐθείας, εἰ μὴ ἔστιν ὅπου προβήσεται τὸ ἄπειρον, μήτε κύκλῳ, εἴπερ μὴ ἔστι τοῦ ἀπείρου τὸ μὲν ἄνω τὸ δὲ κάτω, ἢ τὸ ἔσχατον καὶ μέσον. πολλὰ δὲ καὶ ἄλλα περὶ τούτου γέγραπται ἐπιχειρήματα ἐν τῷ τρίτῳ τῆσδε τῆς πραγματείας (c. 5). id. ib.

252b 31. δειχθήσεται δὲ ὅτι ἀνάγκη τοῦ αὐτοῦ ὄντος τοῦ κινουμένου τὰς ἀντικειμένας κινήσεις στάσει διαλαμβάνεσθαι. διὰ τοῦτο τέως νῦν τὸ "ἴσως" προστέθεικεν, καὶ μετ' ὀλίγον τὸ "ἀλλ' ὅμως ὁποτέρως ποτὲ ἔχει," διότι μήπω τοῦτο δέδεικται. εἰπὼν δὲ "εἴπερ μὴ ἀεὶ μίαν καὶ τὴν αὐτὴν εἶναι δυνατόν," ἐπὶ παραδείγματος σαφὲς ποιεῖ τὸ λεγόμενον, οἷον τῆς χορδῆς πάλιν καὶ πάλιν κινουμένης καὶ εἰς τἀναντία μεταχωρούσης καὶ ὁμοίως κινουμένης πότερον εἷς καὶ συνεχὴς ὁ αὐτὸς φθόγγος ἐστίν, ἢ ἀεὶ ἕτερος καὶ ἕτερος. id. f. 274.

252b 33. ὥσπερ οὐδὲ τῆς χορδῆς εἷς ἀριθμῷ καὶ ὁ αὐτὸς φθόγγος, ὅταν πλήττηται πάλιν καὶ πάλιν. Themist. f. 59.

253a 1. λέγει περὶ τῆς κυκλοφορίας· ταύτην γὰρ μόνην δείξει μὴ γινομένην εἰς τὰ ἐναντία, ὡς αἱ λοιπαί, καὶ διὰ τοῦτο μίαν καὶ συνεχῆ καὶ ἀΐδιον. Simpl. f. 274.

253a 3. λύει (ταύτην τὴν ἔνστασιν) λέγων ὅτι τὸ κινεῖσθαι μὴ κινούμενον πρότερον τὸ ἄψυχον οὐκ ἔστι δεικτικὸν τοῦ γενητὴν εἶναι τὴν κίνησιν· οὐ γὰρ ἐν τῷ ταῦτα ἄρχεσθαί τε τοῦ κινεῖσθαι καὶ παύεσθαι δείκνυται καὶ καθόλου ἡ κίνησις γενητή. id. ib.

253a 11. ὁρῶμεν γάρ φησιν ἀεί τι κινούμενον ἐν τῷ ζῴῳ τῶν συμφύτων, τουτέστι τῶν φυσικῶς αὐτῷ συνόντων· ἢ γὰρ θερμαίνεται ἢ ψύχεται ἢ ξηραίνεται ἢ ὑγραίνεται ἢ κατ' ἄλλην τινὰ τῶν φυσικῶν ποιοτήτων παθητικῶς μεταβάλλει. τάχα δὲ ἂν συμφύτους λέγοι τὰς φυσικὰς καὶ παρὰ τοῖς ὕστερον καλουμένας δυνάμεις, ἑλκτικὴν καὶ καθεκτικήν, ἀλλοιωτικὴν καὶ ἀποκριτικήν· ἀεὶ γὰρ αὗται ἐνεργοῦσιν ἐν τοῖς σώμασι τῶν ἐμψύχων καὶ μάλιστα τῶν ζῴων, οὐ κατὰ τὸ αὐτοκίνητον ταύτας ἐχόντων τῶν ζῴων· τοπικὴ γὰρ ἐκείνη μόνως ἡ κίνησις. τῶν δὲ συμφύτων κινήσεων τὸ περιέχον αἴτιον εἰπὼν προσέθηκε τὸ "ἴσως" καὶ νῦν καὶ μετ' ὀλίγον, ἢ ὅτι χωρὶς ἀποδείξεως εἴρηται τὸ τῶν συμφύτων κινήσεων, ἢ ὅτι οὐ πᾶσαί εἰσιν ἐκ τοῦ περιέχοντος· καὶ γὰρ τρεφόμενα καὶ αὐξόμενα κινεῖται καὶ πάλιν μειούμενα, καὶ ἀεὶ κινεῖται κατὰ ταῦτα, οὔτε ὑπὸ τοῦ περιέχοντος ἁπλῶς οὔτε κατὰ τοπικὴν τῶν ζῴων κίνησιν· τὰς μέντοι κατὰ τὰς παθητικὰς ποιότητας κινήσεις, θερμότητας, ὡς εἶπον, καὶ ψυχρότητας καὶ διακρίσεις καὶ συγκρίσεις καὶ τὰς τοιαύτας, ἐκ τοῦ περιέχοντος ἔχει μάλιστα... ἀκριβέστερον δὲ ἐν τῷ περὶ Ζῴων Κινήσεως τὴν αἰτίαν λέγει τῆς κατὰ τόπον κινήσεως... ἐπιστῆσαι δὲ ἄξιον ἐν τούτοις εἰ μηδεμιᾶς κινήσεως τοπικῆς ἀρχὴ τὸ ζῷόν ἐστιν, ἀλλ' ἔξωθεν τὴν ἀρχὴν ἔχουσι πᾶσαι... τί ἄρα βούλεται δεῖξαι; ὅτι τῆς κατὰ τόπον τῶν ζῴων κινήσεως προηγεῖται ἄλλη κίνησις, ἡ τῆς διανοίας ἢ φαντασίας, καὶ ἐκείνης ἡ ἐν τῷ σώματι, καὶ ἐκείνης ἡ τοῦ περιέχοντος. καὶ τί τοῦτο; οὐδὲ γὰρ μία καὶ συνεχὴς ἡ τοιαύτη κίνησις ἐκ διαφόρων εἰδῶν συνεστῶσα, τῆς κατὰ τόπον καὶ τῆς φανταστικῆς καὶ ἀλλοιωτικῆς. οὔτε μέντοι ἀΐδιος ἡ τοιαύτη· οὐ πάντως γὰρ ἡ τοῦ σώματος ἀλλοίωσις κινεῖ τὴν διάνοιαν ἢ τὴν ὄρεξιν, οὐδὲ αὕτη κινηθεῖσα πάντως κινεῖ κατὰ τόπον τὸ ζῷον, οὐδὲ ἡ κατὰ τόπον τούτου κίνησις πάντως ἄλλο τι κινεῖ. πῶς οὖν ἐκ τούτων βεβαιοῦται τὸ ἀγένητον καὶ ἀΐδιον εἶναι τὴν κίνησιν, μίαν οὖσαν καὶ συνεχῆ; μήποτε οὖν οὐ τοῦτο πρόκειται διὰ τῆς τῶν ἐνστάσεων τούτων λύσεως, τὸ τὰς μερικὰς πάσας κινήσεις μίαν συνεχῆ δεῖξαι κίνησιν ἀγένητον καὶ ἀνέκλειπτον... ἀλλ' ὅμως οὐδὲν κωλύει εἶναί τινα τὴν αὐτὴν τῷ συνεχῆ εἶναι καὶ ἀΐδιον. αὕτη δέ ἐστιν ἡ κυκλοφορία, εἰς ἣν ὁ πᾶς αὐτῷ λόγος τείνει ὁ περὶ τῆς μιᾶς ἀνάρχου καὶ ἀτελευτήτου κινήσεως, ὡς ἐκείνης προηγουμένης πασῶν τῶν ἐχουσῶν ἀρχὴν κινήσεων, καὶ δι' ἐκείνην καὶ πρὸ πάσης μερικῆς κινήσεως καὶ μετὰ πᾶσαν οὔσης ἄλλης κινήσεως, διότι εἰς ἐκείνην ἀναφέρονται. ἔσται δὲ τοῦτο ἐν τοῖς ἑξῆς σαφέστερον, ὅταν ἡ μία κίνησις ἡ ἀΐδιος ζητῆται. id. f. 274 b.

253a 31. τέλος δέ, φησὶν ὁ Ἀλέξανδρος, τὸ εὑρεῖν τι ἀεὶ καὶ συνεχῶς κινούμενον ὑπὸ ἀϊδίου τε καὶ ἀκινήτου. μήποτε δὲ ὁ Ἀριστοτέλης τὸ αὐτὸ καὶ λύσιν τῶν ἀπορουμένων καὶ τέλος τῇ πραγματείᾳ εἶπε, τὸ βεβαιώσασθαι τὸ τρίτον ἐκεῖνο, ὅτι τῶν ὄντων τὰ μὲν ἀκίνητά ἐστι τὰ δὲ ἀεὶ κινούμενα, τὰ δὲ ἀμφοτέρων μεταλαμβάνει. id. f. 275 b.

παρεθέμην πρὸ ὀλίγου τὰ τοῦ Πλάτωνος αὐτὰ ῥήματα (Tim. p. 37). ἀλλ' οὐδὲ τὴν πέμπτην οὐσίαν εἰσαγαγὼν ὁ Ἀριστοτέλης κατὰ τὴν ἔννοιαν διαφέρεται πρὸς τοὺς ἄλλους καὶ μάλιστα πρὸς τὸν Πλάτωνα. εἰ γὰρ διὰ τοῦτο φαίη ἂν ὁ Πλάτων καὶ τὸν οὐρανὸν ἐκ πυρὸς καὶ γῆς εἶναι καὶ τῶν μεταξύ, ὅτι ὁρατὸς καὶ ἁπτός ἐστιν, οὐδὲν δὲ ὁρατὸν ἄνευ πυρὸς οὐδὲ ἁπτὸν ἄνευ γῆς, ἐρωτητέον καὶ τὸν Ἀριστοτέλην εἰ μὴ καὶ αὐτὸς ἄμφω ταῦτα ὁμολογήσει, καὶ τὸ ὁρατὸν καὶ ἁπτὸν εἶναι τὸν οὐρανόν, καὶ τὸ ταῦτα τῷ πυρὶ καὶ τῇ γῇ πρώτως ὑπάρχειν. διὰ τί οὖν οὗτος πέμπτην οὐσίαν αὐτὸν καλεῖ, ἢ ὅτι καὶ ὁ Πλάτων ἄλλην τοῦ οὐρανοῦ τὴν οὐσίαν παρὰ τὰ τέσσαρα στοιχεῖα τὰ ὑπὸ σελήνην φησίν, εἴπερ τῷ μὲν οὐρανῷ τὸ δωδεκάεδρον ἀποδέδωκε σχῆμα, τῶν δὲ τεσσάρων ἕκαστον ἄλλῳ καὶ ἄλλῳ διεζωγράφησε σχήματι. πέμπτην οὖν καὶ οὗτος οὐσίαν τὴν τοῦ οὐρανοῦ φησίν· ἄλλην γὰρ παρὰ τὰ τέσσαρα τὰ ὑπὸ σελήνην στοιχεῖα, εἴπερ πέμπτον ἐστὶ τὸ δωδεκάεδρον σχῆμα καὶ οὐσιώδη τὰ σχήματά ἐστιν. ἔτι δὲ τοῦτο σαφέστερον πεποίηκε Ξενοκράτης ὁ γνησιώτατος τῶν Πλάτωνος ἀκροατῶν ἐν τῷ περὶ τοῦ Πλάτωνος βίου τάδε γεγραφώς "τὰ μὲν οὖν ζῷα οὕτω πάλιν διῃρεῖτο, εἰς ἰδέας τε καὶ μέρη, πάντα τρόπον διαιρῶν, ἕως εἰς τὰ πάντων στοιχεῖα ἀφίκετο τῶν ζῴων, ἃ δὴ πέντε σχήματα καὶ σώματα ὠνόμαζεν, εἰς αἰθέρα καὶ πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα," ὥστε ὁ αἰθὴρ πέμπτον ἄλλο τι σῶμα ἁπλοῦν ἐστὶ καὶ αὐτῷ παρὰ τὰ τέσσαρα στοιχεῖα. ἀλλ' οὐδὲ ἀσύμφωνα πρὸς ἑαυτοὺς λέγουσιν οἱ τὸν μὲν κόσμον γενητὸν κατ' ἄλλο σημαινόμενον λέγοντες, ἢ ὡς ἀπ' αἰτίας ἢ ὡς καθ' ὑπόθεσιν, τὸν δὲ χρόνον ἀγένητον, ὡς οὐχὶ πρότερον μὲν μὴ ὄντα ὕστερον δὲ ὄντα... ἔστι μὲν τὸ ἐν ἀρχῇ αἰτεῖσθαι τὸ δι' αὐτοῦ δεικνύναι τὸ μὴ δι' αὐτοῦ δῆλον. τοῦτο δὲ γίνεται ἢ ἄντικρυς καὶ φανερῶς ἀξιούντων τὸ προκείμενον, ὥσπερ ἡμῶν λεγόντων τινὰ ἀγαθὰ μὴ εὐθὺς ἀγαθοὺς ποιεῖν, οἷον τὰς δυνάμεις, αἷς ἔστιν εὖ καὶ κακῶς χρῆσθαι· ἀγαθὴ μὲν γὰρ ἡ ἐφ' ἑκάτερα δύναμις, ἀγαθὸν δὲ οὐ ποιεῖ, εἰ μὴ τὸν εὖ χρώμενον αὐτῇ. οἱ Στωϊκοὶ τοῦτο ἀναιροῦντες, πᾶν φασὶ τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖν, τὸ ἐν ἀρχῇ λαμβάνοντες. id. f. 265 b.

251b 23. προθέμενος δεῖξαι ὅτι οὐδὲ ἐγένετο κίνησίς ποτε μὴ καὶ πρότερον οὖσα, οὔτε φθείρεται ὡς μὴ καὶ ὕστερον εἶναι, δυσὶν ἐχρήσατο ἐπιχειρήμασιν, ἑνὶ μὲν τῷ ἀπὸ τοῦ ὁρισμοῦ τῆς κινήσεως, ἑτέρῳ δὲ τῷ ἀπὸ τοῦ χρόνου, διχῶς ἐκ τούτου τὸ ζητούμενον κατασκευάσας, ἔκ τε τοῦ προτέρου καὶ ὑστέρου, καὶ ἐκ τοῦ νῦν τοῦ ἀεὶ ἐν μέσῳ ὄντος τοῦ τε παρεληλυθότος καὶ τοῦ μέλλοντος. ἀλλ' ἐν μὲν τοῖς ἀπὸ τοῦ χρόνου ἐπιχειρήμασιν ἀμφοτέροις ἀμφότερα ἔδειξε, καὶ ὅτι οὐκ ἦν ὅτε οὐκ ἦν κίνησις, καὶ ὅτι οὐκ ἔσται ὅτε οὐκ ἔσται κίνησις. ἐν δὲ τῷ ἀπὸ τοῦ ὁρισμοῦ τὸ ἕτερον δείξας, ὅτι ἀγένητός ἐστιν ἡ κίνησις καὶ οὐκ ἦν ὅτε οὐκ ἦν κίνησις, μεταβὰς ἐπὶ τὸ ἀπὸ τοῦ χρόνου ἐπιχείρημα τὰ νῦν προστίθησι τὸ λεῖπον τῷ ἀπὸ τοῦ ὁρισμοῦ ἐπιχειρήματι, τὸ ὅτι καὶ ἄφθαρτός ἐστιν ἡ κίνησις. ὥσπερ γὰρ ἀγένητον ἔδειξεν ἐν ἐκείνοις τὴν κίνησιν διὰ τοῦ προϋπάρχειν ἀεὶ τὸ δυνάμενον κινεῖσθαι τῆς κινήσεως, οὕτως ἐν τούτοις ἄφθαρτον αὐτὴν δείκνυσι διὰ τοῦ μεθυπάρχειν ἀεὶ τὸ δυνάμενον κινεῖσθαι τῆς κινήσεως. τοῦτο γάρ ἐστι τὸ "οὐ γὰρ ἅμα παύσεται κινούμενον καὶ κινητὸν ὄν, οὐδὲ κινοῦν καὶ κινητικὸν ὄν."... ἐπὶ κινήσεως γὰρ τοῦτον τὸν λόγον ἐρωτᾷ, ὡς ὁ Ἀλέξανδρος βούλεται. εἰ οὖν παυσάμενον τοῦ κινεῖσθαι μένει κινητὸν ὄν, δηλονότι πάλιν κινήσεται, καὶ οὐκ ἦν ἐσχάτη κίνησις ἐκείνη ἧς ἐπαύσατο. καὶ αὐτὸς μὲν ὡς σαφεῖ ἠρκέσθη, ὁ δὲ ἐξηγητὴς προσέθηκε καὶ τὰς αἰτίας... καὶ δοκεῖ μὲν ἀσάφειαν ἐμποιεῖν τῷ λόγῳ τὸ καιόμενον λαβὼν εἰς παράδειγμα, ὃ καὶ φθείρεσθαι ἅμα τῷ κινεῖσθαι δοκεῖ, καίτοι τοῦ λόγου οὐκ ἐπὶ τῶν φθειρομένων ἀλλ' ἐπὶ τῶν κινουμένων ἀληθεύοντος, ὡς ὁ ἐξηγητής φησιν· τὰ γὰρ κινούμενα σώζεται ἐν τῷ κινεῖσθαι, καὶ οὐκ ἔστιν αὐτῶν ἡ κίνησις φθορά, καὶ τούτῳ διαφέρει τῆς κινήσεως ἡ φθορά, ὅτι τὸ μὲν κινούμενον ὑπομένει, τὸ δὲ φθειρόμενον οὐχ ὑπομένει. πῶς οὖν τὸ καιόμενον παρέθετο, ὃ φθείρεται ὡς ἐπίπαν; ἢ δυνατὸν μὲν λέγειν ὅτι ἀντὶ κινουμένου παρέλαβεν αὐτό, ἢ ὅτι ἐνδέχεται καὶ καυθέντα τινὰ μὴ ἐφθάρθαι, ὡς τὰ χεόμενα, οἷον χρυσὸν μόλυβδον χαλκὸν καὶ τὰ τοιαῦτα. ἢ οὐ μάτην τὸ καυστὸν παρέθετο, ἀλλ' ἐνδεικνύμενος ὅτι καὶ τὰ οὕτω κινούμενα ὡς τὰ καιόμενα καὶ φθείρεσθαι δοκοῦντα καὶ αὐτὰ μετὰ τὴν κίνησιν ἀπολείπει τι κινητὸν καὶ μετὰ τὴν καῦσιν καυστόν, ὃ πάλιν καυθήσεται... ὁ δὴ γραμματικὸς καὶ ἐν τούτοις αὐθαδιζόμενος, εἰ δι' ὧν φησὶν ἐπεχείρησεν ὁ φιλόσοφος ἀποδεῖξαι ὅτι ἀγένητος ἡ κίνησις, διὰ τούτων καὶ ὅτι ἄφθαρτος κατασκευάζει, δι' ὧν ἄρα φησὶ καὶ ἡμεῖς ἐκείνους τοὺς λόγους διελυσάμεθα, δι' αὐτῶν καὶ τοὺς προκειμένους εὐθύνομεν. ῥητέον οὖν πρὸς αὐτὸν κατὰ τὴν διὰ τριῶν λεγομένην παρὰ τοῖς νεωτέροις ἀγωγήν... ταῦτα μὲν οὖν εἰρήσθω πρὸς τὸ ἕκτον τοῦ γραμματικοῦ βιβλίον, ὃ τὴν ἀϊδιότητα τῆς κινήσεως ἀνελεῖν ἐπειρᾶτο, ἵνα μὴ δι' αὐτὴν ἀΐδιος ὁ κόσμος ἀποδεικνύηται. id. f. 269.

λέγοι ἄν, φησὶν Ἀλέξανδρος, πλάσματι μᾶλλον ἐοικέναι τὸ 252a
οὕτω λέγειν, καὶ διότι χωρὶς ἀποδείξεως καὶ λόγων εἰκότων οἱ ταῦτα 5.
λέγοντες ἔλεγον, ἢ ὅτι ἀκινήτου τῆς κινήσεως δεδειγμένης τὸ φθαρτὴν αὐτὴν λέγειν ἀπίθανον, εἰ μὴ ἄρα τὸ πλασματῶδες οὐ πρὸς τὸ φθαρτὴν μόνον λέγειν, ἀλλὰ καὶ πρὸς τὸ γενητὴν ἀποδέδοται. id. f. 272 b.

τὸ γὰρ ἄλογον καὶ ἀναίτιον μάλιστα ἐπὶ τῆς φύσεως φυλακτέον, ὡς σχεδὸν ἅπαντες παρορῶσιν, ἐπεὶ καὶ Ἐμπεδοκλῆς. Themist. f. 58 b.

ἀλλ' οὐδὲ Ἀναξαγόρας τὴν αἰτίαν προσεπιλέγει δι' ἣν τόδε 252a
τὸ μῖγμα ἠρεμοῦν τὸν ἄπειρον χρόνον ἤρξατό ποτε κινεῖν ὁ βραδύ- 10.
τατος νοῦς· διὰ τί γὰρ οὐ θᾶττον; καὶ τοῦ θᾶττόν γε διὰ τί μὴ θᾶττον ἀεί; καὶ οὐδὲν γὰρ ἄλογον οὔτε ἄτακτον ἐν τοῖς παρὰ τῆς φύσεως γινομένοις. id. ib.

ὁ δὲ Εὔδημος μέμφεται τῷ Ἀναξαγόρᾳ οὐ μόνον ὅτι μὴ πρότερον οὖσαν ἄρξασθαί ποτε λέγει τὴν κίνησιν, ἀλλ' ὅτι καὶ περὶ τοῦ διαμένειν ἢ λήξειν ποτὲ παρέλιπεν εἰπεῖν, καίπερ οὐκ ὄντος φανεροῦ· τί γὰρ κωλύει, φησί, δόξαι ποτὲ τῷ νῷ στῆσαι πάντα χρήματα, καθάπερ ἐκεῖνος εἶπε κινῆσαι; καὶ τοῦτο δὲ αἰτιᾶται τοῦ Ἀναξαγόρου ὁ Εὔδημος, πῶς ἐνδέχεται στέρησίν τινα προτέραν εἶναι τῆς ἀντικειμένης ἕξεως· εἰ οὖν ἡ ἠρεμία στέρησις κινήσεώς ἐστιν, οὐκ ἂν εἴη πρὸ τῆς κινήσεως. Simpl. f. 273.

γενέσεως ἔχον ἀρχήν· εἰ μὲν τοίνυν ἐγένετό ποτε μὴ ὄντα, ταῦτα κεκίνηται πρότερον κίνησιν δι' ἣν εἰς τὸ εἶναι ἦλθεν ἐκ τοῦ μὴ εἶναι. Themist. f. 58.

251 a 20. εἰ δὲ μὴ ἐγένετο τὸ κινητὸν καὶ τὸ κινητικόν, ἀλλ' ὄντα προϋπῆρχεν ἀεί, κινήσεως μὴ οὔσης, ἄλογον μέν φησι καὶ αὐτόθεν ἐπιστήσαντι φανεῖται τὸ ἀμφοῖν ἀϊδίων ὑποκειμένων, τοῦ τε κινητοῦ καὶ τοῦ κινητικοῦ, κατὰ τὸν ἄπειρον τὸν πρὸ τοῦ χρόνον μὴ ἐνεργήσαντα αὐτὰ κατὰ τὰς δυνάμεις ἃς ἔχουσι, νῦν ἄρχεσθαι ταύτης τῆς ἐνεργείας ἀναιτίως· οὐ γὰρ ἔχομεν αἰτίαν ἀποδοῦναι διὰ τί νῦν ἀλλὰ μὴ πρότερον. ἔτι δὲ μᾶλλόν φησι τὸ ἄτοπον φανήσεται προϊοῦσι κατὰ τὸν λόγον. εἰ γὰρ ὄντων τῶν μὲν κινητῶν τῶν δὲ κινητικῶν καὶ ἠρεμούντων τὸν πρὸ τοῦ πάντα χρόνον, ὡς μὴ εἶναι τότε κίνησιν, νῦν ἤρξατο τὸ μὲν κινεῖν τὸ δὲ κινεῖσθαι, ἀναγκαῖον μεταβολήν τινα περὶ αὐτὰ πρότερον γενέσθαι τῆς αἰτίας, δι' ἣν τὸν ἄπειρον πρὸ τοῦ χρόνον ἠρεμοῦντα νῦν ἤρξατο τὸ μὲν κινεῖν τὸ δὲ κινεῖσθαι· εἰ δὲ μεταβολήν, δηλονότι κίνησιν. Simpl. f. 259.

πάλιν οὖν ἐρησόμεθα ὁμοίως, τὸ προϋπάρχον ἀΐδιον ἦν ἢ γενητόν; εἰ γὰρ πάλιν λέγομεν ὅτι γενητόν, προήξομεν ταὐτὰ ἀποροῦντες. Themist. f. 58.

251 a 23. δείξας ὅτι κἂν γενητὰ ὑποτεθῇ τό τε κινοῦν καὶ τὸ κινούμενον, κἂν ἀΐδια μὲν ἀπ' ἀρχῆς δὲ χρόνου τὸ κινεῖν καὶ τὸ κινεῖσθαι λαβόντα, ἀνάγκη πρὸ τῆς ὑποτεθείσης ἀρχῆς τῆς κινήσεως ἄλλην λαμβάνεσθαι κίνησιν, ὥστε τῆς πρώτης δοκούσης μεταβολῆς εἶναι πάντως ἀεὶ προτέραν, καὶ οὕτως ἀΐδιον δείκνυσθαι τὴν κίνησιν τῷ μὴ εἶναι τὴν πρώτην λαβεῖν, — ταῦτα οὖν δείξας ἀπὸ τοῦ κινουμένου μάλιστα, ἐφεξῆς καὶ ἀπὸ τοῦ κινοῦντος τὸ αὐτὸ δείκνυσι... ἐπειδὴ πολὺν συρφετὸν ὁ γραμματικὸς ἐκεῖνος κατ' αὐτῶν μὲν οὐχὶ κατὰ δὲ τῶν ἀνοήτων ἀνθρώπων ἐπεσώρευσε, φέρε τὸν Ἀλφειὸν μεθ' Ἡρακλέους παρακαλέσαντες τῶν εἰσδεξαμένων αὐτὸν ψυχῶν κατὰ τὸ δυνατὸν ἐκκαθάρωμεν. προθεὶς δὴ τὴν Ἀριστοτέλους ῥῆσιν, καὶ τοῦ τε Ἀλεξάνδρου τὴν ἐξήγησιν πᾶσαν καὶ τοῦ Θεμιστίου τὴν παράφρασιν ἐπενεγκών, ἵνα πολύστιχα μᾶλλον αὐτοῦ γενόμενα τὰ συγγράμματα τῷ πλάτει καταπλήττῃ τοὺς ἰδιώτας, ἐπάγει λοιπὸν τὰς ἑαυτοῦ ἐνστάσεις τῷ λόγῳ, πρώτην τοιάνδε... οὗτος μέντοι τὰς Ἀριστοτέλους ἀρχὰς τῆς ἀποδείξεως περιπτύσας, αὐτὸς ἡμῖν οἰκείαν εἰσηγήσασθαι βούλεται μέθοδον, μόνως ἂν οὕτω λέγων ἄναρχος εἶναι ἡ κίνησις ἀπεδείκνυτο, εἴπερ ἦν ἀληθὲς τὸ πολυθρύλλητον τῶν φυσικῶν, ὡς αὐτοί φασιν, ἀξίωμα, τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι, ἀλλὰ πᾶν ἐκ προϋπάρχοντος ἔχειν τὴν γένεσιν... πλὴν ἐπειδὴ ῥᾳδίως ἀποδεικνύναι νομίζων ψευδῆ τὸν λέγοντα λόγον μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι, διατείνεται μόνως ἂν οὕτως ἀΐδιον εἶναι τὴν κίνησιν, εἰ ἀληθὲς ἀποδειχθείη τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι, φέρε καὶ ταύτας αὐτοῦ τὰς ἀδολεσχίας ἐπισκεψώμεθα, ἃς τελέως μὲν ἐν τῷ ἐνάτῳ καὶ ἐνδεκάτῳ εἶπε γεγράφθαι τῶν πρὸς Πρόκλον, ἀριθμοῖς ἡμᾶς βιβλίων καταπλήττων πρὸς ἄνδρας εὐκλεεῖς ἀντιγεγραμμένων, καὶ νῦν δὲ οὐ δι' ὀλίγων ἐκτίθεται... ἀλλ' ἴδωμεν ὅπως τὸ πολυθρύλλητον ἀξίωμα τῶν φυσικῶν ἀνατρέπει, δεικνὺς αὐτοὺς ὅτι ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται τὰ γινόμενα, καὶ εἰς τὸ μηδαμῇ μηδαμῶς ἂν φθείρεται... ἀλλ' ὅσα μὲν οὗτος πρὸς τὴν πρώτην τοῦ Ἀριστοτέλους ἐπιχείρησιν περὶ τῆς κατὰ τὴν κίνησιν ἀϊδιότητος ἐτόλμησεν ἀντειπεῖν, μετρίας οἶμαι τετύχηκεν ἐπικρίσεως. ἐπὶ δὲ τὸ δεύτερον ἐλθὼν ἐπιχείρημα σαφηνίζειν τε αὐτὸ πειράσομαι, καὶ τότε τὰς πρὸς αὐτὸ ἐνστάσεις ἐκθήσομαι, καὶ πῇ σαθρὸν ἐκεῖναι φθέγγονται παραστήσω. Simpl. f. 259 b.

251 b 12. εἰ δὲ χρόνον ἀνάγκη πρὸ τῆς κινήσεως εἶναι καὶ μετὰ τὴν κίνησιν, ὁ δὲ χρόνος ἢ κίνησίς ἐστιν ἢ ἀριθμὸς κινήσεως, ὡς δέδεικται, ἀνάγκη καὶ κίνησιν εἶναι πρὸ τῆς κινήσεως καὶ μετὰ τὴν κίνησιν. ὥστε τοῖς λέγουσιν ὅτι μὴ οὔσα πρότερον κίνησις ὕστερόν ἐστι καὶ οὖσα πρότερον ὕστερον οὐκ ἔσται, ἕπεται τὸ λέγειν ὅτι ἦν ποτὲ κίνησις ὅτε οὐκ ἦν κίνησις, καὶ ἔσται ποτὲ κίνησις ὅτε οὐκ ἔσται κίνησις. ἀλλὰ τοῦτο μὲν αὐτὸς παρῆκεν ἐπαγαγεῖν. id. f. 264 b.

251 b 16. ὁ μέντοι Δημόκριτος οὕτως ἀΐδιον ἐπέπειστο εἶναι τὸν χρόνον, ὅτι βουλόμενος δεῖξαι μὴ πάντα γενητά, ὡς ἐναργεῖ τῷ τὸν χρόνον μὴ γεγονέναι προσεχρήσατο. καὶ Ἀναξαγόρας δὲ ὅταν λέγῃ "ἦν ὁμοῦ πάντα χρήματα," χρόνον ἐνδείκνυται πρὸ τῆς κοσμοποιοῦ διακρίσεως· καὶ γὰρ τὸ ἦν χρονικόν, καὶ ἀδιάκριτα ὄντα τὸν ἄπειρον πρὸ τοῦ χρόνον ὕστερον διακρῖναι καὶ κοσμῆσαι τὸν νοῦν φησίν. καὶ Ἐμπεδοκλῆς δὲ ἐξ ἀϊδίου λέγων ἀνὰ μέρος τὴν ἐπικράτειαν γίνεσθαι ποτὲ μὲν τῆς φιλίας ποτὲ δὲ τοῦ νείκους, δῆλός ἐστιν ἀΐδιον τὸν χρόνον εἰδώμενος. εἰ δὲ ὁ χρόνος ἀΐδιος, καὶ ἡ κίνησις. id. f. 265.

251 b 17. τὰ πολλάκις ἐν ἄλλοις εἰρημένα πρὸς ἐμοῦ καὶ νῦν ἀναγκαῖον εἰπεῖν, ὅτι πολλαχῶς τοῦ γενητοῦ καὶ ἀγενήτου λεγομένου ἄλλως μὲν ὁ Πλάτων ἄλλως δὲ ὁ Ἀριστοτέλης αὐτῷ χρώμενοι δοκοῦσιν ἐναντιοῦσθαι πρὸς ἀλλήλους οὐκ ἐναντιούμενοι... ἐπειδὴ οὖν τὸ γενητὸν συνηθέστερον ἐπὶ τῶν πρότερον μὴ ὄντων ὕστερον δὲ ὄντων ἐλέγετο, διὰ τοῦτο πρὸς ταύτην τὴν σημασίαν τοῦ ὀνόματος ἀντιλέγων ὁ Ἀριστοτέλης δοκεῖ μὲν εὐθύνειν τὸν Πλάτωνα ὡς γενητὸν εἰπόντα, εὐθύνει δὲ κατὰ τὸ ἀληθὲς οὐ τὸν Πλάτωνα ἀλλὰ τοὺς ἐπὶ τούτου τοῦ σημαινομένου τὸ γενητὸν τῷ χρόνῳ καὶ τῷ κόσμῳ προσάψαντας. id. ib.

251 b 19. τὰ μὲν οὖν ὑπὸ τοῦ Ἀριστοτέλους κἀνταῦθα νοερῶς καὶ θείως εἰρημένα πρὸς ἀπόδειξιν τοῦ ἀΐδιον εἶναι τὴν κίνησιν τῆς δυνατῆς ὑπὸ τῶν ἐξηγητῶν σαφηνείας τετύχηκεν· ὁ δὲ γραμματικὸς πάλιν καὶ τούτοις ἀντιλέγειν πειραθεὶς ἴδωμεν ὁποῖος ἄρα φανεῖται βασανιζόμενος... τί θαυμαστὸν εἴ τινας ἐνόμισεν Ἀριστοτέλης κατὰ τὸ πρόχειρον ἀποδέξασθαι τὸ τοῦ Πλάτωνος καὶ τῶν ἄλλων γενητόν, ὅτε μετὰ τοσούτους τοῦ Πλάτωνος ἐξηγητὰς τοὺς τὸ γενητὸν ὅπως εἴρηται παρὰ τῷ Πλάτωνι διαρθρώσαντας ὁ γραμματικὸς οὗτος συμφωνεῖν ἑαυτῷ τὸν Πλάτωνα νομίζει, τὸν κόσμον καὶ τὸν χρόνον γενητὸν οὕτως ὡς οὗτος βούλεται λέγοντα, ὡς πρότερον μὲν μὴ ὄντα ὕστερον δὲ εἰς τὸ εἶναι παρελθόντα, καὶ οὐκ ἤκουσε τοῦ Πλάτωνος λέγοντος ὅτι ὅμοιον τὸν κόσμον τῷ παραδείγματι καὶ κατὰ τὴν ἀϊδιότητα βουλόμενος ὁ θεὸς ἀπεργάσασθαι, ἀντὶ τοῦ ἐκεῖ αἰῶνος τοῦ τὴν αἰώνιον ἀϊδιότητα παρεχομένου τῷ παραδείγματι, εἰκόνα τοῦ αἰῶνος τὸν χρόνον τῷ κόσμῳ παρέχε, τὴν χρονικὴν ἀϊδιότητα διδόντα· καὶ

τον αὐτὸν λέγοντες ἀΐδιον καὶ τὴν κίνησιν ὑπετίθεντο, ὥσπερ Πλάτων καὶ Ἀριστοτέλης, γενητὸν δὲ καὶ φθαρτὸν τὸν ἕνα κόσμον ποιοῦσιν ὅσοι ἀεὶ μέν φασιν εἶναι κόσμον, οὐ μὴν τὸν αὐτὸν ἀεὶ ἀλλὰ ἄλλοτε ἄλλον γινόμενον κατά τινας χρόνων περιόδους, ὡς Ἀναξιμένης τε καὶ Ἡράκλειτος καὶ Διογένης καὶ ὕστερον οἱ ἀπὸ τῆς Στοᾶς. καὶ δῆλον ὅτι καὶ περὶ κινήσεως οὗτοι τὴν αὐτὴν ἔχουσι δόξαν· ὅτε γὰρ κόσμος ἦν, τότε καὶ κίνησιν ἀναγκαῖον εἶναι. Ἐμπεδοκλῆς δέ, εἰ μὲν κατὰ τὸ σχῆμά τις ἀκούει τοῦ λόγου, ὡς ποτὲ μὲν σφαῖρον ποτὲ δὲ κόσμον λέγοντος, δηλονότι καὶ τὴν κίνησιν ἐν τῇ γενέσει τοῦ κόσμου θεωρῶν γινομένην καὶ φθειρομένην ὑπετίθετο ἀεί, ἐπεὶ καὶ τὸν σφαῖρον εἶναι βούλεται καὶ τὸν κόσμον αἰεί, καὶ κίνησιν ἐνόμιζεν ἐν τῷ κόσμῳ εἶναι. ἀπ᾽ ἀρχῆς δὲ χρόνου δοκοῦσι λέγειν γεγονέναι τὸν κόσμον Ἀναξαγόρας τε καὶ Ἀρχέλαος καὶ Μητρόδωρος ὁ Χῖος· οὗτοι δὲ καὶ τὴν κίνησιν ἄρξασθαί φασιν... φαίνονται δὲ καὶ οὗτοι τάξεως ἕνεκα διδασκαλικῆς ἀρχὴν τῆς κοσμοποιίας ὑποθέμενοι. καὶ ὅ γε Ἀναξαγόρας σαφῶς ἀπὸ τῆς νοητῆς ἑνώσεως, ἐφ᾽ ἧς ἦν ὁμοῦ πάντα χρήματα, ὥς φησι, τὴν κοσμικὴν διάκρισιν ὑποστῆσαι τὸν νοῦν λέγει. ὁ μέντοι Ἀλέξανδρος καὶ τὸν Πλάτωνά φησιν ἀπ᾽ ἀρχῆς χρόνου τὸν κόσμον ὑφιστάνειν, πλὴν ὅτι καὶ πρὸ τῆς τοῦ κόσμου γενέσεως κίνησιν ἐν τοῖς οὖσι πλημμελῆ καὶ ἄτακτον ἔλεγεν... ἀλλὰ γεγονέναι μὲν τὸν ἕνα πολλοὶ λέγουσι κοσμοποιοῦντες καὶ τῷ λόγῳ τὴν τάξιν τῆς δημιουργίας παραδιδόναι βουλόμενοι, γίνεσθαι δὲ καὶ φθείρεσθαι τὸν ἕνα κόσμον ὡς μηκέτι εἶναι κόσμον, οὐδένα τῶν φυσιολόγων ἴσμεν λέγοντα. ἐλλειπὴς δὲ ἡ λέξις δοκεῖ διὰ βραχυλογίαν ἡ λέγουσα "ὅσοι δὲ ἢ ἕνα ἢ μὴ ἀεί·" τῷ μὲν γὰρ ἕνα ἐλλείπει τὸ καὶ ἀεί, τῷ δὲ μὴ ἀεὶ τὸ καὶ ἕνα. id. ib.

250 b 19. ἤτοι διὰ τὸ ποιεῖν τινας ἐκ μὴ ὄντων τὸν κόσμον· τὸ γὰρ ἐκ μὴ ὄντων εἰς τὸ ὂν παρῆχθαι μεταβολή ἐστιν, ἥτις ἢ κίνησίς ἐστιν ἢ οὐκ ἄνευ κινήσεως. ἢ κοσμοποιεῖν περὶ συστάσεως τοῦ κόσμου διαλέγεσθαι, ἥτις διὰ κινήσεως ἐν ἅπασι τὸ εἶναι ἔχει. cod. Reg. 1853.

250 b 23. δύο τρόπους ἐκθέμενος καθ᾽ οὓς δυνατόν ποτε μηδὲν κινεῖσθαι, καὶ τοὺς προϊσταμένους αὐτῶν προσπαραγράψας, Ἀναξαγόραν τε καὶ Ἐμπεδοκλέα, διὰ τοῦ τούτους ἀνελεῖν τοὺς τρόπους εἰσάγει τὸ δεῖν πάντως ἀΐδιον εἶναι τὴν κίνησιν. δύο δὲ οἱ τρόποι, διότι κινήσεως νῦν φαινομένης, εἰ ἐνδέχεταί ποτε μηδὲν κινεῖσθαι, ἀνάγκη ἢ ὡς πρότερον μὴ οὔσης κινήσεως, ὡς ἐδόκει λέγειν Ἀναξαγόρας, τὴν ἀεὶ συνυπάρχουσαν τῶν δευτέρων ἀπὸ τῶν προτέρων ὑπόστασιν διὰ τῆς κατὰ χρόνον λέγεσθαι δοκούσης ἐκφάνσεως σαφεστέραν ποιῶν. ὁ δὲ αὐτὸς τρόπος τῆς ὑποθέσεώς ἐστι, κἂν ὕστερον μὴ εἶναί τις κίνησιν ὑπόθηται· διόπερ οὐδὲ ἐμνημόνευσε τούτου. ἐδόκει δὲ λέγειν ὁ Ἀναξαγόρας ὅτι ὁμοῦ πάντων ὄντων χρημάτων, καὶ ἠρεμούντων τὸν ἄπειρον πρὸ τοῦ χρόνον, βουληθεὶς ὁ κοσμοποιὸς νοῦς διακρῖναι τὰ εἴδη, ἅπερ ὁμοιομερείας καλεῖ, κίνησιν αὐταῖς ἐνεποίησεν· οὐ γὰρ ἦν διάκρισιν σωματικὴν ἄνευ κινήσεως γενέσθαι. δεύτερος δὲ τρόπος ὁ κατ᾽ Ἐμπεδοκλέα, παρὰ μέρος κίνησιν ποιοῦντα καὶ ἠρεμίαν. ὑπέθετο γὰρ οὗτος τόν τε νοητὸν καὶ τὸν αἰσθητὸν κόσμον ἐκ τῶν αὐτῶν στοιχείων τῶν τεσσάρων συνεστῶτας, τὸν μὲν παραδειγματικῶς δηλονότι τὸν δὲ εἰκονικῶς, καὶ ποιητικὰ αἴτια τοῦ μὲν νοητοῦ τὴν φιλίαν, διὰ τῆς ἑνώσεως τὸν σφαῖρον ποιοῦσαν, ὃν καὶ θεὸν ἐπονομάζει καὶ οὐδετέρως ποτὲ καλεῖ, "σφαῖρον ἔην," τοῦ δὲ αἰσθητοῦ τὸ νεῖκος, ὅταν ἐπικρατῇ μὴ τελέως, διὰ τῆς διακρίσεως τὸν κόσμον τοῦτον ποιοῦν... τὴν δὲ ἀκινησίαν ἔοικεν ὁ Ἐμπεδοκλῆς ἐνορᾶν κατὰ τὴν ἀΐδιον ταυτότητα τῆς εἰς ἄλληλα τοῦ ἑνὸς καὶ τῶν πολλῶν μεταβολῆς· τοιοῦτο γὰρ τὸ "ᾗ δὲ τάδ᾽ ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει, ταύτῃ δ᾽ αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον." ὁ δὲ Ἀλέξανδρος οἶδε μὲν καὶ τοῦτον τὸν νοῦν, φησὶ δὲ μὴ κατὰ τοῦτον ἐκδέχεσθαι τὸν Ἀριστοτέλη, ἀλλὰ καὶ ταῦτα περὶ τῆς μεταβολῆς ἀκούειν, ὅταν λέγῃ "ᾗ δὲ τάδ᾽ ἐνθένδ᾽ ἀλλάσσοντα," τουτέστιν εἰς τάδε ἐκ τῶνδε μεταβάλλοντα οὐ λήγει. κατὰ τὴν ἄμειψιν ταύτην καὶ τὴν εἰς ἄλληλα ἐν μέρει μεταβολὴν καὶ ταύτῃ ἀΐδιά ἐστι, τουτέστιν ἀΐδιος αὐτῶν ἡ εἰς ἄλληλα μεταβολή. ἰδίᾳ μὲν γὰρ οὐθ᾽ ἕτερον τῶν γινομένων ὑπὸ τοῦ νείκους καὶ τῆς φιλίας ἐκ τῶν στοιχείων ἀΐδιόν ἐστιν, οὐδ᾽ ἔμπεδος αὐτοῖς ὁ αἰών, ἡ μέντοι εἰς ἄλληλα αὐτῶν μεταβολὴ ἀΐδιος· τοῦτο γὰρ σημαίνει τὸ αἰὲν ἔασι. ταῦτα κατὰ λέξιν εἰπὼν ὁ Ἀλέξανδρος ἐπάγει· εἶτα ἐπὶ τούτοις εἴη ἂν ἰδίᾳ λεγόμενον τὸ "ἀκίνητοι κατὰ κύκλον," τουτέστιν ἀκίνητα γενόμενα καθ᾽ ἑκάστην περίοδον καὶ καθ᾽ ἑκάστην τελειότητα, ἣν κύκλον λέγει. μήποτε δὲ ἀπίθανος ἡ ἀπόστασις τοῦ "ἀκίνητοι κατὰ κύκλον," ἅμα δὲ καὶ ἀδιανόητος· δεῖται γὰρ τοῦ αἰὲν ἔασιν. ἀλλὰ μᾶλλον ῥητέον οὕτως ἀκούειν τὸν Ἀριστοτέλη, ὅτι καθ᾽ ὅσον μὲν εἰς ἄλληλα ἀεὶ μεταβάλλει, ἀΐδιος αὐτῶν ἡ μεταβολὴ καὶ ἡ κίνησις, καθ᾽ ὅσον δὲ ἐνθένδε ἐκεῖσε μεταβάλλοντα τάδε γίνεται, οἷον ἐκ πολλῶν ἓν ἢ ἐξ ἑνὸς πολλά, καὶ μετὰ τὴν μεταβολὴν ἵσταται ποτὲ μὲν εἰς τὸ ἓν εἶναι ποτὲ δὲ εἰς τὸ πολλά, ταύτῃ κατὰ περιόδους ἀεὶ μετὰ τὴν μεταβολὴν ἀποκαθιστάμενα εἰς τὸ τοῦ ἑνὸς ἢ τὸ τῶν πολλῶν εἶδος ἀκίνητά ἐστι κατὰ τὴν περίοδον ἐκείνην, ἕως ἂν πάλιν μεταβάλλειν ἄρξηται. φαίνεται δὲ καὶ ὁ Θεμίστιος ταύτης τῆς ἐννοίας ἐχόμενος· τὴν γὰρ ἠρεμίαν ἐν τοῖς μεταξὺ τῶν μεταβολῶν χρόνοις γίνεσθαί φησιν. Simpl. f. 258.

συντελεῖ δὲ καὶ πρὸς τὴν ἐπὶ τὴν πρώτην ἀρχὴν ἄνοδον, ἧς ἡ 251 a 7.
θεωρία οὐκέτι φυσικῆς ἐστι πραγματείας ἀλλὰ τῆς πρώτης φιλοσοφίας. id. f. 258 b.

ὁρμήσας ἀποδεῖξαι τὴν κίνησιν ἀΐδιον οὖσαν διὰ πλειόνων ἐπι- 251 a
χειρημάτων, τὸ πρῶτον ἀπὸ τοῦ ὁρισμοῦ ποιεῖται τῆς κινήσεως, ὃν ἐν 8.
τοῖς Φυσικοῖς διορισθῆναί φησι, Φυσικὰ καλῶν τὰ πρῶτα τῆς Φυσικῆς Ἀκροάσεως πέντε βιβλία, ἅπερ καὶ περὶ ἀρχῶν ὀνομάζει πολλάκις· ἐν γὰρ τῷ τρίτῳ τὸν τῆς κινήσεως ὁρισμὸν ἀποδέδωκεν, οὗ καὶ νῦν ὑπομιμνήσκει. id. ib.

ἐπειδὴ ἐν τοῖς φυσικοῖς καὶ γενητοῖς οὐ μόνα τὰ πάσχοντα κι- 251 a
νούμενα πάσχει, ἀλλὰ καὶ τὰ κινοῦντα κινούμενα ποιεῖ, καὶ δεῖ καὶ ἐπὶ 16.
τούτων προϋπάρχειν τοῦ κινοῦντος τὸ κινητικόν, διὰ τοῦτο προσέθηκε "καὶ καυστικὸν πρὶν κάειν." δῆλον δὲ ὅτι ταῦτα οὐκ ἐπὶ πάσης ἐνεργείας ἐστὶν ἀληθῆ· οὐ γὰρ ἐπὶ τῶν τελείων καὶ ὑπὲρ τὸ γενητόν, ἀλλ᾽ ἐπὶ τῶν ἀτελῶν, ἐφ᾽ ὧν ἀεὶ σύνεστι τὸ δυνάμει τῷ ἐνεργείᾳ. τοιαύτη δ᾽ ἐστὶν ἡ κίνησις ἀμφοῖν οὖσα μῖγμα. id. f. 259.

ἐπεὶ μὴ καθ᾽ αὑτὴν ἡ κίνησις ἀλλ᾽ ἐν πράγμασιν, τὰ πράγματα ταῦτα προϋπῆρχε τὸν ἄπειρον χρόνον καὶ ἦν ἀΐδια, ἢ καὶ αὐτὰ

ψόφον ἢ οὔ; τοῦ δὲ ψοφεῖν εἰπόντος τὸν μέδιμνον, τί οὖν, ἔφη ὁ Ζήνων, οὐκ ἔστι λόγος τοῦ μεδίμνου τῶν κέγχρων πρὸς τὸν ἕνα καὶ τὸ μυριοστὸν τοῦ ἑνός; τοῦ δὲ φήσαντος εἶναι, τί οὖν, ἔφη ὁ Ζήνων, οὐ καὶ τῶν ψόφων ἔσονται λόγοι πρὸς ἀλλήλους οἱ αὐτοί; ὡς γὰρ τὰ ψοφοῦντα, καὶ οἱ ψόφοι. τούτου δὲ οὕτως ἔχοντος, εἰ ὁ μέδιμνος τοῦ κέγχρου ψοφεῖ, ψοφήσει καὶ ὁ εἷς κέγχρος καὶ τὸ μυριοστὸν τοῦ κέγχρου. ὁ μὲν οὖν Ζήνων οὕτως ἠρώτα τὸν λόγον, ὁ δὲ Ἀριστοτέλης λύει λέγων μὴ πᾶσαν δύναμιν παντὸς μεγέθους κινητικὴν εἶναι, μηδὲ ἐν ὁποσῳοῦν χρόνῳ. κἂν ὁ μέδιμνος οὖν κινῇ τὸν τοσοῦτον ἀέρα ὅσος κινούμενος ψόφον ποιήσει, οὐκ ἀνάγκη καὶ τὸ μόριον τοῦ μεδίμνου δύνασθαι τοσοῦτον κινεῖν ἀέρα ὅσος ψοφήσει... ταύτῃ δὲ τῇ ἀναλογίᾳ τοῦ κινοῦντος καὶ τοῦ κινουμένου καὶ τοῦ διαστήματος τὸ σταθμικὸν ὄργανον τὸν καλούμενον χαριστίωνα συστήσας ὁ Ἀρχιμήδης, ὡς μέχρι παντὸς τῆς ἀναλογίας προχωρούσης, ἐκόμπασεν ἐκεῖνο τὸ πᾶ βῶ καὶ κινῶ τὰν γᾶν. ῥητέον οὖν ὅπερ καὶ πρότερον συντόμως ἐρρήθη, ὅτι οὐ πᾶσα δύναμις πᾶν βάρος πέφυκε κινεῖν, οὔτε ὁσονοῦν ἐλάχιστον διάστημα, οὔτε ἐν ὁποσῳοῦν πλείστῳ χρόνῳ, ἀλλ' οὐδὲ πᾶν μέγεθος ψοφεῖν πέφυκεν, ἀλλ' ἔστι τις ὅρος καὶ τῆς δυνάμεως τῆς ἐλαχίστης, ἥτις διαιρουμένη οὐκέτι δύναται κινεῖν οὐδὲ ὁσονοῦν διάστημα οὐδὲ ὁτιοῦν βάρος, καὶ τοῦ κινουμένου βάρους τοῦ μεγίστου, ὅπερ αὐξόμενον οὐκέτι δύναται κινεῖσθαι, οὐδὲ ὁσονοῦν διάστημα, οὐδὲ ὑφ' ἡστινοσοῦν τῶν σωματικῶς κινουσῶν δυνάμεων. ἐν μέσῳ δέ εἰσιν ὅροι τῶν δυνάμεων πρὸς τὰ βάρη καὶ τὰ διαστήματα καὶ τοὺς χρόνους, ἐν οἷς καὶ διαιρεῖσθαι δυνατὸν ἀναλόγως καὶ συντίθεσθαι... ἀλλὰ ταῦτα μὲν καθ' ἑαυτὰ θεωρίαν ἔχει τινὰ καὶ ζήτησιν ἀξιόλογον, ἐπὶ δὲ τὰ ἑξῆς ἰτέον. id. f. 255.

250 a 28. δείξας ἐπὶ τῆς φορᾶς τὰς τῶν κινούντων καὶ κινουμένων ἀναλογίας μέχρι τινὸς προϊούσας, οὐ μέντοι μέχρι παντός, ζητεῖ λοιπὸν εἰ οὕτως ἔχουσι καὶ ἐπὶ τῶν ἄλλων κινήσεων, τουτέστιν ἐπ' ἀλλοιώσεως καὶ αὐξήσεως, καὶ δείκνυσιν ὅτι τῶν ἄλλων τῶν αὐτῶν ὄντων ἀναγκαῖον καὶ τὰς συμμετρίας καὶ ἀναλογίας καὶ ἐπὶ τούτων μέχρι τινὸς προϊέναι... τοῦτο μὲν οὖν ἔστω τέλος καὶ τῆς τοῦ ἑβδόμου τοῦδε βιβλίου κατὰ τὸ δυνατὸν ἐξηγήσεως· οὐ χεῖρον δὲ ἴσως καὶ τοῦτο διὰ κεφαλαίων ἐπιδραμεῖν. id. f. 255 *b*.

250 b 9. Τῆς Φυσικῆς Ἀκροάσεως τοῦ Ἀριστοτέλους τὸ τελευταῖον βιβλίον, ὃ κατὰ μὲν τὸν ἀριθμὸν ὄγδοον τῆς ὅλης πραγματείας ἐστί, κατὰ δὲ τὴν τῶν στοιχείων τάξιν θῆτα τοῖς Περιπατητικοῖς ἐπιγράφειν ἔθος, πολλῶν καὶ καλῶν ἐστι θεωρημάτων μεστόν· τῇ τε γὰρ περὶ τῶν φυσικῶν ἀρχῶν πραγματείᾳ τέλος ἄριστον ἐπιτίθησιν, ἀΐδιον οὖσαν τὴν πρώτην φυσικὴν κίνησιν ἀποδεικνύον, καὶ τὴν ἀϊδιότητα τοῦ παντὸς διὰ τῆς ἀϊδίου κινήσεως λαμπρῶς ἀνακηρῦττον, καὶ τὸ δὴ μέγιστον τὴν φυσικὴν ἅπασαν θεωρίαν τῆς πρώτης ἐξάπτον φιλοσοφίας, καὶ πᾶσαν τὴν φυσικὴν ὕπαρξιν τῆς ὑπερφυοῦς αἰτίας ἐξηρτημένην ἀποδεικνύον, ὅταν καὶ κινούμενον πᾶν τὸ σῶμα τὸ φυσικὸν ἀποδείξῃ, καὶ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τὸ πρώτως καὶ κυρίως κινοῦν τῆς ἀκινήτου καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης οὐσίας ἐκφαίνῃ. τοιοῦτον οὖν ἔχον σκοπὸν τὸ βιβλίον εἰκότως εἴη πάσης ἀντιληπτικῆς προθυμίας ἐπάξιον. ἐπειδὴ δὲ τῶν ἐφ' ἡμῶν τις γεγονότων Τελχίνων οὐδὲν ἡγούμενος νεανικὸν ἀνθρώποις μόνοις βασκαίνειν, καὶ διὰ τοῦτο πρὸς τὸν οὐρανὸν αὐτὸν καὶ τὸν ὅλον κόσμον τὴν ἑαυτοῦ βασκανίαν ἐκτείνων, δεινὸν ἡγεῖται τὴν τούτων ἀϊδιότητα, καὶ παρακουσμάτων τινῶν οὐκ εὐτυχῶς οὐδὲ εὐγνωμόνως ἀπὸ φιλοσοφίας μεταχῶν πρός τε τὰ ἐν τῇ περὶ Οὐρανοῦ δεδειγμένα περὶ ἀϊδιότητος αὐτοῦ πέντε γέγραφε πολύστιχα βιβλία, ὧν τὸ σαθρὸν καὶ πρὸς ἀνοήτους μόνους ἀκροατὰς τεθαρρηκὸς ἐπειράθην ἐπιδεῖξαι τὸ πρῶτον τῆς περὶ Οὐρανοῦ πραγματείας ἐξηγούμενος, τὸ δὲ ἕκτον αὐτοῦ βιβλίον πρὸς τὴν ἀΐδιον ἐνταῦθα δεδειγμένην κίνησιν καὶ τὸν ἀΐδιον χρόνον ἀνεζώσατο, διότι τούτων ἀνελέγκτων μενόντων ἀνάγκη πάντως ἦν ἀΐδιον εἶναι καὶ αὐτὸ τὸ τὴν ἀΐδιον κίνησιν ἐν χρόνῳ ἀϊδίῳ κινούμενον, ἔδοξέ μοι τοῦτο τὸ βιβλίον ἐπερχομένῳ καὶ τὰς πρὸς αὐτὸ γενομένας ἀντιλογίας, ὁποῖαί τινές εἰσι καὶ ἀπὸ ποίας ἕξεως προαγόμεναι, τοῖς φιλομαθεστέροις ἐπιδεῖξαι. πειράσομαι δὲ κἀνταῦθα μετὰ τὴν ἐξήγησιν τῶν Ἀριστοτέλους λόγων τὰς πρὸς αὐτοὺς ἐνστάσεις παρατιθεὶς οὕτω τὴν βάσανον αὐταῖς προσάγειν. id. f. 257.

τὸ "οἷον ζωή τις οὖσα τοῖς φύσει συνεστῶσι πᾶσι" κατὰ τὴν 250 b 14.
Ἀριστοτέλους ἀκρίβειαν εἴρηται συμφωνοῦσαν τῷ Πλάτωνι· ζῆν γὰρ ἐκεῖνά φαμεν ὅσα ἔνδοθεν ἀφ' ἑαυτῶν κινεῖται· εἰ οὖν καὶ τὰ φυσικὰ πάντα ἀρχὴν κινήσεως ἐν ἑαυτοῖς ἔχει τὴν φύσιν, ζῆν καὶ ταῦτα εἰκότως ἂν λέγοιτο κατὰ τὴν ἔνδοθεν ἐπιτηδειότητα πρὸς κίνησιν. καὶ γὰρ ἐσχάτη τὴν ζῴων ἡ φύσις... ὅτι δὲ καὶ τοῦτο τῷ Πλάτωνι συμφώνως ὁ Ἀριστοτέλης ἐφθέγξατο, οἷον ζωὴν εἰπὼν τὴν ὡς φυσικὴν ἔνδοθεν κίνησιν, ἄκουε τῶν ἐν τῷ δεκάτῳ τῶν Νόμων γεγραμμένων περὶ τῆς ἔνδοθεν κινήσεως (p. 895)... ὁ δὲ Ἀλέξανδρος τὸ "οἷον ζωή τις οὖσα τοῖς φύσει συνεστῶσι πᾶσιν" ὡς δεικτικὸν τοῦ ἀθάνατον καὶ ἄπαυστον εἰρῆσθαι τὴν κίνησίν φησιν... μήποτε δὲ ὁ Ἀριστοτέλης οὐκ ἀπὸ τῆς τῶν φυσικῶν ἀϊδιότητος τὸ ἀΐδιον τῆς κινήσεως ἔδειξεν (οὐδὲ γὰρ ἀποδέδεικταί πω τέως ἀΐδια τὰ φυσικά), ἀλλὰ ἀπ' αὐτοῦ τοῦ τῆς φυσικῆς κινήσεως ὁρισμοῦ, ὡς μαθησόμεθα, τὴν φυσικὴν κίνησιν ἀΐδιον δείξει, καὶ ἀπὸ ταύτης τὸ φυσικὸν σῶμα. id. ib.

κοσμοποιεῖν λέγει τοὺς φυσικοὺς οὐχ ὡς γενητὸν ἀπὸ χρόνου τὸν 250 b 15.
κόσμον λέγοντας, ἀλλ' ὡς τὴν σύστασιν αὐτοῦ διὰ κινήσεως παραδιδόντας. οὕτω γὰρ καὶ Δημόκριτος κοσμοποιεῖ καὶ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας, οἱ μὲν συγκρίνεσθαι καὶ διακρίνεσθαι τὰ ἄτομα σώματα καὶ τὰ τέσσαρα στοιχεῖα λέγοντες, Ἀναξαγόρας δὲ ἐκκρίνεσθαι τὰς ὁμοιομερείας ἀπὸ τοῦ μίγματος λέγων· καὶ ἡ σύγκρισις δὲ καὶ ἡ διάκρισις καὶ ἡ ἔκκρισις κινήσεις τινές εἰσιν. καὶ περὶ γενέσεως δὲ καὶ φθορᾶς διαλέγονται πάντες, αἵτινες κἂν μὴ κινήσεις ὦσιν, ἀλλ' οὐκ ἄνευ γίνονται κινήσεως. id. f. 257 *b*.

οἱ μὲν γὰρ ἀπείρους τῷ πλήθει τοὺς κόσμους ὑποθέμενοι, ὡς οἱ 250 b 18.
περὶ Ἀναξίμανδρον καὶ Λεύκιππον καὶ Δημόκριτον καὶ ὕστερον οἱ περὶ Ἐπίκουρον, γινομένους αὐτοὺς καὶ φθειρομένους ὑπέθεντο ἐπ' ἄπειρον, ἄλλων μὲν ἀεὶ γινομένων ἄλλων δὲ φθειρομένων, καὶ τὴν κίνησιν ἀΐδιον ἔλεγον· ἄνευ γὰρ κινήσεως οὐκ ἔστι γένεσις ἢ φθορά. τῶν δὲ ἕνα μόνον κόσμον λεγόντων οἱ μὲν ἀγένητόν τε ἀπὸ χρόνου καὶ ἄφθαρ-

ἐν τῷ αὐτῷ χρόνῳ. εἶτα καὶ τὸν χρόνον διελών, ἐν τῷ ἡμίσει τοῦ χρόνου φησὶ τὸ ἥμισυ τοῦ βάρους τὸ αὐτὸ τοῦ μήκους διάστημα τὸ ἐξ ἀρχῆς κινηθήσεται τὸ γ′ ὑπὸ τῆς αὐτῆς δυνάμεως· οὕτω γὰρ ἡ ἀναλογία σώζεται. εἰ γάρ τι εἴη δεκατάλαντον βάρος κινοῦν ἐν ὥρᾳ σταδιαῖον διάστημα, τοῦτο τὸ πεντετάλαντον ἐν ὥρᾳ δύο στάδια κινήσει, ἐν ἡμιωρίῳ δὲ τὸ στάδιον μόνον. εἶτα τὸ διάστημα διελών, τοῦ βάρους τοῦ ἐξ ἀρχῆς μένοντος, συνδιαιρεῖ τὸν χρόνον· τῶν γὰρ αὐτῶν ὑποκειμένων ἡ α′ δύναμις τὸ β′ βάρος τὸ ἥμισυ τοῦ γ′ διαστήματος κινήσει ἐν τῷ ἡμίσει τοῦ δ′ χρόνου. . . ἡ δὲ δευτέρα ἀναλογία ἡ τὸ ἥμισυ τοῦ βάρους τὸ σταδιαῖον διάστημα λέγουσα ἐν τῷ ἡμίσει χρόνῳ κινεῖσθαι, οὕτως ἔχει τὸ ἀναγκαῖον. ὡς τὸ ὅλον βάρος πρὸς τὸ ἥμισυ, οὕτως ὁ ὅλος χρόνος πρὸς τὸν ἥμισυν, καὶ ἐναλλὰξ ὡς τὰ δέκα τάλαντα πρὸς ὥραν, οὕτω τὰ πέντε πρὸς ἡμιώριον. ταύτην ὁ Ἀλέξανδρος πρώτην τέθεικε τὴν ἀναλογίαν, τὴν πρώτην οἶμαι παρείς. δευτέραν δὲ τέθεικε τὴν λέγουσαν, εἰ ἡ ὅλη δύναμις τὸ ἥμισυ τοῦ βάρους ἐν τῷ ἡμίσει χρόνῳ τὸ σταδιαῖον ἐκίνησε διάστημα, ἐν τῷ ὅλῳ χρόνῳ διπλάσιον κινήσει τοῦ σταδιαίου διαστήματος. καὶ ἡ ἀναλογία δήλη. . . καὶ ἔστι μὲν τῇ πρὸ αὐτῆς ἀκόλουθός πως αὕτη, τὸ μὲν διάστημα φυλάττουσα τὸ αὐτό, τὸν δὲ χρόνον μερίζουσα· οὐ μέντοι αὐτὴν οἶμαι παρὰ τῷ Ἀριστοτέλει κεῖσθαι. ἡ δὲ τρίτη ἀναλογία ἡ τὸ διάστημα διαιροῦσα, τοῦ βάρους τοῦ ἐξ ἀρχῆς μένοντος, λέγει ὅτι ὡς τὸ διάστημα τὸ σταδιαῖον πρὸς τὸ ἥμισυ στάδιον, οὕτως ἡ ὥρα πρὸς τὸ ἡμιώριον, καὶ ἐναλλὰξ ὡς ἡ ὥρα πρὸς τὸ στάδιον, τὸ ἡμιώριον πρὸς τὸ ἡμιστάδιον, ὥστε εἰ ἡ ὅλη δύναμις τὸ ὅλον βάρος τὸ στάδιον ἐν ὥρᾳ ἐκίνει, τὸ ἡμιστάδιον ἐν ἡμιωρίῳ κινήσει. id. f. 254 (3).

250 a 6. τετάρτην ἀναλογίαν ἐπάγει νῦν, πρώτως τὴν δύναμιν μερίζων, ἅμα δὲ καὶ τὸ βάρος, καὶ δεικνὺς ὅτι ἡ ἡμίσεια δύναμις τὸ ἥμισυ βάρος ἐν τῷ ὅλῳ χρόνῳ, ᾧ ἡ ὅλη δύναμις τὸ ὅλον βάρος ἐκίνει, τὸ ἴσον διάστημα τῷ ἐξ ἀρχῆς κινήσει· ἡ γὰρ αὐτὴ ἀναλογία μένει τῆς δυνάμεως πρὸς τὸ βάρος, ὃ καὶ αὐτὸς ᾐτιάσατο. ὡς γὰρ ἡ α′ ἰσχὺς πρὸς τὸ β′ βάρος, οὕτως τὸ ἥμισυ πρὸς τὸ ἥμισυ, ὥστε ἴσον ἐν ἴσῳ χρόνῳ κινήσουσιν. εἶτα καὶ πέμπτην προστίθησιν, ἐν ᾗ τῆς μὲν δυνάμεως πάλιν τὸ ἥμισυ λαμβάνει, βάρος δὲ τὸ ἐξ ἀρχῆς καὶ χρόνον ἐκεῖνον τὸν δ′. id. ib.

250 a 12. διὰ μὲν τῆς πρὸ ταύτης λέξεως ἔδειξεν ὅτι ἐὰν ἡ ἡμίσεια ἰσχὺς τὸ ἥμισυ τοῦ βάρους κινῇ διάστημά τι ἔν τινι χρόνῳ, καὶ τὸ διπλάσιον βάρος κινήσειν τὴν αὐτὴν ἰσχὺν τὸ ἥμισυ τοῦ διαστήματος ἐν τῷ αὐτῷ χρόνῳ. διὰ δὲ ταύτης ἀναιρεῖ τὸ τὴν ἡμίσειαν ἰσχὺν δύνασθαι τὸ ὅλον βάρος κινεῖν ἐν τῷ αὐτῷ χρόνῳ τὸ ἥμισυ τοῦ διαστήματος. ἔοικεν οὖν τὸ πρότερον εἰρημένον ἐπ' ἐκείνων μόνων εἰρῆσθαι ἐφ' ὧν συγχωρεῖται τὰ μὲν κινεῖν τὰ δὲ κινεῖσθαι· ἔστι γάρ τινα οὕτως ἔχοντα πρὸς ἄλληλα ὡς καὶ τὸ ὅλον τοῦ ὅλου κινητικὸν εἶναι καὶ τὸ ἥμισυ τοῦ ἡμίσεος ἀναλόγως καὶ τὸ ἥμισυ τοῦ ὅλου, ἢ τοῦ διαστήματος ἐλαττουμένου ἢ τοῦ χρόνου πλεοναζομένου. καὶ δῆλον ὅτι ἐπὶ τῶν τοιούτων ἀληθὲς εἰπεῖν ὅτι ἐν ᾧ χρόνῳ ἡ ὅλη δύναμις τὸ ὅλον βάρος κινεῖ τοσόνδε τι διάστημα, ἐν τούτῳ τῷ χρόνῳ τὸ ἥμισυ τοῦ βάρους ὑπὸ τῆς ἡμισείας δυνάμεως τὸ αὐτὸ διάστημα κινηθήσεται, καὶ τὸ αὐτὸ βάρος ὑπὸ τῆς ἡμισείας δυνάμεως ἐν τῷ αὐτῷ χρόνῳ τὸ ἥμισυ τοῦ διαστήματος, ἢ τὸ ὅλον διάστημα ἐν διπλασίῳ χρόνῳ· οὐ γὰρ περὶ τοῦ πάντως κινήσειν ἐκεῖνο εἴρηται, ἀλλ' ὅτι ἂν κινῇ κατὰ τὴν ἐκκειμένην ἀναλογίαν κινήσει. . . οὐ τῷ ε′ ἐχρήσατο ἀλλὰ τῷ ζ′, ἵνα ᾖ, ὡς ἡ ὅλη δύναμις ἡ α′ πρὸς μόριον ἑαυτῆς ὁποσονοῦν τὸ ζ′, οὕτω τὸ ὅλον διάστημα τὸ γ′ πρός τι μόριον τῶν ἐν αὐτῷ. οὔτε οὖν τὸ ε′ φησίν, ὅ ἐστιν ἥμισυ τῆς α′ δυνάμεως, κινήσει τὸ β′ βάρος ἐν τῷ δ′ χρόνῳ, οὔτε ἔν τινι τοῦ δ′ χρόνου μορίῳ μέρος τοῦ γ′ διαστήματος, ὃ τὸν αὐτὸν ἕξει λόγον πρὸς ὅλον τὸ γ′ διάστημα, ὃν ἔχει τὸ εἰλημμένον μόριον τῆς α′ δυνάμεως πρὸς ὅλην τὴν α′· οὐδὲ γὰρ μόριον τῆς α′ ὅλον τὸ β′ κινήσει μόριον τοῦ γ′, οὔτε ἐν τῷ δ′ χρόνῳ οὔτε ἐν μορίῳ αὐτοῦ· ἐνδέχεται γὰρ τὸ μόριον τῆς α′ δυνάμεως μηδὲ ὅλως κινεῖν τὸ β′, μηδὲ ἐν πολλαπλασίῳ τοῦ δ′ χρόνου τὸ τυχὸν διάστημα. εἰ γὰρ ἡ κινοῦσα ἰσχὺς ἀναλόγως τῷ διαστήματι ἐφ' οὗ ἡ κίνησις διαιροῖτο, ὡς ἡ ὅλη τὸ ὅλον βάρος τὸ ὅλον διάστημα κεκίνηκε, καὶ τὴν ἡμίσειαν τῆς ἰσχύος τὸ αὐτὸ βάρος τὸ ἥμισυ κινεῖν διάστημα, καὶ τὴν τρίτην τὸ τρίτον, ἡ ναῦς ἂν ἡ ὑπὸ ἑκατὸν ἀνδρῶν νεωλκουμένη τοσόνδε διάστημα καὶ ὑπὸ ἑνὸς ἂν εἵλκετο τὸ ἑκατοστὸν τοῦ διαστήματος οὗ οἱ ἑκατὸν ἐκίνησαν νεωλκοί· ὅπερ ἀδύνατον ὁρᾶται. ἐκ δὲ τοῦ παραδείγματος δῆλον ὅτι τὸ α′ καὶ τὸ ζ′ ἐπὶ τῆς κινούσης δυνάμεως τέθεικεν, τὸ μὲν α′ ἀντὶ τῆς ὅλης, τὸ δὲ ζ′ ἀντὶ τῆς ὁποσηςοῦν, ὅπερ ἀντὶ τοῦ ε′ παρέλαβεν, διότι τὸ ε′ ὡρισμένως τὸ ἥμισυ ἐδήλου. ἀσάφειαν δὲ ἐποίησεν εἰπὼν "ὡς γὰρ τὸ μέρος τῆς γ′ πρὸς ὅλην αὐτήν, οὕτω τὸ ζ′ πρὸς τὸ α′," ἀλλ' οὐ τὸ α′ πρὸς τὸ ζ′. εἰ δὲ τὸ ζ′ μὴ ὡς μέρος ὁποσονοῦν τῆς δυνάμεως ἔλαβεν, ἀλλ' ὡς τὸ ἥμισυ τοῦ βάρους, ὡς πρότερον ὅτε ἔλεγε καὶ τοῦ β′ βάρους τὸ ζ′ ἥμισυ, ἐπειδὴ ἡ α′ δύναμις τὸ β′ βάρος ἐν τῷ δ′ χρόνῳ τὸ γ′ διάστημα ἐκίνει, δηλονότι ἐν τῷ αὐτῷ χρόνῳ τὸ ἥμισυ τοῦ β′ βάρους, τουτέστι τὸ ζ′, διπλάσιον διάστημα τοῦ γ′ κινήσει. ἀντὶ οὖν τοῦ εἰπεῖν ὅτι ὃν ἕξει λόγον τὸ μόριον τοῦ γ′ διαστήματος πρὸς τὸ ὅλον γ′, ἢ τὸ ὅλον γ′ πρὸς τὸ διπλάσιον αὐτοῦ, εἶπεν ὡς τὸ α′ πρὸς τὸ ζ′. οὕτως ὁ Ἀλέξανδρος βουλόμενος τὸ ζ′ μὴ καινοπρεπῶς ἐνθαῦτα παρειλῆφθαι, μηδὲ ἀκαίρως εἰρῆσθαι τὸ ὡς τὸ ζ′ πρὸς τὸ α′ ἀντὶ τοῦ ὡς τὸ α′ πρὸς τὸ ζ′, ἀπιθανωτέραν οἶμαι ἐξήγησιν ἐπενόησεν· οὐ γὰρ ἂν εἶπεν ὁ Ἀριστοτέλης ὅτι οὐδὲ ἔν τινι τοῦ δ′ τὴν γ′ ἢ τὴν διπλασίαν αὐτῆς τὸ ἥμισυ τῆς α′ δυνάμεως κινήσει. εἰ γὰρ τὸ γ′ διάστημα μὴ δύναται κινῆσαι τὸ β′ βάρος ἡ ἡμίσεια τοῦ α′ δύναμις ἡ ε′ ἐν τῷ δ′ χρόνῳ, πολλῷ μᾶλλον τὸ διπλάσιον τοῦ γ′ μήκους οὐκ ἂν κινήσει. κάλλιον οὖν τὸ "ἢ ἀνάλογον πρὸς τὴν ὅλην γ′" ἐπὶ μέρους τῆς γ′ ἀκούειν, ὡς εἴρηται πρότερον. id. f. 254 (3) *b*.

250 a 19. εἰπὼν ὅτι οὐκ ἄν, εἰ ἡ ὅλη δύναμις τὸ ὅλον βάρος ἐκίνει ἔν τινι χρόνῳ διάστημά τι, ἤδη καὶ ἡ ἡμίσεια τῆς δυνάμεως τὸ ὅλον βάρος ἐν τῷ αὐτῷ χρόνῳ κινήσει ἥμισυ ἢ μόριόν τι τοῦ διαστήματος (οὐδὲ γὰρ πᾶν μόριον τῆς κινούσης δυνάμεως τὸ ὅλον βάρος κινητικὸν τοῦ ὅλου ἔσται, οὐδὲ ἐν ὁσῳοῦν χρόνῳ, οὐδὲ ὁσονοῦν διάστημα), διὰ τοῦτο λύει καὶ τὸν Ζήνωνος τοῦ Ἐλεάτου λόγον, ὃν ἤρετο Πρωταγόραν τὸν σοφιστήν. εἰπὲ γάρ μοι, ἔφη, ὦ Πρωταγόρα, ἆρα ὁ εἷς κέγχρος καταπεσὼν ψόφον ποιεῖ, ἢ τὸ μυριοστὸν τοῦ κέγχρου; τοῦ δὲ εἰπόντος μὴ ποιεῖν, ὁ δὲ μέδιμνος, ἔφη, τῶν κέγχρων καταπεσὼν ποιεῖ

μενα κινεῖται τὸν αὐτὸν τῷ ἀριθμῷ καὶ ἄτομον εἶναι, συναπτέον τῷ "πότερον οὖν αἴτιον ὅτι ἔστιν ἡ φορὰ γένος ἢ ὅτι ἡ γραμμὴ γένος;" τὸ "ἢ ἅμα κἀκεῖνα εἴδει διαφέρει," τουτέστιν ἀκολουθεῖ θατέρῳ θάτερον. πόθεν δὲ ἀρχομένης τῆς διαφορᾶς ἀκολουθεῖ ἡ τοῦ ἑτέρου διαφορά, ἐδήλωσε προσθεὶς "καὶ γὰρ ἡ φορὰ εἴδη ἔχει, ἂν ἐκεῖνο ἔχῃ εἴδη." ἂν μὲν γὰρ τὰ ὑποκείμενα ᾖ τῷ εἴδει διαφέροντα, ἀνάγκη καὶ τὰς ἐν αὐτοῖς κινήσεις εἴδει διαφέρειν. οὐ μὴν ἀνάπαλιν, φησὶν ὁ Ἀλέξανδρος, ἐπὶ πάντων ἀληθές· οὐ γὰρ αἱ κατ' εἶδος διαφέρουσαι κινήσεις ἀεὶ ἐπὶ διαφόρων κατ' εἶδος ὑποκειμένων γίνονται... ἐν δὲ τῇ λέξει ταύτῃ ἀσάφειαν ἔχειν ἐκεῖνό μοι δοκεῖ τὸ ῥητὸν "εἰ δὴ τοῦ μήκους ἐν τῳδὶ τὸ μὲν ἠλλοιώθη τὸ δὲ ἠνέχθη." πῶς γὰρ λέγεται ἀλλοιωθῆναί τι ἐν τῷ ἡμίσει, εἰ τύχοι, τῆς εὐθείας; εἰ μὴ ἄρα τὸ φερόμενον ἐν μὲν τῷ ἡμίσει τῆς εὐθείας φερόμενον ἅμα καὶ ἀλλοιοῖτο, ἐν δὲ τῷ ἡμίσει φέροιτο μόνον ἢ αὐτὸ ἢ ἄλλο· ἢ εἴ τι σῶμα συμπαρατεταμένον τῷ ἡμίσει τοῦ μήκους κατὰ μὲν τὸ τοσοῦτον μῆκος ἠλλοιώθη, κατὰ δὲ τὸ ἕτερον ἥμισυ ἠνέχθη ἐν τῷ ἴσῳ χρόνῳ ἑκάτερον. οὐ γὰρ ἔστιν εἰπεῖν τότε ὅτι ἡ ἀλλοίωσις ὁμοταχής ἐστι τῇ φορᾷ, κἂν ὁ χρόνος ἴσος ᾖ, κἂν τὰ διαστήματα ἴσα ᾖ τοῦ μήκους, τό τε καθ' ὃ ἀλλοιοῦται καὶ τὸ καθ' ὃ φέρεται. καὶ ἴσως διὰ τοῦτο εἶπε τοῦ μήκους ἐν τῳδὶ τὸ μὲν ἀλλοιοῦσθαι τὸ δὲ φέρεσθαι, ἵνα δείξῃ ὅτι κἂν τὸ μήκει ἴσον τις ὑποθῆται τῆς ἀλλοιώσεως, οὐδὲ οὕτω συμβληταί εἰσιν αἱ κινήσεις. id. f. 253 *b*.

249a 17. εἰπὼν πρότερον μὲν ὅτι ἐὰν ἔχῃ εἴδη τὸ ἐφ' οὗ κινεῖται, καὶ ἡ φορὰ εἴδη ἔχει, τουτέστι διαφορὰς κατ' εἶδος, νῦν δὲ ὅτι ἐὰν τὸ ὑποκείμενον ἀδιάφορον ᾖ τῷ εἴδει καὶ ἡ κίνησις ἀδιάφορός ἐστι, συντομωτέραν ποιῶν τὴν θεωρίαν, ὅταν, φησί, ζητῶμεν ποῖαι κινήσεις συμβληταὶ καὶ ποῖαι ἀσύμβλητοι, οὐκ ἀνάγκη τὸ ὑποκείμενον σκοπεῖν, ἀλλ' ἀρκεῖ τὴν κίνησιν αὐτὴν περὶ ἧς ζητοῦμεν εἰ συμβλητὴ ἢ οὔ, πρόχειρον ἡμῖν οὖσαν σκοπεῖν, εἰ ἔχει διαφορὰς κατ' εἶδος· πάντως γὰρ ὁμοίως ἔχει καὶ τὸ ὑποκείμενον, καὶ οὐδὲν δεόμεθα εἰς ἄμφω βλέπειν... πλείονα δέ φησιν αὐτὸν ὁ Ἀλέξανδρος εἰρηκέναι περὶ τῆς ἀσυμβλήτου κινήσεως, διότι οὔπω δέδεικται ὅτι οὐκ ἔστιν εὐθεῖα ἴση περιφερείᾳ, ἀλλὰ μεμένηκε ζητούμενον. διὸ καθόλου λέγει τῇ κατ' εἶδος διαφορᾷ τῶν γραμμῶν τὴν κατ' εἶδος διαφορὰν τῶν κινήσεων ἀκολουθεῖν. id. f. 254.

249a 25. εἰπὼν τὰ μὲν διαφέροντα κατ' εἶδος ἀσύμβλητα εἶναι, τὰ δὲ ἀδιάφορα συμβλητά, ζητεῖ λοιπὸν πότε ἕτερον τὸ εἶδος καὶ διάφορον. ἆρα ὅταν τὰ ὑποκείμενα διαφέρῃ καὶ τὸ εἶδος ἕτερόν ἐστι τὸ ἐν τοῖς διαφόροις ὑποκειμένοις. id. f. 254 *b*.

249a 28. ἵνα οὖν μὴ ἐν τοῖς κατὰ μέρος περιπλανώμεθα, τίς ὅρος καὶ κριτήριον ἂν εἴη τῆς τοιαύτης διακρίσεως; ἆρα οὖν, ὥσπερ ἐδόκει Πρωταγόρᾳ, ἡ αἴσθησις κριτήριον ἱκανὸν τῶν τοιούτων ἐστίν, ὥστε τὸ ἑκάστῳ φαινόμενον κατὰ τὴν αἴσθησιν, τοῦτο καὶ ἀληθὲς νομίζειν, εἴτε ταὐτὸν εἴτε ἕτερον ἡ αἴσθησις ἀπαγγέλλει; ἢ οὐ χρὴ τῇ αἰσθήσει καὶ τῇ ἀπ' αὐτῆς φαντασίᾳ τὴν κρίσιν ἐπιτρέπειν, πολλαχοῦ διαψευδομέναις, ἀλλὰ τῷ λόγῳ τὴν φύσιν καὶ τὴν ὕπαρξιν τῶν πραγμάτων ζητεῖν. id. ib.

ἀλλ' ἐπὶ ἀλλοιώσεως τί ἂν εἴη τὸ καθ' ὃ ἀλλοιοῦται τὸ ἀλλοιούμενον; δηλονότι ποιότης· ἡ γὰρ κατὰ ποιότητα μεταβολὴ ἀλλοίωσις λέγεται. τὸ δὲ ἴσον οὐκ ἔστιν ἐπὶ ποιότητος λεγόμενον, ἀλλ' ὡς ἐν τῷ ποσῷ ἰσότης λέγεται, οὕτως ἐν τῷ ποιῷ ὁμοιότης, ὡς καὶ ἐν Κατηγορίαις διώρισται. τούτοις οὖν καλῶς ἐπιστήσας, ἴσω φησὶν ἰσοταχὲς εἶναι ἐπὶ ἀλλοιώσεως τὸ τὸ αὐτὸ μεταβάλλειν ἐν τῷ ἴσῳ χρόνῳ, κοινὸν ὄνομα τὸ τοῦ ταὐτοῦ καὶ τῆς ἰσότητος εὑρὼν καὶ τῆς ὁμοιότητος. καὶ ἀπορεῖ λοιπὸν τὸ ἐν ταῖς συμβληταῖς ἀλλοιώσεσι ταὐτόν, πότερον ἐν τῷ ὑποκειμένῳ δεῖ ζητεῖν ἐν ᾧ τὸ πάθος, ἢ ἐν αὐτῷ τῷ πάθει. id. f. 254 (2). 249a 29.

καὶ τὴν αἰτίαν ἐπήγαγεν· καθ' ὃ γὰρ ἡ τῶν παθῶν διαφορὰ 249b 9.
καθ' ἃ ἡ ἀλλοίωσις, εὐθὺς εἴδη ποιεῖ διάφορα ἀλλοιώσεως, κἂν περὶ ταὐτὸν ὑποκείμενον γίνηται. καὶ χρὴ ἐν τῷ "ἢ ἤδη ταῦτα" τὸ η δασύνειν. ἐρρήθη γὰρ καὶ ἐπὶ τῆς φορᾶς, ὅτι αἱ ἀνομοειδεῖς κινήσεις οὐκ εἰσὶ συμβληταί· ὥστε οὐδὲ ἐπὶ ἀλλοιώσεως αἱ κατὰ τὰ διαφέροντα τῷ εἴδει πάθη γινόμεναι συμβληταί εἰσιν. id. ib.

ὡς γνώριμον δὲ ἐκ τῶν προειρημένων παρῆκε τὴν αὔξησιν καὶ 249b 19.
τὴν μείωσιν. ἡ γὰρ τοῖς ὁμοειδέσιν ἐν ἴσῳ χρόνῳ ἴση γινομένη πρόσθηκη δι' ὅλου ἰσοταχὴς αὔξησις, καὶ ἡ ἀφαίρεσις ἡ τοιαύτη μείωσις ἰσοταχής· τὸ γὰρ ἴσον καὶ ἐπὶ τῆς αὐξήσεως καὶ μειώσεως οὕτω λέγεται, ὡς καὶ ἐπὶ τῆς φορᾶς. ἀλλὰ τοῦτο μὲν ὡς σαφὲς παρῆκε, ζητεῖ δὲ ἐπὶ γενέσεως καὶ φθορᾶς, πῶς γένεσις γενέσει καὶ φθορὰ φθορᾷ ἰσοταχὴς λέγεται. καὶ ὥσπερ διαπορῶν καὶ ἐρωτῶν, ἆρα φησὶν ἰσοταχὴς λέγεται γένεσις, εἰ ἐν ἴσῳ χρόνῳ τὰ αὐτὰ τῷ εἴδει καὶ ἄτομα κατὰ τὸ εἶδος γένοιτο, οἷον ἄνθρωπος, ἀλλὰ μὴ κατὰ γένος τὸ αὐτό, οἷον ζῷον; id. f. 245 (2) *b*.

βουλόμενος δὲ καὶ ἐπὶ τῆς κατ' οὐσίαν μεταβολῆς εὑρεῖν ὀνό- 249b 21.
ματα οἰκεῖα, ἐπειδή φησιν ἡ οὐσία ἧς ἡ γένεσίς ἐστιν ἐξ ἀριθμῶν σύγκειται, θάττω γένεσιν ῥητέον καὶ βραδυτέραν καὶ ὅλως ἀνισοταχῆ, ὅταν ἐν τῷ αὐτῷ ἢ τῷ ἴσῳ χρόνῳ τοῦ μὲν πλείων τοῦ δὲ ἐλάττων ἀριθμὸς ὁμοειδὴς γίνοιτο, ὡς ὅταν ἀνθρώπων γινομένων ἐν τῷ αὐτῷ ἢ ἴσῳ χρόνῳ τοῦ μὲν πλείων ἀριθμὸς γένηται, οἷον πλείονα τῷ ἀριθμῷ μόρια, τοῦ δὲ ἐλάττων... ἀριθμὸν δὲ τὴν οὐσίαν εἶπεν ἢ τοῖς Πυθαγορείοις ἀκολουθῶν, ἀρχὰς τῶν ὄντων λέγουσι τοὺς ἀριθμούς ("κέκλυθι κύδιμ' ἀριθμέ, πάτερ μακάρων πάτερ ἀνδρῶν," καὶ "ἀριθμῷ δέ τε πάντ' ἐπέοικεν"), ἢ ὅτι κατ' ἀριθμούς τινας ὡρισμένους τῶν τε στοιχείων καὶ τῶν μερῶν ἁπάντων γενέσεις καὶ συστάσεις ἐπιτελοῦνται· διὸ οὐδὲ τῶν ἀνθρωπίνων τεχνῶν τῶν τὴν ὅλην δημιουργίαν μιμουμένων οὐδεμία δύναται χωρὶς ἀριθμοῦ συστῆναι. id. ib.

οἰκεῖος καὶ αὐτὸς ὁ λόγος ἐστὶ τῷ περὶ τῆς τῶν κινήσεων συγ- 249b 27.
κρίσεώς τε καὶ παραβολῆς· καὶ γὰρ ἐνταῦθα παραβάλλων τό τε κινοῦν καὶ τὸ κινούμενον τὰς πρὸς ἄλληλα αὐτῶν ἀναλογίας ἐπιζητεῖ, ἐπί τε φορᾶς καὶ ἀλλοιώσεως καὶ αὐξήσεως καὶ μειώσεως. ζητεῖ γὰρ εἰ ὥσπερ ἡ πολλαπλασία δύναμις τινὸς δυνάμεως κινούσης τι πολλαπλάσιον κινεῖ ἐκείνου, οὕτω καὶ τὸ πολλοστημόριον τῆς κινούσης τι δυνάμεως πολλοστημόριον κινήσει τοῦ ὑπ' ἐκείνης κινουμένου. id. ib.

τούτων κειμένων, τὸ βάρος πρῶτον διελὼν φησι, τὴν ἴσην 250a 1.
δύναμιν ἢ τὴν αὐτὴν τὸ ἥμισυ τοῦ βάρους διπλάσιον διάστημα κινεῖ

παθητικὰς μόνας ποιότητας τὴν ἀλλοίωσιν γίνεσθαί φησιν ὁ Ἀριστοτέλης. id. ib.

248 a 10. συμπερανάμενος τὸν ἐξ ἀρχῆς λόγον τὸν δεικνύντα ὅτι τὸ πρώτως κινοῦν μὴ ὡς τὸ οὗ ἕνεκα ἀλλὰ τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ τὸ προσεχῶς ὑπ' αὐτοῦ κινούμενον κατὰ πᾶν εἶδος κινήσεως ἅμα ἐστὶ καὶ οὐδέν ἐστι μεταξύ, καὶ ἕκαστον εἶδος κινήσεως μέχρι νῦν ἐπισκεψάμενος καθ' αὑτό, καὶ τὰ ὑπάρχοντα αὐτῷ παραδούς, ἀπορεῖ καὶ ζητεῖ ἐντεῦθεν εἰ πᾶσα κίνησις πάσῃ ἐστὶ συμβλητὴ κατὰ τὰς ἰδίας τῆς κινήσεως διαφοράς, τό τε θᾶττον καὶ τὸ βραδύτερον... ἰστέον δὲ ὅτι τὸ συμβάλλειν ταὐτὸν σημαίνει τῷ παραβάλλειν καὶ συγκρίνειν καὶ ὅλως συνεξετάζειν. ἀλλ' οἱ μὲν ἀρχαῖοι παραβάλλεσθαι ταῦτα ἀλλήλοις ἔλεγον, οἱ δὲ νεώτεροι συγκρίνεσθαι, τῶν ἀρχαίων φυσικῶν τῷ τῆς συγκρίσεως ὀνόματι κεχρημένων ἐπὶ τοῦ συνάγοντος εἰς ταὐτὸ τὰ κεχωρισμένα. id. ib.

248 a 12. τοῦτο δὲ ἐζητεῖτο μὲν ἔτι, εἰ δυνατὸν εὐθεῖαν ἴσην εἶναι περιφερεῖ, ἀπέγνωστο δὲ μᾶλλον, καὶ διὰ τοῦτο οὐδὲ ὁ τοῦ κύκλου τετραγωνισμὸς ηὕρητό πω. καὶ νῦν δὲ κἂν δοκῇ ηὑρῆσθαι, ἀλλὰ μετά τινων ὑποθέσεων ἀντιλεγομένων. id. f. 251 b.

248 b 3. ἴση ἄρα καὶ οὕτως ἔσται ἡ εὐθεῖα τῇ περιφερείᾳ. ὃ δεδήλωκεν διὰ τοῦ "ἔσται τι μέρος τοῦ α' ἐν ᾧ τὸ β' τοῦ κύκλου δίεισι." λαμβάνει δὲ τὸ β' τὸ μέρος τοῦ κύκλου, ὃ ἴσον ἐστὶ τῇ γ'. τὸ δὲ "καὶ τὸ γ' ἐν ὅλῳ τῷ α' τὴν γ'" ἀσάφειαν ἔχε, διότι καὶ τὸ κινούμενον κατὰ τῆς εὐθείας ἐκάλεσε νῦν γ', μὴ πρότερον καλέσας. παραστὰς δὲ οὕτω τῷ λέγοντι λόγῳ συμβλητὰ εἶναι καὶ τὴν εὐθεῖαν τῇ περιφερείᾳ καὶ τὰς ἐπ' αὐτῶν κινήσεις (ἑκατέρῳ γὰρ θάτερον ἕπεται) τὸ μὲν ἐλέγξαι τὸν παραλογισμὸν τῆς συνηγορίας παρῆκε νῦν, ὡς τελειότερον μέλλων τὴν διακριτικὴν αἰτίαν ἐπάγειν τῶν τε συμβλητῶν καὶ τῶν μή, εἰς δὲ τὸ αὐτὸ ἀδύνατον ἀπαγαγὼν πάλιν ἀναιρεῖ τὸ εἶναι συμβλητὰς τὰς κινήσεις καὶ τὰς γραμμάς, τὴν εὐθεῖαν τῇ περιφερεῖ. εἰ γάρ εἰσιν αἱ γραμμαὶ συμβληταί, φησίν, συμβαίνει τὸ ἀρτίως ῥηθὲν ἀδύνατον, τὸ ἴσην εἶναι εὐθεῖαν κύκλῳ. id. f. 252.

248 b 6. ἀπορήσας ἐφ' ἑκάτερα περὶ τοῦ συμβλητὰς εἶναι ἢ οὔ τάς τε γραμμάς, τήν τε εὐθεῖαν καὶ τὴν περιφερῆ, καὶ τὰς ἐπ' αὐτῶν κινήσεις, βούλεται λοιπὸν φιλοσόφως κανόνα τινὰ εὑρεῖν καθ' ὃν δυνατὸν ἔσται τάς τε συμβλητὰς πάσας καὶ τὰς ἀσυμβλήτους διακρίνειν κινήσεις, κἂν ἐπὶ πασῶν κινήσεων τὸ ταχέως καὶ βραδέως κατηγορῆται... εἰπὼν δὲ ὅτι ἡ νήτη τῇ παρανήτῃ συμβλητή, διότι ταὐτὸ σημαίνει τὸ ὀξὺ ἐπ' ἀμφοῖν, ἐπήγαγεν "ἆρ' οὖν οὐ ταὐτὸν τὸ ταχὺ ἐνταῦθα κἀκεῖ;" τουτέστιν ἐπί τε τῆς ἐπ' εὐθείας καὶ τῆς ἐπὶ κύκλου κινήσεως. πολὺ δὲ ἔτι ἧττόν φησιν τὸ ταὐτὸν τοῦ ταχέος ἐν ἀλλοιώσει καὶ φορᾷ· πλείων γὰρ ἐνταῦθα ἡ διαφορά, εἴπερ ἡ μὲν ἀλλοίωσις ποιότητος, ἡ δὲ φορὰ τῆς που κατηγορίας ἐστίν, ἡ δὲ εὐθεῖα καὶ ἡ περιφερὴς ποσὰ ἄμφω, καὶ ἄμφω συνεχῆ ποσά, καὶ γραμμαὶ ἄμφω. τοῦτο δὲ προσέθηκε διὰ τὸ μετ' ὀλίγον ῥηθησόμενον, ὅτι εἰσὶ τῶν ὁμωνυμιῶν αἱ μὲν πολὺ ἀπέχουσαι αἱ δὲ ἔχουσαί τινα ὁμοιότητα. ἰστέον δὲ ὅτι ἡ γραφὴ τοῦ ῥητοῦ τούτου διάφορος φέρεται, ὅπου μὲν "ἀλλ' ὅσα μὴ ὁμώνυμα, ἅπαντα συμβλητά," ὡς καὶ ὁ Ἀλέξανδρος ἔγραψεν, ὅπου δὲ "ἀλλ' ὅσα μὴ συνώνυμα ἅπαντα ἀσύμβλητα." τινὲς δὲ τὴν ἐν τῷ ἑτέρῳ ἑβδόμῳ βιβλίῳ γραφὴν ἐνταῦθα μετατεθείκασιν ἔχουσαν οὕτως "ἀλλ' ἆρά γε ὅσα μὴ ὁμώνυμα ἅπαντα συμβλητά;" δῆλον δὲ ὅτι πάντα τὴν αὐτὴν ἔννοιαν ἔχει. id. ib.

249 a 3. ἀσφαλῶς καὶ ἐνταῦθα τὸ πρῶτον προσέθηκεν, εἰπὼν "ἀλλ' ἐν ἑνὸς τὸ πρῶτον." δύναται γάρ τινα δευτέρως ὄντα δεκτικά τινος, διαφέροντα ἀλλήλων κατ' εἶδος, συμβλητὰ ἀλλήλοις εἶναι κατ' ἐκεῖνο ὃ δευτέρως ἐδέξατο... ἀλλὰ δεῖ πρὸς τὸ μὴ εἶναι ὁμώνυμα τὰ συμβλητὰ ὁμογενῆ ὄντα, μηδὲ τὴν κατ' εἶδος ἔχειν διαφοράν, ἀλλ' ἓν εἶναι καὶ τῷ εἴδει ἀτόμῳ ὄντι, καὶ μὴ μόνον τῷ γένει καὶ ἐν ἑνὶ τῷ εἴδει δεκτικῷ· τοῦτο γὰρ σημαίνει τὸ "μὴ ἔχειν διαφοράν, μήτε ὃ μήτε ἐν οἷς·" τὸ μὲν γὰρ ὃ τὸ εἶδος αὐτὸ τὸ συγκρινόμενον λέγει, οἷον τὸ πολὺ ἢ τὸ διπλάσιον, τὸ δὲ ἐν οἷς τὸ ἐφ' οὗ τὸ καθ' ὃ ἡ σύγκρισις. id. f. 253.

249 a 8. κἂν ταὐτὸν οὖν ᾖ τὸ μῆκος ἢ ἴσον ἐφ' οὗ ἡ κίνησις, ἀλλὰ δεῖ καὶ τὴν κίνησιν τὴν ἐπὶ τῶν ἴσων εὐθειῶν ἐν τῷ αὐτῷ χρόνῳ γινομένην τὸ αὐτὸ εἶδος ἔχειν τῆς κινήσεως, εἰ μέλλοι ἰσοταχῆ εἶναι τὰ κινούμενα. ὡς δὲ αἱ διαφέρουσαι τῷ εἴδει κινήσεις ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου γινόμεναι οὐ συμβληταί, οὐδὲ αἱ ἀδιάφοροι κατ' εἶδος κινήσεις συμβληταὶ ἔσονται, ἂν ᾖ τὰ ὑποκείμενα αὐταῖς κατ' εἶδος διάφορα. ὥστε τὰ ἐν ἴσῳ χρόνῳ ἴσον μῆκος κατὰ φορὰν ἄμφω κινηθέντα ἰσοταχῆ ἂν εἴη καὶ συμβλητά. εἰ οὖν λέγοι τις ἰσοταχῆ τὰ ἐπ' εὐθείας καὶ περιφερείας, ἴση ἔσται ἡ εὐθεῖα τῇ περιφερεῖ. εἰ οὖν τοῦτο ἀδύνατον, τί τὸ αἴτιον τοῦ ἀδύνατον ἀκολουθῆσαι τῷ λέγοντι συμβλητὰς εἶναι ταύτας τὰς κινήσεις; ἆρα ὅτι ἡ φορὰ οὐκ ἔστιν ἔσχατον εἶδος ἀλλ' ἔτι γένος ἐστίν, ὡς διαιρεῖσθαι εἰς εἴδη τήν τε ἐπ' εὐθείας καὶ τὴν ἐπὶ κύκλου... ἔδει γὰρ ἐπὶ τῶν συμβλητῶν τήν τε κίνησιν ὁμοειδῆ εἶναι καὶ τὰ ἐν οἷς ἡ κίνησις. πλὴν αὐτὸς ζητεῖ πότερον ἄρα τῷ ἑτέρῳ τῆς διαφορᾶς αἴτιόν ἐστιν ἡ φορὰ γένος ἔτι οὖσα, ἢ ἡ γραμμὴ γένος οὖσα· ὁ μὲν γὰρ χρόνος ὁ αὐτὸς ὢν οὐ τῷ εἴδει μόνον ὁ αὐτὸς ἀλλὰ καὶ τῷ ἀριθμῷ, οὐκ ἂν εἴη ταύτης τῆς διαφορᾶς αἴτιος. ἀλλ' ἔοικε τὴν τῶν γραμμῶν διαφορὰν αἰτιᾶσθαι τῆς τῶν κινήσεων διαφορᾶς· τὸ γὰρ "ἂν δὲ τῷ εἴδει ᾖ ἄλλα" περὶ τῶν γραμμῶν εἰπών, ἐπήνεγκε κατ' ἐκεῖνα εἴδει διαφέρει ἥ τε ἐπ' εὐθείας φορὰ καὶ ἡ ἐπὶ κύκλου, ὡς δηλοῖ τὰ ἐφεξῆς· "καὶ γὰρ ἡ φορά" φησιν "εἴδη ἔχει, ἂν ἐκεῖνο εἴδη ἔχῃ ἐφ' οὗ κινεῖται." ὁ δὲ Ἀλέξανδρος εὑρὼν γεγραμμένον "ἂν δὲ τῷ εἴδει ᾖ, καὶ ἐπ' ἐκεῖνα εἴδει διαφέρει," ἐλλείπειν φησὶ τῷ "ἂν δὲ τῷ εἴδει ᾖ" τὸ ἕτερα. ἐγὼ μέντοι ἐν διαφόροις ἀντιγράφοις οὕτως εὗρον τὴν γραφὴν "ἂν δὲ τῷ εἴδει ᾖ ἄλλα, καὶ ἐκεῖνα εἴδει διαφέρει." καὶ ἄλλην δέ φησιν ὁ Ἀλέξανδρος γραφὴν φέρεσθαι ἔχουσαν οὕτως "ὁ μὲν γὰρ χρόνος ὁ αὐτὸς ἀεὶ ἄτομος τῷ εἴδει. ἢ ἅμα κἀκεῖνα εἴδει διαφέρει." ἀλλὰ τὴν μὲν γραφὴν ταύτην ἐκ τοῦ ἑτέρου ἑβδόμου βιβλίου ἐνταῦθά τις μετατέθεικε, καὶ οὐδὲν ἔδει πολυπραγμονεῖν αὐτὴν νῦν, ὥσπερ οὐδὲ τὰ ἄλλα τὰ ἐκεῖ γεγραμμένα. πλὴν ἐπειδὴ ἀσαφῶς προῆκται, οὐδὲν κωλύει τὴν ἐπ' αὐτῇ τοῦ Ἀλεξάνδρου ἐξήγησιν παραγράψαι. παρεμβεβλημένου γάρ, φησίν, τοῦ πάντα χρόνον ἐν ᾧ τὰ ἅμα κινού-

246 b 3. ὅτι μή εἰσιν ἀλλοιώσεις αἱ κατὰ τὰς ἀρετὰς καὶ τὰς κακίας μεταβολαί, δείκνυσιν ἐκ τοῦ μηδὲ ποιότητας αὐτὰς εἶναι ἀλλὰ ὑπὸ τὰ πρός τι ἀνάγεσθαι· κατὰ δὲ τὰ πρός τι ἔδειξεν αὐτὸς ἐν τῷ πέμπτῳ βιβλίῳ μήτε ἀλλοίωσιν γίνεσθαι μήτε ὅλως μεταβολήν... εἰ οὖν αἱ ἀρεταὶ καὶ κακίαι τοῦ σώματος ἐν τῷ πρός τι πως ἔχειν εἰσί, δέδεικται δὲ ἐν τῷ ἑβδόμῳ βιβλίῳ ὅτι ἐν τῷ πρός τι οὐκ ἔστι κίνησις καθ' αὑτὸ οὐδὲ μεταβολὴ ὅλως, δηλονότι οὐδὲ ἀλλοίωσις εἴη ἄν... φανερὸν οὖν ἐκ τῶν πρότερον εἰρημένων ὅτι ἡ κατὰ τὸ σχῆμα μεταβολὴ οὐκ ἔστιν ἀλλοίωσις, ἐκ δὲ τῶν νῦν ὅτι οὐδὲ ἡ κατὰ τὰς ἀρετὰς καὶ τὰς κακίας τοῦ σώματος μεταβολή, καὶ ὅλως αἱ τῶν ἕξεων ἀποβολαὶ καὶ λήψεις οὐκ εἰσὶν ἀλλοιώσεις. ἐφεξῆς δὲ τὴν αἰτίαν διδάσκει δι' ἣν ἀλλοιοῦσθαι δοκεῖ τὰ κατ' αὐτὰς μεταβάλλοντα... εἰπὼν δὲ ὅτι αἱ ἕξεις ἐγγίνονται ἀλλοιουμένων τινῶν, οἷον ψυχρῶν θερμῶν ξηρῶν ὑγρῶν, ἐπήγαγεν "ἢ ἐν οἷς τυγχάνουσιν οὖσαι πρώτοις" (v. 17), ὡς οὐ προκείμενον αὐτῷ νῦν ζητεῖν περὶ τὰ τίνων πάθη καὶ κατὰ τίνας μεταβολὰς πρώτας καὶ ἀλλοιώσεις αἱ ἕξεις ἐγγίνονται, εἴτε τὰ τῶν ὁμοιομερῶν, ὡς Ἀναξαγόρας, εἴτε τὰ τῶν ἀτόμων, ὡς ὁ Δημόκριτος, εἴτε τὰ τῶν ποιοτήτων, ὡς Ἀριστοτέλης. ὅτι μὲν γὰρ ἀλλοιουμένων τινῶν ἐγγίνονται, πρόδηλον. id. ib.

247 a 6. ἀλλοιωθήσεται δὲ τοῦτο δηλονότι ὑπὸ τῶν αἰσθητῶν, πρὸς ἃ πέφυκεν. τοῦ δὲ αἰσθητικοῦ ἀλλοιουμένου εἶπεν ὡς τοῦ παθητικοῦ· τὰ γὰρ πάθη, ὥς φησιν ὁ Πλωτῖνος, ἢ αἰσθήσεις εἰσὶν ἢ οὐκ ἄνευ αἰσθήσεων. id. f. 249.

247 a 17. ὅτι δὲ ἡ ἠθικὴ ἀρετὴ περὶ ἡδονάς ἐστι καὶ λύπας, δέδεικται μὲν ὥσπερ εἶπον ἐν τοῖς Ἠθικοῖς διὰ πλειόνων, λεγέσθω δὲ καὶ νῦν συντόμως... ἀποδείξας δὲ τὰς προτάσεις συνῃρημένως ἐκτίθεται τὸν συλλογισμὸν οὕτως. ἀρετὴ ψυχῆς καὶ κακία ἐγγίνεται ἡδονῆς καὶ λύπης ἐγγινομένης, ἡδοναὶ δὲ καὶ λῦπαι ἀλλοιώσεις εἰσὶ τοῦ αἰσθητικοῦ· φανερὸν ἄρα ὅτι ἀρετὴ καὶ κακία ἐγγίνονται καὶ φθείρονται ἀλλοιουμένου τοῦ αἰσθητικοῦ, ὥστε τότε ἀποβάλλειν αὐτὰς καὶ λαμβάνειν. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι ἡ μὲν γένεσις τῆς ἀρετῆς καὶ κακίας ἀλλοιουμένων τινῶν ἕπεται, αὐτὴ δὲ ἡ γένεσις αὐτῶν οὐκ ἔστιν ἀλλοίωσις, ἀλλ' ἐπιγίνεται τῇ κατὰ τὴν ἡδονὴν καὶ λύπην ἀλλοιώσει τοῦ αἰσθητικοῦ. id. f. 249 *b*.

247 b 1. δείξας ἐν μέρει ὅτι αἱ ἠθικαὶ ἀρεταὶ καὶ κακίαι καὶ αἱ τούτων λήψεις καὶ ἀποβολαὶ οὐκ εἰσὶν ἀλλοιώσεις, ἐφεξῆς δείκνυσιν ὅτι οὐδὲ αἱ τοῦ νοητικοῦ μέρους οὔτε αἱ τούτων λήψεις καὶ ἀποβολαὶ ἀλλοιώσεις εἰσίν. ὥσπερ δὲ ἠθικαὶ ἀρεταὶ ἦσαν αἱ περὶ τὸ ἄλογον τῆς ψυχῆς, ἐν ᾧ ἡδοναὶ καὶ λῦπαι κοινῶς αὗται καὶ τοῖς ἀλόγοις ζῴοις ὑπάρχουσαι (πολλὰ γάρ ἐστι καὶ ἐν τούτοις διὰ συνεθισμοῦ κατορθούμενα), οὕτω νοητικαὶ ἢ διανοητικαί (γράφεται γὰρ καὶ ἑκατέρως) αἱ περὶ τὸ λογικόν εἰσι τῆς ψυχῆς, περὶ ὃ ἐπιστήμη συνίσταται καὶ ἡ κατ' αὐτὴν ἀρετή. id. ib.

247 b 5. ἐν τούτοις οὖν τῆς τῶν κατὰ μέρος πείρας συναχθείσης τὸ δυνάμει ἐπιστῆμον τὸ ἐν τῷ νοητικῷ ἐνεργείᾳ ἐγένετο, οὐδὲν αὐτὸ κινηθέν. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος ἐξηγήσατο, ἐκ τῶν κατὰ μέρος συνάγεσθαι τὸ καθόλου καὶ τὴν τοῦ καθόλου γνῶσιν βουλόμενος. καὶ τὸ "ἐπίσταται γάρ πως τῷ καθόλου τὰ ἐν μέρει" ὡς σημεῖον εἶπεν εἰρῆσθαι τοῦ διὰ τῶν ἐν μέρει τὴν τοῦ καθόλου γνῶσιν ἀθροίζεσθαι, εἴπερ ἡ καθόλου ἐπιστήμη ἑκάστου τῶν ὑπὸ τὸ καθόλου ἐστίν, ἐξ ὧν ἠθροίσθη· περιείληπται γὰρ ἐν τῇ τοῦ καθόλου ἐπιστήμῃ τὰ ἐν μέρει, ὡς ἐκ τούτων καὶ ἐπὶ τούτοις ἐκείνης γινομένης. εἰ δὲ μὴ δυνατὸν ἐκ τῶν κατὰ μέρος ἀπείρων ὄντων τὰ καθόλου συνάγεσθαι, μήτε ἐν τῷ αἰσθητικῷ καὶ φανταστικῷ γνῶσιν τῆς ἐν νῷ ἐπιστήμης ὑποστατικὴν εἶναι, χείρονα οὖσαν πολλῷ κρείττονος, ἁπλοϊκώτερον καὶ ἀληθέστερον οἶμαι μᾶλλον ἐξηγητέον τὸ ὑπὸ τοῦ Ἀριστοτέλους εἰρημένον. ὁ γὰρ νοῦς ἐπιστήμην ἔχων τῶν μὲν καθόλου ἀεὶ κατ' ἐνέργειαν εἴτε πρόχειρον εἴτε μή, τῶν δὲ ἐν μέρει δυνάμει, ὅταν ἡ αἴσθησις προσβάλλῃ τῷ μερικῷ, τότε αὖ ὁ νοῦς οὐ γινώσκει τὸ καθόλου ἐνεργείᾳ ἐν τῷ μερικῷ, ἀλλὰ γινώσκει τῷ καθόλου τὰ ἐν μέρει· ὁ γὰρ τὶς ἄνθρωπος καὶ ἄνθρωπος, ὡς αὐτὸς εἶπεν ἐν ἄλλοις. καὶ διὰ τοῦτο τὸ "πως" προσέθηκεν, ὅτι οὐκ ἔστι σύστοιχος ἡ τοῦ καθόλου γνῶσις τῇ τοῦ μερικοῦ, ἀλλὰ γινώσκεται τῷ καθόλου τὸ μερικόν, τῷ περιέχεσθαι ὑπὸ τὸ καθόλου τὸ ἐν μέρει. id. ib.

247 b 17. καλῶς ἀπὸ τοῦ στῆναι τὴν διάνοιαν ὁ Ἀριστοτέλης τὸ ἐπίστασθαι ἐτυμολογεῖ, σύμφωνα κἀνταῦθα τῷ σφετέρῳ καθηγεμόνι φθεγγόμενος· καὶ γὰρ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ (p. 44) ταύτας αἰτίας εἶναί φησιν τῆς ἐξ ἀρχῆς τῶν ἀνθρωπίνων ψυχῶν ἀνοίας, καὶ τοιαύτην τὴν τῆς ἐπιστήμης ἀπόληψιν... τὸ δὲ "γένεσις μὲν οὐκ ἔστιν" εἴρηκε μὲν ὡς ἀνταποδώσων τι, οὐ φαίνεται δέ τι ἀνταποδιδούς, εἰ μὴ ἄρα τὸ μετὰ πολλὰ ῥηθὲν τὸ "ἐν ἀμφοτέροις δὲ ἀλλοιουμένων τινῶν τῶν ἐν τῷ σώματι" (p. 248 *a* 3) καὶ πρὸς τοῦτο ἀποδέδοται, ὡς Ἀλέξανδρός φησιν. μή ποτε δὲ τὴν γραφὴν εὑρὼν ὁ Ἀλέξανδρος ἔχουσαν "τῷ γὰρ ἠρεμῆσαι καὶ στῆναι τὴν διάνοιαν," ἐνόμισεν ἐλλιπῆ τὸν λόγον εἶναι, ὡς τοῦ δέ τῷ μέν μὴ ἀποδεδομένου. ἀλλὰ πρῶτον μὲν καὶ ὁ γάρ, τὴν αἰτίαν λέγων, ἀποδίδοταί πως οἶμαι πρὸς τὸν μέν· ἔπειτα δὲ ἔν τισι τῶν ἀντιγράφων "τῷ δὲ ἠρεμῆσαι καὶ στῆναι" γέγραπται, καὶ εἴη ἂν ἀποδεδομένον. id. f. 250.

247 b 14. μή ποτε οὖν εἰ ὁμοίως ἔχει ὁ ἐξ ἀρχῆς λαμβάνων τὴν ἕξιν τῷ μεθύοντι καὶ καθεύδοντι, ἀεὶ ἡ ψυχὴ τὴν ἕξιν ἔχει, καὶ αἱ μαθήσεις ὄντως ἀναμνήσεις εἰσίν, ὡς ὁ τοῦ Πλάτωνος βούλεται λόγος. ἀλλ' ἔστι καὶ ἔχειν, ὥς φησιν ὁ Πλωτῖνος, καὶ μὴ πρόχειρον ἔχειν, καὶ τοῦ προχείρου καὶ τοῦ μὴ προχείρου πολλαὶ αἱ διαφοραί. id. f. 250 *b*.

248 a 3. ἐν ἀμφοτέροις ἂν λέγοι, τοῖς τε ὑπὸ τῆς φύσεως ἔνδοθεν καθισταμένοις καὶ τοῖς ἔξωθεν ὑπὸ ἐθῶν καὶ διδασκαλίας. ἢ ἐν ἀμφοτέροις εἶπε τοῖς τε ἐξ ἀρχῆς λαμβάνουσι τὴν ἕξιν καὶ τοῖς μετὰ μέθην ἢ ὕπνον ἢ νόσον ἀποκαθισταμένοις. id. f. 251.

248 a 6. ὑπομιμνήσκει λοιπὸν ἡμᾶς οὗ χάριν ἐλέχθη πάντα τὰ προειρημένα. προὔκειτο γὰρ αὐτῷ δεῖξαι ὅτι ἡ ἀλλοίωσις κατὰ τὰς παθητικὰς ποιότητας γίνεται· αὗται δέ εἰσιν αἱ αἰσθηταί, ὑφ' ὧν ἡ αἴσθησις ἀλλοιοῦται· ὥστε τῆς ψυχῆς τὸ αἰσθητικὸν μόνον ἀλλοιοῦται καθ' αὑτό... ζητεῖ δὲ ὁ Ἀλέξανδρος εἰ ἡ κατὰ ποιότητα μεταβολὴ ἀλλοίωσίς ἐστιν, ποιότητος δὲ πρῶτον μὲν εἶδος ἐν Κατηγορίαις ἕξις καὶ διάθεσις ἀπηρίθμηται, τέταρτον δὲ γένος ποιότητος σχῆμά τε καὶ ἡ περὶ ἕκαστον μορφή, πῶς ἡ κατὰ τὴν ἕξιν καὶ τὸ σχῆμα μεταβολὴ οὐκ ἔστιν ἀλλοίωσις. καὶ λύει καλῶς ἐκ τῶν Ἀριστοτέλους· κατὰ γὰρ τὰς

λης ἐπάγει; ἐν μέντοι τῷ ἑτέρῳ ἑβδόμῳ βιβλίῳ ἡ λέξις αὕτη οὕτως ἔχει "ἡ δὲ ἕλξις ὅταν ἤτοι πρὸς αὐτὸ ἢ πρὸς ἕτερον θάττων ἡ κίνησις ᾖ τοῦ ἕλκοντος μὴ χωριζομένη τῆς τοῦ ἑλκομένου." id. f. 245 b.

244 a 11. τὸν λόγον ἀποδοὺς τῆς ἕλξεως, καὶ θάττονα ἐν αὐτῷ ἀποδοὺς τὴν κίνησιν τοῦ ἕλκοντος τῆς τοῦ ἑλκομένου κατὰ φύσιν κινήσεως, ἐπέστησεν ὅτι τινὰ τῶν ἑλκόντων δοκεῖ ἕλκειν μὴ κινούμενα αὐτά, ὥσπερ τὸ ξύλον ἕλκειν δοκεῖ τὸ πῦρ πρὸς ἑαυτό, καὶ ἔτι μᾶλλον ἡ ἡρακλεία λίθος τὸν σίδηρον καὶ τὸ ἤλεκτρον τὸ ἄχυρον οὐ κινούμενα αὐτά. πῶς οὖν θάττων ἡ τούτων κίνησις εἴη ἂν τῆς κατὰ φύσιν τῶν ἑλκομένων κινήσεως; ἢ καὶ ἐπὶ τούτων τὴν φυσικὴν δύναμιν ἐκείνην τὴν ἕλκουσαν βίᾳ ἰσχυροτέραν εἶναι χρὴ τῆς τῶν ἑλκομένων δυνάμεως, κἂν μὴ κινῆται τὰ ἕλκοντα; διό, φησίν, οὐδὲν διαφέρει, εἴτε κινουμένου τοῦ ἕλκοντος εἴτε μένοντος γίνεται ἡ ὁλκή. τὸ δὲ "ὅτε μὲν γὰρ ἕλκει οὗ ἐστιν, ὅτε δὲ οὗ ἦν," ὁ Ἀλέξανδρος ἐξηγούμενος τὸ μὲν "οὗ ἐστι" φησὶ σημαίνει τὸ ἀφ' οὗ ἐστιν, τὸ δὲ οὗ ἦν τὸ ἀφ' οὗ ἦν· καὶ λέγει δὲ τὸ μὲν ἀφ' ἑαυτοῦ πρὸς ἄλλο ἕλκειν ἀφ' οὗ ἐστὶν αὐτὸ τὸ ἕλκον, ἀπὸ τούτου ἄγει τὸ ἑλκόμενον, τὸ δὲ ἀπ' ἄλλου πρὸς αὐτὸ ἀφ' οὗ ἦν τὸ ἑλκόμενον, ἀπάγει αὐτὸ προσάγον αὐτῷ. ἀλλ' ἀπίθανός μοι δοκεῖ ἡ μετάληψις τοῦ οὗ εἰς τὸ ἀφ' οὗ. κάλλιον οὖν οἶμαι προελθὼν ἐξηγήσατο, ὅτι εἰπὼν μηδὲν διαφέρει ἢ κινούμενον ἐπήγαγεν, ὅτι τὸ μὲν μένον ἕλκει ὅπου ἐστὶν αὐτό, τὸ δὲ κινούμενον ἐλθὸν ἐπὶ τὸ ἑλκόμενον ἄγει αὐτὸ εἰς τὸν ἑαυτοῦ τόπον, ἐν ᾧ ἦν πρὸ τοῦ ἐπὶ τὸ ἑλκόμενον κινηθῆναι. ζητεῖ δὲ ὁ Ἀλέξανδρος καλῶς πῶς τὰ φυσικῶς ἕλκοντα, οἷον ἡ ἡρακλεία λίθος καὶ τὰ τοιαῦτα, ἁπτόμενα τῶν ἑλκομένων ἕλκει αὐτά... ὁ δὲ Ἀλέξανδρος ἐπέστησεν ὅτι ἐν ταύτῃ τῇ ῥήσει προστέθεικεν ὁ Ἀριστοτέλης τῇ λέξει τὸ "ἀφ' ἑαυτῆς πρὸς ἄλλο," ὅπερ τῆς ὤσεως ἴδιον ἔργον ἐστὶ καὶ τῆς ἀπώσεως. μήποτε δὲ οὐ περὶ τοῦ ἕλκοντος ἄμφω εἶπε τὸ "ἀφ' ἑαυτοῦ πρὸς ἄλλο" ἔργον "ἢ ἀπ' ἄλλου πρὸς ἑαυτό," ἀλλὰ τὸ μὲν ἀφ' ἑαυτοῦ πρὸς ἄλλο περὶ τοῦ ὠθοῦντος, τὸ δὲ ἀπ' ἄλλου πρὸς αὐτὸ περὶ τοῦ ἕλκοντος. διὸ τὰς τέσσαρας κινήσεις εἰς ὦσιν καὶ ἕλξιν ἀναγαγὼν κοινῶς λοιπὸν συνεπεράνατο, ὅτι τοῦ κατὰ τόπον κινουμένου καὶ κινοῦντος οὐδέν ἐστι μεταξύ. μετὰ δὲ ταύτην τὴν λέξιν ἔν τισιν ἀντιγράφοις ὁ Ἀλέξανδρος τὴν αὐτήν τινα λέξιν γεγράφθαι φησίν· "ὁμοίως δὲ καὶ εἴ τι ἐστι γεννητικὸν καὶ ποιητικὸν τοῦ ποιοῦ, καὶ τοῦτο ἀνάγκη ποιεῖν ἁπτόμενον βαρὺ κοῦφον·" ἐφεξῆς δὲ τούτῳ κεῖσθαί φησιν οὐχὶ τὸ "ἀλλὰ μὴν οὐδὲ τοῦ ἀλλοιουμένου," ὅπερ μετὰ τὰ πρότερον εἰρημένα ἐν τοῖς πλείστοις γέγραπται, ἀλλὰ τὸ μετ' ὀλίγον τοῦτο "ἐν πᾶσι γὰρ συμβαίνει ἅμα εἶναι τὸ ἔσχατον ἀλλοιοῦν καὶ τὸ πρῶτον ἀλλοιούμενον." καὶ λέγοι ἄν, φησί, διὰ τῆς τοιαύτης λέξεως ὅτι οὐ μόνον τὰ κυρίως κινοῦντα καὶ κινούμενα ἅμα ἐστιν, οἷον τὰ κατὰ τόπον καὶ ποσὸν καὶ ποιὸν μεταβάλλοντα καὶ μεταβαλλόμενα, ἀλλὰ καὶ τὰ κατ' εἶδος, τουτέστι τὰ κατ' οὐσίαν, ἅπερ ἐστὶ γένεσις καὶ φθορά· καὶ ἐν τοῖς τοιούτοις γὰρ τὸ μεταβάλλον ἅμα τῷ μεταβαλλομένῳ ἐστίν, ὡς ἐπὶ τῶν βαρέων καὶ κούφων γινομένων ἔχει, τουτέστι τῶν σωματικῶν στοιχείων. τὰ οὖν ποιοῦντα καὶ γεννῶντα ταῦτα ποιοῦ τινός εἰσι γεννητικά· ποιὰ γὰρ τὸ βαρὺ καὶ τὸ κοῦφον. καὶ γὰρ ἐν τῷ ἐφεξῆς βιβλίῳ δείκνυσιν ὅτι καὶ ταῦτα κινεῖται ὑπό τινος τοῦ ποιήσαντος ταῦτα, ὃ νῦν λέγει ὅτι κἂν εἴ τι ἐστὶ ποιητικὸν καὶ γεννητικὸν βαρέος καὶ κούφου, καὶ τοῦτο ἀνάγκη ποιεῖν ἁπτόμενον· τὸ γὰρ ἐφεξῆς τὸ "συμβαίνει ἅμα τὸ ἔσχατον ἀλλοιοῦν εἶναι καὶ τὸ πρῶτον ἀλλοιούμενον" περιττὸν αὐτόθεν δοκεῖ καὶ μετακείμενον, ἐπειδὴ ἐφεξῆς περὶ τοῦ ἀλλοιουμένου καὶ ἀλλοιοῦντός ἐστιν ὁ λόγος, καὶ ἐν πᾶσι τοῖς ἀντιγράφοις ἡ ἐφεξῆς ῥηθησομένη λέξις γέγραπται. id. ib.

244 b 2. μετὰ τὰ κατὰ τόπον κινοῦντα καὶ κινούμενα καὶ εἴπερ ἄρα μετὰ τὰ αὐτὰ τὸ εἶδος, περὶ τοῦ ἀλλοιουμένου καὶ ἀλλοιοῦντος προτίθεται εἰπεῖν, ὅτι καὶ ἐπὶ τούτων οὐδέν ἐστι μεταξύ, ὅπερ διὰ τῆς ἐπαγωγῆς γνώριμον εἶναί φησιν· ἐν πάσῃ γὰρ ἀλλοιώσει ἅμα εὑρίσκεται τό τε ἔσχατον ἀλλοιοῦν καὶ τὸ πρῶτον ἀλλοιούμενον. λέγει δὲ ἔσχατον ἀλλοιοῦν ὃ μέχρι τοῦ νῦν πρῶτον ἐκάλει, τὸ προσεχῶς κινοῦν καὶ μεταβάλλον. τοῦτο δὲ πῇ μὲν πρῶτόν ἐστιν ὡς προσεχὲς τῷ κινουμένῳ, πῇ δὲ ἔσχατον τῶν κινούντων, ὅταν διὰ μέσων τινῶν κινῇ τὸ πρώτως καὶ κυρίως κινοῦν. πρῶτον δὲ ἀλλοιούμενον λέγει ὃ καθ' αὑτὸ ἀλλοιοῦται καὶ οὐ κατὰ συμβεβηκός, οὔτε τῷ τῶν τούτου τι ἀλλοιοῦσθαι· τῷ γὰρ οὕτως ἀλλοιουμένῳ ἅμα τὸ ἀλλοιοῦν. id. f. 246.

245 b 3. δεικνὺς ὅτι ἡ κατὰ ἀλλοίωσιν κίνησις ἅμα ὄντων τοῦ τε ἀλλοιοῦντος καὶ ἀλλοιουμένου γίνεται, συνεχρήσατο τῷ τὴν ἀλλοίωσιν κατὰ πάθος γίνεσθαι, πάσχειν δὲ τὰ πάσχοντα ὑπὸ τῶν αἰσθητῶν, ὥστε τὰ ἀλλοιούμενα ὑπὸ τῶν αἰσθητῶν ἀλλοιοῦσθαι. τούτῳ οὖν χρησάμενος τότε, νῦν δείκνυσιν αὐτό. ὅτι γὰρ ἐν μόνοις τούτοις, φησίν, λέγεται ἀλλοίωσις ὅσα καθ' αὑτὰ πάσχει ὑπὸ τῶν αἰσθητῶν, καθ' αὑτὰ μὲν τὰ μὴ κατὰ συμβεβηκὸς πάσχοντα λέγων (ὁ γὰρ Σωκράτης κατὰ συμβεβηκὸς ὁρατός, καθ' αὑτὸ δὲ τὸ χρῶμα), ὑπὸ τῶν αἰσθητῶν δὲ τῶν παθητικῶν ποιοτήτων, φησὶν δῆλον ἐκ τοῦ κατὰ μηδεμίαν ἄλλην ποιότητα ἀλλοίωσιν γίνεσθαι... καὶ ἦν μὲν τὸ προκείμενον εἰπεῖν ὅτι αἱ σχηματίσεις οὐκ εἰσὶν ἀλλοιώσεις· ὁ δὲ ἐπήγαγεν ὅτι αἱ γενέσεις οὐκ εἰσὶν ἀλλοιώσεις, δεικνὺς ὅθεν ἔχει τὴν ἰσχὺν ὁ λόγος, ὅτι ἐκ τοῦ τὰς μετασχηματίσεις γενέσεις ἤδη τινὰς εἶναι. δέδεικται δὲ ἐν τῷ πέμπτῳ βιβλίῳ ὅτι αἱ γενέσεις οὐκ εἰσὶ κινήσεις, ὥστε οὐδὲ ἀλλοιώσεις. id. f. 247.

246 a 12. ζητήσοι ἄν τις, οἶμαι, πῶς τὴν ἀρετὴν καὶ τὴν κακίαν γένεσιν καὶ φθορὰν τῆς ψυχῆς δυνατὸν λέγειν, εἴπερ ἔχουσα τὸ εἶδος τῆς ἀνθρωπίνης ψυχῆς καὶ ὑπομένουσα ἐν τῷ αὐτῷ ποτὲ μὲν ἀρετοῦται ποτὲ δὲ κακύνεται, διόπερ ὁ αὐτὸς ποτὲ μὲν φαῦλος ποτὲ δὲ σπουδαῖος γίνεται; πῶς δὲ ὁμοία ἡ τῆς ἀρετῆς πρόσληψις τῇ τοῦ κεράμου ἢ τοῦ περιβόλου; ταῦτα μὲν γὰρ μέρη τῆς οἰκίας εἰσὶ καὶ οὐχ ἕξεις, ἐκεῖναι δὲ οὐ μέρος· εἰ γὰρ μέρος ἦν ἡ ἀρετὴ τῆς ψυχῆς, ἀπώλλυεν ἂν ἡ τὴν ἀρετὴν ἀποβάλλουσα. ὅλως δὲ διττὴ ἡ τελειότης, ἡ μὲν τῆς οὐσίας αὐτῆς οὖσα, καθ' ἣν πρώτοις καὶ μέσοις καὶ ἐσχάτοις ἑαυτῆς μέρεσι συμπεπλήρωται, οὐκ οὖσα ἕξις αὐτή· τί γὰρ τὸ ἔχον, μήπω τοῦ εἴδους ὄντος χωρὶς τῆς τοιαύτης τελειότητος; ἡ δὲ κατὰ τὴν ἀρετὴν καὶ τὴν κακίαν καὶ ὅλως κατὰ τὴν ἕξιν ἐπείσακτός ἐστι τῷ ὅλῳ εἴδει καὶ ἐπισυμβαίνουσα... ὡς μέρος οὖν τὸ κυριώτατον τῆς ὅλης ἑκάστου οὐσίας τὴν κατὰ φύσιν αὐτῷ προσήκουσαν ἀρετὴν προσλογιστέον. id. f. 248.

καὶ τὸ πρώτως κινοῦν καὶ τὸ ἐρειστόν. καὶ εἰ καὶ κατὰ τόπον κινεῖ ταῦτα, ἀλλ' οὐ σωματικῶς· σωματικῶς γὰρ κινεῖ τὸ ὠθοῦν ἢ ἕλκον ἢ δινοῦν ἢ ὀχοῦν. τὰ δὲ τοιαῦτα ἅπτεσθαι ἀνάγκη τῶν ὑπ' αὐτῶν κινουμένων, καὶ διὰ τῆς ἁφῆς τρόπον τινὰ ἑνοῦσθαι αὐτοῖς. κἂν πλείω οὖν κἂν ἄπειρα τὰ κινοῦντα καὶ κινούμενα ἐκ διαδοχῆς, καὶ ταῦτα γὰρ ἓν ἔσται κατὰ τὴν ἁφήν. εἴτε δὲ ἄπειρον, φησίν, τὸ ἓν τοῦτο εἴτε πεπερασμένον, οὐδὲν διαφέρει, οὐχ ὅτι ἀδύνατον ἐξ ἀπείρων τῷ πλήθει μεγεθῶν ἁπτομένων ἀλλήλων, κἂν τῶν Δημοκρίτου ἀτόμων εἴη τῷ μεγέθει βραχύτερα, πεπερασμένον τι ἓν γίνεσθαι, ἀλλ' ὅτι οὐ πρόκειται νῦν σκοπεῖν εἴτε ἔστι τι ἄπειρον μέγεθος εἴτε οὐκ ἔστιν... τὸ δέ, ὃ γὰρ ἐνδέχεται, ληψόμεθα ὡς ὑπάρχον περὶ τοῦ ἴσας ἢ ἀνίσους λαβεῖν εἶπεν. ἐπεὶ γὰρ ἀμφότερα ἐνδέχεται, ὅπερ ἂν ὑποτεθῇ, τούτῳ ἕξομεν ἀκόλουθον τὸ ἀδύνατον... μετὰ δὲ τὸ διαλῦσαι τὴν ἐκ τοῦ ἀορίστως ὑποτεθέντος ἔνστασιν συμπεραίνεται λοιπὸν τὸν λόγον· ἀδυνάτου γὰρ δειχθέντος τοῦ ἐπ' ἄπειρον εἶναι τὰ κινοῦντα καὶ κινούμενα, εἴπερ ἀδύνατόν τι αὐτῷ ἠκολούθησεν, ἀνάγκη τὸ ἀντικείμενον τούτῳ ἀληθὲς εἶναι, τὸ ἵστασθαι τὴν πρόοδον ταύτην καὶ μὴ ἐπ' ἄπειρον ἰέναι, ἀλλ' εἶναί τι τὸ πρώτως κινοῦν μηκέτι αὐτὸ ὑπ' ἄλλου κινούμενον. id. ib.

243 a 3. ἵνα δείξῃ μίαν τῷ ἀριθμῷ γινομένην κίνησιν τὴν ἐκ τῆς ἐπ' ἄπειρον τῶν κινούντων καὶ τῶν κινουμένων ὑποθέσεως, καὶ τούτῳ τὸ ἀδύνατον ἐπαγάγῃ τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον κίνησιν κινεῖσθαι, ἐχρήσατο τῷ τὸ προσεχῶς κινοῦν ὀφείλειν ἅπτεσθαι τοῦ κινουμένου ἢ συνεχὲς αὐτῷ εἶναι. τοῦτο δὲ τότε μὲν ἀπὸ τῆς ἐπαγωγῆς ἐπιστώσατο, εἰπὼν καθάπερ ὁρῶμεν ἐπὶ πάντων, νῦν δὲ ἀποδεῖξαι αὐτὸ καθ' ἕκαστον εἶδος κινήσεως προτίθεται, ὅτι τὸ προσεχῶς κινοῦν ἀνάγκη ἅμα τῷ κινουμένῳ εἶναι. id. f. 244 *b*.

243 b 9. εἰπὼν ὅτι πᾶσαι αἱ συγκρίσεις καὶ διακρίσεις ἔσονται σύνωσις καὶ δίωσις, ἐπήγαγεν "ὅσα ἐν γενέσει καὶ φθορᾷ εἰσίν." ἐπειδὴ γὰρ τοῖς περὶ Ἀναξαγόραν Λεύκιππον καὶ Δημόκριτον πᾶσα γένεσις καὶ φθορὰ συγκρίσει καὶ διακρίσει γίνεσθαι ἐδόκει, αὐτῷ μὲν τοῦτο οὐκ ἀρέσκει, εἰ δὲ γίνεται ὅλως φησὶν τινὰ καὶ φθείρεται κατὰ σύγκρισιν καὶ διάκρισιν, οὐκ ἂν ἡ σύγκρισις αὕτη καὶ διάκρισις ἀνάγοιτο εἰς τὴν σύνωσιν καὶ δίωσιν, οὐδὲ διὰ τούτων εἰς τὴν ἕλξιν καὶ τὴν ὦσιν. τὸ μὲν γὰρ διωθούμενον καὶ συνωθούμενον, ὄντα κατ' οὐσίαν καὶ μένοντα ἅπερ ἐστίν, διωθεῖσθαι καὶ συνωθεῖσθαι λέγεται καὶ ὅλως ὠθεῖσθαι καὶ ἕλκεσθαι, τὰ δὲ γινόμενα καὶ φθειρόμενα οὐ μένοντα ἐπὶ τῆς οἰκείας οὐσίας κατὰ γένεσιν καὶ φθορὰν μεταβάλλει, ἐπειδὴ κατ' οὐσίαν εἰσὶν αἱ τοιαῦται μεταβολαί. διὸ οὐκ ὤσεις οὐδὲ ἕλξεις αἱ τοιαῦται συγκρίσεις καὶ διακρίσεις· οὐδὲ γὰρ κινήσεις ὅλως εἰσὶν αἱ γενέσεις καὶ φθοραί, οὐδὲ ἕλκεσθαι ἢ ὠθεῖσθαι οἷόν τε τὸ ἔτι γινόμενον καὶ μήπω ὄν. ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος ἐν τῷ ἑτέρῳ ἑβδόμῳ βιβλίῳ τῷ κατὰ τὴν λέξιν ὀλίγον τι τούτου διαφέροντι καὶ τὴν σπάθησιν καὶ τὴν κέρκισιν τῇ ὤσει ὑπάγεσθαι λέγει, ἰστέον ὅτι ἐν οἷς ἔγνων ἐγὼ οὕτως εὗρον γεγραμμένον, καὶ ἡ σπάθησις δὲ καὶ ἡ κέρκισις· τὸ μὲν γὰρ αὐτῶν σύγκρισις τὸ δὲ διάκρισις. ἰστέον δὲ ὅτι ὁ Θεμίστιος ἐν οἷς ἀνέγνων ἐγὼ βιβλίοις, ἀπὸ ταύτης τῆς ῥήσεως τῆς λεγούσης "ἅπαν δὴ τὸ φερόμενον ἢ αὐτὸ ὑφ' ἑαυτοῦ κινεῖται ἢ ὑπ' ἄλλου" ἤρξατο τοῦτο τὸ βιβλίον παραφράζειν, τῶν μέχρις τοῦδε ῥηθέντων ἐν αὐτῷ καταφρονήσας, καὶ οὐδὲ ἐν τοῖς ἑξῆς τὴν συνέχειαν φυλάττει. id. f. 245.

εἰπὼν τὰς συγκρίσεις καὶ διακρίσεις τὰς μὲν συνώσεις εἶναι τὰς 243 b 10.
δὲ διώσεις, καὶ διὰ τοῦτο τὰς μὲν ὤσεις τὰς δ' ἕλξεις, ἐπειδή τινες τῶν φυσικῶν ἀρχὰς οὐ μόνον τῶν κατὰ τόπον κινήσεων ἀλλὰ καὶ πασῶν ἐτίθεντο τὴν σύγκρισιν καὶ διάκρισιν, οὐ μόνον κινήσεων ἀλλὰ καὶ μεταβολῶν πασῶν, αὐτὸς οὐ τοῦτο μόνον ἀναιρεῖν δοκεῖ τὸ πασῶν ἀρχὰς αὐτὰς εἶναι τῶν κινήσεων, ἀλλ' οὐδὲ ἀρχαί φησιν εἰσὶ πρῶται, οὐδὲ γένος τι ὅλως κινήσεως τοῦτο παρὰ τὰ τέσσαρα τὰ εἰρημένα, ἀλλ' ὑπ' ἐκεῖνα καὶ ταῦτα ἀνάγεται καὶ τὰ τούτων εἴδη... οὕτω μὲν οὖν τὴν ἀρχὴν ὁ Ἀλέξανδρος ἐξηγήσατο, τὴν σύγκρισιν καὶ διάκρισιν λέγων δεδεῖχθαι μὴ ἄλλο γένος οὔσας κινήσεως ἀλλ' ὑπαγομένας αὐτὰς ταῖς προειρημέναις τέτρασιν ὡς μέρη ἐκείνων οὔσας. ἐφεξῆς δὲ ἀναλαβὼν τὸν λόγον, εἴτε κατ' ἄλλην ἐπιβολὴν ὕστερον προσγραφεῖσαν, εἴτε οὐκ οἶδ' ὅπως, γενικωτάτας φησὶν ὑπ' αὐτοῦ κινήσεις δεδεῖχθαι τήν τε σύγκρισιν καὶ διάκρισιν· πάντα γάρ, φησίν, τὰ εἴδη τῆς κινήσεως ὑπὸ ταῦτα εὑρεθήσεται· εἰ γὰρ πάντα μὲν ὑπὸ τὴν δίωσιν καὶ τὴν σύνωσιν, τούτων δὲ ἡ μὲν σύγκρισις ἡ δὲ διάκρισις, πάντα εἰς σύγκρισιν καὶ διάκρισιν ἀνάγοιτ' ἄν. ταῦτα ὁ Ἀλέξανδρος αὐτῇ τῇ λέξει γέγραφεν, καίτοι τοῦ Ἀριστοτέλους εἰπόντος (v. 7) "ὁμοίως δὲ καὶ αἱ ἄλλαι συγκρίσεις καὶ διακρίσεις· ἅπασαι γὰρ ἔσονται διώσεις καὶ συνώσεις, πλὴν ὅσαι ἐν γενέσει καὶ φθορᾷ." ὥστε οὐχ ἡ σύνωσις σύγκρισίς τις ἐστίν, οὐδὲ ἡ δίωσις διάκρισίς τις, ὡς ὁ Ἀλέξανδρός φησιν, ἀλλὰ τοὐναντίον αἱ συγκρίσεις καὶ διακρίσεις συνώσεις καὶ διώσεις εἰσίν. πῶς δὲ εἰς σύγκρισιν καὶ διάκρισιν πᾶσαι ἀνάγοιντ' ἂν ἐκ τῶν νῦν εἰρημένων αἱ κινήσεις, εἴπερ πάσας εἰς τέσσαρας τὰς εἰρημένας πίπτειν φησὶν ὁ Ἀριστοτέλης, καὶ τὰς δύο πάλιν τῶν τεττάρων τὴν ὄχησιν καὶ τὴν δίνησιν εἰς τὰς δύο τὰς λοιπὰς ἀνάγεσθαι τὴν ἕλξιν καὶ τὴν ὦσιν, καὶ ἐπὶ τούτων ὡς κοινὸν συνήγαγε τὸν προκείμενον λόγον, εἰπὼν (p. 242 *a* 4) "ὥστε εἰ τὸ ὠθοῦν καὶ τὸ ἕλκον ἅμα τῷ ὠθουμένῳ, φανερὸν ὅτι τοῦ κατὰ τόπον κινουμένου καὶ κινοῦντος οὐδέν ἐστι μεταξύ." ἀλλ' οὐκ εἶπεν, ὥστε εἰ τὸ συγκρῖνον καὶ διακρῖνον. ἐν μέντοι τῷ ἑτέρῳ ἑβδόμῳ βιβλίῳ οὕτως αὐτῇ λέξει γεγραμμένον ἐστὶν "καὶ πᾶσα δὴ κίνησις ἡ κατὰ τόπον σύγκρισις καὶ διάκρισις ἐστίν." καὶ ἀπὸ ταύτης ἴσως τῆς λέξεως ὁ Ἀλέξανδρος τὰ ὕστερον ῥηθέντα προστέθηκεν, οὐ συμφωνοῦντα τοῖς ἐνταῦθα γεγραμμένοις, ὡς δοκεῖ. δυνατὸν δὲ ἴσως συμφώνους δεικνύναι τούτους τοὺς λόγους τοῦ Ἀριστοτέλους τὴν σύγκρισιν καὶ τὴν διάκρισιν οὐχ ἁπλῶς ὑπὸ τὴν σύνωσιν καὶ τὴν δίωσιν ἤτοι τὴν ἕλξιν καὶ τὴν ὦσιν ὡς ὑπὸ καθολικωτέρας ἀνάγοντος, ἀλλ' ὡς τὰς αὐτὰς ἐκείναις ταύτας λέγοντος. οὕτω γὰρ ὁ Ἀλέξανδρος ὕστερον διετάξατο λέγων "πᾶσαι ἂν ὑπάγοιντο ταῖς δύο ταύταις τῇ ἕλξει καὶ τῇ ὤσει, ὧν ἡ μὲν σύγκρισίς ἐστιν ἡ δὲ διάκρισις· καὶ οὕτω γενικώταται ἂν εἶεν κινήσεις σύγκρισίς τε καὶ διάκρισις." id. ib.

ἰστέον δὲ ὅτι τὴν λέξιν ταύτην τὴν λέγουσαν "ὅταν θάττων ἡ 244 a 9.
κίνησις ᾖ τῆς χωριζούσης ἀπ' ἀλλήλων τὰ συνεχῆ" ἔν τισιν ἀντιγράφοις ὁ Ἀλέξανδρος μὴ φέρεσθαί φησιν. πῶς δὲ ἂν ἔχοι τοῦτο λόγον, εἴπερ ἀπὸ ταύτης τῆς προσθήκης ἔνστασιν εὐθὺς ὁ Ἀριστοτέ-

πρώτως κινουμένου μέρος ὑποθέσθαι ἱστάμενον· μόνα γάρ, φησίν, πρὸς ὑπόθεσίν ἐστιν ἀδύνατα ὅσα ἀλλήλων ἐστὶν ἀναιρετικά, ὡς τὸ διὰ πέρας πλεῖν. μήποτε δὲ καὶ τοῦτο τοιοῦτόν ἐστιν· εἰ γὰρ τὸ καθ' αὑτὸ καὶ πρώτως κινούμενον τοῦτο ἦν τὸ ὅλον αὐτὸ κινούμενον καὶ οὐχὶ τὸ τῷ μέρος τι αὐτοῦ κινεῖσθαι κινούμενον, πῶς δύναται τῷ καθ' αὑτὸ καὶ πρώτως κινουμένῳ συνυπάρχειν τὸ μέρος μέν τι αὐτοῦ κινεῖσθαι μέρος δὲ μὴ κινεῖσθαι; ἀλλ' ἡ μὲν ἀκολουθία ὑγιής (εἰ γὰρ σταίη τι μόριον τοῦ καθ' αὑτὸ κινουμένου, καὶ τὸ ὅλον στήσεται, καὶ οὐκέτι ὅλον καθ' αὑτὸ κινηθήσεται καὶ πρώτως), τὸ δὲ τοῦ καθ' αὑτὸ κινουμένου στῆναί τι μόριον, ἕως ἂν καθ' αὑτὸ κινούμενον ὅλον ὑπόκηται, τοῦτο ἀδύνατον. ἐμοὶ δὲ καὶ τοῦτο ἄπορον δοκεῖ, πῶς εἴληπται τὸ αγβ' κινούμενον. εἰ μὲν γὰρ ὡς σῶμα μόνον, τί ἂν εἴη ἐν αὐτῷ τὸ κινοῦν; εἰ δὲ ὡς ζῷον, τοῦ μὲν γβ' κινουμένου μόνον ὡς σώματος ὄντος, τοῦ δὲ αγ' κατὰ τὴν τοῦ ζῴου ψυχὴν τεταγμένου καὶ διὰ τοῦτο κινοῦντός τε ἅμα καὶ κινουμένου, πῶς τὸ ὅλον καθ' αὑτὸ καὶ πρώτως λέγεται κινεῖσθαι, εἴπερ τὸ αγ', τουτέστιν ἡ ψυχή, κατὰ συμβεβηκὸς κινεῖται τῷ ἐν κινουμένῳ εἶναι τῷ σώματι; πῶς δὲ ὅλως τὸ αγ' κινοῖτο ἂν τοῦ γβ' ἠρεμοῦντος, εἴπερ ἡ ψυχὴ καθ' ἑαυτὴν μὲν ἀκίνητός ἐστι, κινεῖται δὲ τῷ ἐν κινουμένῳ εἶναι τῷ σώματι; ὥστε οὐδὲ κατὰ μέρος ἂν τὸ αβ' λέγοιτο κινεῖσθαι, ὡς τοῦ αγ' ἐν αὐτῷ κινουμένου· εἰ γὰρ τὸ γβ' ἠρεμεῖ κατὰ τὸ σῶμα τεταγμένον, καὶ τὸ αγ' ἠρεμοίη ἂν ἀντὶ τῆς ψυχῆς παρειλημμένον. ἐγκαλοῦσι δὲ τῷ λόγῳ καὶ ὡς τὸ ἐν ἀρχῇ αἰτοῦντι, εἴπερ διὰ τοῦ μὴ κινεῖσθαι τὸ μέρος δείκνυσι τὸ ὅλον μὴ καθ' αὑτὸ κινούμενον... ἰστέον μέντοι ὅτι ἐν τῷ ἐφεξῆς βιβλίῳ προτίθεται πάλιν δεῖξαι τοῦτο, τὸ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ δείκνυσιν αὐτὸ ἀκριβέστερόν τε καὶ ἐναργέστερον. id. f. 242 *b*.

242 *a* 15. λαβὼν ὡς δεδειγμένον τὸ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, τούτου κειμένου δείκνυσιν ὅτι ἔστι τι τὸ πρῶτον κινοῦν, καὶ οὐκ ἐπ' ἄπειρον ἄλλο ἄλλο κινεῖ, ἀλλ' ἔστι τι ὃ κινεῖ μὴ ὑπ' ἄλλου κινούμενον. δείκνυσι δὲ αὐτὸ ἐπὶ τῆς κατὰ τόπον κινήσεως, ἐπειδὴ αὕτη πρώτη τῶν κινήσεων, τῷ μὴ οὔσης αὐτῆς μηδὲ ἄλλην τινὰ κίνησιν εἶναι, ὡς ἐν τῷ ἐφεξῆς βιβλίῳ μαθησόμεθα. τὸ δὲ ὑπ' ἄλλου κινούμενον καλῶς εἴρηται, ἵνα μὴ μόνον ὑπ' ἄλλου εἰπὼν δόξῃ τὸ ἐν ἀρχῇ λαμβάνειν, τὸ εἶναί τι τὸ πρῶτον κινοῦν· ὃ δείκνυσι διὰ τοῦ δεῖξαι ὅτι οὐκ ἐπ' ἄπειρον ἄλλο πρὸ ἄλλου κινούμενον κινεῖ. ἐὰν οὖν ἐπὶ τῆς κατὰ τόπον κινήσεως δειχθῇ τὸ εἶναι τὸ πρῶτον κινοῦν, καὶ καθόλου εἴη ἂν δεδειγμένον. ἡ δὲ δεῖξις διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς πρόεισιν· ὑποθέμενος γὰρ ἐπ' ἄπειρον ἄλλο ὑπ' ἄλλου κινεῖσθαι, δείκνυσιν ἑπόμενον τούτῳ τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον γίνεσθαι κίνησιν, ὅπερ ἀδύνατον ἐν τῷ πρὸ τούτου δέδεικται βιβλίῳ... ἐπεὶ γὰρ τὸ κινοῦν ὑπόκειται κινούμενον αὐτὸ ὑπό τινος κινεῖν, δηλονότι ἅμα τε αὐτὸ ἔσται κινούμενον ὑπὸ τοῦ κινοῦντος αὐτὸ καὶ κινοῦν τὸ ὑφ' ἑαυτοῦ κινούμενον, εἴπερ τῷ ὑπ' ἄλλου κινεῖσθαι κινεῖ· ἐν τῷ αὐτῷ ἄρα χρόνῳ καὶ κατὰ τὸ αὐτὸ ἥ τε τοῦ κινοῦντος καὶ ἡ τοῦ κινουμένου κίνησις ἐπιτελεῖται (ὅτε γὰρ κινεῖται τὸ κινοῦν, τότε κινεῖ), ὥστε ἅμα ἡ κίνησις ἔσται πάντων τῶν κινούντων τε καὶ κινουμένων... ἐπειδὴ ἕκαστον τῶν κινούντων τε καὶ κινουμένων ἓν κατ' ἀριθμόν ἐστι, τοῦ δὲ ἑνὸς κατ' ἀριθμὸν μία κατ' ἀριθμὸν ἡ κίνησις· κἂν γὰρ ἡ ἐκ πάντων μία καὶ συνεχὴς γίνηται, ἀλλ' ἡ μία αὕτη σύγκειται ἐκ τῶν κατ' ἀριθμὸν τοσούτων ὅσα ἐστὶ τὰ κινοῦντα καὶ κινούμενα· κἂν γὰρ ἅμα πάντα κινῆται, ἀλλ' ἕκαστον αὐτῶν ἰδίαν κίνησιν κινεῖται, διωρισμένα κατ' ἀριθμόν... καὶ ὁ χρόνος δὲ ἂν μὴ εἷς ᾖ καὶ συνεχὴς τῆς ἔκ τινος εἴς τι κινήσεως ἀλλὰ διαλείπων, οὐκέτι μία ἡ κίνησις· ἂν γὰρ ἐκ τοῦδε τοῦ λευκοῦ εἰς τόδε τὸ μέλαν μεταβάλλῃ, μὴ ἐν ἑνὶ κατ' ἀριθμὸν καὶ συνεχεῖ χρόνῳ, ἀλλ' ἐν ἄλλῳ καὶ ἄλλῳ, καὶ εἰ ὅτι μάλιστα ἓν κατ' ἀριθμὸν εἴη τό τε ἐξ οὗ καὶ τὸ εἰς ὅ, καὶ τὸ μεταβάλλον ἕν, οὐκ ἔσται μία κατ' ἀριθμὸν μία κίνησις ἡ διακεκομμένη, ἀλλ' εἴπερ ἄρα, μία τῷ εἴδει. εἰπὼν δὲ περὶ τῆς κατ' ἀριθμὸν μιᾶς κινήσεως, ἐπάγει ὅτι καὶ ἡ κίνησις, ὥσπερ καὶ τὰ ἄλλα, τριχῶς τὸ ἓν εἶναι ἔχει· ἢ γὰρ ἀριθμῷ, ὡς εἴρηται, ἢ γένει ἢ εἴδει. καὶ τίς μὲν ἡ κατ' ἀριθμὸν μία, εἴρηται· γένει δὲ μία κίνησίς ἐστιν ἡ τῆς αὐτῆς κατηγορίας, οἷον οὐσίας, ὡς ἡ γένεσις καὶ ἡ φθορά, ἢ ποιότητος, ὡς ἀλλοίωσις, ἢ ποσότητος, ὡς αὔξησις καὶ μείωσις, ἢ τῆς ποῦ, ὡς ἡ κατὰ τόπον. κατηγορίας γὰρ ταῦτα τὰ γένη λέγειν ἔθος αὐτῷ... εἰπὼν δὲ "ἢ ἐξ ἀγαθοῦ εἰς κακόν" (p. 242 *b* 7), ἐπήγαγεν ἐὰν ᾖ ἀδιάφορον τῷ εἴδει, τὸ ἀγαθὸν δηλονότι καὶ τὸ κακόν, ὡς σωφροσύνη καὶ ἀκολασία... καὶ χρὴ τοσοῦτον μόνον προσθεῖναι, ὅτι καὶ τὸ κινούμενον εἶναι χρὴ ἓν κατ' ἀριθμόν, ἂν μέλλῃ μία κατ' ἀριθμὸν ἡ κίνησις εἶναι. εἴρηται δὲ περὶ τῆς μιᾶς κινήσεως καὶ ἐν τῷ πέμπτῳ τῆσδε τῆς πραγματείας, εἰς ἃ ἀναπέμπων ἡμᾶς εἶπεν ἐν τοῖς πρότερον εἰρῆσθαι. μετὰ δὲ τὸ συστῆσαι ὅτι μίαν κατ' ἀριθμὸν κίνησιν ἕκαστον κινεῖται τῶν κινούντων τε καὶ κινουμένων, λαμβάνει τὸν χρόνον ἐν ᾧ τὸ ἓν τῶν κινουμένων κινεῖται, οἷον τὸ α', πεπερασμένον ὄντα... ἐπεὶ οὖν ἐν ᾧ τὸ α' κινεῖται χρόνῳ, τουτέστιν ἐν τῷ κ', ἐν τούτῳ καὶ τῶν ἄλλων ἕκαστον τῶν κινουμένων ἀπείρων ὄντων τῷ πλήθει κινεῖται, συμβήσεται καὶ τὴν ὅλην τὴν εζηθ' κίνησιν ἄπειρον οὖσαν ἐν πεπερασμένῳ γίνεσθαι χρόνῳ τῷ κ'. ἀδύνατον ἄρα τι ἠκολούθησε, τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον κινεῖσθαι κίνησιν· ἐδείχθη γὰρ τοῦτο ἀδύνατον ἐν τῷ πρὸ τούτου βιβλίῳ. id. f. 243.

καὶ οὐδὲν ἀδύνατον ἀκολουθεῖ, ἀλλὰ τὸ ἀδύνατον ἠκολούθησεν 242 *b* 20. ἂν τῷ μίαν ἄπειρον κίνησιν ἐν πεπερασμένῳ χρόνῳ κινεῖσθαι, ἐπεὶ τό γε πλείους τῷ πλήθει καὶ ἀπείρους ἐν πεπερασμένῳ γίνεσθαι οὐκ ἀδύνατον. εἰ οὖν μέλλει τὸ ἀδύνατον ἀκολουθεῖν, χρὴ δεῖξαι πῶς αἱ ἄπειροι τῷ πλήθει κινήσεις εἰς μίαν κίνησιν ἄπειρον τῷ μεγέθει συντίθενται ἅμα γινομένην ἐν πεπερασμένῳ χρόνῳ, ἐν ᾧ καὶ μία τῶν πεπερασμένων γίνεται· οὕτω γὰρ ἂν ἠκολούθησε τὸ ἀδύνατον τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον εἶναι κίνησιν. τοῦτο οὖν ἐφεξῆς ποιεῖ δεικνὺς ὅπως μία ἄπειρος ἡ τοιαύτη κίνησις ἀποτελεῖται. id. f. 244.

πολλῶν μὲν ὄντων καὶ ἀπείρων τῷ πλήθει κινούντων τε καὶ κινουμένων 242 *b* 21. οὐδὲν ἀδύνατον ἕπεται τῷ τὰς ἀπείρους κινήσεις ἅμα ἐν πεπερασμένῳ γίνεσθαι χρόνῳ. ἀλλ' ἕν τι γίνεταί, φησίν, τὸ ἐκ πάντων τῶν κινούντων καὶ κινουμένων· τὸ γὰρ κινοῦν τι κατὰ τόπον πρῶτον, τουτέστι προσεχῶς καὶ μὴ δι' ἄλλου, καὶ σωματικὴν κίνησιν κινοῦν ἀνάγκη συνεχὲς ὂν τῷ κινουμένῳ κινεῖν, ἢ ἁπτόμενον αὐτοῦ οὕτω κινεῖν αὐτό. σωματικὴν δὲ λέγει κίνησιν τὴν ἀντερειστικήν· κινεῖ μὲν γὰρ

εἴτε μεριστοῦ εἴτε ἀμεροῦς ἐλάττων τις χρόνος τοῦ ἐν ᾧ τὸ ἴσον ἑαυτῷ κινεῖται τὸ κινούμενον, καὶ ἐν αὐτῷ ἔλαττον ἀνάγκη τι κινεῖσθαι, ὥστε ἔσται τι τοῦ ἀδιαιρέτου ἔλαττον... ὥσπερ δὲ πρότερον ἐπήγαγε τῇ ἀποδείξει ὅτι μοναχῶς ἂν ἦν οὕτω κίνησις τοῦ ἀμεροῦς, εἰ ὁ χρόνος ἦν ἐκ τῶν νῦν, οὕτω νῦν λέγειν ὅτι μοναχῶς ἂν κινεῖτο τὸ ἀμερές, εἰ ἐν τῷ νῦν δυνατὸν ἦν κινεῖσθαι αὐτό. id. f. 240 *b*.

241 a 26. ἐπειδὴ δέδεικται πρότερον ὅτι παντὸς τοῦ κινεῖσθαι προηγεῖται τὸ κεκινῆσθαι καὶ τοῦ κεκινῆσθαι τὸ κινεῖσθαι, καὶ ἐδόκει τοῦτο τοῖς προχείρως ἀκούουσιν ἄπειρον ἑκάστην ὑποτίθεσθαι μεταβολήν, διὰ τοῦτο τοῦτο προστίθησι τὸ θεώρημα, δεικνύον ὅτι οὐκ ἔστιν ἄπειρος μεταβολή. δείκνυσι δὲ ἐκ τοῦ πᾶσαν μεταβολὴν εἶναι ἔκ τινος εἴς τι, ταῦτα δὲ ὡρίσθαι. id. ib.

241 a 30. τὰ γὰρ ἐναντία πλεῖστον διέστηκε, τὰ δὲ πλεῖστον διεστῶτα ὡρίσθαι. καὶ ἡ αὔξησις δὲ καὶ ἡ μείωσις πέρατα ἔχει, ἡ μὲν τὸ κατὰ τὴν οἰκείαν φύσιν τέλειον μέγεθος, ἡ δὲ τὴν ἀπὸ τούτου ἔκστασιν. ἐπὶ δὲ τῆς φορᾶς οὐ πανταχοῦ τὰ πέρατα ὡρισμένα ἐστίν· ἐπὶ μὲν γὰρ τῆς κατ' εὐθεῖαν τὸ ἄνω καὶ τὸ κάτω ἐναντία καὶ ὡρισμένα ἐστίν, οὐκέτι δὲ καὶ ἡ τῶν ζώων κίνησις, ἣν κινεῖται μεταβατικῶς, ὡρισμένα ἔχει τὰ πέρατα. καὶ ἡ ἐγκύκλιος δὲ φορὰ οὐκ ἐξ ἐναντίου εἰς ἐναντίον· οὐ γὰρ ἔστι τι τῇ κύκλῳ φορᾷ ἐναντίον· ἀπὸ γὰρ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἡ κυκλοφορία, ἀλλ' οὐκ ἀπὸ ἐναντίου εἰς ἐναντίον· οὐδὲ γὰρ αὐτὸ αὐτῷ ἐναντίον. εἰ οὖν μὴ ἔστιν ἐναντίωσις ἐν πάσῃ φορᾷ, κατὰ ταύτην μὲν οὐκ ἔστι δεῖξαι τὸν τῶν περάτων ὁρισμόν, κατ' ἄλλην δὲ μέθοδον δείκνυσιν ἐπὶ πάσης μεταβολῆς ἁρμόζουσαν, προλαβὼν ὅτι τὸ ἀδύνατον τμηθῆναι οὐκ ἐνδέχεται τέμνεσθαι. πολλαχῶς δὲ τοῦ ἀδυνάτου λεγομένου, καὶ γὰρ τὸ μόγις καὶ τὸ χαλεπῶς, ὡς ἐν τῇ τοῦ ἀδυνάτου διαιρέσει καὶ τοῦ δυνατοῦ μεμαθήκαμεν, καὶ ὃ οὐκ ἐνδέχεται ὅλως, τοῦτο νῦν τοῦ ἀδυνάτου τὸ σημαινόμενον ἐκλέγεται. id. ib.

241 b 12. δείξας μηδεμίαν κίνησιν οὕτως ἄπειρον ὡς μὴ ἔχειν πέρατα τό τε ἐξ οὗ καὶ τὸ εἰς ὅ, ἐπὶ τούτοις ζητεῖ εἰ ἐνδέχεται ἄπειρον κίνησιν τῷ χρόνῳ γίνεσθαι, τὴν αὐτὴν καὶ μίαν κατ' εἶδος πάλιν καὶ πάλιν γινομένην, ἐπειδὴ τὸ ἐπ' εὐθείας ἄπειρον ἀδύνατον ἐδείχθη. μήποτε οὖν δυνατὸν μίαν κατ' ἀριθμὸν εἶναι συνεχῆ κίνησιν τῷ πάλιν καὶ πάλιν γίνεσθαι τὴν αὐτήν. καὶ ἐπέστησε καλῶς ὅτι μὴ μίαν μὲν μηδὲ τὴν αὐτὴν οὐδὲν κωλύει εἶναι τῷ χρόνῳ ἄπειρον, εἰ ἄλλη ἄλλην διαδέχοιτο... μίαν δέ φησι μόνην δύνασθαι τοιαύτην γίνεσθαι τὴν κύκλῳ, διότι ἐν ταῖς ἄλλαις κινήσεσιν ἡ ἐπὶ τὰ αὐτὰ πάλιν καὶ πάλιν ἐπάνοδος στάσεσι διαλαμβάνεται· ἡ κύκλῳ ἄρα μόνη δύναται μία τε καὶ συνεχὴς γίνεσθαι ἄπειρος τῷ χρόνῳ. καλῶς δὲ "τῷ χρόνῳ" προσέθηκεν, ὅτι οὐ τῷ μεγέθει οὐδὲ τῇ ἐφ' ἓν τῆς κινήσεως ἐκτάσει. ἀλλὰ ταῦτα νῦν μὲν προανεφθέγξατο, ὠδίνων ἤδη τὴν ἐπ' αὐτοῖς ἀλήθειαν, ὕστερον δὲ ἀποδείξει. ἡ μὲν οὖν τῶν κατὰ μέρος ἐν τούτῳ τῷ βιβλίῳ σαφήνεια κατά γε τὴν ἐμὴν δύναμιν οὕτως ἐχέτω· ἡ δὲ σύντομος ἐπὶ κεφαλαίων ἐπιδρομὴ τοιάδε τις ἔστω. id. f. 241. cod. Pal. 237.

241 b 21. Ἔστι μὲν ἕβδομον τοῦτο τῆς φυσικῆς ἀκροάσεως βιβλίον, ὅπερ ή ἐπιγράφειν ἔθος ἐστὶ τοῖς ἐκ τοῦ Περιπάτου, διχῶς δὲ φέρεται κατὰ τὴν λέξιν μόνην ἔχον ὀλίγην τινὰ διαφοράν· τὰ γὰρ προβλήματα καὶ αἱ ἀποδείξεις αὐτῶν ἐπὶ τῆς αὐτῆς τάξεως ἐν ἀμφοτέροις τὰ αὐτὰ φέρεται. ὅπερ δὲ ἐπ' ἀμφοῖν οἱ τοῦ Ἀριστοτέλους ἐξηγηταὶ σαφηνίζουσι, τοῦτο κἀγὼ νῦν προεχειρισάμην. ἰστέον δὲ ὅτι τῶν ἐν τῷ ἑβδόμῳ τούτῳ βιβλίῳ κειμένων προβλημάτων τὰ κυριώτερα καὶ πρὸς τὴν προκειμένην πραγματείαν οἰκειότερα ἐν τῷ μετὰ τοῦτο βιβλίῳ τῷ τελευταίῳ τῆς ὅλης πραγματείας κεῖται μετὰ ἀποδείξεων ἀσφαλεστέρων· διὸ καὶ παρέλκειν ἔδοξέ τισι τοῦτο τὸ βιβλίον ἐν τῇ πραγματείᾳ, μαλθακωτέραις ἢ ὥς φησιν Ἀλέξανδρος λογικωτέραις ταῖς ἀποδείξεσι χρώμενον. καὶ ὅ γε Εὔδημος μέχρι τοῦδε τοῖς ὅλοις σχεδὸν τῆς πραγματείας κεφαλαίοις ἀκολουθήσας, τοῦτο παρελθὼν ὡς περιττόν, ἐπὶ τὰ ἐν τῷ τελευταίῳ βιβλίῳ κεφάλαια μετῆλθε. καὶ ὁ Θεμίστιος δὲ τὴν ὅλην πραγματείαν παραφράζων, ἐν τούτῳ τῷ βιβλίῳ γενόμενος πολλὰ τῶν ἐν αὐτῷ κεφαλαίων κατενωτίσατο. ἀλλ' ἐπειδὴ φαίνεται καὶ τοῦτο μὴ πάνυ τι τῆς πρὸς τὰ ἄλλα βιβλία συγγενείας τὰ ἐν ταύτῃ τῇ πραγματείᾳ ἀπᾷδον, μηδὲ τῆς τοῦ Ἀριστοτέλους ἀγχινοίας ἀνάξιον, τάχα ἂν εἴποιμι πρότερον μὲν ὑπὸ τοῦ Ἀριστοτέλους γραφῆναι τοῦτο, ὕστερον δὲ ἐν τῷ τελευταίῳ βιβλίῳ τῶν ἐν τούτῳ κεφαλαίων ἀκριβέστερον διαρθρωθέντων τινὰς ὡς οἰκεῖον αὐτὸ τῇ πραγματείᾳ συντάξαι. καὶ ἔχοι ἂν οἶμαι χρείαν οὐκ ἀπόβλητον προγυμνάζον ἡμᾶς καὶ συνεθίζον εἰς τὴν τῶν μεγάλων ὄντως καὶ συνεκτικῶν τῆς ὅλης φυσιολογίας θεωρημάτων κατανόησιν, ὧν ἐν τῷ τελευταίῳ βιβλίῳ παραδίδωσιν ὁ Ἀριστοτέλης. αὐτίκα γοῦν πρῶτον ἐν τούτῳ ὑπ' αὐτοῦ προβληθὲν τὸ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, ἀκριβεστέρας ἐκεῖ τετύχηκεν ἀποδείξεως. ἀλλὰ τοῖς γε ἐνταῦθα παρακολουθοῦντες τέως παραδιδομένοις τὴν ἔννοιαν αὐτῶν ὡς δυνατὸν ἀνιχνεύσωμεν. Simpl. f. 242.

241 b 24. τὸ μὲν προκείμενόν ἐστιν ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, ἀφ' οὗ πάντα τὰ ἐφεξῆς ἤρτηται φυσικὰ θεωρήματα. ἐπὶ δὲ τῶν κινουμένων τὰ μὲν ἔξωθεν κινεῖται τὰ δὲ οὐκ ἔξωθεν, ἔξωθεν μὲν τὰ βίᾳ κινούμενα, οὐκ ἔξωθεν δὲ τά τε κατὰ φύσιν κινούμενα σώματα καὶ τὰ κατὰ ὁρμὴν ψυχικήν. ὅτι μὲν τὰ ἔξωθεν κινούμενα ὑπό τινος κινεῖται, οὐκ ἠξίωσε δεῖξαι, προφανοῦς ὄντος τοῦ κινοῦντος ἢ τῷ ὠθεῖν ἢ τῷ ἕλκειν ἢ τῷ ὀχεῖν ἢ τῷ δινεῖν. ἐπὶ δὲ τοῦ δοκοῦντος ἐξ ἑαυτοῦ καὶ μὴ ἔξωθεν κινεῖσθαι δείκνυσι, διορίσας πρότερον τὸ καθ' αὑτὸ καὶ πρώτως κινούμενον ἀπὸ τῶν κατ' ἄλλο καὶ ὅλως κατὰ συμβεβηκὸς κινουμένων, οἷα καὶ τὰ κατὰ μόριον κινούμενα ἐστίν, ὡς ἐν ἀρχῇ τοῦ πέμπτου βιβλίου διῄρηται... πρῶτον δὲ τὴν νόησιν ἡμᾶς ἀπευθύνει, διδάσκων μὴ διὰ τοῦτο νομίζειν τὸ ἐξ ἑαυτοῦ ὅλον κινούμενον ὑπὸ μηδενὸς κινεῖσθαι, ὅτι μὴ φαίνεται ἔξωθεν τὸ κινοῦν αὐτό. δύναται γὰρ μὴ εἶναι φανερὸν τὸ κινοῦν ὡς τὸ κινούμενον, καὶ ἐφ' ὧν προδήλως ἄλλο ἐστὶ τὸ κινοῦν καὶ ἄλλο τὸ ὑπὸ τούτου κινούμενον, ὡς ἐπὶ ἐκθετικοῦ παραδείγματος τοῦτο δείκνυσιν αὐτός. id. ib.

241 b 33. ταύτην τὴν ἀπόδειξιν αἰτιᾶται μὲν καὶ ὁ φιλοπονώτατος Γαληνός, αἰτιῶνται δὲ καὶ ἄλλοι ὡς ἀδυνάτῳ χρωμένην ὑποθέσει τῇ λεγούσῃ τοῦ αβ' πρώτως καὶ καθ' αὑτὸ κινουμένου τὸ γβ' μὴ κινεῖσθαι. ὁ δὲ Ἀλέξανδρος, καίτοι πολλαχοῦ τὴν ἀπόδειξιν ὑποπτεύων, εἵλετο λέγειν ὅτι οὐκ ἔστι πρὸς ὑπόθεσιν ἀδύνατον τὸ τοῦ καθ' αὑτὸ καὶ

τοι Ἀλέξανδρος νομίζει τὸ νῦν λεγόμενον πρὸς τοὺς ἀναιροῦντας τὸν ὑποτεθέντα ὑπ' αὐτοῦ ὁρισμὸν τῆς ἠρεμίας λέγεσθαι· ἐπειδὴ γὰρ ἠρεμεῖν εἶπε τὸ ἐν ταὐτῷ χρόνον τινὰ ὄν, καὶ αὐτὸ καὶ τὰ μέρη, δεικνύουσιν ὅτι οὐδὲ τοῦτο ἀναιρεῖται διὰ τῶν ἐν τῷ αὐτῷ τόπῳ κινουμένων, ὡς οἴονται τινές. τοιαῦτα δέ ἐστι τὰ περιφερόμενα, ἃ δοκεῖ ἐν τῷ αὐτῷ εἶναι χρόνον τινὰ καὶ αὐτὰ καὶ τὰ μέρη καίτοι κινούμενα. δεικνύουσιν οὖν, φησίν, ὅτι οὐχ ὑποπίπτει ταῦτα τῷ τῆς ἠρεμίας ὁρισμῷ. καὶ ὅτι μὲν τοῦτο δείκνυσι, δῆλον· δείκνυσι δὲ αὐτὸ οὐ τὸν τῆς ἠρεμίας ὁρισμὸν βεβαιούμενος, ἀλλὰ τὸ μηδὲ ἐκ ταύτης τῆς ἀπορίας ἀναιρεῖσθαι τὴν κίνησιν. ἐῴκει δὲ τοιαύτη τις εἶναι ἡ ἀπορία... δείξας δὲ ἐπὶ τοῦ κύκλου τὸ μήτε τὸ ὅλον μήτε τὰ μέρη ἠρεμεῖν, μηδὲ γὰρ ἐν τῷ αὐτῷ μένειν, τὸν αὐτὸν λόγον φησὶν ἔσεσθαι καὶ ἐπὶ τῆς σφαίρας καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐν αὑτοῖς κινουμένων καὶ μὴ ἐξισταμένων τοῦ ἑαυτῶν τόπου, οἷοι καὶ οἱ στρόμβοι εἰσί, καὶ εἴ τι ἄλλο περιδινεῖται. ἰστέον δὲ ὅτι τοῦ Ἀριστοτέλους εἰπόντος μὴ τὴν αὐτὴν εἶναι περιφέρειαν πρῶτον τὴν ἀπὸ τοῦ α' λαμβανομένην τῇ ἀπὸ τοῦ β', ὁ φιλαλήθης Εὔδημος πότερόν φησι τὴν αὐτὴν φατέον εἶναι περιφέρειαν τὴν ὅλην ὁποθενοῦν ἀρξαμένην ἢ ἑτέραν, ἔχει ζήτησιν. id. ib.

ἡ σφαῖρα δὲ κινουμένη περὶ μένοντα τὸν ἄξονα καὶ ὁ κύκλος ὁ περὶ τὸ κέντρον ὁμοίως πως ἠρεμοῦσιν. οἴονται γὰρ καὶ τοῦτο παραλογίζεσθαι· μένουσι γάρ, φησίν, ἐν ταὐτῷ τόπῳ. ἀλλὰ πρῶτον μὲν τὰ μόρια τῶν οὕτω κινουμένων οὐδ' ὅλως ἐν ταὐτῷ μένει, ἀλλ' ἕκαστον αὐτῶν ἐν ἄλλῳ καὶ ἄλλῳ γίνεται συνεχῶς. ἔπειτα οὐδὲ τὸ ὅλον· οὐ γὰρ ἡ αὐτή ἐστι περιφέρεια ἀπό τε ἄλλης καὶ ἄλλης λαμβανομένη, εἰ μὴ κατὰ συμβεβηκός, ὅτι παρὰ ταὐτὸν ὑποκείμενον. Themist. f. 56.

240 b 8. δείξας πρότερον ὅτι οὔτε κινεῖταί τι ἐν ἀμερεῖ οὔτε ἠρεμεῖ, ἀλλὰ μὴ κινεῖσθαι μὲν ἀληθὲς ἦν εἰπεῖν ἐν ἀμερεῖ, οὔτε μέντοι ἠρεμεῖν, καὶ διὰ τοῦτο μνημονεύσας τοῦ Ζήνωνος λόγου ὡς παραλογιζομένου, ὅταν ἀξιοῖ πᾶν ἢ ἠρεμεῖν ἢ κινεῖσθαι, ὅταν ᾖ κατὰ τὸ ἴσον, καὶ διαλύσας ἐκ τούτου τὸν ἀναιρεῖν πειρώμενον λόγον τὴν κίνησιν, εἶτα καὶ τοὺς ἄλλους τοῦ Ζήνωνος λόγους παραγαγὼν τοὺς ἀναιρεῖν σοφιστικῶς καὶ αὐτοὺς πειρωμένους τὴν κίνησιν, καὶ διαλύσας αὐτούς, καὶ μνημονεύσας δυοῖν ἄλλων λόγων τὸν αὐτὸν ἐχόντων σκοπόν, καὶ διαλύσας καὶ ἐκείνους, ἀποδεδειγμένων, φησί, τῶν τε περὶ κινήσεως προσεχῶς ῥηθέντων καὶ τῶν πρότερον περὶ τοῦ μήτε κινεῖσθαί τι ἐν ἀμερεῖ μήτε ἠρεμεῖν, λέγομεν ἐφεξῆς ἐκείνοις ὅτι τὸ ἀμερὲς οὐκ ἐνδέχεται κινεῖσθαι πλὴν κατὰ συμβεβηκός, τῷ εἶναι ἐν τῷ κινουμένῳ σώματι ἢ μεγέθει. πῶς δὲ λέγεται, ἐδήλωσεν ἐπὶ τοῦ κατὰ τὸ πλοῖον παραδείγματος· τὰ γὰρ ἐν αὐτῷ μὴ κινούμενα καθ' αὑτὰ τῷ ἐν κινουμένῳ εἶναι τῷ πλοίῳ καὶ αὐτὰ φέρεται κατὰ συμβεβηκός. τῷ δὲ σώματι τὸ μέγεθος προσέθηκεν, ὡς μὲν Ἀλέξανδρός φησιν, μέγεθος τὴν γραμμὴν καὶ τὴν ἐπιφάνειαν λέγων, ἅπερ οὐκ ἔστι σώματα οὐδὲ χωριστὰ σώματος. ὁ δὲ Ἀσπάσιος ἐκ παραλλήλου ταῦτα λέγεσθαί φησιν· οὐ γὰρ κινεῖταί τι καθ' αὑτὸ ἄλλο μέγεθος πλὴν τὸ σῶμα· καὶ γὰρ καὶ ἡ γραμμὴ καὶ ἡ ἐπιφάνεια κατὰ συμβεβηκὸς κινοῦνται τῷ ἐν κινουμένῳ εἶναι τῷ σώματι. μή ποτε δὲ ἑρμηνήσας εἰπεῖν οἷον κινουμένου τοῦ σώματος τῷ ἐνυπάρχειν, ἐπέστησεν ὅτι οὐκ ἐν τῷ σώματι πρώτῳ τὸ ἀμερές ἐστιν ἀλλ' ἐν τῇ γραμμῇ· διὸ προσέθηκεν ἢ τοῦ μεγέθους, τῷ ἐνυπάρχειν ἐν κινουμένῳ μὲν τῷ τῆς γραμμῆς μεγέθει. Simpl. f. 239 b.

εἰπὼν "σώματος" προσέθετο τὸ μέγεθος, ὡς μὲν ὁ Ἀλέξανδρος, δηλῶν δι' αὐτοῦ τὴν γραμμὴν καὶ τὴν ἐπιφάνειαν, ἅπερ οὐκ ἔστι σώματα οὐδὲ σώματος χωριστά, ὡς δὲ ὁ Ἀσπάσιος, ἐκ παραλλήλου· οὐδὲ γὰρ κινεῖται ἄλλο τι μέγεθος καθ' αὑτό, πλὴν τὸ σῶμα· καὶ γὰρ κ. ἡ γρ. κ. ἡ ἐπιφ. κατὰ συμβεβηκός. ὡς δὲ ὁ Σιμπλίκιος, ἵνα δηλώσῃ ὅτι οὐκ ἐν σώματι πρῶτον τὸ ἀμερὲς ἀλλ' ἐν γραμμῇ, διὸ προσέθηκεν "ἢ τοῦ μεγέθους" τῷ ἐνυπάρχειν ἐν κινουμένῳ τῷ τῆς γραμμῆς μεγέθει· καὶ αὐτὸ δὲ κατὰ συμβεβηκὸς κινούμενον τῷ ἐνυπάρχειν τῷ καθ' αὑτὸ κινουμένῳ σώματι. cod. Pal. 237.

δύναται, φησὶν ὁ Ἀλέξανδρος, τὸ "τῶν πρὸς τῷ κέντρῳ καὶ τῶν 240 b 16.
ἐκτὸς" λέγειν περί τε τῶν διὰ τοῦ κέντρου γραφομένων μεγίστων κύκλων, ὡς τοῦ ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ, καὶ τῶν περὶ τοὺς πόλους· οὗτοι γὰρ ἐκτός εἰσι τῆς σφαίρας τοῦ κέντρου, καὶ δηλονότι ἀνάπαλιν ἐπὶ τούτων θάττονες μὲν ὡς μείζονες οἱ πρὸς τῷ κέντρῳ, βραδύτεροι δὲ οἱ ἐκτός, εἴπερ ἐν τῷ αὐτῷ χρόνῳ συναποκαθίσταται τὰ ἐν αὐτοῖς σημεῖα. οὕτω μὲν οὖν διαφέρουσιν ἀλλήλων αἱ τῶν μορίων κινήσεις. καὶ τῆς ὅλης δέ, ἣν ἡ ὅλη κινεῖται σφαῖρα, διαφέρουσιν, εἴπερ ἐκείνη μὲν ἐν τῷ αὐτῷ χρόνῳ πάντα δίεισι τὰ ἐν τῇ σφαίρᾳ διαστήματα, τῶν δὲ μερῶν ἕκαστον τὸ καθ' αὑτό, καὶ οὐδενὸς μέρους κίνησις ἡ αὐτή ἐστι τῇ ὅλῃ· ὥστε καὶ τὰ μόρια κινεῖταί τινα κίνησιν καθ' αὑτὰ παρὰ τὴν τοῦ ὅλου, καὶ οὐ μόνον κατὰ συμβεβηκὸς ἡ τούτων κίνησις, ὡς ἡ τῶν ἀμερῶν. ταῦτα περὶ τῶν μερῶν δείξας μεταβαίνει λοιπὸν ἐπὶ τὸ ἀμερές, ὅτι τοῦτο κατὰ συμβεβηκὸς μόνως ἐνδέχεται κινεῖσθαι, ὡς ὁ ἐν τῷ πλοίῳ καθήμενος τοῦ πλοίου θέοντος, καθ' αὑτὸ δὲ οὐκ ἐνδέχεται. Simpl. f. 239 b.

καὶ ἄλλως δείκνυσιν ὅτι οὐχ οἷόν τε κινεῖσθαι τὸ ἀμερές. ἡ δὲ 241 a 6.
δεῖξις αὕτη ὅτι μὴ κατὰ φορὰν κινεῖται δείκνυσιν, καὶ ἐπὶ τούτοις γίνεται προομολογούμενον ὅτι τὸ κινούμενον ἢ μεῖζόν τι τοῦ οἰκείου ὄγκου τοπικὸν διάστημα διεξέρχεται ἢ ἴσον ἢ ἔλαττον· οὐ γὰρ ἀδύνατον καὶ ἔλαττον αὐτοῦ κινηθῆναι διάστημα... ἐπεὶ δὲ ἔλαττον ἀδύνατον, οὐδὲν γὰρ ἔλαττον τοῦ ἀμεροῦς, δηλονότι ἴσην ἑαυτῇ διάστασιν ἀεὶ κινεῖται ἡ στιγμή, εἴπερ κινεῖται, καὶ κἂν μείζονα κινηθῇ, ὡς ἐξ ἴσων πολλῶν συγκειμένην τὴν μείζονα κινεῖται. εἰ δὲ ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῇ κινηθήσεται, ὅταν διεξέλθῃ τὴν γραμμήν, ἔσται αὐτὴν καταμεμετρηκυῖα· εἰ δὲ τοῦτο, ἔσται ἡ γραμμὴ ἐκ στιγμῶν τοσούτων ἀμερῶν συγκειμένη, ὁσάκις ἐπ' αὐτῆς κινούμενον τὸ ἀμερὲς κατὰ τὰ ἴσα ἑαυτῷ ἐγένετο. id. f. 240.

τρίτος οὗτος λόγος, δεικνὺς ὅτι τὸ ἀμερὲς ἀδύνατον κινεῖσθαι. 241 a 15.
καὶ πρόεισι μὲν καὶ οὗτος ὡς ἐπὶ στιγμῶν, ἡ δὲ δεῖξις ἐπὶ πάσης ἁρμόττει μεταβολῆς, προλαμβάνουσα προδεδειγμένον ὅτι πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται, ἐν δὲ τῷ νῦν οὐδὲν κινεῖται, καὶ εἰς ἀδύνατον ἀπάγουσα καὶ αὐτὴ τὸ διαιρετὸν εἶναι τὸ ἀδιαίρετον, εἰ κινεῖται τὸ ἀμερές. ὁ δὲ λόγος τοιοῦτος. εἰ κινεῖται τὸ ἀμερές, ἐν χρόνῳ κινεῖται· πᾶς δὲ χρόνος διαιρετός· εἴη ἂν οὖν ἐπὶ παντὸς κινουμένου

ἵνα ἔχωσιν ἡμίση· δεῖται γὰρ τούτων, ὡς μαθησόμεθα. διὸ καὶ τὸ πρῶτον β′ κατὰ τοῦ μέσου τίθησι τῶν ἑςώτων α′ α′ α′ α′. εἶτα καὶ ἄλλους ἴσους τῷ μεγέθει καὶ τῷ ἀριθμῷ, τοῖς β′ β′ β′ β′ δηλονότι καὶ τοῖς α′ α′ α′ α′, λαμβάνει, ἐφ᾽ ὧν τὰ γ′ γ′ γ′ γ′, ἀντικειμένους τοῖς β′ β′ β′ β′. τῶν γὰρ β′ β′ β′ β′ ἀπὸ τοῦ μέσου τοῦ ςαδίου, ἐν ᾧ καὶ τῶν α′ α′ α′ α′ τὸ μέσον ἦν, ἐπὶ τὸ ἔσχατον τοῦ ςαδίου τὸ ε′ κινουμένων, οἱ γ′ γ′ γ′ γ′ ἀπὸ τοῦ ἐσχάτου μέρους, ἐν ᾧ τὸ ε′, ἐπὶ τὸ δ′ κινοῦνται τὸ ἐν τῇ ἀρχῇ τοῦ ςαδίου. καὶ πρῶτον δηλονότι τῶν τεσσάρων γ′ γ′ γ′ γ′ τὸ πρὸς τὸ δ′ νενευκός, ἐφ᾽ ὃ ἡ κίνησις τοῖς γ′ γ′ γ′ γ′. τίθησι δὲ τὸ πρῶτον γ′ κατὰ τοῦ πρώτου β′. τοιαύτης οὖν τῆς ἐξ ἀρχῆς θέσεως ὑποτεθείσης, ἐὰν τῶν α′ α′ α′ α′ ἑςώτων τὰ μὲν β′ β′ β′ β′ κινεῖται ὡς ἀπὸ τοῦ μέσου τῶν τε α′ α′ α′ α′ καὶ τοῦ ςαδίου ἐπὶ τὸ τέλος τοῦ ςαδίου τὸ ε′, τὰ δὲ γ′ γ′ γ′ γ′ ὡς ἀπὸ ἐσχάτου τοῦ ςαδίου ἐπὶ τὴν ἀρχὴν δηλονότι (οὐ γὰρ δὴ ὡς ἀπὸ τοῦ ἐσχάτου β′, ὅπερ, ὡς ἔοικεν, ἔν τισιν ἀντιγράφοις εὑρὼν ὁ Ἀλέξανδρος ἠναγκάσθη λέγειν ὅτι ὃ πρότερον εἶπε πρῶτον β′, τοῦτο νῦν ἔσχατον ἐκάλεσε), συμβαίνει τὸ πρῶτον β′ ἅμα ἐπὶ τῷ ἐσχάτῳ εἶναι τῆς αὐτοῦ κινήσεως καὶ τὸ πρῶτον γ′, παρ᾽ ἄλληλα κινουμένων αὐτῶν καὶ ἰσοταχῶς ἐπὶ τῷ ἐσχάτῳ ἀλλήλων. τοῦ γὰρ πρώτου γ′ κατὰ τοῦ πρώτου β′ ὄντος ἐξ ἀρχῆς, καὶ ἀντικινουμένων αὐτῶν ἰσοταχῶς, καὶ διεξελθόντων ἄλληλα, τὸ μὲν πρῶτον β′ ἐπὶ τῷ ἐσχάτῳ ἔςαι γ′, τὸ δὲ πρῶτον γ′ ἐπὶ τῷ ἐσχάτῳ β′. καὶ τοῦτ᾽ ἂν εἴη τὸ ἅμα τὸ πρῶτον β′ ἐπὶ τῷ ἐσχάτῳ εἶναι συμβαίνειν καὶ τὸ πρῶτον γ′, παρ᾽ ἄλληλα κινουμένων· ἡ γὰρ παρ᾽ ἄλληλα κίνησις ποιεῖ τὸ ἐν τοῖς ἐσχάτοις ἀλλήλων γίνεσθαι. συμβαίνει δέ, φησί, καὶ τὸ γ′ τὸ πρῶτον δηλονότι παρὰ πάντα τὰ α′ διεληλυθέναι, τὸ δὲ β′ παρὰ τὰ ἡμίση α. καὶ ὅτι μὲν τὸ β′ τὸ ἀπὸ τοῦ μέσου τῶν α′ ἀρχόμενον διὰ τῶν δύο α′ α′ ἐκινήθη, ἢ διὰ τῶν ἡμίσεων, ὁπόσα ἂν ᾖ ἄρτια, ἐν ὅσῳ τὸ γ′ διὰ τῶν διπλασίων β′ δίεισι, δῆλον· τὸ γὰρ πρῶτον β′ ἀπὸ τοῦ μέσου τῶν α′ τὴν ἀρχὴν ἐποιήσατο. καὶ ἐν ὅσῳ τὸ β′ παρὰ τὰ δύο α′ α′ τὰ ἔσχατα τὰ ἑςῶτα κινεῖται, τὸ γ′ τὸ πρῶτον ἀντικινούμενον τοῖς β′ διὰ τῶν τεττάρων β′ β′ β′ β′ δίεισι· αἱ γὰρ δύο κινήσεις τῶν ἀντικινουμένων διπλάσιον ἀνύουσι διάςημα τῆς μιᾶς, ἣν κινεῖται τὸ β′ παρὰ τὰ ἱςάμενα α′. καὶ τοῦτο μὲν δῆλον· πῶς δὲ παρὰ πάντα τὰ α′ τὸ γ′ διελήλυθεν; οὔτε γὰρ παρὰ ταῦτα ἐκινεῖτο, ἀλλὰ παρὰ τὰ β′, οὔτε ἀπ᾽ ἀρχῆς τῶν α′ ἐκινεῖτο, ἀλλ᾽ ἀπ᾽ ἀρχῆς τῶν β′, ἥτις ἦν κατὰ τὸ μέσον τῶν α′. πῶς οὖν τὸ γ′ παρὰ πάντα τὰ α′ κεκίνηται; ἢ ὅτι καὶ τὰ β′ ἴσα ἦν τοῖς α′. τὸ οὖν γ′ ἐν ὅσῳ χρόνῳ παρὰ τὰ β′ κεκίνηται, εἴη ἂν καὶ παρὰ τὰ α′ τὰ ἴσα τοῖς β′ κεκινημένον. καὶ ὁ παραλογισμὸς ἐνταῦθα ἐςίν, ὅτι ἔλαβεν ἁπλῶς ἐν ἴσῳ χρόνῳ κινούμενον τὸ παρὰ ἴσα κινούμενον, μὴ προσλογιζόμενος ὅτι τῶν ἴσων τὰ μὲν ἀντικινούμενα ἦν τὰ δὲ ἑςῶτα... δύναται δέ, φησὶν ὁ Ἀλέξανδρος, τῷ "συμβαίνει δὲ τὸ γ′ παρὰ πάντα τὰ α′ διεληλυθέναι" (p. 240 *a* 10) ἑξῆς εἶναι τὸ "ἴσον χρόνον παρ᾽ ἕκαςον γινόμενον τῶν β′ ὅσον περ τῶν α′," εἶτα ἐφεξῆς "τὸ δὲ β′ παρὰ τὰ ἡμίση" ἕως τοῦ "ἅμα γὰρ ἔςαι τὸ πρῶτον γ′ καὶ τὸ πρῶτον β′ ἐπὶ τοῖς ἐναντίοις ἐσχάτοις," ἐφεξῆς δὲ τούτοις τὸ "διὰ τὸ ἀμφότερα ἴσον χρόνον κατὰ τὸ α′ γίνεσθαι." ὁ μὲν οὖν λόγος τοιοῦτός ἐςιν, εὐηθέςατος ὤν, ὥς φησιν ὁ Εὔδημος, διὰ τὸ προφανῆ τὸν παραλογισμὸν ἔχειν, εἴπερ ἀξιοῖ τὰ ἴσα καὶ ἰσοταχῆ, ἐὰν τὸ μὲν παρὰ κινούμενον κινῆται τὸ δὲ παρὰ τὸ ἠρεμοῦν, τὸ ἴσον διάςημα ἐν τῷ ἴσῳ χρόνῳ κινεῖσθαι. ὅπερ ἐςὶν ἐναργῶς ἄτοπον· τὰ γὰρ ἀντικινούμενα ἀλλήλοις ἰσοταχῆ διπλασίαν ἀφίςαται διάςασιν ἐν τῷ αὐτῷ χρόνῳ ἐν ᾧ τὸ παρ᾽ ἠρεμοῦν κινούμενον τὸ ἥμισυ διίςαται, κἂν ἰσοταχὲς ἐκείνοις ᾖ. Simpl. f. 237 *b*.

ἐρωτᾷ δέ τις καὶ ἕτερος λόγος παρὰ τοὺς τέσσαρας τοὺς εἰρημένους περὶ τῆς κατὰ ἀντίφασιν μεταβολῆς. ἐπειδὴ γὰρ κινεῖται τὸ κινούμενον, καὶ ἔκ τινος εἴς τι μεταβάλλον ἐν μηδετέρῳ εἶναι ὅτε κινεῖται, μήτε ἐξ οὗ μήτε ἐν τῷ εἰς ὅ, ἡνίκα ἂν γίγνηται, φασί, κατὰ ἀντίφασιν ἡ μεταβολή... ἡμεῖς δέ φαμεν, ὡς ἀμφότερα μᾶλλόν ἐςι τὸ μεταβάλλον, οὐχ ὡς οὐδέτερον. Themist. f. 56. 240 *a* 19.

διαλύσας τοὺς τοῦ Ζήνωνος λόγους τοὺς ἀναιρεῖν δοκοῦντας τὴν κίνησιν, παράγει καὶ ἄλλους λόγους εἰς τὸ αὐτὸ ἐρωτωμένους σοφιςικῶς, ἵνα καὶ αὐτῶν διαλύσῃ τοὺς σοφισμούς. ὧν ὁ πρῶτος ὁ ἐκ τῆς κατὰ ἀντίφασιν μεταβολῆς ἐπιχειρῶν τὴν κίνησιν ἀναιρεῖν ἐςὶ τοιοῦτος. ἐπειδὴ κινεῖται τὸ κινούμενον ἔκ τινος εἴς τι μεταβάλλον, ἐν μηδετέρῳ δέ ἐςιν ὅτε κινεῖται, οὔτε ἐν τῷ ἐξ οὗ (οὐκέτι γὰρ κινεῖται τοῦτο) οὔτε ἐν τῷ εἰς ὃ (οὔπω γὰρ κινεῖται τοῦτο, ὡς καὶ αὐτὸς Ἀριςοτέλης ἐν τούτῳ τῷ βιβλίῳ διδάσκει), ἔςι δὲ καὶ κατὰ ἀντίφασιν μεταβολή, τὸ μεταβάλλον κατὰ ἀντίφασιν ἐν οὐδετέρῳ μορίῳ ἔςαι τῆς ἀντιφάσεως, ἀλλ᾽ ἐν τῷ μεταξύ. ὅπερ ἄτοπον· οὐκ ἔςι γὰρ μεταξύ τι τῆς ἀντιφάσεως. ἢ εἰ μὴ τοῦτο, οὐκ ἀληθὲς ὅτι τὸ μεταβάλλον οὔτε ἐν τῷ ἐξ οὗ μεταβάλλει ἐςίν, οὔτε ἐν τῷ εἰς ὃ μεταβάλλει, ἐν ᾧ μεταβάλλει χρόνῳ· καὶ γὰρ ἡ κατὰ ἀντίφασιν μεταβολὴ τὸ μὲν ἐξ οὗ ἔχει, τὸ δὲ εἰς ὅ· ἐκ γὰρ λευκοῦ εἰς μὴ λευκὸν καὶ ἐκ μὴ λευκοῦ εἰς λευκὸν μεταβάλλει, καὶ ἐξ ὄντος εἰς μὴ ὄν, καὶ ἐκ μὴ ὄντος εἰς ὄν. εἰ οὖν μεταβολῆς οὔσης ἀνάγκη ἐν μηδετέρῳ τῆς ἀντιφάσεως εἶναι τὸ μεταβάλλον, τοῦτο δὲ ἀδύνατον, διότι οὐδὲν ἐκφεύγει τὴν ἀντίθεσιν τῆς ἀντιφάσεως, οὐκ ἂν εἴη μεταβολή. τοῦτον δὴ λύων τὸν λόγον, φησὶν ὅτι ὅλον μὲν τὸ μεταβάλλον κατὰ ἀντίφασιν ἐν οὐδετέρῳ μορίῳ τῆς ἀντιφάσεως ἐςί, μέρος δέ τι ἐν ἑκατέρῳ. καὶ δέδεικται τοῦτο πρότερον... λύσας οὖν οὕτως ἐπὶ τοῦ λευκοῦ καὶ οὐ λευκοῦ, ἐπήγαγεν ὅτι ὁμοίως ἔχει καὶ ἐπὶ τοῦ ὄντος καὶ μὴ ὄντος, ἐφ᾽ ὧν κυριώτερον ἔςιν ἰδεῖν τὴν κατὰ ἀντίφασιν μεταβολὴν μόνην οὖσαν· τὸ μὲν γὰρ λευκὸν καὶ εἰς τὸ ἐναντίον κυρίως μεταβάλλει τὸ μέλαν καὶ εἰς τὸ μεταξύ, τὸ δὲ ὂν εἰς τὸ μὴ ὂν μόνον, καὶ τὸ μὴ ὂν εἰς τὸ ὄν. προσθεὶς οὖν καὶ τὸ ὂν καὶ τὸ μὴ ὄν, κοινῶς ἐπήγαγεν ὅτι κατὰ πᾶσαν ἀντίφασιν οὕτω λυτέον τὴν ἀπορίαν. Simpl. f. 238 *b*.

ὅτι μὲν ἔτι πρὸς λόγον ἐνίςαταί τινα τῶν ἀναιρούντων τὴν κίνησιν, δῆλον ἐκ τοῦ καὶ τὸ πρὸ τούτου ἐπιχείρημα ὡς ἀκόλουθον τοῖς πρὸς τὸν Ζήνωνα εἰρημένοις οὕτως ἄρξασθαι "οὐδὲ δὴ κατὰ τὴν ἐν ἀντιφάσει μεταβολὴν οὐδὲν ἡμῖν ἔτι ἔςαι ἀδύνατον πρὸς τὸ εἶναι κίνησιν" (v. 19). 240 *a* 29. δῆλον οὖν ὅτι καὶ νῦν ὡς περὶ αὐτοῦ λέγων πάλιν φησὶν ἐπὶ τοῦ κύκλου καὶ τῆς σφαίρας καὶ τῶν ἐν αὐτοῖς κινουμένων, ὅτι συμβήσεται αὐτὰ ἠρεμεῖν, ὡς οἴονται τοι σοφιζόμενοι, οὐδὲ τοῦτο ἀδύνατόν τι ἐπάγει τῷ εἶναι κίνησιν. καὶ ὁ Ἀσπάσιος δὲ τοῦτον ἔχειν τὸν σκοπὸν καὶ τοῦτόν φησι τὸν λόγον, καὶ πρὸ αὐτοῦ ὁ Εὔδημος. ὁ μέν-

ἠρεμεῖ ἄρα. τὸ τοίνυν φερόμενον βέλος ἐν ἑκάστῳ τῷ νῦν τοῦ χρόνου, καθὸ κινεῖται, ἐν τῷ ἑαυτοῦ τόπῳ ὑπάρχον ἠρεμήσει. εἰ δὲ ἐν πᾶσι τοῖς τοῦ χρόνου νῦν ἀπείροις οὖσιν ἠρεμεῖ, καὶ ἐν παντὶ ἠρεμήσει. ἀλλὰ ὑπόκειται κινούμενον· τὸ βέλος ἄρα κινούμενον ἠρεμήσει. cod. Reg. 1853.

οὕτω καὶ ὁ Ζήνων παραλογίζεται· εἰ γὰρ ἠρεμεῖ, φησίν, ἅπαντα, ὅταν ᾖ κατὰ τὸ ἴσον αὑτοῦ διάστημα, ἔστι δὲ ἀεὶ τὸ φερόμενον κατὰ τὸ ἴσον ἑαυτοῦ διάστημα, ἀκίνητον ἀνάγκη τὴν οἰστὸν εἶναι τὴν φερομένην. τοῦτο δὲ ψεῦδος· οὐ γὰρ ἀεὶ τὸ φερόμενον κατὰ τὸ ἴσον διάστημα. μᾶλλον δὲ οὐδὲ ὅλως ἐν χρόνῳ ἐστίν, ἀλλ' ἐν τῷ νῦν μόνον, καθὰ προείρηται. Themist. f. 55 b.

239 b 9. τέσσαρας εἶναι λόγους φησὶ τοὺς δυσκολίας παρέχοντας τοῖς λύειν ἐπιχειροῦσιν, ἢ ὅτι τέσσαρες ἦσαν πάντες οἱ περὶ κινήσεως λόγοι δυσαντίβλεπτοι πάντες τυγχάνοντες, ἢ ὅτι πλειόνων ὄντων τέσσαρές εἰσιν οἱ πραγματειωδέστεροι... τῶν δὴ τεττάρων λόγων ἀδύνατά τινα ἐπάγεσθαι δεικνύντων τῷ εἶναι κίνησιν ὁ πρῶτος τοιοῦτός ἐστιν. εἰ ἔστι κίνησις, ἀνάγκη τὸ κινούμενον ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα διεξιέναι· τοῦτο δὲ ἀδύνατον, οὐκ ἄρα ἔστι κίνησις. Simpl. f. 236 b.

239 b 10. ἔστι δὲ ὁ μὲν πρῶτος (λόγος τῶν Ζήνωνος) τοιοῦτος· εἰ ἔστι κίνησις, ἀνάγκη τὸ κινούμενον τὸ ἥμισυ πρῶτον διεξιέναι τοῦ διαστήματος· ἄπειρα δὲ τὰ ἡμίση (ἀεὶ γὰρ τοῦ ἤδη ληφθέντος ἡμίση σημεῖα δυνατὸν λαβεῖν), οὐχ οἷόν τε δὲ τὰ ἄπειρα διεξελθεῖν ἐν πεπερασμένῳ χρόνῳ, οὐχ οἷόν τε οὖν οὔτε κινεῖσθαι. Themist. f. 55 b.

239 b 14. καὶ οὗτος ὁ λόγος ἐκ τῆς ἐπ' ἄπειρον διαιρέσεως ἐπικεχείρηται κατ' ἄλλην διασκευήν. καὶ εἴη ἂν τοιοῦτος. εἰ ἔστι κίνησις, τὸ βραδύτερον ὑπὸ τοῦ ταχίστου οὐδέποτε καταληφθήσεται· ἀλλὰ μὴν τοῦτο ἀδύνατον· οὐκ ἄρα ἔστι κίνησις. καὶ ἡ μὲν πρόσληψις ἐναργής ἐστιν, τὸ δὲ συνημμένον κατεσκεύασε, τὸ λέγον ὅτι εἰ ἔστι κίνησις, ἀδύνατον τὸ βραδύτατον ὑπὸ τοῦ ταχίστου καταληφθῆναι, βραδύτατον μὲν λαμβάνων τὴν χελώνην, ἣν καὶ ὁ μῦθος ὡς φύσει βραδεῖαν ἐν τῇ πρὸς τὸν ἵππον ἁμίλλῃ παρέλαβε, ταχύτατον δὲ τὸν Ἀχιλλέα, ὃς οὕτως ἐδόκει ποδωκέστατος ὡς τὸ ποδάρκης ἴδιον αὐτοῦ δοκεῖν ὄνομα παρὰ Ὁμήρῳ. Simpl. f. 237.

δεύτερος δέ ἐστιν ὁ λόγος ὁ καλούμενος Ἀχιλλεύς, τετραγῳδημένος καὶ τῷ ὀνόματι. οὐ γὰρ ὅπως, φησί, τὸν Ἕκτορα καταλήψεται ὁ ποδωκέστατος Ἀχιλλεύς, ἀλλ' οὐδὲ τὴν βραδυτάτην χελώνην. εἰ γὰρ τὸν διώκοντα ἀνάγκη πρότερον ἐλθεῖν ἐπὶ τὸ πέρας τοῦ διαστήματος οὗ τὸ φεῦγον προελήλυθεν, ἀδύνατον ἄλλο ὑπ' ἄλλου καταληφθῆναι· ἐν ᾧ γὰρ ὁ διώκων τοῦτο δίεισι τὸ διάστημα, δῆλον ὡς ὁ φεύγων ἕτερόν τι προστίθησιν· εἰ γὰρ καὶ ἔλαττον ἀεὶ τῷ βραδύτερος ὑποκεῖσθαι, ἀλλ' οὖν προστίθησί γέ τι... τοσοῦτον γὰρ οὗτος τοῦ πρὸ αὐτοῦ διαφέρει τῷ μὴ ποιεῖν εἰς ἡμίση τὴν διαίρεσιν ἐπ' ἄπειρον, ἀλλ' ἴσον δή ποτε λόγον. εἰ δ' ἄλλως συγχωρηθείη τὴν πεπερασμένην δύνασθαι τὸ κινούμενον διεξελθεῖν, ὡς ἐδείξαμεν, καταλήψεται πάντως ὑπὸ τοῦ θάττονος τὸ βραδύτερον... κἀντεῦθεν ὁ παραλογισμὸς ἐκ τῆς εἰς ἄπειρον διαιρέσεως. ἡμεῖς δὲ μέρος μέν τι πρῶτον κινεῖσθαι τοῦ ὅλου φαμέν, ὁρίσαι δ' αὐτὸ οὐχ οἷόν τε εἶναι· διαιροῖτο γὰρ ἂν ἤδη καὶ τὸ μέγεθος καὶ ἡ κίνησις, καὶ οὐκέτι ἂν φυλάττοιτο συνεχὴς οὔτε ἡ κίνησις μία. Ζήνων δὲ προσνεανιεύεται ἐν τῷ λόγῳ· τὸ γὰρ προέχον φησὶν ἀδύνατον καταληφθῆναι. ἡνίκα μὲν οὖν προέχῃ, καὶ ἡμεῖς λέγομεν ὡς ἀδύνατον· ἅμα τε γὰρ ἂν προέχοι καὶ οὐ προέχοι· ἀλλ' οὐκ ἀεὶ προέχειν αὐτοῦ συγχωρησόμεθα, οὔτε ἀεί τι προσλαμβάνειν ὡρισμένον μέρος τοῦ διαστήματος, ἀλλ' ἥξειν ποτὲ ἐπὶ τὸ πέρας, ὥστε καὶ τὸ θᾶττον ὁμοίως. Themist. f. 56.

239 b 30. τρίτον εἶναί φησι τοῦ Ζήνωνος λόγον, ὃν πρὸ ὀλίγου διέλυσε, λέγοντα ὅτι τὸ φερόμενον βέλος ἐν τῷ φέρεσθαι ἵσταται, εἴπερ ἀνάγκη πᾶν ἢ κινεῖσθαι ἢ ἠρεμεῖν, τὸ δὲ φερόμενον ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῷ ἐστί, τὸ δὲ ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῷ ὂν οὐ κινεῖται· ἠρεμεῖ ἄρα. ψεῦδος δὲ λαμβάνει ὁ λόγος οὗτος ὅτι ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῷ ἐστὶ τὸ φερόμενον· δέδεικται γὰρ ὅτι ἐν τῷ νῦν μόνῳ κατὰ τὸ ἴσον ἑαυτῷ ἐστίν. καὶ τοῦτο μὲν συγχωρεῖ, οὐκ ἐννοεῖ δὲ ὅτι ἐν τῷ νῦν οὐδὲν οὔτε ἠρεμεῖ οὔτε κινεῖται. Simpl. f. 237 b.

τρίτος δ' ἦν λόγος ὁ περὶ τῆς οἰστοῦ τῆς φερομένης, ὃν φθάσαντες ἤδη λελύκαμεν. ἀεὶ μὲν γὰρ ἕκαστον τῶν κινουμένων ἐν τῷ νῦν τὸ ἴσον ἑαυτῷ κατέχει διάστημα, ἀλλ' οὐ σύγκειται ἐκ τοῦ νῦν ὁ χρόνος, οὔτε εἰς τὰ νῦν διαιρεῖται· μὴ συγχωρουμένου δὲ τούτου οὐ πρόεισι συλλογισμός. τέταρτος δέ ἐστι λόγος ὁ περὶ τῶν ἐν τῷ σταδίῳ φερομένων. τρεῖς γὰρ ὄντας ἴσους κατὰ τὸ μῆκος ποιήσας τὸν μὲν κινεῖ, τὸν δὲ ἵστησι, τὸν δὲ ἀντικινεῖ· ἐπεὶ δὲ θᾶττον ὁ κινούμενος δίεισι τὸν ἀντικινούμενον ὄγκον ἢ τὸν ἑστῶτα, οἴεται σόφισμα πλέκειν ἐντεῦθεν. τὸ γὰρ ἴσον διάστημα, φησίν, (ἴσοι γὰρ ὅ τε μένων ὄγκος καὶ ὁ φερόμενος ἐξ ἐναντίων) οὐκ ἐν ἴσῳ δίεισι χρόνῳ. καὶ σφόδρα γε, ὦ θαυμάσιε· τὸ μὲν γὰρ ἕστηκεν, ὁ δὲ ἀντικινεῖται. εἰ δὲ ἔμενον ἄμφω, τότ' ἂν παράλογον ἦν. Themist. f. 56.

239 b 33. καὶ ὁ τέταρτος τῶν περὶ κινήσεως τοῦ Ζήνωνος λόγων, εἰς ἀδύνατον ἀπάγων καὶ οὗτος τὸ εἶναι κίνησιν, τοιοῦτός τις ἦν. εἰ ἔστι κίνησις, τῶν ἴσων μεγεθῶν καὶ ἰσοταχῶν τὸ ἕτερον τοῦ ἑτέρου ἐν τῷ αὐτῷ χρόνῳ διπλασίαν κίνησιν κινήσεται καὶ οὐκ ἴσην. καὶ ἔστι μὲν καὶ τοῦτο ἄτοπον, ἄτοπον δὲ καὶ τὸ τούτῳ ἑπόμενον, τὸ τὸν αὐτὸν καὶ ἴσον χρόνον ἅμα διπλάσιόν τε καὶ ἥμισυν εἶναι. δείκνυσι δὲ αὐτὸ ὁμολογούμενον λαβὼν τὸ τὰ ἰσοταχῆ καὶ ἴσα ἐν τῷ ἴσῳ χρόνῳ ἴσον διάστημα κεκινῆσθαι, καὶ ἔτι μέντοι τῶν ἰσοταχῶν καὶ ἴσων ἂν τὸ μὲν ἥμισυ τὸ δὲ διπλάσιον εἴη κεκινημένον, ἐν ἡμίσει μὲν χρόνῳ τὸ ἥμισυ, ἐν διπλασίῳ δὲ τὸ διπλάσιον εἶναι κεκινημένον. τούτων προληφθέντων στάδιον ὑποτίθεται, ἐφ' οὗ τὸ δε', καὶ τέσσαρα μεγέθη ὁσαοῦν, ἄρτια μόνον, ὥστε ἔχειν ἡμίση, ἰσόογκα, ὡς δὲ ὁ Εὔδημός φησι, κύβους, ἐφ' ὧν τὰ α' α' α' α', ὡς τὸ μέσον διάστημα ἐπέχειν τοῦ σταδίου ἑστῶτα ταῦτα. ὧν ἑστώτων πρῶτον ὁρίζει τὸ πρὸς τῇ ἀρχῇ τοῦ σταδίου τῇ κατὰ τὸ δ', ἔσχατον δὲ τὸ πρὸς τῷ ε', καὶ λαμβάνει ἄλλους τέσσαρας ὄγκους ἢ κύβους, ἴσους τοῖς ἑστῶσι καὶ τὸ μέγεθος καὶ τὸν ἀριθμόν, ἐφ' ὧν τὰ β' β' β' β', ἀρχομένους μὲν ἀπὸ τῆς ἀρχῆς τοῦ σταδίου, τελευτῶντας δὲ κατὰ τὸ μέσον τῶν τεσσάρων α' α' α' α', κινουμένους δὲ τούτους ὡς ἐπὶ τὸ ἔσχατον τοῦ σταδίου τὸ ε'. διὸ καὶ πρῶτον λέγει τὸν κατὰ τὸ μέσον τῶν α' α' α' α' ὡς ἔμπροσθεν ὄντα τῶν λοιπῶν ἐν τῇ ἐπὶ τὸ ε' κινήσει. διὰ τοῦτο δὲ ἀοτίους ἔλαβε τοὺς ὄγκους,

κἄν τε ἄνισα ᾖ. καὶ εἴη ἂν ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι τοιοῦτος. id. ib.

238 a 18. εἰ μὲν ἡ ἠρέμισις τὴν ἠρεμίαν αὐτῷ δηλοῖ νῦν τὴν ἀντικειμένην τῇ κινήσει, ἐπειδὴ καὶ τὸ ἠρεμοῦν ἐν χρόνῳ ἠρεμεῖ, λέγοι ἂν ὅτι ὥσπερ κίνησιν πεπερασμένην ἀδύνατον ἐν ἀπείρῳ χρόνῳ γίνεσθαι, οὕτω καὶ ἠρεμίαν. εἰ δὲ ἡ ἠρέμισις καὶ τὸ ἠρεμίζεσθαι τὴν κίνησιν δηλοῖ τὴν ἐπὶ ἠρεμίᾳ, ὅπερ ἐν τοῖς ἑξῆς ἵστασθαι καλεῖ ὡς ἐπὶ στάσιν ἰόν, εἰκότως τοιαῦτα καὶ ἐπὶ ἠρεμίσεως ἀξιοῖ ἅπερ καὶ ἐπὶ τῆς κινήσεως. id. f. 234.

239 a 21. εἰ τὸ ἠρεμίζεσθαι τὸ ἠρεμεῖν σημαίνει τὸ ἀντικείμενον τῷ κινεῖσθαι, λέγοι ἂν ὅτι οὐδὲ ἄπειρον ἠρεμίαν οἷόν τέ τι ἠρεμεῖν ἐν ἀπείρῳ χρόνῳ. τὸ δὲ οὔτε ὁμαλῶς κινούμενον οὔτε ἀνωμάλως εἰ μὲν κατὰ κοινοῦ ἐπήχθη τῷ κινεῖσθαι καὶ ἠρεμίζεσθαι, εἴη ἂν τὸ ἠρεμίζεσθαι σημαῖνον τὸ πρὸς ἠρεμίαν ἰέναι, εἰ δὲ πρὸς μόνον ἐπήχθη τὸ κινεῖσθαι, μᾶλλον ἂν ὑπὸ τοῦ ἠρεμίζεσθαι τὸ ἠρεμεῖν σημαίνοιτο. id. ib.

238 b 17. δέδεικται μὲν ἤδη πρότερον μετὰ τοῦ μεγέθους ἐφ' οὗ ἡ κίνησις, ὅτι οὐδὲ κίνησιν ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ κινήσεται τὸ κινούμενον, οὐδὲ ἐν ἀπείρῳ πεπερασμένην· κοινὴ γὰρ ἦν ἡ ἀπόδειξις· ὅσον γὰρ τὸ διάστημα τὸ δι' οὗ ἡ κίνησις, τοσαύτη καὶ ἡ κίνησίς ἐστιν. διὸ καὶ ἐγὼ τὴν κίνησιν ἐν τῇ ἀποδείξει τῷ μεγέθει συμπαρελάμβανον, αὐτὸς δὲ ἐν τῇ ἀρχῇ μὲν τοῦ θεωρήματος εἰπὼν "ἀδύνατόν ἐστιν ἐν τῷ ἀπείρῳ χρόνῳ πεπερασμένην κινεῖσθαι, μὴ τὴν αὐτὴν ἀεὶ καὶ τῶν ἐκείνης τι κινούμενον" (p. 237 *b* 24), ἴσως μὲν ὡς περὶ γραμμῆς λέγων δι' ἧς ἡ κίνησις, θηλυκὸν ὄνομα τέθεικεν, ἴσως δὲ τὴν κίνησιν ἐννοῶν. εἰ δὲ καὶ περὶ ἠρεμίας τῆς ἀντικειμένης τῇ κινήσει τὰ αὐτὰ ἠξίωσε, δηλονότι καὶ περὶ κινήσεως ἦν τὰ πρότερον ἀποδεδειγμένα· καὶ γὰρ εἰς τοῦτο ἔτεινεν ὁ λόγος αὐτῷ. νῦν μέντοι ἐκ τῶν περὶ μεγέθους δειχθέντων, δι' ὧν ἡ κίνησις ἐπιτελεῖται, συνάγει τὸ μηδὲ κίνησιν ἄπειρον εἶναι ἐν πεπερασμένῳ χρόνῳ. id. f. 235.

238 b 23. τὸ μὲν προκείμενόν ἐστιν αὐτῷ, κἂν παραδοξολογεῖν δοκῇ κατὰ τὸ φαινόμενον, δεῖξαι ὅτι τὸ ἱστάμενον ταὐτόν ἐστι τῷ κινουμένῳ, καὶ ὅτι ὅσα τῷ κινουμένῳ ὑπάρχει τοσαῦτα καὶ τῷ ἱσταμένῳ. λαβὼν δὲ ἄλλο μὲν τὸ ἠρεμοῦν τὸ τῷ κινουμένῳ ἀντικείμενον καὶ ἐν ταὐτῷ μένον, ἄλλο δὲ τὸ ἠρεμιζόμενον, τὸ κινούμενον ἐπὶ τὸ ἠρεμεῖν ὥσπερ τὸ λευκαινόμενον ἐπὶ τὸ λευκὸν εἶναι, τῷ μὲν ἠρεμοῦντι ταὐτόν φησιν εἶναι τὸ ἑστώς, τῷ δὲ ἠρεμιζομένῳ τὸ ἱστάμενον, ὅπερ ἐστὶ τὸ ἐπὶ στάσιν ἰόν. καὶ πρῶτον δείκνυσιν ὅτι κινεῖται τὸ ἱστάμενον, προλαβὼν ἀναγκαῖόν τι διαιρετικόν, τὸ λέγον ὅτι πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ, τὸ πεφυκὸς δηλονότι... τοῦτο οὖν προδείξας, ἐφεξῆς δείκνυσιν ἐκ τούτου ὅτι ὥσπερ τοῦ κινεῖσθαι οὐκ ἔστι πρῶτον λαβεῖν ἐν ᾧ κινεῖταί τι, οὕτως οὐδὲ τοῦ ἵστασθαι. δείκνυσι δὲ καὶ τοῦτο διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. id. ib.

τὸ ἵστασθαι τοῦ στῆναι πολὺ διαφέρει· στῆναι μὲν γάρ ἐστι τὸ παύσασθαι τῆς κινήσεως, ἵστασθαι δὲ τὸ ἐπὶ τὴν παῦλαν ταύτην ἰέναι. ἔστι δὲ τὸ μὲν ἵστασθαι ταὐτὸν τῷ ἠρεμίζεσθαι, τὸ δὲ στῆναι τῷ ἠρεμῆσαι. τὸ τοίνυν ἱστάμενον καὶ τὸ ἠρεμιζόμενον κινεῖται· πᾶν γὰρ κινεῖται ἢ ἠρεμεῖ. εἰ δ' οὔπω ἠρεμεῖ τὸ ἱστάμενον, δῆλον ὡς κινεῖται. δῆλον οὖν ὡς καὶ ἐν χρόνῳ ἵστασθαι ἀνάγκη. Themist. f. 55 *b*.

239 a 10. μετὰ τὸ δεῖξαι ἐπὶ πάσης κινήσεως, τῆς τε ἁπλῆς καὶ τῆς κατὰ τὸ ἵστασθαι λεγομένης, ὅτι οὐκ ἔστι τὸ πρῶτον λαβεῖν αὐτῆς, ἀλλ' ὅπερ ἄν τις ὡς πρῶτον λάβῃ, ἔστι τι καὶ τούτου πρότερον, νῦν τὰ αὐτὰ περὶ τῆς ἠρεμίας δείκνυσι τῆς τῇ ὅλῃ κινήσει ἀντικειμένης. αἰτία δὲ ἡ αὐτὴ καὶ ἐπὶ τῆς ἠρεμίας, ἥτις καὶ ἐπὶ τῆς κινήσεως· διὸ καὶ ἀποδείξει τῇ αὐτῇ χρῆται. Simpl. f. 235 *b*.

239 a 23. τὰ παράδοξα τῶν περὶ κινήσεως θεωρημάτων, ἅπερ οὐκ ἄν τις οὐδὲ ἐννοήσειε ῥᾳδίως οὐδὲ πιστεύσειε, ταῦτα μετὰ ἀποδείξεως ἐν τούτοις παραδίδωσιν ὁ Ἀριστοτέλης. καὶ ἦν μὲν κἀκεῖνα θαυμαστὰ τὰ προσεχῶς ἀποδεδειγμένα, ὅτι οὐκ ἔστιν ἀρχὴν λαβεῖν οὔτε κινήσεως οὔτε ἠρεμίας· δῆλον δὲ ὅτι οὐδὲ τέλος διὰ τὴν αὐτὴν αἰτίαν. ἔτι δὲ μᾶλλον ἀπεμφαίνει τὸ νῦν δεικνύμενον, ὅπερ καὶ διὰ τὸ λῦσαι τὸν Ζήνωνος περὶ κινήσεως λόγον ἔοικε παραδιδόναι ἐν τούτοις. ἐπειδὴ γάρ, φησίν, ἐν χρόνῳ κινεῖται τὸ κινούμενον, ἐν ᾧ χρόνῳ κινεῖται καθ' αὑτό, τουτέστιν ἐν ᾧ ὅλῳ, καὶ μὴ τῷ ἔν τινι τῶν ἐκείνου κινεῖσθαι, ὅπερ ἐν πρώτῳ πρόσθεν ἐλέγετο (ταὐτὸν γὰρ αὐτῷ ταῦτα ἐπὶ τοῦ χρόνου σημαίνει τὸ ἐν πρώτῳ καὶ τὸ καθ' αὑτὸ καὶ τὸ μὴ ἐν τῷ ἐκείνου τινί), ἀδύνατον ἐν τούτῳ τῷ χρόνῳ κατά τι εἶναι τοῦ διαστήματος ἐν ᾧ κινεῖται. ὥστε καὶ αὐτὸ τὸ κινούμενον καὶ τῶν μερῶν ἕκαστον αὐτοῦ ἐν τῷ αὐτῷ εἶναι καὶ ἴσῳ ἑαυτοῖς διαστήματι. δείκνυσι δὲ αὐτὸ οὕτως. id. f. 236.

ἐπεὶ δὲ πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται, ἀδύνατον ἐν ᾧ πρώτῳ κινεῖται χρόνῳ, ἐν τούτῳ κατά τι εἶναι τοῦ διαστήματος. λέγω δὲ τὸ κατά τι εἶναι τὸ καὶ αὐτὸ τὸ κινούμενον καὶ τῶν μερῶν ἕκαστον ἐν ταὐτῷ εἶναι καὶ ἴσῳ διαστήματι· ἠρεμεῖν γὰρ ἂν οὕτω τε ἅμα καὶ κινεῖσθαι αὐτῷ συμβαίνει. Themist. f. 55 *b*.

239 b 5. αἱ τοῦ θεσπεσίου Ζήνωνος τοῦ Ἐλεάτου ἀπορίαι, περὶ οὗ ὁ σιλλογράφος εἶπε τὸ

ἀμφοτερογλώσσου μέγα σθένος οὐκ ἀλαπαδνὸν
Ζήνωνος,

καὶ τῶν θαυμαστῶν τούτων περὶ κινήσεως θεωρημάτων τοῦ Ἀριστοτέλους γεγόνασιν ἡμῖν αἰτίαι· ὡς γὰρ χρήσιμον πρὸς λύσιν τῶν Ζήνωνος λόγων τὸ προειρημένον ἡμῖν περὶ τῆς κινήσεως παραδέδωκε. διὸ καὶ τῆς ἀπορίας εὐθὺς ἐμνήσθη τῆς Ζήνωνος, καὶ τὴν λύσιν αὐτῆς ἀπὸ τοῦ προσεχῶς ῥηθέντος ἐποιήσατο. ὁ δὲ Ζήνωνος λόγος προλαβὼν ὅτι πᾶν ὅταν ᾖ κατὰ τὸ ἴσον ἑαυτῷ ἢ κινεῖται ἢ ἠρεμεῖ, καὶ ὅτι οὐδὲν ἐν τῷ νῦν κινεῖται, καὶ ἔτι τὸ φερόμενον ἀεὶ ἐν τῷ ἴσῳ αὐτῷ ἐστὶ καθ' ἕκαστον νῦν, ἐῴκει συλλογίζεσθαι οὕτως· τὸ φερόμενον βέλος ἐν παντὶ τῷ νῦν κατὰ τὸ ἴσον ἑαυτῷ ἐστίν, ὥστε καὶ ἐν παντὶ τῷ χρόνῳ· τὸ δὲ ἐν τῷ νῦν κατὰ τὸ ἴσον ἑαυτῷ ὂν οὐ κινεῖται· ἠρεμεῖ ἄρα, ἐπειδὴ μηδὲν ἐν τῷ νῦν κινεῖται, τὸ δὲ μὴ κινούμενον ἠρεμεῖ, ἐπειδὴ πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ. τὸ ἄρα φερόμενον βέλος ἕως φέρεται ἠρεμεῖ κατὰ πάντα τὸν τῆς φορᾶς χρόνον. οὗ τί ἂν εἴη παραδοξότερον;... ὁ Ζήνωνος λόγος ὡς ἐκ τῶν νῦν συγκειμένου τοῦ χρόνου τὴν ἀπορίαν ἐκίνησεν· ὡς εἴγε μὴ τοῦτο δοθείη αὐτῷ, οὐκ ἔστιν ἀληθὲς ὅτι ἔστιν ἀεὶ ἐν τῷ ἴσῳ τὸ φερόμενον. Simpl. f. 236 *b*. cod. Pal. 237.

"Ζήνων δὲ παραλογίζεται." ἅπαν, φησίν, ἐν τῷ ἑαυτοῦ τόπῳ ὑπάρχον ἢ ἠρεμεῖ ἢ κινεῖται· ἀδύνατον δὲ ἐν τῷ ἑαυτοῦ κινεῖσθαι·

συνεχοῦς ἐπ' ἄπειρον διαιρετὸν λαβεῖν καὶ τὴν ἀρχὴν ἀδιαίρετον. ἔοικεν οὖν καὶ τὸ πέρας διττὸν εἶναι καὶ ἡ ἀρχὴ διττὴ τῆς τε κινήσεως καὶ τοῦ χρόνου καὶ παντὸς συνεχοῦς, τὸ μὲν ὡς τὸ πρῶτον ἢ τὸ ἔσχατον μέρος τοῦ συνεχοῦς, τὸ δὲ ὡς ἀρχὴ καὶ πέρας, τὰ μηκέτι μέρη μηδὲ ὅμοια τῷ ὅλῳ. Simpl. f. 230. cod. Pal. 237.

θαυμαστὸν τοίνυν, καθάπερ φησὶν ὁ Θεόφραστος, καὶ λίαν παρὰ τὰς ἐννοίας, εἰ μὴ ἔστιν ἀρχὴ κινήσεως, πέρας δὲ ἔστιν, καὶ ὅλως εἰ μὴ ἄμφω πεπερασμένα, ἀλλὰ τέλος μέν ἐστι τοῦ βαδίζειν, ἀρχὴ δὲ οὔ, καὶ τέλος μὲν τοῦ πλεῖν, ἀρχὴ δὲ οὐκ ἔστιν, καὶ ἡνίκα μὲν ἐπαύσατο τοῦ τρέχειν ὁ ἵππος ἔστιν εἰπεῖν, ἡνίκα δὲ ἤρξατο οὐκ ἔστιν. ἢ οὐ τοῦτό φησιν, ὡς οὐκ ἔστιν ἀρχὴ τῆς κινήσεως, ἀλλ' ὡς οὐκ ἔστιν αὐτὴν λαβεῖν. Themist. f. 55.

236 b 5. ἔστι γὰρ λαβεῖν τοῦ χρώματος τὸ πρῶτον, εἰς ὃ γίνεται ἡ μεταβολὴ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ· πάθη γὰρ ταῦτα καὶ ἀδιαίρετα· διαιρεῖται γὰρ κατὰ συμβεβηκὸς τῷ τοῖς διῃρημένοις ὑπάρχειν. id. ib.

δείξας ὅτι οὔτε τοῦ τόπου οὔτε τοῦ μεγέθους ἔστι τι πρῶτον λαβεῖν, διὰ τὸ συνεχῆ εἶναι καὶ διαιρετὰ εἰς ἀεὶ διαιρετά, ἐπήγαγεν ὅτι μόνων τῶν καθ' ἃ ἡ κίνησις τὸ ποιὸν καθ' αὑτὸ ἀδιαίρετον ἐνδέχεται εἶναι. δῆλον δὲ ὅτι κατὰ συμβεβηκὸς καὶ τοῦτο διαιρετόν, κἂν ἀδιαίρετον δὲ ᾖ τῇ αὑτοῦ φύσει, οὐδὲ ἐν αὐτῷ ἔσται τι πρῶτον· τὸ γὰρ πρῶτον ἐν διαιρουμένῳ καὶ μέρη ἔχοντι. ἀλλὰ καὶ καθ' ὃ τοῦ ὑποκειμένου ᾧ συνδιαιρεῖται οὐκ ἔστι τι πρῶτον, οὐδὲ αὐτοῦ τοῦ συνδιαιρουμένου εἴη ἄν τι πρῶτον. συνδιαιρεῖται δὲ ἡ ἀλλοίωσις, εἰ μὴ ἀθρόα γίνοιτο ἡ μεταβολή, ἣν αὐτὸς ἠξίου γίνεσθαι ἐν τῷ πρώτῳ βιβλίῳ πρὸς Μέλισσον διαλεγόμενος, ὅτε ἔλεγεν "ὥσπερ οὐκ ἀθρόας μεταβολῆς οὔσης." ὁ μέντοι Εὔδημος εὐλαβέστερον περὶ τούτου διετάξατο ἐν τῷ δευτέρῳ τῶν Φυσικῶν γράφων οὕτως "τὰ δὲ ἀλλοιούμενα πῶς χρὴ λαμβάνειν μεταβάλλοντα; εἰ μὲν γὰρ ἢ ποσὸν τὸ σῶμα ἀλλοιοῦται, καὶ μὴ πᾶν ἅμα θερμαίνεται καὶ ξηραίνεται, ἐν τούτοις ἔσται τὸ πρῶτον· εἰ δέ πως ἄλλως πάσχουσιν, ἄλλος λόγος. Simpl. f. 231.

236 b 19. δείξας ὅτι οὐκ ἔστιν ἐν τῷ χρόνῳ, ἐν ᾧ τι μεταβάλλει, τὸ πρῶτον λαβεῖν, ἐπειδὴ λέγεταί τι ἐν πρώτῳ χρόνῳ μεταβάλλειν τὸ μὴ ἔν τινι μέρει τοῦ λεγομένου χρόνου ἀλλ' ἐν αὐτῷ τῷ προσεχῶς, προτίθεται δεῖξαι ὅτι καὶ τοῦτο τὸ πρῶτον διαιρετὸν ὂν οὐ συγχωρεῖ τὸ κυρίως πρῶτον λαβεῖν... ἐπειδὴ δὲ ἀναγκαῖόν ἐστι τὸ πρόβλημα, οὐδὲν ἄτοπον οἶμαι καὶ τὰ τῷ Εὐδήμῳ περὶ τούτου γεγραμμένα παραθέσθαι, πάντων μᾶλλον τῶν ἐξηγητῶν τὴν τοῦ Ἀριστοτέλους γνώμην ἐπισταμένου. γράφει δὲ ὁ Εὔδημος ἐν τῷ δευτέρῳ τῶν Φυσικῶν ταῦτα. id. ib.

236 b 32. δεδειγμένου τοῦ πάντα χρόνον καὶ πᾶν μέγεθος καὶ τὸ πρῶτον λεγόμενον ἐπ' ἄπειρον διαιρετὸν εἶναι, ἕπεσθαι τούτῳ φησὶ τὸ πᾶν τὸ κινούμενον ἐξ ἀνάγκης πρότερον κεκινῆσθαι. οὐχ ὡς πεπαῦσθαι δὲ τῆς κινήσεως λέγεται κεκινῆσθαι τὸ κινούμενον, ἀλλ' ὡς ἤδη τι διεληλυθέναι τὸ δυνόν. id. f. 231 b.

237 a 22. σαφεστέρα ἂν ἦν ἡ λέξις, εἰ τῷ "ἅμα γὰρ ἂν εἴη καὶ ἐν τῷ α' καὶ ἐν τῷ β'" ἐπαγαγὼν τὸ "ὅπερ ἀδύνατον," τότε ὑπέμνησε τῆς τοῦ ἀδυνάτου αἰτίας, λέγων "τὸ γὰρ μεταβεβληκός, ὅτε μεταβέβληκεν, ὅτι οὐκ ἔστιν ἐνταῦθα, δέδεικται πρότερον." εἰ οὖν μὴ ἐν τῷ αὐτῷ νῦν ἀπὸ τοῦ α' εἰς τὸ β' μεταβέβληκεν, ἀλλ' ἐν ἑτέρῳ καὶ ἑτέρῳ, πάντων δὲ δυοῖν νῦν μεταξὺ χρόνος ἐστίν, εἴπερ μὴ ἐχόμενά ἐστι τὰ νῦν, δηλονότι ἐν χρόνῳ τὴν μεταβολὴν ὑπέμεινε· τοῦτο γὰρ σημαίνει νῦν τὸ ἐν τῷ χρόνῳ μεταβεβληκέναι, ἀλλ' οὐχὶ ἐκεῖνο ὃ πέρας ἐστὶ τοῦ μεταβάλλειν. id. f. 232.

237 b 1. ἐπειδὴ ἡ προσεχὴς ἀπόδειξις ἡ ἀπὸ τοῦ μεγέθους ἤτοι τοῦ συνεχοῦς οὐκ ἐπιβάλλει τοῖς κατὰ ποιότητα, ἅπερ εἶπεν ἐναντία, οὐδὲ τοῖς κατὰ γένεσιν καὶ φθορὰν μεταβάλλουσιν, ἅπερ ἐν ἀντιφάσει καλεῖ, καὶ ἐν τούτοις φησὶν εἶναι τὴν αὐτὴν ἀπόδειξιν ἀπὸ τοῦ χρόνου λαμβανομένην ἐν ᾧ μεταβέβληκε. id. f. 232 b.

237 b 11. διὰ τί εἰπὼν "ἀλλὰ ἄλλο τι," προσέθηκε τὸ "ἐνίοτε;" ἀεὶ γὰρ ἐπὶ τοῦ ἔτι γινομένου μέρος τι αὐτοῦ προγέγονεν. ἢ ὅτι τὸ ἐνίοτε πρόσκειται οὐχὶ ἐφ' ὧν τὸ γεγονέναι προηγεῖται τοῦ γίνεσθαι, ἀλλ' ἐφ' ὧν τὸ γίνεσθαι τοῦ γεγονέναι· καὶ γὰρ ἐνίοτε αὐτὸ τοῦτο ἐλέγετο γίνεσθαι ὃ νῦν γεγονέναι λέγεται, οἷον ἡ οἰκία ἢ ὁ θεμέλιος, ἐνίοτε δὲ τὸ γινόμενον πρότερον οὐ τοῦτο ἦν ὃ νῦν γέγονεν, ἀλλὰ ἄλλο τι καὶ μέρος αὐτοῦ... τὸ ὅσα διαιρετὰ καὶ συνεχῆ προσκεῖσθαί φησιν ὁ Ἀλέξανδρος, ὅτι ἔστι τινὰ ἐφ' ὧν τὸ γενέσθαι κατηγοροῦμεν, οὐ διὰ γενέσεως τὸ εἶναι ἔχοντα· τὰς γὰρ ἁφὰς γεγονέναι λέγομεν, οὐχὶ γίνεσθαι... δοκεῖ δὲ ὁ Θεόφραστος ἀπορεῖν, εἰ πᾶσα μεταβολὴ ἐν χρόνῳ, ὑφορώμενος ἴσως τὰς ἀπὸ σκότους εἰς φῶς μεταβολάς, ὅταν εἰσκομισθέντος εἰς τὸ δωμάτιον λύχνου πᾶς ἀθρόως ὁ οἶκος ἀναπλησθῇ τοῦ φωτὸς ἄνευ χρόνου. ἡ δὲ ἁφὴ εἰ μὴ διὰ γενέσεως τὸ εἶναι ἔχει, οὐδὲ γεγονέναι λέγεται, ἀλλ' εἶναι ἄνευ γενέσεως. διὸ ἐν τῷ πρώτῳ τῶν περὶ Οὐρανοῦ (c. 11) ἓν τῶν τοῦ ἀγενήτου σημαινομένων τὸ κατὰ τὴν ἁφὴν Ἀριστοτέλης εἶναί φησιν. id. f. 233.

Ἀλέξανδρος μὲν οὖν οἴεται πᾶσαν μεταβολὴν εἶναι ἐν χρόνῳ, Θεόφραστος δὲ ἔοικε διαποροῦντι, καὶ ἴσως ὑφεωρᾶτο τὰς ἀπὸ σκότους εἰς φῶς μεταβολάς, ὅταν εἰσκομισθέντος εἰς τὸ δωμάτιον λύχνου πᾶς ἀθρόως ὁ οἶκος ἀναπλησθῇ τῆς αὐγῆς καὶ τοῦ φωτὸς ἄνευ χρόνου. ἀλλὰ τοῦτο μὲν καὶ αὖθις σκεπτέον. Themist. f. 55 b.

237 b 23. πρόκειται μὲν αὐτῷ δεῖξαι ὅτι οὔτε ἐν ἀπείρῳ χρόνῳ δυνατόν ἐστι πεπερασμένην κινεῖσθαι γραμμὴν ἢ κίνησιν οὔτε ἐν πεπερασμένῳ ἄπειρον... ὥστε γὰρ τὴν ὅλην πεπερασμένην οὖσαν ἅπαξ λέγειν ἐν παντὶ τῷ ἀπείρῳ διελθεῖν, καὶ μὴ τὴν αὐτὴν πολλάκις, ὥσπερ ὁρῶμεν ἐπὶ τοῦ κυκλοφορητικοῦ σώματος γινόμενον, ἢ τῆς αὐτῆς τι πάλιν καὶ πάλιν (οὕτω γὰρ ἐνδέχεται), ὥστε δὲ ἅπαξ τὴν αὐτὴν κινηθῆναι ἐν τῷ ἀπείρῳ χρόνῳ ἀδύνατον... τοῦ δὴ κινουμένου ἢ ἰσοταχῶς ἢ ἀνισοταχῶς κινουμένου, ἐπὶ πρώτου τοῦ ἰσοταχῶς κινουμένου δείκνυσι τὸ προκείμενον, ἐφ' οὗ καὶ προχειροτέρα ἐστὶν ἡ ἀπόδειξις... εἰ οὖν τὰ μέρη τῆς γραμμῆς καὶ τῆς κινήσεως πεπέρανται καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ (τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ ποσὸν ἕκαστον καὶ τὸ ποσάκις), καὶ τὰ τοῦ χρόνου μόρια ὁμοίως ἂν εἴη καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ πεπερασμένα. Simpl. f. 233 b.

233 a 14. κἂν γὰρ μὴ ἴσα ᾖ τὰ τοῦ χρόνου μόρια διὰ τὸ ἀνισοταχὲς τῆς κινήσεως, ἀλλὰ πεπερασμένα γε ὄντα τῷ ἀριθμῷ, καὶ ἕκαστον τῷ μεγέθει πεπερασμένον, τὸ ὅλον πεπερασμένον ποιεῖ, κἄν τε ἴσα

235 a 14. τῷ "καὶ παντός ἐστιν ἡ κίνησις" ἢ ἐλλείπει τοῦ κινουμένου, ἵνα ᾖ, παντὸς τοῦ κινουμένου ἐστὶ κίνησις, ὅπερ εἶπε πρότερον, ὅτι πᾶσα κίνησις τινός ἐστιν, τοῦ κινουμένου δηλονότι· τούτου γὰρ καὶ τὸ καθ' ὃ ἡ κίνησις καὶ ὁ χρόνος ἐν ᾧ κινεῖται. ἢ παντός ἐστι κίνησις, διότι τὸ κινούμενον καθ' αὑτὸ ὅλον ὂν καὶ πᾶν κινεῖται. καὶ τὸ ἔν τινι δὲ τὸ καθ' ὃ ἡ κίνησις δηλοῖ, τό τε κατὰ τόπον καὶ τὸ κατὰ ποσὸν καὶ τὸ κατὰ ποιόν. εἰπὼν οὖν τὴν αὐτὴν εἶναι τούτων πάντων διαίρεσιν, ἐπειδὴ τὸ ποιὸν δοκεῖ μὴ διαιρεῖσθαι καθ' αὑτὸ τὴν εἰς μέρη διαίρεσιν, ὅτι μηδὲ ποσόν ἐστι, διὰ τοῦτο προσέθηκεν ὅτι οὐχ ὁμοίως πάντα διαιρεθήσεται τὰ καθ' ἃ ἡ κίνησις γίνεται· ὁ μὲν γὰρ τόπος καθ' ὃν ἡ κατὰ τόπον κίνησις, καὶ τὸ μέγεθος καθ' ὃ ἡ αὔξησις καὶ μείωσις, ποσὰ ὄντα καθ' αὑτὰ διαιρεθήσεται, τὸ δὲ ποιὸν καθ' ὃ ἡ ἀλλοίωσις οὐκέτι καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς διαιρεῖται· τῷ γὰρ τὸ σῶμα διαιρεῖσθαι ἐν ᾧ τὸ ποιόν, τούτῳ καὶ αὐτὸ τὸ ποιὸν διαιρεθήσεται. θεὶς δὲ τὸ τοῦ μὲν τόπου καθ' αὑτὸ εἶναι τὴν διαίρεσιν, οὐκέτι προσέθηκε τὸ καὶ τοῦ μεγέθους, καθ' ὃ ἡ κατὰ αὔξησιν καὶ μείωσιν κίνησις, ἀλλ' ὡς γνώριμον τοῦτο παρεὶς ἐπήγαγε "τοῦ δὲ ποιοῦ κατὰ συμβεβηκός." ἢ δεῖ, φησὶν ὁ Ἀλέξανδρος, γεγράφθαι ἀντὶ τοῦ "τοῦ μὲν τόπου καθ' αὑτό" τὸ τοῦ μὲν ποσοῦ καθ' αὑτό. οὕτως γὰρ περὶ τόπου τε ἂν καὶ περὶ μεγέθους ἔλεγε· ποσὸν γὰρ ἑκάτερον. id. ib.

235 a 25. δείξας τὸν χρόνον καὶ τὴν κίνησιν ἀλλήλοις ὁμοίως διαιρούμενα, δείκνυσιν ὅτι καὶ τὸ κινεῖσθαι, ὅ ἐστιν ἐνέργεια κατὰ τὴν κίνησιν ἢ πάθος, ὁμοίως τῇ κινήσει διαιρεῖται. id. ib.

235 b 5. ζητεῖ πάλιν ὁ Ἀλέξανδρος πῶς ἡ κατὰ ἀλλοίωσιν κίνησις τὴν διαίρεσιν κατὰ τὴν τοῦ κινουμένου μεγέθους διαίρεσιν ἔχει, εἴπερ τινὰ καὶ ἀθρόως μεταβάλλει, ὥσπερ αὐτός φησι πρὸς Μέλισσον ἀποτεινόμενος ἐν τῷ πρώτῳ ταύτης τῆς πραγματείας. ἐνταῦθα δὲ καὶ ἐφιστάνει ὁ Ἀλέξανδρος, ὅτι κἂν μὴ πᾶν ἀλλὰ μέρος τι αὐτοῦ ἀθρόον μεταβάλλῃ, οὐκέτι τῇ τοῦ μορίου διαιρέσει τούτου συνδιαιροῖτο ἂν οὔτε ἡ κίνησις οὔτε ὁ χρόνος, καὶ ἐπικρίνει λέγων, ἢ οὐ πᾶσι τοῖς μορίοις αὐτοῦ συνδιαιρεῖται, ἀλλὰ τοῖς ὡς κινουμένου καθὸ κινεῖται. id. f. 228 *b*.

235 b 6. τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι τὸ μεταβεβληκὸς ὅτε πρῶτον μεταβέβληκεν εἰς ὃ μεταβέβληκεν, ἀνάγκη ἐν τούτῳ εἶναι εἰς ὃ μεταβέβληκεν· οὐ γὰρ ἁπλῶς τὸ μεταβεβληκὸς ἀνάγκη ἤδη εἶναι ἐν τῷ εἰς ὃ μετέβαλεν. id. ib.

235 b 19. ἀξιώσας, ὡς ἐπὶ τῆς γενέσεως ἔχει, οὕτως ἔχειν καὶ ἐπὶ τῶν ἄλλων μεταβολῶν τὸ μεταβεβληκός, εἶναι γὰρ ἐν ἐκείνῳ τὸ μεταβεβληκὸς εἰς ὃ μετέβαλεν, νῦν καὶ ἐφ' ἑκάστης μεταβολῆς πειρᾶται αὐτὸ τοῦτο δεικνύναι οὕτως ἔχον, καὶ χρῆται δείξει καθολικῇ ἐπὶ πάσης μεταβολῆς ἁρμόσαι δυναμένῃ. ἅμα δὲ διὰ ταύτης τῆς ἀποδείξεως καὶ ἔνστασιν λύει φερομένην πρὸς τὴν προτέραν ἀπόδειξιν. εἴποι γὰρ ἄν τις ὅτι τὸ μεταβεβληκός, κἂν ἀπολέλοιπεν ἐκεῖνο ἐξ οὗ μεταβάλλει, δύναται μὴ πόρρω εἶναι ἐν τοῖς εἰς ἃ μεταβάλλει, ἀλλ' ἐν μεταξύ τινι· ἔστι γὰρ ἐν ταῖς πλείσταις μεταβολαῖς τὸ μεταξύ. id. ib.

235 b 24. δύναται δέ, φησὶν ὁ Ἀλέξανδρος, διὰ τοῦ "συνεχὴς δὲ ἡ μεταβολή" δείκνυσθαι ὅτι οὐδὲ ἐν ἄλλῳ τινὶ ἔσται τὸ ἀπὸ τοῦ α' εἰς τὸ β' μεταβεβληκός, ὅπερ ἐκτός ἐστι τῆς αβ' καὶ κεχώρισται αὐτῆς· εἰ γὰρ συνεχὴς ἡ μεταβολή, ἡ δὲ συνεχὴς ἐπὶ συνεχοῦς καὶ οὐ διαλείπουσα, οὐκ ἂν εἴη τῇ αβ' συνεχὲς τὸ κεχωρισμένον αὐτῆς. λύσας οὖν καὶ τὴν εἰρημένην ἔνστασιν, ἐπιφέρει ὅτι φανερὸν καὶ νῦν γέγονεν ὅτι ἀληθές ἐστι τὸ εἰρημένον καὶ ἐπὶ τῆς κατὰ ἀντίφασιν μεταβολῆς. id. f. 229.

ποῦ γὰρ ἔσται τὸ μεταβεβληκός, εἰ μὴ ἐν ᾧ μεταβέβληκε; τὸ μὲν γὰρ ἐξ οὗ κεῖται ἀπολελοιπέναι, ἐν ἄλλῳ δέ τινι ἂν εἴη, φαίη τις ἄν, ὡς ἐν τῷ μεταξύ· οὐ γὰρ πᾶσαι κατὰ ἀντίφασιν αἱ κινήσεις. ἀλλ' εἴπερ ἐν τῷ μεταξύ, μεταβάλλον αὐτὸ ποιοῦμεν, οὐ μεταβεβληκός, ὡς ὑπεθέμεθα. εἰ δὲ μεταβέβληκεν ἤδη, πῶς ἂν εἴη ἐν τῷ μεταξύ; πῶς γὰρ ἂν δύναιτο τὸ μεταβεβληκός, ὅτε μεταβέβληκεν, ἔτι μεταβάλλειν εἰς ὃ μεταβέβληκεν; φανερὸν τοίνυν ὅτι καὶ τὸ γεγονός, ὅτε γέγονε πρῶτον, εὐθύς ἐστιν, καὶ τὸ ἐφθαρμένον, ὅτε ἔφθαρται πρῶτον, οὐκ ἔστιν. τὸ δὲ πρῶτον τοῦτο, ἐν ᾧ λέγεται πρῶτον μεταβεβληκέναι τι καὶ γεγονέναι καὶ ἐφθάρθαι ἢ ἠλλοιῶσθαι, ἀνάγκη ἀμερὲς καὶ ἓν μόριον εἶναι. Themist. f. 54 *b*.

νῦν δείκνυσιν ὅτι τοῦτο τὸ ἐν ᾧ πρῶτον μεταβέβληκε τὸ μετα- 235 b 32.
βεβληκὸς οὐ χρόνος ἐστίν, ἀλλὰ ἄτομόν τι χρόνου πέρας, ὅπερ νῦν καλοῦμεν, ὅπερ Πλάτων ἐξαίφνης ἐκάλεσεν... διὰ τούτου δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ τὴν λύσιν ἡμῖν ἐνεδείξατο τοῦ ὑπὸ τῶν σοφιστῶν ἐρωτωμένου λόγου, ἐν ποίῳ χρόνῳ Δίων ἀπέθανεν. ἢ γὰρ ὅτε ἔζη ἢ ὅτε τέθνηκεν· ἀλλ' οὔτε ἐν ᾧ ἔζη (ἐν ἐκείνῳ γὰρ ἔζη) οὔτε ἐν ᾧ τέθνηκεν (ἐν παντὶ γὰρ τούτῳ τεθνήκει). εἰ οὖν μήτε ἐν ᾧ χρόνῳ ἔζη μήτε ἐν ᾧ τέθνηκεν ἀπέθανεν ὁ Δίων, οὐκ ἀπέθανεν. σημαίνει δὲ τὸ μὲν ἀπέθανε τὴν πρώτην ἀπὸ τοῦ ζῆν μεταβολήν, τὸ δὲ ὅτε τέθνηκε, τὸν χρόνον ἐν ᾧ τεθνηκώς ἐστιν. ἐπεὶ οὖν οὐκ ἐν χρόνῳ τὸ μεταβεβληκὸς μεταβέβληκεν, οὐ φοβητέον τὸ οὐδέποτε ἀπέθανεν ὁ Δίων· οὐδέποτε γὰρ ὡς ἐν χρόνῳ, εἴπερ ἐν ἀτόμῳ μεταβέβληκεν ἀπὸ τοῦ ζῆν. Simpl. f. 229 et inde a v. 20 cod. Pal. 237.

φανερὸν τοίνυν ὅτι καὶ τὸ γεγονὸς καὶ τὸ ἐφθαρμένον ἐν ἀτόμῳ 236 a 5.
τὸ μὲν ἔφθαρται τὸ δὲ γέγονε, καὶ οὐκ ἀπορήσομεν τοῖς σοφισταῖς ἀποκρίνασθαι, πότε ἀποτέθνηκε τὸ τεθνηκὸς πυνθανομένοις καὶ ἐν ποίῳ χρόνῳ· εἴτε γὰρ ἐν ᾧ ἔζη, γίνεται ζῶν ἅμα καὶ τεθνηκός, εἴτε ἐν ᾧ τέθνηκε, γίνεται πάλιν τεθνηκός, ἡνίκα ἤδη τεθνήκει, εἰ δὲ ἐν μηδενὶ χρόνῳ, οὐδέποτε ἔσται τεθνηκός. ἀλλὰ τοῦτο οὐκ ἀληθές· τέθνηκε γὰρ οὐκ ἐν χρόνῳ, ἀλλ' ἐν πέρατι χρόνου, καθάπερ ἐδείχθη. Themist. f. 54 *b*.

ἀντὶ τοῦ μεταβάλλειν τῷ μεταβεβληκέναι χρῆται, ἐπειδὴ τὸ 236 a 10.
μεταβάλλον εἰς τέλος τοῦ μεταβάλλειν ἐρχόμενον μεταβέβληκεν. ἐν δὴ τούτοις ἄπορον δοκεῖ, πῶς πέρας μὲν εἶναι λέγεται καὶ τῆς κινήσεως καὶ τοῦ χρόνου, καθ' ὃ τὸ μεταβάλλον μεταβεβληκέναι λέγεται, ἀρχὴ δὲ μὴ εἶναι. καὶ γὰρ ὁ Θεόφραστος ἐν τῷ πρώτῳ τῶν περὶ Κινήσεως θαυμαστά φησι φαίνεται κατ' αὐτὴν ὄντα τὴν φύσιν τῆς κινήσεως, οἷον εἰ μὴ ἔστιν αὐτῆς ἀρχή, πέρας δὲ ἔστι. πῶς δὲ τὸ μὲν πέρας ἀδιαίρετον ἐλαμβάνομεν, τὴν δὲ ἀρχὴν ἐπ' ἄπειρον διαιρετήν· δυνατὸν γὰρ τοῖς αὐτοῖς χρώμενον λόγοις καὶ τὸ πέρας τοῦ

χρόνος ἐστίν. κἂν λέγηται οὖν νῦν, οὐχ ὡς καθ' αὐτὸ ὑπάρχοντος αὐτῷ τοῦ ὀνόματος λέγεται, ἀλλ' ὡς καθ' ἕτερον... ἔστι δὲ καὶ ἄλλη γραφὴ τοιαύτη "ἡ γὰρ διαίρεσις καθ' αὑτό," καὶ λέγοι ἂν ὅτι τὸ μεταξὺ τοῦτο καθ' ἕτερόν ἐστι νῦν· ἡ γὰρ διαίρεσίς ἐστι τὸ καθ' αὑτὸ νῦν, ἀλλ' οὐ τὸ διαιρούμενον. id. ib.

γράφεται "ἡ γὰρ διαίρεσις ἡ καθ' αὑτό," καὶ λέγοι ἂν διαίρεσιν τὸ ἀμερὲς νῦν, ὃ καὶ καθ' αὑτό ἐστιν. cod. Pal. 237.

234a 16. εἰ δὲ γράφεται "καθ' αὑτό," λέγοι ἂν ὅτι τὸ μεταξὺ τοῦτο καθ' ἕτερόν ἐστι νῦν· ἡ γὰρ διαίρεσίς ἐστι τὸ καθ' αὑτὸ νῦν, ἀλλ' οὐ τὸ διαιρούμενον. id. ib.

234a 31. ὅτι ἐν τῷ νῦν στάσις ἐστὶ μόνον, καὶ διὰ τοῦτό φησιν ὅτι τῆς ἐν αἰῶνι τῶν θείων στάσεως καὶ ἀκινησίας ἔλλαμψίς τις εἰς ἡμᾶς καταπεφοίτηκε τὸ νῦν· μιμεῖται γὰρ τὸ στάσιμον τῶν ἀϊδίων. id. ib.

234b 10. δείξας πρότερον ὅτι καὶ τὸ μέγεθος ἐφ' οὗ ἡ κίνησις διαιρετόν ἐστιν εἰς ἀεὶ διαιρετά, καὶ ἡ κίνησις αὐτὴ καὶ ὁ χρόνος, νῦν δείκνυσιν ὅτι καὶ τὸ κινούμενον αὐτὸ ἀδύνατον ἀμέγεθες εἶναι καὶ ἀδιαίρετον. καὶ τοῖς προσεχῶς δὲ εἰρημένοις ἀκολούθως ἐπῆκται τὰ νῦν λεγόμενα... ἐκ δὲ τούτου τοῦ ἐπιχειρήματος δυνατόν ἐστι λύειν τὸν τὴν κίνησιν ἀναιροῦντα λόγον ἐκ τοῦ δεῖν τὸ κινούμενον ἢ ἐν τῷ ἐξ οὗ ἡ κίνησις εἶναι ἢ ἐν τῷ εἰς ὃ ἡ κίνησις, μηδέτερον δὲ δυνατὸν εἶναι· ἔν τε γὰρ τῷ ἐξ οὗ ὂν οὔπω κινεῖται, καὶ ἐν τῷ εἰς ὃ ὂν οὐκέτι κινεῖται ἀλλ' ἠρεμεῖ. ἐδείχθη γὰρ ὅτι ἐν οὐδετέρῳ ὅλον, ἀλλὰ τὸ μέν τι αὐτοῦ ἐν τούτῳ τὸ δὲ ἐν ἐκείνῳ. ἐν δὲ τούτοις ὁ Ἀλέξανδρος εἰς τὴν οἰκείαν περὶ ψυχῆς ὑπόθεσιν πάντα ἕλκων τὴν λέγουσαν ἀχώριστον εἶναι τοῦ σώματος τὴν ψυχήν, καὶ ἐκ τῶν νῦν λεγομένων φησὶ δῆλον εἶναι τοῦτο... ῥητέον δὲ οἶμαι πρὸς μὲν τὸ κινεῖσθαι τὴν ψυχὴν ἀμερῆ οὖσαν, ὅτι σωματικὴν μὲν οὐ κινεῖται κίνησιν... ταῦτα δὲ καὶ τῷ κορυφαίῳ ἀρέσκει τῶν Ἀριστοτέλους ἑταίρων Θεοφράστῳ ἐν τῷ πρώτῳ τῶν περὶ Κινήσεως αὐτοῦ λέγοντι ὅτι αἱ μὲν ὀρέξεις καὶ αἱ ἐπιθυμίαι καὶ ὀργαὶ σωματικαὶ κινήσεις εἰσὶ καὶ ἀπὸ τούτων ἀρχὴν ἔχουσιν, ὅσαι δὲ κρίσεις καὶ θεωρίαι, ταύτας οὐκ ἔστιν εἰς ἕτερον ἀγαγεῖν, ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ καὶ ἡ ἀρχὴ καὶ ἡ ἐνέργεια καὶ τὸ τέλος... καὶ Στράτων δὲ ὁ Λαμψακηνός, ὁ Θεοφράστου γεγονὼς ἀκουστὴς καὶ τοῖς ἀρίστοις Περιπατητικοῖς ἀριθμούμενος, τὴν ψυχὴν ὁμολογεῖ κινεῖσθαι οὐ μόνον τὴν ἄλογον ἀλλὰ καὶ τὴν λογικήν, κινήσεις λέγων εἶναι τὰς ἐνεργείας τῆς ψυχῆς. λέγει οὖν ἐν τῷ περὶ Κινήσεως πρὸς ἄλλοις πολλοῖς καὶ τάδε... ἀποροῦσι δὲ καλῶς πρὸς τὸ εἰρημένον ὑπὸ τοῦ Ἀριστοτέλους, ὅτι τὸ κινούμενον τὸ μέν τι ἔχει ἐν τῷ ἐξ οὗ κινεῖται, τὸ δὲ ἐν τῷ εἰς ὃ ἢ τῷ μεταξύ· εἰ γὰρ τοῦτο ἀληθές, πῶς ἐν τῷ πρώτῳ ταύτης τῆς πραγματείας (c. 3 p. 186 *a* 15) αὐτὸς αἰτιώμενος Μέλισσον ὡς ἀρχὴν λέγοντα τῆς ἀλλοιώσεως, ἐπήγαγεν "ὥσπερ οὐκ ἀθρόας γινομένης τῆς μεταβολῆς."... ὅτι δὲ οὐ περὶ μόνων τῶν τοπικῶς κινουμένων ἀλλὰ περὶ πάντων ὁ λόγος αὐτῷ, ἐδήλωσε καὶ διὰ τοῦ παραδείγματος οὗ παρέθετο· τὸ γὰρ φαιὸν καὶ τὸ λευκὸν καὶ τὸ μέλαν παρέλαβε, καθ' ἃ ἡ ἀλλοίωσις ἀλλ' οὐχ ἡ τοπικὴ κίνησις ἐπιτελεῖται. Simpl. f. 224 *b*.

πότερον δὲ ἅπαν τὸ μεταβάλλον διαιρετόν, ἢ καὶ ἀμερὲς ἐνδέχεται, καθάπερ οἱ μαθηματικοί φασι τὴν στιγμὴν φέρεσθαι καὶ ποιεῖν τῇ φορᾷ τὴν γραμμήν, ἐπισκεπτέον. Themist. f. 54 *b*.

ἀλλὰ τοῦτο ἐπὶ μὲν τῆς κατὰ τόπον μεταβολῆς καὶ αὐτόθεν ἐναργὲς ἐκ τῆς ἐπαγωγῆς, γνωριμώτερον δὲ ἐπὶ ἀλλοιώσεως ἢ αὐξήσεως. 234b 17. ἐφ' ὧν δὲ συμβαίνει ποτὲ ἀθρόαν εἶναι τὴν μεταβολήν, πῶς ἀναγκαῖον τὸ μὲν ἐν τῷ λευκῷ εἶναι τὸ δὲ ἐν τῷ μέλανι; τοῦτο δὲ ὁ Θεόφραστος ἀπορεῖ διαρρήδην ἐν τῷ περὶ Κινήσεως πρώτῳ, καὶ τοῖς ἐξηγηταῖς ὄχλον παρέχει. τὸ μὲν οὖν λέγειν ὡς οὐκ ἔστιν οὐδενὸς ἀθρόα μεταβολὴ καθ' ὅλα τὰ μόρια παραπλησίως, ἀλλ' ἐν πᾶσιν οἷς ἀθρόα δοκεῖ γίνεσθαι μεταβολή, τὸ μέν τι πρότερον μεταβάλλει μέρος τὸ δὲ ὕστερον, καὶ ἐπὶ τοῦ πηγνυμένου γάλακτος καὶ ἐπὶ τοῦ μελαινομένου σώματος ἐκ τῆς ἀκτῖνος (ἢ γὰρ τὸ εὐπαθέστατον μόριον πρῶτον, ἢ τὸ ἐγγύτερον τοῦ τὴν κίνησιν ἐνδιδόντος), τὸ δὲ ταῦτα λέγειν οὐ σφόδρα ἀληθές· δείκνυσι γὰρ ἡμῖν ἡ αἴσθησις ὅτι γίγνονταί τινες ἀθρόαι μεταβολαὶ σωμάτων καὶ ἀλλοιώσεις, καὶ πρὸς τὴν Μελίσσου θέσιν οὕτως ἐξ ἀρχῆς ἀντεθήκαμεν. ἀλλ' οὐδὲ ἐκεῖνό γε, ὅτι μόνον ἐπὶ τῶν κατὰ τόπον μεταβολῶν τὴν δεῖξιν Ἀριστοτέλης πεποίηται· φανερῶς γὰρ περὶ παντὸς λέγει τοῦ μεταβάλλοντος. ἃ τοίνυν ἡμῖν ἐπῆλθεν εἰς βοήθειαν τῷ λόγῳ, ταῦτά ἐστιν. οἰόμεθα τὸν Ἀριστοτέλην περὶ τῶν ἀθρόως μεταβαλλόντων, ὅτι διαιρετά ἐστι καὶ μεγέθη, μηδὲ λόγου προσδεῖσθαι νοῆσαι. εἰ γὰρ ἀθρόως ἐκεῖνα μεταβάλλειν φαμὲν ὧν ἅπαντα τὰ μέρη καθ' ἕνα χρόνον ἢ ἀλλοιοῦται ἢ αὔξεται, δῆλον ὡς ἐπὶ μέρη τινὰ κεκτημένων ἡ τοιαύτη μεταβολή· ἃ δὲ οὐδὲν κέκτηται μέρος, πῶς ἀλλοιοῖτο ἂν ἅμα καθ' ὅλα τὰ μέρη; ἢ τοίνυν οὐ τοῦτό ἐστι μεταβάλλειν ἀθρόως, τὸ τὰ πάντα ὁμοῦ τὰ μόρια μεταβάλλειν, ἢ εἰς τὸ ἀθρόως τοῦτό ἐστι γελοῖον τὸ ζητεῖν εἰ διαιρετὰ τὰ τοιαῦτα. διόπερ Ἀριστοτέλης ἐπὶ μὲν τούτων ὅλως οὐδὲ ἐποιήσατο λόγον, ἐπὶ δὲ τῶν κατὰ τοὺς ἄλλους τρόπους μεταβαλλόντων. id. ib.

235a 10. "παντὸς δὲ τοῦ μεριστοῦ" εἶπεν ἢ ἀντὶ τοῦ κινουμένου (ἔδειξε γὰρ ὅτι πᾶν τὸ κινούμενον μεριστόν ἐστιν), ἢ παντὸς τοῦ μεριστοῦ εἶπεν ἀντὶ τοῦ πάντων τῶν μορίων τοῦ κινουμένου· εἰ δὲ πάντων τῶν μορίων τοῦ κινουμένου ἐστὶν ἡ κίνησις, καὶ διαιροῖτο ἂν κατὰ τὰ μόρια τοῦ κινουμένου. ὁ δὲ Εὔδημος καὶ οὕτως ἔδειξε τὸ προκείμενον· εἰ γάρ ἐστι τοῦ ὅλου κίνησις, ἔστι δὲ καὶ τῶν μορίων ἑκάστου, ἕτεραι δὲ αὗται καὶ μέρος ἑκάστη τῆς ὅλης, αἱ τῶν μορίων κινήσεις μόρια ἔσονται τῆς ὅλης, τοσοῦτον ἕκαστον ὁποστημόριον καὶ αὐτὸ τοῦ κινουμένου ἐστίν, ὥστε εἰ τὰ τοῦ κινουμένου μόρια ἰσάζει τῷ ὅλῳ, καὶ αἱ κινήσεις αἱ τοῦ κινουμένου ἴσαι ἔσονται τῇ ὅλῃ. καὶ ἀπορίαν δέ τινα φαίνεται περὶ τὰ εἰρημένα φησὶν ὁ Εὔδημος, πῶς χρὴ λέγειν τὰ μόρια κινεῖσθαι· οὐ γάρ ἐστιν ἐνεργείᾳ, ἢ πάντα ἔσται τὰ μεριστὰ πολλὰ καὶ ἄπειρα, ἓν δὲ οὐθέν. Simpl. f. 227.

235a 11. 'εἴη ἄν, φησὶν ὁ Ἀλέξανδρος, ἡ μὲν κατὰ χρόνον γινομένη διαίρεσις τῆς κινήσεως ὥσπερ κατὰ μῆκος, ἡ δὲ κατὰ μέρη τοῦ κινουμένου ὥσπερ ἂν εἴη κατὰ πλάτος· καὶ γὰρ ὁ μὲν χρόνος κατὰ γραμμὴν πρόεισιν οὐδὲν ἐμφαίνων πλάτος, τὸ δὲ κινούμενον πλάτος ἔχον ὡς ἐπὶ ἐπιφανείας κινεῖται, ἀλλ' οὐχ ὡς ἐπὶ γραμμῆς. id. f. 227 *b*.

ὑποτεθῇ εἶναι ἐν πεπερασμένῳ χρόνῳ δύνασθαί τι κινηθῆναι, μήτε ἐν ἀπείρῳ χρόνῳ πεπερασμένον. ἄπειρον δὲ νῦν λαμβάνει τὸ κυρίως ἄπειρον τὸ κατ' ἐνέργειαν, ὅπερ τοῖς ἐσχάτοις ἔλεγεν ἄπειρον... μεταξὺ δὲ ἔνστασιν λύει τὴν λέγουσαν ὅτι τὸ βε' μέγεθος οὐ πάντως καταμετρεῖ τὸ ὅλον τὸ αβ', ὥστε καὶ ἀληθῶς εἰπεῖν ὅτι τριπλάσιον, εἰ τύχοι, ἢ τετραπλάσιον ἢ ὁποσαπλασιονοῦν ἐστὶ τὸ αβ' τοῦ βε'· δυνατὸν γὰρ καὶ ἐλλείπειν ἐν τῇ μετρήσει καὶ ὑπερβάλλειν. λέγει οὖν ὅτι οὐδὲν διαφέρει, κἂν ἐλλείπῃ κἂν ὑπερβάλλῃ, εἰ μόνον τὸ ἴσον τῷ βε' μεγέθει ἐν ἴσῳ τῷ χρόνῳ τῷ γδ' διεξέρχεται... διχῶς δὲ φερομένης τῆς γραφῆς τῆς ἐν τῷ τέλει τῆς ῥήσεως ταύτης (*b* 6), εἰ μὲν εἴη γεγραμμένον "εἰς ἴσα γὰρ διαιρεθήσεται καὶ τὸ μέγεθος," ἀσάφειαν ἔχει, λέγοι δ' ἄν, εἰς ἴσα γὰρ διαιρεθήσεται εἰς ὅσα καὶ τὸ μέγεθος. εἰ δὲ ὡς Ἀλέξανδρος καὶ Θεμίστιος καὶ Ἀσπάσιος γράφουσιν "εἰς ἴσα γὰρ διαιρεθήσεται ὡς καὶ τὸ μέγεθος," σαφὲς ἂν εἴη τὸ λεγόμενον, ὅτι καὶ ὁ χρόνος εἰς ἴσα τῷ ἀριθμῷ διαιρεθήσεται εἰς ὅσα καὶ τὸ μέγεθος· περὶ γὰρ τοῦ χρόνου λέγει, τοῦτον δεικνὺς ὅτι μὴ ἄπειρος. Simpl. f. 221 *b*.

233*a* 35. τοῦτο τοίνυν τὸ μέρος τοῦ μήκους, λέγω δὲ τὸ βε', ὅλην καταμετρήσει τὴν αβ', ἢ ὑπερβαλεῖ τοῦ μέρους τοῦ τελευταίου· διαφέρει γὰρ οὐδέν, εἴγε ἀεὶ τὸ ἴσον τῷ βε' μέρει ἐν ἴσῳ διήξει, τοῦτο δὲ καταμετρεῖ τὸ ὅλον μέγεθος, καὶ ὑπερβάλλει τοῦ μέρους τοῦ τελευταίου· πεπερασμένος γὰρ πᾶς ἔσται χρόνος ἐν ᾧ διῆλθεν τὸ ὅλον· εἰς ἴσα γὰρ μέρη διαιρεθήσεται εἰς ὅσαπερ καὶ τὸ μέγεθος. εἰ δέ σε ταράττει τὸ μὴ πάντως ἀπαρτίζειν τὸ βε' κατὰ τὸ μετροῦν τὴν αβ', ἔξεστί σοι τὸ βε' τηλικοῦτον ποιεῖν ἡλίκον καταμετρήσει τὴν βα'· εἰ γὰρ καὶ κατὰ τὴν πᾶσαν ἐν ἀπείρῳ χρόνῳ διέξεισιν, ἀλλὰ τό γε βε' πάντως ἐν πεπερασμένῳ. ὥστ' εἴπερ τὸ βε' καταμετρεῖ τὴν βα', καὶ ὁ χρόνος ἐν ᾧ, φαίη τις ἂν ὅτι καὶ τὸ βε' μέρος ἐν ἀπείρῳ χρόνῳ διέξεισιν. ἀλλ' ἀδύνατον. εἰ γὰρ ὥρισται κατὰ θάτερον πέρας ὁ χρόνος, καὶ ἄρχεταί ποτε τῆς κινήσεως τὸ κινούμενον ἀπὸ τοῦ β' σημείου, ἀνάγκη τὴν βε' διελθεῖν ἐν χρόνῳ πεπερασμένῳ. ἐπεὶ γὰρ ἐν ἐλάττονι χρόνῳ τὸ μέρος δίεισιν ἢ τὸ ὅλον, ἀνάγκη τὸν ἐλάττονα τοῦτο καὶ πεπεράνθαι, τὴν μὲν ἀρχὴν τὴν αὐτὴν ἕξει τῷ ὅλῳ, τὸ δὲ πέρας ἐκ τοῦ ἐλάττων εἶναι προσλήψεται. ἡ αὐτὴ δὲ ἀπόδειξις καὶ εἰ τὸ μὲν μῆκος ἄπειρον ὑποθοίμεθα, τὸν χρόνον δὲ πεπερασμένον· ἔσται γὰρ ἡμῖν πάλιν καὶ τὸ μῆκος πεπερασμένον, τῇ παραπλησίᾳ μεθόδῳ χρωμένοις. ἡ δὲ αὐτὴ ἀπόδειξις ἡμῖν, κἂν μὴ ἰσοταχῆ τὴν κίνησιν ὑποθείμεθα... ταῦτα μὲν οὖν ἔξωθεν τοῦ προκειμένου προσείληφεν ἡμῖν ὁ λόγος διὰ τὴν Ζήνωνος ἀπορίαν. ἐπανίωμεν δὲ ὅθεν ἐξέβημεν, ὡς οὔτε γραμμὴν οὔτε ἐπίπεδον οὐθ' ὅλως οὐδὲν τῶν συνεχῶν οὔτε ἄτομον ἐνδέχεται εἶναι οὔτε ἐξ ἀτόμων συγκεῖσθαι, οὐ μόνον διὰ τὰ πρότερον εἰρημένα, ἀλλ' ὅτι καὶ διαιρεῖσθαι τὸ ἄτομον ἐξ ἀνάγκης συμβήσεται. Themist. f. 53 *b*.

233*b* 7. λαβὼν πρότερον τὸ βε' μέγεθος ἀδιοριστότερον καὶ ὡς μὴ πάντως καταμετροῦν τὸ αβ', ἀλλὰ καὶ ὑπερβάλλον ἐνίοτε ἢ ἐλλεῖπον, καὶ ὑπὸ τοῦ γδ' χρόνου πεπερασμένου μετρουμένης τῆς ἐπ' αὐτοῦ κινήσεως, ἅπερ ἄμφω ἐνστάσεις ἔχειν δοκεῖ τινάς, διὰ τούτου τοῦ ἐπιχειρήματος τοιοῦτον ἀφαιρεῖ τὸ βε' ὡς καταμετρεῖν τὸ ὅλον, καὶ ἐξ ὑποθέσεως λαμβάνει τὸ ἐν πεπερασμένῳ χρόνῳ διιέναι αὐτὸ τὸ δι' αὐτοῦ κινούμενον, καὶ δείκνυσιν ὅτι κἂν καταμετροῦν ἐξ ἀρχῆς ὑποτεθῇ τὸ βε', τοῦ γδ' χρόνου ληφθέντος πεπερασμένου καὶ ὅλος ὁ χρόνος δειχθήσεται... καλῶς δὲ ἐπέστησεν ὁ Θεμίστιος ὅτι εἰ καὶ μὴ ἐν ἴσῳ χρόνῳ τὸ ἴσον κινεῖται διάστημα, ἀλλὰ ποτὲ μὲν ἐν πλείονι τὸ ἴσον ποτὲ δὲ ἐν ἐλάττονι, διαιρεθέντος καὶ οὕτω τοῦ πεπερασμένου διαστήματος εἰς τὰ ἴσα μέρη συνδιαιρεθήσεται καὶ ὁ χρόνος εἰς τοσαῦτα μὲν μέρη, οὐκέτι δὲ εἰς ἴσα ἀλλήλοις, ἀλλὰ πρός γε τὸ πεπερασμένον αὐτὸν ἐπιδεῖξαι ἐξαρκεῖ τὸ ἐκ μορίων πεπερασμένων αὐτὸν ἐπιδεῖξαι καὶ τῷ ἀριθμῷ καὶ τῷ μεγέθει, κἂν ἄνισα τυγχάνῃ τὰ μέρη. Simpl. f. 222.

233*b* 13. τινὰ τῶν βιβλίων ὑποστίζουσιν εἰς τὸ "τοῦτο," εἶτα ἐπάγουσι τὸ "ἀνάγκη πεπεράνθαι," τὸν χρόνον δηλαδή. cod. Pal. 237.

233*b* 15. λέγει νῦν ὅτι δεδειγμένου ἡμῖν τοῦ τὰ συνεχῆ μὴ διαιρεῖσθαι εἰς ἄτομα, φανερὸν ἐκ τούτου ὅτι οὐδὲν μόριον τῶν συνεχῶν ἄτομόν ἐστι καὶ ἀδιαίρετον, εἴπερ μὴ διαιρετὰ εἰς ἄτομα τὰ συνεχῆ. δείξει δὲ καὶ ἐπ' αὐτῶν τῶν μορίων ὁ λόγος ὅτι ἀδύνατον αὐτὰ ἄτομα εἶναι, πρῶτον μὲν τὸ τοῦ μεγέθους, εἶτα καὶ τὸ τοῦ χρόνου. διαφέροι δ' ἂν ἡ ἀπόδειξις αὕτη τῆς προτέρας, ὅτι ἐκείνη μὲν ἐδείκνυ μὴ ὄντα αὐτὰ ἀδιαίρετα, αὕτη δὲ δείκνυσι προηγουμένως ὅτι διαιρετά ἐστι, καὶ τὴν ἀνάγκην τῆς διαιρέσεως ἐπιδείκνυσι. Simpl. f. 222 *b*.

233*b* 33. δείξας διαιρετὰ τὰ μέρη τῶν συνεχῶν, τοῦ τε χρόνου καὶ τοῦ μεγέθους καὶ δηλονότι καὶ τῆς μέσης τούτων κινήσεως, ἐκ τοῦ εἰ μὴ διαιρετὰ εἴη διαιρεῖσθαι τὸ ἄτομον, ὅπερ ἀδύνατον, ἐπειδὴ καὶ τὸ νῦν τοῦ χρόνου τί ἐστιν, εἰκότως ἐφεξῆς τὰ περὶ αὐτοῦ διαρθροῖ. διττοῦ δὲ ὄντος τοῦ νῦν, τοῦ μὲν ὡς ἀρχῆς καὶ πέρατος τοῦ χρόνου, ὃ ἀναλογεῖ τῇ στιγμῇ τῇ ἐν τῇ γραμμῇ, τοῦ δὲ κατὰ τὸν ἐνεστῶτα χρόνον λεγομένου, ὃς ἀντιδιῄρηται πρὸς τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα, τὸ μὲν ὡς ἀρχὴν καὶ πέρας, ὃ καὶ ἀδιαίρετόν ἐστι, καθ' αὑτὸ καὶ πρώτως νῦν λέγεσθαί φησι, τὸ δὲ ἕτερον οὐ καθ' αὑτὸ οὐδὲ πρώτως, ἀλλὰ καθ' ὅσον ἔχει ἐν ἑαυτῷ τὸ πρώτως καὶ καθ' αὑτό... ἀλλ' ὁ μὲν Ἀριστοτέλης ἐπὶ τάδε ἀμφοῖν εἰπών, καὶ τοῦ πέρατος καὶ τῆς ἀρχῆς, ἀσαφῆ τὸν λόγον ἐποίησεν· ὁ δὲ Εὔδημος οὐδέν φησιν ἐπὶ τάδε τοῦ πέρατος οὐδὲ ἐπέκεινα τῆς ἀρχῆς. id. f. 223.

234*a* 7. δείξας ὅτι ἕτερον καὶ ἕτερον οὐ δύναται εἶναι τὰ ἔσχατα ὡς ἀπτόμενα ἀλλήλων, δείκνυσιν ἐφεξῆς ὅτι οὐδὲ ὡς κεχωρισμένα καὶ ἀφεστῶτα ἀλλήλων ἔσται ὅλως δύο τὰ ἔσχατα τοῦ χρόνου· εἰ γὰρ εἴη δύο, ἀνάγκη χρόνον εἶναι μεταξύ... δυνατὸν δὲ καὶ ἐπὶ ἑκατέρου μέρους τῆς διαιρέσεως συνάγειν τὸ ἄτοπον, ὡς Ἀσπάσιος συνήγαγεν. ἐπεὶ γὰρ ἡ τοῦ μεταξὺ διαίρεσις τὸ μὲν παρεληλυθὸς ποιεῖ τὸ δὲ μέλλον, ἐὰν ἑκάτερον τῶν τμημάτων τοῦ ἐνεστῶτος διαιρεθῇ, εἰς παρεληλυθὸς πάλιν καὶ μέλλον διαιρεθήσεται, καὶ ἔσται καὶ ἐν τῷ παρεληλυθότι τοῦ μέλλοντός τι καὶ ἐν τῷ μέλλοντι τοῦ παρεληλυθότος. id. f. 223 *b*.

234*a* 14. δεύτερον ἐπιχείρημα τοῦτο, ἐνστάσεως οἶμαι τινὸς λυτικὸν τῆς λεγούσης ὅτι οὐδὲν ἄτοπον μεταξὺ τοῦ παρεληλυθότος καὶ τοῦ μέλλοντος εἶναι τὸ νῦν τὸ ὡς ἐνεστώς. καὶ λέγει ὅτι τὸ μεταξὺ τοῦτο οὐκ ἔστι τὸ καθ' αὑτὸ νῦν· ἀμερὲς γὰρ τὸ καθ' αὑτό, τοῦτο δὲ διαιρετὸν διότι

τῷ τέλει τῆς ῥήσεως ὅτι διαιρεῖ τὸ μὲν θᾶττον τὸν χρόνον, τὸ δὲ βραδύτερον καὶ τὸ μῆκος. προηγουμένως μέντοι τὸν χρόνον ἀποδείκνυσιν ἐν τούτοις διαιρετόν, καὶ σὺν τῷ χρόνῳ τὸ μέγεθος, εἰς ὃ καὶ ἀπέβλεψεν ὁ Ἀλέξανδρος. id. f. 219.

ὁ δὲ ἀμερεῖς ὑποτιθέμενος χρόνους διαφθείρει τὸ θᾶττον καὶ βραδύτερον, πράγματα ἐν ὀφθαλμοῖς ὄντα καὶ πᾶσι γνώριμα... ὥσπερ ἐγὼ καὶ οἱ ἐμοὶ παῖδες τὴν αὐτὴν ὁδὸν τὴν ἐκ Νικαίας εἰς τὴν πατρίδα, ἐγὼ μὲν ἀπήνην δημοσίαν ἔχων οἱ δὲ ἅμαξαν, οὐκ ἐν ἴσῳ διηνύσαμεν χρόνῳ, ἀλλ' ἐγὼ μὲν ἐν δύο νυχθημέροις, οἱ δὲ ἐν τέτρασιν. Themist. f. 53.

232 b 20. δείξας ὅτι τὸ θᾶττον ἴσον διάστημα ἐν ἐλάττονι χρόνῳ κινεῖται καὶ τὸ βραδύτερον ἐν τῷ ἴσῳ ἔλαττον, τούτοις προσχρώμενος δείκνυσιν ὅτι ὁ χρόνος οὐ σύγκειται ἐκ τῶν νῦν ὄντων ἀμερῶν, ἀλλ' ἔστι συνεχής τε καὶ ἐς ἀεὶ διαιρετὰ διαιρετός, ὁμοίως δὲ καὶ τὸ μέγεθος, καὶ τὸ μὲν θᾶττον διαιρεῖ τὸν χρόνον, τὸ δὲ βραδύτερον τὸ μέγεθος... καὶ ἀπορεῖ καλῶς ὁ Ἀλέξανδρος, πῶς ἐπὶ τοῦ κυκλοφορητικοῦ σώματος ἀληθὲς ὁμαλῶς κινουμένου τὸ θᾶττον καὶ βραδύτερον κινεῖσθαι... καὶ παράγει καὶ τὸν Εὔδημον ἐν τῷ δευτέρῳ τῶν Φυσικῶν οὕτως ἀποδεικνύντα τὸ εἰρημένον... εἰκὸς δέ τινας καὶ ἐνταῦθα μέμφεσθαι τὴν ἀπόδειξιν καὶ ὡς διάλληλον καὶ ὡς αὐτὸ δι' αὐτοῦ δεικνῦσαν... ἐπιστῆσαι δὲ χρὴ ὅτι διὰ τῆς κινήσεως νῦν τὸν χρόνον καὶ τὸ μέγεθος ἔδειξε διαιρετά. Simpl. f. 220.

233 a 3. ἐπεὶ τοίνυν τὸ βραδύτερον ἐν τῷ ζθ' χρόνῳ τὴν γκ' διήει, τὸ θᾶττον ἐν τῷ ἐλάττονι χρόνῳ οὐκέτι τὴν γκ', ἀλλ' ἐλάττω τῆς γκ', τὴν γ' μόνον. νοήσομεν τοίνυν ὡς ἀεὶ τὸ θᾶττον ἡμῖν καὶ βραδύτερον μεταλαμβάνουσι, καὶ τῷ ὑποδεδειγμένῳ τρόπῳ χρωμένοις τῆς μεταλήψεως τὸ μὲν θᾶττον ἀεὶ διαιρήσει τὸν χρόνον, τὸ βραδύτερον δὲ ἀεὶ διαιρήσει τὸ μέγεθος· τὸ μὲν γὰρ θᾶττον ἀεὶ τὴν αὐτὴν εὐθεῖαν ἐν τῷ ἐλάττονι χρόνῳ, τὸ βραδύτερον δὲ ἐν τῷ αὐτῷ χρόνῳ τὴν ἐλάττονα εὐθεῖαν διήξει. ἀεὶ δὲ οὔσης δυνατῆς τῆς μεταλήψεως (ἀεὶ γὰρ δυνατὸν τὸ θᾶττον νοεῖν καὶ τὸ βραδύτερον), ἀεὶ καὶ τὸν χρόνον καὶ σὺν τῷ χρόνῳ τὸ μέγεθος διαιρεῖν δυνησόμεθα· ἀκολουθεῖ γὰρ ταῦτα ἀλλήλοις. Themist. f. 53.

233 a 13. δείξας δι' ἐκθέσεως ὅτι τῇ τοῦ χρόνου διαιρέσει συνδιαιρεῖται καὶ τὸ μέγεθος, τὸ αὐτὸ δείκνυσθαι λέγει καὶ ἐξ ἄλλων λόγων συνειθισμένων, ὡς ἔοικε, τότε τοῖς περὶ τούτων διαλεγομένοις... ἐπειδὴ δὲ ὁ χρόνος καὶ τοῖς ἐσχάτοις ἄπειρός ἐστι μήτε ἀρχὴν ἔχων μήτε πέρας, ἐν τῷ τελευταίῳ ταύτης δείκνυται τῆς πραγματείας πῶς ἀληθὲς ὅτι καὶ τὸ μέγεθος οὕτως ἄπειρόν ἐστιν· αὐτὸ γὰρ τοὐναντίον ἐν τῷ τρίτῳ ταύτης δέδεικται τῆς πραγματείας, ὅτι οὐδὲ μέγεθος ἄπειρόν ἐστι τοῖς ἐσχάτοις. μήποτε οὖν ὥσπερ ὁ χρόνος διττός ἐστιν, ὁ μὲν ἄπειρος τοῖς ἐσχάτοις ὁ τὴν ἄναρχον καὶ ἀτελεύτητον κυκλοφορίαν μετρῶν, ὁ δὲ τοῖς ἐσχάτοις μὲν πεπερασμένος, ἐν δὲ τῇ διαιρέσει μόνῃ τὸ ἄπειρον ἔχων, ὡς ὁ μερικὸς ὁ τὰς ἐπ' εὐθείας κινήσεις μετρῶν, οὕτω καὶ τὸ μέγεθος διττόν ἐστι, τὸ μὲν ἄπειρον τοῖς ἐσχάτοις, οὐχ ὡς ἀόριστον, οἷον ἀπεγίνωσκεν ἐν τῷ τρίτῳ βιβλίῳ, ἀλλ' ὡς κυκλικὸν καὶ μήτε ἀρχὴν ἔχον μήτε πέρας, τὸ δὲ καὶ ἀρχὴν ἔχον καὶ πέρας, οἷα τὰ ἐν γενέσει, ἐπ' ἄπειρον δὲ ὄντα διαιρετὰ τῷ συνεχῆ εἶναι. ἀμφοῖν δὲ τοῖν ἀπειρίαιν καὶ ὁ ὅλος χρόνος μετέχει καὶ τὸ κυκλοφορητικὸν σῶμα· καὶ γὰρ ἄναρχα καὶ ἀτελεύτητα καὶ συνεχῆ ὄντα ἐπ' ἄπειρόν ἐστι διαιρετά. ἐμοὶ μὲν οὖν ἐπῆλθεν οὕτω καὶ ἀπορῆσαι ταύτην τὴν ἀπορίαν καὶ διαλῦσαι παρ' οὐδενὶ τῶν ἐξηγητῶν αὐτὴν εὑρηκότι· εἰ δέ τις πιθανωτέρως ἐπιβάλλει, φίλος ὢν ἀλλ' οὐκ ἐχθρὸς κρατεῖ. Simpl. f. 221.

ἔστιν ὁ λόγος ὁ τοῦ Ζήνωνος τοιοῦτος. εἰ ἔστι κίνησις, ἐνδέχεται 233 a 21.
ἐν πεπερασμένῳ χρόνῳ τὰ ἄπειρα διελθεῖν ἁπτόμενον αὐτῶν ἑκάστου. ἀλλὰ μὴν τοῦτο ἀδύνατον· οὐκ ἄρα ἔστι κίνησις. καὶ τὸ μὲν συνημμένον ἐδείκνυ χρώμενος τῇ τῶν μεγεθῶν ἐπ' ἄπειρον διαιρέσει.., τὴν δὲ πρόσληψιν τὴν λέγουσαν "ἀλλὰ μὴν ἀδύνατον τὰ ἄπειρα διελθεῖν καὶ ἅψασθαι ἐν πεπερασμένῳ χρόνῳ" δείκνυσιν ἐκ τοῦ τὸ ἄπειρον ἀδιεξίτητον εἶναι... ὁ δὲ Ἀριστοτέλης τὴν πρόσληψιν αἰτιᾶται· οὐ γὰρ ἀδύνατον ἐν πεπερασμένῳ χρόνῳ τὰ ἄπειρα διελθεῖν... τὸ οὖν σόφισμα τοῦ Ζήνωνος ἐγίνετο παρὰ τὴν τοῦ ἀπείρου ὁμωνυμίαν, καὶ τὸ μεταλαμβάνειν τὸ κατὰ διαίρεσιν ἄπειρον εἰς τὸ τοῖς ἐσχάτοις ἄπειρον... ὁ δὲ Ζήνων τὸ μὲν μέγεθος εἰς τὰ ἄπειρα διῃρημένον ἐνεργείᾳ ἐλάμβανεν, τὸν δὲ χρόνον οὐκέτι, καίτοι ὁμοίως ἔχοντα τῷ μεγέθει... ἐν δὲ τῷ τελευταίῳ ταύτης τῆς πραγματείας τὴν λύσιν ταύτην πρὸς μὲν τὸν ἐρωτῶντα ἱκανῶς ἔχειν ταύτην φησίν (ἐρωτᾷ γὰρ εἰ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα ἐνδέχεται διεξελθεῖν), πρὸς δὲ τὸ πρᾶγμα καὶ τὴν ἀλήθειαν οὐχ ἱκανῶς· οὐδὲ γὰρ ὁ χρόνος τὸ ἄπειρον ἐνεργείᾳ ἔχει ἀλλὰ δυνάμει. διὸ ἀκριβέστερον ἐκεῖ λύει. id. ib.

τοῦτο δὲ ἀγνοεῖ Ζήνων, ἢ προσποιεῖται, ὅταν οἴηται τὴν κίνησιν ἀναιρεῖν ἐκ τοῦ μὴ δυνατὸν εἶναι λέγειν ἐν πεπερασμένῳ τῷ χρόνῳ τὰ ἄπειρα διελθεῖν τὸ κινούμενον καὶ ἅψασθαι τὸ α' ἄπειρον καὶ καθ' ἕκαστον, εἰ τὸ μὲν μῆκος τὸ ποδιαῖον εἰς ἄπειρα διαιρετὸν καὶ ἐπ' ἄπειρον, ὁ δὲ χρόνος τῆς κινήσεως τῆς ἐπ' αὐτῷ πεπερασμένος. οἱ γὰρ ἐπὶ τοῦ σταδίου κυλιόμενοι τροχοὶ τῶν ἁρμάτων οὐδέν δή που, φησί, παραλείπουσιν τῆς διαιρέσεως τοῦ σταδίου, ἀπείρου δὲ οὔσης αὐτῆς καὶ τῶν ἐπ' αὐτῆς γιγνομένων μερῶν πως ἄπειρα διαθέουσιν ἐν χρόνῳ πεπερασμένῳ. τοῦτο γὰρ αὐτῷ τὸ ἀδύνατον ἠκολούθησεν ἐκ τοῦ μὴ κατιδεῖν, ἢ μὴ ἐθελῆσαι, ὅτι διχῶς λέγεται ἄπειρον καὶ μῆκος καὶ χρόνος καὶ πᾶν ὅλως τὸ συνεχές, ἢ τῷ διαιρεῖσθαι ἐπ' ἄπειρον, ἢ τῷ μηδὲν ἔσχατον ἔχειν μηδὲ πέρας τι τοῦ μεγέθους. Themist. f. 53 *b*.

ὁ Ζήνων ἀναιρῶν τὸ εἶναι κίνησιν ἐκέχρητο τοιούτῳ συλλογισμῷ. εἰ ἔστι κίνησις, ἐνδέχεται τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν· ἀλλὰ μὴν τοῦτο ἀδύνατον, οὐκ ἄρα ἔστι κίνησις. εἰ γὰρ κινοῖτό τι ἐπὶ πηχυαίου μεγέθους ἐν μιᾷ ὥρᾳ, ἐπειδὴ ἐν παντὶ μεγέθει ἄπειρόν ἐστι σημεῖον, ἀνάγκη πάντων ἅψασθαι τῶν σημείων τοῦ μεγέθους τὸ κινούμενον· διελεύσεται ἄρα τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ, ὅπερ ἀδύνατον. cod. Reg. 1853.

δείξας ὁμοίως συνεχῆ τόν τε χρόνον καὶ τὸ μέγεθος, καὶ ὁμοίως 233 a 31.
διαιρετὰ ἐπ' ἄπειρον, καὶ τὸν Ζήνωνος λόγον ἐκ ταύτης διαλύσας τῆς ὁμοιότητος, προστίθησί τι τοῖς προαποδεδειγμένοις ὡς ἀκόλουθόν τε καὶ ὡς ἐξ ἐκείνων δεικνύμενον, τὸ μήτε τὸ ἄπειρον διάστημα κἂν

διαιρεῖται εἰς ἀδιαίρετα, ἢ οὐδὲν αὐτῶν. καὶ πρῶτον δείκνυσιν ὅτι ὁμοίως ἔχει τῷ μεγέθει ἡ κίνησις, καὶ τότε ὅτι καὶ ὁ χρόνος τὸν αὐτὸν ἔχει τούτοις λόγον. id. f. 218.

231 b 19. ἔτι εἰ μέγεθος ἐξ ἀμερῶν, καὶ γραμμὴν μείζω σημείου γραμμῆς δυνατὸν γενέσθαι. ἀλλ' εἰ τοῦτο, δίχα διαιρεθήσεται τὸ σημεῖον. εἰ γὰρ πᾶσα γραμμὴ δίχα διαιρετή, καὶ ἡ μείζων σημείου καὶ ἡ ἐλάττων. ὅταν τοίνυν ἡ μείζων τέμνηται δίχα, καὶ τὸ σημεῖον δίχα τμηθήσεται, καὶ ὅλως ἡ ἐκ περισσῶν στιγμῶν συγκειμένη, καὶ κύκλος δ' ἂν εἴη τις ἐκ περισσῶν σημείων συγκείμενος. πῶς οὖν οὗτος διαιρεθήσεται δίχα; οἴχεται δὲ καὶ τὸ τῇ διαμέτρῳ δίχα τέμνεσθαι τὸν κύκλον, μᾶλλον δὲ οὐδὲ ὅλως ἔσται διάμετρος· τὸ γὰρ κέντρον ἀμερὲς ὑποκείμενον τὴν δι' αὐτοῦ γραφομένην εὐθεῖαν οὐ παραδέχεται, ὥστε εἰς δύο γενέσθαι. οὐκοῦν οὐδ' ἡμικύκλιον ἔσται, ἀλλὰ τὸ κέντρον ἀεὶ θατέρῳ μέρει τοῦ κύκλου προσνεμόμενον ἐν τῇ τομῇ μεῖζον ἐκεῖνο ποιήσει. πολλὰ ἕτερα ἄν τις προσεπιλάβοι τὰ Ἀριστοτέλους ἐξεργάσασθαι φιλοτιμούμενος. Themist. f. 52 b.

231 b 27. συνδιαιρεῖται γὰρ ἀεὶ τῇ κινήσει τὸ διάστημα. ἔσται τοίνυν καὶ τὸ ἥμισυ τῆς κινήσεως ἐφ' ἥμισυ τοῦ α'. ἀλλ' ὑπόκειται ἀδιαίρετον εἶναι τὸ α'... ὅτι δὲ ἀμήχανον κίνησίν τινα ἐξ ἀδιαιρέτων εἶναι κινήσεων, λέγομεν πάλιν. φανερὸν τοίνυν ὅτι τὸ κινεῖσθαι παρουσίᾳ κινήσεως γίνεται, καὶ ὅπως ἂν ἔχῃ ἡ κίνησις, οὕτως ἔχει καὶ τὸ κινεῖσθαι. εἰ τοίνυν ἡ κίνησις ἀδιαίρετος γινομένη ἐπὶ τοῦ α', ἀδιαίρετον ἔσται καὶ τὸ κινεῖσθαι ἐπὶ τοῦ α'. τοῦτο δὲ ἀμήχανον, ὥστ' οὐδὲ ἡ κίνησις ἀδιαίρετος. πῶς οὖν ἀμήχανον ἀδιαίρετον εἶναι τὸ ἐπὶ τοῦ α' κινεῖσθαι; ἀνάγκη τὸ κινούμενον πόθεν ποῖ μὴ ἅμα κινεῖσθαι καὶ κεκινῆσθαι οὗ ἐκινεῖτο, τουτέστιν ἅμα πορεύεσθαι Θήβαζε καὶ πεπορεῦσθαι καὶ εἶναι ἐν Θήβαις... ἀλλ' ὁ σοφώτατος ἡμῖν Ἐπίκουρος οὐκ αἰσχύνεται χρῆσθαι φαρμάκῳ τῆς νόσου χαλεπωτέρῳ, καὶ ταῦτα Ἀριστοτέλους τὴν μοχθηρίαν τοῦ λόγου προεπιδείξαντος· ἐπὶ μὲν γὰρ τῆς ὅλης τῆς αβγ' κινεῖται, φησί, τὸ κινούμενον, ἐφ' ἑκάστου δὲ τῶν ἀμερῶν ἐξ ὧν σύγκειται οὐ κινεῖται ἀλλὰ κεκίνηται. εἶτ' οὐκ αἰσθάνεται περιπίπτων ἀναριθμήτοις τισὶν ἀτοπίαις. id. ib.

232 a 6. εἶτα προστίθησίν τι, ὅπερ εἰκὸς ἦν τινὰ εἰπεῖν, ὅτι ἐπὶ μὲν τοῦ ὅλου μεγέθους τοῦ αβγ' τοῦ ἐξ ἀμερῶν συγκειμένου, μὴ ὄντος δὲ ἀμεροῦς, τὸ ω' κινεῖσθαι τὴν δεζ' κίνησιν, μηκέτι δὲ ἑκάστην τούτων τῶν ἀμερῶν κινεῖσθαι ἀλλὰ κεκινῆσθαι. οὕτω γὰρ οὐκέτι δόξει ἀκολουθεῖν τὸ ἅμα τε κινεῖσθαι καὶ κεκινῆσθαι· ἐπὶ μὲν γὰρ τῆς ὅλης ἔσται κινούμενον, οὐκέτι μέντοι καὶ καθ' ἕκαστον τῶν μορίων αὐτῆς τῶν ἀδιαιρέτων ἔσται κινούμενον. θεὶς δὴ τοῦτο, τὰ ἑπόμενα ἄτοπα τῇ τοιαύτῃ ὑπονοίᾳ ἐπάγει· ἥτε γὰρ κίνησις ἔσται συγκειμένη οὐκ ἐκ κινήσεων ἀλλ' ἐκ κινημάτων, τουτέστιν ἐκ τῶν περάτων τῆς κινήσεως, καὶ ἐκ τῶν κεκινῆσθαι. ἡ γὰρ δεζ' κίνησις οὐχ ἕξει τὰ μόρια τὰ δ' καὶ ε' καὶ ζ' κινήσεις· κεκινῆσθαι γὰρ ἔκειτο ταῦτα, οὐ κινεῖσθαι. ὁμοίως δὲ καὶ τοῦ κινεῖσθαι τὰ μόρια ἔσται οὐ κινεῖσθαι ἀλλὰ κεκινῆσθαι, καὶ διαιρεθήσεται τὸ κινεῖσθαι εἰς μόρια ἃ οὐ κινεῖσθαι ἐστὶν ἀλλὰ κεκινῆσθαι. ἐπάγει δὲ καὶ ἄλλο ἄτοπον ἀκολουθοῦν ταύτῃ τῇ ὑποθέσει, τὸ κεκινῆσθαί τι μὴ πρότερον κινούμενον... ὅτι οὐ πάντῃ ἀπίθανον ταύτην τέθεικε τὴν ἔνστασιν, δηλεῖ τὸ καὶ θέντος αὐτὴν καὶ διαλύσαντος τοὺς περὶ Ἐπίκουρον ὅμως ὕστερον γενομένους οὕτω λέγειν τὴν κίνησιν γίνεσθαι· ἐξ ἀμερῶν γὰρ καὶ τὸ μέγεθος καὶ τὴν κίνησιν καὶ τὸν χρόνον εἶναι λέγοντες, ἐπὶ μὲν τοῦ ὅλου μεγέθους τοῦ ἐξ ἀμερῶν συνεστῶτος κινεῖσθαι λέγουσι τὸ κινούμενον, καθ' ἕκαστον δὲ τῶν ἐν αὐτῷ ἀμερῶν οὐ κινεῖσθαι ἀλλὰ κεκινῆσθαι, διὰ τὸ εἰ τεθείη καὶ ἐπὶ τούτων κινεῖσθαι τὸ ἐπὶ τοῦ ὅλου κινούμενον, διαιρετὰ αὐτὰ ἔσεσθαι. Simpl. f. 218.

232 a 9. γράφεται καὶ τὸ κινεῖσθαί τι μὴ κινούμενον. cod. Pal. 237.

232 a 15. τέταρτον δὲ ἄτοπον ἐπάγει τῷ λόγῳ σποράδην μὲν ἐν τοῖς προδεδειγμένοις εἰρημένον, νῦν δὲ ἐν ἰδίῳ καταταχθὲν ἐπιχειρήματι. τὰ γὰρ δεζ' ἀδιαίρετα ἤτοι κινήσεις εἰσὶν ἢ οὐ κινήσεις· ἀλλ' εἰ μὲν κινήσεις, ἔσται τι παρούσης κινήσεως αὐτῷ μὴ κινούμενον ἀλλὰ ἠρεμοῦν... εἰ δὲ μὴ κινήσεις τὰ δεζ', ἡ κίνησις ἔσται οὐκ ἐκ κινήσεων συγκειμένη, οὐδὲ τὰ μέρη αὐτῆς κινήσεις ἔχουσα. Simpl. f. 218 b.

232 a 18. κατὰ μὲν τὴν γραφὴν τὴν λέγουσαν "εἰ γὰρ πᾶσα διαιρετός," τουτέστιν εἰ διαιρετὸς πᾶσα γραμμὴ ἢ διάστασις (ἔθος γὰρ τῷ Ἀριστοτέλει θηλυκῶς τὰ μεγέθη καλεῖν διὰ τὸ γραμμὴν ἀντὶ μεγέθους ἐκτίθεσθαι), εἰ οὖν διαιρετὸς ἡ γραμμὴ ἢ ἡ κίνησις, ἐπειδὴ τὸ ἰσοταχῶς κινούμενον ἔλαττον μέγεθος ἢ ἔλαττον μέρος κινήσεως ἐν ἐλάττονι χρόνῳ δίεισιν (οὐ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἢ τοῦ μεγέθους ἢ τῆς κινήσεως κινηθήσεται), τὸ ἰσοταχῶς κινούμενον συνδιαιρεθήσεται τῇ κινήσει ἢ τῷ μεγέθει καὶ ὁ χρόνος... εἰ μέντοι εἴη γεγραμμένον ὡς ἔν τισιν ἀντιγράφοις εὑρίσκεται "εἰ γὰρ πᾶς διαιρετός," ἐξηγεῖται ὁ Ἀλέξανδρος ὅτι εἰ πᾶς ὁ χρόνος ἐστὶ διαιρετός, συνδιαιρεθήσεται τῷ χρόνῳ διαιρουμένῳ καὶ τὸ μέγεθος. καίτοι ὁ Ἀριστοτέλης οὐ τοῦτο ἐπάγει, ἀλλ' ὅτι καὶ ὁ χρόνος διαιρετὸς ἔσται. καὶ τούτῳ ὁ Ἀλέξανδρος ὕστερον ἐπιστήσας λέγει ὅτι δείξας ὅτι ἂν τὸ μέγεθος πάντῃ διαιρετὸν ᾖ, καὶ ὁ χρόνος ἔσται διαιρετός, ἐπάγει πάλιν τὸ ἀντίστροφον διὰ τοῦ "εἰ ὁ χρόνος διαιρετὸς ἐν ᾧ φέρεταί τι τὴν α', καὶ ἡ τὸ α' ἔσται διαιρετή." ὁ μέντοι Ἀσπάσιος καὶ ἄλλην οἶδε τῆς τοιαύτης γραφῆς διαστολήν· "εἰ γὰρ πᾶς," εἶτα ἐπάγει "ἀδιαίρετος," καὶ ἐξηγεῖται ὅτι εἰ πᾶς ὑποτεθείη ἀδιαίρετος χρόνος, ἐν τῷ ἐλάττονι δὲ τὸ ἰσοταχὲς δίεισιν ἔλαττον, διαιρετὸς ἔσται καὶ ὁ χρόνος ὁ ὑποτεθεὶς ἀδιαίρετος. καλῶς δὲ ὁ Ἀσπάσιος ἐνταῦθα ὑπέστιξεν, ὅτι οὐ μόνον ἀκολουθίαν δείκνυσιν ὡς θατέρου ὄντος διαιρετοῦ καὶ θάτερον ἔσται, ἀλλὰ καὶ προσαναγκάζει διαιρετὰ εἶναι καὶ τὸν χρόνον καὶ τὸ μέγεθος, ὥσπερ καὶ τὴν κίνησιν. id. ib.

232 a 23. ὁ μὲν Ἀλέξανδρος ἐν τούτοις φησί, μετὰ τὸ δεῖξαι ὅτι ὡς ἔχει τὸ μέγεθος καὶ ἡ κίνησις πρὸς τὸ ἐξ ἀμερῶν εἶναι ἢ μὴ εἶναι, οὕτως ἔχει καὶ ὁ χρόνος, νῦν δείκνυσιν ὅτι μὴ σύγκειται ὁ χρόνος ἐξ ἀμερῶν μηδ' ἐκ τῶν νῦν. μήποτε δὲ ἤδη καὶ τοῦτο δέδεικται, ὅτε ἔλεγε καὶ ὁ χρόνος διαιρετὸς ἔσται, τουτέστι πᾶν μόριον χρόνου· χρόνος γὰρ τὸ τοῦ χρόνου μόριον. ἀλλ' ὡς εἴρηται, μετὰ τὸ ἐκ τῆς ἰσοταχοῦς τοῦ κινουμένου κινήσεως δεῖξαι καὶ ὅτι διαιρετὰ ἐπ' ἄπειρόν ἐστιν ὅ τε χρόνος καὶ τὸ μέγεθος, καὶ δηλονότι καὶ ἡ κίνησις, καὶ ὅτι ἀνάλογον ἀλλήλοις διαιροῦνται, νῦν ἐκ τοῦ θᾶττον καὶ βραδύτερον τὰ αὐτὰ δείκνυσιν· οὐ γὰρ μόνον ὅτι ὁ χρόνος διαιρετός, ἀλλ' ὅτι καὶ τὸ μέγεθος. καὶ τοῦτο καὶ αὐτὸς ὁμολογεῖ ὁ Ἀλέξανδρος. καὶ ὁ Ἀριστοτέλης δὲ λέγει πρὸς

ἐν πεπερασμένῳ χρόνῳ, μήτε ἀπείρου ὄντος τοῦ κινουμένου μήτε πεπερασμένου, ἐνταῦθα μὲν δείκνυσι, χρῆται δὲ αὐτῷ ἐν ἐκείνῳ ὡς δεδειγμένῳ. id. f. 216.

231 a 21. οἱ μὲν ἐπ' ἄπειρον πᾶν τὸ ληφθὲν μέγεθος εἰς μεγέθη διαιρεῖσθαι νομίζουσιν, ὡς μηδέποτε τῆς διαιρέσεως εἰς ἀμερῆ καταληγούσης, καὶ διὰ τοῦτο καὶ ἐκ μεριστῶν συγκεῖσθαι τὰ μεγέθη λέγουσι καὶ οὐκ ἐξ ἀμερῶν· οἱ δὲ τῆς ἐπ' ἄπειρον τομῆς ἀπεγνωκότες, ὡς οὐ δυναμένων ἡμῶν ἐπ' ἄπειρον τέμνειν καὶ ἐκ τούτου πιστώσασθαι τὸ ἀκατάληκτον τῆς τομῆς, ἐξ ἀδιαιρέτων ἔλεγον ὑφίστασθαι τὰ σώματα καὶ εἰς ἀδιαίρετα διαιρεῖσθαι. πλὴν ὅτι Λεύκιππος μὲν καὶ Δημόκριτος οὐ μόνον τὴν ἀπάθειαν αἰτίαν τοῖς πρώτοις σώμασι τοῦ μὴ διαιρεῖσθαι νομίζουσιν, ἀλλὰ καὶ τὸ σμικρὸν καὶ ἀμερές, Ἐπίκουρος δὲ ὕστερον ἀμερῆ μὲν οὐχ ἡγεῖται, ἄτομα δὲ αὐτὰ διὰ τὴν ἀπάθειαν εἶναί φησιν. καὶ πολλαχοῦ μὲν τὴν Δημοκρίτου δόξαν καὶ Λευκίππου ὁ Ἀριστοτέλης διήλεγξεν, καὶ δι' ἐκείνους ἴσως τοὺς ἐλέγχους πρὸς τὸ ἀμερὲς ἐνιστάμενος ὁ Ἐπίκουρος ὕστερον γενόμενος, συμπαθῶν δὲ τῇ Δημοκρίτου καὶ Λευκίππου δόξῃ περὶ τῶν πρώτων σωμάτων, ἀπαθῆ μὲν ἐφύλαξεν αὐτά... δέδεικται οὖν ὅτι ἀδύνατον ἐξ ἀμερῶν εἶναι τὸ συνεχές. τὰ γὰρ ἐπὶ γραμμῆς εἰρημένα καὶ ἐπὶ ἄλλων συνεχῶν ῥηθήσεται· οὐ γὰρ διότι στιγμαὶ ἀλλ' ὅτι ἀμερῆ, ἀληθῆ τὰ περὶ αὐτῶν εἰρημένα. ἀμερῆ δὲ καὶ τὰ νῦν καὶ αἱ μονάδες, ὥστε καὶ εἰ σώματά τις ἀμερῆ λέγει, ὡς ὁ Διόδωρος οἴεται δεικνύναι, καὶ ἐπὶ ἐκείνων τὰ αὐτὰ ῥηθήσεται. id. ib.

οἱ μὲν ἐπ' ἀπ... διὰ τὴν ἀπάθ. φησὶν εἶναι. cod. Pal. 237.

231 a 29. ἐπειδὴ δοκεῖ τινὰ μεγέθη καὶ συνεχῆ γίνεσθαι ἐκ μὴ συνεχῶν ἀλλὰ ἁπτομένων, ὡς ὁ τοῖχος ἐκ τῶν πλίνθων, ὅτι μηδὲ οὕτως ἐκ σημείων ἢ ἐξ ἀμερῶν ὅλως δυνατὸν μέγεθός τι γίνεσθαι δείκνυσι. Simpl. f. 216 b.

231 b 3. οὐ γὰρ δήπου μέρεσιν ἢ πέρασιν ἅπτεται ἀλλήλων τὰ ἀμερῆ, ἀλλ' ἅμα ὅλοις ἐνδύσεται καὶ ὅλα δι' ὅλων χωρήσει, εἴπερ ὅλα δεῖ καλεῖν ὧν μηδὲν μόριον. οὐκοῦν οὐδὲ ἡ σύνθεσις αὐτῶν ποιήσει τι μέγεθος περιττόν, ὥστε διαιρεῖσθαι εἰς ἄλλο καὶ ἄλλο μέρος. οὐ γὰρ ἂν τόπος ἔσται μείζων τῶν παμμυρίων συντεθέντων ἢ ἑνὸς κατ' αὐτό· οὐδὲ γὰρ προσοίσει διάστημα τὸ προστιθέμενον τῷ προλαβόντι. καίτοι παντὸς μεγέθους συνεχοῦς μείζων ὁ τόπος τοῦ ὅλου ἢ τῶν μορίων ἑκάστου. Themist. f. 52.

231 b 6. δείξας ὡς οὐδὲ ἐκ συνεχῶν στιγμῶν ἢ τῶν νῦν οὐδὲ ἐξ ἁπτομένων δυνατὸν ἕν τι γενέσθαι μέγεθος, ἐκ περιουσίας δείκνυσιν ὅτι ἐκ τῶν ἐφεξῆς στιγμῶν ἢ τῶν νῦν εἴ τις νομίζοι γίνεσθαί τι μῆκος ἢ χρόνον, οὐ καλῶς οἴεται. πρῶτον μὲν κἂν ἐφεξῆς ἦν ταῦτα ἀλλήλοις, οὐκ ἐποίει τι ἕν, ἀνομογενοῦς τινὸς ὄντος μεταξύ. ἔπειτα ὅτι οὐ μόνον συνεχεῖς ἀλλήλαις ἀδύνατον εἶναι τὰς στιγμὰς καὶ ἁπτομένας, ἀλλ' οὐδὲ ἐφεξῆς ἀλλήλαις αὐτὰς εἶναι δυνατόν... ὁ δὲ Εὔδημος τῷ ἐπιχειρήματι οὕτως ἐχρήσατο. εἰ γὰρ ἔστιν ἐφεξῆς, φησίν, τὰ ἀμερῆ, δεῖ πάντως εἶναί τι αὐτῶν μεταξὺ μὴ ὁμογενές, ὥστε στιγμὴ μὲν οὐκ ἂν εἴη, γραμμὴ δὲ ὡς κενὸν μεταξὺ στιγμῶν ἐν μήκει. εἰ μὲν οὖν γραμμή, οὐκ ἔσται ἐκ τῶν στιγμῶν ἡ γραμμή· οὐ γὰρ ἐν αὐτῇ αἱ ἐφεξῆς στιγμαί· εἰ δὲ κενόν, πλέον ἔσται τὸ κενὸν ἐν τοῖς συνεχέσι τῶν ἐξ ὧν, τουτέστι τῶν ἐφεξῆς λεγομένων στιγμῶν, ἢ οὐδὲ ἔσται ὅλως μέγεθος. ὥσπερ γὰρ ἁπτόμεναι δύο στιγμαὶ μῆκος οὐδὲν ποιοῦσιν, οὕτως οὐδὲ στιγμαὶ καὶ κενόν. μήποτε οὖν ὀρθῶς ἐννοῆσαι δοκεῖ τὸ ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθὲν ὁ Εὔδημος, ὅτι οὐκ ἀναιρεῖ ἁπλῶς τὸ ἐφεξῆς εἶναι στιγμὴν στιγμῇ ἢ τὸ νῦν τῷ νῦν, ἀλλὰ τὸ οὕτως εἶναι ἐφεξῆς ὥστε ἐκ τούτων εἶναι τὸ μῆκος ἢ τὸν χρόνον... ὁ δὲ Ἀλέξανδρος καὶ οὕτως ἐπεχείρησε τῷ λόγῳ. Simpl. f. 216 b.

καὶ τοῦτο οἶμαι τὸ ἐπιχείρημα τοῦ αὐτοῦ δεικτικόν ἐστι, τοῦ μηδὲ ἐφεξῆς εἶναι τὰ ἀμερῆ, ὥστε ἐκ τούτων εἶναι τὸ μῆκος ἢ τὸν χρόνον. 231 b 10. δηλοῖ δὲ καὶ τὸ ἔτι προσκείμενον ὅτι πρὸς τὸ αὐτὸ καὶ οὗτος ὁ λόγος πεπόρισται... τὴν δὲ πρόσληψιν τὴν λέγουσαν μηδὲν τῶν συνεχῶν εἰς ἀμερῆ διαιρετὸν εἶναι δείκνυσι, μεταλαβὼν τὸ συνεχὲς εἰς τὸ μεταξύ (τὸ γὰρ μεταξὺ ἦν γραμμὴ καὶ ὁ χρόνος), καὶ λέγει ὅτι ἄλλο γένος οὐχ οἷόν τε εἶναι μεταξὺ τῶν ἀδιαιρέτων (οὐ γὰρ οἷόν τε μεταξὺ τούτων εἶναι τὸ φαιὸν ἢ τὸ χλιαρόν), ἀλλ' ἢ τὸ διαιρετὸν ἢ τὸ ἀδιαίρετον, καὶ μάλιστα εἰ ἐκ τῶν ἀδιαιρέτων συγκεῖσθαι λέγεται τὸ μεταξύ... ζητεῖ δὲ ὁ Ἀλέξανδρος πῶς ὑγιὴς ἡ δεῖξις, εἰ διὰ μὲν τοῦ μὴ διαιρεῖσθαι τὸ συνεχὲς εἰς ἀμερῆ δείκνυσιν ὅτι μηδὲ σύγκειται ἐξ ἀμερῶν, ὅτε ἔλεγεν "ἀλλ' οὐδὲ ἦν τι τῶν συνεχῶν εἰς ἀμερῆ διαιρετόν," τὸ δὲ μὴ διαιρεῖσθαι εἰς ἀμερῆ δείκνυσι διὰ τοῦ μὴ ἅπτεσθαι τὰ ἀμερῆ ἀλλήλων, τουτέστι μὴ συγκεῖσθαι ἀλλήλοις, δι' οὗ ἔδειξεν ἤδη ὅτι ἐξ ἀμερῶν οὐχ οἷόν τε συγκεῖσθαι τὸ μέγεθος. καὶ λύει τὴν ἔνστασιν λέγων ἄλλο εἶναι τὸ ἐπιχείρημα τὸ ἀπὸ τοῦ μεταξύ, τὸ λέγον ὅτι ἢ διαιρετόν ἐστιν ἢ ἀδιαίρετον, καὶ εἰ διαιρετόν, ἢ εἰς ἀδιαίρετα ἢ εἰς ἀεὶ διαιρετά... μήποτε δὲ οὐδέ, ὡς εἴρηται πρότερον, διάλληλος ἡ δεῖξίς ἐστιν, ἀλλ' ἐκ τοῦ μὴ ἅπτεσθαι ἀλλήλων τὰ ἀμερῆ πρῶτον μὲν ἔδειξεν ὅτι οὐ σύγκειται ἐξ ἀμερῶν τὰ συνεχῆ... νῦν δὲ δείκνυσιν ἐκ τοῦ αὐτοῦ πάλιν καὶ ὅτι οὐ διαιρεῖται εἰς ἀμερῆ τὰ συνεχῆ, ἐκ δὲ τούτου ὅτι οὐδὲ σύγκειται ἐξ ἀμερῶν. ὥστε εἰ ἄμφω μὲν ἐκ τοῦ μὴ ἅπτεσθαι δείκνυται, τὸ δὲ μὴ συγκεῖσθαι καὶ ἐκ τοῦ μὴ διαιρεῖσθαι, οὐκ ἔστιν αὕτη διάλληλος ἡ δεῖξις. μήποτε δὲ ἐπὶ τῶν τοιούτων οὐδὲ ἔστιν ἄτοπος ἡ διάλληλος δεῖξις... προστίθησι δὲ καὶ τοιαύτας τινὰς ἐπιχειρήσεις ὁ Ἀλέξανδρος ἐκ τοῦ Εὐδήμου λαβών. id. f. 217.

δείξας ἐν τοῖς προτέροις ἐπιχειρήμασιν ὅτι τὸ συνεχὲς οὐ σύγκειται ἐξ ἀμερῶν, δείκνυσι νῦν ὅτι οὐδὲ διαιρεῖται εἰς ἀμερῆ... κοινότερον δέ, φησὶν ὁ Ἀλέξανδρος, τὸ ἐξ ἁπτομένων συγκείμενον μέγεθος λέγεσθαι συνεχές, καὶ οὕτως ἀκούει ἐπὶ τοῦ Ἀριστοτέλους εἰπόντος "ἓν γὰρ τὰ ἔσχατα, ἢ ἅπτεται τὰ ἔσχατα τῶν συνεχῶν." μήποτε δὲ οὐ τὸ ἐξ ἁπτομένων εἶπε συνεχὲς ὁ Ἀριστοτέλης, ἀλλ' ὅτι τὸ ἔσχατον τῶν συνεχῶν τῶν ἐμποιούντων τι μεῖζον συνεχὲς ἐξ ἑαυτῶν ἕν ἐστιν. εἰ δὲ ἕν, καὶ ἅπτεσθαι ἀνάγκη, ὡς εἴρηται· οὐ γὰρ γίνεται ἕν, μὴ πρότερον ἀψάμενα. id. f. 217 b. 231 b 15.

δείξας κοινῶς ὅτι οὐδὲν συνεχὲς ἐξ ἀδιαιρέτων σύγκειται οὐδὲ διαιρεῖται εἰς ἀδιαίρετα, ἐπειδὴ τῶν συνεχῶν ὡς συνελόντι εἰπεῖν τρία ἐστί, μέγεθος κίνησις χρόνος, δείκνυσι νῦν ὅτι ὁ αὐτός ἐστιν ἐπ' αὐτοῖς λόγος, καὶ ὁμοίως ἡ ἐξ ἀδιαιρέτων πανταχοῦ σύγκειται καὶ 231 b 18.

τότε μᾶλλον κατὰ τὸ εἶδος, ἄλλοι δὲ τὸ πλῆθος τοῦ μεταξὺ ἀέρος ἐμποδίζειν λέγουσι τοῖς ἐπὶ τὸ ἄνω ἢ κάτω κινουμένοις, ἕως ἂν πλησιάζοντα τοῖς οἰκείοις τόποις ἀπολίπῃ ὀλίγον τὸ μεταξύ, τὴν δὲ πίστιν τοῦ οὕτως ἔχειν ὅτι τὰ κατὰ φύσιν φερόμενα θᾶττον κινεῖται πρὸς τοῖς οἰκείοις τόποις γινόμενα ὀλίγοι πρεσβεύουσιν, οὐδὲν ἴσως κωλύει τὰ ὑπὸ τοῦ φυσικοῦ Στράτωνος εἰρημένα τεκμήρια παραγράψαι... ὁ Ἀσπάσιος εἰς ταύτην τὴν λέξιν ἐπεράτωσε τὸ βιβλίον. Simpl. f. 213 *b*.

230 *b* 32. λύει τὴν ἀπορίαν λέγων μηδὲν ἄτοπον συμβαίνειν ἐκ τοῦ λόγου, ἐὰν ᾖ περὶ τὸ αὐτὸ τὰ ἐναντία, μὴ κατὰ τὸ αὐτὸ δὲ ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο... οὐ γὰρ κατὰ τὸ αὐτὸ ἠρεμεῖ καὶ κινεῖται, ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο... οὐ γὰρ ἀμερὲς τὸ κινούμενον· δειχθήσεται γὰρ ὅτι οὐδὲν ἀμερὲς κινεῖται... τοῦτο οὖν διὰ βραχέων ἐνδειξάμενος, διὰ τοῦ εἰπεῖν "εἴ πῃ ἠρεμεῖ ἢ ἔτι μένει," τουτέστιν εἰ κατά τι ἠρεμεῖ ἢ κατά τι μένει, ὅτι οὐδὲ ἐναντία ἠρέμησις τῇ κινήσει κυρίως ἐπιφέρει· στέρησις γὰρ μᾶλλόν ἐστιν. ἀλλ' ἔστι κυρίως κίνησις κινήσει ἐναντία ἡ ἐξ ἐναντίου εἰς ἐναντίον τῇ ἐξ ἐναντίου εἰς ἐναντίον, ὥσπερ εἴρηται. id. f. 214 *b*.

γράφεται καὶ οὕτως "ἢ πῇ ἠρεμεῖ ἢ ἔτι μένει." cod. Pal. 237.

231 *a* 4. μέχρι τούτου τὸ πέρας τοῦ βιβλίου ἐστὶν ἔν τισιν ἀντιγράφοις, ἐν δὲ ἄλλοις καὶ τὰ ἑξῆς ῥηθησόμενα πρόσκειται, ἅπερ οὐδὲ Πορφύριος συνοψίζειν οὐδὲ ὁ Θεμίστιος παραφράζειν εἵλετο. ὁ μέντοι Ἀλέξανδρος ἐπισημηνάμενος ὅτι ἔν τισιν ἀντιγράφοις οὐ φέρεται, ἐξηγεῖται ὅμως αὐτά. Simpl. f. 214 *b*.

231 *a* 5. εἴπερ μὴ ὡς ἔτυχε ταῦτα πρόσκειται, τὰ αὐτὰ τοῖς πρότερον εἰρημένοις λέγουσιν, ἐν οἷς ἀναιρεῖν δοκεῖ τὸ ἵστασθαι ἐπὶ τῶν παρὰ φύσιν ἠρεμούντων καὶ παρὰ φύσιν κινουμένων... βούλεται δέ, ὡς ἔοικεν, ἐφ' ἑκάτερα κρατύνεσθαι τὴν ἀπορίαν. διὰ τοῦτο νῦν τὸ ἕτερον μέρος αὐτῆς ἀνέλαβε, τὸ δεικνύον ὅτι καὶ ἐπὶ τῆς βιαίου κινήσεως καὶ τῆς βιαίου ἠρεμίας τῆς ἀντικειμένης αὐτῇ ἀνάγκη εἶναι τὸ ἵστασθαι· εἰ γὰρ μή, μένει δέ τι βίᾳ, ἔσται ἠρεμοῦν τι οὐκ ἀεὶ ἄνευ τοῦ γενέσθαι, ὅπερ εἶπε πρότερον, ὅτι οὐ γινόμενον ἄρα ἠρεμοῦν ἔσται ἠρεμοῦν. νῦν δὲ προσέθηκε τῷ ἠρεμοῦν τὸ ἔσται οὐκ ἀεί, περιττῶς οἶμαι· εἰ γὰρ ἠρεμεῖ τὸ πεφυκὸς κινεῖσθαι, οὐκ ἂν εἴη ἀΐδιος ἠρεμία... ἀκριβέστεροι δέ μοι δοκοῦσιν οἱ ταύτην τὴν λέξιν τὸ αὐτὸ ἀπαραλλάκτως τῇ πρότερον εἰρημένῃ λέγουσαν ὡς ὕστερον ὑπό τινων προστεθεῖσαν οὐ προσιέμενοι. id. ib.

231 *a* 10. τὸ μὲν λεγόμενόν ἐστιν — ἐπειδὴ τῷ μὲν πυρὶ ἡ μὲν ἄνω κίνησις κατὰ φύσιν ἡ δὲ κάτω παρὰ φύσιν, τῇ δὲ γῇ ἡ μὲν κάτω κατὰ φύσιν ἡ δὲ ἄνω παρὰ φύσιν, πότερον τῇ τοῦ πυρὸς κατὰ φύσιν ἡ αὐτοῦ τοῦ πυρὸς παρὰ φύσιν ἐναντία ἔσται, ἢ ἡ τῆς γῆς κατὰ φύσιν; καὶ ἐπικρίνει ὅτι ἄμφω ἐναντίαι, ἀλλ' οὐχ ὡσαύτως, ἀλλ' ἡ μὲν τῆς γῆς κατὰ φύσιν τῇ τοῦ πυρὸς κατὰ φύσιν, ὡς κατὰ φύσιν ἄμφω, ἡ δὲ τοῦ πυρὸς κατὰ φύσιν τῇ παρὰ φύσιν αὐτοῦ, ὡς ἡ παρὰ φύσιν τῇ κατὰ φύσιν. καὶ αὕτη δὲ ἡ λέξις ἐκ περιττοῦ πρόσκειται, ἤδη ῥηθεῖσα συντομώτερον οὕτως, "φέρεται δέ" (p. 230 *b* 12)... ὅτι δὲ ἐκ περιττοῦ ταῦτα πρόσκειται, δηλοῖ πάλιν ὁ αὐτὸς ἐπίλογος καὶ τούτοις ἐπαγόμενος... μετὰ δὲ τὴν κατὰ μέρος ἐν τῷ βιβλίῳ τούτῳ διάρθρωσιν καλὸν ἂν οἶμαι καὶ τὰ κεφάλαια αὐτοῦ συντόμως τε καὶ ὡς δυνατὸν ἀπαραλείπτως ἀναγράψασθαι. id. f. 215.

231 *a* 21. Ἔθος ἔχοντες οἱ ἐκ τοῦ Περιπάτου τὴν τῶν βιβλίων τάξιν ἐπιγράφειν κατὰ τὴν τάξιν τῶν τοῦ λόγου στοιχείων, ἄλφα βῆτα γάμμα καὶ ἐφεξῆς, εἰκότως εἰς τὸ ἕκτον τῆς Φυσικῆς Ἀκροάσεως ἐπιγράφουσι ζῆτα, ὅπερ ἐν ἀριθμοῖς τὸν ἑπτὰ ἀριθμὸν δηλοῖ, ἐν δὲ τοῖς στοιχείοις τὴν ἕκτην τάξιν ἀποκεκλήρωται. εἴρηται δὲ καὶ πρότερον ὅτι τὰ μὲν πέντε βιβλία τὰ πρὸ τούτου Φυσικὰ καλοῦσι, τὰ δ' ἐντεῦθεν τρία περὶ Κινήσεως· οὕτω γὰρ καὶ Ἀνδρόνικος "ἐν τῷ τρίτῳ βιβλίῳ τῶν Ἀριστοτέλους περὶ Κινήσεως" διατάττεται, μαρτυροῦντος περὶ τῶν πρώτων καὶ Θεοφράστου γράψαντος Εὐδήμῳ περί τινος αὐτοῦ τῶν διημαρτημένων ἀντιγράφων κατὰ τὸ πέμπτον βιβλίον· "ὑπὲρ ὧν" φησίν "ἐπέστειλας κελεύων με γράψαι καὶ ἀποστεῖλαι ἐκ τῶν Φυσικῶν, ἤτοι ἐγὼ οὐ ξυνίημι, ἢ μικρόν τι παντελῶς ἔχει τοῦ ἀναμέσον τοῦ ὅπερ ἠρεμεῖν καλῶ τῶν ἀκινήτων μόνον· ἐναντίον γὰρ ἠρεμία κινήσει, ὥστε στέρησις ἂν εἴη τοῦ δεκτικοῦ." ὥστε καὶ τὸ πέμπτον βιβλίον ὁ Θεόφραστος ἐκ τῶν Φυσικῶν νομίζει. αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐν τῷ ὀγδόῳ κατ' ἀρχάς φησιν "ἀρξώμεθα δὲ πρῶτον ἐκ τῶν διωρισμένων ἡμῖν ἐν τοῖς Φυσικοῖς πρότερον. φαμὲν δὴ τὴν κίνησιν ἐνέργειαν εἶναι τοῦ κινητοῦ ᾗ κινητόν." τοῦτο δὲ εἴρηκεν ἐν τῷ τρίτῳ. καὶ πάλιν "ἐτέθη μὲν γὰρ ἡ φύσις ἐν τοῖς Φυσικοῖς ἀρχὴ κινήσεως καὶ ἠρεμίας." τοῦτο δὲ ἐν τῷ δευτέρῳ εἴρηκεν. ἐπὶ δὲ τῇ τελευτῇ τοῦ ὀγδόου φησὶν "ἄπειρον μὲν οὖν ὅτι οὐκ ἐνδέχεται μέγεθος εἶναι, δέδεικται πρότερον ἐν τοῖς Φυσικοῖς." εἴρηκε δὲ καὶ περὶ τούτου ἐν τῷ τρίτῳ. καὶ ὅτι τὰ μὲν πέντε Φυσικὰ ἐκάλουν, διὰ τούτων δῆλον· ὅτι δὲ τὰ τελευταῖα περὶ Κινήσεως, δηλοῖ σαφῶς ὁ Ἀριστοτέλης ἐν τῷ πρώτῳ τῶν περὶ Οὐρανοῦ (c. 5 p. 272 *a* 28) λέγων "ἀλλ' ἐκεῖνό γε φανερόν, ὅτι ἀδύνατον τὴν ἄπειρον διελθεῖν ἐν πεπερασμένῳ χρόνῳ. ἐν ἀπείρῳ ἄρα· δέδεικται γὰρ τοῦτο πρότερον ἐν τοῖς περὶ Κινήσεως." καὶ πάλιν (c. 7 p. 275 *b* 21) "λόγος ἐν τοῖς περὶ Κινήσεως ὅτι οὐδὲν ἔχει ἄπειρον δύναμιν τῶν πεπερασμένων, οὐδὲ τῶν ἀπείρων πεπερασμένην." εἴρηται δὲ περὶ τούτων ἐν τοῖς τρισίν. ὅτι δὲ τὰ τρία ἐστὶ τὰ περὶ Κινήσεως καὶ τὰ πέντε Φυσικά, μαρτυρεῖ καὶ Δάμασος ὁ τὸν βίον Εὐδήμου γράψας λέγων "καὶ τῶν ἐκ τῆς περὶ Φύσεως πραγματείας τῆς Ἀριστοτέλους τῶν περὶ Κινήσεως τρία." Φυσικὰ δὲ ἐκάλουν οὐ τὰ ὀκτὼ μόνα, ἀλλὰ καὶ τὰ περὶ οὐρανοῦ καὶ περὶ ψυχῆς καὶ ἄλλα πλεῖστα· ἰδίως δὲ Φυσικῆς Ἀκροάσεως τὰ πέντε. ὅτι δὲ τὸ νῦν προκείμενον βιβλίον τῇ τάξει μετὰ τὸ πέμπτον ἐστί, δηλοῖ μὲν καὶ ὁ Εὔδημος τὸ τῷ Ἀριστοτέλει ὧδε εἰρημένον συνάψας τοῖς ἐν τῷ πέμπτῳ βιβλίῳ ῥηθεῖσι, τὸ μηδὲν τῶν συνεχῶν ἐξ ἀμερῶν συγκεῖσθαι. καὶ Ἀνδρόνικος δὲ ταύτην τὴν τάξιν τούτοις τοῖς βιβλίοις ἀποδίδωσι. καὶ μέντοι καὶ ὁ Ἀριστοτέλης τοῖς ἐν τῷ πέμπτῳ βιβλίῳ προαχθεῖσι, τῷ συνεχεῖ καὶ ἁπτομένῳ καὶ ἐφεξῆς, εὐθὺς ἐν ἀρχῇ τούτου τοῦ βιβλίου προσεχρήσατο. ὅτι δὲ καὶ πρὸ τοῦ ἑβδόμου τοῦτο, δῆλον ἐξ ὧν ἐν τῷ πέρατι τούτου τοῦ βιβλίου δείξας ὅτι οὐδὲν ἀμερὲς κινεῖται, καὶ ὅτι οὐδεμία μεταβολὴ ἄπειρος, ἐν τῷ η', ὅπερ ἐφεξῆς ὂν τούτῳ ἕβδομόν ἐστιν, ὡς δεδειγμένοις χρῆται τούτοις. ὁμοίως δὲ καὶ τὸ μὴ εἶναι κίνησιν ἄπειρον

εὐθὺς ὑπὸ τοῦ ἀπατῶντος... εἰκότως οὖν τῇ μαθήσει οὐχ ἁπλῶς ἀπάτην ἀλλὰ τὴν ὑφ' ἑτέρου ἀπάτην ἀντιτέθεικεν. id. f. 211 *b.*

229 b 9. καὶ ἡ εἰς δεξιὰ τῇ εἰς ἀριστερὰ ἐναντία ὡς ἐν πλάτει, καὶ ἡ εἰς τὸ ἔμπροσθεν τῇ εἰς τὸ ὄπισθεν ὡς ἐν βάθει. id. ib.

229 b 23. δείξας ποῖαι κινήσεις ἐναντίαι εἰσὶν ἀλλήλαις, ἐπειδὴ καὶ ἠρεμία πρὸς κίνησιν ἀντίκειται καὶ δοκεῖ ἐναντία εἶναι, ζητεῖ καὶ περὶ ταύτης... καὶ πρῶτον λέγει ὅτι ἡ ἐν τινι γένει ἠρεμία ἐναντία τῇ ἐν τῷ αὐτῷ γένει κινήσει· τοῦτο γὰρ δι' ἑνὸς γένους κινήσεως ἐσήμανεν, εἰπὼν τῇ κατὰ τόπον ἡ κατὰ τόπον. δῆλον γὰρ ὅτι καὶ ἐπὶ τῶν ἄλλων κινήσεων, ἀλλοιώσεώς τέ φημι καὶ αὐξήσεως, ὁ αὐτός ἐστι λόγος. id. f. 212.

230 a 4. ἄλογον δὲ ἐναντίαν ποιεῖν ἠρεμίαν τὴν ἐν ἐκείνῳ εἰς ὃ σπεύδει μεταβάλλειν· τέλος γὰρ ἐκεῖνο καὶ ἔσχατον, οὐδὲν δὲ τέλος ἐναντίον τῇ ἐπ' αὐτῷ σπουδῇ, ἀλλὰ μᾶλλον οἰκεῖόν τε καὶ προσήγορον. ἔτι τὰ κατὰ φύσιν κινούμενα τέλος ἴσχει τῆς κινήσεως τὴν ἐν ἐκείνοις ἠρεμίαν ἐφ' ἃ κινεῖται, τὸ δὲ τέλος τινὸς πῶς ἂν αὐτοῦ στέρησις εἴη; λείπεται ἄρα τὴν ἐν ἐκείνῳ μονὴν ἐναντίαν εἶναι τῇ ἐξ ἐκείνου κινήσει. Themist. f. 51 *b.*

230 a 7. ἡ ἐν ἀρχῇ ταύτης τῆς λέξεως γραφὴ τριχῶς φέρεται. ἡ γὰρ οὕτως "ὅσοις δὲ μὴ ἔστιν ἐναντία, μεταβολὴ μέν ἐστιν ἀντικειμένη ἡ ἐξ αὐτοῦ τῇ εἰς αὐτό, κίνησις δὲ οὐκ ἔστιν." ἢ οὕτως "ὅσοις δὲ μὴ ἔστιν ἐναντία, τούτων μεταβολὴ μέν ἐστιν ἀντικειμένη" καὶ τὰ ἑξῆς· τὰ δὲ αὐτὰ τοῖς προτέροις καὶ ταῦτα σημαίνει. ἔστι δὲ καὶ τρίτη τοιαύτη "ὅσοις μὴ ἔστιν ἐναντία, ὧν μεταβολὴ μέν ἐστιν ἀντικειμένη ἡ ἐξ αὐτοῦ τῇ εἰς αὐτό, κίνησις δὲ οὐκ ἔστιν." καὶ ταῦτα μᾶλλον ὁ Ἀλέξανδρος ἀποδέχεται· ὡς γὰρ σημαίνων, φησί, τίνων οὐκ ἔστιν ἠρεμία ἀλλὰ ἀμεταβλησία λέγει, ἀλλ' οὐχ ὡς δεικνὺς ὅτι μὴ εἰσὶ κινήσεις αἱ τοιαῦται μεταβολαί, μηδὲ ὡς κινήσεις ἀλλήλαις ἀντίκεινται, ἀλλ' ὡς μεταβολαί· τοῦτο γὰρ ἤδη δέδεικται. Simpl. f. 212 *b.*

230 a 29. ἀπορήσας οὕτω τὸ μὲν ἄμφω τὰς ἀντικειμένας, οἷον λεύκανσιν καὶ μέλανσιν, καὶ αὔξησιν καὶ μείωσιν, καὶ γένεσιν καὶ φθοράν, κατὰ φύσιν εἶναι ἐνδίδωσι· καὶ γὰρ ἐπὶ τῆς κατὰ τόπον ἡ ἄνω καὶ ἡ κάτω ἀντικείμεναι ἄμφω εἰσὶ κατὰ φύσιν, εἰ καὶ ἐπὶ ἄλλου καὶ ἄλλου. τὸ δὲ ἐπὶ τοῦ αὐτοῦ εἴδους, οἷον αὐξήσεως ἢ γενέσεως καὶ φθορᾶς, εἶναι τὴν μὲν κατὰ φύσιν τὴν δὲ παρὰ φύσιν, ὡς ἐπὶ τῆς ἄνω κινήσεως ἢ ἐπὶ τῆς κάτω, δείκνυσιν ἐκ τοῦ τὸ βίαιον ἐν πάσαις ὁρᾶσθαι, τὸ δὲ βίαιον παρὰ φύσιν εἶναι. καὶ φθορὰ ἂν οὖν εἴη φθορᾷ ἐναντία ἡ βίαιος τῇ κατὰ φύσιν. ἀλλ' ἐπὶ μὲν φθορᾶς τὸ βίαιον δῆλον· καὶ γενέσεις δέ εἰσι βίαιοι καὶ οὐ κατὰ τὸν εἱρμὸν τῆς φύσεως γινόμεναι, ἃς οὐχ εἱμαρμένας εἶπεν, ὅταν πρὸ ἡλικίας γεννᾷ τινά. καὶ σημειοῦνται ἐντεῦθεν οἱ ἐξηγηταὶ ὅτι τὴν εἱμαρμένην οἱ ἀπὸ τοῦ Περιπάτου ἐν τοῖς κατὰ φύσιν τίθενται, εἴπερ τὰς βιαίας καὶ παρὰ φύσιν κινήσεις οὐχ εἱμαρμένας εἶπε. καὶ αὐξήσεις δὲ παρὰ φύσιν εἶναί φησί τινας, ὡς τῶν ταχὺ διὰ τρυφὴν ἡβώντων, οἳ καὶ γεννῶσιν ἂν παρὰ φύσιν καὶ βίᾳ. καὶ σῖτος δὲ διὰ θέρμην ταχὺ φύεται καὶ αὔξεται ἐν τοῖς Ἀδώνιδος καλουμένοις κήποις, πρὸ τοῦ ῥιζωθῆναι καὶ πιληθῆναι ἐν τῇ γῇ. id. f. 213.

οὐ δεῖ δὲ ὑπολαμβάνειν ἕτερον τρόπον ἀντιθέσεως εἶναι τὸν νῦν 230 b 10.
εἰρημένον, ἀλλ' ἃς ἐθέμεθα ἤδη, κινήσεις τε καὶ μονὰς ἐναντίας, καὶ καθ' ὃν ἐθέμεθα τρόπον, αὗται διανέμονται τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν. Themist. f. 52.

ἔν τισι τῶν ἀντιγράφων μετὰ τὸ τέλος τῆς ῥήσεως ταύτης τὸ 230 b 20.
λέγον "ἡ μὲν γὰρ κατὰ φύσιν αὐτῶν ἢ ἄνω ἢ κάτω, ἡ δὲ παρὰ φύσιν" πρόσκειται τοῦτο "καθόλου δὲ καὶ πρώτως ταῦτα κυρίως ὑπάρχει." ἴσασι δὲ ἔν τισι τοῦτο προσκείμενον καὶ οἱ ἐξηγηταί. λέγοι δὲ ἂν ὅτι ταῦτα τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν κινεῖσθαι κυρίως τοῖς ἁπλοῖς τῶν φυσικῶν σωμάτων ὑπάρχει καὶ πᾶσι καὶ πρώτως, ἐν τῇ κατὰ τόπον αὐτῶν κινήσει καὶ ἠρεμίᾳ, ἐν δὲ ταῖς ἄλλαις κινήσεσιν ἔστι μὲν καὶ ἐν αὐταῖς τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν, ὡς εἴρηκεν, οὐ κυρίως δὲ οὐδὲ πρώτως ἀλλὰ κατὰ τὴν ἀπὸ τούτων μεταφοράν. δοκεῖ δὲ ἐλλείπειν τῷ "καθόλου δὲ καὶ πρώτως ταῦτα κυρίως ὑπάρχει" τὸ τούτοις τοῖς ἁπλοῖς σώμασιν, ὧν ἐν τῇ ἄνω καὶ κάτω φορᾷ τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν ἐτεχνολόγησεν. Simpl. f. 213 *b* et cod. Pal. 237.

ὅτι τὸ ἵστασθαι οὐκ ἔστιν ἐπὶ τῆς βιαίου, δείκνυσι δυνάμει οὕτως. 230 b 21.
τὸ ἱστάμενον κατὰ φύσιν φέρεται ἐπ' ἐκεῖνον τὸν τόπον ἐν ᾧ ἔσται ἑστηκός. τὸ κατὰ φύσιν ἐπί τινα τόπον φερόμενον ἐν ᾧ ἔσται ἑστηκός, πλησιαίτερον ἐκείνου γινόμενον τοῦ τόπου θᾶττον κινεῖται, δυναμούμενον ἔτι μᾶλλον ὑπ' αὐτοῦ. καὶ συμπέρασμα τούτου τοῦ λόγου, ὅτι τὸ ἱστάμενον, τουτέστι τὸ ἐπὶ τὸ ἑστάναι φερόμενον, θᾶττον κινεῖται πλησιάζον τῷ τόπῳ ἐν ᾧ στήσεται... οὐ πάσης ἄρα ἠρεμίας γένεσίς ἐστιν, εἴπερ τῆς βιαίου μὴ ἔστιν. ἐφεξῆς δὲ δοκεῖ ὡς ἄλλο ἐπιχείρημα ἐπάγειν διὰ τοῦ "ἔτι δοκεῖ τὸ ἵστασθαι κυρίως λέγεσθαι ἐπὶ τοῦ κατὰ φύσιν" καὶ τῶν ἑξῆς, μᾶλλον δ' οἶμαι τὸ συνεκτικὸν τοῦ προτέρου λόγου διὰ τούτου ὑποδεικνύναι· συνήχθη γὰρ ὁ λόγος ἐκεῖνος ὡς τοῦ ἵστασθαι μὴ δυναμένου τῷ βίᾳ φερομένῳ προσεῖναι, ἀλλὰ τῷ κατὰ φύσιν ἐπὶ τὸ ἑστάναι κινουμένῳ· τῷ γὰρ τὴν ὁρμὴν καὶ τὸν σκοπὸν ἐπὶ τὸ ἑστάναι ἔχοντι, τούτῳ προσήκει τὸ ἵστασθαι, ὡς τὸ ἠρεμίζεσθαι τῷ εἰς ἠρεμίαν σπεύδοντι καὶ τὸ λευκαίνεσθαι τῷ εἰς τὸ λελευκάνθαι. εἰπὼν δὲ ὅτι τὸ ἵστασθαι δοκεῖ κυρίως λέγεσθαι ἐπὶ τοῦ κατὰ φύσιν εἰς τὸν οἰκεῖον τόπον ἰόντος, οὐκ ἐπὶ τοῦ παρὰ φύσιν, ἐπήγαγεν, εἴπερ, ὥς φησιν ὁ Ἀλέξανδρος, καὶ τοῦτο εἴη γεγραμμένον, "ἢ ὅλως εἶναι." καὶ σημαίνοι ἄν, φησίν, ὅτι τὸ ἵστασθαι δοκεῖ ἢ ὅλως εἶναι ἐνεργείᾳ τῶν φυσικῶν σωμάτων ἑκάστῳ τοῦτο εἶναι τὸ εἰς τὸν αὐτοῦ καὶ εἰς τὸν οἰκεῖον φέρεσθαι τόπον· ἅμα γάρ ἐστι γεγονὸς καὶ ἐνεργείᾳ ὄν, καὶ κινεῖται εὐθέως ἐπὶ τὸν οἰκεῖον τόπον σπεῦδον ἐπὶ τὴν κατὰ τοῦτο τελειότητα, εἰ μή τι ἐμποδίζοι, ὅ ἐστι, φησί, δεικτικὸν τοῦ τὸ ἵστασθαι λέγεσθαί τε καὶ εἶναι ἐπὶ τῆς κατὰ φύσιν λεγομένης κινήσεως. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος, ἀψάμενος οἶμαι καὶ τοῦ μέλλοντος ὑπ' ἐμοῦ λέγεσθαι. μήποτε δὲ τὸ "ἢ ὅλως εἶναι" πρὸς τὸ λέγεσθαι ἀποδέδοται, ὅτι δοκεῖ τὸ ἵστασθαι κυρίως λέγεσθαι, ἢ οὐ λέγεσθαι μόνον ἀλλὰ καὶ εἶναι ὅλως ἐπὶ τοῦ κατὰ φύσιν... ἐπειδὴ τοῦτο, τὸ πρὸς τοῖς οἰκείοις τόποις γινόμενα θᾶττον φέρεσθαι τὰ κατὰ φύσιν φερόμενα, ὡς ἀξίωμα πάντες προφέρουσι, καὶ τὴν μὲν αἰτίαν εὔλογον ἀποδιδόασι, δυναμοῦσθαι λέγοντες αὐτὰ μᾶλλον πλησιάζοντα τῇ οἰκείᾳ ὁλότητι ὡς τελειούμενον

κινήσεων ἁρμόζει, πλὴν τοσοῦτον διαφέρει ὁ τῶν ἕξεων λόγος πρὸς τὸν τῶν κινήσεων, ὅτι εἰ μὲν δύο αἱ ἕξεις αἱ ἐκ διαλείμματος ἐγγινόμεναι, δι' αὐτὸ τοῦτο δύο καὶ αἱ ἀπὸ τῶν ἕξεων ἐνέργειαι καὶ κινήσεις, ὅπερ ἐλλείπει τῷ λόγῳ. δείκνυσι δὲ τοῦτο ἐκ τοῦ ἀντιστρόφου αὐτῷ... καὶ ἄλλην δὲ γραφὴν τοῦδε τοῦ ῥητοῦ φέρεσθαί φησιν ὁ Ἀλέξανδρος τοιαύτην "ὅτι εἰ μὲν δύο οὕτω τῷ ἀριθμῷ, καὶ τὰς ἕξεις ἀνάγκη· μία γὰρ ἀριθμῷ ἐνέργεια ἑνὸς ἀριθμῷ." καὶ ἀκούει τὸ "εἰ μὲν δύο οὕτω τῷ ἀριθμῷ" οὐκ ἐπὶ τῆς ἕξεως ἀλλ' ἐπὶ τοῦ ὑποκειμένου τῇ ἕξει, ὅπερ διὰ τὴν συνεχῆ ῥύσιν οὐ μένει ἓν τῷ ἀριθμῷ, καὶ διὰ τοῦτο καὶ τὰς ἕξεις ἀνάγκη πλείους εἶναι τῷ ἀριθμῷ. Simpl. f. 208.

228a 27. ἐχόμεναι μὲν οὖν ἀλλήλων εἶεν ἂν καὶ αἱ μὴ αὐταὶ τῷ εἴδει μήτε τῷ γένει. δραμὼν γὰρ ἄν τις πυρέξειεν εὐθύς, καὶ οἷον ἡ λαμπὰς ἡ ἐκ διαδοχῆς φερομένη ἐχομένας μὲν κινεῖται κινήσεις καὶ ἀλλήλαις ὁμοειδεῖς, συνεχεῖς δὲ οὔ· οὐ γὰρ γίνεται ἓν τὸ ἔσχατον τῶν δρόμων, ἀλλ' ἑκάστου τῶν τρεχόντων οἰκεῖόν τι τοῦ δρόμου πέρας ἐστίν. ὥστε δῆλον ὅτι ἔχεσθαι μὲν ἀλλήλων δύνανται κινήσεις καὶ διὰ μόνον τὸν χρόνον, ὅταν συνεχὴς ᾖ, κἂν αὗται πάμπολυ διαφέρωσι, συνεχεῖς δὲ γίνεσθαι οὐ δύνανται διὰ μόνον τὸν χρόνον, ἀλλ' ἐὰν καὶ ταὐτὸν ἔχωσιν εἶδος· οὕτω γὰρ ἂν τὰ ἔσχατα ἀμφοῖν ἓν ἀναθείη. Themist. f. 51.

228a 23. τὴν τῷ εἴδει μίαν (κίνησιν) οὐκ ἀνάγκη καὶ τῷ ἀριθμῷ μίαν εἶναι. ἐπὶ δὲ τῆς φορᾶς τῆς λαμπάδος τῆς ἐκ διαδοχῆς μετὰ δρόμου διαδιδομένης ἀλλήλοις ὑπὸ τῶν τρεχόντων οἱ μὲν ἐξηγηταὶ μίαν καὶ συνεχῆ δοκεῖν τὴν τῶν τρεχόντων κίνησιν φασίν, ὁμοειδῆ οὖσαν, μὴ μέντοι κυρίως εἶναι μίαν μηδὲ συνεχῆ, τῷ μὴ τὸ αὐτὸ εἶναι τὸ κινούμενον. ἀλλ' ἔστι, φησίν, ἐχομένη καὶ αὐτή· οὐδὲ γὰρ τούτων τῶν κινήσεων τὰ ἔσχατα ἕν, ἀλλ' ἑκάστου τῶν τρεχόντων οἰκεῖον τοῦ δρόμου τι πέρας ἐστί, καὶ οὐκ ἔστι τὸ τοῦ φθάσαντος δρόμου πέρας ἀρχὴ τοῦ μετ' αὐτὸν τρέχοντος, αἱ δὲ τοιαῦται κινήσεις ἐχόμεναί εἰσι τῷ τὸν χρόνον ἐν ᾧ γίνονται συνεχῆ εἶναι, ἀλλ' οὐχὶ αὗται αἱ κινήσεις συνεχεῖς. μήποτε δὲ οὐ τὴν τῶν τρεχόντων κίνησιν δοκοῦσαν μίαν ἐχομένην εἶναι καὶ οὐ συνεχῆ φησὶν ὁ Ἀριστοτέλης, ἀλλὰ τὴν τῆς λαμπάδος φορὰν καὶ κίνησιν μίαν δοκοῦσαν, ὡς ἑνὸς ὄντος τοῦ φερομένου, καὶ διὰ τὴν τῆς λαμπάδος συνέχειαν μηδὲ αὐτὴν μίαν καὶ συνεχῆ εἶναι ἀλλ' ἐχομένην. ὁ μὲν γὰρ τῶν πολλῶν δρόμος οὐκ ἂν εἴη εἷς, πολλῶν ὄντων τῶν τρεχόντων, ἡ δὲ τῆς λαμπάδος φορά, καὶ μιᾶς οὔσης καὶ τὴν αἴγλην ἐχούσης συνεχῆ, μία δοκοῦσα οὐκ ἔστιν οὐδὲ αὐτὴ μία, ὅτι διώρισται τὰ πέρατα καὶ στάσει διαλαμβάνεται τῇ διαδοχῇ. διχῶς δὲ τὴν γραφὴν ταύτην εὗρον φερομένην, ὅπου μὲν "οἷον ἡ λαμπὰς ἐκ διαδοχῆς φορᾶς γενομένη, συνεχὴς δ' οὔ," ὅπου δὲ "οἷον ἡ λαμπὰς ἐκ διαδοχῆς φορᾷ ἐχομένη, συνεχὴς δ' οὔ." καὶ ἔοικεν ἑκατέρωθι ἡ λαμπὰς οὐ τὴν δᾷδα λέγειν, ἀλλὰ τὴν ἔκλαμψιν καὶ διαδρομὴν τοῦ φωτός... καὶ τάχα τῆς ἐν Πειραιεῖ λαμπάδος τῆς ἐν Βενδιδείοις μνημονεύει, περὶ ἧς ὁ Πλάτων ἐν ἀρχῇ τῆς πολιτείας. Simpl. f. 208 b. cod. Pal. 237.

228b 11. ὁ Ἀλέξανδρος ἐν τούτοις τοῖς Πυθαγορείοις αὐτὸν καὶ τοῖς Πλατωνικοῖς φησὶ κατακολουθεῖν, οἵτινες τὸ ἓν ἄριστον ὑπολαμβάνοντες τῷ τελείῳ ἀπένεμον καὶ ὁλοκλήρῳ, καὶ διὰ τοῦτο ἀρχὴν ἔλεγον αὐτό, ὡς καὶ τῆς κοινῆς χρήσεως κατὰ τῶν τελείων καὶ ὅλων τὸ ἓν κατηγορούσης. εἰκὸς δὲ καὶ τὸν Ἀριστοτέλη καὶ τὸν Ἀλέξανδρον εἰς τὰ ἐν τῷ Πλάτωνος Παρμενίδῃ κατὰ τὴν δευτέραν ὑπόθεσιν λεγόμενα ἀφορᾶν. Simpl. f. 209.

λέγει πρῶτον τίς ἡ ὁμαλὴς κίνησις καὶ τίς ἡ ἀνώμαλος. καὶ 228b 15.
δεῖγμα τῆς ὁμαλοῦς τὴν εὐθεῖαν παρήγαγεν, ὥς φησιν ὁ Ἀλέξανδρος, διὰ τὸ καὶ τῆς κινήσεως τῆς ἐπ' εὐθείας ὅμοια εἶναι πάντα τὰ μόρια καὶ παντάπασιν ἐφαρμόζειν, ὥσπερ καὶ τῆς εὐθείας γραμμῆς, ἐφ' ἧς ἡ τοιαύτη κίνησις γίνεται. ὁμοίως δέ, φησί, καὶ ὁ κύκλος ἔχει καὶ ἡ ἐπὶ τοῦ κύκλου κίνησις· ὁμαλὴς γὰρ καὶ αὕτη διὰ τὸ πανταχόθεν ὁμοίως περιαγὲς τῆς κυκλικῆς γραμμῆς. ἀνώμαλοι δέ εἰσιν αἱ κεκλασμέναι γραμμαὶ καὶ μὴ ὁμοίως περιηγμέναι, ὡς πᾶν μόριον παντὶ ἐφαρμόττειν, καὶ αἱ ἐπὶ τῶν τοιούτων κινήσεις. μήποτε δὲ τὸ "ὥσπερ ἡ εὐθεῖα" οὐ τὴν κίνησιν τὴν ἐπὶ τῆς εὐθείας γραμμῆς ἐνδείκνυται, ἀλλ' οὕτως ἔχειν πᾶσαν ὁμαλῆ κίνησίν φησι κατὰ πᾶν εἶδος κινήσεως, οὐ μόνον φορᾶς ἀλλὰ καὶ ἀλλοιώσεως καὶ αὐξήσεως, ὡς ἔχει ἡ εὐθεῖα· ὁμαλὴς γὰρ αὕτη διὰ τὸ πᾶν μόριον παντὶ ἐφαρμόττειν... διαφέρειν δέ φησι τὴν ὁμαλῆ τῆς ἀνωμάλου κατὰ τὸ μᾶλλον καὶ ἧττον, ὡς μέν φησιν ὁ Ἀλέξανδρος, ὅτι μᾶλλον μία ἡ ὁμαλὴς τῆς ἀνωμάλου καὶ ἧττον ἐκείνη ταύτης· συνεχεῖς γὰρ ἀμφότεραι. μήποτε δὲ οὐ πρὸς τὸ μία τὸ μᾶλλον καὶ ἧττον λέγει νῦν, ἀλλὰ πρὸς τὸ εἶδος ἐν ᾧ εἰσίν. εἰ μὲν κατ' εὐθεῖαν ἢ κύκλον τὸ ὁμαλὲς καὶ ἀνώμαλον, ὅτι μᾶλλον εὐθεῖα καὶ κύκλῳ ἡ ὁμαλὴς τῆς ἀνωμάλου... εἰπὼν δὲ ὅτι ἐν πάσῃ κινήσει ἔστι τὸ ὁμαλῶς καὶ μή, καὶ γὰρ ἀλλοιοῖτο ἄν τι ὁμαλῶς, ἐπήγαγε "καὶ φέροιτο ἂν ἐφ' ὁμαλοῦς" ἢ "ἐφ' ὁμαλῷ," ὡς ὁ Ἀλέξανδρος καὶ ὁ Πορφύριος λέγουσιν, οἷον κύκλῳ ἢ εὐθείᾳ. ἐπειδὴ γὰρ ἀδύνατόν τι ὁμαλῶς ἐνεχθῆναι μὴ ἐπὶ ὁμαλοῦς φερόμενον τὴν ὁμαλῆ φοράν, ἀπέδωκεν ἐπὶ τῶν ἐφ' ὧν οἷόν τε γενέσθαι αὐτήν, εἰπὼν "οἷον κύκλου ἢ εὐθείας·" δύναται μὲν γὰρ καὶ ἐπὶ τούτων ἀνώμαλος φορὰ γενέσθαι. id. f. 209 b.

τοῖς εἰρημένοις περὶ κινήσεως καὶ μεταβολῆς προβλήμασι καὶ 229a 7.
τοῦτο προστίθησιν ἀναγκαῖον, ποία κίνησις ποίᾳ κινήσει ἐναντία. ζητήσει δὲ καὶ περὶ μονῆς ἤτοι ἠρεμίας τὰ αὐτὰ ζητήματα. καὶ ἔστιν ἀναγκαῖον τὸ πρόβλημα· ἐκ τούτου γὰρ καὶ αἱ φυσικαὶ κινήσεις δείκνυνται, καὶ ἡ τῶν στοιχείων πρὸς ἄλληλα ἐναντίωσις, καὶ τίνα ἐκ τίνων γίνεται, καὶ ἄλλα πλεῖστα τῶν ἐν φυσιολογίᾳ. id. f. 210 b.

ταὐτὸ δὲ καὶ τὸ μανθάνειν καὶ τὸ ἀπατᾶσθαι ὑφ' ἑτέρου φησί, τὸ 229b 5.
"ὑφ' ἑτέρου" προσθεὶς ἢ ὅτι τὸν ὑφ' ἑαυτοῦ ἀπατώμενον δυνατὸν μὴ ἐξ ἐναντίας δόξης μεταβάλλειν μηδὲ γεγονέναι ἐν τῇ ἀληθεῖ πρότερον δόξῃ περὶ τὸ προκείμενον, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς περὶ αὐτὰ ψευδοδοξῆσαι· ὁ δὲ τοιοῦτος οὐκ ἐξ ἐναντίου εἰς ἐναντίον μεταβάλλει. ὁ μέντοι ὑφ' ἑτέρου παραγόμενος εἰς τὸ ἀντικείμενον περιάγεται, ἀπὸ ἀληθοῦς εἰς ψεῦδος μεθιστάμενος. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος. μήποτε δὲ ὥσπερ ὁ μανθάνων ποτὲ μὲν ἐκ ψεύδους εἰς ἀλήθειαν μετάγεται, ποτὲ δὲ οὐδὲ περὶ τοῦ προκειμένου ἐννοῶν, οὔτ' εἰ ψεῦδος οὔτ' ἀληθές, ἐπιστήμην αὐτοῦ λαμβάνει, οὕτω καὶ ὁ ἀπατώμενος ἢ ἀπὸ ἀληθοῦς εἰς ψεῦδος μεταβάλλει, ἢ ψευδῆ δόξαν ἔχει

ὁ δὲ Ἀριστοτέλης τὸ ἐφεξῆς τοῦ ἅπτεσθαι πρῶτον εἶπε τῷ λόγῳ, ὡς ὁλικώτερον καὶ ἁπλούστερον καὶ συναναιροῦν καὶ συνεπιφερόμενον. ὕστατον οὖν κατὰ γένεσιν τὸ συνεχές. Simpl. f. 206.

227a 27. οἱ Πυθαγόρειοι τὴν στιγμὴν λέγουσι μονάδα θέσιν ἔχουσαν καὶ τὴν μὲν στιγμὴν ἄθετον, καὶ εἰς ταὐτὸν φέρουσι τὴν στιγμὴν τῇ μονάδι. εἰ γὰρ αἱ στιγμαὶ δύνανται ἐφαρμόζειν ἐπ' ἀλλήλαις καὶ ἕν τι ποιεῖν, αἱ δὲ μονάδες οὐ δύνανται, δῆλον ὅτι οὐ ταὐτόν ἐστι μονὰς καὶ στιγμή· αἱ γὰρ μονάδες ἐφεξῆς μόνον εἰσίν, αἱ δὲ στιγμαὶ καὶ ἅπτεσθαι δύνανται. cod. Reg. 1853.

227a 29. ὑπάρχει δὲ ταῖς στιγμαῖς τὸ ἅπτεσθαι οὐ καθ' ἑαυτάς (ἀμερεῖς γάρ εἰσι, τὰ δὲ ἁπτόμενα μεριστὰ ἀνάγκη εἶναι), ἀλλ' ὅτι ἢ τὸ ἅπτεσθαι ἀντὶ τοῦ ἐφαρμόζειν εἶπε· σημεῖον γὰρ σημείῳ συντεθὲν σημεῖον ποιεῖ· οὕτω δὲ αὐτὸ ἤκουσεν ὁ Ἀλέξανδρος. ἢ μᾶλλον ὅτι κατὰ τὰ σημεῖα ὑπάρχει τὸ ἅπτεσθαι ταῖς γραμμαῖς... τὸ "οὐκ ἀνάγκη μεταξύ" ἀντὶ τοῦ ἀνάγκη μὴ εἶναι μεταξύ εἴρηται· οἱ γὰρ ἀριθμοί, ὡς οἱ Πυθαγόρειοι λέγουσι, τῷ κενῷ ἀπ' ἀλλήλων χωρίζονται, οὐδὲν ἔχοντες ἀλλήλων μεταξύ. ἰστέον δὲ ὅτι διχῶς φερομένης τῆς γραφῆς ἐν τοῖς βιβλίοις, ὅπου μὲν "πᾶσα γὰρ γραμμὴ μεταξὺ στιγμῶν," ὅπου δὲ "πάσης γὰρ γραμμῆς μεταξὺ στιγμή," τὴν προτέραν σαφεστέραν οὖσαν ἴσασιν οἱ ἐξηγηταί. πᾶσα γὰρ γραμμὴ πεπερασμένη μεταξὺ δύο στιγμῶν ἐστὶ τῶν τὰ πέρατα αὐτῆς ὁριζουσῶν... καὶ ἔχοι ἄν τι πλέον ἡ γραφὴ αὕτη ἡ λέγουσα "πάσης γὰρ γραμμῆς μεταξὺ στιγμή," τὸ μὴ ἐπὶ τῆς πεπερασμένης μόνης γραμμῆς ἀληθεύειν τὸ ἐνδέχεσθαι εἶναι μεταξύ τι τῶν στιγμῶν, ἀλλὰ καὶ ἐπὶ τῆς ἀπείρου. Simpl. f. 206.

γράφεται "καὶ πάσης γὰρ γραμμῆς μεταξὺ στιγμή." ἡ δὲ γραφὴ αὕτη πλέον ἄν τι ἔχοι τῆς ἔσωθεν κειμένης τὸ μὴ ἐπὶ τῆς πεπερασμένης ἀληθεύειν τὸ ἐνδέχεσθαί τι εἶναι μεταξὺ τῶν στιγμῶν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀπείρου. cod. Pal. 237.

227a 31. καὶ σημείων μέν ἐστι μεταξὺ γραμμή, μονάδων δὲ οὐδέν, ἀλλ' οὐδὲ δυάδος καὶ μονάδος. δῆλον οὖν ὅτι τὸ μὲν ἅπτεσθαι ἐν τοῖς θέσιν ἔχουσι μόνοις, τὸ δὲ ἐφεξῆς καὶ ἐν τοῖς μὴ ἔχουσι θέσιν, ὥσπερ καὶ τὸ ἐχόμενον. Themist. f. 51.

227b 3. ἀκόλουθον ἦν μετὰ τὰ περὶ κινήσεως ἤδη ῥηθέντα, ἐν οἷς διέκρινε τὴν κίνησιν τῆς γενέσεως καὶ τῆς φθορᾶς καὶ τὰς κατηγορίας ἐν αἷς κίνησις ὑπάρχει παραδέδωκε, ταῦτα τὰ νῦν ῥηθησόμενα περὶ κινήσεως ἐπαγαγεῖν, τίς ἡ μία κίνησις... αὐτὸ μέντοι τοῦτο τὸ πρόβλημα τὸ δεικνύον τίς ἡ μία κίνησις, ἔστι μὲν καθ' αὐτὸ τῆς φυσικῆς θεωρίας οἰκειότατον, ὡς δηλώσει τὰ περὶ αὐτοῦ λεγόμενα, καὶ πρὸς τὸ τέλος δὲ τῆς ὅλης πραγματείας τῆς Φυσικῆς συντελέσει τὸ σκοπιμώτατον· ἀπ' αὐτοῦ γὰρ δειχθήσεται τίς ἡ μία καὶ συνεχὴς ἐν τῷ κόσμῳ κίνησις, ὅτι ἡ κυκλοφορία, καὶ τί τὸ προσεχὲς ταύτην κινοῦν, ὅτι ἀκίνητον καὶ ἀμερὲς καὶ ἀΐδιον αἴτιον. Simpl. f. 206 *b*.

227b 11. τὸ "πως" πρόσκειται διὰ τὴν ἐπαχθησομένην ἀπορίαν πρὸς τὴν μίαν τῷ εἴδει κίνησιν. ἰστέον δὲ ὅτι ἔν τισι τῶν βιβλίων τοῦτο τὸ ῥητὸν οὐ φέρεται "λευκότητος δὲ οὐκ ἔστι, διόπερ εἴδει μία πως λεύκανσις λευκάνσει." καὶ οἱ ἐξηγηταὶ δὲ φαίνονται παρατρέχοντες αὐτό. εἰπὼν δὲ μίαν εἶναι τῷ εἴδει κίνησιν τὴν ἐν ἀτόμῳ μίαν οὖσαν, ἐπειδὴ ἔστι τινὰ εἴδη ἃ οὐδὲν κωλύεται καὶ γένη ἄλλων εἰδῶν εἶναι διὰ τὸ μὴ εἶναι ἄτομα εἴδη, ὥσπερ τὸ ὄρνεον εἶδος ὂν τοῦ ζώου καὶ γένος ἐστὶν εἰδῶν τινῶν, οἷον αὐτοῦ καὶ ἱέρακος, λέγει ὅτι αἱ κατὰ τὰ τοιαῦτα εἴδη αἱ αὐταὶ κινήσεις ἁπλῶς μὲν οὐκ εἰσὶν αἱ αὐταὶ τῷ εἴδει. id. ib.

227b 14. ἡ ἀπορία αὕτη καὶ λύσις ἔοικεν ἐπῆχθαι πρὸς διορισμὸν ἀκριβέστερον τῆς μιᾶς τῷ εἴδει κινήσεως, δι' οὗ τὸ μὲν οὕτως εἶδος ἓν ὡς ὑπάλληλον καὶ διαιρούμενον εἰς εἴδη καὶ αὐτὸ διαιρεῖσθαι δείκνυσι μὴ ποιοῦν μίαν κατὰ εἶδος κίνησιν. τὸ γὰρ εἶδος τοῦτο, καθ' ὃ τὸ αὐτὸ ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ πάλιν καὶ πάλιν κινεῖται, εἴ τις λέγει κυρίως ἓν εἶδος, ὁμοίως καὶ τὴν κυκλοφορίαν καὶ εὐθυφορίαν κυρίως ἓν εἶδος ἐρεῖ. ἐπεὶ δὲ οὐκ ἔστιν ἄτομον τὸ εἶδος τοῦτο τῆς κινήσεως, ἀλλὰ διαιρεῖται εἰς ταῦτα, πῶς μὲν τὰ αὐτὰ τῷ εἴδει ἐστὶ ταῦτα, ἁπλῶς δὲ οὐκ ἔστι τὰ αὐτά. id. f. 207.

228a 3. ἐπάγει ὅτι καὶ τὸν χρόνον ἐν τῇ συνεχείᾳ ἕνα εἶναι χρή, οἷον εἰ ὁ Σωκράτης μανθάνοι γραμματικὴν ἐν συνεχεῖ χρόνῳ· μία γὰρ αὕτη κίνησίς ἐστιν, ὅτι τὸ ἓν ὁ χρόνος κατὰ τὴν συνέχειαν ἔχει καὶ οὐ κατὰ τὸ ἀριθμῷ κυρίως ἕν, ὡς τὸ ὑποκείμενον. ὁ δὲ Εὔδημός φησιν ὡς ὁ χρόνος· οὐδὲ γὰρ ἡ ἀλλοίωσις, φησίν, ὑπομένει οὐδὲ ἡ φορά, ἀλλ' ὥσπερ ὁ χρόνος ὑπορρεῖ καὶ ἄλλη γίνεται ἀεί, διὸ τῷ εἴδει ἓν τοῦτο ῥητέον ἀλλ' οὐ τῷ ἀριθμῷ... τοῦτο δὲ τὸ ζήτημα τῇ τῶν Στωϊκῶν ἐστὶ μᾶλλον ἁρμόττον παλιγγενεσίᾳ· λέγοντες γὰρ ἐκεῖνοι τὸν αὐτόν με πάλιν γενέσθαι τῇ παλιγγενεσίᾳ ζητοῦσιν εἰκότως πότερον εἷς εἰμὶ τῷ ἀριθμῷ ὁ νῦν καὶ τότε, διὰ τὸ τῇ οὐσίᾳ εἶναι ὁ αὐτός, ἢ τῇ κατατάξει τῇ εἰς ἄλλην καὶ ἄλλην κοσμοποιίαν διαφοροῦμαι. id. ib.

τοῦτο δὲ τὸ ζήτημα τῇ τῶν Στωϊκῶν κτλ. cod. Pal. 237.

228a 10. χρῆται τῷ Ἡρακλείτου λόγῳ τῷ λέγοντι πάντα ῥεῖν καὶ μηδέποτε τὸ αὐτὸ εἶναι, καὶ λέγει ὅτι εἰ μία κατ' ἀριθμὸν ἡ ὑγεία ἐστὶν ἡ ἕωθεν ἄχρις ἑσπέρας, συνεχοῦς ὄντος τοῦ χρόνου, καίτοι καὶ τῶν σωμάτων καὶ τῶν ἕξεων καὶ τῶν παθῶν πάντων ῥεόντων, ὥς φησιν Ἡράκλειτος, διὰ τί καὶ οὐχὶ ὅταν διαλείπων τουτέστι νοσήσας ὑγιασθῇ, τὴν αὐτὴν τῷ ἀριθμῷ ῥηθήσεται εἰληφέναι;... αὗται οὖν, φησίν, αἱ ἀπορίαι ἔξω τῆς νῦν εἰσὶ σκέψεως καὶ ὅλως τῆς περὶ κινήσεως πραγματείας. Simpl. f. 207 *b*.

228a 12. τοῦτο δὲ καὶ περὶ τῶν ἕξεων ἄν τις διαπορήσειε, πῶς μία ὑγίεια οὐχ ἑνὸς ὄντος τοῦ ὑγιαίνοντος. ἢ ταῦτα ἔξω τῆς σκέψεως τῆς προκειμένης· πῶς γὰρ αἱ αὐταὶ μένουσιν οὐσίαι, καίτοι συνεχῶς μεταβάλλουσαι, τοῦτο ἀποδοῦναι οὐκ ἔστιν οἰκεῖον τοῦ περὶ κινήσεως λόγου. πλὴν τοῦτό γε παρακείμενον μὴ παρέλθωμεν, ὡς τὴν ἕξιν μίαν καὶ τὴν αὐτὴν ποιεῖν τὴν χθὲς καὶ τὴν τήμερον, οἷον τὴν ὑγίειαν ἢ τὴν ἐπιστήμην, οὐδὲν ἄτοπον· συνεχὴς γάρ ἐστι πάσης ἕξεως ὁ χρόνος· τὴν ἐνέργειαν δὲ μίαν οὐκ ἐγχωρεῖ, εἰ μὴ συνεχὴς ἀποδοθῇ. τούτῳ δὲ ἀκολουθεῖ τὸ μιᾶς μὲν ἐνεργείας μίαν εἶναι πάντως καὶ ἕξιν, μιᾶς δὲ ἕξεως καὶ πλείους τὰς ἐνεργείας. Themist. f. 51.

228a 13. τὸ "εἰ μὲν δύο, δι' αὐτὸ τοῦτο" βραχέως ἀπαγγελθὲν ἀσάφειαν ἐποίησε. λέγει δὲ ὅτι ὁ αὐτὸς λόγος ἐπὶ τῶν ἕξεων καὶ τῶν

πρὸς τὰ ἐφεξῆς ἐν τοῖς τρισὶ βιβλίοις περὶ κινήσεως ῥηθησόμενα, τὰ δὲ πρὸς τὸ μὴ συνεχές τι γίνεσθαι ἐξ ἀμερῶν δεῖξαι... ὅτι δὲ ὡς τῷ φυσικῷ χρησίμων ὄντων μνήμην αὐτῶν ποιεῖται νῦν, δῆλον εὐθὺς ἀπὸ τοῦ ἅμα· ἐν μὲν γὰρ ταῖς Κατηγορίαις (c. 13), *ὅπου περὶ τῶν σημαντικῶν φωνῶν ἦν ὁ λόγος, ὡς πλεοναχῶς λεγόμενον τὸ ἅμα διελὼν εἰς τὰ σημαινόμενα τὰ μὲν τῷ χρόνῳ εἶπεν ἅμα, τὰ δὲ τῷ συναναιρεῖν ἄλληλα, καὶ μηδέτερον εἶναι θατέρου τοῦ εἶναι αἴτιον, τὰ δὲ τῷ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρῆσθαι. ἐνταῦθα δὲ τούτων μὲν οὐδενὸς μνημονεύει, τίνα δὲ λέγεται κατὰ τόπον ἅμα εἶναι, νῦν λέγει.* Simpl. f. 203 *b.*

ἐπειδὴ πᾶσα μεταβολὴ ἐν ἀντικειμένοις, ὡς ἐπεδείξαμεν, τὰ δὲ ἀντικείμενα τά τε ἐναντία καὶ ἡ ἀντίφασις, ἀντιφάσεως δὲ οὐδὲν μέσον, φανερὸν ὅτι ἐν τοῖς ἐναντίοις τὸ μεταξύ. μεταξὺ δέ ἐστιν εἰς ὃ πέφυκε πρότερον ἀφικνεῖσθαι τὸ μεταβάλλον, ἢ εἰς ὃ ἔσχατον μεταβάλλει, ὅταν μεταβάλλῃ συνεχῶς καὶ κατὰ φύσιν. ἐν ἐλαχίστοις δέ ἐστι τὸ μεταξὺ τρισίν. Themist. f. 50 *b.*

226 b 21. *τίς ὁ εἷς τόπος καὶ τίς ὁ πρῶτος, διακριτέον. εἷς μὲν οὖν ἐστίν, ὥς φησιν Ἀλέξανδρος, ὁ μὴ διῃρημένος ἀλλὰ συνεχής, τῷ καὶ αὐτὰ ἅμα λεγόμενα ἐν τόπῳ συνεχῆ ἀλλήλοις εἶναι, ὡς τὰ τοῦ συνεχοῦς μέρη... ἀλλ' ἕνα τόπον ῥητέον τῶν ἅμα κατὰ τόπον λεγομένων τὸν προσεχῶς διῃρημένα αὐτὰ περιέχοντα, τὴν πόλιν, εἰ ἐν πόλει, καὶ τὸν περίβολον, εἰ ἐν περιβόλῳ. τὸ δὲ "πρώτῳ" πρόσκειται μηνυτικὸν τοῦ προσεχῶς οἰκείου τόπου τῶν ἅμα λεγομένων ἐν τόπῳ εἶναι... κυριώτερον δὲ ἅμα λέγεται τὰ ἐν ἐλάσσονι τῷ αὐτῷ... καὶ ἁπλῶς τὰ ἐν τῷ πρώτῳ ἀτόμῳ τῷ αὐτῷ τῷ μὴ καὶ ἄλλα σώματα στερεὰ περιέχοντι, κἂν ἀήρ τις ᾖ μεταξύ, κἂν μὴ συνεχῆ ᾖ μηδὲ ἁπτόμενα, ταῦτα κυρίως ἅμα. τοῖς κεκραμένοις δέ φησι μάλιστα τοῦτο ὑπάρχειν ὁ Εὔδημος.* Simpl. f. 203 *b.*

226 b 23. *ζητεῖ μὲν ἐν τούτοις καλῶς ὁ Ἀλέξανδρος, ἐπειδὴ διχῶς τὰ ἄκρα λέγεται, τὰ μὲν ὡς μέρη τῶν ὧν ἐστὶν ἄκρα, τὰ δὲ ὡς πέρατα, ποῖα ἄρα τῶν ἁπτομένων εἶναι ἅμα φησίν... δύναται δέ, φησί, τὰ ἅμα νῦν ἀντὶ τοῦ ἐφαρμόζειν λέγειν· τὰ γὰρ ἐφαρμόζοντα ἀλλήλοις καὶ ἅμα· ἅπτεται οὖν ταῦτα ἀλλήλων, ὧν τὰ πέρατα ἐφαρμόζει ἀλλήλοις, καὶ οὕτως ἐστὶν ἅμα· τὸ γὰρ πρότερον εἰρημένον ἅμα οὐχ ἁπλῶς, ἀλλ' ὡς προσέθηκε κατὰ τόπον. καὶ εἴη ἄν, φησί, τοῦτο ἄλλο σημαινόμενον τοῦ ἅμα. ἐν δὴ τούτοις ἀπορεῖ δικαίως ὁ Ἀλέξανδρος, τὴν τοῦ ἅμα ἐξήγησιν ἑαυτοῦ φυλάττων, καθ' ἣν ἔλεγε τὰ ἅμα συνεχῆ εἶναι, πῶς τῶν ἁπτομένων ἅμα τὰ πέρατα ἔσται; καὶ ἀναγκάζεται ἄλλο τοῦ ἅμα σημαινόμενον εἰσάγειν, τὸ ἐφαρμόζον. ἔστι δὲ οὐκ ἄλλο, ἀλλὰ ἄλλων.* id. f. 204.

226 b 28. *ἐπειδὴ ἡ μεταβολὴ διττὸν ἔχει τὸ συνεχές, τὸ μὲν ἀπὸ τοῦ χρόνου τὸ δὲ ἀπὸ τοῦ ὑποκειμένου, καθ' ὃ ἡ μεταβολὴ γίνεται... λέγει ὅτι οὐ τοῦ κατὰ χρόνον συνεχοῦς χρεία τῷ μεταβάλλοντι πρὸς τὴν εἰς τὸ μεταξὺ ἄφιξιν πρὸ τοῦ εἰς τὸ πέρας ἐλθεῖν· τοῦ πράγματος γὰρ ἢ τοῦ χρόνου εἶπεν ἀντὶ τοῦ πράγματος ἤπερ τοῦ χρόνου· καὶ γὰρ διαλείποντος τοῦ χρόνου τῆς βαδίσεως, ὥστε τὸ βαδίζον ἀναπαυσάμενον πάλιν βαδίζειν, οὐδὲν κωλύει ἐλθεῖν εἰς τὸ τῆς βαδίσεως μεταξὺ καὶ τοῦ ὑποκειμένου μήκους, καὶ μὴ διαλείποντος δὲ τοῦ χρόνου ἀλλὰ συνεχοῦς ὄντος ἐνδέχεται ἀπὸ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον μεταβάλλειν εὐθύς... ἀρχαιοπρεπῶς δὲ ἀπήγγελται τὸ "οὐδὲν γὰρ κωλύει διαλείποντα καὶ εὐθὺς δὲ μετὰ τὴν ὑπάτην φθέγξασθαι τὴν νεάτην." εἰπὼν δὲ συνεχῶς κινεῖσθαι κατὰ τοῦτο τὸ συνεχὲς τὸ μηδὲν ἢ τὸ ἐλάχιστον διαλεῖπον τοῦ πράγματος ἤπερ τοῦ χρόνου, ὅτι οὐ χρεία τοῦ χρόνου, ἐδήλωσεν.* id. f. 204 *b.*

226 b 33. *ἐπειδὴ γὰρ ἡ εὐθεῖα ἐλαχίστη ἐστὶ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν, ἡ δὲ ἐλαχίστη ὥρισται (τοῦτο γὰρ αὐτοῦ σημαίνει τὸ "πεπέρανται"), ἡ δὲ ὡρισμένη μεμέτρηται, καὶ τὸ κατ' εὐθεῖαν πλεῖστον μεμετρημένον ἂν εἴη καὶ ὡρισμένον, ὥστε καὶ πλεῖστον κυρίως λέγεσθαι.* id. ib.

226 b 34. *ἐπεὶ τοίνυν τοῦ συνεχοῦς κοινότερον τὸ ἐχόμενον, τοῦ δὲ ἐχομένου τὸ ἐφεξῆς, πρῶτον τὸ ἐφεξῆς διδακτέον... τὸ δὲ ἐφεξῆς ἀεὶ δεύτερόν τι, καὶ οὗ ἄλλο πρῶτον ἐστίν. πρῶτον δὲ ἢ τῇ θέσει, ὡς ἐπὶ τῶν γραμμῶν καὶ τῶν οἰκιῶν, ἢ τῇ φύσει, καθάπερ ἐπὶ μονάδος καὶ δυάδος ἐφεξῆς δυὰς μονάδι.* Themist. f. 50 *b.*

226 b 35. *τὸ ἐφεξῆς αὐτὸ πολλαχῶς λέγεται· ἢ γὰρ θέσει ἢ τάξει ἢ εἴδει ἢ πάθει ἢ χρόνῳ ἢ γενέσει ἢ ἀριθμῷ ἢ ἄλλῳ τινὶ τοιούτῳ, θέσει μὲν ὅσα που ἐστίν... εἴδει δέ, οἷον εἰ τὰ χρώματα ἐφεξῆς καθ' ἕκαστον λάβοιμεν, ἀπὸ τοῦ λευκοῦ ἀρξάμενοι μέχρι τοῦ μέλανος, εἴτε ἑπτὰ εἴη ταῦτα εἴτε καὶ πλείονα. καταριθμεῖται δὲ αὐτὰ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ Αἰσθητῶν... ἐπὶ δὲ τοῦ χρόνου καὶ τῶν ῥεόντων καὶ γινομένων φύσει τὸ πρότερον πρότερον ἐστίν· ἃς δὲ ἡμεῖς ποιούμεθα ἀρχὰς ἐνιαυτοῦ μὲν περὶ θερινὰς τροπάς, ὡς Ἀθηναῖοι, ἢ περὶ μετοπωρινάς, ὡς οἱ περὶ τὴν νῦν καλουμένην Ἀσίαν, ἢ περὶ χειμερινάς, ὡς Ῥωμαῖοι, ἢ περὶ ἐαρινάς, ὡς Ἄραβες καὶ Δαμασκηνοὶ καὶ Μίνωες, οἵτινες ἀρχὴν τὴν πανσέληνον λέγουσιν ἢ τὴν νέαν, ἴσονται θέσει αὗται... λέγεται δὲ ἐφεξῆς καί τινα μὴ ὁμοειδῆ πολλάκις· ἐφεξῆς γὰρ ὁ ἀγὼν τῇ πομπῇ καὶ τὸ νυμφαῖον τῷ γυμνασίῳ. ἰστέον δὲ ὅτι τῶν πολλῶν ἀντιγράφων ἐχόντων "ἐφεξῆς δὲ οὗ μετὰ τὴν ἀρχὴν ὄντος ἢ θέσει ἢ εἴδει," ὁ Ἀλέξανδρος οὕτω γράφει "οὗ μετὰ τὴν ἀρχὴν μόνον ὄντος," τὸ "μόνον" προστιθείς, καὶ ἐξηγεῖται ὅτι δηλωτικόν ἐστι τὸ μόνον τοῦ μὴ κυρίως πάντως τὴν ἀρχὴν λαμβάνεσθαι.* Simpl. f. 205. *τὸ "μόνον" προστίθησιν ὁ Ἀλέξανδρος καὶ ἐξηγεῖται.* cod. Pal. 237.

227 a 15. *οὐ δεῖ δὲ ἀγνοεῖν ὅτι κυρίως γίνεται συνεχῆ ὧν ἡ ἁφὴ σύμφυσιν ἀπεργάζεται, ὡς ἐπὶ τῶν γραμμῶν καὶ τῶν ἐγκεντριζομένων φυτῶν καὶ τοῦ χρόνου. γίνεται δὲ καὶ ἐπὶ τεχνήσεώς τινα συνεχῆ, οἷον ξύλα γόμφοις ἢ κόλλῃ, ἅπερ οὐδὲ συνεχῆ κυρίως.* Themist. f. 50 *b.*

227 a 19. *κατὰ γένεσιν τελευταῖον τῇ ἐπινοίᾳ τὸ συνεχές· πρῶται γὰρ αἱ μονάδες, ἐν αἷς τὸ ἐφεξῆς, θέσιν δὲ λαβουσῶν τὸ ἅπτεσθαι ἐπιγίνεται, τῆς δὲ ἁφῆς συμφυείσης τὸ συνεχές, καὶ οὐδὲν ἔτι μετὰ τοῦτο. ὁ μέντοι Εὔδημος τὸ συμφυὲς τοῦ συνεχοῦς μᾶλλον θεασάμενος ἡνωμένον, καὶ ἴδιον τῶν φυσικῶν αὐτὸ εἰπών, τοῦτο, φησί, κατὰ τὸν λόγον πρῶτόν ἐστι καὶ ἀρχή· τούτῳ γὰρ ἕπεται τὸ συνεχὲς καὶ ἐχόμενόν τε καὶ ἐφεξῆς· κατὰ δὲ τὴν γένεσιν, φησί, τελευταῖον τὸ συμφυές. δῆλον δὲ ὅτι τῷ λόγῳ τοῦτο πρῶτον εἶπεν ὡς ἐξ ἐκείνων συνεστώς.*

τινα μεταβολήν, οὐχ ὅτι ὁ δρόμος αὐτός, ἀλλ' ὅτι ἄνθρωπος ᾧ συμβέβηκεν ὁ δρόμος. Themist. f. 50.

226a 14. πέμπτον οἶμαι τοῦτο ἐπιχείρημα, δεικνῦον ὅτι οὔτε γένεσις γενέσεώς ἐστιν οὔτε κινήσεως κίνησις. ἀπάγει δὲ καὶ τοῦτο εἰς ἄτοπον· εἰ γάρ ἐστι κινήσεως κίνησις καὶ γενέσεως γένεσις, οὔτε ἡ τῆς κινήσεως κίνησις δύναται κίνησις εἶναι οὔτε ἡ τῆς γενέσεως γένεσις. δείκνυσι δὲ καὶ αὐτὸ ἐξ ὁμοίας παραθέσεως... διὰ τοῦτο οὖν ἀρχόμενος τοῦ ἐπιχειρήματος οὕτως εἶπεν "ἅμα δὲ πῶς καὶ ἔσται," ἢ "ἅμα δὲ καὶ πῶς ἔσται." ἑκατέρως γὰρ εὑρίσκεται γεγραμμένον, τὸ δὲ αὐτὸ σημαίνει. Simpl. f. 200.

226a 20. ἱστέον ὅτι τὰ μὲν τῶν βιβλίων οὕτως ἔχει τὴν γραφὴν "κατὰ συμβεβηκὸς μόνως ἂν ἐνδέχοιτο μεταβάλλειν τὴν μεταβολήν, οἷον εἰ ὁ ὑγιαζόμενος τρέχοι ἢ μανθάνοι," τὰ δὲ οὕτως "κατὰ συμβεβηκὸς μόνως ἂν ἐνδέχοιτο μεταβάλλειν τὴν μεταβολήν, εἰ συμβαίνει τινὶ τροχάσαντι ὑγιαίνειν, οἷον ὁ ὑγιαζόμενος τρέχει ἢ μανθάνει." καὶ οἶδε καὶ ταύτην τὴν γραφὴν ὁ Ἀλέξανδρος. κἂν οὕτω δὲ ᾖ γεγραμμένον, οὐχ οὕτως οἶμαι λέγεσθαι ὡς τοῦ τρέχειν αἰτίου τῆς ὑγείας γινομένου, ἀλλ' ὡς ἀμφοῖν τῷ αὐτῷ ὑπαρχόντων. καὶ τοῦτο οἶμαι ἐνδεικνύμενος ὁ Ἀριστοτέλης ἐπήγαγε τὸ "ἢ μανθάνει·" οὐ γὰρ δὴ ὥσπερ τὸ τρέχειν οὕτω καὶ τὸ μανθάνειν αἴτιον ὑγείας δοκεῖ, ἀλλὰ τὸ τρέχειν ὡς κίνησίν τινα παρέλαβεν, ὥσπερ καὶ τὸ μανθάνειν. μόνως οὖν κατὰ συμβεβηκὸς δυνατὸν εἶναι κινήσεως κίνησιν, καὶ οὔτε καθ' αὑτό, ὡς δέδεικται πρότερον, οὔτε κατὰ μέρος. id. f. 201.

226a 23. ὁ μὲν Εὔδημος ἐν τοῖς ἑαυτοῦ Φυσικοῖς παραφράζων τὰ τοῦ Ἀριστοτέλους καὶ εἰπὼν ὅτι ἐν τῷ πρός τι οὐκ ἔστι κίνησις πλὴν κατὰ συμβεβηκός, καὶ τὴν αἰτίαν προσθεὶς (γίνεται γάρ, φησί, καὶ ἔστι τὸ δίπηχυ διπλάσιον ἀκίνητον ὂν πάντη πάντως γινομένου πηχυαίου), καὶ εἰπὼν ὅτι τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἄλλων τῶν πρός τι συμβαίνει, ἐπήγαγεν "εἰ ἐν χρόνῳ δὲ πάντα κινεῖται, τρόπον δὲ ἄλλον," τοῦτο οἶμαι ἐνδεικνύμενος, ὅτι κίνησις μὲν τῶν ὑποκειμένων ἐστὶν ἡ κατὰ τὰς σχέσεις, ἄλλον δὲ τρόπον ἤπερ κατὰ τὰς διαθέσεις, ὥσπερ ἄλλον τρόπον κατὰ τὴν οὐσίαν, ὅτι οὐδὲ κίνησιν καλεῖν ἀξιοῦσιν οἱ ἀπὸ τοῦ Περιπάτου, ἀλλὰ γένεσιν καὶ φθοράν, διὰ τὸ μὴ ὑπομένειν τὸ μεταβάλλον. ὁ μέντοι Θεόφραστος ἐν τῷ πρώτῳ τῶν ἑαυτοῦ Φυσικῶν καὶ καθ' ἕκαστον γένος τῶν κατηγοριῶν τὴν κίνησιν θεωρεῖσθαί φησι γράφων οὕτως... ἔοικε δὲ νῦν κίνησιν κοινῶς τὴν μεταβολὴν λέγειν· καὶ γὰρ ὁ ὁρισμὸς ὁ λέγων ἐντελέχειαν τοῦ δυνάμει ᾗ τοιοῦτόν ἐστιν, οὐ τῆς κυρίως κινήσεώς ἐστιν, ἀλλὰ καὶ γενέσεως καὶ φθορᾶς καὶ ὅλως πάσης μεταβολῆς... κατ' ἄλλον δὲ τρόπον τῆς κινήσεως ὁ Εὔδημος εἶπε, καὶ οὐ κατ' ἐκεῖνον καθ' ὃν αἱ κατὰ διάθεσιν μεταβολαὶ γίνονται... ὥστε κἂν ὁ Θεόφραστος ἐν πάσαις εἶναι λέγῃ ταῖς κατηγορίαις τὴν κίνησιν, ἀδιορίστως εἶπε, μήπω μήτε τὴν κίνησιν τῆς μεταβολῆς διορίσας μήτε τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκός. ἀλλὰ ταῦτα μὲν ἐπὶ πλέον ζητείσθω, εἴπερ δόξει ζητήσεως ἄξια, διὰ τὴν ἐν αὐτοῖς τῶν ἐξηγητῶν παραδρομήν. id. f. 201 b.

226a 25. ποιότητες λέγονται αἱ συστατικαὶ τῶν εἰδῶν διαφοραί, καίτοι οὐσίαι οὖσαι, ὅτι περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζουσιν. ἔοικε δὲ τὸ τῆς ἀλλοιώσεως ὄνομα αὐτοὺς ἐπιθεῖναι τῇ κατὰ τὸ ποιὸν κινήσει. id. f. 202.

φορὰν τὸ κοινὸν αὐτοὺς καλέσας ἢ καὶ οὕτω καλούμενον εὑρών, 226a 33.
ὅτι μὴ κυρίως καλεῖται δείκνυσιν... ἐν τούτοις ὁ Εὔδημος προστίθησιν ὅτι πᾶσαι αἱ κινήσεις καὶ αἱ μεταβολαὶ ἀπὸ τοῦ εἰς ὃ μᾶλλον λέγονται ἢ ἀπὸ τοῦ ἐξ οὗ, αὔξησις μὲν ἡ ἐπὶ τὸ μέγα, μείωσις δὲ ἡ ἐπὶ τὸ μικρόν, καὶ ἐπὶ ἀλλοιώσεως μάθησις ὑγίανσις, καὶ ἐπὶ τῶν κατὰ τόπον εἰς Ἀθήνας, εἰς Κόρινθον μᾶλλον ἢ ἀνάπαλιν. id. ib.

εἰπὼν ὅτι ἡ μὲν κατὰ τὸ ποιὸν κίνησις κοινὸν ὄνομα ἔχει τὴν ἀλ- 226b 1.
λοίωσιν, ἡ δὲ κατὰ τὸ ποσὸν κοινὸν μὲν οὐκ ἔχει, ἰδίᾳ δὲ τὴν αὔξησιν καὶ τὴν μείωσιν, ἡ δὲ κατὰ τόπον οὔτε κοινὸν οὔτε ἴδιον, ἐπειδὴ τὰ κατὰ ποιότητα μεταβάλλοντα ποτὲ μὲν ἐξ ἄλλου εἴδους εἰς ἄλλο μεταβάλλει, ὡς ἐκ τοῦ μέλανος εἰς τὸ λευκόν, ποτὲ δὲ ἐν τῷ αὐτῷ εἴδει μένοντα ἐπὶ τὸ μᾶλλον αὐτοῦ καὶ ἧττον τὴν μεταβολὴν ποιεῖται, ἐφιστάνει καλῶς ὅτι ἡ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐν τῷ αὐτῷ εἴδει μεταβολὴ ἀλλοίωσίς ἐστι καὶ οὐ χρὴ ζητεῖν ἕτερον ἐπ' αὐτῆς ὄνομα. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δείκνυσιν ἐκ τοῦ πᾶσαν κίνησιν δεδεῖχθαι ἐκ τοῦ ἐναντίου εἰς ἐναντίον γινομένην ἢ ἁπλῶς ἢ πῇ. ἔστι δὲ "ἢ πῇ" ἐκ τοῦ μεταξὺ γινομένη κατὰ τὴν ἐν τῷ αὐτῷ εἴδει ἐπίτασιν... ὁ μὲν οὖν Ἀλέξανδρος καὶ ὁ Θεμίστιος τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπὶ μόνης τῆς κατὰ τὸ ποιὸν μεταβολῆς ὑπὸ τοῦ Ἀριστοτέλους εἰλῆφθαι νομίζουσιν, ἴσως ἐπειδὴ τοῦ ποιοῦ τὸ μᾶλλον καὶ τὸ ἧττον ἴδιά ἐστιν· ὁ δὲ Πορφύριος ἐπειδή, φησίν, ἐν πάσῃ κινήσει ἐστὶ τὸ μᾶλλον καὶ τὸ ἧττον (καὶ γὰρ ἐν τῇ κατὰ τόπον ἐπίτασις καὶ ἄνεσις καὶ ἐν τῇ κατὰ αὔξησιν καὶ φθίσιν καὶ ἐν τῇ κατ' ἀλλοίωσιν), ζητεῖ τὴν κατὰ τὸ μᾶλλον καὶ ἧττον κίνησιν, τίνος χρὴ γένους θέσθαι, καὶ φησὶν ὅτι ἡ ἐπὶ τὸ αὐτὸ εἶδος μεταβολὴ ἐπὶ τὸ μᾶλλον καὶ ἧττον ἀλλοίωσίς ἐστιν... εἰκὸς δὲ τὸν Πορφύριον εἰς ταύτην ἐλθεῖν τὴν ἔννοιαν διὰ τὸ τὸν ὁρισμὸν μηδαμῶς παρενδείξασθαι ὅτι τῆς κατὰ ποιότητα μόνης κινήσεως τὸ μᾶλλον καὶ τὸ ἧττον ζητεῖ. εἰ δὲ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ποιότητος ἴδια εἶναι δοκεῖ, χρὴ γινώσκειν ὅτι παντὸς εἴδους αἱ συστατικαὶ διαφοραὶ ποιότητές τινές εἰσιν. id. f. 202 b.

ἀλλὰ περί γε τῆς ἀλλοιώσεως καὶ τοῦτο μᾶλλον ἐπισκεπτέον, 226b 2.
ὅταν εἰς τὸ λευκότερον ἐκ λευκοῦ μεταβάλλῃ τὸ σῶμα ἢ τοὔμπαλιν ἐκ τοῦ μᾶλλον εἰς τὸ ἧττον λευκόν, πῶς ἂν γίνοιτο τηνικαῦτα ἐξ ἐναντίων εἰς ἐναντία; ἢ καὶ τὸ μᾶλλον λευκὸν καὶ τὸ ἧττον μίξει τῶν ἐναντίων ἐστίν· μᾶλλον γὰρ λευκὸν τὸ ἐλάττονος μετέχον μέλανος, καὶ ἧττον λευκὸν πλείονος. ὅταν μὲν οὖν ἁπλῶς εἰς τὸ λευκὸν ἐκ τοῦ μέλανος μεταβάλλῃ, ἐκ τοῦ ἁπλῶς ἐναντίου κινεῖται εἰς τὸ ἐναντίον, ὅταν δὲ ἐπὶ τὸ λευκότερον ἐκ τοῦ λευκοῦ, ἐκ τοῦ πῶς ἐνυπάρχοντος ἐναντίου· τῷ γὰρ ἧττον λευκῷ τὸ μέλαν πως ἐνυπάρχει. Themist. f. 50 b.

τῶν πέντε πρώτων βιβλίων τῆς Φυσικῆς Ἀκροάσεως σκο- 226b 18.
πὸν ἐχόντων περὶ τῶν φυσικῶν ἀρχῶν καὶ τῶν κοινῇ πᾶσι τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων διδάξαι, τὸ πέμπτον τοῦτο βιβλίον τὸν περὶ μεταβολῆς λόγον ἐτελειώσατο... καί μοι δοκεῖ τὰ μὲν περὶ τῶν μεταβολῶν ἐν τούτοις εἰρημένα τοῖς ἐν τῷ τρίτῳ βιβλίῳ περὶ κινήσεως ῥηθεῖσι τὸ πλῆρες ἀποδιδόναι, τὰ δὲ ἐντεῦθεν ῥηθησόμενα τοῖς περὶ τούτου λόγοις ἀκολουθεῖν, οὓς ἐν ἀρχῇ τοῦ τετάρτου βιβλίου συνεπεράνατο. ἔχει δέ τινα χρείαν ταῦτα τὰ μὲν

ὅταν μέντοι ἐκ κινήσεως εἰς κίνησιν κινεῖσθαι λέγηται, ἀνάγκη εἰς ὁποιανοῦν κίνησιν μεταβεβληκέναι, καὶ οὐκέτι εἰς ἠρεμίαν... καὶ ἔτι ὅταν ᾖ πρὸς τὸ ἕτερον μεταβεβληκός, ὅπερ εἶπεν αὐτὸς ὅταν νοσήσῃ, τότε καὶ εἰς ἕτερον ὁποιονοῦν ἔσται μεταβεβληκός. ὥστε πρῶτον μὲν ἄτοπον τὸ ἐπὶ πλείω ἅμα καὶ διαφέροντα κινεῖσθαι, ἔπειτα τὸ ἐν πλείοσιν ἅμα εἶναι. τρίτον δὲ εἰ ἡ κίνησις μεταβολή ἐστιν ἐξ ἐναντίου εἰς ἐναντίον, καὶ μεταβάλλει τι ἐκ κινήσεως εἰς κίνησιν, δηλονότι ἐκ τῆς ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον μεταβάλλει ἂν εἰς τὴν ἐξ ἐναντίου εἰς ἐναντίον· αὗται γάρ εἰσιν ἐναντίαι κινήσεις... ὥστε συμβήσεται καὶ τῶν πρόσθεν ἀτοπώτερον· οὐ μόνον γὰρ ἐπὶ πλείω ἅμα καὶ διαφέροντα κινήσεται, ἀλλὰ καὶ ἐπὶ ἐναντία... τὸ δὲ ἐπὶ τὰ ἐναντία ἅμα κινεῖσθαι καὶ ἐν τοῖς ἐναντίοις ἅμα εἶναι ἐσήμανε διὰ τοῦ "καὶ ἔτι εἰς μὴ τὴν τυχοῦσαν ἀεί, κἀκείνην ἔκ τινος εἴς τι ἕτερον, ὥστε καὶ ἡ ἀντικειμένη ἔσται ὑγίανσις." τί οὖν οὐ μεταβάλλει τι ἐκ τοῦ ἀναμιμνήσκεσθαι εἰς τὸ ἐπιλανθάνεσθαι, καὶ ἐκ τοῦ νοσίζεσθαι εἰς ὑγίειαν ἢ εἰς τὸ ὑγιάζεσθαι; εἰ οὖν κινήσεις αὗται καὶ ἐναντίαι, πῶς οὐκ ἂν εἴη μεταβολὴ μεταβολῆς καὶ κινήσεως κίνησις; ταύτην δὴ λύει τὴν ἔνστασιν. φησὶ γὰρ οὐ καθ' αὑτὸ ἐκ κινήσεως εἶναι εἰς κίνησιν τὴν μεταβολήν, ἀλλὰ κατὰ συμβεβηκός... πῶς δὲ κατὰ συμβεβηκὸς τὸ ἀναμιμνήσκεσθαι μεταβάλλει εἰς τὸ ἐπιλανθάνεσθαι, ἐδήλωσεν εἰπὼν ὅτι ᾧ ὑπάρχει παρὰ μέρος ταῦτα, τουτέστιν ὁ ἄνθρωπος ἢ ἡ ψυχή, ἐκεῖνο μεταβάλλει κατὰ ταῦτα... ἐπιστῆσαι δὲ ἐν τούτοις οἶμαι ἄξιον ὅτι οὐ πᾶσαν μεταβολὴν ἀποφάσκει τῆς κινήσεως, ἀλλὰ τὴν κίνησιν μόνην. id. f. 198.

226a 1. διαφόρου οὔσης ἐν τούτῳ τῷ χωρίῳ τῆς γραφῆς ὁ Ἀλέξανδρος τὴν σαφεστέραν ἔγραψεν ἔχουσαν οὕτως "οἷον εἰ ἡ ἁπλῆ γένεσις ἐγίνετό ποτε, καὶ τὸ γινόμενον ἐγίνετο, ὥστε οὔπω ἦν ἤδη." καὶ ἐξηγεῖται ἁπλῆν γένεσιν τὴν χωρὶς τοῦ γινομένου νοουμένην, περὶ ἧς ζητοῦμεν εἰ γίνεται. εἰ οὖν αὕτη ἡ γένεσις ἐγίνετό ποτε, τὸ δὲ γινόμενον γίνεται τέως καὶ οὔπω ἐστίν (οὐ γὰρ οἷόν τε αὐτὸ γινόμενον μὴ γίνεσθαι), οὔπω οὖσα ἡ γένεσις ἤδη ἦν· οὐ γὰρ ἠδύνατο γενέσθαι μὴ οὔσης γενέσεως. οἶδε δὲ καὶ τοῦτο τῷ εἰρημένῳ προσκείμενον ὁ Ἀλέξανδρος "ἀλλὰ γινόμενον ἦν, γινόμενον ἤδη," ὅπερ τῷ εἰρημένῳ ἀτόπῳ, τῷ μήπω γένεσιν οὖσαν ἤδη εἶναι, τὸ ἀντίστροφον ἄτοπον ἀποδίδωσι, τὸ ἤδη οὖσαν τὴν γένεσιν γινόμενον ἔτι εἶναι, τουτέστι μήπω εἶναι. καὶ ἄλλην δὲ γραφὴν προστίθησι τοιαύτην "ὥστε οὔπω ἦν τὸ γινόμενον ἁπλῶς, ἀλλά τι γιγνόμενον ἤδη." καὶ εἴη ἂν τὸ λεγόμενον ὅτι ἡ ἁπλῆ γένεσις ἐγίνετο ἤδη, τινὸς γενέσεως οὔσης· δι' ἧς γὰρ ἡ ἁπλῆ γένεσις ἐγίνετο, αὕτη γένεσις οὖσα ἤδη ἦν. καὶ ἐν πολλοῖς ἀντιγράφοις αὕτη φέρεται ἡ γραφή. μήποτε δὲ οὕτως αὐτὴν ἐξηγητέον· εἰ γίνοιτο ἡ γένεσις, οὔπω ἦν ἁπλῶς ἡ γένεσις τὸ γινόμενον, ἀλλά τι γινόμενον ἤδη, τουτέστιν ἀλλὰ καὶ ἄλλο τι μετὰ τῆς γενέσεως πεπονθὸς τὴν γένεσιν, ὥστε τὸ ὅλον γινόμενον εἶναι, ὥσπερ ἐστὶ γινόμενον ὁ ἄνθρωπος. εἰ οὖν γίνοιτο ἡ γένεσις, οὐ γένεσις ἔσται ἁπλῶς, ἀλλὰ ἕν τι τῶν γινομένων. ταῦτα οὖν μεταξὺ τὰ ἄτοπα προσενδειξάμενος, ἐφεξῆς προστίθησι πῶς ἐπ' ἄπειρον προελεύσεται ἡ γένεσις, καὶ πῶς ἀναιρεθήσεται, εἰ ἔστι γενέσεως γένεσις... ὁ δὲ Ἀσπάσιος ἐὰν γράφηται, φησίν, "ὡς εἰ ἡ ἁπλῆ γένεσις ἐγίνετό ποτε, καὶ τὸ γινόμενον ἐγίνετο, ὥστε οὔπω ἦν γινόμενον ἁπλῶς ἀλλὰ γινόμενον ἤδη," ἔσται μόνον, φησί, δεικνύμενον διὰ ταύτης τῆς λέξεως ὃ προέθετο, ὅτι ἐπ' ἄπειρον προήξει ἡ γένεσις· εἰ γὰρ ἡ γένεσις ἐγίνετο, ἁπλῶς δὲ γινόμενόν ἐστι τὸ εἰς οὐσίαν ἐρχόμενον, εἰ οὖν τὸ γινόμενον γινόμενόν ἐστιν, οὔπω ἦν γινόμενον ἁπλῶς· οὐ γὰρ ἔρχεται εἰς οὐσίαν, ἀλλ' εἰς τὸ ἁπλῶς γινόμενον. πάλιν δὲ ἐκεῖνο ἐξ οὗ γινόμενον ἐγίνετο, δεῖ γινόμενον εἶναι, καὶ τοῦτο ἐπ' ἄπειρον. καὶ τῷ ἐπὶ τῆς κινήσεως δέ, φησί, λόγῳ συμφωνοτέρα ἔσται ἡ τοιαύτη γραφή· ἐπὶ γὰρ τῆς κινήσεως οὕτως ἡ ἀπειρία μόνον δείκνυται κατὰ τὸν αὐτὸν τρόπον, εἰ ἔστι κινήσεως κίνησις... ἐφιστάνειν δὲ ἄξιον, ὡς οἶμαι, πῶς ἐπὶ τῶν ἐπ' ἄπειρον, εἰ μὴ ἔστι τὸ πρῶτον, οὐδὲ τὸ ἐχόμενόν ἐστιν, ὡς εἶπεν ὁ Ἀριστοτέλης. id. f. 198 b.

τοῦτο τὸ ῥητὸν προσφυέστερον, οἶμαι, τῶν ἄλλων ὁ Ἀσπάσιος ἐξηγήσατο, ἐὰν γράφηται λέγων, οἷον εἰ ἡ ἁπλῆ... δεῖ γιν. εἶναι, καὶ τοῦτο ἐπ' ἄπειρον. διαφόρου οὔσης ἐν τούτῳ τῷ χ. τ. γρ. ὁ Ἀλέξ... τουτέστι μήπω εἶναι. cod. Pal. 237.

λέγουσι καλῶς οἱ ἐξηγηταὶ ὅτι διὰ τῆς ἠρεμίας ἐνεδείξατο καὶ 226a 7.
ἐπὶ κινήσεως ἁρμόττειν τὸν αὐτὸν λόγον· εἰ γὰρ ἡ κίνησις κινεῖται, τὸ δὲ κινούμενόν τινα κίνησιν καὶ ἠρεμεῖν πέφυκε τὴν ἐκείνῃ τῇ κινήσει ἀντικειμένην ἠρεμίαν, δηλονότι καὶ ἡ κίνησις ἠρεμήσει κίνησις οὖσα, ὅπερ ἄτοπον. ἔτι δὲ ἀτοπώτερον τὸ ἅμα αὐτὴν κινεῖσθαι καὶ ἠρεμεῖν· εἰ γὰρ εἶναι δεῖ τὸ ἠρεμοῦν ὥσπερ καὶ τὸ φθειρόμενον, ἡ δὲ κίνησις εὐθὺς μὲν ἀρχομένη οὔπω ἐστί, παυσαμένη δὲ οὐκέτι ἐστίν, ἀλλ' ἐν τῷ κινεῖσθαι τὸ εἶναι ἔχει, εἴπερ κινοῖτο, δηλονότι ἅμα κινήσεται καὶ ἠρεμήσει. Simpl. f. 200.

καὶ τοῦτο κοινὸν ἐπὶ πάσης μεταβολῆς ἐστὶ τὸ ἐπιχείρημα... 226a 10.
εἰ δὲ λέγει τις τὴν κίνησιν κινεῖσθαι καὶ τὴν γένεσιν γίνεσθαι, οὐκ ἔχει τι εἰπεῖν εἰς ὃ κινεῖται ἡ κίνησις καὶ εἰς ὃ γίνεται ἡ γένεσις ἄλλο τι παρὰ ταῦτα, ὥσπερ οὐδὲ τὸ ἐξ οὗ ἔχομεν εἰπεῖν πρότερον. ταῦτα μὲν οὖν, εἰ οὕτως εἴη γεγραμμένον "δεῖ γὰρ εἶναι τὴν τοῦδε ἐκ τοῦδε εἰς τόδε κινησίν τε καὶ γένεσιν." ὁ δὲ Ἀλέξανδρος καὶ ἄλλην θεὶς γραφὴν τὴν λέγουσαν "ἐκ τοῦδε εἰς τόδε κίνησιν μὴ κίνησιν" ἐξηγεῖται καὶ ταύτην οὕτως· εἰ ἡ κίνησις κινούμενόν ἐστιν, ἄλλο δέ τι τὸ κινούμενον καὶ ἄλλο τὸ καθὸ ἡ κίνησις, οἷον τὸ σῶμα καὶ ἡ λεύκανσις, δηλονότι ἡ κίνησις τῆς κινήσεως ἡ ἐκ τοῦδε εἰς τόδε οὐκ ἂν εἴη κίνησις. ὥστε οὐκ ἀληθὲς ὅτι κινεῖται ἡ κίνησις. καὶ ὁ Θεμίστιος ταύτην ἔοικεν ἀποδέχεσθαι τὴν γραφήν. ἐφιστάνει δὲ καλῶς ὁ Ἀλέξανδρος ὅτι ἡ προτέρα γραφὴ μᾶλλον οἰκεία τοῖς προκειμένοις, διότι τοῦτο τὸ συμπέρασμα τὸ τὴν κίνησιν μὴ εἶναι κίνησιν ἐφεξῆς δείκνυσιν ὁ Ἀριστοτέλης. id. f. 200 b.

ἔτι ἄλλο τὸ κινούμενον καὶ ἡ κίνησις· ἄλλο γὰρ ὁ ἄνθρωπος καὶ ἡ κίνησις, καὶ ἄλλο ἵππος καὶ δρόμος, ἄλλο ἂν καὶ ἡ κινουμένη κίνησις εἴη κινήσεως. ὥσθ' ἅμα τε κίνησις καὶ οὐ κίνησίς ἐστιν. γελοῖον φέρεσθαι τὴν ἀλλοίωσιν, ἢ τὴν φορὰν ἀλλοιοῦσθαι, ἢ τὴν αὔξησιν τούτων θάτερον ὑπομένειν· ταῦτα γὰρ πάντα ἐν ὑποκειμένοις ἑτέροις, καὶ οὐδ' ἔστιν ὅλως καθ' ἑαυτά. κατὰ συμβεβηκὸς μέντοι μεταβάλλειν τὴν μεταβολὴν καὶ κινεῖσθαι τὴν κίνησιν λέγειν ἐνδέχεται· οἷον εἰ συμβαίη τινὶ τρέχοντι ὑγιάζεσθαι, λέγοιμεν ἂν τὸν δρόμον ὑγιᾶσθαί

ἐνεργείᾳ μὴ ὂν ἐν τόπῳ οὐκ ἔστιν, εἰ δὲ μὴ ἐν τόπῳ, οὐδὲ κινεῖται. cod. Pal. 237. cf. Themist. f. 50.

225 b 4. παράδειγμα τοῦ τὴν στέρησιν καταφάσει δηλοῦσθαι τὸ γυμνὸν λαβὼν ἐπήγαγε καὶ τὸ λευκὸν καὶ τὸ μέλαν, δεικνὺς ὅτι ὡς ταῦτα καταφάσει δηλοῦται, οὕτω καὶ τὸ γυμνόν. μή ποτε δὲ καὶ ἄλλο τι ἐνεδείξατο διὰ τούτου, ὅτι τὰ ἐξ ἀλλήλων γινόμενα ἐναντία οὐ μόνον ὡς ἐξ ἐναντίων γίνεται ἀλλὰ καὶ ὡς ἐξ ἀποφάσεων· τὸ γὰρ λευκὸν ἐκ τοῦ μέλανος γίνεται, ὅτι τὸ μέλαν οὐ λευκόν ἐστι, καὶ μέντοι καὶ ὡς ἐκ στερήσεως... οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης τὴν κίνησιν τινὰ μεταβολὴν λέγει, ἐπὶ πλέον οὖσαν τὴν μεταβολὴν τῆς κινήσεως, τὴν γένεσιν καὶ τὴν φθορὰν μεταβολὰς λέγων, κινήσεις δ' οὔ. ὁ δέ γε Πλάτων τοὐναντίον δοκεῖ τὴν κίνησιν ἐπὶ πλέον τῆς μεταβολῆς λέγειν· καὶ γὰρ τὰς μὲν μεταβολὰς τὰς αὐτὰς τῷ Ἀριστοτέλει λέγει, κινήσεις αὐτὰς εἶναι βουλόμενος· καὶ γὰρ καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν ἐν τῷ δεκάτῳ τῶν Νόμων (p. 894 sqq.) ταῖς φυσικαῖς κινήσεσι συναριθμεῖ, κίνησιν δὲ καὶ τὴν τοῦ νοῦ ἐνέργειαν ὀνομάζει, σφαίρας ἐν τόρνου κινήσει τὴν ἐπιστρεπτικὴν τοῦ νοῦ κίνησιν ἀπεικάζων... ταῦτα μὲν ἐμοὶ φίλον οὕτω περὶ φίλων ἀνδρῶν ἀλλήλοις τε καὶ τῇ σοφίᾳ ἐννοεῖν. εὐθύνουσι δὲ τὸν Ἀριστοτέλη τὴν γένεσιν καὶ τὴν φθορὰν ἐκβάλλοντα τῶν κινήσεων ἐκ τοῦ τὸ μὲν κινούμενον ἐν τόπῳ εἶναι, τὸ δὲ μὴ ὄν, ἐξ οὗ ἡ γένεσις καὶ εἰς ὃ ἡ φθορά, μὴ εἶναι ἐν τόπῳ, λέγοντες κακῶς τὸ μὴ ὂν ἐξ οὗ ἡ γένεσις τὴν ὕλην λαμβάνει... ὁ μὲν Πλάτων πάσας τὰς φυσικὰς μεταβολὰς κινήσεις ἠξίωσε καλεῖν, ἣν ἐζήλωσε δόξαν καὶ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις (c. 14) καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ μέχρι τοῦδε. τὸν γοῦν ὅρον τῆς μεταβολῆς ὡς κινήσεως ἀπέδωκεν ἐν τῷ τρίτῳ, εὑρὼν δὲ τὴν εἰρημένην ἐν ταῖς μεταβολαῖς διαφοράν, κατὰ ταύτην διέστησε τὴν κίνησιν ἀπὸ τῆς γενέσεως καὶ φθορᾶς. Simpl. f. 194.

225 b 5. ἐν τῇ ἀπαριθμήσει τῶν κατηγοριῶν παρέλιπε τὸ ποτὲ καὶ τὸ κεῖσθαι καὶ τὸ ἔχειν, ὡς προδήλως ἐν τούτοις μὴ οὔσης τῆς κινήσεως, καθά φησιν ὁ Ἀλέξανδρος, διότι μὴ ἔστιν ἐν αὐτοῖς ἐναντίωσις (οὔτε γὰρ ἐν τῷ κεῖσθαι οὔτε ἐν τῷ ἔχειν οὔτε ἐν χρόνῳ), ἡ δὲ κίνησις ἐξ ἐναντίου εἰς ἐναντίον, τὸ δέ γε κεῖσθαι καὶ τὸ ἔχειν ἠρεμίᾳ μᾶλλον ἔοικεν ἢ κινήσει. ἐπειδὴ δὲ ἐν τῷ χρόνῳ δοκεῖ τις εἶναι ἐναντίωσις τοῦ παρελθόντος πρὸς τὸ μέλλον καὶ τοῦ νεωτέρου πρὸς τὸ πρεσβύτερον, ὁ Ἀλέξανδρος σπουδάζει διὰ πλειόνων δεικνύναι ὅτι οὐκ ἔστιν ἐν τῷ χρόνῳ κίνησις... ἐκεῖνο δὲ μάλα σπουδῆς ἄξιον ζητεῖν, ἐν τίσι κατηγορίαις ἐστὶν ἡ κίνησις, καὶ πρὸ τούτων ζητεῖν εἰ τὴν κίνησιν ἀποφάσκει μόνον τινῶν κατηγοριῶν ὁ Ἀριστοτέλης ἢ καὶ τὴν μεταβολήν. ἀκολουθοῦντες οὖν τοῖς ὑπὸ τοῦ Ἀριστοτέλους λεγομένοις ταῦτα ζητήσωμεν. id. f. 195 b et 196.

σημειωτέον ὅτι τὰς τρεῖς ταύτας κατηγορίας, τὸ ποτὲ καὶ τὸ κεῖσθαι καὶ τὸ ἔχειν, παραλέλοιπεν ἐνταῦθα διὰ τὴν αἰτίαν δι' ἣν καὶ ἐν Κατηγορίαις τὴν διδασκαλίαν αὐτῶν παραλέλοιπεν, ἀρκεσθεὶς μόνῃ τῇ ὑπογραφῇ τοῦ σημαινομένου. αἴτιον δέ ἐστι τὸ ἀμενηνὰς ταύτας εἶναι. cod. Pal. 237.

225 b 10. ἐκθέμενος τὰς ἀξιολόγους τῶν κατηγοριῶν, ἐν τρισὶ τούτων φησὶν εἶναι κίνησιν, ἐν τῷ ποιῷ, ἐν τῷ ποσῷ καὶ ἐν τῷ ποῦ, καὶ πρῶτον μὲν δεικνύει ὅτι ἐν ταῖς ἄλλαις κατηγορίαις οὐκ ἔστι κίνησις... ζητήσειε δ' ἄν τις πῶς οὐκ εἰσὶν ἐναντίαι οὐσίαι ἀλλήλαις τὸ πῦρ καὶ τὸ ὕδωρ, ὥστε εἶναι ἐναντίαν οὐσίαν οὐσίᾳ· εἰ δὲ τοῦτο, πῶς ἡ εἰς ἄλληλα πυρὸς καὶ ὕδατος μεταβολὴ ἐξ ἐναντίου εἰς ἐναντίον οὖσα οὐκ ἔστι κίνησις, ὥστε καὶ ἐν οὐσίᾳ εἶναι κίνησιν. ἢ ῥητέον ὅτι ἐν ὕδατι καὶ πυρὶ ἐναντίαι ποιότητές εἰσί τινες, ψυχρὸν θερμῷ καὶ ὑγρὸν ξηρῷ, ἐν οἷς οὐκ ἔστι μόνοις τῷ πυρὶ τὸ εἶναι, ἀλλὰ καὶ ἐν κουφότητι καὶ λαμπρότητι, καθ' ἃ τῷ πυρὶ δόξει μᾶλλον ἡ γῆ εἶναι ἐναντία. Simpl. f. 196 b. cf. Themist. f. 50.

ἐφεξῆς δείκνυσιν ὅτι οὐδὲ ἐν τῷ πρός τι ἐστὶ κίνησις καθ' αὑτήν· οὐ γὰρ κατὰ τὴν οἰκείαν μεταβολὴν τὰ πρός τι ἀεὶ μεταπίπτει, ἀλλὰ καὶ μηδὲν αὐτὰ κινούμενα ἄλλοτε ἄλλως ἔχει ἄλλων κινουμένων, ὥστε οὐ διὰ κινήσεως οἰκείας ἡ κατὰ τὸ πρός τι μεταβολή... ἐφιστάνοι δὲ ἄν τις ἴσως πρῶτον μὲν εἰ τὴν κίνησιν ἀποφάσκει μόνον τοῦ πρός τι ἢ καὶ τὴν μεταβολήν... δεύτερον μή ποτε ἡ τοῦ πρός τι κατηγορία ὑποκείμενον μηδὲν ἔχουσα ἴδιον ἀλλὰ σχέσις μόνον οὖσα ἐν οὐσίᾳ καὶ ποιότητι καὶ ποσότητι καὶ ταῖς ἄλλαις κατηγορίαις, καὶ ἐν ἀμφοτέροις ὑφεστῶσα τοῖς τὴν σχέσιν πρὸς ἄλληλα ἔχουσι, τοῦ ἑτέρου κινουμένου ποιεῖ πάντως καὶ τὸ ἕτερον κινεῖσθαι οὐ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτό, διότι μένουσα ἡ σχέσις ἐν ἀμφοτέροις ἡ αὐτὴ κινεῖται... ἐφιστάνειν οὖν χρὴ οὐ περὶ τοῦ ἔχοντος τὴν σχέσιν, ἀλλὰ περὶ τῆς σχέσεως αὐτῆς, εἴτε καθ' αὑτὸ εἴτε κατὰ συμβεβηκὸς αὐτὴν χρὴ λέγειν κινεῖσθαι. Simpl. f. 196 b.

ἀλλ' οὐδὲ κατὰ τὸ ποιεῖν ἢ τὸ πάσχειν (κίνησις ἂν εἴη). τί δή ποτε; 225 b 7.
ὅτι τὸ ποιεῖν ὑπὸ τὸ κινεῖν ἐστίν, καὶ τὸ πάσχειν ὑπὸ τὸ κινεῖσθαι. οὔτε δὲ κινεῖν ἐστὶν κατὰ τὸ κινεῖν, οὔτ' ἔτι μᾶλλον κατὰ τὸ κινεῖσθαι· καὶ γὰρ εἰπεῖν τοῦτο γελοῖον, καὶ νοῆσαι πολλῷ γελοιότερον. Ἀριστοτέλης δὲ καὶ πλείω προσάγει τῇδε τῇ ὑποθέσει τὰ δυσχερῆ. Themist. f. 50.

προσέθηκε, φησὶν ὁ Ἀλέξανδρος, "οὐδὲ παντὸς κινουμένου καὶ 225 b 14.
κινοῦντος," δεικνὺς τὸ προκείμενον καθολικώτερον· ἔστι γὰρ τὸ μὲν ποιεῖν ὑπὸ τὸ κινεῖν, τὸ δὲ πάσχειν ὑπὸ τὸ κινεῖσθαι. ἀλλ' εἰ τοῦτο ἀληθές, καὶ τὸ μὲν ποιεῖν καὶ πάσχειν ὑπὸ τὸ κινεῖν καὶ κινεῖσθαι, τὸ δὲ κινεῖν καὶ κινεῖσθαι ὑπὸ τὸ μεταβάλλειν καὶ μεταβάλλεσθαι, παντὸς οἶμαι ζητεῖν διὰ τί ἐν ταῖς κατηγορίαις τὸ ποιεῖν καὶ τὸ πάσχειν ἔταξεν ὡς καθολικώτερα, οὐχὶ δὲ τὸ κινεῖν καὶ κινεῖσθαι, ἢ μᾶλλον τὸ μεταβάλλειν καὶ τὸ μεταβάλλεσθαι. μή ποτε οὖν καθολικώτερά ἐστι τούτων τὸ ποιεῖν καὶ τὸ πάσχειν. καὶ γὰρ τὸ ἠρεμίζειν καὶ τὸ ἐν αὐτῷ συνέχειν ποιεῖν τί ἐστιν, οὐ μέντοι κινεῖν οὐδὲ μεταβάλλειν. εἰ δὲ τοῦτο ἀληθές, τὸ ποιεῖν καὶ τὸ πάσχειν οὐχ ὡς εἰς καθολικώτερα ἀνήγαγε τὸ κινεῖν καὶ κινεῖσθαι, ἀλλὰ μετήγαγεν αὐτὰ πρὸς τὴν ὑπόθεσιν. Simpl. f. 197 b.

τὸ "εἰς ἕτερον εἶδος" καλῶς πρόσκειται, καὶ τὴν αἰτίαν αὐτὸς 225 b 22.
ἐπήγαγεν εἰπὼν "αὕτη γὰρ ἡ κίνησις ἐξ ἄλλου εἴδους εἰς ἄλλο ἐστὶ μεταβολή." καὶ οὐ μόνη ἡ κίνησις ἀλλὰ καὶ ἡ γένεσις καὶ ἡ φθορὰ ὡσαύτως ἔχει. id. ib.

ἐπειδὴ οὐκ ἦν ὡρισμένον τὸ εἰς ὁποίαν, διὰ τοῦτο ὅταν νοσήσῃ, 225 b 29.
φησί, μεταβεβληκὸς ἔσται εἰς ὁποιανοῦν· ἐνδέχεται γὰρ καὶ μεταβάλλειν τὸ μεταβάλλον, καὶ ἠρεμῆσαι παυσάμενον τῆς μεταβολῆς.

βολή, ὡς ἐπὶ τῶν γινομένων, οὔτε ἐν τῷ πάθει, ὡς ἐπὶ τῶν ἀλλοιουμένων, οὔτε ἐν τόπῳ, ὡς ἐπὶ τῶν φερομένων. Simpl. f. 191.

224 b 16. δείξας ὅτι ἐν τῷ κινουμένῳ ἡ κίνησις καὶ οὐκ ἐν ἄλλῳ τινὶ τῶν τῇ κινήσει συνυπαρχόντων, ἐφεξῆς ὅπερ πρότερον ἔδειξεν ἐπί τε τοῦ κινοῦντος καὶ ἐπὶ τοῦ κινουμένου, ὅτι τὸ μέν τι ἐστὶν αὐτῶν κατὰ συμβεβηκός, τὸ δὲ κατὰ μέρος, τὸ δὲ καθ' αὑτὸ καὶ πρώτως, νῦν λέγει ὅτι καὶ ἐπὶ τὰ ἄλλα τὰ τῇ κινήσει συνυπάρχοντα ἡ διαίρεσις αὕτη ἐκτείνεται, τό τε ἐν ᾧ καὶ τὸ ἐξ οὗ καὶ τὸ εἰς ὅ, τὰ τρία· ταῦτα γὰρ ἐσήμανεν εἰπὼν "ἔστι δὲ καὶ ἐν ἐκείνοις." ἀλλὰ περὶ μὲν τοῦ ἐν ᾧ, ὅπερ ἐστὶν ὁ χρόνος, ἀπέδειξεν ἐν τοῖς περὶ χρόνου, περὶ δὲ τῶν δύο προθέμενος ποιεῖται τὸν λόγον ἐφ' ἑνὸς τοῦ εἰς ὃ ἡ μεταβολὴ πάθους ἢ εἴδους ἢ τόπου... καὶ ἐπὶ τοῦ ἐξ οὗ δέ, κἂν αὐτὸς παραλέλοιπεν αὐτό, τὰ αὐτά πως δυνατὸν λέγειν. id. f. 191 b.

224 b 27. "ἐν πᾶσι" μέν, ὅτι ἐν τοῖς δέκα γένεσίν ἐστιν ἡ κατὰ συμβεβηκὸς μεταβολή· τῷ γὰρ τὴν οὐσίαν εἶναι τὴν κινουμένην, τὰ δ' ἄλλα πάντα τῇ οὐσίᾳ συμβεβηκέναι, ἕκαστον αὐτῶν δυνάμεθα λέγειν κινεῖσθαι, ὅταν ἡ ὑποκειμένη αὐτοῖς οὐσία καθ' αὑτὴν κινῆται. τὸ δὲ "καὶ πάντων" ἤτοι ὅτι πάντων ἔστι κατηγορῆσαι τῶν κινουμένων καὶ ἀκινήτων τὸ κινεῖν καὶ κινεῖσθαι, ὅταν κατὰ συμβεβηκὸς κατηγορῶμεν, ὥσπερ τῆς ψυχῆς· ἀκίνητος γὰρ οὖσα ἡ ψυχὴ κατὰ τὴν ἑαυτῆς φύσιν λέγοιτ' ἂν κατὰ συμβεβηκὸς κινεῖσθαι. ἢ πάντων ἀντὶ τοῦ πάντων εἰς πάντα... τὸ δὲ "ἀεί" σημαίνοι ἂν ὅτι καὶ ὅτε μὴ κινεῖταί τι οἷόν τε κινεῖσθαι αὐτὸ κατὰ συμβεβηκὸς τῷ ἐν τῷ κινουμένῳ εἶναι, ὡς ὁ ἐν τῇ πλεούσῃ νηῒ ἠρεμῶν. ἢ ὅτι καὶ ἐπὶ τῶν μηκέτι ὄντων ἔστιν οὕτω κατηγορεῖν τὸ κινεῖσθαι. id. ib.

225 a 5. ἢ ἐξ οὐχ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον. Themist. f. 49 b.

ἢ ἐξ οὐχ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ἢ ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον... τί τὸ ὑποκείμενον αὐτῷ σημαίνει, δεδήλωκεν εἰπὼν "λέγω δὴ τὸ ὑποκείμενον τὸ καταφάσει δηλούμενον," ἵνα μὴ τὴν οὐσίαν μόνην ὑποκείμενον νομίζωμεν, ἀλλὰ καὶ τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ πᾶν ὂν τὸ καταφάσει δηλούμενον. καταφάσει δὲ δηλούμενον οὐ τὸ διὰ προτάσεως καταφατικῆς σημαινόμενον, ἀλλὰ τὸ ἄνευ ἀποφατικοῦ μορίου, ὡς ἄνθρωπος καὶ τὸ λευκὸν καὶ ὅσα τοιαῦτα· καὶ ταῦτα γὰρ καταφάσεις ἐκάλουν καὶ ἁπλᾶ ὄντα καὶ σύνθετα· τὰ δὲ μετὰ τοῦ ἀρνητικοῦ μορίου ἀποφατικὰ ὀνόματα καλοῦσιν... ὁ δὲ Εὔδημος καὶ τὰς στερήσεις ὑποκειμένοις ἐοικέναι φησίν· οὐ γὰρ ὁμοίως λέγεται τὸ τυφλὸν καὶ τὸ μὴ ἔχον ὀφθαλμούς, οὐδὲ τὸ φαλακρὸν καὶ τὸ μὴ ἔχον τρίχας. ὑποκείμενα οὖν καὶ τὰ τοιαῦτά φησιν, οὐχ ὁμοίως δὲ ταῖς καταφάσεσιν. Simpl. f. 192.

225 a 13. καλῶς τὸ "κατὰ ἀντίφασιν" προστίθησιν· οὐ γὰρ ἐκ μὴ λευκοῦ εἰς γλυκὺ ἡ μεταβολὴ γίνεται, πλὴν εἰ μὴ κατὰ συμβεβηκός, τὴν δὲ καθ' αὑτὸ πᾶσαν ἐκ τοῦ μὴ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴν ἀνάγκη κατ' ἀντίφασιν γίνεσθαι. id. f. 192 b.

225 a 15. ἁπλῶς δὲ μὴ ὂν οὐ τὸ μηδαμῇ μηδαμῶς ὂν λέγει (ἐκ γὰρ τοῦ οὕτω μὴ ὄντος οὐδὲ γίνεταί τι), ἀλλὰ τὸ ἐνεργείᾳ μὲν μὴ ὂν δυνάμει δὲ ὄν... καὶ τοῦτο δὲ καλῶς προστίθησιν ὁ Ἀσπάσιος εἰς διάκρισιν τῆς ἁπλῶς γενέσεως καὶ τῆς τινός, ὅτι ἡ μὲν ἁπλῶς γένεσις ἄνευ προσθέσεως λέγεται, ἄνθρωπος γὰρ λέγεται γεγονέναι καὶ ἵππος, λευκὸν δὲ μετὰ προσθήκης, ἄνθρωπον γὰρ λευκόν. id. ib.

τὸ μὲν προκείμενόν ἐστι δεῖξαι ὅτι οὔτε γένεσις οὔτε φθορὰ κινήσεις εἰσίν· ἐπεὶ δὲ ἡ γένεσις ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν εἴρηται μεταβολή, ἡ δὲ φθορὰ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν, πολλαχῶς δὲ λέγεται τὸ μὴ ὄν, τὰς σημασίας αὐτοῦ πρῶτον ἀπαριθμεῖται. id. f. 193. 225 a 20.

εἰ δὲ τοῦθ' οὕτως ἔχει, δηλονότι πλεοναχῶς τὸ μὴ ὄν· καὶ γὰρ τὸ οὐ λευκὸν μὴ ὄν, καὶ τὸ οὐκ ἄνθρωπος μὴ ὄν, λέγεται δὲ καὶ τὸ ψεῦδος μὴ ὄν. ἀλλὰ τοῦτο μὲν ἀφείσθω· περὶ λόγου γάρ ἐστι συνθέσεις καὶ διαιρέσεις. τῶν δὲ προειρημένων δυοῖν ποῖον ἂν κεκινῆσθαι λέγοιτο; ἐγὼ δέ φημι τὸ οὕτως μὴ ὂν ὡς τὸ μὴ λευκόν, ὡς τὸ μὴ ἀγαθόν, οὐχ ὅτι αὐτὸ τὸ μὴ λευκὸν κινεῖται καὶ αὐτὸ τὸ μὴ ἀγαθόν· πῶς γὰρ ἂν ὃ οὐκ ἔστιν ὅλως, κινεῖσθαι δύναται; ἀλλὰ Καλλίας ὁ μὴ λευκὸς καὶ Καλλίας ὁ μὴ ἀγαθὸς κινεῖται. οὐκοῦν οὐδὲ ἁπλῶς τὰ τοιαῦτα κινεῖσθαι λέγω, ἀλλὰ κατὰ συμβεβηκός... ἀδύνατον τοίνυν τὰ οὕτω μὴ ὄντα κινεῖσθαι· εἰ δὲ τοῦτο, ἀδύνατον καὶ τὴν γένεσιν κίνησιν εἶναι... οὐ μόνον δὲ ἡ γένεσις οὐκ ἔστι κίνησις, ἀλλ' οὐδὲ ἡ φθορά. κινήσει γὰρ ἡ κίνησίς ἐστιν ἐναντίον ἢ ἠρεμία. εἰ δὲ κίνησις ἡ φθορά, ἡ γένεσις εἴη ἂν ἢ κίνησις ἢ ἠρεμία. Themist. f. 49 b.

εἰπὼν ὅτι τὸ μὴ ὂν ἐξ οὗ ἡ γένεσις, οὐ κινεῖται μὲν γίνεται δέ ("γίνεται γάρ" φησι "τὸ μὴ ὄν"), πῶς εἶπε γίνεσθαι τὸ μὴ ὂν ἐξηγεῖται, ὅτι οὐ τὸ καθ' αὑτὸ μὴ ὂν γίνεται, ἀλλ' ᾧ συμβέβηκε τὸ μὴ ὄν· ἡ γὰρ ὕλη καὶ ὅλως τὸ δυνάμει, ἐξ οὗ γίνεται τὸ γινόμενον, οὐ καθ' αὑτὸ μὴ ὄν ἐστιν, ἀλλ' ὅτι συμβέβηκεν αὐτῷ τὸ μὴ ὄν, οἷον ἡ στέρησις, ἥτις οὐχ ὑπομένει ἐν τῇ γενέσει. πλὴν καθόσον τὸ γινόμενον διὰ τὴν στέρησιν οὐκ ἔστι τοῦτο ὃ γίνεται, ἀληθὲς εἰπεῖν ὅτι ὑπάρχει τὸ μὴ ὂν κατὰ τοῦ γινομένου ἁπλῶς... λέγει δὲ καὶ ἄλλην ἐξήγησιν ὁ Ἀλέξανδρος τοῦ προκειμένου τοιαύτην. τῷ ἁπλῶς μὴ ὄντι, τουτέστι τῷ δυνάμει, ἐξ οὗ γίνεται τὸ γινόμενον, κατὰ συμβεβηκὸς ὑπάρχει τὸ γίνεσθαι, ὅτι ᾧ συμβέβηκε τὸ ἁπλῶς μὴ ὄν, τουτέστιν ἡ στέρησις, τοῦτο γίνεται· τὸ δὲ κινεῖσθαι οὐ κατὰ συμβεβηκὸς ὑπάρχει αὐτῷ, εἴπερ μηδὲ ἔστιν ὅλως, ἀλλ' εἴπερ ἄρα, τὸ κινεῖσθαι τούτῳ τῷ μὴ ὄντι ὑπάρχει, ὃ ἀντίκειται τῷ τινὶ ὄντι, ὅπερ ἐστὶν οὐχ ἁπλῶς μὴ ὂν ἀλλὰ τόδε μὴ ὄν, ἐφ' οὗ ἡ τὶς γένεσις κατηγορεῖται, καὶ τοῦτο δὲ κατὰ συμβεβηκός· οὐ γὰρ καθὸ μὴ ὄν, ἀλλὰ καθὸ ἄλλο τι ὄν· δεῖ γὰρ τὸ κινούμενον εἶναι ὄν· οὕτως γὰρ ἐνεργείᾳ ἡ κίνησις. τεκμήριον οὖν τοῦ μὴ κινεῖσθαι τὸ γινόμενον ἔλαβε τὸ ὑπάρχειν αὐτῷ τὸ μὴ ὄν. ὁ δὲ Ἀσπάσιος οὕτως ἐξηγεῖται τὴν λέξιν ταύτην. εἰπών, φησίν, ὅτι τὸ μὴ ὄν ἐστι τὸ γινόμενον, ἐπειδὴ τοῦτο ἀμφισβητήσιμον ἦν (εἴποι γὰρ ἄν τις μὴ εἶναι τὸ μὴ ὂν τὸ γινόμενον, ἀλλ' ἐκ τοῦ μὴ ὄντος), διὰ τοῦτο λέγει ὅτι κἂν ὅτι μάλιστα συγχωρήσωμεν τὸ μὴ ὂν κατὰ συμβεβηκὸς λέγεσθαι γίνεσθαι καὶ μὴ κυρίως, ἀλλ' ὅμως τό γε ἀναστρέφον αὐτῷ ἀληθές ἐστιν, ὅτι τὸ γινόμενον τὸ μὴ ὄν ἐστιν· οὐ γὰρ ἂν ἔτι γίνοιτο, εἴπερ ὂν ἦν. ἐπεὶ οὖν τὸ γινόμενον οὐκ ὄν ἐστι, τὸ δὲ οὐκ ὂν οὐ κινεῖται, τὸ γινόμενον οὐ κινεῖται, οὐδὲ ἡ γένεσις ἂν εἴη κίνησις. Simpl. f. 193 b. 225 a 27.

ὁ Ἀσπάσιος οὕτως... τὸ γινόμενον οὐ κινεῖται. ὁ δὲ Θεμίστιος οὕτως· γίνεται γὰρ τὸ μὴ ὄν, τὸ δὲ γινόμενον ἐνεργείᾳ οὐκ ἔστι, τὸ

μιστοῦ καὶ ἐξῃρημένου καὶ ἐν αἰτίας λόγῳ προεστηκότος χρόνου· ἐν δὲ τοῖς νεωτέροις Πλωτῖνος φαίνεται πρῶτος τὸν πρῶτον ἐπιζητήσας χρόνον. id. f. 183 *b* et 187.

224 a 21. Ἐν τῷ τρίτῳ βιβλίῳ ταύτης τῆς πραγματείας περὶ κινήσεως διδάξας τῆς κοινῶς λεγομένης, ἥτις ταὐτόν ἐστι τῇ μεταβολῇ, καὶ ἀδιαφόρως ἐπ' ἐκείνου τῷ τῆς μεταβολῆς καὶ κινήσεως ὀνόματι χρησάμενος, βούλεται νῦν διορίσαι καὶ δεῖξαι ὅτι κοινοτέρα μὲν καὶ καθολικωτέρα τῆς κινήσεως ἡ μεταβολή ἐστιν, ἡ δὲ κίνησις μερικωτέρα τῆς μεταβολῆς ἐστίν... καὶ ἔστιν οὗτος ὁ λόγος ἠρτημένος εἰκότως τοῦ κοινοῦ περὶ τῆς μεταβολῆς λόγου καὶ συνεχὴς πρὸς αὐτόν, κἂν μεταξὺ τὰ περὶ ἀπείρου καὶ τόπου καὶ κενοῦ καὶ χρόνου παρενεβλήθη. διὸ τὸ πέμπτον τοῦτο βιβλίον τοῖς περὶ Ἀρχῶν Φυσικῶν λεγομένοις ὁ Ἀριστοτέλης καὶ οἱ Ἀριστοτέλους ἑταῖροι συναριθμοῦσιν, ὥσπερ τὰ ἐφεξῆς τρία περὶ Κινήσεως καλεῖν εἰώθασι... θαυμάζω δὲ τὸν φιλοσοφώτατον Πορφύριον πῶς ἐν τῇ συνόψει τούτου τοῦ βιβλίου, καίτοι φιλοκάλως περὶ τῆς διαιρέσεως τῶν ὀκτὼ βιβλίων ἱστορῶν, ὅτι πάντες μὲν τὰ πέντε Φυσικὰ καλοῦσι τὰ δὲ τρία περὶ Κινήσεως, αὐτὸς ὅμως τὰ ἀπὸ τοῦ πέμπτου ἄχρι τοῦ ὀγδόου βιβλίου ἐφεξῆς τέσσαρα περὶ κινήσεως ἔχειν τὴν πραγματείαν αὐτῇ λέξει φησί, καὶ ἰδίᾳ περὶ κινήσεως ἐπιγράφεσθαι. Simpl. f. 190. cod. Pal. 237.

224 a 27. καθ' αὑτὰ δὲ ἐκεῖνα μόνα κινεῖται ἃ μήτε κατὰ συμβεβηκὸς μήτε κατὰ μόριον μεταβάλλει, ὡς ὁ ἵππος τρέχει, καὶ ἅπτεται τὸ ἱμάτιον, καὶ θερμαίνεται ὅλον τὸ ξύλον, καὶ ὁ ὀφθαλμὸς ὑγιάζεται· οὐ γὰρ πάντα πᾶσαν κίνησιν καθ' αὑτὸ κινητά, ἀλλὰ τὰ μὲν μεταβαίνει μόνον, ὡς τὰ οὐράνια, τὰ δὲ ἀλλοιοῦται μόνον, ὡς θώραξ, ὡς ὀφθαλμός. Themist. f. 49.

224 a 28. ἀντετίθει τῷ μὲν κατὰ συμβεβηκὸς τὸ καθ' αὑτό, τῷ δὲ κατὰ μέρος τὸ πρώτως, ὥς φησιν Ἀλέξανδρος. ἢ τάχα ἀμφοτέροις ἑκάτερον· καὶ τὸ καθ' αὑτὸ γὰρ πρός τε τὸ κατὰ συμβεβηκὸς ἀντίκειται καὶ πρὸς τὸ κατὰ μέρος, διότι ἐκεῖνο οὐ καθ' ὅλον ἑαυτό· καὶ τὸ πρώτως πάλιν ὁμοίως οὐ τῷ κατὰ μόριον μόνον ἀλλὰ καὶ τῷ κατὰ συμβεβηκός, διότι ἐκεῖνο οὐ πρώτως κινεῖ, ἀλλὰ τῷ τῷ πρώτως κινοῦντι συμβεβηκέναι. ὅτι δὲ ἄμφω ἐφ' ἑκατέρου παρέλαβε, δηλοῖ καὶ αὐτὸς ἐφεξῆς τὸ πρῶτον ἀντὶ ἀμφοτέρων εἰπών, ὅταν λέγῃ "ἐπεὶ δὲ ἔστι μέν τι τὸ κινοῦν πρῶτον, ἔστι δέ τι τὸ κινούμενον." ὁ δὲ Ἀλέξανδρος τὸ πρῶτον ἐκεῖνο τοῦ καθ' αὑτὸ δηλωτικὸν εἶναι φησίν. Simpl. f. 190 *b*.

224 a 34. πρὸ τοῦ τὰ εἴδη τῆς μεταβολῆς παραδοῦναι καὶ τῆς κινήσεως, πρῶτον δείκνυσιν ἐν τίνι ἐστὶν ἡ κίνησις... πρὸ δὲ τούτου τίνα ἐστὶ τὰ συνεδρεύοντα τῇ κινήσει, τουτέστι τίνα χρὴ πάντως εἶναι, εἰ ἔστι κίνησις καὶ μεταβολή, ὥστε ἐκ τούτων τινὶ ζητεῖν μὲν τὴν κίνησιν. καὶ αὐτὸς μὲν ὡς ἐναργῆ ταῦτα λαμβάνει, διὸ καὶ τῷ παρασυναπτικῷ χρῆται συνδέσμῳ... θεὶς δὲ καὶ ὀνόματα τῷ μὲν κινουμένῳ τὸ ὅ, τῷ δὲ ἐξ οὗ κινεῖται τὸ ἐξ οὗ, τῷ δὲ εἰς ὃ κινεῖται τὸ εἰς ὅ, καὶ εἰπὼν ἕτερα εἶναι τὸ ἐξ οὗ καὶ εἰς ὃ αὐτοῦ τοῦ κινουμένου, ὥσπερ τοῦ ξύλου τό τε ψυχρὸν ἐξ οὗ κινεῖται καὶ τὸ θερμὸν εἰς ὃ κινεῖται, δείκνυσιν ἐκ τῶν διαφόρων ὀνομάτων τὴν ἑτερότητα. εἰπὼν δὲ ἕτερον εἶναι τὸ κινούμενον, προσέθηκε τὸ πρῶτον, τὸ καθ' αὑτὸ κινούμενον δηλῶν... διορίσας δὲ ταῦτα ἀπ' ἀλλήλων ἐπάγει "ἡ δὲ κίνησις δῆλον ὅτι ἐν τῷ ξύλῳ," τουτέστιν ἐν τῷ κινουμένῳ. καὶ εἴτε οὕτω γέγραπται "ἡ δὲ κίνησις," εἴτε οὕτως "ἡ δὴ κίνησις," ἀμφότερα οἶμαι τούτῳ ἀκολούθως ἐπάγεται τῷ "ἐπεὶ δὲ ἔστι μέν τι τὸ κινοῦν" καὶ τοῖς ἑξῆς... ὁ δὲ Ἀλέξανδρος, εἰ μὲν "ἡ δὴ κίνησις" εἴη γεγραμμένον, ἐπειδὴ δὴ τοῦτο τοῖς προτέροις ὡς εἴρηται φησίν· εἰ δὲ γράφοιτο "ἡ δὲ κίνησις," διὰ τοῦ πέμπτου εἰπὼν φησι τίνα δεῖ εἶναι εἰ κίνησις ἔσται, ὅτι κινοῦν, κινούμενον, χρόνον, τόπον καὶ ἐξ οὗ καὶ εἰς ὅ, καὶ ὅτι ἕτερα καὶ κεχωρισμένα τὸ κινοῦν τὸ κινούμενον καὶ τὸ εἰς ὅ, προστίθησι περὶ αὐτῆς τῆς κινήσεως, καὶ λέγει ὅτι αὕτη πρὸς ἣν χρεία τῶν εἰρημένων, ἐν τῷ κινουμένῳ ἐστίν... καλῶς γε οἶμαι ὁ Στράτων τὴν κίνησιν οὐ μόνον ἐν τῷ κινουμένῳ φησὶν εἶναι, ἀλλὰ καὶ ἐν τῷ ἐξ οὗ καὶ ἐν τῷ εἰς ὅ, ἄλλον δὲ τρόπον ἐν ἑκάστῳ. τὸ μὲν γὰρ ὑποκείμενον, φησί, κινεῖται ὡς μεταβάλλον, τὸ δὲ ἐξ οὗ καὶ τὸ εἰς ὃ τὸ μὲν ὡς φθειρόμενον τὸ δὲ ὡς γινόμενον. εἰ δέ τινα τῶν εἰδῶν κινεῖν λέγεται, ὥσπερ ἡ ψυχὴ τὸ ζῷον καὶ ἡ βαρύτης τὸν λίθον, οὐχὶ τὸ αἴτιον τῆς κινήσεως ζητεῖ νῦν, οἷα ἐστὶν ἡ βαρύτης καὶ ἡ ψυχή, ἀλλ' ἐν τίνι ἐστὶν ἡ κίνησις· οὐ κινεῖται δὲ ἡ βαρύτης προηγουμένως ἀλλὰ κατὰ συμβεβηκός, ὡς ὁ ἐν τῇ νηῒ πλωτήρ. ἐξαρκεῖ δὲ καὶ ὁ τῆς κινήσεως ὁρισμὸς δεῖξαι ὅτι ἐν τῷ κινουμένῳ, οὐκ ἐν ἄλλῳ τινί ἐστιν ἡ κίνησις· ἐλέγετο γὰρ ἐντελέχεια τοῦ κινητοῦ ἡ κίνησις. id. ib.

πέντε δὴ τούτων περὶ τὰ καθ' αὑτὰ κινούμενα θεωρουμένων, 224 b 4.
τοῦ κινοῦντος, τοῦ κινουμένου, τοῦ χρόνου ἐν ᾧ ἡ κίνησις, ἐξ οὗ μεταβάλλει, εἰς ὅ, ἐν τίνι τούτων ἡ κίνησις; ὅτι μὲν οὖν οὐκ ἐν τῷ κινοῦντι, προαπεδείξαμεν, καὶ ὅτι μηδὲ ἐν τῷ χρόνῳ. ἀλλ' οὐδ' ἐξ οὗ γίνεται ἡ μεταβολή, οἷον ὅταν ἐκ λευκοῦ μελαίνηται· οὐδὲ γὰρ ὀνομάζεται ἡ κίνησις ἐξ ἐκείνου, ἀλλ' ἐκ θατέρου μᾶλλον, εἰς ὃ πρόεισι καὶ μεταβάλλει· οὕτω γὰρ μελαίνεσθαι λέγεται, ὅτι εἰς μέλαν μεταβάλλει, καὶ οὐ λευκαίνεσθαι, καίτοι ἐκ λευκοῦ. διὰ τοῦτο γὰρ καὶ ἡ φθορὰ οὕτως ὀνομάζεται, ὅτι εἰς τὸ μὴ ὄν, καίτοι ἐξ ὄντος, καὶ ἡ γένεσις, εἰς ὄν, καίτοι ἐκ μὴ ὄντος. λείπεται τοίνυν ἐπιζητεῖν ἐν ποτέρῳ τοῖν δυοῖν ἡ κίνησις, εἴτε ἐν τῷ κινουμένῳ καθ' αὑτό, εἴτε ἐν τοῖς εἴδεσι καὶ τοῖς πάθεσιν εἰς ἃ γίνεται ἡ μεταβολή. ἱκανῶς μὲν οὖν καὶ πρότερον ἐπεδείξαμεν ὡς ἡ κίνησις ἐν μόνῳ τῷ κινουμένῳ, ἐξήρκει δὲ καὶ τοῦ ὁρισμοῦ τῆς κινήσεως ὑπομνήσαντας ἀπηλλάχθαι. Themist. f. 49.

δείξας ὅτι πέντε ὄντων τῶν ὀφειλόντων εἶναι, εἴπερ εἴη κίνη- 224 b 6.
σις, τοῦ κινουμένου καὶ τοῦ κινοῦντος καὶ τοῦ χρόνου καὶ τοῦ ἐξ οὗ ἡ κίνησις καὶ εἰς ὅ, ἐν τῷ κινουμένῳ ἐστὶν ἡ κίνησις καὶ ἐν οὐδενὶ τῶν ἄλλων, ἐκ τῶν πέντε τρία λαμβάνει τὰ χρήσιμα πρὸς τὸν ἐφεξῆς αὐτῷ λόγον ἐσόμενα, τὸ κινοῦν καὶ τὸ κινούμενον καὶ τὸ εἰς ὃ ἡ κίνησις, τὸν μὲν χρόνον παραλιπὼν ἔξωθεν ὄντα. διὰ τί δὲ τὸ εἰς ὃ ἡ κίνησις παραλαβὼν τὸ ἐξ οὗ παραλέλοιπεν, αὐτὸς διδάσκει... ὑπομιμνήσκει δὲ ἡμᾶς τοῦ ὁρισμοῦ τῆς κινήσεως τοῦ ἐν τῷ τρίτῳ βιβλίῳ ἀποδοθέντος, δεικνύων καὶ δι' ἐκείνου ὅτι ἡ κίνησις ἐν τῷ κινουμένῳ ἐστίν. εἰ γάρ ἐστιν ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητόν, ἡ δὲ ἐντελέχεια εἶδος οὖσα ἢ ἐνέργεια ἐν ἐκείνῳ ἐστὶν οὗ ἐστὶν ἐντελέχεια, δηλονότι ἡ κίνησις ἐν τῷ κινουμένῳ ἐστίν, ἀλλ' οὔτε ἐν τῷ εἴδει, εἴπερ εἰς εἶδος ἡ μετα-

ματι, ἐφ' οὗ ἡ κίνησις, εἶθ' οὕτως ἐν τῇ κινήσει καὶ τῷ χρόνῳ, πῶς ἐπὶ τῆς αὐξήσεώς τε καὶ ἀλλοιώσεως τὸ πρότερον καὶ ὕστερον; Simpl. f. 180 *b*.

ἃ δ' ἄν τις ἀπορήσειε πρὸς τὰ εἰρημένα, εἰς κοινὸν προκείσθω σκοπεῖν. Themist. f. 48 *b*.

223b 3. λύων τὴν ἀπορίαν οὐχ οὕτως ἔχειν φησίν· οὐ γὰρ πλείους ἅμα χρόνοι γίνονται, ἀλλ' ὁ ἴσος χρόνος πᾶς ἐν τῷ ἐνεστῶτι ὁ αὐτὸς εἷς ἅμα ἐστὶ τῷ ἀριθμῷ, εἴδει δὲ οἱ αὐτοί εἰσι καὶ οἱ μὴ ἅμα, τουτέστιν ὁ παρεληλυθὼς τῷ μέλλοντι. τοῦτο δὲ εἰπὼν ὅπως πλειόνων οὐσῶν κινήσεων εἷς ὁ χρόνος ἐστί, καίτοι ἀριθμὸς ὢν κινήσεως, διδάσκει· ὡς γὰρ ἐπὶ τοῦ μοναδικοῦ ἀριθμοῦ οὐ τῇ τῶν ἀριθμουμένων διαφορᾷ ὁ ἀριθμὸς συνδιαιρεῖται,.. οὕτως οὐδὲ ἐπὶ τῶν κινήσεων καὶ τοῦ χρόνου ἀριθμοῦ ὄντος... ἐπεὶ μὴ καθὸ διαφέρουσιν, ἀριθμός ἐστιν αὐτῶν ὁ χρόνος, ἀλλὰ κατὰ τὸ ἐν αὐταῖς πρότερον καὶ ὕστερον, ὃ ἔχουσιν ἀδιάφορον. ὁ γὰρ τούτων ἀριθμὸς ἀδιάφορος, ὁ δὲ ἀριθμός, φησὶν Ἀλέξανδρος, οὐκ ἔστι τῶν ἐνυπαρχόντων τῷ ἀριθμητῷ· ὥστε οὐδ' ὁ χρόνος ἀριθμὸς ὢν οὕτως ἐν κινήσει... καὶ ταῦτα δὲ προστέθηκεν ὁ Ἀλέξανδρος δηλῶν ὅτι μὴ οὕτως ἐν τῇ κινήσει ὁ χρόνος, ὡς ὁ συνδιαιρούμενος αὐτῇ ἀριθμός, τὸ εἶναι ἔχει ἐν τῷ ἀριθμεῖσθαι... τοῖς δὲ ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθεῖσι προσαπορεῖ καλῶς ὁ Θεμίστιος... εἰ γὰρ κοινῶς, φησί, πάσης κινήσεως ἀριθμός ἐστιν ὁ χρόνος, φαίνεται οὐ παρὰ τῆς κινήσεως τὸ εἶναι ἔχον· εἰ γὰρ μὴ παρὰ τῆσδε ἢ τῆσδε, οὐδὲ παρὰ κινήσεως ὅλως... εἰ δὲ μὴ πλείω ἀλλ' ἓν καὶ ταὐτόν, ἐξῃρημένον ἔσται καὶ οὐδὲν τῆς κινήσεως ὁ χρόνος... τοῦτο δὲ ἐπὶ τοῦ χρόνου πῶς εὔλογον, ἔννοιαν μόνον εἶναι τῆς ἡμετέρας ψυχῆς τὸν χρόνον, φύσιν δὲ οἰκείαν μὴ ἔχειν, ὥσπερ ἔοικε δώσειν Ἀριστοτέλης ὅταν συγχωρῇ μὴ οὔσης ψυχῆς μηδὲ τὸν χρόνον ὑπάρχειν, ἐπεὶ καὶ τὸ μέτρον καὶ τὸ ἀριθμὸν λέγειν τὸν χρόνον τοιαύτην ἐστὶν ὑπόνοιαν ἐνδιδόντος, ὥσπερ καὶ Βοηθός φησιν ὅτι οὐδὲν μέτρον ὑπὸ τῆς φύσεως γίνεται, ἀλλ' ἡμέτερον ἔργον ἐστὶ τὸ μετρεῖν καὶ ἀριθμεῖν. τοιαῦτα καὶ τοῦ Θεμιστίου γράφοντος τὰ μὲν ἄλλα καλῶς ἀντιδιατετάχθαι νομίζω,.. τὸ μέντοι λέγειν ὅτι ἡ κοινότης τῶν ἐν μεθέξει ἀριθμῶν τῆς ἡμετέρας ἐπινοίας ἐστί, Περιπατητικῶν μὲν εἶναι δοκεῖ, δεῖται δέ, ὡς οἶμαι, διορισμοῦ τινός. Simpl. f. 181. cf. Themist. f. 48 *b*.

223b 16. ἀριθμὸν τῆς κυκλοφορίας ὁ Ἀλέξανδρος τὸν χρόνον ἤκουσε τὴν πρώτην ὡς γνωριμώτατον τῶν χρόνων· ἡμέραι γὰρ καὶ νύκτες ὁ τῆς κυκλοφορίας ἀριθμός, ὃς γνωριμώτατός ἐστι τῶν χρόνων. ἢ τὸν τῆς ὁμαλοῦς, φησί, κινήσεως ἀριθμὸν γνωριμώτατον εἶπε, διότι ἴσον ἐπὶ ταύτης τὸ ἀριθμοῦν καὶ τὸ ἐν τῷ ἀριθμεῖσθαι αὐτῷ τὸ εἶναι ἔχον, ὅπερ ἐστὶν ὁ χρόνος, καὶ οὐκ ἔστιν ἐπ' αὐτῆς λαβεῖν τὴν μὲν θάττονα τὴν δὲ βραδυτέραν, ὧν ἂν ὦσι χρόνοι... ἀπορήσοι δ' ἄν τις, ὅπερ καὶ Πλωτῖνος ἠπορηκέναι δοκεῖ· εἰ μὲν γὰρ τῆς ὁμαλοῦς καὶ συνεχοῦς κινήσεως ἀριθμὸς ἢ μέτρον ὁ χρόνος, τί ἂν εἴη μέτρον τῆς ἀνωμάλου καὶ ἀτάκτου κινήσεως;... εἰδέναι δὲ χρὴ ὅτι ὁ μὲν Ἀλέξανδρος γράψας "τοῦτο δ' ἐστὶν ὅτι τῆς ὡρισμένης κινήσεως χρόνῳ," ἀντὶ τοῦ "ὑπὸ τῆς ὡρισμένης κινήσεως" ὑπὸ χρόνου εἰρῆσθαι φησίν. τινὰ δὲ τῶν ἀντιγράφων "ὑπὸ τῆς ὡρισμένης κινήσεως" ἔχει τὴν γραφήν, ἐπὶ τὸ σαφέστερον ἴσως τινῶν προσθέντων τὴν πρόθεσιν. Simpl. f. 182.

δύο αἰτίας φησὶν εἶναι ἐξ ὧν δείκνυται ἡ τῆς ἀπλανοῦς περι- 223b 19.
φορὰ μέτρον οὖσα τῶν ἄλλων πασῶν· δεῖ γὰρ τὸ μέτρον καὶ ἐλάχιστον εἶναι καὶ γνωριμώτατον. Philop. υ p. 4.

τὸ μὲν λεγόμενον τοῦτό ἐστιν ὅπερ καὶ πρότερον εἴρηται, ὅτι ὥσπερ 224a 2.
ἀριθμὸς ὁ αὐτός ἐστι τῶν ἴσων καὶ διαφερόντων ἀριθμῶν, οἷον ἑπτὰ ἵππων καὶ ἑπτὰ κυνῶν ἡ ἑβδομάς, οὕτω καὶ ὁ χρόνος ἀριθμὸς καὶ αὐτὸς ὢν εἷς καὶ ὁ αὐτός ἐστι τῶν διαφερουσῶν καὶ ἅμα οὐσῶν κινήσεων. τέθεικε δὲ αὐτὸ πάλιν οὐχ ὅτι περιττολογεῖν εἴωθεν Ἀριστοτέλης, ἀλλ' ἅμα μὲν ἀκριβέστερον ἐπιχειρεῖ περὶ αὐτοῦ διαρθρῶσαι πολλὴν ἔνστασιν ἔχοντος, ἅμα δὲ καὶ τοῦτο τοῖς ἀπὸ τῶν ἄλλων συμφωνουμένοις συνέταξε... διδάσκει δὲ ἡμᾶς, φησὶν ὁ Ἀλέξανδρος, διὰ τούτων, τίνι χρὴ κρίνειν τῶν ὑπό τι ταὐτὸν ὄντων τὰ διαφέροντα ἀλλήλων καὶ τὰ ταὐτά· ὅσα μὲν γὰρ μὴ διαφέρει οἰκείᾳ διαφορᾷ τούτου καθὸ λέγεται τάδε τινά, ταῦτα τὰ αὐτά ἐστιν ἀλλήλοις κατὰ τοῦτο... ἐν δὴ τούτοις ἐπιστῆσαι χρὴ πρῶτον μὲν τίνι διαφέρει ὁ κανὼν οὗτος τῆς ταὐτότητος καὶ ἑτερότητος τοῦ συνήθως λεγομένου τοῦ τῷ γένει ἢ εἴδει ἢ ἀριθμῷ τὰ ταὐτὰ καὶ ἕτερα διακρίνοντος, ἤτοι ἓν καὶ πολλά... ἐκεῖ μὲν ἡ ταὐτότης καὶ ἑτερότης κατὰ τὸ γένος ἦν καὶ τὸ εἶδος, ἐνταῦθα δὲ κατὰ τὰς διαφοράς. μή ποτε δὲ καὶ κατὰ τὸ εἶδος εὐθύς· αἱ γὰρ ἕτεραι διαφοραὶ μετὰ τοῦ αὐτοῦ γένους ἕτερα καὶ τὰ εἴδη ποιοῦσιν. ἐκ δὴ τῶν εἰρημένων, οἶμαι, φανερὸν γέγονεν ὅπως ὁ Ἀριστοτέλης τὸ νῦν τὸ κατὰ τὸν ἐνεστῶτα, κἂν διάφορα ᾖ τὰ ἐν αὐτῷ, τὸ αὐτό φησιν εἶναι ὡς μὴ διαφέρον ταῖς τοῦ νῦν διαφοραῖς. Simpl. f. 182 *b*.

ἐπειδὴ δὲ οὐ τοῦτο πρόκειται μόνον τέλος ἡμῖν τῆς φιλομαθοῦς 224a 17.
γυμνασίας, τὸ τὴν Ἀριστοτέλους δόξαν ἥτις ποτέ ἐστι περὶ χρόνου μαθεῖν, ἀλλὰ μᾶλλον τί ποτέ ἐστιν ὁ χρόνος καταμαθεῖν (οὕτω γὰρ οἶμαι καὶ τῶν Ἀριστοτέλους ἐννοιῶν τῶν περὶ χρόνου ἐγγυτέρω γενησόμεθα), τοῦτο συντόμως διευκρινήσωμεν, μετὰ δὲ τοῦτο καὶ τῶν περὶ χρόνου φιλοσοφησάντων τὰς ἐννοίας ἐπισκεψώμεθα... ἔοικε καὶ Ἀρχύτας ὥσπερ καὶ Ἀριστοτέλης τὴν τῶν νῦν συνεχῆ καὶ ἀδιαίρετον ῥοὴν τίθεσθαι τὸν χρόνον, καὶ τοῦτον μάλιστα παραδιδόναι τὸν ἐν τῇ γενέσει σύστοιχον καὶ κυρίως λεγόμενον χρόνον εἰκόνα ὄντως τοῦ αἰῶνος. ὁ δέ γε Πλάτων καὶ Ἀριστοτέλης ἣν ἐχέτην περὶ χρόνου δόξαν, εἴρηται πρότερον. καὶ Θεόφραστος δὲ καὶ Εὔδημος οἱ τοῦ Ἀριστοτέλους ἑταῖροι τὰ αὐτὰ φαίνονται τῷ Ἀριστοτέλει περὶ χρόνου δοξάσαντές τε καὶ διδάξαντες. ὁ μέντοι Λαμψακηνὸς Στράτων αἰτιασάμενος τὸν ὑπ' Ἀριστοτέλους τε καὶ τῶν Ἀριστοτέλους ἑταίρων ἀποδοθέντα τοῦ χρόνου ὁρισμόν, αὐτὸς καίτοι Θεοφράστου μαθητὴς ὢν τοῦ πάντα ἀκολουθήσαντος τῷ Ἀριστοτέλει καινοτέραν ἐβάδισεν ὁδόν· ἀριθμὸν μὲν γὰρ κινήσεως εἶναι τὸν χρόνον οὐκ ἀποδέχεται, διότι ὁ μὲν ἀριθμὸς διωρισμένον ποσόν, ἡ δὲ κίνησις καὶ ὁ χρόνος συνεχής, τὸ δὲ συνεχὲς οὐκ ἀριθμητόν... καὶ ἄλλα δὲ πολλὰ ἀντειπὼν πρὸς τὴν Ἀριστοτέλους ἀπόδοσιν ὁ Στράτων αὐτὸς τὸν χρόνον τὸ ἐν ταῖς πράξεσι ποσὸν εἶναι τίθεται... καὶ πάντες οἱ εἰρημένοι περὶ τὸν φυσικὸν χρόνον διέτριψαν, κἂν ἐνεδείξαντό τινες αὐτῶν περὶ τοῦ χω-

τάχα μὲν καὶ ἐπὶ τοῦ μέλλοντος λέγοιτο τὸ ἄρτι, ἡ δὲ πολλὴ συνήθεια ἐπὶ τοῦ παρεληλυθότος αὐτῷ προσκέχρηται. Simpl. f. 178.

222b 15. τὸ ἐξαίφνης λέγεται μὲν καὶ ἐπὶ τῶν ἀπροσδοκήτως γινομένων, λέγεται δὲ μάλιστα ἐπὶ τῶν ἐν ὀλίγῳ χρόνῳ καὶ διὰ σμικρότητα σχεδὸν ἀναισθήτως ἐξισταμένων. Themist. f. 47 *b*.

ζητεῖ ὁ Ἀλέξανδρος πῶς ἀναίσθητον τὸν χρόνον λέγει διὰ μικρότητα, καίτοι ἐν τοῖς περὶ Αἰσθήσεως καὶ Αἰσθητῶν (c. 6 et 7) μηδένα χρόνον βουλόμενος ἀναίσθητον εἶναι τῇ ἑαυτοῦ φύσει. μήποτε οὖν, φησίν, ἐπειδὴ ὁ αἰσθητὸς καὶ ἀναίσθητος χρόνος τῷ αἰσθητῷ καὶ μὴ αἰσθητῷ πάθει κρίνεται, ὅταν τινὸς γενομένου ἀντίληψιν μὴ δυνηθῶμεν ἔχειν διὰ ταχύτητα μὲν τῆς ἐκείνου κινήσεως ὀλιγότητα δὲ τοῦ χρόνου ἐν ᾧ ἐγένετο ἢ ἐκινήθη, τότε ἐπ' ἐκείνου ἀναίσθητος ὁ χρόνος εἴη ἂν οὕτως, οὐχ ἁπλῶς ἀναίσθητος... ἔν τισι δὲ τῶν ἀντιγράφων "διὰ σμικρότητα" γέγραπται, καὶ σημαίνει ἂν κινηθέν. Simpl. f. 178. ζητεῖ ὁ Ἀλ... ἀναίσθητος. cod. Pal. 237.

222b 18. εἰκότως οἱ μὲν σοφώτατον οἱ δὲ ἀμαθέστατον λέγουσιν εἶναι τὸν χρόνον· Σιμωνίδης μὲν γὰρ σοφώτατον, ὅτι γίνονται ἐπιστήμονες ὑπὸ χρόνου, Πάρων δὲ ὁ Πυθαγόρειος ἀμαθέστατον, ὅτι ἐπιλανθάνονται ὑπὸ χρόνου. οὗτος δ' ἔοικεν εἶναι οὗ καὶ Εὔδημος ἀνωνύμως ἐμνήσθη, λέγων ἐν Ὀλυμπίᾳ Σιμωνίδου τὸν χρόνον ἐπαινοῦντος ὡς σοφώτατον, εἴπερ ἐν αὐτῷ αἱ μαθήσεις γίνονται καὶ αἱ ἀναμνήσεις, παρόντα τινὰ τῶν σοφῶν εἰπεῖν, τί δὲ ὦ Σιμωνίδη; οὐκ ἐπὶ λανθανόμεθα μέντοι ἐν τῷ χρόνῳ; καὶ μήποτε καὶ παρὰ Ἀριστοτέλει ἐν τῷ "ὁ δὲ Πυθαγόρειος παρων" τὸ παρων οὐκ εἶναι ὄνομα κύριον ἀλλὰ μετοχήν. Simpl. f. 178 *b*. ὑπὸ χρόνου. οὗτος δ' ἐνίκα οὗ καὶ Εὐδ. cod. Pal. 237.

Σιμωνίδης μὲν γὰρ σοφώτατον (λέγει εἶναι τὸν χρόνον), ὅτι γίνονται ἐπιστήμονες ὑπὸ χρόνου, Παρῶν δὲ ἀμαθέστατον, ὅτι καὶ ἐπιλανθάνονται ὑπὸ χρόνου. Themist. f. 47 *b*.

Πάρων δέ φησιν ὁ Πυθαγόρειος κτλ. Philop. *ε* p. 13.

222b 30. εἰπὼν πρὸ ὀλίγου ὅτι πάντα ἐν χρόνῳ καὶ γίνεται καὶ φθείρεται, νῦν τοῦτο δεῖξαι προτίθεται καθολικωτέραν ποιούμενος τὴν ἀπόδειξιν, ὅτι πᾶσα μεταβολὴ καὶ πᾶσα κίνησις ἐν χρόνῳ γίνεται. Simpl. f. 179.

223a 6. τὸ γὰρ νῦν ὅρος τοῦ παρελθόντος καὶ τοῦ μέλλοντος. id. ib. et Themist. f. 48.

223a 18. λέγει πάθος τῆς κινήσεως τὸν χρόνον ὡς συμβεβηκός, ὡς τῶν ἀριθμητῶν ὁ ἀριθμὸς πάθος, ἕξιν δὲ διότι ἔχεται ὑπὸ τῆς κινήσεως. ἀλλ' εἰ δυνάμει κινούμενον τὸ ἠρεμοῦν λέγεται νῦν, ὡς ὁ Ἀλέξανδρος ἤκουσεν, ἐν ᾧ δὲ δυνάμει ἡ κίνησις ἐν τούτῳ δυνάμει καὶ ὁ χρόνος, δηλονότι ἐν τῷ ἠρεμοῦντι δυνάμει ἂν εἴη ὁ χρόνος· καίτοι οὐ μόνον τὰ κινούμενα ἀλλὰ καὶ τὰ ἠρεμοῦντα ἐν χρόνῳ εἶναι ἐλέγετο κατ' ἐνέργειαν... μή ποτε οὖν πρὸς τὸν χρόνον οὐ τὰ ἠρεμοῦντα δυνάμει κινούμενα ἀκουστέον, ἀλλὰ τὰ μήπω μὲν παρελθόντα εἰς γένεσιν, δυνάμενα δὲ γενέσθαι... ἱστορεῖ δὲ καὶ ἄλλην γραφὴν ὁ Ἀλέξανδρος διὰ τὴν εἰρημένην ἴσως ἀπορίαν μεταπλασθεῖσαν οὕτω "ὁ δὲ τόπος καὶ ἡ κίνησις ἅμα κατά τε δύναμιν καὶ ἐνέργειαν," εἰς πίστιν τοῦ κινητὰ εἶναι τὰ εἰρημένα, γῆν θάλατταν οὐρανόν, προσθέντος αὐτοῦ τὸ νῦν εἰρημένον, ὡς τῶν μὲν ἐνεργείᾳ ὄντων ἐν τόπῳ ἐνεργείᾳ καὶ καθ' αὑτὸ κινουμένων, τῶν δὲ δυνάμει ἐν τόπῳ, ὥσπερ τὰ μέρη τοῦ ὅλου ἔχει, τούτων καὶ κινητῶν δυνάμει ὄντων. Simpl. f. 179 *b*.

ἐνίσταται πρὸς τὸν λόγον τοῦτον ὁ Βοηθὸς λέγων μηδὲν κωλύειν 223a 21. τὸ ἀριθμητὸν εἶναι καὶ δίχα τοῦ ἀριθμοῦντος, ὥσπερ καὶ τὸ αἰσθητὸν δίχα τοῦ αἰσθανομένου. ὁ δὲ Ἀλέξανδρος καὶ τὴν ἔνστασιν διὰ πλειόνων τέθεικε καὶ τὴν λύσιν ἐπήγαγεν, ἀκολουθῶν τῷ Ἀριστοτέλει... λύων δὴ τὴν ἀπορίαν φησίν, ἢ οὐκ ἀριθμητὸν ἔσται, ἀλλὰ τὸ μὲν ᾧ συμβέβηκεν ἀριθμητῷ γίνεσθαι ἔσται, οἷον ἵπποι ἢ ἄνθρωποι... ταύτην δὲ τὴν λύσιν συντόμως ὁ Ἀριστοτέλης παραδέδωκε διὰ τοῦ "ἀλλ' ἢ τοῦτο ὅ ποτέ ἐστιν ὁ χρόνος·" τὸ γὰρ ὑποκείμενον τῷ χρόνῳ ἤτοι τῷ ἀριθμητῷ οὐδὲν κωλύει εἶναι καὶ μὴ οὔσης ψυχῆς, εἰ ὅλως οἷόν τε κίνησιν χωρὶς ψυχῆς εἶναι, χρόνος δὲ οὐκ ἔσται... πάνυ δὲ ἀκριβῶς προσέθηκε τὸ "εἰ ἐνδέχεται κίνησιν εἶναι ἄνευ ψυχῆς·" ὅσον μὲν γὰρ ἐπὶ τῇ κατὰ τὰ πρός τι ἀντιθέσει καὶ ἀναιρεθείσης τῷ λόγῳ τῆς ψυχῆς, κἂν μὴ χρόνον ἀλλὰ κίνησίν γε οὐδὲν κωλύει εἶναι. εἰ μέντοι μὴ δύναται κίνησις ἄνευ ψυχῆς εἶναι, οὐ μόνον ὁ χρόνος ἀλλὰ καὶ ἡ κίνησις ἀναιρεθήσεται ψυχῆς μὴ οὔσης· εἰ γὰρ ἡ κυκλοφορία, ἐξ ἧς καὶ αἱ ἄλλαι κινήσεις καὶ μεταβολαὶ τὸ εἶναι ἔχουσιν, ὑπὸ νοῦ καὶ κατ' ὄρεξίν ἐστίν, ὡς ὁμολογεῖ καὶ Ἀλέξανδρος, ἀναιρουμένης ψυχῆς ἀναιροῖτο ἂν πᾶσα κίνησις... καὶ ὅρα πῶς κἀνταῦθα ὁ Ἀριστοτέλης σύμφωνα γέγραφε τῷ σφετέρῳ καθηγεμόνι, εἰπὼν "εἰ ἐνδέχεται κίνησιν εἶναι ἄνευ ψυχῆς," τουτέστιν ἄνευ τοῦ κινοῦντος, ἐκείνῳ λέγοντι ὅτι τοῖς ἄλλοις ὅσα κινεῖται πηγὴ καὶ ἀρχὴ κινήσεώς ἐστιν ἡ ψυχή, καὶ ὅτι ἐξ ἀρχῆς ταύτης πᾶν τὸ γινόμενον γίνεται. id. f. 180.

καίτοι, φησί γε ὁ Βοηθός, οὐδὲν κωλύει τὸν ἀριθμὸν εἶναι καὶ δίχα τοῦ ἀριθμοῦντος, ὥσπερ οἶμαι τὸ αἰσθητὸν καὶ δίχα τοῦ αἰσθανομένου. σφάλλεται δέ· ἅμα γὰρ τὰ πρός τι, καὶ τὰ δυνάμει πρὸς τὰ δυνάμει, ὥστε εἰ μὴ καὶ ἀριθμητικόν, οὐδὲ τὸ ἀριθμητόν... μᾶλλον δὲ οὐδὲ κίνησιν εἶναι δυνατὸν ἄνευ ψυχῆς· ἀρχὴ μὲν γὰρ πάσης κινήσεως ἡ κυκλοφορία· ὑπὸ γὰρ ταύτης ἀλλοιοῦται τὰ πάθη τὰ σωματικά, καὶ αὔξει καὶ φθίνει, αὕτη δὲ ὑπὸ νοῦ καὶ κατ' ὄρεξιν. καὶ τῶν ζῴων δὲ ἡ κίνησις ψυχῆς ἔργον ἐστίν. Themist. f. 48.

ἐπειδὴ εἶπεν ὅτι ἀδύνατον χρόνον εἶναι ψυχῆς μὴ οὔσης "ἀλλ' 223a 28. ἢ τοῦτο ὅ ποτε ὂν ἐστιν ὁ χρόνος," τουτέστι τὸ ὑποκείμενον τῷ χρόνῳ (τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ ὅ ποτε ὄν), ὑπόκειται δὲ τῷ χρόνῳ ἡ κίνησις, τοῦτο αὐτὸ πάλιν καὶ ἐνταῦθα ἠβουλήθη κατασκευάσαι ὅτι τὸ ὑποκείμενον τῷ χρόνῳ ἡ κίνησίς ἐστιν. Philop. *υ* p. 1.

οὐ γὰρ καθὸ φθορὰ ἢ ἀλλοίωσις ἤ τις ἄλλη μεταβολή ἐστι, κατὰ 223a 33. τοῦτο ἀριθμὸς αὐτῆς ἐστιν ὁ χρόνος, ἀλλὰ κινήσεως καὶ μεταβολῆς καθὸ τοιαύτη, ὃ κοινόν ἐστι πάσαις ταῖς εἰρημέναις κινήσεσι... καλῶς δὲ εἰπὼν ὅτι κινήσεώς ἐστιν ἀριθμὸς ὁ χρόνος τὸ "συνεχοῦς" προσέθηκεν ἀλλ' οὐ τινός· καθὸ γὰρ συνεχὴς ἡ κίνησις, κατὰ τοῦτο ἔχει τὸ πρότερόν τε καὶ ὕστερον τὸ κατὰ χρόνον ἀριθμούμενον· εἰ γὰρ διῃρημένη ληφθείη, οὐχ ὑπὸ χρόνου ἀλλ' ὑπὸ ἀριθμοῦ μετρεῖται... ἀποῤῥητέον οὖν καὶ πρὸς τὸν Ἀριστοτέλη ταῦτα, ἅπερ καὶ ἐγὼ πρότερον οἶμαι συντομώτερον καὶ ὁ Θεμίστιος πλατύτερον ἀπορεῖ· εἰ γὰρ τὸ πρότερόν τε καὶ ὕστερον πρῶτόν ἐστιν ἐν τῷ μεγέθει τε καὶ τῷ διαστή-

ἀλλὰ συμπάρεισιν καὶ συνετεροῦται τῷ χρόνῳ. μᾶλλον δὲ ὁ χρόνος ταύτῃ, καὶ δεῖται ἀλλήλων πρὸς τὴν ὕπαρξιν. ὥστε εἰ καὶ μὴ περιττεύει τῆς κινήσεως ὁ χρόνος, μηδὲ οὕτως αὐτὴν περιέχει, ἀλλ' ὅτι γε ἀλλήλοις συνήρμοσται, διὰ τοῦτό ἐστιν ἡ κίνησις ἐν τῷ χρόνῳ. ἐπειδὴ δέ ἐστιν ὁ χρόνος μέτρον κινήσεως, ἔσται καὶ ἠρεμίας μέτρον· στέρησις γὰρ ἡ ἠρεμία κινήσεως, τοῖς δὲ αὐτοῖς κρίνομεν τάς τε ἕξεις καὶ τὰς στερήσεις. Themist. f. 47.

221 b 8. ὁ μὲν Ἀλέξανδρος ἀριθμὸν τῆς ἠρεμίας τὸν χρόνον φησίν, ὅτι συμβέβηκε τῇ κινήσει ἡ στέρησις τῆς κινήσεως, ἧς καθ' αὑτὸ ἀριθμός ἐστιν ὁ χρόνος· ὁ δὲ Θεμίστιος τῷ κίνησιν ἄλλην μετρεῖν· ἡ γὰρ νὺξ μέτρον μὲν καθ' αὑτὴν τῆς τοῦ ἡλίου φορᾶς τῆς ὑπὸ γῆν, κατὰ συμβεβηκὸς δὲ καὶ τῆς τῶν ζῴων ἠρεμίας. λέγοιτο δ' ἂν τάχα καὶ ἄλλως. Simpl. f. 175 *b*.

ἰστέον ὅτι τὰ πολλὰ τῶν βιβλίων οὐκ ἔχει τὸ "κατὰ συμβεβηκός," ἀλλ' οὐδὲ ὁ Ἀλέξανδρος αὐτοῦ μέμνηται. Philop. *t* p. 9.

221 b 22. "ὁ δὲ χρόνος κινήσεως καὶ ἠρεμίας μέτρον ἐστίν," ᾧ δεῖ προσυπακοῦσαι τὸ μόνων, ὡς ἤδη δεδειγμένων. εἰ δὲ τούτων μόνων, δῆλον ὅτι ἀληθές ἐστιν ὅτι τὸ μήτε κινούμενον μήτε ἠρεμοῦν οὐ μετρεῖται ὑπὸ τοῦ χρόνου. Simpl. f. 176 *b*. cf. Philop. *t* p. 10.

221 b 23. δείκνυσι νῦν ὅτι οὔτε τὰ πάντῃ μὴ ὄντα ἐν χρόνῳ ἐστίν, οὔτε τὰ ἀϊδίως ὄντα, οὐδὲ ὅλως ὧν ὑπερβάλλει χρόνος, ἀλλ' ἐκεῖνα μόνα ὧν ἐστὶ γένεσις καὶ φθορά. Simpl. f. 176 *b*.

221 b 31. τῶν δὲ μὴ ὄντων ὅσα μὲν περιέχει ὁ χρόνος, ταῦτα ἐν χρόνῳ. περιέχει δὲ ἢ ὁ παρελθὼν ἢ ὁ μέλλων ἢ καὶ ἀμφότεροι. ἃ μὲν οὖν ὁ παρελθών, ταῦτ' ἦν, οἷον Ὅμηρος, ἃ δὲ ὁ μέλλων, ταῦτ' ἔσται, οἷον ἔκλειψις· ἃ δὲ ἄμφω, ταῦτα καὶ ἦν καὶ ἔσται, οἷον ὁ πόλεμος ὁ Περσικός. ὅσα δὲ μὴ περιέχει, ταῦτα δὲ οὔτε ἦν οὔτε ἔσται. Themist. f. 47 *b*.

222 a 10. περὶ τοῦ νῦν, καθὸ μάλιστα δοκεῖ εἶναι χρόνος, εἰπεῖν προτίθεται, τοῦ τε κυρίως καὶ τοῦ ἐν πλάτει λεγομένου. καὶ πρῶτον περὶ τοῦ κυρίως, περὶ οὗ καὶ πρότερον εἴρηκεν... ὁ Ἀλέξανδρος τὴν μὲν συνέχειαν δηλοῦσθαι νομίζει ἕως τοῦ "συνέχει γὰρ τὸν χρόνον τὸν παρελθόντα καὶ ἐσόμενον," τὰ δ' ἐντεῦθεν περὶ τῆς διαιρέσεως ἀκούει, διότι τοῦ μὲν ἀρχὴν τοῦ δὲ τελευτὴν εἶπε τὸ νῦν. οὐχ οὕτω μέντοι ὥσπερ ἐπὶ τῆς στιγμῆς ὑπομένον συνέχει· τὸ γὰρ νῦν τοῦ χρόνου ῥέοντος οὐχ ὑπομένει. διαφόρου δὲ οὔσης τῆς γραφῆς, καὶ τῆς μὲν ἐχούσης "καὶ ὅρος χρόνου," τῆς δὲ "καὶ πέρας χρόνου," ἀμφοῖν μὲν ἡ αὐτὴ ἔννοια (καὶ γὰρ προελθὼν τὸν κοινὸν ὅρον πέρας ἀμφοῖν καλεῖ καὶ ἑνότητα), οἰκειότερος δὲ ὁ ὅρος, διότι συνεχῆ λέγομεν ἐκεῖνα τὰ πρὸς κοινὸν ὅρον συνάπτοντα. καὶ ὁ Ἀλέξανδρος τὸ "διαιρεῖ δὲ δυνάμει" ἀκούει πρὸς τὸ προειρημένον, ὅτι οὐχ ὡς ἐπὶ στιγμῆς μενούσης φανερόν, ἀλλὰ δυνάμει διαιρεῖ τὸ νῦν. καὶ ἔχει λόγον οὕτως ἡ ἑρμηνεία. Simpl. f. 177.

222 a 11. καὶ γὰρ συνέχει τὸν χρόνον τὸν παρεληλυθότα καὶ τὸν ἐσόμενον· συνάπτουσι γὰρ πρὸς κοινὸν τοῦτον ὅρον ἀμφότεροι. καὶ αὖθις διαιρεῖ, καθάπερ καὶ τὸ σημεῖον τὴν γραμμήν. διαφέρει δέ, ὅτι τὸ μὲν σημεῖον ὑπομένει, τὸ δὲ νῦν οὔ, ἀλλ' ἀεὶ ἄλλο καὶ ἄλλο, καὶ τὸ μὲν ἐνεργείᾳ διαιρεῖ τὴν γραμμήν, τὸ δὲ δυνάμει τὸν χρόνον. Themist. f. 47 *b*.

222 a 14. "δυνάμει" φησὶν ἀντὶ τοῦ κατ' ἐπίνοιαν. διὰ τοῦτο καὶ ἡ διαίρεσις τοῦ χρόνου κατ' ἐπίνοιαν· οὐ γὰρ δυνάμει διαιρεῖ τὸν χρόνον τὸ νῦν, ἐπεὶ καὶ ἐνεργείᾳ διεῖλεν ἄν, νῦν δὲ εἷς καὶ συνεχής ἐστιν ὁ χρόνος, ἐπινοίᾳ μόνον τὸ διαιρετὸν ἔχων... ἔχει δὲ ἡ λέξις ἔν τισι καὶ οὕτως "ᾗ μὲν ἕν, ταύτῃ ἀεὶ μία ἡ στιγμή," τουτέστι καθὸ ἕν ἐστι τὸ σημεῖον οὐ μόνον τῷ ὑποκειμένῳ ἀλλὰ καὶ τῷ λόγῳ, ταύτῃ μία οὖσα ἡ στιγμὴ συνέχεια γίνεται τῆς γραμμῆς, τῇ νοήσει δὲ διαιρούντων ἀεὶ ἄλλη καὶ ἄλλη, τουτέστι ταύτην τὴν μίαν στιγμὴν ἄλλην καὶ ἄλλην ποιοῦμεν τῷ λόγῳ, τῇ νοήσει διαιροῦντες τὴν γραμμήν. Philop. *t* p. 12.

222 a 16. καθὸ μὲν τὴν αὐτὴν οὖσαν στιγμὴν κατὰ τὸ ὑποκείμενον λαμβάνομεν ὡς διαιροῦσαν τῷ λόγῳ καὶ τῇ νοήσει τὸ μῆκος, καὶ τοῦ μὲν πέρας τοῦ δὲ ἀρχὴν γινομένην, πλείους αὐτὴν ποιοῦμεν τῷ λόγῳ τὴν αὐτὴν οὖσαν κατὰ τὸ ὑποκείμενον (ἄλλος γὰρ λόγος τῆς ὡς πέρατος, καὶ ἄλλος τῆς ὡς ἀρχῆς λαμβανομένης)· καθόσον δὲ ὡς μίαν αὐτὴν οὐ τῷ ὑποκειμένῳ μόνον ἀλλὰ καὶ τῷ λόγῳ λαμβάνομεν ὡς συνέχουσαν τὴν γραμμήν, κατὰ δὴ τοῦτο πάντῃ μία γίνεται, τουτέστιν οὐ κατὰ τὸ ὑποκείμενον μόνον, ὅπερ καὶ τῇ διαιρούσῃ ὑπῆρχεν, ἀλλὰ καὶ κατὰ τὸν λόγον. δύναται δέ, φησὶν Ἀλέξανδρος, τὸ "τῇ νοήσει" μὴ πρὸς τὴν διαίρεσιν συντάττεσθαι, ἀλλὰ πρὸς τὸ "ἄλλη·" τῇ γὰρ νοήσει ἄλλη καὶ ἄλλη γίνεται ἡ διαιροῦσα στιγμή· οὐ γὰρ δὴ τῷ ὑποκειμένῳ. Simpl. f. 177.

καθάπερ ἐπὶ τῶν μαθηματικῶν γραμμῶν ἡ στιγμή, εἰ μὲν διαιροῦσαν αὐτὴν λαμβάνοιμεν, ἄλλη καὶ ἄλλη τῷ λόγῳ καὶ τῇ νοήσει, εἰ δὲ ὡς συνέχουσαν, μίαν καὶ τὴν αὐτήν, οὕτως δὴ καὶ τὸ νῦν τῷ μὲν ὑποκειμένῳ πάντως ἕν, τῷ λόγῳ δὲ ἓν καὶ οὐχ ἕν. Themist. f. 47 *b*.

222 a 21. ἐφεξῆς περί τε τοῦ ποτὲ ἐπιρρήματος καὶ τῶν ἄλλων ὅσα χρονικά ἐστι πειράσεται διδάσκειν. ἅμα δὲ καὶ τὰ πρὸς τὸ νῦν ἔχοντα τὴν σχέσιν διαρθροῖ. πρὸς δὲ τούτοις ἵνα δείξῃ δι' αὐτοῦ ὅτι οὐδεὶς χρόνος λαμβάνεται ἄπειρος. Simpl. f. 177 *b*.

222 a 30. ὅτι δὲ ἡ κίνησις ἀεί ἐστιν, ἐν τῷ η' ταύτης τῆς πραγματείας πειρᾶται μὲν δεικνύναι, πᾶν δὲ μᾶλλον δείκνυσιν ἢ τοῦτο, ὡς ἐν ταῖς σχολαῖς ἐκείνου τοῦ βιβλίου ἐδείξαμεν. Philop. *t* p. 11.

222 b 12. ὁ μὲν Ἀριστοτέλης ὡς ἐπὶ μόνου τοῦ παρεληλυθότος τὸ ἄρτι λεγόμενον ἀκούει, ὡς καὶ τὸ παράδειγμα δηλοῖ, ὁ δὲ Ἀλέξανδρος καὶ Ἀσπάσιος καὶ ἐπὶ τοῦ μέλλοντος λέγεσθαί φασιν· πότε γὰρ ἥξει ἐρωτηθέντες, λέγομεν ἄρτι, ἐὰν εὐθὺς μέλλῃ ἀφικνεῖσθαι. οὕτω δέ, φησὶν Ἀλέξανδρος, οὐδὲν διοίσει τὸ ἄρτι τοῦ ἤδη, εἰ μὴ κατὰ τὸ ὄνομα μόνον... ἀλλ' οὐδὲ τοῦ νῦν ταῦτα διοίσει, φησὶν Ἀλέξανδρος, τό τε ἤδη καὶ τὸ ἄρτι, τοῦ λεγομένου ἐπὶ τοῦ χρόνου καὶ ἐν πλάτει, ὃ ἐγγύς ἐστι τοῦ κυρίως λεγομένου νῦν· διὸ καὶ αὐτὸ οὕτως ὠνόμασται, ὥστε, φησί, τὸ νῦν τὸ ἐν πλάτει λεγόμενον καὶ τὸ ἤδη καὶ τὸ ἄρτι τοῦ αὐτοῦ χρόνου δηλωτικά. ὁ δὲ Ἀσπάσιος τὸ νῦν σφοδρότητα τοῦ ἐγγὺς εἶναι δηλοῦν φησίν. μήποτε δὲ τὸ μὲν νῦν τὸ ἐν πλάτει, ἅτε ἐγγὺς ὂν τοῦ κυρίως νῦν, ταύτης ἔτυχε τῆς ἐπωνυμίας· τὸ δὲ ἤδη μετὰ τοῦ ἐγγὺς καὶ συμπερασματικὸν ἔχει τι σημαινόμενον, κἂν ἐπὶ τοῦ μέλλοντος λέγηται χρόνου· τὸ δὲ ἄρτι τὸ νεωστὶ δηλοῦν φαίνεται. καὶ

εἰ δὲ "καὶ τὸν χρόνον ἂν ἡ κίνησις καὶ τὴν κίνησιν ὁ χρόνος·" φέρεται γὰρ καὶ αὕτη ἡ γραφή, καὶ ἀποσκευάζεται αὐτὴν ὁ Ἀλέξανδρος, δι' ἀμφοτέρων τὸ αὐτὸ λέγων σημαίνεσθαι, ὅτι ὁ χρόνος ὑπὸ τῆς κινήσεως μετρεῖται. καίτοι πῶς τὸ "καὶ ὁ χρόνος τὴν κίνησιν" σημαίνοι ἂν ὅτι καὶ ὁ χρόνος ὑπὸ τῆς κινήσεως μετρεῖται; ἀλλὰ τὸ "καὶ τὸν χρόνον ἂν ἡ κίνησις" εἰπὼν εἰς πίστιν τοῦ ὅτι ἡ κίνησις τὸν χρόνον μετρεῖ, κατὰ ταύτην τὴν ἔννοιαν ἐπήγαγεν γοργῶς "καὶ ὁ χρόνος τὴν κίνησιν.". . δυνατὸν δὲ καὶ κατὰ ἀναλογίαν τοῦ τάχους τὸ πολὺ καὶ τὸ ὀλίγον τοῦ χρόνου λαμβάνειν· τῷ γὰρ ταχυτάτῳ πολὺς ἂν εἴη ὁ χρόνος ὁ τῆς μιᾶς ἡμέρας, ὡς ἐξ Ἤλιδος εἰς Ἐπίδαυρον πολλὴν ὁδὸν διατρέχειν. Simpl. f. 173 *b*.

πολλὴν γάρ φαμεν τὴν ὁδόν, ἐὰν ἡ πορεία πολλή, καὶ πολλὴν τὴν πορείαν, ἐὰν ἡ ὁδὸς πολλή. ὁμοίως δὲ καὶ τὴν κίνησιν πολλήν, ἐὰν ὁ χρόνος, καὶ τὸν χρόνον, ἐὰν ἡ κίνησις. Themist. f. 47.

220 b 32. μακροαπόδοτος γενόμενος ὁ λόγος ἀσάφειαν ἔχει τινά. ἡ δὲ ἀπόδοσις τοῦ "ἐπεὶ δέ ἐστιν ὁ χρόνος μέτρον κινήσεως καὶ τοῦ κινεῖσθαι," "τοῦτο ἐστὶ τὸ ἐν χρόνῳ εἶναι, καὶ τῇ κινήσει καὶ τοῖς ἄλλοις, τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου." ὁ δὲ καί σύνδεσμος ἐν τῷ "καὶ τοῦτό ἐστι" οὐκ ἔστιν, οἶμαι, περιττός, ὡς Ἀλέξανδρος ἐνόμισε, πρὸς τὰ προσεχῶς εἰρημένα συμπλέκων. ἴσως δέ, ὡς καὶ Ἀλέξανδρος ἐγκρίνει, ἡ ἀπόδοσις ἀπὸ τοῦ "δῆλον ὅτι καὶ τοῖς ἄλλοις τοῦτο ἐστί," τοῦ τοῖς ἄλλοις μετὰ τῆς κινήσεως ἀντὶ τοῦ πᾶσιν εἰλημμένου· διὰ γὰρ μέσης τῆς κινήσεως κατασκευάζει ὅτι πᾶσι τοῦτό ἐστι τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου... ἰδοὺ νῦν, ὡς οἶμαι, ὁ Ἀριστοτέλης σαφῶς παραδέδωκε πῶς μέτρον κινήσεως ὁ χρόνος, ὅτι ὡς κατὰ τὴν τοῦ εἶναι παράτασιν αὐτῆς, καθ' ἣν μάλιστα καὶ ὑφέστηκεν· ἐπὶ γὰρ τῆς κινήσεως, ὥς φησιν Ἀλέξανδρος, ταὐτὸν τὸ εἶναι καὶ τὸ κινήσει εἶναι, ὥσπερ καὶ περὶ τῶν ἄλλων τῶν ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχόντων. καὶ διὰ τοῦτο ταὐτόν ἐστι τὸ μετρεῖν τὴν κίνησιν καὶ τὸ εἶναι τῆς κινήσεως. δῆλον δὲ ὅτι ἄλλο ἐστὶ τοῦτο τὸ εἶναι παρ' ἐκεῖνο τὸ συνήθως ὑπὸ τοῦ Περιπάτου λεγόμενον καὶ τὸ εἶδος σημαῖνον. Simpl. f. 173 *b*.

ἐπειδὴ δέ ἐστιν ἡ κίνησις ἐν χρόνῳ τῷ καταμετρεῖσθαι τὸ εἶναι αὐτῆς ὑπὸ τοῦ χρόνου (οὐ γὰρ ἄλλο τὸ εἶναι τῆς κινήσεως ἢ τὸ γίγνεσθαι, ᾧ συμπαρεκτείνεται ὁ χρόνος καὶ ὃ καταμετρεῖ), δῆλον ὅτι καὶ τοῖς ἄλλοις τὸ εἶναι ἐν χρόνῳ ἐστὶ τὸ καταμετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου. τὸ γὰρ ἐν χρόνῳ διττόν ἐστιν. Themist. f. 47.

τὸν σκοπὸν τῶν προκειμένων ἄλλοι ἄλλον ἀφορίζουσι. καὶ ὁ μὲν Ἀλέξανδρός φησιν ὅτι πρόκειται αὐτῷ δεῖξαι ὅπως λέγεται τὴν κίνησιν ὁ χρόνος μετρεῖν καὶ ὅπως ὅλως ἐν χρόνῳ λέγεται εἶναι ἡ κίνησις, καὶ ἁπλῶς τὰ ἄλλα πάντα πῶς λέγονται εἶναι ἐν χρόνῳ. ἄλλοι δέ φασι σκοπὸν εἶναι τῶν προκειμένων δεῖξαι ὅτι οὐ μόνον τὴν κίνησιν μετρεῖ ὁ χρόνος ἀλλὰ καὶ ἠρεμίαν. Philop. *ι* p. 4.

221 a 4. περιττεύειν φασὶ τὸν καί σύνδεσμον· εἶναι γὰρ τὴν ἀπόδοσιν τῆς συντάξεως οὕτως· ἐπεὶ δέ ἐστιν ὁ χρόνος μέτρον κινήσεως καὶ τοῦ κινεῖσθαι, "ἐστι τῇ κινήσει τὸ ἐν χρόνῳ εἶναι τὸ μετρεῖσθαι τῷ χρόνῳ καὶ αὐτὴν καὶ τὸ εἶναι αὐτῆς." οἱ δὲ ἀποδίδοσθαι τὸν λόγον φασὶν ἐν τῷ χρόνῳ· "δῆλον ὅτι καὶ τοῖς ἄλλοις τοῦτό ἐστι τὸ ἐν χρόνῳ εἶναι.". . πρὸς τοῦτο δὲ περιττεύοι ἂν ὁ δέ σύνδεσμος τοῦ "δῆλον δὲ ὅτι." οἱ δὲ μετὰ πάνυ πολλὰ ἀποδίδοσθαι τὸν λόγον φασίν, "ἐπεὶ δέ ἐστιν ὁ χρόνος μέτρον κινήσεως, ἔστι καὶ ἠρεμίας μέτρον" (*b* 7). διό, φασί, καὶ ἀνείληφε τὸ "ἐπεὶ δέ ἐστιν," ἵνα σώσῃ τὴν συνέχειαν, ἐπειδὴ πολλὰ ἦν τὰ μεταξὺ εἰρημένα. ἡμεῖς δέ φαμεν ὅτι πρὸς ταῦτα πάντα ἀποδέδωκε, καὶ ἔστιν ἡ συνέχεια οὕτως. id. p. 6.

221 a 10. ὅρα ὅπως ὁ Ἀριστοτέλης τὴν κοινωνίαν τοῦ χρόνου τὴν πρὸς τὸν τόπον καὶ τὸν ἀριθμὸν πρὸ τῶν ὕστερον αὐτὴν ἐκφηνάντων ἐνόησε... διό, φησὶν ὁ Ἀλέξανδρος, τὰ ἀΐδια οὐκ ἔστιν ἐν χρόνῳ (οὐ γὰρ περιέχει αὐτῶν ὁ χρόνος τὸ εἶναι). καὶ εἰ μὲν ἀΐδια τὰ αἰώνια λέγει, ὥσπερ καὶ Πλάτων ὠνόμασεν ἐν Τιμαίῳ περὶ παραδείγματος εἰπὼν "ἡ μὲν οὖν ζῴου φύσις ἐτύγχανεν οὖσα ἀΐδιος," καλῶς ἂν λέγοι· τὸ γὰρ αἰώνιον οὐκ ἐν χρόνῳ, οὐδὲ περιέχεται ὑπὸ τοῦ χρόνου. εἰ δὲ ἀΐδιον λέγει τὸ κατὰ πάντα τὸν χρόνον ὑφεστηκός, οὐκ ἔστιν ἀληθὲς ὅτι οὐκ ἔστι τοῦτο ἐν χρόνῳ, εἰ μόνον οὕτως ὑποτεθείη ὡς ἐν χρόνῳ τὸ εἶναι ἔχειν. Simpl. f. 174 *b*.

221 a 21. τὸ δὲ λέγειν ἐν χρόνῳ εἶναι, ἐπειδὴ τότε ἐστὶν ὅτε ὁ χρόνος ἐστίν, καὶ τὸ ἐν κινήσει εἶναι, ἐπειδὴ τότε ἐστὶν ὅτε κίνησις ἐστίν, οὐδὲν διαφέρει τοῦ λέγειν καὶ τὸν οὐρανὸν ἐν κέγχρῳ εἶναι, ἐπειδὴ τότε ἐστὶν ὅτε καὶ ἡ κέγχρος ἐστίν. ἀλλὰ τὸ μὲν ἅμα εἶναι πολλοῖς συμβέβηκεν, τὸ δὲ εἶναι θάτερον ἐν θατέρῳ τὸ περιέχεσθαι ἐστὶν ὑπὸ τοῦ ἑτέρου τὸ ἕτερον. Themist. f. 47.

221 b 2. ἀσφαλῶς τὸ "μᾶλλον" προσέθηκε τῷ "φθορᾶς γὰρ αἴτιος καθ' αὑτόν," καὶ διότι οὐδὲ τοῦ πάσχειν αἴτιος ὁ χρόνος αὐτῷ δοκεῖ ἁπλῶς τε καὶ καθ' αὑτὸν εἶναι, ἀλλὰ κατὰ τοσοῦτον καθ' ὅσον τοῖς ἐν χρόνῳ οὖσι πᾶσι τὸ πάσχειν ὑπάρχει. δῆλον δὲ καὶ ὅτι οὐ μόνον φθορᾶς ἀλλὰ καὶ γενέσεως καὶ ἐκφάνσεως αἴτιος ἐδόκει τῷ εἰπόντι "ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται." καὶ οὐ μόνης λήθης ἀλλὰ καὶ μαθήσεως· εἰ γὰρ χρόνος τί με εἰδέναι ποιεῖ, λέγοντος ἐστὶν ἀκούειν ἐκείνου. ὁ δὲ Σιμωνίδης τὸ σοφώτατον τῷ χρόνῳ περιῆψε· τούτῳ γὰρ ἔφη πάντας πάντα εὑρίσκειν καὶ μανθάνειν. Εὔηνος δὲ ἐξ ἀμφοῖν πεποίηκε τὸν σοφώτατόν τε καὶ ἀμαθέστατον χρόνον. καὶ αὐτὸς δὲ Ἀριστοτέλης ἔλεγεν ἐν τῷ τρίτῳ βιβλίῳ τὴν κίνησιν διττήν, τὴν μὲν ἀπὸ εἴδους εἰς στέρησιν τὴν δὲ ἀπὸ στερήσεως εἰς εἶδος. Simpl. f. 175.

221 b 4. τὸ "ᾗ ἀεὶ ὄντα" προσέθηκε, διότι ἡ ὕπαρξις ἐστὶν αὐτῶν ἡ παρισουμένη τῷ χρόνῳ, αἱ μέντοι κινήσεις αὐτῶν καὶ αἱ μεταβολαὶ ἐν χρόνῳ τῷ ἑκάστης αὐτῶν εἶναι πλείω λαβεῖν. τί οὖν ἡ ἀΐδιος κίνησις (δειχθήσεται γὰρ ἀΐδιος ἡ κυκλοφορία), ἆρα ἐν χρόνῳ ἐστὶν ἢ οὔ; εἰ μὲν γὰρ μὴ ἐν χρόνῳ, οὐ πάσης κινήσεως ἀριθμὸς ὁ χρόνος, εἰ δὲ ἐν χρόνῳ, πῶς ἐν χρόνῳ τοῦτο οὗ μὴ ὑπερβάλλει χρόνος; ἢ ὅτι ἀεὶ ἄλλη καὶ ἄλλη καὶ οὐδέ ποτε κατ' ἀριθμὸν ἡ αὐτή, διὰ τοῦτο ἔστι τῆς λαμβανομένης πλείονα χρόνον λαβεῖν. ὁ δὲ Θεμίστιος κἂν μὴ περιττεύῃ φησὶ τῆς κινήσεως ὁ χρόνος, μηδὲ οὕτως αὐτὴν περιέχῃ, ἀλλ' ὅτι γε ἀλλήλοις συνήρμοσται συμπαρεκτεινόμενα καὶ συνεπερειδόμενα, καὶ δεῖται ἀλλήλων, διὰ τοῦτο ἔστιν ἡ κίνησις ἐν χρόνῳ. id. f. 175 *b*.

πῶς οὖν ἡ κίνησις ἐν χρόνῳ, καίτοι δέδεικται ἀΐδιος καὶ δειχθήσεται; ἢ ὅτι ἀεὶ ἄλλη καὶ ἄλλη καὶ οὐδέ ποτε κατ' ἀριθμὸν ἡ αὐτή;

μενον μεταφέροντες ἄτοπον ἐδόκουν συνάγειν τὸ τὸ αὐτὸ ὂν ἕτερον ἑαυτοῦ γίνεσθαι... ὁ Εὔδημος δὲ τὰ αὐτὰ περὶ τοῦ νῦν ἐν τῷ τρίτῳ τῶν Φυσικῶν φησὶ γράφων οὕτως... ἐν δὲ τούτοις ἐπιστάσεως ἄξιον εἶναί μοι δοκεῖ, πῶς τὸ πρότερον καὶ ὕστερον τῷ ὑποκειμένῳ τὸ αὐτό φησιν εἶναι... id. ib.

219b 13. καὶ εἷς μὲν χρόνος, ὅταν ἓν τὸ νῦν, πλείω δέ, ὅταν πλείω καὶ διαφέροντα. πλείω δὲ καὶ διαφέροντα γίνεται τὰ νῦν, ὅταν τὸ μὲν ὡς πρότερον τὸ δὲ ὡς ὕστερον λαμβάνηται... ἐλέχθη τῷ μὲν μεγέθει τὴν κίνησιν ἀκολουθεῖν, τῇ κινήσει δὲ τὸν χρόνον· εὔλογον τοίνυν καὶ τὰς ἀρχὰς τούτων καὶ οἷον τὰ ποιητικὰ καὶ τὰ γεννητικὰ ἀλλήλοις ἕπεσθαι. ποιητικὸν δὲ μεγέθους μὲν στιγμή, κινήσεως δὲ τὸ φερόμενον, χρόνου δὲ τὸ νῦν· ὥσπερ τοίνυν μία στιγμὴ καὶ ὁ λίθος εἷς, ἄντε ἐνθάδε ἄντε ἀλλαχοῦ φέρηται, τῷ λόγῳ δὲ διαφέρει, οὕτω δὲ καὶ τὸ νῦν... τὸ δὲ ἀριθμούμενον πρότερόν τε καὶ ὕστερον τὸ νῦν ἐστίν. ὥστε καὶ ἐν τούτοις τῷ μὲν ὑποκειμένῳ ταὐτὸν τὸ πρότερον νῦν καὶ τὸ ὕστερον, τῷ λόγῳ δὲ ἕτερα. Themist. f. 46.

219b 14. ταύτῃ μὲν οὖν ἕτερον τὸ πρότερον νῦν τοῦ ὑστέρου, "ὃ δέ ποτε ὂν ἐστι" φησὶ "τὸ αὐτό," τουτέστι κατὰ τὸ ὑποκείμενον. εἶτα τοῦτο κατασκευάσαι βουλόμενος ἐπήγαγεν, ἀκολουθεῖ γάρ, ὥσπερ ἐλέχθη, τῷ μὲν μεγέθει ἡ κίνησις, ταύτῃ δὲ ὁ χρόνος, ὡς ἔφαμεν. Philop. s p. 13.

220a 4. εἰπὼν "χρόνος μὲν γὰρ ὁ τῆς φορᾶς ἀριθμός," δέον ἐπαγαγεῖν τὸ νῦν δὲ ἀριθμὸς τοῦ φερομένου, εἶπε "τὸ νῦν δὲ ὡς τὸ φερόμενον." διὸ καὶ ἀσαφεστέραν τὴν λέξιν ἐποίησε. πῶς δὲ τὸ νῦν ἀριθμός ἐστι τοῦ φερομένου, ἐπήγαγεν "οἷον μονὰς ἀριθμοῦ." id. p. 14.

220a 7. ὅτι ἓν φησὶ τὸ φερόμενον "καὶ οὐχ ὅ ποτε ὂν (καὶ γὰρ ἂν διαλίποι) ἀλλὰ τῷ λόγῳ," τουτέστιν ἐὰν τὸ κινούμενον ἓν ᾖ. ἐὰν δὲ μὴ μόνον τῷ ὑποκειμένῳ (τὸ γὰρ ὅ ποτε ὂν τούτου δηλωτικόν), ἀλλὰ καὶ τῷ λόγῳ, τότε καὶ ἡ κίνησις μία. id. p. 15.

220a 18. εἰ μὲν οὕτως εἴη γεγραμμένον ὡς Ἀλέξανδρός τε καὶ Ἀσπάσιος γράφουσι "καὶ ἔτι φανερὸν ὅτι οὐδὲν μέρος ὁ χρόνος τῆς κινήσεως, ὥσπερ οὐδὲ ἡ στιγμὴ τῆς γραμμῆς," χρόνον, φασί, λέγει τὸ νῦν, ὃ οὔτε τῆς κινήσεως οὔτε τοῦ χρόνου μόριον· πέρας γὰρ αὐτοῦ, τὸ δὲ πέρας οὐ μέρος· οὐδὲ γὰρ τὸ σημεῖον μέρος τῆς γραμμῆς, γραμμῆς γὰρ μέρος γραμμή. οὕτω μὲν ὁ Ἀλέξανδρος. ὁ δὲ Ἀσπάσιος ὁ χρόνος φησὶν οὐκ ἔστι μόριον τῆς κινήσεως, διότι ἀριθμεῖ μὲν αὐτὴν κατὰ τὸ νῦν, τοῦτο δὲ πέρας ἐστὶ τῆς κινήσεως, μέρος δὲ οὔ. πῶς δὲ τὸ νῦν πέρας ἂν λέγοιτο κινήσεως; ὧν γὰρ ἄλλη ἡ ὑπόστασις, τούτων καὶ τὰ πέρατα ἄλλα. εἰ οὖν διαφέρει χρόνος κινήσεως, καὶ τὰ πέρατα αὐτῶν διοίσει. ἀμείνων οὖν, οἶμαι, ἡ ἐν πολλοῖς τῶν ἀντιγράφων φερομένη γραφή, ἣν Πορφύριος καὶ Θεμίστιος εἰδότες φαίνονται, ἔχουσαν οὕτως "καὶ ἔτι φανερὸν ὅτι οὐδὲν μόριον τὸ νῦν τοῦ χρόνου, οὐδὲ ἡ διαίρεσις τῆς κινήσεως, ὥσπερ οὐδὲ αἱ στιγμαὶ τῆς γραμμῆς· αἱ δὲ γραμμαὶ αἱ δύο τῆς μιᾶς μόρια." γραμμαὶ γὰρ γραμμῆς δηλονότι μόρια, ἀλλ' οὐχὶ στιγμαί. Simpl. f. 171.

δείξας ὅτι οὐχ οὕτως ἀριθμὸν εἶναι τὸν χρόνον, τουτέστι τὰ νῦν καθ' ἃ ἀριθμεῖται ὁ χρόνος, ὥσπερ καὶ ἡ αὐτὴ στιγμὴ δὶς λαμβανομένη καὶ ὡς πέρας καὶ ὡς ἀρχή, ἀλλ' ὡς τὰ πέρατα τῆς πεπερασμένης, δείκνυσιν ὅτι οὔτε οὕτως ἀριθμὸς ὥσπερ τὰ μόρια τῆς γραμμῆς. δέον δὲ εἰπεῖν, καὶ ἔτι φανερὸν ὅτι οὐδὲ μόρια τοῦ χρόνου τὰ νῦν, φησὶν "οὐδὲ μόριον ὁ χρόνος τῆς κινήσεως," χρόνον λέγων τὰ νῦν. Philop. s p. 16.

ἔτι φανερὸν ὅτι οὐδὲ μόριον τὸ νῦν τοῦ χρόνου· οὐδὲ γὰρ τὸ φερόμενον τῆς φορᾶς, οὐδὲ ἡ στιγμὴ τῆς γραμμῆς. Themist. f. 46 b. 220a 19.

ζητήσας ὁ Ἀλέξανδρος πῶς εἶπεν ἀριθμεῖν τὸ νῦν (οὐ γὰρ ἦν ἀριθμὸς ὁ χρόνος ὡς ἀριθμῶν ἀλλ' ὡς ἀριθμούμενος), ἤτοι φησὶν ἡ γραφὴ οὐκ ἔστιν "ἀριθμεῖ" ἀλλ' ἀριθμεῖται, ἢ ἀριθμεῖται μὲν τὰ νῦν ἐν τῇ κινήσει, ἀριθμεῖ δὲ τὸν χρόνον· κατὰ γὰρ τὰ νῦν ἡ διαίρεσις τοῦ χρόνου, καὶ τούτοις ἀριθμοῦμεν αὐτόν, ὡς εἶναι τὸ νῦν ἀριθμούμενον μὲν ὡς ἐν κινήσει, ἀριθμοῦν δὲ ὡς πρὸς τὸν χρόνον. Simpl. f. 172. cf. Philop. t. 220a 22.

καίτοι ὁ χρόνος ἀριθμὸς οὐχ ὡς ἀριθμῶν ἀλλ' ὡς ἀριθμούμενος, ἢ ὁ χρόνος πρὸς μοναδικὸν ἀριθμόν, ἀλλ' ὅμως ἀναδέχεται μόνος τὸ τοῦ ἀριθμοῦντος ἰδίωμα· πανταχοῦ γὰρ ἅμα καὶ τῶν πολλῶν κινήσεων ἓν καὶ ταὐτὸν τὸ ἀριθμούμενον, αὐξήσεως, φορᾶς, ἀλλοιώσεως. Themist. f. 46 b.

εἰπὼν ὅτι καὶ ἀριθμός ἐστιν ὁ χρόνος καὶ συνεχής, βούλεται τὴν δοκοῦσαν ἐν τοῖς εἰρημένοις εἶναι μάχην παραμυθήσασθαι· ὁ μὲν γὰρ ἀριθμὸς διωρισμένον ἐστὶ ποσόν, τὸ δὲ συνεχὲς οὐ διωρισμένον... ἐφιστάνει καλῶς ὁ Ἀλέξανδρος ὅτι ἐλάχιστον ἀριθμὸν τὴν δυάδα εἰπὼν καὶ οὐχὶ τὴν μονάδα, διότι ἡ μονὰς οὔπω ἀριθμός, εἴπερ ἀριθμός ἐστι τὸ ἐκ μονάδων συγκείμενον πλῆθος, ἀσύνθετον δὲ ἡ μονάς, γραμμὴν ὅμως μίαν καὶ χρόνον ἕνα ὡς ἐλάχιστα κατ' ἀριθμὸν δυνάμενα λέγεσθαι ἔλαβε. Simpl. f. 172 b. 220a 27.

δοκεῖ μὲν λέγειν ὅτι διὰ τοῦτο οὐκ ἔχει ὁ χρόνος τὸ ταχὺ καὶ βραδύ, διότι οὐδὲ ὁ ἀριθμὸς ᾧ ἀριθμοῦμεν τὸν χρόνον, τουτέστιν ὁ ἐν τῇ ψυχῇ. οὐ τοῦτο δέ φησιν (οὐδὲ γὰρ τῇ ἡμετέρᾳ διανοίᾳ ἕπεται τὰ πράγματα), ἀλλὰ τὸν ἀριθμὸν ᾧ ἀριθμοῦμεν φησὶ τὸν ἠριθμημένον ἀριθμόν, ἐξ οὗπερ καὶ ὁ χρόνος ἐστί, λέγω δὴ τὴν ἠριθμημένην κίνησιν. Philop. t p. 3. 220b 1.

νῦν, οἶμαι, διαρθροῖ πῶς τότε τὸ αὐτὸ ἔλεγε, καὶ ὅτι οὕτως ὥσπερ ἡ κίνησις τῷ πάλιν καὶ πάλιν, τουτέστι τῷ τὴν αὐτὴν οὖσαν κατ' εἶδος πάλιν γίνεσθαι καὶ πάλιν... οὕτω δὲ καὶ οἱ Πυθαγόρειοι τὰ αὐτά πως καὶ τῷ ἀριθμῷ τῷ πάλιν καὶ πάλιν ἔλεγον γίνεσθαι. οὐδὲν δὲ ἴσως χεῖρον καὶ τῆς Εὐδήμου ῥήσεως ἐκ τοῦ τρίτου τῶν Φυσικῶν τὰ ἐνταῦθα λεγόμενα παραφραζούσης ἀκούειν. Simpl. f. 173. 220b 12.

ἀντιμετρεῖται γὰρ ὑπὸ τῶν μετρουμένων τὰ μέτρα· τῷ γὰρ τῶν πυρῶν μεδίμνῳ κρίνομεν τὸ ξύλινον μέδιμνον εἰ μὴ μεῖζον ἢ ἔλασσον ἐστίν, καὶ τῇ κοτύλῃ τοῦ οἴνου τὴν χαλκῆν μετροῦμεν κοτύλην. καὶ τί θαυμαστὸν ἐπὶ τῶν συνεχῶν μέτρων τοῦτο συμβαίνειν, ὁπότε καὶ αὐτὸς ὁ μοναδικὸς ἀριθμὸς τρόπον τινὰ ὑπὸ τῶν ἀριθμουμένων ἀνταριθμεῖται· ὥσπερ γὰρ τὰ δέκα δέκα ἵππους φαμέν, οὕτως καὶ τὰς μονάδας. Themist. f. 46 b. 220b 29.

διάφορος φέρεται ἡ γραφὴ ἡ ἐπὶ τῷ τέλει ταύτης τῆς ῥήσεως. κἂν μὲν οὕτως ἔχῃ "καὶ τὸν χρόνον, ἂν ἡ κίνησις, καὶ τὴν κίνησιν, ἂν ὁ χρόνος," ὥσπερ ἐν τοῖς πλείοσι φέρεται, σαφές ἐστι τὸ λεγόμενον· 220b 31.

μόνον δὲ ὁ χρόνος ἀκολουθεῖ τῇ κινήσει, ἀλλὰ καὶ ἡ κίνησις τῷ χρόνῳ. Themist. f. 45.

219a 10. παραλιπὼν μίαν πρότασιν, τὴν λέγουσαν ὅτι τὸ ἔκ τινος εἴς τι κινούμενον ἐπὶ μεγέθους κινεῖται, ἀσάφειαν ἔδοξε μικρὰν ἐμποιεῖν τῇ λέξει. καὶ ὁ Εὔδημος δὲ ἐν τῷ τρίτῳ τῶν Φυσικῶν τὴν αὐτὴν ἔχων γνώμην φαίνεται, ὅτι διὰ μὲν τὸ μέγεθος ἡ κίνησις συνεχής, διὰ δὲ τὴν κίνησιν ὁ χρόνος, γράφων οὕτως... ὁ δὲ Λαμψακηνὸς Στράτων οὐκ ἀπὸ τοῦ μεγέθους μόνον συνεχῆ τὴν κίνησιν εἶναι φησίν, ἀλλὰ καὶ καθ' ἑαυτήν... ἴσως καὶ πρὸς τοῦτο βλέπων, ἵνα μὴ μόνον ἐπὶ τῆς κατὰ τόπον κινήσεως ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πασῶν συνάγηται τὰ λεγόμενα. Simpl. f. 167 *b*.

219a 14. ὁ τῶν λεγομένων ὅλος σκοπός ἐστιν ὅτι ὥσπερ τὸ συνεχὲς ἡ κίνησις ἀπὸ τοῦ μεγέθους ἔχει τοῦ ἐφ' οὗ ἡ κίνησις, οὕτω καὶ τὸ πρότερον καὶ τὸ ὕστερον ἐν τῷ μεγέθει κατὰ θέσιν ὑπάρχον ἡ κίνησις οἰκείως ἀπ' αὐτοῦ μεταλαμβάνει, καὶ ἀπὸ τῆς κινήσεως ὁ χρόνος, ὥσπερ καὶ τὸ συνεχές. id. f. 168.

219a 31. ταὐτὸν ἄρα ὁ χρόνος ἐστὶ καὶ τὸ πρότερον καὶ τὸ ὕστερον, ὅταν διορίζηται ταῦτα. διορίζεται δέ, ὅταν προσπέσῃ τῇ ψυχῇ τὰ νῦν, τὸ μὲν ὡς ἀρχὴ τῆς κινήσεως τὸ δὲ ὡς πέρας· τότε γὰρ τὸν μεταξὺ τῶν νῦν χρόνον εὐθὺς ἐννοοῦμεν ἕτερον αὐτῶν ὄντα, πολλάκις δὲ καὶ ἓν νῦν λαμβάνοντες, τοῦ μὲν παρεληλυθότος ὡς πέρας τοῦ δὲ μέλλοντος ὡς ἀρχήν, ἔννοιαν πάλιν τοῦ χρόνου λαμβάνομεν τοῦ τε προτέρου καὶ τοῦ ὑστέρου. οὕτω γὰρ ἄμεινον οἶμαι ἀκούειν τοῦ "ἢ ὡς τὸ αὐτὸ μὲν προτέρου δὲ καὶ ὑστέρου τινός" ἧπερ ὡς ὁ Ἀλέξανδρος ἐξηγήσατο τὸ αὐτὸ λέγων καὶ ἓν τὸ νῦν, ἐν προτέρῳ δὲ καὶ τινὶ ὑστέρῳ ὄν, ὥσπερ παραγόμενον αὐτὸ καὶ ἄλλοτε κατ' ἄλλο γινόμενον τῆς κινήσεως ἐπινοοῦντες. id. f. 168 *b*.

219b 3. οὐδὲν δὲ θαυμαστὸν εἰ τὸ ἀριθμούμενον τῆς κινήσεως χρόνον εἶναι βουλόμενος ἐν τῷ ὁρισμῷ οὐ τὸ ἀριθμητὸν εἶπεν ἀλλὰ τὸν ἀριθμόν· λέγεται γὰρ καὶ τὸ ἀριθμούμενον ἀριθμός, ὡς καὶ τὸ μετρούμενον μέτρον. id. ib.

219b 6. ἐπειδὴ εἶπεν ἀριθμὸν εἶναι κινήσεως τὸν χρόνον, πολλαχῶς δὲ ὁ ἀριθμός, ἀπαριθμεῖται ποσαχῶς καὶ κατὰ ποῖον σημαινόμενον ὁ χρόνος ἀριθμός ἐστι κινήσεως. εἰπὼν δὲ διχῶς λέγεσθαι τὸν ἀριθμόν, τρία σημαινόμενα δοκεῖ λέγειν, τὸ ἀριθμούμενον καὶ τὸ ἀριθμητὸν καὶ ᾧ ἀριθμοῦμεν. ἀλλά φαμεν ὅτι τὰ πρότερα δύο καθ' ἑνὸς σημαινομένου τέθεικεν, ἀλλὰ τὸ μὲν ἐπὶ τοῦ ἐνεργείᾳ, τὸ ἀριθμούμενον, τὸ δὲ ἐπὶ τοῦ δυνάμει, τὸ ἀριθμητόν. ἢ ἵνα σαφέστερον δείξῃ τί λέγει τὸ ἀριθμούμενον, ἐπήγαγε τὸ ἀριθμητόν, αὐτὸ τὸ μετρούμενον πρᾶγμα. Philop. *s* p. 11.

219b 8. ἐπειδὴ δὲ ὑπὸ τοῦ χρόνου μετρεῖσθαι δοκοῦμεν (τοσῶνδε γὰρ λεγόμεθα ἐτῶν εἶναι, καὶ τοσῶνδε ἡμερῶν ἡ ἑορτή), διὰ τοῦτό τινες μεταγράφουσι τὴν λέξιν, ὡς ὁ Ἀσπάσιος φησίν, οὕτως "ὁ δὲ χρόνος ἐστὶν οὐχ ὁ ἀριθμούμενος ἀλλ' ᾧ ἀριθμοῦμεν" (*). ἀλλὰ δῆλον ὅτι καὶ ὁ χρόνος ὑπὸ τοῦ μοναδικοῦ ἀριθμοῦ μετρεῖται· λέγομεν γὰρ πόσοι χρόνοι διεληλύθασιν; οὐδὲν δὲ ἴσως κωλύει ἀριθμητὸν ὄντα καὶ ἀριθμεῖν. καὶ τὴν ἐφεξῆς δὲ λέξιν ὁ Ἀσπάσιος οὕτως ἐκτίθεται, ἔστι δ' ἕτερον οὐχ ᾧ ἀριθμοῦμεν ἀλλὰ τὸ ἀριθμούμενον. καὶ φησὶν ὅτι ἐὰν δεχώμεθα εἶναι κυρίως ᾧ ἀριθμοῦμεν τὸν μοναδικὸν ἀριθμόν, ἔστι λέγειν ὅτι οὐχ οἷόν τε ἕτερον εἶναι ᾧ ἀριθμοῦμεν· τὴν γὰρ μονάδα πολλάκις λαμβάνομεν, μονὰς δὲ μονάδος οὔτε γένει οὔτε εἴδει οὔτε ἀριθμῷ διαφέρει· τὸ γὰρ ἀριθμῷ διαφέρον ἢ μορφῇ διοίσει, ὡς Σωκράτης Πλάτωνος, ἢ τάξει, ὡς στιγμὴ στιγμῆς, ἢ τῷ νῦν τοῦ νῦν τῷ πρότερον τοῦ ὕστερον, ἢ θέσει, ὡς ἄνω καὶ κάτω, ἢ κατ' ἄλλην τινὰ τοιαύτην ἐπίνοιαν, ἅπερ ἐπὶ μονάδων οὐκ ἔστιν. ἄμεινον δέ, φησί, τὸ νῦν λαμβάνειν ᾧ ἀριθμοῦμεν, μή ποτε δὲ τὸ ἀριθμοῦν πανταχοῦ τὸ αὐτὸ πλειόνων. ὁ μὲν οὖν τῶν λεγομένων σκοπὸς τοιοῦτος. καλῶς δὲ πάντα σχεδὸν ἐξηγούμενος ὁ Ἀλέξανδρος τινὰ μικρὰ παρεμβέβληκεν ἐπιστάσεως ἄξια... ὁ μέντοι Εὔδημος ἐν τῷ τρίτῳ τῶν Φυσικῶν τάδε γέγραφε· περὶ δὲ χρόνου τάχα ἄν τις ἀπορήσειε τίνος ἢ ποίας κινήσεως ἀριθμός ἐστιν... ἐπειδὴ δὲ ἔδοξε τῷ Ἀλεξάνδρῳ μὴ τὴν αὐτὴν ἔννοιαν ἔχειν ὁ ὑπὸ τοῦ Ἀριστοτέλους ἀποδοθεὶς ὁρισμὸς τοῦ χρόνου τοῖς εἰρημένοις ὑπὸ τοῦ Πλάτωνος περὶ αὐτοῦ, φέρε καὶ τούτοις παραβάλλωμεν τοὺς λόγους... ἐπειδὴ δὲ καὶ πρός τινα τῶν ἐνταῦθα λεγομένων ὁ πολυμαθέστατος ἐνέστη Γαληνὸς λέγων τὸν χρόνον δι' ἑαυτοῦ δηλοῦσθαι, φέρε καὶ ταύτην τὴν ἔνστασιν προβαλώμεθα. Simpl. f. 168 *b*.

εἰπὼν τὴν κοινωνίαν τοῦ χρόνου πρὸς τὴν κίνησιν εἰκότως ἐπά- 219b 9.
γει τὴν διαφοράν· καὶ γὰρ ἡ μὲν κίνησις οὐ μόνον ἡ προτέρα τῆς μετ' αὐτὴν ἄλλη, ὅπερ κοινὸν ὑπάρχει καὶ τῷ χρόνῳ, ἀλλὰ καὶ αἱ ἅμα οὖσαι διαφέρουσιν ἀλλήλων, αἱ μὲν καὶ τῷ εἴδει, εἰ τὸ μὲν φθείροιτο τὸ δ' αὔξοιτο τὸ δ' ἀλλοιοῖτο, αἱ δὲ τῷ ἀριθμῷ μόνον. id. f. 170.

αἰτίαν τούτου φησὶ τὸ τὸ νῦν τὸ αὐτὸ εἶναι τῷ ὑποκειμένῳ· τοῦτο 219b 10.
γὰρ σημαίνει τὸ "ὅ ποτε ἦν·" ὡς γὰρ ἐπὶ τοῦ προτέρου καὶ ὑστέρου ἔλεγεν ὅτι ὃ μέν ποτε ὂν κίνησίς ἐστι, τὸ δὲ εἶναι αὐτῷ ἄλλο καὶ οὐ κίνησις, οὕτω καὶ περὶ τοῦ νῦν εἶπεν, ὅτι τῷ μὲν ὑποκειμένῳ ἕν τι καὶ ταὐτόν ἐστι, τῷ δὲ λόγῳ διάφορον, καθόσον τὸ μὲν πρότερόν ἐστι τὸ δ' ὕστερον... ἀσάφειαν δὲ μικρὰν ἡ λέξις ἔχειν δοκεῖ τοῦ Ἀριστοτέλους παρὰ τὴν ἑαυτοῦ συνήθειαν τὸ αὐτὸ διαφόρως ἑρμηνεύσαντος, ἢ μᾶλλον τὸ πρότερον διὰ τοῦ ἑξῆς σαφηνίσαντος. εἰπὼν γὰρ "τὸ γὰρ νῦν τὸ αὐτὸ ὅ ποτε ἦν, τὸ δὲ εἶναι αὐτῷ ἕτερον," εἶτα ἐπαγαγὼν ὅτι τὸ νῦν τὸν χρόνον μετρεῖ, καθὸ πρότερον καὶ ὕστερον, βουλόμενος σαφηνίσαι πῶς ἕτερον τὸ νῦν, πάλιν τὸ διαιρετικὸν ὅλον τέθεικεν εἰπὼν "τὸ δὲ νῦν ἔστι μὲν ὡς τὸ αὐτό, ἔστι δὲ ὡς οὐ τὸ αὐτό· ᾗ μὲν γὰρ ἐν ἄλλῳ καὶ ἄλλῳ, ἕτερον" (τοῦτο δ' ἦν αὐτῷ πρώτῳ καὶ ὑστέρῳ λέγειν) εἶτα πάλιν ἐπήγαγεν "ὃ δέ ποτε ὂν τὸ νῦν ἐστι, τὸ αὐτό," ὅπερ ταὐτόν ἐστι τῷ "τὸ γὰρ νῦν τὸ αὐτὸ ὅ ποτε ἦν." οὐκ ὂν δὲ ἀναμφίλεκτον, οἶμαι, τὸ τὸ νῦν ταὐτὸν μὲν εἶναι τῷ ὑποκειμένῳ τῷ δὲ λόγῳ ἕτερον κατὰ τὸ ἐν ἄλλῳ καὶ ἄλλῳ λαμβανόμενον πρότερον καὶ ὕστερον γίνεσθαι, κατασκευάζειν πειρᾶται διὰ τῆς πρὸς τὰ σύστοιχα αὐτῷ ἀκολουθίας... ὅτι δὲ διαφορά τις αὕτη δοκεῖ, ἐκ τῶν σοφιστικῶν λόγων κατασκευάζει, οἵτινες τὴν διαφορὰν ταύτην ἐπὶ τὸ ὑποκεί-

(*) τινὲς μεταγρ... ἀριθμοῦμεν. δῆλον δὲ ὅτι τὸν χρόνον ἀριθμητὸν ὄντα καὶ ἀριθμεῖν κωλύει οὐδέν. cod. Pal. 237.

218 b 12. ἡ μὲν οὖν ἑκάστη κίνησις ἐν τῷ κινουμένῳ μόνον ἐστὶν καὶ ὅπου ἂν ᾖ τὸ κινούμενον (οὐ περιγράφεται γὰρ τῇ οὐσίᾳ τοῦ κινουμένου), ὁ δὲ χρόνος ὁμοίως καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν. Themist. f. 45.

218 b 17. οὐ μόνον δὲ κατὰ τὸ ποιόν, τουτέστι κατὰ τὸ ταχὺ καὶ βραδύ, διαφέρουσιν ἡ κίνησις καὶ ὁ χρόνος, ὅτι τῇ μὲν ὑπάρχει τῷ δ' οὔ, ἀλλὰ καὶ κατὰ τὸ ποσὸν τὸν αὐτὸν τρόπον. τῆς μὲν γὰρ κινήσεως καὶ τὸ ποσὸν ὁρίζεται χρόνῳ· μακρὰ γὰρ καὶ πολλὴ κίνησις ἡ ἐν τῷ πολλῷ χρόνῳ. id. ib.

ἡ μὲν γὰρ κίνησις καὶ κατὰ ποσὸν καὶ κατὰ ποιὸν χρόνῳ ὥρισται, κατὰ μὲν τὸ ποσόν, ὅτι μακρὰν λέγομεν κίνησιν τὴν ἐν πολλῷ χρόνῳ γινομένην, βραχεῖαν δὲ τὴν ἐν ὀλίγῳ, κατὰ δὲ τὸ ποιόν, ὅτι θάττονα λέγομεν κίνησιν τὴν πολλὴν μὲν ἐν βραχεῖ δὲ χρόνῳ γινομένην, βραδεῖαν δὲ τὴν ὀλίγην ἐν πολλῷ. Philop. s p. 8.

218 b 20. ὁ δέ γε Πλωτῖνος καὶ ἄλλο προστίθησιν ἐπιχείρημα δεικτικὸν τοῦ μὴ εἶναι κίνησιν τὸν χρόνον· κίνησις μὲν γάρ φησι καὶ παύσαιτο ἂν καὶ διαλίποι, χρόνος δὲ οὔ. Simpl. f. 166 b.

218 b 21. δείξας ὅτι οὐκ ἔστιν ὁ χρόνος κίνησις, ἐφεξῆς δείκνυσιν ὅτι οὐδ' ἄνευ κινήσεώς ἐστιν... καὶ ἐκ τοῦ ἐναντίου δυνατὸν ἰδεῖν ὅτι οἱ ἀλγοῦντες καὶ ταλαιπωρούμενοι ἢ ἐν ἐνδείᾳ καὶ ἐπιποθήσει τινὸς ὄντες, πολὺ τὸ τοιοῦτο κίνημα νομίζοντες, πολὺν ἡγοῦνται καὶ τὸν χρόνον. λέγει γοῦν ἐκεῖνος ἐν τῇ κωμῳδίᾳ "οὐδέ ποθ' ἡμέρα γενήσεται, καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ," καὶ ἄλλος "οἱ δὲ ποθοῦντες ἐν ἤματι γηράσκουσιν." ὅτι δὲ οἱ τῇ κινήσει μὴ παρακολουθοῦντες οὐδὲ τοῦ χρόνου συναισθάνονται, ἡμεῖς μέν, ὡς εἶπον, ὁσημέραι ἐκ τῶν ὕπνων γινώσκομεν, ὁ δὲ Ἀριστοτέλης ἀπὸ μακροτέρου πιστοῦται τοῦτο ὕπνου τῶν ἐν Σαρδοῖ τῇ νήσῳ παρὰ τοῖς ἥρωσι μυθολογουμένων καθεύδειν· ἐννέα γὰρ τῷ Ἡρακλεῖ γεγονότων παίδων ἐκ τῶν Θεστίου τοῦ Θεσπιέως θυγατέρων, ἐν Σαρδοῖ τελευτησάντων, ἔλεγον ἕως Ἀριστοτέλους, τάχα δὲ καὶ Ἀλεξάνδρου τοῦ ἐξηγητοῦ τῶν Ἀριστοτέλους, ἄσηπτά τε καὶ ὁλόκληρα διαμένειν τὰ σώματα καὶ φαντασίαν καθευδόντων παρεχόμενα... ὁ μέντοι Εὔδημος τὴν ἀπὸ τῆς Σαρδοῦς παρεὶς πίστιν ἔκ τινος Ἀθήνησι συμβεβηκότος αὐτοῦ τὸ λεγόμενον πιστοῦται. λέγεται γάρ, φησί, θυσίας οὔσης δημοτελοῦς ἑστιᾶσθαι τινὰς ἐν καταγείῳ σπηλαίῳ, μεθυσθέντας δὲ κατακοιμηθῆναι πρὸς ἡμέραν ἤδη καὶ αὐτοὺς καὶ τοὺς οἰκέτας, καὶ καθεύδειν τὸ λοιπὸν τῆς νυκτὸς καὶ τὴν ἡμέραν καὶ ἔτι τὴν νύκτα· ἐπεγερθέντα γὰρ ἕνα τινά, ὡς εἶδεν ἀστέρας, πάλιν ἀπελθόντα ἀναπαύεσθαι. τῆς δὲ ἐπιούσης ἡμέρας ὡς ἠγέρθησαν, τὴν Κουρεῶτιν ἄγειν ὕστερον τῶν ἄλλων ἡμέραν, ὅθεν δὴ καὶ κατανοηθῆναι τὸ συμβάν. Κουρεῶτις δὲ ἦν ἡ τρίτη τῶν Ἀπατουρίων ἡμέρα, ὥσπερ ἡ πρώτη Δορπία καὶ ἡ δευτέρα Ἀνάρρυσις καὶ ἡ τετάρτη Ἐπίβδα... ἐκ δὲ τῶν ἐνταῦθα ῥηθέντων ὁ θαυμάσιος Γαληνὸς ἐν τῷ ὀγδόῳ τῆς ἑαυτοῦ Ἀποδεικτικῆς ὑπονοεῖ λέγειν τὸν Ἀριστοτέλη διὰ τοῦτο μὴ εἶναι χρόνον ἄνευ κινήσεως, ὅτι κινούμενοι νοοῦμεν αὐτόν, καὶ ἐπάγει τι τῷ λόγῳ ἄτοπον, ὅτι καὶ τὰ παντάπασιν ἀκίνητα μετὰ κινήσεως ἀνάγκη εἶναι, εἴπερ καὶ τούτων ἡ νόησις ἡμῖν μετὰ κινήσεώς ἐστιν· οὐδὲ γὰρ ἡμεῖς ἀκινήτῳ νοήσει νοοῦμεν... ἀλλὰ πρῶτον μὲν ἐχρῆν ἐννοῆσαι ὅτι ὁ Ἀριστοτέλης οὐ βούλεται κινεῖσθαι τὴν ψυχὴν ἀλλ' ἐνεργεῖν, μόνας ἀξιῶν τὰς φυσικὰς μεταβολὰς κινήσεις καλεῖν. id. f. 167 et cod. Pal. 237.

ἐλέγοντό τινες ἀρρωστοῦντες ἀπιέναι πρὸς τοὺς ἥρωας ἐν Σαρ- 218 b 24.
δοῖ καὶ θεραπεύεσθαι, ἀπιόντας δὲ κοιμᾶσθαι ἐφεξῆς δύο ἡμέρας, εἶτα ἐξυπνιζομένους νομίζειν ἐκείνην εἶναι τὴν ὥραν καθ' ἣν ἐπέστησαν τοῖς ἥρωσι. Philop. s p. 8.

ὅλως γὰρ ὅταν ἢ μηδὲν αὐτοὶ μεταβάλλωμεν καὶ κινώμεθα, ἢ 218 b 26.
λανθάνωμεν αὐτοὶ μεταβάλλοντες καὶ κινούμενοι, οὐδεμίαν αἴσθησιν ἔχομεν χρόνου. οὕτω καὶ ἔλαθε νὺξ ἐπελθοῦσα πολλάκις, καὶ ἄσιτοι διάγομεν, ὅταν ἐνεργοῦντές τι μεθ' ἡδονῆς καὶ προσκείμενοι πρὸς τὸ ἔργον διὰ μὲν τὴν ἡδονὴν μὴ κάμνωμεν ὑπὸ τῆς κινήσεως, διὰ δὲ τὸ μὴ κάμνειν μηδὲ αἰσθανώμεθα τῆς κινήσεως, ἐπεὶ ὅσοις γε ἡ ἐνέργεια σὺν πόνῳ καὶ ἀλγηδόνι, οὗτοι διὰ τὸ σφόδρα αἰσθάνεσθαι τῆς κινήσεως σφόδρα αἰσθάνονται καὶ τοῦ χρόνου. διὰ τοῦτο καὶ οἱ νοσοῦντες μείζους ὑπολαμβάνουσι τὰς ἡμέρας, καὶ φροντίζοντες ἀναβοῶσιν "ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον." ἐκ δὴ πάντων τῶν εἰρημένων δῆλόν ἐστιν ὡς τῇ τῆς κινήσεως αἰσθήσει συνυφίσταται καὶ ἡ τοῦ χρόνου καὶ συνέζευκται ἐκείνῃ καὶ συνήρτηται ἀκριβῶς. δῆλον οὖν ὡς οὐκ ἔστιν ὁ χρόνος ἄνευ κινήσεως. ἄνευ κινήσεως δὲ οὐχ ὃν τρόπον οἴεται Γαληνός, ἐπειδὴ κινούμενοι νοοῦμεν τὸν χρόνον (οὕτω γὰρ ὑπολαμβάνει λέγειν Ἀριστοτέλην), ἀλλ' ἐπειδὴ τῇ τῆς κινήσεως ἐννοίᾳ συνήρτηται ἡ τοῦ χρόνου. τί οὖν μάτην ἤθελε πρὸς τὸ δῆθεν ἀντιλέγειν ἐπιχειρῶν; καὶ γὰρ τὰ ἀκίνητα, φησί, κινούμενοι νοοῦμεν, οἷον τοὺς πόλους τοῦ κόσμου καὶ τὸ κέντρον τῆς γῆς, καὶ ὅμως οὐκ ἔστι ταῦτα μετὰ κινήσεως... ἀλλ' οὗτος μὲν ἐν πολλοῖς τοιοῦτος... Γαληνῷ δὲ οὐ προσεκτέον οἰομένῳ τὸν χρόνον ἀφορίζεσθαι δι' αὐτοῦ. πολλὰ γὰρ ἐξαριθμησάμενος σημαινόμενα τοῦ προτέρου τε καὶ ὑστέρου, τὰ μὲν ἄλλα οὐκ ἐφαρμόζειν φησὶ τῷ ὁρισμῷ, τὸ κατὰ χρόνον δὲ μόνον, ὥστε εἶναι τὸν χρόνον ἀριθμὸν τῆς κινήσεως κατὰ χρόνον. ἀλλ' ἰστέον ὅτι τὸ πρότερον καὶ τὸ ὕστερον ἐν κινήσει οὐ διὰ τὸν χρόνον τὸ μὲν πρότερόν ἐστι τὸ δὲ ὕστερον, ἀλλὰ αὐτὰ μᾶλλον ποιεῖ τὸ ἐν χρόνῳ πρότερον καὶ ὕστερον. Themist. f. 45 et 46.

πρῶτον μὲν προσκατασκευάζει τοῖς ἤδη εἰρημένοις ὅτι ἅμα 219 a 2.
αἴσθησιν ἔχομεν κινήσεώς τε καὶ χρόνου· κἂν γὰρ σκότος ᾖ, φησίν, ὥστε μὴ ἡμᾶς σωματικῶς κινεῖσθαι μήτε ἄλλων κινουμένων αἰσθάνεσθαι, κίνησις δέ τις ἐν τῇ ψυχῇ ἐνῇ νοούσης τι τῆς ψυχῆς, ὅπερ ἴσον ἐστί, φησὶν ὁ Ἀλέξανδρος, τῷ ἔννοιαν δέ τινα κινήσεως ἔχωμεν, ὅπερ ἐστὶ δηλονότι ἐπιστάσης τῆς κινήσεως, εὐθὺς ἅμα τις δοκεῖ γεγονέναι καὶ χρόνος. οὕτω δὲ ὁ Ἀλέξανδρος ἐξηγεῖται εἰδὼς ὅτι οὐ βούλεται ὁ Ἀριστοτέλης κινεῖσθαι τὴν ψυχήν, ἀλλὰ κίνησιν ἐν τῇ ψυχῇ εἶπε τὴν ἀκίνητον ἔννοιαν τῆς ὁποιασοῦν κινήσεως. μή ποτε δὲ κατὰ μὲν τὰς φυσικὰς κινήσεις ἀκινήτους οἴεται τὰς ψυχικὰς ἐννοίας ὁ Ἀριστοτέλης, ἄλλο δὲ εἶδος κινήσεως ἐνορᾷ. Simpl. f. 167 b.

καὶ γὰρ ἂν σκότος ᾖ καὶ μηδὲν διὰ τοῦ σώματος πάσχωμεν, φαν- 219 a 4.
ταζώμεθα δὲ ἄλλως ἢ καὶ αὐτοὺς ὁδοιποροῦντας ἢ πλέοντας ἢ γυμναζομένους ἢ πολεμοῦντας, εὐθὺς ἡμῖν καὶ χρόνος δοκεῖ γεγονέναι. οὐ

ἐστι μετρητόν, ὅτι μηδὲ διαστατόν. ἀλλ' οὐχ ὡς παθητικὸν τὸ μετρεῖται ληπτέον, ἀλλ' ὡς ῥῆμα τὸ μετρεῖ καὶ σύνδεσμον τὸν τέ· τὸ γὰρ μέρος ἐπὶ τοῦ ποσοῦ μετρεῖν λέγεται τὸ ὅλον, ἀλλ' οὐχὶ αὐτὸ μετρεῖσθαι. καὶ οἶδε καὶ ταύτην τὴν γραφὴν ὁ Ἀλέξανδρος. οὐ δοκεῖ δέ, εἶπε, συγκεῖσθαι ὁ χρόνος ἐκ τῶν νῦν, ὅτι μηδέ πω δέδεικται τοῦτο. δειχθήσεται δὲ ἐν τοῖς ἐφεξῆς... λέγοι ἂν τὸ "ἢ μόλις καὶ ἀμυδρῶς" (p. 217 *b* 32) καὶ ὅτι τὸ μὲν γέγονεν αὐτοῦ τὸ δὲ μέλλει, τοῦ δὲ μηδὲ ὅλως ἐν ὑπάρξει ὄντος ἢ τοῦ τελείως ὄντος οὐχ οἷόν τε τὸ μὲν γεγονέναι τὸ δὲ μέλλειν. Simpl. f. 164 *b*.

ὁ Ἀλέξανδρος οἶδε μὲν καὶ ταύτην τὴν γραφὴν τοῦ "μετρεῖ τε" ἤτοι διὰ τοῦ ε' ψιλοῦ, σύνδεσμον ἐκλαμβάνων συμπλεκτικὸν καὶ αὐτός. γράψας δὲ τοῦτο καὶ παθητικῶς "καὶ μετρεῖται" ἀκούσας περισκελέστερον ἐξηγήσατο, λέγων ὅτι διάστημα ἔχει· τοῦ γὰρ ἐν διαστάσει καὶ συνεχοῦς καὶ τὰ μέρη ἐν διαστάσει, τὸ δὲ νῦν οὐκ ἔστι μετρητόν, ὅτι μηδὲ διαστατόν. ταῦτα μὲν ὁ Ἀλέξανδρος. ἡμῖν δὲ οὐχ ὡς παθητικὸν τοῦτο ληπτέον ἀλλ' ὡς ῥῆμα τὸ μετρεῖ καὶ σύνδεσμος τὸ τέ· τὸ γὰρ μέρος ἐπὶ τοῦ ποσοῦ μετρεῖν λέγεται τὸ ὅλον, ἀλλ' οὐχὶ αὐτὸ μετρεῖσθαι. cod. Pal. 237.

218a 4. ἔτι πᾶν μεριστὸν ἐστ' ἂν ὑφεστήκῃ, πάντως αὐτοῦ καὶ τῶν μερῶν ἢ τινὰ ὑφέστηκεν ἢ καὶ σύμπαντα, σύμπαντα μέν, ὡς ἐπὶ τῆς πηχυαίας γραμμῆς, ἔνια δέ, ὡς ἐπὶ πολέμου καὶ πομπῆς καὶ ἀγῶνος. Themist. f. 44.

218a 6. τὸ δὲ νῦν προέφην εἶναι μὴ μέρος· ἦν γὰρ ἂν καὶ αὐτὸ μεριστόν, καὶ κατεμέτρει τὸ ὅλον, καὶ εἶχεν ἄν τι διάστημα. id. f. 44 *b*.

218a 11. ἅμα γὰρ εἶναι πλείω τὰ νῦν, παντελῶς ἀμηχανώτατον. οὐδὲ ἄλλα μέρη τινὰ τοῦ χρόνου δυνατὸν ἅμα πλείω συνυπάρχειν ἀλλήλοις, εἰ μὴ τὸ μὲν αὐτοῦ ὡς περιέχον τὸ δὲ περιεχόμενον ὑπολαμβάνοιμεν, ὡς φαμὲν ἐνεστάναι τὸν μῆνα καὶ τὴν νουμηνίαν. ἐπὶ δὲ τοῦ ἀκριβῶς νῦν κυρίως τοῦθ' ὑπονοεῖν οὐκ ἔστιν· οὐ γάρ ἐστι τὸ μὲν περιεχόμενον νῦν τὸ δὲ περιέχον νῦν, οὐδὲ τὸ μὲν πλέον τὸ δὲ ἔλαττον, ὥστε ἀνάγκη φθείρεσθαι τὸ πρότερον νῦν, ἵνα γένηται τὸ ἐφεξῆς. ἐπεὶ τοίνυν πᾶν τὸ φθειρόμενον ἐν χρόνῳ φθείρεται, καὶ τὸ νῦν ἢ ἐν αὐτῷ φθείροιτ' ἂν ἢ ἐν ἄλλῳ χρόνῳ. ἀλλ' εἰ μὲν ἐν ἑαυτῷ, ἅμα ταὐτὸν εἶναί τε καὶ μὴ εἶναι καὶ γίνεσθαί τε καὶ φθείρεσθαι συμβήσεται, ὥσπερ εἰ καὶ τοῦτο τὸ ξύλον ἐν αὐτῷ τις φθείρεσθαι λέγοι καὶ εἰς ἑαυτὸ μεταβάλλειν. εἰ δὲ ἐν ἄλλῳ χρόνῳ, πότερον κἀκεῖνό ἐστι νῦν ἢ ἕτερον τοῦ νῦν; εἴτε γάρ, δύο ἅμα γίνεται νῦν, τὸ φθειρόμενον νῦν καὶ ἐν ᾧ φθείρεται. εἰ δ' ἕτερον, ἢ τὸ παρελθὸν ἔσται ἢ τὸ μέλλον· ἐν οὐδετέρῳ δὲ τούτων φθείρεσθαι δυνατόν. Themist. f. 44 *b*.

218a 21. δείξας ὅτι ἄλλο καὶ ἄλλο νῦν ἀδύνατον εἶναι, ἐφεξῆς δείκνυσι διὰ δυοῖν ἐπιχειρημάτων ὅτι οὐδὲ ἀεὶ τὸ αὐτὸ κατὰ ἀριθμὸν διαμένειν δυνατόν, εἰ μηδενὸς συνεχοῦς πεπερασμένου ἓν πέρας ἐστίν, εἴτε ἐφ' ἓν ᾖ συνεχὲς ὡς ἡ γραμμή, εἴτε ἐπὶ δύο ὡς τὸ ἐπίπεδον, εἴτε ἐπὶ τρία ὡς τὸ σῶμα, ἀλλ' ἡ μὲν γραμμὴ δύο σημείοις ὥρισται, τὸ δὲ ἐπίπεδον τοσούτοις ὅσαι εἰσὶν αἱ γραμμαὶ αἱ περιέχουσαι, τὸ δὲ στερεὸν τοσούτοις ὅσα ἐστὶ τὰ περιέχοντα ἐπίπεδα· δηλονότι καὶ τὸ νῦν πέρας ὂν τοῦ πεπερασμένου χρόνου οὐκ ἂν εἴη ἓν καὶ τὸ αὐτό... κατὰ δεύτερον δὲ τρόπον δείκνυσιν ὅτι οὐ τὸ αὐτὸ ἀεὶ νῦν ἐπιμένει. εἰ γὰρ τὸ αὐτὸ ἀεὶ νῦν ἐστί, πάντα ἐν τῷ αὐτῷ νῦν ἔσται, καὶ οὔτε πρότερον οὔτε ὕστερον. τὰ δὲ οὕτως ὄντα ἅμα ἐστί, καὶ τὰ οὕτω γεγονότα ἅμα γέγονε, καὶ ἔσται τὰ πρεσβύτατα καὶ παλαιότατα ἅμα τοῖς ἄρτι γεγονόσι καὶ οὖσιν· ἐν γὰρ τῷ αὐτῷ νῦν ἐστιν ἀμφότερα. Simpl. f. 165.

εἰ μὲν τὴν τοῦ ὅλου κίνησιν καὶ περιφορὰν τὸν χρόνον εἶναι φασίν, 218a 31. ὡς τὸν Πλάτωνα νομίζουσιν ὅ τε Εὔδημος καὶ ὁ Θεόφραστος καὶ ὁ Ἀλέξανδρος, οἱ δὲ τὴν σφαῖραν αὐτὴν τοῦ οὐρανοῦ, ὡς τοὺς Πυθαγορικοὺς ἱστοροῦσι λέγειν οἱ παρακούσαντες ἴσως τοῦ Ἀρχύτου λέγοντος καθόλου τὸν χρόνον διάστημα τῆς τοῦ παντὸς φύσεως, ἢ ὥς τινες τῶν Στωϊκῶν ἔλεγον· οἱ δὲ τὴν κίνησιν ἁπλῶς. τρεῖς γὰρ ἱστορεῖ περὶ χρόνου δόξας, τὰς μυθικωτέρας παρείς... τὸ δὲ τὴν σφαῖραν αὐτὴν τοῦ οὐρανοῦ εἶναι τὸν χρόνον ὡς ἄγαν ἀπίθανον οὐδὲ ἀντιλογίας ἠξίωσεν ὁ Ἀριστοτέλης. διὰ τοῦτο γὰρ ἐδόκουν τὸν οὐρανὸν λέγειν τὸν χρόνον, ὅτι ἔν τε τῷ οὐρανῷ τὰ πάντα καὶ ἐν τῷ χρόνῳ τὰ πάντα· καὶ δῆλον ὅτι οἱ οὕτω λέγοντες πρῶτον μὲν τοῦ ἔν τινι τὴν ὁμωνυμίαν ἠγνόησαν... πρὸς δὲ τὴν ἑτέραν ὑπήντησε τὴν λέγουσαν χρόνον εἶναι τὴν τοῦ παντὸς κίνησίν τε καὶ περιφοράν... ὁ δὲ Εὔδημος καὶ ἄλλας ἐπιχειρήσεις τίθησιν, ὧν οὐδὲν ἄτοπον δι' αὐτῆς ἀκούειν τῆς λέξεως λεγούσης... ὁ δὲ Ἀλέξανδρος φιλονεικῶν δεῖξαι τοῦ Πλάτωνος δόξαν εἶναι τὴν λέγουσαν χρόνον εἶναι τὴν τοῦ οὐρανοῦ φοράν, πρῶτον μὲν τὸν Εὔδημον μαρτύρεται λέγοντα "ἠκολούθησε δὲ καὶ Πλάτων τῇ λέξει ταύτῃ καὶ μάλα ἀτόπως."... ἐμὲ δὲ ὑποδεῖξαι χρεών, πρῶτον μὲν πόθεν Εὔδημος ὑπενόησε χρόνον λέγειν τὸν Πλάτωνα τὴν τοῦ οὐρανοῦ περιφοράν, εἶτα ὅτι οὐκ ἀκολουθεῖ τοῦτο τὸ ἄτοπον τῷ Πλάτωνι, ὡς ὁ Ἀλέξανδρος συνελογίσατο, τὸ χρόνον εἶναι πρὸ χρόνου. id. ib.

ἔτι εἰ πλείους ἦσαν οἱ οὐρανοί, καθάπερ Δημόκριτος λέγει, 218b 4. πλείους ἂν ἦσαν καὶ χρόνοι ἅμα καὶ ἐν τῷ αὐτῷ. ἀλλ' ἄλογον. Themist. f. 44 *b*.

τρίτην νῦν προτίθεται (δόξαν) τὴν τῶν τριῶν πιθανωτέραν, τὴν 218b 9. λέγουσαν τὸν χρόνον κίνησιν εἶναι καὶ μεταβολήν τινα. καὶ δηλονότι ἄλλη τίς ἐστιν ὑπόθεσις αὕτη παρὰ τὴν λέγουσαν τὴν τοῦ παντὸς περιφορὰν εἶναι τὸν χρόνον, καὶ οὐχ ἀναγκαίως νῦν ὁ Ἀλέξανδρος ἐπήγαγε, διὸ καὶ Πλάτων τε καὶ ἄλλοι τινὲς κίνησιν εἶπον αὐτόν· ὁ γὰρ Πλάτων, εἴπερ ἄρα, τὴν τοῦ παντὸς περιφορὰν εἶπε τὸν χρόνον· οὕτω γὰρ αὐτὸν μέχρι νῦν ηὔθυνεν ὁ Ἀλέξανδρος. δοκεῖ δὲ ἡ αὐτή πως ἔννοια εἶναι χρόνου καὶ κινήσεως... διὰ τοῦτο δέ, φησὶν ὁ Ἀλέξανδρος, τοῦτο προσέθηκεν, ὅτι ἐπὶ μὲν τῶν ἄλλων μεταβολῶν ἐν αὐτῷ τῷ μεταβάλλοντι ἐστὶν ἐκεῖνο τὸ καθ' ὃ ἡ μεταβολή... ὁ δὲ τόπος καθ' ὃν μεταβάλλει τὸ κατὰ τόπον κινούμενον οὐκ ἔστιν ἐν τῷ κινουμένῳ, ἀλλ' ὅπου ἐστὶ τὸ μεταβάλλον, ἐκεῖ καὶ ἡ κίνησις. οὕτω μὲν ὁ Ἀλέξανδρος. μήποτε δὲ καὶ ἡ κατὰ τόπον μὲν κίνησις ἐν τῷ κινουμένῳ ἐστίν· οὐ γὰρ ὁ τόπος καθ' ὃν κινεῖται τὸ κινούμενον ὑποτίθεται χρόνος, ἀλλ' ἡ κατὰ τόπον κίνησις, ἡ δὲ κίνησις ἐν τῷ κινουμένῳ ἐστὶν ἀεί, ὡς δέδεικται ἐν τοῖς περὶ κινήσεως λόγοις. οὐ διὰ τοῦτο οὖν ἐν τῷ τόπῳ πρόσκειται, ἀλλ' ἐπειδὴ καὶ ἐν τῷ τόπῳ ἐν ᾧ ἐστὶ τὸ κινούμενον οὐ μόνον τὴν κατὰ τόπον κίνησιν ἀλλὰ καὶ τὰς ἄλλας λέγομεν κινήσεις. Simpl. f. 166.

217b 2. δείξας ἐπὶ τῶν ἄλλων ποιοτήτων ὅτι τὸ αὐτὸ μένον ὑποκείμενον δέχεται τὸ μᾶλλόν τε καὶ ἧττον, δείκνυσιν αὐτὸ καὶ ἐπὶ τοῦ σχήματος, ἐπειδὴ κἂν ποιὸν ᾖ, ἀλλὰ πολλὴν ἔχει πρὸς μέγεθός τε καὶ ποσότητα κοινωνίαν. ἐὰν γὰρ μείζονος κύκλου περιφέρεια εἰς ἐλάττονος κύκλου κατακαμφθῇ σύστασιν, οὐ τῷ τινὰ μέρη τῆς περιφερείας πρότερον μὴ ὄντα κυρτὰ ἀλλ' εὐθέα νῦν κυρτωθῆναι εἰς ἐλάττονα συνάγεται κύκλον, ἀλλὰ τῷ τὰ ἧττον κυρτὰ μᾶλλον γενέσθαι κυρτά. κἄν τε οὖν ἡ αὐτὴ λέγοιτο περιφέρεια ἡ πρότερον μὲν οὖσα κυρτὴ ὕστερον δὲ γενομένη μᾶλλον, κἄν τε ἄλλη μὲν ἐκείνη ἄλλη δὲ αὕτη, τοῦτο πρόδηλόν ἐστιν, ὅτι οὐχ ὡς εὐθεῖ κυρτότης ἐπεγένετο, ἀλλ' ὅτι τὸ ἧττον κυρτὸν μᾶλλον κυρτὸν γέγονεν. καὶ ἔοικε τὸ "ἢ ἄλλη" προσθεῖναι εἰς περιουσίαν ἀποδείξεως· κἂν γὰρ μὴ βούληταί τις τὴν αὐτὴν εἶναι περιφέρειαν τὴν πρότερον μὲν ἧττον κυρτὴν τὰ νῦν δὲ μᾶλλον γενομένην, ἀλλ' ἄλλην καὶ ἄλλην λέγοι, καὶ οὕτως οὐχ ὡς εὐθεῖ κυρτὸν ἐπεισῆλθεν, ἀλλὰ τὸ ἧττον κυρτὸν μᾶλλον ἐγένετο κυρτόν... ἐπιστῆσαι δὲ ἄξιον ὅτι καὶ τὸ μέγεθος εἶδός τι εἶναι βούλεται, καὶ τὸ μικρὸν καὶ μέγα μεγέθους εἰδητικὰς διαφοράς· λόγοι γὰρ καὶ οὗτοι συμπληρωτικοὶ τῶν εἰδῶν προέρχονται εἰς τὴν ὕλην. Simpl. f. 162 *b*.

217b 5. ὅλως γὰρ τὸ μᾶλλον καὶ ἧττον λέγεται οὐκ ἐν τῷ διαλείπειν τι καὶ αὖθις μὴ διαλείπειν, ἀλλὰ τῷ δι' ὅλου ἐπιτείνεσθαι ἢ ἀνίεσθαι, ὡς τὸ θερμότερον, ὡς τὸ γλυκύτερον, ὡς τὸ λευκότερον. οὕτως δὲ καὶ ἐπὶ σμικρότητος καὶ μεγέθους οὐ προσλαβοῦσα ἡ ὕλη ἕτερον μέγεθος ἐπεκτείνεται ἢ ἀποβαλοῦσα συστέλλεται, ὡς λέγουσιν οἱ τὸ κενὸν αἰτιώμενοι. Themist. f. 44.

217b 12. αὕτη ἡ ῥῆσις δοκεῖ τὰ πρότερον εἰρημένα πάλιν λέγειν... διὸ καὶ ἔν τισιν ἀντιγράφοις οὐ φέρεται ὡς ἀπὸ παραγραφῆς εἰσενεχθεῖσα (τοιοῦτος καὶ ὁ τοῦ λόγου χαρακτήρ), ἀλλ' ἕπεται τῇ δείξει τῇ λεγούσῃ "ἔστι δὲ τὸ μὲν πυκνὸν βαρὺ τὸ δὲ μανὸν κοῦφον" ἡ λέγουσα "δύο γάρ ἐστιν ἀφ' ἑκατέρου τοῦ τε πυκνοῦ καὶ τοῦ μανοῦ" καὶ τὰ ἑξῆς. Simpl. f. 163.

"ἔτι ὥσπερ... ὕλης." τὰ αὐτὰ πάλιν ἐν τούτοις λέγει· ὅθεν ἀπὸ ταύτης τῆς ῥήσεως ἧς παρεθέμεθα ἕως τοῦ "συναγωγῇ καὶ διαστολῇ τῆς αὐτῆς ὕλης" νοθεύουσιν οἱ ἐξηγηταί. ἴσως δὲ ἐπανάληψίς ἐστιν. Philop. *s* p. 2.

217b 16. τὴν χρείαν τῆς τοῦ μαλακοῦ καὶ σκληροῦ προσθήκης μετ' ὀλίγον εἰσόμεθα, ὅταν διὰ ταύτης τῶν ἄλλων τριῶν κινήσεων τῶν παρὰ τὴν τοπικὴν αἰτίαν τὴν ὕλην δεικνύῃ. Simpl. f. 163.

217b 20. δυνάμει, φησὶν ὁ Ἀλέξανδρος, λέγει ἂν τοῦτο, πρὸς ὃ τοὺς ὑστέρους ἐποιήσατο λόγους, ὃ τῷ ἐγκεκρᾶσθαι καὶ μεμῖχθαι τοῖς σώμασι μανότητος καὶ κουφότητος αὐτοῖς αἴτιον ἐλέγετο γίνεσθαι· τοῦτο δ' ἂν εἴη οἶμαι τὸ παρεσπαρμένον κενόν. ὅτι δὲ μὴ εἰσάγει τὴν μανότητα τὸ κενόν, δέδεικται. ταῦτα μὲν ὁ Ἀλέξανδρος. ἐπιστῆσαι δὲ ἄξιον, εἰ τὸ δυνάμει κενὸν αἴτιον εἴρηται μανώσεως, ἀλλ' οὐχὶ τὸ ἐνεργείᾳ παρεσπαρμένον. μή ποτε οὖν δυνάμει λέγει κενὸν τὸ μή πω μὲν ὄν, κατὰ διάστασιν δὲ τῶν σωμάτων ἄλλοτε ἄλλου γινόμενον, ὥσπερ ἡμεῖς τοὺς πόρους γίνεσθαί φαμεν, ἐν οἷς ἔστιν ἀεί τι λεπτότερον τοῦ περιέχοντος σώματος. δῆλον δὲ ὅτι εἰ τὸ ἐνεργείᾳ κενὸν οὐκ ἔχει πάροδον εἰς τὰ ὄντα, οὐδὲ τὸ δυνάμει ἕξει... ἔδειξεν οὖν εὐθὺς διὰ τούτων ὅτι καὶ τῆς κατὰ ἀλλοίωσιν κινήσεως ἡ ὕλη ἐστὶν αἰτία, καὶ οὐχὶ τὸ κενόν, εἴπερ ἡ ἀλλοίωσις τῇ σκληρότητι καὶ μαλακότητι ἀκολουθεῖ, αὗται δὲ τῇ μανώσει καὶ πυκνώσει, αὗται δὲ διὰ τὴν ὕλην. ἀλλοίωσιν δὲ νῦν ἀκουστέον οὐ τὴν κατὰ ποιότητα μόνην μεταβολήν, ἀλλὰ καὶ τὴν κατὰ ποσότητα καὶ τὴν κατ' οὐσίαν. id. ib.

"ἁπλῶς" μέν, ὅτι οὐκ ἔστιν ἔξω τῶν σωμάτων ἀθρόον κενόν, 217b 21. ὥσπερ ὑπελάμβανόν τινες τὸν ἀέρα μὴ εἶναι σῶμά τι ἀλλὰ κενόν, οἷον ὡς οἱ Πυθαγόρειοι τὸ ἔξω τοῦ οὐρανοῦ... τὸ δὲ "οὔτε δυνάμει" ἀντὶ τοῦ ὡς ἐγκεκραμένον. Philop. *s* p. 3.

ὁ μέντοι Λαμψακηνὸς Στράτων δεικνύναι πειρᾶται ὅτι ἔστι τὸ 217b 27. κενὸν διαλαμβάνον τὸ πᾶν σῶμα, ὥστε μὴ εἶναι συνεχές, λέγων ὅτι οὐκ ἂν δι' ὕδατος ἢ ἀέρος ἢ ἄλλου σώματος ἐδύνατο διεκπίπτειν τὸ φῶς οὐδὲ ἡ θερμότης οὐδὲ ἄλλη δύναμις οὐδεμία σωματική. πῶς γὰρ ἂν αἱ τοῦ ἡλίου ἀκτῖνες διεξέπιπτον εἰς τὸ τοῦ ἀγγείου ἔδαφος; εἰ γὰρ τὸ ὑγρὸν μὴ εἶχε πόρους, ἀλλὰ βίᾳ διέστελλον αὐτὸ αἱ αὐγαί, συνέβαινεν ὑπερεκχεῖσθαι τὰ πλήρη τῶν ἀγγείων, καὶ οὐκ ἂν αἱ μὲν τῶν ἀκτίνων ἀνεκλῶντο πρὸς τὸν ἄνω τόπον αἱ δὲ κάτω διεξέπιπτον. ἀλλὰ ταῦτα μὲν οἶμαι λύειν δυνατὸν κατὰ τὰς Περιπατητικὰς ὑποθέσεις. Simpl. f. 163 *b*.

ὅτι μὲν ὁ περὶ κινήσεως λόγος οἰκειότατός ἐστι τῷ φυσικῷ, 217b 29. πρόδηλον... εἰ δὲ πᾶσα κίνησις ἐν χρόνῳ, καὶ οἱ μὲν τὴν κίνησιν αὐτὴν οἱ δὲ τῆς κινήσεώς τι τὸν χρόνον ᾠήθησαν, δῆλον ὅτι καὶ ὁ περὶ χρόνου λόγος ἀναγκαῖος τῷ φυσικῷ. id. f. 164.

ἐξωτερικά ἐστι τὰ κοινὰ καὶ δι' ἐνδόξων περαινόμενα, ἀλλὰ 217b 31. μὴ ἀποδεικτικὰ μηδὲ ἀκροαματικά... σημειωτέον δέ, φησὶν ὁ Ἀλέξανδρος, ὅτι ἐπὶ μὲν τοῦ κενοῦ, ὃ ἔμελλε δείξειν μὴ ὄν, εἶπεν ἀρχόμενος τοῦ περὶ αὐτοῦ λόγου τί σημαίνει τοὔνομα, ἐπὶ δὲ τοῦ χρόνου, ὃς ἔστιν ὁμολογουμένως, τίς ἡ φύσις ζητεῖ... ταῦτα δὴ πῶς εἴρηται σκοπεῖν ἄξιον· καὶ γὰρ ἐπὶ τοῦ χρόνου ἀπὸ τοῦ εἰ ἔστιν ἤρξατο, οὐκ ἀπὸ τοῦ τί ἐστιν. ἔπειτα καὶ ἐπὶ τῶν ὁμολογουμένως ὄντων, ὅταν ἀσαφέστερα ᾖ τὰ ὀνόματα, τὸ τί σημαίνει τοὔνομα προηγεῖται τοῦ εἰ ἔστιν. καὶ ταύτην τὴν τάξιν τῶν προβλημάτων ἐν τοῖς Ἀποδεικτικοῖς παρελάβομεν. id. ib.

πρῶτον δὲ καλῶς ἔχοι διαπορῆσαι περὶ αὐτοῦ καὶ διὰ τῶν ἔξωθεν λόγων, πρότερον εἰ ἔστιν, εἶτα τί ἐστιν ἐφεξῆς. Themist. f. 44.

ἐξωτερικοὺς λόγους φησὶ πρὸς ἀντιδιαστολὴν τῶν ἀκροαματικῶν καὶ ἀποδεικτικῶν τοὺς ἐξ ἐνδόξων καὶ πιθανῶν ὡρμημένους. εἴρηται δὲ ἐν Κατηγορίαις ὅτι ἐξωτερικοί εἰσι λόγοι οἱ μὴ ἀποδεικτικοὶ μηδὲ πρὸς τοὺς γνησίους τῶν ἀκροατῶν εἰρημένοι, ἀλλὰ πρὸς τοὺς πολλοὺς ἐκ πιθανῶν ὡρμημένοι. Philop. *s* p. 4.

διαφέρει τοῦτο τὸ ἐπιχείρημα τοῦ προτέρου, καθόσον ἐκεῖνο μὲν 218a 3. κατηγορικῶς πρόεισι τοῦτο δὲ ὑποθετικῶς, καὶ τὸ μὲν κατὰ τὴν ἐκ τῶν μερῶν σύνθεσιν τὸ δὲ κατὰ τὴν εἰς τὰ μέρη διαίρεσιν. διὸ καὶ ἐκεῖνο μὲν ὡς σύνθετον τοῦτο δὲ ὡς μεριστὸν λαμβάνει τὸν χρόνον... ὁ Ἀλέξανδρος γράψας τὸ "μετρεῖται" παθητικῶς ἐν τῷ "μετρεῖται γὰρ τὸ μέρος," περισκελέστερον ἐξηγεῖται λέγων ὅτι διάστημα ἔχει· τοῦ γὰρ ἐν διαστάσει καὶ συνεχοῦς καὶ τὰ μέρη ἐν διαστάσει, τὸ δὲ νῦν οὐκ

συμβεβηκότων, οὐδὲν διαφέρει τοῦ κενοῦ, κινούμενα δὲ καὶ μεταφερόμενα τὰ σώματα σὺν τοῖς οἰκείοις κινεῖται διαστήμασι, τί δεῖ τοῖς σώμασιν ἄλλων τοιούτων διαστημάτων; εἰ γὰρ καθὸ διάστημα ἔχει ἕκαστον ἑτέρου δεῖται διαστήματος, πῶς οὐχὶ καὶ τὸ κενὸν ἄλλου δεήσεται, καὶ ἐκεῖνο ἄλλου, καὶ ἐπ' ἄπειρον οὕτω πορευσόμεθα. Simpl. f. 160 *b*.

216 *b* 22. τῶν περὶ τοῦ κενοῦ λεγόντων οἱ μὲν κεχωρισμένον τι καθ' αὑτὸ ὂν τὸ κενὸν ἔλεγον ὡς διὰ πάντων τῶν σωμάτων χωρεῖν, καὶ κατά τι μὲν ἑαυτοῦ ἔχειν σῶμα κατά τι δὲ ὄν, ὅπερ καὶ κυρίως κενὸν ἔλεγον, ὥσπερ τὸ ἔχον τόπον· οἱ δὲ ἐν τοῖς σώμασι κατὰ μικρὰ πανταχοῦ διεσπαρμένον. εἰπὼν οὖν πρὸς τὴν προτέραν δόξαν προβάλλεται νῦν τὴν λοιπήν, τῷ μὲν ἐκείνῳ τῷ ὅτε ἔλεγεν "οἱ μὲν οὖν οἴονται τὸ κενὸν εἶναι, εἴπερ ἔσται ἡ κατὰ τόπον κίνησις, ἀποκεκριμένον καθ' αὑτό" (*a* 23), τὸν δὲ νῦν ἐπαγαγὼν ἐν τῷ "εἰσὶ δέ τινες οἳ διὰ τοῦ μανοῦ καὶ τοῦ πυκνοῦ οἴονται φανερὸν εἶναι ὅτι ἔστι τὸ κενόν". . ἔλεγον οὖν ὡς εἰ μὴ ἔστι κενόν, οὐκ ἔστι μάνωσις καὶ πύκνωσις· εἰ δὲ μὴ εἴη μάνωσις καὶ πύκνωσις, οὐκ ἔστι κίνησις· εἰ δὲ μὴ οὔσης μανώσεως καὶ πυκνώσεως εἴη κίνησις, κυμανεῖ τὸ πᾶν, ὥς φησι Ξοῦθος ὁ Πυθαγορικός, καὶ ὑπερχυθήσεται καὶ ἐπὶ πλέον ἐκταθήσεται, ὡς ἡ θάλασσα διὰ τῶν κυμάτων εἰς τοὺς αἰγιαλοὺς ὑπερχεῖται. τοῦτο οὖν συμβαίνειν τῶν τε τοπικῶς ἐπ' εὐθείας κινουμένων προσωθούντων τὰ παρακείμενα, καὶ τῶν αὐξομένων ὁμοίως, διὰ τὸ μὴ εἶναι πίλησιν, δι' ἣν χώρα τοῖς προσιοῦσι γενήσεται· ἐπὶ μόνων γὰρ τῶν κύκλῳ κινουμένων τὴν ἀντιμετάστασιν γίνεσθαι· ἐπὶ τούτων γὰρ μόνων ἐδέχοντο τὴν ἀντιπερίστασιν. καὶ ὅταν δέ τι τῶν πεπυκνωμένων σωμάτων εἰς μανότερον μεταβάλλῃ, προωθεῖσθαι πάλιν ἀνάγκη καὶ ὑπερχεῖσθαι· ἡ δὲ ὑπέρχυσις οὐκ ἂν γένοιτο πάλιν μὴ ὄντος κενοῦ τοῦ κεχωρισμένου δηλονότι ἔξω τοῦ παντός. ὥστε εἰς τὸ αὐτὸ πάλιν ἥκει ὁ λόγος... ἔστι δέ τις καὶ ἄλλη πλασματώδης ὑπόθεσις ἐπὶ τῶν γενέσεων. εἴποι γὰρ ἄν τις ὅτι ὅταν μεταβάλλῃ κυαθιαῖον ὕδωρ εἰς μείζονα ἀέρα, ἄλλος ἀὴρ ὁπουοῦν ἴσος τούτῳ μεταβάλλων εἰς κυαθιαῖον ὕδωρ φυλάττει τὴν ἰσότητα, ἢ καὶ πῦρ ἐνίοτε εἰς ἀέρα μεταβαλὸν τὴν ἀναλογίαν τηρεῖ. οὕτω γὰρ οἶμαι κάλλιον ἀκούειν ἢ ὡς ὁ Θεμίστιος ἤκουσεν, ὅτι ἀνάγκη ἐξ ὕδατος κυαθιαίου κυαθιαῖον ἀέρα γίνεσθαι. τοῦτο δὲ ἀδύνατον. τάχα δὲ καὶ ὁ Ἀλέξανδρος οὕτως ἐξηγεῖται λέγων ἴσον εἰς ἴσα γίνεσθαι τὴν μεταβολήν. id. ib. cf. Philop. *r* p. 6.

216 *b* 30. παραστὰς ὡς οἷόν τε ἦν τοῖς ἀπὸ τοῦ μανοῦ καὶ τοῦ πυκνοῦ τὸ κενὸν εἰσάγουσι λόγοις καὶ προθέμενος ὑπαντῆσαι πρὸς αὐτούς, διαιρεῖ πάλιν τὸ κενὸν εἴς τε τὸ κεχωρισμένον καὶ τὸ ἀχώριστον, καὶ κεχωρισμένον μὲν κενὸν λέγει τὸ καθ' αὑτὸ ὂν διάστημα συνεχές, δεκτικὸν μὲν σώματος μὴ μέντοι δεδεγμένον, μὴ χωριστὸν δὲ τὸ διεσπαρμένον ἐν τοῖς σώμασιν· αὗται γὰρ ἦσαν αἱ δύο τῶν τὸ κενὸν λεγόντων ὑποθέσεις. διαιρεῖ δὲ οἶμαι νῦν τὸ διεσπαρμένον εἴς τε τὸ κατὰ μεγάλα διεσπαρμένον καὶ εἰς τὸ μὴ κατὰ μεγάλα... προσφυῶς δὲ καὶ χαριέντως εἰς παράδειγμα παρέθετο τοὺς ἐν ὕδατι πεφυσημένους ἀσκούς, οἵτινες τὰ ὑποκείμενα κουφίζουσιν ὡς τὰ ἐν θαλάττῃ δίκτυα, καὶ τὰ ἐπικείμενα αὐτοῖς· πολλοὶ γοῦν ποταμοὺς διαπεραιοῦνται πορθμείοις τοῖς ἀσκοῖς χρώμενοι. οὕτω δὲ καὶ τὸ κενὸν δοκεῖ τὰ σώματα τὰ ἐν οἷς ἐστὶ κουφίζειν τῷ αὐτὸ ἄνω φέρεσθαι. εἰ δὴ τοιοῦτο τὸ κενόν, δύο ἄτοπα ἐπάγει τέως. Simpl. f. 161.

ἁρμόζει οὗτος ὁ λόγος πρὸς τοὺς πάντα τὰ σώματα φύσει 216 *b* 34. βαρέα καὶ κατώφορα λέγοντας. τοῦ δὲ ἄλλα ἄλλοις ἐπιπολάζειν οἱ μὲν τὸ κενὸν οἱ δὲ τὴν τῶν βαρυτέρων ὑφίζησιν αἰτιῶνται. id. f. 161 *b*.

τὸ "ἴσως" προσέθηκεν ὅτι κυρίως μὲν λαμβανομένου τοῦ κούφου 217 *a* 8. καὶ μανοῦ σώματος ἀναμφισβήτητον τὸ λεγόμενον. τὸ δὲ ὑπ' αὐτῶν λεγόμενον κοῦφον, οὐ παρὰ τὴν αὑτοῦ φύσιν ὂν κοῦφον ἀλλὰ διὰ τὸ μεμῖχθαι κενῷ, εἰ μὲν κατὰ τὸ σῶμα τὸ ἐν ἑαυτῷ πρὸς τὸ κενὸν συγκρίνοιτο, ἀσύμβλητα ἂν εἴη, εἰ δὲ κατὰ τὸ κενὸν πρὸς τὸ κενόν, οὐκ ἀσύμβλητα τὰ κενά. id. ib.

εἰ γὰρ μὴ ἔστι μάνωσις καὶ πύκνωσις τῷ ὄντι, ἢ οὐκ ἔστι κίνησις 217 *a* 10. ἢ κυμανεῖ τὸ πᾶν, ἢ εἴη μὴ ταῦτα ἀνάγκη, εἰ γίνοιτο ἐνταῦθα ὕδωρ ἐξ ἀέρος, ἀλλαχοῦ ἐξ ἴσου ὕδατος ἴσον ἀέρα γίνεσθαι οὐ τῷ ὕδατι ἀλλὰ τῷ ἀέρι ἐξ οὗ τὸ ὕδωρ. ὅτι γὰρ οὐχ ὡς ἤκουσαν οἱ ἐξηγηταὶ ἴσον τῷ ὄγκῳ τὸν ἀέρα τῷ ὕδατι λέγει, αὐτὸς παρίστησιν εἰπὼν "δῆλον γὰρ ὅτι ὁ πλείων ἀὴρ ἐξ ὕδατος γίνεται." καὶ οἶδα μὲν ὅτι τοῦτο ὡς ἔλεγχον ἀκούσονται τοῦ "ἀεὶ ἴσον ὕδωρ ἐξ ἀέρος ἔσται" οἱ οὕτω τὸ ἴσον ἐκλαβόντες, ὅτι δὲ οὐχ οὕτως εἴρηται, ἀλλ' ὡς ἑρμηνευόμενον πῶς χρὴ τὴν ἰσότητα λαμβάνειν, ὅτι τοῦ γενομένου οὐ πρὸς τὸ ἐξ οὗ γίνεται, οἷον εἰ ἐξ ἀέρος ὕδωρ ἐνθάδε, ἀλλαχοῦ ἐξ ἴσου τῷ ἐνθάδε γενομένῳ ὕδατι ἴσον ἀέρα γενόμενον τῷ ἐξ οὗ γέγονεν ἐνθάδε τὸ ὕδωρ. ὅτι γὰρ οὕτως ὁ Ἀριστοτέλης τὴν ἰσότητα εἶπε, δηλοῖ συμπεραινόμενος καὶ λέγων "ἀνάγκη τοίνυν, εἰ μή ἐστι πίλησις, ἢ ἐξωθούμενον τὸ ἐχόμενον τὸ ἔσχατον κυμαίνειν ποιεῖν, ἢ ἄλλοθί που ἴσον μεταβάλλειν ἐξ ἀέρος εἰς ὕδωρ, ἵνα ὁ πᾶς ὄγκος τοῦ ὅλου ἰσωθῇ, ἢ μηθὲν κινῆται." τὸ γὰρ "ἄλλοθι" οὐκ ἂν προσέθηκεν, εἰ ἴσον ἔλεγε τῷ ὄγκῳ τὸ ὕδωρ τοῦ ἀέρος εἶναι τὸ γινόμενον τῷ ἐξ οὗ γίνεται. πῶς δὲ δῆλον ὅτι πλείων ὁ ἀὴρ ἐξ ὕδατος γίνεται; ἢ ὅτι ἐκ τῶν ἀγγείων δῆλον τῶν ῥηγνυμένων τῆς τοῦ ὑγροῦ εἰς πνεῦμα μεταβολῆς, ὡς ἐπὶ τῶν πίθων τοῦ γλεύκους συνεχῶς ὁρᾶται γινόμενον διὰ τὴν εἰς πλείονα ὄγκον μεταβολήν. id. ib.

ὅτι οὐκ ἐκείνων ἦν τὸ πιθανὸν τοῦτο τῆς ἀπορίας, ἀλλ' αὐτὸς 217 *a* 20. τῷ λόγῳ παραστὰς τοιοῦτον αὐτὸν ὑπέδειξεν, ἱκανῶς οἶμαι τὸ "φαῖεν ἄν" ἐνδείκνυται, ὡς οὐκ εἰπόντων μέν, ἐρούντων δὲ ἡδέως, εἴ τις αὐτοῖς τὴν τοιαύτην μεταχείρησιν ἐπιδείξειεν. id. f. 167.

μέχρι μὲν οὖν τῶν ἐνταῦθα πέρας ἔχουσι τῷ Ἀριστοτέλει οἱ περὶ τοῦ κενοῦ λόγοι. δεῖ δὲ ἡμᾶς ἄνωθεν ἀναλαβόντας τὸν λόγον ἕκαστον τῶν ἐπιχειρημάτων ἐπισκέψασθαι... ὅτι μὲν οὖν οὐδὲν τῶν ἐπιχειρημάτων τῶν ἀναιρούντων τὸ κενὸν ἔχει τὸ ἀναγκαῖον, ἱκανῶς εἴρηται. δείξωμεν δὲ ἡμεῖς πρῶτον μὲν ὅτι καὶ εἰ κενὸν ἦν κεχωρισμένον καὶ παντὸς ἐστερημένον σώματος, οὐδὲν ἐκώλυε δι' αὐτοῦ γενέσθαι τὴν κατὰ τόπον κίνησιν· ἔπειτα, ὅπερ ἤδη εἶπον, ὅτι οὐδὲ οἷόν τε ἦν ὅλως κίνησιν εἶναι τὴν κατὰ τόπον μὴ ὄντος τινὸς τοιούτου διαστήματος, κἂν μηδέποτε χωρὶς σώματος ᾖ. Philop. *r* p. 7 et 12.

ταύτην τὴν μέθοδον ἐπιχειρημάτων διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς περαινομένων, τὸ μὲν πρῶτον συνάγει ὅτι ἔσται κίνησις ἄχρονος, τὸ δὲ δεύτερον ὅτι τὸ κενὸν λόγον ἕξει πρὸς τὸ πλῆρες, τὸ τρίτον ὅτι οὐ μόνον λόγον ἕξει τὸ κενὸν πρὸς τὸ πλῆρες, ἀλλὰ καὶ ὃν πλῆρες πρὸς πλῆρες, τὸ τέταρτον ὅτι ἐν τῷ αὐτῷ χρόνῳ τό τε κενὸν καὶ τὸ πλῆρες διελεύσεται τὸ κινούμενον. προσλαμβάνει δὲ τὰς αἰτίας τῆς ἀνισοταχοῦς κινήσεως δύο οὔσας... ὅτι δὲ σὺν τῇ κινήσει καὶ τὸν χρόνον παραλαμβάνει, δῆλον καὶ ἐκ τῶν ἑξῆς ῥηθησομένων γενήσεται. Simpl. f. 157 *b*.

215a 27. *παραδείγματος ἕνεκεν τὴν γῆν ἔλαβεν, οὐχ ὡς δι' αὐτῆς γινομένης κινήσεως. ἢ γῆν φησὶ χωρίον τι τελματῶδες. ὅθεν ἐπὶ σαφέστερα παραδείγματα μεταβαίνων τὸν ἀέρα λαμβάνει καὶ τὸ ὕδωρ.* Philop. *q* p. 14.

215b 11. *"καὶ ἧττον ἐμπ. ἀλλ' εὐδ." τὸν ἀλλὰ σύνδεσμον ἀντὶ τοῦ καὶ τέθεικεν, ἐπειδὴ καὶ ἰσοδύναμος.* id. ib.

215b 21. *νῦν εἰπὼν ὅτι ἡ τοῦ κενοῦ κίνησις ἐν οὐδενὶ ἔσται λόγῳ οὐδὲ πρὸς τὴν διὰ λεπτοτάτου τῷ ἄχρονον εἶναι τὴν διὰ τοῦ κενοῦ, τὰ ἑπόμενα τοῖς μὴ οὕτω λέγουσιν ἄτοπα ἐπάγει. καὶ ὁ μὲν Ἀλέξανδρος τὸ "ἀλλ' εἰ διὰ τοῦ λεπτοτάτου ἐν τοσῳδὶ τὴν τοσηνδὶ φέρεται διὰ τοῦ κενοῦ, παντὸς ὑπερβάλλει λόγου" συμπέρασμα τοῦ προτέρου ἐπιχειρήματος ποιησάμενος, τοῦ νῦν προκειμένου ἤρξατο ἀπὸ τοῦ "ἔσω γὰρ τὸ ζ' κενόν." ἄμεινον δὲ οἶμαι μὴ ὡς ἀρχὴν τοῦτο λέγειν· ἢ πῶς ἔχει λόγον ὁ γάρ σύνδεσμος; ἀλλὰ διὰ τούτων δείκνυσι τὰ ἑπόμενα τοῖς ἔγχρονον ὑποτιθεμένοις τὴν διὰ τοῦ κενοῦ κίνησιν καὶ λόγον εἶναι λέγουσι τῶν κινήσεων καὶ τῶν χρόνων.* Simpl. f. 158 *b*.

215b 26. *ἐπὶ ταῖς αὐταῖς ὑποθέσεσι τρίτον ἀδύνατον συνάγει, ὅτι ἐν ἴσῳ χρόνῳ πλῆρές τι διελεύσεται καὶ κενὸν τὸ κινούμενον... ἀναγνοὺς δέ, φησὶν ὁ Ἀλέξανδρος, εἰς τοῦτο τὸν λόγον κατέλιπε τὸ δεῖξαι τὸ ἑπόμενον ἄτοπον. ἦν δὲ τοῦτο τὸ ἴσον ἕξειν λόγον τὸ κενὸν πρὸς τὸ πλῆρες, ὃν τὸ πλῆρες πρὸς τὸ πλῆρες... μήποτε δὲ συνάγεται μὲν καὶ τοῦτο τὸ ὑπ' αὐτοῦ λεγόμενον ἄτοπον, ὁ δὲ Ἀριστοτέλης ὡς ἐναργῶς ἄτοπον καὶ ἀδύνατον συνήγαγε τὸ ἐν ἴσῳ χρόνῳ πλῆρές τι διεξιέναι καὶ κενόν.* id. ib.

215b 27. *διὰ τούτων, φησὶν ὁ Ἀλέξανδρος, προστίθησιν ὅτι κἂν τοσούτῳ τῇ λεπτότητι διαφέρει τοῦ δ' σώματος ὅσῳ ὁ ε' χρόνος ὑπερέχει τοῦ η', τὸ α' ἐν τῷ η' χρόνῳ ἴσον ἐκείνου τοῦ σώματος τοῦ λεπτοῦ διελεύσεται ὅσον τοῦ δ' τοῦ παχυτέρου ἐν τῷ ε'. τίθησι δὲ νῦν λεπτότερον τοῦ δ' σώματος τὸ ζ', ὅπερ πρότερον κενὸν ἐτίθει· ἂν γὰρ ᾖ τοσοῦτον τὸ ζ' σῶμα λεπτότερον τοῦ δ' ὅσον ὑπερέχει ὁ ε' χρόνος τοῦ η', ἀντεστραμμένως τὸ μὲν ὑπερέχον τῇ λεπτότητι σῶμα ἐν τῷ ὑπερεχομένῳ χρόνῳ διελεύσεται, τὸ δὲ ὑπερεχόμενον σῶμα λεπτότητι ἐν τῷ ὑπερέχοντι χρόνῳ· ἐν μὲν γὰρ τῷ πλείονι τὸ παχύτερον, ἐν δὲ τῷ ἐλάττονι τὸ λεπτότερον. καὶ ἐξηγήσατο μὲν καλῶς καὶ κατὰ πόδας τῶν εἰρημένων ὁ Ἀλέξανδρος, τίνα δὲ χρείαν τοῖς προκειμένοις ταῦτα παρέχεται οὐκ εἶπεν. οὐ μέντοι, οἶμαι, οὐδὲ ὡς προσθήκη ταῦτα λέγεται· φησὶ δὲ μηδὲ ἀνάγκην ἔχειν τὸν λόγον τοῦτον.* id. f. 159.

216a 17. *ὁ Ἀλέξανδρος "ἅμα δὲ ἀδύνατον" γράφει ἀντὶ τοῦ "ἀλλὰ ἀδύνατον," καὶ ἐξηγεῖται ἢ ὅτι ἀδύνατον ἅμα φέρεσθαι τὸ κουφότερον καὶ τὸ βαρύτερον, ἢ ὅτι συμβαίνει τὸ βαρύτερον διὰ μὲν τὴν φύσιν αὐτοῦ ἀναγκαῖον εἶναι θᾶττον κινεῖσθαι, διὰ δὲ τὸ κενὸν μὴ θᾶττον κινεῖσθαι· ταῦτα δὲ ἅμα συντρέχειν ἀδύνατον. τὸ δὲ "κατὰ τὸν λόγον ὃν ἔχουσι τὰ μεγέθη πρὸς ἄλληλα" τὰ φερόμενα λέγει σώματα κατὰ τὸν λόγον ὃν ἔχουσι πρὸς ἄλληλα τῆς ῥοπῆς φέρεσθαι· τοσούτῳ γὰρ θᾶττον ἢ βραδύτερον.* id. f. 159 *b*.

εἰπὼν "οἱ μὲν οὖν οἴονται τὸ κενόν" οὐκ ἀποδέδωκεν εὐθέως τὸν "δέ," ἀλλ' ἀντειπὼν πρὸς τούτους πρότερον, οὕτω περὶ τῶν ἄλλως τιθεμένων τὸ κενὸν προστίθησι λέγων "εἰσὶ δέ τινες οἱ διὰ τοῦ κενοῦ καὶ πυκνοῦ." id. f. 160. 216a 23.

ἐντεῦθεν αὐτὸ καθ' αὑτὸ τὸ πρόβλημα προθεὶς διελέγχει, καὶ δείκνυσιν ὅτι οὐκ ἔστι κενόν, εἰς ἀδύνατον πάλιν ἄγων τὸ σῶμα διὰ σώματος χωρεῖν, εἴπερ εἴη κενόν, ὅπερ ἐκεῖνοι φεύγοντες ὑπετίθεντο τὸ κενόν. ὅταν γὰρ ἄλλο σῶμα ἐν ἄλλῳ σώματι τεθῇ, οἷον λίθινος κύβος ἐν ὕδατι ἢ ἀέρι, ἀναγκαῖον ἐκστῆναι τῷ ἐπεισιόντι τὸ προϋπάρχον, ἢ ἄνω, εἰ πῦρ, ἢ κάτω, εἰ γῆ, ἢ εἰς τὸ μεταξύ, εἴ τι τῶν μεταξὺ στοιχείων εἴη, καὶ τοσοῦτον ἐκστῆναι ὅσον ὁ τοῦ τιθεμένου ὄγκος ἐστίν... ἐπ' ἐνίων δὲ τῇ μὲν αἰσθήσει πρόδηλος οὐκ ἔστιν ἡ ὑποχώρησις, καταλαμβάνεται δὲ ἐκ κατασκευασμάτων τινῶν· ἐν γὰρ ταῖς ὑδραύλεσιν, ὅταν μεσταῖς οὔσαις ἀέρος ἐγχέηται ὕδωρ, γλῶσσαί τινες σαλπίγγων ἢ αὐλῶν ταῖς ὀπαῖς προστιθέμεναι, δι' ὧν ἔξεισι τὸ πνεῦμα, διὰ τοῦ ψόφου τὴν ἔξοδον διελέγχουσι τὴν δι' αὐτῶν τοῦ ἀέρος... τούτων οὖν οὕτως ἐναργῶς φαινομένων, ἐπὶ τοῦ κενοῦ τί φήσομεν συμβαίνειν, ὅταν ἐν αὐτῷ τι τεθῇ σῶμα; πότερον ὑπεξίστασθαι τὸν ἴσον ὄγκον τοῦ κενοῦ; ἀλλὰ γελοῖον τοῦτο, εἴπερ γελοῖον τὸ ἀδύνατον. τί γὰρ ὂν ὑπεξίσταται; ἀλλὰ μένειν; οὐκοῦν δίεισι διὰ τοῦ κύβου τὸ ἴσον διάστημα τοῦ κενοῦ. id. ib. 216a 26.

"καθ' αὑτό," τουτέστι χωρὶς τῆς κατὰ τόπον κινήσεως. Philop. *r* p. 2.

"ἔχοντι μετάστασιν" εἶπε διὰ τὰ μεγέθη τὰ μαθηματικά... τὸ δὲ "ἂν μὴ συμπιλῆται," οἷον ὡς ἐπὶ τοῦ ἐρίου· τοῦτο γὰρ συμπιλούμενον εἰς ἑαυτὸ ἀντιπαραχωρεῖ μὲν τῷ ἐντεθέντι, οὐ μέντοι ἐπὶ τὸ ἄνω ἢ ἐπὶ τὸ κάτω κινεῖται, ἀλλὰ μόνον εἰς ἑαυτὸ συμπιλεῖται. id. p. 3. 216a 30.

"ἢ ὁποῖον ἄν τι ᾖ τὸ ἐντιθέμενον." εἰ μὲν οὕτως ἔχει ἡ γραφή, λέγοι ἂν περὶ τοῦ σχήματος τοῦ ἐντιθεμένου, ὅτι τὸ αὐτὸ συμβήσεται, κἂν μὴ κύβος ᾖ τὸ ἐντεθὲν ἀλλὰ ἄλλο ὁποιονοῦν σχῆμα. εἰ δέ ἐστιν "ὅποι ἂν εἴη," τουτέστιν ἐφ' ὃ ἂν ἔχοι τὴν κίνησιν τὸ ἐντιθέμενον, λέγοι ἂν ὅτι τὸ σῶμα ἐν ᾧ ἐντίθεται ὁ κύβος, ἐπὶ τοῦτο χωρήσει ἐφ' ὃ ἂν καὶ τὸ ἐντιθέμενον χωρῇ, δηλονότι δραστικωτέρας οὔσης τῆς ῥοπῆς τοῦ ἐντιθεμένου... τὸ δὲ "ἢ ἐπ' ἄμφω" οὐ πάνυ ἁρμόσει κατὰ ταύτην τὴν ἐξήγησιν. ἢ τὸ "ἐπ' ἄμφω" ὡς ἐν ὑποθέσει εἴρηται, ὅτι εἰ εἴη τοιοῦτον ὥστε καὶ ἄνω καὶ κάτω χωρεῖν. τὸ δὲ "ἐφ' ὃ πέφυκε συνίστασθαι" ἴσον ἐστὶ τῷ μεθίστασθαι. τὸ δὲ "ἔχοντι μετάστασιν," τουτέστι πεφυκότι μετακινεῖσθαι· ἂν γὰρ ἀκίνητον ᾖ, οὐδ' ὅλως γενήσεται ἐν τόπῳ αὐτοῦ τὸ ἐντιθέμενον. id. ib. 216a 33.

δεύτερον τοῦτο τίθησιν εἰς τὸ αὐτὸ τεῖνον ἐπιχείρημα. εἰ γὰρ τὸ ἐν ἑκάστῳ διάστημα χωριζόμενον τῷ λόγῳ τῶν παθῶν, τουτέστι τῶν 216b 12.

ριστον. εἰ δὲ τὸ διάστημα λέγοντες εὐθὺς χωριστὸν αὐτὸ βούλονται εἶναι τῶν φυσικῶν καὶ ἁπλῶν σωμάτων. οὐδὲν οὖν διοίσει τὸ ἐν πυρὶ τοῦ ἐν ὕδατι· οὐδὲ γὰρ ἀπολαύει τι τοῦ σώματος, ἀλλ' ἔστι καθ' αὑτό, καθάπερ δὴ καὶ τὸ κενόν, εἴπερ ἔστιν. εἴρηται γὰρ ὅτι τὸ κενὸν οὐδὲν ἄλλο ἢ τόπον ἡγοῦνται οἱ τὸ διάστημα παράγοντες εἰς τὸν τόπον. εἰ οὖν τοῦτο μὴ αἴτιον κινήσεως, τὸ διάστημα ἀναίτιον. ὁμοίως καὶ τὸ κενόν· καθάπερ γὰρ ἄλληλα συνεισάγει, οὕτως ἀλλήλοις καὶ συναπόλλυται. προστίθησι δὲ Ἀριστοτέλης ὅτι τῷ διάστημά τι λέγοντι τὸν τόπον ἕπεται καὶ τὰ μέρη καθ' αὑτὰ ποιεῖν ἐν τόπῳ· τοῦτο δὲ προλαβόντες ἡμεῖς ἐν τοῖς περὶ τοῦ τόπου τί ἂν πάλιν λέγωμεν; συμβαίνει δὲ τοῖς λέγουσιν ἀναγκαῖον εἶναι κενόν, εἴπερ ἔστι κίνησις, τοὐναντίον μᾶλλον, ἐάν τις ἐπισκοπῇ, μὴ ἐνδέχεσθαι κινεῖσθαι μηδέν, ἂν ᾖ κενόν. Themist. f. 41 *b*.

τὸ αὐτὸ δὴ εἶπε καὶ ἐν τοῖς περὶ τόπου λόγοις, ἀλλ' ἐκεῖ μὲν πάνυ ἀμυδρῶς καὶ ἀσαφῶς, ἐνταῦθα δὲ σαφέστερον. Philop. *q* p. 8.

214 b 24. εἰ μὲν αὕτη μόνη ἡ λέξις ἕπεται τοῖς προειρημένοις, οὐδὲν ἀσαφὲς ἔσται. εἰπὼν γὰρ ὅτι τὸ τεθὲν ἐν τῷ κενῷ σῶμα οὔτε κινηθήσεται οὔτε μενεῖ, εὐλόγως ἐπιφέρει τὸ "πῶς δὴ ἐνέσται ἐν τόπῳ ἢ ἐν τῷ κενῷ;" πῶς γὰρ ὅλως ἔσται ἢ ὡς ἐν τόπῳ ἢ ὡς ἐν κενῷ ἐν τούτῳ ἐν ᾧ μήτε κινεῖσθαι μήτε ἠρεμεῖν δύναται, καίτοι καὶ τῶν κινουμένων καὶ τῶν ἠρεμούντων ἢ ὡς ἐν τόπῳ ἢ ὡς ἐν κενῷ κινεῖσθαι δοκούντων ἢ ἠρεμεῖν. ἐπειδὴ δὲ ἔν τισιν ἀντιγράφοις μετὰ τὴν εἰρημένην λέξιν ἐπάγεται ταῦτα "οὐ γὰρ συμβαίνει ὅταν ὅλον τεθῇ ὡς ἐν κεχωρισμένῳ τόπῳ καὶ ὑπομένοντι σώματι· τὸ γὰρ μέρος ἂν μὴ χωρὶς τίθηται, οὐκ ἔσται ἐν τόπῳ ἀλλ' ἐν τῷ ὅλῳ," εἴη ἄν τι καὶ τοῦτο ἐπιχείρημα πρὸς τὸ μὴ εἶναι τὸ χωριστὸν τοῦτο διάστημα, μήτε ὡς τόπον μήτε ὡς κενόν... τότε τὰ μόρια ἐν τόπῳ, ὅταν χωρισθῇ τοῦ ὅλου καὶ τῆς πρὸς αὐτὸ συνεχείας ἀπολυθῇ. ἕως δ' ἂν ᾖ συνεχῆ τῷ ὅλῳ, ἐν ὅλῳ ἐστὶν ὁ τόπος, καὶ τὰ συνεχῆ τῷ ὅλῳ μέρη καὶ αὐτὰ καθ' αὑτὰ οὐδὲν ἧττον τοῦ ὅλου ἐν τόπῳ ἔσται· ὁμοίως γὰρ καὶ ταῦτα ἴσον ἑαυτοῖς κατέχει διάστημα. τὰ δὲ τούτῳ ἑπόμενα ἄτοπα ἐν τοῖς περὶ τόπου λόγοις εἶπεν (c. 3 p. 211 *b* 20). Simpl. f. 156.

214 b 28. ὅτι ὁμοίως ἔχον πρὸς πᾶν μόριον τοῦ ἐν ᾧ ἐστίν, ἀκίνητον ἂν μένῃ, ἐπιστώσατο καὶ ἀπὸ τοῦ Πλάτωνος τὴν ἐν μέσῳ τῆς γῆς μονὴν ἐκ τούτου κατασκευάζοντος, ἐν οἷς φησὶν ἐν Τιμαίῳ (p. 40 et 63)... σημειωτέον δέ, φησὶν ὁ Ἀλέξανδρος, ὅτι ἔν τισιν ἀντιγράφοις ἡ ἐπιχείρησις αὕτη οὐ φέρεται, ἴσως ὡς εἰρημένη ἤδη, ἀλλ' ἡ μετὰ ταύτην "πρῶτον μέν." id. f. 156 *b*.

δείξας ὅτι οὐκ ἔστιν αἴτιον κινήσεως τὸ κενόν, οὔτε ὡς ποιητικὸν οὔτε ὡς τελικόν, βούλεται λοιπὸν δεῖξαι ὅτι οὔτε ὡς τὸ δι' οὗ αἴτιον κινήσεως τὸ κενὸν ἐνδέχεται εἶναι, οἷον ὀργανικόν. πρότερον δὲ ἀναλαμβάνει τὰ εἰρημένα, καὶ δείκνυσι τὸ ἐκ τούτων ταῖς ἐκείνων ὑποθέσεσιν ἑπόμενον· τοῖς γὰρ λέγουσι, φησί, τὸ κενὸν κινήσεως εἶναι αἴτιον τοὐναντίον συμβαίνει ἢ λέγουσιν. Philop. *q* p. 8.

215 a 10. ὥσπερ γὰρ τοῦ μηδενὸς οὐδεμία ἐστὶ διαφορά, οὕτω καὶ τοῦ κενοῦ. τὸ γὰρ κενὸν μὴ ὄν τι καὶ στέρησιν λέγει Δημόκριτος. ὥσπερ ἡ κατὰ φύσιν κίνησις διαφορᾶς δεῖται τοῦ περιέχοντος. Themist. f. 42.

215 a 14. τῆς βιαίου κινήσεως διχῶς γινομένης, ἢ παρόντος τοῦ βιαζομένου καὶ ὀχοῦντος ἢ ὠθοῦντος ἢ ἕλκοντος, ἢ μὴ παρόντος, ὡς ἐπὶ τῶν ῥιπτουμένων, ἐπὶ ταύτης ποιεῖται τὴν ἀπόδειξιν, τὴν ἑτέραν διὰ τὸ ἐναργές, ὡς ὁ Ἀλέξανδρος φησί, παραλιπών... νῦν οὖν περὶ τῆς ἀπόντος τοῦ βιαζομένου, τουτέστι τῆς κατὰ ῥίψιν, δείκνυσιν ὡς οὐκ ἐσομένης ἐν τῷ κενῷ· ἐν μὲν γὰρ πλήρει γινομένης τῆς ῥίψεως τὰ ῥιπτούμενα κινεῖται ἢ τῷ ἀντιπεριίστασθαι τὸν πρὸ τοῦ ῥιπτουμένου προωθούμενον ἀέρα ὑπὸ τῆς τοῦ ῥιπτοῦντος ῥύμης· εὐκινητότερος γὰρ ὢν τοῦ ῥιπτουμένου ὁ ἀὴρ προωθεῖται, καὶ τῇ βίᾳ ἀθρόος ἀντιπεριιστάμενος ἐπωθεῖ τὰ κινούμενα. τούτου δὲ κατὰ συνέχειαν γινομένου, συνεχὴς ἡ κίνησις τοῦ ῥιφέντος μένει, ἕως ἂν κατ' ὀλίγον ἐκλυομένης τῆς τοῦ ἀντιπεριισταμένου ἀέρος ῥύμης ἐπικρατήσῃ ταύτης ἡ οἰκεία τοῦ ῥιφέντος κατὰ φύσιν φορά. ταύτης δὲ τῆς δόξης ὁ Πλάτων δοκεῖ, τὴν ἀντιπερίστασιν οὕτως ἐξηγούμενος ἐν Τιμαίῳ (p. 59)... ἢ οὖν οὕτως ἡ τῶν ῥιπτουμένων κίνησις μένει συνεχής, ἢ διὰ τὸ ἐπωθεῖν τὸν συναπωσθέντα ὑπὸ τοῦ ῥίψαντος τὸν τὸ βίᾳ φερόμενον ἀέρα... εἰπὼν δὲ ὅτι οὐδὲν τούτων ὑπάρχει ἐν τῷ κενῷ, οὐδὲ ἐνδέχεται φέρεσθαι ἐν αὐτῷ, ἐπήγαγεν "ἀλλ' ἢ ὡς τὸ ὀχούμενον," ἐνδεικνύμενος ὅτι κατὰ μὲν τὸν τῆς ῥίψεως τρόπον ἀδύνατον φέρεσθαι ἐν κενῷ τὸ φερόμενον, εἴπερ δὲ ἄρα, ὡς τὰ ὀχούμενα φέρεται. εἰ δὲ τοῦτο, ἢ ἐπ' αὐτοῦ τοῦ κενοῦ ὀχεῖται ἢ ἐπί τινος σώματος. ἀλλ' ἐπὶ τοῦ κενοῦ ἀδύνατον. Simpl. f. 157.

215 a 19. εἰ οἱ ἐξηγηταὶ καὶ τοῦτο ἐπιχείρημα λέγουσιν, ὅτι οὐκ ἔσται κίνησις κατὰ φύσιν ἐν τῷ κενῷ, διότι τὰ κατὰ φύσιν κινούμενα ἐπὶ τὸν οἰκεῖον φέρεται τόπον, οὐκ ἔστι δὲ οἰκεῖος τόπος ἐν τῷ κενῷ διὰ τὸ ἀδιάφορον, ἄμεινον οἶμαι τῆς κινήσεως πρότερον ἀναιρεθείσης νῦν τὴν στάσιν ἀναιρεῖσθαι, καὶ τοῦτο τῇ λέξει συμφωνότερόν μοι δοκεῖ. id. f. 157 *b*.

215 a 22. τοῦτο ἕτερον ἐπιχείρημα ἐξ ὧν λέγουσιν οἱ τὸ κατεσπαρμένον κενὸν ἐν τοῖς σώμασιν ὑποτιθέμενοι. ἔλεγον γὰρ πάντα ἐκ τῆς τοῦ κενοῦ συμπλοκῆς καὶ τῶν ἀτόμων γίνεσθαι, διὰ δὲ τὸ κενὰ καὶ μείζονα καὶ ἐλάττονα εἶναι μὴ γίνεσθαι ὁμοίαν τὴν συμπλοκήν, ἀλλ' ἐν μὲν τῷ ἀέρι, διὰ τὸ μεγάλα μέρη εἶναι τὰ ἐν αὐτῷ κενά, γίνεσθαι θᾶττον τὴν κίνησιν, ἐν δὲ τῷ ὕδατι βραδύτερον διὰ τὸ μικρότερα, ἐν δὲ τῇ γῇ μηδαμῶς διὰ τὸ εἶναι μικρομερῆ. cod. Pal. 237. ἐν δὲ τῇ γῇ, διὰ τὸ πάνυ μικρομερῆ εἶναι τὰ κενά, κίνησις οὐ γίνεται. Philop. *q* p. 11.

λέγει ὁ Ἀλέξανδρος ὅτι δυνατὸν τούτῳ τῷ ἐπιχειρήματι καὶ πρὸς τοὺς Στωϊκοὺς χρήσασθαι, ἄπειρον κενὸν λέγοντας ἐκτὸς περιέχειν τὸν κόσμον. διὰ τί γὰρ ἀπείρου ὄντος τοῦ κενοῦ, ἐνταῦθα οὖν ἐστὶ μένει ὁ κόσμος καὶ οὐ φέρεται; ἢ εἰ φέρεται, τί μᾶλλον ἐνταῦθα ἢ ἀλλαχοῦ; Simpl. f. 157 *b*.

τοῦτο καὶ πρὸς τοὺς περὶ Χρύσιππον ῥητέον. διὰ τί ὁ κόσμος οὐκ εἰς ἄπειρον ὠσθήσεται, φερόμενος ἐπὶ πᾶν τοῦ κενοῦ μέρος ὁμοίως; ἢ διὰ τί ἐνταῦθα μὲν βούλονται στηρίζειν αὐτόν; πρὸς μὲν γὰρ τὸ μὴ διασπᾶσθαι ἀρκείτω ἡ συνέχουσα ἕξις· πρὸς δὲ τὸ ὅλον μετὰ τῆς συνεχούσης ἕξεως ἐνταῦθα μένειν τί ἂν ποιοῖ; Themist. f. 42.

215 a 24. τὰς πραγματειωδεστάτας νῦν ἀποδείξεις προσάγει τῷ λόγῳ, δεικνὺς ὅτι οὐκ ἔστι κίνησις ἐν κενῷ. τεττάρων δὲ ὄντων τῶν κατὰ

Πλατωνικοῖς σαφῶς ἐπεπλάσεν... ὁ δὲ Ἀλέξανδρος ἐκ τοῦ λέγειν φησὶν ὅτι τὸ κενόν, καίτοι τριχῇ διαστατὸν ὄν, οὐ σῶμα, ἐλέγχειν ἔστι τοὺς κακῶς οἰομένους ἐν Κατηγορίαις (c. 6) ὑπ' αὐτοῦ ποσὸν σῶμα τὸ μαθηματικὸν λέγεσθαι, διάστημα μόνον ὂν ἄνευ τῆς ὕλης· οὐδαμοῦ γὰρ λέγειν τὸ τοιοῦτον ἁπλῶς σῶμα ἀλλ' ἢ σώματος διάστημα ἢ μαθηματικὸν σῶμα, ἐκεῖ δὲ ἁπλῶς τὸ σῶμα ποσὸν ἔφη. id. f. 154.

214a 27. εἰ γὰρ καὶ ἔστι κινήσεως αἴτιον τὸ κενόν, οὔτι γε πάσης· οὐ γὰρ δὴ καὶ ἀλλοιώσεως... ἑξῆς δείκνυσιν ὅτι οὐδὲ τῆς κατὰ τόπον κινήσεως αἴτιον τὸ κενόν... καὶ γὰρ καὶ οἱ στρόμβοι κινοῦνται κατὰ τόπον μὴ δεόμενοι κενοῦ... ἀλλ' ἴσως ἄν τις λέγοι τὰ τοιαῦτα μηδὲ κινεῖσθαι κατὰ τόπον καθ' ἡμᾶς, ὅσα τὸν αὐτὸν φυλάττει τόπον κατὰ τὴν ὁλότητα, εἴπερ καὶ τὸν ὅλον οὐρανὸν ἀκίνητον κατὰ τόπον λέγομεν· καὶ μέντοι ἐπὶ τούτων μόνον δόξει τὸ κενὸν μὴ εἶναι αἴτιον τῆς κατὰ τόπον κινήσεως τῶν κατὰ τὸ ὅλον ἐν τῷ αὐτῷ τόπῳ μενόντων ἀεί. προσφυέστερον οὖν ἐστὶ τὸ τοῦ Στράτωνος παράδειγμα ταύτας τὰς ὑπονοίας ἐκφυγόν· ἐὰν γὰρ εἰς ἀγγεῖόν τις πεπληρωμένον ὕδατος ψηφῖδα ἐμβαλὼν καταστρέψῃ τὸ ἀγγεῖον ἐπὶ στόμα, ἐπέχων τὴν ἔκροιαν, ἡ ψῆφος ἐπὶ τὸ στόμα τοῦ ἀγγείου φέρεται, ἀντιμεθισταμένου τοῦ ὕδατος εἰς τὸν τῆς ψήφου τόπον. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν νηχομένων συμβαίνει, καὶ ἰχθύος καὶ οὑτινοσοῦν. ἐρεῖ δὲ καὶ αὐτὸς Ἀριστοτέλης πλείονα περὶ τῆς ἀντιμεταστάσεως. id. f. 154 *b*.

214a 31. μάλιστα δέ ἐστι προφανὲς ἐν ταῖς τῶν συνεχῶν δίναις, ὡς ἔχει ἐπὶ τῆς Ἀρατείας σφαίρας καὶ ἐπὶ τοῦ ἐν τῇ λεκάνῃ κινουμένου ὕδατος. Philop. *q* p. 3.

214a 32. τὸ ἐκπυρηνίζειν εἴρηται ἀπὸ τῶν τοὺς πυρῆνας τῶν ἐλαιῶν τοῖς δακτύλοις συμπιλουμένους ἐξακοντιζόντων, διὰ τὸ μυουρίζον σχῆμα. Simpl. f. 154 *b*.

τὸ ἐκπυρηνίζειν ἐκ μεταφορᾶς τῶν πυρήνων εἴρηται τῶν ὑπὸ τῆς θλίψεως τῶν δακτύλων ἐξακοντιζομένων. πυρῆνες δὲ λέγονται κυρίως τὰ τῶν ἐλαιῶν γίγαρτα· ἐκ τούτων δὲ καὶ πολλὰ ἄλλα. Philop. *q* p. 5 et cod. Pal. 237.

214b 2. τὸ τῆς αὐξήσεως πλείονός ἐστιν ἐπιστάσεως ἄξιον. πρῶτον μὲν πῶς ἐπὶ τῶν ἀψύχων αὔξησιν εἶναι φησί, καὶ πῶς τροφὴν αὐξάνεσθαι λέγει, καίτοι αὐτὸς ἐν τοῖς περὶ Ψυχῆς (2 3) σαφῶς λέγων ὅτι μόνα αὔξεται τὰ τρεφόμενα, τρέφεται δὲ τὰ ἔμψυχα... λύων δὲ ταύτας τὰς ἐνστάσεις ὁ Ἀλέξανδρος, διὰ τὸ μήπω δῆλον εἶναι, φησί, πῶς τοῖς τρεφομένοις καὶ αὐξομένοις ἡ πρόσκρισις γίνεται καὶ τί ποτέ ἐστι τὸ αὐξόμενον, τὸ εἶδος ἢ ἡ ὕλη, περὶ ὧν ἐν τοῖς περὶ Γενέσεως (1 5) ζητήσει τε καὶ διαιρήσει,.. διὰ τοῦτο νῦν κοινότερον τὴν αὔξησιν λαβὼν οὕτως ἐνέστη τῇ ἀπὸ ταύτης κατασκευῇ τοῦ κενοῦ. Simpl. f. 155.

214b 3. εἰ μὲν ἀδιορίστως ἀκούει τις τὴν αὔξησιν ἐπὶ τῶν εἰς μεῖζον μέγεθος ἐπιδιδόντων, ἀρκεῖ προφέρειν αὐτοῖς τὴν ἀπὸ ὕδατος εἰς ἀέρα μεταβολήν, καὶ ὅλως ἀπὸ τοῦ βραχυτέρου τῷ ὄγκῳ σώματος εἰς τὸ μεῖζον· εἰ δὲ ὡς ἐπὶ τῆς κυρίως αὐξήσεως τῆς γινομένης διὰ τὴν πρόσκρισιν τῆς τροφῆς, οὐκέτι ὑπὸ ἄλλων ἀνατραπήσονται λόγων οἱ τὸ κενὸν εἰσάγοντες διὰ τὴν τῆς τροφῆς πάροδον, ἀλλὰ τοῖς ἑαυτῶν πτεροῖς κατὰ τὴν παροιμίαν ἁλίσκονται, ἢ ὅπερ κυριώτερον ὁ Ἀριστοτέλης εἶπεν, αὐτὸς ἑαυτὸν ὁ λόγος ἐμποδίζει· ἵνα γὰρ λύσῃ κοινὴν ἀπορίαν τὴν περὶ τῆς τροφῆς, τὸ κενὸν εἰσάγει, μὴ λύων ἀλλὰ μᾶλλον ἀπορωτέραν τὴν ἀπορίαν ποιῶν... μεταξὺ δὲ τοῦ διαιρετικοῦ βαλὼν τὸ "ἀπορίαν οὖν ἀξιοῦσι κοινὴν λύειν, ἀλλ' οὐ κενὸν δεικνύουσιν ὡς ἔστιν," εἶτα τὸ λοιπὸν ἐπαγαγὼν τὸ "ἢ πᾶν εἶναι τὸ σῶμα κενὸν ἀναγκαῖον," ἀσάφειαν ὀλίγην ἐνεποίησε τῷ ῥητῷ. ταύτας δὲ τὰς ἀπορίας καὶ ἐν τῇ περὶ Γενέσεως καὶ Φθορᾶς πραγματείᾳ (p. 321 *b* 27) περὶ τῆς τροφῆς ἀπορήσας διέλυσε, λέγων μὴ ὁτῳοῦν μέρει παντὶ προσγίνεσθαι, ἀλλὰ τὸ μὲν ὑπεκρεῖν τὸ δὲ προσέρχεσθαι... λύει τὴν τῆς τέφρας ἀπορίαν ὁ Εὔδημος ἐν τῷ τρίτῳ τῶν Φυσικῶν, λέγων ὅτι ἐνδέχεται καὶ ἄνευ τῶν κενωμάτων συμβαίνειν τὸ λεγόμενον· θερμὸν γὰρ ἐν τῇ τέφρᾳ περιλαμβάνεσθαί τι δοκεῖ, καθάπερ ἐν τῇ τιτάνῳ. δῆλον δέ· ἐπιχεομένου γὰρ ὕδατος ἀμφότερα ταῦτα καίει... ὁ δὲ Στράτων καὶ τὴν ἀπὸ τῆς ἕλξεως ἀναλύων, οὐδὲ ἡ ἕλξις φησὶν ἀναγκάζει τίθεσθαι τὸ κενόν· οὔτε γὰρ εἰ ἔστιν ὅλως ἕλξις φανερόν, ὅτε καὶ Πλάτων αὐτὸς τὴν ἑλκτικὴν δύναμιν ἀναιρεῖν δοκεῖ, οὔτε εἰ ἔστιν ἡ ἕλξις, δῆλον εἰ διὰ τὸ κενὸν ἡ λίθος ἕλκει καὶ μὴ δι' ἄλλην αἰτίαν· οὐδὲ γὰρ ἀποδεικνύουσιν ἀλλ' ὑποτίθενται τὸ κενὸν οἱ οὕτω λέγοντες. id. ib.

214b 12. δείξας ὅτι οἱ τιθέναι δοκοῦντες τὸ κενὸν λόγοι οἱ μὲν οὐδὲν ἔχουσιν ἀναγκαῖον, οἱ δὲ ὅτι δοκοῦντες ἀπορίαν λύειν μείζονι περιπίπτουσι, προέθετο λοιπὸν καὶ προηγουμένως δεῖξαι μὴ οὖσαν ὅλως ὑπόστασιν τοῦ τοιούτου κενοῦ. id. f. 155 *b*.

214b 17. δείξας πρότερον ὅτι ὡς ποιητικὸν τῆς κινήσεως οὐκ ἔστιν αἴτιον τὸ κενόν,.. ἀποδείκνυσιν ὅτι οὐδὲ οὕτως αἴτιον ἢ συναίτιόν ἐστι τὸ κενὸν ὡς τόπος, ἐν ᾧ κινεῖται τὸ κινούμενον καὶ μένει... ποίαν γὰρ διαφορὰν κινήσεως ἐνδώσει τὸ κενόν, κενὸν ὑπάρχον; οὔτε γὰρ τὴν ἄνω οὔτε τὴν κάτω ἀφωρισμένως· εἰ δὲ ἐπὶ πάντα ἅμα, ἢ διασπασθήσεται, ἢ μονῆς ἂν μᾶλλον ἢ κινήσεως εἴη. μᾶλλον δὲ οὐδὲ μονῆς· τί γὰρ μᾶλλον ἐν τῷδε ἢ ἐν τῷδε μένει; τῷ δ' αὐτῷ ἐπιχειρήματι ἐν τῷ τρίτῳ βιβλίῳ περὶ τοῦ ἀπείρου λέγων ἐχρήσατο (c. 5 p. 205 *a* 10). id. ib.

214b 19. πρότερον μὲν κατὰ τὴν πρὸς τὸ ἄπειρον ὁμοιότητα τὸ κενὸν ἀνεῖλε, νῦν δὲ ἀπὸ τῆς πρὸς τὸ τοπικὸν διάστημα ὁμοιότητος ἐπιχειρεῖ... ὁ δὲ Ἀλέξανδρος τὸ "πῶς γὰρ οἰσθήσεται τὸ τεθὲν ἢ μενεῖ;" καταλληλότερόν φησιν ἂν ἔχειν οὕτω, πῶς οἰσθήσεται ἢ τὸ τεθὲν μενεῖ, ὡς τῆς θέσεως τῇ μονῇ οἰκείας. καίτοι καὶ τὰ κινούμενα εἴπερ ἐν τόπῳ κινεῖται, πῶς οὐκ ἂν λέγοιτο καὶ θέσιν ἔχειν ἐν ἐκείνῳ; ἀκριβεστέρα οὖν ἡ τοῦ Ἀριστοτέλους ἑρμηνεία ἂν εἴη. id. f. 156.

214b 21. πῶς γὰρ ἐπὶ τὸν οἰκεῖον τόπον οἰσθήσεται ἕκαστον τῶν φυσικῶν σωμάτων, ἢ πῶς ἐν αὐτῷ μένει, δεικτέον αὐτοῖς. ἡμεῖς μὲν γὰρ τὸ πέρας τοῦ περιέχοντος λέγοντες ἐφελκόμεθα τῇ συγγενείᾳ, καθὰ προείρηται, τὸ δὲ διάστημα ἀδιάφορον πανταχοῦ· τί γὰρ διοίσει τὸ ἄνω τοῦ κάτω; νῦν μὲν γάρ, ἐπειδὴ τὰ σώματα διαφέρει τὰ ἄνω ὄντα τῶν κάτω, καὶ τὰ πέρατα αὐτῶν διαφέρει, οἷς περιέχει τὰ συγγενῆ· οὐ γὰρ καθ' αὑτὰ τὰ πέρατα ποιοῦμεν τοὺς τόπους, ὡς τὴν μαθηματικὴν ἐπιφάνειαν, ἀλλὰ τὴν ἐν φυσικῷ σώματι καὶ ἀχώ-

213b 23. χρείαν δὲ παρέχεσθαι (οἱ Πυθ. ἔλεγον τὸ κενὸν) πρὸς τὸ μὴ συνεχῆ πάντα εἶναι τὰ σώματα ἀλλήλοις, ὡς ὁ Ἀλέξανδρος ἀκούει. ὁ μέντοι Ἀριστοτέλης οὐκ ἐπὶ σωμάτων ἤκουσεν, ἀλλὰ διορίζει, φησί, τὰς φύσεις, ὡς αἰτίου ὄντος τοῦ κενοῦ χωρισμοῦ τινὸς τῶν ἐφεξῆς καὶ τῆς διορίσεως αὐτῶν· τὰ γὰρ ἐφεξῆς ἀλλήλοις, ὧν μηδέν ἐστι μεταξύ, ταῦτα διορίζει τὸ κενόν. id. ib.

τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρόν τι κενὸν οἱ Πυθαγόρειοι ὑποτιθέμενοι τοῦτο αὐτὸ καὶ πνεῦμα ἐκάλουν. cod. Pal. 237. in quo quae sequuntur e Simplicio transscripta sunt.

ταύτην καὶ οἱ Πυθαγόρειοι αἰτίαν τῷ κενῷ προστιθέασιν, οὐκ οἶδ' ὅπως αὐτὸ καὶ εἰσπνεῖσθαι λέγοντες ὑπὸ τοῦ παντός, ἔξωθεν περικεχυμένον, ἐπεὶ καὶ τῶν ἀριθμῶν τὴν φύσιν μίαν εἶναι διωρισμένην, μᾶλλον δὲ μηδ' ἂν ἀριθμοὺς εἶναι μὴ τοῦ κενοῦ διακρίνοντος τὰς μονάδας. Themist. f. 41.

213b 29. ταῦτα μὲν οὖν τὰ ἐπιχειρήματα τέθεικεν ὁ Ἀριστοτέλης τῶν λεγόντων εἶναι τὸ κενόν. ὁ δὲ Λαμψακηνὸς Στράτων ταῦτα μὲν εἰς δύο συνήγαγε τὰ τέσσαρα, εἴς τε τὴν κατὰ τόπον κίνησιν καὶ εἰς τὴν τῶν σωμάτων πίλησιν, τρίτον δὲ προστίθησι τὸ ἀπὸ τῆς ὁλκῆς· τὴν γὰρ σιδηρῖτιν λίθον ἕτερα σιδήρια δι' ἑτέρων ἕλκειν συμβαίνει, ὅταν ἐπισπάσηται τὸ ἐκ τῶν πόρων τοῦ σιδήρου ἡ λίθος, ᾧ σώματι καὶ συνέλκεται ὁ σίδηρος, καὶ οὗτος πάλιν τὸν ἐφεξῆς ἕλκει καὶ οὗτος ἄλλον, καὶ οὕτως ὁρμαθὸς σιδηρίων ἀποκρεμάννυται τῆς λίθου. Simpl. f. 153.

213b 30. καὶ τοὺς μὴ εἶναι τὸ κενὸν καὶ τοὺς εἶναι λέγοντας παραθέμενος εἰκότως λοιπὸν καιρὸν ἔχειν φησὶ διαιτᾶν αὐτοῖς, πότερον οὕτως ἢ ἐκείνως ἔχει τὸ πρόβλημα. ἀλλ' ἐπειδὴ καὶ οἱ μὴ εἶναι, τάχα δὲ καὶ οἱ εἶναι δεικνύντες ἀδιάρθρωτον ἐφαίνοντο τὴν περὶ αὐτοῦ ἔννοιαν ἔχοντες, διὰ τοῦτο πρότερόν φησι δεῖν τί σημαίνει τοὔνομα διορίσασθαι· δῆλον γὰρ ὅτι τοῦτο τὸ πρόβλημα καὶ τοῦ εἰ ἔστι προηγεῖται, ὡς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς μεμαθήκαμεν. id. ib.

213b 33. ἐπειδὴ πᾶν τὸ ὂν σῶμα λέγουσιν οἱ φυσιολογοῦντες ἢ οἱ μήπω τὴν ἀσώματον θεασάμενοι φύσιν, δηλονότι τὸ μὴ σῶμα ὂν οὐδὲν εἶναι φασίν. ταὐτὸν οὖν ἐστὶν εἰπεῖν, ἐν ᾧ μηδέν ἐστι σῶμα, καὶ ἐν ᾧ μηδέν ἐστιν. id. ib.

214a 4. εἰ δ' οὕτω λέγοιεν ἀδιορίστως τὸ ἐν ᾧ τιθέντες, ἕπεται καὶ τὸ σημεῖον αὐτοὺς καὶ τὴν γραμμὴν καὶ τοὺς ἀριθμοὺς κενὸν λέγειν. id. ib.

214a 6. εἰπὼν τὸ ἑπόμενον τῇ ἀδιορίστως εἰρημένῃ σημασίᾳ τοῦ κενοῦ ἄτοπον, ἐπάγει καὶ τοὺς ὡς διάστημα λέγοντας τὸ κενόν· τὸ γὰρ πλῆρες ἢ μὴ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν (γράφεται γὰρ ἑκάτερον), τοῦτο δὲ ὡς διάστημα λαμβάνεται, ὡς δηλοῖ καὶ ἡ ἐφεξῆς ἀπορία ἡ λέγουσα "εἰ ἔχει τὸ διάστημα." καὶ εἰ μὲν εἴη γεγραμμένον τὸ "μὴ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν," λέγοι ἂν διάστημά τι πεφυκὸς μὲν δέχεσθαι αἰσθητὸν σῶμα κατὰ τὴν ἁφὴν καὶ πληροῦσθαι ὑπ' αὐτοῦ, μὴ δεδεγμένον δὲ μηδὲ πεπληρωμένον. εἰ δὲ εἴη "τὸ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν," καὶ οὕτως ὡς πεφυκὸς πληροῦσθαι ἀκουστέον, ἀλλ' οὐχ ὡς πεπληρωμένον, ὅπερ διεσάφησεν εἰπὼν "ἢ δῆλον ὅτι εἰ μὲν δέχοιτο σῶμα ἁπτόν, κενόν." εἴτε δὲ οὕτως εἴτε ἐκείνως, τὸ ἐπιφερόμενον ἄπορον τοιοῦτον ἐστίν... ὁ δὲ Ἀλέξανδρος εἴπερ εἴη φησὶ γεγραμμένον τὸ "πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν," δύναται λέγειν τὸ μὴ κατ' ἄλλην αἴσθησιν ἀλλὰ κατὰ μόνην τὴν ἁφήν· τοιοῦτον δὲ τὸν ἀέρα λέγειν αἰσθητὸν σῶμα κατὰ τὴν ἁφήν, ἐπειδὴ ἦν τις περὶ κενοῦ δόξα λέγουσα κενὸν εἶναι τὸν ἀέρα ἁπτὸν ὄντα τῷ ῥοπήν τινα ἔχειν βάρους ἢ κουφότητος. ταύτην δὲ τὴν δόξαν οἱ περὶ τὸν Ἀναξαγόραν ἀνατρέπειν ἐπεχείρουν στρεβλοῦντες τοὺς ἀσκούς... λέγει δὲ ὁ Ἀλέξανδρος καὶ τρίτην τινὰ φέρεσθαι γραφήν, τὴν λέγουσαν "τὸ πλῆρες ἀναισθήτου σώματος κατὰ τὴν ἁφήν." καὶ εἴη ἂν ἀναίσθητον σῶμα τὸ διάστημα λέγων τὸ τρεῖς ἔχον διαστάσεις, καὶ διὰ τοῦτο σῶμα λεγόμενον καὶ πλῆρες, ἐπειδὴ σώματος ὁρισμὸς εἶναι δοκεῖ τὸ τὰς τρεῖς ἔχον σχεδὸν διαστάσεις. οὐδὲ ταύτῃ δὲ τῇ γραφῇ συνᾴδειν φησὶ τὴν ἐπαγομένην λύσιν ὁ Ἀλέξανδρος. οὐκ οἶδα διὰ τί, εἴπερ ὡς διάστημα εἴληπται· ἀλλ' ἀκατάλληλος ἡ προφορὰ διάστημα κενὸν εἰπεῖν τὸ πλῆρες ἀναισθήτου σώματος κατὰ τὴν ἁφήν. τὸν δὲ ἀέρα φησὶν ὁ Ἀλέξανδρος τῇ ἑαυτοῦ φύσει ἄλλαις μὲν αἰσθήσεσιν αἰσθητῶν ποιοτήτων μὴ μετέχειν, ἁπτὸν δὲ μόνον εἶναι. id. ib.

τινὰ τὸ πλῆρες ἔχει. καὶ εἰ πλῆρες, πῶς κενόν; πλῆρες οὖν ἀντὶ τοῦ πληροῦται, καὶ δεκτικὸν αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν. Philop. *q* p. 2.

γράφεται ἔν τισι "τὸ πλῆρες," ἐν τισὶ δὲ "τὸ μὴ πλῆρες." καὶ εἰ μὲν εἴη γεγραμμένον "τὸ μὴ πλῆρες."... λέγοι ἂν διάστημά τι πεφυκὸς μὲν δέχεσθαι αἰσθητὸν κατὰ τὴν ἁφὴν σῶμα καὶ πληροῦσθαι ὑπ' αὐτοῦ, μὴ δεδεγμένον ἢ πεπληρωμένον. εἰ δὲ εἴη "τὸ πλῆρες,"... καὶ οὕτως ὡς πεφυκὸς πληροῦσθαι ἀκουστέον, ἀλλ' οὐχ ὡς πεπληρωμένον. cod. Palat. 237.

διαφέροι ἂν αὕτη τῆς προτέρας ἡ σημασία τῷ ἐκεῖ μὲν κενὸν 214a
λέγεσθαι ἐν ᾧ μηδέν ἐστι σῶμα αἰσθητὸν ἁφῇ, κατὰ τὴν ἀντιτυπίαν 11.
χαρακτηριζομένου τοῦ τοιούτου σώματος, ἣν τῷ ἀέρι μὴ ἐνορῶντες κενὸν ἔλεγον τὸ διάστημα ἐν ᾧ ἀήρ· ἐνταῦθα δὲ λέγεται κενόν, ἐν ᾧ μηδεμία ἐστὶν οὐσία σωματική, ἡ δὲ σωματικὴ οὐσία οὐ μόνον βάρος ἔχει καὶ κουφότητα, ἀλλὰ καὶ χρώματα καὶ σχήματα καὶ μεγέθη. διὸ κατὰ μὲν τὴν προτέραν ἀπόδοσιν τὸ διάστημα, ἐν ᾧ ὁ οὐρανός, κενὸν ἂν εἴη, ὅτι τὸ οὐράνιον σῶμα οὔτε βάρος ἔχει οὔτε κουφότητα, κατὰ δὲ ταύτην τὴν ἀπόδοσιν οὐκ ἂν εἴη κενόν, εἴπερ κενὸν μέν ἐστιν ἐν ᾧ μὴ ἔστι σώματος οὐσία, τὸ δὲ οὐράνιον σῶμα οὐσία ἐστίν. Simpl. f. 153 *b*.

νῦν δ' ἐπειδὴ αὐτὸ τοῦτο πρόκειται σκοπεῖν, λοιπὸν μετὰ τὸ τί 214a
σημαίνει τοὔνομα τοῦ κενοῦ, εἰ ἔστιν ὅλως τὸ κενόν, τουτέστι τὸ διά- 16.
στημα τὸ εἰρημένον, χρὴ δεῖξαι λοιπὸν ὅτι οὐκ ἔστι τι τοιοῦτον, οὔτε μὴ ἔχον ἐν ἑαυτῷ σῶμα, ὅπερ σημαίνει τὸ κεχωρισμένον, οὔτε ἔχον, ὅπερ τὸ ἀχώριστον· καὶ γὰρ τῶν λεγόντων τὸ κενὸν οἱ μὲν οὕτως ἔλεγον ὡς εἶναί τι καθ' αὑτό, τὸ μὲν ἀεὶ μηδὲν ἔχον σῶμα, ὡς τὸ ἔξω τοῦ οὐρανοῦ, τὸ δὲ ποτέ, ὡς τὸ ἐν τοῖς μανοῖς καὶ τὸ διαλαμβάνον τὰ σώματα πρὸς τὸ μὴ συνεχισθῆναι· οἱ δέ, ὡς ἔχον μέν τινα καὶ καθ' αὑτὸ φύσιν τοῦτο τὸ διάστημα, ἀεὶ δὲ σώματος πεπληρωμένον. δύναται δὲ καὶ κεχωρισμένον μὲν τὸ εἰρημένον ἔξω τοῦ οὐρανοῦ παρ' αὐτῶν λέγειν, ἀχώριστον δὲ τὸ τοῖς σώμασιν ἐμφερόμενον, ἀλλ' οὐχὶ τὸ ἀεὶ ἔχον σῶμα. αὕτη γὰρ ἡ ὑπόθεσις μετ' αὐτὸν ἐν τοῖς

τοιαύτην δὲ περὶ αὐτοῦ δόξαν ἐσχηκέναι δοκοῦσιν οἱ περὶ Δημόκριτον ἀρχαῖοι φυσιολόγοι. οἱ δὲ ἰσόμετρον αὐτὸ τῷ κοσμικῷ σώματι ποιοῦσι, καὶ διὰ τοῦτο τῇ μὲν ἑαυτοῦ φύσει κενὸν εἶναι λέγουσι, πεπληρῶσθαι δὲ αὐτὸ σωμάτων ἀεί, καὶ μόνῃ γε τῇ ἐπινοίᾳ θεωρεῖσθαι ὡς καθ' αὑτὸ ὑφεστώς, οἷοί τινες οἱ πολλοὶ τῶν Πλατωνικῶν φιλοσόφων γεγόνασι, καὶ Στράτωνα δὲ οἶμαι τὸν Λαμψακηνὸν τῆς τοιαύτης γενέσθαι δόξης. τῶν μέντοι καὶ εἶδος ἔχειν αὐτὸ τιθεμένων καὶ δύναμιν τῶν σωμάτων ὑπερτέραν ἔχειν λεγόντων Συριανὸν ἔγωγε θείην ἂν τὸν μέγαν τοῦ Λυκίου Πρόκλου καθηγεμόνα... ἀλλ' ἐπειδὴ καὶ ταύτην τὴν περὶ τοῦ τόπου ἔννοιαν, ὡς ἦν ἐμοὶ δυνατὸν διήρθρωσα, καὶ τάς τε ἀπορίας τὰς πρὸς αὐτὴν ἐξεθέμην καὶ τὰς τῶν ἀποριῶν λύσεις ἐπήγαγον, ὅτι μὴ πάντη καινοπρεπής ἐστι μηδὲ τοῖς κλεινοῖς τῶν φιλοσόφων ἀγνοηθεῖσα βούλομαι δεῖξαι. καὶ γὰρ καὶ Θεόφραστος ἐν τοῖς Φυσικοῖς φαίνεται τὴν ἔννοιαν ταύτην ἐσχηκὼς περὶ τοῦ τόπου, ἐν οἷς φησὶν ὡς ἐν ἀπορίᾳ προάγων τὸν λόγον "μήποτε οὐκ ἔστι καθ' αὑτὸν οὐσία τις ὁ τόπος, ἀλλὰ τῇ τάξει καὶ θέσει τῶν σωμάτων λέγεται κατὰ τὰς φύσεις καὶ δυνάμεις." id. f. 140 *b*-149 *b*.

213a 12. ἀρχόμενος τοῦ τρίτου βιβλίου καὶ περὶ κινήσεως ὡς ἀναγκαίας τῷ φυσικῷ προθέμενος εἰπεῖν, ἐπήγαγεν ὅτι ἄνευ τόπου καὶ κενοῦ καὶ χρόνου κίνησιν ἀδύνατον εἶναι δοκεῖ... ὅτι μὲν ταὐτὸν σημαίνει τὸ πῶς ἐστὶ καὶ τί ἐστι, καλῶς ὁ Ἀσπάσιος ἐπέστησε· καὶ γὰρ ἐπὶ τόπου τὸ εἰ ἔστι καὶ τί ἐστι ζητῶν οὕτως εἶπεν (p. 208 *a* 28) "εἰ ἔστι τι ἢ μή, καὶ πῶς ἐστὶ καὶ τί ἐστιν." ἀλλὰ δοκεῖ τὸ πῶς ἐστὶ καὶ τί ἐστιν ἐπὶ τοῦ κενοῦ μὴ ἔχειν χώραν, εἴπερ δείκνυται μηδὲ ὅλως ὂν τὸ κενόν. εἰ μὴ ἄρα τὸ πῶς καὶ τὸ τί οὐ πρὸς τὴν ὑπόστασιν ἀναφέρων τοῦ κενοῦ προβάλλεται, ἀλλὰ πρὸς τοὺς τιθεμένους αὐτό, πῶς ἄρα αὐτὸ καὶ τί τίθενται. ἢ ἐπειδὴ αἴτιον τοῦ κινεῖσθαι λεγόντων ἐκείνων τὸ κενόν, αὐτὸς αἴτιον τοῦ κινεῖσθαι τὴν ὕλην φησίν, ἣν κενὸν λέγεσθαι συγχωρεῖ· διὰ τοῦτο τρόπον τινὰ εἶναι τὸ κενὸν συγχωρεῖ... ἔθος αὐτῷ ταῖς κοιναῖς ἐννοίαις κριτηρίῳ χρωμένῳ πρὸς ταύτας παραβάλλειν καὶ βασανίζειν τὰς ἀντικειμένας δόξας. id. f. 151.

213a 26. οἱ περὶ Ἀναξαγόραν ἀναιρεῖν οἴονται τὸ εἶναί τι κενόν, εἰ μόνον δείξαιεν ὅτι ἔστι τι ὁ ἀήρ· καὶ ἐδείκνυον ὅτι καὶ σῶμά ἐστι καὶ ἀντίτυπον σῶμα, εἰς τοὺς ἀσκοὺς συνθλίβοντες αὐτόν. ἢ καταλληλότερόν ἐστιν ἀκούειν τοῦ Ἀριστοτέλους λέγοντος ὡς τοὺς πεφυσημένους παραφερόντων καὶ δεικνύντων ὅπως δύσκολόν ἐστι τὸ στρεβλοῦν αὐτοὺς ἐγκειμένου τοῦ ἀέρος, καίτοι τοὺς μὴ πεφυσημένους στρεβλοῦν πάνυ ῥᾴδιόν ἐστιν. καὶ μέντοι καὶ τὰς κλεψύδρας ἐπιδεικνύντες, τουτέστι τοὺς ἅρπαγας, ὅταν μὲν ἔχωσιν ἀέρα, μὴ δεχομένας ὕδωρ, ἐκμυζηθέντος δὲ αὐτοῦ εὐθέως ἁρπάζουσι τὸ ὕδωρ, καὶ οὐ πρότερον ἀφιᾶσι πρὶν τὸν ἐπιπωματίζοντα τὴν ὀπὴν δάκτυλον ἀφελών τις τῷ ἐξιόντι ὕδατι ἀνάλογον εἰσελθεῖν ἀέρα συγχωρήσει. id. f. 151 *b*.

κλεψύδρας δὲ λέγει ἤτοι τὰ παρὰ τοῖς μηχανικοῖς, δι' ὧν τοὺς συριγμοὺς ἀποτελοῦσι καὶ τὰς ἄλλας ποιὰς φωνάς· ἢ ὅπερ καὶ μᾶλλον, κλεψύδρας φησὶν ὅπερ ἤδη εἶπον ἀγγεῖον, ὃ καλοῦσιν οἱ πολλοὶ ἁρπάγιον. τοῦτο γὰρ στενὸν μὲν ἔχει τὸ στόμα, τὸ δὲ ὑποκάτωθεν στενωτάταις ὀπαῖς τετρημένον. Philop. *p* p. 15.

213a 32. ὁ μέντοι Πορφύριος οὐ γράφει "οὔτε χωριστὸν οὔτε ἐνεργείᾳ ὄν," ἀλλ' "οὔτε ἀχώριστον αὐτῶν οὔτε χωριστόν." ἀχώριστον μὲν γὰρ ἔθεντο, φησίν, αὐτὸ οἱ περὶ Δημόκριτον, διόπερ μηδὲ συνεχὲς τὸ πᾶν, μεσολαβουμένων τῶν σωμάτων ὑπὸ τοῦ κενοῦ· χωριστὸν δὲ οἱ λέγοντες ἔξω τοῦ κόσμου κενόν, συνεχὲς δὲ ἀπολείποντες τὸ πᾶν, ὡς οἱ Πυθαγορικοί. ἀμείνων δέ, οἶμαι, ἡ προτέρα γραφή. ἔχει δὲ καὶ αὕτη λόγον... ὥστε οἱ διὰ τοῦ δεικνύναι ὅτι ἔστι τι ὁ ἀὴρ βουλόμενοι πρὸς τὸ κενὸν ἐνίστασθαι, οὐκ ἐπὶ τὰς οἰκείας θύρας καὶ οἷον εἰσόδους πρὸς τὴν ἔννοιαν ταύτην ἔρχονται τοῦ κενοῦ, ἀλλὰ παρὰ θύρας, τουτέστιν ἔξωθεν καὶ ἐπ' ἄλλας θύρας. ἢ οἷον διὰ τοίχου τινὸς εἰσιέναι πειρῶνται τοῦ μὴ εἰσάγοντος· ἐπὶ τούτων γὰρ καὶ ἡ παροιμία λέγεται. οὗτοι οὖν οὐ κατὰ θύρας ἀπαντῶσιν. Simpl. f. 152 et cod. Pal. 237.

213a 34. δύο οὗτοι τῆς θέσεως τοῦ κενοῦ τρόποι, ἢ παρεσπάρθαι τοῖς σώμασιν αὐτό, καθάπερ λέγουσι Δημόκριτός τε καὶ Λεύκιππος καὶ ἄλλοι πολλοὶ καὶ Ἐπίκουρος ὕστερον (οὗτοι γὰρ πάντες τὴν τοῦ κενοῦ παρεμπλοκὴν αἰτιῶνται τῆς διαιρέσεως τῶν σωμάτων, ἐπεὶ τό γε ἀληθῶς συνεχὲς ἀδιαίρετον κατ' αὐτούς), ἢ κεχωρισμένον καὶ ἀθρόον εἶναι καθ' αὑτὸ περιέχον τὸν οὐρανόν, ὡς πρότερον μὲν ᾤοντο τῶν ἀρχαίων τινές, μετὰ δὲ ταῦτα οἱ περὶ Ζήνωνα τὸν Κιττιέα. Themist. f. 40 *b*.

213b 4. τέσσαρα τίθησιν ἐπιχειρήματα τῶν τὸ κενὸν εἶναι λεγόντων, ἓν μὲν κατὰ τὴν ἔννοιαν τοῦ χωριστοῦ κενοῦ, τὰ δὲ τρία κατὰ τὴν τοῦ παρεσπαρμένου ἐν τοῖς σώμασι, καὶ πέμπτον ἐπ' αὐτοῖς ἐπάγει τὸ παρὰ τοῖς Πυθαγορείοις δοξαζόμενον. Simpl. f. 152.

213b 10. ἐπειδὴ γὰρ τὸ μέγα δύναται εἰς πολλὰ ἴσα τῷ μικρῷ τῷ ἐξ ἀρχῆς ὑποκειμένῳ διαιρεθῆναι (πολλὰ γὰρ μικρὰ τὸ μέγα ἐστίν, ὥς φησιν, ἑκάστου τῶν ἐν τῷ μεγάλῳ μικρῶν τῶν ἴσων τῷ ὑποκειμένῳ γινομένου ἐν τῷ ἐξ ἀρχῆς μικρῷ), καὶ τὸ ὅλον ἂν ἐν αὐτῷ γένοιτο, καὶ τὸ σμικρότατον δέξεται τὸ μέγιστον, ὅπερ ἐστὶν ἐναργῶς ἄτοπον. id. ib.

διὰ τί οὖν οὐ πάλιν καὶ ἄλλο (δέξεται) καὶ αὖθις ἄλλο; καὶ οὕτως ἔσται ἐν τῷ σμικροτάτῳ τὸ μέγιστον· πολλὰ γὰρ μικρὰ τὸ μέγα ἐστίν. οὐ μόνον τοίνυν τὰ ἴσα σώματα ἑαυτῷ, ἀλλ' ἤδη καὶ ἄνισα δέξεται· πλείω γὰρ ἴσα, πλείω καὶ ἄνισα, ἑτέρως καὶ ἑτέρως διαιρούμενα, γίνεται. ὥστε ἀνάγκη κενὸν εἶναι. Themist. f. 40 *b*.

213b 15. τοῦτο ὁ μὲν Ἀλέξανδρος ἤκουσεν ὡς τοῦ πίθου, κἂν εἰς ἀσκοὺς ἐμβληθῇ ὁ πληρῶν αὐτὸν οἶνος, δέχεσθαι αὐτὸν μετὰ τῶν ἀσκῶν. μήποτε δὲ τοῦτο μὲν περιττὸν καὶ διὰ τὴν δυσκολίαν τῆς συνθέσεως· ἀλλ' ὅτι ὁ αὐτὸς πίθος μεστὸς ὢν οἴνου καὶ τοὺς ἀσκοὺς τοὺς δεχομένους τὸν ἐν αὐτῷ οἶνον προσεμβληθέντας δέχεται καὶ οὐχ ὑπερχεῖται· ὅπερ ἀδύνατον ἦν, φασί, τοῦ οἴνου μὴ συμπιλουμένου· τοῦτο δὲ οὐκ ἂν ἐγένετο μὴ κενῶν ὄντων μεταξὺ διαστημάτων, ὧν συμπιπτόντων ἀποτελεῖται ἡ πίλησις. Simpl. f. 152 *b* et cod. Pal. 237.

213b 21. τοῦτο κεῖται μὲν ὡς τέταρτον ἐπιχείρημα κατασκευαστικὸν τοῦ κενοῦ, ἔστι δὲ ταὐτόν πως τῷ περὶ τοῦ οἴνου καὶ τῶν ἀσκῶν, ἀπὸ τῆς πιλήσεως τῶν σωμάτων καὶ αὐτὸ προσαγόμενον. Simpl. f. 152 *b*.

τόπῳ οὔτε τὸ πᾶν οὔτε ὁ ἀπλανὴς οὐρανός... καὶ ὁ μὲν Ἀλέξανδρος οὐρανὸν λέγεσθαι νῦν φησὶν οὐ τὴν τῶν ἀπλανῶν σφαῖραν οὐδὲ τὸ θεῖον σῶμα μόνον, ἀλλὰ τὸν κόσμον πάντα, διότι τούτου μὲν τὰ μέρη πλὴν τῆς ἀπλανοῦς ἐν τόπῳ ἐστί, τῆς δὲ ἀπλανοῦς τὰ μέρη οὐκέτι... μήποτε δέ, ὡς καὶ αὐτὸς Ἀλέξανδρος ἐπέστησεν, ἐφαρμόσει ἂν καὶ τῇ ἀπλανεῖ τὰ λεγόμενα... τὸ δὲ "ὁ γὰρ οὐρανὸς τὸ πᾶν ἴσως" ἀντὶ τοῦ ὁ κόσμος δοκεῖ λέγεσθαι· τὸ γὰρ πᾶν δείξας μὴ ὂν ἐν τόπῳ, εἰκότως συνῆψε τὸ τὸν κόσμον τὸ πᾶν εἶναι. τὸ δὲ "ἴσως" πρόσκειται, φασίν, ἢ διὰ τὸ μηδέπω εἰρῆσθαι περὶ τοῦ κενοῦ, ὅτι οὐκ ἔστιν ὅ φασί τινες περιέχειν τὸ πᾶν, ἢ διὰ τὸ μηδέπω δεδεῖχθαι ὅτι εἷς ἐστὶν ὁ κόσμος, ἢ ὅτι ἔστι τινὰ καὶ ἀσώματα εἴδη καθ' αὑτά, ἢ διὰ φιλόσοφον εὐλάβειαν... καὶ ἐνταῦθά φησιν ὁ Ἀλέξανδρος δεῖν σημειώσασθαι ὅτι μέχρι νῦν τῷ τοῦ οὐρανοῦ ὀνόματι χρησάμενος ἐπὶ τοῦ κόσμου παντός, νῦν τὸν οὐρανὸν βούλεται τὴν ἐξωτάτω σφαῖραν τὴν τῶν ἀπλανῶν λέγειν. καίτοι ὅτε ἔλεγεν ἐν τῷ οὐρανῷ πάντα, οὐ περὶ τοῦ κόσμου ἔλεγεν, ὡς ἐδήλωσεν ἐφεξῆς εἰπὼν "ἔστι δὲ ὁ τόπος οὐχ ὁ οὐρανὸς ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον." καὶ μέντοι ἐν τούτοις Ἀσπάσιος οὐ περὶ τῆς τῶν ἀπλανῶν σφαίρας ἔοικε λέγειν, ὡς φησὶν ὁ Ἀλέξανδρος, ἀλλὰ πᾶν τὸ θεῖον σῶμα οὐρανὸν καλεῖ, ὡς δηλοῖ καὶ τὸ τὸ ἔσχατον αὐτοῦ καὶ ἁπτόμενον τοῦ κινητοῦ σώματος τόπον εἰπεῖν (κινητὰ γὰρ λέγει τὰ ἐπ' εὐθείας κινεῖσθαι πεφυκότα), καὶ τὸ "ὁ δὲ αἰθὴρ ἐν τῷ οὐρανῷ"... ὁ μέντοι Ἀλέξανδρος αἰθέρα φησὶ τὰς τῶν πλανωμένων σφαίρας εἰπε... πολλὴν δὲ τοῖς προκειμένοις ἀσάφειαν ἐποίησε τὸ ποτὲ μὲν τὸ πᾶν ποτὲ δὲ τὸν οὐρανὸν ὀνομάζειν... ὁ δὲ Εὔδημος τὸ μὲν πᾶν οὐδὲ ὀνομάζει, ἐπὶ δὲ τοῦ οὐρανοῦ τὴν ζήτησιν ποιεῖται τοῦ ὅλου, καὶ αὐτός, ὡς οἶμαι, γράφων οὕτως. id. ib.

212b 10. τῷ ἕκαστον τῶν μορίων τοῦ οὐρανοῦ, λέγω δὴ τοῦ ἑκτασφαίρου κύκλου, κινεῖσθαι, ταύτῃ ἀεὶ τὰ ἐξωτέρω τόπος εἰσὶ τοῖς ἐντός. μόρια οὖν λέγοι ἂν ἑκάστην τῶν σφαιρῶν. δηλοῖ δὲ καὶ τὸ ἐπαγόμενον· "ἕτερον γάρ" φησίν "ἑτέρου ἐχόμενον τῶν μορίων ἐστίν... ἡ δὲ ἐξωτάτη σφαῖρα οὐκ ἐν τόπῳ, εἰ μὴ κατὰ ἀναλογίαν, ὥσπερ εἴρηται, κατὰ τὴν κυρτὴν ἐπιφάνειαν τῆς ἐντὸς σφαίρας... καλῶς τὸ "πως" προσέθηκεν... οὐ γὰρ πάντα κυρίως ἐν τόπῳ τὰ μόρια· οὔτε γὰρ ἡ ἐξωτάτη σφαῖρα κυρίως ἐν τόπῳ, οὔτε τὰ συνεχῆ τῶν μορίων... σύμφωνος, φησί, τοῖς ἡμετέροις λόγοις, τῷ μὴ εἶναι ἐν τόπῳ τὸν οὐρανόν, καὶ ἡ παλαιὰ περὶ αὐτοῦ δόξα ἡ λέγουσα πάντα εἶναι ἐν τῷ οὐρανῷ... τὸ "ἴσως" προσέθηκεν, ἐπειδὴ οὔπω ἀπέδειξεν ὅτι οὐδέν ἐστιν ἔξω τοῦ οὐρανοῦ. Philop. *p* p. 11.

212b 13. εἰ μὲν διὰ τὴν ἀπλανῆ τὸ "πως" προσέθηκε φασίν, ὁ δὲ Σιμπλίκιος μήποτε φησὶν οὐδὲ κατὰ συμβεβηκός ἐστιν ἐν τόπῳ οὔτε τὸ πᾶν οὔτε ὁ ἀπλανὴς οὐρανός... τὸ "πως" προσέθετο ὅτι οὐ πάντα κυρίως ἐν τόπῳ τὰ μόρια· οὔτε γὰρ ἡ ἐξωτάτη σφαῖρα οὔτε τὰ συνεχῆ τῶν μορίων ∴ οὐρανὸν ἐνταῦθα τὸν κόσμον δοκεῖ λέγειν, ὥς τινές φασιν. τῷ δὲ Σιμπλικίῳ οὐχ οὕτως δοκεῖ. cod. Pal. 237.

212b 29. τοῦτο οὐκ ἀπορίας λύσιν ἔχει, ἀλλὰ τελευταῖον ἔκειτο τῶν περὶ τόπου ἀξιωμάτων τὸ φέρεσθαι φύσει καὶ μένειν ἐν τοῖς οἰκείοις τόποις ἕκαστον τῶν σωμάτων. δείκνυσιν οὖν καὶ τοῦτο ἀκόλουθον ὂν τῷ τοῦ τόπου ὁρισμῷ, ἅμα καὶ ἔνστασιν ὑποφερομένην οἶμαι λύων τινά· διὸ καὶ τοῦτο ἥρμοσε ταῖς τῶν ἀποριῶν διαλύσεσι. πῶς γάρ, φαίη τις ἄν, τῆς γῆς τόπος ἂν εἴη τὸ τοῦ ὕδατος πέρας, ἢ τοῦ ὕδατος τὸ τοῦ ἀέρος;... καλῶς οὐ μόνον ἐφεξῆς εἶπεν ἀλλὰ καὶ ἁπτόμενα... δεῖται καὶ τοῦ ἅπτεσθαι, ἵνα ᾖ ἐν τόπῳ. καὶ τὸ "μὴ βίᾳ" δὲ ἀναγκαίως πρόσκειται· δύναται γάρ τινα ἅπτεσθαι ἀλλήλων μὴ κατὰ φύσιν ἀλλὰ βίᾳ... τὰ μὲν συμπεφυκότα καὶ συνεχῆ ἀλλήλοις ἀπαθῆ ὑπ' ἀλλήλων ἐστὶν εὐλόγως· δεῖ μὲν γὰρ ἄλλο εἶναι τὸ ποιοῦν καὶ ἄλλο τὸ πάσχον, τὰ δὲ συνεχῆ καὶ συμπεφυκότα ἕν ἐστιν... εἰπὼν δὲ αἴτιον εἶναι τοῦ εὐλόγως ἐπὶ τὸν οἰκεῖον τόπον φέρεσθαι τὸ συγγενὲς τοῦ σώματος, οὗ πέρας ἐστὶν ὁ τόπος πρὸς τὸ ἐν τόπῳ, καὶ τοῦ μένειν εὐλόγως ἐν τῷ οἰκείῳ τόπῳ τὸ αὐτὸ αἴτιον φησίν. Simpl. f. 139 *b*.

τὸν μὲν ἀκριβῆ περὶ τούτων διορισμὸν εἰς τὴν περὶ Γενέσεως καὶ 213a 6. Φθορᾶς (1 3) πραγματείαν ὑπερτίθεται, δοκεῖ δὲ ἡ μὲν τοῦ ὑλικωτέρου καὶ παχυτέρου σώματος εἰς τὸ λεπτότερον μεταβολὴ γενέσει ἐοικέναι, ἡ δὲ τοῦ λεπτοτέρου εἰς τὸ παχύτερον φθορᾷ. id. f. 140.

οὕτω μὲν οὖν ὁ περὶ τόπον λόγος τῷ Ἀριστοτέλει διάκειται, πολ- 213a 11. λὰς ἔχων ἀπορίας καὶ πολλὰς εὐθύνας τοῖς μετ' αὐτὸν ὑπέχων. βούλομαι οὖν τάς τε πρὸς αὐτὸν ἐνστάσεις ἐκθέσθαι καὶ τὴν αἰτίαν τοῦ παραλογισμοῦ τοῦ περὶ τὸν τόπον ἀποδεῖξαι. καὶ οὐδὲ οὕτω πέρας ἔχειν ὁ λόγος μοι δοκεῖ· καὶ γὰρ καὶ ἄλλαι γεγόνασι μετ' Ἀριστοτέλη περὶ τόπου δόξαι, ὧν τὴν ἐξέτασιν, εἰ πρὸ αὐτοῦ ἐγεγόνεσαν, αὐτὸς ἂν ἡμῖν παραδεδώκει... ἰστέον οὖν ὅτι τῶν περὶ τόπου τι γραψάντων οἱ μὲν σῶμα τὸν τόπον οἱ δὲ ἀσώματον ὑπέθεντο, σῶμα μὲν ὥσπερ Πρόκλος ὁ ἐκ τῆς Λυκίας φιλόσοφος. τῶν δὲ ἀσώματον λεγόντων οἱ μὲν πάντῃ ἀδιάστατον οἱ δὲ διαστατὸν λέγουσι, καὶ τῶν πάντῃ ἀδιάστατον οἱ μὲν ὑποκείμενον τοῖς σώμασιν, ὡς ὁ Πλάτων τὴν ὕλην τόπον λέγων, οἱ δὲ τελεσιουργὸν τῶν σωμάτων, ὡς ὁ ἡμέτερος Δαμάσκιος· τῶν δὲ διαστατὸν λεγόντων οἱ μὲν ἐπὶ δύο διεστῶτα, ὡς ὁ Ἀριστοτέλης τε καὶ ὁ Περίπατος ἅπας, οἱ δὲ ἐπὶ τρία, καὶ τούτων οἱ μὲν πάντῃ ἀδιάφορον καὶ ποτὲ καὶ ἄνευ σώματος μένον, ὡς οἱ περὶ Δημόκριτον καὶ Ἐπίκουρον, οἱ δὲ διάστημα καὶ ἀεὶ σῶμα ἔχον καὶ ἐπιτήδειον πρὸς ἕκαστον, ὡς οἱ κλεινοὶ τῶν Πλατωνικῶν καὶ ὁ Λαμψακηνὸς Στράτων... ἰστέον δὲ ὅτι καὶ ὁ Θεόφραστος ἐν τοῖς Φυσικοῖς ἀπορεῖ πρὸς τὸν ἀποδοθέντα τοῦ τόπου λόγον ὑπὸ τοῦ Ἀριστοτέλους τοιαῦτα· ὅτι τὸ σῶμα ἔσται ἐν ἐπιφανείᾳ, ὅτι κινούμενος ἔσται ὁ τόπος, ὅτι οὐ πᾶν σῶμα ἐν τόπῳ (οὐδὲ γὰρ ἡ ἀπλανής), ὅτι ἐὰν συναχθῶσιν αἱ σφαῖραι, καὶ ὅλος ὁ οὐρανὸς οὐκ ἔσται ἐν τόπῳ, ὅτι τὰ ἐν τόπῳ ὄντα μηδὲν αὐτὰ μετακινηθέντα, ἐὰν ἀφαιρεθῇ τὰ περιέχοντα αὐτά, οὐκέτι ἔσται ἐν τόπῳ. ἀλλ' ἴδωμεν εἰ καὶ τοῖς προληφθεῖσι περὶ τοῦ τόπου ἀξιώμασι σύμφωνός ἐστιν ὁ ἀποδοθεὶς τοῦ τόπου ὁρισμός... τὸ ἀκίνητον εἶναι τὸν τόπον ὁ μὲν Θεόφραστος καὶ Εὔδημος ὡς ἀξίωμα καὶ αὐτὸ προσλαμβάνουσιν, ὁ δὲ Ἀριστοτέλης τῷ ὁρισμῷ προστίθησι... πάλιν αὖ τῶν τὸ κενὸν αὐτὸ τιθεμένων οἱ μὲν ἄπειρον εἶναί φασι καὶ ὑπερβάλλον ἀπειρίᾳ τὰ σώματα, καὶ διὰ τοῦτο ἄλλο ἐν ἄλλοις αὐτοῦ μέρεσι καταδεχόμενον, ὡς ἂν ἔτυχεν, εἴπερ μέρη λέγειν ἐπὶ τοῦ ἀπείρου κενοῦ δυνατόν·

τέσσαρα στοιχεῖα τὰ καὶ εἰς ἄλληλα μεταβάλλοντα. ἀλλ' εἰ πᾶν τὸ κατὰ φορὰν κινούμενον ἐν τόπῳ ἐλέγετο εἶναι, τὸ δὲ κύκλῳ κινούμενον κατὰ φορὰν κινεῖται, πῶς οὐκ ἂν εἴη ἐν τόπῳ; ἢ οὐ ταὐτόν, φησὶν Ἀλέξανδρος, τὸ κατὰ φορὰν καὶ κατὰ περιφοράν. εἰ δὲ ἡ κύκλῳ περιφορά ἐστιν, ἀλλὰ τῶν μερῶν ἐστὶ περιφορά, οὐχὶ τοῦ ὅλου· τὰ γὰρ μέρη καὶ ἀμείβει τοὺς τόπους. εἰ δέ τις ἀκριβολογεῖτο, οὐδὲ τὰ μέρη τοῦ κυκλοφορητικοῦ σώματος ἐν τόπῳ ἐστίν, οὔτε κινεῖται κατὰ τόπον, οὔτε καθ' αὑτὰ οὔτε κατὰ συμβεβηκός... πῶς οὖν λέγει "τῶν μορίων γὰρ οὗτος ὁ τόπος;" ἢ τῶν ἁπτομένων μορίων ἔστιν ἀκούειν, οἷον τῶν σφαιρῶν τῶν ὑπ' ἀλλήλων περιεχομένων· ἐπὶ γὰρ τῶν συνεχῶν οὐχ ἁρμόττει λεγόμενον· οὐ γάρ ἐστι ταῦτα ἐν τόπῳ. ἔπειτα δὲ εἰ τὰ μόρια τόποι γίνονται ἀλλήλων, πῶς ἔτι ἀκίνητος ὁ τόπος τῶν μορίων κινουμένων καὶ τῶν περάτων αὐτῶν; ἀλλὰ μόρια ἀκουστέον οὐ τὰ τοῦ ἐξωτάτω σώματα τὰ συνεχῆ αὐτῷ, ἀλλὰ περιεχόμενα ὑπ' αὐτοῦ· ἡ γὰρ κοίλη τῆς ἀπλανοῦς ἐπιφάνεια τόπος γίνεται προσεχῶς τῆς τοῦ Κρόνου σφαίρας, καὶ ἡ ἐκείνης τῆς ἑξῆς, καὶ δηλονότι καθόσον μὲν συμπεριάγονται τῇ ἀπλανεῖ, ὡς ἐν ἀγγείῳ ἂν εἶεν ἐκείνῃ, καθόσον δὲ καὶ ἑκάστη κίνησιν ἰδίαν ἔχει, ὡς ἐν ἀκινήτῳ αὐτῇ κινούμεναι, ὡς ἐν τόπῳ εἰσίν. πρὸς ταύτην δὲ τὴν ἔννοιαν καὶ τὸ "κύκλῳ δὲ κινεῖται· τῶν μορίων γὰρ οὗτος ὁ τόπος" εἰρῆσθαί φησιν ὁ Ἀλέξανδρος... καὶ ταῦτα δὲ ἐπὶ τῶν μορίων τοῦ παντὸς ὁ Ἀλέξανδρος ἀκούει, "καὶ ἄνω μὲν καὶ κάτω οὔ, κύκλῳ δέ," καὶ κάτω καὶ ἄνω τὸ μὲν ἐπὶ τῶν πλανωμένων σφαιρῶν τὸ δὲ ἐπὶ τῶν ἐν γενέσει. καὶ γὰρ εἰ τὸ "κύκλῳ δὲ" περὶ τοῦ παντὸς εἴρητο, οἶμαι, ὡς τοῦ κύκλῳ δὲ καταλληλότερον περὶ παντὸς τοῦ οὐρανοῦ λεγομένου, ὅπερ ὡς ταὐτὸν τῷ παντὶ λαμβάνει. τινὲς δ' οὐ γράφουσιν "ἔνια," ἀλλὰ "τὰ δὲ καὶ ἄνω καὶ κάτω." καὶ εἴπερ αὕτη καταλληλοτέρα ἡ γραφή, καὶ τὸ "τῶν μορίων γὰρ οὗτος ὁ τόπος" πρὸς τὸ "ὡς μὲν γὰρ ὅλον ἅμα τὸν τόπον οὐ μεταβάλλει" ἀποδοτέον, ἵνα ᾖ λέγων ὅτι τὸ πᾶν ἤτοι ὁ οὐρανὸς ὅλον μὲν ἅμα τὸν τόπον οὐ μεταβάλλει· οὐδὲ γὰρ ἄνω καὶ κάτω κινεῖται, ἀλλὰ κύκλῳ μόνον, τὸν αὐτὸν ἀεὶ κατέχον τόπον, τὰ δὲ μόρια ἄνω κινεῖται καὶ κάτω. καὶ πολλὴν ἀσάφειαν ἐποίησε τῷ λόγῳ τὸ λαβεῖν τὸ πᾶν ἀντὶ τοῦ οὐρανοῦ. Simpl. f. 137.

212b 1. εἴη δ' ἂν τῶν μορίων τόπος κατὰ μὲν Ἀριστοτέλην αὐτὰ τὰ μόρια ἀλλήλοις, διὰ τὸ περιέχεσθαι ἕκαστον ὑπὸ τῶν πέριξ (οἷον γὰρ τόποι εἰσὶν ἀλλήλων τὰ μόρια, ἑκάστου κύκλῳ ὑπὸ τῶν πέριξ περιεχομένου)· ὡς δὲ τοῖς ἐξηγηταῖς αὐτοῦ δοκεῖ, εἴη ἂν τόπος τῆς ἀπλανοῦς κατὰ τὰ μόρια ἡ κυρτὴ ἐπιφάνεια τῆς ἐντὸς σφαίρας, ἧς ἄλλοτε ἄλλου μορίου ἐφάπτεται τὰ τῆς ἀπλανοῦς μόρια, δηλονότι κατὰ ἀναλογίαν τόπον τοῦτον καλούντων ἡμῶν· οὐ γὰρ ἔξωθεν περιέχει, ἀλλὰ κατὰ τὸ ἀφοριστικὸν ἔχει τινὰ πρὸς τὸν τόπον ὁμοιότητα. Philop. *p* p. 8.

πῶς οὖν κινεῖται ὁ οὐρανός, μὴ ὢν ἐν τόπῳ; ἢ ἔστι μὲν ὡς κινεῖται ἔστι δὲ ὡς οὔ· ὅλος μὲν γὰρ οὐ κινεῖται (οὐδὲ γὰρ ἀμείβει τὸν ὅλον τόπον· αὕτη γὰρ κίνησις τῶν ὅλων, ὥσπερ τῶν ἐπ' εὐθείας μεθισταμένων), κύκλῳ δὲ κινεῖται· αὕτη δὲ ἡ κίνησις τῶν μορίων ἐστίν, καὶ τούτοις ἐστὶ τόπος. ἑκάστη γὰρ σφαῖρα τῶν ἐν κύκλῳ φερομένων ἀμείβει τῆς ἐφεξῆς σφαίρας ἐκείνης τὴν ἐπιφάνειαν. ταύτης οὖν καὶ τόπος ἐστίν· περιέχονται γὰρ ὑπ' ἀλλήλων. ὁμοίως δὲ καὶ τὸ πᾶν καὶ τὸ ὅλον αὐτὸ μὲν οὐκ ἐν τόπῳ, τὰ μόρια δέ· τὰ μὲν γὰρ αὐτῶν κύκλῳ κινεῖται, τὰ δὲ ἄνω καὶ κάτω, ὅσα ἔχει πύκνωσιν καὶ μάνωσιν. ταῦτα δὲ Εὔδημος ἐν τῷ τρίτῳ τῶν ἑαυτοῦ Φυσικῶν παρίστησιν. λέγει δὲ οὕτως... ἵνα δὲ σαφέστερον γένηται πῶς λέγομεν ἐν τόπῳ εἶναι τὸν οὐρανὸν καὶ πῶς οὔ, μικρὸν ἄνωθεν εἴπωμεν ἀναλαβόντες. ὥσπερ γὰρ ἐλέχθη, τὰ μὲν κατὰ δύναμίν ἐστιν ἐν τόπῳ τὰ δὲ κατ' ἐνέργειαν... πῶς οὖν ὁ οὐρανὸς ἐν τόπῳ; ἆρα κατ' ἐνέργειαν; ἀλλ' ὑπ' οὐδενὸς ἔξωθεν περιέχεται. ἀλλὰ κατὰ δύναμιν; ἀλλ' οὐδ' ἂν περιχεθείη ποτέ. ἀλλὰ καθ' ἑαυτόν; ἀλλ' οὐκ ἔστι κινητὸς κατὰ φοράν· οὐ γὰρ ταὐτὸν τὸ φέρεσθαι τῷ περιφέρεσθαι, ἀλλὰ τὸ μὲν ὅλον ἀμείβει τόπον, τὸ δὲ ἐν ταὐτῷ μένον ἐν ταὐτῷ κινεῖται. ἆρα οὖν κατὰ συμβεβηκός; Ἀριστοτέλης μὲν οὕτω βούλεται καὶ οἱ ἐξηγηταὶ συγχωροῦσιν· φησὶ γὰρ "τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἡ ψυχὴ καὶ ὁ οὐρανός." ἐγὼ δὲ ἀπορῶ πῶς οὐ μάχοιτο ἂν πρὸς αὐτόν, νῦν μὲν κατὰ συμβεβηκὸς ταὐτὸν ἡγούμενος τῷ κατὰ μόρια, πρὸ τοῦ δέ, ἐν οἷς ἐπεδείκνυε μηδὲν εἶναι ἐν ἑαυτῷ ὡς τόπῳ, τὸ κατὰ μόρια συγχωρῶν, τὸ κατὰ συμβεβηκὸς οὐ διδούς. ἴσως οὖν ἐνταῦθα κοινότερον κέχρηται τῷ κατὰ συμβεβηκὸς ἀντὶ τοῦ κατ' ἄλλο· ἔθος δὲ αὐτῷ πολλάκις τοῖς εἴδεσιν ἀντὶ τῶν γενῶν κεχρῆσθαι. Themist. f. 40.

μορίων ἔστιν ἀκούειν ἐνταῦθα τῶν σφαιρῶν τῶν ὑπ' ἀλλήλων περιεχομένων. ἐπὶ γὰρ τῶν συνεχῶν οὐχ ἁρμόττει τὸ λεγόμενον· οὐ γάρ ἐστι ταῦτα ἐν τόπῳ. cod. Pal. 237.

προθέμενος δεῖξαι ὅτι ὁ ὅλος οὐρανὸς καὶ ὁ πᾶς κόσμος οὐκ ἔστιν 212b 3.
ἐν τόπῳ, τοὺς πάντας διαιρεῖται τρόπους καθ' οὓς λέγεταί τι ἐν τόπῳ. Simpl. f. 138.

εἰπὼν ὅτι ὅλως οὐκ ἔστιν ἐν τόπῳ, διότι οὐδὲ κινεῖται κατὰ τόπον 212b 8.
ὅλος, ἐπήγαγεν "ἐφ' ᾧ δὲ κινεῖται, ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις." κινεῖται γὰρ οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω, ἀλλ' ἐπὶ τὸ κύκλῳ· διὸ αὐτὸς μὲν οὐκ ἔστιν ἐν τόπῳ ἅτε μὴ κατὰ τόπον μεταβαίνων, γίνεται δὲ ὁ τόπος τοῖς μορίοις... τὰ γὰρ συνεχῆ μέρη τῆς ἀπλανοῦς, εἴπερ ἐξωτάτη αὕτη, οὐκ ἀμείβει τόπον, ὅτι μήτε ἐν τόπῳ μήτε περιέχεται ὑπό τινος ἔξωθεν. ὁ δὲ Μάξιμος καινοπρεπέστερον ἐξηγήσατο τὸ "ἐφ' ὃ δὲ κινεῖται, ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις·" κινεῖται γάρ, φησί, τὸ πλανώμενον, ὡς ἐν τῷ δευτέρῳ περὶ Οὐρανοῦ (c. 5) δείκνυσιν, ἐπὶ τὰ ἀριστερά· ἐν τούτῳ οὖν καὶ τὰ μόρια ὡς ἐν τόπῳ· τὰ γὰρ δεξιὰ καὶ ἀριστερὰ τόπου διαφοραί... τὸ δὲ "πῶς" (v. 13) προσέθηκε, φασί, διὰ τὴν ἀπλανῆ, ὅτι ἐκείνη οὐκ ἐν τόπῳ. καίτοι εἰ δι' ἐκείνην προσετέθη, οὐκ ἂν ἐπῆγε τὸ "πάντα·" εἰ γὰρ μέρος μὲν τοῦ ὅλου οὐρανοῦ ἤτοι τοῦ παντός ἐστιν ἡ ἀπλανής, μὴ ἔστι δὲ αὕτη ἐν τόπῳ, οὐκ ἂν εἴη πάντα ἐν τόπῳ. εἰ μὴ ἄρα τὸ "πως πάντα" εἶπεν, οὐ τῷ τόπῳ ἀλλὰ τῷ πάντα τὸ "πως" προστιθείς, ὅτι οὐχ ἁπλῶς πάντα ἀλλ' ἐγγὺς πάντα, εἴπερ πάντα παρὰ ἕν. ὁ δὲ Θεμίστιος τὸ "πως" ἤκουσεν ὡς εἴρηται, διότι ἡ ἐξωτάτω σφαῖρα κατὰ μὲν τὸ ἐντὸς εἴη ἂν ἐν τόπῳ (ἅπτεται γὰρ τῆς τοῦ Κρόνου καὶ περιέχεταί πως), κατὰ δὲ τὸ δεξιὸν παντελῶς ἀμοιρεῖ τόπου. δῆλον δὲ ὅτι ὁ οὕτως ἐκδεχόμενος πανταχοῦ καὶ τὸν τόπον ἐν τόπῳ ἐρεῖ, ὅτι κατὰ τὴν ἔνδοθεν ἐπιφάνειαν ἅπτεται τοῦ ἐν τόπῳ, καὶ τόπος ἔσται τὸ ἐν τόπῳ. μήποτε δέ, ὅπερ καὶ πρότερον εἶπον, οὔτε κατὰ συμβεβηκός ἐστιν ἐν

ἀμειβομένῳ· οὔτε γὰρ ἀποδέδεικταί πω τὸ ἀκίνητον εἶναι τὸν τόπον, οὔτε χρειῶδές ἐστιν οὕτω πρὸς τὴν τοῦ διαστήματος ἔννοιαν· τὸ δὲ μένειν τὸ αὐτὸ χρειῶδες. Simpl. f. 135 *b*.

212a 14. τάχα ἐν τοῖς περὶ τόπου ἀξιώμασι διὰ τοῦτο οὐ προέλαβεν ἀκίνητον εἶναι τὸν τόπον, ὅτι χρείαν εἶχεν ὡς ἀγγείῳ τῷ τόπῳ τέως χρήσασθαι διὰ τὴν ἀπὸ τοῦ ἀγγείου πολλαχοῦ πρὸς τὸν τόπον χειραγωγίαν, καίτοι καὶ τοῦ Θεοφράστου καὶ τοῦ Εὐδήμου, ὡς εἴρηται καὶ πρότερον, τὸ ἀκίνητον ὡς ἓν τῶν περὶ τόπου ἀξιωμάτων προειληφότων. προστίθησι δὲ ὁ Ἀλέξανδρος ὅτι εἴπερ καὶ τὸ ἀγγεῖον τόπος ἐστί, καὶ τὰ ἐν ἀγγείῳ ἐν τῷ τοῦ περιέχοντος αὐτὸ σώματός ἐστι πέρατι. id. f. 136.

212a 19. τὸ "μᾶλλον" προσέθηκε, διότι οὐ κυρίως ὁ πᾶς ποταμὸς τόπος ἂν εἴη τῆς νεώς (οὐ γὰρ πέρας τοῦ περιέχοντός ἐστι τὸ πᾶν τοῦ ποταμοῦ ὕδωρ, οὐδὲ ἐπιφάνεια ὅλως, ἀλλὰ σῶμα), ἀλλὰ κατὰ τοῦτο μᾶλλον ὁ πᾶς καθόσον μὴ συγκινεῖται, τόπος δὲ ὅλος τῆς νεώς, ὅτι ἐν μέρει αὐτοῦ φέρεται ἡ ναῦς. ἢ οὐδὲ τόπος τῆς νεὼς ὁ ποταμός, ἀλλ' εἴη ἂν ὁ μὲν ποταμὸς πᾶς ἐν τόπῳ, ὥς φησιν Ἀλέξανδρος, τῷ μὴ συγκινεῖσθαι αὐτῷ τὸ πέρας τοῦ περιέχοντος αὐτόν, ἡ δὲ ναῦς ἐν ἀγγείῳ. καὶ ἴσως ἂν λέγοι, φησίν, οὐ τῆς νεὼς τὸν πάντα ποταμὸν τόπον, ἀλλὰ τοῦ ἐν αὐτῷ ὄντος. ἔστι δὲ τὸ ὕδωρ, εἴπερ ποταμὸν ἀκούσομεν μὴ τὸ ὕδωρ ἀλλὰ τὴν ὕδωρ περιέχουσαν ἐπιφάνειαν τῆς γῆς· καταλληλότερον γὰρ ἂν ἐπ' αὐτῆς λέγοιτο τὸ "διὸ ὁ πᾶς ποταμὸς μᾶλλον τόπος." id. ib.

212a 21. ὅτι ἀκίνητος ὁ τόπος, συνίστησι καὶ ἐκ τῶν τοῦ τόπου κυριωτάτων διαφορῶν· αὗται δὲ ἦσαν, ὡς εἴρηται πρότερον, τό τε ἄνω καὶ τὸ κάτω. καί μοι δοκεῖ τοιοῦτόν τινα συνάγειν συλλογισμόν· ὁ τόπος διαφορὰς ἔχει τὸ ἄνω καὶ τὸ κάτω, τὸ διαφορὰς ἔχον τὸ ἄνω καὶ τὸ κάτω τὸ μέσον καὶ τὸ ἔσχατον ἔχει διαφοράς, τὸ διαφορὰς ἔχον τὸ μέσον καὶ τὸ ἔσχατον ἀκινήτους ἔχει διαφοράς, τὸ ἀκινήτους ἔχον διαφορὰς ἀκίνητόν ἐστιν, ὁ τόπος ἄρα ἀκίνητός ἐστιν. id. f. 136 *b*.

διότι, φησίν, ὁ τόπος τὸ πέρας ἐστὶ τοῦ περιέχοντος, ἔστι δὲ ἐν τῷ τόπῳ τὸ ἄνω καὶ τὸ κάτω, διὰ τοῦτο, φησί, πᾶσι δοκεῖ ἡ μὲν κοίλη ἐπιφάνεια τῆς σεληνιακῆς σφαίρας ἄνω εἶναι (ἐπὶ ταύτην γὰρ τὰ κοῦφα φέρεται σώματα), τὸ δὲ μέσον τοῦ παντὸς κάτω. Philop. *p* p. 6.

212a 27. τὸ μὲν "πρὸς τὸ ἔσχατον," ἐοικὸς κατὰ τὴν λέξιν τῷ πρὸς τὸ μέσον, οὐχὶ τὸν τόπον τὸν ἄνω ἀλλὰ τὸ ἐν τῷ ἄνω τόπῳ εἶπε, τὸ δὲ ἔσχατον, ἐοικὸς τῷ μέσῳ, οὐχὶ τὸ ἐν τῷ ἄνω ἀλλὰ τὸ ἄνω. ὁ δὲ Ἀλέξανδρος καὶ ἄλλην ἐξήγησιν ἐπάγει τῇ λέξει, καθ' ἣν καθ' ἑκάτερον ἄμφω ἐπὶ τοῦ τόπου ἀκούει... "πρὸς δὲ τὸ ἔσχατον" λέγοι ἂν τὸ ἔσχατον περιεχόμενον, οἷον τὸν αἰθέρα· οὕτω γὰρ περὶ τοῦ τόπου ἄμφω ἐπὶ τοῦ αὐτοῦ πέρατος λεγόμενα δυνατὸν ἀκούειν, ὅπερ ἐπὶ τοῦ μέσου οὐκ ἦν· ἐκεῖνο γὰρ ἄλλο μὲν πέρας ἦν τὸ πρὸς τὸ μέσον, ἄλλο δὲ τὸ τοῦ μέσου. καὶ ὁ Πορφύριος διττόν φησι τὸ κάτω· ἢ γὰρ τὸ πέρας τοῦ μέσου, ὅ ἐστιν ὁ τόπος, ἢ αὐτὸ τὸ μέσον, οὗ ὁ τόπος τὸ ἔσχατον. ὁμοίως δὲ καὶ τὸ ἄνω διττόν· ἢ τὸ πέρας τοῦ ἐσχάτου, οἷον τοῦ αἰθέρος, ὅ ἐστιν ὁ τόπος, ἢ αὐτὸ τὸ ἔσχατον, ὅπερ ἐστὶν ὁ αἰθήρ... ἐπίπεδον αὐτὴν ἐκάλεσεν (τὸν τόπον) ὡς τῶν παλαιῶν πᾶσαν ἐπιφάνειαν ἐπίπεδον καλούντων· οἱ γὰρ νεώτεροι διαφορὰς ἐπιφανείας ἔλεγον τὴν ἐπίπεδον καὶ ἄλλην τὴν σφαιρικὴν ἢ κωνικὴν ἢ κυλινδρικήν... τὸ ἑξῆς δὲ τὸ "ἔτι ἅμα τῷ πράγματί πως ὁ τόπος· ἅμα γὰρ τὰ πέρατα" πρὸς τὸ αὐτὸ τείνειν ἔοικεν, ἀπολογίαν τινὰ πορίζον τοῖς οἰηθεῖσι τὸ εἶδος εἶναι τὸν τόπον. Simpl. f. 136 *b*.

τὸν μὲν οὖν κάτω ποιεῖ τόπον αὐτό τε τὸ μέσον καὶ περὶ τὸ μέσον ἡ γῆ καὶ τὸ ὕδωρ καὶ ὁ ἀήρ· ἕκαστον γὰρ τῶν βαρέων σωμάτων ὑπὸ τούτων περιέχεται τῶν στοιχείων, ἢ πάντων, ὡς οἱ τῶν ποταμῶν ἀνέχοντες λίθοι, ἢ τοῖν δυοῖν, ὡς οἱ βαδίζοντες ἢ νηχόμενοι. τὸν δὲ ἄνω τόπον τό τε ἔσχατον τῆς κύκλῳ φορᾶς καὶ εἴ τι πρὸς ἐκείνῳ ἐστιν. Themist. f. 40.

καιρὸς δὲ λοιπὸν καὶ τὰ παρ' ἡμῶν προστεθῆναι τῷ λόγῳ, καὶ 212a 30.
τέως ἰδεῖν εἰ ἔνεστί τις ἐν τοῖς Ἀριστοτελικοῖς ἐπιχειρήμασιν ἀνάγκη, δι' ἧς δείκνυται ὡς ἀδύνατον διάστημά τι τριχῇ διαστατὸν τὸν τόπον εἶναι... ταύτῃ γοῦν τῷ μὴ ὀρθῶς ὑπ' Ἀριστοτέλους ἀποδεδόσθαι τὸν περὶ τόπον λόγον, καίτοι παντὸς σώματος ἐν τόπῳ ὄντος, οὐκ ἐπὶ πάντων αὐτῷ εὐοδεῖ τῶν σωμάτων ὁ λόγος. ὅθεν ἀποδοῦναι βουλόμενοι πῶς ἂν ἡ ἀπλανὴς κινοῖτο κατὰ τόπον, μὴ οὖσα ἐν τόπῳ, πάντα κυκῶσι μᾶλλον ἢ λέγουσί τι σαφὲς καὶ πεῖσαι δυνάμενον. ἀρνήσασθαι μὲν γὰρ τὸ μὴ κατὰ τόπον κινεῖσθαι τὴν ἀπλανῆ οὐ δύνανται (οὐδὲ γὰρ οὐδὲ πλάσασθαι δύνανται τίνα ἂν κινοῖτο κίνησιν), τίς μέντοι ἂν εἴη ὁ τόπος καθ' ὃν κινεῖται, ἀποδοῦναι οὐκ ἔχουσιν, ἀλλ' ὥσπερ τοὺς κύβους οἱ πεττεύοντες, ἄλλοτε ἄλλως τὸν λόγον μεταφέρουσι, καὶ διὰ πάντων τὰς ἐξ ἀρχῆς θέσεις καὶ ὁμολογίας ἀναιροῦσιν. ὁ μὲν γὰρ Ἀριστοτέλης τὸ ἀσθενὲς τοῦ λόγου τῇ ἀσαφείᾳ περικαλύψας δέδωκε τοῖς βουλομένοις ὡς ἂν ἐθέλωσι μεταστρέφειν τοὺς λόγους· διὸ τῶν ἐξηγητῶν οἱ μὲν τόπον εἶναί φασι τῆς ἀπλανοῦς τὴν κυρτὴν τῆς τοῦ Κρόνου σφαίρας ἐπιφάνειαν, ἄντικρυς πάντα τὰ κοινὰ περὶ τοῦ τόπου ἀναιροῦντες ὁμολογήματα, ἅπερ αὐτὸς ὁ Ἀριστοτέλης ἔθετο... οἱ δὲ τὰ συνεχῆ αὐτῆς μόρια ἀλλήλοις εἶναι τόπον· περιέχεσθαι γὰρ ἕκαστον ὑπὸ τῶν πέριξ μορίων, καὶ οὗτοι πάλιν τὰ ὡμολογημένα ἀναιροῦντες. Philop. *o* p. 9 et 12.

ὁρισάμενος τὸν τόπον... ἐφιστάνει καλῶς ὅτι κατὰ ταύτην τὴν 212a 31.
ἀπόδοσιν οὐ πᾶν σῶμα ἐν τόπῳ ἐστίν, ἀλλ' ᾧ μὲν ἔστι τι ἐκτὸς σῶμα τὸ περιέχον αὐτὸ τοῦτό ἐστιν ἐν τόπῳ, ᾧ δὲ μὴ οὔ. ὥστε οὔτε ἡ ἀπλανὴς σφαῖρα ἔσται ἐν τόπῳ (οὐ γὰρ ἔστι τι ἐκτὸς τὸ περιέχον αὐτήν, εἴπερ ἐστὶν ἐσχάτη πασῶν) οὔτε ὁ ὅλος κόσμος... βουλόμενος οὖν πεῖσαι ὅτι οὐκ ἔστιν ἐν τόπῳ τὸ πᾶν καὶ ὁ οὐρανός, ἐπὶ παραδοξοτέρας ὑποθέσεως πειρᾶται συνεθίζειν ἡμᾶς. κἂν γὰρ ὕδωρ, φησίν, ὑποτεθῇ τὸ πᾶν, ὃ μάλιστα δεῖται τοῦ ἐν τόπῳ ἢ ἐν ἀγγείῳ εἶναι διὰ τὸ μὴ δύνασθαι χωρὶς τοῦ περιέχοντος αὐτὸ κρατεῖν, καὶ τὸ τοιοῦτον ὅμως πᾶν οὐκ ἂν εἴη ἐν τόπῳ... ὁ γὰρ τοιοῦτος τόπος ὁ ἐν τοῖς κύκλῳ κινουμένοις, καθ' ὃν ἀλλήλων ἁπτόμενα τὰ μόρια τόποι γίνεται ἀλλήλων κατὰ τὰ πέρατα, οἰκεῖος τῶν τοιούτων μορίων ἐστὶν ἀλλ' οὐχὶ τοῦ ὅλου· οὐ γὰρ ἅπτεταί τι ἔξωθεν τοῦ ὅλου. διὸ ἄνω καὶ κάτω οὐ δύναται κινεῖσθαι (ἢ γὰρ ἂν ὅλον μετέβαινε τόπον ἐκ τόπου), κύκλῳ δὲ μόνον. τῶν δὲ μορίων αὐτοῦ τὰ μὲν κύκλῳ τὰ ἐν αὐτῷ τῷ οὐρανῷ, τὰ δὲ κάτω καὶ ἄνω, ὅσα ἔχει πύκνωσιν καὶ μάνωσιν, τουτέστι τὰ

τόπῳ γενέσθαι τὸ ὕδωρ ἢ τὰ τοῦ ὕδατος, κινουμένου τοῦ ἀμφορέως· ἐν τῇ αὐτῇ γάρ ἐστιν ἐπιφανείᾳ, καὶ οὐκ ἐξαλλάξει ταύτην οὐδὲ ἑτέραν προσεπιλαμβάνει τινά, ὥσπερ ἕτερον καὶ διάστημα. Themist. f. 38 *b*.

211 b 16. νῦν τῷ ἄλλο τι ἀντεισιέναι διαστατόν, ἅπτεσθαι δυνάμενον τοῦ περιέχοντος, ἀλλὰ μὴ ἡνωμένον πρὸς αὐτό, δοκεῖ μένειν τὸ διάστημα. διὰ τοῦτο γὰρ προσέθηκε τὸ "τῶν ἅπτεσθαι πεφυκότων," ἀλλὰ μὴ ἑνοῦσθαι· τὰ γὰρ ἑνούμενα, οἷον ἀὴρ πρὸς ἀέρα καὶ ὕδωρ, οὐκέτι ὡς ἐν τόπῳ ἐστίν, οὐδὲ ὡς ἐν ἀγγείῳ τούτῳ πρὸς ὃ συνεχίζεται... ὑποθώμεθα, φησὶν ὁ Γαληνός, ἐξαιρεθέντος τοῦ ὕδατος ἐκ κεράμου, μηδὲν ἕτερον εἰσρυῆναι σῶμα· μένει τοίνυν τὸ μεταξὺ τῆς ἐπιφανείας τοῦ ἀγγείου διάστημα κεχωρισμένον. ἀλλὰ ἄλογος ἡ ὑπόθεσις· τὸ γὰρ ζητούμενον ὑποτίθεται. Simpl. f. 133 *b*.

211 b 19. ἀντὶ τοῦ εἰπεῖν ὅτι καὶ τὰ μέρη οὐκέτι ἔσται συνεχῆ τῷ ὅλῳ, ἀλλὰ καθ' αὑτὰ ἔσται ἐν τόπῳ, εἶπεν ὅτι πάντα τὰ μόρια τὰ ἐν τῷ ὅλῳ τοῦτο ποιήσει ὅπερ τὸ ὅλον ὕδωρ ἐν τῷ ἀγγείῳ. τὸ δὲ ὅλον ὕδωρ καθ' αὑτὸ μεθίστατο καὶ καθ' αὑτὸ ἦν ἐν τόπῳ διωρισμένον· ὥστε τὸ διάστημα τόπου ὑποτεθὲν αἴτιον γέγονε τοῦ τὰ μόρια καθ' αὑτὸ κινεῖσθαι κατὰ τόπον καὶ ἐν τόπῳ εἶναι, τοῦτο δὲ τοῦ διωρίσθαι τὰ μόρια καὶ τοὺς τόπους, τοῦτο δὲ τοῦ καὶ τὰ μόρια ἄπειρα εἶναι καὶ τοὺς τόπους ἐνεργείᾳ. ἐπειδὴ δὲ περὶ τόπου νῦν ὁ λόγος, τὴν τῶν τόπων ἀπορίαν καὶ οὐχὶ τῶν μορίων ὡς ἄτοπον ἐπήνεγκεν. εἰ δὲ ἄπειροι τῷ πλήθει κατ' ἐνέργειαν διαστήματα ὄντες οἱ τόποι, καὶ ἐν τῷ κυάθῳ ἔσται τὸ μέγεθος ἄπειρον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν μορίων τῶν ἐν τοῖς ἀπείροις τόποις ἀπείρων ῥητέον· τὸ γὰρ ἐξ ἀπείρων τῷ πλήθει μεγεθῶν ὁπηλικονοῦν ἔσται καὶ τῷ μεγέθει ἄπειρον. οὕτω μὲν οὖν συνάγεται, εἰ ἔστι τὸ διάστημα ἐν τῷ αὐτῷ, οἷον ἐν κυάθῳ, ἀπείρους εἶναι τόπους. ἀκολουθεῖ δὲ καὶ τὸ δεύτερον ῥηθὲν ἄτοπον, τὸ ἅμα δὲ καὶ ὁ τόπος ἔσται μεταβάλλων, ὥστε τοῦ τόπου ἔσται τις ἄλλος τόπος. εἰ γὰρ μεταστaίη τὸ ἀγγεῖον ἔχον ἐν ἑαυτῷ διάστημα, ἔσται τὸ διάστημα τοῦτο ἐν τῷ διαστήματι ἐν ᾧ τὸ ἀγγεῖον γέγονε, καὶ οὕτως ἔσται τοῦ τόπου τόπος, ὅπερ ἄτοπον. καὶ τρίτον δὲ ὅτι πολλοὶ τόποι ἅμα ἔσονται· ʽμεταφερομένου γὰρ τοῦ ἀγγείου μεταφέρεται καὶ τὸ μεταξὺ τῶν περάτων αὐτοῦ διάστημα... ἆρ' οὖν μὴ τὰ αὐτὰ ἄτοπα ἀκολουθεῖ καὶ τοῖς τὸ ἔσχατον τοῦ περιέχοντος λέγουσι τὸν τόπον; ἢ οὐδαμῶς... προσεκτέον τῷ Ἀλεξάνδρῳ τὸ "καὶ πολλοὶ ἅμα τόποι ἔσονται" ἐξηγουμένῳ οὕτως. ἔσται γάρ, φησί, τὰ ἐν τοῖς ἀγγείοις, εἰ διάστημα ὁ τόπος εἴη, ἅμα τε ἐν τοῖς ἐξ ἀρχῆς τόποις τε καὶ διαστήμασιν, εἰς οὓς γέγονε πάλιν σὺν τῷ ἀγγείῳ. κἂν πάλιν μετακομισθῇ, ὁμοίως πάλιν συμμετακομίζοιτο ἂν ἐν τοῖς διαστήμασιν ἐν οἷς ἦν· οὕτω δὲ γίνοιντο ἂν ἑκάστῳ τῶν ἐν τοῖς ἀγγείοις ἄπειροι τόποι καὶ ἄπειρα διαστήματα, καθ' ἑκάστην μεταφορὰν τοῦ ἀγγείου διάστημά τι ἴσον αὐτῷ καὶ τοῦ ἐν αὐτῷ προσλαμβάνοντος, τουτέστι τόπον. πῶς δὲ τοῦτο ἀληθές; τάχα μὲν γὰρ οὐδὲ τὸ ἐν τῷ κεράμῳ διάστημα συμβαίνειν συγχωρήσουσιν οἱ τὸ διάστημα λέγοντες τόπον, ἀλλ' ἀεὶ ἐν ἄλλῳ καὶ ἄλλῳ γίνεσθαι τοῦ διαστήματος μέρει. εἰ δὲ καὶ τοῦτο δώσει τις, ἀλλ' οὐκ ἀνάγκη καὶ ἐκεῖνο εἰς ὃ ἐγένετο ὁ κέραμος μεταβαίνειν· ἄλλοτε γὰρ ἐν ἄλλῳ μέρει τοῦ διαστήματος γίνεται.

ἄμεινον οὖν οἶμαι τὸ "πολλοὶ ἅμα ἔσονται" ἐπὶ τῶν μεθισταμένων πολλῶν ὄντων, καὶ εἰς οὓς μεθίστανται, ἀκούειν, ὡς εἴρηται πρότερον. τὸ δὲ "οὐκ ἔστι δὲ ἄλλος ὁ τόπος τοῦ μορίου ἐν ᾧ κινεῖται" εἴρηται πρὸς τὸ ἄτοπον τὸ λέγον ὅτι ἔσται τόπος τόπου καὶ πολλοὶ τόποι ἅμα, ὅπερ ἠκολούθησε διὰ τὸ ἄλλο μὲν εἶναι διάστημα ὃ ἤγαγε μεθ' ἑαυτοῦ τὸ ὕδωρ, ἄλλο δὲ τὸ ἐν ᾧ ἐγένετο. λέγει οὖν ὅτι οὐκ ἔστιν ἄλλος καὶ ἄλλος τόπος ἀλλ' ὁ αὐτός, ἐπειδὴ οὐδὲ τὸ διάστημά ἐστιν ὁ τόπος ἀλλὰ τὸ πέρας τοῦ περιέχοντος. id. f. 134.

ὅτι οὐδὲ διάστημά τι ἐστὶ μεταξὺ τῶν περάτων, δείκνυσιν οὕτως. ἀσαφὴς δὲ πάνυ ὁ τῶν λέξεων νοῦς, καὶ εἰ μὴ αὐτὸς ἐν τοῖς τοῦ κενοῦ λόγοις ἡρμήνευσεν ἑαυτόν, ἔμεινεν ἂν ἀνερμήνευτος. ἄλλοι δὲ ἄλλως τῇ τοῦ ῥητοῦ ἐπιβάλλουσιν ἐννοίᾳ... ὁ Θεμίστιος δὲ ἐξηγεῖται τὸ χωρίον οὕτως... "πεφυκὸς" μὲν εἶπε διὰ τὸ μαθηματικόν· ἐκεῖνο γὰρ οὐ φύσει ἐστὶν ἀλλ' ἐπινοίᾳ. Philop. *o* p. 5.

ἅμα τὸν τοῦ Πλάτωνος ἑρμηνεύει σκοπόν, δι' ὃν τὴν ὕλην 211 b 29. ἐκεῖνος χώραν καὶ τόπον ἐκάλεσεν. ἔπειτα τοὺς λογισμοὺς ἐπάγει, δι' οὓς οὐ δυνατὸν νομίζει τὴν ὕλην εἶναι τὸν τόπον... ἄμεινον ἴσως ὁ Ἀσπάσιος τὴν τὴν ὁμοιότητα τῆς ὕλης καὶ τοῦ τόπου εἰσάγοντα παραπέμψασθαι δεῖν φησὶν ὅτι ῥεῖ ἡ ὕλη· ὁ γὰρ τόπος ἠρεμεῖ καὶ ἀκίνητός ἐστιν ἕως ἂν ᾖ. Simpl. f. 135.

"μὴ κεχωρισμένῳ" ἐκ παραλλήλου τὸ αὐτὸ τῷ ἠρεμοῦντι, τὸ 211 b 31. δὲ "συνεχεῖ" ἀντὶ τοῦ συνημμένῳ· οὐ γὰρ κυρίως τὸ συνεχὲς ἐνταῦθα. Philop. *o* p. 8.

ἢ κινητὸν κατὰ φορὰν λέγει τὸ πεφυκὸς ποτὲ μὲν κινεῖσθαι ποτὲ 212 a 7. δὲ ἠρεμεῖν, ὁ δὲ οὐρανὸς οὐ κινητὸς ἀλλ' ἀεὶ κινεῖται· ἢ ἄλλο ἐστί, φησὶν ὁ Ἀλέξανδρος, τὸ κατὰ φορὰν καὶ ἄλλο τὸ κατὰ περιφοράν, τὸ μὲν ἐπ' εὐθείας καὶ ὅλον τόπον ἐκ τόπου μεταβάλλον, τὸ δὲ κύκλῳ καὶ ἐν τῷ αὐτῷ φερόμενον κατὰ μόρια κινεῖται, διὸ οὐδ' ἐν τόπῳ ἐστὶν ὅλον, ὅτι μηδὲ κινεῖται κατὰ τόπον ὅλον. ὁ μέντοι Ἀσπάσιος οὐκ ἀντιστρέφει φησίν· οὐ γὰρ ἀνάγκη, εἰ πᾶν τὸ ἐν τόπῳ κινητὸν κατὰ φοράν, καὶ τὸ κινητὸν κατὰ φορὰν ἐν τόπῳ εἶναι. καίτοι γε ἐχρῆν αὐτοὺς λέγοντος ἀκοῦσαι μετ' ὀλίγον τοῦ Ἀριστοτέλους, ὅτι πᾶν σῶμα ἢ κατὰ φορὰν ἢ κατὰ αὔξησιν κινητόν, καθ' αὑτὸ ποῦ. εἶτα μετάγει λύων, ὡς ἔοικε, ταύτην τὴν ἀπορίαν ὁ Ἀριστοτέλης. Simpl. f. 135.

ἐν τόπῳ δέ ἐστι πᾶν σῶμα, ὃ κατὰ φορὰν οἷόν τε κινεῖσθαι καὶ πάλιν ἠρεμεῖν. οὐ ταὐτὸν δέ ἐστι περιφορά τε καὶ φορά. Themist. f. 39 *b*.

τὸ "κατὰ φοράν" ἀντὶ τοῦ κατ' εὐθυωρίαν· φορὰ γὰρ ἡ κατ' εὐθεῖαν κίνησις, ἡ δὲ κύκλῳ οὐ φορὰ ἀλλὰ περιφορά. Philop. *o* p. 8.

ἐπειδὴ γὰρ ἡ ἀντιμετάστασις τῶν σωμάτων ἐν τῷ περιέχοντι 212 a 9. γίνεται ἠρεμοῦντι, ὅπερ κατὰ τὸν Ἀλέξανδρον σημαίνει τῷ ἀκινήτῳ ὄντι, διὰ τὸ μὴ συγκινεῖσθαι τῷ ἐν αὐτῷ τὸν τόπον, τὸ τὸ περιεχόμενον σῶμα καὶ ἀεὶ ἐν τόπῳ περιέχοντι γινόμενον διάστημα ἔχειν φαντασίαν τισὶ παρέχει ὡς ὂν διάστημα ἄλλο παρὰ τὰ διαστήματα τὰ ἐν τοῖς σώμασι τοῖς κινουμένοις καὶ ἀλλάσσουσι τὸν τόπον, ἴσον ὂν αὐτοῖς κατὰ τὸ μέγεθος. μήποτε δὲ τὸ "ἐν ἠρεμοῦντι" οὐχ ὡς ἀκινήτῳ κατὰ τὸν τόπον εἶπεν, ἀλλ' ὡς τῷ αὐτῷ μένοντι καὶ μὴ

μόρια τοῦ συνεχοῦς οὐκ ἐν τῷ ὅλῳ κινεῖται ἀλλὰ μετὰ τοῦ ὅλου, τὰ διῃρημένα δὲ ἐν τόπῳ, οὐ μετὰ τόπου κινεῖται. πλὴν εἰ μὴ τὰ ἐν ἀγγείοις· μεταφορητὰ γάρ ἐστι τὰ ἀγγεῖα. ἀλλὰ ταῦτα οὐκ εἰσὶν οἱ πρῶτοι τόποι (μείζω γὰρ τῶν σωμάτων), ἀλλὰ τὰ ἔσχατα αὐτῶν. Themist. f. 38 *b*.

211 *a* 33. ὁ Ἀλέξανδρος τὸ "ἐν τῷ αὐτῷ" κατὰ τὸ ἅμα ἀκούει, ἄλλο τι τοῦτο λέγων παρὰ τὰ ἀπαριθμηθέντα τοῦ ἔν τινι σημαινόμενον· ὁ δὲ Ἀσπάσιος ἐν τῷ αὐτῷ μὲν ὡς ἐν τόπῳ ἀκούει. οὕτω μέντοι ὁ ἀμφορεὺς τοῦ οἴνου ἐν ἑαυτῷ ἐλέγετο, διότι μέρος ἐν μέρει. καὶ ἡ ἐπιφάνεια τοῦ ἐν τόπῳ ἐν τόπῳ, μιᾶς γινομένης τῆς ἐπιφανείας διὰ τὸ ἄβαθες. ἀλλ' εἰ μία, πῶς ἔν τινι; ἢ ὡς ἐν τῷ τοῦ περιέχοντος σώματι. Simpl. f. 132 *b*.

211 *a* 34. καὶ τοῦτο δεικτικὸν οἶμαι τοῦ δεῖν τὸ ἐν τόπῳ μὴ εἶναι συνεχὲς πρὸς τὸν τόπον, ἀλλ' ἀπολελυμένον. δείκνυσι δὲ ἀπὸ τῆς ἐν τόπῳ κινήσεως... ὁ μέντοι Ἀλέξανδρος καὶ τοῦτο δεικτικόν φησι τοῦ τὰ μέρη τὰ συνεχῆ μὴ εἶναι ἐν τόπῳ, εἴ γε τὸ μὲν ἐν τόπῳ ὂν ἐν τούτῳ κινεῖται, τὸ δὲ ἐν ὅλῳ οὔ, τοιοῦτον δὲ τὸ συνεχὲς μέρος, οὐκ ἐν ἐκείνῳ ἀλλὰ σὺν ἐκείνῳ κινεῖται. οὕτω δὲ ἐξηγούμενος τὰ ἐφεξῆς ἀπὸ τοῦ "ἔτι" ἕως τοῦ "ἤδη τοίνυν φανερὸν ὅ τι ἐστὶν ὁ τόπος," τὰ αὐτὰ τοῖς προειρημένοις εἶναι φησί, καὶ διπλῆν αἰτιᾶται γραφήν, ὡς εἴ γε τὰ πρότερα τὰ ἀπὸ τοῦ "ὅταν μὲν οὖν μὴ διῃρημένον ᾖ" περὶ τῆς διαφορᾶς ἦκουε τῶν ἐν τόπῳ ὄντων πρὸς τὰ ἐν ὅλῳ, τὰ δὲ ἐφεξῆς τὰ ἀπὸ τοῦ "συνεχὲς μὲν ὂν οὐκ ἐν ἐκείνῳ κινεῖται" περὶ τῆς διαφορᾶς τῶν ἐν τόπῳ κινουμένων πρὸς τὰ μέρη τὰ μετὰ τοῦ ὅλου κινούμενα. δύναται ταῦτα συντόμως μετὰ παραδειγμάτων περὶ τῶν αὐτῶν λέγειν, τὰ μὲν πρῶτα περὶ τῶν ἐν ὅλῳ ἢ ἐν τόπῳ, τὰ δὲ ἐφεξῆς περὶ τῶν μετὰ τοῦ ὅλου ἢ ἐν τόπῳ κινουμένων. id. f. 133.

211 *b* 6. τὸ διάστημα τοῦτο οἱ μὲν περὶ Δημόκριτον καὶ Ἐπίκουρον κενὸν εἶναι λέγουσιν οὕτως ὥστε ποτὲ μὲν πληροῦσθαι σώματος ποτὲ δὲ καὶ κενὸν ἀπολείπεσθαι, οἱ δὲ Πλατωνικοὶ καὶ οἱ Στωϊκοὶ εἶναι μὲν ἄλλο παρὰ τὰ σώματα φασίν, ἀεὶ δὲ σῶμα ἔχειν, ὡς μηδέποτε κενὸν ἀπολείπεσθαι. ἀλλ' αὐτὸς μὲν ἅτε μὴ προσθεὶς τὴν ἀνάγκην τῆς διαιρέσεως τὸ "σχεδὸν" προσέταξεν. ἐπειδὴ δέ, ἐὰν μὴ ἀνελλιπὴς ἡ διαίρεσις φανῇ, σαθρὰ δοκεῖ ἡ ἀπόδειξις, πειρατέον τὴν ἀνάγκην εὑρεῖν... μεταβάλλει τὸ κατὰ τόπον κινούμενον ἢ κατά τι τῶν ἐν αὐτῷ ἢ κατά τι τῶν προσεχῶς περὶ ἑαυτό. ἀλλὰ τὰ μὲν ἐν τῷ κινουμένῳ ὕλη καὶ εἶδός ἐστι, καὶ παρὰ ταῦτα οὐδέν· τὰ δὲ προσεχῶς τό τε πέρας τοῦ περιέχοντος αὐτὸ καὶ τὸ μεταξὺ τοῦ πέρατος ἐκείνου διάστημα, εἴπερ ἔστι τοιοῦτο, καὶ ἄλλο οὐδὲν παρὰ ταῦτα. id. ib.

211 *b* 14. λείπεται τοίνυν ἡμῖν ὅτι μηδὲ τὸ διάστημα ὁ τόπος ἐστὶν ἀποδεῖξαι, διάστημα δὲ τὸ μεταξὺ νοούμενον τῶν περάτων τοῦ περιέχοντος, οἷον τὸ μεταξὺ τῆς κοίλης ἐπιφανείας τοῦ κάδδου. παλαιὰ μὲν οὖν ἡ δόξα, καὶ τοῖς τὸ κενὸν τιθεμένοις προσήκουσα. ἠκολούθησε δὲ ὅμως αὐτῇ καὶ ὁ περὶ Χρύσιππον χρόνος καὶ Ἐπίκουρος ὕστερον· εἰσποιοῦσι δέ τινες καὶ τὸν Πλάτωνα τῷ δόγματι. ἤρτηται δὲ ἐκ πιθανῆς μὲν αἰτίας, ψευδοῦς δὲ ἱκανῶς. ἐπειδὴ γὰρ εἰς ἐπίνοιαν ἤλθομεν ὅλως τοῦ τόπου ἐκ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων καὶ τοῦ γίνεσθαι συνεχῶς ἄλλοτε ἄλλα ἐν τῷ αὐτῷ τόπῳ, διὰ τοῦτο αὐτοῖς ὁ τόπος ἔδοξεν εἶναι τὸ διάστημα τὸ μεταξύ, ὃ ταὐτὸ μόνον ὑπελάμβανον ὑποδέχεσθαι τὰ ἀντιμεθιστάμενα σώματα, κεχωρισμένον ἑκάστου τούτων τῶν εἰσιόντων σωμάτων... ἀλλ' οὐκ ἔστι τοῦτο ὑγιές. εἰ μὲν οἷόν τε ἦν κενὸν σώματος γενέσθαι ποτὲ τὸ ἀγγεῖον, ἴσως ἂν ἐφευρέθη καθ' ἑαυτὸ τὸ λεγόμενον τοῦτο διάστημα· νῦν ἅμα ἐκχεῖται τὸ ὕδωρ καὶ ὁ ἀὴρ ἀντεισέρχεται. κἀντεῦθεν ἡ πλάνη· ἐπεὶ γὰρ σῶμα πᾶν μετὰ διαστήματος, μεταφέρουσι τὸ τῶν σωμάτων διάστημα ἐπὶ τὸν τόπον, οὐκ ἐννοοῦντες ὅτι διὰ τοῦτο ἀεὶ διάστημά ἐστιν ἐν τόπῳ, ἐπειδὴ καὶ σῶμα ἀεί. δηλοῖ δὲ τὰ χαλκᾶ καὶ στεγανὰ πανταχόθεν ἀγγεῖα... ἀλλ' ὑποθώμεθα ἐξαιρεθέντος τοῦ ὕδατος μηδὲν ἕτερον εἰσρυῆναι σῶμα· μένει τοίνυν μεταξὺ τῆς ἐπιφανείας διάστημα κεχωρισμένον. ἀλλὰ ἄλογος ἡ ὑπόθεσις, ὦ σοφώτατε Γαληνέ· αὐτὸ γὰρ ὑποτίθεται ὃ ζητοῦμεν... τὰ μὲν οὖν αἴτια τῆς πλάνης τοῖς ἐπὶ ταύτην ἐλθοῦσι τὴν δόξαν ταῦτά ἐστιν. ὅτι δὲ οὐκ ἔστι τὸ μεταξὺ τῶν ἐσχάτων τοῦ περιέχοντος διάστημα τόπος, ἀναμνησθῆναί σε δεῖ μόνον ὅσα ὑπάρχειν τῷ τόπῳ ταῖς κοιναῖς ἀκολουθοῦντες ἐννοίαις ἐξ ἀρχῆς διωρισάμεθα, τὸν τόπον δεῖν περιέχειν, ἀλλ' ἐμπεριέχεται τὸ διάστημα· τὸν τόπον δεῖν χωρίζεσθαι τῶν σωμάτων, ἀλλὰ τὸ διάστημα ἑκάστῳ τῶν σωμάτων σύνεισί τε καὶ συνυπάρχεται... ἃ μὲν οὖν ἡμεῖς λέγομεν πρὸς τὴν δόξαν, ταῦτά ἐστιν· οἷς δὲ χρῆται Ἀριστοτέλης, ἀσαφέστερον μὲν ἔχει, πειρατέον δέ, ὅπως ἐνδέχεται, κἀκεῖνα, ὡς ἐξ ἀρχῆς προὐθέμεθα, ἐκκαλύπτειν. εἰ φησὶν ἦν τι διάστημα καθ' αὑτὸ πεφυκὸς εἶναι καὶ μένειν ἐν ἑαυτῷ, ἄπειροι ἂν ἦσαν οἱ τόποι. τί δή ποτε; ὅτι ἡνίκα ἂν μεταφέρηται τὸ ἀγγεῖον, πλῆρες ὂν ὕδατος ἢ ἀέρος, ὃ ποιεῖ τὸ ὅλον ὕδωρ ἐν τῷ ἀγγείῳ, τοῦτο ποιήσει καὶ τὰ τοῦ ὕδατος μόρια· ὡς οὖν τὸ ὅλον ὕδωρ κατέχον τὸ οἰκεῖον διάστημα σὺν τῷ ἀγγείῳ κινεῖται μεταφερομένῳ, οὕτως ἕκαστον τῶν μορίων κατέχον τὸ οἰκεῖον διάστημα κινηθήσεται σὺν τῷ ἀγγείῳ. ὅταν τοίνυν ἐν ἄλλῳ τόπῳ γένηται ὁ ἀμφορεύς, δηλονότι καθέξει τι διάστημα, τὸ μεταξὺ τῶν ἐσχάτων τοῦ περιέχοντος ἀέρος, οὗ διαστήματος καὶ τὸ ὕδωρ μέρος καθέξει καὶ τὰ τοῦ ὕδατος μόρια. ὅρα δὲ πόσα ἐν ταὐτῷ γίνεται διαστήματα· ὃ κατέχεν ὅλος ὁ ἀμφορεύς, ὃ κατέχε τὸ τούτου μέρος τὸ ὕδωρ, ὃ κατέχεν ἕκαστον τῶν μορίων τοῦ ὕδατος, πάλιν ὃ κατέχεν ὅλον τὸ ὕδωρ ἐν τῷ ἀμφορεῖ· ἦν γὰρ ἐν τόπῳ τῷ ἀμφορεῖ καὶ τὸ μεταξὺ τῶν ἐσχάτων αὐτοῦ τῆς κοίλης ἐπιφανείας. πρὸς τούτοις ὃ κατεῖχεν ἕκαστον τῶν μορίων τοῦ ὕδατος. τούτοις εἰ προσθείης καὶ τὸ τοῦ ἀμφορέως ὡς τοῦ ὕδατος σώματος καὶ τὸ τοῦ μέρους ὡς σώματος, πολλὰ εὑρήσεις ἐν ταὐτῷ διαστήματα. ἐν μέν γε τοῖς μορίοις καὶ ἕτερον ἔγωγε ἀτοπώτερον ὑφορῶμαι· ἕκαστον γὰρ ἔν τε τῷ οἰκείῳ διαστήματι ἔσται καὶ ἐν τῷ μείζονος μέρους. γιγνομένης δὲ εἰς ἄπειρον τῆς τομῆς, εἰς ἄπειρον καὶ ἡ τῶν τόπων πρόσθεσις προελεύσεται· ὅλως γὰρ εἰ διάστημα ὁ τόπος, οὐδὲν ἄτοπον καὶ τῶν μορίων ἕκαστον ἐν τόπῳ εἶναι καθ' αὑτό... ὅτι δὲ καὶ ὁ τόπος ἐν τόπῳ, γίνεται δῆλον· τὸ γὰρ διάστημα τὸ μεταξὺ τῶν κοίλων τοῦ ἀμφορέως ἔσται ἐν ἄλλῳ διαστήματι, μετατεθέντος τοῦ ἀμφορέως. ἆρ' οὖν ταῦτα ἄτοπα ἀπαντᾷ τοῖς τὸ ἔσχατον τοῦ περιέχοντος λέγουσι τὸν τόπον; οὐδαμῶς. διὰ τί; οὐκέτι γὰρ ἂν εἴποιμι ἐν ἄλλῳ

Ἀλέξανδρος, καίτοι εἰωθὼς καὶ ἐφ᾽ οἷς μηδὲν πρὸς ἔπος τὸν Πλάτωνα παράγειν εἰς ἐξέτασιν, οὐκ οἶδα ὅπως ἐνταῦθα τοῦ Πλάτωνος ἐπελάθετο μᾶλλον. ἔστι δὲ ὁ δεικνὺς τὸ ὅλον ἐν ἑαυτῷ λόγος ἐκ τοῦ Παρμενίδου (p. 145 *b*) ἔχων οὕτως περὶ τοῦ ἑνὸς τοῦ ὅλου δειχθέντος. Simpl. f. 130.

οὐ ταὐτὸν τὸ κατὰ συμβεβηκὸς τῷ κατὰ μέρος, εἰ καὶ ἄμφω κατ᾽ ἄλλο, ἀλλὰ πάμπολυ διαφέρει· τὸ μὲν γὰρ ζῷον ὁρᾶν λέγεται κατὰ μέρος (μέρος γὰρ αὐτοῦ τὰ ὄμματα, οἷς ὁρᾷ), ὁ δὲ ἱστὸς κινεῖται κατὰ συμβεβηκὸς ἐν τῷ πλοίῳ, ἐπειδὴ τῷ πλοίῳ συμβέβηκεν, ὃ κινεῖται, καὶ ἡ λευκότης κινεῖται κατὰ συμβεβηκός, ἐπειδὴ ὁ ἄνθρωπος ᾧ ὑπάρχει. δύο γὰρ οὗτοι τρόποι τοῦ κατὰ συμβεβηκός, ὅταν ἢ τὸ μόριόν τινος ταὐτόν τι λέγηται πάσχειν ὅπερ καὶ τὸ ὅλον, ἢ τὸ συμβεβηκὸς ὅπερ καὶ ᾧ συμβέβηκεν. πῶς ἂν οὖν εἴη τι κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ; δεῖ γὰρ αὐτὸ ἢ μέρος ἢ πάθος ἑαυτοῦ εἶναι, ὅπερ οὐδὲ ἐπινοῆσαι δυνατόν. Themist. f. 38.

210 *b* 24. εἰ μὲν μοναχῶς τὸ ἔν τινι ἐπὶ τοῦ ἐν τόπῳ ἐλέγετο, ἄλυτος ἂν ἦν ἡ τοῦ Ζήνωνος ἀπορία, εἴπερ πᾶν τὸ ὂν εἴτε τὸ ἁπλῶς εἴτε τὸ σωματικὸν ἔν τινι ἐστίν, ὡς οἱ παλαιοὶ πάντες ἐδόξαζον, ὀνειροπολοῦντες τὴν ἐν τῇ ὕλῃ, ὡς ὁ Πλάτων φησί, τῶν εἰδῶν ὑπόστασιν. ἐπεὶ δὲ πολλαχῶς λέγεται τὸ ἔν τινι, οὐδὲν κωλύει τὸν τόπον ἐν ᾧ ἐστὶ τὸ σῶμα, εἶναι μὲν καὶ αὐτὸν ἔν τινι, οὐ μὴν ἐν τόπῳ... καὶ ὁ Εὔδημος δὲ οὕτως ἱστορεῖ τὴν Ζήνωνος δόξαν, λέγων "ἐπὶ ταὐτὸν δὲ καὶ ἡ Ζήνωνος ἀπορία φαίνεται ἄγειν. ἀξιοῖ γὰρ πᾶν τὸ ὂν ποῦ εἶναι· εἰ δὲ ὁ τόπος τῶν ὄντων, ποῦ ἂν εἴη. οὐκοῦν ἐν ἄλλῳ τόπῳ, κἀκεῖνος δὴ ἐν ἄλλῳ, καὶ οὕτως εἰς τὸ πρόσω." καὶ ὁρᾷς ὅτι καὶ ὁ Εὔδημος πρὸς τὸ τῆς ἀπορίας χρήσιμον τὸ ποῦ εἰς τὸ ἐν τόπῳ μετέλαβεν. ὅπως δὲ καὶ αὐτὸς ἐξέλαβε τὸ ποῦ, καὶ ὅτι κατὰ κοινὸν σημαινόμενον, δῆλον γίνεται ἐν οἷς λύει καὶ αὐτὸς τὸν τοῦ Ζήνωνος λόγον, γράφων οὕτως "πρὸς δὲ Ζήνωνα φήσομεν πολλαχῶς τὸ ποῦ λέγεσθαι." Simpl. f. 130 *b*.

210 *b* 31. πανταχόθεν στρέψας τοὺς περὶ τόπου λόγους ἐπάγει "ταῦτα μὲν ἡμῖν ἔστω διηπορημένα," οὐχ ὅτι μηδὲν τῶν μέχρι νῦν εἰρημένων ἀποδεικτικῶς εἴρηται (πολλὰ γὰρ οὕτως ἐρρέθη), ἀλλ᾽ ὡς ἀπόρου καὶ τοῦ εἶναι τὸν τόπον φανέντος διὰ τὸ δυσκατάληπτον τῆς οὐσίας αὐτοῦ. id. f. 131 *b*.

210 *b* 32. ἐπὶ τὴν τόπου εὕρεσιν λοιπὸν τραπείς, ἐπειδὴ δύσκολος ἐφάνη πανταχόθεν ὁ λόγος, ὥσπερ ἔθος ἐπὶ τῶν μὴ αὐτόθεν φαινομένων ὁρισμῶν, ἀπὸ τῶν καθ᾽ αὑτὸ ὑπαρχόντων τῷ τόπῳ τὸν ὁρισμὸν αὐτοῦ συνάγειν πειρᾶται. id. ib.

211 *a* 2. τέταρτον (ἀξίωμα) τὸ μήτε ἀπολείπεσθαι ἑκάστου καὶ χωριστὸν εἶναι, τουτέστι μήτε εἶναί ποτε καθ᾽ αὑτὸν ἐκτὸς σώματος, καὶ ὅμως μετὰ σώματος ὄντα χωριστὴν τοῦ ἐν ἑαυτῷ σώματος ἔχειν τὴν ὑπόστασιν. τὸ δὲ μὴ εἶναι ἐκτὸς σώματος ἴσως τῇ τοῦ κενοῦ ἀναιρέσει θαρρῶν ἠξίωσε. καὶ ἔστιν αὕτη ἡ γραφὴ καὶ πλέον τι δηλοῦσα καὶ καινοπρεπέστερον τὰ ἀντικεῖσθαι δοκοῦντα συνάγουσα. ἔστι καὶ ἄλλη τοιαύτη "ἔτι ἀπολείπεσθαι ἑκάστου καὶ χωριστόν." καὶ ἔστιν αὕτη σαφής· ἴσον γὰρ τὸ ἀπολείπεσθαι τῷ χωριστόν. καὶ λέγοι ἂν τοιοῦτον εἶναι τὸν τόπον, ὡς μεταχωροῦντος τοῦ ἐν αὐτῷ αὐτὸν ἀπολείπεσθαι καὶ χωρίζεσθαι. id. ib. et cod. Pal. 237, qui codex post lacunam 7 vel 8 litterarum addit οὐχ ὅτι ἑκάτερον ἐν τῷ ἑτέρῳ, ἀλλ᾽ ὅτι τὸ ἕτερον καὶ τοῦ ἑτέρου.

τὸν προσεχῆ δηλαδὴ καὶ πρῶτον τόπον· ἐφαρμόζουσι γὰρ ἀλλήλαις αἱ ἐπιφάνειαι. εἰ μὲν εἴη ἡ γραφὴ "ἀπολείπεσθαι," περὶ τοῦ καθ᾽ ἕκαστα τόπου φησὶ τοῦ προσεχῶς ἕκαστα περιέχοντος· τοῦτον γὰρ ἀπολείπεσθαι τοῦ ἐν τόπῳ καὶ χωρίζεσθαι αὐτοῦ. εἰ δὲ "μὴ ἀπολείπεσθαι," οὐ περὶ τοῦ καθ᾽ ἕκαστα τόπου, ἀλλὰ περὶ τοῦ ἁπλῶς· ὁ γὰρ ἁπλῶς τόπος οὐκ ἀπολείπεται τῶν σωμάτων· εἰ γὰρ καὶ τοῦτον ἀπολείπει, πάντως ἐν ἄλλῳ τινὶ ἔσται. τὸ δὲ χωριστὸν κατὰ τὴν γραφὴν ταύτην ἀντὶ τοῦ μηδὲν εἶναι τοῦ πράγματος, ἀλλ᾽ ἐκτὸς τῆς οὐσίας αὐτοῦ. cod. Pal. 237.

διττὴ φέρεται ἡ γραφή, ἢ "ἀπολείπεσθαι ἑκάστου," ἢ μετὰ ἀρνήσεως "μὴ ἀπολείπεσθαι." εἰ μὲν οὖν "ἀπολείπεσθαι" εἴη ἡ γραφή, ὡς καὶ τὰ πλείω τῶν ἀντιγράφων ἔχει, περὶ τοῦ καθ᾽ ἕκαστα τόπου φησὶ τοῦ ἕκαστον προσεχῶς περιέχοντος, ὅν φησιν ἀπολείπεσθαι τοῦ ἐν τόπῳ καὶ χωρίζεσθαι αὐτοῦ· ἔστι γὰρ τοῦ ἀπολείπεσθαι ἐξηγητικὸν τὸ χωρίζεσθαι. εἰ δὲ εἴη "μὴ ἀπολείπεσθαι," λέγοι ἂν οὐ περὶ τοῦ καθ᾽ ἕκαστα τόπου ἀλλὰ περὶ τοῦ ἁπλῶς τόπου. Philop. *o* p. 2.

ἔτι πρὸς τούτοις ἀπολείπεσθαι καὶ χωριστὸν εἶναι τοῦ σώματος (ἀξιοῦμεν τὸν τόπον). οὕτω γὰρ καὶ ἐξ ἀρχῆς ἐνοήθη ἐκ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων. Themist. f. 38.

ἰστέον δὲ ὅτι καὶ Θεόφραστος καὶ Εὔδημος ἐν τοῖς περὶ τόπου 211 *a* 6.
ἀξιώμασι καὶ τὸ ἀκίνητον εἶναι τὸν τόπον προλαμβάνουσι. διὰ τί δὲ ὁ Ἀριστοτέλης τοῦτο παρῆκε, δῆλον γενήσεται ὅτε τὴν διαφορὰν τοῦ τόπου πρὸς τὸ ἀγγεῖον παραδώσει. Simpl. f. 131 *b*.

μὴ πάντα τὰ κινούμενα εἰς τὴν περὶ τοῦ τόπου ἔννοιαν ἡμᾶς 211 *a* 13.
προήγαγεν, ἀλλὰ μόνα τὰ καθ᾽ αὑτά, τὰ δὲ κατὰ συμβεβηκός, ὥσπερ οὐδὲ κινεῖται κυρίως, οὕτως οὔτε τόπου προσδεῖται οὔτε εἰς τὴν γνῶσιν αὐτοῦ συντελεῖ. καίτοι διαφορά μέν τίς ἐστι τῶν κατὰ συμβεβηκὸς κινουμένων. Themist. f. 38.

τὸ "δοκεῖ" ἀντὶ τοῦ φαίνεται καὶ ἔστιν. Philop. *o* p. 4. 211 *a* 23.

ὁ μέντοι Ἀλέξανδρος οἴεται διὰ τούτων δείκνυσθαι ὅτι μή ἐστι 211 *a* 29.
τὰ συνεχῆ μέρη τοῦ ὅλου τοῦ ὄντος ἐν τόπῳ καθ᾽ αὑτὰ ἐν τόπῳ, ἀλλ᾽ ἐν ὅλῳ τῷ ἐν τόπῳ. καίτοι σαφῶς περὶ τῆς τοῦ περιέχοντος διαιρέσεως οἶμαι καὶ συνεχείας πρὸς τὸ ἐν αὐτῷ λέγει γράφων "ὅταν μὲν οὖν μὴ διῃρημένον ᾖ τὸ περιέχον ἀλλὰ συνεχές" καὶ πάλιν "ὅταν δὲ διῃρημένον καὶ ἁπτόμενον." συμφωνότερον οὖν οἶμαι καὶ τῇ λέξει καὶ τοῖς προκειμένοις ἐστὶν ἀκούειν ὅτι ὅταν μὲν συνεχὲς ᾖ τὸ περιέχον τῷ περιεχομένῳ, τότε ὡς μέρος ἐν ὅλῳ ἐστὶ τὸ περιεχόμενον ἐν τῷ περιέχοντι, ὅταν δὲ διῃρημένον, τότε ὡς ἐν τόπῳ τῷ ἐσχάτῳ τοῦ περιέχοντος τὸ περιεχόμενον, καὶ ἐν πρώτῳ τούτῳ. καὶ τούτῳ ἐφαρμόττει τὰ προληφθέντα περὶ τόπου ἀξιώματα. Simpl. f. 132 *b*.

ὅταν δὲ διῃρημένον ᾖ καὶ ἁπτόμενον, ὡς ἐν τόπῳ ἔσται τοῦ 211 *a* 31.
περιέχοντος· τοῦτο δὲ οὐδὲ μέρος τοῦ σώματος (ἔξωθεν γάρ), οὔτε μεῖζον οὔτε ἔλαττον, ἀλλ᾽ ἴσον πανταχοῦ τοῖς πέρασι τοῦ σώματος ὃ περιέχει· ἅμα γάρ ἐστι τὰ ἔσχατα τῶν ἁπτομένων. τὰ μὲν οὖν

τὸ γένος ἐν εἴδει, ὡς ζῷον ἐν ἀνθρώπῳ, ἵππῳ καὶ τοῖς ἄλλοις, ὅτι ἐν τῷ ἑκάστου τῶν εἰδῶν λόγῳ περιέχεται. διὸ "εἴδει" εἶπεν, οὐκ εἴδεσιν... καὶ Εὔδημος δὲ τούτοις παρακολουθῶν, καὶ εἰπὼν "ἄλλως δὲ τὰ πάθη καὶ αἱ ἕξεις ἐν ταῖς οὐσίαις," ἐπήγαγεν "ἐπισκεπτέον δὲ εἰ οὕτω καὶ τὸ σχῆμα καὶ ὅλως ἡ μορφὴ ἐν τῇ ὕλῃ," καὶ αὐτὸς δηλονότι τὴν διαφορὰν ἐνδεικνύμενος... εἰ δὲ ἐν Κατηγορίαις ἑνδεκαχῶς οἱ ἐξηγηταὶ ἀπαριθμοῦνται τὸ ἔν τινι, ἀναμνηστέον ὅτι ἐκεῖ ἄλλο μὲν τὸ ὡς εἶδος ἐν ὕλῃ, ἄλλο δὲ τὸ ὡς συμβεβηκὸς ἐν οὐσίᾳ καὶ ὅλως ἐν ὑποκειμένῳ λέγουσι, καὶ ἄλλο μὲν τὸ ἐν τόπῳ ἄλλο δὲ τὸ ἐν ἀγγείῳ, ἐκ τῶν ἐνταῦθα λεγομένων τὰ δέκα σημαινόμενα διακρίνοντες, καὶ ἄλλο τι παρὰ ταῦτα προστιθέντες τὸ ἐν χρόνῳ, οἷον ὅτι Ἀριστοτέλης ἐγεννήθη ἐπὶ τῆς τοσῆσδε Ὀλυμπιάδος· ὃ νῦν ἴσως οὐ προσέθηκε διὰ τὸ μήπω διδάξαι ὅλως περὶ χρόνου. λέγεται δὲ ἔν τινι καὶ τὸ ὑποκείμενον ἐν τῷ συμβεβηκότι, ὡς λέγομεν τὸ σῶμα ἐν νόσῳ εἶναι καὶ τὸν ἄνθρωπον ἐν περιστάσει. εἰκὸς δὲ καὶ ἄλλα εἶναι τοῦ ἔν τινι σημαινόμενα. id. f. 128.

λέγει τοσαυταχῶς τὸ ἔν τινι λέγεσθαι, ὁσαχῶς καὶ ὑπὸ τῶν ἐξηγητῶν αὐτοῦ εἴωθε λέγεσθαι ἐν τῷ τῶν Κατηγοριῶν ὑπομνήματι... ὁ δὲ Ἀλέξανδρος καὶ ἕτερα σημαινόμενα τοῦ ἔν τινι παρατίθεται, καὶ ἓν μὲν ὡς τὰ ἅμα ὄντα φησί, λέγω δὲ τὰ κατὰ τὰς ἐπιφανείας ἁπτόμενα ἀλλήλων· λέγοιντο γὰρ ἂν ταῦτα ἐν ἀλλήλοις εἶναι· ἀλλὰ δῆλον ὅτι τὰ ἅμα πάντως ἢ ὡς ἐν χρόνῳ λέγονται εἶναι ἢ ὡς ἐν τόπῳ. Philop. *n* p. 13.

210 a 27. τὸ καθ' αὑτὸ ἐνταῦθα ἀντὶ τοῦ πρώτως ἀκουστέον· ἰστέον γὰρ ὅτι τῷ μὲν καθ' αὑτὸ ἀντίκειται τὸ κατὰ συμβεβηκός, τῷ δὲ πρώτως τὸ κατ' ἄλλο. id. p. 14.

210 a 30. εἰ τὴν ἐπιφάνειαν μέρος λέγει τοῦ λευκοῦ σώματος, καίτοι πέρας οὖσαν αὐτοῦ, πρῶτον μὲν ἐπιστῆσαι χρὴ ὅτι καὶ τὸ λευκὸν μέρος καλεῖ τοῦ λευκοῦ σώματος, καίτοι, ὡς ὁ ὁρισμὸς τῶν συμβεβηκότων λέγει, μὴ ὡς μέρη ὄντα δεῖ νοεῖν· ἔοικε γὰρ μέρη τὰ ὁπωσοῦν συμπληροῦντα καλεῖν. ἔπειτα εἰ τὸ σῶμα ἐκ τῶν τριῶν διαστάσεων συνέστηκε, μία δὲ τῶν διαστάσεων ἡ ἐπιφάνεια, ὥς φησιν ὁ Ἀλέξανδρος, διὰ τί μὴ μέρος ἂν λέγοιτο τοῦ σώματος;... οὐκ ἀνάγκη δέ, οἶμαι, ὡς ὁ Ἀλέξανδρος ἐπέστησε, τὸ καθ' αὑτὸ ἀντὶ τοῦ πρώτως ἀκούειν· κυριωτάτη γὰρ ἀντίθεσις τοῦ καθ' αὑτὸ πρὸς τὸ καθ' ἕτερον. Simpl. f. 129.

210 a 34. ἵνα σαφὴς ᾖ ἡ διαφορά, διδάσκει πρῶτον τί ἐστι τὸ πρώτως καὶ τί τὸ κατ' ἄλλο· τὸ γὰρ χρῶμα ἐν μὲν τῷ σώματι κατ' ἄλλο, ἐν δὲ τῇ ἐπιφανείᾳ πρώτως. id. ib.

δείξας πῶς ἐνδέχεται τὸ αὐτό τι ἐν ἑαυτῷ εἶναι, ὅτι κατ' ἄλλο, νῦν φησὶν ὅτι πρώτως οὐκ ἐνδέχεται, οὔτε καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκός. ἐπεὶ οὖν πρῶτον τὸ καθ' αὑτὸ δείκνυσιν, ἐνταῦθα τὸ πρώτως καθ' αὑτὸ πρώτως ἀκουστέον. εἰπὼν δὲ ὅτι πρώτως οὐκ ἐνδέχεται, τὰ παραδείγματα οὐκέτι πρὸς τοῦτο ἐπήγαγεν ἀλλὰ πρὸς τὸ ἀνωτέρω, ὅτι λέγονταί τινα ἀπὸ μέρους. Philop. *n* p. 15.

210 b 7. λέγοι δ' ἂν φύσιν, ὅτι τὸ μὲν ποιότης ἐστὶ καὶ χρῶμα, ἡ δὲ ἐπιφάνεια πέρας σώματος καὶ τοῦ ποσοῦ, δύναμιν δέ, ὅτι ἡ μὲν ὑποκείμενον, τὸ δὲ ὡς ἐν ὑποκειμένῳ. id. ib.

210 b 8. οὕτω μὲν ἐκ τῆς ἐπαγωγῆς τῶν τοῦ ἔν τινι τρόπων ἔστιν ἰδεῖν, ὅτι κατ' οὐδένα τούτων δύναταί τι αὐτὸ ἐν ἑαυτῷ εἶναι. καὶ ἐκ τοῦ λόγου δὲ δυνατὸν τὸ αὐτὸ γνῶναι· χρεία γὰρ καὶ τῆς λογικῆς ἀποδείξεως μάλιστα, ὅτι μὴ ἐκ διαιρέσεως ἀναγκαστικῆς ἐλήφθη τὰ τοῦ ἔν τινι σημαινόμενα, ἵνα τῇ καθ' ἕκαστον αὐτῶν ἐφόδῳ θαρρήσωμεν... καὶ πάνυ καλῶς ἐπὶ τοῦ αὐτοῦ παραδείγματος ἐποιήσατο τὸν λόγον, ἐφ' οὗ τὸ κατ' ἄλλο ἐν ἑαυτῷ εἶναι δυνατὸν ἔδειξεν. Simpl. f. 129 *b*.

210 b 16. ἀκόλουθον μὲν οὖν ἦν συμπέρασμα ἐπαγαγεῖν οὕτως "ὅτι μὲν οὖν ἀδύνατον αὐτό τι ἐν ἑαυτῷ καθ' αὑτὸ εἶναι, δῆλον." ὁ δὲ τοῦτο μὲν οὐκ εἶπεν, ἐξ οὗ δὲ ἔδειξεν ὅτι καθ' αὑτὸ ἐν ἑαυτῷ εἶναι, τοῦτο συμπεραίνεται, λέγω δὴ τὸ ἕτερον μὲν εἶναι τὸν τόπον φύσει, ἕτερον δὲ τὸ ἐν τόπῳ. Philop. *o* p. 1.

210 b 18. οὕτως οὖν καὶ εἴ τι ἐν αὑτῷ κατὰ συμβεβηκὸς εἴη, ἀνάγκη συμβεβηκέναι μέρος εἶναι τοῦ καθ' αὑτὸ ἐν ἑαυτῷ ὄντος. τούτῳ δὲ ἀκολουθεῖ τὸ εἰ ἔστι τι κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ, δεῖν πάντως εἶναι πρὸ τούτου τὸ καθ' αὑτὸ ἐν ἑαυτῷ, ὅπερ ἀδύνατον ἀποδέδεικται ἤδη. διὸ νῦν τοῦτο παρῆκε τὸ ἄτοπον ἐπάγειν. ἀκολουθεῖ δὲ καὶ τὸ ἅμα δύο ἐν τῷ αὐτῷ εἶναι, σώματα δηλονότι· περὶ γὰρ τούτων ὁ λόγος. εἰ γάρ τις λέγοι τὸν ἀμφορέα ἐν ἑαυτῷ κατὰ συμβεβηκὸς εἶναι, ἐπειδὴ ἐκεῖνο ἐστὶ κατὰ συμβεβηκὸς ἔν τινι ὃ τῷ καθ' αὑτὸ ἔν τινι συμβέβηκεν, ἐπειδὴ ὁ οἶνος ἐν τῷ ἀμφορεῖ καθ' αὑτό, ἐὰν ὁ ἀμφορεὺς ἐν τῷ οἴνῳ κατὰ συμβεβηκὸς ᾖ, ἔσται ὁ ἀμφορεὺς ἐν ἑαυτῷ κατὰ συμβεβηκός, καὶ ὁ οἶνος εἰ οἴνου ἐστὶν ἀμφορεὺς ἐν αὑτῷ καθ' αὑτό. οὕτω μὲν οἶμαι ὁ Ἀσπάσιος. ὁ Ἀλέξανδρος δὲ γράφει οὕτως "οἷον εἰ ὁ οἶνος ἐν τῷ ἀμφορεῖ εἴη, ὡς συμβεβηκὸς αὐτῷ ἢ ὡς μέρος αὐτοῦ, ὁ δὲ ἀμφορεὺς ἐν τῷ οἴνῳ καθ' αὑτό· οὕτω γὰρ ἂν ὁ οἶνος αὐτὸς ἐν ἑαυτῷ κατὰ συμβεβηκὸς εἴη, ὅπερ τοῦ καθ' αὑτὸ ἐν ἑαυτῷ ὄντος οὐδὲν διαφέρει." ἀγνοῶ δὴ πῶς τὸν οἶνον ἐν ἑαυτῷ κατὰ συμβεβηκὸς εἶπε, τοῦ Ἀριστοτέλους ἀκούων λέγοντος "αὐτός τε γὰρ ἐν ἑαυτῷ ὁ ἀμφορεὺς ἔσται."... τὸ δὲ "εἰ οὗ ἡ φύσις δεκτικὴ τοῦτο ἐνδέχεται ἐν ἑαυτῷ εἶναι" ἀσάφειαν μὲν ἐποίησε τῷ λόγῳ μεταξὺ παραληφθέν, ἄτοπον δ' οὔ τι ἄλλο τῇ τοιαύτῃ ὑποθέσει ἀκολουθοῦν ἐνεδείξατο, εἰ οὗ ἡ φύσις δεκτική ἐστι, τοῦτο ἔν τινι γίνεσθαι, ἀλλὰ μὴ ἄλλο ἐν ἑαυτῷ· συμβαίνει γὰρ τοῦτο τῷ λέγοντι τὸν ἀμφορέα αὐτὸν ἐν ἑαυτῷ εἶναι. δῆλον δὲ ὅτι κἂν τὸν οἶνόν τις ἐν ἑαυτῷ λέγῃ, συμβήσεται τὸ οὗ ἡ φύσις ἐν ἄλλῳ εἶναι ἐστί, τοῦτο δεκτικὸν εἶναι... τὸ δὲ "ἅμα γὰρ δύο ἐν τῷ αὐτῷ ἔσται" ὅτι μὲν ὡς ἄτοπον εἴρηται καὶ ἀδύνατον, δῆλον. δοκεῖ δὲ ἀδύνατον εἶναι τὸ δύο ἅμα σώματα ἐν ταὐτῷ εἶναι, καὶ πάντες οἱ ἐξηγηταὶ οἷς ἐγὼ προστυχὴς γέγονα, τὸ ἀδύνατον ὡς ἐπὶ σωμάτων ἀκούουσι. μή ποτε δὲ οὐ μάτην οὐκ ὠνόμασε σώματα ὁ Ἀριστοτέλης, ἀλλ' ἁπλῶς εἶπεν "ἅμα γὰρ δύο ἐν τῷ αὐτῷ ἔσται," τό τε δεκτικὸν καὶ τὸ ὑποδεχθέν, ἕτερα τῷ εἴδει ὄντα κατ' αὐτὸ τοῦτο καὶ ἄλλην φύσιν ἔχοντα, ὡς ἔλεγε πρότερον... ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος πῶς λέγεται μήτε καθ' αὑτὸ μήτε κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ εἶναι· εἰ γὰρ τὸ ὅλον ἐν τοῖς μέρεσι, τὰ δὲ μέρη ἐν τῷ ὅλῳ, ἔσται τὸ ὅλον ἐν τῷ ὅλῳ, τουτέστιν ἐν ἑαυτῷ. ἀλλ' οὐ συνάγεται, φησίν... ὁ μὲν

209 b 30. καλῶς ὁ Ἀλέξανδρος ἐπιβάλλει τῷ χωρίῳ λέγων, νῦν γὰρ ἀπὸ τοῦ μάλιστα ἑκατέρῳ ὑπάρχοντος, τῷ τε εἴδει φημὶ καὶ τῇ ὕλῃ, τὴν πρὸς τὸν τόπον λαμβάνει διαφοράν. id. ib.

209 b 32. τοῦτο οἱ μὲν ἐξηγηταὶ ὡς ἄλλο τέταρτον ἐπιχείρημα τιθέασιν, ἀπὸ τοῦ ἄλλο μὲν εἶναι τὸ ἐν τόπῳ ἄλλο δὲ τὸν τόπον τοῦ ἐν ᾧ, ἐκτὸς ὄντος τοῦ ἐν αὐτῷ· εἰ οὖν τὸ ἐν τόπῳ ἡ ὕλη καὶ τὸ εἶδός ἐστιν, ἄλλο ἂν εἴη παρὰ ταῦτα ὁ τόπος. δύναται δὲ καὶ κοινὸν συμπέρασμα εἶναι τῶν πρὸ αὐτοῦ ἐπιχειρημάτων, ἀπὸ τῆς ἐναργείας εἰλημμένον. καὶ τῇ γε τοιαύτῃ ἐννοίᾳ συνᾴδει μᾶλλον ἡ τοιαύτη γραφή, αἰτιολογικὸν ἔχουσα τὸν γάρ, "δοκεῖ γὰρ ἀεὶ τὸ ὄν που," ἔν τισιν ἀντιγράφοις οὕτω φερομένη. ἐπειδὴ γὰρ δοκεῖ ἄλλο μὲν εἶναι τὸ ἐν τόπῳ ἐξ ὕλης καὶ εἴδους ὄν, ἄλλος δὲ ὁ τόπος, εἰκότως ἄλλος μὲν ὁ τόπος ἄλλο δὲ τὸ εἶδος καὶ ἡ ὕλη ἐστίν. id. ib.

209 b 33. τὸ "εἰ δεῖ παρεκβάντας εἰπεῖν" εἴρηκε, διότι τὸ μὲν δεῖξαι ὅτι ὕλη τόπος οὐκ ἔστιν, ἀκόλουθον ἦν τῇ προκειμένῃ θεωρίᾳ· τὸ μέντοι λέγειν ὅτι εἰ τόπος εἴη ἡ ὕλη, ἔσονται τὰ εἴδη ἐν τόπῳ, τοῦτο οὐδὲν τῷ παρόντι λόγῳ συμβαλλόμενον ἦν, εἴτε ἐν τόπῳ εἶεν τὰ εἴδη εἴτε μή. δυνατὸν δὲ καὶ τοῦτο ὡς εἰς τὸ προκείμενον συντελοῦν λαβεῖν· εἰ γὰρ ἄτοπον τὸ τὰ εἴδη ἐν τόπῳ εἶναι, δῆλον ὅτι οὐκ ἂν εἴη ἡ ὕλη τόπος. Philop. *n* p. 12.

209 b 34. τὸ μεθεκτικὸν ἐν μὲν ταῖς ἀγράφοις ταῖς περὶ τἀγαθοῦ συνουσίαις μέγα καὶ μικρὸν ἐκάλει, ἐν δὲ τῷ Τιμαίῳ ὕλην, ἣν καὶ χώραν καὶ τόπον ὠνόμαζε. καὶ δηλονότι φαινομένη τίς ἐστιν ἐναντίωσις αὕτη, οὐ μέντοι ἐστὶν ἐναντία... θαυμαστὸν δὲ πῶς ὁ Ἀλέξανδρος, καίτοι συννοήσας ὅτι εἴδη τὰς ἰδέας λέγει νῦν ὁ Ἀριστοτέλης, ὅμως ἀναγκάζεσθαι νομίζει τὸν Πλάτωνα ἐν τόπῳ λέγειν τὰς ἰδέας, καίτοι ἀΰλους αὐτὰς λέγοντα, ἐπειδὴ τόπον καὶ χώραν τῶν ἐνύλων εἰδῶν εἶπε τὴν ὕλην. Simpl. f. 127.

Πλάτων εἰ σφόδρα βούλεται τὴν ὕλην ποιεῖν τὸν τόπον, ὅρα αὐτὸν καὶ τὰς ἰδέας ἐν τόπῳ λέγειν καὶ τοὺς εἰδητικοὺς ἀριθμούς· καὶ γὰρ τούτοις ὑποτίθησι τὴν ὕλην, ὥσπερ ἔφην, ἣν ποτὲ μὲν τὸ μέγα καὶ τὸ μικρὸν ποτὲ δὲ τὸ μεθεκτικὸν ὀνομάζει. Themist. f. 37 *b*.

210 a 3. τὸ ἐφεξῆς λεγόμενον "ἀδύνατον γὰρ οὗ μὴ κίνησις μηδὲ τὸ ἄνω ἢ κάτω, τόπον εἶναι" ἄλλον λόγον ὁ Ἀλέξανδρός φησι συνημμένον τῷ πρὸ αὐτοῦ τοιοῦτον "ἐφ' ὃ μή ἐστι κίνησις, τοῦτο τόπος οὐκ ἔστιν· ἐπὶ δὲ τὴν ὕλην καὶ τὸ εἶδος οὐκ ἔστι κίνησις· οὐδὲ ἄρα ἡ ὕλη ἢ τὸ εἶδος τόπος ἐστίν." δύναται δέ, φησί, καὶ τὸ τούτῳ συγκείμενον ἄλλος εἶναι λόγος τοιοῦτος "ὃ μὴ ἔχει διαφορὰς τήν τε ἄνω καὶ τὴν κάτω, οὐκ ἔστι τόπος· ἡ δὲ ὕλη καὶ τὸ εἶδος οὐκ ἔχει διαφορὰς τὸ ἄνω καὶ τὸ κάτω· οὐκ ἄρα ἡ ὕλη καὶ τὸ εἶδος τόπος." αὐτὸς δέ, φησί, συνθεὶς πάντα ὡς ἕνα ἠρώτηκε λόγον, προσθεὶς τὸ "πῶς ἂν φέροιτο ἔτι τὰ κινούμενα εἰς τοὺς αὑτῶν τόπους, εἰ ἡ ὕλη ἢ τὸ εἶδος τόπος, ὡς ὂν τοῦτο ἐναργές, ὅτι οὐδὲν ἐπὶ τὸ ἴδιον εἶδος ἢ τὴν ὕλην κινεῖται. οὕτως οὖν ὁ Ἀλέξανδρος καὶ ὁ Ἀσπάσιος. μήποτε δὲ εἷς μέν ἐστιν ὁ ὅλος λόγος, ὡς καὶ Ἀλέξανδρος ἐπέστησεν, συνημμένον ἔχων τὸ πρότερον ῥηθὲν τοιοῦτον "εἰ ὁ τόπος ἡ ὕλη ἢ τὸ εἶδός ἐστιν, οὐδὲν ἂν τῶν κινουμένων ἐπὶ τὸν αὐτοῦ τόπον φέροιτο." ἐν δὴ τούτῳ τὴν μὲν πρόσληψιν ὡς σαφῆ παρῆκε, τὸ δὲ συνημμένον ἀποδείκνυσι... ἐνάγει δέ με πρὸς τὴν τοιαύτην τῶν εἰρημένων ἀποδοχὴν καὶ ὁ γὰρ αἰτιολογικὸς σύνδεσμος. Simpl. f. 127.

210 a 5. ἕκτον τοῦτο ἐπιχείρημα, ὡς οἶμαι, δεικνύον ὅτι οὔτε τὸ εἶδος οὔτε ἡ ὕλη τόπος ἐστί, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ τοῦτο... ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος ἐν τούτοις, μήποτε οὐκ ἀνάγκη, εἴ τι ἐστὶν ἐν τόπῳ, καὶ τὰ ἐν αὐτῷ ὄντα ἐν τόπῳ εἶναι, εἰ μὴ ἄρα κατὰ συμβεβηκός... οὕτω δ' οὐδὲν ἄτοπον καὶ τὸν τόπον ἐν τόπῳ εἶναι· καὶ γὰρ αὐτὸς λέγων εἶναι τόπον τὸ τοῦ περιέχοντος πέρας, ἐν τῷ αὐτῷ εἶναι τόπῳ φησὶ τό τε τοῦ περιέχοντος πέρας καὶ τὸ τοῦ περιεχομένου· αἱ γὰρ ἐπιφάνειαι ἁπτόμεναι ἀλλήλων ἐν τῷ αὐτῷ εἰσίν. λύων δὲ τὴν ἀπορίαν, εἰ ἔστι, φησί, τὸ εἶδος ἢ ἡ ὕλη τόπος τοῦ συνθέτου, ἴσα αὐτῷ ἐστίν· ὁ γὰρ τόπος ἴσος τῷ ἐν τόπῳ... τὸ δὲ ἐν τόπῳ ἴσον τῷ τόπῳ καθ' αὑτὸ ἐν τόπῳ ἐστὶ καὶ οὐ κατὰ συμβεβηκός. id. f. 127 *b*.

210 a 9. τοῦτο τὸ ἐπιχείρημα ἕτερόν φασι καὶ ἀπορίαν ἰδίαν ἔχειν περὶ τόπου, ὅτι δοκεῖ ἀπόλλυσθαι ὁ ἑκάστου τόπος τῶν σωμάτων, ὅταν εἰς ἄλλο σῶμα μεταβολὴ αὐτοῖς γένηται· τοῦ δὲ ἀπολωλέναι τὸν τόπον σημεῖον, ὅτι οὐκέτι εἰσὶν ἐν τῷ αὐτῷ τόπῳ. ἀλλ' ἄτοπον· τίς γὰρ ἂν γένοιτο τόπου φθορά; μήποτε δὲ τὸ "ἔτι" προσκείμενον δηλοῖ περὶ τὸ αὐτὸ τῷ προσεχῶς εἰρημένῳ προβλήματι στρέφεσθαι τὸ ἐπιχείρημα. εἴπερ δὲ ἄρα ἄλλην ἔχει ἀπορίαν, οὕτω μᾶλλον αὐτὴν ἐκδεκτέον ὡς Ἀσπάσιος ἐκδέχεται· ὅταν γὰρ ἐξ ἀέρος ὕδωρ γένηται, τουτέστιν ἐκ μείζονος σώματος ἔλαττον, ἀπόλλυται τοῦ τόπου μέρος· οὐ γὰρ τοσοῦτός ἐστιν ὁ τοῦ γινομένου ὕδατος τόπος, ὅσος ἦν τοῦ ἀέρος τοῦ εἰς αὐτὸν μεταβαλόντος. τίς δὲ τόπου φθορά, πάνυ χαλεπὸν ἀποδοῦναι, ὡς μαθησόμεθα. καὶ εἴη ἂν τοῦτο συγγενὲς ἐκείνῳ τῷ ἐπιχειρήματι τῷ ἀπὸ τῆς αὐξήσεως τοῦ τόπου, ἐν ᾧ ἔλεγε "πῶς οὖν περὶ τῶν αὐξανομένων ἐροῦμεν" (p. 209 *a* 27)... κάλλιον δὲ τοῦ αὐτοῦ προβλήματος εἶναι τὸ ἐπιχείρημα τοῦ δεικνύντος ὅτι οὔτε ἡ ὕλη οὔτε τὸ εἶδος ὁ τόπος ἐστί. καὶ μᾶλλον ἐπὶ τοῦ εἴδους ἀποδείκνυσθαί φησιν ὁ Ἀλέξανδρος οὕτως ἐκδεχομένων ἡμῶν... καὶ τῷ μὲν Ἀλεξάνδρῳ μᾶλλον δοκεῖ ἐπὶ τοῦ εἴδους ἀληθεύεσθαι τὸν λόγον· πῶς δὲ τὸ μὲν εἶδος τόπον ὑποθέμενος ἔλεγεν ὅτι τοῦ μὲν εἴδους φανερὰ ἡ φθορά;... μήποτε οὖν ἐν ἀμφοῖν ὁμοίως ἀληθεύεται, ἐν ταῖς μεταβολαῖς τῶν σωμάτων τὸ ἀπολωλέναι τὸν τόπον, εἴπερ ἢ ἡ ὕλη ἢ τὸ εἶδος ἐστὶν ὁ τόπος... ὁ δὲ Εὔδημος δεικνὺς ὅτι οὐκ ἔστιν ὁ τόπος ἡ ὕλη, καὶ τοῦτο προστίθησιν "ἔτι δὲ ἡ μὲν ὕλη κινεῖται, ὁ δὲ τόπος ἀκίνητος." δῆλον δὲ ὅτι καὶ τῷ εἴδει ἐφαρμόττει ὁ αὐτὸς διορισμός· καὶ γὰρ καὶ αὐτὸ κινεῖται. id. ib.

210 a 14. συμπερανάμενος τοὺς λόγους, ἐξ ὧν τε ἀναγκαῖον εἶναί τι τὸν τόπον δοκεῖ, καὶ πάλιν ἐξ ὧν ἀπορήσειεν ἄν τις περὶ τῆς οὐσίας αὐτοῦ τί ποτέ ἐστιν ὁ τόπος, καὶ ὅλως εἰ ἔστιν... ἐπὶ τὴν εὕρεσιν λοιπὸν τῆς τοῦ τόπου φύσεως παρασκευάζεται. ἐπειδὴ δὲ ἀπὸ τοῦ ἐν τόπῳ ὄντος εἰς ἔννοιαν ἐρχόμεθα τοῦ τόπου, τὸ δὲ ἐν τόπῳ ὂν ἔν τινι ἐστί, διαιρεῖται πρῶτον πολλαχῶς λεγόμενον τὸ ἔν τινι. χρησιμεύσει δὲ αὐτῷ μάλιστα ἡ διαίρεσις καὶ εἰς τὴν λύσιν τοῦ ἐν τόπῳ τὸν τόπον ἔσεσθαι κατὰ τὴν Ζήνωνος ἀπορίαν, ἣν εἶπε ζητεῖν τινὰ λύσιν... τὰ οὖν ἔν τινι κατὰ ὀκτὼ ἢ ἐννέα τρόπους λέγεσθαί φησιν... καὶ ἕνα ὡς

209a 31. ἐν τοῖς περὶ ἕκαστον προβλήμασι μετὰ τὸ εἰ ἔστι καὶ τί ἐστιν, τρίτον τὸ ὁποῖον τί ἐστι προβαλλόμεθα. τὸ δὲ ὁποῖον τί ἐστιν ἐκ τῶν κατ' αὐτὸ ὑπαρχόντων τῷ ὑποκειμένῳ γνωρίζομεν... ὅτι τὸ "καθ' αὐτό" νῦν ἀντὶ τοῦ πρώτως εἶπε, δηλοῖ μὲν καὶ ἡ πρὸς τὸ κατ' ἄλλο ἀντίθεσις, δηλοῖ δὲ καὶ αὐτὸς μετ' ὀλίγον εἰς τὸ πρώτως μεταλαβών... τὸ "καὶ ἐν τῷ ἀέρι ὅτι καὶ ἐν τῇ γῇ" εἶπεν ἀντὶ τοῦ ὅτι ἐν τῷ περὶ τὴν γῆν ἀέρι. Simpl. f. 124 *b*.

209b 6. θαυμαστὸν ὅτι κατὰ τὸ διάστημα τὴν ὕλην ἐξωμοίωσε τῷ τόπῳ, καὶ οὐ κατὰ τὸ ὑποδεκτικόν. ἀλλ' ἴσως τοῦτο τῷ Πλάτωνι παρῆκεν, ὡς μαθησόμεθα, ἢ μᾶλλον τὸ διάστημα ὡς ὑποδεκτικὸν ἐθεάσατο. ἀλλ' εἰ τὸ διάστημα τοῦ μεγέθους ποσόν τι ἐστὶ καὶ μετρεῖται, τὸ δὲ ποσὸν εἶδος, πῶς ὕλη λέγεται τὸ τοῦ μεγέθους διάστημα; ἢ τὸ ὑλικὸν διάστημα οὐκ ἔστι ποσὸν μεμετρημένον, οὐδὲ εἶδος, εἰ μὴ μετάσχῃ τοῦ κατὰ τὸ ποσὸν καὶ τὸ μέγεθος εἴδους, ἀλλ' ἔστι χύσις ἀόριστος. δηλοῖ δὲ καὶ Ἀριστοτέλης τοιαύτην ἔχων ἔννοιαν περὶ αὐτοῦ ἐν οἷς φησὶν "ἔστι δὲ τοιοῦτον ἡ ὕλη καὶ τὸ ἀόριστον." διάστημα δὲ μεγέθους λέγει τὸ ὑποκείμενον ἀόριστον, ὃ καὶ ἄπειρον ἔλεγε πρότερον... ὁ μέντοι Ἀλέξανδρος, καίτοι πολλὰ εἰπὼν πρὸς τὸ διορίσαι τὴν διάστασιν τὴν ὑλικὴν ἀπὸ τοῦ μεγέθους, ταράττεσθαι ὅμως ἔοικεν ὡς πάσης διαστάσεως μεγεθικῆς καὶ πεποσωμένης εἰδητικῆς οὔσης· διὸ καὶ προήχθη ἐπάγειν τοῖς εἰρημένοις τάδε. ἢ τῶν νῦν λεγομένων περὶ τῆς ὕλης οὕτως ἀκούειν χρὴ ὡς οὐκ ἀκριβῶς λεγομένων, ἀλλὰ πρὸς τὴν χρείαν τοῦ δειχθῆναι προκειμένου. καίτοι, ὅπερ εἶπον, σαφῶς τοῦ Ἀριστοτέλους διορίσαντος τῷ ἀορίστῳ καὶ ἀπερατώτῳ τὴν ὑλικὴν διάστασιν τῆς μεγεθικῆς, καὶ ἐναργῶς εἰπόντος ὅτι τὸ διάστημα τοῦτο ἕτερον τοῦ μεγέθους ἐστί, καὶ ὕλη τῆς τοῦ μεγέθους τελειότητος, καὶ περιέχεται ὑπὸ τοῦ εἴδους ὡς ὑπὸ ἐπιπέδου καὶ πέρατος, καὶ ἔστιν ἀόριστον τῇ ἑαυτοῦ φύσει. id. f. 125.

209b 10. τὸ πέρας, τουτέστιν ἡ ἐπιφάνεια καὶ τὸ σφαιρικὸν σχῆμα. τὰ δὲ πάθη, τουτέστιν αἱ παθητικαὶ ποιότητες, τὸ χρῶμα, τὸ βάρος καὶ τὰ λοιπά. Philop. *n* p. 10.

209b 11. διὰ τὸ προσεοικέναι τῇ ὕλῃ τὸν τόπον καὶ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ τὴν ὕλην ταὐτὸν εἶναί φησι τῇ χώρᾳ· ἡ δὲ χώρα τόπος ἐστίν, ὥστε ταὐτὸν εἶναι τὴν ὕλην τῷ τόπῳ. μεταληπτικὸν δὲ καλεῖ τὴν ὕλην ὡς τῶν εἰδῶν μεταλαμβάνουσαν καὶ μὴ μεταλαμβανομένην· χώραν δὲ ὅτι κατ' ἀναλογίαν, ὅτι ὥσπερ ἅπαν σῶμα ἐν τόπῳ, οὕτω καὶ ἅπαν εἶδος φυσικὸν ἐν ὕλῃ. εἰ γὰρ τῆς σφαίρας, φησίν, ἀφελοίμεθα τὰ πάθη καὶ τὸ σχῆμα καὶ τὰ πέρατα, οὐδὲν ἄλλο περιλείπεται ἢ διαστατά, οἷον καὶ ἀπεράτωτον· ἐν ἐκείνοις γὰρ τὴν ὕλην ἐκάλεσε τὸ μέγα καὶ τὸ μικρόν, ὡς δεκτικὴν τῶν ἐναντίων. cod. Pal. 237.

ἐν οἷς κατὰ τὸ πάρεργον ἐγκαλεῖν τῷ Πλάτωνι δοκεῖ, οὐ τοῦτο ἐνεκάλεσεν ὅτι τὴν ὕλην τόπον εἶπεν ὁ Πλάτων τῶν εἰδῶν· ᾔδει γὰρ καὶ αὐτὸς ἄλλο σημαινόμενον τοῦ τόπου τοῦ τῶν εἰδῶν δεκτικοῦ, ὅτε ἔλεγεν ἐν τῇ περὶ ψυχῆς (3 4 p. 429 *a* 27) "καὶ εὖ γε οἱ λέγοντες τὴν ψυχὴν τόπον εἰδῶν, πλὴν οὐκ ἐντελεχείᾳ ἀλλὰ δυνάμει τὰ εἴδη."... ὁ δὲ Ἀλέξανδρος ὁμολογεῖ μὲν καὶ αὐτὸς κατ' ἄλλο σημαινόμενον τὴν ὕλην ἐν Τιμαίῳ χώραν κληθῆναι, εὐλόγως δέ φησι τὸν Ἀριστοτέλη λαμβάνεσθαι τοῦ Πλάτωνος, διότι κἂν μεταφορικῶς τις αὐτὸν λέγοι τὴν ὕλην τόπον καλεῖν, ἔδει τὸν μεταφοραῖς χρώμενον πρῶτον ἔχειν κείμενον τί ἐστιν ὁ κυρίως τόπος... ἄλλον δὲ τρόπον ἐν Τιμαίῳ τὴν ὕλην καὶ ἄλλον ἐν ταῖς ἀγράφοις συνουσίαις ὀνομάσαι φησίν· ἐν Τιμαίῳ μὲν γὰρ τὸ μεταληπτικὸν αὐτήν φησι (μεταλαμβάνειν γὰρ τὴν ἀπειρότητα τοῦ νοητοῦ), ἐν δὲ ταῖς ἀγράφοις συνουσίαις μέγα καὶ μικρὸν ἐκάλει. Simpl. f. 125 *b*.

δοκεῖ μὲν εἶναι ὁ τόπος διάστημα τοῦ μεγέθους καὶ τοῦ σώματος, τοιοῦτον δέ τι καὶ ἡ ὕλη φαντάζεται· ὁριωθεῖσα μὲν γὰρ ὑπὸ τοῦ εἴδους καὶ περιχωθεῖσα ἐπιπέδοις καὶ πέρασι μέγεθος γίνεται καὶ σῶμα, καθ' ἑαυτὴν δὲ διάστημα μέν ἐστι, διάστημα δὲ ἀόριστον· ὅταν γὰρ ἀφαιρεθῇ τῆς σφαίρας τὸ πέρας καὶ τὰ συμβεβηκότα, λείπεται οὐδὲν παρὰ τὴν ὕλην καὶ τὸ διάστημα· οὐ γὰρ ἐν τῷ πέρατι τὸ διάστημα, ἀλλὰ ὁρίζεται μὲν ὑπὸ τούτων, ἔστι δὲ οὐκ ἐν τούτοις ἀλλ' ἐν τῷ ὑποκειμένῳ. ἔστι μὲν οὖν καὶ διὰ τοῦτο προσεοικέναι τῇ ὕλῃ τὸν τόπον, μᾶλλον δὲ ὅτι δέχεται πλείους μορφάς τε καὶ εἴδη τὰ ἐν τοῖς σώμασιν ὁ αὐτὸς μένων. ἀπὸ γὰρ ταύτης τῆς ὁμοιότητος καὶ Πλάτων τὴν ὕλην καὶ τὴν χώραν ταὐτόν φησιν εἶναι ἐν τῷ Τιμαίῳ· τὸ γὰρ μεταλαμβάνον τῶν εἰδῶν, ὅπερ ὕλη, καὶ τὴν χώραν, ὅπερ ἐστὶν ὁ τόπος, ταὐτὰ λέγει. καίτοι τὴν ὕλην ἄλλως μὲν ἐν Τιμαίῳ φησὶ δέχεσθαι τὰ εἴδη, ἄλλως δὲ ἐν τοῖς ἀγράφοις δόγμασιν· ἐκεῖ μὲν γὰρ κατὰ μέθεξιν, ἐν τοῖς ἀγράφοις δὲ καθ' ὁμοίωσιν. Themist. f. 37.

μεταληπτικὸν καλεῖ τὴν ὕλην (ὁ Πλάτων), ὡς ἤδη εἶπον, ὡς τῶν εἰδῶν μεταλαμβάνουσαν, καὶ μόνως μεταλαμβάνουσαν, οὐδαμῶς δὲ μεταλαμβανομένην... τὰς ἀγράφους συνουσίας τοῦ Πλάτωνος αὐτὸς ὁ Ἀριστοτέλης ἀπεγράψατο. Philop. *n* p. 10.

εἰ καὶ ἀρχαί εἰσιν ἥ τε ὕλη καὶ τὸ εἶδος, αἱ ἀρχαὶ τὴν ἀκροτάτην 209b 20.
ἔχουσι θεωρίαν, καὶ μέντοι χωρὶς ἀλλήλων ἀδύνατον αὐτὰ γνωρίζειν. Simpl. f. 126.

εἰπὼν ἐκ τίνων ἄν τις ὕλην ἢ εἶδος ὑπονοήσαι τὸν τόπον εἶναι, 209b 21.
δείκνυσι δι' ἑπτὰ ἐπιχειρημάτων ὅτι οὐδέτερον τούτων δυνατὸν εἶναι τὸν τόπον. id. ib.

δύναται μέν τις τὸ μὲν μόριον ἐπὶ τῆς ὕλης ἀκούειν τὴν δ' ἕξιν 209b 27.
ἐπὶ τοῦ εἴδους, ἵνα ᾖ ἥ τε ὕλη καὶ τὸ πάθος μόριον καὶ ἕξις, ὅπερ πρόκειται. ἕξις δέ ἐστι τὸ ὡς τελειότης συμβεβηκός, οἷόν ἐστι τὸ εἶδος· ὥστε οὔτε ὕλη οὔτε εἶδός ἐστιν ὁ τόπος. δυνατὸν δὲ καὶ καθολικώτερον ἀκούειν, τὸ μὲν μόριον ἐπὶ πάντων τῶν οὐσιωδῶς συμπληρούντων, τὴν δὲ ἕξιν ἐπὶ τῶν συμβεβηκότων· οὔτε γὰρ πάθος οὔτε δύναμις οὔτε ἄλλο τι τοῦ ἐν τόπῳ ὁ τόπος ἐστίν. id. f. 126 *b* et cod. Pal. 237.

μόριον μέν, οἷον χεὶρ ἢ ποὺς ἢ τῶν ὁμοιομερῶν τι, ἕξις δὲ ἤτοι τὸ εἶδός φησι τὸ οὐσιῶδες ἢ ἁπλῶς πᾶν εἶδος καὶ τὸ κατὰ συμβεβηκός... δυνατὸν δὲ μόριον ἀντὶ τοῦ στοιχεῖον ἀκούειν, οἷον τὸ εἶδος καὶ τὴν ὕλην, ὅπερ καὶ μᾶλλον, ἵνα εἴη συμπέρασμα τὸ "ὥστε οὔτε μόριον οὔτε ἕξις," ἀντὶ τοῦ δῆλον οὖν ὅτι οὔτε εἶδος οὔτε ὕλη ὁ τόπος. Philop. *n* p. 11.

τοῦτο οἱ ἐξηγηταὶ συνάπτουσι τῷ προσεχῶς εἰρημένῳ δευτέρῳ 209b 23.
συμπεράσματι. τὸ αὐτὸ δὲ δείκνυσι καὶ ἐκ τῆς τοῦ ἀγγείου πρὸς τὸν τόπον ὁμοιότητος. Simpl. f. 126 *b*.

ἀντὶ τοῦ κοινή "πρώτη." καὶ οὕτω γράφει καὶ ὁ Εὔδημος. id. f. 121 *b*.

208a 31. κἂν ἔδοξεν Ἡσίοδος λέγειν "ἤτοι μὲν πρώτιστα χάος γένετο," καὶ μυθική ἐστι καὶ οὐκ ἀποδεικτικὴ ἡ τοῦ Ἡσιόδου παράδοσις, καὶ τοσοῦτον, εἴπερ ἄρα, ἐνεδείξατο καλῶς, ὅτι δεῖ τι προϋπάρχειν ἐν ᾧ τὰ γινόμενα ἔσται. καὶ ὁ Πλάτων δὲ ἐν Τιμαίῳ ὅσα περὶ τοῦ τόπου δοκεῖ λέγειν, περὶ τῆς ὕλης εἴρηκεν. ὁ δὲ Εὔδημος τῆς δυσκολίας τοῦ περὶ τόπου προβλήματος καὶ τοῦτο αἴτιον εἶναί φησι, τὸ μὴ ῥᾴδιον εἶναι ἐπιλαβέσθαι τοῦ τόπου, διότι ὑποφεύγει πάντως ἐξαιρουμένου τοῦ ἐν τόπῳ σώματος, καὶ καθ' αὑτὸ μὲν οὐκ ἔστιν αὐτὸν νοῆσαι, εἴπερ δὲ ἄρα, μεθ' ἑτέρου, ὥσπερ τοὺς τῶν ἀφώνων καλουμένους φθόγγους. id. f. 122.

208b 24. ὁ Ἀλέξανδρος τὴν λέξιν τὴν λέγουσαν "ὡς τὰ μόνον λεγόμενα διὰ θέσιν οὐκ ἔχοντα φύσει τούτων ἕκαστον" οὕτω μεταγράφει "ὥστε μόνον νοεῖσθαι αὐτῶν τὴν θέσιν." εἰπὼν γάρ, φησίν, ὅτι τὰ μαθηματικὰ κατὰ τὴν πρὸς ἡμᾶς θέσιν ἔχει τὰ δεξιὰ καὶ ἀριστερά, ποίαν θέσιν προσέθηκεν, ὅτι τὴν κατ' ἐπίνοιαν· εἰ γὰρ τὴν ἀρχὴν μηδ' ἔστι καθ' αὑτά, οὐδ' ἂν θέσιν ἔχοι καθ' αὑτά. ἐνταῦθα δὲ σαφῶς ὁ Ἀλέξανδρος ὁμολογεῖ τὸ ἀπὸ τῶν μαθημάτων παράδειγμα μὴ εἶναι ἴδιον ἐπιχείρημα, ἀλλ' εἰς πίστιν εἰλῆφθαι τοῦ κατὰ φύσιν διωρίσθαι τὰς τῶν τόπων διαφοράς, εἴπερ τὰ μὴ κατὰ φύσιν διωρισμένους ἔχοντα τοὺς τόπους, ὥσπερ τὰ μαθηματικά, οὐδὲ ὅλως ἐστὶν ἐν τόπῳ. μήποτε δὲ δύναται καὶ ἴδιον ἐπιχείρημα εἶναι τοῦτο, ὥσπερ ᾠήθη πρότερον ὁ Ἀλέξανδρος, τὸ τρίτον ἐπιχείρημα τῶν εἶναι τὸν τόπον δεικνύντων, τὸ ἀπὸ τῶν μαθημάτων εἶναι λέγων. ἔχοι δ' ἂν οὕτως· εἰ τὰ μαθηματικὰ καίτοι μὴ ὄντα φύσει ἐν τόπῳ, ὅμως κατὰ τὴν πρὸς ἡμᾶς θέσιν ἔχει τὰς τοῦ τόπου διαφοράς, δηλονότι ἔστι τι ὁ τόπος· τὰ γὰρ θέσει ἀπὸ τῶν φύσει μετάγεται, ὡς τὰ φανταστὰ ἀπὸ τῶν αἰσθητῶν. id. f. 122 *b*.

208b 29. τοῦ Ἡσιόδου ἐν τῇ Θεογονίᾳ λέγοντος "ἤτοι μὲν πρώτιστα χάος γένετο," καὶ τοῦ χάος ἀπὸ τοῦ χῶ ῥήματος δοκοῦντος γεγονέναι καὶ διὰ τοῦτο τὸ χωρητικὸν δηλοῦν, ὅπερ ταὐτόν ἐστι τῷ τοπικῷ, ἐκ τούτου δύο συλλογίζεται ὁ Ἀριστοτέλης... ἔοικε δὲ τοιαύτη τις τότε τῶν Ἡσιόδου ἐπῶν ἐπιπολάζειν ἐξήγησις, τὸ χάος εἰς χώραν μεταλαμβάνουσα. δηλοῖ δὲ οὐ χώραν ἀλλὰ τὴν ἀπειροειδῆ καὶ πεπληθυσμένην τῶν θεῶν αἰτίαν, ἣν Ὀρφεὺς χάσμα πελώριον ἐκάλεσε. id. f. 123.

διὰ τοῦτο γοῦν πρὸ πάντων ὑποστῆναί φησι τὸν τόπον, ἀπὸ τῆς χώρας καὶ τοῦ χωρητικὸν πάντων εἶναι χάος αὐτὸν ὀνομάσας. Philop. *n* p. 2.

209a 3. ζητεῖ πρῶτον ἐν τίνι γένει χρὴ τιθέναι τὸν τόπον· ἀρχὴ γὰρ τοῦ τί ἐστι καὶ τοῦ ὁρισμοῦ τὸ γένος ἐστίν. πότερον οὖν σῶμα ἢ ἀσώματον ὁ τόπος. εἰκότως δὲ οὐκ εἶπεν ἢ ἀσώματον, ἀλλ' "ἤ τις ἑτέρα φύσις," ἐπειδὴ οὐ πάντῃ σώματος ἐκτὸς αὐτὸν εἶναι τίθησι, πέρας λέγων αὐτὸν σώματος, ὡς μαθησόμεθα. Simpl. f. 123 *b* et cod. Pal. 237.

209a 6. τὸ σῶμα διὰ σώματος χωρεῖν οἱ μὲν ἀρχαῖοι ὡς ἐναργὲς ἄτοπον ἐλάμβανον, οἱ δὲ ἀπὸ τῆς Στοᾶς ὕστερον προσήκαντο ὡς ἀκολουθοῦν ταῖς σφῶν αὐτῶν ὑποθέσεσιν, ἃς ἐνόμιζον ἐν παντὶ τρόπῳ δεῖν κυροῦν. Simpl. f. 123 *b*.

εἰ γὰρ καὶ ὁ τόπος σῶμα, καὶ τὸ γενόμενον ἐν αὐτῷ σῶμα, καὶ ἴσα τοῖς διαστήμασιν ἄμφω, τὸ σῶμα ἔσται ἐν ἴσῳ ἑτέρῳ σώματι. τοῦτο δὲ Χρυσίππῳ μὲν καὶ τοῖς ἀπὸ Ζήνωνος δόγμα ἐστίν, οἱ παλαιοὶ δὲ ἀπάγουσιν ὡς εἰς ἀδύνατον ἐναργῶς, καὶ πολλοὶ παρίστανται τῷδε τῷ λόγῳ γεννικῶς, ὅ τε Ἀφροδισιεὺς Ἀλέξανδρος ἐν τῷ περὶ Κράσεων γράμματι καὶ τοῖς ὑπομνήμασι τοῖς Φυσικοῖς, καὶ ἄλλοι τινές, οἷς οὐ χαλεπὸν ἐντυχεῖν. Themist. f. 37.

τοῦτο εἶπε, διότι δοκεῖ Πλάτων τὸν τόπον τὴν ὕλην λέγειν, 209a 15.
ὅπερ ἐφεξῆς ἐλέγξει. Philop. *n* p. 7.

ἐπιστῆσαι ἄξιον πῶς εἶπε τὰ τῶν αἰσθητῶν στοιχεῖα σώματα 209a 17.
εἶναι· ἡ γὰρ ὕλη καὶ τὸ εἶδος ἐστὶ τὰ πρῶτα στοιχεῖα τῶν αἰσθητῶν, ἀσώματα ὄντα ἄμφω. μήποτε οὖν οὐ μάτην εἶπε "τὰ μὲν τῶν αἰσθητῶν στοιχεῖα σώματα," ἵνα δείξῃ ποῖα λαμβάνει σύνθετα, ὅτι οὐ τὰ ἐξ ὕλης καὶ εἴδους προσεχῶς, ἀλλὰ τὰ ἐκ τῶν ἁπλῶν σωματικῶν στοιχείων τῶν τεσσάρων, ἅτινα οὐκ ἔστιν αἰσθητὰ καθ' ἑαυτά, οὐδὲ ἔστιν ὅλως καθ' ἑαυτά... καί μοι δοκεῖ συναισθόμενος ὁ Ἀριστοτέλης ὅτι οὐ πάντων τῶν στοιχείων ἐποιήσατο τὴν ἀναίρεσιν (οὐ γὰρ δὴ τῆς ὕλης καὶ τοῦ εἴδους) ἀλλὰ μόνων τῶν σωματικῶν, καὶ διὰ τοῦτο ἐπάγειν τὸ ἐξῆς ἐπιχείρημα, ἐν ᾧ δείξει ὅτι οὔτε ὡς ὕλη οὔτε ὡς εἶδος ἐστὶν ἀρχὴ ἢ στοιχεῖον ὁ τόπος. Simpl. f. 124.

ὅτι δὲ οὔτε εἶδος οὔτε ποιητικὸν οὔτε τελικὸν αἴτιον ὁ τόπος, 209a 21.
αὐτὸς μὲν παρῆκε δεικνύναι... ὁ Εὔδημος ἐν τῷ τρίτῳ τῶν Φυσικῶν παρακολουθῶν τοῖς ἐνταῦθα λεγομένοις, καὶ ὡς ὁμολογούμενον ἕκαστον τῶν αἰτίων ἀφαιρῶν τοῦ τόπου, ἀλλ' ἆρά γε φησὶν ὡς τὸ κινῆσαν, ἢ οὐδὲ οὕτως ἐνδέχεται ὦ Δημόκριτε; δεῖ γὰρ κινητικὸν εἶναι καὶ ἔχειν τινὰ δύναμιν... ἡ δὲ ἐπιχείρησις αὕτη συντελεῖ μὲν πρὸς τὸ μηδὲν εἶναι τῶν ὄντων τὸν τόπον, μήτε ἀρχὴν μήτε ἀπ' ἀρχῆς, μάλιστα δὲ τείνει πρὸς τὸ μὴ εἶναι ἀρχὴν αὐτόν, ὅπερ ἐδόκουν λέγειν οἱ τὸ Ἡσιόδου χάος καὶ τὸ κενὸν τοῦ Δημοκρίτου προφέροντες, καὶ τὴν φυσικὴν τῶν σωμάτων κίνησιν ὡς ἀπ' αἰτίας τοῦ τόπου γινομένην. id. ib.

εἰ μὴ λυθείη ἡ Ζήνωνος ἀπορία (ὅπερ σημαίνει τὸ ζητεῖν τινὰ 209a 24.
λόγον αὐτήν), δηλονότι ἀναιρεῖται τὸ εἶναι τόπον. id. f. 124 *b*.

ἡ γὰρ Ζήνωνος ἀπορία ζητεῖ τινὰ λόγον, τουτέστι λύσιν καὶ ἀπολογίαν, ἴσως τοῦ Ζήνωνος τοῦτο ἀποροῦντος καὶ ἀναιροῦντος ἐκ τῶν ὄντων τὴν τῶν τόπων διαφορὰν διὰ τοῦ καθόλου τὸν τόπον ἀναιρεῖν, διὰ τὸ δεῖξαι ἓν τὸ ὂν ὑπάρχον· ἡ γὰρ τῶν τόπων διαφορὰ σαφῶς τὸ πλῆθος τῶν πραγμάτων παρίστησι. ταῦτα δὲ ἐκ στοχασμῶν φαμέν· οὐ γὰρ ἔχομεν εἰπεῖν σαφῶς, τί βουλόμενος ὁ Ζήνων τοῦτο ἠπόρει. ἴσως δὲ καὶ τὸ ἄπειρον εἰσαγαγεῖν βουλόμενος. Philop. *n* p. 7.

τὸ γὰρ προστεθὲν σῶμα ἢ οὐκ ἔσται ἐν τόπῳ, ὅπερ ἀδύνατον κατὰ 209a 27.
τοὺς τὸν τόπον εἰσάγοντας, ἢ ἔν τινι προϋπάρχοντι κενῷ γέγονεν, ὅπερ καὶ αὐτὸ ἐλεγχθήσεται· ἢ ὁ τόπος ηὔξηται καὶ ἐκ μικροῦ μείζων γέγονεν, ὅπερ καὶ αὐτὸ γελοῖον. id. p. 8.

207 b 31. ὅτι δὲ οὐκ ἔστιν ἐν τόπῳ τὰ μαθηματικά, φησὶν Ἀριστοτέλης ἐν τῷ ἐχομένῳ συγγράμματι. δηλοῖ γὰρ τὰ μαθηματικὰ οὐκ ὄντα ἐν τόπῳ, ὅμως κατὰ τὴν πρὸς ἡμᾶς θέσιν. ἀλλὰ τίς ἂν βλάπτοι γεωμετρίαν τῶν περὶ φύσεως λόγων; ὁ τὰ ἀμερῆ καὶ ἐλάχιστα ἀρχὰς ὑποτιθέμενος καὶ στοιχεῖα· τὴν γὰρ εἰς ἄπειρον τομὴν ἀναιρεῖ, ᾗ συναναιρεῖται πολλὰ τῶν ἐν τοῖς μαθήμασι νῦν προχείρως δεικνυμένων. Themist. f. 35 *b*.

καλῶς ὁ Ἀλέξανδρος ἐνταυθά φησιν ὅτι δείξας ὁ Ἀριστοτέλης ὁποίου ἀπείρου οὐ προσδέονται εἰς τὰς δείξεις οἱ γεωμέτραι, ὅτι τοῦ κατὰ τὴν ἔκτασιν ἀπείρου οὐ δέονται, νῦν λέγει ποίῳ χρῶνται, ὅτι τῷ κατὰ διαίρεσιν ἀπείρῳ χρῶνται· ἔστι γάρ, φησί, τῷ μεγίστῳ μεγέθει κατὰ τὸν αὐτὸν λόγον ὁπηλικονοῦν ἄλλο μέγεθος τμηθῆναι. Philop. *m* p. 18.

208 a 1. στέρησις γὰρ τοῦ εἰδητικοῦ πέρατός ἐστι τὸ ἄπειρον τοῦτο, καὶ στέρησις τοιαύτη ὡς ἀπουσία ἐν τῷ πεφυκότι δέχεσθαι τὸ πέρας καὶ τὸ εἶδος· πλὴν ὅτι ὡς μὲν στέρησις εἴδει ἀντίκειται, ὡς δὲ ἄπειρον πέρατι. ἀλλὰ τί τὸ ἐφεξῆς ὅ φησι, "τὸ δὲ καθ' αὑτὸ ὑποκείμενον τὸ συνεχὲς καὶ αἰσθητόν;" εἰ γὰρ ἡ ὕλη ἐστὶ τὸ τῇ στερήσει καὶ ἀπειρίᾳ ὑποκείμενον, τὸ δὲ τῇ στερήσει καὶ ἀπειρίᾳ τῆς ἐπ' ἄπειρον διαιρέσεως ὑποκείμενον καθ' αὑτὸ τὸ συνεχὲς καὶ αἰσθητόν, τοῦτο δέ ἐστι τὸ φυσικὸν σῶμα, συνάγεσθαι δοκεῖ λαμπρῶς ὅτι ἡ ὕλη τὸ σῶμά ἐστιν, ὅπερ τινὲς δεύτερον ὑποκείμενον λέγουσιν. ἢ οὐ μάτην πρόσκειται τῷ ὑποκειμένῳ τὸ "καθ' αὑτό·" οὐ γὰρ ἡ ὕλη μόνη ὑπόκειται τῇ εἰς ἄπειρα διαιρέσει καὶ τῇ κατ' αὐτὴν στερήσει, ἀλλὰ τοῦτο ἤδη τὸ συνεχὲς σῶμα καὶ αἰσθητόν· δεῖ γὰρ ἐνεργείᾳ διεστὼς τὸ διαιρεθησόμενον εἶναι, καὶ μὴ δυνάμει μόνον ὥσπερ ἡ ὕλη. πῶς οὖν λέγεται περὶ τὴν ὕλην τὸ ἐν τῇ διαιρέσει ἄπειρον; ἢ ὅτι τοῦ συνθέτου σώματος εἰς ἄπειρα τεμνομένου, ἐπειδὴ μὴ κατὰ τὸ εἶδος ἡ τομὴ γίνεται. Simpl. f. 119 *b*.

208 a 5. δείξας ἐν δυνάμει τὸ ἄπειρον καὶ οὐκ ἐνεργείᾳ, καὶ τὰ οἰκεῖα πάντα τούτῳ τῷ λόγῳ διαρθρώσας προβλήματα, βούλεται λοιπὸν λῦσαι τοὺς λόγους τοὺς προεκτεθέντας, ὅσοι τὸ ἐνεργείᾳ ἄπειρον κατεσκεύαζον. id. f. 120.

208 a 11. οὗτός ἐστιν ὁ τέταρτος τῶν ἐκεῖ κειμένων λόγων, ὁ παντὸς πεπερασμένου λέγων τι εἶναι ἔξω, πρὸς ὃ περαίνει, καὶ τούτου ἀεὶ γινομένου τὸ ἐνεργείᾳ ἄπειρον εἰσάγων... πρὸς τοῦτον οὖν τὸν λόγον ἀληθῶς ἐνίστασθαι δυνατόν, λέγοντας ὅτι ἕτερόν ἐστι τὸ πεπεράνθαι τοῦ ἅπτεσθαι· τὸ μὲν γὰρ ἅπτεσθαι τῶν πρός τι (τὸ γὰρ ἁπτόμενον τινὸς ἅπτεται ἁπτομένου καὶ ἄλλου παρ' αὐτὸ ὄντος), τὸ δὲ πεπεράνθαι ἐν τῷ ποσῷ ἐστίν. id. ib.

208 a 13. κάλλιον οἶμαι τὸ ἔξω τοῦ ἄστεος οὕτως ἀκούειν, ὡς ὁ Εὔδημος ἐνόησε τὰ τοῦ καθηγεμόνος, ὡς μείζονα τῆς πόλεως τὸν Διάρη φανταζομένων, καὶ μὴ ὡς Ἀλέξανδρος ἐξηγεῖται, ὅταν ἡμᾶς αὐτοὺς ἔνδον ὄντας ἄστεος ἔξω νοήσωμεν, ἢ πολλαπλασίους κατὰ τὸ μέγεθος, ὡς τοῦ ἔξω τοῦ ἄστεος κατὰ τὸν τόπον ἔχοντος μόνον τὴν παραλλαγήν. καὶ ἔοικεν οὕτως ἐξηγεῖσθαι διὰ τὸ ἐπ' ἄλλου καὶ ἄλλου ἀκοῦσαι τὸ "ἀλλ' οὐ διὰ τοῦτο ἔξω τοῦ ἄστεος τί ἐστι" καὶ τὸ "ἢ τοῦ τηλικούτου μεγέθους ὃ ἔχομεν·" εἴρηται δὲ ἑκάτερον ἐπὶ τῆς τοῦ μεγέθους παραυξήσεως, ἢ ὡς τὸ ἄστυ ὑπερβάλλοντες, ἢ ἁπλῶς ὃ ἔχομεν. id. f. 120 *b*.

τὰ ἀκριβέστερα τῶν ἀντιγράφων οὐκ ἔχει τὸ "τοῦ ἄστεος," ἀλλὰ μόνον "ἔξω τοῦ τηλικούτου μεγέθους," τουτέστιν οὗ ἔχομεν οἱ ἄνθρωποι. Philop. *m* p. 19.

Ἐν τῷ παρόντι βιβλίῳ (τῷ Δ) περὶ τόπου καὶ χρόνου καὶ κενοῦ διαλαβεῖν βουλόμενος πρῶτον περὶ τόπου διδάσκει, δεικνὺς ὅτι ἀναγκαία ἐστὶ τῷ φυσικῷ ἡ περὶ τούτου ζήτησις, πότερον καθ' αὑτὸν ὑφέστηκεν ἢ ἐν ἄλλῳ τὸ εἶναι ἔχει, καὶ πότερον κενόν ἐστιν ἢ διάστημα ἢ πέρας. δηλοῖ ἐκ τούτου ὁ λόγος ὅτι πάντα τά τε νοητὰ καὶ αἰσθητὰ σώματα ἐνόμιζον εἶναι. συνελογίζοντο δὲ τοῦτο οὕτως, εἰ τὸ μὴ ὂν οὐδαμοῦ, τὸ ὂν ἄρα ποῦ, τὴν σὺν ἀντιθέσει ἀντιστροφὴν ἐκ τοῦ ἡγουμένου ποιήσαντες, δέον ἐκ τοῦ ἑπομένου, οἷον ὅτι τὸ ποῦ ἄρα ὄν. λέγομεν δὲ ὅτι οὐ κατὰ τοῦτο ἐλέγχονται σφάλλοντες· ἐπειδὴ γὰρ ἐκεῖνοι πάντα σώματα ὑπελάμβανον ἐπὶ τριῶν ἐξισαζόντων, ἀδιάφορόν ἐστιν εἴτε ἀπὸ τοῦ ἡγουμένου εἴτε ἀπὸ τοῦ ἑπομένου ἡ ἀντιστροφὴ γένηται. προέταξε δὲ τὸ πῶς ἐστὶ τοῦ τί ἐστιν ὡς ἰσοδυνάμενον τῷ ὁποῖόν τί ἐστιν· τοῦτο δὲ τὰ καθ' αὑτὸ ὑπάρχοντα τῷ πράγματι δηλοῖ· ἐκ δὲ τῶν καθ' αὑτὸ λαμβάνεται τὸ τί ἐστιν. cod. Palat. 237.

208 a 27. συμπληρώσας τὸν περὶ τῶν στοιχείων καὶ τῶν ἄλλων αἰτίων λόγον, καὶ ἔτι τὸν περὶ τὰς ἀρχὰς ὑποδυομένων, ἐφεξῆς λοιπὸν περὶ τῶν ἔξωθεν ὑπαρχόντων τοῖς φυσικοῖς σώμασιν ἢ τοιαῦτα, ζητεῖ τε καὶ παραδίδωσιν οἷός ἐστιν ὅ τε τόπος καὶ ὁ χρόνος... εἰκότως δὲ περὶ προτέρου λέγει τοῦ τόπου· προηγεῖται γὰρ ὁ τόπος οὐ μόνον τοῦ χρόνου ἀλλὰ καὶ τῆς κινήσεως καὶ αὐτοῦ τοῦ σώματος. Simpl. f. 121.

208 a 30. αὕτη ἡ ἐρώτησις, ὡς ὁ Ἀλέξανδρός φησιν, οὐ πάντων ἁπλῶς ἐστίν, ἀλλὰ τῶν μόνα τὰ σώματα ἡγουμένων εἶναι καὶ μόνα τὰ ἔνυλα, ἀναιρούντων δὲ τὴν ἀσώματον φύσιν. καὶ κατά γε τὸ φαινόμενον ἀμεθόδως τὴν ἀντιστροφὴν ἐποιήσαντο... ἔοικε δὲ τὴν ἐν Τιμαίῳ τοῦ Πλάτωνος (p. 52) ῥῆσιν παρῳδεῖν ὁ Ἀριστοτέλης, ἐν οἷς φησὶν ἐκεῖνος, πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες, καὶ φαμὲν ἀναγκαῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ καὶ κατέχον χώραν τινά... εἰ δὲ παλαιοῖς ἀνδράσι μὴ μάτην δεῖ ἐπισκήπτειν, εἰκός ἐστι τὸ ποῦ οὐ τὴν ἐν τόπῳ τούτῳ τῷ νῦν ζητουμένῳ σχέσιν δηλοῦν, ἀλλὰ τὸν τῆς τάξεως ἀφορισμόν, καθ' ὃ σημαινόμενον καὶ ὑπερουράνιον τόπον οἶδεν ὁ Πλάτων, καὶ τὸν νῦν ἐν τῷ νοητῷ λέγομεν... καὶ κοινὴν μὲν ταύτην ἐκάλεσε τὴν κίνησιν, ἢ ὡς κοινῇ ὑπὸ πάντων ὁμολογουμένην· πάντες γὰρ τῆς κατὰ τόπον κινήσεως μᾶλλον ἢ τῶν ἄλλων αἰσθανόμεθα. τοιγαροῦν καὶ φθορὰν ἀνεῖλόν τινες ὡς οἱ περὶ Ἀναξαγόραν, καὶ ἀλλοίωσιν, ὡς οἱ νόμῳ χροιὴ λέγοντες, τὴν δὲ κατὰ τόπον κίνησιν οὐδεὶς σπουδῇ λέγων· ἐάσθω γὰρ ἡ Ζήνωνος ἀπορία. ἢ κοινὴν αὐτὴν εἶπεν ὡς ταύτην μόνην πᾶσι τοῖς φυσικοῖς σώμασιν ὑπάρχουσαν. τὰ γὰρ οὐράνια τῶν ἄλλων πασῶν κινήσεων ὑπερέχοντα ταύτην ὅμως κινεῖται. διὸ καὶ κυριωτάτην αὐτὴν καλεῖ· κυριωτάτη γὰρ ἡ τῶν πρωτίστων καὶ ἀρχηγικωτάτων. καὶ μέντοι ὡς δείξει προϊών, πρώτη τῶν κινήσεών ἐστιν ἡ φορὰ καὶ χρόνῳ καὶ φύσει καὶ αἰτίᾳ, κυριωτάτη δὲ εὐλόγως ἡ τοιαύτη. ἔν τισι δὲ

βάνουσιν ἀεί τι ἔστιν ἔξω. μήποτε δὲ τὸ ποιὸν καθὸ μὲν ποιόν, οὐκ ἂν μετέχοι τῆς τοῦ πεπερασμένου καὶ ἀπείρου διαφορᾶς, καθὸ δὲ τοῦ ποσοῦ μετέχει τὸ ποιόν, κατὰ τοῦτο καὶ αὐτὸ πεπερασμένον ἢ ἄπειρον ὁπωσοῦν ἐλέγετο. Simpl. f. 116 *b*.

ἡ γὰρ σφενδόνη ἡ ἀνομοειδὴς οὖσα τῷ ὅλῳ οἷον πέρας ἐστὶν ἢ ἀρχή. ὅσοι δὲ μὴ ἔχουσι σφενδόνην, οὓς καλοῦσι κρίκους, ὁμοιομερεῖς ὄντας ἑαυτοῖς, οὐκ ἔχουσι πέρας τι ὡρισμένον. Philop. *m* p. 11.

207a 11. ὑπομνήσας ἐκ τῶν καθ' ἕκαστον τεχνητῶν καὶ φυσικῶν, οἷον ἀνθρώπου καὶ κιβωτίου, ὅτι ὅλον ἐστὶν οὗ μηδὲν ἄπεστιν, ἐπήγαγεν ὅτι ὡς ἐπὶ τῶν καθ' ἕκαστα ὅλον ἐστὶν ἕκαστον οὗ τῶν μερῶν μηθὲν ἄπεστιν, οὕτω καὶ ἐπὶ τοῦ κυρίως καὶ ἁπλῶς ὅλου. κυρίως δὲ ὅλον ἐστὶ τὸ ἓν ὅλον· τῶν μὲν γὰρ μερικῶν ὅλων ἕκαστον οὐκ ἔστι κυρίως ὅλον, διότι μέρος ἐστὶ τοῦ ὅλου ὄντος, καὶ τόδε μέν ἐστι τόδε δὲ οὐκ ἔστιν· τὸ δὲ ἓν ὅλον κυρίως ὅλον ἐστίν, ὅτι οὐδενός ἐστι μέρος, πάντα ἐν ἑαυτῷ τὰ ὄντα συνειληφός. δύναται δὲ τάχα τις τὸ κυρίως καὶ ἐπὶ τοῦ καθόλου τοῦ παρ' αὐτῷ λαβεῖν· πρὸς γὰρ τοῦτο μάλιστα τὸ καθόλου ἕκαστον ἀντιδιαιρεῖται. εἴτε δὲ οὕτως εἴτε ἐκείνως, ἐπιστῆσαι ἄξιον ὅτι οὐ τὰ καθ' ἕκαστα κυρίως ἐστὶ παρ' αὐτῷ· τοῦτο οὖν κυρίως οὗ μηθὲν ἄπεστι. καλῶς δὲ τὸ ὅλον καὶ τέλειον ἢ τὸ αὐτὸ πάμπαν ἢ σύνεγγυς τὴν φύσιν εἶναι φησίν· καὶ γὰρ τῷ μὲν ὑποκειμένῳ τὸ αὐτό ἐστι, τῷ δὲ λόγῳ διάφορα μὲν σύνεγγυς δὲ ἀλλήλων. Simpl. f. 116 *b*.

207a 17. οὐ τὰ συγκλώθεσθαι πεφυκότα συγκλώθει ὁ τὸ ἄπειρον ὅλον καὶ πᾶν λέγων· ἐπὶ τούτων γὰρ λέγεται ἡ παροιμία. id. f. 117.

τὰ ἀσύγκλωστα, φησί, συγκλώθει ὁ Μέλισσος, καὶ οὐ λίνον λίνῳ κατὰ τὴν παροιμίαν, ἅπερ πέφυκε συνδυάζεσθαι. Philop. *m* p. 13.

207a 29. δείξας ὅτι περιέχεται μᾶλλον τὸ ἄπειρον ἤπερ περιέχει, καὶ ὅτι ἄγνωστόν ἐστι τῇ ἑαυτοῦ φύσει, τὴν ἐπιπόλαιον ἐκδοχὴν ἐλέγχει τῶν τοῦ Πλάτωνος λόγων. τοῦ γὰρ Πλάτωνος ἐν τοῖς περὶ τ' Ἀγαθοῦ λόγοις εἰπόντος τὸ μέγα καὶ τὸ μικρὸν τὴν ὕλην, ἣν καὶ ἄπειρον ἔλεγε, καὶ περιέχεσθαι ὑπὸ τοῦ ἀπείρου πάντα τὰ αἰσθητά, καὶ ἄγνωστα εἶναι διὰ τὸ ἔνυλον καὶ ἄπειρα καὶ ῥευστὴν ἔχειν τὴν φύσιν, ἀκόλουθόν φησι δοκεῖν τῷ τοιούτῳ τὸ καὶ ἐν τοῖς νοητοῖς ὑπὸ τοῦ ἐκεῖ μεγάλου καὶ μικροῦ, ὅπερ ἐστὶν ἡ ἀόριστος δυάς, ἀρχὴ καὶ αὕτη οὖσα μετὰ τοῦ ἑνὸς παντὸς ἀριθμοῦ καὶ πάντων τῶν ὄντων (ἀριθμοὶ γὰρ καὶ αἱ ἰδέαι), ἀκόλουθον οὖν τὸ καὶ ἐν τοῖς νοητοῖς ὑπὸ τοῦ ἐκεῖ ἀπείρου καὶ ἀγνώστου περιέχεσθαι καὶ ὁρίζεσθαι τὰ νοητά, γνωστὰ ὄντα φύσει καὶ ὡρισμένα ἅτε εἴδη ὄντα. Simpl. f. 117.

207a 33. δείξας ὅτι οὐ περιέχει τὸ ἄπειρον ἀλλὰ περιέχεται ἐν τοῖς μεγέθεσιν, αἴτιον τοῦτό φησι τοῦ ἐν τῷ ἀπείρῳ ἀνομοίου, διότι τὸ μὲν ἐπὶ τὴν πρόσθεσιν οὐκ ἔστιν ἄπειρον οὕτως ὥστε παντὸς ὑπερβάλλειν μεγέθους, τὸ δὲ ἐπὶ τὴν διαίρεσιν ἔστιν ὥστε παντὸς ἐλλείπειν. id. ib.

207b 1. εἰπὼν τὴν ἐν τῷ μεγέθει κατὰ τὴν ἀπειρίαν διαφοράν, καθ' ἣν ἐπὶ μὲν τὸ ἔλαττον ἔστιν ἀεὶ τοῦ ληφθέντος ὑπερβάλλειν, ἐπὶ δὲ τὸ μεῖζον οὐκ ἔστι, νῦν τὴν αἰτίαν παραδίδωσι τῆς ἐν τῇ ἀπειρίᾳ διαφορᾶς τοῦ τε ἀριθμοῦ καὶ τοῦ μεγέθους. id. f. 117 *b*.

τουτέστιν οὐκ ἄλλο ἐστὶν ἀριθμὸς ἢ μονὰς πολλάκις ληφθεῖσα. 207b 7.
τὸ δὲ "καὶ ποσὰ ἄττα" τὸ αὐτὸ ἐκ παραλλήλου, τουτέστι ποσαί τινες μονάδες. Philop. *m* p. 17.

τὸ "ὡρισμένου" ἀντὶ τοῦ εἰλημμένου. παντὸς οὖν τοῦ εἰλημμένου, φησίν, ὑπερβάλλει ὁ ληφθησόμενος, καὶ οὐκ ἐκλείπει ἡ λῆψις. 207b 12. id. ib.

οὐ γὰρ ἕστηκεν ἡ ἀπειρία, ἀλλ' ὡς ἐπὶ τῆς κινήσεως καὶ τοῦ χρόνου 207b 13.
καὶ τοῦ ταῦτα μετροῦντος ἀριθμοῦ, οὐ μένει ἡ ἀπειρία ἀλλ' ἀεὶ γίνεται, πλὴν ὅτι ἐπὶ μὲν τῆς ἐκ τῶν διαιρημάτων προσθέσεως ὑπομένον τὸ πρότερον δέχεται τὸ ἐπιόν, κἂν τὸ ἄπειρον καὶ ἐπὶ ταύτης οὐχ ὑπομένῃ ἀλλ' ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχῃ, ὡς καὶ ἐπὶ κινήσεως καὶ χρόνου καὶ τοῦ μοναδικοῦ ἀριθμοῦ... ἀριθμὸν δὲ χρόνου φησί, καθ' ὃν ἀριθμεῖ καὶ ἀριθμεῖται ὁ χρόνος. Simpl. f. 118.

τοῦ μὴ ἐπ' ἄπειρον αὔξεσθαι τὸ μέγεθος αἴτιόν φησιν εἶναι τὸ 207b 15.
προχωροῦσιν ἡμῖν ἐπὶ τὸ μεῖζον τὸ ὅλον ὑπαντᾶν καὶ τὸ πᾶν, ὅπερ ἐστὶν ὡρισμένον... ὅσον γὰρ ἐνδέχεται δυνάμει εἶναι, καὶ ἐνεργείᾳ ἐνδέχεται· ὥστε ἐπειδὴ ἄπειρον οὐδέν ἐστιν ἐνεργείᾳ μέγεθος αἰσθητόν, ὡς δέδεικται, οὐδὲ ἐπ' ἄπειρον προϊόντας ἐνδέχεται παντὸς ὑπερβάλλειν ὡρισμένου μεγέθους, ἵνα μηδὲν ᾖ ἐνεργείᾳ τοῦ κόσμου μεῖζον, ὅσπερ ἐστὶ τὸ ὅλον καὶ πᾶν μέγεθος οὐ κατὰ Πλάτωνα μόνον ἀλλὰ καὶ κατὰ Ἀριστοτέλη. καλοῦσι δὲ ἄμφω καὶ τὸν ὅλον κόσμον οὐρανόν, ἢ ἐκ τοῦ ἐν αὐτῷ κυριωτέρου καὶ πλείστου τὸ ὅλον προσαγορεύοντες, ἢ ὅτι τὸ πρὸς τὸν ἑαυτοῦ δημιουργὸν ἐστράφθαι καὶ ὁρᾶν ἄνω, ἀφ' οὗ καὶ οὐρανὸς καλεῖται, οὐ τῷ ἀϊδίῳ μόνῳ σώματι ὑπάρχει ἀλλὰ καὶ τῷ παντὶ κόσμῳ. id. ib.

οὐδαμοῦ γὰρ τῷ κατ' ἐνέργειαν ἀπείρῳ μεγέθει χρῶνται οἱ μα- 207b 29.
θηματικοί, ἀλλὰ πάντα τὰ δεικνύμενα διὰ πεπερασμένων περαίνουσι γραμμῶν καὶ ἐπιπέδων, ὥστε οὐδὲ δέονται τοῦ κατ' ἐνέργειαν ἀπείρου μεγέθους, ἀλλ' ὑπὲρ τοῦ ἔχειν ὅσην ἂν βούλωνται, τὰς ἀπείρους γραμμὰς ὑποτίθενται... οὐ μόνον δὲ τὴν ἄπειρον ἀλλ' οὐδὲ τὴν μεγίστην λαμβάνουσι καταγράφοντες· τίς γὰρ τὴν τοῦ κόσμου διάμετρον ἐν τοῖς διαγράμμασι παραλαμβάνει; καλῶς δὲ ἐπὶ τῆς ἀναλόγου τομῆς ἔδειξε τὸ μὴ δεῖσθαι τῆς ἀπείρου, ἐξ ἧς δείκνυται παρὰ τοῖς γεωμέτραις τὸ ἐπὶ τὴν διαίρεσιν ἄπειρον, ὡς εἰ ἔλεγεν ὅτι καὶ ἐξ ὧν αὐτοὶ δεικνύουσι, τῆς μὲν ἐνεργείᾳ καὶ ἐπὶ τὴν αὔξησιν ὑπερβαλλούσης ἀπείρου οὐ δέονται, τῇ δὲ ἐπὶ τὴν διαίρεσιν ἀπειρίᾳ χρῶνται, καὶ ταύτην ἀποδεικνύουσιν. ἅπερ δι' ἑνὸς τοῦ παρ' αὐτοῖς θεωρήματος δείκνυται τοῦ ἐν τῷ ἕκτῳ τῶν στοιχείων, οὗ ἡ πρότασίς ἐστι τοιαύτη, τὴν δοθεῖσαν ἄτμητον εὐθεῖαν τῇ δοθείσῃ τετμημένῃ ἀνάλογον τεμεῖν. εἰπὼν δὲ ὅτι πρὸς τὴν ἀπόδειξιν οὐδὲν διοίσει τὸ ἐπ' ἐλάττονος γραμμῆς ἣν καὶ ἐκβάλλειν δυνατὸν ποιήσασθαι τὴν δεῖξιν, ἐπήνεγκε "τὸ δὲ εἶναι ἐν τοῖς οὖσιν ἔσται μεγέθεσιν·" τουτέστι κἂν τὴν ἀπόδειξιν δυνατὸν ὁμοίως καὶ ἐπὶ τῶν μὴ ὄντων ἀλλ' ἐπινοουμένων μεγεθῶν ποιεῖσθαι, ἀλλὰ τά γε ὑφεστῶτα σχήματα οὐκ ἐν πᾶσι μεγέθεσιν· οὐ γὰρ δὴ ἐν τοῖς ἐπινοουμένοις ἀλλ' ἐν τοῖς οὖσιν ἐστίν. ζητήσας δὲ ὁ Ἀλέξανδρος πῶς οὐκ ἀναιρεῖται τὸ πρῶτον θεώρημα τῶν Εὐκλείδου στοιχείων, εἴπερ μὴ καὶ ἔξω τοῦ παντὸς δυνατὸν εὐθεῖαν ἐκβάλλειν ἢ κύκλον γράφειν... id. f. 119.

ἀπείρου μόριόν τι καὶ αὐτὸ ἄπειρον, ἢ κατ' ἀριθμὸν ἢ κατὰ τὴν διαίρεσιν τῶν μεγεθῶν. Philop. m p. 9.

206 a 29. δοκεῖ δίς πως τὰ αὐτὰ λέγεσθαι, ἀπὸ τοῦ "ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται" τῶν αὐτῶν πάλιν ἐπαγομένων καὶ ἐπ' αὐτῆς λέξεως τῶν πλειόνων. ἀλλ' εἰ μὲν ὡς καὶ πολλὰ τῶν ἀντιγράφων ἔχει, καὶ ὁ Ἀλέξανδρος καὶ ταύτην οἶδε τὴν γραφήν, μετὰ τὸ "καὶ τὸ λαμβανόμενον ἀεὶ πεπερασμένον εἶναι" συνῆπται τὸ "ἀλλ' ἀεί γε ἕτερον καὶ ἕτερον," οὐ τὸ προσεχὲς ἀλλὰ τὸ κατωτέρω, γενομένων μεταξὺ πάντων ἐξῃρημένων, ἁπλοῦς ἂν εἴη καὶ σαφὴς ὁ λόγος. εἰ δὲ πρόσκειται τὸ "ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται" καὶ τὰ ἑξῆς, μήποτε τὸ "ἔτι" οὐκ ἄλλης ἐστὶν ἐπιχειρήσεως δηλωτικόν, ἀλλὰ σαφεστέραν τῆς αὐτῆς ἔκθεσιν ποιεῖται, ὅπερ οὐ πάνυ τῷ Ἀριστοτέλει συνείθισται, βραχυλογίαν τιμῶντι. εἰ μὴ ἄρα τὴν αἰτίαν τοῦ ἀπείρου προσθείς, τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχειν, συνυφαίνει τὰ ἐφεξῆς. Simpl. f. 115.

ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται, ὥστε τὸ ἄπειρον οὐ δεῖ λαμβάνειν ὡς τόδε τι... ἐντεῦθεν μέχρι τοῦ "ἀλλὰ εἴγε ἕτερον καὶ ἕτερον" οὐκ ἔστιν ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων· τὰ αὐτὰ γάρ εἰσι τοῖς εἰρημένοις ἀπαραλλάκτως. περιγραπτέον οὖν αὐτά. Philop. m p. 9.

206 b 5. τὸ "ἀντεστραμμένως" δύναται μὲν καὶ κατὰ τοῦτο λέγεσθαι, ὅτι ἀντίστροφός ἐστι τῇ διαιρέσει ἡ πρόσθεσις, δύναται δὲ καὶ ὅτι κατὰ θάτερον μέρος τὸ μὴ τεμνόμενον γίνεται ἡ πρόσθεσις. ἔτι δὲ ἀμφότερα ὁμοίως τὸ ἄπειρον ἔχουσιν, ἥ τε διαίρεσις καὶ ἡ πρόσθεσις, καὶ ἐκ τῶν αὐτῶν, ἀλλ' ἡ μὲν τῇ συνθέσει ἡ δὲ τῇ διαιρέσει. τὴν δὲ διαφορὰν ἀμφοῖν σαφέστερον αὐτὸς ἐν τοῖς ἑξῆς παραδώσει... τὸ "ἐν γὰρ τῷ πεπερασμένῳ μεγέθει," δοκοῦν μάτην ἔχειν τὸν αἰτιολογικὸν σύνδεσμον, τοιοῦτόν ἐστιν. εἰπὼν διαιρεῖσθαι καὶ προστίθεσθαι ἐπ' ἄπειρον, αἰτίαν ἐπάγει τούτου τὴν ἐν λόγῳ ὡρισμένῳ ἀλλ' οὐκ ἐν μεγέθει ὡρισμένῳ γινομένην διαίρεσιν, ὡς εἰ ἔλεγεν, ἐὰν γάρ τις τοιῶσδε ποιήσηται τὴν διαίρεσιν ἀλλὰ μὴ τοιῶσδε, εἰς ἄπειρον διελεῖ. τὸ δὲ "τῷ αὐτῷ λόγῳ μὴ τὸ αὐτό τι τοῦ ὅλου μέγεθος τοῦ ὅλου περιλαμβάνων," εἰ μὲν οὕτως εἴη γεγραμμένον, σαφῆ παρέχεται τὴν ἔννοιαν· εἰ γὰρ ὁ μὲν λόγος ὁ αὐτὸς εἴη ἐν ἑκάστῳ τῶν τμημάτων, οἷον παντὸς τοῦ ἀεὶ λαμβανομένου τὸ ἥμισυ ἢ τὸ τρίτον, μὴ τὸ αὐτὸ δὲ ᾖ μέγεθος τὸ ἀφ' ἑκάστου ὅλου τοῦ ἀεὶ προτιθεμένου εἰς διαίρεσιν ἀφαιρούμενον, οἷον δακτυλιαῖον, οὐ διέξεισι τὸ πεπερασμένον. εἰ δὲ ὡς ἔν τισι φέρεται, "μὴ τὸ αὐτό τι τοῦ λόγου μέρος περιλαμβάνων," ἀσαφέστερον μέν ἐστι τὸ λεγόμενον, σημαίνοι δ' ἂν τὸ αὐτὸ τῷ πρότερον εἰρημένῳ· μὴ τὸ αὐτὸ γὰρ τοῦ λόγου μέρος λέγει οὐχ ὡς μεριζομένου τοῦ λόγου, ὥσπερ τοῦ ὅλου, ἀλλ' ἀντὶ τοῦ μὴ τὸ αὐτὸ ὡρισμένον μέγεθος ἀπὸ τοῦ λόγου ἀφορισθὲν περιλαμβάνων, ὅπερ ἦν καὶ ἐν τῷ ἐξ ἀρχῆς προκειμένῳ εἰς διαίρεσιν μέρος τοῦ λόγου. Simpl. f. 115.

206 b 8. οὐ πᾶσα δὲ διαίρεσις ἐπ' ἄπειρον, οὐδὲ πρόσθεσις· ἂν γὰρ ἴσα τις ἀλλήλοις τὰ μεγέθη ἀεὶ λαμβάνῃ διαιρῶν, ποτὲ ἀναλώσει τὸ ὅλον, ὁπηλίκον ἂν ᾖ. ἀλλὰ χρὴ ποιεῖσθαι τὴν τομὴν τῷ αὐτῷ μὲν λόγῳ, οὐ τῷ αὐτῷ δὲ μεγέθει· ἐὰν γὰρ ἐξ ἀρχῆς εἰς ἥμισυ διαιρῶν ἀεὶ τὸ ἥμισυ λαμβάνῃς τοῦ λειπομένου, τὸν μὲν αὐτὸν φυλάξεις λόγον ἐν τῇ τομῇ, οὐ τὸ ἴσον δὲ μέγεθος, καὶ μόνως οὕτως ἡ διαίρεσις οὐχ ὑπολείψει. οὕτω δὲ οὐδὲ ἡ πρόσθεσις. καὶ τὸ ἄπειρον ἔστι μὲν ἐν ἀμφοτέροις δυνάμει. Themist. f. 34 b.

206 b 17. διαφέρει ἀλλήλων, ὅτι ἐπὶ μὲν τοῦ κατὰ διαίρεσιν παντὸς τοῦ ληφθέντος μεγέθους ἔστιν ἔλαττον μέγεθος λαβεῖν, ἐπὶ δὲ τοῦ κατὰ πρόσθεσιν οὐ παντὸς μεγέθους ἔστι τι μεῖζον λαβεῖν· οὐ γὰρ παντὸς μεγέθους ἔστι τι ἐκτός, εἴπερ ὁ κόσμος πεπέρανται καὶ οὐδέν ἐστιν ἐκτὸς αὐτοῦ, ὡς δέδεικται ἐν τῷ πρώτῳ τῆς περὶ Οὐρανοῦ, ἀλλ' ἐκείνου τοῦ μεγέθους ἔστι τι ἐκτός, ὃ τεμνόμενον ἐπὶ θάτερα ὑπὸ τῶν τοῦ ἑτέρου τμημάτων ηὐξάνετο. τὸ μέντοι κατὰ πρόσθεσιν ὑπερβάλλειν ἀεὶ παντὸς τοῦ ληφθέντος οὐδὲ δυνάμει ἐστίν, ὥσπερ ἦν ἐπὶ τῆς ἑτέρας προσθέσεως καὶ τῆς διαιρέσεως. Simpl. f. 116.

206 b 26. πάνυ μέλει τῷ Ἀριστοτέλει, εἰ μὲν δυνατόν, καὶ κατὰ τὸ φαινόμενον συμφώνως τοῖς κλεινοῖς ἀνδράσι τοὺς ἑαυτοῦ λόγους ἐπιδεικνύναι, εἰ δὲ τοῦτο μὴ δυνατόν, ταῖς ἐννοίαις γοῦν τῶν παλαιῶν ὁμολογοῦντας αὐτοὺς ἀποδιδόναι. τὸν γοῦν Πλάτωνά φησιν ὑπὸ τῶν αὐτῶν ἐννοιῶν κινηθέντα ποτὲ μὲν ἀόριστον δυάδα ποιῆσαι τὸ ἄπειρον, αἰνιττόμενον τὸ ἀορίστως καὶ ἐπ' ἄπειρον προϊὸν τῆς τε διαιρέσεως καὶ τῆς συνθέσεως, ποτὲ δὲ μέγα καὶ μικρὸν λέγειν, τὴν μὲν ἐπὶ τὸ ἔλαττον γινομένην ἐπ' ἄπειρον διαίρεσιν διὰ τοῦ μικροῦ δηλοῦντα, τὴν δὲ ἐπὶ τὸ μεῖζον κατὰ πρόσθεσιν διὰ τοῦ μεγάλου. id. ib.

ὁ Πλάτων ἀόριστον λέγων δυάδα τὸ μέγα καὶ μικρόν, ἤτοι μέγα μὲν τὴν τοῦ ἀριθμοῦ πρόσθεσιν, μικρὸν δὲ τὴν τοῦ μεγέθους ἐπὶ τὸ ἔλαττον κατατομήν, ὅμως οὐ χρῆται ἀπείροις ἀρχαῖς· ἀρχὰς μὲν γὰρ λέγει τὰς ἰδέας, ταύτας δὲ ἀριθμούς, τὸν δ' ἀριθμὸν ὡρισμένον, καὶ ἐπὶ τὸ ἔλαττον εἰς τὴν μονάδα καὶ ἐπὶ τὸ μεῖζον τὴν δεκάδα. cod. Reg. 1947 cf. Simpl. f. 116.

206 b 30. σημειωτέον ὅτι αὐτὸς ἐν τοῖς ἔμπροσθεν ἔλεγε τὸ μέγα καὶ τὸ μικρὸν τὸ ἀόριστον καὶ τὴν ὕλην σημαίνειν τῷ Πλάτωνι, νῦν δὲ ὡς ἐπὶ τῶν ἀριθμῶν αὐτοῦ λέγοντος, οὕτως ἐπιλαμβάνεται τοῦ λόγου· ὡς δηλονότι πανταχοῦ τὸ φαινόμενον ἐλέγχει καὶ οὐ τὴν διάνοιαν τῶν ἀρχαίων. Philop. m p. 11.

207 a 3. τοῦτο μὲν ὅμοιον ἔχει τῷ ἀπείρῳ ὁ κριωτὸς δακτύλιος ἤτοι ὁ κύκλος, ὡς ὕστερον ὀνομάσει· διαφέρει δὲ καθόσον ἐπὶ τοῦ κύκλου, κἂν ἀεί τι ἕτερον λαμβάνωμεν, ἀλλὰ καὶ πάλιν τὸ αὐτὸ κατὰ τὴν περιστροφήν, ἐπὶ δὲ τοῦ ἀπείρου ἀεὶ μὲν ἕτερον, οὐδέποτε δὲ τὸ αὐτό... μήποτε δὲ διὰ τοῦ "κατὰ τὸ ποσόν" τὴν διαφορὰν τὴν πρὸς τοὺς κύκλους τοῦ κυρίως ἀπείρου ἐνεδείξατο· ἐπὶ μὲν γὰρ τοῦ κύκλου, ὅταν συμπεράναντες αὐτὸν πάλιν ἀπὸ τοῦ αὐτοῦ ἀρχώμεθα, οὐκ ἔστι τι κατὰ τὸ ποσὸν ἔξω (οὐ γὰρ προστίθεταί τι τῷ κύκλῳ), ἐπὶ δὲ τοῦ κυρίως ἀπείρου ἀεί τι τοῦ εἰλημμένου ποσοῦ ἐστὶν ἔξω, ἢ ἐπὶ τὸ μεῖζον, ὡς ἐπὶ τῆς προσθέσεως, ἢ ἐπὶ τὸ ἔλαττον, ὡς ἐπὶ τῆς διαιρέσεως, ἔστι δὲ καὶ διαίρεσις ἔξω καὶ πρόσθεσις ἀεὶ τῆς λαμβανομένης. καὶ ἄλλως δὲ τὸ "κατὰ ποσόν" οἰκείως πρόσκειται, διότι οὐ κατὰ τὸ εἶδος ἀλλὰ κατὰ τὸ ποσόν ἐστιν ἡ προσθήκη· ὡς γὰρ σώματι οὐ προστίθεται, ἀλλ' ὡς τοσῷδε σώματι. ὁ δὲ Ἀλέξανδρος τὸ "κατὰ τὸ ποσόν" καὶ οὕτως ἐξηγεῖται· ὃ γὰρ ζητοῦμεν, φησί, καὶ περὶ οὗ λέγομεν ἄπειρον, τὸ ἐν ποσῷ ἐστίν· εἰ δὲ τὸ ἐν ποιῷ ἦν, ἐλέγομεν ἄν, ὃ κατὰ τὸ ποιὸν λαμ-

τὸ στηρίζειν ἐν ἑαυτῷ καὶ ἐπερείδεσθαι βιαίου μονῆς αἰτία μᾶλλον ἢ τῆς κατὰ φύσιν ἐστίν· τόπου γὰρ ἀπορίαν ὑποδηλοῖ καὶ τὸ μὴ ἔχειν ὅπου κινήσεται, ἄδηλον δὲ εἰ παρούσης χώρας ἠρέμησεν ἂν ὥσπερ τὰ πεφυκότα· μένειν γοῦν οὐ πέφυκε. διὰ τοῦτο γὰρ καὶ τῇ γῇ τὸ μένειν κατὰ φύσιν ἐστίν, ἐπειδὴ καὶ τόπου ὑπάρχοντος ὅμως οὐ κινεῖται, διότι πέφυκεν ἐν τῷ μέσῳ μένειν· ὥστε εἰ καθ' ὑπόθεσιν ἄπειρος ἦν, ἐν τῷ μέσῳ κειμένη ὡς νῦν ἔχει, οὐ διότι ἄπειρος ἦν καὶ ἐστήριζεν ἐν ἑαυτῇ, ἔμενεν, ἀλλ' ὅτι μένειν ἐν τῷ μέσῳ βάρος ἔχουσα ἐπεφύκει. λεκτέον οὖν τοῦ τὸ ἄπειρον μένειν αἰτίαν φυσικήν. Themist. f. 35.

205 b 27. ἐνταῦθα μὲν οὖν δείκνυσιν ὅτι οὐκ ἔστι κατ' εὐθεῖαν κίνησις ἄπειρος, ἐν δὲ τῇ περὶ Οὐρανοῦ (1 5 7) ὅτι οὐδὲ κυκλοφορικὴν κίνησιν ἄπειρον εἶναι ἐνδέχεται. Philop. *m* p. 3.

205 b 28. ὅτι δὲ εἰ ἄπειρόν τι ἐστὶ σῶμα, ἀδύνατον αὐτὸ βάρος ἔχειν ἢ κουφότητα, ἢ ἄνω ἢ κάτω εἶναι, ἔδειξε διὰ τοῦ εἰπεῖν "ἀδύνατον δὲ ἢ πᾶν ὁποτερονοῦν ἢ τὸ ἥμισυ ἑκάτερον πεπονθέναι." τούτων δὲ δυοῖν ὄντοιν, τῷ μὲν ἅπαν ὁποτερονοῦν πεπονθέναι οὐκ ἐπήγαγε τὸ ἑπόμενον ἄτοπον ὡς ἐναργές· εἰ γὰρ ἅπαν ἢ ἄνω ἢ κάτω, ἐπειδὴ ἑκάτερον τούτων πεπέρασται, εἴπερ ἄνω μέν ἐστι τὸ πρὸς τῷ ἐσχάτῳ κάτω δὲ τὸ πρὸς τῷ μέσῳ, ἔσται τὸ ἄπειρον σῶμα ἐν πεπερασμένῳ τόπῳ, ὅπερ ἀδύνατον. ἔτι δὲ εἰ ἐν τῷ ἑτέρῳ τούτων τὸ ἄπειρον, ὁ συναμφότερος τόπος μείζων ἔσται τοῦ ἀπείρου, εἴγε αὐτὸ ἴσον ἐστὶ τῷ ἑτέρῳ ἐν ᾧ ἐστί, τοῦ δὲ ἀπείρου μεῖζον οὐδέν ἐστιν. Simpl. f. 113 *b*.

205 b 30. πρῶτον μὲν πῶς τὸ ἄπειρον διαιρεῖ, ἔπειτα εἰ τὸ μὲν ἐν τῷ ἄνω τε καὶ ἐσχάτῳ, τὸ δὲ ἐν τῷ κάτω τε καὶ μέσῳ, περανθήσεται ὑπὸ τῶν τόπων· τὸ γὰρ ἔσχατον καὶ τὸ μέσον περάτων ἐστὶν ὀνόματα. Themist. f. 34.

205 b 33. τὸ καὶ φύσει εἶναι τὰς τοῦ τόπου ταύτας διαφορὰς αὐτὸς μὲν ἐν τῇ περὶ Οὐρανοῦ (4 1) δείκνυσιν, ὁ δὲ Ἀλέξανδρος ἐν τοῖς πρὸς τὸν Ἐπικούρειον Ζηνόβιον ἀντιγεγραμμένοις. Simpl. f. 113 *b*.

206 a 2. ὁ μέντοι Εὔδημος ὁμολόγως ἔχειν φησὶ τὸ μὲν τὶ πρὸς τὸ τόδε, τὸ δὲ ποιὸν πρὸς τὸ οἷον, τὸ δὲ ποσὸν πρὸς τὸ ὅσον, τὸ δὲ ποῦ πρὸς τὸ οὗ, καὶ τὰ μὲν εἶναι καθόλου τὰ δὲ καθ' ἕκαστα, οἷον τὸ μὲν ποῦ ἐν τόπῳ, τὸ δὲ οὗ Ἀθήνησιν. ὁ μέντοι Ἀριστοτέλης ἔοικε τὸ ποῦ ἀντὶ τοῦ καθ' ἕκαστον λαμβάνειν. καὶ ἄμεινον οἶμαι καὶ τὸ ἐν τῷ "εἰ οὖν μηδὲ ποσόν" καὶ τὸ ἐν τῷ "ποσὸν γάρ τι ἐστίν" ἑκάτερον ποσὸν ὀξύνειν, καὶ μὴ βαρύνειν τὸ "εἰ οὖν μηδὲ πόσον," ὡς ὁ Ἀλέξανδρος βούλεται· τὸ γὰρ ὡρισμένον, ὅπερ τὸ βαρύτονον δηλοῖ, ἐπὶ τοῦ "πόσον γάρ τι" ἀκουστέον· τὸ γὰρ τὶ προσκείμενον τὸ ὡρισμένον δηλοῖ. δυνατὸν δὲ καὶ κατὰ τὸν Ἀλέξανδρον ἀκούειν. εἰ οὖν μηδὲ ὡρισμένον ποσὸν δύναται εἶναι τὸ ἄπειρον, διότι μερικόν τι τὸ ἄπειρον γίνεται οὕτως, οἷον δίπηχυ ἢ τρίπηχυ, οὐδὲ ἐν τόπῳ δύναται εἶναι, ὅτι ἔν τινι τόπῳ ἔσται, οἷον ἄνω ἢ κάτω ἢ ἄλλῃ τινὶ διαστάσει τοπικῇ, ἓξ οὐσῶν τῶν τοπικῶν διαστάσεων· ἐν τούτων δέ τινι εἶναι οὐ δύναται, διότι πέρας ἐστὶν ἑκάστη. οὕτω δὲ εἶπε καὶ τὸ "ἀλλὰ μὴν τόγε ποῦ ἐν τόπῳ καὶ τὸ ἐν τόπῳ ποῦ," τὸ "ποῦ" ἀντὶ τοῦ ἔν τινι τόπῳ εἰπών, οἷον ἄνω ἢ κάτω, ὡς ἐδήλωσε μετ' ὀλίγον εἰπὼν οὕτω "καὶ τὸ ἐν τῷ τόπῳ ὅτι ποῦ·" τοῦτο δὲ ἢ ἄνω ἢ κάτω. κάλλιον οὖν ἴσως, εἴπερ βαρυτονεῖν χρὴ τὸ ἕτερον ποσόν, οὐχὶ τὸ πρῶτον ἀλλὰ τὸ δεύτερον βαρυτονεῖν, τὸ "πόσον γάρ τι ἐστιν," ἵν' ᾖ τὸ μὲν πόσον βαρυτόνως τὸ ὡρισμένον δηλοῦν, τὸ δὲ τὶ τὸ δίπηχυ καὶ τρίπηχυ. id. f. 114.

παραδείγματι τῷ τοῦ ποσοῦ κέχρηται. τὸ μὲν οὖν πρότερον ποσὸν ὀξυτόνως ἀναγνωστέον (σημαίνει γὰρ τὸ τοῦ ποσοῦ γένος), τὸ δὲ δεύτερον βαρυτόνως, πόσον, ὡς νόθον· σημαίνει δὲ τὸ ὡρισμένον ποσόν, οἷον τὸ δίπηχυ ἢ τὸ τρίπηχυ, ὡς αὐτὸς εἶπεν. Philop. *m* p. 7.

δηλονότι τοῦ διαιτήσοντος χρεία καὶ δείξοντος πῶς μέν ἐστι 206 a 13.
πῶς δὲ οὐκ ἔστι τὸ ἄπειρον. Simpl. f. 114.

εἰ τοίνυν, φησί, καὶ οἱ ἀνασκευάζοντες τὸ ἄπειρον λόγοι καὶ οἱ εἰσάγοντες ἀληθεῖς, διαιτητοῦ χρῄζουσι τοῦ διαιτήσοντος ἐναντίοις λόγοις καὶ δείξοντος κατὰ τί μὲν ἀληθεῖς εἰσὶ κατὰ τί δὲ οὔ. Philop. *m* p. 5.

γέγραπται βιβλίον αὐτῷ πρὸς τὰς Ἀτόμους Γραμμάς, καὶ ἐν 206 a 17.
ταύτῃ δείξει τῇ πραγματείᾳ ὅτι οὐκ ἐξ ἀμερῶν σύγκειται τὰ μεγέθη. δῆλον δὲ τοῦτο καὶ ἐκ τῶν μαθημάτων. Simpl. f. 114 *b*.

ὁλόκληρον γὰρ βιβλίον πρὸς Ἀναξαγόραν (l. Ξενοκράτην) αὐτῷ γέγραπται περὶ Ἀτόμων Γραμμῶν, ὅτι ἀδύνατον ἄτομα εἶναι μεγέθη... εἴπομεν δὲ καὶ ἐν τῷ πρώτῳ λόγῳ ὅτι τινὲς τὸν Ξενοκράτην ὑπώπτευσαν τὰς ἀτόμους εἰσηγεῖσθαι γραμμάς, καὶ ἐδείξαμεν ὡς ψευδὴς ἡ ὑπόνοια. Philop. *m* p. 8.

ἐνίστανταί τινες τῷ Ἀριστοτέλει εἰς τὴν ἐπ' ἄπειρον τοῦ μεγέθους τομὴν λέγοντες, εἰ οὕτως φῂς ἐπ' ἄπειρον διαιρεῖσθαι τὸ μέγεθος, διέλοις ἂν αὐτὸ εἰς ἀτόμους γραμμὰς ἤτοι σημεῖα. ἣν οὐδὲ διαίρεσιν ἀξιοῖ φάναι ὁ Ἀριστοτέλης· ἡ γὰρ εἰς σημεῖα διαίρεσις οὐδὲ διαίρεσίς ἐστιν. διὸ καί φησιν, οὐ χαλεπὸν καταλύσαι αὐτὰς ὡς τὸ παράπαν μὴ οὔσας. cod. Reg. 1947.

διχῇ διαιρεῖ τὸ δυνάμει κατὰ τὴν τοῦ ἐνεργείᾳ διαίρεσιν· ἐπειδὴ 206 a 18.
γὰρ τὸ δυνάμει πρὸς τὸ ἐνεργείᾳ λέγεται, ὁσαχῶς τὸ ἐνεργείᾳ τοσαυταχῶς καὶ τὸ δυνάμει ῥηθήσεται. τὸ δὲ ἐνεργείᾳ διχῶς· ἢ γὰρ ὡς τὸ ὑφεστὼς ὅλον τοῦτο ὅπερ ἐστίν, ὥσπερ ἄνθρωπος ἢ οἰκία, ἢ ὡς τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, ὡς ὁ ἀγὼν καὶ ἡ ἡμέρα· καὶ γὰρ καὶ ταῦτα ἐνεργείᾳ λέγομεν, ὅταν ᾖ. διττὸν ἄρα καὶ τὸ δυνάμει... εἰκότως ἄρα ἐν τῷ δυνάμει λέγεται εἶναι τὸ ἄπειρον καὶ οὐκ ἐν τῷ ἐνεργείᾳ· τὸ μὲν γὰρ μερισθὲν ὥρισται ἀεί, ὥς φησιν Εὔδημος, καὶ οὐκ ἔστιν ἄπειρον· πεπερασμένον γὰρ πεπερασμένῳ προστίθεται, ἡ δὲ διαίρεσις οὐχ ὑπολείπει· ὃ γὰρ γένοιτ' ἂν οὐχ ὥρισται, τὸ δὲ ἀόριστον ποσὸν ἄπειρον. ἐντεῦθεν δὲ ἔοικε καὶ Πλάτων τὸ μέγα καὶ τὸ μικρὸν ἄπειρον λέγειν, ὅτι ἐφ' ἑκάτερόν ἐστιν ἡ ἀπειρία δυνάμει. Simpl. f. 114 *b*.

ἀπορήσειε δ' ἄν τις πρὸς τὸν λόγον, πῶς φησὶν ἀεὶ τὸ λαμ- 206 a 28.
βανόμενον τοῦ ἀπείρου μόριον πεπερασμένον ἐστίν. ἐπὶ μὲν γὰρ τοῦ ἀριθμοῦ καὶ τῆς διαιρέσεως τῶν μεγεθῶν ἀρχομένων ἀπὸ μονάδος ἀληθὴς ὁ λόγος· ἀεὶ γὰρ πεπερασμέναι καὶ αἱ τομαὶ τοῦ μεγέθους καὶ αἱ μονάδες τοῦ ἀριθμοῦ· ἐπὶ δὲ τοῦ χρόνου καὶ τῶν ἀνθρώπων οὐκέτι· εἰ γὰρ ἀΐδιος ὁ κόσμος, οὐ πᾶν μόριον οὔτε τῆς ἀπειρίας τοῦ χρόνου οὔτε τοῦ ἀριθμοῦ τῶν ἀνθρώπων λαμβανόμενον πεπερασμένον ἐστίν... ἢ τοίνυν οὐκ ἄναρχος ὁ κόσμος, ἵνα μὴ ἄπειρος ᾖ ἐπὶ θάτερον ὁ χρόνος καὶ ὁ τῶν ἀνθρώπων ἀριθμός, ἢ ἔξεστι λαμβάνειν ἡμῖν τοῦ

τοῦ τελείου τῆς ἀποδείξεως ἕνεκεν καὶ ἁπλοῦν τὸ ἄπειρον ὑποτίθεται... οὐδὲ σύνθετον τὸ ἄπειρον ἀλλ' ἁπλοῦν, ὅπερ ὀλίγον ὕστερον ἐλέγξει· δεῖ γὰρ ἐξισάζειν καὶ ἰσοσθενῆ εἶναι τὰ στοιχεῖα, εἰ μέλλει σώζεσθαι. εἰ δὲ ὁ μὲν ἀὴρ εἰ τύχοι ἄπειρος εἴη, τὸ δὲ πῦρ πεπερασμένον, κρατηθήσεται τὸ πῦρ ὑπὸ τοῦ ἀέρος καὶ μεταβληθήσεται εἰς αὐτόν. Simpl. f. 110 *b*.

204 b 11. ἔν τε γὰρ τῷ πρώτῳ λόγῳ (c. 6) δέδεικται ὅτι ἀδύνατον ἄπειρα εἶναι στοιχεῖα. δείξει δὲ καὶ ἐν τῇ περὶ Οὐρανοῦ (3 4) καὶ μάλιστα ἐν τῇ περὶ Γενέσεως καὶ Φθορᾶς (1 3). Philop. *l* p. 7.

204 b 17. ὅ γε πρὸς τοῦτον τὸν λόγον ἴσως ἄν τις ὑπολάβοι, πρότερον διαλύομεν. φαίη γὰρ ἄν τις ὡς οὐδὲν κωλύει τὸ ἄπειρον σῶμα τῷ μὲν ὄγκῳ μέγιστον εἶναι, τῇ δυνάμει δὲ ἔλαττον τῶν πεπερασμένων, ἐπεὶ καὶ ἀέρος ὄγκον εἰ πολλῷ πλείονα λάβοις, πυρὸς δὲ ἐλάττω, ἥ γε δύναμις ἡ τοῦ πυρὸς ἔσται πολλῷ πλείων, καίτοι κατὰ τὸν ὄγκον ὄντος ἐλάττονος. ἀλλὰ τοῦτο, ὅταν μὲν ἀμφότερα ᾖ πεπερασμένα τὰ σώματα, γένοιτο ἂν ἀληθές, ὅταν δὲ τὸ μὲν τὸ δὲ μή, λόγον οὐκ ἔχει. πῶς; ὅτι κἂν πολὺ τοῦ πυρὸς ἰσομεγέθης ὁ ἀὴρ ἀσθενέστερος ᾖ, παραύξοντάς τε αὐτοὺς εἰς τὸ πολλαπλάσιον μέγεθος ἔσται ποτὲ ἀντανισῶσαι τὴν δύναμιν, εἰ δὲ τοῦτο, καὶ μείζω ποιῆσαι, ἐνούσης γε ἡμῖν τῆς παραυξήσεως, καὶ εἴγε μηδέποτε ὑπολείποι, καὶ ἀπείρῳ μείζω. τί οὖν ἐνταῦθα ὠφελεῖ, εἰ τὸ ἴσον πυρὸς τοῦ ἴσου ἀέρος ἰσχυρότερον; Themist. f. 33.

204 b 24. ἤτοι γὰρ ἕν τι τῶν στοιχείων ἐστίν, οἷον ἀὴρ ὕδωρ ἢ πῦρ, ἤ τις ἑτέρα φύσις, ὡς Ἀναξίμανδρος οἴεται· οὗτος γὰρ ἦλθεν ἐπὶ τὴν ὑπόνοιαν ταύτην, ἐξορίσαι τῶν στοιχείων τὸ ἄπειρον, ὅπως μὴ ἑνὸς ὄντος ἀπείρου τὰ λοιπὰ φθείρηται αὐτῷ ὑπὸ τῆς ἐν τῷ ἀπείρῳ δυνάμεως, ἐπειδὴ ἐν τοῖς στοιχείοις εἴη πρὸς ἄλληλα ἐναντίωσις. id. ib.

204 b 27. ὡς ἐν ὑποθέσει ψυχρὸν εἶπε τὸν ἀέρα· δείκνυσι γὰρ αὐτὸς ἐν τῇ περὶ Γενέσεως (2 3) ὅτι θερμός ἐστιν. Phil. *l* p. 12.

204 b 33. ἀλλ' ἴσως ἐρεῖ τις ὅτι καὶ κατ' αὐτὸν ἐξ ὕλης καὶ εἴδους ἐστὶ τὸ σύνθετον, ὥστε καὶ τὴν ἀνάλυσιν εἰς ταῦτα γίνεσθαι, καὶ ὅμως οὐδέποτε φαίνεται ἐνταῦθα γυμνὴ ἡ ὕλη, ἀλλ' οὐδὲ τὸ εἶδος καθ' ἑαυτό... ἔοικε δὲ καὶ ὁ Εὔδημος ὡς ἀπορήσας τὴν ἀπορίαν ταύτην οὕτω πως λύειν... ἐπιστῆσαι δὲ χρὴ ὅτι οἱ ἄλλο τι παρὰ τὰ τέσσαρα στοιχεῖα ταῦτα τὸ στοιχεῖον τῶν ὄντων λέγοντες ὡς ὕλην ἐτίθεσαν αὐτὸ οὐ θεωροῦντες ἐν αὐτῷ ποιότητας ἐναντίας... καὶ τοῦτο δὲ ἄξιον ἐπισημήνασθαι κατὰ ταύτην τὴν λέξιν, ὅτι ἐν τοῖς τῶν στοιχείων παραδείγμασι τὸν μὲν ἀέρα ψυχρὸν εἶπεν, τὸ δὲ ὕδωρ ὑγρόν, ὅπερ οὐκ εἴωθε· τὸν γὰρ ἀέρα ὑγρὸν καλεῖ ὡς μᾶλλον ἔχοντα τὸ τοῦ ὑγροῦ ἴδιον τὸ τῷ ἰδίῳ μὲν ὅρῳ δυσόριστον ἀλλοτρίῳ δὲ εὐόριστον. εἰ μὴ ἄρα καὶ ἐνταῦθα ᾗ κατεφρόνησεν, ὡς διὰ μόνην ἐναντίωσιν χρώμενος τῷ παραδείγματι, ἢ γραφικὸν συνέβη πταῖσμα. Simpl. f. 111.

τὰ μὲν ἐκ γαίης φύντα εἰς γέαν, φησὶ καὶ ἡ τραγῳδία, τὰ δὲ ἀπὸ αἰθερίου βλαστέντα γονῆς εἰς αἰθέρα. Themist. f. 33 *b*.

205 a 4. καὶ γὰρ οὗτος (ὁ Ἡράκλειτος) ἁλίσκεται τῷ αὐτῷ λόγῳ τὰς τῆς γενέσεως ὑποθέσεις προϊέμενος, ὥσπερ γε καὶ Ἀναξίμανδρος· Ἀναξιμάνδρῳ γάρ, ἐπειδὴ πρὸς οὐδὲν ἐναντίωσιν ἔχει τῶν τεσσάρων ἐκεῖνο τὸ μεταξύ, οὐδ' ἂν εἰς ἓν τούτων μεταβάλλοι. id. ib.

νῦν προτίθεται ἁπλῶς περὶ παντὸς φυσικοῦ ὑπὸ σελήνην τέως 205 a
σώματος καὶ ἁπλοῦ καὶ συνθέτου τὴν ἀπόδειξιν ποιήσασθαι, εἰ ἐνδέχεται 7.
ἢ οὐκ ἐνδέχεται εἶναι ἄπειρον, εἰς ὁμοιομερὲς αὐτὸ καὶ ἀνομοιομερὲς διελών, ὥσπερ πρότερον εἰς ἁπλοῦν καὶ σύνθετον. ὥσπερ δὲ πρότερον ἀπὸ τῆς οὐσίας καὶ ἀπὸ τῶν δυναμένων τῶν φυσικῶν ἐποίει τὰς ἐπιχειρήσεις, οὕτω νῦν ἀπὸ τῶν τόπων τῶν φυσικῶν ποιήσεται τὴν ἐπίβλεψιν. ποιεῖται δὲ νῦν τὸν λόγον περὶ τοῦ ἐν γενέσει καὶ φθορᾷ, ὅτι τοιοῦτο σῶμα ἄπειρον οὐκ ἔστι δεικνύς· περὶ γὰρ τοῦ θείου καὶ κυκλοφορητικοῦ ἐν τοῖς περὶ Οὐρανοῦ (1 5 7) δείξει ὅτι μὴ ἄπειρον... παραιτησόμεθα τὸν Ἀλέξανδρον ἐνταῦθα τὸ ἁπλοῦν καὶ τὸ ὁμοειδὲς καὶ τὸ σύνθετον καὶ ἀνομοειδὲς ὡς ταὐτὸν τιθέντα, καὶ λέγοντα ὅτι καὶ νῦν οὕτω διεῖλεν ὡς διεῖλεν ἤδη, ὅτε εἰς ἁπλοῦν καὶ σύνθετον ἐποιεῖτο τὴν διαίρεσιν. ἐπὶ τούτοις οὖν τοῖς λήμμασι δείκνυσιν ὅτι οὐκ ἔστι σῶμα φυσικόν, οὔτε ὁμοιομερὲς ἤτοι ὁμοειδές οὔτε ἀνομοιομερὲς ἤτοι ἀνομοειδές, ἄπειρον. Simpl. f. 111 *b*.

καὶ εἰ μὲν πεπερασμένα τῷ ἀριθμῷ, τοῦ ὅλου κατὰ μέγεθος ἀπείρου 205 a
ὄντος, ἀνάγκη πάλιν ἓν ἢ πλείω ἄπειρα εἶναι. εἰ γὰρ πάντα πεπε- 21.
ρασμένα, καὶ τὸ ὅλον ἔσται πεπερασμένον καὶ οὐκ ἄπειρον· εἰ δὲ ἔστι τι ἄπειρον, ἥξει πάλιν ὁ πρότερον ῥηθεὶς λόγος, ὅτι διαφθαρήσεται τἆλλα ὑπὸ τοῦ ἀπείρου, καὶ κατὰ τὸ εἶδος καὶ κατὰ τὸν τόπον ὑποκειμένου διαφέρειν. id. f. 112.

ὅτι μὲν ἡ πρόληψις ἀληθὴς καὶ εἰσὶν οἱ τόποι πεπερασμένοι, 205 a
δῆλον ἐκ τῶν τοπικῶν ἀντιθέσεων· αἱ γὰρ διαφοραὶ τῶν τόπων ἓξ 30.
εἰσι, τὸ ἄνω καὶ κάτω, δεξιὰ καὶ ἀριστερά, ἔμπροσθεν καὶ ὄπισθεν, καὶ παρὰ ταῦτα οὐκ ἔστιν... τὸ δὲ "καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα" δύναται μὲν καὶ ὡς ἐπὶ τῆς ὑποθέσεως εἰρῆσθαι, ᾗ ἐπάγεται τὸ "εἰ δὲ τοῦτο ἀδύνατον·" καὶ εἴη ἂν στοιχεῖα λέγων τὰ ἁπλᾶ καὶ ὁμοιομερῆ τοῦ ἀπείρου ἀνομοιομεροῦς μέρη. δύναται μέντοι καὶ ὡς ἑπόμενον ἄτοπον τῇ ὑποθέσει καὶ αὐτὸ λέγεσθαι· ἐπειδὴ γὰρ τὸ ἀνομοιομερὲς ἄπειρον σύγκειται ἐξ ἁπλῶν ἀπείρων τῷ εἴδει κατὰ τὴν ὑπόθεσιν, στοιχεῖά ἐστι ταῦτα· δέδεικται δὲ ἐν τῷ πρώτῳ βιβλίῳ (c. 6) ἀδύνατον ἄπειρα τῷ ἀριθμῷ εἶναι τὰ στοιχεῖα. ἔοικε δὲ νῦν πρὸς τὴν πρώτην ἐξήγησιν ἀποδεδωκέναι τοῦτο. εἰ δὲ τοῦτο, ἀδύνατον, ὡς δηλοῖ ἡ τοῦ ἀδυνάτου αἰτία ἀπὸ τῶν τόπων ἐπαγομένη. id. f. 112 *b*.

τὴν αἰτίαν τοῦ μένειν ζητῶν οὐκ ἀρκεῖται τῷ μένειν. δείκνυσι 205 b
δὲ τοῦτο οὕτως ἔχον καὶ ἐπὶ τοῦ κατὰ τὴν γῆν παραδείγματος· κἂν γὰρ 10.
ἄπειρόν τις αὐτὴν ὑπόθηται, ἵνα μὴ διὰ τοῦτο νομίσῃ τι συμβαίνειν, ἀλλ' οἷον ἔμενεν ἂν καὶ ἐστήριζεν ἑαυτήν. ἀλλ' οὐ διὰ τοῦτο ἔμενεν, ὅτι οὐκ εἶχέ που ἐνεχθῆναι ὡς ἄπειρος, οὐδὲ ὅτι στηρίζει ἑαυτήν, ἀλλ' ὅτι ὑπὸ τῆς τοῦ μέσου δυνάμεως, ἐν ᾧ πέφυκεν εἶναι, ὑπὸ ταύτης εἴργεται κινεῖσθαι... δῆλον ὅτι ἐπὶ μὲν τοῦ ὅλου διελέγχει τὸν λόγον ὡς μὴ φυσικὴν αἰτίαν τῆς μονῆς ἀποδιδόντα, ἐπὶ δὲ τῶν μερῶν ὡς τῇ ῥηθείσῃ αἰτίᾳ ἀδυνάτου τινὸς ἑπομένου, τοῦ μηδὲν τῶν φυσικῶν κινεῖσθαι. οὕτω μὲν οὖν πρὸς τὸ φαινόμενον τῆς Ἀναξαγόρου δόξης ὑπήντησεν ὁ Ἀριστοτέλης. id. f. 113.

καὶ τὰ μετὰ ταῦτα ἐπιχειρήματα ἔτι περὶ τὸ εἶναι οὐσίαν τὸ ἄπειρον διαλαμβάνοντα. cod. Reg. 1947.

204a 17. ὁμολογεῖ ὁ Ἀλέξανδρος καὶ τοῦτο ἔτι δεικτικὸν εἶναι τοῦ ὅτι οὐκ οὐσία τὸ ἄπειρον αὐτὸ καθ' αὑτό. ἡ δὲ ἐπιχείρησις ἐκ τοῦ μᾶλλον καὶ ἧττον. Simpl. f. 109.

204a 20. ἐν τούτοις τὸ μὲν "ἐνεργείᾳ ὂν" εἶπεν, εἰ οὕτως ὡς ἐνεργείᾳ τόδε τι οὖσα, αὐτὸ καθ' αὑτὸ ὑφεστάναι δυνάμενον, καὶ μὴ οὕτως ἔχον ὡς τὰ σύνθετα, ἄλλο μὲν τὸ καθ' ὑποκειμένου ἄλλο δὲ τὸ ὑποκείμενον ἔχοντα· ταῦτα γὰρ οὐχ ἁπλᾶ. οὐδὲ ὡς τὰ συμβεβηκότα τοῖς σώμασιν· οὐδὲ γὰρ ταῦτα ἁπλᾶ, συναναπεφυρμένα τοῖς ὑποκειμένοις· ἄλλο γὰρ τὸ λευκὸν καὶ ἄλλο τὸ λευκῷ εἶναι. ἀλλ' ὡς ἁπλοῦν· οὕτω γὰρ ὂν ἀρχὴ ἂν εἴη, ὡς ἀξιοῦσιν. ἢ τὸ "ἐνεργείᾳ" πρὸς ἀντιδιαστολὴν εἴρηται τοῦ δυνάμει, ἐπειδὴ δυνάμει γε ὂν δειχθήσεται τὸ ἄπειρον. "ἐντελεχείᾳ" οὖν εἶπεν ἀντιτιθεὶς αὐτὸ πρὸς τὸ δυνάμει, ὅπερ οὐδὲν κωλύει εἶναι διὰ τὸ ἐπ' ἄπειρον. ἀντέθηκε δὲ τὸ ἐνεργείᾳ ὑφεστὼς καὶ πρὸς τὸ μόνον ἐννοούμενον. τάχα δὲ τὸ ἐνεργείᾳ ὑφεστὼς σῶμα ἄπειρον καὶ πρὸς τὴν ὕλην ἀντέθηκεν, ἥτις ἄπειρος μέν, ἀλλ' οὐκ ἐνεργείᾳ σῶμά ἐστιν ἀλλὰ δυνάμει. δὶς δὲ τῷ οὐσίαν χρησάμενος, ἅπαξ μὲν ἐν τῷ λέγειν οὐκ ἐνδέχεται οὐσίαν εἶναι τὸ ἄπειρον, δεύτερον δὲ ὅταν λέγῃ "καὶ ὡς οὐσίαν καὶ ἀρχήν," τὸ μὲν πρῶτον ἀντὶ τοῦ φύσιν εἶπε τινὰ οὕτως ὡς ἐνεργείᾳ οὖσαν· τὸ γὰρ τῆς οὐσίας ὄνομα κοινῶς κατὰ πάντων κατηγορεῖται, καθὸ λέγομεν οὐσίαν ποσοῦ ἢ ποιοῦ καὶ ὅλως συμβεβηκότος· τὸ δὲ δεύτερον ἐπὶ τῆς κυρίως οὐσίας. μήποτε δὲ κάλλιον ἐπὶ τῆς κυρίως οὐσίας ἄμφω ἀκούειν· εἰπὼν γὰρ "ὡς ἐνεργείᾳ ὂν" ἐπήγαγε "καὶ ὡς οὐσίαν," ἵνα δηλώσῃ πῶς τὸ ἐνεργείᾳ εἶπε... καὶ ἄλλο δὲ τοῖς ὡς οὐσίαν καὶ ἀρχὴν ὑποτιθεμένοις τὸ ἄπειρον ὡς ἄτοπον ἑπόμενον ὁ Εὔδημος ἐπάγει· εἰ γὰρ ἔστι, φησί, στοιχεῖον τὸ ἄπειρον, καὶ κινεῖταί τι ἐξ αὐτοῦ, ἔσται ἐν τῷ γινομένῳ πεπερασμένον τι· οὐ γὰρ δὴ πάντα γε τὰ γινόμενα ἔσται ἄπειρα. συμβήσεται οὖν τὸ ἄπειρον ἐν τῷ πεπερασμένῳ εἶναι. id. f. 109 *b*.

ὅλως δὲ ἀμήχανον οὕτως εἶναι τὸ ἄπειρον ὡς ἐνέργειαν καὶ οὐσίαν καὶ ὡς ἀρχήν, ἁπλῆν τινὰ φύσιν, αὐτὸ τοῦτο ἄπειρον μόνον, οὐδὲν ἔχουσαν ὑποκείμενον, οἵαν τὴν ψυχὴν λέγομεν ἢ τὸν νοῦν, ὡς ταὐτὸν εἶναι κατὰ τὸν λόγον τό τε ἀπείρῳ εἶναι καὶ ἄπειρον. αὕτη γὰρ ἡ φύσις τῶν ἁπλῶν ἀκριβῶς, μηδὲ τῷ λόγῳ διῃρῆσθαι εἰς πλείονα, ὃ τοῖς συνθέτοις οὐδὲ ὅλως ὑπάρχει· οὐ γὰρ ταὐτὸν λευκόν τε καὶ λευκῷ εἶναι, ἀλλὰ λευκὸν μὲν σῶμα λελευκωμένον, τὸ λευκῷ δὲ εἶναί ἐστι τὸ χρώματι εἶναι διακριτικῷ ὄψεως. ἀλλ' ὅπερ ἔφην, εἰ τοιαύτη φύσις τὸ ἄπειρον ἁπλῆ καὶ ἀσύνθετος ἄπειρος μόνον, πᾶν αὐτῆς μέρος ἄπειρον ἔσται... πολλὰ οὖν ἄπειρα ἔσται τὸ ἄπειρον, εἴγε πολλὰ μέρη. εἴτε ταύτας φεύγοντες τὰς ἀπορίας ἀδιαίρετον αὐτὸ ποιήσουσι, τοῦτο ἐκεῖνο πάλιν ὑπομένουσι, στιγμὴν ὑπολαμβάνειν τὸ ἄπειρον. βούλονται μὲν οὖν, ὅτι λέγουσιν ἄπειρον οἱ Πυθαγόρειοι, τὸ ἄπειρον οὐσίαν εἰπεῖν, οὐ φυλάττουσι δὲ ἀλλ' ἀποκλίνουσιν εἰς τὸ συμβεβηκὸς αὐτὸ λέγειν· τὸ γὰρ ἄρτιον ἄπειρον λέγουσιν..., ἀλλὰ τὸ μὲν εἰ τοιοῦτόν ἐστιν ἄπειρον ζητεῖν, οὐδὲν διαφέρει τοῦ ζητεῖν εἰ νοητόν ἐστιν ἄπειρον (τοιοῦτον γὰρ τὸ ἄνευ ὑποκειμένου), καὶ εἰ δύναται κἀν τοῖς μαθήμασιν εἶναι καὶ ἐν ταῖς ἰδέαις, ἥτις ἔξω τῆς προκειμένης μεθόδου σκέψις ἐστίν. Themist. f. 32 *b*.

τοῦτο συνεχὲς τῷ ἀνωτέρω ῥητῷ. ἔστιν οὖν ἡ ὅλη τοῦ ῥητοῦ σύνταξις αὕτη. μετὰ τὸ "εἴπερ οὐσία τὸ ἄπειρον καὶ μὴ καθ' ὑποκειμένου," σύναψον ἐφεξῆς "ὥσπερ γὰρ ἀέρος ἀὴρ μέρος, οὕτω καὶ ἄπειρον ἀπείρου, εἴγε ἐστὶν οὐσία τις καὶ ἀρχή." εἶτα σύναψον "ὥστε ἢ ἀδιαίρετον ἢ εἰς ἄπειρα διαιρετόν· πολλὰ δὲ ἄπειρα τὸ αὐτὸ εἶναι ἀδύνατον." εἶτα πάλιν σύναψον "ἀμέριστον ἄρα καὶ ἀδιαίρετον." Phil. *l* p. 6. 204a 23.

μεμφθεὶς τῶν Πυθαγορείων εὐγνωμόνως ἐπέστησεν ὅτι ἐκεῖνοι μὲν κοινὰς ἀρχὰς καὶ ἐν νοητοῖς καὶ ἐν αἰσθητοῖς καὶ ἐν τοῖς μέσοις τούτων τοῖς διανοητοῖς καὶ μαθηματικοῖς ἔλεγον τὸ πέρας καὶ τὸ ἄπειρον, ὡς ἑνώσεως καὶ διαιρέσεως αἴτια... ὁ δὲ Ἀλέξανδρος καθόλου ταύτην λέγεσθαι τὴν ζήτησίν φησι, διότι δυνατὸν ταύτῃ χρωμένους μὴ μόνον ἐπὶ τῶν φυσικῶν ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ζητεῖν· εἰ γὰρ ἔστιν ἐν ταῖς ἰδέαις τὸ ἐνεργείᾳ ἄπειρον, ἢ ὡς οὐσία ἔσται ἢ ὡς συμβεβηκός. ἐπιστῆσαι δὲ χρὴ ὅτι οὐ προσήκει ταῖς ἰδέαις ἡ τοιαύτη διαίρεσις. Simpl. f. 110. 204a 31.

πρῶτον μὲν λογικῶς ἐπιχειρεῖ, τουτέστι πιθανῶς καὶ ἐνδόξως, καὶ ἔτι κοινότερόν πως καὶ διαλεκτικώτερον. ἡ γὰρ διαλεκτικὴ ἡ Ἀριστοτέλους κοινή ἐστι μέθοδος περὶ παντὸς τοῦ προτεθέντος ἐξ ἐνδόξων συλλογιζομένη, ὡς αὐτὸς ἀρχόμενος τῶν Τοπικῶν φησίν· τὸ γὰρ λογικὸν ὡς κοινὸν ἀντιδιαστέλλειν εἴωθε τῷ οἰκείῳ καὶ κατὰ φύσιν τοῦ πράγματος καὶ ἀποδεικτικῷ. id. ib. 204b 4.

ὅτι οὖν οὐκ ἔστιν οὐδ' οὕτω τὸ ἄπειρον, πρότερον μέν, ὥς φησι, λογικῶς δείκνυσι, τουτέστι πιθανῶς καὶ ἐξ ἐνδόξων. ἡ λογικῶς φησὶν ἀντὶ τοῦ κοινοτέρως· ἐφαρμόσει γὰρ ἡ δεῖξις αὕτη οὐ μόνον ἐπὶ τῶν φυσικῶν σωμάτων ἀλλὰ καὶ ἐπὶ τῶν μαθηματικῶν· διὰ τοῦτο οὖν λογικῶς φησίν. ἔπειτα καὶ ἀναγκαστικώτερον ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως. Philop. *l* p. 6.

ἢ τοῦτό φησιν, ὅτι ὁ ἀριθμὸς ὅ τε ἐπὶ τῶν δακτύλων καὶ ὁ αὐτὸς φημὶ ὁ ἀριθμὸς ὅ τε ἐπὶ τῶν πραγμάτων αὐτῶν λαμβανόμενος, λέγω δὲ τῶν ἀριθμητῶν, πεπέρασται πάντως, διότι ἀριθμητὸς ἑκάτερος, τὸ δὲ ἀριθμητὸν ἐνδέχεται διεξελθεῖν... πρὸς δὲ ταύτην τὴν ἐξήγησιν τὸ "ἢ τὸ ἔχον ἀριθμόν" ἀντὶ τοῦ καὶ τὸ ἔχον ἀριθμόν. ἢ οὖν τοῦτό φησιν, ἢ ὅπερ καὶ μᾶλλον, ὅτι οὐδεὶς ἀριθμὸς χωριστὸς τῶν ἀριθμητῶν, ἀλλὰ πᾶς ἀριθμὸς ἐν τοῖς ἀριθμητοῖς ἔχει τὸ εἶναι, τὰ δὲ ἀριθμητὰ ἐνδέχεται διεξελθεῖν. id. p. 11. 204b 8.

ἡ μὲν ἐκ τῆς οὐσίας ἀπόδειξίς ἐστιν, ὅτι οὔτε σύνθετον οὔτε ἁπλοῦν ἐνδέχεται σῶμα φυσικὸν ἄπειρον εἶναι· οἰκεῖον γὰρ τῷ φυσικῷ σώματι τὸ ἁπλοῦν καὶ σύνθετον. λέγει οὖν ὅτι εἰ ἔστιν ὅλως ἄπειρόν τι σῶμα φυσικόν, δεῖ αὐτὸ ἢ σύνθετον εἶναι ἢ ἁπλοῦν· καὶ εἰ σύνθετον, ἐκ πλειόνων πάντως (διὸ καὶ αὐτὸς προσέθηκεν "ἀνάγκη πλείω εἶναι") καὶ τῷ εἴδει διαφερόντων. ἀνάγκη δὲ τὰ πλείω ταῦτα ἢ πεπερασμένα εἶναι τῷ ἀριθμῷ ἢ ἄπειρα· οὐδὲ γὰρ τοῦτο παρῆκε τὸ τμῆμα, ὡς οἴεται ὁ Ἀλέξανδρος, ὡς δεδειχὼς αὐτὸ καὶ δείξων, ἀλλὰ καὶ αὐτὸς ἐλέγξει ἐν οἷς φησὶν "εἰ δὲ ἄπειρα καὶ ἁπλᾶ" (p. 205 *a* 29)· καὶ γὰρ ὅτι οὐκ ἔστιν ἓν τὸ στοιχεῖον ἔδειξε. καὶ ὅλως 204b 10.

κυβερνᾶν, οὐδὲν θαυμαστόν· τὸ μὲν γὰρ περιέχειν ὑπάρχει τῷ ὑλικῷ αἰτίῳ ὡς διὰ πάντων χωροῦντι, τὸ δὲ κυβερνᾶν ὡς κατὰ τὴν ἐπιτηδειότητα αὐτοῦ τῶν ἀπ᾽ αὐτοῦ γινομένων. Simpl. f. 107.

203 b 15. πρώτην τῆς ἀπειρίας ἔννοιαν τίθησι τὴν ἐκ τοῦ χρόνου, ἀπείρου τῷ ὄντι τυγχάνοντος· εἰ γὰρ μή ἐστιν ἄπειρος ὁ χρόνος, ἦν ὅτε οὐκ ἦν χρόνος, καὶ ἔσται ὅτε οὐκ ἔσται, ὥστε καὶ ὅτε οὐκ ἔστι χρόνος, ἔστι χρόνος· ἀεὶ οὖν ἐστὶ χρόνος, ἄπειρος ἄρα ὁ χρόνος. δευτέρα δὲ πίστις τοῦ εἶναι τὸ ἄπειρον ἐκ τῆς ἐν τοῖς μεγέθεσι διαιρέσεως, ἢ ὡς Εὔδημός φησιν ἐν τοῖς συνεχέσι. id. f. 107 *b*.

203 b 20. τούτῳ τῷ λόγῳ ὡς μάλιστα, ὥς φησιν ὁ Ἀλέξανδρος, οἱ περὶ Ἐπίκουρον πιστεύοντες ἄπειρον ἔλεγον εἶναι τὸ πᾶν, διότι πᾶν τὸ πεπερασμένον παρά τι περαινόμενον ἔξωθέν τι ἔχει. ὁ δὲ Ἀριστοτέλης ὡς ἀρχαιοτέρου μέμνηται τοῦ λόγου. id. ib.

203 b 25. ἐπειδὴ δὲ ἡ ἐπίνοια κατὰ τὰ πράγματα δοκεῖ γίνεσθαι, οἰόμεθα τὰ πράγματα οὕτως ἔχειν ὡς φανταζόμεθα. τὸ αὐτὸ δὲ πάσχομεν καὶ περὶ τὸ ἔξω τοῦ οὐρανοῦ· ἀεὶ γὰρ τοῦ ληφθέντος ἔξω τι ἐπινοοῦμεν, καὶ οὕτως ἄπειρον δοκεῖ τὸ ἔξω. καὶ εἰ μὲν κενόν, ὡς ἐδόκει λέγειν Δημόκριτος, ἄπειροι ἂν εἶεν καὶ οἱ κόσμοι· τί γὰρ μᾶλλον τοῦ κενοῦ ἐνταῦθα ἢ ἐνταῦθα; ὥστε εἴπερ μοναχοῦ, καὶ πανταχοῦ ἂν εἶναι τὸν σωματικὸν ὄγκον, ὥστε καὶ αὐτὸν ἄπειρον εἶναι. καὶ ἄλλως... Ἀρχύτας δέ, ὥς φησιν Εὔδημος, οὕτως ἠρώτα τὸν λόγον. ἐν τῷ ἐσχάτῳ ἤγουν τῷ ἀπλανεῖ οὐρανῷ γενόμενος πότερον ἐκτείναιμι ἂν τὴν χεῖρα ἢ τὴν ῥάβδον εἰς τὸ ἔξω, ἢ οὐκ ἄν; τὸ μὲν οὖν μὴ ἐκτείνειν ἄτοπον· εἰ δὲ ἐκτείνω, ἤτοι σῶμα ἢ τόπος τὸ ἐκτὸς ἔσται. διοίσει δὲ οὐδέν, ὡς μαθησόμεθα. ἀεὶ οὖν βαδιεῖται τὸν αὐτὸν τρόπον ἐπὶ τὸ ἀεὶ λαμβανόμενον πέρας, καὶ ταὐτὸν ἐρωτήσει, καὶ εἰ ἀεὶ ἕτερον ἔσται ἐφ᾽ ὃ ἡ ῥάβδος, δηλονότι καὶ ἄπειρον. καὶ εἰ μὲν σῶμα, δέδεικται τὸ προκείμενον· εἰ δὲ τόπος, ἔστι δὲ τόπος τὸ ἐν ᾧ σῶμα ἐστὶν ἢ δύναιτ᾽ ἂν εἶναι, τὸ δὲ δυνάμει ὡς ὂν χρὴ τιθέναι ἐπὶ τῶν ἀϊδίων, καὶ οὕτως ἂν εἴη σῶμα ἄπειρον καὶ τόπος... οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης ἐκ πέντε μᾶλλον εἶναι τὴν πίστιν φησὶ τοῦ εἶναι τὸ ἄπειρον, ὁ δὲ Εὔδημος δι᾽ αἰτίας ἓξ φησιν. id. f. 108.

203 b 34. εἰ μηδέτερόν τις λέγοι τούτων, εἶναι δὲ ὅμως ἄπειρον, ἄτοπον αὐτόθεν δοκεῖ τὸ εἶναί τι, ὅπερ μήτε οὐσία μήτε συμβεβηκός ἐστιν. καὶ ἄλλως δὲ ὁ Ἀλέξανδρος ἐξηγεῖται τὸ "μηδετέρως," οὐχ ὡς τὸ πρὸς πᾶν συμβεβηκὸς ἀντιδιαιρούμενον, ἀλλὰ πρὸς τὸ καθ᾽ αὑτὸ φύσει τινὶ ὑπάρχον· ὡς εἰ ἔλεγεν, ἢ οὐδὲ ὡς οὐσία οὐδὲ ὡς καθ᾽ αὑτὸ συμβεβηκός, ἀλλ᾽ ἄλλως πως συμβεβηκός. id. f. 108 *b*.

204 a 1. περὶ τοῦ κατὰ πλῆθος ἀπείρου, ὅτι οὐ δυνατὸν εἶναι, ἔδειξε καὶ ἐν τῷ πρώτῳ βιβλίῳ (c. 6) ἐν τοῖς πρὸς Ἀναξαγόραν καὶ Δημόκριτον λόγοις, δείξει δὲ ἀκριβέστερον καὶ ἐν τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς (1 3 p. 318 *a* 20). Philop. *l* p. 3.

204 a 3. ἡ δρεπανὶς (ὄρνεον τοῦτό ἐστιν, ὃ κεγχρίδα καλοῦμεν) ἄπουν λέγεται, ὅτι μικροὺς καὶ φαύλους ἔχει τοὺς πόδας. Simpl. f. 108 *b*.

204 a 5. ὡς ὁ παρὰ Λακεδαιμονίοις ἦν κεάδας, εἰς ὃν τοὺς κατακρίτους ἐνέβαλλον... ὅτι γὰρ ἔχε μόγις (διέξοδον), ἐδήλωσεν ἡ ἀλώπηξ ἡ τὸν Μεσσήνιον Ἀριστομένην διεξοδεύσασα. id. ib.

"ἄλλως δὲ τὸ διέξοδον ἔχον." διέξοδον ἔχει ἀτελεύτητον ὁ δακτύλιος ὁ μὴ ἔχων σφενδόνην. μόγις δ᾽ ἔχει διέξοδον, ὡς ὁ λαβύρινθος παρὰ Κρησὶ καὶ παρὰ Λακεδαιμονίοις ὁ κεάδας δεσμωτήρια τοῖς κατακρίτοις δυσδιέξοδα· ὅτι γὰρ εἶχεν ἔξοδον μόγις, ἐδήλωσεν ἡ ἀλώπηξ τὸν Μεσσήνιον Ἀριστομένη διεξοδεύσασα. cod. Reg. 1947.

204 a 7. ἐπειδὴ ἐπὶ μὲν τῶν ἀριθμῶν κατὰ πρόσθεσιν μόνως ἐστὶ τὸ ἄπειρον (ἡ γὰρ διαίρεσις εἰς μονάδα ἱσταμένη οὐκέτι ἐπ᾽ ἄπειρον προχωρεῖ), ἐπὶ δὲ τῶν μεγεθῶν καὶ κατὰ διαίρεσιν, ὅταν πᾶν τὸ λαμβανόμενον τέμνηται, καὶ κατὰ πρόσθεσιν δέ, ὅταν καὶ τέμνηται ἐπ᾽ ἄπειρον καὶ τὰ τμήματα εἰ προστιθεῖτο, διὰ τοῦτο εἶπεν "ἢ κατὰ πρόσθεσιν ἢ κατὰ διαίρεσιν ἢ ἀμφοτέρως." οὕτω δὲ καὶ ὁ χρόνος καὶ προσθέσει ἄπειρος, ὁ μέλλων, καὶ ἀφαιρέσει ὁ παρεληλυθώς. Simpl. f. 108 *b*.

204 a 8. πρότερα μὲν ἦν περὶ τοῦ ἀπείρου προβλήματα, εἰ ἔστιν ἢ μὴ ἔστι, καὶ οὕτω πότερον οὐσία ἐστὶν ἢ συμβεβηκός. αὐτὸς δὲ εὐθὺς ἀρξάμενος τῆς ζητήσεως ζητεῖ πρότερον εἰ οὐσία ἢ συμβεβηκὸς τοῦτο, διὰ συντομίαν ἴσως. id. f. 109.

204 a 14. "τὸ κατὰ συμβεβηκός" οἱ ἐξηγηταὶ ἀντὶ τοῦ συμβεβηκός εἰρῆσθαι λέγουσιν, ἵνα ᾖ λέγων, εἰ δὲ μὴ οὐσία ἀλλὰ συμβεβηκὸς εἴη τὸ ἄπειρον, οὐκέτι ἂν εἴη στοιχεῖον τῶν ὄντων τὸ ἄπειρον, ὡς ἔλεγον καὶ οἱ Πυθαγόρειοι καὶ ὁ Πλάτων καὶ ἔτι μᾶλλον οἱ Φυσικοί... μήποτε δὲ τὸ "κατὰ συμβεβηκός" οὐκ ἀντὶ τοῦ συμβεβηκός, ἀλλὰ κυρίως εἶπεν ὁ Ἀριστοτέλης, οὔπω μετελθὼν ἀπὸ τῆς οὐσίας εἰς τὸ ζητεῖν εἰ συμβεβηκὸς τὸ ἄπειρόν ἐστιν, ἀλλὰ μετὰ τὸ δεῖξαι ὅτι οὐκ ἔστιν οὐσία καθ᾽ αὑτὸ τὸ ἄπειρον, οὔτε ταὐτόν ἐστι τὸ ἀπείρῳ καὶ οὐσίᾳ εἶναι, δείκνυσιν ὅτι οὐδὲ κατὰ συμβεβηκὸς ὑπάρχει τῷ ἀπείρῳ τὸ οὐσίᾳ εἶναι... καὶ οἶδα μὲν ὅτι δυνατὸν ἦν καὶ οὕτως ἐξηγεῖσθαι ὡς πρότερον εἴρηται· καὶ γὰρ πρoϊὼν τὸ συμβεβηκὸς κατὰ συμβεβηκὸς καλεῖ· ἐνάγει δέ με πρὸς ταύτην τὴν ἐξήγησιν τὸ ἔτι καὶ ἄλλα τινὰ τιθέναι ἐπιχειρήματα πρὸς τὸ μὴ εἶναι οὐσίαν τὸ ἄπειρον, εἰς δὲ τὸ συμβεβηκὸς μεταβέβηκεν ἐν οἷς φησὶν "κατὰ συμβεβηκὸς ἄρα ὑπάρχει τὸ ἄπειρον" (v. 29), καὶ ἀναιρεῖ μὲν καὶ ἐκεῖ τοῦτο ἐκ τοῦ μὴ εἶναι ἀρχήν. δῆλον δὲ καὶ ἐκ τοῦ τῇ αὐτῇ πως ἐπιχειρήσει χρῆσθαι, ὅτι οὐχ ἡ τοῦ συμβεβηκότος ἐστὶν ἐνταῦθα ὑπόθεσις. id. ib.

εἰ δὲ ἄλλῃ φύσει τὸ ἄπειρον ἐροῦσιν συμβεβηκέναι, οὐκέτι ἂν εἴη στοιχεῖον τῶν ὄντων τὸ ἄπειρον, ἀλλ᾽ ἐκείνη ἡ φύσις ᾗ συμβέβηκεν τὸ ἄπειρον. Themist. f. 32 *b*.

οἱ μὲν παλαιότεροι τὸ κατὰ συμβεβηκὸς αὐτὸ τὸ συμβεβηκὸς λέγουσι, Σιμπλίκιος δὲ τὴν οὐσίαν φησίν· ἔστι γὰρ κατὰ συμβεβηκός τι εἶναι οὐσίαν, ὡς τοῦ τι τὸ λευκὸν Σωκράτην εἶναι καὶ τῷ ἀπείρῳ οὐσία. πρότερον οὖν εἰπὼν ὅτι εἰ ἔστι καθ᾽ αὑτὸ οὐσία τὸ ἄπειρον, διὰ τοῦτο γὰρ καὶ χωριστὴν αὐτὴν τηνικαῦτα ἐκάλεσε, συμβήσεται τὸ καὶ τό. νῦν δέ φησιν ὅτι εἰ δὲ μὴ καθ᾽ αὑτὸ καὶ χωριστὴ οὐσία ἐστὶ τὸ ἄπειρον ἀλλὰ κατὰ συμβεβηκὸς οὐσία, ἀὴρ τυχὸν ἢ ὕδωρ, οὐκ ἔσται τὸ ἄπειρον στοιχεῖον τοῦ παντὸς ἄπειρον ἀλλ᾽ ἢ ἀὴρ ἢ ἢ ὕδωρ. ὥσπερ οὐδ᾽ εἰ συμβέβηκε τῷ ἀοράτῳ φωνῇ εἶναι ἔσται τὸ ἀόρατον στοιχεῖον τῆς διαλέκτου ἢ ἀόρατον ἀλλ᾽ ἢ φωνή. τῶν γὰρ οὐσιῶν οὐσίαν δεῖ εἶναι καὶ τὸ στοιχεῖον. καὶ ἔστιν αὕτη κρείττων ἐξήγησις· πιστοῦται δὲ τοῦτο

203 a 6. εἶναι δέ φησιν οἱ ἐτίθεντο καὶ ἔξωθεν τοῦ οὐρανοῦ τὸ ἄπειρον, δηλονότι οὐκ αἰσθητόν, εἴπερ αὐτὸς ὁ Τίμαιος λέγει μηδὲν σῶμα ἔξωθεν ὑπολειφθῆναι τοῦ κόσμου. ἐοίκασιν οὖν διττὸν λέγειν καὶ τὸν ἀριθμὸν καὶ τὸ ἐν τῷ ἀριθμῷ ἄπειρον, ὅπερ ἔλεγον εἶναι τὸ ἄρτιον, τὸ μὲν αἰσθητὸν τὸ δὲ νοητόν, ὅπερ ἔξωθεν τοῦ οὐρανοῦ ἔλεγον. ὁ μέντοι Πλάτων ἔξωθεν τοῦ οὐρανοῦ οὐδὲν ὑποτίθεται σῶμα, λέγων ἐν Τιμαίῳ σαφῶς περὶ τοῦ κόσμου (p. 32 c)... ἀρχὰς γὰρ καὶ τῶν αἰσθητῶν τὸ ἓν καὶ τὴν ἀόριστόν φασι δυάδα λέγειν τὸν Πλάτωνα, τὴν δὲ ἀόριστον δυάδα καὶ ἐν τοῖς νοητοῖς τιθεὶς ἄπειρον εἶναι ἔλεγεν, καὶ τὸ μέγα δὲ καὶ τὸ μικρὸν ἀρχὰς τιθεὶς ἄπειρα εἶναι ἔλεγεν ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις, οἷς ὁ Ἀριστοτέλης καὶ Ἡρακλείδης καὶ Ἑστιαῖος καὶ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι παραγενόμενοι ἀνεγράψαντο τὰ ῥηθέντα αἰνιγματωδῶς, ὡς ἐρρήθη, Πορφύριος δὲ διαρθροῦν αὐτὰ ἐπαγγελλόμενος τάδε περὶ αὐτῶν γέγραφεν ἐν τῷ Φιλήβῳ. id. f. 104 *b*.

203 a 10. οὗτοι (οἱ Πυθαγόρειοι) τὸ ἄπειρον τὸν ἄρτιον ἀριθμὸν ἔλεγον διὰ τὸ πᾶν μὲν ἄρτιον, ὥς φασιν οἱ ἐξηγηταί, εἰς ἴσα διαιρεῖσθαι, τὸ δὲ εἰς ἴσα διαιρούμενον ἄπειρον κατὰ τὴν διχοτομίαν· ἡ γὰρ εἰς ἴσα καὶ ἡμίση διαίρεσις ἐπ᾽ ἄπειρον· τὸ δὲ περιττὸν προστεθὲν περαίνει αὐτό· κωλύει γὰρ αὐτοῦ τὴν εἰς τὰ ἴσα διαίρεσιν. οὕτω μὲν οὖν οἱ ἐξηγηταὶ τῷ ἀρτίῳ τὸ ἄπειρον ἀνατιθέασι κατὰ τὴν εἰς τὰ ἴσα διαίρεσιν, καὶ δηλονότι οὐκ ἐπ᾽ ἀριθμῶν ἀλλ᾽ ἐπὶ μεγεθῶν λαμβάνουσι τὴν ἐπ᾽ ἄπειρον τομήν... ὅλως δὲ οὐδὲ ὁ Ἀριστοτέλης φαίνεται τὴν εἰς ἴσα διαίρεσιν αἰτιασάμενος τοῦ ἀπείρου· μήποτε οὖν ἐν πάσῃ τομῇ τὸ ἄρτιον αἴτιόν ἐστι πάσης διαιρέσεως... δυνάμει γὰρ καὶ οὐκ ἐνεργείᾳ ἔχει τὰς τομὰς τὰς ἐπ᾽ ἄπειρον. διὸ καὶ ἐναπειλῆφθαί φησι τὸ ἄρτιον, καὶ παρέχειν τοῖς οὖσι τὴν ἀπειρίαν... καὶ ἐν τῷ σωματοειδεῖ παντὶ τῶν αἰσθητῶν ἕκαστον κατὰ μὲν τὴν ὕλην καὶ τὸ ὑποκείμενον διαιρετόν ἐστι, καὶ ταύτῃ ἄρτιόν τε καὶ ἄπειρον, κατὰ δὲ τὸ εἶναι τόδε τι ὥρισταί τε καὶ ἀδιαίρετόν ἐστι καὶ ταύτῃ περιττόν. σημεῖον δὲ τοῦ τὸν περιττὸν ἀριθμὸν εἰδοποιὸν καὶ περατωτικὸν εἶναι, τὸν δὲ ἄρτιον ὑλικὸν καὶ ἀπειροειδῆ, οἱ Πυθαγόρειοι ποιοῦνται τὸ συμβαῖνον ἐπὶ τῆς τῶν ἀριθμῶν προσθέσεως· οἱ μὲν γὰρ περισσοὶ προστιθέμενοι ἐξῆς τῷ τετραγώνῳ ἀριθμῷ φυλάσσουσιν αὐτὸν τετράγωνον καὶ ἰσάκις ἴσον, ὁ δὲ ἄρτιος προστιθέμενος ἀεὶ τῷ τετραγώνῳ ἐναλλάσσει τὸ εἶδος ἑτερομήκη ποιῶν, ἄλλοτε κατ᾽ ἄλλην πλευρὰν παρηυξημένον... γνώμονες οὖν καὶ οἱ περιττοὶ ἀριθμοὶ λέγονται, ὅτι προστιθέμενοι τοῖς ἤδη οὖσι τετραγώνοις ποιοῦσιν ἀεὶ τὸ τετράγωνον... καλῶς δὲ οὕτως ἐπέβαλε τῇ ἐξηγήσει ὁ Ἀλέξανδρος, ὅτι τὸ μὲν "περιτιθεμένων τῶν γνωμόνων" τὴν κατὰ τοὺς περιττοὺς ἀριθμοὺς σχηματογραφίαν ἐνδείκνυται, τὸ δὲ "καὶ χωρίς" καὶ ἀριθμητικὴν πρόσθεσιν χωρὶς περιθέσεως σχηματικῆς γινομένην ἐπὶ τῶν ἀρτίων· καὶ γὰρ ἔθος ἐστὶ τοῖς Πυθαγορείοις σχηματογραφεῖν. id. f. 105.

203 a 14. "τὸ δὲ καὶ χωρίς:" ἐμοὶ δοκεῖ τοῦτο λέγειν, ὅτι χωρὶς περιτιθεμένων τῶν περιττῶν γνωμόνων ἐν τοῖς τετραγώνοις καὶ χωρὶς τῶν ἀρτίων γνωμόνων ἐν τοῖς ἑτερομήκεσιν, ὁτὲ μὲν ἄλλο ἀεὶ γίνεται ἤγουν ἑτερόμηκες, ὁτὲ δὲ τὸ αὐτό, ἤγουν τετράγωνον. Σιμπλίκιος δὲ οὕτω τοῦτο λέγει, ὅτι ἡ ἐν σχηματογραφίᾳ τοιαύτη περιτίθεσθαι ὁ γνώμων ἢ χωρίς, τουτέστιν ἰδίως τὸ ἓν καὶ τὰ γ΄ αὐτὰ καθ᾽ αὑτὰ καὶ χωρὶς σχηματογραφίας τετράγωνον ποιοῦσιν. ἐμοὶ δὲ οὐκ ἀρέσκει ἡ τοιαύτη ἐξήγησις. cod. Reg. 1947.

203 a 17. μήποτε τὸ "τῶν λεγομένων στοιχείων" οὐ περὶ τῶν τεσσάρων εἴρηται τῶν νῦν καθωμιλημένων, ἀλλὰ περὶ τῶν ὑπὸ τῶν φυσικῶν τεθέντων, εἴτε ὕδωρ εἴτε ἀὴρ εἴτε τι μεταξὺ τούτων, ὃ στοιχεῖον τῶν γινομένων ἐτίθεντο. καὶ ἄλλως δὲ τὸ "τῶν λεγομένων" ὁ Ἀλέξανδρος ἐξηγεῖται, ἀντὶ τοῦ λεγομένων καὶ δοκούντων μόνον στοιχείων, οὐκ ὄντων δέ, διότι ταῦτα σύνθετα καὶ ἐκ στοιχείων ἐστὶ τῆς τε ὕλης καὶ τοῦ εἴδους... καὶ Εὔδημος ἐν τῷ δευτέρῳ τῶν Φυσικῶν τὸ κατὰ πλῆθός φησιν ὁμοειδὲς ἄπειρον λέγειν οὐδὲν διαφέρει ἢ κατὰ τὸ μέγεθος ἄπειρον. πανσπερμίαν δὲ σχημάτων εἶπε τὴν τῶν Δημοκριτείων ἀτόμων, ἐπειδὴ ἀπείρους ὑπετίθετο τῶν ἀτόμων καὶ τὰς κατὰ τὸ σχῆμα διαφοράς. Simpl. f. 105 *b*.

203 a 23. δείκνυσιν ὅτι οὐ μόνον τὸ ὅλον μῖγμα ἄπειρον ἀνάγκη τῷ μεγέθει λέγειν αὐτόν (τὸν Ἀναξαγόραν), ἀλλὰ καὶ ἑκάστην ὁμοιομέρειαν ὁμοίως τῷ ὅλῳ πάντα ἔχουσαν ἐνυπάρχοντα, καὶ οὐδὲ ἄπειρα μόνον ἀλλὰ καὶ ἀπειράκις ἄπειρα... εἰκότως δὲ καὶ τῶν αἰσθητῶν ἕκαστον κοινωνεῖ πᾶσι καὶ μετέχει πάντων· ξύρροια γὰρ μία, σύμπνοια μία, πάντα συμπαθέα, ὡς Ἱπποκράτης φησί, διὰ τὴν ἀρχέγονον ἐν τοῖς νοητοῖς αὐτῶν προϋπάρχουσαν ἕνωσιν. id. f. 106.

203 a 33. λαμβάνει οὖν ὅτι πᾶν τὸ γινόμενον ἐκ τοῦ ὁμοίου γίνεται· τοῦτο γάρ ἐστι τὸ "ἐκ τοῦ τοιούτου."... μίαν μέντοι κοινὴν φύσιν ὑποτίθησιν (ὁ Δημόκριτος) σώματος τοῖς σχήμασι πᾶσι, τούτου δὲ μόρια εἶναι τὰς ἀτόμους μεγέθει καὶ σχήματι διαφερούσας ἀλλήλων. οὐ μόνον γὰρ ἄλλο καὶ ἄλλο σχῆμα ἔχουσιν, ἀλλ᾽ εἰσὶν αὐτῶν αἱ μὲν μείζους αἱ δὲ ἐλάττους. Philop. *k* p. 14.

203 a 34. (ὁ Δημόκριτος) τὸ κοινὸν σῶμα τὸ τῶν ἀτόμων ἓν πάντως ἔλεγε, τὴν διαφορὰν αὐτῶν κατὰ μέγεθος καὶ σχῆμα τιθείς, ἀλλ᾽ οὐ κατὰ τὸ ὑποκείμενον σῶμα. Simpl. f. 106 *b*.

203 b 7. τοῦτον τὸν λόγον οἴονται παραλογισμὸν εἶναι, νομίσαντες τὸν Ἀριστοτέλη λέγειν ὡς εἰ ἔχει ἀρχὴν τὸ ἄπειρον, ἡ δὲ ἀρχὴ ἡ κατὰ μέγεθος καὶ πέρας ἐστίν, ἔχει ἂν καὶ πέρας, ὥστε οὐκ ἄπειρον ἀλλὰ πεπερασμένον ἔσται. καὶ γίνεσθαί φασι τὴν παραγωγὴν παρὰ τὴν τῆς ἀρχῆς ὁμωνυμίαν... ἐκεῖνα οὖν μᾶλλον καλῶς ὑπὸ τοῦ Ἀλεξάνδρου λέγεται, ὅτι καθ᾽ οἱονδήποτε τρόπον ἀρχῆς ἂν ὑποτεθῇ ἐξ ἀρχῆς γενόμενον τὸ ἄπειρον, πάντως πέρας ἔχει τὸ κατὰ τὸ μέγεθος, ὥστε μὴ ἄπειρον εἶναι. id. ib. cf. Philop. *k* p. 16.

203 b 8. εἴτε γὰρ γέγονε ποτέ, ἀρχὴν ἔσχεν τὴν κατὰ μέγεθος· οὐ γὰρ δὴ ἀθρόον ἐφάνη καθάπερ τὰ ἀλλοιούμενα. εἴτε φθαρήσεται ποτέ, πέρας ἕξει τι κατὰ μέγεθος, εἰς ὃ ἡ φθορὰ ἀπολήξει. Themist. f. 32 *b*.

203 b 11. τοιοῦτον Ἀναξίμανδρος τὸ μεταξὺ πυρὸς καὶ ἀέρος ἄπειρον ἀρχὴν ἐτίθει. καὶ οὐδὲν ἄτοπον, εἰ θεῖον ἐκάλει, μᾶλλον δὲ ἀναγκαῖον· ἐκ τούτου γὰρ ἐδείκνυτο τὸν θεὸν ὑπὲρ αὐτὸ εἶναι· θεῖον γὰρ τὸ τοῦ θεοῦ μετέχον ἐστίν. ὁ δὲ λόγος τοῖς τοιούτοις περὶ τῶν φυσικῶν ἀρχῶν ἐγίνετο, ὥσπερ καὶ τῷ Ἀριστοτέλει ἐν ταύτῃ τῇ πραγματείᾳ, ἀλλ᾽ οὐχὶ περὶ τῶν ὑπὲρ φύσιν. εἰ δὲ καὶ περιέχειν ἔλεγον καὶ

τῆς γραφῆς ἐχούσης οὕτως "ἢ γὰρ ἄμφω ἐν τῷ πάσχοντι καὶ κινουμένῳ, ἢ ἐν τῷ ποιοῦντι καὶ διατιθέντι, ἢ ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι." περιττὴ δὲ ἡ προσθήκη, εἴπερ μηδὲ ἀντιλέγει πρὸς ἐκείνην τὴν θέσιν ὁ Ἀριστοτέλης... ὁ μέντοι πιθανὸς Θεμίστιος τὸ "εἰ δὲ δεῖ καὶ ταύτην ποίησιν καλεῖν, ὁμώνυμος ἂν εἴη" πρὸς ἔνδειξιν τούτου τοῦ τμήματος εἰρῆσθαι νομίζει, ὡς εἰ μετὰ τὸ εἰπεῖν "ἢ ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι" ἐπῆγεν ἀνάπαλιν γὰρ οὐκ ἐνδέχεται, οἷον τὴν ποίησιν ἐν τῷ πάσχοντι εἶναι, εἰ μή τις τὴν τοῦ πάσχοντος ἐνέργειαν ὁμωνύμως ποίησιν ὀνομάζειν ἐθέλοι. καίτοι εἰ τούτου ἕνεκεν εἴρητο, ἀνάγκη ἦν καὶ τὴν πάθησιν ἐν τῷ ποιοῦντι ὁμωνύμως λέγεσθαι, ὅπερ οὐκ εἴρηται ἐπιπόλαιον ὄν. Simpl. f. 101.

202a 28. πρὸς τὸ προσεχῶς ἐπαχθὲν τμῆμα τὸ λέγον "ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι" πρῶτον ὑπαντᾷ... τοῦτο δὲ δείξας ἄτοπον μεταβέβηκεν ἐπὶ τὸ ἕτερον τμῆμα τῆς διαιρέσεως τὸ πρῶτον ῥηθέν, καὶ τὰ ἄτοπα λοιπὸν ἐπάγει τοῖς ὑποτιθεμένοις ἄμφω ἐν τῷ κινουμένῳ καὶ πάσχοντι, τήν τε ποίησιν καὶ τὴν πάθησιν, καὶ τὴν δίδαξιν καὶ τὴν μάθησιν... δυνατὸν δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ ἄλλως ἀναγινώσκειν, ὀξύνοντας ἀλλὰ μὴ βαρύνοντας τὸ "τινές" (v. 35)· εἰ γὰρ δύο αἱ κινήσεις ἅμα, δύο τινὲς ἔσονται καὶ ἐναντίαι ἀλλοιώσεις τοῦ ἑνὸς καὶ εἰς ἓν εἶδος, ἅπερ ἀδύνατα. δυνατὸν δέ, φησί, καὶ ὑπερβιβάσαντας σαφεστέραν τὴν λέξιν ποιῆσαι οὕτως "εἶτα ἄτοπον τὸ δύο κινήσεις ἅμα κινεῖσθαι καὶ εἰς ἓν εἶδος," καὶ οὐ μόνον ἄτοπον ἀλλὰ καὶ ἀδύνατον τοῦτο· εἶτα ἐπὶ τούτοις τὸ "τίνες γὰρ ἔσονται ἀλλοιώσεις τοῦ ἑνός·" διὰ τοῦτο γὰρ ἀδύνατα, ὅτι οὐχ οἷόν τε λαβεῖν τίνες ἔσονται ἀλλοιώσεις τοῦ ἑνός. καὶ ἄλλως δὲ ἑκατέρῳ τῶν ἀτόπων ἴδιόν τι δηλωτικὸν ἐπήνεγκε, φησὶν ὁ Ἀλέξανδρος, τοῦ ἀτόπου· ἔστι δὲ τὰ ἄτοπα τό τε δύο κινήσεις ἅμα κινεῖσθαι καὶ τὸ τὰ δύο εἰς ἓν εἶδος εἶναι... μήποτε δὲ ὁ Ἀριστοτέλης ἀρκεῖν οἰόμενος πρὸς ἐσχάτην ἀτοπίαν τὸ δύο εἶναι τὰς κινήσεις ἑνὸς εἴδους, τοῦ ἐναντίας εἶναι οὐκ ἐμνημόνευσε. διὸ δύο τὰ ἄτοπα ἐπήγαγε, τό τε δύο ὅλως εἶναι ἑνὸς εἴδους καὶ τὸ δύο οὔσας διαφόρους εἰς ἓν φέρεσθαι, κἂν μὴ ὦσιν ἐναντίαι. ἐπιτείνει δὲ τὸ ἄτοπον ἡ ἐναντίωσις. id. f. 101 b.

202b 5. τὰς ἀπορίας οὐ πάσας ἐντεῦθεν ἄρχεται λύειν, ἀλλ' ὅσαι πρὸς ἀληθῆ δόξαν ἐνίστανται τὴν λέγουσαν μίαν μὲν εἶναι τῷ ὑποκειμένῳ τὴν κίνησιν, δύο δὲ κατὰ τὸν λόγον. διὸ τὰς μὲν πρὸς τὸ μίαν εἶναι τὴν κίνησιν ἀπορίας, ἃς ὕστερον τέθεικε, πάσας διαλύει, τὰς δὲ πρὸς τὸ δύο εἶναι τὰς κινήσεις οὐ πάσας, ἀλλ' ὅσαι δύνανται καὶ πρὸς τὴν μίαν καὶ ἐν τῷ κινουμένῳ οὖσαν ὑπαντᾶν. καὶ τοῦτο εἰκότως... διὰ τοῦτο ὅταν μὲν κατὰ ἀποτομὴν αὐτὴν ὁρῶμεν (τὴν κίνησιν), ἐν τῷ κινουμένῳ θεωροῦντες αὐτήν, ἐπειδὴ ἐν ἐκείνῳ ὑφέστηκεν, ἐντελέχειαν λέγομεν τοῦ κινητοῦ, ᾗ κινητόν· ὅταν δὲ κατὰ συμπλοκὴν ἀπὸ τοῦ κινοῦντος ἀρξάμενοι, λέγομεν ἐνέργειαν τοῦ κινητικοῦ ἐν τῷ κινουμένῳ, ὡς ὁρίζεται ἐπὶ τέλει τοῦ περὶ κινήσεως λόγου. φερομένης δὲ καὶ τοιαύτης γραφῆς "ἔστι μέντοι καὶ οὐκ ἀποτετμημένως, ἀλλὰ τοῦδε ἐν τῷδε," ὁ Ἀλέξανδρος οὐχ ἁπλῶς φησὶ καὶ ἀποτετμημένως ἔν τινι, ἀλλ' ἐν ὡρισμένῳ τινί, καὶ τοῦτο πρὸς ὃ λέγεται· λέγεται δὲ πρὸς τὸ μαθηματικόν. καὶ θαυμαστὸν ἔμοιγε δοκεῖ πῶς τὸ "οὐκ ἀποτετμημένως" ἀντὶ τοῦ οὐκ ἀορίστως ἤκουσε, καίτοι πρότερον καλῶς τὸ "ἔν τινι μέντοι καὶ οὐκ ἀποτετμημένη" ἐξηγήσατο, δηλῶν ὅτι οὐ κεχωρισμένη τοῦ μανθάνοντος, οὔτε ὡς ἐν τῷ διδάσκοντι μόνῳ οὖσα οὔτε ὡς καθ' αὑτήν. καὶ ἐπὶ ταύτης γὰρ τῆς γραφῆς τὸ αὐτὸ ἂν σημαίνει τὸ ἐπίρρημα. id. f. 102.

202b 16. δύναται δέ, φησὶν ὁ Ἀλέξανδρος, τὸ "οὐ μὴν ἀλλ' οὐδ' εἰ ἡ δίδαξις τῇ μαθήσει ταὐτὸν" καὶ τὰ ἑξῆς ὡς ἐκ περιουσίας εἰρῆσθαι, ὡς εἰ ἔλεγε, καὶ εἰ δοθείη ἡ δίδαξις τῇ μαθήσει ταὐτὸν εἶναι, οὐκ ἀνάγκη καὶ τὸ μανθάνειν τῷ διδάσκειν ταὐτὸν εἶναι· οὐ γὰρ ἐπεὶ ἡ διάστασις μία τῶν διεστηκότων, ἤδη καὶ τὸ διίστασθαι ἐνθένδε ἐκεῖσε ἢ ἐκεῖθεν ἐνθάδε ἓν καὶ ταὐτόν ἐστιν. εἶτα ἐπὶ τὸ πρῶτον ἀκόλουθον ἀναδραμών, ἀφ' οὗ πάντα ἤρτητο, διελέγχει καὶ τοῦτο. ἦν δὲ ἐκεῖνο, εἰ μία ἡ ἀμφοῖν ἐνέργεια, ἡ δίδαξις τῇ μαθήσει ταὐτόν... καὶ ἔοικε "τὸ γὰρ τοῦδε ἐν τῷδε καὶ τὸ τόδε ὑπὸ τοῦδε" ἐπὶ τῆς κινήσεως ἀκούειν. ἐγὼ μέντοι ἐπὶ τῆς ποιήσεως καὶ τῆς παθήσεως εἰρῆσθαι νομίζω καὶ τοῦτο καὶ τὸ "ἕτερον τῷ λόγῳ." id. f. 103.

202b 24. εἴδη λέγει οὐχ ὡς ἀπὸ γένους τῆς κινήσεως διαιρεθείσης (οὐ γὰρ γένος ἡ κίνησις), ἀλλ' ὡς διαφόρους ἰδιότητας. ἐφ' ἑνὸς δὲ καὶ τῶν κατὰ μέρος εἰδῶν τῆς ἀλλοιώσεως ὑποδείξας ὅπως χρὴ τὸν καθόλου λόγον ἐφαρμόττειν τοῖς κατὰ μέρος εἴδεσιν, ἄλλον τρίτον ὁρισμὸν τῆς κινήσεως προστίθησιν, ὃν καὶ γνωριμώτερόν φησιν ὡς συμπλέκοντα τῷ παθητικῷ τὸ ποιητικόν... ἡ δὲ φύσις καὶ προδιατιθεμένη διατίθησι τὸ ὑποκείμενον ἔνδοθεν καθ' ἕκαστον κινήσεως εἶδος, ὡς καὶ ὁ Ἀνδρόνικος ἔλεγε... ὁ μέντοι Ἀλέξανδρος τὴν γνωριμωτέραν ἀπόδοσιν μετάληψιν οἴεται τοῦ τῆς ἀλλοιώσεως λόγου, ἀπιθάνους οἶμαι λέγων ἀπολογισμούς. φαίνεται δὲ καὶ ὡς τρίτον ὅρον τῆς κινήσεως ἀποδεχόμενος, κἂν ὡς ἀπὸ παραγραφῆς ἡ λέξις προστεθεῖσα συγκεχύσθαι ἐν τῷ βιβλίῳ δοκῇ. τὴν δὲ οἰκοδόμησιν καὶ τὴν ἰάτρευσιν ὡς ἀλλοιώσεις παραγαγὼν ἐπήγαγεν ὅτι τὸν αὐτὸν λεχθήσεται τρόπον καὶ περὶ τῶν ἄλλων κινήσεων. καλῶς γὰρ ὁ Ἀλέξανδρος ἐπισημαίνεται ὅτι πᾶσαι σχεδὸν αἱ τεχνικαὶ κινήσεις κατ' ἀλλοίωσίν εἰσι μάλιστα. id. f. 103 b.

202b 30. περὶ τῶν κοινῶς πᾶσι τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων οὔσης τῆς πραγματείας, ἐπειδὴ τὰ φυσικὰ σώματά ἐστι καὶ μεγέθη κινούμενα ἐν χρόνῳ, ἀνάγκη δέ ἐστι καὶ τὸ σῶμα καὶ τὴν κίνησιν καὶ τὸν χρόνον μεγέθη ὄντα ἢ πεπερασμένα ἢ ἄπειρα εἶναι, ἔστι δὲ καὶ συνεχῆ τὰ εἰρημένα, ἐν δὲ τῷ συνεχεῖ τὸ ἄπειρόν ἐστι, διότι συνεχές ἐστι τὸ ἐπ' ἄπειρον διαιρετόν, εἰκότως ὁ περὶ τὴν φύσιν πραγματευόμενος καὶ περὶ ἀπείρου τί διαλέξεται... τὸ "ἴσως" προσέθηκε τῷ μηδὲν τούτων ἀναγκαίως ἐν θατέρῳ εἶναι, ἢ τῇ ἀπειρίᾳ ἢ τῷ πέρατι, διότι τὰ πάθη, οἷον τὸ λευκὸν καὶ τὸ θερμόν, καὶ αὐτὰ καθ' αὑτὰ οὔτε ἄπειρα οὔτε πεπερασμένα· οὐδὲ γὰρ ποσὰ ταῦτα καθ' αὑτά ἐστι (κατὰ ποσῶν γὰρ τὸ ἄπειρον λέγεται καὶ τὸ πεπερασμένον), κατὰ συμβεβηκὸς μέντοι καὶ αὐτὰ γίνεται ποσά, καθόσον ποσὰ τὰ ὑποκείμενα αὐτοῖς ἐστίν. ὁ δὲ φυσικὸς καὶ περὶ τὰ πάθη ἔχει, καθόσον πάθη ἐστὶ τῶν σωμάτων· διὸ τῆς περὶ Οὐρανοῦ ἀρχόμενος... id. f. 104.

στιν αὐτὴν ἔνιοι ἑτερότητα." ἐν πολλοῖς δὲ οὐδὲ φέρεσθαι λέγει ταύτην τὴν λέξιν, καὶ διὰ τοῦτο μηδὲ ὑπεμνηματίσθαι. καὶ αὐτὸς δέ, ὡς ἐμοὶ δοκεῖ, συγκεχυμένως αὐτῆς τὸν ὑπομνηματισμὸν ἐποιήσατο. πολλὰ δὲ ἀντεῖπεν ὡς ἑτερότητος παρὰ τῷ Πλάτωνι λεγομένης τῆς κινήσεως, ὧν τὰ κυριώτερα ταῦτα νομίζω... νῦν δὲ τοσοῦτον ἱστέον, ὅτι καὶ Εὔδημος πρὸ τοῦ Ἀλεξάνδρου ἱστορῶν τὴν Πλάτωνος περὶ κινήσεως δόξαν καὶ ἀντιλέγων αὐτῇ, τάδε γράφει· "Πλάτων δὲ τὸ μέγα καὶ μικρὸν καὶ τὸ μὴ ὂν καὶ τὸ ἀνώμαλον, καὶ ὅσα τούτοις ἐπὶ ταὐτὸ φέρει, τὴν κίνησιν λέγει. φαίνεται δὲ ἄτοπον αὐτὸ τοῦτο τὴν κίνησιν λέγειν· παρούσης γὰρ κινήσεως δοκεῖ κινεῖσθαι τὸ ἐν ᾧ, ἀνίσου δὲ ὄντος ἢ ἀνωμάλου προσαναγκάζειν ὅτι κινεῖται, γελοῖον. βέλτιον δὲ αἴτια λέγειν ταῦτα, ὥσπερ Ἀρχύτας." καὶ μετ᾽ ὀλίγον "τὸ δ᾽ ἀόριστον" φησὶ "καλῶς ἐπὶ τὴν κίνησιν οἱ Πυθαγόρειοι καὶ ὁ Πλάτων ἐπιφέρουσιν." id. f. 98.

201 b 20. ὁ μὲν γὰρ Πλάτων ὑπεροχὴν καὶ ἔλλειψιν ἔλεγε τὰ τῆς κινήσεως αἴτια, ἀνισότητα λέγων καὶ ἀνομοιότητα καὶ ἑτερότητα τοῦ κινοῦντος πρὸς τὸ κινούμενον. ὁ δὲ Ἀριστοτέλης οὐκ ἐν τούτῳ τῷ εἴδει τὴν διαφορὰν ἔλεγε τοῦ κινοῦντος πρὸς τὸ κινούμενον, ἀλλ᾽ ἐν τῷ ποιητικῷ καὶ παθητικῷ καὶ ὅλως κινητικῷ καὶ κινητῷ. cod. Reg. 1947.

201 b 26. ζητοῦσιν ἐνταῦθα οἱ ἐξηγηταί, πῶς φησὶν ὁ Ἀριστοτέλης τὴν στέρησιν ἀόριστον εἶναι διὰ τὸ ὑπὸ μηδεμίαν τῶν κατηγοριῶν ἀνάγεσθαι; καίτοι τῶν ἐναντίων τὰ αὐτά εἰσι γένη. καὶ φασὶν ὅτι ἡ μὲν ἑκάστου στέρησις τῷ ὄντι ἡ προσεχῶς ἀντικειμένη αὐτῷ, ἐξ ἧς καὶ εἰς τὴν ἕξιν γίνεται μεταβολή, ὑπὸ τὸ αὐτὸ γένος ἀνάγεται ὑφ᾽ ὃ καὶ ἡ ἕξις. Philop. *k* p. 2.

202 a 3. βούλεται νῦν ἅμα μὲν τεκμήρια παραθέσθαι ἐναργῆ τῶν ἐν τῷ κινεῖν ἀντικινουμένων, ἅμα δέ, ὥς φησιν Ἀλέξανδρος, καὶ χωρίσαι τὸ θεῖον σῶμα τοῦ ἀντικινεῖσθαι καὶ ἀντιπάσχειν... ἱστέον δὲ ὅτι ὁ μὲν Ἀσπάσιος οὕτω γράφει τὴν λέξιν "κινεῖται δὲ καὶ τὸ κινοῦν, ὥσπερ εἴρηται, πᾶν τὸ δυνάμει ὂν κινητικόν." καὶ συνᾴδει τούτῳ τὸ μετ᾽ ὀλίγον ἐπαγόμενον οὕτως "τὸ γὰρ πρὸς τοῦτο ἐνεργεῖν, ᾗ τοιοῦτο, αὐτὸ τὸ κινεῖν ἐστίν· τοῦτο δὲ ποιεῖ θίξει, ὥστε ἅμα καὶ πάσχει." δυνάμει γὰρ ὂν κινητικὸν καὶ θίξει κινοῦν ὅταν κινῇ, καὶ ἀντικινεῖται· τοιαῦτα γὰρ τὰ ἐν γενέσει καὶ φθορᾷ. ὁ δὲ Ἀλέξανδρος οἶδε μὲν καὶ ταύτην τὴν γραφήν, καὶ ἐξηγεῖται προσφόρως ταύτην ὡς ὑφ᾽ ἑτέρων νομιζομένην, πρώτην δὲ τίθησι τὴν ἑτέραν τὴν λέγουσαν "κινεῖται δὲ τὸ κινούμενον, ὥσπερ εἴρηται, πᾶν τὸ δυνάμει ὂν κινητόν." καὶ σαφεστέρα ἐστὶν αὕτη, διορίζουσα ποῖα τῶν κινούντων ἀντικινεῖται, ὅτι οὐ πάντα... καὶ δοκεῖ, φησὶν ὁ Ἀλέξανδρος, σαφέστερον νῦν λέγειν τί ποτέ ἐστιν ἡ κίνησις, ἤπερ ὅτε ἔλεγεν αὐτὴν ἐντελέχειαν τοῦ δυνατοῦ ᾗ δυνατόν... ὁ δὲ Θεμίστιος καὶ ἐνταῦθα ἀξιοῖ μὴ εἶναι κίνησιν κατὰ τὰ πρός τι, διότι ἡ κατὰ τὰ πρός τι ἐνέργεια οὐ διασώζει τὸ δυνάμει... τινὲς δὲ αἰτιῶνται τὸν ὅρον τῆς κινήσεως, διότι τῷ κινητῷ ὁμοίως ὄντι, ὥς φασιν, ἀδήλῳ τῇ κινήσει καὶ γνωριζομένῳ διὰ τῆς κινήσεως, προσκέχρηται. ἀπολογεῖται δὲ ὁ Ἀλέξανδρος λέγων. Simpl. f. 99 *b*.

ἆρα οὖν ἔχει καλῶς ὁ τῆς κινήσεως ὁρισμός, καὶ πᾶσα ἡ τοῦ δυνατοῦ, καθὸ δυνατόν, ἐντελέχεια κίνησίς ἐστιν, ἤ τι προσδιοριστέον; φαίη γὰρ ἄν τις ὅτι τὸ δυνάμει δεξιόν, ὅταν γένηται ἐνεργείᾳ, μεταστάντος ἐμοῦ φέρε πρὸς τὰ εὐώνυμα, μεταβάλλει μὲν εἰς ἐντελέχειαν ἐκ τοῦ δυνάμει, οὐ κινεῖται δέ. λέγεται μὲν οὖν καὶ τοῦτο καλῶς πρὸς τοὺς ἀποροῦντας, ὅτι τὸ δυνάμει εὐώνυμον ἐκινήθη, μία δὲ ἡ δύναμις τῶν πρός τι· αὕτη γὰρ ἡ σχέσις ἡ δύναμίς ἐστιν ἡ ἐνέργεια, ἐν ᾗ καὶ τὸ δεξιὸν καὶ τὸ εὐώνυμον πρὸς ἄλληλα ἔστι τε καὶ λέγεται, ὥστε εἰ τὸ ἕτερον ἐκινήθη, πάντως που καὶ τὸ ἕτερον. ἐγὼ δέ φημι τὴν κατὰ τὸ πρός τι ἐνέργειαν μὴ διασώζειν τὸ δυνάμει, ἀλλὰ ἀθρόαν γίνεσθαι μεταβολὴν ἐκ τοῦ δυνάμει εἰς ἐντελέχειαν. Themist. f. 31.

202 a 9. δείξας ὅτι τὸ κινούμενον, ἕως ἂν κινῆται, φυλάττει τὸ ἀτελὲς καὶ τὸ δυνάμει, εἰκότως ἐπισημαίνεται περὶ τοῦ κινοῦντος, ὅτι τοῦτο τέλειον εἶναι χρὴ καὶ εἶδος ἔχειν... ἡ γοῦν ψυχὴ κινεῖ μὲν τὸ σῶμα τοπικὴν κίνησιν, οὐ μὴν ἐν τόπῳ οὖσα. καὶ ἴσως διὰ τοῦτο ὁ Ἀριστοτέλης ἀσφαλέστερον ποιῶν οὐκ εἶπεν ὅτι εἶδος οἴσεται τὸ κινοῦν οἷον καὶ τὸ κινούμενον, ἀλλ᾽ ὅτι τόδε ἢ τοιόνδε ἢ τοσόνδε. Simpl. f. 100 *b*.

202 a 13. μετὰ τὸ ἀποδοῦναι τὸν τῆς κινήσεως ὁρισμὸν καὶ τὴν προσήκουσαν αὐτῷ διάρθρωσιν ποιήσασθαι, μεταβαίνει λοιπὸν ἐπὶ τὸ δεύτερον τῶν περὶ κινήσεως προβλημάτων, ζητῶν καὶ διακαθαίρων ἐν τίνι ἐστὶν ἡ κίνησις, πότερον ἐν τῷ κινοῦντι ἢ ἐν τῷ κινουμένῳ, ἢ ἀπὸ τοῦ κινοῦντος ἐν τῷ κινουμένῳ, ὡς ἔχει καὶ ἡ τῶν πρός τι σχέσις. διὰ τοῦτο καὶ τὴν τοῦ πρός τι σχέσιν διέλαβεν... ὑπεναντιοῦσθαι δέ φησιν Εὔδημος τοῖς λέγουσιν ἐν τῷ πάσχοντι καὶ κινουμένῳ εἶναι τὴν κίνησιν τὸ περὶ τὰς αἰσθήσεις· λέγομεν γὰρ ὁρᾷ ὁρᾶται ὅρασις, ἀκούει ἀκούεται ἄκουσις· δοκεῖ οὖν ἡ ὅρασις ἐν τῷ ὁρῶντι εἶναι καὶ ἡ ἄκουσις ἐν τῷ ἀκούοντι. ὁμοίως καὶ αἱ γεύσεις καὶ αἱ λοιπαί. ταῦτα δὲ καὶ ἐν τῇ τοῦ ποιοῦντος καὶ κινοῦντος εἶναι δοκεῖ συστοιχίᾳ. ἀπατώμεθα δέ, φησί, τῇ λέξει ἐπακολουθοῦντες καὶ μὴ ἐννοοῦντες ὅτι τὸ αἰσθανόμενον πάσχει... ἱστέον δὲ ὅτι ἐν τούτῳ τῷ χωρίῳ οἱ μὲν πολλοὶ σαφέστερον οὕτω γράφουσι ταύτην τὴν λέξιν "ἐντελέχεια γάρ ἐστι τούτου ὑπὸ τοῦ κινητικοῦ," ὁ δὲ Ἀνδρόνικος οὕτως "ἐντελέχεια γάρ ἐστι τοῦ κινητοῦ καὶ ὑπὸ τούτου." καὶ ἐξηγεῖται ὅτι κἂν ἔξωθεν ᾖ τὸ κινοῦν, ἐκ τῆς ἐνούσης δυνάμεως εἰς ἐνέργειαν ἀγόμενον, ὑφ᾽ ἑαυτοῦ κινεῖσθαι δοκεῖ τὸ κινούμενον. id. ib.

202 a 21. λογικὴν καλεῖ (τὴν ἀπορίαν) ἢ ὡς προϊοῦσαν ἐξ ἐνδόξων, ἢ ὡς ἐν λόγῳ μόνῳ τὸ πιθανὸν ἔχουσαν καὶ οὐκ ἀπὸ τῶν πραγμάτων βεβαιουμένην· οὕτω γὰρ λόγοι λέγονται οἱ τοῦ Ζήνωνος οἱ πιθανῶς τὴν κίνησιν ἀναιροῦντες. ἢ λογικὴν λέγει τὴν κοινοτέραν καὶ οὐ προσεχῆ οὐδὲ ἰδίαν τοῦ προκειμένου, οὐδὲ ἐξ οἰκείων ἀρχῶν· ἡ μὲν γὰρ ἐκ τῶν οἰκείων ἐπιχείρησις οὐ λογική, ὡς ἡ τὴν ψυχὴν ἀθάνατον δεικνῦσα ἐκ τοῦ αὐτοκινήτου (ἀπὸ γὰρ τῆς οὐσίας τῆς ψυχῆς βούλεται προϊέναι, ὥς φησιν Ἀλέξανδρος), ἡ δὲ ἐκ τοῦ τὰ ἐναντία ἐκ τῶν ἐναντίων γίνεσθαι τὸ ἀθάνατον δεικνῦσα λογική. id. f. 101.

λογικὴν ἀντὶ τοῦ ἀξίαν τινὸς λόγου, οἱονεὶ πιθανὴν καὶ ἀξίαν οὖσαν λόγου τυχεῖν καὶ ἐπιλύσεως. Philop. *k* p. 6.

202 a 26. τὸ τρίτον τμῆμα τῆς διαιρέσεως, τὸ λέγον ἢ ἄμφω ἐν τῷ κινοῦντι, παραλέλοιπε καὶ ὡς ἐναργῶς ἄτοπον... ὡς ἐν τοῖς πλείοσι γέγραπται τῶν ἀντιγράφων. ἐν τισὶ δὲ καὶ τοῦτο πρόσκειται,

διαφορὰν τῆς κινήσεως. τὸ γὰρ "αὐτὸ ἢ ἄλλο" προσκείμενον δηλωτικόν ἐστι τοῦ τινὰ μὲν κίνησιν ἐξ ἑαυτοῦ ἐνέργειαν εἶναι κατὰ τὸ δυνάμει, ὡς τὴν αὔξησιν καὶ μείωσιν ἔνδοθεν οὖσαν, καὶ τὴν κατὰ τόπον φυσικὴν φοράν, καὶ τὴν καθ' ὁρμὴν τῶν ζῴων μετάβασιν, ὑπ' ἄλλου δέ, ὡς τὰ βίᾳ κινούμενα καὶ τὰ κατὰ τέχνην πάντα γινόμενα. καὶ ἔστι τὸ μὲν ἐνεργεῖν τὸ δὲ ἐνεργεῖσθαι, κοινὸν δὲ ἐπ' ἀμφοῖν ἡ ἐνέργεια ἡ κατὰ τὸ δυνάμει, ἥτις οὐδὲν ἧττον πάθος ἐστὶν ἢ ἐνέργεια. ἐπιστῆσαι δὲ ἄξιον, μήποτε ἡ βίαιος καὶ ἡ κατὰ τέχνην οὐκ ἔστι φυσικὴ κίνησις, νῦν δὲ περὶ τῆς φυσικῆς ἐστὶν ὁ λόγος, ἧς ἡ ἀρχὴ ἡ φύσις... καὶ ἴσως ἀσφαλεστέρα ἐστὶν ἡ τοῦ Ἀσπασίου γραφή. εἰ δὲ ἔχει τινὰ λόγον καὶ ἡ κατὰ τὸν Ἀλέξανδρον προσθήκη, τὸ ἐξ ἑαυτοῦ οὐχ ὡς ἐφ' ἑνὸς ἀκουστέον, ἀλλ' ὡς ἔνδον ἔχοντος τὸ κινοῦν αἴτιον, εἰ καὶ ἄλλο παρὰ τὸ κινούμενόν ἐστιν, ὡς ἡ ψυχὴ καὶ ἡ φύσις. καὶ ἀντιδιαιρεῖται τοῦτο τῷ ἐξ ἄλλου καὶ ἔξωθεν ἐναργῶς, ὡς ἐπὶ τῶν βίᾳ καὶ τῶν τεχνικῶς κινουμένων ὁρᾶται. μήποτε δὲ καὶ τὸ "ἐξ ἄλλου" οἰκειότερόν ἐστιν ἐπὶ τῶν ἔξωθεν μὲν ἀλλὰ φυσικῶς κινουμένων, οἷον ὅταν ἐξ ὕδατος πυρουμένου ἀὴρ γίνηται καὶ πῦρ, καὶ ἐπὶ τῶν ἀλλοιουμένων. οὐκ οἶδα μέντοι διὰ τί οἴεται ὁ Ἀλέξανδρος ταύτῃ μᾶλλον τῇ γραφῇ συνᾴδειν τὰ ἐφεξῆς λεγόμενα ἢ τῇ ἑτέρᾳ· οὐδαμοῦ γὰρ οἶμαι τὸ ἐξ αὑτοῦ ἐν τοῖς παραδείγμασιν διαφαίνεσθαι τεχνικοῖς οὖσιν, εἰ καὶ ἡ ὑγεία καὶ ἡ νόσος ἔχει τι φυσικόν. id. f. 96.

τὸν ὁρισμὸν τῆς κινήσεως ἀναλαμβάνει. διττὴ δὲ φέρεται ἡ γραφή, μία μὲν αὕτη "ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ, οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ ἄλλο, κίνησίς ἐστι," τουτέστιν ἡ δὲ ἐνέργεια τοῦ δυνάμει ὄντος, ὅταν τοῦτο τὸ δυνάμει ἐντελεχείᾳ ἄλλο τι ὑπάρχον ἐνεργῇ, οὐχ ᾗ ἐστὶν ἐντελεχείᾳ ἀλλ' ᾗ δυνάμει, τοῦτό ἐστιν ἡ κίνησις. γράφει δὲ καὶ ἑτέραν γραφὴν ὁ Ἀλέξανδρος φερομένην ἐν τοῖς παλαιοτέροις τῶν ἀντιγράφων, "ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ αὐτὸ ἢ ἄλλο ᾗ κινητόν, κίνησίς ἐστιν." ὑπερβατῶς δὲ ἀναγνωστέον· ἡ δὲ τοῦ δυνάμει ὄντος ἐνέργεια, ὅταν ἄλλο τι ὂν ἐντελεχείᾳ ἐνεργῇ, ᾗ κινητόν ἐστι, τοῦτό ἐστι κίνησις. Philop. *i* p. 14.

201 a 32. τὸ μὲν "εἰ ταὐτὸν ἦν ἁπλῶς" εἶπεν ἀντὶ τοῦ παντοίως, ὥστε μὴ μόνον τῷ ὑποκειμένῳ ἓν εἶναι, ἀλλὰ καὶ τῷ λόγῳ. Simpl. f. 96 *b*.

201 b 3. νῦν οὖν τοῦτο προὔκειτο ζητεῖν, ἐν τίνι τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν πρώτως, ὥσπερ ἐζήτουν τινές, ἆρα ἐν ὑγρότητι καὶ ἐν χυμοῖς ἁπλῶς, ἢ ἐν αἵματι ὡς καὶ τοὺς ἄλλους ἔχοντι χυμούς, ἢ ἐν πνεύματι, ὡς οἱ πολλοὶ τῶν παλαιῶν ἰατρῶν, ἢ ἐν τοῖς στερεοῖς, ἢ ἐν τῇ συμμετρίᾳ τῶν πρώτων ποιοτήτων· πολλαὶ γὰρ περὶ τούτου γεγόνασι δόξαι, τῶν μὲν τοῖς προσεχεστέροις ὡς πρώτοις προσβαλλόντων, τῶν δὲ τοῖς μέσοις, τῶν δὲ καὶ μέχρι τῶν κυρίως πρώτων ἀναβεβηκότων, οἷον Ἱπποκράτης καὶ οἱ ἀπ' αὐτοῦ εἰς τὰς πρώτας ποιότητας τῶν πρώτων στοιχείων ἀναδραμόντες... ὅτι δὲ οὐ ταὐτόν ἐστι τῷ λόγῳ τό τε δυνάμει καὶ τὸ δυνάμενον, κἂν τῷ ὑποκειμένῳ ταὐτὸν ᾖ, δείκνυσι καὶ διὰ παραδείγματος τοῦ χρώματος καὶ τοῦ ὁρατοῦ... ὁμοίως δὲ ἁμαρτάνουσι καὶ οἱ τὴν φωνὴν τὸ ἴδιον αἰσθητὸν ἀκοῆς ὁριζόμενοι· ἀκουστοῦ γὰρ οὗτος ὁ ὁρισμός, ὃ συμβέβηκε τῇ φωνῇ· οὐδὲ γὰρ αὕτη μόνη ἀκουστή, εἴγε καὶ ὁ ψόφος ἄλλος ὢν παρὰ τὴν φωνὴν ἀκουστός ἐστιν. καὶ οἱ ἀέρα δὲ πεπληγμένον τὴν φωνὴν ἀποδιδόντες, ὥσπερ Διογένης ὁ Βαβυλώνιος, ἁμαρτάνουσι· σῶμα γὰρ οὕτως ἔσται ἡ φωνή, εἴπερ ἐν γένει τῷ ἀέρι ἐστίν, καὶ τὸ πεπονθός, τουτέστι τὸν πεπληγμένον ἀέρα, ἀντὶ τοῦ πάθους, ὅπερ ἐστὶν ἡ πληγή, ἀποδιδόασι. id. f. 97.

201 b 5. ἐφιστάνει ὁ Ἀλέξανδρος ὅτι ἔν τισιν ἀντιγράφοις οὐ φέρεται αὕτη ἡ λέξις, ἴσως, φησί, τινῶν παραιτησαμένων αὐτὴν διὰ τὴν ἀσάφειαν, καὶ ὅτι τὰ φθάνοντα εἰρῆσθαι δι' αὐτῆς λέγεται. ἀλλ' ὅτι μὲν οὐκ ἀποδέδεικται πρότερον οὕτως ἐναργῶς τὰ ἐν τῷ ὁρισμῷ τῆς κινήσεως παραληφθέντα, πρόδηλον· ὅτι δέ, εἰ τὰ ἀσαφῆ διαγράψαιμεν, πολλὰ ἂν τῶν Ἀριστοτέλους διαγραφείη, καὶ τοῦτο προδηλότερον. ἰστέον μέντοι ὅτι καὶ ὁ Θεμίστιος καὶ ὁ Πορφύριος ἐξηγούμενοι τὸν τόπον καὶ τοῦτο τὸ ῥητὸν ἐξηγήσαντο. ἰστέον δὲ ὅτι ὁ Πλάτων μὲν πᾶσαν ἐνέργειαν κίνησιν εἶναί φησι, κατὰ τὴν ἀπὸ τῆς οὐσίας ἐξανάστασιν τοῦ ἐνεργοῦντος θεωρῶν τὴν ἐνέργειαν, Ἀριστοτέλης δὲ καὶ οἱ τούτου φίλοι τὴν μὲν κίνησιν ἐνέργειαν λέγουσιν, οὐ πᾶσαν δὲ ἐνέργειαν κίνησιν· οὐ γὰρ δὴ καὶ τὴν τελείαν. id. f. 97 *b*.

201 b 16. εἰπὼν τὴν ἑαυτοῦ δόξαν καὶ ἐπὶ τὰς τῶν προτέρων περὶ κινήσεως μεταβέβηκεν, ἐπισκεπτόμενος ἐκείνας. καὶ ὁ μὲν Ἀλέξανδρος καὶ τὰ ἄλλα μὲν οὐκ οἶδα ὅπως ἑρμηνεύει τῶν ἐνταῦθα λεγομένων, καὶ τὸ ἐν ἀρχῇ λεγόμενον τὸ "ὅτι δὲ καλῶς εἴρηται, δῆλον καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσι," καὶ τὸ μὴ ἐν ἄλλῳ γένει τὴν κίνησιν εἶναι δυνατόν· πιστοῦται γάρ, φησίν, ἐκ τῆς τῶν ἀρχαίων δόξης, οἵτινες ἔξω τῆς τοιαύτης ἐνεργείας τὴν κίνησιν τιθέμενοι οὐδὲν εἶπον ὑγιὲς περὶ αὐτῆς. μήποτε δὲ εὐγνωμονέστερον ἔστιν ἀκούειν, ὅτι τὴν μὲν ὁλοσχερεστέραν ἐκδοχὴν τῶν τοῖς ἀρχαίοις εἰρημένων διελέγχει, δηλοῖ δὲ καὶ ἐκ τῆς ἐκείνων ἐννοίας ὅτι καλῶς αὐτὸς ὡρίσατο τὴν κίνησιν. καὶ ἐκεῖνοι γὰρ εἰς ἀνισότητα καὶ ἑτερότητα καὶ τὸ μὴ ὂν τιθέασιν, ὅτι ἀόριστόν τι δοκεῖ ἡ κίνησις· δύο γὰρ οὐσῶν συστοιχιῶν παρὰ τοῖς Πυθαγορείοις, ὧν ἐν τῇ ἑτέρᾳ ἐστὶν ἡ κίνησις τῇ τὰς ἀρχὰς ἐχούσῃ στερητικὰς καὶ ἀορίστους, ἐν αἷς καὶ ἑτερότης καὶ ἀνισότης καὶ τὸ μὴ ὄν (αἱ γὰρ δέκα ἀντιθέσεις ὡς ἀρχαὶ παρελήφθησαν), εἰκότως ἀόριστόν τι δοκεῖ ἡ κίνησις καὶ ἐκείνοις, ὥσπερ καὶ ἡμῖν... καὶ ἐγὼ μὲν οἶμαι ταῦτα πρὸς ἐκεῖνο ἀποδεδόσθαι τὸ λέγον "ὅτι δὲ καλῶς εἴρηται, δῆλον καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσιν." ὁ δὲ Ἀλέξανδρος τούτῳ μέν φησιν οὐδὲν ἀκόλουθον ἀποδιδόναι, τῷ δὲ δευτέρῳ τῷ λέγοντι "καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι ἄλλως αὐτήν" ἐπῆχθαί φησι τὸ "οὔτε γὰρ τὴν κίνησιν καὶ μεταβολὴν ἐν ἄλλῳ τινὶ τιθέναι δύναιτο ἄν τις." καὶ ἀσάφειαν καὶ ἀκαταλληλίαν ἐγκαλεῖ τῇ λέξει, διότι τῷ προσεχῶς εἰρημένῳ οὐκ ἐπήγαγε τὸ οὔτε τῶν εἰρημένων τι περὶ αὐτῆς ὑπὸ τῶν ἄλλων ὑγιῶς εἴρηται· τούτῳ γὰρ προρρηθέντι, φησίν, ἀκόλουθόν ἐστιν ὃ ἐπιφέρει, τὸ "δῆλον δὲ σκοποῦσιν ὡς τιθέασιν αὐτὴν ἔνιοι ἑτερότητα" ἕως τοῦ "χαλεπὴν μὲν ἰδεῖν ἐνδεχομένην δὲ εἶναι" (p. 202 *a* 2). καὶ κατ' ἄλλον δὲ τρόπον τὸ ῥητὸν ἐκδεχόμενος ἄμεινόν φησι τὸ "οὔτε γὰρ τὴν κίνησιν καὶ μεταβολὴν ἐν ἄλλῳ γένει τιθέναι δύναιτ' ἄν τις" ἀντὶ τοῦ ἐν ἄλλῃ φύσει ἀκούειν. καὶ εἴη ἂν ἑπόμενον αὐτῷ τὸ "δῆλον δὲ σκοποῦσιν ὡς τιθέα-

ἵνα ἐντελέχεια γένηται, μενούσης ἔτι καὶ σωζομένης τῆς δυνάμεως, ἥσπερ ἦν ἐντελέχεια. Themist. f. 30.

201 a 11. τούτου οὖν, φησί, τοῦ δυνάμει καὶ ἐντελεχείᾳ τὴν τοῦ δυνάμει ὄντος ἐνέργειαν, ᾗ τοιοῦτον ἐστί, λέγω κίνησιν... ὅτι θαυμασίως ὡρίσατο τὴν κίνησιν, μάθοιμεν ἂν ἐντεῦθεν... οὕτως ἄρα καθὸ ἐνεργείᾳ ἐστίν, οὐδὲν κινεῖται. οὐ μέντοι οὐδὲ καθὸ δυνάμει, μόνον δυνάμει καὶ ἐν μόνῃ τῇ ἐπιτηδειότητι, οὐκ ἂν λέγοιτο κινεῖσθαι· ἀλλ' ὅταν ἀπὸ τοῦ δυνάμει μεταβάλλῃ εἰς τὸ ἐνεργείᾳ, μένοντος ἐν αὐτῷ τοῦ δυνάμει, τότε λέγεται κινεῖσθαι. εἰκότως οὖν προσέθηκεν "ᾗ τοιοῦτον," ἵνα ἡ ἐνέργεια τοῦ δυνάμει μένοντος ἐπιτελῆται· παυσαμένου γὰρ τοῦ δυνάμει οὐκέτι ἐστὶ κίνησις... ἐπιστῆσαι δὲ ἄξιον ὅτι ὁ μὲν Ἀριστοτέλης ὁριζόμενος τὴν κίνησιν ἐν ἀρχῇ ἐνέργειαν αὐτὴν εἶπε τοῦ κινητοῦ ᾗ τοιοῦτον. Ἀλέξανδρος δὲ καὶ Πορφύριος καὶ Θεμίστιος καὶ οἱ ἄλλοι τὸν ὁρισμὸν ἐξηγούμενοι, ἀκούσαντες μετ' ὀλίγα τοῦ Ἀριστοτέλους καὶ ἐντελέχειαν καλοῦντος αὐτήν, ἔν τισιν ἀντιγράφοις οὕτως εὑρηκότες τὴν γραφὴν "ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ᾗ τοιοῦτον, κίνησις ἐστίν," εἰς ἐντελέχειαν τὴν ἐνέργειαν ἐν τῷ ὁρισμῷ τῆς κινήσεως μεταλαμβάνουσιν, ὡς ταὐτὸν ὂν παρὰ τῷ Ἀριστοτέλει. μήποτε δὲ τὴν ἐντελέχειαν ὁ Ἀριστοτέλης ἐπὶ τῆς τελειότητος ἀκούει, καὶ εἴ ποτε ἐπὶ ἐνεργείας αὐτὴν τίθησιν, οὐ τῆς τυχούσης ἀλλὰ τῆς τελείας, καθότι ἔχει τέλειον... τούτῳ καλῶς ἐπέστησε καὶ ὁ Ἀλέξανδρος, ὅτι καὶ τοῦ δυνάμει, εἰ λέγοιτο ἐντελέχεια ὑπὸ τοῦ Ἀριστοτέλους ἡ κίνησις, κατὰ τοῦτο ἐντελέχεια λέγεται καθόσον τελειότης ἐστὶ τοῦ δυνάμει ἡ κατ' αὐτὸ ἐνέργεια... διττὴ οὖν ἡ κυρίως ἐντελέχεια, ἡ μὲν ὡς εἶδος τέλειον ἠρεμοῦν, ὡς ἡ ψυχὴ λέγεται ἐντελέχεια, ἡ δὲ ἡ κατὰ τοῦτο ἐνέργεια... ὁ δὲ Πορφύριος τὴν κίνησιν ἀτελῆ μὲν ἐντελέχειάν φησιν εἶναι, ἐνέργειαν δὲ τελείαν. καίτοι εἰ τοῦ δυνάμει ἐστὶν ἐνέργεια, τὸ δὲ δυνάμει ἀτελές, πῶς ἡ τοῦ ἀτελοῦς ἐνέργεια τελεία ἂν εἴη ἐνέργεια; ὅλως γὰρ εἰ ἔστιν ἀτελὴς ἐνέργεια, ἡ τοῦ ἀτελοῦς ἂν εἴη. καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης μετ' ὀλίγα (p. 201 *b* 31) "ἥ τε κίνησις" φησὶν "ἐνέργεια μὲν εἶναί τις δοκεῖ, ἀτελὴς δέ." προσεκτέον δὲ ὅτι τὸ τῆς ἐνεργείας νῦν ὄνομα κοινῶς τέθεικεν ὁ Ἀριστοτέλης ἐπί τε τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος· κοινῶς γὰρ ἐπ' ἀμφοῖν ἡ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ διανάστασις κίνησις ἐστίν. Simpl. f. 94.

ἀποδίδωσι τὴν κίνησιν ὁ Θεμίστιος ὀλίγον μεταβαλών, ὅτι ἔστιν ἡ τοῦ δυνάμει ὄντος πρώτη ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστιν· ὑστάτην μὲν γὰρ εἶναι ἐντελέχειαν τὴν εἰς τὸ εἶδος μεταβολήν, ἐν ᾧ ἠρεμεῖ λοιπόν, πρώτην δὲ τὴν ἐπ' ἐκεῖνο πορείαν, ἥτις ἐστὶ κίνησις. Philop. *i* p. 12.

201 a 12. πολλαχοῦ τῶν ὀνομάτων ἐπιλειπόντων ἐπισημαίνεται καλῶς ὁ Ἀριστοτέλης ὅτι ἐπὶ μὲν τοῦ ποιοῦ ἔστι τι κοινὸν ὄνομα κείμενον τὸ τῆς ἀλλοιώσεως. Simpl. f. 94 *b*.

201 a 15. σκληρότερον δοκεῖ τὸ τὸ δυνάμει ἐνεργείᾳ λέγειν, ὅταν ἐνεργῇ κατὰ τὸ δυνάμει. ἀλλ' ἐπειδὴ ὅλως ἐνεργοῦν ὑπόκειται, τὸ δὲ ἐνεργοῦν ἐνεργείᾳ λέγεται, διὰ τοῦτο καὶ τὸ δυνάμει ἐνεργείᾳ εἶπεν. ὁ δὲ Ἀλέξανδρος δύναταί τις φησὶν ἐκ τῶν εἰρημένων μεταλαβὼν λέγειν κίνησιν εἶναι τὴν τοῦ δυνάμει ὄντος πρώτην μεταβολὴν ἢ πρώτην ἐντελέχειαν· ὑστάτη μὲν γάρ ἐστιν ἡ εἰς τὴν τελειότητα μεταβολή, καθ' ἣν ἐνεργείᾳ γενόμενον τοῦτο ὅπερ ἦν δυνάμει ἠρεμεῖ κατὰ τοῦτο λοιπόν, πρώτη δὲ ὁδὸς ἡ ἐπ' ἐκεῖνο. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος αὐτῇ λέξει, ἀποδεκτέον μέν, εἰ μὴ αὐτῆς τῆς ἀτελοῦς δυνάμεως πρώτην λέγοι μεταβολὴν τὴν κίνησιν, ὑστέραν δὲ τὴν εἰς τὸ εἶδος, ἀλλ' αὐτοῦ τοῦ δυναμένου καὶ πεφυκότος· τοῦτο γὰρ διὰ κινήσεως ἐκ τοῦ ἀτελοῦς μεταβάλλει εἰς τὸ τέλειον... ἐπιστῆσαι δὲ ἄξιον ὅτι τὰ ἐκτεθέντα παραδείγματα τῶν εἰδῶν ἐστὶ τῆς κινήσεως, μάθησις μὲν καὶ ἰάτρευσις ἀλλοίωσίς τις, ἡ μὲν περὶ ψυχὴν ἡ δὲ περὶ σῶμα, κύλισις δὲ καὶ ἅλσις φορά, ἡ μὲν ἀφ' ἑαυτῶν ἡ δὲ ἔξωθεν, ἄνδρυνσις δὲ ἡ κατὰ ποσότητα καὶ γήρανσις ἡ κατ' οὐσίαν, ἡ μὲν αὔξησις ἡ δὲ φθορά, ὧν καὶ τὰ ἀντικείμενα δέδωκεν ἐννοεῖν. δύναται δὲ ἡ μὲν οἰκοδόμησις τῆς οὐσίας εἶναι, ἡ δὲ ἄνδρυνσις καὶ γήρανσις τοῦ ποσοῦ. id. f. 95.

201 a 19. ἀπορίαν τινὰ πρὸς τὸν τῆς κινήσεως ὁρισμὸν ὑποφερομένην διαλύει καλῶς. ἡ δὲ ἀπορία τοιαύτην ἔχει τὴν ἐρώτησιν ἐν πρώτῳ σχήματι. τινὰ κινούμενα καὶ αὐτὰ κινεῖ· πάντα τὰ κινοῦντα ἐνεργείᾳ ἐστίν, οὐ δυνάμει· τινὰ ἄρα κινούμενα ἐνεργείᾳ ἐστίν, οὐ δυνάμει, ὥστε οὐ πᾶσα κίνησις τοῦ δυνάμει ἐστὶν ἐνεργείᾳ ᾗ τοιοῦτον. λύεται οὖν αὕτη ἡ ἀπορία διὰ τοῦ κινεῖσθαι μὲν πᾶν τὸ κινούμενον καὶ πάσχειν καθὸ δυνάμει ἐστί, κινεῖν δὲ καὶ ποιεῖν καθὸ ἐνεργείᾳ· ἄλλο γὰρ αὐτῷ τὸ δυνάμει καὶ ἄλλο τὸ ἐνεργείᾳ εἶναι. id. ib.

201 a 25. δηλονότι ταύτης εἰσὶ τῆς δόξης τῶν τε παλαιῶν φυσιολόγων ὅσοι σωματικὴν ἢ μίαν ἢ πλείους ὑπέθεντο τὴν ἀρχήν, καὶ τῶν νέων οἱ Στωϊκοί· κατὰ γὰρ τὴν τῶν ἀρχῶν διάκρισιν ἢ σύγκρισιν ἢ ἀλλοίωσιν ἔλεγον οἱ πάλαι γίνεσθαι τὰ γινόμενα. ὁ δὲ Ἀλέξανδρος Πλάτωνος εἶναι τὴν δόξαν φησίν. καὶ ὅτι μὲν τὸ ἓν καὶ τἀγαθὸν καὶ ὅλως τὸ πρῶτον αἴτιον, κινοῦν πρὸς ἑαυτὸ πάντα ὡς ἐφετόν, ἀκίνητον εἶναί φησιν ὁ Πλάτων, δηλοῖ σαφῶς τὰ κατὰ τὴν πρώτην ὑπόθεσιν τοῦ Παρμενίδου λεγόμενα· μετὰ γὰρ τὸ ἑκάστην τῶν κινήσεων ἀνελεῖν ἀπ' αὐτοῦ, ἐπάγει κατὰ πᾶσαν ἄρα κίνησιν τὸ ἓν ἀκίνητον. καὶ τὰς ἰδέας δὲ αὐτὸς Ἀλέξανδρος ὁμολογεῖ ἀκινήτους λέγειν τὸν Πλάτωνα· διὸ καὶ σύγκρισίν τινα τῶν Πλατωνικῶν λόγων οἴεται ἀποδεικνύναι... ὥστε τὸ ἀκίνητον εἶναι τὸν νοῦν κατὰ τὰς φυσικὰς κινήσεις ὁ Ἀριστοτέλης παρὰ τοῦ Πλάτωνος ἔχει μαθών. ἀλλ' εἴπερ ἄρα πρὸς Πλάτωνα ὁ λόγος τείνει, εἰς τὴν περὶ ψυχῆς αὐτοῦ δόξαν ἀποβλέπειν ἔοικεν... καὶ οὐδὲν ἐν τούτοις ἐστὶ διάφωνον Πλάτωνι καὶ Ἀριστοτέλει, πλὴν τοῦ ὀνόματος τοῦ αὐτοκινήτου, ὅτι ὁ μὲν Πλάτων αὐτοκίνητον τὴν ψυχὴν καλεῖ, ὁ δὲ Ἀριστοτέλης τὸ ζῷον κινοῦν μὲν κατὰ τὴν ψυχήν, ἀκίνητον οὖσαν ἣν κινεῖ κίνησιν, κινούμενον δὲ κατὰ τὸ σῶμα. id. f. 95 *b*.

201 a 27. διχῶς φέρεται ἡ τῆς λέξεως ταύτης γραφή, κατὰ μὲν τὸν Ἀσπάσιον καὶ Θεμίστιον καὶ τὰ πολλὰ τῶν ἀντιγράφων οὕτως "ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ, οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ κινητόν, κίνησίς ἐστιν," κατὰ δὲ Ἀλέξανδρον καὶ Πορφύριον οὕτως "ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ τι ὂν ἐνεργῇ, ἤτοι αὐτὸ ἢ ἄλλο, ᾗ κινητόν, κίνησις ἐστίν." οἶδε δὲ καὶ τὴν Ἀσπασίου γραφὴν ὁ Ἀλέξανδρος, ἀλλ' ἀρέσκεται ταύτῃ μᾶλλον ὡς προστιθείσῃ τινὰ καὶ

τῶν ὄντων τὰ μὲν ἐντελεχείᾳ μόνον, οἷον τὰ ἄϋλα εἴδη καὶ πρῶτα (οὐδὲν γὰρ ἄλλο γενέσθαι δύναται παρ' ἃ ποτέ ἐστιν ἐξ ἀρχῶν), τὰ δὲ ἐντελεχείᾳ τε καὶ δυνάμει, οἷον τὰ σύνθετα ἐξ ὕλης καὶ εἴδους, ἐντελεχείᾳ μὲν ὅτι ἔχει τινὰ ἤδη μορφήν, δυνάμει δὲ ὅτι καὶ ἑτέραν οἷά τε δέξασθαι. τὸ δὲ αἰθέριον σῶμα κατὰ μὲν τὴν οὐσίαν ἐντελεχείᾳ μόνον ἐστίν (οὐ γὰρ ἂν μεταβάλλοι ποτὲ κατ' οὐσίαν), μετέχει δέ πως καὶ τοῦ δυνάμει διὰ τὴν κίνησιν τὴν τοπικήν· οὐ γὰρ πανταχοῦ ἅμα ἐστίν. ὅσα δὲ ἐντελεχείᾳ ἐστίν, ἢ ὡς οὐσίαι εἰσὶν ἢ ὡς ποσὰ ἢ ὡς ποιὰ ἢ ὥς τις ἄλλη κατηγορία. εἶεν. τοῦτο μὲν δὴ κείσθω χωρὶς λόγου, τὸ εἶναί τινα τῶν ὄντων ἔχοντα καὶ τὸ δυνάμει. Themist. f. 29 *b*.

τὸ μὲν τῆς ἐντελεχείας ὄνομα σημαίνει παρὰ τῷ Ἀριστοτέλει τὴν ἐνέργειαν καὶ τὴν τελειότητα· σύγκειται γὰρ παρὰ τὸ ἐν καὶ τὸ τέλειον καὶ τὸ ἔχειν. ὅταν οὖν ἕκαστον ἔχῃ τὴν ἑαυτοῦ τελειότητα, ἐντελέχεια λέγεται εἶναι. Philop. *i* p. 9.

200 *b* 28. ἀντιθεὶς τῷ ποιητικῷ τὸ παθητικὸν κατὰ τὴν συνήθειαν τῶν ὀνομάτων, ἐπειδὴ κατὰ τὸ σχῆμα τῆς λέξεως τῷ μὲν ποιητικῷ τὸ ποιητὸν ἀντίκειται τῷ δὲ παθητικῷ τὸ παθητόν, οὐκ ὠνόμασαι δὲ τὸ παθητικὸν ἐπὶ τοῦ πάθος ἐμποιοῦντος ἀλλ' ἐπὶ τοῦ αὐτοῦ τῷ παθητῷ, ἐπὶ τὰ σαφέστερα καὶ τοῖς προκειμένοις οἰκειότερα μετῆλθεν, ἐπὶ τὸ κινητικὸν τοῦ κινητοῦ, ἐν οἷς τὸ μὲν ἐνεργητικόν ἐστι σαφῶς, τὸ δὲ παθητικὸν καὶ κατὰ τὴν λέξιν. ὅτι δὲ τὸ καθ' ὑπεροχὴν καὶ ἔλλειψιν τῶν πρός τι ἐστί, δηλοῖ τὸ μέγα καὶ τὸ μικρόν. Simpl. f. 91.

200 *b* 32. καὶ οὐκ ἂν εἴη κίνησις καθ' ἑαυτήν, οὔτε ὡς ἰδέα κινήσεως αὐτὸ τοῦτο κίνησις οὖσα, μηδενὸς δὲ κίνησις, ὡς δοκεῖ λέγειν ὁ Πλάτων καὶ ἐν Σοφιστῇ καὶ ἐν Παρμενίδῃ, οὔτε οὐσία τις κίνησις αὐτὸ τοῦτο οὖσα, ὡς ὁ Πλάτων ὁρίζεται τὴν ψυχήν, κίνησιν αὐτοκίνητον λέγων. εἰ γὰρ ἐν τοῖς κινουμένοις πράγμασιν ἢ τοῖς κινοῦσιν ἐστὶν ἡ κίνησις, συμβεβηκός τι ἐστὶν ἡ κίνησις καὶ οὐχὶ οὐσία καθ' ἑαυτὴν θεωρουμένη... διὰ τούτου δέ, ὡς ἔφαμεν, ὑπομιμνήσκει τοῦ δεδεῖχθαι μὴ εἶναι κοινὸν γένος τῶν δέκα κατηγορημάτων τὸ ὄν... ἐπεὶ δὲ ὁ ἐκ τῆς Λυκίας φιλόσοφος ἓν τοῦτο καὶ μόνον διάφωνόν φησι τὸ δόγμα περὶ κινήσεως τοῦ Ἀριστοτέλους καὶ τοῦ Πλάτωνος, τοῦ μὲν λέγοντος "οὐκ ἔστι δέ τις κίνησις παρὰ τὰ πράγματα" καὶ ἀναιροῦντος τὸ γένος εἶναι τὴν κίνησιν, τοῦ δὲ γένος ἓν τοῦ ὄντος τὴν κίνησιν λέγοντος, ὡς τὴν οὐσίαν, ὡς τὸ ταὐτόν, ὡς τὸ ἕτερον, κάλλιον, εἴ πού δυνατόν, τὴν ἐν τῇ δοκούσῃ διαφωνίᾳ συμφωνίαν ἐπιδεικνύναι. id. f. 91 *b*.

ἐντεῦθεν δὲ λαβόντες οἱ ἐξηγηταὶ ἀφορμάς φασι μὴ εἶναι τὴν κίνησιν γένος ἀλλ' ὁμώνυμον φωνήν· εἰ γὰρ οὐκ ἔστι κίνησις παρὰ τὰς κατηγορίας, τῶν δὲ κατηγοριῶν κοινὸν γένος οὐκ ἔστι, δῆλον δήπου ὅτι οὐδὲ κινήσεως γένος ἂν εἴη... καὶ πολύς ἐστιν ὁ Ἀλέξανδρος αὐτὸ τοῦτο κατασκευάζων, ὅτι ἡ κίνησις οὐκ ἔστι γένος ἀλλ' ὁμώνυμος φωνή. μήποτε οὖν ἔστιν εἰπεῖν ὅτι οὐ τὸ μὴ εἶναι κίνησιν παρὰ τὰ πράγματα, τοῦτο ἐλέγχει τὴν κίνησιν μὴ οὖσαν γένος. Philop. *i* p. 11.

201 *a* 3. τέταρτον ἀξίωμα προλαμβάνει, ὅτι ἕκαστον τῶν εἰρημένων ἐν οἷς ἡ κίνησις, τουτέστιν ἥ τε οὐσία καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὸ ποῦ, διχῶς ὑπάρχει τοῖς οὖσι πᾶσι... διὸ καὶ τὰ χείρονα τῆς τοῦ κάτω καὶ βαρέος ἐστὶ φύσεως, καὶ τὸ γῆρας κάμπτει, καὶ ἡ νόσος βαρύνει, καὶ τὰ θεῖα ἄνω τὰ δὲ θνητὰ κάτω, καὶ ἡ ἀρετὴ ἀπὸ τοῦ αἴρειν ἄνω λέγεται, ἡ δὲ κακία ἀπὸ τοῦ κλᾶν, ἡ δὲ κλάσις τὸ κλώμενον κάτω. τοιαῦτα μὲν οὖν ὁ Πορφύριος φιλολογεῖ· μήποτε δὲ κυριώτερον ὁ Ἀριστοτέλης ἐπὶ μὲν τῆς οὐσίας εἶδος τέθεικε καὶ στέρησιν, ἐπὶ δὲ τῶν ἄλλων τὰ ἐναντία παρατέθεικε... δείξας δέ, φησὶν ὁ Ἀλέξανδρος, ὅτι τῶν ἐν οἷς ἡ κίνησις ἕκαστον διχῶς ὑπάρχει πᾶσιν, εἰκότως ἐπήνεγκεν "ὥστε καὶ κινήσεως καὶ μεταβολῆς εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος."... ἦν δέ, φησίν, οἰκειότερον ἡ λέξις αὕτη κειμένη πρὸ τῆς "ἕκαστον δὲ διχῶς ὑπάρχει," συντεταγμένη τῇ "οὐκ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα." μήποτε δέ, εἰ προὔκειτο νῦν αὐτῷ τὴν διπλόην παραλαβεῖν τῶν κινήσεων, καλῶς πρότερον δείξας ἐν τοῖς γένεσι τοῦ ὄντος ἐν οἷς ἡ κίνησις τὴν διπλόην οὖσαν, καὶ κατὰ ταύτην διπλασιάσας τὰ γένη, τότε ἐπήγαγεν "ὥστε καὶ κινήσεως καὶ μεταβολῆς εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος," τουτέστι διπλασιαζόμενα καὶ ταῦτα... εἰ δέ, ὡς ὁ Ἀλέξανδρος ἠξίου, ταύτην ἔδει τὴν λέξιν προτετάχθαι τῆς λεγούσης "ἕκαστον δὲ διχῶς ὑπάρχει," τί ἔτι ἦν ἡ χρεία ἐκείνης ἐπαγομένης; εἴδη δὲ λέγει νῦν κινήσεως καὶ μεταβολῆς οὐχ ὡς ἐξ ἑνὸς γένους διαιρεθέντα, ἀλλ' ὡς διαφόρους ἰδιότητας. καλῶς δὲ οὐ κινήσεως μόνης εἶπεν ἀλλὰ καὶ μεταβολῆς, διότι περὶ τῆς κατ' οὐσίαν, ἥτις ἐστὶ γένεσις καὶ φθορά, ὕστερον ζητεῖ, μήποτε οὐκ ἔστι κίνησις ἀλλὰ μεταβολή... ἀλλ' ἄξιον ζητεῖν διὰ τί τοῦ δυνάμει καὶ ἐντελεχείᾳ ἐν πᾶσιν ὄντος τοῖς γένεσι τοῦ ὄντος, καὶ τῆς κινήσεως οὔσης ἐνεργείας τοῦ δυνάμει ἢ τοιοῦτον ἐστίν, ἐν τέτρασι μόνοις γένεσι τοῦ ὄντος, τῇ οὐσίᾳ καὶ τῷ ποιῷ καὶ τῷ ποσῷ καὶ τῷ ποῦ, ἔστιν ἡ κίνησις, ὡς καὶ ἐν Κατηγορίαις (c. 14) δέδεικται καὶ ἐν τῷ πέμπτῳ τῆς πραγματείας ταύτης σπουδάζει δεῖξαι, ἐν δὲ τοῖς ἄλλοις οὐκέτι· καίτοι ἐν πᾶσίν ἐστιν ἡ τοῦ δυνάμει ἐνέργεια, μένοντος δυνάμει... ἀλλ' ὁ μὲν Ἀριστοτέλης ἐν τῷ πέμπτῳ τῆσδε τῆς πραγματείας τὰς αἰτίας λέγει τοῦ τὴν κίνησιν ἐν μόναις ταῖς τέτρασιν ἢ ταῖς τρισὶ κατηγορίαις ὑφίστασθαι, καὶ οἱ ἐξηγηταὶ τοῦ Ἀριστοτέλους εἰς ἐκεῖνον ἀναβάλλονται τὸν τόπον τὴν τῆς ἀπορίας ταύτης λύσιν. οὐδὲν δὲ ἴσως χεῖρον καὶ νῦν συντόμως τὰς ἐκεῖ λεγομένας αἰτιολογίας ἐπισκέψασθαι... ἐπειδὴ δὲ ἑκάστη μεταβολὴ κατά τινα γίνεται τῶν ὄντων, τὰ δὲ ὄντα ταῖς κατηγορίαις συνδιῄρηται, λεγέσθω τίς ἑκάστη τῶν εἰρημένων μεταβολῶν κατὰ τίνα τῶν κατηγοριῶν ἄλλην γίνεται, εἰ μὴ κατὰ τὴν οἰκείαν. καὶ οἶδα μὲν ὅτι προπετὲς εἶναι δοκεῖ τὸ τὴν ἐναντίαν ἀφιέναι τῷ Ἀριστοτέλει φωνήν, ἕως δ' ἂν γνῶναι δυνηθῶμεν ἀκριβῶς τὴν αἰτίαν τῆς τοιαύτης αὐτοῦ διατάξεως, ἀρκούμεθα πρὸς παραμυθίαν τῇ τε Εὐδήμου συνηγορίᾳ ἐπὶ τῆς ποτὲ κατηγορίας ῥηθείσῃ, καὶ ἔτι μᾶλλον τῇ Θεοφράστου, σαφῶς τὴν κίνησιν καὶ μεταβολὴν ἐν πάσαις ταῖς κατηγορίαις θεωροῦντος. λέγει γοῦν ἐν τῷ δευτέρῳ τῶν περὶ Κινήσεως. Simpl. f. 92 *b*.

ἐπεὶ τοίνυν καὶ ἡ κίνησις οὐδὲν ἄλλο παρὰ ταῦτά ἐστιν, εἰκότως 201 *a* 9. καὶ αὐτὴ διττή τις ἂν εἴη καθ' ἕκαστον γένος. πῶς δὲ ἔχει, τοῦτο ἐν τοῖς ἐφεξῆς ἐροῦμεν... λέγω τοίνυν κίνησιν εἶναι τὴν τοῦ δυνάμει κινητοῦ ἐντελέχειαν ᾗ τοιοῦτον. τί οὖν πρόσκειται "ᾗ τοιοῦτον;"

πέρασμα· οὐ μέντοι εἰ τὸ συμπέρασμα τοῦτο, τὰ δὲ διὰ πάντως καὶ τὰ λήμματα· δύναται γὰρ ταὐτὸν ἀποδείκνυσθαι διὰ πλειόνων, καθάπερ ἐν τοῖς ἀριθμοῖς. Themist. f. 28 *b*.

διὰ τί δὲ δύο αἱ ἐφεξῆς ἴσαι δύο ὀρθαῖς εἰσίν; διότι τοῦτό ἐστιν ὁ ὁρισμὸς ὀρθῆς, ὡς ἂν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν γωνιῶν ἐστίν. Philop. *i* p. 5.

200 *a* 19. ἆρ' οὖν ὁμοίως ἔχει ταῦτα τοῖς φυσικοῖς τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον; οὐδαμῶς, ἀλλὰ ἡ τάξις ἀντέστραπται· ἐνταῦθα μὲν γὰρ εἰ αἱ προτάσεις, καὶ τὸ συμπέρασμα, τουτέστιν εἰ τὰ πρῶτα, καὶ τὸ ὕστερον, ἐπὶ δὲ τῶν φύσει τοὔμπαλιν· εἰ γὰρ τὸ ὕστερον, καὶ τὰ πρῶτα· εἰ γὰρ ἡ μορφή, καὶ ἡ ὕλη, ἐπεὶ τά γε ἄλλα ὁμοίως ἔχει. Themist. f. 29.

200 *a* 23. εἴρηται αὐτῷ ἐν τοῖς Ἠθικοῖς ὅτι ἡ πρᾶξις τῇ θεωρίᾳ ἐναντίως ἔχει· ἡ μὲν γὰρ θεωρία τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ τέλους τῆς πράξεως, ἡ δὲ πρᾶξις τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ τέλους τῆς θεωρίας. Philop. *i* p. 6.

200 *b* 4. εἰπὼν τὸν ὁρισμὸν καὶ τὸν λόγον ἀρχὴν εἶναι καὶ αἰτίαν τῆς ὕλης, ἥτις ἦν τὸ ἀναγκαῖον ἐν τοῖς αἰτίοις, ἐπειδὴ ἐν πολλοῖς ὁρισμοῖς ἐμπεριλαμβάνεται καὶ ἡ ὕλη, ποτὲ μὲν δυνάμει ἐν τῷ τοῦ εἴδους ὁρισμῷ, ὡς αὐτὸς παρατίθεται, ποτὲ δὲ ἐνεργείᾳ, ὡς ἐν τῷ συνθέτῳ, καὶ τότε δῆλον ὅτι ὁ ὁρισμὸς οὐκέτι ἀρχὴ καὶ αἰτία τῆς ὕλης ἔσται ἐμπεριέχων αὐτὴν ἐν ἑαυτῷ, διὰ τοῦτο προσέθηκεν ὅτι "ἴσως καὶ ἐν τῷ λόγῳ ἐστὶ τὸ ἀναγκαῖον." Simpl. f. 89.

200 *b* 12. Ἐν τῷ πρὸ τούτου βιβλίῳ περὶ τῶν αἰτίων διαλεχθείς, καὶ ποιητικὸν αἴτιον τὴν φύσιν εἰπών, καὶ διορισάμενος αὐτὴν ἀρχὴν κινήσεως, εἰκότως ἐφεξῆς περὶ κινήσεως διδάσκει... ἰστέον δὲ ὅτι ἐν πολλοῖς χωρίοις διάφορος ἡ γραφὴ τούτου τοῦ βιβλίου φέρεται. id. f. 89 *b*.

200 *b* 16. σημειοῦται ὁ Ἀλέξανδρος ὅτι τὴν κίνησιν συνεχῆ λέγων ἐν τῷ ποσῷ πάντως αὐτὴν τίθησι (τοῦ γὰρ ποσοῦ ἐστὶν εἴδη τὸ συνεχὲς καὶ τὸ διωρισμένον), ἐν μέντοι ταῖς Κατηγορίαις οὐ τίθησιν αὐτὴν ἐν τῷ ποσῷ, καὶ ἐνταῦθα δὲ μετ' ὀλίγον ὑπὸ τὸ πρός τι τὴν κίνησιν ὑπάξει. ἤτοι οὖν, φησί, διὰ τοῦτο οὕτως εἶπε, "δοκεῖ δὲ ἡ κίνησις εἶναι τῶν συνεχῶν," ὡς οὐκ ἀρεσκόμενος τούτῳ, ἢ μᾶλλον ἡ κίνησις πῶς μὲν καὶ συνεχές ἐστι καὶ ποσόν, πῶς δὲ πρός τι, κατ' ἄλλο καὶ ἄλλο λαμβανομένη· αὐτὴ μὲν γὰρ ἡ κίνησις ποσόν, τὸ δ' ἐν κινήσει πρός τι, ἅτε ἐν σχέσει τινὶ ὑπάρχον τῇ πρὸς τὸ κινοῦν. τὸ δὲ "δοκεῖ," φησί, σημεῖόν ἐστι τοῦ ἀπὸ τῶν φαινομένων καὶ ἐναργῶν ἄρχεσθαι. εἰπὼν δὲ τὸ ἄπειρον ἐμφαίνεσθαι πρῶτον ἐν τοῖς συνεχέσι, δηλοῖ διὰ τοῦ "πρῶτον" ὅτι κυρίως καὶ καθ' αὑτὸ καὶ οὐ δι' ἄλλου μέσου τὸ ἄπειρον ἐμφαίνεται ἐν τῷ συνεχεῖ... τὸ δὲ "πολλάκις" προσέθηκεν, ὅτι οὐκ ἀεὶ τὸ συνεχὲς οὕτως ὁριζόμεθα, συνεχὲς λέγοντες τὸ εἰς ἄπειρα διαιρετόν, ἀλλὰ καὶ ἄλλος τις ἐστὶν ὁρισμός, ὃν αὐτὸς τέθεικεν ἐν Κατηγορίαις (c. 6), συνεχὲς λέγων οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει. οὐκέτι δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ τὸ διωρισμένον ποσὸν ὁριζόμενοι προσχρώμεθα τῷ ἀπείρῳ... ὅταν δὲ λέγῃ "πρὸς δὲ τούτοις ἄνευ χρόνου καὶ κενοῦ καὶ τόπου κίνησιν ἀδύνατον εἶναι," οὐχ ὡς αὐτῷ δοκοῦν τοῦτο λέγει, ἀλλ' ὡς τῶν πρὸ αὐτοῦ φυσιολόγων τοῖς περὶ Δημόκριτον ἀρέσαν τὸ διὰ κενοῦ τὴν κίνησιν γίνεσθαι καὶ τὸ κενὸν εἶναι τόπον ἐστερημένον σώματος... ἔτι δὲ σπουδῆς ἄξιος ὁ περὶ κινήσεως λόγος καὶ ὅτι ἠμέληται τοῖς παλαιοτέροις, ὀλίγα περὶ αὐτῆς τοῦ Πλάτωνος εἰρηκότος. id. f. 90.

"δοκεῖ δέ" ἤτοι τοῖς πολλοῖς δοκεῖ, ἢ δοκεῖ καθόλου πᾶσι καὶ αὐτῷ, ἀντὶ τοῦ φαίνεται... τὸ "πρῶτον" ἤτοι ἀντὶ τοῦ καθ' αὑτὸ εἶπε, κατὰ τὸ δεύτερον σημαινόμενον τοῦ καθ' αὑτό, τοῦτο δὲ ὅπερ ἐν τῷ τοῦ ὑποκειμένου λόγῳ παραλαμβάνεται... ἢ τὸ "πρῶτον" ἀντὶ τοῦ προηγουμένως καὶ κατὰ πρῶτον λόγον. Philop. *i* p. 16.

ὁ Πορφύριος οὐκ ἀποδέχεται τὸν Ἀλέξανδρον οὕτω στίξαντα ὡς 200 *b* 26.
τῷ "ἐντελεχείᾳ μόνον" ἀντιδιῃρῆσθαι τὸ "δυνάμει καὶ ἐντελεχείᾳ." εἰπὼν γάρ, φησίν, ὅτι τὰ μὲν ἐντελεχείᾳ τὰ δὲ δυνάμει, ἀναλαβὼν τὰ ἐντελεχείᾳ, καὶ ἐντελεχείᾳ φησὶ τὸ μὲν τόδε τι τὸ δὲ τοσόνδε καὶ τὰ ἑξῆς, τὸ δὲ δυνάμει οὐ διαιρεῖται εἰς τὰς κατηγορίας· οὐ γάρ ἐστι τὸ δυνάμει δεκαχῶς ἀλλ' ἑναχῶς· ἡ γὰρ ἀνωτάτω ὕλη, ἥπερ ἐστὶ τὸ δυνάμει, μία. εἴτε δὲ τὸ ἐντελεχείᾳ λαμβάνει, ὅπερ ἐστὶ τὸ σύνθετον, οἷον τὸν ἀνδριάντα, εἴτε τὴν ἐντελέχειαν, ὅπερ ἐστὶ τὸ ἁπλοῦν, οἷον τὸ εἶδος, δεκαχῶς ἑκάτερον. καὶ μήποτε, φησί, καὶ τὸ δυνάμει δεκαχῶς· προελθὼν γὰρ ὁ Ἀριστοτέλης αὐτὸς οὕτως εἶπε "διῃρημένου δὲ καθ' ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ τοῦ δὲ δυνάμει" (p. 201 *a* 9). ταῦτα μὲν οὖν ὁ Πορφύριος, τὸ δυνάμει τῷ ἐντελεχείᾳ μόνον βουλόμενος ἀντιτεθῆναι παρὰ τοῦ Ἀριστοτέλους, ἀλλ' οὐχὶ τὸ δυνάμει καὶ ἐντελεχείᾳ. καὶ ἴσως ἐκ τούτου τοῦ ῥητοῦ ταύτην ἔσχε τὴν ὑπόνοιαν τοῦ λέγοντος "διῃρημένου δὲ καθ' ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ τοῦ δὲ δυνάμει." ἀλλ' εἰ μὲν ὡς τὰ πολλὰ τῶν ἀντιγράφων φέρεται, οὕτως ἔχει καὶ ἡ ἀρχαία γραφή, "ἔστι δή τι τὸ μὲν ἐντελεχείᾳ μόνον, τὸ δὲ δυνάμει καὶ ἐντελεχείᾳ, τὸ μὲν τόδε τι τὸ δὲ τοσόνδε" καὶ τὰ ἑξῆς, σαφῶς τὸ μόνον προσκείμενον δηλοῖ τὴν διαίρεσιν τοῦ ἐντελεχείᾳ μόνως πρὸς τὸ ἐντελεχείᾳ ἅμα καὶ δυνάμει γεγενῆσθαι, ὡς Ἀλέξανδρος καὶ Θεμίστιος ἐξεδέξαντο. εἰ γὰρ τῷ ἐντελεχείᾳ τὸ δυνάμει μόνον ἀντετίθει, μηδαμοῦ τὸ συναμφότερον παραλαμβάνων, διὰ τί προσετίθει τὸ μόνον ἐπὶ τοῦ ἐντελεχείᾳ; πῶς δὲ κατάλληλος ἂν ἦν ἡ ἑρμηνεία μετὰ ἀποστάσεως λέγουσα "τὸ μὲν τόδε τι τὸ δὲ τοσόνδε;" εἰ μέντοι ὥς τινα τῶν βιβλίων γέγραπται οὕτως ἔχει τὸ ῥητόν, "ἔστι δή τι τὸ μὲν ἐντελεχείᾳ τὸ δὲ δυνάμει, καὶ ἐντελεχείᾳ τὸ μὲν τόδε τι τὸ δὲ τοσόνδε," δύναται μὲν καὶ οὕτω στίζεσθαι ὡς ὁ Πορφύριος ἐξεδέξατο, διὰ τί δὲ τὸ ἐντελεχείᾳ μόνον εἰς τὰς δέκα διαιρεῖ κατηγορίας, καίτοι καὶ τοῦ δυνάμει ἐν πάσαις θεωρουμένου, ὡς αὐτὸς ὁ Πορφύριος ὡμολόγησε, καὶ τὴν Ἀριστοτέλους παραθέμενος ῥῆσιν τὴν λέγουσαν "διῃρημένου δὲ καθ' ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ τοῦ δὲ δυνάμει;" μήποτε οὖν ἡ μὲν ἐξ ἀρχῆς διαίρεσις εἰς τὸ "ἐντελεχείᾳ μόνον" γέγονε καὶ τὸ "ἐντελεχείᾳ καὶ δυνάμει," καὶ τοῦτο διῃρῆσθαί φησιν εἰς τὰς δέκα κατηγορίας... χρησιμεύει δὲ αὐτῷ, ὡς εἶπον, τὸ λῆμμα τοῦτο, τὸ διαιροῦν τὰ ὄντα εἴς τε τὰ ἐντελεχείᾳ καὶ εἰς τὰ δυνάμει καὶ ἐντελεχείᾳ, πρὸς τὴν ἀπόδοσιν τοῦ τῆς κινήσεως ὁρισμοῦ, ὡς προϊόντες εἰσόμεθα. Simpl. f. 90 *b*.

αὐτῷ ἀντὶ τῶν ξηραντικωτέρων χρῆσθαι φαρμάκων, καὶ κάρφεσι συνδέουσα τὸν πηλόν, κατὰ σχῆμα πολυχωρητότατον καὶ ἰσχυρότατον. καὶ ἡ μέλιττα τῆς τῶν ἑξαγώνων χωρημάτων συνθέσεως. τῆς δὲ ἀλκυόνος τὴν καλιὰν ἐν ὕδατι γινομένην ἥκιστα ἂν ὕδωρ λυμήναιτο. Simpl. f. 86.

199a 30. μήποτε οὖν ὁ Ἀριστοτέλης φύσιν καλεῖ καὶ τῆς ψυχῆς πᾶν τὸ περὶ σῶμα καταγινόμενον. διὸ καὶ τὴν περὶ ψυχῆς πραγματείαν τὰ πολλὰ περὶ τὴν τοιαύτην ψυχὴν πραγματευομένην τῆς φυσικῆς θεωρίας ὑπολαμβάνουσιν... δοκεῖ δέ μοι, φησὶν ὁ Ἀλέξανδρος, διὰ τούτων ἐνδείκνυσθαι ὅτι κυριωτέρα αἰτία ἐστὶ τὸ εἶδος καὶ οὐχὶ ἡ ὕλη, ὡς οἱ ἀρχαῖοι λέγειν ἐδόκουν εἰς τὴν ὑλικὴν αἰτίαν πάντα ἀνάγοντες· εἰ γὰρ καὶ ἡ ὕλη τοῦ εἴδους χάριν ἐστί, κυριωτέρα ἂν εἴη αἰτία τῆς ὕλης τὸ εἶδος. id. ib.

199a 33. καὶ γὰρ ὁ γραφεὺς σκοπὸν ἔχων τοῦ καλῶς γράψαι διὰ τὸν χάρτην πολλάκις μανότερον ὄντα ἢ διὰ πλεονεξίαν ἢ διὰ ἀνεπιτηδειότητα τοῦ μέλανος ἁμαρτάνει τοῦ σκοποῦ. ὁμοίως καὶ ὁ ζωγράφος τὰ αὐτὰ ἂν πάθοι ἢ διὰ τὴν τῶν χρωμάτων ἢ τῆς σινδόνος ἐν ᾗ γράφει ἀνεπιτηδειότητα. Philop. *h* p. 15.

πρὸς τοὺς λέγοντας ἕνεκά του ποιεῖν τὴν φύσιν ἔνστασις ἦν ἀπὸ τῶν τεράτων· τίνος γὰρ ἕνεκα τὰ βουγενῆ ἀνδρόπρωρα γίνοιτο ἂν τὰ κατὰ Ἐμπεδοκλέα; λύει οὖν καὶ ταύτην τὴν ἔνστασιν νῦν λέγων. Simpl. f. 86 *b*.

199b 9. εἰ μὲν γὰρ ἔστιν, ἀτόπως αὐτὰ παραλέλοιπεν Ἐμπεδοκλῆς· εἰ δὲ μὴ ἔστι, πῶς ἐπὶ μὲν τῶν ζῴων ἐστίν, ἐπὶ δὲ τῶν φυτῶν οὐκ ἔστι; δοκεῖ δέ μοι, φησὶν ὁ Ἀλέξανδρος, τῷ "ἔτι καὶ ἐν τοῖς φυτοῖς ἔνεστι τὸ ἕνεκά του" προσκείμενον τὸ "ἧττον δέ" ἐπιχείρησίν τινα ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον ἐνδείκνυσθαι τοιαύτην· εἰ ἐν οἷς ἧττον φανερὸν τὸ τέλος ἐστὶ γινομένοις φύσει, ταῦτα οὐχ ὡς ἔτυχε γίνεται ἀλλ' ἕνεκά του, οὐδὲ ἐν οἷς μᾶλλον ὡς ἔτυχε γίνεται. ἐν δὲ τοῖς φυτοῖς, ἐν οἷς ἧττον διήρθρωται τὸ τέλος, οὐ γίνεται ἀπὸ τύχης τὰ γινόμενα οὐδὲ ἀμπελογενῆ ἐλαιόπρωρα· οὐδὲ ἐν τοῖς ζῴοις ἄρα, ἐν οἷς μᾶλλον διήρθρωται τὸ ἕνεκά του, γίνεται τὸ ἀπὸ τύχης, ὥστε οὐδὲ βουγενῆ ἀνδρόπρωρα συνίσταται. id. ib.

199b 13. ἐπειδὴ καὶ ἐν τοῖς ἀπὸ τύχης εἶναι δοκεῖ τὸ οὗ ἕνεκα καὶ τὸ ἕνεκά του, ὅταν λέγωμεν ὅτι ἀπὸ τύχης ἦλθεν ὁ ξένος καὶ λυτρωσάμενος τὸν αἰχμάλωτον, ὡς ὁ παρὰ Μενάνδρῳ Δημέας τὴν Κράτειαν, ἀπῆλθεν (ἢ ἀφῆκε· γράφεται γὰρ ἀμφοτέρως, ὥσπερ καὶ ἀντὶ τοῦ λυτρωσάμενος τὸ λυσάμενος), καὶ πράξει τοῦτο ὥσπερ ἕνεκα τούτου ἐλθών, κἂν μὴ διὰ τοῦτο ἔλθῃ· τοῦτο γὰρ κατὰ συμβεβηκὸς αἴτιον, καὶ διὰ τοῦτο ἀπὸ τύχης λέγεται, καὶ θεωρεῖται πάντως καὶ ἐν τούτῳ τὸ οὗ ἕνεκα καὶ τὸ τούτου ἕνεκα. id. f. 87.

γράφεται καὶ "λυτρωσάμενος" ἀντὶ τοῦ λυσάμενος, οἷον εἴ τις ἐν πόλει ἐλθὼν εὕροι ἄν τινα δέσμιον, εἶτα λυτρώσαιτο τοῦτον. λέγομεν γὰρ ἐν τοῖς τοιούτοις ὅτι ἦλθεν ἵνα λυτρώσηται αὐτόν, καίτοι οὐ τούτου ἕνεκεν ἦλθεν, ἀλλὰ τὸ ἐκβὰν οὕτω γέγονεν ὡς ἂν εἰ τούτου ἕνεκεν ἦλθεν· ἀπερχόμενος γὰρ ἀγωνίσασθαι Ὀλύμπια, καὶ εὑρὼν ἐν Αἰγίνῃ Πλάτωνα δεδεμένον, ἀγοράσας ἐλυτρώσατο, εἰπὼν ὅτι οὐκ ἂν πολλὰς νίκας ἐν Ὀλυμπίᾳ ἀντηλλάξατο τῆς πράξεως ταύτης. Philop. *i* p. 2.

γράφεται δὲ καὶ λυσάμενος, ὅ ἐστι λυτρωσάμενος. ἐλθὼν γάρ τις ἀπὸ ξένης εὑρών τινα τῶν φίλων ἐν δεσμοῖς ἐλυτρώσατο. Philop. cod. Reg. 1853 in mg.

ὡς ὅταν ἀπὸ τύχης ἦλθεν ὁ ξένος καὶ λυτρωσάμενος τὸν αἰχμάλωτον, ὡς παρὰ Μενάνδρῳ Δημέας τὴν Κράτην ἀφῆκε. διπλῆ δὲ ἡ γραφή, ἡ μὲν "λυσάμενος" ἡ δὲ "λυσάμενος," καὶ πάλιν ἡ μὲν "ἀφῆκεν" ἡ δὲ "ἀπῆλθεν." cod. Reg. 1947.

τὴν ὁμοιότητα τῆς φύσεως δηλοῖ πάλιν πρὸς τὴν τέχνην διὰ 199b τοῦ "καὶ εἰ ἐνῆν ἐν τῷ ξύλῳ ἡ ναυπηγική, ὁμοίως ἂν ἐποίει ναῦν," 25. ὡς κατ' οὐδὲν ἄλλο διαφερόντων τῶν φύσει ἢ τέχνῃ γινομένων ἢ κατὰ τὸ τὰ μὲν φύσει ἔνδοθεν γίνεσθαι τὰ δὲ τέχνῃ ἔξωθεν. διὸ καὶ ἐπ' ἄλλο τι παράδειγμα προσεχέστερον μεταβάς, μάλιστα, φησί, δήλη ἡ πρὸς τὴν φύσιν τῆς τέχνης ὁμοιότης, ὅταν τις ἰατρεύῃ αὐτὸς ἑαυτόν. Simpl. f. 87 *b*.

μετὰ τὸ συμπληρῶσαι τὴν περὶ τῶν αἰτίων, δύο προὔθετο ζη- 199b τήματα οἰκεῖα τῷ περὶ τῶν αἰτίων λόγῳ· διαρθροῖ γὰρ τὰ περί τε 34. τοῦ ὑλικοῦ καὶ ποιητικοῦ αἰτίου ἀδιαρθρώτως παρά τισιν ὑπονοηθέντα· καὶ πρῶτον μὲν ὅτι ἡ φύσις τῶν ἕνεκά του ἐστὶν αἰτίων καὶ οὐ τῶν εἰκῇ καὶ ὡς ἔτυχε ποιούντων, ὅπερ ἐδόκει τισί, δεύτερον δὲ πῶς τὸ ἐξ ἀνάγκης διὰ τὴν ὕλην λεγόμενον ὑπάρχει τοῖς φυσικοῖς... συγχωρεῖ μὲν καὶ αὐτὸς τὸ ἀναγκαῖον τῇ ὕλῃ, ἀλλ' οὐχ ὡς τοῦ εἴδους ἐξ ἀνάγκης ἀκολουθοῦντος, ἀλλ' ὡς τῶν ὧν οὐκ ἄνευ λόγον ἐχούσης τῆς ὕλης· οὐ γὰρ τὸ τέλος ἐξ ἀνάγκης, ἀλλὰ διὰ τὸ τέλος τὸ ἐξ ἀνάγκης. καὶ ἐν τούτῳ δὲ τῷ κεφαλαίῳ Πλατωνικῶς ὁ Ἀριστοτέλης ἀναστρεφόμενος φαίνεται. λέγει γὰρ καὶ ὁ Πλάτων ἐν Τιμαίῳ "ταῦτα δὴ πάντα τότε ταύτῃ πεφυκότα ἐξ ἀνάγκης" (p. 68 sq.)... τὰ αὐτὰ δὲ περὶ τούτων τῶν διττῶν αἰτίων καὶ ἐν Φαίδωνι διώρισται σαφῶς, ἐν οἷς φησὶν "τὸ γὰρ διελέσθαι" (p. 99 *b*)... ἀπορῶ δὲ ἔγωγε πῶς ὁ Ἀλέξανδρος τὸ ἁπλῶς ἀναγκαῖον ἀναιρετικὸν τοῦ ἕνεκά του λέγει εἶναι· ἁπλῶς γὰρ ἀναγκαῖόν φησιν, ἐν οἷς ἐξ ἀνάγκης τοῖς πρὸ αὐτῶν τὸ τέλος ἀκολουθεῖ· καίτοι ἐν τοῖς ἀϊδίοις καὶ ἐξ ἀνάγκης ἀκολουθεῖ τοῖς πρὸ αὐτοῦ τὸ τέλος, οἷον τῇ ἀνατολῇ τοῦ ἡλίου ἡ κατάδυσις αὐτοῦ, καὶ τῷ χειμῶνι τὸ ἔαρ καὶ τούτῳ τὸ θέρος, καὶ ὅμως ἕνεκά του τούτων ἕκαστον. id. ib.

ὁποῖόν ἐστι τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον, καὶ διὰ τῆς ἐν μαθή- 200a μασιν ἀκολουθίας ὑπομιμνήσκει... ἐπειδὴ δὲ ἀσαφῶς εἴρηται τὸ 15. τοῦ τριγώνου παράδειγμα, ἐνδειξαμένου μόνον αὐτοῦ τὴν ἀπόδειξιν, ἰστέον ὅτι δέδεικται παντὸς εὐθυγράμμου τὰς ὀκτὼ πάσας γωνίας τέτρασιν ὀρθαῖς ἴσας εἶναι, καὶ ὅτι αἱ τοῦ τριγώνου πᾶσαι γωνίαι αἱ ἐντὸς καὶ αἱ ἐκτὸς ἓξ ὀρθαῖς ἴσαι εἰσίν. ἐπεὶ οὖν τὸ τρίγωνον εὐθύγραμμόν ἐστιν, ὅπερ εἶπεν αὐτὸς "εὐθὺ τοδί," τούτου δὲ αἱ ἐντὸς καὶ αἱ ἐκτὸς ἓξ ὀρθαῖς ἴσαι εἰσίν, ὧν αἱ ἐκτὸς τέτρασιν, λοιπαὶ αἱ ἐντὸς δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. id. f. 88 *b*.

ὑποθεμένοις γὰρ τὸ εἶδος οὕτως εὑρίσκεται καὶ τῆς ὕλης τὸ ἀναγκαῖον. τὸ δὲ ἐξ ὑποθέσεως ἀναγκαῖόν ἐστί πως κἀν τοῖς μαθήμασιν· ὑποθεμένοις γὰρ τὰς προτάσεις ἐξ ἀνάγκης ἕπεται καὶ τὸ συμ-

198a 27. τοῦτο τὸ ῥητὸν ἤτοι πρὸς τὸ προσεχὲς συντακτέον, ἵνα λέγῃ ὅτι τὸ προσεχὲς ποιητικὸν αἴτιον ταὐτόν ἐστι τῷ εἴδει καὶ τῷ τέλει, καὶ καθόλου φημὶ ὅτι ὅσα τῶν ποιητικῶν προσεχῆ ὄντα κινούμενα κινεῖ, ταῦτα τῷ εἴδει καὶ τῷ τέλει τὰ αὐτά εἰσιν... ἢ ὅπερ καὶ μᾶλλον, τοῖς ἀνωτέρω συνεχὲς ἂν εἴη τὸ ῥητὸν τοῦτο "καὶ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει φυσικῶς, τὴν ὕλην, τὸ εἶδος, τὸ κινῆσαν." εἶτα ἐφεξῆς "καὶ ὅσα κινούμενα κινεῖ," τουτέστι ταῦτα τὰ αἴτια ἀποδώσει ὁ φυσικός, ὅσα τῷ αὐτὰ κινεῖσθαι οὕτως κινεῖ. Philop. *h* p. 9.

198a 33. δύναται, φησὶν Ἀλέξανδρος, ἡ λέξις ἡ λέγουσα "περὶ γενέσεως γὰρ μάλιστα" ἀκολουθεῖν τοῖς ἀνωτέρω εἰρημένοις, ἐν οἷς ἔλεγεν (v. 22) "ἐπεὶ δὲ αἰτίαι τέσσαρες, περὶ πασῶν εἰδέναι τοῦ φυσικοῦ, καὶ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει, τὸ εἶδος, τὴν ὕλην, τὸ κινῆσαν, τὸ οὗ ἕνεκα· περὶ γενέσεως γὰρ μάλιστα τοῦτον τὸν τρόπον τὰς αἰτίας ζητοῦσι," τῶν μεταξὺ παρεμβεβλημένων εἰς διορισμὸν τῆς ταὐτότητος τῶν αἰτίων, καὶ τοῦ ποιητικοῦ αἰτίου τῆς διαφορᾶς, εἴπερ τὸ μὲν ἀκίνητον τὸ δὲ κινούμενον, καὶ τούτου τὸ μὲν ἄφθαρτον τὸ δὲ φθαρτόν. τὸ δὲ "καὶ οὕτω τὸ ἐφεξῆς ἀεί" δύναται μὲν λέγειν, ὅτι βοτάνη πρῶτον ἀπὸ πυροῦ, καὶ ἐφεξῆς καλάμη, καὶ ἐπὶ ταύτῃ ἄσταχυς· δύναται δέ, ὡς Ἀλέξανδρος ἀκούει, τοῦτο ἐπῆχθαι, ὅτι μετὰ τὸ πρῶτον ποιῆσαν ἐπὶ τὸ προσεχὲς ποιητικὸν μετέρχονται, καὶ μετὰ τὴν πρώτην ὕλην ἐπὶ τὴν προσεχῆ καθ' ὁμοιότητα, οὐκ ἐπ' ἄλλο τι εἶδος αἰτίου τὸ οὗ ἕνεκα μεταβαίνοντες· μᾶλλον δὲ ὅτι ἐφ' ἑκάστου αἰτίου τὸ ἐφεξῆς ζητοῦσι. Simpl. f. 83.

198b 4. οὕτω μὲν οὖν, ἐὰν εἰς τὸ "ἕνεκά του" ὑποστίξωμεν, καὶ τῷ "πάντως" πρόσκειται ὁ καί σύνδεσμος. εἰ μέντοι μὴ πρόσκειται οὗτος, ὡς ἔν τισιν ἀντιγράφοις φέρεται, εἰς τὸ "καὶ ταύτην εἰδέναι δεῖ" ὑποστικτέον, ἵνα λέγῃ αἴτιον τοῦ τὸ διὰ τί ἀποδιδόναι τὸ τὴν φύσιν δεῖν εἰδέναι ἕνεκά του ποιοῦσαν... διὰ δὲ τοῦ "ὅτι τοῦτο ἦν τὸ τί ἦν εἶναι" τὴν κατὰ τὸ εἶδος αἰτίαν ἐνδείκνυται, διὰ δὲ τοῦ "διότι βέλτιον οὕτω" τοῦ τελικοῦ μέμνηται αἰτίου. καὶ γὰρ καὶ Πλάτων καὶ Ἀριστοτέλης τῷ φυσικῷ προσήκειν φασὶ τὴν διττὴν αἰτίαν ἀποδιδόναι, τὴν μὲν τοῦ ἀναγκαίου τὴν δὲ τοῦ εὖ... καὶ ἔστι τοιαύτη πραγματεία τῷ Ἀριστοτέλει ἡ περὶ Ζώων Μορίων, ἔνθα κατὰ τὸν διττὸν τρόπον φυσιολογεῖ, κατὰ τὸ ἀναγκαῖον καὶ τὸ εὖ. id. f. 83 *b*.

198b 10. δύο προτίθεται προβλήματα ἐν τούτοις, ἓν μὲν ὅτι τῶν ἕνεκά του ποιούντων αἰτίων ἡ φύσις ἐστὶν ἀποδεῖξαι, διότι πολλάκις ἐχρήσατο τούτῳ ἀντιλογίαν ἔχοντι, δεύτερον δὲ περὶ τοῦ ἀναγκαίου, πῶς ἔχει ἐν τοῖς φυσικοῖς. id. ib.

198b 15. τοῦτο δὲ καὶ ὁ ἐν τῷ Φαίδωνι (p. 97 sq.) Σωκράτης ἐγκαλεῖν τῷ Ἀναξαγόρᾳ δοκεῖ. id. ib.

198b 16. προβαλόμενος ὁ Ἀριστοτέλης δεῖξαι ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ, πρῶτον, ὥσπερ εἴωθε καὶ αὐτὸς καὶ ὁ τούτου διδάσκαλος Πλάτων, κρατύνει τὸν ἐναντίον λόγον... ταύτης δὲ δοκοῦσι τῆς δόξης τῶν μὲν ἀρχαίων φυσικῶν ὅσοι τὴν ὑλικὴν ἀνάγκην αἰτίαν εἶναι τῶν γινομένων φασίν, τῶν δὲ ὑστέρων οἱ Ἐπικούρειοι. ἡ δὲ πλάνη γέγονεν αὐτοῖς, ὥς φησιν Ἀλέξανδρος, ἀπὸ τοῦ ἡγεῖσθαι πάντα τὰ ἕνεκά του γινόμενα, κατὰ προαίρεσιν γίνεσθαι καὶ λογισμόν, τὰ δὲ φύσει μὴ οὕτως ὁρᾶν γινόμενα· τὰ δὲ οὐχ οὕτως ἔχει, φησίν, ὡς ἤδη προειρήκαμεν. id. f. 84.

199a 8. δεύτερον τοῦτο ἐπιχείρημα. ὁ δὲ Ἀλέξανδρος οὕτως ἐξηγεῖται τὸ χωρίον. δείξας, φησίν, ὅτι τὰ φύσει ἕνεκά του (ἔστι γὰρ ἐν αὐτοῖς τέλος τι οὗ ἕνεκα), προσλαμβάνει τοῦτο ὡς ἑπόμενον, ἐν οἷς τέλος τί ἐστι καὶ ἕνεκά του, τούτου χάριν τὰ πρὸ αὐτοῦ πράσσεται· ᾧ ἕπεται τὸ καὶ ἐν τοῖς φύσει γινομένοις τοῦ τέλους ἕνεκα γίνεσθαι τὰ πρὸ τοῦ τέλους. ἐγὼ δὲ ἔοικα μὴ νοεῖν τὸ λεγόμενον· δοκεῖ γάρ μοι λέγειν οὐδὲν ἄλλο ἢ ὅτι λαβὼν ὅτι τὰ φύσει ἕνεκά του, συνάγει τὸ τὰ φύσει ἕνεκά του... ὁ μέντοι Ἀλέξανδρος τέλος, φησί, λέγει οὐχ ἁπλῶς τὸ ὕστερον ἐπιγινόμενον, ἐπεὶ καὶ τοῖς αὐτομάτως γινομένοις ὕστερόν τι ἀπαντᾷ, ἀλλ' ὡς τὸ οὗ ἕνεκα. καὶ ἐπάγει ὅτι τοῦτο βουλόμενος καὶ νῦν ἐνδείξασθαι προσέθηκε τὸ "ἔτι ἐν οἷς τέλος ἐστὶ τὸ ἕνεκά του·" οὐ γὰρ ἁπλῶς ἠρκέσθη τέλος εἰπών, ἀλλὰ προσέθηκε τὸ ἕνεκά του, δεικνὺς ὁποῖον τὸ τέλος εἶναι βούλεται. καὶ ταῦτα ἐπιστάσεως ἄξιά μοι δοκεῖ, πρῶτον ὅτι οὐχ οὕτως ἔχει ἡ γραφὴ τῶν ἐμοὶ συνεγνωσμένων ἀντιγράφων πάντων, ἀλλ' οὕτως "ἔτι ἐν οἷς τέλος τι ἐστί, τούτου ἕνεκα πράττεται τὸ πρότερον," ἔπειτα ὅτι τὸ ἕνεκά του οὐκ ἔστι τέλος, ἀλλὰ τὸ οὗ ἕνεκα. βουληθεὶς δὲ οὕτω συντάξαι, ὅτι ἐν οἷς ἕνεκά του τέλος τι ἐστίν, εὑρίσκω μὴ προχωροῦσαν τὴν σύνταξιν διὰ τὸ ἐνικὸν ἄρθρον τῷ ἕνεκά του προσκείμενον. ὅλως δέ, ὅπερ εἶπον, τοῦτο ἦν τὸ ζητούμενον, εἰ ἕνεκά του ποιεῖ ἡ φύσις, ὅπερ ἐνδείκνυται διὰ τοῦ ἐφεξῆς καὶ ἐν τάξει τὴν ὁδὸν ποιουμένην εἰς πέρας τι καταντᾶν· τὸ δὲ τοιοῦτο πέρας οὗ ἕνεκα ἐστίν. φύσει δὲ τὸ οὕτως ὁδεῦον, ὡς καὶ πρότερον εἶπε, καὶ ἐφεξῆς δηλώσει λέγων "φύσει γὰρ ὅσα ἀπό τινος ἐν αὐτοῖς ἀρχῆς συνεχῶς κινούμενα ἀφικνεῖται εἰς τέλος." id. f. 85.

199a 10. ὁ μὲν Ἀριστοτέλης οὕτω, δοκεῖ δέ μοι μὴ ὑγιῶς ἔχειν τοῦτο τὸ ἐπιχείρημα. πρῶτον μὲν γὰρ τὸ πρῶτον τῶν ἀξιωμάτων δόξει μὴ καλῶς εἰλῆφθαι, τὸ λέγον, ἐν οἷς λόγος τις ἐστίν, ἐν τούτοις πάντα τὰ πρὸ τοῦ τέλους τοῦ τέλους ἕνεκα πράττεται. ποῖον γὰρ τέλος ἐνταῦθα φησίν; Philop. *h* p. 11.

199a 15. ὁ μέντοι Πορφύριος ἐκ τοῦ μᾶλλον καὶ ἧττον γίνεσθαι τὴν ἐπιχείρησιν ἐνταῦθα φησίν· εἰ γὰρ ἡ τέχνη τῆς φύσεως χείρων οὖσα, ὥσπερ καὶ ἡ εἰκὼν τοῦ παραδείγματος, τὰ πρὸ τοῦ τέλους ἕνεκα τοῦ τέλους ποιεῖ, πολλῷ μᾶλλον ἡ φύσις κρείττων οὖσα τῆς τέχνης οὕτω ποιήσει. πῶς δ' ἂν λέγοι χείρονα τῆς φύσεως τὴν τέχνην, εἴπερ ἐκεῖνά φησιν ἀποτελεῖν τὴν τέχνην ἅπερ ἡ φύσις ἀδυνατεῖ ἀπεργάσασθαι; εἰ μὴ ἄρα τοῦτο οὕτως εἶπεν ὡς τῆς τέχνης τὸ λεῖπον ἀναπληρούσης· τοῦτο δὲ καὶ τὸ χεῖρον ποιεῖν δυνατόν. ἢ καὶ ὡς μιμουμένης. Simpl. f. 85 *b*.

199a 20. τῷ γὰρ ὄντι φύσεις ζῴων ἀδίδακτοι, ὡς καὶ Ἱπποκράτει δοκεῖ. Philop. *h* p. 12.

199a 23. τὸ δὲ ἔτι τούτων θαυμασιώτερον, ὅτι τοὺς ἑαυτῶν φωλεούς, οὓς χειὰς καλοῦμεν, τριχῇ διαιροῦντες (οἱ μύρμηκες) ἐν μὲν τῷ ἑνὶ μέρει διαιτῶνται, ἐν δὲ τῷ ἑτέρῳ τὰς τροφὰς ὑποτίθενται, καὶ ἐν τῷ τρίτῳ θάπτουσι τοὺς νεκρούς. καὶ χελιδὼν δὲ καὶ ἀηδὼν οἰκοδομεῖ τὴν νεοττιάν, πηλόν τε τὸν εὐεργότατον ἐκλεξαμένη, ὡς καὶ τοὺς ἰατροὺς

197b 9. τὸ "ὥσπερ φησὶ Πρώταρχος" οὐ πρὸς τὸ "εἰ μὴ καθ' ὁμοιότητα·" οὐδὲ γὰρ καθ' ὁμοιότητα ἔλεγε Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους, ἀλλ' ἁπλῶς εὐτυχεῖς. οὕτως οὖν ἀναγνωστέον, οὐδὲ ὥσπερ φησὶ Πρώταρχος, εὐτυχία ἢ δυστυχία ὑπάρχει τούτοις. εἶτα τὸ "εἰ μὴ καθ' ὁμοιότητα" αὐτοῦ ἐστὶν ἐπίκρισις πῶς δυνατὸν καὶ ἐπὶ ἀψύχων εὐτυχίαν εἰπεῖν καὶ δυστυχίαν. Πρώταρχον δὲ ἤτοι τὸν ἐν Φιλήβῳ φησὶν ἢ ἕτερον τινά. Philop. *h* p. 3.

197b 11. ζωγράφου δέ ποτε γράφοντος ἵππον καὶ ῥίψαντος ἀκουσίως τὴν σπογγιὰν ἀφρὸς ἐν τῷ στόματι τοῦ γραφομένου ἵππου κατὰ τύχην ἀπετυπώθη. Simpl. f. 78.

197b 14. Ἀλέξανδρος "καὶ τοῖς ἀλόγοις ζῴοις" γράφει, "καὶ τοῖς ἀψύχοις," οὐδὲν διάφορον σημαινούσης τῆς γραφῆς. ἀπόδειξις δὲ τοῦτό ἐστι τοῦ τὸ αὐτόματον ἐπὶ πλέον εἶναι τοῦ ἀπὸ τύχης... οὐ πάντως δέ, φησὶν Ἀλέξανδρος, ἐν οἷς παρὰ τὴν προαίρεσιν ἄλλο τι ὑπήντησεν, εὐθέως τύχη τοῦτο καὶ ἀπὸ τύχης, ἀλλ' ἂν τοιοῦτον ᾖ οἷον μὴ ἀναγκαίως μηδὲ ὡς ἐπὶ τὸ πολὺ ἀκολουθεῖν τῷ ἄλλου χάριν γινομένῳ· τῷ γὰρ ἰσχύος χάριν γυμνασαμένῳ πλείω καὶ διὰ κόπον πυρέξαντι ἀπροαίρετον μὲν τὸ πυρέξαι, οὐκ ἀπὸ τύχης μέντοι. id. f. 78 *b*.

197b 22. ἔτι δὲ καὶ ἄλλη γραφὴ τῆς ἐν ἀρχῇ λέξεως τοιαύτη "σημεῖον δὲ τὸ μάτην, ὅτι λέγεται ὅταν μὴ γένηται τὸ οὗ ἕνεκα, ἀλλ' ὃ ἐκείνου ἕνεκα." τὸ δὲ αὐτὸ καὶ αὕτη δηλοῖ· μάτην γὰρ λέγεταί τι γίνεσθαι, ὅταν μὴ γένηται τὸ οὗ ἕνεκα, ἀλλ' ὃ ἄν τι προεγένετο, δι' ἐκεῖνο τὸ προγενόμενον ἀκολουθήσει τῷ κατὰ συμβεβηκὸς αἰτίῳ... ἄξιον δὲ οἶμαι τοῖς ἐνταῦθα λεγομένοις ὑπ' Ἀλεξάνδρου ἐπιστῆσαι. οὐ γὰρ λέγει, φησίν, ὁ Ἀριστοτέλης ταὐτὸν εἶναι τὸ αὐτόματον καὶ τὸ μάτην, ὥς τινες ᾠήθησαν, ἀλλ' ᾧ διαφέρει τύχη καὶ τὸ ἀπὸ τύχης, τούτῳ καὶ τὸ μάτην τοῦ αὐτομάτου. id. f. 79.

197b 15. εἰ δέ ποτε καὶ τῷ αὐτομάτῳ ἀντὶ τοῦ ἐκ ταὐτομάτου χρῆται, θαυμαστὸν οὐδέν· καὶ γὰρ Ὅμηρος οὕτω χρῆται, ἐν οἷς φησὶν "αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος" (Il. 2 408) καὶ "αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι" (5 749), τὸ ἐκ μὴ προηγησαμένης αἰτίας προφανοῦς ἀποτέλεσμα αὐτόματον λέγων. id. f. 79 *b*.

197b 34. "παρὰ φύσιν" ἀντὶ τοῦ παρὰ τὴν φύσιν, τουτέστι παρὰ τὸν σκοπὸν τῆς φύσεως. Philop. *h* p. 5.

198a 4. "ἀλλὰ τούτων τὸ πλῆθος ἀόριστον," ἀντὶ τοῦ ἀλλὰ ταῦτα κατὰ συμβεβηκός· ὧν γὰρ τὸ πλῆθος ἀόριστον, ταῦτα κατὰ συμβεβηκός ἐστιν, ἐπειδὴ καὶ τῶν μὴ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτὸ αἰτίων τὸ πλῆθος ὡρισμένον ἐστίν. Simpl. f. 80.

198a 5. ἔχει ἡ λέξις ἀκατάλληλόν τι· εἰπὼν γὰρ τὸν νοῦν καὶ τὴν φύσιν κατὰ συμβεβηκὸς αἴτια, ἐπειδή, φησί, πρότερον τὰ καθ' αὑτὸ αἴτια τῶν κατὰ συμβεβηκὸς αἰτίων, πρότερον ἄρα τοῦ αὐτομάτου καὶ τῆς τύχης νοῦς καὶ φύσις. καίτοι εἰ τὸν νοῦν καὶ τὴν φύσιν κατὰ συμβεβηκὸς εἶπεν εἶναι αἴτια, τὰ αὐτὰ δὲ καὶ καθ' αὑτό εἰσιν αἴτια, αὐτὰ ἑαυτῶν ἄρα καὶ πρότερον ἂν εἴη καὶ ὕστερον, εἴγε τῶν αὐτῶν καὶ καθ' αὑτό εἰσιν αἴτια καὶ κατὰ συμβεβηκός. Philop. *h* p. 6.

ἐν δὴ τούτοις ὁ Ἀλέξανδρος, ὅπερ, φησίν, ὁ Πλάτων ἐν τῷ 198a 9. δεκάτῳ τῶν Νόμων βούλεται δεῖξαι, καὶ διὰ πολλῶν αὐτὸ δείκνυσι, τοῦτο διὰ βραχέων ὁ Ἀριστοτέλης ἔδειξεν ἐνταῦθα, τὴν τῆς τύχης φύσιν ἥτις ποτέ ἐστιν ὁρισάμενος, καὶ δείξας ὅτι ὑστέρα... λέγει δὲ ὁ Πλάτων, ὡς εἶπον, οὐχ ὅτι φύσεως καὶ νοῦ ἡ τύχη ἐστὶν ὑστέρα, ἀλλ' ὅτι φύσεως καὶ τύχης προτέρα ἐστὶν ἡ ψυχὴ καὶ ἡ τέχνη, γράφων οὕτως (p. 889)... ὁ δὲ Εὔδημος τὴν μὲν φύσιν τῆς τέχνης, τὴν δὲ τέχνην τῆς τύχης προτέραν δείκνυσιν. ἄξιον δὲ πάλιν τοῖς ἐνταῦθα λεγομένοις ὑπὸ τοῦ Ἀριστοτέλους ἐφιστάνειν τοὺς οἰομένους τὸ ποιητικὸν αἴτιον τοῦ παντὸς μὴ λέγειν τὸν Ἀριστοτέλη... ἀλλ' ἐπειδὴ μέχρι τοῦδε τοῖς περὶ τύχης καὶ αὐτομάτου λόγοις ὑπ' Ἀριστοτέλους παρακολουθήσας ὡς δυνατὸν ἦν ἐμοὶ τῶν εἰρημένων ἕκαστα διήρθρωσα, καλῶς ἂν ἔχοι συντόμως ἐκθέμενον καὶ τὰ τῷ Ἀριστοτέλει δοκοῦντα περὶ τούτων, οὕτω τὰ τοῖς νεωτέροις φιλοσόφοις δεδογμένα προθεῖναι καὶ δεῖξαι μηδὲν τῆς παλαιᾶς παραδόσεως διαφέροντα. Simpl. f. 80 *b*.

ζητήσας ὅπερ ἐν ἀρχῇ προὔθετο... ἐπειδὴ μέγα τὸ ἐγχεί- 198a 14. ρημα τὸ πλῆθος τοσοῦτον τῶν κατὰ μέρος αἰτίων εἰς οὕτως ἐλάχιστα γένη συναγαγεῖν, εἰκότως παραμυθίας ἀξιοῖ τὸν λόγον, καὶ ὅτι τοσαῦτα τὸν ἀριθμὸν κατὰ γένος ἐστὶ τὰ αἴτια δείκνυσι δυνάμει οὕτως... ἐρωτηθέντες διὰ τί ἐπολέμησαν Φωκεῦσι Θηβαῖοι, ἐροῦμεν διότι ἐσύλησαν οἱ Φωκεῖς τὸν νεών, τὸ ποιητικὸν οὕτως αἴτιον ἀποδιδόντες... λέγει δὲ ὁ Πορφύριος ὅτι τὸ μὲν διὰ τί τετραχῶς ἔστιν ἀποδοῦναι, τὸ δὲ τίνος ἕνεκα ἐπὶ τοῦ τελικοῦ μόνον ἐρωτᾶται. τίνος γὰρ ἕνεκα ἐπολέμησαν; ἵνα ἄρξωσι. φυλάττων δὲ καὶ τὸ πρότερον εἰρημένον ὑπ' αὐτοῦ ὁ Ἀλέξανδρος, τὸ τὰ μαθηματικὰ μὴ ἔχειν τελικὸν αἴτιον, καὶ τὸ εἰρημένον ἐνταῦθα ὑπὸ τοῦ Ἀριστοτέλους, ὅτι τὸ διὰ τί εἰς τὸ τί ἔσχατον ἀνάγεται ἐν τοῖς ἀκινήτοις, οἷον ἐν τοῖς μαθήμασιν, αὐτὸς ἐξηγεῖται· ἐπειδή, φησίν, οὐκ ἔστιν ἐν τοῖς μαθήμασιν ἄλλο τοῦ εἴδους τὸ οὗ ἕνεκεν (ἐκεῖνο γὰρ ἂν ἦν ἐν αὐτοῖς τελικὸν καὶ ἔσχατον αἴτιον), διὰ τοῦτο ἔσχατον ἐν αὐτοῖς γίνεται τὸ εἶδος καὶ ὁ ὁρισμός. καὶ ὅτι μὲν ἔστι τι τῶν μαθηματικῶν τέλος, καὶ πρότερον εἶπον καὶ νῦν ἐρῶ. id. f. 81 *b*.

ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος "ἢ ἐν τοῖς γινομένοις ἡ ὕλη" γράφει, 198a 20. καὶ τῆς τούτου ἐξηγήσεως ἀκουστέον. ἢ γὰρ πρὸς ἀντιδιαστολήν, φησί, τὴν πρὸς τὰ ἀγένητα εἶπεν, ὡς οὐκ οὔσης ἐν τοῖς ἀϊδίοις ὕλης, ἢ ὅτι ἐπὶ τῶν κυρίως γινομένων ἔστιν εὑρεῖν τὴν ὕλην, ταῦτα δὲ οὐσίαι· τῶν γὰρ κατὰ συμβεβηκὸς γινομένων τε καὶ ὄντων οὐκ ἔστιν ὕλη καθ' αὑτά, ἀλλὰ κατὰ τὴν ἀναφορὰν τὴν ἐπὶ τὴν οὐσίαν ἐν τούτοις ἡ ὕλη. id. f. 82.

τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως καὶ ὅταν ταὐτὸν γένηται τούτοις, οὐ 198a 26. κατὰ τὸ ὑποκείμενον οὐδὲ τῷ ἀριθμῷ ταὐτόν ἐστιν, ἀλλὰ τῷ εἴδει μόνον... μήποτε διὰ τοῦ "καὶ ὅλως ὅσα κινούμενα κινεῖ" πόρρωθεν ἐνίσταται πρὸς τοὺς τὰς ἰδέας ὁμοειδεῖς αἰτίας τῶν τῇδε νομίζοντας ἀκινήτους οὔσας· τὸ γὰρ ὁμοειδὲς συνώνυμον, ταῦτα δὲ ὁμώνυμα ἢ ὡς ἀφ' ἑνός. οὕτω μὲν ἄν τις ἐξηγήσαιτο, εἰ πάντα τὰ ποιητικὰ τὰ αὐτὰ τοῖς εἰδικοῖς τῷ εἴδει νομίζοι εἶναι, ἐὰν κινούμενα κινῇ. id. f. 82 *b*.

196 b 10. περὶ τύχης καὶ αὐτομάτου προθέμενος εἰπεῖν, καὶ πρῶτον τὸ εἰ ἔστιν ἢ μὴ ἔστι προβαλόμενος ζητεῖν, καὶ δείξας ὅτι ἔστιν ἀπὸ τῆς πάντων κοινῆς μαρτυρίας... ὥρμησε μὲν ἐπὶ τὰ ἑξῆς προβλήματα, τί τέ ἐστιν ἑκάτερον εἰς ζήτησιν προβαλλόμενος, καὶ τί διαφέρετον ἀλλήλοιν, καὶ πῶς εἰς τὰ διωρισμένα αἴτια ἀναχθήσονται... τὰ οὐχ ὡς ἐπὶ τὸ πολὺ ἢ ἐπ' ἴσης ἢ ἐπ' ἔλαττον· καὶ τὸ ἐπ' ἴσης δὲ ἐπ' ἔλαττόν ἐστι τῶν τε ἀεὶ καὶ τῶν ὡς ἐπὶ τὸ πολύ. καὶ διὰ τοῦτο, οἶμαι, καὶ Ἀριστοτέλης τό τε ἐπ' ἴσης καὶ τὸ ὡς ἐπ' ἔλαττον κοινῶς παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ διετέλεσε λέγων. Simpl. f. 75.

196 b 33. τοῦτο, φησὶν Ἀλέξανδρος, οὐ τὸ ἀπὸ τύχης ἁπλῶς ἀλλ' ἀγαθῆς τύχης ἐστὶ παράδειγμα. ὅτι δὲ καὶ τὸ "ἄμφω δὲ ἐν τοῖς ἕνεκά του," τὸ πρότερον εἰρημένον, οὐ περὶ τῶν κατὰ προαίρεσιν εἴρηται, ὥς τινες ὑπέλαβον, ἀλλὰ περὶ τῆς τύχης καὶ τοῦ αὐτομάτου, δηλοῖ τὸ ἐν τῇ προσεχῶς ἐκτεθείσῃ ῥήσει διὰ τῶν αὐτῶν συλλαβῶν προαχθέν... ὁ δὲ Εὔδημος οὕτω δείκνυσιν ὅτι ἡ τύχη ἐν τοῖς ἕνεκά του. ἐν οἷς, φησί, τὸ εὐτυχεῖν καὶ τὸ ἀτυχεῖν, ἐν τούτοις ἐστὶν ἡ τύχη· ταῦτα δὲ ἐν οἷς ἀγαθοῦ ἐπίτευξις καὶ ἀπότευξις καὶ τὸ ἕνεκά του· πᾶς γὰρ ὁ ἕνεκά του πράττων ἀγαθοῦ ἐφίεται. ὁ δὲ λόγος οὗτος τὴν τύχην μόνην ἐν τοῖς ἕνεκά του τέθεικεν, οὐκέτι δὲ καὶ τὸ αὐτόματον. id. f. 75 *b*.

196 b 34. τοῦ γὰρ δεδανεισμένου κομιζομένου τὸν ἔρανον, εἰ ᾔδει ὁ χρεωστούμενος, ἦλθεν ἂν ἐπὶ τούτῳ· οὐκ ἦλθεν δὲ ἐπὶ τούτῳ· οὐκ ἄρα ἡ αἰτία τῆς ἀπολήψεως, ἣν φαμεν εἶναι τὴν τύχην, τῶν ἕνεκά του ἐστὶν ἀλλὰ τῶν κατὰ συμβεβηκός... τὸ δὲ "κομιζομένου" γράφεται καὶ "κομισόμενος" μέλλοντος, ἵνα ἐπὶ τοῦ χρεωστουμένου ᾖ. μᾶλλον δὲ τὸ πρότερον. Philop. *g* p. 14.

196 b 24. ὡς γὰρ ὄν, φησί, τὸ μέν ἐστι καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός (λέγει δὲ ὂν καθ' αὑτὸ μὲν τὴν οὐσίαν, κατὰ συμβεβηκὸς δὲ τὰ τῇ οὐσίᾳ συμβεβηκότα), οὕτω καὶ τὸ αἴτιον τὸ μέν ἐστι καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, ὥς φησιν ὁ Ἀλέξανδρος. μήποτε δὲ καὶ ἁπλοϊκώτερον ἀκουστέον τὸ ὂν πᾶν τὸ αἰτιατόν, ἵνα ᾖ λέγων, ὡς αἰτιατὸν τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, οὕτω καὶ αἴτιον. Simpl. f. 76.

197 a 2. οἶδε δὲ καὶ τοιαύτην γραφὴν ὁ Ἀλέξανδρος "ἀλλὰ τῶν ἀπροαιρέτων καὶ οὐκ ἀπὸ διανοίας." κἂν οὕτως εἴη, φησί, γεγραμμένον, λέγοι ἂν τότε ἀπὸ τύχης εἶναι τὸ τέλος, ὅταν μὴ προελομένοις ἡμῖν μηδὲ διανοηθεῖσι περὶ αὐτοῦ μηδὲ τούτου χάριν τὰ πρὸ αὐτοῦ ποιήσασιν ἀπαντήσῃ, ἐπεὶ ὅτι γε τὸ ἀπὸ τύχης γινόμενον τῶν ὑπὸ προαίρεσίν τε καὶ διάνοιαν πιπτόντων ἐστίν, ὀλίγῳ πρόσθεν εἴρηκε. δοκεῖ δὲ τῇ γραφῇ ταύτῃ καὶ τὸ ἐπαγόμενον συνᾴδειν, τὸ "εἰ δὲ προελομένου τούτου ἕνεκα·" πρὸς γὰρ τὸ ἀπροαίρετον ἐπῆχθαι δοκεῖ τὸ "εἰ δὲ προελόμενος." ἡ δὲ προτέρα γραφὴ τὸ ἀπὸ τύχης τέλος ὁρίζει τοῦ φυσικοῦ· τὰ γὰρ φυσικὰ τέλη οὐκ ἔστι προαιρετὰ οὐδὲ ἔξωθεν, ἀλλ' ἐν αὐτοῖς τοῖς τὴν φύσιν ἔχουσιν... δύναται δὲ καὶ οὕτως ἀκούεσθαι τὸ λεχθέν, ὅτι τὸ τέλος, ὅπερ ἐστὶ κομιδή, οὐ τῶν ἐν αὐτῷ αἰτίων ἀποτέλεσμα καὶ τέλος, ἔστι δὲ ἐν αὐτῷ αἴτιον ἡ φύσις· ἡ γὰρ φύσις ἀρχὴ κινήσεως, ἐν ᾧ ὑπάρχει πρώτως. ὥστε τὸ ἀπὸ τύχης γενόμενον οὐκ ἔχει ποιητικὸν αἴτιον τὴν φύσιν, ἀλλὰ διάνοιαν καὶ προαίρεσιν· διὸ περὶ αὐτὸ διάνοια καὶ τύχη· περὶ γὰρ προαίρεσιν καὶ πρᾶξιν ἡ τύχη, ὡς δειχθήσεται, ἡ δὲ προαίρεσις οὐκ ἄνευ διανοίας. id. f. 76 *b*.

197 a 8. εἰπὼν τί ἐστιν ἡ τύχη, καὶ δι' ὁρισμοῦ παραδοὺς αὐτήν... ἐφεξῆς, οἶμαι, βούλεται κατὰ τὸ σύνηθες συμψήφους ἑαυτῷ δεῖξαι καὶ τοὺς ὁτιοῦν περὶ τύχης λέγοντας. τοῦτο δὲ ποιεῖ τὴν ἀποδεδομένην τῆς τύχης ἔννοιαν ἐφαρμόζουσαν τοῖς περὶ αὐτὴν λεγομένοις δεικνύς... ἐπιστῆσαι δὲ ἄξιον ὅτι πρότερον ἄδηλον ἀνθρωπίνῃ διανοίᾳ τὴν τύχην ἔλεγε δοκεῖν τισίν, οὐ διὰ τὸ ἀόριστον ἀλλὰ διὰ τὸ θεῖόν τι εἶναι ἢ δαιμόνιον. ἀλλ' ἴσως καὶ τοῦτο ἐπενόουν ἐκεῖνοι διὰ τὸ μὴ ἔχειν τι ὡρισμένον προφανὲς αἴτιον τῶν οὕτω γινομένων ἀποδιδόναι. id. ib.

197 a 23. ὅταν γὰρ νοσοῦντός τινος καὶ ἀποκαρέντος διὰ τὴν τῶν τριχῶν ἀπόθεσιν ἢ πνεῦμα ἐπιγένηται διαφορητικὸν ἢ εἵλησις (τουτέστιν ἀπὸ ἡλίου θέρμη· εἵλη γὰρ ἡ τοῦ ἡλίου θέρμη, ὅθεν καὶ τὸ εἱληθερεῖν) καὶ ἀκολουθήσῃ ἡ ὑγίεια, ἆρα τῆς κατὰ τύχην ὑγιείας ὁμοίως αἴτιόν ἐστι τὸ πνεῦμα ἢ ἡ εἵλησις, ἀλλ' οὐ τὸ ἀποκεκάρθαι; id. f. 77 *b*.

197 a 27. ὅτι ἐν μεγέθει ἡ εὐτυχία ἐστί, δείκνυσιν, οἶμαι, δυνάμει συλλογιζόμενος οὕτως. ἡ εὐτυχία καὶ δυστυχία, κἂν παρὰ μικρὸν ἔχωσι τὸ μέγιστον ἀγαθὸν καὶ κακόν, εὐτυχία καὶ δυστυχία εἰσίν· τὰ παρὰ μικρὸν ἔχοντα οὐδὲν ἧττόν ἐστι τοῦτο ὅπερ λέγεται· ταῦτα δὲ ἐν μεγέθει ἐστί, διότι ἐν τοῖς μεγέθεσι τὸ παρὰ μικρὸν οὐδὲν ἀπέχειν δοκεῖ τοῦ ὅλου· ἡ ἄρα εὐτυχία καὶ δυστυχία ὡς μέγεθος ἔχοντα λέγεται οὕτως. καὶ μᾶλλον ὁ Πορφύριος οὕτως ἐπέβαλε, καὶ Ἀλέξανδρος κατὰ πρώτην ἐξήγησιν, τοῦ παρὰ μικρὸν ἐνταῦθα οὐκ ἐπὶ τοῦ παρὰ μικρὸν ἐλθόντος τοῦ τυχεῖν καὶ ἐμποδισθέντος ἀκουομένου, ἀλλ' ἐπὶ τοῦ τὸ ὅλον κακὸν καὶ ἀγαθὸν παρὰ μικρὸν λαβόντος, διότι καὶ τὸν τὸ μέγιστον ἀγαθὸν παρὰ μικρὸν λαβόντα εὐτυχῆ καλοῦμεν ὁμοίως τῷ τὸ ὅλον μέγεθος λαβόντι καὶ τὸν τὸ μέγιστον κακὸν παρὰ μικρὸν δυστυχῆ, ὡς τοῦ μικροῦ μηδὲν ὄντος. καὶ ἄλλως δὲ δυνατὸν ἀκούειν τοῦ εἰρημένου· εἰ γὰρ τὸ παρὰ μικρὸν ἐπὶ μεγέθους λέγεσθαι εἴωθε, λέγομεν δὲ δυστυχεῖν ἐκείνους ὅσοι παρὰ μικρὸν κακὸν ἄν τι μέγα ἔλαβον, καὶ εὐτυχεῖν ἐκείνους ὅσοι παρὰ μικρὸν ἀγαθόν τι μέγα ἔλαβον, δηλονότι ἐν μεγέθει τὸ εὐτυχεῖν καὶ δυστυχεῖν ἐστίν. καὶ ἐτίμων τοὺς παρὰ μικρὸν καλουμένους θεοὺς οἱ Λακεδαιμόνιοι ὡς σωτῆρας, ὅτι τοὺς μέλλοντας κινδυνεύειν τὸ παρὰ μικρὸν τοῦ κινδυνεῦσαι διδόντες ἔσωζον. καὶ ταύτῃ μᾶλλον τῇ ἐξηγήσει τίθεται ὁ Ἀλέξανδρος. τὸ δὲ ἐπαγόμενον, "ὅτι ὡς ὑπάρχον λέγει ἡ διάνοια· τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ," μᾶλλον τῇ προτέρᾳ συνᾴδει ἐξηγήσει. id. ib.

καὶ τὸ παρὰ μικρὸν μέγα ἀγαθὸν λαβεῖν, καὶ γινόμενον ἐγγύς, εὐτυχία μεγάλη, ὅτε ὡς ὑπάρχον αὐτὸ ἤδη λέγει ἡ διάνοια· τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ. Themist. f. 26 *b*.

ὅταν τις περιτυχὼν μεγάλῳ κινδύνῳ ἐγγὺς γένηται τοῦ κινδυνεῦσαι καὶ μεγάλῳ περιπεσεῖν κακῷ, οἷον ναυαγίῳ ἢ ἄλλῳ τινί, εἶτα μικροῦ λείποντος τὸν κίνδυνον ἐκφύγῃ, εὐτυχῆ τὸν τοιοῦτον καλοῦμεν, διότι παρ' ὀλίγον τῷ κινδύνῳ προσομιλήσας ἐξέφυγεν... ἐπειδὴ γὰρ τὸ παρὰ μικρὸν οὐδὲν δοκεῖ τοῦ τέλους ἀπέχειν, οὐ λογιζομένη τὸ μικρὸν τοῦτο ἡ διάνοια, ὥσπερ ἐκβεβηκότων τούτων, οὕτως εὐτυχῆ ἢ δυστυχῆ τὸν πεσόντα καλεῖ. Philop. *g* p. 16.

195 b 21. ἀκρότατον μὲν λέγει αἴτιον τὸ κυριώτατον λεγόμενον, ὃ ἄλλοι συνεκτικὸν ὀνομάζουσιν. ἀσαφὲς δὲ αὐτὸ διὰ τοῦ παραδείγματος ἐποίησε. διὰ τί γὰρ ἄνθρωπος οἰκοδομεῖ ἐρωτῶντες ἀκούομεν ὅτι οἰκοδόμος. διὰ τί δὲ οἰκοδόμος; ὅτι κατὰ τὴν οἰκοδομικήν. καὶ ἐν τούτοις παύεται ἡ τοῦ διὰ τί ζήτησις, διὸ καὶ ἀκρότατον τοῦτο καλεῖ, ὅτι μέχρι τούτου ἀναβαίνοντες ἱστάμεθα. id. ib.

195 b 31. εἰπὼν τίνα τε καὶ πόσα τὰ αἴτια, καὶ τίνες τρόποι καὶ διαφοραὶ θεωροῦνται καθ' ἕκαστον, ἐπειδὴ λέγεται καὶ ἡ τύχη καὶ τὸ αὐτόματον αἴτια, καὶ πολλὰ καὶ εἶναι καὶ γίνεσθαι διὰ τύχην καὶ τὸ αὐτόματον, ἀκόλουθον ἦν ζητεῖν εἰ ἔστι καὶ τί ἐστι καὶ ὑπὸ τί τῶν εἰρημένων αἰτίων ἀνάγεται ταῦτα. οὐ μάτην δὲ εἶπεν ὁ Ἀριστοτέλης λέγεσθαι ταῦτα· καὶ γὰρ οἱ μὲν πολλοὶ καὶ αὐτόθεν οἴονται πολλῶν αἰτίαν εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον, οἱ δὲ φυσιολόγοι κἂν μὴ λέγωσί τι περὶ αὐτῆς ἀλλ' οὖν ὡς οὔσῃ χρῶνται καὶ ὀνομάζουσι. καὶ γὰρ Ἐμπεδοκλῆς ἐν οἷς φησὶν "οὕτω γὰρ συνέκυρσε θέων τότε, πολλάκι δ' ἄλλως," καὶ πάλιν "ὅπῃ συνέκυρσεν ἅπαντα," τὴν τύχην αἰτιᾶσθαι δοκεῖ. καὶ οἱ θεὸν ἢ ὕλην τὰς ἀρχὰς λέγοντες ἢ ἀγαθὸν καὶ κακόν, τὴν διάστασιν αὐτῶν καὶ τὸν μερισμὸν τῶν πόνων καὶ τὰ τοιαῦτα ὡς ἐκ τύχης ἢ ἐκ ταὐτομάτου λέγειν ἀναγκασθήσονται. ἀλλὰ καὶ Δημόκριτος ἐν οἷς φησὶ "δεῖν ἀπὸ παντὸς ἀποκρίνεσθαι παντοίων εἰδέων," πῶς δὲ καὶ ὑπὸ τίνος αἰτίας μὴ λέγει, ἔοικεν ἀπὸ ταὐτομάτου καὶ τύχης γεννᾶν αὐτά. καὶ Ἀναξαγόρας δὲ τὸν νοῦν ἐάσας, ὥς φησιν Εὔδημος, καὶ αὐτοματίζων τὰ πολλὰ συνίστησι. καὶ τῶν ποιητῶν δὲ ἔνιοι πάντα σχεδὸν εἰς τὴν τύχην ἄγουσιν, ὥστε καὶ τῆς τέχνης οἰκείαν αὐτὴν ποιεῖν, λέγοντες "τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην." τὸν εὐτυχοῦντα δὲ καὶ φρονεῖν φασί. πρὸς δὲ τούτοις ὁρῶμεν ἔνια τῶν ἀπὸ τέχνης γινομένων καὶ ἀπὸ τύχης γινόμενα· καὶ γὰρ ὑγίεια καὶ ἀπὸ τύχης δοκεῖ γίνεσθαι ὥσπερ ἀπὸ τέχνης· διψήσας γὰρ καὶ πιών τις ψυχρὸν ὕδωρ γέγονεν ὑγιής. ἀλλ' ἴσως οὔ φησι Δημόκριτος τὴν τύχην αἰτίαν εἶναι ἀλλὰ τὸ διψῆσαι. id. f. 73 b.

196 a 5. "ἀγοράσαι" τουτέστιν εἰς ἀγορὰν διατρῖψαι· Ἀριστοφάνης "ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;" Philop. g p. 10.

196 a 8. ᾐτιάσατο ὁ Ἀλέξανδρος τὴν λέξιν ὡς ἀκατάλληλον τὴν λέγουσαν "τί δήποτε οὐδεὶς περὶ τύχης οὐδὲν διώρισεν." ἔδει γάρ, φησίν, ἐπενεγκεῖν περὶ τύχης τι διώρισε, διότι πρόκειται τὸ ἀποφαντικὸν ἐν τῷ οὐδείς. καὶ δηλονότι πολλῷ μᾶλλον ἂν μέμψαιτο τῷ Πλάτωνι λέγοντι "οὐδεὶς εἰς οὐδὲν οὐδενὸς ἂν γένοιτο ἄξιος." ἀλλὰ καὶ θαυμάσαι μᾶλλον ἔδει τὸ χωρίον καὶ σαφῶς καὶ ἀκριβῶς καὶ ἐντρεπτικῶς ἡρμηνευμένον. Simpl. f. 73 b.

196 a 11. πρὸς τοὺς δύο λόγους τοὺς δεικνύντας μὴ εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον ἀντιλέγει, καὶ πρότερον πρὸς τὸν πρῶτον, ὃς ἀναιρεῖ τὴν τύχην διὰ τὸ ὡρίσθαι πάντων τὰ αἴτια, τὴν δὲ τύχην ἀόριστον εἶναι. ἀντιλέγει δὲ τοὐναντίον ἢ βούλεται δεικνὺς τὸν τοιοῦτον λόγον περαίνοντα... τὸ "καθάπερ ὁ παλαιὸς λόγος ὁ ἀναιρῶν τὴν τύχην" πρὸς Δημόκριτον ἔοικεν εἰρῆσθαι· ἐκεῖνος γὰρ κἂν ἐν τῇ κοσμοποιίᾳ ἐδόκει τῇ τύχῃ χρῆσθαι, ἀλλ' ἐν τοῖς μερικωτέροις οὐδενός φησιν εἶναι τὴν τύχην αἰτίαν, ἀναφέρων εἰς ἄλλας αἰτίας, οἷον τοῦ θησαυρὸν εὑρεῖν τὸ σκάπτειν, ἢ τὴν φυτείαν τῆς ἐλαίας, τοῦ δὲ καταγῆναι τοῦ φαλακροῦ τὸ κρανίον τὸν ἀετὸν ῥίψαντα τὴν χελώνην, ὅπως τὸ χελώνιον ῥαγῇ. οὕτως γὰρ ὁ Εὔδημος ἱστορεῖ. πρὸς δὲ τὸν δεύτερον λόγον τὸν λέγοντα ἄτοπόν τι καὶ ἄπορον ἀκολουθεῖν τοῖς τιθεῖσι τὴν τύχην τὸ τοὺς προτέρους φυσιολόγους μηδὲν περὶ αὐτῆς εἰπεῖν, πρὸς τοῦτον οὖν ἀπαντῶν τὸ ἄτοπόν φησιν οὐ τοῖς λέγουσιν αἴτιον τὴν τύχην ἀκολουθεῖν, ἀλλὰ τοῖς πάλαι φυσιολόγοις... ἀλλ' οὗτος μὲν ἐπὶ σμικροῖς τῇ τύχῃ καταχρῆσθαι δοκῶν ἥττονος ἂν εἴη ἐπιστάσεως ἄξιος, τί ποτέ ἐστιν ἡ τύχη μὴ παραδούς· οἱ περὶ Δημόκριτον δὲ διχῶς ἄτοπόν τι πεπονθέναι δοκοῦσι, πρῶτον μὲν ὅτι καὶ οὐρανοῦ τοῦδε, τί λέγω τοῦδε τοῦ οὐρανοῦ; ὅτι καὶ τῶν κόσμων ἁπάντων πολλῶν ἢ καὶ ἀπείρων ὄντων τῶν κατ' αὐτοὺς αἰτιώμενοι τὸ αὐτόματον (ἀπὸ ταὐτομάτου γάρ φασι τὴν δίνην καὶ τὴν κίνησιν τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς τήνδε τὴν τάξιν τὸ πᾶν), ὅμως οὐ λέγουσι τί ποτέ ἐστι τὸ αὐτόματον... ἀπολογεῖται δὲ ὁ Εὔδημος ὑπὲρ τῶν παραλιπόντων ἐν τοῖς αἰτίοις τὴν τύχην, λέγων "εὐλόγως δὲ αὐτὴν παρέλιπον κατὰ συμβεβηκὸς οὖσαν· τὰ γὰρ τοιαῦτα οὐδὲ εἶναι δοκεῖ, ἀλλὰ τὰ καθ' αὑτά." ἐν δὴ τούτοις πᾶσι τοῖς χωρίοις ὁ μὲν Ἀριστοτέλης σαφῆ καὶ τεταγμένην ἐποιήσατο τὴν παράδοσιν, τὰ δὲ τοῦ Ἀλεξάνδρου ὑπομνήματα καὶ ἐλλιπέστερά πως ἐν τούτοις καὶ ὑποσυγκεχυμένα μοι δοκεῖ, τάχα τοῦ μεταγραψαμένου τὴν τάξιν τῶν εἰρημένων ταράξαντος. ἀξιῶ δὲ τοὺς ἐγκαλοῦντας Ἀριστοτέλει ὡς ποιητικὸν αἴτιον τοῦ οὐρανοῦ μὴ λέγοντι τῶν ἐνταῦθα λεγομένων εὐγνωμόνως ἀκούειν. id. f. 74.

196 a 14. "καθάπερ ὁ παλαιὸς λόγος," ὁ τοῦ Δημοκρίτου· καὶ γὰρ οὗτος κἂν ἐν τῇ κοσμοποιίᾳ τῇ τύχῃ κέχρηται, ἀλλ' ἐν τοῖς κατὰ μέρος οὐδενός φησιν εἶναι τὴν τύχην αἰτίαν. cod. Reg. 1947.

196 a 33. πολλῆς οὖν ἐμβροντησίας ἂν εἴη τῶν μὲν ἀεὶ ὡσαύτως ἐχόντων τὸ αὐτόματον αἰτιᾶσθαι, τῶν δὲ μὴ ἀεὶ ὡσαύτως ἐχόντων ἀλλ' ἔστιν ὅτε καὶ τοῦ σκοποῦ τοῦ φυσικοῦ ἀποτυγχανόντων, οἷά ἐστι τὰ ἐν γενέσει, τούτων πρόνοιάν τινα καὶ μὴ τὸ αὐτόματον αἰτιᾶσθαι, εἰ μή τις διὰ τὸ ἀνόητον τοῦ λόγου ἀπολογούμενος ὑπὲρ αὐτῶν εἴποι ὅτι αὐτόματον ἔλεγον τὴν ὑλικὴν αἰτίαν. Philop. g p. 11.

196 b 5. ὥσπερ οἱ Στωϊκοὶ δοκοῦσι λέγειν. καὶ ὅτι μὲν πολλοὶ ταύτης γεγόνασι τῆς δόξης, δῆλον ἐκ τοῦ προσκυνεῖν τὴν τύχην ὡς θεόν, καὶ ἱερὰ οἰκοδομεῖν αὐτῇ, καὶ ὕμνους εἰς αὐτὴν ᾄδειν. ἔοικε δὲ ἡ μὲν ὡς περὶ θείου τινὸς τῆς τύχης οὖσα δόξα καὶ πρὸ τοῦ Ἀριστοτέλους εἶναι παρὰ τοῖς Ἕλλησι, καὶ οὐχ ὑπὸ πρώτων νομισθῆναι τῶν Στωϊκῶν, ὥς τινες οἴονται. καὶ γὰρ Πλάτων ἐν τοῖς Νόμοις ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ φησὶ τύχη καὶ καιρὸς τὰ ἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. τὸ δὲ καί τινας τῶν πόλεων Τύχας τιμᾶν καὶ ναοὺς οἰκοδομεῖν ὕστερον ἔοικεν νομισθῆναι· οὐ γὰρ ἔχομεν παρὰ τοῖς παλαιοῖς Τυχῶν πόλεων ἱερὰ ἱστορημένα ἢ ἑορτὰς ἀναγεγραμμένας. καίτοι τὸ τύχης ὄνομα καὶ παρὰ τοῖς παλαιοῖς τιμώμενον ἴσμεν· ἐν Δελφοῖς δὲ καὶ προκατῆρχεν ἐν ταῖς ἐρωτήσεσιν "ὦ Τύχη καὶ Λοξία τῷδέ τινι θεμιστεύεις;" καὶ παρ' Ὀρφεῖ δὲ μνήμης τετύχηκεν. Simpl. f. 74 b.

196 b 7. "καὶ δαιμονιώτερον." οἱ Στωϊκοὶ τὴν τύχην θεῖόν τι καὶ δαιμόνιον ὑπελάμβανον, διὸ καὶ ἱερὰ τῇ τύχῃ ἐποίουν. cod. Reg. 1947.

στρωμνῆς, καὶ μετὰ τὰ καθ' αὑτὸ αἴτια καὶ τὰ κατὰ συμβεβηκὸς ὑπ' ὄψιν ἄγων. id. f. 68 *b*.

194 b 23. τοῦτό ἐστι τὸ ὑλικὸν καὶ ὑποκείμενον, ὅπερ κατὰ μὲν τὸ ἐξ αὐτοῦ γίνεσθαί τι τῇ στερήσει ἐπικοινωνεῖν δοκεῖ, κατὰ δὲ τὸ ἐνυπάρχοντος τούτου διαφέρει. id. f. 69.

194 b 26. καλεῖ παράδειγμα τὸ εἶδος, οὐχ ὡς οἱ τὰς ἰδέας λέγοντες αὐτὴν καθ' αὑτὴν εἰδικὴν οὐσίαν ὑποτιθέμενος, πρὸς ἣν τὰ ἐνθάδε ἀφομοιοῦται· οὐδὲ γὰρ τὰ φύσει ποιοῦντα, φησὶν Ἀλέξανδρος, πρῶτον νοήσαντα ἃ ποιεῖ οὕτω ποιεῖ... ἀλλὰ τὸ γινόμενον περὶ τῇ ὕλῃ εἶδος, τοῦτο καλεῖ παράδειγμα... οὐχ ὁμοίως δέ, φησὶν Ἀλέξανδρος, ἐν τοῖς ἕνεκά του ποιοῦσι πᾶσιν ἔχει τὸ τέλος καὶ τὸ παράδειγμα... παράδειγμα δὲ τὸ ἔνυλον εἶδος ὁ Ἀριστοτέλης καλεῖ, ἴσως μὲν καὶ ὡς σκοπὸν τῆς φύσεως, εἰς ὃν οὐ γνωστικῶς ἀλλ' οὐσιωδῶς ἀποτεινομένη πάντα ποιεῖ. id. ib.

194 b 28. ἔστιν ἡ διὰ πασῶν ἁρμονία, ἐν ᾗ ἡ ὑπάτη δὶς ἔχει τὴν νήτην, τουτέστι διπλασίονα αὐτῆς φθόγγον ἔχει. ἔστιν οὖν εἶδος ταύτης τὰ δύο πρὸς ἕν· ὃν γὰρ λόγον ἔχει τὰ δύο πρὸς ἕν, τοῦτον τὸν λόγον ἡ ὑπάτη πρὸς τὴν νήτην. Philop. *g* p. 2.

194 b 30. δεῖ μεμνῆσθαι ὅτι ἐνταῦθα ὁ Ἀλέξανδρος ὁμολογεῖ μὴ εἶναι κυρίως ποιητικὸν αἴτιον τὴν φύσιν ἀλλ' εἰδικὸν μᾶλλον, διὰ τὸ μὴ εἶναι πρῶτον ἐν τοῖς ποιητικοῖς. καὶ ὄργανα δὲ δοκεῖ κινήσεως αἴτια γίνεσθαι, ἀλλ' οὐδὲ ταῦτα κυρίως ποιητικά ἐστιν, ὅτι μὴ πρώτως ἀλλὰ κινούμενα κινεῖ. Simpl. f. 70.

195 a 3. τὸ σχεδὸν εἶπε διὰ τὴν πρὸς τὸν Πλάτωνα εὐλάβειαν ἓξ τὰ αἴτια λέγοντα. cod. Reg. 1947.

τὸ σχεδὸν πρόσκειται ἢ ὅτι τὰ κυρίως αἴτια τοσαυταχῶς, πολλῶν ὄντων καὶ κατὰ συμβεβηκὸς αἰτίων, ὡς ἐρεῖ, ἢ δι' εὐλάβειαν εἴρηται τοῦ Πλάτωνος τὸ μὲν παραδειγματικὸν αἴτιον τοῖς κυρίως αἰτίοις συναριθμήσαντος, τῷ τελικῷ καὶ τῷ ποιητικῷ, τὸ δ' ὀργανικὸν τοῖς συναιτίοις, τῷ τε ὑλικῷ καὶ τῷ εἰδικῷ... καὶ ὅτι μὲν ταῦτα αἴτια τῶν γινομένων ἐστί, δῆλον· ὅτι δὲ καὶ μόνα ταῦτα, ἐκ τῆς διαιρέσεως ἐπιβλεπτέον. Simpl. f. 70 *b*.

195 a 15. ἅπαντα μέντοι γε, ὥσπερ ἔφην, εἰς τέτταρας τρόπους πίπτει τοὺς φανερωτάτους, καὶ πάλιν γε αὐτοὺς ἀκριβείας ἕνεκα ἐξαριθμητέον. πρῶτον μὲν εἰς τὴν ὕλην καὶ τὸ ὑποκείμενον. οὐχ εἷς δὲ ὁ τρόπος τῆς ὕλης· ἄλλως γὰρ ὑπόκειται τὰ στοιχεῖα ταῖς συλλαβαῖς (κατὰ σύνθεσιν γάρ), καὶ ἄλλως ἡ κυρίως ὕλη δέχεται τὸ εἶδος (κατὰ ἀλλοιώσεις γάρ), γῆ δὲ καὶ ὕδωρ κατ' ἄμφω τοῖς τῶν ζῴων σώμασιν, καὶ τὰ μέρη τῷ ὅλῳ καθ' ἕτερον τρόπον, καὶ αἱ προτάσεις τοῦ συλλογισμοῦ τῷ συμπεράσματι. δεύτερον δὲ τὸ τί ἦν εἶναι καὶ τὸν λόγον. καὶ τοῦτο δὲ λέγεται πολλαχῶς, ὅλον μὲν ἐπὶ τοῖς ἐκ μερῶν συγκειμένοις, ὅλον δὲ οὐ σὺν τοῖς μέρεσιν (τοῦτο γὰρ ἤδη τὸ συναμφότερον) ἀλλὰ τὸ ἐπὶ πᾶσιν αὐτοῖς ἐπιθεωρούμενόν τε καὶ ἐπιγιγνόμενον. Themist. f. 25.

195 a 19. συντάξας τὰ εἴδη τοῖς ὑποκειμένοις εἰκότως ἐπήγαγε "τούτων δὲ τὰ μέν."... μεμνῆσθαι χρὴ ὅτι τὴν ὕλην κατὰ ἀλλοίωσιν ἀναλαμβάνειν τὸ εἶδος ὁ Ἀλέξανδρός φησιν. διὸ καὶ ἐξ ὕλης καὶ εἴδους τὸ σύνθετον οἱ Περιπατητικοὶ λέγουσιν, ὡς συνεξαλλοιουμένων ἀλλήλοις τῶν ἁπλῶν ἐν τῇ τοῦ συνθέτου γενέσει. οἱ δὲ Πλατωνικοὶ τὴν ὕλην ἄτρεπτον λέγουσιν, τοῖς ἐν Τιμαίῳ (p. 50) λεγομένοις ἀκολουθοῦντες. Simpl. f. 71 *b*.

τρίτον πάλιν ἀπαριθμεῖται τὸ ποιητικὸν αἴτιον, παραδείγματα καὶ ἐνταῦθα παρατιθείς, δι' ὧν, ὡς οἶμαι, καὶ τὰς τοῦ ποιητικοῦ αἰτίου διαφοράς, ὡς τὰς τοῦ ὑλικοῦ καὶ τὰς τοῦ εἴδους πρότερον ἐνεδείξατο· ἄλλως γὰρ ὁ βουλεύσας ποιεῖ, καὶ ἄλλως ὁ ἰατρός, καὶ ἄλλως τὸ σπέρμα. id. ib.

195 a 23. "τὸ δὲ ὡς τέλος καὶ τὸ ἀγαθὸν τῶν ἄλλων." καὶ φησὶν ὁ Ἀλέξανδρος τὸ ἀκόλουθον εἶναι κατὰ τὴν λέξιν, τὸ δὲ ὡς τέλος τῶν ἄλλων, καὶ τὸ ἀγαθόν. τῶν ἄλλων, δηλονότι ὧν ἐστὶ τέλος. μήποτε δὲ κοινῶς κατὰ κοινοῦ καὶ τῷ τέλει καὶ τῷ ἀγαθῷ ἐπήχθη τὸ "τῶν ἄλλων."... τοσούτων οὖν ὄντων τῶν αἰτίων λέγει ὁ Εὔδημος ὅτι τὸ μὲν ὑποκείμενον καὶ τὸ κινοῦν πρώτως πάντες ᾐτιῶντο. τὴν δὲ μορφὴν πολλοί, τὸ δὲ οὗ ἕνεκα ἐλάττονες καὶ ἐπὶ μικρόν. ἡμῖν δὲ τῶν πλείστων φαίνεται τοῦτο αἴτιον· φαίνεται γὰρ πολύχουν εἶναι. id. ib.

195 a 27. πρότερον μὲν ὅτε ἔλεγεν (p. 194 *b* 23) "ἕνα μὲν οὖν τρόπον αἴτιον λέγεταί τι, τὸ ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος," τρόπους ἔλεγε τὰς πρὸς ἄλληλα τῶν πρώτων αἰτίων διαφοράς, οἷον τὰς τῆς ὕλης μόνης καὶ τοῦ εἴδους μόνου καὶ τῶν ἄλλων αἰτίων· νῦν δὲ τρόπους τὰς διαφορὰς τῶν μερικῶν αἰτίων φησίν, αἵτινες τῶν ὁμοειδῶν εἰσίν. id. f. 72.

195 b 1. εἰς κατασκευὴν τοῦ προτέρου τοῦτο ἐπήγαγεν, ὅτι ἔστι τοῦ συμβεβηκότος τὸ μὲν προσεχὲς τὸ δὲ πόρρω, ἵνα τὸ δὲ ἀντὶ τοῦ γὰρ ἀκούσωμεν. ἢ βούλεται διὰ τούτων δεῖξαι ὅτι καὶ τῶν τῆς αὐτῆς τάξεως συμβεβηκότων τὰ μὲν οἰκειότερα μᾶλλόν ἐστι τοῖς καθ' αὑτὸ αἰτίοις, τὰ δὲ ἧττον, ἵνα τὸ πορρώτερον καὶ ἐγγύτερον ἀντὶ τοῦ οἰκειότερον καὶ ἀνοικειότερον ἀκούσωμεν· ὅθεν καὶ τὰ παραδείγματα τὰ τοιαῦτα ἔθηκε, τὸ λευκὸν καὶ τὸ μουσικόν, ὧν οὐδέτερον περιεκτικώτερόν ἐστιν, ἀλλὰ τὸ μὲν μουσικὸν οἰκειότερον, ὅπερ οὐδενὶ ἄλλῳ συμβαίνει ἢ τῷ ἀνθρώπῳ, ὥσπερ καὶ αὐτῷ τῷ μουσικῷ συμβέβηκεν, ἧττον δὲ οἰκεῖον τὸ λευκόν· καὶ γὰρ ἄλλοις πολλοῖς παρὰ τὸν ἄνθρωπον. Philop. *g* p. 7.

195 b 3. κοινήν τινα διαφορὰν ἐπάγει πᾶσι τοῖς εἰρημένοις αἰτίοις, τοῖς τε καθ' αὑτὸ καὶ τοῖς κατὰ συμβεβηκός, τοῖς τε ἀπολελυμένοις δηλονότι καὶ τοῖς συμπεπλεγμένοις, τὴν κατὰ τὸ δυνάμει καὶ ἐνεργείᾳ· ὥστε ἐξ οὐσῶν τῶν διαφορῶν καὶ διπλασιαζομένων τῷ δυνάμει καὶ ἐνεργείᾳ, δώδεκα γίνεσθαι τὰς πάσας, ἃς καὶ αὐτὸς σαφῶς ἀπαριθμεῖται. Simpl. f. 72 *b*.

195 b 7. οἷον αἴτιον ἀνδριάς ἐστιν ὅδε προσεχῶς, οἷον ὁ Μίλωνος, πορρώτερον δὲ ἀνδριὰς ἁπλῶς, καὶ ἔτι τούτου πορρώτερον ἡ εἰκών. id. ib.

195 b 11. Πολύκλειτος δὲ οὗτός ἐστιν ὁ ἀνδριαντοποιός, οὗ καὶ Γαληνὸς ἐμνημόνευσεν, ὃς τὸν ἀνδριάντα ἐδημιούργησε πᾶσαν ἔχοντα μελῶν συμμετρίαν καθ' αὑτά τε καὶ πρὸς ἄλληλα, ὡς διὰ τοῦτο τὸν Πολύκλειτον καλεῖσθαι κανόνα. id. f. 73.

195 b 17. εἰπὼν τὰ ἐνεργοῦντα, προσέθηκε "καὶ τὰ καθ' ἕκαστον," οὐχ ὡς ἄλλα παρὰ τὰ ἐνεργοῦντα λέγων, ἀλλ' ὅτι τὰ ἐνεργοῦντα τὰ καθ' ἕκαστά ἐστιν. id. ib.

ἀλλὰ κέχρηνται ὡς φυσικῇ τε καὶ κινουμένῃ· τῇ γὰρ ἐκ τῆς διόπτρας εὐθείᾳ μεθ' ὕλης ἤδη χρῶνται καὶ κινήσεως. Themist. f. 24.

194a 12. διχῶς δὲ ἡ φύσις κατά τε τὴν ὕλην καὶ κατὰ τὸ εἶδος, καὶ κυριώτερον κατὰ τὸ εἶδος. εἰκότως οὖν τὸ συναμφότερον γινώσκει κατὰ τὸ εἶδος. καὶ εἴπερ ἡ μὲν ὕλη κατὰ ἀναλογίαν ἐστὶ γνωστή, τὸ δὲ εἶδος κατὰ ἐπέρεισιν, εἰκότως κατὰ τὸ εἶδος ἡ τοῦ συνθέτου γνῶσις ἐπιτελεῖται. Simpl. f. 66 *b.*

194a 20. Ἐμπεδοκλῆς μὲν τὸ νεῖκος καὶ τὴν φιλίαν ὡς εἰδοποιοὺς αἰτίας ἐν ταῖς ἀρχαῖς ἀποθέμενος, Δημόκριτος δὲ τὸ σχῆμα καὶ τὴν θέσιν καὶ τὴν τάξιν, τὸ εἶδος οἶμαι κατὰ τὸν λόγον ἀφορίζει καθ' ὃν ἕκαστα ἐποίουν... Ἀναξαγόρου δέ, φησὶν Ἀλέξανδρος, οὐκ ἐμνημόνευσε, καίτοι τὸν νοῦν ἐν ταῖς ἀρχαῖς τιθέντος. ἴσως, φησίν, ὅτι μὴ προσχρῆται αὐτῷ ἐν τῇ γενέσει. ἀλλ' ὅτι μὲν προσχρῆται, δῆλον, εἴπερ τὴν γένεσιν οὐδὲν ἄλλο ἢ ἔκκρισιν εἶναί φησι, τὴν δὲ ἔκκρισιν ὑπὸ τῆς κινήσεως γίνεσθαι, τῆς δὲ κινήσεως αἴτιον εἶναι τὸν νοῦν. λέγει γὰρ οὕτως Ἀναξαγόρας. κ. ἀλλὰ διὰ τοῦτο τοῦ Ἀναξαγόρου οὐκ ἐμνήσθη, ὅτι τὸν νοῦν ὁ Ἀναξαγόρας οὐκ ἔλεγεν εἶδος ἔνυλον, οἷον ἦν τὸ νῦν ζητούμενον, ἀλλὰ διακριτικὸν καὶ κοσμητικὸν αἴτιον, χωριστὸν ἀπὸ τῶν κοσμουμένων καὶ ἄλλης ὂν ὑποστάσεως παρὰ τὰ κοσμούμενα... μήποτε δὲ καὶ διὰ τοῦτο οὐκ ἐμνημόνευσεν Ἀναξαγόρου, ὅτι ὁ παρ' αὐτῷ νοῦς οὐ ποιεῖν ἀλλὰ διακρίνειν ὄντα τὰ εἴδη δοκεῖ... δευτέρῳ δὲ χρῆται ἐπιχειρήματι τοιούτῳ. εἰ τῆς αὐτῆς ἐστὶν ἐπιστήμης τὸ τέλος καὶ τὸ οὗ ἕνεκα γινώσκειν καὶ τὰ πρὸς τὸ τέλος, οἷον οἰκοδομικῆς τὴν ὀροφὴν καὶ τοὺς τοίχους, ἡ δὲ φύσις καὶ τὸ εἶδος τέλος ἐστὶ καὶ τὸ οὗ ἕνεκα, δηλονότι τῆς φυσικῆς εἴη ἂν μὴ μόνον τὴν ὕλην γινώσκειν, ὡς οἱ παλαιοὶ φυσικοὶ λέγουσιν, ἀλλὰ καὶ τὸ εἶδος, ἢ μὴ μόνον τὸ εἶδος, ὅπερ ἐστὶν ἡ κυρίως φύσις, ἀλλὰ καὶ τὴν ὕλην· οὕτω γὰρ ὁ Ἀλέξανδρος ἀκούει. δυνατὸν δὲ ἀμφοτέρως. ἀλλ' ἡ μὲν ἀπόδειξις τοῦ καὶ τοῦ εἴδους εἶναι τὴν φυσικὴν ὀρθῶς ἔχει ὡς πρὸς τοὺς φυσικοὺς λεγομένη, ἡ δὲ τοῦ καὶ τῆς ὕλης πρὸς τὰ ἐφεξῆς ἐπαγόμενα. id. ib.

194a 29. ὁ Ἀλέξανδρος ἄμεινόν φησι γεγράφθαι "ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἐστί τι ἔσχατον, τοῦτο τέλος καὶ οὗ ἕνεκα," ἐπεὶ μὴ πᾶν ἔσχατον τέλος. καίτοι καὶ αὐτὸς Ἀριστοτέλης ὁμολογεῖ μὴ πᾶν τὸ ἔσχατον εἶναι τέλος. μήποτε οὖν μεταγράφειν οὐκ ἀνάγκη τὴν λέξιν. id. f. 67.

"ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἐστὶ τέλος, τοῦτο ἔσχατον καὶ τὸ οὗ ἕνεκα." μικρὸν δεῖ τὴν λέξιν μεταρρυθμίσαι, "ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστιν ἔσχατόν τι, τοῦτο τέλος καὶ τὸ οὗ ἕνεκα." ὁ δὲ νοῦς τῶν προκειμένων οὗτος. Philop. *f* p. 14.

194a 30. ποιητὴν τὸν Εὐριπίδην λέγει. ὅτι, φησί, καλῶς ὡρισάμεθα τὸ τέλος καὶ τὸ οὗ ἕνεκα, καὶ ὅτι ἐπὶ τῆς ἀδιακόπου κινήσεως, πιστοῦται καὶ Εὐριπίδης, ἐκ κοινῆς μὲν ἐννοίας τοῦτο λαβών, ὅτι τῆς συνεχοῦς κινήσεως τὸ ἔσχατον τέλος καὶ οὗ ἕνεκά ἐστι, γελοίως δὲ τὴν κοινὴν ταύτην ἔννοιαν καὶ καθολικὴν ἐφαρμόσας τοῖς κατὰ μέρος. ἐπεὶ γοῦν συνεχοῦς τινὸς τῆς ζωῆς τέλος ἐστὶν ὁ θάνατος, ἐνόμισε τοῦτο τέλος καὶ οὗ ἕνεκα εἶναι· ὅθεν ἐπειδὴ τὰ πρὸ τοῦ τέλους πρὸς τὸ τέλος ἀναφέρεται πάντα, ὑπενόησε διὰ τοῦτο γίγνεσθαι τὸν ἄνθρωπον ἵνα ἀποθάνῃ. id. p. 15.

ὅτι συνήρτηται ἀλλήλοις τὸ τέλος καὶ τὰ πρὸς τὸ τέλος, δείκνυσιν ἐκ τοῦ καὶ ἡμᾶς τέλη ὄντας χρῆσθαι ἐκείνοις τοῖς ἡμῶν ἕνεκα παραλαμβανομένοις. 194a 34. καὶ δηλονότι καὶ τὸ ἐπὶ τῶν τεχνῶν εἰρημένον καὶ τὸ ἐπὶ τῶν τελῶν κατ' ἐπίτασιν δείκνυσι τὸ προκείμενον· περιττεύει γὰρ τὸ ποιεῖν καὶ χρῆσθαι τοῦ γινώσκειν μόνον. ἀλλὰ πῶς ἡμεῖς τέλη, καὶ πῶς χρώμεθα πᾶσιν; ἢ ὅτι διχῶς τὸ τέλος, τὸ μὲν ὡς τὸ οὗ ἕνεκα ἡ ἔφεσις, ὅπερ σκοπὸν οἱ νεώτεροι καλοῦσιν, οἷον ἡ ὑγίεια, ἧς ὁ ἰατρὸς στοχάζεται, τὸ δέ, ἐν ᾧ τοῦτό ἐστι καὶ ᾧ περιγίνεται, ὥσπερ ὁ ὑγιαίνων· τοῦτο γάρ ἐστι τέλος ὡς τὸ ᾧ, ὃ καὶ ἡμεῖς ἐσμέν. τέλος γὰρ τοῦ ἰατροῦ ὁ ὑγιαίνων οὐχ ὡς τὸ οὗ στοχάζεται, οἷον ἡ ὑγίεια, ἀλλ' ὡς τὸ ᾧ βούλεται αὐτὴν περιποιῆσαι. γέγονε δὲ ἡ διαίρεσις αὐτῷ ἐν τοῖς Νικομαχείοις Ἠθικοῖς, ἃ περὶ φιλοσοφίας καλεῖ, φιλοσοφίαν ἰδιαίτερον καλῶν πᾶσαν τὴν ἠθικὴν πραγματείαν. Simpl. f. 67 *b.*

"καὶ ἐν τοῖς περὶ φιλοσοφίας." λέγει δὲ τοῖς Ἠθικοῖς, ἃ περὶ 194a 36. φιλοσοφίας, διότι τὸ φιλόσοφον ἦθος δι' αὐτῶν παραδίδοται. αὕτη μὲν οὖν ἡ σύνταξις, τὰ δὲ μεταξὺ τὰ μέν ἐστι προκατασκευὴ τοῦ ὅτι τὸ οὗ ἕνεκα τέλος, τὰ δὲ πρὸς ἔλεγχον τοῦ Εὐριπίδου. Philop. *f.* p. 15.

εἴρηται δὲ περὶ τούτων ἐν τοῖς Ἠθικοῖς τοῖς Νικομαχείοις· ταῦτα γὰρ φιλοσοφίαν καλεῖ ὡς περὶ ἀρετῆς διδάσκοντα. cod. Reg. 1947.

εἰπὼν ὅτι ἔνιαι τῶν τεχνῶν καὶ ποιοῦσι τὴν ὕλην καὶ οὐ μόνον γνωρίζουσι, νῦν δείκνυσιν ὅτι καὶ αἱ ἀρχιτεκτονικαὶ τῶν τεχνῶν αἱ μάλιστα δοκοῦσαι πρὸς τὸ εἶδος ὁρᾶν, οὐδὲ αὗται τὴν ὕλην ἀγνοοῦσιν. Simpl. f. 67 *b.*

προσέθηκε τὸ "πως" διὰ τὸ μὴ τεκταίνεσθαι τὴν κυβερνητικήν. 194b 3. ἄρχει μὲν γὰρ μᾶλλον τῆς ναυπηγικῆς, οὐ τεκταίνεται δέ. πρὸς τὸ τεκταίνεσθαι οὖν τὸ "πως," οὐ πρὸς τὸ ἄρχειν. Philop. *f* p. 16.

καί μοι δοκεῖ κατάλληλος ἡ λέξις φαίνεσθαι, ἐὰν καὶ ἐπὶ τοῦ 194b 11. "μέχρι τίνος" βαρύνωμεν τὸ τίνος (ταὐτὸν γάρ ἐστι τῷ μέχρι πόσου) καὶ ἐπὶ τοῦ "τίνος γὰρ ἕνεκα ἕκαστον" βαρυτόνως προενέγκωμεν τὸ τίνος· δηλοῖ γὰρ τὸ ἄχρι τοῦ τέλους καὶ ἄχρι τοῦ τίνος ἕνεκα. εἰ δὲ καὶ ἐγγράφοιτο "μέχρι τινός, ἕνεκα τινός, τινὸς γὰρ ἕνεκα ἕκαστον" (λέγει γὰρ καὶ τοιαύτην γραφὴν ὁ Ἀλέξανδρος), τὸ μὲν πρῶτον τίνος βαρυνοῦμεν, τὸ δὲ δεύτερον ὀξυνοῦμεν... σημειοῦται δὲ ὁ Ἀλέξανδρος καὶ ἐκ τῶν ἐνταῦθα λεγομένων ὅτι κατὰ Ἀριστοτέλη συνῆπται τῷ θείῳ σώματι ἡ τῶν ἐνταῦθα γένεσις καὶ οὐκ ἀπήρτηται ἀπ' αὐτοῦ. Simpl. f. 68.

τῆς πραγματείας οὔσης περὶ τῶν ἀρχῶν καὶ αἰτίων τῶν φυ- 194b 16. σικῶν, διότι, ὡς αὐτὸς ἀρχόμενος εἶπε, "τότε οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς πρώτας καὶ μέχρι τῶν στοιχείων," περὶ τῶν ἀρχῶν τῶν ὡς στοιχείων πρῶτον προέθετο σκοπεῖν... ἐπειδὴ πολλὰ μεταξὺ τῆς τῶν αἰτίων πρὸς ἄλληλα συντάξεως ἐρρήθη, ἀναλαβὼν τὸν λόγον ἐφεξῆς αὐτὰ ἀπαριθμήσεται, τοὺς προσήκοντας ἑκάστῳ ἐπάγων διορι-

ἀρρύθμιστον... κατὰ δεύτερον δὲ σημαινόμενον τὸ περὶ τὴν ὕλην εἶδος... κατὰ δὲ τρίτον τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συγκείμενον, οἷον ὁ ἄνθρωπος... εἰ μέντοι τὸ "μᾶλλον αὕτη φύσις τῆς ὕλης" ἐπὶ τῆς συνθέτου εἴρηται, ὡς ἤκουσεν ὁ Πορφύριος, δηλονότι κυρίως μὲν φύσις οὐκ ἔστι τὸ σύνθετον... κατὰ τέταρτον δὲ σημαινόμενον λέγεται φύσις ἡ οἷον ἔκφυσις καὶ γένεσις καὶ κίνησις, καθ' ἣν ὑπὸ τοῦ φύοντος φύεται τὸ φυόμενον... κατὰ πέμπτον δὲ σημαινόμενον τὸ κυριώτατον φύσις ἐστὶ τὸ τοῦ κινεῖσθαι τοῖς φυσικοῖς αἴτιον... ὁ μέντοι ὁρισμὸς πᾶσι τοῖς σημαινομένοις ἐφαρμόσει οἰκείως ἐφ' ἑκάτερα λαμβανόμενος· καὶ γὰρ ἡ μὲν κυρίως φύσις ἀρχὴ καὶ αἰτία κινήσεώς ἐστι καὶ ἠρεμίας, ἡ δὲ ὡς κίνησις φύσις ὡς ὀργανική· διὰ γὰρ ταύτης ἡ ποιητικὴ φύσις τὴν ἐν τοῖς φυσικοῖς κίνησιν καὶ ἠρεμίαν ἀποτελεῖ, ὡς ὁ ἰατρὸς διὰ τῆς ἰατρεύσεως τὴν ὑγίειαν. ἡ δὲ ὕλη καὶ τὸ εἶδος ἀρχαὶ τῆς κατὰ φύσιν ἀποδιδομένης ἐνεργείας εἰσὶν ὡς στοιχειώδεις. καὶ λέγει ὁ Εὔδημος ὅτι ἐπιδέχεται καὶ ταῦτα τὸν λόγον τῆς φύσεως· ἀρχὴ γὰρ δοκεῖ κινήσεως εἶναι καὶ ἡ ὕλη καὶ τὸ οὗ ἕνεκα... ἀλλὰ πῶς τὸ σύνθετον ἀρχὴ ἂν εἴη καὶ αἰτία, ἀποτέλεσμα μόνον ὑπάρχον; ἢ καὶ τοῦτο ὡς τέλος ἂν εἴη ἀρχή... εἰ δὲ παλαιότεροι φαίνονται μὲν καὶ αὐτοὶ τοιαύτην τινὰ τῆς φύσεως ἔννοιαν ἐσχηκότες, ὡς κατὰ τὴν ἐπιτηδειότητα τὴν πρὸς κίνησιν ἑκάστων θεωρουμένης, καθ' ἣν χαρακτηρίζεται τὰ φυσικὰ πράγματα. Simpl. f. 62 *b*.

193b 20. εἰ δὲ καὶ ἡ ψυχὴ ἀρχὴ κινήσεώς ἐστι καὶ ἠρεμίας τοῖς ἐμψύχοις σώμασι καὶ κατὰ Πλάτωνα καὶ Ἀριστοτέλην, τίς ἡ διαφορά; ὅτι γὰρ καὶ ἡ ἐσχάτη ψυχὴ ἡ φυτικὴ καλουμένη ἄλλη καὶ κατὰ τὸν Ἀριστοτέλην ἐστὶ παρὰ τὴν φύσιν, ἐκ τῶνδε δῆλον, κἂν πολλάκις φύσιν καλῶσι τὴν φυτικὴν ψυχὴν ὡς ἐγγὺς οὖσαν τῆς φύσεως. πᾶσα ψυχὴ καὶ ἡ ἐσχάτη ἐντελέχεια σώματος φύσιν ὀργανικὴν ἔχει παρ' αὐτῷ, ὥστε φύσιν ἔχοντι σώματι ὑπάρχει ἡ φυτικὴ ψυχή, ἄλλη δηλονότι οὖσα παρὰ τὴν φύσιν. ἀλλ' οὐδὲ μόνα τὰ ὀργανικὰ σώματα φύσιν ἔχει, ἀλλὰ καὶ τὰ ὁμοιομερῆ καὶ τὰ δ' στοιχεῖα. ἔτι δὲ ἔμψυχα μὲν λέγομεν τὰ ἔχοντα αἰτίαν ἐν ἑαυτοῖς τοῦ τρέφεσθαι καὶ αὔξεσθαι καὶ γεννᾶν ὅμοια, φυσικὰ δὲ τὰ μὴ τοιαῦτα, οἷον λίθοι καὶ τὰ ἄλλα μέταλλα καὶ τὰ νεκρὰ σώματα καὶ τὰ ἁπλᾶ. ἔτι δὲ πᾶν σῶμα φύσιν ἔχει· καὶ γὰρ τὰ τῶν τεχνητῶν, οἷον τὸ τοῦ ἀνδριάντος καὶ φυσικόν ἐστιν, ὥσπερ καὶ τὸ τῆς κλίνης ξύλον· οὐ πᾶν δὲ σῶμα ἔμψυχόν ἐστιν, ὥστ' οὐκ ἂν εἴη ψυχὴ ἡ φύσις. δῆλον δὲ ὅτι χεῖρόν ἐστιν ἡ φύσις τῆς φυτικῆς ψυχῆς, εἴπερ ὡς εἶδος ὕλῃ τῷ φυσικῷ σώματι ἡ τοιαύτη ψυχὴ ἐπιγίνεται. πῶς οὖν Ἀριστοτέλης τὴν πρὸς ψυχὴν αὐτῇ διαφορὰν ἀποδέδωκεν; ἐγὼ μὲν οἶμαι καὶ τὸ ἐν ᾧ ἐστὶν ἀρκεῖν πρὸς τοῦτο καὶ τὸ ἐφεξῆς σαφέστερον εἰρημένον τὸ ἐν ὑποκειμένῳ εἶναι τὴν φύσιν. cod. Vat. 1028 ex Simpl. f. 63 *b*.

193b 22. διαφέρει ὁ μαθηματικὸς τοῦ φυσικοῦ πρῶτον μὲν ὅτι ὁ φυσικὸς οὐ περὶ τῶν συμβεβηκότων μόνον τοῖς φυσικοῖς λέγει ἀλλὰ καὶ περὶ τῆς ὕλης, τοῦ μαθηματικοῦ μηδὲν περὶ ὕλης πολυπραγμονοῦντος. ἔπειτα καὶ περὶ τῶν συμβεβηκότων, περὶ ὧν ἀμφότεροι λέγουσιν, οὐ κατὰ τὸν αὐτὸν λέγουσι τρόπον, ἀλλ' ὁ μὲν φυσικὸς περὶ ἐπιπέδων λέγει καὶ γραμμῶν καὶ σημείων ὡς περὶ περάτων τοῦ φυσικοῦ καὶ κινητοῦ σώματος, ὁ δὲ μαθηματικὸς οὐ τὴν κίνησιν προσποιεῖται τὴν ἔμφυτον, οὔτε ὡς πέρατα φυσικοῦ σώματος παραλαμβάνει... ὥστε εἰ μήτε ὡς περὶ φυσικῶν λέγει μήτε ὡς φυσικοῖς ὑπαρχόντων, οὔτε φυσικὸς ἂν εἴη ὁ μαθηματικὸς οὔτε μέρος ἡ μαθηματικὴ τῆς φυσικῆς. ἀλλ' οὐδὲ ἡ ἀστρολογία... ὁ δὲ Ἀλέξανδρος φιλοπόνως λέξιν τινὰ τοῦ Γεμίνου παρατίθησιν ἐκ τῆς ἐπιτομῆς τῶν Ποσειδωνίου Μετεωρολογικῶν ἐξηγήσεως, τὰς ἀφορμὰς παρὰ Ἀριστοτέλους λαβοῦσαν. ἔχει δὲ ὧδε... διὸ καὶ παρελθών τις, φησὶν Ἡρακλείδης ὁ Ποντικός, ἔλεγεν ὅτι καὶ κινουμένης πως τῆς γῆς, τοῦ δ' ἡλίου μένοντός πως, δύναται ἡ περὶ τὸν ἥλιον φαινομένη ἀνωμαλία σώζεσθαι. ὅλως δὲ οὐκ ἔστιν ἀστρολόγου τὸ γνῶναι τί ἠρέμιόν ἐστι τῇ φύσει καὶ ποῖα τὰ κινητά... περὶ τὴν τῶν ὀνομάτων δὲ χρῆσιν ἐπισημήνασθαι ἄξιον ὅτι μαθηματικὸν νῦν τὸν γεωμέτρην ἔοικε καλεῖν· οὗτος γάρ ἐστιν ὁ ἐπίπεδα καὶ στερεὰ καὶ μήκη καὶ στιγμὰς ἔχων, καίτοι τῆς κυρίως μαθηματικῆς καὶ τὴν ἀριθμητικὴν καὶ τὴν ἀστρολογίαν ἤτοι σφαιρικὴν καὶ τὴν ἁρμονικὴν ἤτοι τὴν κανονικὴν περιεχούσης. καὶ τὸ τῆς ἀστρολογίας ὄνομα, μήπω τότε τῆς ἀποτελεσματικῆς εἰς τοὺς Ἕλληνας ἐλθούσης, ὡς ἔοικεν, ἐπὶ τῆς νῦν καλουμένης ἀστρονομίας ἔφερον. οἱ δὲ νεώτεροι διελόντες τοὔνομα τὴν μὲν τὰς κινήσεις τῶν οὐρανίων ἐπισκοποῦσαν ἀστρονομίαν καλοῦσι, τὴν δὲ περὶ τὰ ἀποτελούμενα ἐξ αὐτῶν ἀστρολογίαν ἰδίως ἐπονομάζουσιν. Simpl. f. 64 *b*.

ὁ γοῦν Θεοδόσιος ἐν τῇ Σφαιρικῇ διδάσκων τὰ συμβαίνοντα 193b 25.
πάθη τῇ σφαίρᾳ οὐδὲν προσλογίζεται ὕλην, ἀλλὰ χωρίσας πάσης οὐσίας τὸ σφαιρικὸν σχῆμα, οὕτω τὰ συμβαίνοντα αὐτῷ ἐπισκέπτεται, ὅτι ἐὰν σφαῖρα ἐπιπέδῳ τμηθῇ κύκλον ποιεῖ, καὶ ὅσα ἄλλα. ὁ δὲ Αὐτόλυκος περὶ κινουμένης σφαίρας γράψας καὶ ὅσα συμβαίνει τῇ κινουμένῃ σφαίρᾳ, μερικώτερός ἐστι τοῦ Θεοδοσίου καὶ μᾶλλον τῷ φυσικῷ προσεγγίζων. Philop. *f* p. 8.

οἱ μὲν μαθηματικοὶ γραμμὰς καὶ ἐπίπεδα καὶ τὰ τοιαῦτα χω- 193b 35.
ρίζουσιν ἀπὸ τῶν φυσικῶν σωμάτων, ἅπερ εἰ καὶ τῇ ὑποστάσει ἀχώριστά ἐστιν, ἀλλὰ τῇ γε ἐπινοίᾳ χωριζόμενα οὐδὲν ἀδύνατον ἑπόμενον ἔχει· οὗτοι δὲ τὰ φυσικὰ εἴδη χωρίζειν ἐπιχειροῦσιν, οἷον ἄνθρωπον καὶ σάρκα καὶ τὰ τοιαῦτα, ἅπερ ἧττόν ἐστι χωριστὰ τῶν μαθηματικῶν. τὸ δὲ "ἧττον" δοκεῖ δι' εὐλάβειαν λέγειν ὁ φιλόσοφος, καίτοι βουλόμενος αὐτὰ μηδαμῶς εἶναι μηδὲ τῇ ἐπινοίᾳ χωριστά... ὅτι δὲ οὐ πάντα δυνατὸν χωρίσαι τῶν φυσικῶν, δείκνυσι καὶ διὰ τοῦ τῶν μαθημάτων καίτοι χωρίζειν πεφυκότων, ὅμως τὰ φυσικώτερα καὶ κινήσει προσχρώμενα, οἷά ἐστιν ἡ ὀπτικὴ καὶ ἡ ἁρμονικὴ καὶ ἡ ἀστρολογία, αἰσθήσεσιν ἤδη προσχρώμενα καὶ κινουμένοις ὑποκειμένοις μὴ δύνασθαι χωρίσαι ταῦτα τῆς ὕλης καὶ τῆς φύσεως... ταῦτα καλῶς ὁ Ἀριστοτέλης πρὸς τὰς δημώδεις περὶ τῶν ἰδεῶν ἐννοίας ἀντείρηκεν, ὅσαι τῶν μὲν ἐκεῖ μηδενὸς συναισθάνονται, τὰ δὲ ἔνυλα εἴδη μηδὲ ἀποδύσασθαι τελέως τῆς ὕλης ἐν τῷ δημιουργικῷ νῷ προϋπάρχειν φαντάζονται. Simpl. f. 65.

λαβοῦσαι οὖν τὴν τοιαύτην γραμμήν, ἐπειδὴ χρήσουσιν αὐτῆς 194a 9.
κατ' ἐνέργειαν ὑφεστώσης, οὐκέτι χωρίζουσιν κινήσεως καὶ ὕλης,

193a. 30. ἐπεὶ διττόν ἐστι τὸ εἶδος, τὸ μὲν κατὰ τὴν μορφὴν τὸ δὲ κατὰ τὸν λόγον ὄν, ὁριζόμενοι τί ἐστιν ἕκαστον, ἀποδίδομεν τὸ μὲν κατὰ τὴν μορφὴν μόνην τὸ ἐπιπολῆς σχῆμα καὶ χρῶμα καὶ μέγεθος, τὸ δὲ κατὰ τὸν λόγον τὸ κατὰ τὸν μονοειδῆ τύπον τοῦ ἀνηλιγμένου ὁρισμοῦ, ὃ καὶ συντρέχει τῷ ὁρισμῷ, ὥσπερ καὶ τὸ ὄνομα, τοῦτο δὲ καὶ τὴν μορφὴν περιέχει. τοῦτο οὖν τὸ εἶδος τὸ κατὰ τὸν λόγον ἤτοι τὴν τοιαύτην μορφὴν εἶναι τὴν φύσιν λέγει. διὸ καὶ προστίθησι τῷ εἴδει τὴν μορφήν, λέγων ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος, καὶ πάλιν ἡ μορφὴ καὶ τὸ εἶδος οὐ χωριστὸν ὄν. Simpl. f. 61.

193b. 4. εἰ δὲ οὐχ ὡς σχῆμα, οὐδὲ ὡς εὐειδὲς ἐλέγομεν ἢ δυσειδές, ἀλλὰ καθ' ὃ ἕκαστον ὁριζόμενοι τὸ τί ἐστιν ἀποδίδομεν. καὶ γὰρ οὖν καὶ τοῦτο ἰστέον ὅτι φύσις μὲν ἑκάστου τὸ εἶναι ἑκάστου, καὶ καθὸ ἐστιν ἕκαστον ὅ ἐστιν. ἔστι δὲ ἕκαστον ὅ ἐστι κατὰ τὸ εἶδος, οὐ κατὰ τὸ ὑποκείμενον· ὥστε τὸ εἶδος ἡ φύσις. τοῦτο δὲ ἡμεῖς τὸ εἶδος οὐκ ἐλέγομεν χωριστὸν καθ' ὑπόστασιν, ἀλλὰ μόνον κατὰ λόγον. Themist. f. 23 *b*.

193b. 6. ὁ μέντοι Πορφύριος τὸ "καὶ μᾶλλον αὕτη φύσις τῆς ὕλης" περὶ τοῦ συνθέτου ἀκούει, ὅπερ κἂν εἰ μὴ φύσις ἐστὶ κυρίως ἀλλὰ φύσει, ἀλλ' ὅμως μᾶλλον φύσις ἐστὶ τῆς ὕλης, διότι τὸ εἶδος μᾶλλον φύσις ὂν ἐν ἑαυτῷ ἔχει. ἔστι δὲ τὸ πρῶτον ἐπιχείρημα τοιοῦτον· ἡ φύσις αἰτία ἐστὶν ἑκάστῳ τῶν φυσικῶν τοῦ εἶναι τοῦτο ὅπερ λέγεται, τὸ δὲ αἴτιον τοῦ εἶναι ὅπερ λέγεται ἐστι τὸ αἴτιον τοῦ ἐντελεχείᾳ εἶναι καὶ μὴ μόνον δυνάμει, τὸ δὲ αἴτιον τοῦ ἐνεργείᾳ εἶναι τοῦτο ὅπερ λέγεται τὸ εἶδος ἐστίν, ἡ φύσις ἄρα τὸ εἶδος ἐστίν. ὁ δὲ Ἀλέξανδρος οὕτω συνήγαγε τὸν λόγον. ἕκαστον τῶν ὄντων τότε ἐστὶν ὅ ἐστιν, ὅταν ᾖ ἐντελεχείᾳ· ἐντελεχείᾳ δέ ἐστι πᾶν ὅταν τὸ εἶδος ἔχῃ· ἀλλὰ μὴν οὗ παρουσίᾳ τὰ φύσει φύσει ἐστί, τοῦτο ἐστὶ φύσις· τῇ δὲ τοῦ εἴδους παρουσίᾳ τὰ φύσει φύσει ἐστίν· τὸ εἶδος ἄρα φύσις. τὸ δὲ "μᾶλλον" προσθεὶς ἐδήλωσεν ὅτι καὶ τὰ δυνάμει ὄντα, εἰ καὶ μὴ ὁμοίως τοῖς ἐντελεχείᾳ, ἀλλ' ὅμως λέγεται καὶ αὐτά, ὥστε καὶ ἡ ὕλη φύσις, εἰ καὶ ἧττον τοῦ εἴδους. τὸ δὲ τῆς ἐντελεχείας ὄνομα λέγεται μὲν αὐτοῦ τοῦ Ἀριστοτέλους ἴδιον, σημαίνει δὲ τὸ εἶδος τὸ ἐνεργείᾳ ὄν, παρόσον κατὰ τοῦτο ἐστὶν ἡ τοῦ ἑνὸς τέλους ἀπόληψις, ἤτοι ἡ τοῦ ἓν καὶ τέλειον εἶναι ἀπόληψις, ἤτοι ἡ τοῦ ἐντελῶς συνέχεια, τουτέστιν ἡ κατὰ τὸ ἐντελὲς ἕξις... προαναφωνηθὲν δὲ τὸ οἷον συμπέρασμα, τὸ "γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου," ἀσάφειαν ἐποίησε τῷ λόγῳ. ἔστι δὲ ἡ ἐπιδρομὴ τοῦ λόγου τοιαύτη· γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου φυσικὸν εἶδος ἐκ φυσικοῦ, οὐ μέντοι τεχνητὸν ἐκ τεχνητοῦ· εἰς ὃ ἀποβλέψαντες ἐκεῖνοι λέγουσι μὴ εἶναι τὸ εἶδος φύσιν. καίτοι ἔδει μᾶλλον εἰς τὰ φυσικὰ ἀποβλέψαι τὰ ὅμοια τῷ εἴδει γεννῶντα, καὶ εἴπερ τοῦτο φύσεως ἴδιον, τὸ εἶδος φύσιν λέγειν. id. f. 61 *b*.

193b. 11. πρὸς Ἀντιφῶντα δὲ οὐ χαλεπὸν εἰπεῖν, ὡς εἰ διὰ τοῦτο τὴν ὕλην ᾤετο φύσιν, ὅτι γένοιτο ἂν ἐκ κλίνης, εἰ λάβοι σηπεδόνα, βλάστημα τὸ ξύλον, οὐ κλίνη, γίγνεται δὲ καὶ ἐξ ἀνθρώπου ἄνθρωπος, πῶς οὐκ ἂν εἴη τὸ εἶδος φύσις; ὁ γὰρ ἄνθρωπος εἶδος, ὡς ἐκ τοῦ ὁρισμοῦ δῆλον. τὸ μὲν γὰρ τεχνικὸν εἶδος οὐδὲ ἡμεῖς ἂν εἴποιμεν φύσιν· διόπερ οὐδὲ τῆς κλίνης τὸ εἶδος φύσις ἐστίν· οὐ γάρ ἐστιν ἀρχὴ κινήσεως ἐνυπάρχουσα. τὸ μέντοι φυσικὸν καὶ ἔνυλον εἶδος ἀεὶ ἐξ ὁμοίου τὴν γένεσιν ἔχει. Themist. f. 24.

193b. 12. τρίτον τοῦτο τίθησιν ἐπιχείρημα δεικτικὸν τοῦ τὴν φύσιν τὸ εἶδος εἶναι, πάνυ ἐντρεχῶς προαχθέν. ἡ γὰρ φύσις ἡ ὡς ἔκφυσις καὶ γένεσις λεγομένη φύσις ὁδός ἐστιν εἰς τὴν φύσιν προϊοῦσα τοῦ γινομένου καὶ εἰς αὐτὴν τελευτῶσα. ὥσπερ οὖν ἐπὶ τῶν τεχνητῶν... οὕτως καὶ τὸ φυόμενον, ἐπειδὴ εἰς φύσιν ἔρχεται, λέγεται φύεσθαι, ἀλλ' οὐχ ὅτι ἀπὸ φύσεως. ἔρχεται δὲ ἐπὶ τὸ εἶδος· τὸ εἶδος ἄρα ἡ φύσις... τὸ γὰρ θερμὸν θερμὸν ποιεῖ, καὶ ἡ μεταξὺ ὁδὸς θέρμανσις. ἐν δέ τισιν ἑτερώνυμον, ὡς ἰατρικὴ ὑγίειαν. Simpl. f. 61 *b*.

193b. 17. τὸ η δύναται παραδιαζευκτικὸς εἶναι, ἵνα ᾖ οὕτω· τὸ γινόμενον ἔκ τινος εἴς τι ἔρχεται ἤγουν φύεται· ταὐτὸν γὰρ ἀμφότερα. δύναται δὲ καὶ ἐπίρρημα εἶναι προσγραφομένου τοῦ ι, ἀντὶ τοῦ καθὸ φύεται· καθὸ γὰρ φύεται, εἴς τι ἔρχεται. εἰς τί οὖν φύεται; φησίν· οὐχὶ εἰς τὸ ἐξ οὗ, τουτέστιν εἰς τὴν ὕλην, ἀλλ' εἰς τὸ εἰς ὅ, τουτέστι τὸ εἶδος. Philop. *f* p. 7.

193b. 18. εἰ οὖν τὸ τέλος εἶδος καὶ φύσις ἐστί, πῶς ἂν εἴη ἡ στέρησις τέλος, ἀντικειμένη τῷ εἴδει; ἔτι δὲ τὰ στοιχεῖα τῶν ἐν γενέσει τὴν ὕλην ἔθετο καὶ τὰ ἀντικείμενα· ἐπεὶ οὖν τὸ ἕτερον τῶν ἀντικειμένων ἔθετο νῦν τὴν φύσιν, πρόχειρον ἦν ἀπορεῖν πῶς αἴτια μὲν ἄμφω, φύσις δὲ θάτερον. διὸ καὶ τῇ στερήσει κατὰ τοσοῦτον τῆς φύσεως μετέδωκε καθ' ὅσον καὶ τοῦ εἴδους, εἰπὼν "καὶ γὰρ ἡ στέρησις εἶδός πως ἐστίν." ἔστι δὲ εἶδός πως ἤτοι ὡς πρὸς τὸ ὑποκείμενον ἀντιδιαστελλομένη, διότι ἐν ὑποκειμένῳ οὖσα καὶ αὐτὴ ὥσπερ τὸ εἶδος, μορφή τις καὶ αὐτὴ καὶ εἶδος γίνεται τοῦ ὑποκειμένου... ἢ λέγοιτο ἂν εἶδός πως ἡ στέρησις οὐ πᾶσα, ἀλλ' ἡ κατὰ τὸ χεῖρον τῶν ἐναντίων θεωρουμένη· τοῦτο γὰρ ὑπὸ τὴν στέρησιν τὸ εἶδος, ὡς ἐν τοῖς περὶ Γενέσεως (1 3) ἀποδείκνυσι... λέγοιτο ἂν φύσει καὶ τὰ ἐν στερήσει, οὐ μὴν ἔτι καὶ κατὰ φύσιν, διότι τὸ τέλος καὶ οὗ ἐφίεται τὸ ὑποκείμενον, τοῦτό ἐστι τὸ κατὰ φύσιν, ἐφίεται δὲ τοῦ εἴδους. διὸ καὶ ἐπὶ πλέον τὸ φύσει τοῦ κατὰ φύσιν, διὰ τὴν στέρησιν. ἀλλὰ πῶς ἡ ἐπὶ τὴν στέρησιν ὁδὸς φύσις λέγοιτο ἄν, οὐκ οὖσα ἔκφυσις; φθορὰ γάρ ἐστι καὶ οὐχὶ γένεσις. Simpl. f. 62.

193b. 19. στέρησιν λέγει ἢ τὸ χεῖρον τῶν ἐναντίων, οἷον τὸ μέλαν, εἶδος δὲ τὸ κρεῖττον, οἷον τὸ λευκόν· διὸ καὶ τὴν ἐκ μέλανος μὲν εἰς λευκὸν μεταβολὴν ἁπλῶς μὲν γένεσιν καλεῖ καὶ φθορὰν δέ τινος, τὴν δὲ ἀπὸ λευκοῦ εἰς μέλαν ἀνάπαλιν. ἢ τὴν κυρίως στέρησιν εἶδος καὶ μορφὴν καλεῖ διὰ τὸ εἶναι διάθεσίν τινα τοῦ ὑποκειμένου. εἰ μὲν γὰρ μὴ πάντα τὰ ὄντα εἴδη εἰσίν, ἀλλ' ἔστι τινὰ καὶ ἀνείδεα, οὐκ εἶδος ἡ στέρησις· εἰ δὲ πᾶν τὸ ὁπωσοῦν ὂν εἶδος καλοῦμεν, δηλονότι ἐπειδὴ ἡ στέρησις τῶν πῇ μὴ ὄντων ἐστὶ καὶ πῇ εἶδος ἂν εἴη. διάκειται γὰρ καὶ μεμόρφωταί πως κατ' αὐτὴν τὸ ὑποκείμενον· διατίθησι γάρ πως καὶ ἡ τυφλότης τὸ ὑποκείμενον καὶ πᾶσα στέρησις. ἐπειδὴ οὖν πᾶσαν διάθεσιν μορφὴν τοῦ ὑποκειμένου καὶ εἶδος λέγομεν, διὰ τοῦτο αὐτὸ ἐπεσημήνατο, καὶ ἁπλῶς δὲ γένεσιν τὴν οὐσιώδη λέγει. cod. Vat. 1028.

193b. 22. πενταχῶς λέγεται ἡ φύσις, καθ' ἕνα μὲν τρόπον ἡ ἐν ἑκάστῳ ὕλη· αὕτη δέ ἐστι τὸ πρώτως ἐν ἑκάστῳ τῶν φυσικῶν ὑπάρχον

τῷ ἀρχῆς τινὸς καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν τὸ καί ἀντὶ τοῦ ἤ παρείληπται, διὰ τὸ τινὰ τῶν φύσει κινεῖσθαι μὲν ἀεί, μηδέποτε δὲ ἠρεμεῖν. id. f. 58.

ἐπιστάσεως δὲ ἄξιον ὅτι οὗτος ὁ ὁρισμὸς οὐκ ἔστι τοῦ τί ἐστιν ἡ φύσις σημαντικός, ἀλλὰ τῆς ἐνεργείας τῆς φύσεως· οὐ γὰρ τί ἐστιν ἡ φύσις ἐμάθομεν διὰ τοῦ μαθεῖν ὅτι ἀρχή ἐστι κινήσεως καὶ ἠρεμίας, ἀλλὰ τί ποιεῖ. ἵνα οὖν καὶ τῆς οὐσίας αὐτῆς τὸν ὁρισμὸν ἀποδῶμεν, λεκτέον οὕτως, ὅτι ἐστὶν ἡ φύσις ζωὴ ἤτοι δύναμις καταδεδυκυῖα διὰ τῶν σωμάτων, διαπλαστικὴ αὐτῶν καὶ διοικητική, ἀρχὴ κινήσεως καὶ ἠρεμίας οὖσα ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός. Philop. c p. 15.

192b 15. καὶ κινοῦνται τὰ μὲν κατὰ τόπον, ὡς γῆ μὲν κάτω πῦρ δὲ ἄνω, τὰ δὲ κατ' αὔξησιν καὶ φθίσιν, ὡς αὐτὸ τὸ πῦρ καὶ εἴ τινες πέτραι ἱστοροῦνται καθ' ὅλον τὸν ὄγκον ἐπιδιδοῦσαι. cod. Reg. 1947.

192b 18. ὁρμὴν κυρίως τὴν ἔνδοθεν ἀρχὴν ἐκάλεσε τῆς κινήσεως. τινὲς δὲ ἀντὶ τοῦ ὁρμήν ἀρχήν γράφουσι· τὰ γὰρ φυσικὰ τὴν αἰτίαν τῆς κινήσεως ἐν ἑαυτοῖς ἔχει, τὰ δὲ τεχνητὰ ἔξωθεν... πάνυ δὲ ἀναγκαίως πρόσκειται τὸ "ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός." καὶ γὰρ καὶ ἡ κλίνη ἀρχὴν ἔχει κινήσεως καὶ ἠρεμίας ἐν ἑαυτῇ· ἀφεθεῖσα γοῦν ἐπὶ τὸ κάτω φέρεται, καὶ ὅμως οὐ λέγεται φυσικὴ οὐδὲ φύσιν ἔχειν ὡς κλίνη, διότι ἡ ἀρχὴ τῆς κινήσεως οὐ τῇ κλίνῃ πάντως ὑπάρχει, ἀλλὰ τῷ ξύλῳ, δι' ἐκεῖνο δὲ καὶ τῇ κλίνῃ... διαφέρει δὲ τὸ πρώτως τοῦ καθ' αὑτό· οὐδὲ γὰρ τὸ καθ' αὑτὸ πᾶν πρώτως ἐστίν, οὐδὲ τὸ πρώτως καθ' αὑτό... ἔστι δ' ὅτε καὶ συντρέχει εἰς ταὐτὸν ἄμφω, ὅταν καὶ συμπληρωτικὰ τῆς οὐσίας ᾖ καὶ ἀμέσως ὑπάρχῃ, ὡς τὸ λογικὸν τῷ ἀνθρώπῳ καὶ καθ' αὑτὸ καὶ πρώτως ὑπάρχειν λέγοιτο ἄν... οὐ συγχωρητέον δὲ τῷ Ἀλεξάνδρῳ οὕτω λέγοντι κινεῖν ἑαυτὴν τὴν ψυχὴν ὡς τὸν κυβερνήτην, τῷ κινεῖν τὸ σῶμα ἐν ᾧ ἐστίν, ὡς ὁ κυβερνήτης τὴν ναῦν... ἐφιστάνει δὲ ὁ μέγας Συριανὸς ὅτι ὁ ἀποδοθεὶς οὗτος τῆς φύσεως ὁρισμὸς πᾶσι σχεδὸν ἁρμόττει τοῖς τῆς φύσεως σημαινομένοις, οἰκείως ἐφ' ἑκάστῳ λαμβανόμενος. Simpl. f. 58 b.

192b 32. τοῦτο οὐχ ὡς ἀπόδειξιν ἐπήγαγεν, ἀλλ' ὡς ἐναργὲς μὲν παρείληπται, χρείαν δὲ παρέχεται αὐτῷ νῦν ἀναληφθὲν ἢ πρὸς τὸ διορίσαι τί τὸ φύσιν ἔχειν καὶ τί τὸ κατὰ φύσιν, ὅπερ ἐφεξῆς ποιεῖ, πρὸς τὸ συναγαγεῖν ὅτι τὸ φυσικὸν πᾶν οὐσία ἐστὶ σύνθετος, ἔχουσα μέν τι ὑποκείμενον τὸ ἐν ᾧ ἐστὶν ἡ φύσις, εἴπερ ἡ φύσις ἀρχὴ καὶ αἰτία ἐστὶ τοῦ ἐν ᾧ ἐστὶ καθ' αὑτό, ἔχουσα δὲ καὶ ἐν ὑποκειμένῳ τι τὴν φύσιν αὐτήν... δεικτικὸν οὖν τοῦ τὰ ἔχοντα φύσιν οὐσίας εἶναι, τὸ ὑποκείμενόν τι εἶναι καὶ ἐν ὑποκειμένῳ, οὐσίαν δὲ ἑκάτερον εἶναι καὶ μᾶλλον τὸ συναμφότερον. ἢ τὸ "καὶ ταῦτα πάντα οὐσία" ἀκουστέον, ὅτι καὶ τὸ ἔχον φύσιν, τουτέστι τὸ ὑποκείμενον, οὐσία ἐστί, καὶ ἡ φύσις οὐσία, καὶ πολὺ πλέον δηλονότι τὸ συναμφότερον οὐσία· ἔστι γὰρ ὑποκείμενόν τι καὶ ἐν ὑποκειμένῳ. ἢ εἰπὼν ὅτι εἰσὶ ταῦτα πάντα οὐσία, τουτέστι τό τε ὑποκείμενον καὶ τὸ ἐν ὑποκειμένῳ, τοῦτο δείκνυσι διὰ μέσης τῆς φύσεως, λέγων ὅτι ἡ φύσις ὑποκείμενόν τι καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἀεί. εἰ οὖν ἡ φύσις οὐσία, τὸ δὲ ὑποκείμενον φύσις καὶ τὸ ἐν ὑποκειμένῳ φύσις, τουτέστιν ἡ ὕλη καὶ τὸ εἶδος, οὐσία ἂν εἶεν ταῦτα πάντα. καὶ ταύτῃ δοκεῖ τῇ ἐννοίᾳ συνᾴδειν καὶ τὸ μετ' ὀλίγον ζητούμενον, πότερον ἡ ὕλη καὶ τὸ ὑποκείμενόν ἐστιν ἡ φύσις ἢ τὸ εἶδος καὶ τὸ ἐν ὑποκειμένῳ. ἀμείνων δὲ ἡ προτέρα ἐξήγησις καὶ διὰ τὰ ἐφεξῆς ἐπαγόμενα, καὶ ὅτι οὐκ ἂν τὸ ὑποκείμενον καὶ τὸ ἐν ὑποκειμένῳ δύο ὄντα πάντα ὁ Ἀριστοτέλης ἐκάλει, ὅς γε ἐν τῇ περὶ Οὐρανοῦ (1 1 p. 268 a 16) τάδε γέγραφε "τὰ γὰρ δύο ἄμφω μὲν λέγομεν καὶ τοὺς δύο ἀμφοτέρους, πάντας δὲ οὐ λέγομεν, ἀλλὰ καὶ τῶν τριῶν ταύτην τὴν κατηγορίαν φαμὲν πρῶτον." διὸ καὶ τὰς λοιπὰς ἐξηγήσεις τοῦ Ἀλεξάνδρου εἰς τοῦτον τὸν νοῦν τεινούσας παρατρέχω... σημειοῦται δὲ ὁ Ἀλέξανδρος ὅτι καὶ τὸ εἶδος καὶ τὴν φύσιν, καίτοι οὐσίας εἶναι βουλόμενος, ἐν ὑποκειμένῳ λέγει, ἐν Κατηγορίαις (c. 5) εἰπὼν μηδεμίαν οὐσίαν ἐν ὑποκειμένῳ εἶναι. καὶ παραμυθεῖται τὴν ἔνστασιν λέγων... οὐ μέντοι ταὐτόν ἐστι τὸ "φύσει" καὶ τὸ "κατὰ φύσιν," ἀλλ' ἐπὶ πλέον ἐστὶ τὸ φύσει τοῦ κατὰ φύσιν. id. f. 59.

192b 34. ἡ φύσις ἀεί τι ὑποκείμενον ἔχει καὶ ἐν ὑποκειμένῳ ἐστίν, ἐν ὑποκειμένῳ δὲ οὐχ ὡς τὰ συμβεβηκότα, ἀλλ' ὅτι ἀρχὴ ἔνυλος καὶ οὐ τῶν καθ' αὑτὰ ἀσωμάτων. Themist. f. 23.

193a 3. τὰ γὰρ ἐναργῆ τὴν ὑπόστασιν ἔχοντα οὐ δεῖται τῆς τοῦ ὅτι ἔστιν ἀποδείξεως, ὡς καὶ τοῦτο αὐτὸς ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων Ἀναλυτικῶν (c. 8), εἴ τι μέμνημαι, διωρίσατο... ὅτι δὲ τὸ τὰ φανερὰ διὰ τῶν ἀφανῶν πειρᾶσθαι δεικνύναι συμβαίνει τοῖς τὸ κριτήριον τῶν φανερῶν ἀπολέσασι, τὸν τυφλὸν ποιεῖται μάρτυρα τὸν περὶ τῶν χρωμάτων συλλογιζόμενον. Simpl. f. 60.

193a 9. εἰπὼν πρότερον ὅτι τὰ φύσιν ἔχοντα οὐσίαι εἰσί, διότι ὑποκείμενόν τι ἐστὶ τὸ ἔχον καὶ ἐν ὑποκειμένῳ ἡ φύσις ἡ ἐχομένη, ἢ διότι ἡ φύσις ὑποκείμενόν τι ἐστὶ καὶ ἐν ὑποκειμένῳ, ὡς ἤκουε κατὰ μίαν ἐξήγησιν ὁ Ἀλέξανδρος, εἰκότως τὰς δόξας παρατίθεται τῶν τε τὴν φύσιν τὸ ὑποκείμενον λεγόντων καὶ τῶν τὸ ἐν ὑποκειμένῳ, καὶ τὰς κατασκευὰς τὰς ἑκατέρων τοῦ οἰκείου λόγου προτίθησι, καὶ οὕτως αὐτῶν τὴν ἐπίκρισιν ποιεῖται... πρῶτον δὲ λέγει περὶ τῶν τὴν ὕλην φύσιν ἑκάστου νομιζόντων... σημεῖον δὲ τοῦ τὸ ὑποκείμενον ἀλλ' οὐ τὸ εἶδος εἶναι τὴν φύσιν ὁ Ἀντιφῶν ὁ σοφιστὴς ἐποιεῖτο τὸ φύσιν μὲν εἶναι τὴν φύουσαν ἤτοι τὴν ἔκφυσιν, καὶ διανάστασιν οὖσαν εἰς κίνησιν καὶ τοῦ ὁμοίου ἀπογέννησιν... ὥστε ὁ μὲν Ἀντιφῶν κοινῶς ἐῴκει λέγειν τὸ ὑποκείμενον τὴν φύσιν, τῶν δὲ ἄλλων ἕκαστος ὅπερ ἔλεγε πρῶτον ὑποκείμενον, τοῦτο καὶ φύσιν ἐκάλει τῶν ὄντων... γῆν δὲ μόνην οὐδεὶς εἶπεν, ἀλλὰ τῇ συνεκδρομῇ τῶν ἄλλων καὶ ταύτην τέθεικεν ὁ Ἀριστοτέλης. id. ib.

193a 15. τινὲς ἀντὶ τοῦ "κατὰ νόμον διάθεσιν" τὴν "κατὰ ῥυθμόν" γράφουσι. καὶ ἔστι τοῦτο γνωριμώτερον· ῥυθμὸς γὰρ ἡ μορφὴ λέγεται. id. f. 60 b.

εἰπὼν δὲ "ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον," τί τοῦτο φήσας ἐπήγαγε "τὴν κατὰ νόμον διάθεσιν καὶ τὴν τέχνην," τὸ εἶδος λέγων τῆς κλίνης, ὅτι διατίθεται ὡς ἂν τοῖς τῆς τέχνης νόμοις δοκῇ. γράφεται δὲ καὶ "τὴν κατὰ ῥυθμὸν διάθεσιν·" κατά τινα γὰρ συμμετρίαν τῆς τῶν μελῶν πρὸς ἄλληλα ἀναλογίας τὸ εἶδος ἀποτελεῖται τῆς κλίνης. εἰ δὲ εἴη "τὴν κατὰ νόμον," σημαίνει τὴν θέσει καὶ μὴ φύσει διάθεσιν. Philop. f p. 5.

διαφορὰν τῆς κινήσεως. τὸ γὰρ "αὐτὸ ἢ ἄλλο" προσκείμενον δηλωτικόν ἐστι τοῦ τινὰ μὲν κίνησιν ἐξ ἑαυτοῦ ἐνέργειαν εἶναι κατὰ τὸ δυνάμει, ὡς τὴν αὔξησιν καὶ μείωσιν ἔνδοθεν οὖσαν, καὶ τὴν κατὰ τόπον φυσικὴν φοράν, καὶ τὴν καθ' ὁρμὴν τῶν ζῴων μετάβασιν, ὑπ' ἄλλου δέ, ὡς τὰ βίᾳ κινούμενα καὶ τὰ κατὰ τέχνην πάντα γινόμενα. καὶ ἔστι τὸ μὲν ἐνεργεῖν τὸ δὲ ἐνεργεῖσθαι, κοινὸν δὲ ἐπ' ἀμφοῖν ἡ ἐνέργεια ἡ κατὰ τὸ δυνάμει, ἥτις οὐδὲν ἧττον πάθος ἐστὶν ἢ ἐνέργεια. ἐπιστῆσαι δὲ ἄξιον, μήποτε ἡ βίαιος καὶ ἡ κατὰ τέχνην οὐκ ἔστι φυσικὴ κίνησις, νῦν δὲ περὶ τῆς φυσικῆς ἐστὶν ὁ λόγος, ἧς ἡ ἀρχὴ ἡ φύσις... καὶ ἴσως ἀσφαλεστέρα ἐστὶν ἡ τοῦ Ἀσπασίου γραφή. εἰ δὲ ἔχει τινὰ λόγον καὶ ἡ κατὰ τὸν Ἀλέξανδρον προσθήκη, τὸ ἐξ ἑαυτοῦ οὐχ ὡς ἐφ' ἑνὸς ἀκουστέον, ἀλλ' ὡς ἔνδον ἔχοντος τὸ κινοῦν αἴτιον, εἰ καὶ ἄλλο παρὰ τὸ κινούμενον ἐστίν, ὡς ἡ ψυχὴ καὶ ἡ φύσις. καὶ ἀντιδιαιρεῖται τοῦτο τῷ ἐξ ἄλλου καὶ ἔξωθεν ἐναργῶς, ὡς ἐπὶ τῶν βίᾳ καὶ τῶν τεχνικῶς κινουμένων ὁρᾶται. μήποτε δὲ καὶ τὸ "ἐξ ἄλλου" οἰκειότερόν ἐστιν ἐπὶ τῶν ἔξωθεν μὲν ἀλλὰ φυσικῶς κινουμένων, οἷον ὅταν ἐξ ὕδατος πυρουμένου ἀὴρ γίνηται καὶ πῦρ, καὶ ἐπὶ τῶν ἀλλοιουμένων. οὐκ οἶδα μέντοι διὰ τί οἴεται ὁ Ἀλέξανδρος ταύτῃ μᾶλλον τῇ γραφῇ συνᾴδειν τὰ ἐφεξῆς λεγόμενα ἢ τῇ ἑτέρᾳ· οὐδαμοῦ γὰρ οἶμαι τὸ ἐξ αὑτοῦ ἐν τοῖς παραδείγμασιν διαφαίνεσθαι τεχνικοῖς οὖσιν, εἰ καὶ ἡ ὑγεία καὶ ἡ νόσος ἔχει τι φυσικόν. id. f. 96.

τὸν ὁρισμὸν τῆς κινήσεως ἀναλαμβάνει. διττὴ δὲ φέρεται ἡ γραφή, μία μὲν αὕτη "ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ, οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ ἄλλο, κίνησίς ἐστι," τουτέστιν ἡ δὲ ἐνέργεια τοῦ δυνάμει ὄντος, ὅταν τοῦτο τὸ δυνάμει ἐντελεχείᾳ ἄλλο τι ὑπάρχον ἐνεργῇ, οὐχ ᾗ ἐστὶν ἐντελεχείᾳ ἀλλ' ᾗ δυνάμει, τοῦτό ἐστιν ἡ κίνησις. γράφει δὲ καὶ ἑτέραν γραφὴν ὁ Ἀλέξανδρος φερομένην ἐν τοῖς παλαιοτέροις τῶν ἀντιγράφων, "ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ αὐτὸ ἢ ἄλλο ᾗ κινητόν, κίνησίς ἐστιν." ὑπερβατῶς δὲ ἀναγνωστέον· ἡ δὲ τοῦ δυνάμει ὄντος ἐνέργεια, ὅταν ἄλλο τι ὂν ἐντελεχείᾳ ἐνεργῇ, ᾗ κινητόν ἐστι, τοῦτό ἐστι κίνησις. Philop. i p. 14.

201 a 32. τὸ μὲν "εἰ ταὐτὸν ἦν ἁπλῶς" εἶπεν ἀντὶ τοῦ παντελῶς, ὥστε μὴ μόνον τῷ ὑποκειμένῳ ἓν εἶναι, ἀλλὰ καὶ τῷ λόγῳ. Simpl. f. 96 b.

201 b 3. νῦν οὖν τοῦτο πρόκειτο ζητεῖν, ἐν τίνι τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν πρώτως, ὥσπερ ἐζήτουν τινές, ἆρα ἐν ὑγρότητι καὶ ἐν χυμοῖς ἁπλῶς, ἢ ἐν αἵματι ὡς καὶ τοὺς ἄλλους ἔχοντι χυμούς, ἢ ἐν πνεύματι, ὡς οἱ πολλοὶ τῶν παλαιῶν ἰατρῶν, ἢ ἐν τοῖς στερεοῖς, ἢ ἐν τῇ συμμετρίᾳ τῶν πρώτων ποιοτήτων· πολλοὶ γὰρ περὶ τούτου γεγόνασι δόξαι, τῶν μὲν τοῖς προσεχεστέροις ὡς πρώτοις προσβαλλόντων, τῶν δὲ τοῖς μέσοις, τῶν δὲ καὶ μέχρι τῶν κυρίως πρώτων ἀναβεβηκότων, οἷον Ἱπποκράτης καὶ οἱ ἀπ' αὐτοῦ εἰς τὰς πρώτας ποιότητας τῶν πρώτων στοιχείων ἀναδραμόντες... ὅτι δὲ οὐ ταὐτόν ἐστι τῷ λόγῳ τό τε δυνάμει καὶ τὸ δυνάμενον, κἂν τῷ ὑποκειμένῳ ταὐτὸν ᾖ, δείκνυσι καὶ διὰ παραδείγματος τοῦ χρώματος καὶ τοῦ ὁρατοῦ... ὁμοίως δὲ ἁμαρτάνουσι καὶ οἱ τὴν φωνὴν τὸ ἴδιον αἰσθητὸν ἀκοῆς ὁριζόμενοι· ἀκουστοῦ γὰρ οὗτος ὁ ὁρισμός, ὃ συμβέβηκε τῇ φωνῇ· οὐδὲ γὰρ αὕτη μόνη ἀκουστή, εἴγε καὶ ὁ ψόφος ἄλλος ὢν παρὰ τὴν φωνὴν ἀκουστός ἐστιν. καὶ οἱ ἀέρα δὲ πεπληγμένον τὴν φωνὴν ἀποδιδόντες, ὥσπερ Διογένης ὁ Βαβυλώνιος, ἁμαρτάνουσι· σῶμα γὰρ οὕτως ἔσται ἡ φωνή, εἴπερ ἐν γένει τῷ ἀέρι ἐστίν, καὶ τὸ πεπονθός, τουτέστι τὸν πεπληγμένον ἀέρα, ἀντὶ τοῦ πάθους, ὅπερ ἐστὶν ἡ πληγή, ἀποδιδόασι. id. f. 97.

201 b 5. ἐφιστάνει ὁ Ἀλέξανδρος ὅτι ἔν τισιν ἀντιγράφοις οὐ φέρεται αὕτη ἡ λέξις, ἴσως, φησί, τινῶν παραιτησαμένων αὐτὴν διὰ τὴν ἀσάφειαν, καὶ ὅτι τὰ φθάνοντα εἰρῆσθαι δι' αὐτῆς λέγεται. ἀλλ' ὅτι μὲν οὐκ ἀποδέδεικται πρότερον οὕτως ἐναργῶς τὰ ἐν τῷ ὁρισμῷ τῆς κινήσεως παραληφθέντα, πρόδηλον· ὅτι δέ, εἰ τὰ ἀσαφῆ διαγράψαιμεν, πολλὰ ἂν τῶν Ἀριστοτέλους διαγραφείη, καὶ τοῦτο προδηλότερον. ἰστέον μέντοι ὅτι καὶ ὁ Θεμίστιος καὶ ὁ Πορφύριος ἐξηγούμενοι τὸν τόπον καὶ τοῦτο τὸ ῥητὸν ἐξηγήσαντο. ἰστέον δὲ ὅτι ὁ Πλάτων μὲν πᾶσαν ἐνέργειαν κίνησιν εἶναί φησι, κατὰ τὴν ἀπὸ τῆς οὐσίας ἐξανάστασιν τοῦ ἐνεργοῦντος θεωρῶν τὴν ἐνέργειαν, Ἀριστοτέλης δὲ καὶ οἱ τούτου φίλοι τὴν μὲν κίνησιν ἐνέργειαν λέγουσιν, οὐ πᾶσαν δὲ ἐνέργειαν κίνησιν· οὐ γὰρ δὴ καὶ τὴν τελείαν. id. f. 97 b.

201 b 16. εἰπὼν τὴν ἑαυτοῦ δόξαν καὶ ἐπὶ τὰς τῶν προτέρων περὶ κινήσεως μεταβέβηκεν, ἐπισκεπτόμενος ἐκείνας. καὶ ὁ μὲν Ἀλέξανδρος καὶ τὰ ἄλλα μὲν οὐκ οἶδα ὅπως ἑρμηνεύει τῶν ἐνταῦθα λεγομένων, καὶ τὸ ἐν ἀρχῇ λεγόμενον τὸ "ὅτι δὲ καλῶς εἴρηται, δῆλον καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσι," καὶ τὸ μὴ ἐν ἄλλῳ γένει τὴν κίνησιν εἶναι δυνατόν· πιστοῦται γάρ, φησίν, ἐκ τῆς τῶν ἀρχαίων δόξης, οἵτινες ἔξω τῆς τοιαύτης ἐνεργείας τὴν κίνησιν τιθέμενοι οὐδὲν εἶπον ὑγιὲς περὶ αὐτῆς. μήποτε δὲ εὐγνωμονέστερον ἔστιν ἀκούειν, ὅτι τὴν μὲν ὁλοσχερεστέραν ἐκδοχὴν τῶν τοῖς ἀρχαίοις εἰρημένων διελέγχει, δηλοῖ δὲ καὶ ἐκ τῆς ἐκείνων ἐννοίας ὅτι καλῶς αὐτὸς ὡρίσατο τὴν κίνησιν. καὶ ἐκεῖνοι γὰρ εἰς ἀνισότητα καὶ ἑτερότητα καὶ τὸ μὴ ὂν τιθέασιν, ὅτι ἀόριστόν τι δοκεῖ ἡ κίνησις· δύο γὰρ οὐσῶν συστοιχιῶν παρὰ τοῖς Πυθαγορείοις, ὧν ἐν τῇ ἑτέρᾳ ἐστὶν ἡ κίνησις τῇ τὰς ἀρχὰς ἐχούσῃ στερητικὰς καὶ ἀορίστους, ἐν αἷς καὶ ἑτερότης καὶ ἀνισότης καὶ τὸ μὴ ὄν (αἱ γὰρ δέκα ἀντιθέσεις ὡς ἀρχαὶ παρελήφθησαν), εἰκότως ἀόριστόν τι δοκεῖ ἡ κίνησις καὶ ἐκείνοις, ὥσπερ καὶ ἡμῖν... καὶ ἐγὼ μὲν οἶμαι ταῦτα πρὸς ἐκεῖνο ἀποδεδόσθαι τὸ λέγον "ὅτι δὲ καλῶς εἴρηται, δῆλον καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσιν." ὁ δὲ Ἀλέξανδρος τούτῳ μέν φησιν οὐδὲν ἀκόλουθον ἀποδιδόναι, τῷ δὲ δευτέρῳ τῷ λέγοντι "καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι ἄλλως αὐτήν" ἐπῆχθαί φησι τὸ "οὔτε γὰρ τὴν κίνησιν καὶ μεταβολὴν ἐν ἄλλῳ τινὶ τιθέναι δύναιτο ἄν τις." καὶ ἀσάφειαν καὶ ἀκαταλληλίαν ἐγκαλεῖ τῇ λέξει, διότι τῷ προσεχῶς εἰρημένῳ οὐκ ἐπήγαγε τὸ οὔτε τῶν εἰρημένων τι περὶ αὐτῆς ὑπὸ τῶν ἄλλων ὑγιῶς εἴρηται· τούτῳ γὰρ προρρηθέντι, φησίν, ἀκόλουθόν ἐστιν ὃ ἐπιφέρει, τὸ "δῆλον δὲ σκοποῦσιν ὡς τιθέασιν αὐτὴν ἔνιοι ἑτερότητα" ἕως τοῦ "χαλεπὴν μὲν ἰδεῖν ἐνδεχομένην δὲ εἶναι" (p. 202 a 2). καὶ κατ' ἄλλον δὲ τρόπον τὸ ῥητὸν ἐκδεχόμενος ἄμεινόν φησι τὸ "οὔτε γὰρ τὴν κίνησιν καὶ μεταβολὴν ἐν ἄλλῳ γένει τιθέναι δύναιτ' ἄν τις" ἀντὶ τοῦ ἐν ἄλλῃ φύσει ἀκούειν. καὶ εἴη ἂν ἑπόμενον αὐτῷ τὸ "δῆλον δὲ σκοποῦσιν ὡς τιθέα-

ἵνα ἐντελέχεια γένηται, μενούσης ἔτι καὶ σωζομένης τῆς δυνάμεως, ἧσπερ ἦν ἐντελέχεια. Themist. f. 30.

201 a 11. τούτου οὖν, φησί, τοῦ δυνάμει καὶ ἐντελεχείᾳ τὴν τοῦ δυνάμει ὄντος ἐνέργειαν, ᾗ τοιοῦτον ἐστί, λέγω κίνησιν... ὅτι θαυμασίως ὡρίσατο τὴν κίνησιν, μάθοιμεν ἂν ἐντεῦθεν... οὕτως ἄρα καθὸ ἐνεργείᾳ ἐστίν, οὐδὲν κινεῖται. οὐ μέντοι οὐδὲ καθὸ δυνάμει, μένον δυνάμει καὶ ἐν μόνῃ τῇ ἐπιτηδειότητι, οὐκ ἂν λέγοιτο κινεῖσθαι· ἀλλ' ὅταν ἀπὸ τοῦ δυνάμει μεταβάλλῃ εἰς τὸ ἐνεργείᾳ, μένοντος ἐν αὐτῷ τοῦ δυνάμει, τότε λέγεται κινεῖσθαι. εἰκότως οὖν προσέθηκεν "ᾗ τοιοῦτον," ἵνα ἡ ἐνέργεια τοῦ δυνάμει μένοντος ἐπιτελῆται· παυσαμένου γὰρ τοῦ δυνάμει οὐκέτι ἐστὶ κίνησις... ἐπιστῆσαι δὲ ἄξιον ὅτι ὁ μὲν Ἀριστοτέλης ὁριζόμενος τὴν κίνησιν ἐν ἀρχῇ ἐνέργειαν αὐτὴν εἶπε τοῦ κινητοῦ ᾗ τοιοῦτον. Ἀλέξανδρος δὲ καὶ Πορφύριος καὶ Θεμίστιος καὶ οἱ ἄλλοι τὸν ὁρισμὸν ἐξηγούμενοι, ἀκούσαντες μετ' ὀλίγα τοῦ Ἀριστοτέλους καὶ ἐντελέχειαν καλοῦντος αὐτήν, ἔν τισιν ἀντιγράφοις οὕτως εὑρηκότες τὴν γραφὴν "ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ᾗ τοιοῦτον, κίνησις ἐστίν," εἰς ἐντελέχειαν τὴν ἐνέργειαν ἐν τῷ ὁρισμῷ τῆς κινήσεως μεταλαμβάνουσιν, ὡς ταὐτὸν ὂν παρὰ τῷ Ἀριστοτέλει. μήποτε δὲ τὴν ἐντελέχειαν ὁ Ἀριστοτέλης ἐπὶ τῆς τελειότητος ἀκούει, καὶ εἴ ποτε ἐπὶ ἐνεργείας αὐτὴν τίθησιν, οὐ τῆς τυχούσης ἀλλὰ τῆς τελείας, καθότι ἔχει τέλειον... τούτῳ καλῶς ἐπέστησε καὶ ὁ Ἀλέξανδρος, ὅτι καὶ τοῦ δυνάμει, εἰ λέγοιτο ἐντελέχεια ὑπὸ τοῦ Ἀριστοτέλους ἡ κίνησις, κατὰ τοῦτο ἐντελέχεια λέγεται καθόσον τελειότης ἐστὶ τοῦ δυνάμει ἡ κατ' αὐτὸ ἐνέργεια... διττὴ οὖν ἡ κυρίως ἐντελέχεια, ἡ μὲν ὡς εἶδος τέλειον ἠρεμοῦν, ὡς ἡ ψυχὴ λέγεται ἐντελέχεια, ἡ δὲ ἡ κατὰ τοῦτο ἐνέργεια... ὁ δὲ Πορφύριος τὴν κίνησιν ἀτελῆ μὲν ἐντελέχειάν φησιν εἶναι, ἐνέργειαν δὲ τελείαν. καίτοι εἰ τοῦ δυνάμει ἐστὶν ἐνέργεια, τὸ δὲ δυνάμει ἀτελές, πῶς ἡ τοῦ ἀτελοῦς ἐνέργεια τελεία ἂν εἴη ἐνέργεια; ὅλως γὰρ εἰ ἔστιν ἀτελὴς ἐνέργεια, ἡ τοῦ ἀτελοῦς ἂν εἴη. καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης μετ' ὀλίγα (p. 201 *b* 31) "ἥ τε κίνησις" φησὶν "ἐνέργεια μὲν εἶναί τις δοκεῖ, ἀτελὴς δέ." προσεκτέον δὲ ὅτι τὸ τῆς ἐνεργείας νῦν ὄνομα κοινῶς τέθεικεν ὁ Ἀριστοτέλης ἐπί τε τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος· κοινῶς γὰρ ἐπ' ἀμφοῖν ἡ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ διανάστασις κίνησις ἐστίν. Simpl. f. 94.

ἀποδίδωσι τὴν κίνησιν ὁ Θεμίστιος ὀλίγον μεταβαλών, ὅτι ἔστιν ἡ τοῦ δυνάμει ὄντος πρώτη ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστιν· ὑστάτην μὲν γὰρ εἶναι ἐντελέχειαν τὴν εἰς τὸ εἶδος μεταβολήν, ἐν ᾧ ἠρεμεῖ λοιπόν, πρώτην δὲ τὴν ἐπ' ἐκεῖνο πορείαν, ἥτις ἐστὶ κίνησις. Philop. *i* p. 12.

201 a 12. πολλαχοῦ τῶν ὀνομάτων ἐπιλειπόντων ἐπισημαίνεται καλῶς ὁ Ἀριστοτέλης ὅτι ἐπὶ μὲν τοῦ ποιοῦ ἔστι τι κοινὸν ὄνομα κείμενον τὸ τῆς ἀλλοιώσεως. Simpl. f. 94 *b*.

201 a 15. σκληρότερον δοκεῖ τὸ τὸ δυνάμει ἐνεργείᾳ λέγειν, ὅταν ἐνεργῇ κατὰ τὸ δυνάμει. ἀλλ' ἐπειδὴ ὅλως ἐνεργοῦν ὑπόκειται, τὸ δὲ ἐνεργοῦν ἐνεργείᾳ λέγεται, διὰ τοῦτο καὶ τὸ δυνάμει ἐνεργείᾳ εἶπεν. ὁ δὲ Ἀλέξανδρος δύναταί τις φησὶν ἐκ τῶν εἰρημένων μεταλαβὼν λέγειν κίνησιν εἶναι τὴν τοῦ δυνάμει ὄντος πρώτην μεταβολὴν ἢ πρώτην ἐντελέχειαν· ὑστάτη μὲν γάρ ἐστιν ἡ εἰς τὴν τελειότητα μεταβολή, καθ' ἣν ἐνεργείᾳ γενόμενον τοῦτο ὅπερ ἦν δυνάμει ἠρεμεῖ κατὰ τοῦτο λοιπόν, πρώτη δὲ ὁδὸς ἡ ἐπ' ἐκεῖνο. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος αὐτῇ λέξει, ἀποδεκτέον μέν, εἰ μὴ αὐτῆς τῆς ἀτελοῦς δυνάμεως πρώτην λέγοι μεταβολὴν τὴν κίνησιν, ὑστέραν δὲ τὴν εἰς τὸ εἶδος, ἀλλ' αὐτοῦ τοῦ δυναμένου καὶ πεφυκότος· τοῦτο γὰρ διὰ κινήσεως ἐκ τοῦ ἀτελοῦς μεταβάλλει εἰς τὸ τέλειον... ἐπιστῆσαι δὲ ἄξιον ὅτι τὰ ἐκτεθέντα παραδείγματα τῶν εἰδῶν ἐστὶ τῆς κινήσεως, μάθησις μὲν καὶ ἰάτρευσις ἀλλοίωσίς τις, ἡ μὲν περὶ ψυχὴν ἡ δὲ περὶ σῶμα, κύλισις δὲ καὶ ἅλσις φορά, ἡ μὲν ἀφ' ἑαυτῶν ἡ δὲ ἔξωθεν, ἄνδρυνσις δὲ ἡ κατὰ ποσότητα καὶ γήρανσις ἡ κατ' οὐσίαν, ἡ μὲν αὔξησις ἡ δὲ φθορά, ὧν καὶ τὰ ἀντικείμενα δέδωκεν ἐννοεῖν. δύναται δὲ ἡ μὲν οἰκοδόμησις τῆς οὐσίας εἶναι, ἡ δὲ ἄνδρυνσις καὶ γήρανσις τοῦ ποσοῦ. id. f. 95.

ἀπορίαν τινὰ πρὸς τὸν τῆς κινήσεως ὁρισμὸν ὑποφερομένην διαλύει καλῶς. 201 a 19. ἡ δὲ ἀπορία τοιαύτην ἔχει τὴν ἐρώτησιν ἐν πρώτῳ σχήματι. τινὰ κινούμενα καὶ αὐτὰ κινεῖ· πάντα τὰ κινοῦντα ἐνεργείᾳ ἐστίν, οὐ δυνάμει· τινὰ ἄρα κινούμενα ἐνεργείᾳ ἐστίν, οὐ δυνάμει, ὥστε οὐ πᾶσα κίνησις τοῦ δυνάμει ἐστὶν ἐνεργείᾳ ᾗ τοιοῦτον. λύεται οὖν αὕτη ἡ ἀπορία διὰ τοῦ κινεῖσθαι μὲν πᾶν τὸ κινούμενον καὶ πάσχειν καθὸ δυνάμει ἐστί, κινεῖν δὲ καὶ ποιεῖν καθὸ ἐνεργείᾳ· ἄλλο γὰρ αὐτῷ τὸ δυνάμει καὶ ἄλλο τὸ ἐνεργείᾳ εἶναι. id. ib.

δηλονότι ταύτης εἰσὶ τῆς δόξης τῶν τε παλαιῶν φυσιολόγων 201 a 25. ὅσοι σωματικὴν ἢ μίαν ἢ πλείους ὑπέθεντο τὴν ἀρχήν, καὶ τῶν νέων οἱ Στωϊκοί· κατὰ γὰρ τὴν τῶν ἀρχῶν διάκρισιν ἢ σύγκρισιν ἢ ἀλλοίωσιν ἔλεγον οἱ πάλαι γίνεσθαι τὰ γινόμενα. ὁ δὲ Ἀλέξανδρος Πλάτωνος εἶναι τὴν δόξαν φησίν. καὶ ὅτι μὲν τὸ ἓν καὶ τἀγαθὸν καὶ ὅλως τὸ πρῶτον αἴτιον, κινοῦν πρὸς ἑαυτὸ πάντα ὡς ἐφετόν, ἀκίνητον εἶναί φησιν ὁ Πλάτων, δηλοῖ σαφῶς τὰ κατὰ τὴν πρώτην ὑπόθεσιν τοῦ Παρμενίδου λεγόμενα· μετὰ γὰρ τὸ ἑκάστην τῶν κινήσεων ἀνελεῖν ἀπ' αὐτοῦ, ἐπάγει κατὰ πᾶσαν ἄρα κίνησιν τὸ ἓν ἀκίνητον. καὶ τὰς ἰδέας δὲ αὐτὸς Ἀλέξανδρος ὁμολογεῖ ἀκινήτους λέγειν τὸν Πλάτωνα· διὸ καὶ σύγκρισίν τινα τῶν Πλατωνικῶν λόγων οἴεται ἀποδεικνύναι... ὥστε τὸ ἀκίνητον εἶναι τὸν νοῦν κατὰ τὰς φυσικὰς κινήσεις ὁ Ἀριστοτέλης παρὰ τοῦ Πλάτωνος ἔχει μαθών. ἀλλ' εἴπερ ἄρα πρὸς Πλάτωνα ὁ λόγος τείνει, εἰς τὴν περὶ ψυχῆς αὐτοῦ δόξαν ἀποβλέπειν ἔοικεν... καὶ οὐδὲν ἐν τούτοις ἐστὶ διάφωνον Πλάτωνι καὶ Ἀριστοτέλει, πλὴν τοῦ ὀνόματος τοῦ αὐτοκινήτου, ὅτι ὁ μὲν Πλάτων αὐτοκίνητον τὴν ψυχὴν καλεῖ, ὁ δὲ Ἀριστοτέλης τὸ ζῷον κινοῦν μὲν κατὰ τὴν ψυχήν, ἀκίνητον οὖσαν ἣν κινεῖ κίνησιν, κινούμενον δὲ κατὰ τὸ σῶμα. id. f. 95 *b*.

διχῶς φέρεται ἡ τῆς λέξεως ταύτης γραφή, κατὰ μὲν τὸν Ἀσπάσιον 201 a 27. καὶ Θεμίστιον καὶ τὰ πολλὰ τῶν ἀντιγράφων οὕτως "ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ, οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ κινητόν, κίνησίς ἐστιν," κατὰ δὲ Ἀλέξανδρον καὶ Πορφύριον οὕτως "ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ τι ὂν ἐνεργῇ, ἤτοι αὐτὸ ἢ ἄλλο, ᾗ κινητόν, κίνησις ἐστίν." οἶδε δὲ καὶ τὴν Ἀσπασίου γραφὴν ὁ Ἀλέξανδρος, ἀλλ' ἀρέσκεται ταύτῃ μᾶλλον ὡς προστιθείσῃ τινὰ καὶ

τῶν ὄντων τὰ μὲν ἐντελεχείᾳ μόνον, οἷον τὰ ἄϋλα εἴδη καὶ πρῶτα (οὐδὲν γὰρ ἄλλο γενέσθαι δύναται παρ' ἅ ποτέ ἐστιν ἐξ ἀρχῶν), τὰ δὲ ἐντελεχείᾳ τε καὶ δυνάμει, οἷον τὰ σύνθετα ἐξ ὕλης καὶ εἴδους, ἐντελεχείᾳ μὲν ὅτι ἔχει τινὰ ἤδη μορφήν, δυνάμει δὲ ὅτι καὶ ἑτέραν οἷά τε δέξασθαι. τὸ δὲ αἰθέριον σῶμα κατὰ μὲν τὴν οὐσίαν ἐντελεχείᾳ μόνον ἐστίν (οὐ γὰρ ἂν μεταβάλλοι ποτὲ κατ' οὐσίαν), μετέχει δέ πως καὶ τοῦ δυνάμει διὰ τὴν κίνησιν τὴν τοπικήν· οὐ γὰρ πανταχοῦ ἅμα ἐστίν. ὅσα δὲ ἐντελεχείᾳ ἐστίν, ἢ ὡς οὐσίαι εἰσὶν ἢ ὡς ποσὰ ἢ ὡς ποιὰ ἢ ὥς τις ἄλλη κατηγορία. εἶεν. τοῦτο μὲν δὴ κείσθω χωρὶς λόγου, τὸ εἶναί τινα τῶν ὄντων ἔχοντα καὶ τὸ δυνάμει. Themist. f. 29 *b*.

τὸ μὲν τῆς ἐντελεχείας ὄνομα σημαίνει παρὰ τῷ Ἀριστοτέλει τὴν ἐνέργειαν καὶ τὴν τελειότητα· σύγκειται γὰρ παρὰ τὸ ἐν καὶ τὸ τέλειον καὶ τὸ ἔχειν. ὅταν οὖν ἕκαστον ἔχῃ τὴν ἑαυτοῦ τελειότητα, ἐντελέχεια λέγεται εἶναι. Philop. *i* p. 9.

200 *b* 28. ἀντιθεὶς τῷ ποιητικῷ τὸ παθητικὸν κατὰ τὴν συνήθειαν τῶν ὀνομάτων, ἐπειδὴ κατὰ τὸ σχῆμα τῆς λέξεως τῷ μὲν ποιητικῷ τὸ ποιητὸν ἀντίκειται τῷ δὲ παθητικῷ τὸ παθητόν, οὐκ ὠνόμασαι δὲ τὸ παθητικὸν ἐπὶ τοῦ πάθος ἐμποιοῦντος ἀλλ' ἐπὶ τοῦ αὐτοῦ τῷ παθητῷ, ἐπὶ τὰ σαφέστερα καὶ τοῖς προκειμένοις οἰκειότερα μετῆλθεν, ἐπὶ τὸ κινητικὸν τοῦ κινητοῦ, ἐν οἷς τὸ μὲν ἐνεργητικόν ἐστι σαφῶς, τὸ δὲ παθητικὸν καὶ κατὰ τὴν λέξιν. ὅτι δὲ τὸ καθ' ὑπεροχὴν καὶ ἔλλειψιν τῶν πρός τι ἐστί, δηλοῖ τὸ μέγα καὶ τὸ μικρόν. Simpl. f. 91.

200 *b* 32. καὶ οὐκ ἂν εἴη κίνησις καθ' ἑαυτήν, οὔτε ὡς ἰδέα κινήσεως αὐτὸ τοῦτο κίνησις οὖσα, μηδενὸς δὲ κίνησις, ὡς δοκεῖ λέγειν ὁ Πλάτων καὶ ἐν Σοφιστῇ καὶ ἐν Παρμενίδῃ, οὔτε οὐσία τις κίνησις αὐτὸ τοῦτο οὖσα, ὡς ὁ Πλάτων ὁρίζεται τὴν ψυχήν, κίνησιν αὐτοκίνητον λέγων. εἰ γὰρ ἐν τοῖς κινουμένοις πράγμασιν ἢ τοῖς κινοῦσιν ἐστὶν ἡ κίνησις, συμβεβηκός τι ἐστὶν ἡ κίνησις καὶ οὐχὶ οὐσία καθ' ἑαυτὴν θεωρουμένη... διὰ τοῦτο δέ, ὡς ἔφαμεν, ὑπομιμνήσκει τοῦ δεδεῖχθαι μὴ εἶναι κοινὸν γένος τῶν δέκα κατηγορημάτων τὸ ὄν... ἐπεὶ δὲ ὁ ἐκ τῆς Λυκίας φιλόσοφος ἓν τοῦτο καὶ μόνον διάφωνόν φησι τὸ δόγμα περὶ κινήσεως τοῦ Ἀριστοτέλους καὶ τοῦ Πλάτωνος, τοῦ μὲν λέγοντος "οὐκ ἔστι δέ τις κίνησις παρὰ τὰ πράγματα" καὶ ἀναιροῦντος τὸ γένος εἶναι τὴν κίνησιν, τοῦ δὲ γένος ἓν τοῦ ὄντος τὴν κίνησιν λέγοντος, ὡς τὴν οὐσίαν, ὡς τὸ ταὐτόν, ὡς τὸ ἕτερον, κάλλιον, εἴ που δυνατόν, τὴν ἐν τῇ δοκούσῃ διαφωνίᾳ συμφωνίαν ἐπιδεικνύναι. id. f. 91 *b*.

ἐντεῦθεν δὲ λαβόντες οἱ ἐξηγηταὶ ἀφορμὰς φασὶ μὴ εἶναι τὴν κίνησιν γένος ἀλλ' ὁμώνυμον φωνήν· εἰ γὰρ οὐκ ἔστι κίνησις παρὰ τὰς κατηγορίας, τῶν δὲ κατηγοριῶν κοινὸν γένος οὐκ ἔστι, δῆλον δήπου ὅτι οὐδὲ κινήσεως γένος ἂν εἴη... καὶ πολύς ἐστιν ὁ Ἀλέξανδρος αὐτὸ τοῦτο κατασκευάζων, ὅτι ἡ κίνησις οὐκ ἔστι γένος ἀλλ' ὁμώνυμος φωνή. μήποτε οὖν ἔστιν εἰπεῖν ὅτι οὐ τὸ μὴ εἶναι κίνησιν παρὰ τὰ πράγματα, τοῦτο ἐλέγχει τὴν κίνησιν μὴ οὖσαν γένος. Philop. *i* p. 11.

201 *a* 3. τέταρτον ἀξίωμα προλαμβάνει, ὅτι ἕκαστον τῶν εἰρημένων ἐν οἷς ἡ κίνησις, τουτέστιν ἥ τε οὐσία καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὸ ποῦ, διχῶς ὑπάρχει τοῖς οὖσι πᾶσι... διὸ καὶ τὰ χείρονα τῆς τοῦ κάτω καὶ βαρέος ἐστὶ φύσεως, καὶ τὸ γῆρας κάμπτει, καὶ ἡ νόσος βαρύνει, καὶ τὰ θεῖα ἄνω τὰ δὲ θνητὰ κάτω, καὶ ἡ ἀρετὴ ἀπὸ τοῦ αἴρειν ἄνω λέγεται, ἡ δὲ κακία ἀπὸ τοῦ κλᾶν, ἡ δὲ κλάσις τὸ κλώμενον κάτω. τοιαῦτα μὲν οὖν ὁ Πορφύριος φιλολογεῖ· μήποτε δὲ κυριώτερον ὁ Ἀριστοτέλης ἐπὶ μὲν τῆς οὐσίας εἶδος τέθεικε καὶ στέρησιν, ἐπὶ δὲ τῶν ἄλλων τὰ ἐναντία παρατέθεικε... δείξας δέ, φησὶν ὁ Ἀλέξανδρος, ὅτι τῶν ἐν οἷς ἡ κίνησις ἕκαστον διχῶς ὑπάρχει πᾶσιν, εἰκότως ἐπήνεγκεν "ὥστε καὶ κινήσεως καὶ μεταβολῆς εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος."... ἦν δέ, φησίν, οἰκειότερον ἡ λέξις αὕτη κειμένη πρὸ τῆς "ἕκαστον δὲ διχῶς ὑπάρχει," συντεταγμένη τῇ "οὐκ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα." μήποτε δέ, εἰ προὔκειτο νῦν αὐτῷ τὴν διπλόην παραλαβεῖν τῶν κινήσεων, καλῶς πρότερον δείξας ἐν τοῖς γένεσι τοῦ ὄντος ἐν οἷς ἡ κίνησις τὴν διπλόην οὖσαν, καὶ κατὰ ταύτην διπλασιάσας τὰ γένη, τότε ἐπήγαγεν "ὥστε καὶ κινήσεως καὶ μεταβολῆς εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος," τουτέστι διπλασιαζόμενα καὶ ταῦτα... εἰ δέ, ὡς ὁ Ἀλέξανδρος ἠξίου, ταύτην ἔδει τὴν λέξιν προτετάχθαι τῆς λεγούσης "ἕκαστον δὲ διχῶς ὑπάρχει," τί ἔτι ἦν ἡ χρεία ἐκείνης ἐπαγομένης; εἴδη δὲ λέγει νῦν κινήσεως καὶ μεταβολῆς οὐχ ὡς ἐξ ἑνὸς γένους διαιρεθέντα, ἀλλ' ὡς διαφόρους ἰδιότητας. καλῶς δὲ οὐ κινήσεως μόνης εἶπεν ἀλλὰ καὶ μεταβολῆς, διότι περὶ τῆς κατ' οὐσίαν, ἥτις ἐστὶ γένεσις καὶ φθορά, ὕστερον ζητεῖ, μήποτε οὐκ ἔστι κίνησις ἀλλὰ μεταβολή... ἀλλ' ἄξιον ζητεῖν διὰ τί τοῦ δυνάμει καὶ ἐντελεχείᾳ ἐν πᾶσιν ὄντος τοῖς γένεσι τοῦ ὄντος, καὶ τῆς κινήσεως οὔσης ἐνεργείας τοῦ δυνάμει ᾗ τοιοῦτον ἐστίν, ἐν τέτρασι μόνοις γένεσι τοῦ ὄντος, τῇ οὐσίᾳ καὶ τῷ ποιῷ καὶ τῷ ποσῷ καὶ τῷ ποῦ, ἔστιν ἡ κίνησις, ὡς καὶ ἐν Κατηγορίαις (c. 14) δέδεικται καὶ ἐν τῷ πέμπτῳ τῆς πραγματείας ταύτης σπουδάσει δεῖξαι, ἐν δὲ τοῖς ἄλλοις οὐκέτι· καίτοι ἐν πᾶσίν ἐστιν ἡ τοῦ δυνάμει ἐνέργεια, μένοντος δυνάμει... ἀλλ' ὁ μὲν Ἀριστοτέλης ἐν τῷ πέμπτῳ τῆσδε τῆς πραγματείας τὰς αἰτίας λέγει τοῦ τὴν κίνησιν ἐν μόναις ταῖς τέτρασιν ἢ ταῖς τρισὶ κατηγορίαις ὑφίστασθαι, καὶ οἱ ἐξηγηταὶ τοῦ Ἀριστοτέλους εἰς ἐκεῖνον ἀναβάλλονται τὸν τόπον τὴν τῆς ἀπορίας ταύτης λύσιν. οὐδὲν δὲ ἴσως χεῖρον καὶ νῦν συντόμως τὰς ἐκεῖ λεγομένας αἰτιολογίας ἐπισκέψασθαι... ἐπειδὴ δὲ ἑκάστη μεταβολὴ κατά τινα γίνεται τῶν ὄντων, τὰ δὲ ὄντα ταῖς κατηγορίαις συνδιῄρηται, λεγέσθω τίς ἑκάστη τῶν εἰρημένων μεταβολῶν κατά τινα τῶν κατηγοριῶν ἄλλην γίνεται, εἰ μὴ κατὰ τὴν οἰκείαν. καὶ οἶδα μὲν ὅτι προπετὲς εἶναι δοκεῖ τὸ τὴν ἐναντίαν ἀφιέναι τῷ Ἀριστοτέλει φωνήν, ἕως δ' ἂν γνῶναι δυνηθῶμεν ἀκριβῶς τὴν αἰτίαν τῆς τοιαύτης αὐτοῦ διατάξεως, ἀρχώμεθα πρὸς παραμυθίαν τῇ τε Εὐδήμου συνηγορίᾳ ἐπὶ τῆς ποτὲ κατηγορίας ῥηθείσῃ, καὶ ἔτι μᾶλλον τῇ Θεοφράστου, σαφῶς τὴν κίνησιν καὶ μεταβολὴν ἐν πάσαις ταῖς κατηγορίαις θεωροῦντος. λέγει γοῦν ἐν τῷ δευτέρῳ τῶν περὶ Κινήσεως. Simpl. f. 92 *b*.

ἐπεὶ τοίνυν καὶ ἡ κίνησις οὐδὲν ἄλλο παρὰ ταῦτά ἐστιν, εἰκότως 201 *a*
καὶ αὐτὴ διττή τις ἂν εἴη καθ' ἕκαστον γένος. πῶς δὲ ἕξει, τοῦτο 9.
ἐν τοῖς ἐφεξῆς ἐροῦμεν... λέγω τοίνυν κίνησιν εἶναι τὴν τοῦ δυνάμει κινητοῦ ἐντελέχειαν ᾗ τοιοῦτον. τί οὖν πρόσκειται "ᾗ τοιοῦτον;"

πέρασμα· οὐ μέντοι εἰ τὸ συμπέρασμα τοῦτο, τὰ δὲ διὰ πάντως καὶ τὰ λήμματα· δύναται γὰρ ταὐτὸν ἀποδείκνυσθαι διὰ πλειόνων, καθάπερ ἐν τοῖς ἀριθμοῖς. Themist. f. 28 *b*.

διὰ τί δὲ δύο αἱ ἐφεξῆς ἴσαι δύο ὀρθαῖς εἰσίν; διότι τοῦτό ἐστιν ὁ ὁρισμὸς ὀρθῆς, ὡς ἂν εὐθεῖα ἐπ᾽ εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν γωνιῶν ἐστίν. Philop. *i* p. 5.

200 *a* 19. ἆρ᾽ οὖν ὁμοίως ἔχει ταῦτα τοῖς φυσικοῖς τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον; οὐδαμῶς, ἀλλὰ ἡ τάξις ἀντέστραπται· ἐνταῦθα μὲν γὰρ εἰ αἱ προτάσεις, καὶ τὸ συμπέρασμα, τουτέστιν εἰ τὰ πρῶτα, καὶ τὸ ὕστερον, ἐπὶ δὲ τῶν φύσει τοὔμπαλιν· εἰ γὰρ τὸ ὕστερον, καὶ τὰ πρῶτα· εἰ γὰρ ἡ μορφή, καὶ ἡ ὕλη, ἐπεὶ τά γε ἄλλα ὁμοίως ἔχει. Themist. f. 29.

200 *a* 23. εἴρηται αὐτῷ ἐν τοῖς Ἠθικοῖς ὅτι ἡ πρᾶξις τῇ θεωρίᾳ ἐναντίως ἔχει· ἡ μὲν γὰρ θεωρία τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ τέλους τῆς πράξεως, ἡ δὲ πρᾶξις τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ τέλους τῆς θεωρίας. Philop. *i* p. 6.

200 *b* 4. εἰπὼν τὸν ὁρισμὸν καὶ τὸν λόγον ἀρχὴν εἶναι καὶ αἰτίαν τῆς ὕλης, ἥτις ἦν τὸ ἀναγκαῖον ἐν τοῖς αἰτίοις, ἐπειδὴ ἐν πολλοῖς ὁρισμοῖς ἐμπεριλαμβάνεται καὶ ἡ ὕλη, ποτὲ μὲν δυνάμει ἐν τῷ τοῦ εἴδους ὁρισμῷ, ὡς αὐτὸς παρατίθεται, ποτὲ δὲ ἐνεργείᾳ, ὡς ἐν τῷ συνθέτῳ, καὶ τότε δῆλον ὅτι ὁ ὁρισμὸς οὐκέτι ἀρχὴ καὶ αἰτία τῆς ὕλης ἔσται ἐμπεριέχων αὐτὴν ἐν ἑαυτῷ, διὰ τοῦτο προσέθηκεν ὅτι "ἴσως καὶ ἐν τῷ λόγῳ ἐστὶ τὸ ἀναγκαῖον." Simpl. f. 89.

200 *b* 12. Ἐν τῷ πρὸ τούτου βιβλίῳ περὶ τῶν αἰτίων διαλεχθείς, καὶ ποιητικὸν αἴτιον τὴν φύσιν εἰπών, καὶ διορισάμενος αὐτὴν ἀρχὴν κινήσεως, εἰκότως ἐφεξῆς περὶ κινήσεως διδάσκει... ἰστέον δὲ ὅτι ἐν πολλοῖς χωρίοις διάφορος ἡ γραφὴ τούτου τοῦ βιβλίου φέρεται. id. f. 89 *b*.

200 *b* 16. σημειοῦται ὁ Ἀλέξανδρος ὅτι τὴν κίνησιν συνεχῆ λέγων ἐν τῷ ποσῷ πάντως αὐτὴν τίθησι (τοῦ γὰρ ποσοῦ ἐστὶν εἴδη τὸ συνεχὲς καὶ τὸ διωρισμένον), ἐν μέντοι ταῖς Κατηγορίαις οὐ τίθησιν αὐτὴν ἐν τῷ ποσῷ, καὶ ἐνταῦθα δὲ μετ᾽ ὀλίγον ὑπὸ τὸ πρός τι τὴν κίνησιν ὑπάξει. ἤτοι οὖν, φησί, διὰ τοῦτο οὕτως εἶπε, "δοκεῖ δὲ ἡ κίνησις εἶναι τῶν συνεχῶν," ὡς οὐκ ἀρεσκόμενος τούτῳ, ἢ μᾶλλον ἡ κίνησις πῶς μὲν καὶ συνεχές ἐστι καὶ ποσόν, πῶς δὲ πρός τι, κατ᾽ ἄλλο καὶ ἄλλο λαμβανομένη· αὐτὴ μὲν γὰρ ἡ κίνησις ποσόν, τὸ δ᾽ ἐν κινήσει πρός τι, ἅτε ἐν σχέσει τινὶ ὑπάρχον τῇ πρὸς τὸ κινοῦν. τὸ δὲ "δοκεῖ," φησί, σημεῖόν ἐστι τοῦ ἀπὸ τῶν φαινομένων καὶ ἐναργῶν ἄρχεσθαι. εἰπὼν δὲ τὸ ἄπειρον ἐμφαίνεσθαι πρῶτον ἐν τοῖς συνεχέσι, δηλοῖ διὰ τοῦ "πρῶτον" ὅτι κυρίως καὶ καθ᾽ αὑτὸ καὶ οὐ δι᾽ ἄλλου μέσου τὸ ἄπειρον ἐμφαίνεται ἐν τῷ συνεχεῖ... τὸ δὲ "πολλάκις" προσέθηκεν, ὅτι οὐκ ἀεὶ τὸ συνεχὲς οὕτως ὁριζόμεθα, συνεχὲς λέγοντες τὸ εἰς ἄπειρα διαιρετόν, ἀλλὰ καὶ ἄλλος τις ἐστὶν ὁρισμός, ὃν αὐτὸς τέθεικεν ἐν Κατηγορίαις (c. 6), συνεχὲς λέγων οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει. οὐκέτι δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ τὸ διωρισμένον ποσὸν ὁριζόμενοι προσχρώμεθα τῷ ἀπείρῳ... ὅταν δὲ λέγῃ "πρὸς δὲ τούτοις ἄνευ χρόνου καὶ κενοῦ καὶ τόπου κίνησιν ἀδύνατον εἶναι," οὐχ ὡς αὐτῷ δοκοῦν τοῦτο λέγει, ἀλλ᾽ ὡς τῶν πρὸ αὐτοῦ φυσιολόγων τοῖς περὶ Δημόκριτον ἀρέσαν τὸ διὰ κενοῦ τὴν κίνησιν γίνεσθαι καὶ τὸ κενὸν εἶναι τόπον ἐστερημένον σώματος... ἔτι δὲ σπουδῆς ἄξιος ὁ περὶ κινήσεως λόγος καὶ ὅτι ἠμέληται τοῖς παλαιοτέροις, ὀλίγα περὶ αὐτῆς τοῦ Πλάτωνος εἰρηκότος. id. f. 90.

"δοκεῖ δέ" ἤτοι τοῖς πολλοῖς δοκεῖ, ἢ δοκεῖ καθόλου πᾶσι καὶ αὐτῷ, ἀντὶ τοῦ φαίνεται... τὸ "πρῶτον" ἤτοι ἀντὶ τοῦ καθ᾽ αὑτὸ εἶπε, κατὰ τὸ δεύτερον σημαινόμενον τοῦ καθ᾽ αὑτό, τοῦτο δὲ ὅπερ ἐν τῷ τοῦ ὑποκειμένου λόγῳ παραλαμβάνεται... ἢ τὸ "πρῶτον" ἀντὶ τοῦ προηγουμένως καὶ κατὰ πρῶτον λόγον. Philop. *i* p. 16.

200 *b* 26. ὁ Πορφύριος οὐκ ἀποδέχεται τὸν Ἀλέξανδρον οὕτω στίξαντα ὡς τῷ "ἐντελεχείᾳ μόνον" ἀντιδιῃρῆσθαι τὸ "δυνάμει καὶ ἐντελεχείᾳ." εἰπὼν γάρ, φησίν, ὅτι τὰ μὲν ἐντελεχείᾳ τὰ δὲ δυνάμει, ἀναλαβὼν τὰ ἐντελεχείᾳ, καὶ ἐντελεχείᾳ φησὶ τὸ μὲν τόδε τι τὸ δὲ τοσόνδε καὶ τὰ ἑξῆς, τὸ δὲ δυνάμει οὐ διαιρεῖται εἰς τὰς κατηγορίας· οὐ γάρ ἐστι τὸ δυνάμει δεκαχῶς ἀλλ᾽ ἑναχῶς· ἡ γὰρ ἀνωτάτω ὕλη, ἥπερ ἐστὶ τὸ δυνάμει, μία. εἴτε δὲ τὸ ἐντελεχείᾳ λαμβάνει, ὅπερ ἐστὶ τὸ σύνθετον, οἷον τὸν ἀνδριάντα, εἴτε τὴν ἐντελέχειαν, ὅπερ ἐστὶ τὸ ἁπλοῦν, οἷον τὸ εἶδος, δεκαχῶς ἑκάτερον. καὶ μήποτε, φησί, καὶ τὸ δυνάμει δεκαχῶς· προελθὼν γὰρ ὁ Ἀριστοτέλης αὐτὸς οὕτως εἶπε "διῃρημένου δὲ καθ᾽ ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ τοῦ δὲ δυνάμει" (p. 201 *a* 9). ταῦτα μὲν οὖν ὁ Πορφύριος, τὸ δυνάμει τῷ ἐντελεχείᾳ μόνον βουλόμενος ἀντιτεθῆναι παρὰ τοῦ Ἀριστοτέλους, ἀλλ᾽ οὐχὶ τὸ δυνάμει καὶ ἐντελεχείᾳ. καὶ ἴσως ἐκ τούτου τοῦ ῥητοῦ ταύτην ἔσχε τὴν ὑπόνοιαν τοῦ λέγοντος "διῃρημένου δὲ καθ᾽ ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ τοῦ δὲ δυνάμει." ἀλλ᾽ εἰ μὲν ὡς τὰ πολλὰ τῶν ἀντιγράφων φέρεται, οὕτως ἔχει καὶ ἡ ἀρχαία γραφή, "ἔστι δή τι τὸ μὲν ἐντελεχείᾳ μόνον, τὸ δὲ δυνάμει καὶ ἐντελεχείᾳ, τὸ μὲν τόδε τι τὸ δὲ τοσόνδε" καὶ τὰ ἑξῆς, σαφῶς τὸ μόνον προσκείμενον δηλοῖ τὴν διαίρεσιν τοῦ ἐντελεχείᾳ μόνως πρὸς τὸ ἐντελεχείᾳ ἅμα καὶ δυνάμει γεγενῆσθαι, ὡς Ἀλέξανδρος καὶ Θεμίστιος ἐξεδέξαντο. εἰ γὰρ τῷ ἐντελεχείᾳ τὸ δυνάμει μόνον ἀντετίθει, μηδαμοῦ τὸ συναμφότερον παραλαμβάνων, διὰ τί προσετίθει τὸ μόνον ἐπὶ τοῦ ἐντελεχείᾳ; πῶς δὲ κατάλληλος ἂν ἦν ἡ ἑρμηνεία μετὰ ἀποστάσεως λέγουσα "τὸ μὲν τόδε τι τὸ δὲ τοσόνδε;" εἰ μέντοι ὥς τινα τῶν βιβλίων γέγραπται οὕτως ἔχει τὸ ῥητόν, "ἔστι δή τι τὸ μὲν ἐντελεχείᾳ τὸ δὲ δυνάμει, καὶ ἐντελεχείᾳ τὸ μὲν τόδε τι τὸ δὲ τοσόνδε," δύναται μὲν καὶ οὕτω στίζεσθαι ὡς ὁ Πορφύριος ἐξεδέξατο, διὰ τί δὲ τὸ ἐντελεχείᾳ μόνον εἰς τὰς δέκα διαιρεῖ κατηγορίας, καίτοι καὶ τοῦ δυνάμει ἐν πάσαις θεωρουμένου, ὡς αὐτὸς ὁ Πορφύριος ὡμολόγησε, καὶ τὴν Ἀριστοτέλους παραθέμενος ῥῆσιν τὴν λέγουσαν "διῃρημένου δὲ καθ᾽ ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ τοῦ δὲ δυνάμει;" μήποτε οὖν ἡ μὲν ἐξ ἀρχῆς διαίρεσις εἰς τὸ "ἐντελεχείᾳ μόνον" γέγονε καὶ τὸ "ἐντελεχείᾳ καὶ δυνάμει," καὶ τοῦτο διῃρῆσθαί φησιν εἰς τὰς δέκα κατηγορίας... χρησιμεύει δὲ αὐτῷ, ὡς εἶπον, τὸ λῆμμα τοῦτο, τὸ διαιροῦν τὰ ὄντα εἴς τε τὰ ἐντελεχείᾳ καὶ εἰς τὰ δυνάμει καὶ ἐντελεχείᾳ, πρὸς τὴν ἀπόδοσιν τοῦ τῆς κινήσεως ὁρισμοῦ, ὡς προϊόντες εἰσόμεθα. Simpl. f. 90 *b*.

αὐτῷ ἀντὶ τῶν ξηραντικωτέρων χρῆσθαι φαρμάκων, καὶ κάρφεσι συνδέουσα τὸν πηλόν, κατὰ σχῆμα πολυχωρητότατον καὶ ἰσχυρότατον. καὶ ἡ μέλιττα τῆς τῶν ἑξαγώνων χωρημάτων συνθέσεως. τῆς δὲ ἀλκυόνος τὴν καλιὰν ἐν ὕδατι γινομένην ἥκιστα ἂν ὕδωρ λυμήναιτο. Simpl. f. 86.

199a 30. μήποτε οὖν ὁ Ἀριστοτέλης φύσιν καλεῖ καὶ τῆς ψυχῆς πᾶν τὸ περὶ σῶμα καταγινόμενον. διὸ καὶ τὴν περὶ ψυχῆς πραγματείαν τὰ πολλὰ περὶ τὴν τοιαύτην ψυχὴν πραγματευομένην τῆς φυσικῆς θεωρίας ὑπολαμβάνουσιν... δοκεῖ δέ μοι, φησὶν ὁ Ἀλέξανδρος, διὰ τούτων ἐνδείκνυσθαι ὅτι κυριωτέρα αἰτία ἐστὶ τὸ εἶδος καὶ οὐχὶ ἡ ὕλη, ὡς οἱ ἀρχαῖοι λέγειν ἐδόκουν εἰς τὴν ὑλικὴν αἰτίαν πάντα ἀνάγοντες· εἰ γὰρ καὶ ἡ ὕλη τοῦ εἴδους χάριν ἐστί, κυριωτέρα ἂν εἴη αἰτία τῆς ὕλης τὸ εἶδος. id. ib.

199a 33. καὶ γὰρ ὁ γραφεὺς σκοπὸν ἔχων τοῦ καλῶς γράψαι διὰ τὸν χάρτην πολλάκις μανότερον ὄντα ἢ διὰ πλεονεξίαν ἢ διὰ ἀνεπιτηδειότητα τοῦ μέλανος ἁμαρτάνει τοῦ σκοποῦ. ὁμοίως καὶ ὁ ζωγράφος τὰ αὐτὰ ἂν πάθοι ἢ διὰ τὴν τῶν χρωμάτων ἢ τῆς σινδόνος ἐν ᾗ γράφει ἀνεπιτηδειότητα. Philop. *h* p. 15.

πρὸς τοὺς λέγοντας ἕνεκά του ποιεῖν τὴν φύσιν ἔνστασις ἦν ἀπὸ τῶν τεράτων· τίνος γὰρ ἕνεκα τὰ βουγενῆ ἀνδρόπρωρα γίνοιτο ἂν τὰ κατὰ Ἐμπεδοκλέα; λύει οὖν καὶ ταύτην τὴν ἔνστασιν νῦν λέγων. Simpl. f. 86 *b*.

199b 9. εἰ μὲν γὰρ ἔστιν, ἀτόπως αὐτὰ παραλέλοιπεν Ἐμπεδοκλῆς· εἰ δὲ μὴ ἔστι, πῶς ἐπὶ μὲν τῶν ζῴων ἐστίν, ἐπὶ δὲ τῶν φυτῶν οὐκ ἔστι; δοκεῖ δέ μοι, φησὶν ὁ Ἀλέξανδρος, τῷ "ἔτι καὶ ἐν τοῖς φυτοῖς ἔνεστι τὸ ἕνεκά του" προσκείμενον τὸ "ἧττον δὲ" ἐπιχείρησίν τινα ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον ἐνδείκνυσθαι τοιαύτην· εἰ ἐν οἷς ἧττον φανερὸν τὸ τέλος ἐστὶ γινομένοις φύσει, ταῦτα οὐχ ὡς ἔτυχε γίνεται ἀλλ' ἕνεκά του, οὐδὲ ἐν οἷς μᾶλλον ὡς ἔτυχε γίνεται. ἐν δὲ τοῖς φυτοῖς, ἐν οἷς ἧττον διήρθρωται τὸ τέλος, οὐ γίνεται ἀπὸ τύχης τὰ γινόμενα οὐδὲ ἀμπελογενῆ ἐλαιόπρωρα· οὐδὲ ἐν τοῖς ζῴοις ἄρα, ἐν οἷς μᾶλλον διήρθρωται τὸ ἕνεκά του, γίνεται τὸ ἀπὸ τύχης, ὥστε οὐδὲ βουγενῆ ἀνδρόπωρα συνίσταται. id. ib.

199b 13. ἐπειδὴ καὶ ἐν τοῖς ἀπὸ τύχης εἶναι δοκεῖ τὸ οὗ ἕνεκα καὶ τὸ ἕνεκά του, ὅταν λέγωμεν ὅτι ἀπὸ τύχης ἦλθεν ὁ ξένος καὶ λυτρωσάμενος τὸν αἰχμάλωτον, ὡς ὁ παρὰ Μενάνδρῳ Δημέας τὴν Κράτειαν, ἀπῆλθεν (ἢ ἀφῆκε· γράφεται γὰρ ἀμφοτέρως, ὥσπερ καὶ ἀντὶ τοῦ λυτρωσάμενος τὸ λυσάμενος), καὶ πράξει τοῦτο ὥσπερ ἕνεκα τούτου ἐλθών, κἂν μὴ διὰ τοῦτο ἔλθῃ· τοῦτο γὰρ κατὰ συμβεβηκὸς αἴτιον, καὶ διὰ τοῦτο ἀπὸ τύχης λέγεται, καὶ θεωρεῖται πάντως καὶ ἐν τούτῳ τὸ οὗ ἕνεκα καὶ τὸ τούτου ἕνεκα. id. f. 87.

γράφεται καὶ "λυτρωσάμενος" ἀντὶ τοῦ λυσάμενος, οἷον εἴ τις ἐν πόλει ἐλθὼν εὕροι ἄν τινα δέσμιον, εἶτα λυτρώσαιτο τοῦτον. λέγομεν γὰρ ἐν τοῖς τοιούτοις ὅτι ἦλθεν ἵνα λυτρώσηται αὐτόν, καίτοι οὐ τούτου ἕνεκεν ἦλθεν, ἀλλὰ τὸ ἐκβὰν οὕτω γέγονεν ὡς ἂν εἰ τούτου ἕνεκεν ἦλθεν· ἀπερχόμενος γὰρ ἀγωνίσασθαι Ὀλύμπια, καὶ εὑρὼν ἐν Αἰγίνῃ Πλάτωνα δεδεμένον, ἀγοράσας ἐλυτρώσατο, εἰπὼν ὅτι οὐκ ἂν πολλὰς νίκας ἐν Ὀλυμπίᾳ ἀντηλλάξατο τῆς πράξεως ταύτης. Philop. *i* p. 2.

γράφεται δὲ καὶ λυσάμενος, ὅ ἐστι λυτρωσάμενος. ἐλθὼν γάρ τις ἀπὸ ξένης εὑρών τινα τῶν φίλων ἐν δεσμοῖς ἐλυτρώσατο. Philop. cod. Reg. 1853 in mg.

ὡς ὅταν ἀπὸ τύχης ἦλθεν ὁ ξένος καὶ λυτρωσάμενος τὸν αἰχμάλωτον, ὡς παρὰ Μενάνδρῳ Δημέας τὴν Κράτην ἀφῆκε. διπλῆ δὲ ἡ γραφή, ἡ μὲν "λυσάμενος" ἡ δὲ "λυσάμενος," καὶ πάλιν ἡ μὲν "ἀφῆκεν" ἡ δὲ "ἀπῆλθεν." cod. Reg. 1947.

τὴν ὁμοιότητα τῆς φύσεως δηλοῖ πάλιν πρὸς τὴν τέχνην διὰ 199b 28. τοῦ "καὶ εἰ ἐνῆν ἐν τῷ ξύλῳ ἡ ναυπηγική, ὁμοίως ἂν ἐποίει ναῦν," ὡς κατ' οὐδὲν ἄλλο διαφερόντων τῶν φύσει ἢ τέχνῃ γινομένων ἢ κατὰ τὸ τὰ μὲν φύσει ἔνδοθεν γίνεσθαι τὰ δὲ τέχνῃ ἔξωθεν. διὸ καὶ ἐπ' ἄλλο τι παράδειγμα προσεχέστερον μεταβάς, μάλιστα, φησί, δήλη ἡ πρὸς τὴν φύσιν τῆς τέχνης ὁμοιότης, ὅταν τις ἰατρεύῃ αὐτὸς ἑαυτόν. Simpl. f. 87 *b*.

μετὰ τὸ συμπληρῶσαι τὴν περὶ τῶν αἰτίων, δύο προύθετο ζη- 199b 34. τήματα οἰκεῖα τῷ περὶ τῶν αἰτίων λόγῳ· διαρθροῖ γὰρ τά περί τε τοῦ ὑλικοῦ καὶ ποιητικοῦ αἰτίου ἀδιαρθρώτως παρά τισιν ὑπονοηθέντα· καὶ πρῶτον μὲν ὅτι ἡ φύσις τῶν ἕνεκά του ἐστὶν αἰτίων καὶ οὐ τῶν εἰκῆ καὶ ὡς ἔτυχε ποιούντων, ὅπερ ἐδόκει τισί, δεύτερον δὲ πῶς τὸ ἐξ ἀνάγκης διὰ τὴν ὕλην λεγόμενον ὑπάρχει τοῖς φυσικοῖς... συγχωρεῖ μὲν καὶ αὐτὸς τὸ ἀναγκαῖον τῇ ὕλῃ, ἀλλ' οὐχ ὡς τοῦ εἴδους ἐξ ἀνάγκης ἀκολουθοῦντος, ἀλλ' ὡς τῶν ὧν οὐκ ἄνευ λόγον ἐχούσης τῆς ὕλης· οὐ γὰρ τὸ τέλος ἐξ ἀνάγκης, ἀλλὰ διὰ τὸ τέλος τὸ ἐξ ἀνάγκης. καὶ ἐν τούτῳ δὲ τῷ κεφαλαίῳ Πλατωνικῶς ὁ Ἀριστοτέλης ἀναστρεφόμενος φαίνεται. λέγει γὰρ καὶ ὁ Πλάτων ἐν Τιμαίῳ "ταῦτα δὴ πάντα τότε ταύτῃ πεφυκότα ἐξ ἀνάγκης" (p. 68 sq.)... τὰ αὐτὰ δὲ περὶ τούτων τῶν διττῶν αἰτίων καὶ ἐν Φαίδωνι διώρισται σαφῶς, ἐν οἷς φησὶν "τὸ γὰρ διελέσθαι" (p. 99 *b*)... ἀπορῶ δὲ ἔγωγε πῶς ὁ Ἀλέξανδρος τὸ ἁπλῶς ἀναγκαῖον ἀναιρετικὸν τοῦ ἕνεκά του λέγει εἶναι· ἁπλῶς γὰρ ἀναγκαῖόν φησιν, ἐν οἷς ἐξ ἀνάγκης τοῖς πρὸ αὐτῶν τὸ τέλος ἀκολουθεῖ· καίτοι ἐν τοῖς ἀϊδίοις καὶ ἐξ ἀνάγκης ἀκολουθεῖ τοῖς πρὸ αὐτοῦ τὸ τέλος, οἷον τῇ ἀνατολῇ τοῦ ἡλίου ἡ κατάδυσις αὐτοῦ, καὶ τῷ χειμῶνι τὸ ἔαρ καὶ τούτῳ τὸ θέρος, καὶ ὅμως ἕνεκά του τούτων ἕκαστον. id. ib.

ὁποῖόν ἐστι τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον, καὶ διὰ τῆς ἐν μαθή- 200a 15. μασιν ἀκολουθίας ὑπομιμνήσκει... ἐπειδὴ δὲ ἀσαφῶς εἴρηται τὸ τοῦ τριγώνου παράδειγμα, ἐνδειξαμένου μόνον αὐτοῦ τὴν ἀπόδειξιν, ἰστέον ὅτι δέδεικται παντὸς εὐθυγράμμου τὰς ὀκτὼ πάσας γωνίας τέτρασιν ὀρθαῖς ἴσας εἶναι, καὶ ὅτι αἱ τοῦ τριγώνου πᾶσαι γωνίαι αἱ ἐντὸς καὶ αἱ ἐκτὸς ἓξ ὀρθαῖς ἴσαι εἰσίν. ἐπεὶ οὖν τὸ τρίγωνον εὐθύγραμμόν ἐστιν, ὅπερ εἶπεν αὐτὸς "εὐθὺ τοδί," τούτου δὲ αἱ ἐντὸς καὶ αἱ ἐκτὸς ἓξ ὀρθαῖς ἴσαι εἰσίν, ὧν αἱ ἐκτὸς τέτρασιν, λοιπαὶ αἱ ἐντὸς δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. id. f. 88 *b*.

ὑποθεμένοις γὰρ τὸ εἶδος οὕτως εὑρίσκεται καὶ τῆς ὕλης τὸ ἀναγκαῖον. τὸ δὲ ἐξ ὑποθέσεως ἀναγκαῖόν ἐστί πως κἂν τοῖς μαθήμασιν· ὑποθεμένοις γὰρ τὰς προτάσεις ἐξ ἀνάγκης ἕπεται καὶ τὸ συμ-

198a 27. τοῦτο τὸ ῥητὸν ἤτοι πρὸς τὸ προσεχὲς συντακτέον, ἵνα λέγῃ ὅτι τὸ προσεχὲς ποιητικὸν αἴτιον ταὐτόν ἐστι τῷ εἴδει καὶ τῷ τέλει, καὶ καθόλου φημὶ ὅτι ὅσα τῶν ποιητικῶν προσεχῆ ὄντα κινούμενα κινεῖ, ταῦτα τῷ εἴδει καὶ τῷ τέλει τὰ αὐτά εἰσιν... ἢ ὅπερ καὶ μᾶλλον, τοῖς ἀνωτέρω συνεχὲς ἂν εἴη τὸ ῥητὸν τοῦτο "καὶ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει φυσικῶς, τὴν ὕλην, τὸ εἶδος, τὸ κινῆσαν." εἶτα ἐφεξῆς "καὶ ὅσα κινούμενα κινεῖ," τουτέστι ταῦτα τὰ αἴτια ἀποδώσει ὁ φυσικός, ὅσα τῷ αὐτὰ κινεῖσθαι οὕτως κινεῖ. Philop. *h* p. 9.

198a 33. δύναται, φησὶν Ἀλέξανδρος, ἡ λέξις ἡ λέγουσα "περὶ γενέσεως γὰρ μάλιστα" ἀκολουθεῖν τοῖς ἀνωτέρω εἰρημένοις, ἐν οἷς ἔλεγεν (v. 22) "ἐπεὶ δὲ αἰτίαι τέσσαρες, περὶ πασῶν εἰδέναι τοῦ φυσικοῦ, καὶ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει, τὸ εἶδος, τὴν ὕλην, τὸ κινῆσαν, τὸ οὗ ἕνεκα· περὶ γενέσεως γὰρ μάλιστα τοῦτον τὸν τρόπον τὰς αἰτίας ζητοῦσι," τῶν μεταξὺ παρεμβεβλημένων εἰς διορισμὸν τῆς ταὐτότητος τῶν αἰτίων, καὶ τοῦ ποιητικοῦ αἰτίου τῆς διαφορᾶς, εἴπερ τὸ μὲν ἀκίνητον τὸ δὲ κινούμενον, καὶ τούτου τὸ μὲν ἄφθαρτον τὸ δὲ φθαρτόν. τὸ δὲ "καὶ οὕτω τὸ ἐφεξῆς ἀεί" δύναται μὲν λέγειν, ὅτι βοτάνη πρῶτον ἀπὸ πυροῦ, καὶ ἐφεξῆς καλάμη, καὶ ἐπὶ ταύτῃ ἄσταχυς· δύναται δέ, ὡς Ἀλέξανδρος ἀκούει, τοῦτο ἐπῆχθαι, ὅτι μετὰ τὸ πρῶτον ποιῆσαν ἐπὶ τὸ προσεχὲς ποιητικὸν μετέρχονται, καὶ μετὰ τὴν πρώτην ὕλην ἐπὶ τὴν προσεχῆ καθ' ὁμοιότητα, οὐκ ἐπ' ἄλλο τι εἶδος αἰτίου τὸ οὗ ἕνεκα μεταβαίνοντες· μᾶλλον δὲ ὅτι ἐφ' ἑκάστου αἰτίου τὸ ἐφεξῆς ζητοῦσι. Simpl. f. 83.

198b 4. οὕτω μὲν οὖν, ἐὰν εἰς τὸ "ἕνεκά του" ὑποστίξωμεν, καὶ τῷ "πάντως" πρόσκειται ὁ καί σύνδεσμος. εἰ μέντοι μὴ πρόσκειται οὗτος, ὡς ἔν τισιν ἀντιγράφοις φέρεται, εἰς τὸ "καὶ ταύτην εἰδέναι δεῖ" ὑποστικτέον, ἵνα λέγῃ αἴτιον τοῦ τὸ διὰ τί ἀποδιδόναι τὸ τὴν φύσιν δεῖν εἰδέναι ἕνεκά του ποιοῦσαν... διὰ δὲ τοῦ "ὅτι τοῦτο ἦν τὸ τί ἦν εἶναι" τὴν κατὰ τὸ εἶδος αἰτίαν ἐνδείκνυται, διὰ δὲ τοῦ "διότι βέλτιον οὕτω" τοῦ τελικοῦ μέμνηται αἰτίου. καὶ γὰρ καὶ Πλάτων καὶ Ἀριστοτέλης τῷ φυσικῷ προσήκειν φασὶ τὴν διττὴν αἰτίαν ἀποδιδόναι, τὴν μὲν τοῦ ἀναγκαίου τὴν δὲ τοῦ εὖ... καὶ ἔστι τοιαύτη πραγματεία τῷ Ἀριστοτέλει ἡ περὶ Ζώων Μορίων, ἔνθα κατὰ τὸν διττὸν τρόπον φυσιολογεῖ, κατὰ τὸ ἀναγκαῖον καὶ τὸ εὖ. id. f. 83 *b*.

198b 10. δύο προτίθεται προβλήματα ἐν τούτοις, ἓν μὲν ὅτι τῶν ἕνεκά του ποιούντων αἰτίων ἡ φύσις ἐστὶν ἀποδεῖξαι, διότι πολλάκις ἐχρήσατο τούτῳ ἀντιλογίαν ἔχοντι, δεύτερον δὲ περὶ τοῦ ἀναγκαίου, πῶς ἔχει ἐν τοῖς φυσικοῖς. id. ib.

198b 15. τοῦτο δὲ καὶ ὁ ἐν τῷ Φαίδωνι (p. 97 sq.) Σωκράτης ἐγκαλεῖν τῷ Ἀναξαγόρᾳ δοκεῖ. id. ib.

198b 16. προβαλόμενος ὁ Ἀριστοτέλης δεῖξαι ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ, πρῶτον, ὥσπερ εἴωθε καὶ αὐτὸς καὶ ὁ τούτου διδάσκαλος Πλάτων, κρατύνει τὸν ἐναντίον λόγον... ταύτης δὲ δοκοῦσι τῆς δόξης τῶν μὲν ἀρχαίων φυσικῶν ὅσοι τὴν ὑλικὴν ἀνάγκην αἰτίαν εἶναι τῶν γινομένων φασίν, τῶν δὲ ὑστέρων οἱ Ἐπικούρειοι. ἡ δὲ πλάνη γέγονεν αὐτοῖς, ὥς φησιν Ἀλέξανδρος, ἀπὸ τοῦ ἡγεῖσθαι πάντα τὰ ἕνεκά του γινόμενα, κατὰ προαίρεσιν γίνεσθαι καὶ λογισμόν, τὰ δὲ φύσει μὴ οὕτως ὁρᾶν γινόμενα· τὰ δὲ οὐχ οὕτως ἔχει, φησίν, ὡς ἤδη προειρήκαμεν. id. f. 84.

199a 8. δεύτερον τοῦτο ἐπιχείρημα. ὁ δὲ Ἀλέξανδρος οὕτως ἐξηγεῖται τὸ χωρίον. δείξας, φησίν, ὅτι τὰ φύσει ἕνεκά του (ἔστι γὰρ ἐν αὐτοῖς τέλος τι οὗ ἕνεκα), προσλαμβάνει τοῦτο ὡς ἑπόμενον, ἐν οἷς τέλος τί ἐστι καὶ ἕνεκά του, τούτου χάριν τὰ πρὸ αὐτοῦ πράσσεται· ᾧ ἕπεται τὸ καὶ ἐν τοῖς φύσει γινομένοις τοῦ τέλους ἕνεκα γίνεσθαι τὰ πρὸ τοῦ τέλους. ἐγὼ δὲ ἔοικα μὴ νοεῖν τὸ λεγόμενον· δοκεῖ γάρ μοι λέγειν οὐδὲν ἄλλο ἢ ὅτι λαβὼν ὅτι τὰ φύσει ἕνεκά του, συνάγει τὸ τὰ φύσει ἕνεκά του... ὁ μέντοι Ἀλέξανδρος τέλος, φησί, λέγει οὐχ ἁπλῶς τὸ ὕστερον ἐπιγινόμενον, ἐπεὶ καὶ τοῖς αὐτομάτως γινομένοις ὕστερόν τι ἀπαντᾷ, ἀλλ' ὡς τὸ οὗ ἕνεκα. καὶ ἐπάγει ὅτι τοῦτο βουλόμενος καὶ νῦν ἐνδείξασθαι προσέθηκε τὸ "ἔτι ἐν οἷς τέλος ἐστὶ τὸ ἕνεκά του·" οὐ γὰρ ἁπλῶς ἠρκέσθη τέλος εἰπών, ἀλλὰ προσέθηκε τὸ ἕνεκά του, δεικνὺς ὁποῖον τὸ τέλος εἶναι βούλεται. καὶ ταῦτα ἐπιστάσεως ἄξιά μοι δοκεῖ, πρῶτον ὅτι οὐχ οὕτως ἔχει ἡ γραφὴ τῶν ἐμοὶ συνεγνωσμένων ἀντιγράφων πάντων, ἀλλ' οὕτως "ἔτι ἐν οἷς τέλος τι ἐστί, τούτου ἕνεκα πράττεται τὸ πρότερον," ἔπειτα ὅτι τὸ ἕνεκά του οὐκ ἔστι τέλος, ἀλλὰ τὸ οὗ ἕνεκα. βουληθεὶς δὲ οὕτω συντάξαι, ὅτι ἐν οἷς ἕνεκά του τέλος τι ἐστίν, εὑρίσκω μὴ προχωροῦσαν τὴν σύνταξιν διὰ τὸ ἑνικὸν ἄρθρον τῷ ἕνεκά του προσκείμενον. ὅλως δέ, ὅπερ εἶπον, τοῦτο ἦν τὸ ζητούμενον, εἰ ἕνεκά του ποιεῖ ἡ φύσις, ὅπερ ἐνδείκνυται διὰ τοῦ ἐφεξῆς καὶ ἐν τάξει τὴν ὁδὸν ποιουμένην εἰς πέρας τι καταντᾶν· τὸ δὲ τοιοῦτο πέρας οὗ ἕνεκα ἐστίν. φύσει δὲ τὸ οὕτως ὁδεῦον, ὡς καὶ πρότερον εἶπε, καὶ ἐφεξῆς δηλώσει λέγων "φύσει γὰρ ὅσα ἀπό τινος ἐν αὐτοῖς ἀρχῆς συνεχῶς κινούμενα ἀφικνεῖται εἰς τέλος." id. f. 85.

199a 10. ὁ μὲν Ἀριστοτέλης οὕτω, δοκεῖ δέ μοι μὴ ὑγιῶς ἔχειν τοῦτο τὸ ἐπιχείρημα. πρῶτον μὲν γὰρ τὸ πρῶτον τῶν ἀξιωμάτων δόξει μὴ καλῶς εἰλῆφθαι, τὸ λέγον, ἐν οἷς λόγος τις ἐστίν, ἐν τούτοις πάντα τὰ πρὸ τοῦ τέλους τοῦ τέλους ἕνεκα πράττεται. ποῖον γὰρ τέλος ἐνταῦθα φησίν; Philop. *h* p. 11.

199a 15. ὁ μέντοι Πορφύριος ἐκ τοῦ μᾶλλον καὶ ἧττον γίνεσθαι τὴν ἐπιχείρησιν ἐνταῦθα φησίν· εἰ γὰρ ἡ τέχνη τῆς φύσεως χείρων οὖσα, ὥσπερ καὶ ἡ εἰκὼν τοῦ παραδείγματος, τὰ πρὸ τοῦ τέλους ἕνεκα τοῦ τέλους ποιεῖ, πολλῷ μᾶλλον ἡ φύσις κρείττων οὖσα τῆς τέχνης οὕτω ποιήσει. πῶς δ' ἂν λέγοι χείρονα τῆς φύσεως τὴν τέχνην, εἴπερ ἐκεῖνά φησιν ἀποτελεῖν τὴν τέχνην ἅπερ ἡ φύσις ἀδυνατεῖ ἀπεργάσασθαι; εἰ μὴ ἄρα τοῦτο οὕτως εἶπεν ὡς τῆς τέχνης τὸ λεῖπον ἀναπληρούσης· τοῦτο δὲ καὶ τὸ χεῖρον ποιεῖν δυνατόν. ἢ καὶ ὡς μιμουμένης. Simpl. f. 85 *b*.

199a 20. τῷ γὰρ ὄντι φύσεις ζῴων ἀδίδακτοι, ὡς καὶ Ἱπποκράτει δοκεῖ. Philop. *h* p. 12.

199a 23. τὸ δὲ ἔτι τούτων θαυμασιώτερον, ὅτι τοὺς ἑαυτῶν φωλεούς, οὓς χειὰς καλοῦμεν, τριχῇ διαιροῦντες (οἱ μύρμηκες) ἐν μὲν τῷ ἑνὶ μέρει διαιτῶνται, ἐν δὲ τῷ ἑτέρῳ τὰς τροφὰς ὑποτίθενται, καὶ ἐν τῷ τρίτῳ θάπτουσι τοὺς νεκρούς. καὶ χελιδὼν δὲ καὶ ἀηδὼν οἰκοδομεῖ τὴν νεοττιάν, πηλόν τε τὸν εὐεργότατον ἐκλεξαμένη, ὡς καὶ τοὺς ἰατροὺς

197 b 9. τὸ "ὥσπερ φησὶ Πρώταρχος" οὐ πρὸς τὸ "εἰ μὴ καθ' ὁμοιότητα·" οὐδὲ γὰρ καθ' ὁμοιότητα ἔλεγε Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους, ἀλλ' ἁπλῶς εὐτυχεῖς. οὕτως οὖν ἀναγνωστέον, οὐδὲ ὥσπερ φησὶ Πρώταρχος, εὐτυχία ἢ δυστυχία ὑπάρχει τούτοις. εἶτα τὸ "εἰ μὴ καθ' ὁμοιότητα" αὐτοῦ ἐστὶν ἐπίκρισις πῶς δυνατὸν καὶ ἐπὶ ἀψύχων εὐτυχίαν εἰπεῖν καὶ δυστυχίαν. Πρώταρχον δὲ ἤτοι τὸν ἐν Φιλήβῳ φησὶν ἢ ἕτερον τινά. Philop. *h* p. 3.

197 b 11. ζωγράφου δέ ποτε γράφοντος ἵππον καὶ ῥίψαντος ἀκουσίως τὴν σπογγιὰν ἀφρὸς ἐν τῷ στόματι τοῦ γραφομένου ἵππου κατὰ τύχην ἀπετυπώθη. Simpl. f. 78.

197 b 14. Ἀλέξανδρος "καὶ τοῖς ἀλόγοις ζῴοις" γράφει, "καὶ τοῖς ἀψύχοις," οὐδὲν διάφορον σημαινούσης τῆς γραφῆς. ἀπόδειξις δὲ τοῦτό ἐστι τοῦ τὸ αὐτόματον ἐπὶ πλέον εἶναι τοῦ ἀπὸ τύχης... οὐ πάντως δέ, φησὶν Ἀλέξανδρος, ἐν οἷς παρὰ τὴν προαίρεσιν ἄλλο τι ὑπήντησεν, εὐθέως τύχη τοῦτο καὶ ἀπὸ τύχης, ἀλλ' ἂν τοιοῦτον ᾖ οἷον μὴ ἀναγκαίως μηδὲ ὡς ἐπὶ τὸ πολὺ ἀκολουθεῖν τῷ ἄλλου χάριν γινομένῳ· τῷ γὰρ ἰσχύος χάριν γυμνασαμένῳ πλείω καὶ διὰ κόπον πυρέξαντι ἀπροαίρετον μὲν τὸ πυρέξαι, οὐκ ἀπὸ τύχης μέντοι. id. f. 78 *b*.

197 b 22. ἔτι δὲ καὶ ἄλλη γραφὴ τῆς ἐν ἀρχῇ λέξεως τοιαύτη "σημεῖον δὲ τὸ μάτην, ὅτι λέγεται ὅταν μὴ γένηται τὸ οὗ ἕνεκα, ἀλλ' ὃ ἐκείνου ἕνεκα." τὸ δὲ αὐτὸ καὶ αὕτη δηλοῖ· μάτην γὰρ λέγεταί τι γίνεσθαι, ὅταν μὴ γένηται τὸ οὗ ἕνεκα, ἀλλ' ὃ ἄν τι προεγένετο, δι' ἐκεῖνο τὸ προγενόμενον ἀκολουθήσει τῷ κατὰ συμβεβηκὸς αἰτίῳ... ἄξιον δὲ οἶμαι τοῖς ἐνταῦθα λεγομένοις ὑπ' Ἀλεξάνδρου ἐπιστῆσαι. οὐ γὰρ λέγει, φησίν, ὁ Ἀριστοτέλης ταὐτὸν εἶναι τὸ αὐτόματον καὶ τὸ μάτην, ὥς τινες ᾠήθησαν, ἀλλ' ᾧ διαφέρει τύχη καὶ τὸ ἀπὸ τύχης, τούτῳ καὶ τὸ μάτην τοῦ αὐτομάτου. id. f. 79.

197 b 15. εἰ δέ ποτε καὶ τῷ αὐτομάτῳ ἀντὶ τοῦ ἐκ ταὐτομάτου χρῆται, θαυμαστὸν οὐδέν· καὶ γὰρ Ὅμηρος οὕτω χρῆται, ἐν οἷς φησὶν "αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος" (Il. 2 408) καὶ "αὐτόματοι δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι" (5 749), τὸ ἐκ μὴ προηγησαμένης αἰτίας προφανοῦς ἀποτέλεσμα αὐτόματον λέγων. id. f. 79 *b*.

197 b 31. "παρὰ φύσιν" ἀντὶ τοῦ παρὰ τὴν φύσιν, τουτέστι παρὰ τὸν σκοπὸν τῆς φύσεως. Philop. *h* p. 5.

198 a 4. "ἀλλὰ τούτων τὸ πλῆθος ἀόριστον," ἀντὶ τοῦ ἀλλὰ ταῦτα κατὰ συμβεβηκός· ὧν γὰρ τὸ πλῆθος ἀόριστον, ταῦτα κατὰ συμβεβηκός ἐστιν, ἐπειδὴ καὶ τῶν μὴ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτὸ αἰτίων τὸ πλῆθος ὡρισμένον ἐστίν. Simpl. f. 80.

198 a 5. ἔχει ἡ λέξις ἀκατάλληλόν τι· εἰπὼν γὰρ τὸν νοῦν καὶ τὴν φύσιν κατὰ συμβεβηκὸς αἴτια, ἐπειδή, φησί, πρότερον τὰ καθ' αὑτὸ αἴτια τῶν κατὰ συμβεβηκὸς αἰτίων, πρότερον ἄρα τοῦ αὐτομάτου καὶ τῆς τύχης νοῦς καὶ φύσις. καίτοι εἰ τὸν νοῦν καὶ τὴν φύσιν κατὰ συμβεβηκὸς εἶπεν εἶναι αἴτια, τὰ αὐτὰ δὲ καὶ καθ' αὑτό εἰσιν αἴτια, αὐτὰ ἑαυτῶν ἄρα καὶ πρότερον ἂν εἴη καὶ ὕστερον, εἴγε τῶν αὐτῶν καὶ καθ' αὑτό εἰσιν αἴτια καὶ κατὰ συμβεβηκός. Philop. *h* p. 6.

ἐν δὴ τούτοις ὁ Ἀλέξανδρος, ὅπερ, φησίν, ὁ Πλάτων ἐν τῷ δεκάτῳ τῶν Νόμων βούλεται δεῖξαι, καὶ διὰ πολλῶν αὐτὸ δείκνυσι, τοῦτο διὰ βραχέων ὁ Ἀριστοτέλης ἔδειξεν ἐνταῦθα, τὴν τῆς τύχης φύσιν ἥτις ποτέ ἐστιν ὁρισάμενος, καὶ δείξας ὅτι ὑστέρα... λέγει δὲ ὁ Πλάτων, ὡς εἶπον, οὐχ ὅτι φύσεως καὶ νοῦ ἡ τύχη ἐστὶν ὑστέρα, ἀλλ' ὅτι φύσεως καὶ τύχης προτέρα ἐστὶν ἡ ψυχὴ καὶ ἡ τέχνη, γράφων οὕτως (p. 889)... ὁ δὲ Εὔδημος τὴν μὲν φύσιν τῆς τέχνης, τὴν δὲ τέχνην τῆς τύχης προτέραν δείκνυσιν. ἄξιον δὲ πάλιν τοῖς ἐνταῦθα λεγομένοις ὑπὸ τοῦ Ἀριστοτέλους ἐφιστάνειν τοὺς οἰομένους τὸ ποιητικὸν αἴτιον τοῦ παντὸς μὴ λέγειν τὸν Ἀριστοτέλη... ἀλλ' ἐπειδὴ μέχρι τοῦδε τοῖς περὶ τύχης καὶ αὐτομάτου λόγοις ὑπ' Ἀριστοτέλους παρακολουθήσας ὡς δυνατὸν ἦν ἐμοὶ τῶν εἰρημένων ἕκαστα διήρθρωσα, καλῶς ἂν ἔχοι συντόμως ἐκθέμενον καὶ τὰ τῷ Ἀριστοτέλει δοκοῦντα περὶ τούτων, οὕτω τὰ τοῖς νεωτέροις φιλοσόφοις δεδογμένα προθεῖναι καὶ δεῖξαι μηδὲν τῆς παλαιᾶς παραδόσεως διαφέροντα. Simpl. f. 80 *b*. 198 a 9.

ζητήσας ὅπερ ἐν ἀρχῇ προὔθετο... ἐπειδὴ μέγα τὸ ἐγχείρημα τὸ πλῆθος τοσοῦτον τῶν κατὰ μέρος αἰτίων εἰς οὕτως ἐλάχιστα γένη συναγαγεῖν, εἰκότως παραμυθίας ἀξιοῖ τὸν λόγον, καὶ ὅτι τοσαῦτα τὸν ἀριθμὸν κατὰ γένος ἐστὶ τὰ αἴτια δείκνυσι δυνάμει οὕτως... ἐρωτηθέντες διὰ τί ἐπολέμησαν Φωκεῦσι Θηβαῖοι, ἐροῦμεν διότι ἐσύλησαν οἱ Φωκεῖς τὸν νεών, τὸ ποιητικὸν οὕτως αἴτιον ἀποδιδόντες... λέγει δὲ ὁ Πορφύριος ὅτι τὸ μὲν διὰ τί τετραχῶς ἔστιν ἀποδοῦναι, τὸ δὲ τίνος ἕνεκα ἐπὶ τοῦ τελικοῦ μόνον ἐρωτᾶται. τίνος γὰρ ἕνεκα ἐπολέμησαν; ἵνα ἄρξωσι. φυλάττων δὲ καὶ τὸ πρότερον εἰρημένον ὑπ' αὐτοῦ ὁ Ἀλέξανδρος, τὸ τὰ μαθηματικὰ μὴ ἔχειν τελικὸν αἴτιον, καὶ τὸ εἰρημένον ἐνταῦθα ὑπὸ τοῦ Ἀριστοτέλους, ὅτι τὸ διὰ τί εἰς τὸ τί ἔσχατον ἀνάγεται ἐν τοῖς ἀκινήτοις, οἷον ἐν τοῖς μαθήμασιν, αὐτὸς ἐξηγεῖται· ἐπειδή, φησίν, οὐκ ἔστιν ἐν τοῖς μαθήμασιν ἄλλο τοῦ εἴδους τὸ οὗ ἕνεκεν (ἐκεῖνο γὰρ ἂν ἦν ἐν αὐτοῖς τελικὸν καὶ ἔσχατον αἴτιον), διὰ τοῦτο ἔσχατον ἐν αὐτοῖς γίνεται τὸ εἶδος καὶ ὁ ὁρισμός. καὶ ὅτι μὲν ἔστι τι τῶν μαθηματικῶν τέλος, καὶ πρότερον εἶπον καὶ νῦν ἐρῶ. id. f. 81 *b*. 198 a 14.

ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος "ἢ ἐν τοῖς γινομένοις ἡ ὕλη" γράφει, 198 a 20.
καὶ τῆς τούτου ἐξηγήσεως ἀκουστέον. ἢ γὰρ πρὸς ἀντιδιαστολήν, φησί, τὴν πρὸς τὰ ἀγένητα εἶπεν, ὡς οὐκ οὔσης ἐν τοῖς ἀϊδίοις ὕλης, ἢ ὅτι ἐπὶ τῶν κυρίως γινομένων ἔστιν εὑρεῖν τὴν ὕλην, ταῦτα δὲ οὐσίαι· τῶν γὰρ κατὰ συμβεβηκὸς γινομένων τε καὶ ὄντων οὐκ ἔστιν ὕλη καθ' αὑτά, ἀλλὰ κατὰ τὴν ἀναφορὰν τὴν ἐπὶ τὴν οὐσίαν ἐν τούτοις ἡ ὕλη. id. f. 82.

τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως καὶ ὅταν ταὐτὸν γένηται τούτοις, οὐ 198 a 26.
κατὰ τὸ ὑποκείμενον οὐδὲ τῷ ἀριθμῷ ταὐτόν ἐστιν, ἀλλὰ τῷ εἴδει μόνον... μήποτε διὰ τοῦ "καὶ ὅλως ὅσα κινούμενα κινεῖ" πόρρωθεν ἐνίσταται πρὸς τοὺς τὰς ἰδέας ὁμοειδεῖς αἰτίας τῶν τῇδε νομίζοντας ἀκινήτους οὔσας· τὸ γὰρ ὁμοειδὲς συνώνυμον, ταῦτα δὲ ὁμώνυμα ἢ ὡς ἀφ' ἑνός. οὕτω μὲν ἄν τις ἐξηγήσαιτο, εἰ πάντα τὰ ποιητικὰ τὰ αὐτὰ τοῖς εἰδικοῖς τῷ εἴδει νομίζοι εἶναι, ἐὰν κινούμενα κινῇ. id. f. 82 *b*.

196 b 10. περὶ τύχης καὶ αὐτομάτου προθέμενος εἰπεῖν, καὶ πρῶτον τὸ εἰ ἔστιν ἢ μὴ ἔστι προβαλόμενος ζητεῖν, καὶ δείξας ὅτι ἔστιν ἀπὸ τῆς πάντων κοινῆς μαρτυρίας... ὥρμησε μετὰ ἐπὶ τὰ ἑξῆς προβλήματα, τί τέ ἐστιν ἑκάτερον εἰς ζήτησιν προβαλλόμενος, καὶ τί διαφέρετον ἀλλήλοιν, καὶ πῶς εἰς τὰ διωρισμένα αἴτια ἀναχθήσονται... τὰ οὐχ ὡς ἐπὶ τὸ πολὺ ἢ ἐπ' ἴσης ἢ ἐπ' ἔλαττον· καὶ τὸ ἐπ' ἴσης δὲ ἐπ' ἔλαττόν ἐστι τῶν τε ἀεὶ καὶ τῶν ὡς ἐπὶ τὸ πολύ. καὶ διὰ τοῦτο, οἶμαι, καὶ Ἀριστοτέλης τό τε ἐπ' ἴσης καὶ τὸ ὡς ἐπ' ἔλαττον κοινῶς παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ διετέλεσε λέγων. Simpl. f. 75.

196 b 33. τοῦτο, φησὶν Ἀλέξανδρος, οὐ τὸ ἀπὸ τύχης ἁπλῶς ἀλλ' ἀγαθῆς τύχης ἐστὶ παράδειγμα. ὅτι δὲ καὶ τὸ "ἄμφω δὲ ἐν τοῖς ἕνεκά του," τὸ πρότερον εἰρημένον, οὐ περὶ τῶν κατὰ προαίρεσιν εἴρηται, ὥς τινες ὑπέλαβον, ἀλλὰ περὶ τῆς τύχης καὶ τοῦ αὐτομάτου, δηλοῖ τὸ ἐν τῇ προσεχῶς ἐκτεθείσῃ ῥήσει διὰ τῶν αὐτῶν συλλαβῶν προαχθέν... ὁ δὲ Εὔδημος οὕτω δείκνυσιν ὅτι ἡ τύχη ἐν τοῖς ἕνεκά του. ἐν οἷς, φησί, τὸ εὐτυχεῖν καὶ τὸ ἀτυχεῖν, ἐν τούτοις ἐστὶν ἡ τύχη· ταῦτα δὲ ἐν οἷς ἀγαθοῦ ἐπίτευξις καὶ ἀπότευξις καὶ τὸ ἕνεκά του· πᾶς γὰρ ὁ ἕνεκά του πράττων ἀγαθοῦ ἐφίεται. ὁ δὲ λόγος οὗτος τὴν τύχην μόνην ἐν τοῖς ἕνεκά του τέθεικεν, οὐκέτι δὲ καὶ τὸ αὐτόματον. id. f. 75 *b*.

196 b 34. τοῦ γὰρ δεδανεισμένου κομιζομένου τὸν ἔρανον, εἰ ᾔδει ὁ χρεωστούμενος, ἦλθεν ἂν ἐπὶ τούτῳ· οὐκ ἦλθεν δὲ ἐπὶ τούτῳ· οὐκ ἄρα ἡ αἰτία τῆς ἀπολήψεως, ἥν φαμεν εἶναι τὴν τύχην, τῶν ἕνεκά του ἐστὶν ἀλλὰ τῶν κατὰ συμβεβηκός... τὸ δὲ "κομιζομένου" γράφεται καὶ "κομισόμενος" μέλλοντος, ἵνα ἐπὶ τοῦ χρεωστουμένου ᾖ. μᾶλλον δὲ τὸ πρότερον. Philop. g p. 14.

196 b 24. ὡς γὰρ ὄν, φησί, τὸ μέν ἐστι καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός (λέγει δὲ ὂν καθ' αὑτὸ μὲν τὴν οὐσίαν, κατὰ συμβεβηκὸς δὲ τὰ τῇ οὐσίᾳ συμβεβηκότα), οὕτω καὶ τὸ αἴτιον τὸ μέν ἐστι καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, ὥς φησιν ὁ Ἀλέξανδρος. μήποτε δὲ καὶ ἁπλοϊκώτερον ἀκουστέον τὸ ὂν πᾶν τὸ αἰτιατόν, ἵνα ᾖ λέγων, ὡς αἰτιατὸν τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, οὕτω καὶ αἴτιον. Simpl. f. 76.

197 a 2. οἶδε δὲ καὶ τοιαύτην γραφὴν ὁ Ἀλέξανδρος "ἀλλὰ τῶν ἀπροαιρέτων καὶ οὐκ ἀπὸ διανοίας." κἂν οὕτως εἴη, φησί, γεγραμμένον, λέγοι ἂν τότε ἀπὸ τύχης εἶναι τὸ τέλος, ὅταν μὴ προελομένοις ἡμῖν μηδὲ διανοηθεῖσι περὶ αὐτοῦ μηδὲ τούτου χάριν τὰ πρὸ αὐτοῦ ποιήσασιν ἀπαντήσῃ, ἐπεὶ ὅτι γε τὸ ἀπὸ τύχης γινόμενον τῶν ὑπὸ προαίρεσίν τε καὶ διάνοιαν πιπτόντων ἐστίν, ὀλίγῳ πρόσθεν εἴρηκε. δοκεῖ δὲ τῇ γραφῇ ταύτῃ καὶ τὸ ἐπαγόμενον συνᾴδειν, τὸ "εἰ δὲ προελομένου τούτου ἕνεκα·" πρὸς γὰρ τὸ ἀπροαίρετον ἐπῆχθαι δοκεῖ τὸ "εἰ δὲ προελόμενος." ἡ δὲ προτέρα γραφὴ τὸ ἀπὸ τύχης τέλος ὁρίζει τοῦ φυσικοῦ· τὰ γὰρ φυσικὰ τέλη οὐκ ἔστι προαιρετὰ οὐδὲ ἔξωθεν, ἀλλ' ἐν αὐτοῖς τοῖς τὴν φύσιν ἔχουσιν... δύναται δὲ καὶ οὕτως ἀκούεσθαι τὸ λεχθέν, ὅτι τὸ τέλος, ὅπερ ἐστὶ κομιδή, οὐ τῶν ἐν αὐτῷ αἰτίων ἀποτέλεσμα καὶ τέλος, ἔστι δὲ ἐν αὐτῷ αἴτιον ἡ φύσις· ἡ γὰρ φύσις ἀρχὴ κινήσεως, ἐν ᾧ ὑπάρχει πρώτως. ὥστε τὸ ἀπὸ τύχης γενόμενον οὐκ ἔχει ποιητικὸν αἴτιον τὴν φύσιν, ἀλλὰ διάνοιαν καὶ προαίρεσιν· διὸ περὶ αὐτὸ διάνοια καὶ τύχη· περὶ γὰρ προαίρεσιν καὶ πρᾶξιν ἡ τύχη, ὡς δειχθήσεται, ἡ δὲ προαίρεσις οὐκ ἄνευ διανοίας. id. f. 76 *b*.

εἰπὼν τί ἐστιν ἡ τύχη, καὶ δι' ὁρισμοῦ παραδοὺς αὐτήν... ἐφεξῆς, οἶμαι, βούλεται κατὰ τὸ σύνηθες συμψήφους ἑαυτῷ δεῖξαι καὶ τοὺς 197 a 8.
ὁτιοῦν περὶ τύχης λέγοντας. τοῦτο δὲ ποιεῖ τὴν ἀποδεδομένην τῆς τύχης ἔννοιαν ἐφαρμόζουσαν τοῖς περὶ αὐτὴν λεγομένοις δεικνύς... ἐπιστῆσαι δὲ ἄξιον ὅτι πρότερον ἄδηλον ἀνθρωπίνῃ διανοίᾳ τὴν τύχην ἔλεγε δοκεῖν τισίν, οὐ διὰ τὸ ἀόριστον ἀλλὰ διὰ τὸ θεῖόν τι εἶναι ἢ δαιμόνιον. ἀλλ' ἴσως καὶ τοῦτο ἐπενόουν ἐκεῖνοι διὰ τὸ μὴ ἔχειν τι ὡρισμένον προφανὲς αἴτιον τῶν οὕτω γινομένων ἀποδιδόναι. id. ib.

ὅταν γὰρ νοσοῦντός τινος καὶ ἀποκαρέντος διὰ τὴν τῶν τριχῶν 197 a 23.
ἀπόθεσιν ἢ πνεῦμα ἐπιγένηται διαφορητικὸν ἢ εἵλησις (τουτέστιν ἀπὸ ἡλίου θέρμη· εἵλη γὰρ ἡ τοῦ ἡλίου θέρμη, ὅθεν καὶ τὸ εἱληθερεῖν) καὶ ἀκολουθήσῃ ἡ ὑγίεια, ἆρα τῆς κατὰ τύχην ὑγιείας ὁμοίως αἴτιόν ἐστι τὸ πνεῦμα ἢ ἡ εἵλησις, ἀλλ' οὐ τὸ ἀποκεκάρθαι; id. f. 77 *b*.

ὅτι ἐν μεγέθει ἡ εὐτυχία ἐστί, δείκνυσιν, οἶμαι, δυνάμει συλ- 197 a 27.
λογιζόμενος οὕτως. ἡ εὐτυχία καὶ δυστυχία, κἂν παρὰ μικρὸν ἔχωσι τὸ μέγιστον ἀγαθὸν καὶ κακόν, εὐτυχία καὶ δυστυχία εἰσίν· τὰ παρὰ μικρὸν ἔχοντα οὐδὲν ἧττόν ἐστι τοῦτο ὅπερ λέγεται· ταῦτα δὲ ἐν μεγέθει ἐστί, διότι ἐν τοῖς μεγέθεσι τὸ παρὰ μικρὸν οὐδὲν ἀπέχειν δοκεῖ τοῦ ὅλου· ἡ ἄρα εὐτυχία καὶ δυστυχία ὡς μέγεθος ἔχοντα λέγεται οὕτως. καὶ μᾶλλον ὁ Πορφύριος οὕτως ἐπέβαλε, καὶ Ἀλέξανδρος κατὰ πρώτην ἐξήγησιν, τοῦ παρὰ μικρὸν ἐνταῦθα οὐκ ἐπὶ τοῦ παρὰ μικρὸν ἐλθόντος τοῦ τυχεῖν καὶ ἐμποδισθέντος ἀκουομένου, ἀλλ' ἐπὶ τοῦ τὸ ὅλον κακὸν καὶ ἀγαθὸν παρὰ μικρὸν λαβόντος, διότι καὶ τὸν τὸ μέγιστον ἀγαθὸν παρὰ μικρὸν λαβόντα εὐτυχῆ καλοῦμεν ὁμοίως τῷ τὸ ὅλον μέγεθος λαβόντι καὶ τὸν τὸ μέγιστον κακὸν παρὰ μικρὸν δυστυχῆ, ὡς τοῦ μικροῦ μηδὲν ὄντος. καὶ ἄλλως δὲ δυνατὸν ἀκούειν τοῦ εἰρημένου· εἰ γὰρ τὸ παρὰ μικρὸν ἐπὶ μεγέθους λέγεσθαι εἴωθε, λέγομεν δὲ δυστυχεῖν ἐκείνους ὅσοι παρὰ μικρὸν κακὸν ἄν τι μέγα ἔλαβον, καὶ εὐτυχεῖν ἐκείνους ὅσοι παρὰ μικρὸν ἀγαθόν τι μέγα ἔλαβον, δηλονότι ἐν μεγέθει τὸ εὐτυχεῖν καὶ δυστυχεῖν ἐστίν. καὶ ἐτίμων τοὺς παρὰ μικρὸν καλουμένους θεοὺς οἱ Λακεδαιμόνιοι ὡς σωτῆρας, ὅτι τοὺς μέλλοντας κινδυνεύειν τὸ παρὰ μικρὸν τοῦ κινδυνεῦσαι διδόντες ἔσωζον. καὶ ταύτῃ μᾶλλον τῇ ἐξηγήσει τίθεται ὁ Ἀλέξανδρος. τὸ δὲ ἐπαγόμενον, "ὅτι ὡς ὑπάρχον λέγει ἡ διάνοια· τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ," μᾶλλον τῇ προτέρᾳ συνᾴδει ἐξηγήσει. id. ib.

καὶ τὸ παρὰ μικρὸν μέγα ἀγαθὸν λαβεῖν, καὶ γινόμενον ἐγγύς, εὐτυχία μεγάλη, ὅτε ὡς ὑπάρχον αὐτὸ ἤδη λέγει ἡ διάνοια· τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ. Themist. f. 26 *b*.

ὅταν τις περιτυχὼν μεγάλῳ κινδύνῳ ἐγγὺς γένηται τοῦ κινδυνεῦσαι καὶ μεγάλῳ περιπεσεῖν κακῷ, οἷον ναυαγίῳ ἢ ἄλλῳ τινί, εἶτα μικροῦ λείποντος τὸν κίνδυνον ἐκφύγῃ, εὐτυχῆ τὸν τοιοῦτον καλοῦμεν, διότι παρ' ὀλίγον τῷ κινδύνῳ προσομιλήσας ἐξέφυγεν... ἐπειδὴ γὰρ τὸ παρὰ μικρὸν οὐδὲν δοκεῖ τοῦ τέλους ἀπέχειν, οὐ λογιζομένη τὸ μικρὸν τοῦτο ἡ διάνοια, ὥσπερ ἐκβεβηκότων τούτων, οὕτως εὐτυχῆ ἢ δυστυχῆ τὸν πεσόντα καλεῖ. Philop. g p. 16.

195 b 21. ἀκρότατον μὲν λέγει αἴτιον τὸ κυριώτατον λεγόμενον, ὃ ἄλλοι συνεκτικὸν ὀνομάζουσιν. ἀσαφὲς δὲ αὐτὸ διὰ τοῦ παραδείγματος ἐποίησε. διὰ τί γὰρ ἄνθρωπος οἰκοδομεῖ ἐρωτῶντες ἀκούομεν ὅτι οἰκοδόμος. διὰ τί δὲ οἰκοδόμος; ὅτι κατὰ τὴν οἰκοδομικήν. καὶ ἐν τούτοις παύεται ἡ τοῦ διὰ τί ζήτησις, διὸ καὶ ἀκρότατον τοῦτο καλεῖ, ὅτι μέχρι τούτου ἀναβαίνοντες ἱστάμεθα. id. ib.

195 b 31. εἰπὼν τίνα τε καὶ πόσα τὰ αἴτια, καὶ τίνες τρόποι καὶ διαφοραὶ θεωροῦνται καθ' ἕκαστον, ἐπειδὴ λέγεται καὶ ἡ τύχη καὶ τὸ αὐτόματον αἴτια, καὶ πολλὰ καὶ εἶναι καὶ γίνεσθαι διὰ τύχην καὶ τὸ αὐτόματον, ἀκόλουθον ἦν ζητεῖν εἰ ἔστι καὶ τί ἐστι καὶ ὑπὸ τί τῶν εἰρημένων αἰτίων ἀνάγεται ταῦτα. οὐ μάτην δὲ εἶπεν ὁ Ἀριστοτέλης λέγεσθαι ταῦτα· καὶ γὰρ οἱ μὲν πολλοὶ καὶ αὐτόθεν οἴονται πολλῶν αἰτίαν εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον, οἱ δὲ φυσιολόγοι κἂν μὴ λέγωσί τι περὶ αὐτῆς ἀλλ' οὖν ὡς οὔσῃ χρῶνται καὶ ὀνομάζουσι. καὶ γὰρ Ἐμπεδοκλῆς ἐν οἷς φησὶν "οὕτω γὰρ συνέκυρσε θέων τότε, πολλάκι δ' ἄλλως," καὶ πάλιν "ὅπῃ συνέκυρσεν ἅπαντα," τὴν τύχην αἰτιᾶσθαι δοκεῖ. καὶ οἱ θεὸν ἢ ὕλην τὰς ἀρχὰς λέγοντες ἢ ἀγαθὸν καὶ κακόν, τὴν διάτασιν αὐτῶν καὶ τὸν μερισμὸν τῶν πόνων καὶ τὰ τοιαῦτα ὡς ἐκ τύχης ἢ ἐκ ταὐτομάτου λέγειν ἀναγκασθήσονται. ἀλλὰ καὶ Δημόκριτος ἐν οἷς φησὶ "δεῖν ἀπὸ παντὸς ἀποκρίνεσθαι παντοίων εἰδέων," πῶς δὲ καὶ ὑπὸ τίνος αἰτίας μὴ λέγει, ἔοικεν ἀπὸ ταὐτομάτου καὶ τύχης γεννᾶν αὐτά. καὶ Ἀναξαγόρας δὲ τὸν νοῦν ἐάσας, ὥς φησιν Εὔδημος, καὶ αὐτοματίζων τὰ πολλὰ συνίστησι. καὶ τῶν ποιητῶν δὲ ἔνιοι πάντα σχεδὸν εἰς τὴν τύχην ἄγουσιν, ὥστε καὶ τῆς τέχνης οἰκείαν αὐτὴν ποιεῖν, λέγοντες "τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην." τὸν εὐτυχοῦντα δὲ καὶ φρονεῖν φασί. πρὸς δὲ τούτοις ὁρῶμεν ἔνια τῶν ἀπὸ τέχνης γινομένων καὶ ἀπὸ τύχης γινόμενα· καὶ γὰρ ὑγίεια καὶ ἀπὸ τύχης δοκεῖ γίνεσθαι ὥσπερ ἀπὸ τέχνης· διψήσας γὰρ καὶ πιών τις ψυχρὸν ὕδωρ γέγονεν ὑγιής. ἀλλ' ἴσως οὔ φησι Δημόκριτος τὴν τύχην αἰτίαν εἶναι ἀλλὰ τὸ διψῆσαι. id. f. 73 *b*.

196 a 5. "ἀγοράσαι" τουτέστιν εἰς ἀγορὰν διατρῖψαι· Ἀριστοφάνης "ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;" Philop. g p. 10.

196 a 8. ᾐτιάσατο ὁ Ἀλέξανδρος τὴν λέξιν ὡς ἀκατάλληλον τὴν λέγουσαν "τί δήποτε οὐδεὶς περὶ τύχης οὐδὲν διώρισεν." ἔδει γάρ, φησίν, ἐπενεγκεῖν περὶ τύχης τι διώρισε, διότι πρόκειται τὸ ἀποφαντικὸν ἐν τῷ οὐδείς. καὶ δηλονότι πολλῷ μᾶλλον ἂν μέμψαιτο τῷ Πλάτωνι λέγοντι "οὐδεὶς εἰς οὐδὲν οὐδενὸς ἂν γένοιτο ἄξιος." ἀλλὰ καὶ θαυμάσαι μᾶλλον ἔδει τὸ χωρίον καὶ σαφῶς καὶ ἀκριβῶς καὶ ἐντρεπτικῶς ἡρμηνευμένον. Simpl. f. 73 *b*.

196 a 11. πρὸς τοὺς δύο λόγους τοὺς δεικνύντας μὴ εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον ἀντιλέγει, καὶ πρότερον πρὸς τὸν πρῶτον, ὃς ἀναιρεῖ τὴν τύχην διὰ τὸ ὡρίσθαι πάντων τὰ αἴτια, τὴν δὲ τύχην ἀόριστον εἶναι. ἀντιλέγει δὲ τοὐναντίον ἢ βούλεται δεικνὺς τὸν τοιοῦτον λόγον περαίνοντα... τὸ "καθάπερ ὁ παλαιὸς λόγος ὁ ἀναιρῶν τὴν τύχην" πρὸς Δημόκριτον ἔοικεν εἰρῆσθαι· ἐκεῖνος γὰρ κἂν ἐν τῇ κοσμοποιίᾳ ἐδόκει τῇ τύχῃ χρῆσθαι, ἀλλ' ἐν τοῖς μερικωτέροις οὐδενός φησιν εἶναι τὴν τύχην αἰτίαν, ἀναφέρων εἰς ἄλλας αἰτίας, οἷον τοῦ θησαυρὸν εὑρεῖν τὸ σκάπτειν, ἢ τὴν φυτείαν τῆς ἐλαίας, τοῦ δὲ καταγῆναι τοῦ φαλακροῦ τὸ κρανίον τὸν ἀετὸν ῥίψαντα τὴν χελώνην, ὅπως τὸ χελώνιον ῥαγῇ. οὕτως γὰρ ὁ Εὔδημος ἱστορεῖ. πρὸς δὲ τὸν δεύτερον λόγον τὸν λέγοντα ἄτοπόν τι καὶ ἄπορον ἀκολουθεῖν τοῖς τιθεῖσι τὴν τύχην τὸ τοὺς προτέρους φυσιολόγους μηδὲν περὶ αὐτῆς εἰπεῖν, πρὸς τοῦτον οὖν ἀπαντῶν τὸ ἄτοπόν φησιν οὐ τοῖς λέγουσιν αἴτιον τὴν τύχην ἀκολουθεῖν, ἀλλὰ τοῖς πάλαι φυσιολόγοις... ἀλλ' οὗτος μὲν ἐπὶ σμικροῖς τῇ τύχῃ καταχρῆσθαι δοκῶν ἧττονος ἂν εἴη ἐπιστάσεως ἄξιος, τί ποτέ ἐστιν ἡ τύχη μὴ παραδούς· οἱ περὶ Δημόκριτον δὲ διχῶς ἄτοπόν τι πεπονθέναι δοκοῦσι, πρῶτον μὲν ὅτι καὶ οὐρανοῦ τοῦδε, τί λέγω τοῦδε τοῦ οὐρανοῦ; ὅτι καὶ τῶν κόσμων ἁπάντων πολλῶν ἢ καὶ ἀπείρων ὄντων τῶν κατ' αὐτοὺς αἰτιώμενοι τὸ αὐτόματον (ἀπὸ ταὐτομάτου γάρ φασι τὴν δίνην καὶ τὴν κίνησιν τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς τήνδε τὴν τάξιν τὸ πᾶν), ὅμως οὐ λέγουσι τί ποτέ ἐστι τὸ αὐτόματον... ἀπολογεῖται δὲ ὁ Εὔδημος ὑπὲρ τῶν παραλιπόντων ἐν τοῖς αἰτίοις τὴν τύχην, λέγων "εὐλόγως δὲ αὐτὴν παρέλιπον κατὰ συμβεβηκὸς οὖσαν· τὰ γὰρ τοιαῦτα οὐδὲ εἶναι δοκεῖ, ἀλλὰ τὰ καθ' αὑτά." ἐν δὴ τούτοις πᾶσι τοῖς χωρίοις ὁ μὲν Ἀριστοτέλης σαφῆ καὶ τεταγμένην ἐποιήσατο τὴν παράδοσιν, τὰ δὲ τοῦ Ἀλεξάνδρου ὑπομνήματα καὶ ἐλλιπέστερά πως ἐν τούτοις καὶ ὑποσυγκεχυμένα μοι δοκεῖ, τάχα τοῦ μεταγραψαμένου τὴν τάξιν τῶν εἰρημένων ταράξαντος. ἀξιῶ δὲ τοὺς ἐγκαλοῦντας Ἀριστοτέλει ὡς ποιητικὸν αἴτιον τοῦ οὐρανοῦ μὴ λέγοντι τῶν ἐνταῦθα λεγομένων εὐγνωμόνως ἀκούειν. id. f. 74.

196 a 14. "καθάπερ ὁ παλαιὸς λόγος," ὁ τοῦ Δημοκρίτου· καὶ γὰρ οὗτος κἂν ἐν τῇ κοσμοποιίᾳ τῇ τύχῃ κέχρηται, ἀλλ' ἐν τοῖς κατὰ μέρος οὐδενός φησιν εἶναι τὴν τύχην αἰτίαν. cod. Reg. 1947.

196 a 33. πολλῆς οὖν ἐμβροντησίας ἂν εἴη τῶν μὲν ἀεὶ ὡσαύτως ἐχόντων τὸ αὐτόματον αἰτιᾶσθαι, τῶν δὲ μὴ ἀεὶ ὡσαύτως ἐχόντων ἀλλ' ἔστιν ὅτε καὶ τοῦ σκοποῦ τοῦ φυσικοῦ ἀποτυγχανόντων, οἷά ἐστι τὰ ἐν γενέσει, τούτων πρόνοιάν τινα καὶ μὴ τὸ αὐτόματον αἰτιᾶσθαι, εἰ μή τις διὰ τὸ ἀνόητον τοῦ λόγου ἀπολογούμενος ὑπὲρ αὐτῶν εἴποι ὅτι αὐτόματον ἔλεγον τὴν ὑλικὴν αἰτίαν. Philop. g p. 11.

196 b 5. ὥσπερ οἱ Στωϊκοὶ δοκοῦσι λέγειν. καὶ ὅτι μὲν πολλοὶ ταύτης γεγόνασι τῆς δόξης, δῆλον ἐκ τοῦ προσκυνεῖν τὴν τύχην ὡς θεόν, καὶ ἱερὰ οἰκοδομεῖν αὐτῇ, καὶ ὕμνους εἰς αὐτὴν ᾄδειν. ἔοικε δὲ ἡ μὲν ὡς περὶ θείου τινὸς τῆς τύχης οὖσα δόξα καὶ πρὸ τοῦ Ἀριστοτέλους εἶναι παρὰ τοῖς Ἕλλησι, καὶ οὐχ ὑπὸ πρώτων νομισθῆναι τῶν Στωϊκῶν, ὥς τινες οἴονται. καὶ γὰρ Πλάτων ἐν τοῖς Νόμοις ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ φησὶ τύχη καὶ καιρὸς τὰ ἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. τὸ δὲ καί τινας τῶν πόλεων Τύχας τιμᾶν καὶ ναοὺς οἰκοδομεῖν ὕστερον ἔοικεν νομισθῆναι· οὐ γὰρ ἔχομεν παρὰ τοῖς παλαιοῖς Τυχῶν πόλεων ἱερὰ ἱστορημένα ἢ ἑορτὰς ἀναγεγραμμένας. καίτοι τὸ τύχης ὄνομα καὶ παρὰ τοῖς παλαιοῖς τιμώμενον ἴσμεν· ἐν Δελφοῖς δὲ καὶ προκατῆρχεν ἐν ταῖς ἐρωτήσεσιν. "ὦ Τύχη καὶ Λοξία τῷδέ τινι θεμιστεύεις;" καὶ παρ' Ὀρφεῖ δὲ μνήμης τετύχηκεν. Simpl. f. 74 *b*.

196 b 7. "καὶ δαιμονιώτερον." οἱ Στωϊκοὶ τὴν τύχην θεῖόν τι καὶ δαιμόνιον ὑπελάμβανον, διὸ καὶ ἱερὰ τῇ τύχῃ ἐποίουν. cod. Reg. 1947.

σμούς, καὶ μετὰ τὰ καθ' αὑτὸ αἴτια καὶ τὰ κατὰ συμβεβηκὸς ὑπ' ὄψιν ἄγων. id. f. 68 *b*.

194 b 23. τοῦτό ἐστι τὸ ὑλικὸν καὶ ὑποκείμενον, ὅπερ κατὰ μὲν τὸ ἐξ αὐτοῦ γίνεσθαί τι τῇ στερήσει ἐπικοινωνεῖν δοκεῖ, κατὰ δὲ τὸ ἐνυπάρχοντος τούτου διαφέρει. id. f. 69.

194 b 26. καλεῖ παράδειγμα τὸ εἶδος, οὐχ ὡς οἱ τὰς ἰδέας λέγοντες αὐτὴν καθ' αὑτὴν εἰδικὴν οὐσίαν ὑποτιθέμενος, πρὸς ἣν τὰ ἐνθάδε ἀφομοιοῦται· οὐδὲ γὰρ τὰ φύσει ποιοῦντα, φησὶν Ἀλέξανδρος, πρῶτον νοήσαντα ἃ ποιεῖ οὕτω ποιεῖ... ἀλλὰ τὸ γινόμενον περὶ τῇ ὕλῃ εἶδος, τοῦτο καλεῖ παράδειγμα... οὐχ ὁμοίως δέ, φησὶν Ἀλέξανδρος, ἐν τοῖς ἕνεκά του ποιοῦσι πᾶσιν ἔχει τὸ τέλος καὶ τὸ παράδειγμα... παράδειγμα δὲ τὸ ἔνυλον εἶδος ὁ Ἀριστοτέλης καλεῖ, ἴσως μὲν καὶ ὡς σκοπὸν τῆς φύσεως, εἰς ὃν οὐ γνωστικῶς ἀλλ' οὐσιωδῶς ἀποτεινομένη πάντα ποιεῖ. id. ib.

194 b 28. ἔστιν ἡ διὰ πασῶν ἁρμονία, ἐν ᾗ ἡ ὑπάτη δὶς ἔχει τὴν νήτην, τουτέστι διπλασίονα αὐτῆς φθόγγον ἔχει. ἔστιν οὖν εἶδος ταύτης τὰ δύο πρὸς ἕν· ὃν γὰρ λόγον ἔχει τὰ δύο πρὸς ἕν, τοῦτον τὸν λόγον ἡ ὑπάτη πρὸς τὴν νήτην. Philop. g p. 2.

194 b 30. δεῖ μεμνῆσθαι ὅτι ἐνταῦθα ὁ Ἀλέξανδρος ὁμολογεῖ μὴ εἶναι κυρίως ποιητικὸν αἴτιον τὴν φύσιν ἀλλ' εἰδικὸν μᾶλλον, διὰ τὸ μὴ εἶναι πρῶτον ἐν τοῖς ποιητικοῖς. καὶ ὄργανα δὲ δοκεῖ κινήσεως αἴτια γίνεσθαι, ἀλλ' οὐδὲ ταῦτα κυρίως ποιητικά ἐστιν, ὅτι μὴ πρώτως ἀλλὰ κινούμενα κινεῖ. Simpl. f. 70.

195 a 3. τὸ σχεδὸν εἶπε διὰ τὴν πρὸς τὸν Πλάτωνα εὐλάβειαν ἓξ τὰ αἴτια λέγοντα. cod. Reg. 1947.

τὸ σχεδὸν πρόσκειται ἢ ὅτι τὰ κυρίως αἴτια τοσαυταχῶς, πολλῶν ὄντων καὶ κατὰ συμβεβηκὸς αἰτίων, ὡς ἐρεῖ, ἢ δι' εὐλάβειαν εἴρηται τοῦ Πλάτωνος τὸ μὲν παραδειγματικὸν αἴτιον τοῖς κυρίως αἰτίοις συναριθμήσαντος, τῷ τελικῷ καὶ τῷ ποιητικῷ, τὸ δ' ὀργανικὸν τοῖς συναιτίοις, τῷ τε ὑλικῷ καὶ τῷ εἰδικῷ... καὶ ὅτι μὲν ταῦτα αἴτια τῶν γινομένων ἐστί, δῆλον· ὅτι δὲ καὶ μόνα ταῦτα, ἐκ τῆς διαιρέσεως ἐπιβλεπτέον. Simpl. f. 70 *b*.

195 a 15. ἅπαντα μέντοι γε, ὥσπερ ἔφην, εἰς τέτταρας τρόπους πίπτει τοὺς φανερωτάτους, καὶ πάλιν γε αὐτοὺς ἀκριβείας ἕνεκα ἐξαριθμητέον. πρῶτον μὲν εἰς τὴν ὕλην καὶ τὸ ὑποκείμενον. οὐχ εἷς δὲ ὁ τρόπος τῆς ὕλης· ἄλλως γὰρ ὑπόκειται τὰ στοιχεῖα ταῖς συλλαβαῖς (κατὰ σύνθεσιν γάρ), καὶ ἄλλως ἡ κυρίως ὕλη δέχεται τὸ εἶδος (κατὰ ἀλλοιώσεις γάρ), γῆ δὲ καὶ ὕδωρ κατ' ἄμφω τοῖς τῶν ζῴων σώμασιν, καὶ τὰ μέρη τῷ ὅλῳ καθ' ἕτερον τρόπον, καὶ αἱ προτάσεις τοῦ συλλογισμοῦ τῷ συμπεράσματι. δεύτερον δὲ τὸ τί ἦν εἶναι καὶ τὸν λόγον. καὶ τοῦτο δὲ λέγεται πολλαχῶς, ὅλον μὲν ἐπὶ τοῖς ἐκ μερῶν συγκειμένοις, ὅλον δὲ οὐ σὺν τοῖς μέρεσιν (τοῦτο γὰρ ἤδη τὸ συναμφότερον) ἀλλὰ τὸ ἐπὶ πᾶσιν αὐτοῖς ἐπιθεωρούμενόν τε καὶ ἐπιγιγνόμενον. Themist. f. 25.

195 a 19. συντάξας τὰ εἴδη τοῖς ὑποκειμένοις εἰκότως ἐπήγαγε "τούτων δὲ τὰ μέν.".. μεμνῆσθαι χρὴ ὅτι τὴν ὕλην κατὰ ἀλλοίωσιν ἀναλαμβάνειν τὸ εἶδος ὁ Ἀλέξανδρός φησιν. διὸ καὶ ἐξ ὕλης καὶ εἴδους τὸ σύνθετον οἱ Περιπατητικοὶ λέγουσιν, ὡς συνεξαλλοιουμένων ἀλλήλοις τῶν ἁπλῶν ἐν τῇ τοῦ συνθέτου γενέσει, οἱ δὲ Πλατωνικοὶ τὴν ὕλην ἄτρεπτον λέγουσιν, τοῖς ἐν Τιμαίῳ (p. 50) λεγομένοις ἀκολουθοῦντες. Simpl. f. 71 *b*.

τρίτον πάλιν ἀπαριθμεῖται τὸ ποιητικὸν αἴτιον, παραδείγματα καὶ ἐνταῦθα παρατιθείς, δι' ὧν, ὡς οἶμαι, καὶ τὰς τοῦ ποιητικοῦ αἰτίου διαφοράς, ὡς τὰς τοῦ ὑλικοῦ καὶ τὰς τοῦ εἴδους πρότερον ἐνεδείξατο· ἄλλως γὰρ ὁ βουλεύσας ποιεῖ, καὶ ἄλλως ὁ ἰατρός, καὶ ἄλλως τὸ σπέρμα. id. ib.

"τὸ δὲ ὡς τέλος καὶ τὸ ἀγαθὸν τῶν ἄλλων." καὶ φησὶν ὁ Ἀλέ- 195 a 23.
ξανδρος τὸ ἀκόλουθον εἶναι κατὰ τὴν λέξιν, τὸ δὲ ὡς τέλος τῶν ἄλλων, καὶ τὸ ἀγαθόν. τῶν ἄλλων, δηλονότι ὧν ἐστὶ τέλος. μήποτε δὲ κοινῶς κατὰ κοινοῦ καὶ τῷ τέλει καὶ τῷ ἀγαθῷ ἐπήχθη τὸ "τῶν ἄλλων.".. τοσούτων οὖν ὄντων τῶν αἰτίων λέγει ὁ Εὔδημος ὅτι τὸ μὲν ὑποκείμενον καὶ τὸ κινοῦν πρώτως πάντες ᾐτιῶντο, τὴν δὲ μορφὴν πολλοί, τὸ δὲ οὗ ἕνεκα ἐλάττονες καὶ ἐπὶ μικρόν. ἡμῖν δὲ τῶν πλειστων φαίνεται τοῦτο αἴτιον· φαίνεται γὰρ πολύχουν εἶναι. id. ib.

πρότερον μὲν ὅτε ἔλεγεν (p. 194 *b* 23) "ἕνα μὲν οὖν τρόπον αἴτιον 195 a 27.
λέγεταί τι, τὸ ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος," τρόπους ἔλεγε τὰς πρὸς ἄλληλα τῶν πρώτων αἰτίων διαφοράς, οἷον τὰς τῆς ὕλης μόνης καὶ τοῦ εἴδους μόνου καὶ τῶν ἄλλων αἰτίων· νῦν δὲ τρόπους τὰς διαφορὰς τῶν μερικῶν αἰτίων φησίν, αἵτινες τῶν ὁμοειδῶν εἰσίν. id. f. 72.

εἰς κατασκευὴν τοῦ προτέρου τοῦτο ἐπήγαγεν, ὅτι ἔστι τοῦ συμ- 195 b 1.
βεβηκότος τὸ μὲν προσεχὲς τὸ δὲ πόρρω, ἵνα τὸ δέ ἀντὶ τοῦ γάρ ἀκούσωμεν. ἢ βούλεται διὰ τούτων δεῖξαι ὅτι καὶ τῶν τῆς αὐτῆς τάξεως συμβεβηκότων τὰ μὲν οἰκειότερα μᾶλλόν ἐστι τοῖς καθ' αὑτὸ αἰτίοις, τὰ δὲ ἧττον, ἵνα τὸ πορρώτερον καὶ ἐγγύτερον ἀντὶ τοῦ οἰκειότερον καὶ ἀνοικειότερον ἀκούσωμεν· ὅθεν καὶ τὰ παραδείγματα τὰ τοιαῦτα ἔθηκε, τὸ λευκὸν καὶ τὸ μουσικόν, ὧν οὐδέτερον περιεκτικώτερόν ἐστιν, ἀλλὰ τὸ μὲν μουσικὸν οἰκειότερον, ὅπερ οὐδενὶ ἄλλῳ συμβαίνει ἢ τῷ ἀνθρώπῳ, ὥσπερ καὶ αὐτῷ τῷ μουσικῷ συμβέβηκεν, ἧττον δὲ οἰκεῖον τὸ λευκόν· καὶ γὰρ ἄλλοις πολλοῖς παρὰ τὸν ἄνθρωπον. Philop. g p. 7.

κοινήν τινα διαφορὰν ἐπάγει πᾶσι τοῖς εἰρημένοις αἰτίοις, τοῖς 195 b 3.
τε καθ' αὑτὸ καὶ τοῖς κατὰ συμβεβηκός, τοῖς τε ἀπολελυμένοις δηλονότι καὶ τοῖς συμπεπλεγμένοις, τὴν κατὰ τὸ δυνάμει καὶ ἐνεργείᾳ· ὥστε ἓξ οὐσῶν τῶν διαφορῶν καὶ διπλασιαζομένων τῷ δυνάμει καὶ ἐνεργείᾳ, δώδεκα γίνεσθαι τὰς πάσας, ἃς καὶ αὐτὸς σαφῶς ἀπαριθμεῖται. Simpl. f. 72 *b*.

οἷον αἴτια τὸν ἀνδριάς ἐστιν ὅδε προσεχῶς, οἷον ὁ Μίλωνος, πορ- 195 b 7.
ρώτερον δὲ ἀνδριὰς ἁπλῶς, καὶ ἔτι τούτου πορρώτερον ἡ εἰκών. id. ib.

Πολύκλειτος δὲ οὗτός ἐστιν ὁ ἀνδριαντοποιός, οὗ καὶ Γαληνὸς 195 b 11.
ἐμνημόνευσεν, ὃς τὸν ἀνδριάντα ἐδημιούργησε πᾶσαν ἔχοντα μελῶν συμμετρίαν καθ' αὑτά τε καὶ πρὸς ἄλληλα, ὡς διὰ τοῦτο τὸν Πολύκλειτον καλεῖσθαι κανόνα. id. f. 73.

εἰπὼν τὰ ἐνεργοῦντα, προσέθηκε "καὶ τὰ καθ' ἕκαστον," οὐχ 195 b 17.
ὡς ἄλλα παρὰ τὰ ἐνεργοῦντα λέγων, ἀλλ' ὅτι τὰ ἐνεργοῦντα τὰ καθ' ἕκαστά ἐστιν. id. ib.

ἀλλὰ κέχρηνται ὡς φυσικῇ τε καὶ κινουμένῃ· τῇ γὰρ ἐκ τῆς διόπτρας εὐθείᾳ μεθ' ὕλης ἤδη χρῶνται καὶ κινήσεως. Themist. f. 24.

194a 12. διχῶς δὲ ἡ φύσις κατά τε τὴν ὕλην καὶ κατὰ τὸ εἶδος, καὶ κυριώτερον κατὰ τὸ εἶδος. εἰκότως οὖν τὸ συναμφότερον γινώσκει κατὰ τὸ εἶδος. καὶ εἴπερ ἡ μὲν ὕλη κατὰ ἀναλογίαν ἐστὶ γνωστή, τὸ δὲ εἶδος κατὰ ἐπέρεισιν, εἰκότως κατὰ τὸ εἶδος ἡ τοῦ συνθέτου γνῶσις ἐπιτελεῖται. Simpl. f. 66 *b*.

194a 20. Ἐμπεδοκλῆς μὲν τὸ νεῖκος καὶ τὴν φιλίαν ὡς εἰδοποιοὺς αἰτίας ἐν ταῖς ἀρχαῖς ἀποθέμενος, Δημόκριτος δὲ τὸ σχῆμα καὶ τὴν θέσιν καὶ τὴν τάξιν, τὸ εἶδος οἶμαι κατὰ τὸν λόγον ἀφορίζει καθ' ὃν ἕκαστα ἐποίουν... Ἀναξαγόρου δέ, φησὶν Ἀλέξανδρος, οὐκ ἐμνημόνευσε, καίτοι τὸν νοῦν ἐν ταῖς ἀρχαῖς τιθέντος. ἴσως, φησίν, ὅτι μὴ προσχρῆται αὐτῷ ἐν τῇ γενέσει. ἀλλ' ὅτι μὲν προσχρῆται, δῆλον, εἴπερ τὴν γένεσιν οὐδὲν ἄλλο ἢ ἔκκρισιν εἶναί φησι, τὴν δὲ ἔκκρισιν ὑπὸ τῆς κινήσεως γίνεσθαι, τῆς δὲ κινήσεως αἴτιον εἶναι τὸν νοῦν. λέγει γὰρ οὕτως Ἀναξαγόρας. *r*. ἀλλὰ διὰ τοῦτο τοῦ Ἀναξαγόρου οὐκ ἐμνήσθη, ὅτι τὸν νοῦν ὁ Ἀναξαγόρας οὐκ ἔλεγεν εἶδος ἔνυλον, οἷον ἦν τὸ νῦν ζητούμενον, ἀλλὰ διακριτικὸν καὶ κοσμητικὸν αἴτιον, χωριστὸν ἀπὸ τῶν κοσμουμένων καὶ ἄλλης ὂν ὑποστάσεως παρὰ τὰ κοσμούμενα... μήποτε δὲ καὶ διὰ τοῦτο οὐκ ἐμνημόνευσεν Ἀναξαγόρου, ὅτι ὁ παρ' αὐτῷ νοῦς οὐ ποιεῖν ἀλλὰ διακρίνειν ὄντα τὰ εἴδη δοκεῖ... δευτέρῳ δὲ χρῆται ἐπιχειρήματι τοιούτῳ. εἰ τῆς αὐτῆς ἐστὶν ἐπιστήμης τὸ τέλος καὶ τὸ οὗ ἕνεκα γινώσκειν καὶ τὰ πρὸς τὸ τέλος, οἷον οἰκοδομικῆς τὴν ὀροφὴν καὶ τοὺς τοίχους, ἡ δὲ φύσις καὶ τὸ εἶδος τέλος ἐστὶ καὶ τὸ οὗ ἕνεκα, δηλονότι τῆς φυσικῆς εἴη ἂν μὴ μόνον τὴν ὕλην γινώσκειν, ὡς οἱ παλαιοὶ φυσικοὶ λέγουσιν, ἀλλὰ καὶ τὸ εἶδος, ἢ μὴ μόνον τὸ εἶδος, ὅπερ ἐστὶν ἡ κυρίως φύσις, ἀλλὰ καὶ τὴν ὕλην· οὕτω γὰρ ὁ Ἀλέξανδρος ἀκούει. δυνατὸν δὲ ἀμφοτέρως. ἀλλ' ἡ μὲν ἀπόδειξις τοῦ καὶ τοῦ εἴδους εἶναι τὴν φυσικὴν ὀρθῶς ἔχει ὡς πρὸς τοὺς φυσικοὺς λεγομένη, ἡ δὲ τοῦ καὶ τῆς ὕλης πρὸς τὰ ἐφεξῆς ἐπαγόμενα. id. ib.

194a 29. ὁ Ἀλέξανδρος ἄμεινόν φησι γεγράφθαι "ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστι τι ἔσχατον, τοῦτο τέλος καὶ οὗ ἕνεκα," ἐπεὶ μὴ πᾶν ἔσχατον τέλος. καίτοι καὶ αὐτὸς Ἀριστοτέλης ὁμολογεῖ μὴ πᾶν τὸ ἔσχατον εἶναι τέλος. μήποτε οὖν μεταγράφειν οὐκ ἀνάγκη τὴν λέξιν. id. f. 67.

"ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἐστὶ τέλος, τοῦτο ἔσχατον καὶ τὸ οὗ ἕνεκα." μικρὸν δεῖ τὴν λέξιν μεταρρυθμίσαι, "ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστιν ἔσχατόν τι, τοῦτο τέλος καὶ τὸ οὗ ἕνεκα." ὁ δὲ νοῦς τῶν προκειμένων οὗτος. Philop. *f* p. 14.

194a 30. ποιητὴν τὸν Εὐριπίδην λέγει. ὅτι, φησί, καλῶς ὡρισάμεθα τὸ τέλος καὶ τὸ οὗ ἕνεκα, καὶ ὅτι ἐπὶ τῆς ἀδιακόπου κινήσεως, πιστοῦται καὶ Εὐριπίδης, ἐκ κοινῆς μὲν ἐννοίας τοῦτο λαβών, ὅτι τῆς συνεχοῦς κινήσεως τὸ ἔσχατον τέλος καὶ οὗ ἕνεκά ἐστι, γελοίως δὲ τὴν κοινὴν ταύτην ἔννοιαν καὶ καθολικὴν ἐφαρμόσας τοῖς κατὰ μέρος. ἐπεὶ γοῦν συνεχοῦς τινὸς τῆς ζωῆς τέλος ἐστὶν ὁ θάνατος, ἐνόμισε τοῦτο τέλος καὶ οὗ ἕνεκα εἶναι· ὅθεν ἐπειδὴ τὰ πρὸ τοῦ τέλους πρὸς τὸ τέλος ἀναφέρεται πάντα, ὑπενόησε διὰ τοῦτο γίγνεσθαι τὸν ἄνθρωπον ἵνα ἀποθάνῃ. id. p. 15.

194a 34. ὅτι συνήρτηται ἀλλήλοις τὸ τέλος καὶ τὰ πρὸς τὸ τέλος, δείκνυσιν ἐκ τοῦ καὶ ἡμᾶς τέλη ὄντας χρῆσθαι ἐκείνοις τοῖς ἡμῶν ἕνεκα παραλαμβανομένοις. καὶ δηλονότι καὶ τὸ ἐπὶ τῶν τεχνῶν εἰρημένον καὶ τὸ ἐπὶ τῶν τελῶν κατ' ἐπίτασιν δείκνυσι τὸ προκείμενον· περιττεύει γὰρ τὸ ποιεῖν καὶ χρῆσθαι τοῦ γινώσκειν μόνον. ἀλλὰ πῶς ἡμεῖς τέλη, καὶ πῶς χρώμεθα πᾶσιν; ἢ ὅτι διχῶς τὸ τέλος, τὸ μὲν ὡς τὸ οὗ ἕνεκα ἡ ἔφεσις, ὅπερ σκοπὸν οἱ νεώτεροι καλοῦσιν, οἷον ἡ ὑγίεια, ἧς ὁ ἰατρὸς στοχάζεται, τὸ δέ, ἐν ᾧ τοῦτό ἐστι καὶ ᾧ περιγίνεται, ὥσπερ ὁ ὑγιαίνων· τοῦτο γάρ ἐστι τέλος ὡς τὸ ᾧ, ὃ καὶ ἡμεῖς ἐσμέν. τέλος γὰρ τοῦ ἰατροῦ ὁ ὑγιαίνων οὐχ ὡς τὸ οὗ στοχάζεται, οἷον ἡ ὑγίεια, ἀλλ' ὡς τὸ ᾧ βούλεται αὐτὴν περιποιῆσαι. γέγονε δὲ ἡ διαίρεσις αὐτῷ ἐν τοῖς Νικομαχείοις Ἠθικοῖς, ἃ περὶ φιλοσοφίας καλεῖ, φιλοσοφίαν ἰδιαίτερον καλῶν πᾶσαν τὴν ἠθικὴν πραγματείαν. Simpl. f. 67 *b*.

194a 36. "καὶ ἐν τοῖς περὶ φιλοσοφίας." λέγει δὲ τοῖς Ἠθικοῖς, ἃ περὶ φιλοσοφίας, διότι τὸ φιλόσοφον ἦθος δι' αὐτῶν παραδίδοται. αὕτη μὲν οὖν ἡ σύνταξις, τὰ δὲ μεταξὺ τὰ μέν ἐστι προκατασκευὴ τοῦ ὅτι τὸ οὗ ἕνεκα τέλος, τὰ δὲ πρὸς ἔλεγχον τοῦ Εὐριπίδου. Philop. *f*. p. 15.

εἴρηται δὲ περὶ τούτων ἐν τοῖς Ἠθικοῖς τοῖς Νικομαχείοις· ταῦτα γὰρ φιλοσοφίαν καλεῖ ὡς περὶ ἀρετῆς διδάσκοντα. cod. Reg. 1947.

εἰπὼν ὅτι ἔνιαι τῶν τεχνῶν καὶ ποιοῦσι τὴν ὕλην καὶ οὐ μόνον γνωρίζουσι, νῦν δείκνυσιν ὅτι καὶ αἱ ἀρχιτεκτονικαὶ τῶν τεχνῶν αἱ μάλιστα δοκοῦσαι πρὸς τὸ εἶδος ὁρᾶν, οὐδὲ αὐταὶ τὴν ὕλην ἀγνοοῦσιν. Simpl. f. 67 *b*.

194b 3. προσέθηκε τὸ "πως" διὰ τὸ μὴ τεκταίνεσθαι τὴν κυβερνητικήν. ἄρχει μὲν γὰρ μᾶλλον τῆς ναυπηγικῆς, οὐ τεκταίνεται δέ. πρὸς τὸ τεκταίνεσθαι οὖν τὸ "πως," οὐ πρὸς τὸ ἄρχειν. Philop. *f* p. 16.

194b 11. καί μοι δοκεῖ κατάλληλος ἡ λέξις φαίνεσθαι, ἐὰν καὶ ἐπὶ τοῦ "μέχρι τίνος" βαρύνωμεν τὸ τίνος (ταὐτὸν γάρ ἐστι τῷ μέχρι πόσου) καὶ ἐπὶ τοῦ "τίνος γὰρ ἕνεκα ἕκαστον" βαρυτόνως προενέγκωμεν τὸ τίνος· δηλοῖ γὰρ τὸ ἄχρι τοῦ τέλους καὶ ἄχρι τοῦ τίνος ἕνεκα. εἰ δὲ καὶ ἐγγράφοιτο "μέχρι τινός, ἕνεκα τινός, τινὸς γὰρ ἕνεκα ἕκαστον" (λέγει γὰρ καὶ τοιαύτην γραφὴν ὁ Ἀλέξανδρος), τὸ μὲν πρῶτον τίνος βαρυνοῦμεν, τὸ δὲ δεύτερον ὀξυνοῦμεν... σημειοῦται δὲ ὁ Ἀλέξανδρος καὶ ἐκ τῶν ἐνταῦθα λεγομένων ὅτι κατὰ Ἀριστοτέλη συνῆπται τῷ θείῳ σώματι ἡ τῶν ἐνταῦθα γένεσις καὶ οὐκ ἀπήρτηται ἀπ' αὐτοῦ. Simpl. f. 68.

194b 16. τῆς πραγματείας οὔσης περὶ τῶν ἀρχῶν καὶ αἰτίων τῶν φυσικῶν, διότι, ὡς αὐτὸς ἀρχόμενος εἶπε, "τότε οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς πρώτας καὶ μέχρι τῶν στοιχείων," περὶ τῶν ἀρχῶν τῶν ὡς στοιχείων πρῶτον προέθετο σκοπεῖν... ἐπειδὴ πολλὰ μεταξὺ τῆς τῶν αἰτίων πρὸς ἄλληλα συντάξεως ἐρρήθη, ἀναλαβὼν τὸν λόγον ἐφεξῆς αὐτὰ ἀπαριθμήσεται, τοὺς προσήκοντας ἑκάστῳ ἐπάγων διορι-

ἀρρύθμιστον... κατὰ δεύτερον δὲ σημαινόμενον τὸ περὶ τὴν ὕλην εἶδος... κατὰ δὲ τρίτον τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συγκείμενον, οἷον ὁ ἄνθρωπος... εἰ μέντοι τὸ "μᾶλλον αὕτη φύσις τῆς ὕλης" ἐπὶ τῆς συνθέτου εἴρηται, ὡς ἤκουσεν ὁ Πορφύριος, δηλονότι κυρίως μὲν φύσις οὐκ ἔστι τὸ σύνθετον... κατὰ τέταρτον δὲ σημαινόμενον λέγεται φύσις ἡ οἷον ἔκφυσις καὶ γένεσις καὶ κίνησις, καθ' ἣν ὑπὸ τοῦ φύοντος φύεται τὸ φυόμενον... κατὰ πέμπτον δὲ σημαινόμενον τὸ κυριώτατον φύσις ἐστὶ τὸ τοῦ κινεῖσθαι τοῖς φυσικοῖς αἴτιον... ὁ μέντοι ὁρισμὸς πᾶσι τοῖς σημαινομένοις ἐφαρμόσει οἰκείως ἐφ' ἑκάτερα λαμβανόμενος· καὶ γὰρ ἡ μὲν κυρίως φύσις ἀρχὴ καὶ αἰτία κινήσεώς ἐστι καὶ ἠρεμίας, ἡ δὲ ὡς κίνησις φύσις ὡς ὀργανική· διὰ γὰρ ταύτης ἡ ποιητικὴ φύσις τὴν ἐν τοῖς φυσικοῖς κίνησιν καὶ ἠρεμίαν ἀποτελεῖ, ὡς ὁ ἰατρὸς διὰ τῆς ἰατρεύσεως τὴν ὑγίειαν. ἡ δὲ ὕλη καὶ τὸ εἶδος ἀρχαὶ τῆς κατὰ φύσιν ἀποδιδομένης ἐνεργείας εἰσὶν ὡς στοιχειώδεις. καὶ λέγει ὁ Εὔδημος ὅτι ἐπιδέχεται καὶ ταῦτα τὸν λόγον τῆς φύσεως· ἀρχὴ γὰρ δοκεῖ κινήσεως εἶναι καὶ ἡ ὕλη καὶ τὸ οὗ ἕνεκα... ἀλλὰ πῶς τὸ σύνθετον ἀρχὴ ἂν εἴη καὶ αἰτία, ἀποτέλεσμα μόνον ὑπάρχον; ἢ καὶ τοῦτο ὡς τέλος ἂν εἴη ἀρχή... οἱ δὲ παλαιότεροι φαίνονται μὲν καὶ αὐτοὶ τοιαύτην τινὰ τῆς φύσεως ἔννοιαν ἐσχηκότες, ὡς κατὰ τὴν ἐπιτηδειότητα τὴν πρὸς κίνησιν ἑκάστων θεωρουμένης, καθ' ἣν χαρακτηρίζεται τὰ φυσικὰ πράγματα. Simpl. f. 62 *b*.

193 b 20. εἰ δὲ καὶ ἡ ψυχὴ ἀρχὴ κινήσεως ἐστι καὶ ἠρεμίας τοῖς ἐμψύχοις σώμασι καὶ κατὰ Πλάτωνα καὶ Ἀριστοτέλην, τίς ἡ διαφορά; ὅτι γὰρ καὶ ἡ ἐσχάτη ψυχὴ ἡ φυτικὴ καλουμένη ἄλλη καὶ κατὰ τὸν Ἀριστοτέλην ἐστὶ παρὰ τὴν φύσιν, ἐκ τῶνδε δῆλον, κἂν πολλάκις φύσιν καλῶσι τὴν φυτικὴν ψυχὴν ὡς ἐγγὺς οὖσαν τῆς φύσεως. πᾶσα ψυχὴ καὶ ἡ ἐσχάτη ἐντελέχεια σώματος φύσιν ὀργανικὴν ἔχει παρ' αὐτῷ, ὥστε φύσιν ἔχοντι σώματι ὑπάρχει ἡ φυτικὴ ψυχή, ἄλλη δηλονότι οὖσα παρὰ τὴν φύσιν. ἀλλ' οὐδὲ μόνα τὰ ὀργανικὰ σώματα φύσιν ἔχει, ἀλλὰ καὶ τὰ ὁμοιομερῆ καὶ τὰ δ' στοιχεῖα. ἔτι δὲ ἔμψυχα μὲν λέγομεν τὰ ἔχοντα αἰτίαν ἐν ἑαυτοῖς τοῦ τρέφεσθαι καὶ αὔξεσθαι καὶ γεννᾶν ὅμοια, φυσικὰ δὲ τὰ μὴ τοιαῦτα, οἷον λίθοι καὶ τὰ ἄλλα μέταλλα καὶ τὰ νεκρὰ σώματα καὶ τὰ ἁπλᾶ. ἔτι δὲ πᾶν σῶμα φύσιν ἔχει· καὶ γὰρ τὰ τῶν τεχνητῶν, οἷον τὸ τοῦ ἀνδριάντος καὶ φυσικόν ἐστιν, ὥσπερ καὶ τὸ τῆς κλίνης ξύλον· οὐ πᾶν δὲ σῶμα ἔμψυχόν ἐστιν, ὥστ' οὐκ ἂν εἴη ψυχὴ ἡ φύσις. δῆλον δὲ ὅτι χείρων ἐστὶν ἡ φύσις τῆς φυτικῆς ψυχῆς, εἴπερ ὡς εἶδος ὕλῃ τῷ φυσικῷ σώματι ἡ τοιαύτη ψυχὴ ἐπιγίνεται. πῶς οὖν Ἀριστοτέλης τὴν πρὸς ψυχὴν αὐτῆς διαφορὰν ἀποδέδωκεν; ἐγὼ μὲν οἶμαι καὶ τὸ ἐν ᾧ ἐστὶν ἀρκεῖν πρὸς τοῦτο καὶ τὸ ἐφεξῆς σαφέστερον εἰρημένον τὸ ἐν ὑποκειμένῳ εἶναι τὴν φύσιν. cod. Vat. 1028 ex Simpl. f. 63 *b*.

193 b 22. διαφέρει ὁ μαθηματικὸς τοῦ φυσικοῦ πρῶτον μὲν ὅτι ὁ φυσικὸς οὐ περὶ τῶν συμβεβηκότων μόνον τοῖς φυσικοῖς λέγει ἀλλὰ καὶ περὶ τῆς ὕλης, τοῦ μαθηματικοῦ μηδὲν περὶ ὕλης πολυπραγμονοῦντος. ἔπειτα καὶ περὶ τῶν συμβεβηκότων, περὶ ὧν ἀμφότεροι λέγουσιν, οὐ κατὰ τὸν αὐτὸν λέγουσι τρόπον, ἀλλ' ὁ μὲν φυσικὸς περὶ ἐπιπέδων λέγει καὶ γραμμῶν καὶ σημείων ὡς περὶ περάτων τοῦ φυσικοῦ καὶ κινητοῦ σώματος, ὁ δὲ μαθηματικὸς οὐ τὴν κίνησιν προσποιεῖται τὴν ἔμφυτον, οὔτε ὡς πέρατα φυσικοῦ σώματος παραλαμβάνει... ὥστε εἰ μήτε ὡς περὶ φυσικῶν λέγει μήτε ὡς φυσικοῖς ὑπαρχόντων, οὔτε φυσικὸς ἂν εἴη ὁ μαθηματικὸς οὔτε μέρος ἡ μαθηματικὴ τῆς φυσικῆς. ἀλλ' οὐδὲ ἡ ἀστρολογία... ὁ δὲ Ἀλέξανδρος φιλοπόνως λέξιν τινὰ τοῦ Γεμίνου παρατίθησιν ἐκ τῆς ἐπιτομῆς τῶν Ποσειδωνίου Μετεωρολογικῶν ἐξηγήσεως, τὰς ἀφορμὰς παρὰ Ἀριστοτέλους λαβοῦσαν. ἔχει δὲ ὧδε... διὸ καὶ παρελθών τις, φησὶν Ἡρακλείδης ὁ Ποντικός, ἔλεγεν ὅτι καὶ κινουμένης πως τῆς γῆς, τοῦ δ' ἡλίου μένοντός πως, δύναται ἡ περὶ τὸν ἥλιον φαινομένη ἀνωμαλία σώζεσθαι. ὅλως δὲ οὐκ ἔστιν ἀστρολόγου τὸ γνῶναι τί ἠρεμαῖόν ἐστι τῇ φύσει καὶ ποῖα τὰ κινητά... περὶ τὴν τῶν ὀνομάτων δὲ χρῆσιν ἐπισημήνασθαι ἄξιον ὅτι μαθηματικὸν νῦν τὸν γεωμέτρην ἔοικε καλεῖν· οὗτος γάρ ἐστιν ὁ ἐπίπεδα καὶ στερεὰ καὶ μήκη καὶ στιγμὰς ἔχων, καίτοι τῆς κυρίως μαθηματικῆς καὶ τὴν ἀριθμητικὴν καὶ τὴν ἀστρολογίαν ἤτοι σφαιρικὴν καὶ τὴν ἁρμονικὴν ἤτοι τὴν κανονικὴν περιεχούσης. καὶ τὸ τῆς ἀστρολογίας ὄνομα, μήπω τότε τῆς ἀποτελεσματικῆς εἰς τοὺς Ἕλληνας ἐλθούσης, ὡς ἔοικεν, ἐπὶ τῆς νῦν καλουμένης ἀστρονομίας ἔφερεν. οἱ δὲ νεώτεροι διελόντες τοὔνομα τὴν μὲν τὰς κινήσεις τῶν οὐρανίων ἐπισκοποῦσαν ἀστρονομίαν καλοῦσι, τὴν δὲ περὶ τὰ ἀποτελέσματα ἐξ αὐτῶν ἀστρολογίαν ἰδίως ἐπονομάζουσιν. Simpl. f. 64 *b*.

193 b 25. ὁ γοῦν Θεοδόσιος ἐν τῇ Σφαιρικῇ διδάσκων τὰ συμβαίνοντα πάθη τῇ σφαίρᾳ οὐδὲν προσλογίζεται ὕλην, ἀλλὰ χωρίσας πάσης οὐσίας τὸ σφαιρικὸν σχῆμα, οὕτω τὰ συμβαίνοντα αὐτῷ ἐπισκέπτεται, ὅτι ἐὰν σφαῖρα ἐπιπέδῳ τμηθῇ κύκλον ποιεῖ, καὶ ὅσα ἄλλα. ὁ δὲ Αὐτόλυκος περὶ κινουμένης σφαίρας γράψας καὶ ὅσα συμβαίνει τῇ κινουμένῃ σφαίρᾳ, μερικώτερός ἐστι τοῦ Θεοδοσίου καὶ μᾶλλον τῷ φυσικῷ προσεγγίζων. Philop. *f* p. 8.

193 b 35. οἱ μὲν μαθηματικοὶ γραμμὰς καὶ ἐπίπεδα καὶ τὰ τοιαῦτα χωρίζουσιν ἀπὸ τῶν φυσικῶν σωμάτων, ἅπερ εἰ καὶ τῇ ὑποστάσει ἀχώριστα ἐστίν, ἀλλὰ τῇ γε ἐπινοίᾳ χωριζόμενα οὐδὲν ἀδύνατον ἑπόμενον ἔχει· οὗτοι δὲ τὰ φυσικὰ εἴδη χωρίζειν ἐπιχειροῦσιν, οἷον ἄνθρωπον καὶ σάρκα καὶ τὰ τοιαῦτα, ἅπερ ἧττόν ἐστι χωριστὰ τῶν μαθηματικῶν. τὸ δὲ "ἧττον" δοκεῖ δι' εὐλάβειαν λέγειν ὁ φιλόσοφος, καίτοι βουλόμενος αὐτὰ μηδαμῶς εἶναι μηδὲ τῇ ἐπινοίᾳ χωριστά... ὅτι δὲ οὐ πάντα δυνατὸν χωρίσαι τῶν φυσικῶν, δείκνυσι καὶ διὰ τοῦ τῶν μαθημάτων καίτοι χωρίζειν πεφυκότων, ὅμως τὰ φυσικώτερα καὶ κινήσει προσχρώμενα, οἷά ἐστιν ἡ ὀπτικὴ καὶ ἡ ἁρμονικὴ καὶ ἡ ἀστρολογία, αἰσθήσεσιν ἤδη προσχρώμενα καὶ κινουμένοις ὑποκειμένοις μὴ δύνασθαι χωρίσαι ταῦτα τῆς ὕλης καὶ τῆς φύσεως... ταῦτα καλῶς ὁ Ἀριστοτέλης πρὸς τὰς δημώδεις περὶ τῶν ἰδεῶν ἐννοίας ἀντείρηκεν, ὅσαι τῶν μὲν ἐκεῖ μηδενὸς συναισθάνονται, τὰ δὲ ἔνυλα εἴδη μηδὲ ἀποδῦσαι τελέως τῆς ὕλης ἐν τῷ δημιουργικῷ νῷ προϋπάρχειν φαντάζονται. Simpl. f. 65.

194 a 9. λαβοῦσαι οὖν τὴν τοιαύτην γραμμήν, ἐπειδὴ χρῶνται αὐτῆς κατ' ἐνέργειαν ὑφεστώσης, οὐκέτι χωρίζουσιν κινήσεως καὶ ὕλης,

193a 30. ἐπεὶ διττόν ἐστι τὸ εἶδος, τὸ μὲν κατὰ τὴν μορφὴν τὸ δὲ κατὰ τὸν λόγον ὄν, ὁριζόμενοι τί ἐστιν ἕκαστον, ἀποδίδομεν τὸ μὲν κατὰ τὴν μορφὴν μόνην τὸ ἐπιπολῆς σχῆμα καὶ χρῶμα καὶ μέγεθος, τὸ δὲ κατὰ τὸν λόγον τὸ κατὰ τὸν μονοειδῆ τύπον τοῦ ἀνηλεγμένου ὁρισμοῦ, ὃ καὶ συντρέχει τῷ ὁρισμῷ, ὥσπερ καὶ τὸ ὄνομα, τοῦτο δὲ καὶ τὴν μορφὴν περιέχει. τοῦτο οὖν τὸ εἶδος τὸ κατὰ τὸν λόγον ἤτοι τὴν τοιαύτην μορφὴν εἶναι τὴν φύσιν λέγει. διὸ καὶ προστίθησι τῷ εἴδει τὴν μορφήν, λέγων ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος, καὶ πάλιν ἡ μορφὴ καὶ τὸ εἶδος οὐ χωριστὸν ὄν. Simpl. f. 61.

193b 4. εἰ δὲ οὐχ ὡς σχῆμα, οὐδὲ ὡς εὐειδὲς ἐλέγομεν ἢ δυσειδές, ἀλλὰ καθ' ὃ ἕκαστον ὁριζόμενοι τὸ τί ἐστιν ἀποδίδομεν. καὶ γὰρ οὖν καὶ τοῦτο ἰστέον ὅτι φύσις μὲν ἑκάστου τὸ εἶναι ἑκάστου, καὶ καθό ἐστιν ἕκαστον ὅ ἐστιν. ἔστι δὲ ἕκαστον ὅ ἐστι κατὰ τὸ εἶδος, οὐ κατὰ τὸ ὑποκείμενον· ὥστε τὸ εἶδος ἡ φύσις. τοῦτο δὲ ἡμεῖς τὸ εἶδος οὐκ ἐλέγομεν χωριστὸν καθ' ὑπόστασιν, ἀλλὰ μόνον κατὰ λόγον. Themist. f. 23 b.

193b 6. ὁ μέντοι Πορφύριος τὸ "καὶ μᾶλλον αὕτη φύσις τῆς ὕλης" περὶ τοῦ συνθέτου ἀκούει, ὅπερ κἂν εἰ μὴ φύσις ἐστὶ κυρίως ἀλλὰ φύσει, ἀλλ' ὅμως μᾶλλον φύσις ἐστὶ τῆς ὕλης, διότι τὸ εἶδος μᾶλλον φύσις ὂν ἐν ἑαυτῷ ἔχει. ἔστι δὲ τὸ πρῶτον ἐπιχείρημα τοιοῦτον· ἡ φύσις αἰτία ἐστὶν ἑκάστῳ τῶν φυσικῶν τοῦ εἶναι τοῦτο ὅπερ λέγεται, τὸ δὲ αἴτιον τοῦ εἶναι ὅπερ λέγεται ἐστι τὸ αἴτιον τοῦ ἐντελεχείᾳ εἶναι καὶ μὴ μόνον δυνάμει, τὸ δὲ αἴτιον τοῦ ἐνεργείᾳ εἶναι τοῦτο ὅπερ λέγεται τὸ εἶδος ἐστίν, ἡ φύσις ἄρα τὸ εἶδος ἐστίν. ὁ δὲ Ἀλέξανδρος οὕτω συνήγαγε τὸν λόγον. ἕκαστον τῶν ὄντων τότε ἐστὶν ὅ ἐστιν, ὅταν ᾖ ἐντελεχείᾳ· ἐντελεχείᾳ δέ ἐστι πᾶν ὅταν τὸ εἶδος ἔχῃ· ἀλλὰ μὴν οὗ παρουσίᾳ τὰ φύσει φύσει ἐστί, τοῦτο ἐστὶ φύσις· τῇ δὲ τοῦ εἴδους παρουσίᾳ τὰ φύσει φύσει ἐστίν· τὸ εἶδος ἄρα φύσις. τὸ δὲ "μᾶλλον" προσθεὶς ἐδήλωσεν ὅτι καὶ τὰ δυνάμει ὄντα, εἰ καὶ μὴ ὁμοίως τοῖς ἐντελεχείᾳ, ἀλλ' ὅμως λέγεται καὶ αὐτά, ὥστε καὶ ἡ ὕλη φύσις, εἰ καὶ ἧττον τοῦ εἴδους. τὸ δὲ τῆς ἐντελεχείας ὄνομα λέγεται μὲν αὐτοῦ τοῦ Ἀριστοτέλους ἴδιον, σημαίνει δὲ τὸ εἶδος τὸ ἐνεργείᾳ ὄν, παρόσον κατὰ τοῦτο ἐστὶν ἡ τοῦ ἑνὸς τέλους ἀπόληψις, ἤτοι ἡ τοῦ ἓν καὶ τέλειον εἶναι ἀπόληψις, ἤτοι ἡ τοῦ ἐντελοῦς συνέχεια, τουτέστιν ἡ κατὰ τὸ ἐντελὲς ἕξις... προαναφωνηθὲν δὲ τὸ οἷον συμπέρασμα, τὸ "γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου," ἀσάφειαν ἐποίησε τῷ λόγῳ. ἔστι δὲ ἡ ἐπιδρομὴ τοῦ λόγου τοιαύτη· γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου φυσικὸν εἶδος ἐκ φυσικοῦ, οὐ μέντοι τεχνητὸν ἐκ τεχνητοῦ· εἰς ὃ ἀποβλέψαντες ἐκεῖνοι λέγουσι μὴ εἶναι τὸ εἶδος φύσιν. καίτοι ἔδει μᾶλλον εἰς τὰ φυσικὰ ἀποβλέψαι τὰ ὅμοια τῷ εἴδει γεννῶντα, καὶ εἴπερ τοῦτο φύσεως ἴδιον, τὸ εἶδος φύσιν λέγειν. id. f. 61 b.

193b 11. πρὸς Ἀντιφῶντα δὲ οὐ χαλεπὸν εἰπεῖν, ὡς εἰ διὰ τοῦτο τὴν ὕλην ᾤετο φύσιν, ὅτι γένοιτο ἂν ἐκ κλίνης, εἰ λάβοι σηπεδόνα, βλάστημα τὸ ξύλον, οὐ κλίνη, γίγνεται δὲ καὶ ἐξ ἀνθρώπου ἄνθρωπος, πῶς οὐκ ἂν εἴη τὸ εἶδος φύσις; ὁ γὰρ ἄνθρωπος εἶδος, ὡς ἐκ τοῦ ὁρισμοῦ δῆλον. τὸ μὲν γὰρ τεχνικὸν εἶδος οὐδὲ ἡμεῖς ἂν εἴποιμεν φύσιν· διόπερ οὐδὲ τῆς κλίνης τὸ εἶδος φύσις ἐστίν· οὐ γάρ ἐστιν ἀρχὴ κινήσεως ἐνυπάρχουσα. τὸ μέντοι φυσικὸν καὶ ἔνυλον εἶδος ἀεὶ ἐξ ὁμοίου τὴν γένεσιν ἔχει. Themist. f. 24.

193b 12. τρίτον τοῦτο τίθησιν ἐπιχείρημα δεικτικὸν τοῦ τὴν φύσιν τὸ εἶδος εἶναι, πάνυ ἐντρεχῶς προαχθέν. ἡ γὰρ φύσις ἡ ὡς ἔκφυσις καὶ γένεσις λεγομένη φύσις ὁδός ἐστιν εἰς τὴν φύσιν προϊοῦσα τοῦ γινομένου καὶ εἰς αὐτὴν τελευτῶσα. ὥσπερ οὖν ἐπὶ τῶν τεχνητῶν... οὕτως καὶ τὸ φυόμενον, ἐπειδὴ εἰς φύσιν ἔρχεται, λέγεται φύεσθαι, ἀλλ' οὐχ ὅτι ἀπὸ φύσεως. ἔρχεται δὲ ἐπὶ τὸ εἶδος· τὸ εἶδος ἄρα ἡ φύσις... τὸ γὰρ θερμὸν θερμὸν ποιεῖ, καὶ ἡ μεταξὺ ὁδὸς θέρμανσις. ἐν δέ τισιν ἑτερώνυμον, ὡς ἰατρικὴ ὑγίειαν. Simpl. f. 61 b.

193b 17. τὸ η δύναται παραδιαζευκτικὸς εἶναι, ἵνα ᾖ οὕτω· τὸ γινόμενον ἔκ τινος εἴς τι ἔρχεται ἤγουν φύεται· ταὐτὸν γὰρ ἀμφότερα. δύναται δὲ καὶ ἐπίρρημα εἶναι προσγραφομένου τοῦ ι, ἀντὶ τοῦ καθὸ φύεται· καθὸ γὰρ φύεται, εἴς τι ἔρχεται. εἰς τί οὖν φύεται; φησίν· οὐχὶ εἰς τὸ ἐξ οὗ, τουτέστιν εἰς τὴν ὕλην, ἀλλ' εἰς τὸ εἰς ὅ, τουτέστι τὸ εἶδος. Philop. *f* p. 7.

193b 18. εἰ οὖν τὸ τέλος εἶδος καὶ φύσις ἐστί, πῶς ἂν εἴη ἡ στέρησις τέλος, ἀντικειμένη τῷ εἴδει; ἔτι δὲ τὰ στοιχεῖα τῶν ἐν γενέσει τὴν ὕλην ἔθετο καὶ τὰ ἀντικείμενα· ἐπεὶ οὖν τὸ ἕτερον τῶν ἀντικειμένων ἔθετο νῦν τὴν φύσιν, πρόχειρον ἦν ἀπορεῖν πῶς αἴτια μὲν ἄμφω, φύσις δὲ θάτερον. διὸ καὶ τῇ στερήσει κατὰ τοσοῦτον τῆς φύσεως μετέδωκε καθ' ὅσον καὶ τοῦ εἴδους, εἰπὼν "καὶ γὰρ ἡ στέρησις εἶδός πως ἐστίν." ἔστι δὲ εἶδός πως ἤτοι ὡς πρὸς τὸ ὑποκείμενον ἀντιδιαστελλομένη, διότι ἐν ὑποκειμένῳ οὖσα καὶ αὐτὴ ὥσπερ τὸ εἶδος, μορφή τις καὶ αὐτὴ καὶ εἶδος γίνεται τοῦ ὑποκειμένου... ἢ λέγοιτο ἂν εἶδός πως ἡ στέρησις οὐ πᾶσα, ἀλλ' ἡ κατὰ τὸ χεῖρον τῶν ἐναντίων θεωρουμένη· τοῦτο γὰρ ὑπὸ τὴν στέρησιν τὸ εἶδος, ὡς ἐν τοῖς περὶ Γενέσεως (1 3) ἀποδείκνυσι... λέγοιτο ἂν φύσει καὶ τὰ ἐν στερήσει, οὐ μὴν ἔτι καὶ κατὰ φύσιν, διότι τὸ τέλος καὶ οὗ ἐφίεται τὸ ὑποκείμενον, τοῦτό ἐστι τὸ κατὰ φύσιν, ἐφίεται δὲ τοῦ εἴδους. διὸ καὶ ἐπὶ πλέον τὸ φύσει τοῦ κατὰ φύσιν, διὰ τὴν στέρησιν. ἀλλὰ πῶς ἡ ἐπὶ τὴν στέρησιν ὁδὸς φύσις λέγοιτο ἄν, οὐκ οὖσα ἔκφυσις; φθορὰ γάρ ἐστι καὶ οὐχὶ γένεσις. Simpl. f. 62.

193b 19. στέρησιν λέγει ἢ τὸ χεῖρον τῶν ἐναντίων, οἷον τὸ μέλαν, εἶδος δὲ τὸ κρεῖττον, οἷον τὸ λευκόν· διὸ καὶ τὴν ἐκ μέλανος μὲν εἰς λευκὸν μεταβολὴν ἁπλῶς μὲν γένεσιν καλεῖ καὶ φθορὰν δέ τινος, τὴν δὲ ἀπὸ λευκοῦ εἰς μέλαν ἀνάπαλιν. ἢ τὴν κυρίως στέρησιν εἶδος καὶ μορφὴν καλεῖ διὰ τὸ εἶναι διάθεσίν τινα τοῦ ὑποκειμένου. εἰ μὲν γὰρ μὴ πάντα τὰ ὄντα εἴδη εἰσίν, ἀλλ' ἔστι τινὰ καὶ ἀνείδεα, οὐκ εἶδος ἡ στέρησις· εἰ δὲ πᾶν τὸ ὁπωσοῦν ὂν εἶδος καλοῦμεν, δηλονότι ἐπειδὴ ἡ στέρησις τῶν πῇ μὴ ὄντων ἐστὶ καὶ πῇ εἶδος ἂν εἴη. διάκειται γὰρ καὶ μεμόρφωταί πως κατ' αὐτὴν τὸ ὑποκείμενον· διατίθησι γάρ πως καὶ ἡ τυφλότης τὸ ὑποκείμενον καὶ πᾶσα στέρησις. ἐπειδὴ οὖν πᾶσαν διάθεσιν μορφὴν τοῦ ὑποκειμένου καὶ εἶδος λέγομεν, διὰ τοῦτο αὐτὸ ἐπεσημήνατο, καὶ ἁπλῶς δὲ γένεσιν τὴν οὐσιώδη λέγει. cod. Vat. 1028.

193b 22. πενταχῶς λέγεται ἡ φύσις, καθ' ἕνα μὲν τρόπον ἡ ἐν ἑκάστῳ ὕλη· αὕτη δέ ἐστι τὸ πρώτως ἐν ἑκάστῳ τῶν φυσικῶν ὑπάρχον

τῷ ἀρχῆς τινὸς καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν τὸ καί ἀντὶ τοῦ ἢ παρείληπται, διὰ τὸ τινὰ τῶν φύσει κινεῖσθαι μὲν ἀεί, μηδέποτε δὲ ἠρεμεῖν. id. f. 58.

ἐπιστάσεως δὲ ἄξιον ὅτι οὗτος ὁ ὁρισμὸς οὐκ ἔστι τοῦ τί ἐστιν ἡ φύσις σημαντικός, ἀλλὰ τῆς ἐνεργείας τῆς φύσεως· οὐ γὰρ τί ἐστιν ἡ φύσις ἐμάθομεν διὰ τοῦ μαθεῖν ὅτι ἀρχή ἐστι κινήσεως καὶ ἠρεμίας, ἀλλὰ τί ποιεῖ. ἵνα οὖν καὶ τῆς οὐσίας αὐτῆς τὸν ὁρισμὸν ἀποδῶμεν, λεκτέον οὕτως, ὅτι ἔστιν ἡ φύσις ζωὴ ἤτοι δύναμις καταδεδυκυῖα διὰ τῶν σωμάτων, διαπλαστικὴ αὐτῶν καὶ διοικητική, ἀρχὴ κινήσεως καὶ ἠρεμίας οὖσα ἐν ᾧ ὑπάρχει πρώτως καθ᾽ αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός. Philop. e p. 15.

192 b 15. καὶ κινοῦνται τὰ μὲν κατὰ τόπον, ὡς γῆ μὲν κάτω πῦρ δὲ ἄνω, τὰ δὲ κατ᾽ αὔξησιν καὶ φθίσιν, ὡς αὐτὸ τὸ πῦρ καὶ εἴ τινες πέτραι ἱστοροῦνται καθ᾽ ὅλον τὸν ὄγκον ἐπιδιδοῦσαι. cod. Reg. 1947.

192 b 18. ὁρμὴν κυρίως τὴν ἔνδοθεν ἀρχὴν ἐκάλεσε τῆς κινήσεως. τινὲς δὲ ἀντὶ τοῦ ὁρμήν ἀρχήν γράφουσι· τὰ γὰρ φυσικὰ τὴν αἰτίαν τῆς κινήσεως ἐν ἑαυτοῖς ἔχει, τὰ δὲ τεχνητὰ ἔξωθεν... πάνυ δὲ ἀναγκαίως πρόσκειται τὸ "ἐν ᾧ ὑπάρχει πρώτως καθ᾽ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός." καὶ γὰρ καὶ ἡ κλίνη ἀρχὴν ἔχει κινήσεως καὶ ἠρεμίας ἐν ἑαυτῇ· ἀφεθεῖσα γοῦν ἐπὶ τὸ κάτω φέρεται, καὶ ὅμως οὐ λέγεται φυσικὴ οὐδὲ φύσιν ἔχειν ὡς κλίνη, διότι ἡ ἀρχὴ τῆς κινήσεως οὐ τῇ κλίνῃ πάντως ὑπάρχει, ἀλλὰ τῷ ξύλῳ, δι᾽ ἐκεῖνο δὲ καὶ τῇ κλίνῃ... διαφέρει δὲ τὸ πρώτως τοῦ καθ᾽ αὑτό· οὐδὲ γὰρ τὸ καθ᾽ αὑτὸ πᾶν πρώτως ἐστίν, οὐδὲ τὸ πρώτως καθ᾽ αὑτό... ἔστι δ᾽ ὅτε καὶ συντρέχει εἰς ταὐτὸν ἄμφω, ὅταν καὶ συμπληρωτικὰ τῆς οὐσίας ᾖ καὶ ἀμέσως ὑπάρχῃ, ὡς τὸ λογικὸν τῷ ἀνθρώπῳ καὶ καθ᾽ αὑτὸ καὶ πρώτως ὑπάρχειν λέγοιτο ἄν... οὐ συγχωρητέον δὲ τῷ Ἀλεξάνδρῳ οὕτω λέγοντι κινεῖν ἑαυτὴν τὴν ψυχὴν ὡς τὸν κυβερνήτην, τῷ κινεῖν τὸ σῶμα ἐν ᾧ ἐστίν, ὡς ὁ κυβερνήτης τὴν ναῦν... ἐφιστάνει δὲ ὁ μέγας Συριανὸς ὅτι ὁ ἀποδοθεὶς οὗτος τῆς φύσεως ὁρισμὸς πᾶσι σχεδὸν ἁρμόττει τοῖς τῆς φύσεως σημαινομένοις, οἰκείως ἐφ᾽ ἑκάστῳ λαμβανόμενος. Simpl. f. 58 b.

192 b 32. τοῦτο οὐχ ὡς ἀπόδειξιν ἐπήγαγεν, ἀλλ᾽ ὡς ἐναργὲς μὲν παρείληπται, χρείαν δὲ παρέχεται αὐτῷ νῦν ἀναληφθὲν ἢ πρὸς τὸ διορίσαι τί τὸ φύσιν ἔχειν καὶ τί τὸ κατὰ φύσιν, ὅπερ ἐφεξῆς ποιεῖ, πρὸς τὸ συναγαγεῖν ὅτι τὸ φυσικὸν πᾶν οὐσία ἐστὶ σύνθετος, ἔχουσα μέν τι ὑποκείμενον τὸ ἐν ᾧ ἐστὶν ἡ φύσις, εἴπερ ἡ φύσις ἀρχὴ καὶ αἰτία ἐστὶ τοῦ ἐν ᾧ ἐστὶ καθ᾽ αὑτό, ἔχουσα δὲ καὶ ἐν ὑποκειμένῳ τι τὴν φύσιν αὐτήν... δεικτικὸν οὖν τοῦ τὰ ἔχοντα φύσιν οὐσίας εἶναι, τὸ ὑποκείμενόν τι εἶναι καὶ ἐν ὑποκειμένῳ, οὐσίαν δὲ ἑκάτερον εἶναι καὶ μᾶλλον τὸ συναμφότερον. ἢ τὸ "καὶ ταῦτα πάντα οὐσία" ἀκουστέον, ὅτι καὶ τὸ ἔχον φύσιν, τουτέστι τὸ ὑποκείμενον, οὐσία ἐστί, καὶ ἡ φύσις οὐσία, καὶ πολὺ πλέον δηλονότι τὸ συναμφότερον οὐσία· ἔστι γὰρ ὑποκείμενόν τι καὶ ἐν ὑποκειμένῳ. ἢ εἰπὼν ὅτι εἰσὶ ταῦτα πάντα οὐσία, τουτέστι τό τε ὑποκείμενον καὶ τὸ ἐν ὑποκειμένῳ, τοῦτο δείκνυσι διὰ μέσης τῆς φύσεως, λέγων ὅτι ἡ φύσις ὑποκείμενόν τι καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἀεί. εἰ οὖν ἡ φύσις οὐσία, τὸ δὲ ὑποκείμενον φύσις καὶ τὸ ἐν ὑποκειμένῳ φύσις, τουτέστιν ἡ ὕλη καὶ τὸ εἶδος, οὐσία ἂν εἶεν ταῦτα πάντα. καὶ ταύτῃ δοκεῖ τῇ ἐννοίᾳ συνᾴδειν καὶ τὸ μετ᾽ ὀλίγον ζητούμενον, πότερον ἡ ὕλη καὶ τὸ ὑποκείμενόν ἐστιν ἡ φύσις ἢ τὸ εἶδος καὶ τὸ ἐν ὑποκειμένῳ. ἀμείνων δὲ ἡ προτέρα ἐξήγησις καὶ διὰ τὰ ἐφεξῆς ἐπαγόμενα, καὶ ὅτι οὐκ ἂν τὸ ὑποκείμενον καὶ τὸ ἐν ὑποκειμένῳ δύο ὄντα πάντα ὁ Ἀριστοτέλης ἐκάλει, ὅς γε ἐν τῇ περὶ Οὐρανοῦ (1 1 p. 268 a 16) τάδε γέγραφε "τὰ γὰρ δύο ἄμφω μὲν λέγομεν καὶ τοὺς δύο ἀμφοτέρους, πάντας δὲ οὐ λέγομεν, ἀλλὰ καὶ τῶν τριῶν ταύτην τὴν κατηγορίαν φαμὲν πρῶτον." διὸ καὶ τὰς λοιπὰς ἐξηγήσεις τοῦ Ἀλεξάνδρου εἰς τοῦτον τὸν νοῦν τεινούσας παρατρέχω.... σημειοῦται δὲ ὁ Ἀλέξανδρος ὅτι καὶ τὸ εἶδος καὶ τὴν φύσιν, καίτοι οὐσίας εἶναι βουλόμενος, ἐν ὑποκειμένῳ λέγει, ἐν Κατηγορίαις (c. 5) εἰπὼν μηδεμίαν οὐσίαν ἐν ὑποκειμένῳ εἶναι. καὶ παραμυθεῖται τὴν ἔνστασιν λέγων... οὐ μέντοι ταὐτόν ἐστι τὸ "φύσει" καὶ τὸ "κατὰ φύσιν," ἀλλ᾽ ἐπὶ πλέον ἐστὶ τὸ φύσει τοῦ κατὰ φύσιν. id. f. 59.

192 b 34. ... ἡ φύσις ἀεί τι ὑποκείμενον ἔχει καὶ ἐν ὑποκειμένῳ ἐστίν, ἐν ὑποκειμένῳ δὲ οὐχ ὡς τὰ συμβεβηκότα, ἀλλ᾽ ὅτι ἀρχὴ ἔνυλος καὶ οὐ τῶν καθ᾽ αὑτὰ ἀσωμάτων. Themist. f. 23.

193 a 3. ... τὰ γὰρ ἐναργῆ τὴν ὑπόστασιν ἔχοντα οὐ δεῖται τῆς τοῦ ὅτι ἔστιν ἀποδείξεως, ὡς καὶ τοῦτο αὐτὸς ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων Ἀναλυτικῶν (c. 8), εἴ τι μέμνημαι, διωρίσατο... ὅτι δὲ τὸ τὰ φανερὰ διὰ τῶν ἀφανῶν πειρᾶσθαι δεικνύναι συμβαίνει τοῖς τὸ κριτήριον τῶν φανερῶν ἀπολέσασι, τὸν τυφλὸν ποιεῖται μάρτυρα τὸν περὶ τῶν χρωμάτων συλλογιζόμενον. Simpl. f. 60.

193 a 9. εἰπὼν πρότερον ὅτι τὰ φύσιν ἔχοντα οὐσίαι εἰσί, διότι ὑποκείμενόν τι ἐστὶ τὸ ἔχον καὶ ἐν ὑποκειμένῳ ἡ φύσις ἡ ἐχομένη, ἢ διότι ἡ φύσις ὑποκείμενόν τι ἐστὶ καὶ ἐν ὑποκειμένῳ, ὡς ἤκουε κατὰ μίαν ἐξήγησιν ὁ Ἀλέξανδρος, εἰκότως τὰς δόξας παρατίθεται τῶν τε τὴν φύσιν τὸ ὑποκείμενον λεγόντων καὶ τῶν τὸ ἐν ὑποκειμένῳ, καὶ τὰς κατασκευὰς τὰς ἑκατέρων τοῦ οἰκείου λόγου προτίθησι, καὶ οὕτως αὐτῶν τὴν ἐπίκρισιν ποιεῖται.... πρῶτον δὲ λέγει περὶ τῶν τὴν ὕλην φύσιν ἑκάστου νομιζόντων... σημεῖον δὲ τοῦ τὸ ὑποκείμενον ἀλλ᾽ οὐ τὸ εἶδος εἶναι τὴν φύσιν ὁ Ἀντιφῶν ὁ σοφιστὴς ἐποιεῖτο τὸ φύσιν μὲν εἶναι τὴν φύουσαν ἤτοι τὴν ἔκφυσιν, καὶ διανάστασιν οὖσαν εἰς κίνησιν καὶ τοῦ ὁμοίου ἀπογέννησιν... ὥστε ὁ μὲν Ἀντιφῶν κοινῶς ἐῴκει λέγειν τὸ ὑποκείμενον τὴν φύσιν, τῶν δὲ ἄλλων ἕκαστος ὅπερ ἔλεγε πρῶτον ὑποκείμενον, τοῦτο καὶ φύσιν ἐκάλει τῶν ὄντων... γῆν δὲ μόνην οὐδεὶς εἶπεν, ἀλλὰ τῇ συνεκδρομῇ τῶν ἄλλων καὶ ταύτην τέθεικεν ὁ Ἀριστοτέλης. id. ib.

193 a 15. τινὲς ἀντὶ τοῦ "κατὰ νόμον διάθεσιν" τὴν "κατὰ ῥυθμόν" γράφουσι. καὶ ἔστι τοῦτο γνωριμώτερον· ῥυθμὸς γὰρ ἡ μορφὴ λέγεται. id. f. 60 b.

εἰπὼν δὲ "ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον," τί τοῦτο φήσας ἐπήγαγε "τὴν κατὰ νόμον διάθεσιν καὶ τὴν τέχνην," τὸ εἶδος λέγων τῆς κλίνης, ὅτι διατίθεται ὡς ἂν τοῖς τῆς τέχνης νόμοις δοκῇ. γράφεται δὲ καὶ "τὴν κατὰ ῥυθμὸν διάθεσιν·" κατά τινα γὰρ συμμετρίαν τῆς τῶν μελῶν πρὸς ἄλληλα ἀναλογίας τὸ εἶδος ἀποτελεῖται τῆς κλίνης. εἰ δὲ εἴη "τὴν κατὰ νόμον," σημαίνει τὴν θέσει καὶ μὴ φύσει διάθεσιν. Philop. f p. 5.

πρὸς τούτοις καὶ τὸν ὁρισμὸν τῆς ὕλης ἀξίωμα προσλαμβάνει. ἐξ ὧν δείκνυσι πρώτως ὅτι ἀγένητος ἡ ὕλη, οὕτως... τὸ δὲ "ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός" πρὸς ἀντιδιαστολὴν εἴρηται τῆς στερήσεως· κἂν γὰρ λέγηται καὶ ἐκ ταύτης γίνεσθαι τὸ γινόμενον, ἀλλ' οὔτε ἐνυπαρχούσης οὔτε καθ' ἑαυτὸ ἐκ ταύτης, ἀλλὰ κατὰ συμβεβηκός· τῷ γὰρ ἀπεῖναι αὐτὴν ἐξ αὐτῆς λέγεται γίνεσθαι τὸ γινόμενον. ἢ φησὶν ὁ Ἀλέξανδρος τὸ μὴ κατὰ συμβεβηκὸς προσκεῖσθαι, ὅτι ἐνυπάρχει τῷ γινομένῳ καὶ τὰ τῷ ὑποκειμένῳ συμβεβηκότα, οἷον τῷ ἀνδριάντι τὸ χρῶμα τὸ συμβεβηκὸς τῷ χαλκῷ, ἀλλ' οὐ καθ' αὑτὸ ὑπάρχει ἀλλὰ κατὰ συμβεβηκός, διὸ οὐδὲ ὕλη ἐστὶν αὐτοῦ, οὐδὲ συντελεῖ τῷ ἀνδριάντι πρὸς τὸ εἶναι... εἰ οὖν φθείροιτο ἡ ὕλη, εἰς τὸ τοιοῦτον ἀναλύεται ὅ ἐστιν αὐτή, καὶ ἔσται ἐφθαρμένη ἡ ὕλη οὖσα· ὕλη δέ ἐστι πρὸ τοῦ φθείρεσθαι, ὥστε ἐφθαρμένη ἔσται πρὸ τοῦ φθαρῆναι... τὸ ἄφθαρτον δὲ τῆς ὕλης ἀπὸ τοῦ Πλάτωνος καὶ τῶν Πυθαγορείων ὁ Ἀριστοτέλης παρέλαβε. id. ib.

192a 34. περὶ μὲν τῆς κυρίως κατὰ τὸ εἶδος ἀρχῆς τῆς χωριστῆς καὶ νοητῆς καὶ ἀκινήτου, εἴτε μία ἐστὶν εἴτε πολλαί, ἢ ὅπερ ἀληθέστερον, καὶ μία καὶ πολλαί, καὶ τίς ἢ τίνες, ὅτι ἄυλοι καὶ νοηταὶ καὶ πάντη τέλειαι οὖσαι τῇ οὐσίᾳ ἐνέργειαι, ταῦτα οὖν δι' ἀκριβείας τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶ διορίσαι, ταὐτὸν δὲ εἰπεῖν τῆς ὑπὲρ τὰ φυσικὰ πραγματείας... τάχα δὲ δυνατὸν λέγειν ὅτι περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς οὐχὶ τῆς χωριστῆς εἶπε νῦν, ἀλλὰ τῆς στοιχειώδους... καὶ δὴ καὶ ἐρεῖ περὶ τούτων ἐν τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς, ἅπερ ὕστερον δείκνυσθαί φησιν ὡς μετὰ ταύτην τεταγμένα τὴν πραγματείαν. καλλίων δὲ ἡ προτέρα ἐξήγησις, ὅτι ποιητικὸν τοῦ οὐρανοῦ οἶδεν ὁ Ἀριστοτέλης. ἐπειδὴ δέ τινες οἴονται ποιητικὸν αἴτιον τοῦ παντὸς μὴ λέγειν τὸν Ἀριστοτέλη ἀλλὰ μόνον τελικόν, καὶ τοῦτο καὶ τὸν Ἀλέξανδρον ἀρέσκειν νομίζουσιν, ἀναγκαῖον δοκεῖ μοι τῶν ἐνταῦθα λεγομένων ὑπὸ Ἀλεξάνδρου τοῦ γνησιωτάτου τῶν Ἀριστοτέλους ἐξηγητῶν ἀκούειν αὐτούς, ἐχόντων οὕτως. id. f. 56 *b*.

Προθέμενος ἐν ταύτῃ τῇ πραγματείᾳ τὰς ἀρχὰς καὶ αἰτίας τῶν φύσει συνεστώτων παραδοῦναι, ἐπειδὴ τῶν ἀρχῶν αἱ μέν εἰσι στοιχειώδεις αἱ δὲ ποιητικαὶ αἱ δὲ τελικαί, πρῶται δὲ προσπίπτουσιν ἡμῖν αἱ στοιχειώδεις, διότι τὸ γνωστὸν πρὸς τὴν ζήτησιν τῶν ἑαυτοῦ αἰτίων ἀνερεθίζει τὸν γινώσκοντα ἐκ τῆς οἰκείας φύσεως καὶ συστάσεως, ἣν τὰ ἐνυπάρχοντα αὐτῷ στοιχεῖα συνίστησι, διὰ τοῦτο ἐν τῷ πρώτῳ βιβλίῳ μετὰ τὸ τὰς δόξας ἱστορῆσαί τε καὶ βασανίσαι τῶν φυσικῶν τὰς στοιχειώδεις ἀρχὰς ἀνευρίσκει πρώτας... ταῦτα οὖν πάντα δείξας, καὶ μέλλων ἀκολούθως καὶ περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς λέγειν τῆς στοιχειώδους τὰ σύμμετρα τῷ φυσικῷ, καὶ οὕτως ἐπὶ τὸ ποιητικὸν καὶ τελικὸν αἴτιον μεταβαίνειν, ἐπειδὴ τὸ εἶδος καὶ ὡς στοιχεῖον ὑπάρχει τῷ συνθέτῳ καὶ ὡς ποιητικὸν αἴτιον κατὰ φύσιν καὶ τὸν λόγον θεωρούμενον, εἰκότως καὶ περὶ τοῦ εἰδικοῦ καὶ περὶ τοῦ ποιητικοῦ αἰτίου διδάσκειν ὀφείλων περὶ τῆς φύσεως ἐν ἀρχῇ διαλέγεται, ἣν καὶ ὡς εἶδος καὶ ὡς ποιοῦν αἴτιον οὖσαν ἀποδείξει. id. f. 57.

ἐν τῷ πρώτῳ βιβλίῳ παραδοὺς πόσαι αἱ τῶν φυσικῶν ἀρχαί, ὅτι ἡ ὕλη καὶ τὸ εἶδος καὶ ἡ στέρησις, καὶ διδάξας περὶ τῆς ὕλης καὶ τῆς στερήσεως τί τε ἑκάτερον αὐτῶν ἐστὶ καὶ τί ἀλλήλων διαφέρουσιν, ἔμελλεν ἀκολούθως διδάξαι καὶ περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς, καὶ οὕτως ἐπὶ τὸ ποιητικὸν καὶ τελικὸν αἴτια μεταβῆναι, ἐπειδὴ ταῦτα μᾶλλον αἱ κύριαι ἀρχαί. ἐπεὶ δὲ τὸ εἶδος καὶ στοιχεῖον ἀρχή ἐστιν ὡς ἐνυπάρχον τῷ συνθέτῳ καὶ ὡς ποιητικὸν αἴτιον κατὰ τὴν φύσιν καὶ τὸν λόγον θεωρούμενον, εἰκότως καὶ περὶ τοῦ εἰδικοῦ καὶ περὶ τοῦ ποιητικοῦ αἰτίου διδάσκειν ὀφείλων περὶ τῆς φύσεως ἐν ἀρχῇ διαλέγεται· ταύτην γὰρ ὡς εἶδος καὶ ὡς ποιοῦν αἴτιον οὖσαν ἀποδείξει. ἄλλως τε τῷ περὶ τῶν φυσικῶν πραγματευομένῳ ἀναγκαῖον τὸ γινώσκειν τὴν φύσιν. διὰ τοῦτο διδάσκει πρῶτον εὐθὺς περὶ τῆς φύσεως καὶ περὶ τοῦ φυσικῶς ἔχειν, τί ἐστιν ἕκαστον αὐτῶν καὶ τί διαφέρουσιν ἀλλήλων. ἐπειδὴ δέ τινες καὶ τὴν τύχην καὶ τὸ αὐτόματον αἴτιον λέγουσι, διὰ τοῦτο καὶ περὶ τύχης καὶ αὐτομάτου διδάσκει, ἐπισκήπτων τοῖς πρὸ αὐτοῦ ὅτι ὡς αἴτια ταῦτα παραλαμβάνοντες οὐδὲν περὶ αὐτῶν εἶπον. πρῶτον δὲ περὶ φύσεως διδάσκει, εἶτα περὶ τοῦ φύσει καὶ τοῦ κατὰ φύσιν καὶ τοῦ φύσιν ἔχοντος, ἐπειδὴ τούτων πάντων ἡ γνῶσις τῆς φύσεως προηγεῖται· μὴ γνωσθέντος γὰρ τί ἐστιν ἡ φύσις, οὐδὲ τὸ τί τῇ φύσει καὶ τὰ λοιπὰ ἀρκούντως γνωσθήσεται. cod. Vat. 1028.

192b 9. οὔτε γὰρ προαίρεσις τούτων αἰτία, εἴπερ ἀόριστος μὲν ἡ προαίρεσις, ὡρισμένη δὲ ἡ τούτων γένεσις, οὔτε ἀπὸ τύχης ἢ ἐκ ταὐτομάτου· τὰ γὰρ τοιαῦτα ἐπ' ἔλαττον, τὰ δὲ διὰ φύσιν ὡς ἐπὶ πλεῖστον· οὔτε ἀπὸ τέχνης· τὰ γὰρ ἀπὸ τέχνης ἔξωθεν γίνεται, ταῦτα δὲ ἔνδοθεν... εἰπὼν δὲ "καὶ τὰ ζῷα," προσέθηκε "καὶ τὰ τούτων μέρη," διότι, φησὶν ὁ Ἀλέξανδρος, τῶν φύσει ὄντων καὶ τὰ μέρη φύσει· τῶν μὲν γὰρ τεχνητῶν τὰ μέρη οὐ πάντα τεχνητά... ἐπὶ δὲ τῶν φυσικῶν, εἰ καὶ τὸ ἔσχατον ὑποκείμενον μή ἐστι φυσικόν, οἷον ἡ ὕλη, ἀλλὰ τὰ προσεχῆ φυσικά ἐστιν, ὡς τὰ τέσσαρα στοιχεῖα. καὶ εἴη ἄν τις οὕτω κατὰ τοῦτο τῶν φύσει καὶ τῶν μὴ φύσει διαφορά. ἀλλὰ πῶς τὰ ζῷα καὶ τὰ φυτὰ φύσει καὶ διὰ φύσιν εἶναί φησιν, ἔμψυχα ὄντα ταῦτα, καὶ διὰ ψυχὴν ὄντα ἅπερ ἐστίν;... μήποτε οὖν φυσικὰ μὲν μόνα τὰ ἁπλᾶ τῶν σωμάτων ἐστί, κἂν ἔχῃ δὲ ψυχὴν τὰ ζῶα καὶ τὰ φυτά, τὰ μὲν φυτικὴν τὰ δὲ ὀρεκτικήν, ἀλλὰ καὶ φύσιν ἔχει τὴν ἐνταῦθα ζητουμένην... καὶ διὰ τοῦτο ἴσως καὶ τὰ μέρη αὐτῶν προσέθηκε· τὸ γὰρ ὀστοῦν καὶ τὸ ξύλον ὄρεξιν μὲν ἢ φυτικὴν ψυχὴν οὐκέτι ἔχει, φύσιν δὲ ἔχει... καὶ ὅτι τὰ ζῷα καὶ φυτὰ οὐ καθὸ ζῷα καὶ φυτά, παρέλαβεν ἐν τούτοις ὁ Ἀριστοτέλης ὡς φύσει ὄντα, ἀλλὰ καθὸ καὶ αὐτὰ φυσικά, δηλοῖ καὶ Εὔδημος ἐν τῷ πρώτῳ τῶν Φυσικῶν τάδε γράφων. Simpl. f. 57 *b*.

192b 14. ἐφιστάνει ὁ Ἀλέξανδρος ὅτι τούτων ἕκαστον εἶπεν ἐν ἑαυτῷ ἔχειν ἀρχὴν κινήσεως καὶ στάσεως, ἃ προείρηκε, τουτέστι τὰ ζῷα καὶ τὰ φυτὰ καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, ἀλλ' οὐχὶ πάντα τὰ φυσικά· καὶ γὰρ τὸ κυκλοφορητικὸν σῶμα φυσικὸν καὶ αὐτὸ ὂν κινήσεως μὲν ἀρχὴν ἔχει ἐν ἑαυτῷ, στάσεως δὲ οὐκ ἔχει ἀπαύστως κινούμενον. μήποτε δὲ καὶ τὰ οὐράνια, κἂν μὴ μεταβάλλῃ ἀπὸ κινήσεως εἰς στάσιν, ἀλλ' ὅμως ἔχει στάσιν καὶ αὐτὰ κατὰ τὸ κέντρον, κατὰ τὸν ἄξονα, κατὰ τοὺς πόλους, κατὰ τὴν ὁλότητα. καὶ εἴπερ ἡ κίνησις αὐτῶν φυσική, καὶ στάσις ἂν εἴη τοιαύτη. ἀλλ' οὐ πᾶσα στάσις ἠρεμία ἐστίν, ἀλλ' ἡ μετὰ κίνησιν. κάλλιον οὖν ὁ Πορφύριος ἐφιστάνει, μήποτε ἐν

νεται αὐτοῖς ὡς τῷ ἀριθμῷ μία οὕτω καὶ τῇ δυνάμει·" οὐ γὰρ ἡ στέρησις ἀριθμῷ μία. ἤ, φησί, τὸ μὲν πρῶτον εἰρημένον τὸ "ἡμμένοι μὲν οὖν καὶ ἕτεροί τινές εἰσιν αὐτῆς" ἐπὶ τῆς στερήσεως εἴρηται, τὸ δὲ νῦν λεγόμενον ἐπὶ τῆς ὕλης... ῥητέον δὲ πρὸς τὸν Ἀλέξανδρον ὅτι ἄμεινον καὶ πρότερον καὶ νῦν περὶ τῆς ὑποκειμένης ἀκούειν φύσεως, ἐξ ἧς ἡ γένεσις, ἥτις ἐστὶν ἡ ὕλη μετὰ τῆς στερήσεως· ὅτι γὰρ περὶ τῆς αὐτῆς καὶ τὰ πρότερα λέγει καὶ τὰ νῦν, δηλοῖ ἡ τῶν λεγομένων συνέχεια. καὶ μέντοι ἀριθμῷ μὲν ἓν λόγῳ δὲ δύο οὐκ ἂν εἴη καθ' αὑτὴν ἡ ὕλη, ἀλλ' ἡ μετὰ τῆς στερήσεως. εἰ δὲ πρὸς Πλάτωνα ἀποτεινόμενος ὁ Ἀριστοτέλης λέγει τὸ μὴ διορίζειν τῷ λόγῳ τὴν ὕλην καὶ τὴν στέρησιν, διὰ τοῦτο λέγει, ὅτι ὁ Πλάτων δύο τὰ στοιχεῖα παραδίδωσι, τὴν ὕλην καὶ τὸ εἶδος, προτάξας τῶν δύο τὸ ἐξηρημένον καὶ παραδειγματικὸν ἅμα καὶ ποιητικὸν αἴτιον. λέγει γὰρ ἐν τῷ Τιμαίῳ (p. 52) ταυτί. id. ib.

Πλάτων τὴν ὕλην μηδὲν τῶν ὄντων εἶναι εἰπὼν ἐπέβαλέ πως καὶ τῇ στερήσει, ἀλλ' οὐχ ἱκανῶς· συμβαίνει γὰρ αὐτῷ ποιεῖν τὰς γενέσεις ἐκ τοῦ μὴ ὄντος ᾗ μὴ ὄν. καθὸ γὰρ ἐπαινεῖ Παρμενίδην ἓν εἶναι τὸ ὂν λέγοντα, καὶ τὸ παρὰ τὸ ὂν οὐκ ὄν, κατὰ τοῦτο ἂν ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ποιοῖτο τὰς γενέσεις· οὐ γὰρ οἷόν τε ἑνὸς ὄντος τοῦ ὄντος καὶ τοῦ παρὰ τοῦτο μὴ ὄντος, οὐ πῇ μὴ ὄντος οὐδὲ κατὰ συμβεβηκὸς μὴ ὄντος ἀλλ' ἁπλῶς μὴ ὄντος, ὡς ᾤετο Παρμενίδης, σώζεσθαι τὴν τῆς ὕλης φύσιν... ἀλλ' οὐδὲ ἐκεῖνο ὀρθῶς, ὅτι μὴ χωρίζει κατὰ τὸν λόγον τὴν ὕλην τῆς στερήσεως. Themist. f. 22.

192a 6. εἰ πρώτως μὲν καὶ κυρίως οὐσία ἡ σύνθετός ἐστι, δευτέρως δὲ τὸ εἶδος, δεκτικὴ δὲ τούτου ἐστὶν ἡ ὕλη, ἐγγὺς ἂν εἴη οὐσία, ἡ δὲ στέρησις ἀπουσία τοῦ εἴδους οὖσα καὶ κατὰ τοῦτο πόρρω ἂν εἴη τῆς οὐσίας. ἔτι ἡ οὐσία κατὰ τὸ ὑποκείμενον λέγεται ἀπ' αὐτοῦ, ὑποκείμενον δέ πως καὶ ἡ ὕλη, κἂν εἰ ὡς μέρος τοῦ συναμφοτέρου λαμβάνηται, ὅπερ τῷ κυρίως ὑποκειμένῳ οὐχ ὑπάρχει. ἐγγὺς ἄρα οὐσίας ἡ ὕλη. ἔτι δὲ εἰ ὁ τῆς οὐσίας ὁρισμός, ὁ λέγων οὐσίαν εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ τῶν ἐναντίων δεκτικόν, ὑπάρχει καὶ τῇ ὕλῃ, ἢ μᾶλλον ἐγγὺς οὐσία, ὅτι καθ' αὑτὴν τὸ ἓν ἀριθμῷ οὐκ ἔχει, ἀλλὰ καὶ τὸ μηδὲν εἶναι αὐτῇ ἐναντίον... ἐπειδὴ πολλαχοῦ μέμνηται τοῦ Πλάτωνος ὁ Ἀριστοτέλης ὡς τὴν ὕλην μέγα καὶ μικρὸν λέγοντος, ἰστέον ὅτι ὁ Πορφύριος ἱστορεῖ τὸν Δερκυλλίδην ἐν τῷ ἑνδεκάτῳ τῆς Πλάτωνος φιλοσοφίας, ἔνθα περὶ ὕλης ποιεῖται τὸν λόγον, Ἑρμοδώρου τοῦ Πλάτωνος ἑταίρου λέξιν παραγράφειν ἐκ τῆς περὶ Πλάτωνος αὐτοῦ συγγραφῆς, ἐξ ἧς δηλοῦται ὅτι τὴν ὕλην ὁ Πλάτων κατὰ τὸ ἄπειρον καὶ ἀόριστον ὑποτιθέμενος ἀπ' ἐκείνων αὐτὴν ἐδήλου τῶν τὸ μᾶλλον καὶ ἧττον ἐπιδεχομένων, ὧν καὶ τὸ μέγα καὶ τὸ μικρόν ἐστιν. Simpl. f. 54.

192a 13. διὸ καὶ ὁ Πλάτων ποτὲ μὲν μητέρα ποτὲ δὲ χώραν αὐτὴν καλεῖ· ἀναλογεῖν δ' ἂν μητρὶ λέγοις καὶ καθόσον διαστατικὴ καὶ διαιρετικὴ τῶν εἰδῶν ἐστὶν ἡ ὕλη, ὥσπερ τῶν πατρικῶν σπερμάτων αἱ μητέρες καὶ τῶν βρεφῶν, τρέφουσαι καὶ αὔξουσαι αὐτὰ εἰς μείζονα ὄγκον. διὸ καὶ τιθήνην αὐτὴν ὁ Πλάτων καλεῖ... καὶ λέγει ὁ Ἀλέξανδρος ὅτι αὕτη (ἡ στέρησις) καὶ τῶν κακῶν αἰτία· κἂν γὰρ ἡ ὕλη δοκῇ τῶν κακῶν αἰτία, ἀλλὰ καὶ αὕτη διὰ τὴν στέρησιν οὐ δυναμένη τὴν τῶν ἀιδίων εὐταξίαν ἐπιδέχεσθαι. id. f. 54 *b*.

καλῶς καὶ Πλατωνικῶς τὸ "συναιτία·" τὸ γὰρ κυρίως ὂν ἐξηρῆσθαι δεῖ τοῦ ἀποτελέσματος, ὥσπερ τὸ ποιητικὸν καὶ τὸ παραδειγματικόν, συναίτιον δ' ἡ ὕλη. Philop. *c* p. 10.

τὴν διαφορὰν τῆς ὕλης καὶ τῆς στερήσεως παραδούς, καὶ κατὰ τὴν 192a 14.
πρὸς τὸ εἶδος ἀμφοῖν σχέσιν παραδίδωσιν αὐτήν· θεῖον γὰρ καὶ ἀγαθὸν καὶ ἐφετόν ἐστι τὸ εἶδος, καὶ τούτου ἐφίεται μὲν ἡ ὕλη κατὰ τὴν αὑτῆς φύσιν, ὑπεναντίον δέ ἐστιν ἡ στέρησις, καὶ οὐκ ἂν ἐφίοιτο. καὶ εἰ μὲν θεῖον καὶ ἀγαθὸν καὶ ἐφετὸν τὸ πρῶτον εἶδος λέγει τὸ χωριστόν, ὃ καὶ νῦν καὶ πρῶτον αἴτιον καλεῖ, τῷ ὄντι πάντα τὰ κατὰ φύσιν συνιστάμενα ἐφίεται τούτου, ὑπ' αὐτῆς τῆς φύσεως θείου καὶ αὐτῆς οὔσης καὶ αἰτίου οὕτω κατεσκευασμένα, ὡς ἕκαστον καθ' ἣν ἔχει δύναμιν ἐφίεσθαι τῆς πρὸς ἐκεῖνο ὁμοιώσεως. ὁμοίωσις δὲ αὐτοῖς ἡ οἰκεία τελειότης· τελειότης δὲ τοῖς μὲν συνθέτοις ἡ κατὰ τὸ εἶδος στάσις, τῇ δὲ ὕλῃ ἡ τοῦ εἴδους μέθεξις... ἀλλὰ πῶς τῷ πρώτῳ εἴδει ἐναντίον ἡ στέρησις, εἴπερ μηδὲν ἐκείνῳ ἐναντίον;... ἢ λέγοιτο ἂν ἐναντία εἶναι τῷ πρώτῳ εἴδει ἡ στέρησις, καθόσον ἐναντία ἐστὶ τῷ εἴδει τῷ διὰ τὴν ἔφεσιν τοῦ πρώτου εἴδους ἐγγινομένῳ. ἢ θεῖον καὶ ἀγαθὸν καὶ ἐφετὸν καλεῖ τὸ προσιὸν αὐτῇ τῇ ὕλῃ εἶδος, ὡς τῆς θείας μοίρας ἔκγονον ὑπάρχον. Simpl. f. 55.

διὰ τοῦτο φησὶ δόξει μηδὲ εἶναι ὅλως ἡ στέρησις. πάλιν δ' αὖ εἶναι καὶ αὐτὴν ἀνάγκη, ἐπειδὴ οὐκ ἄνευ ταύτης ἡ γένεσις. τῷ γὰρ ὄντι, ὡς Θεμίστιός φησι, θαυμαστὸν μὲν εἰ ἔστι φθείρουσα τὸ εἶναι, θαυμαστὸν δὲ εἰ μὴ ἔστι ποιοῦσα τὸ γίνεσθαι· οὐ γὰρ ἂν γένοιτό τι μὴ φθειρομένου τινός, ἀλλ' ἦν ἅπαντα ἀΐδια. Philop. *c* p. 10 et 11. cf. Themist. f. 22 *b*.

ἐφεξῆς καὶ ὅτι ἄφθαρτος (ἡ ὕλη) ἐστὶ καθ' αὑτὴν δείκνυσιν, 192a 25.
εἰ καὶ κατὰ συμβεβηκὸς φθείρεται... κυρίως μὲν τὸ "ἐν ᾧ" τὸ ὑποκείμενον δηλοῖ (ἄλλο γὰρ τὸ ἐν ᾧ τι ἐστί, καὶ ἄλλο τὸ ἐν ἐκείνῳ ὄν), κατεχρήσατο δὲ αὐτῷ ἐπὶ τοῦ ἐν ὑποκειμένῳ. ἀντὶ δὲ τοῦ εἰπεῖν ὡς δὲ κατὰ τὴν αὑτῆς φύσιν οὐ φθείρεται καθ' αὑτὸ "ὡς δὲ κατὰ τὴν δύναμιν" εἶπε, διότι τῇ ὕλῃ τὸ εἶναι ὕλῃ τὸ δύνασθαί ἐστιν· κατὰ γὰρ τὸ δυνάμει οὐσίωται... μήποτε δὲ καὶ ὁ Ἀριστοτέλης τὴν ὕλην ἐκ τοῦ δυνάμει καὶ τῆς ἐν τούτῳ στερήσεως θεασάμενος, κατὰ μὲν τὸ ἐν ᾧ, τουτέστι κατὰ τὴν στέρησιν, φθείρεσθαι τὴν ὕλην καθ' αὑτό φησι, κατὰ δὲ τὴν δύναμιν ἄφθαρτον εἶναι καὶ ἀγένητον. οὕτω δέ, οἶμαι, καὶ ἡ λέξις καταλληλοτέρα φανήσεται ἡ λέγουσα "ὡς μὲν τὸ ἐν ᾧ," εἰ ὡς ἐπὶ τῆς ὕλης λέγοιτο ὅτι κατὰ μὲν τὴν στέρησιν καθ' αὑτὸ φθείρεται, κατὰ δὲ τὸ δυνάμει ἄφθαρτός ἐστι καὶ ἀγένητος· καὶ γὰρ οὐδὲ εἶπεν ὅτι κατὰ συμβεβηκὸς φθείρεται ἡ ὕλη, ἀλλ' ὅτι ὡς μὲν στέρησις καθ' αὑτὸ φθείρεται, ὡς δὲ τὸ δυνάμει οὔτε γίνεται οὔτε φθείρεται. οἱ δὲ ἐξηγηταὶ κατὰ συμβεβηκὸς φθείρεσθαι λέγουσι, διότι τὸ ἐν αὐτῇ ὂν ἡ στέρησις φθείρεται. Simpl. f. 55 *b*.

τέσσαρα δυνάμει προλαβὼν ἐναργῆ ἀξιώματα διὰ μὲν τῶν 192a 29.
δύο δείκνυσιν ὅτι ἀγένητος ἡ ὕλη, διὰ δὲ τῶν δύο ὅτι ἄφθαρτος. ἔστι δὲ δύο μέν, ὅτι τε τὸ γινόμενον ἔκ τινος γίνεται ὑποκειμένου πρώτου, καὶ ὅτι τὸ γινόμενον οὐδέπω ἐστὶ τοῦτο ὃ γίνεται. καὶ τὰ λοιπὰ δὲ δύο τούτοις ὅμοια, ὅτι πᾶν τὸ φθειρόμενον εἰς τοῦτο φθείρεται ἐξ οὗ πρώτου γίνεται, καὶ ὅτι τὸ φθειρόμενον ὅτε φθείρεται οὐδέπω ἔφθαρται.

197 b 9. τὸ "ὥσπερ φησὶ Πρώταρχος" οὐ πρὸς τὸ "εἰ μὴ καθ' ὁμοιότητα·" οὐδὲ γὰρ καθ' ὁμοιότητα ἔλεγε Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους, ἀλλ' ἁπλῶς εὐτυχεῖς. οὕτως οὖν ἀναγνωστέον, οὐδὲ ὥσπερ φησὶ Πρώταρχος, εὐτυχία ἢ δυστυχία ὑπάρχει τούτοις. εἶτα τὸ "εἰ μὴ καθ' ὁμοιότητα" αὐτοῦ ἐστὶν ἐπίκρισις πῶς δυνατὸν καὶ ἐπὶ ἀψύχων εὐτυχίαν εἰπεῖν καὶ δυστυχίαν. Πρώταρχον δὲ ἤτοι τὸν ἐν Φιλήβῳ φησὶν ἢ ἕτερον τινά. Philop. *h* p. 3.

197 b 11. ζωγράφου δέ ποτε γράφοντος ἵππον καὶ ῥίψαντος ἀκουσίως τὴν σπογγιὰν ἀφρὸς ἐν τῷ στόματι τοῦ γραφομένου ἵππου κατὰ τύχην ἀπετυπώθη. Simpl. f. 78.

197 b 14. Ἀλέξανδρος "καὶ τοῖς ἀλόγοις ζῴοις" γράφει, "καὶ τοῖς ἀψύχοις," οὐδὲν διάφορον σημαινούσης τῆς γραφῆς. ἀπόδειξις δὲ τοῦτό ἐστι τοῦ τὸ αὐτόματον ἐπὶ πλέον εἶναι τοῦ ἀπὸ τύχης... οὐ πάντως δέ, φησὶν Ἀλέξανδρος, ἐν οἷς παρὰ τὴν προαίρεσιν ἄλλο τι ὑπήντησεν, εὐθέως τύχη τοῦτο καὶ ἀπὸ τύχης, ἀλλ' ἂν τοιοῦτον ᾖ οἷον μὴ ἀναγκαίως μηδὲ ὡς ἐπὶ τὸ πολὺ ἀκολουθεῖν τῷ ἄλλου χάριν γινομένῳ· τῷ γὰρ ἰσχύος χάριν γυμνασαμένῳ πλείω καὶ διὰ κόπον πυρέξαντι ἀπροαίρετον μὲν τὸ πυρέξαι, οὐκ ἀπὸ τύχης μέντοι. id. f. 78 *b*.

197 b 22. ἔτι δὲ καὶ ἄλλη γραφὴ τῆς ἐν ἀρχῇ λέξεως τοιαύτη "σημεῖον δὲ τὸ μάτην, ὅτι λέγεται ὅταν μὴ γένηται τὸ οὗ ἕνεκα, ἀλλ' ὃ ἐκείνου ἕνεκα." τὸ δὲ αὐτὸ καὶ αὕτη δηλοῖ· μάτην γὰρ λέγεταί τι γίνεσθαι, ὅταν μὴ γένηται τὸ οὗ ἕνεκα, ἀλλ' ὃ ἄν τι προεγένετο, δι' ἐκεῖνο τὸ προγενόμενον ἀκολουθήσει τῷ κατὰ συμβεβηκὸς αἰτίῳ... ἄξιον δὲ οἶμαι τοῖς ἐνταῦθα λεγομένοις ὑπ' Ἀλεξάνδρου ἐπιστῆσαι. οὐ γὰρ λέγει, φησίν, ὁ Ἀριστοτέλης ταὐτὸν εἶναι τὸ αὐτόματον καὶ τὸ μάτην, ὥς τινες ᾠήθησαν, ἀλλ' ᾧ διαφέρει τύχη καὶ τὸ ἀπὸ τύχης, τούτῳ καὶ τὸ μάτην τοῦ αὐτομάτου. id. f. 79.

197 b 15. εἰ δέ ποτε καὶ τῷ αὐτομάτῳ ἀντὶ τοῦ ἐκ ταὐτομάτου χρῆται, θαυμαστὸν οὐδέν· καὶ γὰρ Ὅμηρος οὕτω χρῆται, ἐν οἷς φησὶν "αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος" (Il. 2 408) καὶ "αὐτόματοι δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι" (5 749), τὸ ἐκ μὴ προηγησαμένης αἰτίας προφανοῦς ἀποτέλεσμα αὐτόματον λέγων. id. f. 79 *b*.

197 b 31. "παρὰ φύσιν" ἀντὶ τοῦ παρὰ τὴν φύσιν, τουτέστι παρὰ τὸν σκοπὸν τῆς φύσεως. Philop. *h* p. 5.

198 a 4. "ἀλλὰ τούτων τὸ πλῆθος ἀόριστον," ἀντὶ τοῦ ἀλλὰ ταῦτα κατὰ συμβεβηκός· ὧν γὰρ τὸ πλῆθος ἀόριστον, ταῦτα κατὰ συμβεβηκός ἐστιν, ἐπειδὴ καὶ τῶν μὴ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὐτὸ αἰτίων τὸ πλῆθος ὡρισμένον ἐστίν. Simpl. f. 80.

198 a 5. ἔχει ἡ λέξις ἀκατάλληλόν τι· εἰπὼν γὰρ τὸν νοῦν καὶ τὴν φύσιν κατὰ συμβεβηκὸς αἴτια, ἐπειδή, φησί, πρότερον τὰ καθ' αὑτὸ αἴτια τῶν κατὰ συμβεβηκὸς αἰτίων, πρότερον ἄρα τοῦ αὐτομάτου καὶ τῆς τύχης νοῦς καὶ φύσις. καίτοι εἰ τὸν νοῦν καὶ τὴν φύσιν κατὰ συμβεβηκὸς εἶπεν εἶναι αἴτια, τὰ αὐτὰ δὲ καὶ καθ' αὑτό εἰσιν αἴτια, αὐτὰ ἑαυτῶν ἄρα καὶ πρότερον ἂν εἴη καὶ ὕστερον, εἴγε τῶν αὐτῶν καὶ καθ' αὑτό εἰσιν αἴτια καὶ κατὰ συμβεβηκός. Philop. *h* p. 6.

198 a 9. ἐν δὴ τούτοις ὁ Ἀλέξανδρος, ὅπερ, φησίν, ὁ Πλάτων ἐν τῷ δεκάτῳ τῶν Νόμων βούλεται δεῖξαι, καὶ διὰ πολλῶν αὐτὸ δείκνυσι, τοῦτο διὰ βραχέων ὁ Ἀριστοτέλης ἔδειξεν ἐνταῦθα, τὴν τῆς τύχης φύσιν ἥτις ποτέ ἐστιν ὁρισάμενος, καὶ δείξας ὅτι ὑστέρα... λέγει δὲ ὁ Πλάτων, ὡς εἶπον, οὐχ ὅτι φύσεως καὶ νοῦ ἡ τύχη ἐστὶν ὑστέρα, ἀλλ' ὅτι φύσεως καὶ τύχης προτέρα ἐστὶν ἡ ψυχὴ καὶ ἡ τέχνη, γράφων οὕτως (p. 889)... ὁ δὲ Εὔδημος τὴν μὲν φύσιν τῆς τέχνης, τὴν δὲ τέχνην τῆς τύχης προτέραν δείκνυσιν. ἄξιον δὲ πάλιν τοῖς ἐνταῦθα λεγομένοις ὑπὸ τοῦ Ἀριστοτέλους ἐφιστάνειν τοὺς οἰομένους τὸ ποιητικὸν αἴτιον τοῦ παντὸς μὴ λέγειν τὸν Ἀριστοτέλη... ἀλλ' ἐπειδὴ μέχρι τοῦδε τοῖς περὶ τύχης καὶ αὐτομάτου λόγοις ὑπ' Ἀριστοτέλους παρακολουθήσας ὡς δυνατὸν ἦν ἐμοὶ τῶν εἰρημένων ἕκαστα διήρθρωσα, καλῶς ἂν ἔχοι συντόμως ἐκθέμενον καὶ τὰ τῷ Ἀριστοτέλει δοκοῦντα περὶ τούτων, οὕτω τὰ τοῖς νεωτέροις φιλοσόφοις δεδογμένα προσθεῖναι καὶ δεῖξαι μηδὲν τῆς παλαιᾶς παραδόσεως διαφέροντα. Simpl. f. 80 *b*.

198 a 14. ζητήσας ὅπερ ἐν ἀρχῇ προὔθετο... ἐπειδὴ μέγα τὸ ἐγχείρημα τὸ πλῆθος τοσοῦτον τῶν κατὰ μέρος αἰτίων εἰς οὕτως ἐλάχιστα γένη συναγαγεῖν, εἰκότως παραμυθίας ἀξιοῖ τὸν λόγον, καὶ ὅτι τοσαῦτα τὸν ἀριθμὸν κατὰ γένος ἐστὶ τὰ αἴτια δείκνυσι δυνάμει οὕτως... ἐρωτηθέντες διὰ τί ἐπολέμησαν Φωκεῦσι Θηβαῖοι, ἐροῦμεν διότι ἐσύλησαν οἱ Φωκεῖς τὸν νεών, τὸ ποιητικὸν οὕτως αἴτιον ἀποδιδόντες... λέγει δὲ ὁ Πορφύριος ὅτι τὸ μὲν διὰ τί τετραχῶς ἔστιν ἀποδοῦναι, τὸ δὲ τίνος ἕνεκα ἐπὶ τοῦ τελικοῦ μόνον ἐρωτᾶται. τίνος γὰρ ἕνεκα ἐπολέμησαν; ἵνα ἄρξωσι. φυλάττων δὲ καὶ τὸ πρότερον εἰρημένον ὑπ' αὐτοῦ ὁ Ἀλέξανδρος, τὸ τὰ μαθηματικὰ μὴ ἔχειν τελικὸν αἴτιον, καὶ τὸ εἰρημένον ἐνταῦθα ὑπὸ τοῦ Ἀριστοτέλους, ὅτι τὸ διὰ τί εἰς τὸ τί ἔσχατον ἀνάγεται ἐν τοῖς ἀκινήτοις, οἷον ἐν τοῖς μαθήμασιν, αὐτὸς ἐξηγεῖται· ἐπειδή, φησίν, οὐκ ἔστιν ἐν τοῖς μαθήμασιν ἄλλο τοῦ εἴδους τὸ οὗ ἕνεκεν (ἐκεῖνο γὰρ ἂν ἦν ἐν αὐτοῖς τελικὸν καὶ ἔσχατον αἴτιον), διὰ τοῦτο ἔσχατον ἐν αὐτοῖς γίνεται τὸ εἶδος καὶ ὁ ὁρισμός. καὶ ὅτι μὲν ἔστι τι τῶν μαθηματικῶν τέλος, καὶ πρότερον εἶπον καὶ νῦν ἐρῶ. id. f. 81 *b*.

198 a 20. ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος "ἢ ἐν τοῖς γινομένοις ἡ ὕλη" γράφει, καὶ τῆς τούτου ἐξηγήσεως ἀκουστέον. ἢ γὰρ πρὸς ἀντιδιαστολήν, φησί, τὴν πρὸς τὰ ἀγένητα εἶπεν, ὡς οὐκ οὔσης ἐν τοῖς ἀϊδίοις ὕλης, ἢ ὅτι ἐπὶ τῶν κυρίως γινομένων ἔστιν εὑρεῖν τὴν ὕλην, ταῦτα δὲ οὐσίαι· τῶν γὰρ κατὰ συμβεβηκὸς γινομένων τε καὶ ὄντων οὐκ ἔστιν ὕλη καθ' αὑτά, ἀλλὰ κατὰ τὴν ἀναφορὰν τὴν ἐπὶ τὴν οὐσίαν ἐν τούτοις ἡ ὕλη. id. f. 82.

198 a 26. τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως καὶ ὅταν ταὐτὸν γένηται τούτοις, οὐ κατὰ τὸ ὑποκείμενον οὐδὲ τῷ ἀριθμῷ ταὐτόν ἐστιν, ἀλλὰ τῷ εἴδει μόνον... μήποτε διὰ τοῦ "καὶ ὅλως ὅσα κινούμενα κινεῖ" πόρρωθεν ἐνίσταται πρὸς τοὺς τὰς ἰδέας ὁμοειδεῖς αἰτίας τῶν τῇδε νομίζοντας ἀκινήτους οὔσας· τὸ γὰρ ὁμοειδὲς συνώνυμον, ταῦτα δὲ ὁμώνυμα ἢ ὡς ἀφ' ἑνός. οὕτω μὲν ἄν τις ἐξηγήσαιτο, εἰ πάντα τὰ ποιητικὰ τὰ αὐτὰ τοῖς εἰδικοῖς τῷ εἴδει νομίζοι εἶναι, ἐὰν κινούμενα κινῇ. id. f. 82 *b*.

196 b 10. περὶ τύχης καὶ αὐτομάτου προθέμενος εἰπεῖν, καὶ πρῶτον τὸ εἰ ἔστιν ἢ μὴ ἔστι προβαλόμενος ζητεῖν, καὶ δείξας ὅτι ἔστιν ἀπὸ τῆς πάντων κοινῆς μαρτυρίας... ὥρμησε μὲν ἐπὶ τὰ ἑξῆς προβλήματα, τί τέ ἐστιν ἑκάτερον εἰς ζήτησιν προβαλλόμενος, καὶ τί διαφέρετον ἀλλήλοιν, καὶ πῶς εἰς τὰ διωρισμένα αἴτια ἀναχθήσονται... τὰ οὐχ ὡς ἐπὶ τὸ πολὺ ἢ ἐπ' ἴσης ἢ ἐπ' ἔλαττον· καὶ τὸ ἐπ' ἴσης δὲ ἐπ' ἔλαττόν ἐστι τῶν τε ἀεὶ καὶ τῶν ὡς ἐπὶ τὸ πολύ. καὶ διὰ τοῦτο, οἶμαι, καὶ Ἀριστοτέλης τό τε ἐπ' ἴσης καὶ τὸ ὡς ἐπ' ἔλαττον κοινῶς παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ διετέλεσε λέγων. Simpl. f. 75.

196 b 33. τοῦτο, φησὶν Ἀλέξανδρος, οὐ τὸ ἀπὸ τύχης ἁπλῶς ἀλλ' ἀγαθῆς τύχης ἐστὶ παράδειγμα. ὅτι δὲ καὶ τὸ "ἄμφω δὲ ἐν τοῖς ἕνεκά του," τὸ πρότερον εἰρημένον, οὐ περὶ τῶν κατὰ προαίρεσιν εἴρηται, ὥς τινες ὑπέλαβον, ἀλλὰ περὶ τῆς τύχης καὶ τοῦ αὐτομάτου, δηλεῖ τὸ ἐν τῇ προσεχῶς ἐκτεθείσῃ ῥήσει διὰ τῶν αὐτῶν συλλαβῶν προαχθέν... ὁ δὲ Εὔδημος οὕτω δείκνυσιν ὅτι ἡ τύχη ἐν τοῖς ἕνεκά του. ἐν οἷς, φησί, τὸ εὐτυχεῖν καὶ τὸ ἀτυχεῖν, ἐν τούτοις ἐστὶν ἡ τύχη· ταῦτα δὲ ἐν οἷς ἀγαθοῦ ἐπίτευξις καὶ ἀπότευξις καὶ τὸ ἕνεκά του· πᾶς γὰρ ὁ ἕνεκά του πράττων ἀγαθοῦ ἐφίεται. ὁ δὲ λόγος οὗτος τὴν τύχην μόνην ἐν τοῖς ἕνεκά του τέθεικεν, οὐκέτι δὲ καὶ τὸ αὐτόματον. id. f. 75 *b*.

196 b 34. τοῦ γὰρ δεδανεισμένου κομιζομένου τὸν ἔρανον, εἰ ᾔδει ὁ χρεωστούμενος, ἦλθεν ἂν ἐπὶ τούτῳ· οὐκ ἦλθεν δὲ ἐπὶ τούτῳ· οὐκ ἄρα ἡ αἰτία τῆς ἀπολήψεως, ἥν φαμεν εἶναι τὴν τύχην, τῶν ἕνεκά του ἐστὶν ἀλλὰ τῶν κατὰ συμβεβηκός... τὸ δὲ "κομιζομένου" γράφεται καὶ "κομισόμενος" μέλλοντος, ἵνα ἐπὶ τοῦ χρεωστουμένου ᾖ. μᾶλλον δὲ τὸ πρότερον. Philop. g p. 14.

196 b 24. ὡς γὰρ ὄν, φησί, τὸ μέν ἐστι καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός (λέγει δὲ ὂν καθ' αὑτὸ μὲν τὴν οὐσίαν, κατὰ συμβεβηκὸς δὲ τὰ τῇ οὐσίᾳ συμβεβηκότα), οὕτω καὶ τὸ αἴτιον τὸ μέν ἐστι καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, ὥς φησιν ὁ Ἀλέξανδρος. μήποτε δὲ καὶ ἁπλούστερον ἀκουστέον τὸ ὂν πᾶν τὸ αἰτιατόν, ἵνα ᾖ λέγων, ὡς αἰτιατὸν τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, οὕτω καὶ αἴτιον. Simpl. f. 76.

197 a 2. οἶδε δὲ καὶ τοιαύτην γραφὴν ὁ Ἀλέξανδρος "ἀλλὰ τῶν ἀπροαιρέτων καὶ οὐκ ἀπὸ διανοίας." κἂν οὕτως εἴη, φησί, γεγραμμένον, λέγοι ἂν τότε ἀπὸ τύχης εἶναι τὸ τέλος, ὅταν μὴ προελομένοις ἡμῖν μηδὲ διανοηθεῖσι περὶ αὐτοῦ μηδὲ τούτου χάριν τὰ πρὸ αὐτοῦ ποιήσασιν ἀπαντήσῃ, ἐπεὶ ὅτι γε τὸ ἀπὸ τύχης γινόμενον τῶν ὑπὸ προαίρεσίν τε καὶ διάνοιαν πιπτόντων ἐστίν, ὀλίγῳ πρόσθεν εἴρηκε. δοκεῖ δὲ τῇ γραφῇ ταύτῃ καὶ τὸ ἐπαγόμενον συνᾴδειν, τὸ "εἰ δὲ προελομένου τούτου ἕνεκα·" πρὸς γὰρ τὸ ἀπροαίρετον ἐπῆχθαι δοκεῖ τὸ "εἰ δὲ προελόμενος." ἡ δὲ προτέρα γραφὴ τὸ ἀπὸ τύχης τέλος ὁρίζει τοῦ φυσικοῦ· τὰ γὰρ φυσικὰ τέλη οὐκ ἔστι προαιρετὰ οὐδὲ ἔξωθεν, ἀλλ' ἐν αὐτοῖς τοῖς τὴν φύσιν ἔχουσιν... δύναται δὲ καὶ οὕτως ἀκούεσθαι τὸ λεχθέν, ὅτι τὸ τέλος, ὅπερ ἐστὶ κομιδή, οὐ τῶν ἐν αὐτῷ αἰτίων ἀποτέλεσμα καὶ τέλος, ἔστι δὲ ἐν αὐτῷ αἴτιον ἡ φύσις· ἡ γὰρ φύσις ἀρχὴ κινήσεως, ἐν ᾧ ὑπάρχει πρώτως. ὥστε τὸ ἀπὸ τύχης γενόμενον οὐκ ἔχει ποιητικὸν αἴτιον τὴν φύσιν, ἀλλὰ διάνοιαν καὶ προαίρεσιν· διὸ περὶ αὐτὸ διάνοια καὶ τύχη· περὶ γὰρ προαίρεσιν καὶ πρᾶξιν ἡ τύχη, ὡς δειχθήσεται, ἡ δὲ προαίρεσις οὐκ ἄνευ διανοίας. id. f. 76 *b*.

197 a 8. εἰπὼν τί ἐστιν ἡ τύχη, καὶ δι' ὁρισμοῦ παραδοὺς αὐτήν... ἐφεξῆς, οἶμαι, βούλεται κατὰ τὸ σύνηθες συμψήφους ἑαυτῷ δεῖξαι καὶ τοὺς ὁτιοῦν περὶ τύχης λέγοντας. τοῦτο δὲ ποιεῖ τὴν ἀποδεδομένην τῆς τύχης ἔννοιαν ἐφαρμόζουσαν τοῖς περὶ αὐτὴν λεγομένοις δεικνύς... ἐπιστῆσαι δὲ ἄξιον ὅτι πρότερον ἄδηλον ἀνθρωπίνῃ διανοίᾳ τὴν τύχην ἔλεγε δοκεῖν τισίν, οὐ διὰ τὸ ἀόριστον ἀλλὰ διὰ τὸ θεῖόν τι εἶναι ἢ δαιμόνιον. ἀλλ' ἴσως καὶ τοῦτο ἐπενόουν ἐκεῖνοι διὰ τὸ μὴ ἔχειν τι ὡρισμένον προφανὲς αἴτιον τῶν οὕτω γινομένων ἀποδιδόναι. id. ib.

197 a 23. ὅταν γὰρ νοσοῦντός τινος καὶ ἀποκαρέντος διὰ τὴν τῶν τριχῶν ἀπόθεσιν ἢ πνεῦμα ἐπιγένηται διαφορητικὸν ἢ εἵλησις (τουτέστιν ἀπὸ ἡλίου θέρμη· εἵλη γὰρ ἡ τοῦ ἡλίου θέρμη, ὅθεν καὶ τὸ εἱληθερεῖν) καὶ ἀκολουθήσῃ ἡ ὑγίεια, ἆρα τῆς κατὰ τύχην ὑγιείας ὁμοίως αἴτιόν ἐστι τὸ πνεῦμα ἢ ἡ εἵλησις, ἀλλ' οὐ τὸ ἀποκεκάρθαι; id. f. 77 *b*.

197 a 27. ὅτι ἐν μεγέθει ἡ εὐτυχία ἐστί, δείκνυσιν, οἶμαι, δυνάμει συλλογιζόμενος οὕτως. ἡ εὐτυχία καὶ δυστυχία, κἂν παρὰ μικρὸν ἔχωσι τὸ μέγιστον ἀγαθὸν καὶ κακόν, εὐτυχία καὶ δυστυχία εἰσίν· τὰ παρὰ μικρὸν ἔχοντα οὐδὲν ἧττόν ἐστι τοῦτο ὅπερ λέγεται· ταῦτα δὲ ἐν μεγέθει ἐστί, διότι ἐν τοῖς μεγέθεσι τὸ παρὰ μικρὸν οὐδὲν ἀπέχειν δοκεῖ τοῦ ὅλου· ἡ ἄρα εὐτυχία καὶ δυστυχία ὡς μέγεθος ἔχοντα λέγεται οὕτως. καὶ μᾶλλον ὁ Πορφύριος οὕτως ἐπέβαλε, καὶ Ἀλέξανδρος κατὰ πρώτην ἐξήγησιν, τοῦ παρὰ μικρὸν ἐνταῦθα οὐκ ἐπὶ τοῦ παρὰ μικρὸν ἐλθόντος τοῦ τυχεῖν καὶ ἐμποδισθέντος ἀκουομένου, ἀλλ' ἐπὶ τοῦ τὸ ὅλον κακὸν καὶ ἀγαθὸν παρὰ μικρὸν λαβόντος, διότι καὶ τὸν τὸ μέγιστον ἀγαθὸν παρὰ μικρὸν λαβόντα εὐτυχῆ καλοῦμεν ὁμοίως τῷ τὸ ὅλον μέγεθος λαβόντι καὶ τὸν τὸ μέγιστον κακὸν παρὰ μικρὸν δυστυχῆ, ὡς τοῦ μικροῦ μηδὲν ὄντος. καὶ ἄλλως δὲ δυνατὸν ἀκούειν τοῦ εἰρημένου· εἰ γὰρ τὸ παρὰ μικρὸν ἐπὶ μεγέθους λέγεσθαι εἴωθε, λέγομεν δὲ δυστυχεῖν ἐκείνους ὅσοι παρὰ μικρὸν κακὸν ἄν τι μέγα ἔλαβον, καὶ εὐτυχεῖν ἐκείνους ὅσοι παρὰ μικρὸν ἀγαθόν τι μέγα ἔλαβον, δηλονότι ἐν μεγέθει τὸ εὐτυχεῖν καὶ δυστυχεῖν ἐστίν. καὶ ἐτίμων τοὺς παρὰ μικρὸν καλουμένους θεοὺς οἱ Λακεδαιμόνιοι ὡς σωτῆρας, ὅτι τοὺς μέλλοντας κινδυνεύειν τὸ παρὰ μικρὸν τοῦ κινδυνεῦσαι διδόντες ἔσωζον. καὶ ταύτῃ μᾶλλον τῇ ἐξηγήσει τίθεται ὁ Ἀλέξανδρος. τὸ δὲ ἐπαγόμενον, "ὅτι ὡς ὑπάρχον λέγει ἡ διάνοια· τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ," μᾶλλον τῇ προτέρᾳ συνᾴδει ἐξηγήσει. id. ib.

καὶ τὸ παρὰ μικρὸν μέγα ἀγαθὸν λαβεῖν, καὶ γινόμενον ἐγγύς, εὐτυχία μεγάλη, ὅτε ὡς ὑπάρχον αὐτὸ ἤδη λέγει ἡ διάνοια· τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ. Themist. f. 26 *b*.

ὅταν τις περιτυχὼν μεγάλῳ κινδύνῳ ἐγγὺς γένηται τοῦ κινδυνεῦσαι καὶ μεγάλῳ περιπεσεῖν κακῷ, οἷον ναυαγίῳ ἢ ἄλλῳ τινί, εἶτα μικροῦ λείποντος τὸν κίνδυνον ἐκφύγῃ, εὐτυχῆ τὸν τοιοῦτον καλοῦμεν, διότι παρ' ὀλίγον τῷ κινδύνῳ προσομιλήσας ἐξέφυγεν... ἐπειδὴ γὰρ τὸ παρὰ μικρὸν οὐδὲν δοκεῖ τοῦ τέλους ἀπέχειν, οὐ λογιζομένη τὸ μικρὸν τοῦτο ἡ διάνοια, ὥσπερ ἐκβεβηκότων τούτων, οὕτως εὐτυχῆ ἢ δυστυχῆ τὸν πεσόντα καλεῖ. Philop. g p. 16.

ἀλλὰ κέχρηται ὡς φυσικῇ τε καὶ κινουμένῃ· τῇ γὰρ ἐκ τῆς διόπτρας εὐθείᾳ μεθ' ὕλης ἤδη χρῶνται καὶ κινήσεως. Themist. f. 24.

194a 12. διχῶς δὲ ἡ φύσις κατά τε τὴν ὕλην καὶ κατὰ τὸ εἶδος, καὶ κυριώτερον κατὰ τὸ εἶδος. εἰκότως οὖν τὸ συναμφότερον γινώσκει κατὰ τὸ εἶδος. καὶ εἴπερ ἡ μὲν ὕλη κατὰ ἀναλογίαν ἐστὶ γνωστή, τὸ δὲ εἶδος κατὰ ἐπέρεισιν, εἰκότως κατὰ τὸ εἶδος ἡ τοῦ συνθέτου γνῶσις ἐπιτελεῖται. Simpl. f. 66 *b*.

194a 20. Ἐμπεδοκλῆς μὲν τὸ νεῖκος καὶ τὴν φιλίαν ὡς εἰδοποιοὺς αἰτίας ἐν ταῖς ἀρχαῖς ἀποθέμενος, Δημόκριτος δὲ τὸ σχῆμα καὶ τὴν θέσιν καὶ τὴν τάξιν, τὸ εἶδος οἶμαι κατὰ τὸν λόγον ἀφορίζει καθ' ὃν ἕκαστα ἐποίουν... Ἀναξαγόρου δέ, φησὶν Ἀλέξανδρος, οὐκ ἐμνημόνευσε, καίτοι τὸν νοῦν ἐν ταῖς ἀρχαῖς τιθέντος. ἴσως, φησίν, ὅτι μὴ προσχρῆται αὐτῷ ἐν τῇ γενέσει. ἀλλ' ὅτι μὲν προσχρῆται, δῆλον, εἴπερ τὴν γένεσιν οὐδὲν ἄλλο ἢ ἔκκρισιν εἶναί φησι, τὴν δὲ ἔκκρισιν ὑπὸ τῆς κινήσεως γίνεσθαι, τῆς δὲ κινήσεως αἴτιον εἶναι τὸν νοῦν. λέγει γὰρ οὕτως Ἀναξαγόρας. ... ἀλλὰ διὰ τοῦτο τοῦ Ἀναξαγόρου οὐκ ἐμνήσθη, ὅτι τὸν νοῦν ὁ Ἀναξαγόρας οὐκ ἔλεγεν εἶδος ἔνυλον, οἷον ἦν τὸ νῦν ζητούμενον, ἀλλὰ διακριτικὸν καὶ κοσμητικὸν αἴτιον, χωριστὸν ἀπὸ τῶν κοσμουμένων καὶ ἄλλης ὂν ὑποστάσεως παρὰ τὰ κοσμούμενα... μήποτε δὲ καὶ διὰ τοῦτο οὐκ ἐμνημόνευσεν Ἀναξαγόρου, ὅτι ὁ παρ' αὐτῷ νοῦς οὐ ποιεῖν ἀλλὰ διακρίνειν ὄντα τὰ εἴδη δοκεῖ... δευτέρῳ δὲ χρῆται ἐπιχειρήματι τοιούτῳ. εἰ τῆς αὐτῆς ἐστὶν ἐπιστήμης τὸ τέλος καὶ τὸ οὗ ἕνεκα γινώσκειν καὶ τὰ πρὸς τὸ τέλος, οἷον οἰκοδομικῆς τὴν ὀροφὴν καὶ τοὺς τοίχους, ἡ δὲ φύσις καὶ τὸ εἶδος τέλος ἐστὶ καὶ τὸ οὗ ἕνεκα, δηλονότι τῆς φυσικῆς εἴη ἂν μὴ μόνον τὴν ὕλην γινώσκειν, ὡς οἱ παλαιοὶ φυσικοὶ λέγουσιν, ἀλλὰ καὶ τὸ εἶδος, ἢ μὴ μόνον τὸ εἶδος, ὅπερ ἐστὶν ἡ κυρίως φύσις, ἀλλὰ καὶ τὴν ὕλην· οὕτω γὰρ ὁ Ἀλέξανδρος ἀκούει. δυνατὸν δὲ ἀμφοτέρως. ἀλλ' ἡ μὲν ἀπόδειξις τοῦ καὶ τοῦ εἴδους εἶναι τὴν φυσικὴν ὀρθῶς ἔχει ὡς πρὸς τοὺς φυσικοὺς λεγομένη, ἡ δὲ τοῦ καὶ τῆς ὕλης πρὸς τὰ ἐφεξῆς ἐπαγόμενα. id. ib.

194a 29. ὁ Ἀλέξανδρος ἄμεινόν φησι γεγράφθαι "ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστι τι ἔσχατον, τοῦτο τέλος καὶ οὗ ἕνεκα," ἐπεὶ μὴ πᾶν ἔσχατον τέλος. καίτοι καὶ αὐτὸς Ἀριστοτέλης ὁμολογεῖ μὴ πᾶν τὸ ἔσχατον εἶναι τέλος. μήποτε οὖν μεταγράφειν οὐκ ἀνάγκη τὴν λέξιν. id. f. 67.

"ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἐστὶ τέλος, τοῦτο ἔσχατον καὶ τὸ οὗ ἕνεκα." μικρὸν δεῖ τὴν λέξιν μεταρρυθμίσαι, "ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστιν ἔσχατόν τι, τοῦτο τέλος καὶ τὸ οὗ ἕνεκα." ὁ δὲ νοῦς τῶν προκειμένων οὗτος. Philop. *f* p. 14.

194a 30. ποιητὴν τὸν Εὐριπίδην λέγει. ὅτι, φησί, καλῶς ὡρισάμεθα τὸ τέλος καὶ τὸ οὗ ἕνεκα, καὶ ὅτι ἐπὶ τῆς ἀδιακόπου κινήσεως, πιστοῦται καὶ Εὐριπίδης, ἐκ κοινῆς μὲν ἐννοίας τοῦτο λαβών, ὅτι τῆς συνεχοῦς κινήσεως τὸ ἔσχατον τέλος καὶ οὗ ἕνεκά ἐστι, γελοίως δὲ τὴν κοινὴν ταύτην ἔννοιαν καὶ καθολικὴν ἐφαρμόσας τοῖς κατὰ μέρος. ἐπεὶ γοῦν συνεχοῦς τινὸς τῆς ζωῆς τέλος ἐστὶν ὁ θάνατος, ἐνόμισε τοῦτο τέλος καὶ οὗ ἕνεκα εἶναι· ὅθεν ἐπειδὴ τὰ πρὸ τοῦ τέλους πρὸς τὸ τέλος ἀναφέρεται πάντα, ὑπενόησε διὰ τοῦτο γίγνεσθαι τὸν ἄνθρωπον ἵνα ἀποθάνῃ. id. p. 15.

ὅτι συνήρτηται ἀλλήλοις τὸ τέλος καὶ τὰ πρὸς τὸ τέλος, δείκνυσιν ἐκ τοῦ καὶ ἡμᾶς τέλη ὄντας χρῆσθαι ἐκείνοις τοῖς ἡμῶν ἕνεκα παραλαμβανομένοις. καὶ δηλονότι καὶ τὸ ἐπὶ τῶν τεχνῶν εἰρημένον καὶ τὸ ἐπὶ τῶν τελῶν κατ' ἐπίτασιν δείκνυσι τὸ προκείμενον· περιττεύει γὰρ τὸ ποιεῖν καὶ χρῆσθαι τοῦ γινώσκειν μόνον. ἀλλὰ πῶς ἡμεῖς τέλη, καὶ πῶς χρώμεθα πᾶσιν; ἢ ὅτι διχῶς τὸ τέλος, τὸ μὲν ὡς τὸ οὗ ἕνεκα ἡ ἔφεσις, ὅπερ σκοπὸν οἱ νεώτεροι καλοῦσιν, οἷον ἡ ὑγίεια, ἧς ὁ ἰατρὸς στοχάζεται, τὸ δέ, ἐν ᾧ τοῦτό ἐστι καὶ ᾧ περιγίνεται, ὥσπερ ὁ ὑγιαίνων· τοῦτο γάρ ἐστι τέλος ὡς τὸ ᾧ, ὃ καὶ ἡμεῖς ἐσμέν. τέλος γὰρ τοῦ ἰατροῦ ὁ ὑγιαίνων οὐχ ὡς τὸ οὗ στοχάζεται, οἷον ἡ ὑγίεια, ἀλλ' ὡς τὸ ᾧ βούλεται αὐτὴν περιποιῆσαι. — 194a 31. γέγονε δὲ ἡ διαίρεσις αὐτῷ ἐν τοῖς Νικομαχείοις Ἠθικοῖς, ἃ περὶ φιλοσοφίας καλεῖ, φιλοσοφίαν ἰδιαίτερον καλῶν πᾶσαν τὴν ἠθικὴν πραγματείαν. Simpl. f. 67 *b*.

"καὶ ἐν τοῖς περὶ φιλοσοφίας." λέγει δὲ τοῖς Ἠθικοῖς, ἃ περὶ φιλοσοφίας, διότι τὸ φιλόσοφον ἦθος δι' αὐτῶν παραδίδοται. αὕτη μὲν οὖν ἡ σύνταξις, τὰ δὲ μεταξὺ τὰ μέν ἐστι προκατασκευὴ τοῦ ὅτι τὸ οὗ ἕνεκα τέλος, τὰ δὲ πρὸς ἔλεγχον τοῦ Εὐριπίδου. Philop. *f.* p. 15. 194a 36.

εἴρηται δὲ περὶ τούτων ἐν τοῖς Ἠθικοῖς τοῖς Νικομαχείοις· ταῦτα γὰρ φιλοσοφίαν καλεῖ ὡς περὶ ἀρετῆς διδάσκοντα. cod. Reg. 1947.

εἰπὼν ὅτι ἔνιαι τῶν τεχνῶν καὶ ποιοῦσι τὴν ὕλην καὶ οὐ μόνον γνωρίζουσι, νῦν δείκνυσιν ὅτι καὶ αἱ ἀρχιτεκτονικαὶ τῶν τεχνῶν αἱ μάλιστα δοκοῦσαι πρὸς τὸ εἶδος ὁρᾶν, οὐδὲ αὗται τὴν ὕλην ἀγνοοῦσιν. Simpl. f. 67 *b*.

προσέθηκε τὸ "πως" διὰ τὸ μὴ τεκταίνεσθαι τὴν κυβερνητικήν. 194b 3. ἄρχει μὲν γὰρ μᾶλλον τῆς ναυπηγικῆς, οὐ τεκταίνεται δέ. πρὸς τὸ τεκταίνεσθαι οὖν τὸ "πως," οὐ πρὸς τὸ ἄρχειν. Philop. *f* p. 16.

καί μοι δοκεῖ κατάλληλος ἡ λέξις φαίνεσθαι, ἐὰν καὶ ἐπὶ τοῦ 194b 11. "μέχρι τίνος" βαρύνωμεν τὸ τίνος (ταὐτὸν γάρ ἐστι τῷ μέχρι πόσου) καὶ ἐπὶ τοῦ "τίνος γὰρ ἕνεκα ἕκαστον" βαρυτόνως προενέγκωμεν τὸ τίνος· δηλοῖ γὰρ τὸ ἄχρι τοῦ τέλους καὶ ἄχρι τοῦ τίνος ἕνεκα. εἰ δὲ καὶ ἐγγράφοιτο "μέχρι τινός, ἕνεκα τινός, τινὸς γὰρ ἕνεκα ἕκαστον" (λέγει γὰρ καὶ τοιαύτην γραφὴν ὁ Ἀλέξανδρος), τὸ μὲν πρῶτον τίνος βαρυνοῦμεν, τὸ δὲ δεύτερον ὀξυνοῦμεν... σημειοῦται δὲ ὁ Ἀλέξανδρος καὶ ἐκ τῶν ἐνταῦθα λεγομένων ὅτι κατὰ Ἀριστοτέλη συνῆπται τῷ θείῳ σώματι ἡ τῶν ἐνταῦθα γένεσις καὶ οὐκ ἀπήρτηται ἀπ' αὐτοῦ. Simpl. f. 68.

τῆς πραγματείας οὔσης περὶ τῶν ἀρχῶν καὶ αἰτίων τῶν φυ- 194b 16. σικῶν, διότι, ὡς αὐτὸς ἀρχόμενος εἶπε, "τότε οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς πρώτας καὶ μέχρι τῶν στοιχείων," περὶ τῶν ἀρχῶν τῶν ὡς στοιχείων πρῶτον προέθετο σκοπεῖν... ἐπειδὴ πολλὰ μεταξὺ τῆς τῶν αἰτίων πρὸς ἄλληλα συντάξεως ἐρρήθη, ἀναλαβὼν τὸν λόγον ἐφεξῆς αὐτὰ ἀπαριθμήσεται, τοὺς προσήκοντας ἑκάστῳ ἐπάγων διορι-

ἀρρύθμιστον... κατὰ δεύτερον δὲ σημαινόμενον τὸ περὶ τὴν ὕλην εἶδος... κατὰ δὲ τρίτον τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συγκείμενον, οἷον ὁ ἄνθρωπος... εἰ μέντοι τὸ "μᾶλλον αὕτη φύσις τῆς ὕλης" ἐπὶ τῆς συνθέτου εἴρηται, ὡς ἤκουσεν ὁ Πορφύριος, δηλονότι κυρίως μὲν φύσις οὐκ ἔστι τὸ σύνθετον... κατὰ τέταρτον δὲ σημαινόμενον λέγεται φύσις ἡ οἷον ἔκφυσις καὶ γένεσις καὶ κίνησις, καθ' ἣν ὑπὸ τοῦ φύοντος φύεται τὸ φυόμενον... κατὰ πέμπτον δὲ σημαινόμενον τὸ κυριώτατον φύσις ἐστὶ τὸ τοῦ κινεῖσθαι τοῖς φυσικοῖς αἴτιον... ὁ μέντοι ὁρισμὸς πᾶσι τοῖς σημαινομένοις ἐφαρμόσει οἰκείως ἐφ' ἑκάτερα λαμβανόμενος· καὶ γὰρ ἡ μὲν κυρίως φύσις ἀρχὴ καὶ αἰτία κινήσεώς ἐστι καὶ ἠρεμίας, ἡ δὲ ὡς κίνησις φύσις ὡς ὀργανική· διὰ γὰρ ταύτης ἡ ποιητικὴ φύσις τὴν ἐν τοῖς φυσικοῖς κίνησιν καὶ ἠρεμίαν ἀποτελεῖ, ὡς ὁ ἰατρὸς διὰ τῆς ἰατρεύσεως τὴν ὑγίειαν. ἡ δὲ ὕλη καὶ τὸ εἶδος ἀρχαὶ τῆς κατὰ φύσιν ἀποδιδομένης ἐνεργείας εἰσὶν ὡς στοιχειώδεις. καὶ λέγει ὁ Εὔδημος ὅτι ἐπιδέχεται καὶ ταῦτα τὸν λόγον τῆς φύσεως· ἀρχὴ γὰρ δοκεῖ κινήσεως εἶναι καὶ ἡ ὕλη καὶ τὸ οὗ ἕνεκα... ἀλλὰ πῶς τὸ σύνθετον ἀρχὴ ἂν εἴη καὶ αἰτία, ἀποτέλεσμα μόνον ὑπάρχον; ἢ καὶ τοῦτο ὡς τέλος ἂν εἴη ἀρχή... οἱ δὲ παλαιότεροι φαίνονται μὲν καὶ αὐτοὶ τοιαύτην τινὰ τῆς φύσεως ἔννοιαν ἐσχηκότες, ὡς κατὰ τὴν ἐπιτηδειότητα τὴν πρὸς κίνησιν ἑκάστων θεωρουμένης, καθ' ἣν χαρακτηρίζεται τὰ φυσικὰ πράγματα. Simpl. f. 62 *b*.

193b 20. εἰ δὲ καὶ ἡ ψυχὴ ἀρχὴ κινήσεώς ἐστι καὶ ἠρεμίας τοῖς ἐμψύχοις σώμασι καὶ κατὰ Πλάτωνα καὶ Ἀριστοτέλην, τίς ἡ διαφορά; ὅτι γὰρ καὶ ἡ ἐσχάτη ψυχὴ ἡ φυτικὴ καλουμένη ἄλλη καὶ κατὰ τὸν Ἀριστοτέλην ἐστὶ παρὰ τὴν φύσιν, ἐκ τῶνδε δῆλον, κἂν πολλάκις φύσιν καλῶσι τὴν φυτικὴν ψυχὴν ὡς ἐγγὺς οὖσαν τῆς φύσεως. πᾶσα ψυχὴ καὶ ἡ ἐσχάτη ἐντελέχεια σώματος φύσιν ὀργανικὴν ἔχει παρ' αὐτῷ, ὥστε φύσιν ἔχοντι σώματι ὑπάρχει ἡ φυτικὴ ψυχή, ἄλλη δηλονότι οὖσα παρὰ τὴν φύσιν. ἀλλ' οὐδὲ μόνα τὰ ὀργανικὰ σώματα φύσιν ἔχει, ἀλλὰ καὶ τὰ ὁμοιομερῆ καὶ τὰ δ' στοιχεῖα. ἔτι δὲ ἔμψυχα μὲν λέγομεν τὰ ἔχοντα αἰτίαν ἐν ἑαυτοῖς τοῦ τρέφεσθαι καὶ αὔξεσθαι καὶ γεννᾶν ὅμοια, φυσικὰ δὲ τὰ μὴ τοιαῦτα, οἷον λίθοι καὶ τὰ ἄλλα μέταλλα καὶ τὰ νεκρὰ σώματα καὶ τὰ ἁπλᾶ. ἔτι δὲ πᾶν σῶμα φύσιν ἔχει· καὶ γὰρ τὰ τῶν τεχνητῶν, οἷον τὸ τοῦ ἀνδριάντος καὶ φυσικόν ἐστιν, ὥσπερ καὶ τὸ τῆς κλίνης ξύλον· οὐ πᾶν δὲ σῶμα ἔμψυχόν ἐστιν, ὥστ' οὐκ ἂν εἴη ψυχὴ ἡ φύσις. δῆλον δὲ ὅτι χεῖρόν ἐστιν ἡ φύσις τῆς φυτικῆς ψυχῆς, εἴπερ ὡς εἶδος ὕλῃ τῷ φυσικῷ σώματι ἡ τοιαύτη ψυχὴ ἐπιγίνεται. πῶς οὖν Ἀριστοτέλης τὴν πρὸς ψυχὴν αὐτῇ διαφορὰν ἀποδέδωκεν; ἐγὼ μὲν οἶμαι καὶ τὸ ἐν ᾧ ἐστὶν ἀρκεῖν πρὸς τοῦτο καὶ τὸ ἐφεξῆς σαφέστερον εἰρημένον τὸ ἐν ὑποκειμένῳ εἶναι τὴν φύσιν. cod. Vat. 1028 ex Simpl. f. 63 *b*.

193b 22. διαφέρει ὁ μαθηματικὸς τοῦ φυσικοῦ πρῶτον μὲν ὅτι ὁ φυσικὸς οὐ περὶ τῶν συμβεβηκότων μόνον τοῖς φυσικοῖς λέγει ἀλλὰ καὶ περὶ τῆς ὕλης, τοῦ μαθηματικοῦ μηδὲν περὶ ὕλης πολυπραγμονοῦντος. ἔπειτα καὶ περὶ τῶν συμβεβηκότων, περὶ ὧν ἀμφότεροι λέγουσιν, οὐ κατὰ τὸν αὐτὸν λέγουσι τρόπον, ἀλλ' ὁ μὲν φυσικὸς περὶ ἐπιπέδων λέγει καὶ γραμμῶν καὶ σημείων ὡς περὶ περάτων τοῦ φυσικοῦ καὶ κινητοῦ σώματος, ὁ δὲ μαθηματικὸς οὐ τὴν κίνησιν προσποιεῖται τὴν ἔμφυτον, οὔτε ὡς πέρατα φυσικοῦ σώματος παραλαμβάνει... ὥστε εἰ μήτε ὡς περὶ φυσικῶν λέγει μήτε ὡς φυσικοῖς ὑπαρχόντων, οὔτε φυσικὸς ἂν εἴη ὁ μαθηματικὸς οὔτε μέρος ἡ μαθηματικὴ τῆς φυσικῆς. ἀλλ' οὐδὲ ἡ ἀστρολογία... ὁ δὲ Ἀλέξανδρος φιλοπόνως λέξιν τινὰ τοῦ Γεμίνου παρατίθησιν ἐκ τῆς ἐπιτομῆς τῶν Ποσειδωνίου Μετεωρολογικῶν ἐξηγήσεως, τὰς ἀφορμὰς παρὰ Ἀριστοτέλους λαβοῦσαν. ἔχει δὲ ὧδε... διὸ καὶ παρελθών τις, φησὶν Ἡρακλείδης ὁ Ποντικός, ἔλεγεν ὅτι καὶ κινουμένης πως τῆς γῆς, τοῦ δ' ἡλίου μένοντός πως, δύναται ἡ περὶ τὸν ἥλιον φαινομένη ἀνωμαλία σώζεσθαι. ὅλως δὲ οὐκ ἔστιν ἀστρολόγου τὸ γνῶναι τί ἠρεμαῖόν ἐστι τῇ φύσει καὶ ποῖα τὰ κινητά... περὶ τὴν τῶν ὀνομάτων δὲ χρῆσιν ἐπισημήνασθαι ἄξιον ὅτι μαθηματικὸν νῦν τὸν γεωμέτρην ἔοικε καλεῖν· οὗτος γάρ ἐστιν ὁ ἐπίπεδα καὶ στερεὰ καὶ μήκη καὶ στιγμὰς ἔχων, καίτοι τῆς κυρίως μαθηματικῆς καὶ τὴν ἀριθμητικὴν καὶ τὴν ἀστρολογίαν ἤτοι σφαιρικὴν καὶ τὴν ἁρμονικὴν ἤτοι τὴν κανονικὴν περιεχούσης. καὶ τὸ τῆς ἀστρολογίας ὄνομα, μήπω τότε τῆς ἀποτελεσματικῆς εἰς τοὺς Ἕλληνας ἐλθούσης, ὡς ἔοικεν, ἐπὶ τῆς νῦν καλουμένης ἀστρονομίας ἔφερεν. οἱ δὲ νεώτεροι διελόντες τοὔνομα τὴν μὲν τὰς κινήσεις τῶν οὐρανίων ἐπισκοποῦσαν ἀστρονομίαν καλοῦσι, τὴν δὲ περὶ τὰ ἀποτελούμενα ἐξ αὐτῶν ἀστρολογίαν ἰδίως ἐπονομάζουσιν. Simpl. f. 64 *b*.

ὁ γοῦν Θεοδόσιος ἐν τῇ Σφαιρικῇ διδάσκων τὰ συμβαίνοντα 193b 25.
πάθη τῇ σφαίρᾳ οὐδὲν προσλογίζεται ὕλην, ἀλλὰ χωρίσας πάσης οὐσίας τὸ σφαιρικὸν σχῆμα, οὕτω τὰ συμβαίνοντα αὐτῷ ἐπισκέπτεται, ὅτι ἐὰν σφαῖρα ἐπιπέδῳ τμηθῇ κύκλον ποιεῖ, καὶ ὅσα ἄλλα. ὁ δὲ Αὐτόλυκος περὶ κινουμένης σφαίρας γράψας καὶ ὅσα συμβαίνει τῇ κινουμένῃ σφαίρᾳ, μερικώτερός ἐστι τοῦ Θεοδοσίου καὶ μᾶλλον τῷ φυσικῷ προσεγγίζων. Philop. *f* p. 8.

οἱ μὲν μαθηματικοὶ γραμμὰς καὶ ἐπίπεδα καὶ τὰ τοιαῦτα χω- 193b 35.
ρίζουσιν ἀπὸ τῶν φυσικῶν σωμάτων, ἅπερ εἰ καὶ τῇ ὑποστάσει ἀχώριστα ἐστίν, ἀλλὰ τῇ γε ἐπινοίᾳ χωριζόμενα οὐδὲν ἀδύνατον ἑπόμενον ἔχει· οὗτοι δὲ τὰ φυσικὰ εἴδη χωρίζειν ἐπιχειροῦσιν, οἷον ἄνθρωπον καὶ σάρκα καὶ τὰ τοιαῦτα, ἅπερ ἧττόν ἐστι χωριστὰ τῶν μαθηματικῶν. τὸ δὲ "ἧττον" δοκεῖ δι' εὐλάβειαν λέγειν ὁ φιλόσοφος, καίτοι βουλόμενος αὐτὰ μηδαμῶς εἶναι μηδὲ τῇ ἐπινοίᾳ χωριστά... ὅτι δὲ οὐ πάντα δυνατὸν χωρίσαι τῶν φυσικῶν, δείκνυσι καὶ διὰ τοῦ τῶν μαθημάτων καίτοι χωρίζειν πεφυκότων, ὅμως τὰ φυσικώτερα καὶ κινήσει προσχρώμενα, οἷα ἐστὶν ἡ ὀπτικὴ καὶ ἡ ἁρμονικὴ καὶ ἡ ἀστρολογία, αἰσθήσεσιν ἤδη προσχρώμενα καὶ κινουμένοις ὑποκειμένοις μὴ δύνασθαι χωρίσαι ταῦτα τῆς ὕλης καὶ τῆς φύσεως... ταῦτα καλῶς ὁ Ἀριστοτέλης πρὸς τὰς δημώδεις περὶ τῶν ἰδεῶν ἐννοίας ἀντείρηκεν, ὅσαι τῶν μὲν ἐκεῖ μηδενὸς συναισθάνονται, τὰ δὲ ἔνυλα εἴδη μηδὲ ἀποδύσαι τελέως τῆς ὕλης ἐν τῷ δημιουργικῷ νῷ προϋπάρχειν φαντάζονται. Simpl. f. 65.

λαβοῦσαι οὖν τὴν τοιαύτην γραμμήν, ἐπειδὴ χρήσουσιν αὐτῆς 194a 9.
κατ' ἐνέργειαν ὑφεστώσης, οὐκέτι χωρίζουσιν κινήσεως καὶ ὕλης,

193a 30. ἐπεὶ διττόν ἐστι τὸ εἶδος, τὸ μὲν κατὰ τὴν μορφὴν τὸ δὲ κατὰ τὸν λόγον ὄν, ὁριζόμενοι τί ἐστιν ἕκαστον, ἀποδίδομεν τὸ μὲν κατὰ τὴν μορφὴν μόνην τὸ ἐπιπολῆς σχῆμα καὶ χρῶμα καὶ μέγεθος, τὸ δὲ κατὰ τὸν λόγον τὸ κατὰ τὸν μονοειδῆ τύπον τοῦ ἀνειλεγμένου ὁρισμοῦ, ὃ καὶ συντρέχει τῷ ὁρισμῷ, ὥσπερ καὶ τὸ ὄνομα, τοῦτο δὲ καὶ τὴν μορφὴν περιέχει. τοῦτο οὖν τὸ εἶδος τὸ κατὰ τὸν λόγον ἤτοι τὴν τοιαύτην μορφὴν εἶναι τὴν φύσιν λέγει. διὸ καὶ προστίθησι τῷ εἴδει τὴν μορφήν, λέγων ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος, καὶ πάλιν ἡ μορφὴ καὶ τὸ εἶδος οὐ χωριστὸν ὄν. Simpl. f. 61.

193b 4. εἰ δὲ οὐχ ὡς σχῆμα, οὐδὲ ὡς εἰδεῖς ἐλέγομεν ἢ φυσειδές, ἀλλὰ καθ' ὃ ἕκαστον ὁριζόμενοι τὸ τί ἐστιν ἀποδίδομεν. καὶ γὰρ οὖν καὶ τοῦτο ἰστέον ὅτι φύσις μὲν ἑκάστου τὸ εἶναι ἑκάστου, καὶ καθὸ ἐστιν ἕκαστον ὅ ἐστιν. ἔστι δὲ ἕκαστον ὅ ἐστι κατὰ τὸ εἶδος, οὐ κατὰ τὸ ὑποκείμενον· ὥστε τὸ εἶδος ἡ φύσις. τοῦτο δὲ ἡμεῖς τὸ εἶδος οὐκ ἐλέγομεν χωριστὸν καθ' ὑπόστασιν, ἀλλὰ μόνον κατὰ λόγον. Themist. f. 23 *b*.

193b 6. ὁ μέντοι Πορφύριος τὸ "καὶ μᾶλλον αὕτη φύσις τῆς ὕλης" περὶ τοῦ συνθέτου ἀκούει, ὅπερ κἂν εἰ μὴ φύσις ἐστὶ κυρίως ἀλλὰ φύσει, ἀλλ' ὅμως μᾶλλον φύσις ἐστὶ τῆς ὕλης, διότι τὸ εἶδος μᾶλλον φύσις ὂν ἐν ἑαυτῷ ἔχει. ἔστι δὲ τὸ πρῶτον ἐπιχείρημα τοιοῦτον· ἡ φύσις αἰτία ἐστὶν ἑκάστῳ τῶν φυσικῶν τοῦ εἶναι τοῦτο ὅπερ λέγεται, τὸ δὲ αἴτιον τοῦ εἶναι ὅπερ λέγεται ἔστι τὸ αἴτιον τοῦ ἐντελεχείᾳ εἶναι καὶ μὴ μόνον δυνάμει, τὸ δὲ αἴτιον τοῦ ἐνεργείᾳ εἶναι τοῦτο ὅπερ λέγεται τὸ εἶδος ἐστίν, ἡ φύσις ἄρα τὸ εἶδος ἐστίν. ὁ δὲ Ἀλέξανδρος οὕτω συνήγαγε τὸν λόγον. ἕκαστον τῶν ὄντων τότε ἐστὶν ὅ ἐστιν, ὅταν ᾖ ἐντελεχείᾳ· ἐντελεχείᾳ δέ ἐστι πᾶν ὅταν τὸ εἶδος ἔχῃ· ἀλλὰ μὴν οὗ παρουσίᾳ τὰ φύσει φύσει ἐστί, τοῦτο ἐστὶ φύσις· τῇ δὲ τοῦ εἴδους παρουσίᾳ τὰ φύσει φύσει ἐστίν· τὸ εἶδος ἄρα φύσις. τὸ δὲ "μᾶλλον" προσθεὶς ἐδήλωσεν ὅτι καὶ τὰ δυνάμει ὄντα, εἰ καὶ μὴ ὁμοίως τοῖς ἐντελεχείᾳ, ἀλλ' ὅμως λέγεται καὶ αὐτά, ὥστε καὶ ἡ ὕλη φύσις, εἰ καὶ ἧττον τοῦ εἴδους. τὸ δὲ τῆς ἐντελεχείας ὄνομα λέγεται μὲν αὐτοῦ τοῦ Ἀριστοτέλους ἴδιον, σημαίνει δὲ τὸ εἶδος τὸ ἐνεργείᾳ ὄν, παρόσον κατὰ τοῦτο ἐστὶν ἡ τοῦ ἑνὸς τέλους ἀπόληψις, ἤτοι ἡ τοῦ ἓν καὶ τέλειον εἶναι ἀπόληψις, ἤτοι ἡ τοῦ ἐντελοῦς συνέχεια, τουτέστιν ἡ κατὰ τὸ ἐντελὲς ἕξις... προσαναφωνηθὲν δὲ τὸ οἷον συμπέρασμα, τὸ "γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου," ἀσάφειαν ἐποίησε τῷ λόγῳ. ἔστι δὲ ἡ ἐπιδρομὴ τοῦ λόγου τοιαύτη· γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου φυσικὸν εἶδος ἐκ φυσικοῦ, οὐ μέντοι τεχνητὸν ἐκ τεχνητοῦ· εἰς ὃ ἀποβλέψαντες ἐκεῖνοι λέγουσι μὴ εἶναι τὸ εἶδος φύσιν. καίτοι ἔδει μᾶλλον εἰς τὰ φυσικὰ ἀποβλέψαι τὰ ὅμοια τῷ εἴδει γεννῶντα, καὶ εἴπερ τοῦτο φύσεως ἴδιον, τὸ εἶδος φύσιν λέγειν. id. f. 61 *b*.

193b 11. πρὸς Ἀντιφῶντα δὲ οὐ χαλεπὸν εἰπεῖν, ὡς εἰ διὰ τοῦτο τὴν ὕλην ᾤετο φύσιν, ὅτι γένοιτο ἂν ἐκ κλίνης, εἰ λάβοι σηπεδόνα, βλάστημα τὸ ξύλον, οὐ κλίνη, γίγνεται δὲ καὶ ἐξ ἀνθρώπου ἄνθρωπος, πῶς οὐκ ἂν εἴη τὸ εἶδος φύσις; ὁ γὰρ ἄνθρωπος εἶδος, ὡς ἐκ τοῦ ὁρισμοῦ δῆλον. τὸ μὲν γὰρ τεχνικὸν εἶδος οὐδὲ ἡμεῖς ἂν εἴποιμεν φύσιν· διόπερ οὐδὲ τῆς κλίνης τὸ εἶδος φύσις ἐστίν· οὐ γάρ ἐστιν ἀρχὴ κινήσεως ἐνυπάρχουσα. τὸ μέντοι φυσικὸν καὶ ἔνυλον εἶδος ἀεὶ ἐξ ὁμοίου τὴν γένεσιν ἔχει. Themist. f. 24.

193b 12. τρίτον τοῦτο τίθησιν ἐπιχείρημα δεικτικὸν τοῦ τὴν φύσιν τὸ εἶδος εἶναι, πάνυ ἐντρεχῶς προαχθέν. ἡ γὰρ φύσις ἡ ὡς ἔκφυσις καὶ γένεσις λεγομένη φύσις ὁδός ἐστιν εἰς τὴν φύσιν προϊοῦσα τοῦ γινομένου καὶ εἰς αὐτὴν τελευτῶσα. ὥσπερ οὖν ἐπὶ τῶν τεχνητῶν... οὕτως καὶ τὸ φυόμενον, ἐπειδὴ εἰς φύσιν ἔρχεται, λέγεται φύεσθαι, ἀλλ' οὐχ ὅτι ἀπὸ φύσεως. ἔρχεται δὲ ἐπὶ τὸ εἶδος· τὸ εἶδος ἄρα ἡ φύσις... τὸ γὰρ θερμὸν θερμὸν ποιεῖ, καὶ ἡ μεταξὺ ὁδὸς θέρμανσις. ἐν δέ τισιν ἑτερώνυμον, ὡς ἰατρικὴ ὑγίειαν. Simpl. f. 61 *b*.

193b 17. τὸ ῃ δύναται παραδιαζευκτικὸς εἶναι, ἵνα ᾖ οὕτω· τὸ γινόμενον ἔκ τινος εἴς τι ἔρχεται ἤγουν φύεται· ταὐτὸν γὰρ ἀμφότερα. δύναται δὲ καὶ ἐπίρρημα εἶναι προσγραφομένου τοῦ ι, ἀντὶ τοῦ καθὸ φύεται· καθὸ γὰρ φύεται, εἴς τι ἔρχεται. εἰς τί οὖν φύεται; φησίν· οὐχὶ εἰς τὸ ἐξ οὗ, τουτέστιν εἰς τὴν ὕλην, ἀλλ' εἰς τὸ εἰς ὅ, τουτέστι τὸ εἶδος. Philop. *f* p. 7.

193b 18. εἰ οὖν τὸ τέλος εἶδος καὶ φύσις ἐστί, πῶς ἂν εἴη ἡ στέρησις τέλος, ἀντικειμένη τῷ εἴδει; ἔτι δὲ τὰ στοιχεῖα τῶν ἐν γενέσει τὴν ὕλην ἔθετο καὶ τὰ ἀντικείμενα· ἐπεὶ οὖν τὸ ἕτερον τῶν ἀντικειμένων ἔθετο νῦν τὴν φύσιν, πρόχειρον ἦν ἀπορεῖν πῶς αἴτια μὲν ἄμφω, φύσις δὲ θάτερον. διὸ καὶ τῇ στερήσει κατὰ τοσοῦτον τῆς φύσεως μετέδωκε καθ' ὅσον καὶ τοῦ εἴδους, εἰπὼν "καὶ γὰρ ἡ στέρησις εἶδός πως ἐστίν." ἔστι δὲ εἶδός πως ἤτοι ὡς πρὸς τὸ ὑποκείμενον ἀντιδιαστελλομένη, διότι ἐν ὑποκειμένῳ οὖσα καὶ αὐτὴ ὥσπερ τὸ εἶδος, μορφή τις καὶ αὐτὴ καὶ εἶδος γίνεται τοῦ ὑποκειμένου... ἢ λέγοιτο ἂν εἶδός πως ἡ στέρησις οὐ πᾶσα, ἀλλ' ἡ κατὰ τὸ χεῖρον τῶν ἐναντίων θεωρουμένη· τοῦτο γὰρ ὑπὸ τὴν στέρησιν τὸ εἶδος, ὡς ἐν τοῖς περὶ Γενέσεως (1 3) ἀποδείκνυσι... λέγοιτο ἂν φύσει καὶ τὰ ἐν στερήσει, οὐ μὴν ἔτι καὶ κατὰ φύσιν, διότι τὸ τέλος καὶ οὗ ἐφίεται τὸ ὑποκείμενον, τοῦτό ἐστι τὸ κατὰ φύσιν, ἐφίεται δὲ τοῦ εἴδους. διὸ καὶ ἐπὶ πλέον τὸ φύσει τοῦ κατὰ φύσιν, διὰ τὴν στέρησιν. ἀλλὰ πῶς ἡ ἐπὶ τὴν στέρησιν ὁδὸς φύσις λέγοιτο ἄν, οὐκ οὖσα ἔκφυσις; φθορὰ γάρ ἐστι καὶ οὐχὶ γένεσις. Simpl. f. 62.

193b 19. στέρησιν λέγει ἢ τὸ χεῖρον τῶν ἐναντίων, οἷον τὸ μέλαν, εἶδος δὲ τὸ κρεῖττον, οἷον τὸ λευκόν· διὸ καὶ τὴν ἐκ μέλανος μὲν εἰς λευκὸν μεταβολὴν ἁπλῶς μὲν γένεσιν καλεῖ καὶ φθορὰν δέ τινος, τὴν δὲ ἀπὸ λευκοῦ εἰς μέλαν ἀνάπαλιν. ἢ τὴν κυρίως στέρησιν εἶδος καὶ μορφὴν καλεῖ διὰ τὸ εἶναι διάθεσίν τινα τοῦ ὑποκειμένου. εἰ μὲν γὰρ μὴ πάντα τὰ ὄντα εἴδη εἰσίν, ἀλλ' ἔστι τινὰ καὶ ἀνείδεα, οὐκ εἶδος ἡ στέρησις· εἰ δὲ πᾶν τὸ ὁπωσοῦν ὂν εἶδος καλοῦμεν, δηλονότι ἐπειδὴ ἡ στέρησις τῶν πῇ μὴ ὄντων ἐστὶ καὶ πῇ εἶδος ἂν εἴη. διάκειται γὰρ καὶ μεμόρφωταί πως κατ' αὐτὴν τὸ ὑποκείμενον· διατίθησι γάρ πως καὶ ἡ τυφλότης τὸ ὑποκείμενον καὶ πᾶσα στέρησις. ἐπειδὴ οὖν πᾶσαν διάθεσιν μορφὴν τοῦ ὑποκειμένου καὶ εἶδος λέγομεν, διὰ τοῦτο αὐτὸ ἐπεσημήνατο, καὶ ἁπλῶς δὲ γένεσιν τὴν οὐσιώδη λέγει. cod. Vat. 1028.

193b 22. πενταχῶς λέγεται ἡ φύσις, καθ' ἕνα μὲν τρόπον ἡ ἐν ἑκάστῳ ὕλη· αὕτη δέ ἐστι τὸ πρώτως ἐν ἑκάστῳ τῶν φυσικῶν ὑπάρχον

τῷ ἀρχῆς τινὸς καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν τὸ καί ἀντὶ τοῦ ἤ παρείληπται, διὰ τὸ τινὰ τῶν φύσει κινεῖσθαι μὲν ἀεί, μηδέποτε δὲ ἠρεμεῖν. id. f. 58.

ἐπιστάσεως δὲ ἄξιον ὅτι οὗτος ὁ ὁρισμὸς οὐκ ἔστι τοῦ τί ἐστιν ἡ φύσις σημαντικός, ἀλλὰ τῆς ἐνεργείας τῆς φύσεως· οὐ γὰρ τί ἐστιν ἡ φύσις ἐμάθομεν διὰ τοῦ μαθεῖν ὅτι ἀρχή ἐστι κινήσεως καὶ ἠρεμίας, ἀλλὰ τί ποιεῖ. ἵνα οὖν καὶ τῆς οὐσίας αὐτῆς τὸν ὁρισμὸν ἀποδῶμεν, λεκτέον οὕτως, ὅτι ἐστὶν ἡ φύσις ζωὴ ἤτοι δύναμις καταδεδυκυῖα διὰ τῶν σωμάτων, διαπλαστικὴ αὐτῶν καὶ διοικητική, ἀρχὴ κινήσεως καὶ ἠρεμίας οὖσα ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός. Philop. *e* p. 15.

192b 15. καὶ κινοῦνται τὰ μὲν κατὰ τόπον, ὡς γῆ μὲν κάτω πῦρ δὲ ἄνω, τὰ δὲ κατὰ αὔξησιν καὶ φθίσιν, ὡς αὐτὸ τὸ πῦρ καὶ εἴ τινες πέτραι ἱστοροῦνται καθ' ὅλον τὸν ὄγκον ἐπιδιδοῦσαι. cod. Reg. 1947.

192b 18. ὁρμὴν κυρίως τὴν ἔνδοθεν ἀρχὴν ἐκάλεσε τῆς κινήσεως. τινὲς δὲ ἀντὶ τοῦ ὁρμήν ἀρχήν γράφουσι· τὰ γὰρ φυσικὰ τὴν αἰτίαν τῆς κινήσεως ἐν ἑαυτοῖς ἔχει, τὰ δὲ τεχνητὰ ἔξωθεν... πάνυ δὲ ἀναγκαίως πρόσκειται τὸ "ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός." καὶ γὰρ καὶ ἡ κλίνη ἀρχὴν ἔχει κινήσεως καὶ ἠρεμίας ἐν ἑαυτῇ· ἀφεθεῖσα γοῦν ἐπὶ τὸ κάτω φέρεται, καὶ ὅμως οὐ λέγεται φυσικὴ οὐδὲ φύσιν ἔχειν ὡς κλίνη, διότι ἡ ἀρχὴ τῆς κινήσεως οὐ τῇ κλίνῃ πάντως ὑπάρχει, ἀλλὰ τῷ ξύλῳ, δι' ἐκεῖνο δὲ καὶ τῇ κλίνῃ... διαφέρει δὲ τὸ πρώτως τοῦ καθ' αὑτό· οὐδὲ γὰρ τὸ καθ' αὑτὸ πᾶν πρώτως ἐστίν, οὐδὲ τὸ πρώτως καθ' αὑτό... ἔστι δ' ὅτε καὶ συντρέχει εἰς ταὐτὸν ἄμφω, ὅταν καὶ συμπληρωτικὰ τῆς οὐσίας ᾖ καὶ ἀμέσως ὑπάρχῃ, ὡς τὸ λογικὸν τῷ ἀνθρώπῳ καὶ καθ' αὑτὸ καὶ πρώτως ὑπάρχειν λέγοιτο ἄν... οὐ συγχωρητέον δὲ τῷ Ἀλεξάνδρῳ οὕτω λέγοντι κινεῖν ἑαυτὴν τὴν ψυχὴν ὡς τὸν κυβερνήτην, τῷ κινεῖν τὸ σῶμα ἐν ᾧ ἐστίν, ὡς ὁ κυβερνήτης τὴν ναῦν... ἐφιστάνει δὲ ὁ μέγας Συριανὸς ὅτι ὁ ἀποδοθεὶς οὗτος τῆς φύσεως ὁρισμὸς πᾶσι σχεδὸν ἁρμόττει τοῖς τῆς φύσεως σημαινομένοις, οἰκείως ἐφ' ἑκάστῳ λαμβανόμενος. Simpl. f. 58 *b*.

192b 32. τοῦτο οὐχ ὡς ἀπόδειξιν ἐπήγαγεν, ἀλλ' ὡς ἐναργὲς μὲν παρείληπται, χρείαν δὲ παρέχεται αὐτῷ νῦν ἀναληφθὲν ἢ πρὸς τὸ διορίσαι τί τὸ φύσιν ἔχειν καὶ τί τὸ κατὰ φύσιν, ὅπερ ἐφεξῆς ποιεῖ, πρὸς τὸ συναγαγεῖν ὅτι τὸ φυσικὸν πᾶν οὐσία ἐστὶ σύνθετος, ἔχουσα μέν τι ὑποκείμενον τὸ ἐν ᾧ ἐστὶν ἡ φύσις, εἴπερ ἡ φύσις ἀρχὴ καὶ αἰτία ἐστὶ τοῦ ἐν ᾧ ἐστὶ καθ' αὑτό, ἔχουσα δὲ καὶ ἐν ὑποκειμένῳ τι τὴν φύσιν αὐτήν... δεικτικὸν οὖν τοῦ τὰ ἔχοντα φύσιν οὐσίας εἶναι, τὸ ὑποκείμενόν τι εἶναι καὶ ἐν ὑποκειμένῳ, οὐσίαν δὲ ἑκάτερον εἶναι καὶ μᾶλλον τὸ συναμφότερον. ἢ τὸ "καὶ ταῦτα πάντα οὐσία" ἀκουστέον, ὅτι καὶ τὸ ἔχον φύσιν, τουτέστι τὸ ὑποκείμενον, οὐσία ἐστί, καὶ ἡ φύσις οὐσία, καὶ πολὺ πλέον δηλονότι τὸ συναμφότερον οὐσία· ἔστι γὰρ ὑποκείμενόν τι καὶ ἐν ὑποκειμένῳ. ἢ εἰπὼν ὅτι εἰσὶ ταῦτα πάντα οὐσία, τουτέστι τό τε ὑποκείμενον καὶ τὸ ἐν ὑποκειμένῳ, τοῦτο δείκνυσι διὰ μέσης τῆς φύσεως, λέγων ὅτι ἡ φύσις ὑποκείμενόν τι καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἀεί. εἰ οὖν ἡ φύσις οὐσία, τὸ δὲ ὑποκείμενον φύσις καὶ τὸ ἐν ὑποκειμένῳ φύσις, τουτέστιν ἡ ὕλη καὶ τὸ εἶδος, οὐσία ἂν εἶεν ταῦτα πάντα. καὶ ταύτῃ δοκεῖ τῇ ἐννοίᾳ συνᾴδειν καὶ τὸ μετ' ὀλίγον ζητούμενον, πότερον ἡ ὕλη καὶ τὸ ὑποκείμενόν ἐστιν ἡ φύσις ἢ τὸ εἶδος καὶ τὸ ἐν ὑποκειμένῳ. ἀμείνων δὲ ἡ προτέρα ἐξήγησις καὶ διὰ τὰ ἐφεξῆς ἐπαγόμενα, καὶ ὅτι οὐκ ἂν τὸ ὑποκείμενον καὶ τὸ ἐν ὑποκειμένῳ δύο ὄντα πάντα ὁ Ἀριστοτέλης ἐκάλει, ὅς γε ἐν τῇ περὶ Οὐρανοῦ (I 1 p. 268 *a* 16) τάδε γέγραφε "τὰ γὰρ δύο ἄμφω μὲν λέγομεν καὶ τοὺς δύο ἀμφοτέρους, πάντας δὲ οὐ λέγομεν, ἀλλὰ καὶ τῶν τριῶν ταύτην τὴν κατηγορίαν φαμὲν πρῶτον." διὸ καὶ τὰς λοιπὰς ἐξηγήσεις τοῦ Ἀλεξάνδρου εἰς τοῦτον τὸν νοῦν τεινούσας παρατρέχω... σημειοῦται δὲ ὁ Ἀλέξανδρος ὅτι καὶ τὸ εἶδος καὶ τὴν φύσιν, καίτοι οὐσίας εἶναι βουλόμενος, ἐν ὑποκειμένῳ λέγει, ἐν Κατηγορίαις (c. 5) εἰπὼν μηδεμίαν οὐσίαν ἐν ὑποκειμένῳ εἶναι. καὶ παραμυθεῖται τὴν ἔνστασιν λέγων... οὐ μέντοι ταὐτόν ἐστι τὸ "φύσει" καὶ τὸ "κατὰ φύσιν," ἀλλ' ἐπὶ πλέον ἐστὶ τὸ φύσει τοῦ κατὰ φύσιν. id. f. 59.

192b 34. ἡ φύσις ἀεί τι ὑποκείμενον ἔχει καὶ ἐν ὑποκειμένῳ ἐστίν, ἐν ὑποκειμένῳ δὲ οὐχ ὡς τὰ συμβεβηκότα, ἀλλ' ὅτι ἀρχὴ ἔνυλος καὶ οὐ τῶν καθ' αὑτὰ ἀσωμάτων. Themist. f. 23.

193a 3. .... τὰ γὰρ ἐναργῆ τὴν ὑπόστασιν ἔχοντα οὐ δεῖται τῆς τοῦ ὅτι ἔστιν ἀποδείξεως, ὡς καὶ τοῦτο αὐτὸς ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων Ἀναλυτικῶν (c. 8), εἴ τι μέμνημαι, διωρίσατο... ὅτι δὲ τὸ τὰ φανερὰ διὰ τῶν ἀφανῶν πειρᾶσθαι δεικνύναι συμβαίνει τοῖς τὸ κριτήριον τῶν φανερῶν ἀπολέσασι, τὸν τυφλὸν ποιεῖται μάρτυρα τὸν περὶ τῶν χρωμάτων συλλογιζόμενον. Simpl. f. 60.

193a 9. εἰπὼν πρότερον ὅτι τὰ φύσιν ἔχοντα οὐσίαι εἰσί, διότι ὑποκείμενόν τι ἐστὶ τὸ ἔχον καὶ ἐν ὑποκειμένῳ ἡ φύσις ἡ ἐχομένη, ἢ διότι ἡ φύσις ὑποκείμενόν τι ἐστὶ καὶ ἐν ὑποκειμένῳ, ὡς ἤκουε κατὰ μίαν ἐξήγησιν ὁ Ἀλέξανδρος, εἰκότως τὰς δόξας παρατίθεται τῶν τε τὴν φύσιν τὸ ὑποκείμενον λεγόντων καὶ τῶν τὸ ἐν ὑποκειμένῳ, καὶ τὰς κατασκευὰς τὰς ἑκατέρων τοῦ οἰκείου λόγου προτίθησι, καὶ οὕτως αὐτῶν τὴν ἐπίκρισιν ποιεῖται... πρῶτον δὲ λέγει περὶ τῶν τὴν ὕλην φύσιν ἑκάστου νομιζόντων... σημεῖον δὲ τοῦ τὸ ὑποκείμενον ἀλλ' οὐ τὸ εἶδος εἶναι τὴν φύσιν ὁ Ἀντιφῶν ὁ σοφιστὴς ἐποιεῖτο τὸ φύσιν μὲν εἶναι τὴν φύουσαν ἤτοι τὴν ἔκφυσιν, καὶ διανάστασιν οὖσαν εἰς κίνησιν καὶ τοῦ ὁμοίου ἀπογέννησιν... ὥστε ὁ μὲν Ἀντιφῶν κοινῶς ἐῴκει λέγειν τὸ ὑποκείμενον τὴν φύσιν, τῶν δὲ ἄλλων ἕκαστος ὅπερ ἔλεγε πρῶτον ὑποκείμενον, τοῦτο καὶ φύσιν ἐκάλει τῶν ὄντων... γῆν δὲ μόνην οὐδεὶς εἶπεν, ἀλλὰ τῇ συνεκδρομῇ τῶν ἄλλων καὶ ταύτην τέθεικεν ὁ Ἀριστοτέλης. id. ib.

193a 15. τινὲς ἀντὶ τοῦ "κατὰ νόμον διάθεσιν" τὴν "κατὰ ῥυθμόν" γράφουσι. καὶ ἔστι τοῦτο γνωριμώτερον· ῥυθμὸς γὰρ ἡ μορφὴ λέγεται. id. f. 60 *b*.

εἰπὼν δὲ "ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον," τί τοῦτο φήσας ἐπήγαγε "τὴν κατὰ νόμον διάθεσιν καὶ τὴν τέχνην," τὸ εἶδος λέγων τῆς κλίνης, ὅτι διατίθεται ὡς ἂν τοῖς τῆς τέχνης νόμοις δοκῇ. γράφεται δὲ καὶ "τὴν κατὰ ῥυθμὸν διάθεσιν·" κατά τινα γὰρ συμμετρίαν τῆς τῶν μελῶν πρὸς ἄλληλα ἀναλογίας τὸ εἶδος ἀποτελεῖται τῆς κλίνης. εἰ δὲ εἴη "τὴν κατὰ νόμον," σημαίνει τὴν θέσει καὶ μὴ φύσει διάθεσιν. Philop. *f* p. 5.

πρὸς τούτοις καὶ τὸν ὁρισμὸν τῆς ὕλης ἀξίωμα προσλαμβάνει. ἐξ ὧν δείκνυσι πρώτως ὅτι ἀγένητος ἡ ὕλη, οὕτως... τὸ δὲ "ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός" πρὸς ἀντιδιαστολὴν εἴρηται τῆς στερήσεως· κἂν γὰρ λέγηται καὶ ἐκ ταύτης γίνεσθαι τὸ γινόμενον, ἀλλ' οὔτε ἐνυπαρχούσης οὔτε καθ' ἑαυτὸ ἐκ ταύτης, ἀλλὰ κατὰ συμβεβηκός· τῷ γὰρ ἀπεῖναι αὐτὴν ἐξ αὐτῆς λέγεται γίνεσθαι τὸ γινόμενον. ἢ φησὶν ὁ Ἀλέξανδρος τὸ μὴ κατὰ συμβεβηκὸς προσκεῖσθαι, ὅτι ἐνυπάρχει τῷ γινομένῳ καὶ τὰ τῷ ὑποκειμένῳ συμβεβηκότα, οἷον τῷ ἀνδριάντι τὸ χρῶμα τὸ συμβεβηκὸς τῷ χαλκῷ, ἀλλ' οὐ καθ' αὑτὸ ὑπάρχει ἀλλὰ κατὰ συμβεβηκός, διὸ οὐδὲ ὕλη ἐστὶν αὐτοῦ, οὐδὲ συντελεῖ τῷ ἀνδριάντι πρὸς τὸ εἶναι... εἰ οὖν φθείροιτο ἡ ὕλη, εἰς τὸ τοιοῦτον ἀναλύεται ὅ ἐστιν αὐτή, καὶ ἔσται ἐφθαρμένη ἡ ὕλη οὖσα· ὕλη δέ ἐστι πρὸ τοῦ φθείρεσθαι, ὥστε ἐφθαρμένη ἔσται πρὸ τοῦ φθαρῆναι... τὸ ἄφθαρτον δὲ τῆς ὕλης ἀπὸ τοῦ Πλάτωνος καὶ τῶν Πυθαγορείων ὁ Ἀριστοτέλης παρέλαβε. id. ib.

192 a 34. περὶ μὲν τῆς κυρίως κατὰ τὸ εἶδος ἀρχῆς τῆς χωριστῆς καὶ νοητῆς καὶ ἀκινήτου, εἴτε μία ἐστὶν εἴτε πολλαί, ἢ ὅπερ ἀληθέστερον, καὶ μία καὶ πολλαί, καὶ τίς ἢ τίνες, ὅτι ἄυλοι καὶ νοηταὶ καὶ πάντη τέλειαι οὖσαι τῇ οὐσίᾳ ἐνέργειαι, ταῦτα οὖν δι' ἀκριβείας τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶ διορίσαι, ταὐτὸν δὲ εἰπεῖν τῆς ὑπὲρ τὰ φυσικὰ πραγματείας... τάχα δὲ δυνατὸν λέγειν ὅτι περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς οὐχὶ τῆς χωριστῆς εἶπε νῦν, ἀλλὰ τῆς στοιχειώδους... καὶ δὴ καὶ ἐρεῖ περὶ τούτων ἐν τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς, ἅπερ ὕστερον δείκνυσθαί φησιν ὡς μετὰ ταύτην τεταγμένα τὴν πραγματείαν. καλλίων δὲ ἡ προτέρα ἐξήγησις, ὅτι ποιητικὸν τοῦ οὐρανοῦ οἶδεν ὁ Ἀριστοτέλης. ἐπειδὴ δέ τινες οἴονται ποιητικὸν αἴτιον τοῦ παντὸς μὴ λέγειν τὸν Ἀριστοτέλη ἀλλὰ μόνον τελικόν, καὶ τοῦτο καὶ τὸν Ἀλέξανδρον ἀρέσκειν νομίζουσιν, ἀναγκαῖον δοκεῖ μοι τῶν ἐνταῦθα λεγομένων ὑπὸ Ἀλεξάνδρου τοῦ γνησιωτάτου τῶν Ἀριστοτέλους ἐξηγητῶν ἀκούειν αὐτούς, ἐχόντων οὕτως. id. f. 56 *b*.

Προθέμενος ἐν ταύτῃ τῇ πραγματείᾳ τὰς ἀρχὰς καὶ αἰτίας τῶν φύσει συνεστώτων παραδοῦναι, ἐπειδὴ τῶν ἀρχῶν αἱ μέν εἰσι στοιχειώδεις αἱ δὲ ποιητικαὶ αἱ δὲ τελικαί, πρῶται δὲ προσπίπτουσιν ἡμῖν αἱ στοιχειώδεις, διότι τὸ γνωστὸν πρὸς τὴν ζήτησιν τῶν ἑαυτοῦ αἰτίων ἀνερεθίζει τὸν γινώσκοντα ἐκ τῆς οἰκείας φύσεως καὶ συστάσεως, ἣν τὰ ἐνυπάρχοντα αὐτῷ στοιχεῖα συνίστησι, διὰ τοῦτο ἐν τῷ πρώτῳ βιβλίῳ μετὰ τὸ τὰς δόξας ἱστορῆσαί τε καὶ βασανίσαι τῶν φυσικῶν τὰς στοιχειώδεις ἀρχὰς ἀνευρίσκει πρώτας... ταῦτα οὖν πάντα δείξας, καὶ μέλλων ἀκολούθως καὶ περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς λέγειν τῆς στοιχειώδους τὰ σύμμετρα τῷ φυσικῷ, καὶ οὕτως ἐπὶ τὸ ποιητικὸν καὶ τελικὸν αἴτιον μεταβαίνειν, ἐπειδὴ τὸ εἶδος καὶ ὡς στοιχεῖον ὑπάρχει τῷ συνθέτῳ καὶ ὡς ποιητικὸν αἴτιον κατὰ φύσιν καὶ τὸν λόγον θεωρούμενον, εἰκότως καὶ περὶ τοῦ εἰδικοῦ καὶ περὶ τοῦ ποιητικοῦ αἰτίου διδάσκειν ὀφείλων περὶ τῆς φύσεως ἐν ἀρχῇ διαλέγεται, ἣν καὶ ὡς εἶδος καὶ ὡς ποιοῦν αἴτιον οὖσαν ἀποδείξει. id. f. 57.

ἐν τῷ πρώτῳ βιβλίῳ παραδοὺς πόσαι αἱ τῶν φυσικῶν ἀρχαί, ὅτι ἡ ὕλη καὶ τὸ εἶδος καὶ ἡ στέρησις, καὶ διδάξας περὶ τῆς ὕλης καὶ τῆς στερήσεως τί τε ἑκάτερον αὐτῶν ἐστὶ καὶ τί ἀλλήλων διαφέρουσιν, ἔμελλεν ἀκολούθως διδάξαι καὶ περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς, καὶ οὕτως ἐπὶ τὸ ποιητικὸν καὶ τελικὸν αἴτια μεταβῆναι, ἐπειδὴ ταῦτα μᾶλλον αἱ κύριαι ἀρχαί. ἐπεὶ δὲ τὸ εἶδος καὶ στοιχεῖον ἀρχή ἐστιν ὡς ἐνυπάρχον τῷ συνθέτῳ καὶ ὡς ποιητικὸν αἴτιον κατὰ τὴν φύσιν καὶ τὸν λόγον θεωρούμενον, εἰκότως καὶ περὶ τοῦ εἰδικοῦ καὶ περὶ τοῦ ποιητικοῦ αἰτίου διδάσκειν ὀφείλων περὶ τῆς φύσεως ἐν ἀρχῇ διαλέγεται· ταύτην γὰρ ὡς εἶδος καὶ ὡς ποιοῦν αἴτιον οὖσαν ἀποδείξει. ἄλλως τε τῷ περὶ τῶν φυσικῶν πραγματευομένῳ ἀναγκαῖον τὸ γινώσκειν τὴν φύσιν. διὰ τοῦτο διδάσκει πρῶτον εὐθὺς περὶ τῆς φύσεως καὶ περὶ τοῦ φυσικῶς ἔχειν, τί ἐστιν ἕκαστον αὐτῶν καὶ τί διαφέρουσιν ἀλλήλων. ἐπειδὴ δέ τινες καὶ τὴν τύχην καὶ τὸ αὐτόματον αἴτιον λέγουσι, διὰ τοῦτο καὶ περὶ τύχης καὶ αὐτομάτου διδάσκει, ἐπισκήπτων τοῖς πρὸ αὐτοῦ ὅτι ὡς αἴτια ταῦτα παραλαμβάνοντες οὐδὲν περὶ αὐτῶν εἶπον. πρῶτον δὲ περὶ φύσεως διδάσκει, εἶτα περὶ τοῦ φύσει καὶ τοῦ κατὰ φύσιν καὶ τοῦ φύσιν ἔχοντος, ἐπειδὴ τούτων πάντων ἡ γνῶσις τῆς φύσεως προηγεῖται· μὴ γνωσθέντος γὰρ τί ἐστιν ἡ φύσις, οὐδὲ τὸ τί τῇ φύσει καὶ τὰ λοιπὰ ἀρκούντως γνωσθήσεται. cod. Vat. 1028.

οὔτε γὰρ προαίρεσις τούτων αἰτία, εἴπερ ἀόριστος μὲν ἡ προαίρε- 192 b 9.
σις, ὡρισμένη δὲ ἡ τούτων γένεσις, οὔτε ἀπὸ τύχης ἢ ἐκ ταὐτομάτου· τὰ γὰρ τοιαῦτα ἐπ' ἔλαττον, τὰ δὲ διὰ φύσιν ὡς ἐπὶ πλεῖστον· οὔτε ἀπὸ τέχνης· τὰ γὰρ ἀπὸ τέχνης ἔξωθεν γίνεται, ταῦτα δὲ ἔνδοθεν... εἰπὼν δὲ "καὶ τὰ ζῷα," προσέθηκε "καὶ τὰ τούτων μέρη," διότι, φησὶν ὁ Ἀλέξανδρος, τῶν φύσει ὄντων καὶ τὰ μέρη φύσει· τῶν μὲν γὰρ τεχνητῶν τὰ μέρη οὐ πάντα τεχνητά... ἐπὶ δὲ τῶν φυσικῶν, εἰ καὶ τὸ ἔσχατον ὑποκείμενον μὴ ἔστι φυσικόν, οἷον ἡ ὕλη, ἀλλὰ τὰ προσεχῆ φυσικά ἐστιν, ὡς τὰ τέσσαρα στοιχεῖα. καὶ εἴη ἄν τις οὕτω κατὰ τοῦτο τῶν φύσει καὶ τῶν μὴ φύσει διαφορά. ἀλλὰ πῶς τὰ ζῷα καὶ τὰ φυτὰ φύσει καὶ διὰ φύσιν εἶναι φησίν, ἔμψυχα ὄντα ταῦτα, καὶ διὰ ψυχὴν ὄντα ἅπερ ἐστίν;... μήποτε οὖν φυσικὰ μὲν μόνα τὰ ἁπλᾶ τῶν σωμάτων ἐστί, κἂν ἔχῃ δὲ ψυχὴν τὰ ζῷα καὶ τὰ φυτά, τὰ μὲν φυτικὴν τὰ δὲ ὀρεκτικήν, ἀλλὰ καὶ φύσιν ἔχει τὴν ἐνταῦθα ζητουμένην... καὶ διὰ τοῦτο ἴσως καὶ τὰ μέρη αὐτῶν προσέθηκε· τὸ γὰρ ὀστοῦν καὶ τὸ ξύλον ὄρεξιν μὲν ἢ φυτικὴν ψυχὴν οὐκέτι ἔχει, φύσιν δὲ ἔχει... καὶ ὅτι τὰ ζῷα καὶ φυτὰ οὐ καθὸ ζῷα καὶ φυτά, παρέλαβεν ἐν τούτοις ὁ Ἀριστοτέλης ὡς φύσει ὄντα, ἀλλὰ καθὸ καὶ αὐτὰ φυσικά, δηλοῖ καὶ Εὔδημος ἐν τῷ πρώτῳ τῶν Φυσικῶν τάδε γράφων. Simpl. f. 57 *b*.

ἐφιστάνει ὁ Ἀλέξανδρος ὅτι τούτων ἕκαστον εἶπεν ἐν ἑαυτῷ 192 b 14.
ἔχειν ἀρχὴν κινήσεως καὶ στάσεως, ἃ προείρηκε, τουτέστι τὰ ζῷα καὶ τὰ φυτὰ καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, ἀλλ' οὐχὶ πάντα τὰ φυσικά· καὶ γὰρ τὸ κυκλοφορητικὸν σῶμα φυσικὸν καὶ αὐτὸ ὂν κινήσεως μὲν ἀρχὴν ἔχει ἐν ἑαυτῷ, στάσεως δὲ οὐκ ἔχει ἀπαύστως κινούμενον. μήποτε δὲ καὶ τὰ οὐράνια, κἂν μὴ μεταβάλλῃ ἀπὸ κινήσεως εἰς στάσιν, ἀλλ' ὅμως ἔχει στάσιν καὶ αὐτὰ κατὰ τὸ κέντρον, κατὰ τὸν ἄξονα, κατὰ τοὺς πόλους, κατὰ τὴν ὁλότητα. καὶ εἴπερ ἡ κίνησις αὐτῶν φυσική, καὶ στάσις ἂν εἴη τοιαύτη. ἀλλ' οὐ πᾶσα στάσις ἠρεμία ἐστίν, ἀλλ' ἡ μετὰ κίνησιν. κάλλιον οὖν ὁ Πορφύριος ἐφιστάνει, μήποτε ἐν

νεται αὐτοῖς ὡς τῷ ἀριθμῷ μία οὕτω καὶ τῇ δυνάμει·" οὐ γὰρ ἡ στέρησις ἀριθμῷ μία. ἤ, φησί, τὸ μὲν πρῶτον εἰρημένον τὸ "ἡμμέναι μὲν οὖν καὶ ἕτεραί τινές εἰσιν αὐτῆς" ἐπὶ τῆς στερήσεως εἴρηται, τὸ δὲ νῦν λεγόμενον ἐπὶ τῆς ὕλης... ῥητέον δὲ πρὸς τὸν Ἀλέξανδρον ὅτι ἄμεινον καὶ πρότερον καὶ νῦν περὶ τῆς ὑποκειμένης ἀκούειν φύσεως, ἐξ ἧς ἡ γένεσις, ἥτις ἐστὶν ἡ ὕλη μετὰ τῆς στερήσεως· ὅτι γὰρ περὶ τῆς αὐτῆς καὶ τὰ πρότερα λέγει καὶ τὰ νῦν, δηλοῖ ἡ τῶν λεγομένων συνέχεια. καὶ μέντοι ἀριθμῷ μὲν ἓν λόγῳ δὲ δύο οὐκ ἂν εἴη καθ' αὑτὴν ἡ ὕλη, ἀλλ' ἡ μετὰ τῆς στερήσεως. εἰ δὲ πρὸς Πλάτωνα ἀποτεινόμενος ὁ Ἀριστοτέλης λέγει τὸ μὴ διορίζειν τῷ λόγῳ τὴν ὕλην καὶ τὴν στέρησιν, διὰ τοῦτο λέγει, ὅτι ὁ Πλάτων δύο τὰ στοιχεῖα παραδίδωσι, τὴν ὕλην καὶ τὸ εἶδος, προτάξας τῶν δύο τὸ ἐξῃρημένον καὶ παραδειγματικὸν ἅμα καὶ ποιητικὸν αἴτιον. λέγει γὰρ ἐν τῷ Τιμαίῳ (p. 52) ταυτί. id. ib.

Πλάτων τὴν ὕλην μηδὲν τῶν ὄντων εἶναι εἰπὼν ἐπέβαλέ πως καὶ τῇ στερήσει, ἀλλ' οὐχ ἱκανῶς· συμβαίνει γὰρ αὐτῷ ποιεῖν τὰς γενέσεις ἐκ τοῦ μὴ ὄντος ᾗ μὴ ὄν. καθὸ γὰρ ἐπαινεῖ Παρμενίδην ἓν εἶναι τὸ ὂν λέγοντα, καὶ τὸ παρὰ τὸ ὂν οὐκ ὄν, κατὰ τοῦτο ἂν ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ποιοῖτο τὰς γενέσεις· οὐ γὰρ οἷόν τε ἑνὸς ὄντος τοῦ ὄντος καὶ τοῦ παρὰ τοῦτο μὴ ὄντος, οὐ πῇ μὴ ὄντος οὐδὲ κατὰ συμβεβηκὸς μὴ ὄντος ἀλλ' ἁπλῶς μὴ ὄντος, ὡς ᾤετο Παρμενίδης, σώζεσθαι τὴν τῆς ὕλης φύσιν... ἀλλ' οὐδὲ ἐκεῖνο ὀρθῶς, ὅτι μὴ χωρίζει κατὰ τὸν λόγον τὴν ὕλην τῆς στερήσεως. Themist. f. 22.

192a 6. εἰ πρώτως μὲν καὶ κυρίως οὐσία ἡ σύνθετός ἐστι, δευτέρως δὲ τὸ εἶδος, δεκτικὴ δὲ τούτου ἐστὶν ἡ ὕλη, ἐγγὺς ἂν εἴη οὐσία, ἡ δὲ στέρησις ἀπουσία τοῦ εἴδους οὖσα καὶ κατὰ τοῦτο πόρρω ἂν εἴη τῆς οὐσίας. ἔτι ἡ οὐσία κατὰ τὸ ὑποκείμενον λέγεται ἀπ' αὐτοῦ, ὑποκείμενον δέ πως καὶ ἡ ὕλη, κἂν εἰ ὡς μέρος τοῦ συναμφοτέρου λαμβάνηται, ὅπερ τῷ κυρίως ὑποκειμένῳ οὐχ ὑπάρχει. ἐγγὺς ἄρα οὐσίας ἡ ὕλη. ἔτι δὲ εἰ ὁ τῆς οὐσίας ὁρισμός, ὁ λέγων οὐσίαν εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ τῶν ἐναντίων δεκτικόν, ὑπάρχει καὶ τῇ ὕλῃ, ἢ μᾶλλον ἐγγὺς οὐσία, ὅτι καθ' αὑτὴν τὸ ἓν ἀριθμῷ οὐκ ἔχει, ἀλλὰ καὶ τὸ μηδὲν εἶναι αὐτῇ ἐναντίον... ἐπειδὴ πολλαχοῦ μέμνηται τοῦ Πλάτωνος ὁ Ἀριστοτέλης ὡς τὴν ὕλην μέγα καὶ μικρὸν λέγοντος, ἰστέον ὅτι ὁ Πορφύριος ἱστορεῖ τὸν Δερκυλλίδην ἐν τῷ ἑνδεκάτῳ τῆς Πλάτωνος φιλοσοφίας, ἔνθα περὶ ὕλης ποιεῖται τὸν λόγον, Ἑρμοδώρου τοῦ Πλάτωνος ἑταίρου λέξιν παραγράφειν ἐκ τῆς περὶ Πλάτωνος αὐτοῦ συγγραφῆς, ἐξ ἧς δηλοῦται ὅτι τὴν ὕλην ὁ Πλάτων κατὰ τὸ ἄπειρον καὶ ἀόριστον ὑποτιθέμενος ἀπ' ἐκείνων αὐτὴν ἐδήλου τῶν τὸ μᾶλλον καὶ ἧττον ἐπιδεχομένων, ὧν καὶ τὸ μέγα καὶ τὸ μικρόν ἐστιν. Simpl. f. 54.

192a 13. διὸ καὶ ὁ Πλάτων ποτὲ μὲν μητέρα ποτὲ δὲ χώραν αὐτὴν καλεῖ· ἀναλογεῖν δ' ἂν μητρὶ λέγοις καὶ καθόσον διαστατικὴ καὶ διαιρετικὴ τῶν εἰδῶν ἐστὶν ἡ ὕλη, ὥσπερ τῶν πατρικῶν σπερμάτων αἱ μητέρες καὶ τῶν βρεφῶν, τρέφουσαι καὶ αὔξουσαι αὐτὰ εἰς μείζονα ὄγκον. διὸ καὶ τιθήνην αὐτὴν ὁ Πλάτων καλεῖ... καὶ λέγει ὁ Ἀλέξανδρος ὅτι αὕτη (ἡ στέρησις) καὶ τῶν κακῶν αἰτία· κἂν γὰρ ἡ ὕλη δοκῇ τῶν κακῶν αἰτία, ἀλλὰ καὶ αὕτη διὰ τὴν στέρησιν οὐ δυναμένη τὴν τῶν ἀϊδίων εὐταξίαν ἐπιδέχεσθαι. id. f. 54 b.

καλῶς καὶ Πλατωνικῶς τὸ "συναιτία·" τὸ γὰρ κυρίως ὂν ἐξῃρῆσθαι δεῖ τοῦ ἀποτελέσματος, ὥσπερ τὸ ποιητικὸν καὶ τὸ παραδειγματικόν, συναίτιον δ' ἡ ὕλη. Philop. c p. 10.

192a 14. τὴν διαφορὰν τῆς ὕλης καὶ τῆς στερήσεως παραδούς, καὶ κατὰ τὴν πρὸς τὸ εἶδος ἀμφοῖν σχέσιν παραδίδωσιν αὐτήν· θεῖον γὰρ καὶ ἀγαθὸν καὶ ἐφετόν ἐστι τὸ εἶδος, καὶ τούτου ἐφίεται μὲν ἡ ὕλη κατὰ τὴν αὑτῆς φύσιν, ὑπεναντίον δέ ἐστιν ἡ στέρησις, καὶ οὐκ ἂν ἐφίοιτο. καὶ εἰ μὲν θεῖον καὶ ἀγαθὸν καὶ ἐφετὸν τὸ πρῶτον εἶδος λέγοι τὸ χωριστόν, ὃ καὶ νοῦν καὶ πρῶτον αἴτιον καλεῖ, τῷ ὄντι πάντα τὰ κατὰ φύσιν συνιστάμενα ἐφίεται τούτου, ὑπ' αὐτῆς τῆς φύσεως θείου καὶ αὐτῆς οὔσης καὶ αἰτίου οὕτω κατεσκευασμένα, ὡς ἕκαστον καθ' ἣν ἔχει δύναμιν ἐφίεσθαι τῆς πρὸς ἐκεῖνο ὁμοιώσεως. ὁμοίωσις δὲ αὐτοῖς ἡ οἰκεία τελειότης· τελειότης δὲ τοῖς μὲν συνθέτοις ἡ κατὰ τὸ εἶδος στάσις, τῇ δὲ ὕλῃ ἡ τοῦ εἴδους μέθεξις... ἀλλὰ πῶς τῷ πρώτῳ εἴδει ἐναντίον ἡ στέρησις, εἴπερ μηδὲν ἐκείνῳ ἐναντίον;... ἢ λέγοιτο ἂν ἐναντία εἶναι τῷ πρώτῳ εἴδει ἡ στέρησις, καθόσον ἐναντία ἐστὶ τῷ εἴδει τῷ διὰ τὴν ἔφεσιν τοῦ πρώτου εἴδους ἐγγινομένῳ. ἢ θεῖον καὶ ἀγαθὸν καὶ ἐφετὸν καλεῖ τὸ προσιὸν αὐτῇ τῇ ὕλῃ εἶδος, ὡς τῆς θείας μοίρας ἔκγονον ὑπάρχον. Simpl. f. 55.

διὰ τοῦτο φησὶ δόξει μηδὲ εἶναι ὅλως ἡ στέρησις. πάλιν δ' αὖ εἶναι καὶ αὐτὴν ἀνάγκη, ἐπειδὴ οὐκ ἄνευ ταύτης ἡ γένεσις. τῷ γὰρ ὄντι, ὡς Θεμίστιός φησι, θαυμαστὸν μὲν εἰ ἔστι φθείρουσα τὸ εἶναι, θαυμαστὸν δὲ εἰ μὴ ἔστι ποιοῦσα τὸ γίνεσθαι· οὐ γὰρ ἂν γένοιτό τι μὴ φθειρομένου τινός, ἀλλ' ἦν ἅπαντα ἀΐδια. Philop. c p. 10 et 11. cf. Themist. f. 22 b.

192a 25. ἐφεξῆς καὶ ὅτι ἄφθαρτος (ἡ ὕλη) ἐστὶ καθ' αὑτὴν δείκνυσιν, εἰ καὶ κατὰ συμβεβηκὸς φθείρεται... κυρίως μὲν τὸ "ἐν ᾧ" τὸ ὑποκείμενον δηλοῖ (ἄλλο γὰρ τὸ ἐν ᾧ τι ἐστί, καὶ ἄλλο τὸ ἐν ἐκείνῳ ὄν), κατεχρήσατο δὲ αὐτῷ ἐπὶ τοῦ ἐν ὑποκειμένῳ. ἀντὶ δὲ τοῦ εἰπεῖν ὡς δὲ κατὰ τὴν αὑτῆς φύσιν οὐ φθείρεται καθ' αὑτὸ "ὡς δὲ κατὰ τὴν δύναμιν" εἶπε, διότι τῇ ὕλῃ τὸ εἶναι ὕλῃ τὸ δύνασθαί ἐστιν· κατὰ γὰρ τὸ δυνάμει οὐσίωται... μήποτε δὲ καὶ ὁ Ἀριστοτέλης τὴν ὕλην ἐκ τοῦ δυνάμει καὶ τῆς ἐν τούτῳ στερήσεως θεασάμενος, κατὰ μὲν τὸ ἐν ᾧ, τουτέστι κατὰ τὴν στέρησιν, φθείρεσθαι τὴν ὕλην καθ' αὑτό φησι, κατὰ δὲ τὴν δύναμιν ἄφθαρτον εἶναι καὶ ἀγένητον. οὕτω δέ, οἶμαι, καὶ ἡ λέξις καταλληλοτέρα φανήσεται ἡ λέγουσα "ὡς μὲν τὸ ἐν ᾧ," εἰ ὡς ἐπὶ τῆς ὕλης λέγοιτο ὅτι κατὰ μὲν τὴν στέρησιν καθ' αὑτὸ φθείρεται, κατὰ δὲ τὸ δυνάμει ἄφθαρτός ἐστι καὶ ἀγένητος· καὶ γὰρ οὐδὲ εἶπεν ὅτι κατὰ συμβεβηκὸς φθείρεται ἡ ὕλη, ἀλλ' ὅτι ὡς μὲν στέρησις καθ' αὑτὸ φθείρεται, ὡς δὲ τὸ δυνάμει οὔτε γίνεται οὔτε φθείρεται. οἱ δὲ ἐξηγηταὶ κατὰ συμβεβηκὸς φθείρεσθαι λέγουσι, διότι τὸ ἐν αὐτῇ ὂν ἡ στέρησις φθείρεται. Simpl. f. 55 b.

192a 29. τέσσαρα δυνάμει προλαβὼν ἐναργῆ ἀξιώματα διὰ μὲν τῶν δύο δείκνυσιν ὅτι ἀγένητος ἡ ὕλη, διὰ δὲ τῶν δύο ὅτι ἄφθαρτος. ἔστι δὲ δύο μέν, ὅτι τε τὸ γινόμενον ἔκ τινος γίνεται ὑποκειμένου πρώτου, καὶ ὅτι τὸ γινόμενον οὐδέπω ἐστὶ τοῦτο ὃ γίνεται. καὶ τὰ λοιπὰ δὲ δύο τούτοις ὅμοια, ὅτι πᾶν τὸ φθειρόμενον εἰς τοῦτο φθείρεται ἐξ οὗ πρώτου γίνεται, καὶ ὅτι τὸ φθειρόμενον ὅτε φθείρεται οὐδέπω ἔφθαρται.

ἕν, μὴ γίνεσθαί τι ὁμολογοῦμεν, κατὰ συμβεβηκὸς δὲ γίνεσθαι λέγομεν ἐκ μὴ ὄντος· ἐκ γὰρ τῆς ὕλης, καθόσον ἐνυπάρχει αὐτῇ στέρησις, ἥτις ἐστὶ καθ' αὑτὸ μὴ ὄν, γίνεταί τι. καὶ Πλάτων (Sophist. p. 258 c) δὲ περὶ αὐτῆς φησίν... καὶ ἔστι μὲν καὶ τὸ ὑπὸ τοῦ Πλάτωνος διωρισμένον πῇ μὲν ὂν πῇ δὲ μὴ ὄν, καὶ καθ' αὑτὸ μὲν μὴ ὂν κατὰ συμβεβηκὸς δὲ ὄν, ὅτι τοιοῦτό τι συμβέβηκε. πλὴν διαφέρει τὸ κατὰ ἑτερότητα μὴ ὂν τοῦ κατὰ στέρησιν, καθόσον τὸ μὲν εἰδῶν ἐστὶ πρὸς ἄλληλα, τὸ δὲ τῇ ὕλῃ συνυπάρχει. ταύτην μὲν οὖν ἐγκρίνει τὴν ἐξήγησιν ὁ Ἀλέξανδρος, τὴν τὸ μὴ ὂν διαιροῦσαν εἴς τε τὸ μὴ ὄν, τουτέστι τὸ κυρίως μὴ ὄν, καὶ εἰς τὸ κατὰ συμβεβηκός, προστίθησι δὲ καὶ ἄλλην. δύναται γάρ, φησί, τις ἐκ τῶν λεγομένων ἀκούειν ὅτι καὶ τὸ μὴ ὂν μοναχῶς λέγεται, κατὰ τὸ κυρίως καὶ ᾗ μὴ ὄν, ἀλλὰ τὸ ἐκ τούτου γίνεσθαι διχῶς δυνατὸν λέγειν· ἢ γὰρ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκὸς ἔσται... ὥστε καὶ τὸ "ἡμεῖς δέ φαμεν γίνεσθαι μὲν μηθὲν ἁπλῶς ἐκ μὴ ὄντος" διχῶς ἀκουστέον· ἢ γὰρ μηδὲν ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γίνεσθαι, ἢ μηδὲν κυρίως καὶ ἁπλῶς γίνεσθαι ἐκ μὴ ὄντος. Simpl. f. 52 b.

191 b 20. γράφεται καὶ οὕτως "οἷον εἰ κύων ἐκ κυνὸς ἢ ἵππος." κἂν γὰρ ἔκ τινος ζῴου τι ζῷον γίνοιτο, οἷον εἰ κύων ἐκ κυνὸς ἢ ἵππος ἐξ ἵππου, οὐχ ᾗ κύων οὐδὲ ᾗ ἵππος γίνεται, ἀλλ' ᾗ τὶς κύων ἢ τὶς ἵππος. id. ib.

191 b 26. λέγει γοῦν ὅτι οὐκ ἀναιροῦμεν· οὐ γὰρ κατὰ τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι λέγομεν, ἀλλ' ἐκ τοῦ καθ' αὑτὸ μὲν ὄντος κατὰ συμβεβηκὸς δὲ μὴ ὄντος τὴν γένεσιν φαμέν· τοιοῦτο γὰρ ἡ ὕλη. δυνατὸν δὲ τὸ "οὐκ ἀναιροῦμεν τὸ εἶναι ἅπαν ἢ μὴ εἶναι" εἰπεῖν δηλοῦντα ὅτι τὴν μὲν διαίρεσιν οὐδὲ ἡμεῖς ἀθετοῦμεν, τὴν λέγουσαν πᾶν τὸ γινόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίνεσθαι (ἴσμεν γὰρ ὅτι ἐπὶ παντὸς ἀληθὲς ἢ τὸ εἶναι ἢ τὸ μὴ εἶναι), ἀλλὰ καὶ τηροῦντες τοῦτο σώζομεν ἅμα γένεσιν καὶ φθοράν, τῷ καθ' αὑτὸ καὶ τῷ κατὰ συμβεβηκὸς διελόντες τὸ ὂν καὶ τὸ μὴ ὄν. καὶ οὕτω μὲν καθ' ἕνα τρόπον ἡ ἀπορία λυθήσεται· τὸν δ' ἕτερον ἐφεξῆς ἐπάγει. id. f. 53.

191 b 27. γίνεται γὰρ ἐκ τοῦ δυνάμει μὲν ὄντος ἐνεργείᾳ δὲ μὴ ὄντος· ἡ γὰρ ὕλη δυνάμει μέν ἐστιν ὅπερ γίνεται, ἐνεργείᾳ δὲ οὔ. καὶ εἴληπται μὲν ἀπὸ τῆς ὕλης οὗτος ὁ διορισμός· αὕτη γάρ ἐστιν ἡ δυνάμει μὲν οὖσα ἐνεργείᾳ δὲ μὴ οὖσα τοῦτο ὅπερ γίνεται. αἰτία δὲ τῇ ὕλῃ τῆς τοιαύτης φύσεώς ἐστιν ἡ στέρησις, ἀπουσία δὲ οὖσα ἐν τῷ πεφυκότι, διὰ μὲν τὸ ἀπουσία εἶναι ποιεῖ μὴ εἶναι ἐνεργείᾳ, διὰ δὲ τὸ ἐν τῷ πεφυκότι τὸ δυνάμει εἶναι παρέχεται. διώρισαι δὲ περὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ τελεώτερον ἐν τῷ ἐννάτῳ τῶν Μετὰ τὰ Φυσικά. id. ib.

ἐν τῷ θ' τῆς Μετὰ τὰ Φυσικά. Philop. e p. 8.

191 b 30. ὁ μὲν Ἀλέξανδρος τουτὶ τὸ ῥησείδιον (ὥσθ'... μεταβολήν) ἀνεξήγητον οἶμαι κατέλιπεν, ὁ δὲ μέγας Συριανὸς τῶν εἰρημένων ἔνια ἀναιρεῖν φησὶν αὐτοὺς διὰ τὴν ἀπορίαν, ἐπειδὴ γένεσιν ἀναιροῦντες δι' αὐτὴν καὶ τὴν ὕλην καὶ τὴν στέρησιν συναναιροῦσιν, ἅπερ ἔνια τῶν εἰρημένων ἀρχῶν ἐστίν... καὶ ὅτι ταῦτα λέγει "τῶν εἰρημένων ἔνια," δηλοῖ καὶ τὰ ἑξῆς ἐπαγόμενα. δυνατὸν δὲ ἴσως "τῶν εἰρημένων ἔνια" μὴ τῶν ἀρχῶν ἀκούειν (καὶ γὰρ καὶ τὸ εἶδος ἀναιροῦσιν οἱ οὕτω λέγοντες τὸ μεταβαλλόμενον, ὥστε οὐκ ἔνια τῶν ἀρχῶν) ἀλλὰ τῶν περὶ φύσεως εἰρημένων, ὧν ἡ γένεσις καὶ ἡ φθορά. Simpl. f. 53.

Συριανοῦ. ἐπειδὴ γένεσιν ἀναιροῦσι, δι' αὐτὴν καὶ τὴν ὕλην καὶ τὴν στέρησιν συναναιροῦσιν, ἅπερ δὲ ἔνια τῶν εἰρημένων ἀρχῶν εἰσίν. διὰ γὰρ τὴν ἀπορίαν ἀναιροῦντες τὴν γένεσιν προϋπάρχειν λέγουσι τὰ ὄντα ἢ τὸ ὂν ἓν εἶναι. Σιμπλικίου. δυνατὸν δὲ ἴσως τῶν εἰρημένων ἔνια μὴ τῶν ἀρχῶν ἀκούειν. cod. Vat. 1028.

τὴν στέρησίν φησιν ὀφθεῖσαν πάσης τῆς κατὰ λόγον ἀπορίας 191 b
λύσιν ἔχειν... οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος ἐξηγήσατο. μήποτε 33.
δὲ "αὐτὴ ὀφθεῖσα ἡ φύσις" εἶπεν, οὐχ ἡ τῆς στερήσεως μόνον ἀλλὰ καὶ ἡ τῆς ὕλης· τοῦτο γὰρ καὶ αὐτὸς Ἀλέξανδρος προϊὼν ἐφιστάνει. Simpl. f. 53.

εἴτε ἡ τῆς στερήσεως φύσις ἐστὶ καὶ τῆς ὕλης, ἥτις ὀφθεῖσα 191 b
πᾶσαν ἂν διέλυσεν ἀπορίαν, εἴτε ἡ τοῦ καθ' αὑτὸ καὶ κατὰ συμβεβη- 35.
κὸς καὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ, εἴτε ἡ συναμφότερος (διὰ γὰρ τὴν ἑτέραν ἡ ἑτέρα), ταύτης, φησί, τῆς φύσεως οἱ μὲν οὐδὲ ὅλως ἐφήψαντο, ὅσοι τὸ ὂν ἓν ποιοῦσιν, ἢ ὅσοι πάντα ἐνεργείᾳ προϋπάρχειν λέγουσι, καὶ ἁπλῶς ὅσοι γένεσιν ἀναιροῦσι· τινὲς δὲ αὐτῆς ἥψαντο μὲν ἀλλ' οὐχ ἱκανῶς. καὶ δοκεῖ ταῦτα ἀποτεινόμενος πρὸς Πλάτωνα λέγειν· αὐτὸς γὰρ ἐν Τιμαίῳ (p. 50) λέγων μηδὲν τῶν ὄντων ἐνεργείᾳ τὴν ὕλην εἶναι, ἐν οἷς φησὶν ὅτι τοῖς εἴδεσιν ὑποκείμενον οὐκ ἂν εἴη παρεσκευασμένον εὖ, πλὴν ἄμορφον ὂν ἐκείνων πασῶν τῶν ἰδεῶν, ὅσας μέλλει δέχεσθαι, ἐφάψασθαί πως δοκεῖ καὶ τῆς ὕλης καὶ τῆς στερήσεως· τὸ γὰρ πεφυκὸς δέχεσθαι καὶ μή, μὴ ἔχον δέ, ἐστερῆσθαι ἂν λέγοιτο δικαίως. καὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ καὶ τὸ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς πρῶτος φαίνεται διορίσας ὁ Πλάτων, καὶ τὸ πῇ μὲν ὂν πῇ δὲ μὴ ὄν, ὡς εἴρηται πρότερον. καὶ γὰρ καὶ ἐπὶ τῶν ἄλλων ὁ Πλάτων τὰ πολλαχῶς λεγόμενα διεστείλατο, ὡς καὶ ὁ Εὔδημος ἐν τοῖς Φυσικοῖς μαρτυρεῖ λέγων "Πλάτων τε γὰρ εἰσαγαγὼν τὸ διττὸν πολλὰς ἀπορίας ἔλυσε πραγμάτων."... ὥστε ἐπαινέσας Παρμενίδην ὡς ἓν τὸ ὂν εἰπόντα, ἐκ τοῦ ἁπλῶς μὴ ὄντος φαίνεται ποιῶν αὐτὸς τὴν γένεσιν. καὶ οὕτω μὲν σχεδόν τι πάντες οἱ ἐξηγηταὶ τὴν λέξιν ἐξηγήσαντο, ὡς τοῦ Πλάτωνος ἀποδεχομένου Παρμενίδην ἓν τὸ ὂν λέγοντα. καὶ θαυμάζω τοῦτο· σαφῶς γὰρ ἐν Σοφιστῇ πρὸς τὸν Παρμενίδου λόγον ὑπήντησεν διὰ πολλῶν ἐπιχειρημάτων ἓν τὸ ὂν λέγοντα... ἵνα οὖν καὶ οἱ ἐξηγηταὶ μὴ παρὰ θύρας ἐξηγῶνται, τάχα λέγομεν ὅτι πρὸς τὰ ἐν τῷ διαλόγῳ τῷ Παρμενίδῃ παρὰ τοῦ Πλάτωνος εἰρημένα ἀπετείνατο νῦν ὁ Ἀριστοτέλης, ἐν οἷς τὸ ἓν ὂν ὑποτιθέμενον τὸν Παρμενίδην καὶ ἀποδεικνύντα θαυμάζειν ἔοικεν ὁ Πλάτων. δῆλον δὲ ὅτι καὶ πολλὰ δείκνυσι τὸ ἓν ὂν ἐκεῖνο, κατ' ἄλλην καὶ ἄλλην αὐτοῦ τάξιν θεωρῶν. ταῦτα μὲν οὖν ὑπὸ ἀπορίας ἐγὼ περιφερόμενος γέγραφα· εἰ δέ τις προσφυέστερον ἀπολογήσοιτο, πῶς ἐκ τοῦ μὴ ὄντος λέγει τὴν γένεσιν ὁ Πλάτων, διότι Παρμενίδην ὀρθῶς λέγειν ὁμολογεῖ, φίλος ὢν οὗτος ἀλλ' οὐκ ἐχθρὸς κρατεῖ. id. f. 53 b.

λέγει νῦν ὁ Ἀλέξανδρος ὅτι ἐκ τῶν νῦν εἰρημένων δῆλον 192 a
γέγονεν ὡς καὶ τὸ "ἡμμένοι μὲν οὖν καὶ ἕτεροί τινές εἰσιν αὐτῆς" ἐπὶ 1.
τῆς ὕλης εἴρηκεν, οὐ τῆς στερήσεως· περὶ γὰρ τῆς ὕλης λέγει τὸ "φαί-

λέγεται, πάσας δεῖ λέγειν τὰς ἐνδεχομένας αἰτίας.". . ὅτι δὲ μέσα πως βούλεται εἶναι τὰ οὐράνια καὶ ἰδίας πραγματείας δεόμενα, ἐδήλωσεν ἐν τῷ δευτέρῳ τῆσδε τῆς συγγραφῆς (c. 7 p. 198 *a* 29), τριχῇ διαιρῶν τὰς πραγματείας. id. ib.

191 *a* 6. διὰ τοῦ "ἱκανὸν γὰρ τὸ ἕτερον τῶν ἐναντίων ποιεῖν τῇ παρουσίᾳ τὴν μεταβολήν" ἐνδείκνυσθαί φησιν ὁ Ἀλέξανδρος ὅτι οὐκ ἔστιν ἡ στέρησις φύσις τις καὶ εἶδος, ἀλλ' ἡ ἀπουσία τοῦ πεφυκότος, ἥτις ἀπουσία οὐκ ἔστιν ἐν τῇ φύσει τοῦ ὑποκειμένου... τοῦτο δὲ τοῦ Ἀριστοτέλους τὸ ῥητὸν πάνυ τοῖς Πλατωνικοῖς ἀρέσκει, διότι καὶ ὁ Πλάτων οὐ δύο ἀλλ' ἓν ποιεῖ τὸ ὑποκείμενον, κἂν τοῖς ἀντικειμένοις αὐτὸ προσρήμασι καλῇ, μέγα καὶ μικρὸν προσαγορεύων, διὰ τὴν πρὸς τὰ ἀντικείμενα ἐπιτηδειότητα, τὴν στέρησιν οὐ βουλόμενος ἐν ὑποστάσει τινὶ θεωρεῖν. id. f. 49.

191 *a* 7. ἐπειδὴ τὰ παρατεθέντα τῆς ὕλης παραδείγματα, οἷον ὁ ἄνθρωπος καὶ τὰ σπέρματα καὶ εἴ τι τοιοῦτο, κἂν ὕλης εἶχε λόγον πρὸς τὰ γινόμενα, ἀλλ' εἴδη τινὰ ἦν καὶ αὐτά, πᾶς ἂν ἐπιζητήσοι μαθεῖν τί ποτε ἂν εἴη αὐτὴ καθ' αὑτὴν ἡ ὑποκειμένη τοῖς εἴδεσιν ὕλη... τὴν δὲ κατὰ ἀναλογίαν ταύτην γνῶσιν νόθον λογισμὸν ἐκάλεσεν ὁ Πλάτων, διότι οὐ κατ' ἐπέρεισιν εὐθὺς ἀλλὰ κατὰ ἀπογύμνωσιν καὶ ἀπόφασιν γίνεται τῶν εἰδῶν... ἀλλ' ἐπειδή τινες, καὶ οὐδὲ οἱ τυχόντες ἐν φιλοσοφίᾳ, τὸ ἄποιον σῶμα τὴν πρωτίστην ὕλην εἶναί φασι καὶ κατὰ Ἀριστοτέλη καὶ Πλάτωνα, ὥσπερ τῶν μὲν παλαιῶν οἱ Στωϊκοί, τῶν δὲ νέων Περικλῆς ὁ Λυδός, καλῶς ἂν ἔχοι ταύτην ἐπισκέψασθαι τὴν δόξαν... ταύτην δὲ περὶ τῆς ὕλης τὴν ὑπόνοιαν ἐοίκασιν ἐσχηκέναι πρῶτοι μὲν τῶν Ἑλλήνων οἱ Πυθαγόρειοι, μετὰ δ' ἐκείνους ὁ Πλάτων, ὡς καὶ Μοδερᾶτος ἱστορεῖ... καὶ ταῦτα δὲ ὁ Πορφύριος ἐν τῷ δευτέρῳ περὶ ὕλης τὰ τοῦ Μοδεράτου παραθέμενος γέγραφεν. id. f. 50.

191 *a* 13. ἰστέον ὅτι ὁ Πλάτων πρὸ αὐτοῦ δύο τρόπους φησὶν εἶναι καθ' οὓς δυνατὸν εἰς τὴν τῆς ὕλης γνῶσιν ἐλθεῖν, ἕνα μὲν τὸν ἐξ ἀφαιρέσεως, λεγόντων ἡμῶν ὅτι ὕλη ἐστὶν ὃ μήτε ἵππος ἐστὶ μήτε ἄνθρωπος καὶ καθόλου μήτε σῶμα μηδέν. Philop. *d* p. 16.

191 *a* 13. κατὰ τὴν λέξιν τὸ μὲν "μία δὲ ἢ ὁ λόγος" σημαίνει μὲν τὸ μίαν εἶναι τὴν κατὰ τὸν λόγον καὶ κατὰ τὸ εἶδος ἀρχήν, ἀσάφειαν δὲ ποιεῖ τὸ "ἢ" τῷ "ὁ λόγος" προσκείμενον, καὶ θηλυκὸν ἄρθρον τῷ ἀρσενικῷ συντεταγμένον. συντέτακται δὲ οὐ τῷ "ὁ λόγος" ἀλλὰ τῇ ἀρχῇ, ὡς εἶναι ἴσον τῷ μία δὲ ἡ κατὰ τὸν λόγον, ἢ μᾶλλον μία ἀρχὴ ὁ λόγος καὶ τὸ εἶδος. γράφεται δέ, φησὶν ὁ Ἀλέξανδρος, καὶ χωρὶς τοῦ ἢ, τινῶν ἴσως διὰ τὴν ἀσάφειαν ἀφελόντων αὐτό, καίτοι μετ' αὐτοῦ τῆς ἑρμηνείας ἀρχαιοπρεπεστέρας οὔσης. Simpl. f. 51.

μία δὲ ἡ ὁ λόγος. τὸ ἡ καὶ τὸ ὁ ἀμφότερα ἄρθρα ἐστίν. λόγον δ', ὡς πολλάκις εἴρηται, τὸ εἶδός φησιν. εἰπὼν οὖν τὴν ἀρχὴν τὴν ὑλικὴν λέγει καὶ τὴν εἰδικήν, καὶ φησὶν ὅτι ἔστι καὶ τὸ εἶδος μία ἀρχή. ἔταξε δὲ τὰ δύο ἄρθρα κατὰ τοῦ αὐτοῦ, καθότι ὁ λόγος ὡς μὲν ἀρχὴ θηλυκόν ἐστιν, ὡς δὲ λόγος ἀρσενικόν. διὰ τοῦτο οὖν τὰ δύο ἄρθρα κατὰ τοῦ αὐτοῦ ἔταξε, τό τε θηλυκὸν καὶ τὸ ἀρσενικόν. Phil. *c* p. 3 et cod. Vat. 1028.

τὸ μὲν οὖν θηλυκὸν ληπτέον πρὸς τὴν ἀρχήν, τὸ δὲ ἀρσενικὸν πρὸς τὸν λόγον, ὡς ἂν ἔλεγεν, ἡ δ' ἑτέρα ἀρχὴ ὁ λόγος ἐστί, τουτέστι τὸ εἶδος. cod. Vat. 1028.

πῶς ἔχουσιν αἱ ἀρχαὶ τὰ ἐναντία λέγει, ὅτι ἀπουσία τῆς ἑτέ- 191 *a* 17.
ρας ἡ ἑτέρα, καὶ τί τὸ ὑποκείμενον, ὅτι τὸ κατὰ ἀναλογίαν λαμβανόμενον καὶ ὃ μὴ ἔχει ἐναντίον. Simpl. f. 51.

ἐν τῷ τῶν δέκα Κατηγοριῶν βιβλίῳ (c. 5) τὴν οὐσίαν ὁ 191 *a* 19.
Ἀριστοτέλης εἴς τε τὴν πρώτην οὐσίαν καὶ εἰς τὴν δευτέραν διεῖλε, τουτέστιν εἴς τε τὴν ἄτομον καὶ εἰς τὴν εἰδικήν τε καὶ γενικήν, ὁ δὲ Ἀρχύτας εἴς τε τὴν ὕλην καὶ εἰς τὸ εἶδος καὶ τὸ σύνθετον, ᾧ καὶ Ἀριστοτέλης συνακολουθήσας ἐν τῇ Μετὰ τὰ Φυσικὰ (Z 2) ἀκριβέστερον ἔδοξε καὶ αὐτὸς τριχῇ διελών, καὶ λέγει μάλιστα μὲν οὐσίαν τὸ συναμφότερον ἐπὶ τῶν γενητῶν, δευτέρως δὲ τὸ εἶδος καὶ τὴν ὕλην, ἐξ ὧν τὸ συναμφότερον συνέστηκε. τούτων δὲ κατὰ μὲν τὸ ἀΐδιον καὶ ὑποκεῖσθαι τὴν ὕλην μᾶλλον οὐσίαν φησίν· καθόσον δὲ τὸ εἶναι ἑκάστῳ τοῦτο ὅ ἐστι κατὰ τὸ εἶδός ἐστι καθ' ὃ καὶ διαφέρον τῶν ἄλλων ἐπ' οἰκείας ἐστὶ φύσεως, καὶ τοῦτο μᾶλλον οὐσία τὸ εἶδος αὐτῷ δοκεῖ. ταύτην οὖν ἐνδείκνυται νῦν τὴν σύγκρισιν, ἀρχόμενος ἐν τῷ περὶ τῶν φυσικῶν ἀρχῶν λόγῳ, πόσαι καὶ τίνες εἰσὶν αἱ ἀρχαί, παραδοῦναι. ἀλλ' εἰ φθείρεται, φησὶν ὁ Ἀλέξανδρος, τὸ εἶδος, πῶς ἀρχὴ τοῦτο; ἄφθαρτος γὰρ ἡ ἀρχὴ δοκεῖ εἶναι. id. f. 51 *b*.

ὅτι καλῶς πρὸς τῇ ὕλῃ καὶ τὴν στέρησιν ἐν ταῖς ἀρχαῖς ἔθετο, 191 *a* 21.
δείκνυσιν ἐκ τοῦ τινὰς τῶν ἀρχαίων φιλοσόφων μὴ ἐννοήσαντας αὐτὴν ἀναιρεῖν τὴν γένεσιν καὶ τὴν φθοράν, ὑπὸ ἀπορίας τινὸς ἡττηθέντας, καὶ ἄλλοις ἀτόποις περιπεσεῖν. πρώτους δὲ κατὰ φιλοσοφίαν λέγει οὐ μόνον τοὺς τῷ χρόνῳ προειληφότας, ἀλλὰ καὶ τοὺς πρώτως τὴν ἀλήθειαν ἐζητηκότας. οὐ περὶ πάντων δὲ λέγει νῦν, ἀλλὰ περὶ ἐκείνων ὅσοι γένεσιν ἀνῄρουν. διῄρηνται δὲ οὗτοι διχῇ, μᾶλλον δὲ τριχῇ. οἱ μὲν γὰρ αὐτῶν ἓν τὸ ὂν ἔλεγον καὶ ἀγένητον τοῦτο, οἱ δὲ πολλὰ μὲν ἐνυπάρχοντα δὲ ἐκκρίνεσθαι ἔλεγον, τὴν γένεσιν ἀναιροῦντες, ὡς Ἀναξίμανδρος καὶ Ἀναξαγόρας, οἱ δὲ συγκρίσει καὶ διακρίσει τὴν γένεσιν τῶν πρώτων στοιχείων ἐποίουν, ὡς Δημόκριτος καὶ Ἐμπεδοκλῆς. id. ib.

πρώτους φησὶ κατὰ φιλοσοφίαν οὐ τῷ ἀξιώματι πρώτους ἀλλὰ 191 *a* 25.
τῷ χρόνῳ. "τὴν δὲ ἀλήθειάν" φησι "καὶ τὴν φύσιν" ἀντὶ τοῦ τὴν ἐν τῇ φύσει ἀλήθειαν. Philop. *c* p. 5.

"δῆλον ὅτι καὶ τὸ ἐκ μὴ ὄντος." τό τε κυρίως καὶ τὸ ἐκ μὴ 191 *b* 9.
ὄντος γίνεσθαι, ὅταν καθ' αὑτὸ ἐκ μὴ ὄντος γίνηταί τι, ὅπερ οἱ ἀρχαῖοι οὐ διελόντες ἀπὸ τοῦ κατὰ συμβεβηκὸς γίνεσθαι ἐκ μὴ ὄντος, ἀλλ' ὡς μοναχῶς λεγόμενον λαβόντες τὸ ἐκ μὴ ὄντος γίνεσθαι, ἀπέστησαν τῆς φύσεως τῶν ὄντων καὶ τῆς κατ' αὐτὰ ἀληθείας. cod. Vat. 1028.

οἱ ἀρχαῖοι μονοτρόπως τὸ μὴ ὂν κατὰ τὸ κυρίως καὶ καθὸ μὴ ὂν 191 *b* 10.
λαβόντες, καὶ μὴ διελόντες τό τε καθ' αὑτὸ καὶ ᾗ μὴ ὂν καὶ τὸ κατὰ συμβεβηκός, ἀπέστησαν τοῦ γίνεσθαί τι ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος· καὶ διὰ τὴν ἄγνοιαν τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκὸς προσηγνόησαν καὶ ἄλλα, ὥστε μηδὲν οἴεσθαι γίνεσθαι, εἴπερ ἐκ μὴ ὄντος ἢ μὴ ὂν μηθὲν γίνεται... ἡμεῖς δὲ τὸ μὲν ἁπλῶς ἐκ μὴ ὄντος, τουτέστι καθὸ μὴ

ἄποιος δέ, φησὶν ὁ Ἀλέξανδρος, κατὰ τὸν ἑαυτῆς λόγον ἡ ὕλη, οὐχ ὡς ἐν στερήσει οὖσα ποιότητος (καὶ γὰρ ἡ στέρησις ποιότης) ἀλλ᾽ ὡς ἐν ἀποφάσει· ὥσπερ γὰρ τοῦ εἴδους, οὕτω καὶ τῆς στερήσεώς ἐστι δεκτική. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος ἐπιστήσειεν ἄν τις πρῶτον μέν. Simpl. f. 45 *b*. cf. Themist. f. 21.

189b 31. πάσης δὲ γενέσεώς φησιν οὐ μόνον τῆς κατ᾽ οὐσίας ἀλλὰ καὶ τῆς κατὰ συμβεβηκός. καὶ δῆλον ὅτι καὶ ἐντεῦθεν σαφές ἐστιν ὅπως ἔλεγεν ἐν ἀρχῇ ἐκ τῶν καθόλου δεῖν ἄρξασθαι ὡς σαφεστέρων καὶ τῇ αἰσθήσει γνωριμωτέρων, καθόλου λέγων οὐ τὰ κοινὰ γένη καὶ ἐξῃρημένα τῶν μερικῶν, ἀλλὰ τὰ μερικὰ μὲν πλείοσι δ᾽ ἐφαρμόττοντα. Philop. *d* p. 12.

190a 2. γινόμενον νῦν λέγει τὸ ὑποκείμενον· ἐφεξῆς δὲ γινόμενον λέγει τὸ εἰς ὃ γίνεται ἡ μεταβολή, ὃ δὲ γίνεται, τὸ εἶδος, ὡς δηλοῖ καὶ τὰ παραδείγματα. id. p. 13.

190a 31. ὅτι δ᾽ ὡς σῶμα ἀμετάβλητόν ἐστι τὸ δεύτερον ὑποκείμενον, δέδεικται ἡμῖν ἐν τοῖς Συμμίκτοις Θεωρήμασι. id. p. 14.

190b 1. μετὰ δὲ τὴν ἐπαγωγὴν καθολικῇ φησὶν ὁ Ἀλέξανδρος ἀποδείξει χρῆσθαι τὸν Ἀριστοτέλην δεικνύντα ὅτι κατὰ πάντας τοὺς τοῦ γίνεσθαι τρόπους ἐξ ὑποκειμένου γίνεται τὰ γινόμενα, καὶ τὸ καθόλου συναποδεικνύντα καὶ τὸ ἐπὶ τῆς οὐσίας, εἴγε καὶ ἡ ταύτης γένεσις ὑπὸ τοὺς ἐκτιθεμένους τρόπους ἐστίν. διὸ καὶ τὰ γινόμενα ἁπλῶς ἀντὶ τοῦ καθόλου καὶ καθάπαξ ἀκούει, ὡς ἐπανιόντος αὐτοῦ πάλιν ἐπὶ τοὺς κοινοὺς τῆς γενέσεως τρόπους, ἐν οἷς καὶ ὁ κατ᾽ οὐσίαν συνείληπται· τῇ γὰρ ἀλλοιώσει, φησίν, ὑποτάσσεται καὶ ἡ κατ᾽ οὐσίαν γένεσις, καὶ ἴσως εἴποι ἂν οὐχ ὅτι ἀλλοίωσίς ἐστιν, ἀλλ᾽ ὅτι οὐκ ἄνευ ἀλλοιώσεως. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος. καὶ ἔοικε καὶ Συριανὸς ὁ μέγας τὴν τοιαύτην ἐξήγησιν ἀποδέξασθαι. μήποτε δὲ τῶν κατ᾽ οὐσίαν γινομένων ἐστὶν ἡ διαίρεσις αὕτη... μήποτε οὖν καὶ ἐνταῦθα γινόμενα ἁπλῶς εἶπε τὰ κυρίως καὶ κατ᾽ οὐσίαν γινόμενα... καὶ εἴη ἂν ἡ διαίρεσις τοιαύτη. τῶν γινομένων κατ᾽ οὐσίαν τὰ μὲν ὡς ἁπλᾶ γίνεται τὰ δὲ ὡς σύνθετα. τὰ μὲν οὖν σύνθετα συνθέσει, ὡς ἡ οἰκία, τῶν δὲ ἁπλῶν τὰ μὲν διὰ βάθους τὰ δὲ ἐπιπολῆς, καὶ τὰ ἐπιπολῆς μετασχηματίσει (καὶ γὰρ αὕτη οὐσιώδης γένεσις, ὅταν ἐκ σφαίρας ἀνδριὰς γένηται), τῶν δὲ διὰ βάθους τὰ μὲν καθόλου, ὡς ἄνθρωπος ἐκ σπέρματος ἀλλοιωμένου, τὰ δὲ κατὰ μέρος, καὶ τούτων τὰ μὲν ἐν προσθέσει, ὡς τὰ αὐξανόμενα, τὰ δὲ ἀφαιρέσει, ὡς τὰ μειούμενα. καὶ ἐπίστησον ὅτι οὐ παρέλαβεν ἀλλοίωσιν ἐνταῦθα τὴν κατὰ ποιότητα μόνον ἢ μεταβολήν, ἀλλὰ τὴν κατὰ τροπὴν τῆς ὕλης, οἷον τοῦ σπέρματος ἐπὶ τῶν φυτῶν καὶ τῶν ζῴων, καθ᾽ ἣν ἡ κατ᾽ οὐσίαν γένεσις ἐπιτελεῖται. εἰ δὲ τὰς μεταβολὰς ἀπαριθμεῖ, πῶς τὴν κατὰ τόπον οὐ παρέλαμβανε; πῶς δὲ τὴν κατὰ τὸ σχῆμα ἀντιδιῄρει πρὸς τὴν ἀλλοίωσιν. Simpl. f. 46 *b*.

190b 13. ἀντιστρόφως νῦν τῷ πρόσθεν γινόμενον μὲν τὸ εἶδος καλεῖ, ὃ γίνεται δὲ τὴν ὕλην καὶ τὴν στέρησιν, ἐνδεικνύμενος, οἶμαι, ὅτι ἑκατέρως καλεῖν δυνατόν. id. f. 47.

190b 17. σημειωτέον ὅτι τὸ τῆς αἰτίας καὶ ἀρχῆς ὄνομα καὶ ἐπὶ τῆς ὕλης τίθησιν ὁ Ἀριστοτέλης, ἐν οἷς φησὶν "ὡς, εἴπερ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τῶν φύσει ὄντων." τὸ δὲ "ἐξ ὧν πρώτων εἰσὶν ἢ γεγόνασι" καὶ τὰ ἑξῆς εἴρηται δηλοῦντα ὅτι τὰς στοιχειώδεις ἀρχὰς ὁ λόγος ζητεῖ, ἐξ ὧν ἔστιν ὅτε ἐστὶ καὶ γέγονεν ὅτε γέγονε τὰ φυσικὰ πάντα... τὸ δὲ "ἕκαστον ὃ λέγεται κατὰ τὴν οὐσίαν" ὅμοιόν ἐστι τῷ ἐν ταῖς Κατηγορίαις (p. 1 *a* 4) ἐπὶ τῶν ὁμωνύμων εἰρημένῳ, "ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος." id. f. 47 *b*.

καλῶς τὸ "εἰσὶν ἢ γεγόνασι·" τὸ μὲν γὰρ "εἰσίν" ἐπὶ τῶν στοι- 190b 13.
χείων τῶν ἀλοτήτων καὶ τῶν οὐρανίων, τὸ δὲ "γεγόνασιν" ἐπὶ τῶν κατὰ μέρος πάντων τῶν γινομένων καὶ φθειρομένων. Phil. *d* p. 15.

τὸν γὰρ λόγον τοῦ μουσικοῦ ἀνθρώπου ἀναλύσεις εἰς τοὺς λόγους 190b 22.
ἐξ ὧν συνέστηκε... γράφεται δὲ καὶ "εἰς τοὺς ὅρους·", ἀναλύεται γὰρ ὁ μουσικὸς ἄνθρωπος εἰς τὸν ἄνθρωπον καὶ εἰς τὸν μουσικόν. id. p. 16.

τὴν κοινωνίαν πάλιν ἐνταῦθα τῆς τε ὕλης καὶ τῆς στερήσεως 190b 23.
καὶ τὴν διαφορὰν αὐτῶν παραδίδωσι. καθόσον μὲν γὰρ σὺν τῇ ὕλῃ καὶ ἡ στέρησίς ἐστι πρὶν ἐπιγένηται τὸ εἶδος, καὶ σὺν αὐτῇ θεωρεῖται ὡς ὑποκείμενον, κατὰ τοσοῦτον ἓν τῷ ἀριθμῷ ἐστὶ τὸ ὑποκείμενον τὸ ἐξ ὕλης καὶ στερήσεως, καθόσον δὲ ἡ μὲν ὕλη ὑπομένει, οἷον ὁ ἄνθρωπος ἢ ὁ χρυσὸς ἐν τῇ μεταπλάσει τῶν χρυσῶν σκευῶν, καὶ ὑπὸ δεῖξιν πίπτει, καὶ τόδε τι λέγεται (χρυσοῦς γὰρ καὶ ὁ μανιάκης, χρυσοῦς καὶ ὁ δακτύλιος, ἐνυπαρχούσης ἀεὶ τῷ συνθέτῳ καθ᾽ αὑτὸ τῆς ὕλης), κατὰ τοῦτο καὶ ἀριθμητή ἐστιν αὐτή... ἐπεὶ δὲ προσέθηκε τούτοις "καὶ ὅλως ἡ ὕλη," ἡ δὲ πρώτη ὕλη οὐκέτι ὁμοίως τῷ ἀνθρώπῳ ἀριθμητὴ καὶ τόδε, ἐπειδὴ οὐδὲ δύναται καὶ χωρὶς εἴδους ὑπὸ δεῖξιν πίπτειν, διὰ τοῦτο προσέθηκε τῷ "τόδε γάρ τι" τὸ "μᾶλλον·" οὐ γὰρ ἁπλῶς ἡ ὕλη τόδε, ἀλλὰ καθόσον συνεργεῖ τῷ συναμφοτέρῳ πρὸς τὸ εἶναι αὐτὸ τόδε τι, οἷον γενητὸν καὶ αἰσθητόν, ὑπομένουσά τε καὶ σωζομένη ἐν αὐτῷ. ὅπερ ἐδήλωσε διὰ τοῦ "καὶ οὐ κατὰ συμβεβηκὸς ἐξ αὐτοῦ γίνεται τὸ γινόμενον."... διαφέρει δὲ ἡ στέρησις τῆς ἀποφάσεως τῷ προσσημαίνειν τὸ ἐν ᾧ ἐστίν... ἄξιον δὲ ἐν τούτοις ἐπιστῆσαι πῶς ἀκόλουθα τοῖς ἐν Τιμαίῳ περὶ τῆς ὕλης εἰρημένοις τῷ Πλάτωνι γέγραφε νῦν ὁ Ἀριστοτέλης. Simpl. f. 47 *b*.

δύο μέν, εἰ τὰς κυρίως τις ἀρχὰς λαμβάνοι, τό τε ὑποκεί- 190b 29.
μενον καὶ τὸ εἶδος, τρεῖς δέ, εἰ τὴν κατὰ συμβεβηκὸς ἀρχὴν ταῖς δύο προσλαμβάνοι, τὴν στέρησιν. προστίθησι δὲ καὶ ἄλλον τρόπον, καθ᾽ ὃν ἔστι μὲν ὡς δύο ἔστι δὲ ὡς τρεῖς δυνατὸν λέγεσθαι τὰς ἀρχάς· δύο μὲν γάρ, εἴ τις τὰ ἐναντία λέγοι ἀρχάς, τό τε εἶδος καὶ τὴν στέρησιν... τὸ δὲ "τρόπον τινά" καὶ τὸ "δύο ὡς εἰπεῖν" εἴρηται, ὡς ὁ Ἀλέξανδρός φησι, διότι οὐ δύο κατὰ ἀριθμὸν ἡ ὕλη καὶ τὸ εἶδος, τῷ μὴ οἷόν τε εἶναι ἰδίᾳ ἑκάτερον αὐτῶν ὑποστῆναι, τὰ δὲ τῷ ἀριθμῷ ἕτερα ἐπὶ ἰδίας οὐσίας κεχωρισμένα εἶναι. ἢ εἰπὼν δύο τρόπον τινὰ ἐπήνεγκε τὸν τρόπον, εἰπὼν "ἀλλὰ δύο ὡς εἰπεῖν τῷ ἀριθμῷ·" ἓν γὰρ τῷ ἀριθμῷ ἡ ὕλη μετὰ τῆς στερήσεως, καὶ ἓν τὸ εἶδος. id. f. 48.

πάνυ ἀκριβῶς εἶπε τὰς ἀρχὰς εὑρῆσθαι τῶν ἐν γενέσει φυσι- 191a 3.
κῶν· οὔτε γὰρ τῶν γινομένων ἁπλῶς ἁπάντων, οὐ γὰρ δὴ καὶ προαιρέσεως ἀρχαὶ αὗται, οὔτε τῶν φυσικῶν πάντων· οὐ γὰρ δὴ τῶν θείων τε καὶ ἀϊδίων, οἷον τῶν οὐρανίων· καὶ γὰρ φυσικὰ μέν ἐστιν ἐκεῖνα διὰ τὸ ἐν κινήσει εἶναι, οὐ μέντοι γενητὰ διὰ τὸ ἀΐδια δεδεῖχθαι... διὸ καὶ αὐτὸς ἐν τῷ ὀγδόῳ τῆς Μετὰ τὰ Φυσικὰ (H 4 p. 1044 *a* 32) τάδε φησίν· "ὅταν δέ τις ζητῇ τὸ αἴτιον, ἐπεὶ πλεοναχῶς τὸ αἴτιον

189a 32 ὁ μὲν Ἀλέξανδρος τῷ "οὐκ εἶναί φαμεν οὐσίᾳ οὐσίαν ἐναντίαν" προσυπακούειν φησὶ δεῖ τῇ κατὰ τὸ ὑποκείμενον· τῷ γὰρ εἴδει οὐσίᾳ ὄντι ἡ στέρησις δοκεῖ ἐναντία εἶναι. εἰ μὴ ἄρα, φησί, κοινότερον ἡ στέρησις ἐναντίον εἴρηται. θαυμάζω δὲ εἰ καὶ τὴν ὕλην ἀκούειν χρὴ τὴν οὐσίαν νῦν· οὐδὲ γὰρ ἡ ὕλη καθ' αὑτὴν ἀρχή ἐστιν οὐδὲ οὐσία κυρίως, ἀλλ' εἴπερ ἄρα, κατὰ τρίτον λόγον... μήποτε οὖν τῆς συνθέτου οὐσίας, ἣν καὶ κυρίως οὐσίαν ἐν τοῖς ἑξῆς ἐρεῖ, τὰ στοιχεῖα ζητῶν, τὴν ἀντίθεσιν τοῦ εἴδους καὶ τῆς στερήσεως οὔ φησιν ἀρκεῖν. Simpl. f. 43 *b*.

189b 10. ἢ καὶ οἱ μανότητι καὶ πυκνότητι τὰ ἄλλα γεννῶντες τῷ ἐπιτείνειν ἣν ἔχει ποιότητα ἢ ἀνιέναι ποιοῦσιν· ἡ μὲν γὰρ μάνωσις ἄνεσις, ἡ δὲ πύκνωσις ἐπίτασις, ὧν ἡ μὲν ἐπίτασις ἐπὶ τὸ μᾶλλον, ἡ δὲ ἄνεσις ἐπὶ τὸ ἧττον, πάντα δὲ εἰς ὑπεροχὴν ἀνάγεται καὶ ἔλλειψιν. id. f. 44 *b*.

189b 13. "ἀλλ' οἱ μὲν ἀρχαῖοι" οἱ πρὸ τοῦ Πλάτωνος, οἷς ὁ Ἀριστοτέλης ἐπηκολούθησε. τὸ δὲ ἓν πάσχειν, τὴν ὕλην. τῶν δ' ὕστερον τινές, τῶν Πυθαγορείων, οἷς ὁ Πλάτων ἠκολούθησε. cod. Reg. 1947.

189b 15. δοκεῖ δὲ ὁ Πλάτων οὕτω λέγειν, τὸ μὲν ποιοῦν ἓν τιθείς, τὸ δὲ πάσχον ἤτοι τὴν ὕλην ὑπερβολὴν καὶ ἔλλειψιν καλῶν καὶ μέγα καὶ μικρόν, καὶ ταύτῃ δύο λέγων αὐτό. Simpl. f. 44 *b*.

189b 16. σημειωτέον ὅτι οὐκ εἶπε τὸ μὲν οὖν τρεῖς φάναι τὰς ἀρχάς, ἀλλὰ "τὸ μὲν οὖν τρία φάναι τὰ στοιχεῖα," σημαίνων ὅπερ κατ' ἀρχὰς ἡμῖν εἴρηται, ὅτι τὰ μὲν στοιχεῖα καὶ ἀρχαί, αἱ δ' ἀρχαὶ οὐκέτι στοιχεῖα. Philop. *d* p. 11.

189b 19. ἐλλιπέστερον εἴρηται κατὰ τὴν λέξιν. δεῖ οὖν ἔξωθέν τι προσυπακούσαντα τὸ ἐντελὲς δεῖξαι. εἰ δὲ τεσσάρων ὄντων δύο ἔσονται ἐναντιώσεις, δεήσει ἢ χωρὶς ἑκατέρας ὑπάρχειν ἑτέραν τινὰ μεταξὺ φύσιν, ἢ μίαν καὶ τὴν αὐτὴν ἀμφοτέραις ταῖς ἐναντιώσεσιν. εἰ γὰρ μὴ τοῦτο προσυπακούσομεν, οὐδὲ τὸ ἀναγκαῖον ἔχει ὁ λόγος. id. ib.

189b 21. ὁ μέντοι Πορφύριος τὸ "ἐξ ἀλλήλων γεννᾶν" οὕτως ἀκούει, ὡς εἰ ἡ ἑτέρα τῶν ἐναντιώσεων τὴν ἑτέραν γεννᾷ, οἷον εἴ τις λέγοι ἀραιὸν καὶ πυκνόν, θερμὸν καὶ ψυχρὸν ὡς πρῶτα, ἔπειτα τὸ μὲν θερμὸν ἐκ τοῦ ἀραιοῦ, τὸ δὲ ψυχρὸν ἐκ τοῦ πυκνοῦ· ἀρκέσει γὰρ ἡ τοῦ ἀραιοῦ καὶ πυκνοῦ ἐναντίωσις. καὶ εἰ μὲν ἐξ ἀλλήλων γεννᾶσθαι ἔλεγεν, εἶχεν ἄν τι ἀκόλουθον ἡ ἐξήγησις· νῦν δὲ γεννᾶν εἶπεν ἐξ ἀλλήλων. Simpl. f. 45.

189b 24. ἡ οὐσία ἓν γένος ἐστὶ τὸ αὐτό, ἐν δὲ ἑνὶ γένει μία ἐναντίωσις... προσεχεῖς μὲν γενέσεως ἀρχαὶ κατ' αὐτὸν δύο εἰσὶν ἐναντιώσεις, θερμότης ψυχρότης, ξηρότης ὑγρότης, ὡς ἐν τῷ δευτέρῳ τῆς περὶ Γενέσεως (c. 4) ἔδειξεν· ἐπεὶ δὲ καὶ αὗται ὑπὸ μίαν ἀνάγονται τὴν τῆς ἕξεως καὶ τῆς στερήσεως, διὰ τοῦτο μία ἡ ἀρχικὴ κατ' αὐτὸν ἐναντίωσις. οὕτως ὁ Ἀλέξανδρος καὶ νῦν ἐξηγήσατο τὸ χωρίον· τὸ δὲ "ἀεὶ γὰρ ἐν ἑνὶ γένει μία ἐναντίωσίς ἐστιν" ἐπὶ τῆς προσεχοῦς τοῖς γένεσιν ἐναντιώσεως ἀκούει... ὁ μέντοι Πορφύριος οὐσίαν ἀκούει τὴν ὕλην, καὶ περὶ ταύτην μίαν λέγει ἐναντίωσιν τὴν πρώτην, διότι γένος ἡ οὐσία, ἐν παντὶ δὲ γένει μία ἐναντίωσις ἡ πρώτη... κἂν ὦσι πλείους, τῷ πρότερον καὶ ὕστερον διοίσουσιν, ἀλλ' οὐ τῷ γένει· ἀεὶ γὰρ ἐν ἑνὶ γένει μία ἐναντίωσις. καὶ ἄμεινον οἶμαι οὕτως ἤπερ ἐπ' ἐκείνης τῆς οὐσίας ἀκούειν τῆς ὅλης τῆς τοῖς ἄλλοις γένεσιν ἀντιδιῃρημένης. id. ib.

εἴτε μέντοι δύο ἀρχαὶ εἴτε τρεῖς (τοῦτο γάρ ἐστι τὸ "καθάπερ εἴπομεν"), ζητήσεως ἄξιόν ἐστιν. καὶ γὰρ εἰ μὲν ὡς μία ἀρχὴ τὰ ἐναντία λαμβάνοιτο, δύο ἂν εἶεν ἀρχαὶ ἥτε ὕλη καὶ τὰ ἐναντία· εἰ δὲ ὡς δύο τὰ ἐναντία, τρεῖς εἰσὶν αἱ ἀρχαί. ἄμεινον δὲ διὰ τὴν στέρησιν ἀμφιβόλως εἰρῆσθαι, ἢ ταὐτὸν δοκοῦσαν τῇ ὕλῃ, ἢ καὶ εἰ διαφέροι κατὰ συμβεβηκὸς ἀρχὴν οὖσαν. ἄπορον οὖν εἴτε δύο ἀρχαὶ τὸ εἶδος καὶ ἡ ὕλη, εἴτε τρεῖς, καὶ τῆς στερήσεως προσλαμβανομένης, εἴτε πῶς μὲν δύο πῶς δὲ τρεῖς, ὅπερ καὶ ἀληθὲς φανήσεται. id. f. 45 *b*. 189b 23

ἐντεῦθεν καὶ τὴν τοῦ ὑποκειμένου φύσιν εὑρεῖν ἐναργέστερον προτίθεται, κἂν ἤδη ταύτην ὅτι ἐστὶν εὗρέ τε καλῶς καὶ ἐβεβαιώσατο. καὶ μέντοι καὶ διαφορὰν ἡμῖν τῆς στερήσεως πρὸς τὸ ὑποκείμενον παραδίδωσι, πρῶτον μὲν ἀπὸ τοῦ λέγεσθαι διαφόρως ἐπιχειρῶν, εἶτα καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως. μεταχειρίζεται δὲ τὸν λόγον οὕτω... τούτων οὖν διωρισμένων, τοῦ τε διχῶς λέγεσθαι τὰ γινόμενα, ἢ ὡς ἁπλᾶ ἢ ὡς σύνθετα, καὶ τοῦ διαφέρειν τὸ γινόμενον κατά τε τὸ λέγεσθαι καὶ κατὰ τὸ ὑπομένειν καὶ μὴ ὑπομένειν, πανταχόθεν τοῦτο ἔστι λαβεῖν, ὅτι δεῖ τι πάντως ὑποκεῖσθαι τὸ γινόμενον. τοῦτο δέ ἐστιν ἢ τὸ ἐξ οὗ λέγομεν γίνεσθαι, οἷον τὸ ἄμουσον, ἢ τὸ λεγόμενον γίνεσθαι, οἷον τὸν ἄνθρωπον· ἅπερ καὶ εἰ ἀριθμῷ ἕν ἐστι, διότι τὸ ἕτερον καθ' ἑαυτὸ ὑποστῆναι οὐ δύναται, ἀλλὰ τῷ λόγῳ ἕτερα· οὐ γὰρ ταὐτὸν ὁ ἄνθρωπος καὶ τὸ ἄμουσον. καὶ προσαρμόττει λοιπὸν τὰ ῥηθέντα τῷ ὑποκειμένῳ καὶ τῇ στερήσει. καὶ πρώτην τὴν κατὰ τὸ πρᾶγμα διαφορὰν διανέμων λέγει ὅτι τὸ μὲν ὑπομένον τὸ ὑποκείμενον ἐστί, τὸ δ' ἐξιστάμενον ἡ στέρησις, μεγίστην ταύτην εὑρὼν διαφορὰν καὶ τὴν αἰτίαν πρόδηλον ἔχουσαν... εἰ δὲ χρὴ διορίζειν ὅλως, τὸ μὲν ἐκ τοῦδε γίνεσθαι μᾶλλον τῷ μὴ ὑπομένοντι, τουτέστι τῇ στερήσει, προσήκει (δύναται γὰρ καὶ τὸ μετὰ τόδε δηλῶσαι), τὸ μέντοι τόδε γίνεσθαι τόδε τῷ ὑπομένοντι μᾶλλον ἁρμόττει... αὕτη μὲν ἡ ὅλη τῶν λεγομένων ἔννοια· ἐν δὲ τοῖς κατὰ μέρος τὸ μὲν συγκείμενον καὶ γινόμενον τὸ ὑποκείμενον καὶ τὴν στέρησίν φησιν, οἷον τὸν ἄνθρωπον καὶ τὸ ἄμουσον, τὸ δὲ ὃ γίνεται, τὸ εἶδος... ὅτι δὲ ἡ στέρησις καὶ ὑπάρχει τῇ ὕλῃ καὶ ὡς συμβεβηκὸς ὑπάρχει, καὶ προϊοῦσι μὲν ἔσται δῆλον, λεγέσθω δὲ καὶ νῦν. μὴ ὑπαρχούσης μὲν γὰρ τῆς στερήσεως οὐκ ἂν εἴη γένεσις... ἀλλ' εἰ τὸ ὑποκείμενον δυνάμει, τὸ δὲ δυνάμει ἐν στερήσει, πῶς οὐ τῷ οἰκείῳ λόγῳ στέρησίς ἐστι τὸ ὑποκείμενον; ἢ φαμὲν ἐνεργείᾳ ὑποκείμενον αὐτὸ εἶναι· οὐ γὰρ δὴ καὶ τοῦτο δυνάμει ἔχει, συμβέβηκε δὲ αὐτῷ τὸ δύνασθαι κοινωνεῖν τοῖς εἴδεσιν· ὥστε καὶ ἡ στέρησις τῶν εἰδῶν ὧν μέλλει δέχεσθαι συμβεβηκὸς ἂν αὐτῷ εἴη. ὅταν γάρ, φησὶν Ἀλέξανδρος, ὡς ὕλη τινὸς λαμβάνηται, τότε ἐστὶ μετὰ στερήσεως, ὅταν δὲ αὐτὸ καθ' ἑαυτὸ τὸ ὑποκείμενον, οὐ μετὰ στερήσεως. ὁ μέντοι Βοηθὸς ἔλεγεν ὅτι ἄμορφος μὲν οὖσα καὶ ἀνείδεος ὕλη λέγεται· ἡ γὰρ ὕλη πρὸς τὸ ἐσόμενον ὠνομάσθαι δοκεῖ· ὅταν δὲ δέξηται τὸ εἶδος, οὐκέτι ὕλη ἀλλ' ὑποκείμενον λέγεται· ὑποκεῖσθαι γάρ τοι λέγεται τῷ εἴδει ἐνόντι. μήποτε δὲ ὕλη μὲν ὡς ἐσχάτη λέγεται, ὑποκείμενον δὲ ὡς πρὸς τὸ εἶδος, εἴτε ἔχει ἤδη τὸ εἶδος εἴτε μέλλει δέχεσθαι αὐτό. 189b 30.

μενα. καίτοι τοὺς μὲν τὰ πρότερα καὶ περιέχοντα λαμβάνειν (λανθάνειν cod. Vat. 1028) φησί, τοὺς δὲ τὰ ὕστερα καὶ περιεχόμενα, οὐδενὸς ὡς θερμὸν καὶ ξηρὸν εἰπόντος, οὐδὲ ἄλλου πάλιν ὡς ψυχρὸν καὶ ὑγρόν, ἀλλὰ τὰ ἀντικείμενα ἅμα. id. f. 41.

188 b 33. ὁ Πορφύριός φησι τὸν Ξενοφάνην τὸ ξηρὸν καὶ τὸ ὑγρὸν δοξάσαι ἀρχάς, τὴν γῆν λέγω καὶ τὸ ὕδωρ. καὶ ῥῆσιν αὐτοῦ παρατίθεται τοῦτο δηλοῦσαν, "γῆ καὶ ὕδωρ πάντ' ἔσθ' ὅσα φύονται ἠδὲ γίνονται." Philop. *d* p. 12.

εἰ μὲν γὰρ θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν ὕστερά τε καὶ εἰδικώτερα καὶ γνωριμώτερα τῇ αἰσθήσει (λαμβάνουσιν), εἰ δὲ τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ ἄρτιον καὶ τὸ περιττὸν καὶ νεῖκος καὶ φιλίαν πρότερά τε καὶ γενικώτερα καὶ γνωριμώτερα τῷ λόγῳ. Themist. f. 19 *b*.

"οἱ δὲ ὑγρὸν καὶ ξηρόν." Ἀναξιμένης τοῦτο λέγει· ἀρχὰς γὰρ ἔλεγε γῆν καὶ ὕδωρ, ὥσπερ Παρμενίδης γῆν καὶ φῶς, ἤτοι θερμὸν καὶ ψυχρόν. cod. Reg. 1947.

189 a 14. ἐν δὴ τούτοις χρὴ ζητῆσαι πρῶτον μὲν τίς ἡ μία οὐσία καὶ τί σημαίνει νῦν τὸ τοῦ γένους ὄνομα, καὶ τίς ἡ μία ἐναντίωσις ἡ περὶ τὸ γένος τῆς οὐσίας θεωρουμένη, καὶ διὰ τίνα αἰτίαν πάντων κοινῶς προθέμενος τῶν φυσικῶν τὰς ἀρχὰς εὑρεῖν τὴν οὐσίαν μόνην καὶ τὴν κατ' αὐτὴν ἐναντίωσιν παρέλαβε· πῶς γὰρ ταῖς κατὰ τὰς ἄλλας κατηγορίας γενέσεσιν ἐφαρμόσει ἡ κατὰ τὴν οὐσίαν ἐναντίωσις; ὁ μὲν οὖν Ἀλέξανδρος οὐσίαν μὲν ἀκούει τὸ ἔνυλον εἶδος, μᾶλλον δὲ τὸ σύνθετον ἐξ ὕλης καὶ εἴδους, ὅπερ ἐστὶν ἓν γένος τῆς οὐσίας, τριῶν ὄντων αὐτῶν, τῆς τε ὕλης καὶ τοῦ εἴδους καὶ τοῦ συνθέτου... πρὸς δὲ τὸ δεύτερον ἔλεγεν ὁ ἡμέτερος καθηγεμὼν Ἀμμώνιος ὅτι τῆς τῶν οὐσιῶν ὑποστάσεως τὰς ἀρχὰς ζητοῦμεν, ἐν αἷς καὶ αἱ ἄλλαι κατηγορίαι τὸ εἶναι ἔχουσιν, ὅπερ καὶ ὁ Ἀλέξανδρος ἐπέστησεν ἐξηγούμενος τὸ (p. 189 *a* 22) "ἅμα δὲ καὶ ἀδύνατον πλείους εἶναι ἐναντιώσεις τὰς πρώτας."... ἀλλ' ὁ μὲν μέγας Συριανὸς μήποτε φησὶ γένος μὲν τὴν κατηγορίαν λέγει, μίαν δὲ ἔχειν ἐναντίωσιν, ἐπεὶ κἂν ὦσι πολλαί, ὑπὸ μίαν ἀνάγονται τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, ἥτις καθ' ἑκάστην κατηγορίαν οἰκείως λαμβάνεται... ὁ δὲ Ἀμμώνιος ἔλεγε μὴ περὶ τοῦ κυρίως γένους λέγεσθαι νῦν, μήτε τοῦ προσεχοῦς μήτε τοῦ ἀνωτάτω· οὐ γὰρ ἡ ἐναντίωσις ἡ κατὰ τὰς διαφορὰς ὁποτέρου τούτου ποιεῖ τὴν γένεσιν καὶ τὴν φθοράν, ἀλλ' ὅπερ, φησί, καὶ ὁ Ἀλέξανδρος πρὸς τῷ τέλει τῆς τοῦ ῥητοῦ τούτου ἐξηγήσεως ἐπέστησε, γένος ἓν καλεῖ νῦν τὸ ἓν ὑποκείμενον... ἐὰν οὖν ὁ Ἀλέξανδρος οὐσίαν ἐνταῦθα τὴν κατὰ τὸ ἔνυλον εἶδος ἀκούῃ, εἰ μὲν τὴν κυρίως οὐσίαν τὴν ταῖς ἄλλαις κατηγορίαις ἀντιδιῃρημένην, ἐλλιπὴς ὁ λόγος, εἰ δὲ τὴν κοινῶς ἐπὶ πάντων τῶν γενητῶν εἰδῶν λεγομένην, εὖ ἂν ἔχοι. καὶ τὰ Εὐδήμου δὲ τοῦ Ῥοδίου πρὸς ταύτην μοι δοκεῖ τὴν ἔννοιαν φέρεσθαι, εἰ καὶ ἀσαφῶς εἴρηται καὶ ἐκεῖνα. ἔχει δὲ οὕτως. Simpl. f. 41 *b*. cf. Phil. *d* p. 3.

γένος λέγειν αὐτὸν ὁ Θεμίστιος ἐξέλαβεν οὗ τὴν διαίρεσιν ἐπὶ εἴδη μόνον καὶ οὐκ εἰς γένη ποιούμεθα... τοῦτο δ' οὐκ ἔστι σύμφωνον τῇ Ἀριστοτελικῇ ἐννοίᾳ· περὶ γὰρ πᾶν τὸ γένος τῆς οὐσίας τὴν μίαν ἐναντίωσίν φησιν εἶναι· οὐκ ἔστι δὲ τῆς κοινοτάτης οὐσίας ἡ διαίρεσις προσεχῶς εἰς εἴδη, ἀλλ' εἰς ὑπάλληλα γένη, ἐναντίωσις δέ ἐστιν ἡ σχέσις τῶν δύο ἐναντίων. Philop. *d* p. 6.

ταύτην δευτέραν αἰτίαν ὁ Ἀλέξανδρος ἐπάγεσθαί φησι τοῦ δεῖν ἐν ταῖς ἀρχαῖς μίαν ἐναντίωσιν τιθέναι καὶ μὴ ἀπείρους. καὶ ὡς μὲν μίαν ἐναντίωσιν τὴν ἀρχὴν δεικνῦσα δευτέρα ἂν εἴη· ὡς δὲ ὅτι οὐκ ἄπειροι αἱ ἀρχαί, τετάρτη ἐστὶν ἐπιχείρησις. Simpl. f. 42 *b*. 189 a 17.

ἀλλὰ πῶς τὰ ἐναντία ἀρχὰς τῶν γινομένων καὶ φθειρομένων εἰπὼν ἐπήγαγε "τὰς δὲ ἀρχὰς ἀεὶ δεῖ μένειν;" ὁ μὲν οὖν Ἀλέξανδρος ἀϊδίους φησὶν εἶναι τὰς ἀρχάς· εἰ γὰρ γίνοιντο, πᾶν δὲ τὸ γινόμενον φθείρεται, φθείροιντο ἂν αἱ ἀρχαί, ὥστε καὶ τὰ ἐκ τῶν ἀρχῶν, ὥστε ἐπιλείψει ποτὲ ἡ γένεσις, μηδενὸς ὄντος ἐξ οὗ τι γενήσεται· εἰ δὲ ἄτοπον τοῦτο, δεῖ τὰς ἀρχὰς ἀεὶ εἶναι. εἶτα καὶ τὴν Πλάτωνος ἀπόδειξιν προστίθησι περὶ τῶν ἀρχῶν... ταῦτα τοῦ Ἀλεξάνδρου κατ' αὐτῆς τῆς λέξεως εἰπόντος, ἄξιον ἂν εἴη καὶ πρὸς αὐτὸν καὶ πρὸς Ἀριστοτέλη ζητεῖν πῶς ἀρχὰς λαμβάνων τὰς προσεχεῖς καὶ στοιχειώδεις, ἀλλ' οὐχὶ τὰς ποιητικὰς καὶ ἐξῃρημένας, πῶς δὲ καὶ τὰ ἐναντία ἐκ τῶν ἐναντίων γίνεσθαι λέγων καὶ φθείρεσθαι εἰς τὰ ἐναντία, ταῦτα τιθεὶς ἀρχάς, ὅμως ἀϊδίους λέγει τὰς ἀρχάς;... μήποτε οὖν καὶ τοῦτο κάλλιον ὡς ὁ ἡμέτερος διορθοῦται καθηγεμών, λέγων τὸ "ἀεὶ δεῖ μένειν" οὐ τὸ ἀΐδιον σημαίνειν, οὐδὲ ἀγενήτους καὶ ἀφθάρτους δηλοῦν ταύτας τὰς ἀρχὰς περὶ ὧν ὁ λόγος· πῶς γὰρ ἔτι κατὰ τὴν τούτων μεταβολὴν ἡ γένεσις ἔσται καὶ φθορά; ὅπερ ἐστὶ τὸ ζητούμενον ἐν τούτοις· ἀλλὰ τὸ "ἀεὶ δεῖ μένειν" εἴρηται ὡς δέον ὂν ἐπὶ ἑκάστου τῶν γινομένων καὶ φθειρομένων εὑρίσκεσθαι πάντως ἢ εἶδος ἢ στέρησιν ἐν τῷ μεταβάλλοντι, μᾶλλον δὲ καὶ εἶδος καὶ στέρησιν. id. f. 43. 189 a 19.

πρὸς πίστιν τοῦ καὶ τρίτου δεῖν τινὸς τοῖς ἐναντίοις, παρέθετο τινὰς μηδὲ ἓν μόνον ποιεῖν τοῖς ἐναντίοις ὑποκείμενον ἀλλὰ πλείονα, ὡς Δημόκριτος μὲν ἀπείρους ἀτόμους τοῖς ἐναντίοις ὑποθεὶς τοῖς κατ' αὐτόν, τοῖς τε κατὰ τὸ σχῆμα καὶ τὴν θέσιν καὶ τὴν τάξιν, Ἐμπεδοκλῆς δὲ τὰ τέσσαρα στοιχεῖα τῷ νείκει καὶ τῇ φιλίᾳ. id. f. 43 *b*. 189 a 26.

τοῦτο τὸ ῥητὸν εἰς δύο συλλογισμοὺς ὁ Ἀλέξανδρος διεῖλε, τὸ μὲν "εἰ μή τις ἑτέραν ὑποθήσει τοῖς ἐναντίοις φύσιν" ὡς ἕνα συνάγοντα οὕτως· τὰ ἐναντία οὐδενὶ ὑπόκειται, αἱ δὲ ἀρχαὶ ὑπόκεινται, οὐκ ἄρα ἀρχαὶ τὰ ἐναντία. τὸν δὲ δεύτερον τοιοῦτον· αἱ ἀρχαὶ οὐ καθ' ὑποκειμένου, τὰ ἐναντία καθ' ὑποκειμένου, ὥστε τὰ ἐναντία οὐκ ἀρχαί. μήποτε δὲ τὸ μὲν "ἔτι κἂν τόδε τις ἀπορήσειεν, εἰ μή τις ἑτέραν ὑποθήσει τοῖς ἐναντίοις φύσιν" οὐκ ἀπόδειξίς ἐστιν ἀλλὰ τὸ πρόβλημα, τὴν δὲ ἀπορίαν ἣν ἄν τις ὑποθήσει πρὸς τοὺς μὴ ὑποτιθέντας ἑτέραν φύσιν, ἐφεξῆς ἐπάγει. διὸ καὶ τὸ γὰρ προσέθηκεν... ὁ δὲ συλλογισμός, οἶμαι, τοιοῦτος· τὰ ἐναντία ἐν ὑποκειμένῳ καὶ συμβεβηκότα, αἱ ἀρχαὶ οὐ συμβεβηκότα, τὰ ἄρα ἐναντία οὐκ ἀρχαί. καὶ ὅτι μὲν τὰ ἐναντία συμβεβηκότα, προέλαβεν ἐκ τοῦ μηδενὸς τῶν ὄντων ὁρᾶσθαι οὐσίαν τὰ ἐναντία· εἰ δὲ μὴ οὐσία, δῆλον ὅτι συμβεβηκότα. id. ib. 189 a 27.

πρὸς τούτοις δὲ ὅρα καὶ ἐκ τοῦ λόγου τὸ ἀναγκαῖον. τὰς ἀρχὰς οὐκ ἐν ὑποκειμένῳ θετέον· εἴη γὰρ ἂν οὕτως τῆς ἀρχῆς ἀρχή· τὸ γὰρ ὑποκείμενον πρότερον καὶ ἡ οὐσία τῶν ἐν αὐτῇ, τὰ ἐναντία δὲ ἐν ὑποκειμένῳ πάντως. οὐκ ἄρα ἀρχαὶ τὰ ἐναντία. πάλιν οὐδενὶ τῶν ὄντων ὁρῶμεν ὑποκείμενα τὰ ἐναντία, τὰς δὲ ἀρχὰς ὑποκεῖσθαι δεῖ πᾶσιν. οὐκ ἄρα ἀρχαὶ τὰ ἐναντία. Themist. f. 20.

διάλλαξις τῶν μιγέντων. Ἀναξαγόρου δὲ καὶ πρότερον ἐμνημόνευσεν ὡς τἀναντία τιθέντος ἐν ταῖς ἀρχαῖς, ὅτε τὴν διαφορὰν αὐτοῦ πρὸς Ἐμπεδοκλέα παρεδίδου... καὶ οἱ Πυθαγόρειοι δὲ οὐ τῶν φυσικῶν μόνον ἀλλὰ καὶ πάντων ἁπλῶς μετὰ τὸ ἕν, ὃ πάντων ἀρχὴν ἔλεγον, ἀρχὰς δευτέρας καὶ στοιχειώδεις τὰ ἐναντία ἐτίθεσαν, αἷς καὶ τὰς δύο συστοιχίας ὑπέταττον, οὐκέτι κυρίως ἀρχαῖς οὔσαις. γράφει δὲ περὶ τούτων ὁ Εὔδωρος τάδε. id. f. 39.

τὸ "πως" προσέθηκε διὰ τὸ ὡς στέρησιν καὶ ἕξιν ἀντικεῖσθαι τὸ εὐθὺ τῷ καμπύλῳ καὶ τὸ γεγωνιωμένον τῷ ἀγωνίῳ. cod. Vat. 1028.

188 a 27. ἀπορία. ἀλλὰ πῶς τὰ ἐναντία οὐκ ἐξ ἀλλήλων; αὐτὸ γὰρ τοὐναντίον δειχθήσεται ὅτι ἐξ ἀλλήλων τὰ ἐναντία· ἐκ γὰρ μέλανος τὸ λευκὸν καὶ ἐξ ἀμούσου τὸ μουσικόν. λύσις. ἢ ὡς μὲν μετ' ἄλληλα γινόμενα ἐξ ἀλλήλων λέγοιτο, ὡς δὲ ἐκ στοιχείων καὶ ὑπομενόντων, ὡς ἐκ ξύλων κλίνη λέγεται γίνεσθαι, οὐκ ἂν λέγοιτο τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου. οὗτος δέ ἐστιν ὁ κύριος ἐκ τινὸς τῆς γενέσεως τρόπος· οὐ γὰρ οἷόν τε ὕλην εἶναι τὸ ἐναντίον τῷ ἐναντίῳ· οὐ γὰρ δὴ δέχεται τὸ ἐναντίον ὑπομένον τὸ ἐναντίον. τὸ δὲ "ἐκ τούτου τὰ ἄλλα" ταῖς μὲν ἀρχαῖς ἀναμφιλέκτως προσήκει (ἀπὸ γὰρ τῆς ἀρχῆς τὰ μετὰ τὴν ἀρχήν, εἴπερ ὄντως ἀρχὴ εἴη), προσήκει δὲ καὶ τοῖς ἐναντίοις, διότι κατὰ μεταβολὴν ἡ γένεσις τῶν μετὰ τὰς ἀρχὰς γινομένων· πᾶσα δὲ μεταβολή, ὡς δειχθήσεται, ἀπὸ τοῦ ἐναντίου γίνεται εἰς τἀναντία. cod. Vat. 1028 et Simpl. f. 39 *b*.

ἀλλὰ πῶς τὰ ἐναντία ἀρχαί, εἴπερ αὐτὸς ἐν τῇ Μετὰ τὰ Φυσικὰ (Λ 10 extr.) ἐνθέως ἀνεβόησεν "οὐκ ἀγαθὸν πολυκοιρανίη." ἢ φυσικῶν πραγμάτων ἀρχὰς ζητοῦμεν νῦν, καὶ ταύτας οὐ τὰς ἐξῃρημένας ἀλλὰ τὰς στοιχειώδεις, καὶ τὰς ἐξ ὧν ἐνυπαρχουσῶν γίνεται τὰ γινόμενα, ὡς καὶ αὐτὸς προελθὼν ἐνδείκνυται. Simpl. f. 39 *b*.

188 a 31. λόγον γάρ, οἶμαι, τὴν αἰτίαν καλεῖ. id. f. 40.

188 b 9. οὐχ ὡς ἐξειλήφασί τινες, τὰ μὲν ἐπάνω περὶ τῶν κατὰ συμβεβηκὸς μεταβαλλόντων εἴρηται, ταῦτα δὲ ἐπὶ τῶν κατ' οὐσίαν, ἵνα σύνθετον τὴν οὐσίαν ἀκούσωμεν· εἰ γὰρ σύνθετον τὴν οὐσίαν εἶπε διὰ τὸ ἐξ ὑποκειμένου εἶναι καὶ εἴδους, ὥς φασιν, οὐδὲ τὰ ἐν ὑποστάσει ποιὰ ἄνευ τοῦ ὑποκειμένου θεωρεῖται. καὶ ἄλλως, εἰ περὶ πάσης οὐσίας ἔλεγε τὸ "ἐπεὶ καὶ τὰ μὴ ἁπλᾶ τῶν ὄντων ἀλλὰ σύνθετα," πῶς φησὶ μὴ ὀνομάζεσθαι τὰς ἀντικειμένας διαθέσεις τῶν οὐσιῶν, καθ' ἃς γίνεται; ἐπὶ γοῦν τῶν ἁπλῶν πρόδηλοι αἱ ἀντικείμεναι διαθέσεις ἐξ ὧν μεταβάλλουσι, λέγω δὴ ἐπὶ τῶν στοιχείων. Philop. *c* p. 16. cf. Simpl. f. 40.

188 b 21. πόθεν δὲ δῆλον ὅτι τὰ ἐναντία ἐστὶ τὰ πεφυκότα ποιεῖν εἰς ἄλληλα καὶ πάσχειν ὑπ' ἀλλήλων; καὶ γὰρ ψυχὴ ὑπὸ θεοῦ ἐλλάμπεσθαι λέγεται, ἀλλ' οὐκ ἐναντία οὖσα ὑπὸ τοῦ ἐναντίου. ἢ ὡς ἐνδεὴς ὑπὸ πλήρους πάσχει καὶ αὐτή, καὶ μεταβάλλει ἀπὸ τοῦ ἀθέου εἰς τὸ ἔνθεον... ἐπιστῆσαι δὲ χρὴ ὅτι ἄλλο μέν ἐστι σύνθεσις ἄλλο δὲ τάξις, καὶ ἡ μὲν σύνθεσις ἐπὶ τῶν σύνθεσιν ἐχόντων λέγεται μετ' ἀλλήλων, πλησιασμός τις οὖσα τῶν κειμένων εὐάρμοστος, κἂν μηδεμία τάξις ὑπάρχῃ, ὡς ἐπὶ ξύλων ὅταν μὴ μέλῃ τῷ συντιθέντι τί πρῶτον ἢ τί δεύτερον, εἰ μόνον ἁρμόζοιντο. ἡ δὲ τάξις λέγεται μὲν καὶ ἐπὶ τῶν σύνθεσιν ἐχόντων (ἐν τάξει γὰρ δεῖ κεῖσθαι τὰ τοῦ ἀνδριάντος μέρη, ὥστε τὰ μὲν πρῶτα τὰ δὲ δεύτερα εἶναι τὰ δὲ ἐφεξῆς), λέγεται δὲ καὶ ἐπὶ τῶν μὴ ἐχόντων σύνθεσιν, ὡς ἐπὶ τῶν ἀριθμῶν. Simpl. f. 40 *b*.

διὰ τί μὲν πρότερον ἔλεγε μὴ γίνεσθαι τὰ ἐναντία ἐξ ἀλλήλων, νῦν δὲ ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον, εἴρηται κατωτέρω. καὶ ταύτην δὲ τὴν ἐξήγησιν τίθησιν ὁ Σιμπλίκιος οὕτως ῥητῶς ἔχουσαν ὅσον τέως πρὸς τὸ γίνεσθαι τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου, ἐνταῦθα δὲ ἤτοι ὅπου φησὶν ὁ Ἀριστοτέλης γίνεσθαι τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου, ὅτι τοῦ ἐναντίου ἐκστάντος εἴδους ἐκ τοῦ ὑποκειμένου ἐπιγίνεται τὸ ἐναντίον ἐκείνῳ εἶδος ἀπὸ τοῦ ποιοῦντος. ἀλλ' ἔτι μὲν οὐδὲν πέφυκε ποιεῖν εἰς τὸ τυχὸν οὐδὲ πάσχειν ὑπὸ τοῦ τυχόντος, ἔστω δῆλον. cod. Vat. 1028. cf. Simpl. f. 40 *b*.

τὸ "σχεδὸν" ἢ πρὸς τὸ "οἱ πλεῖστοι" δι' εὐλάβειαν φιλόσοφον 188 b 26.
πρόσκειται, ἢ πρὸς τὸ "συνηκολουθήκασιν," ὅτι οὐχ ἁπλῶς οὐδὲ ἐκεῖνοι τὰ ἐναντία ὡς ἐναντία ἔλεγον ἀρχάς, ἀλλ' ἅπερ ἔλεγον, ταῦτα καὶ ἐναντία ἦν, ὡς φῶς καὶ σκότος, καὶ νεῖκος καὶ φιλία, καὶ σύγκρισις καὶ διάκρισις, καὶ τὰ τοιαῦτα. δηλοῖ δὲ μάλιστα τὴν αὐτοφυῆ τοῦ δόγματος ἀλήθειαν καὶ τὴν κατὰ τὰς κοινὰς ἐννοίας προσειλημμένην πεποίθησιν τὸ ἄνευ λόγου, τουτέστιν ἄνευ ἀποδεικτικῆς αἰτίας, λέγοντας αὐτοὺς ὅμως οὕτω λέγειν, ὥσπερ ὑπ' αὐτῆς τῆς ἀληθείας ἐναγομένους. Simpl. f. 40 *b*.

τὴν μὲν διαφορὰν δηλοῖ, τοὺς μὲν πρότερα τῇ φύσει τοὺς δ' 188 b 31.
ὕστερα λαμβάνειν εἰπών, καὶ τοὺς μὲν γνωριμώτερα κατὰ τὸν λόγον τοὺς δὲ κατὰ τὴν αἴσθησιν, ἤτοι τὰ αὐτὰ λέγων τά τε πρότερα τῇ φύσει καὶ τὰ γνωριμώτερα κατὰ τὸν λόγον, καὶ αὖ πάλιν τὰ ὕστερα τῇ φύσει καὶ κατὰ τὴν αἴσθησιν γνωριμώτερα... καὶ τὸ μὲν θερμὸν καὶ ψυχρὸν Παρμενίδης φησί, τὸ δὲ ὑγρὸν καὶ ξηρὸν Ἀλέξανδρος μὲν ἤτοι αὐτόν φησιν εἰρηκέναι τὸν θερμὸν καὶ ψυχρὸν εἰπόντα, ἢ Ἐμπεδοκλέα πρὸς τῷ νείκει καὶ τῇ φιλίᾳ τὰ τέσσαρα στοιχεῖα ἀρχὰς θέμενον. ὁ μέντοι Πορφύριος οἰκειότερον εἰς Ἀναξιμένην (l. Ξενοφάνην) τὴν δόξαν ἀνέπεμψε ταύτην, εἰπόντα "γῆ καὶ ὕδωρ πάνθ' ὅσσα γίνονται ἠδὲ φύονται."... μήποτε δὲ τῶν μὲν κατὰ τὸν λόγον γνωριμωτέρων καὶ τῶν πρὸς αἴσθησιν παραδείγματα τὰ εἰρημένα παρέθετο, τῶν δὲ προτέρων καὶ ὑστέρων οὐκέτι. πρότερα μὲν γὰρ δεῖ εἶναι τὰ ὑλικώτερα καὶ περιεκτικώτερα, ὕστερα δὲ τὰ μερικώτερα καὶ περιεχόμενα, τὰ δὲ ῥηθέντα οὐκ ἔχει οὕτω πρὸς ἄλληλα, ὥστε οὐκ ἂν ταύτῃ διαφέροι. ἢ ὅτι προείρηκεν ἤδη περὶ τῶν ἐναντίων τῶν κατὰ τὸ πρότερον καὶ ὕστερον διαφερόντων, ὅτε ἔλεγε (p. 187 *a* 15) "τἆλλα γεννῶσι πυκνότητι καὶ μανότητι πολλὰ ποιοῦντες. ταῦτα δέ ἐστιν ἐναντία, καθόλου δὲ ὑπεροχὴ καὶ ἔλλειψις, ὥσπερ τὸ μέγα φησὶ Πλάτων καὶ τὸ μικρόν," εἰ μὴ ἄρα καὶ τούτων τὰ μὲν νοητὰ καὶ λόγῳ θεωρητά, ὡς νεῖκος καὶ φιλία καὶ περιττὸν καὶ ἄρτιον, περιέχειν λέγοιντο ἂν ἅτε ἐπὶ πάντα φθάνοντα τὰ ἄλλα, τὰ δὲ αἰσθητὰ καὶ ὑλικὰ ἅτε ὑπ' ἐκεῖνα τεταγμένα καὶ μετέχοντα αὐτῶν περιεχόμενα... ὁ δὲ Ἀλέξανδρος τὰ μὲν εἰδικώτερα τούτων περιέχειν φησί, τὰ δὲ ὑλικώτερα περιέχεσθαι, εἰδικώτερα μὲν ἐν ταῖς προειρημέναις ἐναντιώσεσι λέγων θερμὸν ξηρὸν περιττὸν φιλίαν, ὑλικώτερα δὲ τὰ τούτοις ἀντικεί-

τούτων δὴ προειλημμένων συλλογίσαιτο ἄν τις οὕτως. Simpl. f. 36 *b*.

133 a 2. ἔσται οὖν ἄπειρα μεγέθη πλεῖστα κατ᾽ ἀριθμόν, μᾶλλον δὲ ἀπειράκις ἄπειρα (καθ᾽ ἑκάστην γὰρ ὁμοιομέρειαν), ὅπερ ἄλογον· ἄπειρον γὰρ μέγεθος ἐκεῖνό ἐστιν οὗ μηδὲν ἐκτός τι μέγεθος. καὶ οὐ δυνάμει τὸ ἄπειρον, ὡς ἐπὶ τῶν ἐπ᾽ ἄπειρον γινομένων ἢ διαιρουμένων, ἀλλ᾽ ἐνεργείᾳ ἤδη τὸ ἄπειρον· ἤδη γὰρ ὑφέστηκε κεχωρισμένα ἀπ᾽ ἀλλήλων, καὶ οὐδὲν ἧττον ὄντα τῶν ἐν οἷς ἐστίν. ἔτι δὲ ἀλογώτερον τὸ κεχωρισμένα ὄντα ἄπειρα ὅμως εἶναι· τὰ γὰρ κεχωρισμένα ἀπ᾽ ἀλλήλων περαίνει πρὸς ἄλληλα. κεχωρισμένα δὲ ταῦτα τὰ ἄπειρα εἶναί φησιν οὐ μόνον ὅτι ἐν κεχωρισμέναις ἐστὶ τοῖς ἀπείροις ὁμοιομερέσιν ἡ σὰρξ καὶ τὸ ὀστοῦν καὶ τῶν ἄλλων ἕκαστον, ἀλλ᾽ ὅτι καὶ αὐτὸς Ἀναξαγόρας ἕτερόν φησιν οὐδέν ἐστιν ὅμοιον οὐδενί· καὶ αὐτὰ οὖν τῇ οἰκείᾳ φύσει ἀπ᾽ ἀλλήλων κεχώρισται. καὶ κατ᾽ ἄλλον δὲ τρόπον ἔτι ἀτοπώτερον δόξει τὸ ὑπὸ τοῦ Ἀριστοτέλους συναγόμενον... πολλαχῶς οὖν τὸ ἄλογον ἐν τῇ τοιαύτῃ ὑποθέσει. καὶ ὅτι ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι μέγεθος ἄλογον, μᾶλλον δὲ ἄπειρα καὶ ἀπειράκις ἄπειρα... ἀλλὰ μήποτε, φησὶν ὁ Ἀλέξανδρος, οὐχ οὕτω χρὴ τὸν λόγον εὐθύνειν· τὸ γὰρ πάντα ἐν πᾶσι μεμῖχθαι οὐκ ἐπὶ τῶν ἀρχῶν ἴσως ἔλεγεν ὁ Ἀναξαγόρας, ὡς ἐν ἑκάστῃ τῶν ἀρχῶν πάντων ὄντων (οὕτω γὰρ οὐδὲ ἀρχαὶ ἂν ἦσαν ἔτι, εἴπερ συγκρίματα ἦν), ἀλλ᾽ ἐν ἑκάστῳ τῶν αἰσθητῶν σωμάτων τῶν ἐκ τῶν ἀρχῶν συγκεκριμένων πάντα ἔλεγε μεμῖχθαι· ἐκ τούτων γὰρ καὶ αἱ γενέσεις καὶ αἱ ἐκκρίσεις· τὰ γὰρ στοιχεῖα τὰ εἰλικρινῆ μήτε αἰσθητὰ εἶναι τὴν ἀρχήν, ἀλλὰ μηδὲ εἶναι καθ᾽ αὑτά· μηδὲ γὰρ διακριθῆναι ταῦτα δύνασθαι. ἀλλ᾽ ὁ λέγων ταῦτα οὐδὲν ἄλλο ἢ μεταφέρει τὸν ἔλεγχον εἰς τὰ συγκρίματα... οὕτω μὲν τὴν δοκοῦσαν εἶναι τῷ λόγῳ βοήθειαν ἐνεγκὼν ἀνεῖλε καὶ ταύτην ὁ Ἀλέξανδρος. μήποτε δὲ οὕτω μᾶλλον ἂν εἴη πιθανώτερος ὁ τοῦ Ἀναξαγόρου λόγος, εἰ μὴ ἐξ ἑνὸς μὲν αἰσθητοῦ λέγει ἐκκρίνεσθαί τι αἰσθητόν, οἷον ἐκ τῆσδε τῆς σαρκὸς μόνης ὀστοῦν αἰσθητὸν καὶ ἐκ τούτου πάλιν ἄλλο τι αἰσθητόν, ἀλλ᾽ ἐνεῖναι μὲν ἑκάστῳ τῶν αἰσθητῶν πάντα, ἀναίσθητα δέ, καὶ ἐκκρίνεσθαι μὲν ἅπαντα ἀπὸ ἑκάστου τῶν αἰσθητῶν, ἀλλ᾽ ἀναίσθητα μένειν, ἕως ἂν ἀπὸ πλειόνων αἰσθητῶν πλείονα τὰ ὁμοειδῆ ἐκκριθέντα συγκριθῇ καὶ ἀναίσθητα γένηται, πάντων μὲν πάλιν ἐνόντων ἑκάστῳ τῶν συγκριμάτων, κατὰ δὲ τὴν ἐπικράτειαν ἑκάστου χαρακτηριζομένου. ἀλλ᾽ εἰ καὶ τοῦτο οὕτως ἔλεγον, πρῶτον μὲν ἢ οὐ πᾶν αἰσθητὸν ἐκ παντὸς αἰσθητοῦ γενήσεται, ὅπερ οὗτοι βούλονται, ἢ ὁμοίως τὸ ἀπειράκις ἄπειρον ἀκολουθήσει... εἰ μέντοι μὴ οὕτως ἄπειρα ἔλεγεν Ἀναξαγόρας τὰ στοιχεῖα ὡς τῇ φύσει ἄπειρα καὶ ἀνάριθμα, ἀλλ᾽ ὡς πρὸς ἡμᾶς ἀπερίληπτα, ἐπεὶ καθ᾽ αὑτὰ πεπερασμένα καὶ ὡρισμένα τῷ εἴδει καὶ τῷ ἀριθμῷ... καὶ οὕτω πάντα τὰ ἐπαχθέντα ἐγκλήματα διαφεύξεται Ἀναξαγόρας... ἐπιστῆσαι δὲ ἄξιον ὅτι τὸν ἐγκέφαλον ὡς ὁμοιομερές τι παρέλαβεν ὁ Ἀριστοτέλης, καίτοι ὀργανικὸν ὄντα μόριον, εἴπερ καὶ φλέβας ἔχει καὶ ἀρτηρίας τὰς συμπληρούσας αὐτόν, καὶ ὑπὸ μηνίγγων διείληπται. Simpl. f. 37.

133 a 5. τοῦτο, φησίν, οὐκ εἰδότως μὲν λέγεται· οὐ γὰρ διὰ τὸ πάντα ἐν πᾶσιν εἶναι συμβαίνει τὸ μὴ διακρίνεσθαι, συμβαίνει μέντοι. διὸ κἂν μὴ εἰδότως, ἀλλ᾽ ὅμως ἀληθῶς λέγεται· τὰ γὰρ πάθη, τουτέστι τὰ συμβεβηκότα, ἀχώριστα τῆς οὐσίας ἐστίν. οἷον τὰ χρώματα καὶ αἱ ἕξεις· μεμιγμένης γὰρ τῆς οὐσίας καὶ τῶν συμβεβηκότων, ἐὰν διακριθῇ τὸ συμβεβηκός, ἔσται οὐκέτι συμβεβηκὸς ἀλλ᾽ οὐσία, ἅτε καθ᾽ αὑτὸ ὑφεστὼς καὶ οὐκ ἐν ὑποκειμένῳ τὸ εἶναι ἔχον· ὅπερ πάλιν οὐ καθ᾽ ὑποκειμένου ἐκάλεσεν. καὶ ὅπερ Εὔδημος καλῶς ἐπέστησεν, οὐ μόνον τὰ πάθη τῶν οὐσιῶν οὐχ οἷόν τε χωρίσαι, ἀλλ᾽ οὐδὲ πάντα ὁμοῦ τὰ πάθη εἶναι δυνατόν, ὥστε πάντα ἐν πᾶσιν εἶναι. Simpl. f. 37 *b*.

καίτοι τὸ μηδέποτε τὰ ὄντα διακριθήσεσθαι κατὰ τύχην ὀρθῶς φησὶν Ἀναξαγόρας· ἀχώριστα γὰρ τὰ συμβεβηκότα οὐσίας ἐστίν. Themist. f. 19.

ἔλεγεν Ἀναξαγόρας ὅτι ἐπιχειρῶν ὁ νοῦς διακρῖναι τὰ ὄντα οὐκ ἴσχυσε διακρῖναι πάντα· πάλιν γὰρ πᾶν ἐν παντὶ μέμικται. πρὸς τοῦτο οὖν φησὶν ὁ Ἀριστοτέλης ὅτι οὐκ εἰδότως μὲν λέγεται ἢ οὐκ ἐμπείρως ἀλλ᾽ ἀνοήτως, ἀληθῶς δὲ ὅμως λέγεται. cod. Vat. 1028.

133 a 13. ὁ Ἀναξαγόρας ἐκκρίσει λέγων τὴν γένεσιν, καὶ ἕκαστον ἀπὸ τοῦ ἐν αὐτῷ πλεονάζοντος χαρακτηρίζων, πάντων ἐν πᾶσιν ὄντων, δῆλός ἐστι τὴν γένεσιν ἑκάστου τῶν συνθέτων κατὰ τὴν τῶν ὁμοίων σύνθεσιν ἐπιτελεῖσθαι βουλόμενος, διότι καὶ διαιρούμενα εἰς τὰ ὅμοια ἑώρα, σάρκα γὰρ εἰς σάρκας καὶ ὀστοῦν εἰς ὀστᾶ, δοκεῖ δὲ ἕκαστον εἰς ἐκεῖνα διαιρεῖσθαι ἐξ ὧν καὶ σύγκειται. οὐ μέντοι ἀναγκαῖον τὴν γένεσιν ἐξ ὁμοειδῶν γίνεσθαι, καὶ μάλιστα τὴν ὡς ἐκ στοιχείων. μᾶλλον δὲ ἀναγκαῖον μὴ οὕτω γίνεσθαι· ὅλα μὲν γὰρ ἐκ μερῶν γένοιτο ἂν τὰ ὁμοειδῆ ἐκ τῶν ὁμοειδῶν, ὥσπερ πηλὸς ὁ μείζων ἐκ πηλῶν πλειόνων βραχυτέρων. τὸ δὲ ὡς ἐκ στοιχείων ἐκ τῶν ἀνομοίων καὶ ἁπλουστέρων τῇ φύσει γίνεται, καὶ εἰς αὐτὰ διαιρεῖται, ὡς ὁ πλίνθος ἐκ τῆς γῆς καὶ ὕδατος καὶ ἀχύρου, εἰς ἃ διαιρεῖται. καὶ ὅσῳ μᾶλλον εἰς στοιχεῖα γίνεται ἡ ἀνάλυσις, τοσούτῳ μᾶλλον εἰς τὸ ἀνόμοιον καθίσταται... διχῶς δὲ τὴν σύνταξιν τῆς λέξεως ὁ Ἀλέξανδρος ἐξηγήσατο. ἢ γάρ, φησί, τοῦτο λέγει, ὅτι οὐκ ὀρθῶς τῶν ὁμοιομερῶν τὴν γένεσιν ποιεῖ συνθέσει, ἢ ὅτι οὐκ ὀρθῶς τὴν γένεσιν ποιεῖ ἐκ τῶν ὁμοιομερῶν, ἵν᾽ ᾖ λεῖπον τῇ λέξει τὸ ἐκ. Simpl. f. 38.

133 a 17. ὅσοι μὲν κόσμους ἀπείρους ὑπέθεντο, ὥσπερ Δημόκριτος, ἀναγκαίως καὶ τὰ στοιχεῖα ἄπειρά φασιν εἶναι τῷ ἀριθμῷ· τῷ γὰρ εἴδει οὐδὲ οὗτοι ἄπειρα λέγειν ἀναγκάζονται. ὅσοι δὲ ἕνα τὸν κόσμον φασίν, ὥσπερ Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς, οὐδεμίαν τῆς ἀπειρίας ἀνάγκην ἔχουσιν· διὸ ἄμεινον Ἐμπεδοκλῆς πεπερασμένα λέγει τὰ στοιχεῖα. id. f. 38 *b*.

133 a 19. δείξας ὅτι οὔτε μία ἡ ἀρχὴ οὔτε ἄπειροι, καὶ συναγαγὼν ὅτι ἄμεινον λέγουσιν οἱ πλείονας καὶ πεπερασμένας τιθέντες, ὥσπερ Ἐμπεδοκλῆς, ὤφειλε μὲν εὐθὺς ἀποδεῖξαι πόσαι εἰσὶν αἱ πλείους αὗται. ὁ δὲ τοῦτο παρεὶς τίνες εἰσὶ πρῶτον δείκνυσιν, οὐκ ἀλόγως τοῦτο ποιῶν. id. ib.

133 a 26. Ἐμπεδοκλέα δὲ καὶ Ἀναξαγόραν παρέλιπε νῦν, τὸν μὲν ὅτι πρόδηλος κατ᾽ αὐτὸν ἡ ἐναντίωσις ἔν τε τοῖς στοιχείοις καὶ κατὰ τὸ νεῖκος καὶ τὴν φιλίαν, καὶ μέντοι κατὰ σύγκρισιν καὶ τὴν διάκρισιν· λέγει γὰρ ὅτι οὐδὲν ἄλλο ἐστὶν ἡ γένεσις ἀλλ᾽ ἢ μόνον μῖξίς τε καὶ

ἀναιρεῖ τοῦτο ὁ Ἀριστοτέλης, ἅμα δὲ ὡς χρήσιμον αὐτῷ τὸ εἶναι τὴν ἐλαχίστην πρὸς τὰ ἐφεξῆς σχεδὸν ἅπαντα, προαποδείκνυσι διὰ τοιοῦδέ τινος συλλογισμοῦ... εἰ δὲ λέγοι τις ὅτι πᾶν μέγεθος ἐπ' ἄπειρόν ἐστι διαιρετόν, καὶ διὰ τοῦτο παντὸς τοῦ λαμβανομένου ἐστὶν ἔλασσον, ἴστω ὅτι αἱ ὁμοιομέρειαι οὐκ εἰσὶν ἁπλῶς μεγέθη ἀλλ' ἤδη τοιάδε μεγέθη... διὸ καὶ ὁ Ἀριστοτέλης ἀσφαλῶς προσέθηκε "λέγω δὴ τῶν τοιούτων τι μορίων εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον." οὐ γὰρ διαιρεῖται εἰς σώματα ἢ ἀσώματα τὸ ὅλον, ἀλλ' εἰς σάρκας καὶ ὀστᾶ καὶ τὰ τοιαῦτα, ἃ καὶ ἄφθαρτα κατὰ Ἀναξαγόραν ἐστίν... τὸ δὲ "καὶ οἱ καρποὶ τῶν φυτῶν," φησὶν ὁ Ἀλέξανδρος, ἀντὶ τοῦ τὰ σπέρματα εἶπεν· ἐκ γὰρ τούτων ἡ τῶν φυτῶν σύνθεσις εἴη ἄν. καὶ διὰ τοῦτο μετ' ὀλίγον ἀντὶ τοῦ καρποῦ σπέρμα ἔλαβεν ὡς μόριον τοῦ φυτοῦ, ἐν οἷς λέγει "ὥστε οὔτε σὰρξ εἴη ἂν ὁπηλικηοῦν οὔτε ὀστοῦν οὔτε σπέρμα τῶν φυτῶν· ἐκ τούτων γὰρ ἑκάτερα αὐτῶν σύγκειται." ἀλλὰ τὰ μὲν εἰς ἐμὲ ἐλθόντα βιβλία τοῦτο τὸ ῥησείδιον οὐκ ἔχει, ὥσπερ οὐδὲ τὸ ἕτερον ὃ παρέθετο ὁ Ἀλέξανδρος, ἔχον οὕτως "εἰ οὖν τὰ ζῷα καὶ τὰ φυτὰ μήτε πηλίκα ἐστὶ μήτε ποσά," τουτέστι, φησί, μήτε ὡς συνεχῆ μήτε ὡς διωρισμένα ἐπ' ἄπειρον ἔχει τὴν ἐπίδοσιν, "οὐδὲ τὰ μόρια αὐτῶν ὁπηλικαοῦν ἔσται, οὔτε αὔξησιν οὔτε ἐλάττωσιν ἐπ' ἄπειρον ἕξει." καὶ ὅρα ὅτι πρὸς τὸ πηλίκον ἀπεδόθη τὰ εἰρημένα μόνον, οὐκέτι δὲ καὶ πρὸς τὸ ποσόν, ὅπερ ὡς διωρισμένον ποσὸν ἀντιτεθῆναι τῷ πηλίκῳ φησὶν ὁ Ἀλέξανδρος· οὐκέτι γὰρ ἔδειξεν ἐν τούτοις ὅτι οὐκ ἐξ ἀπείρων τῷ πλήθει σύγκειται, ἀλλὰ κυρίως ἂν ἡρμηνεύετο, εἰ ἔλεγεν, εἰ οὖν τὰ ζῷα καὶ τὰ φυτὰ μήτε ὁπηλικαοῦν ἐστὶ μήτε ὁποσαοῦν, ἀντὶ τοῦ μήτε κατὰ μέγεθος μήτε κατὰ πλῆθος εἰς ἄπειρον ἐπιδίδωσιν. οὐ γὰρ ταὐτόν ἐστι πηλίκον καὶ ὁπηλικονοῦν, ὅπερ σημαίνει τὸ κατὰ τὸ πηλίκον εἰς ἄπειρον ἐπιδιδόναι. τὸ δὲ σπέρμα, φησί, παρατίθεται ὡς οὐσῶν τινῶν ὁμοιομερειῶν καὶ τούτων, ἐξ ὧν πλεοναζουσῶν τὰ φυτὰ γίνεται, καὶ τῶν φυτῶν αἱ διαφοραὶ παρὰ τὴν διαφορὰν τῶν ἐν αὐτοῖς πλεοναζόντων σπερμάτων. καίτοι τὸ σπέρμα ἐξ οὗ γέγονε τὸ φυτόν, οὐκ ἔστι τῶν τοιούτων μορίων εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον· οὐδὲ γὰρ ἐν τῷ ζῴῳ τὸ σπέρμα ἐξ οὗ γέγονε σώζεται, ὡς διαιρεῖσθαι καὶ εἰς ἐκεῖνο τὸ ζῷον. ἀλλ' ἔοικε τὰ πολλὰ τῶν ἀντιγράφων ὀρθῶς ἔχειν, τὰ λέγοντα "καὶ οἱ καρποὶ τῶν φυτῶν·" ὡς γὰρ κλάδοι καὶ φύλλα, οὕτω καὶ καρποὶ καὶ περικάρπιον μέρη τῶν ἐγκάρπων φυτῶν ἐστί, καὶ διαιρεῖται τὸ ὅλον καὶ εἰς ταῦτα ἐνυπάρχοντα καὶ χωρίζεσθαι δυνάμενα. ἀλλὰ ταῦτα μὲν ἀρκείτω πρὸς τὸ τῆς γραφῆς παρηλλαγμένον. Simpl. f. 35 b.

187b 15. ὁμολογεῖται μὲν ἅπαν τὸ σύνθετον ἐκ μερῶν· ἐκ μερῶν δὲ λέγω τοιούτων ὧν καὶ χωρισθῆναι δύναται κατ' ἐνέργειαν ἀλλήλων τε καὶ τοῦ ὅλου, καὶ τὸ ὅλον τοῖς μέρεσιν ἀκολουθεῖν κατὰ τὸ μέγεθος, οἷον εἰ μικρὰ τὰ μέρη, μικρὸν καὶ τὸ ὅλον, εἰ μεγάλα ἐκεῖνα, μέγα καὶ τοῦτο, καὶ εἴγε εἰς ἄπειρον ἐκείνων ἡ πρόοδος ἐπ' ἀμφότερα, ἐπ' ἄπειρον εἶναι καὶ τοῦ συνθέτου. Themist. f. 18 b.

187b 17. διττῶς τὸ ἐνυπάρχον δυνατὸν ἐκλαβεῖν, ἢ ὡς πρὸς τὸ μέρος ἢ ὡς πρὸς τὸ ὅλον. πρὸς τὸ μέρος μὲν οὕτως· μόρια δέ, φησί, ταῦτα λέγω, ἅ τινα καὶ μετὰ τὴν ἐκ τοῦ ὅλου διαίρεσιν ὑφεστήκασι καὶ οὐ φθείρονται· ἀεὶ γὰρ ἀπόρροιαί τινες ἐκ τοῦ σώματος γίνονται· τὰ οὖν ἀπορρέοντα σώματα καὶ μετὰ τὴν ἐκ τοῦ ὅλου διαίρεσιν δύναται καὶ καθ' ἑαυτὰ ὑποστῆναι. εἰ δὲ τὸ ἐνυπάρχον πρὸς τὸ ὅλον ἀκουσόμεθα, οὕτω· μόρια, φησί, λέγω ταῦτα ὧν καὶ διαιρεθέντων ἐκ τοῦ ὅλου οὐδὲν ἧττον σώζεται τὸ ὅλον. τοιαῦτα δέ ἐστιν, ὡς εἶπον, τὰ ἀεὶ ἐξ ἡμῶν ἀπορρέοντα σώματα. Philop. c p. 9.

187b 22. ὁ μὲν Ἀλέξανδρός φησι τῷ δεδεγμένῳ προσεχῶς ἐπιχειρήματι προσχρώμενον τὸν Ἀριστοτέλην δεικνύναι νῦν ὅτι οὔτε ἐκκρίσει ἡ γένεσις οὔτε πάντα ἐν πᾶσιν, ὡς τοῖς περὶ Ἀναξαγόραν δοκεῖ. λαβὼν οὖν ἐνταῦθα ὡς ὁμολογούμενον ὅτι ἔστιν ἐλάχιστον σῶμα, διὰ τοῦ εἰπεῖν "εἰ καὶ ἀεὶ ἐλάττων ἔσται ἡ ἐκκρινομένη, ἀλλ' ὅμως οὐχ ὑπερβαλεῖ μέγεθός τι τῇ σμικρότητι·" οὐχ ὑπερβαλεῖ γὰρ τῇ σμικρότητι δηλονότι τὸ ἐλάχιστον... οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος καὶ ὁ Θεμίστιος ἐξηγήσαντο. μήποτε δὲ καὶ δυνατὸν ἀποδεῖξαι χωρὶς τοῦ προαποδεδειγμένου συμπεράσματος τὸ νῦν ἐπιχείρημα, ἴσως δὲ τοῦ Ἀριστοτέλους, ὅπερ ἐκεῖ ἀπέδειξε, τὸ ἀδύνατον ὁπηλικονοῦν εἶναι μέγεθος, συγχωροῦντός πως αὐτοῖς ὑποτίθεσθαι, ἐν οἷς φησὶν "εἰ καὶ ἐλάττων ἀεὶ ἔσται ἡ ἐκκρινομένη, ἀλλ' ὅμως οὐχ ὑπερβαλεῖ μέγεθός τι τῇ σμικρότητι." καὶ οὐχ ὅτι ἐπιλείπει ἡ ἔκκρισις ἁπλῶς δείκνυσι νῦν ὁ Ἀριστοτέλης, ὡς οἶμαι, ἀλλ' ὅτι καὶ τῷ ἐπιλείπειν καὶ τῷ μὴ ἐπιλείπειν ἄτοπόν τι ἀκολουθεῖ τοῖς πᾶν ἐν παντὶ λέγουσι καὶ πᾶν ἐκ παντὸς ἀποκρίνεσθαι, ταὐτὸν δὲ εἰπεῖν γίνεσθαι ἀξιοῦσι... δοκεῖ δέ μοι τὸ "ἴσα πεπερασμένα" καὶ τὸ "οὐχ ὑπερβαλεῖ μέγεθός τι τῇ σμικρότητι" αἰτίαν γενέσθαι τῷ Ἀλεξάνδρῳ τῆς τοιαύτης ἐξηγήσεως. Simpl. f. 36.

ἀλλ' ἴσως φαίη ἂν πρὸς τοὺς οὕτως αὐτῷ μαχομένους Ἀναξαγόρας ὡς οὐκ ἂν ἐγὼ συγχωρήσαιμι τῇ τῶν ὁμοιομερῶν αὐξήσει τε καὶ μειώσει καὶ τὰς διαφορὰς ἀκολουθεῖν τὰς κατὰ μέγεθος τῶν τε ζῴων καὶ τῶν φυτῶν· τοῦτο γὰρ ὑπῆρχεν ἄν, εἰ τὰ ζῷα καὶ τὰ φυτὰ ἐξ ἑκάστου τῶν ὁμοιομερῶν εἴδους μίαν ὁμοιομέρειαν εἶχεν, μίαν ὀστοῦ καὶ μίαν αἵματος καὶ πρὸς τούτοις μίαν ἐφ' ἑκάστου τῶν ἄλλων· νῦν δὲ πλῆθος ἐφ' ἑκάστου τῶν ὁμοιομερειῶν εἴδους καθ' ἕκαστον εἶδος τῶν ζῴων. οὐδὲν οὖν ἄτοπον σάρκα μὲν ἐπ' ἄπειρον καθαιρεῖν, ζῷον δὲ μηκέτι· τὴν γὰρ ἐν τῷ ζῴῳ σάρκα ἐκ πλειόνων σαρκῶν εἶναι τῶν ὡς ἀρχῶν καὶ στοιχείων. ἀλλ' εἰ καὶ τοῦτο οὕτως ἔχει, ἀλλ' ὁρίσαι γε χρὴ τῶν στοιχείων τούτων τὸ μέγεθος· ὅρος γὰρ δώσει δήπου τινὰ ἀριθμόν, ἀφ' οὗ συντεθέντα τὰ στοιχεῖα ταῦτα τὴν ἐν ζῴῳ σάρκα ποιοῦσιν. Themist. f. 18 b.

187b 26. τὸ δὲ "ἀναιρεῖται" ἀντὶ τοῦ καταμετρεῖται· τὸ γὰρ μετρούμενον ἴσα ἀεὶ τῷ μέτρῳ ἀφαιρούμενον ἐπιλείπει καὶ καταδαπανᾶται. Philop. c p. 9.

187b 35. τὸ πᾶν ἐν παντὶ εἶναι καὶ πᾶν ἐκ παντὸς ἐκκρίνεσθαι καὶ διὰ τούτου σαλεύει τοῦ ἐπιχειρήματος, προσλαβὼν αὖθις ἐναργὲς ἀξίωμα, ὅτι πᾶν σῶμα ἀφαιρεθέντος τινὸς ἔλαττον γίνεσθαι ἀνάγκη, ἐπειδὴ καὶ προστεθέντος μεῖζον, καὶ πρὸς τούτῳ τῷ ἀξιώματι τῷ ἤδη δεδειγμένῳ χρώμενος ἐνταῦθα, τῷ μὴ ὁπηλικηοῦν εἶναι σάρκα, ἀλλ' εἶναι τὴν ἐλαχίστην ὡρισμένην, ὥσπερ καὶ τὴν μεγίστην.

187a 14. τινὲς δὲ ἀέρος (ἐκτὸς?) τῶν τριῶν ὑπέθεντο ὅ ἐστι πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον, ἢ ὡς ἐν ἄλλοις, ἀέρος μὲν πυκνότερον ὕδατος δὲ λεπτότερον. καὶ οἴονται τοῦτον Ἀναξίμανδρον εἶναι… Πλάτων δὲ τὰ δύο τὸ μικρὸν καὶ τὸ μέγα ὕλην καὶ ὑποκείμενον, διὸ καὶ δυάδα τὴν ὕλην φησί, τὸ εἶδος δὲ ἕν. μικρὸν δὲ καὶ μέγα τὴν ὕλην φησὶ παρ᾽ ὅσον μικρὸν μέν ἐστιν ὡς ἀνείδεος καὶ ἀσώματος καὶ ἀμεγέθης, ὡς δὲ παντὸς ὄγκου καὶ πάσης διαστάσεως αἰτία μέγα. cod. Reg. 1947.

187a 17. ὁ Πλάτων ἔλεγε τὴν ὕλην μέγα καὶ μικρόν, μικρὰν μὲν ὡς ἀσώματον καὶ ἀμεγέθη, μεγάλην δὲ ὡς παντὸς ὄγκου καὶ πάσης διαστάσεως αἰτίαν. "ὁ μὲν ταῦτα ποιεῖ ὕλην." ὁ Πλάτων τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν μέγα καὶ μικρὸν ὠνόμαζεν· ἡ γὰρ ὕλη τῷ μεγάλῳ καὶ τῷ μικρῷ, ἤτοι τῇ μανώσει καὶ τῇ πυκνώσει ἢ τῇ ὑπεροχῇ καὶ τῇ ἐλλείψει, τὸ καθολικώτερον, μετὰ τοῦ ἑνός, ὅ ἐστι τὸ εἶδος, τὰ στοιχεῖα ποιεῖ κατὰ Πλάτωνα, ἐξ ὧν τὰ ἄλλα πάντα τὰ φυσικά. καὶ συνᾴδει κατὰ ταῦτα τῷ Ἀριστοτέλει ἀρχὰς τῶν φυσικῶν εἰπόντι τὴν ὕλην καὶ τὸ εἶδος. cod. Vat. 1028. cf. Simpl. f. 32 *b*.

187a 21. καὶ γὰρ Ἀναξαγόρας τὰς ὁμοιομερείας κατὰ τὸ ὑποκείμενον ἀρχὰς θέμενος ἀπείρους ἔλεγε ταύτας, καὶ τὸ ποιητικὸν δὲ αἴτιον ἓν ἔλεγεν εἶναι, τὸν διακρίνοντα νοῦν· Ἐμπεδοκλῆς δὲ πλείους κατὰ τὸ ὑποκείμενον ἀρχὰς ἔθετο, τὰ τέσσαρα στοιχεῖα, ἓν δὲ τὴν φιλίαν καὶ τὸ νεῖκος, ὅτι παρὰ μέρος ἑκάτερον αὐτῶν ἐπικρατεῖ καὶ ποιεῖ, καὶ οὐχ ἅμα ἄμφω· ἀεὶ γὰρ αὐτῷ οὕτως ἓν τὸ ποιοῦν γίνεται. ἢ οὐχὶ τὸ ποιητικὸν αὐτοὺς ἓν λέγειν ῥητέον, ἀλλ᾽ αὐτὸ τὸ μῖγμα, ὃ ἦν κατὰ μὲν Ἀναξαγόραν ἐκ τῶν ὁμοιομερῶν ἀπείρων τῷ πλήθει μεμιγμένον, κατὰ δὲ Ἐμπεδοκλέα ἐκ τῶν τεσσάρων στοιχείων, ποτὲ μὲν συγκρινομένων ὑπὸ τῆς φιλίας ποτὲ δὲ διακρινομένων ὑπὸ τοῦ νείκους, καὶ ποιούντων τόνδε τὸν κόσμον. καὶ Θεόφραστος δὲ τὸν Ἀναξαγόραν εἰς τὸν Ἀναξίμανδρον συνωθῶν, καὶ οὕτως ἐκλαμβάνει τὰ ὑπὸ τοῦ Ἀναξαγόρου λεγόμενα ὡς δύνασθαι μίαν αὐτὸν φύσιν λέγειν τὸ ὑποκείμενον. γράφει δὲ οὕτως ἐν τῇ Φυσικῇ Ἱστορίᾳ… διαφέρουσι δὲ ἐκείνων μὲν τῶν μίαν μόνην λεγόντων τῷ αὐτοὶ μίαν καὶ πολλὰς λέγειν, ἀλλήλων δὲ πρῶτον μὲν τῷ τὸν Ἀναξαγόραν λέγειν ἅπαξ γενόμενον τὸν κόσμον ἐκ τοῦ μίγματος διαμένειν λοιπὸν ὑπὸ τοῦ νοῦ ἐφεστῶτος διοικούμενόν τε καὶ διακρινόμενον, τὸν δὲ Ἐμπεδοκλέα παρὰ μέρος ἀεὶ κατὰ περιόδους τινὰς ποτὲ μὲν σύγκρισιν τῶν τεσσάρων στοιχείων ὑπὸ τῆς φιλίας γινομένην ὑποτίθεσθαι, ποτὲ δὲ διάκρισιν ὑπὸ τοῦ νείκους, ἔπειτα δὲ τῷ τὰ πολλὰ ἐξ ὧν τὸ πᾶν τὸν μὲν Ἀναξαγόραν ἄπειρα ὑποτίθεσθαι, τὰς ὁμοιομερείας, τὸν δὲ Ἐμπεδοκλέα πεπερασμένα· τέσσαρα γὰρ τὰ καλούμενα στοιχεῖα. καὶ τὸν μὲν ὁμοιομερείας, τὸν δὲ στοιχεῖα. καὶ τἀναντία δὲ προσέθηκεν ἐπὶ Ἀναξαγόρου, φησὶν Ἀλέξανδρος, διότι αἱ ἐναντιώσεις ἐν ταῖς ὁμοιομερείαις εἰσίν, ὥσπερ καὶ αἱ διαφοραὶ πᾶσαι. διό, φησί, καὶ τὸ ἐπάνω ῥηθὲν τὸ "ἢ καὶ ἐναντίας" (c. 2) ἐπὶ τῆς Ἀναξαγόρου δόξης ἀκουστέον μᾶλλον. μήποτε δὲ καὶ ἐν τοῖς στοιχείοις εἰσὶν ἐναντιώσεις, θερμοῦ ψυχροῦ, ὑγροῦ ξηροῦ καὶ βαρέος καὶ κούφου καὶ τῶν τοιούτων, καὶ κοινῶς ἑκατέρᾳ δόξῃ προσήκει τὸ "καὶ τἀναντία." εἰ μὴ ἄρα ἐν μὲν τοῖς στοιχείοις εἰσὶν ἐναντιώσεις τινές, ἐν δὲ ταῖς ὁμοιομερείαις ἀπαξάπαντα τὰ ἐναντία, ὥσπερ καὶ πᾶσαι αἱ διαφοραί, καὶ διὰ τοῦτο μᾶλλον τῇ Ἀναξαγόρου δόξῃ προσήκει μετὰ τοῦ ἄρθρου λεγόμενον "καὶ τἀναντία." ἢ ἄρα καὶ ἐν τοῖς στοιχείοις πάντα τὰ ἐναντία, εἴπερ ἀρχαὶ τὰ στοιχεῖα, ἀλλ᾽ οὐ προσεχῶς πάντα, ὡς ἐπὶ τῶν ὁμοιομερειῶν. Simpl. f. 33.

καὶ ἐν τούτῳ τὴν Πλάτωνος εὐγνωμοσύνην ὁ Ἀριστοτέλης ζηλῶν βούλεται μὴ ὡς πάντη ἄλογα λέγοντας παλαιοὺς καὶ κλεινοὺς ἄνδρας εἰσάγειν, μηδὲ ἐρήμην καταψηφιζομένους περιορᾶν, ἀλλὰ λογισμούς ἐκτίθεσθαί τινας καθ᾽ οὓς ἐπὶ τὰς ἀπεμφαίνειν δοκούσας δόξας προήχθησαν… τὸ δὲ "καὶ τὸ γίνεσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦσθαι" ὡς πρὸς Ἀναξαγόραν ὁ Ἀλέξανδρος εἰρῆσθαί φησι, διότι καὶ ἐν τῇ περὶ Γενέσεως (1 1) ἐμέμψατο τῷ Ἀναξαγόρᾳ ὡς τὴν σύγκρισιν καὶ τὴν διάκρισιν, καθ᾽ ἃς λέγει γίνεσθαι τὰ γινόμενα, ἀλλοίωσιν καλέσαντι, λέγων "καίτοι Ἀναξαγόρας γε τὴν οἰκείαν φωνὴν ἠγνόησεν." λέγει γοῦν ὡς τὸ γίνεσθαι καὶ τὸ ἀπόλλυσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦσθαι· οὐ γὰρ οἰκείῳ ὀνόματι τῷ τῆς ἀλλοιώσεως κατὰ τῆς συγκρίσεως ἐχρήσατο. Πορφύριος δὲ τὸ μὲν "ἦν ὁμοῦ πάντα χρήματα" εἰς Ἀναξαγόραν ἀναπέμπει, τὸ δὲ "γίνεσθαι εἶναι τὸ ἀλλοιοῦσθαι" εἰς Ἀναξιμένην, τὴν δὲ σύγκρισίν τε καὶ διάκρισιν εἰς Δημόκριτόν τε καὶ Ἐμπεδοκλέα. σαφῶς δὲ Ἀναξαγόρας ἐν πρώτῳ τῶν Φυσικῶν τὸ γίνεσθαι καὶ τὸ ἀπόλλυσθαι συγκρίνεσθαι καὶ διακρίνεσθαι λέγει, γράφων οὕτως. id. f. 34 *b*. 187a 26.

καίτοι γε Ἀναξαγόρας ἀλλοιοῦσθαι τὸ γίνεσθαι λέγει. ἀλλ᾽ ἐκ τῶν πραγμάτων δῆλός ἐστιν οὐ γινώσκων τὴν οἰκείαν φωνήν· τὴν γὰρ σύγκρισιν ἀλλοίωσιν ὀνομάζει. Themist. f. 18.

πρὸς δὴ τὰ τοιαῦτα τοῦ Ἀναξαγόρου ἀξιώματα ἀντιλέγων ὁ Ἀριστοτέλης πρῶτον πρὸς τὸ ἀπείρους εἶναι τὰς ἀρχὰς ἀντείρηκε. 187b 7. κοινὴ δὲ ἡ ἐπιχείρησις ἂν εἴη, ὥς φησι Πορφύριος, καὶ πρὸς Λεύκιππον καὶ Δημόκριτον καὶ Μητρόδωρον καὶ πρὸς ἅπαντας τοὺς ἄπειρα τὰ στοιχεῖα λέγοντας. διττοῦ δὲ ὄντος τοῦ ἀπείρου, ἢ κατὰ τὸ ποσὸν ἢ κατὰ τὸ ποιόν, καὶ τοῦ κατὰ τὸ ποσὸν ἢ κατὰ πλῆθος ἢ κατὰ μέγεθος, κατὰ πλῆθος μὲν ἄπειρα τὰ στοιχεῖα οἱ εἰρημένοι φασὶ πάντες, κατὰ μέγεθος δὲ οἱ περὶ Λεύκιππον καὶ Δημόκριτον, τὸ κενὸν ἄπειρον εἶναι λέγοντες, κατ᾽ εἶδος δὲ ἀπείρους τὰς ὁμοιομερείας Ἀναξαγόρας δοκεῖ λέγειν, εἴγε ἕτερόν φησιν οὐδέν ἐστιν ὅμοιον οὐδενὶ ἑτέρῳ ἀπείρων ὄντων. Simpl. f. 35.

"ἔτι δ᾽ εἰ ἀνάγκη." Παρμενίδης (l. Ἀναξαγόρας) καὶ τοῦ σμικροτάτου σμικρότερα ἔλεγεν εἶναι καὶ τοῦ μεγίστου μεῖζον ἐν ταῖς ἀρχαῖς. 187b 13. λέγει οὖν Ἀριστοτέλης δι᾽ ὑποθετικοῦ συλλογισμοῦ οὕτως· εἰ τὰ μόρια ὅλου τινὸς ἐνδέχεται ὁπηλικαοῦν εἶναι κατὰ μέγεθος καὶ κατὰ σμικρότητα, καὶ αὐτὸ τὸ ὅλον ἐνδέχεται ὁπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ κατὰ σμικρότητα. cod. Reg. 1947.

εἰπόντος τοῦ Ἀναξαγόρου ὅτι οὔτε τοῦ σμικροῦ ἐστὶ τοὐλάχιστον ἀλλὰ τὸ ἔλασσον ἀεί, οὔτε τὸ μέγιστον, ὡς καὶ αὐτὴ ἡ λέξις τοῦ Ἀναξαγόρου δηλοῖ, καὶ μέντοι Θεόφραστος ἐν τῷ περὶ Ἀναξαγόρου δευτέρῳ τάδε γράφων "ἔπειτα τὸ διὰ τοῦτο λέγειν πάντα ἐν παντί, διότι καὶ ἐν μεγέθει καὶ ἐν σμικρότητι ἄπειρα, καὶ οὔτε τὸ ἐλάχιστον οὔτε τὸ μέγιστον ἔστι λαβεῖν, οὐχ ἱκανὸν πρὸς πίστιν," ἅμα μὲν

πάντα βεβαιωθῇ, ὅπερ καὶ ὁ Παρμενίδης ἐβούλετο. ἔπειτα ἔδει τὴν χρείαν εἰπεῖν τῆς μνήμης τοῦ Ζήνωνος λόγου καὶ τῶν μάτην ἐνδεδωκότων αὐτῷ... ἀλλ' ἔοικεν ἀπὸ τῶν Εὐδήμου λόγων ὁ Ἀλέξανδρος δόξαν περὶ τοῦ Ζήνωνος λαβεῖν ὡς ἀναιροῦντος τὸ ἕν· λέγει γὰρ ὁ Εὔδημος ἐν τοῖς Φυσικοῖς... καὶ ταῦτα οὐχὶ τὸ ἓν ἀναιρῶν ὁ Ζήνων λέγει, ἀλλ' ὅτι εἰ μέγεθος ἕκαστον ἔχει τῶν πολλῶν καὶ ἀπείρων, οὐδὲν ἔσται ἀκριβῶς ἓν διὰ τὴν ἐπ' ἄπειρον τομήν. δεῖ δὲ ἓν εἶναι, ὃ δείκνυσι, προδείξας ὅτι οὐδὲν ἔχει μέγεθος, ἐκ τοῦ ἕκαστον τῶν πολλῶν ἑαυτῷ ταὐτὸν εἶναι καὶ ἕν. καὶ ὁ Θεμίστιος δὲ τὸν Ζήνωνος λόγον ἓν εἶναι τὸ ὂν κατασκευάζειν φησὶν ἐκ τοῦ συνεχὲς τὸ αὐτὸ εἶναι καὶ ἀδιαίρετον· εἰ γὰρ διαιροῖτο, φησίν, οὐδὲν ἔσται ἀκριβῶς ἓν διὰ τὴν ἐπ' ἄπειρον τομὴν τῶν σωμάτων. ἔοικε δὲ μᾶλλον ὁ Ζήνων λέγειν ὡς οὐδὲ πολλὰ ἔσται. ὁ μέντοι Πορφύριος καὶ τὸν ἐκ τῆς διχοτομίας λόγον Παρμενίδου φησὶν εἶναι, ἓν τὸ ὂν ἐκ ταύτης πειρωμένου δεικνύναι. γράφει δὲ οὕτως... ἐφιστάνειν δὲ ἄξιον εἰ Παρμενίδου καὶ μὴ Ζήνωνός ἐστιν ὁ λόγος, ὡς καὶ τῷ Ἀλεξάνδρῳ δοκεῖ. οὔτε γὰρ ἐν τοῖς Παρμενιδείοις ἔπεσι λέγεταί τι τοιοῦτον, καὶ ἡ πλείστη ἱστορία τὴν ἐκ τῆς διχοτομίας ἀπορίαν εἰς τὸν Ζήνωνα ἀναπέμπει. καὶ δὴ καὶ ἐν τοῖς περὶ κινήσεως λόγοις ὡς Ζήνωνος ἀπομνημονεύεται. καὶ τί δεῖ πολλὰ λέγειν, ὅτε καὶ ἐν αὐτῷ φέρεται τῷ τοῦ Ζήνωνος συγγράμματι; Simpl. f. 29.

τούτῳ μέντοι τῷ λόγῳ καὶ προσέτι γε Ζήνωνος, ὃς ἐκ τοῦ συνεχές τε εἶναι καὶ ἀδιαίρετον ἓν εἶναι τὸ ὂν κατεσκεύαζε, λέγων ὡς εἰ διαιρεῖται, οὐδὲ ἔσται ἀκριβῶς ἓν διὰ τὴν ἐπ' ἄπειρον τομὴν τῶν σωμάτων, ἣν ἐνέδοσάν τινες ἤδη καὶ ὑπεχώρησαν· λύειν γὰρ αὐτοὺς ἐπεχείρουν οὐκ αὐτοὺς ἐκείνους κινοῦντες, ἀλλὰ ἕτερα εἰσάγοντες ἀπορώτερα, Ξενοκράτης μὲν πρὸς τὴν ἐπ' ἄπειρον τομὴν τὰς ἀτόμους γραμμάς, ἵνα φεύγῃ ταὐτὸν ἕν τε καὶ πολλὰ λέγειν... Πλάτων δὲ τὸ παρὰ τὸ ὂν οὐκ ὂν εἶναι διδούς, τὸ πρότερον λῆμμα τοῦ Παρμενιδείου λόγου, ἀλλὰ καὶ ἓν εἶναι τὸ ὂν συγχωρῶν, ὅπερ ᾤετο ὁ λόγος συνάγειν, οὐκέτι τὰ πάντα ἓν εἶναι συνωμολόγει· εἶναι γὰρ ἔφασκέ πως καὶ τὸ μὴ ὄν· τὸ μὲν γὰρ ὄντως ὂν ἀπέφαινε τὴν ἰδέαν, τὴν δὲ ἄμορφον καὶ πρώτην ὕλην εἶναι μέν, μηδὲν δὲ τοῦ ὄντος εἶναι· συγκεῖσθαι γὰρ τὸ ὂν πάλιν ἔκ τε τοῦ ὄντος, ὃ καὶ ἓν εἶναι ἐδίδου, κἀκ τοῦ μὴ ὄντος, ὃ τὴν ὕλην ὑπελάμβανεν. Themist. f. 18.

"ἔνιοι δέ." οἷον ὁ Πλάτων καὶ ὁ Ξενοκράτης συνεχώρησαν, φησίν, ὡς ἀληθεῖς ἀμφοτέρους τοὺς λόγους, Πλάτων καὶ τὸν τοῦ Παρμενίδου, Ξενοκράτης καὶ τὸν τοῦ Ζήνωνος. Πλάτων μὲν γὰρ τὸ παρὰ τὸ ὂν οὐκ ὂν ἀληθὲς ἔλεγεν εἶναι· κίνησις γὰρ καὶ στάσις καὶ ταὐτότης καὶ ἑτερότης καὶ ἡ ἀνείδεος ὕλη οὐκ ὄντα· οὐ μὴν τὰ οὐκ ὄντα οὐδέν· εἰσὶ γὰρ τὰ εἰρημένα, εἰ καὶ οὐκ ὄντα εἰσί. Ξενοκράτης δὲ τοῦ Ζήνωνος λόγον ἀπεδέχετο τὸ κυρίως ὄν, εἰ καὶ μέγεθος ἔχει, ἀδιαίρετον εἶναι λέγοντα· εἶναι γὰρ καί τινα μεγέθη διὰ σμικρότητα ἀδιαίρετα. εἰ γὰρ καὶ δοθείη, φησὶ Ξενοκράτης, πᾶν μέγεθος διαιρετὸν εἶναι, τὸ αὐτὸ ἓν καὶ πολλὰ ἔσται. καίτοι καὶ οὕτως ἀντίφασις γίνεται, εἰ ἔστι μέγεθος ἀδιαίρετον· ἔσται γὰρ μέγεθος ἀμέγεθες. cod. Reg. Par. 1947.

187a 2 "τῷ δὲ ἐκ τῆς διχοτομίας." τοῦ Ζήνωνος λέγοντος ὡς εἰ μέγεθος ἔχει τὸ ὂν καὶ διαιροῖτο, πολλὰ τὸ ὂν καὶ οὐχ ἕν τι ἔσεσθαι, καὶ διὰ τοῦτο δεικνύντος ὅτι μηδὲν τῶν ὄντων ἐστὶ τὸ ἕν, ἐνέδωκε τῷ λόγῳ τούτῳ Ξενοκράτης ὁ Χαλκηδόνιος. cod. Vat. 1028.

187a 6 ὅτι οὐκ ἀνάγκη τῷ συλλογισμῷ τῷ Παρμενίδου ἕπεσθαι τὸ μὴ εἶναι τὸ μὴ ὄν, διὰ τούτων κατασκευάζει. τὸν οὖν δὲ σύνδεσμον ἀντὶ τοῦ γὰρ ἐπακούσομεν. Philop. c p. 1.

187a 12 τῶν ἓν λεγόντων δύο τρόπους εἶναί φησι τῆς ἐξ οὗ τῶν ὄντων γενέσεως. πάντες μὲν γὰρ σωματικόν τι τὸ ἓν ὑποτίθενται τοῦτο, ἀλλ' οἱ μὲν ἕν τι τῶν τριῶν στοιχείων, ὥσπερ Θαλῆς μὲν καὶ Ἵππων τὸ ὕδωρ, Ἀναξιμένης δὲ καὶ Διογένης τὸν ἀέρα, Ἡράκλειτος δὲ καὶ Ἵππασος τὸ πῦρ (τὴν δὲ γῆν οὐδεὶς ἠξίωσεν ὑποθέσθαι μόνην διὰ τὸ δυσαλλοίωτον), τινὲς δὲ ἄλλο τι τῶν τριῶν ὑπέθεντο, ὅ ἐστι πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον, ἢ ὡς ἐν ἄλλοις φησίν, ἀέρος μὲν πυκνότερον ὕδατος δὲ λεπτότερον. καὶ ὁ μὲν Ἀλέξανδρος Ἀναξίμανδρον οἴεται τὸν ἄλλην τινὰ φύσιν σώματος παρὰ τὰ στοιχεῖα τὴν ἀρχὴν ὑποθέμενον, ὁ μέντοι Πορφύριος, ὡς τοῦ Ἀριστοτέλους ἀντιδιαιροῦντος τοὺς σῶμα τὸ ὑποκείμενον ἀδιόριστον ποιήσαντας πρὸς τοὺς ἢ τῶν τριῶν τι στοιχείων ἓν ἢ ἄλλο τι τὸ μεταξὺ πυρὸς καὶ ἀέρος, σῶμα μὲν τὸ ὑποκείμενον ἀδιορίστως Ἀναξίμανδρον λέγειν φησὶν ἄπειρον, οὐ διορίσαντα τὸ εἶδος, εἴτε πῦρ εἴτε ὕδωρ εἴτε ἀήρ, τὸ δὲ μεταξὺ καὶ αὐτός, ὥσπερ Νικόλαος ὁ Δαμασκηνός, εἰς Διογένην τὸν Ἀπολλωνιάτην ἀνέπεμψεν. αὐτοφυέστερον δέ μοι δοκεῖ κατὰ τὴν λέξιν μὴ ὡς ἀντιδιῃρημένου τοῦ σώματος πρὸς τὰ στοιχεῖα καὶ τὸ μεταξὺ ἀκούειν, ἀλλ' ὡς διαιρουμένου μᾶλλον εἴς τε τὰ τρία καὶ τὸ μεταξύ. σῶμα γὰρ τὸ ὑποκείμενόν φησιν ἢ τῶν τριῶν τι ἢ ἄλλο, ὅ ἐστι πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον... λέγει δὲ ὁ Ἀλέξανδρος ὅτι κατὰ Πλάτωνα πάντων ἀρχὴ καὶ αὐτῶν τῶν ἰδεῶν τό τε ἕν ἐστι καὶ ἡ ἀόριστος δυάς, ἣν μέγα καὶ μικρὸν ἔλεγεν, ὡς καὶ ἐν τοῖς περὶ τἀγαθοῦ Ἀριστοτέλης μνημονεύει. λάβοι δὲ ἄν τις καὶ παρὰ Σπευσίππου καὶ παρὰ Ξενοκράτους καὶ τῶν ἄλλων, οἳ παρεγένοντο ἐν τῇ περὶ τἀγαθοῦ τοῦ Πλάτωνος ἀκροάσει· πάντες γὰρ συνέγραψαν καὶ διεσώσαντο τὴν δόξαν αὐτοῦ. Simpl. f. 32.

ἕτεροι δὲ τῶν στοιχείων μὲν οὐδέν, ἄλλο δέ, ὃ πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον, ὡς Ἀναξίμανδρος. οὗτος δὲ οὐκέτι ἀλλοιώσει χρῆται πρὸς τὴν γένεσιν τῶν ἐφεξῆς, ἀλλ' ἐκκρίνεσθαί φησιν ἐξ ἀπείρου τοῦ στοιχείου τὰς ἐναντιότητας ἐνυπαρχούσας ὥσπερ γε καὶ οἱ πολλὰς ὑποθέμενοι τὰς ἀρχάς, ἓν δὲ αἴτιον τὸ ποιητικόν, Ἀναξαγόρας τε καὶ Ἐμπεδοκλῆς. Themist. f. 18.

δεῖ προσυπακοῦσαι ὡς οἱ φυσικοὶ λέγουσιν ἓν εἶναι τὸ ὄν· κατὰ κοινοῦ γάρ, ἓν εἶναι τὸ ὄν... δεῖ μικρὸν μεταρρυθμίσαι τὴν λέξιν, ἵνα τὴν ἀκόλουθον ἀνταπόδοσιν ἴδωμεν. οὕτως οὖν ὑπερβιβαστέον τὴν λέξιν· ὡς δὲ οἱ φυσικοὶ λέγουσι, δύο τρόποι εἰσίν· ἓν γὰρ ποιήσαντες τὸ ὄν, σῶμα τὸ ὑποκείμενον καὶ τὰ ἑξῆς τὰ ἄλλα γεννῶσιν, οἱ μὲν πυκνότητι καὶ μανότητι, οἱ δὲ ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνεσθαι λέγουσι. τὸ δὲ "ὡς οἱ φυσικοὶ λέγουσιν" οὐκ ἔστι καθόλου κατὰ πάντων τῶν φυσικῶν· δῆλον γὰρ ὅτι ὡς οἱ φυσικοὶ οἱ ἓν εἶναι τὴν ὑποκειμένην ὕλην ὑποτιθέμενοι. καὶ πρὸς τοῦτο δὲ τὴν ἀνταπόδοσιν ἐπάγει λέγων "ὅτι δὲ ἓν καὶ πολλά, ταῦτα δὲ ἔστιν ἐναντία." Philop. c p. 3.

διὸ τὴν σιμότητα ὁριζόμενοι τὴν ῥῖνα παραλαμβάνομεν· σιμότης γάρ ἐστι κοιλότης ἐν ῥινί. ταῦτα δὲ καὶ καθ' αὑτὰ ὑπάρχειν ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς φησίν. Simpl. f. 27 *b*.

186 *b* 23. ὁ Ἀλέξανδρος τὸ "ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν" ἀξιοῖ καὶ οὕτως ἀκούειν, ὡς ἐκ μὴ συμβεβηκότων μηδὲ χωρίζεσθαι δυναμένων ἀπ' αὐτοῦ μηδὲ ἄλλης οὔσης φύσεως, ἀλλὰ τῆς αὐτῆς τῷ παντί. οὐσία δὲ τὸ πᾶν καὶ τὸ ὄν, καὶ τὰ μέρη ἄρα αὐτοῦ οὐσίαι. ὡσανεὶ ἔλεγεν, ἐξ οὐσιῶν ἄρα τὸ πᾶν, καὶ ἐξ ὧν ἐστί, καὶ διαιρεῖται εἰς ταῦτα. ὥστε δέδεικται τὸ προκείμενον, ὅτι διαιρεῖται τὸ ὅπερ ὂν εἰς ὅπερ ὄντα. ὥστε μὴ ὡς ἄτοπον ἐπῆχθαι τὸ "ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν," ἀλλ' ὡς ἀκόλουθον μόνον τοῖς εἰρημένοις. αὕτη μὲν ἡ ὅλη τῶν εἰρημένων ἔννοια. κατὰ δὲ τὴν λέξιν, ὅταν λέγῃ "ὅσα ἐν τῷ ὁριστικῷ λόγῳ ἔνεστιν ἢ ἐξ ὧν ἐστί," δηλοῖ ὅτι καὶ ἐν οἷς μὴ ἔστιν ὁρισμός, ὥσπερ ἐν ταῖς ἀτόμοις οὐσίαις, ἔστιν ὅμως τινὰ τὰ ἐξ ὧν ἐστίν. τὸ δὲ "καθ' οὗ ἄμφω καὶ ἑκάτερον καὶ τὸ ἐκ τούτων λεγέσθω," ἤτοι καθόλου τὸ ἐκ τῶν μερῶν συγκείμενον, τοῦτο ἔστω καὶ λεγέσθω ὅπερ καὶ τὰ μέρη ἄμφω, καὶ ἑκάτερον, εἰ τὰ μέρη συμβεβηκότα, καὶ τὸ ὅλον. ἢ μᾶλλον ἀνάπαλιν, ὅτι καὶ τὰ μέρη λεγέσθω τοῦτο ὅπερ καὶ τὸ ἐκ τῶν μερῶν· τὸ δὲ ἐκ τῶν μερῶν οὐσία ἦν καὶ ὅπερ ὂν καὶ οὐδενὶ συμβεβηκὸς ὄν· καὶ τὰ μέρη ἄρα οὐσίαι καὶ ὅπερ ὄντα καὶ οὐ συμβεβηκότα. γράφεται δὲ "καὶ καθ' οὗ ἄμφω, καὶ ἑκάτερον, καὶ τὸ ἐκ τούτων λεγέσθω," τουτέστι καθ' οὗ ἂν λέγηται καὶ ἑκάτερον ἤγουν ἕκαστον τῶν μερῶν, κατὰ τούτου καὶ τὸ ἐκ τῶν μερῶν λεγέσθω. τούτῳ δὲ ἂν εἴη ἀκόλουθον τὸ "καὶ ὁ ἄνθρωπος ἂν εἴη τῶν συμβεβηκότων ἑτέρῳ." ὧν μεταξὺ παρέλαβε τὸ "ἀλλὰ τὸ ὅπερ ὂν ἔστω μηδενὶ συμβεβηκός." ἐν τούτοις δὲ καὶ τοῦτο προσθετέον, ὅτι τὸ διαιρούμενον νῦν ὅπερ ὂν οὔτε ὡς γένος οὔτε ὡς εἶδος διαιρεῖται. δῆλον ἐκ τοῦ τὸν ἄνθρωπον οὐκ εἰς τοὺς ἀτόμους ἀλλ' εἰς τὸν ὁρισμὸν διελεῖν. id. f. 28.

186 *b* 31. δείξας ὅτι ἀδύνατον τὰ μέρη τοῦ ὁρισμοῦ αὐτῷ ἐκείνῳ συμβεβηκέναι οὗ ὁ ὁρισμός, βούλεται δεῖξαι ὅτι οὐδὲ ἄλλῳ δυνατὸν αὐτὰ συμβεβηκέναι. εἰ γάρ, φησί, τὰ μέρη τοῦ ὁρισμοῦ μή εἰσιν οὐσίαι (τοῦτο γὰρ σημαίνει τὸ "καὶ μὴ ἔστιν ἑκάτερον ὅπερ ὄν τι"), συμβέβηκε δ' εἰ ἐν ἄλλῳ τινί, ἐπειδὴ ᾧ τὰ μέρη ὑπάρχει, τούτῳ καὶ τὸ ὅλον, καὶ τὸ ὅλον συμβεβηκὸς ἂν εἴη ἑτέρῳ, ὥστε ὁ ἄνθρωπος καὶ ἁπλῶς ἡ οὐσία τῶν συμβεβηκότων τινὶ ἔσται. ὅπερ ἄτοπον καὶ ἀδύνατον τὴν οὐσίαν συμβεβηκὸς εἶναι. Philop. *b* p. 14.

186 *b* 34. ἐὰν δὲ ἔχῃ ἡ γραφὴ τὸ "καὶ ἑκάτερον," οὕτως ἐξηγητέον. καὶ καθ' οὗ ἄμφω ἅμα τὰ μέρη κατηγορεῖται καὶ ἑκάτερον ἰδίᾳ, κατηγορηθήσεται καὶ τὸ ὅλον τὸ ἐκ τούτων συγκείμενον. ἐὰν δὲ ᾖ ἡ γραφὴ "καὶ καθόλου," οὕτω νοητέον· καὶ καθολικῷ λόγῳ ἄμφω ἐπὶ τοῦ αὐτοῦ κατηγορητέον, ἐφ' οὗ τὰ μέρη, ἐπὶ τούτου καὶ τὸ ὅλον, καὶ ἔμπαλιν. "ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν." τοῦτο διττῶς ἐξηγητέον. ἢ γὰρ ἐξ ἀδιαιρέτων, τουτέστιν ἐκ σημείων... ἢ οὖν οὕτως τὸ "ἐξ ἀδιαιρέτων," ἢ "ἐξ ἀδιαιρέτων" ἀντὶ τοῦ ἐξ οὐσιῶν... καὶ ἐπίτηδες οὕτως εἶπε τὸ πᾶν καὶ οὐ τὸ ὄν, πληκτικώτερον ποιῶν τὸ πᾶν, ἐπειδὴ ἐκ διωρισμένων ἐστὶ ποσῶν. τὸ οὖν πᾶν, φησίν, ὅπερ ἔφη ἓν εἶναι, καὶ οὕτως ἐκ πλειόνων οὐσιῶν ἔσται, καὶ οὐκέτι ἓν ἂν εἴη ἀλλὰ πολλά. id. ib.

ἐλέγξας τὸν Παρμενίδου λόγον αὐτὸς ὡς καὶ τὰς προτάσεις 187 *a* 1.
ψευδεῖς λαμβάνοντα (ἦν δὲ ἡ πρότασις τὸ μοναχῶς λέγεσθαι τὸ ὄν, ἤτοι τὸ παρὰ τὸ ὂν οὐκ ὄν, ἢ τὸ οὐκ ὂν οὐδέν· ταῦτα γὰρ ἰσοδυναμεῖ), καὶ ὡς ἀσυλλογίστως συνάγοντα (μὴ γὰρ ἀκολουθεῖν τὸ ἐπιφερόμενον συμπέρασμα), ἐνίους φησὶν ἀμφοτέροις ἐνδοῦναι τοῖς λόγοις, τῷ τε εἰρημένῳ παρὰ Παρμενίδου καὶ τῷ τοῦ Ζήνωνος, ὃς βοηθεῖν ἐβούλετο τῷ Παρμενίδου λόγῳ πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμῳδεῖν, ὡς εἰ ἕν ἐστι πολλὰ καὶ γελοῖα συμβαίνει λέγειν τῷ λόγῳ καὶ ἐναντία αὐτῷ, δεικνὺς ὁ Ζήνων ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις ἡ λέγουσα "πολλά ἐστιν" ἤπερ ἡ τοῦ ἓν εἶναι, εἴ τις ἱκανῶς ἐπεξίοι... ἐνδοῦναι δέ ἐστι λόγῳ τὸ συγχωρῆσαι ταῖς προτάσεσι ταῖς κατασκευαζούσαις αὐτὸν ἢ τῇ συμπλοκῇ. τὸν οὖν Πλάτωνά φησιν ἐνδοῦναι τῇ προτάσει τῇ λεγούσῃ τὸ παρὰ τὸ ὂν οὐκ ὄν (καὶ γὰρ τὴν κίνησιν καὶ τὴν στάσιν καὶ ταὐτὸν καὶ ἕτερον ἐν Σοφιστῇ τοῦ ὄντος ἕτερα εἶναί φησι), τὸ δὲ οὐκ ὂν οὐδὲν οὐκέτι συγχωρεῖν· καὶ γὰρ τὰ ἕτερα τοῦ ὄντος, κἂν μὴ ὄντα ᾖ, ἀλλ' ὅμως εἶναι φησί, καὶ ταύτῃ τὸ μὴ ὂν εἰσάγει. καὶ ὁ μὲν Ἀλέξανδρός φησιν αὐτὸν τὸ μὲν εἰ ἓν τὸ ὂν συγχωρεῖν, πάντα δὲ ἓν εἶναι μηκέτι συγχωρεῖν, τιθέντα τῶν πάντων μὴ μόνον τὸ ὄν, ἀλλὰ καὶ τὸ μὴ ὄν... ὁ δὲ Πορφύριος τὸν Πλάτωνά φησι καὶ τὸ μὴ ὂν λέγειν εἶναι, οὕτω μέντοι εἶναι ὡς μὴ ὄν... ἀλλὰ πρὸς μὲν Ἀλέξανδρον ἀρκεῖ τὴν Πλάτωνος παραθέσθαι ῥῆσιν, ἧς αὐτὸς Ἀλέξανδρος ἐμνημόνευσε, δεικνῦσαν οἶμαι σαφῶς ὡς ὁ Πλάτων οὐ τὸ ἁπλῶς μὴ ὂν ἀλλὰ τὸ τὶ μὴ ὂν εἰσῆγεν. ἔχει δὲ ἡ ῥῆσις ὧδε... ὁ δέ γε Πορφύριος ὅτι μὲν οὐ τὸ ἁπλῶς μὴ ὂν ὁ Πλάτων εἰσάγει καλῶς ἐθεάσατο, ὅτι δὲ μὴ ὂν τὸ γενητὸν ὂν ἐν Σοφιστῇ φησὶ παραδιδόναι, περὶ οὗ λέγει ἐν Τιμαίῳ "καὶ τί τὸ γινόμενον μὲν ὂν δὲ οὐδέποτε," τοῦτο ἐπιστάσεως ἄξιον εἶναί μοι δοκεῖ... τὸν δὲ δεύτερον λόγον τὸν ἐκ τῆς διχοτομίας τοῦ Ζήνωνος εἶναί φησιν ὁ Ἀλέξανδρος, λέγοντος ὡς εἰ μέγεθος ἔχοι τὸ ὂν καὶ διαιροῖτο, πολλὰ τὸ ὂν καὶ οὐκέτι ἓν ἔσεσθαι, καὶ διὰ τούτου δεικνύντος ὅτι μηδὲν τῶν ὄντων ἐστὶ τὸ ἕν. περὶ δὲ τοῦ λόγου τούτου καὶ διὰ τῶν ἔμπροσθεν εἰρηκέναι φησὶ τὸν Ἀριστοτέλην, ἐν οἷς ἔλεγεν "ἐθορυβοῦντο δὲ καὶ οἱ ὕστερον τῶν ἀρχαίων" (p. 185 *b* 26). οὗ καὶ τὴν λύσιν παρέθετο διὰ τοῦ "ὥσπερ οὐκ ἐνδεχόμενον ἓν καὶ πολλὰ ταὐτὸν εἶναι, μὴ τὰ ἀντικείμενα δέ. ἔστι δὲ τὸ ὂν καὶ ἓν δυνάμει καὶ ἐντελεχείᾳ" (p. 186 *a* 1). τούτῳ δὲ τῷ λόγῳ φησὶ τῷ περὶ τὰς διχοτομίας ἐνδοῦναι Ξενοκράτη τὸν Χαλκηδόνιον δεξάμενον μὲν τὸ πᾶν τὸ διαιρετὸν πολλὰ εἶναι (τὸ γὰρ μέρος ἕτερον εἶναι τοῦ ὅλου), καὶ διὰ τὸ μὴ δύνασθαι ταὐτὸ ἕν τε ἅμα καὶ πολλὰ εἶναι, διὰ τὸ μὴ συναληθεύεσθαι τὴν ἀντίφασιν, μηκέτι συγχωρεῖν πᾶν μέγεθος διαιρετὸν εἶναι καὶ μέρος ἔχειν· εἶναι γάρ τινας ἀτόμους γραμμάς, ἐφ' ὧν οὐκέτι ἀληθεύεσθαι τὸ πολλὰς ταύτας εἶναι. οὕτω γὰρ ᾤετο τὴν τοῦ ἑνὸς εὑρίσκειν φύσιν, καὶ φεύγειν τὴν ἀντίφασιν, διὰ τοῦ μήτε τὸ διαιρετὸν ἓν εἶναι ἀλλὰ πολλά, μήτε τὰς ἀτόμους γραμμὰς πολλὰ ἀλλ' ἓν μόνον. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος, ἐφιστάνειν ἄξιον πρῶτον μὲν εἰ Ζήνωνος οἰκεῖον τοῦτο, τὸ μηδὲν τῶν ὄντων λέγειν τὸ ἕν, ὅς γε τοὐναντίον πολλὰ γέγραφεν ἐπιχειρήματα, τὸ πολλὰ εἶναι ἀναιρῶν, ἵνα διὰ τῆς τῶν πολλῶν ἀναιρέσεως τὸ ἓν εἶναι

Ἄδρασος βουλόμενος δηλῶσαι τὸ ὅπερ ὄν, παρεξῆλθεν μὲν ὀλίγον τῶν προκειμένων, χρήσιμα δὲ ὄντα τὰ παρ᾽ αὐτοῦ ῥηθέντα, ὧν καὶ Πορφύριος ἐμνημόνευσε, κάλλιον οἶμαι μὴ παραδραμεῖν... καί μοι δοκεῖ διὰ τούτων ὁ Ἀριστοτέλης τῷ Παρμενίδῃ ἐνδείκνυσθαι ὅτι βουλόμενος τὸ μὴ ὂν ἀνελεῖν, καὶ διὰ τοῦτο ἓν τὸ ὂν ὑποτιθέμενος, ἐπειδὴ τὸ παρὰ τὸ ὂν οὐδέν ἐστιν, οὐ μόνον εἰσάγει τι μὴ ὂν διὰ τῆς ὑποθέσεως, ἀλλὰ καὶ αὐτὸ τὸ ὂν μὴ ὂν εἶναι δείκνυσι. καὶ τοῦτο μὲν ἤδη καὶ παρὰ τοῦ Πλάτωνος ἐν Σοφιστῇ δέδεικται, καὶ ὅτι τὸ ὂν ἓν μέν ἐστι πολλὰ δ᾽ οὐκ ἔστιν· οὔτε γὰρ κίνησις οὔτε στάσις οὔτε ἄλλα γένη ἐστὶ τὸ ὄν. ὁ μέντοι Ἀριστοτέλης, ὅτι τοῖς λέγουσιν ἓν τὸ ὂν οὐχὶ τὶ μὴ ὂν μόνον δειχθήσεται τὸ ὄν, ἀλλ᾽ ἁπλῶς μὴ ὄν. ἐν δὲ τῇ λέξει πολλὴν ἀσάφειαν ἐποίησε τῷ ὑποθέμενον αὐτὸν οὐσίαν τὸ ὄν, πάλιν ὅτι μὴ συμβεβηκὸς δεικνύναι ἐν τῷ "τὸ γὰρ συμβεβηκός" καὶ τοῖς ἑξῆς. Simpl. f. 26 *b*.

ἀλλ᾽ οὐκ ἔχει καλῶς ἀνδρὶ παλαιῷ τοσαύτην ἐναντιολογίαν προσάπτειν, ἀλλ᾽ ἔστω· δεδόσθω τὸ ἓν αὐτὸ σημαίνειν τὸ μάλιστα ὂν καὶ τὸ ὅπερ ὂν καὶ τὴν οὐσίαν καὶ τὸ αὐτοὸν καὶ ὃ μηδαμῶς συμβέβηκεν ἄλλῳ, μᾶλλον τὸ ᾧ τὰ ἄλλα συμβέβηκεν. ἀλλὰ καὶ οὕτως αὐτὸ τὸ ὅπερ ὂν ἔσται μὴ ὄν. ἆρα γὰρ εἴποις ἂν τὸ ὅπερ ὂν τοῦτο καὶ λευκὸν καὶ μέλαν ἢ ὁτιδήποτε· ὑπάρχειν γάρ τι τῇ οὐσίᾳ δηλονότι συγχωρήσεις, εἴπερ ὑπόκειται πᾶσιν. ἔστω δὴ τὸ ὅπερ ὂν τοῦτο καὶ λευκόν. ἀλλὰ τὸ λευκὸν οὐκ ἦν ὅπερ ὄν· ἐκεῖνο μὲν γὰρ ἐσήμαινε τὴν οὐσίαν, τοῦτο δ᾽ ἐστὶ συμβεβηκός. εἰ δὲ μὴ ὅπερ ὂν τὸ λευκόν, οὐδὲ ὂν ὅλως· μόνον γὰρ ὑπόκειται εἶναι τὸ ὅπερ ὄν. οὐχ οὕτως οὖν μὴ ὂν τὸ λευκὸν ὡς πῇ μὲν εἶναι πῇ δὲ μή, ἀλλ᾽ ὡς παντελῶς μὴ εἶναι διὰ τὴν ὑπόθεσιν. Themist. f. 17 *b*.

δείξας ὅτι οὐκ ἔστιν ὡς τῷ λόγῳ ταὐτὸν ἓν τὸ ὄν, βούλεται νῦν δεῖξαι ὅτι οὐδὲ ὡς συνεχές. εἴρηται δὲ ὅτι εἰ ὡς συνεχὲς ἕν, ἢ ὡς οὐσία μόνον ἔσται, ἢ συμβεβηκὸς μόνον, ἢ μικτὸν ἐξ ἀμφοῖν. τέως οὖν ὅτι οὐ δύναται οὐσία μόνον εἶναι δείκνυσιν... οὐ γὰρ δή, φησί, τὸ συμβεβηκὸς ἂν λέγοιεν τὸ ὄν. τοῦτο δὲ ἐσήμανεν εἰπὼν "τὸ γὰρ συμβεβηκὸς καθ᾽ ὑποκειμένου τινὸς λέγεται," τουτέστιν ἐν ἄλλῳ τὸ εἶναι ἔχει. Philop. *b* p. 10.

186 *b* 4. δείξας ὅτι ἀδύνατον τὸ ὂν συμβεβηκὸς αὐτοὺς ὑποτίθεσθαι, ἀνατρέχει ἐπὶ τὸ ἐξ ἀρχῆς, ὅτι οὐδὲ οὐσίαν μίαν δυνατὸν εἶναι. διχῶς δὲ στικτέον. ἢ οὕτως "εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ συμβέβηκεν, ἀλλὰ μᾶλλον ἐκείνῳ ἕτερόν τι συμβέβηκεν," εἶτα ὑποστίξαντας ὧδε ἐπαγαγεῖν "τὸ ὅπερ ὂν σημαίνει τὸ ὂν ἢ τὸ μὴ ὄν." ἢ μᾶλλον εἰς τὸ "ἀλλ᾽ ἐκείνῳ" στικτέον, εἶτα ἐφεξῆς "τί μᾶλλον τὸ ὅπερ ὂν" καὶ τὰ ἑξῆς. ὁ δὲ νοῦς, εἰ οὖν ἀδύνατον τὸ ὅπερ ὂν συμβεβηκέναι τινί, ἀλλ᾽ ἐκείνῳ τῷ ὅπερ ὄντι συμβέβηκεν ἕτερόν τι, τουτέστι τῇ οὐσίᾳ τὸ συμβεβηκός, τί μᾶλλον τὸ ὅπερ ὄν, τουτέστιν ἡ οὐσία, τὸ ὂν ἢ τὸ μὴ ὂν σημαίνει; τουτέστιν οὐδὲν μᾶλλον ἔσται ὂν ἢ οὐκ ὂν ἡ οὐσία. πῶς δὲ τοῦτο συμβαίνει, ἐπήγαγεν. id. ib.

186 *b* 11. εἰ ἄτοπον, φησί, τὸ ὅπερ ὂν τὸ αὐτὸ καὶ μὴ ὂν εἶναι, διότι τὸ ὅπερ ὂν ἔστι καὶ λευκόν, τὸ δὲ λευκὸν μὴ ὄν ἐστι, ψεῦδος ἄρα τὸ λευκὸν μὴ ὂν εἶναι, ὂν ἄρα τὸ λευκόν· πᾶν δὲ ὂν εὐθὺς καὶ ὅπερ ὄν, ὥστε καὶ τὸ λευκὸν ὅπερ ὄν. εἰ δὲ τοῦτο, ἔστι δὲ καὶ ἡ οὐσία ὅπερ ὄν, πλείω ἄρα σημαίνει τὸ ὂν καὶ οὐχ ἕν. id. ib.

μήποτε δὲ οὐ τοῦτο αὐτοῖς ἐπάγει τὸ ἄτοπον ὁ Ἀριστοτέλης 186 *b* 12.
ὅπερ οἱ πολλοὶ τῶν ἐξηγητῶν οἴονται, τὸ μὴ ἔχειν ἂν μέγεθος τὸ ὄν, καίτοι ἄπειρον ἢ πεπερασμένον ὑπ᾽ αὐτῶν λεγόμενον (οὐ γὰρ ἠγνόει ὅτι ἀμέγεθες αὐτὸ καὶ ἀδιαίρετον ἐβούλοντο εἶναι καὶ ἀπεδείκνυσαν), ἀλλ᾽ ὅτι εἰ ἓν μόνον ὑποτεθῇ τὸ ὄν, οὐδὲν ἐν τοῖς οὖσιν ἔσται μέγεθος ἔχον, οὐδὲ ὅλον καὶ μέρη· πολὺ δὲ τοῦτο παρὰ τὴν ἐνάργειάν ἐστι διὰ τὸ τὰ αἰσθητὰ καὶ φυσικὰ πάντα σώματα εἶναι μέγεθος ἔχοντα. Simpl. f. 27 *b*.

ὁ Ἀλέξανδρός φησιν ὅτι δείξας συνεισάγεσθαι καὶ τὰ συμβε- 186 *b* 14.
βηκότα τῷ ὅπερ ὄντι, νῦν δείκνυσιν ὅτι κἂν δοθῇ αὐτοῖς τὸ ὅπερ ὂν μόνον εἶναι τῷ κυρίως τοῦτο εἶναι, τὰ δὲ συμβεβηκότα ἄλλον τρόπον, καὶ οὕτως αὐτῷ τὸ ὂν οὐχ ἓν ἔσται ἀλλὰ πολλὰ ὅπερ ὄντα· ἥ τε γὰρ ὡς μεγέθους αὐτοῦ διαίρεσις, ἧς ἐμνημόνευσεν, εἰς ὅπερ ὄντα ἔσται. ἀνάγκη δὲ καὶ κατὰ τὸν λόγον διαιρεῖσθαι εἰς ὅπερ ὄντα πλείω, τουτέστι κατὰ τὸν ὁρισμόν. id. ib.

ἀλλ᾽ οὐδὲ σῶμα ἴσως τὸ ἄπειρον οὐδὲ μέγεθος ἔχειν ἐροῦσιν, ἵνα μήτε εἰς μόρια πολλὰ διαιρεῖν ἀναγκάζωνται μήτε συμβεβηκότα προσάπτωσι. πότερον οὖν ὁριοῦνται τὸ ὅπερ ὂν καὶ λόγον τινὰ αὐτοῦ τῆς οὐσίας ἀποδώσουσιν, ἢ καὶ τοῦτο ἀφαιρήσονται; εἰ μὲν γὰρ ἀφαιρήσονται τὸν ὁρισμόν, οὐκ οἶδα τί λοιπὸν ὑπὲρ αὐτοῦ δυνήσονται λέγειν ἢ γράφειν, εἰ μήτε ὡς συμβεβηκὸς μήτε ὡς γένος μήτε ὡς εἶδος μήτε ὡς διαφορὰν μήτε ὡς ὁρισμὸν ὅλως μηδὲ ὡς ἐπιγραφὴν ἕξουσιν αὐτοῦ κατηγορίαν. εἰ δὲ ποιήσονταί τινα λόγον, τοῦτον ἀνάγκη διαιρεῖσθαι εἰς ὅπερ ὄντα... εἰ γὰρ μὴ ὅπερ ὄντα, συμβεβηκότα πάλιν γενήσεται. ἀλλ᾽ οὐκ ἐνδέχεται τινὶ συμβεβηκέναι τὰ τὸν ὁρισμὸν αὐτοῦ συμπληροῦντα. ὅτι δὲ τοῦτο ἀληθές, ῥᾳδίως οἶμαι διδάξειν. τὰ συμβεβηκότα τοίνυν ἢ τὰ τοιαῦτά ἐστιν ὡς οἷά τε ὑπάρχειν καὶ μὴ ὑπάρχειν, ὡς τὸ καθῆσθαι καὶ διαλέγεσθαι, ἢ τοιαῦτα ὡς ἐν τῷ λόγῳ τοῦ συμβεβηκότος τὸ ὑποκείμενον περιέχεσθαι, ὡς σιμότης ἐν ῥινὶ καὶ τὸ περιττὸν ἐν ἀριθμῷ καὶ τὸ ἄρτιον. Themist. f. 17 *b*.

εἴποι δὲ ἄν τις τὸ μήποτε δεῖ ὅλως ὑποτίθεσθαι εἶναι τὰ συμβεβηκότα, ἀλλὰ μόνην τὴν οὐσίαν εἶναι. διὰ τοῦτο νῦν τοῦτο προτίθεται δεῖξαι, ὅτι κἂν τὸ ὂν τὴν οὐσίαν ὑποθώμεθα εἶναι καὶ ταύτην ἀριθμῷ μίαν καὶ μηδ᾽ ὅλως ὑπάρχειν αὐτῇ τὰ συμβεβηκότα, καὶ οὕτως δειχθήσεται οὐδὲν ἧττον πολλὰ τὰ ὄντα καὶ οὐχ ἕν... ἢ οὖν εἰς τὸ "καὶ τῷ λόγῳ" ὑποστικτέον, ἵνα ᾖ, ὅτι δὲ ἡ οὐσία διαιρεῖται εἰς οὐσίας ἑτέρας διαιρούσας ἀλλήλας τῷ λόγῳ τῷ ὁριστικῷ, εἰ καὶ μὴ τῷ ὑποκειμένῳ. ἢ στικτέον εἰς "ὅπερ ὄν τι ἄλλο," εἶτα ἐφεξῆς τὸ "καὶ τῷ λόγῳ φανερόν" ἀντὶ τοῦ καὶ τῷ λόγῳ δεῖξαι δυνατὸν ὅτι ἡ οὐσία διαιρεῖται εἰς ἑτέρας οὐσίας, ὡς δὴ τούτου φανεροῦ μὲν ἐκ τῆς ἐναργείας ὄντος, δεικνυμένου δὲ καὶ λόγῳ. Philop. *b* p. 12.

καὶ εἰ συμβεβηκότα, ἤτοι αὐτῷ τῷ ἀνθρώπῳ ἢ ἄλλῳ τινί· 186 *b* 17.
ἄμφω δὲ ἀδύνατα. εἰ γὰρ συμβέβηκε τῷ ἀνθρώπῳ, ἤτοι ὡς χωριστὰ αὐτοῦ συμβέβηκεν αὐτῷ, ὡς τὸ καθῆσθαι, καὶ ἔσται ποτὲ ὁ ἄνθρωπος μὴ ζῷον ἢ μὴ πεζὸν ἢ μὴ δίπουν, ὅπερ ἄτοπον· ἢ ὡς ἀχώριστα. ἔστι δὲ ἀχώριστον συμβεβηκός, οὗ ἐν τῷ λόγῳ ὑπάρχει τὸ ᾧ συμβέβηκε· τὸ γὰρ σιμὸν ἀχώριστον συμβεβηκός ἐστι τῆς ῥινός·

χρόνου ἀρχὴν τόδε τοῦ χρόνου τὸ μέρος, ἀθρόα δὲ πάντα πάσχει τὰ μόρια τὸ πάθος. ἢ ὅτων μέρος ἀθρόως ἀλλοιοῦται, καὶ αὐτὸ ἐπ' ἄπειρον ὂν διαιρετόν, καὶ οὐ κατὰ μόριόν τι πρῶτον πάσχον, ὡς καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῷ Ζ ταύτης τῆς πραγματείας δείξει λέγων "οὐδὲ δὴ τοῦ μεταβεβληκότος ἐστὶ τὸ πρότερον ὃ μεταβέβληκεν" (p. 236 *a* 27). ἔτι δὲ σαφέστερον ἐν τῷ τελευταίῳ βιβλίῳ ταῦτα γέγραφεν, "ὁμοίως δὲ καὶ ἐπὶ ἀλλοιώσεως ὁποιασοῦν· οὐ γὰρ εἰ μεριστὸν εἰς ἄπειρον τὸ ἀλλοιούμενον, διὰ τοῦτο καὶ ἡ ἀλλοίωσις, ἀλλ' ἀθρόα γίνεται πολλάκις, ὥσπερ ἡ πῆξις" (p. 253 *b* 23). καὶ ὁ Θεόφραστος δὲ ἐν τῷ ἑνδεκάτῳ περὶ Κινήσεως τὰ αὐτὰ ταῦτα περὶ τούτου δοξάζων φαίνεται. λέγει δὲ οὕτως. Simpl. f. 23.

186a 16. ὁ Μέλισσος δείξας τὸ ἄπειρον ἐκ τοῦ μήτε ἀρχὴν μήτε τέλος ἔχειν, ἐκ δὲ τοῦ ἀπείρου τὸ ἓν εἶναι, ἐφεξῆς καὶ ὅτι ἀκίνητον δείκνυσιν, ὡς ὁ Ἀλέξανδρός φησι, τῷ τὸ κινούμενον ἢ διὰ πλήρους ὀφείλειν κινεῖσθαι ἢ διὰ κενοῦ, οὕτω δὲ καὶ ἄλλο τι ἔσεσθαι... ὅτι δὲ οὐχ ὡς Ἀλέξανδρος ἤκουσεν, οὕτως ἡ ἀπόδειξις προῆλθεν, ἐκ τοῦ τὸ κινούμενον ἢ διὰ πλήρους ὀφείλειν κινεῖσθαι ἢ διὰ κενοῦ, ἀλλ' ὅτι δεῖ αὐτὸ τὸ ὂν πλῆρες εἶναι, δηλοῖ καὶ ὁ Εὔδημος λέγων "ἀκίνητον δὲ δὴ πῶς; ἢ ὅτι πλῆρες. πλῆρες δέ, ὅτι οὐκ ἔσται ἄπειρον κενοῦ μετέχον." ἀλλ' ἐπειδὴ κἂν ἀρχαιοπρεπῶς ἀλλ' οὐκ ἀσαφῶς ταῦτα καὶ ὁ Μέλισσος ἔγραψε, παρακείσθω καὶ αὐτὰ τὰ ἀρχαῖα γράμματα πρὸς τὸ δύνασθαι τοὺς ἐντυγχάνοντας ἀκριβεστέρους γίνεσθαι κριτὰς τῶν προσφυεστέρων ἐξηγήσεων. id. f. 24.

186a 18. ἔοικε δὲ ἡ τοῦ Ἀριστοτέλους βραχυλογία σφάλλειν πολλαχοῦ τοὺς ἐξηγητάς. εἰπόντος γὰρ αὐτοῦ "ἔπειτα ἀλλοίωσις διὰ τί οὐκ ἂν εἴη;" ὁ Ἀλέξανδρος οὕτως ἐξηγεῖται ὡς Μελίσσου διὰ τὸ δεῖξαι μὴ δυνάμενον τὸ ὂν τὴν κατὰ τόπον κίνησιν κινεῖσθαι, τὸ πάντη ἀκίνητον αὐτοῦ κατηγοροῦντος (ταῦτα γὰρ αὐτῇ λέξει γέγραφεν ὁ Ἀλέξανδρος), καίτοι τοῦ Μελίσσου καὶ πρὸ τῆς κατὰ τόπον κινήσεως τὰς ἄλλας ἀναιροῦντος, ὡς ἡ προεκτεθεῖσα ῥῆσις δηλοῖ. ὡς δὲ τοῦ ἑνὸς ἀλλοιοῦσθαι καὶ ἑτεροιοῦσθαι δυναμένου, καὶ μένοντος ἔτι ἑνὸς κατὰ τὴν οὐσίαν, οὕτω νῦν ὑπήντησεν ὁ Ἀριστοτέλης, τὸ ἓν ὁλοσχερῶς κατὰ τὴν συνήθειαν λαβών. id. f. 24 *b*.

ἀλλοίωσιν δὲ ἤτοι κίνησιν οὐ νενόμικας, ἢ διὰ τί καὶ ταύτην προσαφήρησαι τοῦ ἀπείρου; οὐ γὰρ δὴ καὶ τὸ θερμαίνεσθαι καὶ τὸ ψύχεσθαι τόπου προσδεῖται. φορτικὸς οὖν, ὅπερ ἔφην, ὁ λόγος, καὶ ἐφ' ἑνὶ σαλεύων ἀτόπῳ, τῷ μοναχῶς λέγεσθαι τὴν ἀρχήν, ὅπερ εἰ μὴ συγχωροῖτο, εὐφώρατος ἡ κακουργία. Themist. f. 17.

186a 19. ἐν τοῖς καθόλου λόγοις τριῶν τοῦ ἑνὸς σημαινομένων ἀφορισθέντων, τοῦ τε κατὰ συνέχειαν καὶ τοῦ ὡς ἀδιαιρέτου καὶ τοῦ τῷ λόγῳ ἑνός, δείξας ὅτι κατ' οὐδὲν τῶν σημαινομένων τούτων ἓν εἶναι δύναται τὸ ὄν, καὶ ὑπαντήσας πρὸς αὐτοὺς τοὺς τοῦ Μελίσσου λόγους, κοινὸν οἶμαι τοῦτον ἐπάγει λόγον, ὅτι ὅλως τῷ εἴδει ἓν οὐχ οἷόν τε τὸ ὂν εἶναι, πλὴν τῷ ἐξ οὗ, τουτέστι πλὴν κατὰ τὴν ὑλικὴν αἰτίαν. κατὰ ταύτην γάρ, ὡς ὁ Ἀλέξανδρος ἐξηγεῖται, δυνατὸν τῷ εἴδει ἓν λέγειν τὸ ὄν, ὥσπερ καὶ ἄλλοι τινὲς τῶν φυσικῶν ἔλεγον. Simpl. f. 24 *b*.

φασὶ δὲ καὶ γεγράφθαι αὐτῷ (τῷ Ἀρ.) ἰδίᾳ βιβλίον πρὸς τὴν Παρμενίδου δόξαν, ὃ νῦν αἰνίττεται διὰ τοῦ εἰπεῖν "καὶ εἴ τινες ἄλλοι ἕτεροι." Philop. *b* p. 9. 186a 23.

ὅτι μηδὲ συλλογίζεται (ὁ Παρμενίδης), δῆλον ἂν γένοιτο ἐξ ὑποθέσεως, εἰ τῷ αὐτῷ σχήματι τοῦ λόγου ἕτερα λήμματα ἐναρμόσωμεν. ὑποκείσθω γὰρ ὑπὸ τοῦ ὄντος μόνον σημαίνεσθαι τὸ λευκόν, τὸ δὲ παρὰ τὸ λευκὸν μηδὲν εἶναι, καὶ πλεκέσθω παραπλήσιος ὁ λόγος. εἴ τι παρὰ τὸ λευκόν ἐστιν, οὐκ ἔστιν ἐκεῖνο λευκόν, τὸ δὲ μὴ λευκὸν οὐδέν ἐστιν. τί δὴ συνάγεται; τὸ παρὰ τὸ λευκὸν μηδὲν εἶναι. εἰ γέγονας ἐν τοῖς Ἀναλυτικοῖς, εἶδας ὅτι τοῦτο συνάγεται. ὁ δὲ ὑπάγει, μόνον τὸ λευκόν ἐστιν... τί οὖν κωλύει πολλὰ εἶναι τὰ λευκά, κύκνον, χιόνα, ψιμμύθιον, γάλα; καίτοι τί λέγω; ταῦτα μὲν διέστηκεν ἀπ' ἀλλήλων, καὶ τὸ πλῆθος εὐφώρατον ἅπαντι. ἀλλ' ἓν μόνον ἔστω τὸ λευκόν, συνεχὲς καὶ ἡνωμένον. ἀλλ' οὐδὲ τοῦτο ἕν ἐστιν, εἰ σκοπείης κατὰ τὸν λόγον, ἀλλὰ δύο τοὐλάχιστον ἐν αὐτῷ, τό τε ὑποκείμενον σῶμα καὶ ἡ λευκότης. δύο δὲ οὐχ ὡς δυνάμενα χωρὶς ἀλλήλων ὑποστῆναι ποτέ. Themist. f. 17. 186a 25.

ἐπὶ τοῦ λευκοῦ δείκνυσι τὸ ἀσυμπέραντον (ὁ Ἀρ.), νῦν μὲν ὡς συμβεβηκός τι λαμβάνων τὸ ὄν, μετ' ὀλίγον δὲ ὡς οὐσίαν, καὶ καθ' ἑκάτερον δεικνὺς μὴ δυνάμενον ἓν εἶναι τὸ ὄν... τοῦτο δέ, φησί, Παρμενίδης οὔπω εὑρά, ὅτι δυνατὸν τὰ τῇ ὑποστάσει ἓν ὄντα λόγους διαφόρους ἔχειν καὶ κατὰ τοῦτο πολλὰ εἶναι. καὶ οὐδὲν ἦν θαυμαστὸν τοὺς κανόνας τῶν λόγων μήπω τότε διακεκρίσθαι, ἀλλὰ φωραθέντας ὕστερον ἐξ αὐτῶν τῶν πραγμάτων οὕτως ἐξενεχθῆναι πρὸς πλείονα συντελοῦντας ἀκρίβειαν, ὡς καὶ ὁ Εὔδημος μαρτυρεῖ λέγων... διὰ δὲ τὴν περὶ ταῦτα ἄγνοιαν καὶ οἱ Μεγαρικοὶ κληθέντες φιλόσοφοι λαβόντες ὡς ἐναργῆ πρότασιν ὅτι ὧν οἱ λόγοι ἕτεροι, ταῦτα ἕτερά ἐστι, καὶ ὅτι τὰ ἕτερα κεχώρισται ἀλλήλων, ἐδόκουν δεικνύναι αὐτὸν αὐτοῦ κεχωρισμένον ἕκαστον. Simpl. f. 25 *b*. 186a 26.

ἐπειδὴ εἶπεν ὅτι ἕτερόν ἐστι τὸ λευκὸν τοῦ ὑποκειμένου, ἵνα μή τις ὑπονοήσῃ ὅτι τῷ εἶναι ἰδέαν τινὰ τοῦ λευκοῦ χωριστὴν καὶ οὐκ ἐν ὑποκειμένῳ τινί, ταύτῃ ἕτερός ἐστιν ὁ τοῦ λευκοῦ λόγος παρὰ τὸ ὑποκείμενον, διὰ τοῦτό φησιν ὅτι οὐκέτι χωριστόν τι εἶδος ἕτερον παρὰ τὸ λευκὸν τὸ ἐν ὑποκειμένῳ τῷ σώματι τὸ εἶναι ἔχον, ὥσπερ τυχὸν ὑποτίθεται Πλάτων. Philop. *b* p. 8. 186a 30.

δυνατὸν καὶ τὰ προσεχῶς εἰρημένα καὶ ταῦτα μὴ πρὸς Παρμενίδην λέγεσθαι μόνον ἀλλὰ καὶ πρὸς Μέλισσον. ἐπειδὴ γὰρ τῶν ὄντων τὰ μὲν οὕτως ἐστὶν ὡς συμβεβηκότα, τὰ δὲ ὡς ὑποκείμενα εἷς τὰ συμβεβηκότα συμβέβηκε, καὶ ταῦτα οὐ μόνον τὰ αὐτὰ οὐκ ἔστιν ἀλλήλοις ἀλλὰ καὶ ὑπεναντία πως, τό τε καθ' αὑτὸ ὑφεστὼς καὶ τὸ ἐν ἄλλῳ τὸ εἶναι ἔχον, ἀνάγκη τὸ ἕτερον τούτων τὸ ὂν λέγειν, ἢ τὸ συμβεβηκὸς ἢ τὸ τούτῳ ὑποκείμενον... ἅμα δὲ καὶ ἄτοπον ἦν οὕτω κλεινοῖς ἀνδράσιν ἐγκαλεῖν ὡς ἀγνοοῦσιν ὅτι τὸ συμβεβηκὸς συνάγει πάντως ἑαυτῷ καὶ ἄλλο τι ᾧ συμβέβηκε. δεῖ τοίνυν ὑποθέσθαι τὸ ὂν ἓν λέγειν αὐτοὺς τὸ κυρίως ὂν καὶ μάλιστα τὸ ὄν, καὶ ὡς ἂν Πλάτων μὲν εἴποι τὸ αὐτοόν, Ἀριστοτέλης δὲ τὸ ὅπερ ὄν· τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ κυρίως ὂν καὶ μάλιστα ὄν, ὅπερ νομίζει τὴν οὐσίαν ὡς καὶ καθ' αὑτὴν ὑφεστῶσαν καὶ τοῖς ἄλλοις τοῦ εἶναι αἰτίαν... ὁ δὲ 186a 32.

ρίαν ἐξέφυγον, κἂν εἰ ἐκκλίνοντες καὶ μεταρρυθμίζοντες τὴν λέξιν τὴν κατηγορίαν ἐποιοῦντο· πᾶν γὰρ ῥῆμα εἰς μετοχὴν καὶ τὸ ἐστιν ἀναλύεται, βαδίζει-βαδίζων ἐστίν. οἱ δὲ ἐκ τῆς Ἐρετρίας οὕτω τὴν ἀπορίαν ἐφοβήθησαν ὡς λέγειν μηδὲν κατὰ μηδενὸς κατηγορεῖσθαι, ἀλλ' αὐτὸ καθ' αὑτὸ ἕκαστον λέγεσθαι, οἷον ὁ ἄνθρωπος ἄνθρωπος καὶ τὸ λευκὸν λευκόν. καὶ οὐδὲ οὗτοι μὲν ἐξέφυγον τὴν ἀπορίαν· καὶ γὰρ ὁ ἄνθρωπος πολλά ἐστι καὶ τὸ λευκὸν πολλά, ὡς οἱ ὁρισμοὶ δηλοῦσι. καὶ τῷ ἑτέρῳ δὲ τῶν ἀτόπων περιπεπτώκασι τῷ τὸν ἀποφαντικὸν λόγον ἀναιροῦντι... τοιαύτη μὲν ἡ κατὰ τὸ πρόχειρον ἔννοια τῆς Ἀριστοτελικῆς λέξεως εἶναι δοκεῖ· τοῦ δὲ Πορφυρίου καινοπρεπῶς αὐτὴν ἐπιδραμόντος, ἄξιον ἂν εἴη μηδὲ τὰ ἐκείνῳ δοκοῦντα παραλιπεῖν, τὰ μὲν συντέμνοντα τῶν λεγομένων, τὰ δ' ἐπ' αὐτῆς τῆς λέξεως παρατιθέντα... τὴν τοίνυν τοιαύτην καὶ τηλικαύτην ἀπορίαν μόνος ὁ Ἀριστοτέλης συνοῖδεν ὅπως λύειν χρή· τὰ γὰρ ὄντα φησὶ μὴ ὁμοίως ὄντα εἶναι, διὸ μὴ εἶναι αὐτῶν γένος τὸ ὄν, ἀλλὰ τὸ μὲν τοιοῦτον εἶναι ὃ καὶ αὐτὸ καθ' ἑαυτὸ ὑποστῆναι δύναται, χαρακτῆρα ἐμφαῖνον ἴδιον, τὰ δὲ ὄντα μέν, οὐχ ὁμοίως δὲ μετειληφότα τοῦ ὄντος ἀλλὰ κατ' ἄλλον τρόπον τῷ ἐν ἐκείνοις εἶναι καὶ ἠρτῆσθαι ἀπ' ἐκείνων πρὸς τὸ εἶναι· ὁ μὲν γὰρ πατήρ τε καὶ ὁ υἱὸς κατὰ τύχην ὑπέστησαν, καὶ ὁ δεσπότης καὶ ὁ δοῦλος. διὸ πολλαχῶς ἔφη τὸ ὄν, πλὴν ὅτι τὰ ἄλλα ἐπὶ τῇ οὐσίᾳ συμβέβηκε, καθ' ἣν καὶ χαρακτηρίζεται τὸ ὑποκείμενον. διὸ εἰ μὲν ἀνῄρουν τὰ ἄλλα, καθάπερ οἱ ἀπὸ τῆς Στοᾶς ἐποίουν, πλὴν τὰ ἐναργῆ· ὁ δὲ ὁμοίως τῇ οὐσίᾳ καταλιπὼν ἓν μᾶλλον ἁμαρτάνει· πολλὰ γὰρ ποιήσει τὰ ὄντα καὶ σωρεύσει, ὥσπερ τὰ ἄτομα σώματα. ὁ δὲ πῶς μὲν λέγων εἶναι, τῷ ἐπὶ τῇ οὐσίᾳ θεωρεῖσθαι καὶ μετ' ἐκείνην εἶναι, πῶς δὲ μὴ εἶναι, τῷ μὴ ἄνευ αὐτῆς ὑποστῆναι δύνασθαι, οὗτος ἐπειλήπται τοῦ ὀρθοῦ... ὅπερ ἴσως καὶ νῦν ᾐνίξατο, μηδὲν ἄτοπον εἰπὼν τὸ αὐτὸ ἓν καὶ πολλὰ εἶναι, πολλὰ μὲν κατὰ τοὺς πολλῶν συμβεβηκότων λόγους, ἓν δὲ κατὰ τὸ ὑποκείμενον καὶ τὴν οὐσίαν, ὅπερ αὐτὸ μόνον ἓν πολλά ἐστι κατ' ἐκεῖνο... ὥστε εἰ μέλλει καὶ ἡ ἀπὸ τῶν συμβεβηκότων ἀπορία λύεσθαι, καλῶς ὁ Πορφύριος τὸ ὑπὸ τοῦ Ἀριστοτέλους ᾐνιγμένον διὰ τοῦ "ὡς μοναχῶς λεγομένου ἢ τοῦ ἑνὸς ἢ τοῦ ὄντος, πολλὰ δὲ τὰ ὄντα" ἐνόησέ τε καὶ ἐξέφηνεν, ἐνδειξαμένου μέν πως καὶ τοῦ Εὐδήμου τὸ τοιοῦτο, καὶ αὐτοῦ δὲ τὴν λύσιν εἰς τὸ δυνάμει καὶ ἐνεργείᾳ κατακλείσαντος. οὐδὲν δὲ ἴσως χεῖρον καὶ τὰ Εὐδήμου παραθέσθαι... ταῦτα οὖν τοῦ Εὐδήμου λέγοντος ὁ Ἀλέξανδρος Πλάτωνά φησιν εἶναι τὸν τὴν λέξιν μεταρρυθμίζοντα τῶν συμβεβηκότων, καὶ ἴσως διότι ὁ Εὔδημος μετὰ τοὺς ἀφαιροῦντας τὸ ἐστι τῆς δόξης ταύτης ἐμνήσθη. ὅτι δὲ οὐκ ἦν τῶν ἐπὶ τῇ ἀπορίᾳ θορυβηθέντων ὁ Πλάτων, οὐδὲ τοῦτον ὁ Ἀριστοτέλης αἰνίττεται, δῆλον ἐξ ὧν ἐν Φιλήβῳ μὲν παίδων ἐρεσχελούντων ἀδολεσχίαν εἶναι τὴν τοιαύτην ἀμφισβήτησιν φησίν, ἐν Σοφιστῇ δὲ (p. 251) καὶ τὴν ὅλην ἀπορίαν σαφῶς ἐκτίθεται καὶ διαπαίζει πάνυ τοὺς ἐσπουδακότας περὶ αὐτήν, γράφων οὕτως. Simpl. f. 20.

185 b 28. Πλάτων δὲ μετερρύθμιζε τὸν λόγον, ἀντὶ τοῦ λευκός ἐστι λέγων λελεύκωται. ἡμεῖς δέ φαμεν ταὐτὸν εἶναι δύνασθαι ἕν τε καὶ οὐχ ἕν, ἀλλ' οὐ κατὰ ταὐτὸν οὐδὲ ἅμα· τοῦτο μὲν γὰρ ἀμήχανον ὄντως. Themist. f. 16 *b*.

ὡς Μενέδημος ὁ Ἐρετριεύς. καὶ ὁ μὲν Ἀριστοτέλης ἀνωνύμως εἶπε, τινὲς δὲ ὑπενόησαν εἰς τὸν Πλάτωνα αὐτὸν αἰνίττεσθαι, παντελῶς ἄπειροι ὄντες καὶ αὐτῆς τοῦ Πλατωνικῆς λέξεως. Philop. *b* p. 3.

186 a 4. τὴν καθολικὴν ἀναίρεσιν τῆς ὑποθέσεως προλαβών, ἵνα μὴ δοκῇ διὰ σαθρότητα τῶν παριστάμενων αὐτῇ λόγων ἐλέγχεσθαι, μέτεισι λοιπὸν ἐπὶ τὸ καὶ τοὺς λόγους διελέγχειν αὐτούς, οἷς πιστεύοντες ἓν ἀπεφήναντο τὸ ὄν. Simpl. f. 22.

186 a 5. τὸ μὲν οὖν ἀσυλλόγιστον αὐτοῖς ἐγκαλεῖ, διότι ἀμφότεροι κακῶς τῇ ἀντιστροφῇ ἐχρήσαντο, ἐκ τοῦ ἡγουμένου ποιησάμενοι αὐτήν. καὶ γὰρ καὶ ὁ Παρμενίδης τῷ αὐτῷ τῆς ἀντιστροφῆς ἐχρήσατο τρόπῳ· τὸ παρὰ τὸ ὂν γάρ, φησίν, οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, τὸ ὂν ἄρα ἕν. συνήγετο μὲν γὰρ ἐκ τῶν προτάσεων τὸ παρὰ τὸ ὂν ἄρα οὐδέν· ὁ δὲ τὸ συμπέρασμα τοῦτο ἀντιστρέψας ἐκ τοῦ ἡγουμένου ἀντέστρεψε, δέον ἐκ τοῦ ἑπομένου. Philop. *b* p. 7.

186 a 10. τὸ μὲν οὖν ἀσυλλόγιστον ἐκ τοῦ τὴν ἀκολουθίαν ἀνάπαλιν ἢ ἐχρῆν λαβεῖν ᾐτιάσατο· οὐ γὰρ ἕπεται τῷ τὸ γενόμενον ἀρχὴν ἔχειν τὸ τὸ μὴ γενόμενον ἀρχὴν μὴ ἔχειν, ἀλλὰ τὸ τὸ μὴ ἔχον ἀρχὴν οὐ γέγονεν· ἐν γὰρ τοῖς συνημμένοις τότε ὑγιὴς ἡ κατὰ ἀντιστροφὴν ἀκολουθία, ὅταν τὸ ἀντικείμενον τοῦ ἑπομένου λαβόντες ἐπενέγκωμεν τὸ τοῦ ἡγουμένου ἀντικείμενον... ὁ μέντοι Εὔδημος καὶ διὰ τούτων τῶν λημμάτων οὐδὲν ἄλλο δείκνυσθαί φησιν ἢ ὅπερ ἐξ ἀρχῆς, ὅτι τὸ ὂν ἀγένητόν ἐστιν· ἡ γὰρ ὑγιὴς ἀντιστροφή ἐστι, τὸ μὴ ἔχον ἀρχὴν ἀγένητόν ἐστι, τὸ δὲ ὂν ἀρχὴν οὐκ ἔχει. λέγει δὲ οὕτως. Simpl. f. 22 *b*.

186 a 11. καὶ τοίνυν ὅταν λέγῃ Μέλισσος ἅπαν τὸ γενόμενον ἀρχὴν ἔχειν, ποίαν ἀρχήν, ἐρησόμεθα αὐτόν· ἅπαν μὲν γὰρ ἀρχὴν ἔχει τὴν κατὰ χρόνον, ὃ γίνεται κατ' οὐσίαν ἁπλῶς, ὡς ἄνθρωπος ἵππος ἐλαία πλάτανος, οὐχ ἅπαν δὲ τὴν κατὰ μέγεθος, οἷον ὃ γίνεται κατ' ἀλλοίωσιν καὶ ἀθρόαν μεταβολήν· γίνεται γὰρ καὶ κρύσταλλος καὶ τυρός, οὐ μὴν ἔστι λαβεῖν ἀρχὴν τοῦ μεγέθους, ὅθεν ἤρξατο πρῶτον τῆς πήξεως. πάλιν δέ, ὅταν ἐπαγάγῃ τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει, παραπλησίως ἐξεταστέον, τίνα λέγει τὴν ἀρχήν; τὴν μὲν γὰρ κατὰ χρόνον οὐκ ἔχει τὸ μὴ γενόμενον, τὴν κατὰ μέγεθος δὲ οὐδὲν κωλύεται ἔχειν. Themist. f. 17.

186 a 13. δείξας τὸ τῆς συμπλοκῆς ἀσυλλόγιστον ἐφεξῆς τὸ ψεῦδος διαβάλλει τῶν λημμάτων, τὸ συνημμένον αἰτιώμενος, τὸ τὸ γενόμενον ἀρχὴν ἔχειν ὡς ἀληθὲς ὑποτιθέμενον μὲν ἐπὶ τῆς χρονικῆς, μεταλαμβανόμενον δὲ ἐπὶ τῆς κατὰ τὸ πρᾶγμα ἀρχῆς καὶ παρὰ τὴν ἐπωνυμίαν σεσοφισμένον... ἐπειδὴ δὲ καὶ τὰ ἀλλοιούμενα γίνεσθαι λέγεται, καὶ γένεσίς τις ἐστὶ καὶ ἡ ἀλλοίωσις (γίνεται γὰρ θερμὸν ἐκ ψυχροῦ καὶ λευκὸν ἐκ μέλανος), ἐπὶ τούτων οὐκ ἀληθὲς ὅτι πᾶν τὸ γινόμενον ἀρχὴν ἔχει τὴν κατὰ τὸ πρᾶγμα, ἀλλ' ἔνια καὶ ἀθρόως καθόλου τὰ μέρη αὐτῶν ἄρχεται ἀλλοιοῦσθαι, ὡς ἔχει τὰ πηγνύμενα, ὧν οὐκ ἀπό τινος μέρους ἡ κατὰ πῆξιν ἄρχεται μεταβολή, ἀλλ' ἀθρόως ἄρχεται καὶ προκόπτει κατ' αὐτὴν ἀθρόως πάντα, τοῦ ἀθρόου, ὡς οἶμαι, οὐ τὸ ἄχρονον δηλοῦντος, ὡς ὁ Πορφύριος ἤκουσε καὶ πειρᾶται ἄχρονον κατασκευάζειν τὴν ἀλλοίωσιν, ἀλλὰ τὸ ὁμοῦ πάντων τῶν μερῶν· ἡ γὰρ πῆξις καὶ ὁ φωτισμὸς τοῦ ἀέρος οὐκ ἄχρονος γίνεται, ἀλλ' ἔχει τὴν κατὰ

τὸ ἓν λέγον ὅπερ ἦν τὸ ὄν. ἐπειδὴ δὲ ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος καὶ δι' οἰκείων ἐπιχειρημάτων ἀντιλέγειν ἀξιοῖ τοῖς ἓν τὸ ὂν λέγουσι, φέρε συντόμως ἴδωμεν πῇ καὶ αὐτὸς εὖ λέγειν δοκεῖ καὶ ἡ παλαιὰ σοφία μένει ἀνέλεγκτος. id. f. 17.

185 b 5. οἰκείᾳ τοῦ ἑνὸς χρῆται διαιρέσει, οὐκ ἀρεσκόμενος οἶμαι τοῖς ὑπὸ τοῦ Πορφυρίου λεγομένοις ἐνταῦθα. λέγει γὰρ ὅτι καὶ τὸ ἓν πολλὰ σημαίνει, πρῶτον μὲν ὅσα καὶ τὸ ὄν, καὶ διελομένοις τὸ ἓν εἰς τὰ αὐτὰ τῷ ὄντι παραπλησίως ἔστιν ἐπιχειρεῖν, ἀπαιτοῦντας πῶς ἓν λέγουσιν εἶναι τὸ ὄν, πότερον ὡς οὐσίαν ἢ ὡς ποιὸν ἢ κατά τι τῶν ἄλλων. ἀκριβέστερον γὰρ ὁ Ἀριστοτέλης ἄλλην μὲν τοῦ ὄντος ἄλλην δὲ τοῦ ἑνὸς τῶν σημαινομένων οἰκείαν πεποίηται τὴν διαίρεσιν. τὸ γὰρ ἓν ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ ἓν ἔσται. ἀλλὰ τὸ μὲν γένει ἢ εἴδει ἓν οὐκ ἠξίωσεν ὁ Ἀριστοτέλης θεῖναι νῦν, ὡς προφανῶς εἰσάγοντα τὸ πλῆθος... τὸ δὲ ἐν τῷ ἀριθμῷ καὶ αὐτὸ πολλαχῶς λέγεται· ἢ γὰρ ὡς τὸ συνεχές, ὡς μίαν εἴποιμι ἂν τὴν γραμμήν, ἢ ὡς τὸ ἀδιαίρετον φύσει, ὡς τὸ σημεῖον καὶ ἡ μονάς, ἢ ὡς τὰ τὸν αὐτὸν ἔχοντα λόγον κἂν ὀνόμασι διαφέρῃ, ὡς λώπιον καὶ ἱμάτιον. κατ' ἄλλην δὲ πάλιν διαίρεσιν τὸ μὲν δυνάμει ἓν λέγεται τὸ δὲ ἐνεργείᾳ... διὰ δὴ ταῦτα εἰ μὲν ὡς συνεχὲς ἐροῦσι τὸ ὂν ἕν, ἔσται ἐνεργείᾳ μὲν ἓν δυνάμει δὲ πολλὰ καὶ ἄπειρα... εἰ δὲ οὕτως ἓν τὸ ὂν ὡς ἀδιαίρετον, ἐπεὶ τὸ ἀδιαίρετον πολλαχῶς, οἷον τὸ μήπω διῃρημένον οἷόν τε δὲ διαιρεθῆναι, καθάπερ ἕκαστον τῶν συνεχῶν, ἢ τὸ μηδὲ ὅλως πεφυκὸς διαιρεῖσθαι τῷ μὴ ἔχειν μέρη εἰς ἃ ἂν διαιρεθῇ, ὥσπερ στιγμὴ καὶ μονάς, ἢ τὸ μόρια μὲν ἔχον καὶ μέγεθος, ἀπαθὲς δὲ ὂν διὰ στερεότητα καὶ ναστότητα, καθάπερ ἑκάστη τῶν Δημοκρίτου ἀτόμων. εἰ μὲν οὖν ὡς τὸ συνεχὲς ἓν τὸ ὄν, πολλὰ πάλιν ἔσται τὸ ὄν· εἰ δὲ ὡς ἡ ἄτομος, πρῶτον μὲν ἄτοπον καὶ ἀπεμφαῖνόν ἐστι τὸ μίαν λέγειν ἄτομον τὰ πάντα, εἶτα καὶ αὐτὴ συνεχὴς καὶ διαιρετὴ ἐπ' ἄπειρον... κἀνταῦθα δὲ ὁ Ἀριστοτέλης τοῦτο μόνον τοῦ διαιρετοῦ τὸ σημαινόμενον ἀντιλογίας ἠξίωσεν, ὡς τῶν ἄλλων εὐδιαλύτων ὄντων. καὶ πρὸς τοῦτο δὲ οὐχ ὡς πρὸς σημεῖον ἀντεῖπεν, ὥσπερ οἱ ἐξηγηταί, ἀλλ' ὡς πρὸς τοιοῦτον οἷον ἂν ὑπέθεντο καὶ οἱ περὶ Παρμενίδην, τὸ ἄποσόν τε καὶ ἄποιον... αὐτὸς δὲ πρὸς τὸ πρῶτον τμῆμα τῆς διαιρέσεως τὸ οὕτως ἓν τὸ ὂν ὡς συνεχὲς λέγον ἀπαντήσας, πρὸ τοῦ τὰ λοιπὰ διαλῦσαι, ἀπορίαν τινὰ παρεμβαλὼν περὶ τοῦ ὅλου καὶ τοῦ μέρους, εἰ ταὐτὸν ἢ ἕτερόν ἐστι, μᾶλλον δὲ εἰ ἓν ἄμφω, ἀσαφέστερον τὸν λόγον πεποίηκε. τὴν δὲ ἀπορίαν ταύτην Πορφύριος προβεβλῆσθαί φησιν ὥς τινων ἐνστησομένων αὐτῷ τρεῖς εἰπόντι τρόπους τῆς τοῦ ἑνὸς ὑποστάσεως καὶ μὴ προστιθέντι τὸν τέταρτον, ὅν τινες εἰσῆγον, νομίζοντες τὸ μέρος τὸ μὴ συνεχὲς ἄλλῳ μέρει καὶ τὸ ὅλον ταὐτὸν εἶναι... ὁ δὲ Ἀλέξανδρος λῦσαι τὴν περὶ τοῦ μέρους καὶ τοῦ ὅλου ἀπορίαν φησὶν αὐτὸν τὴν λέγουσαν τὸ μέρος τῷ ὅλῳ ταὐτὸν εἶναι, ἵνα δείξας μὴ ὂν ταὐτὸν βεβαιότερον ἔχῃ, ὅτι οὐ μόνον διαιρεθέντα τὰ μέρη ἀπὸ τοῦ ὅλου πλείω γίνεται, ἀλλὰ καὶ ἐν τῇ συνεχείᾳ λαμβανόμενα, εἴγε καὶ ἀλλήλων καὶ τοῦ ὅλου ἕτερά ἐστιν. τὸ δὲ "ἴσως" οὐ πρὸς τὸν λόγον, καίτοι πρὸς λόγον ὄντων τῶν εἰρημένων, λέγεσθαί φησι, διότι ἱκανὰ ἦν τὰ προλελεγμένα τοὺς οὕτως ἓν τὸ ὂν λέγοντας ὡς συνεχὲς διελέγξαι. ἴσως δὲ ὅτι ἡ ἐφ' ἑκάτερα ἀπορία τοῦ λόγου ἐξωτερική τις ἦν, ὡς Εὔδημός φησι, διαλεκτικὴ μᾶλλον οὖσα... ὁ μέντοι Εὔδημος ὅτι μὲν διὰ τὸ δειχθῆναι τὸ συνεχὲς μὴ ὂν ἓν εἴρηται, σαφῶς λέγει, μερῶν δὲ καὶ αὐτὸς ποτὲ μὲν διωρισμένων ποτὲ δὲ συνεχῶν μέμνηται, ἔχει δὲ οὕτως ἡ τοῦ Εὐδήμου λέξις. id. f. 17 *b*.

"καὶ εἰ τῷ ὅλῳ" κτλ. εἰ μὲν γάρ, φησί, ταὐτὰ τὰ μέρη τῷ 185 b 15.
ὅλῳ εἴποιμεν, συμβήσεται καὶ ταὐτὰ εἶναι ἀλλήλοις· τὰ γὰρ τῷ αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις ταὐτά ἐστι. cod. Vat. 1028.

ἀλλ' ὡς ἀδιαίρετον δεῖ λαμβάνειν τὸ μέρος τοῦ ὅλου; ταύτῃ γὰρ λέγεται συνεχές, ᾗ κατ' ἐνέργειάν ἐστιν ἕν. ἀλλὰ πρῶτον μὲν οὐδαμῶς διαστέλλονται τὸ κατ' ἐνέργειαν τοῦ δυνάμει. ἔπειτα, συγκεχωρήσθω γὰρ αὐτοῖς τοῦτο, ἐκεῖνό γε πάντως ὁμολογήσουσιν, ὅτι συνεχῆ τε καὶ ἡνωμένα οὐχ ὁμοιομερῆ μόνον ἐστίν, πλεῖστα δὲ καὶ ἀνομοιομερῆ, τὰ σώματα λέγω τῶν ζῴων καὶ τῶν φυτῶν· ἥνωται γὰρ καὶ τούτων τὰ μέρη, καὶ οὐ σύγκειται ὥσπερ σωρός. διὰ τί οὖν, εἰ τῆς γραμμῆς τὸ μέρος ἕν τε καὶ ταὐτὸν τῇ γραμμῇ, ὅτι μὴ διῄρηται τῆς ὅλης, οὐκ ἔσται καὶ ἡ χεὶρ ταὐτὸν Σωκράτει, καὶ ὁ ποὺς δὲ ὁμοίως; ὁ γὰρ αὐτὸς λόγος. εἰ δ' ἄμφω τὰ αὐτὰ τῷ αὐτῷ, καὶ ἀλλήλοις δήπου τὰ αὐτά. ἔσται οὖν ταὐτὸν ποὺς χεὶρ ὀφθαλμὸς Καλλίας. τοῦτο τὸ ζήτημα κατ' ἰδίαν ἐτύγχανε λόγου παρὰ τοῖς πάλαι, πότερον ταὐτὸν τῷ ὅλῳ τὸ μέρος ἢ ἕτερον· ἀπήντα γὰρ ἄτοπον ἐξ ἑκατέρου. Themist. f. 16 *b*.

ἰστέον οὖν ὅτι τὸ ὅλον πῇ μὲν ταὐτόν ἐστι τοῖς μέρεσι πῇ δὲ ἕτερον. ἕτερον μὲν γάρ ἐστι τῶν μερῶν ὡς ἐπιγινόμενον τῇ πάντων συνθέσει καὶ ἀποτέλεσμα αὐτῆς ὄν, ταὐτὸν δὲ πάλιν τοῖς μέρεσι τὸ ὅλον ὡς μηδενὸς ἐπιγινομένου ἔξωθεν τῶν μερῶν εἰς τὴν τοῦ ὅλου ὕπαρξιν... τὸ μὲν ἓν ἀντὶ τοῦ ταὐτὸν ἔθηκε, τὸ δὲ πλείω ἀντὶ τοῦ ἕτερον, "καὶ πῶς ἓν ἢ πλείω" ἀντὶ τοῦ καὶ πῶς ταὐτὸν ἢ πῶς ἕτερον. καὶ περὶ τῶν μερῶν τῶν μὴ συνεχῶν λέγει, ἢ τῶν κατὰ παράθεσιν ἢ τῶν ἀφεστηκότων... εἰ ἑκάτερον, φησί, τῶν μερῶν ταὐτόν ἐστι τῷ ὅλῳ διότι ἀδιαίρετόν ἐστι, πρόδηλον ὅτι καὶ αὐτὰ ἑαυτοῖς ταὐτά εἰσιν. τὸ οὖν "ὡς ἀδιαίρετον" αἰτίας ἐστὶν ἀπόδοσις διὰ τί τῷ ὅλῳ τὸ μέρος ταὐτόν. τὸ δὲ "ἑκάτερον" ἀντὶ τοῦ ἕκαστον, τουτέστιν, εἰ διὰ τὸ ἀδιαίρετα εἶναι τοῦ ὅλου τὰ μέρη ἕκαστον τῶν μερῶν τῷ ὅλῳ ἐστὶ ταὐτόν· τὸ γὰρ ἓν πάλιν ἀντὶ τοῦ ταὐτὸν κεῖται, καὶ τὰ μέρη αὐτὰ ἑαυτοῖς, τουτέστιν ἀλλήλοις, ταὐτὰ ἔσται. οὐκοῦν ἡ κεφαλὴ τῇ χειρὶ ἡ αὐτὴ ἔσται. Philop. *b* p. 2.

ὁ Λυκόφρων ἀφῄρει τὸ ἐστι τῶν κατηγορημάτων, λέγων Σω- 185 b
κράτης λευκός, ὡς αὐτῶν καθ' αὑτὸ τῶν συμβεβηκότων ἄνευ τοῦ 25.
ἐστι μὴ ποιούντων ὄντος προσθήκην. καίτοι, εἰ μὴ προσθήκην ἐποίει, ταὐτὸν ἂν ἦν Σωκράτης λέγειν καὶ Σωκράτης λευκός. ἔπειτα ἡ τοιαύτη προφορὰ ἀποφαντικὸν λόγον οὐ ποιεῖ· οὔτε γὰρ ἀλήθειαν οὔτε ψεῦδος δηλοῖ· οὐ μέντοι οὐδὲ ἄλλο εἶδος λόγου ποιεῖ, οὐδὲ λόγος ἔσται... ἄλλοι δὲ ἀποφαντικὸν λόγον ποιεῖν βουλόμενοι εἰς ῥήματα μετέπλαττον τὰ κατηγορούμενα, ἄνθρωπος οὐ λευκός ἐστι λέγοντες ἀλλὰ λελεύκωται, καὶ οὐ βαδίζων ἐστὶν ἀλλὰ βαδίζει, ἵνα μὴ τὸ ἐστι προσάπτοντες πολλὰ ποιῶσι τὸ ἕν, ἀλλ' ἢ δηλοῦν ὅτι ὑφειμένην ἔχει φύσιν τὰ συμβεβηκότα, ὥσπερ καὶ τὸ ῥῆμα ἐνέργειαν ἢ πάθος δηλοῖ, ὑφειμένα τῆς οὐσίας ὄντα. καὶ δηλονότι οὐδὲ οὗτοι τὴν ἀπο-

185 a 17. διχῶς στίξας ὁ Ἀλέξανδρος διττὴν ἐποιήσατο τὴν ἐξήγησιν· πρῶτον μὲν ἀκούσας ὅτι περὶ φύσεως μὲν λέγουσιν οὗτοι, οὐ φυσικὰ δὲ τὰ ὑπ' αὐτῶν λεγόμενα· ὁ γὰρ ἀναιρῶν τι, εἰ καὶ μὴ χρῆται ἐκείνῳ, ἀλλ' οὖν περὶ ἐκείνου τοὺς λόγους ποιεῖται. τῷ οὖν ὅλως περὶ φύσεως αὐτοῖς γεγονέναι τοὺς λόγους εὔλογον ἂν εἴη λέγειν τι τῶν φυσικῶν πρὸς αὐτούς· καθόσον δὲ οὐ φυσικὰ λέγουσι, πρὸς ὀλίγον ἐνδιατρίψει τοῖς πρὸς αὐτοὺς λόγοις. καὶ ταύτῃ ἔοικεν ἀρέσκεσθαι τῇ στιγμῇ καὶ ὁ Πορφύριος οὕτως ἐπιτρέχων τῇ λέξει... καὶ ἔχει πολὺν λόγον ἡ ἐξήγησις, εἴπερ, ὡς καὶ πρότερον ἔφην, ὁ Μέλισσος καὶ τὴν ἐπιγραφὴν οὕτως ἐποιήσατο τοῦ συγγράμματος, περὶ Φύσεως ἢ περὶ τοῦ Ὄντος. ἔστι δέ, φησὶν ὁ Ἀλέξανδρος, τὴν προειρημένην λέξιν καὶ οὕτω διαστέλλειν, "οὐ μὴν ἀλλ' ἐπειδὴ περὶ φύσεως μὲν οὔ," εἶτα ἀπὸ ἄλλης ἀρχῆς "φυσικὰς δὲ ἀπορίας." ἔστι γάρ, φησίν, καὶ ὁ τρόπος αὐτῷ τῆς ἑρμηνείας οὗτος συνήθης· ἐν γοῦν Σοφιστικοῖς Ἐλέγχοις χρῆται αὐτῷ λέγων "ἔστι μὲν οὔ, φαίνεται δέ" (p. 160 b 22) καὶ πάλιν "εἰ δὲ τοῦτο ποιοῦσι μὲν οὔ, δοκοῦσι δέ" (p. 161 a 3), καὶ τὸ λεγόμενον, φησί, καταλλήλως ἂν ἔχοι· κυρίως γὰρ περί τινος λέγει ὁ διεξιὼν περὶ αὐτοῦ ὁποῖόν τι ἐστίν... καὶ ἀκόλουθον δὲ τοῖς προειρημένοις, φησί, τὸ οὕτω διαστέλλεσθαι· εἰρήκει γὰρ "τὸ μὲν οὖν εἰ ἓν καὶ ἀκίνητον τὸ ὂν σκοπεῖν οὐ περὶ φύσεώς ἐστι σκοπεῖν," ᾧ συνᾴδει τὸ "ἀλλ' ἐπεὶ περὶ φύσεως μὲν οὔ." ταύτῃ καλῶς εἰρημένῃ τῇ ἐξηγήσει συνᾴδει καὶ ἡ τοῦ Θεμιστίου παράφρασις. ἐπάγει δὲ τούτοις ὁ Ἀλέξανδρος ὅτι οὐδὲ εἰρήκασί τι περὶ φύσεως ἐκεῖνοι· οὐ γὰρ προθέμενοι περὶ φύσεως εἰπεῖν ἔπειτα ἀναιροῦσι τὴν φύσιν, ἀλλ' ἠκολούθησεν αὐτοῖς ἐξ ὧν ἔλεγον τὴν φύσιν ἀναιρεῖν. Simpl. f. 15.

οὐ μὴν ἀλλ' ἐπειδὴ περὶ φύσεως μὲν οὐδὲν λέγουσιν (πῶς γὰρ οἵ γε ἀναιροῦντες τὴν φύσιν;) φυσικὰς δὲ ἀπορίας συμβαίνει λέγειν αὐτοῖς (τὰς γὰρ ἐκ τοῦ κενοῦ καὶ τοῦ ἀπείρου καὶ τῆς κινήσεως), ἴσως ἔχει καλῶς ἐπὶ μικρὸν διαλεχθῆναι περὶ αὐτῶν. εἰ γὰρ καὶ φυσικῷ μὴ προσήκων ὁ λόγος, ἀλλὰ φιλοσόφου γε οὐκ ἀλλότριος. ἐροῦμεν δὲ πρὸς τοὺς ἄνδρας οὐχ ἵνα κινήσαντες αὐτῶν τὴν δόξαν θώμεθα οὕτω φύσιν καὶ κίνησιν (ταῦτα γὰρ ἡμῖν διὰ τὸ ἐναργὲς ὑποκείσθω), ἄλλως δὲ ἐκ περιόντος ἃ λέγουσιν ἐξεταστέον, καὶ πρῶτόν γε αὐτὴν τὴν δόξαν καθ' ἑαυτήν, χωρὶς τῶν λόγων οἷς ἐπιχειροῦσιν αὐτὴν κατασκευάζειν. Themist. f. 16.

τῷ γὰρ ἓν εἶναι τὸ ὂν ὑποτίθεσθαι καὶ ἀκίνητον ἀναιροῦσι τὴν φύσιν, τῷ δὲ ἀναιρεῖν τὴν φύσιν συμβαίνει φυσικὰς αὐτοὺς ἀπορίας λέγειν. Philop. a p. 13.

185 a 20. τὸν Παρμενίδου λόγον καὶ Μελίσσου ἐλέγχειν ὁ Ἀριστοτέλης προθέμενος πρῶτον μὲν καθολικὴν πρὸς αὐτὸν ποιεῖται ἔνστασιν, τὸ ἓν εἶναι τὸ ὄν, εἴ τις κατὰ τὸ πρόχειρον ἀκούοι, ἐκ διαιρέσεως ἀνασκευάζων, εἶτα καὶ τοὺς λόγους αὐτῶν ἀνατρέπων, εἴ τις αὐτοὺς ὡς κατασκευαστικοὺς τοῦτου ἑνὸς ὄντος ἀποδέχοιτο. γίνεται δὲ διαλεκτικὴ αὐτῷ ἡ ἐπιχείρησις ἀπὸ τῆς τῶν ὄντων διαιρέσεως ὁρμηθεῖσα... ἀλλ' ἐγὼ μὲν τῷ Πορφυρίῳ τὸ πλέον ἀκολουθῶν οὕτω τήν τε διαίρεσιν τοῦ Ἀριστοτέλους ἐποιησάμην καὶ τὴν καθ' ἕκαστον τῆς διαιρέσεως ἔνστασιν. ὁ μέντοι ἐπιμελέστατος Ἀλέξανδρος συνῆψε τὴν κατὰ τὸ ὂν καὶ τὴν κατὰ τὸ ἓν διαίρεσιν οὕτως... ὁ μέντοι Εὔδημος συντομώτερον οὕτως ἐπιχειρεῖ τῷ λόγῳ. Simpl. f. 16.

ἀρχὴ δὲ οἰκειοτάτη πασῶν, τί σημαίνει τὸ ὂν αὐτοῖς ἐρωτῆσαι, πότερον οἴονται πολλαχῶς αὐτὸ λέγεσθαι ἢ μοναχῶς. εἰ μὲν γὰρ πολλαχῶς, ὡς ἡμεῖς ἐν Κατηγορίαις ἐδείξαμεν, κατὰ τὸ ὄνομα ἂν λέγοιεν τὸ ὂν ἕν, πολλὰ δὲ κατὰ τὴν ὑπόστασιν καὶ τὰ πράγματα· εἰ γὰρ ἔσται καὶ οὐσία καὶ ποιὸν καὶ ποσόν, εἴτε καὶ ἀπολελυμένα ταῦτα ἀπ' ἀλλήλων, εἴτε σὺν ἀλλήλοις τὸ εἶναι ἔχοντα, πολλὰ τὰ ὄντα γενήσεται, κἂν μία φωνὴ πάντων κατηγορῆται· εἰ δὲ μοναχῶς, οὕτω δὲ τῷ πράγματι λέγοιεν ἂν ἓν καὶ τῷ σημαινομένῳ. ἀλλ' εἰ ἓν πρᾶγμα σημαίνει, ἢ ὡς γένος ἓν ἂν σημαίνοι ἢ ὡς εἶδος ἢ ὡς ἄτομον. ἀλλ' εἴτε ὡς γένος, πολλὰ τὰ ὄντα, εἴτε ὡς εἶδος, ὁμοίως· κατὰ γὰρ πλειόνων καὶ διαφερόντων ταῦτα κατηγορεῖται. λείπεται τοίνυν ὡς ἄτομον ἓν εἶναι τὸ ὄν, ὡς ὁ Καλλίας, ὡς ὁ Βουκέφαλος ἵππος, ὡς τοδὶ τὸ μέλαν. πότερον οὖν οὐσίαν τοῦτο ἐροῦσιν ἢ συμβεβηκός; οἴονται μὲν γὰρ συμβεβηκός. Themist. f. 16.

τινὲς ὑπέλαβον διὰ τούτων τὸ καθόλου μόριον τῆς διαιρέσεως αὐτὸν ἐκτίθεσθαι, καὶ διὰ μὲν τοῦ εἰπεῖν "πότερον ὡς οὐσίαν ἅπαντα ἢ ποσὰ ἄττα ἢ ποιά" τὸ κατὰ γένος ἓν λέγειν, διὰ δὲ τοῦ "καὶ πάλιν πότερον οὐσίαν, μίαν δὲ πάντα, οἷον ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα" τὸ κατὰ τὸ εἶδος ἕν· τὸ γὰρ μερικὸν μετ' ὀλίγα ἐκτίθεσθαι ἔνθα λέγει (p. 185 b 7) "λέγεται δὲ ἓν ἢ τὸ συνεχὲς ἢ τὸ ἀδιαίρετον ἢ οὗ ὁ λόγος ὁ αὐτός." ἡμεῖς δέ φαμεν ὅτι ἐπειδὴ ὅταν ἀκούσωμεν ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα, εὐθὺς ἡ διάνοια ἡμῶν εἰς τὸ μερικὸν ἀναφέρεται, διὰ τοῦτό φαμεν ὅτι διὰ μὲν τοῦ "πότερον ὡς οὐσίαν πάντα ἢ ποσὰ ἄττα ἢ ποιά" τὸ καθόλου αὐτὸν ἐκτίθεσθαι κοινῶς τό τε κατὰ τὸ γένος καὶ τὸ κατὰ τὸ εἶδος, διὰ δὲ τοῦ "οἷον ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα" τὸ μερικόν. ἐφεξῆς δέ, ὥσπερ ἤδη εἶπον, αὐτὸ τὸ μερικὸν διαιρεῖ. Philop. a p. 15.

185 a 30. "εἰ δεῖ ἄτοπον λέγειν τὸ ἀδύνατον." καὶ γὰρ ἄτοπον μὲν καὶ τὸ ἁπλῶς ψεῦδος, ἐπίτασις δὲ τοῦ ψεύδους τὸ ἀδύνατον. καὶ τὸ μὲν ἄτοπον τῷ εὐλόγῳ ἀντίκειται, σημαῖνον ἤτοι τὸ παράδοξον, ὃ μὴ τοπάσαι ἄν τις, ἢ τὸ χώραν μὴ ἔχον· τὸ δὲ ἀδύνατον τῷ ἀναγκαίῳ ἀντίκειται. πῶς οὖν τοῦτο ἀδύνατον; ὅτι οὔσης μὲν οὐσίας ἤτοι ταὐτὸν ἔσται οὐσία καὶ ποιόν, ἢ ἅμα ἕν τε καὶ οὐχ ἓν τὸ ὄν. μὴ οὔσης δέ, ἐπεὶ μηδὲ ἔστι χωριστὸν τῆς οὐσίας τὸ ποιόν, οὐδ' ἂν αὐτὸ εἴη. ὡς οὖν τοῦ εὐλόγου τὸ ἀναγκαῖον ἐπίτασίς ἐστιν, οὕτω καὶ τοῦ ἀτόπου τὸ ἀδύνατον. πρῶτον δὲ εἶπε τὰ ἑπόμενα ἄτοπα τοῖς ποιὸν εἶναι λέγουσι τὰ πάντα ἤ τι τῶν ἄλλων γενῶν, εἴτε οὔσης οὐσίας εἴτε μὴ οὔσης. καὶ γὰρ οὔσης μὲν ἔσται καὶ αὐτὸ καὶ τὸ ἄλλο γένος, μὴ οὔσης δὲ χωρὶς οὐσίας ἔσται τὰ συμβεβηκότα. Simpl. f. 16 b.

185 a 32. τῷ "καθ' ὑποκειμένου" χρῆται νῦν οὐ τῷ τὸ καθόλου σημαίνοντι, ἀλλ' ἀντὶ τοῦ ἐν ὑποκειμένῳ· εἴωθε γὰρ τὰ μὴ καθ' αὑτὰ ὄντα ἀλλ' ἑτέρου πρὸς τὸ εἶναι δεόμενα καθ' ὑποκειμένου λέγειν, ὡς λεγόμενα κατὰ τῶν ὑποκειμένων· οὐ γὰρ τὰ ὑποκείμενα κατὰ τῶν συμβεβηκότων κατηγορεῖται, ἀλλὰ τὰ συμβεβηκότα κατὰ τῶν ὑποκειμένων. id. ib.

185 a 33. ἐν τισὶ δὲ τῶν ἀντιγράφων οὕτω γέγραπται "Μέλισσος δὲ τὸ ὂν ἄπειρον εἶναί φησιν· ποσὸν ἄρα τι τὸ ἕν." καὶ εἴη ἂν παρ' αὐτοῖς

ἀρχῆς τῶν ὄντων ἐζήτουν, εὐγνωμόνως τοῦτο αὐτῶν ὁ Ἀριστοτέλης ἀποδεχόμενος. Simpl. f. 10.

ὄντα γὰρ ἐνόμιζον τὰς ἀρχὰς ἐκεῖνοι, καὶ ζητοῦντες ὁπόσα τὰ ὄντα, τὰς ἀρχὰς ἐζήτουν ὁπόσας θετέον ἐστίν. Themist. f. 16.

134 b 25. διὰ τούτων, φησὶν ὁ Ἀλέξανδρος, καὶ τὸ δοκοῦν παραλελεῖφθαι πρόβλημα, εἰ εἰσὶν ὅλως ἀρχαί, προστίθησιν, ἀντιλέγων πρὸς τοὺς μηδὲ ὅλως ἀρχὴν εἶναι τιθεμένους τῶν φυσικῶν... μήποτε δὲ περιττενοημένη μᾶλλόν ἐστιν ἡ τοιαύτη ἐξήγησις· οὐ γὰρ ὅτι εἰσὶν ἀρχαὶ φυσικαί, διὰ τούτων ὁ Ἀριστοτέλης δεῖξαι προτίθεται, ἀλλ' ὁμολογούμενον τοῦτο λαβὼν καὶ κατ' αὐτούς, εἴπερ τὸ ὂν ἀντὶ τῆς ἀρχῆς ἔλεγον, ἐκ τούτου πειρᾶται τοὺς ἓν λέγοντας τὸ ὂν ὡς ἀρχὴν λέγοντας διασαλεύειν... ἀνάγκη τὰς ἑκάστων ἀρχὰς ἢ τὰς ἐπαναβεβηκυίας προσεχῶς αὐτῶν ἐπιστήμας ἐπιδεικνύναι, ὡς τὰς ἰατρικὰς τῆς φυσικῆς καὶ τὰς μηχανικὰς τῆς γεωμετρίας, ἢ πασῶν τινὰ κοινήν, οἷα ἐστὶν ἡ διαλεκτικὴ τῶν Περιπατητικῶν· καὶ γὰρ ἐν τοῖς Τοπικοῖς (I 2) χρήσιμον ἐκείνην εἶπε τὴν μέθοδον καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας... καὶ ἡ πρώτη δὲ φιλοσοφία πασῶν ἀποδείξει τὰς ἀρχάς· διὸ καὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν ἀνευφημεῖται... ζητεῖ δὲ ὁ Ἀριστοτέλης ἐν τῇ Μετὰ τὰ Φυσικὰ (B 2) πότερον τὰς ἑκάστης ἐπιστήμης ἀρχὰς καθ' ἑκάστην μία τις ἐστὶν ἡ δεικνύουσα, ἢ μιᾶς ἐπιστήμης ἐστὶ θεωρῆσαι κοινῆς τινὸς πασῶν τῶν ἐπιστημῶν. καὶ Εὔδημος δὲ ἀρχόμενος τῶν Φυσικῶν ζητεῖ μὲν φιλοκάλως τὸ πρόβλημα, τὴν δὲ λύσιν εἰς ἄλλας πραγματείας τελεωτέρας ὑπερτίθεται. λέγει δὲ οὕτως. Simpl. f. 10 *b*.

135 a 10. μᾶλλον φορτικὸν εἶναι τὸν Μελίσσου φησί, διότι μὴ μόνον ἓν οὕτος καὶ ἀκίνητον τὸ ὂν ἔλεγεν, ὥσπερ ὁ Παρμενίδης, ἀλλὰ πρὸς τούτῳ καὶ ἄπειρον αὐτὸ ἐτίθετο. τοιγαροῦν κομψῶς πρὸς αὐτοὺς ἀντειπὼν ἐπήγαγε "Μέλισσος δὲ τὸ ὂν ἄπειρον εἶναί φησιν. ποσὸν ἄρα τι τὸ ὄν." id. f. 11 *b*.

135 a 16. τὸν τετραγωνισμὸν τοῦ κύκλου πολλῶν ζητούντων (τοῦτο δὲ ἦν τὸ τῷ κύκλῳ ἴσον τετράγωνον θέσθαι) καὶ Ἀντιφῶν ἐνόμισεν εὑρίσκειν καὶ Ἱπποκράτης, ὁμοίως ψευσθέντες. ἀλλὰ τὸ μὲν Ἀντιφῶντος ψεῦδος διὰ τὸ μὴ ἀπὸ γεωμετρικῶν ἀρχῶν ὡρμῆσθαι, ὡς μαθησόμεθα, οὐκ ἔστι γεωμετρικοῦ λύειν, τὸ δὲ Ἱπποκράτους, ἐπειδὴ τὰς ἀρχὰς φυλάξας τὰς γεωμετρικὰς ἐψεύσθη, γεωμετρικοῦ λύειν... ὁ δὲ Ἀντιφῶν γράψας κύκλον ἐνέγραψέ τι χωρίον εἰς αὐτὸν πολύγωνον τῶν ἐγγράφεσθαι δυναμένων... καὶ μέντοι τέμνων ἀεὶ τὸ μεταξὺ τῆς εὐθείας καὶ τῆς τοῦ κύκλου περιφερείας ἐπίπεδον, οὐ δαπανήσει αὐτό, οὐδὲ καταλήψεταί ποτε τὴν τοῦ κύκλου περιφέρειαν, εἴπερ ἐπ' ἄπειρον ἐστὶ διαιρεῖν τὸ ἐπίπεδον. εἰ δὲ καταλαμβάνει, ἀνῄρηταί τις ἀρχὴ γεωμετρικὴ ἡ λέγουσα ἐπ' ἄπειρον εἶναι τὰ μεγέθη διαιρετά. καὶ ταύτην καὶ ὁ Εὔδημος ἀναιρεῖσθαί φησιν ὑπὸ τοῦ Ἀντιφῶντος. τὸν δὲ διὰ τῶν τμημάτων, φησί, τετραγωνισμὸν γεωμετρικοῦ διαλύειν ἐστίν· λέγοι δὲ ἂν τὸν διὰ τῶν τμημάτων τὸν διὰ τῶν μηνίσκων, ὃν Ἱπποκράτης ὁ Χῖος ἐφεῦρε· κύκλου γὰρ τμῆμα ὁ μηνίσκος ἐστίν. ἡ δὲ δεῖξις τοιαύτη... τὸ δὲ ψευδογράφημα γέγονεν παρὰ τὸ τὸ μὴ καθόλου δεδειγμένον ὡς καθόλου λαβεῖν· οὐ γὰρ ἐδείχθη πᾶς μηνίσκος τετραγωνιζόμενος, ἀλλ' ὁ περὶ τὴν τοῦ τετραγώνου πλευρὰν τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου. οὗτοι δὲ οἱ μηνίσκοι περὶ τὰς τοῦ ἑξαγώνου πλευράς εἰσι τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου. ἔστι τις καὶ τοιαύτη δεῖξις διὰ τῶν μηνίσκων τετραγωνίζειν οἰομένη τὸν κύκλον, ἁπλουστέρα καὶ οὐκ ἐλεγχομένη παρὰ τί γέγονεν ἐν αὐτῇ τὸ ψευδογράφημα... οὐχ ἱκανὸν οὖν οἶμαι τὸ εἰρημένον εἰς ἀπόγνωσιν καταστῆσαι τῆς εὑρέσεως τοῦ τετραγωνισμοῦ· καὶ γὰρ ὁ Ἰάμβλιχος ἐν τῷ εἰς τὰς κατηγορίας ὑπομνήματι τὸν μὲν Ἀριστοτέλη φησὶ μήπω ἴσως εὑρηκέναι τὸν τοῦ κύκλου τετραγωνισμόν, παρὰ δὲ τοῖς Πυθαγορείοις εὑρῆσθαι, ὡς δηλόν ἐστι, φησίν, ἀπὸ τῶν Σέξτου τοῦ Πυθαγορείου ἀποδείξεων, ὃς ἄνωθεν κατὰ διαδοχὴν παρέλαβε τὴν μέθοδον τῆς ἀποδείξεως. καὶ ὕστερον δέ, φησίν, Ἀρχιμήδης διὰ τῆς ἑλικοειδοῦς γραμμῆς καὶ Νικομήδης διὰ τῆς ἰδίως τετραγωνιζούσης καλουμένης, καὶ Ἀπολλώνιος διά τινος γραμμῆς ἣν αὐτὸς μὲν κοχλιώδους ἀδελφὴν προσαγορεύει, ἡ αὐτὴ δέ ἐστι τῇ Νικομήδους, καὶ Κάρπος διά τινος γραμμῆς ἣν ἁπλῶς ἐκ διπλῆς κινήσεως καλεῖ, ἄλλοι τε πολλοί, φησί, ποικίλως τὸ πρόβλημα κατεσκεύασαν. καὶ μήποτε οὗτοι πάντες ὀργανικὴν ἐποιήσαντο τοῦ θεωρήματος κατασκευήν. ὁ μὲν οὖν Ἀλέξανδρος οὕτως ὡς εἶπον οἴεται τὸ ψευδογράφημα ἐλέγχεσθαι, παρ' ὅσον τὸν περὶ τὴν τοῦ τετραγώνου πλευρὰν μόνον τετραγωνίσας μηνίσκον ὁ Ἱπποκράτης ὡς καὶ ἐπὶ τῆς τοῦ ἑξαγώνου πλευρᾶς αὐτῷ δεδειγμένῳ ἀπεχρήσατο. ὁ μέντοι Εὔδημος ἐν τῇ Γεωμετρικῇ Ἱστορίᾳ οὐκ ἐπὶ τετραγωνικῆς πλευρᾶς δεῖξαί φησι τὸν Ἱπποκράτη τὸν τοῦ μηνίσκου τετραγωνισμόν, ἀλλὰ καθόλου, ὡς ἄν τις εἴποι· εἰ γὰρ πᾶς μηνίσκος τὴν ἐκτὸς περιφέρειαν ἢ ἴσην ἔχει ἡμικυκλίου ἢ μείζονα ἢ ἐλάττονα, τετραγωνίζει δὲ ὁ Ἱπποκράτης καὶ τὸν ἴσην ἡμικυκλίου ἔχοντα καὶ τὸν μείζονα καὶ τὸν ἐλάττονα, καθόλου ἂν εἴη δεδειχώς, ὡς δοκεῖ. ἐκθήσομαι δὲ τὰ ὑπὸ τοῦ Εὐδήμου κατὰ λέξιν λεγόμενα, ὀλίγην τινὰ προσθεὶς σαφήνειαν ἀπὸ τῆς τῶν Εὐκλείδου στοιχείων ἀναμνήσεως, διὰ τὸν ὑπομνηματικὸν τρόπον τοῦ Εὐδήμου κατὰ τὸ ἀρχαϊκὸν ἔθος συντόμους ἐκθεμένου τὰς ἀποδόσεις. id. f. 11 *b* - 13 *b*.

τὰς ἀρχὰς φυλάττων παραλογίζεται (ὁ Ἱπποκράτης) τῷ μόνον μὲν ἐκεῖνον τὸν μηνίσκον τετραγωνίσαι, ὃς γράφεται περὶ τὴν τοῦ τετραγώνου πλευρὰν τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου, πάντα δὲ μηνίσκον οἷόν τε τετραγωνίζειν καὶ λαβεῖν εἰς ἀπόδειξιν. πρὸς Ἀντιφῶντα δὲ οὐκ ἔτι ἂν ἔχοι λέγειν ὁ γεωμέτρης, ὃς ἐγγράφων τρίγωνον ἰσόπλευρον εἰς τὸν κύκλον, καὶ ἐφ' ἑκάστου τῶν πλευρῶν ἕτερον ἰσοσκελὲς συνιστὰς πρὸς τῇ περιφερείᾳ τοῦ κύκλου, καὶ τοῦτο ἐφεξῆς ποιῶν, ᾤετό ποτε ἐφαρμόσειν τοῦ τελευταίου τριγώνου τὴν πλευρὰν εὐθεῖαν οὖσαν τῇ περιφερείᾳ. τοῦτο δ' ἦν ἐπ' ἄπειρον τομὴν ἀναιροῦντος, ἣν ὑπόθεσιν ὁ γεωμέτρης λαμβάνει. Themist. f. 16.

Ἱπποκράτης Χῖος τις ὢν ἔμπορος λῃστρικῇ νηῒ περιπεσὼν καὶ πάντα ἀπολέσας ἦλθεν Ἀθήναζε γραψόμενος τοὺς λῃστάς, καὶ πολὺν παραμένων ἐν Ἀθήναις διὰ τὴν γραφὴν χρόνον ἐφοίτησεν εἰς φιλοσόφους, καὶ εἰς τοσοῦτον ἕξεως γεωμετρικῆς ἦλθεν ὡς ἐπιχειρῆσαι εὑρεῖν τὸν κύκλου τετραγωνισμόν. Philop. *a* p. 13.

184 b 17. εἰώθασι τοὺς περί τι μέρος φιλοσοφίας σπουδάσαντας ἢ μόνον ἢ μάλιστα ἀπ' ἐκείνου καλεῖν, ὡς ἠθικὸν μὲν ἐκάλουν τὸν Σωκράτην, φυσικοὺς δὲ τοὺς περὶ Θαλῆν καὶ Ἀναξίμανδρον καὶ Ἀναξιμένην καὶ Ἀναξαγόραν καὶ Δημόκριτον καὶ τοὺς τοιούτους. παραιτοῦμαι δὲ κἀνταῦθα τὸν Ἀλέξανδρον πρότερον μὲν εἰπόντα ὅτι τοὺς φυσικοὺς ἀντιδιέστειλε πρὸς τοὺς ἓν καὶ ἀκίνητον λέγοντας, ὕστερον δὲ ὅτι ἔθος Ἀριστοτέλει φυσικοὺς καλεῖν τοὺς περὶ τῆς ἀληθείας φιλοσοφοῦντας, ἐπεὶ καὶ τῆς φυσικῆς τὸ τέλος οὐ πρᾶξις ἀλλὰ γνῶσίς ἐστιν. τίς γὰρ ἠγνόει ὅτι καὶ Παρμενίδης, πρὸς ὃν ἀντιδιεστάλθαι λέγει τοὺς φυσικούς, περὶ τῆς ἀληθείας ἐφιλοσόφει; . . . καὶ τῶν μίαν καὶ κινουμένην λεγόντων Ἀναξίμανδρος ὁ Πραξιάδου Μιλήσιος ἄπειρόν τινα φύσιν, ἄλλην οὖσαν τῶν τεσσάρων στοιχείων, ἀρχὴν ἔθετο, ἧς τὴν ἀΐδιον κίνησιν αἰτίαν εἶναι τῆς τῶν ὄντων γενέσεως ἔλεγε. καὶ Ἀναξιμένης δὲ ὁ Εὐρυστράτου Μιλήσιος καὶ αὐτὸς ἀρχὴν μίαν ἔθετο καὶ ἄπειρον, ἀέρα ταύτην λέγων, ἐξ οὗ ἀραιουμένου καὶ πυκνουμένου τὰ ἄλλα γίνεσθαι. οὔσης οὖν καὶ τοιαύτης διαιρέσεως παρῆκε νῦν αὐτὴν ὁ Ἀριστοτέλης, ὡς ὁ Ἀλέξανδρός φησι, διότι οὐδεμίαν ἡ διαίρεσις αὕτη διαφορὰν γενέσεως τοῖς ἐξ αὐτῆς γινομένοις παρέχει· οὐ γὰρ ἄλλα μὲν εἰ ἄπειρος ἄλλα δὲ εἰ πεπερασμένη γενήσεται, ὥσπερ ἄλλα μὲν εἰ μία, ἄλλα δὲ εἰ πολλαί. id. f. 9.

184 b 18. ὁ μέντοι εὐφραδὴς Θεμίστιος παραφράζων τὸ ῥητόν, καὶ τὰς πλείους ἢ κινουμένας φησὶν ἢ ἀκινήτους, καὶ ἢ πεπερασμένας κατ' ἀριθμὸν ἢ πάλιν ἀπείρους. καὶ Εὔδημος δέ, ὡς καὶ πρότερον εἶπον, ἐν τοῖς Φυσικοῖς, ὡς ἂν ποτε ὑπάρχωσιν αἱ ἀρχαί, φησίν, ἤτοι κινοῦνται ἢ ἀκίνητοί εἰσιν. καὶ δῆλον ὅτι τὴν ἀνάγκην οὗτοι τῆς ἀντιφατικῆς διαιρέσεως ἀποδεδώκασιν. . . καὶ ἔοικε, φησὶν ὁ Ἀλέξανδρος, ἀμφοτέρας τὰς διαιρέσεις ἑκατέρῳ τῶν ἐκ τῆς πρώτης διαιρέσεως μὴ προσαγαγεῖν διὰ τὸ μὴ πολλάκις περὶ αὐτῶν λέγειν, ἀλλὰ δείξας ὅτι ἐπὶ τῆς μιᾶς οὐχ οἷόν τε τὴν ἀρχὴν ἀκίνητον εἶναι, ἐκ τοῦ μᾶλλον συναποδείξει ὅτι οὐδὲ τὰς πλείους οἷόν τε εἶναι ἀκινήτους. διὸ ἐπὶ τῶν πολλῶν οὐκέτι ἐχρήσατο τῷ ἢ κινουμένας ἢ ἀκινήτους. id. f. 9 *b*.

184 b 21. τὸ "ἢ καὶ ἐναντίας" ὁ μὲν Πορφύριος καὶ ὁ Θεμίστιος ἀνταπόδοσιν οἴονται τοῦ "ἢ οὕτως ὥσπερ Δημόκριτος," περὶ Ἀναξαγόρου λεγομένην· καὶ γὰρ τῶν ἀπείρους τὰς ἀρχὰς ὑποθεμένων οἱ μὲν περὶ Δημόκριτον ὁμοουσίους τὰς ἀτόμους ὑποθέμενοι καθ' ἓν γένος τὸ πλῆρες θεωρουμένας σχήματι καὶ θέσει καὶ τάξει διαφέρειν αὐτάς φασιν, οἱ δὲ περὶ Ἀναξαγόραν καὶ ταῖς οὐσίαις ἐναντίας τίθενται· θερμότητας γὰρ καὶ ψυχρότητας, καὶ ξηρότητας καὶ ὑγρότητας, μανότητάς τε καὶ πυκνότητας, καὶ τὰς ἄλλας κατὰ ποιότητα ἐναντιότητας ἐν ταῖς ὁμοιομερείαις ἀποτίθενται, αἷς διαφέρειν τὰς ὁμοιομερείας ἀρχὰς κατ' αὐτοὺς οὔσας φασί, κυρίως τῆς ἐναντιότητος ἐν ταῖς ποιότησι θεωρουμένης, ἀλλ' οὐκ ἐν τοῖς σχήμασιν. ὁ μέντοι Ἀφροδισιεὺς Ἀλέξανδρος οἶδε μὲν καὶ ταύτην τὴν ἐξήγησιν, οὐκ ἀποδέχεται δὲ αὐτήν, ἀλλ' οἴεται μᾶλλον τὸ ὅλον περὶ Δημοκρίτου λέγεσθαι, ὡς τὰς ἀρχὰς τούτου τιθεμένου τὸ μὲν γένος (ἕν), τουτέστι κατὰ τὴν ὑποκειμένην φύσιν, σχήματι δὲ ἢ εἴδει διαφερούσας ἢ καὶ ἐναντίας. ὅτι γὰρ ὡς ἐναντίας λέγοντος τοῦ Δημοκρίτου τὰς ἀρχὰς ὁ Ἀριστοτέλης ἀπομνημονεύει, δι' ἐκείνων δηλοῖ τῶν ῥητῶν (p. 188 *a* 22) "καὶ Δημόκριτος τὸ πλῆρες καὶ τὸ κενόν, ὧν τὸ μὲν ὡς ὂν τὸ δὲ ὡς οὐκ ὂν εἶναί φησιν· ἔτι θέσει, σχήματι, τάξει. ταῦτα δὲ γένη ἐναντίων, θέσεως ἄνω κάτω, πρόσθεν ὄπισθεν, σχήματος γωνία τὸ εὐθὺ καὶ τὸ περιφερές." κἂν γὰρ αὐτὸς ὁ Ἀριστοτέλης φησὶν ἐναντίον μὴ εἶναι σχῆμα σχήματι, οὐκ ἤδη καὶ Δημόκριτον ἀνάγκη ταύτης εἶναι τῆς δόξης. οὕτω δὲ τῇ ἐξηγήσει ταύτῃ συμπέπονθεν ὁ Ἀλέξανδρος ὡς αἱρεῖσθαι δυοῖν τὸ ἕτερον λέγειν, ἢ τὴν συγγραφὴν ἡμαρτῆσθαι, περιττῶς παρεγκειμένου τοῦ ἤ, οὕτως τὴν πρὸς Δημόκριτον ἀνταπόδοσιν ἀπαιτοῦντος· ὀφείλειν γὰρ εἶναι "καὶ εἰ ἀπείρους, ὥσπερ Δημόκριτος, τὸ γένος ἕν, σχήματι δὲ ἢ εἴδει διαφερούσας, ἢ καὶ ἐναντίας." ἢ εἰ ὀρθῶς ἔχει, φησίν, ἡ γραφή, παρῆκε τὸ ἀνταποδοῦναι τοὺς λέγοντας μηδὲ τῷ γένει τὰς αὐτὰς εἶναι τὰς ἀρχάς, ὡς ἔλεγον οἱ περὶ Ἀναξαγόραν. εἰ οὖν καὶ τὸ τὰς γραφὰς ἀθετεῖν τὰς ἐν πᾶσι τοῖς ἀντιγράφοις συμφωνουμένας ἄτοπον, καὶ τὸ ἐλλιπῆ τὸν λόγον ἀποδεῖξαι καὶ κατὰ τὴν φράσιν καὶ κατὰ τὰ τμήματα τῆς διαιρέσεως, οὐχ ἧττον ἄτοπον, καὶ μάλιστα ὅτι Ἀναξαγόρου δόξα παραλιμπάνεται, πρὸς ἣν πολλοὺς λόγους ὁ Ἀριστοτέλης κατατείνει. ἀλλὰ καὶ τὸ τὴν Ἀριστοτέλους περὶ Δημοκρίτου δόξαν ἀθετεῖν, οἰομένου σαφῶς ἐναντίωσιν ἐν ταῖς ἀρχαῖς ἀποτίθεσθαι, ὅπερ οἱ ἕτεροι ποιοῦσιν ἐξηγηταί, οὐκ εὐπαράδεκτον φαίνεται. μήποτε τὸ τῷ μὲν σχήματι καὶ τῇ καθ' αὐτὸ μορφῇ διαφέρειν οἷς τοῦ Δημοκρίτου ἴδιον ἀποδέδωκε, κατ' οὐσίαν μηδὲν λέγοντος διαφέρειν τὰς ἀτόμους, τὸ δὲ μὴ διαφέρειν μόνον τὰς ἀπείρους ἀρχὰς ἀλλὰ καὶ ἐναντίας εἶναι, οὐ τῇ Δημοκρίτου μόνον θέσει ὑπάρχον ἀλλὰ καὶ τῇ Ἀναξαγόρου, κοινῶς ἀμφοτέραις ἀποδέδωκεν. id. f. 10.

ἀλλὰ Δημόκριτος μὲν μίαν οὐσίαν ταῖς ἀτόμοις ὑποτιθεὶς τοῖς σχήμασιν αὐτὰς ἐξαλλάττει μόνοις, Ἀναξαγόρας δὲ ἐν ταῖς ὁμοιομερείαις ἐναντιότητας, θερμότητας ψυχρότητας, λευκότητας μελανίας. Themist. f. 15 *b*.

γένος φησὶ τὸ ὑποκείμενον καὶ τὴν οὐσίαν τῶν ἀτόμων· ἔλεγε γὰρ μιᾶς μὲν οὐσίας εἶναι πάσας τὰς ἀτόμους, διαφέρειν δὲ ἀλλήλων τοῖς σχήμασι τῷ τὰς μὲν εἶναι σφαιρικὰς τὰς δὲ κυβικὰς ἢ πυραμοειδεῖς ἢ ἕτερόν τι τῶν σχημάτων ἔχειν. οὕτω δὲ πολλάκις καὶ ἐν τοῖς Ἀποδεικτικοῖς τὸ ὑποκείμενον γένος ὠνόμασε. "σχήματι δὲ ἢ εἴδει" ἐκ παραλλήλου τὸ αὐτό φησιν· εἴδους γὰρ λόγον ἐν ταῖς ἀτόμοις τὸ σχῆμα ἔλεγεν ἔχειν ὁ Δημόκριτος. Philop. *a* p. 11.

τοῦτο αὐτῷ τείνει πρὸς δεῖξιν τοῦ ἀναγκαῖον εἶναι τὸν περὶ τῶν 184 b 22.
ἀρχῶν λόγον, εἴπερ καὶ τοῖς μὴ περὶ τούτων προθεμένοις ὅμως ἡ ζήτησις ἡ περὶ αὐτῶν ὑπήντα πρώτη, ὡς οὐκ ἄλλως εἰσομένοις περὶ τῶν ὄντων. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος ἐξηγεῖται τὴν λέξιν, καὶ περὶ πάντων φησὶ τοῦτο λέγεσθαι τῶν φυσικῶν. μήποτε δὲ οὔτε περὶ πάντων τῶν φυσιολόγων ἐστὶν ὁ λόγος, οὔτε ὡς ἄλλα μὲν προτιθεμένων ζητεῖν, ἄλλης δὲ πρὸ ἐκείνων αὐτοῖς ζητήσεως τῆς τῶν ἀρχῶν ὑπαντώσης, ἀλλ' ἐπειδὴ Παρμενίδης καὶ Μέλισσος περὶ τοῦ ὄντος ἐζήτουν, πότερον ἓν ἢ πολλά, καὶ εἰ ἀκίνητον ἢ κινούμενον, καὶ οὗτοι, φησίν, οὐ περὶ τῶν ὄντων, ὡς ἄν τις οἰηθείη, ἀλλὰ περὶ τῆς

ὀνόματι, ὡς ἐν ὁλότητι μιᾷ, τὰ ἐν τῷ ὁρισμῷ πάντα μέρη καὶ στοιχεῖα· οὐκέτι δὲ τῷ καθόλου προσέοικε· τὸ μὲν γὰρ καθόλου ἑκάστῳ τῶν συμπληρούντων αὐτὸ ἐφαρμόττει... διὸ τὸ δεύτερον ἐπήγαγε παράδειγμα, τὸ ἐπὶ τῆς καθ' ἡλικίαν προκοπῆς θεωρούμενον... ἐλέγετο δέ, φησὶν ὁ Ἀλέξανδρος, δύνασθαί τινα λέγεσθαι καθόλου ὑπ' αὐτοῦ νῦν καὶ τὰ ἀξιώματα, οἷς πρὸς ἅπαντα μὲν τὰ δεικνύμενα χρώμεθα διὰ τὸ εἶναι ἐναργῆ, οὐδενὸς δὲ τῶν δι' αὐτῶν δεικνυμένων ἐστὶν ἴδια... ἐπιστῆσαι δὲ ἄξιον πρῶτον μὲν ὅτι τοῖς προκειμένοις οἰκεῖον τὸ τοῦ ὅλου καὶ συνθέτου ἀλλ' οὐχὶ τὸ τοῦ καθόλου παράδειγμα... δεύτερον δὲ ἐπιστάσεως ἄξιον ὅτι διττή ἐστι τοῦ ὅλου καὶ τοῦ καθόλου ἡ γνῶσις, ὥσπερ καὶ τοῦ ὀνόματος, ἡ μὲν ὁλοσχερὴς καὶ συγκεχυμένη καὶ κατὰ ψιλὴν ἐπίνοιαν τοῦ γνωστοῦ γινομένη, ἥτις καὶ παχυτέρα ἐστὶ τῆς κατὰ τὸν ὁρισμὸν γνώσεως, ἡ δὲ συνηρημένη καὶ ἡνωμένη καὶ τὰ κατὰ μέρος περιειληφυῖα, ὑστέρα τις αὕτη καὶ ἁπλῆ, φανταστικὴ δὲ μᾶλλον ἐκείνη καὶ ἀπεξενωμένη... ἡ δὲ κατὰ τὸν ὁρισμὸν καὶ ἡ διὰ τῶν στοιχείων γνῶσις μέση τις ἐστὶν ἀμφοῖν, διανοητικὴ μᾶλλον οὖσα ἢ καὶ δοξαστική, καὶ τῆς μὲν χείρονος κατὰ τὸ ἀκριβὲς ὑπερέχουσα, τῆς δὲ κρείττονος ἀπολειπομένη κατὰ τὸ διῃρημένον καὶ μᾶλλον κεχυμένον... τρίτον δ' ἐφιστάνειν ἄξιον ὁποία τις ἐστὶν ἡ περὶ τῶν φυσικῶν πραγμάτων γνῶσις τοῖς τὰς ἀρχὰς καὶ τὰ αἴτια τῶν φυσικῶν ἐγνωκόσι, ταύτας δὲ ἐκ τῶν συνθέτων ἤδη καὶ συγκεχυμένων εὑρίσκουσιν, ἅπερ οὐκ ἔστιν ἀκριβῶς γνῶναι μὴ τῶν αἰτίων ἐγνωσμένων ἀκριβῶς. δῆλον οὖν ὅτι τεκμηριώδης ἐστὶν ἡ γνῶσις ἡ περὶ τῶν ἀρχῶν, ἀλλ' οὐκ ἀποδεικτική. καὶ καλῶς ὁ Πλάτων τὴν φυσιολογίαν εἰκοτολογίαν ἔλεγεν εἶναι, ᾧ καὶ Ἀριστοτέλης συμμαρτυρεῖ, τὴν κυρίως ἀπόδειξιν ἐξ ἀμέσων καὶ αὐτοπίστων ἀρχῶν καὶ ἐκ τῶν κυρίως αἰτίων καὶ τῇ φύσει προτέρων εἶναι βουλόμενος. ἀλλ' οὐκ ἀτιμαστέον διὰ τοῦτο φυσιολογίαν, ἀλλ' ἀρκεῖσθαι χρὴ τῷ κατὰ τὴν ἡμετέραν χρῆσιν καὶ δύναμιν, ὡς καὶ Θεοφράστῳ δοκεῖ. τέταρτον δὲ πρὸς τοῖς εἰρημένοις ἄξιον ζητεῖν, πῶς τὰ κοινὰ σαφέστερα μὲν ὡς πρὸς ἡμᾶς, ἀσαφέστερα δὲ τῇ φύσει λέγει ὁ Ἀριστοτέλης... καὶ τίνα μέν ἐστι τὰ κοινά, τίνα δὲ τὰ τῇ φύσει πρότερα, ἅπερ καὶ ἀρχαὶ τῶν φυσικῶν; ὁ μὲν οὖν Ἀλέξανδρος πρῶτον, φησί, δείξει ὅτι πλείους αἱ ἀρχαὶ καὶ οὔτε ἄπειροι οὔτε μία, εἶτα ὅτι δεῖ καὶ ἐναντίωσιν ἐν αὐταῖς εἶναι καὶ τῇ ἐναντιώσει τι ὑποκεῖσθαι· ἀφ' ὧν κοινῶν ὄντων μετελθὼν δείξει καὶ τίνες εἰσὶν αὗται· ὁ γὰρ ἐκεῖνα εἰδὼς οὐδέπω τὰς ἀρχὰς οἶδε τίνες εἰσίν... μήποτε οὖν ἄμεινον ἐκ τῶν τοῖς φυσικοῖς πράγμασιν ἐναργῶς καὶ γνωρίμως τῇ αἰσθήσει ὑπαρχόντων τὰς ἀρχὰς εὑρίσκειν τῶν φυσικῶν, ὥσπερ καὶ τῷ Ἀριστοτέλει δοκεῖ, οἷον ὅτι οὐ μία ἀρχὴ ἐκ τῆς τῶν ὄντων διαφορᾶς, ὡς μαθησόμεθα... ὅλως δέ, ὡς κοινῶς εἰπεῖν, ἀπὸ τῶν αἰσθήσεων καὶ τῶν αἰσθητῶν τὴν περὶ τῶν φυσικῶν ἀρχῶν ἀλήθειαν ἀνιχνευτέον καὶ Θεοφράστῳ πειθομένοις, ὃς περὶ τούτου ζητῶν ἐν πρώτῳ τῶν Φυσικῶν τάδε γέγραφεν. id. f. 4 *b* et 5.

ἐὰν οὖν ἀρχώμεθα τοῦ περὶ τῶν ἀρχῶν λόγου ἀπὸ κοινῶν τινῶν καὶ πλείοσιν ὑπαρχόντων, οὐ ταρακτέον· ἀπὸ γὰρ τούτων ἐπὶ τὰ ἴδια βαδιούμεθα. γνωριμώτερα δ' ἡμῖν τὰ κοινὰ τῶν ἰδίων ἐστίν, εἴγε σύγκειται μᾶλλον... οὕτω καὶ ἐν τοῖς Ἀναλυτικοῖς ὁ περὶ τοῦ συλλογισμοῦ λόγος προτάττεται τοῦ τε ἀποδεικτικοῦ καὶ διαλεκτικοῦ καὶ σοφιστικοῦ· ἀπὸ γὰρ τῶν κοινῶν ὁρμώμενοι ῥᾷον ἑκάστου τὰ ἴδια καὶ προσεχῆ διακρίνομεν. Themist. f. 15 *b*.

καλῶς τὸ "τρόπον τινὰ" προσέθηκε, διότι οὐχ ὥσπερ τὸ ὅλον αὐτὸ διαιρεῖται εἰς τὰ μέρη, οὕτω δὴ καὶ τὸ ὄνομά ἐστι καὶ ὑπὸ τοῦ ὁρισμοῦ διαιρούμενον, ἀλλὰ τὸ ὑπὸ τοῦ ὀνόματος σημαινόμενον διαιρεῖ ὁ ὁρισμός, καὶ οὐχ ὅνπερ τρόπον τὸ καθ' ἕκαστα μέρος τυγχάνει τοῦ καθόλου ὀνόματος, μέρη ἐστὶ τὰ μέρη τοῦ ὁρισμοῦ. Philop. *a* p. 9.

ἀκόλουθον μὲν ἂν ἦν πρῶτον ζητεῖν εἰ εἰσὶν ὅλως ἀρχαὶ τῶν 184 b 15.
φυσικῶν, καὶ τότε τίνες εἰσὶ καὶ πόσαι· αὕτη γὰρ ἡμῖν ἡ τάξις τῶν προβλημάτων ἐν τοῖς Ἀποδεικτικοῖς ὑπ' αὐτοῦ παραδέδοται. ἀλλὰ τοῦτο, φασίν, οὐκ ἦν τοῦ φυσικοῦ θεωρεῖν ἀλλὰ τοῦ ἐπαναβεβηκότος· ὁ γὰρ φυσικὸς ὡς δεδομένῳ τούτῳ χρῆται... ἐπιστῆσαι δὲ ἄξιον, μήποτε καὶ τὸ πόσαι καὶ τίνες αἱ ἀρχαὶ καὶ ὅλως ὁ περὶ τῶν ἀρχῶν λόγος τοῦ ἐπαναβεβηκότος κατὰ τοῦτον τὸν λόγον εἶναι δοκεῖ, μήποτε δὲ καὶ ἀνάγκη τὸν φυσικὸν ὅτι σώματά ἐστι τὰ φυσικὰ εἰδέναι, καὶ ὅτι πᾶν σῶμα σύνθετόν ἐστι, καὶ ὅτι τὸ σύνθετον ἀρχὰς ἔχει τὰ ἐξ ὧν σύγκειται, ὡς καὶ ὁ Θεόφραστος ἀπέδειξεν. ἄμεινον οὖν ἴσως λέγειν ὅτι οὐκ ἐν πᾶσι προβλήμασι τὸ εἰ ἔστι ζητεῖται, ἀλλ' ἐν οἷς τοῦτο ἀμφιβάλλεται... δυνατοῦ δὲ ὄντος καὶ τοὺς μίαν λέγοντας εἰς τὸ ἄπειρον καὶ τὸ πεπερασμένον διελεῖν καὶ τοὺς πολλὰς εἰς κινουμένας ἢ ἀκινήτους, τὸ οἰκειότερον, φησὶν ὁ Ἀλέξανδρος, ἑκατέρῳ τῶν ἐκ τῆς διαιρέσεως ὑπέταξεν. οἰκειότερον δὲ τῇ μὲν μιᾷ τὸ κινεῖσθαι ἢ μή, ταῖς δὲ πολλαῖς τὸ πεπερασμένον ἢ ἄπειρον... καὶ Εὔδημος ὡς ἄν, φησίν, ὑπάρχωσιν αἱ ἀρχαί, ἤτοι κινοῦνται ἢ ἀκίνητοι εἰσίν. ἀλλὰ τοῦτο μὲν τὸ διαιρετικὸν παρῆκεν ὁ Ἀριστοτέλης διὰ τὸ μὴ γεγονέναι δόξαν πολλὰς καὶ ἀκινήτους τὰς ἀρχὰς λέγουσαν. τὸ δὲ πεπερασμένον καὶ ἄπειρον ἐπὶ τῆς μιᾶς διὰ τὴν συντομίαν νῦν παραδραμεῖν ἔοικεν· ἐν γοῦν τοῖς πρὸς Παρμενίδην, ὡς εἶπον, καὶ Μέλισσον λόγοις καὶ ταῦτα βασανίζει. Simpl. f. 5 *b*.

ἀνάγκη τὴν ἀρχὴν ἢ μίαν ἢ πλείους εἶναι. ἀλλ' εἰ μίαν, ἢ κινουμένην γε ἢ ἀκίνητον, ἢ πεπερασμένην ἢ ἄπειρον. εἴτε πλείους, καὶ ταύτας γε αὖ ἢ κινουμένας γε ἢ ἀκινήτους, ἢ πεπερασμένας κατ' ἀριθμὸν ἢ πάλιν ἀπείρους. Themist. f. 15 *b*.

οὐχ ὡς Παρμενίδου, φησὶν ὁ Ἀλέξανδρος, καὶ Μελίσσου μίαν 184 b
ἀρχὴν τιθεμένων καὶ ταύτην ἀκίνητον λεγόντων, οὕτως εἶπε τὸ "ὡς 16.
Παρμενίδης καὶ Μέλισσος" (οὗτοι γὰρ οὐδὲ ὅλως ἀρχὴν ἐτίθεντο· ἓν γὰρ ἔλεγον τὸ πᾶν, ὃ μαχόμενόν ἐστι τῷ ἀρχὴν λέγειν εἶναι· οἱ γὰρ ἀρχὴν τιθέμενοι ὁμολογοῦσι πλείω τὰ ὄντα εἶναι, τὴν ἀρχὴν καὶ τὰ ὧν ἐστὶν ἀρχὴ συνεισάγοντες), ἀλλ' εἰπὼν τὸ πρῶτον διαιρετικόν, τὸ ἢ μίαν εἶναι τὴν ἀρχὴν ἢ πλείους, ἐπὶ τοῦ ἑτέρου τῶν ἐν τῇ διαιρέσει πάλιν διαιρετικῷ χρῆται τῷ εἰ μία ἡ ἀρχὴ ἤτοι ἀκίνητος ἢ κινουμένη. ἓν δὲ ἀπίθανον τὸ ἀρχὴν μίαν καὶ ἀκίνητον ταύτην λέγειν, μετὰ παραμυθίας ἔθετο... ταῦτα οὖν αὐτῇ λέξει τοῦ Ἀλεξάνδρου λέγοντος, τὸ μὲν τῷ μᾶλλον ἀπιθάνῳ παραμυθεῖσθαι τὴν ἀπίθανον θέσιν οὐκ ἦν, οἶμαι, τῆς Ἀριστοτέλους μεγαλονοίας... ἐξ ὧν γὰρ τὰ ὄντα ἐστὶ ζητοῦσι πρῶτον αὐτά, πότερον ἓν ἢ πολλά· ὥστε περὶ ἀρχῆς τῶν ὄντων οἴεται τοὺς ἄνδρας τούτους φιλοσοφεῖν. Simpl. f. 8 *b*.

πολλαχῶς τὸ μὴ ὄν· τὸ ἄρρητον ὅπερ ἐστὶ τὸ μηδαμῇ μηδαμῶς, δεύτερον τὸ καθ' ἑτερότητα, τόδε μὲν μὴ ὂν τόδε δὲ ὄν, τρίτον τὸ κρεῖττον τοῦ ὄντος, δηλαδὴ τὸ ὑπερούσιον, τέταρτον τὸ χεῖρον τοῦ ὄντος, ὃ καὶ μετούσιον λέγει, καὶ ἄλλο τὸ ψευδὲς τὸ τῆς φαντασίας, ὅπερ ἐστὶν ἐκ δόξης καὶ αἰσθήσεως, ὡς ἡ φαινομένη κώπη ἐν τῷ ὕδατι, ἣν ἡ δόξα ἔχει ἄκλαστον, ἡ δὲ αἴσθησις κεκλασμένην. cod. Vat. 1730.

ἔθος τῷ Ἀριστοτέλει ἀπὸ κοινῶν τινῶν ἀξιωμάτων ἄρχεσθαι τῶν πραγματειῶν. οὕτω γοῦν καὶ ἐν τῷ Μετὰ τὰ Φυσικὰ ἀπό τινος κοινοῦ ὁμολογήματος ἤρξατο· "πάντες" γάρ φησιν "ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει. σημεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις." καὶ ἐν τῇ Ἀποδεικτικῇ "πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως," καὶ ἐν Ἠθικοῖς "πᾶσα τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ." οὕτως οὖν καὶ ἐνταῦθα ἀπὸ κοινοῦ τινὸς ἀξιώματος τὴν ἀρχὴν ποιεῖται... ἀρχὰς τῶν πραγμάτων πάντων Πλάτων μὲν ἕξ φησιν εἶναι, ὕλην, εἶδος, ποιητικὸν αἴτιον, παραδειγματικόν, ὀργανικόν, τελικόν. Philop. *a* p. 2. 3.

184a 10. τὸ προοίμιον εὐθὺς τὸν σκοπὸν ἐκφαίνει τοῦ συγγράμματος, ὅτι περὶ τῶν φυσικῶν ἀρχῶν ἐστίν... ἀλλ' ὅτι μέν εἰσιν ἀρχαὶ τῶν φυσικῶν, ἐφεξῆς ἅπας ὁ λόγος δείξει, καὶ οὐ δεῖται νῦν ἀποδείξεως· διό, οἶμαι, ταύτην αὐτὸς τὴν πρότασιν παρῆκεν. ὁ μέντοι Θεόφραστος ἐν ἀρχῇ τῶν αὐτοῦ Φυσικῶν καὶ ταύτην ἀπέδειξε λέγων "τὸ μέντοι τῶν φυσικῶν ἀρχὰς εἶναι δῆλον ἐκ τοῦ τὰ μὲν φυσικὰ σώματα σύνθετα εἶναι, πᾶν δὲ σύνθετον ἀρχὰς ἔχειν τὰ ἐξ ὧν σύγκειται· ἅπαν γὰρ τὸ φύσει ἢ σῶμά ἐστιν ἢ ἔχει γε σῶμα· ἄμφω δὲ σύνθετα." ὁ δὲ Πορφύριος οὐδὲ φυσικοῦ φησὶν εἶναι τὸ ζητεῖν εἰ εἰσὶν ἀρχαὶ τῶν φυσικῶν, ἀλλὰ τοῦ ἀναβεβηκότος... ὁ μέντοι Εὔδημος ἀρχόμενος τῶν φυσικῶν ἀνωτέρω τὸν λόγον ἐπήγαγε, καὶ δείξας ὅτι πρὸς μὲν τὰς πράξεις εὐχρηστότερον εἰδέναι τὰ καθ' ἕκαστα, πρὸς δὲ θεωρίαν τὰ κοινά, κοινότατον, φησί, φαίνεται περὶ τὰς ἐπιστήμας τὸ τῶν ἀρχῶν· ὑπάρχουσι γάρ τινες καθ' ἑκάστην. τούτων δὲ οὕτως ἐχόντων ἀναγκαῖον τῷ φυσιολογοῦντι τὰς ἀρχὰς πρῶτον ἐπισκέψασθαι. καὶ ὁ μὲν ὅλος τῶν λεγομένων νοῦς τοιοῦτος, ἔστι δὲ ἄξιον ζητεῖν τί ἀρχὴ καὶ τί αἴτιον καὶ τί στοιχεῖον· καὶ γὰρ ὁ μὲν Ἀλέξανδρος διαφέρειν ταῦτα ἀλλήλων φησὶ τῷ ἀρχὴν μὲν λέγεσθαι ἰδίως τὸ ποιητικόν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, αἴτιον δὲ τὸ οὗ ἕνεκα καὶ τὸ εἶδος (ἐν γὰρ τοῖς φύσει τὸ οὗ ἕνεκα τοῦτο), στοιχεῖον δὲ τὸ ἐνυπάρχον ὡς τὴν ὕλην. ἔοικε δὲ τῷ Εὐδήμῳ κατακολουθεῖν ὁ Ἀλέξανδρος λέγοντι ὅτι τοῦ αἰτίου τετραχῶς λεγομένου τὸ μὲν στοιχεῖον κατὰ τὴν ὕλην λέγεται... θαυμαστὸν δὲ εἰ μὴ ἐνυπάρχει τὸ εἶδος ἐν τῷ αἰτιατῷ, εἰ μὴ ἄρα εἶδος τὸ καθόλου λέγουσιν. ὁ μέντοι Πορφύριος ἕνα μὲν τρόπον ἀρχὴν λέγει, ὅθεν ἡ πρώτη κίνησις γίνεται· ἔστι δὲ τοιαύτη ἡ ἀφ' οὗ, ὡς ὁδοῦ τὸ πρῶτον, οὕτω δὲ καὶ νεὼς μὲν τρόπις, οἰκίας δὲ θεμέλιος. τούτῳ δὲ τῷ σημαινομένῳ ἀντίκειται ἡ τελευτή. ἕτερον δὲ τρόπον ὡς τὸ ὑφ' οὗ, ὡς ἡ φύσις τῶν φυσικῶν καὶ ἡ τέχνη τῶν τεχνητῶν. ἀρχὴ δὲ καὶ τὸ οὗ ἕνεκα, οἷον ἀθλήσεως ἡ νίκη. κατ' ἄλλον δὲ τρόπον ἀρχὴ λέγεται, ἐξ οὗ πρώτου ἐνυπάρχοντος γίνεταί τι, ὡς οἰκίας λίθοι καὶ ξύλα ἀρχὴ ὡς ὕλη. ἀρχὴ δὲ καὶ ἡ μορφὴ καὶ τὸ σχῆμα καὶ ὅλως τὸ εἶδος... τούτων δὲ ἡμῖν ἱστορημένων, πρὸς μὲν τὸν Ἀλέξανδρον καὶ πρὸ τούτου πρὸς τὸν Εὔδημον ῥητέον ὅτι τὸ οὗ ἕνεκα τέλος ὂν καὶ ἀρχὴ εἴη ἂν πάντως καὶ κυριωτέρα τοῦ ποιητικοῦ ἀρχή... πρὸς δὲ τὸν Πορφύριον, ὅτι πρῶτον μὲν ἐξ ὧν καὶ αὐτὸς διεστήσατο, οὐ λέγεται ἰσαχῶς τὸ αἴτιον καὶ ἡ ἀρχή, ἀλλὰ τὸ μὲν αἴτιον πᾶν καὶ ἀρχή, ἡ δὲ ἀρχὴ τοῦ πράγματος, οἷον τῆς ὁδοῦ ἢ τοῦ δράματος, οὐκ ἂν λέγοιτο αἴτιον. δεύτερον δὲ ὅτι οὐ προεπινοεῖται τοῦ αἰτίου ἡ ἀρχή... μήποτε οὖν ὁ Ἀριστοτέλης τὴν ἀρχὴν ὡς κοινὸν λαβὼν διεῖλεν αὐτὴν εἴς τε τὰ κυρίως αἴτια, οἷόν ἐστι τὸ ποιητικὸν καὶ τελικόν, καὶ εἰς τὰ συναίτια ὑπό τινων λεγόμενα, οἷά ἐστι τὰ στοιχεῖα... τὸ δὲ εἰδέναι καὶ τὸ ἐπίστασθαι οὐκ ἐκ παραλλήλου εἴρηται, ὡς ἐπέστησεν ὁ Ἀλέξανδρος, εἰπὼν τὰ ἐκ παραλλήλου λεγόμενα ὀνομάτων μόνον ἔχει διαφορὰν ἐν πράγματος ποιότητι, καὶ διὰ τοῦτο καὶ ἓν ἐκ τῶν τοιούτων ἴσον δύναται τοῖς πᾶσι· τὸ δὲ εἰδέναι καὶ τὸ ἐπίστασθαι οὐ ταὐτὸν δύναται τῷ εἰδέναι μόνῳ· εἰδέναι γὰρ λεγόμεθα καὶ τὰ δι' αἰσθήσεως καὶ δόξης καὶ τὰς ἀμέσους προτάσεις, ὧν οὐδὲν ἴσμεν δι' ἀποδείξεως, ταὐτὸν δὲ εἰπεῖν οὐ κατ' ἐπιστήμην. ταῦτα μὲν οὖν καλῶς εἴρηκε· πῶς δὲ ἐνταῦθα παρείληπται ἄμφω, οὐκέτι προσέθηκεν. ἔοικε δὲ γένος οὖσαν τὴν εἴδησιν τῆς ἐπιστήμης προτάξαι, ὡς εἰ ἔλεγε τὸ γινώσκειν ἐπιστημονικῶς... μήποτε δὲ ὁ Ἀριστοτέλης νῦν εἴδησιν τὴν κυρίως λαβών, εἰς ταὐτὸν αὐτὴν ἤγαγε τῇ ἐπιστήμῃ· καὶ γὰρ ὁ Πλάτων μὴ εἰδέναι φησὶ τὰς ἑαυτῶν ἀρχὰς τοὺς μαθηματικούς... ἀλλὰ πῶς εἰπὼν "τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους," ἐπήγαγεν "ὧν εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα;" ἢ ὡς ἴδιον πασῶν τῶν ἐπιστημονικῶν εἰδήσεων τοῦτο προσέθηκεν; ἡ γὰρ ἐπιστήμη συλλογισμὸς οὖσα ἀποδεικτικὸς ἐξ ἀρχῶν πάντως ἐστὶ τῶν ἀμέσων προτάσεων. Simpl. f. 2 *b* et 3.

"ὧν εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα." εἰ μὲν τὸν ἢ σύνδεσμον διαζευκτικὸν λάβωμεν, καθολικωτέρα καὶ ἐπὶ πλειόνων γίνεται ἡ πρότασις· τὰ γὰρ μὴ φυσικὰ ἀλλὰ λογικὰ καὶ νοερὰ ἀρχὰς μὲν ἔχει καὶ αἴτια, στοιχεῖα δὲ οὐκ ἔχει. ἐὰν δὲ παραδιαζευκτικὸν λάβωμεν τὸν ἢ ἀντὶ τοῦ καί, ἐπὶ τῶν φυσικῶν μόνων χωρήσει ὁ λόγος, ὧν εἰσὶν αἱ ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα. Philop. *a* p. 3.

πᾶσα γὰρ διδασκαλία καὶ πᾶσα μάθησις διανοητική, τουτέστιν 184a
οὐκ ἐξ αἰσθήσεως οὐδὲ κατὰ νοῦν γινομένη ἀλλὰ συλλογιστική τε καὶ ἀπο- 16.
δεικτική, ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς μεμαθήκαμεν... δυνατὸν δὲ τρόπον τινὰ καὶ ἐκ τῶν ἑπομένων ταῖς ἀρχαῖς καὶ ἀπ' αὐτῶν συντιθεμένων, οὐκέτι ὡς ἀπὸ αἰτίων ἀλλ' ὡς ἀπὸ γνωριμωτέρων, τὰ περὶ τῶν ἀρχῶν τῶν φυσικῶν συλλογίζεσθαι, οὐκ ἐπισταμένους αὐτὰ ἀλλὰ γνωρίζοντα μόνον. διὸ οὐκ εἶπεν ἐπιστημονικῶς γνῶναι τὰς ἀρχάς, ἀλλ' ἐκ τοῦ γνωρίζειν αὐτάς, διότι ἀπὸ τῶν ἑπομένων ἡ γνῶσις αὐτῶν. Simpl. f. 4.

ὅτι δὲ γνωριμώτερον ἡμῖν τὸ ἀδιόριστον καὶ συγκεχυμένον, οἷον 184a
τὸ ὅλον δοκεῖ, πιστοῦται τὸ μὲν ὄνομα ἕκαστον ὡς ὅλον τι λαβών, τὸν δὲ 21.
τοῦ ὀνόματος ὁρισμὸν ὡς τὴν διάρθρωσιν τοῦ ὀνόματος μερῶν καὶ στοιχείων παραδιδόντα... ἀλλὰ τοῦτο μὲν ὡς πρὸς τὸ σύνθετον καὶ ὅλον οἰκείως ἔχει τὸ παράδειγμα· συνῄρηται γὰρ καὶ συγκέχυται τῷ

διὸ τὴν σιμότητα ὁριζόμενοι τὴν ῥῖνα παραλαμβάνομεν· σιμότης γάρ ἐστι κοιλότης ἐν ῥινί. ταῦτα δὲ καὶ καθ' αὑτὰ ὑπάρχειν ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς φησίν. Simpl. f. 27 b.

186 b 23. ὁ Ἀλέξανδρος τὸ "ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν" ἀξιοῖ καὶ οὕτως ἀκούειν, ὡς ἐκ μὴ συμβεβηκότων μηδὲ χωρίζεσθαι δυναμένων ἀπ' αὐτοῦ μηδὲ ἄλλης οὔσης φύσεως, ἀλλὰ τῆς αὐτῆς τῷ παντί. οὐσία δὲ τὸ πᾶν καὶ τὸ ὄν, καὶ τὰ μέρη ἄρα αὐτοῦ οὐσίαι. ὡσανεὶ ἔλεγεν, ἐξ οὐσιῶν ἄρα τὸ πᾶν, καὶ ἐξ ὧν ἐστί, καὶ διαιρεῖται εἰς ταῦτα. ὥστε δέδεικται τὸ προκείμενον, ὅτι διαιρεῖται τὸ ὅπερ ὂν εἰς ὅπερ ὄντα. ὥστε μὴ ὡς ἄτοπον ἐπῆχθαι τὸ "ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν," ἀλλ' ὡς ἀκόλουθον μόνον τοῖς εἰρημένοις. αὕτη μὲν ἡ ὅλη τῶν εἰρημένων ἔννοια. κατὰ δὲ τὴν λέξιν, ὅταν λέγῃ "ὅσα ἐν τῷ ὁριστικῷ λόγῳ ἔνεστιν ἢ ἐξ ὧν ἐστί," δηλοῖ ὅτι καὶ ἐν οἷς μὴ ἔστιν ὁρισμός, ὥσπερ ἐν ταῖς ἀτόμοις οὐσίαις, ἔστιν ὅμως τινὰ τὰ ἐξ ὧν ἐστίν. τὸ δὲ "καθ' οὗ ἄμφω καὶ ἑκάτερον καὶ τὸ ἐκ τούτων λεγέσθω," ἤτοι καθόλου τὸ ἐκ τῶν μερῶν συγκείμενον, τοῦτο ἔστω καὶ λεγέσθω ὅπερ καὶ τὰ μέρη ἄμφω, καὶ ἑκάτερον, εἰ τὰ μέρη συμβεβηκότα, καὶ τὸ ὅλον. ἢ μᾶλλον ἀνάπαλιν, ὅτι καὶ τὰ μέρη λεγέσθω τοῦτο ὅπερ καὶ τὸ ἐκ τῶν μερῶν· τὸ δὲ ἐκ τῶν μερῶν οὐσία ἦν καὶ ὅπερ ὂν καὶ οὐδενὶ συμβεβηκὸς ὄν· καὶ τὰ μέρη ἄρα οὐσίαι καὶ ὅπερ ὄντα καὶ οὐ συμβεβηκότα. γράφεται δὲ "καὶ καθ' οὗ ἄμφω, καὶ ἑκάτερον, καὶ τὸ ἐκ τούτων λεγέσθω," τουτέστι καθ' οὗ ἂν λέγηται καὶ ἑκάτερον ἤγουν ἕκαστον τῶν μερῶν, κατὰ τούτου καὶ τὸ ἐκ τῶν μερῶν λεγέσθω. τούτῳ δὲ ἂν εἴη ἀκόλουθον τὸ "καὶ ὁ ἄνθρωπος ἂν εἴη τῶν συμβεβηκότων ἑτέρῳ." ὧν μεταξὺ παρέλαβε τὸ "ἀλλὰ τὸ ὅπερ ὂν ἔστω μηδενὶ συμβεβηκός." ἐν τούτοις δὲ καὶ τοῦτο προσθετέον, ὅτι τὸ διαιρούμενον νῦν ὅπερ ὂν οὔτε ὡς γένος οὔτε ὡς εἶδος διαιρεῖται. δῆλον ἐκ τοῦ τὸν ἄνθρωπον οὐκ εἰς τοὺς ἀτόμους ἀλλ' εἰς τὸν ὁρισμὸν διελεῖν. id. f. 28.

186 b 31. δείξας ὅτι ἀδύνατον τὰ μέρη τοῦ ὁρισμοῦ αὐτῷ ἐκείνῳ συμβεβηκέναι οὗ ὁ ὁρισμός, βούλεται δεῖξαι ὅτι οὐδὲ ἄλλῳ δυνατὸν αὐτὰ συμβεβηκέναι. εἰ γάρ, φησί, τὰ μέρη τοῦ ὁρισμοῦ μή εἰσιν οὐσίαι (τοῦτο γὰρ σημαίνει τὸ "καὶ μὴ ἔστιν ἑκάτερον ὅπερ ὄν τι"), συμβέβηκε δ' εἰ ἐν ἄλλῳ τινί, ἐπειδὴ ᾧ τὰ μέρη ὑπάρχει, τούτῳ καὶ τὸ ὅλον, καὶ τὸ ὅλον συμβεβηκὸς ἂν εἴη ἑτέρῳ, ὥστε ὁ ἄνθρωπος καὶ ἁπλῶς ἡ οὐσία τῶν συμβεβηκότων τινὶ ἔσται. ὅπερ ἄτοπον καὶ ἀδύνατον τὴν οὐσίαν συμβεβηκὸς εἶναι. Philop. b p. 14.

186 b 34. ἐὰν δὲ ἔχῃ ἡ γραφὴ τὸ "καὶ ἑκάτερον," οὕτως ἐξηγητέον. καὶ καθ' οὗ ἄμφω ἅμα τὰ μέρη κατηγορεῖται καὶ ἑκάτερον ἰδίᾳ, κατηγορηθήσεται καὶ τὸ ὅλον τὸ ἐκ τούτων συγκείμενον. ἐὰν δὲ ᾖ ἡ γραφὴ "καὶ καθόλου," οὕτω νοητέον· καὶ καθολικῷ λόγῳ ἄμφω ἐπὶ τοῦ αὐτοῦ κατηγορητέον, ἐφ' οὗ τὰ μέρη, ἐπὶ τούτου καὶ τὸ ὅλον, καὶ ἔμπαλιν. "ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν." τοῦτο διττῶς ἐξηγητέον. ἢ γὰρ ἐξ ἀδιαιρέτων, τουτέστιν ἐκ σημείων... ἢ οὖν οὕτως τὸ "ἐξ ἀδιαιρέτων," ἢ "ἐξ ἀδιαιρέτων" ἀντὶ τοῦ ἐξ οὐσιῶν... καὶ ἐπίτηδες οὕτως εἶπε τὸ πᾶν καὶ οὐ τὸ ὄν, πληκτικώτερον ποιῶν τὸ πᾶν, ἐπειδὴ ἐκ διωρισμένων ἐστὶ ποσῶν. τὸ οὖν πᾶν, φησίν, ὅπερ ἔφη ἓν εἶναι, καὶ οὕτως ἐκ πλειόνων οὐσιῶν ἔσται, καὶ οὐκέτι ἓν ἂν εἴη ἀλλὰ πολλά. id. ib.

ἐλέγξας τὸν Παρμενίδου λόγον αὐτὸς ὡς καὶ τὰς προτάσεις 187 a 1.
ψευδεῖς λαμβάνοντα (ἦν δὲ ἡ πρότασις τὸ μοναχῶς λέγεσθαι τὸ ὄν, ἤτοι τὸ παρὰ τὸ ὂν οὐκ ὄν, ἢ τὸ οὐκ ὂν οὐδέν· ταῦτα γὰρ ἰσοδυναμεῖ), καὶ ὡς ἀσυλλογίστως συνάγοντα (μὴ γὰρ ἀκολουθεῖν τὸ ἐπιφερόμενον συμπέρασμα), ἐνίους φησὶν ἀμφοτέροις ἐνδοῦναι τοῖς λόγοις, τῷ τε εἰρημένῳ παρὰ Παρμενίδου καὶ τῷ τοῦ Ζήνωνος, ὃς βοηθεῖν ἐβούλετο τῷ Παρμενίδου λόγῳ πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμῳδεῖν, ὡς εἰ ἕν ἐστι πολλὰ καὶ γελοῖα συμβαίνει λέγειν τῷ λόγῳ καὶ ἐναντία αὐτῷ, δεικνὺς ὁ Ζήνων ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις ἡ λέγουσα "πολλά ἐστιν" ἤπερ ἡ τοῦ ἓν εἶναι, εἴ τις ἱκανῶς ἐπεξίοι... ἐνδοῦναι δέ ἐστι λόγῳ τὸ συγχωρῆσαι ταῖς προτάσεσι ταῖς κατασκευαζούσαις αὐτὸν ἢ τῇ συμπλοκῇ. τὸν οὖν Πλάτωνά φησιν ἐνδοῦναι τῇ προτάσει τῇ λεγούσῃ τὸ παρὰ τὸ ὂν οὐκ ὄν (καὶ γὰρ τὴν κίνησιν καὶ τὴν στάσιν καὶ ταὐτὸν καὶ ἕτερον ἐν Σοφιστῇ τοῦ ὄντος ἕτερα εἶναί φησι), τὸ δὲ οὐκ ὂν οὐδὲν οὐκέτι συγχωρεῖν· καὶ γὰρ τὰ ἕτερα τοῦ ὄντος, κἂν μὴ ὄντα ᾖ, ἀλλ' ὅμως εἶναι φησί, καὶ ταύτῃ τὸ μὴ ὂν εἰσάγει. καὶ ὁ μὲν Ἀλέξανδρός φησιν αὐτὸν τὸ μὲν εἰ ἓν τὸ ὂν συγχωρεῖν, πάντα δὲ ἓν εἶναι μηκέτι συγχωρεῖν, τιθέντα τῶν πάντων μὴ μόνον τὸ ὄν, ἀλλὰ καὶ τὸ μὴ ὄν... ὁ δὲ Πορφύριος τὸν Πλάτωνά φησι καὶ τὸ μὴ ὂν λέγειν εἶναι, οὕτω μέντοι εἶναι ὡς μὴ ὄν... ἀλλὰ πρὸς μὲν Ἀλέξανδρον ἀρκεῖ τὴν Πλάτωνος παραθέσθαι ῥῆσιν, ἧς αὐτὸς Ἀλέξανδρος ἐμνημόνευσε, δεικνῦσαν οἶμαι σαφῶς ὡς ὁ Πλάτων οὐ τὸ ἁπλῶς μὴ ὂν ἀλλὰ τὸ τὶ μὴ ὂν εἰσῆγεν. ἔχει δὲ ἡ ῥῆσις ὧδε... ὁ δέ γε Πορφύριος ὅτι μὲν οὐ τὸ ἁπλῶς μὴ ὂν ὁ Πλάτων εἰσάγει καλῶς ἐθεάσατο, ὅτι δὲ μὴ ὂν τὸ γενητὸν ὂν ἐν Σοφιστῇ φησὶ παραδιδόναι, περὶ οὗ λέγει ἐν Τιμαίῳ "καὶ τί τὸ γινόμενον μὲν ὂν δὲ οὐδέποτε," τοῦτο ἐπιστάσεως ἄξιον εἶναί μοι δοκεῖ... τὸν δὲ δεύτερον λόγον τὸν ἐκ τῆς διχοτομίας τοῦ Ζήνωνος εἶναί φησιν ὁ Ἀλέξανδρος, λέγοντος ὡς εἰ μέγεθος ἔχοι τὸ ὂν καὶ διαιροῖτο, πολλὰ τὸ ὂν καὶ οὐκέτι ἓν ἔσεσθαι, καὶ διὰ τούτου δεικνύντος ὅτι μηδὲν τῶν ὄντων ἐστὶ τὸ ἕν. περὶ δὲ τοῦ λόγου τούτου καὶ διὰ τῶν ἔμπροσθεν εἰρηκέναι φησὶ τὸν Ἀριστοτέλην, ἐν οἷς ἔλεγεν "ἐθορυβοῦντο δὲ καὶ οἱ ὕστερον τῶν ἀρχαίων" (p. 185 b 26). οὗ καὶ τὴν λύσιν παρέθετο διὰ τοῦ "ὥσπερ οὐκ ἐνδεχόμενον ἓν καὶ πολλὰ ταὐτὸν εἶναι, μὴ τὰ ἀντικείμενα δέ. ἔστι δὲ τὸ ὂν καὶ ἓν δυνάμει καὶ ἐντελεχείᾳ" (p. 186 a 1). τούτῳ δὲ τῷ λόγῳ φησὶ τῷ περὶ τὰς διχοτομίας ἐνδοῦναι Ξενοκράτη τὸν Χαλκηδόνιον δεξάμενον μὲν τὸ πᾶν τὸ διαιρετὸν πολλὰ εἶναι (τὸ γὰρ μέρος ἕτερον εἶναι τοῦ ὅλου), καὶ διὰ τὸ μὴ δύνασθαι ταὐτὸ ἕν τε ἅμα καὶ πολλὰ εἶναι, διὰ τὸ μὴ συναληθεύεσθαι τὴν ἀντίφασιν, μηκέτι συγχωρεῖν πᾶν μέγεθος διαιρετὸν εἶναι καὶ μέρος ἔχειν· εἶναι γάρ τινας ἀτόμους γραμμάς, ἐφ' ὧν οὐκέτι ἀληθεύεσθαι τὸ πολλὰς ταύτας εἶναι. οὕτω γὰρ ᾤετο τὴν τοῦ ἑνὸς εὑρίσκειν φύσιν, καὶ φεύγειν τὴν ἀντίφασιν, διὰ τοῦ μήτε τὸ διαιρετὸν ἓν εἶναι ἀλλὰ πολλά, μήτε τὰς ἀτόμους γραμμὰς πολλὰ ἀλλ' ἓν μόνον. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος, ἐφιστάνειν ἄξιον πρῶτον μὲν εἰ Ζήνωνος οἰκεῖον τοῦτο, τὸ μηδὲν τῶν ὄντων λέγειν τὸ ἕν, ὅς γε τοὐναντίον πολλὰ γέγραφεν ἐπιχειρήματα, τὸ πολλὰ εἶναι ἀναιρῶν, ἵνα διὰ τῆς τῶν πολλῶν ἀναιρέσεως τὸ ἓν εἶναι

Ἄδραστος βουλόμενος δηλῶσαι τὸ ὅπερ ὄν, παρεξῆλθεν μὲν ὀλίγον τῶν προκειμένων, χρήσιμα δὲ ὄντα τὰ παρ' αὐτοῦ ῥηθέντα, ὧν καὶ Πορφύριος ἐμνημόνευσε, κάλλιον οἶμαι μὴ παραδραμεῖν... καί μοι δοκεῖ διὰ τούτων ὁ Ἀριστοτέλης τῷ Παρμενίδῃ ἐνδείκνυσθαι ὅτι βουλόμενος τὸ μὴ ὂν ἀνελεῖν, καὶ διὰ τοῦτο ἓν τὸ ὂν ὑποτιθέμενος, ἐπειδὴ τὸ παρὰ τὸ ὂν οὐδέν ἐστιν, οὐ μόνον εἰσάγει τι μὴ ὂν διὰ τῆς ὑποθέσεως, ἀλλὰ καὶ αὐτὸ τὸ ὂν μὴ ὂν εἶναι δείκνυσι. καὶ τοῦτο μὲν ἤδη καὶ παρὰ τοῦ Πλάτωνος ἐν Σοφιστῇ δέδεικται, καὶ ὅτι τὸ ὂν ἓν μέν ἐστι πολλὰ δ' οὐκ ἔστιν· οὔτε γὰρ κίνησις οὔτε στάσις οὔτε ἄλλα γένη ἐστὶ τὸ ὄν. ὁ μέντοι Ἀριστοτέλης, ὅτι τοῖς λέγουσιν ἓν τὸ ὂν οὐχὶ τὶ μὴ ὂν μόνον δειχθήσεται τὸ ὄν, ἀλλ' ἁπλῶς μὴ ὄν. ἐν δὲ τῇ λέξει πολλὴν ἀσάφειαν ἐποίησε τῷ ὑποθέμενον αὐτὸν οὐσίαν τὸ ὄν, πάλιν ὅτι μὴ συμβεβηκὸς δεικνύναι ἐν τῷ "τὸ γὰρ συμβεβηκός" καὶ τοῖς ἑξῆς. Simpl. f. 26 *b*.

ἀλλ' οὐκ ἔχει καλῶς ἀνδρὶ παλαιῷ τοσαύτην ἐναντιολογίαν προσάπτειν, ἀλλ' ἔστω· δεδόσθω τὸ ὂν αὐτὸ σημαίνειν τὸ μάλιστα ὂν καὶ τὸ ὅπερ ὂν καὶ τὴν οὐσίαν καὶ τὸ αὐτοὸν καὶ ὃ μηδαμῶς συμβέβηκεν ἄλλῳ, μᾶλλον τὸ ᾧ τὰ ἄλλα συμβέβηκεν. ἀλλὰ καὶ οὕτως αὐτὸ τὸ ὅπερ ὂν ἔσται μὴ ὄν. ἆρα γὰρ εἴποις ἂν τὸ ὅπερ ὂν τοῦτο καὶ λευκὸν καὶ μέλαν ἢ ὁτιδήποτε· ὑπάρχειν γάρ τι τῇ οὐσίᾳ δηλονότι συγχωρήσεις, εἴπερ ὑπόκειται πᾶσιν. ἔστω δὴ τὸ ὅπερ ὂν τοῦτο καὶ λευκόν. ἀλλὰ τὸ λευκὸν οὐκ ἦν ὅπερ ὄν· ἐκεῖνο μὲν γὰρ ἐσήμαινε τὴν οὐσίαν, τοῦτο δ' ἐστὶ συμβεβηκός. εἰ δὲ μὴ ὅπερ ὂν τὸ λευκόν, οὐδὲ ὂν ὅλως· μόνον γὰρ ὑπόκειται εἶναι τὸ ὅπερ ὄν. οὐχ οὕτως οὖν μὴ ὂν τὸ λευκὸν ὡς πῇ μὲν εἶναι πῇ δὲ μή, ἀλλ' ὡς παντελῶς μὴ εἶναι διὰ τὴν ὑπόθεσιν. Themist. f. 17 *b*.

δείξας ὅτι οὐκ ἔστιν ὡς τῷ λόγῳ ταὐτὸν ἓν τὸ ὄν, βούλεται νῦν δεῖξαι ὅτι οὐδὲ ὡς συνεχές. εἴρηται δὲ ὅτι εἰ ὡς συνεχὲς ἕν, ἢ ὡς οὐσία μόνον ἔσται, ἢ συμβεβηκὸς μόνον, ἢ μικτὸν ἐξ ἀμφοῖν. τέως οὖν ὅτι οὐ δύναται οὐσία μόνον εἶναι δείκνυσιν... οὐ γὰρ δή, φησί, τὸ συμβεβηκὸς ἂν λέγοιεν τὸ ὄν. τοῦτο δὲ ἐσήμανεν εἰπὼν "τὸ γὰρ συμβεβηκὸς καθ' ὑποκειμένου τινὸς λέγεται," τουτέστιν ἐν ἄλλῳ τὸ εἶναι ἔχει. Philop. *b* p. 10.

186b
4. δείξας ὅτι ἀδύνατον τὸ ὂν συμβεβηκὸς αὐτοὺς ὑποτίθεσθαι, ἀνατρέχει ἐπὶ τὸ ἐξ ἀρχῆς, ὅτι οὐδὲ οὐσίαν μίαν δυνατὸν εἶναι. διχῶς δὲ στικτέον. ἢ οὕτως "εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ συμβέβηκεν, ἀλλὰ μᾶλλον ἐκείνῳ ἕτερόν τι συμβέβηκεν," εἶτα ὑποστίξαντας ὧδε ἐπαγαγεῖν "τὸ ὅπερ ὂν σημαίνει τὸ ὂν ἢ τὸ μὴ ὄν." ἢ μᾶλλον εἰς τὸ "ἀλλ' ἐκείνῳ" στικτέον, εἶτα ἐφεξῆς "τί μᾶλλον τὸ ὅπερ ὄν" καὶ τὰ ἑξῆς. ὁ δὲ νοῦς, εἰ οὖν ἀδύνατον τὸ ὅπερ ὂν συμβεβηκέναι τινί, ἀλλ' ἐκείνῳ τῷ ὅπερ ὄντι συμβέβηκεν ἕτερόν τι, τουτέστι τῇ οὐσίᾳ τὸ συμβεβηκός, τί μᾶλλον τὸ ὅπερ ὄν, τουτέστιν ἡ οὐσία, τὸ ὂν ἢ τὸ μὴ ὂν σημαίνει; τουτέστιν οὐδὲν μᾶλλον ἔσται ὂν ἢ οὐκ ὂν ἡ οὐσία. πῶς δὲ τοῦτο συμβαίνει, ἐπήγαγεν. id. ib.

186b
11. εἰ ἄτοπον, φησί, τὸ ὅπερ ὂν τὸ αὐτὸ καὶ μὴ ὂν εἶναι, διότι τὸ ὅπερ ὂν ἔστι καὶ λευκόν, τὸ δὲ λευκὸν μὴ ὄν ἐστι, ψεῦδος ἄρα τὸ λευκὸν μὴ ὂν εἶναι, ὂν ἄρα τὸ λευκόν· πᾶν δὲ ὂν εὐθὺς καὶ ὅπερ ὄν, ὥστε καὶ τὸ λευκὸν ὅπερ ὄν. εἰ δὲ τοῦτο, ἔστι δὲ καὶ ἡ οὐσία ὅπερ ὄν, πλείω ἄρα σημαίνει τὸ ὂν καὶ οὐχ ἕν. id. ib.

μήποτε δὲ οὐ τοῦτο αὐτοῖς ἐπάγει τὸ ἄτοπον ὁ Ἀριστοτέλης 186b
ὅπερ οἱ πολλοὶ τῶν ἐξηγητῶν οἴονται, τὸ μὴ ἔχειν ἂν μέγεθος τὸ ὄν, 12.
καίτοι ἄπειρον ἢ πεπερασμένον ὑπ' αὐτῶν λεγόμενον (οὐ γὰρ ἠγνόει ὅτι ἀμέγεθες αὐτὸ καὶ ἀδιαίρετον ἐβούλοντο εἶναι καὶ ἀπεδείκνυσαν), ἀλλ' ὅτι εἰ ἓν μόνον ὑποτεθῇ τὸ ὄν, οὐδὲν ἐν τοῖς οὖσιν ἔσται μέγεθος ἔχον, οὐδὲ ὅλον καὶ μέρη· πολὺ δὲ τοῦτο παρὰ τὴν ἐνάργειάν ἐστι διὰ τὸ τὰ αἰσθητὰ καὶ φυσικὰ πάντα σώματα εἶναι μέγεθος ἔχοντα. Simpl. f. 27 *b*.

ὁ Ἀλέξανδρός φησιν ὅτι δείξας συνεισάγεσθαι καὶ τὰ συμβε- 186b
βηκότα τῷ ὅπερ ὄντι, νῦν δείκνυσιν ὅτι κἂν δοθῇ αὐτοῖς τὸ ὅπερ ὂν 14.
μόνον εἶναι τῷ κυρίως τοῦτο εἶναι, τὰ δὲ συμβεβηκότα ἄλλον τρόπον, καὶ οὕτως αὐτῷ τὸ ὂν οὐχ ἓν ἔσται ἀλλὰ πολλὰ ὅπερ ὄντα· ἥ τε γὰρ ὡς μεγέθους αὐτοῦ διαίρεσις, ἧς ἐμνημόνευσεν, εἰς ὅπερ ὄντα ἔσται. ἀνάγκη δὲ καὶ κατὰ τὸν λόγον διαιρεῖσθαι εἰς ὅπερ ὄντα πλείω, τουτέστι κατὰ τὸν ὁρισμόν. id. ib.

ἀλλ' οὐδὲ σῶμα ἴσως τὸ ἄπειρον οὐδὲ μέγεθος ἔχειν ἐροῦσιν, ἵνα μήτε εἰς μόρια πολλὰ διαιρεῖν ἀναγκάζωνται μήτε συμβεβηκότα προσάπτωσι. πότερον οὖν ὁριοῦνται τὸ ὅπερ ὂν καὶ λόγον τινὰ αὐτοῦ τῆς οὐσίας ἀποδώσουσιν, ἢ καὶ τοῦτο ἀφαιρήσονται; εἰ μὲν γὰρ ἀφαιρήσονται τὸν ὁρισμόν, οὐκ οἶδα τί λοιπὸν ὑπὲρ αὐτοῦ δυνήσονται λέγειν ἢ γράφειν, εἰ μήτε ὡς συμβεβηκὸς μήτε ὡς γένος μήτε ὡς εἶδος μήτε ὡς διαφορὰν μήτε ὡς ὁρισμὸν ὅλως μηδὲ ὡς ἐπιγραφὴν ἕξουσιν αὐτοῦ κατηγορίαν. εἰ δὲ ποιήσονταί τινα λόγον, τοῦτον ἀνάγκη διαιρεῖσθαι εἰς ὅπερ ὄντα... εἰ γὰρ μὴ ὅπερ ὄντα, συμβεβηκότα πάλιν γενήσεται. ἀλλ' οὐκ ἐνδέχεται τινὶ συμβεβηκέναι τὰ τὸν ὁρισμὸν αὐτοῦ συμπληροῦντα. ὅτι δὲ τοῦτο ἀληθές, ῥᾳδίως οἶμαι διδάξειν. τὰ συμβεβηκότα τοίνυν ἢ τὰ τοιαῦτά ἐστιν ὡς οἷά τε ὑπάρχειν καὶ μὴ ὑπάρχειν, ὡς τὸ καθῆσθαι καὶ διαλέγεσθαι, ἢ τοιαῦτα ὡς ἐν τῷ λόγῳ τοῦ συμβεβηκότος τὸ ὑποκείμενον περιέχεσθαι, ὡς σιμότης ἐν ῥινὶ καὶ τὸ περιττὸν ἐν ἀριθμῷ καὶ τὸ ἄρτιον. Themist. f. 17 *b*.

εἴποι δὲ ἄν τις τὸ μήποτε δεῖ ὅλως ὑποτίθεσθαι εἶναι τὰ συμβεβηκότα, ἀλλὰ μόνην τὴν οὐσίαν εἶναι. διὰ τοῦτο νῦν τοῦτο προτίθεται δεῖξαι, ὅτι κἂν τὸ ὂν τὴν οὐσίαν ὑποθώμεθα εἶναι καὶ ταύτην ἀριθμῷ μίαν καὶ μηδ' ὅλως ὑπάρχειν αὐτῇ τὰ συμβεβηκότα, καὶ οὕτως δειχθήσεται οὐδὲν ἧττον πολλὰ τὰ ὄντα καὶ οὐχ ἕν... ἢ οὖν εἰς τὸ "καὶ τῷ λόγῳ" ὑποστικτέον, ἵνα ᾖ, ὅτι δὲ ἡ οὐσία διαιρεῖται εἰς οὐσίας ἑτέρας διαιρούσας ἀλλήλας τῷ λόγῳ τῷ ὁριστικῷ, εἰ καὶ μὴ τῷ ὑποκειμένῳ. ἢ στικτέον εἰς "ὅπερ ὄν τι ἄλλο," εἶτα ἐφεξῆς τὸ "καὶ τῷ λόγῳ φανερόν" ἀντὶ τοῦ καὶ τῷ λόγῳ δεῖξαι δυνατὸν ὅτι ἡ οὐσία διαιρεῖται εἰς ἑτέρας οὐσίας, ὡς δὴ τούτου φανεροῦ μὲν ἐκ τῆς ἐναργείας ὄντος, δεικνυμένου δὲ καὶ λόγῳ. Philop. *b* p. 12.

καὶ εἰ συμβεβηκότα, ἤτοι αὐτῷ τῷ ἀνθρώπῳ ἢ ἄλλῳ τινί· 186b
ἄμφω δὲ ἀδύνατα. εἰ γὰρ συμβέβηκε τῷ ἀνθρώπῳ, ἤτοι ὡς χω- 17.
ριστὰ αὐτοῦ συμβέβηκεν αὐτῷ, ὡς τὸ καθῆσθαι, καὶ ἔσται ποτὲ ὁ ἄνθρωπος μὴ ζῷον ἢ μὴ πεζὸν ἢ μὴ δίπουν, ὅπερ ἄτοπον· ἢ ὡς ἀχώριστα. ἔστι δὲ ἀχώριστον συμβεβηκός, οὗ ἐν τῷ λόγῳ ὑπάρχει τὸ ᾧ συμβέβηκε· τὸ γὰρ σιμὸν ἀχώριστον συμβεβηκός ἐστι τῆς ῥινός·

χρόνον ἀρχὴν τόδε τοῦ χρόνου τὸ μέρος, ἀθρόα δὲ πάντα πάσχει τὰ μόρια τὸ πάθος. ἢ ἐπειδὴ μέρος ἀθρόως ἀλλοιοῦται, καὶ αὐτὸ ἐπ' ἄπειρον ὂν διαιρετόν, καὶ οὐ κατὰ μόριόν τι πρῶτον πάσχον, ὡς καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῷ Ζ ταύτης τῆς πραγματείας δείξει λέγων "οὐδὲ δὴ τοῦ μεταβεβληκότος ἐστὶ τὸ πρότερον ὃ μεταβέβληκεν" (p. 236 *a* 27). ἔτι δὲ σαφέστερον ἐν τῷ τελευταίῳ βιβλίῳ ταῦτα γέγραφεν, "ὁμοίως δὲ καὶ ἐπὶ ἀλλοιώσεως ὁποιασοῦν· οὐ γὰρ εἰ μεριστὸν εἰς ἄπειρον τὸ ἀλλοιούμενον, διὰ τοῦτο καὶ ἡ ἀλλοίωσις, ἀλλ' ἀθρόα γίνεται πολλάκις, ὥσπερ ἡ πῆξις" (p. 253 *b* 23). καὶ ὁ Θεόφραστος δὲ ἐν τῷ ἑνδεκάτῳ περὶ Κινήσεως τὰ αὐτὰ ταῦτα περὶ τούτου δοξάζων φαίνεται. λέγει δὲ οὕτως. Simpl. f. 23.

186 a 16. ὁ Μέλισσος δείξας τὸ ἄπειρον ἐκ τοῦ μήτε ἀρχὴν μήτε τέλος ἔχειν, ἐκ δὲ τοῦ ἀπείρου τὸ ἓν εἶναι, ἐφεξῆς καὶ ὅτι ἀκίνητον δείκνυσιν, ὡς ὁ Ἀλέξανδρός φησι, τῷ τὸ κινούμενον ἢ διὰ πλήρους ὀφείλειν κινεῖσθαι ἢ διὰ κενοῦ, οὕτω δὲ καὶ ἄλλο τι ἔσεσθαι... ὅτι δὲ οὐχ ὡς Ἀλέξανδρος ἤκουσεν, οὕτως ἡ ἀπόδειξις προῆλθεν, ἐκ τοῦ τὸ κινούμενον ἢ διὰ πλήρους ὀφείλειν κινεῖσθαι ἢ διὰ κενοῦ, ἀλλ' ὅτι δεῖ αὐτὸ τὸ ὂν πλῆρες εἶναι, δηλοῖ καὶ ὁ Εὔδημος λέγων "ἀκίνητον δὲ δὴ πῶς; ἢ ὅτι πλῆρες. πλῆρες δέ, ὅτι οὐκ ἔσται ἄπειρον κενοῦ μετέχον." ἀλλ' ἐπειδὴ κἂν ἀρχαιοπρεπῶς ἀλλ' οὐκ ἀσαφῶς ταῦτα καὶ ὁ Μέλισσος ἔγραψε, παρακείσθω καὶ αὐτὰ τὰ ἀρχαῖα γράμματα πρὸς τὸ δύνασθαι τοὺς ἐντυγχάνοντας ἀκριβεστέρους γίνεσθαι κριτὰς τῶν προσφυεστέρων ἐξηγήσεων. id. f. 24.

186 a 18. ἔοικε δὲ ἡ τοῦ Ἀριστοτέλους βραχυλογία σφάλλειν πολλαχοῦ τοὺς ἐξηγητάς. εἰπόντος γὰρ αὐτοῦ "ἔπειτα ἀλλοίωσις διὰ τί οὐκ ἂν εἴη;" ὁ Ἀλέξανδρος οὕτως ἐξηγεῖται ὡς Μελίσσου διὰ τὸ δεῖξαι μὴ δυνάμενον τὸ ὂν τὴν κατὰ τόπον κίνησιν κινεῖσθαι, τὸ πάντη ἀκίνητον αὐτοῦ κατηγοροῦντος (ταῦτα γὰρ αὐτῇ λέξει γέγραφεν ὁ Ἀλέξανδρος), καίτοι τοῦ Μελίσσου καὶ πρὸ τῆς κατὰ τόπον κινήσεως τὰς ἄλλας ἀναιροῦντος, ὡς ἡ προεκτεθεῖσα ῥῆσις δηλοῖ. ὡς δὲ τοῦ ἑνὸς ἀλλοιοῦσθαι καὶ ἑτεροιοῦσθαι δυναμένου, καὶ μένοντος ἔτι ἑνὸς κατὰ τὴν οὐσίαν, οὕτω νῦν ὑπήντησεν ὁ Ἀριστοτέλης, τὸ ἓν ὁλοσχερῶς κατὰ τὴν συνήθειαν λαβών. id. f. 24 *b*.

ἀλλοίωσιν δὲ ἤτοι κίνησιν οὐ νενόμικας, ἢ διὰ τί καὶ ταύτην προσαφήρησαι τοῦ ἀπείρου; οὐ γὰρ δὴ καὶ τὸ θερμαίνεσθαι καὶ τὸ ψύχεσθαι τόπου προσδεῖται. φορτικὸς οὖν, ὅπερ ἔφην, ὁ λόγος, καὶ ἐφ' ἑνὶ σαλεύων ἀτόπῳ, τῷ μοναχῶς λέγεσθαι τὴν ἀρχήν, ὅπερ εἰ μὴ συγχωροῖτο, εὐφώρατος ἡ κακουργία. Themist. f. 17.

186 a 19. ἐν τοῖς καθόλου λόγοις τριῶν τοῦ ἑνὸς σημαινομένων ἀφαιρεθέντων, τοῦ τε κατὰ συνέχειαν καὶ τοῦ ὡς ἀδιαιρέτου καὶ τοῦ τῷ λόγῳ ἑνός, δείξας ὅτι κατ' οὐδὲν τῶν σημαινομένων τούτων ἓν εἶναι δύναται τὸ ὄν, καὶ ὑπαντήσας πρὸς αὐτοὺς τοὺς τοῦ Μελίσσου λόγους, κοινὸν οἶμαι τοῦτον ἐπάγει λόγον, ὅτι ὅλως τῷ εἴδει ἓν οὐχ οἷόν τε τὸ ὂν εἶναι, πλὴν τῷ ἐξ οὗ, τουτέστι πλὴν κατὰ τὴν ὑλικὴν αἰτίαν. κατὰ ταύτην γάρ, ὡς ὁ Ἀλέξανδρος ἐξηγεῖται, δυνατὸν τῷ εἴδει ἓν λέγειν τὸ ὄν, ὥσπερ καὶ ἄλλοι τινὲς τῶν φυσικῶν ἔλεγον. Simpl. f. 24 *b*.

φασὶ δὲ καὶ γεγράφθαι αὐτῷ (τῷ Ἀρ.) ἰδίᾳ βιβλίον πρὸς 186 a
τὴν Παρμενίδου δόξαν, ὃ νῦν αἰνίττεται διὰ τοῦ εἰπεῖν "καὶ εἴ τινες 23.
ἄλλοι ἕτεροι." Philop. *b* p. 9.

ὅτι μηδὲ συλλογίζεται (ὁ Παρμενίδης), δῆλον ἂν γένοιτο ἐξ 186 a
ὑποθέσεως, εἰ τῷ αὐτῷ σχήματι τοῦ λόγου ἕτερα λήμματα ἐναρ- 25.
μόσωμεν. ὑποκείσθω γὰρ ὑπὸ τοῦ ὄντος μόνον σημαίνεσθαι τὸ λευκόν, τὸ δὲ παρὰ τὸ λευκὸν μηδὲν εἶναι, καὶ πλεκέσθω παραπλήσιος ὁ λόγος. εἴ τι παρὰ τὸ λευκόν ἐστιν, οὐκ ἔστιν ἐκεῖνο λευκόν, τὸ δὲ μὴ λευκὸν οὐδέν ἐστιν. τί δὴ συνάγεται; τὸ παρὰ τὸ λευκὸν μηδὲν εἶναι. εἰ γέγονας ἐν τοῖς Ἀναλυτικοῖς, οἶδας ὅτι τοῦτο συνάγεται. ὁ δὲ ὑπάγει, μόνον τὸ λευκόν ἐστιν... τί οὖν κωλύει πολλὰ εἶναι τὰ λευκά, κύκνον, χιόνα, ψιμμύθιον, γάλα; καίτοι τί λέγω; ταῦτα μὲν διέστηκεν ἀπ' ἀλλήλων, καὶ τὸ πλῆθος εὐφώρατον ἅπαντι. ἀλλ' ἓν μόνον ἔστω τὸ λευκόν, συνεχὲς καὶ ἡνωμένον. ἀλλ' οὐδὲ τοῦτο ἕν ἐστιν, εἰ σκοποίης κατὰ τὸν λόγον, ἀλλὰ δύο τοὐλάχιστον ἐν αὐτῷ, τό τε ὑποκείμενον σῶμα καὶ ἡ λευκότης. δύο δὲ οὐχ ὡς δυνάμενα χωρὶς ἀλλήλων ὑποστῆναί ποτε. Themist. f. 17.

ἐπὶ τοῦ λευκοῦ δείκνυσι τὸ ἀσυμπέραντον (ὁ Ἀρ.), νῦν μὲν ὡς 186 a
συμβεβηκός τι λαμβάνων τὸ ὄν, μετ' ὀλίγον δὲ ὡς οὐσίαν, καὶ καθ' 26.
ἑκάτερον δεικνὺς μὴ δυνάμενον ἓν εἶναι τὸ ὄν... τοῦτο δέ, φησί, Παρμενίδης οὔπω ἑώρα, ὅτι δυνατὸν τὰ τῇ ὑποστάσει ἓν ὄντα λόγους διαφόρους ἔχειν καὶ κατὰ τοῦτο πολλὰ εἶναι. καὶ οὐδὲν ἦν θαυμαστὸν τοὺς κανόνας τῶν λόγων μήπω τότε διακεκρίσθαι, ἀλλὰ φωραθέντας ὕστερον ἐξ αὐτῶν τῶν πραγμάτων οὕτως ἐξενεχθῆναι πρὸς πλείονα συντελοῦντας ἀκρίβειαν, ὡς καὶ ὁ Εὔδημος μαρτυρεῖ λέγων... διὰ δὲ τὴν περὶ ταῦτα ἄγνοιαν καὶ οἱ Μεγαρικοὶ κληθέντες φιλόσοφοι λαβόντες ὡς ἐναργῆ πρότασιν ὅτι ὧν οἱ λόγοι ἕτεροι, ταῦτα ἕτερά ἐστι, καὶ ὅτι τὰ ἕτερα κεχώρισται ἀλλήλων, ἐδόκουν δεικνύναι αὐτὸν αὑτοῦ κεχωρισμένον ἕκαστον. Simpl. f. 25 *b*.

ἐπειδὴ εἶπεν ὅτι ἕτερόν ἐστι τὸ λευκὸν τοῦ ὑποκειμένου, ἵνα μή 186 a
τις ὑπονοήσῃ ὅτι τῷ εἶναι ἰδέαν τινὰ τοῦ λευκοῦ χωριστὴν καὶ οὐκ ἐν 30.
ὑποκειμένῳ τινί, ταύτῃ ἕτερός ἐστιν ὁ τοῦ λευκοῦ λόγος παρὰ τὸ ὑποκείμενον, διὰ τοῦτό φησιν ὅτι οὐκέτι χωριστόν τι εἶδος ἕτερον παρὰ τὸ λευκὸν τὸ ἐν ὑποκειμένῳ τῷ σώματι τὸ εἶναι ἔχον, ὥσπερ τυχὸν ὑποτίθεται Πλάτων. Philop. *b* p. 8.

δυνατὸν καὶ τὰ προσεχῶς εἰρημένα καὶ ταῦτα μὴ πρὸς Παρμε- 186 a
νίδην λέγεσθαι μόνον ἀλλὰ καὶ πρὸς Μέλισσον. ἐπειδὴ γὰρ τῶν ὄντων 32.
τὰ μὲν οὕτως ἐστὶν ὡς συμβεβηκότα, τὰ δὲ ὡς ὑποκείμενα οἷς τὰ συμβεβηκότα συμβέβηκε, καὶ ταῦτα οὐ μόνον τὰ αὐτὰ οὐκ ἔστιν ἀλλήλοις ἀλλὰ καὶ ὑπεναντία πως, τό τε καθ' αὑτὸ ὑφεστὼς καὶ τὸ ἐν ἄλλῳ τὸ εἶναι ἔχον, ἀνάγκη τὸ ἕτερον τούτων τὸ ὂν λέγειν, ἢ τὸ συμβεβηκὸς ἢ τὸ τούτῳ ὑποκείμενον... ἅμα δὲ καὶ ἄτοπον ἦν οὕτω κλεινοῖς ἀνδράσιν ἐγκαλεῖν ὡς ἀγνοοῦσιν ὅτι τὸ συμβεβηκὸς συνάγει πάντως ἑαυτῷ καὶ ἄλλο τι ᾧ συμβέβηκε. δεῖ τοίνυν ὑποθέσθαι τὸ ὂν ἓν λέγειν αὐτοὺς τὸ κυρίως ὂν καὶ μάλιστα τὸ ὄν, καὶ ὡς ἂν Πλάτων μὲν εἴποι τὸ αὐτοόν, Ἀριστοτέλης δὲ τὸ ὅπερ ὄν· τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ κυρίως ὂν καὶ μάλιστα ὄν, ὅπερ νομίζει τὴν οὐσίαν ὡς καὶ καθ' αὑτὴν ὑφεστῶσαν καὶ τοῖς ἄλλοις τοῦ εἶναι αἰτίαν... ὁ δὲ

ρίαν ἐξέφυγον, κἂν εἰ ἐκκλίνοντες καὶ μεταρρυθμίζοντες τὴν λέξιν τὴν κατηγορίαν ἐποιοῦντο· πᾶν γὰρ ῥῆμα εἰς μετοχὴν καὶ τὸ ἴσον ἀναλύεται, βαδίζει-βαδίζων ἐστίν. εἰ δὲ ἐκ τῆς Ἐρετρίας οὕτω τὴν ἀπορίαν ἐφοβήθησαν ὡς λέγειν μηδὲν κατὰ μηδενὸς κατηγορεῖσθαι, ἀλλ' αὐτὸ καθ' αὑτὸ ἕκαστον λέγεσθαι, οἷον ὁ ἄνθρωπος ἄνθρωπος καὶ τὸ λευκὸν λευκόν. καὶ οὐδὲ οὗτοι μὲν ἐξέφυγον τὴν ἀπορίαν· καὶ γὰρ ὁ ἄνθρωπος πολλά ἐστι καὶ τὸ λευκὸν πολλά, ὡς οἱ ὁρισμοὶ δηλοῦσι. καὶ τῷ ἑτέρῳ δὲ τῶν ἀτόπων περιπεπτώκασι τῷ τὸν ἀποφαντικὸν λόγον ἀναιροῦντι... τοιαύτη μὲν ἡ κατὰ τὸ πρόχειρον ἔννοια τῆς Ἀριστοτελικῆς λέξεως εἶναι δοκεῖ· τοῦ δὲ Πορφυρίου καινοπρεπῶς αὐτὴν ἐπιδραμόντος, ἄξιον ἂν εἴη μηδὲ τὰ ἐκείνῳ δοκοῦντα παραλιπεῖν, τὰ μὲν συντέμνοντα τῶν λεγομένων, τὰ δ' ἐπ' αὐτῆς τῆς λέξεως παρατιθέντα... τὴν τοίνυν τοιαύτην καὶ τηλικαύτην ἀπορίαν μόνος ὁ Ἀριστοτέλης συνοῖδεν ὅπως λύειν χρή· τὰ γὰρ ὄντα φησὶ μὴ ὁμοίως ὄντα εἶναι, διὸ μὴ εἶναι αὐτῶν γένος τὸ ὄν, ἀλλὰ τὸ μὲν τοιοῦτον εἶναι ὃ καὶ αὐτὸ καθ' ἑαυτὸ ὑποστῆναι δύναται, χαρακτῆρα ἐμφαῖνον ἴδιον, τὰ δὲ ὄντα μέν, οὐχ ὁμοίως δὲ μετειληφότα τοῦ ὄντος ἀλλὰ κατ' ἄλλον τρόπον τῷ ἐν ἐκείνοις εἶναι καὶ ἠρτῆσθαι ἀπ' ἐκείνων πρὸς τὸ εἶναι· ὁ μὲν γὰρ πατήρ τε καὶ ὁ υἱὸς κατὰ τύχην ὑπέστησαν, καὶ ὁ δεσπότης καὶ ὁ δοῦλος. διὸ πολλαχῶς ἔφη τὸ ὄν, πλὴν ὅτι τὰ ἄλλα ἐπὶ τῇ οὐσίᾳ συμβέβηκε, καθ' ἣν καὶ χαρακτηρίζεται τὸ ὑποκείμενον. διὸ οἱ μὲν ἀνῄρουν τὰ ἄλλα, καθάπερ οἱ ἀπὸ τῆς Στοᾶς ἐποίουν, πλὴν τὰ ἐναργῆ· ὁ δὲ ὁμοίως τῇ οὐσίᾳ καταλιπὼν ἐν μᾶλλον ἁμαρτάνει· πολλὰ γὰρ ποιήσει τὰ ὄντα καὶ σωρεύσει, ὥσπερ τὰ ἄτομα σώματα. ὁ δὲ πῶς μὲν λέγων εἶναι, τῷ ἐπὶ τῇ οὐσίᾳ θεωρεῖσθαι καὶ μετ' ἐκείνην εἶναι, πῶς δὲ μὴ εἶναι, τῷ μὴ ἄνευ αὐτῆς ὑποστῆναι δύνασθαι, οὗτος ἐπείληπται τοῦ ὀρθοῦ... ὅπερ ἴσως καὶ νῦν ᾐνίξατο, μηδὲν ἄτοπον εἰπὼν τὸ αὐτὸ ἓν καὶ πολλὰ εἶναι, πολλὰ μὲν κατὰ τοὺς πολλῶν συμβεβηκότων λόγους, ἓν δὲ κατὰ τὸ ὑποκείμενον καὶ τὴν οὐσίαν, ὅπερ αὐτὸ μόνον ἓν πολλά ἐστι κατ' ἐκεῖνο... ὥστε εἰ μέλλει καὶ ἡ ἀπὸ τῶν συμβεβηκότων ἀπορία λύεσθαι, καλῶς ὁ Πορφύριος τὸ ὑπὸ τοῦ Ἀριστοτέλους ᾐνιγμένον διὰ τοῦ "ὡς πολλαχῶς λεγομένου ἢ τοῦ ἑνὸς ἢ τοῦ ὄντος, πολλὰ δὲ τὰ ὄντα" ἐνόησέ τε καὶ ἐξέφηνεν, ἐνδειξαμένου μέν πως καὶ τοῦ Εὐδήμου τὸ τοιοῦτο, καὶ αὐτοῦ δὲ τὴν λύσιν εἰς τὸ δυνάμει καὶ ἐνεργείᾳ κατακλείσαντος. οὐδὲν δὲ ἴσως χεῖρον καὶ τὰ Εὐδήμου παραθέσθαι... ταῦτα οὖν τοῦ Εὐδήμου λέγοντος ὁ Ἀλέξανδρος Πλατωνά φησιν εἶναι τὸν τὴν λέξιν μεταρρυθμίζοντα τῶν συμβεβηκότων, καὶ ἴσως διότι ὁ Εὔδημος μετὰ τοὺς ἀφαιροῦντας τὸ ἐστι τῆς δόξης ταύτης ἐμνήσθη. ὅτι δὲ οὐκ ἦν τῶν ἐπὶ τῇ ἀπορίᾳ θορυβηθέντων ὁ Πλάτων, οὐδὲ τοῦτον ὁ Ἀριστοτέλης αἰνίττεται, δῆλον ἐξ ὧν ἐν Φιλήβῳ μὲν παίδων ἐρεσχελούντων ἀδολεσχίαν εἶναι τὴν τοιαύτην ἀμφισβήτησιν φησίν, ἐν Σοφιστῇ δὲ (p. 251) καὶ τὴν ὅλην ἀπορίαν σαφῶς ἐκτίθεται καὶ διαπαίζει πάνυ τοὺς ἐσπουδακότας περὶ αὐτήν, γράφων οὕτως. Simpl. f. 20.

185 b 28. Πλάτων δὲ μετερρύθμιζε τὸν λόγον, ἀντὶ τοῦ λευκός ἐστι λέγων λελεύκωται. ἡμεῖς δέ φαμεν ταὐτὸν εἶναι δύνασθαι ἕν τε καὶ οὐχ ἕν, ἀλλ' οὐ κατὰ ταὐτὸν οὐδὲ ἅμα· τοῦτο μὲν γὰρ ἀμήχανον ὄντως. Themist. f. 16 *b*.

ὡς Μενέδημος ὁ Ἐρετριεύς. καὶ ὁ μὲν Ἀριστοτέλης ἀνωνύμως εἶπε, τινὲς δὲ ὑπενόησαν εἰς τὸν Πλάτωνα αὐτὸν αἰνίττεσθαι, παντελῶς ἄπειροι ὄντες καὶ αὐτῆς τῆς Πλατωνικῆς λέξεως. Philop. *b* p. 3.

τὴν καθολικὴν ἀναίρεσιν τῆς ὑποθέσεως προλαβών, ἵνα μὴ 186 a 4. δοκῇ διὰ σαθρότητα τῶν παρισταμένων αὐτῇ λόγων ἐλέγχεσθαι, μέτεισι λοιπὸν ἐπὶ τὸ καὶ τοὺς λόγους διελέγχειν αὐτούς, οἷς πιστεύοντες ἓν ἀπεφήναντο τὸ ὄν. Simpl. f. 22.

τὸ μὲν οὖν ἀσυλλόγιστον αὐτοῖς ἐγκαλεῖ, διότι ἀμφότεροι κακῶς 186 a 8. τῇ ἀντιστροφῇ ἐχρήσαντο, ἐκ τοῦ ἡγουμένου ποιησάμενοι αὐτήν. καὶ γὰρ καὶ ὁ Παρμενίδης τῷ αὐτῷ τῆς ἀντιστροφῆς ἐχρήσατο τρόπῳ· τὸ παρὰ τὸ ὂν γάρ, φησίν, οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, τὸ ὂν ἄρα ἕν. συνήγετο μὲν γὰρ ἐκ τῶν προτάσεων τὸ παρὰ τὸ ὂν ἄρα οὐδέν· ὁ δὲ τὸ συμπέρασμα τοῦτο ἀντιστρέψας ἐκ τοῦ ἡγουμένου ἀντέστρεψε, δέον ἐκ τοῦ ἑπομένου. Philop. *b* p. 7.

τὸ μὲν οὖν ἀσυλλόγιστον ἐκ τοῦ τὴν ἀκολουθίαν ἀνάπαλιν ἢ ἐχρῆν 186 a 10. λαβεῖν ᾐτιάσατο· οὐ γὰρ ἕπεται τῷ τὸ γενόμενον ἀρχὴν ἔχειν τὸ τὸ μὴ γενόμενον ἀρχὴν μὴ ἔχειν, ἀλλὰ τὸ τὸ μὴ ἔχον ἀρχὴν οὐ γέγονεν· ἐν γὰρ τοῖς συνημμένοις τότε ὑγιὴς ἡ κατὰ ἀντιστροφὴν ἀκολουθία, ὅταν τὸ ἀντικείμενον τοῦ ἑπομένου λαβόντες ἐπενέγκωμεν τὸ τοῦ ἡγουμένου ἀντικείμενον... ὁ μέντοι Εὔδημος καὶ διὰ τούτων τῶν λημμάτων οὐδὲν ἄλλο δείκνυσθαί φησιν ἢ ὅπερ ἐξ ἀρχῆς, ὅτι τὸ ὂν ἀγένητόν ἐστιν· ἡ γὰρ ὑγιὴς ἀντιστροφή ἐστι, τὸ μὴ ἔχον ἀρχὴν ἀγένητόν ἐστι, τὸ δὲ ὂν ἀρχὴν οὐκ ἔχει. λέγει δὲ οὕτως. Simpl. f. 22 *b*.

καὶ τοίνυν ὅταν λέγῃ Μέλισσος ἅπαν τὸ γενόμενον ἀρχὴν 186 a 11. ἔχειν, ποίαν ἀρχήν, ἐρησόμεθα αὐτόν· ἅπαν μὲν γὰρ ἀρχὴν ἔχει τὴν κατὰ χρόνον, ὃ γίνεται κατ' οὐσίαν ἁπλῶς, ὡς ἄνθρωπος ἵππος ἐλαία πλάτανος, οὐχ ἅπαν δὲ τὴν κατὰ μέγεθος, οἷον ὃ γίνεται κατ' ἀλλοίωσιν καὶ ἀθρόαν μεταβολήν· γίνεται γὰρ καὶ κρύσταλλος καὶ τυρός, οὐ μὴν ἔστι λαβεῖν ἀρχὴν τοῦ μεγέθους, ὅθεν ἤρξατο πρῶτον τῆς πήξεως. πάλιν δέ, ὅταν ἐπαγάγῃ τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει, παραπλησίως ἐξεταστέον, τίνα λέγει τὴν ἀρχήν; τὴν μὲν γὰρ κατὰ χρόνον οὐκ ἔχει τὸ μὴ γενόμενον, τὴν κατὰ μέγεθος δὲ οὐδὲν κωλύεται ἔχειν. Themist. f. 17.

δείξας τὸ τῆς συμπλοκῆς ἀσυλλόγιστον ἐφεξῆς τὸ ψεῦδος 186 a 13. διαβάλλει τῶν λημμάτων, τὸ συνημμένον αἰτιώμενος, τὸ τὸ γενόμενον ἀρχὴν ἔχειν ὡς ἀληθὲς ὑποτιθέμενον μὲν ἐπὶ τῆς χρονικῆς, μεταλαμβανόμενον δὲ ἐπὶ τῆς κατὰ τὸ πρᾶγμα ἀρχῆς καὶ παρὰ τὴν ἐπωνυμίαν σεσοφισμένον... ἐπειδὴ δὲ καὶ τὰ ἀλλοιούμενα γίνεσθαι λέγεται, καὶ γένεσίς τις ἐστὶ καὶ ἡ ἀλλοίωσις (γίνεται γὰρ θερμὸν ἐκ ψυχροῦ καὶ λευκὸν ἐκ μέλανος), ἐπὶ τούτων οὐκ ἀληθὲς ὅτι πᾶν τὸ γινόμενον ἀρχὴν ἔχει τὴν κατὰ τὸ πρᾶγμα, ἀλλ' ἔνια καὶ ἀθρόως καθόλου τὰ μέρη αὐτῶν ἄρχεται ἀλλοιοῦσθαι, ὡς ἔχει τὰ πηγνύμενα, ὧν οὐκ ἀπό τινος μέρους ἡ κατὰ πῆξιν ἄρχεται μεταβολή, ἀλλ' ἀθρόως ἄρχεται καὶ προκόπτει κατ' αὐτὴν ἀθρόως πάντα, τοῦ ἀθρόου, ὡς οἶμαι, οὐ τὸ ἄχρονον δηλοῦντος, ὡς ὁ Πορφύριος ἤκουσε καὶ πειρᾶται ἄχρονον κατασκευάζειν τὴν ἀλλοίωσιν, ἀλλὰ τὸ ὁμοῦ πάντων τῶν μερῶν· ἡ γὰρ πῆξις καὶ ὁ φωτισμὸς τοῦ ἀέρος οὐκ ἄχρονος γίνεται, ἀλλ' ἔχει τὴν κατὰ

τὸ ἓν λέγον ὅπερ ἦν τὸ ὄν. ἐπειδὴ δὲ ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος καὶ δι' οἰκείων ἐπιχειρημάτων ἀντιλέγειν ἀξιοῖ τοῖς ἓν τὸ ὂν λέγουσι, φέρε συντόμως ἴδωμεν πῇ καὶ αὐτὸς εὖ λέγειν δοκεῖ καὶ ἡ παλαιὰ σοφία μένει ἀνέλεγκτος. id. f. 17.

185b 5. οἰκείᾳ τοῦ ἑνὸς χρῆται διαιρέσει, οὐκ ἀρεσκόμενος οἶμαι τοῖς ὑπὸ τοῦ Πορφυρίου λεγομένοις ἐνταῦθα. λέγει γὰρ ὅτι καὶ τὸ ἓν πολλὰ σημαίνει, πρῶτον μὲν ὅσα καὶ τὸ ὄν, καὶ διελομένοις τὸ ἓν εἰς τὰ αὐτὰ τῷ ὄντι παραπλησίως ἔστιν ἐπιχειρεῖν, ἀπαιτοῦντας πῶς ἓν λέγουσιν εἶναι τὸ ὄν, πότερον ὡς οὐσίαν ἢ ὡς ποιὸν ἢ κατά τι τῶν ἄλλων. ἀκριβέστερον γὰρ ὁ Ἀριστοτέλης ἄλλην μὲν τοῦ ὄντος ἄλλην δὲ τοῦ ἑνὸς τῶν σημαινομένων οἰκείαν πεποίηται τὴν διαίρεσιν. τὸ γὰρ ἓν ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ ἓν ἔσται. ἀλλὰ τὸ μὲν γένει ἢ εἴδει ἓν οὐκ ἠξίωσεν ὁ Ἀριστοτέλης θεῖναι νῦν, ὡς προφανῶς εἰσάγοντα τὸ πλῆθος... τὸ δὲ ἓν τῷ ἀριθμῷ καὶ αὐτὸ πολλαχῶς λέγεται· ἢ γὰρ ὡς τὸ συνεχές, ὡς μίαν εἴποιμι ἂν τὴν γραμμήν, ἢ ὡς τὸ ἀδιαίρετον φύσει, ὡς τὸ σημεῖον καὶ ἡ μονάς, ἢ ὡς τὰ τὸν αὐτὸν ἔχοντα λόγον κἂν ὀνόμασι διαφέρῃ, ὡς λώπιον καὶ ἱμάτιον. κατ' ἄλλην δὲ πάλιν διαίρεσιν τὸ μὲν δυνάμει ἓν λέγεται τὸ δὲ ἐνεργείᾳ... διὰ δὴ ταῦτα εἰ μὲν ὡς συνεχὲς ἐροῦσι τὸ ὂν ἕν, ἔσται ἐνεργείᾳ μὲν ἓν δυνάμει δὲ πολλὰ καὶ ἄπειρα... εἰ δὲ οὕτως ἓν τὸ ὂν ὡς ἀδιαίρετον, ἐπεὶ τὸ ἀδιαίρετον πολλαχῶς, οἷον τὸ μήπω διῃρημένον οἷόν τε δὲ διαιρεθῆναι, καθάπερ ἕκαστον τῶν συνεχῶν, ἢ τὸ μηδὲ ὅλως πεφυκὸς διαιρεῖσθαι τῷ μὴ ἔχειν μέρη εἰς ἃ ἂν διαιρεθῇ, ὥσπερ στιγμὴ καὶ μονάς, ἢ τὸ μόρια μὲν ἔχον καὶ μέγεθος, ἀπαθὲς δὲ ὂν διὰ στερεότητα καὶ ναστότητα, καθάπερ ἑκάστη τῶν Δημοκρίτου ἀτόμων. εἰ μὲν οὖν ὡς τὸ συνεχὲς ἓν τὸ ὄν, πολλὰ πάλιν ἔσται τὸ ὄν· εἰ δὲ ὡς ἡ ἄτομος, πρῶτον μὲν ἄτοπον καὶ ἀπεμφαῖνόν ἐστι τὸ μίαν λέγειν ἄτομον τὰ πάντα, εἶτα καὶ αὐτὴ συνεχὴς καὶ διαιρετὴ ἐπ' ἄπειρον... κἀνταῦθα δὲ ὁ Ἀριστοτέλης τοῦτο μόνον τοῦ διαιρετοῦ τὸ σημαινόμενον ἀντιλογίας ἠξίωσεν, ὡς τῶν ἄλλων εὐδιαλύτων ὄντων. καὶ πρὸς τοῦτο δὲ οὐχ ὡς πρὸς σημεῖον ἀντεῖπεν, ὥσπερ οἱ ἐξηγηταί, ἀλλ' ὡς πρὸς τοιοῦτον οἷον ἂν ὑπέθεντο καὶ οἱ περὶ Παρμενίδην, τὸ ἄποσόν τε καὶ ἄποιον... αὐτὸς δὲ πρὸς τὸ πρῶτον τμῆμα τῆς διαιρέσεως τὸ οὕτως ἓν τὸ ὂν ὡς συνεχὲς λέγον ἀπαντήσας, πρὸ τοῦ τὰ λοιπὰ διαλῦσαι, ἀπορίαν τινὰ παρεμβαλὼν περὶ τοῦ ὅλου καὶ τοῦ μέρους, εἰ ταὐτὸν ἢ ἕτερόν ἐστι, μᾶλλον δὲ εἰ ἓν ἄμφω, ἀσαφέστερον τὸν λόγον πεποίηκε. τὴν δὲ ἀπορίαν ταύτην Πορφύριος προβεβλῆσθαί φησιν ὥς τινων ἐνστησομένων αὐτῷ τρεῖς εἰπόντι τρόπους τῆς τοῦ ἑνὸς ὑποστάσεως καὶ μὴ προστιθέντι τὸν τέταρτον, ὃν τινες εἰσῆγον, νομίζοντες τὸ μέρος τὸ μὴ συνεχὲς ἄλλῳ μέρει καὶ τὸ ὅλον ταὐτὸν εἶναι... ὁ δὲ Ἀλέξανδρος λῦσαι τὴν περὶ τοῦ μέρους καὶ τοῦ ὅλου ἀπορίαν φησὶν αὐτὸν τὴν λέγουσαν τὸ μέρος τῷ ὅλῳ ταὐτὸν εἶναι, ἵνα δείξας μὴ ὂν ταὐτὸν βεβαιότερον ἔχῃ, ὅτι οὐ μόνον διαιρεθέντα τὰ μέρη ἀπὸ τοῦ ὅλου πλείω γίνεται, ἀλλὰ καὶ ἐν τῇ συνεχείᾳ λαμβανόμενα, εἴγε καὶ ἀλλήλων καὶ τοῦ ὅλου ἕτερά ἐστιν. τὸ δὲ "ἴσως" οὐ πρὸς τὸν λόγον, καίτοι πρὸς λόγον ὄντων τῶν εἰρημένων, λέγεσθαί φησι, διότι ἱκανὰ ἦν τὰ προλελεγμένα τοὺς οὕτως ἓν τὸ ὂν λέγοντας ὡς συνεχὲς διελέγξαι. ἴσως δὲ ὅτι ἡ ἐφ' ἑκάτερα ἀπορία τοῦ λόγου ἐξωτερική τις ἦν, ὡς Εὔδημός φησι, διαλεκτικὴ μᾶλλον οὖσα... ὁ μέντοι Εὔδημος ὅτι μὲν διὰ τὸ δειχθῆναι τὸ συνεχὲς μὴ ὂν ἓν εἴρηται, σαφῶς λέγει, μερῶν δὲ καὶ αὐτὸς ποτὲ μὲν διωρισμένων ποτὲ δὲ συνεχῶν μέμνηται. ἔχει δὲ οὕτως ἡ τοῦ Εὐδήμου λέξις. id. f. 17 b.

185b 15. "καὶ εἰ τῷ ὅλῳ" κτλ. εἰ μὲν γάρ, φησί, ταὐτὰ τὰ μέρη τῷ ὅλῳ εἴποιμεν, συμβήσεται καὶ ταὐτὰ εἶναι ἀλλήλοις· τὰ γὰρ τῷ αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις ταὐτά ἐστι. cod. Vat. 1028.

ἀλλ' ὡς ἀδιαίρετον δεῖ λαμβάνειν τὸ μέρος τοῦ ὅλου; ταύτῃ γὰρ λέγεται συνεχές, ᾗ κατ' ἐνέργειάν ἐστιν ἕν. ἀλλὰ πρῶτον μὲν οὐδαμῶς διαστέλλονται τὸ κατ' ἐνέργειαν τοῦ δυνάμει. ἔπειτα, συγκεχωρήσθω γὰρ αὐτοῖς τοῦτο, ἐκεῖνό γε πάντως ὁμολογήσουσιν, ὅτι συνεχῆ τε καὶ ἡνωμένα οὐχ ὁμοιομερῆ μόνον ἐστίν, πλεῖστα δὲ καὶ ἀνομοιομερῆ, τὰ σώματα λέγω τῶν ζῴων καὶ τῶν φυτῶν· ἥνωται γὰρ καὶ τούτων τὰ μέρη, καὶ οὐ σύγκειται ὥσπερ σωρός. διὰ τί οὖν, εἰ τῆς γραμμῆς τὸ μέρος ἕν τε καὶ ταὐτὸν τῇ γραμμῇ, ὅτι μὴ διῄρηται τῆς ὅλης, οὐκ ἔσται καὶ ἡ χεὶρ ταὐτὸν Σωκράτει, καὶ ὁ ποὺς δὲ ὁμοίως; ὁ γὰρ αὐτὸς λόγος. εἰ δ' ἄμφω τὰ αὐτὰ τῷ αὐτῷ, καὶ ἀλλήλοις δήπου τὰ αὐτά. ἔσται οὖν ταὐτὸν ποὺς χεὶρ ὀφθαλμὸς Καλλίας. τοῦτο τὸ ζήτημα κατ' ἰδίαν ἐτύγχανε λόγου παρὰ τοῖς πάλαι, πότερον ταὐτὸν τῷ ὅλῳ τὸ μέρος ἢ ἕτερον· ἀπήντα γὰρ ἄτοπον ἐξ ἑκατέρου. Themist. f. 16 b.

ἰστέον οὖν ὅτι τὸ ὅλον πῇ μὲν ταὐτόν ἐστι τοῖς μέρεσι πῇ δὲ ἕτερον. ἕτερον μὲν γάρ ἐστι τῶν μερῶν ὡς ἐπιγινόμενον τῇ πάντων συνθέσει καὶ ἀποτέλεσμα αὐτῆς ὄν, ταὐτὸν δὲ πάλιν τοῖς μέρεσι τὸ ὅλον ὡς μηδενὸς ἐπιγινομένου ἔξωθεν τῶν μερῶν εἰς τὴν τοῦ ὅλου ὕπαρξιν... τὸ μὲν ἓν ἀντὶ τοῦ ταὐτὸν ἔθηκε, τὸ δὲ πλείω ἀντὶ τοῦ ἕτερον, "καὶ πῶς ἓν ἢ πλείω" ἀντὶ τοῦ καὶ πῶς ταὐτὸν ἢ πῶς ἕτερον. καὶ περὶ τῶν μερῶν τῶν μὴ συνεχῶν λέγει, ἢ τῶν κατὰ παράθεσιν ἢ τῶν ἀφεστηκότων... εἰ ἑκάτερον, φησί, τῶν μερῶν ταὐτόν ἐστι τῷ ὅλῳ διότι ἀδιαίρετόν ἐστι, πρόδηλον ὅτι καὶ αὐτὰ ἑαυτοῖς ταὐτά εἰσιν. τὸ οὖν "ὡς ἀδιαίρετον" αἰτίας ἐστὶν ἀπόδοσις διὰ τί τῷ ὅλῳ τὸ μέρος ταὐτόν. τὸ δὲ "ἑκάτερον" ἀντὶ τοῦ ἕκαστον, τουτέστιν, εἰ διὰ τὸ ἀδιαίρετα εἶναι τοῦ ὅλου τὰ μέρη ἕκαστον τῶν μερῶν τῷ ὅλῳ ἐστὶ ταὐτόν· τὸ γὰρ ἓν πάλιν ἀντὶ τοῦ ταὐτὸν κεῖται, καὶ τὰ μέρη αὐτὰ ἑαυτοῖς, τουτέστιν ἀλλήλοις, ταὐτὰ ἔσται. οὐκοῦν ἡ κεφαλὴ τῇ χειρὶ ἡ αὐτὴ ἔσται. Philop. b p. 2.

185b 25. ὁ Λυκόφρων ἀφῄρει τὸ ἐστὶ τῶν κατηγορημάτων, λέγων Σωκράτης λευκός, ὡς αὐτῶν καθ' αὑτὸ τῶν συμβεβηκότων ἄνευ τοῦ ἐστὶ μὴ ποιούντων ὄντος προσθήκην. καίτοι, εἰ μὴ προσθήκην ἐποίει, ταὐτὸν ἂν ἦν Σωκράτης λέγειν καὶ Σωκράτης λευκός. ἔπειτα ἡ τοιαύτη προφορὰ ἀποφαντικὸν λόγον οὐ ποιεῖ· οὔτε γὰρ ἀλήθειαν οὔτε ψεῦδος δηλοῖ· οὐ μέντοι οὐδὲ ἄλλο εἶδος λόγου ποιεῖ, οὐδὲ λόγος ἔσται... ἄλλοι δὲ ἀποφαντικὸν λόγον ποιεῖν βουλόμενοι εἰς ῥήματα μετέπλαττον τὰ κατηγορούμενα, ἄνθρωπος οὐ λευκός ἐστι λέγοντες ἀλλὰ λελεύκωται, καὶ οὐ βαδίζων ἐστὶν ἀλλὰ βαδίζει, ἵνα μὴ τὸ ἐστὶ προσάπτοντες πολλὰ ποιῶσι τὸ ἕν, ἀλλ' ἢ δῆλον ὅτι ὑφειμένην ἔχει φύσιν τὰ συμβεβηκότα, ὥσπερ καὶ τὸ ῥῆμα ἐνέργειαν ἢ πάθος δηλοῖ, ὑφειμένα τῆς οὐσίας ὄντα. καὶ δηλονότι οὐδὲ οὕτοι τὴν ἀπο-

185 a 17. διχῶς στίξας ὁ Ἀλέξανδρος διττὴν ἐποιήσατο τὴν ἐξήγησιν· πρῶτον μὲν ἀκούσας ὅτι περὶ φύσεως μὲν λέγουσιν οὗτοι, οὐ φυσικὰ δὲ τὰ ὑπ' αὐτῶν λεγόμενα· ὁ γὰρ ἀναιρῶν τι, εἰ καὶ μὴ χρῆται ἐκείνῳ, ἀλλ' οὖν περὶ ἐκείνου τοὺς λόγους ποιεῖται. τῷ οὖν ὅλως περὶ φύσεως αὐτοῖς γεγονέναι τοὺς λόγους εὔλογον ἂν εἴη λέγειν τι τῶν φυσικῶν πρὸς αὐτούς· καθόσον δὲ οὐ φυσικὰ λέγουσι, πρὸς ὀλίγον ἐνδιατρίψει τοῖς πρὸς αὐτοὺς λόγοις. καὶ ταύτῃ ἔοικεν ἀρέσκεσθαι τῇ στιγμῇ καὶ ὁ Πορφύριος οὕτως ἐπιτρέχων τῇ λέξει... καὶ ἔχει πολὺν λόγον ἡ ἐξήγησις, εἴπερ, ὡς καὶ πρότερον ἔφην, ὁ Μέλισσος καὶ τὴν ἐπιγραφὴν οὕτως ἐποιήσατο τοῦ συγγράμματος, περὶ Φύσεως ἢ περὶ τοῦ Ὄντος. ἔστι δέ, φησὶν ὁ Ἀλέξανδρος, τὴν προειρημένην λέξιν καὶ οὕτω διαστέλλειν, "οὐ μὴν ἀλλ' ἐπειδὴ περὶ φύσεως μὲν οὔ," εἶτα ἀπὸ ἄλλης ἀρχῆς "φυσικὰς δὲ ἀπορίας." ἔστι γάρ, φησίν, καὶ ὁ τρόπος αὐτῷ τῆς ἑρμηνείας οὗτος συνήθης· ἐν γοῦν Σοφιστικοῖς Ἐλέγχοις χρῆται αὐτῷ λέγων "ἔστι μὲν οὔ, φαίνεται δέ" (p. 160 b 22) καὶ πάλιν "εἰ δὲ τοῦτο ποιοῦσι μὲν οὔ, δοκοῦσι δέ" (p. 161 a 3), καὶ τὸ λεγόμενον, φησί, καταλλήλως ἂν ἔχοι· κυρίως γὰρ περί τινος λέγει ὁ διεξιὼν περὶ αὐτοῦ ὁποῖόν τι ἐστίν... καὶ ἀκόλουθον δὲ τοῖς προειρημένοις, φησί, τὸ οὕτω διαστέλλεσθαι· εἴρηκε γὰρ "τὸ μὲν οὖν εἰ ἓν καὶ ἀκίνητον τὸ ὂν σκοπεῖν οὐ περὶ φύσεώς ἐστι σκοπεῖν," ᾧ συνᾴδει τὸ "ἀλλ' ἐπεὶ περὶ φύσεως μὲν οὔ." ταύτῃ καλῶς εἰρημένῃ τῇ ἐξηγήσει συνᾴδει καὶ ἡ τοῦ Θεμιστίου παράφρασις. ἐπάγει δὲ τούτοις ὁ Ἀλέξανδρος ὅτι οὐδὲ εἰρήκασί τι περὶ φύσεως ἐκεῖνοι· οὐ γὰρ προθέμενοι περὶ φύσεως εἰπεῖν ἔπειτα ἀναιροῦσι τὴν φύσιν, ἀλλ' ἠκολούθησεν αὐτοῖς ἐξ ὧν ἔλεγον τὴν φύσιν ἀναιρεῖν. Simpl. f. 15.

οὐ μὴν ἀλλ' ἐπειδὴ περὶ φύσεως μὲν οὐδὲν λέγουσιν (πῶς γὰρ οἵ γε ἀναιροῦντες τὴν φύσιν;) φυσικὰς δὲ ἀπορίας συμβαίνει λέγειν αὐτοῖς (τὰς γὰρ ἐκ τοῦ κενοῦ καὶ τοῦ ἀπείρου καὶ τῆς κινήσεως), ἴσως ἔχει καλῶς ἐπὶ μικρὸν διαλεχθῆναι περὶ αὐτῶν. εἰ γὰρ καὶ φυσικῷ μὴ προσήκων ὁ λόγος, ἀλλὰ φιλοσόφου γε οὐκ ἀλλότριος. ἐροῦμεν δὲ πρὸς τοὺς ἄνδρας οὐχ ἵνα κινήσαντες αὐτῶν τὴν δόξαν θώμεθα οὕτω φύσιν καὶ κίνησιν (ταῦτα γὰρ ἡμῖν διὰ τὸ ἐναργὲς ὑποκείσθω), ἄλλως δὲ ἐκ περιόντος ἃ λέγουσιν ἐξεταστέον, καὶ πρῶτόν γε αὐτὴν τὴν δόξαν καθ' ἑαυτήν, χωρὶς τῶν λόγων οἷς ἐπιχειροῦσιν αὐτὴν κατασκευάζειν. Themist. f. 16.

τῷ γὰρ ἓν εἶναι τὸ ὂν ὑποτίθεσθαι καὶ ἀκίνητον ἀναιροῦσι τὴν φύσιν, τῷ δὲ ἀναιρεῖν τὴν φύσιν συμβαίνει φυσικὰς αὐτοὺς ἀπορίας λέγειν. Philop. a p. 13.

185 a 20. τὸν Παρμενίδου λόγον καὶ Μελίσσου ἐλέγχειν ὁ Ἀριστοτέλης προθέμενος πρῶτον μὲν καθολικὴν πρὸς αὐτὸν ποιεῖται ἔνστασιν, τὸ ἓν εἶναι τὸ ὄν, εἴ τις κατὰ τὸ πρόχειρον ἀκούοι, ἐκ διαιρέσεως ἀνασκευάζων, εἶτα καὶ τοὺς λόγους αὐτῶν ἀνατρέπων, εἴ τις αὐτοὺς ὡς κατασκευαστικοὺς τούτου ἑνὸς ὄντος ἀποδέχοιτο. γίνεται δὲ διαλεκτικὴ αὐτῷ ἡ ἐπιχείρησις ἀπὸ τῆς τῶν ὄντων διαιρέσεως ὁρμηθεῖσα... ἀλλ' ἐγὼ μὲν τῷ Πορφυρίῳ τὸ πλέον ἀκολουθῶν οὕτω τήν τε διαίρεσιν τοῦ Ἀριστοτέλους ἐποιησάμην καὶ τὴν καθ' ἕκαστον τῆς διαιρέσεως ἔνστασιν. ὁ μέντοι ἐπιμελέστατος Ἀλέξανδρος συνῆψε τὴν κατὰ τὸ ὂν καὶ τὴν κατὰ τὸ ἓν διαίρεσιν οὕτως... ὁ μέντοι Εὔδημος συντομώτερον οὕτως ἐπιχειρεῖ τῷ λόγῳ. Simpl. f. 16.

ἀρχὴ δὲ οἰκειοτάτη πασῶν, τί σημαίνει τὸ ὂν αὐτοῖς ἐρωτῆσαι, πότερον οἴονται πολλαχῶς αὐτὸ λέγεσθαι ἢ μοναχῶς. εἰ μὲν γὰρ πολλαχῶς, ὡς ἡμεῖς ἐν Κατηγορίαις ἐδείξαμεν, κατὰ τὸ ὄνομα ἂν λέγοιεν τὸ ὂν ἕν, πολλὰ δὲ κατὰ τὴν ὑπόστασιν καὶ τὰ πράγματα· εἰ γὰρ ἔσται καὶ οὐσία καὶ ποιὸν καὶ ποσόν, εἴτε καὶ ἀπολελυμένα ταῦτα ἀπ' ἀλλήλων, εἴτε σὺν ἀλλήλοις τὸ εἶναι ἔχοντα, πολλὰ τὰ ὄντα γενήσεται, κἂν μία φωνὴ πάντων κατηγορῆται· εἰ δὲ μοναχῶς, οὕτω δὲ τῷ πράγματι λέγοιεν ἂν ἓν καὶ τῷ σημαινομένῳ. ἀλλ' εἰ ἓν πρᾶγμα σημαίνει, ἢ ὡς γένος ἓν ἂν σημαίνοι ἢ ὡς εἶδος ἢ ὡς ἄτομον. ἀλλ' εἴτε ὡς γένος, πολλὰ τὰ ὄντα, εἴτε ὡς εἶδος, ὁμοίως· κατὰ γὰρ πλειόνων καὶ διαφερόντων ταῦτα κατηγορεῖται. λείπεται τοίνυν ὡς ἄτομον ἓν εἶναι τὸ ὄν, ὡς ὁ Καλλίας, ὡς ὁ Βουκέφαλος ἵππος, ὡς τοδὶ τὸ μέλαν. πότερον οὖν οὐσίαν τοῦτο ἐροῦσιν ἢ συμβεβηκός; οἴονται μὲν γὰρ συμβεβηκός. Themist. f. 16.

τινὲς ὑπέλαβον διὰ τούτων τὸ καθόλου μόριον τῆς διαιρέσεως αὐτὸν ἐκτίθεσθαι, καὶ διὰ μὲν τοῦ εἰπεῖν "πότερον ὡς οὐσίαν ἅπαντα ἢ ποσὰ ἄττα ἢ ποιά" τὸ κατὰ γένος ἓν λέγειν, διὰ δὲ τοῦ "καὶ πάλιν πότερον οὐσίαν, μίαν δὲ πάντα, οἷον ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα" τὸ κατὰ τὸ εἶδος ἕν· τὸ γὰρ μερικὸν μετ' ὀλίγα ἐκτίθεσθαι ἔνθα λέγει (p. 185 b 7) "λέγεται δὲ ἓν ἢ τὸ συνεχὲς ἢ τὸ ἀδιαίρετον ἢ οὗ ὁ λόγος ὁ αὐτός." ἡμεῖς δέ φαμεν ὅτι ἐπειδὴ ὅταν ἀκούσωμεν ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα, εὐθὺς ἡ διάνοια ἡμῶν εἰς τὸ μερικὸν ἀναφέρεται, διὰ τοῦτό φαμεν ὅτι διὰ μὲν τοῦ "πότερον ὡς οὐσίαν πάντα ἢ ποσὰ ἄττα ἢ ποιά" τὸ καθόλου αὐτὸν ἐκτίθεσθαι κοινῶς τό τε κατὰ τὸ γένος καὶ τὸ κατὰ τὸ εἶδος, διὰ δὲ τοῦ "οἷον ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα" τὸ μερικόν. ἐφεξῆς δέ, ὥσπερ ἤδη εἶπον, αὐτὸ τὸ μερικὸν διαιρεῖ. Philop. a p. 15.

"εἰ δεῖ ἄτοπον λέγειν τὸ ἀδύνατον." καὶ γὰρ ἄτοπον μὲν καὶ τὸ 185 a 30.
ἁπλῶς ψεῦδος, ἐπίτασις δὲ τοῦ ψεύδους τὸ ἀδύνατον. καὶ τὸ μὲν ἄτοπον τῷ εὐλόγῳ ἀντίκειται, σημαῖνον ἤτοι τὸ παράδοξον, ὃ μὴ τοπάσαι ἄν τις, ἢ τὸ χώραν μὴ ἔχον· τὸ δὲ ἀδύνατον τῷ ἀναγκαίῳ ἀντίκειται. πῶς οὖν τοῦτο ἀδύνατον; ὅτι οὔσης μὲν οὐσίας ἤτοι ταὐτὸν ἔσται οὐσία καὶ ποιόν, ἢ ἅμα ἕν τε καὶ οὐχ ἓν τὸ ὄν. μὴ οὔσης δέ, ἐπεὶ μηδέ ἐστι χωριστὸν τῆς οὐσίας τὸ ποιόν, οὐδ' ἂν αὐτὸ εἴη. ὡς οὖν τοῦ εὐλόγου τὸ ἀναγκαῖον ἐπίτασίς ἐστιν, οὕτω καὶ τοῦ ἀτόπου τὸ ἀδύνατον. πρῶτον δὲ εἶπε τὰ ἑπόμενα ἄτοπα τοῖς ποιὸν εἶναι λέγουσι τὰ πάντα ἤ τι τῶν ἄλλων γενῶν, εἴτε οὔσης οὐσίας εἴτε μὴ οὔσης. καὶ γὰρ οὔσης μὲν ἔσται καὶ αὐτὸ καὶ τὸ ἄλλο γένος, μὴ οὔσης δὲ χωρὶς οὐσίας ἔσται τὰ συμβεβηκότα. Simpl. f. 16 b.

τῷ "καθ' ὑποκειμένου" χρῆται νῦν οὐ τῷ τὸ καθόλου σημαίνοντι, 185 a 32.
ἀλλ' ἀντὶ τοῦ ἐν ὑποκειμένῳ· εἴωθε γὰρ τὰ μὴ καθ' αὑτὰ ὄντα ἀλλ' ἑτέρου πρὸς τὸ εἶναι δεόμενα καθ' ὑποκειμένου λέγειν, ὡς λεγόμενα κατὰ τῶν ὑποκειμένων· οὐ γὰρ τὰ ὑποκείμενα κατὰ τῶν συμβεβηκότων κατηγορεῖται, ἀλλὰ τὰ συμβεβηκότα κατὰ τῶν ὑποκειμένων. id. ib.

ἐν τισὶ δὲ τῶν ἀντιγράφων οὕτω γέγραπται "Μέλισσος δὲ τὸ 185 a 33.
ὂν ἄπειρον εἶναί φησιν· ποσὸν ἄρα τι τὸ ἕν." καὶ εἴη ἂν παρ' αὐτοῖς

ἀρχῆς τῶν ὄντων ἐζήτουν, εὐγνωμόνως τοῦτο αὐτῶν ὁ Ἀριστοτέλης ἀποδεχόμενος. Simpl. f. 10.

ὄντα γὰρ ἐνόμιζον τὰς ἀρχὰς ἐκεῖνοι, καὶ ζητοῦντες ὁπόσα τὰ ὄντα, τὰς ἀρχὰς ἐζήτουν ὁπόσας θετέον ἐστίν. Themist. f. 16.

184b 25. διὰ τούτων, φησὶν ὁ Ἀλέξανδρος, καὶ τὸ δοκοῦν παραλελεῖφθαι πρόβλημα, εἰ εἰσὶν ὅλως ἀρχαί, προστίθησιν, ἀντιλέγων πρὸς τοὺς μηδὲ ὅλως ἀρχὴν εἶναι τιθεμένους τῶν φυσικῶν... μήποτε δὲ περινενοημένη μᾶλλόν ἐστιν ἡ τοιαύτη ἐξήγησις· οὐ γὰρ ὅτι εἰσὶν ἀρχαὶ φυσικαί, διὰ τούτων ὁ Ἀριστοτέλης δεῖξαι προτίθεται, ἀλλ' ὁμολογούμενον τοῦτο λαβὼν καὶ κατ' αὐτούς, εἴπερ τὸ ὂν ἀντὶ τῆς ἀρχῆς ἔλεγον, ἐκ τούτου πειρᾶται τοὺς ἓν λέγοντας τὸ ὂν ὡς ἀρχὴν λέγοντας διασαλεύειν... ἀνάγκη τὰς ἑκάστων ἀρχὰς ἢ τὰς ἐπαναβεβηκυίας προσεχῶς αὐτῶν ἐπιστήμας ἐπιδεικνύναι, ὡς τὰς ἰατρικὰς τῆς φυσικῆς καὶ τὰς μηχανικὰς τῆς γεωμετρίας, ἢ πασῶν τινὰ κοινήν, οἵα ἐστὶν ἡ διαλεκτικὴ τῶν Περιπατητικῶν· καὶ γὰρ ἐν τοῖς Τοπικοῖς (I 2) χρήσιμον ἐκείνην εἶπε τὴν μέθοδον καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας... καὶ ἡ πρώτη δὲ φιλοσοφία πασῶν ἀποδείξει τὰς ἀρχάς· διὸ καὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν ἀνευφημεῖται... ζητεῖ δὲ ὁ Ἀριστοτέλης ἐν τῇ Μετὰ τὰ Φυσικὰ (B 2) πότερον τὰς ἑκάστης ἐπιστήμης ἀρχὰς καθ' ἑκάστην μία τις ἐστὶν ἡ δεικνύουσα, ἢ μιᾶς ἐπιστήμης ἐστὶ θεωρῆσαι κοινῆς τινὸς πασῶν τῶν ἐπιστημῶν. καὶ Εὔδημος δὲ ἀρχόμενος τῶν Φυσικῶν ζητεῖ μὲν φιλοκάλως τὸ πρόβλημα, τὴν δὲ λύσιν εἰς ἄλλας πραγματείας τελεωτέρας ὑπερτίθεται. λέγει δὲ οὕτως. Simpl. f. 10 *b*.

185a 10. μᾶλλον φορτικὸν εἶναι τὸν Μελίσσου φησί, διότι μὴ μόνον ἓν οὕτος καὶ ἀκίνητον τὸ ὂν ἔλεγεν, ὥσπερ ὁ Παρμενίδης, ἀλλὰ πρὸς τούτῳ καὶ ἄπειρον αὐτὸ ἐτίθετο. τοιγαροῦν κοινῶς πρὸς αὐτοὺς ἀντειπὼν ἐπήγαγε "Μέλισσος δὲ τὸ ὂν ἄπειρον εἶναί φησιν. ποσὸν ἄρα τι τὸ ὄν." id. f. 11 *b*.

185a 16. τὸν τετραγωνισμὸν τοῦ κύκλου πολλῶν ζητούντων (τοῦτο δὲ ἦν τὸ τῷ κύκλῳ ἴσον τετράγωνον θέσθαι) καὶ Ἀντιφῶν ἐνόμισεν εὑρίσκειν καὶ Ἱπποκράτης, ὁμοίως ψευσθέντες. ἀλλὰ τὸ μὲν Ἀντιφῶντος ψεῦδος διὰ τὸ μὴ ἀπὸ γεωμετρικῶν ἀρχῶν ὡρμῆσθαι, ὡς μαθησόμεθα, οὐκ ἔστι γεωμετρικοῦ λύειν, τὸ δὲ Ἱπποκράτους, ἐπειδὴ τὰς ἀρχὰς φυλάξας τὰς γεωμετρικὰς ἐψεύσθη, γεωμετρικοῦ λύειν... ὁ δὲ Ἀντιφῶν γράψας κύκλον ἐνέγραψέ τι χωρίον εἰς αὐτὸν πολύγωνον τῶν ἐγγράφεσθαι δυναμένων... καὶ μέντοι τέμνων ἀεὶ τὸ μεταξὺ τῆς εὐθείας καὶ τῆς τοῦ κύκλου περιφερείας ἐπίπεδον, οὐ δαπανήσει αὐτό, οὐδὲ καταλήψεταί ποτε τὴν τοῦ κύκλου περιφέρειαν, εἴπερ ἐπ' ἄπειρον ἐστὶ διαιρεῖν τὸ ἐπίπεδον. εἰ δὲ καταλαμβάνει, ἀνῄρηταί τις ἀρχὴ γεωμετρικὴ ἡ λέγουσα ἐπ' ἄπειρον εἶναι τὰ μεγέθη διαιρετά. καὶ ταύτην καὶ ὁ Εὔδημος ἀναιρεῖσθαί φησιν ὑπὸ τοῦ Ἀντιφῶντος. τὸν δὲ διὰ τῶν τμημάτων, φησί, τετραγωνισμὸν γεωμετρικοῦ διαλύειν ἐστίν· λέγοι δὲ ἂν τὸν διὰ τῶν τμημάτων τὸν διὰ τῶν μηνίσκων, ὃν Ἱπποκράτης ὁ Χῖος ἐφεῦρε· κύκλου γὰρ τμῆμα ὁ μηνίσκος ἐστίν. ἡ δὲ δεῖξις τοιαύτη... τὸ δὲ ψευδογράφημα γέγονεν παρὰ τὸ τὸ μὴ καθόλου δεδειγμένον ὡς καθόλου λαβεῖν· οὐ γὰρ ἐδείχθη πᾶς μηνίσκος τετραγωνιζόμενος, ἀλλ' ὁ περὶ τὴν τοῦ τετραγώνου πλευρὰν τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου. οὗτοι δὲ οἱ μηνίσκοι περὶ τὰς τοῦ ἑξαγώνου πλευράς εἰσι τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου. ἔστι τις καὶ τοιαύτη δεῖξις διὰ τῶν μηνίσκων τετραγωνίζειν οἰομένη τὸν κύκλον, ἁπλουστέρα καὶ οὐκ ἐλεγχομένη παρὰ τί γέγονεν ἐν αὐτῇ τὸ ψευδογράφημα... οὐχ ἱκανὸν οὖν οἶμαι τὸ εἰρημένον εἰς ἀπόγνωσιν καταστῆσαι τῆς εὑρέσεως τοῦ τετραγωνισμοῦ· καὶ γὰρ ὁ Ἰάμβλιχος ἐν τῷ εἰς τὰς κατηγορίας ὑπομνήματι τὸν μὲν Ἀριστοτέλη φησὶ μήπω ἴσως εὑρηκέναι τὸν τοῦ κύκλου τετραγωνισμόν, παρὰ δὲ τοῖς Πυθαγορείοις εὑρῆσθαι, ὡς δῆλόν ἐστι, φησίν, ἀπὸ τῶν Σέξτου τοῦ Πυθαγορείου ἀποδείξεων, ὃς ἄνωθεν κατὰ διαδοχὴν παρέλαβε τὴν μέθοδον τῆς ἀποδείξεως. καὶ ὕστερον δέ, φησίν, Ἀρχιμήδης διὰ τῆς ἑλικοειδοῦς γραμμῆς καὶ Νικομήδης διὰ τῆς ἰδίως τετραγωνιζούσης καλουμένης, καὶ Ἀπολλώνιος διά τινος γραμμῆς ἣν αὐτὸς μὲν κοχλιοειδοῦς ἀδελφὴν προσαγορεύει, ἡ αὐτὴ δέ ἐστι τῇ Νικομήδους, καὶ Κάρπος διά τινος γραμμῆς ἣν ἁπλῶς ἐκ διπλῆς κινήσεως καλεῖ, ἄλλοι τε πολλοί, φησί, ποικίλως τὸ πρόβλημα κατεσκεύασαν. καὶ μήποτε οὗτοι πάντες ὀργανικὴν ἐποιήσαντο τοῦ θεωρήματος κατασκευήν. ὁ μὲν οὖν Ἀλέξανδρος οὕτως ὡς εἶπον οἴεται τὸ ψευδογράφημα ἐλέγχεσθαι, παρ' ὅσον τὸν περὶ τὴν τοῦ τετραγώνου πλευρὰν μόνον τετραγωνίσας μηνίσκον ὁ Ἱπποκράτης ὡς καὶ ἐπὶ τῆς τοῦ ἑξαγώνου πλευρᾶς αὐτῷ δεδειγμένῳ ἀπεχρήσατο. ὁ μέντοι Εὔδημος ἐν τῇ Γεωμετρικῇ Ἱστορίᾳ οὐκ ἐπὶ τετραγωνικῆς πλευρᾶς δεῖξαί φησι τὸν Ἱπποκράτη τὸν τοῦ μηνίσκου τετραγωνισμόν, ἀλλὰ καθόλου, ὡς ἄν τις εἴποι· εἰ γὰρ πᾶς μηνίσκος τὴν ἐκτὸς περιφέρειαν ἢ ἴσην ἔχει ἡμικυκλίου ἢ μείζονα ἢ ἐλάττονα, τετραγωνίζει δὲ ὁ Ἱπποκράτης καὶ τὸν ἴσην ἡμικυκλίου ἔχοντα καὶ τὸν μείζονα καὶ τὸν ἐλάττονα, καθόλου ἂν εἴη δεδειχώς, ὡς δοκεῖ. ἐκθήσομαι δὲ τὰ ὑπὸ τοῦ Εὐδήμου κατὰ λέξιν λεγόμενα, ὀλίγην τινὰ προσθεὶς σαφήνειαν ἀπὸ τῆς τῶν Εὐκλείδου στοιχείων ἀναμνήσεως, διὰ τὸν ὑπομνηματικὸν τρόπον τοῦ Εὐδήμου κατὰ τὸ ἀρχαϊκὸν ἔθος συντόμους ἐκθεμένου τὰς ἀποδόσεις. id. f. 11 *b* - 13 *b*.

τὰς ἀρχὰς φυλάττων παραλογίζεται (ὁ Ἱπποκράτης) τῷ μόνον μὲν ἐκεῖνον τὸν μηνίσκον τετραγωνίσαι, ὃς γράφεται περὶ τὴν τοῦ τετραγώνου πλευρὰν τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου, πάντα δὲ μηνίσκον οἷόν τε τετραγωνίζειν καὶ λαβεῖν εἰς ἀπόδειξιν. πρὸς Ἀντιφῶντα δὲ οὐκ ἔτι ἂν ἔχοι λέγειν ὁ γεωμέτρης, ὃς ἐγγράφων τρίγωνον ἰσόπλευρον εἰς τὸν κύκλον, καὶ ἐφ' ἑκάστου τῶν πλευρῶν ἕτερον ἰσοσκελὲς συνιστὰς πρὸς τῇ περιφερείᾳ τοῦ κύκλου, καὶ τοῦτο ἐφεξῆς ποιῶν, ᾤετό ποτε ἐφαρμόσειν τοῦ τελευταίου τριγώνου τὴν πλευρὰν εὐθεῖαν οὖσαν τῇ περιφερείᾳ. τοῦτο δ' ἦν ἐπ' ἄπειρον τομὴν ἀναιροῦντος, ἣν ὑπόθεσιν ὁ γεωμέτρης λαμβάνει. Themist. f. 16.

Ἱπποκράτης Χῖός τις ὢν ἔμπορος λῃστρικῇ νηῒ περιπεσὼν καὶ πάντα ἀπολέσας ἦλθεν Ἀθήναζε γραψόμενος τοὺς λῃστάς, καὶ πολὺν παραμένων ἐν Ἀθήναις διὰ τὴν γραφὴν χρόνον ἐφοίτησεν εἰς φιλοσόφους, καὶ εἰς τοσοῦτον ἕξεως γεωμετρικῆς ἦλθεν ὡς ἐπιχειρῆσαι εὑρεῖν τὸν κύκλου τετραγωνισμόν. Philop. *a* p. 13.

184b 17. **εἰώθασι τοὺς περί τι μέρος φιλοσοφίας σπουδάσαντας ἢ μόνον ἢ μάλιςα ἀπ' ἐκείνου καλεῖν, ὡς ἠθικὸν μὲν ἐκάλουν τὸν Σωκράτην,** φυσικοὺς δὲ τοὺς περὶ Θαλῆν καὶ Ἀναξίμανδρον καὶ Ἀναξιμένην καὶ Ἀναξαγόραν καὶ Δημόκριτον καὶ τοὺς τοιούτους. παραιτοῦμαι δὲ κἀνταῦθα τὸν Ἀλέξανδρον πρότερον μὲν εἰπόντα ὅτι τοὺς φυσικοὺς ἀντιδιέςειλε πρὸς τοὺς ἓν καὶ ἀκίνητον λέγοντας, ὕςερον δὲ ὅτι ἔθος Ἀριςοτέλει φυσικοὺς καλεῖν τοὺς περὶ τῆς ἀληθείας φιλοσοφοῦντας, ἐπεὶ καὶ τῆς φυσικῆς τὸ τέλος οὐ πρᾶξις ἀλλὰ γνῶσις ἐςίν. τίς γὰρ ἠγνόει ὅτι καὶ Παρμενίδης, πρὸς ὃν ἀντιδιεςάλθαι λέγει τοὺς φυσικούς, περὶ τῆς ἀληθείας ἐφιλοσόφει; . . . καὶ τῶν μίαν καὶ κινουμένην λεγόντων Ἀναξίμανδρος ὁ Πραξιάδου Μιλήσιος ἄπειρόν τινα φύσιν, ἄλλην οὖσαν τῶν τεσσάρων ςοιχείων, ἀρχὴν ἔθετο, ἧς τὴν ἀΐδιον κίνησιν αἰτίαν εἶναι τῆς τῶν ὄντων γενέσεως ἔλεγε. καὶ Ἀναξιμένης δὲ ὁ Εὐρυςράτου Μιλήσιος καὶ αὐτὸς ἀρχὴν μίαν ἔθετο καὶ ἄπειρον, ἀέρα ταύτην λέγων, ἐξ οὗ ἀραιουμένου καὶ πυκνουμένου τὰ ἄλλα γίνεσθαι. οὔσης οὖν καὶ τοιαύτης διαιρέσεως παρῆκε νῦν αὐτὴν ὁ Ἀριςοτέλης, ὡς ὁ Ἀλέξανδρός φησι, διότι οὐδεμίαν ἡ διαίρεσις αὕτη διαφορὰν γενέσεως τοῖς ἐξ αὐτῆς γινομένοις παρέχει· οὐ γὰρ ἄλλα μὲν εἰ ἄπειρος ἄλλα δὲ εἰ πεπερασμένη γενήσεται, ὥσπερ ἄλλα μὲν εἰ μία, ἄλλα δὲ εἰ πολλαί. id. f. 9.

184b 18. ὁ μέντοι εὐφραδὴς Θεμίςιος παραφράζων τὸ ῥητόν, καὶ τὰς πλείους ἢ κινουμένας φησὶν ἢ ἀκινήτους, καὶ ἢ πεπερασμένας κατ' ἀριθμὸν ἢ πάλιν ἀπείρους. καὶ Εὔδημος δέ, ὡς καὶ πρότερον εἶπον, ἐν τοῖς Φυσικοῖς, ὡς ἄν ποτε ὑπάρχωσιν αἱ ἀρχαί, φησίν, ἤτοι κινοῦνται ἢ ἀκίνητοι εἰσίν. καὶ δῆλον ὅτι τὴν ἀνάγκην ἤτοι τῆς ἀντιφατικῆς διαιρέσεως ἀποδεδώκασιν. . . καὶ ἔοικε, φησὶν ὁ Ἀλέξανδρος, ἀμφοτέρας τὰς διαιρέσεις ἑκατέρῳ τῶν ἐκ τῆς πρώτης διαιρέσεως μὴ προσαγαγεῖν διὰ τὸ μὴ πολλάκις περὶ αὐτῶν λέγειν, ἀλλὰ δείξας ὅτι ἐπὶ τῆς μιᾶς οὐχ οἷόν τε τὴν ἀρχὴν ἀκίνητον εἶναι, ἐκ τοῦ μᾶλλον συναποδείξει ὅτι οὐδὲ τὰς πλείους οἷόν τε εἶναι ἀκινήτους. **διὸ ἐπὶ τῶν πολλῶν οὐκέτι ἐχρήσατο τῷ ἢ κινουμένας ἢ ἀκινήτους.** id. f. 9 *b*.

184b 21. **τὸ "ἢ καὶ ἐναντίας" ὁ μὲν Πορφύριος καὶ ὁ Θεμίςιος ἀνταπόδοσιν οἴονται τοῦ "ἢ οὕτως ὥσπερ Δημόκριτος," περὶ Ἀναξαγόρου λεγομένην· καὶ γὰρ τῶν ἀπείρους τὰς ἀρχὰς ὑποθεμένων οἱ μὲν περὶ Δημόκριτον ὁμοουσίους τὰς ἀτόμους ὑποθέμενοι καθ' ἓν γένος τὸ πλῆρες θεωρουμένας σχήματι καὶ θέσει καὶ τάξει διαφέρειν αὐτάς φασιν, οἱ δὲ περὶ Ἀναξαγόραν καὶ ταῖς οὐσίαις ἐναντίας τίθενται· θερμότητας γὰρ καὶ ψυχρότητας, καὶ ξηρότητας καὶ ὑγρότητας, μανότητάς τε καὶ πυκνότητας, καὶ τὰς ἄλλας κατὰ ποιότητα ἐναντιότητας ἐν ταῖς ὁμοιομερείαις ἀποτίθενται, αἷς διαφέρειν τὰς ὁμοιομερείας ἀρχὰς κατ' αὐτοὺς οὔσας φασί, κυρίως τῆς ἐναντιότητος ἐν ταῖς ποιότησι θεωρουμένης, ἀλλ' οὐκ ἐν τοῖς σχήμασιν. ὁ μέντοι Ἀφροδισιεὺς Ἀλέξανδρος οἶδε μὲν καὶ ταύτην τὴν ἐξήγησιν, οὐκ ἀποδέχεται δὲ αὐτήν, ἀλλ' οἴεται μᾶλλον τὸ ὅλον περὶ Δημοκρίτου λέγεσθαι, ὡς τὰς ἀρχὰς τούτου τιθεμένου τὸ μὲν γένος (ἕν), τουτέςι κατὰ τὴν ὑποκειμένην φύσιν, σχήματι δὲ ἢ εἴδει διαφερούσας ἢ καὶ ἐναντίας. ὅτι γὰρ ὡς ἐναντίας λέγοντος τοῦ Δημοκρίτου τὰς ἀρχὰς ὁ Ἀριςοτέλης ἀπομνημονεύει, δι' ἐκείνων δηλοῖ τῶν ῥητῶν (p. 188 *a* 22) "καὶ Δημόκριτος τὸ πλῆρες καὶ τὸ κενόν, ὧν τὸ μὲν ὡς ὂν τὸ δὲ ὡς οὐκ ὂν εἶναί φησιν· ἔτι** θέσει, σχήματι, τάξει. ταῦτα δὲ γένη ἐναντίων, θέσεως ἄνω κάτω, πρόσθεν ὄπισθεν, σχήματος γωνία τὸ εὐθὺ καὶ τὸ περιφερές." κἂν γὰρ αὐτὸς ὁ Ἀριςοτέλης φησὶν ἐναντίον μὴ εἶναι σχῆμα σχήματι, οὐκ ἤδη καὶ Δημόκριτον ἀνάγκη ταύτης εἶναι τῆς δόξης. οὕτω δὲ τῇ ἐξηγήσει ταύτῃ συμπέπονθεν ὁ Ἀλέξανδρος ὡς αἱρεῖσθαι δυοῖν τὸ ἕτερον λέγειν, ἢ τὴν συγγραφὴν ἡμαρτῆσθαι, περιττοῦ παρεγκειμένου τοῦ ἤ, οὕτως τὴν πρὸς Δημόκριτον ἀνταπόδοσιν ἀπαιτοῦντος· ὀφείλειν γὰρ εἶναι "καὶ εἰ ἀπείρους, ὥσπερ Δημόκριτος, τὸ γένος ἕν, σχήματι δὲ ἢ εἴδει διαφερούσας, ἢ καὶ ἐναντίας." ἢ εἰ ὀρθῶς ἔχει, φησίν, ἡ γραφή, παρῆκε τὸ ἀνταποδοῦναι τοὺς λέγοντας μηδὲ τῷ γένει τὰς αὐτὰς εἶναι τὰς ἀρχάς, ὡς ἔλεγον οἱ περὶ Ἀναξαγόραν. εἰ οὖν καὶ τὸ τὰς γραφὰς ἀθετεῖν τὰς ἐν πᾶσι τοῖς ἀντιγράφοις συμφωνουμένας ἄτοπον, καὶ τὸ ἐλλιπῆ τὸν λόγον ἀποδεῖξαι καὶ κατὰ τὴν φράσιν καὶ κατὰ τὰ τμήματα τῆς διαιρέσεως, οὐχ ἧττον ἄτοπον, καὶ μάλιςα ὅτι Ἀναξαγόρου δόξα παραλιμπάνεται, πρὸς ἣν πολλοὺς λόγους ὁ Ἀριςοτέλης κατατείνει. ἀλλὰ καὶ τὸ τὴν Ἀριςοτέλους περὶ Δημοκρίτου δόξαν ἀθετεῖν, οἰομένου σαφῶς ἐναντίωσιν ἐν ταῖς ἀρχαῖς ἀποτίθεσθαι, ὅπερ οἱ ἕτεροι ποιοῦσιν ἐξηγηταί, οὐκ εὐπαράδεκτον φαίνεται. μήποτε τὸ τῷ μὲν σχήματι καὶ τῇ καθ' αὐτὸ μορφῇ διαφέρειν ὡς τοῦ Δημοκρίτου ἴδιον ἀποδέδωκε, κατ' οὐσίαν μηδὲν λέγοντος διαφέρειν τὰς ἀτόμους, τὸ δὲ μὴ διαφέρειν μόνον τὰς ἀπείρους ἀρχὰς ἀλλὰ καὶ ἐναντίας εἶναι, οὐ τῇ Δημοκρίτου μόνον θέσει ὑπάρχον ἀλλὰ καὶ τῇ Ἀναξαγόρου, κοινῶς ἀμφοτέραις ἀποδέδωκεν. id. f. 10.

ἀλλὰ Δημόκριτος μὲν μίαν οὐσίαν ταῖς ἀτόμοις ὑποτιθεὶς τοῖς σχήμασιν αὐτὰς ἐξαλλάττει μόνοις, Ἀναξαγόρας δὲ ἐν ταῖς ὁμοιομερείαις ἐναντιότητας, θερμότητας ψυχρότητας, λευκότητας μελανίας. Themist. f. 15 *b*.

γένος φησὶ τὸ ὑποκείμενον καὶ τὴν οὐσίαν τῶν ἀτόμων· ἔλεγε γὰρ μιᾶς μὲν οὐσίας εἶναι πάσας τὰς ἀτόμους, διαφέρειν δὲ ἀλλήλων τοῖς σχήμασι τῷ τὰς μὲν εἶναι σφαιρικὰς τὰς δὲ κυβικὰς ἢ πυραμοειδεῖς ἢ ἕτερόν τι τῶν σχημάτων ἔχειν. οὕτω δὲ πολλάκις καὶ ἐν τοῖς Ἀποδεικτικοῖς τὸ ὑποκείμενον γένος ὠνόμασε. "σχήματι δὲ ἢ εἴδει" ἐκ παραλλήλου τὸ αὐτό φησιν· εἶδος γὰρ λόγον ἐν ταῖς ἀτόμοις τὸ σχῆμα ἔλεγεν ἔχειν ὁ Δημόκριτος. Philop. *a* p. 11.

τοῦτο αὐτῷ τείνει πρὸς δεῖξιν τοῦ ἀναγκαῖον εἶναι τὸν περὶ τῶν 184b 22 **ἀρχῶν λόγον, εἴπερ καὶ τοῖς μὴ περὶ τούτων προθεμένοις ὅμως ἡ ζήτησις ἡ περὶ αὐτῶν ὑπήντα πρώτη, ὡς οὐκ ἄλλως εἰσομένοις περὶ τῶν ὄντων. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος ἐξηγεῖται τὴν λέξιν, καὶ περὶ πάντων φησὶ τοῦτο λέγεσθαι τῶν φυσικῶν. μήποτε δὲ οὔτε περὶ πάντων τῶν φυσιολόγων ἐςὶν ὁ λόγος, οὔτε ὡς ἄλλα μὲν προτιθεμένων ζητεῖν, ἄλλης δὲ πρὸ ἐκείνων αὐτοῖς ζητήσεως τῆς τῶν ἀρχῶν ὑπαντώσης, ἀλλ' ἐπειδὴ Παρμενίδης καὶ Μέλισσος περὶ τοῦ ὄντος ἐζήτουν, πότερον ἓν ἢ πολλά, καὶ εἰ ἀκίνητον ἢ κινούμενον, καὶ οὗτοι, φησίν, οὐ περὶ τῶν ὄντων, ὡς ἄν τις οἰηθείη, ἀλλὰ περὶ τῆς**

ὀνόματι, ὡς ἐν ὁλότητι μιᾷ, τὰ ἐν τῷ ὁρισμῷ πάντα μέρη καὶ στοιχεῖα· οὐκέτι δὲ τῷ καθόλου προσέοικε· τὸ μὲν γὰρ καθόλου ἑκάστῳ τῶν συμπληρούντων αὐτὸ ἐφαρμόττει... διὸ τὸ δεύτερον ἐπήγαγε παράδειγμα, τὸ ἐπὶ τῆς καθ' ἡλικίαν προκοπῆς θεωρούμενον... ἐλέγετο δέ, φησὶν ὁ Ἀλέξανδρος, δύνασθαί τινα λέγεσθαι καθόλου ὑπ' αὐτοῦ νῦν καὶ τὰ ἀξιώματα, οἷς πρὸς ἅπαντα μὲν τὰ δεικνύμενα χρώμεθα διὰ τὸ εἶναι ἐναργῆ, οὐδενὸς δὲ τῶν δι' αὐτῶν δεικνυμένων ἐστὶν ἴδια... ἐπιστῆσαι δὲ ἄξιον πρῶτον μὲν ὅτι τοῖς προκειμένοις οἰκεῖον τὸ τοῦ ὅλου καὶ συνθέτου ἀλλ' οὐχὶ τὸ τοῦ καθόλου παράδειγμα... δεύτερον δὲ ἐπιστάσεως ἄξιον ὅτι διττή ἐστι τοῦ ὅλου καὶ τοῦ καθόλου ἡ γνῶσις, ὥσπερ καὶ τοῦ ὀνόματος, ἡ μὲν ὁλοσχερὴς καὶ συγκεχυμένη καὶ κατὰ ψιλὴν ἐπίνοιαν τοῦ γνωστοῦ γινομένη, ἥτις καὶ παχυτέρα ἐστὶ τῆς κατὰ τὸν ὁρισμὸν γνώσεως, ἡ δὲ συνῃρημένη καὶ ἡνωμένη καὶ τὰ κατὰ μέρος περιειληφυῖα, νοερά τις αὕτη καὶ ἁπλῆ, φανταστικὴ δὲ μᾶλλον ἐκείνη καὶ ἀπεξενωμένη... ἡ δὲ κατὰ τὸν ὁρισμὸν καὶ ἡ διὰ τῶν στοιχείων γνῶσις μέση τις ἐστὶν ἀμφοῖν, διανοητικὴ μᾶλλον οὖσα ἢ καὶ δοξαστική, καὶ τῆς μὲν χείρονος κατὰ τὸ ἀκριβὲς ὑπερέχουσα, τῆς δὲ κρείττονος ἀπολειπομένη κατὰ τὸ διῃρημένον καὶ μᾶλλον κεχυμένον... τρίτον δ' ἐφιστάνειν ἄξιον ὁποία τις ἐστὶν ἡ περὶ τῶν φυσικῶν πραγμάτων γνῶσις τοῖς τὰς ἀρχὰς καὶ τὰ αἴτια τῶν φυσικῶν ἐγνωκόσι, ταύτας δὲ ἐκ τῶν συνθέτων ἤδη καὶ συγκεχυμένων εὑρίσκουσιν, ἅπερ οὐκ ἔστιν ἀκριβῶς γνῶναι μὴ τῶν αἰτίων ἐγνωσμένων ἀκριβῶς. δῆλον οὖν ὅτι τεκμηριώδης ἐστὶν ἡ γνῶσις ἡ περὶ τῶν ἀρχῶν, ἀλλ' οὐκ ἀποδεικτική. καὶ καλῶς ὁ Πλάτων τὴν φυσιολογίαν εἰκοτολογίαν ἔλεγεν εἶναι, ᾧ καὶ Ἀριστοτέλης συμμαρτυρεῖ, τὴν κυρίως ἀπόδειξιν ἐξ ἀμέσων καὶ αὐτοπίστων ἀρχῶν καὶ ἐκ τῶν κυρίως αἰτίων καὶ τῇ φύσει προτέρων εἶναι βουλόμενος. ἀλλ' οὐκ ἀτιμαστέον διὰ τοῦτο φυσιολογίαν, ἀλλ' ἀρκεῖσθαι χρὴ τῷ κατὰ τὴν ἡμετέραν χρῆσιν καὶ δύναμιν, ὡς καὶ Θεοφράστῳ δοκεῖ. τέταρτον δὲ πρὸς τοῖς εἰρημένοις ἄξιον ζητεῖν, πῶς τὰ κοινὰ σαφέστερα μὲν ὡς πρὸς ἡμᾶς, ἀσαφέστερα δὲ τῇ φύσει λέγει ὁ Ἀριστοτέλης... καὶ τίνα μέν ἐστι τὰ κοινά, τίνα δὲ τὰ τῇ φύσει πρότερα, ἅπερ καὶ ἀρχαὶ τῶν φυσικῶν; ὁ μὲν οὖν Ἀλέξανδρος πρῶτον, φησί, δείξει ὅτι πλείους αἱ ἀρχαὶ καὶ οὔτε ἄπειροι οὔτε μία, εἶτα ὅτι δεῖ καὶ ἐναντίωσιν ἐν αὐταῖς εἶναι καὶ τῇ ἐναντιώσει τι ὑποκεῖσθαι· ἀφ' ὧν κοινῶν ὄντων μετελθὼν δείξει καὶ τίνες εἰσὶν αὗται· ὁ γὰρ ἐκεῖνα εἰδὼς οὐδέπω τὰς ἀρχὰς οἶδε τίνες εἰσίν... μήποτε οὖν ἄμεινον ἐκ τῶν τοῖς φυσικοῖς πράγμασιν ἐναργῶς καὶ γνωρίμως τῇ αἰσθήσει ὑπαρχόντων τὰς ἀρχὰς εὑρίσκειν τῶν φυσικῶν, ὥσπερ καὶ τῷ Ἀριστοτέλει δοκεῖ, οἷον ὅτι οὐ μία ἀρχὴ ἐκ τῆς τῶν ὄντων διαφορᾶς, ὡς μαθησόμεθα... ὅλως δέ, ὡς κοινῶς εἰπεῖν, ἀπὸ τῶν αἰσθήσεων καὶ τῶν αἰσθητῶν τὴν περὶ τῶν φυσικῶν ἀρχῶν ἀλήθειαν ἀνιχνευτέον καὶ Θεοφράστῳ πειθομένοις, ὃς περὶ τούτου ζητῶν ἐν πρώτῳ τῶν Φυσικῶν τάδε γέγραφεν. id. f. 4 *b* et 5.

ἐὰν οὖν ἀρχώμεθα τοῦ περὶ τῶν ἀρχῶν λόγου ἀπὸ κοινῶν τινῶν καὶ πλείοσιν ὑπαρχόντων, οὐ ταρακτέον· ἀπὸ γὰρ τούτων ἐπὶ τὰ ἴδια βαδιούμεθα. γνωριμώτερα δ' ἡμῖν τὰ κοινὰ τῶν ἰδίων ἐστίν, εἴγε σύγκειται μᾶλλον... οὕτω καὶ ἐν τοῖς Ἀναλυτικοῖς ὁ περὶ τοῦ συλλογισμοῦ λόγος προτάττεται τοῦ τε ἀποδεικτικοῦ καὶ διαλεκτικοῦ καὶ σοφιστικοῦ· ἀπὸ γὰρ τῶν κοινῶν ὁρμώμενοι ῥᾷον ἑκάστου τὰ ἴδια καὶ προσεχῆ διακρίνομεν. Themist. f. 15 *b*.

καλῶς τὸ "τρόπον τινὰ" προσέθηκε, διότι οὐχ ὥσπερ τὸ ὅλον αὐτὸ διαιρεῖται εἰς τὰ μέρη, οὕτω δὴ καὶ τὸ ὄνομά ἐστι καὶ ὑπὸ τοῦ ὁρισμοῦ διαιρούμενον, ἀλλὰ τὸ ὑπὸ τοῦ ὀνόματος σημαινόμενον διαιρεῖ ὁ ὁρισμός, καὶ οὐχ ὅνπερ τρόπον τὸ καθ' ἕκαστα μέρος τυγχάνει τοῦ καθόλου ὀνόματος, μέρη ἐστὶ τὰ μέρη τοῦ ὁρισμοῦ. Philop. *a* p. 9.

ἀκόλουθον μὲν ἂν ἦν πρῶτον ζητεῖν εἰ εἰσὶν ὅλως ἀρχαὶ τῶν 184 b 15.
φυσικῶν, καὶ τότε τίνες εἰσὶ καὶ πόσαι· αὕτη γὰρ ἡμῖν ἡ τάξις τῶν προβλημάτων ἐν τοῖς Ἀποδεικτικοῖς ὑπ' αὐτοῦ παραδέδοται. ἀλλὰ τοῦτο, φασίν, οὐκ ἦν τοῦ φυσικοῦ θεωρεῖν ἀλλὰ τοῦ ἐπαναβεβηκότος· ὁ γὰρ φυσικὸς ὡς δεδομένῳ τούτῳ χρῆται... ἐπιστῆσαι δὲ ἄξιον, μήποτε καὶ τὸ πόσαι καὶ τίνες αἱ ἀρχαὶ καὶ ὅλως ὁ περὶ τῶν ἀρχῶν λόγος τοῦ ἐπαναβεβηκότος κατὰ τοῦτον τὸν λόγον εἶναι δοκεῖ, μήποτε δὲ καὶ ἀνάγκη τὸν φυσικὸν ὅτι σώματά ἐστι τὰ φυσικὰ εἰδέναι, καὶ ὅτι πᾶν σῶμα σύνθετόν ἐστι, καὶ ὅτι τὸ σύνθετον ἀρχὰς ἔχει τὰ ἐξ ὧν σύγκειται, ὡς καὶ ὁ Θεόφραστος ἀπέδειξεν. ἄμεινον οὖν ἴσως λέγειν ὅτι οὐκ ἐν πᾶσι προβλήμασι τὸ εἰ ἔστι ζητεῖται, ἀλλ' ἐν οἷς τοῦτο ἀμφιβάλλεται... δυνατοῦ δὲ ὄντος καὶ τοὺς μίαν λέγοντας εἰς τὸ ἄπειρον καὶ τὸ πεπερασμένον διελεῖν καὶ τοὺς πολλὰς εἰς κινουμένας ἢ ἀκινήτους, τὸ οἰκειότερον, φησὶν ὁ Ἀλέξανδρος, ἑκατέρῳ τῶν ἐκ τῆς διαιρέσεως ὑπέταξεν. οἰκειότερον δὲ τῇ μὲν μιᾷ τὸ κινεῖσθαι ἢ μή, ταῖς δὲ πολλαῖς τὸ πεπερασμένον ἢ ἄπειρον... καὶ Εὔδημος ὡς ἄν, φησίν, ὑπάρχωσιν αἱ ἀρχαί, ἤτοι κινοῦνται ἢ ἀκίνητοι εἰσίν. ἀλλὰ τοῦτο μὲν τὸ διαιρετικὸν παρῆκεν ὁ Ἀριστοτέλης διὰ τὸ μὴ γεγονέναι δόξαν πολλὰς καὶ ἀκινήτους τὰς ἀρχὰς λέγουσαν. τὸ δὲ πεπερασμένον καὶ ἄπειρον ἐπὶ τῆς μιᾶς διὰ τὴν συντομίαν νῦν παραδραμεῖν ἔοικεν· ἐν γοῦν τοῖς πρὸς Παρμενίδην, ὡς εἶπον, καὶ Μέλισσον λόγοις καὶ ταῦτα βασανίζει. Simpl. f. 5 *b*.

ἀνάγκη τὴν ἀρχὴν ἢ μίαν ἢ πλείους εἶναι. ἀλλ' εἰ μίαν, ἢ κινουμένην γε ἢ ἀκίνητον, ἢ πεπερασμένην ἢ ἄπειρον. εἴτε πλείους, καὶ ταύτας γε αὖ ἢ κινουμένας γε ἢ ἀκινήτους, ἢ πεπερασμένας κατ' ἀριθμὸν ἢ πάλιν ἀπείρους. Themist. f. 15 *b*.

οὐχ ὡς Παρμενίδου, φησὶν ὁ Ἀλέξανδρος, καὶ Μελίσσου μίαν 184 b 16.
ἀρχὴν τιθεμένων καὶ ταύτην ἀκίνητον λεγόντων, οὕτως εἶπε τὸ "ὡς Παρμενίδης καὶ Μέλισσος" (οὗτοι γὰρ οὐδὲ ὅλως ἀρχὴν ἐτίθεντο· ἓν γὰρ ἔλεγον τὸ πᾶν, ὃ μαχόμενόν ἐστι τῷ ἀρχὴν λέγειν εἶναι· οἱ γὰρ ἀρχὴν τιθέμενοι ὁμολογοῦσι πλείω τὰ ὄντα εἶναι, τῇ ἀρχῇ καὶ τὰ ὧν ἐστὶν ἀρχὴ συνεισάγοντες), ἀλλ' εἰπὼν τὸ πρῶτον διαιρετικόν, τὸ ἢ μίαν εἶναι τὴν ἀρχὴν ἢ πλείους, ἐπὶ τοῦ ἑτέρου τῶν ἐν τῇ διαιρέσει πάλιν διαιρετικῷ χρῆται τῷ εἰ μία ἡ ἀρχὴ ἤτοι ἀκίνητος ἢ κινουμένη. ἓν δὲ ἀπίθανον τὸ ἀρχὴν μίαν καὶ ἀκίνητον ταύτην λέγειν, μετὰ παραμυθίας ἔθετο... ταῦτα οὖν αὐτῇ λέξει τοῦ Ἀλεξάνδρου λέγοντος, τὸ μὲν τῷ μᾶλλον ἀπιθάνῳ παραμυθεῖσθαι τὴν ἀπίθανον θέσιν οὐκ ἦν, οἶμαι, τῆς Ἀριστοτέλους μεγαλονοίας... ἐξ ὧν γὰρ τὰ ὄντα ἐστὶ ζητοῦσι πρῶτον αὐτά, πότερον ἓν ἢ πολλά· ὥστε περὶ ἀρχῆς τῶν ὄντων οἴεται τοὺς ἄνδρας τούτους φιλοσοφεῖν. Simpl. f. 8 *b*.

πολλαχῶς τὸ μὴ ὄν· τὸ ἄρρητον ὅπερ ἐστὶ τὸ μηδαμῇ μηδαμῶς, δεύτερον τὸ καθ' ἑτερότητα, τόδε μὲν μὴ ὂν τόδε δὲ ὄν, τρίτον τὸ κρεῖττον τοῦ ὄντος, δηλαδὴ τὸ ὑπερούσιον, τέταρτον τὸ χεῖρον τοῦ ὄντος, ὃ καὶ μετούσιον λέγει, καὶ ἄλλο τὸ ψευδὲς τὸ τῆς φαντασίας, ὅπερ ἐστὶν ἐκ δόξης καὶ αἰσθήσεως, ὡς ἡ φαινομένη κώπη ἐν τῷ ὕδατι, ἣν ἡ δόξα ἔχει ἄκλαστον, ἡ δὲ αἴσθησις κεκλασμένην. cod. Vat. 1730.

ἔθος τῷ Ἀριστοτέλει ἀπὸ κοινῶν τινῶν ἀξιωμάτων ἄρχεσθαι τῶν πραγματειῶν. οὕτω γοῦν καὶ ἐν τῷ Μετὰ τὰ Φυσικὰ ἀπό τινος κοινοῦ ὁμολογήματος ἤρξατο· "πάντες" γάρ φησιν "ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει. σημεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις." καὶ ἐν τῇ Ἀποδεικτικῇ "πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως," καὶ ἐν Ἠθικοῖς "πᾶσα τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ." οὕτως οὖν καὶ ἐνταῦθα ἀπὸ κοινοῦ τινὸς ἀξιώματος τὴν ἀρχὴν ποιεῖται... ἀρχὰς τῶν πραγμάτων πάντων Πλάτων μὲν ἓξ φησιν εἶναι, ὕλην, εἶδος, ποιητικὸν αἴτιον, παραδειγματικόν, ὀργανικόν, τελικόν. Philop. *a* p. 2. 3.

184a 10. τὸ προοίμιον εὐθὺς τὸν σκοπὸν ἐκφαίνει τοῦ συγγράμματος, ὅτι περὶ τῶν φυσικῶν ἀρχῶν ἐστίν... ἀλλ' ὅτι μέν εἰσιν ἀρχαὶ τῶν φυσικῶν, ἐφεξῆς ἅπας ὁ λόγος δείξει, καὶ οὐ δεῖται νῦν ἀποδείξεως· διό, οἶμαι, ταύτην αὐτὸς τὴν πρότασιν παρῆκεν. ὁ μέντοι Θεόφραστος ἐν ἀρχῇ τῶν αὐτοῦ Φυσικῶν καὶ ταύτην ἀπέδειξε λέγων "τὸ μέντοι τῶν φυσικῶν ἀρχὰς εἶναι δῆλον ἐκ τοῦ τὰ μὲν φυσικὰ σώματα σύνθετα εἶναι, πᾶν δὲ σύνθετον ἀρχὰς ἔχειν τὰ ἐξ ὧν σύγκειται· ἅπαν γὰρ τὸ φύσει ἢ σῶμά ἐστιν ἢ ἔχει γε σῶμα· ἄμφω δὲ σύνθετα." ὁ δὲ Πορφύριος οὐδὲ φυσικοῦ φησὶν εἶναι τὸ ζητεῖν εἰ εἰσὶν ἀρχαὶ τῶν φυσικῶν, ἀλλὰ τοῦ ἀναβεβηκότος... ὁ μέντοι Εὔδημος ἀρχόμενος τῶν φυσικῶν ἀνωτέρω τὸν λόγον ἐπήγαγε, καὶ δείξας ὅτι πρὸς μὲν τὰς πράξεις εὐχρηστότερον εἰδέναι τὰ καθ' ἕκαστα, πρὸς δὲ θεωρίαν τὰ κοινά, κοινότατον, φησί, φαίνεται περὶ τὰς ἐπιστήμας τὸ τῶν ἀρχῶν· ὑπάρχουσι γάρ τινες καθ' ἑκάστην. τούτων δὲ οὕτως ἐχόντων ἀναγκαῖον τῷ φυσιολογοῦντι τὰς ἀρχὰς πρῶτον ἐπισκέψασθαι. καὶ ὁ μὲν ὅλος τῶν λεγομένων νοῦς τοιοῦτος, ἔστι δὲ ἄξιον ζητεῖν τί ἀρχὴ καὶ τί αἴτιον καὶ τί στοιχεῖον· καὶ γὰρ ὁ μὲν Ἀλέξανδρος διαφέρειν ταῦτα ἀλλήλων φησὶ τῷ ἀρχὴν μὲν λέγεσθαι ἰδίως τὸ ποιητικόν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, αἴτιον δὲ τὸ οὗ ἕνεκα καὶ τὸ εἶδος (ἐν γὰρ τοῖς φύσει τὸ οὗ ἕνεκα τοῦτο), στοιχεῖον δὲ τὸ ἐνυπάρχον ὡς τὴν ὕλην. ἔοικε δὲ τῷ Εὐδήμῳ κατακολουθεῖν ὁ Ἀλέξανδρος λέγοντι ὅτι τοῦ αἰτίου τετραχῶς λεγομένου τὸ μὲν στοιχεῖον κατὰ τὴν ὕλην λέγεται... θαυμαστὸν δὲ εἰ μὴ ἐνυπάρχει τὸ εἶδος ἐν τῷ αἰτιατῷ, εἰ μὴ ἄρα εἶδος τὸ καθόλου λέγουσιν. ὁ μέντοι Πορφύριος ἕνα μὲν τρόπον ἀρχὴν λέγει, ὅθεν ἡ πρώτη κίνησις γίνεται· ἔστι δὲ τοιαύτη ἡ ἀφ' οὗ, ὡς ὁδοῦ τὸ πρῶτον, οὕτω δὲ καὶ νεὼς μὲν τρόπις, οἰκίας δὲ θεμέλιος. τούτῳ δὲ τῷ σημαινομένῳ ἀντίκειται ἡ τελευτή. ἕτερον δὲ τρόπον ὡς τὸ ὑφ' οὗ, ὡς ἡ φύσις τῶν φυσικῶν καὶ ἡ τέχνη τῶν τεχνητῶν. ἀρχὴ δὲ καὶ τὸ οὗ ἕνεκα, οἷον ἀθλήσεως ἡ νίκη. κατ' ἄλλον δὲ τρόπον ἀρχὴ λέγεται, ἐξ οὗ πρώτου ἐνυπάρχοντος γίνεταί τι, ὡς οἰκίας λίθοι καὶ ξύλα ἀρχὴ ὡς ὕλη. ἀρχὴ δὲ καὶ ἡ μορφὴ καὶ τὸ σχῆμα καὶ ὅλως τὸ εἶδος... τούτων δὲ ἡμῖν ἱστορημένων, πρὸς μὲν τὸν Ἀλέξανδρον καὶ πρὸ τούτου πρὸς τὸν Εὔδημον ῥητέον ὅτι τὸ οὗ ἕνεκα τέλος ὂν καὶ ἀρχὴ εἴη ἂν πάντως καὶ κυριωτέρα τοῦ ποιητικοῦ ἀρχή... πρὸς δὲ τὸν Πορφύριον, ὅτι πρῶτον μὲν ἐξ ὧν καὶ αὐτὸς διεστήσατο, οὐ λέγεται ἰσαχῶς τὸ αἴτιον καὶ ἡ ἀρχή, ἀλλὰ τὸ μὲν αἴτιον πᾶν καὶ ἀρχή, ἡ δὲ ἀρχὴ τοῦ πράγματος, οἷον τῆς ὁδοῦ ἢ τοῦ δράματος, οὐκ ἂν λέγοιτο αἴτιον. δεύτερον δὲ ὅτι οὐ προεπινοεῖται τοῦ αἰτίου ἡ ἀρχή... μήποτε οὖν ὁ Ἀριστοτέλης τὴν ἀρχὴν ὡς κοινὸν λαβὼν διεῖλεν αὐτὴν εἴς τε τὰ κυρίως αἴτια, οἷόν ἐστι τὸ ποιητικὸν καὶ τελικόν, καὶ εἰς τὰ συναίτια ὑπό τινων λεγόμενα, οἷά ἐστι τὰ στοιχεῖα... τὸ δὲ εἰδέναι καὶ τὸ ἐπίστασθαι οὐκ ἐκ παραλλήλου εἴρηται, ὡς ἐπέστησεν ὁ Ἀλέξανδρος, εἰπὼν τὰ ἐκ παραλλήλου λεγόμενα ὀνομάτων μόνον ἔχει διαφορὰν ἐν πράγματος ποιότητι, καὶ διὰ τοῦτο καὶ ἓν ἐκ τῶν τοιούτων ἴσον δύναται τοῖς πᾶσι· τὸ δὲ εἰδέναι καὶ τὸ ἐπίστασθαι οὐ ταὐτὸν δύναται τῷ εἰδέναι μόνῳ· εἰδέναι γὰρ λεγόμεθα καὶ τὰ δι' αἰσθήσεως καὶ δόξης καὶ τὰς ἀμέσους προτάσεις, ὧν οὐδὲν ἴσμεν δι' ἀποδείξεως, ταὐτὸν δὲ εἰπεῖν οὐ κατ' ἐπιστήμην. ταῦτα μὲν οὖν καλῶς εἴρηκε· πῶς δὲ ἐνταῦθα παρείληπται ἄμφω, οὐκέτι προστέθεικεν. ἔοικε δὲ γένος οὖσαν τὴν εἴδησιν τῆς ἐπιστήμης προτάξαι, ὡς εἰ ἔλεγε τὸ γινώσκειν ἐπιστημονικῶς... μήποτε δὲ ὁ Ἀριστοτέλης νῦν εἴδησιν τὴν κυρίως λαβών, εἰς ταὐτὸν αὐτὴν ἤγαγε τῇ ἐπιστήμῃ· καὶ γὰρ ὁ Πλάτων μὴ εἰδέναι φησὶ τὰς ἑαυτῶν ἀρχὰς τοὺς μαθηματικούς... ἀλλὰ πῶς εἰπὼν "τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους," ἐπήγαγεν "ὧν εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα;" ἢ ὡς ἴδιον πασῶν τῶν ἐπιστημονικῶν εἰδήσεων τοῦτο προστέθηκεν; ἡ γὰρ ἐπιστήμη συλλογισμὸς οὖσα ἀποδεικτικὸς ἐξ ἀρχῶν πάντως ἐστὶ τῶν ἀμέσων προτάσεων. Simpl. f. 2 *b* et 3.

"ὧν εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα." εἰ μὲν τὸν ἢ σύνδεσμον διαζευκτικὸν λάβωμεν, καθολικωτέρα καὶ ἐπὶ πλειόνων γίνεται ἡ πρότασις· τὰ γὰρ μὴ φυσικὰ ἀλλὰ λογικὰ καὶ νοερὰ ἀρχὰς μὲν ἔχει καὶ αἴτια, στοιχεῖα δὲ οὐκ ἔχει. ἐὰν δὲ παραδιαζευκτικὸν λάβωμεν τὸν ἢ ἀντὶ τοῦ καί, ἐπὶ τῶν φυσικῶν μόνων χωρήσει ὁ λόγος, ὧν εἰσὶν αἱ ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα. Philop. *a* p. 3.

πᾶσα γὰρ διδασκαλία καὶ πᾶσα μάθησις διανοητική, τουτέστιν 184a 16.
οὐκ ἐξ αἰσθήσεως οὐδὲ κατὰ νοῦν γινομένη ἀλλὰ συλλογιστική τε καὶ ἀποδεικτική, ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς μεμαθήκαμεν... δυνατὸν δὲ τρόπον τινὰ καὶ ἐκ τῶν ἑπομένων ταῖς ἀρχαῖς καὶ ἀπ' αὐτῶν συντιθεμένων, οὐκέτι ὡς ἀπὸ αἰτίων ἀλλ' ὡς ἀπὸ γνωριμωτέρων, τὰ περὶ τῶν ἀρχῶν τῶν φυσικῶν συλλογίζεσθαι, οὐκ ἐπιστάμενον αὐτὰ ἀλλὰ γνωρίζοντα μόνον. διὸ οὐκ εἶπεν ἐπιστημονικῶς γνῶναι τὰς ἀρχάς, ἀλλ' ἐκ τοῦ γνωρίζειν αὐτάς, διότι ἀπὸ τῶν ἑπομένων ἡ γνῶσις αὐτῶν. Simpl. f. 4.

ὅτι δὲ γνωριμώτερον ἡμῖν τὸ ἀδιόριστον καὶ συγκεχυμένον, οἷον 184a 21.
τὸ ὅλον δοκεῖ, πιστοῦται τὸ μὲν ὄνομα ἕκαστον ὡς ὅλον τι λαβών, τὸν δὲ τοῦ ὀνόματος ὁρισμὸν ὡς τὴν διάρθρωσιν τοῦ ὀνόματος μερῶν καὶ στοιχείων παραδιδόντα... ἀλλὰ τοῦτο μὲν ὡς πρὸς τὸ σύνθετον καὶ ὅλον οἰκείως ἔχει τὸ παράδειγμα· συνῄρηται γὰρ καὶ συγκέχυται τῷ

αἰσθήσεως καὶ τῆς γνώσεως· ὕστερον δὲ γίνονται δῆλα τὰ τῇ φύσει πρότερα καὶ ἁπλᾶ· ἡ γὰρ φύσις ἐκεῖνα πρῶτον οἶδεν ὡς ἀρχὰς καὶ αἴτια, καὶ ὁ τρόπος κατὰ ἀνάλυσιν. "διὸ ἐκ τῶν καθόλου" (v. 23). εὔθετον ποιῶν τὸν τρόπον τῆς διδασκαλίας αὐτοῦ ἐκ τῶν ἡμῖν ἄρχεται προτέρων καὶ γνωριμωτέρων, ἐπιβάλλεσθαι θέλων τοῖς προτέροις τῇ φύσει ἢ ταῖς ἀρχαῖς καὶ τοῖς αἰτίοις. τὰ οὖν σύνθετα καὶ ἡμῖν πρότερά φησι καὶ καθόλου ἄλλον τρόπον ἢ ὡς πρότερον ἐν ἄλλοις ἔλεγε· τὸ γὰρ ζῷον καὶ ὁ ἄνθρωπος καθόλου, ὁ δὲ Σωκράτης καθ' ἕκαστον· ἐνταῦθα δὲ καθόλου λέγει τὰ σύνθετα ὡς συγκείμενα ἐκ πολλῶν, καθ' ἕκαστα δὲ τὰ ἁπλᾶ ὧν συντιθεμένων τὸ σύνθετον γίνεται. πῶς δὲ τὸ τοιοῦτον καθόλου γνωριμώτερον, συλλογίζεται. τὸ καθόλου ὅλον τι, τὸ ὅλον τῇ αἰσθήσει γνωριμώτερον· πολλὰ γὰρ περιλαμβάνει, καὶ ἡ αἴσθησις παχυμερῶς οἶδε καὶ ὁλοτελῶς ἀντιλαμβάνεται, ἡ δὲ φύσις τῶν ἁπλῶν ἐπιδράττεται. πέπονθε τοῦτο τρόπον τινά, φησί, καὶ τὸ ὄνομα πρὸς τὸν λόγον· τὸ γὰρ ὄνομα ὁρισμὸς συνεπτυγμένος, ὁ δὲ λόγος πλατυκὸν ὄνομα. τὸ δὲ τρόπον τινὰ (p. 184 *b* 10) εἶπεν ὅτι κυρίως ἐκ τῶν τοῦ ὁρισμοῦ μὲν οὐ σύνθετον τὸ ὄνομα, ἀλλὰ τὸ τῷ ὀνόματι δηλούμενον πρᾶγμα· τὰ γὰρ μέρη τῶν ὁρισμῶν δεύτεραι οὐσίαι εἰσί, τὸ δὲ ὄνομα κατὰ συνθήκην, ὡς ἐν ἄλλοις φησί, καὶ ὥσπερ ὄνομα σύνθετον ὁ τραγέλαφος, οὕτως ὄνομα ἁπλοῦν ὁ ἄνθρωπος. καὶ ὀνομάζονται μὲν καὶ τὰ μὴ ὄντα, ὁρίζονται δὲ μόνα τὰ ὄντα. ὅμως τὸ κύκλος ὄνομα ἀδιορίστως ὅλον τι σημαίνει, τὰ δὲ μέρη τοῦ ὁρισμοῦ τούτου καθ' ἕκαστα εἰσίν. ὁμοίως καὶ ἄλλο τίθησι δεικτικὸν τοῦ λόγου ἐκ τῶν ἰδιωτικῶν καὶ καθ' ἡμᾶς, ὃ καὶ αὐτὸ ἔθος Ἀριστοτέλειον, ὅτι καὶ τὰ παιδία οὕτω ποιοῦσι, συγκεχυμένως πρῶτον νοοῦντα καὶ λέγοντα, ὕστερον δὲ διευκρινοῦντα μερικῶς τοὺς ἐννοήσαντας. καὶ οὕτω δὴ προοιμιασάμενος εἰσβάλλει εἰς τὴν περὶ τῶν ἀρχῶν ζήτησιν ἐκ διαιρέσεως. ἰστέον δὲ ὡς ἅπαξ ἐμβαλὼν τοῖς τοιούτοις οὐ διαστέλλει τὰς ἀρχὰς τὰς παρὰ τῶν προτέρων ῥηθείσας, ποῖαι αἱ φυσικαὶ καὶ ποῖαι αἱ θεολογικαί, ὡς ἂν περὶ τῶν φυσικῶν διαμάχεσθαι μόνον εἶχεν, ἀλλὰ περὶ πασῶν ἁπλῶς διαλαμβάνει, καὶ ὡς φυσικὰς ἁπάσας ἀπελέγχει. τὰς δὲ Πλατωνικὰς ἐγκρίνει, ἀλλὰ καὶ ταύτας ὡς ἐλλιπεῖς διορθοῦται. ὅρα δὲ καὶ τὸ τῆς διαιρέσεως ἀνελλιπές, καὶ πῶς καθ' ἕκαστον τοὺς περὶ τῶν ἀρχῶν εἰπόντας ἐκβάλλει. εἰπὼν δὲ ὡς οἱ φυσικοί, δηλοῖ ἐντεῦθεν ὡς Παρμενίδης καὶ Μέλισσος μακρὰν ἦσαν τοῦ περὶ φυσικῶν ἀρχῶν λέγειν· τοῦ γὰρ Ἰταλικοῦ διδασκαλείου ἦσαν, ὅπου θεολογία ἠκριβοῦτο, ὥσπερ οἱ φυσικοὶ τοῦ Ἰωνικοῦ, ὅπου φύσις καὶ φυσικὰ διηρευνῶντο. "ὥσπερ Δημόκριτος" (v. 20). Δημόκριτος Ἴων καὶ Ἀβδηρίτης ἦν καὶ τῶν πάντων καταγελῶν, ὅμως περὶ ἀρχῶν διαλαμβάνων φυσικῶν τὸ μὲν γένος τούτων ἐτίθει ἕν (ἀτόμους γὰρ ἐποίει), τοὺς δὲ σχηματισμοὺς αὐτῶν διαφόρους, κύκλον τρίγωνον τετράγωνον εὐθὺ περιφερὲς καὶ τὰ λοιπά· ὁμοίως καὶ τὰ εἴδη, θερμὸν ψυχρὸν γλυκὺ πικρὸν σκληρὸν μαλακὸν καὶ τὰ λοιπά. "ὁμοίως δὲ ζητοῦσι" φησὶ "καὶ οἱ τὰ ὄντα ζητοῦντες," ἤτοι κατὰ ταύτην τὴν ἀνελλιπῆ διαίρεσιν ζητοῦσι καὶ οὗτοι. ὄντα δὲ λέγει τὰ ἐν τῇ ὕλῃ εἰδοπεποιημένα, ἃ δὴ καὶ ἁπλῶς στοιχεῖά φασιν, ὡς ὁ Θαλῆς τὸ ὕδωρ καὶ ὁ Διογένης τὸν ἀέρα καὶ Ἡράκλειτος τὸ πῦρ. ἡ δὲ γῆ κριτήν, φησὶν ἐν τῷ περὶ Ψυχῆς (1 2), οὐκ ἔσχεν· οὐδεὶς γὰρ ἐνέκρινεν αὐτὴν στοιχεῖον ὡς παχεῖαν καὶ μὴ ἀφ' ἑαυτῆς ἔχουσαν κίνησιν. ἄλλοι δὲ δύο εἶπον, σύγκρισιν καὶ διάκρισιν, ἢ μᾶλλον πῦρ καὶ γῆν, ὡς Παρμενίδης· ἄλλοι δὲ καὶ τρία, καὶ Ἐμπεδοκλῆς τέσσαρα. καὶ Ἱπποκράτης τὸ ἓν ἀποδοκιμάζων φησίν, εἰ ἕν, ἄνθρωπος οὐκ ἂν ἤλγει. ὄντα δὲ λέγει ταῦτα πρὸς τὴν ὕλην ἀντιδιαστέλλων· ὕλη γὰρ μὴ ὂν καὶ κατὰ Πλάτωνος φασιν τὸ ἀληθινὸν ψεῦδος, ὃ καὶ εἰδοποιηθὲν ἕν ἐστι καὶ ἄπειρα οὐκ ἔστιν. τὸ δὲ εἶδος ὂν μέν ἐστι κατὰ Πλάτωνα καὶ κυρίως ἕν, καὶ κυρίως ὂν ὡς ὀντότητος παρεκτικόν· κατὰ δὲ τὸν Ἀριστοτέλην οὐδέν, ἢ μετὰ τὰ πολλά, ὡς ἐν ἄλλοις φησίν. διὰ τοῦτο ὄντα φησὶ τὰ στοιχεῖα καὶ ὄντα τὰ ἐξ αὐτῶν. ἐπαποδύεται δὲ πρῶτον κατὰ Μελίσσου, ὅστις λέγει τὸ ὂν ἓν καὶ ἀκίνητον. καθάπτεται δὲ τούτου καὶ ὅτι εἶπεν ἓν τὴν ἀρχήν· ἡ γὰρ ἀρχὴ τινὸς ἢ τινῶν ἐστίν· ποίου οὖν ἕν; οὐ καθαρῶς δὲ πρὸς τὸ ἓν ἀπομάχεται· ἠδύνατο γάρ τις εἰπεῖν "καὶ τί κωλύει ἀρχὴν μὲν εἶναι μίαν, τινῶν δὲ εἶναι ἂν ὑστερογενῶν καὶ ἐξ αὐτῆς ἀποστάντων;" ἀλλὰ συνδυάζων καὶ τὸ ἀκίνητον ποιεῖται τὴν ἔνστασιν ἰσχυράν· τὸ γὰρ ἓν καὶ ἀκίνητον οὐκ ἂν κινηθείη ποτὲ πρὸς ὕπαρξιν ἄλλου. ἀπομάχεται δὲ καὶ πρὸς τὸ ἀκίνητον ἰδίως, μᾶλλον δὲ παραιτεῖται λέγειν πρὸς τὸν ἀναιροῦντα τὰς τῆς φύσεως ἀρχάς. ἡ γὰρ φύσις ἀρχὴ κινήσεως· ὥσπερ οὖν οὐκ ἔστι λόγος τῷ γεωμέτρῃ πρὸς τὸν ἀναιροῦντα τὰς ἀρχὰς τῆς γεωμετρίας ἀποστροφή, οὕτως οὐδὲ τῷ φυσικῷ πρὸς τὸν Μέλισσον· ὡς θέσιν γάρ τινα λέγει τοῦτο, καθὼς καὶ ἄλλοι παραδόξους ὑπολήψεις ἔσχον περί τινων, ὡς ὁ Ἡράκλειτος ὅτι πάντα κινοῦνται καὶ ἀεί. ἐριστικοὶ οὖν οἱ λόγοι... "ἐπεὶ πολλαχῶς λέγεται τὸ ὄν" (p. 185 *a* 21). ἕως Ἀριστοτέλους οὐ πάμπαν ἔκδηλον ἦν τὸ ὁμώνυμον, ἀλλὰ Πλάτων τε ἤρξατο περὶ τούτου ἢ μᾶλλον ἐκείνου Σωκράτης, καὶ οὗτος πολλὰ περὶ αὐτοῦ ἐν πολλοῖς εἶπε, μάλιστα δὲ καὶ περὶ τούτου σκέψιν εἰς ὄργανον τάττει τὸ μέγιστον καὶ δεύτερον ἐκ τῶν τεττάρων ὀργάνων τῆς διαλεκτικῆς, καὶ πολλὰ τῶν παλαιῶν διὰ τούτου διορθοῦται. τὸ οὖν ἓν ὁμώνυμόν ἐστι, φησίν... ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν (p. 186 *b* 35) συμπεραινόμενος φησίν· ὃ δὴ διττῶς νοοῖτ' ἄν, ἢ ἐξ ἀδιαιρέτων ἀντὶ τοῦ ἀδιαίρετον, Ἀττικῇ συνηθείᾳ, ὡς τὸ ἐκ τρίτων ἀντὶ τοῦ τρίτον. καὶ ἐπεὶ πρότερον ἔλεγεν ὅτι τριχῶς τὸ ἕν, ἢ τῇ συνεχείᾳ ἢ τῷ λόγῳ ἢ τῷ ἀδιαιρέτῳ, περὶ τῶν δύο εἰπὼν ὅτι οὔτε τῇ συνεχείᾳ ἐστὶν ἓν οὔτε τῷ λόγῳ, συμπεραινόμενος λέγει, λοιπὸν τῷ ἀδιαιρέτῳ ἓν ἔσται. ἀλλὰ καὶ τοῦτ' ἀδύνατον, καθὼς ἀπέδειξε πρότερον. πῶς γὰρ μέγεθος ἕξει καὶ ἢ πεπερασμένως ῥηθήσεται, ὥσπερ Παρμενίδης ἔλεγεν, ἢ ἄπειρον, ὡς ὁ Μέλισσος; τὸ γὰρ ἀδιαίρετον πέρας, οὐ πεπερασμένον. ἢ οὖν οὕτως ἢ πρὸς τὸ σύνεγγυς· ἐκ μερῶν ἄρα αὐτοῦ ἀδιαιρέτων ἐστὶ τὸ ἕν. καὶ οὐκ ἐκ συμβεβηκότων ἢ αὐτῷ ἢ ἑτέρῳ. καὶ ἔστιν ἁπλουστέρα ἡ ἔκδοσις αὕτη. οἱ περὶ Πλάτωνος δέ, φησί, καὶ Ξενοκράτους ἐνεδίδοσαν τοῖς λόγοις ἀμφοτέροις ἢ συνεχώρουν τῷ τε λέγοντι τὸ παρὰ τὸ ὂν οὐκ ὂν ἔστι καὶ τῷ τῆς διχοτομίας, τῷ μὲν λέγοντες ὅτι ἔστι τὸ μὴ ὄν, τῷ δὲ ποιοῦντες ἄτομα μεγέθη. τί δὲ ταῦτα εἰσίν, ἄνωθεν ῥητέον. εἰς τὸ ἕν, ἔνιοι δὲ ἐνέδοσαν. ἐν τῷ Σοφιστῇ (p. 235) οὕτω λέγει περὶ τοῦ μὴ ὄντος ὁ Πλάτων. τοῦ Σωκράτους λέγοντος πρὸς τὸν σοφιστὴν ὅτι γόης εἶ περὶ τοῦ μὴ ὄντος καταγόμενος, ὁ σοφιστὴς λέγει ὅτι λοιπὸν ἔστι τὸ μὴ ὄν· πρὸς ὃν ἀντεπιφέρει ὁ Σωκράτης ὅτι

Ἀριστοτέλης, τὰ δὲ ἐφεξῆς περὶ Κινήσεως. τῶν δὲ περὶ ἀρχῶν ἐν μὲν τῷ πρώτῳ περὶ τῶν συναιτίων διδάσκει, τῆς τε ὕλης φημὶ καὶ τοῦ εἴδους καὶ τῆς ἀντικειμένης τῷ εἴδει στερήσεως, ἐν δὲ τῷ δευτέρῳ περὶ τοῦ προσεχῶς ποιητικοῦ αἰτίου, ὅπερ τὴν φύσιν εἶναί φησι, καὶ μέντοι καὶ περὶ τοῦ τελικοῦ... ὅ γε Πλάτων τὰ τῶν Πυθαγορείων καὶ τῶν Ἐλεατικῶν ἐπὶ τὸ σαφέστερον προαγαγὼν τά τε ὑπὲρ τὴν φύσιν ἐξύμνησεν ἀξίως, κἂν τοῖς φυσικοῖς καὶ γενητοῖς τὰς στοιχειώδεις ἀρχὰς τῶν ἄλλων διέκρινε καὶ στοιχεῖα πρῶτος αὐτὰς ὠνόμασε τὰς τοιαύτας ἀρχάς, ὡς ὁ Εὔδημος ἱστορεῖ. καὶ τὸ ποιητικὸν αἴτιον καὶ τὸ τελικὸν καὶ ἔτι πρὸς τούτοις τὸ παραδειγματικὸν τὰς ἰδέας αὐτὰς θεασάμενος διέκρινε. Simpl. f. 1-2.

τὸ προκείμενον βιβλίον ἐστίν, ὡς εἴρηται, περὶ τῶν κοινῇ πᾶσι τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων· διὸ καὶ ἰδίως φυσικὴν τὴν πραγματείαν ὠνόμασε. ταῦτα δέ ἐστι πέντε, ὕλη εἶδος τόπος χρόνος κίνησις. καὶ ἐν μὲν τοῖς πρώτοις τέτρασι βιβλίοις διδάσκει περὶ τῶν τεσσάρων, ἐν δὲ τοῖς τελευταίοις τέτρασι περὶ κινήσεως· ποικίλος γάρ ἐστιν ὁ περὶ κινήσεως λόγος καὶ πολλὰ τούτῳ ἐστὶ τὰ παρακολουθήματα, ὅθεν καὶ τὴν ὅλην πολλάκις πραγματείαν περὶ Κινήσεως ὀνομάζει, "εἴρηται" λέγων "ἡμῖν ἐν τοῖς περὶ Κινήσεως," τουτέστιν ἐν τῇ φυσικῇ, ἐκ τοῦ μέρους ὅλην πραγματείαν ὀνομάζων. Philop. *a* f. 1.

πρόκειται τῇδε τῇ συγγραφῇ ἐπιστήμην τινὰ πορίσασθαι τῆς τε φύσεως καὶ τῶν ὑπ' αὐτῆς γιγνομένων. τὸ μὲν γὰρ ἄνευ λόγου ταῦτα γινώσκειν ῥᾴδιον καὶ πᾶσιν ἀνθρώποις· ἅπαντες γὰρ ἂν εἰπεῖν ἔχοιμεν οἵ γε τὴν αἴσθησιν ὑγιαίνοντες ὅτι τοῦτο μέν ἐστι γῆ, τοῦτο δὲ ὕδωρ, τοῦτο δὲ φυτόν, τοῦτο δὲ ζῷον· ἀλλὰ τῷ μετ' ἐπιστήμης γιγνωσκομένῳ καὶ τὰς ἀρχὰς αὐτοῦ πρότερον ἀνάγκη γινώσκειν. δηλοῦσι δὲ τοῦτο καὶ αἱ λογικώτεραι τῶν τεχνῶν· γραμματικοὺς γὰρ λέγομεν οὐ τοὺς ἐπακούοντας τῶν ὀνομάτων ἀλλὰ τοὺς εἰπεῖν ἔχοντας ἐξ ὅσων ἕκαστον ὄνομα σύγκειται στοιχείων, μουσικούς τε αὖ οὐ τοὺς αἰσθανομένους τῶν μελῶν διὰ τῆς ἀκοῆς, ἀλλὰ τοὺς διαλύειν δυναμένους εἰς τόνους καὶ ἡμιτόνια. πῶς ἂν οὖν τι περὶ τῶν ἀρχῶν μετὰ ἀποδείξεως ἔχοιμεν λέγειν, εἴγε ἡ μὲν ἀπόδειξις ἐκ προτέρων, εἰ δὲ τὰ πρότερα ἐπιζητοίημεν, ἀρχὰς τῶν ἀρχῶν εὑρεῖν βουλησόμεθα; τὸ πρότερον οὖν διχῶς, καὶ πρὸς ἡμᾶς καὶ πρὸς τὴν φύσιν. πρὸς ἡμᾶς μὲν οὖν πρότερον τὸ γνωριμώτερον ἡμῖν καὶ ὃ ῥᾷον ἂν καταλάβοιμεν, οἷον τὰ ὀνόματα καὶ αἱ συλλαβαὶ τῶν γραμμάτων, πρὸς δὲ τὴν φύσιν πρότερα τὰ κατὰ τὴν οὐσίαν ἁπλούστερα, οἷον τὰ γράμματα τῶν ὀνομάτων. ἀνάπαλιν δὲ ἡ πορεία· ἡμεῖς μὲν γὰρ ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλούστερα καὶ πρότερα ἀναλύομεν, ἡ φύσις δὲ ἐκ τῶν ἁπλῶν τὰ σύνθετα μηχανᾶται. ὅταν μὲν οὖν περὶ τῶν συγκειμένων ποιώμεθα λόγον, ἐκ τῶν φύσει προτέρων αὐτὸ ἐπιδείξομεν, ὅταν δὲ περὶ τῶν ἀρχῶν, ἐκ τῶν πρὸς ἡμᾶς προτέρων. καὶ ἔστιν ἐκείνη μὲν ἡ κυρία ἀπόδειξις, αὕτη δέ, εἰ καὶ μὴ κυρία, ἀλλ' ἡμῖν ἱκανῶς. ἐὰν οὖν ἀρχώμεθα τοῦ περὶ τῶν ἀρχῶν λόγου ἀπὸ κοινῶν τινῶν καὶ πλείοσιν ὑπαρχόντων, οὐ ταραττέτω κτλ. Cod. Vat. 1025.

τὸ προοίμιον εὐθὺς τὸν σκοπὸν ἐμφαίνει τοῦ βιβλίου, ὅτι περὶ τῶν ἀρχῶν τῆς φυσικῆς πραγματεύεται. ἔστι δὲ τοιοῦτον ὃ λέγει. ἐπειδὴ περὶ πάσας τὰς μεθόδους τὰς ἀρχὰς ἐχούσας καὶ αἴτια καὶ στοιχεῖα ἐκ τοῦ ταῦτα γνωρίζειν συμβαίνει τὸ εἰδέναι αὐτὰς καὶ ἐπίστασθαι (εἰ μὴ γὰρ αἱ ἀρχαὶ παντὸς πράγματος γνωρισθῶσιν, οὐκ ἂν ὅλως ἀκριβῶς τι ἐπιστήσεταί τις), ἐπειδὴ οὖν ἐκ τῆς γνώσεως τῶν ἀρχῶν ἡ εἴδησις καὶ ἡ ἐπιστήμη συμβαίνει ταῖς μεθόδοις ἁπάσαις, ἔστι δὲ καὶ ἡ φύσις μέθοδός τε ἀρχὰς ἔχουσα καὶ αἴτια καὶ στοιχεῖα, δεῖ δηλονότι καὶ ταύτας εἰδέναι τὰς ἀρχάς. ὁ συλλογισμὸς δὲ τοιοῦτος... "τὸ εἰδέναι καὶ ἐπίστασθαι." ἢ ὡς ταὐτὸν ἀμφότερα ἔλαβεν, ἢ τὸ εἰδέναι καθολικώτερον εἰπὼν ἐπήγαγεν ὡς εἶδος τούτου τὸ ἐπίστασθαι... "μεθόδους:" μέθοδός ἐστι πᾶσα ἕξις θεωρητικὴ τῶν ὑφ' ἑαυτὴν μετὰ λόγου, τουτέστι μετ' αἰτίας, ταὐτὸν δ' εἰπεῖν ἡ μετὰ ὁδοῦ τινὸς εὐτάκτου πρόοδος ἐπὶ τὸ γνωστόν. cod. Vat. 1028.

τὸ παρὸν βιβλίον, οὗ σὺν θεῷ ἀρχόμεθα, ἔστι μὲν τόδ' ἐκ μέσου τῆς φιλοσοφίας, ὃ ὑπὸ τὸ θεωρητικὸν ἀνάγεται, καὶ εἴρηται καὶ ἀρχὴ τῶν φυσικῶν, ἐπειδὴ περὶ τῶν φυσικῶν ἀρχῶν ζητεῖ· γέγραπται δὲ τῷ Ἀριστοτέλει καὶ Φυσικὴ καλεῖται Ἀκρόασις, ὅτι ἁπάντων τῶν φυσικῶν τούτου ἀκροαματικῶν ὄντων, ὡς καὶ τῶν ἄλλων συγγραμμάτων αὐτοῦ, βαθέων, ὃ δὴ λέγεται, δεομένων κολυμβητῶν, τοῦτο τέτευχε μάλιστα τῆς προσρήσεως· πανταχοῦ γὰρ αἱ ἀρχαὶ τὸ ἐργωδέστατον εἰσίν, εἰκότως ἄρα καὶ τῶν φυσικῶν. ἀλλὰ ζητητέον τὸ τῷ φιλοσόφῳ ἐνταῦθα ζητούμενον τί ἐστι, πότερον αἱ ἀρχαὶ τῶν φυσικῶν πραγμάτων ἢ αἱ ἀρχαὶ τῆς τῶν φυσικῶν γνώσεως. καὶ ἔστιν εἰπεῖν ὅτι καὶ ἀμφότερα, ὅτι καὶ αἱ γνώσεις πρὸς τὰ γνωστὰ τῶν πρός τι εἰσίν, ὧν ἐξ ἀνάγκης μία καὶ ἡ αὐτὴ ἐπιστήμη. συλλογίζεται μὲν γὰρ ὡς περὶ αὐτῆς τῆς ἀρχῆς τῆς τῶν φυσικῶν γνώσεως οὕτως, λειπούσης τῆς ἐλάττονος ἐν πρώτῳ τρόπῳ τοῦ πρώτου σχήματος· ἡ φυσικὴ ἐπιστήμη καὶ μέθοδος, πᾶσα ἐπιστήμη καὶ μέθοδος γινώσκεται τῶν ἀρχῶν αὐτῆς γινωσκομένων, ἡ φυσικὴ ἄρα γινώσκεται τῶν ἀρχῶν γινωσκομένων αὐτῆς. προϊὼν δὲ περὶ τῆς ἀρχῆς τῶν φυσικῶν πραγμάτων διαλαμβάνει. ὅρα δὲ καὶ πῶς οὐ τὸ συμπέρασμα εἶπεν ἀλλὰ τὸ ἀκόλουθον τῷ συμπεράσματι, δηλῶν ὅτι καὶ τῆς περὶ φύσεως ἐπιστήμης πειρατέον διορίσασθαι οὐ τὰς ἀρχὰς ἀλλὰ τὰ περὶ τὰς ἀρχὰς συμβαίνοντα· περὶ γὰρ τῶν ἀρχῶν καὶ οἱ πρότερον εἶπεν, εἰ δὲ καλῶς ἢ κακῶς ἢ τελείως ἢ ἐλλιπῶς, ζητεῖ. "εἰδέναι καὶ ἐπίστασθαι" ἢ ἐκ παραλλήλου τὸ αὐτὸ λέγει (ἡ γὰρ εἴδησις καθολικωτέρα τῆς ἐπιστήμης), ἢ τὸ εἰδέναι μὲν περὶ τῶν ἁπλῶς γνωστῶν καὶ γνώσεων, τὸ δ' ἐπίστασθαι περὶ τῶν ἀεὶ καὶ ὡσαύτως ἐχόντων. διαστέλλων δὲ λέγει "ὧν εἰσὶν ἀρχαί," ἀρχὰς λέγων τὸ ὑλικὸν καὶ εἰδικόν, "ἢ αἴτια" τὸ ποιητικὸν καὶ τὸ τελικόν, τὸ δ' ὑλικὸν στοιχεῖον εἰδικῶς· ἃ δὴ καὶ αὐτὰ ἀρχαὶ κληθεῖεν, τὸ μὲν ὡς τὸ ὑφ' οὗ, τὸ δὲ ὡς πρώτως κινῆσαν· πρὸς γὰρ τὸ τέλος βλέποντες πράττομεν. τί δήποτε δὲ διαστέλλει ὅτι οὐ πᾶσαι μέθοδοι ἀρχὰς ἔχουσι; καὶ γὰρ μᾶλλον αἱ πρακτικαὶ φανερὰς ἔχουσι τὰς ἀρχάς. ἀλλ' ὅμως τῶν θεωρητικῶν τινὲς ὡς ἀΰλων καὶ μηδὲν ἐχουσῶν τὰ καθ' αὑτὰ καὶ εἰδοπεποιημένα ἀρχὰς οὐκ ἔχουσιν, ἀλλ' ἅμα νοῦς ἐπιβάλλει καὶ γινώσκει αὐτάς, καὶ δίχα ἀρχῶν προηγησαμένων. οἷα δὲ διδασκαλίαν ἀπὸ τῶν ἡμῖν γνωρίμων ποιεῖται τὴν ἀρχὴν καὶ ἀπὸ τῶν συνθέτων, ἃ καὶ συγκεχυμένα λέγει, ὡς ἁπλῶς ἐπιβαλλούσης ἐπ' ἐκείνοις καὶ τῆς

τοῦτο· εἰ γὰρ τῆς σοφιστικῆς μᾶλλόν ἐστι τὸ λόγον διδόναι ὡς λεγούσης πάντα εἰδέναι, γειτνιάσει δὲ καὶ ἡ σοφιστικὴ τῇ διαλεκτικῇ, εἴη ἂν καὶ τῆς διαλεκτικῆς ἔργον τὸ ὑπέχειν λόγον. διὰ ταύτην οὖν, φησί, τὴν αἰτίαν εἶπεν ἐκεῖ ἔργον εἶναι τῆς διαλεκτικῆς μὴ μόνον λαμβάνειν δύνασθαι λόγον ἀλλὰ καὶ διδόναι. ἐν δὲ τῇ λέξει τῇ "τὴν δὲ αἰτίαν εἰρήκαμεν τούτου" ἐλλείπει τὸ "νῦν·" εἴρηκε γὰρ οὐκ ἐκεῖ ἀλλὰ νῦν. id. ib.

183b 9. λέγει δὲ δεδηλῶσθαι αὐτῷ ἐν τοῖς Τοπικοῖς (ταῦτα γὰρ εἶπε "πρόσθεν") καὶ ἐκ τίνων καὶ πρὸς πόσα ἐστὶ τό τε ἐρωτᾶν καὶ λόγον ὑπέχειν. ἢ λέγοι ἂν "πρόσθεν" καὶ τὰ ἐνταῦθα εἰρημένα· εἴρηκε γὰρ ἐκ τίνων οἱ παραλογισμοὶ γίνονται καὶ πρὸς πόσα δεῖ βλέποντα τόν τε ἐρωτῶντα ἐρωτᾶν καὶ τὸν ἀποκρινόμενον ὑπέχειν λόγους. δῆλα δὲ καὶ τὰ ἑξῆς. ἐν δὲ τῇ λέξει τῇ "τὰ μὲν παρ' ἑτέρων ληφθέντα πρότερον πεπονημένα" ὑποστικτέον εἰς τὸ "πρότερον," εἶτα ἐπαναπτέον τὸ "πεπονημένα" καὶ τὰ συνεχῆ τούτων. ὃ δὲ λέγει ἐστὶν ὅτι τὰ μὲν ὑπό τινων πρότερον εὑρεθέντα παραλαβόντες οἱ ἀπ' ἐκείνων ἐφεξῆς ἅπαντες κατὰ βραχὺ μετὰ πόνων καὶ φροντίδων ταῖς καθ' ἑκάστην προσθήκαις ἐπὶ μέγα ηὔξησαν. τοῦτο δὲ εἶπεν ἐν τῷ ἐλάττονι πρώτῳ τῶν Μετὰ τὰ φυσικά. id. f. 62.

πραγματείαν λέγει ἂν ἢ τὴν Τοπικὴν ἢ πᾶσαν τὴν λογικὴν 183b 34. μάλιστα. μισθωτοὺς δὲ καλεῖ τοὺς σοφιστὰς ὡς ἀπὸ φαινομένης πλουτοῦντας σοφίας. τίς δὲ ἡ τοῦ Γοργίου πραγματεία, ἣν ὁμοίαν λέγει τὴν σοφιστικήν, δήλη τοῖς τὸν Πλάτωνος Γοργίαν ἀνεγνωκόσι. id. ib.

ἐν δὲ τῇ λέξει τῇ "ἐξ ἀρχῆς ὑπαρχόντων ἔχειν ἡ μέθοδος 184b 4. ἱκανῶς" τὸ "ἱκανῶς" θαρρούντως ἐπήχθη· αἱ μὲν γὰρ ἄλλαι τέχναι οὐκ ἐξ ἀρχῆς οὐδὲ ἀπ' αὐτῶν τῶν εὑρόντων τὸ τέλειον ἔσχον ἀλλ' ἀπὸ τῶν διαδεξαμένων αὐτάς, ἡ δὲ λογικὴ πραγματεία τῷ Ἀριστοτέλει πρώτως εὑρεθεῖσα καὶ παρ' αὐτοῦ τετελείωται, ᾧ δεῖ πάντας ἡμᾶς οὐ πολλήν, ὡς αὐτὸς ἔφη, ἀλλ' οὐδ' ὅσην εἰπεῖν ἔχειν χάριν. id. f. 62 b.

ΕΙΣ ΤΗΝ ΦΥΣΙΚΗΝ ΑΚΡΟΑΣΙΝ.

Τὸν σκοπὸν τῆς Ἀριστοτέλους Φυσικῆς Ἀκροάσεως (*) μαθεῖν ἔστι ῥᾳδίως, εἴπερ τῆς κατ' αὐτὸν διαιρέσεως τοῦ φυσικοῦ μέρους τῆς φιλοσοφίας ὑπομνησθείημεν. οὐ χεῖρον δὲ ἴσως καὶ τὴν ὅλην τὴν κατ' αὐτὸν τῆς φιλοσοφίας ἐκθέσθαι διαίρεσιν... τῆς δὲ προκειμένης πραγματείας ὁ σκοπὸς περὶ τῶν κοινῇ πᾶσιν ὑπαρχόντων τοῖς φυσικοῖς πράγμασι καθ' ὅσον εἰσὶ φυσικά, ταὐτὸ δὲ εἰπεῖν σωματικά, διδάξαι. κοινὰ δὲ πάντων αἱ ἀρχαὶ καὶ τὰ ταῖς ἀρχαῖς παρακολουθοῦντα. ἀρχαὶ δέ εἰσι τά τε αἴτια κυρίως λεγόμενα καὶ τὰ συναίτια, καὶ αἴτια μὲν τό τε ποιητικόν ἐστι καὶ τὸ τελικὸν κατὰ τούτους, συναίτια δὲ τό τε εἶδος καὶ ἡ ὕλη καὶ ὅλως τὰ στοιχεῖα· Πλάτων γὰρ τοῖς μὲν αἰτίοις τὸ παραδειγματικὸν προστίθησι, τοῖς δὲ συναιτίοις τὸ ὀργανικόν. καὶ ὅτι μὲν περὶ τῶν κοινῇ πᾶσιν ὑπαρχόντων τοῖς φυσικοῖς ὁ τῆς πραγματείας ἐστὶ σκοπός, δηλοῖ μὲν εὐθὺς καὶ τὸ προοίμιον, ἀναγκαῖον εἶναι λέγων τῷ φυσικῷ πρῶτον διορίσασθαι τὰ περὶ τὰς ἀρχάς, δηλοῖ δὲ καὶ ἐν ἀρχῇ τοῦ τρίτου βιβλίου (p. 200 b 28) λέγων "δῆλον οὖν ὡς διά τε ταῦτα, καὶ διὰ τὸ πάντων εἶναι κοινὰ καὶ καθόλου ταῦτα, σκεπτέον προχειρισαμένοις περὶ ἑκάστου τούτων· ὑστέρα γὰρ ἡ περὶ τῶν ἰδίων θεωρία τῆς περὶ τῶν κοινῶν." ἐπεὶ δὲ ἡ φύσις ποιητικόν πως προσεχῶς αἴτιον οὖσα τῶν φυσικῶν ἀρχὴ κινήσεως οὖσα δειχθήσεται, καὶ πᾶν φυσικὸν σῶμα ὂν ἀρχὴν ἐν αὐτῷ κινήσεως ἔχει, ὁ περὶ κινήσεως λόγος ἀναγκαῖος τῷ φυσικῷ. ἐπεὶ δὲ τὸ κινούμενον ὑπὸ χρόνου μετρεῖται κατὰ τὴν κίνησιν καὶ σῶμα ὂν ἐν τόπῳ ἐστί, δεῖ καὶ περὶ χρόνου καὶ περὶ τόπου διδάξαι. ἐπειδὴ δὲ καὶ τὸ σῶμα καὶ ὁ τόπος καὶ ὁ χρόνος καὶ ἡ κίνησις συνεχῆ ἐστί, καὶ περὶ συνεχοῦς ἀνάγκη διαλαβεῖν. καὶ ταῦτα μὲν παρακολουθεῖ ταῖς φυσικαῖς ἀρχαῖς, ἐμπίπτει δὲ ζητήματα καὶ περὶ ἀπείρου καὶ περὶ κενοῦ... καὶ ἡ αἰτία τῆς ἐπιγραφῆς λοιπὸν δήλη· περὶ γὰρ τῶν κοινῶς πᾶσι τοῖς φυσικοῖς καθὸ φυσικά ἐστιν ὑπαρχόντων διδάσκουσα εἰκότως τὸ κοινὸν ὄνομα ἀπηνέγκατο φυσικὴ ἐπιγραφεῖσα, Ἀκρόασις δὲ ὡς κατ' ἀκρίβειαν οὕτως ἠσκημένη ὡς εἰς ἀκρόασιν ἄλλων προτεθεῖσθαι. Ἄδραστος δὲ ἐν τῷ περὶ τῆς Τάξεως τῶν Ἀριστοτέλους συγγραμμάτων ἱστορεῖ παρὰ μέν τινων περὶ Ἀρχῶν ἐπιγεγράφθαι τὴν πραγματείαν, ὑπ' ἄλλων δὲ Φυσικῆς Ἀκροάσεως. τινὰς δὲ πάλιν τὰ μὲν πρῶτα πέντε περὶ Ἀρχῶν ἐπιγράφειν φησί, τὰ δὲ λοιπὰ τρία περὶ Κινήσεως. οὕτω δὲ φαίνεται καὶ Ἀριστοτέλης αὐτῶν πολλαχοῦ μεμνημένος... εἰ δὲ καὶ περὶ τῆς τάξεως τοῦ συγγράμματος χρὴ λέγειν, ὅτι μὲν τῶν φυσικῶν προηγεῖται πάντων ὡς τὰς ἀρχὰς διδάσκον τὰς φυσικάς, πρόδηλον ἐκ τῆς παρατεθείσης ῥήσεως· μετὰ δὲ τὰς ἠθικὰς πραγματείας τὰς τὸ ἦθος ἡμῶν καταρτιζούσας, καὶ τὰς λογικὰς τὰς τὸ κριτήριον ἡμῖν τῆς ἀληθείας εὐτρεπιζούσας, τὰς φυσικὰς χρὴ πραγματείας παραλαμβάνεσθαι. ὅτι δὲ γνήσιον τοῦ Ἀριστοτέλους τὸ βιβλίον, περιττὸν κατασκευάζειν, ἀναμφίλεκτον ὑπάρχον καὶ ἐν πολλοῖς τῶν ἀναμφιλέκτων συγγραμμάτων μνήμης παρὰ τοῦ Ἀριστοτέλους τυγχάνον, καὶ τῶν σπουδαιοτάτων αὐτοῦ μαθητῶν καὶ τῶν ἀπὸ τῆς αἱρέσεως πάντων μεμνημένων, τῶν δὲ καὶ κεφάλαια αὐτῆς καὶ συνόψεις ποιουμένων. διχῇ δὲ τὴν πρώτην τῆς ὅλης πραγματείας διῃρημένης τὰ μὲν πρῶτα Ἄδραστος λέγει πέντε βιβλία περὶ τῶν φυσικῶν ἀρχῶν εἶναι πασῶν καὶ τῶν ταύταις ἀκολουθούντων καὶ εἰς ζήτησιν παρεμπιπτόντων, ἀπὸ δὲ τοῦ ἕκτου βιβλίου τὸν περὶ κινήσεως ἀναλαβὼν λόγον ἐν τοῖς τρισὶ τοῖς λοιποῖς τὰ παντοδαπὰ περὶ κινήσεως φυσικὰ θεωρήματα παραδίδωσι· διὸ τὰ μὲν πρῶτα πέντε περὶ ἀρχῶν εἴωθε καλεῖν ὁ

(*) Ad scholia e Simplicii commentariis excerpta codd. Reg. Paris. 1908. 7. 6 et cod. Oxon. Collegii Novi 244 passim collati sunt; ad Ioannis Philoponi quaedam loca inspexi cod. Reg. 1853.

"ἀνὴρ ἐφέρετο κατὰ κλίμακος διάφορον," καὶ εἴη ἂν τὸ λεγόμενον διὰ ταύτης τοιοῦτον· εἰπὼν "καὶ γὰρ οἱ λόγοι σχεδὸν γελοῖοί εἰσι πάντες παρὰ τὴν λέξιν," ἐπάγει τούτων ὑποδείγματα, δυνάμει λέγων· τὸ γὰρ "ἀνὴρ κατὰ κλίμακος ἐφέρετο" οὐχ ἁπλοῦν ἐστὶν ἀλλὰ διάφορον καὶ ἀμφίβολον, τοῦτο δὲ παρὰ τὴν λέξιν. ὅτι δὲ διάφορόν ἐστι καὶ ἀμφίβολον, δῆλον· ἢ γὰρ ὅτι ἀνὴρ κατὰ κλίμακος ἐφέρετο ἢ ὅτι αὐτὸς ἔφερέ τι. καὶ μήποτε ἁπλουστέρα αὕτη ἡ γραφή. id. f. 59.

182b 17. ἡ τοῦ "ποῖ στέλλεσθε πρὸς τὴν κεραίαν" ἀγωγὴ σοφίσματος τοιαύτη τις ἂν εἴη· ποῖ στέλλεσθε πρὸς τὴν κεραίαν; τὸ δὲ στέλλεσθαι πέμπεσθαί ἐστιν, πέμπεσθε ἄρα πρὸς τὴν κεραίαν. διττὸν τὸ στέλλεσθαι, τό τε ἐξ αὐτῶν καὶ ἀπὸ ἰδίας προαιρέσεως καὶ ὅλως τὸ πορεύεσθαι, ὡς τὸ ἐστειλάμην ταύτην τὴν ὁδὸν ἀντὶ τοῦ ἐπορεύθην, καὶ τὸ παρ' ἄλλων ἢ ἄλλου ἀποστέλλεσθαι, ὡς τὸ "ἔπεμψεν ἡμᾶς ὁ βασιλεύς, ἄνδρες Ἕλληνες." ἐν τῷ οὖν "ποῖ στέλλεσθε" ἐκεῖνοι μὲν τὸ στέλλεσθαι ὡς τὸ πορεύεσθαι δεδώκασιν, ὁ δὲ σοφιστὴς ἐπὶ τοῦ πέμπεσθαι ἔλαβε. τοῦτο δὲ τὸ σόφισμα δύναται καὶ παρὰ τὴν ὁμωνυμίαν εἶναι, μάλιστα δ' ἂν εἴη παρὰ τὴν ἀμφιβολίαν· ἢ γὰρ ὅτι ποῖ πορεύεσθε; ἢ ὅτι ποῖ παρ' ἄλλου πέμπεσθε; μήποτε δὲ καὶ παρὰ τὸ σχῆμα τῆς λέξεως ἂν εἴη, τὸ "στέλλεσθε" ἀντὶ τοῦ πέμπετε τῶν σοφιστῶν λαμβανόντων, τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. καὶ τὸ "ἔμπροσθεν" δὲ δηλοῖ μὲν καὶ τὸ πρότερον χρονικὸν ἐπίρρημα, δηλοῖ δὲ καὶ τὸ ἔμπροσθεν τοῦ ζῴου μέρος. ἀλλὰ καὶ τὸ "καθαρός" σημαίνει μὲν καὶ τὸ ὑγιεινός (καθαρὸς γὰρ ὁ Βορρᾶς ὁ ὑγιεινὸς λέγεται), σημαίνει δὲ καὶ τὸ ἀμόλυντον καὶ ἄχραντον, ὥστε εἰ ὁ μὲν ἐπὶ τοῦ ὑγιεινοῦ δοίη, ὁ δὲ ἐπὶ τοῦ ἀχράντου συμπερανεῖται, οὐ συλλελογίσθαι. τὸ δὲ "ἆρ' Εὔαρχος; οὐ δῆτα, ἀλλ' Ἀπολλωνίδης" παρὰ τὴν σύνθεσιν οὕτως. ἆρά γε Εὔαρχος; οὐ δῆτα. ἀλλ' Ἀπολλωνίδης; ναί. Εὔαρχος ἄρα, ἀλλ' οὐ δῆτα Ἀπολλωνίδης· παρὰ τὴν σύνθεσιν γὰρ τοῦ ἀλλά συνδέσμου τὸ σόφισμα ἐστίν. ἢ καὶ οὕτως· ἆρ' Εὔαρχος; οὐ δῆτα. ἀλλ' Ἀπολλωνίδης; ναί. ὁ Εὔαρχος ἄρα Ἀπολλωνίδης ἐστίν. τὸ δὲ παρὸν σόφισμα ἠρωτᾶτο πρὸς τὸν ἀδελφὸν τοῦ Εὐάρχου· ἦσαν δὲ ὅ τε Εὔαρχος καὶ ὁ ἀδελφὸς αὐτοῦ υἱοὶ τοῦ Ἀπολλωνίδου, ἦν δὲ ὁ Εὔαρχος καὶ πατήρ. ἠρώτων οὖν τὸν ἀδελφὸν Εὔαρχον οὕτως, ἆρά γε Εὔαρχος σός ἐστι; ναί. τί δέ, οὐχὶ ὁ Εὔαρχος πατήρ ἐστιν; ναί. σὸς ἄρα ὁ Εὔαρχος πατήρ ἐστιν. ἀλλὰ μὴν καὶ οὐ πατήρ· ἀδελφὸς γὰρ σοῦ ἐστίν. ἡ μὲν οὖν ἀγωγὴ τοῦ σοφίσματος τοιαύτη, ὁ δὲ Ἀριστοτέλης διὰ τὴν βραχυλογίαν καὶ τὸ φθάσαι τὰ ἀπὸ τοῦ συμβεβηκότος σοφίσματα ὧν καὶ τοῦτό ἐστι, καὶ δι' ἄλλων ὀνομάτων ἐκθέσθαι τὴν μίαν πρότασιν, θεὶς καὶ ταύτην ἐλλιπῆ, τἆλλα παρῆκεν· ἦν γὰρ ἂν πλῆρες εἰ οὕτως εἶχεν "ἆρά γε Εὔαρχος σός ἐστιν;" τέθεικε δὲ αὐτὸς ἐλλιπῆ διὰ τὸ δύνασθαι τὸ "ἆρά γε ὁ Εὔαρχος" ποτὲ μὲν συμπλέκεσθαι τῷ σοφίσματί ἐστι, ποτὲ δὲ τῷ πατήρ ἐστιν. τὸ δὲ "οὐ δῆτα, ἀλλ' Ἀπολλωνίδης" ἡ λύσις ἐστὶ τοῦ σοφίσματος, δυνάμει λέγων "οὐκ ἔστι μοι ὁ Εὔαρχος πατὴρ ἀλλὰ ὁ Ἀπολλωνίδης." δύναται τὸ Εὔαρχος καὶ ὡς παράδειγμα τῶν ὁμωνύμων νοεῖσθαι· τὸ γὰρ Εὔαρχος διττόν, ἢ ὁ εὖ τὴν ἀρχὴν διέπων ἢ ὁ καλὴν ἀρχὴν ἔχων. καὶ ἴσως ἂν ἠρωτᾶτο ὁ λόγος ἐπὶ τοῦ Ἀπολλωνίδου καλὴν μὲν ἔχοντος ἀρχήν, οὐ καλῶς δὲ αὐτὴν κυβερνῶντος. ἴσως ἂν καὶ οὕτως ἠρωτᾶτο· ἆρ' Εὔαρχος ὅδε; ναί. τί δέ, ὅδε ὁ τοῦ Πλάτωνος, εἰ τύχοι, διάλογός ἐστιν; ὅτι δὲ καὶ τὸ ὂν καὶ τὸ ἓν οἱ μὲν ὁμώνυμα καὶ πολλαχῶς λέγεσθαί φασιν, οὐκ ἄδηλον· Παρμενίδης γὰρ ἓν τὸ ὄν φησι, Πλάτων δὲ τὸ ἓν μοναχῶς λέγεσθαι, ὁ δὲ Ἀριστοτέλης ἀμφότερα πολλαχῶς· τὸν Ζήνωνος δὲ λόγον καὶ Παρμενίδου λύειν λέγει οὐκ ἄλλον τινὰ ἀλλ' ἢ ἑαυτόν. οὗτος κυρίως λέλυκε τοὺς Παρμενίδου καὶ Μελίσσου λόγους ἐν τοῖς Φυσικοῖς (1 2 et 3), τοὺς δὲ Πλάτωνος ἐν τοῖς Μετὰ τὰ Φυσικά. id. f. 59 *b*.

δεύτερον δὲ εἶναι λέγει δριμὺν τὸν ἐξ ἁπάντων ὁμοίων, τουτέστι 183a 4.
τὸν τὰς προτάσεις μὲν ὁμοίας ἔχοντα ἑαυταῖς, ἀνομοίας δὲ τῷ συμπεράσματι, ὥστε εἶναι ἐνδοξότερον τὸ συμπέρασμα τῶν προτάσεων. ἐπὶ μὲν οὖν τοῦ προτέρου, ὁμοίως οὐσῶν τῶν προτάσεων ἐνδόξων τῷ συμπεράσματι, οὐκ ἔστι δῆλον εἰ γέγονε παραγωγή, ἐπὶ δὲ τοῦ δευτέρου, ἐπειδὴ δῆλόν ἐστιν ὅτι τὸ συμπέρασμα ἐνδοξότερον τῶν προτάσεών ἐστι, προφανές ἐστιν ὅτι παραγωγὴ γέγονεν. οὐ γὰρ δεῖ τὸ συμπέρασμα ἐνδοξότερον εἶναι τῶν προτάσεων ἀλλὰ τὰς προτάσεις τοῦ συμπεράσματος, εἴπερ ἐκ πιστοτέρων καὶ γνωριμωτέρων δεῖ τοὺς συλλογισμοὺς γίνεσθαι. ὥστε ἐπεὶ ἧττόν εἰσι τοῦ μὲν συμπεράσματος ἔνδοξοι, ἑαυταῖς δὲ ὅμοιαι, ὅτι μὲν παραγωγὴ γέγονε, δῆλον, παρ' ὁποίαν δέ, οὐ δῆλον, ὁμοίων οὐσῶν ἀλλήλαις... πλήρες δὲ τοιούτων συλλογισμῶν τῶν ὁμοίας μὲν ἀλλήλαις τὰς προτάσεις ἐχόντων ἀνομοίας δὲ τῷ συμπεράσματι, τὸ δεύτερον τῶν Μετὰ τὰ Φυσικὰ Ἀριστοτέλους βιβλίων. id. f. 60 *b*.

τὸ "καὶ πότερον παρὰ τὸ ψεῦδος ἡ λύσις ἢ παρὰ διαίρεσιν" ἴσον 183a 8.
ἐστὶ τῷ πότερον ἡ λύσις παρὰ τὸ συμπέρασμα τὸ συνάξαν τὸ ψεῦδος, ὅπερ εἶπεν αὐτὸς παρὰ τὸ ψεῦδος, ἢ παρὰ ἀναίρεσίν ἐστί τινος τῶν προτάσεων, ὅπερ εἶπεν αὐτὸς διαίρεσιν. id. f. 61.

"ὅτι παρὰ τὴν διαίρεσιν ἢ ἀναίρεσίν ἐστιν" ἴσον ἐστὶ τῷ ὁ δῆ- 183a 10.
λος μὲν ὅτι παρὰ τὴν ἀναίρεσίν ἐστιν· τοῦ γὰρ παρὰ διαίρεσιν τὸ "ἀναίρεσίν" ἐστιν ἐφερμηνευτικόν. διαφέρει δὲ ὁ δεύτερος τρόπος τοῦ προτέρου, ὅτι ὁ μὲν δεύτερος φανερὸν ἔχων ἐστὶ τὸ συναχθέν, εἰ καὶ μὴ καὶ τοῦτο φανερὸν ἔχει τὸ τίνος ἀναιρεθέντος ἀναιρεθήσεται καὶ τὸ συναχθέν, πότερον τοῦ συμπεράσματος ἤ τινος τῶν προτάσεων, ὁ δὲ πρότερος ἄδηλος εὐθὺς ἦν ἔχων τὸ εἴτε συλλογισμός ἐστιν ἢ οὔ. καὶ τοῦ μὲν ἀπάτας γίνεσθαι περὶ τὰ ἠρωτημένα πλῆρες ἦν τὸ παρὸν βιβλίον. id. ib.

ἔξωθεν δὲ ἐλλείπειν λέγει προτάσεις τὰς δεικτικάς τινος τῶν 183a 19.
πρὸς κατασκευὴν τοῦ προκειμένου εἰλημμένων· ταύτας γάρ, εἰ μὴ παραμυθίας τις ἀξιώσας δεομένας συστάσεως λαβὼν συμπεραίνεται, ἐλλείπειν ἄν τι τῶν ἔξωθεν ἐν τῷ συλλογισμῷ λέγοιτο, κἂν μὴ εἴποις ὡς οὐ δεῖ τὰς σοφιστικὰς τὰς προτάσεις δεικνύναι· κοινὰ γὰρ ταῦτα, καθάπερ εἴρηται. id. ib.

δύναμιν συλλογιστικὴν τὴν τῶν Τόπων λέγει πραγματείαν, 183a 37.
καὶ εἴρηται ἐν ἐκείνοις διὰ τί λέγεται δύναμις. id. f. 61 *b*.

ἐπειδὴ ἡ σοφιστικὴ πάντα εἰδέναι ἐπαγγέλλεται, τὸν δὲ λέγοντα 183b 2.
πάντα γινώσκειν μᾶλλον προσήκει ἐρωτᾶσθαι καὶ φανερὰ ποιεῖν ἅπερ ἐπίσταται ἤπερ ἐρωτᾶν, φαίνεται ὅτι καὶ τῆς διαλεκτικῆς ἐστὶν ἔργον οὐ μόνον τὸ ἐρωτᾶν ἀλλὰ καὶ τὸ ἐρωτᾶσθαι καὶ λόγον ὑπέχειν, καὶ μᾶλλον

γων οὐκ ἐξ ἀνάγκης καὶ οὐ διπλάσιον λέγει, ὅπερ ἐστὶν ἥμισυ· τὸ γὰρ ἥμισυ οὐ διπλάσιον. καὶ τὸ μὲν διπλάσιον, φησίν, "οὐδὲ σημαίνει οὐδὲν ἴσως," τουτέστιν ἴσως οὐδὲ σημαίνει τὸ ἥμισυ. τὸ δὲ "ἴσως" πρόσκειται ὅτι δυνάμει, ἐνεργείᾳ δὲ οὔ. εἰ δέ γε καὶ σημαίνει, ἀλλ' οὐ ταὐτὸ διῃρημένως καὶ συνημμένως. τὸ δὲ "διῃρημένως" ἴσον ἐστὶ τῷ καθ' αὑτό, τὸ δὲ "συνημμένως" τῷ μετὰ τοῦ ἡμίσεος... καὶ τὴν αἰτίαν τούτου συντόμως ἐπήγαγε διὰ τοῦ "ἐκεῖνο δὲ ἦν ἡ ἐπιστήμη ἐπιστητοῦ," δυνάμει λέγων ὅτι ἡ ἐπιστήμη λέγεται ἐπιστητοῦ, ἡ δὲ ἰατρικὴ οὐ λέγεταί τινος· οὔτε γὰρ ἡ γραμματική τινος λέγεται γραμματικὴ οὔτε ἄλλη τῶν τεχνῶν κατὰ μέρος οὐδεμία, ὡς ἐν ταῖς Κατηγορίαις (c. 9 p. 11 a 24) μεμαθήκαμεν. id. f. 57 *b*.

181 b 35. λέγει κατηγορούμενα τὰ κοινότερα καὶ περιληπτικώτερα τῶν ὑπ' αὐτά. ἔστι δὲ ἡ λέξις ἐλλιπής, τὸ δὲ πλῆρες τοιοῦτον· ἐν δὲ τοῖς κατηγορουμένοις καὶ ὑποκειμένοις, δι' ὧν ὑποκειμένων δηλοῦνται ἤτοι ὁρίζονται (ἡ γὰρ σιμότης διὰ τῆς ῥινὸς ὁρίζεται), ὥστε τὰ κατηγορούμενα διὰ τῶν ὑποκειμένων δηλοῦνται), ἐν δὴ τούτοις, φησί, ῥητέον ὅτι οὐ τὸ αὐτὸ δηλοῖ χωρὶς καὶ καθ' αὑτὸ λεγόμενον καὶ ἐν τῷ λόγῳ, τουτέστι καὶ ὅταν μετά τινος ὑποκειμένου συνδυασθὲν λόγῳ λέγηται καὶ μὴ ὀνόματι. καὶ τοῦτο λίαν ἐναργῶς παρέστησε διὰ τοῦ κοίλου. id. f. 58.

181 b 38. ὁ εἰπὼν σκέλος κοῖλον ὡρισμένως δι' αὐτοῦ τὸ ῥαιβὸν δηλοῖ, ὥσπερ καὶ ὁ εἰπὼν κοίλην ῥῖνα τὸ σιμόν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "οὐδὲν κωλύει," τὸ ὡρισμένον τι ἀλλὰ μὴ συγκεχυμένον. ὡς οὖν ἐνταῦθα οὐ ταὐτόν ἐστιν εἰπεῖν κοῖλον καὶ κοίλην ῥῖνα, οὕτως οὐδὲ τὸ λέγειν διπλάσιον ταὐτὸν ἔσται τῷ λέγειν διπλάσιον ἡμίσεος. id. ib.

182 a 3. καὶ μή τις ὑπολάβοι ἄτοπόν τι λέγειν τὸν Ἀριστοτέλην ἐκ τούτου τοῦ ῥητοῦ ὁρμηθείς (ἔοικε γὰρ οὗτος ἐν τούτῳ τῷ ῥητῷ παραλαμβάνειν δὶς τὴν ῥῖνα), λέγοντα "ὥστ' οὐδὲν ἄτοπον ἡ ῥὶς ἡ σιμή, ῥίς ἐστιν ἔχουσα κοιλότητα ῥινός·" οὐ γὰρ δὶς παραλαμβάνει τὸ ῥίς· ὑποστικτέον γὰρ εἰς τὸ "ῥίς ἐστιν ἔχουσα κοιλότητα ῥινός·" ὅταν γὰρ ἐρωτώμεθά τι, συμπεριλαμβάνομεν κἀκεῖνο οὐχ ὡς μέρος ὂν τοῦ ὁρισμοῦ ἀλλ' ὡς ἐρωτηθέν, οἷον ἐρωτώμενοι τί δέ ἐστι τόδε; λέγομεν τόδε ἐστὶ τόδε καὶ τόδε. id. ib.

182 a 10. "ἆρ' ὃ λέγεις ἀληθῶς, καὶ ἔστι τοῦτο;" ἐνταῦθα μὲν ὡς ἐπ' εὐθείας ἐρωτηθὲν τὸ "τοῦτο" καὶ οὕτω παρὰ τοῦ ἀποκρινομένου συγχωρηθὲν συμπεραίνει ἐπὶ αἰτιατικῆς, λέγων "φῂς δὲ εἶναι τὸν λίθον; ἔστιν ἄρα τι λίθον." ἢ τὸ λέγειν λίθον οὐκ ἔστι λέγειν εὐθεῖαν, ὅπερ εἶπεν αὐτὸς "ὅ," ἀλλ' αἰτιατική, ὅπερ ἐδήλωσεν αὐτὸς διὰ τοῦ "ὄν." εἰ οὖν ἔροιτό τις "ἆρ' ὃν ἀληθῶς λέγεις," ὥσπερ, φησίν, εἰ ἔροιτό τις "ἆρ' ὃν ἀληθῶς λέγεις, ἔστι τοῦτον." τὸν τοιοῦτον δὲ οὐκ ἄν τις φαίη ἑλληνίζειν ἀλλὰ σολοικίζειν. id. f. 58 *b*.

182 a 15. τὸ δὲ "ξύλον εἶπεν οὗτος" ἐπήγαγεν ὡς εἰ ἔλεγεν, εἰ ἑλληνίζειν τις τοὺς οὕτω λέγοντας φήσει, συμβήσεται τὸ αὐτὸ καὶ θηλυκῶς καὶ ἀρσενικῶς καὶ οὐδετέρως λέγεσθαι. id. ib.

182 a 19. ἐπὶ δὲ τοῦ "ἆρ' οὗτός ἐστιν αὕτη; τί δέ, οὐχ οὗτος Κορίσκος," καὶ συμπεραινομένου "ἔστιν ἄρα οὗτος αὕτη," οὐ συλλελογίσθαι φησὶ σολοικισμόν, καθὸ μὴ τὴν αἰτιατικήν, δοτικὴν ἢ εὐθεῖαν συνελογίσατο· εἶπε γὰρ "αὕτη οὗτος, οὗτος Κορίσκος, αὕτη ἄρα Κορίσκος." ὁρᾷς πῶς οὐ σολοικίζει ἐν πτώσεσιν. ἔστι δὲ τοῦτο σολοικισμός· φησὶ γὰρ ὁ φιλόσοφος ἐν τῷ περὶ Μνήμης καὶ Ἀναμνήσεως ὡς ὁ μὴ τὰ πράγματα οἰκείοις ὀνόμασιν ὀνομάζων σολοικίζει. id. ib.

ἐκ περιουσίας ἐστὶ τὸ ἐπιχείρημα. τὸ δὲ διὰ τοῦτο λεγόμενον 182 a 21. τοιοῦτόν ἐστιν· κἂν δοίημεν τὸν Κορίσκον καὶ θηλυκῶς λέγεσθαι, οἷον καὶ οὗτος καὶ αὕτη, μὴ δοίη δὲ τοῦτο ὁ ἀποκρινόμενος, οὐ συλλελόγισται τὸν σολοικισμόν, ἀλλὰ δεῖ ἐρωτῆσαι τὸν ἀποκρινόμενον. καὶ εἰ δίδοται μὲν οὐ λέγεται δέ, γίνεται μὲν σολοικισμὸς ἀλλ' οὐχ ἁπλῶς ἀλλὰ πρὸς τὸν ἀποκρινόμενον· εἰ δὲ μήτε λέγεται μήτε δίδοται, οὔθ' ἁπλῶς γίνεται οὔτε πρὸς τὸν ἀποκρινόμενον. ἐν δὲ τῷ "ὁμοίως οὖν δεῖ κἀκεῖ" λείποι ἂν τὸ προσερωτηθῆναι εἰ δίδωσι τὸν λίθον σημαίνει οὗτος. id. ib.

τὸ "πολλάκις οἱ αὐτοὶ ἐκείνοις ὄντες" τοιοῦτόν ἐστιν· οἱ αὐτοὶ 182 b 8. ἀλλήλοις εἰσὶ πάντες οἱ παρὰ τὴν ὁμωνυμίαν, ὥσπερ καὶ οἱ παρὰ τὴν ἀμφιβολίαν πᾶσι τοῖς παρὰ τὴν ἀμφιβολίαν καὶ οἱ παρὰ τὸ συμβεβηκὸς πᾶσι τοῖς παρὰ τὸ συμβεβηκός. ὃ δὲ λέγει ἐστὶν ὅτι τινὲς μὲν ὄντες παρὰ τὴν ὁμωνυμίαν ἔλεγχοι καὶ φαίνονται ὅτι παρὰ τὴν ὁμωνυμίαν εἰσί, τινὲς δὲ εἰσὶ μὲν παρὰ τὴν ὁμωνυμίαν, οὐ φαίνονται δὲ ὄντες παρὰ τὴν ὁμωνυμίαν· οὕτω καὶ οἱ παρὰ τὸ συμβεβηκός. ὅμως, φησί, τοὺς παρὰ τὸ συμβεβηκὸς πάντας τοὺς αὐτοὺς δεῖ καλεῖν, τουτέστι παρὰ τὸ συμβεβηκὸς δεῖ λέγειν εἶναι, κἂν μὴ φαίνωνται ὄντες παρὰ τὸ συμβεβηκός. ὅτι δὲ εἰσι παραλογισμοὶ παρ' ἄλλο μὲν φαινόμενοι δὲ εἶναι παρ' ἄλλο, εἴρηται πρὸ ὀλίγου. id. f. 59.

"μεταφερόμενον" δὲ λέγει ἂν τὸ ἐπαγόμενον, ὥσπερ καὶ τὸ 182 b 12. ἆρ' ᾧ εἶδες σὺ τοῦτον τυπτόμενον, τούτῳ ἐτύπτετο οὗτος, καὶ ᾧ ἐτύπτετο, τοῦτο σὺ εἶδες; τοῦτο γὰρ κατὰ μὲν τὰ ἠρωτημένα δοκεῖ παρὰ τὴν ἀμφιβολίαν εἶναι, κατὰ δὲ τὸ ἐπαχθὲν παρὰ τὴν σύνθεσιν. id. ib.

τὸ παρὸν σόφισμα τὸ "ἀνὴρ ἐφέρετο κατὰ κλίμακος δίφρον" 182 b 16. παρὰ τὸ σχῆμα τῆς λέξεώς ἐστιν· τὸ γὰρ ἄρρεν τὸν ἄνδρα οὐδέτερον ἑρμηνεύει· λέγει γὰρ τὸν ἄνδρα δίφρον ὑπάρχοντα φέρεσθαι κατὰ κλίμακος, τὸ ἀρσενικῶς λεγόμενον οὐδετέρως ἑρμηνεύων... ἔστι δὲ καὶ παρὰ τὴν ἀμφιβολίαν. καὶ εἴη ἂν τὸ σόφισμα τοιοῦτον· τὸ ἅρμα δίφρον σημαίνει, ἀνὴρ δὲ ἐφέρετο κατὰ κλίμακος δίφρον, ὁ ἀνὴρ ἄρα κατὰ κλίμακος ἐφέρετο ἅρμα, ὥστε ὁ ἀνὴρ ἅρμα ὢν κατὰ τῆς κλίμακος ἐφέρετο. καὶ ὅτι οὕτως ἐγένετο ἡ ἀγωγὴ τοῦ λόγου, δῆλον ἀπὸ τοῦ κατὰ προσῳδίαν τούτου τοῦ σοφίσματος. τὸ κὴρ ψυχὴν σημαίνει, Ἀγαμέμνονι δὲ τὸ πολεμεῖν "κὴρ εἴδετο εἶναι," Ἀγαμέμνονι ἄρα τὸ πολεμεῖν ψυχὴ εἴδετο εἶναι. ἔστιν οὖν τῆς τῶν σοφισμάτων ἀγωγῆς ἡ ὁμοιότης τοιαύτη· τὸ κὴρ ψυχὴν σημαίνει, Ἀγαμέμνονι δὲ τὸ πολεμεῖν "κὴρ εἴδετο εἶναι," Ἀγαμέμνονι ἄρα τὸ πολεμεῖν ψυχὴ εἴδετο εἶναι. τὸ ἅρμα δίφρον σημαίνει, ἀνὴρ δὲ ἐφέρετο κατὰ κλίμακος δίφρον, ἀνὴρ ἄρα ἐφέρετο κατὰ κλίμακος ἅρμα. δύναται τὸ "ἀνὴρ ἐφέρετο κατὰ κλίμακος δίφρον" καὶ παρὰ τὴν ἀμφιβολίαν εἶναι· ἢ γὰρ τὸ ἀνὴρ ἔφερεν ἐπὶ τοῦ ὤμου δίφρον κατὰ κλίμακος φερόμενος, ἢ ὅτι ὁ ἀνὴρ δίφρον ὢν καὶ ἅρμα κατὰ κλίμακος ἐφέρετο. ὅτι μὲν οὖν τὸ "ἀνὴρ ἐφέρετο κατὰ κλίμακος δίφρον" παρὰ τὴν λέξιν ἐστί, δῆλον... εὑρήσεται δὲ καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως

καίπερ ἄδικα ὄντα, τὴν νικῶσαν λήψεται· δίκαιον γάρ ἐστι λέγειν ἃ λέγει, καὶ ᾗ μὲν δίκαιά ἐστι λέγεσθαι, δίκαιά ἐστιν, ἄλλως δὲ ἄδικα· μηνυτικὰ γὰρ ἀδίκων. id. f. 55 *b*.

181 a 5. ἔστι τὸ ῥητὸν ὑπερβατὸν καὶ μὴ κατ' εὐθεῖαν κείμενον. εἰ γοῦν οὕτως εἴληπτο, ἦν ἂν σαφὲς τὸ λεγόμενον. καὶ ἐὰν ἐν ἀρχῇ τις προτέρηται, ὡς ἆρά γε ἀδύνατον τὸ αὐτὸ εἶναι διπλάσιον καὶ μὴ διπλάσιον; οὐχ ὁμολογητέον. ἔστι δὲ τοιοῦτον· ἐάν, φησίν, ἔρηταί τις, ἆρα γε ἀδύνατον τὸ αὐτὸ εἶναι διπλάσιον καὶ μὴ διπλάσιον; μὴ ὁμολογητέον ἀδύνατον, ἀλλὰ φατέον τὸ "ναί, μὴ μέντοι ὡδί," τουτέστι πρὸς τὸ αὐτό (τοῦτο γάρ ἐστιν ὁ κυρίως ἔλεγχος), ἀλλὰ πρὸς ἄλλο καὶ ἄλλο. id. ib.

181 a 16. εἴρηται πότε ἐστὶ δῆλον καὶ πότε ἄδηλον, ἐν τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν καὶ ἐν τῷ ὀγδόῳ τῶν Τοπικῶν. ἂν δή, φησί, δῆλον ᾖ, οὐ δοτέον, ῥητέον δὲ ὅτι τὸ ἐν ἀρχῇ αἰτεῖς... τὸ δὴ τοιοῦτον εἰ καὶ ἔνδοξον, φησίν, ἐστίν, ὅμως οὐ δοτέον. ἢ εἴη ἂν λέγων διὰ τοῦ "οὐδ' ὅταν ἔνδοξον ᾖ, λέγοντα τἀληθές," ὅτι κἂν δοκεῖ μὲν μὴ λαμβάνειν τὸ ἐν ἀρχῇ, τῇ δὲ ἀληθείᾳ τὸ ἐν ἀρχῇ αἰτεῖται, οὐ δοτέον λέγοντα τἀληθές, τουτέστιν ἀλλὰ ῥητέον πρὸς αὐτὸν τἀληθές· ἔστι δὲ τὸ ἀληθὲς ὃ δεῖ πρὸς τὸν ἐρωτῶντα λέγειν, ὅτι φαίνῃ μὲν μὴ τὸ ἐν ἀρχῇ λαμβάνων, τῇ δ' ἀληθείᾳ ὃ ἔδει συμπεράνασθαι αἰτεῖς. id. f. 56.

181 a 19. εἶτα, φησί, ῥητέον δεδόσθαι οὐχ ὡς χρησαμένου τῷ δοθέντι σοι ὡς προτάσει, ἀλλὰ δέδοται ὡς πρόβλημα, ἵνα πρὸς τοῦτον συλλογίσῃ, τουτέστιν ἵνα λαβὼν πρότασιν συλλογισάμενος δείξῃς τὸ ἐναντίον. σὺ δὲ ὡς προτάσει χρησάμενος συνελογίσω τὸ συμπερανθέν... καὶ ὅλως, φησί, δεῖ τοὺς ἀποκρινομένους τὸ ἐναντίον ποιεῖν τῶν παρεξελέγχων· ἐκεῖ γὰρ τεθέντων τινῶν καὶ ἐπαχθέντος τοῦ συμπεράσματος συγχωρεῖν μέν φασιν οὕτως ἔχειν, οὐ μὴν τοῦτο ἐβουλόμεθα δειχθῆναι, ἀλλὰ δι' αὐτοῦ ὡς διὰ προτάσεως ἄλλο τι. id. ib.

181 a 22. τοὺς διὰ τοῦ παρεπομένου συλλογισμοὺς τοὺς παρὰ τὸ ἑπόμενον λέγει συμβαίνοντας· φησὶν οὖν ὡς ἐπ' αὐτοῦ τοῦ λόγου, τουτέστι τοῦ συλλογισμοῦ, δεικτέον ὅτι τὸ σόφισμα παρὰ τὸ ἑπόμενον συμβέβηκεν, ἤγουν παρὰ τὸ μὴ ἀντιστρέφειν. id. ib.

181 a 30. ἔδει γὰρ οὕτως εἰπεῖν· εἰ τὸ γεγονὸς ἀρχὴν ἔχει, τὸ μὴ ἔχον ἀρχὴν οὐ γέγονεν. περὶ τῆς ἀντιστροφῆς ταυτησὶ πολλὰ μὲν καὶ ἐν τοῖς εἰς τὰ Φυσικὰ ἡμετέροις εἰρήκαμεν θεωρήμασι. id. ib.

181 a 31. περὶ τὸ προστιθέναι τι συλλογίζεσθαι λέγει τοὺς παρὰ τὸ μὴ αἴτιον ὡς αἴτιον τιθέντας, ὃς ἦν ἕκτος τρόπος τῶν ἔξω τῆς λέξεως παραλογισμῶν. id. ib.

181 a 33. εἰπὼν δὲ ὅτι ἐμφανιστέον, ἐπήγαγε "καὶ λεκτέον ὡς δέδωκα," οὐχ ὅτι μοι δοκεῖ ἀλλὰ χάριν τοῦ λόγου, ἵνα μὴ δυσκολαίνειν ἢ ἐρίζειν δόξαιμι· εἰδὼς γὰρ αὐτὸ μηδαμῶς ὂν πρὸς τὸν λόγον μηδὲ αἴτιον αὐτοῦ δέδωκα, σὺ δὲ ἐχρήσω τούτῳ ὡς πρὸς τὸν λόγον ὄντι καὶ οἰκείῳ ὑπάρχοντι τῷ λόγῳ. τὸ δὲ πλῆρες τοῦ "ᾧ δὲ κέχρηται οὐδὲν πρὸς τὸν λόγον" τοιοῦτόν ἐστιν· σὺ δὲ κέχρησαι πρὸς τὸν λόγον καὶ ὡς οἰκείῳ ὄντι τοῦ προβλήματος οὐδὲν ὄντι πρὸς τὸν λόγον. id. f. 56 *b*.

181 b 1. νῦν δὲ δι' ὧν ἐπάγει, τοῦτο λέγει, ὅτι πολλάκις δὲ μὴ ἁπλῶς οὔσης τῆς ἐρωτήσεως δέοντα τινὰ ἁπλῆν τὴν ἀπόκρισιν οὐδὲν συμβαίνει αὐτὸν ἁμαρτάνειν· ὥσπερ γάρ, φησίν, ἐπὶ τῶν ὁμωνύμων, ὁτὲ μὲν ἀμφοῖν ὁτὲ δὲ οὐδετέρῳ ὑπάρχει... καὶ ὅτι τοῦτό ἐστιν ὃ λέγει, δῆλον πεποίηκε διὰ τῶν ἐφεξῆς εἰπὼν "ὅταν μὲν οὖν τὰ πλείω τῷ ἑνὶ ἢ τὸ ἓν τοῖς πολλοῖς ὑπάρχῃ." ἓν μὲν τοῖς πολλοῖς τὸ εἰς Ἴλιον ἀπελθεῖν ὑπάρχει τῷ Αἴαντι, μᾶλλον δὲ τοῖς Αἴασι, πλείω δὲ τῷ ἑνὶ ὡς τῷ Κορίσκῳ τὸ λευκὸν καὶ τὸ μουσικόν. εἰ οὖν τις ἔροιτο πότερον ὁ Κορίσκος μουσικὸς καὶ λευκός ἐστιν, ὁ εἰπὼν ὅτι ναί οὐδαμῶς ἂν ἐλεγχθείη, καίτοι ἡμαρτημένως τὸ ναὶ δούς· οὐ γὰρ δεῖ ἐπὶ τῶν πολλαχῶς ἁπλῶς φάσκειν ἢ ἀποφάσκειν. id. ib.

ἡ δὲ λέξις ἡ "ἐπεὶ δὲ οὐκ ἄλλοις τὰ αὐτὰ ἀλλ' αὑτοῖς" ἐλλιπέστερον ἀπήγγελται. εἴη δ' ἂν τὸ πλῆρες τοιοῦτον· ἐπεὶ δὲ οὐκ ἄλλοις μέν εἰσι τὰ αὐτὰ καὶ ἕτερα, ἀλλ' ἑαυτοῖς εἰσὶ τὰ αὐτὰ καὶ ἕτερα ἑαυτῶν, συμβαίνει τὰ αὐτὰ καὶ ἕτερα εἶναι ἑαυτῶν καὶ τὰ αὐτὰ ἑαυτοῖς. id. f. 57. 181 b 14.

λέγει δὲ ἐμπίπτειν τούτους καὶ εἰς ἄλλας λύσεις, οἷον εἰς τὴν 181 b 19.
ἀμφιβολίαν· τὸ γὰρ ἐρωτᾶν πότερον ἄμφω ταῦτα ἢ πάντα ταῦτα ἴσα ἐστὶν ἢ ἄνισα, καὶ ἀμφίβολόν ἐστιν· δύναται γάρ τις ἀκούειν τοῦ ἐρωτήματος ἢ ὡς λέγοντος ἆρά γε ἴσα ἀλλήλοις ἐστίν, ἢ ὡς ἴσα αὐτὰ ἑαυτοῖς; ὁμοίως δὲ καὶ ἆρα ἄνισα ἑαυτοῖς εἰσίν, ἢ ἄνισα πρὸς ἄλληλα; οὐκοῦν, φησίν, ἐπὶ τῶν ἀμφιβόλων ἢ ἐπὶ τῶν πλείω ἐρωτώντων ταὐτό, τουτέστι τὸ αὐτὸ πρᾶγμα φάσκει καὶ ἀποφάσκει, ἀλλὰ τὸ αὐτὸ ὄνομα κατὰ ἄλλου καὶ ἐπ' ἄλλου τῶν ὑπὸ τὸ ὄνομα. τοῦτο δὲ οὐκ ἔλεγχος· ὁ γὰρ ἔλεγχος γίνεται ὅταν συμβαίνῃ τὸ αὐτὸ πρᾶγμα κατὰ τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος ἅμα λέγεσθαι καὶ μὴ λέγεσθαι ἐκ τῆς τοῦ ἀποκρινομένου θέσεως. τὸ δὲ "ἀλλὰ φανερὸν ὅτι μὴ μιᾶς ἐρωτήσεως" καὶ τὰ ἑξῆς τοιοῦτόν ἐστιν, ὅτι οὐ μὴ συμβήσεται τὸ ἀδύνατον, ἤγουν ὁ ἔλεγχος, ἂν οὐ ποιήσηταί τις τὰ πολλὰ μίαν ἐρώτησιν ἀλλ' ἓν καθ' ἑνὸς εἴπῃ, ἤγουν κατηγορούμενον καθ' ἑνὸς ὑποκειμένου· εἰ γὰρ ἓν καθ' ἑνὸς εἴπῃ, οὐ μὴ δυνήσεται ἐλέγξαι τὸν ἀποκρινόμενον ὁ σοφιστής. ἢ καὶ οὕτως. φανερόν, φησίν, ὅτι μὴ μιᾶς ἐρωτήσεως γινομένης κατὰ τῶν πολλῶν, ἀλλ' ἑνὸς πράγματος καθ' ἑνὸς ἐρωτηθέντος οὐ γίνεται ἔλεγχος· ὅταν γάρ τις τὰ πολλὰ ὡς ἓν ἐρωτηθῇ, ἢ τὸ ναὶ ἢ τὸ οὔ δούς, οὐκ ἂν ἐλεγχθείη ἀληθῶς ἀλλὰ μόνον φαινομένως· ὅταν δὲ ἓν καθ' ἑνὸς φήσῃ, εἰ μὲν ἀληθῶς φήσῃ, οὐκ ἔσται ἔλεγχος, εἰ δὲ ψευδῶς, ἔλεγχος, καὶ ἔλεγχος οὐ φαινόμενος ἀλλὰ ἀληθής. id. ib.

περὶ τούτου οὖν διδάσκει ἡμᾶς καὶ παραινεῖ, εἰ ἐρωτώμεθα πό- 181 b 25.
τερον τὸ διπλάσιον καθ' ἑαυτὸ λεγόμενον καὶ μετὰ τοῦ ἡμίσεος ταὐτόν ἐστι καὶ τὸ αὐτὸ σημαίνει ἢ οὔ, μὴ διδόναι ἀλλὰ φάσκειν ὅτι ἄλλο μέν ἐστι τὸ εἰπεῖν διπλάσιον καὶ ἄλλο τὸ διπλάσιον ἡμίσεος· εἰ γὰρ καὶ ἐμφαίνεται καὶ συνεπινοεῖται ἐν τῷ εἰπεῖν διπλάσιον τὸ ἡμίσεος, ἀλλ' οὖν ἄλλο ἐστὶ τὸ εἰπεῖν καὶ τὸ ἡμίσεος καὶ ἄλλο τὸ μὴ εἰπεῖν. καὶ συνίστησι τοῦτο διὰ τῆς ἐπαγωγῆς λέγων "καὶ γὰρ τὰ δέκα ἐν τοῖς ἑνὸς δέουσι δέκα," τουτέστι καὶ γὰρ τὰ δέκα ἐμφαίνεται, ἐν τῷ περὶ μονάδα δέκα λέγων· καὶ γὰρ περὶ μονάδα δὲ δέκα ἐστὶ τὰ ἐννέα· τοῖς γὰρ ἐννέα εἰ προστεθείη μονάς, δέκα ἐστίν· τὰ γὰρ ἐννέα λέγοντες οὐ δέκα, ἐν ὅσῳ ταῦτα οὐ δέκα φαμέν, συνεμφαίνομεν ἐν τούτοις καὶ δέκα. ὡς γὰρ ἐν τοῖς μετὰ τὰ Φυσικὰ δέδεικται, αἱ καταφάσεις ἐκφαίνονται ἐν ταῖς οἰκείαις ἀποφάσεσιν... οὕτω καὶ ὁ διπλάσιον λέ-

πῆ δὲ ἀληθής. τὸ δὲ "ἤ τινός" λέγοι ἂν ἐφ' οὗ τὸ ἥμισυ λευκὸν τὸ δὲ ἥμισυ οὐ λευκόν· οὗτος γὰρ οὔτε ἁπλῶς ἐστὶν ἀληθὴς πῆ δὲ ψευδής, οὔτε ἔμπαλιν ἁπλῶς μὲν ψευδὴς πῆ δ' ἀληθής, ἀλλά τινος ἧττον ἐπ' ἴσης καὶ ψευδὴς καὶ ἀληθής. δύναται καὶ ἐκ παραλλήλου τὸ τινὸς κεῖσθαι· ὁ γὰρ πῆ ψευδόμενος ἢ ἀληθεύων κατά τι ψεύδεται ἢ ἀληθεύει καὶ οὐχ ἁπλῶς. τὸ δὲ "καὶ εἶναι ἀληθῆ τινά, ἀληθῆ δὲ μή" ἴσον ἐστὶ τῷ εἶναι κατά τι μὲν ἀληθῆ, ἁπλῶς δὲ μὴ ἀληθῆ· ὁ γὰρ κατά τι ἀληθεύων ἐπί τι ἀληθὴς καὶ οὐχ ἁπλῶς ἀληθής ἐστιν. δύναται δέ τις καὶ οὕτως ἐρωτωμένου τοῦ σοφίσματος ἀκούειν. ἆρά γε ἐνδέχεται τὸν αὐτὸν ἅμα καὶ ψεύδεσθαι καὶ ἀληθεύειν; οὔ. ἀλλὰ μὴν ὁ λέγων "ἐγὼ ψεύδομαι" ἅμα καὶ ψεύδεται καὶ ἀληθεύει· ψεῦδος ἄρα τὸ οὐκ ἐνδέχεται τὸν αὐτὸν ἅμα καὶ ἀληθεύειν καὶ ψεύδεσθαι. τὰ δὲ ἐφεξῆς κείμενα σοφίσματα σαφῆ εἰσί, καὶ πλεῖστα τούτων τὰ παραδείγματα καὶ ἐν τοῖς Τοπικοῖς. id. f. 54.

180 b 17. ἔστι δὲ ἡ ἀγωγὴ τοῦ παραλογισμοῦ τοιαύτη. ἆρά γε βούλεταί τις τὸ ἑαυτοῦ κακόν; οὔ. τί δέ, τὸ κλέπτειν κακόν; ναί. βούλεται δὲ ὁ κλέπτης κλέπτειν; ναί. τὸ ἑαυτοῦ ἄρα βούλεται κακόν. λαβεῖν δὲ ἀντὶ τοῦ κλέπτειν ἐνταῦθα εἴληπται, ἐν οἷς λέγει "οὐ γὰρ εἰ κακόν ἐστιν ὁ κλέπτης, καὶ τὸ λαβεῖν ἐστὶ κακόν." τὸ δὲ ὅτι κακὸν τὸ κλέπτειν κατεσκεύαζον οἱ σοφισταὶ δεικνύντες κακὸν τὸν κλέπτην, ἐδείκνυον δὲ αὐτὸν κακὸν ἐκ τοῦ ὁρισμοῦ τοῦ κλέπτου, ὃν αὐτὸς κλέπτου λόγον εἶπεν. id. ib.

180 b 22. χρεὼν δ' ἐστὶ πρὸς σαφήνειαν πρότερον τοῦ λεγομένου τοῦ ἐν τῷ πέμπτῳ τῶν Ἠθικῶν εἰρημένου ἀναμνησθῆναι, ὅπερ ἐστὶ τὸ ἄλλο μὲν εἶναι τὸ φύσει δίκαιον, ἄλλο δὲ τὸ κατὰ δόξαν τοῦ κρίναντος, ἄλλο δὲ τὸ κατὰ τὴν διάταξιν τοῦ νόμου περαιωθέν... ὥσπερ καὶ ὁ Καλλικλῆς ἐν τῷ τοῦ Πλάτωνος Γοργίᾳ πρὸς τὸν Σωκράτην λέγει... οὕτως οὖν τοῦ δικαίου τριχῶς διαιρουμένου ἀφορμαὶ πολλαὶ παραλογισμῶν ἐντεῦθεν τοῖς σοφιστεύουσι δέδονται, ὡς καὶ ἐπὶ τοῦ παρόντος· ἔλεγον γάρ, ἆρα δίκαιόν ἐστι τὸ ἕκαστον ἔχειν τὰ ἑαυτοῦ, ἄδικον δὲ τὸ τὰ ἀλλότρια; ἢ οὕτως· πότερόν ποτέ φαμεν εἶναι δίκαιον καὶ κρίσιν δικαίαν (τὸ γὰρ δίκαιον ἀντὶ τοῦ δικαίου εἴληπται ὡς μηδὲν διαφέρον), οὐχὶ τὸ ἕκαστον τῶν κρινομένων ἔχειν τὰ ἑαυτοῦ καὶ ἃ δεῖ ἔχειν αὐτόν; ναί. ἄδικον δὲ καὶ κρίσιν ἄδικον οὐχὶ τὴν κυρώσασαν τὰ ἀλλότρια ἔχειν τὸν μὴ κύριον; ναί. εἶτα ἐπῆγον ἀλλὰ μὴν ὅδε ἔχει τὰ χρήματα τούτου λαβών· καὶ ἢ μὲν ἐκ τοῦ νόμου ἢ καὶ τῆς δόξης τοῦ κριτοῦ ἔλαβε (τοῦτο γὰρ λείπει), ἢ μὲν οὖν ἐκ τούτων ἔλαβε, τὰ ἑαυτοῦ ἔχει, τὸ δὲ τὰ ἑαυτοῦ ἔχειν κεῖται δίκαιον εἶναι· εἰ δὲ δικαίως ἔχει, δικαία ἡ κρίσις· κατὰ νόμους γὰρ ἔχει. ἢ δὲ πάλιν τοῦ ἀποστερηθέντος ἦσαν, ἄδικος ἡ κρίσις· ἡ αὐτὴ ἄρα δικαία καὶ ἄδικος. οἷον εἴ τις συκοφάντης ἔλεγε τὴν οἰκίαν ἢ τὸν ἀγρὸν τοῦ Πλάτωνος, ἃ κατεῖχε μίσθωμα καὶ φόρους τελῶν Πλάτωνι, μὴ τοῦ Πλάτωνος εἶναι ἀλλ' οἰκεῖα, ἔκρινε δὲ ὁ δικαστὴς ὀμωμοκέναι τὸν Πλάτωνα καὶ γενέσθαι κύριον τοῦ ἀγροῦ καὶ τῆς οἰκίας, ὁ δὲ Πλάτων διὰ τὴν περὶ τὸν ὅρκον εὐλάβειαν τὸν συκοφάντην εἴασεν ἔχειν τὰ ἑαυτοῦ. οὕτως ὁ συκοφάντης τὰ μὲν ἑαυτοῦ ἔχει· ἃ γὰρ ἀπὸ νόμου τις ἔχει, ὡς ἴδια ἔλαβε· τὸ δὲ τὰ ἴδια ἔχειν κεῖται δίκαιον εἶναι, ὥστε δικαία ἡ κρίσις, ἄδικος δὲ τῇ φύσει. id. f. 54 b.

180 b 25. νόμος ἦν Ἀθηναίοις τὰς δικασθείσας δίκας κυρίας εἶναι· καὶ τοῦτο δῆλον πεποίηκε καὶ ἐν τῷ Κρίτωνι τοῦ Πλάτωνος Σωκράτης· λέγει γὰρ ἐν ἐκείνοις ὁ Σωκράτης "τί ἐροῦμεν πρὸς ταῦτα ὦ Κρίτων καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχῃ ἄλλως τε καὶ ῥητῶς εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι." id. f. 55.

180 b 26. ἐν δὲ τῷ "πότερον δεῖ κρίνειν τὸν τὰ ἄδικα λέγοντα ἢ δίκαια" τὸ κρίνειν ἴσον ἐστὶ τῷ κατακρίνειν καὶ καταδίκῃ ὑποβάλλειν· τίνα γάρ, φασί, δεῖ καταδίκης ἀξιοῦν, τὸν τὰ δίκαια λέγοντα ἢ τὰ ἄδικα; εἰπόντος γὰρ τοῦ ἀποκρινομένου ὅτι τὸν τὰ ἄδικα λέγοντα καταδικάζειν δεῖ, ἐπῆγον περὶ τοῦ ἀδικηθέντος λέγοντες ὅδε δὲ ἄδικα λέγει· ἃ γὰρ ἔπαθεν, ἐκεῖνα καὶ διηγεῖται καὶ λέγει, ἔπαθε δὲ ἄδικα, ἄδικα ἄρα λέγει. ὥστε εἰ τὸν τὰ ἄδικα λέγοντα κρίνειν δεῖ καὶ καταδικάζειν, οὗτος δὲ ἄδικα λέγει, τοῦτον ἄρα δεῖ καταδικάζειν· οὗτος δέ ἐστιν ὁ ἀδικηθείς, δεῖ ἄρα τὸν ἀδικηθέντα καταδικάζειν, δικαιοῦν δὲ τὸν ἄδικον. τὸ δὲ "ἀλλὰ μὴν καὶ τὸν ἀδικούμενον δίκαιόν ἐστιν ἱκανῶς λέγειν ἃ ἔπαθεν" ὡς αἰτία ἐπῆκται τοῦ ἄδικα λέγειν τὸν ἀδικηθέντα· δίκαιον γάρ φασιν οἱ σοφισταὶ λέγειν τὸν ἀδικηθέντα ἃ πέπονθε, πέπονθε δὲ ἄδικα, ἄδικα ἄρα λέγει. μέχρι μὲν τούτου ἐτέθη μόνα αὐτὰ τὰ σοφίσματα, τὸ δὲ ἐντεῦθεν τὰς λύσεις αὐτῶν ἐπάγει. id. ib.

180 b 31. τὸ δὲ "καὶ τὸ ἔχειν τὰ ἑαυτοῦ δίκαιον, τὰ δὲ ἀλλότρια οὐ δίκαιον" λύσις ἐστὶ τοῦ σοφίσματος τοῦ τὸ τὰ ἑαυτοῦ ἔχειν ἕκαστον δίκαιον εἶναι ἀξιοῦντος. λέγει δὲ ἀληθὲς μὲν εἶναι τὸ δίκαιον λέγειν τὰ ἑαυτοῦ ἔχειν, ἄδικον δὲ τὸ τὰ ἀλλότρια. κρίσιν μέντοι τοιαύτην, εἰ καὶ ψευδής ἐστι, τουτέστιν εἰ καὶ ἡμαρτημένη ἐστὶ τῷ πρὸς τὸ φύσει δίκαιον βλέποντι, ὅμως οὐδὲν κωλύει λέγειν δικαίαν εἶναι, ἐπειδὴ κατὰ τὴν τῶν νόμων πρόσταξιν πεπέρασται. καὶ πολλὰ μέν εἰσιν ἃ φαίνεται ἄδικα μὲν διὰ τὸ μὴ κατὰ νόμους προβῆναι, δίκαια δὲ ὅμως ὄντα τῇ φύσει, καὶ πολλὰ ἔμπαλιν. id. ib.

180 b 35. τὸ δὲ "οὐ γὰρ εἰ λέγειν δίκαιον, ἀνάγκη δίκαια εἶναι" ἐναντίως ἔχειν μοι δοκεῖ τοῖς εἰρημένοις· ἔδει γὰρ ὡς οἶμαι οὕτως εἰπεῖν· οὐ γὰρ ἀνάγκη ἄδικα εἶναι, ἐπειδὴ δίκαιόν ἐστι λέγειν αὐτὰ ἃ καὶ πέπονθέ τις ἀδίκως, λέγει, καὶ οὐκ ἀνάγκη ἄδικα λέγειν. ἢ εἴη ἂν λέγων ὅτι οὐκ ἀνάγκη τὸν τὰ ἄδικα λέγοντα κατακρίνειν· οὐ γὰρ εἰ δίκαιόν ἐστι τὸ λέγειν ἅ τις πέπονθεν, ἀνάγκη καὶ τὰ λεγόμενα δίκαια εἶναι· πῶς γὰρ ἐπειδὴ ἀδίκων εἰσὶ σημαντικὰ ἢ μηνυτικά; ἔστι γοῦν, ἵνα σαφέστερον εἴπωμεν, ὃ λέγει τοιοῦτον, ὅτι οὐκ ἀνάγκη ἄδικον εἶναι, ἐπειδὴ δίκαιόν ἐστι λέγειν αὐτά· ἃ γὰρ πέπονθεν, ἄδικα ἐκεῖνα λέγει· καὶ δίκαια ἔστι λέγεσθαι ταῦτα, ὥστε οὐ δεῖ τὸν ἀδικηθέντα κατακρίνειν. id. ib.

180 b 37. ἴσον οὖν ἐστὶ τὸ "ὁμοίως δὲ καὶ ἐπὶ τῶν δικαίων" τῷ ὁμοίως δὲ οὐδὲ εἰ λέγει τις δίκαια, ἀνάγκη δίκαια λέγειν· οὐ γὰρ εἰ ὁ ὑβρισθεὶς λέγων ὅτι ὑβρίσθη ἄδικα λέγει (ἃ γὰρ πέπονθεν ἄδικα ὄντα λέγει), ὁ ὑβρίσας δηλονότι λέγων μὴ ὑβρικέναι τὰ δίκαια λέγει, τὸ δὲ μὴ ὑβρίζειν δίκαιον, τοῦτο δὲ λέγει, τὸ δίκαιον ἄρα λέγει. ἀλλ' οὐχί, εἰ τὰ δίκαια λέγει, καὶ ἁπλῶς δίκαιά ἐστιν ἃ λέγει· ψευδῆ γάρ ἐστιν· ὥστε εἰ ἃ λέγει ὁ ἀδικηθεὶς δίκαιά ἐστι λέγεσθαι,

γὰρ ζῷον οὐ τῶν μὴ ζῴων ἀλλὰ τῶν ζῴων), κατ' ἄλλον δὲ πάλιν ἐλέγετο τῶν ζῴων ὥσπερ ὁ Πειραιεύς, μᾶλλον δὲ ἡ Τάναγρα τῶν Ἀθηναίων (λέγεται γὰρ ταῦτα τῶν Ἀθηναίων ὡς κτήματα), τότε δὴ τότε καὶ τὸ "τόδε τοῦδε" ἢ τὸ "τοῦτο τούτων" ἐλέγετο ἂν πολλαχῶς. ἐπεὶ δὲ ὁ ἄνθρωπος τῶν ζῴων οὐ λέγεται πολλαχῶς (οὐδεὶς γὰρ ἀκούσας αὐτὸν τῶν ζῴων, ὡς κτῆμα εἶναι τῶν ζῴων ἀκούει ἀλλ' ὅτι ζῷόν ἐστιν· οὐ γὰρ λέγεται κυρίως ὁ ἄνθρωπος τῶν ζῴων ὡς κτῆμα τῶν ζῴων), οὐδ' ὁ τοῦτο λέγων κυριολεκτεῖ. ἐπεὶ οὖν ὁ ἄνθρωπος τῶν ζῴων οὐ λέγεται πολλαχῶς, οὐδὲ τὸ "τούτου" δηλωτικόν ἐστιν. τὸ δὲ "τοῦτο τούτων" διττόν ἐστιν. ὥστε οὐδὲ τὸ σημαντικὸν τοῦ δούλου καὶ δεσπότου. ἔστι δὲ καὶ αὐτὸ τὸ "τοῦτο τούτου" διττόν, καὶ εἴρηται πρότερον διὰ τί. τὸ δὲ "καὶ ἐάν τι πρὸς τὰ κακὰ λέγηται ὡς τινός" ταὐτόν ἐστι τῷ καὶ ἐάν τι πρὸς τὰ κακὰ λέγηται κατὰ γενικὴν πτῶσιν, καθάπερ ἡ φρόνησις λέγεται, τῶν κακῶν ῥηθήσεται μέν, ἀλλ' οὐχ ὅτι κακή ἐστι τῶν κακῶν ἀλλ' ὅτι ἐπιστήμη οὖσα τῶν κακῶν· ὁ γὰρ φρόνιμος ἐπίσταται τὰ κακά. ὥστε τὰ σοφίσματα ταῦτα, ἃ μικρῷ πρότερον εἰρήκαμεν, παρὰ τὸ συμβεβηκὸς γέγονεν ἀλλ' οὐ τῷ διττῷ. πῇ δὲ καὶ ἁπλῶς αὐτὸ τὸ παρὰ συμβεβηκὸς ὠνόμασαν· πῇ γὰρ ὢν ὅδε τοῦδε, οἷον δοῦλος δεσπότου, καὶ ἁπλῶς κατὰ πάντων καθ' ὅσων τὸ "τόδε τοῦδε" λέγεσθαι δύναται, ἐπιφέρειν ἀξιοῦσιν. καίτοι ἐνδέχεται, φησίν, ἴσως ἀγαθὸν εἶναί τι τῶν κακῶν, ὡς ἡ ἀνδρεία ἁπλῶς οὖσα ἀγαθὸν δοκεῖ τισὶ διὰ τὰ ἐν πολέμοις τραύματα εἶναι κακόν. διὰ τοῦτο γὰρ καὶ αὐτὸ τὸ "ἴσως" προσέθηκεν· ὥστε ὁ λόγος ὁ λέγων "ἡ ἀνδρεία τῶν κακῶν" διττός· ἢ γὰρ ὅτι κακόν τί ἐστιν ἡ ἀνδρεία, ἢ ὅτι ἐπίσταται τὰ κακά. id. ib.

180a 16. "ἀλλ' εἴ τι δοῦλον εἴη ἀγαθὸν μοχθηροῦ." φέρεται δὲ καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως "ἀλλ' εἴ τι δοῦλον εἴη ἀγαθὸν ὄνομα μοχθηροῦ." ὃ δὲ λέγει τοιοῦτον ἐστίν· ἐάν τις δοῦλος ἀγαθὸς ὤν, ἢ εἰ γάρ τις δοῦλος ὄνομα ἔχῃ κεκλῆσθαι Ἀγαθός, τύχοι δουλεύειν μοχθηρῷ, λέγοι δέ τις τὸ ἀγαθὸν μοχθηροῦ, δόξειεν ἂν διττὸς ὁ λόγος εἶναι... ταῦτα μὲν διὰ τῆς μιᾶς τῶν γραφῶν λέγοιντ' ἄν· διὰ δὲ τῆς ἐχούσης καὶ τὸ "ὄνομα" προσκείμενον λέγοι ἄν· οὐ γὰρ εἰ τῷ δούλῳ κεῖται ὄνομα τὸ ἀγαθὸν ὡς μὴ καλεῖσθαι Νικοκλέα ἢ Πλάτωνα ἢ Ἱππόνικον ἢ ἄλλο τι τοιοῦτον ἀλλ' Ἀγαθόν, ὥσπερ καὶ ὁ Ὀλυμπιονίκης ὠνομάζετο αὐτὸ τοῦτο Ἄνθρωπος, ἤδη καὶ τὸ ἀγαθὸν μοχθηροῦ διττόν. id. f. 53.

180a 19. ἐπειδὴ τὸ "μῆνιν ἄειδε θεά" ἀφελόντες ὡρισμένως οἴδαμεν ὅτι ἥμισυ στίχου ἐστὶ καὶ οὐ τῆς Ἰλιάδος, ὁ λέγων ὅτι δός μοι τὸ "μῆνιν ἄειδε θεά," τὸ ἥμισυ τοῦ ἔπους, διττὸς ἂν ἦν· ἀλλὰ μὴν οὐ διττός· καθ' αὑτὸ ληφθὲν τὸ "μῆνιν ἄειδε θεά" δῆλον γέγονε τίνος ἐστὶν ἥμισυ, ὥστε καὶ ὁ τοῦτο σημαίνων λόγος οὐ διττός. εἰ δὲ τοῦτο, οὐδὲ ὁ λέγων "ἆρα ὅδε σός" διττός· δῆλον γάρ ἐστιν ὅπως οὗτος τούτου ἐστίν. ὥστε οὐ λέγεται πολλαχῶς τὸ τούτου τοῦτο. ὅταν ἀφελόντες τι γνώριμον ὂν τί ἐστι, ταύτῃ τῇ προσηγορίᾳ ὀνομάζομεν, λέγω δὴ προσηγορίαν τὸ τούτου τοῦτο· οὐ γὰρ τὸν Πλάτωνα καὶ Ἀρίστωνα καθ' αὑτοὺς λαβὼν καὶ ἐρωτῶν "ἆρά γε οὗτος τούτου ἐστί" ταὐτὸν λέγει τῷ ἆρα ὁ Πλάτων υἱός ἐστιν Ἀρίστωνος, καὶ οὐ διττὸν ἐνταῦθα τὸ ἐρώτημα διὰ τὸ τὰ ληφθέντα γνώριμα τυγχάνειν πως ἀπ' ἀλλήλων εἰσίν. ἔτι τὸ οὐδὲ γὰρ εἴ ποτέ τί τινος ἀφελόντες τοιοῦτόν ἐστιν· οὐ γὰρ τὸ τούτου τοῦτο λέγεται πολλαχῶς, εἴ ποτέ τινος ἀφελόντες σημαίνομεν τῇ προσηγορίᾳ τῇ τούτου τοῦτο· καὶ γὰρ εἰπόντες δός μοι τὸ ἥμισυ τοῦ ἔπους τὸ "μῆνιν ἄειδε θεά," δυνάμει σημαίνομεν τῇ προσηγορίᾳ τῇ τούτου τοῦτο· εἰ γὰρ οὖν διττόν (τοῦτο γὰρ δεῖ προσυπακούειν εἰπόντες, δός μοι τούτου τοῦτο ἤγουν τοῦ στίχου τὸ ἥμισυ τοῦ ἔπους, οἷον τὸ "μῆνιν ἄειδε θεά"), σημαίνομεν τὴν Ἰλιάδα ἤγουν σημαίνομεν ὅτι δός μοι τὸ ἥμισυ τῆς Ἰλιάδος· ἀλλ' οὐ τοῦτο σημαίνομεν. ἐν δὲ τῇ λέξει τῇ "καὶ γὰρ τὸ ἥμισυ εἰπόντες δός μοι" ὑποστικτέον εἰς τὸ "δός μοι," εἶτα ὑπακτέον τὸ "Ἰλιάδα σημαίνομεν." ἔστι δὲ τὸ τῆς λέξεως κατάλληλον τοιοῦτον· καὶ γὰρ τὸ ἥμισυ τοῦ ἔπους εἰπόντες, οἷον τὸ "μῆνιν ἄειδε θεά," Ἰλιάδα σημαίνομεν. λέγοι δ' ἂν δι' αὐτοῦ· εἰ πᾶν τὸ τούτου τοῦτο διττόν, καὶ τὸ δός μοι τὸ ἥμισυ τοῦ ἔπους διττόν ἐστι, καὶ τοῦτο λέγοντες λέγοιμεν ἂν δός μοι τὸ ἥμισυ τῆς Ἰλιάδος. id. ib.

τὰ σοφίσματα τοιαῦτα. ἆρ' ἐνδέχεται τὸ μὴ ὂν εἶναι; οὔ. 180a 32.
ἆρά γε τὸ μὴ ὂν δοξαστόν ἐστιν; ναί. τὸ μὴ ὂν ἄρα ἔστιν. τὸ γὰρ "ἀλλὰ μὴν ἔστι γέ τι μὴ ὄν" ὡς ἴσον ἐστὶ τῷ ἀλλὰ μὴν τὸ μὴ ὂν ἐστί τι, οἷον δοξαστόν. πάλιν τὸ ὂν συνάγουσι μὴ εἶναι οὕτως· εἰ ἔστι τὸ ὄν, ἢ ἄνθρωπός ἐστιν ἢ ἵππος ἢ βοῦς ἤ τι τῶν τοιούτων· οὐδὲν δὲ τούτων ἐστίν· ὥστε οὐδὲ ἔστιν· οὐκ ἄρα ἔστι τὸ ὄν. πάλιν ἆρ' ἐνδέχεται τὸν αὐτὸν ἅμα εὐορκεῖν καὶ ἐπιορκεῖν; ὁ δὲ ὀμόσας ἐπιορκήσειν ἐπιώρκησεν, ὥστε εὐώρκησεν· ἠλήθευσε γὰρ πεποιηκὼς ὃ ποιεῖν ὤμοσεν· ὀμόσας γὰρ ἐπιορκήσειν ἐπιώρκησεν· ὁ αὐτὸς ἄρα ἅμα ἐπιορκεῖ καὶ εὐορκεῖ. πάλιν ἆρα τὸν αὐτὸν ἐγχωρεῖ ἅμα τῷ αὐτῷ πείθεσθαι καὶ ἀπειθεῖν; οὔ. ἀλλὰ μὴν ὅδε πείθεται μὲν τῷ γεωμέτρῃ ἀσύμμετρον εἶναι τὴν πλευράν, ἀπειθεῖ δὲ σύμμετρον εἶναι, καὶ πείθεται μείζονα εἶναι τὸν ἥλιον τῆς γῆς, ἀπειθεῖ δὲ τῷ αὐτῷ ἐλάττονα εἶναι· ὁ αὐτὸς ἄρα τῷ αὐτῷ πείθεται καὶ ἀπειθεῖ. θεὶς δὲ τὰ σοφίσματα συντόμως λύει αὐτὰ λέγων "ἢ οὔτε τὸ εἶναί τι ταὐτόν," τουτέστιν οὐ ταὐτόν ἐστι τὸ λέγειν τὸ μὴ ὂν ὅτι ἔστι τι, οἷον δοξαστόν, καὶ ἁπλῶς ὅτι ἔστιν· εἰ μὲν γὰρ τὸ τὶ ὂν ταὐτὸν ἦν τῷ ἁπλῶς ὄντι, ἦν ἂν τὸ μὴ ὂν ὄν· ἐπεὶ δὲ ἕτερον, οὐκ ἔσται τὸ μὴ ὂν ὄν. λύει δὲ σαφῶς καὶ τὸ τὸν αὐτὸν ἅμα ἐπιορκεῖν καὶ εὐορκεῖν λέγων "πλὴν τοῦτο μόνον, εὐορκεῖ δὲ οὔ," ὃ ἴσον ἐστὶ τῷ ἁπλῶς μὲν οὐκ εὐορκεῖ, ἀλλὰ τοῦτο μόνον ὅτι ὀμόσας ἐπιορκήσειν ἐπιώρκησεν, ὥστε κατὰ τοῦτο μόνον, ἁπλῶς δὲ οὐκ εὐορκεῖ ἀλλὰ τοῦτο μόνον ὅτι ὀμόσας ἐπιορκήσειν ἐπιώρκησεν. id. f. 53 b.

ἡ δὲ ἀγωγὴ τοῦ σοφίσματος τοιαύτη. ἆρά γε ἐνδέχεται τὸν 180b 2.
αὐτὸν ἅμα ψεύδεσθαι καὶ ἀληθεύειν; οὔ. εἶτα ἐπῆγεν, ἀλλὰ μὴν ὁ εἰπὼν τὸν ὀφθαλμὸν λευκὸν ψεύδεται. ἀλλὰ καὶ ἀληθεύει· ἅμα γάρ ἐστι λευκὸς καὶ οὐ λευκός. λέγει δὲ καὶ τούτου τὴν αὐτὴν εἶναι λύσιν, ἀλλὰ διὰ τὸ μὴ εἶναι εὐθεώρητον, καὶ μάλιστα ἐν οἷς τὰ ἀντικείμενα ὁμοίως ὑπάρχει, πότερον δεῖ φάσκειν, ἆρα τὸ ἀληθεύειν ἢ τὸ ψεύδεσθαι, τὴν δυσκολίαν παρέχεται. οὐδὲν δὲ κωλύει τὸν αὐτὸν ἁπλῶς μὲν εἶναι ἀληθῆ πῇ δὲ ψευδῆ, ὡς ἐπὶ τοῦ Αἰθίοπος καὶ τοῦ μὴ ὄντος· ὁ γὰρ τὸν Αἰθίοπα μέλανα λέγων ἁπλῶς μέν ἐστιν ἀληθὴς πῇ δὲ ψευδής, ὁ δὲ λέγων αὐτὸν λευκὸν ἁπλῶς μὲν ψευδὴς

περιπατεῖν· τρίτος ἄρα ἄνθρωπος ἔσαι οὗ τὸ περιπατεῖ κατηγοροῦμεν. ἡ λύσις ὅτι ὁ ἄνθρωπος καὶ πᾶν τὸ κοινὸν οὐ τόδε σημαίνει ἀλλὰ τοιόνδε· ὁμοίωμα γάρ ἐστι τῶν καθ' ἕκαστα. id. f. 50.

178 b 39. ὥσπερ ὁ μουσικὸς Κορίσκος ἕτερος ὢν τοῦ Κορίσκου οὐκ ἔστι καθ' αὑτόν, οὐδὲ ὕπαρξιν ἔχει ἰδίαν (τοῦτο γὰρ σημαίνει τὸ "ὥστε οὐκ ἔστιν αὐτὸ ἐκθέσθαι"), διότι οὐκ ἔστι τόδε τι καὶ οὐσία ἀλλὰ τοιόνδε καὶ ποιόν, οὕτως οὐδ' ἄνθρωπος περιπατεῖ. id. ib.

179 a 3. φησὶν "οὐ τὸ ἐκτίθεσθαι δὲ ποιεῖ τὸν τρίτον ἄνθρωπον," δυνάμει τοῦτο διὰ τούτων λέγων, οὐ τὸ ἀπαριθμεῖσθαι τοὺς καθ' ἕκαστα ἀνθρώπους καὶ ἕτερον ἐκείνων λέγειν τὸν τρίτον ἄνθρωπον ποιεῖ, ἀλλὰ τὸ διδόναι καὶ συγχωρεῖν εἶναι ὅπερ τόδε τι, τουτέστιν ἀλλὰ τὸ οὐσίαν καὶ τόδε τι λέγειν αὐτόν. τῷ δὲ "τόδε τι" ἔθος αὐτῷ ἐπὶ τῆς ἀτόμου χρῆσθαι οὐσίας. id. ib.

179 a 14. βαρεῖαν γὰρ προσῳδίαν πανταχοῦ τὴν περισπωμένην λέγει. id. f. 50 *b*.

179 a 17. εἰ ἐκ τῆς ὁμωνυμίας τὸ ἄψυχον ἔμψυχον συνελογίσατο, λυτέον ἀποφήσαντας, εἰπόντας μὴ τόδε δεδωκέναι ὃ σημαίνει τὸ ἄψυχον ἀλλ' ὃ δηλοῖ τὸ ἔμψυχον· εἰ γὰρ ἔροιτο ἆρά γε τὸ διδάσκον ἔμψυχόν ἐστιν; εἴποις δὲ ναί, εἶτα εἴποι τὸ δὲ βιβλίον διδάσκει, ἔμψυχον ἄρα τὸ βιβλίον, ῥητέον ὅτι οὐ τὸ ἄψυχον διδάσκειν εἶπον ἀλλὰ τὸν διδάσκαλον. ὁμοίως ποιητέον καὶ ἐπὶ τοῦ ἀνάπαλιν· εἰ γὰρ ἔροιτο ἆρά γε τὸ διδάσκον ἔμψυχόν ἐστιν; εἴποις δὲ οὔ, εἶτα εἴποι ὁ δὲ Πλάτων διδάσκει, ἔμψυχον ἄρα τὸ διδάσκον, εἰπὲ ὡς ἐπὶ τοῦ βιβλίου τὸ διδάσκει εἶπον. id. ib.

179 a 27. ὃ λέγει, τοιοῦτόν ἐστιν. εἰσί τινα τῶν τῷ συμβεβηκότι ὑπαρχόντων ἀληθεύοντα καὶ ἐπὶ τοῦ ὑποκειμένου τῷ συμβεβηκότι, φημὶ δὲ τῷ πράγματι, τινὰ δὲ τῷ μὲν συμβεβηκότι ὑπάρχει τῷ δὲ πράγματι οὐχ ὑπάρχει· τὸ γὰρ δισύλλαβον λέγεται μὲν καὶ κατὰ τοῦ λευκοῦ, ἀληθεύεται δὲ καὶ κατὰ τοῦ ἵππου τοῦ τινός, ᾧ συμβέβηκε τὸ λευκόν, ὥστε ἐπὶ τούτου ἀληθεῖς δοῦναι τάσδε τὰς προτάσεις. id. ib.

179 a 31. καὶ ἔτι δεῖ προφέρειν καὶ τὸ οἷον ἤγουν τὸ ὁποῖον, ὥσπερ ἐν τῷ Μίνωϊ τοῦ Πλάτωνος γέγραπται. ἔχει δὲ οὕτω τὰ ἐκεῖσε "ὁ νόμος ἡμῖν τί ἐστιν ὁποῖον καὶ ἐρωτῶ τῶν νόμων." τὰ δὲ ἐπαγόμενα σοφίσματα τοιαῦτά εἰσιν "ἆρ' οἶδας ὃ μέλλω σε ἐρωτᾶν; οὔ. ἆρ' οἶδας ὅτι ἡ ἀρετὴ ἀγαθόν; ναί. τοῦτο δέ σε μέλλω ἐρωτᾶν, οἶδας ἄρα ὃ μέλλω σε ἐρωτᾶν." ἡ λύσις ὅτι οὐ ταὐτόν ἐστι τὸ τὴν ἀρετὴν ἀγαθὸν εἶναι καὶ τὸ μέλλειν ἐρωτᾶσθαι εἰ ἔστιν ἀγαθόν, ἀλλ' ἀγαθοῦ οὔσῃ συμβέβηκεν αὐτῇ τὸ μέλλειν ἐρωτᾶσθαι εἰ ἔστιν ἀγαθόν. πάλιν ἆρ' οἶδας τὸν προσιόντα καὶ κεκαλυμμένον; οὔ. εἶτα ἀφελόντες τὸ περικάλυμμα, τί δέ, οἶδας τοῦτον; ναί. τὸν αὐτὸν ἄρα οἶδας καὶ οὐκ οἶδας. πάλιν ἆρά γε ὁ ἀνδριὰς ἔργον ἐστίν; ναί. ἆρά γε σός ἐστιν; ναί. σὸν ἄρα ἔργον ἐστὶν ὁ ἀνδριάς. ἀλλὰ μὴν καὶ οὐκ ἔστι· τοῦ Φειδίου γάρ ἐστιν. πάλιν ἆρά γε ὁ κύων πατήρ ἐστιν; ναί. ἆρά γε σός ἐστιν; ναί. σὸς ἄρα ὁ κύων πατήρ. πάλιν ἆρά γε τὰ ὀλιγάκις ὀλίγα ὀλίγα; ναί. ἀλλὰ μὴν τὰ ἑκατὸν πρὸς τὰ δεκάκις μύρια ὀλιγάκις ἐστὶν ὀλίγα. τὰ ἑκατὸν ἄρα ὀλίγα· ἀλλὰ μὴν καὶ πολλά. φανερὸν οὖν ὡς πάντες οὗτοι οἱ παραλογισμοὶ παρὰ τὸ συμβεβηκὸς λύονται. id. f. 51.

ἀξίωμα δὲ λέγει τὴν πρότασιν. τὸ δὲ σόφισμα οὕτως ἠρωτᾶτο. 179 b 14. ἔστω δὲ λόγου χάριν ἐπὶ Γλαύκωνος τοῦ Πλάτωνος ἀδελφοῦ, ὅστις δὴ Γλαύκων οὐ μόνον ἀδελφὸς ἦν Πλάτωνος ἀλλὰ καὶ πατήρ· εἶχε γὰρ παῖδας. id. ib.

ἔλεγεν ὁ Ζήνων μὴ εἶναι κίνησιν. εἴ τις οὖν, φησίν, ἐπιχειροῖ 179 b 20. συνάγειν τε καὶ δεικνύναι τὸν Ζήνωνος λόγον τὸν ἀναιροῦντα τὴν κίνησιν ἐκ τοῦ συνάγειν ἀδύνατόν τι, τεθείσης τῆς τοῦ Ζήνωνος ὑποθέσεως, ἁμαρτάνει· οὐδὲ γὰρ λέλυκε τὸν παραλογισμόν· εἰ γὰρ λέγει "ἐγὼ μὲν ὦ Ζήνων εἶναι κίνησίν φημι· εἰ δὲ ψεῦδος τοῦτο, ἀληθὲς δὲ ὃ σὺ φῄς τὸ μὴ εἶναι κίνησιν, ἔστω τοῦτο καὶ κείσθω ὅτι οὐκ ἔστι κίνησις οὐδὲ τὸ κινεῖσθαι. ἀλλ' εἰ μή ἐστι τοῦτο, οὐδὲ τὸ πόθεν ποῖ κινεῖσθαι ἔσται· εἰ δὲ τοῦτο, οὐδὲ ὁ ἥλιος ἀπ' ἀνατολῆς εἰς δύσιν κινηθήσεται οὐδὲ ἀπὸ δύσεως εἰς ἀνατολήν· εἰ δὲ μὴ τοῦτο, οὐδὲ ἡμέραι καὶ νύκτες ἔσονται. ὅπερ ἀδύνατον· εἰ δὲ τοῦτο ἀδύνατον, ψευδὴς καὶ ἡ σὴ ὑπόθεσις, ᾗ τὸ ἀδύνατον ἠκολούθησεν,"— ὁ ταῦτα συλλογιζόμενος, κἂν εἰ μυριάκις ᾖ συλλογιστικῶς καὶ ἀληθῶς συμπεραινόμενος καὶ συνάγων ὡς ἀδύνατον μὴ εἶναι κίνησιν ἐκ τοῦ συνελαύνειν τὴν Ζήνωνος ὑπόθεσιν εἰς τὸ ἀδύνατον, οὐ λέλυκε τὸ σόφισμα τὸ τοῦ Ζήνωνος, ἀλλ' ὁ λέγων ὅτι ἐνεργείᾳ τὰ ἄπειρα λαμβάνεις, καὶ ὅσα ἄλλα αὐτὸς ὁ Ἀριστοτέλης ἐν τῷ ἑβδόμῳ τῆς Φυσικῆς Ἀκροάσεως εἴρηκε καὶ ἡμεῖς ταῦτα ἐξηγούμενοι τεθεωρήκαμεν. id. f. 51 *b*.

κἂν ἀληθές, φησί, κἂν ψεῦδος ᾖ τὸ ἐξ ἀσυλλογίστου τρόπου 179 b 24. συναχθέν, ἡ τούτου ἐμφάνισίς ἐστι λύσις. id. ib.

ἴσως δέ, φησίν, ἐπί τινων οὐδὲν κωλύει λύειν τὸν λόγον διὰ τοῦ 179 b 26. δεικνύναι ἀδύνατόν τι ἑπόμενον, ἀλλ' ἐπί γε τοῦ παρόντος οὐκ ἀπόχρη τοῦτο. ἢ μάλιστα τοῦτο λέγει, ὅτι ἐπὶ τινῶν μὲν οὐδὲν κωλύει λέγειν τὸ αὐτὸ εἰδέναι καὶ μὴ εἰδέναι, κατ' ἄλλο μέντοι καὶ ἄλλο, ἐπὶ δὲ τοῦ προσιόντος Κορίσκου οὐκ ἀρκεῖ τοῦτο· οἶδε γὰρ ὁ ἀποκρινόμενος καὶ τὸ προσιὸν ὅτι προσέρχεται καὶ τὸν Κορίσκον ὅτι Κορίσκος. ἀλλὰ καὶ οἱ λύοντες τὸ σόφισμα τὸ ὅτι τὰ ἑκατὸν καὶ πολλὰ καὶ ὀλίγα συμπεραινόμενον, λέγοντες ὅτι πᾶς ἀριθμὸς καὶ πολὺς καὶ ὀλίγος, ὁμοίως τούτοις ἁμαρτάνουσιν οὓς εἴπομεν ἁμαρτάνειν ἐν τῷ εἰς τὸ ἀδύνατον ἀπάγειν τὴν τυχοῦσαν λύσιν ἐπάγοντας καὶ μὴ παρ' ὃ τὸ ψεῦδος ἐστίν. καὶ εἴη ἂν λεῖπον τῷ "ὥσπερ οὓς εἴπομεν" τὸ ἡμάρτανον· ὡς καὶ ἐκεῖνοι ἡμάρτανον, οὕτω καὶ οὗτοι. id. ib.

εἰ γοῦν καί τινες, φησί, παρὰ τὴν ὁμωνυμίαν ἢ τὴν ἀμφιβο- 179 b 38. λίαν (ταῦτα γάρ εἰσι τὰ διττά) λέγουσιν εἶναι τὸ σόφισμα, ἀλλ' οὖν, ὡς δέδεικται, παρὰ τὸ συμβεβηκός ἐστιν. id. f. 52 *b*.

"εἰ δ' ἄρα πολλαχῶς· καὶ γὰρ τὸν ἄνθρωπον τῶν ζῴων φαμὲν 180 a 10. εἶναι." λείποι ἂν τῷ λόγῳ τὸ οὐ καλῶς λέγει, καὶ εἴη ἂν τὸ πλῆρες τοιοῦτον· εἰ δέ τις τὸ τοῦτο τούτων ἢ τὸ οὗτος τούτου πολλαχῶς λέγεσθαί φησιν, ὅτι καὶ ὁ λόγος ὁ λέγων τὸν ἄνθρωπον τῶν ζῴων πολλαχῶς λέγεται, — εἰ οὖν τοῦτό τις εἴποι, οὐ καλῶς λέγει. καὶ τὴν αἰτίαν τοῦ μὴ καλῶς λέγειν τὸν εἰπόντα τοῦτο γοργῶς τέθεικε διὰ τοῦ "ἀλλ' οὐ κτῆμα," ὅπερ ἴσον ἐστὶ τῷ οὐ γὰρ λέγεται κτῆμα. ἔστι δὲ καὶ ἡ σύμπασα τῶν λέξεων διάνοια τοιαύτη· εἰ μὲν γὰρ ὁ ἄνθρωπος καθ' ἕνα μὲν τρόπον ἐλέγετο τῶν ζῴων, διότι ζῴων ἐστί (πᾶν

ἐρωτῶν εἰ ὁ Σωκράτης πατήρ, ὁ δὲ ἐρωτώμενος ὁμολογεῖ τοῦτο, οὐχὶ πρός τι καὶ συμβεβηκὸς τὸν Σωκράτην νομίζων ἀλλ' ὡς υἱὸν ἔχοντα, ὁ δὲ συνάγει εὐθὺς τῷ τὸν Σωκράτην πατέρα εἶναι, τοῦτον δὲ πρός τι, τὸ δὲ συμβεβηκός, καὶ αὐτὸν εἶναι συμβεβηκός. ἔστι δὲ ἡ παραγωγὴ τοῦ σοφίσματος τοιαύτη. id. f. 47.

173a 24. τοιοῦτον καὶ τὸ τοιόνδε σόφισμα "ὃ ἐγώ εἰμι, σὺ οὐκ εἶ, ἄνθρωπος δέ εἰμι ἐγώ, σὺ ἄρα ἄνθρωπος οὐκ εἶ." κἀνταῦθα τὸ μὲν ἐγὼ καὶ σὺ ἐπὶ τῶν ἀτόμων λέγεται, ὁ δὲ ἄνθρωπος ἐπ' οὐδενὸς τῶν ἐν μέρει. γέγονεν οὖν ὁ παραλογισμὸς διὰ τὸ οὔ τινι ὡς τινὶ χρήσασθαι. id. f. 47 b.

173a 25. ἐκ τούτων λύεται καὶ τὸ σόφισμα τὸ λέγον μὴ εἶναι τὴν κίνησιν ἐν τῷ κινουμένῳ· εἰ γάρ ἐστιν ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ἢ κινητόν, ὡς ἐν τῷ τρίτῳ τῆς Φυσικῆς Ἀκροάσεως δέδεικται, δῆλον ὅτι ἐν τῷ κινουμένῳ ἐστίν. πρὸς τοῦτο δὲ ἐνίσταντο οἱ σοφισταὶ λέγοντες· οὐ λέγομεν ὁρᾷ ὁρᾶται ὅρασις καὶ ἀκούει ἀκούεται ἄκουσις, ἀλλὰ μὴν ἡ ὅρασις ἐν τῷ ὁρῶντι καὶ ἡ ἄκουσις ἐν τῷ ἀκούοντι καὶ ἡ κίνησις ἐν τῷ κινοῦντι. παρὰ τὸ σχῆμα τῆς λέξεως ὁ παραλογισμός· τὸ γὰρ ὁρᾶν καὶ ὅλως τὸ αἰσθάνεσθαι πάσχειν ἐστὶν ἀλλ' οὐ ποιεῖν. id. f. 48.

173a 36. τὸ σόφισμα τοιοῦτον "ἆρα δοίη ἄν τις ὃ μὴ ἔχει; οὔ. ὅδε δὲ οὐκ εἶχε μόνον ἕνα ἀστράγαλον, δέδωκε δὲ ἕνα. δέδωκεν ἄρα ὃ οὐκ εἶχε· μὴ ἔχων γὰρ ἕνα δέδωκεν ἕνα. δοίη ἄν τις ὃ μὴ ἔχει." ἡ λύσις, ὅτι οὐ δέδωκεν ὃ οὐκ εἶχε· πολλὰ γὰρ ἔχων εἶχε καὶ ἕνα, ὥστε οὐ δέδωκεν ὃ οὐκ εἶχεν (εἶχε γὰρ τὸν ἕνα), ἀλλ' ὡς οὐκ εἶχε· μὴ ἔχων ἕνα μόνον δέδωκεν ἕνα μόνον. ὡς γὰρ τὸ "μόνον" οὔτε τόδε τι σημαίνει, οἷον οὐσίαν, οὔτε ποιόν (οὐδενὸς γὰρ τούτων ἐστὶ σημαντικόν), ἀλλ' ὡς ἂν εἴπέ τις ἄσχετον σχέσιν, οἷον ὅτι καθ' ἑαυτόν ἐστιν ἀλλ' οὐ κατά τινος ἄλλου, οὕτως καὶ τὸ μὴ μόνον τὸ μετ' ἄλλου ὂν δηλοῖ. id. ib.

173b 8. συνεπεραίνετο δὲ τὰ σοφίσματα ἐπὶ τοῦ ἔχοντος δύο χεῖρας καὶ δύο ὀφθαλμοὺς καὶ πλείω ψηφίσματα ἑνὸς οὕτως. "ἆρα ᾗ μὴ ἔχει τις χειρὶ τύπτοι ἄν; ὅδε δὲ οὐκ ἔχει μίαν χεῖρα μόνην ἀλλὰ δύο, τύπτει δὲ τῇ μιᾷ. ᾗ ἄρα χειρὶ οὐκ ἔχει τύπτει· μὴ ἔχων γὰρ μίαν μόνον τύπτει τῇ μιᾷ μόνον." ἡ λύσις ὅτι οὐ τύπτει ᾗ οὐκ ἔχει ἀλλ' ὡς οὐκ ἔχει. id. f. 48 b.

173b 11. ἐν δὲ τῇ λέξει τῇ "οἱ δὲ καὶ ὡς ὃ ἔχει ἔλαβε" τὸ λεγόμενόν ἐστιν, ὅτι λαβὼν ἕνα καὶ ἕνα ἐκ τοῦ λαβεῖν ἔχει. τὸ δὲ "ἐδίδου μίαν μόνον οὗτος ψῆφον" κατασκευαστικόν ἐστι τοῦ ὅδε δὲ λαβὼν μίαν μόνην ψῆφον παρὰ τοῦδε οὐκ ἔχει μίαν· εἰ γάρ, φασί, μίαν μόνην ὅδε ἐδίδου, καὶ μίαν ὁ λαβὼν ἐλάμβανεν. ὃ δὲ διὰ τοῦ "οἱ δὲ εὐθὺς τὴν ἐρώτησιν ἀναιροῦντες" τοιοῦτόν ἐστιν· τῶν λυόντων τὰ προρρηθέντα σοφίσματα οἱ μὲν πρὸς τὸ συμπέρασμα ἐνίστανται, οἱ δὲ πρὸς τὴν πρότασιν, οἷον ἐρωτῶσιν οἱ σοφισταὶ "ἆρ' εἰκὸς τύπτειν τινὰ ᾗ μὴ ἔχει χειρί; οὔ. ὅδε δὲ μὴ ἔχων μίαν χεῖρα ἀλλὰ δύο, ἔτυψε τῇ μιᾷ. ἔτυψε λοιπὸν ᾗ οὐκ ἔχει χειρί· οὐδὲ γὰρ εἶχεν ἐκείνην μόνην." οἱ μὲν οὖν εὐθὺς ἐνίσταντο πρὸς τὸ συμπέρασμα μίαν αὐτὸν λέγοντες ἔχειν τὴν ἐνεργοῦσαν· ἄλλοι δ' ἐνίσταντο πρὸς τὴν πρότασιν καὶ ἀληθῆ ταύτην εἶναί φασιν. ἔστω γοῦν, φησίν, ἐπειδὴ ψεῦδος τὸ μὴ τύπτειν, ἀληθὲς τὸ τύπτειν μεθ' ἧς οὐκ ἔχει χειρός, ὃ βούλονται οἱ σοφισταὶ συνάγειν ὡς ἄτοπον καὶ ἀδύνατον. εἰ γοῦν ἀληθές, οὐδὲ λύσιμον ἔσται. ἀλλὰ μὴν λύσει ὑποπίπτει· ἐροῦμεν γὰρ πρὸς τὸν σοφιστὴν ὅτι ὁ ἀποκρινόμενος δέδωκε τύπτειν μεθ' ἧς οὐκ ἔχει χειρός, οὐχὶ τῆς μὴ οὔσης ὅλως ἀλλὰ τῆς λαιᾶς· τύπτειν γὰρ ἔφησε μετὰ τῆς δεξιᾶς ἣν οὐκ ἔχει λαιάν, ἢ τῆς τοῦ Σωκράτους χειρός. τὸ δὲ "εἰ γὰρ ἦν αὕτη λύσις, δόντα τὸ ἀντικείμενον οὐχ οἷόν τε λύειν" ἴσον ἐστὶ τῷ, εἰ γὰρ αἱ ἀληθεῖς καὶ τοῦ πράγματος αὗται ἦσαν λύσεις, εἴ τις δοίη τὸ ἀντικείμενον, οὐκ ἂν λυθείη τὰ σοφίσματα· τὰ γὰρ ἀντικείμενα τοῖς κειμένοις ἀληθῆ ἔσται, ὥστε καὶ τὰ διὰ τῶν κειμένων συναγόμενα. id. ib.

173b 19. καὶ τίνα τὰ ἄλλα, ἐπήγαγε λέγων "οἷον εἰ ἔστι μὲν ὃ ἔστι δὲ ὃ οὔ." φέρεται δὲ καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως "οἷον εἰ ἔστι μὲν ἔστι δὲ οὔ." δι' ἀμφοτέρων δὲ τὸ αὐτὸ δηλοῦται. ἔστι δὲ οὖν τὸ "οἷον εἰ ἔστι μὲν ὅ ἐστιν, ἔστι δὲ ὃ οὔ" ἴσον τῷ οἷον εἰ τὸ μέν ἐστιν ἀληθὲς τὸ δὲ ψεῦδος, τεθέντος τοῦ ἀληθοῦς, ὅπερ "ὃ" εἶπεν, ἄλυτον ἂν ἦν. ταῦτα εἰπὼν ἐπάγει "ἡ λύσις, ἂν ἁπλῶς δῷ λέγεσθαι, συμπεραίνεται," δυνάμει λέγων· ἡ μὲν ὑπ' ἐκείνων λεγομένη λύσις μοχθηρὰ καὶ ἀδόκιμος, ἡ δὲ ἀληθής, ὅτι εἰ μὲν ἁπλῶς δῷ λέγεσθαι, τουτέστιν εἰ μὲν τὰ μὴ ὡσαύτως λεγόμενα ὡσαύτως δῷ λέγεσθαι, συμπεραίνεται καὶ ἐλέγχει· εἰ δὲ μὴ δῷ, οὐ συμπεραίνεται· εἰ δὲ μὴ συμπεραίνεται, οὐκ ἂν εἴη λύσις. καὶ δεῖ προσυπακούειν τὸ ἣν ἐκεῖνοι μοχθηρῶς λύοντες ἐπάγουσιν· ἀλλὰ λύσις ἔσται, ἣν αὐτὸς εἶπε. τὸ "ἐν δὲ τοῖς εἰρημένοις πάντων διδομένων" ἴσον ἐστὶ τῷ ἐν δὲ τοῖς εἰρημένοις ἐλέγχοις καὶ σοφίσμασι πάντων συγχωρουμένων αὐτοῖς, τοῦ τύπτειν ᾗ μὴ ἔχει χειρί, τοῦ ὁρᾶν ᾧ μὴ ἔχει ὀφθαλμῷ, οὐ συμπεραίνονται οὐδ' ἔλεγχον οὗτοι συλλογίζονται. ὥστε οὐδὲ οὗτοι καλῶς λύουσι. id. f. 49 b.

173b 24. ὅταν τὴν ἐρώτησιν προτείνῃ τὴν "ἆρα ὃ γέγραπται γέγραφέ τις," ἐπὶ ποσοῦ μόνου ταύτην ἠρώτησας· ἐπὶ γὰρ λόγου ἠρώτησας ἢ συλλαβῆς ἢ λέξεως, ἅτινα ὑπὸ τὸ ποσὸν ἀνάγονται, ὡς μεμαθήκαμεν· ὅταν δὲ συνῆξας τὸ συναχθέν, ἐπὶ ποιοῦ συνῆξας· τὸ γὰρ ψευδὲς καὶ ἀληθὲς τοῦ ποιοῦ εἰσίν. id. ib.

173b 36. τὴν δὲ λύσιν τοῦ σοφίσματος ἐνέφηνε διὰ τοῦ "ᾗ ὃ μὲν ἅπαν, τὸ δὲ οὐχ ἅπαν." ἔστι δὲ ὃ λέγει ὅτι τὸ μὲν πᾶν, ἤγουν οἷον καὶ ποιόν, τὸ δὲ οὐ ποιὸν ἀλλὰ ποσόν· τὸ γὰρ ὢν τὸ μὲν τὸ δ' οὐ τὸ ποσά. ἐρωτήσας οὖν ἐπὶ τοῦ ὅ, συνάγει ὅσα. ἔτι ἔστι καὶ ἄλλως εἰπεῖν τὸ "ᾗ ὃ μὲν ἅπαν, τὸ δ' οὐχ ἅπαν," τουτέστιν ὅτι δυνατόν ἐστιν ἐπὶ μέν τινος μαθήματος ἅπαν εἰπεῖν, οἷον ὅτι καὶ εὗρον ἐγὼ καὶ ἔμαθον παρ' ἄλλου, ἐπὶ δέ τινων οὐχ ἅπαν ἀλλ' ἢ τὸ εὑρεῖν μόνον ἢ τὸ μαθεῖν παρ' ἄλλου. "καὶ ὅτι ἔστι τις τρίτος ἄνθρωπος παρ' αὐτόν." ὁ λεγόμενος ὑπὸ τῶν σοφιστῶν λόγος καὶ τὸν τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτος, οἷον λέγοντες, φασίν, ἄνθρωπος περιπατεῖ, οὔτε τὴν ἰδέαν ἄνθρωπον περιπατεῖν λέγομεν, ἀκίνητος γὰρ ἐκείνη, οὔτε τῶν καθ' ἕκαστόν τινα, πῶς γὰρ ὃν μὴ γνωρίζομεν; τὸ μὲν γὰρ ἄνθρωπον περιπατεῖν γνωρίζομεν, τίς δὲ τῶν καθ' ἕκαστά ἐστιν ἐφ' ᾧ λέγομεν, οὐ γνωρίζομεν. ἄλλον ἄρα τινὰ παρὰ τούτους τρίτον ἄνθρωπον λέγομεν

μᾶλλον ἦν ἐν ᾧ τῶν ὀνομάτων οὐδέν ἐστι διττόν, ἀλλ' ἐν αὐτῷ τῷ λόγῳ, ὡς ἐπὶ τοῦ γένοιτο καταβαλεῖν τὸ νῦν ἐμέ· ἐνταῦθα γὰρ τῶν μὲν ὀνομάτων οὐδὲν διττόν, ὁ δὲ λόγος. οὐ δὴ οὖν ὡς κατασκευαστικὸν ἐπήνεκται· δοκεῖ γὰρ λέγειν ὅτι εἰ διαιρεθέντος τοῦ λόγου ἦσαν τὰ μέρη αὐτοῦ διττά, τότε ἦν ἂν τῶν ἀμφιβόλων, ὡς τῶν ἀμφιβόλων πάντων ἐχόντων τὰ μέρη διττά. ὅπερ ψεῦδος· τεσσάρων γὰρ ὄντων τρόπων, ὡς καὶ πρὸ ὀλίγου εἰρήκαμεν, ἐξ ὧν τὰ δύο εἴδη συνίσταται, τό τε ἐκ τῆς ὁμωνυμίας καὶ ἀμφιβολίας, πρῶτος μὲν ὅταν ὁ λόγος ἢ τὸ ὄνομα πλείω σημαίνῃ, ὅς ἐστι κοινὸς ἀμφοῖν ἐπ' ἴσης, δεύτερος δὲ ὅταν εἰωθότες ὦμεν οὕτω λέγειν, ὅστις καὶ αὐτὸς κοινός ἐστι, τρίτος ὅταν τὸ συντεθὲν πλείω σημαίνει, κεχωρισμένον δέ ἐστιν ἁπλοῦν, ὅς ἐστιν ἴδιος τοῦ κατὰ ἀμφιβολίαν μόνου, τέταρτος δὲ τοῦ ἀντιστρόφως τούτῳ ἔχοντος, ἡνίκα τὸ μὲν συντεθὲν ἓν σημαίνει, κεχωρισμένον δὲ πολλαχῶς λέγεται, ὃς ὡς ἐπίπαν τὸν πρῶτον τρόπον ποιεῖ, ἐπ' ἔλαττον δὲ καὶ τὸν δεύτερον, — τεσσάρων οὖν ὄντων τρόπων καὶ κυριωτάτων ὄντων παρὰ τὴν ἀμφιβολίαν, ὅταν τῶν ὀνομάτων οὐδὲν ἔχῃ τὸ διττόν, οὐκ οἶμαι τὸ "οὐδὲ γάρ ἐστι διττὸν τὸ παρὰ τὴν διαίρεσιν" οὕτως ἐπενεχθῆναι ὡς λέγον ὅτι ἂν διαιρεθὲν εἶχε τὸ διττόν, ἦν ἂν παρὰ τὴν ἀμφιβολίαν, ἐπεὶ δὲ οὐκ ἔστι διττόν, οὐκ ἔστι παρὰ τὴν ἀμφιβολίαν· ἀλλ' ἔστιν ὃ λέγει, ἐπειδὴ συντεθεὶς ἔχει τὸ διττόν, διαιρεθεὶς δὲ οὐκ ἔχει, παρὰ τὴν σύνθεσίν ἐστι τὸ σόφισμα. ὁμοίως δὲ καὶ τὸ "ἆρα εἶδας σὺ νῦν οὔσας ἐν Πειραιεῖ τριήρεις ἐν Σικελίᾳ ὤν" παρὰ τὴν σύνθεσίν ἐστιν· ἄλλο γὰρ δηλοῖ διαιρουμένων τῶν τριηρῶν ἀπὸ τοῦ Πειραιεῖ, καὶ ἄλλο συντιθεμένων... ἐν δὲ τῷ "ἀλλ' ἐν μὲν τοῖς γεγραμμένοις τὸ αὐτὸ ὄνομα" λείποι ἄν, οὐκ ἔστι διττόν. ἔστι δὲ ὃ λέγει τοιοῦτον· ἐν τοῖς γεγραμμένοις οὐκ ἔστι διττὸν τὸ αὐτὸ ὄνομα ἢ τὰ αὐτὰ ὀνόματα· ὅταν γὰρ ἐκ τῶν αὐτῶν ᾖ γεγραμμένα στοιχείων καὶ ὡσαύτως, τουτέστι διὰ τῶν αὐτῶν τόνων καὶ πνευμάτων, ἵν' ἢ ἀμφότερα δασύνηται ἢ ἀμφότερα ψιλῶνται, καὶ ἢ ἀμφότερα διὰ διχρόνων ἢ ἀμφότερα διὰ μακρῶν· τὸ γὰρ ἦχος καὶ ἦχος οὐ διττόν. ὅταν δὲ μὴ διὰ τῶν αὐτῶν ᾖ γεγραμμένα ἀλλὰ δι' ἄλλων καὶ ἄλλων, διττόν, ὥσπερ ἐπὶ τοῦ κλῆμα καὶ κλίμα· τὸ μὲν γὰρ διὰ τοῦ η σημαίνει τὸν ἄμπελον, τὸ δὲ διὰ τοῦ ι τὸ τμῆμα τῆς γῆς, οἷον εἰ τύχοι τὸ διὰ Ῥόδου κλίμα ἢ τὸ διὰ Βορυσθένους· παράσημα γὰρ τὰ στοιχεῖα. ἴσως δὲ καὶ τοὺς τόνους, μᾶλλον δὲ ἀμφότερα εἴρηκεν· ἐπειδὴ γὰρ τὰ φθεγγόμενα καὶ δηλούμενα διὰ τῶν τοιούτων ὀνομάτων, λέγω δὴ τοῦ κλήματος καὶ κλίματος, οὐ τὰ αὐτά ἐστι, παρεσημειώσαντο πρὸς δήλωσιν τῶν δηλουμένων τὸ μὲν γράφεσθαι διὰ τοῦ διχρόνου τὸ δὲ διὰ τοῦ φύσει μακροῦ. ἐν δὲ τῇ λέξει τῇ "τὰ δὲ φθεγγόμενα οὐ τὰ αὐτά" ἦν ἂν σαφέστερον εἰ ἀντὶ τοῦ δέ ἦν ὁ γάρ σύνδεσμος γεγραμμένος· ὡς αἰτίαν γὰρ τοῦ διὰ τί τὰ παράσημα ποιοῦνται, τὸ "τὰ φθεγγόμενα οὐ τὰ αὐτά" ἐπήγαγε. τὸ δὲ "ὥστε οὐ διττὸν τὸ παρὰ τὴν διαίρεσιν" ἴσον ἐστὶ τῷ ὥστε οὐ διττὸν οὐδὲ παρὰ τὴν ἀμφιβολίαν ῥηθείη ἂν τὸ σόφισμα. id. f. 45.

177b 12. καὶ δεῖ τὸ "ἆρα εἶδας" ὀξύνειν ἀλλὰ μὴ περισπᾶν. τὸν δὲ λόγον ἠρώτα ὁ Εὐθύδημος ἐν Πειραιεῖ τυγχάνων, ὅτε αἱ τῶν Ἀθηναίων τριήρεις εἰς Σικελίαν ἦλθον. ἔστι δὲ ἡ τοῦ σοφίσματος ἀγωγὴ τοιαύτη "ἆρά γε σὺ νῦν ἐν Πειραιεῖ εἶ; ναί. ἆρ' εἶδας ἐν Σικελίᾳ τριήρεις οὔσας; ναί. ἄρα εἶδας σὺ νῦν οὔσας ἐν Πειραιεῖ τριήρεις ἐν Σικελίᾳ ὤν;" παρὰ τὴν σύνθεσιν τὸ σόφισμα (cf. Rhetoric. 2 24). id. f. 46.

καὶ πάλιν "ἆρ' ἐστὶν ἀγαθὸν ὄντα σκυτέα μοχθηρὸν εἶναι." καὶ 177b 13.
τοῦτο ὀξύνειν δεῖ· συμπέρασμα γάρ ἐστι τοῦ σοφίσματος ἔχον τὸ διττὸν παρὰ τὴν σύνθεσιν. id. ib.

τοῦτο δ' ἔλυσε δυνάμει καὶ ἐν τῷ περὶ Ἑρμηνείας λέγων "οὐ 177b 14.
γὰρ ὅσα χωρὶς λέγεται, καὶ ἅμα δύναται λέγεσθαι." id. ib.

ἐν δὲ τῷ "ἆρ' οὖν αἱ ἐπιστῆμαι σπουδαῖαι, σπουδαῖα τὰ μαθή- 177b 16.
ματα" κατὰ δύο ἡμάρτηται ὁ λόγος, καθ' ἓν μὲν ὅτι ἐκ δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι συλλογίζεται, καθ' ἕτερον δὲ ὅτι οὐδὲ συνάγει ὅπερ φαίνεται ἐκ τῶν κειμένων συμβαίνειν, ἀλλ' ἄλλο τι. δῆλον δὲ τοῦτο ἐντεῦθεν. f. 46 b.

τὸ δὲ "ἀλλὰ μὴν καὶ κακὸν καὶ σπουδαῖον μάθημα τὸ κακόν" 177b 18.
δύναται καὶ ὡς ἀπὸ τῶν σοφιστῶν λεγόμενον νοεῖσθαι ἐπιτεινόντων τὸ ἄτοπον, ὡσανεὶ "λεγόντων σπουδαῖον ἄρα μάθημα τὸ κακόν, ἀλλὰ μὴν καὶ κακόν," ὅπερ ἄτοπον· τὸ δὲ "καὶ μάθημα τὸ κακόν" ὡς κατασκευαστικὸν ὑπ' αὐτῶν λέγεσθαι τοῦ καὶ τὸ κακὸν μάθημα εἶναι καὶ μὴ μόνον τὰ καλὰ εἶναι μαθήματα ἀλλὰ καὶ τὰ κακά. δύναται μὲν οὖν καὶ οὕτως ὡς εἴπομεν νοεῖσθαι, δύναται δὲ καὶ ὡς λύσιν τις τοῦτο τοῦ σοφίσματος ἐπινοεῖν, δυνάμει λέγοντος τοῦ Ἀριστοτέλους, πρῶτον μὲν οὐκ ἔστι μάθημα τὸ κακόν, εἰ δὲ καὶ θήσει τις μάθημα εἶναι καὶ τὸ κακόν, κακὸν ἔσται μάθημα· οὐ γὰρ τὸ σπουδαῖον εἶναι συνάγεται διὰ τῶν ἠρωτημένων, ἀλλὰ τὸ τῶν κακῶν σπουδαίαν εἶναι τὴν ἐπιστήμην· τοῦτο δὲ οὐδέν ἐστιν ἄτοπον. id. ib.

ἐπιμέμφεται τοὺς οὐχ οὕτω λύοντας μηδὲ λέγοντας ὅτι παρὰ 177b 27.
σύνθεσιν ὁ παραλογισμός, ἀλλ' ἐπ' ἄλλην φερομένους καὶ λέγοντας μὴ ὃ δύναται ποιεῖν πάντως, τουτέστι καὶ ἐξ ἀνάγκης δύναται· εἰ γὰρ ταὐτὸν ἦν, φασί, τὸ δυνατὸν τῷ ἀναγκαίῳ, τότε ἔδει λέγειν μὴ κιθαρίζων κιθαρίζοις ἄν... οὐ γὰρ ταὐτόν ἐστι τὸ δυνατὸν καὶ τὸ ἀναγκαῖον· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "οὐ ταὐτὸν δ' εἶναι ὡς δύναται, καὶ πάντως ὡς δύναται ποιεῖν.".. οὐ πάντως, φασὶ μὴ καλῶς λύοντες, ὡς δύναται ποιεῖν, δέδοται ποιήσειν, τουτέστιν οὐ κατὰ πᾶν σημαινόμενον τοῦ δυνατοῦ δέδωκε τὸ δύνασθαι κιθαρίζειν ἤδη καὶ τὸ μὴ κιθαρίζειν, δύνασθαι δὲ κιθαρίζειν· ἀλλὰ τὸ μὲν ὡς δύναται κιθαρίζειν κιθαρίσει, δηλοῖ ὅτι δύναμιν ἔχω μὴ κιθαρίζων νῦν μετὰ ταῦτα κιθαρίσαι, τὸ δὲ πάντως δύναται κιθαρίζειν δηλοῖ καὶ τὸ ὅτε οὐ κιθαρίζει ὅτι ἤδη κιθαρίζει, ὅπερ ψεῦδος τὸ λέγειν ὅτι δύναμιν ἔχει, ὅτε οὐ κιθαρίζει, τότε κιθαρίζειν, ὡς ἅμα εἶναι κιθαρίζοντα καὶ μὴ κιθαρίζοντα. id. ib.

ἐνταῦθα καὶ περὶ τῶν παρὰ τὸ σχῆμα τῆς λέξεως γινομένων 178a 4.
ἐλέγχων φησίν. δῆλον οὖν, φησί, πῶς ἀπαντητέον πρὸς τούτους, εἴπερ ὥρισται ἡμῖν ὅτι δέκα τὰ ἀνώτατα γένη. ὁ μὲν οὖν ἀποκρινόμενος ἐρωτηθεὶς εἰ ὁ Σωκράτης, ὅς ἐστιν οὐσία, πρός τί ἐστιν, ἀνανεύει· τοῦτο γὰρ δηλοῖ τὸ "μὴ ὑπάρχειν τι τούτων," τουτέστι τῶν ἐννέα γενῶν ὅσα τί ἐστι καὶ οὐσίαν σημαίνει· ὁ δὲ ἐρωτῶν δείκνυσι τὴν οὐσίαν ἢ ποσὸν ἢ πρός τι ἢ ἄλλο τι νομιζόμενον οὐσία εἶναι, οἷον

ἀναρμοστία, πάντως οὐδὲ θάνατος· ἀθάνατος ἄρα ἡ ψυχή." καλλίων δὲ ἡ προτέρα ἐξήγησις διὰ τὰ εὐθὺς ἐπενηνεγμένα. id. ib.

176b 29. μέλλων χωρῆσαι εἰς τὸ παραδοῦναι ἡμῖν μέθοδον δι' ἧς ἂν δυναίμεθα διαλύειν τὰ σοφίσματα, εἴτε καθ' ὁμωνυμίαν εἰσὶν εἴτε κατ' ἀμφιβολίαν ἢ καθ' ἕτερόν τινα τρόπον τῶν ἀπηριθμημένων δέκα καὶ τριῶν, ἀνάγει τὸν λόγον ἐπὶ τὸ καθολικώτερον καί φησιν ὅτι ἐπεὶ πᾶς συλλογισμὸς σοφιστικὸς ἢ παρὰ τὴν ὕλην ἐστί, τὰς προτάσεις ἔχων ψευδεῖς, ἢ παρὰ τὸ σχῆμα καὶ κατὰ τοῦτο ὢν ἀσυλλόγιστος, τοῦ μὲν κατὰ τὸ σχῆμα ὄντος ἐρρωμένου ψευδεῖς δὲ τὰς προτάσεις ἔχοντος δεῖ ἀναιρεῖν μίαν τῶν κειμένων προτάσεων παρ' ἣν τὸ ψεῦδος, ἢ εἰ τύχοι καὶ ἀμφοτέρας, ἀλλὰ μᾶλλον τὴν μείζονα, ὡς πολλάκις εἰρήκαμεν, καὶ διαλύειν οὕτως αὐτόν, τοῦ δὲ τὸ σχῆμα ἡμαρτημένον ἔχοντος τὴν ἀσυλλογιστίαν αὖθις ἀπελέγχειν καὶ οὕτω καὶ αὐτὸν ἀνατρέπειν. id. f. 43.

176b 33. εἰρημένην δὲ νῦν λύσιν λέγει τὴν προσεχῶς ῥηθεῖσαν, τὴν ὅτι οὐ συλλελόγισται ἀλλ' ἀσυλλόγιστος ἢ διὰ τὸ ὁμώνυμα ἢ ἀμφίβολα εἶναι τὰ ἠρωτημένα ἤ τι τοιοῦτον, ἢ ὅτι ἐκ δύο μερικῶν συλλογίζεται ἢ ἐκ δύο ἀποφατικῶν ἤ τι τοιοῦτον· καὶ ἡ διόρθωσις τῆς οὐ καλῶς ληφθείσης προτάσεως παρ' ἣν τὸ ψεῦδος συνάγεται. id. ib.

177a 4. τὸ μὲν "διαιροῦντες" ἀντὶ τοῦ ἀναλύοντες εἰς τὰς προτάσεις, ὥσπερ καὶ τὸ "ἀναιροῦντες ὧδε ἢ ὧδε" ἀντὶ τοῦ ἢ τὸ συμπέρασμα μόνον ἢ τὸ συμπέρασμα καὶ τὰς προτάσεις. id. f. 43 *b*.

177a 10. οἱ μὲν παρὰ τὴν ὁμωνυμίαν ἔλεγχοι ἕν τι τῶν ἐρωτημάτων ἔχουσι πολλὰ σημαῖνον, τὸ ὄνομα δηλαδή· ἐπεὶ δὲ τοῦτο ἔχουσι πολλὰ σημαῖνον, καὶ ὁ λόγος διττὸς ἔσται ᾧ συνεπλάκη τὸ ὄνομα. προσυπακουστέον οὖν τὸ καὶ τὸν λόγον, ἵν' ᾖ τὸ πλῆρες οὕτως· οἱ μὲν παρὰ τὴν ὁμωνυμίαν ἔχουσι καὶ τὸ ὄνομα καὶ τὸν λόγον πλείω σημαίνοντα. id. ib.

177a 12. τῶν μὲν ἀπὸ τῆς ὁμωνυμίας οὐκ ἔθηκε παράδειγμα, τοῖς δὲ παρὰ τὴν ἀμφιβολίαν δύο τέθεικε παραδείγματα, τὸ μὲν ἔχον διττὸν καὶ τὰς προτάσεις καὶ τὸ συμπέρασμα, τὸ δὲ τὴν πρότασιν μόνον. εἰδέναι γὰρ δεῖ ὅτι τοῦ μὲν σιγῶντα λέγειν διττὸν μὲν τὸ συμπέρασμα καὶ ἡ πρότασις, τοῦ δὲ μὴ συνεπίστασθαι τὸν συνεπιστάμενον ἡ μὲν πρότασις διττὴ τὸ δὲ συμπέρασμα οὐχί. τὸ γὰρ συμπέρασμα τὸ "οὗτος ἄρα συνεπίσταται καὶ τὰ ἰαμβεῖα" οὐ διττόν. ἦν δ' ἂν σαφεστέρα ἡ λέξις ἡ "ἐν δὲ τῷ μὴ συνεπίστασθαι τὸν ἐπιστάμενον," εἰ οὕτω πως εἶχεν· ἐν δὲ τῷ ἐλέγχῳ τῷ λέγοντι, οὐκ ἄρα συνεπίσταται ὁ ἐπιστάμενος, τὸ ἐρώτημα διττὸν καὶ ἀμφίβολον, τὸ δὲ συμπέρασμα ἁπλοῦν. τὸ δὲ "καὶ τὸ διττὸν ὁτὲ μὲν ἔστιν ὁτὲ δὲ οὐκ ἔστιν" εἶπε περὶ τῶν δύο προτάσεων τῶν τὰ πολλαχῶς λεγόμενα συνιστώντων, τοῦ τε χωρὶς μὲν ἕκαστον ἔχοντος ἁπλοῦν, συντεθέντος δὲ οὐχ ἁπλοῦν, καὶ περὶ τοῦ ἀντιστρόφως τούτῳ ἔχοντος... τὸ δὲ "ἀλλὰ σημαίνει τὸ διττὸν ὁτὲ μὲν ὂν ὁτὲ δὲ οὐκ ὄν" ἴσον ἐστὶ τῷ τὶ μὲν τοῦ διττοῦ ἐστὶν ὂν καὶ ἀληθές, τὶ δὲ μὴ ὂν καὶ ψεῦδος· ἐπὶ γὰρ τοῦ ἆρ' ὁ ἐπιστάμενος λέγειν καὶ ἐκεῖνο συνεπίσταται λέγειν; πῇ μὲν ἀληθὲς πῇ δὲ ψεῦδος· ἐπὶ μὲν γὰρ τοῦ ἐπιστήμονος ἀληθές (οὗτος γὰρ συνεπίσταται), ἐπὶ δὲ τοῦ παιδίου ἢ τοῦ ἰδιώτου ψεῦδος. id. f. 44.

τὸ "ὅσοις μὲν οὖν ἐν τῷ τέλει" ἴσον ἐστὶ τῷ ἐν ὅσοις μὲν οὖν ἐν 177a 16.
τῷ συμπεράσματι· τοῦτο γὰρ εἶπε τέλος. ἐν ὅσοις μὲν οὖν ἐν τῷ τέλει ὁρᾶται τὸ πολλαχῶς λεγόμενον, τουτέστιν ἡ ἀντίφασις, δεῖ εἰδέναι ὅτι ἡ πρότασις ἔχουσα τὴν ἀντίφασιν ἐλήφθη· εἰ γὰρ μὴ προσλάβῃ ἐν τῇ προτάσει τὴν ἀντίφασιν, οὐ γίνεται ἔλεγχος ἐξ ἑνὸς συλλογισμοῦ τἀναντία συνάγων. εἶτα ὥσπερ ἀναμιμνήσκων ἡμᾶς τῶν ἐν τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν (c. 11) εἰρημένων ἐπήγαγεν "ἄνευ γὰρ ἀντιφάσεως οὐκ ἦν ἔλεγχος ὡς ἔλεγχος·" εἴρηται γὰρ καὶ ἐν ἐκείνοις ὅτι ἄνευ τοῦ προσλαβεῖν τὴν ἀντίφασιν οὐ δύναται γενέσθαι ἔλεγχος, ὅτι τὸ ἀγαθὸν οὐκ ἀγαθόν· τὰ γὰρ δεύτερα τῶν Προτέρων τὰς ἀρχὰς περιέχει τῶν σοφιστικῶν ἐλέγχων. ἢ μᾶλλον τὸ λεγόμενόν ἐστιν· ἐν ὅσοις μὲν οὖν ἐν τῷ συμπεράσματι ἀμφιβολία ἐστί (ταύτην γὰρ εἶπε "πολλαχῶς"), ἂν μὴ προσλάβῃ τὴν ἀντίφασιν, οὔπω δῆλον εἰ ἐλέγχει· τούτου γάρ ἐστι δηλωτικὸν τὸ "οὐ γίνεται ἔλεγχος." id. f. 44 *b*.

ἐν ὅσοις δέ, φησίν, ἐν τοῖς ἐρωτήμασίν ἐστι τὸ διττόν, οὐκ 177a 18.
ἀνάγκη προαποφάσκειν, τουτέστιν οὐ δεῖ ἁπλῶς ἀποφάσκειν καὶ λέγειν ὅτι οὔ, ὅταν πῇ μέν ἐστι ἀληθὲς πῇ δὲ ψευδές. ἐπὶ τούτων δὴ οὖν οὐκ ἀνάγκη προαποφάσκειν· ψευδῶς γὰρ ἀποφάσκοις ἄν... εἰπὼν δὲ ὅτι οὐκ ἀνάγκη προαποφῆσαι τὸ διττόν, τὴν αἰτίαν ἐπήγαγε τούτου διὰ τοῦ "οὐ γὰρ πρὸς τοῦτο ἀλλὰ διὰ τοῦτο ὁ λόγος," τουτέστιν οὐ γὰρ πρὸς τοῦτο τὸ ἐρώτημά ἐστιν ὁ λόγος, ἀλλὰ διὰ τοῦτο ἤτοι τὸ συμπέρασμα· διὰ γὰρ τὸ συμπέρασμά ἐστι τὸ ἐρώτημα. id. ib.

ἐπὶ γοῦν τοῦ αὐτοῦ, οἷον τοῦ βαδίζειν, ἅμα καὶ διαίρεσις καὶ σύν- 177a 35.
θεσις γίνεται, ἀλλ' ἀπ' ἄλλου μὲν διαίρεσις, οἷον τοῦ δύναται, ἄλλῳ δὲ σύνθεσις, οἷον τῷ Σωκράτης. διὰ τοῦτο εἶπεν "εἰσὶ δὲ παρὰ τὴν σύνθεσιν ἢ διαίρεσιν·" οὐδὲν γὰρ διαφέρει οὕτως ἢ οὕτως λεγόμενον. διὸ καὶ ὁ Γαληνὸς τοὺς παρὰ τὴν σύνθεσιν καὶ διαίρεσιν ὡς ἕνα τρόπον ἔλαβεν, εἰπὼν "παρὰ δὲ τὴν σύνθεσιν καὶ διαίρεσιν ὅταν αὐτὴ ποιῇ τοῦ σημαινομένου τὴν διαφοράν." ὅτι δὲ καὶ τὸ παρὸν σόφισμα τὸ "ἆρ' ᾧ εἶδες σὺ τοῦτον τυπτόμενον, τούτῳ ἐτύπτετο;" παρὰ τὴν σύνθεσίν ἐστι, δῆλον ἔσται εἴπερ τὸ ὅλον ἐκφήσομεν σόφισμα. ἔστι δὲ τοῦτο. ἆρ' ᾧ εἶδες τοῦτον τυπτόμενον, τούτῳ ἐτύπτετο; ναί. εἶδες δὲ αὐτὸν τῷ ὀφθαλμῷ τυπτόμενον. τῷ ἄρα ὀφθαλμῷ ἐτύπτετο καὶ οὐ μάστιγι. ὅπερ ψεῦδος· τὸ γὰρ ἀληθὲς ἦν, τῷ ὀφθαλμῷ ἄρα εἶδες τοῦτον τυπτόμενον. γέγονε δὲ ὁ παραλογισμὸς ἐκ τοῦ διελεῖν τὸ "τοῦτον τυπτόμενον" ἀπὸ τοῦ "εἶδες," προσθεῖναι δὲ τῷ ὀφθαλμῷ. id. f. 45.

καὶ ὅτι ἡ σύνθεσις ἡ τοῦ ὑστέρου μετὰ τοῦ προτέρου πεποίηκε τὸ 177b 3.
διττὸν σαφηνίζων, ἐπήγαγεν "εἴπερ μὴ καὶ τὸ ὄρος καὶ ὅρος," δυνάμει λέγων ὅτι ὥσπερ οὐδὲ τὸ ὄρος καὶ ὅρος σημαίνει ἕτερον τῇ αὐτῇ προσῳδίᾳ λεχθέν (τοῦτο γάρ ἐστι τὸ πλῆρες τῆς λέξεως), ὅταν δὲ καὶ αὐτὰ καὶ αἱ διαφοραὶ προσῳδιῶν συντεθῶσι, τότε γίνεται διττὸς ὁ λόγος, οὕτως καὶ ἐπὶ τοῦ προκειμένου· τῇ γὰρ συνθέσει γέγονε καὶ οὗτος διττός... τὸ δὲ "οὐ γάρ ἐστι διττὸν τὸ παρὰ τὴν διαίρεσιν" οὐχ ὡς κατασκευαστικὸν οἶμαι ἐπῆκται τοῦ μὴ εἶναι τὸ παρὸν σόφισμα παρὰ τὴν ἀμφιβολίαν· ὁ γὰρ κυριώτατος τρόπος ὁ ἐκ τῆς ἀμφιβολίας

προσκείσθω τὸ ὅδε, ἢ εἰ μὴ ἐν ἐκείναις, μηδὲ ἐπὶ τῷ συμπεράσματι. id. ib.

175 b 29. εἰ γοῦν μὴ ἦν ὁ τὰ πλείω ἐρωτήματα ἓν ποιῶν παραλογισμός, οὐκ ἂν ἦν ὁ περὶ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν· εἰ δὲ μὴ ἦν ἀμφιβολία ἢ ὁμωνυμία, ἢ ἀληθὴς ἐγίνετο ἔλεγχος ἢ οὐδ' ὅλως ἐγίνετο. id. f. 41.

176 a 5. ἀλλ' οὐδὲ ἐὰν κατὰ πάντων τῶν πραγμάτων τῶν ὑπὸ τοῦ ὁμωνύμου ὀνόματος σημαινομένων ἐστὶν ἀληθὲς τὸ κατηγορούμενον, οἷον εἰ ἐρωτήσει τις ἆρα ὁ Αἴας ζῷον δίπουν; τοῦτο ἀληθὲς μέν ἐστι καὶ κατ' ἀμφοτέρων τῶν Αἰάντων, οὐ δεῖ δὲ ἀπόκρισιν μίαν ποιῆσαι. id. ib.

176 a 13. τοῦτο, φησί, τὸ πολλὰ ἐρωτηθέντα ἐρωτήματα μίαν ἀπόκρισιν δοῦναι ταὐτόν ἐστι τῷ ἐρωτηθέντι τι ὁμώνυμον· τοῦτο γάρ ἐστι δηλωτικὸν τὸ "τὸ αὐτὸ ὄνομα τεθείη τοῖς ἑτέροις·" διαφόροις γὰρ πράγμασι τὸ αὐτὸ καὶ ἓν ἐπίκειται ὄνομα. id. ib.

176 a 14. τὸ δὲ "ἀλλ' ἀξιοῦνταί πως ἐν τοῖς διαλεγομένοις" ἴσον ἐστὶ τῷ ἀλλ' εἰ καὶ μὴ κατ' ἀληθὲς ἀποκρίνονται ἐν τοῖς ὁμωνύμοις τὸ ναί ἢ τὸ οὐ λέγοντες, ὅμως ἀξιοῦνται, τουτέστι νομίζονται καὶ ὑπολαμβάνονται ὅτι ἀπόκρισιν ἐποιήσαντο. νομίζονται δέ, φησίν, ἀποκρίνεσθαι διὰ τὸ λανθάνειν τοὺς ἀκροατὰς τὰ συμβαίνοντα ἤγουν τὸ μιᾶς ἐρωτήσεως μίαν ἀπόκρισιν εἶναι καὶ τῶν πολλῶν πολλάς, ἢ μάλιστα διὰ τὸ λανθάνειν αὐτοὺς ὅτι ἐν τοῖς ὁμωνύμοις οὐκ ἔστιν ἀπόκρισις· τοῦτο γὰρ εἶπε συμβαῖνον· συμβαίνει γὰρ ἐν τοῖς ὁμωνύμοις τὴν νομιζομένην ἀπόκρισιν μὴ εἶναι ἀπόκρισιν. ὅπερ δὲ ἐν τῷ ὀγδόῳ τῶν Τοπικῶν (c. 11) εἶπε, τοῦτο καὶ ἐνταῦθά φησιν, ὅτι πολλάκις ἀποκρίσεις δοτέον ψευδεῖς μᾶλλον ἢ ἀληθεῖς. id. f. 41 b.

176 a 24. οὐδαμῶς καὶ τούτων προσλεγομένων δυνήσεται γίνεσθαι ὁ σοφιστικὸς ἔλεγχος· τοῦτον γὰρ καλεῖ παρεξέλεγχον διὰ τὸ ἔξω εἶναι τοῦ κυρίως καὶ ἀληθοῦς ἐλέγχου. "ἐπεὶ δὲ πῶς αἰτεῖται τὸ ἐν ἀρχῇ δῆλον." ἐπειδή, φησί, δῆλόν ἐστι τί τὸ ἐν ἀρχῇ αἰτεῖσθαι (τότε δὲ οἰόμεθα τὸ ἐν ἀρχῇ αἰτεῖσθαι καὶ λαμβάνειν τὸν ἐρωτῶντα, ὅταν ᾖ σύνεγγυς καὶ ταὐτὸν τὸ ἐρώτημα τῷ προβλήματι), λέγει ἐπὶ τῶν τοιούτων εὐθὺς ἀναιρεῖν ἕνα τῶν ἐρωτημάτων καὶ μηδ' ὅλως συγχωρεῖν λέγοντος τοῦ ἀποκρινομένου τῷ ἐρωτῶντι τὸ ἐν ἀρχῇ αἰτεῖσθαι· ἐγγὺς γάρ εἰσι καὶ ταὐτὰ τὰ ἐρωτώμενα τῷ προκειμένῳ προβλήματι. οἷον εἰ προκείμενον συμπερανθῆναι τὴν ἡδονὴν ἀγαθόν, ἔροιτο ἆρά γε ἡ χαρὰ ἀγαθόν; οὐ δοτέον, ἀλλὰ ῥητέον ὅτι τὸ ἐν ἀρχῇ αἰτεῖ. ἔτι ὅταν τις ἀξιοῖ τι συμπέρασμα ψευδές τε καὶ ἄδοξον, ὃ ἐξ ἀνάγκης ἐκ ψευδῶν συνήχθη προτάσεων (τὸ γὰρ ψευδὲς ἀεὶ ἐκ ψευδῶν), τοῦτο καὶ ἐπὶ τῶν προτάσεων ῥητέον, ὅτι ψευδεῖς ἢ ἄδοξοι αἱ προτάσεις αἱ τὸ τοιοῦτον συνάγουσαι συμπέρασμα· τὰ γὰρ συμπεράσματα, ἅπερ αὐτὸς συμβαίνοντα εἶπε, τῆς αὐτῆς εἰσὶ θέσεως. θέσεις δὲ λέγει νῦν τὰς προτάσεις· ὁποῖαι γάρ εἰσιν αἱ προτάσεις, τοιαῦτα καὶ τὰ συμπεράσματα, ὥστε εἴπερ ἄδοξον τὸ συμπέρασμα, ῥητέον ὅτι καὶ αἱ προτάσεις ἄδοξοι. "ἔτι ὅταν τὸ καθόλου μὴ ὀνόματι ληφθῇ." ὡς ἐν παραβολῇ λαμβάνεσθαι ὃ βουλόμεθα λαβεῖν, ἐν τῷ ὀγδόῳ τῶν Τοπικῶν (c. 1) εἴρηκεν, ὅταν ὃ βουλόμεθα λαβεῖν οὕτως ἐρωτῶμεν ὡς οὐκ αὐτὸ θέλοντες ἀλλὰ δι' αὐτοῦ ἄλλο βουλόμενοι λαβεῖν. id. ib.

176 a 33. κύρια ἐκεῖνα λέγει ὀνόματα τὰ οἰκεῖα τοῖς ὑποκειμένοις πράγμασιν, οἷον ἄνθρωπος, ἵππος. id. f. 42.

176 b 3. ἐνταῦθα γοῦν ἐρωτηθέντος κολοβῶς τοῦ προβλήματος συνέβη ὁ παραλογισμός· ἔδει γὰρ εἰπεῖν· ἆρα ὃ ἂν ᾖ Ἀθηναίων κτῆμα, κτῆμά ἐστιν Ἀθηναίων, καὶ ὃ Λακώνων κτῆμα, κτῆμα τούτων. "ὅταν δὲ δυοῖν ὄντοιν." τοῦτο δῆλον ἔσται, εἰ ἀναμνησθείημεν ὧν εἶπεν ἐν τῷ ἐλέγχῳ τῷ γινομένῳ παρὰ τὸ ἑπόμενον. εἶπε δὲ τῷ μὲν γενομένῳ ἕπεσθαι τὸ ἀρχὴν ἔχειν, καὶ ὄντος τοῦ γενομένου ἐξ ἀνάγκης ἐστὶ καὶ τὸ ἀρχὴν ἔχειν· εἰ γὰρ γέγονεν, καὶ ἀρχὴν ἔσχεν. οὐ μὴν εἰ ἀρχὴν εἶχε, καὶ γέγονε· πολλαχῶς γὰρ ἡ ἀρχή. ἐπὶ τούτων δεῖν φησὶν ἐρωτώμενον τὸ μὲν μερικώτερον (τοῦτο γὰρ εἶπεν "ἔλαττον") διδόναι καὶ συγχωρεῖν, ἀληθὲς γάρ, τὸ δὲ ἕτερον μὴ διδόναι· τοῦτο γὰρ δεῖ προσυπακούειν... εἶπε δὲ τὸ μερικώτερον πλείονα ἢ διότι συνθετώτερά ἐστι καὶ πλειόνων (ὁ γὰρ ἄνθρωπος ἐκ πλειόνων μᾶλλόν ἐστιν ἤπερ τὸ ζῷον· ἔχει γὰρ καὶ τὰ τοῦ ζῴου, οἷον τὴν οὐσίαν τὸ ἔμψυχον καὶ τὸ αἰσθητικόν, ἔχει δὲ καὶ τὸ λογικὸν καὶ τὸ ἐπιστήμης δεκτικόν, ἅπερ τὸ ζῷον οὐκ ἔχει), ἢ εἶπεν αὐτὸ πλείονα, ὅτι τὸ καθόλου τρόπον τινὰ ἕν ἐστι, τὰ δὲ μερικὰ πλείονα. καλλίων δὲ ἡ προτέρα ἐξήγησις. "ἐὰν δὲ ἐπιχειρῇ ὅτι τῷ μέν." εἴρηται ἐν τοῖς Τόποις (4 3) ὅτι εἰ τῷ γένει ἐστὶν ἐναντίον, καὶ τῷ τοῦ γένους εἴδει ἀνάγκη εἶναι εἶδος ἐναντίον· τῇ γὰρ ἀρετῇ γένος οὔσῃ καὶ ἐναντίας οὔσης αὐτῇ τῆς κακίας, καὶ τῷ τῆς ἀρετῆς εἴδει τῇ ἀνδρίᾳ ἐστὶν ἐναντία ἡ δειλία. τούτου οὕτως ἔχοντος, εἴ τις ἀληθῶς ἔδειξε τῆς ψυχῆς μὴ εἶναι γένος τὴν ἁρμονίαν διὰ τὸ τῇ μὲν ἁρμονίᾳ εἶναι ἐναντίον τὴν ἀναρμοστίαν, τῇ δὲ ψυχῇ οὐσίᾳ οὔσῃ μὴ εἶναι ἐναντίον τι, ῥητέον, φησίν, ὅτι ἔστι καὶ τῇ ψυχῇ ἐναντίον ἀλλ' οὐ κεῖται ὄνομα αὐτῷ, ἔστι δὲ ἀνώνυμον. id. ib.

176 b 17. ἐν τοῖς ἀμφιδόξοις οὖν τούτοις οὐ δεῖ ἁπλῶς ἀποκρίνεσθαι (τοῦτο γὰρ λείπει), ἀλλὰ σκοπεῖν ὅπως βούλεται ὁ ἐρωτῶν, ἵνα αὐτὸς μὴ λάβῃς αὐτό... ἐν δὲ τῇ λέξει, ὡς εἴρηται, τῇ "ἐν οἷς οὖν ἄδηλον ποτέρως εἴωθε λέγεσθαι" λείπει τὸ ἐν τούτοις δεῖ μὴ συγχωρεῖν. ἔστι γὰρ τὸ πλῆρες· ἐν οἷς οὖν ἄδηλον ποτέρως εἴωθε λέγεσθαι, οὐ δεῖ συγχωρεῖν τὸ ναί ἢ τὸ οὔ, ἀλλ' ἁπλῶς λέγειν ὅτι ἄδηλον τὸ προτεινόμενον. λέγει δὲ λέγεσθαι γνώμας καὶ τὰς ἀληθεῖς δόξας, ὁποῖαί εἰσιν αἱ δοκοῦσαι πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς, καὶ τούτοις ἢ πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς μάλιστα γνωρίμοις (περὶ ὧν ἐν τῷ πρώτῳ τῶν Τοπικῶν εἴρηται), καὶ τὰς ὅλας ἀποφάσεις, λέγων ὅλην ἀπόφασιν τὴν καθόλου ἀπόφασιν, οἷον τὴν οὐδείς. id. f. 42 b.

176 b 20. ἐφ' ὧν, φησίν, οὐκ ἔστι τὸ ἀληθὲς ὁμολογούμενον ἀλλ' ἀμφιδοξούμενον, μάλιστα τις μεταφέρων καὶ μεταλαμβάνων τὰ ὀνόματα πρὸς τὸ χρήσιμον αὐτῷ διαλανθάνει ἄν... ἢ λέγει ἂν διὰ τοῦ μεταφέρειν τὸ μεταφοραῖς χρῆσθαι· εἰ γάρ τις θείη τὴν ψυχὴν θνητήν, χρήσεται δὲ τῇ μεταφορᾷ καὶ εἴπῃ "εἰ ἡ ψυχὴ ἁρμονία ἐστὶ ζωὴ οὖσα," ὡς ὁ Πλάτων ἐν τῷ Φαίδωνι πεποίηκεν, "οὐκ ἂν γένοιτό ποτε ἀναρμοστία ἤτοι θάνατος· εἰ γὰρ ἡ ψυχὴ ζωὴ οὖσα ἁρμονία ἐστί, πάντως ὁ θάνατος ἀναρμοστία ἐστίν· εἰ δὲ ἡ ἁρμονία μὴ γίνεται

οὐ τὸ καὶ τὸ πρὸ ὀλίγου ὡμολόγησας; καὶ ἔστι πολλὰ τοιαῦτα εὑρεῖν παρὰ τῷ Πλάτωνι. καλλίων δὲ οἶμαι ἡ προτέρα ἐξήγησις· τοῦτο γὰρ οὐ σοφιστικόν, τὸ τὰ προεξομολογηθέντα καὶ προδειχθέντα διαρθροῦν, ἀλλὰ διαλεκτικόν. καὶ ὁ βουλόμενος ἀκριβεστέρως μαθεῖν πῶς ἀφίσταται καὶ ἐπιτέμνει τὸν λόγον ὁ ἀποκρινόμενος, ἀναγνώτω τὸ πρῶτον τῶν Πολιτειῶν τοῦ Πλάτωνος... ἢ οὖν τοῦτό ἐστιν ὃ λέγει, ὅτι δεῖ μετάγειν τὸν λόγον πρὸς ὃ εὐποροῦμεν ἐπιχειρημάτων, ἢ ὅτι πρὸς ἄλλο τοῦ κειμένου. id. f. 37 *b*.

174 b 30. ὥσπερ καὶ Ἰσοκράτης ποιεῖ· μὴ δυνηθεὶς γὰρ αὐτόθι τὴν Ἑλένην ἐγκωμιάσαι, ἐπαινεῖ τοὺς αὐτῆς ἐραστὰς καὶ ἐκ τούτου συνάγει τὸν ἔπαινον εἰς αὐτήν· ἧς γὰρ οἱ ἥρωες ἤρων, πῶς οὐ καθέστηκεν ἀξία ἐπαίνων; καὶ ὁ σοφιστὴς Λυκόφρων τοὺς λυρικοὺς ἐπαινῶν ἐπὶ τὴν λύραν μετήνεγκε τὸν ἔπαινον· ἢ μᾶλλον, ἐπειδὴ ὑπό τινων ἠναγκάζετο ἐπαινέσαι τὴν λύραν, εἶτα μὴ λόγων εὐπόρει πολλῶν, μικρόν τι ἐπαινέσας τὴν αἰσθητὴν ταύτην λύραν ἐπὶ τὴν οὐράνιον ἀνηνέχθη· ἔστι γὰρ ἐν οὐρανῷ ἄστρον τι ἐξ ἄστρων πολλῶν συγκείμενον λύρα ὀνομαζόμενον, εἰς ὃν πολλοὺς καὶ καλοὺς καὶ ἀγαθοὺς λόγους ἐξεῦρεν. id. f. 38.

174 b 35. ἡ δὲ λέξις ἡ "λεχθέντων δ' ἐνίων εὐφυλακτότερον τὸ καθόλου συμβαῖνον ἐν τοῖς ἐλέγχοις" πάνυ ἀσαφής, καθὸ τὸν δὲ σύνδεσμον ἐκ περιττοῦ συμβαίνει κεῖσθαι καὶ διὰ τὸ ἐλλείπειν τινά. ἦν δ' ἂν σαφὴς εἰ οὕτως εἶχε· λεχθέντων δὲ ἐνίων εὐφυλακτότερον τοῦτο καθὸ συμβαῖνον ἐν τοῖς ἐλέγχοις, τὸ λέγειν τὴν ἀντίφασιν. καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· λεχθέντων ἐνίων, οἷον ἡρμοσμένου καὶ ἀναρμόστου καὶ περιττοῦ καὶ ἀρτίου ἡ αὐτὴ ἐπιστήμη, τούτων λεχθέντων εὐφυλακτότερόν ἐστι καὶ ἀσφαλέστερον εἰς τὸ ἐλέγξαι τὸν ἀποκρινόμενον (τὸ γὰρ "ἐν τοῖς ἐλέγχοις" ἀντὶ τοῦ ὅτε ἐλέγξαι βουλόμεθα) τὸ εἰπεῖν "ἀλλὰ μὴν τούτων οὕτως ἐχόντων ὑγιεινοῦ καὶ νοσώδους ἡ αὐτὴ ἐπιστήμη ἔσται· ἔσται δὲ κατὰ σὲ καὶ οὐχ ἡ αὐτή· συναληθεύσει ἄρα ἡ ἀντίφασις." εὐφυλακτότερον οὖν τὸ λέγειν ὅτι συναληθεύσει ἡ ἀντίφασις τοῦ λέγειν τὸ καθόλου συμβαῖνον ἤτοι τοῦ λέγειν ὅτι συμβαίνει τούτων κειμένων τὸ καθόλου· ἔστι δὲ τὸ καθόλου τὸ πάντων τῶν ἐναντίων τὴν αὐτὴν ἐπιστήμην εἶναι ἢ οὐχὶ τὴν αὐτήν. id. f. 38 *b*.

174 b 39. τὸ δὲ "ἔνια δ' οὐκ ἐρωτητέον" τινὲς μὲν ἐπὶ τῶν συμπερασμάτων λέγουσιν, ὡς οὐ δεῖ τὰ συμπεράσματα ἐρωτηματικῶς προάγεσθαι. τὸ δ' ἀληθὲς μᾶλλον ἔχει ὡς διὰ τὰς προτάσεις εἴρηται· τινὰς γὰρ τῶν προτάσεων οὐ δεῖ ἐρωτᾶν ἀλλὰ λαμβάνειν ὡς ὁμολογουμένας. id. ib.

175 a 19. πλεονεξία γὰρ ὄντως ἐστὶ τὰ ὁμώνυμα ἀναγκάζειν τὸν ἀποκρινόμενον ὁμολογῆσαι. id. f. 39.

175 a 26. φησὶν ὅτι ὥσπερ ἐπὶ τῶν διαγραμμάτων εὑρόντες τὰς τοῦ θεωρήματος δεικτικὰς προτάσεις συνθεῖναι καὶ εἰς σχῆμα ἀναγαγεῖν ἀδυνατοῦμεν διὰ τὸ δυσθεώρητον εἶναι ποία τῶν προτάσεών ἐστι μείζων καὶ ποία ἐλάττων, ὥσπερ ἐπὶ τοῦ ἀσύμμετρον εἶναι τὴν πλευρὰν τῇ διαμέτρῳ καὶ ἐπ' ἄλλων πολλῶν συμπίπτει· ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐν τοῖς ἐλέγχοις· διὰ γὰρ τὸ συμβαίνειν πλείονας ἁμαρτίας εἶναι τοῦ λόγου ἀδυνατοῦμεν συνιδεῖν ποία ἐστὶ καθ' ἣν ὁ ἔλεγχος γίνεται. id. ib.

ἐπειδὴ ὁ ἀληθὴς ἔλεγχος ἀντίφασίς ἐστιν ἔκ τινων μὴ ὁμωνύμων, οὐ χρὴ τὸν ἀποκρινόμενον ἄλλο τι προσδιορίζεσθαι ἐν τοῖς ὁμωνύμοις ἢ ἀμφιβόλοις ἐλέγχοις, ἀλλὰ λέγειν μόνον ἀμφίβολα καὶ ὁμώνυμα εἶναι τὰ ἐρωτώμενα, καὶ ὅτι τὸ συμπέρασμα φαίνεται μὲν ἐλέγχειν, οὐ ποιεῖ δὲ τοῦτο ὁμώνυμον ὄν. id. f. 39 *b*. 175 a 36.

πολλάκις εἰ διεῖλεν ὁ σοφιστὴς τὰ ὁμώνυμα καὶ ἠρώτησεν, 175 a 41. ἐποίησεν ἂν ἔλεγχον κυρίως, οἷον εἰ διεῖλε τὰ τοῦ κυνὸς σημαινόμενα καὶ ἠρώτησέ τι περὶ ἑνὸς τούτων, ἠπάτησεν ἄν· νῦν δὲ μὴ ποιῶν τοῦτο, πολλάκις συμπεραινόμενός τι ἄτοπον, εὑρίσκει τὸν ἀποκρινόμενον ἀνθιστάμενον καὶ λέγοντα μὴ ἐπὶ τούτου καταφῆσαι καθ' οὗ ἀπέφησεν ὁ σοφιστής· καὶ ἴσως ἐφ' οὗ ἔδωκεν ἐκεῖνος ὁ ἀποκρινόμενος, ἐπὶ τούτου συνεπεράνατο ἂν καὶ ὁ ἐρωτῶν, ὥστε ἄδηλον ποιεῖ τὸν ἐλεγχόμενον· ἄδηλον γὰρ εἰ ἀληθῶς νῦν λέγει ὁ ἀποκρινόμενος λέγων μὴ δοῦναι ἐπὶ τούτου ἐφ' οὗ συνεπεράνατο ὁ σοφιστής. τοῦτο δὲ οὐκ ἂν ἐγίνετο, εἰ διελὼν τὰ ὁμώνυμα ἠρώτα. id. ib.

εἰ διελὼν τὰ ὁμώνυμα ὁ σοφιστὴς ἠρώτα, ἐγίνετο ὅπερ νῦν 175 b 8. μὲν ἧττον ἐπιζητοῦσιν οἱ σοφισταί, μᾶλλον δ' ἐν τοῖς κατὰ Πλάτωνος χρόνοις. τί δὲ ἦν ἐκεῖνο ὃ ἐζήτουν, ἐπάγει, τὸ ἀποκρινόμενον ἢ ναὶ ἢ οὔ. id. ib.

τὸ "τρόπον τινά" προσέθηκε διότι μὴ κυρίως ἐστὶν οὗτος ἔλεγ- 175 b 16. χος... περικαλύψαντες τὸν μουσικὸν Κορίσκον ὀθόνῃ ἢ ἄλλῳ τινὶ οἱ σοφισταὶ ἠρώτων ἆρ' οἶδας ὅτι ὁ Κορίσκος μουσικός ἐστιν; ναί. τί δέ, οἶδας τὸν κεκαλυμμένον ὅστις ἐστίν; οὔ. εἶτα ἀφελόντες τὸ περικάλυμμα, τί δέ, οἶδας, ἔλεγον, τοῦτον ὅστις ἐστίν; ναί. οἶδας ἄρα τοῦτον καὶ ὅτι μουσικός ἐστιν. ἀλλὰ μὴν καὶ οὐκ οἶδας· οὐ γὰρ ἠγνόεις ὅτε περικεκαλυμμένος ἦν ὅστις ἦν, τοῦτον οὐδὲ εἰ ἦν μουσικὸς ἐγίνωσκες. οἶδας ἄρα τὸν αὐτὸν καὶ μουσικὸν καὶ μὴ μουσικόν, ἤτοι μουσικὸν καὶ ἄμουσον, ὥστε ὃ ἀπέφησας ἀπ' αὐτοῦ ὄνομα τὸ μουσικός, τοῦτο κατέφησας κατ' αὐτοῦ. id. f. 40.

ἀνατρέψας οὖν τοὺς κακῶς λύοντας φησὶν "ἀλλ' ἴσως οὐ ταὐτὸν 175 b 23. σημαίνει." ὃ δυνάμει τοιοῦτον ἂν εἴη· ἴσως οὐχ οὕτω δεῖ διορθοῦσθαι ὅτι οὔτε ὁ Κορίσκος μουσικὸς καὶ οὔτε ἄμουσος, ἀλλ' ὅτι οὐ ταὐτὸν σημαίνει, τουτέστι τὸ Κορίσκος οὐχ ἓν σημαίνει· οὐ γάρ ἐστιν ἑνὸς δηλωτικὸν τὸ Κορίσκος ὄνομα, ὥσπερ οὐδὲ ὁ Σωκράτης καὶ ὁ λευκὸς Σωκράτης· εἰ γὰρ καὶ τῷ ὑποκειμένῳ ἕν ἐστιν ὁ Κορίσκος καὶ ὁ κεκαλυμμένος Κορίσκος, ὥσπερ καὶ ὁ Σωκράτης καὶ ὁ λευκὸς Σωκράτης, ἀλλὰ τῷ λόγῳ οὐχ εἷς ἐστίν· ὥστε ῥητέον ὅτι ἐλεγχοειδὲς καὶ παρὰ τὸ συμβεβηκός. εἶτα ἐπειδὴ εἶπεν εἴ τις ὑπολήψεται τὸν κατὰ τὴν ὁμωνυμίαν, οὗτος δὲ τοῦ παρὰ τὸ συμβεβηκὸς τέθεικε παράδειγμα, ἐπιφέρει "οὐ γὰρ ἐκεῖ τοὔνομα," ἐκεῖ λέγων ἐπὶ τοῦ καθ' ὁμωνυμίαν· ἐπὶ τούτου γὰρ οὐ ταὐτὸν σημαίνει τὸ ὄνομα, ὥστε τι διαφέρει τὸ ἁπλῶς περὶ Κορίσκου ἐρωτᾶν καὶ κεκαλυμμένου. id. f. 40 *b*.

εἰ ἐν "τῷ μὲν" ἦγον ἐπὶ τῶν προτάσεων, ὡς ἐκεῖνοι λέγουσιν 175 b 25. ἁπλῶς δεῖ λέγειν, ὅτι ὁ Κορίσκος μουσικός, ἐν δὲ τῷ συμπεράσματι προστεθήσεται τὸ ὅδε, ἄτοπον. τὸ δὲ "οὐδὲν γὰρ μᾶλλον θατέρῳ" τοιοῦτόν ἐστιν, ὅτι ἐπ' ἴσης ἔδει καὶ ἐν ταῖς προτάσεσι καὶ ἐν τῷ συμπεράσματι τεθεῖσθαι τὸ τόνδε· ἢ γὰρ καὶ ἐν ταῖς προτάσεσι

καὶ τὸ καθόλου διὰ τὸ μὴ εἶναι ὠνομασμένον, λέγει πῶς καὶ τότε ὀφείλομεν ἐπάγειν τὸ καθόλου, καί φησιν ἐν οἷς μή ἐστιν ἓν ὄνομα τὴν ὁμοιότητα περιέχον αὐτῶν, ὡς ἐπὶ τῶν τετραπόδων ζῴων· τούτοις γὰρ οὐκ ἔστιν ἓν ὄνομα. . . διὰ τὴν ὁμοιότητα λανθάνει πολλάκις ὁ τοιαύτην ποιούμενος τὴν ἐπιφοράν. ἔφησε δέ τις καὶ οὕτως τὸ ῥητὸν ἑρμηνεύεσθαι, καὶ μάλιστα τῆς τοῦ Ἀριστοτέλους δεινότητος καθαπτόμενος· ἐπὶ τινῶν μὲν ἐπαγαγεῖν δυνατὸν καὶ δηλῶσαι τὸ καθόλου δι' ὀνόματος, ἐπὶ δέ τινων οὐκ ἔστι δυνατὸν ὀνόματι δηλῶσαι τὸ καθόλου ἀλλὰ λόγῳ· τὸ γοῦν τοιοῦτον, φησί, καθόλου τὸ μὴ δι' ὀνόματος ἀλλὰ τὸ διὰ λόγου ἐπαγόμενον ἐνίοτε πῖπτον ὑπὸ ἔνστασιν, ὡς χρησιμεύει σοι τῷ ἐρωτῶντι ἔπαγε· εἰ μὲν γὰρ αὐτὸς ἐπάγεις, λέγε τοῦτο ὡς ἀληθὲς καὶ οὕτως ἔχον, εἰ δὲ ἕτερος λέγει τοῦτο, ἔπαγε αὐτὸς τὴν κειμένην πρὸς τοῦτο ἔνστασιν. ἀλλὰ σαφηνισθήτω καὶ διὰ παραδειγμάτων τὸ λεγόμενον. δι' ὀνόματος μὲν ἐπάγεται καὶ δηλοῦται τὸ καθόλου ὡς ἐπὶ τοῦδε "ὁ Σωκράτης σιμὸν πλατυώνυχον ὢν γελαστικόν ἐστι, ἀλλὰ καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα, καὶ πᾶς ἄρα ἄνθρωπος σιμὸς πλατυώνυχος ὢν γελαστικός ἐστιν·" ἰδοὺ δι' ὀνόματος τοῦ ἀνθρώπου ἐπῆκταί μοι τὸ καθόλου. ἐπὶ δὲ τοῦδε οὐκ ἔστι δυνατὸν ὀνόματι δηλῶσαι "τὸ πρόβατον πεζὸν τετράπουν ὂν οὐκ ἀμφόδουν ἐστίν, ὁμοίως καὶ ἡ ἔλαφος καὶ ἡ αἴξ, πᾶν ἄρα κερασφόρον οὐκ ἀμφόδουν·". τὸ γὰρ κερασφόρον οὐκ ὄνομα ἀλλὰ λόγος. ἐνταῦθα οὖν ἐξ ὁμοιότητος εἴληπται τὸ καθόλου· ἐπειδὴ γὰρ τόδε καὶ τόδε ὅμοιά εἰσι κερασφόρα ὄντα, λοιπὸν συνῆκται καὶ πᾶν κερασφόρον. ἔστιν οὖν πρὸς τοῦτο ἔνστασιν ἐπαγαγεῖν τὸν ἄγριον ὄνον, ὃς ἐν Ἰνδίᾳ λέγεται γίνεσθαι, κερασφόρον ὄντα καὶ ἀμφόδοντα. id. f. 36.

174a 14. πρός τε τὸ λαβεῖν τὴν πρότασιν χρηστέον ἐστὶ καὶ συντελοῦν τῷ ἐρωτῶντι εἰς τὸ λαμβάνειν τὴν πρότασιν καὶ τὸ μὴ αὐτὸ ἐκεῖνο μόνον ὃ βούλεται ἐρωτᾶν ἀλλὰ προστιθέναι καὶ τὸ ἐναντίον. id. f. 36 *b*.

174b 4. ἐν τισὶ μὲν οὖν οὐ πρόσκειται τὸ "συγχωρητέον," καὶ ἔστι σαφὲς τὸ λεγόμενον. εἰ δὲ καὶ τόδε ἔγκειται, οὕτως ληπτέον· πότερον συγχωρητέον τὸ πολλὰ πείθεσθαι τῷ πατρὶ ἢ ὀλίγα; μᾶλλον γὰρ ἂν δόξειεν εἶναι τὰ πολλὰ συγχωρεῖν, εἴπερ ἀναγκαῖόν ἐστιν, ἢ τὰ ὀλίγα. τοῦτο εἰπὼν καὶ τὴν αἰτίαν προστίθησι δι' ἣν λέγει συμβάλλειν. id. ib.

174b 8. ἔστι δὲ ὃ λέγει τοιοῦτον. μάλιστα φαντασίαν ἀποτελεῖ ἐλέγχου, ὅταν μὴ συλλογισαμένου τοῦ ἐρωτῶντος μὴ ἐν ἐρωτήσει τὸ τελευταῖον ἤγουν τὸ συμπέρασμα ἐξάγηται ἀλλ' ἀποφαντικῶς ἐπάγηται· τοῦτο γάρ ἐστι τὸ "συμπεραντικῶς." ἀλλὰ διὰ τί οὐκ εἶπε μὴ ἐν ἐρωτήσει τὸ συμπέρασμα, ἀλλὰ "τὸ τελευταῖον;" ἢ ὅτι συμπέρασμα κυρίως λέγεται τὸ συλλογιστικῶς καὶ κατὰ μέθοδον συλλογιστικὴν συναγόμενον. τὸ δὲ μὴ οὕτω πῶς ἂν συμπέρασμα ῥηθείη; τὸ γὰρ λέγειν ὅτι τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν, τοῦτο τελευταῖον μὲν ῥηθήσεται ὡς ὕστερον ἐπαχθέν, συμπέρασμα δὲ οὔ. δεῖ οὖν, φησί, συμπεραντικῶς ἐπάγειν, οὐκ ἄρα πολλὰ τὸ ὄν, οὐκ ἄρα πεπερασμένον τὸ ὄν· φαίνεται γὰρ ὅτι ὡς ἀποδείξας καὶ θαρρῶν τῇ ἀποδείξει οὕτως ἐπάγεις. id. ib.

174b 12. "τὸ φαινόμενον" ἀντὶ τοῦ προκειμένου εἴληπται. καὶ πῶς τὸ προκείμενον ἀξιοῦται, ἐξηγούμενος ἐπήγαγε "προκειμένου τοῦ δοκοῦντος ἐξ ἀρχῆς," δυνάμει λέγων, εἰ περιέχει ἐν ἑαυτῇ ἡ ἠρωτημένη πρότασις τὸ κείμενον ἐξ ἀρχῆς, δῆλον ὅτι τὸ προκείμενον ἀξιοῖ ἀποκρίνεσθαι. ἔστω κείμενον, ἄδοξόν ἐστι τὸ τὴν ἀδικίαν εὐδαιμονίαν εἶναι. τοῦτο γοῦν οἱ σοφισταὶ βουλόμενοι κατασκευάσαι ἐρωτῶσι καὶ ἀξιοῦσι τὸν προσδιαλεγόμενον ἀποκρίνεσθαι τὸ φαινόμενον ἄδοξον, καὶ τὴν ἐρώτησιν οὕτω πως ποιοῦνται. . . δεῖ οὖν, φησί, καὶ ἐν τούτοις οὕτως ἐρωτᾶν· πότερόν σοι εὐδαίμων δοκεῖ εἶναι ὁ Ἀρχέλαος ἢ ἄθλιος; καὶ εἰ μὲν δοίη ὁ ἀποκρινόμενος, ὁ λέγων κακὸν εἶναι τὸ ἀδικεῖν, εὐδαίμονα εἶναι τὸν Ἀρχέλαον, ἐλεγχθήσεται ὅτι οὐκ ἔστι κακὸν ἀλλ' ἀγαθόν· εἰ δὲ μὴ δοίη μηδὲ φάσκει δοκεῖν εὐδαίμονα εἶναι, ἄδοξα καὶ παράδοξα λέγειν δόξει· σχεδὸν γὰρ οἱ πλείους εὐδαίμονα τὸν Ἀρχέλαον εἶναι ἔλεγον. εἰ δὲ μὴ συγχωρεῖ, ὅμως δὲ φάσκει δοκεῖν εὐδαίμονα, ἐλεγχοειδές. id. f. 36 *b*.

174b 19. ὥσπερ, φησίν, οἱ ῥήτορες (ῥήτορας δὲ λέγει τοὺς ὑπέρ τινος λόγους ποιουμένους καὶ βοηθοῦντας αὐτῷ) σπουδάζουσι τοὺς ἀντιλέγοντας σφίσιν αὐτοῖς περί τινος δεῖξαι τἀναντία λέγοντας τοῖς ὑπὸ τῶν νόμων λεγομένοις ἢ τοῖς τῆς πόλεως ἔθεσιν, οὕτω καὶ τοῖς ἐλέγξαι βουλομένοις ποιητέον καὶ ἐπιχειρητέον δεῖξαι τὸν ἀποκρινόμενον ὅτι τἀναντία λέγει τῆς κειμένης θέσεως ὑπ' αὐτοῦ (τούτου γάρ ἐστι μηνυτικὸν τὸ "ἢ πρὸς τὰ ὑφ' ἑαυτοῦ λεγόμενα") ἢ τἀναντία οἷς ὁμολογεῖ καλῶς λέγειν ἢ πράττειν· οὓς γὰρ ὁμολογεῖ καλῶς λέγειν, τούτοις εἰ δείξομεν τἀναντία λέγοντα, ἐλέγξομεν. id. f. 37.

174b 23. οἱ ἀποκρινόμενοι, φησί, πολλάκις ἐλεγχθέντες οὐχ ὁμολογοῦσιν ἐπὶ τῷ συμπεράσματι, ἀλλὰ διενίστανται ἐπ' ἄλλου μὲν τὴν πρότασιν αὐτοὶ δοῦναι, ἐπ' ἄλλου δὲ συμπερᾶναι τὸν ἐρωτῶντα. ὅθεν καὶ ἐλεγχθέντες ποιοῦσι διττόν, ἤγουν διαιροῦσι τὸ ὄνομα ἐκεῖνο ἐφ' ᾧ ἠλέγχθησαν, καὶ λέγουσι τόδε δοῦναι. id. f. 37 *b*.

174b 28. ἐπειδὴ πολλάκις οἱ ἀποκρινόμενοι εἰς τὴν τῶν ἐρωτώντων τάξιν μεταπίπτουσιν (ἐρωτήσαντος γάρ τινος πρότασιν συντελοῦσαν εἰς κατασκευὴν τῆς κειμένης θέσεως τοῦ ἐρωτῶντος οἱ ἀποκρινόμενοι ἀντεπιχειροῦσι πρὸς τὴν πρότασιν καὶ ἐρωτῶσί τινα δι' ὧν νομίζουσιν ἀποφαίνειν ψευδῆ τὴν ἠρωτημένην πρότασιν), λέγει ἀφίστασθαι ἐρωτήσαντα τὴν πρότασιν τοῦ λόγου τοῦ δεικνύντος αὐτὴν ψευδῆ, ὥσπερ καὶ ὁ Καλλικλῆς (Plat. Gorg. p. 505) ποιεῖ· ἐρωτήσας γὰρ πρότασιν ψευδῆ καὶ τοῦ Σωκράτους ἐπιχειρήσαντος ἐλέγξαι καὶ δεῖξαι ψευδῆ, ἀπέστη τοῦ λόγου φήσας "οὐκ οἶδα τί λέγεις, Σώκρατες· ἄλλον τινὰ ἐρώτα." δεῖ οὖν, φησίν, ἀφίστασθαι τοῦ λόγου, ἄνπερ γνοίης εὐποροῦντα τὸν ἀποκρινόμενον ἐπιχειρημάτων εἰς τὸ δεῖξαι ψευδῆ τὴν πρότασιν, καὶ ἐπιτέμνειν τὰ λοιπὰ τῶν ἐπιχειρημάτων· κἂν προαίσθηται τοῦτο ἐπιχειρῶν ὅτι ἀποχωρεῖς καὶ ἀφίστασαι τοῦ λόγου, προσαγορεύειν ὡς οὐκ ἀφίσταμαι, οἷον καὶ ὁ Καλλικλῆς (ib. p. 497) "ἐρώτα σὺ τὰ σμικρὰ ταῦτα καὶ στενά," μονονουχὶ λέγων τί δεῖ ἀφίστασθαι; οὕτως εὐεξέλεγκτα καὶ εὐτελῆ εἰσιν ἅ μ' ἐρωτᾷς. ἢ τὸ λεγόμενόν ἐστιν· ὅταν διὰ μακρῶν τὸ προκείμενον συλλογισθῇ τῷ μὴ δύνασθαι διὰ βραχέων (εὐφωρατον γὰρ γίνεται τὸ συμβαῖνον ἐξ ὀλίγων συναγόμενον), δεῖ, φησίν, ἀφίστασθαι τοῦ λόγου, τουτέστι τῆς μακρολογίας, καὶ τὰ λοιπὰ τῶν ἐπιχειρημάτων ἐπιτέμνειν, κἂν προαισθόμενος τὸ συμβαῖνον ἐνίσταται ὅτι οὐκ ἔστιν ὃ μέλλει συνάγειν, προσαγορεύειν

173a 34. γίνεται δὲ τοῦτο ἐπ᾽ ἐκείνων, ὅταν ὄνομα ἢ λόγον οὐδὲν διαφέρει εἰπεῖν, οἷον διπλάσιον καὶ διπλάσιον ἡμίσεος, ὅ ἐστι λόγος τοῦ διπλασίου· ἐπεὶ γὰρ τὸ διπλάσιον πρὸς τὸ ἥμισυ λέγεται (πρός τι γὰρ ὂν αὐτὸ ὅπερ ἐστὶ πρὸς ἄλλο τὴν ἀναφορὰν ἔχει), καὶ μόνον λεγόμενον διπλάσιον ποιεῖ συνεξακούεσθαι πάντως καὶ τὸ ἡμίσεος. εἰ γοῦν ἀντὶ τοῦ εἰπεῖν τὸ ὄνομα ἤτοι τὸ μέγεθος τόδε διπλάσιον, ἐρεῖς τόδε τὸ μέγεθος διπλάσιον ἡμίσεος, ἠδολέσχησας· ἐν οἷς γὰρ εἶπας διπλάσιον, ἐδήλωσας αὐτό· εἰ γὰρ ἐν τῷ διπλασίῳ τὸ ἥμισυ ἐμφαίνεται εἰλημμένου ἐνεργείᾳ τοῦ ἡμίσεος, δὶς εἴληπται τὸ ἡμίσεος. εἰ τοίνυν οὕτω λέγεις, τόδε διπλάσιον ἡμίσεος, οὐδὲν ἄλλο λέγεις ἀλλ᾽ ἢ τόδε διπλάσιον ἡμίσεος ἡμίσεος· ἅπαξ μὲν γὰρ τὸ ἡμίσεος συνεμφαίνετο ἐν τῷ εἰπεῖν σε διπλάσιον, καὶ ἔτι ἐν τῷ προσθεῖναί σε ἐνεργείᾳ τὸ ἡμίσεος. πάλιν ἂν ἀντὶ τοῦ εἰπεῖν διπλάσιον τὸ διπλάσιον ἡμίσεος ληφθῇ, τρὶς ἔσται εἰρημένον τὸ ἡμίσεος. εἰσὶ δὲ πάντες οἱ τοιοῦτοι τῶν λόγων ἔν τε τοῖς πρός τι. id. f. 34.

173b 5. ἀλλὰ καὶ ἐν ἐκείνοις, ὅσων μὴ ὄντων πρός τι κατηγορουμένων δὲ κατ᾽ οὐσίας τινός, παραλαμβάνεται ἐν τῷ ὁρισμῷ αὐτῶν ἡ ὑποκειμένη αὐτοῖς οὐσία, καὶ ὅλως ἐν ἐκείνοις ὧν ἕξεις εἰσὶν ἢ πάθη καθ᾽ αὑτὸ κατηγορούμενα τῶν ὑποκειμένων. id. ib.

173b 8. τοιοῦτός ἐστι καὶ τὸ ἀριθμός ἐστι μέσον ἔχων τὸ περιττόν· ἐπειδὴ γὰρ καὶ τοῦτο πάθος ἐστὶ τοῦ ἀριθμοῦ κατηγορούμενον, ὁπηνίκα τὸ περιττὸν ὁριζόμενος τὸ ἀριθμός παραλήψομαι, δὶς εἰλήφειν· περιττὸν γὰρ εἰπὼν τρόπον τινὰ καὶ ἀριθμὸν εἰρήκειν, προστέθεικα δὲ καὶ ἐνεργείᾳ τὸ ἀριθμός. id. ib.

173b 17. σολοικίζειν ἐστὶ τὸ ποιῆσαι τὸν ἀποκρινόμενον τῇ λέξει βαρβαρίζειν ἐκ τοῦ λόγου. γίνεται δὲ κατὰ τρεῖς τρόπους, καὶ πρῶτον μὲν ὅταν ἀληθῶς τις σολοικίζῃ λέγων "Λάχης Λάχου·" δεύτερον δὲ ἔστι μὴ ποιεῖν, φαίνεσθαι δὲ ποιεῖν, ὡς οἱ σοφιστικοὶ ἐπιχειροῦσι λέγοντες "ἆρα ὃ σὺ φῂς εἶναι ἔστιν; φῂς δὲ λίθον εἶναι," εἶτα ἐπάγουσιν "ἔστιν ἄρα λίθον." τὸ τοιοῦτον σολοικισμὸς μὲν εἶναι δοκεῖ, κυρίως δὲ οὐκ ἔστιν· ἔδει γὰρ οὕτως ἐπαγαγεῖν τοὺς σοφιστὰς "ἔστιν ἄρα λίθος εἶναι." ἐνίοτε δὲ ποιῶν τις σολοικισμὸν οὐ δοκεῖ ποιεῖν, ὡς Πρωταγόρας· οὗτος γὰρ τὸν μῆνιν καὶ τὸν πήληκα ἔλεγε, καὶ ποιῶν σολοικισμὸν οὐκ ἐνόμιζε σολοικίζειν, τοῖς δ᾽ ἄλλοις ἐφαίνετο, ὥστ᾽ ἐκείνῳ μὲν ἐφαίνετο σολοικίζειν ὁ λέγων τὴν μῆνιν καὶ τὴν πήληκα, τοῖς δὲ πολλοῖς οὔ· ὁ δὲ λέγων "οὐλόμενον μῆνιν" ἐφαίνετο μὲν τοῖς ἄλλοις σολοικίζειν, ἀλλὰ τῷ Πρωταγόρᾳ οὐ σολοικίζειν ἐδόκει. id. f. 34 b.

174a 6. τρόπον τινά, φησίν, ὅμοιός ἐστιν ὁ σολοικισμὸς τοῖς περὶ τὸ σχῆμα τῆς λέξεως γινομένοις ἐλέγχοις· ὥσπερ γὰρ ἐν ἐκείνοις ἐπὶ τῶν πραγμάτων τις ἀπατᾶται, οὕτως ἐνταῦθα ἐπὶ τῶν ὀνομάτων συμβαίνει τινὰ σολοικίζειν. id. f. 35.

174a 8. ὅτι δὲ ὁ μὲν περὶ τὸ σχῆμα τῆς λέξεως δοκεῖ ὅμοιος εἶναι κατά τι τῷ σολοικισμῷ, δῆλον ὡς ἐπὶ παραδείγματος. ἄνθρωπος γάρ, φησί, καὶ λευκὸν καὶ πρᾶγμά ἐστι καὶ ὄνομα. εἰ μὲν οὖν ὡς πράγματά τις αὐτὰ ἐξετάσει, ποιήσει καθ᾽ ὑπόθεσιν τὸν παρὰ τὸ σχῆμα τῆς λέξεως ἔλεγχον, εἰ δὲ ὡς ὀνόματα, τὸν σολοικισμόν. οὐκ ἐπὶ τοῦ ἀνθρώπου δὲ καὶ τοῦ λευκοῦ ποιήσει τις καὶ τὸν παρὰ τὴν ὁμοιοσχημοσύνην ἔλεγχον καὶ τὸν σολοικισμόν, ἀλλ᾽ ἐφ᾽ ἑτέρων τινῶν· ταῦτα γάρ, τὸν ἄνθρωπον καὶ τὸ λευκόν, χάριν παραδείγματος ἔλαβεν, ὡς εἰ ἔλεγε, τόδε καὶ τόδε καὶ πράγματά εἰσι καὶ ὀνόματα. εἰ μὲν οὖν ὡς πράγματά τις αὐτὰ λαμβάνει, ποιήσει τὸν παρὰ τὴν ὁμοιοσχημοσύνην ἔλεγχον, εἰ δ᾽ ὡς ὀνόματα, τὸν σολοικισμόν. id. ib.

δύο εἴδη τῶν σοφιστικῶν λόγων ἄνωθεν καὶ ἐξ ἀρχῆς ἀπέδωκε. 174a 12. λέγει οὖν καὶ πάλιν τὰ αὐτά, ὅτι εἴδη μέν εἰσι τῶν σοφισμάτων ταῦτα, μέρη δὲ τοῦ μὲν ἑνὸς εἴδους τοῦ παρὰ τὴν λέξιν ἕξ, ὁμώνυμον ἀμφίβολον καὶ τὰ λοιπὰ τέσσαρα, τοῦ δὲ ἑτέρου εἴδους τοῦ ἐκτὸς τῆς λέξεως τὰ πολλάκις ἀπηριθμημένα ἑπτὰ σοφίσματα, καὶ τρόποι οἱ δέκα καὶ τρεῖς. ἔφασαν δέ τινες τρόπους οὐ κατὰ λόγον, ὡς οἶμαι, καὶ τὰ παρὰ τῶν σοφιστῶν σπουδαζόμενα, τὸ φαίνεσθαι ἐλέγχειν, τὸ εἰς ψεῦδος ἄγειν καὶ παράδοξον, τὸ εἰς ἀδολεσχίαν, καὶ τὰ ἑξῆς. μέλλων δὲ εἰπεῖν πῶς ὁ σοφιστὴς τάττει τὰς ἑαυτοῦ ἐρωτήσεις καὶ συντίθησι καὶ περὶ τούτου πλατύτερον διαλαβεῖν, λέγει ὅτι ὥσπερ ἐν τοῖς διαλεγομένοις οὐ μικρὰ συμβάλλεται τὸ προσηκόντως ταχθῆναι τὰ ἐρωτήματα (καὶ τοῦτο ἐδείξαμεν ἐν τῇ διαλεκτικῇ ἐν τῷ ὀγδόῳ τῶν Τοπικῶν), οὕτως ἔχει καὶ ἐν τοῖς ἀγωνιστικοῖς τῶν λόγων. ἐπεὶ οὖν ὠφελεῖ καὶ τὸν ἀγωνιζόμενον τὸ οὕτως ἢ οὕτω τάττεσθαι τούτου τὰς ἐρωτήσεις, ἄγε δὴ καὶ περὶ τούτου εἴπωμεν. id. ib.

ὅτι μὲν στοιχεῖον καὶ ἀρχὰς προειρημένας τὰ ἐν τῷ ὀγδόῳ τῶν 174a 18. Τοπικῶν εἰρημένα λέγει, δῆλον. ταῦτα δὲ ἦσαν τὸ παρεμβάλλειν καὶ ἐρωτᾶν μὴ μόνον τὰ αἴτια τοῦ συμπεράσματος ἀλλὰ καὶ τὰ μὴ τοιαῦτα, παραβολαῖς τε καὶ παραδείγμασι καταποικίλλειν τὸν λόγον. ἔτι γε μὴν δῆλον τοῦτο πεποίηκε διὰ τοῦ μετ᾽ ὀλίγον ῥηθησομένου τοῦ "ὅλως δὲ πάντα τὰ πρὸς τὴν κρύψιν ῥηθέντα πρότερον χρήσιμα καὶ πρὸς τοὺς ἀγωνιστικοὺς λόγους." id. f. 35 b.

ταραττόμενοι γάρ, φησίν, οἱ ἀποκρινόμενοι πάντες ἧττον 174a 20. δύνανται φυλάττεσθαι. ἐν τισὶ δὲ "πάντα" γράφεται· καὶ εἰ οὕτως ἔχει, δηλοῦται ὅτι οὐ δύνανται θυμούμενοι πάντα ὁρᾶν καὶ φυλάττεσθαι τὰ ἐρωτώμενα, κἀντεῦθεν πρὸς ἀπάτην ἀπάγονται. id. ib.

εἴρηται περὶ τούτου καὶ ἐν τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτι- 174a 23. κῶν (c. 15) καὶ ἐν τῷ ὀγδόῳ τῶν Τοπικῶν (c. 1). id. ib.

καὶ ὅλως τὰ λεχθέντα ἐν τῷ ὀγδόῳ τῶν Τοπικῶν, ὡς εἴρηται, 174a 26. χάριν κρύψεως χρήσιμά εἰσι καὶ τοῖς ἀγωνιζομένοις. id. ib.

ἐπεὶ δὲ πολλάκις ὁ ἀποκρινόμενος ἐρωτώμενός τινα καὶ συνεὶς 174a 30. ὅτι ταῦτα συντελοῦσι τῷ ἐρωτῶντι πρὸς κατασκευὴν οὗ βούλεται αὐτὸς ὁ ἐρωτῶν, οὐ δίδωσι ταῦτα ἀλλ᾽ ἀνανεύει, διδάσκει καὶ περὶ τούτου, πῶς χρὴ ποιεῖσθαι τὴν ἐρώτησιν, καὶ λέγει δεῖν εἶναι τό τε κατὰ ἀπόφασιν ἐρωτᾶν... ἢ καὶ ἐξ ἴσου ποιητέον τὴν ἐρώτησιν, οἷον ἆρά γε ἡ ἡδονὴ κατὰ φύσιν ἢ οὐκ ἔστι κατὰ φύσιν; id. ib.

καὶ ὅταν, φησίν, ὁ ἐρωτῶν ἐπαγωγὴν ποιούμενος τῶν καθ᾽ 174a 37. ἕκαστον ἔχῃ καὶ τὸν ἀποκρινόμενον διδόντα τὸ μικρόν, ὁπηνίκα μέλλει ἐρωτῆσαι τὸ καθόλου, οὐ δεῖ κατ᾽ ἐρώτησιν τοῦτο προάγειν ἀλλὰ ἀποφαντικῶς καὶ ὡς δοθὲν παρ᾽ αὐτῶν τῶν ἀποκρινομένων· καὶ γὰρ ἐνίοτε αὐτὸ τὸ καθόλου δεδώκασι καὶ ἀπὸ μόνης τῆς ἐπαγωγῆς καὶ τοῦ καθόλου μὴ μνημονευθέντος, καὶ τοῖς ἀκροαταῖς φαίνονται δεδωκέναι ὅτι μηδὲ μάτην καὶ χωρίς τινος λόγου ἡ ἐπαγωγὴ ἐγίνετο... ἐπεὶ δὲ ἐπί τινων ἐπαγωγὴν ποιουμένους οὐκ ἔστιν εὐχερὲς ἐρωτῆσαι

'Αποδεικτικῇ (1 9) εἴρηται τῷ 'Αριστοτέλει, ὅτι "κατὰ κοινόν τέ γὰρ δεικνύουσιν οἱ τοῦ Βρύσωνος λόγοι, ὃ καὶ ἑτέρῳ ὑπάρχει." διὸ καὶ ἐπ' ἄλλων ἐφαρμόττουσιν οἱ λόγοι οὐ συγγενῶν· εἰς γὰρ ὁ Βρύσων ἐπὶ ποσὸν ἐχρήσατο, ταῦτα ἔστι μετενεγκεῖν καὶ ἐπὶ ποιά· ἔστι γὰρ οὕτως εἰπεῖν "τὸ ψιμύθιον καὶ ᾠὸν χιόνος μὲν μελάντερα, τιτάνου δὲ λευκότερα, τὰ δὲ τῶν αὐτῶν λευκότερα καὶ μελάντερα ὁμοίως εἰσὶ λευκά, τὸ ᾠὸν ἄρα καὶ τὸ ψιμύθιον ὁμοίως εἰσὶ λευκά." πάλιν ὁ γλήχων καὶ τὸ σκόροδον πυρὸς μὲν ψυχρότερα, ἐλαίου δὲ θερμότερα, τὰ δὲ τῶν αὐτῶν θερμότερα καὶ ψυχρότερα ὁμοίως εἰσὶ θερμά, ὁ γλήχων ἄρα καὶ τὸ σκόροδον ὁμοίως εἰσὶ θερμά. ὥστε τὸν Βρύσωνος συλλογισμὸν δυνάμεθα μετενεγκεῖν καὶ εἰς ἄλλα, ὅταν οἱ ἀποκρινόμενοι ἢ ἀκροώμενοι ἀγνοῶσι καὶ οὐκ ἴσασι. δεῖ δὲ ἔξωθεν ὑπακούειν τὸ ἀληθῶς ἐκ τινῶν μὲν συνάγεται τὸ ἀδύνατον, ἐκ τινῶν δὲ οὐκ ἀληθῶς. ἢ καὶ οὕτω συμβιβάσεις τὸ ἀπορούμενον ὧδε λέγων· τὸν μὲν τοῦ 'Αντιφῶντος (δηλονότι τὸν διὰ τῶν μηνίσκων) οὐκ ἔστι μετενεγκεῖν, τὸν δὲ ὡς ἀπὸ κοινοῦ λαμβάνοντα ἔστι μετενεγκεῖν τὸν τοῦ Βρύσωνος πρὸς πολλοὺς διαλεγομένου, ὅσοι μὴ ἴσασιν ἀληθῶς τὸ δυνατὸν ἐν ἑκάστῳ καὶ τὸ ἀδύνατον· ἁρμόζει γὰρ ἐπὶ πολλὰ μεταχθῆναι οὗτος παρ' ὃ ὁ τοῦ 'Αντιφῶντος. id. ib.

172a 13. λέγει "οὐδὲ τοιοῦτός ἐστιν οἷος ὁ καθόλου," λέγων καθόλου τὸν θεολόγον... ὅτι δὲ οὐκ ἔστιν ὡρισμένης τινὸς φύσεως ἡ διαλεκτική, καὶ διὰ τοῦτο οὐδὲ ἡ μιμουμένη ταύτην ἐριστική, εἴρηται καὶ ἐν τῷ πρώτῳ τῶν Τοπικῶν. δείκνυσι δὲ καὶ ἐνταῦθα λέγων "οὔτε γάρ ἐστιν ἅπαντα ἐν ἑνί τινι γένει," τουτέστιν, εἰ μὲν ἦν κοινὸν πάντων γένος τὸ ὂν ἕν, ἦν ἴσως λέγειν ὅτι περί τι ὡρισμένον ἐστὶν ἡ διαλεκτικὴ καὶ ἡ πειραστική· ἐπεὶ δὲ δέκα τὰ γένη, οὐκ ἔστι λέγειν ὅτι περὶ μίαν τινὰ ὡρισμένην φύσιν ἐστίν. ἀλλὰ κἂν ἦν, φησίν, ἓν κοινὸν γένος πάντων τὸ ὄν, οὐχ οἷόν τε ἦν ὑπὸ τὰς αὐτὰς ἀρχὰς εἶναι πάντα τὰ ὄντα... δείκνυσι δὲ τὸ προκείμενον καὶ ἄλλως, δυνάμει συλλογιζόμενος οὕτως· αἱ μιᾶς τινὸς φύσεως καὶ ἑνὸς ὑποκειμένου οὖσαι οὐκ ἐρωτῶσιν, ἡ διαλεκτικὴ καὶ ἡ πειραστικὴ ἐρωτᾷ, ἡ διαλεκτικὴ ἄρα καὶ ἡ πειραστικὴ οὐκ εἰσὶ μιᾶς τινὸς ὡρισμένης φύσεως οὐδὲ ἑνός τινος ὑποκειμένου· οὐ γὰρ ἔξεστιν ὁποτερονοῦν τῶν μορίων δοῦναι... ἡ ἀπόδειξις ἐκ τῶν οἰκείων καὶ καθ' αὑτὰ καὶ ᾗ αὐτά, ὡς ἐν τῇ 'Αποδεικτικῇ (1 4) δέδεικται, τοῦ δεικνυμένου γίνεται, ἐκ δὲ τῶν καθ' ἑαυτὰ ὑπαρχόντων ἕν τι δείκνυται τἀληθές. ὥστε ἐπεὶ οὐκ ἔστιν αὐτῷ δυνατὸν ἐκ τῶν αὐτῶν καὶ τὸ ἀντικείμενον δεικνύναι, οὐκ ἐρωτᾷ. id. f. 31.

172a 18. νῦν αὐτὸ τοῦτο πάλιν κατασκευάζει, ὅτι οὐκ ἀποδεικνύει ὁ διαλεκτικός· φησὶ γὰρ "εἰ δὲ ἐδείκνυεν ὁ διαλεκτικός, οὐκ ἂν ἠρώτα, εἰ καὶ μὴ πάντα, ἀλλὰ τά γε πρῶτα καὶ τὰς οἰκείας ἀρχάς." τὸ γὰρ ἑξῆς τῆς λέξεως ἂν πλῆρες τοιοῦτον· εἰ ἐδείκνυε, φησίν, οὐκ ἂν ἠρώτα. διὰ τί; ὅτι οὐκ ἐρωτᾷ ἀλλὰ λαμβάνει ὁ ἀποδεικνύων, ὡς ἐν τοῖς 'Αναλυτικοῖς εἴρηται, ὥστε ἢ περὶ οὐδενὸς ἂν ἠρώτα ὅλως ἀλλὰ τὰ οἰκεῖα τοῦ δεικνυμένου λαμβάνων συνεπέρανεν ἂν τὸ προκείμενον, ἢ εἴπερ ὅλως ἠρώτα, ἀλλ' οὖν περὶ τῶν πρώτων καὶ τῶν οἰκείων ἀρχῶν οὐκ ἂν ἠρώτα, καὶ ἀπό τινων ἐνδόξων συνελογίζετο καὶ ῥοπὴν ἐδίδου πρὸς τὴν συγκατάθεσιν αὐτῶν· οὐδεμία γὰρ ἐπιστήμη περὶ τῶν οἰκείων διαλέγεται ἀρχῶν, ἀλλ' ὡς οὕτως ἐχούσαις χρωμένη τὸ ἑξῆς συμπεραίνεται. ὅτι δὲ καὶ τὰς ἀρχὰς ὁ διαλεκτικὸς συλλογίζεται, δῆλον. id. f. 31 *b*.

172a 21. πειραστικὴν δὲ ἐνταῦθα λέγει οὐχὶ τὴν ἐν τοῖς μαθήμασι γινομένην (αὕτη γὰρ ἐν μόνοις τούτοις ἐστίν), ἀλλά τινα ἄλλην καθόλου καὶ ἐν ἐνθυμήμασι καὶ ἐν ταῖς ἄλλαις τέχναις εὑρισκομένην καὶ τὸ προσωπεῖον τῆς διαλεκτικῆς ὑποδυομένην καὶ ἐπιχειροῦσαν περὶ παντὸς τοῦ προτεθέντος, ὡς καὶ ἡ διαλεκτική. πλὴν οὐκ ἐπιστημονικῶς καὶ αὕτη ἐπιχειρεῖ, ὡς ἡ ἐν τοῖς μαθήμασι πειραστική, ἀλλὰ φαινομένως τε καὶ τὸ ὅλον ὡς ἔτυχεν. id. f. 32.

172a 26. ἔστι δὲ καὶ τὸ διὰ τούτων λεγόμενον τοιοῦτον· οὐδὲν κωλύει τὸν εἰδότα τὰ ἑπόμενα τῷ πράγματι, περὶ οὗ τὴν πεῖραν λαμβάνει, τὴν τέχνην ἀγνοεῖν, ὥσπερ καὶ οἱ ἐμπειρικοὶ τῶν ἰατρῶν. id. ib.

172a 28. περὶ τῆς ἀτέχνου ταύτης πειραστικῆς καὶ ἐν τοῖς εἰς τὴν 'Ρητορικὴν πονηθεῖσι διειλήφαμεν. id. f. 32 *b*.

172b 2. οὐκ ἔστιν ὁ ἐριστικὸς οὕτως ἔχων πρὸς τὸν διαλεκτικὸν ὡς ὁ ψευδογραφῶν πρὸς τὸν γεωμέτρην· εἰ γὰρ ἦν τοῦτο καὶ ἦσαν ὡρισμένα αὐτοῦ τὰ ὑποκείμενα ὥσπερ δὴ τὰ τοῦ ψευδογραφοῦντος, οὐκ ἂν ἠδύνατο περὶ παντὸς τοῦ προκειμένου παραλογίζεσθαι. id. ib.

172b 12. φησὶ πρῶτον μὲν γίνεσθαι τοῦτο ἐκ τοῦ πυνθάνεσθαί πως, τουτέστι κρυπτικῶς· οὐ γὰρ ἁπλῶς τις προάγων τὴν ἐρώτησιν ἐλέγξει ψευδόμενον τὸν ἀποκρινόμενον, ἐκ δὲ τοῦ πῶς ἐρωτᾶν, τουτέστι μετ' ἐπικρύψεως... ἔοικεν ἐλλειπτικὴ εἶναι ἡ λέξις, εἴη δ' ἂν ὁλόκληρος εἰ οὕτω ληφθείη, τό γε ἐρωτᾶν πολλά, κἂν ὡρισμένον ᾖ πρὸς ὃ διαλέγεται, εἰς ἄδοξον δύναται ἀγαγεῖν. ἐπὶ τούτῳ καὶ τοῦτο κατορθοῖ τὸ σπουδαζόμενον, τὸ ἀξιοῦν τὸν ἀποκρινόμενον λέγειν τὰ δοκοῦντα τοῖς πολλοῖς. πλὴν ὅταν ᾖ, φησίν, ὡρισμένον τὸ πρόβλημα, ἧττον κακουργεῖν οἱ σοφιστεύοντες δύνανται, κἂν πολλά τινα ἐρωτῶσιν. id. ib.

172b 22. ὅπερ ἄνωθεν ἐλέγετο καὶ ἔτι τὸ αὐτό φησι, σαφέστερον δὲ νῦν τὸν λόγον μεταχειρίζεται, λέγων ἀρχὴν εἶναι καὶ οἱονεὶ στοιχεῖον τοῦ ἐλέγξαι τινὰ ψεῦδος ἢ ἄδοξον λέγοντα τὸ μὴ δῆλον ποιεῖν τὸ βούλημα μηδὲ τὸ πρόβλημα τιθέναι καὶ ἐρωτᾶν, ἀλλὰ λέγειν μὴ πειραστικῶς διαλέγεσθαι, ἐρωτᾶν δὲ χάριν μαθήσεως. id. f. 33.

172b 26. ὡς ἐν τῷ ὀγδόῳ τῶν Τοπικῶν (c. 1) ἐδίδαξε, χάριν τεσσάρων ἀναχωρεῖ τις τοῦ προβλήματος, ἢ χάριν κρύψεως ἢ χάριν ὄγκου ἢ ἐπαγωγῆς χάριν τοῦ δοθῆναι τὸ καθόλου ἢ πρὸς τὸ σαφέστερον γενέσθαι τὸν λόγον. id. ib.

172b 29. εἰ βούλει γάρ, φησί, ποιεῖν τὸν ἀποκρινόμενον παράδοξα λέγειν, σκόπει καὶ ἐξέταζε ὁποῖός τίς ἐστιν οὗτος καὶ ποίας αἱρέσεως καὶ ποίου δόγματος ἀντέχεται τῆς φιλοσοφίας, εἰ Περιπατητικός ἐστιν ἢ Στωϊκός. καὶ εἰ Περιπατητικός ἐστιν, ἐρεύνα ὅπερ εἶπον οὗτοι παράδοξον καὶ ἐναντίον τοῖς λοιποῖς, οἷον ὅτι πέμπτου σώματός ἐστιν ὁ οὐρανός. καὶ ἐρώτα τοῦτο, εἶτα παράγαγε τοὺς πολλούς· τούτοις γὰρ ἀνόητον πάντη καὶ παράδοξον τὸ τοιοῦτον φανεῖται. ὅτι δὲ ἑκάστη αἵρεσις ἔχει τι παράδοξον, ἐδήλωσεν εἰπὼν "ἔστι γὰρ ἐν ἑκάστοις τι τοιοῦτον." id. f. 33 *b*.

σιγῶντα ἤγουν οὐδ' ὅλως, ὁ δ' ἐρωτῶν συμπερανεῖ λέγειν αὐτόν, ἆρ' οὐ κατὰ διάνοιαν τοῦ γ' ἀποκρινομένου διείλεκται, ἵν' ᾖ τὸ "ἄρα" συμπερασματικόν. καίτοι οὗτος ὁ λόγος, τουτέστιν ὁ παρὰ τὴν διάνοιαν, καὶ παρὰ τοὔνομα ἐστίν· οὔτε γὰρ ἡ αὐτὴ διάνοια τοῦ ἐρωτῶντος καὶ τοῦ ἀποκρινομένου, οὔτε πρὸς τὸ αὐτὸ πρᾶγμα, πρὸς ὃ ἡ τοῦ ἀποκρινομένου ἀπόκρισις γέγονε, πρὸς ἐκεῖνο καὶ τὸ συμπέρασμα ἐξήνεκται, κἂν τὸ αὐτὸ ὄνομα ᾖ· ὥστε τὸ αὐτό ἐστι τό τε πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν. τὸ δὲ "οὐκ ἄρα ἐστὶ γένος τι λόγων τὸ πρὸς τὴν διάνοιαν" τοιοῦτόν ἐστιν, ἵνα καὶ τὸ πλῆρες τῇ λέξει προσθήσομεν· ἐπεὶ ἀπεδείχθη τὸ τὸ αὐτὸ εἶναι τὸ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν, οὐκ ἔστι λοιπὸν τὸ γένος τῶν παρὰ τὴν διάνοιαν λόγων ἄλλο παρὰ τοὔνομα ἀλλὰ ταὐτό. ὁμοίως καὶ τὸ "ἀλλ' οἱ μὲν πρὸς τοὔνομά εἰσι" τοιοῦτον ὅτι ἀλλ' οἱ μέν, ἤγουν τινὲς τῶν ψευδῶν συλλογισμῶν, πρὸς τοὔνομα καὶ παρὰ τὴν διάνοιάν εἰσι, πλὴν οὐ πάντες εἰς ταῦτα ἔχουσι τὴν ἀναγωγήν. id. f. 28 *b*.

171 *a* 28. *εἰπὼν ὡς οὐκ ἐγχωρεῖ τὰ σοφίσματα πάντα εἰς τὸ πρὸς τοὔνομα ἀνάγεσθαι, καὶ πρὸς τὴν διαίρεσιν ἀπαντήσας τε καὶ πρὸς τοὺς ἴσως ἀντιπεσόντας καὶ φήσαντας δυνατὸν εἶναι διὰ τῆς διαιρέσεως ἀνάγεσθαι εἰς αὐτό, καὶ δείξας ὅτι κἂν δώσομεν πάντα εἰς ταῦτα ἀνάγεσθαι, ἀλλ' οὖν πάλιν καὶ οὕτως οἱ παρὰ τὴν διαίρεσιν καὶ οἱ πρὸς τοὔνομα οἱ αὐτοί εἰσι, νῦν εὐθύνει καὶ τὸν ἀξιοῦντα λόγον κατὰ διαίρεσιν ἐρωτᾶν, καὶ πειρᾶται ἀνατρέπειν αὐτόν, λέγων ὡς εἴ τις οὕτως ἀξιοῖ λέγων, οὕτω καὶ ἐρωτῶν, ἆρ' ἔστι σιγῶντα λέγειν; ἔστι δὲ σιγῶντα ὅ τε μὴ λαλῶν ἄνθρωπος καὶ τὰ σιγώμενα (τοῦτο γὰρ δηλοῖ διὰ τοῦ "τὰ μὲν ὡδὶ τὰ δὲ ὡδί," τὰ μὲν οὕτως εἰσὶ σιγῶντα ὡς δύναμιν μὲν ἔχοντα τοῦ λαλεῖν νῦν δὲ σιγῶντα, τὰ δὲ οὕτως ὡς μὴ πεφυκότα λαλεῖν), εἴ τις οὕτως ἐρωτᾷ, οὐ καλῶς ἀξιοῖ, ὅτι καίπερ τῆς ἀξιώσεως εὐπρεποῦς οὔσης, ἐπὶ μὲν τῶν πολλαχῶς λεγομένων ἴσως ἄν τις κατὰ διαίρεσιν ἐρωτήσῃ, ἐπὶ δὲ τῶν μὴ πολλαχῶς πῶς ἐνδέχεται διαιρεῖν;* id. f. 29.

171 *a* 34. *εἰπὼν ὅτι ἐνίοτε τὸ ἐρωτώμενον, καίτοι πολλαχῶς λεγόμενον, οὐκ εὐδοκεῖ πολλαχῶς λέγεσθαι, ὃ δὲ μὴ οἴεται πολλαχῶς λεγόμενον, πῶς ἂν διέλοι ὁ ἐρωτῶν, νῦν ὡς ἀπ' ἐκείνων ἐπάγει τὸ λεγόμενον τὸ "ἐπεὶ καὶ ἐν τοῖς μὴ διπλοῖς." ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον, ὅτι πῶς φής, Ἀριστοτέλης, ὅτι δεῖ τὸ ἐρωτώμενον ὁμώνυμον εἶναι, ἵνα ἡ κατὰ διαίρεσιν προβαίη ἐρώτησις; δυνατὸν γάρ ἐστι καὶ ἐν τοῖς μὴ διπλοῖς, τουτέστι μὴ ὁμωνύμοις, τοῦτο ποιεῖν, ἤγουν τὸ κατὰ διαίρεσιν ἐρωτᾶν. εἶτα καὶ πῶς ἐνδέχεται τὰ μὴ πολλαχῶς ἀλλὰ μοναχῶς λεγόμενα διαιροῦντας ἐρωτᾶν, διδάσκων ἐπάγει ἆρά γε αἱ ἐν ταῖς τέσσαρσι μονάδες ἴσαι εἰσὶ ταῖς δυσὶ δυάσιν; ἤγουν ἆρα αἱ τέσσαρες μονάδες ἴσαι εἰσὶ ταῖς δυσὶ δυάσι; λέγω οὐχὶ ἑκάστην τῶν μονάδων ἴσην τῇ δυάδι, ἀλλ' ὁμοῦ τὰς τέσσαρας μονάδας ἴσας ταῖς δυσὶ δυάσι. τὸ δὲ "εἰσὶ δὲ δυάδες αἱ μὲν ὡδὶ ἐνοῦσαι αἱ δὲ ὡδί" ἴσον ἐστὶ τῷ λέγω δὲ ὡδὶ μὲν ἴσας ὡδὶ δὲ μή, ὁμοῦ μὲν τὰς δύο δυάδας ἴσας ταῖς τέσσαρσι μονάσιν, κατὰ δὲ τῶν μονάδων ἑκάστας τῶν δυάδων οὐκ ἴσας. καὶ ἵνα δι' ἑτέρου ὁ λόγος γένηται, οὕτως αὐτὸν δέξῃ· αἱ τέσσαρες μονάδες ὡδὶ μὲν ἐνοῦσαι καὶ λαμβανόμεναι ἴσαι εἰσὶ ταῖς δυσὶ δυάσιν, ὡδὶ δὲ ἤγουν μία ἑκάστη τῶν μονάδων μιᾷ ἑκάστῃ τῶν δυάδων οὔ. εἴ τις οὖν οὕτω, φήσουσιν ἐκεῖνοι, τὴν ἐρώτησιν ποιήσεται, κατὰ διαίρεσιν ἠρώτησε, καίτοι μήτε τῶν μονάδων μήτε τῶν δυάδων πλεοναχῶς λεγομένων.* id. ib.

ἔτι ἀναιρεῖ τοὺς κατὰ διαίρεσιν ἐρωτῶντας, καί φησι τὸ τὴν 171 *b* 3.
πρότασιν οὕτως ἐρωτᾶν ὡς ἀναγκάζεσθαι τὸν ἀποκρινόμενον ἢ τὸ ναὶ ἢ τὸ οὔ λέγειν (ταῦτα γὰρ εἶπε φάναι ἢ ἀποφάναι) οὐ δεικνύντος ἐστὶν ἀλλὰ πεῖραν λαμβάνοντος τοῦ ἀποκρινομένου εἰ γινώσκει τὸ ἐρωτώμενον. πῶς οὖν ἐνδέχεται τὸν ἀπόπειραν ποιούμενον διαιρεῖν καὶ διδάσκειν τὸν ἐρωτώμενον ὃ ζητεῖ μαθεῖν εἰ οἶδεν; id. f. 29 *b*.

δύο οὖν, φησίν, εἰσὶ συλλογισμοὶ ἐριστικοί, εἷς μὲν ὁ προειρημέ- 171 *b* 11.
νος ὁ ἀσυλλόγιστον ἔχων τὸ σχῆμα, ἕτερος δὲ ὃς οὐκ ἐκ τῶν οἰκείων ἀρχῶν τῆς προκειμένης οὖν μεθόδου μηδὲ ταῖς οἰκείαις τοῦ πράγματος χρώμενος προτάσεσι δοκεῖ εἶναι κατὰ τὴν τέχνην ἤγουν τῶν οἰκείων τῇ τέχνῃ. διὰ τοῦτο τὰ ψευδογραφήματα οὐκ ἐριστικὰ ἀλλὰ διαλεκτικά· ἐκ γὰρ τῶν οἰκείων ἀρχῶν ὥρμηνται τῆς γεωμετρίας, αἱ γραφαὶ δὲ οὐ γίνονται ὡς δεῖ. καὶ εἴρηται ἐν τῷ πρώτῳ τῶν Τοπικῶν (c. 1 p. 101 *a* 15) *περὶ τούτων· λέγει γὰρ ἐν ἐκείνοις "τῷ γὰρ ἢ τὰ ἡμικύκλια περιγράφειν μὴ ὡς δεῖ, ἢ γραμμάς τινας ἄγειν μὴ ὡς ἂν ἀχθείησαν, τὸν παραλογισμὸν ποιεῖται ὁ ψευδογραφῶν." οὐκ ἐριστικὰ οὖν τὰ ψευδογραφήματα, ὅτι ἀπὸ τῶν οἰκείων ἀρχῶν παραλογίζονται, οὐδὲ εἴ τί ἐστι ψευδογράφημα περὶ ἀληθές, ἐριστικὸν ἔσται, οἷος ὁ τοῦ Ἱπποκράτους καὶ ὁ διὰ τῶν μηνίσκων τοῦ Ἀντιφῶντος τοῦ κύκλου τετραγωνισμός· οὐ γάρ εἰσιν ἐριστικοί, ὅτι τηροῦσι τὰς οἰκείας ἀρχὰς τῆς γεωμετρίας. ἀλλ' ὁ τοῦ Βρύσωνος τετραγωνισμὸς τοῦ κύκλου ἐριστικός ἐστι καὶ σοφιστικός, ὅτι οὐκ ἐκ τῶν οἰκείων ἀρχῶν τῆς γεωμετρίας ἀλλ' ἔκ τινων κοινοτέρων· τὸ γὰρ περιγράφειν ἐκτὸς τοῦ κύκλου τετράγωνον καὶ ἐντὸς ἐγγράφειν ἕτερον καὶ μεταξὺ τῶν δύο τετραγώνων ἕτερον τετράγωνον, εἶτα λέγειν ὅτι μεταξὺ τῶν δύο τετραγώνων κύκλος, ὁμοίως δὲ καὶ τὸ μεταξὺ τῶν δύο τετραγώνων τετράγωνον τοῦ μὲν ἐκτὸς τετραγώνου ἔλαττόν ἐστι τοῦ δὲ ἐντὸς μεῖζον, τὰ δὲ τῶν αὐτῶν μείζονα καὶ ἐλάττονα ἴσα ἐστίν, ἴσος ἄρα ὁ κύκλος καὶ τὸ τετράγωνον, ἔκ τινων κοινῶν ἀλλὰ καὶ ψευδῶν ἐστί, κοινῶν μὲν ὅτι καὶ ἐπ' ἀριθμῶν καὶ χρόνων καὶ τόπων καὶ ἄλλων πολλῶν ἁρμόσει ἄν, ψευδῶν δὲ ὅτι ὀκτὼ καὶ ἐννέα τῶν δέκα καὶ ἑπτὰ ἐλάττονες καὶ μείζονές εἰσι, καὶ ὅμως οὐκ εἰσὶν ἴσοι.* id. f. 30.

ἐλλιπῶς ἔχει ἡ λέξις, ἔστι δὲ τὸ πλῆρες τοιοῦτον· ἐκ γὰρ τῶν 171 *b* 36.
αὐτῶν τῇ διαλεκτικῇ παραλογίζεται, ὥσπερ ὁ ψευδογράφος ἐκ τῶν αὐτῶν τῷ γεωμέτρῃ. πῶς δὲ ἐκ τῶν αὐτῶν; ὅτι καὶ ὁ διαλεκτικὸς καὶ ὁ ἐριστικὸς ἐξ ἐνδόξων, ἀλλ' ὁ μὲν ἐκ δοκούντων καὶ ὄντων, ὡς εἴρηται, ὁ δὲ ἐκ δοκούντων μὴ ὄντων δέ. διὰ τοῦτο οὐκ ἔστιν ἐριστικὸς ὁ ψευδογράφος, ὅτι οὐκ ἐκ δοκούντων μὲν ἐνδόξων μὴ ὄντων δέ, ἀλλ' ἐκ τῶν ἀρχῶν καὶ συμπερασμάτων τῶν ὑπὸ τὴν τέχνην ψευδογραφεῖ. id. f. 30 *b*.

ὁ δὲ διὰ τῶν μηνίσκων οὐκ ἐριστικός, ὅτι ἐκ τῶν ἀρχῶν τῆς 172 *a* 3.
γεωμετρίας τοὺς λόγους ποιεῖται, καὶ διὰ τοῦτο τὸν μὲν οὐκ ἔστι μετενεγκεῖν ἐπ' ἄλλα, ὅτι τὰς ἀρχὰς τῆσδε τῆς ἐπιστήμης ἀδύνατον ἐπ' ἄλλην μετάγειν, τὸν δὲ τοῦ Βρύσωνος πρὸς πολλά, ὥσπερ καὶ ἐν τῇ

ἀνάγονται· πρῶτον μὲν γὰρ περὶ τοὺς τοιούτους ἐστὶ λόγους ὅσοι πλείω σημαίνουσιν· οὗτοι δ' ἂν εἶεν οἱ ὁμώνυμοι καὶ ἀμφίβολοι, οἱ δ' ἄλλοι οὐχί· "εἶτα περὶ ὁντινοῦν ἐστί," λέγων "ὁντινοῦν" τὸν ἐρωτῶντα καὶ ἀποκρινόμενον· ἐνδέχεται γὰρ τοῦ λόγου ἢ τῆς λέξεως μὴ πλείω σημαίνοντος τὸν ἐρωτῶντα ἢ τὸν ἀποκρινόμενον οἴεσθαι πλείω σημαίνειν. καὶ ἔσται τότε οὐκ ἐν τῷ λόγῳ τὸ παρὰ τὴν διάνοιαν καὶ πρὸς τοὔνομα ἀλλ' ἐν τῷ τὸν ἀποκρινόμενον ἔχειν πως πρὸς τὰ δεδομένα. ὅτι δὲ τὸ "περὶ ὁντινοῦν" τοῦτο σημαίνει, δῆλον ἐκ τοῦ ἐπαγομένου. id. ib.

170 b 32. εἰ δὲ εὑρεθῶσί τινες, ὡς δειχθήσεται, μὴ ὄντες πρὸς τοὔνομα, οὗτοι οὐδὲ πρὸς τὴν διάνοιαν ἔσονται. καὶ ἔσονταί τινες παραλογισμοὶ τῆς παρούσης ἔξω πίπτοντες μεθόδου. id. f. 27.

170 b 35. "ὅσοι συλλογισμοί εἰσι παρὰ τὸ πλεοναχῶς," τουτέστιν ὅσοι οὐκ εἰσὶ τῶν πλεοναχῶς τισὶ χρωμένων, ἀλλ' ἐκτός εἰσι τούτων, ὡς ἐπὶ τοῦ "Σωκράτης κάθηται, ὁ καθήμενος δύναται βαδίζειν, ὁ Σωκράτης ἄρα βαδίζει." οὗτοι οὐκ ἐκ τῶν πλεοναχῶς ἀλλ' ἐκ τῶν παρὰ τὸ πλεοναχῶς, ὥστε οὐδὲ πρὸς τοὔνομα ἔσονται οὐδὲ πρὸς τὴν διάνοιαν. τὸ δὲ "τούτων εἰσί τινες οἱ παρὰ τοὔνομα" ταὐτόν ἐστι τῷ τούτων εἰσί τινες οἱ μὴ πρὸς τοὔνομα ὄντες. πῶς οὖν ἀναχθήσονται οὗτοι εἰς τὸ παρὰ τὴν διάνοιαν; οὐ μόνον γάρ, φησίν, ἄτοπόν ἐστι τὸ τοὺς τρεισκαίδεκα τρόπους λέγειν πρὸς τοὔνομα, ἀλλ' οὐδὲ αὐτοὺς τοὺς παρὰ τὴν λέξιν ἓξ εἰς τοὺς παρὰ τοὔνομα ἀνάγειν χρεών. id. ib.

171 a 1. καὶ δοκεῖ ἐκ τούτου ὁ Ἀριστοτέλης ὅτι πρός τινας ἀντιλέγει γράψαντας καὶ αὐτοὺς πραγματείας περὶ τῶν σοφιστικῶν ἐλέγχων. P in margine.

171 a 4. ἔστιν ὁ σοφιστικὸς ἔλεγχος φαινόμενος συλλογισμὸς ἀντιφάσεως· διὸ ἂν ᾖ φαινόμενος ἔλεγχος (οὕτω γὰρ συντακτέον τὸ χωρίον), τουτέστιν εἰ μέλλει φαινόμενος ἔλεγχος καὶ σοφιστικὸς συλλογισμὸς γενήσεσθαι, δεῖ τὸ αἴτιον τῆς ἀπάτης καὶ τοῦ ψεύδους ἢ ἐν τῷ συλλογισμῷ, τουτέστιν ἐν τῷ συμπεράσματι, εἶναι, ἢ ἐν τῇ ἀντιφάσει, τουτέστι τῇ τῆς ἀντιφάσεως ἐρωτήσει· προσκεῖσθαι γὰρ δεῖ ἐν τῇ ἐρωτήσει τὴν ἀντίφασιν, οἷον ἆρα ἔστι σιγῶντα λέγειν ἢ οὔ; ποτὲ δὲ ἐν ἀμφοῖν, καὶ ἐν τῇ ἀντιφάσει καὶ ἐν τῷ συμπεράσματι. ἐν μὲν οὖν τῇ ἀντιφάσει καὶ οὐκ ἐν τῷ συμπεράσματι τὸ τῆς ἀπάτης αἴτιόν ἐστιν, ὡς ἐπὶ τοῦδε· ἆρ' ἔστι σιγῶντα λέγειν ἢ οὔ; οὐδαμῶς. τί δέ, ὅταν ξύλον λέγῃς καὶ λίθους καὶ σίδηρα, οὐ σιγῶντα λέγεις; ναί. ἔστιν ἄρα ξύλα καὶ λίθους καὶ σίδηρα λέγειν, τουτέστιν ἄρα σιγῶντα λέγειν. τὸ μὲν οὖν σόφισμα τοιοῦτον, τὸ δὲ αἴτιον τῆς ἀπάτης οὐκ ἐν τῷ συμπεράσματι (ἀληθὲς γάρ ἐστιν· λέγομεν γὰρ καὶ ξύλα καὶ λίθους, ἅπερ ἐστὶ σιγῶντα), ἀλλ' ἐν τῇ ἀντιφάσει, τῇ τῆς ἀντιφάσεώς φημι ἐρωτήσει, ἥτις εἶχε τὸ διττόν· τὸ γὰρ ἆρ' ἔστι σιγῶντα λέγειν; δηλοῖ δὴ καὶ τὸν σιγῶντα καὶ τὰ σιγώμενα. ἢ οὕτως. ἆρ' ἔστι λέγοντα σιγᾶν; οὐ δῆτα. τί δέ, ὅταν σιγᾷς, οὐ πάντα σιγᾷς; οὐκοῦν τὰ λέγοντα σιγᾷς· ἐκ τῶν πάντων γάρ εἰσιν. ἔστιν ἄρα λέγοντα σιγᾶν. ἐνταῦθα γὰρ λέγοντα τὰ λεγόμενα ἔλαβεν ὁ ἐρωτῶν, ὁ δὲ ἀποκρινόμενος ἐπὶ τοῦ λέγοντος ἔδωκε. καὶ οὗτος μὲν ὁ παραλογισμὸς ὡς καὶ ὁ πρὸ αὐτοῦ ἐν τῇ ἀντιφάσει ἔχει τὸ αἴτιον, ὁ δὲ "ἃ μὴ ἔχει τις, δοίη ἄν;" ἐν ἀμφοῖν, καὶ ἐν τῇ ἀντιφάσει καὶ ἐν τῷ συμπεράσματι... ἀλλὰ καὶ ὁ λέγων "τὰ ἔπη κύκλος, ὁ κύκλος σχῆμα, τὰ ἔπη σχῆμα" ἐν τῷ συμπεράσματι μόνῳ ἔχει τὸ αἴτιον. Alex. f. 27 b.

πάλιν ἐπὶ τὸ προκείμενον ἐπανῆλθε, καὶ δείκνυσι μὴ ἕτερον 171 a
εἶναι τὸ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν συλλογίζεσθαι ἀλλ', ὡς 12.
δέδεικται, ταὐτόν, καί φησιν ἐρωτῶν, πότερον οἱ ἐν τοῖς μαθήμασι σοφιστικοὶ λόγοι καὶ ἀπατητικοί (μαθήματα λέγων ἀριθμητικὴν γεωμετρίαν καὶ τὰ συγγενῆ ταύταις), πότερον οἱ ἐν τοῖς μαθήμασι πρὸς τὴν διάνοιάν εἰσι, τουτέστι κατὰ διάνοιάν εἰσι τοῦ ἐρωτωμένου; καὶ ἐρωτήσας ἀποκρίνεται λέγων "ἢ οὔ," δηλῶν διὰ τούτου ὅτι οὐ κατὰ τὴν ἐκείνου διάνοιαν, ὡς ἴσου ὄντος τοῦ "ἢ οὔ" τῷ δῆλον ὅτι περὶ τὴν διάνοιάν εἰσι τοῦ ἀποκρινομένου... ἰστέον δὲ ὅτι ἐφ' ἑκάστης τῶν αὐτοῦ ἐρωτήσεων τὸ "ἢ οὔ" ὡς ἀπόκρισίς ἐστι καὶ οἱονεὶ ἀπόφασις καὶ ἀπάρνησις, ἀντὶ τοῦ φανερὸν ὅτι οὐκ ἔστι πρὸς τὴν διάνοιαν. id. f. 28.

τὴν δὲ λέξιν τὴν "ἔτι εἰ πολλὰ μὲν σημαίνει τοὔνομα, ὁ δὲ μὴ 171 a
νοεῖ μηδ' οἴεταί πως, οὗτος οὐ πρὸς τὴν διάνοιαν διείλεκται" τριχῶς 17.
ἔστιν ἐκλαβεῖν. καθ' ἕνα μὲν τρόπον οὕτως· εἰ τοῦ ὀνόματος διττοῦ ὄντος μὴ νοεῖ τοῦτο ὁ ἀποκρινόμενος, πῶς οὗτος ἠπάτηται, κατὰ διάνοιαν ἢ οὔ; καὶ πρὸς τοῦτο λύσις, οὐ πρὸς τὴν διάνοιαν ἤγουν οὐ κατὰ τὴν διάνοιαν. ἢ κατ' ἐρώτησιν ἀναγνωστέον καὶ ὑπερβατῶς οὕτως· ἆρά γε οὗτος πρὸς τὴν διάνοιαν διείλεκται; καὶ οὕτως ἐπακτέον ὡς ἀρνητικόν τε καὶ ἀποφατικὸν τὸ οὔ· σύνηθες γὰρ αὐτῷ τοῦτο, ὡς καὶ ἐν τῇ Φυσικῇ Ἀκροάσει (p. 185 a 18) εἶπεν "ἀλλ' ἐπειδὴ περὶ φύσεως μὲν οὔ, φυσικὰς δὲ ἀπορίας συμβαίνει λέγειν αὐτοῖς." ἢ οὖν οὕτω τὴν λέξιν ἀναγνωστέον ἢ ἀποφαντικῶς ὧδε "ἔτι εἰ πολλὰ μὲν σημαίνει τοὔνομα, ὁ δὲ μὴ νοεῖ μηδ' οἴεταί πως," καὶ στίξαντας ἐπαγαγεῖν "οὗτος οὐ πρὸς τὴν διάνοιαν διείλεκται" ὡς ἴσον τῷ πάντως ὁ τοιοῦτος δῆλός ἐστιν ὅτι οὐ πρὸς τὴν διάνοιαν διείλεκται ἀλλὰ παρὰ τὴν διάνοιαν. ἀλλὰ μὴ καὶ τοῦτο καὶ πρὸς τοὔνομά ἐστι· ταὐτὸν ἄρα τὸ πρὸς τοὔνομα καὶ τὸ παρὰ τὴν διάνοιαν. id. ib.

τίς δὲ ἡ κατὰ διαίρεσιν ἐρώτησις καὶ πῶς εἰσαχθήσεται, σαφῶς 171 a
παριστῶν φησὶν "εἶτ' ἐρωτήσειέ τις εἰ ἔστι σιγῶντα λέγειν ἢ οὔ, ἢ 19.
ἔστι μὲν ὡς οὔ, ἔστι δ' ὡς ναί;" τοιοῦτόν τι διὰ τούτων παριστῶν, ὡς ὁ διαλεκτικῶς ἐρωτῶν οὐ προάγει τὴν ἐρώτησιν οὕτως ὡς ἆρ' ἔστι σιγῶντα λέγειν ἢ οὔ; ἀλλὰ κατὰ τόνδε τὸν τρόπον, ἆρα ἔστι σιγῶντα λέγειν ἢ οὐκ ἔστιν ἀλλ' ἔστι μὲν ὡς ἔστιν ἔστι δ' ὡς οὐκ ἔστιν; τουτέστιν ἆρ' ἔστι λέγειν σιγῶντα; ἢ ἁπλῶς μὲν ὁ σιγῶν οὐ λέγει, τρόπον δέ τινα ἔστι λέγειν τὸν σιγῶντα, τρόπον δέ τινα οὔ, τουτέστιν κατὰ τὶ μὲν λέγει ὁ σιγῶν, κατὰ τὶ δὲ οὔ. φησὶν οὖν πρὸς τοῦτο ὁ Ἀριστοτέλης ὡς κἂν κατὰ διαίρεσιν ἡ ἐρώτησις γένηται, οἱ συναχθησόμενοι πάλιν λόγοι εἰς ἃ καὶ πρώην ἀνήγοντο, καὶ πάλιν εἰς ταῦτα ἀναχθήσονται, εἴτε τὸ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν, ὅπερ ἐδείχθη ταὐτόν... τὴν λέξιν τὴν "ἄρα οὐ πρὸς τὴν διάνοιαν διείλεκται" ὀξυτόνως ἀναγινώσκειν δεῖ καὶ κατὰ ἀπόφασιν ἀλλ' οὐχὶ κατ' ἐρώτησιν. ἵνα οὖν συντόμως εἴπωμεν, τοῦτ' ἔστιν ὅ φησιν, ὡς εἰ καὶ κατὰ διαίρεσιν καθ' ὑμᾶς ἡ ἐρώτησις γένοιτο, ἣν δὴ καὶ προλαβόντες εἰρήκαμεν, καὶ τῆς διαιρέσεως γενομένης ὁ μὲν ἀποκρινόμενος εἴπῃ μηδαμῶς λέγειν τὸν

συντάττει. εἰπὼν δὲ ὅτι καὶ τοῦτον τὸν τρόπον ἐν τοῖς παρὰ τὴν λέξιν θετέον, αἰτίας τούτου δύο ἐπήγαγε. id. ib.

169 b 3. νῦν καὶ περὶ τῶν ἐκτὸς τῆς λέξεως ἑπτὰ παραλογισμῶν, πῶς συμβαίνει ἡμᾶς καὶ ἀπὸ τούτων ἀπατᾶσθαι, διέξεισι, καί φησιν αἰτίαν περὶ τῶν παρὰ τὸ συμβεβηκὸς παραλογισμῶν τὸ μὴ δύνασθαι κρίνειν τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ ἓν καὶ πολλά... τὸ δὲ "μηδὲ τοῖς ποίοις τῶν κατηγορημάτων πάντα ταὐτὰ καὶ τῷ πράγματι συμβέβηκεν" ἴσον ἐστὶ τῷ ποίοις τῶν κατηγορουμένων πάντα ταὐτὰ καὶ τοῖς ὑποκειμένοις συμβεβηκέναι, ὡς εἶναι τοιοῦτον τὸ λεγόμενον· ἐν τοῖς περὶ τὸ συμβεβηκὸς παραλογισμοῖς γίνεται ἡ ἀπάτη παρὰ τὸ μὴ δύνασθαι διαιρεῖν τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ ἓν καὶ πολλά, καὶ παρὰ τὸ μὴ δύνασθαι διακρίνειν ποῖα τῶν κατηγορουμένων πάντα ὅσα κατ' αὐτῶν λέγεται, δύναται καὶ κατὰ τῶν ὑποκειμένων λέγεσθαι. ἐπεὶ δέ, ὡς δέδεικται, μέρη τῶν παρὰ τὸ συμβεβηκὸς οἱ παρὰ τὸ ἑπόμενον, ὁμοίως ἔχει καὶ ἐπὶ τῶν παρὰ τὸ ἑπόμενον παραλογισμῶν. id. f. 23 *b*.

169 b 18. τὸ δὲ "παρ' ὅσα γίνονται οἱ φαινόμενοι" ἴσον ἐστὶ τῷ δι' ὅσα. id. f. 24.

169 b 22. οὐ μόνον οὖν φησὶ τὸν φαινόμενον συλλογισμὸν γίνεσθαι περὶ τοὺς εἰρημένους τρόπους ἀλλὰ καὶ τὸν ὄντα μέν, φαινόμενον δὲ οἰκεῖον τοῦ πράγματος, μὴ ὄντα δὲ οἰκεῖον· τοῦτο γὰρ δεῖ προσυπακούειν. οὗτος δέ ἐστιν ὁ ὑγιῶς μὲν συλλογιζόμενος μὴ κατὰ τὸ πρᾶγμα δέ, ὅπερ οὐ τῆς σοφιστικῆς λέγει εἶναι ἀλλὰ τῆς πειραστικῆς. id. ib.

169 b 26. ὁ μὲν διαλεκτικὸς καὶ πειραστικὸς δῆλον ποιοῦσι τὸν ἀποκρινόμενον ὡς ἀγνοεῖ, διὰ τὸ τὰ συμπεράσματα συνάγειν ἐκ τῶν δοκούντων καὶ συγκεχωρημένων τῷ ἀποκρινομένῳ. ἔχομεν δὲ τούτων πολλὴν ἀφθονίαν, ὡς ἐν τῷ Πρωταγόρᾳ καὶ Γοργίᾳ καὶ τοῖς ἄλλοις διαλόγοις τοῦ Πλάτωνος, ἐν οἷς μετὰ τῶν σοφιστῶν ἀγωνίζεται. ὁ δὲ σοφιστικός, ἂν συλλογίζηται τὴν ἀντίφασιν, οὐ ποιεῖ δῆλον εἰ ἀγνοεῖ ὁ ἀποκρινόμενος. id. ib.

169 b 34. "ὃ γὰρ μὴ ἐρωτηθεὶς οἴεται δεδωκέναι, κἂν ἐρωτηθεὶς θείη," τουτέστιν ὅπερ ἐν τῇ οἰκείᾳ διανοίᾳ καλῶς ἠρωτῆσθαι ἐνόμισε καὶ ὡς ἀληθῆ συνένευσε, κἂν ἐρωτηθῇ, ἐδεδώκει ἄν, πλήν, φησίν, ἐπί τινων, οἷον ἐν τοῖς περὶ τὴν λέξιν καὶ τὸν σολοικισμὸν οὐκ ἄφωνοι διατελοῦσιν οἱ ἀποκρινόμενοι τὸν λόγον συμπεράναντος τοῦ σοφιστοῦ, ἀλλὰ προσερωτῶσι τὸ ἐνδεὲς καὶ τὸ ψεῦδος ἐμφανίζουσιν. id. f. 24 *b*.

170 a 1. ἐλλείψαντός τινος μορίου τῶν τοῦ ἀληθινοῦ συλλογισμοῦ σοφιστικὸς φανείη ἂν ἔλεγχος. συνίστησι τοῦτο διὰ τῆς ἐπαγωγῆς, λέγων "οἷον ὁ παρὰ τὸ μὴ συμβαῖνον διὰ τὸν λόγον καὶ ὁ εἰς τὸ ἀδύνατον." τὸ δὲ λεγόμενόν ἐστι δυνάμει τοιοῦτον· ἐπεὶ συλλογισμός ἐστι λόγος συνάγων ἕτερόν τι τῶν κειμένων ἐκ τῶν κειμένων, ὁ τὸ μὴ αἴτιον ὡς αἴτιον τοῦ συνηγμένου ἀδυνάτου λαβὼν δῆλον ὅτι παρὰ τὸ μόριον τοῦ συλλογισμοῦ τὸ ψεῦδος συνήγαγεν. ἔστι δὲ τὸ κατάλληλον τῆς λέξεως τοιοῦτον· ὁ εἰς τὸ ἀδύνατον δοκῶν ἄγειν τὸν λόγον γίνεται παρὰ τὸ μὴ συμβαῖνον διὰ τὸν λόγον ἢ παρὰ τὸ τὸ μὴ αἴτιον ὡς αἴτιον λαβεῖν. ὁμοίως δὲ καὶ ὁ τὰς δύο ἐρωτήσεις μίαν ποιῶν περὶ τὸν ὁρισμὸν τῆς προτάσεως τὸ ψεῦδος συνάγει, καὶ ὁ ἀπὸ τοῦ συμβεβηκότος ψεῦδός τι συλλογιζόμενος περὶ τὸ μόριον τοῦ ἀληθινοῦ συλλογισμοῦ τοῦτο συλλογίζεται. ἐκ τῶν καθ' αὑτὸ ὑπαρχόντων ὁ ἀληθὴς συλλογισμός, ἀλλ' οὐκ ἀπὸ συμβεβηκότων. ἀλλὰ μὴν καὶ ὁ παρὰ τὸ ἑπόμενον, ὅστις μόριόν ἐστι τοῦ παρὰ τὸ συμβεβηκός, ὡς δέδεικται, διὰ τὴν αὐτὴν αἰτίαν γίνεται. "ἔτι τὸ μὴ ἐπὶ τοῦ πράγματος." καὶ ὁ παρὰ τὴν ἀμφιβολίαν τρόπος σοφιστικός· τοῦτον γὰρ δηλοῖ λέγων τὸ "μὴ ἐπὶ τοῦ πράγματος ἀλλ' ἐπὶ τοῦ λόγου συμβαίνειν," διότι τὸ ἔστι σιγῶντα λέγειν οὐκ ἐπὶ τοῦ πράγματος ἀλλ' ἐπὶ τοῦ λόγου συμβαίνει, καὶ οὗτος δηλονότι παρὰ τὸ μόριόν ἐστι τοῦ ἀληθινοῦ λόγου. καὶ ὁ παρὰ τὸ πῇ καὶ ἁπλῶς παρὰ τὸ μόριόν ἐστι τοῦ ἐλέγχου· τοῦτο γὰρ σημαίνει διὰ τοῦ "εἶτ' ἀντὶ τοῦ καθόλου τὴν ἀντίφασιν," καὶ τὸ μὲν καθόλου τέθεικεν ἀντὶ τοῦ ἁπλῶς, τὴν ἀντίφασιν δὲ ἀντὶ τοῦ πῇ. id. f. 25.

ἐν τῷ "ἄπειροι γὰρ ἴσως αἱ ἐπιστῆμαι" τὸ "ἴσως" εἶπε κατὰ τὴν 170 a 22. αὐτοῦ δόξαν· ἀϊδίου γὰρ ὄντος κατ' αὐτὸν τοῦ κόσμου, ὡς ἐν τῷ περὶ Οὐρανοῦ αὐτῷ δέδεικται, ἐπ' ἄπειρον καὶ αἱ ἐπιστῆμαι αὐξηθήσονται. id. f. 25 *b*.

ψευδεῖς δὲ ἐλέγχους οὐ τοὺς σοφιστικούς φησιν ἐνταῦθα ἀλλὰ 170 a 30. τοὺς δοκοῦντας μὲν εἶναι ἀπὸ τῶν οἰκείων ἀρχῶν τῆς ἐπιστήμης περὶ ἧς τὸν λόγον ποιοῦνται, μὴ ὄντας δέ... οὐ μόνον δὲ τοὺς μὴ ἀπὸ τῶν ἀρχῶν ὡρμημένους τῆς ἐπιστήμης ὑφ' ἣν ἐστι τὸ πρόβλημα, δοκοῦντας δὲ εἶναι, ψευδεῖς ἐλέγχους φησίν, ἀλλὰ καὶ τοὺς ἐκ τῶν οἰκείων μὲν τῆς ἐπιστήμης ἀρχῶν, κατά τι δὲ παραλογιζομένους, οἷά εἰσι τὰ τοῦ Εὐκλείδου ψευδογραφήματα. id. ib.

τὸ "πρὸς τὴν διάνοιαν" ἀντὶ τοῦ "περὶ τὴν διάνοιαν" εἴληπται. 170 b 13. id. f. 26 *b*.

τὸ μὴ πρὸς τὴν διάνοιαν διειλέχθαι τί, φησίν, ἄλλο ἐστὶν ἢ 170 b 16. ὅταν μὴ χρῆται ὁ ἐρωτῶν τῷ ὀνόματι, ἐφ' ᾧ οἰόμενος ἐρωτᾶσθαι ὁ ἐρωτώμενος ἔδωκε τὴν ἀπόκρισιν; τοῦτο γάρ ἐστι τὸ τῆς λέξεως κατάλληλον... οὕτως ἔμπαλιν πρὸς τὴν διάνοιάν ἐστι συλλογιζόμενος, ὅταν χρῆται τῷ ὀνόματι κατὰ τοῦ πράγματος ἃ διανοούμενος κατέφησεν ὁ ἐρωτηθείς· ὃ καὶ αὐτὸς ἐδήλωσε διὰ τοῦ "τὸ δὲ πρὸς τὴν διάνοιαν, ὅταν ἐφ' ᾧ δέδωκε διανοηθείς." διανοηθέντα δὲ λέγει τὸν ἀποκρινόμενον· εἰ γὰρ μὴ πρὸς τὴν διάνοιάν ἐστι τὸ μὴ χρῆσθαι ἐφ' ᾧ δέδωκε, τὸ χρῆσθαι ἐφ' ᾧ δέδωκε πρὸς τὴν διάνοιαν εἴη ἄν. εἰ δὲ ταῦτα ἀληθῆ, ἄτοπον τὸ ὑπολαμβάνειν ἄλλους μὲν εἶναι πρὸς τοὔνομα λόγους, ἑτέρους δὲ περὶ τὴν διάνοιαν. id. ib.

ὑπόθεσις τὸν Παρμενίδην ἓν ἡγούμενον σημαίνειν τὸ ὂν καὶ τὸ ἕν, 170 b 23. ὁμοίως δὲ ἔχειν τούτῳ καὶ τὸν αὐτοῦ ζηλωτὴν Ζήνωνα. ὁ οὖν Παρμενίδης ἐρωτῶν τὸν Ζήνωνα εἰ ἓν τὸ ὄν, τούτου καταφήσαντος καὶ ὁμολογήσαντος, οὐκ ἂν ἐπ' ἄλλου τινὰς ἐκεῖνος μεταγάγοι ἀλλὰ καὶ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν τοῦ ἀποκρινομένου ἔσται διειλεγμένος. id. ib.

τὸ πλῆρες τοιοῦτόν ἐστιν· δῆλον ὅτι οὐ πρὸς τὴν διάνοιαν ἀλλὰ 170 b 26. πρὸς τοὔνομα διείλεκται. τοῦτο εἰπὼν ἐπιφέρει, τὸ γὰρ πρὸς τοὔνομα καὶ μὴ πρὸς τὴν διάνοιαν διειλέχθαι πρῶτον μὲν περὶ τοὺς τοιούτους ἐστὶ λόγους, δυνάμει τάδε λέγων, ὡς ψεῦδός ἐστι τὸ λέγειν ὅτι πάντες οἱ παραλογισμοὶ εἰς τὸ πρὸς τοὔνομα καὶ περὶ τὴν διάνοιαν

οἱ μὲν οὖν παρὰ τὸ συμβεβηκὸς ἐφ᾽ ἑνὸς μόνου λαμβάνονται, οἱ δὲ παρὰ τὸ ἑπόμενον ἀεὶ ἐν πλείοσι, τουτέστιν ἐν ἀντιστροφῇ, οἷον εἰ ὁ κλέπτης νύκτωρ πλανᾶται, καὶ ὁ νύκτωρ πλανώμενος κλέπτης ἐστίν... ἀλλ᾽ ἴσως ἐρωτήσειέ τις ὅτι διὰ τί οὐκ εἶπεν, οἱ παρὰ τὸ ἑπόμενον ἀεὶ ἐν ἀντιστροφῇ, ἀλλ᾽ "ἀεὶ ἐν πλείοσιν." ἢ διότι ἄλλο μέν ἐστι τὸ λέγειν ὁ κύκνος λευκός, καὶ ἄλλο τὸ λέγειν τὸ λευκὸν κύκνος· ἐκείνου μὲν γὰρ ὁ κύκνος ἐστὶν ὑποκείμενον, τὸ δὲ λευκὸν κατηγορούμενον, οὕτως δὲ καὶ τὸ ἔμπαλιν ὑπόκειται μὲν τὸ λευκόν, κατηγορεῖται δὲ ὁ κύκνος. οἱ μὲν οὖν παρὰ τὸ ἑπόμενον παραλογισμοὶ τοιοῦτοί εἰσι, δηλονότι ἀντιστρέφοντες τοὺς ὅρους καὶ ἕτερον προσλαμβάνοντες καὶ τοιοῦτοι ἀποτελούμενοι. ὅρα δὲ καὶ τὸ τοῦ Ἀριστοτέλους παράδειγμα. id. f. 21 *b*.

168b 36. τὸ δὲ "ἢ τὸ ἴσους γίνεσθαι καὶ τὸ αὐτὸ μέγεθος λαμβάνειν" ὅτι μὲν παρὰ τὸ ἑπόμενόν ἐστι, δῆλον· ἔστι δὲ καὶ τὸ σόφισμα τόδε τοιοῦτον. εἰ τὰ τὸ αὐτὸ καὶ ἓν μέγεθος λαμβάνοντα ἴσα ἐστί, καὶ τὰ ἴσα γινόμενα τὸ αὐτὸ μέγεθος καὶ ἓν λαμβάνουσιν, Σωκράτης δὲ καὶ Θεαίτητος ἴσα ἐστί, Σωκράτης ἄρα καὶ Θεαίτητος τὸ μέγεθος ταὐτὸν καὶ ἕν ἐστιν. ἀλλὰ μὴν οὐκ ἔστι ταὐτόν... ὁμοίως φησὶ καὶ ἐπὶ τῶν ἴσων γινομένων. γίνεται γὰρ καὶ ὁ παραλογισμὸς οὗτος παρὰ τὸ ἑπόμενον· τὰ μὲν γὰρ τὸ αὐτὸ μέγεθος καὶ ἓν λαμβάνοντα ἴσα γίνεται, ἀληθές, οὐ μὴν καὶ τὰ ἴσα γινόμενα τὸ αὐτὸ μέγεθος λαμβάνει. γίνεται δὲ ὁ παραλογισμὸς διὰ τὸ ἐκεῖ μὲν τὸ αὐτὸ καὶ ἓν μέγεθος ταὐτὸν λέγειν τῷ ὅρῳ. id. ib.

169a 8. τὸ δὲ "ὁ γὰρ αὐτὸς ὅρος ἑνὸς μόνου καὶ ἁπλῶς τοῦ πράγματος" τοιοῦτόν ἐστιν, ὅτι καὶ τὸ κατηγορούμενον ἓν ὀφείλει εἶναι καὶ τὸ ὑποκείμενον ἕν, καὶ ὁ αὐτὸς ὅρος ἀμφοτέρων. ἢ μᾶλλον οὕτως· ὁ αὐτός, φησίν, ὅρος ἑνὸς μόνου, τουτέστιν ἓν καὶ μόνον ὀφείλει εἶναι τὸ κατηγορούμενον, καὶ ἁπλῶς εἰπεῖν καὶ τοῦ ὑποκειμένου· πρᾶγμα γάρ, ὡς πολλάκις εἴπομεν, τὸ ὑποκείμενον λέγεται. τὸ δὲ "οἷον ἀνθρώπου καὶ ἑνὸς μόνου ἀνθρώπου" παράδειγμα ἐπήγαγε κατηγορουμένου καὶ ὑποκειμένου, ἄνθρωπον μὲν λέγων τὸν κατηγορούμενον, ἕνα δὲ μόνον ἄνθρωπον τὸν ὑποκείμενον· εἰ γὰρ κατηγορεῖται ὁ ἄνθρωπος, καθ᾽ ἑνὸς μόνου κατηγορηθήσεται τοῦ Σωκράτους, οὐ κατὰ Σωκράτους καὶ Πλάτωνος καὶ Ἀλκιβιάδου. καταχρηστικώτερον δὲ τῷ τοιούτῳ ἐχρήσατο παραδείγματι. σαφῶς δὲ καὶ αὐτὸς ὁ Ἀριστοτέλης τὰ ἑξῆς ἀπαγγέλλει· πλὴν ἐν τῇ λέξει τῇ "φανερὸν ὅτι καὶ οὗτος ἐν τῇ τοῦ ἐλέγχου ἀγνοίᾳ" τὸ "οὗτος" περὶ τοῦ παραλογισμοῦ εἴρηκε τοῦ ἐκ τοῦ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν ὡρμημένου. id. f. 22.

169a 18. ἀλλὰ πότε δὴ μὴ δεδωκὼς φαίνεται δεδωκέναι; ἢ δηλονότι ὅταν τὸ ἴσως ἢ τὸ τρόπον τινὰ ἢ τὸ ἔσω ἐν ταῖς ἀποκρίσεσι προσεπιφθέγγηται, οἷον εἴ τις ἤρετο ἆρά γε ὁ τοῦτον καὶ τοῦτον τύπτων ἄνθρωπον τύπτει; ὁ δὲ ἀποκρινόμενος φῇ ἴσως ἢ ὅτι τρόπον τινὰ ἢ ὅτι ἔσω, ἐκ τοῦ λόγου μὲν φαίνεται δεδωκέναι, οὐ δέδωκε δέ. οὕτω καὶ Πρωταγόρας καὶ Θρασύμαχος καὶ ἄλλοι πολλοὶ τὰς ἀποκρίσεις φαίνονται ποιούμενοι· τὸ γὰρ ἴσως ἢ τὸ ἔσω καὶ τὰ τοιαῦτα οὐ δοκοῦσιν εἶναι συγχωρούντων ἀλλὰ μὴ ἀρεσκομένων τῇ ἐρωτήσει. id. ib.

169a 25. καὶ οἱ μὲν παρὰ τὴν λέξιν οὕτως ἀνάγονται εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν, οἱ δ᾽ ἄλλοι (ἄλλως δὲ λέγει τοὺς ἐκτὸς τῆς λέξεως παραλογισμούς) εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀνάγονται περὶ τὸν τοῦ συλλογισμοῦ ὅρον· εἰ γὰρ συλλογισμός ἐστιν ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων συμβαίνει, οἱ δὲ παρὰ τὸ συμβεβηκὸς καὶ τὸ ἑπόμενον καὶ οἱ λοιποὶ οὐκ ἐκ τῶν τεθέντων τῷ ἀποκρινομένῳ τὰ συναγόμενα συμπεραίνονται, δῆλον ὅτι παρὰ τὸν τοῦ συλλογισμοῦ ὅρον ταῦτα συνάγουσιν. καὶ εἴη ἂν τὸ "παρὰ τὸν τοῦ συλλογισμοῦ ὅρον" ἴσον τῷ ἀσυλλόγιστοι δέ εἰσιν οἱ ἐκτὸς τῆς λέξεως παραλογισμοί. id. f. 22 *b*.

ἡ ἀπάτη, φησί, γίνεται ἐπὶ τῶν ὁμωνύμων καὶ τῶν ἀμφιβόλων (λόγον γὰρ τὴν ἀμφιβολίαν λέγει) διὰ τὸ μὴ δύνασθαι διαιρεῖν ποσαχῶς τὸ πρᾶγμα λέγεται. id. ib. 169a 22.

οὐκ ἴσασιν οἱ ἐρωτώμενοι ὅτι ἄλλο σημαίνει ὁ λόγος ἀνιέμενος καὶ ἐπιτεινόμενος, τουτέστιν ὀξυνόμενος ἢ περισπώμενος· ἐπ᾽ οὐδενὸς γὰρ τὸ αὐτὸ σημαίνει ἐπιτεινόμενος καὶ ἀνιέμενος. ἢ μάλιστα οὐκ ἐπὶ πολλῶν, ἐπ᾽ ὀλίγων δὲ πάντη· Θαλῆς γὰρ καὶ Θάλης τὸ αὐτὸ δηλοῖ· καὶ ἄμφω γὰρ ὀνόματα κύρια· ἄργος δὲ καὶ ἀργός καὶ ἄργος καὶ ἀργός ἄλλο καὶ ἄλλο δηλοῖ, καὶ σχεδὸν ἐπὶ πάντων. id. ib. 169a 28.

τοῦτο δὲ εἴρηται διὰ τὰ ἐνεργητικῶς ἐκφερόμενα παθῶν δὲ ὄντα σημαντικά, οἷόν ἐστι τὸ ὁρᾶν, τὸ ἀκούειν καὶ τὸ μανθάνειν... ὁ δυνάμενος διαίρεσιν ποιεῖσθαι τῶν ἐνεργείας καὶ πάθους σημαντικῶν, ναὶ μὴν καὶ τῶν ὅσα διαιρούμενα μὲν ἄλλο τι σημαίνει, συντιθέμενα δ᾽ ἕτερον, οὐχ ἥκιστα δὲ καὶ ἐπὶ τῶν ὁμωνύμων, καὶ συνιεὶς τῶν πολλαχῶς εἶναι λεγομένων τὸ ἐρωτώμενον, ὁ τοιοῦτος ὡς δυνάμενος ἐπὶ πάντων διαίρεσιν ποιεῖσθαι οὐ ῥᾳδίως ἀπατηθήσεται, καὶ μὴ ἀπατώμενος ἐγγύς ἐστι τοῦ θεωροῦντος τὸ ἀληθές... μάλιστα δέ, φησί, δύναται συμπείθειν, ἢ οὕτως, μάλιστα δὲ δύναται πείθειν εἰς τὸ συνεπινεύειν καὶ ὁμολογεῖν τὰς τῶν σοφιστῶν προτάσεις. ὃ πάλιν ταὐτόν ἐστι τῷ μάλιστα καὶ ἀπατᾶσθαι συμβαίνει ἡμᾶς διὰ τὸ νομίζειν ὅτι πᾶν τὸ κατηγορούμενόν τινος τόδε τί ἐστι καὶ ἓν καὶ ταὐτὸν ὑποκειμένῳ. γίνεται δὲ τοῦτο διὰ τὸ ἐν ὁμοίῳ σχήματι τῷ ἄνθρωπος τῷ ἑνικῷ ἀμφότερα, τὸ κατηγορούμενον καὶ τὸ ὑποκείμενον, σημαίνεσθαι. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές, ὡς ἐν ταῖς Κατηγορίαις (c. 5) εἴρηται. τῷ μὲν ἑνὶ καὶ τῇ πρώτῃ οὐσίᾳ τὸ τόδε τι ἁρμόττει· ἄτομον γὰρ καὶ ἓν ἀριθμῷ τὸ δηλούμενόν ἐστιν, ἐπὶ δὲ τῶν δευτέρων οὐσιῶν φαίνεται μὲν ὁμοίως τῷ σχήματι τῆς προσηγορίας ὅτι τόδε τι σημαίνει, ὅταν εἴπῃ ἄνθρωπον ἢ ζῷον, οὐ μὴν ἀληθές· ἡ γὰρ δευτέρα οὐσία οὐχ ὡς τόδε τι δείκνυται ἢ λέγεται, ἀλλ᾽ ὡς τοιόνδε, διότι παρὰ οὐσίαν τὸ ποιόν, ὡς ἐν ἐκείνοις εἴρηται, ἀφορίζει. id. f. 23. 169a 30.

οἶμαι δὲ μὴ ἐπὶ πάντων ἁπλῶς τῶν παρὰ τὴν ὁμοιότητα τῆς λέξεως εἰπεῖν τοῦτο, ἀλλ᾽ ἐπ᾽ ἐκείνων μόνων ἐφ᾽ ὧν διὰ τὴν ὁμοιότητα τὰς καθόλου οὐσίας τὰς αὐτὰς εἶναι τῷ ἀριθμῷ ταῖς μερικαῖς συνάγειν πειρῶνται· διὰ τοῦτο γὰρ εἶπε "διὸ καὶ τῶν παρὰ τὴν λέξιν οὗτος ὁ τρόπος θετέος" ὁ τὸ καθόλου ἐν τῷ μερικῷ ταὐτὸν συνάγων διὰ τὴν τῆς λέξεως ὁμοιότητα, ὡς εἰ ἔλεγεν, οὐ μόνον τοὺς ἤδη ῥηθέντας ἀλλὰ καὶ τοὺς τὰ καθόλου τοῖς μερικοῖς τὰ αὐτὰ συνάγοντας διὰ τὴν τῆς λέξεως ὁμοιότητα ταῖς παρὰ τὴν λέξιν ἀπάταις 169a 36.

σει τὸν ἀποκρινόμενον, εἴγε συνυπαχθεὶς τῇ ἐρωτήσει καταφήσει ἢ ἀποφήσει. id. ib.

168a 11. ποτὲ δὲ συμβήσεται καὶ ἔλεγχον γενέσθαι ἀληθινὸν προσληφθέντων τινῶν· οἷον εἴ τις ἔροιτο "ἆρά γε ὃ ἐφ' ἑνός, τοῦτο καὶ ἐπὶ πολλῶν;" καὶ τοῦτο λαβὼν προσλάβοι "ἐπεὶ τυφλόν ἐστι τὸ μὴ ἔχον ὄψιν πεφυκὸς δὲ ἔχειν, καὶ τυφλὰ ἔσται τὰ μὴ ἔχοντα ὄψιν πεφυκότα δὲ ἔχειν," καὶ "εἰ λευκόν ἐστι τὸ ἔχον χρῶμα διακριτικὸν ὄψεως, καὶ λευκά ἐστι τὰ ἔχοντα χρῶμα διακριτικὸν ὄψεως." καὶ γὰρ ἐπὶ τούτων οὐ μία ἐστὶν ἡ ἐρώτησις· τὸ γὰρ ἆρά γε εἰ τυφλόν ἐστι τὸ μὴ ἔχον ὄψιν πεφυκὸς δὲ ἔχειν, καὶ τυφλά ἐστι τὰ μὴ ἔχοντα ὄψιν πεφυκότα δὲ ἔχειν; οὐκ ἔστιν ἓν ἐρώτημα. id. ib.

168a 23. "τῶν μὲν γὰρ ἐν τῇ λέξει οἱ μέν εἰσι παρὰ τὸ διττόν." εἶπεν ὅτι τῶν παραλογισμῶν ἕκαστος ἀναχθήσεται εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν, καὶ ἁπλῶς μὲν ἓν ἔφησεν ἀπέλεγχον καὶ τοὺς παραλογισμοὺς τῷ μὴ ἐκ τῶν κειμένων αὐτοὺς συνάγεσθαι, ὅπερ καὶ ἐν τῷ διορισμῷ τοῦ ἐλέγχου εἴρητο· νῦν δὲ καὶ παρ' ἓν ἕκαστον τῶν μερῶν τοῦ ἐλέγχου γίνεσθαι τούτους διδάσκει. καὶ πρότερον τὸν ἐκ τῆς ὁμωνυμίας φησὶ γίνεσθαι παρὰ τὸ μὴ ἓν εἶναι τὸ ὄνομα καὶ τὸ πρᾶγμα, καὶ τὸν ἐκ τῆς ἀμφιβολίας· τούτους γὰρ ἐδήλωσε διὰ τοῦ "ἥ τε ὁμωνυμία καὶ ὁ λόγος." οὕτοι τε οὖν καὶ ἡ ὁμοιοσχημοσύνη τῆς λέξεως, τουτέστιν οἱ παρὰ τὸ σχῆμα τῆς λέξεως, ὅτι παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν γίνονται, δῆλον... τὸ δὲ "σύνηθες γὰρ τὸ πάντα ὡς τόδε τι σημαίνειν" περὶ τῆς ἀμφιβολίας δοκεῖ εἰρῆσθαι, οὐ περὶ τοῦ παρὰ τὸ σχῆμα τῆς λέξεως παραλογισμοῦ, ὃν ὁμοιοσχημοσύνην, ὡς εἴρηται, ἐνταῦθα λέγει· σύνηθες γὰρ σιγῶντα λέγειν μὴ μόνον τὸν σιγῶντα ἀλλὰ καὶ τὰ σιγώμενα, καὶ ὁρῶντα τόν τε ὁρῶντα καὶ τὰ ὁρώμενα. ἐπήγαγε δὲ τοῦτο ἀναμιμνήσκων τοῦ ἔμπροσθεν εἰρημένου, ὅτι εἷς τρόπος τῶν παρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν, καὶ οὗτος ὅταν εἰωθότες ὦμεν οὕτω λέγειν. καὶ ἡ ἀπὸ τῆς συνθέσεως, φησί, καὶ τῆς διαιρέσεως ἀπάτη εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀναχθήσεται· δεῖ γὰρ ἐπὶ τοῦ κυρίως ἐλέγχου τὸ αὐτὸ δηλοῦσθαι καὶ χωρὶς καὶ μετὰ τῆς συνθέσεως, ὅπερ ἐπὶ τῆς συνθέσεως καὶ τῆς διαιρέσεως συμβαίνει. ἀλλ' ἕτερον μέν ἐστι τὸ χωρὶς ὑπὸ τῶν ὀνομάτων ἢ ῥημάτων δηλούμενον, ἕτερον δὲ τὸ ὑπὸ τῆς τούτων συνθέσεως. id. f. 19 *b*.

168a 34. ἀνήγαγε μὲν ἐν τοῖς ἄνωθεν εἰρημένοις τοὺς παρὰ τὴν λέξιν παραλογισμοὺς εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν, νῦν δὲ καὶ τὸν πρῶτον τῶν ἐκτὸς τῆς λέξεως τὸν παρὰ τὸ συμβεβηκὸς εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀνάγει, καί φησιν ὡς ἀπὸ τοῦ ὁρισμοῦ τοῦ συλλογισμοῦ φανερὸν γενήσεται ἡ εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν τῶν τοιούτων σοφισμάτων ἀναγωγή. ὅτι δὲ ἀπὸ τοῦ ὁρισμοῦ τοῦ συλλογισμοῦ εἰς τὴν ῥηθεῖσαν ἀνάγεται τοῦ ἐλέγχου ἄγνοιαν, πιστοῦται ἐκ τοῦ τὸν συλλογισμὸν ὁρίσασθαι· εἰ γὰρ συλλογισμός ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων συμβαίνει, ἐπὶ δὲ τοῦ συμβεβηκότος οὐκ ἀπὸ τῶν κειμένων ἕτερόν τι συμβαίνει ἢ συνάγεται, ὁ ἀπὸ τοῦ συμβεβηκότος ἄρα οὐκ ἔστι συλλογισμός, διὸ οὐδ' ἔλεγχος... ὅτι μὲν οὖν ὁ ἔλεγχος συλλογισμὸς ἀντιφάσεως, εἴρηταί τε καὶ δέδεικται· ὅτι δὲ καὶ περὶ ἄλλων τινῶν, οὐ μὴν ἀλλὰ καὶ περὶ τούτου καὶ Ἀριστοτέλης αὐτὸς ἐν τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν εἴρηκε καὶ ἡμεῖς ἐν ταῖς ἡμετέραις εἰς ἐκεῖνα σχολαῖς, οἱ τῷ τοιούτῳ ἐντυχόντες ὑπομνήματι γνώσονται... ἀσάφειαν δὲ τῷ λόγῳ ἐνεποίησε διά τε τοῦ τὸν ἐλάττονα ὅρον παραλιπεῖν, εἰ καὶ μὴ πάντη, καὶ διὰ τοῦ τὸ τόδε τι ἐπὶ τοῦ συνθέτου λαβεῖν, ἐπ' οὐσίας μόνης λεγόμενον· πᾶσα γὰρ οὐσία τόδε τι σημαίνειν δοκεῖ. δεῖ οὖν καταστῆσαι τὴν λέξιν καὶ οὕτως εἰπεῖν "οὐ γὰρ εἰ τούτων ὄντων ἀνάγκη τόδε εἶναι," ἤτοι οὐ γὰρ εἰ Σωκράτους ὄντος λευκόν ἐστι, τὸ δὲ λευκὸν χρῶμα διακριτικὸν ὄψεως (ἀντὶ γὰρ τοῦ χρώματος τὸ λευκὸν παρέλαβεν), ἀνάγκη τὸν Σωκράτην χρῶμα εἶναι διακριτικὸν ὄψεως διὰ τὸν ἐπισυναχθέντα ψευδῆ συλλογισμόν· τούτου γὰρ δηλωτικὸν τὸ "διὰ τὸν συλλογισμόν." ἢ τὸ "διὰ τὸν συλλογισμόν" ἀντὶ τοῦ διὰ τὸν φαινόμενον μὲν εἶναι συλλογισμόν, μὴ ὄντα δὲ διὰ τὸ ἀπὸ τοῦ συμβεβηκότος συναγόμενον ψεῦδος· οὐ γὰρ συλλογισμὸς ὁ τοιοῦτος διὰ τὸ μηδὲ τὸν αὐτὸν μέσον ἐν ἀμφοτέραις λαμβάνεσθαι ταῖς προτάσεσιν, εἰ καὶ τοῖς ἀτέχνοις συλλογισμὸς καὶ τὸ τοιοῦτον δοκεῖ... μᾶλλον δὲ οἶμαι τὸ τοιοῦτον σόφισμα ἀπὸ τοῦ Φαίδρου (p. 259) καὶ ἐνταῦθα παρειλῆφθαι διὰ τὸ ἐκεῖσε τὸν Σωκράτην ὁμόδουλον ἑαυτὸν ἀποφαίνειν τῷ κύκνῳ· ἵν' ᾖ ὁ λόγος οὕτως ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν μερικῶν συναγόμενος "ὁ Σωκράτης λευκός, ὁ κύκνος λευκός, ὁ Σωκράτης ἄρα κύκνος." ὡς εἶναι τὸ "τοῦτο δέ ἐστι λευκόν" ἴσον τῷ τοῦτο δὲ τὸ λευκὸν κύκνος ἐστίν. καὶ δεῖ παραλαμβάνειν ἀντὶ τοῦ λευκοῦ τὸν κύκνον. id. f. 20.

168b 6. οἷον ὁ περὶ τὰ μαθηματικὰ ἢ τὰ μουσικὰ ἐπιστήμων, ἀγνοῶν τὸν ἀπὸ τοῦ συμβεβηκότος συλλογισμὸν ἢ ἔλεγχον, ἀπατηθήσεται· ἀπὸ γὰρ τῶν συμβεβηκότων ποιοῦνται πρὸς τοὺς ἐπιστήμονας οἱ ἀνεπιστήμονες τοὺς συλλογισμούς, οἱ δὲ ἐπιστήμονες εἰ τύχωσι μὴ δυνάμενοι διαιρεῖν καὶ διακρίνειν ποῖοι οἱ ἀπὸ τῶν καθ' αὑτὸ συλλογισμοὶ καὶ ποῖοι οἱ ἀπὸ τῶν κατὰ συμβεβηκός, ἢ ἐρωτώμενοι συγχωροῦσι τὰ ἐρωτηθέντα καὶ ἐλέγχονται, ἢ μὴ συγχωροῦντες ἀλλὰ τὴν σιωπὴν τιμῶντες καὶ οὕτως συγκατανεύειν τῇ ἐρωτήσει παρὰ τῶν ἀκουόντων ὑπολαμβάνονται, διὰ τὸ τὴν σιωπὴν συγκαταθέσεως εἶναι δηλωτικήν. id. f. 21.

168b 19. τὸ δὲ "παρὰ γὰρ τοῦ λόγου τὴν ἔλλειψιν ἡ φαντασία γίνεται," ἢ τοῦ δοκεῖν ἐλέγχειν καὶ ἀπατᾶν καθολικῶς λέλεκται. τοιοῦτο δέ ἐστι τὸ διὰ τούτου δηλούμενον, ὅτι πᾶς οἱοσδήποτε παραλογισμὸς καὶ πᾶσα φαντασία παραλογισμοῦ παρὰ ἔλλειψίν τινα γίνεται τοῦ λόγου, τουτέστι τοῦ ὁρισμοῦ τοῦ ἐλέγχου. ἢ λόγου τοῦ συλλογισμοῦ φησί, καθ' ὃν ὁ ἀληθὴς ἔλεγχος γίνεται. id. ib.

168b 29. οἱ μὲν παρὰ τὸ συμβεβηκὸς "ἐφ' ἑνὸς μόνου" λαμβάνονται, τουτέστιν ἐφάπαξ, καὶ οὐκ ἀντιστρέφονται· ἐφ' ἑνὸς γὰρ μόνου λῆψιν τὸ μὴ ἀντιστρέφειν λέγει, ὡς ἐπὶ τούτου "τὸ μέλι ξανθόν, τὸ ξανθὸν χρῶμα, τὸ χρῶμα ποιότης, τὸ μέλι ἄρα ποιότης." ἢ τὸ "ἐφ' ἑνὸς λαβεῖν" τοιοῦτόν ἐστιν ἤ τι τοιοῦτον σημαίνει, ὡς ὁ σοφιστὴς τὸ συμβεβηκὸς καὶ τὸ ὑποκείμενον ὡς ἓν καὶ ταὐτὸν λαμβάνει καὶ μίαν φύσιν οἴεται ἑκατέρων· ἐπειδὴ γάρ, φησί, τὸ μέλι καὶ τὸ ξανθὸν ταὐτόν, τὸ δὲ ξανθὸν χρῶμα, τὸ μέλι ἄρα χρῶμα, καὶ πάλιν ἐπειδὴ τὸ λευκὸν κύκνος, ὁ δὲ κύκνος οὐσία, καὶ τὸ λευκὸν οὐσία. ἢ οὕτως, ὃ ἐγώ εἰμι σὺ οὐκ εἶ, ἄνθρωπος δ' εἰμὶ ἐγώ, σὺ ἄρα ἄνθρωπος οὐκ εἶ.

167 a 23. ἔλεγχός ἐστιν ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνός· εἰ γὰρ μέλλομεν ἐλέγξαι τὸν ἡμῖν προσδιαλεγόμενον παρὰ τὸ εἰκὸς ἐνιστάμενον, ὀφείλομεν αὐτὸν ἑαυτῷ μαχόμενον ἀπελέγχειν καὶ τὰ ἐναντία ἀποφαινόμενον· τοῦτο γὰρ καὶ ἀντίφασις λέγεται, ὅταν περὶ τοῦ αὐτοῦ καὶ ἑνὸς τὰ ἐναντία λέγοι τις, οὐ περὶ ἄλλου καὶ ἄλλου... ὁ λέγων πάντα ἄγγελον ἀγαθὸν καὶ οὐδένα δαίμονα ἀγαθόν, οὐκ ἐλέγχει τὸν λέγοντα τὰς ἐναντίας προτάσεις ἐπὶ τῆς ἐνδεχομένης ὕλης συμψεύδεσθαι· οὐ γὰρ ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου ἀλλ' ἐπ' ἄλλου καὶ ἄλλου τὸν λόγον συνεπεράνατο. δεῖ δὲ ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ. id. f. 15 *b*.

167 a 25. μὴ συναριθμουμένου δέ, φησί, τοῦ ἐν ἀρχῇ, τουτέστι μὴ λαμβανομένου τοῦ ζητουμένου εἰς τὸν λόγον τῆς ἀποδείξεως. οὐ γὰρ δι' ἑαυτοῦ χρὴ δείκνυσθαι τὸ μὴ δι' ἑαυτοῦ δῆλον, ὅτι μηδὲ ἔλεγχος τὸ τοιοῦτον. ἔστι δὲ τὸ τοιοῦτον ὅταν ὁ μέσος ὅρος ὁ αὐτός τινι τῶν ἄκρων ληφθῇ, μετονομαζόμενος μέντοι καὶ ἄλλως κατὰ τὴν προφορὰν ἐκφερόμενος· ζητουμένου γὰρ τοῦ εἰ ἀθάνατος ἡ ψυχή, τὸ οὕτως εἰπεῖν, ὅτι ἡ ψυχὴ ἀθάνατος, καὶ ἑτέραν σὺν ταύτῃ ἐπαγαγεῖν πρότασιν, κομιδῇ ἠλίθιόν ἐστιν. id. ib.

167 a 36. εἴρηται δὲ τελεώτερον ἐν τοῖς δυσὶ τῶν Προτέρων Ἀναλυτικῶν, οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ ὀγδόῳ τῶν Τοπικῶν σαφέστατα εἴρηται ὡς πενταχῶς εἴρηται. id. f. 16 *b*.

167 b 1. ὁ παρὰ τὸ ἑπόμενον ἔλεγχος πέμπτος ἐστὶ τρόπος τῶν ἐκτὸς τῆς λέξεως φαινομένων ἐλέγχων, μέρος δέ ἐστι τοῦ παρὰ τὸ συμβεβηκὸς παραλογισμοῦ, ὃς πρῶτόν ἐστι τῶν ἐκτὸς τῆς λέξεως σοφισμάτων. τοῦτο δὲ καὶ αὐτὸς ὁ Ἀριστοτέλης προϊὼν ἐρεῖ. ἀμφότεροι γὰρ οὗτοι οἱ σοφισμοὶ ἀπὸ συμβεβηκότων ὥρμηνται, διαφέρουσι δὲ ὅτι ὁ μὲν παρὰ τὸ συμβεβηκὸς οὐκ ἀντιστρέφει τοὺς ὅρους ἀλλ' οὑτωσὶ συλλογίζεται "ὁ Σωκράτης ζῷον, τὸ ζῷον γένος, ὁ Σωκράτης ἄρα γένος," ὁ δὲ παρὰ τὸ ἑπόμενον ὡς ἀντιστρέφοντας λαμβάνει τοὺς ὅρους, καὶ γίνεται ὅταν καὶ τὰ μὴ ἀντιστρέφοντα ὡς ἀντιστρέφοντα λαμβάνηται· ἐπειδὴ γὰρ ἕπεται τῷ κλέπτῃ τὸ νύκτωρ πλανᾶσθαι, ἀντιστρέφοντες οἱ σοφισταὶ λέγουσι, καὶ ὁ νύκτωρ πλανώμενος κλέπτης ἐστίν. id. ib.

167 b 11. τὸ δὲ "πολλοῖς μὲν ταῦτα ὑπάρχει," ἤγουν τὸ καλλωπίζεσθαι καὶ τὸ νυκτοπορεῖν, "τὸ δὲ κατηγορούμενον οὐχ ὑπάρχει," ἤγουν τὸ μοιχὸς καὶ τὸ κλέπτης, λύσις ἐστίν. κατηγορούμενον δὲ λέγει τὸν μοιχόν, κατηγορούμενον τοῦ καλλωπίζεσθαι, τοῦ δὲ νυκτὸς βαδίζειν τὸν κλέπτην, οὐχ ὡς ἀληθῶς κατηγορουμένων (εἴρηται γὰρ ὡς οὐκ ἀνάγκη ἀντιστρέφειν) ἀλλ' ὡς ὑπὸ τῶν σοφιστῶν ὡς κατηγορουμένων λαμβανομένων. id. f. 17.

167 b 13. τούτου τοῦ λόγου πολλὰ μὲν καὶ ἄλλα τὰ αἰτιάματα ἐν τῷ πρώτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 3) εἴρηται τῷ Ἀριστοτέλει, ἀπεδείχθη δὲ καὶ τὸ ἡμαρτημένον, ἡ σὺν ἀντιθέσει ἀντιστροφή. id. ib.

167 b 17. εἰσί τινα ἀρχὴν μὲν ἔχοντα μὴ γεγονότα δέ, καθ' Ἕλληνας, ὡς τὰ οὐράνια καὶ θεῖα σώματα. εἰ γοῦν τοῦτο ψεῦδος, δῆλον ὡς οὐδὲ τὸ μὴ γενόμενον καὶ τὸ μὴ ἀρχὴν ἔχον ταὐτά εἰσιν. "ὁ δὲ παρὰ τὸ μὴ αἴτιον ὡς αἴτιον, ὅταν προσληφθῇ τὸ ἀναίτιον." οὗτος ὁ τρόπος ἕκτος ἐστὶ τῶν ἐκτὸς τῆς λέξεως παραλογισμῶν. ὃ δὲ ἐνταῦθα παρὰ τὸ μὴ αἴτιον ὡς αἴτιον καλεῖ, τοῦτο ἐν τοῖς δυσὶ τῶν Προτέρων Ἀναλυτικῶν μὴ παρὰ τοῦτο ὠνόμασε. γίνεται δὲ τοῦτο ἐν τοῖς δι' ἀδυνάτου συλλογισμοῖς, ὅταν καὶ δίχα τῆς ὑποθέσεως οὐδὲν ἧττον περαίνηται τὸ ἀδύνατον. id. f. 17 *b*.

167 b 24. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. λέγει τις ἀληθῶς ὅτι ἡ ψυχὴ καὶ ἡ ζωὴ ταὐτὸν τῷ αἰτίῳ. πειρᾶται οὖν ὁ σοφιστὴς δεικνύναι ψεῦδος τοῦτο, καί φησιν, εἰ ἔστιν ἡ ψυχὴ καὶ ἡ ζωὴ ταὐτὸν τῷ αἰτίῳ, εἶτα πειρᾶται δεικνύναι ἀδύνατόν τι τοῦτον τὸν τρόπον... φαμὲν οὖν πρὸς τοῦτο ὅτι οὐ παρὰ τοῦτο· οὐ γὰρ παρὰ τὸ λέγειν ἡμᾶς τὴν ψυχὴν καὶ τὴν ζωὴν ταὐτὸν συνήχθη τὸ ζῷον ἢ ζῇ γίνεται, ἐπεὶ καὶ τούτου μὴ κειμένου οὐδὲν ἧττον διὰ τῶν λοιπῶν προτάσεων τὸ ἀδύνατον συναχθήσεται, ἀλλὰ τὸ ἀδύνατον συνῆκται παρὰ τὸ λέγειν σε τὴν ζωὴν ἐναντίαν τῷ θανάτῳ ὄντι φθορᾷ· ἡ γὰρ φθορὰ οὐ τῇ ζωῇ ἐναντία ἐστὶν ἀλλὰ τῷ ἐμψύχῳ σώματι, τῇ δὲ ζωῇ ἡ διάλυσίς ἐστιν ἐναντία. ἡ διάλυσις δὲ οὐ ταὐτὸν τῇ φθορᾷ· οὐ γὰρ ἀνάγκη τὰ διαλυόμενα καὶ ἀπ' ἀλλήλων χωριζόμενα φθείρεσθαι· ἰδοὺ γάρ τις διέλυσε μὲν ἀπ' ἀλλήλων τὰ ἐξ ἐρίου καὶ ἐκ σηρῶν νήματα ἀλλήλοις συνημμένα καὶ κεκλωσμένα, ἡ δὲ τούτων διάλυσις οὐκ ἤδη γέγονεν αὐτοῖς καὶ αἰτία φθορᾶς... τὸ δὲ "ἐὰν οὖν ἐγκαταριθμηθῇ ἐν τοῖς ἀναγκαίοις ἐρωτήμασι πρὸ τοῦ συμπεράσματος τὸ συμβαῖνον ἀδύνατον" τοιοῦτόν ἐστιν· ἐὰν ἐν τοῖς ἀναγκαίοις ἐρωτήμασι, τουτέστι ταῖς παρὰ τοῦ ἐρίζοντος λεγομέναις προτάσεσι (ταύτας γὰρ ἀναγκαῖα λέγει ἐρωτήματα, οὐχ ὅτι ἀναγκαῖόν τι συνάγουσιν ἀλλ' ὅτι τούτων μὴ ληφθέντων οὐκ ἂν συνήχθη τὸ προκείμενον ἀδύνατον), ἐὰν οὖν ἐν ταῖς τοιαύταις τοῦ ἐρίζοντος προτάσεσιν ἐγκαταμιχθῇ περὶ αὐτοῦ δὴ τούτου ὑπὸ τοῦ σοφιστοῦ, πρὸς τὸ ἐπενεχθῆναι παρ' αὐτοῦ τὸ συμπέρασμα, τὸ συμβαῖνον ἀδύνατον, τουτέστιν ἡ ψευδὴς πρότασις ἡ αἰτία γινομένη τοῦ συμβαίνοντος ἀδυνάτου (δι' αὐτῆς γὰρ περαίνεται τὸ τοιοῦτον ἄτοπον), δόξει πολλάκις παρὰ τοῦτο γίνεσθαι ὁ ἔλεγχος, εἴπερ δὴ καὶ ἐνταῦθα γέγονε· συγκατεμίχθη γὰρ τοῖς ἀναγκαίοις ἐρωτήμασι τὸ ἡ ζωὴ ἐναντία τῷ θανάτῳ ὄντι φθορᾷ. οὐ γάρ ἐστιν, ὡς εἴρηται, ὁ θάνατος φθορὰ ἀλλὰ διάλυσις ψυχῆς καὶ σώματος. id. ib.

167 b 36. ἀλλὰ καὶ οἱ ἐρωτῶντες αὐτοὺς τοῦτο πάσχουσιν, ὥσπερ καὶ ὁ Πῶλος τὴν βούλησιν καὶ τὴν δόκησιν ταὐτὸν νομίζων ὡς ἓν ὄντων ἠρώτα τὸν Σωκράτην (Plat. Gorg. p. 466). id. f. 18.

168 a 1. τοιοῦτόν τι πεποίηκε καὶ ὁ Πῶλος ἐν τῷ Γοργίᾳ (p. 466), τὰ πλείω ὡς ἓν ἐρωτήσας τὸν Σωκράτην. ἦν δὲ ἡ ἐρώτησις τοιαύτη "εἰπέ μοι ὦ Σώκρατες, οὐ δοκοῦσί σοι οἱ ῥήτορες, ὥσπερ καὶ οἱ τύραννοι, ποιεῖν ἅπαντα ἃ βούλονται καὶ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι;"... ἐπ' ἐνίων μὲν οὖν, φησί, ῥᾴδιόν ἐστιν ἰδεῖν ὅτι δύο τυγχάνει τὰ ἐρωτήματα· ἔδει γὰρ οὕτως ἐρωτῆσαι, πότερον ἡ γῆ θάλαττά ἐστιν, εἶτ' αὖθις πότερον ὁ οὐρανὸς θάλαττά ἐστιν. id. f. 18 *b*.

168 a 7. τὸ δὲ "ἢ πάλιν, ὧν τὰ μέν ἐστιν ἀγαθὰ τὰ δὲ οὐκ ἀγαθά, πάντα ἀγαθὰ ἢ οὐκ ἀγαθά;" καὶ τοῦτο παράδειγμά ἐστι τοῦ τὰ πλείω ὡς ἓν ἐρωτῶντος· ἔδει γὰρ οὕτως εἰπεῖν, πότερον ἡ σωφροσύνη ἀγαθὸν ἢ φαῦλον καὶ πότερον ἡ ἀκολασία ἀγαθὸν ἢ φαῦλον; ὁ δὲ μίξας ἀμφότερα καὶ ὡς περὶ ἑνὸς ἐρωτήσας οὐκ ἄδηλον ὅτι ἀπατή-

ὀμβρίοις ὕδασι καὶ πηγαίοις μὴ σήπεσθαι, θαλαττίοις δὲ μάλιστα. ἀλλὰ τοιοῦτον μὲν τὸ ἓν παράδειγμα· τὸ δὲ ἕτερον τὸ ἐπαγόμενον τὸ περὶ τὸ ἐνύπνιον τοῦ Ἀγαμέμνονος, ὅ φησι τὸν Δία εἰπεῖν τὸ "δίδομεν δὲ οἱ εὖχος ἀρέσθαι," οὐδαμοῦ κεῖται ἐν τῇ Ἰλιάδι· τὰ μὲν γὰρ περὶ τοῦ ὀνείρου ἐν τῇ ἀρχῇ τοῦ βῆτα ἐστίν, οὐδ' ὅλως δ' εὑρήσει τις τοῦτο πρὸς ἔπος ἐκεῖ κείμενον, καὶ ἔοικε τὸ μὲν νοῦν ἐκεῖθεν λαβεῖν, αὐτὸν δὲ πλάσασθαι τὸ τοῦ στίχου τεμάχιον, τὰ ἔπη τάδε μεταβαλὼν "θωρῆξαί ἑ κέλευε καρηκομόωντας Ἀχαιοὺς πανσυδίῃ· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν." τοιαῦτα μὲν τὰ ῥητά· αὐτὸς δὲ καὶ οἴκοθεν βουλόμενος ποιῆσαι τοῦ παρὰ προσῳδίαν παράδειγμα ὡς ἐκ τοῦ Ὁμήρου τοῦτο ἐπήγαγεν. φασὶν οὖν τινὲς ὅτι εἰς τὸ "δέ οἱ" ἐστὶν ὁ παραλογισμὸς καὶ ἡ ἁμαρτία τοῦ Ὁμήρου· ἐκεῖνο μὲν γὰρ οὕτως ἔγραψε "δίδομεν δέ οἱ εὖχος ἀρέσθαι," τουτέστι φησὶν ὁ Ζεὺς τῷ ὀνείρῳ ὡς ἀπελθὼν ἀπάγγειλον τῷ Ἀγαμέμνονι ὡς οἱ θεοὶ πάντες ἐψηφίσαντο τό σοι τὴν νίκην διδόναι. εἰσὶν οὖν τὰ ῥήματα τοῦ Διὸς πρὸς τὸν ὄνειρον ὅτι βὰς ταῦτα εἰπὲ τῷ Ἀγαμέμνονι ὅτι δίδομεν αὐτῷ πάντες οἱ θεοὶ τὴν νίκην. φασὶν οὖν οἱ ταῦτα λέγοντες ὡς ἐνταῦθα ἁμαρτάνει ὁ ποιητὴς εἰσάγων τὸν Δία διαλεγόμενον ταῦτα τῷ ὀνείρῳ καὶ τρόπον τινὰ ψευδόμενον, ὅπερ οὐκ ἔστι θεοῦ. οἱ γοῦν ἐπιδιορθούμενοι τοῦτόν φασιν ὡς οὐ τῷ Ἀγαμέμνονι ὁ Ζεὺς ἔλεγε τὸ εὖχος δοθῆναι ἀλλὰ τῷ ὀνείρῳ κατὰ τοῦ Ἀγαμέμνονος· ἀναγινώσκουσι δὲ οὕτως "δίδομεν δὲ οἱ" ἀντὶ τοῦ σοί, τῷ ὀνείρῳ. ἔστι δὲ καὶ τοῦτο ψεῦδος· ὁ γὰρ αὐτὸς νοῦς ἐστὶ κἂν ὁ τόνος ἀναβιβασθείη κἂν περισπασθείη ἡ ἀντωνυμία ἡ οἱ. ποῦ γοῦν ἐστὶν ἡ ἁμαρτία; ἢ οὐκ εἰς τὸ "δέ οἱ" ἀλλ' εἰς τὸ "δίδομεν·" ἐπειδὴ γὰρ ἴδιόν ἐστι τῆς Δωρικῆς διαλέκτου τὸ ἀντὶ τοῦ διδόναι λέγειν διδόμεναι καὶ ἀντὶ τοῦ εἶναι τὸ ἔμμεναι, τῆς αὐτῆς δὲ καὶ τὸ ἀποκόπτειν πολλάκις τὸ αι τῆς ἀπαρεμφάτου ἐγκλίσεως, τοῦτο καὶ ἐνταῦθα εὑρίσκεται. εἰ γοῦν τὸ "δίδομεν δὲ οἱ εὖχος ἀρέσθαι" ἀναγνῷ τις τὸν τόνον θεὶς εἰς τὸ δίδομεν, τὸν Δία ποιεῖ ψευδόμενον...

166 b 11. οἷον τί φημι; τὸ παθητικὸν διὰ τὸ ὁμοιόσχημον εἶναι τῷ ἐνεργητικῷ ὡς ἐνεργητικὸν λαμβάνει ὁ σοφιστὴς καὶ παραλογίζεται, ὡς ἐπὶ τοῦδε. "πότερον τὸ μανθάνειν ἐνεργεῖν ἐστὶ περὶ τὴν μάθησιν; ναί. τὸ ἐνεργεῖν περὶ τὴν μάθησιν διδάσκειν ἐστίν; ναί. τὸ ἄρα μανθάνειν διδάσκειν ἐστίν." παρὰ τὸ σχῆμα οὖν τῆς λέξεως λέγεται, ὅτι ἐσχημάτισται τὸ παθητικὸν εἰς τὸ ἐνεργητικὸν καὶ ἀνάπαλιν τὸ ἐνεργητικὸν εἰς τὸ παθητικόν, καὶ διότι τὸ ἐνεργεῖν περὶ τὴν μάθησιν δηλοῖ καὶ ἀμφότερον· παρίστησι γὰρ καὶ ἐνέργειαν τοῦ διδάσκοντος, ὁμοίως δὲ καὶ πάθος τοῦ διδασκομένου, ἢ μᾶλλον εἰπεῖν τὴν γένεσιν, καθὼς ἐν τῇ περὶ Ψυχῆς πραγματείᾳ (2 5) φησίν. id. f. 12 *b*.

166 b 14. καὶ τἆλλα, φησίν, ὡς διῄρηται (τουτέστι καὶ τὰς ἄλλας κατηγορίας ἃς ἐν ταῖς Κατηγορίαις ἐδίδαξε), δύναται ὁ σοφιζόμενος ἐν παραλογισμῷ παραλαμβάνειν, καὶ τὸ ποιὸν ὡς πρός τι δεικνύναι καὶ τὸ ποσὸν ὡς πρός τι καὶ τὸ πρός τι ὡς ποιὸν καὶ τὸ ποιεῖν πάσχειν. τίθησι δὲ τούτου παράδειγμα τοιοῦτον "οὐχὶ τὸ ὑγιαίνειν ἀπαρέμφατον; οὐχὶ τὸ τέμνειν ἀπαρέμφατον; τὸ ὑγιαίνειν ἄρα καὶ τὸ τέμνειν ταὐτόν." ἀλλὰ τὸ μὲν ὑγιαίνειν πάσχειν τί ἐστιν, εἴπερ ἡ ὑγεία διάθεσις σώματος ζώου ἐν συμμετρίᾳ θερμῶν καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν (τούτου γάρ ἐστι δηλωτικὸν τὸ "καίτοι τὸ μὲν ποιόν τι καὶ διακείμενόν πως δηλοῖ"), τὸ δὲ τέμνειν καὶ οἰκοδομεῖν ποιεῖν· τούτου γὰρ πάλιν ἐστὶ δηλωτικὸν τὸ "τὸ δὲ ποιεῖν τι." ἠρώτα δὲ καὶ τοιοῦτον λόγον ὁ Εὐθύδημος. "πότερον ὁρῶσι καὶ οἱ Σκύθαι καὶ οἱ ἄλλοι ἄνθρωποι τὰ δυνατὰ ὁρᾶν ἢ τὰ ἀδύνατα; τὰ δυνατὰ δήπου. οὐκοῦν καὶ σὺ καὶ ἐγώ; ναί. ὁρῶσι δὲ τὰ ἡμέτερα ἱμάτια; ναί. δυνατὰ οὖν ὁρᾶν ἐστὶ ταῦτα. ὁρᾷ ἄρα τὰ ἱμάτια." id. f. 13.

ὅταν οὖν, φησί, τὶς ἀξιοῖ ὁμοίως ὑπάρχειν τι τῷ πράγματι 166 b 29.
καὶ τῷ συμβεβηκότι, πρᾶγμα μὲν λέγει τὸ σύνθετον καὶ ὑποκείμενον, συμβεβηκὸς δὲ ἁπλῶς πᾶν κατηγορούμενον, κἄντε τῶν οὐσιωδῶς καὶ καθ' αὑτὸ ὑπαρχόντων τῷ καθ' οὗ κατηγορεῖται ἐστί, κἄντε καὶ μή. φησὶ γοῦν ὡς οὐκ ἀνάγκη ἐστίν, ὅσα συμβέβηκε τῷ κατηγορουμένῳ, καὶ τῷ ὑποκειμένῳ ταῦτα συμβαίνειν... οὐ γὰρ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, ταῦτα πάντα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται, ὡς ἐν ταῖς Κατηγορίαις ἐμάθομεν... ἢ μᾶλλον τὸ "ἐπεὶ γὰρ τῷ αὐτῷ πολλὰ συμβέβηκεν, οὐκ ἀνάγκη πᾶσι τοῖς κατηγορουμένοις καὶ καθ' οὗ κατηγορεῖται" τοιοῦτόν ἐστιν. συμβέβηκε τῷ Σωκράτει ἀνθρώπῳ εἶναι· ἐπεὶ οὖν τῷ αὐτῷ πολλὰ ὑπάρχει, οὐκ ἀνάγκη ταῦτα πάντα ὅσα πᾶσι τοῖς κατηγορουμένοις ἕπεται (τοῦτο γὰρ λείπει) καὶ τῷ ὑποκειμένῳ ἕπεσθαι. τοῦτο γὰρ εἶπε "καθ' οὗ κατηγορεῖται·" οὐ γὰρ ὅσα ὑπάρχει τῷ ζῴῳ καὶ τῷ λογικῷ, ταῦτα καὶ τῷ Σωκράτει ὑπάρχει· οὔτε γὰρ ὁ Σωκράτης διαφορά ἐστι, ἐπειδὴ τὸ λογικὸν τὸ κατὰ τοῦ Σωκράτους λεγόμενον, οὔτε δισύλλαβον, διότι καὶ τὸ ζῷον δισύλλαβον. id. f. 13 *b*.

ἡ μὲν τῶν λεγομένων διάνοια τοιαύτη τίς ἐστιν. κατὰ δὲ τὴν λέ- 166 b 32.
ξιν εἰ μὲν τὸ "ὁ Κορίσκος ἕτερον ἀνθρώπου" ὡς ἴσον ληφθείη τῷ ὁ ἄνθρωπος ἕτερον Κορίσκου (συνήθης δέ ἐστι τῷ Ἀριστοτέλει τοῦτο ποιεῖν καὶ πολλαῖς τοιαύταις ἑρμηνείαις κέχρηται), σαφές ἐστι τὸ λεγόμενον, καὶ εἴη ἡ μείζων πρότασις τοῦ παραλογισμοῦ αὕτη· τὸ γὰρ "ἐστὶν ἄνθρωπος" ἡ ἐλάττων· ὡς γίνεσθαι τὸν συλλογισμὸν ἐν πρώτῳ σχήματι οὕτως "ὁ Κορίσκος ἄνθρωπος· ὁ ἄνθρωπος ἕτερος Κορίσκου· ὁ Κορίσκος ἄρα αὐτὸς ἑαυτοῦ ἕτερος." εἰ δὲ μὴ οὕτω τὸ χωρίον μεταληφθὲν ἑρμηνευθείη, ἀλλ' ὥσπερ κεῖται ἐν τῷ ἐδαφίῳ γεγραμμένον ληφθείη, δύο συλλογισμοὺς ἐντεῦθεν μανθάνομεν, παριστῶντος τοῦ μὲν ἑνὸς τὸν Κορίσκον οὐκ ἄνθρωπον, τοῦ δὲ ἑτέρου τὸν Κορίσκον ἕτερον αὐτοῦ. λέγοι δ' ἂν καὶ ἑκατέρου μόνας τὰς ἥττους προτάσεις. id. f. 14.

τῶν κατηγορουμένων ὅσα μὲν κατὰ συμβεβηκὸς τῶν ὑποκειμέ- 166 b 37.
νων κατηγορεῖται, ὡς ἐν τῷ περὶ Ἑρμηνείας (c. 7) δέδεικται, οἷον τοῦ ἀνθρώπου τὸ λευκὸν καὶ τὸ μουσικόν, ταῦτα οὐ δυνατὸν καὶ διῃρημένως καὶ συνημμένως κατηγορεῖσθαι, ἐπεὶ συμβεβήκασιν ἄμφω τῷ αὐτῷ. id. ib.

λέγει ὁ σοφιστὴς "οὐχὶ ὁ τραγέλαφος μὴ ὄν ἐστιν; οὐχὶ ὁ τρα- 167 a 1.
γέλαφος δοξαστόν ἐστιν; τὸ μὴ ὂν ἄρα ἔστιν." ὁ συλλογισμὸς ἐν τρίτῳ σχήματι, τὸ σόφισμα δὲ παρὰ τὸ πῇ καὶ ἁπλῶς. id. f. 14 *b*.

ὁ τρίτος τρόπος τῶν ἐκτὸς τῆς λέξεως σοφισμάτων ἐστὶν ὁ 167 a 21.
παρὰ τὴν ἄγνοιαν λεγόμενος, ὃς οὕτω λέγεται, ὅτι ὁ εἰδὼς τί ποτέ ἐστιν ἔλεγχος, οὐ περιπεσεῖται τῷ τοιούτῳ σοφίσματι. id. f. 15 *b*.

165b 36. σημαίνει τὸ δέον καὶ τὸ συμφέρον· δέον γάρ φαμεν ἤτοι συμφέρον γυμνασίαις χρᾶσθαι τοιαῖσδε. τριχῶς οὖν λεγομένου τοῦ δέοντος, ὁ Ἀριστοτέλης τὸ ἓν σημαινόμενον παρείς, τὸ κατὰ τὸ συμφέρον, ἐκ τῶν δύο ἐμφανίζει τὰς μοχθηρίας τῶν παραλογισμῶν... γέγονε τοίνυν ὁ παραλογισμὸς διὰ τὸν μέσον ὅρον ἄλλον καὶ ἄλλον λαμβανόμενον. τοιοῦτοί εἰσι καὶ οὗτοι· οὐχὶ ὁ κόραξ πτηνόν ἐστι; τί δέ, οὐχὶ τὸ ὄργανον ᾧ κλείομεν τὰς θύρας κόραξ ἐστί; τὸ ὄργανον ἄρα πτηνόν ἐστιν. ὁμώνυμον γὰρ τὸ κόραξ. καὶ πάλιν, οὐχὶ ὁ ἀετὸς πτηνόν ἐστι; ναί. τί δέ, οὐχὶ ὁ ἰχθὺς ἀετός ἐστιν; ὁ ἰχθὺς ἄρα πτηνόν ἐστιν. id. f. 9 *b*.

166a 2. ἦν δ' ἂν σαφέστερον εἰ οὕτως ἔκειτο· τὸ γὰρ ὑγιαίνειν τὸν κάμνοντα καὶ ἑστηκέναι τὸν ἀνιστάμενον οὐχ ἓν σημαίνει, διότι ὁτὲ μὲν διὰ τοῦ λόγου τοῦ λέγοντος ὅτι ὁ ὑγιαζόμενος ὑγιαίνει, σημαίνεται ὅτι ὁ ὑγιαζόμενος νῦν ὑγιαίνει, ὅπερ ἐστὶ καὶ ψευδές (ἀδύνατον γάρ ἐστιν ἐνεργείᾳ ἔχειν τὴν ὑγίανσιν τὸν νῦν ὑγιαζόμενον καὶ τὴν ὑγείαν κατ' ὀλίγον προσκτώμενον), ὁτὲ δὲ σημαίνεται πάλιν διὰ τούτου ὅτι ὃς ὑγιάζετο πρὸ δέκα τυχὸν ἡμερῶν, τουτέστι πρὸς τὴν ὑγείαν ἀνήγετο, νῦν ὑγιαίνει. ταῦτα δὲ εἰπὼν ἐπάγει "πλὴν ὑγιάζετο μὲν καὶ κάμνων καὶ ὁ κάμνων" καὶ τὰ ἑξῆς, ἅπερ ὡς λύσις ἐστὶ τῶν σοφισμάτων. ἔστι δὲ ὃ λέγει τοιοῦτον· ὑγιάζεσθαι μὲν λέγεται καὶ ὁ κάμνων νῦν καὶ ὁ κάμνων πάλαι, ὑγιαίνειν δὲ οὐχ ὁ νῦν ὑγιαζόμενος ἀλλ' ὅστις πάλαι ὑγιάζετο. "κάμνων" δὲ εἴληπται τῷ Ἀριστοτέλει ὁ νῦν κάμνων, "ὁ κάμνων" δὲ ὁ ποτὲ κάμνων. id. f. 10.

166a 12. τὸ δὲ σόφισμα τὸ ἆρα ἔστι σιγῶντα λέγειν, οὕτως Εὐθύδημος ἠρώτα. id. f. 10 *b*.

166a 25. σημειωτέον δὲ ὅτι σύνθεσιν λέγει ὁ Ἀριστοτέλης καὶ τὸ χωρὶς τοῦ δυνατοῦ τὸ βαδίζειν κατηγορεῖσθαι. εἰπὼν οὖν ὅτι οὐ ταὐτὸν σημαίνει ἂν τὸ βαδίζειν χωρὶς τοῦ δύνασθαι κατὰ τοῦ καθημένου κατηγορήσῃ, ὅπερ διὰ τοῦ "ἂν διελών τις εἴπῃ" ἐσήμανε, καὶ ὅταν αὖθις τὸ βαδίζειν μετὰ τοῦ δύνασθαι διὰ τοῦ "καὶ συνθείς" ὡς δυνατὸν τὸν καθήμενον, τοῦ μὲν ἑνὸς τρόπου, καθ' ὃν τὸ βαδίζειν μετὰ τοῦ δύνασθαι κατηγοροῦμεν, παράδειγμα τέθεικε τὸ ὡς δυνατὸν τὸν καθήμενον βαδίζειν καὶ τὸν μὴ γράφοντα γράφειν· ἐν ᾧ καὶ αὐτῷ προσυπακούειν δεῖ τὸ δυνατόν, ἵνα ᾖ καὶ δυνατὸν τὸν μὴ γράφοντα γράφειν. τοῦ δὲ λοιποῦ τρόπου, καθ' ὃν συντίθεμεν τῷ καθημένῳ τὸ βαδίζειν χωρὶς τοῦ δυνατοῦ, μηνυτικὸν ἐπήγαγε τὸ "καὶ τοῦθ' ὡσαύτως ὅταν συνθῇ τὸν μὴ γράφοντα γράφειν." id. f. 11.

166a 34. τὸν μὲν τὰ πέντε συνάγοντα παραλογισμὸν καὶ ἄρτια εἶναι καὶ περιττὰ πάνυ σαφῶς ὁ Ἀριστοτέλης ἐξέθετο, τὸν δὲ τὰ μείζονα ἴσα τοῖς ἐλάττοσι συνάγοντα πάνυ βραχέως καὶ διὰ τοῦτο ἀσαφῶς ἀπαγγέλλειν δοκεῖ. δεῖ δὲ προσυπακούειν ἐν τῷ "τὸ μεῖζον ἴσον" τὸ τῷ ἐλάττονι, ἵνα ᾖ τὸ πλῆρες τῆς λέξεως τοιοῦτον· ἡ δ' ἀγωγὴ τοῦ σοφίσματος οὕτως ἠρωτᾶτο "οὐχὶ ὁ ὀκτὼ εἰς ἓξ καὶ δύο διαιρεῖται; ναί. τί, οὐχὶ εἰς τρία καὶ πέντε; ναί. ὁ ὀκτὼ ἄρα εἰς ἓξ καὶ δύο καὶ τρία καὶ πέντε διαιρεῖται· τὰ δὲ ἓξ καὶ δύο καὶ πέντε καὶ τρία ἑκκαίδεκά ἐστιν· ὁ ὀκτὼ ἄρα εἰς ἑκκαίδεκα διαιρεῖται· ἴσος ἄρα ὁ ἑκκαίδεκα τῷ ὀκτώ, ὁ μείζων τῷ ἐλάττονι." παρὰ δὲ τὴν διαίρεσιν καὶ τοῦτο τὸ σόφισμα· δυνάμει γὰρ ἐν τῷ ὀκτὼ ταῦτα. τὸ δὲ "τοσοῦτον γὰρ τὸ μεῖζον καὶ ἔτι πρός" οὕτως ἐπήχθη ὡσεὶ ἔλεγεν, ὁ ἑκκαίδεκα, τουτέστι τὸ μεῖζον, τοσοῦτός ἐστιν ὅσος ὁ ὀκτὼ καὶ ἔτι πρός· αἰνιξάμενος γὰρ τὸν παρὰ τὴν διαίρεσιν παραλογισμὸν δι' ὧν ἐπήνεγκε σοφισμάτων, ἐπάγει καὶ παραδείγματα δεικνύντα τὸν αὐτὸν λόγον διῃρημένον καὶ συγκείμενον μὴ ταὐτὸν σημαίνειν· τὸ γὰρ "ἐγώ σε ἔθηκα δοῦλον" αὐτὸ λεγόμενον καθ' αὑτό, καὶ αὖ πάλιν τὸ ἐγώ σε ἔθηκα ἐλεύθερον, οὐ ταὐτὸν σημαίνουσι καὶ ὅταν ἀμφότερα συντεθέντα λόγον ἀπαρτίσωσι τὸν λέγοντα "ἐγώ σε ἔθηκα δοῦλον ὄντα ἐλεύθερον." ὅμοιον τούτῳ καὶ τὸ ἐφεξῆς τούτου κείμενον· οὐ γὰρ ὡς σόφισμα τέθειται, ἀλλὰ καὶ αὐτὸ ὥσπερ παράδειγμα εἴληπται τοῦ μὴ ταὐτὸν σημαίνειν τὸν λόγον τοῖς μέρεσιν. ἔστι δὲ τοῦτο τὸ "πεντήκοντ' ἀνδρῶν ἑκατὸν λίπε δῖος Ἀχιλλεύς·" ἄλλο γὰρ δηλοῖ διαιρουμένων τῶν ἀνδρῶν ἀπὸ τῶν πεντήκοντα, καὶ ἄλλο συντιθεμένων· εἰ μὲν γὰρ ὑποστίζομεν εἰς τὸ πεντήκοντα, λέγοντες ὅτι πεντήκοντα ἑκατὸν ἀνδρῶν, σημαίνει ὅτι δῖος Ἀχιλλεὺς ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν κατέλιπε πεντήκοντα· εἰ δὲ εἰς τὸ ἑκατόν, ἕτερον πάλιν δηλοῦται, ὅτι ἀπὸ τῶν πεντήκοντα ἀνδρῶν κατέλιπεν ἑκατόν. id. f. 11 *b*.

ὀνομάζεται δὲ παρὰ τὴν προσῳδίαν ὅτι ὁ τόνος πρὸς ὃν ᾄδομεν 166b 1.
καὶ τοὺς λόγους ποιούμεθα, ποιεῖ τὸν παραλογισμόν, νῦν μὲν οὕτως ἄλλοτε δ' ἄλλως ἢ καὶ ἀλλαχοῦ τιθέμενος, οἷον τί φημι; ἐν μὲν ὁμιλίᾳ καὶ διαλέξει οὐκ ἀπατήσει ποτὲ ὁ λέγων "ἑταίρα χρυσία εἰ φοροίη, δημοσία ἔστω·" εἴληπται γὰρ ὁ λέγων παροξυτόνως τὸν λόγον ἐξενεγκών, ἢ τυχὸν καὶ προπαροξυτόνως, καὶ οὐκ ἂν σοφίσαιτό ποτε τὸν ἠκροαμένον, νῦν μὲν παροξυτόνως λέγων, νῦν δὲ εἰς προπαροξύτονα μεταλαμβάνων· ἅπαξ γὰρ εἰρηκὼς ἐσήμανε τὸ ἑαυτοῦ βούλημα. εἰ δὲ ἐν γραφῇ εἴη κείμενον τὸ "δημοσια" οὐδένα τόνον ἔχον, τότε δῆτα καὶ τὸν παραλογισμὸν ἀπέχῃ. εἴρηκε δὲ τὸ οὐ ῥᾳδίως γίνεσθαι λόγον ἐν τοῖς ἄνευ γραφῆς, διότι ἔστιν ὅτε καὶ ἐν αὐτοῖς οὗτος ἀποτελεῖται, ὥσπερ ὅταν τις εἴπῃ "ἆρ' ἔστι τὸ οὗ καταλύεις οἰκία; ναί. τὸ δὲ οὐ καταλύεις τοῦ καταλύεις ἀπόφασις; ναί. ἡ οἰκία ἄρα ἀπόφασις." παρὰ τὴν προσῳδίαν τὸ σόφισμα. id. f. 12.

παράδειγμα δὲ ἐπιφέρει τοῦ παρὰ τὴν προσῳδίαν, ὅπερ ἐν 166b 3.
ποιήμασιν ἔφη μάλιστα γίνεσθαι, παρὰ τοῦ Ὁμήρου. κεῖται δὲ ἐν τῷ ψῖ τῆς Ἰλιάδος (328), ἔνθα καὶ ἐπὶ τῷ Πατρόκλῳ ὁ ἱππικὸς ἀγὼν ἐτετέλεστο... τινὲς οὖν ἐκάκιζον τὸν Ὅμηρον, περισπωμένως τὸ οὗ ἀναγινώσκοντες καὶ λέγοντες ἄτοπόν τι αὐτὸν εἰρηκέναι διὰ τούτου, ὡς λέγοντα δῆθεν ὅτι τοῦ ξύλου ἐκείνου τοῦ ἐξανέχοντος, ὃ δρύϊνον ἢ πεύκινον ὀνομάζει, τὶ μὲν κατασήπεται τὶ δὲ οὐ κατασήπεται· εἰ γὰρ καὶ μὴ τοῦτο ἐδήλωσεν ἐναργῶς τὸ τὶ δὲ οὐ κατασήπεται, λέγουσιν ἄντικρυς δηλοῦσθαι διὰ τοῦ εἰρημένου τοῦ οὗ τὸ μὲν καταπύθεται, ὡς τινὸς μὲν ἐκ τοῦ δένδρου τῆς πεύκης σηπομένου τοῖς ὀμβρίοις ὕδασι τινὸς δὲ μὴ σηπομένου. τινὲς μὲν οὖν ἐκάκιζον τὸν Ὅμηρον, ὡς εἶπον, ἀτόπως τόδε εἰρηκότα· ἐπιδιορθοῦται δὲ τούτους ἐν τῷ περὶ Ποιητικῆς, ὡς αὐτὸς Ἀριστοτέλης ἐν τῇ Ῥητορικῇ (immo Ποιητ. c. 26) φησίν, Ἱππίας ὁ Θάσιος μὴ περισπωμένως ἀναγινώσκων τὸ οὐ ἀλλ' ἀποφατικῶς, ὅπερ αὐτὸς ὀξυτόνως εἴρηκεν, ἵνα ᾖ τὸ λεγόμενον ὡς ἡ πεύκη τὸ δένδρον οὐ καταπύθεται ὄμβρῳ. λέγει δὲ καὶ ὁ Θεόφραστος τὰ φυτὰ τῆς πεύκης

οὔτε ἐκ τῶν τοῖς σοφοῖς ἢ τῶν πᾶσι δοκούντων σοφοῖς ἢ τῶν τοῖς πλείστοις καὶ τῶν μάλιστα γνωρίμων κατὰ φιλοσοφίαν. οὐδὲ περὶ παντὸς τοῦ προκειμένου συλλογίζονται· τὸ γὰρ ἐκ τούτων συλλογίζεσθαι, ὡς ἡ πρόθεσις τῆς Διαλεκτικῆς σημαίνει, οὐκ ἔστιν ἀποδείξεως καὶ ἀποδεικτικοῦ λόγου ἀλλὰ τῆς διαλεκτικῆς. ἢ ληπτέον ἐπὶ τοῦ συλλογίζεσθαι νῦν τὸ διαλέγεσθαι· ὁ γὰρ ἀποδεικνύων οὐ διαλέγεται ἀλλὰ συλλογίζεται, καθάπερ ἐπὶ γεωμετρίας ἔχει καὶ ἄλλων τινῶν. id. ib.

165 b 5. γράφεται δὲ ἔν τισι καὶ "ἀναγκαῖον" διὰ τοῦ ο μικροῦ, καὶ εἴη ἂν ἐλλειπτικὸν ὡς ἔξωθεν λαμβάνεσθαι τὸ οὖν τὴν ἐπιστήμην ἔχειν ἀναγκαῖον τῷ προσποιουμένῳ εἰδέναι. ἐν τισὶ μέντοι ἀντιγράφοις οὐ τέτταρα γένη ἀλλὰ τρία φέρεται, ἐπεὶ τοῦ πειραστικοῦ δοκεῖ ὡς μέρους τοῦ διαλεκτικοῦ μνημονεύειν προελθών. πολὺ δὲ καὶ τὸ τῆς πειραστικῆς εἶδος παρὰ Πλάτωνι ἔστιν εὑρεῖν ἔν τε τῷ Εὐθύφρονι καὶ ἐν ἅπασι σχεδὸν αὐτοῦ τοῖς διαλόγοις. μνημονεύει δὲ τῶν πειραστικῶν καὶ ἐν τῷ πρώτῳ τῶν Τόπων (1 2: cf. 8 4), ἔνθα διέξεισι πρὸς τίνα χρήσιμός ἐστιν ἡ διαλεκτική. id. f. 7 b.

165 b 17. τὸ δὲ "ἢ τὸ μὴ ὂν ἀλλὰ τὸ φαινόμενον ἕκαστον εἶναι τούτων" τοιοῦτόν ἐστιν· ἀπαριθμησάμενος γὰρ τίνων οἱ σοφισταὶ στοχάζονται, λέγει ὅτι ἕκαστον τούτων τῶν παρ' αὐτοῦ στοχαζομένων οὐκ ἔστιν ἀληθῶς ὂν ἀλλὰ φαινόμενον. ἔστι δὲ ἡ λέξις οὕτω, τὸ ἕκαστον τούτων μὴ εἶναι ὂν ἀλλὰ φαινόμενον· οὔτε γὰρ ἀληθῶς δείκνυσι ψευδόμενον τὸν ἀποκρινόμενον ἀλλὰ φαινομένως, οὔτε σολοικίζοντα τὸν δοκοῦντα σολοικίζειν· ἐν γὰρ τῇ ἐρωτήσει τῇ "ἆρα ὃ λέγεις εἶναι, ἔστι τοῦτο; λέγεις εἶναι Σωκράτην, ἔστιν ἄρα Σωκράτην" οὐκ ἀληθής ἐστι τοῦτο σολοικισμὸς ἀλλὰ φαινόμενος. τὸ δὲ "ἢ τὸ μὴ ὂν ἀλλὰ τὸ φαινόμενον" ἔστι καὶ οὕτως ἐκλαβεῖν, ὡσεὶ ἔλεγεν ἢ ὡς εἶναι τοῦτο τῆς δοκούσης ἀπορίας τοῦ πῶς ἐλέγχουσιν οἱ σοφισταὶ λυτικόν, εἰ καὶ ψεύδους καὶ ἐλέγχου καὶ τῶν τοιούτων στοχάζονται, ἀλλ' ἕκαστον τούτων μὴ ὄν ἐστι καὶ φαινόμενον· οὔτε γὰρ ὁ ἔλεγχος ἀληθής ἐστιν ἔλεγχος, οὔτε μὴν ὁ σολοικισμὸς σολοικισμός, οὔτε μὴν τῶν ἄλλων οὐδὲν τοιοῦτον οἷον καὶ φαίνεται· ἀληθὴς μὲν γὰρ ἔλεγχος ὁ τὴν ἀντίφασιν τοῦ συμπεράσματος καὶ μίαν τῶν προτάσεων λαβὼν καὶ ἀνελών τι τῶν κειμένων, ὁ δὲ λέγων "ἆρα ἔστι σιγῶντα λέγειν; οὔ. τί δέ, ὅταν ξύλα καὶ λίθους λέγῃς; ἔστιν ἄρα σιγῶντα λέγειν" οὐκ ἐλέγχει· διττὸν γάρ ἐστι τὸ σιγᾶν. τὸ δὲ "ἢ τὸ μὴ ὂν ἀλλὰ τὸ φαινόμενον ἕκαστόν ἐστι τούτων" οὕτως εἴρηκεν ὡς εἴπομεν. δῆλον καὶ αὐτὸς πεποίηκε διὰ τοῦ "μάλιστα μὲν προαιροῦνται φαίνεσθαι ἐλέγχοντες" καὶ τῶν ἑξῆς. ἔφη δέ τις καὶ οὕτως ἑρμηνεύεσθαι τὸ ῥητόν, ὅτι τὸ πειρᾶσθαι ἐλέγχειν τὸν σοφιστὴν οὐκ ἔστι μὴ ὂν τοιοῦτον ὡς τὸ τῇ ἀληθείᾳ καὶ τῷ φαινομένῳ, οἷον τὸ μηδαμῇ μηδαμῶς δοκοῦν, ἀλλὰ μὴ ὂν ὅσον καθ' ἑαυτό, ὂν δὲ ὅσον κατὰ τὸν δοξάζοντα καὶ διὰ τοῦτο φαινόμενον. id. ib.

165 b 23. εἴη δ' ἂν ἀντὶ τοῦ εἴδους τρόπον παραλαμβάνων, καὶ ἔστι τρόπον τινὰ λέγων οὕτως ὅτι εἴδη τῶν σοφιστικῶν ἐνοχλήσεών εἰσι δύο, καὶ τὸ μὲν ἓν τῶν εἰδῶν ἓξ τρόπους περιέχει τοὺς παρὰ τὴν λέξιν λεγομένους, τὸ δὲ ἕτερον ἑπτά, οὓς ἔξω καλεῖ τῆς λέξεως... ἐπεὶ δὲ ἡ τῶν ὄντων ἀνωτάτη διαίρεσις εἰς φωνάς ἐστι καὶ πράγματα, καὶ τούτων τὰ μέν εἰσι λεκτὰ τὰ δὲ τυγχάνοντα, λεκτὰ μὲν αἱ φωναὶ τυγχάνοντα δὲ τὰ πράγματα, καὶ ἡ τῶν σοφιστικῶν ἐλέγχων διαίρεσις τὴν πρώτην ἔχει διαίρεσιν ἢ περὶ φωνὰς ἢ περὶ πράγματα, ἑκάτερον δὲ τούτων εἰς πλεῖστα διαιρεῖται, καὶ εἰ μὲν περὶ φωνάς, περὶ ταύτας ἔσονται οἱ παρὰ τὴν λέξιν ἓξ τῶν σοφισμάτων τρόποι, εἰ δὲ περὶ πράγματα, οἱ τῶν ἔξω τῆς λέξεως λοιποὶ ἑπτὰ τρόποι. id. f. 8.

165 b 23. "ἄντε ληφθῇ τις ἕτερος." ἕτερον δὲ λέγει τοὺς προσυλλογισμοὺς ἑκατέρας τῶν προτάσεων τοῦ παρ' αὐτοῦ τιθεμένου συλλογισμοῦ· καὶ αὐτὸς οὗτος ὁ προσεχῶς τοῖς λεγομένοις παρ' αὐτοῦ τούτου τιθέμενος, εἰ καὶ ἀσαφῶς καὶ οἷον εἰπεῖν αἰνιγματωδῶς. πῶς δὲ ταῦτα οὕτως ἔχει, λεκτέον τοῦ σαφοῦς ἕνεκα. ὁ συλλογισμὸς ἐν πρώτῳ σχήματι γίνεται καὶ πρώτῳ τρόπῳ τοῦ πρώτου σχήματος· ὁμοίως καὶ ἑκάτερος προσυλλογισμὸς ἑκατέρας προτάσεως. ἔχει δ' ὁ συλλογισμὸς οὕτως, ὡς καὶ Γαληνός φησιν. τὰ παρὰ τὴν λέξιν σοφίσματα γίνεται παρὰ τὸ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλοῦσθαι· πάντα τὰ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλούμενα ἑξαχῶς συμβαίνει γίνεσθαι· πάντα ἄρα τὰ παρὰ τὴν λέξιν σοφίσματα ἑξαχῶς συμβαίνει γίνεσθαι. τοιοῦτος μὲν οὖν ὁ συλλογισμός. ἄλλον δὲ συλλογισμὸν λέγοι ἂν τὸν κατασκευάζοντα τὴν μείζονα πρότασιν τὴν λέγουσαν ὅτι πᾶν τὸ μὴ ταὐτὸ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλούμενον ἑξαχῶς συμβαίνει γίνεσθαι, ἔτι τὸν κατασκευάζοντα τὴν ἐλάττονα τὴν λέγουσαν, τὰ παρὰ τὴν λέξιν σοφίσματα γίνεται παρὰ τὸ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλοῦσθαι. δείκνυται δὲ ἡ ἐλάττων αὐτοῦ πρότασις, ἂν ληφθῇ μέσος ὅρος τὰ παρὰ τὴν χακίαν τῆς λέξεως... λεχθείη δ' ἂν σαφέστερον ὁ συλλογισμὸς καὶ οὕτω. πόθεν δῆλον ὅτι πάντα τὰ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλούμενα ἑξαχῶς συμβαίνει γίνεσθαι; ἢ πάντως τῷ ἢ δυνάμει ἢ ἐνεργείᾳ ἢ φαντασίᾳ τὸ διττὸν ἔχειν. πάντα δὲ τὰ οὕτως ἔχοντα ἑξαχῶς συμβαίνει γίνεσθαι, καὶ διὰ τοῦτο τὰ μὴ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλούμενα ἑξαχῶς συμβαίνει γίνεσθαι... πολλὴν δὲ τὴν ἀσάφειαν ὁ Ἀριστοτέλης ἐποίησε τὸν συλλογισμὸν ἐκτιθείς· σαφηνισθήτω δὲ ἡ λέξις αὖθις αὐτὴν ἀναλαβόντων ἡμῶν. πίστις ἐστὶ τοῦ ἓξ εἶναι τὸν ἀριθμὸν τὰ παρὰ τὴν λέξιν σοφίσματα ἡ ἐπαγωγὴ καὶ ὁ συλλογισμὸς ἄν τε ληφθῇ τις ἄλλος, ἄλλον συλλογισμὸν ὥσπερ λέγων τοὺς προσυλλογισμοὺς τοὺς τὴν μείζονα καὶ ἐλάττονα πρότασιν συνιστῶντας. τὸ δὲ καὶ ὅτι τοσαυταχῶς ἂν τοῖς ὀνόμασι τοῖς αὐτοῖς καὶ λόγοις καὶ μὴ ταὐτὰ δηλώσομεν, ἡ μείζων ἐστὶ πρότασις τοῦ παρ' αὐτοῦ τιθεμένου συλλογισμοῦ. ἴσον δέ ἐστι τὸ "τοσαυταχῶς ἂν τοῖς ὀνόμασι τοῖς αὐτοῖς καὶ λόγοις δηλώσομεν μὴ ταὐτόν" τῷ πᾶν τὸ μὴ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλούμενον ἑξαχῶς συμβαίνει γίνεσθαι. ἐγένετο δ' αὕτη ἡ ἀσάφεια ἐκ τοῦ ταύτην δὴ μόνην θεῖναι τὴν πρότασιν, τὴν δὲ ἐλάττονα καὶ τὸ συμπέρασμα καὶ τοὺς προσυλλογισμοὺς ἀφεῖναι. id. f. 8 b.

165 b 31. τὸ δὲ σόφισμα, ὡς ἐν προοιμίοις εἰρήκαμεν, ἐκ τοῦ Πλάτωνος εἴληπται ἔχον οὕτως· ἠρώτα ὁ Εὐθύδημος τὸν Κλεινίαν "ὦ Κλεινία, πότεροι τῶν ἀνθρώπων μανθάνουσιν, οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς;" (Euthyd. p. 275). id. f. 9.

μιμοῦνται στολίζοντες ἑαυτοὺς παχυτάτοις ἐνδύμασι, καὶ ὅπερ αἱ φυλαὶ ἐν ταῖς προσαγωγαῖς τῶν ἱερείων ἐποίουν (σπεύδουσα γὰρ ἑτέρα τὴν ἑτέραν ὑπερβαλεῖν ἐν ταῖς ἑορταῖς καὶ ταῖς πανηγύρεσι, ταῖς τῶν θυμάτων ἐν τοῖς βωμοῖς γινομέναις προσαγωγαῖς, ἐνεφύσα τῷ λειποκρέῳ καὶ λιπῶδες ἐποίει φαίνεσθαι τὸ μὴ ὂν ἐκ τοῦ ἐμφυσήματος, ὥσπερ Ἀθηναῖος ἐν τῷ Δειπνοσοφιστῇ καὶ Πρόκλος ἐν τῇ τῶν ἑορτῶν ἀπαριθμήσει εἰρήκασι), τοῦτο δὴ καὶ οἱ καχεκτοῦντες ποιοῦντες, καὶ μὴν καὶ οἱ δυσειδεῖς καὶ τὴν ὄψιν αἰσχίονες καὶ τὸ ἀληθινὸν μὴ ἔχοντες κάλλος, ἐπιτρίμμασιν ἑαυτοὺς καταχρωννύοντες σπεύδουσι τοὺς ὁρῶντας ἐξαπατᾶν. id. f. 4 *b*.

164*b* 27. οἱ ἄπειροι, φησίν, ὥσπερ ἂν ἀπέχοντες πόρρω θεωροῦσιν. ὃ διττὴν ἔχει τὴν ἐξήγησιν· ἢ γὰρ τοῦτό φησιν ὅτι οἱ ἄπειροι περὶ ὧν ἀπείρως ἔχουσιν, οὕτως πεφύκασι ταῦτα νοεῖν καὶ διακρίνειν ὡς ἂν τῆς τούτων φύσεως πόρρω διακείμενοι καὶ μὴ εἰδότες ὅλως τί ἐστι τὸ περὶ οὗ ἡ διάλεξις γίνεται· ἀπέχουσι γὰρ ὄντως καὶ πόρρω εἰσὶ τῆς περὶ αὐτῶν γνώσεως. ἢ γοῦν οὕτω νοητέον καὶ μάλιστα ὅτι ὥσπερ οἱ ἀπὸ πολλοῦ διαστήματος ὁρῶντές τινα πολλάκις ἀπατῶνται ἔκ τινος βραχείας ὁμοιότητος, καὶ διὰ τὴν τοῦ διαστήματος ἀσυμμετρίαν καὶ τῆς ὄψεως τὴν ἀσθένειαν κατὰ τὴν διάκλασιν αὐτῶν καὶ ἀνάκλασιν τὸν μὴ Σωκράτην Σωκράτην οἴονται καὶ τὰ χολοβάφινα διὰ τὸ ὁμοιόχρωμον χρυσᾶ καὶ τὰ λιθαργύρινα καὶ τὰ καττιτερινὰ ἀργυρᾶ, οὕτω καὶ οἱ ἀνεπιστήμονες τῆς συλλογιστικῆς μεθόδου ἐλέγχους ἡγοῦνται καὶ συλλογισμοὺς ἀπό τινων μικρῶν ὁμοιοτήτων τοὺς οὐχ οὕτως ἔχοντας, δι' ἀπειρίαν τὴν δόξαν ταύτην λαβόντες· ὁ μὲν γὰρ συλλογισμὸς ἔκ τινων ἐστὶ τεθέντων ἤτοι ὁμολογουμένων καὶ οὐχ ὑποθετικῶς λαμβανομένων. τί ἐστι συλλογισμὸς καὶ ἔλεγχος, εἴρηται ἐν τοῖς προτέροις Ἀναλυτικοῖς (1 1) καὶ ἐν τοῖς δευτέροις. . . ἐν δὲ τοῖς δευτέροις τῶν Προτέρων Ἀναλυτικῶν ὅτι ἔλεγχός ἐστι συλλογισμὸς μετ' ἀντιφάσεως τοῦ συμπεράσματος. id. ib.

165*a* 4. αἰτίας λέγει τοὺς δεκατρεῖς τρόπους δι' ὧν ἀπατῶσι τοὺς προσδιαλεγομένους, ὧν ἕνα τόπον εἶναί φησιν ἐπίκαιρόν τε καὶ κοινὸν τοῖς πολλοῖς καὶ διὰ τοῦτο δημοσιώτατον, τουτέστι κοινότατον· κατακόρως γὰρ τούτῳ καὶ ὡς ἐπὶ τὸ πολὺ χρῶνται οἱ σοφισταί. εὐφυέστατον δὲ ὡς ῥᾴδιον τὸν διὰ τῶν ὀνομάτων, ὃς εἴη ἂν ἢ ὁ καθ' ὁμωνυμίαν λεγόμενος ἢ κατὰ ἀμφιβολίαν ἢ τάχα καὶ ἀμφοτέρως. id. f. 5.

165*a* 8. οὐ γὰρ εἰ τὸ βασιλίσκος ὄνομά ἐστιν ἕν τι, ἤδη καὶ τὸ σημαινόμενον παρ' αὐτοῦ πρᾶγμα ἔσται ἕν· ἄλλος γὰρ ὁ τοῖς πολλοῖς ἐγνωσμένος βασιλίσκος καὶ ἄλλος ὁ τοῖς ἐπιστήμοσιν, ὁ ἐπὶ τῆς καρδίας δηλονότι ὢν τοῦ ἀστρῴου λέοντος. id. f. 5 *b*.

165*a* 9. παραδείγματι χρῆται τῶν ἐπὶ τῶν ψήφων τοῖς λογιζομένοις· ἃ γὰρ ἐπὶ τῶν δακτύλων ἐν ταῖς ψήφοις συλλογιζόμενοι εὑρίσκουσι, ταῦτα καὶ ἐπ' αὐτῶν τῶν πραγμάτων μεταφέρουσι, καὶ τοσαῦτά φασιν ἔχειν καὶ ταῦτα εἶναι τὰ δακτυλομετρούμενα. . . ταῦτα εἰπὼν καὶ δείξας πῶς ἀπατώμεθα, δηλονότι δι' ἀπειρίαν καὶ ἄγνοιαν καὶ μᾶλλον διὰ τὴν ὁμωνυμίαν, μεταφερόντων τῶν σοφιστικῶν τὴν ἐπὶ τῶν ὀνομάτων ἀπάτην εἰς τὰ πράγματα, ὥσπερ καὶ οἱ λογαριασταὶ μεταφέρουσι τοὺς ἀριθμοὺς ἐπὶ τὰ ἀριθμητά, δείκνυσι τοῦτο διάφορον εἶναι καὶ οὐχ ὅμοιον, διὰ τοῦ εἰπεῖν "τοῦτο δὲ οὐκ ἔστιν ὅμοιον·" ἐπὶ μὲν γὰρ τῶν ἀριθμῶν καὶ τῶν ἀριθμητῶν καὶ ἄμφω ἄπειρά εἰσι καὶ ἀπερίληπτα, καὶ εὔδηλον ὅτι ὡς ἂν ἔχοι τὸ ἕτερον οὕτως ἕξει καὶ θάτερον· ἐπὶ δὲ τῶν ὀνομάτων καὶ τῶν πραγμάτων οὐχ οὕτως ἔχει. id. ib.

οὐχ ὅτι δὲ διὰ τοῦτο μόνον αἱ ὁμωνυμίαι λέγει, ἀλλ' ὅτι διὰ 165*a* 17. τοῦτο ἐξ ἀνάγκης, εἰ καὶ δι' ἄλλας αἰτίας τινὰς αἱ ὁμωνυμίαι. ἢ ἡ μὲν ὁμωνυμία ἐξ ἀνάγκης διὰ τοῦτο· πάντως γὰρ ὁ τιθέμενός τινι ὄνομά τι χρήσεται φωνῇ κατ' ἄλλου τινὸς εἰρημένῃ. ἡ μέντοι πρὸς τόνδε ἢ τόνδε ὁμωνυμία οὐκ ἔστιν ἀναγκαία· ἀδύνατον γὰρ ἄλλῳ τινὶ καὶ μὴ τοιούτῳ ὁμωνυμίαν εἶναι. id. f. 6.

δηλοῦσι δὲ τοῦτο Ἱππίαι καὶ Πρωταγόραι καὶ Γοργίαι καὶ Πρόδι- 165*a* 21. κοι, ὧν ὁ βουλόμενος τὴν σοφίαν καὶ τὸν πλοῦτον ὃν ἐκ ταύτης συνήθροισαν μαθεῖν ἐντυγχανέτω τοῖς ὁμωνύμοις τούτων διαλόγοις τοῦ Πλάτωνος. id. f. 6 *b*.

ἔστιν ὡς ἓν πρὸς ἕν, ἵνα συνελὼν εἴπω ὡς ἓν πρὸς ἓν τὰ ἀμ- 165*a* 24. φοτέρων ἔργα. τοῦ μὲν καλῶς ἐρωτῶντος ἔργον ἐστὶ τὸ λαμβάνειν προτάσεις κυρίους καὶ μὴ ἀμφιβόλους, τοῦ δέ γε ἀποκρινομένου ἔργον ἐστὶ τὸ δύνασθαι τὸν ἐρωτῶντα ἐλέγχειν ψευδόμενον. τὸ δὲ δύνασθαι τὸν ψευδόμενον ἐλέγχειν γίνεται παρὰ τὸ εἰδέναι τά τε ὁμώνυμα καὶ ἀμφίβολα καὶ τὰ ἄλλα δι' ὧν ἀπατᾶν πειρᾶται ὁ ἐρωτῶν. ἢ τοίνυν τὸ ἓν πρὸς ἓν οὕτω νοητέον, ἢ καὶ οὕτω ὀφείλει νοεῖσθαι, ὅτι ἐπειδή με ἐρωτᾶν βούλει, γίνωσκε ὅτι, εἰ θέλεις μὴ παρατραπῆναι, ἐρώτα καλῶς καὶ ἀληθῶς, ὅπερ ἐστὶν ἔργον τοῦ ἐπιστημόνως ἐρωτῶντος, καὶ σπούδαζε τὸν ψευδόμενον ἐλέγχειν δι' ὧν εἴπομεν, ὅπερ ἐστὶν οἰκεῖον ἔργον τοῦ ἐπιστημόνως ἀποκρινομένου. ἢ τοίνυν κατὰ τὸ πρότερον νοητέον τὸ ἓν πρὸς ἓν ἢ κατὰ τὸ δεύτερον· σώζει γὰρ καὶ ἐπὶ τούτοις· δύο γάρ τινα εἶπε, τό τε πῶς δεῖ ἀποκρίνεσθαι καὶ τὸ ἐρωτᾶν. ταῦτα δὴ εἰπὼν ὑπομιμνήσκει ἡμᾶς ὧν ἔδειξε. id. ib.

τὸ δὲ "πόσα ἐστὶν εἴδη τῶν λόγων καὶ ἐκ πόσων τὸν ἀριθμόν" 165*a* 34. ἢ ἐκ παραλλήλου κεῖται, ἢ τὸ μὲν πόσα ἀντὶ τοῦ τίνα εἰσὶ τὰ εἴδη τῶν λόγων καὶ ἐκ πόσων τὸν ἀριθμόν. ἢ τὸ μὲν πόσα ἀντὶ τοῦ πόσα εἴδη τῶν σοφιστικῶν ἐλέγχων, ἅπερ εἰσὶ δύο, τὰ παρὰ τὴν λέξιν καὶ τὰ ἔξω τῆς λέξεως, τὸ "ἐκ πόσων" δὲ ἀντὶ τοῦ πόσα μέρη ἑνὸς ἑκάστου τῶν τοιούτων εἰδῶν· μέρη γὰρ τῶν εἰδῶν τὰς ὑποδιαιρέσεις τῶν εἰδῶν λέγει. δύναται καὶ τὸ "πόσα μέρη τῆς πραγματείας τυγχάνει" λέγειν ὡς ἴσον τῷ καὶ πόσων οἱ σοφισταὶ στοχάζονται· οὐ γὰρ μόνον τοῦ ἐλέγχειν δοκεῖν ἀλλὰ καὶ ἄλλων τινῶν ἃ μετ' ὀλίγον ἐρεῖ. δύναται δὲ λέγειν τὴν σοφιστικὴν ἤτοι ὅτι μὴ τέχνη μηδ' ἐπιστήμη· περὶ τἀληθῆ γὰρ ἐκείνων ἑκατέρα, ἥ τε τέχνη ἕξις οὖσα μετὰ λόγου ἀληθοῦς ποιητική, καὶ ἡ ἐπιστήμη ἕξις ἀποδεικτικὴ περὶ τὸ ἀεὶ ὡσαύτως ἔχον. ἢ τέχνην εἶπε τὴν σοφιστικὴν κοινῶς καὶ γενικῶς. ἤτοι δύναμιν· λέγει γὰρ αὐτὴν καὶ τέχνην, κοινότερον χρώμενος τῷ τῆς τέχνης ὀνόματι. id. f. 7.

ἀπορεῖν δὲ ἄξιον πῶς εἰπὼν τῶν ἐν τῷ διαλέγεσθαι λόγων 165*a* 38. εἶναι τέσσαρα γένη, ἐπήνεγκε τοὺς διδασκαλικοὺς λόγους προηγουμένως, οἵτινές εἰσιν ἀποδεικτικοί· οὐ γὰρ οἱ ἀποδεικτικοὶ λόγοι ἐξ ἐνδόξων εἰσίν, οὔτε ἐκ τῶν πᾶσι δοκούντων οὔτε ἐκ τῶν τοῖς πλείστοις

κρινομένων, ἢ καθόλου ἀξιοῖ πρὸς τὰς τοιαύτας θέσεις ἔχειν τινὰς λόγους παρεσκευασμένους, ἐπεὶ δύσκολος ἡ περὶ αὐτῶν ἐπιχείρησίς τε καὶ ἀπόκρισις. id. p. 278.

163b κεφαλισμοὺς λέγει τοὺς τῶν πρώτων ἀριθμῶν τῶν μέχρι δε-
25. κάδος πολλαπλασιασμούς. id. p. 279.

τόπους τινὰς καὶ ἐν τῷ περὶ Μνήμης καὶ Ὕπνου καὶ τῆς καθ' 163b
Ὕπνους Μαντικῆς παρέθετο, δι' ὧν ἔστιν ἀναμιμνήσκεσθαι καὶ ἀπὸ 29.
τῶν ἐναντίων καὶ ἀπὸ τῶν ὁμοίων καὶ ἀπ' ἄλλων πολλῶν... πρότασιν κοινὴν τὸν τόπον λέγει. id. ib.

φθάνει μὲν δή πως περὶ τούτου εἰρηκέναι, λέγει δὲ καὶ νῦν. id. p. 281. 164a 16.

ΕΙΣ ΤΟΥΣ ΣΟΦΙΣΤΙΚΟΥΣ ΕΛΕΓΧΟΥΣ.

Ὅτι μὲν ὁ περὶ ἀποδείξεως λόγος τέλος ἐστὶ τῆς λογικῆς ἁπάσης πραγματείας, ἤδη φθάσαντες εἴπομεν ἐν οἷς τε περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διελέγετο ὁ Ἀριστοτέλης καὶ ἐν οἷς τὴν ἀποδεικτικὴν παρεδίδου μέθοδον. ἐπεὶ οὖν ἱκανῶς τὰ περὶ ἐκείνης ἡμῖν τῆς μεθόδου ἐζήτηται, ἀκόλουθον ἂν εἴη εἰπεῖν τι καὶ περὶ τῶν Σοφιστικῶν Ἐλέγχων, τίς τε ὁ σκοπὸς τῆς παρούσης πραγματείας ἐστί, καὶ διὰ τί τάξιν ἔχε τὴν τελευταίαν, καὶ ὅτου χάριν Σοφιστικοὶ ἐπιγράφονται Ἔλεγχοι· ὡς γὰρ ἐν πολλοῖς εἴπομεν, ἔνθα μὴ αὐτόθεν ἐστὶ δήλη ἡ ἐπιγραφὴ τοῦ συγγράμματος, χρὴ καὶ ταύτην σαφηνίζειν. σκοπὸς οὖν ἐστὶ τῆς παρούσης πραγματείας κατὰ μέν τινας, ὡς ἂν ἡμῖν τὴν μέθοδον παραδῷ δι' ἧς τοὺς ἐλέγχους συνίστων οἱ σοφισταὶ καὶ τοὺς ἀπείρους τῆς συλλογιστικῆς μεθόδου ἠπάτων. ἔστι δὲ αὕτη οἱ μέλλοντες παραδοθῆναι παρ' αὐτοῦ τοῦ Ἀριστοτέλους δεκατρεῖς τρόποι, οἳ καὶ ὥσπερ τινές εἰσι γενικοὶ στοχασμοὶ τῶν σοφισμάτων. οἱ δὲ τοῦτον εἶναι τὸν σκοπὸν τῆς παρούσης πραγματείας τιθέμενοι καὶ διὰ τοῦτο ἐπιγεγράφθαι τοὺς Σοφιστικοὺς Ἐλέγχους φασίν, ὡς τῆς παρούσης πραγματείας περὶ τοῦ πῶς ἤλεγχον οἱ σοφισταὶ διαλαμβανούσης, καὶ περὶ τῆς συστάσεως τῶν σοφισμάτων αὐτῶν, οὐ περὶ τοῦ πῶς ἂν τοῖς σοφισταῖς ἀντιλέγοιμεν. ἄλλοι δὲ οὐ τοῦτον τὸν σκοπὸν εἶναι τοῦ βιβλίου εἰσήγαγον, ἀλλὰ μᾶλλον σκοπὸν ἔχειν τὸν Ἀριστοτέλην εἰπεῖν περὶ τοῦ πῶς ἂν αὐτοὶ μάθοιμεν ἐλέγχειν καὶ ἀντιλέγειν τοῖς πειρωμένοις σοφίζεσθαι ἡμᾶς· διὰ τοῦτο γάρ, φασίν, οὐδὲ περὶ τῶν σοφιστικῶν συλλογισμῶν ἐπιγέγραπται τὸ βιβλίον ἀλλὰ Σοφιστικοὶ Ἔλεγχοι, ὡς καθόλου παραδιδομένης δι' ἧς ἂν τοὺς σοφιστὰς ἐλέγχειν δυναίμεθα... περὶ δέ γε τῆς τάξεως ἀμφισβητεῖται πολλοῖς. οἱ μὲν γάρ φασιν ὡς ἔδει τὴν Διαλεκτικὴν πραγματείαν, ὁμοίως δὲ καὶ ταύτην τὴν Σοφιστικὴν τῆς Ἀποδεικτικῆς προταχθῆναι· χρῆναι γὰρ πρότερον τοῖς πιθανοῖς χρονοτριβήσαντας εἶθ' οὕτως καὶ τοῖς ἀναγκαίοις καὶ ἀληθέσι προσδιατρῖψαι. οὐ καλῶς δὲ οἱ ταῦτα λέγοντες ἀποφαίνονται... Πλάτων μὲν ἐν τῷ Εὐθυδήμῳ καὶ Ἀριστοτέλης ἐν προοιμίοις εὐθὺς τῆς Διαλεκτικῆς πραγματείας τὸν αὐτὸν εἶναι λέγουσιν ἐριστικὸν καὶ σοφιστικὸν συλλογισμόν· τούτους δὲ τοὺς συλλογισμοὺς ποτὲ μὲν κατὰ τὴν ὕλην διημαρτῆσθαι λέγουσι τῆς συλλογιστικῆς συζυγίας οὐκ ἐκπίπτοντας, οὓς καὶ συλλογισμοὺς ὀνομάζουσι, ποτὲ δὲ τὸ συλλογιστικὸν εἶδος μὴ ἔχοντας, ἀληθῆ δὲ τὴν ὕλην, οὐδὲ συλλογισμοὺς ἀξιοῦσι καλεῖν ἀλλὰ φαινομένους συλλογισμούς... καὶ πολλὰ τούτων τὰ παραδείγματα ἐν ταῖς πονηθείσαις ἡμῖν εἰς τὴν Διαλεκτικὴν ἐξηγήσεσιν. ἄλλοι δέ τινες σοφιστικοῦ καὶ ἐριστικοῦ συλλογισμοῦ διαφορὰν τοιαύτην παραδεδώκασιν, ἐριστικὸν μὲν εἰπόντες εἶναι τὸν κατὰ τὸ συλλογιστικὸν εἶδος μὴ ὑγιῶς ἔχοντα, σοφιστικὸν δὲ τὸν τὴν ὕλην ἔχοντα διημαρτημένην, ὑγιὲς δὲ τὸ συλλογιστικὸν εἶδος. ἀλλ' ἐλέγχονται οὗτοι παρ' αὐτοῦ τοῦ Ἀριστοτέλους ψευδόμενοι· προϊὼν γὰρ ἐν οἷς τὸν ἀποδεικτικὸν λόγον τοῦ διαλεκτικοῦ διίστησι, καὶ τοῦτον τοῦ σοφιστικοῦ (c. 2), φησὶν ὅτι ὁ μὲν οὖν κατὰ τὸ πρᾶγμα θεωρῶν τὰ κοινὰ διαλεκτικός, ὁ δὲ τοῦτο φαινομένως ποιῶν σοφιστικὸς καὶ συλλογισμὸς ἐριστικός. ἐπειδὴ τοίνυν ὁ ἐριστικὸς συλλογισμὸς ὁ αὐτός ἐστι τῷ σοφιστικῷ ἐλέγχῳ, εἰπὼν περὶ τῶν σοφιστικῶν ἐλέγχων ἐπήγαγε "καὶ τῶν φαινομένων ἐλέγχων ὄντων δὲ παραλογισμῶν," ἐκ παραλλήλου τὸ αὐτὸ θείς· κοινὸν γὰρ πάντων τῶν σοφιστικῶν ἐλέγχων τὸ φαίνεσθαι. καὶ τούτων τὴν διαίρεσιν ποιεῖται εὐθὺς ἐν τοῖς ἑξῆς... ἀλλ' ἀναγκαῖόν ἐστιν εἰπεῖν τί τέ ἐστι σόφισμα καὶ τί ἀληθὴς ἔλεγχος καὶ τί φαινόμενος ἔλεγχος καὶ τί παρεξέλεγχος καὶ τί παραλογισμός... ὅταν οὖν μὴ κατὰ τὸν διορισμὸν τούτου τοῦ ἐλέγχου, λέγω δὴ τοῦ ἀληθοῦς, ἐλέγχῃ τις τὸν προσδιαλεγόμενον, ἀλλ' ἢ καθ' ὁμωνυμίαν ἢ κατά τινα τῶν σοφιστικῶν τρόπων, τηνικαῦτα ἐλέγχοι ἂν οὐκ ἀληθῶς ἀλλὰ σοφιστικῶς· καὶ τὸν τοιοῦτον ἔλεγχον οὐδ' ἔλεγχον ὀνομάζει ὁ Ἀριστοτέλης, ἀλλὰ φαινόμενον ἔλεγχον καὶ παρεξέλεγχον, ὡς ἔξω ὄντα τοῦ κυρίως καὶ ἀληθοῦς ἐλέγχου, περὶ οὗ καὶ αὐτὸς ὁ Ἀριστοτέλης ἐρεῖ μετὰ μικρόν. Alexander f. 2-4.

τινὲς τῶν ἐξηγησαμένων ἐνταῦθα ἐκ παραλλήλου, ὡς ἔφα- 164a
μεν, τεθεῖσθαί φασι "τῶν σοφιστικῶν ἐλέγχων καὶ τῶν φαινομέ- 20.
νων," ὡς πάντων τῶν σοφιστικῶν οὐκ ὄντων κυρίως ἐλέγχων ἀλλὰ φαινομένων. εἴη δ' ἄν τις καὶ διαφορὰ σοφιστικοῦ ἐλέγχου καὶ φαινομένου ἐλέγχου· σοφιστικὸν μὲν γὰρ ἔλεγχον ἐρεῖς τὸν τὴν ὕλην ἔχοντα ψευδῆ καὶ ἀπὸ φαινομένων ἐνδόξων ἐπιχειροῦντα, τὸ δὲ σχῆμα ὑγιὲς ἔχοντα, φαινόμενον δὲ ἔλεγχον καὶ παραλογισμὸν τὸν κατὰ τὸ συλλογιστικὸν εἶδος ἐσφαλμένον, τῆς ὕλης ὁπωσδήποτε ἐχούσης, ἐπειδὴ προειρήκαμεν ὅτι ὁ παραλογισμὸς κυρίως τῷ Ἀριστοτέλει ἐπὶ τῶν μὴ καλῶς ἐχόντων κατὰ τὸ σχῆμα εἴληπται. id. f. 4.

προθέμενος δὲ περὶ τῶν σοφιστικῶν ἐλέγχων εἰπεῖν, οἳ καὶ ἦσαν 164a
φαινόμενοι ἔλεγχοι, πρῶτον διὰ βραχέων ὑπομιμνήσκει ἡμᾶς τῆς 23.
ἐν τῷ πρώτῳ τῶν Τοπικῶν (c. 1) γενομένης παρ' αὐτοῦ διαιρέσεως τοῦ ἐριστικοῦ συλλογισμοῦ· τῶν γὰρ σοφιστικῶν συλλογισμῶν, ταὐτὸν δὲ εἰπεῖν καὶ ἐριστικῶν, οἱ μέν εἰσι συλλογισμοὶ ἐκ φαινομένων καὶ ἐνδόξων, ὡς ἐκεῖ εἶπεν, οἱ δὲ φαινόμενοι συλλογισμοὶ οὐκ ὄντες δέ. καὶ πιστοῦται τοῦτο δι' ὧν ἐπάγει... οἱ δὲ προσποιοῦνται τὸ εὐεκτεῖν καὶ διά τινων ἐπιτεχνήσεων περὶ τὸ σῶμα τοὺς εὐεκτοῦντας

162a 15. "φιλοσόφημα μέν." φιλοσόφημα λέγεται τὸ συμπέρασμα τὸ συναγόμενον ἀπὸ προτάσεων ἀμέσων καὶ προσεχῶν τῷ συμπεράσματι. μνησθεὶς δὲ τοῦ σοφίσματος χωρίζει διὰ τῶν ὅρων τὰ δοκοῦντα αὐτῷ κοινωνεῖν, διαφέροντα μέντοι ὡς αὐτὸς καθ' ἕκαστον ὁρίζεται, τέσσαρα ταῦτα ἀπαριθμούμενος. cod. 1917 in marg.

162a 31. ὁ δὴ ταῦτα εἰς τὴν τοῦ προκειμένου δεῖξιν λαμβάνων ἔχει ἐν αὐτοῖς ἠτημένον καὶ κείμενον τό γε εἶναί τινα δόξαν αὐτοαληθῆ. τὸ γὰρ "ἤτηται δὲ καὶ αὐτὸ δόξαν ἀληθῆ εἶναι" τοῦτο σημαίνει τὸ εἶναι τινὰ καὶ αὐτοδόξαν. ἀλλὰ καὶ τοῦτο εἴληφε τὸ μάλιστα εἶναι ἕκαστον ὃ λέγεται αὐτό, ἐξ ὧν τὸ προκείμενον συνάγεται, τὸ εἶναί τινα δόξαν ἀκριβεστέραν, τουτέστι μᾶλλον τῶν ἄλλων· ἡ γὰρ ἀκριβεστέρα δόξα μᾶλλον τῶν ἄλλων δόξα· ἐν ᾧ γὰρ αὐτό, ἐν τούτῳ μάλιστα καὶ ἀκριβέστερον· ἐν δὲ δόξῃ τὸ αὐτό· ἐν δόξῃ ἄρα τὸ μάλιστα καὶ ἀκριβέστατον. ἄλλως. ὅτι ἔστι τις δόξα μᾶλλον ἑτέρας. τοῦτο γοῦν ἔσται δι' ὀλίγων δεῖξαι οὕτως. id. p. 273.

162a 35. δῆλον λόγον λέγει τὸν φανερόν τε καὶ ἀληθῆ. λέγει δὲ τοιοῦτον γίνεσθαι τριχῶς. id. ib.

162b 2. τρίτον τρόπον τοῦ δήλου λέγει, εἰ ἐλλείπει μὲν καὶ μὴ εἴη πάντα εἰλημμένα τὰ ἐφ' οἷς τὸ συμπέρασμα ἢ διὰ τὸ λεῖπον σφόδρα ἔνδοξόν τε καὶ γνώριμον. τοιοῦτος καὶ ὁ δοκῶν μονολήμματος· ἀναπνεῖς, ζῇς ἄρα· γνώριμον γὰρ τὸ παραλειπόμενον τὸ πᾶν ἀναπνέον ζῇ. τοιαῦτά ἐστι καὶ τὰ ἐνθυμήματα· οὗτοι κολάσεως ἄξιοι, ἱερόσυλοι γάρ· παρεῖται γὰρ τοὺς ἱεροσύλους ἀξίους εἶναι κολάσεως. id. p. 274.

162b 7. τοῦτο ἂν λέγοι, ἤτοι ὅτι πάντες οἱ εἰς ἀδύνατον ἀπάγοντες συλλογίζονται μέν, οὐ μὴν τὸ προκείμενον, ἀλλ' ἔστιν ὁ συλλογισμὸς ψευδής· οὕτω γὰρ δείκνυσι τὸ προκείμενον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οὐ τῷ τὰ αὐτὰ δεικνύναι διὰ συλλογισμοῦ. ἢ οὐ τοῦτο λέγει, ὡς Ἑρμίνῳ δοκεῖ, ἢ μᾶλλον ὡς ἅπασι λέγει συμβαίνειν μάλιστα τοῖς εἰς ἀδύνατον ἀπάγουσι τὸ μηδὲν πρὸς τὸ προκείμενον συλλογίζεσθαι πολλάκις, ὅταν ἀλλοτρίας τῆς ὑποθέσεως προτάσεις λάβῃ, καὶ συμπεραινόμενός τι ἀδύνατον ἀξιώσῃ, ἐπεὶ τοῦτο ἀδύνατον, τὸ ἀντικείμενον τῆς ὑποθέσεως λαμβάνειν· τὸ γὰρ μὴ παρὰ τὴν ὑπόθεσιν γεγονέναι τὸ ἀδύνατον (καὶ γὰρ χωρὶς ταύτης ἐκ τῶν καταλειπομένων τὸ αὐτὸ ἀδύνατον συνάγεται) οὐδὲν πρὸς τὸ προκείμενον· τοῦτο δ' ἦν τὸ ἀντικείμενον τῆς ὑποθέσεως κατασκευάσαι. εἶπε δὲ καὶ ἐν τοῖς Ἀναλυτικοῖς (Πρ. 2 17) ὅτι τὸ μὴ παρὰ τοῦτο ἐν τοῖς ἀδύνατον λέγουσι λόγοις. id. ib.

162b 19. ἔστι γάρ τις λόγος διὰ ψευδῶν ψεῦδός τι δεικνύς, ὃν πολλῶν ἀληθινῶν λόγων μᾶλλον ἀποδεχόμεθα ὡς μᾶλλον δεικνύντα καὶ συνιστῶντα τὸ προκείμενον. ἔστι δὲ οὗτος ὁ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς γινόμενος· ἐν γὰρ τῷ τοιούτῳ λόγῳ ὑπόθεσίν τινα λαμβάνοντες καὶ ἐπὶ ταύτῃ πρότασίν τινα ὅτι μάλιστα δοκοῦσαν (περὶ γὰρ ταύτης εἶπε τὸ "ἐξ ὅτι μάλιστα δοκούντων ἀναιρεῖν τὸ ἀληθές," ἡ δὲ ἀσάφεια ἐν τῇ λέξει ὅτι μιᾶς οὔσης τῆς τοιαύτης προτάσεως περὶ πλειόνων εἶπεν) ἐκ ταύτης τῆς ὑποθέσεως συνάγομέν τι ψεῦδος, δι' οὗ ἀναιροῦμέν τι τῶν ἀληθῶν. id. ib.

τὸ "φαίνεται" προσέθηκεν, ὅτι πρὸς ἀλήθειαν ἡ ἐν ἀρχῇ αἴτη- 162b 34.
σις τοσαυταχῶς λέγεται, ὡς ἐν τοῖς Ἀναλυτικοῖς ἐδείχθη, φαντασίαν μέντοι τοῦ τὰ ἐν ἀρχῇ λαμβάνειν τινὰ ἀποτελοῦσι κατὰ τοὺς πέντε τρόπους, οὓς ἐκτίθεται. id. p. 275.

"ἐν δὲ τοῖς συνωνύμοις" ἀντὶ τοῦ πολυωνύμοις καὶ ἐν ὅσοις τὸ 162b 36.
ὄνομα καὶ ὁ λόγος τὸ αὐτὸ σημαίνει, ἤγουν τοῖς κυρίως συνωνύμοις, λανθάνει μᾶλλον. id. ib.

γράφεται δὲ "τῷ ἐξ ἀρχῆς," τουτέστι τῷ ἐν ἀρχῇ. id. p. 276. 163a 14.

ὁ τόπος ὁ αὐτὸς εἶναι δοκεῖ τῷ πρότερον εἰρημένῳ, τῷ "εἴ τις 17.
τὰ ἀντικείμενα αἰτήσαιτο φάσιν καὶ ἀπόφασιν." διαφέρει δὲ οὗτος ὁ τόπος ἐκείνου, ὅτι ἐπὶ μὲν ἐκείνου δοκεῖ αὐτόθεν φανερῶς λαμβάνεσθαι, ἐνταῦθα δὲ δυνάμει· οὐ γάρ ἐστιν ἀντίφασις "πάντων τῶν ἐναντίων μία ἐπιστήμη ἐστίν." διὸ ἐκεῖνος μὲν ὁ τόπος καταφορώτερος τῆς τῶν ἀντικειμένων λήψεως, οὗτος δὲ μᾶλλον λανθάνων. εἴη δ' ἂν διαφορὰ τῶν εἰρημένων τρόπων καθόσον ἐκεῖνος μὲν κατάφασιν καὶ ἀπόφασιν ἐλάμβανε τὰς ὁπωσοῦν ἀντικειμένας, ἀντίκεινται δὲ καθόλου αἱ ἐναντίαι, διὸ οὐδὲ ἐμνημόνευσεν ἐπὶ τῆς τοιαύτης τῶν ἀντικειμένων λήψεως, ἐνταῦθα δὲ τὰς ἀντιφατικάς. id. ib.

πέμπτον φησὶ τρόπον, εἴ τις αὐτὰ μὲν μὴ λάβῃ τὰ ἀν- 163a 22.
τικείμενα τοῦδε, τοιαῦτα δ' αἰτήσαιτο δύο ἐξ ὧν ἔσται ἡ ἀντικειμένη ἀντίφασις. ἔνεστι μὲν καὶ οὕτως ἀκοῦσαι· εἴ τις αἰτήσαιτο τοιαῦτά τινα δύο, οἷς ἀκολουθεῖ ἀντίφασις. τὸ δ' "ἡ ἀντικειμένη ἀντίφασις" ἴσον ἐστὶ τῷ κατάφασις καὶ ἀπόφασις αἱ ἀντικείμεναι· οὐ γὰρ πᾶσα κατάφασις πάσῃ ἀποφάσει ἀντίκειται. οὐδὲν γὰρ διαφέρει τοῦ τὴν ἀπόφασιν αἰτῆσαι τὸ ταῦτα αἰτῆσαι οἷς ἀντίφασις ἕπεται. ἔνεστι δὲ ἀκοῦσαι τὸ τοιαῦτα δ' αἰτήσαιτο δύο συμπλοκὰς προτάσεων ἐξ ὧν συναφθήσεται ἡ ἀντίφασις. id. p. 277.

καὶ ἐάν τις μὴ λάβῃ τὰ ἀντικείμενα φανερῶς, ὡς ἐν τούτοις 163a 27.
πᾶσιν εἴρηται, λάβῃ δὲ τοιαῦτα δύο ἤτοι ποιητικὰ καὶ φθαρτικά τινων ἐξ ὧν ἔσται ἡ ἀντικειμένη ἀντίφασις, οἷον ἆρά γε τῷ μήκωνι οὐχὶ τὸ βόειον κρέας ὑγιεινόν ἐστιν, φθαρτικὸν δὲ νόσου, ὥσπερ τῷ καχεκτοῦντι τὸ ἀνάπαλιν. ὧν δὲ τὸ ποιητικὸν καὶ φθαρτικὸν ταὐτόν, καὶ αὐτὰ ταὐτά· ἔσται ἄρα ὑγεία καὶ νόσος ταὐτόν. ὁρᾷς ὅπως οὐ φανερῶς ἔλαβε τὰ ἀντικείμενα ἀλλὰ συνεσκιασμένως τῷ λαβεῖν τοιαῦτα ἰσοδύναμα. id. ib.

ἐκθέμενος τοὺς τόπους ἀφ' ὧν εὐπορήσομεν τῶν πρὸς ἕκαστον 163a 29.
πρόβλημα οἰκείων συλλογισμῶν, ὑποθέμενος δὲ καὶ τὴν προσήκουσαν χρῆσιν αὐτῶν ἑκατέρῳ τῷ ἐρωτῶντι καὶ τῷ ἀποκρινομένῳ, ἐπὶ τούτοις ὀργανικά τινα πρὸς γυμνασίαν καὶ μελέτην τῶν διαλεκτικῶν λόγων παραδίδωσιν. id. ib.

"περὶ τῶν πρώτων θέσεων" λέγοι ἂν περὶ τῶν ἀρχῶν· αὗται 163b 18.
γὰρ πρῶται θέσεις, καὶ περὶ τῶν τοιούτων προβλημάτων ἐξεπίστασθαι λόγους. τοῦτο δ' ἐπεὶ χαλεπὸν εἰς τὰ τοιαῦτα ἐπιχειρημάτων εὐπορεῖν· δεῖ γὰρ ἢ διὰ πρώτων ἢ δι' ἐνδόξων ταῦτα δείκνυσθαι. ἀλλὰ καὶ ἀποκρίνεσθαι περὶ τῶν τοιούτων χαλεπόν. ἤτοι οὖν λέγει διὰ τοῦτο δεῖ πρὸς τὰς τοιαύτας θέσεις παρασκευάζειν λόγους τινάς, ὅτι ἀπορήσουσι πρὸς ταῦτα ἀποκρίσεων οἱ ἐρωτώμενοι, διὸ οἱ παρεσκευασμένοι πρὸς ταῦτα λόγοι ῥᾳδίως ἂν περιγένοιντο τῶν ἀπο-

159 b 34. ὡς ποιεῖ ἐν τῷ Πλάτωνος Φιλήβῳ Πρώταρχος, διαδεξάμενος παρὰ Φιλήβου τὸ πρόβλημα. id. p. 264.

159 b 36. εἰπὼν τὰς τῶν προβλημάτων διαφοράς, καὶ δείξας πῶς πρὸς ἕκαστον αὐτῶν χρὴ τὰς ἀποκρίσεις ποιεῖσθαι καὶ τίνος στοχάζεσθαι, νῦν περὶ αὐτῶν τῶν ἐρωτωμένων λέγει, καὶ τούτων τὴν διαίρεσιν ποιεῖται. id. ib.

160 a 1. ἔστι πρὸς μὲν τὸν λόγον ταῦτα ὅσα συντελεῖ εἰς τὸν τοῦ προβλήματος συλλογισμόν, οὐ πρὸς τὸν λόγον δὲ ὅσα μηδὲν εἰς τὸ προκείμενον συντελεῖ ἀλλ' ἔστι μάτην ἐρωτώμενα. id. ib.

160 a 12. εἶπε γὰρ ἔργον εἶναι τοῦ καλῶς ἀποκρινομένου, ὅτε ὁ ἐρωτῶν δυνήσεται συλλογίζεσθαι διαλεκτικῶς, συγχωρουμένων αὐτῷ τῶν ἐνδοξοτέρων τοῦ συμπεράσματος. ἔστι δὲ διαλεκτικὴ συνουσία, ὅταν μηδέτερος τῶν ἐν τῷ λόγῳ τι παρανομῇ, ἀλλὰ τὸ αὐτῷ προσῆκον ποιῇ. id. ib.

160 a 17. πῶς ἐπὶ τῶν ἀσαφῶς καὶ πλεοναχῶς λεγομένων ἐρωτωμένων καὶ πῶς ἐπὶ τῶν ἀσαφῶς καὶ ἁπλῶς ἀποκριτέον, νῦν διδάσκει... τὸ ὁμοίως δὲ εἰπὼν οὐχ ὅτι ὡς προείρηται παρίστησι (περὶ γὰρ ἄλλων προείρητο), ἀλλὰ τὸ "ὁμοίως" λέγοι ἂν ἀντὶ τοῦ κατὰ τὸν προειρημένον τρόπον. id. p. 265.

160 a 29. ἐὰν δέ, φησί, μὴ προειδῇ ὅτι ἀμφίβολον, τουτέστι τὸ πολλαχῶς λεγόμενον (εἶδος γάρ τι τῶν πολλαχῶς λεγομένων τὸ ἀμφίβολον, ὡς εἴρηται ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις) εἰ οὖν μὴ προειδῇ τὸ διττὸν τοῦ λεγομένου. id. ib.

160 a 35. συλλογιστικὴν μὲν πρότασιν λέγει τὴν συντελοῦσαν εἰς τὸν προκείμενον συλλογισμόν, ἣν εἶπε πρὸ ὀλίγου πρὸς τὸν λόγον. id. ib.

160 a 38. εἰπὼν τὸ "ἢ δι' ἐπαγωγῆς," προσέθηκε τὸ "ἢ δι' ὁμοιότητος·" τῷ γὰρ πολλὰ ὅμοια λαμβάνεσθαι δείκνυσιν ἡ ἐπαγωγὴ τὸ καθόλου διὰ τῶν καθ' ἕκαστα. ἢ εἰπὼν τὴν ἐπαγωγήν, ὡς κοινότερον τὴν ὁμοιότητα ἐπήνεγκε· δι' ὁμοιότητος γὰρ καὶ αἱ παραδειγματικαὶ προτάσεις δεικνύουσιν, οὐ μόνον αἱ ἐπακτικαὶ ἀλλὰ καὶ αἱ διὰ παραβολῆς καὶ δι' ἀναλογίας... πρὸς δὲ τὸ καθόλου πειρατέον τὸ τοῖς καθ' ἕκαστα ἐπιφερόμενον ἐνίστασθαι· οὐ γὰρ ὥσπερ ἐπὶ τοῦ συλλογισμοῦ ἐξ ἀνάγκης ἕπεται τοῖς τεθεῖσι τὸ ἐπ' αὐτοῖς συμπέρασμα, οὕτω καὶ τοῖς ἐπακτικῶς λαμβανομένοις ἀναγκαίως ἕπεται τὸ καθόλου. id. p. 266.

160 b 5. ἔστι τὸ ἀντεπιχειρεῖν τὸ πρὸς τὰ λεγόμενα μὲν μὴ φέρειν ἔνστασιν, ἐπιχειρεῖν δὲ δι' ἄλλων τινῶν καὶ αὐτὸ πάλιν συλλογίζεσθαι ὅτι μὴ ἀληθὲς τὸ δεικνύμενον... οὐ γὰρ εἴ τις λόγος ἐναντίος ταῖς κοιναῖς ἐννοίαις δύσλυτος ὢν παρέχεται, τὶς ἀντεπιχειρῶν πρὸς τὰ δεικνύμενα ἤδη διὰ ταύτην τὴν αἰτίαν οὐ χρὴ τιθέναι τὰ ἐναργῆ τὰ δεικνύντα. id. ib.

161 a 1. εἰπὼν πῶς ἔστι λύειν τὸν ψευδῆ λόγον, νῦν λέγει πῶς καὶ κατὰ πόσους τρόπους ἐνιστάμενον ἔστι τὴν ἀρχὴν κωλῦσαι συμπεραίνεσθαί τινα λόγον. οὐ γὰρ ταὐτὸν λῦσαί τε καὶ κωλῦσαι· λύεται μὲν γὰρ ὁ ἤδη συμπεπερασμένος, κωλύεται δὲ ὁ πρὸς τὸ συμπεραίνεσθαι. διὸ ἡ μὲν λύσις μοναχῶς, ἡ δὲ κώλυσις τετραχῶς. id. p. 268.

161 a 15. ὅτι οὐχ ἡ αὐτὴ ἐπιτίμησις γίνεται ἐν λόγῳ καθ' αὐτόν τε ἐξεταζομένῳ, καὶ ὅταν ὡς ἐν ἐρωτήσει γινόμενος εὐθύνηται· καθ' αὑτὸν μὲν γὰρ ἐξεταζόμενος ὁ λόγος ἐπιτιμᾶται, ἂν ἀσυλλόγιστος ᾖ, ἄντε διὰ ψευδῶν δεικνύῃ ἄντε δι' ἀγνωστοτέρων, ὡς μικρὸν προελθὼν ἐρεῖ· λέγει γὰρ πέντε ἐπιτιμήσεις εἶναι τῶν καθ' αὑτὸ ἐξεταζομένων λόγων. id. p. 269.

161 a 18. ὁποῖός ἐστιν ὁ ἐν τῷ Πλάτωνος Γοργίᾳ Καλλικλῆς μηδὲν μήτε τῶν ἀληθῶν μήτε τῶν ἐνδόξων συγχωρῶν. id. ib.

161 b 11. λέγει γίγνεσθαι καὶ ἐν τῷ διαλέγεσθαι καθ' αὑτὸ ἁμαρτίας ἐν λόγοις καὶ παρὰ τὴν ἄγνοιαν, καὶ ὅτι οὐ διώρισται πότε τὰ ἀντικείμενα καὶ πότε τὰ ἐν ἀρχῇ λαμβάνουσι· διὰ γὰρ τὸ ἀγνοεῖν τοῦτο πολλάκις ἐν τοῖς λόγοις ἁμαρτάνουσι. καὶ ταῦτα συμβαίνει καὶ ἐφ' ἑαυτῶν λέγοντας καὶ ἀποκρινομένους. ὁ γὰρ λέγων πάντα εἶναι καθ' εἱμαρμένην καὶ εἶναί τινα ἐφ' ἡμῖν, τὰ ἀντικείμενα λέγων αὐτῷ λανθάνει. ἀλλὰ καὶ ὁ ἄπειρον λέγων ὑπὸ ἀπείρου περιέχεσθαι, τὰ ἀντικείμενα ἑαυτῷ λέγων ἀγνοεῖ. id. p. 270.

161 b 25. τουτέστιν ἢ ψευδῶν ἢ ἀδόξων ἐν τῇ πρώτῃ ἐπιτιμήσει. καὶ εἴη ἂν μετὰ τὴν πρώτην ἐπιτίμησιν, ἥτις ἐγένετο ἐπὶ τῷ πάντα ἡμαρτημένως ἔχοντι λόγῳ, δευτέρα ἡ ἐπὶ συλλογιζομένῳ μέν, οὔτε δὲ τὸ προκείμενον οὔτε δι' ἀληθῶν τε καὶ ἐνδόξων. id. p. 271.

161 b 29. "ἀφαιρεθέντων τινῶν·" ἀφαιρεθεισῶν τινῶν προτάσεων ἀπὸ τοῦ τοιούτου συλλογισμοῦ, ὥσπερ πολλάκις συμβαίνει γίνεσθαι ἐπὶ τοῖς συλλογισμοῖς τοῖς λεγομένοις διὰ τριῶν, οἷός ἐστιν ὁ λέγων ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τοῦτο δὲ ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος ∴ τότε δὲ τὸ ἐν ἀρχῇ λαμβάνειν, οἷον τυχὸν ὡς ὅταν ἐρωτώμενος διὰ τί ὁ ἄνθρωπος ἄνθρωπος ἐστίν, ἐρεῖ διότι ἄνθρωπος. ἀκολούθως δὲ τούτοις τὸ ἐν ἀρχῇ αἰτοῦνται καὶ οἱ κατὰ τοὺς Στωϊκοὺς ἀδιαφόρως συλλογιζόμενοι οὑτωσί· εἰ ἡμέρα ἐστὶν ἡμέρα ἐστίν, ἀλλὰ μὴν ἡμέρα ἐστίν, ἡμέρα ἐστίν. τὸ ἐν ἀρχῇ δὲ αἰτεῖσθαι ἐστὶ τὸ τὸ ζητούμενον λαμβάνειν ὡς ὁμολογούμενον καὶ ποιεῖν αἴτημα καὶ ὁμολογουμένην πρότασιν. cod. 1917 in marg.

161 b 31. ἀδοξότερα μὲν οὖν λαμβανόμενα ἐν τῷ λόγῳ, εἰ βωμοί εἰσι θεός. πλείονος δὲ πράγματος δεόμενα, εἴ τις δεικνύει τὴν ψυχὴν ἀθάνατον διὰ τὸ κίνησιν αὐτὴν αὐτοκίνητον εἶναι· τό τε γὰρ τὴν ψυχὴν κίνησιν δεῖξαι χαλεπόν, τό τε κίνησιν οὖσαν κινεῖσθαι χαλεπώτερον. Ἑρμῖνος μέντοι τὴν ἀπὸ τῆς θέσεως καὶ τῆς ἀφαιρέσεως ἐπιτίμησιν μίαν φησὶν εἶναι, τὴν δ' ἀπὸ τοῦ δι' ἀδοξοτέρων ἢ δι' ἀληθῶν πλείονος δεομένην λόγου εἰς δύο ἐπιτιμήσεις διαιρεῖ. τοῦτο δὲ ποιῶν ποιεῖ καὶ τὴν δευτέραν ἐπιτίμησιν τὴν αὐτὴν τῇ τετάρτῃ, ἢ δὶς παραλαμβανόμενον τὸ ἐξ ἀδοξοτέρων· καὶ γὰρ ἡ δευτέρα τοῦτο εἶχεν, εἰ καὶ μὴ τὸ προκείμενον συλλογίζεται ἀλλ' ἄλλο τι. Alex. p. 271.

162 a 9. γράφεται καὶ "δίκαιον" καὶ "οὐ δίκαιον." καὶ τὰ προστεθέντα ἔοικε μᾶλλον ἀκόλουθα εἶναι τῷ οὐ δίκαιον. ἐπεὶ γὰρ δέδεικται ἐν τοῖς Ἀναλυτικοῖς ὡς ὅτι ἔστιν οὐ μόνον δι' ἀληθῶν ἀλλὰ καὶ διὰ ψευδῶν συλλογίζεσθαι, ὅταν τὰ ψευδῆ δι' ὧν τὰ ἀληθῆ δεικνύει ἔνδοξα καὶ εὐπαρακολούθητα ᾖ μᾶλλον τῶν ἀληθῶν, οὐ δίκαιον ἐπιτιμᾶν καὶ τοῖς διαλεκτικῶς δεικνύουσι τὸ προκείμενον. ἐὰν δὲ ᾖ δίκαιον ἐπιτιμᾶν, λέγοι ἂν ὅτι ἄξιον ἐπιτιμᾶν τούτοις οἷς ἐνὸν δι' ἀληθῶν τὸ προκείμενον δεικνύειν αἱροῦνται μᾶλλον διὰ ψευδῶν. id. p. 272.

157a 18. λέγει πρῶτον περὶ τῶν ἐπακτικῶν λόγων, πῶς χρηστέον αὐτοῖς· καὶ πρῶτον μὲν δυσχέρειάν τινα πολλάκις ἐπὶ τῶν ἐπακτικῶν λόγων ἀπαντῶσαν μηνύει. Alexander p. 255.

157b 24. ὅτι κἂν μὴ ἔνστασίν τινα φέρῃ ὁ ἀποκρινόμενος, ἀρνῆται μέντοι τὸ καθόλου ὑφορώμενός τι τοιοῦτον, ἀξιοῖ αὐτοὺς προλαβόντας διορίζειν τὰς ἐρωτήσεις καὶ ἀφαιρεῖν καθ' ἃ αἱ ἐνστάσεις χώραν ἔχουσι· τούτων γὰρ ταῖς προθήκαις ἀφαιρουμένων, ἀναγκασθήσεται τοῖς ἀξιουμένοις συγχωρεῖν τῷ μηκέτι συνορᾶν ἐπὶ τίνος οὐχ οὕτως ἔχει τῶν ὑποτιθεμένων. id. p. 256.

157b 36. τοῖς γὰρ αὐτοῖς ὡς ἐναργέσι καὶ ὁμολογουμένοις χρῆται καὶ ὁ δεικτικῶς δεικνὺς καὶ ὁ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὡς ἐδείχθη ἐν τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν (c. 14). id. ib.

158a 9. πολλάκις γὰρ ἀρνεῖται ὁ προσδιαλεγόμενος καὶ μὴ ἐρωτῶντός σου τὸ συμπέρασμα, ἀλλ' ἐπιφέροντος καὶ συνάγοντος αὐτὸ καὶ συμβαῖνον ἐκ τῶν προκειμένων προτάσεων. καὶ τοῦτο ἡγοῦ τὸ ἀρνεῖσθαι ποιοῦντες οὐ δοκοῦσιν ἐλέγχεσθαι τοῖς μὴ ἀκριβέσι διαλεκτικοῖς. id. p. 257.

158a 14. "τὸ καθόλου" ἤτοι ἐπὶ τῶν προτάσεων λέγει, ὅτι μὴ πᾶσα πρότασις διαλεκτική, ἢ ἀντὶ τοῦ οὐ δοκεῖ δὲ καθόλου πᾶν τὸ ὁπωσοῦν ἐρωτώμενον διαλεκτικὴ πρότασις εἶναι, ἢ πᾶν τὸ καθόλου... τῶν δὲ εἰρημένων ἐν τῷ πρώτῳ καὶ νῦν ἡμᾶς ὑπομιμνήσκει· καὶ γὰρ ἐν ἐκείνῳ εἶπεν μὴ εἶναι διαλεκτικὰς ἐρωτήσεις τὰς τί ἐστι τὸ προκείμενον ἐξεταζούσας, ἃ πύσματα ἔθος λέγειν τοῖς νεωτέροις. id. ib.

158a 29. εἰ μὴ ἀποκρινομένου πρὸς τὰ ἐρωτώμενα ἐνδιατρίβει ταῖς ἐρωτήσεσιν, ἁμαρτάνει, ὅτι μὴ ἐπιτιμᾷ αὐτῷ καὶ ἀφίσταται ἀπ' αὐτοῦ ὡς οὐ διαλεγομένου. ἕκαστον δὲ τούτων ἔστιν εὑρεῖν παρὰ Πλάτωνι. οὐ δεῖ δὲ ἡγεῖσθαι αὐτὸν ἐναντιούμενα λέγειν τοῖς εἰρημένοις περὶ τῆς κρύψεως, ὅτι δεῖ πολλὰς ἐρωτᾶν προτάσεις καὶ ἐναλλάσσοντα αὐτὰς τιθέναι· οὐ γὰρ ἦν ταῦτα ἐπὶ ἑνὸς λεγόμενα λόγου, ἀλλ' ἐπὶ τοῦ ἐν ᾧ προσυλλογισμῶν ἔδει. id. p. 258.

158a 31. ὑποθέσεις νῦν μὲν λέγει τὰ προβλήματα, ἃ καὶ θέσεις ἐστὶν ἔθος αὐτῷ λέγειν. ἐπιχειρεῖν δὲ λέγει τὸ ἐρωτᾶν τε καὶ συλλογίζεσθαι· τὸ γὰρ ἐπιχείρημα διαλεκτικός ἐστι συλλογισμός. ὑπέχειν δὲ λέγει τὸ ἀποκρίνεσθαι. id. ib.

158b 12. εἴ τις ὁρίζει τὴν μονάδα τὸ ἐν ἀριθμοῖς ἄπειρον, κατ' ἀμφότερα ἀσαφές· οὔτε γὰρ γνώριμον εἰ ἁπλοῦν ἐστὶν ἢ ὁμώνυμον, οὔτε φανερόν ἐστιν εἴτε κυρίως ἢ μεταφορικῶς αὐτῷ κέχρηται. βούλεται γὰρ λέγειν τὸ πέρας μὴ ἔχον· ἄδηλον δὲ εἰ κυρίως ἄπειρον τὸ τοιοῦτον. id. p. 259.

158b 30. τὸ γὰρ "οὐ ῥᾴδιον ἀπογράφεσθαι" εἶπεν ἀντὶ τοῦ οὐ ῥᾴδιον ἀποδείκνυσθαι, συνιστὰς ὅτι ἐν πολλοῖς τῶν ὄντων προβλήμασιν ὁρισμοῦ δεῖ. παραδείγματι δὲ τοῦδε ὡς δεικνυμένῳ καὶ ἀσαφεῖ κέχρηται τῷ ὅτι "ἡ περὶ τὴν πλευρὰν τέμνουσα τὸ ἐπίπεδον ὁμοίως διαιρεῖ τήν τε γραμμὴν καὶ τὸ χωρίον." ἔστι δὲ τὸ λεγόμενον, ὅτι ἐὰν ἐπίπεδον παραλληλόγραμμον εἴη, ἀχθείη δ' ἐν αὐτῷ μία τῶν πλευρῶν παράλληλος, ἡ παράλληλος ὁμοίως διαιρεῖ τὴν γραμμὴν καὶ τὸ πᾶν χωρίον, τουτέστιν ἐν τῇ αὐτῇ ἀναλογίᾳ· τοῦτο γὰρ παραπλησίως μὲν λεγόμενον οὐκ ἔστι γνώριμον, ῥηθέντος μέντοι τοῦ ὁρισμοῦ τοῦ ἀνάλογον γνώριμον γίνεται τὸ εἰρημένον, ὅτι ἀνάλογον ὑπὸ τῆς ἀχθείσης παραλλήλου τέμνεται ἡ γραμμὴ καὶ τὸ χωρίον. ἔστι δὲ ὁρισμὸς τῶν ἀναλόγων, ᾧ οἱ ἀρχαῖοι ἐχρῶντο, οὗτος· ἀνάλογον ἔχει μεγέθη πρὸς ἄλληλα καὶ ὁμοίως ἔχει πρὸς ἄλληλα, ὧν ἡ αὐτὴ ἀνθυφαίρεσις. αὐτὸς δὲ τὴν ἀνθυφαίρεσιν ἀνταναίρεσιν εἴρηκε. τὰ δ' ἀνάλογον ἔχοντα πρὸς ἄλληλα καὶ ὁμοίως ἔχειν πρὸς ἄλληλα λέγεται. διὸ εἶπεν "ἔστι δὲ ὁρισμὸς οὕτως τοῦ αὐτοῦ λόγος πρῶτος οὗτος," ἀντὶ τοῦ ἔστι δὲ ὁρισμὸς τοῦ ἀνάλογον, οὗ ῥηθέντος τοῦ ὅρου δῆλον γίνεται ὅτι ἡ παράλληλος ἀγομένη πλευρᾷ ἐν παραλληλογράμμῳ χωρίῳ ὁμοίως τέμνει καὶ ἀνάλογον τήν τε γραμμὴν καὶ τὸ χωρίον. id. ib.

θέσιν μὲν τὸ πρόβλημα λέγει, ἀξίωμα δὲ καὶ πρότασιν ἐκ παραλλήλου εἶπεν. 159a 3. λέγει δὲ περὶ τῶν εἰς τὴν τοῦ προβλήματος δεῖξιν λαμβανομένων προτάσεων. ἔστι δὲ ὃ ζητεῖ, ἂν ᾖ χαλεπώτατον, τουτέστι δυσκολώτατον, τὸ δεῖξαι τὴν λαμβανομένην εἰς τὸ προκείμενον πρόβλημα πρότασιν, ὅτι οὕτως ἔχει τοῦ προβλήματος αὐτοῦ, τί χρὴ ποιεῖν, πότερον ἐπιχειρητέον καὶ εἰς τὴν πρότασιν καὶ πρόβλημα τὴν αὐτὴν ποιητέον, ἢ αὐτὴν μὲν θετέον χωρὶς δείξεως οὕτως ἔχουσαν, τὸ δ' ἐξ ἀρχῆς προκείμενον μόνον δεικτέον ἔχον τὴν ἀπορίαν... σημειωτέον δὲ ὅτι ἀξιώματα λέγει καὶ τὰς δεομένας ἀποδείξεως προτάσεις, ἀλλ' οὐ μόνας τὰς ἀναποδείκτους, ὡς ἔθος αὐτῷ λέγειν ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς. δοκεῖ δέ τι ἀκατάλληλον ἡ λέξις ἔχειν ἡ "ὅταν δὲ ᾖ πρὸς τὸ ἀξίωμα τὴν πρότασιν μεῖζον εἶναι διαλεχθῆναι," ὅτι προσθεὶς τὸ ᾖ τὸ εἶναι πάλιν ἐπήνεγκεν. διὸ καὶ παρά τισι τῶν ἀντιγράφων ἐκβέβληται. ἔστι δὲ ὁ νοῦς τῶν εἰρημένων· ὅταν δὲ ᾖ πρὸς τὸ ἀξίωμα, μεῖζον ἔργον διαλεχθῆναι ἢ πρὸς τὴν θέσιν. id. p. 260 et 261.

"ἔστι δὲ τοῦ μὲν ἐρωτῶντος τὸ οὕτως ἐπάγειν τὸν λόγον," τουτέστι 159a 18. τὰς ἐρωτήσεις οὕτω ποιεῖσθαι ὥστε δι' αὐτῶν ποιεῖν τὸν ἀποκρινόμενον τὰ ἀδοξότατα λέγειν τῶν διὰ τὴν θέσιν ἀναγκαίων, τουτέστι τῶν τῇ θέσει καὶ τῷ προβλήματι, ᾧ προΐσταται ὁ ἀποκρινόμενος, ἀναγκαίως ἑπομένων ἢ τῶν δυναμένων δειχθῆναι διὰ συλλογισμοῦ ὡς ἑπομένων αὐτῷ. ἢ τὸ ἀναγκαῖον τῆς διὰ συλλογισμοῦ δείξεως δηλωτικόν ἐστιν. id. p. 261.

ἐπεὶ μὴ διώρισται, φησίν, ὑπό τινων τῶν πρὸ ἡμῶν οὗ χρὴ 159a 25. στοχάζεσθαι τὸν ἀποκρινόμενον ἐν ταῖς πειραστικαῖς καὶ διαλεκτικαῖς συνουσίαις. id. ib.

τὸ ἱκανῶς γὰρ ἂν δόξειε διειλέχθαι δηλωτικόν ἐστι τοῦ οὐ γὰρ 159b 19. δόξει παραβαίνειν τὴν διαλεκτικὴν συνουσίαν ὁ ἀποκρινόμενος οὕτως· δεῖ γὰρ τοὺς γυμνασίας χάριν τὰς συνουσίας ποιουμένους συνεργεῖν ἀμφοτέρους πρὸς τὸ διαλεκτικὸν γίνεσθαι τὸν συλλογισμόν. ἐπὶ τῶν τοιούτων δὲ προβλημάτων ὁ τοῖς ἐνδόξοις μόνοις συγχωρῶν διαλεκτικὸς ἐμποδίσει τὸ προκείμενον· οὐ γὰρ ῥᾴδιον διαλεκτικὰς ἐνδόξους προτάσεις εὑρεῖν. id. p. 263.

οἱ γὰρ παριστάμενοι τῇ Ἡρακλείτου δόξῃ τῇ λεγούσῃ τὸ ἀγαθὸν 159b 30. καὶ τὸ κακὸν εἶναι ταὐτόν, οὐ συγχωροῦσι τῷ λέγοντι μὴ δύνασθαι τὰ ἐναντία συνυπάρχειν, οὐχ ὡς αὐτοῖς δοκοῦν, ἀλλ' ὡς Ἡρακλείτῳ οὕτως οὐκ ἐδόκει, προτιθέντες δηλονότι τοῦτο. id. ib.

χερές ἐστι τὸν θέμενον ἐλέγξαι, ἔστι δὲ τοῦ μὲν ἀποκρινομένου τὸ ἣν ἔθετο θέσιν φυλάξαι, τοῦ δὲ ἐρωτῶντος τὴν θέσιν ἐλέγχειν, κοινὸς ἂν εἴη τῷ ἐρωτῶντι καὶ ἀποκρινομένῳ ὁ περὶ τούτων λόγος. διόπερ καὶ περὶ τούτων ὕστερον μὲν τῆς ἐρωτήσεως πρότερον δὲ τῆς ἀποκρίσεως λέγει. τὸ δὴ πρῶτον κεφάλαιον τοῦτο, τὸ δὲ δεύτερον, ποσαχῶς ἐστὶ λόγος ψεκτὸς καὶ ἐπαινετός, ὅτι τριχῶς, ἢ καθ' αὑτὸν ἢ ὡς πρὸς τὸ πρόβλημα ἢ παρὰ τῶν διαλεγομένων τὸν ἕτερον· ἐνδέχεται γὰρ καὶ τὸν λόγον αὐτὸν καθ' αὑτὸν ψεκτὸν εἶναι ἢ ἐπαινετόν, καὶ τούτων ὁποτερονοῦν ὄντα καθ' αὑτὸν πρὸς τὸ πρόβλημα τὰ ἐναντία εἶναι. ποτὲ δὲ καὶ δυνάμενος καλῶς ἐρωτηθῆναι παρὰ τὴν θατέρου τῶν διαλεγομένων μοχθηρίαν ψεκτὸς ἂν γένοιτο. τοῦτο δὲ τὸ δεύτερον κεφάλαιον. τρίτον δὲ πῶς ἂν γυμνασθείημεν πρὶν εἰς λόγους ἐλθεῖν, καὶ τίς ἡ προκατασκευή. ἄλλως. ἐν τῷ πρώτῳ τὴν διαίρεσιν ποιησάμενος... διὰ τοῦτο δὲ καὶ ἀξιοῦσί τινες ἐπιγράφειν τὸ βιβλίον τοῦτο περὶ Ἐρωτήσεως καὶ Ἀποκρίσεως, ἄλλοι δὲ περὶ Τάξεως καὶ Ἀποκρίσεως, ἐπεὶ καὶ αὐτὸς περὶ τούτων εἰπεῖν ἀρχόμενος προτίθεται. ἄλλως. ἑτέρου. διδάξας ἐν ἀρχαῖς τῆς παρούσης πραγματείας ὅτι τέσσαρα γένη προβλημάτων εἰσίν... id. p. 248.

ἐν μὲν τῷ πρώτῳ βιβλίῳ τῶν Τοπικῶν ἐδίδαξε πάντα τὰ συντελοῦντα πρὸς τὴν διαλεκτικὴν πραγματείαν· ἔδει γὰρ παραστῆσαι τίς ἐστιν ὁ διαλεκτικὸς συλλογισμὸς καὶ κατὰ τί διαφέρει τοῦ ἀποδεικτικοῦ καὶ σοφιστικοῦ καὶ πειραστικοῦ συλλογισμοῦ. cod. 1972.

155b ἀναγκαίας λέγει ταύτας οὐχ ὅτι ἀναγκαίας εἰσὶν ὕλης, ἀλλ'
19. ὅτι ἐκ τούτων δύο οὐσῶν τὸ ἔλαττον ἀναγκαίως συνάγεται τὸ συμπέρασμα. ἀλλ' οἱ διαλεκτικοὶ καὶ πλείονας τῶν δύο λαμβάνουσιν· αὗται δὲ αἱ πλείονές εἰσι τέσσαρες ἤγουν κατὰ τέσσαρας τρόπους λαμβάνονται. Alexander p. 250.

155b ἢ δι' ὄγκον λόγου, τουτέστιν ἵνα δόξῃ τοῖς ἀκροαταῖς σοφός,
22. παρενείρει τῷ λόγῳ περιττὰς προτάσεις καὶ εὐμήκη τοῦτον ποιεῖ... ἢ πρὸς κρύψιν τοῦ συμπεράσματος, ὅταν λαμβάνῃ καὶ τοὺς προσυλλογισμοὺς τῶν ἐναντίων προτάσεων. id. ib.

155b "τὰς μὲν οὖν ἀναγκαίας οὐκ εὐθὺς προτατέον, ἀλλ' ἀποστατέον
29. ὅτι ἀνωτάτω" τουτέστιν ἐπὶ τὰ καθολικώτερα καὶ κοινότερα, ἐὰν διὰ συλλογισμοῦ τὴν λῆψιν τῶν ἀναγκαίων ποιώμεθα. "ἐὰν δὲ μὴ τιθῇ, δι' ἐπαγωγῆς ληπτέον," τουτέστιν, ἐὰν τὸ καθόλου καὶ τὸ ἀνωτέρω τῆς ἀναγκαίας προτάσεως βουλώμεθα λαβεῖν, μὴ συγχωρῇ δὲ ὁ ἀποκρινόμενος, πειρατέον δι' ἐπαγωγῆς λαβεῖν οὐ τὴν καθόλου καὶ ἀνωτέραν ἀλλὰ τὴν ἀναγκαίαν· ἐργωδέστερον γὰρ τὸ κοινότερον τῶν ἐλαττόνως. id. p. 251.

156a εἰπὼν πῶς δεῖ τὰς ἀναγκαίας λαμβάνειν προτάσεις, ἂν μὴ
1. λίαν ὦσι προφανεῖς, ὅτι διὰ συλλογισμοῦ τὰ ἀνώτερα λαμβάνοντας ἢ δι' ἐπαγωγῆς γοῦν, τὴν αἰτίαν δι' ἣν οὕτω χρὴ λαμβάνειν ἀποδίδωσιν. ἀδηλότερον γάρ, φησί, γίνεται τὸ συμβησόμενόν τε καὶ ἀχθησόμενον ἐν τῇ ἀποστάσει, τουτέστιν ἐν τῇ τοῦ καθολικωτέρου λήψει καὶ ἐν τῇ ἐπαγωγῇ... εἰς τὸ αὐτό. τὸ ἀδηλότερον γὰρ ἀεὶ ἐν τῇ ἀποστάσει κατασκευαστικόν ἐστι τοῦ ἐπάνω, ὅτι δεῖ πρὸς τὸ καθολικώτερον ἀνατρέχειν ἢ χρῆσθαι τῇ ἐπαγωγῇ· ὅσῳ γὰρ χρῆταί τις τοῖς καθολικωτέροις, καὶ ὅσον ἀφίσταται ἀπὸ τῶν προσεχῶν προτάσεων ἐπὶ τὰ πόρρω, οἷον εἰ ἀντὶ τῶν ἐναντίων λάβοι τὰ ἀντικείμενα, ἢ ἐπαγωγῇ ὅτι τοῦ ἡρμοσμένου καὶ ἀναρμόστου ἡ μουσικὴ ἐπιστήμη, τοσοῦτον ἀδηλότερον γίνεται τὸ συμβησόμενον συμπέρασμα. id. ib.

αἱ παρὰ ταύτας λαμβανόμεναι τέσσαρές εἰσιν, ὅτι αἱ παρὰ 156a
τὰς ἀναγκαίας προτάσεις τέσσαρες εἰσί, τουτέστι κατὰ τέσσαρας 4.
τρόπους· ἢ γὰρ ἐπαγωγῆς χάριν τοῦ δοθῆναι τὸ καθόλου, ἢ εἰς ὄγκον τοῦ λόγου, ἢ πρὸς κρύψιν τοῦ συμπεράσματος, ἢ πρὸς τὸ σαφέστερον εἶναι τὸν λόγον. cod. 1874.

δύναται τὸ "ἀθρόα συλλογίζεσθαι" εἰρηκέναι οὐχ ἵνα πάντα τὰ 156a
τῶν συλλογισμῶν συμπεράσματα ἀθρόον τις λέγῃ, ἀλλ' ἐπὶ πά- 12.
σαις ταῖς τῶν συλλογισμῶν προτάσεσιν ἀθρόον τὸ τελευταῖον ἐπάγῃ συμπέρασμα, ὃ καὶ μᾶλλον ἔοικε λέγεσθαι ἐκ τῶν ὕστερον ἐπαγομένων· λέγει γὰρ "μόνου τοῦ ἐσχάτου ῥηθέντος συμπεράσματος." τῷ μὲν οὖν ἄδηλον εἶναι τὸ δεικνύμενον ὑπὸ τῶν οὕτως ἐρωτωμένων συγχωροῦσι ταῖς προτάσεσι, τῷ δὲ συγχωρηθείσας δείκνυσθαι διὰ τῆς ἀναλύσεως τοῦ λόγου ἑπόμενον ὅτι τὰ συνακτικὰ τοῦ προκειμένου οὐκέτι ἀνανεύειν ἔχουσιν. Alexander p. 252.

σημειωτέον ὅτι κοινῶς τοῖς ἀξιώμασιν ἀντὶ τῶν προτάσεων 156a
κέχρηται. id. p. 253. 23.

διὰ τοῦ εἰπεῖν "τὸ καθόλου" τὸ προκείμενον ἐσήμανε. id. ib. 156b
ζητοῦσιν ἔνστασιν φέρειν πρὸς αὐτά. γίνοιτο δ' ἂν τοῦτο, εἰ 11. 24.
ὡς ἐνδοιάζοντες καὶ αὐτοὶ ἐρωτῷεν καὶ ὡς οὐκ εἰδότες, ὃ πολλάκις ὁ Σωκράτης ποιεῖ παρὰ Πλάτωνι· ὡς γὰρ οὐκ εἰδὼς τὸ συμβησόμενον καὶ ὡς τοῦτο ληψόμενος ὃ ἂν ἐκ τοῦ λόγου φαίνηται ἄριστα ἔχειν, οὕτως ἐρωτᾷ. id. p. 254.

ὃ ποιεῖν φησὶ καὶ τοὺς ψευδογραφοῦντας ἐν γεωμετρίᾳ· πολλὰς 157a
γὰρ ἄγοντες γραμμὰς μηδὲν χρησίμους πρὸς τὸ ψευδογράφημα τὸ 2.
δεικνύμενον, καί τινα περὶ αὐτῶν λέγοντες, λεληθότως καὶ τὰς εἰς τὸ ψεῦδος φερούσας ἐγγράφουσιν. ἀδηλότερον γὰρ καὶ ἀφανέστερον τὸ ψεῦδος ἐν πλείοσι καὶ ἐν παραβύστῳ τεθέν. id. ib.

ὅτι τὸ παράδειγμα τῆς ἐπαγωγῆς ἄλλο, καὶ ἐν τῇ Ἀναλυ- 157a
τικῇ (Προτ. 2 24) εἴρηται... παραδείγματος καὶ παραβολῆς δια- 14.
φορά ἐστιν, ὅτι τὸ μὲν παράδειγμα δοκεῖ γεγονός τι εἰς δεῖξίν τινος παρατίθεσθαι μηδέπω γεγονότος καὶ διὰ τοῦτο ἀδήλου, ἡ δὲ παραβολὴ εἰκών ἐστιν ὁμοιότητα πρός τι γεγονὸς σημαίνουσα. ἔοικε μέντοι αὐτὸς νῦν ἐπὶ τοῦ αὐτοῦ κεχρῆσθαι τῷ παραδείγματι καὶ τῇ παραβολῇ, δι' ὧν λέγει "παραδείγματα δὲ οἰκεῖα ἐξ ὧν ἴσμεν, οἷα Ὅμηρος, μὴ οἷα Χοιρίλος." ἐναργεῖς γὰρ καὶ διὰ γνωρίμων αἱ παρ' Ὁμήρῳ παραβολαί, οὐ τοιαῦται δὲ αἱ Χοιρίλου. id. ib.

ὁ μὲν γὰρ Ὅμηρος κύνας καὶ σῦς καὶ τέκτονας εἰς παραδείγματα 157a
λαμβάνει, ὁ δὲ Χοιρίλος ζῷα εἰς παραβολὴν λαμβάνει σκώρους καὶ 15.
ὄρυγγας ὀνομαζόμενα, ἃ οὔτε αὐτὰ ἴσμεν οὔτε τὰς πράξεις αὐτῶν ἢ τὰ ἔργα αὐτῶν. cod. 1917 in marg.

ἀλλὰ καὶ τοῦ Χοιρίλου τὸ "ὥσπερ ῥανὶς τῇ ἐνδελεχείῃ κοιλαίνει πέτραν, οὕτως καὶ συνεχὴς ἀνάγνωσις ἀπεργάζεται σοφίαν·" ἀδήλῳ γὰρ κέχρηται παραδείγματι· ἄδηλον γὰρ ὅπως ἡ πέτρα κοιλαίνεται ὑπὸ ῥανίδος, πότερον ἑκάστη ῥανὶς ἀφαιρεῖταί τι τῆς πέτρας ἢ οὔ. id.

ποσόν, οὕτω καὶ ἡ ψυχὴ τὸ σῶμα περιορίζει καὶ αὐτή ἐστιν ἡ διδοῦσα τῷ ζῴῳ τὰς ἀφορμὰς τῆς κινήσεως, καθ' ὃν τρόπον κινεῖται. τούτου χάριν γὰρ εἶπε κινῶν αὐτὸς ἑαυτόν· αἱ γὰρ κινήσεις καθ' ἃς κινεῖται τὸ ζῷον, ἢ ψυχικαί εἰσιν ἢ φυσικαί, καὶ φυσικαὶ μὲν αἱ εἰς τὸ ἄνω καὶ τὸ κάτω κινήσεις, ὡς ἡ τοῦ πυρὸς ἢ τοῦ λίθου, ψυχικαὶ δὲ αἱ ἀπὸ τόπου εἰς τόπον προαιρετικῶς. id. ib.

151b 23. Εἰπὼν ἐν τῷ πρώτῳ τῶν Τοπικῶν ὁρικὰ εἶναι τὰ προβλήματα καὶ τὰ ἔχοντα ζήτησιν περὶ τοῦ εἰ ταὐτὸν τόδε τῷδε ἢ οὔ, καὶ κατά τι δείξας ἐκεῖ, εἰκότως τοῖς ὁρικοῖς προβλήμασι περὶ ὧν εἶπεν ἐν τῷ ἕκτῳ συντάσσει τὰ περὶ τοῦ αὐτοῦ καὶ τοὺς ἁρμόζοντας τόπους πρὸς τὰ τοιαῦτα ἀνασκευαστικούς τε καὶ κατασκευαστικούς, ἐν τούτῳ ἑβδόμῳ ὄντι τῆς πραγματείας παραδίδωσι τοὺς περὶ τοῦ ταὐτοῦ ἑπομένως τοῖς περὶ τῶν ὁρισμῶν. χρησιμεύουσι δὲ οὗτοι οἱ περὶ τοῦ ταὐτοῦ τόποι εἰς τὰ ὁρικὰ προβλήματα. id. p. 239.

152a 8. ἀποδείκνυσι τὸν αὐτὸν τῷ ἀριθμῷ καὶ αἱρετώτατον, καθάπερ Ξενοκράτης. ἐπειδὴ τὸ αἱρετώτατον κατηγορεῖται κατὰ τοῦ εὐδαίμονος βίου, ὁμοίως καὶ κατὰ τοῦ σπουδαίου βίου, ὡς ὁ Ξενοκράτης ἐπεχείρει δεικνύναι, λοιπὸν ἄρα ταὐτὰ ὁ εὐδαίμων βίος καὶ ὁ σπουδαῖος. τοῦτο δὲ οὐκ ὀρθῶς ἔλεγε διὰ τὸ ἕτερα εἶναι τὰ ὑποκείμενα πράγματα· ὁ μὲν γὰρ εὐδαίμων βίος ἓν ὅλον τί ἐστιν, ὁ δὲ σπουδαῖος βίος μέρος ἐστὶν αὐτοῦ, περιέχεται γὰρ ὑπὸ τοῦ ἑτέρου. cod. 1917 in marg.

152a 38. δόξειε δ' ἂν ὁ τόπος οὗτος ὁ αὐτὸς εἶναι τῷ πρὸ αὐτοῦ, οὐ μὴν οὕτως ἔχει· ἐπ' ἐκείνου μὲν γὰρ ἐζήτει εἰ μὴ ὑπὸ τὴν αὐτὴν κατηγορίαν εἴη, νῦν δὲ τοῦ προσεχοῦς γένους τὸν λόγον ποιεῖται. id. p. 241.

152b 18. τῷ "ἀλλὰ καὶ εἰ δυνατὸν ἐξ ὑποθέσεως ὑπάρξαι τὸ ἄτοπον" λείπει τὸ ἀδύνατον· κειμένου γὰρ τοῦ τὸ κενόν τε καὶ πλῆρες ἀέρος ταὐτὸν εἶναι ὑποτεθέντι τῷ ἀνῃρῆσθαι τὸν ἀέρα ἕπεταί τι ἀδύνατον τὸ εἶναι ταὐτὸν κενόν τε καὶ πλῆρες ἀέρος. id. ib.

152b 25. δοκεῖ καὶ οὗτος ὁ τόπος ὁ αὐτὸς εἶναι τοῖς πρὸ ὀλίγου δύο τόποις τοῖς ἀπὸ τοῦ συμβεβηκότος ἀποδεδομένοις, οὐ μὴν πάντως ἐστὶν οὗτος ἐκείνοις ὁ αὐτός, ἀλλ' οὗτος καθολικώτερος. id. ib.

153a 6. "διὰ τούτων" λέγει τῶν τε ἐν τῷ πρὸ τούτου βιβλίῳ εἰρημένων τόπων πρὸς ἀνασκευὴν ὅρου, καὶ διὰ τῶν ἐν τούτῳ ἀνασκευαστικῶν τοῦ ταὐτοῦ. ἑξῆς δὲ παραδίδωσί τινας τόπους δι' ὧν κατασκευάζειν οἷοί τε ἐσόμεθα ὅρον. id. p. 242.

153a 11. δεύτερον (ὑπομιμνήσκει ἡμᾶς) ὅτι ἡ ἀκριβὴς περὶ ὅρων πραγματεία οὐ τῆς διαλεκτικῆς ἀλλὰ τῆς πρώτης φιλοσοφίας ἐστίν. "ὥστε τοσοῦτον μόνον λεκτέον ὅτι δυνατὸν γενέσθαι ὅρον καὶ τοῦ τί ἦν εἶναι συλλογισμόν," τουτέστι διὰ συλλογισμοῦ δειχθῆναι ὅτι ὁρισμός. καίτοι μὴ εἶναι ἀπόδειξιν ὅρου ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων Ἀναλυτικῶν ἔδειξεν. ἀλλὰ λέγομεν ὅτι τῇ μὲν ἀληθείᾳ τῆς ἀκριβείας οὐκ ἔστιν ἀποδεῖξαι, καθὼς καὶ ἐκεῖ ἔδειξε, διαλεκτικῶς δὲ καὶ πιθανῶς συλλογίζεσθαι τὸν ὅρον οἷόν τε, ὡς ἐνταῦθα λέγει. id. ib.

153a 24. "διώρισται μὲν ἐν ἑτέροις ἀκριβέστερον," ἔν τε τῷ δευτέρῳ τῶν Ὑστέρων Ἀναλυτικῶν καὶ ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ Φυσικά. id. ib.

153a 36. οὐκέτι προσέθηκεν ἢ αὐτὰ γένη εἶναι, ὡς ἐν Κατηγορίαις (p. 14 a 19) εἶπεν, ὅτι μηδὲ χρήσιμον ἦν πρὸς τὸ προκείμενον τοῦτο προστεθέν· οὐ γάρ ἐστιν ἡ ζήτησις νῦν εἰ γένος ἐστὶ τὸ προκείμενον, ἀλλ' ὑπό τι γένος. id. p. 243.

153b 36. οὐ τὸ αὐτὸ τῷ προειρημένῳ νῦν λαμβάνει· ἐκεῖ μὲν γὰρ ἡ κατὰ ἀναλογίαν ὁμοιότης ἐλαμβάνετο, ἐνθάδε δὲ ἡ ἁπλῶς καὶ κυρίως λεγομένη. id. p. 244.

154a 11. λείπεται ὁ τόπος ἐν ᾧ δύο ἦν τὰ ὑποκείμενα καὶ δύο τὰ περὶ αὐτῶν λεγόμενα, εἰ τὸ μὲν μᾶλλον τῷ ἑτέρῳ ὑπάρχει, τὸ δὲ ἧττον τῷ ἑτέρῳ, ἢ ἑκάτερον ἑκατέρῳ ὁμοίως. κατὰ τοῦτον οὖν μόνον τὸν τρόπον ἐστὶ κοινὸν ἀπό τε τοῦ μᾶλλον καὶ ἧττον καὶ ἀπὸ τοῦ ὁμοίως κατασκευάζειν ὅρον. id. ib.

154b 5. ἀπόχρη, φησίν, ἀνασκευάζοντι καθόλου τὸ δεῖξαι ὅτι μηδενὶ ὑπάρχει ὁ ἀποδεδομένος λόγος τῶν ὑπὸ τοὔνομα, οὐκέτι αὐτὸ χρὴ κατ' ἀντιστροφὴν δεῖξαι, ἥτις ἐστὶ τὸ καθ' ὧν ὁ λόγος κατηγορεῖται, κατ' οὐδενὸς τούτων τοὔνομα κατηγορεῖται. οὐ γὰρ χρήσιμον πρὸς ἀνασκευὴν τοῦ ὁρισμοῦ τοῦτο· ἱκανὸν γὰρ τὸ δεῖξαι τὸ καθ' ὧν τοὔνομα, κατ' οὐδενὸς τούτων ὁ λόγος. δοκεῖ μέντοι αὐτὰ μὴ ἀποφαντικῶς ἐπενηνοχέναι τὸ ἀντιστρέφειν τῷ πρώτῳ, ἀλλὰ τὸ αὐτό· ταὐτὸ γὰρ τό τε κατ' οὐδενὸς ὧν τοὔνομα κατηγορεῖται καὶ ὁ λόγος κατηγορεῖται, καὶ τὸ καθ' ὧν ὁ λόγος μὴ κατηγορεῖται τοὔνομα κατηγορεῖσθαι. ἔστι γὰρ τὸ ἀντιστρέφον τῷ προειρημένῳ τὸ κατ' οὐδενὸς ὧν ὁ ὅρος κατηγορεῖται, τὸ ὅτι καθ' ὧν μὴ κατηγορεῖται ὁ λόγος, τοὔνομα. ἴσον μέντοι καὶ τοῦτο ἐκείνῳ δύναται. ἢ ἀντιστρέφειν εἶπε τοῦ ὅτι κατ' οὐδενὸς ὧν τοὔνομα κατηγορεῖται καὶ ὁ λόγος κατηγορεῖται, τὸ ὅτι καθ' ὧν ὁ λόγος κατηγορεῖται τοὔνομα κατηγορεῖται. ἀλλ' ἔστιν ἴσον τὸ εἰρημένα, τὸ οὐδὲν συντελεῖ πρὸς τὸ δεῖξαι ὅτι κατ' οὐδενὸς ὧν τοὔνομα κατηγορεῖται καὶ ὁ λόγος κατηγορεῖται, τῷ αὐτὴν τὴν πρότασιν ἀντιστρέψαι. ἴσως δὲ καὶ τὸ οὐκ ἀναγκαῖον ἀντιστρέφειν δείκνυσι τὸ ἀνασκευάζειν καθόλου ὅτι τὸ καθόλου ἀποφατικὸν ἀντιστρέφει καὶ οὐ δεῖται δείξεως. id. p. 246.

154b 15. ὡς ἐπὶ τὸ πολύ φησι τὸ ἴδιον ἐν συμπλοκῇ, τουτέστι μετὰ τοῦ γένους λέγεσθαι· εἶπε γὰρ ἐν τῷ περὶ ἰδίου λόγῳ ὅτι δεῖ μετὰ τὸ γένος τὴν ἀπόδοσιν τοῦ ἰδίου ποιεῖσθαι. ὡς ἐπὶ τὸ πολὺ δὲ εἶπεν, ἐπειδὴ ἀποδέδοταί ποτε καὶ διὰ μόνου τοῦ ὀνόματος. id. ib.

155a 4. πολλά εἰσι καὶ τὰ παραδεδομένα ἐν αὐτοῖς πρὸς ἀνασκευήν. id. p. 247.

155b 3. Ὥσπερ ἐν τῷ πρώτῳ προτεχνολογεῖταί τινα χρήσιμα κατὰ τὴν πραγματείαν, οὕτως καὶ ἐν τῷ ὀγδόῳ ἐπιτεχνολογεῖται τινά. πρόκειται τοίνυν αὐτῷ περὶ τριῶν εἰπεῖν κεφαλαίων, πρῶτον μὲν περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως, πότε ὀρθὴ ἑκατέρα καὶ πότε ἡμαρτημένη. παράκειται δὲ τῷ μὲν περὶ τῆς ἐρωτήσεως τά τε πρὸς κρύψιν παραλαμβανόμενα, καὶ ὅλως δι' ὧν ἂν ὁ ἐρωτῶν ἐπάγοιτο τὸν ἀποκρινόμενον τὴν καθόλου πρότασιν αὐτῷ τιθέναι, ἐπείπερ ἄνευ ταύτης ἀδύνατόν ἐστι συλλογίσασθαι· τῷ δὲ περὶ ἀποκρίσεως λόγῳ παράκειται ὁ περί τε διαιρέσεως λόγος προτάσεων καὶ σημαινομένων ἀμφιβόλων καὶ ὅλως ὁ περὶ ἐνστάσεως. διὸ καὶ περὶ τούτων λέγει. ἐπεὶ δὲ τῶν προβλημάτων ὅσα εὐχερές ἐστι φυλάξαι, ταῦτα δυ-

148a 10. οὗτος ὁ τόπος σχεδὸν ὁ αὐτός ἐστι τῷ τεσσαρακοστῷ ἐννάτῳ· καὶ γὰρ ἀξιοῖ νῦν ταῖς πτώσεσι τοῦ ὁριστοῦ τὰς πτώσεις τοῦ ὁρισμοῦ ἐφαρμόζειν. id. p. 229.

148a 21. τὸ "πρὸς δὲ τούτοις καὶ οἱ τοιοῦτοι λόγοι χρήσιμοι" λέγοιτ' ἂν ἤτοι περὶ τῶν ἐφεξῆς λεγομένων τόπων ἢ περὶ τῶν πρὸς τὰς ἰδέας εἰρημένων· καὶ εἰ τοῦτο, εἴη μᾶλλον ἁρμοδιώτερον "πρὸς τούτους" γράφειν ἢ "πρὸς τούτοις." τὸ δὲ λέγειν τὸν αὐτοάνθρωπον θνητὸν εἶναι, οὐ τῷ ἀποθνήσκειν λέγεται ἀλλὰ τῷ λόγῳ τοῦ θνητοῦ θνητὸν εἶναι, καθ' ὃν τὰ θνητὰ τοιαῦτά εἰσιν, οὐκ οὐσίας ἐστὶ ποιούντων τὰς ἰδέας αὐτὰς καθ' αὑτὰς πρώτας τε καὶ ἀϊδίους, ἀλλὰ τοὺς λόγους τε καὶ ὁρισμοὺς τῶν τι ποιούντων ἰδέας. id. ib.

148b 8. τὸ "ὁπότερον ἂν ᾖ" ἀντὶ τοῦ ἢ ἑτερώνυμον ἢ πολυώνυμον. id. p. 230.

148b 17. νῦν πολλαχῶς φησὶ τὰ ὁμώνυμα, καίτοι γε καὶ τῶν ἄλλων πολλαχῶς λεγομένων, οἷον συνωνύμων. id. ib.

148b 22. οὐ γὰρ χρὴ ὁμοίως τοῖς πολλοῖς οὔτε τὸν εὐτυχῆ εὐδαίμονα καλεῖν, οὔτε οἰκονομικὸν τὸν ἀνελεύθερον, οὔτε τὸν δεινὸν φρόνιμον, οὔτε τὸν τολμηρὸν ἀνδρεῖον, ὡς εἰώθασιν οἱ πολλοί. id. p. 231.

148b 23. ὅτι ἐπὶ τῶν ὁρισμῶν τῶν συνθέτων, εἰ εἴη τὸ σύνθετον οὗ ὁ ὁρισμὸς ἀποδέδοται ἐκ δύο τινῶν συγκείμενος, δεῖ ἀφελόντα ἀπὸ τοῦ ὅλου λόγου τὸν τοῦ ἑτέρου τῶν ἐν τῷ ὁρισμῷ λόγον, ἐπισκοπεῖν εἰ τὸ καταλειπόμενον μέρος τοῦ ἀποδεδομένου λόγου τοῦ καταλειπομένου τῷ ὁριστῷ τῷ συνθέτῳ ὁρισμός ἐστιν· εἰ γὰρ μή, οὐδ' ὅλος ὁ λόγος εἴη ἂν ὁρισμὸς ὅλου τοῦ συνθέτου ὁριστοῦ. id. ib.

149a 2. τὸ "μάλιστα μὲν τῶν πάντων, εἰ δὲ μή, τῶν πλείστων" εἶπεν ὡς μὴ πάντων ὀφειλόντων ἐξ ἀνάγκης τῶν ἐν συνθέσει ὀνομάτων ἐν τῷ ὁρισμῷ αὐτῶν μεταλαμβάνεσθαι εἰς λόγον· ἱκανὸν γὰρ ἔν τισι τὸ τὰ πλεῖστα μεταληφθῆναι... ἢ μὴ πάντων ἀλλ' ὅμως τῶν πλείστων καὶ ἀσαφεστέρων· οἷον συλλογισμὸς ἀποδεικτικός ἐστι συλλογισμὸς ἐν ᾧ τεθέντων τινῶν καὶ τὰ ἑξῆς· ἐνταῦθα τὸ μὲν συλλογισμὸς οὐ μετείληπται εἰς λόγον διὰ τὸ σαφές. id. ib.

149a 27. τὸ "ἧττον γὰρ ἡ διαφορὰ τοῦ γένους γνώριμος" δοκεῖ μὴ ὁμόλογον εἶναι τῷ μικρῷ πρόσθεν εἰρημένῳ· ἔλεγε γὰρ δυνατὸν εἶναι τὴν μὲν διαφορὰν γνωρίμως ὀνομάζεσθαι, τὸ δὲ γένος μή· διὸ καὶ ἔφη δεῖν τὸ σαφέστερον μεταλαμβάνειν. ἢ εἰ καὶ τὸ ὄνομά ποτε τὸ τῆς διαφορᾶς γνωριμώτερον τοῦ γένους εἴη, ἀλλ' αὐτὸ τὸ πρᾶγμα τὸ ὑπὸ τῆς διαφορᾶς δηλούμενον ἧττον γνώριμον τοῦ ὑπὸ τοῦ γένους δηλουμένου· τὸν μὲν γὰρ τὴν διαφορὰν γνωρίζοντα δεῖ καὶ τὸ γένος γνωρίζειν, οὐ μὴν ἐν τῇ τοῦ γένους γνώσει καὶ διαφορὰ περιέχεται. id. p. 232.

149a 29. πάλιν δεῖν φησίν, ὅταν μεταληφθῇ ἡ διαφορὰ εἰς λόγον, σκοπεῖν εἰ ὁ ἀποδεδομένος λόγος τῆς διαφορᾶς καὶ ἄλλῳ τινὶ ἐφαρμόζει· ἂν γὰρ ᾖ καὶ ἄλλῳ τινὶ ἐφαρμόζων, οὐκ ἔστιν ὁ ὁρισμὸς τῆς μετειλημμένης διαφορᾶς· δεῖ γὰρ τὸν ὅρον ἴδιον εἶναι τούτου οὗ ἐστί, καὶ πρὸς μηδὲν ἄλλο κοινόν. οὐ μόνον δὲ ἁμαρτάνει ὁ ἀποδιδοὺς τοῦ ὡς διαφορᾶς κειμένου λόγον τὸν καὶ ἄλλοις ἐφαρμόζοντα, ἀλλὰ κἂν μὴ παντὶ ἐφαρμόζῃ τῷ οὗ ἀποδέδοται, καὶ οὕτως ἡμάρτηται. id. ib.

149b 6. τίς ὁ ἁπλῶς (ψευδόμενος) ἐπὶ τῆς ἰατρικῆς, εἶπεν τὸ "εἰ μὲν γὰρ μηδενὸς τῶν ὄντων ἡ ἰατρικὴ ἐπιστήμη" ἴσον λέγων τῷ εἰ μὲν γὰρ μὴ εἴη ὑπὸ τὸ ἀποδεδομένον ταῦτα ὧν ἐστὶν ἐπιστήμη ἡ ἰατρική, ἁπλῶς ἔψευσται. id. p. 233.

149b 19. "οὐ γὰρ μόνον ἡ ἰατρικὴ ἀλλὰ καὶ τῶν ἄλλων ἐπιστημῶν αἱ πολλαί." τοῦτο ἢ ἁπλούστερον εἴρηκεν, ἢ ὅτι δοκεῖ καὶ ἡ σοφιστικὴ ἐπιστήμη τις οὖσα περὶ τὸ ὂν μὴ εἶναι, ὡς ἐν τῷ Σοφιστῇ τοῦ Πλάτωνος δέδεικται. id. p. 234.

149b 24. σφάλλονται δ' ἐνίοτε καὶ οἱ μὴ ὁριζόμενοι καθ' αὑτὸ τὸ πρᾶγμα, ἀλλὰ τὸ πρᾶγμα εὖ ἔχον ἢ τετελεσμένον. id. ib.

150a 1. σκοπεῖν δὲ δεῖ, φησί, καὶ εἴ τινος ὁριστοῦ, οἷον οἰκίας, ἀποδοὺς ὁρισμὸν ὡρίσατο ὅτι οἰκία ἐστὶ τάδε, ἤγουν λίθοι καὶ ξύλα, ἢ ἐκ τούτων, ἤγουν ὅτι δικαιοσύνη ἐστὶν ἐξ ἀνδρίας καὶ σωφροσύνης, ἢ οἰκία ἐκ λίθων καὶ ξύλων· ἢ τόδε μετὰ τοῦδε, ὅτι δικαιοσύνη ἐστὶ σωφροσύνη μετὰ ἀνδρίας, ἢ οἰκία σκέπη μετὰ λίθων καὶ ξύλων. id. p. 235.

150a 23. πρῶτον μὲν ἀξιοῖ δεῖν ἐπισκοπεῖν εἰ ἐκ τούτων ὡρίσατό τις εἶναι ἐξ ὧν οὐχ οἷόν τε συντιθεμένων ἕν τι γίνεσθαι, ἑνὸς ὄντος τοῦ ὁριστοῦ. id. ib.

150b 14. πάλιν ἐάν τι, φησί, λεγόμενον ἐκ βελτίονος καὶ χείρονος μὴ ᾖ τοῦ μὲν βελτίονος χεῖρον τοῦ δὲ χείρονος βέλτιον, οὐκ ἂν δεόντως ἐκ τούτων εἶναι λέγοιτο. τὸ γὰρ ἐκ τοιούτων συγκείμενον μέσον γίνεται ἑκατέρου αὐτῶν ἀκράτου λαμβανομένου, διὰ τὴν μῖξιν τῶν ἐναντίων ἑκατέρου αὐτῶν φέρον τὰ δεύτερα. διὸ ἡ ἐγκράτεια συγκειμένη ἔκ τε ὀρθοῦ λογισμοῦ καὶ φαύλης ἐπιθυμίας τῆς μὲν φαύλης ἐπιθυμίας ἐστὶ βελτίων, χείρων δὲ τοῦ ὀρθοῦ λογισμοῦ. καὶ πρὸς τοῦτο δὲ τὴν αὐτὴν ἔνστασιν φέρει ἥνπερ καὶ πρὸς τὰ πρότερον. id. p. 236.

150b 34. σημαίνει τὸ "τόδε μετὰ τοῦδε" ἢ τὸ μετὰ τοῦ αὐτοῦ ὑποκειμένου ἢ τὸ ἐν τῷ αὐτῷ τόπῳ ἢ τὸ ἐν τῷ αὐτῷ χρόνῳ εἶναι. προστίθησι δὲ ὅτι κἂν τὰ ἀποδεδομένα δύνηται ἐν τῷ αὐτῷ χρόνῳ εἶναι, μὴ πρὸς τὸ αὐτὸ δὲ ἑκάτερον λέγηται, ἢ εἰ καὶ πρὸς τὸ αὐτὸ μὲν ἄμφω λέγεται, οὐ μέντοι πρὸς τὸ τοῦ προκειμένου ὁριστοῦ τέλος, οὐδὲ οὕτως ὑγιῶς ὥρισται· οὔτε γὰρ πρὸς ἕτερον δεῖ λέγεσθαι οὔτε πρὸς ταὐτὸν τὸ τυχόν, ἀλλὰ πρὸς τὸ τέλος τοῦ ὁριστοῦ. id. p. 237.

151a 20. ἔτι ὁ τὸ ὅλον ὁριζόμενος εἶναι τὴν τῶνδε, τουτέστι μερῶν, σύνθεσιν ἁμαρτάνει· οὐ γὰρ ἡ τυχοῦσα σύνθεσις τὸ ὅλον ἐστίν. id. p. 238.

151a 29. εἴη ἂν οὖν ἡ τοιαύτη δεῖξις δι' ὁμολογίας ἀπὸ τῶν ὁμοίων· εἰ δὲ μὴ σύνθεσις ὅλως, οὐδ' ὁποιονοῦν σύνθεσις εἴη ἄν. id. ib.

οἷον εἰ ἀποδοίη τις ὁρισμὸν τῆς ψυχῆς ὅτι ἀριθμός ἐστιν αὐτὸς ἑαυτὸν κινῶν, δεῖ σε μεταλαμβάνειν αὐτὸν διὰ τὸ ἀσαφὲς εἰς σαφῆ καὶ τοιοῦτον ἀφ' οὗ ἂν ἔχοις ἐπιχείρημα, ἤγουν τόπον ἀνασκευάσαι αὐτόν... ἔστι δὲ Ξενοκράτους. εἰπὲ οὖν "εἰ ὁ ἀριθμὸς ὦ Ξενόκρατες ἢ περιττός ἐστιν ἢ ἄρτιος, ἡ ψυχὴ ἢ ἀρτιός ἐστιν ἢ περιττός."... καὶ οὕτως ἀνασκευάσεις, καίτοι τοῦ ὁριζομένου τὴν ψυχὴν οὕτω κατὰ τοὺς Πυθαγορείους ὁριζομένου· οὗτοι γὰρ εἴδη ἐκάλουν τοὺς ἀριθμούς, καὶ ἔλεγον ὅτι ὥσπερ ὁ ἀριθμὸς φέρε εἰπεῖν ὁ δέκα ῥηθεὶς περιορίζει τὴν διάνοιαν καὶ οὐκ ἐᾷ πλανᾶσθαι ταύτην περὶ τὸ

συμβεβηκὸς οἷόν τε εἶναι· τὸ μὲν γὰρ συμβεβηκὸς οἷόν τε ὑπάρχειν καὶ μὴ ᾧ συμβέβηκε, τὸ δὲ ἐν τῇ οὐσίᾳ τινὸς ὂν ἀχώριστόν ἐστιν αὐτοῦ. id. p. 220.

141b 1. ἐν τούτοις ἔοικε διορθοῦν τὸ εἰρημένον ἐν Κατηγορίαις (c. 3), ὅτι τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί. ἢ κἀκεῖ διωρίσατο τοῦτο τῇ προσθήκῃ τοῦ εἴδει. ἢ ἐν Κατηγορίαις ἑτερογενῆ λέγει τὰ ὑπ' ἄλλο καὶ ἄλλο γενικώτατον ἀναγόμενα, ἐπεὶ τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων μηδ' ἄμφω ὑπὸ ταὐτὸν ὄντων γένος ἕτεραι τῷ εἴδει αἱ διαφοραί. id. ib.

141b 26. τὸ γὰρ δίπουν ἐν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ οὐκ ἐπιφέρει ἀμφότερα τὰ γένη, τὸ πτηνὸν καὶ τὸ πεζόν, ἀλλὰ τὸ πεζὸν μόνον καὶ τὸ ὑπὲρ τοῦτο, ἐν οἷς ἀμφοτέροις τὸ ζῷον. id. p. 221.

141b 31. ἐπεὶ τὸ ποῦ εἶναι καὶ ἐν τόπῳ τινὶ οὐκ ἔστιν οὐσία τινὸς τὸ τί ἦν εἶναι σημαῖνον, ὁ δὲ ὅρος τὸ τί ἦν εἶναι σημαίνει, φησὶ δεῖν ὁρᾶν εἴ τις ὁριζόμενος οὐσίαν τινὰ λαμβάνει διαφορὰν ἐν τῷ ὁρισμῷ τὸ ποῦ εἶναι σημαίνουσαν. τὸ γὰρ ἔν τινι πλεοναχῶς λεγόμενον νῦν ἐπὶ τοῦ ἐν τόπῳ εἶναι λέγεται... εἰκότως δὲ καὶ τὸ "οὐσίας" προσέθηκεν· οὐσίας γὰρ διαφορὰ οὐ δύναται τὸ ποῦ εἶναι, τῶν μέντοι ποῦ ὄντων ἀναγκαῖον καὶ τὸν ὁρισμὸν ἔχειν τινὰ διαφορὰν τοῦ ποῦ δηλωτικήν. id. ib.

145a 23. τῇ γοῦν στλεγγίδι οὐ πρὸς τὸ παραξύεσθαι χρήσαιτ' ἄν τις μόνον ἀλλὰ καὶ πρὸς τὸ ὕδωρ ἀρύσασθαι... ἔστι δὲ στλεγγίς, ὡς μέν τινες λέγουσι, τὸ κτένιον, ὡς δὲ ἕτεροι, ὄργανόν τι κοῖλον δι' οὗ τοὺς ἱδρῶτας ἀπέξεον· ὃ δοκεῖ βέλτιον ἐκ τοῦ δι' αὐτοῦ κοίλου ὄντος καὶ ὕδωρ ἀρύεσθαι. τὸ δὲ τῆς στλεγγίδος ὄνομα ἐν τῷ Λυκόφρονι· φησὶ γὰρ ἐκεῖνος στλεγγίσματα τὰ ἀποξύσματα. εἰς τὸ αὐτό. οὐ μόνον, φησί, χρὴ τὰς διαφορὰς τὰς ἐν τοῖς ὁρισμοῖς τῶν πρός τι λαμβανομένας κἀκείνας πρός τι εἶναι, ἀλλὰ δεῖ τὸν προσδιαλεγόμενον σκοπεῖν καὶ εἰ ἕκαστον ὁριστὸν τῶν πρός τι ἀποδίδωσιν ὁ ὁριζόμενος, πρὸς ὃ κυρίως πέφυκε λέγεσθαι ὡς σχέσιν ἔχον... στλεγγίδα δέ τινες λέγουσι τὸ ὀστρειῶδες κτένιον, ἄλλοι δὲ εἶδος σπόγγου δι' οὗ ἀποψῶσι τοὺς ἱδρῶτας τῶν νοσούντων οἱ ἰατροί. id. ib.

στλεγγίδα οἱ μὲν τὸ κτένιον λέγουσιν, οἱ δὲ ὄργανον κοῖλον δι' οὗ τοὺς ἱδρῶτας ἀπέξεον. τῷ Λυκόφρονι τὸ τῆς στλεγγίδος ἐφεύρηται ὄνομα· στλεγγίσματα γὰρ ἐκεῖνος τὰ ἀποξύσματα φησίν. cod. 1843.

145a 33. φέρεται καὶ τοιαύτη γραφὴ ἔν τισιν ἀντιγράφοις, "ἔτι εἰ μὴ δεκτικὸν εἴρηκεν ὁριζόμενος πάθος ἢ διάθεσιν ἢ ὁτιοῦν ἄλλο, ἡμάρτηκεν." id.

145b 34. ἐπεὶ ὁ ἑκάστου ὁρισμὸς τῆς οὐσίας αὐτοῦ ἐστὶ δηλωτικός, δεῖ, φησίν, ἀποδοθέντος τινὸς ὁρισμοῦ ἐπισκοπεῖν εἰ κατά τινα ἄλλον λόγον δύναται λέγεσθαι τὸ προκείμενον ὁριστόν· εἰ γὰρ εἴη μᾶλλον ὑφ' ἑτέρου τινὸς δηλούμενον, οὐκ ἔσται ὁ εἰρημένος λόγος ὁρισμὸς αὐτοῦ· ὁ γὰρ λόγος ὁ μᾶλλον δηλῶν τὸ προκείμενον αὐτός ἐστι κυρίως αὐτοῦ ὁρισμός. εἴη δ' ἂν ὁ τόπος οὗτος ἐκ παραβολῆς. Alex. p. 224.

146a 18. πάλιν εἰ δοθείη τοῦ πυρὸς ὁρισμὸς σῶμα τὸ καυστικόν, ληπτέον δύο εἴδη αὐτοῦ τοῦ πυρὸς τὴν φλόγα καὶ τὸν ἄνθρακα, καὶ σκεπτέον εἰ τὸ πῦρ ὁμοίως ἀμφοτέρων κατηγορεῖται, καὶ οὐ μᾶλλον ἡ φλὸξ ἢ ὁ ἄνθραξ ῥηθείη ἂν πῦρ, τὸ δ' ἕτερον, ἤγουν ὁ ὁρισμὸς τοῦ πυρός, τουτέστι τὸ σῶμα καυστικόν, μᾶλλον κατὰ τῆς φλογὸς ἢ κατὰ τοῦ ἄνθρακος, οὐ καλῶς ἀποδέδοται ὁ ὁρισμὸς τοῦ πυρός, σῶμα τὸ καυστικόν. id. ib.

146a 36. τῶν πρός τι τὰ μὲν καθ' αὐτά ἐστιν, ὡς ἐπιστήμη αἴσθησις διπλάσιον (καθ' αὐτὰ γὰρ ἀποδίδονται ἐπιστήμη μὲν πρὸς ἐπιστητόν, αἴσθησις δὲ πρὸς αἰσθητόν, καὶ ὁμοίως διπλάσιον πρὸς ἥμισυ), τὰ δὲ οὐ καθ' ἑαυτὰ ἀλλὰ κατὰ τὸ γένος, ὡς γεωμετρία γραμματική· ταῦτα γὰρ διὰ τὴν ἐπιστήμην γένος οὖσαν αὐτῶν εἰσὶ πρός τι καὶ οὐ καθ' αὐτά· καθ' ἑαυτὰ γὰρ ποιότητές εἰσιν, ὡς ἐν ταῖς Κατηγορίαις (c. 8) δέδεικται. id. p. 225.

146b 7. τὸ "δεῖ γὰρ πρὸς ὃ αὐτὸ λέγεται ἢ πρὸς τὸ γένος ἐν τῷ ὁρισμῷ ἀποδίδοσθαι" εἴη ἂν εἰρημένον ὅτι τῶν πρός τι τὰ μὲν καθ' αὐτά ἐστι πρός τι, πρὸς ἃ δεῖ ἀποδίδοσθαι· ὁ γὰρ λέγων τὴν ἐπιστήμην ὑπόληψιν τῶν ἐπιστητῶν, οὐ πρὸς ὃ ἡ ὑπόληψις λέγεται, ὃ γένος ἔλαβε τῆς ἐπιστήμης, ἐν τῷ ὅρῳ τέθεικεν, ἀλλὰ πρὸς ὃ ἡ ἐπιστήμη· καθ' αὑτὴν γὰρ ἡ ἐπιστήμη πρός τι· ὁ δὲ τὴν γραμματικὴν λέγων ἐπιστήμην ἐπιστητῶν, πρὸς ὃ τὸ γένος λέγεται τοῦ ὁριζομένου, τοῦτο ἔλαβεν, ἐπειδὴ καὶ τὸ ὁριστὸν ἡ γραμματικὴ κατὰ γένος πρός τι. id. p. 226.

146b 20. ἐπεὶ γίνονταί τινες ἁμαρτίαι ἐν τῷ ὁρισμῷ καὶ κατ' ἔλλειψιν, νῦν παραδίδωσι τόπον πῶς φωρᾶν τοὺς οὕτως ἁμαρτάνοντας δυνησόμεθα... οἷον εἰ εἴποι τις φιλότιμός ἐστιν ὁ τιμῆς ὀρεγόμενος, μὴ προσθεὶς ποίας, παρὰ βασιλέως ἢ παρὰ μεγιστάνων, μηδὲ πόσης. id. ib.

146b 36. ὁ τόπος οὗτος κοινός ἐστι παντός, οὗ ἐν τῷ ὁρισμῷ ὡς γένος ἡ ὄρεξις παραλαμβάνεται· γένος δὲ ἡ ὄρεξις καὶ βουλήσεως καὶ ἐπιθυμίας καὶ θυμοῦ. id. p. 227.

147 5. ταῦτ' εἰπὼν προσέθηκε τὸ δεῖν πάλιν τοὺς τῇ ὀρέξει προστιθέντας τὸ φαίνεσθαι ἐν τοῖς τῶν προκειμένων λόγοις ἐλέγχεσθαι ὡς μὴ καλῶς ὁριζομένους, ἄγοντας ἐπὶ τὰς ἰδέας ἢ καὶ μεταφέροντας ἐπ' ἐκείνας τοὺς ἀποδιδομένους λόγους, εἴπερ δηλονότι ἐκεῖνοι οἱ οὕτως ὁριζόμενοι τίθενται τὰς ἰδέας. ἐπεὶ γὰρ ἡ ἰδέα πρὸς ἰδέαν λέγεται, οὐχ οἷόν τε τὸ εἶναι αὐτοαγαθὸν καὶ φαινόμενον ἀγαθόν· οὐδὲν γὰρ ἐν τῇ ἰδέᾳ φαινόμενον. id. ib.

147a 12. ὁ τόπος οὗτος ἀπὸ τῶν συστοίχων ἢ καὶ ἀπὸ τῶν ἐναντίων ἐπιχειρεῖν ὑποτίθησιν. ἐπειδὴ γὰρ τὰ μὲν σύστοιχα ἀλλήλοις ὁμοίως ἔχει, τὰ δὲ ἐναντία ἐναντίως, δεῖν φησὶν ἀποδοθέντος τινὸς ὁρισμοῦ μεταφέρειν τὸν ἀποδοθέντα ὁρισμὸν ἐπὶ τὰ σύστοιχα δηλονότι ἁρμόζοντα κατὰ τὴν λέξιν ἑκάστῳ αὐτῶν οἰκείως τὸν ἀποδοθέντα ὁρισμόν, κἂν ἐπί τινος διαφωνῇ, ἀνασκευάζειν τὸν ὁρισμὸν ὡς μὴ ὄντα ἐκείνου οὗ ἀποδέδοται. id. ib.

147a 33. ἐπεὶ κατὰ πολλοὺς τρόπους τὰ ἐναντία λαμβάνεται ἐν ταῖς συμπλοκαῖς, ἀξιοῖ ζητεῖν πάσας προχειριζόμενον, εἴ τις τῶν συμπλοκῶν τῶν ποιουσῶν τὴν ἐναντίωσιν ἁρμόσει τῷ ἐναντίῳ τούτου, οὗ ὁ ὁρισμὸς ἀποδέδοται. ἡ δὲ συμπλοκὴ τῶν ἐναντίων ὅτι πολλαχῶς λέγεται, ἐδείχθη ἐν τῷ δευτέρῳ βιβλίῳ (c. 7) τῆς παρούσης πραγματείας. id. p. 228.

ἐστὶν ὁ ἄνθρωπος. ἐπεὶ οὖν ἐν τῷ ἀνθρώπῳ τὸ δίπουν οὐ δὶς κατηγορεῖται, οὐδὲ ἐν τῷ ὁρισμῷ αὐτοῦ, ὅς ταὐτόν ἐστιν αὐτῷ, δὶς τὸ δίπουν παραληφθήσεται, εἴπερ ἀνθρώπου ὁρισμὸς ἀποδοθείη τὸ ζῷον πεζὸν δίπουν. ὁμοίως οὖν οὐδὲ ἐπὶ τῆς ἐπιθυμίας δὶς τὸ ἡδὺ κατηγορηθήσεται. Alexander p. 212.

141a 10. οὐ ταὐτόν ἐστιν εἰπεῖν στέρησιν τοῦ κατὰ φύσιν ὑπάρχοντος καὶ στέρησιν κατὰ φύσιν· ἐπεὶ γὰρ ἡ τῆς τοῦ πεφυκότος ὅτε πέφυκεν ὑπάρξεως ἀπουσία στέρησίς ἐστι, τῶν στερήσεων δ' αἱ μὲν βίαιοι καὶ παρὰ φύσιν γινόμεναι, ὡς εἴ τις ἐκκοπείη τοὺς ὀφθαλμούς, αἱ δὲ κατὰ φύσιν, ὡς ὁ ὕπνος στέρησίς ἐστι τῆς ἐγρηγόρσεως, ὁ εἰπὼν μὲν στέρησιν τοῦ κατὰ φύσιν περιπίπτει τῷ ἀτοπήματι τούτῳ, καθάπερ ὁ φιλόσοφος ἀποφαίνεται, ὁ μέντοι εἰπὼν τὸν ὕπνον στέρησιν ἐγρηγόρσεως κατὰ φύσιν οὐ περιπίπτει τῷ τοιούτῳ ἀτοπήματι, καθάπερ ὁ Σωτίων οἴεται, τὸν οὕτως ὁρισάμενον εὐθύνων. id. p. 213.

„πᾶσα γὰρ στέρησίς ἐστι τοῦ κατὰ φύσιν ὑπάρχοντος," εἴτε ἡ τοῦ πεφυκότος, ὅτε πέφυκεν ὑπάρχειν, ἀπουσία στέρησις, αὐτὸν μὲν ὁριζόμενος τὸν ὕπνον στέρησιν ἐγρηγόρσεως οὐ περιπίπτει τῷ εἰρημένῳ, ὡς οἴεται ὁ Σωτίων· ἄλλο γάρ ἐστιν εἰπεῖν τοῦ κατὰ φύσιν καὶ ἄλλο τὸ κατὰ φύσιν· πᾶσα μὲν γὰρ στέρησις τοῦ κατὰ φύσιν, ἀλλ' αἱ μὲν βίαιοι καὶ παρὰ φύσιν γινόμεναι, ὡς εἴ τις ἐκκόπτεται τοὺς ὀφθαλμούς, αἱ δὲ κατὰ φύσιν, ὧν καὶ ὁ ὕπνος ἐστίν. ὅμοιον ἁμάρτημα ἁμαρτάνουσι καὶ οἱ τὴν γραμμὴν ὁριζόμενοι τῶν διαστατῶν τὸ ἐφ' ἓν διαστατόν. A B. de Sotione nihil in codd. 1845 et 1972.

141a 15. διαφέρει δ' ἂν οὗτος ὁ τόπος τοῦ πρὸ αὐτοῦ, ὅτι ἐκεῖ μὲν ἐδείκνυτο τὸ προσκείμενον ταὐτὸν ὂν τινι τῶν κειμένων, ἐνταῦθα δὲ τὸ ταὐτὸν ὑπό τι τῶν δεδομένων λαμβάνεται. δόξει ἔνστασιν ἔχειν ὁ τόπος. Alexander p. 213.

141a 28. γνωρίζομεν δὲ οὐκ ἐκ τῶν τυχόντων ἀλλ' ἐκ τῶν προτέρων καὶ γνωριμωτέρων, ὡς ἐν τῇ Ἀποδεικτικῇ δεδήλωται. id. ib.

142a 4. ἀκριβεστέρῳ δὲ γενομένῳ, τουτέστιν ἐπιστήμονι καὶ εἰδότι ἀκριβῶς τὰ πράγματα διαιρεῖν, τὰ μὲν αἰσθητὰ ἄγνωστα δοκεῖ εἶναι καὶ ἐν ῥύσει συνεχεῖ, τὰ δὲ νοητὰ καὶ λίαν γνώριμα ὡς ἑστῶτα καὶ μόνιμα. id. p. 215.

142a 16. οἷον εἴ τις εἴποι, ὁ ἄνθρωπος ζῷόν ἐστιν ὑδροφορικῶς κινούμενον ἢ φυρδὴν καὶ κατὰ τύχην φερόμενον· τὸ γὰρ ὑδροφορικῶς καὶ τὸ φυρδὴν οὔτε τῇ φύσει οὔθ' ἡμῖν γνώριμον, τροπικαὶ οὖσαι φωναὶ καὶ οὐ κυρίως λεγόμεναι. id. ib.

142a 20. ὡς οἱ τὴν ἰδέαν ὁριζόμενοι διὰ τοῦ αἰτιατοῦ, αἰτίαν λέγουσι τῶν πρὸς αὐτὴν γινομένων· τῶν γὰρ αἰσθητῶν τὰ πρὸς αὐτὴν τὸ εἶναι ἔχοντα αὐτὰ μὲν ἐν κινήσει ἐστὶ καὶ ἀόριστα, ἡ δὲ ἰδέα ἀκίνητός τε καὶ ὡρισμένη... καὶ ὁ τὴν ἐπιστήμην αὖ λέγων ἕξιν διὰ μαθήσεως κινητήν, τὸ ἀκίνητον διὰ τοῦ ἐν κινήσει ὁρίζεται· ἡ γὰρ μάθησις κίνησίς τις. ἀλλὰ καὶ ὁ λέγων τὴν ἰδέαν οὐσίαν εἶναι ἀσχημάτιστον καὶ ἀναφῆ τὸ ὡρισμένον διὰ τοῦ ἀορίστου ὁρίζεσθαι δοκεῖ, καὶ ὁ τὴν ἀρετὴν λέγων μεσότητα ὑπερβολῆς καὶ ἐνδείας εἶναι τὸ ὡρισμένον διὰ τῶν ἀορίστων ὁρίζεται. id. ib.

καθ' αὑτὰ δὲ πρός τι εἴρηται, ἐπεὶ ἔστι τινὰ ἃ κατὰ τὴν ἐπ' ἄλλο τι ἀναφοράν ἐστι πρός τι, ἀλλ' οὐ πρός τι καθ' αὑτά. id. p. 216. 142a 23.

142b 15. ἦν δεύτερος τόπος εἰρημένος ὑπ' αὐτοῦ δεικτικὸς ὢν ὅτι μὴ διὰ προτέρων ὁ διὰ τοῦ αὐτοῦ· εἰς ὃν ἔοικεν ἀνάγειν καὶ τοῦτον τὸν διὰ τοῦ ὑποκάτω τὸ ἄνω ὁριζόμενον. διὸ καὶ τρεῖς εἶπεν εἶναι τόπους τοὺς μὴ διὰ τῶν προτέρων, ἀλλ' οὐ τέσσαρας. τοῦτον οὖν μάλιστα τρόπον εἴποι τις ἂν τοῦ διὰ τοῦ αὐτοῦ καὶ οὐκ ἴδιον. εἰ δ' οὖν τέσσαρες ἂν εἶναι μάλιστα καὶ οὐ τρεῖς. id. p. 217.

142b 20. ἀποδοὺς ὡς ἕνα τοὺς τρεῖς δεικτικὸν ὄντα τοῦ μὴ ὡρίσθαι τὸν δεικνύντα ὅτι μὴ διὰ προτέρων καὶ γνωριμωτέρων, δεύτερον τόπον τοῦτον παραδίδωσι δεικτικὸν τοῦ μὴ ὡρίσθαι τι τὸ γένος ἔχον, εἰ μὴ παραλάβοι ἐν τῷ ὁρισμῷ τὸ γένος αὐτοῦ. ἀσαφῶς δὲ εἴρηκε τὸ „εἰ ἐν γένει τοῦ πράγματος ὄντος," ὀφείλων εἰπεῖν εἰ τὸ πρᾶγμά ἐστιν ὑπὸ γένος· ἔστι γάρ τινα ὧν οὐκ ἔστι γένος, ὡς τὰ γενικώτατα. id. ib.

ἰστέον ὅτι ἡ ῥηθεῖσα τεχνολογία τοῦ ιη' ἦν τόπου. cod. 1917.

142b 23. ὑποτίθεται εἶπεν, ὅτι μὴ κατὰ ἀπόδειξιν λαμβάνεται. ἔστι δὲ ἡ μὲν ὑπόθεσις ἀντιδιῃρημένη τῷ ὁρισμῷ, ἡ δὲ θέσις κοινὸν κατ' αὐτῶν. id. ib.

143a 13. πῶς δυνησόμεθα γνωρίζειν εἰ τὸ ἀποδοθὲν γένος ἐν τῷ λόγῳ οἰκεῖον; ἀναπέμπει ἡμᾶς εἰς τοὺς τόπους τοὺς πρὸς τὸ γένος ἀποδεδομένους· ἐν ἐκείνοις γὰρ περὶ τούτου ἐπραγματεύσατο· ἤδη δὲ τοῦτο καὶ κατ' ἀρχὰς εἶπε τοῦδε τοῦ βιβλίου. στοιχεῖα δὲ τοὺς τόπους εἶπεν, ἐπειδὴ οὗτοι στοιχεῖα καὶ ἀρχαὶ καὶ ἀφορμαὶ τῶν ἐπιχειρημάτων καθ' ἕκαστον γένος προβλημάτων εἰσίν. εἰπὼν δὲ μὴ ὁρίζεσθαι τοὺς μὴ ἐν τῷ οἰκείῳ γένει τὸ προκείμενον τιθέντας, οὔ φησιν ὁρίζεσθαι οὐδὲ τοὺς ἐν τῷ μὴ προσεχεῖ γένει τιθεμένους τὸ ὁριστόν, ἀλλ' ὑπερβαίνοντας καὶ τὸ κοινότερον λαμβάνοντας· τὸ γὰρ ὑπερβαίνειν αὐτὸς εἶπεν εἶναι τὸ μὴ ἐν τῷ ἐγγυτάτω γένει θεῖναι. id. ib.

143a 19. προσέθηκε τὸ „ἔστι δὲ τοῦτο ταὐτὸν τῷ μὴ εἰς τὸ ἐγγυτάτω γένος θεῖναι," ὑπομιμνήσκων ἡμᾶς τοῦ τόπου τοῦ ἐν τοῖς τόποις τοῖς πρὸς τὰ ἀπὸ τῶν γενῶν προβλήματα κειμένου. id. p. 218.

143a 29. νῦν δείκνυσι καὶ τὰς παρὰ τὰς διαφορὰς ἁμαρτίας τῶν ὅρων. id. ib.

143b 1. φησὶν οὖν ἐπ' ἐκείνων ἁρμόζειν τὸν τόπον πρὸς κατασκευήν, οἳ τὸ γένος ἕν τι τῷ ἀριθμῷ λέγουσιν· οὗτοι δ' εἰσὶν οἱ τὰ γένη ἰδέας εἶναι λέγοντες· ἓν γάρ τι τῷ ἀριθμῷ ἡ ἰδέα, οἷον τὸ αὐτοζῷον. οἱ οὖν τιθέμενοι τὰς ἰδέας φασίν, εἰ τὸ αὐτοζῷον ἕν τί ἐστι τῷ ἀριθμῷ, οὐκ ἐπιδέξεται τὸν διορισμὸν τὸν πᾶς ἢ τὸν οὐ πᾶς, ἀλλ' ἐπ' αὐτοῦ ἑνὸς ὄντος τῷ ἀριθμῷ τὸ λογικὸν καὶ ἄλογον κατηγορηθήσεται. ὁμοίως καὶ εἰ τὸ αὐτομῆκος ἕν τί ἐστι τῷ ἀριθμῷ, ἀληθὲς ἐπ' αὐτοῦ ἔσται καὶ τὸ πλάτος ἔχειν καὶ μὴ ἔχειν, ὥστε εἰκότως ἐν τῷ ὁρισμῷ πρόσκειται τὸ μῆκος ἀπλατές. id. p. 219.

144a 5. καὶ ὁ πηλὸς οὐ γῆ ὑγρῷ φυραθεῖσα, ὡς Πλάτων, ἀλλὰ φύραμα γῆς· γένος γὰρ τοῦ πηλοῦ τὸ φύραμα, ἀλλ' οὐ διαφορά. id. ib.

144a 23. ὁ τόπος οὗτος κοινότερός ἐστι τῶν προειρημένων δύο· τὸ γὰρ εἶδος καὶ τὸ γένος τόδε τι σημαίνει· ἀλλ' οὐδέν τι τῶν ἐν τῇ οὐσίᾳ

δ' ἂν οἰκειότερον ἐπὶ ἡδονῆς καὶ ἀγαθοῦ τὸν λόγον πεποιῆσθαι. id. p. 203.

138b 10. τρίτον ἀνασκευαστικὸν μόνον, εἰ ἓν δύο τισὶν ὁμοίως ὑπάρχει. ἐν τούτῳ θεωρεῖ εἰ δύο ἴδια ὁμοίως ἑνὶ ὑπάρχει ἢ μὴ ὑπάρχει, καὶ ἐπὶ μὲν τοῦ μὴ ὑπάρχειν τίθησι παράδειγμα σαφές, τὸ ὁρᾶν καὶ τὸ ἀκούειν τοῦ ἀνθρώπου, ἐπὶ δὲ τοῦ ὑπάρχειν ἀσαφές. ἔστι δ' ὃ λέγει τοιοῦτον. εἰ ὁμοίως ἐστὶ ψυχῆς ἴδιον τὸ μέρους αὐτῆς ἐπιθυμητικὸν εἶναι πρώτου, καὶ λογιστικὸν ὡσαύτως μέρους πρώτου, εἴη ἂν ἴδιον αὐτῆς τὸ λογιστικὸν μέρους πρώτου, ὥσπερ καὶ τὸ ἐπιθυμητικὸν μέρους πρώτου ἴδιον αὐτῆς. τὸ δὲ τῆς ψυχῆς πρώτου μέρους εἶναι καὶ τὸ ἐπιθυμητικὸν καὶ λογιστικὸν ἐν τοῖς παραδείγμασιν ἔλαβεν, ὅτι καὶ ἀνθρώπου ἴδιον ἔστιν ὅτε τις λέγει τὸ μὲν θυμικὸν εἶναι τὸ δὲ ἐπιθυμητικόν, ἀλλ' οὐ πρώτου. id. ib.

139a 24. Διδάξας ὁ Ἀριστοτέλης περὶ τῶν γενικῶν καὶ εἰδικῶν προβλημάτων, καὶ πρὸ αὐτῶν δ' ὁμοίως περὶ τῶν ἀπὸ τοῦ συμβεβηκότος, καὶ τοὺς τόπους τούς τε κατασκευάζοντας ὅτι τοῦδε γένος ἐστὶ τοῦδε ἢ ἴδιον ἢ συμβέβηκε τῷδε καὶ αὖθις ἀνασκευάζοντας καὶ δεικνύντας ὅτε οὐκ ἔστι παραδούς, νῦν διδάσκει καὶ περὶ τῶν ὁρικῶν, οὐχ ὅτι τί ἐστιν ἡ φύσις τοῦ ὅρου, καὶ εἰ ἄρα πλείω γένη δεῖ ἐν τῷ ὁρισμῷ παραλαμβάνεσθαι μίαν δὲ διαφορὰν ἢ τοὐναντίον, καὶ τίνων ἐστὶν ὁρισμός, ὅτι τῶν οὐσιωδῶν κυρίως, κατὰ δεύτερον δὲ λόγον καὶ τῶν συμβαινόντων (περὶ γὰρ πάντων τούτων ἐδίδαξεν ἐν τοῖς Μετὰ τὰ Φυσικά, καὶ ἐν τῷ δευτέρῳ τῆς Ἀποδεικτικῆς περὶ τοῦ εἰ δεῖ τῶν ὁρισμῶν ἀπόδειξιν γίνεσθαι), ἀλλ' εἰ ὁ ἀποδιδόμενός τινι ὅρος ὅρος ἐστὶν αὐτοῦ ἢ οὐκ ἔστιν· περὶ τούτου γὰρ ἐστιν ἡ πρόθεσις αὐτῷ ἐν τῷ παρόντι τῶν Τοπικῶν βιβλίῳ. id. p. 205.

ἐν τῷ δευτέρῳ τῆς Ἀποδεικτικῆς περὶ ὅρου ἐδίδαξεν, οἷον τί ἐστιν ὁρισμός, καὶ τίνων ἐστὶν ὁρισμός, καὶ ἐκ τίνων μερῶν σύγκειται, καὶ πότερον ἔστιν ἀπόδειξις τοῦ ὁρισμοῦ ἢ μή. ἐνταῦθα δὲ παραδίδωσι τόπους κατασκευαστικούς τε καὶ ἀνασκευαστικοὺς τῶν ὁρισμῶν· τοιαύτη γάρ ἐστιν ἡ διαλεκτική. cod. 1972.

139b 17. ὁ ἐνδεέστερον ἀποδιδοὺς καὶ ταύτῃ ἁμαρτάνει, οὐ τῷ μὴ καλῶς ἀλλὰ τῷ μηδ' ὅλως ὁρίσαι· ὁ γὰρ ἐνδεὴς λόγος κατὰ τοῦτο ἐνδεής ἐστιν, ὅτι ἐκλείπει τι αὐτῷ πρὸς τὸ ὁρίσασθαι ἤγουν δηλῶσαι τὸ τί ἦν εἶναι· ὁ δὲ μὴ δηλῶν τὸ τί ἦν εἶναι οὐχ ὁρισμός. Alexander p. 206.

139b 20. ὁμώνυμος γὰρ ἥ τε ἀγωγὴ καὶ ἡ συμμετρία ἐστίν, ὅτι ἡ μὲν ἀγωγὴ σημαίνει τινῶν φοράν, ὃ καὶ παρακομίζειν λέγεται, ὡς λέγεται σίτου ἀγωγὴ ἢ οἴνου. λέγεται καὶ ἡ διὰ τῶν ἠθῶν τοῦ τρόπου κατακόσμησις, ὡς λέγεται παίδων ἀγωγή. λέγεται ἀγωγὴ καὶ ἡ μεταβολή· ἐφ' οὗ σημαινομένου ὁ οὕτω τὴν γένεσιν ὁριζόμενος κέχρηται τῷ τῆς ἀγωγῆς ὀνόματι. ἀλλὰ καὶ ἡ συμμετρία ὁμώνυμον, ὥσπερ καὶ τὸ σύμμετρον· σύμμετρα γὰρ τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα, ὡς ἐπὶ ἀριθμῶν καὶ μεγεθῶν, καὶ τὰ ἑκάστῳ ἁρμόζοντα καὶ ἀρκοῦντα, ὡς ἱμάτια ἢ ὑποδήματα, ἢ κατὰ πλῆθος ἢ κατὰ μέγεθος κατὰ τὴν τῶν ποιοτήτων κρᾶσιν, τῷ μὴ ὑπερβάλλειν ἑτέραν τῆς ἑτέρας ἀλλ' ἐπ' ἴσης εἶναι ἐν τῇ συνθέσει, ἢ κατὰ τὰς δυνάμεις ἀνάλογον ἔχοντα. id. ib.

εὐλόγως προσέθηκε τὸ "συκοφαντεῖν" ἐπὶ τοῦ τοιούτου ἐλέγχου· 139b 26. ὁ γὰρ τὸν ἀποδεδομένον τοῦ κυνὸς λόγον ἀξιῶν πᾶσι τοῖς ὑπὸ τοῦ ὀνόματος τοῦ κυνὸς σημαινομένοις ἁρμόζειν, ὡς ὄντος τοῦ κυνὸς μιᾶς τινὸς φύσεως, συκοφαντεῖ. id. ib.

μεταφορὰ μέν ἐστιν, ὅταν τὸ κυρίως ἐπί τινος λεγόμενον ἐφ' 139b 32. ἕτερον μὴ κυρίως ὑπ' αὐτοῦ σημαινόμενον μετάγωμεν τὴν φωνήν, ὃ καλεῖται παρὰ τοῖς γραμματικοῖς καὶ παράχρησις. εἰ οὖν τις ὁρισάμενος τὴν ἐπιστήμην ἀμετάπτωτον φήσειεν, ἐπεὶ τὸ ἀμετάπτωτον κυρίως ἐπὶ τῶν σωμάτων λέγεται τῶν δι' ἰσχὺν μὴ τρεπομένων ἢ δι' ἰσότητα καὶ συμμετρίαν μὴ μεταβαλλόντων, ἀσαφὲς ἐποίησε τὸ λεγόμενον. ὡσαύτως καὶ ὁ τιθήνην τὴν γῆν ὁρισάμενος· ἡ γὰρ τιθήνη κυρίως ἐπὶ τῆς τιθηνούσης καὶ ἀνατρεφούσης παιδίον λέγεται. ἐνδέχεται οὖν, φησί, καὶ τὸν μεταφορικῶς ὁρισάμενον συκοφαντεῖν ἤγουν ἐλέγχειν ὡς μὴ ἀποδιδόντα ὅρον ἐφαρμόζοντα τῷ ὑποκειμένῳ, οἷον εἴ τις τὴν σωφροσύνην ὁρίσαιτο συμφωνίαν. id. p. 209.

καὶ οὗτος ὁ τόπος τοῦ ἄνωθεν κατὰ παράχρησιν ἔχεται. κείμενα 140a 3. οὖν ὀνόματα λέγει τὰς συνήθεις καὶ κατατετριμμένας λέξεις, καὶ μὴ οἵαις ὁ Λυκόφρων χρῆται, σκληραῖς τε καὶ τροπικαῖς, πεφναίαν λέγων τὴν φονικὴν καὶ κύνα τὴν γυναῖκα διὰ τὸ ἀναιδές. id. ib.

τὸ φαλάγγιον ζῷόν τί ἐστιν ὅπερ δάκνον ποιεῖ σῆψιν. c. 1917 in 140a 4. marg. φαλάγγιόν ἐστι ζωΰφιον ἐν τοῖς ξύλοις γεννώμενον. c. 1972.

ἡ ἀσάφεια ἤτοι δι' ὁμωνυμίαν ἢ ἐν τῷ ὅρῳ ἢ ἐν τῷ ὁριστῷ 140a 16. ἢ διὰ μεταφορὰν ἢ διὰ κατάχρησιν. Alexander p. 210.

τὸ μὲν οὖν ἀσαφές, φησίν, ἐκ τῶν εἰρημένων κριτέον, καὶ σχεδὸν 140a 23. ἅπερ εὑρίσκεται ἐν τοῖς τῆς λέξεως πάθεσι· πάθος γὰρ λέγεται καὶ ἡ ὁμωνυμία καὶ ἡ μεταφορὰ καὶ ἡ κατάχρησις. τὸ δὲ περίεργον καὶ περιττὸν ἐν μὲν τῇ πρώτῃ τῶν ἐφόδων δόξειεν ἂν ὁ Ἀριστοτέλης μετάγειν εἰς τὰς πραγματικὰς ἐξετάσεις· ἄντικρυς γὰρ τὴν ἐκ τοῦ πλεονάζειν κακίαν καὶ πλείω τὰ πράγματα παραλαμβάνει ὁ τόπος· ἐλέγχειν μὲν γὰρ φαίνεται, οὐ μὴν ἀληθῶς, ἀλλ' ὅταν μὲν ὅλῳ τῷ ὅρῳ ἅμα συμβῇ τὸ λέγεσθαι ἐπὶ πλέον τοῦ πράγματος, οὐ πρὸς τὸν τρόπον ἡ ἐπιτίμησις οὐδὲ πρὸς τὸ καλῶς. id. ib.

καὶ γὰρ τὸ αὐτὸ ἑαυτὸ κινοῦν χωρὶς τοῦ ἀριθμοῦ τὴν ψυχὴν δηλοῖ, 140b 3. καθάπερ Πλάτων ἐν τῷ Φαίδρῳ φησί... ὥσπερ δή τινος ἐνισταμένου καὶ λέγοντος "πῶς φῂς ὅτι ἀφαιρεθέντος τοῦ ἀριθμοῦ οὐ λυμαίνεται ὁ ὁρισμός; γένος γάρ ἐστι τῆς ψυχῆς ὁ ἀριθμὸς κατὰ Ξενοκράτην καὶ Πλάτωνα, καὶ δεῖ τῆς προσθήκης τοῦ ἀριθμοῦ ὡς γένους ἐν τῷ ὁρισμῷ" φησὶν ὅτι εἰ δώσωμεν ὅτι ὁ ἀριθμὸς γένος ἐστὶ τῆς ψυχῆς, ἀφαιρεθέντος τούτου τὸ καταλειφθὲν οὐκ ἔσται ὅρος ἀλλ' ἴδιον, οὐ μὴν δὲ καὶ τὴν οὐσίαν δηλώσει τοῦ πράγματος. id. p. 211.

ὡς Ξενοκράτης ὡρίζετο λέγων τὴν ψυχὴν ἀριθμὸν αὐτὸν ἑαυτὸν κινοῦντα. καὶ τὸν μὲν ἀριθμὸν λαμβάνει ὡς γένος, τὸ δὲ λοιπὸν ὡς διαφοράν. c. 1917 in marg.

ἔστι σαφέστερον εἰπεῖν περὶ τούτου ὅτι ὡς τοῦ ἀνθρώπου τὸ 140b 31. δίπουν κατηγορεῖται, οὕτω καὶ τοῦ ὁρισμοῦ αὐτοῦ τοῦ ζῴου πεζοῦ καὶ δίπου, καὶ οὐ δὶς τὸ δίπουν κατηγορεῖται ἀλλ' ἅπαξ· οὐ γὰρ μόνου τοῦ ζῴου πεζοῦ κατηγορεῖται τὸ δίπουν, ὡς ἐξ ἀνάγκης, ὅταν ἀκούσωμεν ζῷον πεζόν, νοοῦμεν αὐτὸ καὶ δίπουν εἶναι, ἀλλ' ὅλου τοῦ ζῴου πεζοῦ δίποδος, ὅπερ

ἴδιον τῆς ὅλης θαλάττης τὸ εἶναι τὸ ὅλον ὕδωρ ἁλμυρὸν ὤφειλε λέγεσθαι. ἀλλὰ διὰ τοὺς ἐπιβάλλοντας ποταμοὺς κατὰ τὴν ἐπιφάνειαν αὐτῆς τὸ πλεῖστον λέγεται ὕδωρ εἶναι ἁλμυρὸν καὶ οὐ τὸ ὅλον. c. 1917 in marg.

ἐπειδὴ ἡ τὶς θάλασσα μόριόν ἐστιν ἐλάχιστον τῆς ὅλης, πῶς ἂν οὖν εἴποιμεν ἐπ' αὐτοῦ τὸ πλεῖστον; Alexander p. 200.

135b 5. ἔστι γὰρ καὶ τῆς τινὸς γῆς, καθόσον ἔστι γῆ, ἴδιον τὸ κάτω φέρεσθαι κατὰ φύσιν, οὐ καθὸ ὁμοιομεροῦς, ὥσπερ οὐδὲ τῆς πάσης καθὸ πᾶσα. τὸ δὲ "ἔστι δὲ αὐτοῦ ἴδιον κατὰ τὸ σύμπαν" δηλωτικόν ἐστι τοῦ τε ὡς ὅλου λαμβανομένου καὶ τῶν μορίων ἑκάστου. id. ib.

135b 7. ἐκ τῶν ἀντικειμένων παραδίδωσι καὶ πρὸς ἀνασκευὴν καὶ κατασκευὴν τῶν ἰδίων τόπους, ὥσπερ ἐποίησε καὶ ἐπὶ τῶν πρὸς τὸ συμβεβηκὸς καὶ πρὸς τὸ γένος παραδοθέντων τόπων. id. ib.

135b 24. ἀντίκειται γὰρ τὸ μὲν διπλάσιον πρὸς τὸ ἥμισυ, τὰ δὲ δύο πρὸς τὸ ἕν, τὸ δὲ ἓν πρὸς δύο, καθόσον τὰ μὲν δύο πρὸς ἓν διπλασίου σημαίνει λόγον, τὸ δὲ ἓν πρὸς δύο ἡμίσεος. ταῦτα δὲ οὐ πρός τι κυρίως· οὐ γὰρ λέγεται τὰ δύο τοῦ ἑνὸς δύο ἢ τὸ ἓν τῶν δύο ἕν, οὐδὲ ἐν τῇ πρὸς ἄλληλα σχέσει τὸ εἶναι ἔχει. εἴη δ' ἂν οἰκειότερον τῷ προκειμένῳ παραδείγματι, εἰ ληφθείη ἡμῖν μία μὲν ἀντίθεσις τῶν πρός τι αἴσθησις αἰσθητόν, ἑτέρα δὲ ἀντίληψις διὰ σώματος καὶ ἀντιληπτὸν διὰ σώματος. id. ib.

135a 6. φάσιν τὴν κατάφασιν λέγει. ἐπιζητήσειεν ἄν τις ὅπως οὐ πρὸς κατασκευὴν χρήσιμος ὁ τόπος· ὁ γὰρ τὸ ἕτερον τῆς ἀντιφάσεως δείξας μὴ ὑπάρχον, τὸ ἕτερον ὑπάρχον ἔδειξεν· οὐδὲν γὰρ μεταξὺ τῆς ἀντιφάσεως. ἢ ὅτι ὑπάρχει μὲν αὐτῷ δείκνυσθαι δυνατόν, οὐ μὴν καὶ ὡς ἴδιον αὐτοῦ. ἢ δύναται μηδὲ τὴν ἀρχὴν ὑπάρχειν αὐτῷ τὸ ἀντικείμενον τῷ μὴ ἰδίῳ. ἢ τὸ δειχθὲν μὴ ἴδιον ὑπάρχει μὲν αὐτῷ, μὴ ὡς ἴδιον δέ· οὐ γὰρ εἰ τῷ ἀνθρώπῳ μή ἐστιν ἴδιον τὸ ἔμψυχον, ἤδη αὐτῷ καὶ οὐχ ὑπάρχει. οἰκειότερον δὲ ἐπὶ τοῦ ζῴου τὸ αἰσθητικὸν μεταλαμβάνειν ἀντὶ τοῦ ἐμψύχου· τὸ γὰρ ἔμψυχον ὑπάρχει μὲν αὐτῷ, οὐχ ὡς ἴδιον δὲ αὐτοῦ ἐστίν. ἔστι δὲ ὁ μὲν πρῶτος τόπος ἐκ μάχης, καὶ ἀνασκευαστικὸς μόνον, ὁ δὲ δεύτερος οὔ· καὶ ἀμφοτέροις ἐν τοῖς ἑξῆς φησὶ μὴ δεῖν ἴδιον ἀποφατικὸν εἶναι, ὡς καὶ τὸ μὴ ὂς ὑπάρχειν, ἀπόφασις δὲ φάσει ὑπάρχει μέν, οὐχ ὡς ἴδιον δέ. id. ib.

136a 35. τὸν δὲ κατασκευάζοντα τόπον ἐν τοῖς τοιούτοις ψευδῆ εἶναι φησί, καὶ τίθησι καὶ τὴν αἰτίαν, λέγων ὅτι οὔτε ἡ φάσις τῆς ἀποφάσεως οὔτε ἡ ἀπόφασις τῆς φάσεώς ἐστιν ἴδιον· τὴν μὲν γὰρ φάσιν ὡς θέσιν ἀδύνατον ὑπάρχειν ἴδιον τῆς ἀποφάσεως, ἥτις ἀναίρεσίς ἐστι καὶ ἀνυπαρξία, τὴν δὲ ἀπόφασιν τῇ καταφάσει ἐνδέχεται μὲν ὑπάρχειν, ἀλλ' οὐχ ὡς ἴδιον. id. p. 201.

136b 3. ἀντιδιῃρημένα ἀλλήλοις λέγεται, ὅσα ἐκ τοῦ αὐτοῦ γένους κατὰ τὴν αὐτὴν διαίρεσιν κεχώρισται ἀλλήλων. ἐὰν οὖν τις τῶν ἀντιδιῃρημένων ἀλλήλοις τι ἀποδῷ ἴδιον ἄλλου τινὸς τῶν καὶ αὐτῶν ἀντιδιῃρημένων ἀλλήλοις κατ' ἄλλην διαίρεσιν ἐκ τοῦ αὐτοῦ γένους, ἢ κατ' ἄλλην ἐπιβολὴν ἐξ ἄλλου γένους, ἐπιβλεπτέον φησὶν ἐν ἄλλῳ τῷ κατὰ τὴν αὐτὴν διαίρεσιν τῷ ἀποδιδομένῳ ἰδίῳ, εἰ ἄλλου τινός ἐστιν ἴδιον τῶν ἀντιδιῃρημένων τούτῳ, οὗ ἐκεῖνο ἴδιον ἀπεδόθη· ἂν γὰρ μηδὲν τῶν ἐκείνῳ ἀντιδιῃρημένων, οὐδ' ἂν τὸ ἀποδιδόμενον ἴδιον εἴη τοῦ οὗ ἀποδίδοται· εἰ δὲ τὸ ἕτερον τοῦ ἑτέρου ἴδιον, ἢ τἄλλα τῶν ἄλλων, εἰ πλείω εἴη τὰ ἀντιδιῃρημένα, εἴη ἂν διὰ τούτου δεικνύμενον ὅτι καὶ τὸ ζητούμενον ἴδιόν ἐστιν οὗ ἀπεδόθη. οἷον ἀντιδιῃρημένα ὡς ἴδια τό τε ζῷον αἰσθητὸν καὶ τὸ ζῷον νοητόν, καὶ ἀντιδιῃρημένα ὡς ὑποκείμενα τά τε θνητὰ ζῷα καὶ ὁ ἀθάνατος θεός· φησὶν οὖν, εἰ τὸ ζῷον αἰσθητὸν οὐκ ἂν εἴη ἴδιον τῶν θνητῶν ζῴων, οὐδὲ τὸ ζῷον νοητὸν εἴη ἂν ἴδιον τοῦ ἀθανάτου θεοῦ. ἐπὶ δὲ τοῦ κατασκευαστικοῦ τόπου κέχρηται παραδείγματι τοιούτῳ. λαβὼν ὡς ὅλου τῆς ψυχῆς ἀντιδιῃρημένα μέρη ἀλλήλοις τό τε λογικὸν καὶ τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν, λαβὼν δὲ καὶ τῆς ἀρετῆς τὰς ἀντιδιῃρημένας ἀλλήλαις ἀρετάς, φρόνησιν ἀνδρίαν σωφροσύνην, δείκνυσιν ὅτι ἐπεὶ τῆς φρονήσεως ἴδιόν ἐστι τὸ καθ' αὑτὸ πεφυκέναι τοῦ λογικοῦ ἀρετὴν εἶναι καὶ τῆς ἀνδρίας τοῦ θυμικοῦ, εἴη ἂν καὶ τῆς σωφροσύνης τοῦ ἐπιθυμητικοῦ τὸ καθ' αὑτὸ ἀρετὴν εἶναι. id. ib.

ἐν τοῖς πρότερον μὲν πτώσεις ἔλεγε τὸ μὲν δικαίως τοῦ δικαίου, 136b 15.
τὸ δὲ ἀνδρείως τοῦ ἀνδρείου, νῦν δὲ πτώσεις ἑκάτερα ἑκατέρων λέγει. ἔθος δὲ αὐτῷ καὶ τὰ σύστοιχα πάντα πτώσεις λέγειν· σύστοιχα δὲ ἀλλήλοις τὸ δικαίως καὶ τὸ δίκαιον καὶ ἡ δικαιοσύνη· ταῦτα γὰρ ὅμοια ἀλλήλοις. id. ib.

ἐπιζητήσειε ἄν τις πῶς ἔτι δύναται τὸ αὐτὸ ὁμοίως πρὸς ἄμφω 137a 15.
ἔχειν, εἰ ἔστι μόνου τοῦ ἑτέρου αὐτῶν ἴδιον. ἢ καὶ τοῦτο συναποδείκνυσι τὸ δοκοῦν ὁμοίως ἔχειν μὴ ἔχειν ὁμοίως. πρὸς δὲ κατασκευὴν μὴ εἶναί φησι τὸν τόπον χρήσιμον τοῦτον, τὴν δὲ αἰτίαν οὐ προστίθησιν, ἀλλ' ἢ μόνον "τὸ γὰρ ὡσαύτως ἔχον ἓν πρὸς πλείω συγκρίνεται." καὶ ἔοικε διὰ τούτου δυνάμει λέγων· οὐ γὰρ τὸ εἶναι τοῦ ἑτέρου αὐτῶν ἴδιον τὸ πρὸς ἄμφω ὡσαύτως ἔχον κατασκευαστικόν ἐστι τοῦ καὶ τοῦ ἑτέρου αὐτῶν αὐτὸ ἴδιον εἶναι, ἀλλ' ἀνασκευαστικόν. οὐ γὰρ ἂν δειχθῇ τοῦ ἑτέρου ἴδιον ὄν, κατασκευάζεται ὅτι καὶ τοῦ λοιποῦ· τοὐναντίον γὰρ ἀνασκευάζεται· ἓν γὰρ πρὸς δύο συγκρίνεται, καὶ τὸ ἴδιον πλειόνων εἶναι ἴδιον οὐ δύναται. id. p. 202.

κοινότερον ὡς ἐν τοῖς πλείστοις καὶ νῦν τῷ παραδείγματι κέ- 137b 11.
χρηται, τὸ τὴν ἰδέαν τοῦ ζῴου ἤγουν τὸ αὐτοζῷον συγκεῖσθαι ἐκ ψυχῆς καὶ σώματος· ἕπεται μὲν γὰρ ἴσως τοῦτο, οὐ μὴν συγχωρεῖταί γε ὑπὸ τῶν τὰς ἰδέας τιθέντων. id. ib.

"ἔπειτα ἐκ τοῦ μᾶλλον καὶ ἧττον." καὶ ἐκ τῶν ὑπερθέσεων τοῦ 137b 14.
τε μάλιστα καὶ ἥκιστα καὶ ἐλάχιστα, ὅτι ὡς ἔχει ἐπὶ τοῦ ἑνός, καὶ τῶν λοιπῶν ἢ τῶν πλείστων, καὶ ὡς ἐπὶ τῶν ἁπλῶν, οὕτω καὶ ἐπὶ τῶν συγκριτικῶν, τέσσαρας τόπους παραδίδωσιν ἀπὸ τοῦ μᾶλλον, ἓν περὶ ἑνός, δύο περὶ δύο, δύο περὶ ἑνός, καὶ ἓν περὶ δύο... ἐπιζητήσειε δ' ἄν τις εἰ πάντως ἕπεσθαι δεῖ τοῖς συγκριτικοῖς τὰ ἁπλᾶ. δοκεῖ γὰρ ἐπί τινων μὴ ἕπεσθαι· μᾶλλον γὰρ καὶ ἧττον ἀὴρ βαρύς, οὐ μὴν καὶ ἁπλῶς βαρύς, καὶ γῆ μᾶλλον καὶ ἧττον κούφη. ἢ ἐπὶ τούτων οὐχ ἕπεται τῷ κατὰ σύγκρισιν τὸ ἁπλῶς, ὅτι μὴ κυρίως ἐπ' αὐτῶν λαμβάνεται τὰ κατὰ σύγκρισιν λεγόμενα, τὸ βαρὺ καὶ τὸ κοῦφον, ἀλλ' ὁμωνύμως· ὡς γὰρ ἐν τοσούτοις μᾶλλον, ἁπλῶς δ' οὔ. τοῖς δὲ παραδείγμασι τούτοις καὶ ἐπὶ τῶν τόπων τούτων κοινότερον κέχρηται· ἐπὶ γὰρ οὐσιῶν αἳ οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον πεποίηται τὸν λόγον· εἴη

132a 28. μόνου τοῦ πρώτου παράδειγμα παρέθετο, ὅτι οὐκ ἔστιν ἴδιον τὸ μηδενὶ ὑπάρχον οὗ ἴδιον ἀποδέδοται, οἷον εἴ τις, φησίν, εἴποι ἴδιον εἶναι τοῦ γεωμέτρου τὸ ἀνεξαπάτητον εἶναι ὑπὸ λόγου· μηδενὶ γὰρ γεωμέτρῃ τὸ ἀνεξαπάτητον ὑπάρχει. τὸ δὲ "εἰ μὴ κατὰ τοῦτο ἀληθεύεται" ἀντὶ τοῦ εἰ μὴ μόνῳ αὐτῷ ὑπάρχει ἀλλὰ καὶ ἄλλοις εἴδεσιν. ἐνδέχεται γὰρ τὸ ἀποδοθὲν ἴδιόν τινος παντὶ μὲν ὑπάρχειν τῷ εἴδει ἐκείνῳ οὗ ἀποδέδοται ἴδιον, μὴ μέντοι ἐκείνῳ μόνῳ ἐνεῖναι ἀλλὰ καὶ ἄλλοις... τὸ δὲ "ἢ εἰ μή ἐστιν ἴδιον ἑκάστου αὐτῶν κατ' ἐκεῖνο οὗ τὸ ἴδιον ἀποδέδωκεν" ἀντὶ τοῦ εἰ μή ἐστι τὸ ἴδιον καθ' αὑτό. id. ib.

132b 5. τὸ "εἰ μὴ καθ' οὗ τοὔνομα καὶ ὁ λόγος ἀληθεύεται" λέγοιτ' ἂν ἐπὶ τῶν μηδενὶ ἢ μὴ παντὶ ὑπαρχόντων, τὸ δὲ "εἰ μὴ καθ' οὗ ὁ λόγος καὶ τοὔνομα" ἐπὶ τῶν ἐπὶ πλέον λεγομένων. id. ib.

132b 19. οὐ δεῖ, φησί, τὸ ὑποκείμενον ἴδιον ἀποδιδόναι τοῦ ἐν ὑποκειμένῳ· τὸ γὰρ ἴδιον ὑπάρχειν δεῖ ἐν ἑτέρῳ, οὐχ ἕτερον ἐν αὐτῷ, ὅτι τὸ αὐτὸ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐστὶν ἴδιον. id. p. 195.

132b 29. εἴ τις τοῦ ὑποκειμένου ἴδιον τὸ ἐν ὑποκειμένῳ θείη, καὶ ἔστι τὸ τοιοῦτον ἴδιον μόνῳ τῷ αὐτῷ ὑποκειμένῳ ὑπάρχον, καλῶς ἂν ἀποδοίη τὸ ἴδιον· οἷον εἴ τις σῶμα τὸ βαρύτατον τῷ εἴδει ἀπέδωκε τοῦ ὑποκειμένου ἤγουν τῆς γῆς, καλῶς ἀπέδωκε τὸ ἴδιον, ἐπεὶ καὶ κατὰ μόνης τῆς γῆς λέγεται τοῦτο καὶ ἀντιστρέφει· τοῦτο γὰρ δηλοῖ τὸ "καὶ ὡς τὸ ἴδιον κατηγορεῖται," ἤτοι ὡς πέφυκε τὸ ἴδιον λέγεσθαι· πέφυκε δὲ λέγεσθαι κατὰ τὸ ἀντιστρέφειν. εἰ οὖν λέγοντός τινος μὴ εἶναι τοῦτο ἴδιον γῆς, καλῶς ἂν κατασκευασθήσεται κατὰ τὴν τοῦ τόπου τούτου παράδοσιν. id. ib.

132b 32. "τῷ εἴδει" προσέθηκεν ἀντὶ τοῦ φύσει· τῇ γὰρ οἰκείᾳ φύσει ἡ γῆ βαρυτάτη τῶν σωμάτων, καὶ εἰ εὑρίσκεταί ποτε διὰ πάθους κουφοτέρα γεγονυῖα. c. 1917.

133a 12. οὐκ ἴδιον τοῦ ἰδίου τὸ πρότερον ἢ ὕστερον εἶναι τοῦ ὑποκειμένου, ἀλλὰ τὸ ἅμα ἐξ ἀνάγκης ὑπάρχον καὶ ἀεί· τὸ γὰρ ἴδιον οὔτε ὅρος ἐστὶν οὔτε διαφορά, ἅ εἰσι πρότερα τῇ φύσει τοῦ ὑποκειμένου, ἀλλ' ἅμα τε ὑπάρχει τῷ οὗ ἐστὶν ἴδιον καὶ ἀεί. Alexander p. 195.

133a 21. τὸ ταὐτὸν ἢ γένει λέγεται ἢ εἴδει ἢ ἀριθμῷ ἢ κατὰ ἀναλογίαν· ἂν οὖν γένει τινὶ ἴδιον ἀποδοθῇ, ἀνάγκη αὐτὸ πάντων τῶν ὑπὸ τὸ αὐτὸ γένος εἰδῶν ἴδιον εἶναι, εἰ δὲ εἴδει τινί, πάντων τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἀτόμων. ἂν οὖν μὴ ᾖ, φησί, τινὸς τῶν αὐτῶν ἢ κατὰ γένος ἢ κατὰ εἶδος οὗ ἀπεδόθη ἴδιον, οὐκ ἂν εἴη ἴδιον τὸ ἀποδοθὲν ἴδιον. ἀλλ' οὐδὲ εἰ μὴ τῶν αὐτῶν τῷ ἀριθμῷ, οἷον τὸ διωκτὸν ταὐτὸν τῷ αἱρετῷ ἐστὶ τῷ ἀριθμῷ. id. p. 196.

133a 35. ὁ τόπος οὗτος καὶ ἀσαφῶς εἴρηται καὶ κατά τι ψευδής ἐστιν, ὡς ἐρεῖ καὶ αὐτός. καὶ πρῶτον μέν, ὅτι τῷ εἴδει ἀντὶ τοῦ γένει παρέλαβεν, ὅ τινες τῷ ῥητῷ προσέθηκε σαφηνείας χάριν. ὁ δὲ τόπος ἀνασκευαστικὸς ὢν τοιοῦτός ἐστιν. τῶν τῷ γένει ταὐτῶν, ταῦτα δέ ἐστι τὰ κατ' εἶδος ἀλλήλων διαφέροντα, τούτων ἀνάγκη καὶ τὰ ἴδια ταὐτὰ τῷ γένει εἶναι. id. ib.

133b 5. τὸ "ᾗ ζῴῳ ἐστὶν ἑκατέρῳ αὐτῶν τὸ συμβεβηκέναι" τοιοῦτον ἂν εἴη, ἤγουν καθὸ τὸ συμβεβηκέναι, ἤγουν τὸ ἵστασθαι καὶ κινεῖσθαι, ἑκατέρῳ αὐτῶν, ἤγουν τῷ ἵππῳ καὶ τῷ ἀνθρώπῳ, καθὸ ζῴῳ, καὶ ἀμφοτέροις ἔνεστιν ἤγουν ὁμογενέσι. ψευδῆ δέ φησιν εἶναι τὸν τόπον καὶ οὐκ ἀληθεύοντα ἐπὶ πάντων ἐν τῷ κατασκευάζειν, ὅταν τὸ μὲν ἓν τῶν λεχθέντων ἰδίων εἴδει ἑνὶ ὑπάρχῃ, ὡς τὸ πεζὸν δίπουν τῷ ἀνθρώπῳ, τὸ δὲ ἕτερον πολλοῖς, ὡς τὸ πεζὸν τετράπουν. id. ib.

133b 15. ἐνταῦθα τόπον τινὰ παραδίδωσι σοφιστικόν, ᾧ χρώμενοι οἱ σοφισταὶ πᾶν τὸ ἀποδιδόμενον ἴδιόν τινος κατασκευάζουσι, καὶ δεικνύειν πειρῶνται ὅτι μόνῳ τούτῳ ὑπάρχει τῷ οὗ ἀπεδόθη ὡς ἴδιον. παραδίδωσι δὲ καὶ τοῦτον τὸν τόπον ὑπὲρ τῇ ἐνστάσει δεῖ χρῆσθαι πρὸς τοὺς ἐπιχειροῦντας δεικνύειν· ὁ δὲ τόπος ἐστὶ τοιοῦτος, ὅθεν τὴν ἀφορμὴν τῆς ἐπιχειρήσεως λαμβάνουσιν, ὅτι τὸ ταὐτὸν καὶ τὸ ἕτερον πλεοναχῶς λέγεται· καὶ γὰρ καὶ γένει καὶ εἴδει καὶ ἀριθμῷ καὶ ἀναλογίᾳ. id. ib.

133b 25. τὸ ἐφεξῆς προσκείμενον "τὸ γὰρ τῇ ἕξει ὑπάρχον" καὶ τὰ λοιπὰ ἀξίωμά ἐστι τῶν χρωμένων ἐπὶ τῶν τοιούτων τῇ ταὐτότητι τοῦ τε ὑποκειμένου καθ' αὑτὸ καὶ τοῦ ὑποκειμένου σὺν τῷ συμβεβηκότι. εἶτα τὸ ὑπόδειγμα τοῦ διὰ τῆς ἑτερότητος ἀποδεικνύντος τὸ οὕτως ἀποδιδόμενον ἴδιον κατασκευαστικόν ἐστιν· κατασκευάζοντας γὰρ δεῖ λέγειν ὡς οὐκ ἔστιν ἁπλῶς ἤγουν καθόλου ἕτερον ἄνθρωπος καὶ ἕτερον ἄνθρωπος λευκός, ἀλλὰ κατὰ τὸν ὁρισμὸν καὶ τὸ εἶναι. id. p. 197.

134a 5. φύσει ὑπάρχοντά τισι ταῦτα δεῖ λέγειν, ὧν τὰ ὑποκείμενα, οἷς οὕτω λέγεται ὑπάρχειν, ἐπιδεκτικὰ μέν εἰσιν αὐτῶν, οὐ μὴν ἀεὶ αὐτοῖς οὐδὲ ἐξ ἀνάγκης ἐνεργείᾳ πάρεστιν. id. ib.

134b 29. κοινότερον νῦν καὶ τὸ φῶς πῦρ λέγει κατὰ δόξαν τινῶν, ἐπεὶ αὐτῷ οὐ δοκεῖ τὸ φῶς πῦρ εἶναι, ὅτι οὐδὲ σῶμα, πᾶν δὲ πῦρ σῶμα. id. p. 199.

ἰστέον δὲ ὅτι κατὰ δόξαν Πλατωνικὴν εἶδος τὸ φῶς ἐνταῦθά φησι τοῦ πυρός, αὐτὸς τούτῳ μὴ συντιθέμενος· φησὶ γὰρ ἐν ἄλλοις "εἰ πᾶν πῦρ σῶμα, τὸ δὲ φῶς οὐ σῶμα, οὐκ ἂν εἴη τὸ φῶς πυρὸς εἶδος." c. 1917 in marg.

135a 1. συμβήσεται, φησίν, ἐπὶ τῶν τοιούτων ἰδίων τὸ αὐτὸ καὶ ἓν ἴδιον πλειόνων εἶναι, τοῦ τε ἁπλῶς καὶ κοινῶς λεγομένου, οἷον τοῦ πυρός, καὶ τοῦ μάλιστα ὄντος ἐν τῷ τοιούτῳ κοινῷ, ἤγουν τοῦ φωτός· τοῦ μὲν γὰρ πυρὸς ἔσται ἴδιον, ὅτι ἀπεδόθη τούτῳ, τοῦ δὲ φωτός, ὅτι μάλιστα ὑπάρχει τούτῳ μὴ ὄντι μάλιστα πυρί. Alexander p. 199.

135a 6. αὐτῷ δέ, ἤγουν σοί, οὐ δοτέον ἐστὶ ταύτην τὴν ἔνστασιν· τουτέστιν εἰ δὲ σὺ τοιοῦτον ἀποδοίης ἴδιον, οὐ δεῖ ἐπιφέρειν ἑαυτῷ τὴν ἔνστασιν, ἤγουν αἰτίαν διδόναι τῷ προσδιαλεγομένῳ ἐνίστασθαί σοι, ἀλλὰ δεῖ σε εὐθὺς διορίζειν ὃν τρόπον ἀποδίδως τὸ ἴδιον καθ' ἕνα τῶν ἐκτεθέντων. id. ib.

135a 19. ζητήσειε δ' ἄν τις ἐπὶ τῶν λεγομένων ἑτερωνύμων, εἰ μὴ οἷόν τε θατέρῳ ἕτερον ἀποδίδοσθαι, οἷον τὸ σημεῖον, τὸ ἀμερές, τὸ ἐλάχιστον ἢ τὸ ἀδιάστατον· δοκεῖ γὰρ ἐπὶ τούτων καὶ τὰ σημαινόμενα διαφέρειν· οἷς δ' ἂν προσῇ, καὶ σαφεστέρως καὶ γνωριμωτέρως μᾶλλον ἐναρμόττει. id. ib.

135a 30. οὐ γάρ ἐστιν ἥ τις θάλαττα· οὐδὲ γὰρ ἐγχωρεῖ πώποτε ἐπί τινος μικροτάτης θαλάττης ἴδιον λέγεσθαι τὸ εἶναι τὸ πλεῖστον ὕδωρ ἁλμυρὸν ἀλλὰ τὸ βραχύτατον, ὅτι οὐ πρόσφορον τῇ σμικροτάτῃ θαλάττῃ. ἄλλως. τὸ εἶναι τὸ πλεῖστον ὕδωρ ἁλμυρόν, καίτοι μᾶλλον

πρὸς γὰρ τοῦτον τὸν χρόνον ἐν ᾧ ὑπάρχειν αὐτῷ λέγεται τὸ ποτὲ ἴδιον. οὐκ εὔπορος δὲ πρὸς τὸ οὕτως ἴδιον ἡ ἐπιχείρησις ἀπὸ ἑνός τινος γινομένη χρόνου. Alexander p. 187.

129b 1. πρῶτον τόπον ἐκτίθησιν ἀνασκευαστικόν, τὸν δεικνύοντα τὸ ἴδιον μὴ διὰ γνωριμωτέρων καὶ σαφεστέρων λόγων ἀποδεδομένον. id. ib.

129b 7. προθεὶς τὸ "οὐ γὰρ ἔσται καλῶς κείμενον ἴδιον" τῆς προσθήκης ταύτης αἰτίαν ἀπέδωκεν, εἰπὼν τῶν γὰρ κατασκευαστικῶν τόπων τοῦ καλῶς ἀποδεδόσθαι τὸ ἴδιον οἱ μὲν τὸ καλῶς ἁπλῶς κατασκευάζουσιν, ὧν ὕστερον μνημονεύσει, οἱ δὲ τὸ καλῶς κατὰ τοῦτο. id. p. 188.

129b 21. ἀμφισβητεῖται γὰρ εἰ ἐν τῷ ἐμφύτῳ θερμῷ ὑπάρχει ἡ ψυχή· ἄλλοι γὰρ ἐν τῷ πνεύματι ἀπέδωκαν εἶναι τὴν ψυχήν, καὶ ἄλλοι ἐν τῇ καρδίᾳ, ὥστε οὐκ ἔστι καλῶς ἔχον τὸ ἀποδοθὲν ἴδιον... σαφηνιστέον δὲ τὸν περὶ τούτου λόγον. πῦρ μὲν λέγουσιν οἱ τοῦτο τιθέμενοι τὸ ἔμφυτον θερμόν, οὗ φασὶν ὄχημα εἶναι τὴν ψυχήν. ἐν τούτῳ γὰρ φαίνεται καὶ ἔνεστιν αὐτή, καὶ χωρὶς αὐτοῦ οὐ δύναταί τι ἐνεργῆσαι· νεκροποιὸν γὰρ τὸ ψυχρὸν καὶ ἀκινησίαν ἐμποιοῦν· ἡ γὰρ κινητικὴ καὶ ἡ θρεπτικὴ ψυχὴ καὶ αἱ ἄλλαι δυνάμεις αὐτῆς διὰ τοῦ ἐμφύτου θερμοῦ ὡς δι' ὀργάνου τινὸς τὰς πέψεις καὶ θρέψεις τοῦ ζῴου καὶ τὰς κινήσεις καὶ τὰς αὐξήσεις καὶ τὰς ἄλλας ἐνεργείας ἀποτελοῦσιν. id. ib.

129b 31. εἰκότως δὲ προσέθηκε τὸ "ἢ καὶ ὅλως ὁ λόγος·" οὐ μόνον γὰρ ἐπὶ τῶν ὁμωνύμων φωνῶν εὑρίσκεται τὸ πλεοναχῶς λέγεσθαι, ἀλλὰ καὶ ἐπὶ τοῦ λόγου, ὃ καλεῖται ἀμφιβολία, ὡς ἐν τῷ "γένοιτο Ζεῦ τὸν σῦν καταβαλεῖν ἐμέ." δύναται γὰρ καὶ διὰ λόγου ἀποδίδοσθαι τὸ ἴδιον. id. p. 189.

130a 8. ἔστι γάρ τινα ἃ καθ' αὑτὰ μὲν λεγόμενα πλείω σημαίνει, συντεθέντα δὲ οὐκέτι, ὡς ἐν τῷ περὶ τοῦ Πολλαχῶς Θεόφραστος φησίν· ἐν γὰρ τῷ ἐπίστασθαι γράμματα τὸ συναμφότερον ἀμφίβολον, μηδετέρου τῶν ὀνομάτων ὁμωνύμου ὄντος καθ' αὑτό. καὶ τὸ τὸν Δίωνα τὸν Πλάτωνα τύπτειν· τὰ μὲν γὰρ ὀνόματα ἁπλᾶ, ὁ δὲ ἐξ αὐτῶν συγκείμενος λόγος ἀμφίβολος. πάλιν ἐν τῷ ἀετὸς πέτεται, κύων ὑλακτεῖ, τὰ μὲν ὀνόματα ὁμώνυμα, οἱ δὲ λόγοι ἁπλοῖ. τὸ δὲ "κατὰ τοῦτο" προσέθηκε καὶ ἐνταῦθα, ὅτι καὶ ἐνδέχεται ὡς ἰδιόν τινος ἀποδεδόσθαι οὐκ ὂν ἴδιον χωρὶς ἀμφιβολίας ἢ ὁμωνυμίας, καὶ κατ' ἄλλην τινὰ ἁμαρτίαν ἁμαρτάνειν τὸν ἀποδιδόντα τὸ ἴδιον. ὥστε οὐ πάντως τὸ ἴδιον, ὃ μὴ τούτων τι ἔχει, ἀλλ' ὅσον γε κατὰ τοῦτο ὑγιὴς ἡ ἀπόδοσις· δι' ἃς δὲ αἰτίας, οὐκ ἄδηλόν ἐστιν ἐκ τῶν πρότερον εἰρημένων. καὶ γὰρ εἰ ἀσαφὲς τὸ λεγόμενον τῷ μὴ γνώριμον εἶναι, τινὸς τῶν σημαινομένων ὑπὸ τοῦ ὁμωνύμου τὸ ἴδιον ἀποδίδωσι, καὶ ἀφορμὴν ἀνασκευῆς ποιεῖται, ἂν ἄλλο τι τῶν σημαινομένων ὑπὸ τοῦ ὀνόματος, οὗ μή ἐστι τὸ ἀποδοθὲν ἴδιον, προχειρισάμενος ἐπ' αὐτοῦ ποιῆται τὸν ἔλεγχον. οἷον ἐπεὶ τὸ ἐπίστασθαι τοῦτο πολλὰ σημαίνει· τὸ γὰρ ἐπίστασθαι δύο σημαίνει, ἢ τὸ ἐπιστήμην αὐτὸ ἔχειν ἢ τὸ ἐπιστήμην αὐτοῦ εἶναι, καὶ ἑκάτερον διχῶς, ἢ καθ' ἕξιν ἢ κατὰ προχείρισιν. id. ib.

130b 3. "οὐσιῶν τοιωνδί," τουτέστι τριχῇ διαστατῶν· τὰ γὰρ τέσσαρα στοιχεῖα τριχῇ διαστατά εἰσιν. id. p. 190.

130b 20. τὸ λέγειν ἴδιον τοῦ ζῴου τὸ ψυχὴν ἔχειν ἔοικε γραφικὸν εἶναι σφάλμα· οὐ γὰρ ἠγνόησεν ὁ φιλόσοφος μὴ εἶναι ἴδιον τοῦ ζῴου τὸ ψυχὴν ἔχειν (κοινὸν γὰρ τοῦτο καὶ τοῖς φυτοῖς)· κεῖσθαι γὰρ μᾶλλον ὀφείλει ζῴου ἴδιον εἶναι τὸ αἰσθητικὸν εἶναι, ὡς τοῦ αἰσθητικοῦ μόνῳ τῷ ζῴῳ ἐφαρμόζοντος. id. ib.

131a 8. ἀλλ' ἔστιν ἔνστασις τούτου· ἡ ψυχὴ γὰρ καὶ τὸ σῶμα ἑκάτερόν τι τοῦ ζῴου ἐστίν, ὥστε οὐκ ἂν εἴη καλῶς ἀποδεδομένον τὸ ἴδιον. λύεται δὲ ἡ ἔνστασις οὕτως, ὅτι εἰ καὶ εἰσὶ μέρη τοῦ ζῴου τὸ σῶμα καὶ ἡ ψυχή, ἀλλ' οὐκ εἰσὶν ὑστερογενῆ τοῦ ζῴου ἀλλ' ἅμα· οὐδὲ γὰρ δυνατόν ἐστι νοῆσαι ζῷον, μὴ εὐθὺς συνεπινοοῦντας καὶ ψυχὴν καὶ σῶμα. id. p. 191.

131a 14 εἴ τινι, φησίν, ἀντικειμένῳ τῷ ἰδίῳ προσκέχρηταί τις εἰς τὴν τοῦ ἰδίου ἀπόδοσιν, οὐ καλῶς ποιεῖται τὴν ἀπόδοσιν τοῦ ἰδίου· τὰ γὰρ ἀντικείμενα ἅμα εἰσὶ τῇ φύσει, τὰ δὲ ἅμα τῇ φύσει ἢ ὕστερα οὐ ποιεῖ τὸ ὑποκείμενον γνωριμώτερον... ἐπιζητήσειε δ' ἄν τις ἐπὶ τῶν πρός τι, εἰ μὴ διὰ τῶν ἀντικειμένων ἐπὶ τούτων ἥ τε τοῦ ὁρισμοῦ ἀπόδοσις καὶ ἡ τοῦ ἰδίου γίνεται· τούτοις γὰρ τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τι πῶς ἔχειν. ἢ ὡς ἐνδόξοις λεγομένοις δεῖ προσέχειν τοῖς ἐνταῦθα. καλῶς δὲ προσέθηκεν "ἢ ὅλως ἅμα τῇ φύσει," ἐπειδὴ καὶ τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα ἅμα τῇ φύσει... πόθεν ληπτέον τὰ ἴδια, εἰ μήτε ἐκ τῶν ἅμα μήτε ἐκ τῶν ὑστέρων μήτε ἐκ τῶν προτέρων; ἵνα μὴ γένηται ὅρος ἐκ τῶν ὑστέρων οὐ τῇ γνώσει ἀλλὰ τῷ πράγματι. id. ib.

131a 23. ἀντὶ τοῦ εἰπεῖν ὃ γίνεταί ποτε μὴ ὑπάρχον, εἶπεν "ὃ γίνεταί ποτε μὴ ἴδιον." τὸ γὰρ τοιοῦτον οὐδ' ὅτε ὑπάρχει ἰδιόν ἐστι διὰ τὸ μὴ ἀντιστρέφειν πρὸς τὸ οὗ λαμβάνεται ἴδιον... οὗτος δὲ ὁ τόπος καὶ οἱ ἑξῆς οὐ μόνον τοῦ καλῶς ἢ μὴ καλῶς λαμβάνεσθαι εἰσὶ δεικτικοί, ἀλλὰ καὶ τοῦ εἰ ἰδιόν ἐστιν ἢ μή. id. p. 192.

131a 32. οὗτος ὁ τόπος ἐστὶν ἀπὸ τῆς ὑπάρξεως. id. ib.

131b 34. πρῶτον λέγεται κεχρῶσθαι ἡ ἐπιφάνεια, ἐπειδὴ τῆς ἐπιφανείας ἐν παντὶ σώματι οὔσης πρῶτον αὐτῆς ἀντιλαμβάνεται ἡ αἴσθησις, καὶ διὰ τῆς ἐπιφανείας λέγεται ὁρᾶσθαι τὸ σῶμα. id. p. 193.

132a 1. οἷον εἰ ἀποδοθείη ἴδιον τῆς ἰδέας εἶναι τὸ αἰτίαν τῶν δημιουργημάτων καὶ τῶν ἐν κινήσει, καὶ τῆς ἐπιστήμης ἴδιον τὸ ἀγνοίας εἶναι ἀποβολήν. id. ib.

132a 22. οἱ μὲν κατασκευάζοντες τόποι ὅτι καλῶς ἀπεδόθη τὸ ἴδιον ἤδη παρεδόθησαν, οἷον τὸ μὴ λαμβάνειν ὁμωνύμους φωνάς, τὸ ἀντιστρέφειν τὸ ἀποδεδομένον ἴδιον πρὸς τὸ ὑποκείμενον, τὸ διὰ γνωριμωτέρων τοῦ ὑποκειμένου ἀποδίδοσθαι· ἅμα δὲ τούτοις καὶ οἱ ἀνασκευάζοντες τὰ μὴ οὕτως ἀποδιδόμενα ἴδια, ἤγουν εἰ δι' ὁμωνύμων φωνῶν ἐκφέρονται, εἰ μὴ ἀντιστρέφουσι πρὸς τὰ ὑποκείμενα, εἰ μὴ διὰ γνωριμωτέρων τοῦ ὑποκειμένου ἀποδίδονται, καὶ ὅσα ἄλλα οἱ προειρημένοι περιέχουσι τόποι. νῦν δὲ προτίθεται εἰπεῖν περὶ τοῦ ἁπλῶς καὶ κυρίως, καλῶς· οὐ γὰρ πᾶν τὸ ἀπηλλοτριωμένον τούτων καὶ μὴ ἔχον ὁμωνύμους φωνὰς ἤ τι τῶν εἰρημένων καὶ ἴδιον ῥητέον ἐξ ἀνάγκης. id. p. 194.

132a 23. "ἐν ἐκείνοις οὖν ῥηθήσεται" ἀντὶ τοῦ ἐν ἐκείνοις ὁμοίως ῥηθήσεται· συναποδώσει γὰρ ἄμφω. id. ib.

τῷ χείρονι τῶν ἐναντίων κεῖται· δεήσει γὰρ καὶ τὸ καταλειπόμενον τὸ χεῖρον ἐν γένει τῷ βελτίονι εἶναι, ἐπειδὴ κεῖται ὅτι τὸ ἐναντίον ἐν τῷ ἐναντίῳ. ἔσται οὖν τὸ μὲν βέλτιον γένος τοῦ χείρονος, τὸ δὲ χεῖρον τοῦ βελτίονος. δοκεῖ δὲ καὶ τὰ ὑπὸ τὸ βέλτιον γένη ἢ εἴδη βελτίω εἶναι τῶν ὑπὸ τὸ χεῖρον· τὰ γὰρ ὑπὸ τὴν ἀρετὴν βελτίω τῶν ὑπὸ τὴν κακίαν. id. ib.

127b 15. αἱ οὖν κατὰ φύσιν τοῖς σώμασι (κινήσεις) τέλος ἔχουσι τὴν ἐν τοῖς οἰκείοις μονήν. ἀλλὰ καὶ τῶν οὐσιῶν αἱ ἀκίνητοι βελτίους. ἀλλὰ καὶ τῷ μανθάνοντι τέλος τὸ μανθάνειν τε καὶ ἐν τούτῳ στῆναι. εἰ δὴ τοῦτο, οὐ καλῶς οἱ ἐν γένει τὴν ψυχὴν τῇ κινήσει θέμενοι. τὸ δὲ "ὅπερ κίνησιν ἢ κινούμενον" εἶπε, διὰ τοῦ ὅπερ κίνησιν δηλώσας τὸ γένος αὐτῆς τὴν κίνησιν λέγεσθαι, ὡς οἱ λέγοντες αὐτὴν κίνησιν αὐτοκίνητον. id. ib.

127b 30. ληπτέον τὸ δοκοῦν μᾶλλον αὐτῶν εἶναι γένος, ἢ δεικτέον μὴ εἶναι τοῦτο. εἰ γὰρ μὴ τὸ μᾶλλον δοκοῦν εἶναι γένος γένος ἐστίν, οὐδὲ τὸ λοιπὸν τὸ ἧττον... ἀπὸ μὲν οὖν τοῦ μᾶλλον οὕτως, ὡς εἴρηται, δείξομεν τὸν χρόνον μὴ ὄντα ἐν γένει τῷ ἀριθμῷ. εἰ γὰρ μᾶλλον ὁ χρόνος κίνησις ἢ ἀριθμός, ἔνδοξον συνεχοῦς συνεχὲς μᾶλλον εἶναι γένος, μὴ ἔστι δὲ κίνησις ὁ χρόνος, ὅτι πᾶσα μὲν κίνησις τινός τι καὶ πρός τι, ὁ δὲ χρόνος οὐ πρός τι. ὁ χρόνος ἄρα οὐ κίνησις. οὐδὲ ἡ κίνησις ἄρα γένος τοῦ χρόνου. id. p. 182.

128a 20. ἐπειδὴ ἡ μὲν ὡς συναμφότερος λαμβανομένη οὕτω κατηγορεῖται, οὐκέτι δὲ καὶ ἡ χωρὶς τῆς ὕλης τῆς συναμφοτέρου διαφορά, ἧς καὶ ἐν Κατηγορίαις ἐμνημόνευσεν (c. 3), ἐν οἷς εἶπε τὸν τῶν διαφορῶν λόγον ἀναδέχεσθαι καὶ τὰ ἄτομα καὶ τὰ εἴδη, ἃς ἰδίως οὔσας διαφορὰς οὐκ εἶπεν εἶναι οὐσίας ἐκεῖ, ὅτι μήτε γένη μήτε εἴδη μήτε ἄτομα· αἱ γὰρ τῶν εἰδῶν κατηγορούμεναι ὡς γένη ἂν κατηγοροῖντο. ὅτι δὲ μὴ γένη αἱ διαφοραί. νῦν δείκνυσιν, οὐδὲ εἴδη δέ· εἴδη δὲ αἱ ἰδίᾳ καὶ χωρὶς τῶν γενῶν λαμβανόμεναι διαφοραί, εἰ καὶ συναμφότεραι, αἱ αὐταὶ δὲ ἐν ἐκείνῳ τῷ βιβλίῳ οὐσίαι καὶ τὰ ἄτομα τὰ ὑπ' αὐτάς. τῆς δ' οὕτω λαμβανομένης διαφορᾶς καὶ τὰ γένη τὰ διαιρούμενα ὑπ' αὐτῆς συνωνύμως κατηγορεῖται, εἴγε, ὡς εἴρηκε νῦν, τὸ πεζὸν σημαίνει ζῷον ποιόν· καίτοι οὐ δοκεῖ αὐτῷ τὸ γένος τῆς οἰκείας διαφορᾶς οὕτω κατηγορεῖσθαι. τῆς μέντοι χωρὶς τῆς ὕλης ἐν τῇ οὐσίᾳ διαφορᾶς λαμβανομένης οὔτε τὸ διαιρούμενον ὑπ' αὐτῆς γένος συνωνύμως κατηγορεῖται, ὅτι μηδὲ ἄλλο τι ὅλον ἀνομοιομερὲς τῶν μερῶν ἑκάστου οὕτω κατηγορεῖται, μέρος δὲ ἡ τοιαύτη διαφορὰ τοῦ διαιρουμένου ὑπ' αὐτῆς οὔτε αὐτὴ ἢ τοῦ εἴδους ἢ τοῦ ἀτόμου, ὅτι μηδὲ τὸ μέρος τοῦ ὅλου. ἐπεὶ δὲ δοκεῖ τισὶ καὶ ἡ διαφορὰ ἐν τῷ τί ἐστι τῶν εἰδῶν κατηγορεῖσθαι, εἶπε μὲν ἐν τῷ πρώτῳ ὅτι καὶ τὴν διαφορὰν καὶ τὰ ἀπὸ διαφορᾶς προβλήματα ὁμοῦ δεῖ τῷ γένει τάσσειν, ὡς τῶν αὐτῶν τόπων καὶ πρὸς τὰ ἀπὸ τῶν διαφορῶν προβλήματα χρησίμων ὄντων· ὅτι δὲ μὴ πάντη ταὐτὸν ἡ διαφορὰ τῷ γένει, εἰ καὶ ὅτι μάλιστα καὶ αὐτὴ ἐν τῷ τί ἐστι δοκεῖ τοῦ εἴδους κατηγορεῖσθαι καὶ κατὰ πλειόνων γε καὶ διαφόρων τῷ εἴδει ἡ διαφορά, τίσι τὴν διαφορὰν δυνησόμεθα χωρίζειν τοῦ γένους, στοιχεῖά τινα καὶ θεωρήματα ἡμῖν παραδίδωσιν, ἃ τῷ φθάνειν εἰρῆσθαι ἤδη εἶπεν ἐν τοῖς εἰρημένοις. id. p. 183.

128a 31. τόπον ἡμῖν παραδίδωσιν ᾧ προσχρώμενοι δυνησόμεθα κατασκευάζειν τε καὶ ἐπικρίνειν τι ὂν ἐν γένει τινί· φησὶ γὰρ δεῖν ἐπὶ τὰ τὰς ἕξεις ἔχοντα καὶ τὰ ἀπὸ τῶν ἕξεων παρωνύμως λεγόμενα ἐπιβλέπειν, κἂν ἐπ' ἐκείνων τὸ παρωνομασμένον τινὶ φαίνηται ὑπό τι ὂν γένος ἄλλο ᾧ παρωνόμασταί τι, καὶ τὸ ἀφ' οὗ τὸ προκείμενον παρωνόμασται λέγειν γένος εἶναι τοῦ παρωνύμως ἀπὸ τοῦ λεγομένου γένους. τοῦτο δὲ οὕτως ἔχειν διὰ τῆς ἐπαγωγῆς πιστοῦται... ἡ λέξις ἡ "ἐπειδὴ δὲ δοκεῖ τὸ μουσικὸν ἐπιστῆμον εἶναι, ἡ μουσικὴ ἐπιστήμη τις," εἴη ἂν σαφεστέρα εἰ οὕτως ἔχοι, ἐπεὶ δὲ δοκεῖ διότι τὸ μουσικὸν ᾗ μουσικόν ἐστιν, ἡ μουσικὴ ἐπιστήμη εἶναι. id. p. 183.

128b 5. αὐτὸς μὲν οὖν φησὶν ὡς ἐνδόξῳ δεῖν τούτῳ χρῆσθαι τῇ προειρημένῃ ἀκολουθίᾳ πρὸς τὴν τοῦ γένους κατασκευήν, εἰ δὲ ἄλλος τις αὐτῷ χρῷτο, μὴ συγχωρεῖν ὡς ἐπὶ πάντων οὕτως ἔχοντι· ἔστι γάρ τινα ἃ ἀκολουθεῖ μὲν καὶ οὐκ ἀντιστρέφει, οὐ μὴν καὶ γένη ἐστὶ τούτων οἷς οὕτως ἀκολουθεῖ. id. p. 184.

128b 14. Παραδοὺς ἡμῖν ἐν τῷ πρὸ τούτου, τουτέστι τῷ τετάρτῳ τῆς τῶν Τοπικῶν πραγματείας, τοὺς τόπους δι' ὧν οἷόν τε πρὸς τὰ ἀπὸ τοῦ γένους προβλήματα ἐπιχειρεῖν κατασκευαστικῶς τε καὶ ἀνασκευαστικῶς, μεταβαίνει ἐντεῦθεν ἐπὶ τὰ ἐπὶ τοῦ ἰδίου προβλήματα καὶ παραδίδωσι καὶ πῶς πρὸς ταῦτα ἐπιχειρεῖν δεῖ... τοὺς δὲ τόπους τοὺς πρὸς τὰ γενικὰ προβλήματα προέταξε πρὸ τῶν εἰδικῶν, διότι τὰ γενικὰ προβλήματα οὐσιώδη εἰσί, τὰ δὲ εἰδικὰ ἐπουσιώδη, τιμιώτερα δὲ τὰ οὐσιώδη τῶν ἐπουσιωδῶν. πάλιν δὲ τοὺς τόπους τοὺς περὶ τῶν εἰδικῶν προβλημάτων προέταξε τῶν πρὸς τὰ ὁρικά, διότι οἱ περὶ τῶν εἰδικῶν προβλημάτων τόποι χρησιμεύουσιν ἡμῖν καὶ ἐν τοῖς ὁρικοῖς προβλήμασι. id. p. 185.

σκοπὸς τοῦ ε' τῶν Τοπικῶν παραδοῦναι τόπους καὶ ἀφορμὰς πῶς δεῖ τὰ πρὸς τὸ ἴδιον ἐπιχειρεῖν, καὶ ποσαχῶς τὸ ἴδιον, ὅτι τετραχῶς, καὶ τίς ἡ πρὸς ἄλληλα τούτων διαφορά. ἀποδίδοται δὲ τὸ ἴδιον ἢ καθ' αὑτὸ καὶ ἀεὶ ἢ πρὸς ἕτερον καὶ ποτέ. codd. Reg. 1845 et 1972 in marg.

128b 16. ἰστέον ὅτι ἐπὶ πλέον τὸ ἀεὶ τοῦ καθ' αὑτό· τὸ μὲν γὰρ καθ' αὑτὸ ἴδιον καὶ ἀεί, οὐ μὴν τὸ ἀεὶ πάντως καὶ καθ' αὑτό... πρόσκειται "τῇ φύσει," διότι ἐμφαίνεται τὸ ἥμερον καὶ τοῖς ἀλόγοις ζῴοις, ἀλλ' οὐκ ἔστιν αὐτοῖς φύσει ἀλλ' ἐκ χειροηθείας καὶ τιθασσεύσεως. Alexander p. 185.

128b 38. ὅτι ἡ μὲν ἀρετὴ ἐν πλείοσι (καὶ γὰρ ἐν τῷ παθητικῷ καὶ τῷ λογιστικῷ), ἡ δὲ ἐπιστήμη ἐν μόνῳ τῷ λογιστικῷ. id. p. 186.

129a 17. λογικὰ προβλήματα λέγει τὰ ἐπιχορηγοῦντα πολλοὺς λόγους καὶ πολλὰ ἐπιχειρήματα καὶ ἰσχυρά. εἰσὶ δὲ ταῦτα τά τε καθ' αὑτὰ καὶ ἀεί καὶ τὰ πρὸς ἕτερον. id. ib.

129a 30. λογικὸν γάρ φησι τοῦτό ἐστι πρόβλημα πρὸς ὃ λόγοι γίνονται καὶ συχνοὶ καὶ καλοί· τὰ γὰρ εὐεπιχείρητα καὶ πολλὰς ἀφορμὰς περιέχοντα λογικὰ καλεῖ. τὸ δὲ ποτὲ πρὸς τὸ νῦν λεγόμενον χρόνον ἐπισκοποῦμεν· καὶ γὰρ τοῦτον τὸν χρόνον... codd. Reg. 1917 et 1874.

ὥστε οὐκ ἔστιν ἐν τῇ οὐσίᾳ τῆς ὀργῆς ἡ λύπη· τὸ γὰρ ποιητικόν τινος καὶ προϋπάρχον κατὰ χρόνον ἐν τῷ αὐτῷ οὐ γένος. id. p. 176.

126a 8. πῶς εἶπε τὴν αἰσχύνην ἐν τῷ λογιστικῷ, ἄξιον ζητεῖν, εἴγε πάθος, τὰ δὲ πάθη ἐν τῷ παθητικῷ γίνεται. ἤτοι οὖν ἁπλούστερον καὶ κοινότερον κέχρηται τῷ παραδείγματι, ἢ διὰ τὴν αἰδῶ· δοκεῖ γὰρ ἡ αἰδὼς μετὰ λόγου τινὸς εἶναι. id. p. 177.

126a 13. καὶ ἡ φιλία ὥσπερ φίλησις ἂν εἴη λεγομένη ὑπ' αὐτοῦ. οὕτω δὲ ἡ ἀνδρία ἐπιστήμη· ἡ μὲν γὰρ ἐν τῷ λόγῳ τῷ θυμικῷ, ἡ δὲ ἐπιστήμη ἐν τῷ λογιστικῷ. λέγει δὲ χρήσιμον τὸν τόπον τοῦτον εἶναι καὶ πρὸς τὸ συμβεβηκός· δοκεῖ γὰρ καὶ τὸ συμβεβηκὸς καὶ τὸ ᾧ συμβέβηκεν ἐν τῷ αὐτῷ εἶναι. τοῦτο δὲ ἐπὶ τούτων ἂν λέγοιτο ἐν οἷς καὶ τὰ ὑποκείμενα ἐν ἄλλοις πέφυκε γίνεσθαι. id. ib.

126a 17. οὐχ ὁμοίως, εἴ τι τοῦ γένους μετέχει, καὶ τοῦ συμβεβηκότος· τοῦ μὲν γὰρ συμβεβηκότος οἷόν τέ τι καὶ κατά τι μετέχειν, ὡς τοῦ λευκοῦ τὸ σῶμα, ὁμοίως καὶ τὸν ἄνθρωπον· τοῦ δὲ γένους ἀδύνατον. id. ib.

126a 31. εἰπὼν "οἷον τὸν σοφιστὴν ἢ διάβολον ἢ κλέπτην," μόνον τοῦ κλέπτου παράδειγμα ἐπήνεγκε, συνάψας τοῖς προειρημένοις τὸ "τὸν δυνάμενον λάθρα τὰ ἀλλότρια κλέπτειν." διὸ καὶ ἀσαφεστέρα ἡ λέξις εἶναι δοκεῖ. ἔνεστι δὲ ἀπὸ τοῦ κλέπτου καὶ ἐπὶ τοὺς ἄλλους κατ' οἰκειότητα τὴν δύναμιν μεταφέρειν. id. p. 176.

126b 4. οὐ μόνον τὰ ψεκτὰ οὐ δεῖ ἐν γένει τῇ δυνάμει τιθέναι, ἀλλ' οὐδὲ τὰ δι' αὐτὰ ἂν αἱρετώτερα καὶ τίμια· ἡ γὰρ δύναμις ὀργανικὸν ἀγαθόν, πᾶν δὲ τὸ τοιοῦτον δι' ἄλλο αἱρετόν. id. ib.

126b 11. ζητήσαι ἄν τις εἰ οἷόν τε ἐν δύο τισὶ γένεσιν εἶναι μὴ ὑπαλλήλοις οὖσιν, ἢ μὴ ὑπὸ ταὐτὸν γένος καὶ ἓν γένος ἀμφοτέρων ὄντων γενῶν. οὐ δοκεῖ δὲ οὔτε ὑπάλληλα εἶναι ἥ τε προαίρεσις καὶ δύναμις, οὔτε ὑφ' ἕν τι, εἰ μή τις ἄμφω ὑπὸ τὴν ποιότητα εἶναι λέγοι, ἢ κοινόν τι γένος ἐξ ἀμφοτέρων συγκείμενον ἀνώνυμον. πολλὰ δὲ γένη ἑνὶ ὀνόματι ἀνώνυμα. id. ib.

127a 1. σημεῖον ποιεῖται τοῦ πάθος ἀλλὰ μὴ εἶδος εἶναι τὸ τεθὲν ἐν τῷ γένει τὸ μόνον τὸ αὐτὸ κατὰ τὸ ὑποκείμενον καὶ τὸν ἀριθμὸν τὸ ἀποδοθὲν γένος πάθος τι προσλαβὸν ἢ κατὰ πάθος μεταβάλλον γίνεσθαι τοιοῦτον, ὃ οὐχ οἷόν τε ἐπὶ τῶν γενῶν γίνεσθαι. id. p. 178.

127a 3. ἁμαρτάνειν φησὶν ὁμοίως τοῖς εἰρημένοις καὶ τοὺς τὸ πάθος λέγοντας εἶδος εἶναι ἐκείνου οὗ ἐστὶ πάθος, δηλονότι τοῦ πάσχοντος. εἰ γὰρ τοῦτο ποιοῦντες πάλιν γένος πεπονθὸς τοῦ πάθους λέγουσι. καὶ δόξαι ἂν μὴ εἶναι οὗτος ὁ τόπος ἄλλος τοῦ πρὸ αὐτοῦ, τῷ τρόπῳ μόνῳ τῆς λήψεως τοῦ πρὸ αὐτοῦ διαφέρων· ἐπὶ μὲν γὰρ τοῦ εἰρημένου ἁπλῶς ἦν, εἰ γένος τὸ πεπονθὸς τοῦ πάθους, ἐνταῦθα δὲ πρόσκειται καὶ ὁ τρόπος τῆς λήψεως· οἱ γὰρ τοῦ πάθους ἐκεῖνο δηλονότι τὸ πεπονθὸς οὗ ἐστὶ πάθος λέγοντες εἶναι γένος καὶ οὕτως ὁριζόμενοι τοῦ πάθους τὸ πεπονθὸς λέγουσιν εἶναι γένος... ἢ οὐχ οἱ αὐτοὶ τόποι, οὐδὲ κατὰ τὴν λέξιν αὐτοῖς ἡ διαφορὰ μόνη, ὡς δοκεῖ, ἀλλ' ἔστιν ὁ μὲν πρῶτος ὡς διαμαρτανόντων τῶν οὕτως ὁριζομένων, καὶ δι' ἄγνοιαν τὸ πάθος ἐν τῷ πεπονθότι τιθέντων· διὸ καὶ αὐτὸς οὕτως εἶπεν "ἐνίοτε δὲ διαμαρτάνουσι καὶ ὅσοι τὸ πάθος εἰς γένος τὸ πεπονθὸς τιθέασι." διὸ καὶ ἠρκέσθη ἐπ' ἐκείνου τοῦ τόπου τῷ δεῖξαι ὅτι ἡ ἀθανασία πάθος τῆς ζωῆς, δείξας ὃ ἠγνόησαν. ἐν δὲ τῷ δευτέρῳ ἔλαβεν ὡς εἰδότας ὅτι τὸ πάθος ἐν γένει τῷ πεπονθότι τίθενται), τοὺς λέγοντας τὸ πνεῦμα ἀέρα κινούμενον· διὸ καὶ ἤλεγξε τούτους οὐ τῷ δεῖξαι τὸ πνεῦμα πάθος ὂν τοῦ ἀέρος, ἀλλὰ τῷ δεῖξαι μὴ οἷόν τε ὂν τὸ πεπονθὸς γένος εἶναι τοῦ ἰδίου πάθους τῷ τὸ αὐτὸ κατ' ἀριθμὸν διαμένειν τὸ ὑποκείμενον τῷ πάθει, καὶ μηκέτι ὄντος τοῦ πάθους... ἀλλὰ τοῦτο μὲν οὕτω μέχρι τούτου ἀποδέδωκε, βραχυλογίας φροντίζων· ἔχει δὲ ζήτησιν ἀξιόλογον, πῶς εἰ ὑποτεθείη τὸ πνεῦμα εἶδος εἶναι κινουμένου ἀέρος, ἐλέγχεται ἡ τοιαύτη ἀπόδοσις μὴ καλῶς ἔχουσα. ἐπειδή, φησίν, ὁ ἀὴρ καὶ κινούμενος καὶ μὴ κινούμενος ὁ αὐτὸς μένει, τὸ δὲ πνεῦμα μὴ ἐκείνου κινουμένου ἀναιρεῖται. φαῖεν γὰρ ἂν οἱ ἐκεῖνο τιθέμενοι ὅτι ἀκόλουθόν ἐστι τοῦτο τῷ λόγῳ αὐτῶν· γένος γὰρ ὢν ὁ ἀὴρ τοῦ πνεύματος συναναιρεῖ καὶ οὐ συναναιρεῖται ὑπ' αὐτοῦ. διὸ ἡμεῖς πειρασόμεθα κατὰ τὸ ἐγχωροῦν τὸ ἀμφισβητούμενον λῦσαι. ἔχει δὲ οὕτω. τὰ γένη οὔτε καθ' αὑτά ἐστιν ὑφεστῶτά που οὔτε ἐστὶ ψιλὰ χωρὶς ὑπάρξεως νοήματα. id. ib.

127a 17. ἀναιροῖτο δ' ἂν καὶ τὸ ὑπὸ Ἐμπεδοκλέους περὶ τοῦ οἴνου λεγόμενον, ὅτι οἶνός ἐστι σαπὲν ἐν ξύλῳ ὕδωρ· οὐ γάρ ἐστιν ὁ οἶνος ὕδωρ, ἐν ᾧ ὡς γένει ἔθηκεν αὐτὸν ὁ οὕτως ἀποδιδούς. id. p. 179.

127a 20. ἐπεὶ τὸ τινὸς γένος καὶ γένος ἐστίν, εἴ τι ἀποδοθὲν τινος ὡς γένος μηδὲ ὅλως εἴη γένος, οὐδ' ἂν τούτου οὗ ἀπεδόθη γένος εἴη. τοιαῦτα δέ ἐστι τὰ ἄτομα εἴδη. id. ib.

127a 29. προσθετέον τὸ συνωνύμως. ἢ τὸ "κατ' οὐδενὸς γὰρ τὸ γένος ἀλλ' ἢ κατὰ τῶν εἰδῶν κατηγορεῖται" εἴρηκεν ὡς ἀκολουθοῦν τοῖς λέγουσι τὸ τισὶν ἑπόμενον γένος αὐτῶν εἶναι, τὸ ὧν κατηγορεῖται ὡς κείμενον γένος εἶναι, οὗ ἴδιον τὸ κατηγορεῖσθαι. εἰ δὴ οὕτω καὶ τὸ ἓν τοῦ ἑνός, εἴη ἂν ὡς εἴδους αὐτοῦ κατηγορούμενον. αὐτοῦ δὲ κατηγορηθήσεται, ἂν ᾖ τις εἰς αὐτοῦ λόγος. προσθετέον δὲ ὅτι καὶ τὸ ἓν ἔσται τοῦ ὄντος, ἂν πάλιν τοῦτο τῷ πᾶσιν ἕπεσθαι γένος τις πάντων ἀποδῷ· κατηγορούμενον γὰρ καὶ τοῦτο τοῦ ὄντος εἴη ἂν καὶ τοῦτο γένος, ὥστε τὸ αὐτὸ αὐτοῦ καὶ εἶδος καὶ γένος εἶναι. id. p. 180.

127a 36. οἷον εἰ τὸ μὲν ὂν γένος, τὸ δὲ ἓν διαφοράν τις λέγοι τοῦ ὄντος, ὡς διαιρουμένου τοῦ ὄντος τῷ ἑνὶ καὶ τῷ πλήθει (καὶ γὰρ τὸ πλῆθος ἕν τι), ἐπὶ πλέον τὴν διαφορὰν ποιήσει. πάλιν εἰ τὸ γένος μὴ τῶν πᾶσιν ἑπομένων εἴη (ἔσται γὰρ αὐτοῦ ἐπὶ πλέον ἡ διαφορὰ οὖσά γε τῶν πᾶσι τοῖς οὖσιν ἑπομένων), οὕτω δειχθήσεται μηδὲ τὸ τὶ γένος ὂν τῶν πάντων· ἔσται γὰρ καὶ τοῦ ἑνὸς γένος ἢ ἐπ' ἴσης ὄντος αὐτῷ ἢ καὶ ἐπὶ πλέον, εἴγε τὸ μὲν ἓν καὶ κατὰ τοῦ ἐννοήματος, τὸ δέ τι καὶ κατὰ μόνων σωμάτων καὶ ἀσωμάτων, τὸ δὲ ἐννόημα μηδέτερον τούτων κατὰ τοὺς ταῦτα λέγοντας. οὕτως ἁμαρτάνοι ἂν ὁ τοῦ ὄντος διαφορὰν τὸ δοξαστὸν ἀποδιδούς· ἐπὶ πλέον γὰρ τοῦ ὄντος τὸ δοξαστόν, εἴγε δοξαστὸν καὶ τὸ μὴ ὄν. id. ib.

127b 5. οὐκ εἰ παρακολουθεῖ τοῖς ὑποκειμένοις οὖσι τὸ μὴ συνωνύμως εἶναι τοῖς ἐν οἷς ἐστί, διὰ τοῦτο ἡγητέον τὸν αὐτὸν τόπον εἶναι τῷ ἀπὸ τῶν ἐν ὑποκειμένῳ τὸν ἀπὸ τῶν συνωνύμων· ἄλλος γὰρ λόγος τοῦ ἐν ὑποκειμένῳ καὶ ἄλλος τοῦ συνωνύμου. id. p. 181.

127b 8. ὁ τόπος τοιοῦτος. ἂν ᾖ καὶ τῷ εἴδει τῷ τιθεμένῳ καὶ τῷ γένει τῷ ἀποδιδομένῳ αὐτοῦ ἐναντία τινά, ἐπεὶ τῶν ἐναντίων τὸ μὲν βέλτιον τὸ δὲ χεῖρον, δεῖ σκοπεῖν εἰ τὸ βέλτιον τῶν ἐναντίων ἐν γένει

123 b 36. ἢ ἔστι καὶ ἐπὶ τούτων ἐναντιότης ἀνώνυμος· ἡ γὰρ καθ' ἕκαστον τούτων ὑγίεια. id. ib.

124 a 6. δεῖ δηλονότι τὸ ἀνὰ μέσον τὸ κυρίως λαμβάνειν· ταῦτα δ' ἐστὶ τὰ κατὰ μῖξιν γινόμενα τῶν ἐναντίων. ἐν ᾧ γὰρ ἡ συμφωνία φωνὴ γένει, ἐν ἐκείνῳ καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα. id. ib.

124 a 5. ζητουμένου γὰρ εἰ γένος τῆς νόσου ἡ ἀσυμμετρία, δείξαντες ὅτι τῆς ὑγιείας, ἥτις ἐστὶν ἐναντία τῇ νόσῳ, ἡ συμμετρία γένος οὖσα ἐναντία τῇ ἀσυμμετρίᾳ, εἴημεν ἂν δεδειχότες ὅτι καὶ ἡ νόσος ἐν ἀσυμμετρίᾳ. id. p. 169.

124 a 10. ὥσπερ ἐπὶ τῶν ἀπὸ συμβεβηκότος προβλημάτων τόπους τινὰς παραδέδωκεν ἀνασκευαστικοὺς καὶ κατασκευαστικοὺς ἀπὸ τῶν πτώσεων καὶ ἀπὸ τῶν συστοίχων, οὕτω καὶ πρὸς τὰ ἀπὸ τοῦ γένους προβλήματα ἀπὸ τῶν αὐτῶν τούτων παραδίδωσί τινας τόπους· κοινοὶ γὰρ καὶ ἐπικαιρότατοι πρὸς πάντα οἱ ἀπὸ τῶν συστοίχων τόποι. id. ib.

124 a 15. ὅμοιος καὶ οὗτος ὁ τόπος τῷ ἀπὸ τῶν συστοίχων. εἰ γάρ τινα ὁμοίως ἔχει πρὸς ἄλληλα, ἂν τὸ ἕτερον τῶν ὁμοίως ἐχόντων τοῦ ἑτέρου γένος ᾖ, καὶ τὸ ἕτερον ἔσται τοῦ ἑτέρου γένος. id. ib.

124 a 21. καὶ εἰ τὸ μανθάνειν ἀναμιμνήσκεσθαί ἐστιν ὡς ὑπὸ γένος, τὸ ἀναμιμνήσκεσθαι καὶ τὸ μεμαθηκέναι ὑπὸ τὸ ἀναμεμνῆσθαι ἂν εἴη, ὡς ᾤετο Πλάτων λέγων τὰς μαθήσεις ἀναμνήσεις... ἔοικε δὲ τὰ παραδείγματα οἷς κέχρηται ἁρμόζειν καὶ τοῖς ἀπὸ τῶν συστοίχων τόποις· σύστοιχον γὰρ τὸ οἰκοδομεῖν τῷ ᾠκοδομηκέναι καὶ τὸ ἐνεργεῖν τῷ ἐνηργηκέναι. id. p. 170.

124 a 21. ὅμοιαι γὰρ αἱ ἀπὸ πάντων τῶν τοιούτων ἐπιχειρήσεις, οὐ κατὰ ταὐτὸν δέ· γένεσις μὲν γὰρ ἡ τοιάδε μεταβολή, γεννητικὸν δὲ τὸ τῆς τοιαύτης μεταβολῆς αἴτιον. ὁ αὐτὸς λόγος καὶ ἐπὶ φθορᾶς τε καὶ φθαρτικοῦ. id. ib.

124 a 35. παραδοὺς πρότερον τόπους ἀπὸ τῶν ἐναντίων (τῷ γὰρ ἐναντίον τι εἶναι τῷ εἴδει ἢ τῷ γένει ἀνασκευὴ καὶ κατασκευὴ ἐγίνετο) νῦν καὶ ἀπὸ τῶν ἄλλων ἀντικειμένων παραδίδωσι, καὶ πρῶτόν γε ἀπὸ τῶν κατὰ ἕξιν ἢ στέρησιν. id. p. 171.

124 b 7. πῶς "ἀνάπαλιν," αὐτὸς ἔδειξε διὰ τοῦ παραδείγματος. εἰ γὰρ εἴη κείμενον τὸ ἡδὺ ὅπερ ἀγαθόν, τουτέστιν ἐν γένει τῷ ἀγαθῷ, δεῖ ἀνάπαλιν ἀπὸ τῆς ἀποφάσεως τοῦ ἀγαθοῦ, ἣ ὡς γένος ἀπεδόθη ἀρχόμενον, τὴν τοῦ ἡδέος ἀπόφασιν ἐπιφέρειν αὐτῷ. id. ib.

124 b 19. ἔστιν ὁ τόπος πρὸς ἀνασκευὴν μόνον χρήσιμος, πρὸς δὲ κατασκευὴν οὐ πάντως· οὐ γὰρ εἰ ἀμφότερα τὰ λαμβανόμενα πρός τι, τὸ ἕτερον τοῦ ἑτέρου γένος ἔσται. id. p. 172.

124 b 22. λέγοι ἄν τις μηδὲ γένη εἶναι τῆς ἀρετῆς τὰ εἰρημένα· οὔτε γὰρ τὸ ἀγαθὸν γένος, εἴγε ὁμώνυμον, οὔτε τὸ καλὸν τῆς ἀρετῆς γένος· πρῶτον γὰρ ἡ ἀρετὴ τῶν καθ' αὐτὴν ἐνεργειῶν. τούτων δὲ τὸ καλὸν κατηγορεῖσθαι δοκεῖ μόνον. id. ib.

124 b 34. ἢ διττὸν ἡ ἕξις καὶ ἡ διάθεσις· ἕξις γὰρ καὶ διάθεσις λέγεται καὶ τοῦ ἔχοντος αὐτὰ ὡς ψυχῆς, καὶ τῶν ἐχομένων ὑπ' αὐτῶν. id. ib.

125 a 11. ἐπὶ ἐνίων πρὸς ἄλλην μὲν πτῶσιν τὸ γένος καὶ τὸ εἶδος, πρὸς ἄλλην δὲ τὰ ἀντιστρέφοντα αὐτοῖς, πλὴν πρὸς τὴν αὐτὴν ἀλλήλοις, ὡς ἐπιστήμης καὶ ὑπολήψεως· ἥ τε γὰρ ἐπιστήμη τινός, ἐπιστητοῦ γάρ, καὶ τὸ γένος αὐτῆς, ὑπόληψις, καὶ αὕτη τινός, εἴγε ὑποληπτοῦ· τὰ δὲ ἀντιστρέφοντα αὐτοῖς πρὸς ἄλλας πτώσεις ἀντιστρέφει καὶ οὐ καθ' ἃς ταῦτα, οὐ μὴν ἀλλὰ ἀλλήλοις τὰς αὐτάς... ὁ μέντοι Στράτων προστίθησί τινα τῷ τόπῳ τούτῳ καὶ ἄλλον. εἰ αὐτὰ μὲν πρὸς ὁμοίας πτώσεις λέγοιτο, τό τε ἀποδοθὲν γένος καὶ τὸ εἶδος, τῶν δὲ πρὸς ἃ ταῦτα λέγεται τὸ μὲν ἀντιστρέφει τὸ δὲ μή, οὔ φησι τὸ τεθὲν ἔσεσθαι γένος. καὶ παραδείγμασι δὲ χρῆται τοῦ τόπου τῇ τε ἐλλείψει καὶ τῇ ἐνδείᾳ· εἰ γάρ τις γένος τῆς ἐλλείψεως τὴν ἔνδειαν λέγει, ἐπεὶ ἑκάτερον μὲν αὐτῶν πρὸς τὴν αὐτὴν ἀποδίδοται πτῶσιν (ἥ τε γὰρ ἔλλειψίς τινος, τῆς γὰρ ὑπεροχῆς, καὶ ἡ ἔνδεια ὁμοίως τινός, τοῦ γὰρ ἱκανοῦ), οὐκέτι δὲ ἀμφότερα πρὸς ἃ ἑκάτερον αὐτῶν λέγεται, ἀντιστρέφει· ἡ μὲν γὰρ ὑπεροχὴ καὶ αὐτή τινος, ἐλλείψεως γάρ, τὸ δὲ ἱκανὸν οὐκέτι ἀντιστρέφει· οὐ γὰρ λέγεται τὸ ἱκανὸν ἐνδείας ἱκανόν, ὥστε οὐκ ἂν εἴη ἡ ἔνδεια τῆς ἐλλείψεως γένος. ἀλλ' οὗτός γε καινοτομῆσαί τι βουληθεὶς ὀλίγον ἀναιρεῖ μεῖζόν τι· τὸ γὰρ πάντα πρὸς τὸ γένος ἀντιστρέφοντα λέγεσθαι κινεῖ. αἴτιον δὲ αὐτῷ τῆς πλάνης τὸ μὴ δεόντως λαβεῖν τὴν ἔνδειαν πρὸς τὸ ἱκανὸν λέγεσθαι· καὶ γὰρ ἔνδεια δέοντός ἐστιν ἔνδεια, καὶ πρὸς τοῦτο λέγεται πρός τι. id. p. 173.

125 a 32. δύναται δέ τις τῷ τόπῳ καὶ πρὸς κατασκευὴν χρήσασθαι· ἂν γὰρ δειχθῇ τὸ ἀντικείμενον τῷ ὡς γένει τεθέντι γένος ὂν τοῦ ἀντικειμένου τῷ εἴδει, καὶ τὸ ὑποτεθὲν ἔσται γένος. id. p. 174.

125 a 40. ἴσως βέλτιον ἀντὶ τοῦ "δυνατὸν γὰρ καὶ ἐν ἄλλῳ ὑπάρχειν τὴν αὐτὴν ταύτην" γεγράφθαι "δυνατὸν γὰρ καὶ ἄλλου εἶναι τὴν αὐτὴν ταύτην," τουτέστι τὴν ἐπιστήμην· οὐ γὰρ μόνον ἡ ψυχὴ ἐπιστητόν. δύναται καὶ αὐτὸ τὸ "δυνατὸν γὰρ καὶ ἐν ἄλλῳ ὑπάρχειν τὴν αὐτὴν ταύτην" εἰρῆσθαι ὡς ἴσον τῷ δυνατὸν γὰρ καὶ ἄλλῳ ὑπάρχειν, τουτέστι καὶ ἄλλου τινὸς εἶναι τὴν ἐπιστήμην, καὶ ἄλλῳ τινὶ ὑπάρχειν τῶν ἐπιστητῶν καὶ μὴ ψυχῇ μόνῃ. id. p. 175.

125 b 10. οὕτως ἂν δεικνύοι τις ὅτι μηδὲ σωτηρία αἰσθήσεως ἡ μνήμη· ἡ μὲν γὰρ σωτηρία τῆς αἰσθήσεως ἐν αἰσθήσει (πᾶσα γὰρ σωτηρία ἐν ἐκείνῳ οὗ ἐστὶ σωτηρία), ἡ δὲ μνήμη οὐκ ἐν αἰσθήσει ἀλλ' ἐν ψυχῇ· οὐ γὰρ αἴσθησις τὸ μνημονεῦον. ἀλλὰ καὶ ὅτι μή ἐστι τὸ πάθος ἐν γένει τῇ ὁρμῇ, ὡς οἱ ὁριζόμενοι αὐτὸ λέγουσιν ὁρμὴν ἄλογον, διὰ τούτου ἂν δεικνύοιτο τοῦ τόπου. εἰ γὰρ πᾶσα ὁρμὴ διωκτοῦ ἐστὶ καὶ πρὸς τοῦτο λέγεται, οὐκ ἔστι δὲ ἡ ὁρμὴ ἐν τῷ διωκτῷ ἀλλ' ἐν ψυχῇ, οὐκ ἂν εἴη ἐν τῷ πρὸς ὃ λέγεται· τὸ δὲ πάθος πεπονθότος ὂν πάθος ἐξ ἀνάγκης ἐστὶν ἐν τῷ πεπονθότι, πρὸς ὃ καὶ λέγεται. διὸ εὐλογώτερον κίνησιν αὐτὸ λέγειν. id. ib.

125 b 15. ὁ παραδιδόμενος τόπος τοιοῦτός ἐστιν. δοκεῖ τῶν μὲν ἕξεων ἕξις εἶναι γένος, τῶν δὲ ἐνεργειῶν ἐνέργεια. ἂν οὖν ἐναλλάττῃ τις καὶ ἢ τῆς ἕξεως ἐνέργειαν ἀποδῷ γένος ἢ τῆς ἐνεργείας ἕξιν, οὐχ ὑγιῶς ἀποδίδωσιν· διὸ ἀνασκευασθήσεται τὸ ἀποδοθὲν γένος. οὕτως ἁμαρτάνει ὁ τῆς αἰσθήσεως λέγων γένος τὴν κίνησιν. id. ib.

125 b 34. οὐ τοιοῦτον δὲ τὸ γένος ὡς προϋπάρχειν χρόνῳ τοῦ εἴδους· οὐ γὰρ πρῶτον ζῷον γίνεται, εἶτα ἐκ τούτου ἄνθρωπος, ἀλλ' ὁ ἄνθρωπος ἅμα καὶ ζῷόν ἐστι, καὶ τὸ ζῷον τὸ ἐν τῷ ἀνθρώπῳ ἐστὶ διότι ἄνθρωπος. τὸ δὲ "ὥστε ἁπλῶς ἡ ὀργὴ οὐκ ἔστι λύπη" εἶπεν ὡς ἴσον τῷ

φορᾶς τὴν ἀρχὴν ἐν τῷ τί ἐστι κατηγορεῖται, καίτοι οὔσης ὑπ' αὐτό· εἰ δὲ τοῦτο, πολὺ ἂν ἐπ' ἔλαττον ἡ διαφορὰ τοῦ γένους. ἀντέστρεψε δὲ ἀμφοτέρους τοὺς τόπους τοὺς πρώτως ἀποδοθέντας. id. ib.

123a 3. ἐπιζητήσαι δ' ἄν τις τίνι διαφέρει τοῦ τὸ γένος εἰς τὸ εἶδος θεῖναι, τὸ γένος ὡς διαφορὰν τοῦ εἴδους ἀποδοῦναι· ὅσον γὰρ ἐπὶ τοῖς παραδείγμασι τὸ γένος ὡς εἶδος εἴληπται τοῦ ἰδίου εἴδους. ἡ διαφέροι ἄν, εἰ εἴη προστιθέμενον τὸ τῆς διαφορᾶς ὄνομα τῷ γένει, ὡς μὴ λέγειν τὴν μῖξιν κρᾶσιν, ἀλλὰ τὴν μῖξιν διαφορὰν τῆς κράσεως. id. ib.

123a 7. ἔτι ἐπεὶ ἡ μῖξις ἐν τῷ τί ἐστι τῆς κράσεως κατηγορεῖται, μεθέξει τὸ γένος τῆς διαφορᾶς. τουτέστιν ἐστὶ τὸ εἰρημένον νῦν, οὐ τῷ τὴν διαφορὰν μὴ μετέχειν τοῦ γένους, ὃ πρότερον ἐρρέθη, ἀλλὰ τῷ τὸ γένος τῆς διαφορᾶς· τοῦτο γάρ ἐστι σημαινόμενον ὑπὸ τοῦ "καὶ μὴ μετέχειν τῆς διαφορᾶς," ὃ ἴσον ἂν εἴη τῷ καὶ μὴ ἐν τῷ τί ἐστι τὴν διαφορὰν κατηγορεῖσθαι τοῦ γένους. id. p. 164.

123a 11. ἐπεὶ ἐκ τοῦ γένους διαιρουμένου κατὰ τὰς διαφορὰς ἡ τῶν εἰδῶν αὐτοῦ γένεσις, δῆλον ὡς πᾶν εἶδος γένους τινὸς ἔχει καὶ διαφοράν τινα ἤ τινας τῶν τοῦ γένους κατηγορουμένας αὐτοῦ· διὰ τοῦτο γὰρ καὶ ὁ τῶν εἰδῶν ὁρισμὸς ἐκ γένους καὶ διαφορῶν... οὐ χρὴ δὲ ἀκούειν τοῦ κατηγορεῖσθαι τοῦ εἴδους τὴν διαφορὰν ὡς ἐν τῷ τί ἐστι λέγοντος αὐτοῦ· ἔδειξε γὰρ ὅτι οὔτε ἡ διαφορὰ ἐν τῷ τί ἐστι κατηγορεῖταί τινων τῶν ὑπὸ τὸ γένος, ὅταν καθ' αὑτὴν λαμβάνηται, οὔτε τι τῶν ὑπὸ τὸ γένος ἢ τὸ γένος αὐτῆς τῆς διαφορᾶς. id. ib.

123a 14. σαφὴς οὗτος ὁ τόπος· γνώριμον γὰρ ὅτι τὰ γένη τῶν εἰδῶν πρότερα τῇ φύσει· συναναιρεῖ μὲν γὰρ αὐτά, οὐ συναναιρεῖται δὲ ὑπ' αὐτῶν τὰ γένη. εἰ οὖν τὸ ὑποτεθὲν εἶδος συναναιρεῖ τὸ ὡς γένος ἀποδοθὲν αὐτοῦ, οὐκ ἂν αὐτοῦ εἶδος εἴη... ἔστι δὲ δυνάμει ὁ αὐτὸς οὗτος τόπος τῷ εἰ τὸ γένος τις εἰς τὸ εἶδος θείη, διαφέρει δὲ τῷ τρόπῳ τῆς ἀνασκευῆς. ἔστι δὲ μόνον ἀνασκευαστικὸς ὁ τόπος, οὐκέτι δὲ καὶ κατασκευαστικός. id. ib.

123a 20. ἐπεὶ ἀδύνατόν ἐστιν ἅμα τι τοὺς τοῦ ἐναντίου ἐπιδέχεσθαι λόγους, ἔστι δὲ καὶ τὸ γένος ἀχώριστον ἐκείνου οὗ ἐστὶ γένος, δεῖν φησίν, ὅταν ἀποδοθῇ τι ὡς γένος τινός, ἐπισκοπεῖν εἰ τὸ ὑποκείμενον ὡς εἶδος καὶ τοῦ ἐναντίου τῷ ἀποδοθέντι γένει ἐστὶν ἐπιδεκτικόν. id. p. 165.

123a 27. ὅτι τὰ γένη συνωνύμως τῶν εἰδῶν κατηγορεῖται καὶ ἐπιδέχεται τὰ εἴδη τὸν τῶν γενῶν λόγον· ἂν οὖν τὸ ἀποδοθὲν τινος ὡς γένος ὁμώνυμον ᾖ καὶ μὴ ἔχῃ τινὰ λόγον ὃς κατηγορηθήσεται κατὰ τοῦ ὡς ἐν εἴδει αὐτῷ τεθέντος, ἀλλὰ μόνον ὀνόματος αὐτῷ κοινωνῇ, οὐ γένος ἔσται τὸ ἀποδεδομένον. στοιχείοις δὲ χρησόμεθα πρὸς τὴν γνῶσιν τοῦ ὁμώνυμα αὐτὰ εἶναι τοῖς εἰρημένοις, φησί, πρὸς τὴν ὁμωνυμίαν, ἤτοι λέγων τοῖς ἐν τῷ ὁρισμῷ τοῦ ὁμωνύμου λεγομένοις, ἢ μᾶλλον τοῖς ἐν τῷ πρώτῳ παραδεδομένοις τόποις πρὸς τὴν τῶν ὁμωνύμων εὕρεσίν τε καὶ γνῶσιν... ὅτι γὰρ τὸ "εἰ ὁμώνυμον τὸ εἶδος τῷ γένει" εἴρηκεν ἀντὶ τοῦ εἰ ὁμωνύμως αὐτοῦ κατηγορεῖται, δῆλον ἐξ οὗ ἐπήνεγκεν εἰπὼν "συνώνυμον γὰρ τὸ γένος καὶ τὸ εἶδος." id. ib.

123a 31. οὕτω δειχθήσεται τῆς γραμμῆς μὴ ὂν τὸ μῆκος γένος, ὡς οἱ λέγοντες αὐτὴν μῆκος ἀπλατές· οὐδὲ γὰρ ἄλλο μῆκος παρὰ τὴν γραμμήν· ἡ γὰρ ἐπιφάνεια μῆκος μὲν ἔχει, οὐκ ἔστι δὲ μῆκος ἀλλ' ἐκ μήκους καὶ πλάτους. id. p. 166.

οὔτε ἀγροικίας σκληρότης, ὥς τινες ὁριζόμενοι αὐτὴν λέγουσι 123a 35. σκληρότητα ἤθους· ἡ γὰρ σκληρότης κυρίως ἐπὶ σωμάτων· πάθος γὰρ σώματος. id. ib.

δεῖν φησὶ σκοπεῖν εἰ τὸ ὡς εἶδος κείμενον ἐναντίον τινί ἐστιν. 123b 1. id. ib.

τὰ γὰρ ἐναντία ἢ ἐν τῷ αὐτῷ γένει ἢ ἐν τοῖς ἐναντίοις γένε- 123b 3. σιν ἢ αὐτὰ γένη. γένος μὲν οὖν οὐκ ἂν εἴη τὸ κείμενον ἐν γένει. ἀλλ' οὐδὲ ἐν ἐναντίῳ γένει, εἰ μὴ γένος εἴη τῷ ἀποδοθέντι γένει ἐναντίον. λείπεται ἄρα καὶ τὸ ἐναντίον τῷ τεθέντι ὡς εἴδει ἐν τῷ αὐτῷ εἶναι γένει. ἂν οὖν ἐκεῖνο μὴ ᾖ, οὐδ' ἂν τοῦτο εἴη· ἐν ᾧ γὰρ τὸ λευκόν, ἐν τούτῳ καὶ τὸ μέλαν· ἐν γὰρ χρώματι ἀμφότερα, ἐπεὶ τῷ χρώματι μηδέν ἐστιν ἐναντίον. ὁμοίως ἐπεὶ τὸ περιττὸν ἐν ἀριθμῷ ἐναντίον, καὶ τὸ ἄρτιον ἐν ἀριθμῷ. διὰ τούτου δεικνύοι τις ἂν μὴ οὖσαν τὴν φιλίαν ὑπὸ τὸ γένος τὴν ὁμόνοιαν, ὅτι ἡ ἔχθρα ἐναντίον οὖσα αὐτῇ οὔτε ὑπὸ τὴν ὁμόνοιάν ἐστιν οὔτε ὑπὸ τὴν ἐναντίαν τῇ ὁμονοίᾳ. id. ib.

ἔθος αὐτῷ καὶ τὸ ἀγαθὸν καὶ τὸ κακὸν γένη λέγειν, καίτοι ὁμω- 123b 11. νύμως λεγόμενα, ὡς ἐν Ἠθικοῖς ἔδειξεν. id. p. 167.

δεῖν φησὶ ζητεῖν πάλιν εἰ ὁμοίως τά τε εἴδη ἀλλήλοις ἐναν- 123b 12. τία καὶ τὰ γένη. τὸ δὲ ὁμοίως ἐστίν, εἰ ἀμφότερα τῶν ἀμέσων ἐστὶν ἐναντίων ἢ ἀμφότερα τῶν ἐμμέσων· εἰ γὰρ τῶν μέν ἐστί τι μέσον τῶν δὲ μηδέν, οὐ δόξει τὰ ἀποδοθέντα εἴδη ὑπὸ τὰ ἀποδεδομένα εἶναι γένη· δοκεῖ γὰρ ἔνδοξον εἶναι τὸ ὁμοίως ἐπ' ἀμφοῖν ἔχειν. id. ib.

ἔνστασιν πρὸς τὸν τόπον ὡς πιθανὸν μόνον, οὐκέτι δὲ καὶ ἀληθῆ, 123b 17. ὑποφέρει τὸ ὑγιείας μὲν καὶ νόσου μηδὲν εἶναι μεταξύ, ἀγαθοῦ δὲ καὶ κακοῦ ἐναντίων ὄντων γενῶν, ὑφ' ἃ ἥ τε ὑγίεια καὶ ἡ νόσος, εἶναί τινα μεταξὺ αὐτῶν· τὸ γὰρ οὔτε ἀγαθὸν οὔτε κακὸν μεταξὺ αὐτῶν. δεῖ δὲ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ ἀκούειν τῶν σωματικῶν, ἀλλὰ μὴ τῶν ὁμωνύμως λεγομένων· καὶ γὰρ τούτων ἔστι τινὰ ἔμμεσα· καὶ γὰρ εὐεξία καὶ καχεξία σωματικὰ ὄντα, τὸ μὲν ἀγαθὸν τὸ δὲ κακόν, ἔμμεσά ἐστιν· μέσον γὰρ αὐτῶν τὸ ὑγιαίνειν καὶ αἶσχος καὶ κάλλος καὶ ἰσχὺς καὶ ἀσθένεια. ἢ ταῦτα οὐ γένη τῶν προκειμένων, οὐδὲ κατὰ ἀπόφασιν τῶν ἄκρων μέσα, ὡς τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. id. ib.

οὕτω δεικνύοιτ' ἂν τοῦ κυρτοῦ μὴ ὂν γένος τὸ περιφερές· εἰ γὰρ 123b 27. τὸ μὲν κυρτὸν καὶ τὸ κοῖλον ἐναντία ὄντα ὑπὸ τὸ περιφερές, τὸ δὲ μεταξὺ τοῦ τε κυρτοῦ καὶ τοῦ κοίλου, ὅπερ εἴη ἂν ἢ τὸ εὐθὺ ἢ εὐθεῖα, μηκέτι ὑπὸ τὸ περιφερές, οὐδ' ἂν ἐκείνων γένος εἴη τὸ περιφερές. ἔνστασιν δὲ φέρει καὶ πρὸς τὸν τόπον τοῦτον· ἐπὶ γὰρ τῶν ἠθικῶν ἀρετῶν αἱ μὲν ὑπερβολαὶ καὶ αἱ ἔνδειαι ἐναντίαι οὖσαι ἀλλήλαις ὑπὸ τὴν κακίαν εἰσίν, αἱ δὲ ἀρεταὶ μέσαι αὐτῶν οὖσαι ὑπ' ἄλλο γένος εἰσίν· ὑπὸ γὰρ τὴν ἀρετήν. ἢ ὅτι συμβέβηκε ταύταις οὐ μόνον μέσαις εἶναι, ἀλλὰ καὶ ἐναντίαις ἑκατέρων τῶν ἄκρων. id. p. 168.

οὕτως ἐπεὶ ἁρμονίᾳ μὲν ἀναρμοστία ἐναντίον, ψυχῇ δὲ οὐδέν ἐστιν 123b 31. ἐναντίον, οὐκ ἔστιν ἡ ψυχὴ ἁρμονία, ὡς Πλάτων ἐπεχείρησεν ἐν τῷ Φαίδωνι. id. ib.

ῥηθέντος τόπου οὐ τῷ ἐπὶ πλέον λέγεσθαι τὸ εἶδος τοῦ γένους ἀνήρητο τὸ γένος, ἀλλὰ τῷ μὴ ἐφ' ὧν τὸ εἶδος καὶ τὸ γένος· δύναται δὲ ἐπὶ πλειόνων μὲν λέγεσθαι τὸ ἀποδοθέν τινος ὡς γένος, μὴ μέντοι κατὰ πάντων κατηγορεῖσθαι καθ' ὧν καὶ τὸ εἶδος, ἀλλὰ κατ' ἄλλων τινῶν... διὸ καὶ οἰκειότερον ἂν εἴη τούτῳ τῷ τόπῳ μᾶλλον τὸ τοῦ ὄντος καὶ τοῦ δοξαστοῦ παράδειγμα· ἐπὶ πλέον γὰρ τὸ δοξαστόν, εἴ γε καὶ κατὰ τῶν ὄντων πάντων καὶ τῶν μὴ ὄντων. εἰ δὲ μὴ πάντα τὰ ὄντα δοξαστά, ἐκείνου ἂν εἴη τοῦτό που τὸ παράδειγμα οἰκεῖον. id. ib.

121b 7. ἑκάτερον γὰρ αὐτῶν τῷ πᾶσι τοῖς οὖσι παρέπεσθαι ἐπ' ἴσων κατηγορεῖται. id. ib.

121b 15. ὁ τόπος, εἰ τὸ ἀποδοθέν τινος ὡς γένος τῶν ὁμοειδῶν αὐτῷ καὶ ἀδιαφόρων κατ' εἶδος μὴ εἴη γένος, οὐδ' ἂν τούτου, οὗ ἀπεδόθη ὡς γένος, εἴη γένος· πάντα γὰρ τὰ ἀδιάφορα κατ' εἶδος ἀλλήλοις ὑπὸ ταὐτὸν γένος... δεῖ δ' ἐν ἀτόμοις εἴδεσι ζητεῖν τὸ εἰρημένον εἰ ἔστιν, ἐπεὶ ἐπί γε τῶν ὡς γενῶν εἰδῶν οὐδὲν κωλύει τινὸς τῶν ὑπὸ τὸ εἶδος γένος τι ληφθῆναι μὴ πάντων ὂν τῶν ὁμοειδῶν αὐτῷ γένος... εἴη δ' ἂν οὗτος ὁ τόπος ὑπὸ τὸν πρῶτον τὸν εἰρημένον ἐν τούτῳ τῷ βιβλίῳ, δι' οὗ ἠξίου ἐπιβλέπειν ἐπὶ πάντα τὰ συγγενῆ τοῦ ζῴου, ὧν γένος ἀπεδόθη... ἢ ἐκεῖ μὲν ἁπλῶς ἀποδοθέντος τοῦ γένους ὡς πᾶσιν ὑπάρχοντος, ἠξίου ἐπὶ τὰ ὁμοειδῆ βλέπειν, εἴ τινι αὐτῶν μὴ ὑπάρχοι· ἐνταῦθα δὲ εἰ καὶ ἀφορίσας τινὰ τῶν ἐκ τοῦ αὐτοῦ εἴδους καὶ χωρίσας ἐκείνων γένος λέγοι τούτων τὸ ἀποδιδόμενον, ἀξιοῖ δείξαντας καὶ τἆλλα καθ' ὧν οὐ κατηγορεῖται τὸ ἀποδοθὲν γένος ὁμοειδῆ τοῖς ὧν ἀποδέδωκε τὸ γένος, οὕτω τὸ γένος ἀναιρεῖν... ἀνασκευάζειν μὲν οὕτως ἔστιν, κατασκευάζειν δὲ δείξαντας ἑνός τινος τῶν ὁμοειδῶν τὸ ἀποδεδομένον γένος· εἰ γὰρ ἑνός, ἀνάγκη καὶ πάντων. id. ib.

121b 24. ἐπεὶ μὴ δοκεῖ δύνασθαι τοῦ αὐτοῦ γένη εἶναι δύο, εἰ μὴ εἴη τὸ ἕτερον αὐτῶν ὑπὸ τὸ ἕτερον. id. p. 158.

121b 32. πρὸς τὴν ἔνστασιν πρῶτον μὲν λέγει ὅτι μὴ ὁμολογούμενόν ἐστι τὸ τὴν φρόνησιν ἐπιστήμην εἶναι· εἰ γάρ ἐστι περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλοτε ἄλλως ἔχοντα, οὐκ ἂν εἴη ἐπιστήμη ἡ φρόνησις. εἶτά φησιν ὅτι εἰ καὶ συγχωρηθείη εἶναί τι ἐν δύο γένεσι μὴ οὖσιν ὑπ' ἄλληλα· καὶ γὰρ εἰ μὴ ἡ φρόνησις ἀρετὴ οὖσα συγχωρεῖται ἐπιστήμη εἶναι, ἀλλ' ἥ γε σοφία ὑπ' ἄμφω ἐστίν· καὶ γὰρ ἀρετὴ καὶ ἐπιστήμη οὐκ ἔστιν ὑπ' ἄλληλα. id. ib.

122a 7. φθάνει τὸν τόπον τοῦτον προειρηκέναι δι' ὧν εἶπε (p. 121 *a* 10) "πάλιν εἰ ἀνάγκη ἢ ἐνδέχεται τοῦ τεθέντος ἐν τῷ γένει μετέχειν τὸ γένος." πρόσκειται δὲ ἐν τούτῳ τὸ κἂν τῶν ἐπαναβεβηκότων τι τοῦ ἀποδοθέντος ὡς γένους. δοκεῖ δὲ καὶ ἔξωθεν παρεμβεβλῆσθαι ὁ τόπος οὗτος· τὰ γὰρ ἐπιφερόμενα ἀκόλουθά ἐστι τῷ πρὸ τούτου εἰρημένῳ τόπῳ τῷ "σκοπεῖν δὲ καὶ τὸ γένος τοῦ ἀποδοθέντος γένους." εἰπὼν γὰρ δι' ἐκείνου τὴν ἀνασκευὴν τοῦ γένους, πῶς ἂν γένοιτο λαμβανομένων τῶν τοῦ ἀποδοθέντος γένους ὡς γενῶν, ἑξῆς ἐπιφέρει, δεικνὺς πῶς οἷόν τε δι' αὐτῶν τούτων πάλιν κατασκευάζειν ὅτι τὸ ἀποδοθέν ἐστι γένος. id. p. 159.

122a 19. ὅτι τοῦτο οὕτως ἔχει, δι' ἐπαγωγῆς φησὶ δεῖν δεικνύναι· οὐδαμοῦ γὰρ διαφωνοῦν εὑρεθήσεται. id. p. 160.

τὸ "μᾶλλον" προσέθηκεν, ὅτι μή ἐστιν ἁπλῶς ποιὸν ἡ δια- 122b 17.
φορά· ἡ γὰρ ἐν οὐσίᾳ διαφορὰ περὶ οὐσίαν μὲν τὸ ποιὸν ἀφορίζει, οὐ μὴν ποιόν ἐστιν ἀλλὰ οὐσία. λέγοι δ' ἂν διαφορὰν ποιὸν τὴν χωρὶς τοῦ ὑποκειμένου καὶ τῆς ὕλης ὑπολαμβανομένην. id. p. 162.

ὁμοίως ἁμαρτάνει, φησί, καὶ ὁ τὴν διαφορὰν ὡς εἶδος ἐν τῷ 122b 18.
γένει τιθείς, οὗ ἐστὶ διαιρετικὴ ἡ διαφορά. id. ib.

τὸ "ὥστε οὐδὲ τὸ περιττὸν εἶδος ἂν εἴη ἀλλὰ διαφορά, ἐπειδὴ οὐ 122b 23.
μετέχει τοῦ γένους" δοκεῖ μὲν ἔμπαλιν εἰρῆσθαι· οὐ γὰρ διότι οὐ μετέχει, διὰ τοῦτο διαφορά, ἀλλὰ διότι διαφορά, διὰ τοῦτο οὐδὲ μετέχει τοῦ γένους· γνωριμώτερον γὰρ τὸ διαφορὰν αὐτὸ εἶναι ἢ τὸ μὴ μετέχειν τοῦ ἀριθμοῦ. ἔτι καὶ αὐτὸς ὡς ὁμολογούμενον τὸ διαφορὰν αὐτὸ εἶναι λαβών, προσέθηκε τὸ "οὐ δοκεῖ δὲ μετέχειν ἡ διαφορὰ τοῦ γένους." id. ib.

οὕτως ἁμαρτάνει ὁ τῆς συνάψεως γένος τὴν συνοχὴν ἀποδι- 122b 25.
δούς· εἶδος γὰρ τῆς συνάψεως ἡ συνοχή· οὐ γὰρ πᾶν τὸ συναπτόμενον συνέχεται. id. ib.

εἶπε τὸ "ἀκουσίως" ἀντὶ τοῦ οὐχ ἑκουσίως μὲν κινεῖται, οὐ μὴν καὶ 122b 33.
ἀκουσίως. εἰ οὖν τινά ἐστιν οὐχ ἑκουσίως κατὰ τόπον μεταβάλλοντα, ἔστι δέ τινα καὶ ἑκουσίως τοῦτο ποιοῦντα, κατὰ τόπον μεταβάλλοντα, ὡς τὰ βαδίζοντα, εἴη ἂν ἐπὶ πλέον ἡ κατὰ τόπον κίνησις, οὐ πᾶσα δὲ ἡ κατὰ τόπον κίνησις φορά. συμβαίνει μὲν οὖν καὶ τοὺς τοῦτο ποιοῦντας τὸ ἐπ' ἔλαττον λεγόμενον τοῦ ἐπὶ πλέον λεγομένου γένος λέγειν· οὐ μὴν ἀλλὰ καὶ διαφέροι ἂν οὗτος ὁ τόπος ἐκείνου, ὅτι τὸ εἶδος αὐτοῦ οὗ εἶδός ἐστι, γένος ἀποδιδόμενον δείκνυσιν, ὃ πλεῖόν ἐστι τοῦ ἐπ' ἔλαττον λέγεσθαι. Πλάτωνος δὲ ἐμνημόνευσεν ὑπὲρ τοῦ ἐνδοξότερον ποιῆσαι τὸν τόπον καὶ τὸ χρήσιμον ἐνδείξασθαι αὐτοῦ, ὡς καὶ ἐνδόξων τινῶν κατὰ τοῦτο εὐθύνεσθαι δυναμένων. ἔλαβε δὲ καὶ ἑαυτὸν εὐθύνων· ἐν γὰρ τῷ πέμπτῳ τῆς Φυσικῆς (p. 226 *a* 32), εἰπὼν ἀνώνυμον εἶναι τὴν κατὰ τόπον κίνησιν, φορὰν αὐτὴν ὀνομάζει. id. ib.

ὁ γὰρ τοῦτο ποιῶν ἁμαρτάνει, καθὸ τὸ ἐπὶ πλέον λεγόμενον 122b 37.
ὑποτάσσει τῷ ἐπ' ἔλαττον λεγομένῳ· ἐπὶ πλέον γὰρ ἡ διαφορὰ τοῦ εἴδους. κἂν λαμβάνηται ἡ διαφορὰ ὡς ἡ συναμφότερον, οὕτως ἁμαρτάνει ὁ τοῦ ἀθανάτου κατηγορῶν τὸν θεόν (διαφορὰ μὲν γὰρ τὸ ἀθάνατον, εἶδος δὲ ὁ θεός, καὶ ἐπὶ πλέον τὸ ἀθάνατον, εἴγε μὴ πᾶν τὸ ἀθάνατον θεός) καὶ ὁ τοῦ λογικοῦ τὸν ἄνθρωπον. "συμβήσεται γὰρ ἐπ' ἴσης ἢ ἐπὶ πλέον τὸ εἶδος λέγεσθαι." τοῦτο εἶπεν οὐχ ὅτι τὸ γένος ἐπ' ἴσης ποτὲ λέγεται τῷ εἴδει, ἀλλ' ὅτι πᾶν τὸ κατηγορούμενόν τινος ἀληθῶς ἢ ἐπ' ἴσης ἐστὶν αὐτῷ ἢ ἐπὶ πλέον. εἰ οὖν καὶ τὸ εἶδος τῆς διαφορᾶς τις κατηγορεῖ, λέγοι ἂν ἢ ἐπ' ἴσης ἢ ἐπὶ πλέον εἶναι τὸ εἶδος τῆς διαφορᾶς. ἔχει δὲ οὐχ οὕτως· ἡ γὰρ διαφορὰ ἢ ἐπ' ἴσης ἐστὶ τῷ εἴδει οὗ κατηγορεῖται, ὅταν ἡ ἰδίως καὶ προσεχῶς εἰδοποιοῦσα ληφθῇ τὸ εἶδος. οὕτω τὸ πεζὸν εἰδοποιὸς οὖσα διαφορὰ τοῦ πεζοῦ ζῴου (εἶδος γὰρ τοῦτο τοῦ ζῴου) ἐπ' ἴσης ἐστὶν αὐτῷ. ἢ οὖν ἐπ' ἴσης, ὡς τὸ πτηνόν, ἢ ἐπὶ πλέον, ὡς τοῦ ἀνθρώπου τὸ δίπουν ἢ τὸ λογικόν· εἴη γὰρ ἂν ἐπ' ἴσης τῷ ἀνθρώπῳ τὸ ἐπιστήμης δεκτικόν, εἰ διαφορὰ καὶ τοῦτο. id. p. 163.

φανερῶς ἁμαρτάνει καὶ ὁ τοῦ γένους τὴν διαφορὰν κατηγορῶν· 123a 1.
ἐπ' ἔλαττον γὰρ ἡ διαφορὰ τοῦ γένους, καὶ ἔτι οὐδὲ τὸ γένος τῆς δια-

120 b 12. Παραδοὺς διὰ τοῦ δευτέρου τε καὶ τρίτου τῆς τοπικῆς πραγματείας τοὺς τόπους δι' ὧν οἷόν τε πρὸς τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα ἐπιχειρεῖν κατασκευαστικῶς τε καὶ ἀνασκευαστικῶς, εἴτε ἁπλῶς πότερον ὑπάρχει ἢ μὴ ὑπάρχει τὸ συμβεβηκὸς τῷ ὑποκειμένῳ ζητοῖτο, εἴτε καὶ συγκριτικῶς πρὸς ἄλλο, ἐπειδὴ καὶ τὰ συγκριτικὰ προβλήματα ὑπήγετο τοῖς ἀπὸ τοῦ συμβεβηκότος, ἑξῆς περὶ τῶν ἄλλων γενῶν τῶν προβλημάτων ποιεῖται τὸν λόγον. ἔστι δὲ τά τε ἀπὸ τοῦ γένους καὶ τὰ ἀπὸ τοῦ ἰδίου καὶ τὰ ἀπὸ τοῦ ὁρισμοῦ· ἐν γὰρ τούτοις τοῖς γένεσι τὰ διαλεκτικὰ πάντα προβλήματα... παραδίδωσι δὲ καὶ πρὸς τὰς κατασκευάς τε καὶ ἀνασκευὰς τῶν ἐν τούτοις τοῖς γένεσι προβλημάτων τόπους οἰκείους, καὶ πρῶτόν γε τοὺς πρὸς τὰ γενικὰ προβλήματα, ἐπεὶ μετὰ τὸ συμβεβηκὸς κοινότερον τῶν ἄλλων τὸ γένος· τὸ μὲν γὰρ συμβεβηκὸς κοινότατον καὶ ἁπλούστατον τῶν προβλημάτων· ἐν γὰρ ὑπάρξει μόνῃ τούτῳ τὸ εἶναι, ταῦτα δέ, τό τε γένος καὶ τὸ ἴδιον καὶ ὁ ὁρισμός, ἐν ποιᾷ μὲν ὑπάρξει πάντα... συντάσσει δὲ τοῖς ἀπὸ τοῦ γένους προβλήμασι καὶ τὸ ἀπὸ τῶν διαφορῶν, ὡς εἶπε καὶ ἐν τῷ πρώτῳ, διὰ τὸ τὴν διαφορὰν οὖσαν ἐν τῇ οὐσίᾳ τοῦ πράγματος οὗ ἐστὶ διαφορά, ὥσπερ καὶ τὸ γένος, κοινὴν καὶ αὐτὴν εἶναι καὶ ἐπὶ πλεῖον ὁμοίως τῷ γένει. ὑπάγοιτο δ' ἂν τοῖς γενικοῖς προβλήμασι καὶ τὰ ἀπὸ τῶν εἰδῶν προβλήματα, εἴ τινα εἴη, ἐπεὶ καὶ τὸ εἶδος κατὰ πλειόνων τε καὶ ἐν τῷ τί ἐστιν. **id. p. 152.**

διδάξαι περὶ τῶν συγκριτικῶν προβλημάτων, ἐν οἷς ἀναγκαῖον ἦν μόνον δεῖξαι ὅτι ὑπάρχει τόδε τῷδε, οὓς τόπους καὶ ὡς ἁπλουστέρους τῶν περὶ γενῶν καὶ ἰδίων προέταξε. **cod. Reg. 1845 in marg.**

120 b 13. λέγει ὀλιγάκις περὶ τῶν ἀπὸ γένους καὶ ἰδίου καὶ ὁρισμοῦ προβλημάτων γίνεσθαι τὸν λόγον τοῖς διαλεκτικοῖς· τὰ γὰρ πλεῖστα τῶν διαλεκτικῶν προβλημάτων περὶ συμβεβηκότος τινὸς τὴν ζήτησιν ἔχει. **Alexander p. 153.**

120 b 19. οὕτω καὶ Πλάτων ἐπεχείρησεν ἐν Φιλήβῳ, λαβὼν ἥδεσθαι μὲν τὸν ἀκολασταίνοντα, ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα, ἥδεσθαι δ' αὖ καὶ τὸν ἀνοηταίνοντα καὶ ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστόν· οἷς ἐπήνεγκεν ὅτι ἀνόητος ἂν φαίνοιτο ἐνδίκως ἀνομοίας αὐτὰς οὕτως αὐταῖς οὔσας εἰς ἓν γένος συνάγων τὸ ἀγαθόν. **id. ib.**

120 b 22. οὕτω δειχθήσεται μήτε τὸ λευκὸν γένος ὂν τῆς χιόνος, μήτε ἡ κίνησις ἢ ἡ αὐτοκινησία τῆς ψυχῆς, ὡς δοκεῖ Πλάτωνι. **id. ib.**

120 b 24. τὸ "οὔτε ἡ ψυχὴ ὅπερ κινούμενον" εἴη ἂν λέγων ἀντὶ τοῦ ὅπερ κίνησις. **id. p. 154.**

120 b 26. διαφέροι δ' ἂν οὗτος ὁ τόπος τοῦ πρὸ αὐτοῦ, ὅτι δι' ἐκείνου μὲν ἐδείκνυτο τὸ ὑποκείμενον μὴ ὂν ὅπερ τὸ κατηγορούμενον, ἐν τούτῳ δὲ ἔμπαλιν τὸ κατηγορούμενον μὴ σημαῖνον τί ἐστι τὸ ὑποκείμενον. **id. ib.**

120 b 32. ἐπιζητήσαι δ' ἄν τις πῶς ἢ τῇ χιόνι τὸ λευκὸν ἢ τῇ ψυχῇ τὸ αὐτοκίνητον οἷόν τε ὑπάρχειν τε καὶ μὴ κατὰ τοὺς ἀεικίνητον τιθεμένους τὴν ψυχήν. ἢ οὐ τούτοις αὐτὰ λέγει οἷά τε ὑπάρχειν τε καὶ μή, ἀλλὰ καθόλου τε καὶ ἁπλῶς πάσῃ οὐσίᾳ ὑπάρχει· εἰ γὰρ τούτοις ὡς εἴδεσι, καὶ ταῖς ἄλλαις ἂν οὐσίαις δέοι αὐτά, αἷς ὑπάρχει ὡς εἴδεσιν, ὑπάρχειν· εἰ δὲ ἔστιν αἷς οἷά τέ ἐστιν ὑπάρχειν τε καὶ μή, οὐκ ὄντα ἐκείνων γένη, οὐδ' ἂν τούτων εἴη τῶν ἐκείνοις ὄντων ἀνάλογον. ὥσπερ δὲ τὸ λευκὸν ὑπάρχον τισὶν οὐσίαις οἷόν τε ὑπάρχειν τε καὶ μή, οὕτω καὶ αὐτοκινησία· τὰ γὰρ ζῷα αὐτοκίνητα ὄντα οὐκ ἀεὶ κινεῖται. ὡς εἶναι τὸ λεγόμενον ἴσον τῷ μηδὲν τῶν οἵων τέ τισιν ὑπάρχειν τε καὶ μὴ γένος τινῶν οἷς ὑπάρχει εἶναι δύνασθαι, εἰ καί τισιν αὐτῶν οὕτως ὑπάρχει ὡς εἶναι αὐτῶν ἀχώριστον. **id. ib.**

121 a 1. διὰ ταῦτα οὐδὲ τῆς ψυχῆς ἡ κίνησις ἂν εἴη γένος, εἴγε ἡ μὲν ψυχὴ οὐσία, ἡ δὲ κίνησις οὐκ οὐσία ἀλλ' ἢ πάθος τι καὶ ποιότης ἢ πρός τι ἢ ποσόν. ἀλλ' οὐδὲ τῆς ἐπιστήμης τὸ ἀγαθὸν ἂν εἴη γένος, ἢ τὸ καλόν, εἴγε τὸ μὲν καλὸν ποιόν, ἡ δὲ ἐπιστήμη τῶν πρός τι. ἐπιζητήσαι δ' ἄν τις πῶς ἡ ἐπιστήμη γένος ἔσται γεωμετρίας καὶ μουσικῆς καὶ τῶν ἄλλων ἐπιστημῶν, εἴγε ἡ μὲν ἐπιστήμη πρός τι, ἐκεῖναι δὲ ποιότητες. ἢ οὐδὲν κωλύει τὴν ἐπιστήμην καὶ ποιότητα εἶναι, ἕξιν οὖσαν καὶ πρός τι, καὶ εἶναι αὐτὴν καθὸ ποιότης ἐστὶ γένος τῶν προειρημένων. **id. p. 155.**

121 a 12. οἷον ἂν λέγοι τις τοῦ ὄντος γένος τὸ τί ἦν εἶναι, ἢ τοῦ ἑνός· τὸ γὰρ τούτων τινὸς ἀποδοθὲν ὡς γένος πάντως ἐπιδέξεται τόν τε τοῦ ὄντος λόγον καὶ τὸν τοῦ ἑνός· πᾶν γὰρ τὸ ἐν ὑπάρξει ὂν καὶ ὂν καὶ ἕν ἐστιν. οὕτω δεικνύοις ἂν ὅτι μὴ καλῶς τὸ τὶ οἱ ἀπὸ τῆς Στοᾶς γένος τοῦ ὄντος τίθενται· εἰ γάρ τι, δῆλον ὅτι καὶ ὄν, εἰ δὲ ὄν, τὸν τοῦ ὄντος ἀναδέχοιτο ἂν λόγον. ἀλλ' ἐκεῖνοι νομοθετήσαντες αὐτοῖς τὸ ὂν κατὰ σωμάτων μόνων λέγεσθαι διαφεύγοιεν ἂν τὸ ἠπορημένον· διὰ τοῦτο γὰρ τὸ τὶ γενικώτερον αὐτοῦ φασὶν εἶναι, κατηγορούμενον οὐ κατὰ σωμάτων μόνον ἀλλὰ καὶ ἀσωμάτων. ἀλλ' ἐπεὶ γενικώτατον τὸ τί, εἴη ἂν ὑπ' αὐτὸ καὶ τὸ ἕν. ἀλλ' ἔστι καὶ τοῦ τινὸς αὐτοῦ τὸ ἓν κατηγορῆσαι· ὥστε οὐ γένος τὸ τὶ τοῦ ἑνός, ἐπιδεχόμενον αὐτοῦ τὸν λόγον. **id. ib.**

121 a 30. ἂν δή τι ὡς γένος τινὸς ἀποδοθῇ, ζητητέον εἰ τοῦτο οὗ τὸ γένος ἀπεδόθη, μήτε κατὰ τὴν πρώτην διαίρεσίν ἐστι τοῦ ἀποδεδομένου γένους μήτε τινὸς τῶν εἰδῶν αὐτοῦ μετέχει· ἂν γὰρ οὕτως ἔχῃ, ἀδύνατον αὐτοῦ γένος εἶναι τὸ ἀποδεδομένον. οἷον εἰ λέγοι τις τὴν ἡδονὴν ἐν γένει εἶναι τῇ κινήσει, ἐπεὶ μὴ κατὰ τὴν πρώτην διαίρεσιν τῆς κινήσεώς ἐστιν ἡ ἡδονή (διαιρεῖται γὰρ προσεχῶς ἡ κίνησις εἴς τε τὴν κατὰ τόπον καὶ εἰς τὴν κατὰ ποσὸν καὶ εἰς τὴν κατὰ ποιότητα καὶ εἰς τὴν κατ' οὐσίαν, ἀλλ' οὐκ εἰς ἡδονήν), δεῖ τὴν ἡδονήν, εἰ ἔστιν ὑπὸ τὸ γένος τὴν κίνησιν, τούτων τινὸς μετέχειν τῶν εἰδῶν τῆς κινήσεως... κοινότερον δὲ νῦν εἴδη τῆς κινήσεως λέγοιντ' ἂν τὰ εἰρημένα· οὐ γὰρ γένος ἡ κίνησις, ἀλλὰ τῶν πολλαχῶς λεγομένων. **id. p. 156.**

121 a 36. εἰπὼν ὅτι μὴ εἶδος ἡ ἡδονὴ τῆς κινήσεως, προσέθηκεν ὅτι ἀλλ' οὐδὲ τῶν ἀτόμων τι τῶν ὑπὸ τὴν κίνησιν ἡ ἡδονή· ὑπὸ γὰρ τὰ εἴδη τῆς κινήσεως τὰ ἄτομα τὰ ἐν αὐτῇ. εἰπὼν δὲ οὐδὲ τῶν ἀτόμων, ἐκ παραλλήλου εἶπε τὸ "οὐδὲ τῶν ὑπὸ τὸ εἶδος τῆς κινήσεως ὄντων." πάντα γὰρ τὰ ἐν κινήσει ἄτομα. **id. p. 157.**

121 b 1. δόξει δὲ ὁ τόπος οὗτος ὁ αὐτὸς εἶναι τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ "ὅτι εἰ κατά τινος τὸ εἶδος ἀποδοθὲν ἀληθεύεται, τὸ δὲ γένος μή," καὶ μάλιστα ἐπεὶ καὶ τῷ αὐτῷ παραδείγματι ἐπ' ἀμφοτέρων κέχρηται. οὐ μὴν ἀλλ' εἴη ἄν τις αὐτῶν διαφορά· ἐπὶ μὲν γὰρ τοῦ πρώτου

119b 1. πάλιν ἐπεὶ τοῖς κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένοις τόποις οὕτως ἔνεστι χρῆσθαι καὶ πρὸς τὰ καθόλου προβλήματα καὶ πρὸς τὰ ἐπὶ μέρους, μόνον ἐμνημόνευσεν ὡς ἐν τοῖς πρώτοις εἰρηκὼς περὶ τοῦ καθόλου· ἔστι μὲν γὰρ κατὰ ἕξιν καὶ στέρησιν ἀντικείμενα αἴσθησις καὶ ἀναισθησία. id. p. 145.

119b 3. παρατίθεται παραδείγματα καὶ τῶν κατὰ πρός τι ἀντικειμένων... οὐκέτι δὲ ἐμνημόνευσε τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν ἀντικειμένων, ὅτι μηδὲ ἔστιν ἐν μέρει ἀντίφασις· τῷ γάρ τι εἶναι τό τι μὴ εἶναι οὐκ ἀντίκειται. id. ib.

119b 5. εἰπὼν περὶ τῶν ἀντικειμένων, καὶ δείξας πῶς ἔνεστι τοῖς αὐτοῖς τόποις καὶ ἐπὶ τῶν καθόλου χρῆσθαι καὶ ἐπὶ τῶν ἐπὶ μέρους, πάλιν δείκνυσι πῶς τῷ ἀπὸ τῶν πτώσεων καὶ ἐπὶ τῶν ἐπὶ μέρους προβλημάτων οἷόν τε χρῆσθαι. πτῶσις μὲν γὰρ τὸ ἀδίκως, τὸ ἄδικον· ζητουμένου δὲ ἐπὶ μέρους εἴ τι ἄδικον ἀγαθόν, ἀπὸ τῶν πτώσεων οὕτως ἂν ἐπιχειρήσαι τις· εἴ τι τῶν ἀδίκως γινομένων ἀγαθόν, καί τι ἄδικον ἀγαθόν. εἰ δὲ καθόλου ἐζητεῖτο εἰ τὸ ἄδικον ἀγαθόν, ἁπλῶς ἂν ἐλαμβάνετο ἡ πτῶσις· εἰ τὸ ἀδίκως ἀγαθῶς, καὶ τὸ ἄδικον ἀγαθόν· ὅμοιον γὰρ ὡς ἐπὶ τοῦ καθόλου τὸ καθόλου, οὕτω καὶ ἐπὶ τοῦ ἐπὶ μέρους τὸ ἐπὶ μέρους λαμβάνειν. ἑξῆς δὲ τὸν ἀπὸ τῶν συστοίχων τόπον δείκνυσιν ἐφαρμόζοντα ταῖς ἐπὶ μέρους. id. ib.

119b 9. κοινότερον τῷ τῆς ἐπιστήμης ὀνόματι ἀντὶ τῆς γνώσεως χρῆται. id. p. 146.

119b 15. τὸ "τῶν ἄλλων" ἤτοι πρὸς τὰ παραδείγματα εἴρηκεν· οὐ γὰρ μόνον ἐπὶ τῶν εἰρημένων ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων, ἂν προχειρισώμεθα, ἀληθές. τὸ οὖν οὗ τὸ φθαρτικὸν αἱρετὸν αὐτὸ φευκτὸν εἶναι, καὶ οὗ ἡ γένεσις τῶν κακῶν καὶ αὐτὸ κακόν, οὐκ ἐπὶ ἐπιστήμης μόνον ἢ ἐπὶ τῶν ἄλλων λέγει τῶν παρεπομένων ταῖς γενέσεσι καὶ ταῖς φθοραῖς, οἷον τῶν ποιητικῶν, τῶν χρήσεων, τῶν λήψεων. id. ib.

119b 17. καὶ οἱ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ ἀπὸ τοῦ ὁμοίως παραδεδομένοι τόποι, ὁ μὲν ἐκ τοῦ μᾶλλον ἀνασκευαστικὸς μόνον (εἰ γὰρ τὸ μᾶλλόν τι ὂν μὴ ἔστιν, οὐδ' ἂν τὸ ἧττον ὂν εἴη), ὁ δὲ ἐκ τοῦ ἧττον κατασκευαστικός· εἰ γὰρ τὸ ἧττόν τι ὂν ἔστι, καὶ τὸ μᾶλλον τὸ αὐτὸ εἴη ἄν. καὶ ὁ ἀπὸ τοῦ ὁμοίου οὕτως πρὸς ἄμφω χρήσιμος, καὶ πρὸς κατασκευὴν καὶ ἀνασκευήν. id. ib.

119b 24. φησὶ καὶ τούτους τοὺς τόπους ὁμοίως καὶ ἐπὶ τῶν ἐπὶ μέρους προβλημάτων τὸ πιθανὸν ἔχειν ὡς καὶ ἐπὶ τῶν καθόλου, οὐκέτι δὲ τῆς διαφορᾶς αὐτῶν μνημονεύει, ἣν ὅτε τὴν παράδοσιν αὐτῶν ἐποιεῖτο ἐξέθετο, εἰπὼν ἓν περὶ δύο λέγεσθαι ἢ δύο περὶ ἑνὸς ἢ δύο περὶ δύο· φθάνει γὰρ ἑνὶ χρῆσθαι. χρῆται μέντοι παραδείγματι ἐν ᾧ ἓν περὶ δύο λέγεται... πάλιν δὲ καὶ ἐπὶ τούτων τῶν μὲν καθόλου οὐ μνημονεύει, ὡς εἰρηκὼς ἤδη περὶ αὐτῶν, δείκνυσι δὲ τὴν τῶν ἐπὶ μέρους ἐν αὐτοῖς ὁμοιότητα. id. p. 147.

119b 31. τί δέ ἐστι τὸ ἐξ ἄλλου γένους, αὐτὸς διὰ τοῦ παραδείγματος ἐδήλωσεν εἰπὼν (v. 19) "οἷον εἰ μᾶλλον μὲν ἐπιστήμη τις ἀγαθὸν ἢ ἡδονή, μηδεμία δὲ ἐπιστήμη ἀγαθόν, οὐδ' ἂν ἡδονὴ εἴη·" ἄλλο γὰρ γένος ἡ ἐπιστήμη καὶ ἄλλο ἡ ἡδονή. id. ib.

119b 32. τὸ δὲ ὑπ' αὐτοῦ εἰρημένον εἴη ἂν ἴσον τῷ, εἰ εἴη τὸ πρόβλημα εἴ τις ἐπιστήμη ἀγαθόν, ὃ ἴσον ἂν εἴη τῷ εἴ τις ἀρετὴ ἀγαθόν, ἂν δειχθῇ ὅτι ἡ μάλιστα ἐπιστήμη, τουτέστιν ἡ μάλιστα ἀρετή, μὴ ἔστιν ἀγαθόν, οὐδ' ἂν ἄλλη τις ἀρετὴ ἀγαθὸν εἴη. id. p. 148.

τίς ἐστιν ὁ ἐξ ὑποθέσεως τόπος, ἐδήλωσεν προσθεὶς "ὁμοίως 119b 35.
ἀξιώσαντα, εἰ ἐπί, καὶ πᾶσιν ὁμοίως ὑπάρχειν." καὶ γὰρ κατασκευαστικὸς καὶ ἀνασκευαστικὸς οὗτος ὁ ἐξ ὑποθέσεως τόπος. id. ib.

ἀδιορίστου ὄντος τοῦ προβλήματος, καὶ τὰ αὐτά ἐστι περὶ τῶν 120a 6.
ἐπὶ μέρους προβλημάτων. τὰ μὲν γὰρ ἁπλῶς καὶ ἀδιορίστως λέγεται, τὰ δὲ μετὰ διορισμοῦ τινὸς ἢ καὶ πλειόνων. δείκνυσιν οὖν πῶς μὲν τὰ ἀδιόριστα ἐπὶ μέρους ἀνασκευάζειν οἷόν τε πῶς δὲ τὰ διωρισμένα, καὶ τούτων πῶς μὲν τὰ ἧττον πῶς δὲ τὰ μᾶλλον, καὶ ὅτι τὰ ἀδιόριστα κατασκευασθῆναι ῥᾴω ἢ ἀνασκευασθῆναι. εἰκότως δὲ ἐν τοῖς περὶ τοῦ συμβεβηκότος λεγομένοις καὶ περὶ τῶν ἐπὶ μέρους προβλημάτων διέξεισιν· ὡς γὰρ ἤδη πλεονάκις ἐρρήθη, ἐν μόνῳ τῷ συμβεβηκότι μάλιστα τὰ ἐπὶ μέρους ἐστὶ προβλήματα. id. ib.

αὗται μὲν οὖν ἐπὶ μέρους ἀδιόριστοι, καὶ διότι οὐ διώρισται πότερον 120a 20.
διὰ τὸ καθόλου ἢ καθ' αὑτὰς τιθέασι τὸ ἐν μέρει. διωρισμένας δὲ ἐπὶ μέρους λέγει τήν τε λέγουσαν τὶς μὲν ἡδονὴ ἀγαθὸν τὶς δὲ οὔ, καὶ τὴν θεωρητικὴν ἡδονὴν μόνην ἀγαθόν. οὐσῶν δὲ διαφορῶν τούτων ἐν ταῖς ἐπὶ μέρους, πρῶτον μὲν περὶ τῆς ἀδιορίστου ἐπὶ μέρους τὸν λόγον ποιεῖται, καί φησι τὴν τοιαύτην ἐπὶ μέρους ἀνασκευάζεσθαι μὲν μοναχῶς, κατασκευάζεσθαι δὲ διχῶς... εἰ δὲ διωρισμένον εἴη τὸ πρόβλημα, ὃ θέσιν εἶπε, καὶ εἰ εἴη ὁ διορισμὸς τοιοῦτος ἐν τῷ προβλήματι εἰ τὶς μὲν ἡδονὴ ἀγαθὸν τὶς δὲ οὔ. δοκεῖ δέ μοι τὸ "τὶς δὲ οὔ" προστεθεικέναι οὐχ ὡς πάντως ὀφεῖλον ἐν τῇ προτάσει κεῖσθαι, ἀλλ' ὡς δηλωτικὸν οὐ τοῦ τὴν ἐπὶ μέρους μὴ εἶναι καθ' αὑτὴν ἀληθῆ μόνον ἀλλὰ διὰ τὴν καθόλου ὑφ' ἥν ἐστι, μηδὲ ἀδιορίστως· καὶ γὰρ εἰ εἶεν δύο προτάσεις κείμεναι, οὐκέτι ἡ μία πρότασις διχῶς ἀναιρεθήσεται, ἀλλὰ δύο οὖσαι ὑπὸ δύο, ἡ μὲν καταφατικὴ ὑπὸ τῆς καθόλου καταφατικῆς, ἡ δὲ ἀποφατικὴ ὑπὸ τῆς καθόλου ἀποφατικῆς. διχῶς δή, φησίν, ἐνδέχεται τὴν οὕτω διωρισμένην ἐπὶ μέρους ἀναιρεῖσθαι. id. p. 149.

ἀλλὰ καὶ εἰ κείμενον εἴη τρεῖς μόνας τάσδε τινὰς ἀρετὰς 120a 31.
ἐπιστήμας εἶναι, πενταχῶς ἂν ἀναιροῖτο κατὰ τὸν ὑφηγούμενον τρόπον· καὶ γὰρ διὰ τοῦ πᾶσα καὶ διὰ τοῦ οὐδεμία καὶ διὰ τοῦ πλείους καὶ διὰ τοῦ ἐλάττους καὶ δι' αὐτοῦ οὗ καὶ αὗται αἱ τρεῖς, αἳ ἦσαν ὠνομασμέναι ἐν τῷ προβλήματι. περὶ τούτων καὶ Θεόφραστος ἐπὶ τέλει τοῦ περὶ Καταφάσεως δοκεῖ πεποιῆσθαι λόγον. id. p. 150.

ὡς ἐν τῷ δευτέρῳ ἠξίου περὶ τῶν καθόλου προβλημάτων, ... 120a 32.
οὐχ οὕτω φησὶ δεῖν ποιεῖν καὶ ἐπὶ τῶν ἐν μέρει προβλημάτων· τοῦτο γὰρ εἶπε διὰ τοῦ "ἐν οἷς ὑπάρχειν τι ἢ μὴ εἴρηται." id. ib.

ἦν καὶ τοῦτο ἐπὶ τῶν καθόλου προβλημάτων εἰρημένον ἐν τῷ 120a 34.
δευτέρῳ... ἔστι δὲ οὐ πολὺ διαφέρων οὗτος τοῦ πρὸ αὐτοῦ, πλὴν ὅτι οὗτος μὲν τοῦ γένους τὴν διαίρεσιν εἰς εἴδη πρῶτον ἠξίου ποιεῖσθαι, εἶθ' οὕτως ἐπὶ τὰ εἴδη τῇ τάξει προϊόντας ἐπὶ τὰ καθ' ἕκαστα ἔρχεσθαι· ὁ δὲ πρὸ τούτου, εἰ καὶ μὴ γένος ἦν τὸ λαμβανόμενον, κοινὸν δέ τι, ἠξίου ἐπιβλέπειν εὐθὺς ἐπὶ τὰ ὑπ' αὐτὸ ἄτομα. id. ib.

δοκεῖ μέντοι αὐτὸς διὰ τῶν παραδειγμάτων τῶν καθόλου προ- 120b 6.
βλημάτων ἀλλ' οὐ τῶν ἐπὶ μέρους ἔτι μνημονεύειν. id. p. 151.

118b 10. οὐκ ἐπὶ πάντων δόξει ὁ τόπος ἀληθὴς εἶναι· οὐ γὰρ ἐπεὶ ἐλευθεριότης ἡ μετὰ πλούτου αἱρετωτέρα τῆς μετὰ ἰσχύος ἐλευθεριότητος, ἤδη καὶ πλοῦτος ἰσχύος αἱρετώτερος. οὐδὲ πάλιν ἐπεὶ ἰσχὺς μετὰ ἀνδρίας αἱρετώτερον ἢ πλοῦτος μετὰ ἀνδρείας, διὰ τοῦτο πάλιν ἰσχὺς αἱρετώτερον πλούτου. εἴη γὰρ ἂν τὸ αὐτὸ τοῦ αὐτοῦ ἧττον αἱρετώτερον καὶ μᾶλλον, εἴγε ἐπὶ μὲν τῆς ἐλευθεριότητος ὁ πλοῦτος τῆς ἰσχύος, ἐπὶ δὲ τῆς ἀνδρίας ἡ ἰσχὺς αἱρετωτέρα τοῦ πλούτου· ὅπερ ἄτοπον. ἀλλ' οὐδὲ εἰ ἰσχὺς μετὰ ἀνδρίας αἱρετώτερον ἢ μετὰ σωφροσύνης, ἤδη καὶ ἀνδρία σωφροσύνης αἱρετωτέρα. αἴτιον δὲ τοῦ μὴ ἐπὶ πάντων ἀληθῆ γίνεσθαι τὸν τόπον, ὅτι ἐπὶ πολλῶν τὸ κοινὸν ᾧ ἡ προσθήκη γίνεται τῷ ἑτέρῳ τῶν προστιθεμένων ἢ χρῆται ἢ ὅλως ἐστὶν αὐτῷ συνεργόν· διὸ οὐκ ὄντος αὐτοῦ αἱρετωτέρου, ὅμως τὸ ὅλον αἱρετώτερον γίνεται· τῷ μὲν γὰρ πλούτῳ ἡ ἐλευθεριότης χρῆται, μὴ χρωμένη τῇ ἰσχύϊ κατὰ τὴν οἰκείαν ἐνέργειαν, πάλιν δὲ τῇ ἰσχύϊ ἡ ἀνδρία, μὴ χρωμένη τῷ πλούτῳ, καὶ ἡ ἰσχὺς τῇ μὲν ἀνδρίᾳ συνεργός ἐστι, τῇ δὲ σωφροσύνῃ οὐδαμῶς. διὸ καὶ αὐτὸς εἶπε δεῖν εὐλαβεῖσθαι. id. ib.

118b 17. τοῦτο προδηλότατον μὲν ἐπὶ μεγεθῶν τε καὶ ἀριθμῶν ἐστίν. ἐλαττοῦται γὰρ τὰ δέκα καὶ τῇ τῶν τριῶν καὶ τῇ τῶν πέντε ἀφαιρέσει· ἀλλ' ἐπειδὴ μᾶλλον ἐλαττοῦται τῇ τῶν πέντε ἀφαιρέσει ἢ τῇ τῶν τριῶν, τὰ πέντε τῶν τριῶν πλείω. id. p. 139.

118b 21. ὡρίσατο καὶ τὸ πρὸς δόξαν αἱρετόν· ὃ γὰρ μηδενὸς συνειδότος μὴ ἂν σπουδάσαι τις ὑπάρχειν αὐτῷ, τοῦτ' ἔστι τὸ διὰ δόξαν αἱρετόν. id. ib.

118b 23. ὅθεν εἴρηται καὶ τὸ "ἄγνωστον μηδὲν ἔχοιμι καλόν." ὁμοίως δ' ἂν δεικνύοιτο καὶ φευκτότερον, ὃ καὶ δι' αὐτὸ καὶ διὰ τὴν δόξαν φευκτόν ἐστι, τοῦ διὰ θάτερον μόνον. id. p. 140.

118b 33. ὁ τόπος δυνάμει ἤδη καὶ ἐν τοῖς πρώτοις εἴρηται· ὧν γὰρ τὰ τέλη αἱρετώτερα, καὶ αὐτὰ αἱρετά. id. p. 141.

119a 7. ... οὐκέθ' ὁμοίως φανερῶς τὸ αἱρετὸν ἐν τῇ κατὰ τὸ χρήσιμον συγκρίσει περιέχεται. ἔστιν οὖν ὃ λέγει, ὅτι ἐπ' ἐνίων οὐ δεῖ κατασκευῆς πρὸς τὸ δεῖξαι αἱρετώτερον τῶν κατὰ τὴν σύγκρισιν λεγομένων· ἴσως μὲν γὰρ πρὸς τὸ δεῖξαι τὸ χρήσιμον αἱρετὸν ἢ τὸ ἡδὺ ἢ τὸ ἄλυπον ἢ τὸ πολυχρόνιον λόγου δεῖ· ἐν οἷς δὲ κατὰ τὸ ἀγαθὸν ἡ σύγκρισις, ταῦτα προδήλως τὸ αἱρετὸν ἔχει· τὸ γὰρ αἱρετὸν ἀγαθόν. ἢ οὐ τοῦτό ἐστι τὸ λεγόμενον διὰ τοῦ "ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅσα τοιαύτην ἔχει τὴν σύγκρισιν," ἀλλὰ ἐπεὶ ἔνια τῶν κατὰ σύγκρισιν λεγομένων οὐ πάντως καὶ τὸ ἁπλῶς ἐμφαινόμενον ἔχει· οὐ γὰρ εἰ τὸ ἑνὶ ὑπερέχον τινὸς πλεῖον ἐκείνου, καὶ διὰ τοῦτο τὰ τρία τῶν δύο πλείω, ἤδη καὶ τὸ πολλὰ εἶναι τὰ τρία οἷόν τε διὰ τοῦ κειμένου τόπου δεικνύναι, ἀφελόντας αὐτοῦ τὴν πρὸς τὰ δύο ὑπεροχήν. ἀλλ' οὐδὲ ἐπεὶ πᾶν τὸ ληφθὲν μέγεθος, κἂν ᾖ μικρόν, ὑπερέχει τινός, τὸ δ' ὑπερέχον τινὸς μεῖζον, ἤδη, διότι μεῖζον, καὶ μέγα. διὰ τοῦτο οὖν προσέθηκε τὸ "ὅσα τοιαύτην ἔχει." τοιαύτην δὲ ἔχει τὴν σύγκρισιν τὸ αἱρετώτερον ἄλλο ἄλλου δεικνύναι τι τῷ πολυχρονιωτέρῳ ἀγαθῷ, τῷ βεβαιοτέρῳ, τοῖς τοιούτοις... ἐπιζητήσαι δ' ἄν τις εἰ ἐπὶ πάντων ὑγιὲς τὸ τὸ μᾶλλόν τι ὂν καὶ ἁπλῶς εἶναι. λέγεται γὰρ καὶ γῆ γῆς κουφοτέρα, οὐκ οὖσα ἁπλῶς κούφη. id. ib.

119a 12. περὶ τοῦ μᾶλλον καὶ τοῦ μείζονος καὶ ὅλως τῶν ἐν συγκρίσει παραδοὺς ἡμῖν τοὺς συγκριτικοὺς τόπους ἐπὶ ὡρισμένου τινός (ἐπὶ γὰρ τοῦ αἱρετοῦ)... δεῖν φησὶ τοὺς συγκριτικοὺς τόπους, ὡς ἐδήλωσε τῇ προσθέσει τῇ περὶ τοῦ μᾶλλον καὶ μεῖζον, ὡς καθολικωτέρους λαμβάνειν· οὕτω γὰρ λαμβανόμενοι πρὸς πλείω χρήσιμοι ἔσονται, καὶ οὐ μόνον πρὸς τὰ αἱρετὰ καὶ φευκτά, πρὸς ἃ νῦν αὐτοῖς κεχρήμεθα. id. p. 142.

119a 16. ἂν δὴ εἴπωμεν ἀντὶ τοῦ φύσει ἀγαθὸν τὸ φύσει τοιοῦτον τοῦ μὴ φύσει τοιούτου μᾶλλον τοιοῦτον, καθόλου τε ἐποιήσαμεν τὸν τόπον, καὶ χρῆσθαι αὐτῷ πρὸς πάντα δυνησόμεθα ἐν οἷς ἐστὶ τὸ φύσει καὶ τὸ μὴ φύσει. id. p. 143.

119a 21. τοῦ τόπου τοῦ λέγοντος, εἰ τὸ μὲν ἀγαθοῦ τινὸς μεῖζον εἴη ἀγαθόν, τὸ δὲ ἀγαθὸν μὲν εἴη μηδενὸς δὲ ἀγαθοῦ μεῖζον, αἱρετώτερον τὸ ἀγαθοῦ τινὸς μεῖζον. καὶ καθόλου ἐστὶν οὗτος ὃν ἐκτίθεται· δυνάμεθα γὰρ δι' αὐτοῦ καὶ θερμότερον ἄλλο ἄλλου ὂν δεικνύναι καὶ γλυκύτερον καὶ ἄλλα μυρία, τῷ τὸ τοιοῦτο πολλοῖς ἐφαρμόζειν, καὶ μὴ τοῖς αἱρετοῖς μόνοις. ἔοικε δὲ ἄλλος τις παρὰ τοὺς εἰρημένους ὁ τόπος οὗτος εἶναι, ἂν οὕτω τις αὐτοῦ ἀκούῃ· τὸ γὰρ θερμόν, εἰ τοῦ μᾶλλον θερμοῦ θερμότερον, μᾶλλον θερμόν, καὶ τὸ τοῦ μᾶλλον γλυκέος· ὁμοίως καὶ ἐπὶ ψυχροῦ καὶ πικροῦ καὶ τῶν τοιούτων. id. ib.

119a 23. τὸ γὰρ μᾶλλον τοιοῦτον καθολικώτερον τοῦ αἱρετώτερον, ἁρμόζον καὶ ἐπὶ λευκοῦ καὶ γλυκέος καὶ κακοῦ καὶ τῶν τοιούτων. id. ib.

119a 27. δύναται καὶ ἀπὸ τοῦ τελευταίου εἰρημένου τόπου οὗτος μετενηνέχθαι, τοῦ "ἔτι εἰ τὸ ὁμοίως δεικνύναι φευκτόν." id. p. 144.

119a 28. ἴσως οὐ παραδέδωκε τοῦτον τὸν τόπον ἐπὶ τῶν τὰ αἱρετώτερα δεικνύντων τόπων, ὅτι μήτε τοῦ αἱρετοῦ ἀγαθοῦ εἷς ἦν λόγος· τῶν γὰρ πολλαχῶς λεγομένων τὰ ἀγαθὰ καὶ αἱρετά. id. ib.

119a 32. εἰπὼν ἐν τῷ δευτέρῳ καὶ ἐν τούτῳ περὶ τῶν καθόλου προβλημάτων, ὅσα τοῦ συμβεβηκότος ἔχεται ἢ ἁπλῶς τὴν ζήτησιν ἔχοντα ἢ συγκριτικήν, τίνες ἁρμόσουσι πρὸς αὐτὰ τόποι, νῦν περὶ μὲν τῶν συγκριτικῶν προβλημάτων οὐκέτι λέγει, δείκνυσι δὲ πῶς οἷόν τέ ἐστι τοῖς παραδεδομένοις τόποις χρῆσθαι καὶ πρὸς τὴν τῶν ἐπὶ μέρους προβλημάτων κατασκευήν τε καὶ ἀνασκευήν... τούτων δὲ ἐμνημόνευσεν, ὡς εἶπεν, καὶ τοῦ δευτέρου ἀρχόμενος, δι' ὧν εἶπεν (p. 109 a 1) "ἔστι δὲ πρὸς ἀμφότερα τὰ γένη τῶν προβλημάτων κοινὰ τὰ καθόλου κατασκευαστικὰ καὶ ἀνασκευαστικά." νῦν δὲ σαφέστερον ἐξείργασται. id. ib.

119a 36. μάλιστα ἐπικαίρους καὶ κοινούς φησιν εἶναι τόπους πρός τε τὰ καθόλου καὶ τὰ ἐπὶ μέρους προβλήματα τούς τε ἐκ τῶν ἀντικειμένων καὶ τῶν συστοίχων καὶ τῶν πτώσεων· οὐ γὰρ πάντα τὰ ἐπὶ μέρους οἷόν τε διὰ τῶν καθόλου δεδεῖχθαι, τῷ εἶναί τινα τῶν ἐπὶ μέρους καὶ καθ' αὑτὰ ἀληθῆ τε καὶ ψευδῆ· διὸ δεῖ πρὸς αὐτὰ καὶ ἰδίων τινῶν τόπων... καὶ ἐπεὶ τετραχῶς λέγεται τὰ ἀντικείμενα, ἐφ' ἑκάστου εἴδους ἀντιθέσεως χωρὶς τῶν κατὰ ἀντίφασιν ἀντικειμένων δείκνυσιν ὅτι ὁ αὐτὸς τόπος ὁμοίως ἁρμόσει, καθόλου τε ὄντος τοῦ προβλήματος καὶ ἐν μέρει μεταφερόμενος ἐπὶ ταῦτα ἀπ' ἐκείνου. καὶ πρῶτόν γε ἐπὶ τῶν ἐναντίων δείκνυσι τοῦτο. id. ib.

τὸ ὅπερ τόδε τι τοῦ μὴ ἐν γένει" (p. 116 a 23)· καὶ γὰρ τὰ παραδείγματα οἷς ἐπ' αὐτοῦ χρῆται τοιαῦτα εἶναι δοκεῖ· ἡ γὰρ δικαιοσύνη, φησί, τοῦ δικαίου ἐγγυτέρω τοῦ ἀγαθοῦ· τοῦτο δέ ἐστιν ὅτι ἡ μὲν δικαιοσύνη ἐν γένει ἐστὶ τῇ ἀρετῇ καὶ ἀγαθῷ, ὁ δὲ δίκαιος οὐκέτι. ἢ οὐ τοῦτον δίκαιον λέγει τὸν ἔχοντα τὴν δικαιοσύνην, ἀλλὰ δίκαιόν τι, ὃ δύναται θέσει καὶ νόμῳ καὶ οὐ φύσει εἶναι τοιοῦτο. καὶ οὕτω δὲ ἡ διαφορὰ αὐτοῖς, ὅτι ἡ μὲν δικαιοσύνη ἐν γένει τῷ ἀγαθῷ, τὸ δὲ δίκαιον οὐ πάντως· πῶς γὰρ ἄλλως ἐγγυτέρω ἂν ἡ δικαιοσύνη ληφθείη τῷ ἀγαθῷ, εἰ μή τις λέγοι ὅτι τῷ τέλει καὶ τῇ εὐδαιμονίᾳ. καὶ οὗτος δὲ ὁ τόπος προείρηται, ὡς εἶπον. εἰ δὲ εἷς εἴη ὁ τόπος, λέγοι ἂν δι' αὐτοῦ ὅτι τὸ ἐγγυτέρω τοῦ ἀγαθοῦ βέλτιον· ἐξηγούμενος δὲ πῶς ἐγγυτέρω εἶπε, προσέθηκε "καὶ τὸ ὁμοιότερον ὂν τῷ ἀγαθῷ·" τὸ γὰρ οὕτως ἐγγυτέρω καὶ ὁμοιότερον αὐτῷ εἶναι τοῦτο αἱρετώτερον. εἰ δὲ τοῦτο εἴη λέγων, τὰ παραδείγματα αὐτῷ δύο εἶναι, ἢ ὅτι ἡ δικαιοσύνη ὁμοιότερόν ἐστι τῷ ἀγαθῷ, τουτέστι τῇ εὐδαιμονίᾳ, ἢ τὸ δίκαιον πρᾶγμα, ἢ ὁ δίκαιος· καὶ γὰρ οὐδὲ εἶπε τὸ ἐγγυτέρω ἀγαθοῦ καὶ τὸ ὁμοιότερον τῷ ἀγαθῷ, ἃ σημαίνοι ἂν τὸ κυριώτατον τῶν ἀγαθῶν. ἔτι ὁ μετὰ τοῦτον τόπος ἐστὶν ἀπὸ τῆς πρὸς τὰ ἄλλα ἀγαθὰ ὁμοιότητος. οὕτως ἂν δεικνύοιτο καὶ ἀρετὴ εὐτυχίας αἱρετώτερον (ἐγγυτέρω γὰρ καὶ ὁμοιότερον εὐδαιμονίᾳ) καὶ εὔκλεια ἡδονῆς· ὁμοιότερον γὰρ τῷ καλῷ. id. p. 131.

117 b 16. δεῖ τῆς λέξεως ἀκούειν τῆς "τοῦ ἑτέρου ὄντος μὲν ἀγαθοῦ μὴ ὁμοίου δέ," ὡς λεγούσης τὸ "μὴ ὁμοίου δέ" ἀντὶ τοῦ μὴ ἐπ' ἴσης δὲ ὁμοίου· οὕτω γὰρ τὸ συγκριτικὸν σώζοιτο ἄν. ἢ δύναται καὶ ἁπλῶς εἰρῆσθαι· καὶ γὰρ ἐπὶ τοῦ ἐπιφερομένου οὐχ ἧττον λέγει τὸν ἵππον τῷ ἀνθρώπῳ ὅμοιον εἶναι τοῦ πιθήκου, ἀλλὰ τὸν μὲν πίθηκον ἐπὶ τὰ γελοιότερα ὅμοιον, τὸν δ' ἵππον οὐδ' ὅλως ὅμοιον. id. p. 132.

117 b 24. εἰ γὰρ ὁ μὲν Ὀδυσσεὺς ἠρέμα εἴη τῷ Νέστορι ὅμοιος, ὄντι τοῦ Ἀχιλλέως βελτίονι, ὁ δὲ Αἴας σφόδρα τῷ Ἀχιλλεῖ, οὐκ ἤδη Ὀδυσσεὺς βελτίων ἂν εἴη τοῦ Αἴαντος· οὗτος μέντοι διὰ τοῦ παραδείγματος ὡς βελτίονα τὸν Ἀχιλλέα τοῦ Νέστορος λαβὼν οὕτω τὴν σύγκρισιν πεποίηται. δεῖ δὲ λαμβάνεσθαι τὰς ὁμοιότητας καθ' ἑκάτερον τῶν πρὸς ἃ ἡ ὁμοιότης ἔχει τι ἀγαθόν. id. ib.

117 b 36. καὶ εἰ τὸ βέλτιστον δὲ τῶν ἔν τινι γένει τοῦ βελτίστου τῶν ἐν ἄλλῳ γένει βέλτιον, καὶ ἁπλῶς τὸ γένος τοῦ γένους βέλτιον ἔσται. ἔστι δὲ τοῦτο ἀντιστροφὴ τοῦ πρώτου τόπου· εἰ γὰρ ὁ ἄριστος ἀνὴρ τῆς ἀρίστης γυναικὸς βελτίων, καὶ ἀνὴρ γυναικὸς βελτίων, καὶ εἰ ὁ ἄριστος ἄνθρωπος τοῦ ἀρίστου ἵππου βελτίων, καὶ ἄνθρωπος ἵππου βελτίων. ἐνίσταιτο δ' ἄν τις τῇ ἀντιστροφῇ, λέγων τὸν μὲν ἄριστον θάνατον τοῦ ἀρίστου περιπάτου βελτίονα εἶναι, οὐ μὴν καὶ ἁπλῶς θάνατον περιπάτου αἱρετώτερον. ἢ οὐκ ἔστιν ὁ ἄριστος θάνατος ἐν εἴδει τῷ θανάτῳ, ὡς ἄριστος ἄνθρωπος ἐν εἴδει τῷ ἀνθρώπῳ. id. p. 133.

118 a 4. χρὴ μεμνῆσθαι ὅτι ἔνδοξοι καὶ πιθαναὶ ἐπιχειρήσεις εἰσίν. δεικνύοι δ' ἄν τις οὕτω καὶ τὸ χρῆσαι τοῦ δανεῖσαι αἱρετώτερον· ἡ μὲν γὰρ χρῆσις πρὸς τοὺς φίλους, τὸ δὲ δανεῖσαι πρὸς τοὺς τυχόντας. καὶ τὸ διδάσκειν τοῦ ἐπιδείκνυσθαι· διδάσκειν μὲν γὰρ τοὺς φίλους αἱρούμεθα, ἐπιδείκνυσθαι δὲ καὶ τοῖς τυχοῦσιν. id. p. 134.

118 a 10. τὸ γοῦν φιλοσοφεῖν τε καὶ θεωρεῖν βέλτιον μέν ἐστι τοῦ χρηματίζεσθαι, οὐ μὴν καὶ αἱρετώτερον τοῖς ἐν ἐνδείᾳ οὖσι καὶ μὴ δυναμένοις ἄλλως εἶναι· κατὰ γὰρ τὸν Φωκυλίδην δεῖ ζητεῖν βιοτήν, ἀρετὴν δ' ὅταν ᾖ βίος ἤδη. οὕτω δὲ καὶ τὸ ὑγιαίνειν τοῦ φιλοσοφεῖν αἱρετώτερον ἂν εἴη τῷ νοσοῦντι. διὸ καὶ "σχεδὸν" φησι βελτίω μὲν εἶναι τὰ ἐκ περιουσίας, αἱρετώτερα δὲ τὰ ἀναγκαῖα, τὸ σχεδὸν οὐ τοῖς βελτίοσι προσθεὶς ἀλλὰ τοῖς αἱρετωτέροις· καὶ γὰρ δοκεῖ κατὰ φύσιν εἶναι ἡ τῶν ἐκ περιουσίας αἵρεσις μετὰ τὰ ἀναγκαῖα. id. ib.

118 a 16. δοκεῖ δὴ παρὰ μὲν τῆς ἀνδρίας ἡμῖν περιγίνεσθαι ἡ ἐκ τῶν κινδύνων σωτηρία, παρὰ δὲ τῆς δικαιοσύνης τὸ τοῦ ἴσου διανεμητικοῖς εἶναι. τούτων δ' ἡ μὲν σωτηρία παρὰ τῆς ἀνδρίας γινομένη δύναται καὶ παρ' ἄλλων ἡμῖν περιγίνεσθαι μὴ οὖσιν αὐτοῖς ἀνδρείοις, τὸ δὲ διανεμητικοῖς εἶναι τοῦ ἴσου χωρὶς τῆς οἰκείας δικαιοσύνης οὐκ ἄν τινι περιγένοιτο· διὸ αἱρετωτέρα ἀνδρίας δικαιοσύνη. id. p. 135.

118 a 19. οὐ μόνον δὲ ἐπὶ τῆς ἰδίως δυνάμεως λεγομένης τοῦτο, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἀγαθῶν, ἃ ἔθος αὐτῷ δυνάμεις λέγειν, ὅμοιος ὁ λόγος· οὐδὲν γὰρ αὐτῶν αἱρετόν ἐστι χωρὶς φρονήσεως. id. ib.

118 a 27. ἐπεὶ ἡ οἰκεία ἀρετὴ ἑκάστου ἀκρότης ἐστὶ καὶ τελειότης τῆς οἰκείας φύσεως αὐτοῦ, πᾶν δὲ αἱρετώτερον τέλειον ἁπλῶς, εἰκότως τῶν ὑπὸ τὸ αὐτὸ εἶδος τὸ τὴν οἰκείαν ἔχον ἀρετὴν αἱρετώτερον τοῦ μὴ οὕτως. id. p. 136.

118 a 29. ἐπεὶ τὰ ἀγαθὰ πολλαχῶς λέγεται, καὶ τὰ μὲν αὐτῶν τῇ οἰκείᾳ παρουσίᾳ ἀγαθοὺς ποιεῖ τοὺς ἔχοντας αὐτά, ὡς αἱ ἀρεταί, τὰ δὲ οὔ, ὡς πλοῦτος εὐγένεια ἡδονή, τὰ τοιαῦτα αἱρετώτερα τῶν ἀγαθῶν ἃ ἀγαθοὺς παρόντα ποιεῖ. id. ib.

118 a 34. ὥσπερ τὸ αἱρετὸν ἐν τῷ πρὸ τούτου ἁπλῶς ἀπὸ τῶν πτώσεων καὶ τῶν συστοίχων ἔδειξε δείκνυσθαι δυνάμενον, οὕτω καὶ τὸ αἱρετώτερον· κοινοὶ γὰρ οἱ τόποι καὶ οὗτοι, ὥσπερ καὶ οἱ ἀπὸ τῶν γενέσεών τε καὶ φθορῶν ἐδείχθησαν... καὶ ἔμπαλιν δύναται καὶ ἄλλος μὲν εἶναι τόπος ὁ ἀπὸ τῶν πτώσεων, ἄλλος δὲ ὁ ἀπὸ τῶν πράξεων καὶ ἄλλος ὁ ἀπὸ τῶν ἔργων· καὶ γὰρ αἱ χρήσεις κυρίως λέγονται τῶν χρησίμων· τινὸς γὰρ χρῆσις ἡ χρῆσις· ἐνέργεια γάρ ἐστί τις ἡ περὶ τὸ χρήσιμον καὶ χρησίμου. χρήσιμα δὲ λέγεται τῶν ἀγαθῶν ἰδίως τὰ ὀργανικά. ὧν οὖν αἱ χρήσεις αἱρετώτεραι, καὶ αὐτὰ αἱρετώτερα. id. ib.

118 b 2. ἔτι εἴ τινος τοῦ αὐτοῦ τὸ μὲν μεῖζον ἀγαθόν ἐστι τὸ δὲ ἔλαττον, αἱρετώτερον τὸ μεῖζον, ὡς τὸ τοῦ μείζονός τινος μεγέθους μεῖζον καὶ τοῦ ἐλάττονός ἐστι μεῖζον... οὕτως δειχθήσεται ἀρετὴ ἡδονῆς αἱρετώτερον, ἐπεὶ τῆς ὑγιείας, ἥ ἐστι τῆς ἡδονῆς αἱρετώτερον, ὑπερέχει τῷ αἱρετῷ. id. p. 137.

118 b 3. οἷον ἐπεὶ πλούτου ἀρετὴ καὶ ὑγίεια αἱρετωτέρα, πλείων δὲ ἡ τῆς ἀρετῆς ὑπεροχὴ ἢ ἡ τῆς ὑγιείας, ἡ ἀρετὴ τῆς ὑγιείας αἱρετωτέρα. id. p. 138.

118 b 7. οὐκ ἔστιν ὁ τόπος οὗτος ὁ αὐτὸς τῷ πρὸ ὀλίγου εἰρημένῳ (p. 118 a 16) τῷ "καὶ ὃ μὴ ἔστι παρ' ἄλλου πορίσασθαι ἢ ὃ ἔστι καὶ παρ' ἄλλου." ἐκεῖ μὲν γὰρ ὃ μὴ ἔστι παρ' ἄλλου πορίσασθαι ἀλλὰ δι' αὐτοῦ μόνον, ἐνταῦθα δὲ οὗ αἴτιος αὐτὸς μᾶλλον ἢ οὗ ἕτερος· καὶ γὰρ τοῦ δυναμένου δι' ἄλλου ἐστὶν ἃ αἱρούμεθα μᾶλλον τῶν δι' αὐτῶν ἡμῶν. id. ib.

συμμετρίᾳ τῶν πρώτων σωματικῶν δυνάμεων, ἅ ἐστι θερμότης ψυχρότης ὑγρότης ξηρότης, ἐκείνων δὲ ἡ μὲν ἰσχὺς ἐν συμμετρίᾳ τῶν ὁμοιομερῶν, νεύρων τε καὶ ὀστῶν καὶ πνεύματος, τὸ δὲ κάλλος ἐν συμμετρίᾳ τῶν ἀνομοιομερῶν ἐν ἡμῖν μερῶν, προσώπου τραχήλου χειρῶν, τῶν ἄλλων μερῶν, ἃ ὕστερά ἐστι τῶν πρώτων δυνάμεων. τῷ δὲ αὐτῷ λόγῳ πάλιν δεικνύοιτο ἂν καὶ ἰσχὺς αἱρετώτερον τοῦ κάλλους. id. p. 124.

116b 22. σχεδὸν οὗτος ὁ τόπος ἐμπεριέχεται τῷ ἤδη εἰρημένῳ πρὸ ὀλίγου, τῷ καὶ δι' αὑτὸ αἱρετὸν τοῦ δι' ἕτερον αἱρετοῦ· τὸ μὲν γὰρ τέλος δι' αὑτὸ αἱρετόν, τὸ δὲ πρὸς τὸ τέλος δι' ἕτερον· διὰ γὰρ τὸ τέλος. διαφέροι δ' ἂν ὅτι ἐκεῖ οὐ τὰ πρὸς τὸ τέλος συνεκρίνετο τῷ τέλει ἀλλὰ τοῖς δι' αὐτὰ αἱρετοῖς τὰ ὁπωσοῦν δι' ἄλλο αἱρετὰ καθόλου, καὶ μὴ δι' αὐτὸ τοῦτο ὡς ὄντα τέλος αὐτῶν ἦν αἱρετά, διὰ δέ τι ἄλλο· ἐνταῦθα δὲ τῶν τελῶν καὶ τῶν πρὸς αὐτὰ ἡ σύγκρισις. id. ib.

116b 23. δυνάμει δὲ καὶ οὗτος ὁ τόπος ἐστὶν ἐν τῷ πρὸ αὐτοῦ· ἐπεὶ γὰρ ἓν τὸ τελειότατόν ἐστι τέλος (καὶ γὰρ τὰ ἄλλα ὅσα δοκεῖ τέλη ἄλλων εἶναι τοῦ τελειοτάτου τέλους χάριν ἐστί), καὶ τὰ ἄλλων τινῶν τέλη καὶ αὐτὰ τοῦ τελείου τέλους χάριν δηλονότι ὄντα. διαφορὰ δὲ αὐτῶν, ὅτι τὰ μὲν ἐγγὺς τοῦ τελειοτάτου τέλους ἐστίν, τὰ δὲ πόρρω, οἷον εὐδαιμονία μὲν τὸ τελειότατον τέλος, φρόνησις δὲ τέλος καὶ αὐτὴ ἄλλου τινὸς οὖσα, τῆς εὐδαιμονίας χάριν ἐστὶ καὶ αὐτή· γίνεται οὖν καὶ αὐτὴ καὶ τὰ δι' αὐτὴν τέλος ἔχοντα τὴν εὐδαιμονίαν. ἀλλ' ἡ μὲν φρόνησις ἐγγὺς τῆς εὐδαιμονίας. id. ib.

116b 26. οὐκέτι τοῦτο ἁπλῶς αἱρετώτερον, ἀλλὰ τῷ αἱρουμένῳ. σαφὴς δὲ ὁ τόπος. id. p. 125.

ἀσαφῶς εἴρηται διὰ βραχύτητα, ὁ τόπος δέ ἐστι τοιοῦτος· εἰ δύο εἴη τινὰ δύο τελῶν ποιητικά, οὗ τὸ τέλος βέλτιον καὶ αἱρετώτερον, καὶ αὐτὸ βέλτιον. οὕτως παιδεία γυμνασίων δεικνύοιτο ἂν ἀμείνων, εἴγε γυμνάσια μὲν ὑγιείας ἐστὶ ποιητικά, παιδεία δὲ φρονήσεως, καὶ ἔστιν ἡ φρόνησις τῆς ὑγιείας αἱρετώτερον. id. ib.

116b 27. εἰπὼν διὰ τοῦ πρὸ τούτου τόπου τὸ τοῦ βελτίονος ποιητικὸν τέλους βέλτιον εἶναι, ὡς ἀναλογίαν ἐχόντων πρὸς ἄλληλα τῶν τελῶν καὶ τῶν ποιητικῶν αὐτῶν (ὅσῳ γὰρ ἂν τὸ τέλος τοῦ τέλους ὑπερέχῃ, τοσοῦτον καὶ τὸ ποιητικὸν τοῦ ποιητικοῦ), ταύτῃ τῇ ἀναλογίᾳ προσχρώμενος τόπον τινὰ ἡμᾶς διδάσκει ᾧ προσχρώμενοι δυνησόμεθα συγκρίνειν τέλος τινὸς καὶ ποιητικόν τι ἄλλου τέλους· πάνυ γὰρ γλαφυρὰ ἡ τοῦ τόπου εὕρεσις. φησὶ γὰρ ὅτι ἐκ τοῦ ἀνάλογον εὑρήσομεν καὶ ἐν τούτοις τήν τε ὑπεροχὴν καὶ τὸ αἱρετώτερον... οὐ μόνον δὲ εὗρε τὸν τόπον περιττῶς, ἀλλὰ καὶ ἡρμήνευσεν ἰσχυρῶς τε καὶ βραχέως. id. ib.

116b 37. κοινότερον τοῖς ὀνόμασι νῦν χρῆται, τῷ τε καλλίονι καὶ τιμιωτέρῳ καὶ τῷ ἐπαινετωτέρῳ. ἐν μὲν γὰρ τῇ τῶν ἀγαθῶν διαιρέσει τίμια μὲν τῶν ἀγαθῶν εἶπεν εἶναι τὰ ἀρχικώτερα, ὡς θεοὺς γονεῖς εὐδαιμονίαν, καλὰ δὲ καὶ ἐπαινετὰ τὰς ἀρετὰς καὶ τὰς κατ' αὐτὰς ἐνεργείας, δυνάμεις δὲ εἰς ἕνεσιν εὖ καὶ κακῶς χρῆσθαι, ὠφέλιμα δὲ τὰ τούτων ποιητικὰ τῶν ἀγαθῶν καὶ εἰς ταῦτα συντελοῦντα· νῦν δὲ καὶ τὸ καλὸν καὶ τὸ ἐπαινετὸν καὶ τὸ τίμιον ἔοικε καὶ κατὰ τῶν ὡς δυνάμεων ἀγαθῶν φέρειν... ἐπιζητήσαι δ' ἄν τις τίνι διαφέρει οὗτος ὁ τόπος τοῦ πρὸ ὀλίγου ῥηθέντος (p. 116 a 29), ἐν ᾧ ἔλεγε τὰ καθ' αὑτὰ αἱρετὰ τῶν κατὰ συμβεβηκὸς αἱρετώτερα εἶναι, ἢ τὰ δι' αὑτὰ τῶν δι' ἄλλα. ἐν ἐκείνοις μὲν τὰ δι' αὑτὰ αἱρετὰ τῶν δι' ἄλλα ἔλεγεν αἱρετώτερα εἶναι καὶ τὰ καθ' αὑτὰ αἱρετὰ τῶν κατὰ συμβεβηκός, τὰ ὠφέλιμα τῶν ἀγαθῶν συγκρίνων τοῖς δι' αὑτὰ αἱρετοῖς (οὐ γὰρ δεῖ τοὺς τόπους ἀπὸ τῶν παραδειγμάτων κρίνειν)· ἐνταῦθα δὲ τῶν καλῶν καὶ τιμίων τὰ δι' αὑτὰ τὸ κάλλιον ἔχοντα καὶ τιμιώτερον καὶ ἐπαινετώτερον αἱρετώτερά φησιν, ὡς ἀμφοτέρων μὲν ἐχόντων τὸ δι' αὑτό, μᾶλλον δὲ τῶν ἑτέρων. οὕτως δ' ἂν διαφέροι οὗτος ὁ τόπος καὶ ἐκείνου δι' οὗ ἔλεγε καὶ τὸ φύσει τοῦ μὴ φύσει· ταῦτα γὰρ ἀμφότερα φύσει. id. p. 126.

τόπον ἡμῖν παραδίδωσιν ἀπὸ τῶν παρεπομένων... οὕτως 117a 5.
δειχθήσεται καὶ ἐγκράτεια καρτερίας αἱρετώτερον, εἴγε τῇ μὲν ἐγκρατείᾳ ἕπεται τὸ νικᾶν, τῇ δὲ καρτερίᾳ τὸ μὴ ἡττᾶσθαι, αἱρετώτερον δὲ τὸ νικᾶν τοῦ μὴ ἡττᾶσθαι. id. p. 127.

ὁμοίως ἡ ἐπιστήμη μετὰ τοῦ μανθάνειν οὐκ ἔστιν αἱρετωτέρα τῆς 117a 20.
ἐπιστήμης, μιᾶς οὔσης δύο ὄντα, ὅτι τὸ μανθάνειν διὰ τὴν ἐπιστήμην αἱρούμεθα. ἀλλ' οὐδὲ εὐδαιμονία μετὰ τῶν ἀρετῶν αἱρετωτέρα τῆς εὐδαιμονίας μόνης, ἐπεὶ ἐν τῇ εὐδαιμονίᾳ περιέχονται καὶ αἱ ἀρεταί... οὐ γὰρ συναριθμεῖται τοῖς περιέχουσί τινα τὰ περιεχόμενα ὑπ' αὐτῶν, ὡς ἐν τῷ πρώτῳ τῶν Ἠθικῶν ἐρρήθη. id. p. 129.

λέγει ὅτι καὶ ἀγαθόν τι μετὰ μὴ ἀγαθοῦ οὐδὲν κωλύει πλειόνων 117a 21.
ἀγαθῶν αἱρετώτερον εἶναι... δυνάμει δὲ τὴν ἔνστασιν ἣν ἡμεῖς εἰρήκαμεν πρὸς τὸ πρῶτον εἰρημένον, ὅτι τὰ πλείω ἀγαθὰ τῶν ἐλαττόνων ἁπλῶς αἱρετώτερα, τίθησι διὰ τούτων. id. ib.

δύναται ἕκαστον πλεῖον, ὅτε μάλιστά ἐστιν αὐτοῦ χρεία· δείκνυσι 117a 26.
γὰρ τὴν ἑκάστου δύναμιν ἡ χρεία μάλιστα, καὶ εἰκότως. id. ib.

εἰπὼν "ἐν παντί" ἀσφαλέστερον ἐποίησε τὸ λεγόμενον προ- 117a 35.
θεὶς τὸ "ἐν πλείστοις." σαφὴς δὲ καὶ οὗτος ὁ τόπος... οὐ περὶ τῶν τελείων δὲ ἀρετῶν λέγοι ἄν· ἐκεῖναι γὰρ ἅμα εἰσὶν ἀλλήλαις, ἀλλ' οὐχὶ καὶ αἱ κατὰ ταύτας ἐνέργειαι ἅμα, οὐδὲ ἡ χρεία αὐτῶν. id. p. 130.

τὸ τῶν ἀποβολῶν ἤτοι ἐκ παραλλήλου εἶπε "τῶν φθορῶν·" 117b 3.
τὰ γὰρ αὐτὰ ἐπὶ τῶν φθορῶν ἁρμόζει καὶ ἐπὶ τῶν ἀποβολῶν· ἢ φθορὰ μὲν ἂν εἴη τούτων ὧν οὐκ ἔστιν ἐπάνοδος οὐδὲ ἀνάληψις, ὡς καὶ ἐπὶ τῶν στερήσεων, ἀποβολὴ δὲ τούτων ἃ καὶ ἀναλαβεῖν ἀποβαλόντα πάλιν οἷόν τε... ἀλλ' εἰ ἐπὶ τούτων αἱ φθοραί, πῶς ἂν ἔτι εἶεν ἀρεταί τινες φθοραί; αὗται γὰρ ἔσονται τῶν στερήσεων φθαρτικαί, οὐχ οἷόν τε δὲ στερήσεων εἶναι φθοράν. μήποτ' οὖν φθορὰ μὲν ἐπὶ τῶν ἀχωρίστων λέγεται, ὧν ἡ ἀποβολὴ διὰ φθορᾶς γίνεται διὰ τὸ μὴ δύνασθαι αὐτὰ σώζεσθαι χωρισθέντα τῶν ἐν οἷς ἐστίν (τοιαῦταί εἰσιν αἵ τε ποιότητες καὶ ἕξεις), ἡ δὲ ἀποβολὴ ἐπὶ τῶν χωρίζεσθαι δυναμένων, ὁποῖά ἐστι τὰ κτήματα. id. ib.

οὗτοι εἰ ὡς δύο τόποι λαμβάνοιντο, εἴη ἂν πρῶτος ὁ λέγων 117b 10.
"τὸ ἐγγυτέρω τοῦ ἀγαθοῦ βέλτιον," ὁ αὐτὸς τῷ ἤδη προειρημένῳ τῷ "καὶ δυοῖν τὸ ἔγγιον τοῦ τέλους" (p. 116 b 23)· ἴσον γὰρ τὸ ἐγγυτέρω τοῦ ἀγαθοῦ καὶ τὸ ἔγγιον τοῦ τέλους· δῆλον γὰρ ὅτι τοῦ ὡς ἀγαθοῦ τέλος λέγει. ἢ δὴ τούτῳ ὁ αὐτὸς ἔσται ἢ τῷ προειρημένῳ τῷ "ἔπειτα δὲ

τὸ μέγιστον τῶν ἀγαθῶν ἐκ τοῦ πάντα μὲν τὰ ζῷα ταύτην αἱρεῖσθαι, μηδὲν δὲ τῶν ἄλλων ἀγαθῶν κοινὴν οὕτως ἔχειν τὴν αἵρεσιν. διὰ τοῦτο καὶ ὑγίεια δόξης αἱρετώτερον, ὅτι πάντες μὲν ἄνθρωποι ὑγιαίνειν αἱροῦνται, οὐ πάντες δὲ τὴν δόξαν. id. ib.

116a 22. ἐπεὶ δὲ περὶ αἱρετωτέρου τὸν λόγον ἐποιήσατο, οὐκέτι δὲ τὸ αὐτὸ πᾶσιν αἱρετώτερον, καὶ περὶ τούτου διαιρεῖ τε καὶ λέγει τὰ μὲν ἁπλῶς εἶναι αἱρετώτερα τὰ δέ τισιν, ἁπλῶς μὲν αἱρετώτερα κατὰ τὰς βελτίους ἐπιστήμας. οἷον εἰ βελτίων ἐπιστήμη φιλοσοφία τεκτονικῆς, καὶ ἁπλῶς αἱρετώτερα τὰ κατὰ φιλοσοφίαν τῶν κατὰ τεκτονικήν· τῷ μέντοι τέκτονι τὰ κατὰ τεκτονικὴν τῶν κατὰ φιλοσοφίαν, καὶ τῷ δεομένῳ τεκτονικῆς τινὸς αἱρετώτερον τὸ τῷ τέκτονι δοκοῦν. δύναται τις καὶ ὡς τόπῳ χρῆσθαι τῷ εἰρημένῳ εἰς ἐπίκρισιν τοῦ ἁπλῶς αἱρετωτέρου. id. ib.

116a 23. τὸ "ὅπερ" αὐτῷ τοῦ κυρίως ἐστὶ δηλωτικόν, καὶ ᾧ ἂν προστεθῇ τὸ ὅπερ τὸ κυρίως ἐκεῖνο εἶναι σημαίνει, οἷον ὅπερ ἄνθρωπος ὁ κυρίως ἄνθρωπος, καὶ ὅπερ ὂν τὸ κυρίως ὄν, καὶ ὅπερ ἀγαθὸν τὸ κυρίως ἀγαθόν. καὶ τῶν κατηγορουμένων δὴ κατ' ἄλλου, ᾧ ἂν τὸ ὅπερ προστεθῇ, τὸ κυρίως τοῦτο ἐκείνου κατηγορεῖσθαι σημαίνει, καὶ τὸ εἶναι τὸ ὑποκείμενον κυρίως ἐν τούτῳ τε καὶ τοῦτο. ἐπεὶ οὖν τὰ γένη τῶν ὑπ' αὐτὰ κυρίως κατηγορεῖται, ἐν τῷ τί ἐστι κατηγορούμενα, ἐν τῷ ὅπερ αὐτὰ κατηγορεῖσθαι λέγεται, καὶ τὰ ὑπὸ τὸ γένος εἶναί φησιν, οἷον τὸ χρῶμα ἐν τῷ ὅπερ τοῦ λευκοῦ κατηγορεῖται, καὶ τὸ λευκόν ἐστιν ὅπερ χρῶμα. πάλιν τὸ ζῷον τοῦ ἀνθρώπου ἐν τῷ ὅπερ, καὶ ὁ ἄνθρωπος ζῷον. ἐπεὶ οὖν τῶν κατηγορουμένων τὰ αὐτὰ τῶν μὲν ὡς γένη κατηγορεῖται τῶν δὲ ὡς συμβεβηκότα (τὸ γὰρ χρῶμα τοῦ μὲν ὡς χρώματος λευκοῦ ὡς γένος κατηγορεῖται, τοῦ δὲ σώματος τοῦ λευκοῦ ὡς συμβεβηκός), τόπον τινὰ ἀπὸ τούτου παραδίδωσιν ἡμῖν δι' οὗ τὸ αἱρετώτερον γνωρίσομεν. id. ib.

116a 25. τὸ "οὐδὲν γὰρ λέγεται ὅπερ τὸ γένος, ὃ μὴ τυγχάνει ἐν τῷ γένει ὄν" ἴσον ἐστὶ τῷ οὐδὲν γὰρ λέγεται ὅπερ καὶ κατηγορούμενον αὐτοῦ εἶναι, εἰ μὴ εἴη ὡς ἐν γένει ὂν τῷ κατηγορουμένῳ. id. p. 120.

116a 27. δύναται τὸ "ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων" προσκείμενον δηλωτικὸν εἶναι τοῦ, ὡς ἐπὶ τῶν αἱρετῶν καὶ ἀγαθῶν αἱρετώτερον τὸ ὡς ἐν γένει ὂν τῷ ἀγαθῷ τοῦ μὴ ὡς ἐν γένει ὄντος αὐτῷ, οὕτως καὶ ἐπὶ τῶν ἄλλων μᾶλλον ἕκαστον ἐκεῖνο ὃ ἐν γένει ἐστὶ τούτῳ, καθὸ ἡ σύγκρισις αὐτοῖς, τοῦ ὄντος μὲν ἐν ἐκείνῳ μὴ ὡς γένος δέ. εἴη δὲ καὶ τὰ ὡς ἐν εἴδει· καὶ τὰ εἴδει γὰρ ὧν ἐστὶν εἴδη ἐν τῷ ὅπερ κατηγορεῖται· καὶ γὰρ φευκτὸν μᾶλλον τὸ ὡς ἐν γένει ὂν τῷ φευκτῷ τοῦ μὴ ὡς ἐν γένει ὄντος τῷ φευκτῷ. id. ib.

116a 31. ἔστι καθ' αὑτὸ μὲν αἱρετὸν ὃ διὰ τὴν οἰκείαν φύσιν τε καὶ παρουσίαν αἱρετόν, κατὰ συμβεβηκὸς δὲ ᾧ ὡς οὐκ ὄντι τῇ οἰκείᾳ φύσει αἱρετῷ συμβέβηκε κατά τινα περίστασιν εἶναι αἱρετῷ. id. ib.

116a 35. μόνον δὲ εἶναι αὐτοῦ τὴν διαφορὰν εἶπε κατὰ τὸν τρόπον τῆς ἐκφορᾶς, ὅτι ἐπὶ μὲν τοῦ τῷ δι' αὑτὸ καὶ δι' ἕτερον χρώμεθα, ἐπὶ δὲ τοῦ τῷ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. ἢ ἐπὶ μὲν τῶν εἰρημένων παραδειγμάτων τῷ τρόπῳ μόνον τῆς ἐκφορᾶς ἡ διαφορά, ἐπὶ δὲ ἄλλων ἔστιν εὑρεῖν πλείονα κατὰ τὸν τῆς ἐκφορᾶς τρόπον τὴν διαφορὰν ἐν αὐτοῖς. ἔστι δὲ ἃ καθ' αὑτὰ μέν ἐστιν αἱρετὰ οὐ μὴν δι' αὑτά· τοῖς γοῦν ῥιγοῦσι καθ' αὑτό ἐστιν αἱρετὸν ἡ θερμὴ ἐσθής, εἰ δὲ καθ' αὑτό, οὐ κατὰ συμβεβηκός, οὐ μὴν καὶ δι' αὑτήν ἐστιν αἱρετή, ἀλλὰ δι' ἄλλο... ἔσται οὖν τὸ μὲν κατὰ συμβεβηκὸς αἱρετὸν πάντως δι' ἄλλο αἱρετόν, τὸ δὲ δι' ἄλλο αἱρετὸν οὐ πάντως καὶ κατὰ συμβεβηκός· δι' ἄλλο μὲν γὰρ αἱρετὰ πολλὰ τῶν τῇ αὑτῶν φύσει ἀγαθῶν, κατὰ συμβεβηκὸς δὲ μόνα ἃ διά τι συμβεβηκὸς αὐτοῖς ἔχει τὸ αἱρετόν· οὕτως γὰρ αἱρετὸν γίνεταί ποτε καὶ πενία καὶ νόσος καὶ θάνατος. ὥστε εἰ μὴ τὸ καθ' αὑτὸ ταὐτὸν τῷ δι' αὑτὸ μήτε τὸ δι' ἄλλο τῷ κατὰ συμβεβηκός, οὐδ' ἂν οἱ τόποι οἱ αὐτοὶ εἶεν. id. p. 121.

116b 8. ἔστι μὲν καὶ οὗτος ὁ τόπος δυνάμει ὁ αὐτὸς τῷ πρὸ αὐτοῦ· τὰ γὰρ τῇ αὑτῶν φύσει ἀγαθὰ καὶ ἁπλῶς ἐστὶν ἀγαθά, τὰ δὲ ἐπίκτητα οὐχ ἁπλῶς οὐδὲ πᾶσιν. διαφέροι δ' ἂν τῇ ἐπιβολῇ· οὐ γὰρ διότι ἁπλῶς, ἀλλὰ διότι τῇ αὑτοῦ φύσει τοιοῦτον. καθόλου δὲ τὰ φύσει συνεστῶτα τῶν μὴ φύσει ἀλλὰ ἐπικτήτων τε καὶ κατὰ τέχνας καὶ νενομισμένων βελτίω· τά τε γὰρ κατὰ τὰς τέχνας μιμήματα ὄντα τῆς φύσεως δεύτερα ἂν εἴη τῆς φύσεως, ἀλλὰ καὶ τὰ κατὰ ἔθη τε καὶ συνθήκας καὶ νόμους δεύτερα τῶν φύσει. id. p. 122.

116b 12. δεῖται μέντοι διαστολῆς τινὸς ὁ τόπος. εἰ μὲν γὰρ ἁπλῶς τῇ αὑτοῦ φύσει τὸ αἱρετώτερον λαμβάνειν ἔοικεν, ἀλλὰ μὴ τῷ τὴν ἐπίκρισιν αὐτῶν ποιουμένῳ, ἁπλῶς ἀληθὴς ὁ τόπος· ἐπεὶ δὲ τὸ τῷ βελτίονι καὶ τιμιωτέρῳ καθὸ βελτίων ἐστὶ καὶ τιμιώτερος αἱρετὸν αἱρετώτερον τοῦ αἱρετοῦ τοῦ μὴ τοιούτου καὶ μᾶλλον ἀγαθόν (τὰ γοῦν τοῖς θεοῖς αἱρετὰ ἁπλῶς αἱρετώτερα καὶ βελτίω τῶν τοῖς ἀνθρώποις αἱρετῶν, οἷον ἀθανασία ἢ ἡ τῶν ὅλων διακόσμησις καὶ ἀπάθεια σοφίας ὑγιείας ἀρετῆς πλούτου φιλοσοφίας, τῶν τοιούτων ἃ τοῖς ἀνθρώποις ἐστὶν αἱρετά), εἰ δ' ἡ κρίσις τοῦ αἱρετωτέρου τῷ αἱρουμένῳ γίνοιτο, οὐκέτ' ἂν ἁπλῶς ὑγιὴς ὁ τόπος εἴη· οὐ γὰρ τὰ τοῖς θεοῖς αἱρετὰ αἱρετώτερα ἡμῖν τῶν ἡμῖν αἱρετῶν, εἴγε ἀδύνατα μὲν ἡμῖν πολλὰ τῶν ἐκείνοις αἱρετῶν, ἠλιθίου δὲ τὸ αἱρεῖσθαι τὰ ἀδύνατα. διὸ δέοιτο ἂν προσθήκης τῆς δυνατῶν ὄντων ἀμφοτέρων... διαφέροι δ' ἂν οὗτος ὁ τόπος τοῦ ἤδη εἰρημένου, τοῦ "καὶ ὃ μᾶλλον ἂν ἕλοιτο ὁ φρόνιμος ἢ ὁ ἀγαθὸς ἀνήρ" (p. 116 a 14), ὅτι ἐν ἐκείνῳ μὲν ἀπὸ τοῦ μᾶλλον αἱρετοῦ τῷ βελτίονι ἡ ἐπιχείρησις ἐγίνετο ἀμφοτέρων ὄντων αἱρετῶν τῷ αὐτῷ, ἐνταῦθα δὲ ὅταν ἄλλο μὲν ᾖ τῷ βελτίονι αἱρετὸν ἄλλο δὲ τῷ χείρονι, τὸ τῷ βελτίονι δείκνυται αἱρετώτερον, ὡς ἔχει ἡ ψυχὴ καὶ τὸ σῶμα· οὐ γὰρ ἄμφω ἑκατέρῳ αἱρετά. καὶ ἐκεῖ μὲν ἐζητεῖτο τὸ τῷ αἱρουμένῳ αἱρετώτερον, ἐνταῦθα δὲ τὸ ἁπλῶς αἱρετώτερον, οὐ τὸ τινί. id. p. 123.

116b 13. παραδοὺς τόπον τὸν ἀπὸ τοῦ τῷ βελτίονι αἱρετοῦ συνιστάντα τὸ αἱρετώτερον, ἐπεὶ οὐ πάντως τὸ αἱρετόν τινι ἤδη καὶ ἴδιόν ἐστιν αὐτοῦ (ὑγίεια γὰρ αἱρετὸν μὲν ἀνθρώπῳ, οὐ μὴν καὶ ἴδιον τὸ ὑγιαίνειν ἀνθρώπου), νῦν ἀπὸ τοῦ ἰδίου τόπον παραδίδωσι... δοκεῖ δέ μοι τὸ βέλτιον καὶ τὸ χεῖρον ἐν τοῖς ὁμογενέσι λαμβάνειν, ἐπειδὴ καὶ ἡ σύγκρισις ἐν τοῖς κοινωνίαν ἔχουσι πρὸς ἄλληλα. διὸ καὶ εἶπε "κατὰ μὲν γὰρ τὰ κοινὰ ἐν ἀμφοτέροις οὐδὲν διαφέρει," ὡς τῶν συγκρινομένων ὀφειλόντων ἔχειν τινὰ καὶ κοινά. id. ib.

116b 18. πάλιν εἰ ζητοῖτο πότερον αἱρετώτερον ὑγίεια ἢ ἰσχὺς ἢ κάλλος, δεικνύοιτ' ἂν ἡ ὑγίεια ὅτι ἐν προτέροις, εἴγε ἡ μὲν ὑγίεια ἐν

κήν... οὐ μὴν ἀλλὰ καὶ κατὰ τὰς ἄλλας ἐπιστήμας τε καὶ τέχνας εὑρεῖν ἔστι τινὰ συγκριτικῶς ζητούμενα· μουσικὸν γὰρ πρόβλημα ποτέρα ὀξυτέρα ἁρμονία, ἡ Λύδιος ἢ Φρύγιος· ἀλλὰ καὶ τὸ τῶν μέτρων κάλλιον εἶναι τὸ ἡρῷον ἐπὶ μουσικῆς ὕλης ἄν τις ζητήσειε... κατηγορίαι δὲ ἐν αἷς ἐστὶ τὰ κατὰ σύγκρισιν ζητούμενα, ἐννέα δοκοῦσιν εἶναι· κατὰ γὰρ τὴν οὐσίαν μόνην οὐ δοκεῖ συνίστασθαι συγκριτικὰ προβλήματα· κατὰ γὰρ συμβεβηκὸς ἡ σύγκρισις, οὐσία δὲ οὐδενὶ συμβέβηκε. πᾶσα μὲν οὖν σύγκρισις ὑπὸ τὸ πρός τι· καθ' ἃ δὲ σύγκρισις γίνεται, ποτὲ μὲν ποιότης ἐστίν... δόξει δὲ καὶ κατ' οὐσίαν γίνεσθαι σύγκρισις, ὅταν ζητῶμεν εἰ ἡ πρώτη οὐσία μᾶλλον οὐσία τῆς δευτέρας. ὧν δὲ ἡ σύγκρισις γίνεται, ποτὲ μὲν δύο ἐστὶ κατά τι συμβεβηκὸς ἓν συγκρινόμενα... ποτὲ δὲ πλειόνων πρὸς πλείω γίνεται σύγκρισις κατά τι κοινὸν ὑπάρχον αὐτοῖς... ἄξιον δὲ ζητῆσαι τί δή ποτε ἐν τούτῳ τῷ βιβλίῳ περὶ τῶν συγκριτικῶν λέγων, οὐ πάντας ἐτήρησε τοὺς συγκριτικοὺς τόπους εἰς τὸ βιβλίον τοῦτο, ἀλλ' εἶπέ τινας καὶ ἐν τῷ πρὸ τούτου· συγκριτικοὶ γὰρ ἦσαν οἵ τε ἀπὸ τοῦ μᾶλλον καὶ οἱ ἀπὸ τοῦ ὁμοίου, καὶ ὁ ἕτερος τῶν ἐκ τῆς προσθέσεως δεικνύντων, καὶ ἀπὸ τοῦ μᾶλλόν τι ἢ ἧττον ἄλλο ἄλλου λέγεσθαι δεικνὺς ὅτι καὶ ἁπλῶς. ἢ οὐ πρόκειται αὐτῷ ἐν τούτῳ περὶ συγκριτικῶν τόπων λέγειν, ἀλλὰ περὶ συγκριτικῶν προβλημάτων· συγκριτικὰ δέ ἐστι προβλήματα, ἐν οἷς συγκριτικὸν τὸ ζητούμενόν τε καὶ δεικνύμενον· περὶ ὧν πάντων πῶς οἷόν τε αὐτὰ δείκνυσθαι κατασκευαστικῶς ἢ ἀνασκευαστικῶς, ἐν τούτῳ λέγει. οἷς δὲ ἐχρήσατο τόποις συγκριτικοῖς ἐν τῷ πρὸ τούτου, οὐκ ἦσαν συγκριτικόν τι δεικνύντες, ἀλλ' ἁπλῶς ὑπάρχον ἢ μὴ ὑπάρχον. οὐ ταὐτὸν δὲ τὸ διὰ συγκριτικοῦ τι δεῖξαι καὶ τὸ συγκριτικόν, περὶ ὧν ἐν τούτῳ λέγει. ποιεῖται δὲ τὴν διδασκαλίαν τὴν περὶ τῶν συγκριτικῶν προβλημάτων ἢ τόπων ἐπὶ παραδείγματος τοῦ αἱρετοῦ, ἐπεὶ σαφεστέρα οὕτως ἔμελλεν ἡ παράδοσις αὐτῶν ἔσεσθαι γινομένη ἐπί τινος ὡρισμένου· τὸ δὲ αἱρετώτερον προεχειρίσατο, ἐπεὶ πλεῖστα κατὰ φιλοσοφίαν τὰ κατὰ τοῦτο ζητήματα, καὶ χρησιμωτάτη ἡ γνῶσίς τε καὶ ἐπίκρισις τοῦ αἱρετωτέρου ἢ τοῦ μείζονος καὶ θερμοτέρου ἤ τινος τῶν τοιούτων. id. p. 114-116.

ἀκολουθία τῷ πρὸ αὐτοῦ βιβλίῳ· καὶ ἐν τούτῳ περὶ τῶν χρησιμευόντων τόπων εἰς τὰ τοῦ συμβεβηκότος προβλήματα. cod. Reg. 1845 in marg.

116a 3. οὐχ ὡς ἐκ παραλλήλου κειμένων τοῦ αἱρετωτέρου τε καὶ βελτίονος ἀκουστέον· ἐπὶ πλεῖον γὰρ τὸ βέλτιον τοῦ αἱρετωτέρου. τὸ μὲν γὰρ αἱρετώτερον ἐν τοῖς αἱρετοῖς καὶ μόνοις, τὸ δὲ βέλτιον καὶ ἐν ἄλλοις· καὶ γὰρ ἐν τοῖς θεωρητικοῖς καὶ φυσικοῖς καὶ λογικοῖς ἡ ζήτησις ἡ τοῦ βελτίονος... τὸ δὲ "δυοῖν ἢ πλειόνων" εἶπεν, ἐπεί, ὡς προειρήκαμεν, ποτὲ μὲν περὶ δύο ἡ κατὰ τὴν σύγκρισιν ζήτησις κατὰ ἓν συγκρινομένων, ποτὲ δὲ πλειόνων πρὸς πλείω, ἢ ἑνὸς κατὰ πλείονα συμβεβηκότα, ἢ πλειόνων κατὰ πλειόνων· ἑνὶ γὰρ οὐ γίνεται σύγκρισις εἰ μὴ κατὰ χρόνον. id. p. 116.

116a 11. ἐπεὶ τὰ συγκριτικὰ προβλήματα οὐ μόνον ὕπαρξίν τινος ἀπαιτεῖ ἀλλὰ καὶ ὑπεροχήν, τοῦ μὲν ὑπερέχοντος καθὸ ἡ σύγκρισις γίνεται, τοῦ δὲ ὑπερεχομένου, δεῖ καὶ τὰς ἐπιχειρήσεις καὶ τοὺς τόπους τοῦτο ποιεῖν, μὴ ὑπάρχειν μόνον δεικνύναι, ἀλλὰ τοῦ μὲν ὑπεροχὴν τοῦ δὲ ἔλλειψιν· οὐ γὰρ ὁ δείξας τι ἀγαθὸν ἤδη καὶ αἱρετώτερον δέδειχεν, ἂν μὴ δείξῃ καὶ ὅτι μᾶλλον τοῦτο ἀγαθὸν τούτου ᾧ συγκρίνεται. id. p. 117.

116a 13. ἀλλ' ἔστιν ἐφ' ὧν διαφωνεῖν δόξει· δύναται γὰρ ἄλλο ἄλλου βεβαιότερον εἶναι, ἧττον ὂν αὐτοῦ πολυχρόνιον, ὡς ἐπιστήμη αἰσθήσεως· ἡ μὲν γὰρ αἴσθησις πολυχρονιώτερον (ἀπὸ πρώτης γὰρ ἡλικίας αἰσθανόμεθα), ἡ δὲ ἐπιστήμη γίνεται μὲν ἐν τελείοις, βεβαιοτέρα μέντοι γίνεται καὶ δυσκινητοτέρα τῆς αἰσθήσεώς ἐστιν. διὸ δεῖ καθὸ ἂν ᾖ χρήσιμον ἡμῖν μεταχειρίζεσθαι τὸν τόπον. τούτῳ τῷ τόπῳ χρωμένους ἔνεστι δεικνύναι αἱρετωτέραν πλούτου εὔκλειαν... ὅπου μὲν οὖν προσθήκη τινὸς αἱρετοῦ γίνεται, τὸ ὕστερον, κἂν ὀλιγοχρονιώτερον ᾖ, αἱρετώτερον· ὅπου δὲ τὸ ἕτερον τοῦ ἑτέρου αἴτιον, τὸ πρῶτον πάλιν αἱρετώτερον, κἂν ὀλιγοχρονιώτερον ᾖ... καὶ ὁ μέσος βίος αἱρετώτερος τοῦ ἐν ὑπεροχῇ. λέγεται γοῦν "πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι." μαρτυρεῖ τούτῳ καὶ τὸ Εὐριπίδου "ζηλῶ δ' ἀνδρῶν ὅς ἀκίνδυνον βίον ἐξεπέρασ' ἀγνὼς ἀκλεής. τοὺς δ' ἐν τιμαῖς ἧττον ζηλῶ." πολυχρονιώτερον καὶ μνήμη αἰσθήσεως καὶ συγγενὴς φίλου. ταῖς δ' αὐταῖς ἀφορμαῖς χρωμένους ἔνεστι καὶ φευκτότερον ἄλλο ἄλλου δεικνύναι. id. ib.

116a 15. τὸ "ὁ φρόνιμος ἢ ὁ ἀγαθός" οὐχ ὡς ἐκ παραλλήλου εἶπεν· οὐ γὰρ ἐπ' ἴσης ὁ φρόνιμος καὶ ὁ ἀγαθός, ἀλλ' ἐπὶ πλεῖον ὁ ἀγαθός· ἀγαθὸς μὲν γὰρ καὶ ὁ φρόνιμος, οὐ μὴν μόνος· καὶ γὰρ ὁ ἀνδρεῖος καὶ ὁ σώφρων ἀγαθός. ἴσον οὖν τὸ εἰρημένον τῷ ὁ φρόνιμος ἢ ὅλως ὁ ἀγαθός· πᾶς γὰρ ὁ ἀγαθός, οὐ μόνον ὁ φρόνιμος, ἀξιοπιστότερος περὶ τὰς αἱρέσεις τοῦ μὴ τοιούτου. δύναται καὶ τὸν μὲν φρόνιμον κατὰ τὴν λογικὴν ἀρετὴν εἰρηκέναι, τὸν δὲ ἀγαθὸν κατὰ τὴν ἠθικήν· ἰδίως γὰρ λέγει τοὺς κατὰ τὰς ἀρετὰς ταύτας ἀγαθούς, ὥσπερ πάλιν σοφοὺς τοὺς κατὰ τὰς λογικάς, ὅτι κατὰ ταύτας πρακτικώτεροι τῶν καλῶν· ἡ μὲν γὰρ φρόνησις κριτική, αἱ δὲ τοῦ ἤθους ἀρεταὶ πρακτικαί. τὸ μὲν οὖν τοὺς ἀγαθοὺς δεῖν πρὸ τῶν ἄλλων τιμᾶν αἱρετώτερον, ὅτι τοῖς φρονίμοις οὕτως δοκεῖ· αὕτη γὰρ ἡ τοῦ φρονίμου κρίσις. ἀλλὰ καὶ τὸ δεῖν τὰ κοινὰ τῶν ἰδίων προτιμᾶν· τὸ μὲν γὰρ κοινὸν συνδεῖ, τὸ δ' ἴδιον διασπᾷ τὰς πόλεις, ὡς Πλάτων καὶ ὡς Θουκυδίδης... πάλιν ἐπεὶ οὐ πάντες οἱ νόμοι ὀρθοί, εἰσὶ δέ τινες καὶ ἐπαινούμενοι ὡς ὀρθοί, οἷον οἱ Λυκούργου, οἱ Ζαλεύκου, οἱ Σόλωνος, ὅταν ἀμφισβητούμενόν τι ᾖ τῶν ὑπὸ νόμων διωρισμένων, ὃ οἱ ὀρθοὶ νόμοι ὁρίζουσιν αἱρετώτερον. εἰ καὶ οἱ ὀρθοὶ δὲ νόμοι κατὰ φρόνησιν κεῖνται, οὐκ ἤδη ταὐτὸν ἡγεῖσθαι δεῖ τὸ ὁ φρόνιμος ἢ ὀρθὸς νόμος· τὸ μὲν γὰρ τῶν νόμων ὡρίσθαι καὶ περὶ ὡρισμένων λέγεται, τὰ δὲ τοῦ φρονίμου καὶ πρὸς τοὺς καιροὺς καὶ πρὸς τὰς περιστάσεις καὶ πρὸς τὰς τύχας ἁρμόζεται, καὶ ἄλλα ἐπ' ἄλλων ἐστίν. οὕτως δειχθήσεται τὰ συσσίτια αἱρετώτερα ἐν ταῖς πόλεσιν ὄντα, ἐπεὶ ὀρθοὶ νόμοι ὡρίκασιν αὐτὰ εἶναι. id. p. 118.

116a 16. τὸ "ἢ τοιοῦτον" προσέθηκεν, ὅτι περὶ μὲν ἰατρικῶν τοῖς ἰατρικοῖς καὶ τῇ τούτων αἱρέσει ἐπακολουθητέον, περὶ δὲ τῶν μουσικῶν τῇ τοῦ μουσικοῦ. id. p. 119.

116a 19. Πλάτων γοῦν τούτῳ χρώμενος ὡς ὄντι ἐνδόξῳ τἀγαθὸν ἔλεγεν εἶναι οὗ πάντα ἐφίεται. ἀλλὰ καὶ Εὔδοξος ἐδείκνυε τὴν ἡδονὴν

μὴ ὑπάρχον ᾖ, οὐδ' ἂν ᾧ ἧττον ὑπάρχει· τὸ δὲ ᾧ ἧττον εἰκὸς ὑπάρχειν, ὑπάρχοι ἂν καὶ ᾧ μᾶλλον... καὶ εἰ ἀξιομαχώτεροι τῶν ἄλλων Ἑλλήνων ὄντες Λακεδαιμόνιοι μή εἰσιν ἀξιόμαχοι, οὐδ' ἂν οἱ ἄλλοι Ἕλληνες εἶεν ἀξιόμαχοι. id. ib.

115a 8. οἷον εἰ ὁ θρασὺς μᾶλλον ἀνδρεῖος ἢ φρόνιμος ὢν μή ἐστιν ἀνδρεῖος, οὐδ' ἂν φρόνιμος εἴη. πάλιν εἰ ὁ ἐπιεικὴς ἧττον δοκῶν δίκαιος ἢ φιλάνθρωπος εἶναι δίκαιός ἐστιν, εἴη ἂν καὶ φιλάνθρωπος. καὶ εἰ τὸ ἀδικεῖν μᾶλλον συμφέρον ἢ καλόν, εἰ μή ἐστι συμφέρον, οὐδ' ἂν καλὸν εἴη. id. p. 110.

115a 11. οἷον εἰ ἧττον ἡ ἡδονὴ ἀγαθὸν ἢ ὁ πόνος κακόν, ἔστι δὲ ἀγαθὸν ἡ ἡδονή, καὶ ὁ πόνος ἂν εἴη κακόν. καὶ εἰ ὁ ἄσωτος μᾶλλον δοκεῖ ἐλεύθερος εἶναι ἢ ὁ ἀνελεύθερος σώφρων, μή ἐστι δὲ ὁ ἄσωτος ἐλεύθερος, οὐδ' ἂν ὁ ἀνελεύθερος εἴη σώφρων. id. ib.

115a 16. τρεῖς φησὶ καὶ τούτους εἶναι τοὺς τόπους, ἀνάλογον ἔχοντας τοῖς τρισὶ τοῖς ἑτέροις ῥηθεῖσιν ἀπὸ τοῦ μᾶλλόν τε καὶ ἧττον· τῷ γὰρ πρώτῳ ῥηθέντι τῶν ἀπὸ τοῦ μᾶλλον, δι' οὗ ὑπάρχειν ἕν τι ἑνὶ ἐδείκνυτο, ὅτι καὶ τῇ ἐπιτάσει αὐτοῦ ἡ ἐπίτασις, οὐκ ἔστι τὸ πρὸς ἀνάλογον ἀπὸ τοῦ ὁμοίου· δεῖ μὲν γὰρ τὸ δεικνύμενον ἐν τοῖς ἀπὸ τοῦ ὁμοίου τόποις διὰ τοῦ ὁμοίου τὸ ὅμοιον δεικνύναι, οὐκ ἔστι δὲ τὸ διὰ τοῦ μᾶλλον ὑπάρχοντος ἢ ἧττον δεικνύμενον διὰ τοῦ ὁμοίως ὑπάρχοντος δεικνύμενον· οὐ γὰρ τὸ μᾶλλον τῷ αὐτῷ καὶ ἧττον ὑπάρχον ἢ ὁμοίως αὐτῷ ὑπάρχοι ἄν. id. ib.

115a 26. δύο τόπους παραδίδωσιν ἐκ τῆς ἄλλου ἄλλῳ προσθέσεως κατασκευαστικοὺς μόνον. ἔστι δὲ ὁ μὲν πρῶτος αὐτῶν τοιοῦτος· ὃ προστεθέν τινι τοιόνδε αὐτὸ ποιεῖ, μὴ πρότερον ὂν τοιοῦτον, αὐτὸ πολὺ πρότερον τοιοῦτόν ἐστιν... δῆλον δὲ ὡς χρὴ ἐπὶ τῶν φύσει ἀλλ' οὐ νόμῳ τινὶ καὶ συνθήκῃ τοιῶνδε λεγομένων χρῆσθαι τῷ τόπῳ· ἡ γὰρ οὐγκία ταῖς ἕνδεκα οὐγκίαις οὐκ οὖσα ἤδη προστεθεῖσα λίτραν ποιεῖ, οὐ μὴν διὰ τοῦτο ἔστιν αὐτὴ λίτρα. ἡ γὰρ οὐγκία καὶ ἡ λίτρα κατὰ συνθήκην· ἄλλη γοῦν παρ' ἄλλοις οὐγκία τε καὶ λίτρα. ἢ διὰ τοῦτο ἡ οὐγκία οὐ λίτρα, ὅτι συντελεῖ πρὸς τὸ λίτραν τὸ ὅλον εἶναι, καὶ τὰ εἰς προστίθενται αἱ ἕνδεκα οὐγκίαι, οὐκέτι πρὸς τὸ βαρυτέρας τὰς ἕνδεκα οὐγκίας γίνεσθαι συντελοῦσιν αὐτῇ· τὸ μὲν γὰρ βαρὺ παρ' αὐτῶν εἶχον, τὸ δὲ βαρύτερον παρὰ τοῦ προστιθεμένου. διὸ ἐπεὶ τὸ ὅλον βαρύτερον γίνεται τῇ τῆς οὐγκίας προσθέσει, ἀνάγκη καὶ αὐτὴν βαρεῖαν εἶναι, ὡς δείκνυσιν ὁ δεύτερος τόπος. οὕτω καὶ Πλάτων ἔδειξε τὴν ψυχὴν ζωήν. id. p. 111.

115a 29. ὡς λέγομεν ἐπὶ τῆς οὐγκίας, οὕτω δεικνύοιτ' ἂν ἕκαστον τῶν λεγομένων ἀδιαφόρων τε καὶ προηγμένων ὑπὸ τῶν νεωτέρων αἱρετόν τε καὶ ἀγαθόν· ἕκαστον γὰρ αὐτῶν προστιθέμενον τῇ ἀρετῇ τὸ ὅλον αἱρετώτερον τῷ σπουδαίῳ ποιεῖ... εἰπὼν δὲ εἰ τὸ προστεθέν τινι μᾶλλον αὐτὸ τοιοῦτον ποιεῖ, προσέθηκεν "ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων," ὅτι μὴ μόνον ἐπὶ ποιοῦ τοῦτο ἀλλὰ καὶ ἐπὶ ποσοῦ· εἰ γὰρ προστεθὲν μεῖζον αὐτὸ ποιεῖ, καὶ αὐτὸ ἐν μεγέθει, καὶ εἰ πλεῖον, καὶ αὐτὸ ἐν πλήθει. ἢ εἰπὼν "εἰ πρὸς τὸ ὑπάρχον προστεθέν τι μᾶλλον ποιεῖ τοιοῦτον" ὡς ἐπί τινος ἑνὸς καὶ ὡρισμένως, προσέθηκε τὸ "ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων," δεικνὺς ὅτι οὐκ ἐπὶ τούτου μόνον τοῦ μᾶλλον τοιούτου γενομένου πρόεισιν ὁ τόπος, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τῶν οὕτως ἐχόντων. id. p. 112.

οὐ μὴν πᾶν ἀγαθὸν κακῷ προστεθὲν ἀγαθὸν τὸ ὅλον ποιεῖ· 115b 1.
πλοῦτος γοῦν νόσῳ προστεθεὶς οὐ ποιεῖ τὸ ὅλον αἱρετόν. εἴη δ' ἂν προσκείμενον τοῦτο οἰκειότερον τῷ πρὸ τούτου τόπῳ, δι' οὗ ἠξίου τὸ ἐὰν ἕτερον πρὸς ἕτερον προστεθὲν ποιῇ ἀγαθὸν ἢ λευκόν, μὴ ὂν πρότερον ἀγαθὸν ἢ λευκόν, τὸ προστεθὲν γίνεσθαι λευκὸν ἢ ἀγαθόν. id. ib.

δοκεῖ ἔνστασιν ὁ τόπος ἔχειν· γῆ γὰρ γῆς κουφοτέρα λέγεται, καὶ 115b 7.
οὐκ ἔστιν ἁπλῶς αὐτῇ τὸ κοῦφον ὑπάρχον. ἢ οὐ κυρίως τὸ κουφοτέρα ἐπὶ τῆς γῆς λέγεται, ἀλλὰ ἀντὶ τοῦ ἧττον βαρεῖα. ἀλλ' οὐδὲ πενία ἁπλῶς αἱρετή, καίτοι αἱρετωτέρα λέγεται νόσου. ἢ οὐδὲ ἐπὶ τῶν τοιούτων τὸ αἱρετώτερον κυρίως, ἀλλ' ἀντὶ τοῦ ἧττον φευκτοῦ. πρὸς μὲν οὖν κατασκευήν, ὡς εἶπεν, ὁ τόπος χρήσιμος, οὐκέτι δὲ καὶ πρὸς ἀνασκευήν· οὐ γὰρ ἀληθὲς τὸ εἴ τι μὴ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τοῦτο μηδὲ ἁπλῶς εἶναι, ἢ εἴ τι μὴ ἁπλῶς ἐστί, τοῦτο καὶ μᾶλλόν τινος καὶ ἧττον εἶναι· οὔτε γὰρ ἡ οὐσία τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται, οὔτε τῶν ποσῶν τι, ὡς ἐν Κατηγορίαις δέδεικται... ἐπὶ μὲν οὖν τῶν τοιούτων παραδειγμάτων συνᾴδουσιν οἱ τόποι, οὐ μὴν ἐπὶ πάντων εἰσὶν ἀληθεῖς· διὸ χρὴ ὡς πιθανοῖς αὐτοῖς ἀλλ' οὐχ ὡς ἰσχὺν ἔχουσι χρῆσθαι. ἡ δὲ πιθανότης αὐτῶν τῆς κατασκευῆς ἐστὶν ᾗ ἐχρήσατο αὐτοῖς· εἰ γὰρ ὃ ὅλως, τουτέστιν ἁπλῶς, ἀδύνατον ὑπάρχειν τινί, τοῦτο οὔτε κατά τι οὔτε ποτὲ οὔτε που οἷόν τε ὑπάρχειν αὐτῷ, εὔλογον δοκεῖ ὃ κατά τι ἢ πού ἢ ποτὲ ὑπάρχει τινί, τοῦτο καὶ ἁπλῶς ὑπάρχειν. οὐ μὴν ἀληθὲς τοῦτο· οὐ γὰρ ἕπεται τῇ ἀντιστροφῇ τὸ ἁπλῶς ὑπάρχειν, ἀλλὰ τὸ δύνασθαι ὑπάρχειν, ὅ ἐστιν ἀληθές. id. ib.

κατὰ τὴν λέξιν τὴν "ἁπλῶς δ' οὐκ εἰσί" τὸ "φύσει" περισσῶς 115b 16.
πρόσκειται· ἔστι γὰρ αὔταρκες τὸ ἁπλῶς δ' οὐκ εἰσὶ σπουδαῖοι ῥηθέν. id. p. 113.

Ἐκθέμενος ἐν τῷ δευτέρῳ τοὺς πρὸς τὸ συμβεβηκὸς τόπους, 116a 3.
δι' ὧν δυνησόμεθα ἢ κατασκευάζειν τι ὡς συμβεβηκὸς ἄλλο ἄλλῳ ἁπλῶς ἢ ἀνασκευάζειν καὶ ὅτι μὴ συμβέβηκε τὸ λεγόμενον συμβεβηκέναι δεικνύναι, ἐν τῷ τρίτῳ τόπους ἐκτίθεται δι' ὧν δυνησόμεθα περὶ τῶν συγκριτικῶν προβλημάτων διαλαμβάνοντες ἐπιχειρεῖν καὶ δεικνύναι ἢ μᾶλλόν τι ὑπάρχον ἄλλο ἄλλῳ ἢ ἧττον. εἶεν δ' ἂν καὶ οὗτοι οἱ τόποι ἀπὸ τοῦ συμβεβηκότος, ὡς καὶ αὐτός γε φθάσας ἐν τῷ πρώτῳ τοῖς ἀπὸ τοῦ συμβεβηκότος προβλήμασι συνέταξε πάντα τὰ κατὰ σύγκρισιν λεγόμενα, προσθεὶς μετὰ τὸ περὶ τοῦ συμβεβηκότος εἰπεῖν (p. 102 b 14) "προσκείσθωσαν δὲ τῷ συμβεβηκότι καὶ αἱ πρὸς ἄλληλα συγκρίσεις, ὁπωσοῦν ἀπὸ τοῦ συμβεβηκότος λεγόμεναι." καὶ ἄλλως δῆλον ὅτι σύγκρισις ἐν μόνοις γίνεται τοῖς συμβεβηκόσιν· μόνον γὰρ μᾶλλον καὶ ἧττον ὑπάρχειν δύναταί τισι τὸ συμβεβηκός· οὔτε γὰρ τὸ γένος οἷόν τε τῷ μὲν μᾶλλον τῷ δὲ ἧττον ὑπάρχειν τῶν οἷς προσεχῶς ὑπάρχει, οὔτε τὸ ἴδιον οὔτε ὁ ὁρισμός· τὸ δὲ συμβεβηκὸς τῷ ἔξωθεν εἶναι τῆς τοῦ πράγματος ᾧ συμβέβηκεν οὐσίας, οἷόν τε καὶ μᾶλλόν τινι ἢ τισὶ καὶ ἧττον ὑπάρχειν τὸ αὐτό, καὶ ἄλλο ἄλλου μᾶλλον καὶ ἄλλου ἄλλο ἧττον, ὅπου γε καὶ κατά τι. ὕλη δὲ τοῖς συγκριτικοῖς προβλήμασιν ἔστι μὲν καὶ κατὰ φιλοσοφίαν πᾶσαν ὑποβεβλημένη· καὶ γὰρ κατὰ τὴν ἠθι-

θόλου ὁμοίως κατὰ τὴν λέξιν ἐσχηματίσθαι, καὶ λεγόμενα οὕτως τῷ ποιητικὰ ἐκείνου εἶναι ὧν παρωνόμασται ἢ φυλακτικά, καὶ ταῦτα σύστοιχα ἐκείνῳ... ὡς δὲ συνήθως τῶν τοιούτων τε καὶ οὕτως παρωνομασμένων τισὶ συστοίχων λεγομένων οὕτως λέγει· διὸ καὶ προσέθηκεν "σύστοιχα μὲν οὖν τὰ τοιαῦτα εἰώθει λέγεσθαι."... διαφέροι δὲ ἂν τὰ σύστοιχα τῶν πτώσεων, ὅτι ἐκεῖνα μὲν πράγματά τινά ἐστιν, αἱ δὲ πτώσεις οὐ πραγμάτων ὑποκειμένων εἰσὶ δηλωτικαί, ἀλλὰ τρόπου ἐνεργείας ἢ διαθέσεως τινός... δῆλον δὲ ὅτι ἐπὶ τὸ γνωριμώτερον τῶν ἐν τῇ συστοιχίᾳ καὶ ῥᾷον δυνάμενον δειχθῆναι ἡ μετάβασις ἔσται· τῇ μὲν γὰρ φύσει πρώτη ἡ ἕξις τῶν παρωνομασμένων αὐτῇ, καὶ διὰ τὸ ἐκείνῃ τινὰ συμβεβηκέναι καὶ τούτοις συμβέβηκεν· ἐν δὲ ταῖς δείξεσι πρῶτον γίνεται τὸ ἡμῖν γνωριμώτερον, κἂν ὕστερον ᾖ τῇ φύσει. κἂν ἀνασκευάσαι δέ τι βουλώμεθα, οἷον ὅτι τὸ δίκαιον οὐκ ἔστιν ἀσύμφορον, ὡς οἴονταί τινες, δείξαντες ἐπὶ τῶν συστοίχων μὴ ὑπάρχον αὐτό, οἷον τῇ δικαιοσύνῃ (ἀρετὴ γάρ, καὶ οὐδεμία ἀρετὴ ἀσύμφορος τῷ οὐκ ἐστὶν ἀρετή), δεδειχότες ἂν εἴημεν ὅτι οὐδὲ τὸ δίκαιον τοιοῦτον. id. p. 105.

114b 6. δεῖ οὖν, φησί, καὶ ἀπὸ τῶν ἐναντίων τῷ προκειμένῳ, οὐ μόνον ἀπὸ τῶν συστοίχων, τὴν ἐπιχείρησιν ποιεῖσθαι, σκοποῦντας εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον... εἴη δ' ἂν οἰκειούμενον τὸ ἀπὸ τῶν ἐναντίων τῷ ἀπὸ τῶν συστοίχων καθ' ὅσον κατὰ τὴν αὐτὴν κλῆσίν τε καὶ πτῶσιν τὸ ἐναντίον λαβόντες δι' ἐκείνου καὶ τὸ προκείμενον δείκνυμεν· οἷον εἰ ζητοῖτο εἰ τὸ δικαίως ἐπαινετῶς, τὸ ἀδίκως λαβόντες ζητήσομεν εἰ ψεκτῶς. εἰ δὲ μὴ τὸ δικαίως ἀλλὰ τὸ δίκαιον, οὐ τὸ ἀδίκως πάλιν ἀλλὰ τὸ ἄδικον ληψόμεθα, κατὰ τὰς αὐτὰς συστοιχίας τὰ ἐναντία λαμβάνοντες καθ' ἃς εἴληπται καὶ τὰ προκείμενα περὶ ὧν ζητοῦμεν· εἰ γὰρ ἡ πτῶσις τοῦ ἐναντίου ὑπάρχει τῇ πτώσει τοῦ ἐναντίου, καὶ τῇ πτώσει τοῦ ἐναντίου ὑπάρξει ἡ πτῶσις τοῦ ἐναντίου. id. p. 106.

114b 16. ἔστι τρόπον τινὰ καὶ οὗτος ὁ τόπος ἀπὸ τῶν συστοίχων, πλὴν ὅτι σύστοιχα μὲν εἴρηται ὄντα, οἷον τὸ ὑγιεινόν ὑγιαῖνον καὶ ὑγιεινός ὑγιεινῶς, οὐκέτι δὲ καὶ τὸ ὑγιάζεσθαι τῇ ὑγιείᾳ σύστοιχον. οὕτω δεικνύοις ἂν ὅτι ἐπεὶ παιδεία ἀγαθόν, καὶ τὸ παιδεύεσθαι ἀγαθόν· γένεσις γὰρ τοῦτο παιδείας. ἢ γένεσιν λέγει νῦν οὐ δι' ἧς γίνεται, ἀλλ' αὐτὸ τὸ γίνεσθαι· εἰ γὰρ ἀγαθὸν τὸ γίνεσθαι ὑγίειαν, καὶ ὑγίεια ἀγαθόν, καὶ εἰ ἡ ὑγίεια ἀγαθόν, καὶ τὸ γίνεσθαι ὑγίειαν ἀγαθόν... ἐπιζητήσαι δ' ἄν τις ἐπὶ τῶν ποιητικῶν εἰ ὥσπερ ὧν τὰ ποιητικὰ ἀγαθὰ καὶ αὐτά, οὕτως καὶ ὧν τὰ ποιητικὰ κακὰ καὶ αὐτὰ κακά, καὶ ἔτι εἰ τῶν ἀγαθῶν καὶ τὰ ποιητικὰ ἀγαθά· εἰ γὰρ τοῦτο, δόξει καλῶς ὑπὸ τῶν ἀπὸ τῆς Στοᾶς λέγεσθαι "τὸ διὰ κακοῦ γινόμενον οὐκ ἔστιν ἀγαθόν, πλοῦτος δὲ καὶ διὰ πορνοβοσκίας κακοῦ ὄντος γίνεται, οὐκ ἄρα ὁ πλοῦτος ἀγαθόν." ἢ ὁ τόπος ἔνδοξος μέν ἐστιν, οὐ μὴν καὶ ἀληθής· οὐ γὰρ κεκώλυταί τι ἀγαθὸν ὂν ὑπὸ κακοῦ γίνεσθαι, ὡς ὑγίεια διὰ καύσεως καὶ τομῆς κακῶν ὄντων. ἢ τοῦτο καὶ αὐτὸς δόξει λέγειν καὶ διαιρεῖν· εἰπὼν γὰρ "ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ποιητικῶν καὶ τῶν φθαρτικῶν" προστίθησι πῶς οὗτος κατά τί εἶπεν· ὧν μὲν γὰρ τὰ ποιητικὰ ἀγαθὰ ἦν, καὶ αὐτὰ τῶν ἀγαθῶν, ὧν δὲ τὰ φθαρτικὰ τῶν ἀγαθῶν, αὐτὰ τῶν κακῶν· οὐκέτι δὲ προσέθηκεν οὔτε τὸ ὧν τὰ γινόμενα ἀγαθά, καὶ τὰ ποιητικὰ τούτων ἀγαθά, οὔτε τὸ ὧν τὰ ποιητικὰ κακά, καὶ τὰ γινόμενα ὑπὸ τούτων κακά· ὡς γὰρ ἐξ ἀληθῶν μὲν πάντως ἀληθὲς συνάγεται, οὐ μὴν πάντως καὶ τὸ ἀληθὲς ἐξ ἀληθῶν (ἐκ ψευδῶν γὰρ ἀληθές), οὕτως καὶ τὸ ὑπὸ μὲν ἀγαθῶν γεγονὸς ἀγαθόν, οὐ μὴν πάντως τοῦ ἀγαθοῦ καὶ τὰ ποιητικὰ ἀγαθά· δύναται γὰρ καὶ ὑπὸ κακοῦ ἀγαθὸν γενέσθαι. id. p. 107.

114b 25. οὗ νῦν μνημονεύει τόπου ἐστὶ καὶ αὐτὸς ἐξ ἀκολουθίας τῆς ἐπὶ τῶν κατὰ ἀναλογίαν τῶν αὐτῶν καὶ ὁμοιότητος. id. p. 108.

114b 31. καὶ οὗτος ὁ τόπος ἐξ ἀκολουθίας. ἔστι δὲ τοιοῦτος· εἰ ἐφ' ἑνὸς ἕν τι, καὶ ἐπὶ τῶν πολλῶν πολλὰ τὰ τοιαῦτα· ἀκολουθεῖ γάρ. οἷον εἰ τὸ διδάσκειν ἕνα ὠφελεῖν ἕνα ἐστί, καὶ τὸ πολλοὺς διδάσκειν πολλοὺς ὠφελεῖν ἔσται· ἢ εἰ μὴ τοῦτο, οὐδὲ τὸ πρῶτον... καὶ εἰ τὸ ἐπίστασθαι διανοεῖσθαί ἐστι, καὶ τὸ πολλὰ ἅμα ἐπίστασθαι πολλὰ διανοεῖσθαι ἅμα ἔσται. εἰ δὲ ἀδύνατον ἅμα πολλὰ διανοεῖσθαι, οὐδ' ἂν τὸ ἐπίστασθαι διανοεῖσθαι εἴη... ὃ καὶ αὐτὸς δοκεῖ λέγειν· προσθεὶς γὰρ τὸ "ἐνιαχοῦ γὰρ διαφωνεῖ," ἐπήνεγκεν "οἷον εἰ τὸ ἐπίστασθαι διανοεῖσθαι, καὶ τὸ πολλὰ ἐπίστασθαι πολλὰ διανοεῖσθαι. τοῦτο δὲ οὐκ ἀληθές." ἢ τὸ "ἐνιαχοῦ γὰρ διαφωνεῖ" εἶπεν οὐκ ἐπὶ διαβολῇ τοῦ τόπου, ἀλλὰ δεικνὺς ἐφ' ὧν χρήσιμος ὁ τόπος πρὸς ἀνασκευήν· ἐφ' ὧν γὰρ φαίνεται μὲν ἐφ' ἑνὸς οὕτως ἔχειν, οὐκέτι δὲ ἐπὶ τῶν πολλῶν δυνατὸν τοῦτο, ἐπὶ τούτων ἀπὸ τῶν πολλῶν ἀρχόμενοι ἀνασκευάσομεν τὸ καὶ ἐπὶ τοῦ ἑνὸς φαινόμενον, ὡς ἐκεῖ ἐπὶ τοῦ τὸν ἐπιστάμενον διανοεῖσθαι· τούτῳ γὰρ οὕτω ἔχειν δοκοῦντι ἐναντιοῦται τὸ μὴ δύνασθαι τὸν πολλὰ ἐπιστάμενον ἅμα καὶ διανοεῖσθαι πολλά· διὸ οὐδὲ ἐκεῖνο ἂν ἀληθὲς εἴη. ἢ καὶ ἐπὶ ἑνὸς ἐπιστήμονος ὄντος οὐκ ἀνάγκη καὶ πολλούς, καὶ ἑνὸς μέλανος οὐκ ἀνάγκη καὶ πολλούς, καὶ ἑνὸς ἑξαδακτύλου οὐκέτι καὶ οἱ πολλοί. ἢ ὁ τόπος ἐπὶ τῶν φύσει καὶ κατὰ φύσιν ὑπαρχόντων προΐοι ἄν. id. p. 108.

115a 5. δόξαι δ' ἂν ὁ τόπος ἔνδοξος μᾶλλον ἢ ἀληθὴς εἶναι· πολλῶν γὰρ αἱ μὲν ὑπερβολαὶ πρὸς τῷ μὴ εἶναι ἀγαθαὶ καὶ κακά ἐστιν, αὐτὰ μέντοι ἀγαθά ἐστιν, οἷον τὸ γυμνάζεσθαι συμμέτρως ἀγαθὸν ὂν (ποιητικὸν γὰρ ὑγιείας) τὴν ὑπερβολὴν κακὸν ἔχει· τὰ γὰρ ὑπερβάλλοντα γυμνάσια φθαρτικὰ τῆς ὑγιείας· καὶ ἡ μὲν ὑπερβολὴ τοῦ πλούτου οὐκ ἀγαθόν, ὁ δὲ πλοῦτος ἀγαθόν. ἢ οὐκ ἔστι κακὸν τὸ μᾶλλον ἐν τῷ πλήθει τοῦ πλούτου, εἰ ὡς ὀργάνῳ χρήσαιτό τις αὐτῷ ἀγαθῷ, ὁ τοιοῦτος δὲ ἀγαθόν. ἀλλὰ καὶ εἰ γυμνάσια ὥρισται τῷ ὑγιείας ἢ εὐεξίας εἶναι ποιητικά, τὰ μὴ ταῦτα ποιοῦντα οὐ γυμνάσιά ἐστιν· οὐ γὰρ ὑποπίπτει τῷ τῶν γυμνασίων ὁρισμῷ· ἐπὶ τούτων γὰρ τὸ μᾶλλον ἐν τῷ μᾶλλον σώζειν τὴν οἰκείαν φύσιν. id. p. 109.

115a 6. δεύτερον τόπον ἀπὸ τοῦ μᾶλλον παραδίδωσι, τὸν ἑνὸς περὶ δύο λεγόμενον, ὅς ἐστι τοιοῦτος. εἰ ζητοῖτο περί τινος ἑνὸς πλείοσιν ὑπάρχειν δοκοῦντος, πότερον ὑπάρχει τινὶ ἐξ αὐτῶν ἢ οὔ, ζητεῖν δεῖ εἰ ᾧ μᾶλλον αὐτῶν δοκεῖ ὑπάρχειν μὴ ὑπάρχει, κἂν μὲν ᾧ μᾶλλον ὑπάρχειν δοκεῖ μὴ ὑπάρχῃ, οὐδ' ἂν τῷ προκειμένῳ ὑπάρχοι· ἂν δὲ ᾧ ἧττον ὑπάρχειν δοκεῖ ὑπάρχον δειχθῇ, καὶ ποιητικὰ ἀγαθά, καὶ τὰ γινόμενα ἀγαθά, καὶ εἰ φθαρτικὰ ἀγαθὰ αὐτὰ τῶν κακῶν, οὐ τῷ προκειμένῳ ἂν ὑπάρχοι. τὸ μὲν γὰρ ᾧ μᾶλλον ὑπάρχει, ἂν

ὁ λόγος γίνηται, ὡς ἤδη προείρηται. ἐπεὶ δέ ἐστί τινα καὶ ἔμμεσα ἐναντία, ἐφ' ὧν οὐκέτι ἡ τοῦ ἑτέρου ἀναίρεσις θάτερον αὐτῶν κατασκευάζει, ἀλλὰ μόνον ἡ θατέρου θέσις θάτερον ἀναιρεῖ (εἰ γὰρ λευκόν, οὐ μέλαν· οὐ μὴν εἰ μὴ λευκόν, ἤδη καὶ μέλαν· δύναται γὰρ καὶ τῶν μεταξύ τι εἶναι), διὰ τοῦτο, ὡς εἶπον, ὁ προειρημένος τόπος πρὸς ἀνασκευὴν μόνον χρήσιμος· ἀδύνατον γὰρ συνυπάρχειν τὰ ἐναντία. ὅταν οὖν πρόβλημά τι ᾖ ἐξ ἐναντίων συγκείμενον, ᾧ πλείω ἐστὶν ἐναντία, ἀνασκευάζοντας αὐτὸ χρὴ τίνα ἐστὶ τὰ ἐναντία αὐτῷ λαμβάνειν, καὶ τούτων ὃ ἂν μᾶλλον ᾖ δι' ἐνάργειαν πρὸς τὸ τεθῆναι χρήσιμον, τοῦτο προχειριζομένους καὶ δεικνύντας ὅτι ἀληθές ἐστιν, ἀναιρεῖν τὸ κείμενον τούτῳ ἐναντίον ὡς οὐκ ἀληθές... ἐπιζητήσαι δ' ἄν τις πῶς πάλιν ἐνταῦθα πλείω ἑνὶ ἐναντία εἶναι ἔλαβεν, ἀρεσκόμενος τῷ ἓν ἑνὶ ἐναντίον εἶναι. ἢ ὅταν μὲν ἁπλοῦν τὸ ἓν ᾖ, ἀνάγκη τούτῳ ἓν ἐναντίον εἶναι· ὅταν δὲ μὴ ἁπλοῦν, οὐδὲν κωλύει τούτῳ καὶ πλείω εἶναι ἐναντία, οὐ κατὰ ταὐτόν, ἀλλὰ ἄλλου κατ' ἄλλο τῶν λαμβανομένων ἐναντίων ὄντος ἐναντίου τῷ ἑνί... οὐ γὰρ δὴ κατὰ ταὐτὸν τῷ ἡ ἡδονὴ ἀγαθόν ἐστιν, ἐναντίον ἐστὶ τὸ ἡ ἡδονὴ κακὸν καὶ ἡ λύπη ἀγαθόν, ἀλλ' ἡ μὲν πρώτη, ὅτι τὸ ἐναντίον τοῦ αὐτοῦ κατηγόρησεν, ἡ δὲ δευτέρα, ὅτι τοῦ ἐναντίου τὸ αὐτό· δύο γὰρ τὰ συγκείμενα, καὶ ἑκατέρῳ αὐτῶν ἴδιόν τί ἐστιν ἐναντίον. οὐδ' ἐνταῦθα οὖν αὐτῷ τι μαχόμενον λέγει, ὥσπερ οὐδὲ ἐν τοῖς Ἠθικοῖς. ἐδείξαμεν καὶ ἐν τοῖς εἰς ἐκεῖνα ὑπομνήμασιν. id. p. 99.

113a 20. ἄλλος εἰ ἔστι τι ἐναντίον τῷ συμβεβηκότι. εἴ τίς τινι συμβεβηκέναι τι εἴποι, δεῖ, φησίν, ἐφορᾶν εἰ τῷ συμβεβηκότι ἐστὶν ἐναντίον. οὗτος ὁ τόπος ὁ αὐτός ἐστι τῷ πρὸ αὐτοῦ ἔν τισι φερομένῳ, κατὰ τὴν λέξιν μόνον αὐτοῦ διαφέρων, ὡς τὸ εἰκὸς Ἀριστοτέλους διαφόρῳ λέξει τὸν αὐτὸν ὑποσημηναμένου τόπον· διὸ ἔν τισιν ὁ πρὸ τούτου περιῄρηται. ἔστι δὲ ὁ τόπος καὶ αὐτὸς ἀπὸ τῶν ἐναντίων ἀνασκευαστικός... διαφέροι δ' ἂν οὗτος ὁ τόπος τοῦ πρὸ ὀλίγου ῥηθέντος, τοῦ "ὅσοις δὲ ἀνάγκη θάτερον μόνον ὑπάρχειν" (p. 112 a 24), ὅτι ἐκεῖνος μὲν ἦν ἐπὶ ἀμέσων λεγόμενος (διὸ ἦν καὶ κατασκευαστικός, οὐ μόνον ἀνασκευαστικός), οὗτος δὲ ἐπὶ τῶν ἐμμέσων ἐναντίων· διὸ μόνον ἐστὶν ἀνασκευαστικός. id. p. 100.

113a 25. εἰ γάρ τις λέγοι τὰς ἰδέας ἐν ἡμῖν εἶναι, ὡς εἶναι τὰ ἡμέτερα εἴδη τάς γε ἰδέας, τούτῳ ἀκολουθεῖ τὸ ἅμα μὲν ἀκινήτους τὰς ἰδέας λέγειν ἅμα δὲ κινουμένας, καὶ ἅμα μὲν νοητὰς ἅμα δὲ αἰσθητάς. καθ' ὅσον μὲν γὰρ τὰς ἰδέας λέγουσι νοητάς τε καὶ ἀκινήτους, ταῦτα αὐταῖς ὑπάρξει, καθ' ὅσον δὲ ἐν ἡμῖν αὐτὰς εἶναι λέγουσι, κινουμένων τε ἡμῶν συγκινηθήσονται καὶ ἔτι αἰσθηταὶ ἔσονται· τὴν γὰρ ἑκάστου μορφὴν τῇ ὄψει γνωρίζομεν, ἥτις εἰ ἔστιν ἰδέα, αἰσθητὴ ἂν εἴη. ἔνεστι δὲ προσχρωμένους τῷ τόπῳ τούτῳ ἀναιρεῖν τό τε ἐγὼ ψεύδομαι, πρότασιν εἶναι· εἰ γὰρ πρότασις, ἅμα ἔσται ἀληθής τε καὶ ψευδής, ὡς δείκνυται· ἀδύνατον δὲ τοῦτο, ἐναντία γὰρ ταῦτα· οὐκ ἄρα πρότασις τὸ ἐγὼ ψεύδομαι... ἀλλὰ καὶ τῷ τὸ πᾶν ἐν παντὶ μεμῖχθαι λέγοντι ἕπεται τὸ ἅμα εἶναι τἀναντία. ἀλλὰ καὶ τῷ τὸ ὂν ἕν τε εἶναι καὶ ἄπειρον λέγοντι ἕπεται τὸ ὂν ἕν τε εἶναι καὶ πολλά· τὸ γὰρ ἄπειρον τοῦ ποσοῦ, τὸ δὲ ποσὸν συμβεβηκός· ἔσται οὖν καὶ οὐσία καὶ ποσόν. ἀλλὰ καὶ τῷ πάντα κινεῖσθαι τιθεμένῳ ἕπεται τὸ τὸ αὐτὸ ἅμα κινεῖσθαί τε καὶ ἠρεμεῖν· αὐτὸ γὰρ τὸ πάντα κινεῖσθαι, καθ' ὅσον ἀληθές τε καὶ βέβαιον μένει, ἀκίνητον ἔσται, καθ' ὅσον δὲ τῶν πάντων ἐστί, καὶ αὐτὸ κινηθήσεται. διὰ τοῦ εἰπεῖν "διὰ γὰρ τῆς περὶ τὴν ὄψιν αἰσθήσεως τὴν ἐν ἑκάστῳ μορφὴν γνωρίζομεν" ἔδειξε πῶς εἶπεν ἐν ἡμῖν εἶναι τὰς ἰδέας· ὡς γὰρ τὸ ἑκάστου εἶδος καὶ τὴν μορφήν. διὰ τοῦ τόπου τούτου ἀναιρεθήσεται καὶ τὰ τοιαῦτα "ἐπίσταται Δίων ὅτι τέθνηκεν·" ἅμα γὰρ τούτῳ καὶ τὸ τεθνάναι καὶ τὸ ζῆν ἕπεται. ὁμοίως τούτῳ καὶ τὸ οὐκ ἔστιν αὕτη ἡμέρα. id. ib.

113a 33. ὁ τόπος οὗτος τοιοῦτος. ἐπεὶ δοκεῖ τὸ αὐτὸ τῶν ἐναντίων εἶναι δεκτικόν, εἴ τίς τινι συμβεβηκέναι τί φησιν, ἀξιοῖ σκοπεῖν εἰ τῷ συμβεβηκέναι λεγομένῳ ἔστι τι ἐναντίον, καὶ ὄντος, ὁρᾶν εἰ τὸ ὑποκείμενον δεκτικόν ἐστι καὶ τούτου· δεκτικοῦ μὲν γὰρ ὄντος κατασκευάζοιτο ἂν καὶ τὸ τούτου δεκτικὸν αὐτὸ εἶναι, οὐ μὴν ἤδη τὸ καὶ πάντως αὐτὸ ἐν αὐτῷ εἶναι, ὡς καὶ αὐτὸς ἐρεῖ... τούτῳ προσχρωμένους ἔστι δεικνύναι ὅτι μηδεμία τῶν ἠθικῶν ἀρετῶν ἐπιστήμη· τὸ γὰρ ἐπιστήμης δεκτικὸν καὶ ἀγνοίας, ὥστε εἰ ἀγνοίας τὸ λογιστικόν, καὶ ἐπιστήμης τοῦτο. ἀλλ' οὐδὲ τὸ παθητικὸν ἐν ᾧ αἱ ἠθικαὶ ἀρεταί. id. p. 101.

113b 15. ὁ τόπος ἐκ τῶν κατὰ τὰς ἀντιθέσεις ἀκολουθήσεων. ἀντίκειται δὲ τὰ ἀντικείμενα τετραχῶς· ἢ γὰρ ὡς κατάφασις καὶ ἀπόφασις, ἢ ὡς τὰ ἐναντία, ἢ ὡς ἕξις καὶ στέρησις, ἢ ὡς τὰ πρός τι. καὶ ἔστι καθ' ἑκάστην ἀντίθεσιν οἰκεία τις ἀκολουθία, ἀφ' ἧς ἀκολουθίας ὑπογράφει πῶς οἷόν τε ὁρμωμένους καὶ κατασκευάζειν τι καὶ ἀνασκευάζειν. οὐκ ἐπὶ πασῶν δὲ τῶν ἀντιθέσεων ἡ ἀκολούθησις ὁμοίως, ἀλλ' ἐπὶ μὲν τῆς ἀντιφάσεως ἀνάπαλιν ἡ γινομένη ἀκολούθησις ἔχει... διὰ τοῦτο καὶ εἰ τὸ γινόμενον ἀρχὴν ἔχει, τὸ μὴ ἔχον ἀρχὴν οὐδὲ γέγονεν, ἀλλ' οὐχ ὡς ὁ Μέλισσος ᾤετο, τὸ μὴ γενόμενον οὐκ ἔχον ἀρχήν. ψεῦδος γὰρ τοῦτο· πολλὰ γὰρ ἀγένητα ὄντα ἀρχὰς ἔχει. καὶ εἰ τὸ ἀμερὲς ἀδιάστατον, καὶ τὸ μὴ ἀδιάστατον οὐκ ἀμερές. γίνεται μὲν οὖν ποτὲ καὶ ἐπὶ τὰ αὐτὰ ἡ ἀκολούθησις ὡς ἐπὶ τῶν ἰδίων καὶ τῶν ὁρισμῶν· εἰ γὰρ ἄνθρωπος γελαστικόν, καὶ εἰ μὴ ἄνθρωπος οὐ γελαστικόν... οὐ τῇ ἀντιφάσει δὲ τὸ ἑπόμενον λαμβάνει, ὡς ἂν ἐκ τῆς φωνῆς δόξαι, ἀλλὰ ἑκατέρᾳ τῶν προτάσεων ἐξ ὧν ἡ ἀντίφασις, ὡς δέδεικταί τε καὶ αὐτὸς εἶπε διὰ τοῦ "δῆλον οὖν ὅτι πρὸς ἄμφω ἡ κατὰ τὴν ἀντίφασιν ἀκολούθησις ἀνάπαλιν γινομένη." id. p. 101-103.

113b 34. τὸ δὲ "ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων" εἶπε λέγων τῶν ἀρετῶν καὶ τῶν κακιῶν. id. f. 103.

114a 7. πάλιν ἐπὶ τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένων ἡ μὲν ἀκολούθησις ἐπὶ ταὐτά, ἀλλ' οὐχ ὥσπερ ἐπὶ τῶν ἐναντίων ποτέ, καὶ ἀνάπαλιν... τότε οὖν καὶ τῷ ἑτέρῳ τὸ ἕτερον, ὅταν τῷ ἑτέρῳ τὸ ἕτερον μόνον ἀλλὰ μὴ ἀμφότερα ἕπηται· οὐ γὰρ δύναται ᾧ ἡ ἕξις, τούτῳ καὶ ἡ στέρησις ἕπεσθαι. id. p. 104.

114a 27. λέγοιτο ἂν σύστοιχα ταῦτα ὅσα πράγματά τινα ὄντα ἀπό τινος παρωνόμασται ἀλλήλοις τε καὶ ᾧ παρωνόμασται, οἷον γραμματικὴ γραμματικὸν γραμματικός, ἰατρικὴ ἰατρικὸν ἰατρικός, μουσικὴ μουσικὸν μουσικός. οὐ μόνον δὲ τὰ κατὰ ἰατρικὴν ἢ μουσικὴν ἤ τινα ἄλλην ἕξιν παρωνομασμένα τῷ κατὰ ἐκείνην γεγονέναι σύστοιχα τῇ ἕξει, ὡς τὸ γραμματικὸν καὶ μουσικόν, ἀλλὰ καὶ ὅσα κα-

ἡ εἰς τὴν τούτου κατασκευὴν μετάληψις τοῦ λόγου τῷ ἐρωτῶντι. εἰ γάρ τι εἴη κατασκευαζόμενον πρόβλημα. ὑπὸ τοῦ ἐρωτῶντος δι' ἐπαγωγῆς (οὐδὲν γὰρ ἔλαττον διαλεκτικοῦ τὸ δι' ἐπαγωγῆς δεικνύναι τὸ προκείμενον ἢ διὰ συλλογισμοῦ), ἔπειτα ἐν τῷ ἐπακτικῷ λόγῳ καὶ τοιοῦτόν τι λαβόντος ὡς χρήσιμον πρὸς τὴν δεῖξιν πρὸς ὃ εὐπορεῖ λόγων πλειόνων, ὁ διαλεγόμενος αὐτῷ πρὸς τοῦτο τὴν ἔνστασιν ποιήσηται, ἀναγκαία γίνεται τῷ κατασκευάζοντι τὸ προκείμενον ἡ τοῦ λόγου μετάληψις εἰς τοῦτο. εἰ γὰρ τοῦ ἀποκρινομένου λέγοντος μὴ εἶναι τὸ κατὰ φύσιν ἀγαθόν, ὁ ἐρωτῶν δι' ἐπαγωγῆς κατασκευάζει αὐτό, λαμβάνων ἐφ' ἑκάστου ζῴου ὅτι τὰ κατὰ φύσιν ἑκάστου αὐτῶν ἀγαθά, ἵππῳ μὲν τὰ ἵππου, κυνὶ δὲ τὰ κυνὶ καὶ λέοντι τὰ λέοντι, λαμβάνοντι δὲ αὐτῷ ὅτι καὶ τὰ ἀνθρώπῳ κατὰ φύσιν ἀγαθὰ ἀνθρώπῳ, ἐνσταίη πρὸς τοῦτο ὁ προϊστάμενος τοῦ ἀντικειμένου τῷ δεικνυμένῳ, ὁ δὲ εὐπορεῖ πρὸς τὸ τοῦτο δεῖξαι πλειόνων ἐπιχειρημάτων, μεταλήψεται μὲν οὕτω πρὸς ὃ εὐπορεῖ πλειόνων, οὐ μὴν δέ, ἀλλὰ καὶ ἀναγκαίως, εἴγε τούτου μὴ δειχθέντος ἀναιρεῖται καὶ τὸ ἐξ ἀρχῆς δεικνύμενον, τὸ εἶναι πᾶν τὸ κατὰ φύσιν ἀγαθόν. δεικνύοι δὲ τοῦτο λαβὼν τὸ πᾶν τὸ κατὰ φύσιν ἀνθρώπῳ ἢ καλὸν εἶναι ἢ ἡδὺ ἢ συμφέρον, καὶ ἕκαστον τούτων πιστωσάμενος μετὰ ταῦτα προσλαμβάνοιτο ὅτι πάντα δὲ ταῦτα ἀγαθά. ἔσται γὰρ τούτου δεδειχὼς τοῦτο πρὸς ὃ ἡ ἔνστασις· οὗ συγχωρηθέντος δείκνυται τὸ πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι. ὡς εἰς φαινόμενον δὲ ἀναγκαῖον, οὐκ ἀναγκαῖον δέ, τὴν μετάληψιν ἔστι ποιεῖσθαι, ὅταν περὶ τινὸς μὲν τῶν ἐν τῷ προβλήματι ὠνομασμένων ποιῆται λόγον ὁ ἐρωτῶν, οὐδὲν μέντοι συντελοῦντος οὔτε πρὸς ἀνασκευὴν οὔτε πρὸς κατασκευὴν τοῦ προβλήματος· ὁ γὰρ εἰς τοιοῦτον τὴν μετάληψιν ποιούμενος φαντασίαν ἀποτελεῖ ὡς περί τινος χρησίμου πρὸς τὴν θέσιν καὶ τὸ πρόβλημα ποιούμενος τοὺς λόγους. id. p. 90.

112a 16. οὗτος ὁ τόπος ὁ αὐτός ἐστι τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ ἐξ ἀκολουθίας ἀνασκευαστικῷ... διαφέρει δ' ἂν τὸ νῦν λεγόμενον ἐκείνου, ὅτι ἐκεῖ μὲν ἔφη δεῖν ζητεῖν τίνα ἕπεται τῷ κειμένῳ, ἐνταῦθα δὲ καὶ τὴν εὕρεσιν τῶν ἑπομένων ὑπογράφει. id. p. 92.

112a 24. ἐκθέμενός τινας τόπους ἐξ ἀκολουθίας κατασκευαστικούς, μετὰ ταῦτα παραδίδωσι τόπον ἐκ μάχης κατασκευαστικόν τε καὶ ἀνασκευαστικόν. ἔστι δὲ ὁ τόπος ἐπὶ τῶν ἀμέσων ἐναντίων ἁρμόζων... ἁρμόζοι δ' ἂν ὁ τόπος καὶ ἐπὶ τῆς ἀντιφάσεως· ἄμεσος γὰρ ἀντίθεσις καὶ αὕτη, οὐχ ὡς τὰ ἐναντία τὰ ἄμεσα ἐπὶ τῶν δεκτικῶν τὴν προειρημένην ἀνάγκην ἔχουσα, ἀλλὰ ἐπὶ πάντων· ἀνάγκη γὰρ ἐπὶ παντὸς ἢ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν.... καὶ ἔστι τοῖς μὲν ἀμέσοις ἐφαρμόζουσα μᾶλλον ἡ δεῖξις ἡ διὰ τοῦ πέμπτου λεγομένου ἀναποδείκτου, ὅς ἐστιν ἐκ διαιρετικοῦ καὶ τοῦ ἀντικειμένου ἑνὶ τῶν ἐν τῷ διαιρετικῷ τὸ λοιπὸν συνάγων· τοῖς δὲ ἐμμέσοις ἡ διὰ τοῦ τετάρτου, ὅ ἐστιν ἐκ διαιρετικοῦ καὶ τοῦ ἑτέρου τῶν ἐν τῷ διαιρετικῷ ἀναιρῶν τὸ ἕτερον. id. p. 93.

112a 32. τόπον ἡμῖν ἀπὸ ἐτυμολογίας παραδίδωσιν. ἂν γὰρ τὰ ὀνόματα μεταφέρωμεν ἐπὶ τοὺς κατὰ τὴν ἐτυμολογίαν λόγους (τοῦτο γὰρ σημαίνει τὸ "μεταφέροντα τοὔνομα κατὰ τὸν λόγον") ὡς τούτων μᾶλλον ὄντα σημαντικά, καὶ προσῆκον ὂν οὕτως ἀκούειν τῶν ὀνομάτων ἢ ὡς κεῖται, ἀπορήσομεν ἐπιχειρημάτων πρὸς τὸ προκείμενον. id. p. 94.

112a 37. εἰ δὴ δαίμων ἑκάστου ἡ ψυχή, καθὰ Ξενοκράτει δοκεῖ, εἴη ἂν εὐδαίμων ὁ εὖ τὴν ψυχὴν ἔχων· εὖ δὲ τὴν ψυχὴν ἔχει ὁ σπουδαῖος. σπουδαῖος ἄρα ὁ εὐδαίμων. id. ib.

112b 1. ὁ τόπος οὗτος τὴν ἀφορμὴν ἀπὸ τῆς τῶν πραγμάτων διαφορᾶς λαμβάνει, καὶ ἔστιν ἐπὶ πλέον τοῦ πρώτου παραδοθέντος τοῦ ἀξιοῦντος ἐπιβλέπειν εἰ τὸ κατ' ἄλλον τρόπον ὑπάρχον ὡς συμβεβηκὸς ἀποδέδωκεν. id. p. 95.

112b 13. ὁ γὰρ τοὺς ἀποκηρύκτους φαύλους εἶναι λέγων ἁπλῶς δόξαι ἂν λέγειν ἐξ ἀνάγκης καὶ καθόλου τοιούτους αὐτοὺς εἶναι. οὐ μὴν οὕτως ἔχει· ἐνδέχεται γάρ τινα καὶ μὴ τοιοῦτον εἶναι ἀποκήρυκτον γενόμενον. Θεμιστοκλέα γοῦν ἀποκήρυκτον μέν φασι γενέσθαι, οὐ μὴν φαῦλος ἦν. id. p. 96.

112b 21. ὁ μὲν τόπος ἀπὸ τῶν πολυωνύμων, ἔστι δὲ τὸ δι' αὐτοῦ λεγόμενον· ἐπεὶ οὐδὲν αὐτὸ ἑαυτῷ οἷόν τε συμβεβηκέναι (τὸ γὰρ συμβεβηκὸς ἐν ὑποκειμένῳ, καὶ ἄλλο τοῦ ᾧ συμβέβηκε, καὶ ὃ οἷόν τε ὑπάρχειν καὶ μή), οὔτε δὲ αὐτό τι αὐτῷ ὑπόκειται καὶ ἄλλο τί ἐστιν αὐτοῦ, οὔτε οἷόν τέ τι αὐτῷ ὑπάρχειν τε καὶ μή. ἂν δή τις πλανηθεὶς ἐπὶ τῶν πολυωνύμων ὡς κατὰ τὴν τῶν ὀνομάτων διαφορὰν ἐχόντων καὶ πραγμάτων διαφοράν, τὸ ἕτερον τῷ ἑτέρῳ εἴπῃ συμβεβηκέναι, οἷον τὸ ξίφος τῇ μαχαίρᾳ, ἢ τῷ βροτῷ τὸν ἄνθρωπον, ἢ τῷ φάρει τὸ ἱμάτιον, ἢ τῷ ἥδεσθαι τὸ χαίρειν, ἢ τῷ χαίρειν τὸ εὐφραίνεσθαι, οὗτος ἐλέγχοιτο ἂν αὐτό τι ἑαυτῷ συμβεβηκέναι λέγων. ταῦτα γὰρ κατὰ τὸ ὑποκείμενόν τε καὶ σημαινόμενον ἡδονὴ καὶ χαρὰ καὶ εὐφροσύνη καὶ τέρψις· Πρόδικος δὲ ἐπειρᾶτο ἑκάστῳ τῶν ὀνομάτων τούτων ἴδιόν τι σημαινόμενον ὑποτάσσειν, ὥσπερ καὶ οἱ ἀπὸ τῆς Στοᾶς, χαρὰν μὲν λέγοντες εὔλογον ἔπαρσιν, ἡδονὴν δὲ ἄλογον ἔπαρσιν, τέρψιν δὲ τὴν δι' ὤτων ἡδονήν, εὐφροσύνην δὲ τὴν διὰ λόγων. νομοθετούντων δέ ἐστι τοῦτο. τὸ μὲν οὖν εἰπεῖν τὴν ἡδονὴν χαρὰν οὐχ ἁμάρτημα, ὥσπερ οὐδὲ τὸ τὴν μονάδα ἀδιαίρετον· οὐδὲ γὰρ τὸ τὴν χαρὰν χαρὰν εἰπεῖν ἢ τὴν μονάδα μονάδα· τὸ δὲ συμβεβηκέναι θάτερον θατέρῳ λέγειν ἄτοπόν τε καὶ ψεῦδος. id. ib.

112b 27. σαφὲς ἂν τὸ λεγόμενον γίνοιτο, εἰ ἐκθέμενοι τὰς ἐναντιώσεις καὶ τὰς συζυγίας τὰς γινομένας κατὰ τὰς συμπλοκὰς αὐτῶν, δείξαιμεν πῶς μὲν ἐξ ἁπασῶν γίνονται, πῶς δὲ αἱ τέσσαρές εἰσιν ἀπὸ τῶν ἓξ αἱ τὴν ἐναντίωσιν ἔχουσαι, καὶ τίνες αὗται. id. p. 97.

113a 6. εἰπὼν δὲ ἀμφότερα φευκτὰ εἶναι τὰ δεύτερον εἰρημένα καὶ τοῦ αὐτοῦ ἤθους, καὶ προσθεὶς ὅτι φευκτὸν φευκτῷ οὐκ ἔστιν ἐναντίον, ἐπεὶ ἔκειτο ἐν Ἠθικοῖς καθ' ἑκάστην ἀρετὴν ἠθικὴν εἶναί τις κακία, ἡ μὲν ἐν ὑπερβολῇ ἡ δὲ ἐν ἐνδείᾳ, ἀλλὰ καὶ ἀλλήλαις, προσέθηκε τὸ "ἐὰν μὴ ᾖ τὸ μὲν καθ' ὑπερβολὴν τὸ δὲ κατ' ἔνδειαν." id. p. 98.

113a 18. λαμβάνειν φησὶ δεῖν τῶν ἐναντίων ὁπότερον ἂν ᾖ πρὸς τὴν θέσιν χρήσιμον. τοῦτο βραχέως μὲν καὶ διὰ τοῦτο ἀσαφῶς εἴρηται, ἔστι δὲ τοιοῦτο. ἔστι μὲν ὁ ἐπὶ τῶν ἐναντίων τόπος πρὸς ἀνασκευὴν χρήσιμος, οὐκέτι δὲ καὶ πρὸς κατασκευὴν καθόλου· ἐπὶ μὲν γὰρ τῶν ἀμέσων ἐναντίων καὶ πρὸς κατασκευήν, ὅταν ἐπὶ τῶν δεκτικῶν αὐτῶν

111a 25. συμβεβηκέναι τῷ γένει λέγεται καὶ ὅσα ἐπί τινι εἴδει τῶν ἐν τῷ γένει συμβέβηκεν, ἢ καὶ ἐν τῇ οὐσίᾳ ἐστὶν αὐτοῦ. id. ib.

111a 33. ὁ τόπος τοιοῦτος. ἐπεὶ τὰ γένη οὐκ ἔστιν αὐτὰ καθ' αὑτά, ἀλλ' ἐν τοῖς εἴδεσιν αὐτοῖς ὧν κατηγορεῖται τὸ εἶναι ἔχει, ἀναγκαῖον, εἰ τὸ γένος ὡς γένος τινὸς κατηγορεῖται, τούτου καὶ εἶδός τι κατηγορεῖσθαι, εἰ μὴ προσεχὲς εἶδος εἴη αὐτὸ τοῦ κατηγορουμένου γένους. id. p. 86.

111b 5. ὄντος δὴ τούτου τοῦ προβλήματος, χρὴ ἐπὶ τὰ εἴδη τῆς κινήσεως ἐπιβλέψαντα (ἔστι δὲ ταῦτα αὔξησις μείωσις φορὰ ἀλλοίωσις γένεσις καὶ φθορά· κοινότερον γὰρ νῦν καὶ ταύτας κινήσεις λέγει, ὥσπερ καὶ αὐτὴν τὴν κίνησιν γένος εἶναι) ἀπό τινος τούτων, εἰ οἷόν τέ γε, τῆς ψυχῆς παρώνυμον τὴν κατηγορίαν ποιήσασθαι, καὶ εἴη ἂν κατασκευαζόμενον τὸ κινεῖσθαι αὐτήν, οἷον εἰ γίνεται ἢ φθείρεται ἡ ψυχή, εἰ αὔξεται, εἰ μειοῦται, εἰ ἀλλοιοῦται, εἰ φέρεται· εἰ δὲ μηδὲν τούτων, ἀνασκευάζοιτο ἂν καὶ τὸ κείμενον τὴν ἀρχήν, τὸ κινεῖσθαι αὐτήν. εἰ δὴ κατὰ Ξενοκράτην ψυχή ἐστιν ἀριθμὸς ἑαυτὸν κινῶν, ἢ αὔξοι ἂν αὑτὸν ἢ μειοῖ ἢ ἀλλοιοῖ ἢ φέροι ἢ φθείροι ἢ γεννῴη· ἀλλ' οὔτε αὔξει τι αὐτὸ ἑαυτό. id. p. 87.

111b 12. δοκεῖ τοῦ ἀπὸ τῶν ὁρισμῶν τόπου ἤδη ἐν τοῖς προειρημένοις ἐμνημονευκέναι, δι' ὧν εἶπεν (p. 109 *b* 30) "ἄλλος τὸ λόγους ποιεῖν τοῦ τε συμβεβηκότος καὶ ᾧ συμβέβηκεν, ἢ ἀμφοτέρων καθ' ἑκάτερον ἢ τοῦ ἑτέρου·" ἀπὸ γὰρ τῶν ὁρισμῶν ὡς ἀπὸ φανερωτέρων ἐν ἐκείνῳ τε τῷ τόπῳ ἠξίωσε τὰς ἐπιχειρήσεις ποιεῖσθαι, ἐνταῦθά τε τὸ αὐτὸ λέγει. ἔστι δὲ τοῦτο οὐχ ὁρικὸν ἀλλὰ δι' ὁρισμοῦ τοῦ συμβεβηκότος ἀνασκευὴ καὶ κατασκευή· ταῦτα δὲ ὁρικὰ ἐν οἷς ζητεῖται εἰ ὁρισμὸς τὸ κείμενον· ἡ δὲ χρῆσις ὁρισμοῦ οὐχ ὁρικόν. εἴη δ' ἂν προστιθέμενον διὰ τούτου τοῦ τόπου τὸ πλείοσι τοῦ αὐτοῦ ὅροις χρῆσθαι δεῖν, οὐχ ὡς τῇ ἀληθείᾳ πλειόνων ὅρων τοῦ αὐτοῦ ὄντων, ἀλλ' ὡς κατὰ δόξαν. διὰ τοῦτο γὰρ προσέθηκεν "ἢ τῶν δοκούντων·" τῶν γὰρ τοῦ προκειμένου φερομένων ὁρισμῶν τὸν χρησιμώτερον πρὸς τὸ προκείμενον λαβόντας δεῖν ἀξιοῖ ἀπὸ τούτου ἐπιχειρεῖν πρὸς τὸ πρόβλημα τὸ κείμενον, ὃ θέσιν εἶπεν... οἷον ζητουμένου εἰ ἡδονὴ ἀγαθόν, τῆς ἡδονῆς ἀποδοτέον πλείους ὅρους, τοῦτο μὲν ὅτι λεία κίνησις, τοῦτο δὲ ὅτι γένεσις εἰς φύσιν αἰσθητή, τοῦτο δὲ ὅτι ἄλογος διάχυσις, τοῦτο δὲ ὅτι ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος, ἤ τι τὸ παρακολουθοῦν τέλος ταῖς τελευταίαις ἐνεργείαις... δύναται τὸ "μὴ εὐποροῦντι δὲ ἐπιχειρήματος" εἰρηκέναι οὐχ ὡς ἄλλου τινὸς τόπου μνημονεύων, ἀλλ' ὡς προστιθεὶς τῷ προειρημένῳ· εἰ γὰρ διαιρούμενοι τὰ γένη εἰς τὰ εἴδη, μηδέπω φανερῶς ἀνασκευάζειν δυναίμεθα τὸ πρόβλημα τῷ καὶ ἐπὶ τῶν εἰδῶν ἀμφισβήτησίν τινα καταλείπεσθαι. id. ib.

111b 22. εἰ γὰρ μὴ τὸ ἑπόμενον, οὐδὲ τὸ ἡγούμενον κατὰ τὸν δεύτερον λεγόμενον ἀναπόδεικτον, ὅς ἐστιν ἐξ ἀκολουθίας ἀνασκευαστικός. οἷον εἰ προκείμενον ἡμῖν εἴη τὸ δεῖξαι μὴ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι, δείξαντες τὸ ἑπόμενον τῷ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι μὴ ὄν, δεδειχότες ἂν εἴημεν τὸ προκείμενον... ὅτι μὴ σύμμετρος ἡ διάμετρος τῇ πλευρᾷ δεῖξαι βουλόμενοι, λαβόντες τὸ σύμμετρον εἶναι τὸ ἑπόμενον, καὶ δείξαντες ἄτοπον τοῦτο ὄν, ἀναιροῦμεν τὸ εἶναι τὴν διάμετρον τῇ πλευρᾷ σύμμετρον· ἕπεται γὰρ αὐτῷ τὸ τὰ περιττὰ τοῖς ἀρτίοις ἴσα εἶναι, ὡς ἐν τοῖς εἰς τὰ Ἀναλυτικὰ δέδεικται. ἀδύνατον δὲ τοῦτο, ἀδύνατον ἄρα καὶ τὸ ᾧ τοῦτο ἕπεται. id. p. 89.

111b 32. ὁ τόπος ὃν νῦν παραδίδωσιν, ἐστὶ τὸ μεταφέρειν τὸ πρόβλημα καὶ τὸν λόγον πρὸς τοῦτο πρὸς ὃ εὐποροῦμεν ἐπιχειρημάτων· ὃν σοφιστικὸν εἶπεν εἶναι τρόπον, ἐπεὶ τοῖς σοφισταῖς σύνηθες τὸ καταλιπόντας τὸ περὶ τοῦ προκειμένου ποιεῖσθαι τοὺς λόγους, μετάγειν αὐτοὺς καὶ μεταφέρειν πρὸς τοῦτο πρὸς ὃ εὐποροῦσιν ἐπιχειρημάτων, ὡς ἐν τῷ Πρωταγόρᾳ τῷ Πλάτωνος ὁ Πρωταγόρας ποιεῖ. id. p. 90.

111b 38. πάλιν ἂν βουλόμενός τις δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατος, λαμβάνῃ ὅτι κινεῖται πρὸς τὸ δεῖξαι ὅτι καὶ ὑφ' αὑτῆς, μὴ συγχωρῇ δέ τις αὐτὴν κινεῖσθαι, ὁ δὲ ἀπορῶν πρὸς αὐτὸ ἐπιχειρημάτων μεταλαβὼν πρὸς τοῦτο ποιῆται τοὺς λόγους, δεικνὺς ὅτι κινεῖται τοῦτο μὲν νοοῦσα, τοῦτο δὲ μανθάνουσα, τοῦτο δὲ ἡδομένη καὶ λυπουμένη, τοῦτο δὲ αἰσθανομένη, τοῦτο δὲ ἐλπίζουσα, τοῦτο δὲ φοβουμένη· εἰς γὰρ ἀναγκαῖον πρὸς τὸ προκείμενον ἡ μετάβασις αὕτη. καὶ ἔστιν ὁ τοιοῦτος τρόπος τῆς μεταβάσεως ἐπαγωγή, ὡς εἴρηκεν ἐν τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν (c. 23). τὸ δὲ "ὁμοίως δὲ καὶ ὅταν ἐπαγωγὴν πρός τι διὰ τοῦ προκειμένου ποιησάμενος ἀναιρεῖν ἐπιχειρῇ" τοιοῦτον ἂν εἴη. ὁ ἐνιστάμενος πρὸς τὴν ἐρωτωμένην πρότασιν ὡς χρήσιμον πρὸς τὴν τοῦ προκειμένου δεῖξιν, δύναται καὶ ἁπλῶς μὴ συγχωρεῖν λέγων μὴ ἀληθῆ εἶναι πρότασιν τὴν λέγουσαν πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι, δύναται δὲ καὶ δι' ἐπαγωγῆς αὐτὸ ἀναιρεῖν λέγων τὸ ἀποθανεῖν κατὰ φύσιν ὂν μὴ εἶναι ἀγαθόν, ὁμοίως καὶ τὸ ἀλγεῖν καὶ τὸ νοσεῖν· οὐδὲν γὰρ τούτων ἐστὶ κατὰ συνθήκην ἀλλὰ κατὰ φύσιν. τὸ δὲ "διὰ τοῦ προκειμένου" σημαίνοι ἂν τὸ δι' αὐτῆς τῆς τιθεμένης προτάσεως· ἡ μὲν γὰρ πρότασις τὸ πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι, ἡ δὲ ἐπαγωγὴ δι' αὐτῆς ταύτης τῆς προτάσεως δοκεῖ γινομένη δεικνύναι αὐτὴν ψευδῆ· λαμβάνει γὰρ καθ' ἕκαστά τινα κατὰ φύσιν δοκοῦντα φανερῶς μὴ εἶναι ἀγαθά. ὁ δὴ πρὸς τὸ δι' ἐπαγωγῆς δεικνύμενον καὶ τιθέμενον μεταβὰς καὶ τοῦτο ἀναιρῶν εἰς τὸ ἀναγκαῖον πρὸς τὸ προκείμενον τὴν μετάληψιν ποιεῖται... ἀναγκαία οὖν ἐν τοῖς τοιούτοις πρὸς τὸ προκείμενον ἡ μετάθεσις τοῦ προβλήματος ἡ εἰς τὰ τοιαῦτα. ἢ δύναται ταῦτα περὶ τοῦ ἀποκρινομένου λέγειν, ὡς κἀκείνου διὰ τῆς ἐνστάσεως πρὸς ὃ εὐπορεῖ ἀπάγοντος, τῇ ἐπαγωγῇ χρωμένου· δόξει γὰρ μηδὲ οὗτος ἄτοπόν τι ποιεῖν, εἰ διὰ τῆς ἐπαγωγῆς πρὸς ἣν εὐπορεῖ λόγων ἀναιρεῖ τὴν θέσιν. ἢ μᾶλλον τὸ λεγόμενον τοιοῦτόν ἐστι διὰ τῆς λέξεως τῆς "ὁμοίως δὲ καὶ ὅταν ἐπαγωγὴν πρός τι διὰ τοῦ προκειμένου ποιησαμένου ἀναιρεῖν ἐπιχειρῇ." τούτου γὰρ ἀναιρεθέντος καὶ τὸ προκείμενον ἀναιρεῖται, ὡς εἶναι τὴν γραφὴν "ποιησαμένου," ἀλλ' οὐχὶ "ποιησάμενος." λέγοιτο γὰρ ἂν ὁμοίως δὲ καὶ ὅταν ἐπαγωγὴν πρός τι ποιησαμένου διὰ τοῦ προκειμένου τούτου, δηλονότι τοῦ εἰς ὃ ἡ μετάληψις γίνεται καὶ πρὸς ὃ εὐπορεῖ ἐπιχειρημάτων, ἀναιρεῖν ἐπιχειρῇ τοῦτο ὁ ἀποκρινόμενος τῷ ἐνίστασθαι αὐτῷ. τὸ γὰρ τούτου ἀναιρεθέντος δι' οὗ κατεσκευάζετο τὸ προκείμενον πρόβλημα, ὃ καὶ αὐτὸ προκείμενον εἶπεν, ἀναιρεῖται καὶ τὸ πρόβλημα. ἀναγκαία οὖν γίνεται

τυχηρῶν ἀγαθῶν· παραβαίνουσιν οὖν καὶ οὗτοι τὴν προσήκουσαν χρῆσιν τῶν ὀνομάτων. εἰπὼν δὲ ὑγιεινὸν μὲν ῥητέον τὸ ποιητικὸν ὑγιείας, προσέθηκε τὸ "ἢ ὡς οἱ πολλοὶ λέγουσιν," ὃ ἴσον ἐστίν, ὅπως ἂν ὦσιν οἱ πολλοὶ λέγοντες· καὶ γὰρ κατ' ἄλλων τινῶν οἱ πολλοὶ τῷ ὑγιεινῷ ὀνόματι χρῶνται, οὐ κατὰ μόνου τοῦ ὑγιείας ποιητικοῦ ἀλλὰ καὶ κατὰ τοῦ σημαντικοῦ. ἢ εἶπε τὸ ὅπως ἂν οἱ πολλοὶ λέγουσιν, ἐνδεικνύμενος ὅτι μὴ περὶ τοῦ ὀνόματος τούτου διατείνεσθαι χρή, ἀλλὰ περὶ τοῦ χρῆσθαι τούτῳ ᾧ οἱ πολλοί· καὶ γὰρ εἰ μὴ τοῦτο ἀλλ' ἄλλο τι εἴη, ἐκείνῳ χρηστέον. ἢ οὐκ ἔστι μετὰ τοῦ "ἢ" ἀλλὰ χωρίς· λέγει γὰρ ὡς οἱ πολλοὶ λέγουσιν· τὸ γὰρ ποιητικὸν ὑγιείας ὑγιεινὸν τοῖς πολλοῖς σύνηθες λέγειν. id. p. 79.

110a 23. οἱ τρεῖς τόποι, οὗτός τε καὶ οἱ μετὰ τοῦτον δύο, τὴν ἀφορμὴν τῆς ἐπιχειρήσεως ἀπὸ τῶν πολλαχῶς λεγομένων λαμβάνουσιν. id. ib.

110a 25. ἔστι δὲ ἐφ' ὧν καὶ πάντα τὰ σημαινόμενα λαμβάνοντες ἔστιν ἐπὶ πάντων αὐτῶν ἀνασκευάζειν τὸ κείμενον. οἷον εἰ λέγοι τις ὅτι μὴ χρὴ φιλοσοφεῖν, ἐπεὶ φιλοσοφεῖν λέγεται καὶ τὸ ζητεῖν αὐτὸ τοῦτο εἴτε χρὴ φιλοσοφεῖν εἴτε καὶ μή, ὡς εἶπεν αὐτὸς ἐν τῷ Προτρεπτικῷ, ἀλλὰ καὶ τὸ τὴν φιλόσοφον θεωρίαν μετιέναι, ἑκάτερον αὐτῶν δείξαντες οἰκεῖον τῷ ἀνθρώπῳ πανταχόθεν ἀναιρήσομεν τὸ τιθέμενον. id. p. 80.

110a 26. ἂν γὰρ μὴ λανθάνῃ, προχείρως ἐνστήσεται ὁ τῷ προβλήματι παριστάμενος ὅτι μὴ καθ' ὅ τι τίθεται τὴν ἔνστασιν τὴν πρὸς αὐτὸ καὶ τὴν ἀνασκευὴν ποιεῖται, ἀλλὰ κατ' ἄλλο, πρὸς τοὔνομα καὶ σοφιστικῶς τὴν ἀπάντησιν ποιούμενος. id. ib.

110a 33. ἔστι τὸ "ἐξ ὁμολογίας," ὃ εἶπεν ἐν τῷ πρώτῳ ἐπὶ τέλει (p. 108 b 7) ἐξ ὑποθέσεως· λέγων γὰρ πρὸς τί χρήσιμος ἡ τοῦ ὁμοίου θεωρία, εἶπε "πρός τε τοὺς ἐπακτικοὺς λόγους καὶ τοὺς ἐξ ὑποθέσεως συλλογισμούς." εἰσὶ γὰρ οἱ ἐξ ὁμολογίας ἐξ ὑποθέσεως, ὡς ἐν τοῖς Προτέροις Ἀναλυτικοῖς δέδειχεν· οὐ μὴν ἀντιστρέφει. ὅπως δὲ γίνονται, ἐδήλωσε προσθεὶς "διότι ἔνδοξόν ἐστιν, ὡς ποτε ἐφ' ἑνὸς τῶν ὁμοίων ἔχει, οὕτω καὶ ἐπὶ τῶν λοιπῶν." ὃ δὴ ἐκεῖ ἐξ ὑποθέσεως κοινότερον εἶπε, τοῦτο νῦν ὠνόμασε προσεχέστερον ἐξ ὁμολογίας. ἐπεὶ γὰρ μὴ αὔταρκες τὸ ἐφ' ἑνός τινος δεικνύμενον τῶν ὑπό τι κοινὸν πρὸς τὴν τοῦ κοινοῦ τε καὶ καθόλου κατασκευὴν (οὐ γάρ ἐστι τὸ ἐν μέρει τοῦ καθόλου δεικτικόν), δεῖν φησὶ προσδιομολογεῖσθαι καὶ συντίθεσθαι ὅτι ὡς ἐφ' ἑνός, οὕτω καὶ ἐπὶ τῶν ἄλλων. ἂν γὰρ προσυνθέμενοι, ὡς ἐπί τινος ψυχῆς ἔχει, οὕτω καὶ ἐπὶ πάσης ἔχειν, δείξωμέν τινα ψυχὴν ἀθάνατον, ἔχοιμεν ἂν διὰ τὴν ὁμολογίαν καὶ τὸ πᾶσαν ἀθάνατον εἶναι. id. p. 81.

110b 4. τοῦτο δέ φησι δεῖν ποιεῖν, τὸ διαιρεῖν καὶ ἐπὶ τίνος οὐχ οὕτω ζητεῖν, καὶ οὕτως ἐξ ὁμολογίας δεικνύναι, ὅταν μὴ εὐπορῶμεν διά τινος κοινοῦ καὶ πᾶσιν ἐφαρμόζοντος τοῖς ὑπὸ τὸ καθόλου τὴν δεῖξιν ποιήσασθαι. ἂν γὰρ οἷόν τε ᾖ, ἐκείνως δεικνύναι χρή, ὡς ὁ γεωμέτρης δείκνυσι καθόλου τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχον, καὶ μὴ δι' ὁμολογίας καὶ συνθήκης αὐτὸ λαμβάνει. id. ib.

110b 10. οἷον τὸ πολιτεύεσθαι τὸν σοφὸν κατὰ μὲν τὸ καλὸν δέον, κατὰ δὲ τὸ συμφέρον οὐ δέον. id. ib.

110b 16. ἐπεὶ τῶν πολλαχῶς λεγομένων τὰ μὲν ἐν ὀνόμασι τὸ διττὸν ἔχει, ἃ καλοῦμεν ὁμώνυμα, τὰ δὲ ἐν λόγῳ, ἃ ἀμφίβολα καλεῖν αὐτοῖς ἔθος, εἰπὼν πῶς δεῖ πρὸς τὰ προβλήματα ἐπιχειρεῖν ἐν οἷς ὁμώνυμόν τι κεῖται, νῦν λέγει περὶ τῶν ἐν λόγῳ τὸ διττὸν ἐχόντων, τουτέστι τῶν ἀμφιβόλων. id. ib.

110b 23. δύναταί τις καὶ ὡς καθόλου λεγομένου τοῦ "διαιρεῖσθαι δὲ ὁσαχῶς χρήσιμον" ἐπὶ πάντων τῶν πολλαχῶς λεγομένων ἀκούειν, ὥς τισιν ἔδοξεν, οὐκ ἐπὶ μόνου τοῦ ἐπιστήμην εἶναι μίαν πλειόνων. διττοῦ γὰρ ὄντος τοῦ "ἐπίσταμαι πάντα τὸν τὰς πλείους εἰληφότα ψήφους ὅτι νενίκηκεν" (ἢ γὰρ καθὸ ὥρισται τοῦτο καθόλου, ἢ ὅτι τοὺς καθ' ἕκαστον πάντας, ὅπερ οὐχ οἷόν τε) χρὴ ἐπὶ τοῦτο ἄγοντας δεικνύναι "καὶ μὴν τόνδε οὐκ οἶδας ὅτι νενίκηκεν· οὐκ ἄρα πάντας τοὺς νενικηκότας καὶ τὰς πλείους εἰληφότας ψήφους ἐπίστασαι." ὅμοιον τοῦτο, οὗ καὶ αὐτοῦ Θεόφραστος ἐν τῷ περὶ τῶν ποσαχῶς μέμνηται, οἷον ἐπίστασθαι πᾶν τρίγωνον ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνίας· ἢ γὰρ ὡς καθόλου ἢ ὡς καθ' ἕκαστα πάντα. ἀνασκευάζειν οὖν θέλοντας τὸ ὅτι ὁ γεωμέτρης ἐπίσταται πᾶν τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχον τὰς τρεῖς γωνίας, χρὴ ἐπὶ τὰ καθ' ἕκαστα μετάγειν τὸν λόγον (καὶ γὰρ τοῦτο σημαίνεται), καὶ λαβόντας ὅτι ὃ μὴ οἶδέ τις ὅτι ἔστι τρίγωνον, οὐδ' εἰ δυσὶν ὀρθαῖς ἴσας ἔχει οἶδε, τόδε τι προχειρισαμένους λέγειν ὅτι τοῦτο δὲ οὐκ οἶδεν· οὐκ ἄρα εἰ δυσὶν ὀρθαῖς ἴσας ἔχειν οἶδεν· οὐ πᾶν ἄρα οἶδεν. id. p. 83.

111a 8. ὁ τόπος ἐκ μεταλήψεως· ἐπεὶ γὰρ πᾶν εὐεπιχειρητότερον γίνεται σαφέστερον γενόμενον, φησὶ δεῖν μεταλαμβάνειν τὸ ἀσαφέστερον εἰς τὸ σαφέστερον, καὶ οὕτως ἐπιχειρεῖν πειρᾶσθαι· εὐπορωτέρα γὰρ ἡ πρὸς τὸ σαφὲς ἐπιχείρησις... ἀνασκευάσαι μὲν γὰρ βουλόμενοι καὶ δεῖξαι ὅτι ὁ σπουδαῖος οὐκ ἔστι πολυπράγμων, τὴν πολυπραγμοσύνην μεταλαβόντες εἰς φιλοπραγμοσύνην ῥᾷον ἀνασκευάσομεν τὸ προκείμενον· ὁ μὲν γὰρ πολυπράγμων οὐδέπω φανερὰν ἁμαρτίαν σημαίνειν δοκεῖ εἴ γε πολυπράγμων μέν ἐστιν ὁ ἐν πολλοῖς κυλιόμενος πράγμασιν, δύναται δὲ τοῦτο καὶ ἀπὸ τύχης τινὸς περιγενέσθαι, ὁ δὲ φιλοπράγμων διάθεσιν ἤδη καὶ οἰκειότητα τὴν πρὸς τὰ πράγματα δηλοῖ καὶ σπουδὴν καὶ αἵρεσιν, ὃ ἀλλότριον τοῦ σπουδαίου. πάλιν δὲ εἰ κατασκευάσαι βουλοίμεθα ὅτι πᾶσα ὑπόληψις τοῦ σπουδαίου ἀκριβής, ἐπεὶ τὸ ἀκριβὲς οὐδέπω γνώριμον (δοκεῖ γὰρ καὶ τὸ ἀναγκαῖον σημαίνειν· ἀκριβὴς γὰρ δοκεῖ εἶναι ἡ δι' ἀναγκαίων γενομένη, ὃ οὐ πᾶσα σπουδαίου ὑπόληψις ἔχει, γίνονται γὰρ ὑπολήψεις τῷ σπουδαίῳ καὶ περὶ τῶν ἐνδεχομένων), μεταλαμβάνοντες τὸ ἀκριβὲς εἰς τὸ σαφὲς ἢ εἰς τὸ ἀληθὲς εὐκολώτερον τὸ προκείμενον δείξομεν· πᾶσα γὰρ ἡ τοῦ σπουδαίου ὑπόληψις σαφής τε καὶ διηρθρωμένη καὶ ἀληθής... οὕτω καὶ ὁ Δημοσθένης κατασκευάσαι βουληθεὶς ὅτι μὴ δεῖ χάριν ἔχειν Φιλίππῳ ὑπὲρ ὧν ἔδωκε, μετέλαβε τὸ ἔδωκεν εἰς τὸ ἀπέδωκεν. ἀλλὰ καὶ ὁ Θουκυδίδης βουληθεὶς παροξῦναι τοὺς Ἀθηναίους πρὸς τοὺς Μιτυληναίους, τὴν ἀπόστασιν αὐτῶν εἰς τὴν ἐπανάστασιν μετέλαβεν... οὕτω καὶ ὁ Καλλικλῆς ἐν τῷ Γοργίᾳ παρὰ τῷ Πλάτωνι τοὺς σώφρονας εἰς τοὺς ἠλιθίους μεταλαμβάνει. id. p. 84.

111a 21. τῷ τῆς ἐπιστήμης ὀνόματι κοινότερον ἀντὶ τῆς τέχνης χρῆται. id. p. 85.

παραγγέλματα λέγει καὶ τόπους παραγγελματικούς· τὸ γὰρ "ἐπιβλέπειν δεῖ εἰ τὸ κατ' ἄλλον τινὰ τρόπον ὑπάρχον ὡς συμβεβηκὸς ἀποδέδωκε" παραγγελματικόν· τόπος δ' ἂν ἀπ' αὐτοῦ εἴη ὁ λέγων "εἰ τὸ ὡς συμβεβηκὸς ἀποδεδομένον κατ' ἄλλον τινὰ τρόπον ὑπάρχει, οὐ καλῶς ἀποδέδοται." ἢ ἔτι προσεχέστερον, εἰ τὸ ὡς συμβεβηκὸς ἀποδεδομένον γένος εἴη ἢ πάλιν ὅρος ἢ ἴδιον. ὁ μέντοι Ἀριστοτέλης τόπους καὶ τὰ τοιαῦτα καλεῖ, ἢ ὅτι μετὰ τοῦ παραγγέλματος ἤδη καὶ τὸν τόπον ἔλαβεν, ἀεὶ δὲ ἀπὸ τῶν εἰδικωτάτων καὶ τὰς ὀνομασίας ποιούμεθα τῶν πραγμάτων, οἷον τὴν οὐσίαν οὐκ ὂν μᾶλλον ἢ οὐσίαν ὀνομάζομεν, ἢ τὴν ποσότητα ὄν, ἀλλὰ μᾶλλον ἰδίως ποσότητα. ἐπεὶ οὖν ταῦτα οὐκ ἔξω λόγου, τόπους καὶ τὰ τοιαῦτα καλεῖ τῶν παραγγελμάτων. id. ib.

109a 36. μάλιστα δέ φησι τὴν τοιαύτην ἁμαρτίαν γίνεσθαι περὶ τὰ γένη. τοῦτο δέ, ἐπεὶ τὰ γένη ὁμοιότητά τινα μᾶλλον τῶν ἄλλων ἔχειν δοκεῖ πρὸς τὸ συμβεβηκός· τὸ μὲν γὰρ ἴδιον καὶ ὁ ὁρισμὸς μόνῳ καὶ παντὶ ὑπάρχουσι, διὸ καὶ ἀντιστρέφουσι τοῖς πράγμασιν ὧν εἰσίν, τὸ δὲ γένος καὶ τὸ συμβεβηκὸς ἐπὶ πλέον εἰσὶ τούτου ᾧ ὑπάρχουσι, διὸ καὶ οὐκ ἀντικατηγοροῦνται. id. p. 73.

109b 10. ἐντεῦθεν ἔστιν ὁρμωμένους ἐλέγχειν τοὺς λέγοντας τὸν ἄνθρωπον ἐζωῶσθαι ἢ τὸν Σωκράτην ἠνθρωπίσθαι, καίτοι τὸ λογικὸν παρώνυμον ὂν διαφορά ἐστιν, ἢ τὸ τρίγωνον ἐσχηματίσθαι, ἢ τὸ μέγεθος διεστηκέναι, ἢ τὸ ζῷον ἐψυχῶσθαι· καὶ γὰρ ἡ διαφορὰ γενικὸν καὶ οὐ παρωνύμως τινὸς κατηγορούμενον. id. p. 74.

109b 12. καὶ οὗτος ὁ τόπος παραγγελματικός· ἐκ διαιρέσεως δὲ τὴν ἐπιχείρησιν λαμβάνει. id. ib.

109b 16. διαιρούμενον δὲ μὴ εὐθέως εἰς τὰ ἄτομα ποιεῖσθαι τὴν διαίρεσιν (ἄτομα δὲ τὰ εἴδη ἂν λέγοι), οἷον μὴ εἰς λευκὸν καὶ μέλαν καὶ διπλάσιον καὶ ἥμισυ, ἀλλ' ἐπεὶ τετραχῶς τὰ ἀντικείμενα, εἰς ταῦτα πρῶτα χρὴ διελομένους τὰ ἀντικείμενα ἐφ' ἑκάστου αὐτῶν ὁρᾶν εἰ τὸ λεγόμενον ἀληθές... παραδείγματα δὲ παρέθετο τῆς μὲν τῶν ἀντικειμένων διαιρέσεως τὰ δίκαια καὶ ἄδικα, τῆς δὲ τῶν πρός τι τὸ διπλάσιον καὶ ἥμισυ, τῶν δὲ κατὰ ἕξιν καὶ στέρησιν τυφλότητα καὶ ὄψιν, τῶν δὲ κατὰ ἀντίφασιν τὸ εἶναι καὶ μὴ εἶναι. id. ib.

109b 21. δείξομεν ὅτι μὴ πᾶσα ἀρετὴ ἐπιστήμη, διελόντες τὴν ἀρετὴν εἴς τε τὴν διανοητικὴν καὶ τὴν ἠθικήν, καὶ τὰς ἠθικὰς δείξαντες ὅτι μὴ ἔχουσιν ἐν τῇ γνώσει τὸ εἶναι. ἀλλὰ καὶ τὸ ὅτι οὐδεὶς ἔρως ἀστεῖος, πρόβλημα καθόλου ὂν ἀποφατικόν, ἀνασκευάσομεν, ὅτι μὴ πᾶς ἔρως φαῦλος, διελόντες τὸν ἔρωτα εἴς τε σύντονον ὄρεξιν ἀφροδισίων, ὡς Ἐπίκουρος λέγει, ὃν οὐχ οἷόν τε ἀστεῖον εἶναι, καὶ εἰς ἐπιβολὴν φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον, ὡς οἱ ἀπὸ τῆς Στοᾶς, ἢ ἀνάμνησιν τοῦ ποτὲ ὁραθέντος κάλλους, ὡς Πλάτων· ἀστεῖοι γὰρ οὗτοι οἱ ἔρωτες. οὐ μόνον δὲ τὸν ὑποκείμενον ὅρον ἐν τῷ προβλήματι διαιρεῖν δεῖ, ἀλλὰ πολλάκις καὶ τὸν κατηγορούμενον, ἂν οὕτως τὴν διαίρεσιν δέχηται ὡς ἐπὶ τῶν τοιούτων προβλημάτων, ὁ σοφὸς πολιτεύεται, ὁ σοφὸς στάσεως οὐ μεθέξει· τό τε γὰρ πολιτεύεσθαι τῷ σοφῷ οὐχ ἁπλοῦν ὄν, διαιρεθὲν κατὰ μέν τι σημαινόμενον δείξει προσῆκον τὸ πολιτεύεσθαι τῷ σοφῷ, κατὰ δέ τι ἀλλότριον αὐτοῦ. ὁμοίως καὶ τὸ στάσεως οὐ μετέχει διττόν· ἢ γὰρ ὅτι χρὴ νοσούσῃ τῇ πατρίδι συννοσεῖν, καθὰ ἠξίου Σόλων (πολιτικοῦ γὰρ τὸ μὴ ἀπάγειν αὑτὸν τῆς κοινῆς συμφορᾶς, καὶ οὕτως ἂν καταπαύσαι τι τῆς στάσεως ἴσως, εἰ φαίνοιτο συνάγων καὶ ἐν τοῖς αὐτοῖς ὤν), ἢ πάλιν ὅτι κατάρχειν οὐ χρὴ τῆς στάσεως καὶ ἡγεμόνα γίνεσθαι. id. p. 75.

109b 30. ὁ τόπος οὗτος ὢν ἀπὸ ὁρισμοῦ καθόλου ἀνασκευαστικὸς τοιοῦτός ἐστιν. ἐπεὶ τὸ πρόβλημα πρὸς ὃ τὰς ἐπιχειρήσεις ποιούμεθα τῷ γένει πρότασίς ἐστι κατηγορική (τοιοῦτον γὰρ ἂν κατασκευάσαι ἢ ἀνασκευάσαι βουλόμεθα), πᾶσα δὲ πρότασις κατηγορικὴ ἐξ ὑποκειμένου ὅρου καὶ κατηγορουμένου, καὶ ἐν τοῖς ἀπὸ τοῦ συμβεβηκότος προβλήμασιν ὁ κατηγορούμενος ὅρος ὡς συμβεβηκός τι δηλοῖ, φησὶ δεῖν διαλαμβάνοντας τοὺς τοῦ προβλήματος ὅρους, τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον, κατ' ἰδίαν ἑκάτερον αὐτῶν ὁρίζεσθαι, ἰδίᾳ μὲν τὸ συμβεβηκός, ὅ ἐστι κατηγορούμενον, ἰδίᾳ δὲ τὸ τούτῳ ὑποκείμενον· τοῦτο γάρ ἐστι τὸ "ἀμφοτέρων καθ' ἑκάτερον. id. p. 76.

110a 4. οὕτω δειχθήσεται καὶ ὅτι μή ἐστιν εὐδαίμων ὁ τύραννος· εἰ γὰρ ὁ μὲν τύραννός ἐστιν ἄρχων παράνομος, εὐδαίμων δέ ἐστιν ὁ κατ' ἀρετὴν ἐνεργῶν, οὐχ οἷόν τε τὸν τύραννον εὐδαίμονα εἶναι· τὸ γὰρ παρανόμως ἄρχειν οὐ κατ' ἀρετὴν ἐνεργοῦντος. ἀλλὰ καὶ ὅτι μὴ πλούσιος ὁ σοφός. id. ib.

110a 5. τοῦτο καὶ ἐν τῷ πρώτῳ ἤδη φθάσας εἶπεν ἐν τῇ διδασκαλίᾳ τῶν τόπων οὓς πρὸς τὴν εὕρεσιν τῶν πολλαχῶς λεγομένων παρεδίδου (c. 15). id. p. 77.

110a 10. ἔστι μὲν οὖν καὶ οὗτος ὁ τόπος παραγγελματικός, τὸ δὲ δι' αὐτοῦ λεγόμενόν ἐστιν ὅτι δεῖ τὸ πρόβλημα εἰς καθολικὴν πρότασιν μεταλαβόντα, αὐτῷ προτείνοντα ταύτην, ἔνστασιν πειρᾶσθαι φέρειν πρὸς αὐτήν, ὡς ἂν εἰ καὶ ἄλλου προτείναντος αὐτὴν καὶ λαβεῖν ἀξιοῦντος ἐνέστημεν· ἣν γὰρ ἔνστασιν εὑρίσκομεν πρὸς τὴν πρότασιν, αὕτη ἐπιχειρήματος ἡμῖν ἀρχὴ καὶ ἀφορμὴ γένοιτ' ἂν πρὸς τὴν τοῦ προκειμένου προβλήματος ἀνασκευήν. τοῦτο δ' ἐπεὶ συνηθεστέρα ἡ πρὸς τὰς προτάσεις ἔνστασις τῆς εἰς τὰ προβλήματα ἐπιχειρήσεως. ἐπεὶ δὲ ἡ πρὸς τὰς καθόλου προτάσεις ἔνστασις ἀπό τινος τῶν ὑπὸ τὸ καθόλου γίνεται, ὃ τῷ ἐπιβλέπειν τὰ ὑπὸ τὸ καθόλου εὑρίσκεται, σχεδόν φησι τὸν αὐτὸν τόπον εἶναι τοῦτον τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ ἐκ τῆς τοῦ καθόλου διαιρέσεως. id. p. 78.

110a 20. ἀπὸ τούτου τοῦ τόπου ἐπιχειροίη τις ἂν καὶ πρὸς τὰ ὑπὸ τῶν Στωϊκῶν παράδοξα λεγόμενα. εἰ γὰρ τῶν πολλῶν πλούσιον λεγόντων μόνον τὸν πολυκτήμονα, μὴ κατὰ τοῦτό τις χρῷτο τῷ ὀνόματι τούτῳ μηδὲ λέγοι τὸν πολυκτήμονα πλούσιον, κατὰ δὲ τοῦ σοφοῦ καὶ τοῦ τὰς ἀρετὰς ἔχοντος, παραβαίνοι ἂν τὸν κείμενον τῆς τῶν ὀνομάτων χρήσεως διορισμόν· τίς μὲν γάρ ἐστι πολυκτήμων, οὐ τῶν πολλῶν εἰδέναι ἀλλὰ τῶν τὰ τοιαῦτα ἐξεταζόντων, ὅτι δὲ δεῖ κατὰ τοῦ πολυκτήμονος τῷ πλούσιος ὀνόματι χρῆσθαι, ἱκανὴ ἡ τῶν πολλῶν χρῆσις. ὁ δὴ ὁμολογῶν μὲν εἶναί τινα πολυκτήμονα, μὴ ὀνομάζων δὲ τοῦτο πλούσιον, οὐ δεόντως ἂν χρῷτο τῷ ὀνόματι. ἀλλ' οὐδὲ ὁ χρώμενος αὐτῷ πάλιν ἐπὶ τοῦ τὴν ἀρετὴν ἔχοντος. πάλιν εἰ μὲν πολλοὶ εὐτυχῆ λέγουσι τὸν ἐν τοῖς τυχηροῖς ἀγαθοῖς εὐθηνοῦντα, οἱ δὲ τὸν τὴν ἀρετὴν ἔχοντά φασιν εὐτυχῆ, ὃ οὐκ ἔστι τῶν

(ἐκεῖνα γὰρ τὴν ἀντίφασιν περιέχει) ἀλλὰ τὰ ὡρισμένα ἤδη κατὰ τὸ ἕτερον μέρος τῆς ἀντιφάσεως, πρὸς ἃ δεῖ μὲν ἀεὶ εὐπορεῖν ἐπιχειρημάτων. ὡς γὰρ τῶν προτάσεων αἱ μέν εἰσιν ἐν ἐρωτήσει τὴν ἀντίφασιν περιέχουσαι, αἱ δὲ ἤδη ὡς συλλογισμοῦ μέρη λαμβάνονται, θάτερον μέρος οὖσαι τῆς ἀντιφάσεως (αὗται γάρ εἰσιν αἱ ἔνδοξοι, οὐχ αἱ ἐρωτήσεις, ἀλλ' αἱ ἤδη συγκεχωρημέναι τε καὶ κείμεναι, δι' ὧν ὁ διαλεκτικὸς συλλογισμός), οὕτω καὶ τῶν προβλημάτων τὰ μέν ἐστιν ὡς προβαλλόμενα τὰ δὲ ὡς ὡρισμένα ἤδη, περὶ ὧν νῦν λέγει. καθόλου δὲ νῦν λέγει ἃ εἶπεν ἐν τῷ περὶ Ἑρμηνείας καθόλου ὡς καθόλου· τὸ μὲν γὰρ κοινὸν πᾶν καθόλου, κἂν ἀδιορίστως λέγηται, τὸ δὲ τοιοῦτον καθόλου τῷ καθ' ἕκαστα ἀντιδιαιρεῖται. Alex. Aphrodis. p. 67-69.

διδάξας καὶ εἰπὼν ὁ τεχνικὸς περὶ τῶν ὀργάνων τῆς διαλεκτικῆς, ἅ εἰσιν αἱ προτάσεις καὶ τὰ προβλήματα, νῦν διδάσκει καὶ περὶ τῶν τόπων καὶ ἀφορμῶν τῶν ἐπιχειρημάτων, δι' ὧν κατασκευάζομεν ὅτι τόδε ἐστὶ γένος τοῦδε. cod. 1845 in marg.

109a
2. ἵνα ᾖ γνώριμον ὅτι οἱ αὐτοὶ κἂν ἐπὶ μέρος τι ᾖ πρόβλημα χρήσιμοι ἡμῖν ἔσονται, προλέγει περὶ αὐτοῦ. ἐρεῖ δὲ τοῦτο αὐτὸ φανερώτερον ἔτι καὶ ἐν τῷ τρίτῳ ἐπὶ τέλει. Alexander p. 70.

109a
9. ἐπεί, ὡς ἐμνημόνευσεν ἤδη, τὰς θέσεις καὶ τὰ προβλήματα ὡς ἐπὶ τὸ πλεῖστον καταφατικὰ κομίζουσιν οἱ διαλεγόμενοι, πρόκειται δὲ τῷ διαλεκτικῷ ἀνασκευάζειν τὸ τιθέμενον καὶ εἰς τὸ ἀντικείμενον ἐπιχειρεῖν (τοιαύτη γὰρ ἡ ἐν τοῖς λόγοις γυμνασία), δῆλον ὡς τὸ καταφατικὸν ἀποφατικῶς ἀνασκευάζοιτο ἄν. τὸ μὲν οὖν ἀποφατικὸν τοῦ καταφατικοῦ πρῶτον, διότι πολὺ χρησιμώτερον τῷ διαλεκτικῷ, τὸ δὲ καθόλου ἀποφατικὸν τοῦ ἐπὶ μέρους, διότι κοινὸν τὸ καθόλου καὶ πρὸς τὸ ἐπὶ μέρους. ὅτι δὲ οἰκειότερον τῷ διαλεκτικῷ τὸ ἀνασκευάζειν τοῦ κατασκευάζειν, ἐν τῷ πρώτῳ τῶν ἐπιγραφομένων Εὐδημείων Ἀναλυτικῶν (ἐπιγράφεται δὲ αὐτὸ καὶ Εὐδήμου ὑπὲρ τῶν Ἀναλυτικῶν) οὕτως λέγεται, ὅτι ὁ διαλεκτικὸς ἃ μὲν κατασκευάζει μικρά ἐστιν, τὸ δὲ πολὺ τῆς δυνάμεως αὐτοῦ πρὸς τὸ ἀναιρεῖν τι ἐστίν. θέσιν δὲ δὴ τὸ πρόβλημα κοινότερον λέγει. id. ib.

109a
10. τὸ μὲν χαλεπώτατον λέγοι ἄν, ὅτι μὴ ἁπλοῦν μηδὲ πρόχειρον ὡς ἐπὶ τῶν ἄλλων. ἀντιστροφὴν δὲ νῦν ἄλλην λέγει παρὰ τὰς εἰρημένας ἐν τοῖς Ἀναλυτικοῖς· ἐκείνων γὰρ ἦν ἡ μὲν κατὰ τοὺς ὅρους ἡ δὲ κατὰ τὸ καταφατικὸν καὶ ἀποφατικόν, ὡς αἱ ἐνδεχόμεναι ἀντέστρεφον. τὴν δὲ νῦν λέγει κατὰ τοὔνομα· τὸ γὰρ τῷ τοῦ ὑπάρχειν τινὶ κειμένῳ ὀνόματι ὑποκείμενον καλεῖν ἀντιστρέφειν λέγει. οἷον τὸ ζῷον ὑπάρχει ἀνθρώπῳ, ἀντιστρέφοντες λέγομεν, ὁ ἄνθρωπος ζῷόν ἐστιν· ὃ γὰρ ἐλάβομεν ὑπάρχειν τῷ ὑποκειμένῳ, τοῦτο ὑποκείμενον εἶναι λέγομεν. εἴη δ' ἂν ἀντιστροφὴ τοῦτο, καθόσον πρῶτον ἀπὸ τοῦ ὑποκειμένου ἀρχόμενοι μετὰ ταῦτα ἀπὸ τοῦ ὑποκειμένου τὴν ἀρχὴν ποιούμεθα. ὅταν οὖν οὕτως μεταλαμβανόντων ἡμῶν ἀληθὲς ᾖ τὸ λέγειν καὶ ὀνομάζειν ἁπλῶς καὶ χωρίς τινος προσθήκης τὸ ὑποκείμενον τῷ τοῦ ὑπάρχοντος αὐτῷ ὀνόματι, τὰ οὕτως ὑπάρχοντα ἀντιστρέφειν λέγει κατὰ τὸ ὄνομα. κατὰ τὴν ἀπὸ τοῦ συμβεβηκότος οὐ δὲ ἀντὶ τοῦ τὴν τῷ τοῦ συμβεβηκότος οἰκείῳ ὀνόματι ὀνομάζουσαν τὸ ὑποκείμενον αὐτῷ. ἢ τὸ ἀντιστρέφειν τὴν ἀπὸ τοῦ συμβεβηκότος οἰκείαν ὀνομασίαν εἶπεν· ὀνομάζεται γὰρ τὸ ὑποκείμενον τῷ τοῦ κατηγορουμένου ὀνόματι ὡς οἰκείῳ ἐν τῇ τοιαύτῃ ἀντιστροφῇ. ἐφ' ὧν δὲ μηκέτι τοῦτο ἀληθές, ταῦτα δὲ οὐκ ἀντιστρέφει ταύτην τὴν ἀντιστροφὴν τὴν κατὰ τὸ ὄνομα. τὰ μὲν οὖν ὡς γένη ὑπάρχοντά τισιν ἢ ὡς ὁρισμοὶ ἢ ὡς ἴδια ἀντιστρέφει . . . ὥστε εἰ τὸ πῇ ὑπάρχειν τῷ ὑποκειμένῳ αἴτιον τοῦ μηδὲ ἀντιστρέφειν, μόνον δὲ τοῦτο οἷόν τε ἐπὶ τοῦ συμβεβηκότος, ἐπὶ μόνου ἂν τοῦ συμβεβηκότος εἴη ἀληθὲς τὸ μὴ αἰεὶ ἀντιστρέφειν· οὐ γὰρ ἔτι τὸ ὑποκείμενον ἔσται τοῦτο εἶναι εἰπεῖν, τὸ συμβεβηκὸς πῇ καὶ μὴ ἁπλῶς ὑπάρχειν· οὐκ ἀναιρεῖται δὲ τὸ συμβεβηκέναι τινὶ ὑπὸ τοῦ μὴ ἀντιστρέφειν. οὐ γὰρ εἰ μὴ ἀντιστρέφει, διὰ τοῦτο οὐδὲ συμβέβηκεν. ἀλλ' οὐδὲ δείκνυται τὸ ὑποκείμενον ὀνομαζόμενον τῷ τοῦ συμβεβηκότος ὀνόματι, ἂν δειχθῇ αὐτῷ συμβεβηκός. μέλλων δὲ τῶν πρὸς τὸ συμβεβηκὸς τόπων τὴν παράδοσιν ποιεῖσθαι, τίνα ἴδιά ἐστιν αὐτῶν παρὰ τὰ ἄλλα προβλήματα τῶν ἀπὸ τοῦ συμβεβηκότος προβλημάτων πρῶτον ἐξέθετο, ὧν ἓν μὲν ἦν τὸ καθόλου καὶ ἐπὶ μέρους ἐν τούτῳ γίνεσθαί τινα προβλήματα, εἰ τοῦ ἐν μέρει οὕτω τις ἀκούοι ὡς ἐπὶ ἀτόμων λεγομένου, δεύτερον δὲ τὸ μὴ ἀντιστρέφειν τὸν προειρημένον τρόπον τῆς ἀντιστροφῆς πάντα τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα. τοῦτο δὲ γνωρίζομεν ὂν χρήσιμον πρὸς τὰς ἐπιχειρήσεις. id. ib.

ἐζήτηται πῶς οἷόν τε λέγειν πρόβλημα ψευδές· εἰ γὰρ τὸ πρό- 109a
βλημα τὴν ἀντίφασιν περιέχει, πῶς ἂν εἴη λέγειν τὸ ψεύδεσθαι ἢ τὸ 27.
ἀληθεύειν ἐν τοῖς προβλήμασι; μή ποτε οὖν πρόβλημα, ὡς προείπον ἤδη, οὐ τὸ προτεινόμενόν τε καὶ προβαλλόμενον ἔτι λέγει, ἀλλὰ τὸ ὡρισμένον ἤδη καὶ κείμενον, ὡς εἶπεν ἤδη καὶ ἀρχόμενος, οὗ προΐσταταί τις, ὃν ὁ διαλεκτικὸς ἐλέγχειν ἐπιχειρεῖ. id. p. 71.

ψεύδεται μὲν γὰρ ὁ τὴν ἡδονὴν τέλος τιθέμενος καὶ τούτῳ παριστά- 109a
μενος· τὸ γὰρ μὴ ὑπάρχον τῇ ἡδονῇ ὑπάρχειν αὐτῇ λέγει. ὁμοίως 30.
ψεύδεται καὶ ὁ τὴν κίνησιν διὰ κενοῦ γίνεσθαι λέγων, ἀλλὰ καὶ ὁ ἄτομα μεγέθη τιθέμενος, ἀλλὰ καὶ ὁ ἐξ ἐπιπέδων γεννῶν τὰ σώματα, ἀλλὰ καὶ ὁ τὴν ψυχὴν χωριστήν τε καὶ ἀθάνατον τιθέμενος, ἀλλὰ καὶ ὁ μόνον τὸ καλὸν ἀγαθὸν λέγων, ὥσπερ καὶ ὁ τὰ δὶς δύο πέντε λέγων. παραβαίνει δὲ τὴν κειμένην λέξιν ὁ τὴν μὲν ὑποκειμένην φύσιν ἥ τίς ποτέ ἐστι γνωρίζων, μὴ τῷ συνήθει δὲ καὶ κειμένῳ ὀνόματι ὀνομάζων αὐτήν, ἀλλὰ προχαράσσων καὶ ἰδίοις ὀνόμασι χρώμενος κατ' αὐτῶν, ὡς οἱ λέγοντες μόνον τὸν σοφὸν πλούσιον ἢ μόνον καλὸν ἢ μόνον εὐγενῆ ἢ μόνον ῥήτορα. id. p. 72.

δεῖ μὴ ἀγνοεῖν ὅτι Θεόφραστος διαφέρειν λέγει παράγγελμα 109a
καὶ τόπον· παράγγελμα μὲν γάρ ἐστι τὸ κοινότερον καὶ καθολικώτερον 34.
ἁπλούστερον λεγόμενον, ἀφ' οὗ ὁ τόπος εὑρίσκεται· ἀρχὴ γὰρ τόπου τὸ παράγγελμα, ὥσπερ ὁ τόπος ἐπιχειρήματος. οἷον παράγγελμα μὲν τὸ οὕτω λεγόμενον, ὅτι δεῖ ἐπιχειρεῖν ἀπὸ τῶν ἐναντίων, ἀπὸ τῶν συστοίχων, τόπος δέ, εἰ τὸ ἐναντίον πολλαχῶς, καὶ τὸ ἐναντίον, ἢ εἰ τὸ ἐναντίον τῷ ἐναντίῳ ὑπάρχει, καὶ τῷ ἐναντίῳ ὑπάρχει τὸ ἐναντίον, καὶ πάλιν ὡς ἓν τῶν συστοίχων, οὕτω καὶ τὰ λοιπά. ὁ γὰρ τόπος πρότασίς ἤδη τις ἀπὸ τοῦ παραγγέλματος γεγονυῖα. ταύτην δέ, λέγω τὴν διαφορὰν παραγγέλματός τε καὶ τρόπου, εἰδὼς ὁ Θεόφραστος, τὰ τοιαῦτα ὁποῖός ἐστιν ὁ πρῶτος εἰρημένος τόπος,

δείκνυσι. καὶ τὸ μὲν ἀπὸ τῆς τῶν προτάσεων ἐκλογῆς τε καὶ παρασκευῆς γινόμενον χρήσιμον πρὸς τὴν τῶν συλλογισμῶν εὐπορίαν ὡς γνώριμον παρέλιπεν εἰπεῖν· ὕλη γὰρ καὶ μέρη τῶν συλλογισμῶν αἱ προτάσεις· ἐκ γὰρ τῶν προτάσεων οἱ συλλογισμοί, καὶ δῆλον ὅτι ἡ τούτων εὐπορία τε καὶ παρασκευὴ εὐπορίαν ἡμῖν συλλογισμῶν παρέξει.. διὰ γοῦν τὸ μὴ διελέσθαι τὸ ὂν ποσαχῶς λέγεται Παρμενίδην τε καὶ Μέλισσον, ἄδηλός ἐστι νῦν ἡ δόξα αὐτῶν ἡ περὶ τοῦ ἓν τὸ ὂν εἶναι. τὸ δὲ "μᾶλλον γὰρ ἄν τις εἰδείη ὅ τι τίθησιν" εἴη ἂν λέγων περὶ τοῦ ἀποκρινομένου καὶ συγχωροῦντος ταῖς προτάσεσιν. id. ib.

103a 22. ἁπλῶς μὲν γὰρ κειμένου τοῦ τὴν ἐπιστήμην μὴ χωρίζεσθαι τῆς ψυχῆς, δύναταί τις ἐπιχειρῶν συλλογίζεσθαι ὅτι πᾶσα ψυχὴ ἣν ἔχει ἐπιστήμην ἀεὶ ἔχει· εἰ γὰρ ἀχώριστος ἡ ἐπιστήμη τῆς ψυχῆς, τὸ δὲ ἀχώριστον ἀχωρίστου ἀχώριστον, καὶ ἡ ψυχὴ ἂν ἀχώριστος εἴη τῆς ἐπιστήμης, εἰ δὲ τοῦτο, σύμφυτος ἂν αὐτῇ ἡ ἐπιστήμη ἀεὶ εἴη. διορισθέντος μέντοι τοῦ ἀχωρίστου, ὅτι τὰ μὲν οὕτως ἀχώριστα ὡς τὰ ἐν τῇ οὐσίᾳ ἑκάστου, τὰ δὲ οὕτως ἀχώριστα ὅτι μὴ δύναται καθ' αὑτὰ εἶναι ἀλλ' ἔστιν αὐτοῖς φθορὰ τὸ μὴ σὺν ἐκείνοις εἶναι, ὧν ἐστὶ καὶ ἡ ἐπιστήμη καὶ πάντα τὰ ἐν ὑποκειμένῳ, οὐκέτ' ἂν δεικνύοιτο σύμφυτον τῇ ψυχῇ καὶ ἐν τῇ οὐσίᾳ αὐτῆς ἡ ἐπιστήμη διὰ τοῦ ἀχωρίστου. εἴη δ' ἂν τὸ μὲν πρῶτον εἰρηκὼς περὶ τῶν ἀποκρινομένων, τὸ δὲ δεύτερον περὶ τῶν ἐρωτώντων τε καὶ συλλογιζομένων. id. p. 64.

103a 32. τὸ γὰρ "Αἴας ἐπὶ Ἴλιον ἐστράτευσεν" ἀληθὲς ἐπ' ἀμφοτέρων τῶν Αἰάντων· διὸ ἐφ' ὃν ἂν μεταφέρηται, οὐδεὶς γίνεται παραλογισμός. τὸ μέντοι "Αἴας Ἕκτορι ἐμονομάχησεν" οὐκ ἐπ' ἀμφοτέρων ἀληθές. id. p. 65.

103b 8. λέγει νῦν ἐξ ὑποθέσεως (συλλογισμοὺς) τούτους οὓς λέγομεν ἐξ ὁμολογίας... "πρὸς δὲ τοὺς ἐξ ὑποθέσεως συλλογισμούς," ὅτι τῷ ὅμοια ἀλλήλοις εἶναι ἀξιοῦμεν ὃ ἂν ἐφ' ἑνὸς δειχθῇ, τοῦτο καὶ ἐπὶ τῶν ἄλλων δεδεῖχθαι· οὐ γὰρ ἐν τοῖς τυχοῦσιν ὁ ἐξ ὑποθέσεως συλλογισμὸς ἀλλὰ ἐν ὁμοίοις· ὁ γὰρ ἐξ ὑποθέσεως συλλογισμὸς νῦν λεγόμενος ἐξ ὁμολογίας ἐστίν, ὡς προείρηται. id. ib.

103b 22. δυνάμενοι γὰρ συνορᾶν τί ἐν τοῖς διαφέρουσιν ἀλλήλων ὅμοιον καὶ τί κοινόν, δυναίμεθ' ἂν τὸ γένος αὐτῶν λαμβάνειν· τὸ γὰρ τῶν κοινῶν τισὶν ἐν τῷ τί ἐστιν αὐτῶν κατηγορούμενον μάλιστα τοῦτό ἐστιν αὐτῶν γένος, ἡ δὲ τοῦ γένους εὕρεσις χρήσιμος πρὸς τὴν τῶν ὁρισμῶν ἀπόδοσιν... δύναται καὶ τὸ "τῶν γὰρ κοινῶν τὸ μάλιστα ἐν τῷ τί ἐστι κατηγορούμενον" οὕτως εἰρῆσθαι, τῶν γὰρ κοινῶν τὸ μάλιστα κοινὸν καὶ ἐν τῷ τί ἐστι κατηγορούμενον γένος· καὶ εἴη ἂν τῷ μάλιστα κοινῷ χωρίζων τὸ γένος ἀπὸ τοῦ εἴδους· ἀμφότερα μὲν γὰρ ἐν τῷ τί ἐστιν, ἀλλὰ μάλιστα κοινὸν ὃ ἐν πᾶσίν ἐστι καὶ τοῖς πλείοσι. id. p. 66.

103b 23. "σχεδὸν δὲ καὶ οἱ ὁριζόμενοι." οὕτως εἰώθασιν ἀποδιδόναι τοὺς ὁρισμοὺς ἤτοι κατὰ σύνθεσιν τοῦ γένους καὶ τῶν συστατικῶν διαφορῶν, καὶ οὐχὶ κατὰ διαίρεσιν, ὡς οἱ κατὰ Πλάτωνα οὕτω διαιροῦντες τοὺς ὁρισμοὺς τῶν προκειμένων ὁριστῶν ἀπεδίδουν. cod. 1917 in marg.

103b 37. Ἐν τῷ πρώτῳ τῶν Τοπικῶν εἰπὼν περὶ ὧν ἦν ἀναγκαῖον εἰπεῖν πρὸ τῆς τῶν τόπων παραδόσεως... ἐν τῷ δευτέρῳ τῆς τῶν τόπων τῶν πρὸς ἕκαστον πρόβλημα χρησίμων παραδόσεως ἄρχεται. ἔστι δὲ ὁ τόπος ἀρχὴ καὶ ἀφορμὴ ἐπιχειρήματος, ἐπιχείρημα δὲ καλοῦσι τὸν διαλεκτικὸν συλλογισμόν... διὸ καὶ ὁρίζεται ὁ Θεόφραστος τὸν τόπον, ὡς ἤδη ἡμῖν ἐν τοῖς πρώτοις εἴρηται, οὕτως "τόπος ἐστὶν ἀρχή τις ἢ στοιχεῖον, ἀφ' οὗ λαμβάνομεν τὰς περὶ ἕκαστον ἀρχάς, τῇ περιγραφῇ μὲν ὡρισμένος, τοῖς δὲ καθ' ἕκαστα ἀόριστος." οἷον τόπος ἐστὶν εἰ τὸ ἐναντίον τῷ ἐναντίῳ ὑπάρχει καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον. οὗτος γὰρ ὁ λόγος καὶ ἡ πρότασις αὕτη τῷ μὲν καθόλου ὥρισται (ὅτι γὰρ περὶ ἐναντίων καθόλου λέγεται, δηλοῖ), οὐκέτι μέντοι εἰ περὶ τῶνδε ἢ τῶνδε τῶν ἐναντίων λέγεται, ἔστιν ὡρισμένον ἐν αὐτῷ. οὐ μὴν ἀλλ' ἀπ' αὐτοῦ ὁρμωμένους ἔστιν ἐπιχειρεῖν περὶ ἑκάστου τῶν ἐναντίων... ποιεῖται δὲ πρώτην τὴν τῶν τόπων τῶν πρὸς τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα παράδοσιν, ὅτι τε κοινότερον τοῦτο καὶ κατὰ τοῦτο πρῶτον· τὸ γὰρ ὑπάρχον πᾶσιν ὑπάρχει· οὕτω γὰρ τεταγμένη γίνεται καὶ διακεκριμένη ἡ τῶν τόπων παράδοσις. ἔστι γὰρ συμβεβηκός, ὡς εἶπεν ἐν τῷ πρὸ τούτου, ὃ μήτε γένος ἐστὶ μήτε ὅρος μήτε ἴδιον, ὑπάρχει δὲ τῷ πράγματι. ἀλλὰ μὴν τὸ ὑπάρχειν καὶ τοῖς ἄλλοις παρακολουθεῖ· οὔτε γὰρ γένος οὔτε ἴδιον οὔτε ὅρον οἷόν τε εἶναί τινος μὴ ὑπάρχοντα αὐτῷ· διὸ ἀναιρουμένου τοῦ ὑπάρχοντος ᾧ τὸ συμβεβηκὸς ὁρίζεται, ἀναιρεῖται καὶ τῶν ἄλλων ἕκαστον, οὐκέτι μέντοι ἐκείνων τινὸς ἀναιρουμένου συναναιρεῖται τὸ συμβεβηκός. ὥστε πρῶτον τῇ φύσει κατὰ τοῦτο τῶν ἄλλων τὸ συμβεβηκός, ἔτι καὶ διότι ἀπὸ τοῦ συμβεβηκότος αὐτῷ τῆς τῶν τόπων ἀρχομένῳ παραδόσεως ἔμελλε τεταγμένη τε γίνεσθαι καὶ διακεκριμένη ἡ τῶν τόπων παράδοσις, ὡς ἄλλους μὲν εἶναι τοὺς πρὸς τὸ συμβεβηκός, ἄλλους δὲ τοὺς πρὸς τὸ γένος, ἄλλους δὲ τοὺς πρὸς τὸ ἴδιον καὶ ἄλλους τοὺς πρὸς τὸν ὁρισμόν. εἰ γὰρ ἀπὸ τοῦ ὁρισμοῦ τὴν ἀρχὴν τῆς τῶν τόπων παραδόσεως ἐποιεῖτο, ἐπειδὴ δεῖ τὸν ὁρισμὸν μὴ μόνον τὸ τί ἦν εἶναι σημαίνειν, ἀλλὰ πρῶτον μὲν ὑπάρχειν ἐκείνῳ οὗ ἐστὶν ὁρισμός, ἔπειτα καὶ ἐν τῷ τί ἐστιν αὐτοῦ κατηγορεῖσθαι, ἀλλὰ καὶ ἀντικατηγορεῖσθαι αὐτοῦ, ἀναγκαίως ἂν καὶ τῶν τοῦ ὑπάρχειν κατασκευαστικῶν τόπων ὡς ὁριστικῶν ἐμνημόνευσεν, οἵτινές εἰσιν οἰκεῖοι τῷ συμβεβηκότι, καὶ τῶν δεικνύντων ὅτι ἐν τῷ τί ἐστι κατηγορεῖται, οἳ πάλιν εἰσὶν οἰκεῖοι τῶν γενικῶν προβλημάτων, ἀλλὰ καὶ τῶν δεικνύναι δυναμένων ὅτι ἀντικατηγορεῖται, οἳ τῶν ἀπὸ τοῦ ἰδίου προβλημάτων εἰσὶν οἰκεῖοι. οὕτως τε καὶ τοὺς τῶν ἄλλων προβλημάτων οἰκείους τόπους ὁρικοὺς ἂν ἔλεγε. πάλιν τε περὶ ἐκείνων λέγων καὶ μνημονεύων αὐτῶν, τοὺς μὲν ἀπὸ τοῦ γένους ἔλεγεν ἂν αὐτῶν τοὺς δὲ ἀπ' ἄλλου τινός, ὡς γίνεσθαι τοὺς αὐτοὺς πλειόνων οἰκείους. νῦν δὲ ἀρχόμενος ἀπὸ τοῦ συμβεβηκότος, ὃ κοινότατόν τέ ἐστι καὶ ἁπλούστατον, τοὺς μὲν περὶ τοῦ ὑπάρχειν ἢ μὴ ὑπάρχειν τόπους ὡς ἰδίους τοῦ συμβεβηκότος παραδίδωσιν, ἑξῆς δὲ μνημονεύων τῶν πρὸς τὸ γένος, ὅσοι παρὰ τὸ ὑπάρχειν περιττεύουσιν ἐν τῷ γένει, τούτους ὡς ἰδίους τοῦ γένους ἀποδίδωσι, καὶ ὅσοι πάλιν παρὰ τὸ γένος ἐν τῷ ἰδίῳ ὡς αὐτῷ οἰκείους, καὶ ὅσοι παρὰ τοῦτο ἐν τῷ ὁρισμῷ πρὸς τοὺς ὁρισμούς. ἄρχεται μὲν οὖν διὰ ταῦτα ἀπὸ τῶν πρὸς τὸ συμβεβηκὸς τόπων, πρῶτον δὲ διαίρεσίν τινα τῶν προβλημάτων ποιεῖται, ἥτις δύναται μὲν γενέσθαι καὶ ἐπὶ τῶν ἄλλων, μάλιστα δέ ἐστιν ἐν τοῖς ἀπὸ τοῦ συμβεβηκότος... προβλήματα νῦν ἔοικε λέγειν οὐ τὰ προτεινόμενα

107a 13. λευκὴ λέγεται φωνὴ ἡ εὐήκοος, εὐήκοος δέ ἐστιν ἡ τὴν ἀκοὴν σφοδρῶς καὶ ταχέως ἀλλοιοῦσα. ὁμοίως καὶ τὸ ὀξὺ δεικνύοιτ᾽ ἂν ὁμώνυμον· οὐ γὰρ πάντα ὧν κατηγορεῖται ὑπὸ ταὐτόν ἐστι γένος· τὸ μὲν γὰρ ἐν φωνῇ ὀξὺ ὑπὸ τὸ ποιόν, εἴ γέ ἐστιν ὀξεῖα φωνὴ ἡ ταχεῖα· ταχὺ γὰρ τὸν ἀέρα τέμνει τε καὶ διαιρεῖ ἡ τοιαύτη πληγή τε καὶ φωνή· ταχεῖα γὰρ ἡ κίνησις αὐτῆς. φασὶ γὰρ οἱ περὶ τοὺς ἀριθμοὺς ἁρμονικοί (οὗτοι δέ εἰσι τῶν Πυθαγορείων οἱ μάλιστα περὶ τὰ μαθήματα γεγυμνασμένοι, περὶ τοὺς ἀριθμοὺς δὲ ἁρμονικοὶ οἱ τὰς ἁρμονίας κατὰ σύνθεσιν ἀριθμῶν ποιοῦντες· πάντα γὰρ ἀνάγοντες εἰς τοὺς ἀριθμοὺς καὶ τὰς ἁρμονίας ἀνῆγον) οὗτοι δὴ λέγουσιν ὅτι πληγῆς περὶ τὸν ἀέρα γενομένης καὶ κινήσεως δι᾽ αὐτῆς τοῦ ἀέρος οἱ ψόφοι γίνονται, ὧν εἰσὶ καὶ αἱ φωναί. ἀλλὰ ταχείας μὲν τῆς κινήσεως γινομένης ἐν ἀριθμῶν ἀναλογίᾳ τοιῷδε ὀξὺς ὁ ψόφος· γίνεται δὲ τοιαύτη ἡ κίνησις ὑπὸ σφοδρότητος τῆς πληγῆς· εἰ δὲ βραδεῖα ἡ κίνησις, βαρὺς ὁ ψόφος, ὥσπερ καὶ ἀθρόας μὲν καὶ πολλῆς τῆς κινήσεως τοῦ ἀέρος γενομένης μέγας τε καὶ σφοδρὸς ὁ ψόφος, ἠρεμαίας δὲ καὶ ὀλίγης καὶ ὁ ψόφος ἥσυχός τε καὶ μικρός. id. ib.

107b 6. πολλάκις δέ, φησί, καὶ ἐν αὐτοῖς τοῖς λόγοις τε καὶ ὁρισμοῖς τοῖς λαμβανομένοις ἢ τῶν συγκειμένων ἢ ὅλως τούτων ἃ ζητοῦμεν, εἰ πολλαχῶς λέγεται, λανθάνει παρακολουθοῦσα ἡ ὁμωνυμία, ὡς μήπω κατάδηλον εἶναι τὸ προκείμενον, ὅ ἐστι τῶν πολλαχῶς λεγομένων. διὸ οὐ δεῖ ἀφίστασθαι, ἀλλὰ ζητεῖν πάλιν, καὶ τοῦ ἐν τῷ ὁρισμῷ κοινοῦ λόγου ποιεῖν τὸ ἴδιον· οὕτως γὰρ αὐτῶν εὑρεθήσεται ἡ πρὸς ἄλληλα διαφορά. id. p. 59.

107b 10. δεῖ οὖν, ὥς φησι, πάλιν καὶ αὐτὸ τὸ συμμέτρως ἔχειν καθ᾽ ἑκάτερον ζητεῖν τί σημαίνει· οὕτω γὰρ εὑρεθήσεται ἡ τοῦ ὑγιεινοῦ ὁμωνυμία. σημαίνει γὰρ ἐν μὲν τῷ ποιητικῷ τὸ ποσόν· τὸ γὰρ κατὰ τὸ ποσὸν σύμμετρον ποιητικὸν ὑγιείας· ἐν γὰρ τῇ τοσαύτῃ συμμετρίᾳ τὸ ὡς ποιητικὸν ὑγιεινόν. ἐν δὲ τῷ ὡς σημεῖον τὸ συμμέτρως ἔχον οὐκέτι σημαίνει τὸ τοσοῦτον ἀλλὰ τὸ τοιοῦτον εἶναι, ὡς σημαίνειν τὴν ἕξιν ὅτι τοιαύτη. id. ib.

107b 19. ἐπιζητήσαι δέ τις ἂν πῶς τὸ λεγόμενον ἀληθὲς ἐπὶ πάντων· τὸ γὰρ δίπουν δοκεῖ καὶ τοῦ ζῴου πεζοῦ καὶ τοῦ ζῴου πτηνοῦ διαφορὰ εἶναι ἑτέρων γενῶν καὶ μὴ ὑπ᾽ ἄλληλα ὄντων, καὶ οὐκ ἔστιν ὁμώνυμον. ἢ δεῖ ἐπὶ τούτων τῶν γενῶν χρῆσθαι τῷ προκειμένῳ, ἂν ἕτερά ἐστιν ἀλλήλων καὶ μὴ ὑποκείμενα, ὥσπερ ἐφ᾽ ὧν αὐτὸς τὸν λόγον ἐποιήσατο· ζῷον γὰρ καὶ ἐπιστήμη καὶ φωνὴ καὶ ὄγκος οὕτως ἑτέρα, τὰ δὲ προειρημένα εἰ καὶ μὴ ὑπ᾽ ἄλληλά ἐστιν ἀλλὰ ὑπὸ ἕν γε κοινὸν γένος τὸ ζῷον. διὸ ἡ διαφορὰ ἡ δίπουν ὥσπερ ἑκατέρου τούτων ἐστὶ διαφορά, οὕτως καὶ τοῦ ζῴου εἴη ἂν διαφορά· οὗ σα δὲ ἐν ἑνὶ γένει ἡ αὐτὴ ἂν εἴη κατὰ τὸ εἶδος. id. p. 60.

107b 29. λέγεται γάρ τι κατὰ μουσικὴν χρῶμα. τρία γὰρ μέρη τῆς μελῳδίας οἱ ἁρμονικοὶ εἶναί φασιν, ἁρμονίαν, χρῶμα, διάτονον· ὧν τοῦ χρώματος διαφοράς φασιν, ἃς ἰδίως χρόας καλοῦσιν, τήν τε τοῦ μαλακοῦ χρώματος καὶ τὴν τοῦ ἡμιολίου καὶ τὴν τοῦ τονιαίου χρώματος. ἐπεὶ οὖν εἰσὶν ἄλλαι μὲν διαφοραὶ τοῦ ἐν τοῖς σώμασι χρώματος, ὡς τὸ συγκριτικὸν καὶ διακριτικὸν ὄψεως, ἄλλαι δὲ τοῦ ἐν τοῖς μέλεσι (τὸ γὰρ ἡμιτονιαῖον καὶ διεσιαῖον καὶ τὸ μαλακόν), ὁμώνυμον τὸ λευκόν. id. ib.

107b 33. τὸ μὲν γὰρ ποιητικόν ἐστιν εἴδους ἡ διαφορά, τὸ δὲ γινόμενον ὑπ᾽ αὐτῆς τὸ εἶδος, καὶ τὸ μὲν ἐν τῷ τί ἐστι κατηγορεῖται τὸ εἶδος, τὸ δὲ ἐν τῷ ποῖον, καὶ τὸ μὲν εἶδος ὅπερ τὸ γένος ἐστίν, ἡ δὲ διαφορὰ τοῦ μὲν γένους ἐστίν, οὐχ ὅπερ δὲ τὸ γένος· καὶ εἴδη μέν ἐστιν εἰς ἃ τὰ γένη διαιρεῖται, διαφοραὶ δὲ καθ᾽ ἃς διαιρεῖται ἢ καθ᾽ ἃς τὰ εἴδη διαφέρει ἀλλήλων. id. p. 61.

107b 38. ἐπεὶ ἐνδέχεταί τινας καὶ παρὰ τοὺς εἰρημένους τόπους εὑρεθῆναι τρόπους τῆς τῶν πολλαχῶς λεγομένων εὑρέσεως, διὰ τοῦτο εἶπε "διὰ τούτων τε καὶ τῶν τοιούτων." δύναται γάρ τις γνωρίζειν τι ὁμωνύμως λεγόμενον καὶ ἀπὸ τοῦ τῶν σημαινομένων ὑπ᾽ αὐτοῦ τὸ μὲν εἶδος εἶναι τὸ δὲ ἄτομον, ὡς τὸ ἄνθρωπος· ἦν γὰρ καὶ ἴδιον ὄνομα τοῦτο τοῦ Ὀλυμπιονίκου πύκτου, οὗ ἐν Ἠθικοῖς ἐμνημόνευσεν... "τὰς δὲ διαφορὰς ἐν αὐτοῖς τοῖς γένεσι πρὸς ἄλληλα θεωρητέον." τρίτον ἦν εἶδος τῶν ὀργάνων τῶν πρὸς τὴν εὐπορίαν τῶν διαλεκτικῶν λόγων συνῃρῆσθαι κειμένων ἡ τῶν ἐν ἑκάστοις διαφορῶν γνῶσις· περὶ οὗ νῦν τὸν λόγον ποιεῖται. χρήσιμος δὲ ἡ τῶν διαφορῶν γνῶσις, ὡς ἐρεῖ, πρός τε τὰ περὶ ταὐτοῦ προβλήματα... λέγων δὲ περὶ τῶν διαφορῶν, τόπους μὲν οὐ παραδίδωσι δι᾽ ὧν γνωσόμεθα αὐτάς, ὥσπερ παρέδωκεν ἐπὶ τῶν προτάσεων καὶ ἐπὶ τῆς τῶν ὁμωνύμων διαιρέσεως· ἐν οἷς δὲ δεῖ ζητεῖν τὰς διαφοράς, καὶ περὶ ἃ γυμνάζεσθαι πρὸς τὴν ῥᾳδίαν ἐπίγνωσιν τῶν ἐν ἑκάστοις διαφερόντων, ὑποτίθεται. id. ib.

108a 4. ἤδη γοῦν τινὲς διὰ τὴν ὁμοιότητα αὐτῶν ταὐτὸν ἐπιστήμην τε καὶ αἴσθησιν εἶπον εἶναι· διαφέρουσι δὲ ἀλλήλων. id. p. 62.

108a 7. "τὴν δὲ ὁμοιότητα σκεπτέον ἐπί τε τῶν ἐν ἑτέροις γένεσι." τοῦτο ἔτι ὑπελείπετο τῶν προτεθέντων ὑπ᾽ αὐτοῦ τεσσάρων ὀργάνων ὡς χρησίμων πρὸς τὴν εὕρεσίν τε καὶ εὐπορίαν τῶν διαλεκτικῶν λόγων, ἡ τοῦ ὁμοίου γνῶσις. ἔμπαλιν δέ φησι δεῖν τὴν τοῦ ὁμοίου θήραν ποιεῖσθαι τῆς τῶν διαφορῶν... καὶ ἔστιν ἴσον τὸ εἰρημένον ἐπ᾽ ἀμφοτέρων τῷ λεγομένῳ ὑπὸ τῶν ῥητορικῶν, τὰ κοινὰ ἰδίως καὶ τὰ ἴδια κοινῶς δεῖ λέγειν· ὁ μὲν γὰρ ἀξιῶν τὰ κοινὰ ἰδίως λέγειν, ἀξιοῖ ἐν τοῖς ὁμογενέσι τε καὶ κοινοῖς εὑρίσκειν τινὰς διαφοράς, ὁ δὲ τὰ ἴδια κοινῶς ἐν τοῖς διαφέρουσιν ἀξιοῖ πάλιν λαμβάνειν ὁμοιότητας. id. ib.

108a 14. ἄλλην δὲ ὑποτίθεται ἀφορμὴν τῆς τοῦ ὁμοίου ζητήσεως τῆς ἐν τοῖς διαφέρουσι γένεσιν, ἂν λαβόντες γένος τι ὂν ἔν τινι ζητήσωμεν τί οὕτως ἄλλο ἐν ἄλλῳ γένει ἐστίν... λέγει δὲ δεῖν καὶ ἐπὶ τῶν ὁμογενῶν μὲν ἀλλήλοις ἀνομοιοειδῶν δὲ τί πᾶσιν αὐτοῖς ὑπάρχει ταὐτὸν ζητεῖν· κατὰ γὰρ τὸ κοινὸν τοῦτο καίτοι ὄντα ἀνομοιοειδῆ ὅμοια ἔσται... πάλιν ἐπὶ δένδρων πλατάνῳ μὲν καὶ ἀμπέλῳ καὶ συκῇ τὸ λεπτόφυλλόν τε καὶ πλατύφυλλον κοινόν, διὸ φυλλορροεῖ, ἐλαίᾳ δὲ καὶ δάφνῃ καὶ μυρρίνῃ τὸ πυκνόφυλλόν τε καὶ στενόφυλλον, διὸ ἀείφυλλα ταῦτα. id. p. 63.

108a 18. εἰπὼν περὶ ἑκάστου τῶν τεσσάρων, ἃ ὄργανα εἶπεν εἶναι τῆς εὐπορίας τῶν διαλεκτικῶν τε λόγων καὶ συλλογισμῶν, ἀκολούθως τί ἕκαστον αὐτῶν συντελεῖ πρὸς αὐτούς, καὶ κατὰ τί ὄργανα λέγεται,

λέγων φησὶ δεῖν ἀρξάμενον ἀπὸ τοῦ ἐν οὐσίᾳ ἀγαθοῦ· τὸ γὰρ τί ἐστι κυρίως ἐν οὐσίᾳ. id. p. 51.

105b 13. πρὸ ὀλίγου λέγων περὶ τοῦ προβλήματος εἶπε (p. 104 b 1) "πρόβλημα δέ ἐστι διαλεκτικὸν θεώρημα τὸ συντεῖνον ἢ πρὸς αἵρεσιν καὶ φυγὴν ἢ πρὸς ἀλήθειαν καὶ γνῶσιν, ἢ αὐτὸ ἢ ὡς συνεργὸν πρός τι ἕτερον τῶν τοιούτων." ὃ δὴ τότε περὶ τοῦ προβλήματος εἶπε, καὶ ἐπεσημηνάμεθα ὅτι οὐ τὰ προβλήματα μόνον ἀλλὰ καὶ αἱ προτάσεις ἐν τούτοις, τοῦτο καὶ αὐτὸς νῦν λέγει· μέρη γὰρ ἀντὶ τοῦ εἴδη καὶ τῶν προτάσεων καὶ τῶν προβλημάτων κοινὰ καθόλου φησὶν εἶναι, ταῦτα λέγων τῶν διαλεκτικῶν, ἐπεὶ ἔστι τινὰ καὶ προβλήματα καὶ προτάσεις οὔτε ἠθικαὶ οὔτε φυσικαὶ οὔτε λογικαί· αἱ γὰρ κατὰ τὰς τέχνας τε καὶ ἐπιστήμας, οἷον ἐν γεωμετρίᾳ, ἐν μουσικῇ. id. ib.

105b 25. ἐπιφέρων τὸ "ὁμοίως καὶ τὰ προβλήματα," καὶ τὰ παραδείγματα λέγων ἐσχημάτισεν ὡς προβλήματα· τὸ γὰρ πότερον εἶπεν ὅτι προβλήματος οἰκεῖον, ὥσπερ τὸ ἆρά γε προτάσεως, ἴσως οὐκέτι τῇ λέξει τὴν διαφορὰν αὐτῶν τηρῶν. id. ib.

105b 30. ἐν μὲν ταῖς πολιτικαῖς τε καὶ ἠθικαῖς ἀκροάσεσι περὶ τῶν ἠθικῶν (τὴν πραγματείαν ποιεῖται ὁ φιλόσοφος), ὥστε τὰς ἀληθῶς πρὸς αἵρεσιν καὶ ἀληθῶς πρὸς φυγὴν συντεινούσας προτάσεις ἐκλέξει καὶ περὶ τῶν ἀληθῶς αἱρετῶν, ἐν δὲ ταῖς θεωρητικαῖς τε καὶ φυσικαῖς τὰ ὡς ἀληθῶς ἀληθῆ ζητήσει, ἐν δὲ τοῖς Ἀναλυτικοῖς καὶ ἐν τοῖς περὶ προτάσεων καὶ ἐν τῇ τῶν πολλαχῶς λεγομένων διαιρέσει καὶ ὅσα τοιαῦτα τῶν ἀληθῶς χρησίμων τὴν ἐκλογὴν ποιήσεται λογικῶς· διαλεκτικῶς δὲ πρὸς δόξαν, ὡς ἔν τε ταύτῃ τῇ πραγματείᾳ καὶ ἐν τοῖς ῥητορικοῖς καὶ ἐν τοῖς ἐξωτερικοῖς· καὶ γὰρ ἐν ἐκείνοις πλεῖστα καὶ περὶ τῶν ἠθικῶν καὶ περὶ τῶν φυσικῶν ἐνδόξως λέγεται. id. p. 52.

105b 33. ἀλλὰ καὶ ψυχροῦ καὶ θερμοῦ ἡ αὐτή (αἴσθησις), ἁφὴ γάρ, ὁμοίως καὶ ξηροῦ καὶ ὑγροῦ. ἐπιστήμην δ' ἂν κοινότερον τὴν γνῶσιν λέγοι, ἥ τις γνῶσις δι' αἰσθήσεως γίνεται. ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ ἐπὶ μὲν τῶν πρός τι διπλασίου καὶ ἡμίσεος ἡ αὐτή, καὶ βαρυτέρου καὶ κουφοτέρου ἡ αὐτή. ἀλλὰ καὶ τῶν ὁμοίων ἡ αὐτή, καὶ ἐπὶ ἕξεως δὲ καὶ στερήσεως τυφλοῦ καὶ βλέποντος ἡ αὐτὴ γνωστική, καὶ κωφοῦ καὶ ἀκούοντος. ἀλλὰ καὶ ἐπὶ ἀντιφάσεως τοῦ εἰδότος ὅτι ἥδε ἡ κατάφασις ἀληθής ἐστι, τὸ καὶ τὴν ἀντικειμένην αὐτῇ ἀπόφασιν εἰδέναι ὅτι ψευδής, καὶ ἔμπαλιν. πάλιν ἔτι πᾶσα κίνησις μεταβολὴ πόθεν ποῖ ληπτέον, ἀλλ' οὐχ ὅτι ἡ τοπικὴ κίνησις· ἔχοντες γὰρ ἐκεῖνο, ἕξομεν ὅτι καὶ ἡ γένεσις καὶ ἡ φθορὰ καὶ ἡ ἀλλοίωσις καὶ ἡ αὔξησις καὶ ἡ φθίσις. id. ib.

106a 2. διττοῦ ὄντος τοῦ πολλαχῶς, τοῦ μὲν ἐν ὀνόμασιν, ἃ ὁμώνυμα καλεῖται, τοῦ δὲ ἐν λόγῳ, ἃ εἰώθαμεν ἀμφίβολα λέγειν, πῶς τὸ ἐν ὀνόμασι διττὸν γνωρίζειν δυνησόμεθα, νῦν δείκνυσι. πρὸ δὲ τούτων πρῶτον παράγγελμά τι ἡμῖν παραδίδωσι, διδάσκων πῶς δεῖ τὴν τῶν πολλαχῶς λεγομένων διαίρεσίν τε καὶ ἀπόδοσιν ποιεῖσθαι. id. ib.

106a 9. τῷ "πότερον πολλαχῶς ἢ μοναχῶς" τὸ "τῷ εἴδει" προσέθηκεν εὐλόγως· ὅταν γὰρ τῷ εἴδει καὶ τῷ λόγῳ καὶ αὐτῷ τῷ ὁρισμῷ διαφέρει ἀλλήλων τὰ σημαινόμενα, τότε ἐστὶν ὁμώνυμα καὶ ἀμφίβολα καὶ πολλαχῶς λεγόμενα, ἐπεὶ πολλαχῶς γε καὶ τὸ γένος καὶ τὸ εἶδος λέγεται· κατὰ πλειόνων γὰρ ἑκάτερον κατηγορεῖται... ὅτι δὲ "τῷ εἴδει" ἀντὶ τοῦ τῷ λόγῳ εἶπεν, αὐτὸς ἐδήλωσε δι' ὧν ἐπιφέρει, "ἄν τε τῷ εἴδει" λέγων "ἄν τε καὶ τῷ ὀνόματι διαφωνῇ." id. p. 53.

106a 13. σημειωτέον δὲ ὅτι διὰ τῶν ἑξῆς (c. 32) αὐτὸς τῷ χυμῷ ὀξεῖ τὸ ἐναντίον ἀμβλὺ ὀνομάζει. id. ib.

106a 34. εἰπὼν δὲ "οὔτε ἐπ' αὐτῶν οὔτε ἐπὶ τῶν ἐναντίων," πῶς οὐδὲ ἐπὶ τῶν ἐναντίων διαφωνεῖ τοῖς ὀνόμασιν, ἔδειξεν εἰπὼν "ἀμβλὺ γὰρ καὶ τὸ ἐναντίον ἑκατέρῳ." αὐτὸς δὲ οὐ τὸ ἐν ὄγκῳ ἔλαβεν, ἀλλὰ τὸ ἐν χυμῷ. id. p. 54.

106b 24. λέγεται δὲ τὸ αἰσθάνεσθαι καὶ κατὰ τὴν ψυχήν· τὸ γὰρ συνιέναι τε καὶ νοεῖν αἰσθάνεσθαι λέγεται. id. p. 55.

106b 28. εἰπὼν δὲ καὶ περὶ τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένων, οὐκέτι τῶν κατὰ τὸ πρός τι ἀντικειμένων ἐμνημόνευσεν. πρόδηλον γὰρ ἐπ' ἐκείνων ἀπ' αὐτοῦ τοῦ τῶν πρός τι λόγου, ὅτι ἀνάγκη, ἂν θάτερον αὐτῶν λέγηται πλεοναχῶς, καὶ θάτερον οὕτω λέγεσθαι, ἐπεὶ τοῖς πρός τι τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τι πῶς ἔχειν. διὸ ἐπεὶ τὸ φιλητὸν πλεοναχῶς, καὶ ἡ φιλία τοσαυταχῶς εἴη ἂν φιλία πρὸς τὸ φιλούμενον. ἔτι δὲ φανερώτερον, ἐπεὶ ἡ ἐπιστήμη διχῶς καὶ δυνάμει καὶ ἐνεργείᾳ, καὶ τὸ ἐπιστητὸν ἰσαχῶς. ὁ αὐτὸς καὶ ἐπὶ τῆς αἰσθήσεως λόγος. ἔτι εἰ τὸ ὑπερέχον πολλαχῶς (καὶ γὰρ κατὰ ποσὸν καὶ κατά τινα δύναμιν ἢ ἕξιν ἢ ἐνέργειαν), καὶ τὸ ὑπερεχόμενον ἰσαχῶς ἐστὶ λεγόμενον. καὶ ἐπεὶ τὸ κινητὸν πολλαχῶς (καὶ γὰρ ἐν ποιότητι καὶ ἐν ποσότητι καὶ ἐν τῷ ποῦ), καὶ ἡ κίνησις πλεοναχῶς. ἀλλὰ καὶ ἡ ἕξις καὶ ἔχοντος καὶ ἐχομένου, καὶ τὸ ἑκτὸν πλεοναχῶς. id. p. 56.

106b 29. πτώσεις λέγουσι κοινότερον καὶ τὰς ὁπωσοῦν ἐγκλίσεις τε καὶ ἐκφοράς· οὐ μὴν καὶ νῦν οὕτως, ἀλλὰ ἔστι σύστοιχα καὶ πτώσεις καὶ παρώνυμα, παρακεῖσθαι μὲν ἀλλήλοις δοκοῦντα διαφέροντα δέ. σύστοιχα μὲν γὰρ λέγεται ἀλλήλοις καὶ τὰ ὁμοίως ἔχοντα πρός τινα, ἃ καὶ κατὰ ἀναλογίαν εἴη ἄν, ὡς τὰ τοιαῦτα, ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις· ἑκάτερον γὰρ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ ὑφ' αὐτὰ ὁμοίως καὶ τὸ αἰσθητὸν καὶ τὸ ἐπιστητόν· ἑκάτερον γὰρ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ ὧν ἐστίν. σύστοιχα λέγουσι καὶ πάντα τὰ ἀπό τινος παρωνομασμένα ἀλλήλοις τε καὶ ἐκείνῳ ἀφ' οὗ παρωνόμασται, οἷον ἀπὸ τῆς δικαιοσύνης παρωνόμασται ὁ δίκαιος, τὸ δίκαιον, τὸ δικαίως· ταῦτα δὴ καὶ ἀλλήλοις ἐστὶ σύστοιχα καὶ αὐτῇ τῇ δικαιοσύνῃ. παρώνυμα δὲ μόνα τὰ ἀπό τινος παρωνομασμένα ἐκείνῳ λέγουσιν ᾧ παρωνόμασται, ἀλλ' οὐκ ἀλλήλοις, οὐδὲ ἐκεῖνα τούτοις· τῇ γὰρ γραμματικῇ ὁ γραμματικός, οὐκέτι δὲ καὶ ἡ γραμματικὴ τῷ γραμματικῷ. πτώσεις δὲ τὰ ἰδίως οὕτω παρά τινα ἐσχηματισμένα, ὡς τὸ γραμματικῶς. id. ib.

107a 3. δεῖν φησὶν ἐπισκοπεῖν καὶ τὰ γένη τῶν κατηγοριῶν, ὑφ' ἅς ἐστι τὰ ὑπὸ ταὐτὸν ὄνομα, τουτέστι τὰς κατηγορίας, ταῦτα δέ ἐστι τὰ ἀνωτάτω γένη. δεῖν δέ φησι καὶ τὰς τῶν σημαινομένων ὑπὸ τῶν ὀνομάτων τῶν προκειμένων κατηγορουμένας κατηγορίας ἐπισκοπεῖν, εἰ κατὰ πάντων τῶν ὑπὸ τοῦ ὀνόματος σημαινομένων αἱ αὐταὶ κατηγοροῦνται· ἂν γὰρ ὑπὸ πλείους κατηγορίας ᾖ τὰ σημαινόμενα ὑπ' αὐτοῦ καὶ πλείους αὐτοῦ κατηγορῶνται, ὁμώνυμον ἔσται, ὡς ἐπὶ τοῦ ἀγαθοῦ. id. p. 57.

τὰ γὰρ οὕτω πεπιστευμένα ὁ πειρώμενος κατασκευάζειν διὰ λόγων πολὺ τῆς περὶ αὐτῶν προειλημμένης πίστεως ἀσθενεστέραν τὴν διὰ τῶν λόγων παρέξεται σύστασιν. διὸ οὐδ᾽ ὅλως τὰ τοιαῦτα ἦν προβλήματα διαλεκτικά, ἀλλὰ προτάσεις μᾶλλον διὰ τὸ ἔνδοξον. ἔτι καὶ διὰ τοῦτο χρὴ τὰ τοιαῦτα τῶν προβλημάτων φυλάσσεσθαι, ὅτι ἡ πρὸς ταῦτα εὐπορία τῶν ἐπιχειρημάτων χείρους τὰ ἤθη ποιεῖ πολλάκις καὶ τοὺς λέγοντας καὶ τοὺς ἀκούοντας, ὅπερ ἐναντιώτατόν ἐστι τῇ γυμναστικῇ, εἴγε προπαρασκευὴ πρὸς φιλοσοφίαν ἐστίν. ἢ εἰ καὶ μὴ ποιεῖ χείρους, ἀλλὰ φαίνεσθαί γε χείρους ποιεῖ. id. p. 46.

105 a 9. τοιαῦτά ἐστι καὶ τὰ ἐν τοῖς περὶ καθηκόντων ὑπὸ τῶν ἀπὸ τῆς Στοᾶς ζητούμενα, οἷον πότερον χρὴ συναριστῶντά τισιν ἢ τῷ πατρὶ ἐκτείνειν ἐπὶ τὰ πορρωτέρω μέρη, ἂν ᾖ μείζω, ἢ μή, ἀλλὰ ἀρκεῖσθαι τοῖς παρακειμένοις; ἢ εἰ χρὴ ἀκούοντας φιλοσόφου ἐπηλλαχέναι τοὺς πόδας. ἀλλ᾽ οὐδὲ περὶ τῶν σοφιστικῶς καὶ ἐπιπολαίως συγκειμένων προβλημάτων ποιήσεται τὸν λόγον· παραχρῆμα γὰρ καταφωρον γίνεται τὸ ἐν αὐτοῖς ἀμφισβητεῖσθαι δοκοῦν, οἷον πότερον ὁ ἀνδρεῖος ἀνδρείαν ἔχει ἢ οὔ;.. οὐδὲ τῶν κατὰ φιλοσοφίαν ἐστὶ πάντα τὰ τοιαῦτα διαλεκτικὰ προβλήματα, οἷον πότερον μία ὕλη πάντων ἢ οὔ, καὶ πότερον ἡ ὕλη ἥνωται ἢ οὔ, καὶ πότερον αἱ ἄτομοι ἀρχαὶ τῶν ὄντων ἢ οὔ, καὶ πότερον πᾶν τὸ κινοῦν κινούμενον κινεῖ ἢ οὔ, καὶ πότερον ἀΐδιός ἐστιν ἡ κίνησις ἢ οὔ· πλείονος γὰρ καὶ ἀκριβεστέρας τὰ τοιαῦτα ἐπιστάσεως δεῖται. id. ib.

105 a 10. προτίθεται εἰπεῖν πόσα καὶ τίνα εἴδη τῶν λόγων ἐστὶ τῶν διαλεκτικῶν, **καθ᾽ οὓς τὸ γυμνάζεσθαι γίνεται καὶ πρὸς οὓς χρήσιμα τὰ παραδοθησόμενα ὄργανα... ὅτι δὲ ταῦτα τῶν λόγων δι᾽ ὧν αἱ δείξεις γίνονταί τινων τὰ ἀνωτάτω γένη, δῆλον ἐκ τοῦ πάντα τὸν δεικνύντα τι ἢ διά τινος καθόλου τε καὶ κοινοτέρου δεικνύναι αὐτὸ ἢ διά τινων τῶν ὑπ᾽ αὐτό· αὐτὸ γὰρ δι᾽ αὐτοῦ οὐδὲν δείκνυται. εἴη δ᾽ ἂν καὶ τὸ ἴσον καθόλου. ἡ μὲν οὖν διὰ τοῦ καθόλου δεῖξις συλλογιστική, ἡ δὲ διὰ τῶν ὑπὸ τὸ καθόλου ἐπακτική. ὑποτάσσεται δὲ τῷ μὲν συλλογισμῷ τὸ ἐνθύμημα, τῇ δὲ ἐπαγωγῇ τὸ παράδειγμα, τὸ μὲν ἐνθύμημα ῥητορικὸς συλλογισμὸς ὄν, τὸ δὲ παράδειγμα ῥητορικὴ ἐπαγωγή. λέγει δὲ τὴν ἐπαγωγὴν εἶναι τὴν διὰ τῶν καθ᾽ ἕκαστα ἐπὶ τὸ καθόλου πρόοδον. διὸ οὐχ ὑγιῶς λέγουσιν οἱ λέγοντες τὴν ἐπαγωγὴν λόγον εἶναι τὴν ἀπὸ ὁμοίου ἐπὶ ὅμοιον· οὐ γὰρ ὅμοιον τὸ καθόλου τοῖς ὑπ᾽ αὐτό, τῆς δὲ τοῦ καθόλου δείξεως χάριν ἡ ἐπαγωγὴ μάλιστα· ὁ δὲ ἀπὸ ὁμοίων ἐπὶ ὅμοιον λόγος μᾶλλον ἂν τὸ παράδειγμα σημαίνοι.** id. p. 47.

105 a 20. **τὰ μὲν οὖν γένη λέγει ἃ ἐξέθετο τέσσαρα, τὸν ὅρον, τὸ ἴδιον, τὸ γένος, τὸ συμβεβηκός· περί τε γὰρ ὧν οἱ λόγοι, ἅπερ ἐστὶ τὰ προβλήματα τὰ ἐν τοῖς γένεσι τούτοις, καὶ ὁμοίως ἐξ ὧν οἱ λόγοι, ἅ εἰσιν αἱ προτάσεις, ἐν τούτοις καὶ αὐταί... "τὰ δ᾽ ὄργανα δι᾽ ὧν εὐπορήσομεν συλλογισμῶν εἰσὶ τέσσαρα." περιττεῦον ἦν ἔτι τοῦτο καὶ τελευταῖον τῶν ἐν οἷς εἶπεν εἶναι τὴν μέθοδον τὴν διαλεκτικήν· εἰπὼν γὰρ** (p. 101 *a* 11) **"πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἡ μέθοδος," ἐπήνεγκεν "εἰ δὴ λάβοιμεν πρὸς πόσα καὶ ποῖα καὶ ἐκ τίνων οἱ λόγοι, καὶ πῶς τούτων εὐπορήσομεν, ἔχοιμεν ἂν ἱκανῶς τὸ προκείμενον." εἰπὼν οὖν περί τε τῶν προτάσεων, ὧν ἦν δηλωτικὸν τὸ "ἐκ τίνων," καὶ περὶ τῶν προβλημάτων, ὃ ἐδήλου διὰ τοῦ "πρὸς** πόσα τε καὶ ποῖα," νῦν καὶ περὶ τῶν ὀργάνων προτίθεται λέγειν, ἅ ἐστι συντελοῦντα πρὸς τὴν εὕρεσίν τε καὶ εὐπορίαν τῶν διαλεκτικῶν λόγων. ταῦτα δέ ἐστι συλλογισμός τε καὶ ἐπαγωγή, ὡς προείρηκεν, αὐτοῦ μέντοι τῶν συλλογισμῶν ἐμνημόνευσε μόνων. καὶ ἔστι τὸ λεγόμενον ἴσον τῷ, τὰ δὲ ὄργανα δι᾽ ὧν εὐπορήσομεν τῶν διαλεκτικῶν λόγων, ἐστὶ τέσσαρα· ὧν ἓν μέν φησιν εἶναι τὸ προτάσεις λαβεῖν, οὐ τὰς προτάσεις λέγων ὄργανα τῶν διαλεκτικῶν λόγων· μέρη γὰρ αὗται καὶ τῶν συλλογισμῶν καὶ τῶν ἐπαγωγῶν, οὐκ ἔστι δὲ τὰ μέρη τινὸς ὄργανα ἐκείνου, ἀλλὰ ὄργανον λέγει τὸ δι᾽ οὗ δυνησόμεθα προτάσεων εὐπορεῖν· οὐ γὰρ αἱ προτάσεις ἀλλὰ τὸ εὐπορεῖν δύνασθαι προτάσεων ὄργανον. id. p. 48.

περὶ τῆς τῶν προτάσεων ἐκλογῆς πρῶτον λέγων, τόπους τινὰς 105 a 34. καὶ ἀφορμὰς τῆς τε ἐκλογῆς καὶ τῆς εὐπορίας αὐτῶν παραδίδωσιν... ἀλλὰ καὶ τὰ ἐναντία ταῖς ἐνδόξοις φησὶ δεῖν ἐκλέγειν· ἐκ γὰρ τῆς τούτων ἐκλογῆς εὐπορία προτάσεων διαλεκτικῶν γίνεται κατὰ ἀντίφασιν προτεινομένων. ὁ γὰρ ἔχων τὴν ὅτι οὐ δεῖ τοὺς φίλους κακῶς ποιεῖν, ἐναντίαν οὖσαν ἐνδόξῳ προτάσει, ἐν τῇ χρείᾳ ἀποφατικῶς αὐτὴν προτείνας εὐπορήσει διαλεκτικῆς προτάσεως, ὃ καὶ αὐτὸς ἐδήλωσε διὰ τοῦ ἐπενεγκεῖν τὸ "δεῖ δὲ προτείνειν καὶ τὰς ἐναντίας ταῖς φαινομέναις ἐνδόξοις κατ᾽ ἀντίφασιν." πῶς γὰρ δεῖ χρῆσθαι καὶ λαμβάνειν τὰς ἐναντίας ταῖς φαινομέναις, διώρισε διὰ τούτων. δεῖν δέ φησι καὶ ἔσται κατὰ τὰς τέχνας δόξαι εὑρημέναι εἰσὶ **καὶ ταύτας ἐκλέγειν, οἷον τὰς ἐν γεωμετρίᾳ ὑπὸ τῶν γεωμετρῶν καὶ τὰς ἐν μουσικῇ ὑπὸ τῶν μουσικῶν, ἢ τῶν διαφερόντων ἐν αὐταῖς· θείη γὰρ ἄν τις ὡς ἔνδοξον τὸ ὑπὸ Ἱπποκράτους λεγόμενον ἐν ἰατρικῇ καὶ τὸ ὑπὸ Ἀρχιμήδους ἐν γεωμετρίᾳ καὶ τὸ ὑπὸ Ἀριστοξένου ἐν μουσικῇ.** id. p. 49.

οἷον Ἱπποκράτους τὸ ἐν τοῖς ὀξέσι νοσήμασιν ἡ τῶν ἀκρωτη- 105 b 1. **ρίων ψῦξις κακόν, Ἀρχιμήδους τὸ τὸν ἥλιον ἑπτακαιεικοσιπλάσιον εἶναι τῆς γῆς, Ἀριστοξένου δὲ τὸ ἐν ἡμιολίῳ λόγῳ εἶναι τὴν διὰ πέντε συμφωνίαν.** cod. 1917 in margine. **οἷον ὁ Ἱπποκράτης ἐδόξασεν ὅτι αἱ ὑγραὶ δίαιται τοῖς πυρέττουσι σύμφοροι. τοῦτο δὲ ἐδόξασεν ἀπὸ τῶν οἰκειακῶν πόνων ὁρμηθείς. εὕρισκε γὰρ ὅτι τὰ ἐναντία τῶν ἐναντίων ἰάματα· ἐπεὶ δὲ καὶ ὁ πυρετὸς ξηραίνει, λοιπὸν τὸ ἐναντίον τῇ ξηρότητι εἴη ἂν θεραπευτικὸν τοῦ πυρετοῦ.** 1845 in marg.

τῷ τῆς θέσεως ὀνόματι νῦν ἐπὶ τοῦ συγχωρεῖσθαι καὶ τίθεσθαι 105 b 11. κέχρηται. Alex. Aphrodis. p. 50.

ἐπιζητήσαι δὲ ἄν τις τίνι διαφέρει τὰ τοιαῦτα τῶν πᾶσιν ἢ 105 b 12. τοῖς πλείστοις δοκούντων. ἢ λέγοι ἂν ὅτι τὰ τοιαῦτα οὐδὲ ἐρωτᾶν τὴν ἀρχὴν δεῖ, ἀλλὰ χρῆσθαι αὐτοῖς ὡς ὁμολογουμένοις καὶ ὡς ἀρχαῖς· οὐδὲ γὰρ τὰς ἀρχὰς οὐδεὶς ἐρωτᾷ ἀλλ᾽ ὡς ὁμολογουμέναις χρῆται. ἢν δὲ μὴ δοκῇ τὰ τοιαῦτα, ἐπακτικῶς αὐτὰ δεῖν φησὶ λαμβάνειν ὡς τοιαῦτα. id. ib.

δεῖν δέ φησι τὰς ἐκλογὰς ποιεῖσθαι μὴ πεφυρμένως, ἀλλὰ κατὰ 105 b 14. διαγραφὰς καὶ κεχωρισμένως καὶ ἰδίᾳ καθ᾽ ἕκαστον γένος. id. ib.

δύναται τὸ ἀρξάμενον ἀπὸ τοῦ τί ἐστι περὶ τοῦ ἀγαθοῦ εἰρῆσθαι, ἐπεὶ δοκεῖ ἐν τοῖς δέκα γένεσιν εἶναι· περὶ παντὸς γὰρ τοῦ ἀγαθοῦ

οἷόν τέ τι ἐκ τοῦ μὴ ὄντος γενέσθαι ἢ οὔ; οὐδεὶς γὰρ ἂν προτείνειεν νοῦν ἔχων τὸ μηδενὶ δοκοῦν· ἡ γὰρ ἔνδοξος ἐρώτησις διαλεκτικὴ πρότασίς ἐστιν. εἰπὼν δὲ τοῦτο, τίνα ἐστὶ τὰ ἔνδοξα, πάλιν ὑπομιμνήσκων ἡμᾶς προστίθησιν. id. p. 38.

104a 11. ἐνταῦθα ἔνδοξον μᾶλλον τὸ τοῖς πολλοῖς δοκοῦν, ἐπεὶ ὅτι γε μή ἐστιν ἡ ὑγίεια ἀγαθόν, σοφῶν τινῶν ἐστὶ δόξα, ἀλλ' οὐδεὶς ἂν τοῦτο ἔνδοξον εἴποι· μάχεται γὰρ ταῖς πάντων προλήψεσιν. ἀλλὰ καὶ ὅτι τὸ ὂν ἀκίνητόν τε καὶ ἕν, Παρμενίδου γάρ, καὶ ὅτι τὰ ἐναντία ταὐτά, Ἡρακλείτου γάρ, καὶ ὅτι οὐκ ἔστιν ἀντιλέγειν, Ἀντισθένους γάρ, προτάσεις μὲν οὖν οὐκ εἰσὶ τὰ τοιαῦτα, θέσεις δέ, ὡς προϊὼν ἐρεῖ. id. p. 39.

104a 16. χρὴ τῶν παραδειγμάτων μὴ ἀκριβολογουμένους ἀκούειν, ἐπεὶ δόξει γε ἐναργέστερόν τε καὶ ἐνδοξότερον εἶναι τὸ τὴν αἴσθησιν τῶν ἐναντίων εἶναι ἢ τὴν ἐπιστήμην. πάλιν εἰ ἔνδοξον τὸ μίαν ἀριθμῷ τὴν γραμματικὴν εἶναι, ἔνδοξον ἂν φανείη καὶ τὸ τὴν αὐλητικὴν μίαν τῷ ἀριθμῷ εἶναι· καὶ εἰ πλείους γραμματικὰς εἶναι ἔνδοξον, καὶ τὸ αὐλητικὰς πλείους εἶναι ἔνδοξον ἔσται· ὅμοια γὰρ καὶ τοῦ αὐτοῦ λόγου ἡντινοῦν τέχνην εἶναι ἢ ἀριθμῷ μίαν ἢ εἴδει· συγγενῆ γὰρ τὰ τοιαῦτα καὶ ὑπὸ ταὐτὸ γένος, καὶ ὥσπερ τὸ πρῶτον παράδειγμα τῇ ἀναλογίᾳ ὅμοιον, οὕτως τοῦτο τῷ γένει· διὸ εἶπε συγγενῆ. εἴη δ' ἂν τὸ μίαν τῷ ἀριθμῷ γραμματικὴν ἢ πλείους τοιοῦτον· εἰ λέγοι τις τὴν Ἀριστάρχου γραμματικὴν καὶ ὅλως ἑκάστην τῶν ἐν τῷ ἀτόμῳ μίαν κατ' ἀριθμὸν εἶναι, ὅτι καὶ τὸ ὑποκείμενον αὐτὸ τοιοῦτον, ἢ εἰ πάλιν λέγοι τις μίαν εἶναι τῷ εἴδει αὐτὴν τῷ ταῖς ἐνεργείαις συνδιαιρεῖσθαι αὐτήν, τὰς δὲ ἐνεργείας πλείους κατ' ἀριθμὸν εἶναι. id. ib.

104a 28. ἔστι τὸ "ἐν παραβολῇ" τὸ ἐν παραθέσει... καὶ γὰρ εἰ καθ' αὑτὸ ῥηθὲν τὸ δεῖν τοὺς ἐχθροὺς κακῶς ποιεῖν μὴ ἔνδοξον, ἀλλὰ ἔνδοξον αὐτὸ φαίνεσθαι ποιεῖ παρατεθὲν τὸ δεῖν τοὺς φίλους εὖ ποιεῖν· τοῦτο γὰρ σημαίνει τὸ ἐν παραβολῇ. id. p. 40.

104a 30. τὸ τῷ ἐνδόξῳ ἐναντίον οὐχ οἷόν τε ἔνδοξον εἶναι. φανείη μὲν οὖν ἄν τισι, φησί, καὶ ταῦτα ἐναντία εἶναι· πότερον δὲ ἔχει οὕτως ἢ οὔ, ὑπερτίθεται σαφῆ ποιῆσαι εἰς τὸν περὶ τῶν ἐναντίων λόγον. ἐρεῖ δὲ περὶ αὐτῶν ἐν τῷ δευτέρῳ· εἴρηκε δὲ περὶ τούτου καὶ ἐν τῷ περὶ Ἑρμηνείας ἐπὶ τέλει. id. ib.

104a 33. δῆλον, φησίν, ὅτι καὶ ὅσαι κατὰ τὰς τέχνας εἰσὶν εὑρημέναι δόξαι ὑπὸ τῶν ἐπιστημόνων τε καὶ τεχνιτῶν, καὶ αὗται διαλεκτικαὶ προτάσεις εἰσί, τουτέστιν ἔνδοξοι. καὶ διὰ τί δῆλον, προστίθησι. id. ib.

104b 1. φησὶ δεῖν τὸ διαλεκτικὸν πρόβλημα εἶναι θεώρημα, λέγων θεώρημα ἀντὶ τοῦ ζήτημα· καὶ γὰρ τὸ θεωρεῖν ἀντὶ τοῦ ζητεῖν ἔθος αὐτοῖς λέγειν... εἴη δ' ἂν τὸ θεώρημα λόγος γνώσεώς τινος τῶν προειρημένων αἴτιος, ἀπὸ τοῦ θεωρίας καὶ γνώσεως αἴτιον ἡμῖν εἶναι ὠνομασμένον θεώρημα. καὶ ἔστι πᾶν μὲν πρόβλημα διαλεκτικὸν θεώρημα ἢ ἠθικὸν ἢ φυσικὸν ἢ λογικόν· τούτων γὰρ δηλωτικὰ τὰ προειρημένα... ὅσα δὲ μήτε ὡς πρακτικὰ ζητεῖται μήτε τέλος ἔχει τὴν γνῶσιν τῆς ἐν αὐτοῖς ἀληθείας, ἀλλ' ὡς συνεργὰ ἢ πρὸς τὴν τῶν αἱρετῶν τε καὶ μὴ γνῶσιν ἢ πρὸς τὴν τῶν ἀληθῶν τε καὶ ψευδῶν εὕρεσιν ζητεῖται, ταῦτα προβλήματα λογικά· ἡ γὰρ λογικὴ πραγματεία ὀργάνου χώραν ἔχει ἐν φιλοσοφίᾳ... σαφῶς δὲ καὶ ἐνταῦθα τὴν λογικὴν πραγματείαν ὄργανον εἶναι λέγει διὰ τὸ συνεργεῖν αὐτὴν πρὸς τὴν τῶν πρώτων ῥηθέντων εὕρεσίν τε καὶ γνῶσιν, ἀξίαν εἶναι τοῦ ζητεῖσθαι λέγων. id. p. 40 et 41.

104b 12. δύναται τὸ "ἔστι δὲ προβλήματα καὶ ὧν εἰσὶν ἐναντίοι συλλογισμοί" εἰρῆσθαι οὐχ ὡς προστιθέντος αὐτοῦ ἄλλα τινὰ προβλημάτων εἴδη, ἀλλ' ὡς περὶ τῶν προειρημένων λέγοντος. ἐν ἴσῳ δὲ τῷ ἔστι καὶ ταῦτα κἀκεῖνα προβλήματα ἐναντία. id. p. 43.

104b 23. διὸ δεῖ καὶ τὸν προστάτην τῆς δόξης τὸν συνιστάντα τὴν θέσιν προσκεῖσθαι τῷ τοιούτῳ προβλήματι, οἷον πότερον πάντα συνεχῶς ῥεῖ καὶ ἀεὶ γίνεται, οὐδέποτε δὲ οὐδέν ἐστι καθ' Ἡράκλειτον, ἢ οὔ, καὶ πότερόν ἐστιν ἓν καὶ ἀκίνητον τὸ ὄν, ὡς Παρμενίδῃ δοκεῖ, ἢ οὔ, καὶ πότερον κίνησίς ἐστιν ἢ οὔ, ὡς δοκεῖ Ζήνωνι, καὶ πότερον ἡ ὑγίεια ἀγαθὸν ἢ οὔ, ὡς Χρύσιππος λέγει, καὶ πότερον ἔστιν ἀντιλέγειν ἢ οὔ, ὡς Ἀντισθένει δοκεῖ. ἀναιρῶν γὰρ Ἀντισθένης τὸ εἶναι ἀντιλέγειν, ἔλεγε δεῖν μὲν τοὺς περί τινος λέγοντας ἐκεῖνο λέγειν καὶ σημαίνειν δι' ὧν λέγουσι τὸ περὶ οὗ λέγουσιν, ἀλλὰ καὶ τοὺς ἀντιλέγοντας ἀλλήλοις περὶ τοῦ αὐτοῦ ὀφείλειν λέγειν. ταῦτα προλαμβάνων ἔλεγεν, οἱ ἀντιλέγειν δοκοῦντες ἀλλήλοις περί τινος ἤτοι ἀμφότεροι λέγοντες τὸν τοῦ πράγματος λόγον ἀντιλέγουσιν ἢ οὐδέτερος ἢ ὁ μὲν λέγων ὁ δὲ οὐ λέγων. ἀλλ' οὔτε εἰ ἀμφότεροι λέγοιεν τὸν τοῦ πράγματος λόγον, ἀντιλέγοιεν ἄν, ταὐτὰ γὰρ ἂν λέγοιεν· εἴτε μηδέτερος τὸν τοῦ πράγματος λέγοι λόγον, οὐδὲ τὴν ἀρχὴν ἂν λέγοιεν περὶ τούτου, οἱ δὲ μὴ λέγοντες περὶ αὐτοῦ τούτου οὐδ' ἂν ἀντιλέγοιεν περὶ αὐτοῦ. εἰ δ' ὁ μὲν λέγοι ὁ δὲ μή, οὐδ' οὕτως ἂν ἀντιλέγοιεν· ὁ γὰρ μὴ λέγων τὸν τοῦ πράγματος λόγον οὐδ' ὅλως ἄν τι λέγοι περὶ αὐτοῦ, ἀλλὰ περὶ ἐκείνου ὃ σημαίνει δι' ὧν λέγει· οὕτως δὲ οὐδ' ἂν ἀντιλέγοι περὶ αὐτοῦ. τούτων δὲ οὕτως ἐχόντων οὐδ' ἂν ἀντιλέγειν εἴη. ψεῦδος δὲ λαμβάνει τὸ τοὺς μὴ λέγοντας τὸν τοῦ πράγματος λόγον ἢ τὸν μὴ λέγοντα μηδ' ὅλως ἀντιλέγειν περὶ αὐτοῦ. id. ib.

104b 33. "ἢ ὁποτερουσοῦν ἑαυτοῖς." οἱ γὰρ τὸν λόγον καὶ οἱ τὸν συλλογισμὸν λέγοντες ἢ σοφοὶ ὄντες πρὸς σοφοὺς ἂν μάχοιντο ἢ πρὸς τοὺς πολλούς, ἢ τῶν πολλῶν ὄντες μάχονται ταῖς δόξαις ταῖς τε τῶν σοφῶν καὶ ταῖς τῶν πολλῶν· ὁ γὰρ τοιοῦτος συλλογισμὸς παράδοξος ὑπόληψίς ἐστι καὶ αὐτός. ἔστι μὲν οὖν καὶ ἡ θέσις πρόβλημα, οὐ μὴν ἀντιστρέφει. id. p. 44.

104b 35. ἤδη δέ τινες θέσεις καὶ τὰ ῥητορικὰ καλοῦσι προβλήματα, ἐφ' ὧν τὸ τῆς ὑποθέσεως ὄνομα συνηθέστερον τῷ δοκεῖν τὰ τοιαῦτα ἐπὶ ὑποκειμένοις τισὶ καὶ ὡρισμένοις συνίστασθαι· κοινότερα γὰρ τὰ διαλεκτικὰ καὶ καθολικώτερα. ὅτι δὲ θέσεις καλοῦσι καὶ ταῦτα οἱ αἰτοῦντες τὰς ὑποθέσεις λέγουσιν. id. p. 45.

104b 37. ὡς εἰώθασι ποιεῖν οἱ ἄλλο μὲν ἡδονὴν ἄλλο δὲ χαρὰν λέγοντες, καὶ ἄλλο μὲν αἱρετὸν ἄλλο δὲ ληπτόν. id. ib.

105a 3. λέγοι ἂν νῦν ἐκ παραλλήλου τὸ πρόβλημα καὶ τὴν θέσιν. id. ib.

8. ἤτοι οὖν λέγει ὅτι τὰ τοιαῦτα μέρη τῶν προβλημάτων οὐ δεῖ ἐπισκοπεῖν, ἢ οὐδ' ὅλως τὰ τοιαῦτα προβλήματα διαλεκτικά· ὧν γὰρ ἀντιφάσεων τὸ ἕτερον μόριον οὐ λόγων ἀλλὰ κολάσεως δεῖται διὰ τὸ ἄδοξον εἶναι, τούτων οὐδὲ τὸ ἕτερον δεῖται λόγων διὰ τὸ ἐναργές τε καὶ ἔνδοξον. πρόβλημα γάρ ἐστι τὸ δεόμενον δείξεως·

103a 20. τὸ "διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα" ἐπὶ τοῦ ὕδατος εἶπεν ἀντὶ τοῦ διὰ τὸ τὸν αὐτὸν εἶναι λόγον τὸν καθὸ ὕδωρ· τοιαῦτα γὰρ τὰ ὁμοιοειδῆ. id. p. 33.

103a 26. ἐπεὶ κυριώτερον καὶ πρῶτον ὡς εἰπεῖν ὁρισμός, εἰκότως τῷ ὁρισμῷ ὑπέταξε τὰ περὶ ταύτου προβλήματα, ἀλλὰ οὐ τῷ ἰδίῳ. id. ib.

103a 29. ἓν οὖν λέγοι ἂν κατ' ἀριθμὸν σημαίνεσθαι ὑπό τε τοῦ ὁρισμοῦ καὶ τοῦ ἰδίου, οὐχ ὅτι ἓν κατ' ἀριθμὸν τὸ εἶδος ἢ τὸ γένος οὗ ὁ ὁρισμὸς ἢ τὸ ἴδιον, ἀλλ' ὅτι ἀπὸ τοῦ αὐτοῦ τῷ ἀριθμῷ ὑπὸ τὸ γένος ἢ τὸ εἶδος ὁμοίως ἐστὶν ἀμφότερα ἀληθῆ, καὶ οὐκ ἄλλο κατ' ἄλλου. τρίτον δέ φησιν ἀποδίδοσθαι τὸ ἓν κατ' ἀριθμὸν ἀπὸ τοῦ συμβεβηκότος. id. ib.

103b 2. εἰπὼν "ἐκ τούτων οἱ λόγοι," πῶς ἐκ τούτων ἐδήλωσεν ἐπενεγκὼν "καὶ διὰ τούτων καὶ πρὸς ταῦτα;" "διὰ τούτων" μὲν λέγων τῶν προτάσεων, "πρὸς ταῦτα" δὲ τὰ προβλήματα. id. p. 34.

103b 6. ἐπιζητήσαι δ' ἄν τις ὑπὸ τί γένος τῶν προβλημάτων ὑπαχθήσεται τὰ τοιαῦτα προβλήματα, διὰ τί ἡ λίθος ἡ Μαγνῆτις λεγομένη ἕλκει τὸν σίδηρον, καὶ τίς φύσις μαντικῶν ὑδάτων; δοκεῖ γὰρ μηδενὶ τῶν κειμένων ὑπάγεσθαι ταῦτα. ἢ οὐδὲ διαλεκτικὰ προβλήματα ταῦτα, περὶ δὲ τούτων ὁ λόγος καὶ τούτων αἱ διαιρέσεις... ἀλλὰ ἔστι τὰ οὕτω προβαλλόμενα φυσικὰ προβλήματα, ὡς ἐν τῷ περὶ Προβλημάτων εἴρηκεν· ὧν γὰρ φυσικῶν ὄντων τὰ αἴτια ἀγνοεῖται, ταῦτα φυσικὰ προβλήματα... καὶ εἴη ἂν τὰ διαλεκτικὰ προβλήματα πάντα ἀναγόμενα εἰς τὴν ζήτησιν τοῦ τε ὅτι ἔστι καὶ τοῦ εἰ ἔστιν, ἅ ἐστι δύο τῶν τεσσάρων ἃ εἶπεν ἀρχόμενος τοῦ δευτέρου τῶν Ὑστέρων Ἀναλυτικῶν· τὸ γὰρ διότι ἐστὶ καὶ τί ἐστιν οὐ διαλεκτικὰ προβλήματα. id. p. 34.

103b 23. τὸ "ἐν αἷς ὑπάρχουσιν αἱ ῥηθεῖσαι τέσσαρες" ἐλλιπῶς εἶπε· λείπει γὰρ τὸ διαφοραὶ τῶν προβλημάτων τε καὶ προτάσεων. id. p. 35.

103b 22. ἀντὶ δὲ τῆς οὐσίας τὸ τί ἐστιν ἔλαβε· κυρίως τε γὰρ ὂν ἡ οὐσία, καὶ κυρίως τὸ τί ἐστι καὶ ὁ ὁρισμὸς οὐσίας, εἰ καὶ πλεοναχῶς τὸ τί ἐστιν. τοῦ δὲ ἐν ταῖς δέκα κατηγορίαις εἶναι τὰ γένη τὰ προειρημένα τῶν τε προβλημάτων καὶ τῶν προτάσεων δεικτικὸν παρέθετο τὸ καὶ τὸ συμβεβηκὸς καὶ τὸ γένος καὶ τὸ ἴδιον καὶ τὸν ὁρισμὸν τούτων τι σημαίνειν· πᾶσαι γὰρ αἱ διὰ τούτων τῶν γενῶν προτάσεις (τοῦτο γὰρ τὸ τῆς λέξεως πλῆρες) ἢ οὐσίαν ἔχουσι τὸ κατηγορούμενον ἢ ποιότητα ἤ τινα τῶν ἄλλων κατηγοριῶν... τὸν μὲν οὖν ὁρισμὸν καὶ τὸ ὁριστικὸν πρόβλημα ἐν πάσαις ἐνδέχεται ταῖς κατηγορίαις εἶναι, ἐπεὶ οἷόν τε ὁρίσασθαί τινα τῶν ὑφ' ἑκάστην κατηγορίαν. ὁμοίως καὶ τὰ γένη καὶ τὰ γενικὰ προβλήματα. id. f. 36.

103b 37. ὅταν δὲ τὸ κατηγορούμενον μὴ τοῦ αὐτοῦ γένους ᾖ τῷ ὑποκειμένῳ ἀλλὰ περὶ ἄλλου λέγηται (τοῦτο γάρ ἐστι τὸ "ὅταν δὲ περὶ ἑτέρου"), ἐξ ἧς ἂν κατηγορίας ᾖ τὸ κατηγορούμενον, ἐξ ἐκείνης καὶ τὸ γένος τοῦ προβλήματος ἔσται. id. p. 37.

104a 1. εἰ δὲ τὰ προβλήματα καὶ τὰ γένη τῶν προβλημάτων ἐν ταῖς κατηγορίαις, δῆλον ὡς χρήσιμος ἡ περὶ τὰς κατηγορίας πραγματεία πρὸς διαλεκτικήν, εἴγε χρήσιμον τὸ εἰδέναι ἐν ποίῳ γένει τῶν ὄντων τὸ προκείμενον πρόβλημα... "ταῦτα καὶ τοσαῦτά ἐστι." λέγει τὰ προβλήματα καὶ τὰς προτάσεις. ταῦτα δὲ καὶ τοσαῦτα τῷ γένει δηλονότι. id. ib.

ζητήσαι δ' ἄν τις πῶς εἰπὼν ἴσα καὶ ταὐτὰ τά τε προβλή- 104a 8.
ματα καὶ τὰς προτάσεις, καὶ τῷ τρόπῳ μόνῳ τὴν διαφορὰν αὐτῶν εἶναι, νῦν ὑπεναντίον πώς φησιν εἶναι τὸ διαλεκτικὸν πρόβλημα καὶ τὴν διαλεκτικὴν πρότασιν τῷ τὸ μὲν ἀπορεῖσθαι τὴν δὲ γνώριμον εἶναι. ἢ οὐ τὰ διαλεκτικὰ προβλήματα ταῖς διαλεκτικαῖς προτάσεσιν ἴσα καὶ τὰ αὐτὰ εἶπεν, ἀλλὰ καθόλου τὰ προβλήματα καὶ τὰς προτάσεις τὰς ἐν τῇ τῆς ἀντιφάσεως ἐρωτήσει, ἐν οἷς προβλήμασι καὶ ἐν αἷς προτάσεσίν ἐστι καὶ τὰ διαλεκτικὰ προβλήματά τε καὶ αἱ προτάσεις, ὧν νῦν λέγει τὴν διαφοράν· τό τε γὰρ γνώριμον καὶ ἔνδοξον, ὁποία ἡ πρότασις ἡ διαλεκτικὴ εἶναι βούλεται, καὶ τὸ ἀμφιδοξούμενόν τε καὶ ἀπορούμενον, ὁποῖον δεῖ φησὶν εἶναι καὶ τὸ διαλεκτικὸν πρόβλημα, πάντα ἐν ἀντιφάσει προτείνεταί τε καὶ προβάλλεται, ὧν τὰ μὲν ἔνδοξα προτάσεις, τὰ δὲ ζητούμενα προβλήματα. τὴν δὲ κατὰ τοὺς τρόπους διαφορὰν εἶπε, τὴν κατὰ τὸ ἆρα καὶ πότερον, ὑπὲρ τοῦ ἐνδείξασθαι τὴν κατὰ τὴν λέξιν ὁμοιότητα αὐτῶν, καὶ πῶς ἕκαστον αὐτῶν προτείνεταί τε καὶ προβάλλεται· πᾶσα γὰρ πρότασις πρόβλημα γίνεται, ἀλλὰ γένος τοῦ κατὰ τὴν ἐκφορὰν τρόπου, κατὰ τὴν λέξιν, οὐ μὴν διαλεκτικὸν ἤδη τὸ ἀπὸ προτάσεως μεταληφθέν, ὅτι μὴ ζητούμενον. "ἔστι μὲν οὖν πρότασις διαλεκτικὴ ἐρώτησις ἔνδοξος." οὔτε οὖν πᾶσα πρότασις ἐρώτησις, ἀλλ' ἡ διαλεκτική, οὔτε πᾶσα ἐρώτησις πρότασις ἀλλ' ἡ διαλεκτική. ἔστι γὰρ εἴδη πλείω τῶν ἐρωτήσεων· οὐ γὰρ μόνον ἐρώτησις προτάσεων γίνεται, ἀλλ' ὡς Εὔδημος ἐν τοῖς περὶ Λέξεως διήρηκεν, οἱ ἐρωτῶντες ἢ περὶ συμβεβηκότος ἐρωτῶσιν· ἢ γὰρ προθέντες τι καὶ ὁρίσαντες πυνθάνονται τὸ τούτῳ συμβεβηκός, ὡς οἱ ἐρωτῶντες τίς τοῦ πυρὸς ἡ κατὰ φύσιν κίνησις ἢ τί Σωκράτει συμβέβηκεν, ἢ ἔμπαλιν τὸ μὲν συμβεβηκὸς ὁρίζουσί τε καὶ λαμβάνουσιν ἐν τῇ ἐρωτήσει, ᾧ δὲ τοῦτο συμβέβηκεν ἀξιοῦσι μαθεῖν, ὡς ὁ ἐρωτῶν τίνι τὸ λευκὸν ἢ τὸ μέλαν τῶν ζῴων συμβέβηκε, καὶ τί τῶν ἀγαθῶν δι' αὐτό ἐστιν αἱρετόν, καὶ τίς ἐστιν ὁ καθήμενος. καὶ τοῦτο μὲν ἓν εἶδος ἐρωτήσεως, ἄλλο δὲ περὶ οὐσίαν, ὅταν προενεγκάμενοι τί ποτέ ἐστι τοῦτο, διὰ τῆς ἐρωτήσεως ἐξετάζωμεν, ὡς ὁ ἐρωτῶν τί ἐστιν ἄνθρωπος· ὁ γὰρ οὕτως ἐρωτῶν τὴν οὐσίαν τοῦ πράγματος ἀξιοῖ, ἀλλ' οὐχ ὃ συμβέβηκεν αὐτῷ, μαθεῖν. τρίτον εἶδος ἐρωτήσεώς ἐστιν ὅταν περὶ προτάσεώς τις τὴν ἐρώτησιν ποιῆται, εἶτα ἀπόκρισιν αὐτῆς αἰτῶν τὸ ἕτερον τῆς ἀντιφάσεως μέρος προτείνῃ, οἷον ἆρα γε ὁ κόσμος σφαιροειδής; ὑπὸ τοῦτο τὸ εἶδος τῆς ἐρωτήσεώς ἐστι καὶ ἡ διαλεκτικὴ πρότασις· οὐ γὰρ πᾶσα ἐρώτησις πρότασις διαλεκτική ἐστιν, ἐν ἐρωτήσει μέντοι ἡ πρότασις ἡ διαλεκτική· τῶν γὰρ προτάσεων, ὡς προείρηται, αἱ μέν εἰσιν ἀποδεικτικαί, οἷαί εἰσιν αἱ ἄμεσοι καὶ πρῶται, αἱ δὲ διαλεκτικαί, οἷαί εἰσιν αἱ ἔνδοξοι, αἱ δὲ ἐριστικαί. οὔτε δὲ αἱ ἐπιστημονικαὶ ἐν ἐρωτήσει οὖσαι διαλεκτικαὶ γίνονται· οὐ γὰρ διαλεκτικὴ ἡ τοιαύτη, οἷον ἆρά γε στοιχεῖα τῶν ὄντων εἶδος καὶ ὕλη; ἀλλ' οὐδὲ ἡ ἐριστική, οἷον ἆρά γε ὁ ὁρῶν ὀφθαλμοὺς ἔχει ἢ οὔ; ἀλλ' εἰσὶ προτάσεις διαλεκτικαὶ τῶν ἐν ἐρωτήσει προτάσεων αἱ ἔνδοξοι, οἷον ἆρά γε ἡ ὑγίεια ἀγαθὸν ἢ οὔ, ἆρά γε

κειμένην μέθοδον αὐτάρκη, ἐπεὶ περί γε ὁρισμοῦ καὶ ἔν τε τοῖς Ὑστέροις Ἀναλυτικοῖς καὶ ἐν τοῖς Μετὰ τὰ Φυσικὰ πραγματεύεται μετὰ ἀκριβείας τε καὶ θεωρίας πλείονος, μέτεισιν ἐπὶ τὸν περὶ τοῦ ἰδίου λόγον. δεῖ δὲ μὴ ἀγνοεῖν ὅτι Θεόφραστος τὰ περὶ ταὐτοῦ προβλήματα ὑποτάσσει τοῖς γενικοῖς, ὥσπερ καὶ τὰ ἀπὸ τῶν διαφορῶν· λέγει γὰρ "καὶ τὴν διαφορὰν καὶ τὴν ταὐτότητα γενικὰ θῶμεν." καὶ τοῦτο μὲν ἔξωθεν προσιστορήσθω. id. ib.

102a 13. ... κυρίως δ' ἂν εἶεν ὅροι ὡς ἔχοντες πρὸς τούτῳ καὶ καθ' ὃ μάλιστά ἐστι τῷ ὁριστῷ τὸ εἶναι, ὡς τῷ ἀνθρώπῳ κατὰ τὸ λογικόν. διὸ καὶ εἷς ὁ κυρίως ὁρισμὸς ἑκάστου ἐστίν· τὸν γὰρ ὅρον δεῖ ἐκ διαφορῶν εἶναι· αὗται γὰρ τὸ γένος εἰς τὰ εἴδη διαιροῦσιν οὐ κατὰ συμβεβηκότα τινὰ ἀλλὰ κατὰ τὴν οὐσίαν. τὸ δὲ ἴδιον οὐ διαφορά. id. p. 26.

102a 32. ... ἡ δέ γε διαφορὰ κατὰ πλειόνων μὲν καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται καὶ αὐτή, οὐ μὴν ἐν τῷ τί ἐστιν, ἐπεὶ οὕτως ἂν ὁ αὐτὸς λόγος εἴη γένους τε καὶ διαφορᾶς, ἀλλ' ὡς ἐν ἄλλοις λέγει, ἡ διαφορὰ ἐν τῷ ποῖόν τι μᾶλλον κατηγορεῖται, ὧν ἂν ὡς διαφορὰ κατηγορῆται· ποῖον γάρ τι τὸ πρᾶγμά ἐστι, δηλοῖ. ὅθεν οὐχ ἡγητέον τὸ ἐν Κατηγορίαις (p. 3 a 22) εἰρημένον ἀναγκαιότατον, τὸ ὅτι αἱ διαφοραὶ καθ' ὑποκειμένου κατηγοροῦνται, περὶ τῶν κυρίως λεγομένων εἰρῆσθαι διαφορῶν, ἀλλὰ τῶν ἤδη συνειλημμένων τῇ ὕλῃ· τὸ γὰρ καθ' ὑποκειμένου κατηγορούμενον ἅπαν ἐν τῷ τί ἐστιν ἐκείνου κατηγορεῖται, κατηγορούμεναι δὲ ἐν τῷ τί ἐστιν αἱ διαφοραὶ γένη ἂν εἶεν, ἀλλ' οὐ διαφοραί. id. ib.

102b 6. ἐφ' ὧν μὴ οἷόν τέ ἐστι τοιούτῳ λόγῳ περιλαβεῖν πᾶν τὸ ὁριστόν, ἀγαπητὸν καὶ δι' ἀποφάσεως αὐτὸ δηλῶσαι. πέπονθε δὲ οὕτω τὸ συμβεβηκός, διότι μή ἐστι μιᾶς φύσεως· τὰ γὰρ ἐννέα γένη τὰ παρὰ τὴν οὐσίαν συμβεβηκότα, διὸ οὐδὲ οἷόν τε ἕνα τινὰ λόγον ἀποδοῦναι αὐτῷ. ἴδιον δ' ἂν εἴη αὐτοῦ τὸ ἐν ὑποκειμένῳ, εἰ πᾶσα οὐσία μὴ ἐν ὑποκειμένῳ ἀλλὰ καὶ τὰ εἴδη καὶ αἱ διαφοραὶ ἐν αὐτῇ ἀποκρίνονται τῷ ἐν ὑποκειμένῳ. αὐτὸς μέντοι τὴν τοιαύτην ἀκριβολογίαν παραιτούμενος ὡς οὐκ οἰκείαν τῇ προκειμένῃ πραγματείᾳ ἀρκεῖται τοῖς ἀποδεδομένοις λόγοις τοῦ συμβεβηκότος. id. p. 28.

102b 14. ... κατὰ γὰρ τὰ συμβεβηκότα μόνα ἡ σύγκρισις. ἡ καὶ τὸ μᾶλλόν τε καὶ ἧττον ἔστι τινὸς οὔτε γένος οὔτε ὁρισμὸς οὔτε ἴδιον, ἀλλὰ τῶν συμβεβηκότων μόνων τὸ τοιοῦτον πάθος· τούτων γὰρ ποτὲ μὲν ζητεῖται εἰ ὑπάρχει ἢ μὴ ὑπάρχει τινί... τὸ δὲ "ὁπωσοῦν" πρόσκειται ἤτοι ἀντὶ τοῦ καθ' ὃ ἂν ἡ σύγκρισις γένηται, ὡς καὶ αὐτὸς ἐκ τῶν παραδειγμάτων ἐνδείκνυται, ἢ ἐπεὶ ἡ σύγκρισις κατὰ πλείους γίνεται τρόπους... δύναται τὸ "ὁπωσοῦν" καὶ κατὰ τοῦτο προσκεῖσθαι, ὅτι καὶ τὰ συμβουλῆς ἐχόμενα προβλήματα καὶ αὐτὰ συγκριτικά πως ἐστί, διὸ καὶ ὑπάγοιτ' ἂν τοῖς ἀπὸ τοῦ συμβεβηκότος... εἰσὶ δὲ οἳ λέγουσι τὰ τοιαῦτα προβλήματα ἀπὸ γένους εἶναι· ζητεῖσθαι γὰρ ἐν αὐτοῖς εἰ τὸ αἱρετὸν γένος, καίτοι οὐ ζητεῖται εἰ ἐν τῷ τί ἐστι κατηγορεῖται αὐτῶν τὸ αἱρετόν, ἀλλ' εἰ μόνον ὑπάρχει αὐτοῖς, καὶ οἱ ἀνασκευάζοντες οὐχ ὅτι μὴ γένος ἐστὶ δεικνύουσι τὸ ἀγαθὸν φέρε εἰπεῖν τῆς ἡδονῆς, ἀλλ' ὅτι μὴ ὑπάρχει αὐτῇ· δεῖ δὲ ἐν τοῖς ἀπὸ τοῦ γένους προβλήμασι προσκεῖσθαι τὸ γένος. id. p. 29.

102b 35. οὐ γὰρ εἰ αἱ ἀνασκευαὶ τῶν ἄλλων ἀνασκευάζουσι καὶ τὸν ὁρισμόν, ἤδη καὶ αἱ κατασκευαὶ αὐτῶν πρὸς τὴν τοῦ ὁρισμοῦ κατασκευὴν χρήσιμοι· ὁ γὰρ κατασκευάζων συμβεβηκὸς εἶναι τὸ ἀποδιδόμενον διὰ τοῦ δεικνύναι οἷόν τε αὐτὸ ὑπάρχειν καὶ μὴ ὑπάρχειν τῷ πράγματι, ἔστι μὲν ὑπὸ τὸ συμβεβηκός, οὐ μόνον δὲ οὐ συντελεῖ τι πρὸς τὴν τοῦ ὁρισμοῦ δεῖξιν ἀλλὰ καὶ ἀναιρετικὸν αὐτοῦ· οὐ γὰρ ὁ αὐτὸς τρόπος τῆς τε τοῦ συμβεβηκότος ὑπάρξεως καὶ τῆς τοῦ ὁρισμοῦ. ἔτι δὲ οὐδὲ συμβεβηκότος πᾶσα ἀνασκευὴ ἀναιρεῖ τὸν ὅρον· ὁ γὰρ δείξας ὡς ἴδιον τὸ ὑπάρχον τινί, ἀνῄρηκε μὲν τὸ συμβεβηκός, οὐκ ἀνῄρηκε δὲ τὸν ὅρον. ὥστε οὐκ ἀληθὲς πάντα καὶ πρὸς τοὺς ὁρισμοὺς ἁρμόζειν. ἀλλὰ καὶ ὁ δείξας ὅτι ἐν τῷ τί ἐστι μὲν καὶ ἐν τῇ οὐσίᾳ κατηγορεῖται τοῦ πράγματος, ἐπ' ἴσης δὲ ἀλλ' οὐ κατὰ πλειόνων, ἀνῄρηκε μὲν τὸ γένος, οὐκ ἀνῄρηκε δὲ τὸν ὁρισμόν. ὥστε οὐ μόνον τὰ πρὸς κατασκευὴν τῶν ἄλλων χρήσιμα πρὸς τοὺς ὅρους, ἀλλ' οὐδὲ τὰ πρὸς ἀνασκευὴν τούτων ῥηθέντα χρήσιμα πάντα πρὸς τὴν τοῦ ὁρισμοῦ ἀνασκευήν. διὰ μὲν οὖν ταῦτα οὔτε οἷόν τε ὁρικὰ πάντα λέγειν τὰ προβλήματα οὔτε μίαν τινὰ καθόλου μέθοδον περὶ αὐτῶν εὑρεῖν. καὶ Θεόφραστος δὲ ἐν τοῖς αὐτοῦ Τοπικοῖς, καθὸ μίαν μέθοδον παραδιδόναι σπουδάσας, ἐχώρισε μὲν τῶν ἄλλων τὸ συμβεβηκὸς ὡς μὴ ὑπαγόμενον τῷ ὅρῳ, τὰ ἄλλα δὲ πειρασθεὶς τῷ ὁρισμῷ ὑποτάσσειν ἀσαφεστέραν ἐποίησε τὴν πραγματείαν. id. p. 30.

103a 1. διό φησιν, ὥσπερ εἴρηται, καθόλου μὲν εἰς τὰ προειρημένα γένη τέσσαρα τὴν διαίρεσιν ποιητέον (τὸ γὰρ "τύπῳ" τοῦ καθόλου δηλωτικόν) τῶν δὲ ἄλλων τὰ μάλιστα οἰκεῖα ἑκάστῳ προσαπτέον τε καὶ ὑπακτέον, τῷ μὲν ὅρῳ καὶ τὴν τῶν σαφεστέρων ὀνομάτων ἐκ τῶν ἀσαφεστέρων μετάληψιν καὶ τὴν περὶ ταὐτοῦ ζήτησιν, τῷ δὲ γένει τὰ ἀπὸ τῶν διαφορῶν, καὶ τῷ ἰδίῳ τὰ ποτὲ καὶ πρός τι ἴδια, τῷ δὲ συμβεβηκότι τὰ συγκριτικά. id. p. 31.

103a 6. ποιησάμενος τὴν διαίρεσιν τῶν γενῶν, ἐν οἷς τά τε προβλήματα καὶ αἱ προτάσεις, μέλλων δεικνύναι ὅτι ταῦτα μόνα γένη τῶν προβλημάτων, καὶ ἐπὶ τούτοις ἐν τίσιν ἐστὶ τὰ γένη τῶν προβλημάτων ταῦτα καὶ τὰ ἄλλα ὅσα χρήσιμα ὄντα τοῖς προκειμένοις διὰ τῶν ἑξῆς προστίθησι, πρῶτόν φησι τῶν ἄλλων δεῖν περὶ ταὐτοῦ διορίσασθαι ποσαχῶς λέγεται· ἐπεὶ γὰρ τά τε ἄλλα πρὸς πολλὰ χρήσιμος τῶν κατὰ διαλεκτικὴν ἡ τοῦ ταὐτοῦ διαίρεσις, προείρηκε δὲ καὶ ὅτι προβλήματά τινά ἐστιν ἔχοντα ζήτησιν περὶ ταὐτοῦ, ἃ ὑπάγεσθαι δεῖν εἶπε τοῖς ὁριστικοῖς προβλήμασιν, οὐχ οἷόν τε δὲ ζητεῖν ὅλως εἰ ἄλλῳ ἄλλο ταὐτόν ἐστιν ἢ ἕτερον ἀγνοοῦντα τὴν ταὐτοῦ διαίρεσιν, εὐλόγως τε τὰ γένη τῶν προβλημάτων ὡρίσατο ὑπὲρ τοῦ δῆλα εἶναι τὰ κατ' αὐτὰ προβλήματα, οὕτω καὶ τὴν τοῦ ταὐτοῦ διαίρεσιν ποιεῖται πρὸς τὸ γνώριμα γενέσθαι τὰ περὶ ταὐτοῦ προβλήματα... τὸ μὲν "ὡς τύπῳ εἰπεῖν" εἶπεν ἀντὶ τοῦ ὡς κοινότερον καὶ καθόλου εἰπεῖν· ἐν ἄλλοις γὰρ εἴωθε πρὸς τοῖς τρισὶν οἷς νῦν ἐκτίθεται σημαινομένοις τρόποις τοῦ ταὐτοῦ καὶ τέταρτόν τινα προστιθέναι τὸν κατ' ἀναλογίαν, πορρώτερον ὄντα τῶν ἐνταῦθα νῦν εἰρημένων· εἰς οὓς δὲ νῦν διαιρεῖ τὸ ταὐτόν, καὶ οἷς συνήθως χρῆται, εἰσὶ τρεῖς. id. p. 32.

πρόβλημα ἢ πρότασιν εἶναι διαλεκτικήν· δεῖ γὰρ αὐτοῖς ποιᾶς συντάξεώς τε καὶ προφορᾶς, ἵνα γένηται πρόβλημα ἢ πρότασις. id. p. 23.

101 b 23. λέγει δὲ περὶ προτάσεως τῆς διαλεκτικῆς· αὕτη γὰρ ἐρώτησίς ἐστι. τῷ δὴ τρόπῳ τῷ τῆς ἐκφορᾶς φησὶν αὐτοῖς εἶναι τὴν διαφοράν· τῆς γὰρ ἀντιφάσεως ἂν μὲν τὸ πότερον προτάξωμεν, πρόβλημα, οἷον πότερον ὁ κόσμος σφαιροειδής ἐστιν ἢ οὔ; ἂν δὲ τὸ ἆρα, πρότασις, οἷον ἆρά γε ὁ κόσμος σφαιροειδής ἐστιν ἢ οὔ; ὃ οὐ προσέθηκεν ἐλλειπέστερον εἰπών. ἔστι δὲ ἣν ἐξέθετο διαφορὰν προβλήματός τε καὶ προτάσεως κατά τινα χρῆσιν καὶ συνήθειαν· καὶ γὰρ τῷ προβλήματι ἐφαρμόζει ὁ τῆς προτάσεως τῆς ἐν ἐρωτήσει λόγος· ἐρώτησις γάρ ἐστι τῆς ἀντιφάσεως, καὶ ἐρώτησις ἐξ ἧς δίδοται τῷ ἀποκρινομένῳ ἐλέσθαι ὁπότερον βούλεται μέρος τῆς ἀντιφάσεως· τοιοῦτον δὲ καὶ τὸ πρόβλημα. ἡ διαφέροι ἂν ὅτι ἡ μὲν ἐρώτησις ἀποκρίσεώς ἐστιν αἴτησις τοῦ ἑτέρου μορίου τῆς ἀντιφάσεως, τὸ δὲ πρόβλημα οὐκ ἀποκρίσεως ἀλλὰ δείξεως τοῦ ἑτέρου μορίου τῆς ἀντιφάσεως αἴτησίς ἐστιν· διὸ καὶ δοκεῖ πυσματικῇ μὲν ἐρωτήσει τὸ πρόβλημα ἐοικέναι (αἴτησις γὰρ κατασκευῆς ἐστὶ καὶ δείξεως καὶ διαλεκτικοῦ λόγου), διαλεκτικῇ δὲ ἐρωτήσει ἡ πρότασις. ἂν δέ τις τούτῳ βούληται διακρίνειν τῷ τὸ μὲν πρόβλημα τὴν ἀντίφασιν ἐρωτᾶν τὴν δὲ πρότασιν τὸ ἕτερον μέρος τῆς ἀντιφάσεως, ἐπεὶ καὶ αὐτὸς οὕτως εἶπεν (ἐπὶ μὲν γὰρ τοῦ προβλήματος εἶπεν "πότερον τὸ ζῷον πεζὸν δίπουν ὁρισμός ἐστιν ἀνθρώπου ἢ οὔ;" προσθεὶς καὶ τὸ "ἢ οὔ," ἐπὶ δὲ τῆς προτάσεως ἠρκέσθη μόνῳ τῷ ἑτέρῳ, εἰπὼν "ἆρά γε τὸ ζῷον γένος τοῦ ἀνθρώπου;" ἐλλειπῶς εἰπών), ἂν δὴ ταύτην τις αὐτῶν διαφορὰν λέγῃ, πῶς ἔτι ἔσται ὅρος τῆς διαλεκτικῆς προτάσεως ἐρώτησις ἀντιφάσεως, ὃν ἀποδίδωσιν αὐτῆς ὅρον αὐτός; ἀλλ' οὐδὲ τῷ τρόπῳ μόνον ἐπιγίνεται αὐτῶν ἡ διαφορά, εἴγε τὸ μὲν πρόβλημα καὶ ἀντίφασιν περιέχει, ἡ δὲ πρότασις τὸ ἕτερον μέρος τῆς ἀντιφάσεως. id. ib.

101 b 39. πρῶτον περὶ τοῦ ὁρισμοῦ τὸν λόγον ποιεῖται· τελειότερον γὰρ ὁ ὁρισμὸς καὶ πάντα τὰ ἐν αὐτῷ ἔχων· καὶ γὰρ τὸ γένος ἐν τῷ ὅρῳ καὶ τὸ ἴδιον καὶ τὸ ὑπάρχον, τουτέστι τὸ συμβεβηκός· τούτῳ γὰρ ὁρίζεται καὶ ταῦτα, καὶ τί ποτε σημαίνει τὸ ὄνομα, ὁ ὁρισμὸς ἀποδίδωσι. μετενήνεκται δὲ τὸ τοῦ ὁρισμοῦ καὶ ὅρου ὄνομα ἀπὸ τῶν ὅρων τῶν ἐπὶ τῶν χωρίων, οἷς περιγράφουσιν αὐτὰ καὶ τῶν ἄλλων χωρίζουσιν. οὐκ εἰ ὁρισμοῦ δὲ ὁρισμὸν ἀποδίδωσι, διὰ τοῦτο εἰς ἄπειρον προελεύσεται· παντὸς γὰρ ὁρισμοῦ, καθὸ ἐστιν ὁρισμός, οὗτος ἔσται λόγος, καὶ οὐκ ἄλλος ἄλλου. λόγον δέ φησιν εἶναι τὸν ὁρισμὸν τὸν τὸ τί ἦν εἶναι σημαίνοντα, ὃ μόνῳ τῷ λόγῳ ὑπάρχει. τοῦτο δὲ τὸ τί ἦν εἶναι ὡς ὀνοματικὸν μὲν συλλαβὼν ἐξενήνοχε, σημαίνει δὲ ὁ τὸ τί ἐστι τὸ εἶναι σημαίνων τῷ ὁριστῷ, τουτέστι λόγος ἐστὶ δηλωτικὸς τοῦ τί ποτέ ἐστι τὸ εἶναι ἐκείνῳ οὗ ἐστιν ὅρος. τῷ γὰρ "ἦν" οὐχ ὡς τοῦ παρελθόντος χρόνου δηλωτικῷ κέχρηται νῦν, ἀλλ' ἀντὶ τοῦ ἔστιν. συνήθης δὲ ἡ τοιαύτη ἐστὶ χρῆσις· ὁ γὰρ λέγων "τοῦτο ἦν" ἴσον λέγει τῷ τοῦτό ἐστι, τῷ ἦν ἀντὶ τοῦ ἔστι χρώμενος, καὶ ὁ λέγων "τίς ἦν ὁ κόπτων τὴν θύραν;" ἀντὶ τοῦ τίς ἐστιν ὁ κόπτων τὴν θύραν; λέγει γὰρ ὅρος τὴν οὐσίαν, καὶ ἐν ᾧ ἐστιν ἑκάστῳ τὸ εἶναι, τοῦτο δηλοῖ, οὐ συμβεβηκός τι οὐδὲ παρεπόμενον ἄλλως. πλειόνων γὰρ ὄντων τῶν ὑπαρχόντων ἑκάστῳ, ὁ ὅρος τὸ εἶναι ἀποκρίνων, τἆλλα μόνα δηλοῖ ταῦτα τῶν ὑπαρχόντων οἷς ὁρίζεται καὶ ἐν οἷς ἐστιν αὐτῷ τὸ εἶναι, καὶ καθὸ διάφορον τῶν ἄλλων ἐστὶ τούτῳ ᾧ εἶναι λέγεται. οὐ μάτην δὲ οὐδὲ ἐκ περισσοῦ τῷ "ἦν" τὸ "εἶναι" πρόσκειται, ἀλλὰ ἀναγκαίως. εἰ γὰρ τὸ ἦν τὸ ἔστι σημαίνει, εἴη κἂν ὁ λόγος ὁ τὸ τί ἦν σημαίνων ὁ αὐτὸς τῷ λόγος ὁ τὸ τί ἐστι σημαίνων, δῆλον ὅτι τὸ προκείμενον πρᾶγμα οὗ ἀποδίδοται. ἀλλ' εἰ τοῦτο, πᾶς ὁ τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων τοῦ προκειμένου ἔχων τι λόγος ὁρισμὸς αὐτοῦ ἔσται. ἐν τῷ τί ἐστι δὲ κατηγορεῖται τῶν εἰδῶν τὰ γένη· συνωνύμως γάρ· ὁ ἐν τῷ γένει ἄρα τὸ εἶδος τιθεὶς λόγος εἴη ἂν ὁρισμὸς τοῦ εἴδους δηλῶν τὸ τί ἐστιν· ὅπερ οὐκ ἀληθές. οὐκ ἄρα αὔταρκες τὸ ἦν, ὥς τινες ἡγοῦνται, ὧν δοκεῖ πρῶτος μὲν Ἀντισθένης εἶναι, εἶτα δὲ καὶ τῶν ἀπὸ τῆς Στοᾶς τινές, ἀλλὰ εὐλόγως τὸ εἶναι πρόσκειται. ὁ γὰρ τί ἐστι τὸ εἶναι αὐτῷ δηλῶν λόγος οὐκ ἔστιν ὁ τὸ γένος ἢ ἄλλο τι τῶν ἐν τῷ τί ἐστι κατηγορῶν αὐτοῦ· οὐ γὰρ τοῦτό ἐστι τὸ εἶναι τῷ εἴδει τὸ γένος αὐτοῦ κατηγορεῖσθαι, ὅτι μὴ ταὐτόν ἐστι τὸ εἶδος τῷ γένει τῷ αὐτοῦ. καὶ ἔστιν ἴσον τὸ εἰρημένον τῷ λόγος ὁ τῆς τοῦ πράγματος οὐσίας δηλωτικός, καὶ καθὸ ἐστιν αὐτῷ τὸ εἶναι. εἰ δὲ λέγοντες ὅρον εἶναι λόγον κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενον (ἀνάλυσιν μὲν λέγοντες τὴν ἐξάπλωσιν τοῦ ὁριστοῦ καὶ κεφαλαιωδῶς, ἀπαρτιζόντως δὲ τὸ μήτε ὑπερβάλλειν μήτε ἐνδεῖν) οὐδὲν ἂν λέγοιεν τὸν ὅρον διαφέρειν τῆς τοῦ ἰδίου ἀποδόσεως· λόγος γὰρ καὶ τὸ ζῷον γελαστικόν, καὶ ἀπερίττως τε καὶ ἀνελλιπῶς σημαίνει τὸν ἄνθρωπον (οὔτε γὰρ ἐπὶ πλέον οὔτε ἐπ' ἔλαττόν ἐστι τοῦ ἀνθρώπου)· ἀλλὰ πλεῖστον ὁρισμοῦ ὁ διὰ τοῦ ἰδίου λόγος ἀποδιδόμενος διαφέρει, ὅτι μὴ σημαίνει ἐν τίνι ἐστὶ τὸ εἶναι τῷ ἀνθρώπῳ. ἔτι γὰρ μὴ ἐν τῷ γελαστικῷ τῷ ἀνθρώπῳ τὸ εἶναι, δῆλον ἐκ τοῦ τὰς καθὸ ἐστιν ἕκαστον ἐνεργείας ταῦτα τελειοῦν αὐτό· οὐκ ἔστι δὲ τελειότης ἀνθρώπου τὸ γελᾶν. id. p. 24.

ὁριστικὰ δὲ λέγει προβλήματα εἶναι καὶ ἐν οἷς ζητεῖται εἰ τόδε 102 a 6.
τῷδε ταὐτόν, οἷον εἰ ταὐτὸν αἴσθησις ἐπιστήμη ἢ ἕτερον, καὶ πότερον ταὐτὸν ἀκολασία καὶ ἀκρασία ἢ ἐγκράτεια καὶ σωφροσύνη ἢ οὔ. καὶ τοῦ καὶ ταῦτα ὁριστικὰ εἶναι τὴν αἰτίαν ἀποδέδωκε· διότι γὰρ καὶ ἐν τοῖς περὶ τῶν ὁρισμῶν προβλήμασι, πότερον τὸ αὐτὸ ὁ ἀποδοθεὶς ὁρισμὸς σημαίνει καὶ τὸ ἀνθ' οὗ ἀπεδόθη ὀνόματος ἢ λόγου ἢ ἑτέρου, ἡ πλείστη γίνεται ζήτησις· τὸν γὰρ ὁρισμὸν πρῶτον δεῖ τὸ ταὐτὸν ἔχειν. id. p. 25.

λέγεται γὰρ τὸ ταὐτόν, ὡς ὀλίγον προελθὼν δείξει, πλεοναχῶς, 102 a 15.
καὶ οὔτε τὸ τῷ γένει ταὐτὸν οὔτε τὸ τῷ εἴδει ὁρισμός, ἀλλ' οὐδὲ τὸ τῷ ἀριθμῷ πάντως. ὅτι τε οὖν τὸ ταὐτὸν χρήσιμον πρὸς τὰ ὁριστικὰ προβλήματα δέδεικται, καὶ ὅτι μὴ πάντῃ ταὐτόν ἐστιν ἥ τε περὶ ταὐτοῦ ζήτησις καὶ ἡ περὶ τοῦ ὁρισμοῦ. οὐ γὰρ ἐπεὶ ταὐτόν ἐστι τὸ ὁρατόν τε καθ' αὑτὸ καὶ χρῶμα καὶ ἀκουστὸν καὶ ψόφος, καὶ χυμὸς ὁμοίως καὶ γευστόν, διὰ τοῦτο ἢ τοῦ χρώματος ὅρος ἐστὶ τὸ καθ' αὑτὸ ὁρατόν, ἢ ὥς τινες ὁρίζονται, τὸ ἴδιον ὄψεως αἰσθητόν· οὐ γὰρ καθὸ χρῶμα καὶ καθὸ ψόφος τοιαῦτά ἐστιν, ἀλλὰ κατὰ τὴν σχέσιν τὴν πρὸς τὸ αἰσθανόμενον αὐτοῦ. ταῦτα εἰπὼν περὶ τοῦ ὁρισμοῦ ὡς πρὸς τὴν προ-

τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς καθ' ἑκάστην ἐπιστήμην ἐστὶ χρήσιμος, εἴη ἄν, ὡς εἶπε, καὶ πρὸς φιλοσοφίαν τε καὶ τὰς ταύτης ἀρχάς, παρεχομένη καὶ ταύτῃ τὸ χρήσιμον. καὶ οὕτως ἂν δύναιτο καὶ τὸ τέταρτον τοῦτο ὑπάγεσθαι τῷ πρὸς φιλοσοφίαν χρησίμῳ, προσκεῖσθαι δὲ αὐτῷ τὸ ὅτι ὁμοίως φιλοσοφίᾳ, κατὰ τοῦτο καὶ πρὸς ἄλλας ἐπιστήμας ἐστὶ χρήσιμος ἡ διαλεκτική. καὶ αὐτὸς δὲ πολλάκις δεικνύς τινα τῶν κατὰ φιλοσοφίαν προστίθησι τὸ λογικῶς, λέγων διαλεκτικῶς, ὡς δεομένων τινῶν τῶν κατὰ φιλοσοφίαν καὶ τοιούτων δείξεων... ὅτι δὲ διαλεκτικοῦ ἐστὶ περὶ ἀρχῶν λέγειν, ἐντεῦθεν δῆλον ἂν γένοιτο. ὁ γεωμέτρης τίθεται μὲν ἐν ταῖς ἀρχαῖς καὶ τὸ ἐπιφάνειαν μὲν εἶναι ὃ μῆκος καὶ πλάτος ἔχει μόνον, γραμμὴν δὲ μῆκος ἀπλατές, σημεῖον δὲ οὗ μέρος οὐδέν. ἐνίστανται δὲ πρὸς ταῦτά τινες λέγοντες μήτε τι μέγεθος δύνασθαι διαστήματα δύο ἔχειν μόνα, ἔτι δὲ ἧττον ἕν· ἀλλὰ μηδὲ σημεῖόν τι ὅλως εἶναι· μηδὲν γὰρ εἶναι ὃ μήτε ἀφαιρούμενον μειοῖ τι μήτε προστιθέμενον αὔξει, ὡς ὁ Ἐλεάτης Ζήνων ἔλεγεν· ἀδιαστάτου γὰρ μηδὲ φαντασίαν τινὰ δύνασθαι λαβεῖν. γεωμετρικῶς μὲν οὖν οὐχ οἷόν τέ ἐστι τοῦτο ὡς ὂν δεῖξαι, ὁ δὲ διαλεκτικὸς οὐκ ἀπορήσει δι' ἐνδόξων αὐτὰ συστῆσαι· λαβὼν γὰρ ἔνδοξον τὸ τὴν ἐπιφάνειαν πέρας εἶναι τοῦ σώματος, καὶ τὸ πέρας εἶναι ἄλλο οὗ ἐστὶ πέρας, καὶ τοῦτο τῇ ἐπαγωγῇ συστήσας, συνάγει τὴν ἐπιφάνειαν ἄλλο εἶναι σώματος, τουτέστι τοῦ τριχῇ διεστῶτος. εἰ δὲ ἄλλη, οὐχ οἷόν τε ἔχειν αὐτὴν διαστάσεις τρεῖς· ἦν γὰρ ἂν οὕτως ἡ αὐτὴ τῷ σώματι. id. p. 17.

101b 2 τὸ "τοῦτο δ' ἴδιον ἢ μάλιστα οἰκεῖον τῆς διαλεκτικῆς ἐστίν" τὸ ἐξ ἐνδόξων συλλογίζεσθαι εἶπεν, ἤτοι διὰ τὴν ῥητορικήν, ἐπειδὴ καὶ αὕτη διὰ τοιούτων, καὶ ὅτι καὶ ὁ φιλόσοφός ποτε διὰ τοιούτων δείκνυσί τινα, ὡς προείρηται... "ἐξεταστική" δὲ ἀντὶ τοῦ ζητητική καὶ ἐπιχειρηματική. id. p. 19.

101b 6. δυνάμεις εἶπε τὴν ἰατρικὴν καὶ τὴν κυβερνητικήν τε καὶ διαλεκτικὴν ἤτοι ὅτι ἔνεστιν αὐταῖς καὶ εὖ καὶ κακῶς χρῆσθαι, ἢ μᾶλλον ὅτι στοχαστικαὶ οὖσαι οὐ κατὰ ὡρισμένα τινὰ προΐασιν, ἀλλὰ δεῖ καὶ οἰκείας συνέσεως αὐταῖς πρὸς τὸ ἁρμόσασθαί τε πρὸς τὰ προσπίπτοντα καὶ τάξαι τὰ γινόμενά τε καὶ λεγόμενα ὥστε ταχθέντα χρήσιμα. ἢ δυνάμεις κοινότερον τὰς τέχνας ὡσανεὶ ἕξεις ἔλεγεν αὐτάς, καὶ εἴη ἂν τῶν τοιούτων τεχνῶν, τουτέστι τῶν στοχαστικῶν. id. ib.

101b 12. ἔστι τὸ μὲν "πρὸς πόσα τε καὶ ποῖα" εἰρημένον περὶ τῶν προβλημάτων, ὡς ἐρεῖ· περὶ γάρ τινος προκειμένου προβλήματος ὁ διαλεκτικὸς τὸν λόγον κινεῖ καὶ τὸν συλλογισμὸν ποιεῖται· δεῖ οὖν εἰδέναι πόσα τε καὶ τίνα ἐστὶ τὰ γένη τῶν προβλημάτων τῶν διαλεκτικῶν. τὸ δ' "ἐκ τίνων" περὶ τῶν προτάσεων. οὐχ ἁπλῶς δὲ σημαίνοι ἂν τὸ "ἐκ τίνων" τὸ ὅτι ἐκ προτάσεων, ἀλλὰ λέγοι ἂν καὶ ἐπὶ τούτων τὸ ἐκ πόσων καὶ τίνων· οὐ γὰρ ἐκ πάσης προτάσεως ὁ διαλεκτικὸς συλλογισμός. ἂν οὖν εἰδῶμεν τά τε προβλήματα τὰ διαλεκτικὰ πόσα ἐστὶ καὶ ποῖα, "πόσα" μὲν τῷ γένει δηλονότι, "ποῖα" δὲ ἀντὶ τοῦ τίνα (οὐδέπω γὰρ οἶδε τίνα ἐστὶ τὰ γένη τῶν προβλημάτων ὁ μόνον εἰδὼς ὅτι τέσσαρα), εἰδῶμεν δὲ καὶ τὰς προτάσεις, ἐξ ὧν οἱ πρὸς τὰ τοιαῦτα προβλήματα γίνονται συλλογισμοί (λόγους γὰρ ἂν λέγοι τοὺς συλλογισμοὺς ἢ καὶ τὰς ἐπαγωγάς· καὶ γὰρ ὁ ἐπακτικὸς λόγος διαλεκτικός, ὡς ἐρεῖ), πρὸς δὲ τούτοις εἰ εἰδείημεν καὶ ταῦτα δι' ὧν οἷόν τέ ἐστιν εὐπορεῖν τούτων (λέγοι δ' ἂν τοῦτο ἤτοι καὶ περὶ τῶν προβλημάτων καὶ τῶν προτάσεων, ἐπεὶ μὴ πᾶν πρόβλημα διαλεκτικὸν ἀλλὰ καὶ τὸ τοιοῦτον οἷον ἐρεῖ προελθών, ἢ περὶ τῶν προτάσεων δι' ὧν οἱ συλλογισμοὶ μόνον λέγει τὸ "πῶς τούτων εὐπορήσομεν·" ἐν γὰρ τῇ τῶν προτάσεων εὐπορίᾳ τὸ πλεῖστον τοῦ συλλογίζεσθαι. ἢ λέγοι ἂν τὸ "καὶ πῶς τούτων εὐπορήσομεν" περὶ τῶν διαλεκτικῶν λόγων, τουτέστι τῶν τε συλλογισμῶν καὶ τῶν ἐπαγωγῶν εἴημεν ἂν τεθεωρηκότες ἐκ τίνων ἡ μέθοδός ἐστιν ἡ διαλεκτική. ὅτι γὰρ τοῦτο λέγειν δοκεῖ διὰ τοῦ "καὶ πῶς τούτων εὐπορήσομεν" (τῶν γὰρ λόγων περὶ ὧν προείρηκεν, ἀλλ' οὐ τῶν προβλημάτων τε καὶ προτάσεων), δηλοῖτο ἂν ἐκ τοῦ μετὰ τὸ εἰπεῖν αὐτὸν περί τε τῶν προβλημάτων τῶν διαλεκτικῶν καὶ τῶν προτάσεων, καὶ τί ἐστιν ἑκάτερον αὐτῶν ἐπιδεῖξαι, ὅτι πᾶν τὸ διαλεκτικὸν πρόβλημα, ὁμοίως δὲ καὶ πρότασις, ἢ περί τινος τῶν πρὸς αἵρεσιν καὶ φυγὴν τὴν ἀναφορὰν ἐχόντων ἐστὶν ἢ περί τινος τῶν πρὸς ἀλήθειαν καὶ γνῶσιν ἢ περί τινος τῶν συνεργῶν πρός τι τούτων, λέγειν αὐτὸν "τὰ δὲ ὄργανα, δι' ὧν εὐπορήσομεν τῶν συλλογισμῶν, ἔστι τέσσαρα" (p. 105 *a* 21). τοῦτο γὰρ εἰρηκέναι δοκεῖ ἀποδιδοὺς πρὸς τὸ "καὶ πῶς τούτων εὐπορήσομεν·" διὰ γὰρ τῶν ὀργάνων καὶ τῶν τόπων ἡ τούτων εὐπορία. ἢ καὶ ἡ τῶν προτάσεών τε καὶ προβλημάτων εὐπορία εἰς τὴν τῶν συλλογισμῶν εὐπορίαν συντελεῖ, ὡς ἐρεῖ καὶ αὐτὸς προελθών. δύναται δὲ τὸ "πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἐστὶν ἡ μέθοδος" ἴσον τῷ πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἄν τις διαλεκτικὸς γένοιτο· ὁ γὰρ εἰδὼς ἐν τίσι τῇ διαλεκτικῇ τὸ εἶναι, οἶδε καὶ διὰ τίνων ἂν διαλεκτικός τις γένοιτο. id. p. 20.

τοῦ τοσαῦτά τε καὶ τοιαῦτα εἶναι τὰ διαλεκτικὰ προβλήματα 101b 17.
νῦν μὲν πίστιν λαμβάνει τὴν ἐξ ἐπαγωγῆς, ὅτι εἰ πᾶν πρόβλημα καὶ πᾶσα πρότασις τούτων τι σημαίνει καὶ μηδὲν παρὰ ταῦτα ὑπὸ προβλήματός τινος δηλοῦται, εἴη ἂν ταῦτά τε καὶ τοσαῦτα γένη τῶν προβλημάτων· πειράσεται δὲ αὐτὸ προελθὼν δεῖξαι καὶ διὰ συλλογισμοῦ. ὃ μὲν οὖν αὐτὸς τίθησιν, ἐροῦμεν ὅταν καὶ αὐτὸς αὐτοῦ μνημονεύῃ, ἔνεστι δὲ καὶ οὕτω συλλογίσασθαι. id. p. 21.

διὰ τί δὲ ἡ διαφορὰ γενική; ὅτι ἐν τῇ οὐσίᾳ ἐστὶ τούτου οὗ κα- 101b 18.
τηγορεῖται, ὥσπερ καὶ τὸ γένος, καὶ ἔστιν ἄμφω συμπληρωτικὰ τοῦ εἶναι ἑκάστου ὧν ἐστὶν οἰκεῖα. ὅτι τε καὶ ἐπὶ πλέον ἐστὶ καὶ αὐτή, καὶ κατὰ πλειόνων καὶ κατὰ τὸ εἶδος διαφερόντων κατηγορεῖται· μόνῳ γὰρ τῷ μὴ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι ἡ διαφορὰ τοῦ γένους διαφέρει, ἐπεὶ ἡ διαφορὰ δοκεῖ καὶ καθ' αὑτὴν λαμβανομένη τοῦ εἴδους εἶναι μᾶλλον, ἀλλ' οὐ τοῦ συναμφοτέρου δηλωτική, ἐν οἷς ἐστὶ τὸ ὑποκείμενον τοιοῦτον, τὸ δὲ γένος τοῦ συναμφοτέρου. id. p. 22.

ἤτοι τοῦτο λέγει, ὅτι μηδεὶς ὑπολαμβανέτω λέγειν ἡμᾶς ὅτι 101b 26.
αὐτὰ τὰ ὀνόματα τὰ ῥηθέντα προβλήματά ἐστιν, ἐπεὶ εἴπομεν οὕτω τέσσαρα τὰ πάντα συμβαίνει γενέσθαι προβλήματα, ἢ ὅρον ἢ ἴδιον ἢ γένος ἢ συμβεβηκός· οὐ γὰρ οἷόν τε ὄνομα ἢ πρόβλημα ἢ πρότασιν εἶναι. ἢ ἔστι τὸ λεγόμενον ὅτι μηδεὶς ὑπολαμβανέτω τὸν ὁρισμὸν ἁπλῶς ῥηθέντα ἢ τὸ ἴδιον ἢ τὸ γένος ἢ τὸ συμβεβηκὸς ἢ

τῶν οἰκείων ἀρχῶν τῇ ἐπιστήμῃ γινόμενον παραλογισμόν, ὁποῖά φαμεν εἶναι ἐν γεωμετρίᾳ τὰ ψευδογραφήματα. συγγενεῖς δὲ λέγοι ἂν γεωμετρίᾳ ἐπιστήμας ἀριθμητικήν (καὶ γὰρ αὕτη περὶ ποσόν, ἀλλὰ διωρισμένον), ἔτι δὲ ἀστρολογίαν καὶ ὀπτικὴν καὶ μηχανικήν· προσχρῶνται γὰρ αὗται ταῖς γεωμετρικαῖς ἀρχαῖς. τοῦτο δὲ τὸ εἶδος τῶν συλλογισμῶν ὅτι τῶν προειρημένων ἐστὶν ἄλλο, δείκνυσιν ἐκ τοῦ μηδένα τῶν λόγων τῶν ἀποδεδειγμένων ἐφαρμόζειν αὐτῷ... ἄλλο ἄρα τι εἶδος τοῦτο παραλογισμῶν ἐστίν, ᾧ οὔτε ὁ διαλεκτικὸς οὔτε ὁ σοφιστικὸς χρῆται, ἀλλ' οἱ κατὰ τὰς ἐπιστήμας πείρας χάριν τῶν περὶ αὐτὰς καταγινομένων καὶ γυμνασίας, πρὸς τὸ διορατικωτέρους αὐτοὺς γίνεσθαι τῶν ἐν αὐτοῖς ἀληθῶν. id. p. 14.

101a 14. ὅτι λήμματα αἱ προτάσεις παρὰ Ἀριστοτέλει, σημειωτέον. τῷ δὲ "τῷ γὰρ ἢ τὰ ἡμικύκλια περιγράφειν μὴ ὡς δεῖ ἢ γραμμάς τινας ἄγειν μὴ ὡς ἂν ἀχθείησαν" δύναται καὶ ἁπλῶς κεχρῆσθαι, καθόλου περὶ τὰ τοιαῦτα γινομένων τῶν ψευδογραφημάτων, δύναται καὶ ὡς παράδειγμα αὐτὸ εἰρηκέναι ψευδογραφήματος· ἔστι γὰρ κατὰ γεωμετρίαν ψευδογράφημα παρὰ τὸ μήτε τὰ ἡμικύκλια περιγράφειν ὡς δεῖ μήτε τὰς γραμμὰς ἄγειν ὡς ἂν ἀχθείησαν. id. ib.

101a 18. ὡς ὑπογραφῇ τινὶ καὶ οὐκ ἀκριβῶς. οὕτως δὲ ἴσως εἶπεν ἤτοι ὡς μὴ ἀκριβῆ τὸν ὁρισμὸν ἀποδεδωκὼς ἑκάστου, ἢ μᾶλλον ὡς μὴ ἐξειργασμένος αὐτὰ διὰ τὸ μὴ περὶ τούτων αὐτῷ τὴν πρόθεσιν εἶναι, ἢ ἐπεὶ προστίθησι τοῖς τρισὶ τοῖς πρώτοις εἰρημένοις ἐν ἄλλοις καὶ τὸν πειραστικὸν ὡς ἄλλον ὄντα παρὰ τοὺς νῦν εἰρημένους. ἢ ὁ αὐτός ἐστιν ὁ πειραστικὸς τῷ προειρημένῳ τῷ ἐκ τῶν περί τινας ἐπιστήμας οἰκείων γινομένῳ παραλογισμῷ· καὶ γὰρ τοῦ πειραστικοῦ τὸν λόγον ἀποδιδοὺς ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις (c. 2) οὕτως ἀποδέδωκε "πειραστικοὶ δὲ οἱ ἐκ τῶν δοκούντων τῷ ἀποκρινομένῳ καὶ ἀναγκαίων εἰδέναι τῷ προσποιουμένῳ ἔχειν τὴν ἐπιστήμην," ὃ ἴσον ἂν εἴη τῷ τε "καὶ ἐκ τῶν περί τινας ἐπιστήμας οἰκείων γενόμενοι παραλογισμοί" καὶ τῷ "ἀλλ' ἐκ τῶν οἰκείων μὲν τῇ ἐπιστήμῃ λημμάτων." τῷ γὰρ προσποιουμένῳ τὴν ἐπιστήμην ἔχειν δεῖ τὰς ἀρχὰς καὶ τὰ οἰκεῖα ἐκείνῃ τῇ ἐπιστήμῃ εἰδέναι καὶ κατ' ἐκεῖνα ἀποκρίνασθαι. καὶ εἴη ἂν πειραστικὸς μὲν ἀπὸ τῆς τοῦ ἐρωτῶντος προθέσεως λεγόμενος, ψευδογράφημα δὲ καὶ παραλογισμὸς ἀπὸ τοῦ γενομένου. ἀλλὰ καὶ τὸ ἐνθύμημα, εἰ καὶ μὴ ἁπλῶς συλλογισμὸς ἀλλὰ ῥητορικός γε, οὐδὲ αὐτοῦ οὖν μνημονεύσας εἰκότως ἂν λέγοιτο ὡς τύπῳ εἰπεῖν. ἢ "ὡς τύπῳ" εἶπε διὰ τὸ κατὰ τὰς τῶν σχημάτων διαφορὰς εἴδη γίνεσθαι συλλογισμῶν. id. p. 15.

101a 23. τὰ γὰρ ἔνδοξα καὶ δι' ἐνδόξων δεικνύμενα κεχώρισται τῆς ἐπιστημονικῆς ἀκριβολογίας· τοιαῦτα δὲ τὰ προκείμενα... λέγει δὲ περὶ ὁρισμῶν καὶ ἐν τοῖς Μετὰ τὰ Φυσικά, ἀλλὰ καὶ περὶ γενῶν ἁπάντων. καὶ ἐν τούτοις μὲν μνημονεύει, ἀλλὰ ἐπιπολαιότερον· εἰ γὰρ τὰ ἐν ἐκείνοις εἰρημένα ἐνταῦθά τις μεταφέροι, ἐκβαίνοι ἂν τὸν ὅρον τῆς διαλεκτικῆς, οὔσης, ὡς εἶπεν, ἐξ ἐνδόξων συλλογιστικῆς. id. p. 16.

101a 28. πρὸς τρία φησὶν εἶναι χρήσιμον τὴν διαλεκτικὴν πραγματείαν, πρός τε γυμνασίαν· λέγει δὲ γυμνασίαν ἤτοι τὴν γινομένην ἐν τῷ διαλέγεσθαι πρός τινας· δεχόμενοι γάρ τινα προβλήματα παρὰ τῶν προσδιαλεγομένων, γυμναζόμενοι πειρῶνται τούτους παριστάσθαι, δι' ἐνδόξων τὰς ἐπιχειρήσεις ποιούμενοι. ἢ γυμνασίαν λέγοι ἂν τὴν εἰς ἑκάτερον μέρος ἐπιχείρησιν. ἦν δὲ σύνηθες τὸ τοιοῦτον εἶδος τῶν λόγων τοῖς ἀρχαίοις, καὶ τὰς συνουσίας τὰς πλείστας τοῦτον ἐποιοῦντο τὸν τρόπον, οὐκ ἐπὶ βιβλίων ὥσπερ νῦν (οὐ γὰρ ἦν πω τότε τοιαῦτα βιβλία), ἀλλὰ θέσεώς τινος τεθείσης εἰς ταύτην γυμνάζοντες αὑτῶν τὸ πρὸς τὰς ἐπιχειρήσεις εὑρετικὸν ἐπεχείρουν, κατασκευάζοντές τε καὶ ἀνασκευάζοντές δι' ἐνδόξων τὸ κείμενον. καὶ ἔστι βιβλία τοιαῦτα Ἀριστοτέλει τε καὶ Θεοφράστῳ γεγραμμένα, ἔχοντα τὴν εἰς τὰ ἀντικείμενα δι' ἐνδόξων ἐπιχείρησιν. πρὸς δὴ τὴν τοιαύτην γυμνασίαν χρήσιμον εἶναί φησι τὴν διαλεκτικήν· μέθοδον γάρ τινα εὑρετικὴν τῶν ἐπιχειρημάτων ἔχοντες (αὕτη δέ ἐστιν ἡ τῶν τόπων γνῶσις) ῥᾷον ἐπιχειρεῖν δυνησόμεθα. id. ib.

101a 30. ἐντεύξεις λέγει τὰς πρὸς τοὺς πολλοὺς συνουσίας, οἷς δεῖ μὲν ἐντυγχάνειν κοινωνικούς τε ὄντας καὶ φιλανθρώπους καὶ ἐντυγχάνειν ὠφελίμως. διὰ μὲν οὖν ἀληθῶν καὶ ἀποδεικτικῶν οὐχ οἷόν τε κοινολογεῖσθαι πρὸς αὐτούς· οὐδὲ γὰρ τὴν ἀρχὴν συνιέναι τῶν τοιούτων δύνανται, ἀλλ' οὐδὲ μανθάνειν ὑπομένουσι· διὸ οὐδὲ ὠφελεῖσθαι δύναιντ' ἂν ὑπό τινος τῶν τοιούτων, ὧν γε τὴν ἀρχὴν μηδὲ συνιέναι δύνανται. εἰ δὲ διὰ τῶν ἐνδόξων καὶ δοκούντων καὶ αὐτοῖς ἐκείνοις τὰς πρὸς τοὺς πολλοὺς συνουσίας ποιοίμεθα, παρακολουθοῖέν τε ἂν τοῖς λεγομένοις καὶ ῥᾳδίως μεταβιβάζοιντο διὰ τῶν τοιούτων λόγων, εἴ τι μὴ εἶεν ὀρθῶς τιθέμενοι. id. p. 17.

101a 34. κατὰ φιλοσοφίαν δὲ ἐπιστήμας εἶπε τὴν φυσικήν, τὴν ἠθικήν, τὴν λογικήν, τὴν μετὰ τὰ φυσικά. εἰ γὰρ δυνάμενοι τὰ πιθανὰ πρὸς τὰ ἀντικείμενα συντελοῦντα διορᾶν καὶ εἰς ἀμφότερα ἐπιχειρεῖν ῥᾷον ἂν εὑρίσκοιεν ἐν ποτέρῳ αὐτῶν μέρει τῆς ἀντιφάσεως τὸ ἀληθές ἐστιν. id. ib.

101a 36. προειπὼν πρὸς τρία ταῦτα χρήσιμον εἶναι τὴν διαλεκτικήν, καὶ ἐκθέμενος τίνα, προστίθησι τοῖς τρισὶ καὶ τέταρτον, ἤτοι ὑποδιαίρεσίν τινα τοῦ τρίτου ποιούμενος (ἦν δὲ τοῦτο πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας· εἰ γὰρ περὶ τὰ πρῶτα τῶν περὶ ἑκάστην ἐπιστήμην, εἴη ἂν καὶ πρὸς τὰ κατὰ φιλοσοφίαν πρῶτα) ἢ προστιθεὶς ὡς ἄλλο τοῦτο παρὰ τὰ προειρημένα. ἔστι δὲ ὃ προστίθησι· χρήσιμόν φησιν εἶναι τὴν διαλεκτικὴν καὶ πρὸς τὰς καθ' ἑκάστην ἐπιστήμην ἀρχάς· περὶ γὰρ τῶν οἰκείων ἀρχῶν οὐδεμία τῶν ἐπιστημῶν οἵα τε λέγειν διὰ τὸ δεῖν μέν, εἰ ἐπιστημονικῶς λέγοι περὶ αὐτῶν καὶ δεικνύοι, ταῦτα ἐκ πρώτων αὐτῶν δεικνύναι (τοιαῦται γὰρ αἱ ἐπιστημονικαί τε καὶ ἀποδεικτικαὶ δείξεις), μηδὲν δὲ ἔχειν τῶν ἀρχῶν πρώτερον· τὰς οὖν δεομένας τῶν ἀρχῶν τῶν κατὰ τὰς ἐπιστήμας συστάσεώς τινος τῷ μὴ δύνασθαι δείκνυσθαι δι' ἀληθῶν τε καὶ πρώτων, καὶ δι' ἐνδόξων τινῶν δεῖ δείκνυσθαί τε καὶ πιστοῦσθαι· τὸ δὲ διὰ τοιούτων συλλογίζεσθαι διαλεκτικῆς ἴδιον· ἴδιον δὲ αὐτῆς καὶ ἡ δι' ἐπαγωγῆς τοῦ προκειμένου σύστασις, ὡς προϊὼν ἐρεῖ, μάλιστα δὲ τὸ πιστὸν ταῖς ἀρχαῖς δι' ἐπαγωγῆς περιγίνεται. ὡς διαλεκτικὸς οὖν περὶ τῶν ἀρχῶν τῶν ἰδίων ὁ ἐπιστήμων ἐρεῖ, ἢ ὁ διαλεκτικὸς ὑπὲρ αὐτοῦ. εἰ δὲ πρὸς

νον συνάγεσθαι καὶ ἐνδείκνυσθαι λέγειν; πῶς δ' οὐ τὰ ἐν ἀρχῇ λαμβάνοντας... ἔτι οἱ διφορούμενοι ἀσυλλόγιστοι, καθόσον ἢ ἀμφότερα προσλαμβάνουσιν ἢ τὸ ἑπόμενον· τί γὰρ μᾶλλον τὸ ἡγούμενον ἢ τὸ ἑπόμενον; οἱ δὲ ἐξ ἀντιφάσεως διαιρετικοὶ οὐ ταὐτὸν τῶν κειμένων τινὶ ἐπιφέρουσιν ἀλλὰ τὸ ἀντικείμενον τοῦ λοιποῦ λόγου, ᾧ συμβαίνει διὰ τὸ ἐκ τοιούτων εἶναι τὸ διαιρετικόν, τὸ αὐτὸ γίνεσθαι τῇ προσλήψει. ἐπὶ γοῦν τῶν μὴ ἐκ τοιούτων διαιρετικῶν ἀσυλλόγιστος ὁ μὴ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἐπιφέρων. ἀλλ' οὐδὲ λέγοι τις συλλογισμὸν εἶναι τὸν ἐκ διαιρετικοῦ καὶ ἑνὸς τῶν ἐν τῷ διαιρετικῷ τὸ λοιπὸν ἐπιφέροντα· ἐπεὶ γὰρ τῷ ἐπιφερομένῳ ἐν τῷ διὰ τοιούτου διαιρετικοῦ συλλογισμῷ συμβέβηκεν ὄντι ἀντικειμένῳ τοῦ ἑτέρου τῶν ἐν τῷ διαιρετικῷ τῷ αὐτῷ καὶ κατὰ τὴν λέξιν εἶναι τῷ προσειλημμένῳ, ὃ μὴ ταὐτόν ἐστι μηδὲ κατὰ ταὐτόν, ἀντικείμενόν τε τῷ ἑτέρῳ τῷ καταλειπομένῳ ἐκ τοῦ διαιρετικοῦ, καὶ ταὐτὸν τῷ προσειλημμένῳ, δεῖ ζητῆσαι κατὰ πότερον λαμβανόμενον τῶν συμβεβηκότων αὐτῷ καὶ εἰς ταὐτὸν συνδεδραμηκότων ποιεῖ συλλογιστικὸν τὸν λόγον· ὅτι γὰρ μὴ ταὐτόν ἐστιν ἄμφω μηδὲ κατὰ ταὐτὸν αὐτῷ ὑπάρχει, δῆλον ἐκ τοῦ μὴ ἐν πᾶσι τοῖς διαιρετικοῖς τῷ αὐτῷ ἄμφω ὑπάρχειν... τὸ δ' "ἐξ ἀνάγκης" προσκείμενον ἐν τῷ ὅρῳ τῆς ἐπαγωγῆς χωρίζει τὸν συλλογισμόν· ἔστι μὲν γὰρ καὶ ἐπαγωγὴ λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων συμβαίνει, ἀλλ' οὐκ ἐξ ἀνάγκης... τὸ δὲ "διὰ τῶν κειμένων" προσκείμενον εἴη μὲν ἂν καὶ τοὺς μονολημμάτους λόγους λεγομένους ἀποκρῖνον τῶν συλλογισμῶν (οὐ γὰρ διὰ τῶν κειμένων τὸ ἐπιφερόμενον αὐτοῖς δείκνυται· λείπει γὰρ ἐν αὐτοῖς πρὸς τὴν συλλογιστικὴν δεῖξιν τὸ παραλειπόμενον, ὡς εἰρήκαμεν), ἀλλὰ καὶ τοὺς παρέλκοντας· ἐν οἷς γὰρ λόγοις πρότασίς τις εἴληπται παρέλκουσα, οὗτοι οὐ διὰ τῶν κειμένων συνάγουσιν τὸ συμπέρασμα, εἴ γε καὶ ἀφαιρεθείσης ἐκείνης ἔτι οἷόν τε τὸ αὐτὸ συνάγεσθαι... ἀλλ' οὐδὲ ἐν οἷς μὴ τὸ οἰκεῖον συμπέρασμα ἐπιφέρεται, ἄλλο δέ τι ἑπόμενον ἐκείνῳ ἢ συμβεβηκός, οὐδ' οὗτοι συλλογισμοί· οὐ γὰρ διὰ τῶν κειμένων. οἷον εἰ λάβῃ τις τὴν ἡδονὴν κατὰ φύσιν καὶ τὸ κατὰ φύσιν αἱρετόν, συμπεραίνοιτο δὲ τὴν ἡδονὴν ἀγαθὸν εἶναι· οὐ γὰρ τοῦτο δείκνυται ἐκ τῶν κειμένων, εἰ καὶ ἕπεται ἐξ ἀνάγκης τῷ συναγομένῳ. τοιοῦτος καὶ ὁ περὶ τοῦ θανάτου ὑπὸ Ἐπικούρου λόγος εἰρημένος· οὐ γὰρ ἐκ τῶν λεγουσῶν προτάσεων "τὸ διαλυθὲν ἀναισθητεῖ, τὸ ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς" συνάγεται τὸ ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς, ὡς αὐτὸς ἡγεῖται, ἀλλ' ὅτι τὸ διαλυθὲν οὐδὲν πρὸς ἡμᾶς· ἀλλ' οὐδὲ ὁ θάνατος τὸ διαλυθέν ἐστιν ἀλλὰ διάλυσις... τοιοῦτοι δέ εἰσι λόγοι καὶ οἱ ὑπὸ τῶν ἀπὸ τῆς Στοᾶς λεγόμενοι ἀμεθόδως περαίνοντες. οὐ γὰρ εἰ τὸ α' ἴσον τῷ β', ὁμοίως δὲ καὶ τῷ γ' τὸ β' ἴσον, διὰ τοῦτο καὶ τὸ α' τῷ γ' ἴσον ἂν εἴη δεδειγμένον συλλογιστικῶς· οὐ γὰρ διὰ τῶν κειμένων τὸ ἀναγκαῖον· ἕπεται γὰρ τοῖς κειμένοις τοῦτο διὰ τὸ ἀληθὲς εἶναι τὸ καθόλου τὸ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἶναι ἴσα. διὸ ἐκείνου τε κειμένου καὶ τοῦ διῃρημένου τούτου συντεθέντος καὶ συναχθέντος εἰς μίαν πρότασιν, τὴν τὸ δὲ α' καὶ γ' τὰ αὐτὰ τῷ β' ἐστὶν ἴσα, συνάγεται συλλογιστικῶς ἤδη καὶ τὸ α' τῷ γ' εἶναι ἴσον. τοιοῦτον καὶ τὸ λέγειν ὅτι ἡμέρα ἐστίν· ἀλλὰ καὶ σὺ λέγεις ὡς ἡμέρα ἐστίν· ἀληθεύεις ἄρα. ἕπεται μὲν γὰρ καὶ ἐνταῦθα τοῖς κειμένοις τὸ ἐπενεχθέν, οὐ μὴν διὰ ταῦτα τὸ ἀναγκαῖον ἀλλὰ διὰ τὸ τὸ καθόλου ἀληθὲς εἶναι τὸ πᾶς ὃς ἡμέρας οὔσης ἡμέραν εἶναι λέγει, ἀληθεύει. τούτου γὰρ ληφθέντος, ἂν συνέλῃ τις τὰ κείμενα εἰς μίαν πρότασιν τὴν σὺ δὲ ἡμέρας οὔσης λέγεις ἡμέραν εἶναι, συλλογιστικῶς συνάξει τὸ σὺ ἄρα ἀληθεύεις· ἐν πᾶσι γὰρ τοῖς τοιούτοις λόγοις τὸ μὲν καθόλου ἀληθὲς ὂν παραλέλειπται, ἡ δὲ ἑτέρα πρότασις εἰς δύο διαιρεῖται ἢ καὶ πλείω, ὡς ἐπὶ τοῦδε τοῦ λόγου" ὁ νόμος ἀνομίᾳ ἐναντίον· ἀλλὰ καὶ ὁ νόμος οὐ κακόν· ἀλλὰ καὶ ἡ ἀνομία κακόν· ἀγαθὸν ἄρα ὁ νόμος." ἐν γὰρ τούτῳ παρεῖται μὲν τὸ καθόλου ὂν τοιοῦτον "ὃ μὴ ὂν κακὸν ἐναντίον ἐστὶ κακῷ, ἀγαθόν ἐστιν," διῄρηται δὲ εἰς τρία ἡ πρότασις ἡ ἑτέρα, ἔχουσα οὕτως "ὁ δὲ νόμος οὐκ ὂν κακὸν κακῷ οὔσῃ τῇ ἀνομίᾳ ἐναντίος ἐστίν·" ταύτης γὰρ μέρη τό τε ὁ νόμος ἀνομίᾳ ἐναντίον, καὶ τὸ ἀλλὰ καὶ ὁ νόμος οὐ κακόν, καὶ ἔτι τὸ ἀλλὰ καὶ ἡ ἀνομία κακόν. ἐκ γὰρ τῶν προειρημένων δύο προτάσεων συλλογιστικῶς συνάγεται τὸ ἀγαθὸν εἶναι τὸν νόμον· ἀλλὰ καὶ ἐκ τῆς μιᾶς τῆς εἰς τρία διῃρημένης. id. p. 6-10.

100a 27. κοινότερον μέντοι καὶ πάντα τὸν ἐξ ἀληθῶν συλλογισμὸν ἀπόδειξιν λέγει. λέγει μὲν οὖν περὶ ἀποδείξεως καὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ προηγουμένως τε καὶ ἐπὶ πλέον ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς, νῦν δὲ ἐπὶ τοσοῦτον περὶ αὐτοῦ εἴρηκεν ἐφ' ὅσον αὐτῷ χρήσιμόν ἐστι πρὸς τὸ χωρίσαι τῶν ἄλλων συλλογισμῶν τὸν διαλεκτικόν. ἔστι δὲ συλλογισμὸς αἱ προτάσεις μετὰ τοῦ συμπεράσματος. id. p. 11.

100b 21. διαφέρει δὲ τὸ ἔνδοξον τοῦ ἀληθοῦς οὐ τῷ ψευδὲς εἶναι (ἔστι γάρ τινα ἔνδοξα καὶ ἀληθῆ) ἀλλὰ τῇ ἐπικρίσει. ἔστι γὰρ τῷ μὲν ἀληθεῖ ἀπὸ τοῦ πράγματος περὶ οὗ ἐστὶν ἡ ἐπίκρισις (ὅτε γὰρ τοῦτο αὐτῷ ὁμολογῇ, τότε ἐστὶν ἀληθές), τῷ δὲ ἐνδόξῳ οὐκ ἀπὸ τῶν πραγμάτων ἡ ἐπίκρισις, ἀλλ' ἀπὸ τῶν ἀκουόντων καὶ τῶν τούτων ὑπολήψεων ἃς ἔχουσι περὶ τῶν πραγμάτων. id. p. 12.

100b 23. εἴρηκε μὲν περὶ τῶν ἐριστικῶν ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις, ἔνθα ἦν καὶ προηγουμένως περὶ τῶν τοιούτων αὐτῷ ὁ λόγος, ὁρίζεται δὲ κἀνταῦθα ὁμοίως ὡς κἀκεῖ τὸν ἐριστικὸν συλλογισμόν. διττὸν δέ φησιν εἶναι τὸν τοιοῦτον συλλογισμόν, τὸν μὲν παρὰ τὴν ὕλην ἡμαρτημένον τὸ ἐριστικὸν ἔχοντα, οὐκέτι δὲ παρὰ τὸ σχῆμα... ἐπιπόλαιον δέ ἐστι τὸ ἐκ βραχείας ἐπιστάσεως ἐλεγχόμενον... ἔστι δέ τις ἐριστικὸς συλλογισμὸς ὁ κατὰ τὸ εἶδος ἡμαρτημένος· οὗτος δὲ οὐκέτι οὐδὲ συλλογισμὸς ἁπλῶς ἐστίν, ἀλλὰ τὸ ὅλον τοῦτο ἐριστικὸς συλλογισμὸς τοιοῦτος, οἷοί εἰσιν οἱ ἐν ἀσυλλογίστῳ συζυγίᾳ ἐρωτώμενοι λόγοι, οἷον... εἰ λάβοι τις τὰ νεκρὰ τῶν σωμάτων κινεῖσθαι καὶ ἀλλοιοῦσθαι, ἀλλὰ καὶ τὰ αἰσθανόμενα κινεῖσθαι, καὶ ἐκ τούτου οἴοιτο δεικνύναι ὅτι τὰ νεκρὰ τῶν σωμάτων αἰσθάνεται, ὡς ᾤετο Δημόκριτος. ὁ τοιοῦτος παραλογισμὸς γίνεσθαι μὲν δύναται καὶ ἐξ ἀληθῶν, ὥσπερ οὖν προειρήκαμεν. id. p. 12 et 13.

101a 5. παρὰ τοὺς προειρημένους φησὶ πάντας συλλογισμούς, τὸν ἀποδεικτικὸν ὃς ἐξ ἀληθῶν ἢ καὶ πρώτων, τὸν διαλεκτικὸν ὃς ἐξ ἐνδόξων, τὸν ἐριστικὸν ὃς ἐκ φαινομένων ἐνδόξων συλλογίζεται, ἄλλο φησὶν εἶδος εἶναι συλλογισμῶν· τὸν γὰρ καθ' ἑκάστην ἐπιστήμην ἐκ

μένους αὐταῖς· οἱ γὰρ πολλοὶ τοὺς τοιούτους τεθαυμάκασιν ὡς πλέον τῶν ἄλλων δυναμένους. ἀλλὰ καὶ διὰ τὸ δύνασθαι καὶ εὖ καὶ κακῶς αὐταῖς χρῆσθαι τοὺς ἔχοντας· διὰ τοῦτο γὰρ καὶ τῶν ἀγαθῶν τὰ ὀργανικὰ δυνάμεις καλεῖσθαι. ἀλλ' οὖν εἰ καὶ ταῦτα αὐταῖς παρακολουθεῖ, ἀλλὰ κυρίως εἰσὶ δυνάμεις διὰ τὸ ὁμοίως τὰ ἀντικείμενα δύνασθαι· οὐδὲ γὰρ μᾶλλον ὁ διαλεκτικός, καθὸ τοιοῦτος, τόδε ἢ τὸ ἀντικείμενον αὐτῷ συλλογίζεται, ὁμοίως δὲ καὶ ὁ ῥήτωρ... περὶ δὲ τῆς οὕτω λεγομένης διαλεκτικῆς Ἀριστοτέλης μὲν καὶ ἐν ἄλλοις βιβλίοις πεπραγμάτευται, μάλιστα δὲ ἐν τούτοις, ἃ ἐπιγράφεται Τοπικὰ ἀπὸ τοῦ τόπους τινὰς ἐν αὐτῇ παραδίδοσθαι ἀφ' ὧν ὁρμώμενοι δυνησόμεθα περὶ παντὸς τοῦ προτεθέντος δι' ἐνδόξων συλλογίζεσθαι, ὥς φησιν αὐτός. ἔστι γὰρ ὁ τόπος, ὡς λέγει Θεόφραστος, ἀρχή τις ἢ στοιχεῖον, ἀφ' οὗ λαμβάνομεν τὰς περὶ ἕκαστον ἀρχάς, ἐπιστήσαντες τὴν διάνοιαν, τῇ περιγραφῇ μὲν ὡρισμένως (ἢ γὰρ περιλαμβάνει τὰ κοινά τε καὶ καθόλου, ἅ ἐστι τὰ κύρια τῶν συλλογισμῶν, ἢ δύναταί γε ἐξ αὐτῶν τὰ τοιαῦτα δείκνυσθαί τε καὶ λαμβάνεσθαι), τοῖς δὲ καθ' ἕκαστα ἀορίστως· ἀπὸ τούτων γὰρ ὁρμώμενον ἔστιν εὐπορεῖν προτάσεως ἐνδόξου πρὸς τὸ προκείμενον· τοῦτο γὰρ ἡ ἀρχή (*). ἐξ ἐνδόξων δὴ εἴρηκε συλλογίζεσθαι ὅτι οὐχ οἷόν τε περὶ παντὸς τοῦ προτεθέντος ἐξ ἀληθῶν συλλογίζεσθαι, ὡς προείρηται. Alexander Aphrodis. p. 3-5.

100a 19. *προσκείμενον τὸ "περὶ παντός" χωρίζει πως τῆς ῥητορικῆς τὴν διαλεκτικήν· οὐ γὰρ ὁμοίως περὶ παντὸς προβλήματος ἡ ῥητορικὴ συλλογιστική· ὕλη γὰρ μᾶλλον τῷ ῥήτορι τὰ ἠθικά τε καὶ πολιτικὰ προβλήματα, ὡς προειρήκαμεν, ἃ δι' ἐνδόξων πειρᾶται καὶ αὐτὴ ἀποδεικνύναι. κοινότερον δὲ τὸ περὶ παντὸς εἶπε, καθόσον καὶ περὶ φυσικῶν καὶ περὶ ἠθικῶν καὶ περὶ λογικῶν προβλημάτων ὁ διαλεκτικὸς διαλαμβάνει.* id. p. 5.

100a 25. *"ἔστι δὲ συλλογισμὸς λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων συμβαίνει τῷ ταῦτα εἶναι. λέγω δὲ τῷ ταῦτα εἶναι, διὰ τὸ ταῦτα εἶναι." περὶ τοῦ ὅρου τοῦ συλλογισμοῦ καὶ τῶν πρὸς αὐτὸν ὑπό τινων προσαπορουμένων εἴρηται μὲν ἡμῖν καὶ ἐν τοῖς εἰς τὰ Πρότερα Ἀναλυτικὰ ὑπομνήμασιν· καὶ γὰρ προηγουμένως καὶ ὁ περὶ συλλογισμῶν λόγος ἐν ἐκείνοις, ἐν οἷς παραδίδωσιν ὁ Ἀριστοτέλης πᾶσαν τὴν συλλογιστικὴν μέθοδον· καὶ νῦν δὲ ὅσα πρὸς σαφήνειαν τοῦ ὅρου φέρει, τούτων μνημονεύσομεν. ἐν γένει μὲν οὖν τῷ λόγῳ τὸν συλλογισμὸν ἔθετο, ἐπεὶ ὁ λόγος κατηγορούμενος τοῦ συλλογισμοῦ συνωνύμως οὐ κατὰ τούτου μόνου κατηγορεῖται ἀλλὰ καὶ κατὰ ἄλλων κατ' εἶδος τοῦ συλλογισμοῦ διαφερόντων... διὰ μὲν τοῦ "τεθέντων" χωρίζει τὸν συλλογισμὸν τῶν ἄλλων λόγων ἐν οἷς οὐδὲν τίθεται, οἷός ἐστι καὶ ὁ διηγηματικός. σημαίνει δὲ αὐτῷ τὸ "τεθέντων" ληφθέντων τε καὶ συγχωρηθέντων, συγχωρηθέντων δὲ ἤτοι ὑπὸ τοῦ προσδιαλεγομένου, εἰ πρὸς ἄλλον ὁ συλλογισμὸς γίγνοιτο, ἢ ὑφ' ἑαυτοῦ, εἰ ἐφ' ἑαυτοῦ τις δεικνὺς συλλογίζοιτο... ὅτι δὲ καλῶς τῇ τεθέντων φωνῇ κέχρηται, δῆλον ἐκ τοῦ μὴ οἷόν τε αὐτὴν εἰς εὐδηλοτέραν μεταλαβεῖν. συγχωρῆσαι δὲ καὶ λαβεῖν οὐ πάντως καταφατικά· τίθεται γὰρ καὶ συγχωρεῖται οὐδὲν ἧττον τῶν καταφατικῶν καὶ τὰ ἀποφατικά, καὶ οὐ πάντως ὁ συλλογισμὸς καταφατικῶν πάντων δεῖται ὧν τιθεμένων. δύναται τὸ "τεθέντων" ἐμφαίνειν καὶ τὸ κατηγορικόν· τίθενται γὰρ κυρίως ταῦτα ἐν τῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν λαμβανόμενα· τὰ γὰρ ὑποθετικὰ οὐ τίθεται ἀλλ' ὑποτίθεται. δοκοῦσι γὰρ τῷ Ἀριστοτέλει ἁπλῶς καὶ κυρίως ἔχειν συλλογισμοί, ὡς ἐν τοῖς Προτέροις Ἀναλυτικοῖς δείκνυσιν, οἱ κατηγορικοί· εἰ δὲ ὑποθετικοὶ οὐχ ἁπλῶς εἰσὶ συλλογισμοί, ἀλλὰ μετὰ προσθήκης. οὕτως δ' ἂν εἴη τοῦ ἁπλῶς καὶ κυρίως συλλογισμοῦ τὸν λόγον ἀποδιδούς. "τεθέντων" δὲ εἶπεν ἀλλ' οὐ τεθέντος, ὥς τινες ἀξιοῦσιν αἰτιώμενοι τὸν λόγον, ὅτι μηδὲν συλλογιστικῶς δι' ἑνὸς τεθέντος δείκνυται ἀλλ' ἐκ δύο τὸ ἐλάχιστον. οὓς γὰρ οἱ περὶ Ἀντίπατρον μονολημμάτους συλλογισμοὺς λέγουσιν, οὐκ εἰσὶ συλλογισμοί, ἀλλ' ἐνδεῶς ἐρωτῶνται, ὡς οὗτοι "ἡμέρα ἐστί, φῶς ἄρα ἐστίν· ἀναπνεῖς, ζῇς ἄρα." διότι γὰρ ἡμέρας οὔσης φῶς ἐστίν, ἡμέρα δὲ ἔστι, διὰ τοῦτο φῶς ἐστί, συλλογιστικῶς δείκνυται· καὶ ὅτι ὁ ἀναπνέων ζῇ, σὺ δὲ ἀναπνεῖς, διὰ τοῦτο τὸ ζῆν συνάγεται, ἢ διότι πᾶς ὁ ἀναπνέων ζῇ, σὺ δὲ ἀναπνεῖς· ἀλλ' οὐχ ἁπλῶς διὰ τοῦ ἡμέρα ἐστὶ τὸ φῶς ἐστίν, ἀλλ' οὐδὲ διὰ τοῦ ἀναπνεῖς τὸ ζῇς. ἐφ' ὧν οὖν μή ἐστι τὸ συνημμένον γνώριμον, οὐκ ἀρκεῖ πρὸς τὸ συμπέρασμα ληφθεῖσα μόνη ἡ πρόσληψις. τῷ γοῦν κίνησίς ἐστιν οὐ δοκεῖ ἕπεσθαι τὸ οὐκ ἔστι κενόν, καίτοι καὶ τοῦτο δέδεικται ὑπὸ Ἀριστοτέλους ἀληθὲς ὄν. τῷ οὖν γνωρίμῳ τοῦ συνημμένου καὶ ἐναργεῖ χρώμενοι, ἢ τῷ τῆς καθόλου προτάσεως φανερῷ, ἡγοῦνται δι' ἑνὸς τεθέντος συλλογίζεσθαί τι. σημεῖον δὲ τούτου φανερώτατον τὸ μὴ γίνεσθαι παρέλκοντα τὸν λόγον τὸν μετὰ τοῦ συνημμένου λαμβανόμενον, τὸν εἰ ἡμέρα ἐστί, φῶς ἐστίν, ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί· καίτοι εἰ διὰ τοῦ ἡμέρα ἐστί τὸ φῶς δείκνυται, παρέλκον γίνεται τὸ συνημμένον· τὸ γὰρ τοῖς συλλογιστικῶς δεικνύουσιν ἔξωθεν προστιθέμενον πρὸς τὴν τοῦ αὐτοῦ δεῖξιν παρέλκον. οὐκ ὂν δὲ παρέλκον ἐν τούτῳ τῷ λόγῳ δείκνυσιν ὅτι ἐν ἐκείνῳ λείπει, ἢ ἐνδεὴς ὁ λόγος καὶ ὁ συλλογισμός. οὐ γὰρ πάντως εἴ τι ἕπεταί τινι ἐξ ἀνάγκης, ἤδη καὶ συλλογιστικῶς ἕπεται· οὐ γὰρ ἐπεὶ τὸ συλλογιστικῶς ἑπόμενον ἐξ ἀνάγκης ἕπεται, ἤδη καὶ ὅτι ἐξ ἀνάγκης ἕπεταί τινι, συλλογιστικῶς ἕπεται· οὐ γὰρ ἀντιστρέφεται· ἐπὶ πλέον γὰρ τὸ ἀναγκαῖον τῆς ἐν συλλογισμοῖς ἀνάγκης. τοιοῦτοι δέ εἰσι καὶ οἱ ῥητορικοὶ συλλογισμοί, οὓς ἐνθυμήματα λέγομεν... οὐδὲ συλλογισμὸς οὖν ἔτι εἴη ἂν ὁ μὴ τὴν χρείαν σῴζων τὴν τοῦ συλλογισμοῦ· τοιοῦτος δὲ ὁ λόγος ἐν ᾧ τὸ αὐτὸ συμπέρασμά τινι τῶν κειμένων, οἷοί εἰσι κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς οἱ διφορούμενοί τε καὶ οἱ διαφόρως περαίνειν ὑπ' αὐτῶν λεγόμενοι. διφορούμενοι μὲν γάρ εἰσι κατ' αὐτοὺς οἱ τοιοῦτοι "εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν," διαφόρως δὲ περαίνοντες ἐν οἷς τὸ συμπέρασμα ταὐτόν ἐστιν ἑνὶ τῶν λημμάτων, ὡς ἐπὶ τῶν τοιούτων "ἤτοι ἡμέρα ἐστὶν ἢ φῶς ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν." εἰ δή τις λέγοι καὶ τοὺς τοιούτους λόγους συλλογισμούς, ὁμωνύμως ἂν λέγοι· πῶς γὰρ οὐκ ἄτοπον τὸ ἤδη κειμε-*

(*) post *ἀρχή* codices Regii 1874 et 1917: *ἀξιοῦσι δέ τινες τὸ πρῶτον βιβλίον μὴ Τοπικὰ ἀλλὰ πρὸ τῶν Τόπων ἐγγράφεσθαι.*

ἀλλ' ἑτέρα δύναμίς ἐστιν ἢ τῆς αἰσθήσεως περὶ τὸ κατὰ μέρος ἐνεργούσης τὸ ἓν ἐκ πολλῶν καὶ τὸ ἀδιάφορον ἐκ διαφόρων καὶ ταὐτὸν ἐξ ἑτέρων συνάγει, οἷον τὸν ἄνθρωπον ἐκ Καλλίου καὶ Ἀρίστωνος καὶ τὸ ζῷον ἐξ ἀνθρώπου καὶ λέοντος καὶ τὴν οὐσίαν ἐκ φυτοῦ καὶ ζώου· ἄνεισι γὰρ μέχρις ἂν εἰς ἓν παντελῶς τὰ πολλὰ ἀναγάγῃ τε καὶ συνδήσηται. ὥστε ἐπαγωγῇ ὁ τρόπος ἔοικε τῆς συστάσεως τοῦ καθόλου καὶ τῆς γνώσεως, καθὸ λέγεται ἐπαγωγὴ πᾶς ὁ ἐκ τῶν κατὰ μέρος τὸ καθόλου κεφαλαιούμενος λόγος. ἤδη δὲ τοῦ τοιούτου λόγου τὰ μὲν λήμματα θήσουσιν αἱ αἰσθήσεις (ἀρχαὶ γὰρ αὗται καὶ αἰτίαι τῶν κατὰ μέρος ὑπολήψεων), τὴν δὲ καθόλου ἐπιφορὰν ὁ νοῦς ποιήσεται· τούτου γὰρ ἔργον ἤδη τὰ πολλὰ ἑνοῦν καὶ περαίνειν τὰ ἄπειρα, ὅπερ φησὶ Πλάτων πέρατι συνδῆσαι· καὶ γὰρ διαιρετικὸς καὶ συνθετικὸς καὶ μεταβατικὸς καὶ ἄλλως πολυτρόπως εὐκινητότατος. Themist. f. 14 b.

πρῶτα λέγει τὰς ἀρχὰς ἤγουν τὰς ἀμέσους προτάσεις, αἵ- 100 b 4
τινες γνωρίζονται καὶ συνάγονται τῇ ψυχῇ ἐξ ἀπαγωγῆς. ὡς γὰρ ἐν τῇ ἀπαγωγῇ γινώσκομεν τὸ καθόλου διὰ τῶν μερικῶν, οὕτω καὶ ὁ νοῦς ἐπισυνάγει τὸ καθόλου ἢ τὰς ἀμέσους προτάσεις ἢ καὶ τοὺς ὁρισμούς. Ioh. Phil. f. 100 b.

εἰ μηδεμία τῆς λογικῆς ψυχῆς καθ' ἃς ἀληθεύομεν ἐστὶν ἀλη- 100 b 15.
θέστερον ἀλλ' ἢ ὁ νοῦς μόνος, νοῦς ἄρα εἴη ἀρχὴ τῆς ἐπιστήμης καὶ τῆς γνώσεως τῶν ἀρχῶν, καὶ ἡ ἀρχὴ τῆς γνώσεως τῆς ἀρχῆς ἤγουν τῶν ἀμέσων προτάσεων. ἡ δὲ πᾶσα ἐπιστήμη ἡ δι' ἀποδείξεως γινώσκει τὰ πράγματα ἐπιστητά, ἤγουν ὡς ὁ νοῦς γινώσκει τὰς ἀρχὰς τῆς ἀποδείξεως, γινώσκει τὰ ἐπιστητὰ πράγματα καὶ ἀποδεικτά. id. f. 101.

νοῦς οὖν ἀρχὴ ἐπιστήμης. καὶ ἡ μὲν ἀρχὴ τῶν ἀρχῶν γνῶσις, ἡ δὲ πᾶσα ἐπιστήμη τοῦ παντὸς ἐπιστητοῦ· ὡς γὰρ ἀρχὴ πρὸς τὴν ἀρχήν, οὕτως ἡ πᾶσα πρὸς πᾶσαν. Themist. f. 15.

ΕΙΣ ΤΑ ΤΟΠΙΚΑ.

Τὴν μὲν πρόθεσιν τὴν κατὰ τὴν Τοπικὴν πραγματείαν, καὶ πρὸς πόσα τε καὶ τίνα χρήσιμός ἐστι τῷ φιλοσόφῳ ἥδε ἡ μέθοδος, καὶ τί τὸ τέλος αὐτῆς, αὐτὸς λέγει, τὸ μὲν ἀρχόμενος εὐθὺς τὸ δὲ ὀλίγον προελθών, δι' ὧν γνώριμον ποιεῖται ὅτι καὶ τοῖς προηγουμένως φιλοσοφοῦσιν ἀξία σπουδῆς ἡ διαλεκτικὴ πρὸς τὴν εὕρεσιν τῆς ἀληθείας αὐτῆς συντελοῦσα, ὃ τέλος ἐστὶ τῆς φιλοσόφου θεωρίας. ἡμᾶς δὲ καλῶς ἔχει προειδέναι ὅτι τὸ τῆς διαλεκτικῆς ὄνομα οὐκ ἐπὶ ταὐτὸν σημαινόμενον πάντες οἱ φιλόσοφοι φέρουσιν, ἀλλ' οἱ μὲν ἀπὸ τῆς Στοᾶς ὁριζόμενοι τὴν διαλεκτικὴν ἐπιστήμην τοῦ εὖ λέγειν ὁρίζονται, τὸ δὲ εὖ λέγειν ἐν τῷ τἀληθῆ καὶ προσήκοντα λέγειν εἶναι τιθέμενοι, τοῦτο δὲ ἴδιον ἡγούμενοι τοῦ φιλοσόφου κατὰ τῆς τελεωτάτης φιλοσοφίας φέρουσιν αὐτό, καὶ διὰ τοῦτο μόνος ὁ φιλόσοφος κατ' αὐτοὺς διαλεκτικός. Πλάτων δὲ τὴν διαιρετικὴν μέθοδον ἐξυμνῶν καὶ θριγκὸν αὐτὴν φιλοσοφίας λέγων, ταύτης δὲ θέμενος ἔργον εἶναι τὸ δύνασθαι τό τε ἓν πολλὰ ποιεῖν καὶ τὰ πολλὰ εἰς ἓν συνάγειν, ὅπερ ἂν εἴη ἴσον τῷ τὰ γένη δύνασθαι διαιρεῖν εἰς εἴδη καὶ εἰς τὰ ὑπὸ ταῦτα καὶ πάλιν τὰ ἄτομα συντιθέναι τε καὶ εἰς ἓν γένος ἀνάγειν τε καὶ συγκεφαλαιοῦσθαι, τὴν αὐτὴν ταύτην καὶ διαλεκτικὴν καλεῖ. Ἀριστοτέλης δὲ καὶ οἱ ἀπ' αὐτοῦ οὐ ταῦτα περὶ τῆς διαλεκτικῆς φέρουσιν, ἀλλὰ τίθενται μὲν αὐτὴν μέθοδόν τινα εἶναι συλλογιστικήν, ἡγούμενοι δὲ τὸν συλλογισμόν, καθὸ συλλογισμός ἐστι, μηδὲν ἄλλον ἄλλου διαφέρειν, εἶναι δὲ αὐτῶν τὴν διαφορὰν τὴν μὲν κατὰ τὰ εἴδη τῶν προτάσεων τὴν δὲ κατὰ τοὺς τρόπους καὶ τὰ σχήματα τὴν δὲ κατὰ τὴν ὕλην περὶ ἥν εἰσιν, ὧν ἡ μὲν πρώτη διαφορὰ ποιεῖ τῶν συλλογισμῶν τοὺς μὲν διαλεκτικούς, οὓς κατηγορικοὺς καλοῦμεν, τοὺς δὲ ὑποθετικούς, ἡ δὲ δευτέρα τοὺς μὲν τελείους τοὺς δὲ ἀτελεῖς, καὶ τοὺς μὲν ἐν πρώτῳ τοὺς δὲ ἐν δευτέρῳ τοὺς δὲ ἐν τρίτῳ σχήματι, ὡς ἐν τοῖς Προτέροις Ἀναλυτικοῖς δείκνυται... ἡ δὲ τρίτη ἡ κατὰ τὴν ὕλην τοὺς μὲν ποιεῖ ἀποδεικτικοὺς τοὺς δὲ διαλεκτικούς· ὡς γὰρ αἱ τέχναι καθὸ τέχναι μηδὲν ἀλλήλων διαφέρουσαι, παρὰ τὴν τῆς ὕλης περὶ ἥν εἰσι διαφορὰν καὶ τὸν τῆς χρήσεως τρόπον τὴν διαφορὰν λαμβάνουσιν ὡς εἶναι τὴν μὲν αὐτῶν τέχνην τεκτονικὴν τὴν δὲ οἰκοδομικὴν τὴν δὲ ἄλλην τινά, οὕτω καὶ οἱ συλλογισμοὶ ὁ μὲν ἐξ ἀληθῶν τε καὶ οἰκείων τῷ προκειμένῳ καὶ πρώτων τε καὶ γνωριμωτέρων δεικνὺς καὶ συνάγων τὸ προκείμενον συλλογισμὸς ἀποδεικτικὸς ὑπὸ τῶν ἀνδρῶν καλεῖται, καὶ ἀπόδειξιν λέγουσιν αὐτὴν τὴν μέθοδον τὴν διὰ τοιούτων συλλογιστικήν, τὸν δὲ δι' ἐνδόξων συλλογιζόμενον διαλεκτικόν, καὶ διαλεκτικὴν ἀκολούθως τὴν διὰ τοιούτων συλλογιστικήν, τὸν δὲ ἐκ φαινομένων ἐνδόξων σοφιστικόν, καὶ σοφιστικὴν τὴν τούτοις χρωμένην... καὶ εἰκότως ἡ τοιαύτη μέθοδος διαλεκτικὴ καλεῖται· ἡ γὰρ διαλεκτικὴ ἀπὸ τοῦ διαλέγεσθαι, τὸ δὲ διαλέγεσθαι ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει, ὁ δὲ ἐρωτῶν ἐρωτᾷ περὶ παντὸς τοῦ προβεβλημένου ὑπὸ τοῦ ἀποκρινομένου, δι' ὧν ἂν ἐκ τῆς ἐρωτήσεως παρ' αὐτοῦ πάντως λάβῃ συλλογιζόμενος, καθόσον μὲν περὶ παντὸς τοῦ προτεθέντος πειρᾶται συλλογίζεσθαι, οὐκ ἐξ ἀληθῶν ἔσται συλλογιζόμενος· οὔτε γὰρ πᾶν τὸ προτιθέμενον ἀληθές... διὸ οἱ ἐπ' ἄλλο τι σημαινόμενον μεταφέροντες αὐτὴν οὐκ οἰκείως καταχρῶνται τῷ τῆς διαλεκτικῆς ὀνόματι. τοιαύτην δὲ οὖσαν αὐτὴν εἰκότως καὶ ἀντίστροφόν φησιν ὁ Ἀριστοτέλης εἶναι τῇ ῥητορικῇ (Rhet. 1 1), ἐπειδὴ κἀκείνη περὶ τὰ πιθανά, ἃ τῷ ἔνδοξα εἶναι καὶ αὐτά ἐστι τοιαῦτα· τὸ γὰρ ἀντίστροφον ἀντὶ τοῦ ἰσόστροφόν τε καὶ περὶ τὰ αὐτὰ στρεφομένην καὶ καταγινομένην λέγει... ὁ δὲ διαλεκτικός τε καὶ ὁ ῥήτωρ ὁμοίως τὴν τῶν ἀντικειμένων δεῖξιν σκοπὸν ἔχουσι. διὸ καὶ δυνάμεις αὐτὰς καλοῦσι· τὸ γὰρ κυρίως δυνάμενόν τι τὰ ἀντικείμενα δύναται. λέγουσι μὲν γάρ τινες αὐτὰς δυνάμεις καλεῖσθαι διὰ τὸ ἐν δυνάμει τινὶ καὶ ὑπεροχῇ ποιεῖν τοὺς χρω-

λάβῃς ἕν τι εἶδος τῶν ὑπὸ τὸ μεῖζον ἀναγομένων, ἀπόδειξις οὐ γίνεται· οὐ γὰρ ἐξισάζει ὁ ἐλάττων τῷ μέσῳ ἢ τῷ μείζονι. id. f. 98 *b*.

τὸ μὲν "ἔχει δ' οὕτω τὸ παρακολουθεῖν" εἶπεν ἀντὶ τοῦ ἔχει δὲ οὕτω περὶ τοῦ παρακολουθεῖν. τῷ δὲ παρακολουθεῖν ἀντὶ τοῦ ἀντιστρέφειν κέχρηται. τὸ δὲ κατάλληλον τῆς λέξεως τοιοῦτον, ἔχει δὲ οὕτω τὸ παρακολουθεῖν ἀλλήλοις τὸ αἴτιον καὶ οὗ αἴτιον καὶ ᾧ αἴτιον. ἔστι δὲ τὸ μὲν ᾧ αἴτιον, τὸ ὑποκείμενον, τὸ δὲ οὗ αἴτιον, τὸ τούτῳ ὑπάρχον. λέγει δὲ ταῦτα περὶ τῶν ἐν ταῖς ἀποδείξεσιν αἰτίων. Anonym. f. 114.

99 a 24. ἀλλ' εἰ πάντα ληφθῶσιν ὁμοῦ τὰ ὑποπίπτοντα τῷ φυλλορροεῖν, ἐξισάζουσιν αὐτῷ. πρῶτον μὲν λέγει τὸ πήγνυσθαι τὸν ὀπόν, ὅπερ ἐστὶν ὅρος τοῦ φυλλορροεῖν. ἔστι οὖν τὸ πρῶτον μέσον ἐπὶ θάτερα τὰ ἄκρα. Ioh. Phil. f. 98 *b*.

99 b 29. σπέρμα λέγεται τὸ ἄκρον τοῦ ὀχάνου, καθ' ὃ συνάπτεται τῷ φύλλῳ. σπέρμα δὲ λέγεται τὸ ἄκρον διὰ τὸ ἐγκεῖσθαι ἐν αὐτῷ τὴν σπερματικὴν ἀρχὴν καὶ δύναμιν, ἐξ ἧς φύεται τὸ φύλλον. id. ib.

99 a 30. ἐπὶ δὲ τῶν πραγμάτων, φησίν, ἐδείξαμεν πῶς οἱ ὅροι ἐν ταῖς ἀποδείξεσιν ἀκολουθοῦσιν ἀλλήλοις· δείξομεν δὲ καὶ ἐπὶ σχημάτων στοιχεῖα. id. ib.

99 a 35. ἅπαντα δὲ ὁμοῦ συλληφθέντα τὰ πλατύφυλλα ἐξισάζουσι τῷ πήγνυσθαι τὸν ὀπόν, καὶ ἀντιστρέφουσι καὶ παρεκτείνουσιν ἤγουν συνεξισάζουσι, id. f. 99.

ἐκεῖνο δέ, φησίν, ἐστὶ πρῶτον καθόλου, ἤτοι προσεχὲς καὶ ἀμέσως οὗ κατηγορεῖται κατηγορούμενον, πρὸς ὃ ἕκαστον μὲν τῶν ὑπὸ τὸ ὑποκείμενον εἰδῶν μὴ ἀντιστρέφει, ἅπαντα δὲ ὁμοῦ ληφθέντα καὶ ἀντιστρέφει καὶ συνεπεκτείνεται ἤτοι ἐξισοῦται· τοῦτο γάρ ἐστι τὸ παρεκτείνειν. Eustrat. f. 62.

99 a 37. εἰ γὰρ μή ἐστιν ἐπὶ πλέον αὐτοῦ, τί μᾶλλον; ἤγουν οὐδὲν μᾶλλον τοῦτο τὸ β' ἔσται αἴτιον ἐκείνου τοῦ α'· δύναται γὰρ τὸ α' γενέσθαι αἴτιον τοῦ β'· τὰ γὰρ ἐξισάζοντα ἀλλήλων αἴτια γίνονται. εἰ οὖν τὸ α' ἐπὶ πλέον ὑπάρχει τοῦ β', ὑπάρξει ἄρα πᾶσι τοῖς ε', καθ' ὧν τὸ β' οὐ λέγεται. Ioh. Phil. f. 99.

99 b 3. ἀντὶ τοῦ εἰπεῖν τι αἴτιον εἶπε "τι ἕν." id. ib.

10. τὸ δὲ "τοῖς καθ' ἕκαστον" λέγοι ἂν ἀντὶ τοῦ τὸ πρῶτον καθόλου ὑπάρχει τοῖς καθ' ἕκαστον. φησὶ δ' ὅτι τὸ ἐγγύτατον ἑκάστῳ αἴτιον, τοῦτο καθόλου αὐτῷ ὑπάρχει, καὶ προστίθησι τὴν αἰτίαν. Anonym. f. 115.

99 b 15. τὸ ἀποδεικτικὸν τῇ ἐπιστήμῃ προσέθηκεν, ἐπεὶ κοινότερον ἐπιστήμη καὶ κατ' ἄλλων κατηγορεῖται. οὐκέτι δὲ τῆς ὁριστικῆς πραγματείας, περὶ ἧς καὶ αὐτῆς ἐν τούτῳ τὸν λόγον πεποίηται, ἐμνημόνευσεν ἰδίᾳ, ἐπεὶ καὶ αὕτη πρὸς τὴν τῶν ἀποδείξεων γένεσίν τε καὶ σύστασιν συντελεῖ. περὶ γὰρ ὁρισμῶν προηγουμένως ἐν τῷ ζ' τῆς Μετὰ τὰ Φυσικὰ λέγει. id. ib.

100 a 6. ἐπεὶ δὲ τὸ καθόλου τριττόν ἐστι, ἢ τὸ πρὸ τῶν πολλῶν, ὅπερ εἰσὶν αἱ ἰδέαι αἱ παρὰ τῷ Πλάτωνι, καὶ τὸ ἐπὶ τοῖς πολλοῖς καὶ ἐν τοῖς πολλοῖς, ἐφερμηνεύων ποῖον σημαινόμενον τοῦ καθόλου ἐκ τῆς ἐμπειρίας ἐνεπάγη τῇ ψυχῇ καὶ ἑδραιοῦται, ἐπάγει ὡς καθόλου φησὶ τὸ ἓν ὃ ἕτερον μέν ἐστι παρὰ τὰ πολλὰ ἤγουν τὰ μερικά... "ἢ ἐκ παντὸς ἠρεμήσαντος τοῦ καθόλου." ἤγουν τὸ ἢ ἀντὶ τοῦ καί ληπτέον. Ioh. Phil. f. 100.

ὡς οὖν ἐπὶ τῆς μάχης διαφθαρείσης συνέβη πάλιν συστῆσαι ταύτην ἐκ τοῦ ἐπισυναχθῆναι τὸν καθ' ἕνα τῶν φυγόντων, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς γέγονεν. τῶν γὰρ ἀλόγων δυνάμεων τῆς ψυχῆς, θυμοῦ λέγω καὶ ἐπιθυμίας, ἐπικρατησάντων τῆς λογικῆς ψυχῆς, συνέβη φθαρῆναι τὴν τοῦ καθόλου γνῶσιν τὴν ἐν αὐτῇ οὖσαν: εἶτα ἐκ τῆς αἰσθήσεως ἑνὸς αἰσθήματος ἐντυπωθέντος ἐν τῇ φαντασίᾳ, καὶ αὖθις ἑτέρου τοιούτου, καὶ οὕτω πολλῶν αἰσθημάτων ἐπισυναχθέντων, μνῆμαι πολλαὶ γίνονται, ἐκ δὲ τῶν μνημῶν ἐμπειρία μία, ἐκ δὲ τῆς ἐμπειρίας, ὃ ἐπάγεται αὖθις τῇ ψυχῇ, ἡ τοῦ καθόλου γνῶσις. Ioh. Phil. f. 100 *b*. 100 a 12.

τὸ δ' "ἕως ἐπ' ἀρχὴν ἦλθεν" ἤτοι ἐπὶ τῶν ἐν τῇ ψυχῇ νοουμένων τε καὶ ἀθροιζομένων εἶπεν (ἡ γὰρ ἐπὶ τοῖς αἰσθητοῖς καθόλου σύνθεσίς τε καὶ στάσις, καὶ ἡ ἐπὶ τοῖς πρώτοις καθόλου λῆψις τῆς ἀρχῆς καὶ τοῦ πρώτου κοινὴ λῆψις) ἢ ἀρχὴν καὶ ἐν τῷ στρατοπέδῳ εἶπεν τὸν ἀριθμὸν καὶ τὴν στάσιν τε καὶ παράταξιν τοῦ παντὸς στρατοπέδου. λέγει δ' ἐπιτηδειότητα καὶ δύναμιν τὴν ψυχὴν ἔχειν τοῦ δύνασθαι φυλάττειν τὰ ἀπὸ τῶν αἰσθητῶν πάθη. Anonym. f. 115 *b*.

οἷον ἐν μάχῃ τροπῆς γενομένης εἷς ἔστη καὶ πάλιν ἕτερος ἔστη καὶ πάλιν ἄλλος καὶ ἤδη τοσοῦτοι ὥστε παράταξιν καὶ ἀρχὴν αὖθις μάχης γενέσθαι· οὕτω μείναντος ἐν τῇ ψυχῇ τύπου συνηρμόσθη καὶ ἄλλος καὶ αὖθις ἄλλος καὶ τοσοῦτοι ἤδη τὸ πλῆθος ὡς ἰσχυρὸν τὸ καθόλου γενέσθαι. ἡ ψυχὴ οὖν αἰτία τοιαύτην ἔχουσα φύσιν ὥστε τῶν αἰσθητῶν παραρρεόντων ἐπιλαμβάνεσθαι τῶν ὁμοίων τύπων καὶ ἐναποτίθεσθαι τῇ μνήμῃ συνάγουσαν τὸ καθόλου τὸ ἐν τοῖς καθ' ἕκαστον ὅμοιον, οὗ καὶ αὐτή πως ἡ αἴσθησις συνεφάπτεται. Themist. f. 14 *b*.

ἀδιάφορα λέγει καὶ τὰ κατ' εἶδος ὄντα ἀδιάφορα καὶ ὅμοια, ὡς ὁ Σωκράτης καὶ ὁ Πλάτων· ζῷα γὰρ ἄμφω. καὶ ὡς ἐπισυνάγεται τὸ εἶδος τὸ εἰδικώτατον ἐκ τῶν μερικῶν, οὕτως αὖθις τὸ γένος ἐκ τῶν εἰδῶν. καὶ διασαφεῖ πῶς τοῦτο γίνεται· ἡ αἴσθησις ἐνεργοῦσα ὡς μέρη τινὰ μερικὰ ἀδιάφορα κατ' εἶδος ἅπαξ τὸ ἓν τοῦτο αἴσθημα ἔστησεν ἐν τῇ φαντασίᾳ καὶ ἐνετύπωσεν, οὐ μόνον ἔχον ἀπόμορξιν ἰδιωμάτων καὶ συμβεβηκότων τινῶν, ἐξ ὧν τὰ μερικὰ συνίστανται καὶ γνωρίζονται, ἀλλὰ καὶ ἀπομάσσεταί τι τοῦ καθόλου. καθόλου δέ ἐστιν ἡ κοινότης, καθ' ἣν κοινωνοῦσιν πάντα τὰ μερικά. Ioh. Phil. f. 100 *b*. 100 a 15.

λέγει τὴν αἴσθησιν αἰσθάνεσθαι μὲν ὧν ἂν αἰσθάνηται καὶ ἐπὶ τῶν καθ' ἕκαστον (τῶν γὰρ ἐν τοῖς καθ' ἕκαστα καὶ ἀτόμοις ἡ αἴσθησις αἰσθητική), ἡ δ' ἀντίληψις αὐτῆς τὸ καθόλου γίνεται. ὃ βουλόμενος δεῖξαι πῶς εἴρηται; παραδείγματι ἐχρήσατο τῷ ἀνθρώπῳ καὶ τῷ Καλλίᾳ. Anonym. f. 115 *b*. 100 a 17.

ὥστε τρόπον τινὰ καὶ αἴσθησις τοῦ καθόλου, ἀλλ' οὐχ οὕτως ὥστε αὐτὸ χωρίσαι καὶ ἀφελεῖν καὶ καθ' ἑαυτὸ γνῶναι, ἀλλὰ συγκεχυμένον τε τῷ καθ' ἕκαστον καὶ μᾶλλον εἰς ἐκεῖνα ἀποτετραμμένον. 100 b 1.

εἶδόν τέ τι ἐκ τοῦ μὴ ὄντος γενέσθαι ἢ οὔ; οὐδεὶς γὰρ ἂν προτείνειεν νοῦν ἔχων τὸ μηδενὶ δοκοῦν· ἡ γὰρ ἔνδοξος ἐρώτησις διαλεκτικὴ πρότασίς ἐστιν. εἰπὼν δὲ τοῦτο, τίνα ἐστὶ τὰ ἔνδοξα, πάλιν ὑπομιμνήσκων ἡμᾶς προστίθησιν. id. p. 38.

104a 11. ἐνταῦθα ἔνδοξον μᾶλλον τὸ τοῖς πολλοῖς δοκοῦν, ἐπεὶ ὅτι γε μή ἐστιν ἡ ὑγίεια ἀγαθόν, σοφῶν τινῶν ἐστὶ δόξα, ἀλλ' οὐδεὶς ἂν τοῦτο ἔνδοξον εἴποι· μάχεται γὰρ ταῖς πάντων προλήψεσιν. ἀλλὰ καὶ ὅτι τὸ ὂν ἀκίνητόν τε καὶ ἕν, Παρμενίδου γάρ, καὶ ὅτι τὰ ἐναντία ταυτά, Ἡρακλείτου γάρ, καὶ ὅτι οὐκ ἔστιν ἀντιλέγειν, Ἀντισθένους γάρ, προτάσεις μὲν οὖν οὐκ εἰσὶ τὰ τοιαῦτα, θέσεις δέ, ὡς προϊὼν ἐρεῖ. id. p. 39.

104a 16. χρὴ τῶν παραδειγμάτων μὴ ἀκριβολογουμένους ἀκούειν, ἐπεὶ δόξει γε ἐναργέστερόν τε καὶ ἐνδοξότερον εἶναι τὸ τὴν αἴσθησιν τῶν ἐναντίων εἶναι ἢ τὴν ἐπιστήμην. πάλιν εἰ ἔνδοξον τὸ μίαν ἀριθμῷ τὴν γραμματικὴν εἶναι, ἔνδοξον ἂν φανείη καὶ τὸ τὴν αὐλητικὴν μίαν τῷ ἀριθμῷ εἶναι· καὶ εἰ πλείους γραμματικὰς εἶναι ἔνδοξον, καὶ τὸ αὐλητικὰς πλείους εἶναι ἔνδοξον ἔσται· ὅμοια γὰρ καὶ τοῦ αὐτοῦ λόγου ἡντινοῦν τέχνην εἶναι ἢ ἀριθμῷ μίαν ἢ εἴδει· συγγενῆ γὰρ τὰ τοιαῦτα καὶ ὑπὸ ταυτὸ γένος, καὶ ὥσπερ τὸ πρῶτον παράδειγμα τῇ ἀναλογίᾳ ὅμοιον, οὕτως τοῦτο τῷ γένει· διὸ εἶπε συγγενῆ. εἴη δ' ἂν τὸ μίαν τῷ ἀριθμῷ γραμματικὴν ἢ πλείους τοιοῦτον· εἰ λέγοι τις τὴν Ἀριστάρχου γραμματικὴν καὶ ὅλως ἑκάστην τῶν ἐν τῷ ἀτόμῳ μίαν κατ' ἀριθμὸν εἶναι, ὅτι καὶ τὸ ὑποκείμενον αὐτῇ τοιοῦτον, ἢ εἰ πάλιν λέγοι τις μίαν εἶναι τῷ εἴδει αὐτὴν τῷ ταῖς ἐνεργείαις συνδιαιρεῖσθαι αὐτήν, τὰς δὲ ἐνεργείας πλείους κατ' ἀριθμὸν εἶναι. id. ib.

104a 25. ἔστι τὸ "ἐν παραβολῇ" τὸ ἐν παραθέσει... καὶ γὰρ εἰ καθ' αὑτὸ ῥηθὲν τὸ δεῖν τοὺς ἐχθροὺς κακῶς ποιεῖν μὴ ἔνδοξον, ἀλλὰ ἔνδοξον αὐτὸ φαίνεσθαι ποιεῖ παρατεθὲν τὸ δεῖν τοὺς φίλους εὖ ποιεῖν· τοῦτο γὰρ σημαίνει τὸ ἐν παραβολῇ. id. p. 40.

104a 30. τὸ τῷ ἐνδόξῳ ἐναντίον οὐχ οἷόν τε ἔνδοξον εἶναι. φανείη μὲν οὖν ἄν τισι, φησί, καὶ ταῦτα ἐναντία εἶναι· πότερον δὲ ἔχει οὕτως ἢ οὔ, ὑπερτίθεται σαφῆ ποιῆσαι εἰς τὸν περὶ τῶν ἐναντίων λόγον. ἐρεῖ δὲ περὶ αὐτῶν ἐν τῷ δευτέρῳ· εἴρηκε δὲ περὶ τούτου καὶ ἐν τῷ περὶ Ἑρμηνείας ἐπὶ τέλει. id. ib.

104a 33. δῆλον, φησίν, ὅτι καὶ ὅσαι κατὰ τὰς τέχνας εἰσὶν εὑρημέναι δόξαι ὑπὸ τῶν ἐπιστημόνων τε καὶ τεχνιτῶν, καὶ αὗται διαλεκτικαὶ προτάσεις εἰσί, τουτέστιν ἔνδοξοι. καὶ διὰ τί δῆλον, προστίθησι. id. ib.

104b 1. φησὶ δεῖν τὸ διαλεκτικὸν πρόβλημα εἶναι θεώρημα, λέγων θεώρημα ἀντὶ τοῦ ζήτημα· καὶ γὰρ τὸ θεωρεῖν ἀντὶ τοῦ ζητεῖν ἔθος αὐτοῖς λέγειν... εἴη δ' ἂν τὸ θεώρημα λόγος γνώσεώς τινος τῶν προειρημένων αἴτιος, ἀπὸ τοῦ θεωρίας καὶ γνώσεως αἴτιον ἡμῖν εἶναι ὠνομασμένον θεώρημα. καὶ ἔστι πᾶν μὲν πρόβλημα διαλεκτικὸν θεώρημα ἢ ἠθικὸν ἢ φυσικὸν ἢ λογικόν· τούτων γὰρ δηλωτικὰ τὰ προειρημένα... ὅσα δὲ μήτε ὡς πρακτικὰ ζητεῖται μήτε τέλος ἔχει τὴν γνῶσιν τῆς ἐν αὐτοῖς ἀληθείας, ἀλλ' ὡς συνεργὰ ἢ πρὸς τὴν τῶν αἱρετῶν τε καὶ μὴ γνῶσιν ἢ πρὸς τὴν τῶν ἀληθῶν τε καὶ ψευδῶν εὕρεσιν ζητεῖται, ταῦτα προβλήματα λογικά· ἡ γὰρ λογικὴ πραγματεία ὀργάνου χώραν ἔχει ἐν φιλοσοφίᾳ... σαφῶς δὲ καὶ ἐνταῦθα τὴν λογικὴν πραγματείαν ὄργανον εἶναι λέγει διὰ τὸ συνεργεῖν αὐτὴν πρὸς τὴν τῶν πρώτων ῥηθέντων εὕρεσίν τε καὶ γνῶσιν, ἀξίαν εἶναι τοῦ ζητεῖσθαι λέγων. id. p. 40 et 41.

104b 12. δύναται τὸ "ἔστι δὲ προβλήματα καὶ ὧν εἰσὶν ἐναντίοι συλλογισμοί" εἰρῆσθαι οὐχ ὡς προστιθέντος αὐτοῦ ἄλλα τινὰ προβλημάτων εἴδη, ἀλλ' ὡς περὶ τῶν προειρημένων λέγοντος. ἐν ἴσῳ δὲ τῷ ἔστι καὶ ταῦτα κἀκεῖνα προβλήματα ἐναντία. id. p. 43.

104b 23. διὸ δεῖ καὶ τὸν προστάτην τῆς δόξης τὸν συστάντα τὴν θέσιν προσκεῖσθαι τῷ τοιούτῳ προβλήματι, οἷον πότερον πάντα συνεχῶς ῥεῖ καὶ ἀεὶ γίνεται, οὐδέποτε δὲ οὐδέν ἐστι καθ' Ἡράκλειτον, ἢ οὔ, καὶ πότερόν ἐστιν ἓν καὶ ἀκίνητον τὸ ὄν, ὡς Παρμενίδῃ δοκεῖ, ἢ οὔ, καὶ πότερον κίνησίς ἐστιν ἢ οὔ, ὡς δοκεῖ Ζήνωνι, καὶ πότερον ἡ ὑγίεια ἀγαθὸν ἢ οὔ, ὡς Χρύσιππος λέγει, καὶ πότερον ἔστιν ἀντιλέγειν ἢ οὔ, ὡς Ἀντισθένει δοκεῖ. ἀναιρῶν γὰρ Ἀντισθένης τὸ εἶναι ἀντιλέγειν, ἔλεγε δεῖν μὲν τοὺς περί τινος λέγοντας ἐκεῖνο λέγειν καὶ σημαίνειν δι' ὧν λέγουσι τὸ περὶ οὗ λέγουσιν, ἀλλὰ καὶ τοὺς ἀντιλέγοντας ἀλλήλοις περὶ τοῦ αὐτοῦ ὀφείλειν λέγειν. ταῦτα προλαμβάνων ἔλεγεν, οἱ ἀντιλέγειν δοκοῦντες ἀλλήλοις περί τινος ἤτοι ἀμφότεροι λέγοντες τὸν τοῦ πράγματος λόγον ἀντιλέγουσιν ἢ οὐδέτερος ἢ ὁ μὲν λέγων ὁ δὲ οὐ λέγων. ἀλλ' οὔτε εἰ ἀμφότεροι λέγοιεν τὸν τοῦ πράγματος λόγον, ἀντιλέγοιεν ἄν, ταὐτὰ γὰρ ἂν λέγοιεν· εἴτε μηδέτερος τὸν τοῦ πράγματος λέγοι λόγον, οὐδὲ τὴν ἀρχὴν ἂν λέγοιεν περὶ τούτου, οἱ δὲ μὴ λέγοντες περὶ αὐτοῦ τούτου οὐδ' ἂν ἀντιλέγοιεν περὶ αὐτοῦ. εἰ δ' ὁ μὲν λέγοι ὁ δὲ μή, οὐδ' οὕτως ἂν ἀντιλέγοιεν· ὁ γὰρ μὴ λέγων τὸν τοῦ πράγματος λόγον οὐδ' ὅλως ἄν τι λέγοι περὶ αὐτοῦ, ἀλλὰ περὶ ἐκείνου ὃ σημαίνει δι' ὧν λέγει· οὕτως δὲ οὐδ' ἂν ἀντιλέγοι περὶ αὐτοῦ. τούτων δὲ οὕτως ἐχόντων οὐδ' ἂν ἀντιλέγειν εἴη. ψεῦδος δὲ λαμβάνει τὸ τοὺς μὴ λέγοντας τὸν τοῦ πράγματος λόγον ἢ τὸν μὴ λέγοντα μηδ' ὅλως ἀντιλέγειν περὶ αὐτοῦ. id. ib.

104b 33. "ἢ ὁποτερουσοῦν ἑαυτοῖς." οἱ γὰρ τὸν λόγον καὶ οἱ τὸν συλλογισμὸν λέγοντες ἢ σοφοὶ ὄντες πρὸς σοφοὺς ἂν μάχοιντο ἢ πρὸς τοὺς πολλούς, ἢ τῶν πολλῶν ὄντες μάχονται ταῖς δόξαις ταῖς τε τῶν σοφῶν καὶ ταῖς τῶν πολλῶν· ὁ γὰρ τοιοῦτος συλλογισμὸς παράδοξος ὑπόληψίς ἐστι καὶ αὐτός. ἔστι μὲν οὖν καὶ ἡ θέσις πρόβλημα, οὐ μὴν ἀντιστρέφει. id. p. 44.

104b 35. ἤδη δέ τινες θέσεις καὶ τὰ ῥητορικὰ καλοῦσι προβλήματα, ἐφ' ὧν τὸ τῆς ὑποθέσεως ὄνομα συνηθέστερον τῷ δοκεῖν τὰ τοιαῦτα ἐπὶ ὑποκειμένοις τισὶ καὶ ὡρισμένοις συνίστασθαι· κοινότερα γὰρ τὰ διαλεκτικὰ καὶ καθολικώτερα. ὅτι δὲ θέσεις καλοῦσι καὶ ταῦτα οἱ αἰτοῦντες τὰς ὑποθέσεις λέγουσιν. id. p. 45.

104b 37. ὡς εἰώθασι ποιεῖν οἱ ἄλλο μὲν ἡδονὴν ἄλλο δὲ χαρὰν λέγοντες, καὶ ἄλλο μὲν αἱρετὸν ἄλλο δὲ ληπτόν. id. ib.

105a 3. λέγει ἂν νῦν ἐκ παραλλήλου τὸ πρόβλημα καὶ τὴν θέσιν. id. ib.

8. ἤτοι οὖν λέγει ὅτι τὰ τοιαῦτα μέρη τῶν προβλημάτων οὐ δεῖ ἐπισκοπεῖν, ἢ οὐδ' ὅλως τὰ τοιαῦτα προβλήματα διαλεκτικά· ὧν γὰρ ἀντιφάσεων τὸ ἕτερον μόριον οὐ λόγων ἀλλὰ κολάσεως δεῖται διὰ τὸ ἄδοξον εἶναι, τούτων οὐδὲ τὸ ἕτερον δεῖται λόγων διὰ τὸ ἐναργές τε καὶ ἔνδοξον. πρόβλημα γάρ ἐστι τὸ δεόμενον δείξεως·

103a 20. τὸ "διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα" ἐπὶ τοῦ ὕδατος εἶπεν ἀντὶ τοῦ διὰ τὸ τὸν αὐτὸν εἶναι λόγον τὸν καθὸ ὕδωρ· τοιαῦτα γὰρ τὰ ὁμοιοειδῆ. id. p. 33.

103a 26. ἐπεὶ κυριώτερον καὶ πρῶτον ὡς εἰπεῖν ὁρισμός, εἰκότως τῷ ὁρισμῷ ὑπέταξε τὰ περὶ ταὐτοῦ προβλήματα, ἀλλὰ οὐ τῷ ἰδίῳ. id. ib.

103a 29. ἓν οὖν λέγοι ἂν κατ' ἀριθμὸν σημαίνεσθαι ὑπό τε τοῦ ὁρισμοῦ καὶ τοῦ ἰδίου, οὐχ ὅτι ἓν κατ' ἀριθμὸν τὸ εἶδος ἢ τὸ γένος οὗ ὁ ὁρισμὸς ἢ τὸ ἴδιον, ἀλλ' ὅτι ἀπὸ τοῦ αὐτοῦ τῷ ἀριθμῷ ὑπὸ τὸ γένος ἢ τὸ εἶδος ὁμοίως ἐστὶν ἀμφότερα ἀληθῆ, καὶ οὐκ ἄλλο κατ' ἄλλου. τρίτον δέ φησιν ἀποδίδοσθαι τὸ ἓν κατ' ἀριθμὸν ἀπὸ τοῦ συμβεβηκότος. id. ib.

103b 2. εἰπὼν "ἐκ τούτων οἱ λόγοι," πῶς ἐκ τούτων ἐδήλωσεν ἐπενεγκὼν "καὶ διὰ τούτων καὶ πρὸς ταῦτα;" "διὰ τούτων" μὲν λέγων τῶν προτάσεων, "πρὸς ταῦτα" δὲ τὰ προβλήματα. id. p. 34.

103b 6. ἐπιζητήσαι δ' ἄν τις ὑπὸ τί γένος τῶν προβλημάτων ὑπαχθήσεται τὰ τοιαῦτα προβλήματα, διὰ τί ἡ λίθος ἡ Μαγνῆτις λεγομένη ἕλκει τὸν σίδηρον, καὶ τίς φύσις μαντικῶν ὑδάτων; δοκεῖ γὰρ μηδενὶ τῶν κειμένων ὑπάγεσθαι ταῦτα. ἢ οὐδὲ διαλεκτικὰ προβλήματα ταῦτα, περὶ δὲ τούτων ὁ λόγος καὶ τούτων αἱ διαιρέσεις... ἀλλὰ ἔστι τὰ οὕτω προβαλλόμενα φυσικὰ προβλήματα, ὡς ἐν τῷ περὶ Προβλημάτων εἴρηκεν· ὧν γὰρ φυσικῶν ὄντων τὰ αἴτια ἀγνοεῖται, ταῦτα φυσικὰ προβλήματα... καὶ εἴη ἂν τὰ διαλεκτικὰ προβλήματα πάντα ἀναγόμενα εἰς τὴν ζήτησιν τοῦ τε ὅτι ἔστι καὶ τοῦ εἰ ἔστιν, ἅ ἐστι δύο τῶν τεσσάρων ἃ εἶπεν ἀρχόμενος τοῦ δευτέρου τῶν Ὑστέρων Ἀναλυτικῶν· τὸ γὰρ διότι ἐστὶ καὶ τί ἐστιν οὐ διαλεκτικὰ προβλήματα. id. p. 34.

103b 23. τὸ "ἐν αἷς ὑπάρχουσιν αἱ ῥηθεῖσαι τέσσαρες" ἐλλιπῶς εἶπε· λείπει γὰρ τὸ διαφοραὶ τῶν προβλημάτων τε καὶ προτάσεων. id. p. 35.

103b 24. ἀντὶ δὲ τῆς οὐσίας τὸ τί ἐστιν ἔλαβε· κυρίως τε γὰρ ὂν ἡ οὐσία, καὶ κυρίως τὸ τί ἐστι καὶ ὁ ὁρισμὸς οὐσίας, εἰ καὶ πλεοναχῶς τὸ τί ἐστιν. τοῦ δὲ ἐν ταῖς δέκα κατηγορίαις εἶναι τὰ γένη τὰ προειρημένα τῶν τε προβλημάτων καὶ τῶν προτάσεων δεικτικὸν παρέθετο τὸ καὶ τὸ συμβεβηκὸς καὶ τὸ γένος καὶ τὸ ἴδιον καὶ τὸν ὁρισμὸν τούτων τι σημαίνειν· πᾶσαι γὰρ αἱ διὰ τούτων τῶν γενῶν προτάσεις (τοῦτο γὰρ τὸ τῆς λέξεως πλῆρες) ἢ οὐσίαν ἔχουσι τὸ κατηγορούμενον ἢ ποιότητα ἤ τινα τῶν ἄλλων κατηγοριῶν... τὸν μὲν οὖν ὁρισμὸν καὶ τὸ ὁριστικὸν πρόβλημα ἐν πάσαις ἐνδέχεται ταῖς κατηγορίαις εἶναι, ἐπεὶ οἷόν τε ὁρίσασθαί τινα τῶν ὑφ' ἑκάστην κατηγορίαν. ὁμοίως καὶ τὰ γένη καὶ τὰ γενικὰ προβλήματα. id. f. 36.

103b 37. ὅταν δὲ τὸ κατηγορούμενον μὴ τοῦ αὐτοῦ γένους ᾖ τῷ ὑποκειμένῳ ἀλλὰ περὶ ἄλλου λέγηται (τοῦτο γάρ ἐστι τὸ "ὅταν δὲ περὶ ἑτέρου"), ἐξ ἧς ἂν κατηγορίας ᾖ τὸ κατηγορούμενον, ἐξ ἐκείνης καὶ τὸ γένος τοῦ προβλήματος ἔσται. id. p. 37.

104a 1. εἰ δὲ τὰ προβλήματα καὶ τὰ γένη τῶν προβλημάτων ἐν ταῖς κατηγορίαις, δῆλον ὡς χρήσιμος ἡ περὶ τὰς κατηγορίας πραγματεία πρὸς διαλεκτικήν, εἴγε χρήσιμον τὸ εἰδέναι ἐν ποίῳ γένει τῶν ὄντων τὸ προκείμενον πρόβλημα... "ταῦτα καὶ τοσαῦτά ἐστι" λέγει τὰ προβλήματα καὶ τὰς προτάσεις. ταῦτα δὲ καὶ τοσαῦτα τῷ γένει δηλονότι. id. ib.

ζητήσαι δ' ἄν τις πῶς εἰπὼν ἴσα καὶ ταὐτά τά τε προβλή- 104a 8.
ματα καὶ τὰς προτάσεις, καὶ τῷ τρόπῳ μόνῳ τὴν διαφορὰν αὐτῶν εἶναι, νῦν ὑπεναντίον πώς φησιν εἶναι τὸ διαλεκτικὸν πρόβλημα καὶ τὴν διαλεκτικὴν πρότασιν τῷ τὸ μὲν ἀπορεῖσθαι τὴν δὲ γνώριμον εἶναι. ἢ οὐ τὰ διαλεκτικὰ προβλήματα ταῖς διαλεκτικαῖς προτάσεσιν ἴσα καὶ τὰ αὐτὰ εἶπεν, ἀλλὰ καθόλου τὰ προβλήματα καὶ τὰς προτάσεις τὰς ἐν τῇ τῆς ἀντιφάσεως ἐρωτήσει, ἐν οἷς προβλήμασι καὶ ἐν αἷς προτάσεσίν ἐστι καὶ τὰ διαλεκτικὰ προβλήματά τε καὶ αἱ προτάσεις, ὧν νῦν λέγει τὴν διαφοράν· τό τε γὰρ γνώριμον καὶ ἔνδοξον, ὁποία ἡ πρότασις ἡ διαλεκτικὴ εἶναι βούλεται, καὶ τὸ ἀμφιδοξούμενόν τε καὶ ἀπορούμενον, ὁποῖον δεῖ φησιν εἶναι καὶ τὸ διαλεκτικὸν πρόβλημα, πάντα ἐν ἀντιφάσει προτείνεταί τε καὶ προβάλλεται, ὧν τὰ μὲν ἔνδοξα προτάσεις, τὰ δὲ ζητούμενα προβλήματα. τὴν δὲ κατὰ τοὺς τρόπους διαφορὰν εἶπε, τὴν κατὰ τὸ ἆρα καὶ πότερον, ὑπὲρ τοῦ ἐνδείξασθαι τὴν κατὰ τὴν λέξιν ὁμοιότητα αὐτῶν, καὶ πῶς ἕκαστον αὐτῶν προτείνεταί τε καὶ προβάλλεται· πᾶσα γὰρ πρότασις πρόβλημα γίνεται, ἀλλὰ γένος τοῦ κατὰ τὴν ἐκφορὰν τρόπου, κατὰ τὴν λέξιν, οὐ μὴν διαλεκτικὸν ἤδη τὸ ἀπὸ προτάσεως μεταληφθέν, ὅτι μὴ ζητούμενον. "ἔστι μὲν οὖν πρότασις διαλεκτικὴ ἐρώτησις ἔνδοξος." οὔτε οὖν πᾶσα πρότασις ἐρώτησις, ἀλλ' ἡ διαλεκτική, οὔτε πᾶσα ἐρώτησις πρότασις ἀλλ' ἡ διαλεκτική. ἔστι γὰρ εἴδη πλείω τῶν ἐρωτήσεων· οὐ γὰρ μόνον ἐρώτησις προτάσεων γίνεται, ἀλλ' ὡς Εὔδημος ἐν τοῖς περὶ Λέξεως διήρηκεν, οἱ ἐρωτῶντες ἢ περὶ συμβεβηκότος ἐρωτῶσιν· ἢ γὰρ προθέντες τι καὶ ὁρίσαντες πυνθάνονται τὸ τούτῳ συμβεβηκός, ὡς οἱ ἐρωτῶντες τίς τοῦ πυρὸς ἡ κατὰ φύσιν κίνησις ἢ τί Σωκράτει συμβέβηκεν, ἢ ἔμπαλιν τὸ μὲν συμβεβηκὸς ὁρίζουσί τε καὶ λαμβάνουσιν ἐν τῇ ἐρωτήσει, ᾧ δὲ τοῦτο συμβέβηκεν ἀξιοῦσι μαθεῖν, ὡς ὁ ἐρωτῶν τίνι τὸ λευκὸν ἢ τὸ μέλαν τῶν ζῴων συμβέβηκε, καὶ τί τῶν ἀγαθῶν δι' αὐτό ἐστιν αἱρετόν, καὶ τίς ἐστιν ὁ καθήμενος. καὶ τοῦτο μὲν ἓν εἶδος ἐρωτήσεως, ἄλλο δὲ περὶ οὐσίαν, ὅταν προενεγκάμενοι τί ποτέ ἐστι τοῦτο, διὰ τῆς ἐρωτήσεως ἐξετάζωμεν, ὡς ὁ ἐρωτῶν τί ἐστιν ἄνθρωπος· ὁ γὰρ οὕτως ἐρωτῶν τὴν οὐσίαν τοῦ πράγματος ἀξιοῖ, ἀλλ' οὐχ ὃ συμβέβηκεν αὐτῷ, μαθεῖν. τρίτον εἶδος ἐρωτήσεώς ἐστιν ὅταν περὶ προτάσεώς τις τὴν ἐρώτησιν ποιῆται, εἶτα ἀπόκρισιν αὐτῆς αἰτῶν τὸ ἕτερον τῆς ἀντιφάσεως μέρος προτείνῃ, οἷον ἆρά γε ὁ κόσμος σφαιροειδής; ὑπὸ τοῦτο τὸ εἶδος τῆς ἐρωτήσεώς ἐστι καὶ ἡ διαλεκτικὴ πρότασις· οὐ γὰρ πᾶσα ἐρώτησις πρότασις διαλεκτική ἐστιν, ἐν ἐρωτήσει μέντοι ἡ πρότασις ἡ διαλεκτική· τῶν γὰρ προτάσεων, ὡς προείρηται, αἱ μέν εἰσιν ἀποδεικτικαί, οἷαί εἰσιν αἱ ἄμεσοι καὶ πρῶται, αἱ δὲ διαλεκτικαί, οἷαί εἰσιν αἱ ἔνδοξοι, αἱ δὲ ἐριστικαί. οὔτε δὲ αἱ ἐπιστημονικαὶ ἐν ἐρωτήσει οὔσαι διαλεκτικαὶ γίνονται· οὐ γὰρ διαλεκτικὴ ἡ τοιαύτη, οἷον ἆρά γε στοιχεῖα τῶν ὄντων εἶδος καὶ ὕλη; ἀλλ' οὐδὲ ἡ ἐριστική, οἷον ἆρά γε ὁ ὁρῶν ὀφθαλμοὺς ἔχει ἢ οὔ; ἀλλ' εἰσὶ προτάσεις διαλεκτικαὶ τῶν ἐν ἐρωτήσει προτάσεων αἱ ἔνδοξοι, οἷον ἆρά γε ἡ ὑγίεια ἀγαθὸν ἢ οὔ, ἆρά γε

τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς καθ' ἑκάστην ἐπιστήμην ἐστὶ χρήσιμος, εἴη ἄν, ὡς εἶπε, καὶ πρὸς φιλοσοφίαν τε καὶ τὰς ταύτης ἀρχάς, παρεχομένη καὶ ταύτῃ τὸ χρήσιμον. καὶ οὕτως ἂν δύναιτο καὶ τὸ τέταρτον τοῦτο ὑπάγεσθαι τῷ πρὸς φιλοσοφίαν χρησίμῳ, προσκεῖσθαι δὲ αὐτῷ τὸ ὅτι ὁμοίως φιλοσοφίᾳ, κατὰ τοῦτο καὶ πρὸς ἄλλας ἐπιστήμας ἐστὶ χρήσιμος ἡ διαλεκτική. καὶ αὐτὸς δὲ πολλάκις δεικνύς τινα τῶν κατὰ φιλοσοφίαν προστίθησι τὸ λογικῶς, λέγων διαλεκτικῶς, ὡς δεομένων τινῶν τῶν κατὰ φιλοσοφίαν καὶ τοιούτων δείξεων... ὅτι δὲ διαλεκτικοῦ ἐστὶ περὶ ἀρχῶν λέγειν, ἐντεῦθεν δῆλον ἂν γένοιτο. ὁ γεωμέτρης τίθεται μὲν ἐν ταῖς ἀρχαῖς καὶ τὸ ἐπιφάνειαν μὲν εἶναι ὃ μῆκος καὶ πλάτος ἔχει μόνον, γραμμὴν δὲ μῆκος ἀπλατές, σημεῖον δὲ οὗ μέρος οὐδέν. ἐνίστανται δὲ πρὸς ταῦτά τινες λέγοντες μήτε τι μέγεθος δύνασθαι διαστήματα δύο ἔχειν μόνα, ἔτι δὲ ἧττον ἕν· ἀλλὰ μηδὲ σημεῖόν τι ὅλως εἶναι· μηδὲν γὰρ εἶναι ὃ μήτε ἀφαιρούμενον μειοῖ τι μήτε προστιθέμενον αὔξει, ὡς ὁ Ἐλεάτης Ζήνων ἔλεγεν· ἀδιαστάτου γὰρ μηδὲ φαντασίαν τινὰ δύνασθαι λαβεῖν. γεωμετρικῶς μὲν οὖν οὐχ οἷόν τέ ἐστι τοῦτο ὡς ὂν δεῖξαι, ὁ δὲ διαλεκτικὸς οὐκ ἀπορήσει δι' ἐνδόξων αὐτὰ συστῆσαι· λαβὼν γὰρ ἔνδοξον τὸ τὴν ἐπιφάνειαν πέρας εἶναι τοῦ σώματος, καὶ τὸ πέρας εἶναι ἄλλο οὗ ἐστὶ πέρας, καὶ τοῦτο τῇ ἐπαγωγῇ συστήσας, συνάγει τὴν ἐπιφάνειαν ἄλλο εἶναι σώματος, τουτέστι τοῦ τριχῇ διεστῶτος. εἰ δὲ ἄλλη, οὐχ οἷόν τε ἔχειν αὐτὴν διαστάσεις τρεῖς· ἦν γὰρ ἂν οὕτως ἡ αὐτὴ τῷ σώματι. id. p. 17.

101 b 2. τὸ "τοῦτο δὲ ἴδιον ἢ μάλιστα οἰκεῖον τῆς διαλεκτικῆς ἐστίν" τὸ ἐξ ἐνδόξων συλλογίζεσθαι εἶπεν, ἤτοι διὰ τὴν ῥητορικήν, ἐπειδὴ καὶ αὕτη διὰ τοιούτων, καὶ ὅτι καὶ ὁ φιλόσοφός ποτε διὰ τοιούτων δείκνυσί τινα, ὡς προείρηται... "ἐξεταστική" δὲ ἀντὶ τοῦ ζητητική καὶ ἐπιχειρηματική. id. p. 19.

101 b 6. δυνάμεις εἶπε τὴν ἰατρικὴν καὶ τὴν κυβερνητικήν τε καὶ διαλεκτικὴν ἤτοι ὅτι ἔνεστιν αὐταῖς καὶ εὖ καὶ κακῶς χρῆσθαι, ἢ μᾶλλον ὅτι στοχαστικαὶ οὖσαι οὐ κατὰ ὡρισμένα τινὰ προΐασιν, ἀλλὰ δεῖ καὶ οἰκείας συνέσεως αὐταῖς πρὸς τὸ ἁρμόσασθαί τε πρὸς τὰ προσπίπτοντα καὶ τάξαι τὰ γινόμενά τε καὶ λεγόμενα ὥστε ταχθέντα χρήσιμα. ἢ δυνάμεις κοινότερον τὰς τέχνας ὡσανεὶ ἕξεις ἔλεγεν αὐτάς, καὶ εἴη ἂν τῶν τοιούτων τεχνῶν, τουτέστι τῶν στοχαστικῶν. id. ib.

101 b 12. ἔστι τὸ μὲν "πρὸς πόσα τε καὶ ποῖα" εἰρημένον περὶ τῶν προβλημάτων, ὡς ἐρεῖ· περὶ γάρ τινος προκειμένου προβλήματος ὁ διαλεκτικὸς τὸν λόγον κινεῖ καὶ τὸν συλλογισμὸν ποιεῖται· δεῖ οὖν εἰδέναι πόσα τε καὶ τίνα ἐστὶ τὰ γένη τῶν προβλημάτων τῶν διαλεκτικῶν. τὸ δ' "ἐκ τίνων" περὶ τῶν προτάσεων. οὐχ ἁπλῶς δὲ σημαίνοι ἂν τὸ "ἐκ τίνων" τὸ ὅτι ἐκ προτάσεων, ἀλλὰ λέγοι ἂν καὶ ἐπὶ τούτων τὸ ἐκ πόσων καὶ τίνων· οὐ γὰρ ἐκ πάσης προτάσεως ὁ διαλεκτικὸς συλλογισμός. ἂν οὖν εἰδῶμεν τά τε προβλήματα τὰ διαλεκτικὰ πόσα ἐστὶ καὶ ποῖα, "πόσα" μὲν τῷ γένει δηλονότι, "ποῖα" δὲ ἀντὶ τοῦ τίνα (οὐδέπω γὰρ οἶδε τίνα ἐστὶ τὰ γένη τῶν προβλημάτων ὁ μόνον εἰδὼς ὅτι τέσσαρα), εἰδῶμεν δὲ καὶ τὰς προτάσεις, ἐξ ὧν οἱ πρὸς τὰ τοιαῦτα προβλήματα γίνονται συλλογισμοί (λόγους γὰρ ἂν λέγοι τοὺς συλλογισμοὺς ἢ καὶ τὰς ἐπαγωγάς· καὶ γὰρ ὁ ἐπακτικὸς λόγος διαλεκτικός, ὡς ἐρεῖ), πρὸς δὲ τούτοις εἰ εἰδείημεν καὶ ταῦτα δι' ὧν οἷόν τέ ἐστιν εὐπορεῖν τούτων (λέγοι δ' ἂν τοῦτο ἤτοι καὶ περὶ τῶν προβλημάτων καὶ τῶν προτάσεων, ἐπεὶ μὴ πᾶν πρόβλημα διαλεκτικὸν ἀλλὰ καὶ τὸ τοιοῦτον οἷον ἐρεῖ προελθών, ἢ περὶ τῶν προτάσεων δι' ὧν οἱ συλλογισμοὶ μόνον λέγει τὸ "πῶς τούτων εὐπορήσομεν·" ἐν γὰρ τῇ τῶν προτάσεων εὐπορίᾳ τὸ πλεῖστον τοῦ συλλογίζεσθαι. ἢ λέγοι ἂν τὸ "καὶ πῶς τούτων εὐπορήσομεν" περὶ τῶν διαλεκτικῶν λόγων, τουτέστι τῶν τε συλλογισμῶν καὶ τῶν ἐπαγωγῶν εἴημεν ἂν τεθεωρηκότες ἐκ τίνων ἡ μέθοδός ἐστιν ἡ διαλεκτική. ὅτι γὰρ τοῦτο λέγειν δοκεῖ διὰ τοῦ "καὶ πῶς τούτων εὐπορήσομεν" (τῶν γὰρ λόγων περὶ ὧν προείρηκεν, ἀλλ' οὐ τῶν προβλημάτων τε καὶ προτάσεων), δηλοῖτο ἂν ἐκ τοῦ μετὰ τὸ εἰπεῖν αὐτὸν περί τε τῶν προβλημάτων τῶν διαλεκτικῶν καὶ τῶν προτάσεων, καὶ τί ἐστιν ἑκάτερον αὐτῶν ἐπιδεῖξαι, ὅτι πᾶν τὸ διαλεκτικὸν πρόβλημα, ὁμοίως δὲ καὶ πρότασις, ἢ περί τινος τῶν πρὸς αἵρεσιν καὶ φυγὴν τὴν ἀναφορὰν ἐχόντων ἐστὶν ἢ περί τινος τῶν πρὸς ἀλήθειαν καὶ γνῶσιν ἢ περί τινος τῶν συνεργῶν πρός τι τούτων, λέγειν αὐτὸν "τὰ δὲ ὄργανα, δι' ὧν εὐπορήσομεν τῶν συλλογισμῶν, ἔστι τέσσαρα" (p. 105 a 21). τοῦτο γὰρ εἰρηκέναι δοκεῖ ἀποδιδοὺς πρὸς τὸ "καὶ πῶς τούτων εὐπορήσομεν·" διὰ γὰρ τῶν ὀργάνων καὶ τῶν τόπων ἡ τούτων εὐπορία. ἢ καὶ ἡ τῶν προτάσεών τε καὶ προβλημάτων εὐπορία εἰς τὴν τῶν συλλογισμῶν εὐπορίαν συντελεῖ, ὡς ἐρεῖ καὶ αὐτὸς προελθών. δύναται δὲ τὸ "πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἐστὶν ἡ μέθοδος" ἴσον τῷ πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἄν τις διαλεκτικὸς γένοιτο· ὁ γὰρ εἰδὼς ἐν τίσι τῇ διαλεκτικῇ τὸ εἶναι, οἶδε καὶ διὰ τίνων ἂν διαλεκτικός τις γένοιτο. id. p. 20.

101 b 17. τοῦ τοσαῦτά τε καὶ τοιαῦτα εἶναι τὰ διαλεκτικὰ προβλήματα νῦν μὲν πίστιν λαμβάνει τὴν ἐξ ἐπαγωγῆς, ὅτι εἰ πᾶν πρόβλημα καὶ πᾶσα πρότασις τούτων τι σημαίνει καὶ μηδὲν παρὰ ταῦτα ὑπὸ προβλήματός τινος δηλοῦται, εἴη ἂν ταῦτά τε καὶ τοσαῦτα γένη τῶν προβλημάτων· πειράσεται δὲ αὐτὸ προελθὼν δεῖξαι καὶ διὰ συλλογισμοῦ. ὃ μὲν οὖν αὐτὸς τίθησιν, ἐροῦμεν ὅταν καὶ αὐτὸς αὐτοῦ μνημονεύῃ. ἔνεστι δὲ καὶ οὕτω συλλογίσασθαι. id. p. 21.

101 b 18. διὰ τί δὲ ἡ διαφορὰ γενική; ὅτι ἐν τῇ οὐσίᾳ ἐστὶ τούτου οὗ κατηγορεῖται, ὥσπερ καὶ τὸ γένος, καὶ ἔστιν ἄμφω συμπληρωτικὰ τοῦ εἶναι ἑκάστου ὧν ἐστὶν οἰκεῖα. ὅτι τε καὶ ἐπὶ πλέον ἐστὶ καὶ αὐτή, καὶ κατὰ πλειόνων καὶ κατὰ τὸ εἶδος διαφερόντων κατηγορεῖται· μόνῳ γὰρ τῷ μὴ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι ἡ διαφορὰ τοῦ γένους διαφέρει, ἐπεὶ ἡ διαφορὰ δοκεῖ καὶ καθ' αὑτὴν λαμβανομένη τοῦ εἴδους εἶναι μᾶλλον, ἀλλ' οὐ τοῦ συναμφοτέρου δηλωτική, ἐν οἷς ἐστὶ τὸ ὑποκείμενον τοιοῦτον, τὸ δὲ γένος τοῦ συναμφοτέρου. id. p. 22.

101 b 26. ἤτοι τοῦτο λέγει, ὅτι μηδεὶς ὑπολαμβανέτω λέγειν ἡμᾶς ὅτι αὐτὰ τὰ ὀνόματα τὰ ῥηθέντα προβλήματά ἐστιν, ἐπεὶ εἴπομεν οὕτω τέσσαρα τὰ πάντα συμβαίνει γενέσθαι προβλήματα, ἢ ὅρον ἢ ἴδιον ἢ γένος ἢ συμβεβηκός· οὐ γὰρ οἷόν τε ὄνομα ἢ πρόβλημα ἢ πρότασιν εἶναι. ἢ ἔστι τὸ λεγόμενον ὅτι μηδεὶς ὑπολαμβανέτω τὸν ὁρισμὸν ἁπλῶς ῥηθέντα ἢ τὸ ἴδιον ἢ τὸ γένος ἢ τὸ συμβεβηκὸς ἢ

τῶν οἰκείων ἀρχῶν τῇ ἐπιστήμῃ γινόμενον παραλογισμόν, ὁποῖά φαμεν εἶναι ἐν γεωμετρίᾳ τὰ ψευδογραφήματα. συγγενεῖς δὲ λέγοι ἂν γεωμετρίᾳ ἐπιστήμας ἀριθμητικήν (ϗ γὰρ αὕτη περὶ ποσόν, ἀλλὰ διωρισμένον), ἔτι δὲ ἀστρολογίαν ϗ ὀπτικὴν ϗ μηχανικήν· προσχρῶνται γὰρ αὗται ταῖς γεωμετρικαῖς ἀρχαῖς. τοῦτο δὲ τὸ εἶδος τῶν συλλογισμῶν ὅτι τῶν προειρημένων ἐστὶν ἄλλο, δείκνυσιν ἐκ τοῦ μηδένα τῶν λόγων τῶν ἀποδεδειγμένων ἐφαρμόζειν αὐτῷ... ἄλλο ἄρα τι εἶδος τοῦτο παραλογισμῶν ἐστίν, ᾧ οὔτε ὁ διαλεκτικὸς οὔτε ὁ σοφιστικὸς χρῆται, ἀλλ' οἱ κατὰ τὰς ἐπιστήμας πείρας χάριν τῶν περὶ αὐτὰς καταγινομένων ϗ γυμνασίας, πρὸς τὸ διορατικωτέρους αὐτοὺς γίνεσθαι τῶν ἐν αὐτοῖς ἀληθῶν. id. p. 14.

101 a 14. ὅτι λήμματα αἱ προτάσεις παρὰ Ἀριστοτέλει, σημειωτέον. τῷ δὲ "τῷ γὰρ ἢ τὰ ἡμικύκλια περιγράφειν μὴ ὡς δεῖ ἢ γραμμάς τινας ἄγειν μὴ ὡς ἂν ἀχθείησαν" δύναται ϗ ἁπλῶς κεχρῆσθαι, καθόλου περὶ τὰ τοιαῦτα γινομένων τῶν ψευδογραφημάτων, δύναται ϗ ὡς παράδειγμα αὐτὸ εἰρηκέναι ψευδογραφήματος· ἔστι γὰρ κατὰ γεωμετρίαν ψευδογράφημα παρὰ τὸ μήτε τὰ ἡμικύκλια περιγράφειν ὡς δεῖ μήτε τὰς γραμμὰς ἄγειν ὡς ἂν ἀχθείησαν. id. ib.

101 a 18. ὡς ὑπογραφῇ τινὶ ϗ οὐκ ἀκριβῶς. οὕτως δὲ ἴσως εἶπεν ἤτοι ὡς μὴ ἀκριβῆ τὸν ὁρισμὸν ἀποδεδωκὼς ἑκάστου, ἢ μᾶλλον ὡς μὴ ἐξειργασμένος αὐτὰ διὰ τὸ μὴ περὶ τούτων αὐτῷ τὴν πρόθεσιν εἶναι, ἢ ἐπεὶ προστίθησι τοῖς τρισὶ τοῖς πρώτοις εἰρημένοις ἐν ἄλλοις ϗ τὸν πειραστικὸν ὡς ἄλλον ὄντα παρὰ τοὺς νῦν εἰρημένους. ἢ ὁ αὐτός ἐστιν ὁ πειραστικὸς τῷ προειρημένῳ τῷ ἐκ τῶν περί τινας ἐπιστήμας οἰκείων γινομένῳ παραλογισμῷ· ϗ γὰρ τοῦ πειραστικοῦ τὸν λόγον ἀποδιδοὺς ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις (c. 2) οὕτως ἀποδέδωκε "πειραστικοὶ δὲ οἱ ἐκ τῶν δοκούντων τῷ ἀποκρινομένῳ ϗ ἀναγκαίων εἰδέναι τῷ προσποιουμένῳ ἔχειν τὴν ἐπιστήμην," ὃ ἴσον ἂν εἴη τῷ τε "ϗ ἐκ τῶν περί τινας ἐπιστήμας οἰκείων γενόμενοι παραλογισμοί" ϗ τῷ "ἀλλ' ἐκ τῶν οἰκείων μὲν τῇ ἐπιστήμῃ λημμάτων." τῷ γὰρ προσποιουμένῳ τὴν ἐπιστήμην ἔχειν δεῖ τὰς ἀρχὰς ϗ τὰ οἰκεῖα ἐκείνῃ τῇ ἐπιστήμῃ εἰδέναι ϗ κατ' ἐκεῖνα ἀποκρίνασθαι. ϗ εἴη ἂν πειραστικὸς μὲν ἀπὸ τῆς τοῦ ἐρωτῶντος προθέσεως λεγόμενος, ψευδογράφημα δὲ ϗ παραλογισμὸς ἀπὸ τοῦ γενομένου. ἀλλὰ ϗ τὸ ἐνθύμημα, εἰ ϗ μὴ ἁπλῶς συλλογισμὸς ἀλλὰ ῥητορικός γε, οὐδὲ αὐτοῦ οὖν μνημονεύσας εἰκότως ἂν λέγοιτο ὡς τύπῳ εἰπεῖν. ἢ "ὡς τύπῳ" εἶπε διὰ τὸ κατὰ τὰς τῶν σχημάτων διαφορὰς εἴδη γίνεσθαι συλλογισμῶν. id. p. 15.

101 a 23. τὰ γὰρ ἔνδοξα ϗ δι' ἐνδόξων δεικνύμενα κεχώρισται τῆς ἐπιστημονικῆς ἀκριβολογίας· τοιαῦτα δὲ τὰ προκείμενα... λέγει δὲ περὶ ὁρισμῶν ϗ ἐν τοῖς Μετὰ τὰ Φυσικά, ἀλλὰ ϗ περὶ γενῶν ἁπάντων. ϗ ἐν τούτοις μὲν μνημονεύει, ἀλλὰ ἐπιπολαιότερον· εἰ γὰρ τὰ ἐν ἐκείνοις εἰρημένα ἐνταῦθά τις μεταφέροι, ἐκβαίνοι ἂν τὸν ὅρον τῆς διαλεκτικῆς, οὔσης, ὡς εἶπεν, ἐξ ἐνδόξων συλλογιστικῆς. id. p. 16.

101 a 25. πρὸς τρία φησὶν εἶναι χρήσιμον τὴν διαλεκτικὴν πραγματείαν, πρός τε γυμνασίαν· λέγει δὲ γυμνασίαν ἤτοι τὴν γινομένην ἐν τῷ διαλέγεσθαι πρός τινας· δεχόμενοι γάρ τινα προβλήματα παρὰ τῶν προσδιαλεγομένων, γυμναζόμενοι πειρῶνται τούτους παρίστασθαι, δι' ἐνδόξων τὰς ἐπιχειρήσεις ποιούμενοι. ἢ γυμνασίαν λέγοι ἂν τὴν εἰς ἑκάτερον μέρος ἐπιχείρησιν. ἦν δὲ σύνηθες τὸ τοιοῦτον εἶδος τῶν λόγων τοῖς ἀρχαίοις, ϗ τὰς συνουσίας τὰς πλείστας τοῦτον ἐποιοῦντο τὸν τρόπον, οὐκ ἐπὶ βιβλίων ὥσπερ νῦν (οὐ γὰρ ἦν πω τότε τοιαῦτα βιβλία), ἀλλὰ θέσεώς τινος τεθείσης εἰς ταύτην γυμνάζοντες αὑτῶν τὸ πρὸς τὰς ἐπιχειρήσεις εὑρετικὸν ἐπεχείρουν, κατασκευάζοντές τε ϗ ἀνασκευάζοντες δι' ἐνδόξων τὸ κείμενον. ϗ ἔστι βιβλία τοιαῦτα Ἀριστοτέλει τε ϗ Θεοφράστῳ γεγραμμένα, ἔχοντα τὴν εἰς τὰ ἀντικείμενα δι' ἐνδόξων ἐπιχείρησιν. πρὸς δὴ τὴν τοιαύτην γυμνασίαν χρήσιμον εἶναί φησι τὴν διαλεκτικήν· μέθοδον γάρ τινα εὑρετικὴν τῶν ἐπιχειρημάτων ἔχοντες (αὕτη δέ ἐστιν ἡ τῶν τόπων γνῶσις) ῥᾷον ἐπιχειρεῖν δυνησόμεθα. id. ib.

ἐντεύξεις λέγει τὰς πρὸς τοὺς πολλοὺς συνουσίας, οἷς δεῖ μὲν ἐν- 101 a 30.
τυγχάνειν κοινωνικούς τε ὄντας ϗ φιλανθρώπους ϗ ἐντυγχάνειν ὠφελίμως. διὰ μὲν οὖν ἀληθῶν ϗ ἀποδεικτικῶν οὐχ οἷόν τε κοινολογεῖσθαι πρὸς αὐτούς· οὐδὲ γὰρ τὴν ἀρχὴν συνιέναι τῶν τοιούτων δύνανται, ἀλλ' οὐδὲ μανθάνειν ὑπομένουσι· διὸ οὐδὲ ὠφελεῖσθαι δύναιντ' ἂν ὑπό τινος τῶν τοιούτων, ὧν γε τὴν ἀρχὴν μηδὲ συνιέναι δύνανται. εἰ δὲ διὰ τῶν ἐνδόξων ϗ δοκούντων ϗ αὐτοῖς ἐκείνοις τὰς πρὸς τοὺς πολλοὺς συνουσίας ποιούμεθα, παρακολουθοῖέν τε ἂν τοῖς λεγομένοις ϗ ῥᾳδίως μεταβιβάζοιντο διὰ τῶν τοιούτων λόγων, εἴ τι μὴ εἶεν ὀρθῶς τιθέμενοι. id. p. 17.

κατὰ φιλοσοφίαν δὲ ἐπιστήμας εἶπε τὴν φυσικήν, τὴν ἠθικήν, 101 a 34.
τὴν λογικήν, τὴν μετὰ τὰ φυσικά. οἱ γὰρ δυνάμενοι τὰ πιθανὰ πρὸς τὰ ἀντικείμενα συντελοῦντα διορᾶν ϗ εἰς ἀμφότερα ἐπιχειρεῖν ῥᾷον ἂν εὑρίσκοιεν ἐν ποτέρῳ αὐτῶν μέρει τῆς ἀντιφάσεως τὸ ἀληθές ἐστιν. id. ib.

προειπὼν πρὸς τρία ταῦτα χρήσιμον εἶναι τὴν διαλεκτικήν, ϗ 101 a 36.
ἐκθέμενος τίνα, προστίθησι τοῖς τρισὶ ϗ τέταρτον, ἤτοι ὑποδιαίρεσίν τινα τοῦ τρίτου ποιούμενος (ἦν δὲ τοῦτο πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας· εἰ γὰρ περὶ τὰ πρῶτα τῶν περὶ ἑκάστην ἐπιστήμην, εἴη ἂν ϗ πρὸς τὰ κατὰ φιλοσοφίαν πρῶτα) ἢ προστιθεὶς ὡς ἄλλο τοῦτο παρὰ τὰ προειρημένα. ἔστι δὲ ὃ προστίθησι· χρήσιμόν φησιν εἶναι τὴν διαλεκτικὴν ϗ πρὸς τὰς καθ' ἑκάστην ἐπιστήμην ἀρχάς· περὶ γὰρ τῶν οἰκείων ἀρχῶν οὐδεμία τῶν ἐπιστημῶν οἵα τε λέγειν διὰ τὸ δεῖν μέν, εἰ ἐπιστημονικῶς λέγοι περὶ αὐτῶν ϗ δεικνύοι, ταῦτα ἐκ πρώτων αὐτῶν δεικνύναι (τοιαῦται γὰρ αἱ ἐπιστημονικαί τε ϗ ἀποδεικτικαὶ δείξεις), μηδὲν δὲ ἔχειν τῶν ἀρχῶν πρῶτον· τὰς οὖν δεομένας τῶν ἀρχῶν τῶν κατὰ τὰς ἐπιστήμας συστάσεώς τινος τῷ μὴ δύνασθαι δείκνυσθαι δι' ἀληθῶν τε ϗ πρώτων, ϗ δι' ἐνδόξων τινῶν δεῖ δείκνυσθαί τε ϗ πιστοῦσθαι· τὸ δὲ διὰ τοιούτων συλλογίζεσθαι διαλεκτικῆς ἴδιον· ἴδιον δὲ αὐτῆς ϗ ἡ δι' ἐπαγωγῆς τοῦ προκειμένου σύστασις, ὡς προϊὼν ἐρεῖ, μάλιστα δὲ τὸ πιστὸν ταῖς ἀρχαῖς δι' ἐπαγωγῆς περιγίνεται. ὡς διαλεκτικὸς οὖν περὶ τῶν ἀρχῶν τῶν ἰδίων ὁ ἐπιστήμων ἐρεῖ, ἢ ὁ διαλεκτικὸς ὑπὲρ αὐτοῦ. εἰ δὲ πρὸς

νον συνάγεσθαι καὶ ἐνδείκνυσθαι λέγειν; πῶς δ' οὐ τὰ ἐν ἀρχῇ λαμβάνοντας... ἔτι οἱ διφορούμενοι ἀσυλλόγιστοι, καθόσον ἢ ἀμφότερα προσλαμβάνουσιν ἢ τὸ ἑπόμενον· τί γὰρ μᾶλλον τὸ ἡγούμενον ἢ τὸ ἑπόμενον; οἱ δὲ ἐξ ἀντιφάσεως διαιρετικοὶ οὐ ταὐτὸν τῶν κειμένων τινὶ ἐπιφέρουσιν ἀλλὰ τὸ ἀντικείμενον τοῦ λοιποῦ λόγου, ᾧ συμβαίνει διὰ τὸ ἐκ τοιούτων εἶναι τὸ διαιρετικόν, τὸ αὐτὸ γίνεσθαι τῇ προσλήψει. ἐπὶ γοῦν τῶν μὴ ἐκ τοιούτων διαιρετικῶν ἀσυλλόγιστος ὁ μὴ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἐπιφέρων. ἀλλ' οὐδὲ λέγοι τις συλλογισμὸν εἶναι τὸν ἐκ διαιρετικοῦ καὶ ἑνὸς τῶν ἐν τῷ διαιρετικῷ τὸ λοιπὸν ἐπιφέροντα· ἐπεὶ γὰρ τῷ ἐπιφερομένῳ ἐν τῷ διὰ τοιούτου διαιρετικοῦ συλλογισμῷ συμβέβηκεν ὄντι ἀντικειμένῳ τοῦ ἑτέρου τῶν ἐν τῷ διαιρετικῷ τῷ αὐτῷ καὶ κατὰ τὴν λέξιν εἶναι τῷ προσειλημμένῳ, ὃ μὴ ταὐτόν ἐστι μηδὲ κατὰ ταὐτόν, ἀντικείμενόν τε τῷ ἑτέρῳ τῷ καταλειπομένῳ ἐκ τοῦ διαιρετικοῦ, καὶ ταὐτὸν τῷ προσειλημμένῳ, δεῖ ζητῆσαι κατὰ πότερον λαμβανόμενον τῶν συμβεβηκότων αὐτῷ καὶ εἰς ταὐτὸν συνδεδραμηκότων ποιεῖ συλλογιστικὸν τὸν λόγον· ὅτι γὰρ μὴ ταὐτόν ἐστιν ἄμφω μηδὲ κατὰ ταὐτὸν αὐτῷ ὑπάρχει, δῆλον ἐκ τοῦ μὴ ἐν πᾶσι τοῖς διαιρετικοῖς τῷ αὐτῷ ἄμφω ὑπάρχειν... τὸ δ' "ἐξ ἀνάγκης" προσκείμενον ἐν τῷ ὅρῳ τῆς ἐπαγωγῆς χωρίζει τὸν συλλογισμόν· ἔστι μὲν γὰρ καὶ ἐπαγωγὴ λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων συμβαίνει, ἀλλ' οὐκ ἐξ ἀνάγκης... τὸ δὲ "διὰ τῶν κειμένων" προσκείμενον εἴη μὲν ἂν καὶ τοὺς μονολημμάτους λόγους λεγομένους ἀποκρῖνον τῶν συλλογισμῶν (οὐ γὰρ διὰ τῶν κειμένων τὸ ἐπιφερόμενον αὐτοῖς δείκνυται· λείπει γὰρ ἐν αὐτοῖς πρὸς τὴν συλλογιστικὴν δεῖξιν τὸ παραλειπόμενον, ὡς εἰρήκαμεν), ἀλλὰ καὶ τοὺς παρέλκοντας· ἐν οἷς γὰρ λόγοις πρότασίς τις εἴληπται παρέλκουσα, οὗτοι οὐ διὰ τῶν κειμένων συνάγουσιν τὸ συμπέρασμα, εἴ γε καὶ ἀφαιρεθείσης ἐκείνης ἔτι οἷόν τε τὸ αὐτὸ συνάγεσθαι... ἀλλ' οὐδὲ ἐν οἷς μὴ τὸ οἰκεῖον συμπέρασμα ἐπιφέρεται, ἄλλο δέ τι ἑπόμενον ἐκείνῳ ἢ συμβεβηκός, οὐδ' οὗτοι συλλογισμοί· οὐ γὰρ διὰ τῶν κειμένων. οἷον εἰ λάβῃ τις τὴν ἡδονὴν κατὰ φύσιν καὶ τὸ κατὰ φύσιν αἱρετόν, συμπεραίνοιτο δὲ τὴν ἡδονὴν ἀγαθὸν εἶναι· οὐ γὰρ τοῦτο δείκνυται ἐκ τῶν κειμένων, εἰ καὶ ἕπεται ἐξ ἀνάγκης τῷ συναγομένῳ. τοιοῦτος καὶ ὁ περὶ τοῦ θανάτου ὑπὸ Ἐπικούρου λόγος εἰρημένος· οὐ γὰρ ἐκ τῶν λεγουσῶν προτάσεων "τὸ διαλυθὲν ἀναισθητεῖ, τὸ ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς" συνάγεται τὸ ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς, ὡς αὐτὸς ἡγεῖται, ἀλλ' ὅτι τὸ διαλυθὲν οὐδὲν πρὸς ἡμᾶς· ἀλλ' οὐδὲ ὁ θάνατος τὸ διαλυθέν ἐστιν ἀλλὰ διάλυσις... τοιοῦτοι δέ εἰσι λόγοι καὶ οἱ ὑπὸ τῶν ἀπὸ τῆς Στοᾶς λεγόμενοι ἀμεθόδως περαίνοντες. οὐ γὰρ εἰ τὸ α' ἴσον τῷ β', ὁμοίως δὲ καὶ τῷ γ' τὸ β' ἴσον, διὰ τοῦτο καὶ τὸ α' τῷ γ' ἴσον ἂν εἴη δεδειγμένον συλλογιστικῶς· οὐ γὰρ διὰ τῶν κειμένων τὸ ἀναγκαῖον· ἕπεται γὰρ τοῖς κειμένοις τοῦτο διὰ τὸ ἀληθὲς εἶναι τὸ καθόλου τὸ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἶναι ἴσα. διὸ ἐκείνου τε κειμένου καὶ τοῦ διῃρημένου τούτου συντεθέντος καὶ συναχθέντος εἰς μίαν πρότασιν, τὴν τὸ δὲ α' καὶ γ' τὰ αὐτὰ τῷ β' ἐστὶν ἴσα, συνάγεται συλλογιστικῶς ἤδη καὶ τὸ α' τῷ γ' εἶναι ἴσον. τοιοῦτον καὶ τὸ λέγειν ὅτι ἡμέρα ἐστίν· ἀλλὰ καὶ σὺ λέγεις ὡς ἡμέρα ἐστίν· ἀληθεύεις ἄρα. ἕπεται μὲν γὰρ καὶ ἐνταῦθα τοῖς κειμένοις τὸ ἐπενεχθέν, οὐ μὴν διὰ ταῦτα τὸ ἀναγκαῖον ἀλλὰ διὰ τὸ τὸ καθόλου ἀληθὲς εἶναι τὸ πᾶς ὃς ἡμέρας οὔσης ἡμέραν εἶναι λέγει, ἀληθεύει. τούτου γὰρ ληφθέντος, ἂν συνέλῃ τις τὰ κείμενα εἰς μίαν πρότασιν τὴν σὺ δὲ ἡμέρας οὔσης λέγεις ἡμέραν εἶναι, συλλογιστικῶς συνάξει τὸ σὺ ἄρα ἀληθεύεις· ἐν πᾶσι γὰρ τοῖς τοιούτοις λόγοις τὸ μὲν καθόλου ἀληθὲς ὂν παραλέλειπται, ἡ δὲ ἑτέρα πρότασις εἰς δύο διαιρεῖται ἢ καὶ πλείω, ὡς ἐπὶ τοῦδε τοῦ λόγου" ὁ νόμος ἀνομίᾳ ἐναντίον· ἀλλὰ καὶ ὁ νόμος οὐ κακόν· ἀλλὰ καὶ ἡ ἀνομία κακόν· ἀγαθὸν ἄρα ὁ νόμος." ἐν γὰρ τούτῳ παρεῖται μὲν τὸ καθόλου ὂν τοιοῦτον "ὃ μὴ ὂν κακὸν ἐναντίον ἐστὶ κακῷ, ἀγαθόν ἐστιν," διῄρηται δὲ εἰς τρία ἡ πρότασις ἡ ἑτέρα, ἔχουσα οὕτως "ὁ δὲ νόμος οὐκ ὂν κακὸν κακῷ οὔσῃ τῇ ἀνομίᾳ ἐναντίος ἐστίν·" ταύτης γὰρ μέρη τό τε ὁ νόμος ἀνομίᾳ ἐναντίον, καὶ τὸ ἀλλὰ καὶ ὁ νόμος οὐ κακόν, καὶ ἔτι τὸ ἀλλὰ καὶ ἡ ἀνομία κακόν. ἐκ γὰρ τῶν προειρημένων δύο προτάσεων συλλογιστικῶς συνάγεται τὸ ἀγαθὸν εἶναι τὸν νόμον· ἀλλὰ καὶ ἐκ τῆς μιᾶς τῆς εἰς τρία διῃρημένης. id. p. 6-10.

κοινότερον μέντοι καὶ πάντα τὸν ἐξ ἀληθῶν συλλογισμὸν ἀπόδειξιν λέγει. [100 a 27.] λέγει μὲν οὖν περὶ ἀποδείξεως καὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ προηγουμένως τε καὶ ἐπὶ πλέον ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς, νῦν δὲ ἐπὶ τοσοῦτον περὶ αὐτοῦ εἴρηκεν ἐφ' ὅσον αὐτῷ χρήσιμόν ἐστι πρὸς τὸ χωρίσαι τῶν ἄλλων συλλογισμῶν τὸν διαλεκτικόν. ἔστι δὲ συλλογισμὸς αἱ προτάσεις μετὰ τοῦ συμπεράσματος. id. p. 11.

διαφέρει δὲ τὸ ἔνδοξον τοῦ ἀληθοῦς οὐ τῷ ψευδὲς εἶναι (ἔστι [100 b 21.] γάρ τινα ἔνδοξα καὶ ἀληθῆ) ἀλλὰ τῇ ἐπικρίσει. ἔστι γὰρ τῷ μὲν ἀληθεῖ ἀπὸ τοῦ πράγματος περὶ οὗ ἐστιν ἡ ἐπίκρισις (ὅτε γὰρ τοῦτο αὐτῷ ὁμολογῇ, τότε ἐστὶν ἀληθές), τῷ δὲ ἐνδόξῳ οὐκ ἀπὸ τῶν πραγμάτων ἡ ἐπίκρισις, ἀλλ' ἀπὸ τῶν ἀκουόντων καὶ τῶν τούτων ὑπολήψεων ἃς ἔχουσι περὶ τῶν πραγμάτων. id. p. 12.

εἴρηκε μὲν περὶ τῶν ἐριστικῶν ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις, [100 b 23.] ἔνθα ἦν καὶ προηγουμένως περὶ τῶν τοιούτων αὐτῷ ὁ λόγος, ὁρίζεται δὲ κἀνταῦθα ὁμοίως ὡς κἀκεῖ τὸν ἐριστικὸν συλλογισμόν. διττὸν δέ φησιν εἶναι τὸν τοιοῦτον συλλογισμόν, τὸν μὲν παρὰ τὴν ὕλην ἡμαρτημένον τὸ ἐριστικὸν ἔχοντα, οὐκέτι δὲ παρὰ τὸ σχῆμα... ἐπιπόλαιον δέ ἐστι τὸ ἐκ βραχείας ἐπιστάσεως ἐλεγχόμενον... ἔστι δέ τις ἐριστικὸς συλλογισμὸς ὁ κατὰ τὸ εἶδος ἡμαρτημένος· οὗτος δὲ οὐκέτι οὐδὲ συλλογισμὸς ἁπλῶς ἐστίν, ἀλλὰ τὸ ὅλον τοῦτο ἐριστικὸς συλλογισμὸς τοιοῦτος, οἷοί εἰσιν οἱ ἐν ἀσυλλογίστῳ συζυγίᾳ ἐρωτώμενοι λόγοι, οἷον... εἰ λάβοι τις τὰ νεκρὰ τῶν σωμάτων κινεῖσθαι καὶ ἀλλοιοῦσθαι, ἀλλὰ καὶ τὰ αἰσθανόμενα κινεῖσθαι, καὶ ἐκ τούτου οἴοιτο δεικνύναι ὅτι τὰ νεκρὰ τῶν σωμάτων αἰσθάνεται, ὡς ᾤετο Δημόκριτος. ὁ τοιοῦτος παραλογισμὸς γίνεσθαι μὲν δύναται καὶ ἐξ ἀληθῶν, ὥσπερ οὖς προειρήκαμεν. id. p. 12 et 13.

παρὰ τοὺς προειρημένους φησὶ πάντας συλλογισμούς, τὸν ἀπο- [101 a 5.] δεικτικὸν ὃς ἐξ ἀληθῶν ἢ καὶ πρώτων, τὸν διαλεκτικὸν ὃς ἐξ ἐνδόξων, τὸν ἐριστικὸν ὃς ἐκ φαινομένων ἐνδόξων συλλογίζεται, ἄλλο φησὶν εἶδος εἶναι συλλογισμῶν· τὸν γὰρ καθ' ἑκάστην ἐπιστήμην ἐκ

μένους αὐταῖς· οἱ γὰρ πολλοὶ τοὺς τοιούτους τεθαυμάκασιν ὡς πλέον τῶν ἄλλων δυναμένους. ἀλλὰ καὶ διὰ τὸ δύνασθαι καὶ εὖ καὶ κακῶς αὐταῖς χρῆσθαι τοὺς ἔχοντας· διὰ τοῦτο γὰρ καὶ τῶν ἀγαθῶν τὰ ὀργανικὰ δυνάμεις καλεῖσθαι. ἀλλ' οὖν εἰ καὶ ταῦτα αὐταῖς παρακολουθεῖ, ἀλλὰ κυρίως εἰσὶ δυνάμεις διὰ τὸ ὁμοίως τὰ ἀντικείμενα δύνασθαι· οὐδὲ γὰρ μᾶλλον ὁ διαλεκτικός, καθὸ τοιοῦτος, τόδε ἢ τὸ ἀντικείμενον αὐτῷ συλλογίζεται, ὁμοίως δὲ καὶ ὁ ῥήτωρ... περὶ δὲ τῆς οὕτω λεγομένης διαλεκτικῆς Ἀριστοτέλης μὲν καὶ ἐν ἄλλοις βιβλίοις πεπραγμάτευται, μάλιστα δὲ ἐν τούτοις, ἃ ἐπιγράφεται Τοπικὰ ἀπὸ τοῦ τόπους τινὰς ἐν αὐτῇ παραδίδοσθαι ἀφ' ὧν ὁρμώμενοι δυνησόμεθα περὶ παντὸς τοῦ προτεθέντος δι' ἐνδόξων συλλογίζεσθαι, ὥς φησιν αὐτός. ἔστι γὰρ ὁ τόπος, ὡς λέγει Θεόφραστος, ἀρχή τις ἢ στοιχεῖον, ἀφ' οὗ λαμβάνομεν τὰς περὶ ἕκαστον ἀρχάς, ἐπιστήσαντες τὴν διάνοιαν, τῇ περιγραφῇ μὲν ὡρισμένως (ἢ γὰρ περιλαμβάνει τὰ κοινά τε καὶ καθόλου, ἅ ἐστι τὰ κύρια τῶν συλλογισμῶν, ἢ δύναταί γε ἐξ αὐτῶν τὰ τοιαῦτα δείκνυσθαί τε καὶ λαμβάνεσθαι), τοῖς δὲ καθ' ἕκαστα ἀορίστως· ἀπὸ τούτων γὰρ ὁρμωμένοις ἔστιν εὐπορεῖν προτάσεως ἐνδόξου πρὸς τὸ προκείμενον· τοῦτο γὰρ ἡ ἀρχή (*). ἐξ ἐνδόξων δὴ εἴρηκε συλλογίζεσθαι ὅτι οὐχ οἷόν τε περὶ παντὸς τοῦ προτεθέντος ἐξ ἀληθῶν συλλογίζεσθαι, ὡς προείρηται. Alexander Aphrodis. p. 3-5.

100a19. προσκείμενον τὸ "περὶ παντός" χωρίζει πως τῆς ῥητορικῆς τὴν διαλεκτικήν· οὐ γὰρ ὁμοίως περὶ παντὸς προβλήματος ἡ ῥητορικὴ συλλογιστική· ὕλη γὰρ μᾶλλον τῷ ῥήτορι τὰ ἠθικά τε καὶ πολιτικὰ προβλήματα, ὡς προειρήκαμεν, ἃ δι' ἐνδόξων πειρᾶται καὶ αὐτὴ ἀποδεικνύναι. κοινότερον δὲ τὸ περὶ παντὸς εἶπε, καθόσον καὶ περὶ φυσικῶν καὶ περὶ ἠθικῶν καὶ περὶ λογικῶν προβλημάτων ὁ διαλεκτικὸς διαλαμβάνει. id. p. 5.

100a25. "ἔστι δὲ συλλογισμὸς λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων συμβαίνει τῷ ταῦτα εἶναι. λέγω δὲ τῷ ταῦτα εἶναι, διὰ τὸ ταῦτα εἶναι." περὶ τοῦ ὅρου τοῦ συλλογισμοῦ καὶ τῶν πρὸς αὐτὸν ὑπό τινων προσαπορουμένων εἴρηται μὲν ἡμῖν καὶ ἐν τοῖς εἰς τὰ Πρότερα Ἀναλυτικὰ ὑπομνήμασιν· καὶ γὰρ προηγουμένως καὶ ὁ περὶ συλλογισμῶν λόγος ἐν ἐκείνοις, ἐν οἷς παραδίδωσιν ὁ Ἀριστοτέλης πᾶσαν τὴν συλλογιστικὴν μέθοδον· καὶ νῦν δὲ ὅσα πρὸς σαφήνειαν τοῦ ὅρου φέρει, τούτων μνημονεύσομεν. ἐν γένει μὲν οὖν τῷ λόγῳ τὸν συλλογισμὸν ἔθετο, ἐπεὶ ὁ λόγος κατηγορούμενος τοῦ συλλογισμοῦ συνωνύμως οὐ κατὰ τούτου μόνου κατηγορεῖται ἀλλὰ καὶ κατὰ ἄλλων κατ' εἶδος τοῦ συλλογισμοῦ διαφερόντων... διὰ μὲν τοῦ "τεθέντων" χωρίζει τὸν συλλογισμὸν τῶν ἄλλων λόγων ἐν οἷς οὐδὲν τίθεται, οἷός ἐστι καὶ ὁ διηγηματικός. σημαίνει δὲ αὐτῷ τὸ "τεθέντων" ληφθέντων τε καὶ συγχωρηθέντων, συγχωρηθέντων δὲ ἤτοι ὑπὸ τοῦ προσδιαλεγομένου, εἰ πρὸς ἄλλον ὁ συλλογισμὸς γίγνοιτο, ἢ ὑφ' ἑαυτοῦ, εἰ ἐφ' ἑαυτοῦ τις δεικνὺς συλλογίζοιτο... ὅτι δὲ καλῶς τῇ τεθέντων φωνῇ κέχρηται, δῆλον ἐκ τοῦ μὴ οἷόν τε αὐτὴν εἰς εὐδηλοτέραν μεταλαβεῖν. συγχωρῆσαι δὲ καὶ λαβεῖν οὐ πάντως καταφατικά· τίθεται γὰρ καὶ συγχωρεῖται οὐδὲν ἧττον τῶν καταφατικῶν καὶ τὰ ἀποφατικά, καὶ οὐ πάντως ὁ συλλογισμὸς καταφατικῶν πάντων δεῖται ὧν τιθεμένων. δύναται τὸ "τεθέντων" ἐμφαίνειν καὶ τὸ κατηγορικόν· τίθενται γὰρ κυρίως ταῦτα ἐν τῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν λαμβανόμενα· τὰ γὰρ ὑποθετικὰ οὐ τίθεται ἀλλ' ὑποτίθεται. δοκοῦσι γὰρ τῷ Ἀριστοτέλει ἁπλῶς καὶ κυρίως ἔχειν συλλογισμοί, ὡς ἐν τοῖς Προτέροις Ἀναλυτικοῖς δείκνυσιν, οἱ κατηγορικοί· οἱ δὲ ὑποθετικοὶ οὐχ ἁπλῶς εἰσὶ συλλογισμοί, ἀλλὰ μετὰ προσθήκης. οὕτως δ' ἂν εἴη τοῦ ἁπλῶς καὶ κυρίως συλλογισμοῦ τὸν λόγον ἀποδιδούς. "τεθέντων" δὲ εἶπεν ἀλλ' οὐ τεθέντος, ὥς τινες ἀξιοῦσιν αἰτιώμενοι τὸν λόγον, ὅτι μηδὲν συλλογιστικῶς δι' ἑνὸς τεθέντος δείκνυται ἀλλ' ἐκ δύο τὸ ἐλάχιστον. οὓς γὰρ οἱ περὶ Ἀντίπατρον μονολημμάτους συλλογισμοὺς λέγουσιν, οὐκ εἰσὶ συλλογισμοί, ἀλλ' ἐνδεῶς ἐρωτῶνται, ὡς οὗτοι "ἡμέρα ἐστί, φῶς ἄρα ἐστίν· ἀναπνεῖς, ζῇς ἄρα." διότι γὰρ ἡμέρας οὔσης φῶς ἐστίν, ἡμέρα δὲ ἔστι, διὰ τοῦτο φῶς ἐστί, συλλογιστικῶς δείκνυται· καὶ ὅτι ὁ ἀναπνέων ζῇ, σὺ δὲ ἀναπνεῖς, διὰ τοῦτο τὸ ζῆν συνάγεται, ἢ διότι πᾶς ὁ ἀναπνέων ζῇ, σὺ δὲ ἀναπνεῖς· ἀλλ' οὐχ ἁπλῶς διὰ τοῦ ἡμέρα ἐστὶ τὸ φῶς ἐστίν, ἀλλ' οὐδὲ διὰ τοῦ ἀναπνεῖς τὸ ζῇς. ἐφ' ὧν οὖν μή ἐστι τὸ συνημμένον γνώριμον, οὐκ ἀρκεῖ πρὸς τὸ συμπέρασμα ληφθεῖσα μόνη ἡ πρόσληψις. τῷ γοῦν κίνησίς ἐστιν οὐ δοκεῖ ἕπεσθαι τὸ οὐκ ἔστι κενόν, καίτοι καὶ τοῦτο δέδεικται ὑπὸ Ἀριστοτέλους ἀληθὲς ὄν. τῷ οὖν γνωρίμῳ τοῦ συνημμένου καὶ ἐναργεῖ χρώμενοι, ἢ τῷ τῆς καθόλου προτάσεως φανερῷ, ἡγοῦνται δι' ἑνὸς τεθέντος συλλογίζεσθαί τι. σημεῖον δὲ τούτου φανερώτατον τὸ μὴ γίνεσθαι παρέλκοντα τὸν λόγον τὸν μετὰ τοῦ συνημμένου λαμβανόμενον, τὸν εἰ ἡμέρα ἐστί, φῶς ἐστίν, ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί. καίτοι εἰ διὰ τοῦ ἡμέρα ἐστί τὸ φῶς δείκνυται, παρέλκον γίνεται τὸ συνημμένον· τὸ γὰρ τοῖς συλλογιστικῶς δεικνῦσιν ἔξωθεν προστιθέμενον πρὸς τὴν τοῦ αὐτοῦ δεῖξιν παρέλκον. οὐκ ὂν δὲ παρέλκον ἐν τούτῳ τῷ λόγῳ δείκνυσιν ὅτι ἐν ἐκείνῳ λείπει, ἢ ἐνδεὴς ὁ λόγος καὶ ὁ συλλογισμός. οὐ γὰρ πάντως εἴ τι ἕπεταί τινι ἐξ ἀνάγκης, ἤδη καὶ συλλογιστικῶς ἕπεται· οὐ γὰρ ἐπεὶ τὸ συλλογιστικῶς ἑπόμενον ἐξ ἀνάγκης ἕπεται, ἤδη καὶ ὅτι ἐξ ἀνάγκης ἕπεταί τινι, συλλογιστικῶς ἕπεται· οὐ γὰρ ἀντιστρέφεται· ἐπὶ πλέον γὰρ τὸ ἀναγκαῖον τῆς ἐν συλλογισμοῖς ἀνάγκης. τοιοῦτοι δέ εἰσι καὶ οἱ ῥητορικοὶ συλλογισμοί, οὓς ἐνθυμήματα λέγομεν... οὐδὲ συλλογισμὸς οὖν ἔτι εἴη ἂν ὁ μὴ τὴν χρείαν σώζων τὴν τοῦ συλλογισμοῦ· τοιοῦτος δὲ ὁ λόγος ἐν ᾧ τὸ αὐτὸ συμπέρασμά τινι τῶν κειμένων, οἷοί εἰσι κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς οἱ διφορούμενοί τε καὶ οἱ διαφόρως περαίνειν ὑπ' αὐτῶν λεγόμενοι. διφορούμενοι μὲν γάρ εἰσι κατ' αὐτοὺς οἱ τοιοῦτοι "εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν," διαφόρως δὲ περαίνοντες ἐν οἷς τὸ συμπέρασμα ταὐτόν ἐστιν ἑνὶ τῶν λημμάτων, ὡς ἐπὶ τῶν τοιούτων "ἤτοι ἡμέρα ἐστὶν ἢ φῶς ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν." εἰ δή τις λέγοι καὶ τοὺς τοιούτους λόγους συλλογισμούς, ὁμωνύμως ἂν λέγοι· πῶς γὰρ οὐκ ἄτοπον τὸ ἤδη κείμε-

---

(*) post ἀρχή codices Regii 1874 et 1917: ἀξιοῦσι δέ τινες τὸ πρῶτον βιβλίον μὴ Τοπικὰ ἀλλὰ πρὸ τῶν Τόπων ἐγγράφεσθαι.

ἀλλ' ἑτέρα δύναμίς ἐστιν ἡ τῆς αἰσθήσεως περὶ τὸ κατὰ μέρος ἐνεργούσης τὸ ἓν ἐκ πολλῶν καὶ τὸ ἀδιάφορον ἐκ διαφόρων καὶ ταὐτὸν ἐξ ἑτέρων συνάγει, οἷον τὸν ἄνθρωπον ἐκ Καλλίου καὶ Ἀρίστωνος καὶ τὸ ζῶον ἐξ ἀνθρώπου καὶ λέοντος καὶ τὴν οὐσίαν ἐκ φυτοῦ καὶ ζώου· ἄνεισι γὰρ μέχρις ἂν εἰς ἓν παντελῶς τὰ πολλὰ ἀναγάγῃ τε καὶ συνοψίσηται. ὥστε ἐπαγωγῇ ὁ τρόπος ἔοικε τῆς συστάσεως τοῦ καθόλου καὶ τῆς γνώσεως, καθὸ λέγεται ἐπαγωγὴ πᾶς ὁ ἐκ τῶν κατὰ μέρος τὸ καθόλου κεφαλαιούμενος λόγος. ἤδη δὲ τοῦ τοιούτου λόγου τὰ μὲν λήμματα θήσουσιν αἱ αἰσθήσεις (ἀρχαὶ γὰρ αὗται καὶ αἰτίαι τῶν κατὰ μέρος ὑπολήψεων), τὴν δὲ καθόλου ἐπιφορὰν ὁ νοῦς ποιήσεται· τούτου γὰρ ἔργον ἤδη τὰ πολλὰ ἑνοῦν καὶ περαίνειν τὰ ἄπειρα, ὅπερ φησὶ Πλάτων πέρατι συνδῆσαι· καὶ γὰρ διαιρετικὸς καὶ συνθετικὸς καὶ μεταβατικὸς καὶ ἄλλως πολυτρόπως εὐκινητότατος. Themist. f. 14 *b*.

πρῶτα λέγει τὰς ἀρχὰς ἤγουν τὰς ἀμέσους προτάσεις, αἳ 100 b 4.
τινες γνωρίζονται καὶ συνάγονται τῇ ψυχῇ ἐξ ἀπαγωγῆς. ὡς γὰρ ἐν τῇ ἀπαγωγῇ γινώσκομεν τὸ καθόλου διὰ τῶν μερικῶν, οὕτω καὶ ὁ νοῦς ἐπισυνάγει τὸ καθόλου ἢ τὰς ἀμέσους προτάσεις ἢ καὶ τοὺς ὁρισμούς. Ioh. Phil. f. 100 *b*.

εἰ μηδεμία τῆς λογικῆς ψυχῆς καθ' ἃς ἀληθεύομεν ἐστὶν ἀλη- 100 b 15.
θέστερον ἀλλ' ἢ ὁ νοῦς μόνος, νοῦς ἄρα εἴη ἀρχὴ τῆς ἐπιστήμης καὶ τῆς γνώσεως τῶν ἀρχῶν, καὶ ἡ ἀρχὴ τῆς γνώσεως τῆς ἀρχῆς ἤγουν τῶν ἀμέσων προτάσεων. ἡ δὲ πᾶσα ἐπιστήμη ἡ δι' ἀποδείξεως γινώσκει τὰ πράγματα ἐπιστητά, ἤγουν ὡς ὁ νοῦς γινώσκει τὰς ἀρχὰς τῆς ἀποδείξεως, γινώσκει τὰ ἐπιστητὰ πράγματα καὶ ἀποδεικτά. id. f. 101.

νοῦς οὖν ἀρχὴ ἐπιστήμης. καὶ ἡ μὲν ἀρχὴ τῶν ἀρχῶν γνῶσις, ἡ δὲ πᾶσα ἐπιστήμη τοῦ παντὸς ἐπιστητοῦ· ὡς γὰρ ἀρχὴ πρὸς τὴν ἀρχήν, οὕτως ἡ πᾶσα πρὸς πᾶσαν. Themist. f. 15.

ΕΙΣ ΤΑ ΤΟΠΙΚΑ.

Τὴν μὲν πρόθεσιν τὴν κατὰ τὴν Τοπικὴν πραγματείαν, καὶ πρὸς πόσα τε καὶ τίνα χρήσιμός ἐστι τῷ φιλοσόφῳ ἥδε ἡ μέθοδος, καὶ τί τὸ τέλος αὐτῆς, αὐτὸς λέγει, τὸ μὲν ἀρχόμενος εὐθὺς τὸ δὲ ὀλίγον προελθών, δι' ὧν γνώριμον ποιεῖται ὅτι καὶ τοῖς προηγουμένως φιλοσοφοῦσιν ἀξία σπουδῆς ἡ διαλεκτικὴ πρὸς τὴν εὕρεσιν τῆς ἀληθείας αὐτῆς συντελοῦσα, ὃ τέλος ἐστὶ τῆς φιλοσόφου θεωρίας. ἡμᾶς δὲ καλῶς ἔχει προειδέναι ὅτι τὸ τῆς διαλεκτικῆς ὄνομα οὐκ ἐπὶ ταὐτὸν σημαινόμενον πάντες οἱ φιλόσοφοι φέρουσιν, ἀλλ' οἱ μὲν ἀπὸ τῆς Στοᾶς ὁριζόμενοι τὴν διαλεκτικὴν ἐπιστήμην τοῦ εὖ λέγειν ὁρίζονται, τὸ δὲ εὖ λέγειν ἐν τῷ τἀληθῆ καὶ προσήκοντα λέγειν εἶναι τιθέμενοι, τοῦτο δὲ ἴδιον ἡγούμενοι τοῦ φιλοσόφου κατὰ τῆς τελεωτάτης φιλοσοφίας φέρουσιν αὐτό, καὶ διὰ τοῦτο μόνος ὁ φιλόσοφος κατ' αὐτοὺς διαλεκτικός. Πλάτων δὲ τὴν διαιρετικὴν μέθοδον ἐξυμνῶν καὶ θριγκὸν αὐτὴν φιλοσοφίας λέγων, ταύτης δὲ θέμενος ἔργον εἶναι τὸ δύνασθαι τό τε ἓν πολλὰ ποιεῖν καὶ τὰ πολλὰ εἰς ἓν συνάγειν, ὅπερ ἂν εἴη ἴσον τῷ τὰ γένη δύνασθαι διαιρεῖν εἰς εἴδη καὶ εἰς τὰ ὑπὸ ταῦτα καὶ πάλιν τὰ ἄτομα συντιθέναι τε καὶ εἰς ἓν γένος ἀνάγειν τε καὶ συγκεφαλαιοῦσθαι, τὴν αὐτὴν ταύτην καὶ διαλεκτικὴν καλεῖ. Ἀριστοτέλης δὲ καὶ οἱ ἀπ' αὐτοῦ οὐ ταῦτα περὶ τῆς διαλεκτικῆς φέρουσιν, ἀλλὰ τίθενται μὲν αὐτὴν μέθοδόν τινα εἶναι συλλογιστικήν, ἡγούμενοι δὲ τὸν συλλογισμόν, καθὸ συλλογισμός ἐστι, μηδὲν ἄλλον ἄλλου διαφέρειν, εἶναι δὲ αὐτῶν τὴν διαφορὰν τὴν μὲν κατὰ τὰ εἴδη τῶν προτάσεων τὴν δὲ κατὰ τοὺς τρόπους καὶ τὰ σχήματα τὴν δὲ κατὰ τὴν ὕλην περὶ ἥν εἰσιν, ὧν ἡ μὲν πρώτη διαφορὰ ποιεῖ τῶν συλλογισμῶν τοὺς μὲν διαλεκτικούς, οὓς κατηγορικοὺς καλοῦμεν, τοὺς δὲ ὑποθετικούς, ἡ δὲ δευτέρα τοὺς μὲν τελείους τοὺς δὲ ἀτελεῖς, καὶ τοὺς μὲν ἐν πρώτῳ τοὺς δὲ ἐν δευτέρῳ τοὺς δὲ ἐν τρίτῳ σχήματι, ὡς ἐν τοῖς Προτέροις Ἀναλυτικοῖς δείκνυται... ἡ δὲ τρίτη ἡ κατὰ τὴν ὕλην τοὺς μὲν ποιεῖ ἀποδεικτικοὺς τοὺς δὲ διαλεκτικούς· ὡς γὰρ αἱ τέχναι καθὸ τέχναι μηδὲν ἀλλήλων διαφέρουσαι, παρὰ τὴν τῆς ὕλης περὶ ἥν εἰσι διαφορὰν καὶ τὸν τῆς χρήσεως τρόπον τὴν διαφορὰν λαμβάνουσιν ὡς εἶναι τὴν μὲν αὐτῶν τέχνην τεκτονικὴν τὴν δὲ οἰκοδομικὴν τὴν δὲ ἄλλην τινά, οὕτω καὶ οἱ συλλογισμοί· ὁ μὲν ἐξ ἀληθῶν τε καὶ οἰκείων τῷ προκειμένῳ καὶ πρώτων τε καὶ γνωριμωτέρων δεικνὺς καὶ συνάγων τὸ προκείμενον συλλογισμὸς ἀποδεικτικὸς ὑπὸ τῶν ἀνδρῶν καλεῖται, καὶ ἀπόδειξιν λέγουσιν αὐτὴν τὴν μέθοδον τὴν διὰ τοιούτων συλλογιστικήν, τὸν δὲ δι' ἐνδόξων συλλογιζόμενον διαλεκτικόν, καὶ διαλεκτικὴν ἀκολούθως τὴν διὰ τοιούτων συλλογιστικήν, τὸν δὲ ἐκ φαινομένων ἐνδόξων σοφιστικόν, καὶ σοφιστικὴν τὴν τούτοις χρωμένην... καὶ εἰκότως ἡ τοιαύτη μέθοδος διαλεκτικὴ καλεῖται· ἡ γὰρ διαλεκτικὴ ἀπὸ τοῦ διαλέγεσθαι, τὸ δὲ διαλέγεσθαι ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει, ὁ δὲ ἐρωτῶν ἐρωτᾷ περὶ παντὸς τοῦ προβεβλημένου ὑπὸ τοῦ ἀποκρινομένου, δι' ὧν ἂν ἐκ τῆς ἐρωτήσεως παρ' αὐτοῦ πάντως λάβῃ συλλογισάμενος, καθόσον μὲν περὶ παντὸς τοῦ προτεθέντος πειρᾶται συλλογίζεσθαι, οὐκ ἐξ ἀληθῶν ἔσται συλλογιζόμενος· οὔτε γὰρ πᾶν τὸ προτιθέμενον ἀληθές... διὸ οἱ ἐπ' ἄλλο τι σημαινόμενον μεταφέροντες αὐτὴν οὐκ οἰκείως καταχρῶνται τῷ τῆς διαλεκτικῆς ὀνόματι. τοιαύτην δὲ οὖσαν αὐτὴν εἰκότως καὶ ἀντίστροφόν φησιν ὁ Ἀριστοτέλης εἶναι τῇ ῥητορικῇ (Rhet. 1 1), ἐπειδὴ κἀκείνη περὶ τὰ πιθανά, ἃ τῷ ἔνδοξα εἶναι καὶ αὐτά ἐστι τοιαῦτα· τὸ γὰρ ἀντίστροφον ἀντὶ τοῦ ἰσόστροφόν τε καὶ περὶ τὰ αὐτὰ στρεφομένην καὶ καταγινομένην λέγει... ὁ δὲ διαλεκτικός τε καὶ ὁ ῥήτωρ ὁμοίως τὴν τῶν ἀντικειμένων δεῖξιν σκοπὸν ἔχουσι. διὸ καὶ δυνάμεις αὐτὰς καλοῦσι· τὸ γὰρ κυρίως δυνάμενόν τι τὰ ἀντικείμενα δύναται. λέγουσι μὲν γάρ τινες αὐτὰς δυνάμεις καλεῖσθαι διὰ τὸ ἐν δυνάμει τινὶ καὶ ὑπεροχῇ ποιεῖν τοὺς χρω-

λάβῃς ἕν τι εἶδος τῶν ὑπὸ τὸ μεῖζον ἀναγομένων, ἀπόδειξις οὐ γίνεται· οὐ γὰρ ἐξισάζει ὁ ἐλάττων τῷ μέσῳ ἢ τῷ μείζονι. id. f. 98 *b*.

τὸ μὲν "ἔχει δ' οὕτω τὸ παρακολουθεῖν" εἶπεν ἀντὶ τοῦ ἔχει δὲ οὕτω περὶ τοῦ παρακολουθεῖν. τῷ δὲ παρακολουθεῖν ἀντὶ τοῦ ἀντιστρέφειν κέχρηται. τὸ δὲ κατάλληλον τῆς λέξεως τοιοῦτον, ἔχει δὲ οὕτω τὸ παρακολουθεῖν ἀλλήλοις τὸ αἴτιον καὶ οὗ αἴτιον καὶ ᾧ αἴτιον. ἔστι δὲ τὸ μὲν ᾧ αἴτιον, τὸ ὑποκείμενον, τὸ δὲ οὗ αἴτιον, τὸ τούτῳ ὑπάρχον. λέγει δὲ ταῦτα περὶ τῶν ἐν ταῖς ἀποδείξεσιν αἰτίων. Anonym. f. 114.

99 a 24. ἀλλ' εἰ πάντα ληφθῶσιν ὁμοῦ τὰ ὑποπίπτοντα τῷ φυλλορροεῖν, ἐξισάζουσιν αὐτῷ. πρῶτον μὲν λέγει τὸ πήγνυσθαι τὸν ὀπόν, ὅπερ ἐστὶν ὅρος τοῦ φυλλορροεῖν. ἔστι γοῦν τὸ πρῶτον μέσον ἐπὶ θάτερα τὰ ἄκρα. Ioh. Phil. f. 98 *b*.

99 b 29. σπέρμα λέγεται τὸ ἄκρον τοῦ ὀχάνου, καθ' ὃ συνάπτεται τῷ φύλλῳ. σπέρμα δὲ λέγεται τὸ ἄκρον διὰ τὸ ἐγκεῖσθαι ἐν αὐτῷ τὴν σπερματικὴν ἀρχὴν καὶ δύναμιν, ἐξ ἧς φύεται τὸ φύλλον. id. ib.

99 a 30. ἐπὶ δὲ τῶν πραγμάτων, φησίν, ἐδείξαμεν πῶς οἱ ὅροι ἐν ταῖς ἀποδείξεσιν ἀκολουθοῦσιν ἀλλήλοις· δείξομεν δὲ καὶ ἐπὶ σχημάτων στοιχεῖα. id. ib.

99 a 35. ἅπαντα δὲ ὁμοῦ συλληφθέντα τὰ πλατύφυλλα ἐξισάζουσι τῷ πήγνυσθαι τὸν ὀπόν, καὶ ἀντιστρέφουσι καὶ παρεκτείνουσιν ἤγουν συνεξισάζουσι, id. f. 99.

ἐκεῖνο δέ, φησίν, ἐστὶ πρῶτον καθόλου, ἤτοι προσεχὲς καὶ ἀμέσως οὗ κατηγορεῖται κατηγορούμενον, πρὸς ὃ ἕκαστον μὲν τῶν ὑπὸ τὸ ὑποκείμενον εἰδῶν μὴ ἀντιστρέφει, ἅπαντα δὲ ὁμοῦ ληφθέντα καὶ ἀντιστρέφει καὶ συνεπεκτείνεται ἤτοι ἐξισοῦται· τοῦτο γάρ ἐστι τὸ παρεκτείνειν. Eustrat. f. 62.

99 a 37. εἰ γὰρ μή ἐστιν ἐπὶ πλέον αὐτοῦ, τί μᾶλλον; ἤγουν οὐδὲν μᾶλλον τοῦτο τὸ β' ἔσται αἴτιον ἐκείνου τοῦ α'· δύναται γὰρ τὸ α' γενέσθαι αἴτιον τοῦ β'· τὰ γὰρ ἐξισάζοντα ἀλλήλων αἴτια γίνονται. εἰ γοῦν τὸ α' ἐπὶ πλέον ὑπάρχει τοῦ β', ὑπάρξει ἄρα πᾶσι τοῖς ε', καθ' ὧν τὸ β' οὐ λέγεται. Ioh. Phil. f. 99.

99 b 3. ἀντὶ τοῦ εἰπεῖν τι αἴτιον εἶπε "τι ἕν." id. ib.

10. τὸ δὲ "τοῖς καθ' ἕκαστον" λέγοι ἂν ἀντὶ τοῦ τὸ πρῶτον καθόλου ὑπάρχει τοῖς καθ' ἕκαστον. φησὶ δ' ὅτι τὸ ἐγγύτατον ἑκάστῳ αἴτιον, τοῦτο καθόλου αὐτῷ ὑπάρχει, καὶ προστίθησι τὴν αἰτίαν. Anonym. f. 115.

99 b 15. τὸ ἀποδεικτικὸν τῇ ἐπιστήμῃ προστέθεικεν, ἐπεὶ κοινότερον ἐπιστήμη καὶ κατ' ἄλλων κατηγορεῖται. οὐκέτι δὲ τῆς ὁριστικῆς πραγματείας, περὶ ἧς καὶ αὐτῆς ἐν τούτῳ τὸν λόγον πεποίηται, ἐμνημόνευσεν ἰδίᾳ, ἐπεὶ καὶ αὕτη πρὸς τὴν τῶν ἀποδείξεων γένεσίν τε καὶ σύστασιν συντελεῖ. περὶ γὰρ ὁρισμῶν προηγουμένως ἐν τῷ ζ' τῆς Μετὰ τὰ Φυσικὰ λέγει. id. ib.

100 a 6. ἐπεὶ δὲ τὸ καθόλου τριττόν ἐστι, ἢ τὸ πρὸ τῶν πολλῶν, ὅπερ εἰσὶν αἱ ἰδέαι αἱ παρὰ τῷ Πλάτωνι, καὶ τὸ ἐπὶ τοῖς πολλοῖς καὶ ἐν τοῖς πολλοῖς, ἐφερμηνεύων ποῖον σημαινόμενον τοῦ καθόλου ἐκ τῆς ἐμπειρίας ἐνεπάγη τῇ ψυχῇ καὶ ἑδραιοῦται, ἐπάγει ὡς καθόλου φησὶ τὸ ἓν ὃ ἕτερον μέν ἐστι παρὰ τὰ πολλὰ ἤγουν τὰ μερικά... "ἢ ἐκ παντὸς ἠρεμήσαντος τοῦ καθόλου." ἤγουν τὸ ἢ ἀντὶ τοῦ καὶ ληπτέον. Ioh. Phil. f. 100.

100 a 12. ὡς γοῦν ἐπὶ τῆς μάχης διαφθαρείσης συνέβη πάλιν συστῆσαι ταύτην ἐκ τοῦ ἐπισυναχθῆναι τὸν καθ' ἕνα τῶν φυγόντων, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς γέγονεν. τῶν γὰρ ἀλόγων δυνάμεων τῆς ψυχῆς, θυμοῦ λέγω καὶ ἐπιθυμίας, ἐπικρατησάντων τῆς λογικῆς ψυχῆς, συνέβη φθαρῆναι τὴν τοῦ καθόλου γνῶσιν τὴν ἐν αὐτῇ οὖσαν: εἶτα ἐκ τῆς αἰσθήσεως ἑνὸς αἰσθήματος ἐντυπωθέντος ἐν τῇ φαντασίᾳ, καὶ αὖθις ἑτέρου τοιούτου, καὶ οὕτω πολλῶν αἰσθημάτων ἐπισυναχθέντων, μνῆμαι πολλαὶ γίνονται, ἐκ δὲ τῶν μνημῶν ἐμπειρία μία, ἐκ δὲ τῆς ἐμπειρίας, ὃ ἐπάγεται αὖθις τῇ ψυχῇ, ἡ τοῦ καθόλου γνῶσις. Ioh. Phil. f. 100 *b*.

τὸ δ' "ἕως ἐπ' ἀρχὴν ἦλθεν" ἤτοι ἐπὶ τῶν ἐν τῇ ψυχῇ νοουμένων τε καὶ ἀθροιζομένων εἶπεν (ἡ γὰρ ἐπὶ τοῖς αἰσθητοῖς καθόλου σύνθεσίς τε καὶ στάσις, καὶ ἡ ἐπὶ τοῖς πρώτοις καθόλου λῆψις τῆς ἀρχῆς καὶ τοῦ πρώτου κοινὴ λῆψις) ἢ ἀρχὴν καὶ ἐν τῷ στρατοπέδῳ εἶπεν τὸν ἀριθμὸν καὶ τὴν στάσιν τε καὶ παράταξιν τοῦ παντὸς στρατοπέδου. λέγει δ' ἐπιτηδειότητα καὶ δύναμιν τὴν ψυχὴν ἔχειν τοῦ δύνασθαι φυλάττειν τὰ ἀπὸ τῶν αἰσθητῶν πάθη. Anonym. f. 115 *b*.

οἷον ἐν μάχῃ τροπῆς γενομένης εἷς ἔστη καὶ πάλιν ἕτερος ἔστη καὶ πάλιν ἄλλος καὶ ἤδη τοσοῦτοι ὥστε παράταξιν καὶ ἀρχὴν αὖθις μάχης γενέσθαι· οὕτω μείναντος ἐν τῇ ψυχῇ τύπου συνηρμόσθη καὶ ἄλλος καὶ αὖθις ἄλλος καὶ τοσοῦτοι ἤδη τὸ πλῆθος ὡς ἰσχυρὸν τὸ καθόλου γενέσθαι. ἡ ψυχὴ οὖν αἰτία τοιαύτην ἔχουσα φύσιν ὥστε τῶν αἰσθητῶν παραρρεόντων ἐπιλαμβάνεσθαι τῶν ὁμοίων τύπων καὶ ἐναποτίθεσθαι τῇ μνήμῃ συνάγουσαν τὸ καθόλου τὸ ἐν τοῖς καθ' ἕκαστον ὅμοιον, οὗ καὶ αὐτή πως ἡ αἴσθησις συνεφάπτεται. Themist. f. 14 *b*.

100 a 15. ἀδιάφορα λέγει καὶ τὰ κατ' εἶδος ὄντα ἀδιάφορα καὶ ὅμοια, ὡς ὁ Σωκράτης καὶ ὁ Πλάτων· ζῷα γὰρ ἄμφω. καὶ ὡς ἐπισυνάγεται τὸ εἶδος τὸ εἰδικώτατον ἐκ τῶν μερικῶν, οὕτως αὖθις τὸ γένος ἐκ τῶν εἰδῶν. καὶ διασαφεῖ πῶς τοῦτο γίνεται· ἡ αἴσθησις ἐνεργοῦσα ὡς μέρη τινὰ μερικὰ ἀδιάφορα κατ' εἶδος ἅπαξ τὸ ἓν τοῦτο αἴσθημα ἔστησεν ἐν τῇ φαντασίᾳ καὶ ἐνετύπωσεν, οὐ μόνον ἔχον ἀπόμορξιν ἰδιωμάτων καὶ συμβεβηκότων τινῶν, ἐξ ὧν τὰ μερικὰ συνίστανται καὶ γνωρίζονται, ἀλλὰ καὶ ἀπομάσσεταί τι τοῦ καθόλου. καθόλου δέ ἐστιν ἡ κοινότης, καθ' ἣν κοινωνοῦσι πάντα τὰ μερικά. Ioh. Phil. f. 100 *b*.

100 a 17. λέγει τὴν αἴσθησιν αἰσθάνεσθαι μὲν ὧν ἂν αἰσθάνηται καὶ ἐπὶ τῶν καθ' ἕκαστον (τῶν γὰρ ἐν τοῖς καθ' ἕκαστα καὶ ἀτόμοις ἡ αἴσθησις αἰσθητική), ἡ δ' ἀντίληψις αὐτῇ τὸ καθόλου γίνεται. ὁ βουλόμενος δεῖξαι πῶς εἴρηται, παραδείγματι ἐχρήσατο τῷ ἀνθρώπῳ καὶ τῷ Καλλίᾳ. Anonym. f. 115 *b*.

100 b 1. ὥστε τρόπον τινὰ καὶ αἴσθησις τοῦ καθόλου, ἀλλ' οὐχ οὕτως ὥστε αὐτὸ χωρίσαι καὶ ἀφελεῖν καὶ καθ' ἑαυτὸ γνῶναι, ἀλλὰ συγκεχυμένον τε τῷ καθ' ἕκαστον καὶ μᾶλλον εἰς ἐκεῖνα ἀποτετραμμένον.

ὑπὸ τὸ ἀνάλογον, καὶ ἔστι τοῦτο ὡς κοινὸν ὄνομα δηλωτικὸν τούτων ἁπάντων. Ioh. Phil. f. 95 *b*.

98 a 24. τὰ δὲ αὐτὰ προβλήματά ἐστι τῷ τὸ αὐτὸ αἴτιόν τε καὶ μέσον ἔχειν, οἷον διὰ τί ἡ λίθος ἡ Μαγνῆτις ἕλκει καὶ τὸ ἤλεκτρον καὶ ἡ σικύα· πάντων γὰρ τὸ αὐτὸ μέσον τε καὶ αἴτιον ἡ ἀντιπερίστασις, ὥς φησι Πλάτων. ἔστι δὲ ταὐτὸν τὸ μέσον ἢ εἴδει ἢ γένει, εἴδει μὲν ὃ προείρηται (ἀέρος γὰρ ἀντιπερίστασις ἁπάντων αἰτία), γένει δὲ οἷον διὰ τί ἠχώ, καὶ διὰ τί ἐν τοῖς κατόπτροις ἑαυτοὺς ὁρῶμεν, καὶ διὰ τί ἶρις· πάντα μὲν γὰρ δι' ἀνάκλασιν, ἀλλ' ὃ μὲν ἀέρος, ὃ δὲ ὄψεως, ὃ δὲ φωτός. Themist. f. 13 *b*.

Θεόφραστος δὲ καὶ ἐπραγματεύσατο περὶ τῆς συναγωγῆς τῶν ὁμοίων προβλημάτων. Ἀριστοτέλης δὲ νῦν διδάσκει τίνι κρινοῦμεν τὰ ταὐτὰ ἀλλήλοις προβλήματα. λέγει δὴ διχῶς ταὐτὰ εἶναι προβλήματα ἀλλήλοις, ἢ τῷ τὸ αὐτὸ μέσον ἔχειν, οἷον ὅτι πάντα ἀντιπερίστασις· ἔστι δὲ εἰ ἐπὶ τῶν τοιούτων προβλημάτων κοινὸν μέσον ἡ τοῦ θερμοῦ ἀντιπερίστασις. οἷον διὰ τί χειμῶνος μᾶλλον πέττομεν, διὰ τί καθεύδοντες πυκνὸν ἀναπνέομεν, διὰ τί αἱ πηγαὶ τοῦ χειμῶνος θερμότεραι· πάντων γὰρ τούτων αἴτιον τὸ αὐτό, ἡ τοῦ θερμοῦ ἀντιπερίστασις, ὃ καὶ μέσος ὅρος ἐστίν. καὶ τούτων πάλιν τῶν διὰ τὸ ἓν αὐτὸν μέσον ἔχειν τῶν αὐτῶν ὄντων ὑποδιαίρεσιν ποιεῖται τινά. Anonym. f. 113.

98 a 29. τὰ δὲ τῶν προβλημάτων λέγονται ταὐτὰ διὰ τὸ τὸ αἴτιον καὶ μέσον τοῦ ἑτέρου ὑπὸ ἕτερον μέσον ἀναφέρεσθαι. μέλλων δὲ εἰπεῖν ὅτι ταὐτά εἰσι τὰ τοιαῦτα προβλήματα, ταὐτὰ μὲν οὐκ εἶπεν, ἀλλ' ὅτι διαφέρουσι καὶ ἕτερά εἰσιν· ἔδει δὲ μὴ ἕτερα ταῦτα εἰπεῖν καὶ διαφέροντα ἀλλὰ μᾶλλον ταὐτά, διότι οὐδὲ ζητεῖ ἐνταῦθα τίνα εἰσὶ τὰ ἕτερα προβλήματα ἀλλὰ τίνα ταὐτά. καὶ λέγομεν, ἐπειδὴ τῶν προβλημάτων τούτων ἐφ' ὧν τὸ αἴτιον θατέρου ὑπὸ τὸ αἴτιον θατέρου ἀναφέρεται, ὡς καὶ δοκεῖν ἐντεῦθεν τὸ ἀπαράλλακτον ἔχειν τὰ προβλήματα τὰ τοιαῦτα, διὰ τοῦτο ἠναγκάσθη τὴν διαφορὰν αὐτῶν εἰπεῖν. Ioh. Phil. f. 96 *b*.

ἔστι δὲ καὶ καθ' ἕτερον τρόπον τὰ αὐτὰ ἀλλήλοις προβλήματα, ὅταν θατέρου τὸ αἴτιον ἐξηρτημένον ᾖ τῆς θατέρου αἰτίας καὶ τάττηται ὑπ' ἐκείνην, οἷον διὰ τί ὁ Νεῖλος φθίνοντος τοῦ μηνὸς μᾶλλον ῥεῖ; διότι χειμεριώτερος φθίνων ὁ μήν. καὶ ἔστιν ἓν πρόβλημα τοῦτο. διὰ τί δὲ φθίνων χειμεριώτερος ὁ μήν; διότι τῇ σελήνῃ τηνικαῦτα ἀπολείπει τὸ φῶς. καὶ δύο ἤδη προβλήματα σχεδὸν ὑφ' ἓν μέσον ἐστὶ καὶ μίαν αἰτίαν τὴν σύνοδον, ἀλλὰ τοῦ μὲν προσεχῶς αἴτιον, τοῦ ἀπολείπειν τὸ φῶς, κατὰ δεύτερον δὲ λόγον τοῦ γενέσθαι τὸν μῆνα χειμεριώτερον, κατὰ τρίτον δὲ τοῦ μᾶλλον ῥεῖν τηνικαῦτα τὸν ποταμόν. Themist. f. 13 *b*.

98 a 35. λέγω αἴτιον μὲν τὸ μέσον, οὗ αἴτιον δὲ τὸ συμπέρασμα. id. f. 14.

98 b 25. λύσας τὸ ἄπορον καὶ εἰπὼν μὴ δι' ἀλόγου ἀπόδειξιν γίνεσθαι, ὅταν τὸ αἴτιον ἅμα καὶ τὸ αἰτιατόν εἰσιν, ἀλλὰ τὸν μὲν συλλογισμὸν τὸν διὰ μέσου τοῦ αἰτίου κυρίως εἶναι ἀπόδειξιν καὶ τοῦ διότι, τὸν δὲ διὰ τοῦ αἰτιατοῦ τεκμηριώδη εἶναι συλλογισμόν, νῦν ἐπάγει καὶ ἑτέραν λύσιν, ὅτι ὅταν μὲν διὰ τοῦ αἰτίου γένηται ὁ συλλογισμός, ἐξ ἀνάγκης ἕπεται τὸ αἰτιατὸν καὶ κυρίως ἀπόδειξις γίνεται, ὅταν δὲ τὸ αἰτιατὸν μέσον ληφθῇ, οὐκ ἐξ ἀνάγκης ἕπεται τὸ αἰτιατόν. Ioh. Phil. f. 97 *b*.

πλείω δὲ τοῦ αὐτοῦ μέσα τε καὶ αἴτια εἶναι οὐχ οἷόν τε, εἰ μὴ ἄρα διὰ συμβεβηκότος ἡ δεῖξις ἢ διὰ σημείου προΐοι. Themist. f. 14.

98 b 31. οὐκ ἀποδεικτικῶς ἀποδέδεικται ἡ προτέρα λύσις διὰ τὸ πᾶσαν ἀπόδειξιν καθόλου γίνεσθαι... ἐνταῦθα δὲ καθόλου ἡ ἀπόδειξις οὐ γέγονεν ἀλλὰ κατὰ μέρος, καὶ οὐ διὰ τοῦ αὐτοῦ μέσου ἀλλὰ δι' ἄλλων. Ioh. Phil. f. 97 *b*.

99 a 1. μεταβαίνει εἰς ἕτερον θεώρημα, καὶ ζητεῖ εἰ ἐνδέχεται τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος, ἤγουν τοῦ τὰ δένδρα φυλλορροεῖν, εἶναι τὸ αὐτὸ καὶ ἓν αἴτιον ἢ ἕτερον καὶ ἕτερον, ἤγουν εἰ ἐνδέχεται ἓν αἴτιον εἶναι ἢ πολλὰ τοῦ αὐτοῦ πράγματος. καὶ φησὶν ὡς εἰ μὲν καθ' αὑτὸ τὸ αἴτιον ὑπάρχει τῷ αἰτιατῷ, ἀνάγκη εἶναι ἕν, οἷον αἴτιον τοῦ φυλλορροεῖν τὸ πήγνυσθαι καθ' αὑτὸ τὸν ὀπόν. εἶτα λέγει καὶ τὴν αἰτίαν, πῶς εἰ καθ' αὑτὸ αἴτιον ὁρισμός ἐστι τοῦ αἰτιατοῦ, ὁ δὲ ὁρισμὸς ἑκάστου πράγματος εἷς ἐστί, καὶ διὰ τοῦτο καὶ τῆς σεληνιακῆς ἐκλείψεως τὸ καθ' αὑτὸ αἴτιον ἕν ἐστιν, ἡ ἀντίφραξις τῆς γῆς· εἰ δὲ τὸ ἀποδοθὲν αἴτιον κατὰ σημεῖόν ἐστιν ἢ κατὰ συμβεβηκός, ἐνδέχεται πολλὰ αἴτια εἶναι τοῦ αὐτοῦ. id. ib.

99 a 3. ὁρισμὸς γὰρ τοῦ ἄκρου ἐστὶ τοῦ κατηγορουμένου καὶ τοῖς πλείοσιν ὑπάρχοντος ἡ αἰτία δι' ἧς δείκνυται, καὶ οὗτος ὁ μέσος ὅρος· ἡ γὰρ τοιαύτη αἰτία κατὰ κοινόν τι καὶ ταὐτὸν τοῖς πλείοσιν ὑπάρχει. εἰ δὲ μὴ εἴη ἀποδεικνύμενον διὰ τοῦ αἰτίου ἀλλὰ διὰ σημείου ἢ διὰ συμβεβηκότος μέσου λαμβανομένου, ἐνδέχεται ἄλλο δι' ἄλλου τὸ αὐτὸ ὑπάρχον δείκνυσθαι. Anonym. f. 113 *b*.

99 a 5. ἀντὶ τοῦ εἰπεῖν αἰτιατὸν εἶπεν "οὗ αἴτιον," ἀντὶ δὲ τοῦ εἰπεῖν ἐλάττονα ὅρον εἶπεν "ᾧ," ἤγουν ᾧ τινὶ τῷ ἐλάττονι ὅρῳ ὑπάρχει τὸ μεῖζον ἄκρον διὰ μέσου αἰτίου τινός... ἔστι γοῦν σκοπεῖν εἰ συμβεβηκός ἐστι τὸ οὗ αἴτιον, ἤγουν τὸ αἰτιατόν, καὶ εἰ κατὰ συμβεβηκὸς κατηγορεῖται τοῦ ἐλάττονος, ᾧ τινὶ ἐνυπάρχει. οὐ μὴν δοκεῖ πρόβλημα εἶναι ἀποδεικτικόν, εἰ καὶ τὸ μεῖζον κατὰ συμβεβηκός ἐστι καὶ τὸ μέσον τοῦ ἐλάττονος κατηγορούμενον· εἰ δὲ μή, οὐ δοκεῖ. ὃ ταὐτόν ἐστι τῷ, εἰ δοκεῖ πρόβλημα εἶναι, λοιπὸν καὶ τὸ μέσον ἔσται συμβεβηκὸς ὅμοιον τῷ μείζονι. καὶ εἰ τὸ μεῖζον ὡς ἐν γένει ἐστίν, ἤγουν γένος τοῦ ἐλάττονος, καὶ τὸ μέσον γένος ἔσται τοῦ ἐλάττονος. Ioh. Phil. f. 98.

99 a 8. τοῦτο παράδειγμά ἐστι τοῦ μείζονος ὡς γένους ληφθέντος. καὶ λαμβάνει ὡς μεῖζον τὸ μεῖζον ἄκρον· τὸ ἐὰν τέσσαρά τινα ἀνάλογον ἔχωσι, καὶ ἐναλλὰξ ἀνάλογον ἔχουσι, τοῦτο θεωρεῖται ἐπὶ πολλῶν, ἤγουν γραμμῶν ἀριθμῶν καὶ ἄλλων μεγεθῶν. id. ib.

99 a 16. τὸ "οὗ αἴτιον" δηλοῖ τὸ μεῖζον ἄκρον, τὸ δὲ "ᾧ τὸ αἴτιον" τὸ ἔλαττον. ἕτερον τοῦτο θεώρημα. ἐπεὶ γὰρ ὁ ἀποδεικτικὸς συλλογισμὸς τρεῖς ὅρους ἔχει, παραδίδωσιν ἐνταῦθα πῶς οἱ τρεῖς ὅροι ἀλλήλοις ἀκολουθήσουσι, καί φησιν ὅτι εἰ μὲν ἐν τῷ ἐλάττονι ὅρῳ λάβῃς πάντα τὰ εἴδη τὰ ὑπὸ τὸ μεῖζον ἄκρον, ἔσονται καὶ οἱ τρεῖς καθόλου ὅροι καὶ ἐξισάζοντες καὶ ἀντιστρέφοντες, εἰ δὲ ἐν τῷ ἐλάττονι

96 b 39. ὁλόπτερα λέγεται ἢ τὰ ὑμενόπτερα, ὡς αἱ νυκτερίδες, ἢ τὰ καλλόπτερα, ὡς οἱ τέττιγες καὶ αἱ μαῖαι. id. f. 92 b.

97 a 1. σημειωτέον δὲ ὅτι ἀντὶ τοῦ εἰπεῖν διαφοράς εἶπε διαφοράν· πᾶν γὰρ γένος εἰς δύο διαφορὰς τοὐλάχιστον διαιρεῖται. id. ib.

97 a 3. ἔξω γένη ἢ τὰ ἀνωτέρω καὶ κοινότερα αὐτοῦ τοῦ ζῴου οὗ ἐμνημόνευσεν. ἢ ἔξω τὰ ἕτερα καὶ κεχωρισμένα τοῦ ζῴου καὶ τῆς οὐσίας, ὧν εἴη ἂν τὰ ὑπὸ τὰς ἄλλας κατηγορίας. ἢ τῶν ἔξω καὶ τῶν ὑφ' αὐτά ἀντὶ τοῦ καὶ μὴ ὑπαλλήλων ὄντων ἀλλὰ κεχωρισμένων καὶ μὴ ὑπαλλήλων· τοιαῦτα δὲ ἥ τε ὄρνις καὶ ὁ ἰχθύς. Anonym. f. 111 b.

97 a 6. "οὐδὲν δὲ δεῖ τὸν ὁριζόμενον καὶ διαιρούμενον." τοῦτο λέγει ἀναιρῶν τοὺς λόγους δι' ὧν μετεχείρει ὁ Σπεύσιππος ἀναιρῆσαι καὶ τὴν διαίρεσιν καὶ τοὺς ὁρισμούς. ἐπεχείρει γὰρ οὕτω δεικνύειν καὶ ὡς οὐκ ἔστιν ἀποδοῦναι ὁρισμόν τινος, λέγων ὡς ὁ θέλων δι' ὁρισμοῦ παραστῆσαι τὴν φύσιν τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου ἢ ἄλλου τινὸς ὀφείλει γινώσκειν πάντα τὰ ὄντα καὶ τὰς διαφορὰς αὐτῶν καθ' ἃς διαφέρουσιν ἀλλήλων· οὕτω γὰρ παρίσταται ἡ φύσις τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου ἢ ἄλλου τινός, ἐν τῷ χωρίζεσθαι τῶν ἄλλων πάντων. Ioh. Phil. f. 92 b.

Σπεύσιππος δὲ οὐ καλῶς λέγει φάσκων ἀναγκαῖον εἶναι τὸν ὁριζόμενον πάντα εἰδέναι· "δεῖ μὲν γάρ" φησίν "γινώσκειν τὰς διαφορὰς αὐτοῦ πάσας αἷς τῶν ἄλλων διενήνοχεν." ἀδύνατον δὲ εἰδέναι τὰς διαφορὰς τὰς πρὸς ἕκαστον μὴ εἰδότας αὐτὸ ἕκαστον. Themist. f. 13.

97 a 7. Σπευσίππου ταύτην τὴν δόξαν Εὔδημος εἶναι λέγει τὴν ὅτι ἀδύνατόν ἐστιν ὁρίσασθαί τι τῶν ὄντων μὴ πάντα τὰ ὄντα εἰδότα. Anonym. f. 111 b.

97 a 11. πρῶτον μὲν ἐλέγχει τοῦτον ψευδόμενον ὡς ἀγνοοῦντα τὰ τῆς διαφορᾶς σημαινόμενα· οὐ γὰρ κατὰ πᾶσαν διαφορὰν ἕτερα κρίνονται εἶναι τὰ πράγματα, ἀλλὰ κατὰ μόνας τὰς οὐσιώδεις. Ioh. Phil. f. 92 b.

97 a 20. οὐ γὰρ ἐκ τοῦ εἰδέναι πάντα τὰ τῶν ζῴων γένη γνώριμον γίνεται τὸ πᾶν ζῷον, ἢ λογικὸν ἢ ἄλογον, ἀλλ' ἐκ τοῦ εἰδέναι ὅτι μηδέν ἐστι τούτων μεταξύ. Anonym. f. 111 b.

97 a 23. ἐπί τινων γὰρ ἀντιγράφων κεῖται "διὰ τῶν θέσεων," ἐπὶ τινῶν δὲ "διὰ τῶν διαιρέσεων." λέγονται γὰρ καὶ αἱ ἀντικείμεναι διαφοραὶ θέσεις, καθὸ ἕκαστον τῶν ὄντων ὑφ' ἓν αὐτῶν τίθεται ἀνάγεσθαι... εἶπε δὲ "κατασκευάζειν" καὶ οὐ συλλογίζεσθαι ἢ ἀποδεικνύειν, εἰκότως· οὐ γὰρ πᾶς ὁ κατασκευάζων τι διὰ συλλογισμοῦ ἢ δι' ἀποδείξεως τοῦτο κατασκευάζει, ἀλλὰ γίνεται καὶ ἀπὸ ἀναλύσεως ἢ διαιρέσεως. Ioh. Phil. f. 93.

κατασκευάζειν δὲ ὅρον οὐ τὸ ἀποδεικνύναι εἶπεν· οὐδὲ γὰρ ἔστιν ἀποδεῖξαι ὅρον· οὐδὲ γὰρ πᾶν εἴ τι κατασκευάζεται, τοῦτο καὶ ἀποδείκνυται. κατασκευάσαι οὖν τὸ εὑρεῖν τε καὶ συνθεῖναι καὶ ἀποδοῦναι εἶπε. τὸ δὲ "διὰ τῶν διαιρέσεων" προσέθηκεν· εἰσὶ γάρ τινες ἀποδεδομένοι ὅροι οὐκ ἐκ διαιρέσεως, ὡς οἱ τῶν πρώτων γενῶν. Anonym. f. 112.

97 a 26. ἐπεὶ ἐν τοῖς ὁρισμοῖς πρῶτον κεῖται τὸ γένος, δεῖ σε προαποδεικνύειν ὅτι γένος ἐστὶ τὸ προηγούμενον τῶν ἄλλων μερῶν τοῦ ὁρισμοῦ, καὶ οὐχὶ ὁμώνυμος φωνή. ἔστι δὲ ἓν παρατήρημα ἀπὸ τούτων τῶν τριῶν τὸ καὶ προταγὲν τῶν ἄλλων διὰ τὸ δύνασθαι κατασκευάσαι τὸ πρῶτον κείμενον ἐν τῷ ὁρισμῷ ἤγουν τὸ γένος, ὅτι ὑπάρχει γένος, δεῖξαι δὲ τοῦτο καὶ διὰ τοῦ γένους, ἤγουν διὰ τῶν ἐπιχειρημάτων δι' ὧν κατασκευάζονται καὶ δεικνύονται ὅτι γένη εἰσίν, ὥσπερ ἔστι συλλογίζεσθαι καὶ ἀποδεικνύειν ὅτι συμβέβηκε τῷδε διὰ τῶν ἐπιχειρημάτων τῶν συμβαλλομένων πρὸς τὸ συμβεβηκός, ἤγουν πρὸς ἀπόδειξιν τοῦ συμβεβηκότος. Ioh. Phil. f. 93 b.

ἀφορμὰς δ' εἰλήφαμεν ἐκ τῶν Τοπικῶν, ὥσπερ ὅτι συμβέβηκε τόδε τῷδε, οὕτω καὶ ὅτι γένος τόδε τοῦδε κατασκευάζειν καὶ ὅτι διαφορὰ οὐσιώδης. Themist. f. 13 b.

97 b 4. ἀλλ' οὐδὲ διαφορά ἐστι τὸ καταλειφθέν· πᾶσαι γὰρ αἱ διαφοραὶ εἴχοντο ἤγουν ἐλήφθησαν· οὐ γάρ ἐστι καταλειφθεῖσα ἡ ὑστέρα διαφορά. Ioh. Phil. f. 94.

97 b 37. μεταφορικαὶ λέξεις λέγονται αἱ τροπαί, αἳ κυρίως μὲν τόδε σημαίνουσι, μεταφέρονται δὲ παρ' ἡμῶν ἐπὶ ἕτερόν τι σημαινόμενον, οἷον τὸ μέανδρος καὶ σκέπαρνον. εἰσὶ δὲ καί τινες λέξεις καθ' ὁμοιότητα, καὶ ἀναλογίαν ἔχουσι πρὸς τοὺς πόδας τοῦ ζῴου· ὡς γὰρ ἐν τοῖς ζῴοις τῷ ἀνθρώπῳ μέρος τοῦ σώματος ὑπερείδεται καὶ ἀνέχεται ὑπὸ τῶν ποδῶν, οὕτω καὶ ἡ κλίνη ἀνέχεται ὑπὸ τῶν ποδῶν αὐτῆς. ἀντὶ δὲ τοῦ εἰπεῖν τὰς λέξεις τὰς καθ' ὁμωνυμίαν καὶ ἀναλογίαν ἀναφερομένας εἶπεν ὅσα λέγεται. id. f. 95.

97 b 39. διαλέγεσθαί φησι τὸ διαλεκτικῶς ὁμιλεῖν. Anonym. f. 112 b.

98 a 1. ἕτερον θεώρημα, ἐν ᾧ παραδίδωσι πόθεν μέλλεις εὑρεῖν τὰ μέσα καὶ τὰ αἴτια τῶν προκειμένων προβλημάτων εἰς ἀπόδειξιν. τὸ δὲ "λέγειν" ἀντὶ τοῦ ἐκλέγειν καὶ συνάγειν ἐκληπτέον. Ioh. Phil. f. 95 b.

παραδίδωσιν ἡμῖν διὰ τούτων μέθοδον δι' ἧς εὐπορεῖν δυνησόμεθα εἰς τὸ λέγειν τὰ προβλήματα. λέγειν δὲ προβλήματά ἐστι τό τε αὐτὰ συντιθέναι δύνασθαι καὶ προβάλλειν, καὶ τὸ τὰς αἰτίας αὐτῶν ἀποδιδόναι. ἐφ' οὗ καὶ νῦν αὐτὸς τῷ λέγειν κέχρηται· ἐπὶ γὰρ τοῦ λέγειν τὰς αἰτίας τῶν ζητουμένων, ὡς καὶ προϊὼν δηλώσει. λέγει γὰρ προβλήματα, ἐν οἷς ζητεῖται τὸ διὰ τί, ἢ δι' οὗ παραδίδωσι τρόπου. ἢ ὁ ἅμα ἀμφότερα δεικνύμενα, καὶ ἡ εὕρεσις τῶν προβλημάτων καὶ ἡ εὕρεσις τῆς αἰτίας. ἔστι δ' αὐτῷ πολλὰ βιβλία τοιούτων προβλημάτων. πῶς οὖν εὐπορήσομεν τοῦ τὴν αἰτίαν ἐν τοῖς προβαλλομένοις ἀποδιδόναι, ὑπογράφει. οὐ γὰρ περὶ ὁρισμῶν ἐστὶν ἃ λέγει νῦν, ὡς ᾠήθησάν τινες. Anonym. f. 112 b.

λέγει τοίνυν ὅτι πρὸς τὸ ἐκλέγειν, τουτέστι πρὸς τὸ ἐκφράζειν καὶ αἰτιολογεῖν τὰ προστιθέμενα προβλήματα, δεῖ διαλέγειν, τουτέστιν ἀνερευνᾶν τάς τε ἀνατομὰς καὶ τὰς διαιρέσεις, ὡς εὐπορίαν ἐχούσας ἡμῖν τῆς τοῦ μέσου ἀποδόσεως. Eustrat. f. 56.

98 a 20. ἔτι δ' ἄλλος τρόπος ἐστὶ κατὰ τὸ ἀνάλογον ἐκλέγειν τὰ ἑπόμενα τοῖς εἴδεσιν, ὅταν εἰσὶ διάφορά τινα, ὡς τὸ σηπίον καὶ ἡ ἄκανθα καὶ τὸ ὀστοῦν, τὴν αὐτὴν χρείαν ἀποπληροῦντα ἐν τοῖς ζῴοις. ἐπεὶ οὐκ ἔστι δυνατὸν δι' ἑνὸς ὀνόματος ταῦτα δηλῶσαι, ἀνάγομεν ταῦτα

95a 28. ταῦτα ἀπορήσας φησίν, εἰ καὶ τὸ προγενέστερον ἀνάγκη πρῶτον ὑπάρχειν τοῦ αἰτιατοῦ ἐπὶ τῆς τῶν πραγμάτων γενέσεως… ἀλλ' οὖν ἐν τῷ συλλογισμῷ δεῖ προλαμβάνειν τὰ ὕστερα, ἵν' οὕτως ἐξ ἀνάγκης ἐπακολουθήσῃ τὸ πρότερον. Ioh. Phil. f. 88.

95a 31. ἤγουν ἀπὸ τοῦ ὑστέρου ἄρθρου τοῦ συλλογισμοῦ, οἷον εἰ Σωκράτης ἔσται, ἐξ ἀνάγκης ἔσται καὶ Σωφρονίσκος… γυμνάζει τὸν λόγον ἐπὶ τῶν γεγονότων καὶ ὑποτίθησι γεγονότα καὶ τὸν Σωκράτην καὶ τὸν Σωφρονίσκον, καί φησιν, εἰ ἐφ' ὧν τὸ αἴτιον καὶ αἰτιατὸν γενέσθαι, ἀπὸ τῶν ὑστέρων δεῖ ἄρχεσθαι. id. f. 88 b.

95a 32. δεῖ δὲ τὸ "ὡς ἐπεὶ τοῦτο ἀληθές" τοῖς πρὸ αὐτοῦ συνάπτειν. ἔτι γὰρ οὔτε ἀορίστου οὔτε ὁρισθέντος ἔσται χρόνου. ὃ ἐδήλωσε διὰ τοῦ, ὡς δ' ἐπὶ τῶν γεγονότων ψευδὴς ἡ ἀκολούθησις, οὕτω καὶ ἐπὶ τῶν ἐσομένων. οὐ γὰρ ἀληθὲς ἐπὶ τῶν λεγομένων ἔσται ἀεί, ὅτι εἰ τὸ α' ἔσται, καὶ τὸ μετ' αὐτό. οὐδὲ ἐπεὶ τόδε γέγονε, τόδε ἔσται. καὶ λέγει τοῦτο τὸ αἴτιον, ὃ καὶ τῶν φθασάντων ἐστὶν αἴτιον, ὅτι τὸ μέσον δεῖ, τουτέστι τὸ αἴτιον τὸ κυρίως αἴτιον, τοιοῦτον ὧ πάντως τὸ αἰτιατὸν συνυπάρχει, ὁμόγονον εἶναι τῷ αἰτιατῷ, τουτέστι τοῦ αὐτοῦ χρόνου, καὶ συνυπάρχει καὶ ὁμοῦ γίνεται. Anonym. f. 109.

95a 36. τὸ μέσον ἤγουν τὸ αἴτιον ὁμόγονον δεῖ εἶναι τῷ αἰτιατῷ, ἤγουν ὁμόχρονον τῶν γεγονότων πραγμάτων καὶ τὸ αἴτιον ἔσται γινόμενον καὶ καθεξῆς. ἐπὶ δὲ τοῦ γέγονε καὶ τοῦ ἔσται οὐκ ἐνδέχεται εἶναί τι ὁμόγονον· τὸ γὰρ γεγονὸς πῶς ἔσται τῷ ἐσομένῳ ὁμόγονον, εἴγε τὸ μὲν παρεληλυθότος ἐστὶ χρόνου τὸ δὲ μέλλοντος; Ioh. Phil. f. 88 b.

95b 1. τὸ προκείμενον ζήτημα τοῖς περὶ κινήσεώς ἐστιν οἰκειότερον, ἔνθα καὶ πλατύτερον περὶ τῆς γενέσεως διαλαμβάνει ἐν τῷ τετάρτῳ τῆς Φυσικῆς Ἀκροάσεως. ἐνταῦθα δὲ μικρόν τι παρεκβὰς ἀφ' ὧν ἔλαβε παραδίδωσι τὴν τῶν αἰτίων καὶ αἰτιατῶν ἀκολούθησιν. καὶ ἐπειδὴ διαφέρειν ἔλεγε τὰ αἴτια κατὰ τὸν χρόνον, ἢ γὰρ ὡς ὄντα καὶ ἀποδίδονται τὰ αἴτια, ἢ ὡς γεγονότα καὶ τὰ ἑξῆς, ἐπειδὴ μετὰ τὴν τῶν αἰτίων τῶν τοιούτων γένεσιν τὰ αἰτιατὰ ὁρῶμεν γινόμενα… ζητεῖ πότερον αἱ γενέσεις τῶν αἰτίων καὶ αἰτιατῶν συνεχεῖς εἰσίν. id. ib.

95b 15. ἤγουν τοῖς αἰτίοις καὶ αἰτιατοῖς τοῖς μὴ ἅμα οὖσι τὸ μέσον, ἤγουν τὸ αἰτιατόν, καὶ τὸ α', ἤγουν τὸ αἴτιον, ἄμεσα εἶναι. id. f. 89.

95b 22. εἰπὼν ὅτι εἰς ἀμέσους προτάσεις καταντῶμεν τῇ λήψει τῶν μέσων, τῆς τε μείζονος καὶ ἐλάττονος προτάσεως, προσέθετο τόδε "ἀεὶ παρεμπεσεῖται," ἀναιρῶν ὑπόνοιαν τινά. ἴσως ἄν τις ὑπέλαβε μὴ εἰς ἀμέσους ποτὲ καταντῆσαι προτάσεις τὰ αἴτια καὶ τὰ αἰτιατά, διὰ τὸ ἐν χρόνῳ εἶναι ταῦτα, τὸν δὲ χρόνον συνεχῆ, τὸ δὲ συνεχὲς ἐπ' ἄπειρον διαιρετόν, καὶ τοῦ ληφθέντος ἀεὶ χρόνου ἔστιν ἐπινοεῖν ἕτερον χρόνον… ἀναιρῶν γοῦν τὴν ὑπόνοιαν ταύτην φησίν, εἰ καὶ ὁ χρόνος συνεχὴς καὶ διὰ τοῦτο ἐπ' ἄπειρον διαιρετός, ἀλλὰ τὰ ἐν αὐτῷ πράγματα συνεχῆ οὐκ εἰσὶν ἀλλὰ διῃρημένα. id. f. 89 b.

95b 29. τομὴ τῆς προτάσεώς ἐστιν ὁ μέσος ὅρος. εἰ γὰρ ληφθῇ πρότασις ὡς ὁ ἄνθρωπος ζῷόν ἐστιν, ἐπεὶ ἔμμεσός ἐστιν αὕτη, λαβὼν μέσον τὸ λογικὸν διαιρήσεις αὐτὴν εἰς δύο. id. ib.

95b 31. δεῖ δ' ἐπὶ τῶν ἐσομένων καὶ τῶν ἐπ' ἐκείνων συλλογισμοῦ ἀρχὴν λαμβάνειν ἀμέσους προτάσεις· οὐ γὰρ εἰ πάντων τῶν ἐσομένων χρόνος μεταξύ, ἤδη καὶ τῶν ἐσομένων ἐσόμενόν τι, ὥσπερ οὐδὲ τῶν γεγονότων γεγονός. ἡ ἄμεσον ἀρχὴν εἶπεν ἀντὶ τοῦ ἔσχατόν τι ὁρίσαντα ἐσόμενον, ἀφ' οὗ ἡ ἄνοδος ἐπὶ τὰ πρὸ αὐτοῦ ἐσόμενα, ἡ ἀρχὴ ἄμεσος· ληπτέα αὐτοῦ πρότασίς τις χωρὶς μέσου, ἥτις ἐστὶν ἀρχὴ τοῦ συλλογισμοῦ. Anonym. f. 109 b.

95b 38. γινόμενα λέγει τὰ μὴ ὄντα καὶ ὑφιστάμενα καθ' ὁλοκληρίαν, ἀλλὰ ἔχοντα τὸ εἶναι ἐν τῷ ἀεὶ πεφυκέναι γίνεσθαι κατὰ ἄλλους καὶ ἄλλους καιρούς. Ioh. Phil. f. 90.

96a 10. λάβε μέσον ὅρον, ἡλικίας γενομένου τοῦ ἄρρενος λιγνώδη καὶ καπνώδη ἀναθυμίασιν ἐκ τοῦ πώγωνος ἀναδίδοσθαι, ἥτις ἀπογεννᾷ τὴν τρίχωσιν. id. f. 90 b.

96a 20. ζητήσας ὄπισθεν πολλὰ περὶ ὁρισμοῦ, ἐπεὶ ηὕρισκε τὸν ὁρισμὸν μὴ μόνον μέσον ὅρον ἀποδείξεσι λαμβανόμενον, ἀλλὰ καὶ τὰ ἄλλα αἴτια, τὸ τελικὸν τὸ ποιητικὸν καὶ τὸ ὑλικόν, τούτου χάριν ἐδίδαξε καὶ περὶ τῶν ἄλλων αἰτίων, ὅπως μέσοι ὅροι λαμβάνονται, καὶ κατὰ τί ἀλλήλων διαφέρουσι, καὶ πῶς ἐν συλλογισμῷ ἡ ἀκολούθησις ἐν αὐτοῖς γίνεται. καὶ μετὰ τὴν συμπλήρωσιν τούτων πάλιν ἀνατρέχει εἰς τὸν συλλογισμόν, καὶ ἀνακεφαλαιωσάμενος εἶπε περὶ αὐτοῦ. ἔτι προστίθησι καὶ ἕτερα, ἃ εἶπε περὶ ὁρισμοῦ. πῶς μὲν οὖν τὸ τί ἐστι καὶ ὁ ὁρισμὸς εἰς τοὺς ὅρους ἀποδίδονται, τρεῖς ὅροι ἐν τῷ ἀποδεικτικῷ συλλογισμῷ λαμβάνονται· ἐν τίνι γοῦν τῶν τριῶν ὅρων τέτακται ὁ ὁρισμός; εἴρηται ὅτι ὡς μέσος ὅρος λαμβάνεται, καὶ τίνα τρόπον ἐστὶν ἀπόδειξις αὐτοῦ· ἀπόδειξις μὲν γὰρ οὐκ ἔστιν αὐτοῦ, ὡς μὴ γενομένου συμπεράσματος ἀποδείξεως, ἔστι δὲ καθόσον συνθηρᾶται ἐκ τῆς ἀποδείξεως. καὶ τίνα τρόπον ἐστὶν ὁρισμὸς αὐτοῦ καὶ οὐκ ἔστι, τέτταρσι τρόποις ὁρισμοὺς τοῦ ὁρισμοῦ ἀποδέδωκεν. id. ib.

96a 33. ἤγουν κατὰ ἀμφότερα πρῶτος, ὡς μήτε ἐξ ἀριθμῶν συγκείμενος μήτε ἐξ ἀριθμῶν μετρούμενος. τὸ δὲ τελευταῖον τὸ κατ' ἀμφότερα πρῶτον. id. f. 91.

96b 3. τὸ δὲ ἀντὶ τοῦ γάρ· τὰ γὰρ καθόλου ἀναγκαῖα. id. ib.

δεῖ ἀντὶ τοῦ "ταῦτα" καθόλου δ' ἀναγκαῖα γεγράφθαι· τὰ καθόλου γὰρ ἀναγκαῖα. ὡς γὰρ αἴτιον τοῦ τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα ἀναγκαῖα εἶναι παρέθετο τὸ τὰ καθόλου ἀναγκαῖα εἶναι. Anonym. f. 110 b.

96b 8. τῷ δὲ ὑποκείσθω ἀντὶ τοῦ κείσθω καὶ ὁμολογείσθω κέχρηται· οὐ γὰρ ἀμφισβητεῖ κατ' αὐτοῦ. id. ib.

96b 14. καὶ οὐ μόνον ἐπὶ τῆς τριάδος εὑρήσεις οὕτω τὸν ὁρισμόν, ἀλλ' ὁμοίως καὶ ἐπὶ ἄλλου ὁτουοῦν πράγματος ἔσται τὸ εἶναι καὶ ὁ ὁρισμὸς αὐτοῦ ἀπὸ τῶν οὕτω δειχθέντων ἤγουν ἀπὸ τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων θηρώμενος. ἐπί τινων δὲ ἀντιγράφων εὑρήσεις "τῶν οὕτω ληφθέντων." Ioh. Phil. f. 91 b.

96b 28. εἰπὼν τὸ χρήσιμον τῆς διαιρέσεως, διασύρει πάλιν τὸν Πλάτωνα ὡς λέγοντα διὰ τῆς διαιρέσεως συλλογίζεσθαι καὶ ἀποδεικνύειν τὰ μέρη τοῦ ὁρισμοῦ τὰ ἐν τοῖς ὁρισμοῖς θεωρούμενα. id. f. 92.

96b 30. ἐνταῦθα λέγει τὸ χρήσιμον τῆς διαιρέσεως. πρῶτον λέγει τὰς καθόλου διαφορὰς τὰς περιεχούσας, ὕστερον δὲ τὰς περιεχομένας. id. ib.

ἀποδείκνυται καὶ συμπέρασμα τῆς ἀποδείξεως γίνεται, τουτέστιν ὅστις ἐστὶ καὶ ἀποδεικτικός, ἀποδείκνυται διὰ μέσου τοῦ εἰδικοῦ. id. ib.

94 a 21. αἴτιά εἰσι τέσσαρα, εἰδικὸν ποιητικὸν ὑλικὸν καὶ τελικόν· τότε γοῦν λεγόμεθα ἐπίστασθαι τὸ πρᾶγμα ὅταν γνωρίσκωμεν τὴν αἰτίαν δι' ἣν ἐστιν, εἴτε τὴν ὑλικὴν αὐτοῦ αἰτίαν εἴτε τὴν εἰδικὴν εἴτε τινὰ τῶν ἄλλων. ἀντὶ δὲ τοῦ εἰπεῖν εἰδικὸν αἴτιον, εἶπε "τὸ τί ἦν εἶναι·" τὸ γὰρ τί ἦν εἶναι ὁρισμός ἐστιν οὐσιώδης, ὁ δὲ οὐσιώδης ὁρισμὸς εἰδικὸν αἴτιόν ἐστιν ὡς τὸ εἶδος καὶ τὴν οὐσίαν παριστῶν τοῦ πράγματος· τὸ τί ἦν ἄρα εἶναι εἰδικὸν αἴτιόν ἐστιν. ἀντὶ δὲ τοῦ εἰπεῖν ὑλικόν, εἶπε "τὸ τίνων ὄντων ἀνάγκη τοῦτο εἶναι" ἤγουν τὸ εἶδος. τὸ δὲ "τίνων ὄντων" παριστᾷ τὴν ὕλην. ἐν χρείᾳ γοῦν γινόμεθα τῆς ὕλης διὰ τὴν ὑπόθεσιν τοῦ εἴδους· αὐτὴ γὰρ καθ' αὑτὴν ἡ ὕλη τὸ ἀναγκαῖον οὐκ ἔχει, ἀλλὰ διὰ τὸ εἶδος. ἐν χρείᾳ οὖν γινόμεθα τῶν ὑλικῶν. id. ib.

94 a 23. διὰ τοῦ "τινὸς ὄντος ὀρθῆς" ἐδήλωσε τὸν τρόπον τῆς αἰτίας, ὅτι τὴν ὡς ὕλην αἰτίαν ζητεῖ. τοῦ δὲ συμπεράσματος, τοῦ τὴν ἐν ἡμικυκλίῳ γωνίαν ὀρθὴν εἶναι, αἴτιον ὡς ὕλη μέσος ὅρος ληφθεὶς τὸ δύο ὀρθῶν ἡμίσεια. δέδεικται δὲ καὶ τοῦτο ἐν τῷ τρίτῳ τῶν Εὐκλείδου στοιχείων. Anonym. f. 107 *b*.

94 a 35. ἤγουν ἀλλὰ μὴν καὶ ὁ ὑλικὸς ὁρισμὸς δέδεικται μέσος λαμβανόμενος ἐν τῇ ἀποδείξει. "τὸ μέσον." ἐνταῦθα τὸ τό ὡς παρέλκον ληπτέον. Ioh. Phil. f. 85 *b*.

94 b 23. φέρε πρὸ τῆς τοῦ κειμένου ἐξηγήσεως περὶ αὐτομάτου καὶ τύχης μικρόν τι φιλοσοφήσωμεν, ἵνα μὴ ἡ ἀκολουθία τῆς τοῦ κειμένου ἐξηγήσεως ἐκκρούηται. id. f. 86 *b*.

ἡ γένεσις οὖν τοῦ μέσου καὶ αἰτίου τὴν αὐτὴν οὐκ ἔχει τάξιν ἐφ' ἁπάντων, ἀλλ' οὗ μὲν πρώτην, ὡς ἐπὶ τῶν κινητικῶν, οὗ δὲ τελευταίαν, ὡς ἐπὶ τῶν τελῶν καὶ ὧν ἕνεκεν, οὗ δ' ἅμα, ὡς ἐπὶ τῶν ὁρισμῶν καὶ τοῦ τί ἦν εἶναι. Themist. f. 12.

94 b 27. ἐνταῦθα ὁ Ἀριστοτέλης ἄλλο θεώρημα λέγει. μὴ ἀκριβολογούμενος δὲ ἀντὶ τοῦ εἰπεῖν οὗ ἕνεκα εἶπεν "ἕνεκά τινος." ἕτερα γὰρ ἀλλήλων εἰσὶ τὸ οὗ ἕνεκα καὶ τὸ ἕνεκά τινος. ἕνεκα γάρ τινος λέγεται πάντα τὰ πρὸ τέλους γενόμενα, ἀφορῶντα δὲ πρὸς ἀπλότητα τοῦ τέλους, ὡς ὁ θεμέλιος οἱ τοῖχοι καὶ ὁ ὄροφος ἕνεκα τοῦ τέλους εἰσὶ τῆς οἰκίας· οὗ δὲ ἕνεκα λέγεται τὸ τελικὸν αἴτιον ἤγουν ἡ οἰκία. Ioh. Phil. f. 86 *b*.

94 b 28. λαμπτῆρας νόει ἢ τὰ ὑελία, ἃ διὰ τῆς γυψεμπλαστικῆς τέχνης ἐπιτίθενται ταῖς οἰκίαις χάριν τοῦ φωτίζεσθαι ταύτας, ἢ τὸ ἐκ δορᾶς λεπτῆς κατασκευασθὲν ἐξ ἐπινοίας τῶν ἀνθρώπων χάριν τοῦ μὴ τοῖς λίθοις προσκρούειν τοὺς νύκτωρ βαδίζοντας. ἡ γοῦν δορὰ καὶ τὰ ὑελία φυσικά εἰσιν, ὧν τοὺς πόρους ἡ φύσις μεγάλους πεποίηκε, τεχνικὰ δέ εἰσι τὰ γυψεμπλαστικά, οἷς ἐντίθεται τὰ ὑελία, ὡσαύτως καὶ τὸ κατασκευασθὲν ἐκ τῆς δορᾶς. τὸ δὲ πῦρ λίαν ἐστὶ λεπτομερέστατον. id. f. 87.

94 b 31. ζητεῖ γοῦν, ἆρα ὥσπερ ἐπὶ τῶν ὄντων τῶν καθ' ὁλοκληρίαν ὑφεστώτων πραγμάτων, ἀποδίδοται καὶ ὑλικὰ αἴτια καὶ τελικά. γινόμενον δὲ πρᾶγμά ἐστι καὶ ἡ βροντὴ διὰ τὸ κατὰ μέρος συνίστασθαι. καὶ δεικνῦσιν ὡς ἀπὸ τοῦ παραδείγματος, ὅτι καὶ ἐπ' αὐτῶν ἀποδίδονται καὶ ὑλικὰ αἴτια καὶ τελικά. οἷον πρὸς τὸν ζητοῦντα εἰ βροντᾷ, ἐρεῖς ὑλικὸν αἴτιον τὸ ἀποσβέννυσθαι τὸ πῦρ· οἱ δὲ Πυθαγόρειοι τελικὸν αἴτιον ἀπεδίδουν τῆς βροντῆς τὸ διὰ τοῦ ψόφου τὸν Δία ἀπειλεῖν καὶ φοβεῖν τοὺς ἐν τῷ Ταρτάρῳ Τιτᾶνας. id. ib.

94 b 36. τὴν αἰτίαν ἐνταῦθα ἀποδίδωσι δι' ἣν ἐν τοῖς φυσικοῖς πράγμασι δύο αἰτίας ἀποδίδομεν, ὑλικὴν καὶ τελικήν, καί φησιν, ἐπειδὴ ἕκαστον τῶν φυσικῶν πραγμάτων ἐξ ὕλης καὶ εἴδους σύγκειται. λέγεται δὲ καὶ τὸ ἕνεκά του ἤγουν τὸ οὗ ἕνεκα φύσις, λέγεται καὶ τὰ ἐξ ἀνάγκης ἤγουν ἡ ὅλη φύσις· ἐπὶ δὲ τῶν φυσικῶν πραγμάτων τὸ εἶδος καὶ τὸ τέλος ταυτά... ἐπεὶ δὲ ἐκάλεσε τὴν ὕλην ἀνάγκην, διαιρεῖ τὸ ἀναγκαῖον εἰς τὴν κατὰ φύσιν ὁρμὴν καὶ κίνησιν καὶ εἰς τὴν βίαν παρὰ τὴν ὁρμὴν καὶ εἰς τὴν παρὰ φύσιν κίνησιν. ἐν δὲ ἑτέραις πραγματείαις αὐτοῦ διαιρεῖ τὸ ἀναγκαῖον εἰς τὸ ἁπλῶς καὶ κυρίως ἀναγκαῖον, ἃ ἐντεῦθεν παρέλειψε. id. ib.

95 a 4. ἀνάγκην, ὡς εἴπομεν, λέγει τὴν ὕλην. ὕλη δὲ τοῦ ἀνδριαντοποιοῦ ὁ χαλκός, τῆς δὲ οἰκίας οἱ λίθοι καὶ τὰ ξύλα. φησὶ γοῦν ὅτι οἱ λίθοι καὶ τὰ ξύλα οὐ κατὰ τὴν φυσικὴν αὐτῶν δύναμιν δύνανται κινηθῆναι καὶ ἀποτελέσαι οἰκίαν, εἰ μὴ παρὰ τοῦ οἰκοδόμου κινηθῶσιν, εὐάρμοστον σύνθεσιν ποιεῖν. id. f. 87 *b*.

95 a 10. τὸ αὐτό, φησίν, αἴτιον εἶναι δεῖ τῷ εἴδει· τοῦτο γὰρ ἐνδεῖ τῇ λέξει. Anonym. f. 108 *b*.

95 a 22. περὶ αἰτίου λέγει ἐνταῦθα εἰδικοῦ, ὅπερ ἅμα ἐστὶ τῷ αἰτιατῷ, καὶ ἐξ ἀνάγκης γίνεται ἀκολούθησις τοῦ τε αἰτίου καὶ αἰτιατοῦ, ὅθεν ἄν τις ἄρξηται, ἤγουν εἴτε ἀπὸ τοῦ αἰτίου εἴτε ἀπὸ τοῦ αἰτιατοῦ· ἀντιστρέφουσι γὰρ πρὸς ἄλληλα. Ioh. Phil. f. 88.

95 a 24. αἴτια λέγει μὴ ἅμα ὄντα τοῖς αἰτιατοῖς, ἀλλὰ προηγούμενα αὐτῶν κατὰ τὸν χρόνον, τὸ ὑλικὸν καὶ ποιητικόν. id. ib.

95 a 25. ἤγουν ὥσπερ καὶ ἡμεῖς δοξάζομεν ταῦτα μὴ ἅμα τοῖς αἰτιατοῖς θεωρεῖσθαι. ζητοῦμεν ἆρά ἐστιν ἐν τῷ συνεχεῖ χρόνῳ τοῦτο γενέσθαι, ἤγουν οἰκίαν, ἕτερον ἀποδοῦναι αἴτιον γενόμενον, ἤγουν τὸ εἶναι λίθους καὶ ξύλα... πᾶσα δὲ γένεσις καὶ κίνησις ἐν χρόνῳ ἐστίν, ὁ δὲ χρόνος ἐστὶ συνεχὴς οὕτω, διότι μέτρον ἐστὶ κινήσεως οὕτως ἤγουν μετρούμενος, ἤγουν τοῦ ἡλίου, ἥτις κύκλῳ γίνεται, ἡ δὲ κύκλῳ κίνησις συνεχής ἐστι καὶ ἀδιάκοπος, ἡ δὲ κατ' εὐθεῖαν κίνησις διακόπτεται. id. ib.

95 a 26. "τοῦ δὲ γενέσθαι ἕτερον γενόμενον" ἀντὶ τοῦ τούτου δὲ γεγονότος ἕτερον πρὸ αὐτοῦ γεγονός, ὡς ἄμφω ἐπὶ τῶν γεγονότων εἶναι, οὐ μὴν καὶ ἅμα, ὥσπερ τὸ β' ἄμφω ἐπὶ τῶν ἐσομένων καὶ τὸ γ' ἄμφω ἐπὶ τῶν γενομένων. τοιοῦτος γὰρ καὶ τοῦ γίνεσθαι δεῖ τι ἔμπροσθεν ἐγένετο. γράφεται δὲ καὶ "τοῦ γίνεσθαι τῷ τοῦτο γεγονέναι." διὰ γὰρ τούτων εἴληφε ποτὲ μὲν ἐπὶ τοῦ παρεληλυθότος χρόνου ἀμφότερα, τό τε αἴτιον καὶ τὸ αἰτιατόν, ποτὲ δ' ἐπὶ τοῦ μέλλοντος. σώζεται δ' ἐπὶ τούτων ἡ ἀκολουθία, ἐὰν ἀπὸ τῶν ὑστέρων γένηται καὶ τῶν αἰτιατῶν. Anonym. f. 109.

95 a 27. οὐδὲ τὴν αὐτὴν ἀνάγκην λαμβάνει κάτωθεν καὶ ἄνωθεν ἀρχομένοις, ἀλλ' ἀρχομένων μὲν ἀπὸ τῶν αἰτίων οὐδεμίαν ἀνάγκην ἔχει τὰ συμπεράσματα, ἀρχομένων δὲ ἀπὸ τῶν αἰτιατῶν τὴν ἀνάγκην ἔχουσιν οἱ συλλογισμοί. Themist. f. 12 *b*.

93a 5. δύναται τὸ "καὶ τοῦτο ἢ ταυτὸ ἢ ἄλλο" εἰρηκέναι οὐχ ὡς συγχωρῶν εἶναι τὸ αὐτὸ αὑτοῦ αἴτιον (δοκεῖ γὰρ ἄλλο εἶναι τὸ αἴτιον καὶ τὸ οὗ ἐστὶν αἴτιον ἐν πᾶσιν) ἀλλ' ὑπὲρ τοῦ ὁλοκλήρῳ χρήσασθαι διαιρέσει. καὶ εἴη ἂν τὸ "εἰ τοίνυν ἐστὶν ἄλλο" ἐπενηνεγμένον σημαντικὸν τοῦ ὀφείλειν τὸ αἴτιον ἄλλο εἶναι. Anonym. f. 105 *b*.

93a 12. ἤγουν ἄλλον μὲν τὸν ὁρισμὸν τοῦ πράγματος τὸν ὑλικὸν ἀποδείξει, τὸν δέ, τὸν εἰδικόν, οὐκ ἀποδείξει διὰ τὸ εἶναι ἄμεσον. Ioh. Phil. f. 82 *b*.

93a 15. λογικὸν συλλογισμὸν τὸν μὴ ἀποδεικτικὸν ἀλλὰ διαλεκτικόν τε καὶ δι' ἐνδόξων συνάγοντα εἴωθε λέγειν. εἰπὼν δὲ τὴν τοιαύτην δεῖξιν λογικὴν εἶναι ἀλλ' οὐκ ἀποδεικτικήν, ἑξῆς προτίθεται ζητῆσαι, εἰ ὅλως ἐνδέχεται, πῶς καὶ τίνα τρόπον. καὶ ὑπομνήσας ἡμᾶς τῶν κατ' ἀρχὰς εἰρημένων, ἀποδείξει κατὰ τὴν πρὸς αὐτὰ ἀκολουθίαν ὅτι ἀπόδειξιν οὐχ οἷόν τε ὁρισμοῦ γενέσθαι, ἔστι μέντοι δι' ἀποδείξεως τρόπον τινὰ ὁρισμὸν εὑρεῖν. Anonym. f. 105 *b*.

τὸ δι' ἀδήλων ἄδηλον δεικνύειν ἐν ἀρχῇ αἰτεῖσθαί ἐστιν. λεγέσθω γοῦν ὁ συλλογισμὸς οὗτος λογικός, ἀλλὰ μὴ ἀποδεικτικός· πολλὰ γὰρ ἔχει τὰ αἰτήματα. Ioh. Phil. f. 83.

93a 21. τὸ εἶναι πολλαχῶς ἐν ταῖς ἀποδείξεσι μέτιμεν· ἐνίοτε μὲν γὰρ ἀπὸ συμβεβηκότος καὶ πόρρω τῆς οὐσίας τοῦ πράγματος, ἐνίοτε δὲ ἀπὸ τοῦ πράγματος καὶ τοῦ ἐκείνου τι ἔχειν, οἷον ὅτι εἰσὶ θεοὶ ἀπὸ συμβεβηκότος μέν, ὅτι εἰσὶ βωμοί, ὡς Χρύσιππός φησιν, ἀπὸ δὲ τοῦ πράγματος, ὅτι θεραπεύουσιν, ὅτι προλέγουσιν, ὅτι κινοῦνται τὸν ἄπειρον χρόνον ποικίλας κινήσεις. ἔστι δὲ καὶ τῶν ἀπ' αὐτοῦ τοῦ πράγματος τὰ μὲν ἐγγυτέρω τὰ δὲ πορρωτέρω, καθάπερ δὴ καὶ ἐπὶ τῶν εἰρημένων παραδειγμάτων. ὅσα μὲν οὖν ἀπὸ συμβεβηκότων γινώσκομεν ὅτι ἔστιν, ἀπὸ τούτων οὐδεμίαν ἔχομεν ἀφορμὴν πρὸς τὸ εἰδέναι καὶ τί ἐστιν. Themist. f. 11 *b*.

τοῦ δὲ γινώσκειν τὸ εἰ ἔστιν ἀπὸ συμβεβηκότων, παραδείγματα ταῦτα, οἷον γνωρίζομεν βροντὴν εἶναι ἀπὸ τοῦ γίνεσθαι καὶ εἶναί τινας ἐμβροντήτους ἀπὸ τοῦ ψόφου. ἐμβρόντητοι δέ εἰσιν οἱ τὸν νοῦν ἀπολέσαντες ἀπὸ τοῦ ψόφου. Ioh. Phil. f. 83.

93a 29. δοκεῖ δέ μοι ὁ μὲν σύνδεσμος ἐκ περιττοῦ κεῖσθαι, ἵνα ᾖ, ὧν οὖν ἔχομεν τοῦ ὅτι ἔστι γνῶσιν διά τινος τῶν ἐν τῷ τί ἐστι καὶ ἐν τῇ οὐσίᾳ αὐτῶν ὄντων, ἔσω πρῶτον δεικνύμενον καὶ ἐχέτω οὔ. ὧν γάρ, φησίν, ἔχομεν ἐν τῇ τοῦ εἶναι γνώσει, περιέχομεν τὸ τί ἐστιν. ἔσω παραδεικτικὸν ὃ παρατίθεται. Anonym. f. 106.

93a 36. εἰ δὲ τὸ μέσον οὐκ ἔστιν αἴτιον οὐσιῶδες, καὶ διὰ τοῦτο τοῦ μὲν συμπεράσματός ἐστιν αἴτιον τοῦ δὲ πράγματος οὔ, τὸ ὅτι μόνον γινώσκομεν, τὸ δὲ διότι ἀγνοοῦμεν. Ioh. Phil. f. 83 *b*.

τὸ "ἂν διὰ μέσων ᾖ" δηλωτικὸν τοῦ ἂν δι' οἰκείων καὶ αἰτίων, μὴ τοῦ συμπεράσματος μόνον ἀλλὰ καὶ τοῦ πράγματος. ταῦτα γὰρ κυρίως μέσα. ἡ γὰρ διὰ τοιούτων μέσων, ἃ καὶ κυρίως ἐστὶ μέσα, γνῶσις τοῦ ὅτι ἐστί, καὶ τοῦ διὰ τί ἐστιν. ἀλλὰ καὶ τοῦ τί ἐστι γνῶσίς ἐστιν, ὡς ἐρεῖ. ὁ γὰρ τοιοῦτος ὁρισμός ἐστι τοῦ ἑτέρου τῶν ἄκρων. εἰ δὲ μή, διὰ μέσου, τουτέστιν, εἰ δὲ μὴ δι' αἰτίου ἀλλὰ διά τινος συμβεβηκότος. Anonym. f. 106.

93a 39. εἴη ἂν καταλληλότερον ἡ λέξις, εἰ ἔχοι ἀντὶ τοῦ "τοίνυν" τὸ εἰ γὰρ τῷ γ' ὑπάρχοι τὸ β'· τοῦτο γὰρ ἀκολουθεῖ τῷ "εἰ δὲ μή, τὸ ὅτι, τὸ διότι δὲ οὔ." id. ib.

93b 5. ἔλεγόν τινες τὴν ἔκλειψιν καταστροφὴν τῆς σελήνης· τὸ γὰρ μέρος αὐτῆς τὸ πρὸς ἡμᾶς ἔλεγον εἶναι πεφωτισμένον ὑπὸ τῶν ἀκτίνων τοῦ ἡλίου ὑπὸ τὴν γῆν ὄντος, τὸ δὲ μέρος αὐτῆς τὸ πρὸς οὐρανὸν εἶναι ἀφώτιστον, ὅπερ καὶ στρεφόμενον πρὸς ἡμᾶς ποιεῖ τὴν ἔκλειψιν. Ioh. Phil. f. 84.

93b 12. παραδίδωσι κανόνα, πῶς ἐν τῇ τοιαύτῃ ἀποδείξει εὑρήσεις τοὺς ὁρισμούς, καὶ φησίν, ἐπειδὴ καὶ αἱ δύο προτάσεις ἔμμεσοί εἰσι, πρὸς ἀπόδειξιν μὲν τῆς ἐλάττονος λάβε τὸ οὐσία ἔμψυχος αἰσθητική, ὅ ἐστιν ὁρισμὸς τοῦ ζῴου, ἐν δὲ τῇ ἀποδείξει τῆς μείζονος λάβε μέσον ὅρον τὸ ἀνὰ μέρος δεκτικὸν εἶναι τῶν ἐναντίων, ὃ ἴδιόν ἐστι τῆς οὐσίας. id. ib.

93b 22. οὐκοῦν οὐδὲ τί ἐστι θεός, δι' ἀποδείξεως γίνεται γνώριμον· οὐ γὰρ ἀποδεικτὸν τὸ θεοὺς εἶναι· οὐ γὰρ ἔστι λαβεῖν αἴτιον ἕτερον· τὸ γὰρ ὠφελεῖν καὶ τὸ κινεῖσθαι τὸν ἅπαντα χρόνον δεικτικὰ μὲν τῆς οὐσίας καὶ ἐξ αὐτοῦ τοῦ πράγματος, οὐ μὴν αἴτια τοῦ εἶναι. ἢ τάχα ἔστι καὶ ἐκ τῶν τοιούτων ὁρισμόν τινα ἀποδοῦναι, οἷον θεός ἐστι ζῷον ἀΐδιον, εὐποιητικὸν ἀνθρώπων. ἢ εἴπερ ἐστὶ καὶ ὁρισμὸς ταῦτα, εὐθὺς καὶ αἴτιον τοῦ εἶναι· τὸ γὰρ τί ἦν εἶναι αἴτιον καὶ ἀρχή. Themist. f. 11 *b*.

93b 36. ἤγουν λέγεται εἷς λόγος καὶ ὁ εἰδικὸς ὁρισμός, ὁ ἓν καθ' ἑνὸς δηλῶν οὐ κατὰ συμβεβηκός, ὡς τὸ θυμός ἐστιν ὄρεξις ἀντιλυπήσεως... εἷς μὲν δὴ ὁρισμός ἐστι τοῦ ὅρου κυρίως τὸ λόγος ἓν καθ' ἑνὸς κατηγορῶν μὴ κατὰ συμβεβηκός, ἄλλος δὲ ὁρισμὸς τοῦ ὅρου ἐστὶ λόγος ὁ δηλῶν διὰ τί ἐστιν, ἤγουν ὁ ἔχων τὴν αἰτίαν τοῦ πράγματος ἅμα καὶ τὸ αἰτιατόν. Ioh. Phil. f. 84 *b*.

94a 6. εἶπε δὲ τὸ "συνεχής," διότι ἡ ἀπόδειξις τὸ πᾶν δείκνυσι. τοῦτο δὲ ἐν μόνῳ τῷ πρώτῳ σχήματι δείκνυται. ἐν δὲ τῷ πρώτῳ σχήματι συνεχεῖς καὶ κατ' εὐθεῖαν κεῖνται οἱ ὅροι, καὶ οὐχ ὡς ἐν τῷ δευτέρῳ σχήματι ἢ ἐν τῷ τρίτῳ ὁ μέσος ἔξω κεῖται τῶν ἄκρων. id. f. 85.

ἀπόδειξιν δὲ συνεχῆ ἔφη ἢ ὅτι ἐν πρώτῳ σχήματι (τὰ γὰρ ἐν τούτῳ συνεχῆ τὴν τάξιν καὶ τὴν ἀκολουθίαν λαμβάνει τῷ τὸν μέσον μὴ ἔξω τῶν ἄκρων ἀλλὰ μεταξὺ κεῖσθαι) ἢ συνεχῆ, ὅτι μὴ διῃρημένης εἰς προτάσεις ἀλλ' ὑφ' ἓν ἐξενηνεγμένης· ὁ γὰρ λέγων λόγος "διὰ τὸ ἀποσβέννυσθαι τὸ πῦρ ἐν τοῖς νέφεσιν ὁ ἐγγινόμενος ἐν αὐτοῖς ψόφος βροντή ἐστιν" οὐκ ἔχει διῃρημένον τὸν λόγον εἰς τὰς προτάσεις, οὐδὲ δὶς τὸν μέσον λαμβανόμενον, ἀλλὰ συνεχεῖς εἴρηκε τοὺς ὅρους. Anonym. f. 107.

94a 9. ὁ δὲ ὁρισμὸς ὁ εἰδικός, ὃς καὶ ἀμέσως ὑπάρχει τῷ ὁριστῷ, θέσις ἐστὶ δηλωτικὴ τοῦ τί ἐστι τὸ πρᾶγμα, ἤγουν τῆς οὐσίας τοῦ πράγματος ἀναπόδεικτος. Ioh. Phil. f. 85.

94a 11. εἷς μέν ἐστιν ὁρισμὸς λόγος δηλωτικός, τουτέστι τὸ πρᾶγμα, ἀναπόδεικτος, οἷός ἐστιν ὁ εἰδικός· εἷς δέ ἐστιν ἤγουν ἕτερος συλλογισμός, τουτέστι διαφέρων τῆς ἀποδείξεως τῇ πτώσει ἤγουν τῇ θέσει, οἷός ἐστιν ὁ σύνθετος· τρίτος δέ ἐστιν ὁρισμὸς ὁ ὑλικός, ὃς καὶ

ὁ ὁρισμὸς τῆς μεθόδου ἐκείνης δι᾽ οὗ τὸ ἀγνοούμενον ἔγνωμεν. ἐάσας γοῦν τὸ δεῖξαι τοῦτο ἐπὶ πασῶν τῶν μεθόδων, λαμβάνει μόνον τὴν συλλογιστικὴν μέθοδον, καὶ φησίν, ὥσπερ συλλογιζόμενοι ὡς ὁ ἄνθρωπος οὐσία, λαμβάνομεν μέσον ὅρον τὸ ζῷον καὶ φαμὲν "ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον οὐσία," ἐν οὐδεμιᾷ δὲ τῶν δύο προτάσεων κεῖται ὁ συλλογισμὸς τοῦ ὁρισμοῦ, οὕτως οὐδὲ τὸν ἀποδεικνύντα ὅτι τόδε ἐστὶν ὁρισμὸς τοῦδε, δεῖ λαμβάνειν μέσον τὸν ὁρισμὸν τοῦ ὁρισμοῦ. Ioh. Phil. f. 80.

92a 12. ἀπὸ τοῦ εἰπεῖν "ὅλη" ἐδήλωσε τὴν μείζονα πρότασιν ὡς περιεχομένην ὑπὸ τῆς ἐλάττονος, ἀπὸ δὲ τοῦ εἰπεῖν "μέρος" ἐδήλωσε τὴν ἐλάττονα περιεχομένην ὑπὸ τῆς μείζονος. δύο γοῦν εἰσὶν αἱ προτάσεις ἐξ ὧν ὁ συλλογισμὸς περαίνεται· ἐν οὐδεμιᾷ γοῦν τῶν δύο ὁ ὁρισμὸς τοῦ συλλογισμοῦ κεῖται. id. ib.

92a 13. ἢ τὸν ὁρισμὸν τοῦ ὁρισμοῦ ἢ τὸν ὁρισμὸν τοῦ συλλογισμοῦ δεῖ εἶναι ἐκτὸς τῶν κειμένων καὶ ληφθεισῶν προτάσεων. πρὸς δὲ τὸν ἀμφισβητοῦντα καὶ ἐνιστάμενον ὡς καλῶς οὐ περιέβη ὁ συλλογισμός, ἢ ὅτι οὐδὲ τότε ὃ ἀπέδειξας ὁρισμός ἐστι τοῦδε, ἀπαντᾶν καὶ προβάλλεσθαι τοῦτο ὅτι καλῶς συλλελόγισμαι· τοῦτο γάρ ἐστιν ὁ συλλογισμός, λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων συνάγεται ἐξ ἀνάγκης. ἢ ὅτι καλῶς ἀπέδειξα τόδε ὁρισμὸν εἶναι τοῦδε· ὁρισμὸς γάρ ἐστι λόγος σύντομος δηλωτικὸς παριστῶν τὴν φύσιν τοῦ πράγματος ἀπὸ τῶν οὐσιωδῶς ὑπαρχόντων αὐτῷ. ὥστε ἀνάγκη συλλογίζεσθαι καὶ ἄνευ τοῦ λαβεῖν τὸ τί ἐστι, καὶ τὸν ὁρισμὸν τοῦ συλλογισμοῦ ἀποδεικνύειν, ὡς τόδε ἐστὶν ὁρισμὸς τοῦδε, ἄνευ τοῦ λαβεῖν τὸν ὁρισμὸν τοῦ ὁρισμοῦ. id. f. 80 *b*.

92a 20. ἐπεὶ ἦσάν τινες πειρώμενοι δι᾽ ὑποθετικοῦ συλλογισμοῦ ἀποδεικνύειν τόδε ὁρισμὸν εἶναι τοῦδε, ἐλέγχει καὶ αὐτοὺς ὡς τὸ ἐν ἀρχῇ αἰτοῦντας... καὶ τὸ μὲν κακὸν λέγεται διαιρετὸν ὡς ὑπερβολῇ καὶ ἐκλείψει θεωρούμενον (κακὸν γὰρ καὶ ἡ θρασύτης καὶ ἡ δειλία), τὸ δὲ ἀγαθὸν ἀδιαίρετον, διότι ἐν μεσότητι θεωρεῖται, ἡ δὲ μεσότης μία, τὸ δὲ ἓν ἀδιαίρετον. id. ib.

92a 23. τοῦτο λύσις ἐστὶν ἐνστάσεως. ἴσως γάρ τις ἐνέστη λέγων, τί κακίζεις τὸν δείξαντα τὸν ἀδιαίρετον ὁρισμὸν τοῦ ἀγαθοῦ, ἐκ τοῦ λαβεῖν τὸν διαιρετὸν ὁρισμὸν τοῦ κακοῦ; ἆρά γε οὐ χρὴ λαβεῖν ἐν ταῖς ἀποδείξεσί τινα δι᾽ ὧν ἀποδείξομεν τὸ ζητούμενον; λύων οὖν τὴν ἔνστασιν ταύτην φησί, λαμβάνειν χρὴ εἰς τὸ ἀποδεῖξαι τὸ τί ἦν εἶναι ἤγουν τὸν ἀδιαίρετον ὁρισμὸν τοῦ ἀγαθοῦ τινά, πλὴν οὐκ αὐτὸ τὸ προκείμενον καὶ ζητούμενον, ἀλλ᾽ ἕτερόν τινα. id. ib.

92a 24. τουτέστιν, εἰς τὴν δεῖξιν τοῦ τί ἦν εἶναι καὶ τοῦ ὁρισμοῦ ἕτερόν τι λαμβάνει ὃ οὐ κεχώρισται· διά γάρ τινος ληφθέντος μέσου ἑτέρου τῶν ἐξ ὧν τὸ συμπέρασμα ὅρων ὁ συλλογισμός, καὶ ἐκ προτάσεων τινῶν, ὃ ἐδήλωσεν εἰπὼν "καὶ γὰρ ἐν ταῖς ἀποδείξεσιν ὅτι ἔστι τόδε κατὰ τοῦδε λαμβάνεται," τουτέστι πρότασις. οὐ μὴν αὐτὸ ὃ δεῖ δεῖξαι, ἢ ὃ τὸ αὐτό ἐστι τῷ δεικνυμένῳ ἢ ἀντιστρέφει αὐτῷ· ὁ γὰρ τοιοῦτόν τι λαμβάνων τὸ ἐν ἀρχῇ αἰτεῖται, λαμβάνων πρὸς ἄλλο. Anonym. f. 104 *b*.

92a 27. ἤγουν οὐδὲ τὴν αὐτὴν ἀναλογίαν ἔχει πρὸς τὸ ζητούμενον, οὐδὲ ἀντιστρέφει πρὸς αὐτό. τὸ δὲ ἀγαθὸν καὶ κακὸν καὶ τὴν αὐτὴν ἀντιλογίαν ἔχει, ὡς ἐδείξαμεν, καὶ ἀντιστρέφουσιν ἤγουν δι᾽ ἀλλήλων δείκνυται. Ioh. Phil. f. 80 *b*.

92a 37. τάχα οὖν εἴποι τις ἂν ὅτι δι᾽ ἐπαγωγῆς δυνατόν. καὶ πῶς; ἐπαγωγὴ μὲν γὰρ ἐκ τῶν καθ᾽ ἕκαστον, ὁρισμὸς δὲ οὐδεὶς τῶν καθ᾽ ἕκαστον, καὶ ἐπαγωγὴ μὲν ἄλλο κατ᾽ ἄλλου, ὁρισμὸς δὲ τῶν ἄνευ συμπλοκῆς λεγομένων. Themist. f. 11.

92b 12. δέδεικται ὄπισθεν ὡς ἀναγκαῖόν ἐστιν ἅπαν πρᾶγμα δείκνυσθαι ὅτι ἔστι δι᾽ ἀποδείξεως, εἰ μὴ οὐσία εἴη. ἀντὶ τοῦ εἰπεῖν ὁρισμὸν εἶπεν οὐσίαν· τουτέστι, μόνον ὁ ὁρισμὸς οὐκ ἀποδείκνυται δι᾽ ἀποδείξεως. Ioh. Phil. f. 81 *b*.

92b 17. ἤγουν τὴν φύσιν τοῦ πράγματος δι᾽ ὁρισμοῦ τὸ εἰ ἔστι τρίγωνον, οὐκ εἴσεται δι᾽ ὁρισμοῦ ἀλλὰ δι᾽ ἀποδείξεως. ἀλλὰ τοῦτο ἀδύνατον δέδεικται, τὸ δὲ εἶναι τί ἐστι τρίγωνον ἐν τῷ ἀγνοεῖν εἰ ἔστιν ὅλως τρίγωνον. id. ib.

92b 21. φησὶ γοῦν, εἰ καὶ ἔστι τι ἔχον τὸ ἴσον ἀπὸ τοῦ μέσου ἀφίστασθαι, ἤγουν τὸ ἐπίσης ἀπὸ τοῦ κέντρου ἀφίστασθαι, ἀλλ᾽ οὗτος ὁ ὁρισμὸς οὔτε δείκνυσι διὰ τί τὸ ὁρισθέν ἐστιν ἐπίσης ἀπὸ τοῦ κέντρου ἀφιστάμενον, οὔτε δείκνυσι διὰ τί τοῦτο ἤγουν ὁ ὁρισμὸς τοῦ κύκλου ἀφιστᾷ οὗτος· ὅσον γὰρ ἀπὸ τοῦ ὁρισμοῦ οὐ δείκνυται ὅτι τοῦ κύκλου ἐστὶν οὗτος ὁ ὁρισμός· εἴη γὰρ ἂν ἴσως οὐ τοῦ κύκλου ἀλλὰ τοῦ ὀρειχάλκου. τὸ δὲ ὀρείχαλκόν ἐστιν εἶδος ὕλης μὴ νῦν εὑρισκομένης, ἢ ὀρείχαλκός ἐστιν ὁ λευκὸς χαλκός, ὡς Ἡσίοδος ἐν τῇ Ἀσπίδι φησὶν "ὡς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ δύσατο."... ἀλλ᾽ ἀεὶ ἔξεστι τῷ βουλομένῳ ἐρωτᾶν τὸ διὰ τί, ἤγουν πόθεν δῆλον ὅτι τὸν ἄνθρωπον δηλοῖ ἢ ὅτι ὁ ἄνθρωπος τοιοῦτόν ἐστιν. id. f. 82.

92b 27. ἤγουν ὁ ὁρισμὸς οὐκ ἔστι δηλωτικὸς τοῦ τί ἐστιν ἤγουν τῆς φύσεως τοῦ πράγματος. ἔξωθεν δὲ προσληπτέον τὸ δηλωτικόν, ἵνα σαφὲς τὸ λεγόμενον ᾖ. "εἴη... ἄτοπον" ἤγουν ὀνοματώδης. ἀλλ᾽ ἄτοπόν ἐστι τὸ δοῦναι τὸν ὁρισμὸν ὀνοματώδη εἶναι· οὕτω γὰρ ἔσται καὶ τῶν μὴ ὄντων ὁρισμός, εἴγε τὰ μὴ ὄντα ὀνόματα ἔχουσι καὶ ὁρισμοὺς ὀνοματώδεις, ἤγουν παριστῶντας ὅ τι σημαίνει τὸ ὄνομα. id. ib.

93a 3. ἄρχεται ἐντεῦθεν θεωρεῖν πῶς ἐστὶ δυνατὸν ἀπόδειξιν γενέσθαι τοῦ ὁρισμοῦ. ἵνα δὲ σαφέστερος ὁ ἐφερμηνευτικὸς λόγος τοῦ κειμένου γένηται, θεωρητέον ποσαχῶς ὁ ὁρισμός... ἀλλὰ σαφηνιστέον τὸ κείμενον. ἐπεὶ δὲ τὸ εἰδέναι τὸ τί ἐστι καὶ τὸ εἰδέναι τὸ αἴτιον τοῦ εἰ ἔστι τὸ πρᾶγμα ταὐτά εἰσιν (τὸ γὰρ τί ἐστιν ὁρισμός ἐστιν, ὁ δὲ ὁρισμὸς εἶδος, τὸ δὲ εἶδος αἴτιον), τὸ τί ἐστιν ἄρα αἴτιον· ὁ γὰρ ὁρισμὸς δηλοῖ τὴν αἰτίαν τοῦ εἴτε ἐστὶ τὸ ζητούμενον πρᾶγμα ὑφεστὼς εἴτε καὶ μή. προσθετέον δὲ τούτῳ τὸ ἐγχωρεῖ γενέσθαι ἀπόδειξιν τοῦ ὁρισμοῦ... εἰ τοίνυν τὸ αἴτιον, ἤγουν ὁ ὑλικὸς ὁρισμός, ἕτερός ἐστι παρὰ τὸ ὁριστόν, καὶ ἐνδέχεται ἀποδεῖξαι αὐτόν, ἀνάγκη μέσον λαβεῖν ἐν συλλογισμῷ τὸ αἴτιον ἤγουν τὸν εἰδικὸν ὁρισμόν, καὶ ἐν πρώτῳ σχήματι συλλογισθῆναι διὰ τὸ εἶναι τὸ ἀποδεικνύμενον καὶ καθόλου καὶ κατηγορικόν· ἀποδεικνύμενον δέ ἐστι τὸ πᾶς θυμὸς ζέσις τοῦ περικαρδίου αἵματος. εἷς μὲν δὴ τρόπος οὗτος ὁ ἐξητασμένος καὶ ἀποδοθείς, καθ᾽ ὃν ἐνδέχεται τὸ τί ἐστιν ἤγουν τὸν ὑλικὸν ὁρισμὸν ἀποδεῖξαι δι᾽ ἄλλου ὁρισμοῦ τοῦ εἰδικοῦ. id. f. 82 *b*.

91b 9. πρὸς πᾶσι τούτοις φησὶν ὁ Ἀλέξανδρος ὅτι ἐπεὶ ἀντιστρέφουσιν, οὐδὲν ἂν ἧττον διὰ τοῦ ἑτέρου τῶν ὁρισμῶν ὁ ἕτερος ἀποδεικνύοιτο, καὶ οὕτως ἂν εἶεν δι' ἀλλήλων δεικνύμενοι· τοῦτο δ' ἀλλότριον ἀποδείξεως. ἀλλὰ καὶ ἄμφω οἱ ὁρισμοὶ ὁμοίως καὶ αἰτοῦνται καὶ προλαμβάνονται· οὐδὲν γὰρ μᾶλλον ὁ ἕτερος τοῦ ἑτέρου. ἐροῦμεν δὲ καὶ οὕτως. ὁ μὲν ὁρισμὸς τὴν οὐσίαν παρίστησιν, ἡ δὲ ἀπόδειξις τὰ ἑπόμενα ἤτοι τὰ καθ' αὑτὸ συμβεβηκότα συνίστησιν. προτέρα δὲ φύσει ἡ οὐσία τῶν ἑπομένων αὐτῇ, καὶ ὁ ὁρισμὸς ἄρα τῆς ἀποδείξεως. καὶ αὖθις φύσει πρότερον τὸ εἶναι ἁπλῶς τοῦ πῶς ἦν, καὶ συμβέβηκε τοῦτο ἐκείνῳ. τὸ εἶναι δὴ ὁ ὁρισμὸς ἀποδίδωσι, τὸ δὲ πῶς εἶναι ἐκ τῆς ἀποδείξεως ἐπιστάμεθα. Eustrat. f. 15 *b*.

91b 12. οἱ περὶ Πλάτωνα ἐπειρῶντο διὰ τῆς διαιρετικῆς μεθόδου συλλογίζεσθαι καὶ ἀποδεικνύειν τόνδε ὁρισμὸν εἶναι τοῦδε, λέγοντες ὡς εἰ ὁ ὁρισμὸς ἐκ γένους καὶ συστατικῶν διαφορῶν συγκεῖται, ἐδείξαμεν διὰ τῆς διαιρετικῆς καὶ τὸ ζῷον ὑπάρχειν τῷ ἀνθρώπῳ, ἑκάστην διαφοράν, ἤγουν τὸ πεζὸν καὶ τὸ δίπουν ὁρισμὸν εἶναι τοῦ ἀνθρώπου. Ioh. Phil. f. 78 *b*.

ἔστω οὖν καὶ ἐπὶ τούτου ἐρωτῆσαι τὸ διότι. ἢ ὥς φησιν ὁ Ἀλέξανδρος, περὶ τοιούτων ἂν εἴη ὁ λόγος συμπερασμάτων οἷά περ ἐν τῷ περὶ ἀναλύσεως συλλογισμῶν ἔθετο, ἀσυναρτήτων ἀλλήλαις προηγησαμένων προτάσεων αὐτὰ ἑπόμενα. οἷον τῆς μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀναιρεῖται ἡ οὐσία· τῶν μερῶν ἀναιρουμένων ἀναιρεῖται τὸ ὅλον· τὰ μέρη ἄρα τῆς οὐσίας οὐσίαι εἰσίν. ἔστι γὰρ καὶ ἐπὶ τῶν τοιούτων ἐρωτῆσαι τὸ διότι, ὡς παραλελειμμένου τοῦ μέσου, καὶ ἐπ' ἐκείνων τῶν λόγων οἳ μὴ ἄμφω τὰς προτάσεις λαμβάνουσιν, ἀλλὰ μόνης μιᾶς ληφθείσης, ἢ τῆς μείζονος ἢ τῆς ἐλάττονος, ἐπάγουσι τὸ συμπέρασμα. Eustrat. f. 17.

91b 14. οἱ δὲ διὰ τῆς διαιρετικῆς μεθόδου ἀποδεικνύοντες τὸ ζῷον ἢ τὸ πεζὸν ἢ τὸν ὅρον ὁρισμὸν ὑπάρχειν τῷ ἀνθρώπῳ, οὐκ ἐξ ἀνάγκης συνάγουσι ταῦτα ἀπὸ τῶν κειμένων, ὡς καὶ ἔχειν χώραν τοῦ βουλομένου ζητεῖν διὰ τί ὁ ἄνθρωπος ζῷον πεζόν, ὥσπερ διὰ τῆς ἐπαγωγῆς τῶν μερικῶν ὁ δεικνύων τὸ καθόλου οὐκ ἀποδείκνυσιν. Ioh. Phil. f. 79.

ὥσπερ γὰρ ὁ ἐπακτικῶς τι δεικνὺς λαμβάνει μέν τινα δι' ὧν δεικνύναι τι πειρᾶται, οὐ μὴν συλλογίζεται, διότι μὴ ἐξ ἀνάγκης τοῖς ληφθεῖσιν ἕπεται τὸ δεικνύμενον, οὕτω καὶ ἐπὶ τῆς διαιρέσεως ἔχει. Anonym. f. 104.

91b 24. τὸ γὰρ ἀντὶ τοῦ δὲ ληπτέον· οὐ γὰρ τοῦ προσλαβόντος ἐστὶ κατασκευαστικόν, ἀλλ' ἕτερον ἐπιχείρημα. φησὶν οὖν, ὡς οὐκ ἂν δοίημεν ἕκαστον μέρος τοῦ ὁρισμοῦ τοῦ ζῷον πεζὸν δίπουν κατηγορεῖσθαι τοῦ ἀνθρώπου ἀληθῶς, ὡσαύτως δὲ καὶ τὸν ὅλον ὁρισμόν, ἀλλ' οὐδεμία ἀνάγκη ὡς ὁρισμὸν κατ' αὐτοῦ φέρεσθαι· οὐ γὰρ πᾶς λόγος κατά τινος ἀληθῶς λεγόμενος ἤδη καὶ ὁρισμός ἐστιν αὐτοῦ· ἔστι γὰρ ἐκ συμβεβηκότων θεῖναι λόγον. Ioh. Phil. f. 79.

91a 26. τρόπους τινὰς τίθησι καθ' οὓς ἐγχωρεῖ τὸ κατηγορούμενον ἀληθῶς κατά τινος μὴ ὁρισμὸν εἶναι αὐτοῦ. id. ib.

μάλιστα δὲ ἡ διαίρεσις χρήσιμος ἂν γένοιτο κατὰ τόνδε τὸν τρόπον, πρῶτον μὲν λαμβάνουσα τὰ ἐν τῷ τί ἐστιν ἅπαντα, εἶτα μηδέν τι παραλείπουσα μηθ' ὑπερβαίνουσα μέχρι τῶν ἀτόμων εἰδῶν. ὑπερβαίνει μὲν οὖν ὁ τὸ ζῷον εὐθὺς εἰς δίπουν καὶ πολύπουν διαιρῶν. Themist. f. 11.

91b 28. ἤγουν παρεῖται καὶ συμβαίνει γίνεσθαι ταῦτα, ἤγουν τὴν πρόσθεσιν τὴν ἀφαίρεσιν καὶ τὴν ὑπέρβασιν ἐν τοῖς ὁρισμοῖς, ἃ κακίαι γίνονται τοῦ ὁρισμοῦ. Ioh. Phil. f. 79 *b*.

91b 31. "τοῦτο δ' ἀναγκαῖον," ἤγουν εἰ ἅπαντα τὰ οὐσιωδῶς ὑπάρχοντα τῷ ὁριστῷ λάβεις εἰς τὴν διαίρεσιν, εὑρήσεις ταῦτα καὶ λήψῃ ἐν τῷ ὁρισμῷ. τοῦτο δὲ τὸ μηδὲν παραλιπεῖν ἐν τῷ ὁρισμῷ ὧν εἴπομεν ἀναγκαῖον ἔσται. id. ib.

91b 32. τὸ μὲν πρότερον ἀναγκαῖον ὡς ἀναγκαίως ἑπόμενον εἴρηται, τοῦτο δέ γε τὸ δεύτερον κατὰ τὸ τοῦ χρειώδους σημαινόμενον τέθειται· ἀναγκαίως γὰρ οὕτω τὰς διαιρέσεις ποιεῖν δεόμεθα ὡς μηδὲν ἐλλείπειν κατιόντας. κανὼν δὲ τούτου τῆς διαγνώσεως, δι' οὗ τὸ μηδὲν ἐλλείπειν ἐπιγνωσόμεθα, εἴπερ εἰς ἄτομον καταντήσομεν, ἤγουν ὅταν ἔσχατον ᾖ τὸ ληφθὲν τελευταῖον. Eustrat. f. 18 *b*.

ἔστι δὲ μὴ ἐμπίπτοντα εἰς πᾶσαν τὴν διαίρεσιν τὰ γένη, ὅσῳ ἀνωτέρω ἦν. τὰ δ' ἄτομα εἴδη εἰς πᾶσαν ἐμπίπτει τὴν διαίρεσιν, οἷον ὁ ἄνθρωπος. Anonym. f. 104.

92a 2. πρόσθεσις μὲν οὖν γίνεται ἐν τῇ διαιρέσει, ὅταν διαιρῶν οὐ λαμβάνῃ μόνον τὰς οὐσιώδεις καὶ εἰδικὰς διαφορὰς ἀλλὰ καὶ τὰς ὑλικὰς καὶ κατὰ συμβεβηκός... παράλειψις δὲ λέγεται, ὅταν οὐ λάβῃς ἐν τῇ διαιρέσει πάντα τὰ ἀντιδιῃρημένα, ἀλλὰ διαιρήσεις τὸ ζῷον εἴς τε πεζὸν καὶ πτηνόν, ἐάσῃς δὲ τὸ ἔνυδρον. ὑπέρβασις δὲ γίνεται, εἰ διαιρήσεις τὸ ζῷον εἰς τὸ ὑπόπουν καὶ ἄπουν· ὑπερέβης γὰρ τὸ πεζόν. Ioh. Phil. f. 79 *b*.

92a 6. ζητεῖ εἰ οἷόν τε τὸν ὁρισμὸν ἐξ ὑποθέσεως συλλογίσασθαί τε καὶ δεῖξαι. τὸν δὲ ὁρισμὸν τὸ τί ἐστι κατ' οὐσίαν εἶπε. τὸ γὰρ πρὸς τῷ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι τινὸς καὶ τὴν οὐσίαν σημαῖνον αὐτοῦ ὁρισμός ἐστιν ἐκείνου· ὁ γὰρ ὁρισμὸς ἡ ἑκάστου οὐσία καὶ τὸ εἶναι. "ἐξ ὑποθέσεως" δὲ εἶπεν οὐ τὸ δι' ὑποθετικοῦ συλλογισμοῦ ἀλλὰ διὰ τοῦ ὑποθέσθαι τινά, καὶ τούτοις πρὸς τὴν δεῖξιν χρήσασθαι... δείκνυσι δέ τι καὶ ἄλλο ἄτοπον τῇ τοιαύτῃ δείξει ἑπόμενον· ὅτι γὰρ μὴ ὑπόθεσις ἐν τῷ συλλογισμῷ, δεόντως λαμβάνεται. Anonym. f. 104 *b*.

92a 11. ἔτι σχεδὸν οὐδὲν διαφέρει συλλογιζομένους τι καὶ ἀντὶ λήμματος ποιεῖσθαι τὸν λόγον τοῦ συλλογισμοῦ καὶ ὁρισμὸν ἀποδεικνύντας ἀντὶ προτάσεως τιθέναι τὸν λόγον τοῦ τί ἦν εἶναι· ἀλλ' ὥσπερ ἐν τῷ συλλογίζεσθαι οὐ λέγομεν τί ἐστι συλλογισμός, οὕτως οὐδὲ ἐν τῷ τὸν ὁρισμὸν ἀποδεικνύναι λέγειν χρὴ τί ἐστιν ὁρισμός· δεῖ μὲν γὰρ ἀκριβῶς ἐγνωκέναι καὶ τί ἐστι συλλογισμὸς καὶ τί ἐστιν ὁρισμός, ὥστε αὐτοὺς γινώσκειν ὁπόταν ταῦτα ποιῶμεν, καὶ τοὺς ἀμφισβητοῦντας δύνασθαι πείθειν, μέρος δὲ τῶν ἀποδείξεων μὴ οἴεσθαι τοὺς λόγους τούτους. Themist. f. 11.

φησὶ γοῦν ὡς πολλοὶ οἱ τρόποι εἰσὶ καθ' οὓς τὰ ἀγνοούμενα δῆλα ἡμῖν γένηται. ἢ γὰρ διὰ τῆς διαιρετικῆς μεθόδου τὸ ἀγνοούμενον γινώσκομεν ἢ δι' ὁρισμοῦ ἢ δι' ἀποδείξεως ἢ δι' ἀναλύσεως ἢ διὰ συλλογισμοῦ. ἐν οὐδεμιᾷ γοῦν τῶν μεθόδων τούτων λαμβάνεται

ἔοικε διὰ τούτων λέγειν, ὅτι καὶ ἐπὶ τῶν ἁπλῶς τὸ τί ἐστιν αἴτιον, ἔστιν αὐτοῖς τὸ εἶναι, οἷον τί ἐστι τρίγωνον· τοῦτο γὰρ αἴτιον τοῦ εἶναι τῷ τριγώνῳ. Anonym. f. 102 *b*.

90 a 35. δείξας ὅτι καὶ τὰ τέσσαρα ζητήματα περὶ τοῦ μέσου ζητοῦσι, ζητεῖ περὶ τοῦ ὅρου, εἰ δυνατόν ἐστιν ἀποδείκνυσθαι ὡς τόδε ἐστὶν ὁρισμὸς τοῦδε, καὶ τίς ἐστιν ὁ τρόπος τῆς ἀναγωγῆς, ἤγουν καὶ πῶς ἀνάγεται εἰς τὴν ἀπόδειξιν, καὶ τίς ἐστιν ὅρος, καὶ τίνων ἐστὶν ὁρισμός. Ioh. Phil. f. 76 *b*.

90 b 7. διότι ὁ μὲν συλλογισμὸς δείκνυσί τι πάθος ὑπάρχον ἔν τινι ὑποκειμένῳ. id. f. 77.

90 b 13. τοῦτο λύσις ἐστὶν ἐνστάσεως καὶ ἀπορίας. ἴσως γάρ τις ἐζήτησεν, ἆρά γε οὐκ ἔστι δυνατὸν τὸ αὐτὸ γνῶναι καὶ δι᾽ ὁρισμοῦ καὶ δι᾽ ἀποδείξεως; ἀλλ᾽ οὐχ ἅμα ἤγουν ὡσαύτως, ἀλλὰ κατ᾽ ἄλλον καὶ ἄλλον λόγον. id. ib.

90 b 20. ἴσως δὲ τὸ "τοῦ γὰρ ἑνὸς ᾗ ἓν μία ἐπιστήμη" οὐχ ὡς λῆμμα προτέτακται, ἀλλ᾽ ὡς κατασκευαστικὸν τοῦ τὸ ἐπίστασθαι τὸ ἀποδεικτὸν εἶναι τὸ ἔχειν τὴν ἀπόδειξιν. ἐπειδὴ γὰρ κυρίως ἐπιστήμας ταύτας τὰς δύο τίθεται, ὁριστικήν τε καὶ ἀποδεικτικήν, ὡς Θεόφραστος μαρτυρεῖ καὶ Ἀλέξανδρος, φησὶν ὅτι οὐκ ἐνδέχεται τοῦ ἑνὸς ᾗ ἓν ὁρισμὸν εἶναι καὶ ἀπόδειξιν. διὸ οὔτε ὁριστὸν ᾗ ἓν ἄνευ ὁρισμοῦ γνωστόν ἐστιν, οὔτε ἀποδεικτὸν ἄνευ ἀποδείξεως. Eustrat. f. 11.

90 b 35. ἀλλ᾽ οὐδὲ κατὰ τοῦ ἀνθρώπου κατηγορεῖται ὁ ὁρισμός· οὐδὲ γὰρ μέρος ὁ ἄνθρωπος τοῦ ὁρισμοῦ, ὥσπερ μέρος τοῦ συμπεράσματος ὁ ὑποκείμενος. ὁ δὲ εἰπὼν "ἄνθρωπός ἐστι ζῷον πεζὸν δίπουν" οὐχ ὁρισμὸν εἴρηκεν ἀλλὰ πρότασιν τὸν ὁρισμὸν κατηγορούμενον ἔχουσαν. Themist. f. 10 *b*.

91 a 2. ἀπόδειξιν ἐνταῦθα τὴν γνῶσιν ἔλαβεν, εἰ οὖν τῶν ἑτέρων καὶ διαφερόντων αἱ γνώσεις ἕτεραί εἰσι, τὸ δὲ ὁριστὸν καὶ τὸ ἀποδεικτὸν ἕτερα. Ioh. Phil. f. 77 *b*.

τοῦτο λύσις ἐστὶν ἐνστάσεως. ἴσως γάρ τις ἐνέστη λέγων, πῶς φησὶ τῶν ἑτέρων ἑτέρας εἶναι τὰς γνώσεις; ἰδοὺ τὸ ἰσοσκελὲς καὶ τρίγωνον ἕτερα, ἀλλὰ καὶ οὕτω δι᾽ ἧς ἀποδείξεως γινώσκομεν ὡς τὸ τρίγωνον δύο ὀρθὰς ἔχει, δι᾽ αὐτῆς γινώσκομεν ὡς καὶ τὸ ἰσοσκελὲς οὕτως ἔχει. λύων οὖν τὴν ἔνστασιν φησίν, εἰ καὶ ἕτερά εἰσι ταῦτα, ἀλλ᾽ οὖν τὸ μὲν τρίγωνόν ἐστιν ὅλον, τὸ δ᾽ ἰσοσκελὲς μέρος, καὶ διὰ τοῦτο μίαν ἔχουσιν ἀπόδειξιν. id. ib.

91 a 12. ἀλλὰ ταῦτα μὲν ὅτι οὐκ εἰσὶ ταὐτὰ ὁ ὁρισμὸς καὶ ἡ ἀπόδειξις, διηπορήσθω οὕτως, ἤγουν διαπορητικῶς καὶ διαλεκτικῶς καὶ κοινότερον δεδείχθωσαν. διαπορητικὰ δὲ λέγονται τὰ κοινότερα καὶ διαλεκτικὰ ἐπιχειρήματα· ἴδιον γὰρ τοῦ διαλεκτικοῦ ἐστὶ τὸ διαπορεῖσθαι. id. f. 78.

91 a 14. εἰ πᾶς συλλογισμός τι κατά τινος ἀποδείκνυσι διά τινος μέσου, δεῖ δήπουθεν καὶ τὸν ὁρισμόν, ὅταν ἀποδεικνύηται ὅτι ἀνθρώπου ἐστί, διά τινος ἀποδείκνυσθαι μέσου. τὸν δὲ δὴ μέσον τοῦτον ἀνάγκη καὶ αὐτὸν ὁρισμὸν εἶναι ἀνθρώπου· οὕτω γὰρ ἔσται ἀπόδειξις· ἐπειδὴ γὰρ ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητόν, ζῷόν ἐστι πεζὸν δίπουν. ἑτέρως δ᾽ οὐκ ἔσται συλλογισμὸς τοῦ τί ἦν εἶναι· εἴτε γὰρ ἐπὶ πλέον ὁ μέσος ληφθείη τοῦ ἀνθρώπου εἴτε ἐπ᾽ ἔλαττον, εἴτε ἀντιστρέφοι μὲν μὴ ἐν τῷ τί ἐστι δὲ κατηγοροῖτο, οὐδέποτε ὁ μείζων ἄκρος ἐν τῷ τί ἐστι κατηγορηθήσεται. εἰ δὲ ταῦτ᾽ ἐστὶν ἀληθῆ, τὸν ἀποδεικνύντα τὸ τί ἦν εἶναι τοῦ ἀνθρώπου ἄλλο τι δεῖ προλαβεῖν τοῦ αὐτοῦ τὸ τί ἦν εἶναι. Themist. f. 10 *b*.

91 a 15. ὁ ὁρισμὸς ἴδιον λέγεται τοῦ ὁριστοῦ, καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται. εἰ συνδράμωσι καὶ ἄμφω ἐν τῷ αὐτῷ καὶ ἑνὶ ὁρισμῷ, δύναται ἀντιστρέφειν καὶ ὁ ὁρισμὸς πρὸς τὸ ὁριστὸν καὶ τὸ ὁριστὸν πρὸς τὸν ὁρισμόν, καὶ ἀντικατηγορεῖσθαι ἀλλήλων. Ioh. Phil. f. 78.

ὅτι τοῦ τί ἐστιν οὐκ ἔστι συλλογισμὸς καὶ ἀπόδειξις. ὅτι ὁ ὁρισμὸς ἴδιόν ἐστιν ἐν τῷ τί ἐστι κατηγορούμενον· τὸ γὰρ ἄλλως ἴδιον συμβεβηκὸς καὶ οὐκ ἐν τῷ τί ἐστι κατηγορούμενον. Anonym. f. 103 *b*.

91 a 16. ἐνταῦθα τὸ "γάρ" ἢ ἀντὶ τοῦ δέ ληπτέον ἢ ἀντὶ τοῦ δή, εἰ λάβῃς τὰ λήμματα ἀπηρτισμένα ἄχρι τοῦ "ἀντιστρέφειν." εἰ δὲ ἄχρι "ἐν τῷ τί ἐστι κατηγορεῖται," ὀφείλεις λαβεῖν τὸ γ´ α´ κατασκευαστικὸν τοῦ πρὸ αὐτοῦ· ἀλλὰ προθεωρητέον τοῦτο. εἰ μέλλει τις ἀποδεῖξαι ὡς τὸ α´ ὁρισμός ἐστι τοῦ γ´, διὰ μέσου τοῦ β´ ὀφείλει καὶ τὸ α´ καὶ τὸ β´ ὁρισμὸν λαβεῖν. ἔστω τὸ α´ ζῷον πεζὸν δίπουν, τὸ δὲ β´ ζῷον λογικὸν θνητόν, τὸ δὲ γ´ ἄνθρωπος. ἄλλως γὰρ οὐκ ἔστι δειχθῆναι τὸ α´ ὁρισμὸν εἶναι τοῦ γ´, εἰ μὴ καὶ ὁ μέσος ληφθῇ ὁρισμός· ἀρχὴ γὰρ ἀποδείξεως ὁ ὁρισμός. εἰ μέλλει δειχθῆναι τόδε ὁρισμὸς τοῦδε, ταῦτα τὰ εἰς ἀπόδειξιν αὐτοῦ μέλλοντα ληφθῆναι ἀνάγκη ἀντιστρέφειν, ἤγουν ὁρισμὸς εἶναι. εἰ γὰρ τὸ α´ ἐστὶν ἴδιον καὶ ὁρισμὸς τοῦ γ´, δῆλον ὡς τὸ α´ καὶ τοῦ β´ ἔσται ὁρισμός, καὶ τοῦτο τὸ β´ τοῦ γ´ ὁρισμός. ὥστε πάντας τοὺς ὅρους ἀντιστρέφειν καὶ ἀντικατηγορεῖσθαι, καὶ ἐν τῷ τί ἐστιν. Ioh. Phil. f. 78.

91 a 24. δείξας ὅτι δεῖ ἐν ἀμφοτέραις ταῖς προτάσεσιν εἶναι τὸ τί ἐστι, τουτέστι τὸν ὁρισμόν, ἐπήνεγκε "τὸ δὲ τί ἐστιν ἄμφω ταῦτα ἔχει," τῷ δέ ἀντὶ τοῦ δή χρησάμενος. ἔστι δὲ τὸ λεγόμενον ὅτι τὸ δὴ τί ἐστιν ἄμφω ταῦτα ἕξει, τό τε αβ´ καὶ τὸ βγ´ δηλονότι. οὐ γὰρ μόνη ἡ αβ´ πρότασις, ἀλλὰ καὶ ἡ βγ´ ἕξει τὸ τί ἐστιν. Anonym. f. 103 *b*.

91 a 30. ἢ "τοῦτο δ᾽ ἔσται ἄλλος λόγος μέσος," ὁ δυνάμενος δεῖξαι ὅτι τὸ β´ τοῦ γ´ ὁρισμός ἐστιν. ἢ "τούτου δ᾽ ἔσται ἄλλος λόγος," τουτέστι τοῦ β´ ἔσται ἄλλος ὁρισμός, καὶ τοῦ γ´ ἔσται ὁρισμός. id. ib.

91 a 35. δείξας ὡς οὐκ ἔστι δυνατὸν ἀπόδειξιν τοῦ ὁρισμοῦ γενέσθαι, κἂν ἐν τῷ μείζονι ὅρῳ καὶ τῷ μέσῳ ὁρισμοὶ κεῖνται, νῦν δείκνυσιν ὅτι καὶ ἐὰν λόγους λάβῃς ἀντιστρέφοντας, οὐδὲ οὕτως ἀποδείξεις τόνδε ὁρισμὸν εἶναι τοῦδε· τὸ γὰρ ἐν ἀρχῇ καὶ οὕτως αἰτεῖ. ὡς ὁ Ξενοκράτης βουλόμενος δεῖξαι τὸ ἀριθμὸς αὐτὸς ἑαυτὸν κινῶν ὁρισμὸν εἶναι τῆς ψυχῆς, ἔλαβε μέσον ὅρον τὸ αἴτιον αὐτὸ ἑαυτῷ τοῦ ζῆν. εἰ δ᾽ ὅροι οὗτοι ἀντιστρέφουσιν· εἴ τι γὰρ ψυχή, τοῦτο αὐτὸ ἑαυτῷ αἴτιον τοῦ ζῆν, καὶ εἴ τι αὐτὸ ἑαυτῷ αἴτιον τοῦ ζῆν, τοῦτο καὶ ψυχή· ταὐτίζονται γάρ. ὡσαύτως καὶ εἴ τι ψυχή, ἀριθμός ἐστιν αὐτὸς ἑαυτὸν κινῶν, καὶ εἴ τι ἀριθμὸς αὐτὸς ἑαυτὸν κινῶν, ψυχή, καὶ εἴ τι αἴτιον ἑαυτῷ τοῦ ζῆν, ἀριθμός ἐστιν αὐτὸς ἑαυτὸν κινῶν, καὶ τὸ ἀνάπαλιν. Ioh. Phil. f. 78 *b*.

91 b 3. ἤγουν ἀληθὲς εἰπεῖν ὡς τὸ ἀριθμὸς αὐτὸς ἑαυτὸν κινῶν ἕπεται τῇ ψυχῇ καὶ ὑπάρχει αὐτῇ, οὐ μέντοι γε καὶ ὁρισμός ἐστιν αὐτῆς. id. ib.

οὔτε τῆς Ἀριστοτέλους μεγαλονοίας οὔτε τῆς ἡμετέρας οὐθενείας ἐπιλαθόμενοι οὔτε πολὺ πρότερον τῶν τὸ παρὸν ἐξηγησαμένων καταγνόντες βιβλίον, σφᾶς ἑαυτοὺς εἰς τὸν παρόντα πόνον καθήκαμεν, ἀλλὰ τὸ μὲν ὅλον εἰπεῖν γυμνασία τις καὶ πεῖρα τῆς ἡμετέρας περὶ ταῦτα τὸ πρᾶγμα ἰσχύος, ἔπειτα οὐδὲ τοῦτα ἀπὸ γνώμης Ἀριστοτέλους ἐκλέγειν καὶ ἀποσημειοῦσθαι ὡς ἕκαστα· καὶ ἄλλως δὲ χαριέστερον πεφύκασιν ἄνθρωποι τοῖς ἐπιτομωτέροις ὁμιλεῖν τῶν λόγων ἢ τοῖς μακροῖς καὶ πλατυκωτέροις, καὶ μάλιστα ὁπόταν ὑπὸ σμήνους τύχωσι προκατειργασμένοι βιβλίων. Θεοδώρου τοῦ Πτωχοπροδρόμου παράφρασις εἰς τὸ ὕστερον τῶν Ὑστέρων Ἀναλυτικῶν Ἀριστ. quae exit in haec (f. 324): ἀλλ' οὕτω μὲν ἡμῖν τὰ κατὰ τὴν παροῦσαν σκέψιν Ἀριστοτέλους ἐγκείμενα σκῶλα ὡς οἷοί τε ἦμεν διωμαλίσθαι· τὸν δὲ παρόντα λόγον συγγνώμοσιν εἴη ἐντυγχάνειν διαιτηταῖς. cod. Reg. 1917.

"ὅσα περ ἐπιστάμεθα" ἀντὶ τοῦ ὅσων ἐπιστήμην λαμβάνομεν. οὐ γὰρ ἃ ἤδη ἐπιστάμεθα, ταῦτα ζητοῦμεν, ἀλλὰ ἃ γνῶναι θέλομεν. Anonym. f. 102.

τούτων τὸ εἰ ἔστι καὶ τὸ τί ἐστιν εἰσὶν ἁπλᾶ, τὸ δὲ ὅτι καὶ τὸ διότι
89 b 24. σύνθετα. ἐκεῖνα μὲν γὰρ περὶ ἁπλοῦ τινὸς καὶ ἑνὸς ὅρου τὴν ζήτησιν ἔχουσιν, οἷον εἰ ἔστι τις αἰτία τῆς ὑπάρξεως τῆς σελήνης, καὶ εὑρόντες ὅτι ἔστι, ζητοῦμεν τὸ διὰ τί τὸ ἐκλείπειν ὑπάρχει τῇ σελήνῃ. τὸ ὅτι καὶ τὸ διότι ὡς ἐπὶ σύνθετα τὴν ζήτησιν ἔχοντα προέταξε τοῦ εἰ ἔστι καὶ τί ἐστι, τῶν ἐπὶ ἁπλῶν τὴν ζήτησιν ἐχόντων· πρότερα γὰρ ἡμῖν καὶ γνωριμώτερα τὰ σύνθετα, ὡς τῇ φύσει τὰ ἁπλᾶ. ἀντὶ δὲ τοῦ εἰπεῖν "τί εἰσὶ σύνθετα προβλήματα ζητοῦντες" εἶπε τὸ "εἰς ἀριθμὸν θέντες·" ὁ γὰρ ἀριθμὸς ἐκ συνθέσεως καὶ πλήθους μονάδων συνίσταται, ὡς ἡ δυὰς καὶ τριάς, ἡ δὲ μονὰς ἁπλῆ ἐστίν· καὶ διὰ τοῦτο τὰ ἁπλᾶ προβλήματα λέγεται μοναδικὰ καὶ ἑνιαῖα. Ioh. Phil. f. 75 *b*.

μὴ θορυβείτω δὲ ἡμᾶς εἰ ἑτέραν ἐν τοῖς Τοπικοῖς τῶν προβλημάτων τὴν διαίρεσιν πεποιήμεθα· μόνον γὰρ ἐκεῖ τῶν διαλεκτικῶν προβλημάτων ἐρρήθησαν αἱ διαφοραί. ἅπαντα δὲ ἐκεῖνά ἐστιν ἐν συνθέσει καὶ μόνῳ τῷ τρόπῳ τῆς προτάσεως διαφέρει· ἢ γὰρ ὡς γένος τόδε τῷδε ὑπάρχει ἢ ἧπερ ἴδιον τόδε τοῦδε ἢ συμβεβηκὸς τόδε τῷδε, ἢ εἴπερ ὁρισμὸς τόδε τοῦδε· καὶ γὰρ ἂν ὑπὲρ ὁρισμοῦ ζητῶμεν διαλεκτικῶς, πρότασιν αὐτὸν ποιήσαντες οὕτω ζητοῦμεν, οἷον "ἆρ' ἐστὶν ἡ ψυχὴ ἀριθμὸς ἑαυτὸν κινῶν, ὡς ἐνόμιζε Ξενοκράτης;" ὅταν δὲ ἐπιστημονικῶς μετίωμεν τὸ τί ἐστιν, οὐδέπω πρότασις ἡμῖν τὸ ζήτημα. ἀλλ' οὐδὲ τὸ διὰ τί ἐστι πρόβλημα διαλεκτικόν· οὐ γὰρ δίδωσιν ὁ πυνθανόμενος ἑλέσθαι τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως· οὐ γὰρ ἐλέγχου χάριν πυνθάνεται. Themist. f. 10.

ἀναγκαία ἐστὶν ἡ καθόλου περὶ τῶν ζητημάτων παράδοσις. ἐπεὶ δὲ καὶ ἄλλη τις τοῖς παλαιοτέροις ἐξηγηταῖς παραδίδοται, δεῖ μηδ' ἐκείνην παραλιπεῖν· ὅσῳ γὰρ πλείω τὰ αἴτια ἀποδίδοται, τοσούτῳ καὶ ὁ περὶ τῶν ζητουμένων λόγος ἀναγκαιότερος ἀναφαίνεται. Eustrat. f. 2.

89 b 33. εἰπὼν τὸ εἰ ἔστι, τὸ "ἁπλῶς" προσέθηκε, δεικνὺς αὐτοῦ τὴν διαφορὰν τὴν πρὸς τὸ ὅτι ἔστιν, ὃ εἶπεν ἐν ἀριθμῷ καὶ οὐχ ἁπλῶς. Anonym. f. 102.

τὸ μὲν ἐπὶ μέρους τὸ ὅτι ἐστὶ ζητεῖ, τὸ δὲ ἁπλῶς τὸ εἰ ἔστιν. id. ib. 90 b 2.

ἐπὶ μέρους δὲ λέγει ἐκεῖνο ἢ ὅτι εἰς δύο μερίζεται πράγματα (ἐξ ὅσων γάρ τι σύγκειται, καὶ μερίζεται εἰς τοσαῦτα), ὡς εἶναι τὸ ἐπὶ μέρους ἀντὶ τοῦ μεμερισμένως, ὥς φησιν Ἀλέξανδρος, ὅπερ ἀρχόμενος τοῦ βιβλίου ἀριθμὸν εἴρηκεν. ἢ ὡς αὐτὸς καὶ τοῦτό φησιν, ὅτι ὁ ζητῶν εἰ τῷδε τόδε ὑπάρχει, εἰ τόδε τοῦδέ τί ἐστι ζητεῖ, οἷον εἰ γένος τοῦδε, ὡς εἰ ὁ ἄνθρωπος ζῷον, ἢ συμβεβηκὸς τοῦδε ὡς ἡ χιὼν λευκή, ἢ εἰ πάθος τοῦδε ἐστίν, ἢ ἡ σελήνη ἐκλείπει. Eustrat. f. 5.

ὅτι ἐν ταῖς τέσσαρσι ζητήσεσι τὸ αἴτιον ζητεῖται, ὅπερ μέσον 90 a 6. ἐστίν· ἀλλ' ἐπὶ μὲν τοῦ ὅτι ἔστι καὶ εἰ ἔστι, τὸ αἴτιον ζητεῖται, ἐπὶ δὲ τοῦ τί ἐστι καὶ διὰ τί ἐστι, τί τὸ αἴτιον. Anonym. f. 102.

τὸ δὲ "ἢ ἐν μέσῳ ἢ μή" τοῦτο δηλοῖ, ὡς ἆρά γέ ἐστί τις 90 a 13. αἰτία τοῦ εἶναι τὴν γῆν μέσην ἢ οὐκ ἔστι (κέντρου γὰρ λόγον ἐπέχει)· καθ' ἧς γῆς τὸ μὲν αἰσθητὸν κατηγορεῖται κατὰ συμβεβηκός, τὸ δὲ ἐν τῷ μέσῳ εἶναι τόπῳ καθ' αὐτό. τὸ δὲ ἔχειν τὰς δύο πλευρὰς ἀνίσους ἤγουν μείζους τῆς μίας, κατὰ συμβεβηκός. συνηρίθμησε δὲ ταῖς οὐσίαις τὸ τρίγωνον ὡς μαθηματικὴν οὐσίαν· τῶν γὰρ οὐσιῶν αἱ μέν εἰσι νοηταί, ὡς ὁ νοῦς καὶ ἡ ψυχή, αἱ δὲ αἰσθητικαί, ὡς ὁ Σωκράτης καὶ ὁ Πλάτων, αἱ δὲ διανοηταί, ὡς τὸ τρίγωνον καὶ τετράγωνον. Ioh. Phil. f. 76.

λόγος δέ ἐστιν ἐν ἀριθμοῖς θεωρούμενος ὁ ἐπίτριτος, ὁ ἡμιόλιος 90 a 22. καὶ ὁ διὰ πασῶν. διὰ πασῶν δὲ λέγω τὸν διπλασίονα λόγον, ὅταν ὁ βαρὺς φθόγγος περιέχῃ τὸν ὀξύν. τὸν ἐπίτριτον ἔχει λόγον, ὅταν ὅλον ἔχῃ τὸν ὀξὺν καὶ τὸ τρίτον αὐτοῦ. id. f. 76 *b*.

καὶ οὐ λέγω ὅτι τὸ αἰσθάνεσθαι τῆς αἰτίας ταὐτὸν ἂν ἦν τῷ ἐπί- 90 a 25. στασθαι, ἀλλ' ὅτι ἐκ τοῦ αἰσθάνεσθαι τὸ καθόλου ἂν ἐγένετο καὶ τὸ ἐπίστασθαι. ζητοῦντες μὲν οὖν τὸ διότι τὸ ὅτι γνώριμον ἔχομεν, ἀποδεικνύντες δὲ τὸ ὅτι, τὸ διότι πάντως συνεξευρίσκομεν· ἐπὶ γὰρ τῆς κυρίως ἀποδείξεως τοῦ ὅτι καὶ τὸ διότι συναναφαίνεται, εἴπερ ὀρθῶς ἐλέγετο ἐπὶ τῆς ἀποδείξεως τὸ μέσον αἴτιον εἶναι μὴ τοῦ συμπεράσματος μόνον ἀλλὰ καὶ τοῦ πράγματος. Themist. f. 10.

τοῦτο λύσις ἐστὶν ἐνστάσεως. ἴσως γάρ τις ἠπόρησεν, εἰ ἡ 90 a 28. ἔκλειψις τῆς σελήνης ἐστὶ πρᾶγμα ἐπιστητόν, τὸ δὲ ἐπιστητὸν καὶ αἰσθητόν ἐστιν ἕτερα ὡς καὶ ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις, πῶς τὴν ἔκλειψιν ἐπιστητὴν οὖσάν φασιν εἶναι καὶ αἰσθητήν; φησὶν οὖν, οὐ λέγω τὴν καθόλου ἔκλειψιν τὴν ἀεὶ γινομένην διὰ τὴν ἀντίφραξιν αἰσθητήν, ἀλλ' αἰσθητὴν λέγω ἔκλειψιν ἣν νῦν ὁρῶ γινομένην. Ioh. Phil. f. 76 *b*.

οὐ ταυτὸ δὲ τὸ ἐκλεῖπον καὶ ἀντιφράττον, εἰ καὶ ἴσως οὕτως ἀπὸ 90 a 29. τῆς λέξεως φαίνεται, ἀλλὰ τὸ μὲν σελήνη τὸ δὲ γῆ, ἢ τὸ μὲν ἥλιος τὸ δὲ σελήνη. Eustrat. f. 8.

μνημονεύσας τοῦ διὰ τί, καθόλου καὶ κοινῶς περὶ αὐτοῦ λέγει, 90 a 31. ὅτι διττὴ ἡ περὶ τοῦ διὰ τί ζήτησις. ἢ γὰρ ἁπλῶς ζήτησις καὶ οὐκ ἐν ὑπάρξει ἄλλου, ἀλλ' ὡς ἐπὶ τῆς τοῦ τί ἐστι ζητήσεως, ἢ τῶν ὑπαρχόντων τισὶ τὸ διὰ τί ζητεῖται, ὥσπερ ἐφ' ὧν παρέθετο παραδειγμάτων, διὰ τί δύο ὀρθαῖς τὸ τρίγωνον ἴσον καὶ διὰ τί ἡ ἶρις οὐ μεῖζον ἡμικυκλίου. τοῦτο δὴ ἁπλῶς καὶ μὴ τῶν ὑπαρχόντων τι

ἔτι καὶ τί διαφέρει ὁ ἀποδεικτικὸς συλλογισμὸς τῶν ἄλλων συλλογισμῶν, καὶ ὅτι ἐν μὲν τοῖς ἄλλοις συλλογισμοῖς ὁ μέσος αἴτιος ἦν τοῦ συμπεράσματος, οὐ μὴν δὲ καὶ τοῦ πράγματος, ἐν δὲ τῷ ἀποδεικτικῷ συλλογισμῷ ὁ μέσος αἴτιός ἐστι καὶ τοῦ συμπεράσματος καὶ τοῦ πράγματος. καὶ λοιπὸν ἔδει διδάξαι καὶ περὶ τοῦ μέσου, πῶς ἐστὶν αἴτιος τοῦ πράγματος, καὶ διὰ τοῦτο ἰδίαν διδασκαλίαν καὶ περὶ τοῦ κατὰ τὴν ἀπόδειξιν μέσου ποιεῖται, ἐπεὶ καὶ ἐν τῇ ἀρχῇ τοῦ βιβλίου ὁ περὶ τῶν τεσσάρων λόγος ζητημάτων οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ἢ κατασκευὴ τοῦ δεῖν ζητῆσαι καὶ ἐξετάσαι περὶ τοῦ κατὰ τὴν ἀπόδειξιν μέσου, ὡς ἂν καὶ οὗτος μετ' ἐπιστήμης λαμβάνηται. τεσσάρων γὰρ ὄντων καθόλου τῶν ζητημάτων, ἐν ἑκάστῳ τούτων περὶ τοῦ μέσου ἐστὶν ἡ ζήτησις, καὶ ἐπεὶ οὗτος ἀναγκαῖος ὁ μέσος ἐστὶν ὡς ἐν ἀρχῇ παντὶ ζητήματι τούτου εἶναι τὴν ζήτησιν, ἔδει περὶ αὐτοῦ οὐ κατὰ πάρεργον εἰπεῖν ἀλλ' ἰδίαν ποιῆσαι πραγματείαν. ἐπεὶ δὲ ὁ μέσος ὅρος ἐστὶν ὁρισμὸς ἐν τῇ ἀποδείξει, κατὰ συμβεβηκὸς διδάσκει περὶ ὅρου· κυρίως γὰρ διδάσκει περὶ ὁρισμοῦ ἐν τῷ ἑβδόμῳ τῆς Μετὰ τὰ Φυσικὰ πραγματείας, ἐνταῦθα δὲ οὐχ ὡς περὶ ὅρου διδάσκει ἀλλ' ὡς περὶ αἰτίου καὶ μέσου. ἐπεὶ δὲ ἡ ἀπόδειξις ἀνάλυσις λέγεται, μέρος δὲ τῆς ἀποδείξεως ἡ παροῦσα πραγματεία ὡς περὶ τοῦ μέσου τοῦ ἐν αὐτῷ διδάσκουσα, διὰ τοῦτο καὶ ἡ παροῦσα πραγματεία Ἀναλυτικὰ ἐπιγέγραπται... ἢ οὖν διὰ ταύτην τὴν αἰτίαν ἐπιγέγραπται Ἀναλυτικά, ἢ διότι ἐν τῇ ἀποδείξει τὸ κῦρος ἔχει ὁ μέσος ὅρος, οὗτος δὲ ὁ μέσος ὁρισμός ἐστι τοῦ πράγματος, ὁ δὲ ὁρισμὸς ἐξ ἀναλύσεως εὑρίσκεται. ὁρῶν γὰρ τὸν ἄνθρωπον, ἀναλύω τοῦτον εἰς τὰ ἐξ ὧν ἡ φύσις συνίσταται, ἤγουν τὸ λογικόν, τὸ θνητόν, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ οὕτω λαμβάνων συνίστημι τὸν ὁρισμόν. ἀνάλυσίς ἐστιν ἡ ἀπὸ τῶν μερικῶν καὶ καθ' ἕκαστα ἐπὶ τὰ καθόλου ἄνοδος ἄχρι καὶ αὐτοῦ τοῦ γενικωτάτου. ἔστιν ἀνάλυσις καὶ ἡ ἀπὸ γνωστοῦ τινὸς εἰς τὰς ἀρχὰς καὶ εἰς τὰ αἴτια ἐπάνοδος, ἐξ ὧν τὸ εἶναι ἔχει καὶ τὸ γνωρίζεσθαι, καθ' ὃ σημαινόμενον τῆς ἀναλύσεως καὶ ἡ ἀπόδειξις ἀνάλυσις λέγεται. ἀνάλυσίς ἐστι καὶ ἡ ἐκ τῶν αὐτῶν καὶ ὑστέρων ἀναδρομὴ ἐπὶ τὰς ἀρχὰς καὶ τὰ αἴτια, ἐξ ὧν τὰ αἰτιατὰ τὴν σύστασιν ἔχει. εἴληπται δὲ ἡ λέξις μεταφορικῶς ἀπὸ τῶν ἀποδήμων καὶ ἀναστραφέντων εἰς τὰ οἰκεῖα, καὶ ἡ εἰς τὰ οἰκεῖα ἀπὸ τῶν ξένων ἐπάνοδος ἀνάλυσις λέγεται. λέγεται ἀνάλυσις καὶ ἡ ἀπὸ τῶν συνθέτων ὁδὸς ἐπὶ τὰ ἁπλᾶ ἐξ ὧν συνετέθησαν. ἔστι δὲ συλλογισμοῦ ἀνάλυσις εἰς τὰ σχήματα· ἀναλύομεν γὰρ τὸν συλλογισμὸν εἰς τὰς προτάσεις καὶ τοὺς ὅρους. Ioh. Phil. f. 75.

διαλαβὼν ὁ Ἀριστοτέλης ἐν τῷ πρώτῳ βιβλίῳ τῆς Ἀποδεικτικῆς περὶ ἀποδεικτικοῦ συλλογισμοῦ καὶ ἀποδεικτικῆς ἐπιστήμης, καὶ διαταξάμενος περί τε τῆς φύσεως τῆς ἀποδείξεως καὶ ἐξ οἵων προτάσεων ὁ ἀποδεικτικὸς ὀφείλει πλέκεσθαι συλλογισμός... καὶ καθόλου πάντων τῶν πρὸς ἀπόδειξίν τι συντελούντων προβλημάτων μνημονεύσας ἐν τῷ διαληφθέντι πρώτῳ βιβλίῳ τῆς Ἀποδεικτικῆς, ἐπεὶ οὐκ ἔφθη ὅλως ἐν αὐτῷ περὶ τοῦ μέσου μνησθῆναι ὅρου, νῦν ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς Ἀποδεικτικῆς ἥκει καὶ περὶ τοῦ μέσου διαληψόμενος· τὸ γὰρ κῦρος ἐν συλλογισμῷ τὸ μέσον ἐστίν. ἐπεὶ δὲ τὸ μέσον ἐν ἀποδείξει κυριώτερον τὸ εἰδικόν ἐστιν αἴτιον, εἰδικὸν δὲ αἴτιον ὁ ὁρισμός, ζητεῖ περὶ ὁρισμοῦ οὐ κατὰ προηγούμενον λόγον, ὡς Ἀλεξάνδρῳ δοκεῖ τῷ Ἀφροδισιεῖ, ὃς καὶ τὸν Θεόφραστον αὐτὸν ἐπιφέρεται μάρτυρα, ἀλλὰ κατὰ δεύτερον λόγον καὶ κατὰ συμβεβηκὸς ζητεῖ περὶ ὁρισμοῦ. cod. 1917 in marg. f. 257 et 272.

τὸν σκοπὸν τοῦ δευτέρου βιβλίου τῶν Ὑστέρων Ἀναλυτικῶν τοῦ Ἀριστοτέλους περὶ τοῦ ὁρισμοῦ εἶναι ὁ Ἀλέξανδρος εἴρηκεν. ἐπεὶ γάρ, φησί, δύο λόγοι τῆς μετὰ λόγου καὶ διανοίας θεωρίας, ὁ μὲν δι' ὁρισμοῦ ὁ δὲ δι' ἀποδείξεως, περὶ ἐπιστήμης εἰπεῖν ἐξ ἀρχῆς προθέμενος, καὶ τὴν ἀπόδειξιν παραδοὺς πρότερον τί τέ ἐστι καὶ πῶς γίνεται, νῦν διδάσκει καὶ περὶ ὁρισμῶν. καὶ ἕτεροι δέ τινες τῶν μεταγενεστέρων ἐξηγητῶν περὶ τῆς τοῦ ὅρου κατασκευῆς ἔφασαν ἐνταῦθα τῷ Ἀριστοτέλει προκεῖσθαι. δοκεῖ δὲ ταῦτα πρὸς τὴν ἐπιγραφὴν ἀκατάλληλα· εἰ γὰρ οὕτως αὐτῷ ὁ σκοπός, ἔδει μὴ Ἀναλυτικὰ τὴν πραγματείαν ἀλλ' ὁριστικὰ ἐπιγράφεσθαι, ἢ περὶ ὅρου, ἢ ἄλλως πως, ὡς ἂν ᾖ τῷ σκοπῷ καὶ ἡ ἐπιγραφὴ συνῳδός. νῦν δὲ αἱ μὲν ἐπιστῆμαι αὗται πρὸς ἀλλήλας ἀντιδιῄρηνται, λέγω δὲ ἀναλυτικήν τε καὶ ὁριστικήν, καὶ ἕτεραι ἀλλήλων τῷ εἴδει εἰσίν... τεσσάρων δὲ καὶ τῶν μεθόδων οὐσῶν κατὰ γένος δι' ὧν πᾶσα διδασκαλία καὶ μάθησις ἐπιστημονικὴ παραγίνεται, ὁριστικῆς τε καὶ ἀποδεικτικῆς, διαιρετικῆς τε καὶ ἀναλυτικῆς, οὐκ ἂν δικαίως περιττὸν δόξῃ ἐν τῷ περὶ ἀποδείξεως λέγειν καὶ ὁρισμοῦ, εἰπεῖν ἁπλῶς περὶ τῶν τεσσάρων τί τέ εἰσι καὶ διὰ τί, τί τε τὸ ἔργον ἑκάστῳ καὶ πῶς πρὸς ἀλλήλας ἔχουσιν. Εὐστράτιος ὑπομνήμ. f. 1.

ἵνα τῷ σκοπῷ τοῦ προκειμένου βιβλίου παρακολουθήσωμεν καὶ τῇ γριφώδει τοῦ ῥητοῦ ἐπαγγελίᾳ, φέρε ὥσπερ κοινὰ θεμέλια τῆς τοῦ ῥητοῦ ἐξηγήσεως προλάβωμεν τὰ περὶ τῶν δ' διαλεκτικῶν. δ' γάρ ἐστι τὰ προσπαρακείμενα ἀλλήλοις, τί ἐστιν, εἰ ἔστιν, ὁποῖον τί ἐστι καὶ διὰ τί ἐστιν· ταῦτα γὰρ ἐπὶ τῆς τελείας τοῦ διδασκομένου διδασκαλίας προπαραλαμβάνεται, οἷον εἰ ἔστιν ἡ λογικὴ ψυχὴ καὶ τί ἐστιν. τούτων δὲ τῶν προβλημάτων ἁπλούστερα τὸ εἰ ἔστι καὶ τὸ τί ἐστι, συνθετικώτερα δὲ τὸ διὰ τί ἐστι καὶ τὸ ὁποῖόν τί ἐστι... καὶ ἐν τούτοις ἡ προκειμένη πέρας εἴληφε θεωρία. ἐπειδὴ μεμαθήκαμεν τὰ περὶ τῶν δ' προβλημάτων, φημὶ τοῦ εἰ ἔστι, τοῦ τί ἐστι, τοῦ ὁποῖόν τί ἐστι καὶ διὰ τί ἐστι, φέρε δὴ ἀκολούθως καὶ τὸν σκοπὸν τοῦ βιβλίου ζητήσωμεν. σκοπὸς γὰρ τῷ βιβλίῳ περὶ ὁρισμοῦ, τοῦτο δὲ διότι περὶ ἀποδείξεως ὁ σκοπός, αἱ δὲ κυρίως ἀποδείξεις ἐκ τῶν καθ' αὑτὰ τοῖς πράγμασιν ὑπαρχόντων λαμβάνονται, δύο δέ εἰσι τοῦ καθ' αὑτὸ οἱ τρόποι, ὡς εἴρηται, ἢ ὅτε ἐν τῷ ὅρῳ τὸ ὑποκείμενον συμπεριλαμβάνεται (ὁριζόμενοι γὰρ τὴν σιμότητα φαμὲν κοιλότητα ἐν ῥινί, καὶ τὸ ὑποκείμενον τῇ σιμότητι, φημὶ δὴ τὴν ῥῖνα, ἐν τῷ ὁρισμῷ συμπεριλαμβάνομεν), ἢ ὅτε αὐτὸ τὸ γένος ἐν τῷ ὁρισμῷ εἰσάγεται... καὶ ἐν τούτοις ἡ προκειμένη περαιοῦται θεωρία. "τὰ ζητούμενά ἐστιν ἴσα τὸν ἀριθμόν." τὸ προοίμιον περὶ τῶν δ' διαλέγεται προβλημάτων· τοσαῦτα γάρ, φησίν, ἐστὶν ἃ ζητοῦμεν, ὅσαπερ γινώσκοντες ἐπιστάμεθα. καλῶς δὲ οὕτως ἐχρήσατο, καὶ οὐκ ἔφη ἐκ τοῦ ἐναντίου, ὅσαπερ ἐπιστάμεθα τοσαῦτά ἐστι καὶ ἃ ζητοῦμεν... τὰ ζητούμενα... ἐπιστάμεθα ∴ ὅτι φύσει πρότερον. τοῦ αὐτοῦ Φωτίου εἰς τὸ δεύτερον τῆς ἀποδεικτικῆς cod. 1917 f. 257 sqq.

ἀληθὲς μὲν εἶπον μόνον, μὴ ἐνδεχόμενον μέντοι εἶναι), δῆλον ὅτι τοῦ ἐνδεχομένου μὴ ὄντος δόξα ἂν εἴη, οὐκ ἐπιστήμη. ὥστε χώραν ἔχει ἡ τοῦ Ἀλεξάνδρου ἐξήγησις. id. f. 72.

88 b 35. βουλόμενος δεῖξαι ὅτι περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν μόνη τῶν λογικῶν τῆς ψυχῆς δυνάμεων ἡ δόξα καταγίνεται, διαίρεσιν ἡμῖν παραδίδωσι τῶν λογικῶν τῆς ψυχῆς δυνάμεων, καὶ καλεῖ τὴν μέν τινα νοῦν, τὴν δὲ ἐπιστήμην, τὴν δὲ δόξαν. τὴν δὲ ἐπιστήμην διαιρεῖ δίχα, εἴς τε τὴν διὰ συλλογισμοῦ γνῶσιν τῶν ἀναγκαίων καὶ ἀεὶ ὡσαύτως ἐχόντων καὶ εἰς τὴν ἀναπόδεικτον ἐπιστήμην· τὴν δὲ ἀναπόδεικτον, ἥνπερ καὶ πρότερον διεῖλεν εἴς τε τὴν τῶν ἀμέσων προτάσεων ὑπόληψιν καὶ εἰς τὴν τῶν κοινῶν ἐννοιῶν γνῶσιν, ἐξ ὧν καὶ τῶν ἀμέσων οἱ ἀποδεικτικοὶ συλλογισμοὶ γίνονται, καλεῖ ἀναπόδεικτον ἐπιστήμην. ὁμοίως δὲ καὶ τὴν δόξαν διαιρεῖ, ὡς ἤδη φθάσαντες εἴπομεν. νῦν δέ φησι τὴν ἀκροτάτην τῆς ψυχῆς δύναμιν, καθ' ἣν ἡ τῶν θείων ἀντίληψις κατὰ τὰς καλουμένας ἁπλᾶς ἐπιβολὰς γίνεται. id. ib.

88 b 36. λέγω γὰρ νοῦν ἐν τῷ παρόντι τὴν ἀρχὴν τῆς ἐπιστήμης, ᾧ τοὺς ὅρους γνωρίζομεν. Themist. f. 9 b.

88 b 37. εἰ γάρ τινι δόξη ὁμολογεῖται τὸ τὴν ἡδονὴν κατὰ φύσιν εἶναι ἐνέργειαν, τὸ τοιοῦτον διαλεκτική ἐστι πρότασις ἄμεσος. Ioh. Phil. f. 72 b.

89 a 13. "ἀκολουθήσει" ἀντὶ τοῦ ἀναλύσει τὸν συλλογισμόν, ἕως εἰς τὰς ἀμέσους ἔλθῃ προτάσεις διὰ τῶν μέσων ὅρων. οἷον ἔστι δι' ἐνδεχομένων προτάσεων κατασκευάσαι ὅτι ἀθάνατοι αἱ ψυχαί, τοῦτον τὸν τρόπον. πάντες ἄνθρωποι τιμῶσι τοὺς τάφους τῶν προγόνων, οἱ τιμῶντες τοὺς τάφους τῶν προγόνων θεραπείας ἕνεκα τῶν κατοιχομένων τοῦτο ποιοῦσιν, οἱ θεραπείας ἕνεκα τοῦτο ποιοῦντες εἶναι τούτους ἡγοῦνται οὓς θεραπεύουσιν (οὐδεὶς γὰρ τὸν μὴ ὄντα θεραπεύσειεν ἄν)· εἰσὶν ἄρα τῶν κατοιχομένων αἱ ψυχαί, καὶ οὐ συνεφθάρησαν τοῖς σώμασιν· αἱ δὲ τῷ σώματι φθαρέντι μὴ συμφθαρεῖσαι ἀλλ' οὖσαι μετὰ τὴν ἐκείνου φθορὰν ἀθάνατοι ἂν εἶεν· αἱ ψυχαὶ ἄρα τῶν ἀνθρώπων ἀθάνατοι. id. ib.

89 a 21. τουτέστιν, εἴπερ ὁ ἐπιστήμων μέχρι τῶν ἀμέσων ἀνιὼν οὐ μόνον τὸ ὅτι οἶδεν ἀλλὰ καὶ τὸ διότι· οὕτω γὰρ καὶ ὁ δοξάζων διὰ τὴν αὐτὴν αἰτίαν. ὅτι γὰρ τοῦτο φησί, δῆλον ἐξ ὧν ἐπήγαγεν. ὥσπερ γάρ, φησί, τὸ ὅτι δοξαστικῶς εἰδέναι, οὕτω καὶ τὸ διότι· ὁ γὰρ σύνδεσμος ὁ γὰρ αἰτιολογικός ἐστιν. εἰ μὲν γὰρ ὁ μέσος ὅρος δι' οὗ ὁ συλλογισμὸς ἐνδεχόμενος εἴη, τοῦ ὅτι ἐστὶν ἡ δόξα, εἰ μέντοι ἀναγκαῖος, τοῦ διότι ἐστὶν ἐπιστήμη. ὥσπερ οὖν τοῦ ὅτι ἐστὶν ἐπιστήμη καὶ τοῦ διότι, οὕτω δὴ καὶ τοῦ δοξάζειν. εἰ οὖν ἐνδέχεται τὸ αὐτὸ ποτὲ μὲν δι' ἀμέσων ἀναγκαίων γνῶναι ποτὲ δὲ δι' ἐνδεχομένων, τὸ αὐτὸ ἄρα ἔστι καὶ δοξάσαι καὶ ἐπίστασθαι, ὅπερ ἔδει δεῖξαι. id. f. 73.

89 a 22. προσυπακουστέον τὸ διότι, τουτέστι τοῦ διότι δόξαν ἕξει. εἰπὼν γὰρ ὅτι δοξάσει καὶ οὐκ ἐπιστήσεται ἀληθῶς, καὶ τὸ ὅτι καὶ τὸ διότι, πρὸς τὸ διότι τὸ συνεχὲς τὰ ἑξῆς ἐπήγαγεν εἰπὼν ἐὰν μὲν διὰ τῶν ἀμέσων δοξάσῃ, τὸ διότι δηλονότι. id. ib.

89 a 23. ἀπορήσας ὅτι τοῦ αὐτοῦ εἰ ἐνδέχεται δόξαν καὶ ἐπιστήμην εἶναι, πῶς οὐχὶ ταὐτὸν ἐπιστήμη καὶ δόξα; νῦν ἐν τούτῳ τῷ μέσῳ καὶ τῇ ἀπορίᾳ τὴν λύσιν ἐπιτίθησι, καὶ φησὶν ὅτι οὐ τοῦ αὐτοῦ ἐνδέχεται εἶναι δόξαν καὶ ἐπιστήμην, ὥσπερ ψευδῆ καὶ ἀληθῆ δόξαν ἐνδέχεται τοῦ αὐτοῦ εἶναι. id. ib.

89 a 29. ἔτι ἐπὶ παραδείγματος τὸν λόγον ποιεῖται καὶ φησί, τὸ μὲν γὰρ λέγειν οὕτω τοῦ αὐτοῦ εἶναι τὴν ἀληθῆ καὶ ψευδῆ δόξαν ὡς τὰς αὐτὰς εἶναι ἀλλήλαις, ἄτοπον, οἷον τὴν λέγουσαν ὅτι σύμμετρος· ἔσται γὰρ ταὐτὸν τὸ ἀληθὲς τῷ ψευδεῖ. πῶς οὖν τοῦ αὐτοῦ ἀληθὴς δόξα καὶ ψευδής; τῷ περὶ ἓν εἶναι καὶ ταὐτὸν ὑποκείμενον τὴν διάμετρον. id. f. 73 b.

89 a 32. ἕτερος γὰρ ὁρισμός, δηλονότι τῆς ἀληθοῦς δόξης καὶ ψευδοῦς, ἔτι δόξης καὶ ἐπιστήμης. id. ib.

89 a 38. καλῶς προσέθηκε τὸ "ἅμα·" ἐν ἄλλῳ μὲν γὰρ καὶ ἄλλῳ χρόνῳ δυνατόν. δυνατὸν γὰρ πρότερον δοξάζοντας ὅτι καθ' ὑποδρομὴν τῆς σελήνης ὁ ἥλιος ἐκλιμπάνει, ὡς οὐκ ἐξ ἀνάγκης τούτου γινομένου, ὥσπερ τὸν Ἐπίκουρόν φασι δοξάζειν, ὕστερον ἐπιστημονικὴν περὶ τούτου ὑπόληψιν κτήσασθαι τοῖς ἀστρονόμοις ἐντυχόντα. id. ib.

89 b 2. ἀλλ' ἐν ἄλλῳ μὲν εἶναι περὶ τούτου δόξαν, ἐν ἄλλῳ ἐπιστήμην συμβαίνει· ἐν Ἐπικούρῳ μὲν γὰρ δόξα ἦν ὅτι τῆς σελήνης ὑποτρεχούσης ὁ ἥλιος ἐκλιμπάνει (ᾤετο γὰρ αὐτὸ ἐνδέχεσθαι καὶ ἄλλως ἔχειν), ἐν Ἱππάρχῳ δ' ἐπιστήμη. τὴν δ' αὐτὴν ψυχὴν περὶ τοῦ αὐτοῦ καὶ ἐν τῷ αὐτῷ χρόνῳ ἀμήχανον δοξάζειν τε καὶ ἐπίστασθαι. Themist. f. 9 b.

89 b 7. φησὶν ὅτι οὐ τῆς προκειμένης ἦν πραγματείας τὸ περὶ τούτων διαλαβεῖν, ἀλλὰ περὶ τινῶν μὲν ἠθικῆς περὶ τινῶν δὲ φυσικῆς πραγματείας· προσθείημεν δ' ἂν καὶ ἡμεῖς ὅτι περί τινων καὶ θεολογίας. διείλεκται μὲν οὖν ἐν τῇ ἠθικῇ πραγματείᾳ περὶ φρονήσεως καὶ τέχνης (περὶ γὰρ τὰ πρακτὰ καὶ τέχνη ἔχει καὶ φρόνησις), ἐν δὲ τῇ θεολογικῇ, λέγω δὴ τῇ Μετὰ τὰ Φυσικὰ ἐν τῷ ἐλάττονι ἄλφα, περὶ νοῦ καὶ σοφίας, περὶ δὲ ἐπιστήμης καὶ διανοίας καὶ δόξης ἐν ταῖς λογικαῖς καὶ φυσικαῖς πραγματείαις· οὐδὲν δὲ χεῖρον ἴσως ὀλίγα περὶ αὐτῶν εἰπεῖν ἐν τῷ παρόντι. Ioh. Phil. f. 73 b.

89 b 9. φυσικὴν θεωρίαν λέγει οὐ τὴν περὶ τῶν φυσικῶν πραγμάτων διαλεγομένην, ἣν ἰδίως καλοῦμεν φυσιολογίαν, ἀλλ' ἁπλῶς τὴν περὶ τῶν ὄντων διαλεγομένην ᾗ ὄντα ἐστίν, εἴτε φυσικὰ εἶεν ταῦτα ἢ ὑπὲρ ταῦτα. id. f. 74.

89 b 10. τὸ "ἐν ἀσκέπτῳ χρόνῳ" ἀντὶ τοῦ ἐν ἀκαριαίῳ, ἐν ᾧ δίχα τοῦ σκέψασθαι ἡ εὕρεσις τοῦ μέσου γίνεται. καὶ τὰ παραδείγματα δῆλα. id. ib.

89 b 14. ὁ ἀγχίνους, φησίν, ὁ ἰδὼν τὰ ἄκρα ἐγνώρισε τὰ μέσα, ἅπερ εἰσὶ τὰ αἴτια καὶ τῶν ἄκρων συναγωγά. καὶ διάγραμμα ἐφεξῆς τίθησι, τίνα τε τὰ ἄκρα καὶ τί τὸ μέσον ὃ ἐγνώρισε. σαφῆ δὲ τὰ λεγόμενα, καὶ ἤδη ἡμῖν εἴρηται. id. f. 74 b.

89 b 15. ὅταν τις ἰδὼν ἢ ἀκούσας τὰ ἄκρα ἀλλήλοις ἐνυπάρχειν εὐθὺς τὸν μέσον νοήσῃ, οὗτος λέγεται ἀγχίνους εἶναι, καὶ τοιαύτη δύναμίς ἐστιν ἡ ἀγχίνοια, οἷον ἀνάλυσίς τις οὖσα τοῦ συμπεράσματος εἰς τὰς προτάσεις καὶ εὕρεσις ταχεῖα τοῦ μέσου. Themist. f. 9 b.

89 b 23. Ἐν μὲν τῷ πρώτῳ βιβλίῳ τῆς Ἀποδεικτικῆς ἐδίδαξεν ὡς ἔστιν ἀπόδειξις καὶ τί ἐστιν ἀπόδειξις καὶ διὰ τίνων προτάσεων αὕτη γίνεται,

κοινῷ ἀξιώματι οὕτω ποιεῖται τὴν ἀπόδειξιν... οὐδὲ τὰ ἀξιώματα τὰ αὐτά εἰσιν ἐπὶ πασῶν τῶν ἐπιστημῶν, οὐδὲ τοῖς κοινοῖς κέχρηνται δεὶ αἱ ἐπιστῆμαι, ἀλλὰ προσοικειοῦσαι αὐτὰ ἑκάστη τῷ ἰδίῳ γένει τὰς ἀποδείξεις ποιοῦνται. οἷον κοινὸν μέν ἐστιν ὡς ἐὰν τέσσαρά τινα ἀνάλογον ὦσι, καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται· κέχρηται δὲ τούτῳ τῷ ἀξιώματι ὁ γεωμέτρης ἐπὶ μόνων τῶν μεγεθῶν, ἐὰν τέσσαρα μεγέθη λέγων ἀνάλογον ὦσιν, ὁ δὲ ἀριθμητικός, ἐὰν τέσσαρες ἀριθμοί, ὁ δὲ φυσικός, ἐὰν τέσσαρες κινήσεις ἢ τέσσαρες χρόνοι. ὥστε οὐδὲ τοῖς ἀξιώμασιν ἀπαραλλάκτως τοῖς αὐτοῖς χρῶνται αἱ ἐπιστῆμαι. id. ib.

88 b 3. ἕτερον ἐπιχείρημα. εἰ ἦσαν, φησίν, αἱ αὐταὶ ἀρχαὶ πασῶν τῶν ἐπιστημῶν, ἦσαν ἂν καὶ ἀριθμῷ ὡρισμέναι· οὐδὲ γὰρ ἂν ἄλλως γνωσθῆναι ἠδύναντο ὅτι κοιναί εἰσι πάσης ἐπιστήμης, εἰ ἦσαν ἀόριστοι κατ' ἀριθμὸν καὶ οἷον ἄπειροι. νῦν δὲ τὸ εἶναι τυχὸν ὡρισμένας δηλονότι οὕτως ἐγνωκότες οἱ τοῦτο ἀποφαινόμενοι, ὅτι ταῖς αὐταῖς πᾶσα ἐπιστήμη χρῆται, οὕτως ἀποφαίνονται τὰς αὐτὰς εἶναι ἀρχὰς πασῶν τῶν ἐπιστημῶν. ὥσπερ γὰρ καὶ παντὸς λόγου κοιναί εἰσιν αἱ ἀρχαί, καὶ διὰ τοῦτο καὶ ἀριθμῷ ὡρισμέναι, λέγω δὴ τὰ εἰκοσιτέσσαρα στοιχεῖα, καὶ παντὸς σώματος κοιναὶ αἱ ἀρχαί, αἵ τε προσεχεῖς, τὰ τέσσαρα στοιχεῖα, καὶ αἱ πρῶται, ἡ ὕλη καὶ τὸ εἶδος, οὕτω δή που ἀνάγκη καὶ εἰ τῶν ἐπιστημῶν κοιναὶ ἦσαν αἱ ἀρχαὶ ἀριθμῷ ταύτας ὁρίσασθαι. νυνὶ δὲ πολλῷ πλείους εἰσὶ τῶν προβλημάτων ἤτοι τῶν συμπερασμάτων. ταῦτα δὲ ἀόριστα καὶ ἄπειρα κατ' ἀριθμόν· καὶ αἱ ἀρχαὶ ἄρα ἄπειροι καὶ ἀόριστοι κατ' ἀριθμόν. τοιαῦται δὲ οὖσαι πασῶν αἱ αὐταὶ εἶναι οὐ δύνανται, ὡς εἴπομεν ἤδη... ἰσαρίθμως τοῖς συμπεράσμασι συναύξονται καὶ αἱ προτάσεις, μονάδι μόνῃ πλεοναζουσῶν τῶν προτάσεων, διὰ τὸ κατὰ τὸν πρῶτον συλλογισμὸν δεῖν πάντως δύο προτάσεων οὐσῶν ἓν συμπέρασμα γίνεσθαι. εἰ δὲ οὕτως ἔχουσιν αἱ προτάσεις πρὸς τὰ συμπεράσματα ὥστε ἢ διπλασίους αὐτῶν εἶναι, εἰ μέσος ἐμβάλλοιτο ὁ προσιὼν ὅρος, ἢ μονάδι πλείους, εἰ ἔξωθεν προστίθοιτο, πῶς αὐτὸς ὁ Ἀριστοτέλης φησὶν ὅτι αἱ ἀρχαί, τουτέστιν αἱ προτάσεις, οὐ πολλῷ ἐλάττους τῶν συμπερασμάτων; καίτοι ἐδείχθησαν πλείους οὖσαι. φημὶ οὖν ὅτι οὐ προὔκειτο αὐτῷ περὶ τούτων ἀκριβολογῆσαι, ὅπως ἔχωσιν, ἀλλ' ἐπειδή τοι ἀόριστα εἶναι τὰ συμπεράσματα καὶ ταύτῃ ἄπειρα ὡμολόγηται, ἠρκέσθη τοσοῦτον μόνον εἰπών, ὅτι εἰ μὴ πολλῷ ἐλάττους ἦσαν, οὐχ οἷόν τε ἦν κοινὰς εἶναι τῶν ἐπιστημῶν τὰς ἀρχάς. id. f. 70 *b*.

88 b 7. ἀδύνατον ἐπὶ πάσης ἐπιστήμης τὰς αὐτὰς εἶναι ἀρχάς· ὧν γὰρ ἐνδεχόμενα τὰ συμπεράσματα, τούτων οὐκ ἔσονται αἱ ἀρχαὶ ἀναγκαῖαι, οὐδ' ὧν ἀναγκαῖαι, ἐνδεχόμενα. id. f. 71.

88 b 10. ἔτι φησίν, εἰ οὕτω λέγει τις εἶναι τὰς αὐτὰς ἀρχὰς πασῶν τῶν ἐπιστημῶν οὐχ ὡς ἐκ τῶν αὐτῶν πάντα δείκνυσθαι, ἀλλ' εἶναι μὲν διαφόρους ἀρχὰς καθ' ἑκάστην ἐπιστήμην, καὶ ἄλλως μὲν τὰ ἰατρικὰ θεωρήματα δείκνυσθαι ἄλλως δὲ τὰ γεωμετρικὰ ἄλλως δὲ ἄλλα, οὕτω δὲ λέγει τὰς αὐτὰς ἀρχὰς εἶναι τῶν ἐπιστημῶν ὡς ὅτι αὐταὶ ἑαυταῖς αἱ αὐταί εἰσιν, οἷον αἱ ἰατρικαὶ ἀρχαὶ αὐταὶ ἑαυταῖς αἱ αὐταί εἰσιν, ὁμοίως καὶ αἱ γεωμετρίας καὶ τῶν λοιπῶν, γελοῖόν τι λέγει, φησίν· οὕτω γὰρ πάντα τὰ αὐτὰ εἶεν ἂν ἀλλήλοις· ἕκαστον γὰρ τὸ αὐτὸ ἑαυτῷ τὸ αὐτό ἐστιν. id. ib.

...οὐδὲ οὕτω, φησίν, ἐνδέχεται εἶναι τὰς αὐτὰς πάντων ἀρχὰς 88 b 15.
ὡς ἐκ τῆς τυχούσης ἀρχῆς πάντων δυναμένων δειχθῆναι, καὶ ἁπλῶς ἐκ πασῶν τῶν ἀρχῶν πάντα καθ' ἑκάστην. τοῦτο οὖν, φησί, ψεῦδος ὂν ἐλέγχεται καὶ ἐκ τῆς ἐναργείας καὶ ἐκ τοῦ λόγου. οὐδὲ γὰρ οὕτως ὁρῶμεν ἐν τοῖς μαθήμασιν ἐκ τῆς αὐτῆς ἀρχῆς πάντα δεικνύμενα, οὐ μόνον τὰ κατὰ διαφόρους ἐπιστήμας, οἷον οὐκ ἐκ τῶν αὐτῶν τὰ γεωμετρικὰ καὶ τὰ ἰατρικὰ δείκνυται ἢ μουσικά, ἀλλ' οὐδὲ τὰ κατὰ τὰς αὐτάς· ἐξ ἄλλων μὲν γὰρ δείκνυται ὅτι τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἐξ ἄλλων δὲ ὅτι ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. ὥστε ἐπεὶ τοῦτο ὁρῶμεν γινόμενον ἐκ τῆς ἐναργείας, ψεῦδος τὸ λέγειν ἐξ ἁπάντων τὰ πάντα δείκνυσθαι. καὶ τῷ λόγῳ δὲ τοῦτο ἀδύνατον δείκνυσιν οὕτως. ἀναλύοντες γάρ, φησί, τοὺς συλλογισμοὺς εἰς τὰς ἀμέσους καταντῶμεν προτάσεις· μέχρι τούτου ἀναλύομεν, μέχρις ἂν ἢ εἰς ὁρισμοὺς ἢ εἰς ἀμέσους καταντήσωμεν προτάσεις· οὔτε δὲ οἱ ὁρισμοὶ οἱ αὐτοὶ πάντων, οὔτε αἱ ἄμεσοι προτάσεις αἱ αὐταί... τὸ δὲ "ἐν τοῖς φανεροῖς μαθήμασι," τουτέστι τοῖς δήλοις καὶ συνεγνωσμένοις ἡμῖν. id. ib.

εἷς ἔτι, φησί, παραλείπεται τρόπος καθ' ὃν δυνατὸν τὰς αὐτὰς 88 b 23.
εἶναι λέγειν ἀρχάς. ἴσως γὰρ ἐρεῖ τις ὅτι οὕτως αἱ αὐταί εἰσιν ἀρχαί, οὐχ ὅτι διὰ τῶν αὐτῶν πάντα δείκνυται, ἀλλ' ὅτι συγγενεῖς μὲν πᾶσαι, ἄλλαι δὲ πρὸς ἄλλην ἐπιστήμην χρήσιμοι, ὥσπερ καὶ αἱ γεωμετρικαὶ ἀρχαὶ αὐταὶ μέν εἰσι πᾶσαι γεωμετρίας, ἄλλη δὲ πρὸς ἄλλην χρησίμη θεωρίαν... ὅτι δὲ οὐδ' οὕτω, φησίν, ἐνδέχεται, καὶ τοῦτο δῆλον ἐκ τῶν προαποδεδειγμένων. δέδεικται γὰρ ὅτι αἱ ἀρχαὶ συγγενεῖς εἰσὶ τοῖς ἀπ' αὐτῶν, τὰ δὲ πράγματα διάφορα τοῖς γένεσιν, ὥστε καὶ αἱ ἀρχαὶ διάφοροι τοῖς γένεσι· διττῶν γὰρ οὐσῶν τῶν ἀρχῶν, ὡς δέδεικται, ἐξ ὧν αἱ ἀποδείξεις, αὗται δέ εἰσιν αἱ κοιναὶ ἔννοιαι, καὶ περὶ ἃ αἱ ἀποδείξεις· αὗται δέ εἰσιν αἱ ἄμεσοι ἀρχαὶ ἤγουν προτάσεις, ἐξ ὧν αἱ ἀποδείξεις αἱ αὐταί. οὐ φημὶ δὲ ὅτι πᾶσαι αἱ κοιναὶ ἔννοιαι τοῦ αὐτοῦ γένους εἰσίν, ἀλλ' ὅτι πᾶσαι αἱ ἐπιστῆμαι χρῶνται αὐταῖς. id. f. 71 *b*.

δόξαν φησὶ τὴν ἀληθῆ· ταύτην γὰρ βούλεται διακρῖναι τῆς ἐπι- 88 b 31.
στήμης· τῇ γὰρ ψευδεῖ δόξῃ κατ' οὐδὲν ἔοικεν ἐπιστήμη. id. ib.

εἰπὼν ὅτι ἔστι τινὰ ἀληθῆ, προσέθηκε "καὶ ὄντα." ὁ μὲν Ἀλέξ- 88 b 32.
ανδρος ἐξηγούμενος τὸ χωρίον φησὶν ὅτι διὰ τοῦτο προσέθηκε "καὶ ὄντα," ἐπειδὴ καὶ ἐπὶ τῶν μὴ ὄντων ἐστὶ τὸ ἀληθές, ὡς ὅταν εἴπω ὅτι οὐκ ἔστι τραγέλαφος. ἔλεγε δὲ ὁ φιλόσοφος μὴ καλῶς λέγειν τοῦτο τὸν Ἀλέξανδρον· οὐ γὰρ δόξης, φησί, τὸ τὰ τοιαῦτα εἰδέναι, ἀλλ' ἐπιστήμης· τὸ γὰρ μὴ ὂν μὲν ἀληθῶς δὲ λεγόμενον ὅτι οὐκ ἔστι, τοῦτο ἀδύνατον ἄλλως ἔχειν· αὕτη δὲ οὐ δόξης ἀλλ' ἐπιστήμης ἡ ὑπόληψις. ἐκ παραλλήλου οὖν ἔλεγε δεῖν ἀκούειν τὸ ἀληθῆ μὲν ὄντα ἐπὶ τοῦ αὐτοῦ· ἀλλ' ἐπειδὴ καὶ ἐπὶ τῶν μὴ ὄντων ἐστὶ τὸ ἀναγκαῖον, μᾶλλον δὲ τὸ ἀδύνατον, ἔστι δὲ καὶ τὸ ἐνδεχόμενον (ὅταν μὲν γὰρ εἴπω τραγέλαφος οὐκ ἔστιν, ἀληθὲς εἶπον καὶ ἀδύνατον εἶναι· ὅταν δὲ εἴπω νῦν οὐ λούομαι, νῦν οὐ βαδίζω, μὴ λουόμενος μηδὲ βαδίζων,

88 a 7. ὅσων τοίνυν αἴτιον ἕτερον, περὶ τούτων ἡ τοῦ καθόλου γνῶσις τιμιωτέρα τῆς αἰσθήσεως, καὶ οὐ μόνον δὲ τῆς αἰσθήσεως ἐπὶ τούτων ἀλλὰ καὶ τῆς νοήσεως τῆς ἁπλῆς καὶ ἄνευ αἰτίας, οἷον εἴ τις ἁπλῶς ἐννοοίη τὸ τρίγωνον ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς ἐντὸς γωνίας, δίχα τοῦ γινώσκειν τὴν ἐκτὸς οὖσαν ἴσην ταῖς δύο ταῖς ἀπεναντίον καὶ ἐντὸς οὔσαις. ἡ δὲ νόησις ἡ μετὰ τοῦ διότι τῆς ἄνευ τοῦ διότι τιμιωτέρα. ἀλλ' ὅσων εἴπομεν ἕτερον τὸ αἴτιον, ἐπεὶ ἥ γε τῶν πρώτων αἰτίων νόησις καὶ ἄνευ αἰτίας καὶ πασῶν τιμιωτάτη. Themist. f. 9.

88 a 11. τοῦτο προσέθηκε τὴν δοκοῦσαν ἐναντίωσιν ἐπιλυόμενος. ἐν γὰρ τοῖς ἔμπροσθεν ἔλεγεν ὅτι εἰ ἐκλείπει αἴσθησις, ἐκλείποι ἂν καὶ ἐπιστήμη. δόξειεν οὖν ἀεὶ ταύτῃ ἡ αἴσθησις ἐπιστήμη εἶναι, ὅπερ νῦν οὐκ ἔχει· διὰ τοῦτο οὖν ἵνα ἐπιλύσηται τὸ δοκοῦν ἐναντίον, ἀναλαμβάνει πάλιν τὸν λόγον ἐκεῖνον. δοκεῖ γάρ, φησί, τῶν προβλημάτων ἔνια, ὅσων ἡ ἐπιστήμη μὴ κατείληπται, εἰς αἰσθήσεως ἔκλειψιν ἀνάγεσθαι· τουτέστιν ὅτι ἡ αἰτία τῆς ἀγνοίας αὐτῶν ἐστὶ τὸ ἐκλελοιπέναι τὴν δι' αἰσθήσεως αὐτῶν ἀντίληψιν. οἷον ἀπορεῖται πῶς διὰ τῆς ὑέλου δίεισι τὸ φῶς· οἱ μὲν γὰρ ἑτέρως φασίν, οἱ δὲ ἑτέρως τὴν αἰτίαν δῆθεν ἀποδιδόντες. εἰ οὖν ἑωρῶντο, φησίν, οἱ πόροι, οὐκ ἂν ἐν ἀπορίᾳ ἦν τούτου ἡ ἐπιστήμη. ἀλλ' ὅμως, εἰ καὶ αἰτία ἐστὶν ἡ αἴσθησις τῆς ἐκλείψεως τῆς ἐπιστήμης, ἀλλ' οὖν οὐ ταὐτόν ἐστιν αἴσθησις καὶ ἐπιστήμη, ὡς εἴρηται πολλάκις. Ioh. Phil. f. 69.

88 a 16. γράφεται καὶ "καίει," ἔστι δὲ ἀντὶ τοῦ φαίνει. φησὶν οὖν ὅτι εἰ ἑωρῶντο οἱ πόροι τῆς ὑέλου, δήλη ἂν ἦν ἡ αἰτία τοῦ διὰ τῆς ὑέλου τὸν ἥλιον ἢ τὸ πῦρ φωτίζειν. id. ib.

88 a 18. τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι οὐχ αἱ αὐταὶ ἀρχαί εἰσι πασῶν τῶν ἐπιστημῶν. ἀρχαὶ δὲ τῶν συλλογισμῶν αἱ προτάσεις· τῶν δὲ προτάσεων αἱ μέν εἰσι προσεχεῖς, αἱ δὲ πρώτισται, ἐξ ὧν καὶ αἱ προσεχεῖς. δείκνυσιν οὖν ὅτι οὔτε αἱ προσεχεῖς ἀρχαὶ τῶν συλλογισμῶν οὔτε αἱ πρώτισται αἱ αὐταὶ πασῶν. καὶ τέως ὅτι αἱ προσεχεῖς οὐχ αἱ αὐταί, δείκνυσι πρῶτον μὲν λογικῶς θεωροῦσι. λογικῶς δέ φησιν ἀντὶ τοῦ κοινότερον ἐπὶ πάντων ἁπλῶς συλλογισμῶν. ἔπειτα ἰδίᾳ καὶ ἐπὶ πάντων τῶν ἐπιστημονικῶν δείξει. id. ib.

88 a 23. ἐὰν οὖν, φησί, μέσα ληφθῇ τῶν προτάσεων τούτων, οἷον μέσον τοῦ α′ β′ καὶ β′ γ′ ψευδῶν ὄντων, ἀνάγκη καὶ τὰς συναγούσας ταῦτα προτάσεις ψευδεῖς εἶναι· τὸ γὰρ ψεῦδος ἐκ ψευδῶν συνάγεται. id. f. 69 b.

88 a 27. οὐ μόνον, φησί, διὰ τοῦτο διάφοροι αἱ ἀρχαὶ τῶν συλλογισμῶν, διότι οἱ μὲν ἐξ ἀληθῶν εἰσὶ προτάσεων οἱ δὲ ἐκ ψευδῶν, ἀλλὰ καὶ αὐτοὶ οἱ ἐκ ψευδῶν ὄντες συλλογισμοὶ διαφόρους ἔχουσι τὰς ἀρχάς. οὐδὲ γὰρ τὰ ψευδῆ τὰ αὐτὰ ἀλλήλοις· τῶν γὰρ ψευδῶν τὰ μέν ἐστιν ἐναντία, τὰ δὲ ἀδύνατον συνυπάρχειν, τὰ δὲ οὔτε ἐναντία οὔτε ἀδύνατα ἁπλῶς ἀλλ' ἐνδεχόμενα μὲν συνυπάρχειν ὅμως δὲ μὴ συνυπάρχοντα. οἷον ἐὰν μὲν εἴπω ὅτι ἡ δικαιοσύνη ἀδικία ἐστὶν ἢ ὁ δίκαιος ἄδικος ἢ ἡ σωφροσύνη ἀκολασία, ψεῦδος ἐναντίον εἶπον· ἐὰν δὲ εἴπω ὁ ἄνθρωπος ἵππος ἐστὶν ἢ ὁ λίθος ξύλον, ψεῦδος ἀδύνατον εἶπον· οὐ γὰρ ἐναντία ταῦτα ἀλλήλοις, ἀλλὰ μόνον ἀδύνατα συνυπάρχειν ἀλλήλοις. ἐὰν δὲ καθημένου Σωκράτους εἴπω ὅτι Σωκράτης οὐ κάθηται, ἢ βαδίζοντος ὅτι οὐ βαδίζει, οὔτε ἐναντίον εἶπον ψεῦδος οὔτε ἀδύνατον, ἀλλ' ἐνδεχόμενον. εἰ τοίνυν πολλαχῶς μὲν τὸ ψεῦδος, ταῦτα δὲ τὰ αὐτὰ εἶναι ἀλλήλοις ἀδύνατον, δῆλον ὅτι ἀδύνατον τῶν ψευδῶν συλλογισμῶν τὰς αὐτὰς εἶναι ἀρχάς. ὥστε εἰ μηδὲ τῶν ψευδῶν αἱ αὐταὶ ἀρχαί, πολλῷ γε δή που πάντων. id. ib.

88 a 30. δείξας, ὡς αὐτὸς εἶπε, λογικῶς ὅτι οὐκ εἰσὶ πάντων τῶν συλλογισμῶν αἱ αὐταὶ ἀρχαί (λογικῶς δέ, διότι ἐπὶ πάντων ἁπλῶς τῶν συλλογισμῶν καὶ ψευδῶν καὶ ἀληθῶν), νῦν βούλεται ἐπὶ μόνων τῶν ἀληθῶν γυμνάσαι τὸν λόγον, μᾶλλον δὲ τῶν ἀποδεικτῶν. τοῦτο γάρ φησι τὸ "ἐκ τῶν κειμένων συλλογισμῶν," λέγω δὴ τῶν ἀποδεικτικῶν, δείξομεν ὅτι οὐχ οἷόν τε πάντων τῶν τοιούτων συλλογισμῶν τὰς αὐτὰς εἶναι ἀρχάς. δείκνυσι δὲ τοῦτο πλείοσιν ἐπιχειρήμασιν, ὅτι οὔτε τὰς προσεχεῖς ἀρχὰς τῶν ἀποδεικτικῶν συλλογισμῶν οἷόν τε τὰς αὐτὰς εἶναι οὔτε τὰς πρώτας... οὕτω γοῦν διάφοροί εἰσι, φησίν, ὡς μηδὲ ἐφαρμόττειν ἀλλήλαις, τουτέστι μὴ κατηγορεῖσθαι τὴν ἑτέραν τῆς ἑτέρας καταφατικῶς· τοῦτο γάρ ἐστι τὸ ἐφαρμόττειν. ἔστι γὰρ ἐν μὲν ἀριθμητικῇ ἀρχὴ ἡ μονάς, ἐν δὲ γεωμετρίᾳ τὸ σημεῖον· ταῦτα δὲ οὐκ ἐφαρμόττει ἀλλήλοις, εἴ γε τὸ μὲν θέσιν ἔχει τὸ δὲ οὐκ ἔχει θέσιν. id. ib.

88 a 34. ἐπειδὴ εἶπεν ὅτι οὐκ ἐφαρμόττουσι, δείκνυσιν ἐνταῦθα τί σημαίνει τὸ ἐφαρμόττειν, ἀντὶ τοῦ τὸ κατηγορεῖσθαι τὸ ἕτερον τοῦ ἑτέρου, ἢ ὑποκεῖσθαι. ἢ οὖν εἰς μέσα ἐφαρμόττει, φησίν, ὡς ἐπὶ τοῦ πρώτου σχήματος, ὡς τῷ μὲν τῶν ἄκρων ἤγουν τῷ μείζονι ὑποκεῖσθαι τοῦ δ' ἐλάττονος κατηγορεῖσθαι, ἢ ἄνωθεν, ὡς ἐπὶ τοῦ μέσου, ὥστε ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖσθαι, ἢ κάτωθεν, ὡς ἐπὶ τοῦ τρίτου, ὥστε ἀμφοτέροις τοῖς ἄκροις ὑποκεῖσθαι. οὕτω δὲ καὶ ἐν τοῖς Προτέροις Ἀναλυτικοῖς (1 4) τοὺς μέσους ὠνόμαζε. ζητοῦσι δὲ καὶ ἐν τούτοις πῶς φησὶν ἐν τῷ δευτέρῳ σχήματι ἐφαρμόττειν τὸν μέσον τοῖς ἄκροις. εἰ μὲν γὰρ καταφατικὰς ἀμφοτέρας λάβοιμεν τὰς προτάσεις, ἵνα καὶ ἐφαρμόζῃ ὁ μέσος τοῖς ἄκροις, ἀσυλλόγιστος ἡ συζυγία γίνεται· εἰ δὲ δέοι συλλογιστικὴν γενέσθαι, τὴν ἑτέραν ἀποφατικὴν δεῖ εἶναι. πῶς οὖν φησὶν ἄνωθεν ἐφαρμόζειν τοῖς ἄκροις; καί φαμεν ὅτι οὐ πρόκειται νῦν αὐτῷ περὶ συλλογιστικῶν ἢ ἀσυλλογίστων συζυγιῶν παραδοῦναι, οὐδὲ ἁπλῶς συλλογιστικὴν ἐκθέσθαι συζυγίαν, ἀλλὰ μόνον ἡμῖν παραδοῦναι ποσαχῶς ἔστιν ὅρον ὅροις ἐφαρμόσαι. id. f. 70.

88 a 36. δείξας ὅτι οὐχ αἱ αὐταὶ πασῶν τῶν ἐπιστημῶν αἱ προσεχεῖς ἀρχαί, δείκνυσι νῦν ὅτι οὐδὲ αἱ καθόλου καὶ κοιναὶ ἔννοιαι πάντως αἱ αὐταὶ ἐπὶ πάσης ἐπιστήμης. ἐπειδὴ γὰρ ὑπενόησεν ἄν τις ταύτῃ τὰς αὐτὰς εἶναι τῶν ἐπιστημῶν ἀρχάς, τῷ τὰ κοινὰ ἀξιώματα τὰ αὐτὰ εἶναι οἷς πᾶσαι αἱ ἐπιστῆμαι κέχρηνται, οἷον ὅτι ἐπὶ παντὸς ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθεύει, καὶ ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα, καὶ τὰ ὅμοια, διὰ τοῦτό φησιν ὅτι οὐδὲ ταύτῃ ἐνδέχεται τὰς αὐτὰς εἶναι πασῶν τῶν ἐπιστημῶν ἀρχάς. κέχρηνται μὲν γὰρ τοῖς κοινοῖς ἀξιώμασι πᾶσαι αἱ ἐπιστῆμαι, οὐ μὴν δὲ δι' αὐτῶν μόνων τὰ προκείμενα θεωρήματα ἀποδεικνύουσιν, ἀλλὰ πάντως ἑκάστη ἐπιστήμη πρὸς τῷ κοινῷ ἀξιώματι καὶ ἑτέραν λαμβάνει πρότασιν ἐκ τοῦ ὑποβεβλημένου αὐτῇ γένους, ἣν συμπλέξασα

87 a 38. μία δ' ἐπιστήμη ἐστὶν ἡ περὶ ἓν γένος τὰ καθ' αὑτὰ ὑπάρχοντα θεωροῦσα· ἓν δὲ γένος οὗ αἱ πρῶται ἀρχαὶ αἱ αὐταί. Themist. f. 9.

μέρη δὲ καὶ πάθη φησὶ τούτων, τουτέστι τῶν ἀρχῶν, μέρη μέν, οἷον ἡμικύκλια τμήματα τῶν τετραπλεύρων τὰ ὑπὸ τῆς διαμέτρου τεμνόμενα τρίγωνα, πάθη δὲ τὸ νεύειν, τὸ κεκλάσθαι, τὸ ἅπτεσθαι καὶ τὰ ὅμοια. ἔστι δὲ ὅλη τοῦ ῥητοῦ ἡ σύνταξις καὶ ἡ διάνοια τοιαύτη. ἔστι δὲ μία ἐπιστήμη ἡ περὶ ἕν τι γένος θεωρημάτων καταγινομένη· περὶ ἓν δὲ γένος ἐστὶ θεωρήματα ὅσα συγκεῖται ἐκ τῶν αὐτῶν καὶ πρώτων ἀρχῶν· ἔστι δὲ τοῦ αὐτοῦ γένους καὶ ὅσα μέρη ἐστὶν ἢ πάθη τούτων. τὸ δὲ "τούτων" ἤτοι τῶν θεωρημάτων ἢ τῶν πρώτων ἀρχῶν. Ioh. Phil. f. 67.

87 a 39. ἀκριβῶς πάνυ προσέθηκε τὸ "μήθ' ἕτεραι ἐκ τῶν ἑτέρων." εἰ γὰρ καὶ ἀρχαῖς μὲν ταῖς αὐταῖς μὴ χρῶνται, τοῖς δὲ τῆς ἑτέρας θεωρήμασιν ἀρχαῖς ἡ ἑτέρα χρῷτο, καὶ αὗται αἱ αὐταί εἰσιν, ὡς ἐπὶ γεωμετρίας ἔχει καὶ ὀπτικῆς· ὡς γὰρ ἀρχὰς λαβοῦσα τὰ ἐν γεωμετρίᾳ δεδειγμένα ἡ ὀπτική, οὕτω τὰ οἰκεῖα θεωρήματα δείκνυσιν. αἱ αὐταί γοῦν αὗται. δεῖ οὖν τὰς ἑτέρας ἐπιστήμας μὴ ταῖς αὐταῖς κεχρῆσθαι ἀρχαῖς, μήτε τὴν ἑτέραν τοῖς τῆς ἑτέρας θεωρήμασιν ὡς ἀρχαῖς κεχρῆσθαι. id. ib.

87 b 1. δῆλον, φησίν, ὡς αὗται εἰσιν ἕτεραι ἐπιστῆμαι ἃς εἰρήκαμεν, ὅταν εἰς τὰς ἑκάστης ἀναποδείκτους ἀρχὰς ἀνέλθῃ· δεῖ γὰρ ἐν ταῖς ἑτέραις ἐπιστήμαις μηδεμίαν ἔχειν ταύτας συγγένειαν. id. ib.

87 b 3. τοῦ δὲ πάλιν ἀρχὰς ἑτέρας εἶναι τὰς ἀναποδείκτους, σημεῖόν φησιν εἶναι τὸ τὰ δι' αὐτῶν ἀποδεικνύμενα μὴ εἶναι ἐν τῷ αὐτῷ γένει, οἷον τὰ ἀριθμητικὰ καὶ τὰ γεωμετρικά, τὰ μὲν ἐν τῷ συνεχεῖ τὰ δὲ ἐν τῷ διωρισμένῳ· διὸ καὶ ἀρχαὶ ἕτεραι. id. f. 67 *b*.

87 b 5. ἕκαστος δὲ κατ' ἄλλην καὶ ἄλλην ἐπιβολὴν τὸ αὐτὸ ἀποδείκνυσιν. δυνατὸν γὰρ πλείονας μέσους τοῦ αὐτοῦ ἀποδεικτοὺς εὑρεῖν, καὶ οὐ μόνον πλείονας μέσους φησὶν ἐκ τῆς αὐτῆς συστοιχίας, ἀλλὰ καὶ ἐξ ἄλλης καὶ ἄλλης. ἐκ τῆς αὐτῆς οὖν συστοιχίας φησὶ μέσους τοὺς ὑπαλλήλους. οἷον εἰ θελήσομεν δεῖξαι ὅτι ὁ ἄνθρωπος οὐσία ἐστί, δυνατὸν δεῖξαι διὰ μέσου τοῦ σώματος καὶ διὰ μέσου τοῦ ζῴου καὶ διὰ μέσου τοῦ λογικοῦ. ἀλλὰ ταῦτα ἐκ τῆς αὐτῆς συστοιχίας. δυνατὸν δὲ καὶ ἐξ ἑτέρας συστοιχίας δεῖξαι, εἰ λάβω τὸ δίπουν μέσον ἢ τὸ ὀρθοπεριπατητικὸν ἢ τὸ διαλέγεσθαι ἤ τι τοιοῦτον· ταῦτα γὰρ οὐκ ἐκ τῆς αὐτῆς συστοιχίας τοῖς προτέροις. id. ib.

87 b 7. τὸ μὲν α' β' πρόβλημα λαμβάνει, καὶ τὸ μὲν β' ὑποκείμενον ὅρον, τὸ δὲ α' κατηγορούμενον, μέσους δὲ ἐκ τῆς αὐτῆς συστοιχίας τὸ γ' καὶ καὶ τὸ ζ', ἐξ ἑτέρας δὲ συστοιχίας τὸ δ' καὶ τὸ η'. καλεῖ δὲ τὸ μὲν α' μεταβάλλειν, τὸ δὲ β' ἥδεσθαι. δυνατὸν οὖν φησι δεῖξαι ὅτι τὸ ἡδόμενον μεταβάλλει καὶ διὰ μέσης τῆς κινήσεως καὶ διὰ τῶν ὑπὸ τὴν κίνησιν εἰδῶν. οἷον τὸ ἡδόμενον κινεῖται, τὸ κινούμενον μεταβάλλει, τὸ ἡδόμενον ἄρα μεταβάλλει. πάλιν τὸ ἡδόμενον ἀλλοιοῦται, τὸ ἀλλοιούμενον μεταβάλλει, τὸ ἡδόμενον μεταβάλλει· καὶ ἔστι συνεχὲς μὲν τῷ ἥδεσθαι τὸ ἀλλοιοῦσθαι, τῷ δὲ ἀλλοιοῦσθαι τὸ κινεῖσθαι. οὐ μόνον δὲ διὰ τῶν συστοίχων μὲν οὐ συνεχῶν δὲ τὸ αὐτὸ ἔστι δεῖξαι, ἀλλὰ καὶ διὰ τῶν μὴ συστοιχιῶν, οἷον τοῦ ἠρεμίζεσθαι· τὸ γὰρ ἡδόμενον ἠρεμίζει, τὸ ἠρεμίζον μεταβάλλει, τὸ ἡδόμενον ἄρα μεταβάλλει. ἠρεμίζεσθαι δὲ λέγει ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς (p. 230) τὸ πρὸς αὐτῇ λοιπὸν τῇ ἠρεμίᾳ εἶναι· ἄλλο μὲν γὰρ εἶναι τὸ ἠρεμεῖν, οἷον αὐτὸ τὸ ἐν ἀκινησίᾳ εἶναι, ἄλλο δὲ τὸ ἠρεμίζεσθαι· τοῦτο δέ ἐστι τὸ ἔσχατον τῆς κινήσεως. μέσον οὖν ἐστὶ τῆς κινήσεως καὶ τῆς ἠρεμίας τὸ ἠρεμίζεσθαι· δῆλον δὲ ὅτι ἡ ἡδονὴ ἐν τούτῳ μάλιστα γίνεται τῷ μέρει τῆς κινήσεως, ἐν ὅσαις τῶν κινήσεων τὸ ἥδεσθαι ὑπάρχει. id. ib.

ἔτι φησίν, κἂν ἐξ ἄλλης καὶ ἄλλης συστοιχίας εἶεν οἱ μέσοι 87 b 14. τοῦ αὐτοῦ προβλήματος, ἀνάγκη καὶ αὐτοὺς ἐπὶ μέρους ἀλλήλοις ὑπάρχειν, διὰ τὸ τρίτον ποιεῖν σχῆμα μετὰ τοῦ ὑποκειμένου, ὥσπερ εἴπομεν. οὕτω γοῦν καὶ ἐπὶ τῶν προκειμένων· τό τε γὰρ ἠρεμίζεσθαι τινὶ κινουμένῳ ὑπάρχει, καὶ τὶ κινούμενον ἠρεμίζεσθαι. id. ib.

ἐπειδὴ αὐτὸς ὡς ἐπὶ τοῦ πρώτου σχήματος ἐποιήσατο τὸν λόγον, 87 b 16. ἡμῖν ἐπιτρέπει ζητῆσαι καὶ ἐπὶ τῶν ἄλλων σχημάτων ποσαχῶς τοῦ αὐτοῦ γενέσθαι συλλογισμὸν ἐνδέχεται. id. f. 68.

τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι ἡ αἴσθησις οὐκ ἔστιν ἐπιστήμη. 87 b 28. καὶ γὰρ δόξειεν ἄν τισι ταὐτὸν εἶναι αἴσθησις καὶ ἐπιστήμη τοῦτον τὸν τρόπον. εἰ γὰρ δὴ καὶ ἡ αἴσθησις ποιοτήτων ἐστὶν ἀντιληπτική (χρωμάτων γὰρ καὶ ψόφων καὶ τῶν τοιούτων), καὶ ἡ ἐπιστήμη δὲ περὶ τὸ ποιὸν καταγίνεται· γεωμετρία γὰρ περὶ σχήματα καὶ τὰ τούτοις συμβεβηκότα καθ' αὑτό, καὶ ἡ μουσικὴ περὶ τὰς ἀπηχήσεις τῶν ψόφων. ἀλλὰ δὴ καὶ μέγεθος καὶ κίνησις καὶ ἀριθμὸς τῶν κοινῶν αἰσθητῶν, περὶ δὲ ταῦτα καὶ ἀστρονομία καὶ ἀριθμητικὴ καταγίνεται. εἰ τοίνυν περὶ τὰ αὐτὰ καὶ αἴσθησις καὶ ἐπιστήμη ἔχει, πῶς οὐκ ἂν εἶεν αἱ αὐταί; ταύτην οὖν τὴν ἀπορίαν ἐπιλυόμενος φησὶν ὅτι εἰ καὶ περὶ τὰ αὐτὰ ἔχει καὶ ἡ αἴσθησις καὶ ἡ ἐπιστήμη, ἀλλ' οὐχ ὡσαύτως. id. ib.

τουτέστιν, εἰ καὶ ἡ αἴσθησις τοῦ ποιοῦ ἀντιλαμβάνεται· οὐ γὰρ ὅτι 87 b 29. λίθος ἀντιλαμβάνεται ἡ αἴσθησις, ἀλλ' ὅτι λευκὸν ἢ ὅτι σκληρὸν ἢ ὅτι βαρὺ ἤ τι τοιοῦτον, ὧν καὶ ἐπιστήμη ἀντιλαμβάνεται. ἀλλ' οὖν, φησί, τοῦδέ τινος αἰσθάνεται, τουτέστι τοῦ μερικοῦ, καὶ τοῦ ἐν τῷδε τῷ τόπῳ ὄντος (τοῦτο γὰρ σημαίνει τὸ ποῦ) καὶ τοῦ νῦν ὄντος, καὶ οὐχ ἁπλῶς παντός, ὅπερ ἐστὶ τῆς αἰσθήσεως ἴδιον. ἡ μέντοι ἐπιστήμη οὐ τοῦ μερικοῦ ἀντιλαμβάνεται, οὐδὲ τοῦ ποῦ κειμένου οὐδὲ τοῦ νῦν ὄντος, ἀλλὰ τοῦ πανταχοῦ καὶ ἀεί· τοιοῦτον γὰρ τὸ καθόλου. οὐκ ἄρα τῶν αὐτῶν αἴσθησις ἀντιλαμβάνεται καὶ ἐπιστήμη. id. f. 68 *b*.

τῆς καθόλου ἐκλείψεως δηλονότι, εἰ ᾐσθανόμεθα. καὶ ὅτι τοῦτο 88 a 1. φησί, δῆλον ἐξ ὧν ἐπάγει. ᾐσθανόμεθα γὰρ ἄν, φησί, διότι νῦν ἐκλείπει, καὶ οὐ διότι ὅλως· οὐ γὰρ ἦν τοῦ καθόλου αἴσθησις. τῷ μέντοι πολλάκις, φησί, τὸ αὐτὸ γινόμενον ὁρᾶν, τῷ λόγῳ τῆς αἰσθήσεως, τὸ καθόλου συνήγομεν, καὶ οὕτως ἂν ἐπιστήμην πάλιν εἴχομεν. id. f. 69.

τῆς μὲν οὖν αἰσθήσεως ἁπλῶς τὸ καθόλου τιμιώτερον, εἴγε τὸ 88 a 5. ὅλον τοῦ μέρους τιμιώτερον, τῆς δὲ νοήσεως πάσης ἁπλῶς καθόλου οὔσης (οὐ γάρ ἐστι μερικοῦ τινὸς καὶ καθ' ἕκαστα νόησις), εἰ καὶ ἄλλαι ἄλλων νοήσεις καθολικώτεραι. ἐφ' ὧν οὖν ἕτερον μέν ἐστιν αὐτὸ ἕτερον δὲ τὸ αἴτιον αὐτοῦ, ἡ μετὰ τῆς αἰτίας νόησις κρείττων τῆς ἄνευ αἰτίας· ἐφ' ὧν δὲ οὐκ ἔστι τι αἴτιον, ἀλλ' αὐτὰ πρώτιστά ἐστι καὶ τῶν ἄλλων αἰτιώτατα, τούτων ἡ νόησις τιμιωτάτη· τῆς πάντων γὰρ αἰτίας ἐστὶ νόησις. id. ib.

νον οὐχ ὡς προτάσει χρώμενος αὐτῇ καὶ ταύτην ἀποδεῖξαι βουλόμενος διὰ τοῦ ἀδυνάτου, ἀλλ' ὡς προβλήματι χρώμενος (*). λέγω οὖν ὅτι τὸ μὲν α' ὑπάρχει τῷ β', καὶ προσδιορισμὸν οὐ προστιθεὶς οὐ παντὶ δίδωσι νοεῖν· τὰς γὰρ ἀπροσδιορίστους ὁ Ἀριστοτέλης ἰσοδυναμεῖν φησὶ ταῖς μερικαῖς. ἐπεὶ τὸ μὲν β' τῷ γ' ὑπάρχει παντί, τὸ δὲ α' τῷ γ' τινί, ἀντικειμένως δηλονότι τῷ συμπεράσματι συνάγει ἐν τρίτῳ σχήματι τὸ α' τινὶ τῷ β' ὑπάρχειν· ὑπέκειτο δὲ οὐδενί. ἠκολούθησε δὲ τὸ ἀδύνατον οὐ διὰ τὴν βγ' ἐλάττονα πρότασιν ἀληθῆ οὖσαν, ἀλλὰ διὰ τὴν αγ' ψευδῶς ὑποτεθεῖσαν. οὐ γὰρ ἦν εἰκὸς τὸν Ἀριστοτέλη πρῶτον καὶ μόνον τὰς λογικὰς μεθόδους παραδεδωκότα τηλικοῦτον ἁμάρτημα ἁμαρτεῖν, ὡς οἱ ἐξηγηταὶ ὑπενόησαν, τὸ τὰς ἀπροσδιορίστους προτάσεις ἰσοδυναμεῖν ταῖς μερικαῖς μὴ λογισάμενοι. ἀλλ' ἡμεῖς, ὡς εἰκός, τὴν ὑπὲρ τοῦ φιλοσόφου ἀπολογίαν ποιησάμενοι ἐπὶ τὰ ἑξῆς μετίωμεν. id. f. 64 *b*.

λέγω οὖν ὅτι τὸ μὲν ὑπάρχειν τὸ α' τῷ β' οὐ παντὶ λέγει ὑπάρχειν, ἀλλὰ τινί· τὰς γὰρ ὑπαρχούσας ὁ Ἀριστοτέλης ἰσοδυναμεῖν ταῖς μερικαῖς φησίν. τὸ δὲ τὸ β' παντὶ τῷ γ' ὑπάρχειν λαμβάνει οὐχ ὡς ἐλάττονα πρότασιν, ἀλλ' ὡς μείζονα, ἵνα νοήσωμεν αὐτὴν ἄνωθεν μετατιθεμένην. ἁπλῶς γὰρ μόνου παραδείγματος ἕνεκεν τῇ ληφθείσῃ ἐχρήσατο προτάσει, οὐ μὴν ἵνα καὶ τὴν αὐτὴν αὐτῇ μείνῃ τάξιν φυλάττουσα, ἀλλ' ὡς εἶπον, ἵνα νοήσωμεν αὐτὴν μετατιθεμένην. οὐ γὰρ ἦν εἰκὸς τὸν Ἀριστοτέλην πρῶτον καὶ μόνον τὰς μεθόδους τὰς λογικὰς παραδεδωκότα τηλικοῦτον ἁμαρτεῖν ἁμάρτημα, ἀλλ' ὅπερ εἶπον, μόνου ὑποδείγματος ἕνεκεν οὕτως ἔλαβε τὰς προτάσεις, ἐπεὶ πολλάκις καὶ ἓν στοιχεῖον ἀντὶ προτάσεως παραλαμβάνει, ὡς εἴπομεν ἔμπροσθεν. id. f. 123.

87a 5. τουτέστιν, ἐπ' εὐθείας ἡ ἀποφατικὴ ἀπόδειξις γίνεται. σκόπει ὅτι οὐ τὸ συμπέρασμα τοῦ ἐπ' εὐθείας συλλογισμοῦ προτίθεται καὶ δι' ἀδυνάτου δεῖξαι, ἀλλὰ τὴν μείζονα πρότασιν τοῦ συλλογισμοῦ, ἀποφατικὴν οὖσαν καθόλου, μερικὴν καταφατικὴν συνάγει, ὅπερ ἤδη εἴπομεν. id. f. 65 *b*.

87a 7. σημείωσαι πάλιν ὅτι οὐκ εἶπε παντὶ ὑπάρχειν ἢ τινί, ἀλλ' ἁπλῶς ὑπάρχειν· ἴσμεν γὰρ ὅτι τὰς ἁπλῶς ὑπαρχούσας προτάσεις ἤτοι τὰς ἀπροσδιορίστους ἰσοδυναμεῖν ταῖς μερικαῖς ὁ Ἀριστοτέλης φησίν. καὶ διὰ τοῦτο τὸ ὑπάρχειν τὸ α' τῷ β' καὶ τὸ α' τῷ γ' ἀντὶ τοῦ τινὶ ὑπάρχειν νοεῖται. id. ib.

87a 9. εἰ γὰρ καὶ ἀληθές τι ἐκ ψευδῶν συνάγεται, ἀλλ' οὐ διὰ τὰς προτάσεις ἀλλὰ διὰ τὴν φύσιν τῶν ἄκρων ὅρων. εἰ δὲ τὸ συμπέρασμα διὰ τὰς προτάσεις συνάγετο, ἐκ ψευδῶν τὸ ψευδὲς συναχθήσεται, καὶ ἐξ ἀληθῶν τὸ ἀληθὲς πάντως ἂν συνάγοιτο. id. ib.

87a 20. ἵνα μή τις εἴπῃ ὅτι καὶ ἡ δι' ἀδυνάτου ἐκ τῶν προτέρων τὰ ὕστερα συλλογίζεται, ἐν τῷ λέγειν εἰ τὸ αβ', καὶ τὸ αγ', ἀλλὰ μὴν τὸ αγ' ψεῦδος, καὶ τὸ αβ' ἄρα ψεῦδος· ἔλαβε γὰρ ἐν τῇ ἀναιρέσει πρότασιν μὲν τὸ αγ', συμπέρασμα δὲ τὸ αβ'. φησὶν οὖν, οὐκ εἴ τι συναναιρεῖ ἑαυτῷ, αὐτὸ μέν ἐστιν ἐκείνου πρότασις, ἐκεῖνο δὲ τούτου συμπέρασμα, ἀλλ' ἡγούμενον μὲν καὶ ἑπόμενόν ἐστιν ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς, πρότασις δὲ καὶ συμπέρασμα οὐκ ἔστιν. τῶν γὰρ προτάσεων, φησίν, ἡ μέν ἐστι μείζων ἡ δὲ ἐλάττων· οὐκ ἔχουσι δὲ οὕτω πρὸς ἄλληλα ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς τὸ ἡγούμενον καὶ τὸ ἑπόμενον· οὐδέτερον γὰρ αὐτῶν οὔτε μείζονα πρότασιν οὔτ' ἐλάττονα ἔστιν εἰπεῖν. πολλῷ οὖν πλέον οὐδὲ τὸ ἡγούμενον εἴη ἂν πρότασις συλλογισμοῦ. τοῦτο δέ ἐστι συλλογισμός, εἴγε ἐκ μιᾶς προτάσεως συλλογισμὸς οὐ γίνεται. id. f. 66.

τὸ "ἐξ οὗ," τουτέστιν αἱ προτάσεις. προτάσεις οὖν ἐν συλλο- 87a 22.
γισμῷ ἐκεῖναί εἰσιν, ὧν ἡ μὲν μείζων ὅλον τί ἐστιν, ἡ δὲ ἐλάττων μόριον αὐτῆς. καὶ ὅτι μὲν ἀμφοτέρων καταφατικῶν οὐσῶν τῶν προτάσεων ἡ μὲν μείζων ὅλον τί ἐστιν, ἡ δὲ ἐλάττων μόριον αὐτῆς, σαφές· ἀεὶ γὰρ τὸ κατηγορούμενον ἐπὶ πλέον ἐστὶ τοῦ ὑποκειμένου, καὶ περιέχει αὐτό. ἀλλὰ καὶ ἀποφατικῆς οὔσης τῆς μείζονος ὁ αὐτὸς λόγος· ἐξισάζει γὰρ τότε ὁ μέσος ὅρος πρὸς τὸν μείζονα, εἴγε ἀντιστρέφει πρὸς ἑαυτὴν ἡ καθόλου ἀποφατική. ὥστε εἰ ὁ μέσος τοῦ ἐλάττονος ἐπὶ πλέον, ἴσος δὲ ὁ μείζων ὅρος τῷ μέσῳ κατὰ τὴν ἀντιστροφήν, ἐπὶ πλέον ἄρα ἡ μείζων πρότασις. ἔνιοι δὲ καθολικωτέραν τῆς μείζονός φασι τὴν ἐλάττονα, εἰ καὶ ἡ μείζων μερικωτέρα ἐστίν. id. ib.

τουτέστι τὸ ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς ἡγούμενον καὶ ἑπό- 87a 24.
μενον. προτάσεις δὲ εἶπεν ἀντὶ τοῦ ἀποφάσεις. οὐκ ἔχουσιν οὖν, φησίν, οὕτω τὸ ἡγούμενον καὶ τὸ ἑπόμενον, ὥστε τὸ μὲν εἶναι καθολικώτερον καὶ πρότερον, τὸ δὲ μερικώτερον ὄν τε καὶ ὕστερον. id. ib.

ἀκριβεστέρα δὲ ἐπιστήμη ἐπιστήμης καὶ προτέρα κατὰ πλείους τρόπους, 87a 31.
καθ' ἕνα μὲν ἐὰν ἐκ τοῦ διότι τὸ ὅτι δεικνύῃ, ἡ δὲ μόνον τὸ ὅτι χωρὶς τοῦ διότι· ἡ γὰρ τοιαύτη δῆλον ὅτι οὐ διὰ τῶν πρώτων αἰτίων ἀλλὰ διὰ τῶν ὑστέρων καὶ τῶν σημείων ἀποδείκνυσι. Themist. f. 8 *b* 9.

τοῦτο ὑπερβατῶς ἀναγνωστέον, χωρὶς τῆς τοῦ διότι, ἀλλὰ μὴ 87a 32.
τοῦ ὅτι χωρὶς τῆς τοῦ διότι· ὁ γὰρ τὸ ὅτι μόνον εἰδὼς χωρὶς τοῦ διότι οὐκ ἀκριβῶς οἶδε. Ioh. Phil. f. 66 *b*.

δεύτερος τρόπος οὗτος καθ' ὃν ἐπιστήμη ἐπιστήμης ἐστὶν ἀκρι- 87a 33.
βεστέρα. καθ' ὑποκειμένου δὲ οὐ λέγει τὸ καθόλου, ὡς ἐν ταῖς Κατηγορίαις παρέδωκεν· οὕτω γὰρ συνέβαινε τοὐναντίον λέγειν οὗ βούλεται· οὐ γὰρ βούλεται τῆς περὶ τῶν καθόλου ἐπιστήμης ἀκριβεστέραν εἶναι τὴν τῶν μερικῶν καὶ καθ' ἕκαστα. νῦν δὲ μὴ καθ' ὑποκειμένου φησίν, ὡς διὰ τῶν παραδεδειγμένων ἐδήλωσε, τὰ ἄϋλα καὶ νοητά, καθ' ὑποκειμένου δὲ τὰ αἰσθητὰ καὶ ὑλικά. id. ib.

τρίτος ὅδε τρόπος καθ' ὃν ἐπιστήμη ἐπιστήμης ἐστὶν ἀκριβε- 87a 34.
στέρα. ἡ γὰρ περὶ ἁπλούστερα, φησίν, ἔχουσα τῆς περὶ τὰ συνθετώτερα ἐχούσης ἀκριβεστέρα· ταῦτα γάρ φησιν "ἐκ προσθέσεως." οἷον τὰ Θεοδοσίου σφαιρικὰ ἀκριβεστέρα ἐστὶν ἐπιστήμη τῆς τῶν Αὐτολύκου περὶ κινουμένης σφαίρας· ὁ μὲν γὰρ ἁπλῶς τὰ συμβαίνοντα τῇ σφαίρᾳ σκοπεῖ, μὴ προσυλλογιζόμενος εἴτε κινεῖται εἴτε μή, ὁ δὲ Αὐτόλυκος τὰ τῇ κινουμένῃ σφαίρᾳ συμβαίνοντα θεωρεῖ. id. ib.

οὐσίαν εἶπε τὴν μονάδα κατὰ τοὺς Πυθαγορείους, περὶ ὧν πολ- 87a 36.
λάκις ἡμῖν εἴρηται, ὅτι συμβεβηκὸς τὰ εἴδη καὶ τὰς τῶν πραγμάτων φύσεις καὶ οὐσίας διὰ τῶν ἀριθμῶν ἐσήμαναν. id. f. 67.

(*) ἐκ εἶδα τοῦ τοῦτο φησίν. τὰς ἀπροσδιορίστους εἶδα λέγειν αὐτὸν ταῖς μερικαῖς ἰσοδυναμεῖν. Ald. 2.

τῷ γ', τὸ α' ἄρα οὐδενὶ τῷ γ'· ὥστε ἡ μὲν ἀποφατικὴ μία, αἱ δὲ λοιπαὶ πᾶσαι καταφατικαί. ὥστε πᾶς ἀποφατικὸς συλλογισμός, εἴτε ἁπλοῦς εἴτε σύνθετος, μίαν ἔχει ἀποφατικὴν πρότασιν, ἀλλ' ὁ μὲν ἁπλοῦς καὶ μίαν καταφατικήν, ὁ δὲ σύνθετος πλείους τὰς καταφατικάς. ὥσπερ δὲ ἐπὶ τοῦ πρώτου σχήματος, οὕτω καὶ ἐπὶ τῶν λοιπῶν συμβαίνει· πυκνουμένων τῶν συλλογισμῶν μία μὲν ἀποφατικὴ ἔσται, αἱ δὲ λοιπαὶ πᾶσαι καταφατικαί. id. ib.

87a 1. μετῆλθεν ἐπὶ τὸ τρίτον τῶν προβλημάτων, λέγω δὴ ὅτι ἡ ἐπ' εὐθείας ἀπόδειξις κρείττων τῆς εἰς ἀδύνατον ἀπαγούσης, καὶ συγκρίνει νῦν τὴν ἀποφατικὴν τῆς ἐπ' εὐθείας τῇ διὰ τοῦ ἀδυνάτου ἀποφατικῇ... πρῶτον ἐκτίθεται τίς τέ ἐστιν ἡ ἐπ' εὐθείας δεῖξις καὶ τίς ἡ δι' ἀδυνάτου. καὶ ἐνταῦθα λοιπὸν ἐν αὐτῇ τῇ ἐκθέσει τούτων ἁπαξάπαντες οἱ ἐξηγηταὶ ἐπελάβοντο τοῦ Ἀριστοτέλους ὡς κακῶς ἐκτιθεμένου τὸν δι' ἀδυνάτου συλλογισμόν. ἡμεῖς οὖν πρῶτον μὲν ἐκθώμεθα τὸν ἐπ' εὐθείας καὶ τὸν δι' ἀδυνάτου, ὡς αὐτὸς ἡμῖν ἐν τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν παραδέδωκεν, εἶτα ἐκθώμεθα καὶ τὰ ἐνταῦθα αὐτῷ εἰρημένα, καὶ τρίτον τὰς αἰτίας ἃς εὐλόγως δοκοῦσιν ἐπιφέρειν οἱ ἐξηγηταί, καὶ μετὰ ταῦτα εἴ τινα δυνησόμεθα ἡμεῖς ἀπολογίαν ὑπὲρ Ἀριστοτέλους ἐπινοῆσαι... τίς μὲν οὖν ἐστὶν ἡ ἐπ' εὐθείας δεῖξις καὶ τίς ἡ δι' ἀδυνάτου, εἴρηται. διαφέρουσι δὲ ἀλλήλων ὅτι ἡ μὲν ἐπ' εὐθείας ἐκ τῶν προτέρων τὰ ὕστερα συλλογίζεται (ἐκ γὰρ τῶν προτάσεων τὸ συμπέρασμα), ἡ μέντοι δι' ἀδυνάτου ἐκ τῶν ὑστέρων τὰ πρότερα· τῷ γὰρ ψευδὲς εἶναι τὸ συμπέρασμα ἀναιρεῖ καὶ τὴν πρότασιν. ἡ μὲν γὰρ ἐπ' εὐθείας διὰ τοῦ μηδενὶ τῷ β' τὸ α' ὑπάρχειν καὶ τὸ β' παντὶ τῷ γ', συνήγαγεν ὅτι τὸ α' οὐδενὶ τῷ γ'· ἡ μέντοι δι' ἀδυνάτου πρότασις τὸ ἀντικείμενον τούτῳ ἐποίησε, λέγω δὴ τὸ α' τινὶ τῷ γ', καὶ ἐκ ταύτης καὶ ἑτέρας προτάσεως, τῆς δα', ὅτι τὸ δ' παντὶ τῷ α', ὡς ἐξεθέμεθα, συνήγαγεν ὅτι τὸ δ' τινὶ τῷ γ' ὑπάρχει, καὶ τῇ ἀναιρέσει τοῦ συμπεράσματος τούτου ἀνεῖλε καὶ τὴν πρότασιν· ὥστε ἐκ τῶν ὑστέρων τὰ πρότερα συνήγαγεν· κατὰ φύσιν γὰρ πρῶται τοῦ συμπεράσματος αἱ προτάσεις. καὶ διὰ τοῦτο κρείττων ἡ ἐπ' εὐθείας τῆς δι' ἀδυνάτου, διότι ἡ μὲν ἐκ τῶν προτέρων τὰ ὕστερα, ἡ δὲ ἐκ τῶν ὑστέρων τὰ πρότερα δείκνυσι, καὶ ὅτι ἡ μὲν ἐπ' εὐθείας ὃ βούλεται ἐξ ἀρχῆς συλλογίζεται, ἡ δὲ δι' ἀδυνάτου συλλογίζεται μὲν ἐξ ἀρχῆς τὸ ἐναντίον οὗ βούλεται, ἀναιροῦσα δὲ ὃ συνεπέρανεν, ἐπάνεισιν ἐπὶ τὸ προκείμενον· διὸ καὶ κύκλῳ δεῖξις καλεῖται, διότι κύκλον τινὰ περιέρχεται. καὶ ὅτι ἡ μὲν ἁπλῆ, ἡ δὲ δι' ἀδυνάτου μικτὴ ἐκ κατηγορικοῦ καὶ ὑποθετικοῦ, εἰ καὶ συμβαίνει ποτὲ καὶ τὴν ἐπ' εὐθείας δεῖσθαι ὑποθέσεως· ἔστι γὰρ ὅτε τινὰς τῶν προτάσεων δι' ὑποθετικῶν συλλογισμῶν πιστούμεθα, ἀλλ' οὐκ ἀεὶ τοῦτο συμβαίνει· ἐπὶ μέντοι τῶν δι' ἀδυνάτου ἀεὶ διὰ κατηγορικοῦ καὶ ὑποθετικοῦ ἡ ὁδὸς γίνεται. ἡμεῖς μὲν οὖν ἐκ τῶν ἐν τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν παρ' αὐτοῦ εἰρημένων λαβόντες ἐξεθέμεθα τόν τε δι' ἀδυνάτου συλλογισμὸν καὶ τὸν ἐπ' εὐθείας, αὐτὸς μέντοι ὁ Ἀριστοτέλης ἐνταῦθα ἄλλως ἐκτίθεται τούτους. λαβὼν γὰρ τρεῖς ὅρους, α' β' γ', εἶτα ἐκθέμενος τὸν ἐπ' εὐθείας συλλογισμόν, ὅτι τὸ α' οὐδενὶ τῷ β', τὸ δὲ β' τῷ γ' παντί, τὸ α' ἄρα οὐδενὶ τῷ γ', ἐπὶ τῶν αὐτῶν τούτων ὅρων ἐκτίθεται καὶ τὸν δι' ἀδυνάτου. ἔσω γάρ, φησίν, ὤφειλεν τὸ α' δειχθῆναι ὅτι τῷ β' οὐδενὶ ὑπάρχει δι' ἀδυνάτου, οὐκέτι τὸ συμπέρασμα ὅπερ ἔδει δειχθῆναι ἐπ' εὐθείας, δεικνὺς καὶ διὰ τοῦ ἀδυνάτου, ἀλλὰ τὴν μείζονα πρότασιν τὴν αβ'. εἰ οὖν, φησί, μή ἐστιν ἀληθὲς τὸ τὸ α' μηδενὶ τῷ β' ὑπάρχειν, ἀληθὲς ἄρα τῷ β' τὸ α' ὑπάρχειν. ἀλλὰ μὴν καὶ τὸ β' τῷ γ' ὑπῆρχεν· συνάγεται ἄρα ὅτι τὸ α' τῷ γ' ὑπάρχει. τοῦτο οὖν ἔσω, φησίν, ὁμολογούμενον ψεῦδος καὶ ἀδύνατον, ὅπερ συνήχθη οὐ διὰ τὸ τὸ β' ὑπάρχειν τῷ γ' (τοῦτο γὰρ ὑπόκειται ἀληθές) ἀλλὰ διὰ τὸ τὸ α' τῷ β' ὑπάρχειν. εἰ οὖν διὰ τοῦτο συνήχθη ὅτι τὸ α' τῷ γ' ὑπάρχει, ψεῦδος δὲ τοῦτο, ψεῦδος ἄρα καὶ τὸ ὑπάρχειν τὸ α' τῷ β'· ἀληθὲς ἄρα τὸ μὴ ὑπάρχειν, ὅπερ ἔδει δεῖξαι. οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης. ἐγκαλοῦσι δὲ αὐτῷ οἱ ἐξηγηταὶ πρῶτον μὲν τὸ μὴ δι' αὐτοῦ τοῦ συμπεράσματος, ὅπερ ἤδη εἶπον, ποιήσασθαι τὴν δι' ἀδυνάτου δεῖξιν ἀλλ' ἐπὶ τῆς προτάσεως· δεύτερον, πῶς, φασί, λέγεις τὸ α' τῷ β' ὑπάρχειν; πότερον τινὶ ἢ παντί; εἰ μὲν γὰρ τινί, ἀσυλλόγιστον ποιεῖς τὸν συλλογισμόν, μερικὴ γὰρ ἡ μείζων· εἰ δὲ τὸ ὑπάρχειν ἀντὶ τοῦ παντὶ ὑπάρχειν λήψῃ, οὐ συνάγεις ὃ ζητεῖς. ἔσω γὰρ τὸ α' τῷ β' παντὶ καὶ τὸ α' τῷ γ' παντί, καὶ ἔσω τοῦτο ψεῦδος καὶ ἀδύνατον συναχθέν, διὰ τὸ λαβεῖν τὸ α' τῷ β' παντὶ ὑπάρχειν. εἰ οὖν τῷ λαβεῖν ὅτι τὸ α' τῷ β' παντὶ ὑπάρχει, συνήχθη ὅτι τὸ α' τῷ γ' παντί, τοῦτο δὲ ψεῦδος, ψεῦδος ἄρα καὶ τὸ τὸ α' παντὶ τῷ β' ὑπάρχειν. εἰ οὖν τοῦτο ψεῦδος, τὸ ἀντικείμενον ἀληθὲς ἔσται, λέγω δὴ τὸ οὐ παντί. οὐ τοῦτο δὲ ἦν ὃ ἐβουλόμεθα δεῖξαι, ἀλλ' ὅτι τὸ α' οὐδενὶ τῷ β' ὑπάρχει. ἃ μὲν οὖν ἐγκαλοῦσι τῷ λόγῳ δοκοῦντες εὔλογα λέγειν οἱ ἐξηγηταί, ταῦτά ἐστιν· ἃ δ' ὑπὲρ Ἀριστοτέλους ἡμῖν ἀπολογήσασθαι πρόκειται, οὕτως ἔχουσιν, ὅτι ὃν τρόπον τὴν διαφορὰν τῶν τριῶν σχημάτων ἐν τῷ πρώτῳ τῶν Ἀναλυτικῶν ἐνδείξασθαι ἡμῖν βουλόμενος διάφορα παρέλαβε στοιχεῖα, ἐπὶ μὲν τοῦ πρώτου σχήματος τὸ α' β' γ', ἐπὶ δὲ τοῦ δευτέρου τὸ μ' ν' ξ', ἐπὶ δὲ τοῦ τρίτου τὸ π' ρ' σ', οὕτω καὶ ἐνταῦθα, ἵνα ἐνδείξηται ἡμῖν ἐπὶ τῶν αὐτῶν ὅρων τὴν ἐπ' εὐθείας καὶ τὴν δι' ἀδυνάτου δεῖξιν, διὰ τοῦτο οὐ προσέλαβεν ἔξωθεν ἕτερον ὅρον. καὶ γὰρ ἐπειδὰν τὸ αὐτὸ συμπέρασμα καὶ ἐπ' εὐθείας καὶ δι' ἀδυνάτου δεῖξαι θελήσωμεν, οὐδένα ἔξωθεν προσλαμβάνομεν ὅρον ἐπὶ τῆς δι' ἀδυνάτου, ἀλλ' οἷς ἐχρησάμεθα ἐν τῇ ἐπ' εὐθείας δείξει, τοῖς αὐτοῖς χρησόμεθα καὶ ἐπὶ τῆς δι' ἀδυνάτου, τὴν τάξιν μόνον αὐτῶν ἀμείβοντες· τὸ γὰρ ἀντικείμενον τοῦ συμπεράσματος λαβόντες, καὶ προστιθέντες αὐτῷ μίαν τῶν προτάσεων, οὕτω τὴν λοιπὴν δείκνυμεν. οἷον ἔσω τὸ α' παντὶ τῷ β', τὸ β' παντὶ τῷ γ', καὶ συνάξεις κατ' ἀλήθειαν τὸ α' παντὶ τῷ γ'. οὕτω μὲν οὖν ἡ ἐπ' εὐθείας· δι' ἀδυνάτου δέ, εἴ τις μὴ συγχωρήσειε τὸ α' παντὶ τῷ γ', δῆλον ὅτι οὐ παντί. ἐπεὶ οὖν τὸ μὲν α' οὐ παντὶ τῷ γ', τὸ δὲ β' παντὶ τῷ γ', τὸ α' ἄρα οὐ παντὶ τῷ β'. ἀλλ' ὑπέκειτο παντί· τὸ γοῦν ψεῦδος ἠκολούθησεν οὐχ ὅτι τὸ β' παντὶ τῷ γ' εἴληπται ὑπάρχον (τοῦτο γὰρ ἀληθὲς ὑπόκειται) ἀλλ' ὅτι τὸ α' οὐ παντὶ τῷ γ'. ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ παντί. οὕτως οὖν ἡ δι' ἀδυνάτου δεῖξις τοῖς αὐτοῖς ὅροις χρῆται τῇ ἐπ' εὐθείας, ὅταν δι' ἀμφοτέρων γένηται ὁ συλλογισμός. διὰ τοῦτο οὖν οὐκ ἤμειψε τοὺς ὅρους, τὸ δὲ αβ' διὰ τοῦ ἀδυνάτου λαμβάνει δεικνύμε-

τοῖς ἐν τῷ προοιμίῳ τῆς περὶ ψυχῆς πραγματείας; ἐν τούτοις γὰρ τὸ καθόλου μόνον φησὶν εἶναι, καὶ εἶναι οὐσίαν τῷ λόγῳ ἑτέραν τῶν μερικῶν, ἀλλὰ καὶ ἄφθαρτον εἶναι καὶ πρώτην τῶν μερικῶν, ὡς ἐφεξῆς λέγει· ἐν δὲ τοῖς περὶ ψυχῆς πᾶν τοὐναντίον, ἢ οὐδ' εἶναι ὅλως τὸ καθόλου, ἢ εἴπερ καὶ εἴη, ὕστερόν ἐστι τῶν μερικῶν. ταύτῃ δὲ δῆλον ὅτι οὐδὲ ἄφθαρτον ἂν εἴη, εἴ γε καὶ τὰ μερικὰ φθαρτά. id. ib.

85b 21. ἐπιλυσάμενος τὰς ἀπορίας δι' ὧν ἐδόκει ἡ μερικὴ ἀπόδειξις κρείττων εἶναι τῆς καθόλου, νῦν βούλεται αὐτὸ καθ' αὑτὸ τὸ θεώρημα κατασκευάσαι, ὅτι ἡ καθόλου τῆς μερικῆς κρείττων. δείκνυσι δὲ τοῦτο διὰ πλειόνων ἐπιχειρημάτων, ὧν τὸ πρῶτόν ἐστι τοιοῦτον. id. f. 62.

85b 24. ἐκ παραλλήλου τὸ τῆς αἰτίας καὶ τοῦ διὰ τί. ἐπεὶ δὲ τὸ καθόλου αἰτιώτερον, ἕπεται λοιπὸν συνάγειν ὅτι καὶ ἡ ἀπόδειξις τοῦ καθόλου βελτίων· μᾶλλον γὰρ τῆς αἰτίας. ἀλλὰ πρὶν συναγαγεῖν τὸ συμπέρασμα, πρότερον δείκνυσι πῶς τὸ καθόλου αἰτιώτερον. id. ib.

85b 25. ὅτι δὲ τὰ ὑπάρχοντα τῷ καθόλου καθ' αὑτὸ ὑπάρχει, τῷ δὲ κατὰ μέρος διὰ τὸ καθόλου, πολλάκις εἴρηται. id. ib.

85b 28. τὸ δὲ "ὅταν μὴ ᾖ τι ἄλλο ἢ τοῦτο," τουτέστιν ὅταν μὴ ᾖ δυνατὸν ἄλλο καθολικώτερον τούτου αἴτιον ἀποδοῦναι, ἀλλὰ τὸ ἀποδοθὲν ᾖ τὸ ἔσχατον καὶ κυριώτατον τῶν αἰτίων. id. ib.

85b 29. τὸ δὲ "ἢ γινόμενον ἢ ὄν" εἶπεν, ἐπειδὴ τῶν αἰτίων τὰ μὲν ὑπάρχει ὄντα οὐ γινόμενα, ὥσπερ ἔν τε τοῖς μαθήμασι καὶ τοῖς φυσικοῖς (ἔστι γὰρ τὸ τρίγωνον καὶ τὸ σχῆμα ἐν τῷ ἀποδίδοσθαι τὰς αἰτίας, διὰ τί αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν), τὰ δὲ οὐκ εἰσὶ μὲν γίνεται δέ, ὡς ἐπὶ τῶν πρακτῶν. id. f. 62 *b*.

85b 30. τὸ οὕτω, φησίν, ἔσχατον, τουτέστι τὸ ἐν ταῖς ἀποδόσεσι τῶν αἰτίων ἔσχατον, τοῦτο ἤδη τέλος ἐστὶ καὶ πέρας τῶν αἰτίων, μηδὲν ἔχον ἑαυτοῦ αἰτιώτερον. τὸ δὲ παράδειγμα ὃ ἑξῆς τίθησιν, ὡς ἐπὶ τοῦ τελικοῦ αἰτίου ἐστίν. id. ib.

85b 35. ἐπειδή, ὅπερ εἶπεν, τὸ παράδειγμα ἐπὶ τοῦ τελικοῦ αἰτίου ἐποιήσατο, βούλεται ἐκ τούτου συλλογίσασθαι ὅτι καὶ ἐπὶ τῶν ἄλλων πάντων αἰτίων ὡσαύτως ἔχει. ἐπὶ πάντων οὖν, φησί, τῶν αἰτίων ἅπερ εἰώθαμεν τὸ διὰ τί ἐρωτώμενοι ἀποδιδόναι, ὁμοίως ἔχει. id. ib.

85b 37. τὸ δὲ "ὅταν μηκέτι ὑπάρχῃ τοῦτο ὅτι ἄλλο," τουτέστιν ὅταν μηκέτι ὑπάρχῃ τοῦτο ὃ λέγεται ὑπάρχειν, ὅτι ἄλλο τί ἐστιν. id. ib.

86a 9. ἐπειδὴ εἶπε τῶν μᾶλλον ἀποδεικτῶν μᾶλλον εἶναι ἀπόδειξιν, τοῦτο αὐτὸ κατασκευάζει. εἰ γὰρ τὰ πρός τι ἅμα τῇ φύσει εἰσί, δῆλον ὅτι ὡς ἂν ἔχῃ τὸ ἕτερον, οὕτως ἔχει καὶ τὸ λοιπόν. id. ib.

86a 14. σημειωτέον ὅτι ἐνταῦθα ἄλλως φησὶ τὸ καθολικώτερον καὶ μερικώτερον· οὐδὲ γὰρ μερικόν φησι τὸ ἔχον τὸν μερικὸν προσδιορισμόν, οἷον τὸν τίς, καθολικὸν δὲ τὸ ἔχον τὸν πᾶς, ἀλλὰ τὸ ὅροις χρώμενον καθολικωτέροις, εἴτε μέσοις, ὡς ἤδη εἴπομεν, εἴτε ἄκροις. οἷον τὸ πᾶς ἄνθρωπος ζῷον μερικώτερον ἂν εἴη τοῦ πᾶς ἄνθρωπος οὐσία. id. f. 63.

86a 22. λογικὰ δὲ λέγει τινὰ τῶν εἰρημένων ἐπιχειρημάτων οὐχ ὅτι πιθανὰ μὲν οὐκ ἀληθῆ δέ, ἀλλ' ἀληθῆ μὲν κοινότερα δέ, καὶ οὐκ ἐπὶ μόνων τῶν ἀποδεικτῶν ἁρμόζοντα ἀλλὰ καὶ ἐπὶ ἑτέρων τινῶν, οἷον ὅτι κρείττων καθ' ἣν τοῦτο καὶ ἄλλο οἶδέ τις ἢ καθ' ἣν τοῦτο μόνον· τοῦτο γὰρ ἁρμόσοι ἂν καὶ ἐπὶ τῶν μὴ ἀποδεικτῶν. id. ib.

86a 33. "τῶν ἄλλων δὲ τῶν αὐτῶν ὄντων προσέθηκε," τουτέστιν ὁμοίως ὄντων γνωρίμων τῶν ἐν ἀμφοτέραις ταῖς ἀποδείξεσι μέσων. εἰ γὰρ ἡ διὰ πλειόνων μέσων γνωριμωτέρους ἔχει τοὺς μέσους τῆς δι' ἐλαττόνων, ἡ διὰ τῶν γνωριμωτέρων κρείττων. ὁμοίως δὲ ὄντων γνωρίμων, ἡ δι' ἐλαττόνων μέσων αἱρετωτέρα· μᾶλλον γὰρ ἐγγυτέρω ἐστὶ τῆς τοῦ νοῦ ἐνεργείας. id. ib.

86a 34. τουτέστιν ἵνα πᾶσιν ὁμοίως γνώριμοι εἶεν ἢ ἔνδοξοι ἢ ἀποδεικτικοί, ἢ ἐκ τῶν κατὰ τὸ συμβεβηκὸς ὑπαρχόντων ὁμοίως εἰλημμέναι ἢ τῶν καθ' αὑτά, καὶ ὅσα ἄλλα ταῖς προτάσεσιν ὑπάρχει. τούτων οὖν τῶν αὐτῶν ὄντων, ἡ δι' ἐλαττόνων μέσων ὅρων καὶ προτάσεων τῆς διὰ πλειόνων βελτίων. id. f. 63 *b*.

86a 36. "λόγος δέ" τουτέστιν αἰτία καὶ ἀπόδειξις τοῦ τὰς ἐξ ἐλαττόνων κρείττους εἶναι, τῶν ἄλλων τῶν αὐτῶν ὄντων. id. ib.

86a 38. εἰ γὰρ θελήσαιμεν δεῖξαι ὅτι τὸ ἔμψυχον ὑπάρχει τῷ ἀνθρώπῳ, ὄντων μεταξὺ τοῦ ζῴου τοῦ λογικοῦ, γνωριμώτερόν ἐστι τὸ ὑπάρχειν τὸ ζῷον τῷ λογικῷ ἤπερ τῷ ἀνθρώπῳ· διὰ γὰρ τοῦ ὑπάρχειν τὸ ζῷον τῷ λογικῷ δείκνυται ὅτι καὶ τῷ ἀνθρώπῳ ὑπάρχει τὸ ζῷον· γνωριμώτερον δὲ τὸ δι' οὗ τοῦ δι' ἐκείνου γνωσθέντος. id. ib.

86b 2. τουτέστι διὰ μέσων ἴσων. id. ib.

86b 7. δείξας καθόλου ὅτι ἡ δι' ἐλαττόνων, καὶ μὴ προσθεὶς εἴτε τῷ ἀριθμῷ ἐλαττόνων εἴτε τῷ εἴδει, ἀλλ' ἁπλῶς ὅτι ἡ δι' ἐλαττόνων τῶν αὐτῶν ὄντων βελτίων ἐστί, νῦν ἐπὶ τοῦ αὐτοῦ προκειμένου μεταφέρει τὸν λόγον καὶ φησὶν ὅτι ἡ μὲν ἀποφατικὴ καὶ δι' ἀποφατικῶν καὶ διὰ καταφατικῶν δείκνυται, ἡ δὲ καταφατικὴ διὰ μόνων καταφατικῶν. ὥστε εἰ διὰ πλειόνων ἡ ἀποφατική, κρείττων ἄρα ἡ καταφατική. id. f. 64.

86b 10. εἰπὼν ὅτι "ἐπειδὴ δέδεικται," οὐκ ἀνταπέδωκε πρὸς τὸ ἐπειδή, ὡς ἂν αἰτιολογικῶς εἰρημένου τοῦ ἐπειδὴ πρὸς τὰ πρὸ αὐτοῦ. id. ib.

86b 12. τοῦτο δοκεῖ μοι οὔτε ἐπιχείρημα εἶναι οὔτε ὡς συμβαλλόμενόν τι εἰς τὰ προειρημένα τεθεῖσθαι, ἀλλ' ὥσπερ πόρισμά τι ἐκ τῶν εἰρημένων ἀναφανέν. ἔστι δὲ ἀξιολογώτατον τὸ θεώρημα ἔχον οὕτως. ἐὰν συλλογισμός, φησίν, ὑπάρχῃ ἀποφατικός, εἶτα δέον ᾖ τὰς προτάσεις κατασκευάσαι παρεντιθεμένων μεταξὺ ἑκατέρας ὅρων, εἶτα πάλιν τὰς ἐκείνου τοῦ συλλογισμοῦ ἐγκατασκευάσαι προτάσεις, καὶ τοῦτο ἐπὶ πολὺ γίνηται, καταπυκνουμένων μέσοις ὅροις τῶν προτάσεων, οὐχ ὡς ἄν τις ὑπολάβοι, ὁμοίως αἵ τε καταφατικαὶ αὔξονται προτάσεις καὶ αἱ ἀποφατικαί, ἀλλὰ μόναι μὲν αὔξονται αἱ καταφατικαί, αἱ δὲ ἀποφατικαὶ οὐκέτι· ἐν παντὶ γὰρ ἀποφατικῷ συλλογισμῷ, ἐφ' ὅσων ἂν καταπυκνωθῶσιν αἱ προτάσεις, ἀδύνατον πλέον μιᾶς ἀποφατικῆς γενέσθαι πρότασιν. ὅπερ δοκεῖ παράδοξον εἶναι· ἀεὶ γὰρ ἐν τῇ ἀποφατικῇ προτάσει ἐμβαλλομένου μέσου ὅρου ἡ μείζων ἀποφατικὴ γίνεται... πῶς οὖν φησὶ μὴ πλείους μιᾶς γίνεσθαι τὰς ἀποφάσεις; λέγω οὖν ὅτι καλῶς προσέθηκεν "ἐν ἅπαντι συλλογισμῷ·" ἐὰν γὰρ συνθῶμεν ὅλας τὰς προτάσεις καὶ ποιήσωμεν ἕνα συλλογισμόν, μία μόνη εὑρίσκεται ἡ ἀποφατική, ὅτι τὸ α' οὐδενὶ τῷ ε', τὸ ε' παντὶ τῷ δ', τὸ δ' παντὶ τῷ β', τὸ β' παντὶ

οὐδὲν ἔξω πίπτει, τουτέστιν οὐδὲν αὐτοῦ ἀποφάσκεται· μόνως γὰρ ἐν πρώτῳ σχήματι τοῦ μέσου ὁ μείζων ἀποφάσκεται. id. ib.

85a 7. μετῆλθεν ἐπὶ τὸ δεύτερον σχῆμα· διὸ καὶ τὰ στοιχεῖα ἤμειψε. καὶ ἔστι τὸ μὲν δ′ μείζων ὅρος, τὸ δὲ ε′ ἐλάττων, μέσος τὸ γ′. καλεῖ δὲ τὸ ε′ ᾧ οὐ δεῖ ὑπάρχειν· τοῦ γὰρ ὑποκειμένου ἐν τοῖς προβλήμασιν ἢ συμπεράσμασιν ἀποφάσκεται ὁ μείζων ὅρος. οὐδέποτε οὖν, φησί, τοῦ ἐλάττονος τοῦ ε′ ἔξω πεσεῖται ὁ μέσος. καὶ εἴπομεν τί σημαίνει ἐνταῦθα αὐτῷ τὸ ἔξω πίπτειν, ὅτι τὸ τὴν θέσιν ἀμείβειν· τοῦ μὲν γὰρ μείζονος ἔξω πίπτει· κατηγορούμενον γὰρ ὄντα τὸν μείζονα ἐν τῷ συμπεράσματι ἐν ταῖς προτάσεσι ποιεῖ ὑποκείμενον, τὸν μέντοι ἐλάττονα φυλάττει ἐν ταῖς προτάσεσιν ὑποκείμενον. id. ib.

85a 10. ἐνταῦθα πάλιν τὸ ἔξω πίπτειν τὸ κατηγορεῖσθαί φησιν. ὥσπερ γὰρ εἴρηται πρότερον, οὐκ ἐνδέχεται κατασῆσαι τὰ ἐν τούτοις λεγόμενα· ἐν τούτῳ γὰρ τῷ σχήματι ἀεὶ ὑπόκειται ὁ μέσος, ὥστε οὐδενὸς τῶν ἄκρων κατηγορεῖται. id. f. 60.

85a 13. ἐνταῦθα τρία ζητεῖ προβλήματα ἀξιόλογα εἰς τὸν περὶ ἀποδείξεως λόγον συντείνοντα, πρῶτον μὲν ποία δεῖξις μᾶλλον κρείττων καὶ πρέπουσα τῇ ἐπιστήμῃ, πότερον ἡ καθόλου ἢ ἡ μερική, δεύτερον δὲ πότερον ἡ καταφατικὴ μᾶλλον πρέπουσα ἐπιστήμῃ ἢ ἡ ἀποφατική, καὶ τρίτον πότερον ἡ ἐπ’ εὐθείας ἢ ἡ δι’ ἀδυνάτου. καὶ ἐπέξεισι τῷ περὶ τούτων λόγῳ πλατύτερον. id. ib.

85a 15. ἀντὶ τοῦ τῆς ἐπ’ εὐθείας· αὕτη γάρ ἐστι κυρίως ἀπόδειξις ἡ ἐπ’ εὐθείας τὸ πρᾶγμα δεικνύουσα· ἡ γὰρ εἰς ἀδύνατον ἀπαγωγὴ οὐκ αὐτὸ δείκνυσιν, ἀλλὰ τὸ ἐναντίον ἀναιρεῖ. id. f. 60 *b*.

85a 26. ἡ καθόλου, φησί, δεῖξις οὐ καθ’ αὐτήν ἐστιν ἀλλὰ διὰ τὰ μερικά· ὅταν γὰρ τὰ τῷ ἰσοσκελεῖ καθ’ αὑτὸ ὑπάρχοντα διὰ τοῦ καθόλου δεικνύηται, οἷον ὅτι τὸ ἰσοσκελὲς τρίγωνον τὰς πρὸς τῇ βάσει γωνίας ἴσας ἀλλήλαις ἔχει, οὐχ ᾗ τρίγωνόν ἐστι δείκνυται, ἀλλ’ ᾗ ἰσοσκελές. δῆλον δὲ ὅτι ψευδεῖ παραδείγματι κέχρηται, ἐπεὶ μὴ οἷόν τε ἦν ἀληθεῖ χρήσασθαι· οὐδὲ γὰρ ὡς ἐπὶ τριγώνου δείκνυται τὰ τῷ ἰσοσκελεῖ ὑπάρχοντα, ἀλλ’ ὡς ἐρεῖ ἐφεξῆς. ἀλλ’ ὅταν τις τὸ μὴ ὑπάρχον δεικνύῃ τῷ καθόλου ὑπάρχον, οὐδὲ ἀπόδειξις τὸ τοιοῦτόν ἐστιν· οὐδὲν γὰρ κατ’ ἄλλο τὸ καθόλου δεῖται ὑπάρχειν. id. ib.

85a 31. τὴν δευτέραν καὶ τρίτην ἀπορίαν ἅμα συνέπλεξεν, ὅτι τὸ καθόλου οὐδέν ἐστι παρὰ τὰ καθ’ ἕκαστα, καὶ ὅτι ἀπάτης ἡμῖν αἴτιον γίνεται τιθεμένοις τὸ μὴ ὂν ὡς ὄν· ὡς γὰρ ὂν καθ’ αὑτὸ παρὰ τὰ μερικὰ τὸ καθόλου ὑποτιθέμεθα. id. ib.

85a 37. ὥσπερ, φησίν, ὁ γεωμέτρης δείκνυσιν ὅτι ἐὰν τέσσαρες γραμμαὶ ἀνάλογον ὦσι, καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται, οὕτω καὶ ἐὰν τέσσαρα ἐπίπεδα καὶ ἐὰν τέσσαρα στερεά, καὶ ἁπλῶς ἐπὶ τῶν καθόλου, οἷον ἐὰν τέσσαρα τοιαῦτα ποσὰ ἢ μεγέθη. καίτοι τὸ ποσὸν ἁπλῶς ἢ τὸ μέγεθος οὐκ ἔστιν αὐτὸ καθ’ αὑτὸ ἐκτὸς γραμμῆς ἢ ἐπιπέδου ἢ στερεοῦ· ὅμως ὡς ὄντος τινὸς παρὰ ταῦτα, οὕτως ἐπ’ αὐτοῦ ποιοῦνται τὸν λόγον. τὸ αὐτὸ δὴ τοῦτο, ὅπερ ἐπὶ τοῦ ἀνάλογον πάσχουσιν οὗτοι, τοῦτο πάσχουσι καὶ πάντες ὅσοι καθόλου τι ἀποδεικνύουσι. id. ib.

85b 4. ἐντεῦθεν λοιπὸν αἱ τῶν ἀποριῶν λύσεις. καὶ τέως γε πρὸς τὴν προτέραν τὴν λέγουσαν βελτίονα εἶναι τὴν κατὰ μέρος ἀποδεικνῦσαν, διὰ τὸ καθ’ αὑτὸ ἀποδεικνύειν, ἐπάγει τὸν ἔλεγχον… πῶς οὖν φησιν ἐνταῦθα, οὐδὲν μᾶλλον ἐπὶ τῆς κατὰ μέρος ἢ τῆς καθόλου, ὡς δὴ ἀμφοτέρων καθ’ αὑτὸ οὐσῶν; φημὶ οὖν ὅτι ὡς πρὸς τὸ παράδειγμα αὐτῷ τείνει ὁ λόγος· ἐπειδὴ γὰρ τὸ παράδειγμα, λέγω δὴ τὸ Κορίσκον μουσικὸν εἶναι καὶ τὸν ἄνθρωπον μουσικὸν εἶναι, τὸ μὲν μερικὸν καθ’ αὑτὸ ἔχει τὸ μουσικόν, τὸ δὲ καθόλου διὰ τὸ μερικόν, διὰ τοῦτο, φησίν, ἐπὶ τῶν τοιούτων παραδειγμάτων οὐδὲν μᾶλλον ἕξει τὰ μερικὰ τὸ καθ’ αὑτό, ἐν οἷς οὐδ’ ὅλως τῷ καθόλου τὸ σύμπτωμα ὑπάρχειν, ἐφ’ ὧν καὶ τοῖς καθόλου ὑπάρχειν, δι’ αὐτὰ μᾶλλον ὑπάρχει ἢ διὰ τὰ μερικά· ὅταν γὰρ ὑπάρχῃ τινὰ τῷ καθόλου καὶ τῷ μερικῷ, οὐ τῷ καθόλου διὰ τὸ μερικὸν ὑπάρχει, ἀλλ’ ἔμπαλιν τῷ μερικῷ διὰ τὸ καθόλου. id. f. 61.

ἐπειδὴ πρὸ τούτου συνεχώρησε καὶ ἐν τῷ μερικῷ εἶναι τὸ καθ’ 85b αὑτό, εἶπε δὲ μηδὲν μᾶλλον καὶ ἐν τῷ καθόλου εἶναι τὸ καθ’ αὑτό, 7. νῦν αὐτὸ τοῦτο ἀναιρεῖ, τὸ ὅλως τοῖς μερικοῖς εἶναι τὸ καθ’ αὑτό, τῇ καλουμένῃ ἐνστάσει καὶ ἀντιπαραστάσει· καὶ χρησάμενος πρότερον μὲν τῇ ἀντιπαραστάσει, νυνὶ δὲ τῇ ἐνστάσει, λύει τὸ ἐπιχείρημα… “ὅλως τε εἰ μὲν μὴ ὄντος ᾗ τρίγωνον εἶτα δείκνυσιν.” τουτέστιν εἰ τὸ σύμπτωμα μὴ ὑπάρχει τῷ καθόλου ᾗ τοιοῦτόν ἐστιν, οἷον, εἰ τύχοι, τῷ τριγώνῳ ᾗ τρίγωνόν ἐστι τὸ ἔχειν τὴν περίμετρον, εἰ τύχοι, πήχεων πέντε, ἢ τῷ ἀνθρώπῳ ᾗ ἄνθρωπός ἐστι τὸ εἶναι μουσικόν, εἶτά τις τὸ μὴ ὑπάρχον ὡς ὑπάρχον λέγοι, οὐκ ἀποδείξει ὁ τοιοῦτος. ψεῦδος γὰρ τὸ τοιοῦτον, καὶ ὥσπερ τὸ ἀληθὲς οὐδέποτε ἐλέγχεται, οὕτω τὸ ψεῦδος οὐδέποτε ἀποδείκνυται. οὐδὲ κατ’ ἄλλο αὐτῷ ὑπάρξει ὅπερ ὅλως αὐτῷ οὐχ ὑπάρχει. id. ib.

πρὸς τὴν δευτέραν ἀπορίαν αὕτη ἀπάντησις, τὴν λέγουσαν τὸ 85b καθόλου μὴ ὂν εἶναι. id. f. 61 *b*. 15.

ἐπειδὴ ἡ ἀπορία ἔλεγεν ὅτι τὸ καθόλου ὡς αὐτὸ καθ’ αὑτὸ 85b ὑπάρχον οὕτως ὑποτίθενται οἱ περὶ αὐτοῦ ποιούμενοι τοὺς λόγους, καὶ 18. ἕτερον ὂν τῶν μερικῶν, διὰ τοῦτο φησίν, εἰ καὶ ἕτερόν ἐστι τῶν μερικῶν καὶ ἔστι τις μία φύσις ὡρισμένη, ἑτέρα οὖσα τῶν κατὰ μέρος, ἀλλ’ οὖν οὐ χωριστὴν ὑποτίθενται εἶναι καὶ ἐκτὸς τῶν μερικῶν αὐτὴν καθ’ αὑτὴν ὑφεστῶσαν, ἀλλ’ εἶναι μὲν ἑτέραν τῇ οὐσίᾳ καὶ τῷ λόγῳ, τῷ μέντοι ὑποκειμένῳ οὐχ ἑτέραν εἶναι τῶν μερικῶν, ὥσπερ καὶ τὰ συμβεβηκότα ἕτερα μὲν εἶναί φαμεν τῆς οὐσίας, οὐ μέντοι καὶ κεχωρισμένα αὐτῆς. ὥστε οὐ ψεῦδος ὑποτίθενται οἱ ὑποτιθέμενοι ἕτερον εἶναι τὸ καθόλου τῶν μερικῶν, οὐδ’ ἀπάτης ἡμῖν αἴτιον γίνεται τὸ καθόλου, τὸ μὴ ὂν ὡς ὂν ὑποτιθεμένοις. id. ib.

τουτέστιν, εἰ δὲ χωρὶς λαμβάνει τὸ ὑφεστηκὸς τῶν μερικῶν, οὐχ ἡ ἀπόδειξις αἰτία τοῦ χωριστὸν λαμβάνεσθαι τὸ καθόλου, ἀλλ’ ὁ κακῶς τῆς ἀποδείξεως ἀκούων. ὥσπερ γὰρ κἂν εἴ τις περὶ ποιότητος διαλέγοιτο ὡς οὔσης φύσεώς τινος καὶ πολλὰ ποιούσης καὶ πασχούσης, εἶτά τις ἀκούσας ὑπονοήσειεν αὐτὴν καθ’ αὑτὴν ὑφεστηκυῖαν τὴν ποιότητα ὑποτίθεσθαι τὸν λέγοντα, τῆς τοιαύτης ὑπονοίας καὶ ψευδοῦς δόξης οὐχ ὁ λέγων ἦν αἴτιος ἀλλ’ ὁ κακῶς τῆς ἀποδείξεως ἀκούων, οὕτω καὶ εἰ τῆς ἀποδείξεως ἐπὶ τῶν καθόλου ποιουμένης τὸν λόγον οὕτερός τις νομίζοι χωριστὸν εἶναι τὸ καθόλου, αὐτὸς ἑαυτῷ τοῦ ψεύδους ἂν εἴη αἴτιος, οὐ μὴν ἡ ἀπόδειξις τὸ ψεῦδος ὑποτίθεται. ζητήσειε δ’ ἄν τις εὐλόγως πῶς συνίσταται τὰ ἐνταῦθα εἰρημένα

84b 6. τῶν ἀντιγράφων τὰ μὲν "δυσὶν ὀρθαῖς" ἔχει, τὰ δὲ "τέτρασιν." εἰ μὲν οὖν εἴη "δυσὶν ὀρθαῖς," τὸ δὲ ἐπιφερόμενον ὡς τινὰ τῶν ἀντιγράφων ἔχει "ᾗ γὰρ τριγώνῳ ὑπάρχει," σαφὲς τὸ λεγόμενον ὑπάρχει, ὅτι τῷ ἰσοσκελεῖ καὶ τῷ σκαληνῷ, ᾗ ἑκάτερον τρίγωνον, ὑπάρχει ἑκατέρῳ δηλαδὴ τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς γωνίας, καὶ οὐχ ᾗ τὸ μὲν ἰσοσκελὲς τὸ δὲ σκαληνόν... εἰ δὲ εἴη "σχῆμά τι," περισπαστέον τὸ σχῆμα, ἵν' ᾖ πτώσεως εὐθείας, καὶ ἐγκλιτέον τὸ τί ἀόριστον μόριον ὄν· λέγει γὰρ ἂν ὅτι ὡς σχῆμά τι (τοῦτο δέ ἐστι τὸ τρίγωνον) ὑπάρχει αὐτοῖς τὸ εἰρημένον. εἰ δὲ εἴη τέτρασιν ὀρθαῖς, τὸ "σχήματι" προπαροξυτονητέον ὡς δοτικήν, καὶ ὁ λόγος περὶ τῶν ἐκτὸς γωνιῶν· δείκνυται γὰρ ὅτι παντὸς σχήματος τῶν πλευρῶν ἐκβαλλομένων αἱ ἐκτὸς γωνίαι τέτρασιν ὀρθαῖς ἴσαι εἰσίν. id. ib.

84b 9. τουτέστιν, οὐκ ἀεὶ κατὰ κοινόν τι τούτων ἔσται τὸ κατηγορούμενον, ἀλλ' ἔσται προϊόντων, ὃ καὶ ἀμέσως αὐτῶν κατηγορηθήσεται. id. ib.

84b 14. τοὺς ἀποδεικτικοὺς δηλονότι ὅρους, ἐπείτοι γε τοὺς διαλεκτικοὺς οὐκ ἀνάγκη τοῦ αὐτοῦ γένους εἶναι, ἐπεὶ καὶ ἐξ ἐνδόξων καὶ ἐκ συμβεβηκότων αἱ διαλεκτικαὶ δείξεις, τοὺς μέντοι ἀποδεικτικοὺς ἀνάγκη τοῦ αὐτοῦ γένους εἶναι. τοῦ αὐτοῦ δὲ γένους φησὶν ἀντὶ τοῦ τὸν ὑποκείμενον ὡς εἰς γένος ἀνάγεσθαι τὸν κατηγορούμενον, εἴπερ μὴ ἐνδέχεται ἐξ ἄλλου γένους εἰς ἄλλο μεταβάντα δεῖξαι· εἴρηται γὰρ καὶ ἔμπροσθεν ὅτι οὐχ οἷόν τε τὰ ἰατρικὰ γεωμετρικῶς ἀποδεῖξαι καὶ τὰ γραμματικὰ ῥητορικῶς. ὅθεν καὶ δοκεῖ μοι τοῦ αὐτοῦ γένους λέγειν οὐχ ἁπλῶς τὰ ὑπὸ τὴν αὐτὴν κατηγορίαν· πλείους γὰρ ἐπιστῆμαι τῇ αὐτῇ κατηγορίᾳ κέχρηνται· ἀλλὰ γένος φησὶ τὸ τῆς ἐπιστήμης. id. ib.

84b 19. ἐπεὶ δέδεικται ὅτι ἔστιν ἕτερον ἑτέρου ἀμέσως κατηγορεῖν, δῆλον ὅτι φησίν, ὅταν τί τινος οὕτως κατηγορῆται, οὐκ ἔστιν αὐτὸ ἀποδεῖξαι, εἴγε πᾶσα ἀπόδειξις μέσου ὅρου παραλαμβανομένου γίνεται. ὥστε οὖν μὴ ἔστι μέσον ὅρον θεῖναι, οὐδὲ ἀποδεῖξαι τὰ τοιαῦτα ἐνδέχεται· οὐ γὰρ ἀποδεικτικαὶ αἱ ἄμεσοι προτάσεις, τοὐναντίον δὲ ἀρχαὶ καὶ στοιχεῖα ἀποδείξεως αἱ ἄμεσοι προτάσεις. καὶ ἀρχαὶ μὲν πρώτισται οἱ ὅροι, ἀλλὰ καὶ ὡς ἐν προτάσεσιν ἀρχαὶ καὶ στοιχεῖα αἱ ἄμεσοί εἰσι προτάσεις. καὶ ἤτοι πᾶσαι, φησίν, αἱ ἄμεσοι προτάσεις ἀρχαὶ καὶ στοιχεῖά εἰσι τῶν συλλογισμῶν, ἢ αἱ καθόλου. id. f. 59.

84b 26. εἰσὶ καὶ οἱ ὅροι ἀρχαί, ὅσοι ἀλλήλων ἀμέσως κατηγοροῦνται. εἰσὶ δὲ ἀρχαὶ καὶ αἱ ἐκ τούτων προτάσεις, ὥσπερ καὶ αἱ ἐκ τῶν συνθέτων ἀρχαὶ εἰσὶ μὲν ὕλη καὶ εἶδος, εἰσὶ δὲ καὶ τὰ ἐκ τῆς συμπλοκῆς τούτων πρώτως συντεθειμένα σώματα, λέγω δὴ τὰ στοιχεῖα. id. ib.

84b 29. ὥσπερ, φησί, καταφατικαὶ προτάσεις εἰσὶ μὴ ἀποδεικταί, αἵ τε λέγουσαι ὅτι τόδε τῷδέ ἐστι καὶ αἱ τόδε τῷδε ὑπάρχει (διὰ τούτων δὲ τὴν φύσιν τῆς ἀμέσου προτάσεως παρέστησεν), οὕτω δὴ καὶ ἀποφατικαὶ ἄμεσοί εἰσιν. id. ib.

84b 31. τὸ προκείμενόν ἐστι διὰ τούτων δεῖξαι τίνα σχέσιν ἔχει ὁ μέσος ὅρος πρὸς τοὺς ἄκρους κατὰ τὰ τρία σχήματα ἔν τε τοῖς κατηγορικοῖς συλλογισμοῖς καὶ ἐν τοῖς ἀποφατικοῖς· καὶ φησὶν ὅτι ἐν μὲν τοῖς κατηγορικοῖς οὐδέποτε τοῦ κατηγορουμένου ἔξω πίπτει ὁ μέσος, τοῦ δὲ ὑποκειμένου ἐπὶ μὲν τοῦ πρώτου καὶ δευτέρου σχήματος ἀεὶ ἔξω πίπτει. διαρθρώσαντες δὲ πρότερον τὰ ἐπὶ τῶν κατηγορικῶν λεγόμενα, οὕτως ἐροῦμεν καὶ περὶ τῶν ἀποφατικῶν. τὸ οὖν ἔξω πίπτειν ἐπὶ τῶν κατηγορικῶν σημαίνει τῷ Ἀριστοτέλει τὸ ἐπὶ πλέον εἶναι, τοῦτο δ' ἐστὶ τὸ κατηγορεῖσθαι. οὐδέποτε οὖν, φησίν, ἐν καταφατικῷ συλλογισμῷ ὁ μέσος τοῦ μείζονος κατηγορηθήσεται... ἐν τῷ δευτέρῳ, φησί, σχήματι οὐδέποτε τοῦ ἐλάττονος ὅρου ἔξω πίπτει ὁ μέσος. ἔλεγεν οὖν ὁ φιλόσοφος ὅτι οὐκ ἐνδέχεται ἐπὶ τούτου, τὸ μὴ ἔξω πίπτειν τὸ μὴ κατηγορεῖσθαι ἀκούων· ἀμφοτέρων γάρ, φησίν, ἐν τῷ δευτέρῳ σχήματι ὁ μέσος κατηγορεῖται· εἰ οὖν τῶν δύο κατηγορεῖται, πῶς φησὶ τοῦ ἐλάττονος μὴ ἔξω πίπτειν; ἔλεγεν οὖν μὴ ἄλλως ἂν καταστῆσαι τοῦτο δυνατόν, εἰ μὴ τὸ ἔξω πίπτειν τοῦ ἐλάττονος ἄλλως ἀκούσαιμεν. νῦν οὖν ἀντὶ τοῦ οὐδέποτε τὴν θέσιν αὐτοῦ ἀμείβει ὁ μέσος τοῦ ἐλάττονος, καὶ τοῦτο εἶναι τὸ ἔξω πίπτειν τοῦ ἐλάττονος τὸν μέσον, τὸ τὴν θέσιν τοῦ ἐλάττονος ἀμείβειν τὸν μέσον. τοῦτο οὖν, φησίν, ἐπὶ τοῦ δευτέρου σχήματος οὐ γίνεται· οὐδέποτε γὰρ ὁ ἐλάττων γίνεται κατηγορούμενος ὥσπερ ἐν τῷ τρίτῳ, ἀλλ' ὥσπερ ἐν τῷ προβλήματι ὑποκείμενός ἐστιν ἀεὶ ὁ ἐλάττων, οὕτω καὶ ἐν τῷ συλλογισμῷ τῷ κατὰ τὸ δεύτερον σχῆμα μένει ὁ ὑποκείμενος, μὴ ἀμείβων τὴν ἑαυτοῦ θέσιν. τοῦτο δὲ δῆλον ὅτι καὶ τῷ πρώτῳ ὑπάρχει σχήματι· καὶ ἐν τούτῳ γὰρ ἀεὶ ὁ ἐλάττων ὑποκείμενός ἐστιν. ταῦτα μὲν οὖν ἐστὶ τὰ ἐνταῦθα λεγόμενα, μηδὲν πλέον ἔχοντα τῶν ἐν τοῖς τρισὶ σχήμασιν εἰρημένων περὶ τῆς θέσεως τῶν τριῶν ὅρων, μηδὲ ἀναγκαίου τινὸς ἕνεκα τῶν εἰς ἀπόδειξιν χρησιμευόντων ἐνταῦθα παρεμβεβλημένα, ὡς ἐμοὶ δοκεῖ. id. ib.

ἐπειδὴ εἶπεν ὅτι ἀεὶ τὸ μέσον πυκνοῦται ἕως ἀδιαίρετα γένηται, καὶ ἕν τι λέγει ἐν συλλογισμῷ. τὸ δὲ "ἓν" διὰ τοῦτο προσέθηκεν, ὅτι ταῖς ἀμέσοις προτάσεσι μέχρι τοσούτου καταπυκνοῦται ὁ συλλογισμὸς προσλαμβάνων μέσους ὅρους ἕως ἂν εἰς τὰς ἀμέσους φθάσῃ προτάσεις, αἵτινές εἰσιν ἀρχαὶ τοῦ συλλογισμοῦ καὶ οἷον μονάδες τινὲς ἀδιαίρετοι. id. f. 59 b. 84b 35.

παραδείγματος δὲ ἕνεκα ἀρχὴν μὲν τοῦ βάρους τὴν μνᾶν φησίν. ὅλως γὰρ ἐπὶ τούτων ἀρχὴ οὐκ ἔστιν, ἐπεὶ ἐπ' ἄπειρον διαιρετὸν τὸ μέγεθος· εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη τὸ πρῶτον καὶ ἡ ἀρχὴ τοῦ βάρους, ἀλλ' εἰ ἄρα πρὸς τὴν ἡμετέραν συνήθειαν, ὥσπερ καὶ νῦν ἡμεῖς κεχρήμεθα ἐσχάτῳ καὶ ἀδιαιρέτῳ βάρει τῷ τετάρτῳ μέρει τοῦ κερατίου, ὅ ἐστι κόκκος εἷς σίτου· μέχρι γὰρ τούτου ποιούμεθα τὴν διαίρεσιν τῶν σταθμωμένων. δίεσις δέ ἐστιν ἡ πρώτη αἰσθητὴ τῶν φθόγγων ἀπήχησις, ἧς πρώτης ἀντιλαμβάνεσθαι δύναται ἡ ἡμετέρα αἴσθησις ἤγουν ἡ ἀκοή· ταύτην δέ φασι τὸ τέταρτον εἶναι τοῦ ἐπογδόου λόγου. id. ib. 84b 38.

διὰ τί δὲ μὴ καὶ τοῦ διαλεκτικοῦ συλλογισμοῦ ἀρχὴν εἶπε τὴν 85a 1.
δόξαν; ὡς γὰρ ὁ νοῦς κοινὰς ἐννοίας αἱρεῖται ἐξ ὧν αἱ ἀποδείξεις, οὕτως ἡ δόξα τὰς διαλεκτικὰς καὶ ἐνδόξους προτάσεις. φαμὲν οὖν ὅτι οὐκ εἶπε διαλεκτικοῦ συλλογισμοῦ ἀρχὴν εἶναι τὴν ἄμεσον πρότασιν, ἀλλ' ἁπλῶς συλλογισμοῦ· ὡς οὖν συλλογισμοῦ ἁπλῶς ἀρχὴ ἂν εἴη ἡ ἄμεσος πρότασις. id. ib.

"ὃ δεῖ ὑπάρχειν," λέγει τὸ κατηγορούμενον· τοῦτο γάρ ἐστι τὸ 85a 3.
ὑπάρχον τῷ ὑποκειμένῳ. τούτου οὖν, φησίν, ἐν τῷ πρώτῳ σχήματι

τὰ ὑποκείμενα παραλαμβάνει, ὡς τὸ περιττὸν καὶ ἡ σιμότης καὶ τὰ τοιαῦτα. δείκνυσιν οὖν ὅτι οὐδὲν τούτων ἐπ' ἄπειρον πρόεισιν... ἀναλυτικὰς οὖν καλεῖ τὰς τοιαύτας δείξεις ἀντὶ τοῦ ἀποδεικτικάς, διότι ὁ σκοπὸς πάσης τῆς ἀναλυτικῆς ἐπιστήμης ἡ ἀπόδειξίς ἐστιν. οὕτω γοῦν καὶ τὴν ἀρχὴν τῶν Ἀναλυτικῶν ἐποιήσατο, εἰρηκὼς "πρῶτον εἰπεῖν περὶ τί καὶ τίνος ἐστὶν ἡ σκέψις, ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς." ἐπεὶ οὖν πᾶσαν τὴν περὶ ἀποδείξεως πραγματείαν οὕτως ἐκάλεσεν ἀναλυτικήν, ἐκ μέρους τὸ πᾶν ὀνομάσας, διὰ τοῦτο καὶ πάσας τὰς ἀποδεικτικὰς δείξεις ἀναλυτικὰς ἐκάλεσε... ἁπλῶς γοῦν τοσοῦτον εἰπών, ὅτι μὴ ἐνδέχεται ἄπειρα ὑπάρχειν τῷ ἑνί, πῶς τοῦτο οὐκ ἐνδέχεται οὐ προσέθηκεν. ὁ μέντοι Ἀλέξανδρός φησιν ὅτι συμβαίνει γὰρ οὕτω τὸ ἄπειρον ἐνεργείᾳ εἶναι· τοῦτο δὲ οὐ προσφυῶς δοκεῖ τοῖς προκειμένοις ἐπάγειν· αὐτὸ γὰρ τοῦτο ὑπετίθετο ἐνεργείᾳ εἶναι τὸ ὑποκείμενον, ὥστε οὐδὲν ἄτοπον δείξει τοῦτο εἶναι. ἔλεγεν οὖν ὁ φιλόσοφος ὡς πρὸς τοὺς ὁρισμοὺς τείνειν τὸν λόγον, ὅτι συμβήσεται ἐν τοῖς ὁρισμοῖς ἄπειρα παραλαμβάνεσθαι. ἐμοὶ δὲ οὐδὲ τοῦτο δοκεῖ ἀληθὲς εἶναι. λέγω δὴ ὅτι οὐκ εἰς τοῦτο τὸ ἄτοπον ἀπάγει τὸν λόγον ὁ Ἀριστοτέλης, τὸ συμβαίνει γὰρ οὕτω ἄπειρα ὑπάρχειν τῷ ἑνὶ ὑποκειμένῳ, ὡς δείξομεν τὴν λέξιν ἐπεξιόντες. εἰς τὸν ὁρισμὸν δὲ τοῦ ἀριθμοῦ παραλαμβάνεται τὰ καθ' αὑτὰ ὑπάρχοντα αὐτῷ· ὥστε πρὸς τοὺς ὁρισμοὺς αὐτῷ συντείνει ὁ λόγος, οὐχ ὅτι μὴ ἐνδέχεται τούτους ἐξ ἀπείρων συνεστηκέναι, ἀλλ' ὅτι εἰ τὰ ὑπάρχοντα τῷ ἀριθμῷ ἄπειρα εἶεν, ταῦτα δὲ καθ' αὑτὸ ὑπάρχει, ἀδύνατον γνῶναι τὸν μὴ εἰδότα πάντα τὰ καθ' αὑτὸ αὐτῷ ὑπάρχοντα. οὐ γὰρ ἂν εἰδείημεν φύσιν τριγώνου, μὴ εἰδότες τίνα ποτέ ἐστι τὰ καθ' αὑτὸ αὐτῷ ὑπάρχοντα. ὥστε εἰ ἄπειρά εἰσι τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασι, τὰ δὲ ἄπειρα γνῶναι καὶ διεξελθεῖν ἀδύνατον, ἀδύνατον ἄρα γνῶσιν τῶν πραγμάτων ἔχειν. ὥστε εἰ τοῦτο ἄτοπον, ἀδύνατον ἄρα τῷ ἑνὶ ἄπειρα ὑπάρχειν καθ' αὑτό. προστίθησι δὲ τούτοις καὶ ἕτερον ὁ Ἀλέξανδρος, δεικνὺς μὴ ἐνδέχεσθαι ἄπειρα εἶναι. τὰ καθ' αὑτὸ ὑπάρχοντα κατὰ τὸν δεύτερον τρόπον. ταῦτα γάρ, φησίν, ἀεὶ ἐπὶ τὸ ἔλαττον πρόεισιν. ὥσπερ γὰρ τοῦ ἀριθμοῦ τὸ περιττὸν ἐπ' ἔλαττον, καὶ τὸ πρῶτον ἐπ' ἔλαττον τοῦ περιττοῦ, οὕτως εἰ καὶ τῷ πρώτῳ ἕτερόν τι ὑπῆρχεν, ἐπ' ἔλαττον ἂν ἦν κἀκεῖνο τοῦ πρώτου, καὶ ἐφεξῆς ὁμοίως ἐπὶ τὸ ἔλαττον προϊόντα εἰς τὰ ἄτομα τελευτῶσιν. οὐκ ἄρα ἐνδέχεται ἐπ' ἄπειρον προϊέναι τὰ τοιαῦτα. id. ib.

[84a 17.] εἰ τὸ "οὐδέτερα" ἐπί τε τοῦ πλήθους καὶ τοῦ διαιρετοῦ ἀκούσομεν, ἅπερ ἀμφότερα τοῦ προτέρου τρόπου ἦν παραδείγματα, εἰκότως εὑρίσκομεν προκείμενον τὸ "οὔθ' ὡς περιττὸν τοῦ ἀριθμοῦ," ἵνα καὶ τὸν δεύτερον τρόπον σημάνῃ. εἰ δὲ τὸ "οὐδέτερα" ἐπὶ τῶν δύο τρόπων εἴρηται, τὸ "οὔθ' ὡς τὸ περιττὸν τοῦ ἀριθμοῦ" κατ' ἐπανάληψιν εἴρηται, ἐπειδὴ τοῦτο πρῶτον προτίθησιν ἐλέγξαι. id. f. 57 b.

[84a 13.] εἰ ἕτερόν τι, φησί, καθ' αὑτὸ ὑπάρξει τῷ περιττῷ, ᾧ τινὶ ἐξ ἀνάγκης τὸ περιττὸν ἐν τῷ λόγῳ ὑπάρξει, αὐτοῦ ἐκείνου ὑπάρχοντος καθ' αὑτὸ τῷ περιττῷ, ἀνάγκη καὶ ἐν τῷ ἐκείνου λόγῳ τὸν ἀριθμὸν παραλαμβάνεσθαι. ὁ μὲν οὖν φιλόσοφος ἐν τῷ "τοῦτο δὲ εἰ ἔστιν" ὑπέστιξεν, ἵνα σημάνῃ, εἰ δὲ τοῦτο οὕτως ἔχει, καὶ ὑπάρχει ἕτερόν τι τῷ περιττῷ. τὸ δὲ λοιπὸν ἐκ τοῦ πρώτου κατὰ συνέχειαν ἀνέγνω. εἰ γὰρ τοῦτο οὕτως ἔχει, φησί, καὶ ὑπάρχει ἕτερόν τι τῷ περιττῷ, καὶ ἐν ἐκείνῳ πρῶτον ὁ ἀριθμὸς ἐνυπάρξει ἧπερ τὸ περιττόν, πρῶτον δ' ἄνωθεν ἀρχομένῳ, ὥσπερ ἂν εἰ εἴποιμεν πρῶτον ὑπάρχειν τῷ ἀνθρώπῳ τὴν οὐσίαν ἧπερ τὸ ζῷον. ἐμοὶ δ' οὐ δοκεῖ καλῶς τεθεῖσθαι ἡ ὑποστιγμή· πρῶτα γὰρ πανταχοῦ ὁ Ἀριστοτέλης τὰ προσεχῆ λέγει, οὐ τὰ πορρωτέρω. ὑποστικτέον οὖν ἐν τῷ πρώτῳ. id. ib.

εἰ οὖν τῷ περιττῷ, φησίν, ὑπάρξει καθ' αὑτὸ τὸ πρῶτον, καὶ ἐν [84a 20.] τῷ τοῦ πρώτου ὁρισμῷ ὁ ἀριθμὸς παραληφθήσεται, ὥσπερ καὶ τὸ περιττόν, καὶ αὐτῶν τούτων τῷ ἀριθμῷ ὑπαρχόντων. id. f. 58.

εἰ γὰρ ἀνάγκη τῷ τε ἀριθμῷ πάντα ὑπάρχειν κἀκείνοις πᾶσι [84a 21.] τὸν ἀριθμόν, ἀντιστρέφουσι πρὸς ἄλληλα δηλονότι, καὶ οὔτε ὁ ἀριθμὸς ὑπερτείνει καὶ ἐπὶ πλέον ἐστὶ πάντων τῶν καθ' αὑτὸ ὑπαρχόντων αὐτῷ, οὔτε τὰ καθ' αὑτὸ ὑπάρχοντα ὑπερτείνει τὸν ἀριθμόν. εἰ δὲ μὴ τοῦτο ἐνδέχεται, ἄπειρα τῷ ἀριθμῷ ὑπάρχειν, οὐδὲ τὸν ἀριθμὸν ἀπείροις ὑπάρχειν ἐνδέχεται. id. ib.

δείξας ὅτι κατ' οὐδένα τρόπον δυνατὸν ἐπ' ἄπειρον ἐνδέχεται [84a 30.] χωρεῖν τὰς κατηγορίας, λοιπὸν συνάγει τοῦτο οὗπερ ἕνεκα καὶ ταῦτα πάντα κεκίνηκε, λέγω δὴ ὅτι εἰσὶν ἀρχαὶ τῶν ἀποδείξεων αἱ ἄμεσοι προτάσεις, καὶ οὐχ οἷόν τε τὰς ἀποδείξεις ἐπ' ἄπειρον προϊέναι. id. ib.

τὸ ἐπ' ἄπειρον βαδίζειν τὰς ἀποδείξεις καὶ μὴ εἶναι ἀρχὰς [84a 33.] ἀποδείξεων, ἢ πάντα ἀποδεικτὰ εἶναι λέγειν, οὐδὲν ἕτερόν ἐστι, φησίν, ἢ μηδεμίαν εἶναι λέγειν ἄμεσον πρότασιν. αἱ γὰρ ἀποδείξεις οὐκ ἔξωθεν προσλαμβάνουσαι πρόϊασιν ἀλλ' ἐν μέσῳ... ἔσται οὖν μεταξὺ δύο ὅρων ὡρισμένων ἄπειρα τὰ ἐντεθειμένα, ὅπερ ἀδύνατον. δέδεικται γὰρ ὅτι αἱ κατηγορίαι ἄνωθεν ἀρχόμεναι ἐπὶ τὸ κάτω ἵστανται, καὶ κάτωθεν ἐπὶ τὸ ἄνω· ὥστε εἰ ἀδύνατον δύο ὅρων τὰ μεταξὺ ἄπειρα εἶναι, οὔτε πάντα ἐστὶν ἀποδεικτά (αἱ γὰρ ἄμεσοι προτάσεις ἀναπόδεικτοι), οὔτε ἐπ' ἄπειρον ἡ ἀπόδειξις πρόεισιν, ἀλλ' εἰσὶν ἀρχαὶ ἀποδείξεως αἱ ἄμεσοι προτάσεις. id. ib.

ἐπειδὴ ἔδειξεν ὅτι εἰσὶν ἀρχαὶ ἀποδείξεως αἱ ἄμεσοι προτά- [84b 3.] σεις, ἐκ τούτων ἕτερόν τι θεώρημα συνάγει, ὅτι ὅταν τι πλειόνων κατηγορῆται, ὧν μηδὲν τῶν λοιπῶν κατὰ παντὸς θατέρου κατηγορεῖται, οὐκ ἀεὶ κατά τι κοινὸν τὸ κατηγορούμενον ἐκείνων κατηγορεῖται, ἀλλ' ἔστιν ὅτε καὶ ἀμέσως. id. ib.

τοῦτο ἀναγκαίως προσέθηκεν, ὅτι δεῖ τὰ ὑποκείμενα ἢ μη- [84b 4.] δόλως ἀλλήλων ἀντικατηγορεῖσθαι, ἀλλ' εἶναι ἄτομα ἢ ἀντιδιῃρημένα ἀλλήλων. ὥσπερ ἂν εἰ ἡ οὐσία διὰ μέσου τοῦ ἐμψύχου, καὶ διὰ μέσου τούτου κατηγοροῖτο τοῦ ζῴου, καὶ διὰ μέσου τοῦ ζῴου κατηγοροῖτο τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου (ταῦτα γὰρ διὰ τὸ ἀντιδιαιρεῖσθαι), οὐδέτερον οὐδετέρου κατηγορεῖται. ἢ εἰ καὶ κατηγορεῖται θάτερον κατὰ θατέρου, μὴ κατὰ παντὸς κατηγορεῖσθαι, οἷον εἰ τὸ λογικὸν εἴη καὶ τὸ θνητόν· οὔτε γὰρ τὸ λογικὸν κατὰ παντὸς τοῦ θνητοῦ κατηγορεῖται, οὔτε τὸ θνητὸν κατὰ παντὸς τοῦ λογικοῦ. τοῦτο δέ, ὅπερ εἶπον, ἀναγκαίως προσέθηκεν· εἰ γὰρ θάτερον κατὰ θατέρου κατηγοροῖτο παντός, οἷον εἰ τὸ λογικὸν εἴη καὶ ἄνθρωπος, κατὰ παντὸς γὰρ τοῦ ἀνθρώπου τὸ λογικόν, οὐκέτι κατά τι κοινὸν ἀμφοτέρων κατηγορεῖται τὸ κατηγορούμενον. id. f. 58 b.

83 b 4. τουτέστιν, οὐδὲ πάλιν κατὰ τὴν ἐπὶ τὸ ἔσχατον ὑποκείμενον κάθοδον ἐπ' ἄπειρον ἡ κατηγορία πρόεισιν, ἵνα ὡς τὸ ζῷον κατηγορεῖται κατὰ τοῦ ἀνθρώπου ἐν τῷ τί ἐστι καὶ ὁ ἄνθρωπος αὖθις κατὰ τοῦ Καλλίου ἐν τῷ τί ἐστιν, οὕτω καὶ ὁ Καλλίας πάλιν κατηγορῆται κατ' ἄλλου τινὸς ἐν τῷ τί ἐστιν· ἀλλὰ καὶ οὕτως ἵσταται ἡ ἐπὶ τὸ κάτω πρόοδος εἰς αὐτὸ τὸ ἔσχατον ὑποκείμενον ἤτοι τὸν Καλλίαν καταντήσασα. id. ib.

83 b 7. τὸ δὲ "νοοῦντα" προσέθηκεν ἀντὶ τοῦ εἰδότα ἕκαστον τῶν ἐν τῷ ὁρισμῷ παραλαμβανομένων· οὐδὲ γὰρ ἄλλως ἐνδέχεται ὁρίσασθαι. νοεῖ δὲ ἕκαστον, ἑκάστου ὁρισμὸν ἀποδιδούς. ὥστε εἰ ἐπ' ἄπειρον αἱ κατηγορίαι, ἀνάγκη καὶ τὴν οὐσίαν ὁρίσασθαι. id. f. 55.

83 b 9. πρότερον συγχωρήσας ὡς γένος ἢ διαφορὰν κατηγορεῖσθαι τὸ παρὰ φύσιν κατηγορούμενον, καὶ δείξας ὅτι οὐκ ἐπ' ἄπειρον αἱ κατηγορίαι, νῦν καὶ πρὸς αὐτὸ τοῦτο ἐνίσταται, ὅτι οὐκ ἐνδέχεται ἀντικατηγορεῖσθαι ἀλλήλων ὡς γένη. εἴπομεν δὲ ἤδη ἱκανῶς περὶ τούτου. id. ib.

83 b 10. εἰπὼν γὰρ ἄνωθεν τὸ "ἢ ὡς οὐσία κατηγορηθήσεται" (p. 83 *a* 39), καὶ κατὰ παράλειψιν δεδωκὼς ἡμῖν νοῆσαι τὸ κατὰ συμβεβηκός, εἶτα ἐλέγξας τὸ ὡς οὐσίαν, νῦν ἐλέγχει τὸ ὡς συμβεβηκὸς κατηγορεῖσθαι τὸ παρὰ φύσιν κατηγορούμενον. καὶ πρῶτον μὲν ὡς ἐπὶ μιᾶς κατηγορίας τοῦ ποιοῦ ἐποιήσατο τὸν λόγον, ἔνθα ἔλεγεν "ἔτι εἰ μή ἐστι τόδε τοῦδε ποιότης" (p. 83 *a* 36)· νῦν δὲ κοινῷ λόγῳ δείκνυσιν ὅτι οὐδεμία τῶν παρὰ φύσιν κατηγοριῶν ἐνδέχεται ὡς συμβεβηκὸς κατηγορεῖσθαι οὗ κατηγορεῖται· οὐδὲ γὰρ οὐσίαν τῶν συμβεβηκότων οὔτε τὰς λοιπὰς ἀλλήλων κατηγοροῦμεν. ἡ δὲ ἀπόδειξις, ὅτι πᾶσαι αἱ κατηγορίαι συμβεβηκότα εἰσὶ τῶν οὐσιῶν, οὐδεμία δὲ τῇ λοιπῇ συμβέβηκε, διότι μηδὲ ἐν ἄλλοις ὑποστῆναι δύνανται εἰ μὴ ἐν τῇ οὐσίᾳ. id. ib.

83 b 12. δείκνυσιν ἐν τούτοις (ὁ Ἀριστ.) ὅτι οὐδὲ τὰς ἀπὸ τῶν συμβεβηκότων ταῖς οὐσίαις κατηγορίας ἐνδέχεται ἐπ' ἄπειρον ἰέναι. δείκνυσι δὲ διὰ τῶν δεδειγμένων· εἰ γὰρ ἐδείχθη ὅτι τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα πάντα πεπερασμένα εἰσί, πεπερασμένα δὲ καὶ τὰ γένη τῶν κατηγοριῶν (τοῦτο γὰρ ἐκ τῆς ἐναργείας ἔχομεν· πᾶν γὰρ ὃ ἂν εἴπῃς ὑπὸ μίαν τῶν δέκα κατηγοριῶν ἀνάγεται), εἰ τοίνυν καὶ τὰ γένη τῶν κατηγοριῶν πεπέρασται, καὶ τὰ ἐν ἑκάστῳ δὲ γένη ἢ εἴδη πεπέρασται (τοῦτο γὰρ δέδεικται), δῆλον ἄρα ὅτι καὶ αἱ ἀπὸ τῶν συμβεβηκότων κατὰ τῆς οὐσίας κατηγορίαι πεπερασμέναι εἰσίν. id. f. 55 *b*.

83 b 13. εἶτα τίνα εἰσὶ τὰ κατηγορούμενα ἀπαριθμεῖται, ὅτι ἤτοι αἱ τοῦ συμβεβηκότος κατηγορίαι, ἢ τὰ ἐν τῇ οὐσίᾳ. τὰ δὲ ἐν τῇ οὐσίᾳ φησὶ τὰ ἐν τῷ τί ἐστι τῶν οὐσιῶν κατηγορούμενα· ταῦτα δέ εἰσι τὰ γένη καὶ τὰ εἴδη καὶ αἱ διαφοραί. πάντα γὰρ ταῦτα, φησί, δέδεικται πεπερασμένα ἐπὶ τὸ ἄνω. εἶτα ἐπειδὴ ἐνδέχεται καὶ ἑκάστης κατηγορίας πεπερασμένα ἐχούσης γένη, μηδὲν ἧττον εἶναι τὰς κατηγορίας ἀπείρους, εἴγε τὰ γένη τῶν κατηγοριῶν μὴ δέκα εἴη μόνον ἀλλ' ἄπειρα (ἀπείρων γὰρ ὄντων τῶν γενῶν, πάντων δὲ κατὰ τῆς οὐσίας κατηγορουμένων, κἂν ἑκάστη πεπερασμένη ὑπάρχῃ, ἄπειρα πάλιν συμβαίνει εἶναι τὰ κατὰ τῆς οὐσίας κατηγορούμενα), διὰ τοῦτο οὖν προστίθησι καὶ τοῦτο, ὅτι καὶ τὰ γένη τῶν κατηγοριῶν πεπέρασται. εἶτα καὶ ἀπαριθμεῖται ταῦτα. id. ib.

τουτέστι, καὶ τοῦτο ἡμῖν ὑπόκειται, μηδεμίαν κατηγορίαν αὐτὴν ἑαυτῆς κατηγορεῖσθαι, εἰ μὴ ἐν τῷ τί ἐστι κατηγοροῖτο. οἷον οὐ κατηγορεῖται τὸ λευκὸν τοῦ φαλακροῦ, εἰ οὕτω τύχοι, τὸ μέντοι χρῶμα τοῦ λευκοῦ· τὶ γὰρ μέρος ἐστὶ τοῦ χρώματος τὸ λευκόν. ἀλλ' οὐδὲ ἄλλο συμβεβηκὸς ἄλλου κατηγορεῖται συμβεβηκότος. ταῦτα δὲ νῦν ἀναλαμβάνει, ἵνα διακρίνῃ τὰς κατὰ φύσιν καὶ τὰς παρὰ φύσιν κατηγορίας. id. ib. 83 b 18.

αὐτὸ μέν, φησί, τῶν συμβεβηκότων ἕκαστον οὐδενὶ ὑπόκειται, αὐτὸ δὲ καθ' ἑτέρου τινὸς λέγεται, καὶ ἄλλο κατ' ἄλλου, οἷον λευκὸν μέν, εἰ τύχοι, χιόνος ἢ ψιμμυθίου, μέλαν δὲ κατὰ πίσσης ἢ ἐβένου ἤ τινος τῶν ἄλλων. ἔνια δὲ τῶν ἀντιγράφων ἔχουσιν "ἀλλ' αὐτὸ ἄλλου καὶ τοῦτο καθ' ἑτέρου." λέγοι δ' ἂν οἷον εἰ λευκὸν μὲν κατ' ἀνθρώπου κατηγοροῖτο, τοῦτο δὲ κατὰ Σωκράτους, καὶ τὸ λευκὸν κατὰ Σωκράτους. id. f. 56. 83 b 24.

εἰπὼν ὅτι οὔτ' ἐπὶ τὰ ἄνω οὔτ' ἐπὶ τὰ κάτω τὸ ἄπειρον, ἑκάτερον τούτων δείκνυσι, καὶ πρῶτον πῶς οὐκ ἐπὶ τὸ κάτω. καθ' ὧν γάρ, φησί, τὰ συμβεβηκότα κατηγορεῖται, τουτέστι τὰ ὑποκείμενα τοῖς συμβεβηκόσιν, αἱ οὐσίαι εἰσίν· οὐσίαι δὲ τὰ γένη καὶ τὰ εἴδη καὶ τὰ ἄτομα. id. ib. 83 b 26.

καὶ τοῦτον τὸν τρόπον λογικὸν καλεῖ οὐ διὰ τὴν αὐτὴν αἰτίαν (οὐδὲ γὰρ ἐπὶ πλειόνων ἁρμόζει τὰ ἐνταῦθα λεγόμενα ἀλλ' ἐπὶ μόνων τῶν ἀποδεικτικῶν), ἀλλ' ὅτι λαμβάνει τὸ εἶναι ἀπόδειξιν. ταύτῃ δ' ἂν ἁρμόζοι ἡ τοῦ Ἀλεξάνδρου ἐξήγησις ἡ ἐπὶ τοῦ προτέρου ἐπιχειρήματος, λογικὸν αὐτὸ διὰ τοῦτο λέγοντος, διὰ τὸ λαμβάνειν ὁμολογούμενον ὅτι εἰσὶν ὁρισμοί. καίτοι ἔδειξε καὶ ἐν ἀρχῇ ὅτι δι' ἀποδείξεως, ὥστε οὐ δοκεῖ ἀναποδείκτως τοῦτο εἰληφέναι. μήποτε οὖν τὸ λογικῶς ἐπ' ἀμφοτέρων ἀκουστέον, ὅτι μὴ ἐπ' αὐτῶν τῶν καθ' αὑτὸ κατηγορουμένων γυμνάζει τὸν λόγον, ὅπερ ποιεῖ ἐν τοῖς ἑξῆς, ἀλλ' ἔκ τινων ἑτέρων, οἷον τοῦ λαβεῖν ὅτι εἰσὶν ὁρισμοὶ καὶ ὅτι εἰσὶν ἀποδείξεις. διὰ μέντοι τοῦ νῦν ἐπιχειρήματος δείκνυσιν ὅτι ἀπείρους εἶναι τὰς μεταξὺ κατηγορίας, τῶν ἄκρων ὡρισμένων ὄντων, οὐκ ἐνδέχεται. id. ib. 83 b 32.

τὸ δὲ "τάδε δὲ μὴ ἴσμεν" ἀντὶ τοῦ δι' ἀποδείξεως οὐκ ἴσμεν. τούτῳ δὲ ἀντέθηκε τὸ "μηδὲ βέλτιον ἔχομεν" ἢ κατὰ ἀπόδειξιν πρὸς αὐτὰ τοῦ εἰδέναι. id. f. 56 *b*. 83 b 36.

εἶπεν ὅτι ὑποτίθεται εἶναι ἀπόδειξιν διὰ τὸ ἐν ἀρχῇ τοῦτο ἀποδεῖξαι. τὸ δὲ "μὴ ἔκ τινων μηδὲ ἐξ ὑποθέσεως," τουτέστιν εἰ μὴ πᾶσα ἀπόδειξις ἐξ ὑποθέσεως πρόεισιν, ἀλλὰ ἔστι τι καὶ ἁπλῶς ἀποδεῖξαι μηδεμιᾷ ὑποθέσει χρησάμενον. ἐξ ὑποθέσεως δὲ ἀπόδειξις λέγεται ἡ λαμβάνουσα ἀποδεικτὸν καὶ ἐν τούτῳ ἕτερόν τι δεικνύουσα. id. ib. 83 b 38.

δείξας κοινότερον ὅτι οὐδεμία κατηγορία ἐπ' ἄπειρον πρόεισι, βούλεται νῦν ἰδίως διὰ τῶν ἀποδεικτικῶν τὸ αὐτὸ τοῦτο δεῖξαι. ἀποδεικτικοὶ δὲ καθ' αὑτὸ τρόποι δύο· ἢ γὰρ τὰ εἰς τὸν ὁρισμὸν τῶν ὑποκειμένων παραλαμβανόμενα, ὡς τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα, οἷον τὸ ζῷον τοῦ ἀνθρώπου, ἢ ἅπερ εἰς τὸν ἑαυτῶν ὁρισμὸν 84 a 8.

οὐσίας αὐτῶν εἰσί, καὶ οἷον εἰδοποιοὶ διαφοραί, αἷς χωρίζονται τῶν ἄλλων... ἀπορήσειε δ' ἄν τις πῶς ἀποδείξεις φησὶ τὰς δεικνούσας τὰ συμβεβηκότα ταῖς οὐσίαις, οἷον ὅτι ἡ γῆ σφαιροειδής, ἢ ὅτι τάσδε ἔχει τὰς ποιότητας, ψυχρὰς ἢ ξηράς, εἰ τύχοι. καὶ φαμὲν ὅτι οὕτως δείκνυσιν ὁ γεωμέτρης ὅτι σφαιρικὴ ἡ γῆ, οὐχ ὡς καθ' αὑτὸ οὐδὲ πρώτως ὑπάρχοντος τοῦ σφαιρικοῦ σχήματος τῇ γῇ, ἀλλ' ὡς ἁπλῶς τοιαύτης τῷ σχήματι οὔσης τῆς γῆς δείκνυσιν ὑπάρχον τὸ σφαιροειδές. id. f. 53.

83a 24. ἔχει δέ τινα ἡ λέξις ἀκατάλληλα. "ἔτι τὰ μὲν οὖν οὐσίαν σημαίνοντα" φησί, δῆλον ὅτι τῶν κατηγορουμένων ὅσα οὐσίαν σημαίνει, ὅπερ ἐκεῖνο ἢ ὅπερ ἐκεῖνό τι σημαίνει καθ' οὗ κατηγορεῖται· δόξει γὰρ λέγειν ὅτι τὸ κατηγορούμενον ὅπερ τὸ ὑποκείμενόν ἐστιν. τοὐναντίον δὲ εἰπεῖν βούλεται, ὅτι τὸ ὑποκείμενον ὅπερ τὸ κατηγορούμενόν ἐστιν. οὕτως οὖν καταστατέον τὴν λέξιν "ἔτι τὰ καθ' οὗ κατηγορεῖται, τὰ οὐσίαν σημαίνοντα." "ἀλλὰ ζῷον ἴσως· ὅπερ γὰρ ζῷόν ἐστιν ἄνθρωπος." τουτέστιν, ὁ ἄνθρωπος ὅπερ ζῷόν ἐστιν. τὸ δὲ "ἴσως" οὐκ ἀμφιβάλλων, ἀλλ' ἐπειδὴ μὴ πρόκειται τὰ οὐσιωδῶς ὑπάρχοντα τῷ ἀνθρώπῳ καταλέγειν. id. f. 122 *b*.

εἴπομεν ἤδη περὶ τούτου. ἐὰν μὲν γὰρ εἴπω ὅτι ὁ Σωκράτης ἄνθρωπός ἐστιν ἢ ζῷον, εἰ μὲν πρὸς τὸν ὁριστικὸν ἀπίδω λόγον, ὅπερ τὸ κατηγορούμενόν ἐστι, τοῦτό ἐστι καὶ τὸ ὑποκείμενον· εἰ μέντοι ὡς γένος ἢ εἶδος τὸ κατηγορούμενον θεωρήσω, ὅπερ τί ἐστι ζῷον ἢ ὅπερ τὶς ἄνθρωπός ἐστιν ὁ Σωκράτης. ἢ καὶ οὕτως. εἰ μέν ἐστι τὸ ὑποκείμενον εἶδος, λέγεται ἁπλῶς καὶ καθόλου ὅπερ τὸ κατηγορούμενον ἤτοι τὸ γένος· εἰ δέ ἐστι τὸ ὑποκείμενον ἄτομον, τότε λέγεται μετὰ προσδιορισμοῦ ὅπερ τι τὸ κατηγορούμενον· τὸ γὰρ τί προσκείμενον παραστατικόν ἐστι τῆς τοῦ ὑποκειμένου ἀτομότητος. ἔχει δέ τι ἀκατάλληλον ἡ λέξις ἑξῆς. δοκεῖ γὰρ ἐναντία λέγειν οἷς βούλεται. βούλεται μὲν γὰρ εἰπεῖν ὅτι τὸ ὑποκείμενον ὅπερ τὸ κατηγορούμενόν ἐστιν ἢ ὅπερ τι, δοκεῖ δὲ διὰ τῆς συνθήκης τῶν λέξεων τὸ ἐναντίον λέγειν μᾶλλον, τουτέστιν ὅτι τὸ κατηγορούμενον ὅπερ τὸ ὑποκείμενόν ἐστιν ἢ ὅπερ τι. καθ' ὑπερβατὸν δὲ τῆς λέξεως ἀναγινωσκομένης ἔσται ἡ τοῦ ῥητοῦ διάνοια κατὰ τὴν ἑαυτῆς ἀκολουθίαν ἀποδεδομένη. ἔχει δὲ οὕτως· τὰ μὲν οὐσίαν σημαίνοντα σημαίνει ἤτοι δηλοποιοῦσι καὶ παριστῶσιν ὅτι ἐκεῖνο τὸ ὑποκείμενον, δηλονότι καθ' οὗ κατηγορεῖται οὐσιωδῶς τὸ κατηγορούμενον, ἐστὶν ἁπλῶς ὅπερ ἐκεῖνο ἢ ὅπερ ἐκεῖνό τι. id. f. 53.

83a 30. καὶ τοῦτο, φησίν, ὑποκείσθω, τὸ ὅσα μὴ σημαίνει οὐσίαν, ἐν ὑποκειμένῳ τινὶ ἔχειν τὸ εἶναι· τὸ γὰρ καθ' ὑποκειμένου ἐνταῦθα καταχρηστικῶς ἔλαβεν ἀντὶ τοῦ ἐν ὑποκειμένῳ. ἐν δὲ ταῖς Κατηγορίαις διαφορὰν ἔφησεν εἶναι τοῦ ἐν ὑποκειμένῳ καὶ τοῦ καθ' ὑποκειμένου λέγεσθαι· ὥστε ἐνταῦθα καταχρηστικῶς ἐχρήσατο θατέρῳ ἀντὶ θατέρου. φησὶν οὖν ἐν ὑποκειμένῳ λέγεσθαι τὰ συμβεβηκότα· οὐδὲν γὰρ τῶν συμβεβηκότων αὐτὸ καθ' αὑτὸ ὑφέστηκεν, ἀλλὰ δεῖ πρότερόν τι εἶναι, οἷον ἄνθρωπον ἢ ξύλον ἤ τι τοιοῦτον, εἶτα λευκὸν εἶναι ἢ μέλαν ἢ τρίπηχυ ἤ τι τῶν ὁμοίων. id. f. 53 *b*.

83a 33. τερετίσματα δὲ καλοῦνται τὰ προψάλματα τῶν κιθαρῳδῶν, ἅπερ ἀνάρθρως ᾄδουσι δοκιμασίας ἕνεκεν τῆς ἀπηχήσεως τῶν χορδῶν, εἰ κατὰ τὸν προσήκοντα τῆς μελῳδίας λόγον ἐντέτανται. τοῦτο δέ φησιν ὡς ἂν εἰ ἔλεγεν, οἱ περὶ τῶν ἰδεῶν λόγοι ῥημάτων εἰσὶ ψιλῶν, διανοίας κενῶν. πῶς γὰρ οἷόν τέ ἐστιν ἀνθρωπότητα αὐτὴν καθ' αὑτὴν ὑποστῆναι ἢ λευκότητα ἢ ἰσότητα; πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα εἴδη ὑλικὰ ὄντα οὐκ ἄλλως ὑποστῆναι δύνανται ἢ ἔν τινι ὑποκειμένῳ σώματι ἢ ἁπλῶς ὕλῃ... καὶ φασί γε ὑπὲρ τούτων ἀπολογούμενοι ὡς εἶναι μὲν ἰδέας τῶν πραγμάτων τοὺς δημιουργοὺς διαρρήδην λόγους, καθ' οὓς τὰ πάντα παρήγαγε... ἐμοὶ δὲ πάνυ δοκεῖ ἀπίθανος ἡ τοιαύτη ἀπολογία· εἰ γὰρ τοὺς δημιουργικοὺς τοὺς ἐνόντας δηλαδὴ τῷ δημιουργῷ ἰδέας ὁ Πλάτων ὑπετίθετο, οὐκ ἄν ποτε πρὸς τοῦτο ἐνέστη ὁ Ἀριστοτέλης· πανταχοῦ γὰρ καὶ αὐτὸς τὰ αὐτὰ λέγει κατὰ τοῦτον τὸν λόγον. οὐκ ἐπισημειοῦται δ' αὐτὸ τοῦτο, ὅτι Πλάτων μὲν τοιῶσδε ἔλεγε περὶ τῶν ἰδεῶν, ἕτεροι δὲ κακῶς ἐκλαμβάνουσι. νῦν δὲ τοῦτο μὲν οὐκ ἐποίησε, φαίνεται δὲ ἀεὶ μαχόμενος ἄντικρυς τῷ ὑπὸ τοῦ Πλάτωνος περὶ τούτων ἀποδοθέντι δόγματι καὶ τοῖς λοιποῖς τοῖς ὁμοίως νοοῦσιν· ἐν γὰρ τοῖς Μετὰ τὰ Φυσικὰ πολλοὺς καὶ μακροὺς κατατείνει τοῦ δόγματος λόγους. ἱστορεῖται δὲ ὅτι καὶ ζῶντος τοῦ Πλάτωνος καρτερώτατα περὶ τούτου τοῦ δόγματος ἐνέστη ὁ Ἀριστοτέλης τῷ Πλάτωνι. καὶ φαίνεταί γε τῷ ὄντι ὁ Πλάτων οὐ λόγους ἁπλῶς ἐν τῷ δημιουργῷ ἐνόντας λέγων εἶναι τὰ εἴδη, ἀλλ' αὐτοὺς καθ' αὑτὰ ὑπόστασιν ἰδίους, καὶ εἶναί τι αὐτοΐσον καὶ αὐτοζῷον καὶ τὰ τοιαῦτα, πρὸς ἃ καὶ τὸν δημιουργὸν ὡς ἐκ παραδειγμάτων ἐκείνων δημιουργῆσαι τὰ τῇδε. id. ib.

ἐπειδὴ εἶπε τῶν κατηγοριῶν τὰς μὲν εἶναι κατὰ φύσιν τὰς δὲ 83a
παρὰ φύσιν, αὐτὸ τοῦτο θέλει νῦν δεῖξαι, ὅτι τῷ ὄντι παρὰ φύσιν 36.
εἰσὶν αἱ τοιαῦται κατηγορίαι. ἅμα δὲ δείκνυσιν ὅτι οὐδὲ τὰς παρὰ φύσιν κατηγορίας ἐνδέχεται ἐπ' ἄπειρον προϊέναι. δείκνυσι δὲ τοῦτο τῇ καλουμένῃ ἐνστάσει καὶ ἀντιπαραστάσει, καὶ πρῶτον μὲν τῇ ἀντιπαραστάσει κέχρηται, ἔπειτα δὲ τῇ ἐνστάσει. συγχωρήσας γὰρ πρότερον εἶναι καὶ τὰς παρὰ φύσιν κατηγορίας, δείκνυσιν ὅτι οὐδὲ οὕτως ἐπ' ἄπειρον προΐασιν, ἔπειτα δὲ ὅτι οὐδὲ ὅλως ἐνδέχεται εἶναι κατηγορίας τὰς παρὰ φύσιν κατηγορίας. id. f. 54.

ὅτι μέν, φησί, τόδε τὸ λευκὸν ξύλον εἰπεῖν ἢ τόδε τὸ σιμὸν 83a
φιλόσοφον, ἐστὶν ἀληθὲς εἰπεῖν, κατηγορίαν δὲ τὸ τοιοῦτον οὐκ ἀλη- 38.
θὲς καλεῖν. ἔφθη γὰρ εἰπὼν τὰ μὲν κατὰ φύσιν κατηγορούμενα κυρίως κατηγορεῖσθαι, τὰ δὲ παρὰ φύσιν ἢ μηδ' ὅλως κατηγορεῖσθαι ἢ κατὰ συμβεβηκὸς κατηγορεῖσθαι καὶ οὐ κυρίως. ὥστε οὐ ταὐτόν ἐστιν εἰπεῖν εἶναί τι καὶ κατὰ συμβεβηκὸς κατηγορεῖν. id. f. 54 *b*.

εἰπὼν τὸ "ἢ γὰρ ὡς οὐσία κατηγορηθήσεται," ἔδει προσθεῖναι ἢ 83b
ὡς συμβεβηκός. τοῦτο δὲ παρῆκεν ἡμῖν νοεῖν. ἐν μέντοι τῇ 1.
κατασκευῇ προσέθηκε· δείξας γὰρ πῶς οὐκ ἐνδέχεται ὡς οὐσίαν κατηγορεῖσθαι, καὶ διὰ παραδειγμάτων τὰ λεγόμενα πιστωσάμενος, ἐπήγαγεν "οὐδὲ μὴν τοῦ ποιοῦ ἢ τῶν ἄλλων οὐδέν, ὃ μὴ κατὰ συμβεβηκὸς κατηγορεῖται" (v. 10).

ὅτι κατὰ τὴν ἐπὶ τὸ ἄνω, ὡς εἴρηται, πρόοδον ἵστανταί ποτε τὰ 83b
οὐσιωδῶς κατηγορούμενα, δῆλον· τὸ γὰρ δίπουν ὡς καθολικώτερον 2.
κατηγορεῖται τοῦ ἀνθρώπου, τοῦ δίποδος αὖθις τὸ ζῷον, τοῦ ζῴου τὸ ἔμψυχον, καὶ οὕτω πεπεράτωται ἡ ἐπὶ τὸ ἄνω τοιαύτη κατηγορία εἰς αὐτὴν καταντήσασα τὴν οὐσίαν. id. ib.

προϊέναι τὰς καταφάσεις, βαδίζειν δὲ εἰς ἄμεσα, τουτέστι προϊούσας τὰς καταφάσεις φθάνειν ποτὲ εἰς ἄμεσον πρότασιν, ὥστε μὴ ἐνδέχεσθαί ποτε τῶν ὅρων ἐκείνων ἕτερον εὑρεθῆναι καθολικώτερον. id. ib.

82b 11. ἐπὶ τὸ ἄνω ὁδὸν λέγει τὰς ἀπὸ τοῦ ἐλάττονος ὅρου ἀνιούσας καταφατικὰς προτάσεις. id. f. 51.

82b 13. δείξας ἐπὶ τοῦ πρώτου σχήματος ὅτι οὐκ ἐνδέχεται ἐπ' ἄπειρον ἰέναι τὰς ἀποφάσεις, δείκνυσι νῦν καὶ διὰ τοῦ δευτέρου. ἔστιν οὖν πάλιν μέσος ὅρος τὸ β'. id. ib.

82b 17. τουτέστι, δυνατὸν τὴν ἀποφατικὴν πρότασιν διὰ τοῦ μέσου σχήματος δεῖξαι, εἰ οὕτως ἔχει ὁ μέσος ὥστε ἄλλο τι αὐτοῦ κατηγορεῖσθαι, τουτέστιν εἰ μὴ εἴη καθολικώτατον ἀλλὰ κατηγοροῖτο αὐτοῦ τὸ δ'· τοῦτο γὰρ δῆλον ὅτι ἀνάγκη τοῦ γ' ἀποφάσκεσθαι· καὶ οὕτω διὰ μέσου τοῦ β' τὸ γ' ἀποφανθήσεται. ἔστι δὲ ἡ σύνταξις τοῦ λόγου καθ' ὑπερβατόν· τὸ γὰρ ἑξῆς οὕτως ἂν δεικνύοι· εἰ ἀναγκαῖον ὑπάρχειν τι τῷ β', οἷον ὅτι τὸ δ' τῷ μὲν β' παντὶ ὑπάρχει, τῷ δὲ γ' οὐδενί. id. ib.

82b 19. τοῦτο φησί. τὸ δ' εἰ μὴ ἀμέσως ἀποφάσκοιτο τοῦ γ', ἀνάγκη ἄλλο τι, οἷον τὸ ε', τῷ μὲν δ' παντὶ ὑπάρχειν, τῷ δὲ γ' μηδενί. id. f. 51 *b*.

82b 21. μετῆλθεν ἐπὶ τὸ τρίτον σχῆμα, ἐν ᾧ καθόλου μὲν οὐδὲν δείκνυται, μερικὰ δὲ πάντα· πλὴν ἐκ περιουσίας καὶ ἐν τούτῳ δείκνυσθαι συγχωρεῖ τὸ καθόλου ἀποφατικόν, καὶ οὕτω δείκνυσιν ὅτι οὐδὲ διὰ τούτου ἐνδέχεται ἐπ' ἄπειρον ἰέναι τὰς ἀποφάσεις. id. ib.

82b 32. "πεπερασμένα πεπερασμένως" εἶπε διότι, ὡς εἶπον, καὶ τὰ σχήματα πεπερασμένα εἰσὶ καὶ αἱ ἐν ἑκάστῳ προτάσεις. τινὰ δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ πεπερασμένως "πολλάκις" ἔχει. τοῦτο δὲ εἶπε, διότι ἐνεδέχετο καὶ τῶν ἐν ἑκάστῳ προτάσεων πεπερασμένων οὐσῶν τὸ ἐκ πάντων ἄπειρον εἶναι, εἰ ὁ τῶν σχημάτων ἀριθμὸς ἄπειρος ἦν· νῦν δὲ τρία εἰσὶ τὰ πάντα. id. ib.

82b 35. δείξας ὅτι τῶν ἄκρων πεπερασμένων ὄντων ἀνάγκη καὶ τὰ μέσα πεπεράνθαι, καὶ ὅτι καθόλου τῶν καταφάσεων πεπερασμένων οὐσῶν ἀνάγκη καὶ τὰς ἀποφάσεις πεπερασμένας εἶναι, μέτεισιν ἐπὶ τὰς λοιπὰς τῶν ὑποθέσεων, λέγω δὴ ὅτι οὔτε ἐπὶ τὰ ἄνω ἄπειρος ἡ πρόοδος οὔτε ἐπὶ τὰ κάτω, καὶ μάλιστά γε δείκνυσιν ὅτι οὐχ οἷόν τε ἐπ' ἄπειρον ἐπὶ τὸ ἄνω ἰέναι· τοῦτο γὰρ μάλιστά ἐστι καὶ τὸ δειχθῆναι δεόμενον. τὸ γὰρ μὴ ἐπὶ τὸ κάτω ἐπ' ἄπειρον ἰέναι τὰς κατηγορίας σχεδὸν προφανὲς ἅπασι· τίς γὰρ οὐκ οἶδεν ὅτι ἔσχατα μὲν ἐν ταῖς κατηγορίαις τὰ ἄτομα; ταῦτα δὲ κατ' οὐδενὸς κατηγορεῖται. εἰ μέντοι ἐπ' ἄπειρον ἐνδέχεται ἐπὶ τὸ ἄνω ἀνελθεῖν, ἢ ἀνάγκη καὶ μέχρι ποσοῦ, οὐ ῥᾴδιον συνιδεῖν. τοῦτο οὖν δείκνυσι διὰ πλειόνων ἐπιχειρημάτων, καὶ πρῶτον μὲν λογικώτερον, ἔπειτα δὲ καὶ πραγματωδέστερον. λογικώτερα δέ φησιν ἐπιχειρήματα ὁ Ἀλέξανδρος τὰ ἐπὶ τῶν ὁρισμῶν, οἷς πρώτως κέχρηται· λαμβάνει γὰρ ὅτι εἰσὶν ὁρισμοὶ καὶ ἔστιν ὁρίσασθαι τὰ πράγματα, μὴ δείξας ὅτι εἰσὶν ὁρισμοί, ὥσπερ καὶ ἐν τῷ δευτέρῳ τῶν Λογικῶν Ἐπιχειρημάτων λαμβάνει τοῦτο ὡμολογημένον ὅτι ἔστιν ἀπόδειξις. ὁ μέντοι φιλόσοφος ἔλεγε μὴ διὰ τοῦτο λέγειν λογικὰ τὰ ἐπιχειρήματα· ἐναργὲς γὰρ ὅτι εἰσὶν ὁρισμοί, εἰ μὴ ἀκαταληψίαν εἰσαγάγωμεν· νῦν δὲ ἴσμεν πῇ διαφέρει ὁ ἵππος ἀνθρώπου καὶ πῇ κοινωνεῖ, καὶ τὰ λοιπὰ ὡσαύτως. τοῦτο δέ, ἐπεὶ τὸ εἰδέναι τὰ κατ' οὐσίαν ἑκάστῳ κοινά τε καὶ ἴδια ὑπάρχοντα ἐξ ὧν οἱ ὁρισμοί. ἀλλ' οὐδὲ λογικὰ πάλιν ἔλεγε φάσκειν τὸν Ἀριστοτέλη τὰ πιθανὰ μέν, οὐκ ἀληθῆ δέ, ἀλλὰ τὰ ἐξ ἀληθῶν μὲν προτάσεων καὶ ἀληθῆ, οὐ μὴν τὰ ἀποδεικτικὰ ἀλλὰ κοινότερα δυνάμενα πλείοσιν ἐφαρμόσαι, δι' ὧν οὐ τὰ καθ' αὑτὸ μόνον κατηγορούμενα ἀλλὰ καὶ τὰ ὁπωσοῦν κατηγορούμενα δείκνυται μὴ ἐπ' ἄπειρον προϊόντα, οἷαί εἰσιν αἱ ἀπὸ τῶν ὁρισμῶν δείξεις, αἷς καὶ πρώταις κέχρηται. ὅτι γάρ, φησί, τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα οὐκ ἐνδέχεται ἐπ' ἄπειρον κατηγορεῖσθαι, δῆλον ἐντεῦθεν. id. ib.

ἐπειδὴ βούλεται δεῖξαι ὅτι οὐκ ἐπ' ἄπειρον γίνονται αἱ κατηγορίαι, 83a 1. διαίρεσιν πρῶτον ποιεῖται τῶν κατηγορουμένων, ποσαχῶς κατηγοροῦνται, ὅπερ καὶ ἤδη μὲν ἐποίησε, νῦν δὲ ἐντελέστερον ἐπεξέρχεται τῇ διαιρέσει. δύο γὰρ τούτων ὄντων ἐν τοῖς οὖσι, τῶν τε οὐσιῶν καὶ τῶν συμβεβηκότων, ἢ οὐσία οὐσίας κατηγορεῖται ἢ συμβεβηκὸς οὐσίας ἢ οὐσία συμβεβηκότος ἢ συμβεβηκὸς συμβεβηκότος. id. f. 52.

οὕτω δὴ καὶ ὅταν εἴπωμεν τὸ ξύλον λευκὸν εἶναι, οὐχ ἕτερόν τι 83a 13. φαμὲν εἶναι ὑποκείμενον τῷ λευκῷ, ᾧ συμβέβηκεν εἶναι ξύλον, ἀλλ' αὐτὸ ὅπερ ξύλον ἐστίν, ἢ ὅπερ ξύλον τι, φαμὲν λευκὸν εἶναι· αὐτὴ γὰρ ἡ τοῦ ξύλου οὐσία ὑπόκειται τῷ λευκῷ. id. f. 52 *b*.

ἐπειδὴ μὴ ἐφρόντισαν οἱ ἀρχαῖοι τῆς διαφορᾶς τῶν οὕτω κα- 83a 14. τηγορουμένων θέσθαι ὀνόματα, διὰ τοῦτο αὐτὸς ὀνοματοθετεῖ, ὥσπερ καὶ ἐν ταῖς Κατηγορίαις ἐποίησε κατὰ τοὺς περὶ τοῦ πρός τι λόγους, πηδαλιωτὸν τὸ πλοῖον ὀνομάσας καὶ πτερωτὸν καὶ κεφαλωτὸν καὶ τὰ τοιαῦτα. id. ib.

τὸ δὲ "ἀεί" προστέθηκεν οὐχ ὅτι δεῖ τὸ κατηγορούμενον ἀεὶ 83a 19. κατηγορεῖσθαι, ἀλλ' ὅτι ἀεὶ ὅσα μὴ κατὰ συμβεβηκὸς κατηγορεῖται, ταῦτα κυρίως ἐστὶ κατηγορούμενα. τίνα δὲ ταῦτα, ἤδη φθάσας εἶπεν, ὅσα ἢ ἐν τῷ τί ἐστι τῶν οὐσιῶν κατηγορεῖται ἢ συμβέβηκε ταῖς οὐσίαις. ὅτι δὲ τὰ κυρίως κατηγορούμενα ταῦτά ἐστι, δεικνύουσιν ἐν οἷς φησὶν "οὕτω γὰρ αἱ ἀποδείξεις δεικνύουσιν." id. ib.

εἰ γὰρ αἱ ἀποδείξεις τὰ ὑπάρχοντα ἐν τοῖς πράγμασιν ἀπο- 83a 21. δεικνύουσι, τοῦτο δ' ἐστὶν ἢ ἐν τῷ τί ἐστι τῶν πραγμάτων, λέγω δὴ τοὺς ὁρισμούς, οἵτινές εἰσι κατ' οὐσίαν τοῖς ὁριστοῖς, ἢ τὸ ποιὸν τῶν οὐσιῶν ἢ τὸ ποσὸν ἤ τινα τῶν ἄλλων κατηγοριῶν... εἰ τοίνυν περὶ ταῦτα μὲν πᾶσα ἀπόδειξις, ταῦτα δὲ τῶν οὐσιῶν κατηγορεῖται, λέγω δὴ εἴ τε ὁρισμοὶ καὶ τὰ μέρη αὐτῶν καὶ αἱ λοιπαὶ κατηγορίαι, ἐοίκασι ταῦτα εἶναι τὰ κυρίως κατηγορούμενα. ὅτι δὲ τοσαῦται μόναι αἱ κατηγορίαι αἱ κατὰ τῶν οὐσιῶν λεγόμεναι, ἐκ τῆς ἐπαγωγῆς λαμβάνει· ὃ γὰρ ἂν εἴποις τῶν ὄντων, πάντως ὑπὸ μίαν τούτων ἀνάγεται. τί οὖν; οὐκ ἀποδείκνυσιν ὁ γεωμέτρης τὰ συμβεβηκότα τοῖς σχήμασιν, οἷον ὅτι τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν καὶ ὅτι αἱ ἀπὸ τοῦ κέντρου τοῦ κύκλου ἐπὶ τὴν περιφέρειαν ἴσαι εἰσί, καὶ ὁ ἀριθμητικὸς τὰ τοῖς ἀριθμοῖς συμβαίνοντα; πῶς οὖν οὐ συμβεβηκότα συμβεβηκόσιν ἀποδεικνύουσι; φανερὸν οὖν ὅτι ταῦτα εἰ κατὰ συμβεβηκὸς ὑπάρχει τοῖς σχήμασιν, ἀλλὰ συμπληρωτικὰ τῆς

ἀεὶ τῆς ληφθείσης προτάσεως εἶναί τινα μέσον ὅρον, καὶ μηδὲν ἄλλο ἄλλου ἀμέσως κατηγορεῖσθαι. Themist. f. 8.

82a 8. τὸ δὲ „ἡ πρὸς ἄλληλα περαίνει,“ τουτέστι τὰ ἄκρα, ἅπερ ἀποδεῖξαι βουλόμεθα περαιοῦσθαι εἰς ἄλληλα. τὸ δὲ κατηγορούμενον δυνατὸν διὰ τῶν μέσων προϊὸν φθάσαι ἐπὶ τὸ ὑποκείμενον, ὁμοίως καὶ τὸ ὑποκείμενον ἀνιὸν διὰ τῶν μέσων φθάσαι ἐπὶ τὸ κατηγορούμενον· εἰ γὰρ περαίνει τὰ μέσα, δῆλον ὡς οὐκ ἄπειρα τὰ μέσα. τὸ αὐτὸ δέ ἐστι, φησί, καὶ τὸ ζητεῖν εἰ παντός ἐστιν ἀπόδειξις. Ioh. Phil. f. 49.

82a 15. οὐ τὰ αὐτά, φησίν, ἐνδέχεται ζητεῖν ἐπὶ τῶν ἀντιστρεφόντων, ἅπερ ἐζητοῦμεν ἐπὶ τῶν μὴ ἀντιστρεφόντων· οὔτε γὰρ τὸ ἔσχατον ὑποκείμενον ὥρισται ἐν τοῖς ἀντιστρέφουσιν οὔτε τὸ ἔσχατον κατηγορούμενον· τῷ γὰρ ἀντιστρέφειν πάντα ἀλλήλοις, εἴτε τὸ ἔσχατον ὑποκείμενον λάβοις, εὐθὺς εἴληφας τὸ ἔσχατον κατηγορούμενον (ἀντιστραφέντων γὰρ τῶν ὅρων τὸ ἔσχατον ὑποκείμενον ἔσχατον κατηγορούμενον γίνεται), εἴτε τὸ ἔσχατον κατηγορούμενον λάβοις, εὐθὺς ἔχεις καὶ τὸ ἔσχατον ὑποκείμενον διὰ τὴν αὐτὴν αἰτίαν. οἷον ἀντιστρέφουσι πρὸς ἄλληλα τὸ γελαστικόν, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, τὸ ὀρθοπεριπατητικόν, τὸ πλατυώνυχον, ὁ ἄνθρωπος, τὸ λογικόν, θνητόν· ἐν τούτοις οὖν οὔτε τὸ ἔσχατον ὑποκείμενον ἔστι λαβεῖν οὔτε τὸ ἔσχατον κατηγορούμενον. id. f. 49 *b*.

82a 17. τουτέστιν, ἢ ὡς ὑποκείμενα λαμβάνεσθαι ἢ ὡς κατηγορούμενα, πάντα πρὸς πάντα τὴν αὐτὴν σχέσιν ἔχει. id. ib.

82a 19. τοσοῦτον δὲ μόνως διαφέρουσιν ἀλλήλων, διότι τῶν ἐξισαζόντων οἱ μὲν οὐσίαι εἰσίν, οἱ δὲ καθ' αὑτὸ συμβεβηκότα ταῖς οὐσίαις. καὶ ταύτῃ γε οὐχ ὁμοία ἡ ἀντιστροφὴ τῶν κατηγοριῶν, ἀλλ' ὅταν μὲν ὑποκειμένης τῆς οὐσίας, οἷον τοῦ ἀνθρώπου, κατηγορῆται τὸ συμβεβηκός, οἷον τὸ γελαστικόν, εἰ τύχοι, ἢ τὸ ὀρθοπεριπατητικόν, κατὰ φύσιν γίνεσθαι τὴν κατηγορίαν, ὅταν δὲ ὑποκείμενον ᾖ τὸ γελαστικὸν ἢ τὸ ὀρθοπεριπατητικόν, κατηγορῆται δὲ ὁ ἄνθρωπος τινὸς τούτων, παρὰ φύσιν. ἐκάλεσε δὲ τὴν μὲν παρὰ φύσιν κατηγορίαν συμβεβηκός, τὴν δὲ κατὰ φύσιν ἁπλῶς οὕτως κατηγορίαν· μέλλει γὰρ μετ' ὀλίγον διαίρεσιν ποιῆσαι τῶν κατηγορουμένων. id. ib.

82a 21. προθέμενος δεῖξαι ὅτι οὐχ οἷόν τε ἐπ' ἄπειρον προϊέναι τὰς κατηγορίας, καὶ ὅτι εἰσὶ προτάσεις ἄμεσοι ὧν εἰς τὰς ἀποδείξεις δεόμεθα, διεῖλε τὰς κατηγορίας εἴς τε τὰς κατὰ φύσιν καὶ εἰς τὰς παρὰ φύσιν, ἵνα προσδιορίσηται ὅτι ὁ λόγος νῦν ἡμῖν περὶ τῶν κατὰ φύσιν ἐστὶ κατηγοριῶν, οὐ περὶ τῶν παρὰ φύσιν, καὶ ἐπὶ τούτων τρεῖς ἡμῖν ὑπέθετο ὑποθέσεις· ἢ γὰρ τοῦ ἐσχάτως ὑποκειμένου ὡρισμένου ἐπ' ἄπειρον πρoΐασιν αἱ κατηγορίαι ἐπὶ τὸ ἄνω, ἢ τοῦ ἐσχάτως κατηγορουμένου ὡρισμένου ἐπὶ τὸ κάτω ἡ πρόοδος γίνεται, ἢ ἀμφοτέρων τῶν ἄκρων ὡρισμένων, καὶ τοῦ ὑποκειμένου καὶ τοῦ κατηγορουμένου, τὰ μεταξὺ ἄπειρα. ὅπερ νῦν προτίθεται πρότερον ἐλέγξαι· ἡ γὰρ τετάρτη ὑπόθεσις συνελέγχεται ταῖς δύο ταῖς πρώταις, λέγω δὴ ἡ ὑποτιθεμένη καὶ ἐπὶ τὸ κάτω καὶ ἐπὶ τὸ ἄνω ἐπ' ἄπειρον ἰέναι τὴν κατηγορίαν συναπελέγχεται ταῖς δύο πρώταις... εἰ δέ τις λέγοι, τί κωλύει, ὥσπερ τοῦ συνεχοῦς ὥρισται μὲν τὰ ἄκρα, τὰ δὲ μεταξὺ τούτων ἄπειρά εἰσιν, εἴγε πᾶν συνεχὲς ἐπ' ἄπειρον διαιρετόν, οὕτω δὴ καὶ ἐπὶ τῶν κατηγοριῶν τοὺς μὲν ἄκρους ὡρίσθαι τοὺς δὲ μεταξὺ ἀπείρους εἶναι; φήσομεν πρὸς τοῦτο ὅτι ἐπὶ τῶν συνεχῶν οὐχ ὑπάρχει ἐνεργείᾳ ὄντα τὰ μεταξὺ ἄπειρα, ἀλλὰ δυνάμει κατὰ τὴν ἐπ' ἄπειρον διαίρεσιν τὸ ἄπειρον ἔχει, ἐπὶ μέντοι τῶν κατηγοριῶν ἀνάγκη πάντα τὰ μέσα ἐνεργείᾳ προϋπάρχειν. id. f. 50.

82a 30. ἵνα μή τις εἴποι ὅτι κακῶς ὑποτίθεται τὰς μεταξὺ κατηγορίας ἐμμέσους εἶναι (εἰσὶ γάρ τινες καὶ ἄμεσοι), διὰ τοῦτό φησιν, ἐὰν μὴ πᾶσαι ἔμμεσοι εἶεν ἀλλὰ τινὲς μὲν ἄμεσοι τινὲς δὲ ἔμμεσοι, οὐδὲν ἧττον τὸ αὐτὸ τοῦτο συμβήσεται. ἐξ οὗ γάρ εἰσιν ἔμμεσοι, ἐκεῖθεν ὁδεύοντες ἐπὶ τὸ ἕτερον τῶν ἄκρων οὐδέποτε ἥξομεν εἰς αὐτό. οἷον εἰ μεταξὺ τοῦ ζα' εἴη τὸ γβ' δε', ἀρχόμενοι δὲ ἀπὸ τοῦ α' μέχρι τοῦ γ' εἰς ἀμέσους καταντῶμεν, ἀπὸ δὲ τοῦ γ' λοιπὸν ἔμμεσοί εἰσιν αἱ προτάσεις, δῆλον ὅτι ἀπὸ τοῦ γ' οὐδέποτε ἥξομεν ἐπὶ τὸ ε'· διὰ ταῦτα δὲ οὐδὲ ἀπὸ τοῦ ε' ἐπὶ τὸ α' οὐδέποτε ἥξομεν. ἰστέον δὲ ὅτι εἰ ἄπειρα εἴη τὰ μεταξύ, δυνατὸν καὶ δι' ἀμέσων προτάσεων γενομένης τῆς προόδου μηδέποτε ἀπὸ τοῦ ἑτέρου τῶν ἄκρων ἀρχόμενοι φθάσαι ἐπὶ τὸ λοιπόν· τοῦ μὲν γὰρ ζ' προσεχῶς, εἰ τύχοι, κατηγορεῖται τὸ η', ὑπόκειται δὲ προσεχῶς τῷ α' τὸ β', καὶ οὕτως ἐφεξῆς οὐδέποτε καταντήσομεν εἰς τὰ ἀκρότατα, ὥστε προσεχῶς κατηγορεῖσθαι τὸ ὑπὸ τὸ α' τοῦ κατὰ τὸ ζ', διὰ τὸ ὑποθέσθαι ἡμᾶς ἄπειρα εἶναι τὰ μέσα, τὸ δὲ ἄπειρον ἀδιεξίτητον. id. ib.

82a 32. ἀνάγκη, φησίν, ἀπείρων ὄντων τῶν μέσων, ὅπερ ἂν αὐτῶν ληφθῇ, τούτου τε καὶ τοῦ ἑτέρου τῶν ἄκρων, ἢ τοῦ α' ἢ τοῦ ζ', τὰ μεταξὺ ἄπειρα εἶναι. ὥστε πάλιν ἐφ' ὧν ἐστὶν ἄπειρα, οὐδέποτε καταντῆσαι δυνάμεθα. εἰ γὰρ μήτε τὰ ἐπὶ τὸ ζ' ἄπειρα εἴη μήτε τὰ ἐπὶ τὸ α', ἀνάγκη πάντα καὶ τὸ ὅλον πεπερασμένον εἶναι· ὑπόκειται δὲ τὰ μέσα ἄπειρα. ὥστε οὐδὲν διαφέρει εἴτε εὐθὺς διὰ μέσων εἴη ἡ πρόοδος εἴτε μὴ εὐθύς. id. f. 50 *b*.

82a 36. ἐπὶ μὲν οὖν λόγῳ τοῦτο σαφὲς ἂν γένοιτο. εἰ γὰρ πᾶν ἀποφατικὸν πρόβλημα δείκνυται καταφατικῆς προτάσεως λαμβανομένης, καὶ οὐχ οἷόν τε συλλογισμὸν γενέσθαι ἄνευ καταφατικῆς προτάσεως, αἱ δὲ καταφατικαὶ προτάσεις ἵστανται, πάντα δήπου ἀνάγκη καὶ τὰς ἀποφατικὰς στῆναι καὶ εἶναί τινας ἀμέσους· εἰ γὰρ μὴ σταῖεν ἀλλ' ἀεὶ ἑτέρῳ τινὶ πρώτῳ ὑπάρξουσιν, ἐκεῖνο πρὸς τὸ πρότερον πάντως καταφατικῶς συμπλακήσεται. ἐπ' ἄπειρον οὖν τῶν ἀποφάσεων προϊουσῶν συμπροελεύσονται καὶ αἱ καταφάσεις αὐταῖς. τοῦτο δὲ ἀδύνατον· στήσονται ἄρα καὶ αἱ ἀποφάσεις. αὐτὸς δὲ διεξοδικῶς καὶ ἐπὶ τῶν τριῶν σχημάτων τοῦτο δείκνυσιν. id. ib.

82b 4. τουτέστι, καὶ ἐν τοῖς τρισὶ σχήμασι δείκνυται ὡς ἐνδέχεται ἄλλο ἄλλου ἀποφάσκειν, ἀλλὰ πάντως δεῖ καταντᾶν εἰς ἀμέσους ἀποφάσεις. τίνες δέ εἰσιν αἱ ἄμεσοι ἀποφάσεις, φθάσας ἐδίδαξεν. id. ib.

82b 5. πρῶτον ἐν πρώτῳ σχήματι δείκνυσιν ὅτι ἐπ' ἄπειρον ἀδύνατον ἰέναι τὰς ἀποφάσεις. ἔστω γὰρ τὸ α' μηδενὶ τῷ β' ὑπάρχειν, τὸ δὲ β' παντὶ τῷ γ' ὑπάρχειν· δῆλον ὅτι τὸ α' οὐδενὶ τῷ γ' ὑπάρξει. id. ib.

82b 6. τουτέστιν, ἀνάγκη τὴν ἐλάττονα πρότασιν καταφατικὴν οὖσαν μὴ ἐπ' ἄπειρον προϊέναι, διὰ τὸ ὑποκεῖσθαι ἡμῖν μὴ ἐπ' ἄπειρον

νος, οἷον, εἰ τύχοι, κεραυνίτην λίθον· ζῷον γὰρ παντὶ κεραυνίτῃ, κεραυνίτης παντὶ λίθῳ· καὶ ἔστιν ἐπί τι ψευδής· περιέχει γὰρ ὁ λίθος καὶ τὸν κεραυνίτην λίθον. πάλιν ἐξ ἀνάγκης ποιήσει τὴν μὲν μείζονα ἐπί τι ψευδῆ, τὴν δ᾽ ἐλάττονα καθόλου ψευδῆ, εἰ λάβοι καθολικώτερον τοῦ μείζονος μέσον ὅρον, οἷον ζῷον - ἔμψυχον - λίθος. οὕτω μὲν οὖν ἀμφότεραι ψευδεῖς, δυνατὸν δὲ καὶ τὴν ἑτέραν μὲν εἶναι ψευδῆ τὴν δὲ ἑτέραν ἀληθῆ. id. ib.

81 a 26. ἐνταῦθα ἀντὶ τοῦ κατηγορεῖσθαι ἤτοι καταφατικῶς ἢ ἀποφατικῶς εἴληπται τὸ "ὑπάρχειν." id. f. 47.

81 a 38. οὐδέ που διὰ τούτων τοῦτό φαμεν, ὅτι αἱ αἰσθήσεις αἴτιαί εἰσι τῆς ἐπιστήμης (οὐ γὰρ θέμις τὸ χεῖρον τοῦ κρείττονος αἴτιον εἶναι), ἀλλ᾽ ὅτι αἱ ψυχαὶ ἡμῶν ὡς ὑπὸ κάρου ἢ ὕπνου τῆς γενέσεως κατεχόμεναι δέονται τῶν αἰσθήσεων ἐξυπνιζουσῶν καὶ ἀνακινουσῶν τὸν ἐν ἡμῖν τῆς γνώσεως σπινθῆρα κρυπτόμενον. καὶ ὥσπερ ὁ ἐν λήθῃ τινὸς τῶν φίλων βαθείᾳ γενόμενος οὐκ ἄν ποτε ἴσως ἔλθοι εἰς ἔννοιαν ἐκείνου μηδεμιᾶς αὐτῷ ἀφορμῆς ἔξωθεν γενομένης, ἐπειδὰν δὲ ἱμάτιόν τις τοῦ φίλου δείξῃ ἢ ἕτερόν τι, εὐθὺς κινεῖται εἰς ἔννοιαν τοῦ γνωρίμου καὶ ἐν ἑαυτῷ τοὺς ἐκείνου τύπους ἀνακινεῖ, οὕτω δὴ καὶ τὰ αἰσθητὰ ἐρεθίζουσι τὴν ψυχὴν προβάλλεσθαι τοὺς συνουσιωμένους αὐτῇ τῶν παραδειγμάτων λόγους... διὸ καὶ ὁ Πλάτων δεδόσθαι φησὶν ἡμῖν ὦτα καὶ ὀφθαλμοὺς παρὰ τοῦ δημιουργοῦ, δι᾽ ὧν τὸ τῆς φιλοσοφίας ἐπορισάμεθα γένος. ὅτι γὰρ οὐκ ἐκ τῶν αἰσθητῶν πραγμάτων λαμβάνει τὴν γνῶσιν ἡ ψυχή, δέδεικται ἱκανῶς ἐν τοῖς εἰς τὸν Φαίδωνα. id. f. 47 *b*.

81 a 39. τὰ μὲν γὰρ ἀξιώματα ἐπαγωγῇ μανθάνομεν, καὶ τὰ αἰτήματα τοῦ καθόλου ὄντα προτάσεις. διὰ τούτων δὲ τὰ ἀποδεικτά· διὰ γὰρ τῶν καθόλου αἱ ἀποδείξεις. id. ib.

81 b 4. τουτέστι, καὶ εἰ μὴ καθ᾽ αὑτὰ ὑφέστηκεν, ἢ ἕκαστον εἶναι λέγεται, οἷον τὸ ἴσον τῇ ἐπιφανείᾳ ἢ τῷ μήκει ἢ τοιοῦτόν τι ἕτερον. ὁμοίως γὰρ ἔστιν αὐτὰ καὶ δι᾽ ἐπαγωγῆς πιστώσασθαι, ὅτι ἡ ἐπιφάνεια μῆκος μόνον καὶ πλάτος ἔχει, ἐπειδὴ καὶ μᾶλλον τοῦτο πιστεύομεν ἐπαγωγῆς γινομένης διὰ τῶν αἰσθητῶν. καὶ ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἰσὶν ἴσα διὰ τῆς ἐπαγωγῆς ἐπιστεύσαμεν. μήποτε οὖν καὶ περὶ τῶν ἐξ ἀφαιρέσεως ἐν τούτοις φησίν, ὅτι καὶ ταῦτα τῇ ἐπαγωγῇ γινώσκομεν, οἷον ὅτι τυχὸν πᾶς ἄνθρωπος τὴν κάτω γένυν κινεῖ, ἢ ὅτι δίπους ἐστὶν ἢ ὀρθοπεριπατητικός· ταῦτα γὰρ οὐδὲ κατ᾽ ἐπίνοιαν δύναται χωρισθῆναι τῶν ὑποκειμένων, ὥσπερ οἱ κύκλοι καὶ τὰ τρίγωνα καὶ τὰ λοιπά. καὶ ὅτι τούτων ἕκαστον φησίν, ἢ τοιονδί ἐστι, τῇ ἐπαγωγῇ γινώσκομεν. id. ib.

81 b 10. ἐνταῦθα βούλεται κάλλιστόν τι θεώρημα παραδοῦναι ἡμῖν, λέγω δὴ ὅτι οὐκ ἐνδέχεται ἐπ᾽ ἄπειρον προϊέναι τὴν ἀπόδειξιν, τουτέστιν ὅτι οὐχ οἷόν τε ἐπ᾽ ἄπειρον τὸ ληφθὲν συμπέρασμα λαβόντας καὶ ἐπισυνάψαντας ἕτερον ὅρον ποιῆσαι συλλογισμόν. δείκνυσι δὲ τοῦτο διὰ τοῦ δεῖξαι ὅτι οὐκ ἐπ᾽ ἄπειρον προΐασιν αἱ κατηγορίαι· εἰ γὰρ ἐπ᾽ ἄπειρον προῄεσαν, ἀνάγκη ἦν πᾶσα δήπου καὶ τὰς ἀποδείξεις ἐπ᾽ ἄπειρον προϊέναι. id. f. 48.

81 b 14. ἀρχὰς καὶ ὑποθέσεις τὰς προτάσεις λέγει· ὑποκειμένων γὰρ τούτων ὁ συλλογισμὸς γίνεται. id. ib.

ἐπειδὴ εἶπεν ὅτι αἱ ἀποδείξεις οὐκ ἄλλως γίνονται ἢ διὰ τῶν 81 b 18.
ἀμέσων προτάσεων, φησὶν ὅτι εἰ διαλεκτικῶς συλλογίζονταί τινες, ἐπειδὴ οἱ διαλεκτικοὶ συλλογισμοὶ οὐκ ἐξ ἀναγκαίων ἀλλ᾽ ἐξ ἐνδόξων ἔχουσιν εἰλημμένας τὰς προτάσεις, ἐὰν ἄμεσοι μὴ ὦσι, δοκῶσι δὲ τῷ προσδιαλεγομένῳ ἄμεσοι εἶναι, οὐδὲν ἧττον ὁ τοιοῦτος διαλεκτικῶς συλλογίζεται· ἡ γὰρ διαλεκτικὴ ἐξ ἐνδόξων ἐστὶ συλλογισμῶν, ἔστ᾽ ἂν εἴη διαλεκτική. id. ib.

ἐπειδὴ τῶν κατηγοριῶν αἱ μέν εἰσι κατὰ φύσιν αἱ δὲ παρὰ 81 b 24.
φύσιν, κατὰ φύσιν μὲν ὅσαι ἢ τὰ καθολικώτερα τῶν μερικωτέρων κατηγοροῦσιν ἢ τὰ συμβεβηκότα τῶν οὐσιῶν, παρὰ φύσιν δὲ ὅσαι ὑποκείμενον μὲν ποιοῦσι τὸ συμβεβηκὸς κατηγορούμενον δὲ τὴν οὐσίαν, ὡς ὅταν εἴπωμεν ὅτι τὸ λευκὸν ἐκεῖνο ἄνθρωπός ἐστι, τὸ μέλαν τόδε κόραξ ἐστί. παρὰ φύσιν δὲ τὰ τοιαῦτα λέγονται ὅτι κατὰ φύσιν μὲν ὑπόκεινται αἱ οὐσίαι, ἐν ταύταις δὲ ὑφίστανται τὰ συμβεβηκότα· ὅταν δὴ ὑποκείμενον μὲν ποιήσωμεν τὸ συμβεβηκὸς τὸ μὴ πεφυκὸς ὑποκεῖσθαι, κατηγορήσωμεν δὲ τούτου τὴν οὐσίαν ἥτις ὑποκεῖσθαι πέφυκε, παρὰ φύσιν ποιοῦμεν τὴν κατηγορίαν. ἐπεὶ οὖν ζητεῖ εἰ ἐπ᾽ ἄπειρον αἱ κατηγορίαι προΐασιν, εἰκότως πρότερον προσδιορίζεται ὅτι περὶ κατηγοριῶν αὐτῷ ὁ λόγος τῶν κατὰ φύσιν, οὐ τῶν παρὰ φύσιν, εἰ ἐπ᾽ ἄπειρον αὗται προΐασιν, εἴτε τὰ καθολικώτερα τῶν μερικωτέρων κατηγοροῦμεν, οἷον τοῦ ἀνθρώπου τὸ λογικὸν καὶ τούτου τὸ ζῷον καὶ τούτου τὸ ἔμψυχον, καὶ τοῦτο ἐπ᾽ ἄπειρον δύναται προχωρεῖν, ἢ ἵσταται. id. f. 48 *b*.

ἡ πρώτη ὑπόθεσις, ὥστε ὡρισμένου τοῦ ἐσχάτου ὄντος, ὃ μό- 81 b 30.
νως μὲν ὑπόκειται, οὐδαμῶς δὲ ἑτέρου κατηγορεῖται, ἰδεῖν βούλεται εἴτε ἐπ᾽ ἄπειρόν εἰσι τὰ κατηγορούμενα προϊόντα διὰ τῶν μέσων εἴτε μή. id. ib.

ἡ δευτέρα ὑπόθεσις ὡρισμένον μὲν τὸ κατηγορούμενον ὑποτι- 81 b 33.
θεῖσα καὶ οὗ μὴ ἐνδέχεταί τι ἄλλο κατηγορῆσαι, ζητοῦσα δὲ εἰ διὰ τῶν μέσων προϊὸν ἐπὶ τὰ ὑποκείμενα ἐπ᾽ ἄπειρον πρόεισιν, ἔτι τὰ μεταξύ, ἆρα ἐνδέχεται ἄπειρα εἶναι ὡρισμένων τῶν ἄκρων. ἡ τρίτη ὑπόθεσις, ὥστε εἶναι τὸ γενικώτατον ὡρισμένον, ὁμοίως καὶ τὸ εἰδικώτατον, ζητοῦσα δὲ πότερον τὰ μεταξὺ ἄπειρά ἐστιν ἢ οὔ, ὥστε μήτε τὸ κατηγορούμενον διὰ τῶν μέσων προϊὸν φθάσαι ποτὲ ἐπὶ τὸ εἰδικώτατον, ὅπερ μόνως ὑποκείμενον ἦν, μήτε εἰδικώτατον ὁμοίως διὰ τῶν μέσων ἀνιὸν φθάσαι ποτὲ ἐπὶ τὸ γενικώτατον. ταύτης δὲ τῆς ὑποθέσεως ἀληθοῦς οὔσης ἀδύνατον ἄμεσον εἶναι πρότασιν. ἀλλὰ μὴν οὐκ ἐπὶ πάσης τῆς ληφθείσης ἔστι μεταξὺ ἐμβάλλειν ὅρον, ἐπεί, εἰ ὥρισται μὲν τὰ πράγματα, καὶ ἔστι τῷ ἐσχάτῳ, λέγω δὴ τῷ γενικωτάτῳ, ἀμέσως τινὶ ὑποκειμένῳ κατηγορεῖσθαι, καὶ ἕκαστον δὲ τῶν ληφθέντων ἔσω ὡρισμένως τινὸς κατηγορεῖν, ἀνάγκη πᾶσα πεπερασμένα εἶναι τὰ μέσα. id. f. 49.

διαφέρει δὲ τὸ σκέμμα τουτὶ τοῦ προτέρου κατὰ τοσοῦτον καθ᾽ 82 a 2.
ὅσον ἐκεῖ μέν, εἰ ἐπ᾽ ἄπειρον ἄνεισι τὰ κατηγορούμενα σκοποῦμεν, ἐνταῦθα δὲ εἰ ἐπ᾽ ἄπειρον κάτεισι τὰ ὑποκείμενα. τρίτον δ᾽ ἐπὶ τούτοις πρόβλημα, εἰ τῶν ἄκρων ὡρισμένων, καὶ ὄντος πρώτου κατηγορουμένου καὶ ἐσχάτου ὑποκειμένου, τὰ μεταξὺ ἄπειρα ἔσται, ὡς

σχήματι. ἐὰν οὖν ληφθῇ παντὶ τῷ β′ τὸ γ′, καθόλου ψευδὴς ἔσται, οἷον ἄψυχον οὐδενὶ μὲν ζώῳ, παντὶ δὲ λογικῷ. ἐὰν μέντοι ἡ ἐλάττων ἀληθὴς ᾖ μόνως, ἐπί τι ψευδὴς ἔσται ἡ μείζων· ὃ γὰρ παντὶ τῷ β′ ὑπάρχει, τοῦτο καὶ τῷ α′ τινὶ ὑπάρξει. εἰ γὰρ τὸ γ′ παντὶ τῷ β′, ἀλλὰ καὶ τὸ α′ παντὶ τῷ β′, ἐν τρίτῳ σχήματι τὸ γ′ τινὶ τῷ α′ ἔσται· ἐὰν οὖν ληφθῇ οὐδενί, ἐπί τι ψευδὴς ἔσται. ὅροι δὲ οἷον ζῷον-πεζόν-πτηνόν· πεζὸν γὰρ οὐδενὶ πτηνῷ, ἀληθές, τινὶ δὲ ζώῳ. ἐὰν οὖν λάβωμεν πεζὸν οὐδενὶ ζώῳ, ἐπί τι ψευδὴς ἔσται. id. f. 45 *b*.

80 b 17. προέθετο παραδοῦναι τοὺς τῆς ἀπάτης συλλογισμούς, κατὰ πόσους γίνονται τρόπους. εἴρηται δὲ ὅτι ἢ περὶ τὰς ἀμέσους γίνεται ἡ ἀπάτη προτάσεις ἢ περὶ τὰς ἐμμέσους. διδάξας οὖν πῶς γίνεται περὶ τὰς ἀμέσους προτάσεις, νῦν μετέρχεται δεῖξαι πῶς γίνεται καὶ περὶ τὰς ἐμμέσους. καὶ ἐπειδὴ καὶ αὗται διχῇ γίνονται, ἤγουν ἀποφατικῶς καὶ καταφατικῶς, παραδέδωκε δὲ πρότερον τοὺς καταφατικοὺς συλλογισμοὺς τὸ μηδενὶ ὑπάρχον παντὶ ὑπάρχειν λέγοντας, νῦν παραδίδωσι καὶ τοὺς ἀποφατικοὺς τὸ παντὶ ὑπάρχον μηδενὶ ὑπάρχειν λέγοντας, καὶ πρώτους γε τοὺς ἐν τῷ πρώτῳ σχήματι. id. ib.

80 b 20. ἀντίφασιν ἐνταῦθα οὐ τὴν κυρίως ἀντίφασιν λέγει, ἀλλὰ τὴν τῇ ψευδεῖ ἐναντίαν καθόλου ἀληθῆ πρότασιν. φησὶν οὖν ὅτι τοῦτον καλῶ οἰκεῖον μέσον, δι᾽ οὗ τὸ ἀντικείμενον τῷ ψευδεῖ ἀληθὲς συνῆκται συμπέρασμα. id. f. 46.

80 b 24. τουτέστιν, οὐ μεταλαμβάνεται εἰς ἀποφατικὴν ὑπὸ τῆς ἀπάτης· οὐχ οἷόν τε γὰρ ἐν πρώτῳ σχήματι ἀποφατικὴν εἶναι τὴν ἐλάττονα· τὴν μέντοι μείζονα δεῖ ἀντιστρέψαι ἤγουν μεταλαβεῖν καὶ ἀντὶ καταφατικῆς ποιῆσαι ἀποφατικήν, ἵνα τὸ ἀποφατικὸν ψεῦδος συναχθῇ. εἰ τοίνυν ἡ καταφατικὴ οὖσα ἀληθής ἐστι, δῆλον ὅτι ἡ ἀποφατικὴ γενομένη ψευδὴς ἔσται. id. ib.

80 b 26. ἐξ ἄλλης, φησί, συστοιχίας, τουτέστι μὴ ἐξ ἧς οἱ ἀποδεικτικοὶ μέσοι ἐλήφθησαν, ἀλλ᾽ ἐξ ἧς ληφθεῖεν ἂν οἱ διαλεκτικοί. καὶ ἐπὶ τούτων οὖν εἰ τῷ αὐτῷ μέσῳ χρήσεται ὁ τῆς ἀπάτης ᾧ καὶ ὁ διαλεκτικὸς συλλογισμὸς ἐχρήσατο, τὰ αὐτὰ συμβήσεται. id. ib.

80 b 31. ἡ αὐτή, φησίν, ἐστὶν ἀπάτη ἡ περὶ τὸν ἀποδεικτικὸν συλλογισμὸν λαμβανομένη τῇ περὶ τὸν διαλεκτικόν, ὅταν τῷ αὐτῷ χρήσηται μέσῳ ἡ ἀπάτη ᾧ καὶ ὁ τὸ ἀληθὲς συνάγων· καὶ ἐπ᾽ ἀμφοτέρων γὰρ ἡ μὲν μείζων ἀεὶ ψευδής, ἡ δὲ ἐλάττων ἀεὶ ἀληθής. διαφέρουσι δὲ τῷ τοὺς μέσους ἐξ ἄλλης καὶ ἄλλης συστοιχίας εἶναι, ὡς εἴρηται. id. ib.

80 b 32. ἐάν, φησί, μὴ τῷ αὐτῷ χρήσηται μέσῳ ὁ τῆς ἀπάτης συλλογισμὸς ᾧ καὶ ὁ τῆς ἀληθείας ἐχρήσατο, ἀλλ᾽ ἑτέρῳ, ἐνδέχεται καὶ τὰς δύο ψευδεῖς εἶναι καθόλου. οἷον εἰ μέσος ληφθείη τοιοῦτος οἷος εἶναι μὲν ὑπὸ τὸν μείζονα, ἀντιδιῃρῆσθαι δὲ τῷ ἐλάττονι· οἷον εἰ τὸ ζῷον παντὶ ἀνθρώπῳ ὑπάρχει, θέλων δὲ δεῖξαι ὅτι οὐδενί, λάβοι μέσον ὅρον, εἰ τύχοι, τὸν ἵππον· ζῷον γὰρ ἐρεῖ οὐδενὶ ἵππῳ, ἵππος παντὶ ἀνθρώπῳ· καὶ ἀμφότεραι ψευδεῖς καθόλου. ἐὰν δὲ ὁ μέσος ὅρος ληφθῇ μερικώτερος τοῦ ἐλάττονος, ἡ μὲν μείζων ἔσται ὅλη ψευδής, ἡ δὲ ἐλάττων ἐπί τι ψευδής. οἷον εἰ τὸ ζῷον παντὶ ἀλόγῳ ὑπάρχει, λάβοιμεν δὲ μέσον ὅρον τὸ χρεμετιστικόν (ζῷον μὲν γὰρ οὐδενὶ χρεμετιστικῷ), καὶ ἔστιν ὅλη ψευδής· χρεμετιστικὸν δὲ παντὶ ἀλόγῳ, καὶ ἔστιν ἐπί τι ψευδής. δυνατὸν δὲ καὶ τὴν μείζονα λαβεῖν ἐπί τι ψευδῆ, τὴν δὲ ἐλάττονα καθόλου ψευδῆ. id. ib.

80 b 35. ἐναντίως, δῆλον ὅτι ἢ ὡς ἔχουσι φύσεως· εἰ γὰρ τὸ γ′ ὑπὸ τὸ α′ ἐστί, δῆλον ὅτι παντὶ τῷ γ′ ὑπάρχει τὸ α′. ἀλλὰ μὴν τὸ γ′ οὐδενὶ τῷ β′ ὑπάρχει. εἰ οὖν δεῖ συλλογιστικὸν γενέσθαι τὸ σχῆμα, ἐναντίως λαμβανέσθωσαν αἱ προτάσεις ἢ ἔχουσιν, ὥστε τὴν μείζονα ἀποφατικὴν γενέσθαι, τὴν δὲ ἐλάττονα καταφατικήν. αἱ οὖν λαμβανόμεναι ἀμφότεραι ψευδεῖς ἔσονται. id. f. 46 *b*.

80 b 40. λέγει πῶς ἡ μὲν ἑτέρα ψευδὴς ἡ δὲ ἑτέρα ἀληθὴς γίνεται· ὅταν, φησίν, ὁ μέσος ἀλλότριος ᾖ τοῦ μείζονος· ἀληθῶς γὰρ αὐτοῦ ἀποφάσκεται ἐξ ἀνάγκης. τοῦ οὖν α′ μηδενὶ τῷ γ′ ὑπάρχοντος ἀληθῶς, οὐδὲ τὸ γ′ οὐδενὶ τῷ β′ ὑπάρξει· εἰ οὖν ληφθείη παντί, ψευδὴς ἔσται. εἰ δέ τις λέγοι ὅτι ἐνδέχεται τὸ μὲν α′ μηδενὶ τῷ γ′ ὑπάρχειν, τὸ δὲ γ′ παντὶ τῷ β′, καὶ τὸ α′ δῆλον ὅτι οὐδενὶ τῷ β′ ὑπάρξει. ὑπέκειτο δὲ παντί. id. ib.

81 a 5. εἰπὼν πῶς ἐν τῷ πρώτῳ σχήματι γίνεται ὁ τῆς ἐμμέσου ἀπάτης συλλογισμὸς ἀποφατικὸς ὤν, ἀντικείμενος τῇ ἀληθεῖ καταφάσει, νῦν λέγει πῶς καὶ ἐπὶ τοῦ δευτέρου σχήματος γίνεται. καὶ πρῶτον μὲν ἐρεῖ, ὅπερ κἀν τοῖς ἀμέσοις εἴρηκεν, ὅτι οὐκ ἐνδέχεται καὶ ἐπὶ τούτου ἀμφοτέρας καθόλου ψευδεῖς λαβεῖν (αἱ δὲ ἀποδείξεις αἱ αὐταί), ἀμφοτέρας μέντοι ἐνδέχεται ἐπί τι ψευδεῖς λαβεῖν. καὶ ἵνα συντόμως εἴπω, ἅπερ ἐπὶ τῶν ἀμέσων συμβαίνειν ἐδείξαμεν προτάσεων, ταῦτα καὶ ἐπὶ τούτων συμβήσεται. id. ib.

81 a 16. εἰπὼν περὶ τῆς ἀποφατικῆς ἀπάτης τῆς μὴ ἀμέσου, βούλεται καὶ περὶ τῆς καταφατικῆς ἀπάτης εἰπεῖν. πάλιν δὲ καὶ αὕτη ἐν μόνῳ τῷ πρώτῳ σχήματι γίνεται· τὸ γὰρ δεύτερον ἀποφατικὰ πάντως συνάγει, τὸ δὲ τρίτον μερικά. ἐπὶ τούτων γὰρ ὅταν ὁ τῆς ἀπάτης συλλογισμὸς δι᾽ αὐτοῦ τοῦ μέσου γένηται, δι᾽ οὗ καὶ ὁ ἀληθὴς εἴτε ἀποδεικτικὸς εἴτε διαλεκτικός, ἀνάγκη πᾶσα τὴν μὲν ἐλάττονα ἀεὶ ἀληθῆ εἶναι (ἡ αὐτὴ γάρ ἐστι τῇ τοῦ ἀληθοῦς συλλογισμοῦ), τὴν δὲ μείζονα ἀεὶ ψευδῆ· ἀποφατικῆς γὰρ οὔσης τῆς μείζονος ἐν τῷ ἀληθεῖ συλλογισμῷ, ἐν τῷ τῆς ἀπάτης μεταληφθήσεται εἰς καταφατικήν, ἵνα γένηται καταφατικὸν τὸ συμπέρασμα. εἰ τοίνυν ἡ ἀποφατικὴ ἀληθής, ἡ καταφατικὴ ψευδὴς ἔσται. μόνον οὖν ἡ μείζων ἔσται καθόλου ψευδής. εἰ γὰρ ἀντιστραφείη ἡ ἐλάττων, τουτέστι μεταληφθείη καταφατικὴ οὖσα εἰς ἀποφατικήν, ἀσυλλόγιστον ποιήσει τὸ σχῆμα. ὥστε ἡ μὲν ἐλάττων ἀεὶ ἀληθής ἐστιν ἡ δὲ μείζων ψευδής. id. ib.

81 a 24. ἐὰν ὁ καταφατικὸς τῆς ἀπάτης συλλογισμὸς μὴ διὰ τοῦ αὐτοῦ μέσου τῷ ἀληθεῖ περαίνηται, ἐνδέχεται καὶ ἀμφοτέρας εἶναι ψευδεῖς καθόλου τὰς προτάσεις, ὡς ὅταν ὁ μέσος ᾖ ἀμφοτέρων τῶν ἄκρων ἀλλότριος. οἷον ὑποκείσθω ζῷον μηδενὶ λίθῳ ὑπάρχειν· εἰ οὖν τις λέγει παντί, καὶ μεταξὺ λάβοι ἀλλότριον ἀμφοτέρων, οἷον τὸ ξύλον, ζῷον παντὶ ξύλῳ, ξύλον παντὶ λίθῳ, καὶ ἀμφοτέρας ἔλαβε καθόλου ψευδεῖς. ἀμφοτέρας δὲ λαβεῖν ἐπί τι ψευδεῖς ἀδύνατον. ἐνδέχεται μέντοι τὴν μείζονα καθόλου λαβεῖν ψευδῆ, τὴν δὲ ἐλάττονα ἐπί τι, εἰ λάβοι μέσον ὅρον μερικώτερον τοῦ ἐλάττο-

τὴν οὐσίαν, οἷον τὸ σῶμα, τούτου ταύτῃ ἀμέσως ἡ οὐσία κατηγορηθήσεται, τοῦ δὲ β΄, τουτέστι τοῦ ποιοῦ, ἀμέσως ἀποφανθήσεται. εἰ δὲ ἀμέσως ἐνδέχεται τοῦ γ΄ κατηγορεῖσθαι, ἐνδέχεται ἄρα ἀληθῆ εἶναι τὴν μείζονα πρότασιν, λέγω δὴ τὴν α΄ γ΄. id. ib.

80 a 4. οὐ πρὸς τὸ προσεχῶς εἰρημένον τοῦτο τὸ "ὅταν γὰρ πρώτως τὸ αὐτὸ κατηγορῆται πλειόνων," ἀλλὰ πρὸς τὸ πρὸ αὐτοῦ τὸ "ἀλλὰ καὶ τὴν ἑτέραν ἐνδέχεται ἀληθῆ λαμβάνειν, οὐ μέντοι ὁποτέραν ἔτυχεν, ἀλλὰ τὴν α΄ γ΄" (p. 79 *b* 40). εἶτα ἐφεξῆς "διαφέρει δὲ οὐδέν, οὐδ᾽ εἰ μὴ ἀτόμως ὑπάρχει," τουτέστι πρὸς τὸ γενέσθαι τὴν μείζονα πρότασιν ἀληθῆ, τὴν α΄ γ΄, οὐδὲν διαφέρει εἴτε ἀμέσως καταφάσκοιτο τὸ α΄ τοῦ γ΄, τουτέστιν ὁ μείζων ὅρος τοῦ μέσου, εἴτε μὴ ἀμέσως ἀλλὰ διὰ πλειόνων, τουτέστιν εἰ μὴ ὁ μέσος εἴη ὑπὸ τὸν μείζονα εὐθὺς τεταγμένος ἀλλὰ μετὰ πολλά· τοῦ γὰρ α΄ οὐσία ὄντος, τοῦ δὲ γ΄ σῶμα, ἀμέσως αὐτοῦ κατηγορεῖται τὸ α΄· εἰ δέ τι τῶν κατωτέρω, οἷον ζῷον ἢ λογικὸν ἢ ἕτερόν τι τοιοῦτον, οὐκ ἀμέσως μὲν τὸ α΄ τοῦ γ΄, ὑπάρχει δὲ ὅμως ἀληθές. πρὸς οὖν τὸ γενέσθαι τὴν μείζονα πρότασιν ἀληθῆ οὐδὲν διαφέρει εἴτε προσεχῶς ὑπέκειτο τῷ μείζονι ὁ μέσος εἴτε μετὰ πολλά. id. f. 43 *b*.

80 a 8. ἐπειδὴ εἶπε πῶς γίνεται ἡ ἀπάτη ἡ περὶ τὰς ἀμέσους καταφατικὰς προτάσεις καταφατικὴ οὖσα, ὅτι ἐν μόνῳ τῷ πρώτῳ σχήματι, καὶ ἤτοι ἀμφοτέρων τῶν προτάσεων οὐσῶν ψευδῶν ἢ θατέρας, νῦν δείκνυσι πῶς γίνεται ἡ ἀποφατικὴ ἀπάτη ἡ ταῖς ἀμέσοις καταφατικαῖς ἀντικειμένη προτάσεσι. γίνεται οὖν, φησί, καὶ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ δευτέρῳ σχήματι, διότι τὸ καθόλου ἀποφατικὸν ἐν ἀμφοτέροις συνάγεται· καὶ ὅτι δι᾽ ἀμφοτέρων ψευδῶν προτάσεων, ἤτοι διὰ θατέρας μόνης ψευδοῦς θατέρας δὲ μόνης ἀληθοῦς. id. ib.

80 a 11. λαμβάνει πάλιν μείζονα μὲν ὅρον τὸ α΄, ἐλάττονα δὲ τὸ β΄, καὶ πάλιν καταφάσκει ἀμέσως τὸ α΄ τοῦ β΄. οἷον ἔστω τὸ μὲν α΄ ζῷον, τὸ δὲ β΄ πεζόν· τὸ ζῷον τοίνυν ἀμέσως ὑπάρχει παντὶ πεζῷ. ἡ οὖν ἀπάτη ἡ λέγουσα τὸ α΄ μηδενὶ ὑπάρχειν τῷ β΄, ἠδύνατο ἂν ἐν πρώτῳ σχήματι ἐκ δύο ψευδῶν προτάσεων συνάγειν τοῦτο ἔμμεσον. ἔλαβεν οὖν ὅρον τοιοῦτον ὥστε τὸν μείζονα καὶ αὐτοῦ καὶ τοῦ ἐλάττονος ἀμέσως κατηγορεῖσθαι καταφατικῶς, τουτέστιν εὐθὺς τὰ ὑπὸ τὸν μείζονα ὅρον ἀντιδιῃρημένα ἀλλήλοις εἶναι. οἷον εἰ ὁ μείζων εἴη οὐσία, ὁ δὲ ἐλάττων σῶμα, τὸ ἀντιδιῃρημένον τῷ σώματι εἶδος, τουτέστι τὸ ἀσώματον, μέσος ἔσται. ὁμοίως δ᾽ εἰ μείζονα ἔλαβε τὸ ζῷον, ἐλάττονα δὲ τὸ πεζόν, μέσον ἔσται τὸ πτηνόν, ὅπερ ἀντιδιῄρηται τῷ πεζῷ. δῆλον οὖν ὅτι καὶ τῷ πτηνῷ καὶ τῷ πεζῷ ἀμέσως ὑπάρχει τὸ ζῷον. τοιούτου οὖν ὄντος τοῦ μέσου, εἰ λάβοι τὸ μὲν α΄ μηδενὶ τῷ γ΄ ὑπάρχειν, τὸ δὲ γ΄ παντὶ τῷ β΄, δῆλον ὅτι ἀμφότεραι ἔσονται ψευδεῖς. id. ib.

80 a 14. τέως λαμβάνει τὴν μὲν μείζονα ἀληθῆ, τὴν ἀποφατικήν, τὴν δὲ ἐλάττονα ψευδῆ. τοῦτο δὲ ὅταν ὁ μέσος ὅρος ἀμφοῖν ἀλλότριος ληφθῇ, οἷον ζῷον - λίθος - λογικόν· ζῷον οὐδενὶ λίθῳ ὑπάρχει, λίθος παντὶ λογικῷ ὑπάρξει, ζῷον ἄρα οὐδενὶ λογικῷ. καὶ ἔστιν ἡ ἀποφατικὴ μόνη ἀληθής. οὕτω μὲν οὖν διὰ τῶν ὅρων σαφὴς οὗτος ὁ λόγος· αὐτὸς δὲ καὶ διά τινων καθολικωτέρων λόγων τοῦτο πιστοῦται. id. f. 44.

80 a 17. ἐνδέχεται, φησί, μᾶλλον δὲ ἀνάγκη τὴν ἐλάττονα πρότασιν τὴν γ΄ β΄ ψευδῆ εἶναι, ἐπειδήπερ ἀδύνατόν ἐστιν, εἴπερ ἀληθῶς τὸ α΄ τοῦ γ΄ ἀποφάσκοιτο, τὸ γ΄ τοῦ β΄ ἀληθῶς κατηγορῆσαι· εἰ γὰρ ἀληθῶς καταφάσκοιτο τὸ γ΄ τοῦ β΄, οὐκέτι ἀληθῶς τὸ α΄ τοῦ γ΄ ἀποφάσκεται. εἰ γὰρ τὸ γ΄ παντὶ τῷ β΄ ὑπάρχει, ἀλλὰ δῆλον ὅτι καὶ τὸ α΄ παντὶ τῷ β΄ ὑπῆρχεν, ἐν τῷ τρίτῳ σχήματι συναχθήσεται τὸ α΄ τινὶ τῷ γ΄ ὑπάρχειν. ἀλλ᾽ ὑπέκειτο μηδενὶ ὑπάρχειν τῷ γ΄ τὸ α΄· ὥστ᾽ οὐκ ἐνδέχεται τῆς μείζονος καὶ ἀποφατικῆς ἀληθοῦς οὔσης τὴν ἐλάττονα καὶ καταφατικὴν ἀληθῆ εἶναι. id. ib.

80 a 21. ἐνταῦθα τὸ ἀντικείμενον ὑποτίθεται, τὸ τὴν μὲν ἐλάττονα ἀληθῆ εἶναι τὴν δὲ μείζονα ψευδῆ. τοῦτο δὲ συμβαίνει, φησίν, εἰ ληφθείη μέσος ὅρος τοιοῦτος ὥστε εἶναι τὸν ἐλάττονα ὑπ᾽ αὐτὸν καὶ αὐτὸν ἐν τῷ μείζονι· εἰ γὰρ οὕτως ληφθείη ὁ μέσος ὥστε τὸν ἐλάττονα καὶ ἐν αὐτῷ εἶναι καὶ ἐν τῷ μείζονι, ἀνάγκη, φησί, θάτερον ὑπὸ θάτερον εἶναι, τουτέστι τόν τε μέσον ὑπὸ τὸν μείζονα καὶ τὸν ἐλάττονα ὑπὸ τὸν μέσον. εἰ γὰρ ἀμέσως ὑπάρχει τῷ β΄ τὸ α΄, ὑπάρχει δὲ καὶ τὸ γ΄ τῷ β΄, πᾶσα ἀνάγκη ἐξισάζειν τὸ α΄ καὶ τὸ γ΄, ὥστε καὶ τὸ α΄ ἐν τῷ γ΄ ἐστὶ καὶ τὸ γ΄ ἐν τῷ α΄· τοιαῦτα γάρ ἐστι τὰ ἐξισάζοντα. οἷον ἔστω τὸ α΄ γελαστικόν, τὸ β΄ ἄνθρωπος, μέσος δὲ ὅρος ἔστω τὸ ὀρθοπεριπατητικόν· δῆλον οὖν ὅτι ὁ μὲν ἄνθρωπος ἐν τῷ ὀρθοπεριπατητικῷ, τὸ δὲ ὀρθοπεριπατητικὸν ἐν τῷ γελαστικῷ, τὸ δὲ γελαστικὸν ἐν τούτῳ. καὶ συντόμως εἰπεῖν, τοὺς τρεῖς ὅρους τούτους ἐξισάζοντας ληπτέον· οὕτω γὰρ ἐχόντων ὁ μείζων ψευδῶς ἀποφάσκεται τοῦ μέσου, ὁ δὲ μέσος ἀληθῶς καταφάσκεται τοῦ ἐλάττονος. id. f. 44 *b*.

80 a 32. ἐν γὰρ τῷ δευτέρῳ σχήματι ἀνάγκη ἦν πάντως ἀνομοιοσχήμονας εἶναι τὰς προτάσεις, εἴπερ ἔδει συλλογιστικὸν εἶναι τὸ σχῆμα. ἀλλὰ καὶ ὁ τῆς ἀπάτης συλλογισμὸς ὑποδυόμενος τὴν ἐπιστήμην χρήσεται τοῖς συλλογισμοῖς ἐρρωμένοις κατὰ τὸ σχῆμα, τῇ δὲ ὕλῃ μόνῃ τὸ ψεῦδος λήψεται, ὥσπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἴπομεν· σοφιστικὸν γὰρ τὸ παρὰ τὸ σχῆμα τοὺς παραλογισμοὺς ποιεῖσθαι. id. ib.

τὸ "εἰ οὕτω λαμβανόμεναι ψευδεῖς," τουτέστιν εἰς τὸ συλλογίσασθαι τὸ ἀποφατικὸν συμπέρασμα ψεῦδες ὂν ἐν δευτέρῳ σχήματι, δέοι τὴν μὲν ἀποφατικὴν λαβεῖν τὴν δὲ καταφατικήν, καὶ ταύτας ψευδεῖς ὅλως, δῆλον, φησίν, ὡς ἀνάπαλιν ἕξουσι, τουτέστιν ἡ ἀποφατικὴ καταφατικὴ γινομένη ἀληθὴς ἔσται, ὁμοίως καὶ ἡ ἀποφατικὴ καταφατική. τοῦτο δὲ δέδεικται ἀδύνατον, ὥστε οὐχ οἷόν τε καθόλου ψευδεῖς ἀμφοτέρας λαβεῖν. id. f. 45.

80 a 33. δείξας ὅτι οὐχ οἷόν τε ψευδεῖς ὅλως λαβεῖν ἀμφοτέρας, μέτεισι τὰς ἐπί τι ψευδεῖς λαβεῖν, καὶ δείκνυσιν. ὅταν γὰρ ὁ μέσος ὅρος οὕτως ἔχῃ πρὸς ἀμφότερα τὰ ἄκρα ὡς ἐπὶ μέρους ἑκατέρου κατηγορεῖσθαι, δῆλον ὅτι εἰ ληφθείη τῷ μὲν μηδενὶ ὑπάρχειν τῷ δὲ παντί, ἀμφότεραι ἐπί τι ψευδεῖς ἔσονται. οἷον ἔστω τὸ μὲν α΄ ζῷον, τὸ δὲ β΄ λογικόν, τὸ δὲ γ΄ μέσος ὅρος, θνητόν. δῆλον δὴ ὅτι τὸ θνητὸν τινὶ ζῴῳ καὶ τινὶ λογικῷ ὑπάρχει. id. ib.

80 b 6. τουτέστιν, εἰ ἡ μείζων πρότασις ἀποφατικὴ εἴη, ἀληθοῦς μὲν οὔσης αὐτῆς ἡ ἐλάττων καθόλου ψευδὴς ἔσται. εἰ γὰρ τὸ γ΄ μηδενὶ τῷ α΄, τὸ δὲ α΄ παντὶ τῷ β΄, τὸ γ΄ οὐδενὶ τῷ β΄ ὑπάρξει ἐν πρώτῳ

τὰς ἀμέσους προτάσεις τμηθείσας τῇ ἐπενθέσει τοῦ μέσου ὅρου τὴν μίαν πρότασιν δύο ποιῆσαι. id. ib.

79 a 36. τὸ μὲν β′ ὑποκείμενον ὅρον λαμβάνει, τὸ δὲ α′ ἀποφασκόμενον τοῦ β′. καὶ φησίν, ὅταν ᾖ θάτερος αὐτῶν ἔν τινι καθολικωτέρῳ, τουτέστιν ὅταν ἔχῃ τι ἑαυτοῦ κατηγορούμενον, ἢ καὶ ἀμφότεροι, οὐκ ἔστιν ἡ τοιαύτη ἀπόφασις ἄμεσος· οὐ γὰρ πρώτως ἀποφάσκεται τοῦ β′ τὸ α′, ἀλλὰ διὰ μέσου ἄλλου. id. ib.

79 a 38. εἰλήφθωσαν δὲ καὶ ὅροι, ἐπὶ μὲν τοῦ α′, εἰ τύχοι, τὸ συνεχές, ἐπὶ δὲ τοῦ β′ ἡ οὐσία, ἐπὶ δὲ τοῦ γ′ τὸ ποσόν. εἰ οὖν τὸ ποσὸν παντὶ μὲν συνεχεῖ οὐδεμιᾷ δὲ οὐσίᾳ, οὐδὲ τὸ συνεχὲς οὐδεμιᾷ οὐσίᾳ ὑπάρξει, τουτέστιν, οὐδεμία οὐσία συνεχής ἐστιν, ἐπειδὴ μηδὲ ποσόν. ἰδοὺ οὖν τοῦ ἑτέρου ὅρου (τουτέστι τῆς οὐσίας) ἀμέσου ὄντος, τοῦ δὲ λοιποῦ μὴ ἀμέσου, οὐ γέγονεν ἄμεσος ἡ ἀπόφασις. id. ib.

79 b 1. λαμβάνει νῦν ἀντίστροφον τὸ μὲν ὑποκείμενον ἐν ἄλλῳ, τὸ δὲ κατηγορούμενον οὐκέτι. καὶ ἔστω τὸ μὲν α′ οὐσία, τὸ δὲ β′ συνεχές, τὸ δὲ δ′ ποσόν. παντὶ μὲν οὖν συνεχεῖ τὸ ποσὸν ὑπαρχέτω, ποσῷ δὲ οὐδενὶ οὐσία, ὥστε οὐδὲ συνεχεῖ οὐδενὶ οὐσία. οὐκ ἄρα ἄμεσος ἡ πρότασις ἡ λέγουσα "οὐδὲν συνεχὲς οὐσία." id. f. 41 *b*.

79 b 4. οἷον ἔστω τὸ α′ σῶμα, τὸ δὲ β′ συνεχές. ἔστιν οὖν δῆλον ὅτι τὸ μὲν α′ ἐν ὅλῳ τινὶ τῇ οὐσίᾳ ἐστί, τὸ δὲ β′ ἐν τῷ ποσῷ. οὐκ ἀμέσως οὖν ἀποφανθήσεται τὸ α′ τοῦ β′, τουτέστιν ὅτι τὸ σῶμα κατ' οὐδενὸς συνεχοῦς. γίνονται δὲ δύο συλλογισμοὶ οἱ προειρημένοι. id. ib.

79 b 5. εἰπὼν ὅτι ἐγχωρεῖ τὸ μὲν α′ εἶναι ἔν τινι ὅλῳ, τὸ δὲ β′ μὴ εἶναι ἐν τούτῳ, νῦν τοῦτο δεῖξαι βούλεται. συστοιχίαν οὖν καλεῖ τὴν ἀφ' ἑκάστου γένους καταγομένην σειράν, οἷον οὐσίαν, σῶμα, ἔμψυχον, ζῷον, λογικόν. καὶ πάλιν ἐπαλλάττουσα μὲν πρὸς αὐτὴν συζυγία, τουτέστι κατά τι μὲν διαφέρουσα κατά τι δὲ κοινωνοῦσα, οὐσία, σῶμα, ἄψυχον, βαρύ· αὗται γὰρ κοινὰ ἔχουσι γένη τήν τε οὐσίαν καὶ τὸ σῶμα. ἄλλη δέ τις συστοιχία μὴ ἐπαλλάττουσα πρὸς τὴν πρώτην, τουτέστι μὴ κοινωνοῦσα, ἔστω ποσόν, συνεχές, διωρισμένον, ἀριθμός. δῆλον οὖν, φησίν, ἐκ τῶν μὴ ἐπαλλαττουσῶν ὅτι ἐνδέχεται τὸν ἕνα ὅρον ἔν τινι εἶναι, τὸν δὲ ἕτερον μὴ εἶναι ἐν τούτῳ. id. ib.

79 b 11. τουτέστιν, ἐγχωρεῖ τὸ α′ μὴ εἶναι ἐν τούτῳ ἐν ᾧ καὶ τὸ β′. id. ib.

79 b 12. τουτέστιν, ἐὰν μὴ τὸ α′ μηδὲ τὸ β′ ἔν τινι καθολικωτέρῳ ὑπάρχῃ, ἀλλ' ὦσιν αὐτὰ καθολικώτερα, ἀποφάσκηται δὲ τὸ ἕτερον τοῦ ἑτέρου, ἀνάγκη ἀμέσως ἀποφάσκεσθαι. id. ib.

79 b 18. ἐὰν δὲ τεθέντος μέσου ὅρου δεύτερον γένηται σχῆμα, δύναται ὁ μέσος ἑκατέρου τῶν ἄκρων ἀποφάσκεσθαι. τούτου δὲ αἴτιον τὸ ἐν δευτέρῳ σχήματι ἀδιάφορον εἶναι ἐν ὁποιᾳδήποτε προτάσει ἡ ἀπόφασις ᾖ. id. f. 42.

79 b 23. προσῆκόν ἐστιν ἐπιστήμονι μὴ μόνον ὅσα εἰς τὴν διδασκαλίαν ἀνήκει τῆς ἐπιστήμης παραδιδόναι, ἀλλὰ καὶ τὴν παρεπομένην τῇ ἐπιστήμῃ ἀπάτην ἐκτίθεσθαι. οὕτως οὖν καὶ ὁ Ἀριστοτέλης εἰπὼν τί ποτέ ἐστιν ἐπιστήμη καὶ ἐκ τίνων, τίς τε ἡ διαφορὰ τοῦ διότι συλλογισμοῦ πρὸς τὸν τοῦ ὅτι, καὶ ὅτι ὥσπερ εἰσὶν ἄμεσοι καταφάσεις, οὕτως εἰσὶ καὶ ἀποφάσεις ἄμεσοι, ἐπειδὴ πρὸς τὴν διδασκαλίαν τῆς ἀπάτης συνεβάλλετο αὐτῷ ὁ περὶ τῶν ἀμέσων ἀποφάσεων λόγος, νῦν προτίθεται διδάξαι κατὰ πόσους τρόπους γίνεται ἐν ταῖς ἐπιστήμαις ἡ ἀπάτη. ἵνα δὲ εὕρῃ κατὰ πόσους τρόπους γίνεται ἐν ταῖς ἐπιστήμαις ἡ ἀπάτη, κέχρηται διαιρέσει τοιαύτῃ. καὶ φησὶν ἡ ἄγνοια ἢ κατὰ ἀπόφασίν ἐστιν ἢ κατὰ διάθεσιν. ἀλλὰ περὶ μὲν τῆς κατὰ ἀπόφασιν ἀγνοίας οὐδὲ μνήμην ἐν τοῖς τοιούτοις ποιεῖται, ἐπειδὴ μηδὲ ὅλως ὑποδύεται ἐπιστήμην. id. ib.

λέγεται δὲ κατὰ διάθεσιν ἄγνοια, ὅτι διάκειταί πως ἤδη κατ' αὐτήν· οἴεται γὰρ εἰδέναι τις ὃ οὐκ ἐπίσταται. ταύτην τοίνυν συμβαίνει τὴν ἄγνοιαν γίνεσθαι μὲν καὶ περὶ τὰ ἀμέσως ὑπάρχοντα ἢ μὴ ὑπάρχοντα, γίνεσθαι δὲ καὶ περὶ τὰ διά τινος μέσου, διχῶς δὲ περὶ ἀμφότερα· ἢ γὰρ ἄνευ συλλογισμοῦ καθ' ἁπλῆν ἔννοιαν ἢ διὰ συλλογισμοῦ. Themist. f. 7 *b*.

79 b 25. εἰπὼν ὅτι ἡ μὴ κατὰ ἀπόφασιν ἄγνοια ἀλλ' ἡ κατὰ διάθεσιν μόνη ἐστὶν ἡ διὰ συλλογισμοῦ γινομένη ἀπάτη, καὶ ὀφείλων ἐπαγαγεῖν ὅτι ἔστι καὶ ἡ ἄνευ συλλογισμοῦ (τοῦτο γὰρ ἦν τὸ ἀκόλουθον), ὅμως ἐπαναλαμβάνει τὸν λόγον καὶ φησὶν "αὕτη δέ," τουτέστιν ἡ κατὰ διάθεσιν γινομένη· ταύτην γὰρ διαιρεῖ εἴς τε τὴν διὰ συλλογισμοῦ καὶ εἰς τὴν ἄνευ συλλογισμοῦ. τὸ δὲ "ἐν μὲν τοῖς πρώτως ὑπάρχουσιν ἢ μὴ ὑπάρχουσι," τουτέστιν ἐν ταῖς ἀμέσοις προτάσεσιν ἢ ἀποφάσεσι (τουτέστιν ἢ κατηγορικαῖς ἢ ἀποφατικαῖς· ἐν ἑκάστῃ γὰρ τούτων ἔστι καὶ ἄνευ συλλογισμοῦ τὴν ἐναντίαν ἀπάτην δέξασθαι καὶ μετὰ συλλογισμοῦ) διχῶς εἶπε συμβαίνειν. ἴσως δὲ καὶ βουληθεὶς ἐξ ἀρχῆς τῆς μετὰ συλλογισμοῦ ἀπάτης τὴν διαίρεσιν εὐθὺς ποιήσασθαι πρὶν μνησθῆναι τοῦ ἄνευ συλλογισμοῦ, εἶπε τὸ "ἔστι μὲν ἡ διὰ συλλογισμοῦ γινομένη ἀπάτη." εἶτα πάλιν καλὸν νομίσας πρότερον εἰπεῖν ποσαχῶς ἡ κατὰ διάθεσιν γίνεται ἀπάτη, ἐπανέλαβε τὸν λόγον καὶ εἶπεν "αὕτη δ' ἐν μὲν τοῖς πρώτως ὑπάρχουσι" καὶ τὰ ἑξῆς. Ioh. Phil. f. 42 *b*.

79 b 29. ἐὰν ἄμεσος ᾖ ἡ ἁπλῆ ἀπόφασις, ἐὰν διὰ συλλογισμοῦ γίνηται ἡ ἀντικειμένη ταύτῃ κατάφασις, λήψεται μέσον τινὰ ὅρον, οἷον τὸ γ′, καὶ συλλογιεῖται ἠπατημένως διὰ μέσου τοῦ γ′, ὅτι τὸ α′ παντὶ τῷ β′ ὑπάρχει. ποσαχῶς δὲ γίνεται παραλογισμὸς ἐν τούτῳ, ἐφεξῆς ἐπάγει. id. f. 43.

79 b 35. ἐπειδὴ εἶπεν ὅτι ἐνδέχεται ἀμφοτέρας τὰς προτάσεις εἶναι ψευδεῖς, πῶς ἐνδέχεται τοῦτο, διὰ τούτων προστίθησιν. ὅταν, φησίν, οὕτως ἔχῃ τὸ μέσον ὥστε τὸν μέσον ὅρον μήτε ὑπὸ τὸν μείζονα εἶναι ὅρον μήτε τοῦ ἐλάττονος κατηγορεῖσθαι. τοιοῦτος δέ ἐστιν ὅταν ἀλλότριος ᾖ ἑκατέρου. id. ib.

80 a 2. ὅτι δὲ τὴν μείζονα πρότασιν τὴν α′ γ′ ἐγχωρεῖ ἀληθῆ εἶναι, διὰ τούτων πιστοῦται. ἐνδέχεται γάρ, φησί, τὸ α′ καὶ τῷ β′ καὶ τῷ γ′ ὑπάρχειν ἀτόμως. ἐνταῦθα δὲ πῶς φησὶν ὑπάρχειν ἀμέσως τὸ α′ καὶ τῷ γ′ καὶ τῷ β′, πολλὴ ζήτησις τῷ Ἀλεξάνδρῳ γέγονε· καὶ μετὰ τὰ πολλὰ λέγει τὴν ἀληθῆ τοῦ ῥητοῦ διάνοιαν, ὅτι "ὑπάρχειν" ἐνταῦθα λέγει οὐ τὸ καταφάσκεσθαι ἀλλ' ἁπλῶς τὸ κατηγορεῖσθαι, εἴτε καταφατικῶς εἴτε ἀποφατικῶς. ἐνδέχεται οὖν, φησί, τὸ α′ ἀμέσως καὶ τοῦ β′ καὶ τοῦ γ′ κατηγορεῖσθαι, ἀλλὰ τοῦ μὲν γ′ καταφατικῶς, τοῦ δὲ β′ ἀποφατικῶς. εἰ γὰρ εἴη τὸ γ′ εὐθὺς ὑπὸ τὸ α′ καὶ μὴ μετὰ πλείονα, οἷον τοῦ α′ ὄντος οὐσία, εἰ τὸ γ′ εἴη τὸ εὐθὺς ὑπὸ

ἦν... ἃ δὲ ἡμῖν εἰς τὸ προκείμενον θεώρημα ἠπόρηται, τὸ ὀπτικόν φησιν, ἐν μὲν τοῖς συμμίκτοις ἀπογέγραπται θεωρήμασιν, ὧν νῦν περιττὸν μνησθῆναι διὰ τὸ μὴ τοῦ προκειμένου ἔξω ποιῆσαι τὸν λόγον. Ioh. Phil. f. 39.

78b 37. φαινόμενα λέγει τὴν παρατήρησιν τῶν φαινομένων τὴν ὑπὸ τῶν ναυτῶν γινομένην, οἷον ὅτι τῇδε τῇ ἡμέρᾳ τόδε τὸ ἄστρον ἐπιτέλλει, καὶ περὶ τῶν ἄλλων πάντων ἅπερ ἐκ παρατηρήσεως ἴσασιν. ἀλλ' ἡ μὲν τῶν ναυτῶν παρατήρησις τὸ ὅτι μόνον οἶδε περὶ ὧν εἶδεν, ἡ δὲ ἀστρονομία καὶ τὰς αἰτίας τούτων παραδίδωσι. id. f. 39 *b*.

78b 39. καλῶς εἶπε τὸ "σχεδόν·" οὐ γὰρ πάντη συνώνυμοί εἰσιν. ἀλλ' οὐδὲ πάλιν ὁμώνυμοι· εἰ γὰρ ἦσαν ὁμώνυμοι, οὐδὲν ἂν εἶχον κοινὸν πρὸς τὰ πράγματα, νῦν δὲ περὶ τὰ αὐτὰ καταγίνονται. εἰ δὲ καὶ ὁλοσχερέστερόν τις ἀποδοίη τούτων τοὺς λόγους, κοινοὺς ὄψεται τούτους· οἷον εἴ τις εἴποι ἀστρολογίαν εἶναι γνῶσιν τῶν γινομένων κατ' οὐρανόν, κοινὸν ἀποδώσει ὅρον τῆς τε ναυτικῆς καὶ ἀστρολογίας καὶ μαθηματικῆς. id. ib.

79a 1. ἡ μὲν τῶν Πυθαγορείων μουσικὴ λόγῳ τὴν ἁρμονίαν διακρίνει, οὐκ αἰσθήσει, ἡ μέντοι δημώδης μουσικὴ αἰσθήσει μόνη τὸ ἀνάρμοστον καὶ τὸ ἡρμοσμένον κρίνει. διόπερ αὕτη μὲν τὸ ὅτι μόνον οἶδεν, οἷον ὅτι σύμφωνος ἡ ἁρμονία, ἡ δὲ μαθηματικὴ καὶ τὸν λόγον διὰ τί σύμφωνος· διὸ καὶ καλῶς τις αὐτοὺς ἐπισκώπτων φησὶν ὅτι ὦτα τοῦ νοῦ προηγήσαντο. id. ib.

79a 6. ἐπειδὴ εἶπε τὸ ὅτι τῶν αἰσθητικῶν εἶναι, τὸ δὲ διότι τῶν μαθηματικῶν, αἰσθητικὰς καλῶν ἁρμονικὴν τὴν κατὰ τὴν ἀκοὴν καὶ ἀστρολογίαν τὴν κατὰ τὴν ναυτικήν, ἐνταῦθα βούλεται εἰπεῖν τίνες εἰσὶν αἱ μαθηματικαί, καὶ ὅτι ὅσαι τῶν ἐπιστημῶν ἄλλο μέν τι εἰσὶ κατ' οὐσίαν, οὐ κέχρηνται μέντοι ἐκείνῳ ἀλλὰ μόνον τὸ εἶδος ἀποσυλῶσι τῆς ὕλης αὐτῆς, μαθηματικαὶ λέγονται. id. ib.

ἐγὼ γοῦν διὰ τί μὲν σύμφωνος ἡ ὑπάτη πρὸς τὴν μέσην ἐστίν, ἐκ τῶν μαθημάτων ἐπίσταμαι, αἰσθάνεσθαι δὲ τῆς συμφωνίας οὐχ οἷός τέ εἰμι διὰ τὴν περὶ τοῦτο ἀγυμνασίαν. Themist. f. 7.

79a 10. ὁ μὲν Ἀλέξανδρός φησιν ὅτι ἡ ἐπισκεπτομένη τὸ περὶ τῆς ἴριδος θεώρημα οὕτως ἔχει πρὸς τὴν ὀπτικὴν ὡς ἔχει ἡ ὀπτικὴ πρὸς τὴν γεωμετρίαν· ὥσπερ γὰρ ἡ γεωμετρία μόνοις κέχρηται τοῖς εἴδεσιν ἄνευ τῶν ὑποκειμένων, ὁ μέντοι ὀπτικὸς τὴν ἐν τῷ ἀέρι εὐθεῖαν παραλαμβάνει, ἥτις ὑποκείμενον ἔχει τὰς ὄψεις φυσικὸν ὂν σῶμα, καὶ λαμβάνει μὲν ἡ ὀπτικὴ μόνον τὸ ὅτι, ἡ δὲ γεωμετρία καὶ τὸ διότι δείκνυσιν, οὕτως ἔχει καὶ ἡ τὸ θεώρημα τῆς ἴριδος ἐξετάζουσα πρὸς αὐτὴν τὴν ὀπτικήν. ταῦτα μὲν ὁ Ἀλέξανδρος, ὁ δὲ Πρόκλος ἔλεγε τὴν κατοπτρικὴν δηλοῦν τὸν Ἀριστοτέλην· κατοπτρικῆς γὰρ τὸ περὶ τῆς ἴριδος θεώρημα. ἡ γὰρ κατοπτρικὴ περὶ ἀνακλάσεων ποιεῖται τοὺς λόγους, ὁ δὲ ὀπτικὸς περὶ τῶν ταῖς ὄψεσι συμβαινόντων ἐπισκοπεῖ. καὶ κέχρηται τοῖς τοῦ ὀπτικοῦ ὁ κατοπτρικός· ὁ μὲν γὰρ ἁπλῶς λαμβάνει τὰ συμβαίνοντα περὶ τὴν ἶριν, ὅτι τρίχροος, ὅτι οὐ πλείονες δύο, ὅτι οὐδέποτε μείζων ἡμικυκλίου γίνεται, καὶ τὰ ὅμοια, ἅπερ καὶ φυσικὸς δύναται εἰδέναι· διότι δὲ ταῦτα γίνεται, ὁ ὀπτικὸς ἐπίσταται. διὸ καὶ ὁ κατοπτρικὸς οὕτως ἔχει πρὸς τὸν ὀπτικὸν ὡς ὁ ὀπτικὸς πρὸς τὸν γεωμέτρην. ὅτι δέ, φησὶν ὁ Πρόκλος, τὸν κατοπτρικὸν ἐν τούτοις σημαίνει ὁ Ἀριστοτέλης, βεβαιοῦται ἐξ ὧν αὐτὸς ὁ Ἀριστοτέλης ἐπιφέρει "τὸ μὲν γὰρ ὅτι φυσικοῦ εἰδέναι, τὸ δὲ διότι ὀπτικοῦ, ἢ ἁπλῶς ἢ τοῦ κατὰ τὸ μάθημα." διὰ γὰρ τούτων αἰνίττοιτο ἂν τὸν κατοπτρικόν· ὁ γὰρ κατοπτρικὸς οὐχ ἁπλῶς ὀπτικός, ἀλλὰ κατὰ τὸ τῆς ἴριδος μάθημα, τὸ δὲ τῆς ἴριδος μάθημα παρὰ τὴν τῶν ὄψεων ἀνάκλασιν διδάσκει ἃ συμβαίνει. Ioh. Phil. f. 40.

79a 13. τούτου δὲ τὴν αἰτίαν ὁ γεωμέτρης λέγει, ὅτι ὁ κύκλος πάντων τῶν ἰσοπεριμέτρων σχημάτων πολυχωρητότερός ἐστιν· καὶ ἀεὶ γὰρ τῶν ἰσοπεριμέτρων τὰ πολυγωνιώτερα πολυχωρητότερα, καὶ ἐπεὶ ὁ κύκλος τέλος ἐστὶ τῶν πολυγωνίων, διὰ τοῦτο πάντων τῶν σχημάτων ἐστὶ πολυχωρητότατος. διὸ καὶ τὸ περιφερὲς ἕλκος πλείονος δέεται καιροῦ, ὡς χρονιωτέρας ἐν αὐτῷ τῆς ἀναπληρώσεως καὶ τῆς συνουλώσεως γινομένης. δοκεῖ μὲν οὖν αὕτη ἡ αἰτία μὴ ὑγιῶς εἰρῆσθαι. id. ib.

79a 17. πρόκειται διὰ τούτων δεῖξαι ὅτι οἰκεῖόν ἐστι μάλιστα τοῖς ἐπιστημονικοῖς συλλογισμοῖς τὸ πρῶτον σχῆμα, καὶ τοῦτο πολλαχόθεν δείκνυσι. καὶ πρῶτον ἐκ τοῦ πάσας τὰς ἐπιστήμας ὅσαι εἰσὶ τοῦ διότι, τούτῳ μάλιστα τῷ σχήματι τὰ οἰκεῖα θεωρήματα συλλογίζεσθαι, σπανιάκις δὲ διὰ τοῦ δευτέρου σχήματος. id. ib.

79a 24. τουτέστι τὴν τῶν ὁρισμῶν, εἴγε οἱ ὁρισμοὶ κατηγορικοί τέ εἰσι καὶ καθόλου· οὐδεὶς γὰρ λέγει ὅτι πῇ δίπους ἄνθρωπος, ὁριζόμενος τὸν ἄνθρωπον, ἀλλὰ καθόλου, πᾶς ἄνθρωπος ζῷον λογικὸν δίπουν. id. f. 40 *b*.

79a 29. τουτέστι τὸ μὲν πρῶτον, τῶν προτάσεων μὴ οὐσῶν ἀμέσων, αὔταρκες αὐτὸ ἑαυτοῦ ἀεὶ μεταξὺ ἐπεντιθέναι μέσα, ἕως ἂν εἰς τὰς ἀμέσους φθάσωμεν προτάσεις. κἂν γὰρ ἀποφατικὴν θελήσωμεν δεῖξαι καὶ δεησώμεθα τοῦ δευτέρου σχήματος, ἢ αὐτόθεν ἢ δι' ἀντιστροφῶν δειχθήσεται ἡ ἀποφατική. id. ib.

79a 33. ἐπειδὴ εἶπεν ὅτι τὸ μὲν πρῶτον σχῆμα οὐ δεῖται τῶν ἄλλων, ἐκεῖνα δὲ διὰ τοῦ πρώτου σχήματος καταπυκνοῦται καὶ αὔξεται, ἕως ἂν εἰς τὰς ἀμέσους ἔλθῃ προτάσεις, ἐπεντιθεμένων ἀεὶ μέσων ὅρων δι' ὧν αἱ προτάσεις δείκνυνται, βούλεται δεῖξαι νῦν διὰ τούτων ὅτι αἱ ἄμεσοι προτάσεις οὐ μόνον καταφατικαί εἰσιν ἀλλὰ καὶ ἀποφατικαί· ἔστι γὰρ καὶ ἀμέσως ἄλλο ἄλλου ἀποφῆσαι. καὶ παραδίδωσιν ἡμῖν κανόνα ἐν τούτοις, πῶς δεῖ γινώσκειν τοὺς ἀμέσως ἀποφασκομένους ἀλλήλων ὅρους· οὐ γὰρ εὐχερὲς τοῦτο συνιδεῖν... ἀμέσους προτάσεις ταύτας λέγομεν, ὧν μὴ ἐνδέχεται μεταξὺ παρεμπεσεῖν τινὰ ὅρον καὶ ποιῆσαι συλλογισμόν. ἐὰν δὲ ὁποτεροσοῦν τῶν ὅρων ἔχῃ τινὰ τὸν αὐτοῦ κατηγορούμενον, οὗτος δύναται μεταξὺ παρεντεθεὶς ποιῆσαι συλλογισμόν, κατηγορούμενον μὲν τοῦ ἑτέρου, τοῦ δὲ λοιποῦ ἀποφασκόμενον, ἢ γοῦν ἔχων τὸν λοιπὸν ἀποφασκόμενον, ἵνα διὰ μὲν τοῦ προτέρου τὸ δεύτερον ποιήσῃ σχῆμα, διὰ δὲ τοῦ δευτέρου τὸ πρῶτον. ὥστε μόνως ἄμεσοι ἀποφάσεις αὗται ἂν εἶεν αἱ ἀμφοτέρους ἔχουσαι τοὺς ὅρους ἐκ γενικωτάτων γενῶν· ὡς εἴγε ἢ θάτερος αὐτῶν ἢ καὶ ἀμφότεροι τῶν ὑπαλλήλων εἶεν, οὐκ ἔστιν ἡ τοιαύτη ἀπόφασις ἄμεσος. id. f. 41.

79a 34. ὅτι τὸ "ἀτόμως" τὸ αὐτὸ σημαίνει τῷ ἀμέσως, σαφῶς ἐδήλωσε. καλῶς δὲ τὸ ἀμέσως ἀτόμως εἶπε, διότι μὴ ἐνδέχεται

θέμενος τῆς ἐν τῇ αὐτῇ ἐπιστήμῃ διαφορᾶς τοῦ ὅτι καὶ τοῦ διότι, οὕτως ἀνέλαβε ταῦτα (οὐδὲ γὰρ ἔστιν ἕτερόν τινα εὑρεῖν), ἀλλ᾽ ὡς εἶπον, ἵνα καὶ τοῦ πρώτου παράδειγμα θῇ. τί οὖν ἐστὶ τὸ "ἐφ᾽ ὧν τὸ μέσον ἔξω τίθεται;" κατ᾽ ἀρχὰς μὲν ὁ Ἀλέξανδρός φησιν ὅτι διὰ τούτων τὸ δεύτερον σχῆμα σημαίνει· καὶ γὰρ τὰ παραδείγματα ἃ τίθησι, τοῦ δευτέρου ἐστὶ σχήματος· διὸ καὶ ὑπονοήσειεν ἄν τις τὸ ἔξω τίθεσθαι τὸν μέσον ὅρον τοῦτο αὐτῷ σημαίνειν. ἀλλ᾽ οὐ τοῦτο δὲ αὐτῷ σημαίνει τὸ ἔξω τίθεσθαι τὸν μέσον ὅρον, ἀλλ᾽ ὡς καὶ ὁ αὐτὸς Ἀλέξανδρος προϊών φησιν, ἔξω τίθεσθαι τὸν μέσον ὅρον λέγει ἀντὶ τοῦ πορρωτέρω τῆς προσεχοῦς αἰτίας· τοῦτο δὲ ἵνα μὴ τὴν κυριωτάτην καὶ προσεχῆ αἰτίαν ἔχῃ ὁ μέσος ὅρος, ἀλλ᾽ ἔμμεσοι ὦσιν αἱ προτάσεις. τοιοῦτος γὰρ ἦν ὁ πρῶτος τῆς διαφορᾶς τρόπος τοῦ ὅτι πρὸς τὸ διότι· τὸν γὰρ τοῦ ὅτι συλλογισμὸν μὴ ἀμέσους ἔχειν τὰς προτάσεις ἔλεγεν ἀλλ᾽ ἐμμέσους. δῆλον δὲ τοῦτο καὶ ἐξ αὐτῶν ὧν ὁ Ἀριστοτέλης φησίν· οὓς μὲν γὰρ τίθησι συλλογισμοὺς τοῦ μέσου σχήματος, λέγω δὴ δευτέρου, ἐφεξῆς τίθησιν, ἐν οἷς φησὶν "ὁ δὲ συλλογισμὸς γίνεται τῆς τοιαύτης αἰτίας ἐν τῷ δευτέρῳ σχήματι" (v. 23), ὡς δὴ μηδὲν εἰρηκὼς περὶ αὐτοῦ. ὅτι δὲ τὸ πόρρω τίθεσθαι τὸν μέσον ὅρον οὐδὲν ἄλλο αὐτῷ σημαίνει ἢ τὸ ἀφεστηκέναι τῆς προσεχοῦς αἰτίας, δῆλον ἐν οἷς πάλιν μετ᾽ ὀλίγον φησὶν "ἐοίκασι δὲ αἱ τοιαῦται τῶν αἰτιῶν τοῖς καθ᾽ ὑπερβολὴν εἰρημένοις· τοῦτο δέ ἐστι τὸ πλέον ἀποστήσαντα τὸν μέσον εἰπεῖν" (v. 26), τουτέστι τῆς αἰτίας ἀποστήσαντα. περὶ μὲν οὖν τούτου τοσοῦτον. τίθησι δὲ παράδειγμα τῶν ἐμμέσων προτάσεων τοιοῦτον. εἰ γὰρ θελήσαιμεν, φησί, δεῖξαι ὅτι οὐκ ἀναπνεῖ ὁ τοῖχος διὰ τὸ μὴ εἶναι αὐτὸν ζῷον, τοῦ ζῴου δηλονότι μέσου ὅρου ὄντος, τοῦ ὅτι ἔσται ὁ συλλογισμός· οὐ γὰρ τὴν προσεχῆ αἰτίαν τοῦ πράγματος ἔλαβεν· οὐ γὰρ διὰ τοῦτο οὐκ ἀναπνεῖ ἐπεὶ μή ἐστι ζῷον... ὅτι δὲ ἔξω τίθεσθαι οὐ λέγει ἐν τῷ δευτέρῳ εἶναι σχήματι, δῆλον καὶ ἐξ αὐτῶν τούτων. καὶ τούτων γάρ, φησί, μόνον τοῦ ὅτι καὶ οὐ τοῦ διότι ἡ ἀπόδειξις· ὥστε λέγοι ἂν ὅτι οὐδέποτε ἐν τῷ δευτέρῳ σχήματι τοῦ διότι συλλογισμὸς γίνεται. τοῦτο δὲ ψεῦδος· ἔστι γὰρ καὶ ἐν δευτέρῳ σχήματι συλλογισμὸς τοῦ διότι, οἷον "ἐν τῇ ὑπὸ τὴν ὀρθὴν σφαῖραν οἰκήσει ὁ κύκλος ἐν ᾧ κινεῖται ὁ ἥλιος, ἴσον ἔχει τὸ ὑπὲρ γῆν ἡμικύκλιον τῷ ὑπὸ γῆν· ἐν οἷς ἐστὶ μείζων ἡ ἡμέρα καὶ ἐλάττων, οὐκ ἔστιν ἴσον τὸ ὑπὲρ γῆν μέρος τοῦ ἡλιακοῦ κύκλου τῷ ὑπὸ γῆν· ἐν τῇ ὑπὸ τὴν ὀρθὴν ἄρα σφαῖραν οἰκήσει οὐκ ἔστι μείζων ἡμέρα καὶ ἐλάττων." καὶ ἔστιν οὗτος τοῦ διότι συλλογισμός· ἡ γὰρ προσεχὴς αἰτία ἐν τῷ μέσῳ ἐστὶν ὅρῳ. id. ib.

78 b 23. τουτέστιν, ἐν οἷς ὁ μέσος ὅρος ἔξω τίθεται, καὶ γίνεται τὸ συμπέρασμα ἀποφατικόν· δῆλον γὰρ ὅτι ἐὰν καταφατικὸν ᾖ, ἐν τῷ πρώτῳ δείκνυται σχήματι, ἐὰν δὲ ἀποφατικόν, ἐν τῷ δευτέρῳ σχήματι, ὥσπερ ἐπὶ τῶν προκειμένων... ζητητέον δὲ τὴν αἰτίαν, διὰ τί μὴ καὶ ἐπὶ τοῦ προκειμένου γίνεται ἐν πρώτῳ σχήματι συλλογισμός· καὶ γὰρ δυνατὸν καὶ ἐπὶ τοῦ πρώτου σχήματος ἀποφατικὸν συνάγεσθαι συμπέρασμα, ὡς ὅταν εἴπω "πᾶς ἄνθρωπος ζῷον, οὐδὲν ζῷον λίθος, οὐδεὶς ἄρα ἄνθρωπος λίθος." διὰ τί οὖν μὴ καὶ ἐπὶ τοῦ προκειμένου; id. f. 38 b.

78 b 23. ὁ μὲν φιλόσοφος τὸ "τοῖς καθ᾽ ὑπερβολὴν εἰρημένοις" φησὶν εἰρῆσθαι τῷ Ἀριστοτέλει ἀντὶ τοῦ τοῖς πολὺ διεστηκόσι, καὶ τούτου ἐξηγητικὸν εἶναι τὸ ἐπιφερόμενον τὸ ἀποστήσαντα τὸν μέσον ὅρον τῆς προσεχοῦς αἰτίας εἰπεῖν, τουτέστι μὴ προσεχῆ αἴτιον εἶναι τὸν μέσον ὅρον ἀλλὰ πορρωτέρω. οὐ τοῦτο δέ μοι δοκεῖ ἡ λέξις σημαίνειν· αὐτὸ γὰρ τοῦτο τοῦ περὶ τούτου λόγου ἀρχόμενος εἴρηκε, τὸ ἐφ᾽ ὧν δὲ τὸ μέσον ἔξω τίθεται, τουτέστι πόρρω τῆς προσεχοῦς αἰτίας τὴν θέσιν ἔχει. ἐν οὖν τῷ λέγειν "ἔοικε τὰ πόρρω αἴτια τοῖς πόρρωθεν αἰτίοις" πολὺ τὸ ἀνακόλουθον φαίνεται. ἀλλὰ περὶ τούτου καὶ ὁ Θεμίστιός φησι, τὸ "τοῖς καθ᾽ ὑπερβολὴν εἰρημένοις" ἴσον ἐστὶ τῷ εἰπεῖν τοῖς ἐκ τοῦ περιόντος ἤγουν ἐκ περιουσίας λαμβανομένοις. ἤρκει γὰρ πρὸς τὸ δεῖξαι μὴ ἀναπνεῖν τὸν τοῖχον τὸ εἰπεῖν ὅτι πνεύμονα οὐκ ἔχει· τὸ δὲ διὰ τοῦ μὴ εἶναι ζῷον πρὸς ὑπερβολὴν καὶ ἐκ περιουσίας εἴληπται. ὁμοίως τὸ μὲν τὰ νότια θᾶττον δύνειν διὰ τὸ ἐλάττονα ἔχειν τὴν ὑπὲρ γῆς περιφέρειαν ἱκανὸν εἰς ἀπόδειξιν· τὸ δὲ διὰ τὸ πορρωτέρω εἶναι τοῦ βορείου πόλου ἐκ τοῦ μᾶλλον ἤγουν ἐκ περιουσίας ἐστίν. εἶτα καὶ ἐξηγούμενος τί ἐστι τὸ καθ᾽ ὑπερβολήν, ἐπήγαγε "τὸ πλεῖον ἀποστήσαντα τὸν μέσον ὅρον," τουτέστι πορρωτέρω τῆς κυρίως αἰτίας· τῷ γὰρ οὕτως εἰπεῖν τὸν λόγον δείκνυται ἡ τοῦ λόγου ὑπερβολή. εἰ γὰρ διὰ τὸν μέσον ὅρον ὁ συλλογισμός, καὶ οὗτός ἐστιν αἴτιος τοῦ συμπεράσματος, ὁ ἐκ τοιούτων ὅρων δεικνὺς ἐκ τοῦ περιόντος δείκνυσιν· εἰ γὰρ συνῆκται τὸ συμπέρασμα διὰ μέσου πόρρω ἀφεστηκότος τῆς αἰτίας, πολλῷ μᾶλλον διὰ τῆς αἰτίας αὐτῆς δειχθείη ἄν. τὴν τοιαύτην, φησίν, αἰτίαν καὶ Ἀνάχαρσις ὁ Σκύθης ἀποδέδωκε τοῦ μὴ εἶναι ἐν Σκύθαις αὐλητρίδας. ἐρωτηθεὶς γὰρ εἰ οὐκ εἰσὶν ἐν Σκύθαις αὐλητρίδες, ἀπεκρίθη "οὐδαμῶς, ἐπειδὴ οὐδὲ ἄμπελοι." πόρρω γὰρ καὶ οὗτος ἀποδέδωκε τὸ αἴτιον τοῦ μὴ εἶναι ἐν Σκύθαις αὐλητρίδας· προσεχὲς μὲν γὰρ αἴτιον ἦν τοῦ μὴ εἶναι αὐλητρίδας τὸ μὴ μεθύσκεσθαι, τοῦ δὲ μὴ μεθύσκεσθαι τὸ μὴ εἶναι ἀμπέλους. φέρεται δὲ τοῦτο ἐν τοῖς ἀρχαίοις ἀπομνημονεύμασιν. id. f. 39.

τὸ ζῷον οὖν πόρρωθεν εἴληπται αἴτιον ἔξω πάλιν καὶ οὐκ ἀμέσως κατηγορούμενον τοῦ ἀναπνεῖν ἀλλὰ διὰ μέσου τοῦ πνεύμονα ἔχειν· τὸ δὲ μὴ εἶναι ζῷον ὑπερβολή. τοιαύτην αἰτίαν καὶ Ἀνάχαρσις ἀπέδωκε τοῦ μὴ εἶναι παρὰ Σκύθαις αὐλητρίδας τῷ μὴ εἶναι ἀμπέλους. Themist. f. 6 b.

78 b 34. τοῦ διαφέρειν τὸ ὅτι καὶ τὸ διότι ἐν τῇ αὐτῇ ἐπιστήμῃ ἐνταῦθα τὸν λόγον ἀπέδωκε διὰ τοῦ εἰπεῖν "ἄλλον δὲ τρόπον διαφέρει τὸ διότι τοῦ ὅτι, τὸ δι᾽ ἄλλης ἐπιστήμης ἑκάτερον θεωρεῖν" (*). ὅσαι οὖν, φησί, τῶν ἐπιστημῶν ὑπάλληλοι εἰσίν, οὕτως ἔχουσιν· καὶ οἱ μὲν τῆς κατωτέρω ἐπιστήμης συλλογισμοὶ τοῦ ὅτι εἰσίν, οἱ δὲ τῆς ἀνωτέρω τοῦ διότι. ἔστω δὲ καὶ ἐπὶ παραδείγματος. οἷον λέγει ὁ ὀπτικὸς διὰ τί τὰ μὲν πόρρωθεν ὁρώμενα ἐλάττονα φαίνεται, τὰ δὲ ἐγγύθεν μείζω, καὶ ἀποδίδωσι τούτου τὴν αἰτίαν λέγων ὅτι τὰ ὑπὸ μικροτέρας γωνίας ὁρώμενα μείζονα φαίνεται, τὰ δὲ ἐγγυτέρω ὁρώμενα τὰ αὐτὰ ὄντα ὑπὸ μείζονος γωνίας ὁρᾶται ἢ ὅτε πόρρωθεν

(*) ὅτι τὸ ὅτι διαφέρει καὶ τὸ διότι ἐπίστασθαι πρῶτον μὲν ἐν τῇ αὐτῇ ἐπιστήμῃ, ἐνταῦθα τὴν ἀπόδοσιν ἐποιήσατο εἰπὼν "ἄλλον." cod. 1917.

πεπερασμένος (οὐδὲν γὰρ πρὸς τὰ νῦν διαφέρει), ὑπάρχει τῷ τε β′ καὶ τῷ δ′, τουτέστι τῷ περιττῷ ἀριθμῷ καὶ τῷ ἀρτίῳ· τὸ δὲ β′, ὁ περιττὸς ἀριθμός, ὑπάρχει τῷ γ′, ὡρισμένῳ τινὶ ἀριθμῷ περιττῷ· ὁμοίως δὲ καὶ ὁ δ′ ἄρτιος ἀόριστος ὡρισμένῳ τινὶ ἀρτίῳ τῷ ε′ ὑπάρχει δῆλον ὅτι. οὕτως οὖν ἐφ᾽ ἑκάτερα τὰ μέρη ἡ αὔξησις γέγονε, καὶ εἰς τὸ πλάγιον τοῦ α′, καὶ κατὰ τοῦ γ′ καὶ κατὰ τοῦ ε′. δέον δὲ εἰπεῖν κατὰ τοῦ δ′, κατὰ τοῦ ε′ εἶπεν. ἐφεξῆς οὖν διαρθρῶν μᾶλλον τὸ μὲν α′ κατὰ τοῦ δ′ κατηγορεῖ, τὸ δὲ δ′ κατὰ τοῦ ε′. id. f. 36 *b*.

78a 18. πρόκειται τῷ φιλοσόφῳ διὰ τούτων δεῖξαι τί διαφέρουσιν οἱ τὸ ὅτι κατασκευάζοντες συλλογισμοὶ τῶν τὸ διότι κατασκευαζόντων. καὶ φησὶν ὅτι καθ᾽ ἕνα μὲν τρόπον διαφέρουσι τῷ τοὺς μὲν τὸ ὅτι κατασκευάζοντας ἑτέρας εἶναι ἐπιστήμης, τοὺς δὲ τὸ διότι, τουτέστι τὴν αἰτίαν τοῦ πράγματος, τῆς ἀποδεικτικῆς. ταῦτα δὲ πῶς ἔχει, ἐφεξῆς λέγει. διαφέρουσι δὲ οὕτοι οἱ συλλογισμοὶ καὶ καθ᾽ ἕτερον τρόπον, ὅτι οἱ μὲν τὸ διότι κατασκευάζοντες δι᾽ ἀμέσων προτάσεων συμπεραίνονται (ἡ γὰρ αἰτία τοῦ πράγματος καθ᾽ αὑτὸ ὀφείλει καὶ προσεχῶς ὑπάρχειν τῷ πράγματι), οἱ δὲ τὸ ὅτι κατασκευάζοντες δι᾽ ἐμμέσων προτάσεων συλλογίζονται, οἷον ὅτι τὰ νότια ἄστρα τάχιον δύνουσι τῶν βορείων. εἰ μὲν οὖν οὕτως εἴποιμεν "τὰ νότια ἄστρα πορρωτέρω εἰσὶ τοῦ βορείου πόλου, τὰ πορρωτέρω τοῦ βορείου πόλου θᾶττον δύνουσι τῶν βορείων, τὰ νότια ἄρα ἄστρα θᾶττον δύνουσι τῶν βορείων," οὗτος ὁ συλλογισμὸς ἐξ ἀληθῶν προτάσεων ἀληθὲς κατεσκεύασεν· ὅσον γὰρ ἀφεστήκασι τοῦ βορείου πόλου τὰ ἄστρα, τοσοῦτον θᾶττον δύνουσι. διὸ καὶ ὁ Ἄρατός φησιν κ. τ. λ. id. ib.

78a 22. τὸ δ᾽ ἐπίστασθαι δι᾽ αἰτίου λέγεται διχῶς, ἓν μὲν ὅτι διὰ μέσου τινός (πᾶν γὰρ μέσον αἴτιον τῆς συναγωγῆς τοῦ συμπεράσματος), ἓν δὲ διὰ τῆς τοῦ πράγματος αἰτίας τοῦ δεικνυμένου. κατὰ μὲν οὖν τὸ πρῶτον σημαινόμενον ἅπας συλλογισμὸς δι᾽ αἰτίου· καὶ γὰρ ἅπας διὰ μέσου τινός· κατὰ δὲ τὸ δεύτερον οὐχ ἅπας ἀλλ᾽ ὁ διὰ τῆς αἰτίας τοῦ πράγματος. τοιοῦτος δὲ μόνος ἂν κυρίως ἀποδεικτικὸν ἐλέγομεν... ἐπειδὴ τὸ τοῦ πράγματος αἴτιον καθ᾽ αὑτὸ δεῖ ὑπάρχειν καὶ προσεχῶς οὗ ἐστὶν αἴτιον, ὁ μὲν δι᾽ ἐμμέσων συλλογιζόμενος τὸ ὅτι συλλογίζεται, ὁ δὲ δι᾽ ἀμέσων ὡς ἐπὶ τὸ πολὺ τὸ διότι. Themist. f. 6 *b*.

78a 26. ὁ δεύτερος τρόπος οὗτός ἐστι καθ᾽ ὃν διαφέρει τὸ ὅτι τοῦ διότι. ἔστι δὲ οὗτος τοῦ ὅτι καὶ τῶν προτάσεων ἀμέσων οὐσῶν, ἀντιστρεφόντων δὲ τοῦ αἰτίου καὶ τοῦ αἰτιατοῦ. ὅταν γνωριμώτερον ᾖ τοῦ αἰτίου τὸ αἰτιατὸν καὶ ἐκ τοῦ γνωριμωτέρου τις συλλογίζηται, τότε τοῦ ὅτι ποιεῖται συλλογισμὸν καὶ οὐ τοῦ διότι· ὥσπερ ὅταν ἐκ τοῦ αἰτίου τὸ αἰτιατόν, τοῦ διότι. Ioh. Phil. f. 37 *b*.

78a 35. τὸ δὲ τὰ ἐγγὺς ὄντα μὴ στίλβειν ἐκ τῆς ἐπαγωγῆς, φησί, καὶ τῆς αἰσθήσεως εἰλήφθω· ὁ γὰρ ἢ ἐνταῦθα οὐ διαζευκτικὸς ἀλλ᾽ ἀντὶ τοῦ καί εἴληπται. οἷον εἰ ἀργύριον ἐγγὺς παραθείης, οὐκ ὄψει στίλβοντα, πόρρω δὲ στίλβοντα θεάσῃ. ὁμοίως δὲ τὸ λυχναῖον φῶς πόρρωθεν μὲν ὁρώμενον δοκεῖ στίλβειν καὶ σχεδὸν ἀποσπινθηρίζειν, ἐγγὺς δὲ ὑπάρχον οὐδὲν τοιοῦτον ἐμφαίνει. διὰ τοῦτο καὶ οἱ ἀπλανεῖς τῶν ἀστέρων στίλβειν δοκοῦσιν, οἱ δὲ πλανώμενοι οὐκέτι. καὶ αὐτῶν δὲ τῶν πλανωμένων οἱ πορρωτέρω μᾶλλον στίλβουσιν· ὁ γοῦν τῆς Ἀφροδίτης, καίτοι μέγιστος ἡμῖν φαινόμενος, ὅμως οὐ στίλβει διὰ τὸ ἐγγύτατα εἶναι. τούτου δὲ αἴτιον, ὅτι πρόσωθεν αἱ ὄψεις ἀσθενέστεραι γίνονται καὶ διὰ τοῦτο μᾶλλον πάσχουσαι ὑπὸ τοῦ φωτὸς τῆς στιλπνότητος ἔχουσι τὴν φαντασίαν, ἐγγυτέρω δὲ ὄντων τῶν λαμπρῶν σωμάτων ἐρρωμενέστεραι αὐτοῖς προσβάλλουσαι αἱ ὄψεις ἧττον πάσχουσιν ὑπ᾽ αὐτῶν. διὰ τοῦτο γοῦν οἱ ἀσθενεστέρας ἔχοντες ὄψεις καὶ ἐκ τοῦ σύνεγγυς τὰ λαμπρὰ τῶν σωμάτων στίλβειν νομίζουσιν, οἷον τὸ λυχναῖον φῶς ἤ τι τοιοῦτον· ἂν δὲ ἐπὶ πολὺ ἀσθενεῖς ὦσιν αἱ ὄψεις, οὐδὲ προσβλέψαι τὸ λυχναῖον φῶς δύνανται, πολλῆς προσβαλλούσης τῆς στιλπνότητος. ὥστε τὰ ἐγγὺς ὄντα οὐ στίλβουσιν. id. ib.

πρὸ τούτου μὲν γὰρ διὰ τοῦ μὴ στίλβειν τὸ ἐγγὺς εἶναι αὐτοὺς ἐδείκνυτο, μέσου μὲν ὄντος ὅρου τοῦ μὴ στίλβειν, μείζονος δὲ τοῦ ἐγγὺς εἶναι. ἐὰν δὲ ἀντιστρέψωμεν, φησί, τούτων τὴν τάξιν, καὶ τὸν μὲν μείζονα τὸ ἐγγὺς εἶναι μέσον θῶμεν, τὸν δὲ μέσον τὸ μὴ στίλβειν μείζονα, ποιοῦμεν τοῦ διότι συλλογισμόν· κυρίως γὰρ ἡ αἰτία ἐν τῷ μέσῳ θεωρεῖται· οἷον οἱ πλάνητες ἐγγύς εἰσι, τὸ δὲ ἐγγὺς ὂν οὐ στίλβει, οἱ πλάνητες ἄρα οὐ στίλβουσιν. οὗτος οὖν τοῦ διότι ἔσται συλλογισμός· ἐκ γὰρ τοῦ αἰτίου τὸ αἰτιατὸν δείκνυται, λέγω δὴ ἐκ τοῦ ἐγγὺς εἶναι τὸ μὴ στίλβειν. id. ib. 78a 39.

ἕτερον τῶν αὐτῶν παράδειγμα ἐκτίθησι, περὶ οὗ καὶ πρότερον εἴπομεν ἱκανῶς, ὅτι εἰ μὲν ἐκ τοῦ σχήματος τοὺς φωτισμοὺς τῆς σελήνης συλλογισόμεθα, τοῦ διότι ἔσται ὁ συλλογισμός, ἐκ τοῦ αἰτίου τὸ αἰτιατὸν συνάγων, εἰ δὲ ἔμπαλιν, τοῦ ὅτι. id. f. 38. 78b 11.

εἰπὼν περὶ τῶν ἀντιστρεφόντων αἰτίων καὶ αἰτιατῶν, λέγει καὶ περὶ τῶν μὴ ἀντιστρεφόντων. ὅταν οὖν, φησί, μὴ ἀντιστρέφῃ ὁ μέσος ὅρος πρὸς τὸν μείζονα, τουτέστι τὸ αἴτιον πρὸς τὸ αἰτιατόν, τοῦ δὲ αἰτίου τὸ αἰτιατὸν γνωριμώτερον ᾖ (ἀναίτιον δέ φησι τὸ αἰτιατόν), ὥσπερ ἐν τῷ λέγοντι συλλογισμῷ "ἡ γυνὴ τέτοκεν, ἡ τετοκυῖα ἀνδρὶ πεπλησίακε·" γνωριμώτερον γὰρ τὸ τετοκέναι· τούτῳ γὰρ ἕπεται τὸ πεπλησιακέναι, τῷ δὲ πεπλησιακέναι οὐ τοῦτο· οὗτος οὖν τοῦ ὅτι ἔσται ὁ συλλογισμός, οὐ τοῦ διότι, διότι ἐκ τοῦ αἰτιατοῦ τοῦ τετοκέναι τὸ αἴτιον τὸ πλησιάσαι ἀνδρὶ συνήγαγεν, ὡς πάντως ἑπομένου τῷ αἰτιατῷ τοῦ αἰτίου· εἰ γάρ τοι τέτοκεν, ἀνδρὶ πάντως καὶ πεπλησίακεν. ἐπὶ τῶν οὕτως οὖν ἐχόντων οὐκ ἔστι τὸ διότι συλλογίσασθαι διὰ τὸ μὴ πάντως ἕπεσθαι τῇ αἰτίᾳ τὸ ἀποτέλεσμα. τοῦ δὲ ἑτέρου τρόπου οὐκ ἐμνήσθη, λέγω δὴ τοῦ ὅτι τοῦ μὲν αἰτίου ὄντος καὶ τὸ αἰτιατόν ἐστι, τοῦ δὲ αἰτιατοῦ ὄντος οὐ πάντως τὸ αἴτιον... ἀλλ᾽ εἰ τῶν πρός τι τὸ αἴτιον καὶ τὸ αἰτιατόν, πῶς φαμὲν αὐτὰ μὴ ἀντιστρέφειν, καὶ ἐνδέχεσθαι τοῦ αἰτίου ὄντος τὸ αἰτιατὸν μὴ εἶναι;... εἰπὼν ὅτι ὁ τοῦ ὅτι καὶ ὁ τοῦ διότι συλλογισμὸς κατὰ τὴν αὐτὴν ἐπιστήμην κατὰ δύο τρόπους γίνεται, καθ᾽ ἕνα μὲν ὅτι ὁ μὲν τοῦ διότι δι᾽ ἀμέσων μόνως προτάσεων περαίνεται, ὁ δὲ τοῦ ὅτι καὶ δι᾽ ἀμέσων καὶ δι᾽ ἐμμέσων, καθ᾽ ἕτερον δὲ ὅτι ὁ μὲν τοῦ ὅτι ἐκ τοῦ αἰτιατοῦ τὸ αἴτιον συλλογίζεται, ὁ δὲ τοῦ διότι ἐκ τοῦ αἰτίου τὸ αἰτιατόν, θεὶς τοῦ δευτέρου τρόπου πλεῖστα παραδείγματα, τό τε κατὰ τοὺς ἀστέρας καὶ τὸ κατὰ τὴν σελήνην, τοῦ προτέρου παράδειγμα οὐδὲν ἔθηκε· διὰ τοῦτο οὖν ἐπαναλαμβάνει τὸν περὶ τοῦ πρώτου τρόπου λόγον, ἵνα καὶ αὐτὸν διὰ παραδειγμάτων πιστώσηται. οὐδὲ γὰρ ὡς ἕτερόν τινα τρόπον τοῦτον ἐκτι- 78b 13.

φατικάς. δῆλον γὰρ ὅτι εἰ τὸ αὐτὸ τοῖς δυσὶν ἕπεται, κἀκεῖνα ἀλλήλοις ἕπεται. τὸ δὲ οὐκ ἔστιν, εἰ μὴ συγγενῆ εἶεν ἐκεῖνα· ἕπεται γὰρ καὶ λίθῳ καὶ ἀνθρώπῳ ἡ οὐσία, ἀλλ' οὐχ ἕπεται τὸ ἕτερον τῷ ἑτέρῳ, ἤγουν ὁ λίθος τῷ ἀνθρώπῳ ἢ ὁ ἄνθρωπος τῷ λίθῳ, διὰ τὸ μὴ εἶναι ὁμογενῆ. ὥσπερ, φησί, καὶ ὁ σοφιστὴς Καινεὺς ἐποίει· συνελογίζετο γὰρ ὅτι τὸ πῦρ ἐν πολλαπλασίονι ἀναλογίᾳ αὔξεται τὸν τρόπον τοῦτον "τὸ πῦρ τάχιστα αὔξεται, τὰ ἐν πολλαπλασίονι ἀναλογίᾳ αὐξόμενα τάχιστα αὔξεται, τὸ πῦρ ἄρα ἐν πολλαπλασίονι ἀναλογίᾳ αὔξεται." καίτοι, φησίν, ἐνίοτε ἐν τοῖς τοιούτοις ἐνδέχεται ὑγιῆ ποιῆσαι τὸν λόγον ἤτοι τὸν συλλογισμόν· ὅμως οὖν οἱ συνορῶντες ἀσυλλογίστως συμπλέκουσι τὰς προτάσεις... τὸ δὲ ἐν πολλαπλασίονι ἀναλογίᾳ αὔξεσθαι ὁ μὲν Ἀλέξανδρος οὐκ οἶδ' ὅ τι παθών, εἶτα δὴ μὴ πολλὴν ἕξιν μαθηματικὴν ἔχων, φησὶ λέγειν αὐτὸν τὰ ἐν πολλαπλασίονι ἀναλογίᾳ αὐξόμενα τάχιστα αὔξεσθαι, ὡς ἂν εἴπωμεν "ὡς δύο πρὸς τρία, οὕτω διακόσια πρὸς τριακόσια." ἀγνοήσας ὅτι οὐκ ἔστιν οὗτος ὁ λόγος τῶν δύο πρὸς τρία καὶ τῶν διακοσίων πρὸς τριακόσια πολλαπλασίων ἀλλ' ἐπιμόριος... διὰ τοῦτο καὶ ὁ Πρόκλος, καθάπερ ὁ φιλόσοφος ἔλεγεν, οὕτως ἐξηγεῖτο τὸ χωρίον. δεῖ, φησίν, ἐκκεῖσθαι πλείονας ἀριθμοὺς ἐκ μονάδος ἐν τῷ αὐτῷ πολλαπλασίονι λόγῳ. ἔστω διπλάσιον, οἷον α' β' δ' η' ιϛ' λβ' ξδ' ρκη' σνϛ' καὶ ἐφεξῆς· δυνατὸν γὰρ ἐπ' ἄπειρον προϊέναι. καὶ ἔστιν, ὡς ἡ μονὰς πρὸς τὸν β', οὕτως ὁ β' πρὸς τὸν δ', καὶ ὁ δ' πρὸς τὸν η', καὶ ὁ η' πρὸς τὸν ιϛ', καὶ ὁ ιϛ' πρὸς τὸν λβ', καὶ ἐφεξῆς. ἐν οἷς τῆς τοιαύτης ἀναλογίας προϊούσης εἰς ἄπειρον τάχιστα γίνεται ἡ αὔξησις κατὰ τοὺς πολλαπλασίονας λόγους· οὐ γὰρ μόνον ἐν τῷ διπλασίῳ τοῦτο συμβαίνει, ἀλλὰ κἂν τοῖς τριπλασίοις καὶ τοῖς τετραπλασίοις καὶ τοῖς λοιποῖς ἅπασιν. ἐπὶ μέντοι τῶν ἐπιμορίων, οὓς ὁ Ἀλέξανδρος ὑπέθετο, οὐδαμῶς· οὐ γὰρ ὡς ὁ β' πρὸς τὸν γ', καθάπερ εἴρηται, οὕτως ἔστιν ἐφεξῆς εὑρεῖν καὶ τὸν γ' πρὸς ἕτερόν τινα τῶν μετ' αὐτὸν τὸν αὐτὸν λόγον ἔχοντα. ὅπως δὲ δεῖ εὑρίσκεσθαι πλείονας ἐπιμορίους ἐφεξῆς μέθοδον δεῖ ἀριθμητικῆς, ἣν ὁ Νικόμαχος ἐν τῇ εἰσαγωγῇ παραδίδωσιν. id. ib.

77b 41. εἴρηται ὅτι ὁ Καινεὺς οὗτος σοφιστὴς ἦν, ὅστις ἔλεγεν ὅτι τὸ πῦρ ἐν πολλαπλασίονι ἀναλογίᾳ γεννᾶται διὰ τὸ τάχιστα αὔξεσθαι, κατασκευάζων τοῦτο ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν, καὶ ποιῶν τὸ σχῆμα ἀσυλλόγιστον, καὶ τὸ μὲν "τὸ πῦρ ταχὺ γεννᾶται" ἐλάττονα ποιῶν πρότασιν, τὸ δὲ τὴν πολλαπλάσιον ἀναλογίαν ταχὺ αὔξεσθαι μείζονα, id. f. 35 b.

78a 3. τουτέστιν ἐὰν δὲ ἀντιστρέψωμεν τοὺς ὅρους τῆς μείζονος προτάσεως, καὶ εἴπωμεν ὅτι τῇ ταχίστῃ γεννήσει ἢ αὐξήσει ἕπεται ἡ πολυπλασίων ἀναλογία· γίνονται γὰρ τότε ἐν πρώτῳ σχήματι δύο καταφατικαί. ὑποστικτέον οὖν εἰς τὸ "ταχίστῃ." id. ib.

78a 6. "ἀλλ' οὐχ ὁρᾶται." τουτέστιν ὅτι εἰ καὶ ἔστιν ἐπί τινων τοιούτων ἀναγκαῖον τὸ συμπέρασμα συνάγειν διὰ τὰς προτάσεις, ὥσπερ εἶπον, ἐπὶ τῶν ἐξισαζόντων χρωμένους τῇ ἀντιστροφῇ τῆς μείζονος, ἀλλ' οὐχ ὁρᾶται τὸ ἀναγκαῖον διὰ τὸ ἀσυλλόγιστον τῆς συμπλοκῆς τῶν προτάσεων· οὐδὲ γὰρ ἡ συμπλοκὴ αἰτία, ἀλλὰ τὸ ἐξισάζειν τοὺς ὅρους, ὡς δύνασθαι καὶ ὑγιῶς συμπλέκεσθαι. id. ib.

ἐφ' ἕτερόν τι μεταβέβηκε, καθ' ὃ πάλιν διακρίνει τοὺς ἀποδεικτικοὺς συλλογισμοὺς τῶν διαλεκτικῶν, ὅτι ῥᾴων ἡ ἀνάλυσις ἐν ταῖς ἀποδείξεσιν ἢ ἐν τοῖς διαλεκτικοῖς. ἀνάλυσιν δὲ καλοῦσιν οἱ γεωμέτραι τὴν εὕρεσιν τῶν προτάσεων δι' ὧν συνήχθη τὸ ἀληθὲς συμπέρασμα· οἷον εἰ προτεθείη ἡμῖν συμπέρασμά τι ἀληθές, ὅτι τόδε τρίγωνόν ἐστιν ἰσόπλευρον, τὴν μέθοδον δι' ἧς εὑρίσκομεν τὰς προτάσεις δι' ὧν τοῦτο συνήχθη, ἀνάλυσίν φασι. νῦν μὲν γὰρ προτεθέντος πῶς ἂν συσταίη τρίγωνον ἰσόπλευρον, διὰ τῶν προτάσεων εὕρομεν τὸ συμπέρασμα, ἀπό τινων ὡμολογημένων ἀρξάμενοι καὶ λήξαντες εἰς τὸ ζητούμενον, καὶ καλεῖται τὸ τοιοῦτον σύνθεσις. ἡ ἀνάλυσις δὲ ἔμπαλιν ἔχει τῇ συνθέσει· λαβόντες γὰρ τὸ πρότερον ζητούμενον ὡς ὁμολογούμενον, ὅτι τόδε τρίγωνόν ἐστιν ἰσόπλευρον, ζητοῦμεν τίνες ἂν εἶεν αἱ προτάσεις δι' ὧν τοῦτο κατεσκευάσθη, ἵνα ἐξ αὐτῶν ἀναλύοντες εὕρωμεν αὐτάς, ἕως οὗ φθάσωμεν εἴς τινα ὁμολογούμενα καὶ τὰς ἀρχὰς τῆς γεωμετρίας. καὶ ἔστι τοῦτο ἕξεως ἀκροτάτης, τὸ δύνασθαι συνορᾶν ἕκαστον συμπέρασμα ἐκ ποίων προτάσεων συνῆκται. id. ib.

78a 12. τὸ δὲ "ἀλλ' ὁρισμούς" πρὸς τὸ λαμβάνουσι συντακτέον, οὐχ ἢ οὕτω συνημμένον· ἀντιστρέφει δὲ μᾶλλον τὰ ἐν τοῖς μαθήμασιν, ὅτι οὐδὲν συμβεβηκὸς λαμβάνουσιν ἀλλ' ὁρισμούς. τὸ δὲ "ἀλλὰ καὶ τούτῳ διαφέρουσι τῶν ἐν τοῖς διαλόγοις" διὰ μέσου. διαφέρουσι δὲ ὅτι αἱ μὲν διαλεκτικαὶ πολλὰ καὶ τῶν κατὰ συμβεβηκὸς λαμβάνουσιν, αἱ δὲ ἐπιστῆμαι τοὺς ὁρισμοὺς καὶ τὰ καθ' αὑτὸ τοῖς πράγμασιν ὑπάρχοντα, ταῦτα δὲ ὥρισται. id. f. 36.

78a 14. ἐφ' ἕτερον μεταβαίνει, διακρίνων ὁμοίως τὰς ἐπιστήμας τῆς διαλεκτικῆς. ἔστι δὲ καὶ τοῦτο ἀκόλουθον τοῖς πρὸ αὐτοῦ. φησὶν οὖν διὰ τοῦτο ῥᾳδίαν εἶναι τὴν ἀνάλυσιν ἐπὶ τῶν ἐπιστημῶν, ἐπεὶ καὶ ἡ σύνθεσις ἁπλουστέρα καὶ ἡ τῶν λόγων αὔξησις· ἐν μὲν γὰρ ταῖς ἐπιστήμαις αὐξομένων τῶν συλλογισμῶν, καὶ ἀεὶ βουλομένων ἡμῶν συμπεράσματα συμπεράσμασιν ἐπισυνάπτειν, ἀεὶ τοὺς ὅρους ἔξωθεν προστίθεμεν καὶ οὐδέποτε μεταξύ. οἷον εἰ διὰ τοῦ α' β' δέδεικται τὸ γ', ἀεὶ ἡ πρόσθεσις τῶν ὅρων ἔξωθεν γίνεται· τῷ γ' γὰρ προστίθεται τὸ δ', οὐδέποτε δὲ μεταξὺ τοῦ α' β' ἢ τοῦ β' γ'· τὸ μὲν γὰρ πρῶτον θεώρημα ἐν γεωμετρίᾳ διὰ τῶν ὅρων δέδεικται καὶ τῶν ἀξιωμάτων, τὸ δὲ δεύτερον διὰ τοῦ α' καὶ διὰ τοῦ β' τὸ γ'· καὶ οὕτως ἐφεξῆς ἡ αὔξησις γίνεται, μηδέποτε μέσου ὅρου ἐπεντιθεμένου, ἀλλ' ἀεὶ ἐπισυναπτομένου τοῖς πρώτοις. τούτου δὲ αἴτιον, ὅτι ἐκ τῶν καθ' αὑτὸ καὶ πρώτως ὑπαρχόντων αἱ ἀποδείξεις, καὶ οὐκ ἐνδέχεται δι' ἐμμέσου προτάσεως ἀποδειχθῆναί τι. id. ib.

78a 16. ὅτι κἂν ἐφ' ἑκάτερα τὰ μέρη γίνηται ἡ αὔξησις τῶν συλλογισμῶν, ὅμως οὐδέποτε ἐπὶ τῶν ἐπιστημῶν μεταξὺ ἐπεντίθεται ὅρος. γίνεται δὲ ἐφ' ἑκάτερα τοῦτον τὸν τρόπον, ὡς ἐφ' ὧν αὐτὸς τίθησι παραδειγμάτων. παραλαμβάνει γὰρ τὸ μὲν α' ἀριθμόν, ἐφ' ἑκάτερον δὲ τούτου τὸ β' καὶ τὸ δ', καὶ καλεῖ τὸ μὲν β' περιττὸν ἀριθμόν, τὸ δὲ δ' ἄρτιον· ὁμοίως ὑπὸ μὲν τὸ β' τὸ γ' περιττὸν ἀριθμὸν ὡρισμένον, τοῦ β' ὄντος περιττοῦ ἀριθμοῦ ἀορίστου· ὁμοίως καὶ ὑπὸ τὸ δ' τὸ ε', ὃ καλεῖ ἄρτιον ἀριθμὸν ὡρισμένον, τοῦ δ' ἀρτίου ἀορίστου ὄντος. εἰ οὖν τὸ μὲν α' ὁ ἀριθμός, λέγω δὴ ὁ ἁπλῶς, εἴτε ἄπειρος εἴη εἴτε

σιν εἶναι ἀγνοούμενα, τὰ δὲ ἀπ' αὐτῆς ψευδῆ κατὰ διάθεσιν. τὰ κατὰ ποίαν οὖν τούτων ἀγεωμέτρητα, ἐφεξῆς διὰ τῶν παραδειγμάτων τούτων τίθησιν. κατὰ τὶ μὲν γεωμετρικόν ἐστι τῷ τοὺς ὅρους ἔχειν ἐκ γεωμετρίας, τῷ δὲ ψευδῆ λαμβάνειν ἀγεωμέτρητον. ἢ ὅπερ καὶ μᾶλλον δοκεῖ βέλτιον, τοῦ ἑτέρου τρόπου τῆς ἀγνοίας τοῦ κατὰ ἀπόφασιν διακρίνει τὴν κατὰ διάθεσιν. καὶ τὰ ἐφεξῆς δὲ ἐπαγόμενα ταύτης ἔχεται τῆς ἐννοίας· διττὸν γὰρ τὸ ἀγεωμέτρητόν φησιν ὥσπερ καὶ τὸ ἄρρυθμον, καθὰ δὴ ἀνωτέρω πλατύτερον περὶ τούτου εἰρήκαμεν. id. ib.

77 b 26. αὕτη ἡ ἄγνοια ἡ εἰρημένη, δηλονότι τὸ φαύλως ἔχειν. φαύλως δὲ ἔχειν τὸ ἐξ ἀρχῶν ἤγουν προτάσεων οὐκ ἀληθῶν· αἱ γὰρ ψευδεῖς ταῖς ἀληθέσιν ἐναντίαι. id. ib.

77 b 27. βούλεται ἐνταῦθα εἰπεῖν ὅτι οὐχ οὕτως οἱ παραλογισμοὶ ἐν ταῖς ἐπιστήμαις γίνονται ὡς ἐν ταῖς διαλεκτικαῖς μεθόδοις· ἧττον γὰρ ἐν ταῖς ἐπιστήμαις παρενοχλεῖ τὸ ψεῦδος ἤπερ ἐν ταῖς διαλεκτικαῖς συνουσίαις. αἴτιον δὴ τούτου ὁ μέσος ὅρος ὁ διττῶς λαμβανόμενος· παντί τε γὰρ τῷ ἐλάττονι ὑπάρχει, καὶ κατὰ τούτου παντὸς ὁ μείζων· ἐπεὶ οὖν δὶς λαμβάνεται, πολλοὶ δέ εἰσι τῶν ὅρων ὁμώνυμοι, ἐὰν ληφθῇ κατ' ἄλλο μὲν σημαινόμενον κατηγορούμενος τοῦ ὑποκειμένου, λέγω δὴ τοῦ ἐλάττονος, κατ' ἄλλο δὲ αὐτοῦ ὁ μείζων κατηγορούμενος, παραλογισμὸς γίνεται, οἷα πολλάκις ἐν ταῖς διαλέξεσι γίνονται. οἷον οἱ σοφοὶ μανθάνουσιν, οἱ μανθάνοντες οὐκ ἴσασιν, οἱ σοφοὶ ἄρα οὐκ ἴσασι· τὸ γὰρ μανθάνειν ὁμώνυμον, καὶ ἐπὶ τοῦ συνιέναι καὶ ἐπὶ τοῦ διδάσκεσθαι λεγόμενον. λανθάνει οὖν ἡ ἀπάτη διὰ τὴν ὁμωνυμίαν... ἐπεὶ οὖν οὐ περὶ ὡρισμένα τινὰ πράγματα οἱ διαλεκτικοὶ τὴν σπουδὴν ἔχουσιν, οὐδὲ τοὺς μέσους ὡρισμένους, πολλὰς ἀπάτης ἀφορμὰς ἔχουσιν. ἐπὶ δὲ τῶν ἐπιστημῶν οὐχ οὕτως· ὥρισται γὰρ τὰ καθ' ἑκάστην ἐπιστήμην πράγματα, καὶ οὐδέποτε παρὰ τὴν ὁμωνυμίαν πλάνη ἐν αὐτοῖς γίνεται, οἷον, ὡς αὐτός φησιν, εἰ λέγοιτο κύκλος καὶ τὰ ἔπη καὶ τὸ σχῆμα. id. ib.

77 b 30. ἐπειδὴ εἶπε τὸ μέσον κατὰ παντὸς τοῦ ἐλάττονος, τὸ δὲ μεῖζον κατὰ τοῦ μέσου παντός, ἀναμιμνήσκει ἡμᾶς τῶν εἰρημένων ἐν τῷ περὶ Ἑρμηνείας (p. 17 *b* 13), ὅτι τῷ κατηγορουμένῳ ὁ προσδιορισμὸς οὐ συντάττεται (οὐ γάρ φαμεν ὁ ἄνθρωπος πᾶν ζῷον), ἀλλὰ μόνως τοῖς ὑποκειμένοις. id. ib.

"ταῦτα" τοὺς ὅρους φησίν, "ὁρᾶν" δὲ ἐν τοῖς μαθήμασι δηλονότι· περὶ τούτων γὰρ ὁ λόγος. ἐν δὲ τοῖς μαθήμασι, φησίν, οὐκ ἔστιν ὁμοίως παραλογισμὸς διὰ τὸ διττὸν τοῦ μέσου ὅρου· ἕκαστος γὰρ ὅρος τῶν ἐν τοῖς μαθήμασι διὰ τὸ ὡρισμένον οἷον δεῖξίς ἐστι, καὶ ἅμα τῷ ἀκοῦσαι κύκλον ἢ τοιοῦτόν τι εὐθὺς ὁρᾷ ὁ ἐπιστήμων τὸ λεχθὲν ἐν ἑαυτῷ γεγραμμένον. id. ib.

77 b 31. τουτέστιν, ἐν ταῖς διαλεκτικαῖς συνουσίαις λανθάνει τὰ ὀνόματα διὰ τὸ μὴ ὡρίσθαι. id. ib.

κύκλον δέ φησι τὰ ἔπη ἤτοι τὰ ἐπιγράμματα τὰ οὕτω πεποιημένα, οὐχ ὡς τῇ κατὰ τὸ τέλος τοῦ πρώτου στίχου λέξει ἀκολουθούσης τῆς ἀρχῆς τοῦ δευτέρου καὶ τούτῳ τοῦ τρίτου καὶ ἐφεξῆς, ἀλλ' ὡς δύνασθαι τὸν αὐτὸν στίχον καὶ ἀρχὴν καὶ τέλος ποιεῖσθαι, οἷόν ἐστι καὶ τοῦτο "χαλκῆ παρθένος εἰμί, Μίδου δ' ἐνὶ σήματι κεῖμαι.".. λέγει δὲ Ἡρόδοτος ἐν τῷ βίῳ τοῦ Ὁμήρου Ὁμήρου εἶναι τὸ ἐπίγραμμα εἰς Μίδαν τῶν Φρυγῶν βασιλέα. ἢ τοίνυν τὰ τοιαῦτα ἐπιγράμματα κύκλον φησίν, ἢ κύκλον λέγει τὰ ἐγκύκλια μαθήματα, οὕτω καλούμενα ἢ ὡς πᾶσαν ἱστορίαν περιέχοντά πως, ἢ ὡς πάντων ῥητόρων τε καὶ φιλοσόφων τῶν τε καθόλου κατὰ μέρος περὶ αὐτὰ εἰλουμένων. ἔστι δὲ καὶ ἄλλο τι κύκλος ἰδίως ὀνομαζόμενον, ὃ ποίημα τινὲς μὲν εἰς ἑτέρους τινὲς δὲ εἰς Ὅμηρον ἀναφέρουσι. περὶ μὲν γὰρ τὰ ἄλλα τῶν μαθημάτων οὐ πάντες στρέφονται, οἷον περὶ ἰατρικὴν ἢ περὶ ῥητορικὴν ἢ ἄλλην τινά· περὶ ταῦτα μέντοι σχεδὸν πάντες στρέφονται καὶ οἱ περὶ τὰς ἄλλας λογικὰς ἐπιστήμας σπουδάζοντες. ἢ ὡς ἐμοὶ δοκεῖ, διὰ τὸ πάντας τοὺς ποιητὰς περὶ τὰς αὐτὰς ἱστορίας εἰλεῖσθαι. ταύτῃ δὲ δόξουσι μὲν ἴσως τὰ κωμικὰ τῶν ἐγκυκλίων ἀποκρίνεσθαι· φημὶ δὲ ὅτι μάλιστα μὲν ἡ ἀρχαία κωμῳδία οὐδὲ τούτων ἀπήλλακται, ἀλλὰ παρεμπλέκονται πολλαχοῦ ἱστορίαι αἷς καὶ οἱ ἄλλοι ποιηταὶ χρῶνται. ἄλλως τε δὲ ὅτι καὶ κυρίως μὲν τὰ ἄλλα εἶεν ἂν ἐγκύκλια, κατὰ συνεκδοχὴν δὲ καὶ ταῦτα. id. ib.

77 b 34. ὃ λέγει διὰ τούτων τοῦτό ἐστιν. πρὸς τοὺς τοιούτους, φησί, παραλογισμοὺς οἷός ἐστι καὶ ὁ νῦν προκείμενος ὁ λέγων "τὰ ἔπη κύκλος, ὁ κύκλος σχῆμα, τὰ ἔπη ἄρα σχῆμα," δεῖ οὖν, φησίν, ἐνισταμένους τὰς ἐνστάσεις μὴ δι' ἐπαγωγῆς φέρειν, οἷον, εἰ τύχοι, τάδε καὶ τάδε τὰ ἔπη προφέροντας ὡς οὐκ εἶεν κύκλοι, ἀλλὰ καθολικῶς ἐνίστασθαι, ὅτι οὐδὲν ἔπος κύκλος. ὥσπερ γὰρ οὐδὲ πρότασίς ἐστιν ἀποδεικτικὴ ἣ μή ἐστι καθόλου, διότι ἐκ τῶν καθόλου ὁ συλλογισμός, οὕτως οὐδὲ ἔνστασίς ἐστιν ἐπιστημονικὴ ἣ μή ἐστι καθόλου· ἡ γὰρ ἔνστασις, φησίν, αὕτη καὶ τοῦ συλλογισμοῦ μέρος γίνεται... καὶ ὁ μὲν φιλόσοφος οὕτως ἐξηγήσατο τὸ χωρίον· ἐμοὶ δὲ οὔτε καλῶς εἰρῆσθαι δοκεῖ (ἀεὶ γὰρ δεῖ τὴν ἔνστασιν συμπέρασμα εἶναι τοῦ συλλογισμοῦ· ταύτην γὰρ δεῖ δηλονότι ἀποδεῖξαι, ἵνα τὴν ἀντικειμένην αὐτῇ δείξωμεν μὴ καλῶς οὖσαν) οὔτε ταῖς Ἀριστοτελικαῖς συμφωνεῖν λέξεσιν· "ἣν γὰρ φέρει" φησὶν "ἔνστασιν, αὕτη γένοιτ' ἂν πρότασις ἢ ἀποδεικτικὴ ἢ διαλεκτική." διόπερ τὴν ἀκριβῆ τοῦ χωρίου ἐξήγησιν δοκεῖ καλῶς ἔχειν ὑπερθέσθαι, ἕως ἂν ἐντύχοιμι καὶ ἄλλοις ἐξηγηταῖς. id. f. 35.

77 b 40. εἰπὼν ὅτι ἧττον ἐν ταῖς ἐπιστήμαις γίνεται ὁ παραλογισμὸς ἢ ἐν ταῖς διαλεκτικαῖς μεθόδοις διὰ τὸ τὸν μέσον ὁμώνυμον ἐν ταῖς διαλεκτικαῖς μεθόδοις λαμβάνεσθαι, ἐν δὲ ταῖς ἐπιστήμαις μηκέτι, βούλεται νῦν καὶ περὶ τῶν παρὰ τὸ σχῆμα ἡμαρτημένων συλλογισμῶν εἰπεῖν. οἱ γὰρ παρὰ τὴν ὁμωνυμίαν τοῦ μέσου ὅρου γινόμενοι παραλογισμοὶ οὐκ ἂν εἶεν παρὰ τὸ σχῆμα ἡμαρτημένοι· κυρίως γὰρ καὶ κατ' ἀλήθειαν οἱ τοιοῦτοι οὐδὲ συλλογισμοὶ ἂν εἶεν, ἀλλ' ἐφ' ἑκάστου δύο προτάσεις διεσπασμέναι ἀλλήλων· διὰ δὲ τὴν ὁμωνυμίαν δοκεῖ ὁ μέσος συνῆφθαι τοῖς ἄκροις, καὶ συνῆφθαι συλλογιστικῶς. εἰπὼν οὖν ὅτι παρὰ τὸν μέσον ὅρον ὁμώνυμον ὄντα πολλάκις ἐν ταῖς διαλέξεσι γίνονται πολλοὶ παραλογισμοί, ὅπερ ἐν ταῖς ἐπιστήμαις οὐ συμβαίνει, νῦν βούλεται δεῖξαι καὶ τοὺς παρὰ τὸ σχῆμα γινομένους ἐν ταῖς διαλέξεσι παραλογισμούς, καθ' οὓς πάλιν διαφέρουσιν αἱ ἐπιστῆμαι τῶν διαλέξεων. γίνονται οὖν, φησί, καὶ παρὰ τὸ σχῆμα παραλογισμοὶ διὰ τὸ πολλάκις τὸ αὐτὸν μέσον τοῖς δύο ἄκροις ἕπεσθαι, τουτέστι διὰ τὸ λαμβάνειν ἐν δευτέρῳ σχήματι δύο κατα-

77a 31. εἰπὼν ὅτι τοῖς κοινοῖς πᾶσαι κέχρηνται αἱ ἐπιστῆμαι, καίτοι γε πρὸ πάντων καὶ ἡ διαλεκτικὴ καὶ ἡ πρώτη φιλοσοφία, ἐντεῦθεν διακρίνει τὴν διαλεκτικὴν τῶν τε ἄλλων πασῶν καὶ τῆς πρώτης φιλοσοφίας, τῶν μὲν ἄλλων πασῶν, ὅτι ἑκάστη μὲν τῶν ἄλλων περὶ ἕν τι γένος καταγίνεται, αὕτη δὲ περὶ πάντων. ἅμα δὲ πασῶν διαφέρει καὶ τῆς πρώτης φιλοσοφίας, ὅτι ἡ μὲν διαλεκτικὴ ἐρωτᾷ τὸν προσδιαλεγόμενον, καὶ ἐξ αὐτοῦ λαμβάνουσα τὰς προτάσεις οὕτως ἐκ τῶν δοθεισῶν παρ' ἐκείνου προτάσεων, τὸ προτεθὲν κατασκευάζει, ὃ καὶ ἐξ ἑκατέρων τῶν μορίων τῆς ἀντιφάσεως τὸ αὐτὸ κατασκευάζει. (vid. Analyt. Pr. 2 15). id. ib.

77a 36. βούλεται δεῖξαι διὰ τούτου ὅτι οὔτε πᾶν ἐρώτημα ἐρωτήσει ἑκάστη τῶν κατὰ μέρος ἐπιστημῶν, ἀλλὰ μόνον ὅσα ἐρωτᾷ οἰκείως ἑκάστη ἐπιστήμη, οἷον ὁ γεωμέτρης τὰ γεωμετρικά, ὁ ἀριθμητικὸς τὰ ἀριθμητικά, οὔτε πρὸς πᾶν ἐρώτημα ἀποκρίνεται, ἀλλὰ μόνον εἰς ὁπόσα ἐρωτῶνται ἐξ ἑκάστης τῶν ἐπιστημῶν. δείκνυσι δὲ τοῦτο πάνυ σαφῶς καὶ συντόμως. id. f. 32 *b*.

77b 9. οἷον ζητεῖται παρὰ τοῖς γεωμέτραις ὁ τοῦ κύκλου τετραγωνισμός. καὶ τοῦτον μὲν Ἀντιφῶν καὶ Βρύσων ἔδοξαν εὑρηκέναι, πλὴν κακῶς τε καὶ σφαλερῶς. id. f. 33.

77b 16. ἐπειδὴ εἶπεν ὅτι οὐ πᾶν ἐρωτητέον τὸν γεωμέτρην ἢ τὸν ἰατρὸν ἤ τινα τῶν ἄλλων ἐπιστημόνων, ἀλλὰ μόνα τὰ τῇ οἰκείᾳ ἐπιστήμῃ ἀνήκοντα, καὶ ὅτι οὐ πρὸς πᾶν ἐρώτημα ἀποκριτέον τὸν ἐπιστήμονα ἀλλὰ πρὸς μόνα τὰ οἰκεῖα, οἷον τὸν γεωμέτρην πρὸς τὰ γεωμετρικὰ καὶ τὸν ἰατρὸν πρὸς τὰ ἰατρικά, ζητεῖ ἐν τούτοις, ἆρα ὥσπερ ἐστὶ γεωμετρικὰ ἐρωτήματα, οὕτως ἐστὶ καὶ ἀγεωμέτρητα; καὶ ἐπὶ τῶν ἄλλων ἐπιστημῶν ὡσαύτως· καὶ εἴπερ εἰσί, ποῖά εἰσι ταῦτα, καὶ κατὰ ποίαν ἄγνοιαν ἀγεωμέτρητα ἂν εἶεν; καὶ ἵνα σαφῆ ποιήσωμεν τὸν λόγον, ἐκ τῶν ἐφεξῆς αὐτῷ πλατύτερον ῥηθησομένων λαβόντες καὶ τὰ ἐνταῦθα διαρθρώσωμεν. διττὴν οὖν φησὶ τὴν ἄγνοιαν εἶναι, τὴν μὲν κατὰ ἀπόφασιν τὴν δὲ κατὰ διάθεσιν· καὶ κατὰ ἀπόφασιν μέν φησι τὴν μηδεμίαν ἔννοιαν ἔχουσαν περὶ τοῦ πράγματος, κατὰ διάθεσιν δὲ τὴν ἔχουσαν μὲν περὶ τοῦ πράγματος ἔννοιάν τινα, πλὴν οὐκ ἀσφαλῆ καὶ ἠκριβωμένην. οἷον ὁ μὴ εἰδὼς ὅλως εἴτε εἰσὶ παράλληλοι εὐθεῖαι εἴτε καὶ μή, εἰ δὲ καὶ οἶδεν, εἴτε συμπίπτουσιν εἴτε καὶ μή, οὗτος τὴν κατὰ ἀπόφασιν ἄγνοιαν ἔχει. εἰ δέ τις οἴοιτο τὰς παραλλήλους συμπίπτειν, οὗτος τὴν κατὰ διάθεσιν ἔχει ἄγνοιαν· κακῶς γὰρ περὶ τοῦ πράγματος διάκειται· ἣν ὁ Πλάτων διπλῆν ἄγνοιαν καλεῖ. κατὰ ποίαν οὖν τῶν ἀγνοιῶν τὰ ἀγεωμέτρητα καὶ τὰ ἀμούσικα ἐρωτήματα γίνονται, δι' ἐρωτήσεως ποιεῖται τὴν διδασκαλίαν. πάλιν δὲ τῆς κατὰ διάθεσιν ἀγνοίας διχῇ διαιρουμένης, ὡς καὶ Πλάτων φησίν, ἤτοι κατὰ τὴν ὕλην ἢ κατὰ τὸ εἶδος τῶν συλλογισμῶν (ὁ γὰρ παραλογιζόμενος ἑαυτὸν ὅτι αἱ παράλληλοι συμπίπτουσιν, ἤτοι ψευδεῖς προτάσεις λαβὼν καὶ ταύτας συλλογιστικῶς συμπλέξας οὕτω ψευδὲς συνάγει συμπέρασμα, ἢ ἀληθεῖς μὲν λαβὼν προτάσεις, ἀσυλλογίστως δὲ ταύτας συμπλέξας, οἷον ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν) πότερον οὖν τούτων μᾶλλον ἀγεωμέτρητόν ἐστιν ἐρώτημα ὁ κατὰ τὴν ὕλην ἡμαρτημένος συλλογισμὸς ἢ ὁ κατὰ τὸ εἶδος, ἢ καὶ ἀμφότεροι; φημὶ δή, ὥσπερ τὸ ἄρρυθμον διττόν, τὸ μὲν ὃ μηδ' ὅλως πέφυκε ῥυθμὸν ἔχειν, οἷον εἴ τις τὸ σημεῖον λέγοι ἄρρυθμον τῷ μὴ πεφυκέναι ἔχειν ῥυθμόν. τὸ δὲ τῷ ἔχειν μὲν κακῶς δέ, ὥσπερ φαμὲν τὸν στίχον ἄρρυθμον τὸν κακόρρυθμον, οὕτω καὶ τὸ ἀγεωμέτρητον ἢ τὸ πάντη ἐν ἀποφάσει ὂν γεωμετρίας ἢ τὸ κακῶς καὶ ἀνεπιστημόνως πλεκόμενον. τοιαῦτα δέ ἐστι τὰ κατὰ τὰς ἄλλας ἐπιστήμας, οἷον εἰ μουσικόν τις ἐρωτήσει τὸν γεωμέτρην θεώρημα ἢ ἰατρικόν· τοῦτο γὰρ τῆς κατὰ ἀπόφασιν ἀγνοίας ἐστί, καὶ οὕτω τοῦτο ἀγεωμέτρητον ὥσπερ τὸ σημεῖον ἄρρυθμον... καλεῖ δὲ ὁ Ἀριστοτέλης κοινῶς μὲν ἀμφότερα ἁμαρτίαν, ἰδίως δὲ τὴν παρὰ τὸ σχῆμα ἤγουν τὴν ἀσυλλόγιστον ἁμαρτίαν παραλογισμὸν ἐκάλεσεν, ἐπεὶ οὐχ ὑγιῶς ἐκ συλλογιστικῶν γίνεται λόγων, τὴν δὲ παρὰ τὴν ὕλην αὐτὸ τοῦτο ἁμαρτίαν. καὶ αὕτη μὲν ἡ ἐξήγησις ἔχει οὕτως ἐὰν κατ' ἐρώτησιν ὁ λόγος προάγηται, τουτέστιν ἐὰν προπερισπᾶται τὸ ἆρα καὶ παροξύνηται τὸ ποίαν· ἐὰν δὲ παροξύνηται τὸ ἄρα, ὀξύνηται δὲ καὶ τὸ ποιάν (φέρεται γὰρ καὶ αὕτη ἡ γραφή), οὕτως ἐξηγηθήσεται, ὅτι ἐπεί εἰσι γεωμετρικὰ ἐρωτήματα, εἰσὶν ἄρα καὶ ἀγεωμέτρητα, καὶ τὰ κατὰ τὴν ἄγνοιαν τὴν ποιὰν ἤτοι τὴν τοιάνδε, λέγω δὴ τὴν κατὰ διάθεσιν, ἐπισυνιστάμενα ἀγεωμέτρητα ἐρωτήματα, ἐκεῖνά εἰσι τὰ κυρίως ἀγεωμέτρητα. καὶ ἔστιν αὕτη ἡ ἐξήγησις προσφυεστέρα τε ἅμα καὶ σαφεστέρα τῆς προτέρας. id. f. 33 *b*.

ἐπεὶ καὶ τὰ ἀγεωμέτρητα θεωρήματα συνίστανται κατὰ ἄγνοιαν, ἡ δὲ ἄγνοια διττή, ἡ μὲν κατὰ διάθεσιν ἡ δὲ κατὰ ἀπόφασιν, ἐρωτᾷ ὁ λόγος, τὸ ἀγεωμέτρητον ἐρώτημα κατὰ ποῖον εἶδος ἀγνοίας καὶ ἐπιγίνεται καὶ συνίσταται, κατὰ τὴν ἄγνοιαν τὴν κατὰ διάθεσιν ἤτοι κατὰ ἀπόφασιν; ἐπικρινεῖ δὲ ὁ Ἀριστοτέλης προϊὼν ὅτι τὸ κυρίως ἀγεωμέτρητον ἤτοι τὸ κακογεωμέτρητον ἐπισυνίσταται κυρίως κατὰ τὴν ἄγνοιαν τὴν κατὰ διάθεσιν. ἢ καὶ οὕτως συμβιβαστέον τὸ ῥητὸν κατὰ ἀπόφανσιν, ὅτι ἐπεί εἰσι γεωμετρικὰ ἐρωτήματα, εἰσὶν ἄρα καὶ ἀγεωμέτρητα, καὶ κατὰ τὴν ἄγνοιαν τὴν ποιάν, ἤτοι τὴν τοιάνδε, λέγω δὲ τὴν κατὰ διάθεσιν, ἐπισυναγόμενα ἀγεωμέτρητα ἐρωτήματα ἐκεῖνά εἰσι κυρίως ἀγεωμέτρητα. αὕτη δὲ ἡ ἐξήγησις προσφυής. καὶ τὸ "ἄρα" ὡς κατὰ ἀπόφανσιν λεγόμενον ὀξύνεται, καὶ οὕτως ἀναγινώσκεται τὸ ῥητὸν "τὰ κατὰ τὴν ἄγνοιαν τὴν ποιάν," λέγω τὴν τοιάνδε ἤτοι τὴν κατὰ διάθεσιν, καὶ οὐχὶ "τὰ κατὰ τὴν ἄγνοιαν τὴν ποίαν" ἐρωτηματικῶς. cod. 1917 in marg.

77b 18. πρὶν διελεῖν τὴν ἄγνοιαν ποσαχῶς λέγεται, πρότερον τοὺς τρόπους διαιρεῖ καθ' οὓς γίνεται ἐν πάσῃ ἐπιστήμῃ ἡ ἁμαρτία τοῦ ἀληθοῦς, λέγω δὴ τόν τε κατὰ τὴν ὕλην καὶ τὸν κατὰ τὸ σχῆμα. κατὰ κοινοῦ δὲ ἀκουστέον τὸ ἀγεωμέτρητον, ἤγουν κατ' ἀμφοτέρους τοὺς τρόπους. καὶ ἔστιν ἡ τοῦ ῥητοῦ σύνταξις οὕτως· πότερον ἀγεωμέτρητόν ἐστιν ἐρώτημα ὁ κατὰ τὴν ἄγνοιαν συλλογισμὸς ὁ ἐκ τῶν ἀντικειμένων, τουτέστιν ὁ κατὰ τὴν κατὰ διάθεσιν ἄγνοιαν ἐκ ψευδῶν δηλαδὴ προτάσεων γινόμενος συλλογισμός (αὗται γὰρ ἀντίκεινται ταῖς ἀληθέσιν), ἢ ὁ παραλογισμός, τουτέστιν ὁ παρὰ τὴν κατὰ τὸ σχῆμα ἁμαρτίαν γινόμενος, ὃν οὐδὲ συλλογισμὸν εἶπε διὰ τὸ μὴ ἐρρῶσθαι τὸ σχῆμα. καὶ τὸ κατὰ τὴν ἄγνοιαν δὲ κατὰ κοινοῦ ληπτέον καὶ ἐπὶ τοῦ παραλογισμοῦ. Ioh. Phil. f. 34.

77b 20. ἐνταῦθα διαιρεῖ τὴν ἄγνοιαν τήν τε κατὰ ἀπόφασιν καὶ τὴν κατὰ διάθεσιν, καὶ φησὶ τὰ μὲν ἐξ ἄλλης τέχνης ἐρωτήματα κατὰ ἀπόφα-

τασιν. καὶ ἁπλῶς εἰπεῖν, ἐπειδή, ὡς εἶπον, πάντα τὰ ἐν τῷ συμπεράσματι θεωρούμενα θεωρεῖται καὶ ἐν ταῖς προτάσεσι, καὶ οὐχ οἷόν τέ ἐστιν εἶναί τι ἐν τῷ συμπεράσματι ὃ μὴ προσείληπται ἐν ταῖς προτάσεσιν, ὡς δὲ εἶπον, ἐπὶ τινων συμπερασμάτων τὸ ὅλον ἀξίωμα τῆς ἀντιφάσεως συμπεραινόμεθα, λέγοντες, εἰ τύχοι, ὅτι τόδε ζῶόν ἐστι καὶ οὐχὶ ζῶον, ζητεῖ ποῦ τῶν προτάσεων τῷ συλλογισμῷ χρηστέον τούτῳ. τριῶν οὖν ὄντων ὅρων ἐν ταῖς προτάσεσι, ποῖον δεῖ τῷ τοιούτῳ σχήματι προφέρεσθαι, ὅτι τόδε καὶ οὐχὶ τόδε; καὶ φησὶν ὅτι μόνως ἐν τῷ μείζονι, ἐν οὐδενὶ δὲ τῶν ἄλλων... ἢ οὖν οὕτω τὸν σκοπὸν τῶν προκειμένων ἀφοριστέον, ἢ λεκτέον ὅτι πρόκειται αὐτῷ δεῖξαι πῶς κεχρήμεθα ἐν τοῖς συλλογισμοῖς τῷ ἀξιώματι τῆς ἀντιφάσεως, πῶς μὲν ἐν τοῖς ἐπ᾽ εὐθείας, πῶς δὲ ἐν τοῖς δι᾽ ἀδυνάτου, καὶ τίς ἡ πρὸς ἄλληλα τούτων διαφορά, ὅτι ἐν μὲν τοῖς ἐπ᾽ εὐθείας οὐκ ἀεί, ἀλλ᾽ ἐφ᾽ ὧν καὶ τὸ συμπέρασμα τοιοῦτον εἶναι βουλόμεθα, ἐπὶ δὲ τῶν δι᾽ ἀδυνάτου ἀεί, καὶ ἐπὶ μὲν τῶν ἐπ᾽ εὐθείας ἐν τῇ μείζονι προτάσει ἢ ἁπλῶς ἐν τῷ τέλει ἤγουν τῷ συμπεράσματι, ἐπὶ δὲ τῶν δι᾽ ἀδυνάτου ἐν τῇ ἐλάττονι ἢ ἁπλῶς ἐν τῇ ἀρχῇ. πᾶσα γὰρ δεῖξις ἡ δι᾽ ἀδυνάτου εὐθὺς ἐν τῇ ἀρχῇ κέχρηται τῷ ἀξιώματι τῆς ἀντιφάσεως· τίθεται γὰρ ὁ γεωμέτρης τὴν πλευρὰν ἢ σύμμετρον εἶναι ἢ ἀσύμμετρον, καὶ λαβὼν τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως τὸ ψεῦδος, οἷον ὅτι σύμμετρος, καὶ δείξας τούτῳ ἀδύνατόν τι ἀκολουθοῦν, ὅτι ἔσονται τὰ αὐτὰ ἄρτια καὶ περιττά, οὕτω συνάγει τὸ ἀντικείμενον. ὁ δὲ Θεμίστιος τὸν σκοπὸν τῶν προκειμένων ὡς πρὸς τὰ προειρημένα ἀποδίδωσιν. ἐπειδὴ γάρ φησιν, ὡς εἶπον ἐν τοῖς ἐπάνω, ὅτι οὐ πάντως παραλαμβάνουσιν αἱ ἐπιστῆμαι καὶ τὰ ἐξ ὧν αἱ ἀποδείξεις, ἐὰν ὦσι σαφῆ, αὐτὸ τοῦτο βούλεται νῦν δεῖξαι. ἰδοὺ γοῦν τῷ ἀξιώματι τῆς ἀντιφάσεως οὐδεμία σχεδὸν κέχρηται ἐπιστήμη συλλογιζομένη, ἀλλὰ διὰ τὸ εἶναι ἐναργὲς καὶ πρόδηλον παρορᾷ, ὡς δήλου πᾶσιν ὄντος, κἂν μὴ ὁ συλλογιζόμενος χρήσηται αὐτῷ ἐν λήμματι. εἶτα ἐπειδὴ ἐπί τινων συλλογισμῶν ἀνάγκη αὐτῷ χρῆσθαι ὡς λήμματι, λέγει ἐπὶ τίνων τε συλλογισμῶν αὐτῷ χρώμεθα, ὅτι ἐφ᾽ ὧν τοιοῦτον συναγαγεῖν βουλόμεθα συμπέρασμα, καὶ πῶς ἐν τοῖς λήμμασι προσλαμβάνεται. id. ib.

ὅταν δὴ προκείμενον ᾖ περί τινος συμπεράνασθαι ὅτι τόδε μὲν ἐστι τὸ δὲ ἀντικείμενον οὐκ ἔστιν, οἷον ὅτι ὁ κόσμος πεπερασμένος μέν ἐστιν οὐ πεπερασμένος δ᾽ οὐκ ἔστι, τοῦτ᾽ ἔστιν ἄπειρος οὐκ ἔστιν· τότε γὰρ ληπτέον ὅτι κατ᾽ οὐδενὸς σώματος ἐνδέχεται τὸ πεπερασμένον ἅμα φάναι καὶ ἀποφάναι· σῶμα δὲ ὁ κόσμος. καὶ ποιητέον ἀεὶ τὴν μείζονα πρότασιν τοιαύτην· οὕτω γὰρ καὶ τὸ συμπέρασμα ὅμοιον ἔσται. Themist. f. 6.

77 a 12. δείκνυται, φησί, τὸ τοιοῦτον συμπέρασμα, λέγω δὴ τὸ τῷ ἀξιώματι τῆς ἀντιφάσεως κεχρημένον, ἐὰν λάβωμεν ὅτι ὁ πρῶτος ὅρος, τουτέστιν ὁ μείζων, ἀληθῶς μὲν τοῦ μέσου καταφάσκεται, οὐκ ἀληθῶς δὲ οὐ καταφάσκεται, τουτέστιν ὅτε καὶ ἐπὶ τοῦ μείζονος ὅρου χρησόμεθα τῷ ἀξιώματι τῆς ἀντιφάσεως· τῆς γὰρ καταφάσεως ἀληθευούσης ἐπ᾽ αὐτοῦ μηδαμῶς ἀληθεύειν καὶ τὴν ἀπόφασιν. Ioh. Phil. f. 31.

77 a 13. τουτέστιν οὐδὲν κωλύει τὸν μέσον ὅρον, ὁμοίως δὲ καὶ τὸν ἐλάττονα, καὶ καταφατικῶς καὶ ἀποφατικῶς λαβεῖν. ὥστε εἰ μηδὲν κωλύει ἅμα καὶ καταφατικοὺς αὐτοὺς καὶ ἀποφατικοὺς λαμβάνεσθαι, ἀδύνατον αὐτῷ τῷ ἀξιώματι τῆς ἀντιφάσεως χρήσασθαι, ὅπου γε συναληθεύει. κατὰ δὲ τὸν Ἀλέξανδρον οὕτως ἑρμήνευται. εἰ καὶ ἀληθές ἐστι τὸ κατὰ τοῦ μέσου αὐτοῦ τὸν μείζονα ὅρον κατηγορεῖσθαι καὶ κατὰ τῆς ἀποφάσεως αὐτοῦ, ἀλλ᾽ οὐδέν γε διαφέρει πρὸς τὸν συλλογισμὸν καὶ τὸ προκείμενον συμπέρασμα τὸ οὕτω λαμβάνειν ἢ τὸν μέσον ἢ τὸν ἔσχατον. id. ib.

τὸ μὲν γὰρ "εἰ ἐδόθη, καθ᾽ οὗ ἄνθρωπος ἀληθὲς εἰπεῖν" ἴσον ἐστὶ 77 a 15.
τῷ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. ὁ γὰρ λέγων "καθ᾽ οὗ ἄνθρωπος παντός, κατ᾽ ἐκείνου ζῶον" τοῦτο λέγει, ὅτι κατὰ παντὸς ἀνθρώπου τὸ ζῶον. εἰ οὖν δέδοται καὶ εἴληπται πρότασις τοιαύτη, κατὰ παντὸς ἀνθρώπου ζῶον, οὐ μὴν καὶ μὴ ζῶον, τὸ ὅλον τοῦτο μόνον εἰ οὕτω ληφθείη, αὔταρκες εἰς τὸ γενέσθαι συμπέρασμα, ὅτι Καλλίας ζῶον, οὐ ζῶον δ᾽ οὔ, εἰ τοῦτο ἦν ὃ ἤδη ἦν λεχθῆναι προκείμενον. καὶ γὰρ εἰ ἀληθές, φησίν, ἐστὶ τὸ κατὰ ἀνθρώπου ζῶον καὶ κατὰ μὴ ἀνθρώπου, καὶ ἄνθρωπον κατὰ Καλλίου καὶ μὴ κατὰ Καλλίου, ἀλλὰ παρέλκει γε λαμβανόμενα, καὶ οὐδὲν εἰς τὸ προκείμενον συμπέρασμα συντελεῖ· αὔταρκες γὰρ ἐκεῖνο μόνον ληφθὲν τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου, οὐ ζῶον δὲ οὔ· μόνη γὰρ ἡ μείζων πρότασις ληφθεῖσα οὕτω χρήσιμος εἰς τὸ τοιοῦτον συμπέρασμα. id. ib.

εἰπὼν πῶς ἐπὶ τῆς εὐθείας δείξεως κεχρήμεθα τῷ ἀξιώματι 77 a 22.
τῆς ἀντιφάσεως καὶ πότε, λέγει καὶ ἐπὶ τῆς δι᾽ ἀδυνάτου, ὅτι πᾶσα μὲν ἡ δι᾽ ἀδυνάτου κέχρηται αὐτῷ, οὐ μὴν καθόλου, τουτέστιν οὐχ ὡς διήκοντος αὐτοῦ ἐπὶ πάντων τῶν ὄντων καὶ μὴ ὄντων, ἀλλ᾽ ἐπὶ τοσοῦτον αὐτῷ ἑκάστη ἐπιστήμη κέχρηται ἐφ᾽ ὅσον ἱκανὸν δεῖσθαι αὐτοῦ, καθ᾽ ὅσον καὶ ἑκάστη τῶν ἐπιστημῶν δεῖται αὐτοῦ ἐπί τινων ὑποβεβλημένων αὐτῇ, οἷον γεωμετρία μὲν ἐπὶ μεγεθῶν, ἀριθμητικὴ δὲ ἐπὶ ἀριθμῶν, καὶ αἱ λοιπαὶ ἐπὶ τῶν ἰδίων ὑποκειμένων. Ioh. Phil. f. 31 *b*.

κατὰ μέντοι τὰ κοινότερα τῶν ἀξιωμάτων πᾶσαι ἐπικοινωνοῦ- 77 a 26.
σιν ἀλλήλαις, οἷον ἐπὶ τοῦ τὴν ἀντίφασιν μὴ ἐνδέχεσθαι συναληθεύειν ἀλλήλοις· τούτῳ γὰρ πᾶσα τέχνη καὶ πᾶσα ἐπιστήμη χρήσεται. ταῦτα μὲν οὖν καὶ ἐν τοῖς ἔμπροσθεν εἶπεν· ἴσως δὲ πάλιν ἐν τούτοις ἀναλαμβάνει τὸν περὶ τούτου λόγον, ἵνα προσθῇ ὅτι καὶ ἡ διαλεκτικὴ τούτῳ κέχρηται τῷ ἀξιώματι, καὶ αὐτὴ ἡ πρώτη φιλοσοφία, ἣν καλεῖ σοφίαν ἐν τοῖς Μετὰ τὰ Φυσικά, καίτοι γε τὰς ἀρχὰς πάντων ἀποδεικνῦσα, κατ᾽ αὐτὸ δὲ τοῦτο τὸ τῆς ἀντιφάσεως ἀξίωμα ὁμοίως αὐτῷ ταῖς ἄλλαις κέχρηται. ὁ γοῦν Ἀριστοτέλης ἐν τῷ τρίτῳ βιβλίῳ τῶν Μετὰ τὰ Φυσικά, καίτοι, ὡς εἶπον, καὶ αὐτὸ τὸ τῆς ἀντιφάσεως ἀποδεικνὺς ἀξίωμα, ὅμως ἐχρήσατο αὐτῷ ἐν τοῖς λόγοις τοῖς πρὸς τοὺς ἀκαταληψίαν εἰσάγοντας καὶ ἀοριστίαν ἐν τοῖς πράγμασιν. id. ib.

τουτέστιν ἡ πρώτη φιλοσοφία, ἥτις καὶ πάντα τὰ ἀξιώματα 77 a 29.
ἀποδεικνύειν πειρᾶται, ὅμως καὶ αὕτη τούτοις κέχρηται, καὶ μάλιστα τῷ κοινοτάτῳ πάντων ἀξιώματι τῇ ἀντιφάσει, ὥσπερ εἴπομεν καὶ τὸν Ἀριστοτέλην ἐν τῇ Μετὰ τὰ Φυσικὰ πραγματείᾳ χρησάμενον τῷ τῆς ἀντιφάσεως ἀξιώματι ἐν τοῖς πρὸς τοὺς ἀναιροῦντας τὴν κατάληψιν λόγοις. Ioh. Phil. f. 32.

φέσθαι, καὶ τὸ ἀπὸ παντὸς σημείου ἐπὶ πᾶν σημεῖον εὐθεῖαν γραμμὴν ἀγαγεῖν, καὶ τὰ τούτοις ὅμοια. αἱ δὲ μὴ δοκοῦσαι, εἰ μὲν ψευδεῖς εἶεν ἐναντίαι δὲ τῇ τοῦ προσδιαλεγομένου δόξῃ, ἢ καὶ ἀληθεῖς μὲν πλείονος δὲ ἀποδείξεως δεόμεναι, καλοῦνται πρὸς τὸν μανθάνοντα αἰτήματα. καὶ ψευδεῖς μὲν ὡς εἰ καὶ αἰτοίη τις τῶν περὶ Δημόκριτον συγχωρηθῆναι αὐτῷ ὅτι ἀρχαὶ τῶν πραγμάτων εἰσὶ τὰ ἄτομα, ἢ τῶν περὶ Ἀναξαγόραν τις ὅτι αἱ ὁμοιομέρειαι, ἀληθεῖς δὲ καὶ πλείονος δεόμεναι παραμυθίας ὥσπερ ἡ λέγουσα τὰς ἀπ' ἐλαττόνων ἢ δύο ὀρθῶν ἐκβαλλομένας συμπίπτειν· τοῦτο γὰρ λαμβάνει μὲν ὡς αἴτημα ὁ γεωμέτρης ἀναποδείκτως, πολλῆς δὲ δεῖται τῆς ἀποδείξεως, ὡς βιβλίον ὁλόκληρον τόν τε Πτολεμαῖον καὶ τὸν Πρόκλον καταβαλέσθαι εἰς τοῦτο. πολλάκις δὲ καὶ ἐναντία ἐστὶ τὰ αἰτήματα τῇ τοῦ προσδιαλεγομένου δόξῃ, συγχωρεῖ μέντοι ὁ προσδιαλεγόμενος, ἵνα συμπερανθῇ τι. id. ib.

76 b 24. ἐπειδὴ εἶπε τὸ ἀξίωμα ἀνάγκη τε αὐτὸ εἶναι καὶ δοκεῖν ἐξ ἀνάγκης, ἵνα μή τις εἴπῃ ὅτι οὐ πάντως δοκεῖ τὸ ἀξίωμα ἐξ ἀνάγκης εἶναι (τί γὰρ ἐὰν μὴ συγχωρῇ τις ὅτι ἐπὶ παντὸς ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθεύει; ἢ ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, τὰ καταλειπόμενά ἐστιν ἴσα;) πρὸς τοῦτον ἀπαντῶν φησὶν ὅτι αἱ ἀποδείξεις οὐ πρὸς τὸν ἔξω λόγον ἀποτείνονται, τουτέστιν ἐν τῇ προφορᾷ τοῦ λόγου. οὐδὲ γὰρ ἐὰν ἐριστικῶς τις καὶ τοῖς ἐναργέσι μάχηται, παρὰ τοῦτο οὐκ ἀπόδειξις ὁ ἀποδεικτικὸς λόγος, ἀλλὰ πρὸς αὐτὴν τὴν τῶν πραγμάτων φύσιν καὶ πρὸς τὸν ἐνδιάθετον λόγον. Ioh. Phil. f. 29 *b*.

76 b 35. ἐνταῦθα διακρίνει τοὺς ὅρους ἀπὸ τῶν ὑποθέσεων, ὅτι αἱ μὲν ὑποθέσεις ἄλλο ἄλλου κατηγοροῦσιν ἢ ἀποφάσκουσιν, οἱ δὲ ὅροι οὐδὲν οὔτε καταφάσκουσί τινος οὔτε ἀποφάσκουσιν, ἀλλ' ἢ μόνον τί ἐστι τὸ προκείμενον λέγουσιν. ὥστε αἱ μὲν ὑποθέσεις ἐν ταῖς προτάσεσι πάντως, οἱ δὲ ὅροι οὐκ ἐν προτάσεσιν, ἀλλ' ἐοίκασι φάσεσι μόνον, τί ἐστι τὸ λεγόμενον ξυνιέναι παρέχοντες. id. ib.

76 b 39. ἐπειδὴ εἶπεν ὅτι οὐ πρὸς τὸν ἔξω λόγον ἀποτείνονται αἱ ἀποδείξεις ἀλλὰ πρὸς τὸν ἐν τῇ ψυχῇ, τοῦτο πιστοῦται ἐκ τῶν ἐπιστημῶν. τινὲς γὰρ τοῦτο μὴ συνειδότες ᾠήθησαν τὸν γεωμέτρην μὴ ἀληθῆ ἀποδεικνύναι διὰ τὸ ψευδεῖς, ὡς ᾤοντο, λαμβάνειν ὑποθέσεις· λαμβάνει γὰρ ὁ γεωμέτρης, εἰ τύχοι, τόνδε κύκλον εἶναι μὴ ὄντα κύκλον ἢ τήνδε εὐθεῖαν μὴ οὖσαν εὐθεῖαν, καὶ οὕτως τὰ ἑξῆς συμπεραίνεται. φησὶν οὖν ὅτι ἐπεὶ μὴ πρὸς τὸν ἔξω λόγον ἡ ἀπάντησις ἀλλὰ πρὸς τὸν ἐν τῇ ψυχῇ, διὰ τοῦτο καὶ ὁ γεωμέτρης οὐ πρὸς ἣν λαμβάνει εὐθεῖαν ποιεῖται τὰς ἀποδείξεις, ἀλλὰ κατὰ τὴν ἑαυτοῦ νόησιν, καθ' ἣν ἔλαβε καὶ τὴν γραμμήν. καὶ οὕτως ἐπὶ πάντων. Ioh. Phil. f. 30.

77 a 3. δευτέρα διάκρισις αὕτη τῶν ὅρων πρὸς τὰ αἰτήματα καὶ τὰς ὑποθέσεις, διότι αἱ μὲν ὑποθέσεις καὶ τὰ αἰτήματα ἤτοι ὡς ἐπὶ μέρους τινὸς λέγεται ἢ κατὰ παντός, ἐπεὶ καὶ πᾶσα πρότασις ἢ καθόλου ἐστὶν ἢ ἐν μέρει, οἱ μέντοι ὁρισμοὶ οὐδὲν οὔτε κατὰ παντὸς οὔτε κατά τινος λέγοιντ' ἄν. id. ib.

77 a 5. ἐπειδὴ εἶπε πολλάκις δεῖν τὰς ἀποδεικτικὰς καθόλου εἶναι πρώτου τοῦ ὑποκειμένου, ᾠήθη δ' ἄν τις διὰ τούτου τὰς ἰδέας εἰσάγεσθαι, εἴγε ἐκεῖναι πρώτισταί εἰσι κατὰ τοὺς ὑποθεμένους αὐτάς, διὰ τοῦτο ταύτην ἀναιρῶν τὴν ὑπόνοιαν ταῦτα τίθησιν, ὅτι οὐκ ἕπεται τῇ ἀποδείξει τὸ τὰς ἰδέας εἰσάγεσθαι· αἱ μὲν γὰρ ἰδέαι ἐξῃρημέναι τῶν πολλῶν οὖσαι οὔτε κατὰ παντὸς οὔτε κατά τινος λέγοιντ' ἄν, ἡ δὲ ἀπόδειξις τὸ πρώτως κατὰ παντὸς ὑποτίθεται, καὶ τοῦτο εἶναι τὸ καθόλου λέγει· τοῦτο δέ φημι τὸ ἐν τοῖς πολλοῖς συγκατατεταγμένον εἶδος. ὥστε οὐ τὰς ἰδέας εἰσάγει ἡ ἀπόδειξις. id. ib.

καλῶς τὸ "μὴ ὁμώνυμον" πρόσκειται. καὶ γὰρ τὸ καρκίνος 77 a 9.
ὄνομα ἓν κατὰ πλειόνων φέρεται, ἀλλὰ ὁμωνύμως, ἐπί τε τοῦ ἄστρου καὶ τοῦ ζῴου καὶ τοῦ ὀργάνου, καὶ τὸ κύων ὁμοίως ἐπί τε τοῦ ἄστρου καὶ τοῦ ζῴου τοῦ τε χερσαίου καὶ θαλαττίου καί τινων φιλοσόφων. ὁμωνύμοις δὲ οὐδὲ ἡ διαλεκτικὴ ἀπροσδιορίστως χρῆσεται, μήτοι γε ἡ ἀποδεικτική. Ioh. Phil. f. 30 *b*.

οὐδεμία, φησίν, ἀπόδειξις κέχρηται τῷ ἀξιώματι τῆς ἀντιφά- 77 a 11.
σεως, ἀπόδειξις δὲ ἡ ἐπ' εὐθείας, εἰ μὴ ὅταν καὶ τὸ συμπέρασμα δέῃ τῷ ἀξιώματι χρήσασθαι τῆς ἀντιφάσεως· τότε γὰρ καὶ συλλογισμῷ τοιούτῳ χρήσεται. πότε δὲ χρεία οὕτω συναγαγεῖν τὸ συμπέρασμα, εἴπομεν, ὅτι ἔνθα μὴ ἐνδέχεται τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ κατὰ τὶ μὲν ὑπάρχειν κατὰ τὶ δὲ μὴ ὑπάρχειν· ἵνα γὰρ δείξωμεν ὅτι οὐδαμῇ οὐδαμῶς συναληθεύει ἐπὶ τῶν τοιούτων ἡ ἀντίφασις, διὰ τοῦτο δεόμεθα καὶ τοιοῦτον συναγαγεῖν συμπέρασμα. ἐπεὶ γὰρ προσεχῶς ἔλεγεν ὅτι τοῖς ἀξιώμασι κέχρηνται αἱ ἐπιστῆμαι καὶ λαμβάνουσιν αὐτὰ ἐν ταῖς προτάσεσιν, οἷον φέρε εἰπεῖν, ἐπειδὴ τὸ α′ καὶ τὸ β′ τῷ γ′ ἴσον, τὰ δὲ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα, καὶ τὸ α′ ἄρα τῷ β′ ἴσον ἐστί. τὸ δὲ τῆς ἀντιφάσεως ἀξίωμα ἐπὶ πάντων μὲν τῶν ὄντων καὶ μὴ ὄντων διαιρεῖ τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν, δοκεῖ δὲ ἐπί τινων πραγμάτων μὴ οὕτως ἔχειν, ἀλλὰ δύνασθαι συναληθεύειν τὴν ἀντίφασιν, οἷον ἐπὶ τῆς ψυχῆς· φαμὲν τὴν ψυχὴν καὶ ἀθάνατον καὶ οὐκ ἀθάνατον, καὶ δῆλον ὅτι κατ' ἄλλο καὶ ἄλλο, τουτέστι τῇ μὲν οὐσίᾳ ἀθάνατον καὶ ἀΐδιον, ταῖς δὲ ἐνεργείαις οὐκέτι. ὁμοίως τὰ στοιχεῖα καὶ ἀγέννητα καὶ γεννητά, κατὰ μὲν τὰς ὁλότητας ἀγέννητα, τουτέστι μὴ ἕτερον ἐξ ἑτέρου γινόμενον, κατὰ δὲ τὰ μέρη γεννητά. ὡσαύτως καὶ οὐρανὸς κινεῖται καὶ οὐ κινεῖται. . . ζητεῖ οὖν ἐν τούτοις ἔτι καὶ ἐπὶ τῶν τοιούτων συμπερασμάτων, ἐν ποίῳ ὅρῳ τοῦ συλλογισμοῦ δεῖ κεχρῆσθαι τῷ τῆς ἀντιφάσεως ἀξιώματι, ἵνα καὶ ἐν τῷ συμπεράσματι τούτῳ χρησάμενοι δείξωμεν ὅτι μόνον τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως ἀληθεύει καὶ οὐδαμῶς τὸ λοιπόν. δῆλον γὰρ ὅτι οὐδὲ συναχθῆναι δύναται τὸ ὂν ἐν τῷ συμπεράσματι, εἰ μὴ ἐν ταῖς προτάσεσι παρείληπται. τριῶν οὖν ὅρων ὄντων ἐν τῷ συλλογισμῷ, ἐν ποίῳ αὐτῶν χρηστέον τῷ τῆς ἀντιφάσεως ἀξιώματι; καὶ δῆλον μὲν ὅτι ἐν προτάσεσιν ἡ ἀντίφασις, δυνατὸν μέντοι καὶ ἐν ἑκάστῳ ὅρῳ θεωρῆσαι αὐτήν, ὥσπερ ὅταν λέγωμεν ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, λίθος καὶ οὐ λίθος, οἵτινες ἀόριστοι ἐκαλοῦντο ἐν τῷ περὶ Ἑρμηνείας. ἀλλ' ἐπειδὴ ἐν ταῖς προτάσεσι τὰ καταφασκόμενά τινων ἢ καταφάσκεται ἢ ἀποφάσκεται, καὶ τὰ ἀρνητικὰ μόρια τὰ ποιοῦντα τὴν ἀπόφασιν ἑνὶ ὅρῳ συντάττεται μόνῳ, διὰ τοῦτο ὡς ἐπὶ ὅρων θεωρεῖται τὸ ἀξίωμα τῆς ἀντιφάσεως, συνεπινοουμένου δηλονότι καὶ τοῦ λοιποῦ τοῦ συμπληροῦντος τὴν πρό-

76a 29. ἀλλ' ἐὰν εὕρωμεν ἀληθῆ μόνον τὰ λήμματα, εὐθὺς ἀποδεικτικὸν ἡγούμεθα τὸν συλλογισμόν. τὸ δ' οὐκ ἔστιν, ἀλλὰ δεῖ συγγενεῖς εἶναι τὰς ἀρχὰς τοῖς δεικνυμένοις καὶ ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων. Themist. f. 5 *b*.

76a 32. ἐπειδὴ εἶπε ταύτας εἶναι ἀρχὰς ἐν ἑκάστῳ γένει ἃς ὅτι εἰσὶ μὴ ἐνδέχεται δεῖξαι, ἐντεῦθεν ἑρμηνεὺς διδάσκει τίνα μὲν ἐν τοῖς ἀποδεικτικοῖς παραλαμβανόμενα ἀναγκαῖον δεῖξαι ὅτι ἔστι, τίνα δὲ οὐκ ἀναγκαῖον. καὶ φησὶ ταῦτα ἅπερ ἐν προοιμίοις αἰνιγματωδῶς εἴρηκεν, ἡμεῖς δὲ ἐντεῦθεν λαβόντες ἀφορμὰς ἐκεῖνα σαφηνίσομεν... καὶ ἵνα συντόμῳ λόγῳ σαφηνίσωμεν ὃ λέγει, τοιοῦτόν ἐστιν, ὅτι καὶ ἐπὶ τῶν προτάσεων καὶ ἐπὶ τῶν ἐκ τούτων γινομένων συμπερασμάτων δεῖ προειλῆφθαι τί ἕκαστον αὐτῶν σημαίνει· τὸ γὰρ ὅτι ἀντὶ τοῦ τί κεῖται παρέλκοντος τοῦ ὅ. Ioh. Phil. f. 27 *b*.

76a 33. ἀρχὰς μὲν πάλιν τὰς προτάσεις φησίν, ἐφ' ὧν οὐ μόνον τὸ τί σημαίνει δεῖ προεγνῶσθαι ἀλλὰ καὶ τὸ ὅτι ἔστι ταῦτα ἅπερ καὶ λέγεται· μὴ γὰρ δεδομένου τοῦ εἶναι τὰς προτάσεις, οὐχ οἷόν τε τὸ συμπέρασμα συναχθῆναι. id. ib.

76a 35. εἰπὼν ὅτι ἐπὶ πάντων τὸ τί σημαίνει παραλαμβάνεται, δείκνυσι νῦν ὅτι ἐπὶ τινῶν μὲν τὸ ὅτι ἔστι δείκνυται, ἐπὶ τινῶν δὲ λαμβάνεται. καὶ ὁ μὲν Ἀλέξανδρος τὸ μέγεθος ἐνταῦθα ἀντὶ τοῦ εὐθέος ἀκούει· τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ μονάδα μὲν καὶ μέγεθος εἰς παράδειγμα τίθησι τῶν δεδομένων, ἐφ' ὧν καὶ τὸ ὅτι ἔστι παραλαμβάνεται. οὐδέποτε γὰρ οὔτε μονὰς οὔτε μέγεθος ζητούμενον παραλαμβάνεται· οὔτε γὰρ ἐν ἀριθμητικῷ θεωρήματι παραλαμβάνεται ὅτι τόδε μονάς, οὔτε ἐν γεωμετρίᾳ ὅτι τόδε μέγεθος, ἀλλ' ἀεὶ ταῦτα ὡς ὄντα λαμβάνεται. ἐπὶ τούτων μὲν οὖν, φησί, τὸ ὅτι ἔστι παραλαμβάνεται, ἐπὶ δὲ τῶν ἑτέρων δείκνυται, τουτέστι τοῦ εὐθέος καὶ τοῦ τριγώνου. διὰ τοῦτο καὶ πρὸ τοῦ τριγώνου ἐμνήσθη τί μονάς. τὸ δὲ τί τὸ εὐθὺ καὶ τί τὸ τρίγωνον ἐπήγαγεν, ὑπόδειγμα τιθεὶς ἅμα τῶν τε λαμβανομένων καὶ τῶν ζητουμένων. id. ib.

76a 37. ὅπερ πρὸ ὀλίγου ἀδιαρθρώτως εἶπε, τοῦτο νῦν διαρθροῖ καὶ ἀκριβέστερον παραδίδωσι. πρότερον μὲν γὰρ ἔλεγεν ὅτι δυνατὸν τοῖς αὐτοῖς ἀξιώμασι χρῆσθαι ἐπὶ διαφόρων ἐπιστημῶν, οἷον ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἰσὶν ἴσα, καὶ ὡς ἐπὶ μεγεθῶν προχειρίζεται τὸ ἀξίωμα, ᾧ χρήσαιτ' ἂν ὁ γεωμέτρης καὶ ὁ ἀριθμητικός· νῦν δέ φησι μηδὲ ἀξιώμασι τοῖς αὐτοῖς χρῆσθαι τὰς διαφόρους ἐπιστήμας, εἰ μὴ κατὰ τὸν τῶν ὁμωνύμων τρόπον. id. ib.

76a 38. κοινὰ δέ, φησί, λέγω οὐ κυρίως ἀλλὰ κατὰ ἀναλογίαν, ὅτι ὥσπερ ἐπὶ μεγεθῶν ἀληθὴς ὁ λόγος, οὕτω καὶ ἐπὶ ἀριθμῶν. ὥστε οὐ κατὰ τὸ ὑποκείμενον ἡ κοινότης, ἀλλὰ κατὰ τὸ ἀξίωμα μόνον. Ioh. Phil. f. 28.

76a 40. ταῦτ' οὖν, φησίν, ἐστὶ δεδομένα ἴδια ἑκάστῃ ἐπιστήμῃ, ἅπερ ἀεὶ μὲν ὡς ὄντα λαμβάνει, ζητεῖ δὲ τίνα τούτοις καθ' αὑτὸ συμβέβηκεν, οἷον μονάδας μὲν ἡ ἀριθμητική, γεωμετρία δὲ γραμμὰς καὶ σημεῖα· τὰ δὲ καθ' αὑτὸ τούτοις συμβεβηκότα ζητοῦσι. id. ib.

76b 9. τουτέστιν ὅτι περὶ ἀλόγων μεγεθῶν· διαλαμβάνει γὰρ περὶ τούτων ἡ γεωμετρία, τί μὲν σημαίνει τὸ ἄλογον μέγεθος λαμβάνουσα, ὅτι τὸ ἀσύμμετρον καὶ μὴ κοινὸν ἔχον μέτρον πρὸς ἕτερον, ὡς ἐπὶ τῆς διαμέτρου τοῦ τετραγώνου καὶ τῆς πλευρᾶς· εἴτε μέντοι ἄλογος ἡ διάμετρος εἴτε μή, οὐκέτι λαμβάνει ἀλλὰ δεικνύει. εἰ δ' εἴη "ἀνάλογον," γράφεται γὰρ καὶ οὕτως, ὅτι καὶ περὶ ἀναλόγων μεγεθῶν διαλαμβάνει· κοινὸν δὲ τοῦτο καὶ πρὸς ἀριθμητικὴν ἔχει. οὐκ ἔστι δὲ ταὐτὸν τὸ κεκλάσθαι τῷ νεύειν· τὸ μὲν γὰρ κεκλάσθαι ἐστὶν ἐπὶ μιᾶς γραμμῆς ἧς οὐκ ἔστι πάντα τὰ μόρια ἐπ' εὐθείας ἀλλήλοις, ἀλλ' ὡς ἔτυχε, νεύειν δὲ λέγονται εὐθεῖαι αἵτινες ἐκβαλλόμεναι καθ' ἓν σημεῖον συμπίπτουσιν, ὥσπερ ἡ διάμετρος πρὸς τὴν πλευράν. id. ib.

76b 11. ἀστρολογίαν δὲ τὴν ἀστρονομίαν φησίν· καὶ ἐπὶ ταύτης γὰρ τὰ μὲν κατὰ μόνον τὸ τί σημαίνει λαμβάνεται, τὰ δὲ καὶ ὅτι ἔστι ζητοῦνται. id. ib.

ἰδοὺ ἐντεῦθεν λαβόντες τὴν ἀρχήν, τὴν διαίρεσιν τῶν ἐν οἷς ἐστὶ πᾶσα ἀπόδειξις ἐποιησάμεθα, ὅσα τε εἶναι τίθεται. "ταῦτα δέ ἐστι τὸ γένος," τουτέστι τὰ δεδομένα. γένος δὲ λέγεται δηλονότι τὸ ὑποκείμενον ἑκάστῃ ἐπιστήμῃ, ἐξ οὗ πᾶς ὅρος δεδομένος λαμβάνεται, ὡς εἴπομεν καὶ ἐν τοῖς ἔμπροσθεν. id. ib.

76b 15. τουτέστι τὰ ζητούμενα, ἃ καθ' αὑτὸ συμβέβηκε τοῖς ὑποκειμένοις, οἷς μόνον τὸ τί ἕκαστον σημαίνει λαμβάνεται. id. ib.

76b 18. καὶ ἔστιν ἡ διαφορὰ ἐνταῦθα τοῦ τὸν μὲν ὁρίζεσθαι τὸν δὲ οὐχ ὁρίζεσθαι. ὁ δὲ Ἀλέξανδρος καὶ ἀμφοτέρους μὲν ὁρίζεσθαί φησιν, ἀλλὰ τὸν μὲν ἀριθμητικὸν μᾶλλον ὁρίζεσθαι τὸν ἀριθμὸν ἢ τὴν μονάδα, τὸν δὲ φυσικὸν ἧττον τὸ ψυχρὸν καὶ τὸ θερμόν. ἀλλ' οὐχ οὕτως ἔχει τὸ ἀληθές· σαφέστατα γὰρ ἔγνωσται τῇ αἰσθήσει τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἢ ἄλλο τι τῶν φυσικῶν, ἤπερ ὁ ἀριθμός. καὶ διὰ τοῦτο ἡ τοιαύτη ἐξήγησις ἀποδοκιμάζεται. Ioh. Phil. f. 28 *b*.

76b 23. ἐπειδὴ ὅλως ἐμνήσθη τοῦ ἀξιώματος, βούλεται τήν τε ἰδιότητα αὐτοῦ παραδοῦναι ἡμῖν καὶ διακρῖναι αὐτὸ ἀπό τε τῶν καλουμένων ὑποθέσεων καὶ αἰτημάτων, καὶ ἔτι ταῦτα ἐξ ἀλλήλων τε καὶ τῶν ὁρισμῶν. ἤδη μὲν οὖν καὶ ἐν ἀρχαῖς παραδέδοται ἡ τούτων διάκρισις· ἐπειδὴ δὲ καὶ νῦν τούτων μέμνηται, εὔλογον τὴν πᾶσαν ἡμᾶς τῶν προκειμένων διάνοιαν ἀνακεφαλαιωσαμένους ἄνωθεν τὴν πᾶσαν ἐντελῶς ἐκθέσθαι διαίρεσιν, ἔχουσαν οὕτως. τῶν ἀμέσων προτάσεων αἱ μὲν αὐτόπιστοί εἰσι καὶ πᾶσιν ἀνθρώποις κοινῶς συμπεφυκυῖαι, αἱ δὲ οὐ πᾶσιν. αἱ μὲν οὖν κοινῶς συμπεφυκυῖαι πᾶσι, διὰ τὸ οἴκοθεν ἔχειν τὸ πιστόν, καλοῦνται ἀξιώματα καὶ κοιναὶ ἔννοιαι, αἱ δὲ μὴ πᾶσι συμπεφυκυῖαι ἀλλὰ τισὶ καλοῦνται θέσεις. καὶ τῶν θέσεων αἱ μὲν τί ἐστιν ἕκαστον φασίν, αἳ καλοῦνται ὁρισμοί, αἱ δὲ ἄλλο ἄλλου κατηγοροῦσιν, αἳ καλοῦνται κοινῷ ὀνόματι ὑποθέσεις. καὶ τῶν ὑποθέσεων αἱ μὲν ἀληθεῖς τέ εἰσι καὶ δοκοῦσαι λαμβάνονται τῷ μανθάνοντι παρὰ τοῦ ἐπιστήμονος, αἱ δὲ μὴ δοκοῦσαι. αἱ μὲν οὖν δοκοῦσαι τοῖς μανθάνουσι λαμβανόμεναι καλοῦνται ἰδίῳ ὀνόματι ὁμωνύμως τῷ γένει ὑποθέσεις, αἱ δὲ μὴ δοκοῦσαι αἰτήματα. καὶ τῶν ὑποθέσεων ὅσαι μὲν μετὰ τοῦ δοκεῖν τῷ προσδιαλεγομένῳ καὶ ἀληθεῖς εἶναι οὐ πολλῆς δέονται ἐπιστάσεως εἰς τὸ τὴν ἐν αὐτοῖς θεωρηθῆναι ἀλήθειαν, καλοῦνται κυρίως ὑποθέσεις... ὅσαι δὲ μὴ δοκοῦσι τῷ προσδιαλεγομένῳ, ἀληθεῖς δέ εἰσι καὶ ὀλίγης δεόμεναι παραμυθίας, καλοῦνται κυρίως αἰτήματα, οἷον τὸ παντὶ κέντρῳ καὶ διαστήματι κύκλον γρά-

τοῦ τε ἐγγραφομένου καὶ περιγραφομένου. ἔχομεν δὲ παντὶ δοθέντι εὐθυγράμμῳ ἴσον τετράγωνον συστήσασθαι τῷ κύκλῳ, ἵνα ἴσον τετράγωνόν ἐστι ποιήσασθαι. ὁ μὲν οὖν Ἀλέξανδρος οὕτως. ἔλεγε δὲ ὁ φιλόσοφος Πρόκλος τὸν αὐτοῦ διδάσκαλον ἐπισκήπτειν τῇ Ἀλεξάνδρου ἐξηγήσει, ὅτι εἰ οὕτως ἐτετραγώνισεν ὁ Βρύσων τὸν κύκλον, συνέτρεχε τῷ Ἀντιφῶντος τετραγωνισμῷ· τὸ γὰρ μεταξὺ τοῦ ἐγγραφομένου καὶ περιγραφομένου εὐθυγράμμου γραφόμενον σχῆμα ἐφαρμόζειν τῇ τοῦ κύκλου περιφερείᾳ. τοῦτο καὶ ὁ Ἀντιφῶν ἐποίει, ἕως οὗ ἐφήρμοσεν, ὡς ἐκεῖνος ἔλεγεν, εὐθεῖαν περιφερείᾳ, ὅπερ ἀδύνατον. εἴρηται δὲ περὶ τούτου ἐν ταῖς Φυσικαῖς. οὐκ ἂν οὖν ὁ Ἀριστοτέλης τὸν Βρύσωνος τετραγωνισμὸν ὡς ἕτερον ὄντα παρὰ τὸν Ἀντιφῶντος παρετίθει, εἴ γε οὕτως ὁ Βρύσων ἐτετραγώνισεν. ἐγὼ δέ, φησὶν ὁ Πρόκλος, καὶ τὸ ἀξίωμα ψευδὲς εἶναι λέγω· οὐ γὰρ ἀληθὲς τὸ τὰ τοῦ αὐτοῦ μείζονα καὶ ἐλάττονα, ταῦτα ἴσα εἶναι ἀλλήλοις. id. f. 118.

75b 41. τὸ γὰρ ἐκ τοῦ μεταξὺ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος, καθ' ὃ ἐδόκει ὁ Βρύσων τετραγωνίζειν τὸν κύκλον, οὐκ ἴδιον γεωμετρίας, ἀλλὰ κοινὸν καὶ ἄλλων πλείστων, καὶ μᾶλλον διαλεκτικῇ προσῆκον ἢ γεωμετρίᾳ, διότι μὴ ἐκ τῶν γεωμετρικῶν ἀρχῶν τὸ προκείμενον δεικνύουσιν. Ioh. Phil. f. 26 b.

76a 6. τῷ γὰρ τριγώνῳ καθ' αὑτὸ ὑπάρχει τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς γωνίας. ὅθεν καὶ ἀποδείκνυται τοῦτο οὐκ ἔκ τινων κοινοτέρων, ἀλλ' ἐκ τῶν οἰκείων τοῦ ὑποκειμένου ἐπιστητοῦ ἀρχῶν. id. ib.

76a 9. εἰ δὲ μὴ ἐκ τῶν τοῦ ὑποκειμένου, φησίν, οἰκείων ἀρχῶν ἡ ἀπόδειξις γίνοιτο, ἀλλ' ἐκ τῶν ἀρχῶν τῆς ἐπιστήμης τῆς προσεχῶς περιεχούσης καὶ τὴν προκειμένην, ἀνάγκη τὴν ἀπόδειξιν ἐκ ταύτης γίνεσθαι, εἴπερ τῷ ὄντι ἐστὶν ἀπόδειξις. οἷον εἰ τὰ ἁρμονικὰ δεικνύομεν διὰ τῶν ἀρχῶν τῆς ἀριθμητικῆς· ὁ γὰρ μουσικὸς σύμφωνόν φησιν εἶναι τὴν διὰ τεσσάρων, εἰ τύχοι, ἁρμονίαν, διότι ἡ τοιαύτη ἁρμονία τὸν ἐπίτριτον ἔχει λόγον, ὁ δὲ ἐπίτριτος σύμφωνος. ὅπως δὲ σύμφωνος ὁ τοιοῦτος λόγος, οὐκ ἂν δείξειεν ὁ ἁρμονικός· ἀριθμητικοῦ γὰρ τὸ περὶ συμφώνων λόγων διαλέγεσθαι, οἷον ὅτι ὁ η' ἐπίτριτος ὢν πρὸς τὸν ϛ' καὶ σύμφωνός ἐστι διὰ τὸ κοινῷ μέτρῳ μετρεῖσθαι ἀμφοτέρους· ἡ γὰρ δυὰς τρισσάκις μὲν τὸν ϛ' μετρήσει, τετράκις δὲ τὸν η'. εἴρηται δὲ ὅτι ἐπὶ τῶν ὑπαλλήλων ἐπιστημῶν οὐδὲν κωλύει μετατίθεσθαι τὰς ἀποδείξεις. id. ib.

76a 10. "τὰ τοιαῦτα" δέ, φησί, τουτέστι τὰ διὰ τῶν ἀρχῶν τῆς γενικωτέρας ἐπιστήμης δεικνύμενα, ὁμοίως μὲν δείκνυται τοῖς ἄλλοις τοῖς ἐκ τῶν οἰκείων ἀρχῶν δεικνυμένοις, τουτέστιν ἐπιστημονική ἐστιν ἡ τούτων ἀπόδειξις, διαφέρει δέ, ὅτι ἐπ' ἐκείνων μὲν καὶ τὸ ὅτι καὶ τὸ διότι ἐκ τῆς αὐτῆς ἐστὶν ἐπιστήμης (καὶ γὰρ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι, καὶ αἱ ἀρχαὶ ἐξ ὧν τοῦτο δείκνυται, γεωμετρίας ἐστίν), ἐπὶ μέντοι τῆς μουσικῆς, ἐν ᾗ τὰ ἀποδεικνύμενα διὰ τῶν ἀρχῶν τῆς ἀριθμητικῆς ἀποδείκνυται, τὸ μὲν ὅτι τῶν ἀποδεικτικῶν, οἷον ὅτι σύμφωνος ἥδε ἡ ἁρμονία, μουσικῆς ἐστί, τὸ δὲ διότι, τουτέστι διὰ τί σύμφωνος καὶ τίνες οἱ σύμφωνοι λόγοι, ἀριθμητικῆς. ὃ μὲν οὖν βούλεται εἰπεῖν, τοῦτό ἐστιν. διὰ συντομίαν δὲ εἰπὼν "τὸ μὲν γὰρ ὅτι ἑτέρας ἐπιστήμης," μὴ εἰπὼν δὲ ποίας, εἶτα ἐπαγαγὼν "τὸ δὲ διότι ἑτέρας," προσέθηκε "τῆς ἄνω," ἐνδεικνύμενος τὸ ὅτι τῆς ὑποκάτω· εἰ γὰρ ἑτέρας μὲν τὸ ὅτι ἑτέρας δὲ τὸ διότι, ἔστι δὲ τὸ διότι τῆς ἄνω, λείπεται τῆς ὑποκάτω εἶναι τὸ ὅτι. τὸ δὲ "ἧς καθ' αὑτὰ τὰ πάθη ἐστί," διότι ἐπὶ τῶν ὑπαλλήλων ἐπιστημῶν τὰ καθ' αὑτὰ συμβεβηκότα ἀμφοτέραις τῇ γενικωτέρᾳ πρώτως συμβέβηκεν. id. ib.

76a 15. ἀντὶ τοῦ αἱ ἀρχαὶ τούτων, καὶ τῶν ὑποκάτω καὶ τῶν ἐπάνω, ἐπὶ τὸ κοινὸν πάσης ἀνάγονται, τουτέστι τὴν πρώτην φιλοσοφίαν· αὕτη γὰρ πάσης ἐπιστήμης τὰς ἀρχὰς εὑρίσκει τε καὶ ἀποδεικνύει, ὅθεν καὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν εἴρηται. δοκεῖ δέ μοι οὕτω μᾶλλον ἁπλούστερον ἀκούειν τοῦ προκειμένου. ἐπειδὴ εἶπεν ὅτι ἐνδέχεται καὶ ἐκ τῶν ἀρχῶν τῆς ἐπάνω ἀποδεῖξαι τὰ τῆς ὑποκάτω ἐπιστήμης, εἶτα καὶ τὴν διαφορὰν προσέθηκεν ᾗ διαφέρει τὰ οὕτως ἀποδεικνύμενα πρὸς τὰ διὰ τῶν οἰκείων ἀρχῶν ἀποδεικνύμενα, ὅτι οὐκ ἀποδείκνυται διότι ἐξ οἰκείων ἀρχῶν, διὰ τοῦτό φησιν ὅτι αἱ τούτων ἀρχαὶ ἔχουσι τὸ κοινόν, τουτέστιν αἱ τῶν ὑπαλλήλων ἐπιστημῶν ἀρχαὶ κοιναί εἰσιν, οἷον ἀριθμητικῆς καὶ μουσικῆς· κοιναῖς γὰρ ἀρχαῖς ἐν ἀμφοτέραις ἡ ἐπιστήμη τῆς ἀποδείξεως γίνεται. εἰ γὰρ καὶ δοκεῖ μᾶλλον ἀριθμητικῆς εἶναι τὰ δι' ὧν ἡ μουσικὴ ἀποδείκνυσιν, ἀλλ' οὐχ ὅλως αὐτὴ ἡ ἀριθμητικὴ ἀρχή ἐστιν ἁρμονίας, ὥστε καὶ αἱ τῆς ἀριθμητικῆς ἀρχαὶ ἴσαι εἰσὶ ταῖς τῆς ἁρμονίας· τὰ γὰρ τῶν ἐπάνω κατηγορούμενα καὶ τῶν ὑποκάτω κατηγορεῖται. ὁμοίως καὶ ἐπὶ φυσικῆς καὶ ἰατρικῆς καὶ γεωμετρίας καὶ μηχανικῆς. Ioh. Phil. f. 27.

76a 16. πόρισμά τι κατὰ τοὺς γεωμέτρας ἐκ τῶν εἰρημένων συνάγει. εἰ γὰρ μὴ ἐνδέχεται, φησίν, ἀποδεῖξαί τι εἰ μὴ ἐκ τῶν οἰκείων ἑκάστου ἀρχῶν, φανερὸν ἂν εἴη ὡς οὐκ ἐνδέχεται οὐδεμίαν ἐπιστήμην τὰς οἰκείας ἀρχὰς ἀποδεικνύναι, εἴγε τὴν μὲν ἀπόδειξιν ἐκ τῶν οἰκείων δεῖ γίνεσθαι ἀρχῶν, τῶν δὲ ἀρχῶν ἀρχὰς εἶναι οὐχ οἷόν τε. εἰ δέ ἐστι, φησίν, ἐπιστήμη ἡ τὰς ἑκάστου ἀρχὰς ἀποδεικνύουσα, ἐκείνη ἂν εἴη ἡ ὄντως ἐπιστήμη καὶ ἀρχή, ἐξ ἧς τὰς τῶν ἄλλων ἀρχὰς καὶ ἐπιστήμας ἀποδεικνύειν δυνατόν. ἡ δὲ πάντων ἀρχὴ κοινὴ ἐκείνη ἂν εἴη ἡ ἐπιστήμη ἐπιστημῶν καὶ τέχνη τεχνῶν, ἥτις ἐστὶν ἡ πρώτη φιλοσοφία, περὶ ἧς ἐν τοῖς Μετὰ τὰ Φυσικὰ διαλέγεται. id. ib.

76a 23. ὅτι οὐκ ἐνδέχεται, φησίν, ἐπαλλάττειν τὰς ἀποδείξεις ἐπὶ διαφόρων ἐπιστημῶν, εἰ μὴ εἶεν ὑπάλληλοι, ὥστε ταῖς τῆς ἐπάνω ἀποδείξεσι χρῆσθαι τὴν ὑπ' ἐκείνῃ τεταγμένην. διὸ καὶ ἡ ὀπτικὴ ταῖς τῆς γεωμετρίας ἀποδείξεσι χρήσεται, καὶ ἡ μηχανικὴ ὡσαύτως, καὶ ἡ ἁρμονικὴ ταῖς τῆς ἀριθμητικῆς. id. ib.

76a 26. χαλεπόν, φησί, τὸ γνῶναι εἰ ἐκ τῶν ἑκάστου ἀρχῶν ἴσμεν ἢ μή. τουτέστι τὸ γνῶναι εἰ ἀποδεικτικῶς προῆλθεν ὁ συλλογισμὸς ἢ μή, χαλεπόν ἐστιν· οἰόμεθα γάρ, ἐὰν ἀληθεῖς λάβωμεν τὰς προτάσεις καὶ ἀμέσους, ὅτι καὶ ἀποδεικτικῶς ἐλάβομεν· τὸ δὲ οὐκ ἔστι τοιοῦτον, εἴ γε δέδεικται δεῖν μὴ μόνον ἀληθεῖς εἶναι τὰς προτάσεις ἀλλὰ καὶ ἐκ τῶν οἰκείων ἀρχῶν εἰλημμένας... ἐπεὶ οὖν χαλεπὸν τὸ εἰδέναι τὴν φύσιν τῶν πραγμάτων καὶ τὰ καθ' αὑτὸ ἑκάστῃ φύσει ὑπάρχοντα, διὰ τοῦτο χαλεπὸν καὶ τὸ εἰδέναι πότερον ἀποδέδεικται ὁ συλλογισμὸς ἢ οὔ. id. ib.

λέγουσα "οὐ καθόλου," σαφεστέρα ἂν εἴη· τουτέστιν ἐπεὶ μὴ καθόλου τὸ εἶναι Σωκράτην ζῶον (καθόλου γὰρ ἦν τὸ πρώτως καὶ παντὶ καὶ ἀεὶ τῷ ὑποκειμένῳ ὑπάρχον), ἡ δὲ ἀπόδειξις τῶν τοιούτων. τὸ δὲ "ἀλλὰ ποτὲ καὶ πῶς," τουτέστιν ὅτι ποτὲ τοῦ Σωκράτους τὸ ζῶον κατηγορεῖται, ἕστ' ἂν δηλονότι ᾖ ὁ Σωκράτης. τὸ δὲ "καὶ πῶς" ὅτι οὐ πρώτως οὐδὲ καθ' αὑτὸ ὁ Σωκράτης ζῶον, ἀλλ' ἐπεὶ πᾶς ἄνθρωπος ζῶον, πᾶν δὲ αἰσθητικὸν ζῶον, ὁ δὲ Σωκράτης καὶ ἄνθρωπος καὶ αἰσθητικός, διὰ τοῦτο ὁ Σωκράτης ζῶον. δεῖ δὲ τὴν ἀπόδειξιν καθ' αὑτὸ πρώτως τῷ ὑποκειμένῳ ὑπάρχειν. ἡ δὲ ἑτέρα γραφὴ ἡ λέγουσα "ὅτι τοῦ καθόλου αὐτοῦ ἐστί" τὸ ἀντὶ τοῦ κατὰ παντὸς βούλεται δηλοῦν· τουτέστιν ἐπειδὴ πᾶς ἄνθρωπος ζῶον, διὰ τοῦτο καὶ Σωκράτης ζῶον· παντὶ γὰρ ἀνθρώπῳ τὸ ζῶον. δυνατὸν μὲν οὖν ἦν τὴν φθαρτὴν πρότασιν καὶ κατὰ συμβεβηκὸς τῷ ὄντι λαβεῖν, ὡς εἰ ἐλέγομεν ὁ Σωκράτης λευκός ἐστιν· ἀλλ' ἵνα τῶν φθαρτῶν προτάσεων τὰς μᾶλλον ἐγγιζούσας τῇ ἀποδείξει παραλάβῃ, διὰ τοῦτο παρέλαβε τὰς οὐσιώδη ἐχούσας τὸ κατηγορούμενον, οἷον ὅτι ὁ Σωκράτης ζῶον, ἤ τι τοιοῦτον. καὶ διὰ τοῦτο, ἐπειδὴ τοιαύτας ἔλαβε τὰς προτάσεις, εἶπε τὸ ὥσπερ κατὰ συμβεβηκός. id. ib.

75 b 25. **ἐκεῖνο δὲ φανερόν,** ὡς εἴπερ ἀΐδιον εἶναι δεῖ τὸ συμπέρασμα ἐν ταῖς ἀποδείξεσιν, οὐδενὸς ἀπόδειξις ἔσται τῶν φθαρτῶν, οὐδ' ἐπιστήμη ἁπλῶς ἀλλ' οὕτως ὅτι οὐ καθόλου αὐτοῦ ἐστίν· πῶς γὰρ ἂν γένοιτο ἀΐδιον; ἔτι τὸ συναγόμενον ἐν ᾧ τὸ φθαρτὸν ὑποκείμενον περιέχεται, ᾧ μήτε ἀεὶ τὸ κατηγορούμενον ὑπάρχει μήτε ἁπλῶς ἀλλὰ ποτὲ καὶ πῶς, οἷον τῷ Σωκράτει τὸ ζῶον εἶναι· νῦν γάρ, καὶ οὐχ ὅτι Σωκράτης, ἀλλ' ὅτι ἄνθρωπος. Themist. f. 5 *b*.

75 b 26. ὅταν δέ, φησί, τὸ φθαρτὸν συλλογιζώμεθα, ἀνάγκη τῶν δύο προτάσεων τὴν ἐλάττονα καὶ φθαρτὴν εἶναι καὶ μὴ καθόλου, φθαρτὴν μέν, διότι καὶ τὸ συμπέρασμα φθαρτόν, εἴγε μὴ οἷόν τε ἐξ ἀναγκαίων φθαρτόν τι συμπερανθῆναι. Ioh. Phil. f. 25.

75 b 28. τουτέστιν, ἐπειδὴ φθαρτὴν εἶναι ἀνάγκη τὴν ἐλάττονα πρότασιν, ἀνάγκη καὶ μερικὴν εἶναι ταύτην· ἐφ' ὧν γὰρ ἀληθεύει, τὸ μὲν αὐτῶν ἔσται τὸ δὲ οὐκ ἔσται. ὃ μὲν γὰρ αὐτῶν οὔπω ἔφθαρται, τοῦτο ἔσται, ὃ δὲ ἔφθαρται, τοῦτο οὐκ ἔσται. ὧν δὴ τὸ μὲν ἔστι τὸ δὲ οὐκ ἔστι, τούτου τὸ κατ' ἀκολουθίαν κατηγορούμενον μερικὸν εἶναι ἀνάγκη. id. ib.

75 b 30. ὥσπερ, φησί, τῶν φθαρτῶν οὐκ ἔστιν ἀπόδειξις, οὕτως οὐδὲ ὁρισμὸν αὐτῶν ἐνδέχεται εἶναι. πᾶς γάρ, φησίν, ὁρισμὸς ἀρχή ἐστιν ἀποδείξεως ἢ συμπέρασμά τι ἀποδείξεως, θέσει μόνῃ διαφέρουσα. εἴρηται δὲ ἐν τῷ περὶ ψυχῆς (1 1) ὅτι τρία τὰ εἴδη τῶν ὁρισμῶν· οἱ μὲν γὰρ ἐκ τῆς ὕλης εἰσίν, οἱ δὲ ἐκ τοῦ εἴδους, οἱ δὲ ἐκ τοῦ συναμφοτέρου, οἷον ὁ τὸν θυμὸν ὁριζόμενος ἐκ τῆς ὕλης ἐρεῖ ζέσιν εἶναι τοῦ περικαρδίου αἵματος, ἐκ δὲ τοῦ εἴδους ὄρεξιν ἀντιλυπήσεως, ἐκ δὲ τοῦ συναμφοτέρου ζέσιν τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. οἱ μὲν οὖν ἐκ τοῦ εἴδους ὁρισμοὶ ἀρχαί εἰσι τῶν ἀποδείξεων· αἱ γὰρ ἀποδείξεις ἐκ τῶν αἰτίων τὰ αἰτιατὰ συλλογίζονται, αἴτιον δὲ τῆς ὕλης τὸ εἶδος καὶ ἡ τοιάδε ὕλη ἐστίν. εἰς ἀπόδειξιν οὖν τοῦ θυμοῦ χρήσαιτ' ἄν τις ἐν ἀρχῆς λόγῳ τῷ ἀπὸ τοῦ εἴδους ὁρισμῷ τοῦτον τὸν τρόπον "ὁ δεῖνα ὀρέγεται ἀντιλυπῆσαι, τοῦ ὀρεγομένου ἀντιλυπῆσαι ζέει τὸ περὶ τὴν καρδίαν αἷμα, ζέει ἄρα τοῦ δεῖνος τὸ περὶ τὴν καρδίαν αἷμα." ἰδοὺ γοῦν ἐν τούτοις τῷ μὲν ἀπὸ τοῦ εἴδους ὁρισμῷ εἰς ἀρχὴν τῆς ἀποδείξεως ἐχρησάμην, τὸν δὲ ἀπὸ τῆς ὕλης συμπέρασμα ἐποιησάμην ἀποδείξεως. Ioh. Phil. f. 25 *b*.

75 b 33. ἐπειδὴ εἶπε τῶν φθαρτῶν μὴ εἶναι ἀπόδειξιν, ζητεῖ περὶ τῶν ἀϊδίως μὲν γινομένων, φθειρομένων δὲ κατὰ τὸ μὴ συνεχῶς ἀλλὰ διακόπτεσθαι χρονικοῖς διαστήμασιν, οἷον ἔστω περὶ σεληνιακῆς ἐκλείψεως· εἰ γὰρ ἑκάστη τῶν ἐκλείψεων φθαρτή ἐστιν (ἐκλείπουσα γὰρ ἡ σελήνη πάλιν φωτίζεται), πῶς ἐπὶ τούτων φαμὲν ἀπόδειξιν εἶναι; καὶ φησὶν ὅτι ἑκάστη μὲν τῶν κατὰ μέρος ἐκλείψεων οὐκ ἀποδεικτή, ἐπείπερ ἐστὶ γενητὴ καὶ φθαρτή, ἡ δὲ ἀπόδειξις οὐχ ὡς ἐπὶ τῆσδε τῆς ἐκλείψεως γίνεται τῆς κατὰ τήνδε τὴν ὥραν γινομένης, ἀλλὰ κατὰ τὸ κοινὸν εἶδος τῶν ἐκλείψεων τῶν ὅσαι ὑπὸ τὴν αὐτὴν ἐμπίπτουσιν αἰτίαν. id. ib.

75 b 37. ἔτι καὶ τοῦτο προστίθησι τοῖς περὶ ἐπιστήμης δεδειγμένοις, ὅτι οὐκ ἀρκεῖ εἰς τὸ ποιῆσαι ἀπόδειξιν τὸ ἀληθεῖς τε καὶ ἀμέσους λαβεῖν προτάσεις, ἀλλὰ οἰκείας τοῦ ὑποκειμένου ἀποδεικτικὰς εἶναι ἐπιστήμας. id. ib.

75 b 40. τί οὖν ἐστὶν ὃ προσλαμβάνων ὁ Βρύσων ᾤετο τετραγωνίζειν τὸν κύκλον; οὐδὲν μὲν πρὸς τὸν παρόντα λόγον ἐστί, τῶν φιλομαθῶν δ' ἕνεκεν εἰρήσθω. ὁ κύκλος, φησί, τῶν ἐγγραφομένων πολυγώνων ἁπάντων μείζων ἐστί, τῶν περιγραφομένων δ' ἐλάττων. ὁμοίως καὶ τὸ πολύγωνον τὸ μεταξὺ γραφόμενον τῶν τε ἐγγραφομένων καὶ τῶν περιγραφομένων τῷ κύκλῳ. τῶν αὐτῶν ἄρα μείζων τε καὶ ἐλάττων ἐστὶν ὁ κύκλος καὶ τουτὶ τὸ πολύγωνον, ὥστε καὶ ἀλλήλοις ἴσα διὰ τὸ ἀξίωμα τὸ εἰρημένον. ἀλλὰ τὸ ἀξίωμα τοῦτο ἀληθὲς μέν ἐστιν, εἰ δὲ βούλει, καὶ ἄμεσον καὶ ἀναπόδεικτον· ἀλλ' οὐκ ἔχει σοι τὴν ἀρχὴν ὁ συλλογισμὸς οἰκείαν τῷ δεικνυμένῳ· οὐδὲ γὰρ λαμβάνεις ᾗ κύκλος ἐστὶν οὐδὲ ᾗ μέγεθος. Themist. f. 5.

οὕτω φησὶ καὶ τὸν Βρύσωνος τετραγωνισμὸν δεῖξαι δυνατόν, ἔκ τινων κοινοτέρων καὶ μὴ ἐκ τῶν οἰκείων ἀρχῶν τοῦ προκειμένου. ὁ μὲν οὖν Ἀριστοτέλης περὶ τοῦ ὑπὸ τοῦ Βρύσωνος γεγονότος τετραγωνισμοῦ τοῦ κύκλου τοσοῦτόν φησιν ὅσον ἡ τοῦ παραδείγματος ἀπῄτει χρεία, ὁ δὲ Ἀλέξανδρός φησι τὸν Βρύσωνα ἐπιχειρῆσαι τετραγωνίσαι τὸν κύκλον τὸν τρόπον τοῦτον... τοῦτο δέ φασι καὶ Ἀντιφῶντα πεποιηκέναι, γραμμὴν εὐθεῖαν ἐφαρμόσαντα τῇ τοῦ κύκλου περιφερείᾳ, ὡς ἐκεῖνος ἔλεγεν, ὅπερ ἐστὶν ἀδύνατον. μόνος δὲ ὁ Ἀρχιμήδης δοκεῖ τούτου ἐπιτυχεῖν, ὡς ὁ Θέων ἐν τῷ πρώτῳ τῶν τῆς Συντάξεως ὑπομνημάτων φησίν, ἐκθεὶς τήν τε ἀπόδειξιν καὶ τὴν τοῦ σχήματος καταγραφήν. Ioh. Phil. f. 25 *b*.

παντός, φησίν, ἐγγραφομένου ἐν τῷ κύκλῳ εὐθυγράμμου σχήματος μείζων ἐστὶν ὁ κύκλος, τοῦ δὲ περιγραφομένου ἐλάττων. ἐγγράφεσθαι δὲ λέγεται ἐν κύκλῳ εὐθύγραμμον τὸ ἐντὸς τοῦ κύκλου γραφόμενον, περιγράφεσθαι δὲ τὸ ἐκτός. ἀλλὰ καὶ τὸ μεταξὺ τοῦ τε ἐγγραφομένου καὶ περιγραφομένου εὐθυγράμμου γραφόμενον εὐθύγραμμον σχῆμα τοῦ μὲν περιγραφομένου ἐστὶν ἔλαττον, τοῦ δὲ ἐγγραφομένου μεῖζον· τὰ δὲ τοῦ αὐτοῦ μείζονα καὶ ἐλάττονα ἴσα ἀλλήλοις ἐστίν· ὁ κύκλος ἄρα ἴσος ἐστὶ τῷ μεταξὺ γραφομένῳ εὐθυγράμμῳ

ἐχόντων, εἰ εὑρεθῶσιν εὐθείαις δύο δύο μέσαι ἀνάλογον, ὡς ἔχει ἡ πρώτη πρὸς τὴν τετάρτην, οὕτως ἕξει τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας. εὑρίσκεται δὲ τὸν τρόπον τοῦτον, οἷον ὑποκείσθω δύο δοθεισῶν εὐθειῶν δύο μέσας ἀνάλογον προσευρεῖν, ἔστωσαν δὲ αἱ δοθεῖσαι δύο αἱ αβ βγ, ὧν δεῖ δύο μέσας ἀνάλογον προσευρεῖν. ἐκβεβλήσθωσαν αἱ βα βγ ἐπὶ τὰ ζη, καὶ συμπεπληρώσθω ἐπὶ τὸ βδ ὀρθογώνιον, καὶ ἤχθω διάμετρος ἡ αγ, καὶ ἐπὶ τῆς αγ γεγράφθω ἡμικύκλιον τὸ αδεγ, καὶ διὰ τοῦ δ σημείου ἤχθω εὐθεῖα ἡ ζη. καὶ οὕτως ἔσται τὴν ζδ ἴσην εἶναι τῇ εη. λέγω οὖν ὅτι αἱ δύο αἱ γη αζ ἴσαι οὖσαι τῶν αβ βγ μέσαι ἀνάλογον εἰσίν. ἴση ἡ δε τῇ αβ. ἔστιν ἄρα ὡς ἡ αβ πρὸς τὴν βγ, οὕτως ἡ γη πρὸς τὴν ζα καὶ ἡ ζα πρὸς τὴν βγ. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ζδ τῇ εη, κοινὴ δὲ ἡ δε, ἴση ἄρα ἐστὶν ἡ ζε τῇ δη. ἴσον ἄρα τὸ ἀπὸ τῶν δη ηε τῷ ὑπὸ τῶν εζ ζδ. ἀλλὰ τὸ μὲν ὑπὸ τῶν δη ηε ἴσον ἐστὶ τῷ ὑπὸ τῶν βη ηγ, ὡς ἐν τοῖς ἡμικυκλίοις ἀποδέδεικται, τὸ δὲ ὑπὸ τῶν εζ ζδ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν βζ ζα. καὶ ἐπεὶ δέδεικται ἐν τῷ τεσσαρεσκαιδεκάτῳ τοῦ ἕκτου τῶν στοιχείων ὅτι τῶν ἰσοπλεύρων καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ὡς ἔστιν ἡ βζ πρὸς τὴν βη, οὕτως ἡ γη πρὸς τὴν αζ. ἀλλ' ὡς ἡ βζ πρὸς τὴν βη, οὕτως ἥ τε ζα πρὸς τὴν αδ καὶ ἡ γδ πρὸς τὴν γη. καὶ ὡς ἄρα ἡ γδ πρὸς τὴν γη, οὕτως ἥ τε γη πρὸς τὴν αζ καὶ ἡ ζα πρὸς τὴν βγ. δύο ἄρα δοθεισῶν εὐθειῶν τῶν αβ βγ, εὕρηνται δύο μέσαι ἀνάλογον αἱ γη ζα. id. f. 117 *b*.

75b 18. παραδείγματος δὲ ἕνεκεν τὴν εὐθεῖαν εἶπε καλλίστην τῶν γραμμῶν· τὴν γὰρ περιφέρειάν φασι τῶν γραμμῶν εἶναι καλλίστην διὰ τὸ ὁμοιομερῆ εἶναι καὶ πᾶν μέρος αὐτῆς παντὶ μέρει ἐφαρμόζειν. ὁμοίως καὶ εἰ λέγοιτο ἡ εὐθεῖα ἐναντία τῇ περιφερείᾳ, οὐδὲ τοῦτο ὁ γεωμέτρης ἐπισκέψεται· οὐ γὰρ ᾗ γραμμαὶ ὑπάρχει αὐταῖς ἢ τὸ κάλλος ἢ ἡ ἐναντιότης· πολλοῖς γὰρ καὶ ἄλλοις ταῦτα ὑπάρχει. ὥστε οὐ παραλήψεται ἡ γεωμετρικὴ ἐπιστήμη τὰ τοιαῦτα ὡς μὴ ὄντα οἰκεῖα μηδὲ πρῶτα τοῦ ὑποκειμένου γένους· ταῦτα γὰρ ὑπάρχουσι ταῖς γραμμαῖς ὡς κοινόν τι. id. f. 24 *b*.

75b 20. κοινὰ γὰρ ταῦτα καὶ πλείοσιν ὑπάρχοντα γένεσιν, ὥστε παρατηρητέον εἰς τὰς ἀποδείξεις καὶ τοὺς τόπους ἐκείνους τοὺς πολυχρήστους οὓς ἐν τοῖς διαλεκτικοῖς παρειλήφαμεν, λέγω δὲ τούς τε ἀπὸ τῶν ἀντικειμένων καὶ τῶν ὁμοίων καὶ τῶν συστοίχων· πολύκοινοι γὰρ καὶ οὐδὲν ἔχοντες οἰκεῖον οὐδὲ προσεχὲς ἑνὶ γένει. Themist. f. 4 *b*.

75b 21. ἐντεῦθεν βούλεται δεῖξαι ὅτι οὐδὲ ἑνὸς τῶν φθαρτῶν ἐνδέχεται ἀπόδειξιν εἶναι. δεικνύει δὲ τοῦτο ἐκ τῶν προαποδεδειγμένων. εἰ γὰρ ἐκ τῶν καθ' αὑτὸ καὶ τῶν ἐξ ἀνάγκης ὑπαρχόντων αἱ ἀποδείξεις, οὐχ οἷόν τε τῶν φθαρτῶν τι ἀποδεικνύναι· τὰ γὰρ φθαρτὰ οὐ τῶν ἐξ ἀνάγκης ὑπαρχόντων ἀλλὰ τῶν ποτὲ μὲν ποτὲ δ' οὔ. Ioh. Phil. f. 24 *b*.

ἐνταῦθα τοίνυν σκεπτέον τὸ συμπέρασμα πῶς πρῶτον καθόλου, ἐφ' ὧν αἱ προτάσεις πρότεραι καθόλου· οὐ γὰρ ἂν τὸ πρῶτον ὑπάρχοι ἐν τῷ συμπεράσματι, εἰ προτέροις ὑπάρξει τοῖς λήμμασιν. ἢ πρῶτον μὲν οὐκ ἀεὶ τὰς προτάσεις ἀναγκαῖόν ἐστιν εἶναι καθόλου· καὶ γὰρ εἴρηται "ἐὰν ὦσιν," οὐχ ὅτι δεῖ πάντως εἶναι τοιαύτας. ἔπειτα ἐπὶ τῶν τοιούτων οὐδὲν κωλύει μὴ τὸ φύσει καὶ καθόλου πρῶτον ὑπάρχειν ἐν τῷ συμπεράσματι, ἀλλὰ τὸ πρῶτον τῶν δυναμένων ἀποδειχθῆναι. καὶ ἴσως ἀντιλέγων τοῦτο λέγει ὁ Ἀλέξανδρος. ἄμεινον δὲ μὴ σφόδρα ἀκριβολογεῖσθαι μηδὲ διαιρεῖσθαι νομίζειν Ἀριστοτέλην οὕτω, τὸ καθόλου μὲν ἐν τῷ συμπεράσματι δεῖν ὑπάρχειν, τὸ καθ' αὑτὸ δὲ ἐν ταῖς προτάσεσιν· οὔτε γὰρ διαρρήδην που καὶ φανερῶς τοῦτο εἴρηται, οὔτε δυνατὸν σώζεσθαι τὸ καθόλου πρῶτον ἐν τῷ συμπεράσματι, εἴ γε ἐκ τῶν καθόλου δεικνύοιτο· δῆλον γὰρ ὡς ἀνάγκη τὸ κατηγορούμενον τῷ μέσῳ πρῶτον ὑπάρχειν, τὸ δὲ ὡς ἀποδεικτὸν πρῶτον οὕτως εἶναι τὸ συμπέρασμα καθόλου. περὶ μὲν οὖν τοῦ πρώτου συμπεράσματος, ὃ συνάγεται ἐκ τῶν ἀμέσων προτάσεων, ἴσως ἂν λέγοιτο πιθανῶς· περὶ δὲ τῶν ἐφεξῆς καὶ ἐκ προδεδειγμένων συναγομένων πῶς ἂν ἔτι χώραν ἔχοι λοιπόν; οὐδὲ γὰρ ὡς ἀποδεικτὰ πρῶτα ἐκεῖνα· ὥστε ἢ πάσας τὰς τοιαύτας ἀποδείξεις παραγραπτέον τοὺς τὸ καθόλου νομίζοντας ἐξ ἀνάγκης ὑπάρχειν τῷ συμπεράσματι, ἢ συγχωρητέον καὶ τὸ καθόλου περὶ τῶν προτάσεων λέγεσθαι, καθάπερ τὸ καθ' αὑτό, καὶ περὶ προτάσεων δὲ τῶν πρώτων καὶ ἀναποδείκτων, εἰς ἃς ἀνάγεται ἡ ἀπόδειξις· ἡ γὰρ ἀκρίβεια τῆς ἀποδείξεως ἐν τοῖς λήμμασιν· τῷ δὲ συμπεράσματι ἀποχρήσει τὸ ἐκ τούτων συνάγεσθαι πρὸς τὸ γίνεσθαι ἀναγκαῖον τὸν συλλογισμόν. τοῦτο καὶ αὐτὸς Ἀριστοτέλης δῆλον ποιεῖ· εἰπὼν γὰρ ὅτι "ἐὰν ὦσιν αἱ προτάσεις καθόλου," οὐχ ὅτι ἔσται καθόλου καὶ τὸ συμπέρασμα ἐπενήνοχεν, ἀλλ' ὅτι ἀΐδιον. ἢ τοίνυν ταῦτα ῥητέον, ἢ ὅτι δυνατὸν ἄμφω καθόλου ὑπάρχειν, καὶ τὸ ἐν τῷ συμπεράσματι δεικνύμενον καὶ τὸ δι' οὗ δείκνυται, οἷον τῷ τριγώνῳ καὶ τὸ δύο ἔχειν ὀρθάς, ὅπερ ἐστὶ τὸ δεικνύμενον, καὶ τὸ τὴν ἐκτὸς ἴσην εἶναι δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον, ὅπερ ἐστὶ δι' οὗ δείκνυται. ταῦτα μὲν οὖν ἀναγκαῖον ἦν διὰ τὸ χρήσιμον ἐξεργάσασθαι. Themist. f. 5.

τουτέστιν ἧς αἱ προτάσεις καθόλου λαμβάνονται. εἶτα ἐπειδὴ 75b 23. πάσης ἀποδείξεως καθόλου δεῖ εἶναι τὰς προτάσεις αἷς πάντως ἀΐδιον ἕπεται τὸ συμπέρασμα, προσέθηκε τὸ "καὶ τῆς ἁπλῶς εἰπεῖν ἀποδείξεως," τουτέστι κοινῷ λόγῳ πάσης ἁπλῶς ἀποδείξεως ἀΐδιόν ἐστι τὸ συμπέρασμα. Ioh. Phil. f. 24 *b*.

καλῶς οὐκ εἶπε κατὰ συμβεβηκός, ἀλλ' "ὥσπερ κατὰ συμβε- 75b 24. βηκός." τοῦ γὰρ ὅτι Σωκράτης ζῷον ἀπόδειξις μὲν οὐκ ἔσται, διότι φθαρτὸν ὁ Σωκράτης· τρόπον δέ τινα κατὰ συμβεβηκὸς ἂν λέγοιτο αὐτοῦ ἡ ἀπόδειξις εἶναι, ὅτι ἐφ' οὗ ἐστὶ κυρίως ἡ ἀπόδειξις, τοῦτο οὐκ ἔστι Σωκράτης, λέγω δὴ τὸ ἔμψυχον τὸ αἰσθητικόν, ὃ καθ' αὑτὸ καὶ πρώτως ἐστὶ ζῷον ἀλλ' οὐ κατὰ συμβεβηκός, τοῦτο ὑπάρχει ὁ Σωκράτης, ἀλλά ποτε, διὰ τοῦτο οὐ κυρίως κατὰ συμβεβηκὸς ὁ Σωκράτης ζῷόν ἐστιν, ἀλλὰ τρόπον τινὰ κατὰ συμβεβηκός, διότι ἡ μὲν ἀπόδειξις ἐπ' ἄλλου ἐστὶ κυρίως, καθ' οὗ προσεχῶς τὸ ζῷον κατηγορεῖται, οἷον τοῦ αἰσθητικοῦ· δι' ἐκείνου δέ, ἕως' ἂν ᾖ Σωκράτης, λέγοιτ' ἂν ἀποδείκνυσθαι ὅτι ἔστι ζῷον· τὸ δὲ μὴ ἀεὶ ὂν τρόπον τινὰ τοῖς κατὰ συμβεβηκὸς ἂν εἴη. διττῶς δὲ φέρεται ἡ γραφή· τὰ μὲν γὰρ πλεῖστα τῶν ἀντιγράφων ἔχουσιν "ὅτι τοῦ καθόλου αὐτοῦ ἐστίν," τινὰ δὲ "ὅτι οὐ καθόλου αὐτοῦ ἐστίν." καὶ ἡ μὲν δευτέρα γραφή, ἡ

τικῶν προτάσεων λαμβάνοντα. διὰ τοῦτο γὰρ ἔλεγεν ἀνωτέρω ὅτι οὐ πᾶν ἀληθὲς οἰκεῖον ἀποδεῖξει, ἀλλὰ τὸ πρῶτον τοῦ οἰκείου γένους περὶ ὃ ἀποδείκνυται. τοῦτο δὲ δείκνυσιν ἐκ τοῦ προσλαβεῖν ὅτι ἐκ τῶν καθ' αὑτό εἰσιν αἱ ἀποδείξεις. διὰ τοῦτο οὖν πρότερον ἡμᾶς ὑπομιμνήσκει τῶν ἀποδεδειγμένων, ὅτι ἐκ τῶν καθ' αὑτὸ καὶ τῶν ἐξ ἀνάγκης αἱ ἀποδείξεις. id. f. 23.

75a 31. τούτου δὲ παράδειγμα τίθησι τοὺς διὰ σημείων συλλογισμούς, οἵτινες τὰ αἴτια ἐκ τῶν αἰτιατῶν συλλογίζονται· ἐκ γὰρ τῶν διαφόρων φωτισμῶν τῆς σελήνης τὸ σφαιροειδὲς αὐτὴν ἔχειν σῶμα συνάγουσι, καὶ ἐκ τοῦ καπνὸν φαίνεσθαι τὸ πῦρ εἶναι. τοῦτο γὰρ εἰ καὶ μυριάκις ἀεὶ ὑπάρχει τοῖς δεικνυμένοις, οὐκ ἔστιν ἐπὶ τούτων ἀπόδειξις, ὅτι μὴ ἐξ αἰτίων τὰ αἰτιατὰ συλλογίζονται, μηδὲ ἐκ τῶν πρώτων τὰ δεύτερα, ὅπερ δεῖ τὴν κυρίως ἔχειν ἀπόδειξιν, ἀλλ' ἀνάπαλιν. id. ib.

75a 38. δείξας ὅτι ἡ ἀπόδειξις ἀναγκαία τέ ἐστι καὶ ἐξ ἀναγκαίων, καὶ ὅτι μόνα τὰ καθ' αὑτὰ ἀναγκαῖα, ἐντεῦθεν, ὥσπερ εἶπον, πόρισμά τι συνάγει τὸ νῦν δεικνύμενον. τοῦτο δέ ἐστιν ὅτι οὐκ ἐνδέχεται τὰς ἀποδείξεις τὰς ἄλλῃ τινὶ ἐπιστήμῃ ἐφαρμοζούσας ἐφαρμόσαι καὶ ἐπὶ ἄλλῃ... νῦν μὲν οὕτως ὁλοσχερέστερόν φησιν ὅτι δυνατὸν τοῖς αὐτοῖς ἀξιώμασιν ἐπὶ διαφόρων ἐπιστημῶν χρήσασθαι, προϊὼν δὲ ἀκριβολογήσεται περὶ τούτου. id. ib.

75a 41. γένος τὸ ὑποκείμενον τοῦ συμπεράσματός φησιν, ὥσπερ πολλαχοῦ εἴωθε λέγειν. id. f. 23 b.

75b 6. τοῦτό φησιν. τὸ τὰς ἐλάττους προτάσεις ἐπί τινων ἐπιστημῶν ἐνδέχεσθαι τὰς αὐτὰς λαβεῖν, ἐροῦμεν μετὰ ταῦτα· δειχθήσεται γὰρ ὅτι ἐνδέχεται ἐν ταῖς ὑπαλλήλοις ἐπιστήμαις τὰς εἰλημμένας ἐν τῇ μερικωτέρᾳ ἐπιστήμῃ προτάσεις, ταύτας καὶ ἐν τῇ καθολικωτέρᾳ λαμβάνειν. id. ib.

75b 7. τὸ "ἀεί" ἀντὶ τοῦ καθόλου παρείληπται. τουτέστι, καθόλου ἐπὶ πάσης ἀριθμητικῆς ἀποδείξεως τὸ αὐτὸ γένος παραλαμβάνεται. id. f. 24.

75b 10. προείληπται δὲ ὅτι καθ' αὑτὸ δεῖ καὶ τοὺς ἄκρους ἀλλήλων κατηγορεῖσθαι, καὶ τὸν μέσον τῷ μὲν ὑποκεῖσθαι τοῦ δὲ κατηγορεῖσθαι· ὥστε εἰ μὴ ἐκ τοῦ αὐτοῦ γένους παραληφθεῖεν, οὐκ ἔσονται καθ' αὑτὸ ἀλλήλοις ὑπάρχοντες ἀλλὰ κατὰ συμβεβηκός. id. ib.

τὸ μὲν γὰρ δεικνύναι ὅτι τῶν ἐναντίων μία ἐπιστήμη, οὐκ ἔστιν ἴδιον γεωμετρίας, διότι μὴ ἐκ τῶν ὑποκειμένων τῇ γεωμετρίᾳ εἰλημμένοι εἰσὶν οἱ ὅροι, μᾶλλον δὲ διαλεκτικῆς, ἥτις τὴν πρώτην μιμουμένη φιλοσοφίαν τὰ πάντα πειρᾶται δεικνύναι, ὥσπερ πάντων αὐτῇ ὑποκειμένων. ὁμοίως ὅτι οὐδὲ οἱ δύο κύβοι κύβος γεωμετρίας ἐστὶ δηλονότι ἀποδεῖξαι, στερεομετρίας δὲ μᾶλλον· γεωμετρία μὲν γὰρ περὶ τὰ ἐπίπεδα ἔχει τὴν σκέψιν, στερεομετρία δὲ περὶ τὰ στερεά· κύβος δὲ ὑποκείμενον τῇ στερεομετρίᾳ. τὸ δὲ "οἱ δύο κύβοι κύβος" τοῦτό φησι, πῶς οἷόν τε τὸν κύβον διπλασιάσαι καὶ πάλιν μένειν τὸ τοῦ κύβου σχῆμα. ἔοικε δὲ διὰ τούτου τὴν πολυθρύλλητον αἰνίττεσθαι ἱστορίαν. Δηλίοις γὰρ λοιμώξασιν ἔχρησεν ὁ Ἀπόλλων ἀπαλλαγήσεσθαι τοῦ λοιμοῦ, εἰ τὸν βωμὸν διπλασιάσουσι κυβικὸν ἔχοντα σχῆμα. οἱ δ' ἐπῳκοδόμησαν προσθέντες τῷ προτέρῳ βωμῷ ἕτερον κύβον ἴσον. ἀλλ' ἡ τῶν δύο κύβων συνθήκη τὸ τοῦ κύβου σχῆμα ἠλλοίωσε· γέγονε γὰρ ἀντὶ κύβου δοκίς. τοῦ λοιμοῦ δὲ μὴ παυσαμένου ἔχρησεν ὁ θεὸς μὴ πεποιηκέναι αὐτοὺς τὸ προσταχθέν· ὁ μὲν γὰρ προσέταξε διπλασιάσαι τὸν κύβον, τουτέστι βωμὸν κατασκευάσαι κυβικὸν τοῦ προτέρου διπλάσιον, οἱ δὲ κύβον ἐπὶ κύβῳ ἐπέθηκαν. ἦλθον οὖν πρὸς Πλάτωνα ζητοῦντες μέθοδον, πῶς ἂν τὸν κύβον διπλασιάσαιεν. ὁ δὲ πρὸς αὐτούς φησιν, ἔοικεν ὑμῖν ὀνειδίζειν ὁ θεὸς ὡς ἀμελοῦσι γεωμετρίας· ὁ δὲ τοῦ κύβου διπλασιασμὸς εὑρεθήσεται, φησίν, εἰ δύο εὐθειῶν δύο μέσαι ἀνάλογον εὑρεθεῖεν. καὶ τοῦτο τὸ πρόβλημα τοῖς μαθηταῖς προεβάλλετο, οἵτινες καὶ περὶ τούτου γεγράφασιν, ὡς ἐδύνηται ἕκαστος, ὧν οὐδέν τι περισώζεται μέχρι τοῦ νῦν. ἀλλ' οὐδ' ὁ γεωμέτρης περὶ τούτου ἐπεσημήνατο· δύο μὲν γὰρ δοθεισῶν εὐθειῶν μέσον ἀνάλογον εὑρεῖν, ἐξέθετο τὴν ἀπόδειξιν· ὁμοίως δὲ καὶ ἐν τῷ πορίσματι τοῦ λγ' τοῦ πρώτου τῶν στερεῶν, ὡς ἐὰν ὦσι τέσσαρες εὐθεῖαι ἀνάλογον ἐφεξῆς, ἔσται ὡς ἡ πρώτη πρὸς τὴν τετάρτην, οὕτω τὸ ἀπὸ τῆς πρώτης στερεὸν παραλληλεπίπεδον πρὸς τὸ αὐτὸ ἀπὸ τῆς δευτέρας, τὸ ὅμοιόν τε καὶ ὁμοίως ἀναγραφόμενον. τοῦ μέντοι Ἀπολλωνίου τοῦ Περγαίου ἐστὶν εἰς τοῦτο ἀπόδειξις, ὡς Παρμενίων φησίν, ἣν καὶ ἐκθήσομεν ἔχουσαν οὕτως. id. ib.

Ἀθηναίοις λοιμώξασιν ἔχρησεν ὁ θεὸς ἀπαλλαγήσεσθαι τοῦ λοιμοῦ, εἰ τὸν βωμὸν διπλασιάσουσιν· ἦν δὲ οὗτος κύβος. οἱ δὲ λαβόντες ἕτερον κύβον ἴσον ἐπιτεθείκασι τῷ βωμῷ. τοῦ λοιμοῦ δὲ μὴ παυσαμένου ἔχρησεν ὁ θεὸς μὴ πεποιηκέναι αὐτοὺς τὸ προσταχθέν· ὁ μὲν γὰρ προσέταξε διπλασιάσαι τὸν βωμόν, οἱ δὲ κύβον ἐπὶ κύβῳ ἐπέθηκαν. καὶ ἦλθον πρὸς Πλάτωνα λέγοντες, πῶς ἂν τὸν κύβον διπλασιάσαιεν; ὁ δὲ πρὸς αὐτούς φησιν, ἔοικεν ὑμῖν ὀνειδίζειν ὁ θεὸς ὡς ἀμελοῦσι γεωμετρίας. τὴν δὲ τοῦ κύβου δίπλωσιν εὑρεθήσεσθαί φησιν, εἰ δύο εὐθείαις δύο μέσαι ἀνάλογον εὑρεθῶσι. καὶ τοῦτο τὸ πρόβλημα τοῖς μαθηταῖς προεβάλλετο· καί τινες γοῦν τῶν μαθητῶν περὶ τῆς τούτων εὑρέσεως γεγράφασιν. ὁ μὲν γὰρ γεωμέτρης ἔδειξεν ὅτι τριῶν εὐθειῶν ἀνάλογον οὐσῶν, ὡς ἔχει ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτω τὸ ἀναγραφόμενον τετράγωνον πρὸς τὸ ἀπὸ τῆς δευτέρας. οὐ μέντοι παραδέδωκε μέθοδον, πῶς ἂν δύο εὐθείαις δύο μέσαι ἀνάλογον εὑρεθῶσιν. ἐν οὖν τοῖς ἐπιπέδοις ἁπλῶς ἔδειξεν ὅτι ὡς ἔχει ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτω τὸ ἀπὸ τῆς πρώτης τετράγωνον πρὸς τὸ ἀπὸ τῆς δευτέρας. οἷον ἔστωσαν τρεῖς εὐθεῖαι ἀνάλογον, ἡ μὲν η', ἡ δὲ δ', ἡ δὲ β'. ὡς γὰρ ἔχει ἡ τῶν ὀκτὼ πρὸς τὴν τῶν τέσσαρων (διπλασίων γάρ ἐστιν), οὕτως ἔχει καὶ ἡ τῶν δ' πρὸς τὴν τῶν β'· διπλασίων γὰρ καὶ αὕτη. καὶ διὰ τοῦτο ὡς ἔχει ἡ πρώτη πρὸς τὴν τρίτην, ἥ τε τῶν ὀκτὼ πρὸς τὴν τῶν δύο (ἔστι γὰρ τετραπλασίων), οὕτως ἔχει καὶ τὸ ἀπὸ τῆς πρώτης τετράγωνον, ὅπερ ἐστὶ ξδ', πρὸς τὸ ἀπὸ τῆς δευτέρας, ὅπερ ἐστὶν ις'. ἔχει οὖν τὸ τῶν ξδ' πρὸς τὸ τῶν ις' τὸν τετραπλασίονα λόγον· τετραπλασίων γάρ ἐστι καὶ ἡ πρώτη τῆς τρίτης, ἡ τῶν η' τῆς τῶν β'. οὕτω μὲν οὖν ἐν τοῖς ἐπιπέδοις ἔδειξεν, ἐν δὲ τοῖς στερεοῖς τὸ καθολικώτερον, ὅτι ὡς ἔστιν ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτω τὸ ἀπὸ τῆς πρώτης ὀρθὸν τετράγωνον πρὸς τὸ ἀπὸ τῆς δευτέρας. τούτων οὖν οὕτως

δὲ ἐνδεχόμενον ἐνδέχεται καὶ μὴ ὑπάρχειν, ἐὰν ἄρα τοῦτο ὑποτεθῇ μὴ ὑπάρχον, εἴσεται μὲν ὅτι ὁ ἄνθρωπος ἐξ ἀνάγκης ζῷόν ἐστι, τὸν λόγον μέντοι δι' ὃν ἐστι ζῷον οὐκ εἴσεται, τοῦ μέσου ὅρου ἀναιρεθέντος. τὸν λόγον δὲ ὁ μὴ εἰδὼς διότι τόδε, οὐκ ἐπίσταται αὐτό· ὁ αὐτὸς ἄρα τὸ αὐτὸ καὶ ἐπιστήσεται καὶ οὐκ ἐπιστήσεται, ἐπιστήσεται μὲν διὰ τὴν ὑπόθεσιν, οὐκ ἐπιστήσεται δὲ διὰ τὸ ἐνδεχομένας λαβεῖν τὰς προτάσεις. id. ib.

74b 32. ἄλλο ἐπιχείρημα τοῦ αὐτοῦ κατασκευαστικόν. ὃ δὲ λέγει, δυνάμει τοιοῦτόν ἐστιν. τρία εἰσὶν ἐφεξῆς, φησί, ταῦτα, ὁ γινώσκων καὶ ἡ γνῶσις καὶ τὸ γινωσκόμενον. συμβαίνει οὖν τὸν πρότερον ὄντα ἐπιστήμονα ὕστερον μὴ εἶναι ἐπιστήμονα, ἑνὸς τῶν τριῶν τούτων φθαρέντος· ἢ γὰρ καὶ τῆς γνώσεως σωζομένης καὶ τοῦ γινώσκοντος, τοῦ πράγματος δὲ φθειρομένου, συμβαίνει μηκέτι εἶναι ἐπιστήμονα τὸν πάλαι ἐπιστήμονα, ἢ αὐτοῦ φθαρέντος, τοῦ πράγματος δὲ σωζομένου, ἢ αὐτοῦ μὴ φθαρέντος λήθης γενομένης. εἴ τις οὖν, φησί, λέγει τὴν ἀπόδειξιν ἐξ ἐνδεχομένων εἶναι, ἐπειδὴ τὴν μὲν ἀπόδειξιν οὐκ ἐνδέχεται ἄλλως ἔχειν, τὸ δὲ ἐνδεχόμενον οἷόν τε καὶ μὴ εἶναι, ἐὰν ὑποθώμεθα μὴ ὂν τὸ ἐνδεχόμενον, συμβήσεται τὸν πρὶν ἐπιστάμενον, μήτε φθαρέντα μήτε ἐπιλελησμένον μήτε τοῦ πράγματος ἀπολλυμένου, μὴ εἶναι ἐπιστήμονα, ὅπερ γελοῖον, ὡς ἤδη εἶπον. id. f. 21.

74b 35. ἔτι φθαρῆναι τὸν τοιοῦτον μέσον ἐνδέχεται, σώζεσθαι δὲ τὸ συμπέρασμα. ὁ δὴ διὰ τούτου τοῦ μέσου γινώσκων τὸ συμπέρασμα, ἡνίκα ἂν φθαρῇ τοιοῦτον ὄν, ἀπολώλεκε τὸ διὰ τί. καίτοι θαυμαστὸν αὐτόν τε σωζόμενον καὶ τοῦ πράγματος σωζομένου καὶ τὸν λόγον ἔχοντα τὸν αὐτὸν μὴ ἐπίστασθαι. Themist. f. 4.

75a 1. ἐπειδὴ ἔδειξεν ὅτι ἀνάγκη ἐξ ἀναγκαίων προτάσεων εἶναι τὴν ἀπόδειξιν, ἵνα μή τις οἰηθῇ περισσῶς αὐτὸν ἐρραψῳδηκέναι ἐκεῖνα, λέγων μὴ εἶναι ὅλως ἀμφίβολον τοῦτο, εἰ δέοι τοῦ ἀποδεικτικοῦ συμπεράσματος ἐξ ἀνάγκης ὄντος, καὶ τὰς προτάσεις τὰς τοῦτο συναγούσας ἀναγκαίας εἶναι (πῶς γὰρ ἐνδέχοιτο συμπέρασμα ἀναγκαῖον εἶναι, ὃ μὴ ἐξ ἀναγκαίων συνῆκται προτάσεων;) διὰ τοῦτο βούλεται νῦν δεῖξαι ὅτι οὐ περιττῶς αὐτῷ εἴρηται ἐκεῖνα. ὅτι μὲν γὰρ τὸ ἀποδεικτικὸν συμπέρασμα ἀναγκαῖόν ἐστι, τοῦτο πᾶς τις ἂν ὁμολογήσειεν· ὅτι δὲ τὸ ἀναγκαῖον οὐ πάντως ἐξ ἀναγκαίων προτάσεων, οὐ πρόχειρον συνιδεῖν· δυνατὸν γὰρ καὶ μὴ ἐξ ἀναγκαίων ἀναγκαῖον συναγαγεῖν. Ioh. Phil. f. 21 *b*.

75a 8. εἰ γὰρ ἐνδεχόμενον μὲν εἴη τὸ συμπέρασμα, οὐ λέγομεν τότε τὰς συνακτικὰς τούτου προτάσεις ἀναγκαίας εἶναι, ἐπειδὴ δέδεικται ὅτι ταῖς ἀναγκαίαις πάντως καὶ ἀναγκαῖον ἕπεται τὸ συμπέρασμα. συμβήσεται δὲ τοῦτο ἐξ ἀνάγκης ὑπάρχειν διὰ τὸ τὰς προτάσεις ἐνδεχομένας εἶναι· τοῦτο γὰρ ὑπέκειτο. id. ib.

75a 14. τὸ δὲ "οὔτε διότι οὔτε ὅτι" τοῦτο σημαίνει ὅτι οὔτε τὸ διότι ἀποδεδειχὼς ἔσται οὔτε τὸ ὅτι. καὶ γάρ, ὡς ἑξῆς ἐρεῖ, τῶν συλλογισμῶν οἱ μὲν τὸ ὅτι κατασκευάζουσιν οἱ δὲ τὸ διότι, καὶ τῶν τὸ ὅτι κατασκευαζόντων οἱ μέν εἰσιν ἐξ ἀμέσων προτάσεων οἱ δὲ ἐξ ἐμμέσων· ὁμοίως καὶ τῶν τὸ διότι. Ioh. Phil. f. 22.

75a 16. ἐν μὲν τοῖς ἑξῆς, ὅπερ εἶπεν, τό τε ἔμμεσον καὶ ἄμεσον καὶ ἐπὶ τοῦ ὅτι καὶ τοῦ διότι ἐστὶ φησίν· ἐνταῦθα δὲ διαστέλλει, καὶ τὸ μὲν ἄμεσον ἐπὶ τοῦ τὸ διότι κατασκευάζοντος ἔταξε, τὸ δὲ ἔμμεσον ἐπὶ τοῦ τὸ ὅτι. ἀσαφὲς δέ ἐστι τὸ ῥητὸν διὰ τὸ τὴν διὰ πρόθεσιν ποτὲ μὲν ἐντελῶς παραλαμβάνειν ἐπὶ τοῦ "μέσων," ποτὲ δὲ κατ' ἔκθλιψιν τοῦ α' ἐπὶ τοῦ "ἀμέσων." διόπερ ὅταν λέγῃ "ὁμοίως ἄντε τὸ ὅτι εἰδῇ διὰ μέσων," ἡ διὰ πρόθεσις ἐντελὴς ἔστω· διὸ ὑποδιαστολὴν εἰς τὸ α' ποιητέον, τουτέστι διὰ ἐμμέσων. ὅταν δὲ λέγῃ "τὸ διότι καὶ δι' ἀμέσων," εἰς τὸ ι' ἀπόστροφον θετέον κατ' ἔκθλιψιν τοῦ α' νευομένης τῆς διὰ προθέσεως, τοῦ δὲ α' στερητικοῦ μετὰ τοῦ μέσων παραλαμβανομένου, τουτέστιν ἀμέσων οὐσῶν τῶν τὸ διότι κατασκευαζουσῶν προτάσεων. id. ib.

75a 18. δείξας ὅτι ἡ ἀπόδειξις ἀναγκαία τέ ἐστι καὶ ἐξ ἀναγκαίων προτάσεων καὶ τῶν καθ' αὑτό, ἐπειδὴ τῶν καθ' αὑτὸ ὁ δεύτερος τρόπος ὑπὸ τὰ ἀχώριστα τῶν συμβεβηκότων ἀνήγετο, ἵνα μή τις οἰηθῇ ἐκ τούτου καθόλου τὸ ἀχώριστον συμβεβηκὸς ἀπόδειξιν ἔχειν, αὐτὸ τοῦτο προσδιορίζεται ἐν τούτοις ὡς οὐκ ἔστι πάντων ἁπλῶς ἀπόδειξις τῶν συμβεβηκότων ἀχωρίστως, κἂν ἀεὶ ὑπάρχωσι τῷ ὑποκειμένῳ, ἀλλὰ μόνων ἐκείνων ὅσα καθ' αὑτὸ ταῖς ὑποκειμέναις οὐσίαις ὑπάρχει· ταῦτα δέ ἐστι τὰ ὡρισμένῃ καὶ μιᾷ τινὶ φύσει ὑπάρχοντα. id. ib.

75a 22. ἐπειδὴ εἶπε μὴ εἶναι τῶν συμβεβηκότων (ταὐτὸν δὲ εἰπεῖν τῆς ἐνδεχομένης φύσεως) ἀπόδειξιν, ἀπορεῖ ἐν τούτοις καὶ φησίν, εἰ μὴ ἐνδέχεται ἀπόδειξιν συμβεβηκότων γενέσθαι διὰ τὸ ἐνδέχεσθαι καὶ ἄλλως ἔχειν, οὐκ ἐξ ἀνάγκης ἕπεται τὸ συμπέρασμα, διὰ τί οὖν ὅλως προτείνομεν πρότασιν ἀπὸ τῶν συμβεβηκότων καὶ συλλογιζόμεθα καὶ φαμὲν ἕπεσθαι ταῖς τοιαύταις προτάσεσι τὰ συμπεράσματα, αἷς ἐδείξαμεν μὴ ἐξ ἀνάγκης ἑπόμενα τὰ συμπεράσματα; ἐπιλυόμενος οὖν τὴν ἀπορίαν φησὶν ὅτι διττὸν τὸ ἀναγκαῖον, τὸ μὲν δι' αὐτὴν τῶν πραγμάτων τὴν φύσιν, τὸ δὲ διὰ τὴν ἀκολουθίαν... "ταῦτα" μέν φησιν ἀντὶ τοῦ τὰς ἐνδεχομένας προτάσεις, "περὶ τούτων" δὲ ἀντὶ τοῦ τῶν ἑπομένων αὐταῖς συμπερασμάτων. Ioh. Phil. f. 22 *b*.

75a 25. ἐνταῦθα ἡ λύσις τῆς ἀπορίας. οὕτω, φησί, δεῖ ἐρωτᾶν ἡμᾶς τὰς ἐνδεχομένας προτάσεις, οὐχ ὡς ἀναγκαίας οὔσης τῆς τοῦ συμπεράσματος φύσεως διὰ τὰς προτάσεις, ἀλλ' ὅτι τῷ ἐκεῖνα λέγοντι καὶ ἀληθῶς λέγοντι, τουτέστι τῷ τιθεμένῳ τὰς προτάσεις καὶ ἀληθῶς τιθεμένῳ, τούτῳ ἕπεται καὶ τὸ συμπέρασμα λέγειν ἀληθῶς. τὸ δὲ "οὐχ ὡς ἀναγκαῖον εἶναι διὰ τὰ ἠρωτημένα" οὐ τοῦτό φησιν ὅτι οὐκ ἀναγκαῖον τὸ συμπέρασμα εἶναι διὰ τὰς προτάσεις (ἀνάγκη γὰρ πάντως τῶν προτάσεων ἀληθῶν οὐσῶν καὶ τοῦ σχήματος ἐρρωμένου καὶ τὸ συμπέρασμα συνάγεσθαι) ἀλλ' ὅτι οὐχ ἡ αἰτία τοῦ εἶναι ἐν ταῖς προτάσεσι τοῦ ἀναγκαῖον συνάγεσθαι συμπέρασμά ἐστιν, ὅπερ δεῖ ἐν τοῖς ἀποδεικτικοῖς εἶναι συλλογισμοῖς. id. ib.

75a 28. δοκεῖ ἐνταῦθα ταυτολογεῖν ὁ φιλόσοφος· ἃ γὰρ εἶπεν ἀνωτέρω, ταῦτα καὶ ἐνταῦθά φησι, λέγω δὴ ὅτι οὐκ ἐνδέχεται τὴν ἀπόδειξιν ἐξ ἐνδεχομένων εἶναι προτάσεων, καὶ ταῖς αὐταῖς κατασκευαῖς πάλιν κέχρηται. οὐ μάτην δὲ τοῦτο ποιεῖ, ἀλλ' ἐπεὶ βούλεται ἐντεῦθεν ἡμᾶς διδάξαι ὅτι δεῖ τὴν ἀπόδειξιν ἐξ οἰκείων τῶν καθ' ἕκαστον γένος περὶ ὅ ἐστι τὸ πρόβλημα καὶ τὰς προτάσεις λαμβάνειν, καὶ μὴ ἀποδεικνύναι τι γεωμετρικὸν θεώρημα, εἰ τύχοι, ἐξ ἀριθμη-

ἀπόδειξις," τουτέστι κοινῷ λόγῳ πότε γνωσόμεθα ἐπί τινος ὅτι καθόλου ποιούμεθα τὰς ἀποδείξεις. id. ib.

74b 5. ταῦτα οὖν εἰπὼν εἰκότως νῦν μέτεισιν ἐπὶ τὸ λεῖπον τῆς διδασκαλίας, λέγω δὴ διδάξαι τίνες εἰσὶν αἱ ἀναγκαῖαι προτάσεις, ἐξ ὧν τὰ ἀποδεικτικὰ προβλήματα συλλογιζόμεθα. φησὶν οὖν, τῶν καθ' αὑτὸ δεῖ εἶναι τὰς ἀποδεικτικὰς προτάσεις. δεικνύει δὲ τοῦτο ὑποθετικῷ χρώμενος συλλογισμῷ τοιούτῳ· εἰ αἱ ἀποδείξεις ἐξ ἀναγκαίων, τὰ δὲ ἀναγκαῖα μόνα καθ' αὑτά, ἐκ τῶν καθ' αὑτὸ ἄρα αἱ ἀποδείξεις. καὶ δῆλον ὅτι δύο τινὰ εἴληπται ἐν τῷ συλλογισμῷ τούτῳ τὰ ἡγούμενα, λέγω δὴ τό τε τὴν ἀπόδειξιν ἐξ ἀναγκαίων εἶναι καὶ τὰ ἀναγκαῖα μόνα καθ' αὑτὸ εἶναι, οἷς ἀμφοτέροις ἕπεται ἅμα τὸ ἑπόμενον, τὸ τὴν ἀπόδειξιν εἶναι ἐκ τῶν καθ' αὑτό. οὐ ξένον δὲ τῶν συλλογισμῶν τὸ δύο παραλαμβάνεσθαι τὰ ἡγούμενα· ἔστι γὰρ ὅτε ἑνὶ μὲν ἑκάστῳ τῶν ἡγουμένων οὐχ ἕπεται τὸ συμπέρασμα, τουτέστι τὸ ἑπόμενον, ἀμφοτέροις δὲ ἅμα ἕπεται, ὡς δέδεικται ἡμῖν ἐν ἑτέροις. id. f. 19 b.

74b 9. ὧν θάτερον τῶν ἀντικειμένων ἀναγκαῖον ὑπάρχειν τοῖς πράγμασι, λέγω δὴ τῶν κατὰ τοὺς προτέρους τρόπους· ταῦτα γὰρ ἦν τὰ καὶ ἄλλο ἄλλου κατηγορούμενα, ὧν τὰ μὲν ἐν τῷ τί ἐστι τῶν ὑποκειμένων κατηγορεῖτο, ὡς τὰ κατὰ τὸν πρότερον τρόπον τοῦ καθ' αὑτό (τὸ γὰρ ζῷον ἐν τῷ τί ἐστι τοῦ ἀνθρώπου κατηγορεῖτο), τὰ δὲ ἐν τῷ λόγῳ τῷ ἑαυτῶν τῷ δηλοῦντι τί ἐστι τὸ ὑποκείμενον, ἐνυπῆρχε τῷ κατηγορουμένῳ, ὡς τὰ κατὰ τὸν δεύτερον τρόπον. . . . δέδεικται γὰρ ὡς ἐν τῷ δευτέρῳ τρόπῳ τοῦ καθ' αὑτό, ἀμέσου τῆς ἀντιθέσεως οὔσης, ὅτι θάτερον τῶν ἀντικειμένων ἐξ ἀνάγκης ὑπάρχει τῷ ὑποκειμένῳ. id. ib.

74b 13. πλείοσιν ἐπιχειρήμασι κατασκευάζει τὸ λεγόμενον, ὧν δεύτερόν ἐστι τὸ προκείμενον. καὶ ἐπεὶ ἐν τῷ πρώτῳ ἐπιχειρήματι λαβὼν ὅτι δεῖ τὰς ἀποδεικτικὰς προτάσεις ἐπίστασθαι, καὶ ἐκ τούτου δείξας ὅτι καὶ ἀναγκαίας αὐτὰς δεῖ εἶναι, ἐξ ὧν πάλιν συνῆγεν ὅτι καὶ ἐκ τῶν καθ' αὑτὸ ὑπαρχόντων εἰσίν, ἐντεῦθεν ἐξ ἄλλης ἀρχῆς ποιεῖται τὴν ἐπιχείρησιν, ἐξ αὐτοῦ φημὶ τοῦ ἀποδεικτικοῦ προβλήματος ἢ τοῦ συμπεράσματος, ὅπερ καὶ μᾶλλόν ἐστι σαφέστερον. εἰ γὰρ ἡ ἀπόδειξις τῶν ἐξ ἀνάγκης ἐστὶν ὑπαρχόντων καὶ μὴ ἐνδεχομένων ἄλλως ὑπάρχειν, τὰ δὲ ἀναγκαῖα ἐξ ἀνάγκης (οὐ γὰρ ἐνδέχεταί τι ἀναγκαῖον εἰ μὴ ἐξ ἀναγκαίων συνάγεσθαι), ἡ ἄρα ἀπόδειξις ἐξ ἀναγκαίων ἐστὶ προτάσεων. ἐξ ἀληθῶν μὲν γὰρ καὶ μὴ ἀναγκαίων προτάσεων συλλογισμὸν γενέσθαι ἀληθῆ ἐνδέχεται, ἀποδεικτικὸν δὲ ἀδύνατον. id. f. 20.

74b 21. εἶτα δεικνὺς ὅτι ὥσπερ κοινή τις ἔννοιά ἐστι πάντων περὶ ἀποδείξεως ἡ αὐτή, λέγω δὴ τὸ ἐξ ἀναγκαίων εἶναι τὴν ἀπόδειξιν, φησὶν ὅτι οὐ μόνον οἱ πρὸς ἀλήθειαν ὁρῶντες ἀντιλέγουσι ταῖς προτάσεσιν, ἐν αἷς μή ἐστιν ἐξ ἀνάγκης ὑπάρχειν τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, ἀλλὰ καὶ οἱ ἐριστικώτερον ἕνεκεν φιλονεικίας ἀντιλέγοντες, πολλάκις καὶ ἀναγκαίας οὔσης τῆς προτάσεως ἐμποδίσαι τῷ λόγῳ βουλόμενοι, φασὶ μὴ ἐξ ἀνάγκης ὑπάρχειν. οὕτως οὖν κοινή ἐστιν ἔννοια τὸ τὰς ἀποδεικτικὰς μεθόδους ἀναγκαίας δεῖν εἶναι. id. f. 20 b.

εἰ δέδεικται, φησίν, ὅτι δεῖ τὴν ἐπιστήμην ἐξ ἀναγκαίων εἶναι, γελοῖοι ἄρα οἱ νομίζοντες ἀποδεδειχέναι, ἐὰν ἐνδόξους ἢ ἀληθεῖς ἡμῖν προτάσεις προτείνωσι, μὴ ἀναγκαίας δέ, ὥσπερ οἱ σοφισταί. ἐρωτῶντες γὰρ εἰ ἐπίσταται ὁ γεωμέτρης τὰ κατὰ γεωμετρίαν, καὶ τοῦτο λαβόντες, φασὶν ὅτι ἐπίστασθαί ἐστι τὸ ἐπιστήμην ἔχειν, τὸ δὲ ἔχειν ἐπιστήμην ἐπιστήμην ἐστὶν εἰδέναι, ὁ δὲ εἰδὼς ἐπιστήμην ἐπίσταται τί ποτέ ἐστιν αὐτή· ὁ ἄρα ἐπιστάμενος οἶδεν ὅ τι ἐστὶν ἐπιστήμη, ὁ δὲ γεωμέτρης ἐπίσταται, ὁ γεωμέτρης ἄρα ἐπίσταται τί ἐστιν ἐπιστήμη. ἐνταῦθα γὰρ λαβόντες ἀληθῆ πρότασιν, ὅτι ἐπίσταται ὁ γεωμέτρης καὶ ὅτι ὁ ἐπιστάμενος ἔχει ἐπιστήμην, καὶ τρίτον τὴν ἔνδοξον ὅτι ὁ ἔχων τι οἶδεν ὃ ἔχει, οὕτως οἴονται ἀποδεδειχέναι τὸ δεῖν τὸν γεωμέτρην εἰδέναι τί ποτέ ἐστιν ἐπιστήμη. ἐδείχθη δὲ ὅτι ἡ ἀπόδειξις οὐχ ἁπλῶς ἐξ ἀληθῶν οὐδὲ ἐξ ἐνδόξων ἀλλ' ἐξ ἀναγκαίων καὶ οἰκείων καὶ πρώτων τοῦ ὑποκειμένου ἀποδεικτικὴ γίνεται, ὥστε εἰ ἦν τις φύσις ὡρισμένη ἐπιστήμης, ἔδει τὸν ἐπιστήμονα πάντως ἔχειν. . . τινὲς δὲ ἐξηγοῦνται τοῦτο τὸ χωρίον σοφιστικώτερον οὕτως. εἰ τὸ ἐπίστασθαί ἐστιν ἐπιστήμην ἔχειν, τὸ δὲ ἐπιστήμην ἔχειν τὸ ἐπίστασθαί ἐστι, τὸ ἐπίστασθαι ἄρα ἐπιστήμην ἔχει. οὐκέτι μενόντων ἐστὶν ἐπὶ τοῦ σημαινομένου, ἀλλὰ μεταβαινόντων ἐπὶ τὰς φωνάς, μεταβαίνοντος τοῦ λόγου. ὁ μὲν γὰρ ἐπιστάμενος ἔχει ἐπιστήμην, αὐτό φημι τὸ ὑπὸ τῆς φωνῆς τῆς ἐπιστήμης δηλούμενον· τὸ δὲ λέγειν τὸ ἐπιστήμην ἔχειν ἐπιστήμην ἔχει, οὐκέτι μενόντων ἐστὶν ἐπὶ τοῦ σημαινομένου ἀλλὰ μεταβαινόντων ἐπὶ τὰς φωνάς, καὶ μονονουχὶ λεγόντων ὅτι ἡ φωνὴ αὐτὴ ἡ λέγουσα τὸ ἔχειν ἐπιστήμην αὐτὸ τὸ τῆς ἐπιστήμης ὄνομά ἐστιν. προσφυεστέρα δέ μοι δοκεῖ ἡ πρώτη ἐξήγησις. id. ib.

δῆλον δὲ καὶ ἐκ τούτων ὅτι γελοῖοι παντελῶς οἱ τῷ ἐνδόξῳ κρίνοντες τὴν πρότασιν τὴν ἀποδεικτικήν, καθάπερ ᾤετο Πρωταγόρας ἀποδεικτικὰς εἶναι προτάσεις, καὶ ταύτας τὸν ἐπιστάμενον ἐπιστήμην ἔχειν, τὸν δὲ ἔχοντα ἐπιστήμην εἰδέναι τί ἐστιν ἐπιστήμη· εἰ γὰρ καὶ τὸ ἀληθὲς οὐκ αὔταρκες πρὸς ἀπόδειξιν, ἀλλὰ δεῖ καὶ τὸ οἰκεῖον προσεῖναι καὶ τὰ ἄλλα ἃ διωρίσαμεν, σχολῇ γε τὸ πιθανὸν ἀποχρήσει. Themist. f. 4.

74b 25. ἀληθὲς μὲν γὰρ ὅτι πᾶν ἰσοσκελὲς τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει, οὐκ οἰκεῖον δὲ ἐπιστήμη, διότι μὴ ἐφ' οὗ πρώτου δείκνυται τὸ τοιοῦτον προῆλθεν ἡ ἀπόδειξις. Ioh. Phil. f. 20 b.

74b 27. ἀκριβῶς δὲ προσέθηκε τὸ "οὔσης ἀποδείξεως." τῶν γὰρ ἀξιωμάτων ἔστι μὲν ἐπιστήμη, καὶ ἐπιστήμονες εἶναι αὐτῶν λεγόμεθα, λόγον δὲ αὐτῶν οὐκ ἔχομεν, διότι μηδέ ἐστιν αὐτῶν ἀπόδειξις, τῷ μὴ εἶναι αὐτῶν πρότερόν τι καὶ ἀρχοειδέστερον. τούτων οὖν ἐπιστήμονες πῶς ἂν ῥηθείημεν πρὶν τὸν λόγον αὐτῶν γνῶναι; id. ib.

74b 28. τὸ μέντοι α' κατὰ παντὸς τοῦ γ' ἐξ ἀνάγκης ὑπάρχειν ὡς συμπέρασμα εἴληπται, ὅπερ ἐξ ἀνάγκης ὑπόκειται· τὸ δὲ β' ὁ μέσος ὅρος ὁ τῶν προτάσεων γεννητικός, δι' οὗ δείκνυται τὸ συμπέρασμα. εἴ τις οὖν οἴοιτο τὸν μὲν ἄνθρωπον ἐξ ἀνάγκης εἶναι ζῷον, τούτου δὲ αἴτιον εἶναι νομίζει τὸ περιπατεῖν τὸν ἄνθρωπον ἢ φιλοσοφεῖν, καὶ συλλογίζοιτο οὕτως "ὁ ἄνθρωπος φιλοσοφεῖ, ὁ φιλοσοφῶν ζῷον, ὁ ἄνθρωπος ἄρα ζῷον," ἐπεὶ τὸν μέσον ὅρον ἐνδεχόμενον εἴληφε, τὸ

εἴδους ποιεῖσθαι τὰς ἀποδείξεις. οἷον δείκνυται ἐν τῷ ἑβδόμῳ βιβλίῳ τῶν Εὐκλείδου στοιχείων, ὅτι ἐὰν τέσσαρες ἀριθμοὶ ἀνάλογον ὦσι, καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται. id. f. 18.

74a 9. τρίτη δὲ τῆς ἀπάτης αἰτία τὸ δείξαντας ὅτι παντὶ ὑπάρχει οἴεσθαι ἀποδεδεῖχθαι ὅτι καὶ καθόλου, οἷον εἴ τις δείξειε γεωμέτρης ὅτι ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τῶν ἐφεξῆς γωνιῶν ἑκατέραν ὀρθὴν ποιῇ, αἱ εὐθεῖαι οὐ συμπεσοῦνται· πάσαις μὲν γὰρ τοῦτο ὑπάρχει ταῖς ποιούσαις τὰς τοιαύτας γωνίας, ἀλλ' οὐ διὰ τοῦτο πρῶτον παράλληλοι· καὶ γὰρ εἰ μὴ ἑκατέραν ὀρθήν, τὰς δύο δὲ ἅμα δυσὶν ὀρθαῖς ἴσας ποιοῖεν, οὐδὲν ἧττον παράλληλοι δείκνυνται. πρώτου τοίνυν ἡ ἀπόδειξις καὶ καθόλου τοῦ μὴ συμπίπτειν τὰς δύο ὀρθαῖς ἴσας, τοῦ δὲ ὧν ἑκατέρα ὀρθὴ κατὰ παντὸς μέν, οὐ μὴν καθόλου. πῶς οὖν γνωσόμεθα εἴτε τὸ κατὰ παντὸς ἀποδείξομεν εἴτε τὸ καθόλου; Themist. f. 3 *b*.

ὁ τρίτος τρόπος ἐστὶν οὗτος τῆς ἀπάτης, ἐν ᾧ ὠνομασμένον μέν ἐστι τὸ καθόλου, οὐ γίνεται δὲ ἐπ' ἐκείνου ἡ ἀπόδειξις ἀλλ' ἐφ' ἑκάστου ἰδίᾳ τῶν εἰδῶν. ἡ δὲ τῆς λέξεως διάνοια τοιαύτη. ἤ, φησί, τὸ ἐφ' οὗ γίνεται ἡ ἀπόδειξις κυρίως οὐχ ᾗ καθόλου ἀλλ' ὡς ἐν μέρει, οἷον εἰ ἐπὶ τοῦ ἰσοσκελοῦς γένοιτο ἡ ἀπόδειξις, ἐπὶ τούτου τὸ τρίγωνον ὡς ἐν μέρει ὅλον ὑπάρχει, ἐφ' οὗ ἀποδείκνυται, τουτέστι τοῦ ἰσοσκελοῦς τυγχάνει, ὡς ἐν μέρει ὅλον ὑπάρχον τὸ κοινὸν γένος, τουτέστι τὸ τρίγωνον· τὸ γὰρ γένος ὅλον τί ἐστι καὶ οἷον μέρος τι τὸ εἶδος. ἢ οὖν οὕτω νοητέον τὴν λέξιν ἢ τοιῶσδε· ἢ τυγχάνει ὂν τὸ μερικώτερον, λέγω δὴ τὸ ἰσοσκελές, ὡς ὅλον ἐν μέρει τῷ τριγώνῳ, ἐφ' οὗ κυρίως ἡ ἀπόδειξις γένοιτ' ἄν, ὡς ἐν μέρει τῷ τριγώνῳ ὅλον τι ὂν τὸ ἰσοσκελές, διότι εἰς τὸν τοῦ ἰσοσκελοῦς ὁρισμὸν τὸ τρίγωνον παραλαμβάνεται, τὰ δὲ εἴς τινος ὁρισμὸν παραλαμβανόμενα μέρη ἐστὶν ἐκείνου. ἀλλὰ τοῖς ἐπιφερομένοις σύμφωνος μᾶλλον ἡ προτέρα ἐξήγησις. Ioh. Phil. f. 18.

74a 12. τὸ "ᾗ τοῦτο" ἀντὶ τοῦ καθόλου λαμβάνει. κέχρηται δὲ τούτῳ τῷ σημαινομένῳ τοῦ ᾗ ἀντὶ τοῦ εἶναι καθόλου τὴν ἀπόδειξιν, ἐφ' οὗ ἂν πρώτου καὶ καθόλου δεικνύηται. id. f. 18 *b*.

74a 13. εἰπὼν τριττῶς γίνεσθαι τὴν ἀπάτην, λοιπὸν τῶν τριῶν τρόπων τὰ παραδείγματα διὰ τούτων ἐκτίθεται, πλὴν οὐ χρῆται τῇ τάξει τῶν παραδειγμάτων ὁμοίως τῇ τάξει τῶν τρόπων· τὸ γὰρ προκείμενον παράδειγμα τοῦ τρίτου ἐστὶ τρόπου. δείκνυται δὲ οὕτως. ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιῇ, ἐκβαλλόμεναι ἐπ' ἄπειρον ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ οὐδέτερον συμπεσοῦνται αἱ εὐθεῖαι. ἐὰν οὖν τις ὡς ἐπὶ δύο ὀρθῶν ποιήσηται τὸν λόγον, δοκεῖ μὲν καθόλου δεικνύναι, οὐκ ἔστι δὲ καθόλου, διότι οὐκ ἐν δυσὶν ὀρθαῖς ὡρισμέναις ὑπάρχει τὸ σύμπτωμα τοῦτο ταῖς εὐθείαις, ἀλλὰ τυχὸν δυσὶν ὀρθαῖς ἴσαις· κἂν γὰρ ᾖ ἡ μὲν ἡμίσεια ὀρθὴ ἡ δὲ μία ἡμίσεια ἢ ὁπωσοῦν ἄλλως, οὐδὲν ἧττον ἀκολουθεῖ τὸ μὴ συμπίπτειν ἐκβαλλομένας τὰς εὐθείας. id. ib.

74a 16. τοῦτο τοῦ πρώτου τρόπου παράδειγμα. id. ib.

17. τοῦ δευτέρου τρόπου παράδειγμα. id. ib.

19. τὸ "ποτέ" οὐ χρονικῶς ἀκουστέον, ἀλλ' οἱονεὶ ὁλοσχερέστερον καὶ οὐκ ἀκριβῶς. φησὶν οὖν ὡς εἰ ὁλοσχερέστερον ἀπεδείκνυτο ἐφ' ἑκάστου, διὰ τὸ μὴ εἰδέναι ἡμᾶς τί ἐστι τὸ ἐπὶ πάντων τούτων ἐν κοινοῖς κατηγορούμενον, οἷον εἴτε τὸ ποσὸν εἴτε ἕτερόν τι ἄλλο, καθὸ ἀριθμοί τε καὶ μεγέθη καὶ χρόνοι ἕν εἰσι τῷ κοινῷ αὐτῶν γένει. ἐπεὶ οὖν τοῦτο μὲν ἄγνωστον, διαφέρουσι δὲ ταῦτα ἀλλήλων τοῖς εἴδεσιν, εἰκότως χωρὶς ἑνὸς ἑκάστου τούτων ἀπόδειξις γίνεται, καὶ δοκοῦμεν καθόλου ἀποδεικνύναι, μηδὲν καθόλου ἀποδεδειχότες. id. ib.

ἤτοι ἐν τέως δὲ δείκνυται τὸ σύμπτωμα τοῦτο τό, ἐὰν δέ τινα ἀνάλογον ᾖ, καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται καθόλου· ἤτοι συγκεχυμένως καὶ ἀδιαρθρώτως καὶ ᾗ καὶ ἰδ' ἐφ' ἑνὸς ἑκάστου μέρει ὑποκειμένου. 74a 23.
ὁ δὲ τὸ οὐ προστιθεὶς καὶ ἀναγινώσκων οὕτως "νῦν δὲ οὐ καθόλου δείκνυται" πόρρω δοκεῖ πλανᾶσθαι τῆς Ἀριστοτελικῆς διανοίας, καινοτομῶν τὴν λέξιν καὶ τὰ παλαιὰ νῦν διαφθείρων ἀντίγραφα. cod. 1917 in marg.

καὶ τὸ "νῦν" δὲ κἀνταῦθα οὐ χρονικῶς ἀκουστέον, ἀλλ' οἷον ἀκριβῶς καὶ κατὰ τὰς ἀποδεικτικὰς μεθόδους. Ioh. Phil. f. 18 *b*.

τὸ εἶναι ἀνάλογον καὶ ἐναλλὰξ οὐχ ὑπάρχει, φησί, ταῖς γραμμαῖς ᾗ γραμμαί, οὐδὲ τοῖς λοιποῖς ᾗ ἐκεῖνά ἐστιν, ἀλλ' ᾗ ἐστὶ τὸ κοινῶς κατὰ πάντων ὑπάρχον, ὅπερ ἐστὶν ἀνώνυμον. τὸ δὲ ὑποτίθενται ἀντὶ τοῦ τοῦτο τὸ κοινῶς αὐτοῖς ὑπάρχον ἐπιθεωροῦσι. id. ib.

κἂν διέλθῃ τις, φησίν, ἕκαστον τῶν εἰδῶν τῶν ὑπὸ τὸ καθόλου, 74a 25.
ἰδίᾳ δεικνὺς ἐπὶ ἑκάστου, καὶ μηδὲν παραλίπῃ τῶν εἰδῶν, ὅτι οὐχ οὕτως καθόλου ἀπέδειξεν, οὗ φαμεν τὸ τοιοῦτον ἀπόδειξιν εἶναι, διότι μὴ ὡς ἐπί τινος κοινοῦ ᾧ πρώτῳ ὑπάρχει τὸ σύμπτωμα ἔδειξεν, ἀλλ' ἔοικέ πως ὁ τοιοῦτος τρόπος τὸν σοφιστικὸν τρόπον δεικνύναι, ἐκ τῶν μερικῶν περὶ τῶν καθόλου συλλογιζόμενος καὶ οἱονεὶ ἐκ τῶν συμβεβηκότων τὰς κατασκευὰς ποιούμενος. id. ib.

ἡ μὲν οὖν διάνοια τῶν εἰρημένων αὕτη, τὸ δὲ τῆς λέξεως ἀκό- 74a 32.
λουθον ὧδέ πως ἔχει. "πότε οὖν οὐκ οἶδεν ὅτι καθόλου." τὴν ἀντίφασιν ἠρώτησε τίνι διακρινοῦμεν, πότε οὐκ ἴσμεν καθόλου κατὰ τὰ ἐνταῦθα παραδεδομένα, καὶ πότε ἴσμεν. καὶ πρῶτον ἀπαντᾷ πρὸς τὸ δεύτερον, λέγω δὴ πρὸς τὴν κατάφασιν, τουτέστι πότε καθόλου γίνεται ἡ ἀπόδειξις; φησὶν οὖν ὅτι εἰ ταυτὸν ἦν τὸ τριγώνῳ τε εἶναι καὶ ἰσοσκελεῖ ἢ ἑκάστῳ ἢ πᾶσιν, ὑπακουομένου ἀπὸ κοινοῦ τοῦ εἶδος ἁπλῶς. εἰ γὰρ ταὐτὸν ἦν εἰπεῖν τρίγωνον καὶ ἰσόπλευρον, ὡς ἄορ καὶ ξίφος, ὑπῆρχε δὲ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν τῷ τριγώνῳ ᾗ τρίγωνόν ἐστι, δῆλον ὅτι ὁ ἐπὶ τοῦ ἰσοπλεύρου δείξας ἀποδεδειχὼς ἂν εἴη καὶ ἐπὶ τοῦ τριγώνου· ταὐτὸν γὰρ ἦν εἰπεῖν τρίγωνόν τε καὶ ἰσόπλευρον. εἰ δὲ μὴ ταὐτόν, φησίν, ἀλλ' ἕτερόν ἐστι τριγώνῳ τε εἶναι καὶ ἰσοπλεύρῳ, ὥσπερ καὶ τὸ ζῴῳ τε εἶναι καὶ ἀνθρώπῳ ἕτερον, ἡ δὲ ἀπόδειξις ὡς ἐπὶ ἰσοπλεύρου γέγονε καὶ οὐχ ὡς ἐπὶ τριγώνου, τὸ δὲ σύμπτωμα περὶ οὗ ἡ ἀπόδειξις οὐχ ᾗ ἰσόπλευρόν ἐστιν ἀλλ' ᾗ τρίγωνον ὑπάρχει, οὐ φαμεν τὸν τοιοῦτον εἰδέναι καθόλου. διὰ τούτων οὖν δείξας πότε ἐστὶ καθόλου ἡ ἀπόδειξις καὶ πότε οὔ, ἐφεξῆς καὶ τὸν κανόνα τὸν τούτων διακριτικὸν παραδίδωσι. id. f. 19.

εἰπὼν "πότερον δὲ ᾗ τρίγωνον ἢ ᾗ ἰσοσκελὲς ὑπάρχει" τὸ κα- 74a 35.
θόλου δεικνύμενον, ἵνα μὴ ὡς ἐπὶ μερικοῦ δόξῃ ποιεῖσθαι τὴν ἀπόδειξιν, ἀνῆλθεν ἐπὶ τὸ καθολικώτερον, λέγων καὶ πότε κατὰ τοῦτο ὑπάρχει πρῶτον· ὅπερ ἐξηγούμενος ἐπήγαγε τὸ "καὶ καθόλου τίνος ἡ

καὶ θάτερον ἐφαρμόττει· οἷον τῇ γραμμῇ ὑπάρχει καθ' αὑτὸ τὸ μῆκος· ἐν γὰρ τῷ τί ἐστι κατηγορεῖται, καὶ οὐ μόνον γε καθ' αὑτὸ ἀλλὰ καὶ ᾗ αὐτό. καὶ τὸ εὐθὺ πάλιν ὑπάρχει τῇ γραμμῇ καθ' αὑτὸ καὶ ᾗ αὐτό· οὐ γὰρ ἔστιν ὁρίσασθαι τὸ εὐθὺ δίχα τῆς γραμμῆς. ἆρ' οὖν ἅπαντα καθόλου κατηγορεῖται, ὅσα ἐν τῷ ὁρισμῷ τινὸς παραλαμβάνεται; ταῦτα δ' ἐστὶ τὰ γένη καὶ αἱ διαφοραί· ὑπάρχει γὰρ αὐτοῖς καὶ τὸ κατὰ παντὸς εἶναι καὶ τὸ καθ' αὑτό. ἢ δεῖ καὶ τρίτης προσθήκης εἰς τὸ ἀκριβῶς ὁρίσασθαι τὸ καθόλου; δεῖ γὰρ τὸ καθόλου, πρὸς τῷ παντὶ ὑπάρχειν καὶ καθ' αὑτὸ ὑπάρχειν, ἔτι καὶ πρώτῳ ἐκείνῳ ὑπάρχειν καὶ οὐδενὶ ἄλλῳ προτέρῳ. Themist. f. 3 *b*.

ἀπαριθμησάμενος τὰ τοῦ καθ' αὑτὸ σημαινόμενα καὶ ἀφορισάμενος τὰ χρήσιμα πάσης τῆς ἀποδεικτικῆς μεθόδου, μέτεισιν εἰς τὴν περὶ τοῦ καθόλου διδασκαλίαν. τρία δὲ οἶδε τοῦ καθόλου τὰ σημαινόμενα ὁ Ἀριστοτέλης, ἓν μὲν τὸ ἁπλῶς ὑποκειμένῳ παντὶ ὑπάρχειν τὸ κατηγορούμενον, κἂν μὴ καθ' αὑτὸ ὑπάρχῃ, ὡς φαμὲν παντὶ Αἰθίοπι τὸ μέλαν ἢ παντὶ ἀνθρώπῳ τὸ βαδίζειν· δεύτερον δὲ ὃ καθόλου τέ ἐστι καὶ καθ' αὑτό, ὡς φαμὲν πάσῃ δεκάδι τὸ ἄρτιον· τρίτον δὲ ὃ καθ' αὑτό τέ ἐστι καὶ κατὰ παντὸς καὶ πρώτως, ὅπερ νῦν καὶ παραδίδωσι κατὰ τὰς ἀποδεικτικὰς παραλαμβάνειν μεθόδους, οἷον τὸ παντὸς τριγώνου τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι... καὶ τοῦτό φησι τὸ καθόλου εἰς τὴν ἀπόδειξιν δεῖν παραλαμβάνειν. εἰ δὲ τοῦτο, συμβήσεται μηδὲν εἶναι ἀποδεικτικὸν ὃ μὴ ἀντιστρέφει πρὸς τὸ κατηγορούμενον, καὶ ἵνα συντόμως εἴπω, μόνους εἶναι τοὺς ὁρισμοὺς καὶ τὰ ἴδια ἀποδεικτικοὺς διὰ τὸ ἀντιστρέφειν πρὸς τὰ ὁριστά, τὸ μέντοι ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστι μὴ εἶναι ἀποδεικτόν, διότι μὴ πρώτως τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον ὑπάρχει. καὶ φησὶ πρὸς τοῦτο ὁ Θεμίστιος ὅτι καὶ τὰ γένη καὶ αἱ διαφοραὶ τῶν ἀποδεικτικῶν, εἰ καὶ μὴ ἐξισάζουσι πρὸς τὰ ὑποκείμενα, ἀλλ' οὖν ἐπειδὴ καθ' αὑτό τε καὶ παντὶ τῷ ὑποκειμένῳ ὑπάρχουσι. καὶ δῆλον ὅτι ὁ Ἀριστοτέλης τὴν κυριωτάτην καὶ μάλιστα ἀπόδειξιν καὶ τῷ πρώτῳ πρέπουσαν φιλοσόφῳ διασκοπούμενος, ταύτην φησὶν εἶναι τὴν καθολικώτατα δεικνύουσαν. δῆλον οὖν ὅτι δεύτερα ἂν εἴη μέτρα ἀποδείξεως τὰ ἐπὶ τῶν γενῶν καὶ τῶν διαφορῶν παραλαμβανόμενα, πρῶτα δὲ καὶ μάλιστα ἅπερ αὐτὸς παρέδωκε. τινὲς δὲ πρὸς τούτῳ κἀκεῖνο ἔφασαν, ὡς ταῦτά φησιν ὁ Ἀριστοτέλης οὐχ ὅτι πάντα τὰ ἀποδεικτικὰ ὀφείλει ἀντιστρέφειν, ἀλλὰ ταῦτα τὰ συμβαλλόμενα πρὸς τὴν ἀπόδειξιν. οἷον ἐν τῇ ἀποδείξει τοῦ τὸ τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν, παραληπτέον ὅτι ἐὰν εἰς δύο εὐθείας παραλλήλους εὐθεῖα ἐμπέσῃ, τὰς ἐναλλὰξ τρεῖς γωνίας ἴσας ἀλλήλαις ποιεῖ· καὶ ἔστι τοῦτο ἀντιστρέφον· ἐν ᾧ γὰρ αἱ ἐναλλὰξ τρεῖς γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἐκεῖ εἰς δύο παραλλήλους εὐθείας εὐθεῖα ἐμπέπτωκε. τοῦτο δέ ἐστι ψεῦδος· οὐ γὰρ τοῦτό φησιν ὁ Ἀριστοτέλης, ἀλλὰ περὶ αὐτῶν τῶν ἀποδεικτικῶν τὸν λόγον ποιεῖται, ὡς ἐν τῇ λέξει ἐπισημειωσόμεθα... ἰστέον τοίνυν ὅτι ὁ μὲν Ἀριστοτέλης ἐν τούτοις τὸ αὐτό φησιν εἶναι τὸ καθ' αὑτὸ καὶ τὸ ᾗ αὐτό· εἴ τι μὲν γὰρ ᾗ αὐτό, τοῦτο καὶ καθ' αὑτό. οἱ δὲ περὶ τὸν Θεόφραστον διαφέρειν ταῦτα λέγουσι· καθολικώτερον γὰρ εἶναι τὸ καθ' αὑτὸ τοῦ ᾗ αὐτό· εἴ τι μὲν γὰρ ᾗ αὐτό, τοῦτο καὶ καθ' αὑτό, οὐκ εἴ τι δὲ καθ' αὑτό, πάντως καὶ ᾗ αὐτό. τῷ γὰρ τριγώνῳ ᾗ τρίγωνόν ἐστιν ὑπάρχει τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν, ἀλλὰ καὶ καθ' αὑτό· τῷ δὲ ἰσοσκελεῖ καθ' αὑτὸ μὲν ὑπάρχει, οὐκέτι δὲ ᾗ αὐτό· οὐ γὰρ ᾗ ἰσοσκελὲς ὑπάρχει αὐτῷ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν· εἰ γὰρ τοῦτο, οὐκ ἂν τῷ ἰσοπλεύρῳ ἢ σκαληνῷ ὑπῆρχεν, ἐπεὶ μὴ ἰσοσκελῆ, ἀλλ' ᾗ ἁπλῶς τρίγωνά ἐστιν. ταῦτα μὲν οἱ περὶ Θεόφραστον, ὁ μέντοι Ἀριστοτέλης εὑρὼν ἐπί τινων ταῦτα συντρέχοντα ταὐτὸν εἶναι ἔφη ἄμφω· τὸ γὰρ νοῦ καὶ ἐπιστήμης δεκτικὸν καθ' αὑτό τε ὑπάρχει τῷ ἀνθρώπῳ καὶ ᾗ αὐτό· οὐ γὰρ ᾗ ζῷόν ἐστι νοῦ καὶ ἐπιστήμης δεκτικόν ἐστιν, οὐδὲ ᾗ δίπουν ἢ ἔμψυχον, ἀλλ' ᾗ ἄνθρωπος· δοκεῖ γὰρ τοῦτο μόνον τῶν ζῴων εἶναι νοῦ καὶ ἐπιστήμης δεκτικόν. καὶ τῷ περιττῷ ἀριθμῷ τὸ μὴ εἰς ἴσα διαιρεῖσθαι δύνασθαι καθ' αὑτὸ καὶ ᾗ αὐτὸ ὑπάρχει. Ioh. Phil. f. 17.

οὗτος οὖν ὁ τρίτος προσδιορισμὸς τοῦ καθόλου. τὸ δὲ "ἐπὶ τοῦ 73 b 32
τυχόντος" τουτέστιν ὅταν τῷ τυχόντι τῶν ὑπὸ τὸ κατηγορούμενον αὐτῷ τὸ κατηγορούμενον ὑπάρχῃ, οἷον τῷ τυχόντι τριγώνῳ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν, καὶ μὴ μόνῳ τῷ τυχόντι ἀλλὰ καὶ πρώτῳ· οὐ γὰρ πρώτως τῷ σκαληνῷ, ἀλλὰ τῷ τριγώνῳ ὑπάρχει τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν. id. f. 17 *b*.

καὶ σκόπει πῶς σαφῶς διὰ τούτων οὐ τὰ εἰς τὴν ἀπόδειξιν χρη- 73 b 40
σιμεύοντά φησιν εἶναι, ἀλλ' ὅπερ ἔλεγον, τὰ ἀποδεικτά· καὶ ἡ ἀπόδειξις γάρ, φησί, καθ' αὑτὸ τοῦ καθόλου ἐστίν. id. ib.

δεῖ δὲ μὴ λανθάνειν ὅτι πολλάκις ἀπατώμεθα περὶ τοῦ καθόλου· 74 a 4
καὶ γὰρ ἀποδεικνύντες αὐτὸ οὐ δοκοῦμεν ἀποδεικνύναι καὶ μὴ δεικνύντες ἀποδεικνύναι νομίζομεν. τρεῖς δ' αἰτίαι τῆς ἀπάτης εἰσίν, μία μὲν ὅταν τι τῶν καθ' ἕκαστον ᾖ καὶ ἄτομον ἐφ' οὗ ποιούμεθα τὰς ἀποδείξεις, οἷον ἥλιος σελήνη κόσμος· ἐπεὶ γὰρ οὐδέν ἐστιν ἀνωτέρω τῶν τοιούτων οὐδὲ κοινόν, ἀλλ' ἐφ' ἑκάστου τὸ ἄτομον (εἷς γὰρ ἥλιος καὶ μία σελήνη καὶ μία γῆ καὶ εἷς οὐρανός), ὅταν τι τούτοις ὑπάρχον ἀποδείκνυμεν, ἢ τῇ γῇ τὸ ἐν μέσῳ κεῖσθαι ἢ τῷ οὐρανῷ τὸ κύκλῳ φέρεσθαι, οὐκ οἰόμεθα καθόλου ὑπάρχον ἀποδεικνύναι, καίτοι μὴ καθ' ὃ τόδ' ἑκάτερον αὐτῶν καὶ ἄτομον ποιούμενοι τὴν ἀπόδειξιν. οὐ γὰρ καθ' ὃ ἥλιος εἷς ἐκλείποντα αὐτὸν ἀποδεικνύομεν ὑποτρεχούσης τῆς σελήνης, ἀλλὰ τοιαῦταί εἰσιν αἱ γινόμεναι ἀποδείξεις ὡς εἰ καὶ πλείους ἦσαν, ὁμοίως ἁρμόσειν. Themist. f. 3 *b*.

διδάξας περὶ τοῦ καθόλου, νῦν βούλεται παραδοῦναι τὰς αἰτίας τῆς ἀπάτης, καθ' ἃς πολλάκις μὴ ἀποδεικνύντες τί τὸ καθόλου κατὰ τὰ ἐνταῦθα παραδεδομένα ὅμως δοκοῦμεν καθόλου ἀποδεικνύναι. τρεῖς δέ φησιν αἰτίας εἶναι τῆς τοιαύτης ἀπάτης, μίαν μὲν ὡς ὅταν μοναδικόν τι ᾖ καὶ καθ' ἕκαστα, ἐφ' οὗ ποιούμεθα τὰς ἀποδείξεις, οἷον ὅτι ἡ γῆ ἐν μέσῳ τοῦ παντὸς κεῖται ἢ ὅτι ὁ κόσμος σφαιρικός, ἢ τὰ τῷ ἡλίῳ ἴδια συμβαίνοντα συμπτώματα... οὐκ ἂν εἶεν καθόλου, διότι οὐκ ἐπειδὴ μία γῆ οὐδὲ ἐπειδὴ εἷς ἥλιος ταῦτα αὐτοῖς συμβέβηκεν, ἀλλ' ἐπειδὴ ἁπλῶς ἥλιος καὶ ἐπεὶ ἁπλῶς γῆ, ὥστε εἰ καὶ πλείους ἦσαν, ταῦτ' ἂν καὶ ἐπ' ἐκείνων ἥρμοσεν. οὐκ ἄρα καθόλου δείκνυται τὰ ἐπ' ἐκείνων δεικνύμενα. Ioh. Phil. f. 17 *b*.

δευτέρα αἰτία τῆς ἀπάτης, ὅταν ἕν τι κοινόν, ἀνώνυμον δὲ ᾖ 74 a 8
τοῦτο, καὶ διὰ τὸ μὴ ἔχειν κοινόν τι ὄνομα ἀναγκαζώμεθα ἐφ' ἑκάστου

παραλαμβάνεται, ταῦτα καλῶ συμβεβηκότα... καὶ πῶς γνωσόμεθα ποῖα μὲν τῶν ἀχωρίστων συμβεβηκότων εἰς τὸν ὁρισμὸν τῶν ὑποκειμένων ὀφείλει παραλαμβάνεσθαι, ἢ εἰς τὸν ἑαυτῶν ὅρον ἐκεῖνα παραλαμβάνειν, ποῖα δὲ οὔ; φημὶ τοίνυν ὅτι ὅσα τῶν ἀχωρίστων συμβεβηκότων ὡρισμένως ὑπάρχει μιᾷ καὶ τῇ αὐτῇ φύσει καὶ οὐδεμιᾷ ἄλλῃ, ταῦτα καθ' αὑτὰ ὑπάρχει ἐν ἐκείνοις· ὅσα δὲ μὴ ὡρισμένως τινὶ φύσει ὑπάρχει, ἀλλὰ δύναται καὶ πλείοσιν ὑπάρχειν, ταῦτα κἂν ἀχώριστα ᾖ, οὐ λέγεται καθ' αὑτὰ τοῖς ὑποκειμένοις ὑπάρχειν. id. ib.

73b 5. τρίτον τοῦτο σημαινόμενον τοῦ καθ' αὑτό, ὃ οὐκέτι ἄλλο τι ὂν κατ' ἄλλου κατηγορεῖται, οἷοι ἦσαν οἱ πρῶτοι δύο τρόποι, ἀλλ' ἁπλῶς ὃ μὴ δι' ἄλλο ἐστὶ μήτε ἐν ἄλλῳ τὸ εἶναι ἔχει, οἷά ἐστι τὰ συμβεβηκότα, ἀλλ' οὕτω καθ' αὑτὸ ὑφέστηκεν οἷον ἡ μερικὴ οὐσία· τὰ μὲν γὰρ συμβεβηκότα αὐτῆς δεῖται εἰς τὸ εἶναι, αὐτὴ δὲ οὐδενός. ἔστιν οὖν οὗτος τρίτος τρόπος τοῦ καθ' αὑτό. "ἔτι ὃ μὴ καθ' ὑποκειμένου λέγεται," τουτέστιν ὃ μὴ ἐν ὑποκειμένῳ ἄλλῳ τινί ἐστιν, ὥσπερ τὸ βαδίζειν· δεῖ γὰρ ἄνθρωπον εἶναι, εἶτα βαδίζειν, καὶ ἔστιν ἐν ὑποκειμένῳ τῷ ἀνθρώπῳ τὸ βαδίζειν. "τὰ μὲν δὴ μὴ καθ' ὑποκειμένου," τουτέστι μὴ ἐν ὑποκειμένῳ (ἀντὶ γὰρ τοῦ ἐν ὑποκειμένῳ παρέλαβε) καθ' αὑτό ἐστιν. id. ib.

73b 10. τοῦτο τέταρτον τοῦ καθ' αὑτὸ σημαινόμενον, ὃ αἴτιόν τινος γίνεται μὴ κατὰ συμβεβηκός... ταῦτα μὲν οὖν τοῦ πλήρους ἕνεκεν τῆς διαιρέσεως παραδέδωκεν. οὐ πάντα δὲ ταῦτα τὰ σημαινόμενα τοῦ καθ' αὑτὸ συμβάλλεται εἰς τὴν ἀποδεικτικὴν μέθοδον, ἀλλὰ μόνοι οἱ δύο τρόποι τοῦ καθ' αὑτὸ χρησιμεύουσιν εἰς τὸ προκείμενον· τῶν γὰρ ἐξ ἀνάγκης ὑπαρχόντων εἰσὶ καὶ ἀεί· οὔτε γὰρ ἐνδέχεται μὴ ἐν τῷ ὁρισμῷ τῆς σιμότητος τὴν ῥῖνα παραλαβεῖν, οὔτε τὰ ἐν τῷ ὁρισμῷ τινῶν παραλαμβανόμενα ἐνδέχεται μὴ καὶ ἀεὶ καὶ παντὶ τῷ ὑποκειμένῳ ὑπάρχειν, ὥσπερ τῷ ἀνθρώπῳ τὸ ζῷον. ὁ δὲ τρίτος τρόπος ὡς περὶ τὰ ἄτομα μάλιστα καταγινόμενος· ταῦτα γὰρ κατ' οὐδενός ἐστιν ἑτέρου καὶ τόδε τι σημαίνει· τῶν γὰρ ἀτόμων ἀπόδειξις οὐκ ἔστιν, ὡς δειχθήσεται ἐν τοῖς ἑξῆς. ἀλλ' οὐδὲ ὁ τέταρτος τρόπος χρησιμεύσει εἰς ἀπόδειξιν· οὐδὲ γὰρ μόνη ἡ σφαγὴ αἰτία τοῦ θανάτου οὐδὲ πάντως, εἰ μὴ τύχοι καιρία οὖσα, ὥστε οὐκ ἀεί. οὐδὲ τὸ ἐν ἔαρί τις μόνον πλέειν σωτηρίας αἴτιον, οὐδὲ ἀεί. θέλει δὲ ἡ ἀπόδειξις καὶ τὸ ἀεὶ ἔχειν· διὰ τοῦτο οὖν οὐκ εὔχρηστον εἰς ἀπόδειξιν οὐδὲ τοῦτο. id. f. 16.

73b 16. ταῦτα οὖν τοῦ πλήρους ἕνεκεν παρεμβέβληται τὰ σημαινόμενα τοῦ καθ' αὑτό. οἱ δὲ πρότεροι δύο τρόποι δῆλον ὡς ἐκ τῶν ἐξ ἀνάγκης ὑπαρχόντων εἰσίν· οὐ γὰρ ἐνδέχεται μὴ ὑπάρχειν ἢ τὰ ἐν τῷ ὁρισμῷ κατὰ πάντων τῶν ὑποκειμένων ἐν τῷ τί ἐστι λεγόμενα, ἢ πάλιν ἂν ἐν τῷ ὁρισμῷ τοῦ συμβεβηκότος λαμβάνηται τὸ ὑποκείμενον. ὅτι μὲν οὖν τὰ ἐν τῷ ὁρισμῷ ἐξ ἀνάγκης συνυπάρχει, φανερὸν καὶ ἄνευ λόγου· ὅτι δὲ καὶ τῶν συμβεβηκότων ὅσα οὐ δυνατὸν ὁρίσασθαι χωρὶς τῆς τοῦ ὑποκειμένου οὐσίας, καὶ ταῦτα ἀναγκαῖα, δῆλον ἂν γένοιτο περὶ τούτων διαπορήσασι πρότερον. Themist. f. 3.

ἀπαριθμησάμενος τὰ εἰρημένα τοῦ καθ' αὑτὸ τέσσαρα σημαινόμενα, τοῦ πλήρους ἕνεκεν τῆς διαιρέσεως, ὡς ἤδη εἶπον, νῦν ἀφορίζεται καὶ λέγει ὅτι τὰ δύο τὰ πρότερα σημαινόμενα τοῦ καθ' αὑτὸ συμβάλλεται ἡμῖν εἰς τὰς ἀποδεικτικὰς μεθόδους, τὰ δὲ λοιπὰ δύο οὐκέτι. τὸ μὲν γὰρ τρίτον αὐτόθεν· οὐδὲ γὰρ ἄλλο ἄλλου κατηγορεῖ, ἀλλ' ἔστιν ἅπαν φωνὴ σημαντικὴ οὐσίας τινός· τὸ δὲ τέταρτον εἰ καὶ ἄλλο ἄλλου κατηγορεῖ ὡς αἴτιον αἰτιατοῦ, καὶ ἐξ ἀνάγκης τὸ αἴτιον αἰτιατοῦ εἶναι αἴτιον φαμέν, ἀλλ' οὐκ εἰς πρότασιν τὸ τοιοῦτον συμβάλλεται, μᾶλλον δὲ εἰς ὅλου συλλογισμοῦ γένεσιν. οἷον ἡ σελήνη ἐκλιμπάνει διὰ τὴν ἐπιπρόσθησιν τῆς γῆς. οὐχ ὡς ἐν προτάσει τοῦτο παραληψόμεθα, μᾶλλον δέ, ὡς εἶπον, εἰς γένεσιν τοῦ ὅλου συλλογισμοῦ συμβάλλεται ἡμῖν ἡ αἰτία τῆς ἐκλείψεως, εἰς μέσου ὅρου χώραν παραλαμβανομένη... τὴν δὲ ἀκριβεστέραν περὶ τούτου ἐξέτασιν ἐροῦμεν, ὅτε αὐτῆς τούτου μεμνήσεται. Ioh. Phil. f. 16.

τὸ μὲν "ἁπλῶς" ἐπὶ τοῦ προτέρου τρόπου ἐκληπτέον· οὐ γὰρ οἷόν 73b 19.
τε τὰ εἰς ὁρισμόν τινος παραλαμβανόμενα μὴ καὶ παντὶ καὶ ἀεὶ ἐξ ἀνάγκης τῷ ὑποκειμένῳ ὑπάρχειν. τὸ δὲ "ἢ τὰ ἀντικείμενα" πρὸς τὸν δεύτερον τρόπον· καὶ ἐπὶ τούτου γὰρ ἀνάγκη παντὶ τῷ ὑποκειμένῳ τὴν ὅλην ἀντίθεσιν ὑπάρχειν· πᾶς γὰρ ἀριθμὸς ἢ ἄρτιός ἐστιν ἢ περιττός, καὶ πᾶσα γραμμὴ ἢ καμπύλη ἐστὶν ἢ εὐθεῖα. δυνατὸν μέντοι καὶ τὸ ἁπλῶς ἐπὶ τοῦ δευτέρου ἐκλαμβάνειν τρόπου, ἁπλῶς μέν, ὅταν πᾶσαν τὴν ἀντίθεσιν κατηγορήσωμεν, ὅταν πᾶς ἀριθμὸς ἄρτιος ᾖ ἢ περιττός, καὶ πᾶν σῶμα τὸ ἐν γενέσει ἢ βαρὺ ἢ κοῦφον. "τὰ ἀντικείμενα" δὲ εἶπεν ἀντὶ τοῦ, ἂν θάτερον τῶν ἀντικειμένων, ὅταν, ὡς ἤδη εἶπον, τὸ ἕτερον μόριον τῆς ἀντιθέσεως ἀπολαβόντες τοῦτο τοῦ δεκτικοῦ κατηγορήσωμεν, οἷον πάσης δεκάδος τὸ ἄρτιον ἤ τι τοιοῦτον. id. f. 16 b.

ἐπειδὴ εἶπεν ἐξ ἀνάγκης ὑπάρχειν ἢ ἁπλῶς ἢ τὰ ἀντικεί- 73b 21.
μενα, αὐτὸ τοῦτο κατασκευάσαι διὰ τούτων βούλεται. τὰ γὰρ ἄμεσα τῶν ἐναντίων εἰς ταὐτὸν συντρέχει στερήσει τε καὶ ἕξει, καταφάσει τε καὶ ἀποφάσει... τὸ δὲ "ἢ ἡ ἀντίφασις" ἀντὶ τοῦ τὸ ἀντιφάσκον τῷ ἐναντίῳ τοῦ τεθέντος. εἰ γὰρ ἐτέθη τὸ ἄρτιον, ἐπειδὴ τούτου ἐναντίον ἐστὶ τὸ περιττόν, ἐστὶ δὲ τούτῳ ἀντιφάσκον τὸ μὴ περιττόν, ἰσοδυναμεῖ δή που τὸ μὴ περιττὸν τῷ ἐναντίῳ τοῦ περιττοῦ, ὅ ἐστι τῷ ἀρτίῳ· τοῦτο οὖν εἰπών, λέγω δὴ ὅτι ἔστι τὸ ἐναντίον ἢ στέρησις ἢ ἀντίφασις, ἐπειδὴ ἔδοξεν ἂν ταύτῃ ὡς ἐξισάζοντα λαμβάνειν, στέρησίν τε καὶ ἕξιν καὶ κατάφασιν καὶ ἀπόφασιν (εἴποι γὰρ ἄν τις ὅτι εἰ ἐφ' ὧν ἡ στέρησις καὶ ἡ ἀπόφασις, ἐπὶ τούτων καὶ τῶν ἐναντίων τὸ ἕτερον μόριον, ἐπειδὴ εἰ μή ἐστιν ὁ τραγέλαφος περιττός, ἄρτιος ἄρα ἐστίν), διὰ τοῦτο οὖν ἀκριβολογούμενος προσέθηκε τὸ "ἐν τῷ αὐτῷ γένει," τουτέστιν ἐν τῷ πεφυκέναι ἑκάτερον τῶν ἀντικειμένων ἐν τῷ αὐτῷ γένει συνίστασθαι· ἐπὶ τούτων γὰρ τὰ ἀντικείμενα στερήσει τε καὶ ἕξει ἰσοδυναμεῖ, καὶ καταφάσει καὶ ἀποφάσει. id. ib.

καθόλου δὲ λέγω ὃ ἂν κατὰ παντὸς ὑπάρχῃ καθ' αὑτὸ καὶ ᾗ 73b 26.
αὐτό. οὔτ' οὖν εἴ τι καθ' αὑτό, εὐθὺς καὶ καθόλου· ὁ γὰρ τρίτος τρόπος τῶν καθ' αὑτὸ καὶ οἱ μετὰ τοῦτον ἑξῆς οὐ καθόλου. οὔτ' εἰ ἔχουσι τὸ κατὰ παντός, εὐθὺς καὶ καθόλου· τὸ γὰρ λευκὸν κατὰ κύκνου παντὸς καὶ τὸ μέλαν κατὰ τοῦ κόρακος, οὐ μὴν καθόλου, διότι οὐ καθ' αὑτό. δεῖ τοίνυν ἄμφω συνδραμεῖν ἐπὶ τῶν καθόλου, τὸ καθ' αὑτό τε καὶ ᾗ αὐτό. ταῦτα δὲ ὡς τὰ αὐτὰ λέγομεν νῦν. ἐφ' οἷς γὰρ θάτερον,

βλημάτων· τούτων γάρ ἐστιν ἡ ἀπόδειξις, ἣν δεῖ κατασκευάζειν, δηλονότι ἐξ ἀναγκαίων προτάσεων. id. ib.

73a 28 κατὰ παντὸς μὲν οὖν τοῦτο λέγω ὃ ἂν ᾖ μὴ ἐπὶ τινὸς μὲν τινὸς δὲ μή, μηδὲ ποτὲ μὲν ποτὲ δὲ μή. οὗτος δὲ ἕτερος τρόπος τοῦ κατὰ παντός ἐστιν ἢ ὃν ἐν τοῖς περὶ συλλογισμοῦ παραδεδώκαμεν· ἐκεῖ γὰρ ἦν κατὰ παντός, εἰ καὶ πρός τινα χρόνον ἅπασιν ὑπῆρχεν· ἐνταῦθα δὲ καὶ τοῦτο φυλακτέον, οἷον κατὰ παντὸς ἀνθρώπου τὸ ζῷον· καθ' οὗ γὰρ ὁ ἄνθρωπος ἀληθής, καὶ τὸ ζῷον, καὶ εἰ νῦν θάτερον ἀληθές, καὶ θάτερον. δῆλον δὲ ὅτι τοιοῦτόν ἐστι τὸ κατὰ παντός· καὶ γὰρ οἱ τὰς ἐνστάσεις πρὸς αὐτὸ φέροντες οἴονται τὸ κατὰ παντὸς ἀναιρεῖν, εἰ μόνον εἴη τινὶ μὴ ὑπάρχον, ἢ εἴ ποτε εἴη μὴ ὑπάρχον. Themist. f. 3.

ἐν μὲν τοῖς Προτέροις Ἀναλυτικοῖς (1 1 p. 24 *b* 29) τὸ κατὰ παντὸς ὡρίσατο λέγων, ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ' οὗ οὐ κατηγορεῖται ὁ κατηγορούμενος· ὁμοίως καὶ τὸ κατὰ μηδενός, ὅταν μηδὲν ᾖ τοῦ ὑποκειμένου καθ' οὗ λέγεται ὁ κατηγορούμενος. ἐνταῦθα δὲ τὸ κατὰ παντός, ὃ παραλαμβάνεται εἰς μεθόδους τὰς ἀποδεικτικάς, τοῦτό τε αὐτό φησι δεῖν ὑπάρχειν, καὶ ἔτι τὸ ἀεὶ ὑπάρχειν τῷ ὑποκειμένῳ καὶ μὴ ποτὲ μὲν ποτὲ δὲ μή. ἐκεῖ μὲν γὰρ κατὰ παντὸς ἔλεγε τὸ παντὶ ὑπάρχειν, εἰ καὶ μὴ ἀεί (οὐδὲ γὰρ τοῦ ἀεὶ ἐκεῖ ἔχρῃζεν, ἐπειδὴ οὐ περὶ ἀποδεικτικοῦ συλλογισμοῦ ἐποιεῖτο τὸν λόγον, ἀλλ' ἁπλῶς περὶ συλλογισμοῦ, ἐν ᾧ τούτου μόνου ἐστὶ χρεία τοῦ πᾶσι τοῖς ὑποκειμένοις ὑπάρχειν τὸν κατηγορούμενον), ἐνταῦθα μέντοι τὸ καὶ παντὶ καὶ ἀεί. Ioh. Phil. f. 14 *b*.

73a 32 σημεῖον δέ φησι τοῦ κατὰ παντὸς τοιοῦτον εἶναι οἷον εἴπομεν ἀνωτέρω· ἐρωτώμενοι γὰρ συγχωρῆσαι ταῖς ἀποδεικτικαῖς προτάσεσιν, οἷον εἰ πᾶς ἄνθρωπος ζῷον, εἰ πᾶς ἄνθρωπος διαλέγεται, τὰς ἐνστάσεις προφέρομεν οὐ μόνον ζητοῦντες εἰ παντὶ τῷ ὑποκειμένῳ ὑπάρχει τὸ κατηγορούμενον, ἀλλ' εἰ καὶ παντὶ μὲν οὐκ ἀεὶ δέ. id. f. 15.

73a 34. διορισάμενος τί ἐστι τὸ κατὰ παντός, μέτεισιν ἐπὶ τὸ καθ' αὑτό. τέσσαρα δὲ παραδίδωσι τοῦ καθ' αὑτὸ σημαινόμενα, ὧν πρῶτον μέν φησι καθ' αὑτὸ λέγεσθαι τὸ ἐν τῷ τί ἐστι τινὸς κατηγορούμενον, ὅπερ καὶ ἐν τῷ ὁρισμῷ ἐκείνου παραλαμβάνεται... φησὶ δὲ καὶ τῆς γραμμῆς τὴν στιγμὴν καθ' αὑτὸ κατηγορεῖσθαι· φαμὲν γὰρ γραμμὴν εἶναι ῥύσιν στιγμῆς, ἢ γραμμὴν εἶναι τὴν ἐξ ἴσου τοῖς ἐφ' ἑαυτῆς σημείοις κειμένην. ἰστέον δὲ ὅτι οὐκ ἔστι τῆς γραμμῆς κυρίως τὸ λεγόμενον· οὐ πάνυ γὰρ οἰκείως εἰρῆσθαι δοκεῖ, οὐδὲ ἐν γραμμῇ ἡ στιγμὴ ὑπάρχει, ἀλλὰ μᾶλλον οἰκεῖός τις ὁρισμὸς ἂν εἴη τῆς γραμμῆς ὁ λέγων μέγεθος ἐφ' ἓν διαστατόν· τὰ γὰρ ἐν τούτῳ τῷ ὁρισμῷ παραλαμβανόμενα συστατικά ἐστι τῆς γραμμῆς καὶ ἐν αὐτῇ ὑπάρχει. id. ib.

73a 37. ἕτερος δέ, ὅσων δὴ συμβεβηκότων τισὶ τὸν λόγον ἀποδιδόντες τὰ ὑποκείμενα αὐτοῖς συνεφελκόμεθα ἐν τῷ λόγῳ, ταῦτα καθ' αὑτὰ ὑπάρχειν τούτοις λέγεται τοῖς ὑποκειμένοις, ἃ παραλαμβάνομεν ἐν τῷ λόγῳ τῷ τί ἐστιν αὐτῶν δηλοῦντι, οἷον σιμότης καθ' αὑτὸ ὑπάρχει ῥινί. Themist. f. 3.

τοῦτο δεύτερον τοῦ καθ' αὑτὸ σημαινόμενον· φαμὲν γὰρ καθ' αὑτὰ καὶ ὧν τὰ ὑποκείμενα αὐτοῖς ἐν τοῖς ὁρισμοῖς παραλαμβάνεται... ἔχει δέ τινα ἀσάφειαν ἡ λέξις τοῦ "αὐτοῖς" κειμένου, διότι ἀντὶ τούτου τὸ τισὶ παραλαμβάνοντες σαφὲς ποιοῦμεν τὸ λεγόμενον οὕτως "καὶ ὅσοις τῶν κατὰ συμβεβηκὸς ἔν τισιν ὑπαρχόντων αὐτὰ ἐν τῷ λόγῳ ἐνυπάρχουσι τῷ τί ἐστι δηλοῦντι," τουτέστιν αὐτὰ τὰ ὑποκείμενα, οἷς ὑπάρχουσι τὰ συμβεβηκότα, ἐν τῷ λόγῳ παραλαμβάνονται τῶν συμβεβηκότων τῷ δηλοῦντι τὸ τί ἐστι, τουτέστι τὸ εἶναι ἐν τοῖς ὁρισμοῖς αὐτῶν. ὡς εἶναι τὸ ὅλον τοιοῦτον· καὶ ταῦτα, φησί, λέγω καθ' αὑτὰ τῶν ἐν ἄλλοις τὸ εἶναι ἐχόντων, ὅσων ἐν τοῖς ὁρισμοῖς τὰ ὑποκείμενα αὐτῶν παραλαμβάνεται. Ioh. Phil. f. 15.

ἡ λέξις, ἣν καταστήσομεν τοῦτον τὸν τρόπον. φησὶ γὰρ "καὶ ὅσοις τῶν ἐνυπαρχόντων ἐν αὐτοῖς αὐτὰ ἐν τῷ λόγῳ ἐνυπάρχουσι τῷ τί ἐστι δηλοῦντι." τὴν δὲ ἀσάφειαν ἐνεποίησε τὸ αὐτοῖς· διὸ ἀντὶ τούτου τὸ τισὶ παραλάβωμεν, καὶ σαφὴς γίνεται ὁ λόγος ἔχων οὕτως. Ald. 2.

καὶ ταῦτά φησι καθ' αὑτὰ ὑπάρχειν τῷ ἀριθμῷ, διότι ἐν τῷ 73a 40.
ἑκάστου τούτων ὁρισμῷ τὸ ὑποκείμενον αὐτοῖς, λέγω δὴ τὸν ἀριθμόν, παραλαμβάνομεν. ἰστέον δ' ὅτι ὁ Ἀλέξανδρος πρῶτον ἀριθμὸν ἀκούει ἐνταῦθα οὐ τὸν καθ' αὑτὸν πρῶτον ἀλλὰ τὸν πρὸς ἄλλον πρῶτον. ἔστι δὲ πρῶτος ἀριθμὸς ὁ ὑπὸ μονάδος μόνης μετρούμενος, οἷον ὁ ε', ὁ ζ', ὁ ια', ὁ ιζ'· οὔτε γὰρ ὑπὸ δυάδος οὔτε ὑπ' οὐδενὸς ἄλλου ἀριθμοῦ μετροῦνται οὗτοι, πλὴν ὑπὸ μονάδος μόνης. σύνθετοι δὲ καλοῦνται ἀριθμοὶ οἱ ἐκ μονάδος καὶ ἄλλου τινὸς ἀριθμοῦ ἢ ἀριθμῶν μετρούμενοι, οἷον ὁ ς'· καὶ γὰρ ὑπὸ δυάδος καὶ τριάδος καὶ μονάδος. ὁμοίως καὶ ὁ θ'. πρὸς ἀλλήλους δὲ πρῶτοι λέγονται ἀριθμοὶ οἱ μονάδι μόνῃ μετρούμενοι κοινῷ μέτρῳ, οἷός ἐστιν ὁ κζ' καὶ ὁ λε'· τούτων γὰρ ἑκάτερος μὲν καθ' αὑτὸν οὐκ ἔστι πρῶτος καὶ ἀσύνθετος, μετρεῖται γὰρ ὁ μὲν κζ' ὑπὸ τοῦ γ' καὶ θ', ὁ δὲ λε' ἐκ τοῦ ε' καὶ ζ'· πρὸς ἀλλήλους δὲ πρῶτοι καὶ ἀσύνθετοί εἰσιν· μόνῃ γὰρ τῇ μονάδι κοινῷ μέτρῳ χρῶνται. ὅτι δὲ οὐχ ὡς ὁ Ἀλέξανδρός φησι, τοὺς πρὸς ἀλλήλους πρώτους ἐνταῦθα παρέλαβεν ἀλλὰ τοὺς ἁπλῶς πρώτους, φανερὸν ἐξ ὧν οὐκ εἶπεν ὁ Ἀριστοτέλης πληθυντικῶς πρώτους ἀριθμοὺς ἀλλὰ πρῶτον. ὁμοίως καὶ τὸ ἰσόπλευρον καὶ ἑτερόμηκες ὁ Ἀλέξανδρος οὐκ ἐπὶ ἀριθμῶν ἀλλ' ἐπὶ σχημάτων ἔλαβεν, ὅπερ ἦν καὶ εἰκὸς ἐπινοῆσαι· οὐ μὴν ὁ Ἀριστοτέλης ἐπὶ σχημάτων ταῦτα τέθεικεν ἀλλ' ἐπὶ ἀριθμῶν. καὶ γάρ φαμεν ἰσοπλεύρους ἀριθμοὺς εἶναι τοὺς τετραγώνους, οἷον τὸν θ', διότι τοῦ γ' πολυπλασιασθέντος ἐφ' ἑαυτὸν γέγονεν, ἑτερομήκεις δὲ τοὺς ἐξ ἀνίσων ἀριθμῶν πολυπλασιασθέντων γενομένους, οἷον τὸν ιε' ἑτερομήκη λέγομεν· σύγκειται γὰρ ἐκ τοῦ ε' πολυπλασιασθέντος ἐπὶ τὸν γ'. ὅτι δὲ οὐκ ἐπὶ σχημάτων ἔλαβε τὸ ἰσόπλευρον καὶ ἑτερόμηκες ἀλλ' ἐπ' ἀριθμῶν, ἐδήλωσεν ἐξ ὧν ἐπήγαγε λέγων "καὶ πᾶσι... λέγω," τουτέστιν ἐν τοῖς ὁρισμοῖς πάντων τῶν εἰρημένων ἐνυπάρχει τὰ ὑποκείμενα αὐτοῖς, ἔνθα μὲν γραμμή, δηλονότι ἐν τῷ εὐθεῖ καὶ περιφερεῖ ἡ γραμμή, ἐν δὲ τοῖς ἄλλοις ἀριθμός. δῆλον οὖν ὅτι τὸ ἰσόπλευρον καὶ ἑτερόμηκες οὐκ ἐπὶ σχημάτων ἔλαβεν ἀλλ' ἐπὶ ἀριθμῶν. Ioh. Phil. f. 15 *b*.

τουτέστιν ὅσα δὲ μήτε ἐν τῷ ἑαυτῶν ὁρισμῷ τὸ ὑποκείμενον 73b 4.
λαμβάνει μήτε ἐν τῷ τοῦ ὑποκειμένου ὁρισμῷ τὸ κατηγορούμενον

τερον δὲ δεικνύει ἄτοπον ἑπόμενον τὸ τὰ αὐτὰ τῶν αὐτῶν καὶ ἀσαφέστερα λαμβάνειν καὶ σαφέστερα. νῦν δὲ εἰς ἕτερον ἄτοπον ἀπάγει τὸν λόγον, καί φησι συμβαίνειν τοῖς λέγουσι κύκλῳ τὴν δεῖξιν εἶναι μηδὲν ἄλλο λέγειν ἢ ὅτι ἕκαστον διὰ τοῦτο ἐστὶν ἐπειδὴ τοῦτο ἐστίν. οἷον διὰ τί ἡ ψυχὴ ἀθάνατος; διότι ἡ ψυχὴ ἀθάνατος. διὰ τί ὁ ἄνθρωπος ζῷον; διότι ὁ ἄνθρωπος ζῷον. ὅπερ ἐστὶ καταγέλαστον. ἀσάφειαν δὲ πάλιν ἐνεποίησε τῇ τε συνήθει συντομίᾳ χρησάμενος, καὶ τῷ ἐπὶ μόνων στοιχείων γυμνάσαι τὸν λόγον παραδείγματι μὴ χρησάμενος, λέγω δὴ ὅτι στοιχεῖα παρέλαβεν ἀντὶ προτάσεων. καὶ ἔτι στοιχεῖα λαβὼν ἀντὶ ὅρων, οὐχ ὡς ὅροις αὐτοῖς ἀλλ' ὡς προτάσεσι κέχρηται· λαβὼν γὰρ καὶ τὸ α' καὶ τὸ β' καὶ τὸ γ', καὶ καλέσας ταῦτα ὅρους, ἕκαστον ἀντὶ προτάσεως εἴληφεν, οὐδέν τι ξένον ποιῶν οὐδ' ἑαυτοῦ ἀσύνηθες· πολλαχοῦ γὰρ τὰ στοιχεῖα ἀντὶ προτάσεων παραλαμβάνει· καὶ γὰρ καὶ ἐν τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν τῷ τοιούτῳ χρησάμενος, λέγω δὴ στοιχεῖα παραλαβὼν ἀντὶ προτάσεων, αὐτὸ δὴ τοῦτο ἐπεσημήνατο εἰπὼν ὅτι τὸ α' οὐχ ὅρον καλῶ ἀλλὰ πρότασιν. ἡ μὲν οὖν αἰτία τῆς ἀσαφείας αὕτη. id. ib.

οὐ μόνον δὲ τοῦτο ἔχει τὸ ἄτοπον ἡ κύκλῳ δεῖξις, ἀλλὰ καὶ εἰς γελοῖόν τι περιίσταται· συμβαίνει γὰρ λέγειν αὐτοὺς ὅτι τὸ α' ἐστὶν εἰ τὸ α' ἐστίν· εἰ γὰρ διὰ μὲν τοῦ α' τὸ β' δεικνύουσιν, διὰ δὲ τοῦ β' τὸ γ', διὰ δὲ τοῦ γ' αὖθις τὸ α', δῆλον ὡς δεικνύουσι τὸ α' διὰ τοῦ α'· ἐξ οὗ γὰρ ἄρχονται, εἰς ἐκεῖνο καὶ τελευτῶσιν. οὕτω δὲ ἅπαντα δεῖξαι ῥᾴδιον. πολλαὶ δὲ καὶ ἄλλαι μοχθηρίαι παρέπονται, ἃς ἐδείξαμεν ἐν τοῖς περὶ συλλογισμοῦ καὶ πάλιν λέγειν οὐκ ἀναγκαῖον. ταῦτα μὲν οὖν ἐπὶ πλέον τῶν ἱκανῶν ἐμηκύναμεν ἔξωθεν ὄντα τῶν περὶ ἀποδείξεως λόγων, ἐπανίωμεν δὲ ὅθεν ἐξέβημεν. Themistius f. 2 *b*.

72b 36. τὸ μέντοι δι' ἐλαττόνων τῶν τριῶν μὲν ὅρων δύο δὲ προτάσεων λέγειν τὴν ἀνάκαμψιν γίνεσθαι ἀδύνατον, ἐπειδὴ μηδὲ συλλογισμὸν ἐνδέχεται δι' ἐλαττόνων γίνεσθαι. ὅταν γὰρ τοῦ α' ὄντος, τουτέστιν ἤτοι τῆς ἐλάττονος προτάσεως ἢ ἀμφοῖν, ὥσπερ εἴπομεν, ἐξ ἀνάγκης ᾖ τὸ β', τουτέστι τὸ συμπέρασμα, τούτου δὲ τὸ γ', τούτου δὲ τὸ β' δηλονότι, ὅπερ εἴληπται μὲν ἐξ ἀρχῆς ὡς συμπέρασμα, νῦν δὲ ὡς πρότασις. τὸ δὲ γ', ὡς εἴπομεν, ὡς συμπέρασμα παραλαμβάνει· ὥστε τοῦ α' ὄντος, ἐξ ἀνάγκης τὸ γ' ἐστίν. ἀλλὰ τὸ γ' ταὐτὸν παραλαμβάνει τῷ α', ὡς ἐφεξῆς δείκνυσι· φησὶ γοῦν οὕτως... ὁρᾷς ὅτι ἄνω λέγων τοῦ β' ὄντος ἔσται τὸ γ', τὸ γ' ἀντὶ τοῦ α' παρελάμβανεν. ἰδοὺ οὖν ἐνταῦθα σαφῶς φησὶν ὅτι τοῦ β' ὄντος ἀνάγκη τὸ α' εἶναι, καὶ ὅτι ὅπερ νῦν ἐλάμβανεν α', ἐκεῖ γ' ἐκάλει, ἐπήγαγε λέγων "κείσθω τὸ α', ἐφ' οὗ τὸ γ'," ὡσανεὶ ἔλεγεν, ἔστω τὸ α' ὅπερ τὸ γ'. τὸ γοῦν τοῦ β' ὄντος τὸ α' λέγειν εἶναι εἰπών, ἔτι σαφέστερον ἐπεξηγήσατο τοῦτ' αὐτὸ σαφῶς λέγων ὅτι ὅταν κεχρημένος τῇ κύκλῳ δείξει εἴπω ὅτι τοῦ β' ὄντος ἐστὶ τὸ α', οὐδὲν ἄλλο λέγω ἢ ὅπερ πρότερον ἔλεγον, ὅτι τοῦ β' ὄντος ἐστὶ τὸ γ', τοῦτο δὲ ὅτι τοῦ α' ὄντος ἐστὶ τὸ γ'. τοῦτο δέ, φησί, τὸ γ' ἐξ ἀρχῆς ἐδείκνυμεν ὅτι τοῦ α' ὄντος ἐξ ἀνάγκης καὶ αὐτὸ ἦν, εἴγε τὸ μὲν β' διὰ τοῦ α' ἐδείκνυτο, τὸ δὲ γ' διὰ τοῦ β'. ἀλλὰ τὸ γ' ταὐτὸν δέδεικται τῷ α'· ὥστε συνάγεται οὐδὲν ἄλλο ἢ ὅτι τοῦ α' ὄντος ἀνάγκη τὸ γ' εἶναι, τουτέστι τοῦ α' ὄντος τὸ α' ἐστίν. Ioh. Phil. f. 13 *b*.

73a 6. ὅτι τῇ κύκλῳ δείξει οὐδὲ αὐτὸ τοῦτο συμβαίνει τὸ ἐπὶ πάντων τὰ αὐτὰ δι' ἑαυτοῦ ἀποδεικνύναι, πλὴν εἰ μὴ τρεῖς ὅροι παραληφθῶσιν οὕτως ἔχοντες πρὸς ἀλλήλους ὥστε ἕκαστον πρὸς τοὺς λοιποὺς ἀντιστρέφειν, τουτέστιν ὥστε ἐξισάζειν αὐτούς, ταὐτὸν δέ ἐστιν εἰπεῖν ὅτι δεῖ ἐξ ἰδίων αὐτοὺς συγκεῖσθαι, οἷον ἄνθρωπος γελαστικὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἕκαστον γὰρ τούτων πρὸς τὰ λοιπὰ ἀντιστρέφει· εἰ γὰρ μὴ εἶεν οὕτως κείμενοι οἱ ὅροι, οὐδὲ ὅλως τῇ κύκλῳ δείξει χρήσασθαι δυνατόν. οὐ γὰρ δυνατὸν ἀντιστρέψαι τὰς προτάσεις, εἴπερ ἡ καθόλου καταφατικὴ οὐ πρὸς ἑαυτὴν ἀντιστρέφει ἀλλὰ πρὸς τὴν μερικὴν καταφατικήν. id. f. 14.

73a 7. ἐπειδὴ εἶπεν ἀνωτέρω ὅτι τοῦτο συμβαίνει τριῶν ὅρων τεθέντων καὶ ὅτι δι' ἐλαττόνων οὐκ ἐνδέχεται τοῦτο, νῦν ἐνταῦθα ἐπαναλαβών φησιν ὅτι δέδεικται ἡμῖν ἐν τῷ δευτέρῳ τῶν Ἀναλυτικῶν (δηλαδὴ τῶν Προτέρων) ὅτι ἑνὸς κειμένου ὅρου ἢ προτάσεως συλλογισμὸν γενέσθαι ἀδύνατον. id. ib.

73a 9. παρατηρητέον ὅτι τὴν πρότασιν θέσιν ἐκάλεσε. τοῦτο δὲ εἶπεν ὅτι ἄνω μὲν διαιρῶν τὰς ἀμέσους προτάσεις τὴν διαίρεσιν ἐποιήσατο εἰς τὸ ἀξίωμα καὶ τὴν θέσιν, τὴν δὲ θέσιν διεῖλεν εἴς τε τὰ αἰτήματα καὶ τοὺς ὁρισμούς, νῦν δὲ κοινῶς πᾶσαν πρότασιν θέσιν ἐκάλεσεν. id. ib.

73a 11. τουτέστιν ἐὰν μὲν οἱ τρεῖς ὅροι οἱ τεθέντες ἴδια ὦσιν, ὥστε καὶ ἀντιστρέφειν πάντας πρὸς πάντας, τότε δυνατὸν ἀντιστρέψαντας τὴν μείζονα τῶν προτάσεων καὶ ταύτην συνθέντας μετὰ τοῦ συμπεράσματος, οὕτω τὴν λοιπὴν δεικνύναι. ὁμοίως καὶ τὴν μείζονα δυνατὸν ἀποδεῖξαι τῇ κύκλῳ δείξει ἀντιστρέφοντας τὴν ἐλάττονα καὶ ταύτῃ συνάπτοντας τὸ συμπέρασμα συνάγειν τὴν μείζονα. τοῦτο δὲ ἐν τῷ πρώτῳ σχήματι μόνον δυνατόν, ὡς δέδεικται ἐν τῷ περὶ συλλογισμοῦ (Anal. Pr. 2 5. 10). id. ib.

73a 15. ἐν γὰρ τῷ δευτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν (2 5 sqq.) πολὺν λόγον ἐποιήσατο περὶ τῆς κύκλῳ δείξεως, ἐν οἷς ἔδειξεν ὅτι ἐν μὲν τῷ πρώτῳ σχήματι, εἰ ληφθεῖεν οἱ ὅροι ἀντιστρέφοντες πρὸς ἀλλήλους, δυνατὸν ἑκάστην τῶν προτάσεων τῇ κύκλῳ δείξει συλλογίσασθαι, ἐπὶ μέντοι τῶν λοιπῶν σχημάτων τοῦτο οὐκ ἐνδέχεται, ἀλλ' ἢ οὐδ' ὅλως δείκνυταί τι ἢ ἕτερόν τι παρὰ τὸ κείμενον. id. ib.

73a 21. ἐλέγξας τοὺς μηδενὸς εἶναι ἀπόδειξιν λέγοντας καὶ τοὺς πάντα ἀποδεικτὰ εἶναι ὑποτιθεμένους, νῦν λοιπὸν ἐπάνεισιν ἐπὶ τὸ ἐξ ἀρχῆς· τοῦτο δὲ ἦν διδάξαι τί ποτέ ἐστιν ἡ ἀποδεικτικὴ ἐπιστήμη. καὶ ἐπεὶ ταύτην οὐ δυνατὸν γνῶναι τὸν μὴ εἰδότα τίνων ἐστὶν ἡ ἀπόδειξις, ἀναλαμβάνει τὸν περὶ τούτων λόγον, καὶ διδάσκει τὴν ὑποβεβλημένην τῇ ἀποδείξει ὕλην... "ἐπεὶ δ' ἀδύνατον ἄλλως ἔχειν οὗ ἐστὶν ἐπιστήμη ἁπλῶς." ὅτι μὲν οὖν τὸ ἀδύνατον ἄλλως ἔχειν καὶ τὸ ἀναγκαῖον οὕτως ἔχειν ταὐτόν, δῆλον· ἀλλ' ἐστὶν ἡμῖν σαφέστερον καὶ μᾶλλον ἐναργῶς παριστᾷ τὴν διάνοιαν αὐτοῦ τὸ ἀδύνατον. id. f. 14 *b*.

73a ἐξ ἀναγκαίων δηλονότι προτάσεων. id. ib.

24. τὸ "ἐκ τίνων καὶ ποίων" οὐκ ἐκ παραλλήλου εἴρηται, ἀλλὰ διὰ μὲν τοῦ "τίνων" δηλοῦται τὸ προτάσεων, διὰ δὲ τοῦ "ποίων" τὸ προ-

72 b 5. τῷ δὲ παρ' ἡμῖν καλῶς λεγομένῳ οὐ καλῶς τινὲς χρώμενοι ἀναιρεῖν ἐπιχειροῦσιν ἀπόδειξιν. ἡμεῖς μὲν γὰρ οἰόμεθα δεῖν, εἴπερ ἔστιν ἀπόδειξις, τὰς προτάσεις ἐπιστητὰς εἶναι μᾶλλον τοῦ συμπεράσματος, οἱ δὲ τοῦτο μὲν οὐ συγχωροῦσιν, οὐδὲν δὲ ἐπιστητὸν εἶναι τιθέμενοι ὃ μὴ δι' ἀποδείξεως γίνεται, οὐκ ἐπιστήσεσθαι ἡμᾶς μᾶλλόν φασι τὰς προτάσεις, εἰ μὴ καὶ αὐτὰς δι' ἀποδείξεως πιστωσόμεθα. ὥστ' εἰ μὲν ἀεὶ τὴν λαμβανομένην πρότασιν εἰς δεῖξίν τινος πάλιν αὐτὴν δι' ἑτέρας ἀποδείκνυμεν, εἰς ἄπειρον ποιησόμεθα τὴν ἀναγωγήν. ἀδύνατον δὲ τὰ ἄπειρα διελθεῖν. Themist. f. 2 *b*.

ἐλέγξας οὖν τούς τε λέγοντας μὴ εἶναι ὅλως ἀπόδειξιν καὶ τοὺς πάντα εἶναι ἀποδεικτὰ λέγοντας, καταλιπὼν τὸ ἀληθές, τὸ τινῶν μὲν εἶναι ἀπόδειξιν τινῶν δὲ μὴ εἶναι ἀπόδειξιν, ὕστερον δείξει τίνων μέν ἐστιν ἀπόδειξις τίνων δὲ οὐκ ἔστιν. καὶ τί δή ποτε μὴ τὴν ἀρχὴν τοῦτο ἐζήτησεν; εἰ γὰρ ἐν ταῖς ἀποδείξεσιν πρότερόν ἐστι τὸ εἰ ἔστι τοῦ τί ἐστιν, ἔδει πρότερον τοῦ εἰ ἔστιν ἀπόδειξιν ποιῆσαι, εἶτα τὸ τί ἐστι παραδεδωκέναι. ἀλλὰ πρῶτον παραδοὺς τὸ τί ἐστιν, οὕτω νῦν ἐπὶ τὸ εἰ ἔστι μεταβέβηκε. φαμὲν οὖν ὅτι ὥσπερ ἐν τῇ περὶ τοῦ κενοῦ ζητήσει πρότερον τὴν ἔννοιαν τοῦ κενοῦ παραδέδωκε, τί ποτε εἶναι τὸ κενὸν ὑπολαμβάνομεν, εἶτα οὕτως ἐζήτησε περὶ αὐτοῦ καὶ εἴτε ἔστιν εἴτε οὔ, οὕτως ἐνταῦθα τὴν ἔννοιαν παραδοὺς τῆς ἀποδείξεως πρότερον, οὕτως ἐζήτησεν εἴτε ἔστιν ὁ τοιοῦτος τῆς ἀποδείξεως τρόπος εἴτε μή. ἐν οἷς γὰρ ἢ οὐδ' ὅλως ἔχομεν τὴν περὶ τοῦ τί ἐστι τὸ ζητούμενον ἢ τί σημαίνει ἔννοιαν, ἢ ἀμυδρὰν τῆς σημασίας αὐτοῦ φαντασίαν ἔχομεν, ἐν τούτοις πρότερον τὸ περὶ τούτου ζητοῦμεν, εἶτα περὶ τοῦ εἰ ἔστιν. εἰ δὲ εἰδείημεν τὴν ἔννοιαν τὴν περὶ τοῦ ὑποκειμένου πράγματος, οὐδ' ἂν εἰ ἔστιν ἢ μὴ γνῶναι δυνηθείημεν. ἐφ' ὧν μέντοι προφανές ἐστι τί ποτε σημαίνει τοὔνομα, ἐν τούτοις προτερεύει ἡ περὶ τοῦ εἰ ἔστι ζήτησις. Ioh. Phil. f. 11 *b*.

72 b 7. εἰ μὲν γὰρ ὑποθέμενοι μὴ εἶναι ἀπόδειξιν λέγουσιν ὅτι ἡ ἀπόδειξις διὰ προτέρων ἐστίν, ἐκεῖνα τὰ πρότερα πάλιν ὀφείλουσιν ἔχειν πρότερα, καὶ εἰ ἔχουσιν ἐκεῖνα, πάλιν διὰ προτέρων· εἰ δὲ οὐκ ἔχουσι πρότερα, οὐδὲ ἀπόδειξις ἔσται. id. f. 12.

72 b 13. ἁπλῶς μὲν γὰρ ἀπόδειξις οὐκ ἔστι διὰ τὰ εἰρημένα, ἐξ ὑποθέσεως δέ τι δυνατὸν κατασκευάσαι, ὅπερ οὐκ ἔστι κυρίως ἀπόδειξις. id. ib.

72 b 17. "ἀλλὰ πάντων εἶναι ἀπόδειξιν οὐδὲν κωλύει." ὅσοι δὲ ὁμολογοῦσιν ἀπόδειξιν εἶναι, καὶ ὅτι πάντα ἀποδείκνυται, λέγουσιν, οὐδὲν κωλύει γίνεσθαι τὴν κύκλῳ δεῖξιν καὶ ἐκ τῶν μερικῶν δείκνυσθαι τὰ καθόλου. id. ib.

72 b 15. ὅμοιά τε ἁμαρτάνουσι τοῖς πάντα ἀναπόδεικτα λέγουσιν οἱ πάντα ἀποδεικτὰ εἶναι τιθέμενοι. ἀλλ' ὥσπερ ἐστὶν ἐναργὲς τὸ πολλὰ τῆς δι' ἑτέρων πίστεως προσδεῖσθαι, οὕτως οὐδὲν ἧττον ἐναργὲς τὸ πολλὰ εἶναι γνώριμα δι' ἑαυτῶν, ἀλλὰ καὶ μᾶλλον ἐπιστητὰ τῶν δι' ἄλλων γινωσκομένων. αἵ τε ἀρχαὶ τῆς ἀποδείξεως οὐκ ἂν εἶεν δήπουθεν ἀποδείξεις ἀλλὰ προτάσεις αὐτόθεν ἐναργεῖς τε καὶ ἄμεσοι, ὧν δὴ ἄρχει πάλιν ὁ νοῦς ᾧ τοὺς ὅρους θηρεύομεν, ἐξ ὧν σύγκειται τὰ ἀξιώματα· ταῦτα γὰρ ἄμεινον λέγειν ἢ συγχωρεῖν μὲν αὐτοῖς ἐπιστητὰ εἶναι τὰ δι' ἀποδείξεως γινωσκόμενα, φεύγοντας δὲ τὴν εἰς ἄπειρον ἀναγωγὴν τὴν κύκλῳ δεῖξιν προσάγειν. τοῦτο δ' ἐστὶ κακῷ τὸ κακὸν ἰᾶσθαι καὶ σώζειν ἐπιχειροῦντας ἀπόδειξιν μηδὲν ἧττον ἀναιρεῖν αὐτὴν τῶν τοῦτο προτιθεμένων. Themist. f. 2 *b*.

λαβὼν παρὰ τῶν προειρημένων ὅτι ἔστιν ἀπόδειξις (αὐτὸ γὰρ 72 b 18. τὸ κατασκευάζειν μὴ εἶναι ἀπόδειξιν εἰς τὸ γνῶναι τὴν ἀπόδειξιν γέγονε· δι' ἀποδείξεως γὰρ ἔδειξαν μὴ εἶναι ἀπόδειξιν· εἰ γὰρ ἔστιν ἀπόδειξις, φασίν, ἀνάγκη δι' ἀποδείξεως γνῶναι τὰ πρῶτα· ἀλλὰ μὴν τὸ ἑπόμενον ψεῦδος, καὶ τὸ ἡγούμενον ἄρα· τοῦτο δὲ αὐτὸ ἀπόδειξίς ἐστιν, ὥστε αὐτῷ τῷ ἀνασκευάζειν τὴν ἀπόδειξιν ἀπόδειξιν κατεσκεύασαν) λαβὼν οὖν τοῦτο παρ' αὐτῶν ὅτι ἔστιν ἀπόδειξις, δείκνυσιν ὅτι ἀδύνατον πάντα δι' ἀποδείξεως εἰδέναι, τοῦτον τὸν τρόπον. id. f. 12 *b*.

ἀρχὴν ἐπιστήμης τὸν νοῦν φησίν· τούτῳ γὰρ τὰς ἀρχοειδεστά- 72 b 23. τας καὶ οἱονεὶ ὅρους οὔσας γνωρίζομεν. οἱ δὲ ἀρχὴν νῦν τὸ θεῖον νοήσαντες οὐ καλῶς ἐνόησαν. διττήν φησιν εἶναι τὴν ἐπιστήμην, ἢ τὴν διὰ τῶν ἀξιωμάτων συμβαίνουσαν ἐπιστήμην ἐν τοῖς προβλήμασιν, ἢ αὐτὴν τὴν τῶν ἀξιωμάτων. ἄλλως. ὁ μὲν φιλόσοφος τὴν ἐξήγησιν τοῦ προκειμένου ῥητοῦ οὕτως ἀπέδωκεν, ἀρχὴν μὲν ἐπιστήμης τὸν νοῦν εἰληφώς, οὐ τὸν ἡμέτερον ἀλλὰ τὸν θεῖον καὶ ὑπὲρ ἡμᾶς, ὅρους δὲ τὰ νοητὰ καὶ θεῖα εἴδη· ὅρους δὲ αὐτὰ καλεῖσθαι διὰ τὸ πέρατα εἶναι πάντων... ὁ μὲν οὖν φιλόσοφος οὕτως· ἔοικε δὲ μᾶλλον φυσικώτερον καὶ προσφυῶς τῷ ῥητῷ ὁ Θεμίστιος τῶν προκειμένων τὴν διάνοιαν ἐξηγεῖσθαι, ἀρχὴν μὲν ἀποδείξεως εἶναι λέγων τὸν ἡμέτερον νοῦν, ὅρους δὲ ἐξ ὧν σύγκειται τὰ ἀξιώματα, τουτέστι τὸν ὑποκείμενον καὶ τὸν κατηγορούμενον, οἷον ὅτι ἐπὶ παντὸς ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθεύει. τοὺς οὖν ὅρους οὐ δι' ἀποδείξεως γινώσκομεν, ἀλλ' ὥσπερ ἡ αἴσθησις ἄνευ ἀποδείξεως γινώσκει τὰ αἰσθητά, καὶ κρεῖττον αὐτὰ γινώσκει ἤπερ δι' ἀποδείξεως ἂν ἐγίνωσκεν, οὕτω καὶ ὁ νοῦς ἁπλαῖς ἐπιβολαῖς τούτοις ἐπιβάλλων ἀναποδείκτως τὴν φύσιν αὐτῶν αἱρεῖ, ἐξ ὧν συμπλέκει τὰ ἀξιώματα. id. ib.

μή ποτε οὖν, φησίν, οὐ καλῶς ἀποδεδώκαμεν τὸν τρόπον τῆς 72 b 25. ἀποδείξεως, λέγοντες ἐκ τῶν τῇ φύσει πρώτων ταύτην γίνεσθαι, εἴγε δύο τρόποι εἰσὶν ἀποδείξεως, ὅ τε ἐκ τῶν τῇ φύσει προτέρων καὶ ὁ ἐκ τῶν πρὸς ἡμᾶς προτέρων, ὥσπερ ἐλέγομεν καὶ τὸ σφαιροειδὲς τῆς σελήνης διὰ τῶν πρὸς ἡμᾶς πρώτων κατασκευάζεσθαι. τοῦτο δέ, φησί, ψεῦδος. ἀλλὰ καλῶς ὁ παρ' ἡμῶν ἀποδέδοται ὅρος· τὸ γὰρ ἐκ τῶν ὑστέρων τὰ πρότερα κατασκευάζειν οὐκ ἀεὶ ἀναγκαῖον, ἀλλ' ἐν οἷς τὰ ὕστερα ἄλυτά ἐστι τεκμήρια, ὥσπερ τὸ τέφρας οὔσης πῦρ ἐνταῦθά ποτε εἶναι, ἢ τὸ τοιῶσδε φωτιζομένης τῆς σελήνης σφαιρικὴν εἶναι. id. ib.

τουτέστιν, εἰ δὲ ὁ παρ' ἡμῖν ὅρος τῆς ἀποδείξεως καλῶς ἀπο- 72 b 31. δέδοται, τὸ δεῖν ἐκ τῶν τῇ φύσει προτέρων τὰ ὕστερα κατασκευάζεσθαι, ἡ ἑτέρα οὐ κυρίως ἂν λέγοιτο ἀπόδειξις ἡ ἐκ τῶν ὑστέρων τὰ πρῶτα κατασκευάζουσα, ἀλλ' ὡς εἴπομεν, τεκμηριώδης καὶ λυτὴ δεῖξις. id. f. 13.

ἔδειξεν ἓν μὲν οὖν ἄτοπον καὶ πρῶτον ἑπόμενον αὐτοῖς τὸ ἐκ τῶν 72 b 32. ὑστέρων τὰ πρῶτα καὶ ἐκ τῶν μερικῶν τὰ καθόλου δείκνυσθαι, δευ-

καθάπερ σύμφυτα καὶ κοινὰ πᾶσι. διὸ καὶ ἡ προσηγορία τοῦ ἀξιώματος· ὁ γὰρ ἁπλῶς καὶ ἐπὶ πάντων ἢ ὅλως ἐπὶ τῶν μονογενῶν τίθεται, ταὐτὸν ἀξιοῦμεν καὶ ἐπὶ τῶνδε. ἓν μὲν οὖν εἶδος τῆς ἀμέσου προτάσεως τόδε, ἕτερον δὲ θέσις... προηγουμένως δέ τί ἐστι λέγουσι· τοὺς γὰρ ὁρισμοὺς μόνον ξυνιέναι δεῖ. διὸ καὶ ἀπορήσειεν ἄν τις εἰ πρότασις ὅλως ὁ ὁρισμός· ἰσοδυναμεῖ γὰρ τῷ ὀνόματι, καὶ ἧπερ φησὶν Ἀριστοτέλης, οὐ λαμβάνει τὸ εἶναι ἢ μὴ εἶναι. πῶς οὖν, εἰ μὴ πρότασίς ἐστι, προσγένοιτ' ἂν εἶδος τῆς ἀμέσου προτάσεως; ἀλλὰ τοῦτο μὲν ἐπισκεπτέον, ἔσω δ' οὖν ἕτερον εἶδος τῆς θέσεως. **Themist. f. 2.**

θέσιν λέγει, ἣν μὴ ἔστι δεῖξαι μηδὲ ἀνάγκη ἔχειν τὸν μαθησόμενον, ὅτι διδάσκει τι. διαφέρει δὲ θέσις ἀξιώματος, ὅτι ἡ μὲν θέσις οὐκ ἔστιν αὐτόπιστος τῷ μανθάνοντι ἀλλ' ἐκ τοῦ διδάσκοντος παραγίνεται, τὸ δ' ἀξίωμα οἴκοθεν ὁ μανθάνων ἔχει καὶ προβάλλεται. καὶ ὅτι ἡ μὲν θέσις κἂν ἐστιν ἀναπόδεικτος, ὅμως δεῖται παραμυθίας βραχείας, οἷον ὅσαι ἐκ τοῦ κέντρου πρὸς τὴν περιφέρειαν, ἴσαι ἀλλήλων εἰσί, τὰ δ' ἀξιώματα οὐκέτι· τὰ γὰρ δὶς δύο τέσσαρα, οὐ χρείαν ἔχει. ἄλλως. τῶν ἀμέσων προτάσεων αἱ μὲν θέσεις αἱ δὲ ἀξιώματα. καὶ τίνα μὲν τὰ ἀξιώματα, δῆλον, τῆς δὲ θέσεως τὸ μὲν ὑπόθεσις τὸ δὲ ὁρισμός, τῆς δὲ ὑποθέσεως εἴδη τὸ αἴτημα καὶ ἡ ὁμωνύμως καλουμένη ὑπόθεσις. κοινὸν μὲν οὖν πάσης ὑποθέσεως τὸ μὴ ἐκ φυσικῆς ἐννοίας ἠρτῆσθαι ἀλλ' ἐκ τοῦ διδασκάλου τίθεσθαι· ἀλλ' ὅσαι μὲν τῶν ὑποθέσεων γνώριμοι, καὶ ἃς ἅμα τῷ ἀκοῦσαι προσίεται ὁ μανθάνων, ὑποθέσεις αὗται καλοῦνται, ὅσαι δὲ οὐ σαφεῖς οὐδὲ γνώριμοι, ἀλλὰ δεόμεναι μὲν κατασκευῆς, ἀναποδείκτως δὲ παρὰ τοῦ διδασκάλου λαμβάνονται, ταῦτα αἰτήματα καλεῖται. τὸ δὲ αἴτημα διαιρεῖται εἴς τε τὸ μηδετέρως γινωσκόμενον καὶ εἰς τὸ ἐναντίως. οἷον τοῦ γεωμέτρου λέγοντος τὰς ὀρθὰς ἴσας εἶναι, οὐδετέρως ὁ ἀκροατὴς ἀγεωμέτρητος ὢν δοξάζει οὔτε ὅτι εἰσὶν ἴσαι οὔτε ὅτι ἄνισοι, ἐναντίως δὲ δοξάζει, τὸ σημεῖον νομίζων οὐκ ἀμεγεθές. ὁ δὲ ὁρισμὸς οὐκ ἔστιν ἕτερος τοῦ ὁριστοῦ· τὸ γὰρ ζῷον λογικὸν θνητὸν οὐδὲν ἕτερόν ἐστιν ἢ ἄνθρωπος· ἐξήγησις γάρ ἐστι τοῦ ἀνθρώπου καὶ οἷον ἀνάπτυξις τὸ ζῷον λογικὸν θνητόν. οὐκ ἄρα τῶν ὁριστῶν οἱ ὁρισμοὶ κατηγοροῦνται, ἀλλὰ τί ἐστι τὸ ὁριστὸν ἀφορίζουσι, τὰ δὲ γένη καὶ αἱ διαφοραὶ κατηγοροῦνται, διότι ἕτερά ἐστι τῶν εἰδῶν. οὐ ταὐτὸν γὰρ ζῷον εἰπεῖν καὶ ἄνθρωπον, ἢ ἄνθρωπον καὶ λογικόν· ὅταν γὰρ εἴπωμεν ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστιν ἢ λογικόν, ταῦτα ὡς ἕτερα ὄντα τοῦ ἀνθρώπου κατηγοροῦμεν αὐτὰ τοῦ ἀνθρώπου... τὸ τὰς ἀπ' ἐλαττόνων δύο ὀρθῶν ἐκβαλλομένας συμπίπτειν, ὅπερ λαμβάνεται μὲν παρὰ τοῦ γεωμέτρου χωρὶς ἀποδείξεως, πλείονος μέντοι κατασκευῆς δεῖται εἰς ἀπόδειξιν· ὁ γοῦν Πτολεμαῖος βιβλίον ὅλον κατεβάλετο εἰς τὴν τούτου ἀπόδειξιν. καὶ ἐνταῦθα μὲν μέχρι ταύτης τῆς διαιρέσεως ἵσταται, παρακατιὼν δὲ καὶ τὸ αἴτημα διαιρεῖ εἴς τε τὸ μηδετέρως γινωσκόμενον καὶ εἰς τὸ ἐναντίως. οἷον τί λέγω; τοῦ γεωμέτρου λέγοντος τὰς ὀρθὰς γωνίας ἴσας ἀλλήλαις εἶναι, οὐδετέρως δυσὶν ὀρθαῖς ἴσας ὁ ἀκροατὴς ἀγεωμέτρητος ὢν δοξάζει, οὔτε ὅτι ἴσαι εἰσὶν αἱ ὀρθαὶ οὔτε ὅτι ἄνισοι· λαμβάνει μέντοι τοῦτο ὁ γεωμέτρης ὁμολογούμενον. πάλιν τοῦ γεωμέτρου λέγοντος, δύο εὐθεῖαι χωρίον οὐ περιέχουσιν, ὁ ἀκροατὴς τοὐναντίον οἰήσεται, ὅτι περιέξουσι στενόν τι χωρίον· καὶ περὶ τοῦ σημείου πεισθήσεται ὅτι οὐκ ἀμέγεθες, καὶ περὶ τῆς γραμμῆς δοξάζει ὅτι ἔχει πλάτος. τινὲς δὲ τὸ ἀξίωμα θέλουσι διαιρεῖν εἴς τε τὸ ἴδιον καὶ τὸ κοινόν· εἰσὶ γὰρ καὶ εἰδικά τινων ἐπιστημῶν ἀξιώματα, ὡς τὸ τὰ ἐφαρμόζοντα ἐπ' ἄλληλα ἴσα ἀλλήλοις εἶναι μόνης γεωμετρίας, καὶ τὸ τὰ ἐναντία τῶν ἐναντίων ἰάματα μόνης τῆς ἰατρικῆς. εἰσὶ δὲ καὶ κοιναὶ πασῶν, ὡς ἡ ἀντίφασις. "ἀμέσου δὲ ἀρχῆς συλλογιστικῆς" ἔφη ἀντὶ τοῦ ἀποδεικτικῆς· οὐδενὸς γάρ ἐστι συλλογισμοῦ ἡ ἄμεσος πρότασις, εἰ μὴ τοῦ ἀποδεικτικοῦ. καλῶς δὲ τὸ "ἣν μὴ ἔστι δεῖξαι·" οὐ γὰρ δείκνυται ἡ θέσις ἀλλὰ λαμβάνεται, κἂν ὑφ' ἑτέρου ἀποδειχθῇ. **Ioh. Phil. f. 9 *b*.**

"ἔστι γὰρ ἔνια τοιαῦτα." τοιαῦτά φησιν ἃ οἴκοθεν ὁ μανθάνων 72a 17. προβάλλεται καθ' ἑκάστην ἐπιστήμην. οἷς, φησί, καὶ τὸ τοῦ ἀξιώματος ὄνομα ἐπιφημίζειν εἰώθαμεν. **id. f. 10.**

ἐπειδὴ εἶπεν ὅτι δεῖ τὰ πρὸς τὴν ἀπόδειξιν παραλαμβανό- 72a 25. μενα καὶ γνωριμώτερα εἶναι καὶ πρότερα τοῦ συμπεράσματος, αὐτὸ τοῦτο προτίθεται νῦν κατασκευάσαι... ἀποροῦσι δέ τινες ἐν τούτῳ λέγοντες, τί οὖν; ἐπειδὴ διὰ τὸν οἶνον ὑπάρχει τὸ μεθύειν τῷ ἀνθρώπῳ, ἆρα τὸ μεθύειν μᾶλλον ἐν τῷ οἴνῳ ἐστίν; ἢ ἐπειδὴ διὰ τὸ ξίφος τέθνηκεν ὁ ἄνθρωπος, τὸ τεθνηκέναι μᾶλλον ὑπάρχει τῷ ξίφει; καὶ εἰ τῷ κινουμένῳ ὑπάρχει τὸ θερμαίνεσθαι διὰ τὴν κίνησιν, μᾶλλον ἡ κίνησίς ἐστι θερμὴ ἢ ὁ κινούμενος; καὶ μυρία τοιαῦτα. φαμὲν οὖν ἐπιλυόμενοι τὴν ἀπορίαν. **id. f. 10 *b*.**

ζητῆσαι δ' ἄξιον πῶς εἶπεν "ἢ πάντα ἢ ἔνια." ἀνάγκη γὰρ 72a 28. δήπου πάσας τὰς προτάσεις προεγνῶσθαι καὶ τὸ πιστὸν ἔχειν· εἰ γὰρ μία τις ἀμφιβάλλοι, οὐδ' ἂν τὸ συμπέρασμα ἀληθὲς ἤγουν ὡμολογημένον ὑπάρχοι. ἔστιν οὖν εἰπεῖν ὅτι οὐ τοῦτό φησιν, ὅτι τινὰς δεῖ ἠγνοῆσθαι τῶν προτάσεων, ἀλλ' ὅτι ἢ πάσας αὐτοπίστους εἶναι ἢ τινάς, τὰς δὲ λοιπὰς δι' ἀποδείξεως τὴν πίστιν ἔχειν. **id. ib.**

τὸ δὲ "εἰ μή τις προγνώσεται τῶν δι' ἀπόδειξιν πιστευόντων" 72a ὁ Ἀλέξανδρος ἀντὶ τοῦ πιστευομένων ἐξέδωκεν, ἵν' ᾖ τὸ λεγόμενον 35. τοιοῦτον· εἰ μή τις προγνώσεται, δηλονότι τὰς προτάσεις, τῶν διὰ τὴν ἀπόδειξιν πιστευομένων, τουτέστι τῶν συμπερασμάτων· ἵνα ληφθῇ τὸ "πιστευόντων" ἀντὶ τοῦ πιστευομένων. καὶ ἔχεται μὲν καὶ τοῦτο διανοίας ὑγιοῦς, ἐὰν δὲ καὶ πιστευόντων ἀκούωμεν, πάλιν ἔχεται ἡ λέξις τοιαύτης ἐννοίας· εἰ μή τις, φησί, τῶν πιστευόντων ἀνθρώπων διὰ τὴν ἀπόδειξιν προγνώσεται τὰς προτάσεις. **id. f. 11.**

ὃ βούλεται λέγειν, τοιοῦτόν ἐστιν, ὅτι οὐ μόνον τοῦ συμπεράσμα- 72a τος τὰς προτάσεις δεῖ παραλαμβάνειν πιστοτέρας εἶναι, ἀλλὰ καὶ 37. τῶν ἀντικειμένων αὐταῖς. **id. ib.**

οὐ τοῦτό φησιν ὅτι μὴ ἄλλο τι πιστότερον εἶναι, ἀλλὰ μὴ εἴη 72b πιστότερον τῶν ἀντικειμένων ταῖς ἀρχαῖς ἐξ ὧν συμβήσεται, λέγω 1. δὴ τῶν ἀντικειμένων, ψευδῆ συλλογισμὸν γίνεσθαι. **id. ib.**

οὐ μόνον δὲ τῆς ἐπιφορᾶς πιστότερα εἶναι δεῖ τὰ λαμβανό- 72b μενα ἀλλὰ καὶ τῶν αὐτοῖς ἐναντίων· εἰ γὰρ μηδὲν μᾶλλον τούτοις ἢ, 2. ἐκείνοις πιστεύοι, οὐ τῷ συμπεράσματι μᾶλλον πιστεύσει τοῦ ἐναντίου, ὥστε ἡγοῖτ' ἂν αὐτὸ δυνατὸν εἶναι καὶ ἄλλως ἔχειν, καὶ οὐκ ἂν ἀμετάπτωτος εἴη τοῦ συναχθέντος ἡ ἐπιστήμη. **Themist. f. 2 *b*.**

καὶ αἴτια τοῦ συμπεράσματος· δυνατὸν γὰρ πρότερα μὲν παραλαβεῖν, μὴ αἴτια δέ… ὑφ' ἓν οὖν τὸ ὅλον τοῦτο ἀναγνωστέον "προτέρων αἰτίων." ὥσπερ γὰρ τῷ ἀμέσων συνέταξε τὸ πρώτων, οὕτω καὶ νῦν φησὶ προτέρων αἰτίων. τὸ προτέρων δὲ ἀντὶ τοῦ προσεχῶν ἀκουστέον· οὕτω γάρ, φησίν, ἔσονται αἱ ἀρχαὶ οἰκεῖαι τοῦ δεικνυμένου. id. f. 8.

71 b 25. ἐπεξηγεῖται ἕκαστον τῶν ἀπηριθμημένων. διὰ τοῦτο, φησίν, εἴπομεν δεῖν ἐξ ἀληθῶν εἶναι τὴν ἀπόδειξιν, ὅτι εἰ μὴ εἴη ἐξ ἀληθῶν, οὐδὲ ἐπιστήμην γενέσθαι ἐνδέχεται· οὐ γάρ ἐστι τοῦ μὴ ὄντος ἐπιστήμη, τουτέστι τοῦ ψεύδους· τὸ γὰρ μὴ ὂν ἀντὶ τοῦ ψεύδους παρέλαβεν. εἰ δέ τις εἴποι ὅτι τί οὖν; οὐκ ἔστιν ἐπιστήμη τοῦ μὴ ὄντος ὅτι μὴ ὄν; ἀλλ' οὐ τοῦτό φησιν, ἀλλ' ὅτι οὐκ ἔστι τὸ μὴ ὂν ἐπίστασθαι ὡς ὄν· τὸ γὰρ μὴ ὂν ἐπίστασθαι ὡς μὴ ὄν, τουτέστιν ὅτι οὐκ ἔστιν, ἐπιστήμη ἐστίν. καὶ ὅτι οὐ τοῦτό φησιν, ἐδήλωσεν ἐν τῷ παραδείγματι. id. ib.

71 b 26. ὅπερ ἄνω εἶπε "πρώτων ἀμέσων," τοῦτο ἐνταῦθα "πρώτων ἀναποδείκτων." id. f. 8 *b*.

71 b 28. τὸ δὲ "ὧν ἐστὶν ἀπόδειξις" προσέθηκεν, ἐπειδή, ὡς ἤδη εἴπομεν, ἐπιστάμεθα καὶ τὰς κοινὰς ἐννοίας, ἀλλ' οὐ τῷ ἔχειν αὐτῶν ἀπόδειξιν· κρείττων γὰρ ἡ κατὰ ἀπόδειξιν ἡ τούτων ἐπιστήμη. τὸ δὲ "μὴ κατὰ συμβεβηκός" προσέθηκεν, ὅτι ἐνδέχεται εἰδέναι μὴ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός, ὥσπερ ἡ ἐπιφάνεια λέγεται εἶναι ὁρατή, ἀλλ' οὐ καθ' αὑτὸ ἀλλ' ᾗ συμβέβηκεν αὐτῇ τὸ χρῶμα τὸ καθ' αὑτὸ ὁρατόν, καὶ τὴν σελήνην λεγόμεθα ἐπίστασθαι ὅτι σφαιρική, ἀλλ' οὐ καθ' αὑτὸ ἀλλ' ᾗ συμβέβηκεν αὐτῇ τοιούσδε τοὺς φωτισμοὺς ἔχειν. ἔνθεν ὡς ἀπὸ ὑστέρων καὶ αἰτιατῶν ἐπὶ πρῶτα καὶ αἴτια ἀνέδραμεν. id. ib.

71 b 32. "τῷ ξυνιέναι" τουτέστι τῷ εἰδέναι τί σημαίνει ἢ τί ἐστιν, ἀλλὰ καὶ τῷ εἰδέναι ὅτι ἔστιν. καὶ σκόπει ὅτι νῦν φησὶ κατὰ τοὺς δύο τρόπους εἰδέναι τὰ ἀξιώματα. διὰ τοῦτο, φησίν, εἰρήκαμεν δεῖν πρότερα εἶναι, ἐπειδὴ καὶ αἴτια· τὰ γὰρ αἴτια προϋπάρχει τῶν αἰτιατῶν, καὶ ἔτι ὀφείλοντα προγινώσκεσθαι κατ' ἀμφοτέρους τοὺς τῆς προγνώσεως τρόπους, ὅτι τε ἔστι γινωσκόντων ἡμῶν καὶ τί σημαίνει. id. ib.

71 b 33. ἐπειδὴ ἐμνήσθη τοῦ προτέρου, λέγων δεῖν ἐκ προτέρων καὶ προγινωσκομένων εἶναι τὴν ἀπόδειξιν, οὐκ ἔστι δὲ ἓν σημαινόμενον τοῦ προτέρου, βούλεται νῦν εἰπεῖν ποσαχῶς λέγεται τὸ πρότερον καὶ κατὰ ποῖον σημαινόμενον ἐνταῦθα τὸ πρότερον παρείληφε, καὶ λέγει ταῦτα ἅπερ πολλάκις εἴρηκεν, ὅτι κυρίως μέν ἐστι πρῶτα καὶ γνωριμώτερα τὰ τῇ φύσει πρῶτα, τουτέστι τὰ καθόλου, ἅπερ ἡμῖν ἐστὶν ὕστερα, καθ' ἕτερον δὲ τρόπον πρότερα λέγεται ὡς πρὸς ἡμᾶς τὰ ἡμῖν πρώτως γινωσκόμενα, τουτέστι τὰ μερικά· πρώτως γὰρ κατ' αἴσθησιν ἐνεργοῦντες ταῦτα πρώτως γινώσκομεν. id. ib.

72 a 7. ἐπειδὴ δὲ οὐ πάντως τὸ τῇ φύσει γνώριμον καὶ ἡμῖν ἐστὶ γνώριμον, συμβαίνει πολλάκις ἐκ τῶν ὑστέρων ἡμᾶς τὰς πίστεις τῶν προτέρων ποιεῖσθαι, διὰ τό, ὡς εἶπον, γνωριμώτερα ἡμῖν εἶναι τὰ ὕστερα· καὶ καλεῖται τὸ τοιοῦτον εἶδος τῆς δείξεως τεκμηριῶδες καὶ ἄλυτον. ὅθεν καὶ τὸ ἀπόδειξις ὀνομάζεσθαι ἔχεν· ἡ μὲν γὰρ κυρίως ἀπόδειξίς ἐστιν, ὡς εἶπον, ἐκ τῶν προτέρων πιστουμένη τὰ δεύτερα, ὅταν συνδράμῃ τὸ τῇ φύσει πρῶτον καὶ γνώριμον καὶ ἡμῖν εἶναι γνωριμώτερον· ὅταν δὲ τοῦτο μὴ παρῇ, ἀλλ' ἀναγκαζώμεθα ἐκ τῶν ὑστέρων τὰ πρῶτα δεικνύειν, τὸ τοιοῦτον εἶδος τῆς δείξεως τεκμηριῶδες καλεῖται· διὰ δὲ τὸ ἄλυτον τῶν τεκμηρίων ἠξιώθη τοῦ τῆς ἀποδείξεως ὀνόματος. οἷον ζητουμένου τοῦ εἰ σφαῖρα ἡ σελήνη τῷ σχήματι, καὶ μὴ ἐχόντων ἡμῶν μήτε αὐτόθεν τοῦτο εἰδέναι μήτε ἔκ τινων ἀρχοειδεστέρων τοῦτο πιστώσασθαι, ἐκ τῶν φωτισμῶν αὐτῆς, εἴπερ εἰσὶ δεκτικοὶ τοῦ σχήματος αὐτῆς καὶ αἰτιατοί, τοῦτο πιστούμεθα, τὸ εἶναι δηλαδὴ αὐτὴν σφαιροειδῆ, ὅπερ ἐστὶ πρῶτον τῶν φωτισμῶν καὶ αἴτιον αὐτῶν. id. f. 9.

72 a 8. ἐπειδὴ ὅλως ἐμνήσθη προτάσεως, βούλεται ἀναμνῆσαι ἡμᾶς τὰ σημαινόμενα τῆς τε προτάσεως καὶ τῆς ἀποφάνσεως καὶ ἀντιφάσεως, καὶ λέγει ταῦτα ἅπερ καὶ ἐν ἄλλοις (περὶ Ἑρμην. c. 5 sq.) εἶπε περὶ αὐτῶν. ἔστιν οὖν, φησί, πρότασις τῆς ἀποφάνσεως (καλῶς προσέθηκε) "τὸ ἕτερον μόριον," τουτέστιν ἢ τὸ καταφατικὸν ἢ τὸ ἀποφατικόν. τὸ δὲ "ἓν καθ' ἑνός" προσέθηκεν, ἐπειδή, ὡς εἴρηται καὶ ἐν τῷ περὶ Ἑρμηνείας, δεῖ τὰς πρὸς τὴν ἀπόδειξιν παραλαμβανομένας προτάσεις μὴ ὁμωνύμους ἔχειν τοὺς ὅρους, ὅπερ τῶν σοφιστῶν ἴδιον, ἀλλ' ἕνα τῷ σημαινομένῳ τοῦ κατηγορουμένου καὶ τοῦ ὑποκειμένου ἢ καταφάσκειν ἢ ἀποφάσκειν. id. f. 9 *b*.

72 a 9. ἡ διαλεκτικὴ πρότασις ἀμφότερα ἐρωτᾷ, ἆρά γε ὁ ἄνθρωπος ζῷον ἢ οὐκ ἔστι ζῷον; ἡ δὲ ἀπόδειξις οὐδὲν ἕτερον ἐρωτᾷ, ἀλλὰ μίαν πρότασιν τὴν ἀληθῆ λαμβάνει. ὁ μὲν γὰρ ἀποδεικτικὸς οὐχ ὁμοίως λήψεται ὁποτερονοῦν τῶν μορίων τῆς ἀποφάνσεως, ἀλλὰ μόνως τὸ ἀληθές, κἂν μηδενὶ δοκῇ μηδ' εἴη ἔνδοξον. id. ib.

72 a 11. σκόπει πῶς ἐκ τῶν μερικωτέρων ἐπὶ τὰ καθολικώτερα προῆλθεν, ἐκ τῆς προτάσεως εἰς τὴν ἀπόφανσιν, καὶ ἐκ τῆς ἀποφάνσεως εἰς τὴν ἀντίφασιν, καὶ ἐκ τῆς ἀντιφάσεως εἰς τὴν ἀντίθεσιν. id. ib.

72 a 12. ἡ ἀντίφασις μεταξὺ αὐτῆς οὐδὲν τρίτον ἐπιδέχεται. ἔστι δὲ ἡ ἀντίθεσις γένος τῆς ἀντιφάσεως· τετραχῶς γὰρ τὰ ἀντικείμενα ἀντίκειται, ἢ καθ' ἕξιν καὶ στέρησιν, ἢ ὡς τὰ ἐναντία, ἢ ὡς τὰ πρός τι, ἢ ὡς τὰ κατὰ ἀντίφασιν. τῶν οὖν ἄλλων τριῶν τῆς ἀντιθέσεως εἰδῶν μὴ ὄντων ἀμέσων… τοῦτο μόνον τὸ κατὰ ἀντίφασιν εἶδος τῆς ἀντιθέσεως ἄμεσόν ἐστιν ἐπὶ πάντων τῶν ὄντων καὶ μὴ ὄντων, τὸ ἀληθὲς διαιροῦν καὶ τὸ ψεῦδος. τὸ δὲ "καθ' ἑαυτήν" προσέθηκεν ἤτοι ὡς ἀντιδιαιρῶν τοῦτο τὸ εἶδος τῆς ἀντιθέσεως πρὸς τὰ ἄλλα, ἢ ἐπειδὴ τὸ οὐ λευκὸν δύναταί τις λαβεῖν ἢ τὸ φαιόν, εἰ τύχοι, ἢ τὸ μέλαν ἢ ἄλλο τι τοιοῦτον. καθ' αὑτὴν οὖν, ἵνα μὴ ὡς πρὸς ἕτερον λάβωμεν τὸ οὐ λευκόν, ἀλλ' ὡς ἀπόφασιν μόνην τοῦ λευκοῦ. τὰ δὲ μόρια τῆς ἀντιφάσεως ἁπλῶς κατάφασίς ἐστι καὶ ἀπόφασις· εἴρηται γὰρ ὡς ἀντίφασίς ἐστι μάχη καταφάσεως καὶ ἀποφάσεως, διαιροῦσα τὸ ἀληθὲς ἐκ τοῦ ψεύδους. id. ib.

72 a 14. τῆς δὲ ἀμέσου προτάσεως ἀποδεικτικῆς ἡ μὲν τοιαύτη τὴν φύσιν ἐστὶν ὥστε ἀνάγκην εἶναι τὸν μανθάνοντα ὁτιοῦν οἴκοθεν αὐτὸν κομίζειν καὶ εἰδέναι παρ' ἑαυτοῦ, ὥσπερ ἔχει τὸ ἀξίωμα· τὰς γὰρ κοινὰς ἐννοίας ἀνάγκη ἕκαστον ἔχειν φύσει, καὶ ἄνευ τούτων οὐδὲν ἔστι μαθεῖν. ὁ γὰρ Θεόφραστος οὕτως ὁρίζεται τὸ ἀξίωμα "ἀξίωμά ἐστι δόξα τις, ἡ μὲν ἐν τοῖς ὁμογενέσιν, ἐὰν ἴσα ἀπὸ ἴσων, ἡ δὲ ἁπλῶς ἐν ἅπασιν," οἷον τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν· ταῦτα γὰρ

71 b 6. ἐπιστήμη δὲ καὶ ἐπίστασθαι τῆς ἀποδείξεως διαφέρει· ἐπιστήμη γάρ ἐστιν αὐτὴ ἡ διάθεσις ἡ ἐγγινομένη ἡμῖν περὶ τῶν πραγμάτων, ἀπόδειξις δὲ ὁδὸς καθ' ἣν ἡ τούτων γίνεται γνῶσις. ἔτι δὲ καὶ καθολικώτερόν ἐστι τὸ τῆς ἐπιστήμης ὄνομα τῆς ἀποδείξεως· οὐ γὰρ εἴ τις ἐπίστασθαι λέγεται, καὶ ἀποδεικνύναι δύναται. ὁ μέντοι Ἀριστοτέλης νῦν, ὡς γνωριμωτέρας οὔσης τῆς λέξεως, τὸ ἐπίστασθαι ἀντὶ τοῦ ἀποδεικνύναι ἔλαβεν. Ioh. Phil. f. 6 *b*.

71 b 7. τὸ ἀρνητικὸν μόριον τῷ ἄτοπον συντακτέον, ἵν' ᾖ τὸ λεγόμενον τοιοῦτον· οὐκ ἄτοπον γὰρ ἐάνπερ, ὅπερ τις ἐπαγγέλλεται γινώσκειν, πῶς ἤτοι κατὰ τὸ καθόλου μανθάνῃ ἐκεῖνο, κατ' ἄλλον τρόπον ἤγουν κατὰ τὸ μερικὸν ἀγνοῶν, ἢ τὸ ἀνάπαλιν. id. ib.

71 b 9. νῦν περὶ ἀποδείξεως βούλεται διαλαβεῖν καὶ εἰπεῖν τί ποτέ ἐστιν ἀπόδειξις, καὶ ὅτι ἐξ ὁμολογουμένων προτάσεων ἡ ἀπόδειξις γίνεται. ἀντὶ δὲ τῆς ἀποδείξεως τὴν ἐπιστήμην καὶ τὸ ἐπίστασθαι λαμβάνει· γνωριμώτερα γὰρ τῆς ἀποδείξεως καὶ τοῖς πολλοῖς ταῦτά εἰσιν. ἕκαστος γοῦν ἐπίστασθαί τι οἴεται, ἀποδεικνύναι δὲ τί ποτέ ἐστιν ὁ πολὺς ἄνθρωπος οὐκ οἶδε. διαφέρει δὲ ἐπιστήμη τε καὶ τὸ ἐπίστασθαι ἀποδείξεως, ὅτι ἐπιστήμη μέν ἐστιν αὐτὴ ἡ διάθεσις ἡ ἐγγινομένη ἡμῖν περὶ τῶν πραγμάτων, ἀπόδειξις δὲ ἡ ὁδὸς καθ' ἣν ἡ τούτων γίνεται γνῶσις. καὶ ἄλλως, καθολικωτέρα ἐστὶν ἡ ἐπιστήμη τῆς ἀποδείξεως. εἴ τι μὲν γὰρ ἀπόδειξις, πάντως καὶ ἐπιστήμη· οὐκ εἴ τι δὲ ἐπιστήμη, πάντως καὶ ἀπόδειξις. αἱ γὰρ κοιναὶ ἔννοιαι ἐπιστῆμαι μέν εἰσιν, ἀποδείξεις δ' οὔ· ἀναπόδεικτοι γάρ εἰσιν ἐπιστῆμαι αἱ κοιναὶ ἔννοιαι. λέγεται δὲ καὶ εἰδικώτερον ἐπιστήμη, ἥτις εἰς ταὐτὸν συντρέχει τῇ ἀποδείξει· περὶ ἧς νῦν ζητεῖ. οὕτως ἀπὸ γένους τῆς ἐπιστήμης ἐπὶ τὴν εἰδικὴν ἐπιστήμην, ἥτις ἐστὶν ἀπόδειξις, μετῆλθε. καὶ ἄλλως, ἐπὶ τὸ σαφέστερον τὴν μετάληψιν ἐποιήσατο ἐκ τῆς ἀποδείξεως εἰς τὴν ἰσοδυναμοῦσαν ἐπιστήμην, ὡς τὸ ῥητὸν εἰπόντες δείξομεν. ἵνα οὖν μάθωμεν τί ποτέ ἐστιν ἡ ἀπόδειξις, πρῶτον τί ποτέ ἐστιν ἡ ἐπιστήμη παραδίδωσι. id. f. 7.

λέγεται τοίνυν τὸ ἐπίστασθαι φανερὸν πολλαχῶς· καὶ γὰρ κοινῶς λέγεται καὶ κυρίως, κοινῶς μὲν ὅταν ἅπασαν γνῶσιν ὁπωσδήποτε γινομένην, εἴτε διὰ τῶν συμβεβηκότων τῷ πράγματι εἴτε καθ' ἕτερον τρόπον, ἐπιστήμην ὀνομάζωμεν· κυρίως δὲ καὶ ἁπλῶς ἐστὶν ἐπιστήμη, ὅταν τήν τε αἰτίαν οἰώμεθα γινώσκειν δι' ἣν τὸ πρᾶγμα ἔστιν, ὅτι ἐκείνου αἰτία ἐστί, καὶ ὅταν αὐτὸ μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν ὑπολαμβάνωμεν. δῆλον δὲ ὅτι τοιοῦτόν ἐστι τὸ ἐπίστασθαι· ἅπαντες γὰρ οἵ τινες ἐπιστήμης μεταποιούμενοι οἱ μὲν οἴονται δεῖν οὕτως ἔχειν περὶ τοῦ πράγματος, οἱ δὲ καὶ ἔχουσιν οὕτως. εἰσὶ μὲν οὖν καὶ ἕτεροι τοῦ κυρίως ἐπίστασθαι τρόποι· καὶ γὰρ ἡ δι' ὁρισμῶν θεωρία καὶ ἡ λῆψις τῶν ἀναποδείκτων ἀρχῶν ἐπιστῆμαι καλοῦνται κυρίως. ἀλλ' ὅτι γε καὶ τοῦτο εἶδός ἐστι τῆς ἁπλῶς ἐπιστήμης, ὁμολογείσθω. τὸ δὴ τοιοῦτον εἶδος τῆς ἐπιστήμης, τοῦτο εὐθὺς ἀπόδειξιν λέγω. Themist. f. 1 *b*.

71 b 10. οἱ σοφισταὶ παραλογιζόμενοι τὰ τοῖς συμβεβηκόσιν ὑπάρχοντα καὶ τοῖς ὑποκειμένοις φασὶν ὑπάρχειν, καὶ ἔμπαλιν τὰ τοῖς ὑποκειμένοις καὶ τοῖς συμβεβηκόσιν. Ioh. Phil. f. 7.

71 b 13. οἷον νομίζουσί τινες διὰ τοῦτο λαοὺς κεκλῆσθαι τὰ πλήθη τῶν ἀνθρώπων, ὅτι τὸν Δευκαλίωνα μετὰ τὸν κατακλυσμὸν ἐπιτρέψαντος τοῦ Διὸς διὰ τὸ γενέσθαι πάλιν ἀνθρώπους λίθους ὄπισθεν βαλεῖν, καὶ τοὺς βαλλομένους λίθους γίνεσθαι ἀνθρώπους· καὶ φασὶν ἐπίστασθαι τοῦτο οὕτως ἔχειν, διότι ταύτην αἰτίαν οἴονται τῆς ὀνομασίας τῶν λαῶν, καὶ λέγουσι μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν τοῦτο. ὁμοίως καὶ οἱ οἰόμενοι τὴν γῆν ἑστάναι διὰ τὴν τοῦ οὐρανοῦ ὀξεῖαν περιδίνησιν ἐπίστασθαι νομίζουσιν, ὅτι τε τὴν αἰτίαν ταύτην οἴονται εἶναι καὶ οὐκ ἂν ἄλλως στῆναι τὴν γῆν νομίζουσιν. id. f. 7 *b*.

ἐπειδὴ περὶ ἐπιστήμης νῦν εἶπε τῆς δι' ἀποδείξεως γινομένης, 71 b 16. ἔστι δὲ καὶ ἕτερον εἶδος ἐπιστήμης, ὅπερ οὐκ ἔστιν ἀποδεικτικὸν ἀλλ' αὐτόπιστον καὶ ἄνευ συλλογισμῶν, οἷον ἡ τῶν ἀξιωμάτων γνῶσις (αὕτη γὰρ οὐ δι' ἀποδείξεως ἡμῖν παραγίνεται ἀλλ' αὐτόπιστός ἐστι, περὶ ἧς μετ' ὀλίγον ἐρεῖ), διὰ τοῦτό φησι νῦν ὅτι περὶ μὲν τοῦ ἑτέρου τῆς ἐπιστήμης εἴδους ἐροῦμεν ὕστερον, περὶ δὲ τῆς δι' ἀποδείξεως ἐπιστήμης νῦν λέγωμεν. καλῶς ἄρα ἐλέγομεν ὅτι οὐ περὶ τῆς γενικῆς καὶ καθόλου ἐπιστήμης τὸν λόγον ποιεῖται, ἀλλὰ περὶ τῆς εἰδικώτερον λεγομένης καὶ ἰσοδυναμούσης τῇ ἀποδείξει. id. ib.

ἐξαριθμησώμεθα τοίνυν ὁπόσα προδιωρίσαμεν τοῖς λήμμασιν 71 b 20. ὑπάρχειν τοῖς ἀποδεικτικοῖς. ἔστι δὲ τάδε, αἰτίοις εἶναι καὶ οἰκείοις, ἀληθέσι τε καὶ γνωριμωτέροις. πᾶσα μὲν οὖν ἀπόδειξις οὐκ ἐκ προτέρων μόνον ἀλλὰ καὶ ἐκ πρώτων· εἰ μὲν γὰρ αἱ λαμβανόμεναι προτάσεις δι' ἄλλων ἀποδεικνύοιντο, πρότεραι μὲν ἔσονται τοῦ συμπεράσματος, οὐ πρῶται δέ· εἰ δὲ μὴ δι' ἄλλων, καὶ μηδ' ὅλως προσδέοιντο ἀποδείξεως, ἀλλ' αὐτόθεν εἶεν πισταὶ καὶ ἐναργεῖς ἤδη καὶ πρῶται, ἃς οἱ παλαιοὶ καλοῦσιν ἀξιώματα καὶ ἀμέσους προτάσεις, εἰς ἃ χρὴ πάσας ἀνάγεσθαι καὶ ἐξ ὧν ἀποδείκνυσθαι τὰς εἰς συλλογισμὸν ἐπιστημονικὸν τιθεμένας· διὰ τοῦτο γὰρ αὐτὰς καὶ ἀρχὰς ἀποδείξεως ὀνομάζουσιν. Themist. f. 2.

καλῶς τῷ "πρώτων" προσέθηκε τὸ "ἀμέσων·" ἐὰν μὲν γὰρ 71 b 21. λάβω ὅτι ἡ ψυχὴ ἀθάνατος καὶ ἐντεῦθεν ἕτερόν τι συλλογίσωμαι, οἷον ὅτι εἰσὶν ἐν ᾅδου αἱ ψυχαί, ἐκ πρώτων μὲν συνελογισάμην, οὐ μέντοι ἐξ ἀμέσων· οὐδὲ γὰρ ὡμολογημένον ἐστὶν τὸ ἀθάνατον εἶναι τὴν ψυχήν, ἀλλὰ δεῖται καὶ τοῦτο ἀποδείξεως. ἀνάγκη οὖν καὶ τὴν τούτου ἀπόδειξιν ἢ ἐξ ἀμέσων εἶναι ἢ ἐξ ἀναποδείκτων, καὶ τοῦτο ἐπ' ἄπειρον. ὥστε τὸν οὕτως ἐπιστημονικὸν συλλογισμὸν δεῖ ἐκ πρώτων καὶ ἀμέσων προτάσεων εἶναι, τουτέστιν ἀναποδείκτων καὶ αὐτοπίστων... δυνατὸν δὲ ἴσως τὸ "πρώτων καὶ ἀμέσων" οὕτως εἰρῆσθαι, διότι ἔστι τινὰ ἄμεσα μέν, οὐ πρῶτα δέ, καὶ οὐ προηγούμενα τῶν ἀποδεικτικῶν ἀλλ' ἔσχατα καὶ μερικά. οἷον ὅτι τόδε τὸ ψιμμύθιον λευκόν ἐστιν, ἄμεσος πρότασις (οὐ δεῖται γὰρ μέσου ὅρου εἰς πίστιν), καὶ ὅτι ὅδε Σωκράτης ἐστιν· ἀλλ' οὐ τῶν τοιούτων ἀμέσων χρεία εἰς τὸ ἀποδεῖξαι, ἀλλὰ τῶν πρώτων καὶ κοινῶν ἐννοιῶν, αἷς τὰ ἀποδεικτικὰ ὡς ὕστερα τῇ φύσει προτέροις καὶ ὡς αἰτίοις αἰτιατὰ ἕπεται. Ioh. Phil. f. 7 *b*.

"αἰτίων τοῦ συμπεράσματος" ἀντὶ τοῦ τῶν προσεχῶν αἰτίων, 71 b 22. ἀλλὰ μὴ τῶν πόρρω. ἐπάγει γὰρ ὅτι οὕτως αἱ ἀρχαὶ ἔσονται οἰκεῖαι τοῦ δεικνυμένου. ὅτι μὲν γὰρ ἐκ προτέρων ἀνάγκη τὴν ἀπόδειξιν εἶναι, σαφές· εἰ γὰρ πρὸς τὴν δεῖξιν παραλαμβάνονται, ἀνάγκη πρότερα αὐτὰ παραλαμβάνειν. ἀλλὰ δεῖ μὴ μόνον πρότερα εἶναι, ἀλλὰ

δὲ τοῦ ζητουμένου οὐ τὸ ὅτι ἔστιν ἀλλὰ τὸ τί σημαίνει ἢ τί ἐστιν... εἰρηκὼς "διχῶς ἀναγκαῖον προγινώσκειν" ἐπάγει τρεῖς τρόπους· φησὶ γὰρ ὅτι τὰ μὲν ὅτι ἔστι προϋπολαμβάνειν ἀναγκαῖον, τὰ δὲ τί τὸ λεγόμενον ξυνιέναι δεῖ, τὰ δὲ ἄμφω. καὶ δήλη ἡ αἰτία ἐκ τῶν εἰρημένων τοῦ εἶναι τρία ἃ δεῖ προλαμβάνεσθαι πάσης ἐπιστήμης, ὧν δύο μὲν καθ' ἕνα τρόπον, ἕτερον δὲ ὁμοῦ κατὰ τοὺς δύο, αὐτοὺς μέντοι τοὺς τρόπους καθ' οὓς προλαμβάνεται δύο εἶναι, τόν τε ὅτι ἔστι καὶ τὸν ὅ τι σημαίνει. Ioh. Phil. f. 4-5.

71a 16. τὸ μὲν οὖν ὅτι ἔστιν ἄνευ τοῦ τί σημαίνει γινώσκειν ἀμήχανον· τὸ δὲ τί σημαίνει γινώσκειν δυνατὸν καὶ χωρὶς τοῦ εἰδέναι ὅτι ἔστιν... ἀλλ' ἰστέον ὅτι πάμπολυ διαφέρει τοῦ τί ἐστι τὸ τί σημαίνει· τῶν μὲν γὰρ σημαινομένων ὑφ' ἑκάστης φωνῆς καὶ οἱ πάνυ ἀμαθεῖς ξυνιᾶσι. Themist. f. 1 *b*.

τὸ μὲν γὰρ δεδομένον ἔχει καὶ τὸ ὅτι ἔστι καὶ τὸ τί σημαίνει, τὸ δὲ ζητούμενον τὸ τί σημαίνει μόνον, τὸ δὲ ἀξίωμα τὸ ὅτι ἔστιν. Ioh. Phil. f. 5.

71a 17. "τὰ δὲ καὶ ἅμα λαμβάνοντα τὴν γνῶσιν." εἰπὼν ὅτι πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίγνεται γνώσεως, νῦν προτίθεται περὶ εὑρέσεως εἰπεῖν καὶ δεῖξαι ὅτι καὶ αὕτη ἐκ προϋπαρχούσης γίνεται γνώσεως... πρὶν ἢ δὲ διαλεχθῆναι περὶ εὑρέσεως, πρότερον περὶ τοῦ γνωρίζειν προτίθεται διδάξαι ὡς καθολικωτέρου ὄντος, ὡς δείξομεν ἐπεξιόντες. τοῦ οὖν γνωρίζειν δύο εἰσὶ τρόποι, εἷς μὲν ὅταν προεγνωκότες τι αὖθις τούτῳ προσβάλωμεν λήθης μὴ μεσολαβησάσης· οἷον ὅταν πρώτως ἑωρακότες τινά, εἶτα τούτου τὴν μνήμην ἔχοντες πάλιν αὐτὸν ἴδωμεν, λεγόμεθα τοῦτον γνωρίζειν· εἰ δὲ λήθη μεσολαβήσει, εἶτ' αὖθις τὴν προτέραν αὐτοῦ γνῶσιν ἕξομεν, οὐκέτι γνωρίζειν τοῦτον λέγομεν ἀλλὰ ἀναμιμνήσκεσθαι. εἷς μὲν οὖν πρῶτος τρόπος οὗτος, δεύτερος δὲ ὡς ὅταν ἔχοντες τοῦ καθόλου τὴν ἔννοιαν μερικῷ τινὶ προσβάλωμεν ὃ μὴ πρότερον ἐθεασάμεθα, εἶτα τοῦτο ἐφαρμόσωμεν τῷ καθόλου οὗ τὴν γνῶσιν ἔχομεν... ταῦτα ἀμφότερα δυνατὸν καὶ τοῖς δύο τρόποις ἐφαρμόζειν τῆς γνωρίσεως ἑκάτερον ἑκατέρῳ, καὶ ἄμφω μέντοι τῷ δευτέρῳ, οὕτω. τὸ μὲν "γνωρίζειν τὰ μὲν πρότερον γνωρίζοντα" ἁρμόζει ἂν τῷ πρώτῳ τρόπῳ, καθ' ὃν γνωρίζομέν τι καὶ πρότερον αὐτὸ τοῦτο ἐγνωκότες· τὸ δὲ "τῶν δὲ καὶ ἅμα λαμβάνοντα τὴν γνῶσιν" τῷ δευτέρῳ τρόπῳ ἁρμόζει, καθ' ὃν ἅμα τῷ προσβάλλειν τινὶ γνωρίζομεν αὐτὸ μὴ πρότερον αὐτὸ ἐγνωκότες, τῷ ἐφαρμόσαι αὐτὸ τῷ καθόλου. ἄμφω δὲ τῷ δευτέρῳ οὕτως. "ἔστι δὲ γνωρίζειν τὰ μὲν πρότερον γνωρίζοντα," τουτέστι τὰ καθόλου· "τῶν δὲ καὶ ἅμα λαμβάνοντα τὴν γνῶσιν," τουτέστι τὰ μερικά, οἷς πρώτως προσβάλλοντες λεγόμεθα αὐτὰ γνωρίζειν τῷ ἐφαρμόζειν αὐτὰ τοῖς καθόλου τοῖς προεγνωσμένοις ἡμῖν. τὰ δὲ παραδείγματα ὡς πρὸς τὸν δεύτερον ἐπηνέχθη τρόπον. "ὅτι δὲ τόδε τὸ ἐν τῷ ἡμικυκλίῳ τρίγωνόν ἐστιν, ἅμα ἐπαγόμενος ἐγνώρισε." τὸ "ἐπαγόμενος" ἀντὶ τοῦ προσβάλλων αὐτῷ κατὰ τὴν αἴσθησιν. "ἐγνώρισεν," ἐπεὶ ἡ διὰ τῶν κατὰ μέρος γνῶσις ἐπαγωγὴ λέγεται, γινώσκομεν δὲ τὰ μερικὰ δι' αἰσθήσεως. ἀντὶ δὲ τοῦ εἰπεῖν ἐν τῇ χειρί, εἶπεν ἐν τῷ ἡμικυκλίῳ, τὴν ἀσάφειαν ἐπιτηδεύων. ὥστε τὸ ἐν τῇ χειρὶ λανθάνον τρίγωνον ὡς μὲν τρίγωνον, διὰ τοῦ καθόλου ἐγνώρισεν, ὡς δὲ τοιόνδε τρίγωνον, δι' ἐπαγωγῆς, οὐκ ἔκ τινων προϋποκειμένων. τοιαύτη γὰρ πᾶσα ἡ αἰσθητικὴ γνῶσις, ἣν οὐδὲ γνώρισίν φαμεν ἀλλὰ γνῶσιν ἁπλῶς. id. ib.

ταῦτα δὲ πάντα μερικά ἐστιν· ὃ καὶ αὐτὸς δηλῶν εἶπεν "ὅσα 71a 23.
εἴδη τῶν καθ' ἕκαστα τυγχάνει ὄντα καὶ μὴ καθ' ὑποκειμένου τινὸς λέγεται." ὅταν μέντοι τὸ τρίγωνον θεασάμενοι συλλογισώμεθα ὅτι δύο ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας, γνωρίζειν λεγόμεθα τοῦτο διά τινος μέσου, τῷ καθόλου αὐτὸ ἐφαρμόζοντες, οἷον ὅτι πᾶν τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει. σημειωτέον δὲ ὅτι τὴν διὰ τῆς αἰσθήσεως γνῶσιν μάθησιν εἶπε· πρὸς ὃ καὶ ἐν ἀρχαῖς εἰπὼν "πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις" ἀντιδιαστελλόμενος εἶπε τὸ "διανοητική," ὡς καὶ αἰσθητικῆς τινὸς μαθήσεως οὔσης· ἐν γὰρ ταῖς ἐπαγωγαῖς μόνον τὰ καθ' ἕκαστα γινώσκομεν, καὶ οὐ τὰ καθόλου. id. f. 6 *b*.

τουτέστι πρὶν ἢ κατὰ τὴν αἴσθησιν προσβάλλομεν τῷ κεκρυμ- 71a 24.
μένῳ τριγώνῳ, κατά τι μὲν λεγόμεθα αὐτὸ ἐπίστασθαι, τῷ εἰδέναι ὅτι πᾶν τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει (ταύτῃ γὰρ τῇ δυνάμει καὶ τὸ κεκρυμμένον τρίγωνον ἐγνώκαμεν), κατά τι δὲ ἀγνοοῦμεν, τῷ μὴ εἰδέναι εἰ τρίγωνόν ἐστιν ὅλως τὸ κεκρυμμένον. εἰ γὰρ ἀγνοοῦμεν ὅτι τρίγωνον, δῆλον ὅτι ὡς οὐδὲ εἰ δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας ἐγνώκαμεν. ὁ οὖν οὕτω γινώσκων ὅτι μὲν πᾶν τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει, προῄδει τὸ καθόλου, ὅτι δὲ τρίγωνόν ἐστι τὸ κεκρυμμένον ἐν τῇ χειρί, ἠγνόει· διὸ οὐδὲ εἰ δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας ᾔδει. id. ib.

ὥστε ἡνίκ' ἂν ἐπικρύπτηται τὸ τρίγωνον ἐν τῷ γραμματείῳ, 71a 27.
τρόπον μέν τινα οὐκ εἰδέναι φατέον ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει, ὃ μηδὲ εἰ τρίγωνόν ἐστιν ἴσμεν, ἄλλον δ' αὖ πάλιν οὐχ ἁπλῶς ἀγνοεῖν οὗ τὸ καθόλου κοινότερον ἐπιστάμεθα. διὰ ταῦτα οὖν οὐ φοβητέον ἐκείνους τοὺς λόγους οὓς ἐγκεκαλυμμένους ὀνομάζουσιν οἱ σοφισταί. "ἆρ' οἶδας ἅπασαν δυάδα ὅτι ἀρτία;" φήσαντος δὲ ναί, "καὶ μὴν ταύτην οὐκ οἶδας ἣν κατέχομεν ἐν ταῖν χεροῖν, οὔθ' ὅτι δυὰς οὔθ' ὅτι ἀρτία. ὥστε τὸ αὐτὸ οἶδάς τε καὶ οὐκ οἶδας." ἀλλ' οὐδὲν ἄτοπον· οἶδα μὲν γὰρ τὸ καθόλου πάθος πάσης δυάδος, εἰ δὲ αὕτη δυάς, ἀγνοῶ. οὐχ ὅπερ οὖν ἐπίσταμαι, τοῦτο ἀγνοῶ, ἀλλ' ἐπίσταμαι μὲν τὸ καθόλου, ἀγνοῶ δὲ τὸ καθ' ἕκαστον. ὥσπερ καὶ πάντα ἄνθρωπον εἰδὼς ὅτι ζῷόν ἐστι, τὸν ἐν Σαρδοῖ βαδίζοντα νῦν οὔτε εἰ ἄνθρωπός ἐστιν οὔτε εἰ ζῷον ἔχω γινώσκειν. οὐ γὰρ ἐκείνως γε ἀπαντητέον ὡς ἐπιχειροῦσί τινες, ὅτι οὐ πᾶσαν ἴσμεν δυάδα ἀρτίαν οὖσαν, ἀλλ' ἣν ἴσμεν ὅτι δυάς· οὐχ ὑγιὲς γὰρ τοῦτό γε παντελῶς, εἴπερ ἴσασι μὲν ὅπερ τὴν ἀπόδειξιν ἔχουσι καὶ οὗ ἔλαβον, ἔλαβον δὲ τὴν ἀπόδειξιν οὐ μετὰ τοιαύτης προσθήκης, οἷον ἐκείνην εἶναι δυάδα ἀρτίαν ἣν ἂν εἰδῶσιν ὅτι δυάς, ἀλλὰ πᾶσαν ἁπλῶς δυάδα καὶ πᾶν τρίγωνον. ἀλλ' οὐδὲν οἶμαι κωλύει τοὺς μανθάνοντας ἃ μανθάνουσι πῇ μὲν ἐπίστασθαι πῇ δὲ ἀγνοεῖν, καὶ τὶ μὲν αὐτοῦ προγινώσκειν τὶ δὲ ζητεῖν. τούτοις δὲ αὐτοῖς χρωμένοις καὶ πρὸς τὸν ἐν τῷ Μένωνι λόγον ἀπαντητέον, ὃς τὸ ζητεῖν πειρᾶται δεικνύειν ἀδύνατον τῷ δεῖν ἅπαντα τὸν ζητοῦντα ἐκεῖνο ζητεῖν ὃ οἶδε. Themist. f. 1 *b*.

τὸν ὀξύρρυγχον τύπον γράφειν τὸν μὴ ἁπλῶς εἰδότα γράφειν, οὕτως ἀδύνατον γνῶναι τὸν ἀποδεικτικὸν συλλογισμὸν πρὸ τοῦ μαθεῖν τὸν ἁπλῶς συλλογισμόν. εἶτα ἐπειδὴ ὁ ἁπλῶς συλλογισμὸς σύγκειται ἐκ προτάσεων, οὐ δυνατὸν δὲ ἄνευ προτάσεων γνῶναι τὸν ἁπλῶς συλλογισμόν, παραδέδωκεν ἡμῖν τὸ περὶ Ἑρμηνείας, ἐν ᾧ περὶ προτάσεων διδάσκει. πάλιν δὲ ἐπειδὴ ἀδύνατόν ἐστι γνῶναι τὰς προτάσεις ἄνευ τῶν ἁπλῶν φωνῶν ἐξ ὧν σύγκεινται, πρὸ τοῦ περὶ Ἑρμηνείας παραδέδωκεν ἡμῖν τὰς Κατηγορίας, ἐν αἷς διδάσκει ἡμᾶς περὶ τῆς τῶν ἁπλῶν φωνῶν δυνάμεώς τε καὶ σημασίας. καὶ ἐπεὶ συλλογισμοῦ πλείονα εἴδη, ὡς ἐν τοῖς Προτέροις Ἀναλυτικοῖς διὰ πλειόνων ἐδείξαμεν, ὅ τε σοφιστικός, ὁ διαλεκτικὸς καὶ ὁ ἀποδεικτικός, τὸν μὲν ἀποδεικτικὸν συλλογισμὸν ἐν τούτοις ἡμῖν παραδίδωσι, τὸν δὲ διαλεκτικὸν ἐν τοῖς Τοπικοῖς, ἐν ᾧ πῶς ἂν ἐφ' ἑκάτερά τις ἐπιχειρήσειε παραδίδωσιν, ἵνα μὴ ἐξαπατώμεθα ὑπὸ τῶν προσδιαλεγομένων ἡμῖν. διδάσκει δὲ ἡμᾶς καὶ περὶ τοῦ σοφιστικοῦ συλλογισμοῦ ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις, ὥσπερ ἀλεξητήριον ἡμῖν φάρμακον παρέχων ἐπὶ τὸ ἀποφεύγειν, ὡς αὐτός φησι, τὰς σοφιστικὰς ἐνοχλήσεις, ὃν τρόπον καὶ οἱ ἰατροὶ διδάσκονται τὰ δηλητήρια τῶν φαρμάκων οὐκ ἐπὶ τὸ χρῆσθαι ἀλλ' ἐπὶ τὸ φεύγειν... διόπερ οὐδὲ ἐπιγέγραπται τὸ βιβλίον περὶ Σοφιστικῶν Συλλογισμῶν, ἀλλὰ Σοφιστικοὶ Ἔλεγχοι... ἀπόδειξις τοίνυν ἐστὶ συλλογισμὸς ἐπιστημονικὸς ἐξ αὐτοπίστων καὶ ὁμολογουμένων λόγων λαμβανόμενος. πρότερον δ' ἐστι τῇ τάξει τὸ προκείμενον βιβλίον τῶν Σοφιστικῶν Ἐλέγχων· ὅτι μὲν γὰρ ἕπεσθαι τοῖς Τοπικοῖς ὤφειλεν, ἐν ἐκείνοις ἀπεδείξαμεν (τοῖς γὰρ πιθανοῖς ἐγγυμνασθέντες ῥᾷον τοῖς ἀναγκαίοις προσβαλοῦμεν), ὅτι δὲ προηγεῖται τῶν Σοφιστικῶν Ἐλέγχων, δῆλον ἐντεῦθεν. Ioh. Phil. f. 3.

71a 1. ἰστέον δὲ ὅτι καὶ ἐνταῦθα ὁ Ἀριστοτέλης ἑαυτῷ ἀκολουθεῖ κατὰ τὸν τρόπον τῆς διδασκαλίας, καὶ ἄρχεται ἀπὸ τῶν καθολικωτέρων· "πᾶσα γάρ" φησι "διδασκαλία."... γινώσκειν χρὴ ὅτι δύο τρόποι ὑπάρχουσιν ἐξ ὧν πᾶσα γίνεται γνῶσις, ὥς φησι καὶ Πλάτων, μάθησις καὶ εὕρεσις· ἢ γὰρ μανθάνοντες παρ' ἑτέρου γινώσκομεν ἢ εὑρίσκοντες αὐτοί. φησὶν οὖν ἐν τούτοις ὁ Ἀλέξανδρος, οὐ καλῶς λέγων, ὅτι γνῶσιν ἐνταῦθα εἶπε τὴν εὕρεσιν, ἵν' ᾖ τὸ λεγόμενον, πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίνεται εὑρέσεως. οὐκ ἔστι δὲ ἀληθές· αὐτὸς γὰρ παρακατιὼν σαφῶς ἡμῖν παραδίδωσι τὸν περὶ εὑρέσεως λόγον. ἄλλως τε καὶ τῆς εὑρέσεως πάντως προϋπάρχει ἡ ζήτησις, ὥστε τὸ εὑρεθὲν οὐκ ἔστι τῶν αὐτοπίστων, λέγω δὴ τῶν κοινῶν ἐννοιῶν ἢ τῶν ἐξ αἰσθήσεως γινωσκομένων· πρώτη γὰρ ἡ τούτων ἐπιβολὴ καὶ οὐκ ἐξ ἄλλων ἔχει τὸ πιστόν, περὶ τούτων δὲ ζήτησις οὐδεμία γίνεται· ὥστε καὶ πᾶσα εὕρεσις ἔκ τινος καὶ αὐτὴ προϋπαρχούσης γίνεται γνώσεως, ὥσπερ καὶ ἡ μάθησις. τί οὖν διαφέρει τὸ "ἐκ προϋπαρχούσης γίνεται γνώσεως" τοῦ ἐκ μαθήσεως ἀκούειν ἢ ἐξ εὑρέσεως; ἑκατέρου γάρ τι τούτων προεγνῶσθαι ἀνάγκη. ἅμα δὲ τοῦτο ἀδύνατον, τουτέστι τὴν μάθησιν καὶ τὴν γνῶσιν· κἀκείνην γὰρ ἀνάγκη ἐξ ἄλλης εἶναι μαθήσεως· πᾶσα γάρ φησι διδασκαλία καὶ πᾶσα μάθησις. καὶ τοῦτο ἐπ' ἄπειρον. οὐκ ἄρα τὸ γνώσεως ἀντὶ εὑρέσεως ἀκουστέον, ἀλλ' ἁπλῶς ἐκ προεγνωσμένου τινὸς καὶ προομολογουμένου, καθ' ὃν ἂν εἴη τρόπον ἡ ἐκείνου γνῶσις προϋπάρξασα, εἴτε ἐκ μαθήσεως εἴτε ἐξ εὑρέσεως εἴτε καὶ τῶν αὐτοπίστων εἴη καὶ ἀναποδείκτων. ἡ μέντοι διδασκαλία καὶ ἡ μάθησις τῷ μὲν ὑποκειμένῳ ταὐτά εἰσι, τῇ δὲ σχέσει μόνον διαφέρουσιν... καλῶς δὲ εἶπεν "ἐκ προϋπαρχούσης γίνεται γνώσεως." εἰ γὰρ πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίνεται μαθήσεως, εἰς ἄπειρον προβαίη ἂν ὁ λόγος... θαυμασίως δὲ προσέθηκε τὸ "διανοητική," πρὸς ἀντιδιαστολὴν τῆς αἰσθητικῆς γνώσεως· ἡ γὰρ αἰσθητικὴ γνῶσις οὐκ ἔχει προϋποκειμένην γνῶσιν... ἄλλως τε καὶ διανοητικὴν εἶπεν αὐτήν, οὐκ ἀποδεικτικήν, ἐπὶ τὸ καθολικώτερον ἀνιών, ἵνα πάντα συλλογισμὸν λάβῃ, καὶ τὸν διαλεκτικὸν καὶ τὸν σοφιστικόν, καὶ τὴν ἐπαγωγὴν καὶ τὰς ῥητορικὰς πίστεις. id. f. 3 b.

71a 3. "αἵ τε γὰρ μαθηματικαί," τουτέστι λογικαὶ ἐπιστῆμαι, δι' αὐτῶν πιστοῦνται, τουτέστι διὰ τούτου τοῦ τρόπου κατορθοῦνται, τουτέστι διὰ τῆς προγνώσεως κατορθοῦνται, ὡς εἰρήκαμεν. ὁμοίως δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἔστιν ἰδεῖν τεχνῶν. καὶ "περὶ τοὺς λόγους" ἤγουν τοὺς συλλογισμούς· οἱ γὰρ τά τε καθόλου ἐκ τῶν μερικῶν καὶ τὰ μερικὰ ἐκ τῶν καθόλου πιστούμενοι διὰ συλλογισμῶν πιστοῦνται ἐκ προϋπαρχούσης γνώσεως. id. f. 4.

71a 7. "ξυνιέντων" ἀντὶ τοῦ προσδιαλεγομένων φησίν. id. ib.

71a 9. καλῶς εἶπε τὸ "συμπείθουσι·" καὶ γὰρ ὁ Πλάτων φησὶν ἐν Γοργίᾳ (p. 454 sq.) ὅτι δύο εἰσὶ πίστεις, ἡ μὲν διδασκαλικὴ ἡ δὲ πιστευτική, καὶ τῇ μὲν διδασκαλικῇ κέχρηνται οἱ φιλόσοφοι ὡς περὶ ἀληθείας διαλεγόμενοι, τῇ δὲ πιστευτικῇ οἱ ῥήτορες, ὡς ἂν ἐπιτηδεύοντες πείθειν μᾶλλον ἢ τἀληθῆ προβάλλεσθαι. id. ib.

71a 11. μὴ θορυβείτω δὲ ἡμᾶς τὰ δι' αἰσθήσεως γινωσκόμενα, ἐφ' ὧν οὐδὲν προγινώσκειν ἀνάγκη· οὐ γὰρ διὰ μαθήσεως τὰ τοιαῦτα οὐδ' ἐκ μεθόδου λογικῆς παραγίνεται. Themist. f. 1.

ἐπειδὴ μὴ περὶ τῶν κατὰ μέρος ἐπιστημῶν νῦν ἐστιν ἡμῖν τὸ προκείμενον ἀλλ' ἁπλῶς περὶ ἀποδεικτικῆς μεθόδου, οὐκ ὀφείλομεν ζητῆσαι τὰ καθ' ἑκάστην ἐπιστήμην προγινώσκεσθαι ὀφείλοντα ἀλλὰ τὰ κατὰ τὴν ἀποδεικτικήν. οὐκ ἂν δὲ τοῦτο γνῶμεν, εἰ μὴ μάθοιμεν κατὰ ποίους τρόπους προγινώσκεται τὰ προγιγνωσκόμενα· τοῦτο δὲ πάλιν οὐκ ἂν ἄλλως ἡμῖν ὑπάρξειε μὴ μαθοῦσιν ἐν τίσιν ὅλως ἐστὶν ἡ ἀποδεικτικὴ ἐπιστήμη καὶ διὰ τίνων περαίνεται. ἀναγκαῖον τοίνυν περὶ τούτου πρότερον διαλαβεῖν. φημὶ τοίνυν ὅτι ἐπὶ πάσης ἀποδείξεως δύο ταῦτα θεωρεῖται, τό τε πρόβλημα ὃ προτίθεται εἰς ἀπόδειξιν, καὶ αἱ προτάσεις δι' ὧν τὸ πρόβλημα κατασκευάζεται. πάλιν δὲ ἐν παντὶ προβλήματι δύο ταῦτα θεωρεῖται, τό τε διδόμενον καὶ τὸ ζητούμενον... εἰδέναι μέντοι γε χρὴ ὅτι ἔστιν ὅτε καὶ τὸ δεδομένον ζητούμενον γίνεται καὶ τὸ ζητούμενον δεδομένον... εἰδέναι μέντοι χρὴ ὅτι ἐστι τινὰ δεδομένα ἃ μηδέποτε ζητούμενα γίνεται, οἷον ἐὰν εἴπω τὸ δοθὲν μέγεθος κινῆσαι, οὐδέποτε ἔσται τὸ μέγεθος ζητούμενον, κἂν εἴπω πάλιν σφαῖραν, οὐδέποτε ταύτην ζητουμένην ποιῶ· ἀεὶ γὰρ αὐτὴ δέδοται... τρόποι δέ, φησί, δι' ὧν προγινώσκονται, δύο, τό τε τί ἐστιν ἢ τί σημαίνει, καὶ τὸ ὅτι ἔστιν. καί φησιν, ἐπὶ τοῦ δεδομένου δεῖ προγινώσκεσθαι καὶ ὅτι ἔστι καὶ τί σημαίνει ἢ τί ἐστιν, ἐπὶ

σις καὶ ἀφανὴς δείκνυται δι' ἑνὸς μέσου ἢ δύο. οἷον ἐζήτησάν τινες εἰ δυνάμεθα κύκλον τετραγωνίσαι καὶ οὐκ ἠδυνήθησαν· ἐλάμβανον δὲ οὕτω τετραγωνίζεσθαι πρῶτον ὅρον, εὐθύγραμμον δεύτερον, κύκλον τρίτον. ὅτι μὲν τὸ εὐθύγραμμον τετραγωνίζεται, δῆλον, ἀφανὲς δέ ἐστιν εἰ ὁ κύκλος εὐθυγραμματίζεται, ὅπερ ἐστὶν ἡ ἐλάττων πρότασις. καὶ τοῦτο πειρῶνται δεικνύειν διὰ τῶν μηνοειδῶν σχημάτων καὶ μηνίσκων. ἐπειδὴ οὖν δι' ἑνὸς πειρῶνται δεικνύειν, ἀπαγωγή ἐστιν. Ioh. Phil. f. CXVII *b*.

69a 37. ἰστέον ὡς ἔνστασις λέγεται διότι ἵστησι τὸν προσδιαλεγόμενον κατὰ τὸ ἰσχὺν τὴν τοῦ λόγου πρόοδον. cod. Reg. 1917.

διαφέρει ἔνστασις ἀνασκευῆς, ὅτι ἡ ἔνστασις προτάσεως, ἡ δὲ ἀνασκευὴ συμπεράσματος. Ioh. Phil. f. CXVIII.

69b 10. ἀντὶ τοῦ οὐχ ἡ αὐτὴ ἐπιστήμη τῶν ἀντικειμένων, ἢ ὅτι ὅλως ἡ αὐτὴ τῶν ἀντικειμένων ἐνίσταται. id. ib.

70a 3. ἐπειδὴ οἱ ῥήτορες καὶ διὰ ἐνθυμήματος ἀποδεικνύουσιν, τὸ δὲ ἐνθύμημα διὰ εἰκότος καὶ σημείου, τούτου χάριν προδιαλαμβάνει περὶ τοῦ εἰκότος καὶ σημείου, καὶ λέγει εὐθέως τὴν διαφοράν... φέρεται δέ τις ἱστορία τοιαύτη, καὶ ὅτι ἐρῶν τις τὴν ἐρωμένην ἐφόνευσεν. id. f. CXVIII *b*.

70a 8. τὸ δὲ σημεῖον τριχῶς νοοῦμεν. ἢ γάρ ἐστιν ὄντος τοῦ πράγματος, οἷον ἅμα τὸ πρᾶγμα καὶ σημεῖον, ὡς τὸ καπνὸς εἰ ἔστι, πῦρ ἐστιν· ἢ μετὰ τοῦ πράγματος σημεῖον, οἷον τὸ τέφραν εἶναι σημαίνει ὅτι πῦρ ἤδη γέγονεν· ἢ ὕστερον γέγονε τὸ πρᾶγμα πρῶτον δὲ τὸ σημεῖον, ὡς τὸ γάλα ἔχειν τὴν μετὰ δύο ἡμέρας μέλλουσαν τίκτειν. "ἢ ἔνδοξος· οὗ γὰρ ὄντος ἔστιν ἢ οὗ γενομένου πρότερον ἢ ὕστερον δὲ γέγονε τὸ πρᾶγμα." ὑπερβατὸν νοήσωμεν τὸ χωρίον. ἢ οὗ γενομένου πρότερον, δῆλον ὅτι τοῦ πράγματος, τοῦτο σημεῖόν ἐστι τοῦ γεγονέναι, δῆλον τὸ πρᾶγμα. id. ib.

70a 17. ὥσπερ οἱ φιλόσοφοι ἀποδεικνύουσιν διὰ συλλογισμοῦ ἢ διὰ ἐπαγωγῆς, οὕτω καὶ οἱ ῥήτορες διὰ σημείου ἤτοι παραδείγματος ἢ δι' ἐνθυμήματος, καὶ τὴν αὐτὴν ἔχει ἀναλογίαν τὸ ἐνθύμημα πρὸς τὸν συλλογισμὸν ἣν ἔχει τὸ παράδειγμα πρὸς τὴν ἐπαγωγήν. id. f. CXIX.

70b 3. μέσον δὲ νῦν λέγει τὸ πρῶτον σχῆμα διὰ τὸ τὸν μέσον ὅρον ἐνταῦθα κατ' εὐθεῖαν εἶναι, καὶ τοῦ μὲν ὑποκεῖσθαι τοῦ δὲ κατηγορεῖσθαι. τὸ δὲ "ἐκ τῶν ἄκρων," ἄκρα λέγει τὸ δεύτερον καὶ τὸ τρίτον, ὅτι ἔχουσι τὸν μέσον ὅρον τὸ μὲν κατηγορούμενον τὸ δὲ ὑποκείμενον, ὃ ὀφείλομεν λέγειν σημεῖον. τὰ δὲ ἐκ τοῦ μέσου ἀντὶ τοῦ πρώτου σχήματος τεκμήριον. id. ib.

70b 7. ἐπειδὴ εἶπε τὸ ὅτι πᾶς ὁ δεικνύων δι' ἑνὸς τῶν τριῶν σχημάτων δείκνυσι, τοῦτο βούλεται δεῖξαι ὅτι καὶ οἱ φυσιογνωμονοῦντες δι' ἑνὸς τῶν τριῶν σχημάτων δεικνύουσιν. id. f. CXIX *b*.

70b 13. γένος νῦν ἐκάλεσε καταχρηστικῶς τὸ εἶδος. id. ib.

70b 27. ὅτι μεταδοτικὸς ὁ λέων, δηλοῖ τὸ κορεννύμενον αὐτὸν μὴ ἀποφέρειν τὸ λοιπὸν τῆς τροφῆς ἀλλὰ παραχωρεῖν τοῖς βουλομένοις τῶν ζῴων. cod. Reg. 1917.

70b 37. πάλιν εἰς τὸ πρῶτον ἐμπίπτομεν. ἴδιον ὑπῆρχε νυς τὸ ἓν σημεῖον· εἰ γὰρ ἀνδρεῖος μὲν ἐλευθέριος δὲ μή, τοῦτο δύναται καὶ ἐπὶ τοῦ εἴδους μὴ ὅλου δὲ τὰ δύο πάθη ἔχοντος λέγεσθαι, ὡς ἐπί τινος ἀτόμου τῶν ὑπὸ τὸ εἶδος καὶ ἐπὶ τῶν δύο γενῶν, ἵνα ᾖ ὁ λόγος ὡς ἐφ' ἑνὸς αὐτῶν λαμβανόμενος. ἐν οἷς ἡ πρᾶξις. Anonymus.

ΕΙΣ ΤΑ ΥΣΤΕΡΑ ΑΝΑΛΥΤΙΚΑ.

Ἐμοὶ συντάττεσθαι μὲν ἐξηγήσεις τῶν Ἀριστοτελικῶν βιβλίων μετὰ τοσούτους τε καὶ τοιούτους οὐ δοκεῖ πόρρωθεν εἶναι φιλοτιμίας ἀνωφελοῦς· οὔτε γὰρ πολλά ἐστιν εὑρεῖν ἐλλελοιπότας τοὺς πρότερον, τό τε σμικρῶν ἕνεκεν παρεγχειρήσεων ὁλοκλήρους καταβάλλεσθαι πραγματείας ὅμοιον τῷ τὴν Ἀθηνᾶν βουλομένῳ μετακινεῖν τὴν Φειδίου, ὅτι τὰ δεσμὰ τῆς κρηπῖδος ᾤετο ἀμείνω ποιήσειν. τὸ μέντοι ἐκλαμβάνοντα τὰ βουλήματα τῶν ἐν τοῖς βιβλίοις γεγραμμένων σὺν τάχει τε ἐξαγγέλλειν καὶ τῇ συντομίᾳ τοῦ φιλοσόφου κατὰ δύναμιν παρομαρτεῖν καινόν τε ἐδόκει καί τινα ὠφέλειαν παρέξεσθαι· εὔκολον γὰρ ἔσεσθαι διὰ τοῦ τοιούτου τρόπου τὴν ἀνάμνησιν ὑπειλήφαμεν τοῖς ἅπαξ μὲν τὰ Ἀριστοτέλους μεμαθηκόσιν, ἀναλαμβάνειν δὲ αὐτὰ συνεχῶς τῷ μήκει τῶν ὑπομνημάτων οὐ δυναμένοις. τὸ δὴ πρότερον τῶν Ὑστέρων Ἀναλυτικῶν οὕτω σαφηνίσαι προελόμενοι σοὶ πρώτῳ τὸν τύπον κοινούμεθα τῆς συγγραφῆς παιδείας τε ἕνεκεν ἀκριβοῦς καὶ φιλίας ἀληθινῆς, οὔτε λήσεσθαί τί σε τῶν μὴ δεόντως εἰρημένων οὔτε κατασιωπήσειν πεπιστευκότες. πολλὰ μὲν οὖν ἔοικε τῶν Ἀριστοτέλους βιβλίων εἰς ἐπίκρυψιν μεμηχανῆσθαι, οὐχ ἥκιστα δὲ καὶ τὰ προκείμενα, πρῶτον μὲν διὰ τὴν συνήθη βραχυλογίαν, ἔπειθ' ὅτι καὶ ἡ τάξις τῶν κεφαλαίων οὐ διακέκριται. ὥσθ' ἡμῖν ἀνάγκη συγγινώσκειν εἰ τὰ μὲν φαινοίμεθα μακρότερον ἑρμηνεύοντες (οὐ γὰρ ἐνῆν εἰπεῖν διὰ τῶν ἴσων σαφέστερον), τὰ δὲ μεθαρμοττόμενοι καὶ μετατιθέντες, ὡς ἂν φαίνοιτο ἕκαστα τῶν κεφαλαίων περιγεγραμμένα. εἰ δ' ἐπί τινα καὶ συντομώτερον ἐπιδεδραμήκαμεν, οὐκ ἄξιον δυσχεραίνειν· ὅσα γὰρ τεχνικὴν ἔχει τὴν θεωρίαν, οὐ συντείνει δὲ ἄγαν εἰς τὸν τῆς ἀποδείξεως λόγον, τούτοις οὐκ ἦν ἄξιον ἐνδιατρίβειν τῷ ῥᾳστώνην ἐπινοῆσαι προελομένῳ τῆς κατανοήσεως τῶν χρησίμων. Themistius f. 1.

Τοῦτο τὸ βιβλίον, λέγω δὴ ὁ περὶ ἀποδείξεως λόγος, ἐστὶ τέλος τῆς λογικῆς πραγματείας· τὰ γὰρ ἄλλα λογικὰ μαθήματα διὰ τὴν ἀπόδειξιν ἡμῖν παρέδωκεν ὁ Ἀριστοτέλης, λέγω δὴ τήν τε περὶ τῶν ἁπλῶν φωνῶν διδασκαλίαν ἐν Κατηγορίαις καὶ τὴν περὶ τῶν προτάσεων ἐν τῷ περὶ Ἑρμηνείας καὶ τὴν περὶ τῶν συλλογισμῶν ἐν τοῖς Προτέροις Ἀναλυτικοῖς, ἵν' οὕτω δι' ἐκείνων ὁδῷ καὶ ἐπὶ ταύτην ὡς τέλος τῶν ἄλλων βαδίσωμεν. καὶ πάνυ γε εἰκότως τοῦτο πεποίηκεν· ὥσπερ γὰρ οὐ δυνατὸν γνῶναι τὴν Λύδιον ἢ τὴν Δώριον ἁρμονίαν τὸν μὴ ἁπλῶς εἰδότα κιθαρίζειν, οὐδὲ πάλιν, εἰ τύχοι,

67b 26. εἶπεν "ἐπισκεπτέον βέλτιον" ἢ ἐπειδὴ εἶπεν, εἰ μήτι γε κατὰ συμβεβηκὸς εἰηθῇ τὸ καλὸν κακὸν εἶναι, ἢ ὅτι κακῶς ἐξέθετο τοὺς ὅρους τοῦ κακῶς εἶναι ἄνω. id. ib.

67b 27. ἐντεῦθεν ὁ φιλόσοφος βούλεται εἰπεῖν περὶ τῶν ἀντιστροφῶν τῶν ἐν πρώτῳ σχήματι γινομένων καὶ καταφατικῶν καὶ ἀποφατικῶν καθόλου. id. ib.

67b 34. ἐν τῷ καθόλου ἀποφατικῷ οὐκέτι δὲ ἀντιστρέφει ἡ ἐλάττων πρότασις ἀλλ' ἡ μείζων ἡ β΄ α΄. ἐὰν οὖν, φησίν, ἡ β΄ α΄ πρότασις, τουτέστιν ἡ μείζων, ἀντιστρέφῃ, ἀντιστρέψει καὶ ἡ γ΄ α΄, τουτέστιν τὸ συμπέρασμα. ἀπεσιώπησε δὲ τὴν α΄ γ΄· οὐ γὰρ ἠδύνατο ἀντιστρέφειν ἡ καταφατική, τουτέστιν ἡ ἐλάττων, ἐπὶ τοῦ δευτέρου τρόπου τοῦ πρώτου σχήματος, τῆς μείζονος προτάσεως καὶ τοῦ συμπεράσματος ἀποφατικῶν οὐσῶν. id. f. CXV b.

68a 3. ἕτερον θεώρημα παραδίδωσιν ὁ φιλόσοφος χαριέστατον πάνυ τοιοῦτον. εἰ τὸ α΄ καὶ τὸ β΄ ἀντιστρέφει, καὶ τὸ γ΄ καὶ τὸ δ΄ ἀντιστρέφει· ἐὰν οὖν παντὶ πράγματι, εἰ τὸ α΄ καὶ τὸ β΄ ἐξ ἀνάγκης, καὶ τὸ γ΄ καὶ τὸ δ΄. καὶ ὤφειλε τοῦτο παράδειγμα παραστῆσαι· ὡς δὲ ἄλλου μέλλοντος ἀποδείκνυσθαι παρίστησι παράδειγμα. ἔστω γὰρ τὸ α΄ ἀγένητον, τὸ β΄ ἄφθαρτον· ταῦτα ἀντιστρέφουσιν. καὶ ἔστω τὸ γ΄ γενητόν, τὸ δὲ δ΄ φθαρτόν· καὶ ταῦτα ἀντιστρέφουσιν. δύο γὰρ συλλογισμοὶ σύγκεινται. id. ib.

68a 11. ἕτερον θεώρημα λέγει ἐνταῦθα, ὅτι εἰ παντὶ ἦν τὸ ἀγέννητον ἢ τὸ γεννητόν, οὐκοῦν καὶ παντὶ ἦν τὸ ἄφθαρτον ἢ τὸ φθαρτόν, καὶ ἀντιστρέφει τὸ ἄφθαρτον τῷ ἀγενήτῳ· εἰ γὰρ μὴ τὸ φθαρτόν, τὸ δὲ φθαρτὸν ἰσοδυναμεῖ τῷ γενητῷ καὶ ἀντιστρέφει, ὥστε καὶ τὸ ἀγέννητον ἀντιστρέψει ἐπὶ τοῦ γεννητοῦ. ὅπερ ἄτοπον. οὕτω καὶ ἐπὶ τοῦ ἀφθάρτου τῷ ἀφθάρτῳ ἀντιστρέφει τὸ ἀγέννητον· εἰ γὰρ μὴ ἀντιστρέφει, τὸ γενητόν· τῷ δὲ γενητῷ ἀντιστρέφει τὸ φθαρτόν, ὥστε καὶ τῷ ἀφθάρτῳ τὸ φθαρτὸν ἀντιστρέφει, ὅπερ ἄτοπον. οὕτω γίνονται δύο συζυγίαι συλλογισμοῦ ἐκ τῆς πρώτης ἀντιστροφῆς τῆς ἀγέννητον καὶ ἄφθαρτον. γίνονται δὲ καὶ ἄλλαι δύο ὁμοίως ἐκ τῆς ἀντιστροφῆς τῆς γεννητὸν καὶ ἄφθαρτον· ὥστε καλῶς εἶπεν ἀνωτέρω "δύο γὰρ συλλογισμοὶ σύγκεινται," εἰς ἑκάστην αὐτῶν ἀντιστροφήν. ἀλλ' εἰδέναι δεῖ ὅτι διὰ τοῦ ἀδυνάτου δείκνυται ἕκαστος συλλογισμὸς ἑκάστης ἀντιστροφῆς. id. ib.

68a 16. ἕτερον θεώρημα παραδίδωσι θαυμάσιον πάνυ. ἔστι δὲ τοιοῦτον. ἐὰν τὸ α΄ κατηγορῆται καὶ τοῦ β΄ καὶ τοῦ γ΄, κατηγορῆται δὲ καὶ τὸ β΄ τοῦ γ΄, εἰδέναι δεῖ ὅτι καὶ τὸ β΄ τοῦ α΄ κατηγορεῖται. καὶ ἀντιστρέφει· ἐπειδὴ γὰρ τὸ α΄ κατηγορεῖται τοῦ β΄ γ΄, τὸ δὲ β΄ κατηγορεῖται καὶ αὐτὸ ἑαυτοῦ καὶ τοῦ γ΄· ἕκαστον γὰρ τῶν ὄντων αὐτὸ ἑαυτοῦ κατηγορεῖται. id. f. CXVI.

68a 21. "πλὴν αὐτοῦ τοῦ α΄." τοῦτο τὸ ῥητὸν ὡς ἐν συντόμῳ μὲν ὁ Ἀλέξανδρος ἐσφάλθαι λέγει· ἐχρῆν γάρ, φησί, κεῖσθαι καὶ αὐτοῦ τὸ α΄· προείρηται γὰρ ὅτι ἀντιστρέψει τὸ β΄ τῷ α΄. βούλεται δὲ ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ καὶ δεῖξαι ὅτι ὀρθῶς ἔχει, καί φησιν ὅτι ἔστω τὸ α΄ τὸ λευκὸν κατηγορούμενον τοῦ τε β΄ πεζοῦ καὶ τοῦ γ΄ λογικοῦ, κατηγορείσθω δὲ τὸ πεζὸν τοῦ λογικοῦ. κατηγορεῖται δὲ καὶ ἑαυτοῦ. πάντων ἄρα τῶν ὑπὸ τὸ α΄ κατηγορεῖται τὸ β΄. οὐκ ἀνάγκη δὲ καὶ αὐτοῦ τοῦ λευκοῦ κατηγορεῖσθαι τὸ πεζόν. "ἐπεὶ δὲ μᾶλλον, οὐχ οἷόν τε ὁμοίως" (v. 32). Anonymus.

ἔστι καὶ τὸ "πλήν" οὕτως ἐκλαβεῖν ὡς κεῖται, καὶ οὐχὶ κατὰ τὸν Ἀλέξανδρον ἀντὶ τοῦ "καί·" ἐπεὶ γὰρ τὸ γένος ἕτερόν ἐστι τῶν εἰδῶν ὧν κατηγορεῖται τὸ β΄, κατὰ μὲν τῶν ὑπὸ τὸ α΄ πάντων λεχθήσεται τὸ β΄, καὶ διὰ τοῦτο ταὐτὸν ἔσται τῷ α΄, κατ' αὐτοῦ δὲ τοῦ α΄ οὐ λεχθήσεται. cod. Reg. 1917.

ἐν τούτοις ὁ φιλόσοφος ἀκριβῆ καὶ θεῖα παραδίδωσιν. ἔστιν δὲ 68a 25. τὸ θεώρημα τοιοῦτον. ἐὰν τὸ α΄ καὶ τὸ β΄ αἱρετὰ ἐστιν, ἔχουσι δὲ ἀντικείμενα, τὸ μὲν α΄ ἔχει ἀντικείμενον τὸ β΄, τὸ δὲ γ΄ τὸ δ΄, καὶ ταῦτα φευκτά εἰσιν. εἰ δὲ τῶν αἱρετῶν τὸ ἓν μᾶλλον αἱρετώτερον, οὐκοῦν καὶ τῶν φευκτῶν τὸ ἓν μᾶλλον φευκτότερόν ἐστιν. οἷον ὡς ἐπὶ παραδείγματος, ἔστω ὑγεία καὶ πλοῦτος αἱρετά, νόσος δὲ καὶ πενία φευκτά· ἐάν τις τὴν ὑγίειαν ὡς μᾶλλον αἱρετὴν ζητῇ, δῆλον ὅτι καὶ τοῦ πλούτου τὸ ἐναντίον τι ζητεῖ ὡς ἧττον φευκτόν, οἷον τὴν πενίαν· συμφέρει γὰρ ὑγιαίνειν καὶ πένεσθαι ἢ πλουτεῖν καὶ νοσεῖν. Ioh. Phil. f. CXVII.

πρᾶγμα μέγιστον ἐνταῦθα παραδίδωσιν ὁ φιλόσοφος ἐκ τοῦ 68a 39. εἰρημένου θεωρήματος, ὃ ἀπ' ἐναντίας ἐστὶν τῇ νῦν γνώμῃ τῶν ἀνθρώπων· οἱ γὰρ ἄνθρωποι οἴονται ὅτι ὁ ἔρως γίγνεται διὰ τὴν μῖξιν, αὐτὸς δὲ δείκνυσιν ὅτι διὰ τὴν προαίρεσιν τῆς φιλίας, σύμβολον δὲ τῆς προαιρέσεως ἡ μῖξις. id. f. CXVI b.

βούλεται διὰ τούτων δεῖξαι ὅτι καὶ οἱ ῥητορικοὶ συλλογισμοὶ διὰ 68b 9. τῶν τριῶν σχημάτων δείκνυνται. ῥητορικοὶ δέ εἰσιν οἱ ἐπαγωγικοὶ καὶ οἱ παραδειγματικοὶ καὶ ὅσους ἄλλους ἔχει εἰπεῖν. id. ib.

ὁ συλλογισμὸς διὰ τοῦ μέσου ὅρου συνάπτει τὸ ἄκρον τῷ ἄκρῳ, 68b 16. ἡ δὲ ἐπαγωγὴ διὰ τοῦ ἐλάττονος συνάπτει τὸ μέσον τῷ ἄκρῳ. id. f. CXVII.

ὅτι, φησίν, ὁ δι' ἐπαγωγῆς συλλογισμὸς συλλογίζεται τὴν 68b 30. μείζονα πρότασιν· ἡ γὰρ πρώτη καὶ ἄμεσος ἡ μείζων ἐστίν. ἵνα οὖν ταύτην πιστωσώμεθα, δι' ἐπαγωγῆς δείκνυμεν. id. ib.

ἐπλήρωσε περὶ τοῦ ἐπαγωγικοῦ συλλογισμοῦ. νῦν λέγει περὶ 68b 38. τοῦ παραδειγματικοῦ. τί δέ ἐστιν παραδειγματικόν; ὅταν τῷ μέσῳ τὸ ἄκρον δειχθῇ ὑπάρχον διὰ τῶν ὁμοίων ἢ ὅμοιον. id. ib.

φανερὸν οὖν ὅτι τὸ παράδειγμα δεικνύμενον οὔτε ὡς μέρος πρὸς 69a 13. ὅλον, τουτέστιν ἐπαγωγή, οὔτε ὡς ὅλον πρὸς μέρος, τουτέστι συλλογισμός. id. f. CXVII b.

φησὶν ὅτι ἀπαγωγῇ λέγεται κεχρῆσθαί τις ὅταν τῶν δεικτι- 69a 20. κῶν τινὸς δύο προτάσεων ἡ μὲν μείζων φανερὰ ᾖ, ἡ δὲ ἐλάττων ἄδηλος μὲν τὸ δὲ πιστὸν ὁμοίως ἔχουσα τῷ συμπεράσματι ἢ καὶ πλέον τοῦ συμπεράσματος, καὶ ταύτην δεικνύοι καταλιπὼν τὸ δεικνύναι τὸ συμπέρασμα τὸ δεικνύμενον· οὗτος γὰρ ἀπάγει ἡμᾶς ἀπὸ τοῦ ζητουμένου προβλήματος ἐπὶ ἕτερον. εἰ γὰρ μᾶλλον τοῦ συμπεράσματος ἡ ἐλάττων πρότασις ἄδηλος εἴη καὶ ταύτην ἐπιχειροίη διὰ προσυλλογισμοῦ δεικνύναι, οὐ λέγεται ὁ τοιοῦτος ἀπαγωγῇ κεχρῆσθαι ἀλλὰ ὑπαλλαγῇ καὶ τῇ ἐπὶ χαλεπώτερον πρόβλημα μεταβάσει. ἐν οἷς ἡ πρᾶξις καὶ β΄ τῶν Προτέρων Ἀναλυτικῶν σὺν θεῷ πληροῦται. Anonymus.

οὐ μόνον ἐὰν ὁμοίως ἔχῃ τῷ συμπεράσματι ἡ ἐλάττων πρό- 69a 29. τασις κατὰ τὸ ἀφανές, ἀπαγωγή ἐστιν, ἀλλὰ κἂν ἡ ἐλάττων πρότα-

εἰρημένον τοῦ Ζήνωνος λόγον καὶ συνάγοι, οὐ κινεῖταί τι, ὅπερ ἀδύνατον, ἐροῦμεν πρὸς αὐτὸν ὅτι ἑτέραν ζήτησον δεῖξιν· τὸ γὰρ ἀδύνατον οὐ συνέβη παρὰ τὴν ὑπόθεσιν· ἀναιρουμένης γὰρ τῆς ὑποθέσεως τὸ αὐτὸ συναχθήσεται ἄτοπον διὰ τὸν τοῦ Ζήνωνος παραλογισμόν. Anonym.

65 b 14. διὰ δύο αἰτίας γίνεται τὸ μὴ παρὰ τοῦτο, μίαν μὲν ἤτοι ὅταν οἱ μέσοι ὅροι μὴ συνάπτωσι πρὸς ἑαυτούς... ἡ δευτέρα αἰτία τοῦ μὴ γίνεσθαι τὸ μὴ παρὰ τοῦτο, ὅταν συνδέωνται μὲν οἱ μέσοι ὅροι, μὴ μέντοι διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν συμβαίνῃ τι ἄτοπον, ὡς ἐπὶ τοῦ χρώματος καὶ τοῦ λευκοῦ, καὶ πτηνοῦ καὶ κόρακος. Ioh. Phil. f. CXII *b*.

66 a 25. βούλεται διὰ τούτων εἰπεῖν ὁ Ἀριστοτέλης ὅπως μὴ κατασυλλογίζωνται ἡμῶν, καὶ φησὶν ὅτι παρατηρητέον τοῦτο, ὅπως μὴ τὸν αὐτὸν ὅρον πολλάκις λάβοι ὁ προσδιαλεγόμενος... ἐὰν δὲ μὴ λάβῃ δὶς τὸν αὐτὸν ὅρον, οὐδαμῶς δυνατὸν κατασυλλογίσασθαι. ἢ πάλιν εἰ λάβῃ ἀμφοτέρας μερικὰς τὰς προτάσεις, οὐδαμῶς συλλελόγισται. εἰ δὲ βουλόμενος δεῖξαι τὸ καθόλου ἀποφατικὸν λάβῃ μίαν πρότασιν ἀληθῆ ἀποφατικήν, ἡμῶν τῇ καταφατικῇ ἐνισταμένων διὰ τὸ ἄμφω γίνεσθαι ἀποφατικήν, ὁμοίως οὐ συλλογιεῖται. λέγει οὖν πρῶτον πῶς ὀφείλομεν μὴ κατασυλλογίζεσθαι, ὕστερον δ' ἐρεῖ πῶς ἡμεῖς ἄλλους κατασυλλογίσασθαι δυνηθείημεν. id. f. CXIII.

66 a 33. νῦν λέγει πῶς ἂν οἱ κατασυλλογιζόμενοι κατασυλλογίσασθαι δύνωνται, ἐὰν κρύψιν τῆς τάξεως τῶν ὅρων ποιήσωνται, ἵνα νομίσῃ ὁ προσδιαλεγόμενος ἀσυναρτήτους εἶναι τὰς προτάσεις καὶ ὁμολογήσῃ, εἰ διὰ πλειόνων προτάσεων δείκνυται τὸ αὐτό. id. f. CXIII *b*.

66 b 4. ἐπειδὴ οἴδαμεν πότε γίνεται καὶ πῶς ὁ συλλογισμός, φανερὸν πότε γίνεται ἔλεγχος ἢ οὐ γίνεται. εἰ γὰρ εἰ ἡ μία ἀποφατικὴ πρότασις ἡ δὲ λοιπὴ καταφατική, ἔλεγχος γίνεται καὶ συλλογισμός, εἰ ἄμφω καταφατικαὶ ἤτοι ἐν πρώτῳ ἢ τρίτῳ σχήματι, καὶ οὕτω γίγνεται συλλογισμός. ἐπειδὴ δὲ ὁ ἐλέγξαι βουλόμενος τὸ ὑπὸ σοῦ λεγόμενον τὸ ἀντιφατικῶς ἀντικείμενον λαμβάνει τῇ σῇ ὑποθέσει, ἐξ ἀνάγκης εἰδέναι τοῦτο ὀφείλεις καὶ ἐκείνῃ τῇ προτάσει ἐνστῆναι τὴν σὴν ὑπόθεσιν ἀναιρούσῃ· ἐὰν γὰρ ἐκείνῃ ἐνστῇς, ἀδύνατον γενέσθαι ἔλεγχον. id. ib.

66 b 15. ὥσπερ εἰ ἀμφοτέρας ποιήσῃ ἀποφατικάς, οὐδὲν συνάγει ἔτι καὶ οὐ δύναται ἐλέγξαι, οὕτως εἰ μηδὲν τεθῇ ἐν ὅλῳ (ἀντὶ τοῦ εἰ μηδεμία πρότασις τεθῇ καθόλου) ἀλλ' ἄμφω μερικαί, οὐ δύνανται ἔλεγχον συναγαγεῖν· ἐξ ἀμφοτέρων γὰρ μερικῶν ἔλεγχος οὐ γίνεται. id. f. CXIV.

66 b 18. βούλεται εἰπεῖν περὶ τῆς γιγνομένης ἀπάτης, ὅτι γίγνεται ἡ ἀπάτη διὰ τὸ μὴ ἐπιστημονικῶς εἰδέναι τὰ πράγματα. ἡ ἀπάτη δὲ γίνεται οὕτως. id. ib.

66 b 30. ἄλλη ἀπάτη γίνεται ὡς καθόλου τὸ κατὰ μέρος πιστοῦσθαι. id. ib.

66 b 34. εἰρήκαμεν πόσαι εἰσὶν αἱ ἀπάται. νῦν δὲ βούλεται τοῦτο εἰπεῖν, ὅτι πάντως συμβαίνει τὴν μίαν πρότασιν ἐπιστημονικῶς καθ' αὑτὸ μὴ εἰδέναι... καὶ οὗτος ἐξ οὗ οὐκ οἶδεν ἐπιστημονικῶς, συνάξει τὸ αὐτὸ τῷ αὐτῷ ὑπάρχειν καὶ μὴ ὑπάρχειν μὴ ἐκ τῆς αὐτῆς συστοιχίας. "εἰ μὴ ἐκ τῆς αὐτῆς συστοιχίας" λέγει ἀντὶ τοῦ ἵνα μὴ ὦσι κατ' ἀξίαν. id. ib.

66 b 35. ἀμφοτέρας, φησί, τὰς προτάσεις οὐκ ἐγχωρεῖ ὑπονοεῖν ἀληθεῖς, ὥστε τὸ β' τῷ μὲν β' παντί, τῷ δὲ γ' οὐδενί, ἢ τὸ ἀνάπαλιν. id. ib.

67 a 21. "ὁμοίως δὲ καὶ ὁ ἐν Μένωνι μένων λόγος, ὅτι ἡ μάθησίς ἐστιν ἡ ἀνάμνησις." χρησάμενος ἐπὶ τῶν ὑπαλλήλων καὶ τῆς ἐν αὐτοῖς γινομένης ἀπάτης παραδείγματι τῶν τριγώνων, δηλοῖ ὅτι πολλάκις τὰ καθόλου γινώσκομεν μὴ εἰδότες τὰ καθ' ἕκαστα. νῦν ἐν ἑτέρῳ κέχρηται παραδείγματι, καί φησιν ὅτι τοιοῦτός ἐστι καὶ ὁ ἐν τῷ Μένωνι τῷ διαλόγῳ τοῦ Πλάτωνος ὑπὸ Σωκράτους εἰρημένος λόγος· ἐν ἐκείνῳ γάρ, ὥς φησιν Ἀλέξανδρος, βουλόμενος ὁ Σωκράτης δεῖξαι τὰς μαθήσεις ἀναμνήσεις οὔσας, ἐπερωτᾷ τὸν παῖδα τοῦ Μένωνος ποῖον λόγον ἔχει πρὸς τὸ τετράγωνον τὸ ἀπὸ τῆς διπλασίονος πλευρᾶς ἀναγραφόμενον τετράγωνον. Anonymus.

67 a 22. "οὐδαμοῦ γὰρ συμβαίνει προεπίστασθαι τὸ καθ' ἕκαστον." ὁ μὲν Ἀλέξανδρος οἴεται τοῦτο εἰρῆσθαι πρὸς ἀνατροπὴν τοῦ τὰς μαθήσεις εἶναι ἀναμνήσεις· ὁ γὰρ Σωκράτης, ὡς εἴρηται, διὰ τοῦ αἰσθητοῦ καὶ κατὰ μέρος ἔδειξε τῷ νέῳ ὅτι τὸ ἀπὸ τῆς διαμέτρου διπλάσιον ἐστὶ τοῦ τετραγώνου. φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι τὰ κατὰ μέρος οὐ προεπιστάμεθα, ὥστε μανθάνοντες οὐκ ἀναμιμνησκόμεθα ἀλλὰ γνωρίζομεν. μήποτε δὲ ἢ οὐκ ἐπιλαμβάνεται τοῦ Πλάτωνος ἢ οὐκ ὀρθῶς ἐπιλαμβάνεται· εἰ γὰρ καὶ μὴ προεπιστάμεθα τὰ κατὰ μέρος, ἀλλὰ διὰ τούτων ἀναμιμνησκόμεθα τῶν καθόλου καὶ ἀνεγείρομεν τοὺς καθόλου λόγους οὓς κατ' οὐσίαν ἔχομεν ἠρεμοῦντας καὶ οἱονεὶ προσθυμένους. "ἀλλ' ἅμα τῇ ἐπαγωγῇ λαμβάνειν τὴν κατὰ μέρος ἐπιστήμην." κοινότερον αὐτὴν ἐκάλεσεν· ἐπιστήμη γὰρ κυρίως ἐστὶν ἡ τῶν καθόλου γνῶσις. id.

67 b 3. τὸ "ἀλλ' οὐχ ὡς τὸ ἐνεργεῖν" πρὸς τὸ ἄνω εἴρηται, ὅτι ὁ ὑπονοῶν ὅτι ἥδε ἡ ἡμίονος κύει, οὐχ ὡς πρὸς τὸ ἐνεργεῖν ἐκ τοῦ καθόλου λόγου οἶδεν, ἐπεὶ εἰ ἐνεργεῖ, ᾔδει ὅτι οὐ κύει ἐκ τοῦ καθόλου ἐνεργῶν. "τὸ γὰρ ἐπίστασθαι λέγεται τριχῶς, ἢ ὡς τὸ καθόλου ἢ ὡς τὸ οἰκεῖα ἢ ὡς τὸ ἐνεργεῖν." διαίρεσιν ἐνταῦθα παραδίδωσι τῆς ἐπιστήμης καὶ τῆς ἀπάτης, ὅτι τὸ ἐπίστασθαι ἢ περὶ τὸ καθόλου ἢ περὶ τὸ κατὰ μέρος ἢ περὶ ἀμφότερα, τουτέστιν τοῦ ἐνεργεῖν· ἐνεργοῦμεν γὰρ ἀπὸ τῶν καθόλου ἐπὶ τὸ κατὰ μέρος. ὁμοίως οὖν ἀπατώμεθα ἢ τῷ μὴ εἰδέναι τὸ καθόλου ἢ τῷ μὴ εἰδέναι τὸ κατὰ μέρος ἢ τῷ μηδέτερον, τουτέστιν μὴ ἐνεργεῖν ἀπὸ τοῦ καθόλου ἐπὶ τὸ κατὰ μέρος· διὰ τοῦτο γὰρ κἀκεῖνος ᾠήθη ὅτι ἡ ἡμίονος κύει, διὰ τὸ μὴ ἐνεργῆσαι αὐτὸν ἀπὸ τοῦ καθόλου, ὅτι οὐδεμία ἡμίονος κύει. Ioh. Phil. f. CXV.

67 b 12. ἕτερόν τι θεώρημα παραδίδωσιν ὁ φιλόσοφος ἐνταῦθα τοιοῦτον. ἐάν τις, φησί, λάβῃ τὸν ὁρισμὸν τοῦ καλοῦ καὶ οἰηθῇ τὸν αὐτὸν εἶναι τοῦ κακοῦ, ὑπονοήσει καὶ αὐτὸς τὸ αὐτὸ εἶναι ἀπαραλλάκτως τὸ ἀγαθὸν τῷ κακῷ, ὅπερ ἀληθές. ὁ δὲ φιλόσοφος κακῶς ἔλαβε τοὺς ὅρους οὕτως· τὸ α' ἀγαθὸν εἶναι τὸ αὐτὸ τῷ κακῷ εἶναι, λέγω δὴ τῷ β', καὶ τῷ κακῷ εἶναι τὸ αὐτὸ τῷ γ' ἀγαθῷ εἶναι, καὶ οὐδὲν ἄτοπον ἀκολουθεῖ. διὰ τοῦτο οὖν ὀλίγον ὕστερον ἐρεῖ "ἀλλὰ τοῦτο ἀκριβέστερον σκεπτέον." id. ib.

βάνεις. αἱ δὲ ἀντικείμεναι προτάσεις ἡ μὲν ἀληθής ἐστιν ἡ δὲ ψευδής, ὥστε ἐπὶ τῶν ἐξ ἀντικειμένων τὴν μίαν πάντως ἀληθῆ δεῖ εἶναι, τὴν δὲ μίαν ψευδῆ. ἀλλὰ συμβάλλεται ἡμῖν ταῦτα πρὸς τὰς σοφιστικὰς ἐνστάσεις, ἵνα μὴ παραλογιζώμεθα ὅτι δύναται τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι. ἀκριβέστερον δὲ ἐν τοῖς Τοπικοῖς τούτου τὴν μέθοδον δείκνυσιν. id. ib.

63 b 40. λέγομεν οὕτως ἐν δευτέρῳ σχήματι, ὅτι πᾶσα ἐπιστήμη σπουδαία ἐστίν, οὐδεμία ἐπιστήμη ὡς ἰατρικὴ σπουδαία, ὥστε συνάγεται ὅτι ἰατρικὴ ἐπιστήμη ἐπιστήμη οὐκ ἔστιν· εἰ γὰρ πᾶσα ἐπιστήμη σπουδαία, οὐδεμία δὲ ἰατρικὴ ἐπιστήμη σπουδαία, οὐδὲ ἰατρικὴ ἐπιστήμη ἐπιστήμη ἐστίν. λάβε δὲ τὸν μέσον ὅρον πάλιν πρὸς τὴν ἰατρικὴν καὶ μείζονα οὕτως· οὐδὲν σπουδαῖον ἰατρική ἐστιν ἐπιστήμη, πᾶν σπουδαῖον ἐπιστήμη ἐστίν, ὥστε ἡ ἰατρικὴ ἐπιστήμη ἐπιστήμη οὐκ ἔστιν. καλῶς οὖν ἐλέγομεν ἐπὶ τῶν ἐξ ἀντικειμένων προτάσεων συλλογισμῶν, ὅτι τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι συνάγεται. δῆλον δὲ ὅτι τοῦτο συνήχθη διὰ τὸ εἶναι τὴν μείζω ψευδῆ τὴν λέγουσαν, οὐδὲν σπουδαῖον ἰατρική ἐστιν ἐπιστήμη· ἀλλὰ καὶ διὰ τὴν ἐλάττω τὴν λέγουσαν, πᾶν σπουδαῖον ἐπιστήμη ἐστίν... ἐν δὲ τοῖς Τοπικοῖς παραδίδωσι μεθόδους τῶν κρύψεων, δι' ἃς τοῦτο λαθήσεται. τόπους δὲ ἐκάλεσεν αὐτὰς τὰς μεθόδους. id. f. CX.

64 b 28. νῦν βούλεται εἰπεῖν περὶ τοῦ ἐξ ἀρχῆς αἰτεῖσθαι. τὸ δὲ ἐξ ἀρχῆς αἰτεῖσθαι τοῦτό ἐστι, τὸ ζητούμενον ὡς ὁμολογούμενον λαμβάνειν. γίνεται δὲ τοῦτο τῷ λαμβάνειν τοὺς δύο ὅρους ἀντιστρέφοντας, ὡς ἄνθρωπος καὶ γελαστικόν, ἢ τὸν ἕνα ὑπάρχοντα τῷ ἑτέρῳ, ὡς τὸ ἡ ἡδονὴ χαρά. γίνεται δὲ ἡ ἐξ ἀρχῆς αἴτησις κατὰ τὰ τρία σχήματα. καὶ ἵνα τὴν ἀσάφειαν τῆς λέξεως εἰς σαφὲς μεταστρέψωμεν, ὀφείλομεν θεωρῆσαι πῶς γίνεται κατὰ τὰ τρία σχήματα τὸ ἐξ ἀρχῆς ζητούμενον. id. f. CXI.

65 a 4. τὸ αὐτὸ ποιοῦσι καὶ οἱ τὰς παραλλήλους γράφοντες, τὸ ἐν ἀρχῇ αἰτοῦνται· βούλονται γὰρ παραλλήλους εὐθείας ἀπὸ τοῦ μεσημβρινοῦ κύκλου καταγράψαι δυνατόν, καὶ λαμβάνουσι σημεῖον ὡς εἰπεῖν πῖπτον περὶ τὸ ἐπίπεδον ἐκείνου, καὶ οὕτως ἐκβάλλουσι τὰς εὐθείας. καὶ ὃ ἐζήτηται, τοῦτο εἴληπται· ὁ γὰρ μὴ συγχωρῶν γίγνεσθαι τὴν παράλληλον οὐδὲ τὸ σημεῖον συγχωρήσει ἐκεῖνο. id. f. CXI b.

65 a 10. ἐάν τις οὕτως ἀδήλως λάβῃ ὅτι τὸ α' παντὶ τῷ β', τὸ β' παντὶ τῷ γ', οὔπω δῆλον ἐν ποίᾳ προτάσει τὸ ἐν ἀρχῇ αἰτηθέν. ἐὰν λάβω οὕτως ὅτι τῷ β' τῷ γ' τὸ αὐτό ἐστιν, ὥστε εἶναι τὸ αὐτὸ κατὰ τῶν αὐτῶν, τότε φαίνεται ὅτι περὶ τὸν μείζω ἡ ἐξ ἀρχῆς αἴτησις. νῦν δὲ τὸ παράδειγμα ποιεῖται ὡς ἐπὶ τοῦ πρώτου σχήματος, ἐπεὶ οὔτε ἐπεξέρχεται πάσας τὰς συζυγίας. id. f. CXII.

65 a 14. ἐπεξηγεῖται αὐτὸς ὅτι ἐστὶ τὸ αὐτὸ εἶναι τὸ τοὺς δύο ὅρους ἢ ἀντιστρέφειν πρὸς ἑαυτούς, ὡς ἐπὶ τοῦ ἀνθρώπου καὶ τοῦ γελαστικοῦ, ἢ ἐνυπάρχειν τὸ ἕτερον τῷ ἑτέρῳ, ὡς ἡδονὴ καὶ χαρά. id. ib.

65 a 17. ἡμῶν εἰρηκότων ὅτι τὸ α' παντὶ τῷ β', εἴ τις ἐρεῖ ἡμῖν πόθεν δῆλον ὅτι τὸ α' παντὶ τῷ β', ἐπειδὴ ἐλάμβανεν τὸ αὐτὸ τὸ β' γ', φησίν, εἰ ἀντιστρέψοι, δειχθήσεται ὅτι εἰ τὸ β' παντὶ τῷ γ', καὶ τὸ γ' παντὶ τῷ β'. δειχθήσεται δὲ λαμβανόντων ἡμῶν ὅτι τὸ α' παντὶ τῷ γ', τὸ γ' παντὶ τῷ β'. εἰ δὲ τοῦτο κωλύει, τουτέστι τὸ μὴ ἀντιστρέφειν, οὐχ ὁ τρόπος, ἀντὶ τοῦ οὐχὶ τὸ συμπέρασμα τὸ λέγον τὸ α' παντὶ τῷ γ'. ποτὲ δὲ οὐκ ἀντιστρέφει, οἷον εἰ λάβωμεν ὅτι ἡ χαρὰ ἡδονή, οὐ πάντως δὲ καὶ ἡ ἡδονὴ χαρά, εἰ μήτι προσδιορισώμεθα, ὅτι ἡ ἡδονὴ σύστοιχος τῇ χαρᾷ ἐστίν. ὥστε νῦν τοῦτο κωλύει τὸ μὴ προσδιορίζεσθαι· εἰ δὲ προσδιορισώμεθα, οὐδὲν κωλύει. γίνεται δὲ τὸ διὰ τριῶν, ὡς αὐτὸς λέγει, οὕτως. ἐδείχθη τὸ α' γ' διὰ τοῦ α' β', καὶ τὸ α' β' νῦν διὰ τοῦ α' γ', ὥστε τὸ α' γ' δι' ἑαυτοῦ ἐδείξαμεν, ἤτοι αὐτὸ δι' ἑαυτοῦ. εἰ γὰρ τὸ α' β', καὶ τὸ α' γ'· εἰ δὲ τὸ α' γ', καὶ τὸ α' β'· ὥστε εἶναι τὸ α' β' τὸ α' β' εἶναι. ib. ib.

ἔλαβε πρῶτον τὸ αὐτὸ κατὰ τῶν αὐτῶν. νῦν λαμβάνει τὰ 65 a 19.
αὐτὰ κατὰ τοῦ αὐτοῦ. id. ib.

λείπει δὲ τὸ ὥσπερ ἐν πρώτῳ καὶ περὶ τῶν καταφατικῶν καὶ 65 a 29.
ἀποφατικῶν, καταφατικῶν ὡς ἐν πρώτῳ καὶ τρίτῳ· ἐν γὰρ δευτέρῳ καταφατικὸν οὐ συνάγεται. id. ib.

βούλεται ἐν τούτοις ὁ φιλόσοφος εἰπεῖν περὶ τοῦ μὴ παρὰ τοῦτο 65 a 38.
συμβαίνειν, ὡς ὅτι ἐκείνη ἡ πρότασις οὐδ' ὅλως λαμβάνεται, οἷον εἰ λάβω χρῶμα παντὶ λευκῷ, τὸ λευκὸν παντὶ πτηνῷ, τὸ πτηνὸν παντὶ κόρακι, ὥστε καὶ τὸ λευκὸν παντὶ κόρακι, τοῦτο τὸ ἀδύνατον συνέβη οὐ διὰ τὸ λαβεῖν ὅτι τὸ χρῶμα παντὶ λευκῷ· κἂν γὰρ ἐλαμβάνετο ἢ μὴ ἐλαμβάνετο, οὐδὲν ἧττον ἠκολούθει τὸ ἀδύνατον... εἰ δὲ μή ἐστι παρὰ τοῦτο, δῆλον ὅτι παρὰ ἄλλην ἐστὶ πρότασιν οἱανδήποτε ληφθεῖσαν, ὡς καὶ νῦν παρὰ τὸ καὶ τὸ λευκὸν παντὶ πτηνῷ ληφθῆναι τὸ ἄτοπον ἠκολούθησεν. οὕτω τὸ μὴ παρὰ τοῦτο γίνεται. id. f. CXII b.

"ἄν τε ἐν τῇ δεικνυούσῃ." οὔτε φησὶν ἐν τῇ δείξει τῇ ἐπ' εὐθείας 65 b 3.
γινομένῃ καὶ μηδὲν ἄτοπον συναγούσῃ· αὕτη γὰρ οὐ μόνον οὐκ ἀναιρεῖ τὴν ὑπόθεσιν ἀλλὰ καὶ βεβαιοῖ· οὐ γὰρ τίθησιν ὧν ἀντίφησιν· ὁ γὰρ τῇ ἐπ' εὐθείας δείξει κεχρημένος καὶ μηδὲν ἄτοπον συνάγων οὐκ εἰσάγει ὃ ἀντίφησι, τουτέστι τὸ ἀντικείμενον τῇ ἡμετέρᾳ ὑποθέσει. ἔτι δὲ ὅταν ἀναιρεθῇ τι δεικτικῶς διὰ τοῦ αβγ' ἐπ' εὐθείας δεικτικῶς, συνάξει ὁ προσδιαλεγόμενος τὴν οἰκείαν πρότασιν, ἥτις ὡς ἀντικειμένη ἀναιρετική ἐστι τῆς ὑφ' ἡμῶν ὑποτιθεμένης· οὐδ' οὕτως ἔχει χώραν τὸ μὴ παρὰ τοῦτο συνάγεσθαι ἀδύνατον· τὸ γὰρ μὴ παρὰ τοῦτο τότε λέγομεν ὅταν ἀναιρεθέντος τούτου μηδὲν ἧττον περαίνηται ὁ συλλογισμός. ἐκ τούτων συνάγεται ὅτι κακῷ παραδείγματι ἐχρησάμεθα ἐν ἀρχῇ τῆς θεωρίας ἐπὶ τῆς ψυχῆς· ἰδοὺ γάρ φησιν ὅτι δεῖ καὶ ταύτης ἀναιρουμένης ἐκ τοῦ συλλογισμοῦ ἔτι περαίνεσθαι τὸν συλλογισμόν. φαίνεται δέ μοι καὶ ἐπὶ τῶν τοιούτων χώραν ἔχειν τὸ μὴ παρὰ τοῦτο, ὡς ἐν θεωρίᾳ ὑπεδείξαμεν. τοῦτο δὲ ὅμως ἐπὶ πλέον ζητείσθω, ταῦτα δὲ γράφομεν ἀποροῦντες ζώντων ἐξηγητῶν· οἱ μὲν γὰρ οὐκέτ' εἰσί, φησὶν ὁ κωμικός, οἱ δ' ὄντες οὐκ ἀγαθοί. "ἐπιχειροίη τὸν Ζήνωνος δεικνύναι λόγον, ὡς οὐκ ἔστι κινεῖσθαι" (p. 65 b 18). ὁ Ζήνωνος λόγος ἐστὶ τοιοῦτος. εἰ ἄπειρα τὰ ἡμίση, ἀδύνατον τὰ ἡμίση διεξελθεῖν (τὸ γὰρ ἄπειρον ἀδιεξίτητον)· πᾶν δὲ τὸ κινούμενόν τι διάστημα ἀνάγκη πρῶτον καὶ ἐν τῷ ἡμίσει τοῦ διαστήματος γεγονέναι· οὐκ ἄρα κινεῖται. εἰ οὖν βουλόμενός τις δεῖξαι ὅτι ἀσύμμετρος ἡ διάμετρος τῇ πλευρᾷ τοῦ τετραγώνου, ὑποτιθοῖτο τὸ ἐναντίον, ὅτι σύμμετρός ἐστι, καὶ ταύτῃ τῇ προτάσει ἐπισυνάπτει τὸν

ληφθείη, ἢ οὐ δείκνυσι συλλογιστικὴν συζυγίαν, ἢ εἰ γίνεται συλλογιστική, οὐδὲν ἄτοπον ἕπεται. ἔτι διαφέρει ὅτι ἐπὶ τῆς ἐν συλλογισμῷ ἀντιστροφῆς δείκνυται τῆς μιᾶς προτάσεως ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον ἢ τὸ ἐναντίον, ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἐπὶ τῆς μιᾶς προτάσεως μόνον ἀντιφατικῶς προηγουμένης ἄτοπον ἑπόμενον δείκνυται. Ioh. Phil. f. cvi.

εἶτα διδάσκει ποῖα προβλήματα ἐν ποίοις δείκνυται σχήμασι διὰ τῆς προκειμένης δείξεως, λέγω δὴ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, καί φησιν ὅτι τὰ μὲν ἄλλα προβλήματα δείκνυνται δι᾽ ἀδυνάτου ἐν πᾶσι τοῖς σχήμασιν, ἐπὶ δὲ τοῦ καθόλου καταφατικοῦ προβλήματος, ὥς φησιν ὁ Ἀλέξανδρος, ἀντιπεπονθός τι θεώρημα παραδίδωσι· τοῦτο γὰρ δείκνυται δεικτικῶς ἐν α΄ σχήματι δεικνύμενον, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἐν β΄ καὶ γ΄ σχήματι, ἐν πρώτῳ δὲ οὐκέτι. καὶ τοῦτο δείκνυσιν οὕτως, ὅτι οὐκ ἐν τῷ πρώτῳ σχήματι, ἀληθοῦς ὄντος τὸ α΄ τῷ β΄ παντί. ὑποκείσθω τὸ α΄ τῷ β΄ μὴ παντὶ ἢ μηδενί· κοινότερον γάρ, ὡς εἴρηται, καὶ τὸ ἐναντίον τῷ συμπεράσματι λαμβάνει· καὶ πρῶτον ὑποκείσθω τὸ ἀντικείμενον τὸ α΄ οὐ παντὶ τῷ β΄. δῆλον οὖν ὅτι οὐ γίνεται ὁ συλλογισμὸς ἐν α΄ σχήματι· εἴτε γὰρ μείζων τεθῇ αὕτη ἡ πρότασις, ἀσυλλόγιστος ἔσται ἡ συζυγία ἐν α΄ σχήματι διὰ τὸ τὴν μείζονα πρότασιν ἔχειν μερικήν· εἴτε ἐλάττων τεθῇ, πάλιν ἀσυλλόγιστος ἔσται ἡ συζυγία διὰ τὸ τὴν ἐλάττονα ἔχειν ἀποφατικήν. ἀλλὰ δὴ ὑποκείσθω τὸ ἐναντίον τὸ α΄ οὐδενὶ τῷ β΄. εἰ μὲν οὖν μέσον τάξομεν ὅρον τὸ β΄, τουτέστιν εἰ προσλάβοιμεν τὸ δ΄ ἐλάττονα, συναχθήσεται μὲν ψεῦδος, ἀλλ᾽ οὐ διὰ τοῦτο δειχθήσεται τὸ προκείμενον τὸ α΄ οὐδενὶ τῷ β΄, τὸ β΄ παντὶ τῷ δ΄ καὶ τὸ α΄ οὐδενὶ τῷ δ΄, ὅπερ ἀδύνατον, εἴπερ ἀληθὴς ἡ τὸ α΄ παντὶ τῷ β΄. ἀλλ᾽ εἰ καὶ τοῦτο ἀδύνατον, οὔπω εἰσάγεται τὸ προκείμενον· ἔστω γάρ, φησί τις, καὶ ἡ καθόλου ἀποφατικὴ καὶ ἡ καθόλου καταφατικὴ ψευδής. εἰ δὲ τὸν πρῶτον μέσον ὅρον τάξαιμεν προσλαμβάνοντες τὸν τρίτον μείζονα, ἀσυλλόγιστος ἔσται ἡ συζυγία διὰ τὸ τὴν ἐλάττονα πρότασιν ἔχειν ἀποφατικήν. δῆλον οὖν ὅτι οὐ δείκνυται διὰ τῆς προκειμένης δείξεως ἐν πρώτῳ σχήματι τὸ καθόλου καταφατικὸν πρόβλημα. τὰ δὲ λοιπά, φησί, προβλήματα δείκνυνται ἐν τῷ α΄ σχήματι, καὶ πρῶτον δείκνυσιν ὡς δυνατόν ἐστιν ἐν τούτῳ τῷ σχήματι δεικνύναι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τὸ ἐπὶ μέρους καταφατικόν. Anonymus.

61a 31. τὸ ἀνάπαλιν ὤφειλεν εἰπεῖν, ὅτι ὅσα διὰ τοῦ ἀδυνάτου δείκνυται, καὶ τῇ ἀντιστροφῇ δείκνυται, ὅσα δὲ διὰ τῆς ἀντιστροφῆς, οὐκέτι διὰ τοῦ ἀδυνάτου· ἐπὶ πλέον γὰρ ἡ ἀντιστροφὴ τῆς δι᾽ ἀδυνάτου. Ioh. Phil. f. cvi *b*.

62a 22. πληρώσας τὴν ἀδυνάτου δεῖξιν ἐν πρώτῳ σχήματι, νῦν ἦλθε δεῖξαι καὶ ἐν δευτέρῳ καὶ τρίτῳ, καὶ φησὶν ὅτι πάντα τὰ συμπεράσματα συνάγεται διὰ τῆς εἰς τὸ ἄτοπον ἀποδείξεως ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι. ἀλλ᾽ εἰδέναι δεῖ ὅτι οὐ προσεχῶς οὐδὲ πρώτως συνάγεται ἢ τὰ καθόλου καταφατικὰ ἐν δευτέρῳ σχήματι ἢ τὰ καθόλου ἐν τρίτῳ σχήματι, ἀλλὰ συνάγεται τῇ τῶν ἄλλων ἀναιρέσει. id. f. cvii *b*.

62b 38. ζητεῖ ἐνταῦθα ὁ Ἀλέξανδρος πῶς δυνατὸν τὸ δι᾽ ἀδυνάτου δεικνύμενον καὶ ἐπ᾽ εὐθείας δεικνύναι. ὁ ἕκτος τρόπος τοῦ τρίτου σχήματος καὶ ὁ τέταρτος τοῦ δευτέρου δι᾽ ἀδυνάτου μὲν ἐδείκνυτο, οὐ μέντοι γε δεικτικῶς. εἶτα ἐπελύσατο αὐτὸς λέγων ὅτι "ἅπαν" λέγει οὐ πάντα τρόπον ἀλλὰ πᾶν πρόβλημα ὃ δείκνυται διὰ ἀδυνάτου καὶ ἐπ᾽ εὐθείας· καὶ διὰ ἀδυνάτου ἤτοι καταφατικὸν τὸ πρόβλημα ἤτοι ἀποφατικόν, καὶ ταῦτα ἤτοι καθόλου ἤτοι μερικά. Ioh. Phil. f. cviii *b*.

ἐλέγομεν ὅτι διὰ ἀδυνάτου τὸ καθόλου καταφατικὸν ἐν πρώτῳ 63a
σχήματι μὴ συνάγεται, ἀλλὰ τὸ καθόλου ἀποφατικόν. ἐδείκνυτο δὲ 7.
οὕτως, ὅτι τὸ α΄ οὐδενὶ τῷ β΄· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί. τὸ οὖν γ΄ παντὶ τῷ α΄, τὸ α΄ τινὶ τῷ β΄, τὸ ἄρα γ΄ τινὶ τῷ β΄. τοῦτο δὲ ἐναργῶς ψεῦδος· ἀληθὲς ἄρα τὸ οὐδενί. τοῦτο οὖν δειχθήσεται διὰ τοῦ δευτέρου σχήματος δεικτικῶς οὕτως· τὸ γ΄ οὐδενὶ τῷ β΄, τὸ γ΄ παντὶ τῷ α΄· συμπέρασμα ὅτι τὸ α΄ οὐδενὶ τῷ β΄. αὕτη οὖν ἡ ὑπόθεσις ἡ λέγουσα τὸ α΄ τινὶ τῷ β΄ ψευδής· ἀληθὴς ἄρα ἦν ἡ οὐδενί. τὸ δὲ γ΄ λαμβάνει νῦν αὐτὸς ἀντὶ τοῦ μέσου ὅρου. id. ib.

νῦν βούλεται δεῖξαι ὅτι τὸ μερικὸν καταφατικόν, ὃ συνήχθη ἐν 63a
πρώτῳ δι᾽ ἀδυνάτου, νῦν συνάγεται ἐν τρίτῳ δεικτικῶς. ἀλλ᾽ ἐπι- 9.
στῆσαι δεῖ ὅτι εἰ μὲν ἐπὶ τοῦ δευτέρου δείκνυσι, προσλαμβάνει μείζονα πρότασιν, εἰ δὲ ἐπὶ τοῦ τρίτου, προσλαμβάνει ἐλάττονα πρότασιν. id. ib.

εἰρηκὼς πῶς τὰ καταφατικὰ ἐν πρώτῳ δείκνυται τὰ ἐν τρίτῳ 63b
σχήματι, νῦν λέγει πῶς τὰ ἐν τρίτῳ σχήματι ἀποφατικὰ δεικτικῶς 5.
δείκνυται ἐν δευτέρῳ. δύναται δὲ καὶ ἐν πρώτῳ δειχθῆναι, ἀλλ᾽ ἐπειδὴ ἴδιον τοῦτο τοῦ δευτέρου σχήματος, διὰ τοῦτο ἐν δευτέρῳ ἀνάγεται τὸ ἀποφατικὸν τοῦ τρίτου σχήματος διὰ τοῦ ἀδυνάτου οὕτως. id. f. cix.

"φανερὸν οὖν ὅτι διὰ τῶν αὐτῶν ὅρων καὶ δεικτικῶς ἔστι δεικνύ- 63b
ναι... ἀδυνάτου." ἀπορεῖ ὁ Ἀλέξανδρος ὅτι καὶ ἐπὶ τοῦ δ΄ τοῦ β΄ σχήμα- 12.
τος καὶ ἐπὶ τοῦ β΄ τρόπου τοῦ γ΄ σχήματος ἡ λεγομένη δεικτικὴ δεῖξις δι᾽ ἀδυνάτου ἐγίνετο. καὶ λύει ὁ αὐτὸς λέγων, πρῶτον μὲν οὐ πάντα συλλογισμὸν εἶπε καὶ δεικτικῶς δύνασθαι δείκνυσθαι καὶ δι᾽ ἀδυνάτου, ἀλλὰ πᾶν πρόβλημα. τὸ δὲ μερικὸν ἀποφατικὸν οὐ διὰ μόνων τῶν εἰρημένων δύο τρόπων δείκνυται, ἀλλὰ καὶ διὰ τοῦ α΄ σχήματος καὶ δι᾽ ἑτέρων τρόπων ἔν τε τῷ β΄ καὶ τῷ γ΄ σχήματι. ἔπειτα εἰ καὶ ὡς ἐπὶ συλλογισμοῦ ἐκλάβοιμεν τὸ λεγόμενον, οὐδ᾽ οὕτως ἥμαρτεν ὁ Ἀριστοτέλης· δεδειγμένων γὰρ αὐτῶν συλλογιστικῶν, λοιπὸν ὡς δεικτικῶς αὐτοῖς συνάγουσι κεχρήμεθα, μὴ πολυπραγμονοῦντες εἴτε δι᾽ ἀντιστροφῆς εἴτε δι᾽ ἀδυνάτου εἰς τὸ πρῶτον ἀνάγονται σχῆμα, ἐπεὶ τούτῳ τῷ λόγῳ οὐδένα συλλογισμὸν ἐροῦμεν δεικτικῶς συνάγειν τι χωρὶς τῶν ἐν τῷ α΄ σχήματι. ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις καὶ τὸ πρῶτον τμῆμα πληροῦται. Anonymus.

οὐκ εἶπεν πάντα τρόπον ἀλλὰ πᾶν πρόβλημα ἢ καταφατικὸν 63b
ἢ ἀποφατικὸν ὅτι δείκνυται καὶ δι᾽ ἀδυνάτου καὶ ἐπ᾽ εὐθείας. Ioh. 19.
Phil. f. cix *b*.

βούλεται διὰ τούτων ὁ Ἀριστοτέλης παραδοῦναι ἡμῖν τὸν ἐξ ἀντι- 63b
κειμένων τῶν προτάσεων συλλογισμόν... εἰδέναι δὲ δεῖ ὅτι 22.
ταῦτα πρὸς τὴν ἀποδεικτικὴν οὐδὲν συμβάλλεται· πάντως γὰρ ἡ μία πρότασις ψευδής ἐστιν, εἰ τοῦ αὐτοῦ ἀντικειμένας προτάσεις λαμ-

δυνάμει περιληπτικὴ εἶναι συλλογισμοῦ. λέγει δὲ ὁ Θεόφραστος ὅτι δυνάμει ἴση ἐστὶ τῇ κατηγορικῇ· οὐδὲν γὰρ διαφέρει τὸ λέγειν τὸ α΄ κατ᾽ οὐδενὸς τοῦ β΄, τοῦ λέγειν, καθ᾽ οὗ τὸ β΄ παντός, κατ᾽ οὐδενὸς ἐκείνου τὸ α΄, ἢ πάλιν τὸ λέγειν τὸ α΄ κατὰ παντὸς τοῦ β΄, τοῦ λέγειν, καθ᾽ οὗ τὸ β΄ παντός, κατ᾽ ἐκείνου καὶ τὸ α΄ παντός. φησὶν οὖν, ἐπειδὴ κεῖται τὸ α΄ κατ᾽ οὐδενὸς τοῦ β΄, τὸ β΄ κατὰ παντὸς τοῦ γ΄, τοῦτο δὲ δυνατόν ἐστιν, ᾧ τὸ β΄ παντί, τούτῳ τὸ α΄ οὐδενί, ἀντιστρεπτέον ταύτην τὴν πρότασιν καὶ ῥητέον, ᾧ τὸ α΄ οὐδενί, τούτῳ τὸ β΄ παντί. προσληπτέον δὲ καὶ τὸ ἐξ ἀρχῆς συμπέρασμα, τὸ δὲ α΄ τῷ γ΄ οὐδενί, καὶ συναχθήσεται ὅτι τὸ β΄ τῷ γ΄ παντί. ὥστε δέδεικται καὶ ἡ ἐλάττων πρότασις διὰ τοῦ συμπεράσματος. αὕτη δὲ οὐκ ἔστι κύκλῳ ἡ δεῖξις, ἣν ὑπέγραψεν· οὐ γὰρ ἀντιστρέφει τὴν ἑτέραν τῶν προτάσεων ἀλλὰ δυνάμει συναμφότερον, τήν τε μείζονα καὶ τὴν ἐλάττονα. εἶτα ἔρχεται καὶ ἐπὶ τοὺς λοιποὺς δύο τρόπους τοὺς συνάγοντας τὰ μερικὰ συμπεράσματα, καί φησιν ὅτι ἐπὶ τούτων τὴν μὲν καθόλου πρότασιν οὐκ ἔστι δεῖξαι κύκλῳ. Anonymus.

58a 29. "ἀλλὰ ληπτέον, ᾧ τὸ α΄ μηδενὶ ὑπάρχειν, τὸ β΄ παντὶ ὑπάρχειν."... αὕτη ἐστὶν ἡ κατὰ πρόσληψιν πρότασις· κατὰ πρόσληψιν δὲ καλεῖται ὅτι τοῦ ἐν τῇ συνθέτῳ προτάσει ἀορίστου ὅρου, τουτέστι τοῦ μέσου, ὁρισθέντος τε καὶ προσληφθέντος ὁ συλλογισμὸς ἐπιτελεῖται καὶ γνώριμον ἐπιφέρεται τὸ συμπέρασμα. ἔοικε δὲ ἡ τοιαύτη πρότασις ὑποθετικῷ συλλογισμῷ τῷ συνημμένῳ· ἔστι δὲ αὕτη ἐν τῇ ῥητῇ προτάσει ἐν τρίτῳ σχήματι· τὸν γὰρ μέσον καὶ ἀόριστον ὑποκείμενον ἔχει τοῖς δύο, καὶ τοῦτο ἔσχε πλεονέκτημα τὸ ἐν τρίτῳ συνάγειν καθόλου συμπέρασμα. οὐ μόνον δὲ τοῦτο ἀλλὰ καὶ ἐξ ἀποφατικῆς καταφατικὴν καὶ ἐκ δύο μερικῶν συνάγει συμπέρασμα, ὡς ἑξῆς δείξομεν. id.

58a 36. ἐπλήρωσεν ἐν τῷ πρώτῳ σχήματι περὶ τῶν ἄμφω καθόλου· νῦν ἦλθε περὶ τῶν μερικῶν συμπερασμάτων, καὶ πρῶτον περὶ τοῦ καταφατικοῦ φησὶν ὅτι τῆς ἐλάττονος προτάσεως ἐνδέχεται δεῖξαι τὴν κύκλῳ, τῆς δὲ μείζονος οὐκέτι ἐνδέχεται, εἰ μὴ ἄρα διὰ προσλήψεως πάλιν· ἡ γὰρ μείζων καθόλου καταφατική, τὸ δὲ καθόλου καταφατικὸν ἐκ τῶν καθόλου συνήγετο, καὶ ἐνταῦθα ἥ τε ἐλάττων μερικὴ καὶ τὸ συμπέρασμα μερικόν, ἐκ δύο δὲ μερικῶν οὐδὲν συνάγεται. Ioh. Phil. f. CII b.

58b 6. ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματός ἐστιν ὁ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. καὶ φησὶν ὅτι οὔτε τὴν μείζονα οὔτε τὴν ἐλάττονα δυνατὸν δεῖξαι διὰ τῆς κύκλῳ δείξεως, ἀλλὰ διὰ προσλήψεως μόνη ἡ ἐλάττων δείκνυται· καὶ ἡ μὲν μείζων οὐ δύναται, διότι καθόλου, ἡ δὲ ἐλάττων διὰ προσλήψεως, διότι καὶ ἡ μείζων καὶ τὸ συμπέρασμα ἀποφατικόν, ἐκ δὲ ἀποφατικοῦ οὐδὲν συνήγετο. id. ib.

59a 24. ἐὰν δὲ ᾖ ἡ μείζων στερητικὴ καθόλου ἡ δὲ ἐλάττων μερικὴ καταφατική, οὐ δείκνυται ἡ μερικὴ καταφατικὴ εἰ μὴ διὰ προσλήψεως· κύκλῳ γὰρ οὐ δύναται· εἰ γὰρ ἡ μείζων ἀποφατική, καὶ τὸ συμπέρασμα ἀποφατικόν, ἐκ δὲ δύο ἀποφατικῶν καταφατικὸν συναχθῆναι οὐ δύναται. ἀλλὰ διὰ προσλήψεως δείκνυται οὕτως· ᾧ τὸ α΄ οὐ παντὶ ὑπάρχει, τούτῳ τὸ γ΄ τινὶ ὑπάρχει· τὸ δὲ α΄ τῷ δευτέρῳ ὑπάρχει οὐ παντί· οὐκοῦν τῷ β΄ τὸ γ΄ ὑπάρχει τινί. Ioh. Phil. f. CIII b.

59a 41. "ἢ οὐκ εἰσὶ κατὰ τὴν κύκλῳ δεῖξιν ἢ ἀτελεῖς." ἆρα οὖν κατὰ τὴν ἐν β΄ σχήματι συζυγίαν τὴν ἔχουσαν ἐπὶ μέρους ἀποφατικὴν ἀτελῆ ῥητέον ἔχειν τὴν κύκλῳ δεῖξιν διὰ τὸ μὴ δι᾽ αὐτοῦ τοῦ σχήματος ἀλλὰ διὰ τοῦ τρίτου δείκνυσθαι, διὰ τῆς κατὰ πρόσληψιν προτάσεως; καὶ μὴν οὐ καλεῖ ἀτελεῖς τὰς διὰ τῆς τοιαύτης προτάσεως γινομένας δείξεις, ὡς δηλοῖ τὸ μηδεμίαν αὐτὸν ἐν πρώτῳ σχήματι λέγειν ἀτελῆ, τῶν δύο διὰ ταύτης δεικνυμένων. εἶπεν οὖν ὅτι ἀτελῆ καὶ ταύτην ἔλαβεν οὐ διὰ τὸν τρόπον τῆς δείξεως (οὐ γὰρ ἐδεήθημεν τῆς ἀντιστροφῆς τοῦ συμπεράσματος) ἀλλὰ διὰ τὸ ἐκ δύο μερικῶν συγκεῖσθαι τὴν τοιαύτην πρότασιν. ἀλλὰ μὴν καὶ ἐν τῷ α΄ σχήματι ἐπὶ τοῦ δ΄ ἀναποδείκτου ἐκ δύο μερικῶν ἡ τοιαύτη σύγκειται πρότασις. εἶπεν οὖν τὴν εὐχερῆ ἐπίλυσιν, ὅτι ἐπελάθετο τῆς εἰρημένης ἐν β΄ σχήματι προτάσεως ὁ Ἀριστοτέλης. ἐν οἷς ἡ πρᾶξις καὶ ὁ περὶ τῆς κύκλῳ δείξεως λόγος, ὁ τοῖς σοφισταῖς οἶμαι συμβαλλόμενος, πληροῦται. Anonymus.

59b 1. εἰρήκαμεν ἤδη τοῦτο πλειστάκις ὡς ὅτι τρεῖς ὑπάρχουσιν ἀντιστροφαί, μία μὲν ἡ ἐν ὅροις, δευτέρα δὲ ἡ ἐν προτάσεσι, τρίτη δὲ ἡ ἐν συλλογισμῷ. ἀλλὰ περὶ μὲν τῆς ἐν τοῖς ὅροις ἀντιστροφῆς εἴρηκεν ἐν Κατηγορίαις, ὅταν ἔλεγεν τὸ ἴσον ἴσῳ ἴσον, περὶ δὲ τῆς ἐν προτάσεσιν ἀντιστροφῆς εἶπεν ἐν τῷ πρώτῳ λόγῳ τῶν Προτέρων Ἀναλυτικῶν, νῦν δὲ βούλεται εἰπεῖν περὶ τῆς ἀντιστροφῆς τῆς ἐν συλλογισμῷ... τινὲς δὲ ᾠήθησαν τὴν ἐν συλλογισμῷ ἀντιστροφὴν καὶ τὴν εἰς ἀδύνατον ἀπαγωγὴν ταὐτὸν εἶναι. ὁ δὲ Ἀριστοτέλης μετὰ ταύτην τὴν θεωρίαν ἐκτίθεται περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, καὶ δείκνυσι μὴ εἶναι τὸ αὐτὸ τὴν ἐν συλλογισμῷ ἀντιστροφὴν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. Ioh. Phil. f. CIII b.

60a 15. πληρώσας τὸ πρῶτον σχῆμα νῦν ἦλθεν ἐπὶ τὸ β΄, καὶ φησὶν ὅτι ἡ μείζων πρότασις οὐκ ἀναιρεῖται ὅτε λαμβάνεται τοῦ συμπεράσματος τὸ ἐναντίον, ἡ δὲ ἐλάττων ἀναιρεῖται. λέγω δὲ τὴν μείζω πρότασιν μὴ ἀναιρεῖσθαι οὐχ ὅτι οὐκ ἀναιρεῖται, ἀλλ᾽ ὅτι εἰς τὸ ἐναντίον οὐκ ἀναιρεῖται ἀλλ᾽ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀναιρεῖται. διὰ τί δέ, ὁ αὐτὸς λέγει, ὅτι ἐν τρίτῳ σχήματι δείκνυται ἡ μείζων πρότασις, οὐδὲν δὲ καθόλου ἐν τρίτῳ δείκνυται, ἡ δὲ μείζων ἐν δευτέρῳ σχήματι καθόλου ἐστίν. ὥστε τὸ ἀντιφατικῶς ἀντικείμενον δείκνυται. ἡ δὲ ἐλάττων πρότασις δείκνυται διὰ τοῦ πρώτου σχήματος, ὡς ἐπιδείξομεν. Ioh. Phil. f. CV.

61a 18. πληρώσας περὶ τῆς ἐν συλλογισμῷ ἀντιστροφῆς, νῦν περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς λέγει, καὶ τί διαφέρει ἡ ἐν συλλογισμῷ ἀντιστροφὴ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. διαφέρει οὖν τούτῳ ὅτι ἐπὶ τῆς ἀντιστροφῆς δεῖ πρῶτον συλλογισμὸν γενέσθαι, εἶθ᾽ οὕτως ἀντιστροφήν, ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ ἄνευ τοῦ γενέσθαι συλλογισμὸν δυνατὸν δεῖξαι τὸ ἄτοπον ἑπόμενον. ἔτι διαφέρει ὅτι ἐπὶ τῆς ἀντιστροφῆς δυνατὸν καὶ εἰς τὸ ἐναντίον καὶ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντιστρέψαι, ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς οὐκέτι εἰ μὴ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον μόνον, ἐπεὶ εἰ τὸ ἐναντίον

56b 20. πληρώσας τὰς ἄμφω ψευδεῖς καὶ καθόλου (ἀπεσιώπησε δὲ τὰς προτάσεις τὰς ἐχούσας τὴν μὲν ψευδῆ τὴν δὲ ἀληθῆ), νῦν λέγει τὰς ἄμφω ἐπί τι ψευδεῖς καὶ ἀμφοτέρας καθόλου καταφατικὰς καὶ συναγούσας ἀληθὲς συμπέρασμα. id. ib.

56b 41. "εἰ γὰρ αὐτοὶ ὅροι ἔσονται πρὸς τὴν ἀπόδειξιν." καλῶς ἐπέστησεν ὁ Ἀλέξανδρος ὅτι οὐ δυνατὸν τοὺς αὐτοὺς ὅρους εἶναι, ἐπεὶ ἡ ἐλάττων ἐστὶν ἀποφατικὴ καὶ οὕτως οὐ σώζεται τὸ ἴδιον τοῦ σχήματος. διὰ τοῦτο λαμβάνει μέλαν-ἄψυχον-κύκνος· εἰ γὰρ ἦν ζῷον-λευκὸν-κύκνος, ἐπεὶ τὴν ἐλάττονα ἠθέλομεν λαβεῖν ψευδῆ, ἠθέλομεν εἰπεῖν ὅτι τὸ λευκὸν οὐδενὶ κύκνῳ, ὅπερ ψεῦδος, καὶ οὕτως ἔμελλεν εἶναι ἡ ἐλάττων ἀποφατική. cod. Reg. 1917.

57a 36. "φαν. οὖν ὅτι ἂν μὲν ᾖ τὸ συμπέρασμα ψεῦδος." εἰπὼν ὅπως ἐκ προτάσεων μὴ ἀληθῶν ἀναφαίνεται πολλάκις ἀληθές τι συμπέρασμα, τῶν ἐπί τί τε ψευδῶν πρὸς τὰς ἁπλῶς ἀναδιδάξας ἀσφαλῶς τὸ διάφορον, ὅτι καὶ διαφορὰ παρά τε τὸ ἁπλῶς καὶ ἐπί τι συνάγεται μενούσης τῆς αὐτῆς ἐνίοτε διαπλοκῆς συμπεράσματος ἐπί τι ψευδομένων καὶ ἁπλῶς τῶν προτάσεων ἀμφοῖν τε ἅμα καὶ παρ' ἑκατέραν, — ταῦτ' οὖν εἰπὼν διὰ πλειόνων μεθ' ἑτέρων προσδιορισμῶν καὶ πολύστιχόν τινα λόγον ἐπ' αὐτοῖς ἀνελίξας, ὡς ἐν εἴδει συμπεράσματος ἀναλαμβάνει πάλιν τὰ λελεγμένα διὰ τῆς φαινομένης ὡς ἐκ μηχανῆς εὐκρινείας, φαινομένῃ καταλλήλως σαφηνείᾳ τὸν ἀκροατὴν ὑποσαίνων καὶ τὴν οὖσαν διὰ πάντων δεινότητα χρωματίζων ὁ δαιμόνιος ἔξωθεν εὐκρινείας ἢ καὶ σαφηνείας παραπεπλασμένοις κατὰ δόκησιν χρώμασι, φησί τε ὥσπερ εἰς ἀρχὴν ἐπανάγων τὸν λόγον καὶ διευκρινόμενος αὐτὸν ἐκ τῆς πρώτης συγχύσεως ἄνωθεν, ὅτι φανερὸν ὡς τοῦ συμπεράσματος ὄντος ψευδοῦς καὶ τὰς προτάσεις ἢ πάσας ἢ ἐνίας ψευδεῖς ἀνάγκη εἶναι κτλ. Σχόλια τοῦ μητροπολίτου Νικομηδείας cod. Reg. 1917.

57a 40. συνεχῆ εἰσὶ τοῖς προειρημένοις τὰ νῦν λεγόμενα· βούλεται γὰρ ἐν τούτοις δεῖξαι ὅτι τὸ ἀληθὲς συμπέρασμα οὐκ ἐξ ἀνάγκης ἕπεται ἀμφοτέροις, τοῖς τε ἐξ ἀληθῶν προτάσεων καὶ τοῖς ἐκ ψευδῶν, οὐ λέγω ἑκάστῳ παρὰ μέρος ἀλλ' ἀμφοτέροις. κατασκευάζει δὲ τοῦτο διὰ τοῦ ὑποθετικοῦ συλλογισμοῦ. τὸ οὖν "τοῦ αὐτοῦ καὶ ὄντος καὶ μὴ ὄντος" φησὶν ἀντὶ τοῦ αὐτοῦ εἴδους τῆς προτάσεως, τὸ δὲ ὄντος ἀντὶ τοῦ ἀληθοῦς ὄντος, τὸ δὲ καὶ μὴ ὄντος ἀντὶ τοῦ ψευδοῦς ὄντος· τοῦ γὰρ αὐτοῦ εἴδους τῆς προτάσεως ἤτοι ἀληθοῦς ἢ ψευδοῦς ὄντος οὐχ ἕπεται ἐξ ἀνάγκης τὸ εἶναι τὸ αὐτό, ἀντὶ τοῦ εἶναι ἀληθὲς τὸ συμπέρασμα. καὶ τοῦτο δείκνυσιν, ὅτι οὐκ ἐξ ἀνάγκης ἐστὶν ἀληθὲς συμπέρασμα, πρῶτον διὰ τοῦ διὰ τριῶν συλλογισμοῦ... διὰ τριῶν δὲ ἐκλήθη ὅτι λαμβάνει τοὺς ὅρους καὶ τὸν ἐλάττονα ἄκρον ὑποθετικὸν καὶ τὸν μείζονα. οὔτε οὖν ὑποθετικὸς ὁ συλλογισμός, ὅτι ἔχει τρεῖς ὅρους, οὔτε κατηγορικός, ὅτι ὑποθετικαί εἰσιν αἱ προτάσεις. διὰ τοῦτο διὰ τριῶν ἐκλήθη. Ioh. Phil. f. CI.

57b 18. ἵνα γένηται διάλληλος δεῖξις, πάντως δεῖ ἀναστροφὴν ποιῆσαι τῆς μιᾶς προτάσεως καὶ τὸ συμπέρασμα λαβεῖν ὡς πρότασιν. διαφέρει δὲ ἀναστροφὴ ἀντιστροφῆς, ὅτι ἡ μὲν ἀντιστροφὴ μετὰ τοῦ συναληθεύειν γίνεται, ἡ δὲ ἀναστροφὴ οὐ πάντως... καὶ ἀκριβῶς ὀφείλομεν σκοπῆσαι ὅτι ἐπὶ τῆς διαλλήλου δείξεως ἡ μία πρότασις παραλαμβάνεται ὑγιὴς ἐξ ἀνάγκης, ἡ δὲ μία ἀναστρέφεται· εἰ γὰρ ἀμφοτέρας ἀναστρέψομεν καὶ μὴ τὴν μίαν ὑγιῶς ἐλάβομεν, οὐ ποιοῦμεν συλλογισμόν. id. f. CI b.

57b 32. ἐπειδὴ ἡ ἀντιστροφὴ ἢ ἀληθὴς ἢ ψευδής, ἀληθὴς μὲν ἐπὶ τῶν ἐξισαζόντων, ψευδὴς δὲ ἐπὶ τῶν μὴ ἐξισαζόντων, οἷον ἐπὶ τοῦ προτέρου, πᾶς ἄνθρωπος γελαστικὸς καὶ πᾶς γελαστικὸς ἄνθρωπος, ἐπὶ δὲ τοῦ δευτέρου ψευδής, οἷον πᾶς ἄνθρωπος ζῷον καὶ πᾶν ζῷον ἄνθρωπος, ταύτην τὴν δευτέραν ἀναστροφὴν ἀναπόδεικτον καλεῖ ἀντὶ τοῦ ψευδῆ καὶ μὴ δυναμένην ἀποδειχθῆναι. id. ib.

58a 14. "τοῖς ἄλλοις" λέγει τοῖς τὰς ψευδεῖς ἀναστροφὰς ποιοῦσιν, "ἐν δὲ τούτοις" τοῖς τὰς ἀληθεῖς ἀναστροφάς. id. f. CII.

58a 21. εἰδέναι δεῖ ὅτι ἐπὶ τῶν κατὰ πρόσληψιν συλλογισμῶν ὁ εἷς ὅρος ἀόριστος ὢν ὕστερον ὁρίζεται, ὡς εἰρήκαμεν. ᾧ τὸ α' οὐδενί, τούτῳ τὸ β' παντί. ἰδοὺ ἀόριστον ἐλάβομεν τὸν ἔσχατον ὅρον, ὕστερον δὲ ὁρίζεται, ὅταν εἴπωμεν τῷ δὲ γ' τὸ α' οὐδενί, τούτῳ οὖν τὸ β' παντί. κοινωνοῦσι δὲ οἱ κατὰ πρόσληψιν συλλογισμοὶ τοῖς τε κατηγορικοῖς καὶ τοῖς ὑποθετικοῖς, ὁμοίως δὲ διαφέρουσιν. καὶ τοῖς κατηγορικοῖς μὲν κοινωνοῦσιν ὅτι ὁ εἰς τὰ τρία σχήματα κατὰ πρόσληψιν τρεῖς ἔχει ὅρους· διαφέρει δὲ ὅτι εἷς ὅρος πάντως τὸ πρῶτον ἀόριστόν ἐστι καὶ ὀφείλουσιν ἐξ ὁμολογίας προσεῖναι αἱ προτάσεις. τῶν δὲ ὑποθετικῶν κοινωνοῦσι, καθὸ οὐ συμπέρασμα συνάγουσιν ἀλλὰ πρότασιν, λέγοντες τούτῳ τὸ β' παντί, ὥστε εἶναι παντὶ τῷ γ' τὸ β', ὥσπερ καὶ οἱ ὑποθετικοί· διαφέρουσι δὲ καθὸ κοινωνοῦσι τοῖς κατηγορικοῖς. id. ib.

"ἐπὶ δὲ τῶν στερητικῶν συλλογισμῶν ὧδε δείκνυται ἐξ ἀλλήλων." παραδοὺς ἐπὶ τοῦ α' ἀναποδείκτου τὸν τρόπον καθ' ὃν ἡ κύκλῳ δεῖξις ἐπιτελεῖται, νῦν παραδίδωσι καὶ ἐπὶ τοῦ δευτέρου ἀναποδείκτου ἐφ' οὗ καθόλου ἀποφατικὸν συνάγεται συμπέρασμα. ἔστω γάρ, φησί, δεδειγμένον ὅτι τὸ α' οὐδενὶ τῷ γ' διὰ μέσου ὅρου τοῦ β' οὕτω· τὸ α' οὐδενὶ τῷ β', τὸ β' παντὶ τῷ γ' καὶ τὸ α' οὐδενὶ τῷ γ'. εἰ οὖν βουλόμεθα τὴν αβ' πρότασιν ποιῆσαι συμπέρασμα, ληψόμεθα τό τε συμπέρασμα ὡς πρότασιν καὶ τὴν ἀντιστροφὴν τῆς βγ' προτάσεως, τὸ α' οὐδενὶ τῷ γ', τὸ γ' παντὶ τῷ β' καὶ τὸ α' οὐδενὶ τῷ β'. εἰ δὲ τὴν βγ' δεικνύναι βουλόμεθα, οὐκέτι, φησίν, ὁμοίως δυνατόν ἐστιν ἀντιστρέψαντας τὴν αβ' πρότασιν καὶ ταύτῃ συμπλέξαντας τὸ συμπέρασμα δεῖξαι τὸ προκείμενον· ἡ γὰρ βγ' πρότασις καταφατική ἐστι καθόλου, ἡ δὲ καθόλου καταφατικὴ ἐκ δύο καθόλου καταφατικῶν δείκνυται καὶ οὐκ ἐξ ἀποφατικῆς, ἡ δὲ ἀντιστρέφουσα τῇ αβ' ἡ αὐτή ἐστι τῇ αβ'· καθόλου γάρ ἐστιν ἀποφατική. ὥσπερ οὖν αὕτη ἡ αβ' οὐδὲν συνάγει καταφατικόν, οὕτως οὐδὲ ἡ πρὸς αὐτὴν ἀντιστρέφουσα, τουτέστιν ἡ βα', συνάξει τι καταφατικόν. οὐκ ἄρα δυνατόν ἐστι τὴν βγ' πρότασιν ἐπὶ τοῦ β' ἀναποδείκτου καθάπερ ἐπὶ τοῦ α' δεῖξαι. ὑπογράφει οὖν ἡμῖν εἶδος ἕτερον προτάσεων, ὅπερ ὁ Θεόφραστος καλεῖ κατὰ πρόσληψιν. σύγκεινται δὲ αἱ τοιαῦται προτάσεις ἐξ ἀορίστου τοῦ μέσου καὶ ὡρισμένων τῶν ἄκρων δύο ὅρων, οἷον ἐν μὲν τῷ α' σχήματι, ὃ κατὰ τοῦ γ', κατ' ἐκείνου τὸ α'· ἐν δὲ τῷ δευτέρῳ, ὃ κατὰ τοῦ α', τοῦτο καὶ κατὰ τοῦ β'· ἐν δὲ τῷ γ', καθ' οὗ τὸ α', κατ' ἐκείνου τὸ β'. δοκοῦσιν οὖν αἱ τοιαῦται προτάσεις μὴ εἶναι ἁπλαῖ ἀλλὰ

καὶ μερικῆς, ἐκ δύο δὲ μερικῶν οὐδέποτε· καὶ ὅτι ἢ ἐκ δύο καταφατικῶν ἢ ἐκ φατικῆς καὶ ἀποφατικῆς, ἐκ δύο δὲ ἀποφατικῶν οὐδέποτε. "καὶ πόσων προτάσεων" (p. 52 *b* 38)... "οἱ μὲν καθόλου πάντες ἀεὶ πλείω συλλογίζονται" (p. 53 *a* 4). ἐννέα φησὶν ὁ Θεόφραστος εἶναι συλλογισμοὺς ἐν α' σχήματι, ὡς ἤδη εἰρήκαμεν· φαίνεται δὲ καὶ ὁ Ἀριστοτέλης τῶν ἐννέα μεμνημένος, τεσσάρων μὲν τῶν ἀναποδείκτων, τριῶν δὲ οὓς ἐνταῦθα παραδίδωσι κατὰ ἀντιστροφὴν τῶν συμπερασμάτων τῶν τριῶν (τὸ γὰρ τοῦ τετάρτου οὐκ ἀντιστρέφει)· τῶν δὲ λοιπῶν δύο ἐμνημόνευσεν ἐν τῷ α' βιβλίῳ, ἔνθα ἔλεγεν ὅτι τῶν ἀσυλλογίστων συζυγιῶν αἱ ἀνομοιοσχήμονας ἔχουσαι τὰς προτάσεις καὶ καθόλου τὴν ἀποφατικὴν ποιοῦσι συλλογισμὸν ἄλλου τινὸς παρὰ τὸ προκείμενον. περὶ τούτων δὲ καὶ ἡμεῖς ἐπεστήσαμεν ἐν παραφυλλίῳ μετὰ τὴν ἀποπλήρωσιν τῶν τριῶν σχημάτων. ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις... "πλὴν οὐ τοῦ διότι ἀλλὰ τοῦ ὅτι" (p. 53 *b* 8). οἷον ἔστωσαν ἄμφω ψευδεῖς, πᾶς ἄνθρωπος πέταται, πᾶν τὸ πετάμενον ζῷόν ἐστιν· ἰδοὺ ἐκ δύο ψευδῶν συνήχθη ἀληθὲς συμπέρασμα τοῦ ὅτι, τοῦ δὲ διότι οὐ συνάγεται. καὶ τὴν αἰτίαν δι' ἣν οὐ συνάγεται αὐτὸς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (I 13) ἐρεῖ, λέγομεν δὲ καὶ νῦν ἡμεῖς ἀκολουθοῦντες τῷ Ἀλεξάνδρῳ, ὅτι τοῦ διότι λέγει συλλογισμὸν ἐν ᾧ ὁ μέσος ὅρος αἴτιος γίνεται τοῦ συμπεράσματος, οἱ δὲ ἄκροι εἰσὶν ὧν τε ὁ μέσος αἴτιος καὶ οὗ τινὸς αἴτιος ὁ μέσος τῷ προειρημένῳ, οἷον αὕτη τέτοκεν, ἡ τετοκυῖα γάλα ἔχει, αὕτη ἄρα γάλα ἔχει· τὸ γὰρ τετοκέναι αἴτιόν ἐστι ταύτῃ τοῦ γάλα ἔχειν. ὁ γὰρ προειρημένος συλλογισμὸς οὐ τοῦ διότι ἐστὶν ἀλλὰ τοῦ ὅτι, ὡς εἴρηται· συνήχθη μὲν γὰρ ὅτι πᾶς ἄνθρωπος ζῷόν ἐστιν, ἀλλ' οὐ διὰ τὰς κειμένας προτάσεις. ὥστε ὅτε συνάγεται ἐκ ψευδῶν ἀληθές, οὐ τοῦ διότι ἀλλὰ τοῦ ὅτι ἐστὶ συλλογισμός. πρῶτον οὖν δείκνυσιν ὅτι ἐκ δύο ἀληθῶν ἀδύνατον ψεῦδος συνάγεσθαι διὰ τῆς ἀντιστροφῆς τῆς συνεχοῦς προτάσεως... "τοῦ γὰρ διότι οὐκ ἔστιν ἐκ ψευδῶν συλλογισμός." εἰ γὰρ ψευδεῖς αἱ προτάσεις, μάτην ὁ μέσος ὅρος κεῖται· μὴ ποιῶν γὰρ τὸν μέσον μηδὲ συνάπτων τοὺς ἄκρους. εἴρηται δὲ ὅτι τοῦ διότι ἐστὶ συλλογισμὸς ὁ συνάγων ἀναγκαστικῶς τι διὰ τῶν κειμένων καὶ τῷ ταῦτα εἶναι. ἄλλως τε τὸ ψεῦδος ἀναλογεῖ τῷ μὴ εἶναι· πῶς οὖν συναχθήσεται τῷ τὰ ψευδῆ εἶναι; "ἔστω γὰρ τὸ α' ὅλῳ τῷ γ' ὑπάρχον" ἕως τοῦ "τῶν δὲ β' μηδενί, μηδὲ τὸ β' τῷ γ'" (p. 53 *b* 30). τὰς προτάσεις ἡμῖν ὑπογράφει καὶ τὸ συμπέρασμα· ὃ δεῖ προγιγνώσκειν καὶ μηδὲ ταῖς προτάσεσι καὶ τῇ τούτων ἀκολουθοῦντα πλοκῇ δοκεῖν πάντως ἀληθὲς εἶναι πᾶν τὸ οἰκεῖον τοῦ τρόπου συμπέρασμα· ὡς γὰρ εἴρηται, οὐ διὰ τὰς κειμένας προτάσεις συνάγεται τὸ συμπέρασμα. τὰ δὲ λοιπὰ τῆς θεωρίας σαφῆ καθέστηκε τοῖς γνησίως ἐντυγχάνουσιν. ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις. Anonymus codicum Paris. Reg. 1873 et 1917, Oxon. Bodlej. 155 et Collegii Novi 230.

διὰ τί ἐπέγραψεν Ἀναλυτικῶν Προτέρων δεύτερον; καὶ λέγομεν ὅτι ὁ φιλόσοφος Ἀναλυτικὰ ἐπέγραψε πάντα μέχρι τῆς Διαλεκτικῆς... περὶ τοῦ σκοποῦ τοῦ παρόντος βιβλίου ὁ Μαρῖνος πάντων ἀληθέστατα λέγων φησὶν ὅτι νῦν τὰς ἀρχὰς τῆς Σοφιστικῆς καὶ τῆς Διαλεκτικῆς παραδίδωσιν· ὡς γὰρ τὸ πρῶτον ἔχει πρὸς τὴν Ἀποδεικτικήν, οὕτως καὶ τοῦτο πρὸς τὴν Διαλεκτικὴν καὶ Σοφιστικήν. cod. Reg. 1917.

σκοπὸς τῆς προκειμένης πραγματείας κατὰ μὲν Ἀλέξανδρον οὗτος, ἐρεῖν τὰ ὑπόλοιπα τοῦ α' λόγου. ποῖα δέ εἰσι ταῦτα; ὅτι ἐκ ψευδῶν ἀληθὲς συνάγεται καὶ ὅτι ἐξ ἀληθῶν ἀληθές. κατὰ δὲ τοὺς ἀκριβέστερον λέγοντας σκοπὸς οὗτος· ἐπειδὴ ἐν τῷ πρώτῳ λόγῳ τὸ εἶδος τῶν συλλογισμῶν εἶπεν, ἐν τούτῳ ἐρεῖ τὴν ὕλην· εἶδος δὲ ἦν τὸ συμπέρασμα, ὕλαι δὲ αἱ προτάσεις... χρησιμεύει ἡμῖν εἰς τὴν τῶν Τόπων πραγματείαν τοῦτο τὸ βιβλίον, ὥσπερ καὶ τὸ πρότερον εἰς τὴν Ἀποδεικτικήν, καὶ ὥσπερ ἐκεῖνο εἰς τὴν Ἀποδεικτικήν, οὕτω καὶ τοῦτο εἰς τοὺς Τόπους. Ioh. Phil. f. LXXXXIV *b*.

53b 29. ὅλον ψεῦδος καλεῖ, οὗ τὸ ἐναντίον ἀληθές ἐστιν, οἷον πᾶς ἄνθρωπος πτερωτός, ὅπερ ψεῦδος ἐπειδὴ τὸ ἐναντίον ἀληθὲς τὸ οὐδεὶς ἄνθρωπος πτερωτός ἐστιν. ἐπί τι δὲ ψεῦδος καλεῖ, ᾧ τὸ ἀντιφατικῶς ἀντικείμενόν ἐστιν ἀληθές, οἷον πᾶς ἄνθρωπος λευκός. τοῦτο ἐπί τι ψεῦδος, ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον αὐτῷ ἀληθεύει τὸ οὐ πᾶς ἄνθρωπος λευκός. Ioh. Phil. f. LXXXXVI.

54a 2. φησὶν ὅτι εἰ ἔσται ἡ μείζων ὅλη ψευδής, ἀληθὲς οὐ συνάγεται συμπέρασμα· εἰ δὲ εἴη ἡ β' γ' ἡ ἐλάττων πρότασις ψευδής, συνάγεται. πάλιν εἰ καὶ ἡ μείζων μὴ ᾖ ὅλη ψευδὴς ἀλλ' ἐπί τι, πάλιν συνάγεται ἀληθές· καὶ ὁμοίως εἰ ἡ μείζων πρότασις ὅλη ἀληθὴς ἡ δὲ ἐλάττων ὅλη ψευδής, ἢ ἐπί τι ψευδὴς συνάγεται, ὡς δείξομεν. id. f. LXXXXVI *b*.

55b 23. ἰστέον ὅτι ἀπεσιώπησε τὴν ἐκ τῆς μείζονος ψευδοῦς καταφατικῆς τῆς δὲ ἐλάττονος ἀληθοῦς ἀποφατικῆς, καὶ τὴν ἐκ τῆς μείζονος ἀληθοῦς καταφατικῆς τῆς δὲ ἐλάττονος ψευδοῦς ἀποφατικῆς. id. f. LXXXXIX.

55b 38. ἀπεσιώπησε πάλιν τὴν ἐκ τῆς μείζονος ἀληθοῦς ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς ἐπί τι ψευδοῦς. id. ib.

56a 32. εἰρηκὼς περὶ τῶν ἐκ τῆς μὲν ψευδοῦς τῆς δὲ ἀληθοῦς, νῦν λέγει περὶ τῶν ἐξ ἄμφω ψευδῶν, καὶ πρῶτόν γε τῆς μείζονος ὅλης ψευδοῦς τῆς δὲ ἐλάττονος ἐπί τι, καὶ ταύτης τῆς μείζονος ἀποφατικῆς, οὕτως· τὸ α' κατὰ ἀλήθειαν μὲν παντὶ τῷ τε β' καὶ τῷ γ'· ἀλλὰ ληφθήτω τῷ μὲν β' μηδενί, ἵνα ᾖ ὅλη ψευδής, τῷ δὲ γ' οὐ παντί, ἵνα ληφθῇ ἐπί τι, καὶ συνάγοιτο ἀληθὲς συμπέρασμα. οἷον τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ, τὸ ζῷον τινὶ ἀψύχῳ, ἐπί τι ψευδὴς διὰ τὴν κατηγορίαν, οὐ διὰ τὴν ὕπαρξιν, καὶ ὅμως ἄνθρωπος οὐ παντὶ ἀψύχῳ· διὰ γὰρ τὴν οὐδεὶς ἀληθεύει καὶ τὸ οὐ πᾶς. id. f. LXXXXIX *b*.

56b 3. ἀπεσιώπησεν ἐνταῦθα τὰς συζυγίας τὰς ἐξ ἄμφω ἐπί τι συναγούσας ἀληθὲς συμπέρασμα, ὡς δυναμένων ἡμῶν ἀφ' ἑαυτῶν καὶ περὶ αὐτῶν συλλογίσασθαι. id. ib.

56b 4. τῶν ἐν τρίτῳ σχήματι συναγόντων ἐκ ψευδῶν ἀληθῆ ἢ ἄμφω αἱ προτάσεις καθόλου, ἢ ἡ μὲν καθόλου ἡ δὲ ἐν μέρει· καὶ εἰ ἄμφω καθόλου, ἢ ἄμφω καταφατικαί, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ ἡ μὲν καθόλου ἡ δὲ μερική, ἢ ἡ μείζων καθόλου ἡ δὲ ἐλάττων μερική, ἢ ἡ μείζων μερικὴ ἡ δὲ ἐλάττων καθόλου. id. f. C.

τριῶν τρόπων. οὗτοι δέ εἰσιν ὅ τε β′ τοῦ πρώτου σχήματος καὶ οἱ πρῶτοι τοῦ β′ δύο· διὰ τούτων γὰρ μόνων τὸ καθόλου ἀποφατικὸν ἐδείκνυτο. **Ioh. Phil. f. LXXXXIII.**

"τὸ δὲ μὴ εἶναι μουσικὸν ὃ ἂν ᾖ ἄνθρωπος" ἴσον ἐστὶ τῷ οὐδεὶς ἄνθρωπος μουσικός. τοῦτο δέ φησι δείκνυσθαι κατὰ τοὺς προειρημένους τρόπους τρεῖς. εἰσὶ δὲ οὗτοι. **Alex. f. 140.**

52a 39. ἀναλαμβάνει πάλιν τὰ περὶ τῆς ἀκολουθήσεως τῶν προτάσεων, τῶν τε ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως. ἐπειδὴ γὰρ ἀνωτέρω ἐπὶ ὕλης τινὸς ἐγύμναζε τὸν λόγον, ξύλον λευκὸν λαβὼν καὶ ξύλον οὐ λευκόν, ἐνταῦθα καθολικωτέραν ποιῶν τὴν δεῖξιν ἐπὶ τῶν στοιχείων προάγει τὴν ἀκολούθησιν. **Ioh. Phil. f. LXXXXIII.**

52a 40. ἐπαγγέλλεται μὲν οὖν ἐν τούτοις περὶ τῶν ὑποθετικῶν συλλογισμῶν διαλαβεῖν, τίνες τέ εἰσι καὶ πόσα τούτων τὰ εἴδη, οὐ φαίνεται δὲ οὐδαμοῦ περὶ αὐτῶν πραγματευσάμενος, ὡς οἱ ἐξηγηταί φασιν. **Ioh. Phil. f. LXXXVIII.**

52b 38. Διδάξας ἡμᾶς ἐν τῷ προτέρῳ βιβλίῳ τί τέ ἐστιν ὁ συλλογισμὸς καὶ ὅτι ἐν τρισὶ σχήμασιν οἱ συλλογισμοὶ μόνον γίνονται, καὶ ὅτι διὰ δύο μόνον προτάσεων οἱ ἁπλοῖ, καὶ ὅτι ἐν μὲν τῷ α′ σχήματι τῆς ἐλάττονος μὲν οὔσης καταφατικῆς τῆς μείζονος δὲ καθόλου, ἐν δὲ τῷ δευτέρῳ ἀνομοιοσχημόνων οὐσῶν τῶν δύο καὶ καθόλου τῆς μείζονος, ἐν δὲ τῷ γ′ τῆς ἐλάττονος οὔσης καταφατικῆς, καὶ ἔτι μέθοδον ἡμῖν παραδοὺς εἰς ποῖα δεῖ βλέπειν ἐν τῷ καταφατικῶς συλλογίζεσθαι καὶ εἰς ποῖα ἐν τῷ ἀποφατικῶς, ἔτι δὲ πῶς δεῖ λαμβάνειν τὰς πρὸς ἕκαστον συλλογισμὸν προτάσεις, ἐν τούτῳ τῷ βιβλίῳ, δευτέρῳ ὄντι τῆς πραγματείας, βούλεται παραδοῦναι τὰ λείποντα εἰς τὴν συλλογιστικὴν πραγματείαν. διδάσκει γὰρ ὅτι ἔν τισι τῶν συλλογισμῶν πλείω εἰσὶ τὰ συμπεράσματα, καὶ ὅτι ἐξ ἀληθῶν μὲν προτάσεων ἀδύνατον δειχθῆναι ψεῦδος, ἐκ δὲ ψευδῶν ἐνδέχεται ἀληθές, εἴτε ἀμφοτέρων εἴτε καὶ τῆς ἑτέρας μόνης, καὶ τί ἐστι τὸ ἀντιστρέφειν συλλογισμόν, καὶ ἄλλα τινά. καὶ πρῶτον ἁπάντων δείκνυσι τίνες τῶν συλλογισμῶν διὰ τῶν αὐτῶν προτάσεων πλείω συνάγουσι συμπεράσματα, καί φησιν ὅτι τῶν συλλογισμῶν οἱ μὲν καθόλου τι συνάγουσιν οἱ δὲ μερικόν, καὶ οἱ μὲν καθόλου πάντες ἀεὶ πλείω συνάγουσι, τῶν δὲ μερικῶν οἱ καταφατικοὶ μόνον· οἱ γὰρ τὸ μερικὸν ἀποφατικὸν συνάγοντες οὐ συνάγουσι πλείω τοῦ ἑνός, διότι οὐκ ἀντιστρέφει τὸ μερικὸν ἀποφατικόν, ὡς μεμαθήκαμεν, τὰ δὲ λοιπὰ τρία ἀντιστρέφουσι, τὸ μὲν καθόλου καταφατικὸν πρὸς τὸ ἐν μέρει καταφατικόν, τὸ δὲ καθόλου ἀποφατικὸν πρὸς ἑαυτό, καὶ ἔτι τὸ μερικὸν καταφατικὸν πρὸς τὸ μερικὸν καταφατικόν, ὥστε ἕκαστος τῶν ταῦτα συναγόντων συλλογισμῶν πλείω συνάγει, αὐτό τε τὸ συμπέρασμα καὶ τὸ τούτῳ ἀντιστρέφον. καὶ τοῦ μὲν πλείω συνάγεσθαι συμπεράσματα κοινή ἐστιν ἡ εἰρημένη αἰτία, λέγω δὴ ἡ τῆς ἀντιστροφῆς ἐπί τε τῶν καθόλου καὶ τῶν ἐν μέρει συλλογισμῶν. ἔστι δὲ καὶ ἄλλην αἰτίαν ἀποδοῦναι ἰδίως ἐπὶ τῶν καθόλου, ὅτι τὰ μερικὰ ὑπὸ τῶν καθόλου περιέχονται· διὰ τοῦτο γὰρ καὶ πλείω συνάγουσιν οἱ συλλογισμοὶ οὗτοι συμπεράσματα, οἷον ἐπὶ τοῦ πρώτου ἀναποδείκτου συνάγεται, ὡς εἴρηται, τό τε συμπέρασμα καὶ τὸ τούτῳ ἀντιστρέφον, πρὸς δὲ τούτοις συναχθήσονται καὶ ἄλλα πολλὰ συμπεράσματα τιθεμένων τε ὑπὸ τὸν μέσον ὅρον καὶ τῶν ὑπὸ τὸ συμπέρασμα, τουτέστι τῶν ὑπὸ τὴν ἐλάττονα, οἷόν ἐστι συλλογισμὸς τὸ α′ κατὰ παντὸς τοῦ γ′, τὸ γ′ κατὰ παντὸς τοῦ β′· συνάγεται οὖν τό τε α′ παντὶ τῷ β′ καὶ τὸ β′ τινὶ τῷ α′. ἔτι δὲ εἰ τεθείη τὸ μὲν δ′ ὑπὸ τὸ β′, τὸ δὲ ε′ ὑπὸ τὸ γ′, καὶ τούτων ἑκάτερόν ἐστι τῷ α′, οἷον οὐσία παντὶ ἐμψύχῳ, ἔμψυχον παντὶ ζῴῳ καὶ οὐσία παντὶ ζῴῳ καὶ ζῷόν τινι οὐσίᾳ. ἐὰν οὖν θῶμεν ὑπὸ τὸ ἔμψυχον τὸ φυτόν, ὑπὸ δὲ τὸ ζῷον τὸν ἄνθρωπον, καὶ ἐπὶ τούτων συναχθήσονται συμπεράσματα· εἰ γὰρ οὐσία παντὶ ἐμψύχῳ, ἔμψυχον παντὶ φυτῷ καὶ οὐσία παντὶ φυτῷ, καὶ πάλιν εἰ οὐσία παντὶ ζῴῳ, ζῷον δὲ παντὶ ἀνθρώπῳ, καὶ οὐσία παντὶ ἀνθρώπῳ. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δευτέρου ἀναποδείκτου διάφορα συναχθήσονται συμπεράσματα, οἷον οὐσία οὐδεμιᾷ ποιότητι, ποιότης πάσῃ ἕξει, καὶ οὐσία οὐδεμιᾷ ἕξει καὶ ἕξις οὐδεμιᾷ οὐσίᾳ. πρὸς δὲ τούτοις ἄλλα συνάγονται συμπεράσματα τιθεμένων πάλιν τῶν ὑπὸ τὸν μέσον καὶ τῶν ὑπὸ τὸν ἐλάττονα. ἔστω γὰρ ὑπὸ μὲν τὸν μέσον, λέγω δὴ τὴν ποιότητα, διάθεσις, ὑπὸ δὲ τὸν ἐλάττονα, λέγω δὴ τὴν ἕξιν, ἐπιστήμη· πάλιν οὖν ἐρεῖς οὐσία οὐδεμιᾷ ποιότητι, ποιότης πάσῃ διαθέσει καὶ οὐσία οὐδεμιᾷ ἕξει. ἐπεὶ γὰρ τὸ συμπέρασμα ἦν ἡ οὐσία οὐδεμιᾷ ἕξει, πλέξομεν οὕτως· οὐσία οὐδεμιᾷ ἕξει, ἕξις πάσῃ ἐπιστήμῃ καὶ οὐσία οὐδεμιᾷ ἐπιστήμῃ. καὶ ταῦτα μὲν ἐν α′ σχήματι. ἐπὶ δὲ τοῦ β′, φησίν, οὐκ ἔστι συλλογίσασθαι θέντας ὑπὸ τὸν μέσον ἀλλὰ μόνα τὰ ὑπὸ τὸ συμπέρασμα, τουτέστι τὸν ἐλάττονα ὅρον, οἷον ἔστω τὸ α′ ὁ μέσος τῷ μὲν β′ μηδενί, τῷ δὲ γ′ παντί· συνάγεται οὖν τὸ β′ οὐδενὶ τῷ γ′. ἐὰν οὖν θῶμεν τὸ δ′ ὑπὸ τὸ γ′, πάλιν πλέξομεν τὸν δεύτερον ἀναπόδεικτον· ἐπειδὴ γὰρ συνήχθη ὅτι τὸ β′ τῷ γ′ οὐδενί, τὸ δὲ γ′ τῷ δ′ παντί, τὸ γὰρ δ′ ὑπὸ τὸ γ′ ἐστί, συνάγεται τὸ β′ οὐδενὶ τῷ δ′. ἃ δὲ ὑπὸ τὸν μέσον ἐστίν, οὐ δύναται θεῖναι καὶ συλλογίσασθαι τοῦ μείζονος δηλονότι, λέγω δὴ τοῦ β′, μείζονος φυλαττομένου· εἰ γὰρ τεθείη τὸ ε′ ὑπὸ τὸ α′, δῆλον μὲν ὅτι δυνατὸν ἀντιστρέψαι τὴν α′ β′ πρότασιν καὶ πλέξαι δεύτερον ἀναποδεικτικόν, τὸ β′ ἐν οὐδενὶ τῷ α′, τὸ α′ παντὶ τῷ ε′ καὶ τὸ β′ οὐδενὶ τῷ ε′· ἀλλ' οὐκ εἴληπται διὰ συλλογισμοῦ ἡ αβ′ πρότασις. ταῦτα δὲ δύναταί τις ἀπορῆσαι πρὸς αὐτὸν καὶ ἐπὶ τοῦ α′ σχήματος· ἡ γὰρ μείζων πρότασις οὐ διὰ συλλογισμοῦ ἀλλ' ἀναποδείκτως. ταῦτα μὲν οὖν, φησίν (p. 53 a 34), εἴρηται ἐπὶ τῶν καθόλου· ἐπὶ γὰρ τῶν ἐν μέρει ἐκ μὲν τῶν ὑπὸ τὸν ἐλάττονα οὐκ ἔσται συλλογισμός· τὸ γὰρ συμπέρασμα μερικόν ἐστιν, ὅπερ προστιθεμένου τοῦ ὑπὸ τὸν ἐλάττονα ὅρου μείζων γίνεται πρότασις· ἀσυλλόγιστος δὲ ἡ συζυγία ἐστὶν ἔν τε τῷ α′ καὶ β′ σχήματι, ἐν ᾗ μείζων ἐστὶν μερική. ἐπὶ δὲ τῶν ὑπὸ τὸν μέσον, φησίν, ἔστι συλλογίσασθαι, ἀλλ' οὐ διὰ τὸν συλλογισμὸν συνάγεται· ἀναπόδεικτος γὰρ εἴληπται ἡ μείζων πρότασις. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ β′ σχήματος, ἐφ' οὗ μερικὰ τὰ συμπεράσματα συνάγεται· εἰ μὲν γὰρ τὰ ὑπὸ τὸ συμπέρασμα θείης, ἔσται πάλιν ἐν τῷ πρώτῳ σχήματι μερικὴ ἡ μείζων, εἰ δὲ τὰ ὑπὸ τὸν μέσον, ἔσται μέν ποτε ἐπὶ τοῦ γ′ σχήματος ἐκ δύο μερικῶν, ὅταν ἡ μείζων μερικὴ ληφθῇ· εἰ δὲ καθόλου ληφθῇ, πάλιν οὐ διὰ τὸν συλλογισμὸν ἔσται τὸ συμπέρασμα συναγόμενον ἀλλὰ διὰ τὴν πρότασιν τὴν ἀναποδείκτως ληφθεῖσαν. ταῦτα δέ, φησί, δύναταί τις εἰπεῖν καὶ ἐπὶ τῶν καθόλου συναγόντων καὶ διὰ ποίων, καὶ ὅτι ἢ ἐκ δύο καθόλου ἢ ἐκ καθόλου

ἀπόφασις," εἰ κατὰ πάσης προτάσεως καὶ κατὰ παντὸς ἀποφαντικοῦ λόγου ἀληθεύεται τὸ ἢ καταφατικὸν αὐτὸ ἢ ἀποφατικὸν εἶναι. τὰ δ' οὕτως λεγόμενα ὄντες ἀποφαντικοὶ λόγοι καὶ προτάσεις οὐκ εἰσὶν ἀποφάσεις· ἐδείχθη γὰρ τοῦτο. εἰ γὰρ μὴ τοῦ κειμένου, οὐδ' ἄλλου τινὸς καταφάσεις ἂν εἶεν. ἐπεὶ οὖν πάσης καταφάσεως ἀπόφασις ἔστιν, καὶ τῶν οὕτως λεγομένων "ἔστιν οὐ τοῦτο" ἀποφάσεις ἔσονται αἱ λέγουσαι "οὐκ ἔστιν οὐ τοῦτο·" τῆς μὲν γὰρ ἔστιν οὐ λευκὸν ἡ οὐκ ἔστι λευκόν, τῆς δ' ἔστιν οὐκ ἀγαθὸν ἡ οὐκ ἔστιν οὐκ ἀγαθόν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἔχουσαι. Ἀριστοτέλης μὲν οὖν τῆς Σωκράτης λευκὸς καταφάσεως ἀπόφασιν λέγει τὴν Σωκράτης οὐκ ἔστι λευκός, οὐ τὴν Σωκράτης ἐστὶν οὐ λευκός. εἰσὶ δὲ οἷς δοκεῖ μηδέπω μηδὲ ἡ οὕτως λαμβανομένη ἀπόφασις εἶναι (μὴ γὰρ ὀφείλειν τὸ ἀποφατικὸν πρὸ τοῦ ἔστιν μηδὲ πρὸ τοῦ κατηγορουμένου τίθεσθαι μόνου) ἀλλ' ἡ ἀπόφασις ἡ τὸ ἀποφατικὸν πρὸ πάσης τῆς καταφάσεώς τε καὶ προτάσεως ἔχουσα κείμενον. Alex. f. 135 *b*.

καλῶς προσέθηκε τὸ "πῶς," ὅτι οὐχ ἁπλῆ ἐστὶ κατάφασις ἀλλ' ἐκ μεταθέσεως· πάσης δὲ καταφάσεως ἔστι τις ἀπόφασις· καὶ τῆς ἄρα λεγούσης ἔστιν οὐκ ἀγαθόν, ἥτις δέδεικται κατάφασις οὖσα, ἀπόφασις ἔσται ἡ οὐκ ἔστιν οὐκ ἀγαθόν. Ioh. Phil. f. LXXXX *b*.

51b 36. *πρόκειτο μὲν διδάξαι ὅτι τῆς ἁπλῆς καταφάσεως οὐκ ἔστιν ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις, ὡς χρησιμεύοντος ἡμῖν τούτου εἰς τὰς τῶν συλλογισμῶν ἀναλύσεις, ἵνα μὴ καταφατικὸν ἐκ μεταθέσεως πρόβλημα οἰηθέντες ἀποφατικὸν εἶναι, εἰς ἀποφατικὸν ἀναλύειν συλλογισμὸν πειραθῶμεν. τοῦτο μὲν οὖν τὸ προκείμενον ἦν τῷ Ἀριστοτέλει· εἶτα πρὸς τὴν τούτου δεῖξιν ἔλεγε τὸ αὐτὸ δύνασθαι βαδίζειν καὶ μὴ βαδίζειν, καὶ ἐπιστήμονα τοῦ ἀγαθοῦ εἶναι καὶ τοῦ μὴ ἀγαθοῦ, ὧν αἱ μὲν ἦσαν ἁπλαῖ καταφάσεις αἱ δὲ ἐκ μεταθέσεως, καὶ ὅτι οὐ ταὐτόν ἐστι τὸ μὴ ἐπίστασθαι τὸ ἀγαθὸν καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν, ὧν ἡ μὲν ἁπλῆ ἐστὶν ἀπόφασις ἡ δὲ κατάφασις ἐκ μεταθέσεως. ἐπεὶ οὖν ὅλως ἐμνήσθη τίνες τε ταὐτὸ δύνανται τῶν ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως καὶ τίνες οὐ ταὐτόν, διὰ τοῦτο βούλεται μεταξὺ περὶ τῆς ἀκολουθίας τῶν ἁπλῶν προτάσεων καὶ τῶν ἐκ μεταθέσεως ἡμᾶς διδάξαι, καὶ ἅπερ ἐν τῷ περὶ Ἑρμηνείας* (c. 10) *ἠνίξατο περὶ τῆς ἀκολουθίας αὐτῶν, ταῦτα σαφῶς ἐνταῦθα διδάσκει.* Ioh. Phil. f. LXXXXI.

52a 12. *εἰπὼν ὅπως ἔχουσιν αἱ ὑπάλληλοι προτάσεις ἐν τῷ διαγράμματι, ζητεῖ νῦν ὅπως ἔχουσι καὶ αἱ διαγώνιοι, καὶ φησὶν ὅτι τὸ μὲν α' καὶ γ' οὐδέποτε τῷ αὐτῷ ὑπάρξει, τουτέστιν ἀμφότεραι αἱ καταφάσεις, ἥ τε ἁπλῆ καὶ ἡ ἐκ μεταθέσεως. . . εἰ οὖν μέλλει συνᾴσειν τὰ ἐνταῦθα λεγόμενα τοῖς ἐν τῷ περὶ Ἑρμηνείας, ὡς ὁ Ἀλέξανδρός φησιν, ὅταν λέγῃ ὁ Ἀριστοτέλης ὅτι τὸ α' γ' οὐδενὶ τῷ αὐτῷ ὑπάρξει, τουτέστιν αἱ καταφάσεις, ἢ ὡς ἐπὶ τῶν ἀπροσδιορίστων ἀποφάσεων ἐξακουσόμεθα ἢ ὡς ἐπὶ τῶν μερικῶν ἀποφάσεων (καὶ γὰρ αἱ ἀπροσδιόριστοι ταῖς μερικαῖς ἰσοδυναμοῦσιν), ἀλλ' ὡς ἐπὶ τῶν προσδιωρισμένων καταφάσεων. ὅτι δὲ ὡς ἐπὶ τῶν ἀπροσδιορίστων ἐνταῦθα τὸν λόγον ποιεῖται, ἐδήλωσε καὶ ἐν τῷ περὶ Ἑρμηνείας· ἐκθεὶς γὰρ τῶν ἀπροσδιορίστων προτάσεων τὸ διάγραμμα, καὶ εἰπὼν ποῖαι ἀκολουθοῦσιν ἀλλήλαις καὶ ποῖαι οὔ, "ταῦτα μὲν οὖν" φησίν* (p. 19 *b* 31), *"ὥσπερ ἐν τοῖς Ἀναλυτικοῖς εἴρηται, οὕτω τέτακται," ὡς δὴ τούτου τοῦ γράμματος προτέρου γεγραμμένου. ἀπορήσειε δ' ἄν τις πῶς ἀνωτέρω μὲν ἀμφοτέρας τὰς καταφάσεις συναληθεύειν ἔλεγε, τήν τε ἁπλῆν καὶ τὴν ἐκ μεταθέσεως (ὁ γὰρ αὐτός, φησί, δύναται βαδίζειν καὶ μὴ βαδίζειν, καὶ ἐπιστήμων τοῦ ἀγαθοῦ καὶ τοῦ μὴ ἀγαθοῦ), ἐνταῦθα δέ φησι τὸ α' γ' μηδέποτε τῷ αὐτῷ ὑπάρχειν, λέγω δὴ τὴν ἁπλῆν κατάφασιν καὶ τὴν ἐκ μεταθέσεως, τὴν ἔστι ξύλον λευκὸν καὶ τὴν ἔστι ξύλον οὐ λευκόν (ἀδύνατον γὰρ τὸ αὐτὸ λευκὸν εἶναι καὶ οὐ λευκόν), καὶ πάλιν ἄνω μὲν ἔλεγε μὴ ταὐτὸν εἶναι τὸ μὴ ἐπίστασθαι τὸ ἀγαθὸν καὶ ἐπίστασθαι μὴ ἀγαθόν, τουτέστι τὴν ἁπλῆν ἀπόφασιν καὶ τὴν ἐκ μεταθέσεως κατάφασιν, καὶ ἔμπαλιν, ἐνταῦθα δὲ ἔδειξεν ὅτι ταῖς καταφάσεσιν ἕπονται αἱ ἀποφάσεις. ἰστέον οὖν ὅτι πρῶτον μὲν οὐ ταὐτόν ἐστι τὸ λέγειν μὴ εἶναι ταὐτὸ τόδε τῷδε καὶ τὸ λέγειν ἕπεσθαι τόδε τῷδε.* id. f. LXXXXI *b*.

λέγοι δ' ἂν ταῦτα ἐπὶ τῶν διωρισμένων προτάσεων· αὗται γάρ εἰσιν αἱ τὴν ἀντίφασιν ποιοῦσαι, ἐπεὶ τάς γε ἀδιορίστους οὐδὲν κωλύει πάσας συναληθεύειν. Alex. f. 138.

52a 15. *ὡς ἔχουσι φησὶν ἀκολουθίας ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου αἱ ἐκ μεταθέσεως πρὸς τὰς ἁπλάς, οὕτως ἔχουσι καὶ αἱ στερητικαὶ πρὸς τὰς ἁπλᾶς. ταύτας γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν, πρὸς τὰς κατηγορίας.* Ioh. Phil. f. LXXXXII.

κατηγορίας εἴρηκεν ἤτοι τὰς ἀντικατηγορίας καὶ ἀκολουθίας, ὅτι ὁμοίως πρὸς τὰς ἀντικατηγορίας καὶ ἀκολουθίας, ἢ τὰς τὸ ἁπλῶν τε οὖν αἱ στερήσεις εἰσί, κατηγορούσας καταφατικῶς ἢ ἀποφατικῶς. καὶ κατηγορίας εἶπε τὰς ἔστιν ἴσον καὶ οὐκ ἔστιν ἴσον. ἂν γὰρ τὴν στερητικὴν ἀντίφασιν ὑποτάξωμεν τῇ ἁπλῇ ἀντιφάσει, τῇ μὲν ἀποφάσει τὴν κατάφασιν τῇ δὲ καταφάσει τὴν ἀπόφασιν, ὅμοιαι αἱ ἀκολουθίαι τῇ προτάσει ἔσονται ταῖς μικρῷ πρόσθεν ἐπὶ τῆς μεταθέσεως ἀντιφάσεσι· ταῖς μὲν γὰρ καταφάσεσιν αἱ ἀποφάσεις αἱ κατὰ ταύτας τεταγμέναι ἀκολουθήσουσιν ἐξ ἀνάγκης, οὐκέτι δὲ ταῖς ἀποφάσεσι πάντως αἱ καταφάσεις. Alex. f. 138 *b*.

52a 18. *πρὸς τὸ ἐξ ἀρχῆς ἀνέδραμε, λέγω δὴ ὅτι τῆς ἁπλῆς καταφάσεως οὐκ ἔστιν ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις, ἀλλ' ἡ ἁπλῆ ἀπόφασις. τοῦτο δέ, φησί, μάλιστα δῆλον ἔσται ἐπὶ τῶν τοιούτων ὑλῶν, αἵτινες τισὶ μὲν τοῖς αὐτοῖς ὑπάρχουσι τισὶ δὲ οὐχ ὑπάρχουσιν.* Ioh. Phil. f. LXXXXII *b*.

52a 24. *ἀσάφειαν ἡ λέξις ἔχει τῷ τὰς προτάσεις μὴ συνήθως εἰλῆφθαι, μήτε τὰς καταφατικὰς μήτε τὰς ἀποφατικάς. εἰπὼν γὰρ ὅτι οὐχ ὁ αὐτὸς τρόπος τοῦ δεικνύναι ἑκάτερον, θέλων τὰς προτάσεις παραθέσθαι καὶ δεῖξαι ὅτι ἄλλος ὁ τρόπος τῆς τοῦ ἀποφατικοῦ δείξεως καὶ ἄλλος τῆς τοῦ καταφατικοῦ, εἶπεν "οἷον ὅτι ὃ ἂν ᾖ ζῷον, οὐκ ἔστι λευκὸν ἢ ἐνδέχεται μὴ εἶναι λευκόν·" ἀπὸ κοινοῦ γὰρ τὸ "ἐνδέχεται μὴ εἶναι λευκόν" εἶπε τοῦ ὅ τι ἂν ᾖ ζῷον· ἴσον γὰρ αὗται δύνανται ταῖς οὐδὲν ζῷον λευκόν ἐστι καὶ οὐδὲν ζῷον ἐνδέχεται λευκὸν εἶναι, ἡ μὲν οὖσα καθόλου ἀποφατικὴ ὑπάρχουσα, ἡ δὲ καθόλου ἀποφατικὴ ἀναγκαία.* Alex. f. 139.

52a 37. *τὴν ἀπόφασιν τέθεικε τὴν ἐκ μεταθέσεως, λέγω δὴ τὴν οὐδεὶς ἄνθρωπος οὐ μουσικός. ταῦτα οὖν, φησί, δεικτέον διὰ τῶν εἰρημένων*

μένον λέγεται, καὶ τῆς προσλήψεως ὑποθετικούς, καὶ τοὺς διὰ τοῦ διαιρετικοῦ τε καὶ συνεζευγμένου, ἢ καὶ τοὺς διὰ ἀποφατικῆς συμπλοκῆς. εἰ ἄρα οὗτοι τῶν προειρημένων, παρὰ τοὺς εἰρημένους εἶεν ἂν καὶ οἱ ἐξ ἀναλογίας, καὶ οὓς λέγουσι κατὰ ποιότητα, τοὺς ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον, καὶ ὁμοίως καὶ εἴ τινες ἄλλαι τῶν ἐξ ὑποθέσεως διαφοραὶ προτάσεών εἰσι, περὶ ὧν ἐν ἄλλοις εἴρηται. ἐκεῖνο δὲ ἄξιον ἐκ τῆς λέξεως ἐπισημήνασθαι, ὅτι συλλογισμοὺς μὲν ἁπλῶς οὐ λέγει τοὺς ὑποθετικοὺς εἶναι, περαίνειν μέντοι καὶ αὐτοὺς λέγει, ὥσπερ προειρήκαμεν. Alex. f. 131 *b* - 132.

50b 8. λέγει τοῦτο περὶ τοῦ δ´ τοῦ ἐν τῷ δευτέρῳ σχήματι, ὃς ἐκ καθόλου καταφατικῆς τῆς μείζονος καὶ ἐπὶ μέρους ἀποφατικῆς τῆς ἐλάττονος ἐπὶ μέρους ἀποφατικὸν συνάγει, καὶ περὶ τοῦ ἕκτου τοῦ ἐν τῷ τρίτῳ σχήματι, ὃς καὶ αὐτὸς ἐκ καθόλου καταφατικῆς τῆς ἐλάττονος καὶ ἐπὶ μέρους ἀποφατικῆς τῆς μείζονος ἐπὶ μέρους ἀποφατικὸν συνάγει. δείκνυται μὲν γὰρ τὸ ἐπὶ μέρους ἀποφατικὸν πρόβλημα ἐν τοῖς τρισὶ σχήμασιν· ἀλλ᾽ οἱ προειρημένοι συλλογισμοὶ οὐ δύνανται εἰς ἄλλα σχήματα ἀναχθῆναι τῷ τὴν μὲν ἀναγωγὴν καὶ τὴν ἀνάλυσιν τὴν ἔκ τινος σχήματος εἰς ἄλλο σχῆμα δι᾽ ἀντιστροφῆς γίνεσθαι, τούτων δὲ μηδέτερον δείκνυσθαι δύνασθαι δι᾽ ἀντιστροφῆς, ἀλλ᾽ ἀμφοτέρους διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὡς ἐδείχθη. τοῦτο καὶ αὐτὸς προϊὼν γνώριμον ποιήσει. Alex. f. 132.

50b 31. τὸ "οὔτε γὰρ ἀντιστροφὴν τὸ α´ β´" εἴρηκεν οὐχ ὅτι οὐδ᾽ ὅλως ἀντιστρέφει ἡ καθόλου (καθόλου γὰρ κεῖται ἡ α´ β´ καταφατική, τῇ δὲ καταφατικῇ καθόλου ἡ ἐπὶ μέρει καταφατικὴ ἀντιστρέφει), ἀλλ᾽ ὅτι αὐτῇ οὐκ ἀντιστρέφει· αὗται γὰρ κυρίως ἀντιστρέφειν λέγονται αἱ αὐταῖς ἀντιστρέφουσαι... διὰ τοῦτο δὴ εἶπεν "οὔτε γὰρ ἐπιδέχεται ἀντιστροφήν." οὔτε καὶ εἰ γένοιτο ἀντιστροφὴ καὶ ληφθείη ἣν ἐπιδέχεται ἡ καθόλου καταφατικὴ ἀντιστροφήν (ἐπιδέχεται δὲ τὴν τῆς ἐπὶ μέρει καταφατικῆς), συλλογιστικὴ ἔτι ἡ συζυγία· γίνεται γὰρ ἐν πρώτῳ σχήματι συζυγία ἔχουσα ἐπὶ μέρει καταφατικὴν τὴν μείζονα τὴν β´ α´, ἐπὶ μέρους δὲ ἀποφατικὴν τὴν ἐλάττονα τὴν α´ γ´, ἥτις καὶ ἀσυλλόγιστός ἐστιν. δύναταί τις καὶ οὕτως ἀκοῦσαι τοῦ "οὔτε γενομένης ἔσται συλλογισμός," ἀντὶ τοῦ οὔτε εἰ μὴ συγχωρηθείη τὴν καθόλου καταφατικὴν ἀντιστρέφειν ἑαυτῇ, οὐδ᾽ οὕτως ἔσται συλλογισμός· καὶ γὰρ καὶ οὕτως ἀσυλλόγιστος ἡ συζυγία. ἔσται γὰρ ἐν πρώτῳ σχήματι ἡ μὲν μείζων πρότασις καθόλου καταφατικὴ ἡ α´ β´, ἡ δὲ ἐλάττων ἐπὶ μέρους ἀποφατική· ἀδύνατον δὲ τῆς ἐλάττονος ἀποφατικῆς οὔσης συλλογισμὸν ἐν πρώτῳ γενέσθαι σχήματι. Alex. f. 132 *b*.

51a 4. τὸ "οὐκοῦν ἐπεὶ ἀντιστρέφει τὸ γ´ πρὸς ἑκάτερον" ἴσον ἐστὶ τῷ ἐπεὶ ἀμφότεραι αἱ προτάσεις οὖσαι καθόλου καταφατικαὶ ἀντιστρέφουσι, δυνησόμεθα ἣν ἂν θελήσωμεν αὐτῶν ἀντιστρέψαι καὶ ἀναγαγεῖν τὸν συλλογισμὸν ἐπὶ τὸ πρῶτον σχῆμα. Alex. f. 133.

51a 11. ἄλλο πάλιν ἡμᾶς διὰ τούτων διδάσκει. πολλάκις συλλογιζόμενοι, δεῖξαι βουλόμενοι ὅτι ὅδε τοῦδε οὐκ ἔστιν ὁρισμός, οὐ πάντως ὅλον τὸν ὁρισμὸν ἀνασκευάσαι βουλόμεθα ἀλλὰ μόριόν τι τῶν ἐν τῷ ὁρισμῷ. ἐν οὖν τῷ ἀνασκευάζειν ὅτι ὅδε τοῦδε οὐκ ἔστιν ὁρισμός, οὐ θετέον, φησίν, ὅλον τὸν ὁρισμὸν ὅρον (δυσχερῶς γὰρ οὕτως εὑρίσκομεν μέσον δι᾽ οὗ δείξομεν τὸν ὁρισμὸν ὅλον τῷ ὁριστῷ μὴ ὑπάρχοντα), ἀλλ᾽ ὅ τι περ ἂν εἴη τῷ ὁρισμῷ κακῶς εἰλημμένον, τοῦτο θετέον ὅρον. Ioh. Phil. f. LXXXVII *b*.

51a 16. οὐ δεῖ, φησίν, ἅπαντας τοὺς ὑποθετικοὺς συλλογισμοὺς πειρᾶσθαι ἀναλύειν εἰς τὰ σχήματα, ἀλλὰ μόνην αὐτῶν τὴν πρόσληψιν, τὸ δὲ συνημμένον οὐκέτι, διὰ τὸ μὴ διὰ συλλογισμοῦ δείκνυσθαι ἀλλ᾽ ἐξ ὁμολογίας λαμβάνεσθαι. ὑποθετικοὺς δέ φησιν ἐν τούτοις οὐ πάντας ἀλλὰ τοὺς ἐξ ὁμολογίας καλουμένους, λέγω δὴ τοὺς λαμβάνοντας κατὰ συνθήκην τὸ συνημμένον, ὥσπερ αὐτὸς ὁ Ἀριστοτέλης ἐν τῇ περὶ Οὐρανοῦ (2 11) περὶ τῶν σχημάτων τῶν ἄστρων κατεσκεύασεν. id. ib.

51a 22. τουτέστι τὸ πρῶτον καὶ τρίτον σχῆμα· περὶ τούτων γὰρ νῦν τὸν λόγον ποιεῖται. εἴτε οὖν, φησίν, ἐκ τοῦ πρώτου εἰς τὸ τρίτον μεταλαβεῖν βουλώμεθα τὰς προτάσεις εἴτε ἀνάπαλιν, πάντως τὴν ἐλάττονα ἀνάγκη ἀντιστρέφειν. id. f. LXXXIX.

51a 32. αὐτὸς ταχέως εἶπε τὴν αἰτίαν, "οὐδετέρα γὰρ τῶν προτάσεων ἐκ τῆς ἀντιστροφῆς καθόλου." δεῖ μὲν γάρ, εἰ μέλλοι συλλογισμὸς ἔσεσθαι, καθόλου τινὰ πρότασιν εἶναι, οὐ γίνεται δὲ καθόλου πρότασις ἀντιστραφείσης τῆς καθόλου καταφατικῆς, ἣν μόνην οἷόν τε ἀντιστρέψαι. καίτοι οὐδ᾽ εἰ αὐτὴ καθόλου ἀντιστρέφει, ἤδη ἐδύνατο ἡ ἀνάλυσις γενέσθαι εἰς τὸ τρίτον σχῆμα, ἐκ τοῦ δεῖν μὲν ἀμφοτέρας ἀντιστραφῆναι, μὴ ἀντιστρέφειν δὲ τὴν ἑτέραν. Alex. f. 133 *b*.

51b 5. πρὸς τὸ συλλογίζεσθαι καὶ κατασκευάζειν τι ἢ ἀνασκευάζειν δύνασθαι διὰ συλλογισμοῦ διαφέρειν φησὶ τὸ εἰδέναι διακρίνειν καὶ χωρίζειν τὰς προτάσεις τὰς ἀποφατικὸν μὲν ἐχούσας τὸ σχῆμα οὔσας δὲ καταφάσεις ἀπὸ τῶν ἀποφάσεων. λέγει δὲ περὶ προτάσεων ἃς Θεόφραστος κατὰ μετάθεσιν λέγει. εἴρηκε δὲ καὶ αὐτὸς περὶ τούτων ἐν τῷ περὶ Ἑρμηνείας (c. 10). id. f. 134.

51b 10. ἡ δὲ δεῖξις δι᾽ ἀναλογίας, ἥτις ἐστὶ δεῖξις ὑποθετικὴ καὶ αὐτή. ἡ δὲ ἀναλογία τοιαύτη... ἀσαφὴς ἡ λέξις ἐστίν, ὅτι δείξας ἐν τῷ δύνασθαι βαδίζειν καὶ ἐπίστασθαι τὸ ἀγαθὸν ἐμπεριεχόμενον δυνάμει τὸ ἐστίν, ἑξῆς προσέλαβεν "ὥστε καὶ τὰ ἀντικείμενα," ὡς οὐ κάλλιόν γε ταῦτα ἀντικείμενα λαβεῖν, περὶ ὧν λέγειν αὐτῷ προσέκειτο, ἢ τὰ συναληθευόμενα, ἃ οὐκ ὄντα ἀντικείμενα φαντασίαν ἀντικειμένων παρέχει. ἦν δὲ ταῦτα τό τε δύναται μὴ βαδίζειν καὶ τὸ ἐπίσταται τὸ μὴ ἀγαθόν. παραλείπων δὴ καὶ τὸ δεῖξαι εὐθέως ὅτι καὶ τούτων ἑκάτερον, τὸ μὲν δύναται μὴ βαδίζειν ἴσον ἐστὶ τῷ ἔστι δυνάμενος μὴ βαδίζειν, τὸ δὲ ἐπίσταται τὸ μὴ ἀγαθὸν τῷ ἔστιν ἐπιστάμενος τὸ μὴ ἀγαθόν, οἷς ὅμοιόν ἐστι τὸ ἔστιν οὐ λευκόν, πρῶτον ἔλαβεν αὐτὸς τὰς κυρίως ἀποφάσεις τὰς οὐ δύναται βαδίζειν καὶ οὐκ ἐπίσταται τὸ ἀγαθόν, καὶ ἔδειξεν ὅτι ἡ οὐ δύναται βαδίζειν ἴση ἐστὶ τῇ οὐκ ἔστι δυνάμενος βαδίζειν. id. f. 134 *b*.

51b 25. ἐπὶ σαφέστερον ὑπόδειγμα μετάγει τὸν λόγον, δεικνὺς ὅτι οὐκ ἔστι ταὐτὸν ἡ ἁπλῆ ἀπόφασις τῇ ἐκ μεταθέσεως καταφάσει. Ioh. Phil. f. LXXXX *b*.

51b 32. τὸ λεγόμενον τοιοῦτον ἂν εἴη. πᾶσα πρότασις καὶ πᾶς λόγος ἀποφατικὸς ἀληθεύεται κατά τινος ἢ ὡς κατάφασις ὢν ἢ ὡς ἀπόφασις... δύναται καὶ τοιοῦτον εἶναι τὸ "εἰ οὖν κατὰ παντὸς ἢ φάσις ἢ

49 b 14. ἐπειδὴ πολλάκις τῶν ἀρχαιοτέρων τινὲς ἢ καὶ οἱ προσδιαλεγόμενοι οὐ τὰς δύο προτάσεις τοῦ συλλογισμοῦ λέγουσιν, ὡς καὶ ἔμπροσθεν εἴρηται, ἀλλ' ἔστιν ὅτε τὴν ἐλάττονα μόνην εἰπόντες εὐθὺς ἐπάγουσι τὸ συμπέρασμα, διδάσκει ἡμᾶς πῶς καὶ τούτους ἀναλύσομεν τοὺς συλλογισμούς. Ioh. Phil. f. LXXXV *b.*

49 b 19. τὸ "ἴσως" προσέθηκε λέγων "ἀλλ' οὐ παντὶ ἴσως" οὐ διὰ τοὺς ἐκκειμένους ὅρους, ἀλλὰ διὰ τὸ τὸ ἀδιόριστον ἀληθεύεσθαι καὶ ἐπὶ τοῦ καθόλου, ὥσπερ γε καὶ ἐπὶ τοῦ ἐπὶ μέρους. Alex. f. 127.

49 b 20. τουτέστιν ἐὰν ἡ μείζων πρότασις ἡ α' β' μερικὴ εἴη, κἄν τε καθόλου εἴη ἡ ἐλάττων ἡ β' γ' κἄν τε μερική, ἐνδέχεται τὸ α' μηδενὶ ὑπάρχειν τῷ γ'. Ioh. Phil. f. LXXXVI.

49 b 23. τὸ "καθ' οὗ ἂν τὸ β' λέγηται ἀληθῶς" ἀντὶ τοῦ κατὰ παντὸς ἀκουστέον. id. ib.

προσυπακουστέον ὅτι τὸ α'. ἔστι δὲ τὸ καθ' οὗ ἄν, ὡς ἔφαμεν, ἴσον τῷ κατὰ παντὸς καθ' οὗ τὸ β'. πρόσκειται δὲ τὸ "ἀληθῶς," ἐπεὶ δύναται κατὰ παντὸς μὲν κατηγορεῖσθαι, ψευδῶς δέ. Alex. f. 127 *b.*

49 b 25. τὴν ἀσυλλόγιστον ἀναλαμβάνει συζυγίαν, ὑπερβατῶς δέ ἐστιν ἡ λέξις· εἰ μέντοι τὸ α' λέγεται κατὰ παντὸς καθ' οὗ τὸ β' λέγεται. εἰ οὖν οὕτως ἔχοιεν ὥστε τὴν ἐλάττονα πρότασιν ἀπροσδιόριστον εἶναι, ἐνδέχεται, φησί, τὸ α' ποτὲ μὲν οὐ παντὶ τῷ γ', ποτὲ δὲ οὐδενὶ ὅλως ὑπάρχειν. Ioh. Phil. f. LXXXVI.

49 b 27. ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ἐν ταῖς τοιαύταις προτάσεσιν αἳ δυνάμει τοὺς τρεῖς ὅρους ἐν αὐταῖς ἔχουσιν, ὁποῖαί εἰσιν ἃς ἐξέθετο νῦν (ὁποῖαί εἰσιν αἱ κατὰ πρόσληψιν ὑπὸ Θεοφράστου λεγόμεναι· αὗται γὰρ τοὺς τρεῖς ὅρους ἔχουσί πως· ἐν γὰρ τῇ καθ' οὗ τὸ β' παντός, κατ' ἐκείνου καὶ τὸ α' παντός, ἐν τοῖς δύο ὅροις, τῷ τε β' καὶ τῷ α', τοῖς ὡρισμένοις ἤδη πως περιείληπται καὶ ὁ τρίτος, καθ' οὗ τὸ β' κατηγορεῖται, πλὴν οὐχ ὁμοίως ἐκείνοις ὡρισμένος φανερός), ἐν δὴ ταῖς τοιαύταις προτάσεσιν αἳ τῇ λέξει μόνον τῶν κατηγορικῶν διαφέρειν δοκοῦσιν, ὡς ἔδειξεν ἐν τῷ περὶ Καταφάσεως Θεόφραστος, φησὶν ὅτι ἡ οὕτως λαμβανομένη ὅτι καθ' οὗ τὸ β' παντός, κατ' ἐκείνου τὸ α' παντός, σημαίνει καθ' ὧν τὸ β' λέγεται, κατὰ πάντων τούτων λέγεσθαι καὶ τὸ α'· τοῦτο γὰρ ἐδείχθη· διὸ εἰ μὲν εἴη τῷ β' τὸ κατὰ παντὸς προσκείμενον, καὶ τὸ α' κατὰ παντὸς ἔσται τοῦ β'. οὕτως δὲ καὶ καθ' ὧν κατηγορεῖται τὸ β' κατηγορηθήσεται καὶ τὸ α'· εἰ δὲ μὴ εἴη τὸ β' τὸ κατὰ παντὸς προσκείμενον ἐν τῇ κατὰ πρόσληψιν προτάσει, ἀλλ' ἀδιορίστως λαμβάνοιτο, οὐκέτι τὸ α' κατὰ παντὸς κατηγορηθήσεται τοῦ β'. οὕτως δὲ ἂν προσληφθῇ, ἀσυλλόγιστος ἡ συμπλοκή... ὁ μέντοι Θεόφραστος ἐν τῷ περὶ Καταφάσεως τὴν καθ' οὗ τὸ β', τὸ α', ὡς ἴσον δυναμένην λαμβάνει τῇ καθ' οὗ παντὸς τὸ β', κατ' ἐκείνου παντὸς τὸ α'. Alex. f. 128.

49 b 33. ἐπειδὴ διὰ παντὸς τοῦ βιβλίου διὰ τῆς τῶν στοιχείων ἐκθέσεως τὴν διδασκαλίαν ἐποιήσατο, ἵνα μή τις ὑπονοήσῃ ὅτι ἡ τῶν στοιχείων θέσις αἰτία ἐστὶ τοῦ συλλογιστικάς εἶναί τινας τῶν συμπλοκῶν ἢ ἀσυλλογίστους, αὐτὸ τοῦτο διδάσκει ὅτι οὐ περὶ τὴν ἔκθεσιν τῶν στοιχείων τὰ συμβάντα συμβέβηκε. Ioh. Phil. f. LXXXVI.

ἔκθεσιν μὲν λέγει τὴν τῶν ὅρων καταγραφήν. Alex. f. 128.

τὸ οὖν "ὥσπερ καὶ τὸ αἰσθάνεσθαι τὸν μανθάνοντα λέγοντες" 50 a 1.
σημαίνει ὅτι πολλάκις διδάσκοντές τι οὐκ αἰσθητὸν τὰς δείξεις ποιούμεθα τοῖς μανθάνουσιν ἐπὶ αἰσθητῶν παραδειγμάτων. Alex. f. 129.

ὃ βούλεται διὰ τούτων δεῖξαι ἐκεῖνό ἐστιν, ὅτι ἐπειδὴ τῶν συλ- 50 a 5.
λογισμῶν οἱ μὲν ἁπλοῖ εἰσὶν οἱ δὲ σύνθετοι, καὶ καθόλου οἱ μὲν ἐκ προσυλλογισμοῦ δείκνυνται ὧν αἱ προτάσεις οὐκ ἄμεσοι οὐδὲ αὐτόπιστοι, οἱ δὲ οὐδὲ δέονται προσυλλογισμῶν διὰ τὸ ἀμέσους τε εἶναι καὶ αὐτοπίστους τὰς προτάσεις, οὐ δεῖ, φησίν, ἀγνοεῖν ὅτι ὅταν ἐκ προσυλλογισμοῦ περαίνηταί τις συλλογισμός, οὐ πάντως καθ' ἓν καὶ τὸ αὐτὸ σχῆμα πάντα συνάγεται τὰ συμπεράσματα, ἀλλ' ἔστιν ὅτε ἐν τοῖς δύο ἢ καὶ τοῖς τρισίν... ἐπειδὴ δὲ τῶν προσυλλογισμῶν τὸ συμπέρασμα λαμβάνοντες καὶ ἐπισυνάπτοντες ἑτέραν πρότασιν οὕτω τὸν συλλογισμὸν πλέκομεν, ἐκεῖνο ἐπιστῆσαι χρή, ὡς καὶ ὁ Ἀλέξανδρός φησιν, ὅτι εἰ μὲν ἐν τρίτῳ σχήματι εἴη ὁ προσυλλογισμός, ἐξ αὐτοῦ δὲ ἐπὶ τὸ πρῶτον μεταβαίνωμεν, ἀεὶ κάτωθεν δεῖ τὴν πρότασιν προστιθέναι. Ioh. Phil. f. LXXXVI.

τὸ "εἶτα διαλεχθείη ὅτι οὐκ ἔστι μία δύναμις τῶν ἐναντίων" 50 a 20.
ἴσον ἐστὶ τῷ δείξειε καὶ συλλογίσαιτο ὅτι μή ἐστι τῶν ἐναντίων μία δύναμις· τοῦτο γὰρ σημαίνει τὸ οὐ πᾶσα δύναμις τῶν ἐναντίων. μὴ γεγονότος δὴ πρὸς αὐτὸ συλλογισμοῦ οὐδ' ἀνάλυσις ἂν γένοιτο. τοῦτο δὲ καὶ αὐτὸς διὰ τοῦ "τοῦτον μὲν οὖν οὐκ ἔστιν ἀναγαγεῖν τὸν λόγον" εἴρηκε· συλλογισμὸς γὰρ οὐκ ἔστι· τιθέναι μὲν οὖν αὐτὸν ἀναγκαῖον, οὐ μὴν διὰ συλλογισμῶν, ἀλλὰ διὰ τὴν ὁμολογίαν τὴν ἐξ ἀρχῆς. τὸ δὲ "ὅτι μία δύναμις τῶν ἐναντίων" ἔστιν ἀναγαγεῖν· διὰ συλλογισμῶν γὰρ ἐκεῖνο ἐδείχθη, ὡς ἡμεῖς ἐφθάκαμεν δεδειχέναι. καὶ τούτου ἀνάλυσις ἂν εἴη τοῦ ὅτι μία δύναμίς ἐστιν. τοῦτο δ' εἴρηκεν ὡς ἴσον τῷ "ὅτι μία δύναμίς ἐστιν·" λείποι δ' ἂν τῇ λέξει καὶ τὸ τῶν ἐναντίων. τὸ δ' "ἴσως" προσέθηκεν ὅτι μὴ πάντως τοῦτο διὰ συλλογισμῶν δείκνυται, ἀλλ' ἔνεστιν καὶ αὐτὸ ὡς ἐναργὲς δι' ὑποθέσεως καὶ διὰ συνθήκης λαβεῖν... ὅτι μηδὲ πᾶν τὸ μεταλαμβανόμενον διὰ κατηγορικοῦ δείκνυται συλλογισμοῦ, ἀλλ' ἔστι πολλάκις καὶ διὰ τὴν ἐνάργειαν τιθέμενον, ὡς ἐκ τοῦ προειρημένου παραδείγματος δῆλον· τὸ γὰρ μὴ δύνασθαι συνυπάρχειν ὑγείαν καὶ νόσον ὄντα ἐναντία ὡς ἐναργὲς προσλαμβάνεται ἀλλ' οὐχ ὡς δεδειγμένον διὰ συλλογισμῶν. καὶ Θεόφραστος δὲ ἐν τῷ πρώτῳ τῶν Προτέρων Ἀναλυτικῶν λέγει τὸ προσλαμβανόμενον ἢ δι' ἐπαγωγῆς τίθεσθαι ἢ καὶ αὐτὸ ἐξ ὑποθέσεως ἢ δι' ἐναργείας ἢ διὰ συλλογισμῶν. Alex. f. 131.

διαφέρουσι δέ, φησίν, οἱ εἰς ἀδύνατον ἀπάγοντες τῶν ἐξ ὁμο- 50 a 32.
λογίας, ὅτι οἱ μὲν εἰς τὸ ἀδύνατον ἀπάγοντες τὴν πρόσληψιν, ὅπερ οὐκ ἀποδεικνύουσιν, οὐκ ἐκ συνθήκης λαμβάνουσιν ὁμολογούμενον ἀλλ' ἐξ αὐτῆς τῆς ἐναργείας μαρτυρούμενον, ἐκεῖνοι δὲ ἐκ συνθήκης. Ioh. Phil. f. LXXXVIII.

περὶ τούτων ὑπερτίθεται μὲν ὡς ἐρῶν ἐπιμελέστερον, οὐ μὴν φέ- 50 a 40.
ρεται αὐτοῦ σύγγραμμα περὶ αὐτῶν. Θεόφραστος δ' αὐτῶν ἐν τοῖς ἰδίοις Ἀναλυτικοῖς μνημονεύει, ἀλλὰ καὶ Εὔδημος καί τινες ἄλλοι τῶν ἑταίρων αὐτοῦ. λέγοι δ' ἂν τούς τε διὰ συνεχῶν, ὃ καὶ συνημ-

γορούμενος αἴτιος τοῦ ἀποφατικοῦ συμπεράσματος, ἐν πᾶσι δὲ ἐν οἷς ἀποφατικόν τι συνάγεται τῷ κατὰ σχέσιν τινὰ καὶ κατὰ πτῶσιν συντάττεσθαι τῷ ἀναιρουμένῳ ἐν τῷ προβλήματι τὸν μέσον ἢ καταφατικῶς ἢ ἀποφατικῶς, οὐκ ἔσονται οἱ ὅροι πάντως κατ' εὐθεῖαν πτῶσιν ἀλλήλοις συντιθέμενοι, ἀλλὰ οὕτως ὡς ἐπὶ τῶν προειρημένων παραδειγμάτων δείκνυται. καὶ ἀπ' ἀρχῆς παρεωρᾶσθαι καὶ εἶναι ἁμάρτημα ἐν τῇ λέξει, γραφέντος ἀντὶ τοῦ "τῷ λέγεσθαί πως πρὸς αὐτὸ τὸ μέσον" τοῦ "τῷ λέγεσθαι πρὸς αὐτὸ τὸ γένος." Alex. f. 123 *b*.

48b 40. ὃ βούλεται ἐν τούτοις εἰπεῖν τοῦτό ἐστιν, ὅτι ἐν μὲν τῇ ἐκθέσει τῶν ὅρων ἐν οἷς ζητοῦμεν τὰ ὑπάρχοντα καὶ τὰ ἑπόμενα, κατ' εὐθεῖαν δεῖ πτῶσιν ἐκτίθεσθαι τοὺς ὅρους, ἐπειδὰν μέντοι συμπλέκωμεν ἀλλήλοις, ἵνα τὰς τοῦ συλλογισμοῦ προτάσεις ποιήσωμεν, κατά τινα τῶν τοῦ ὀνόματος πτώσεων καὶ οὐ μόνον κατὰ τὴν εὐθεῖαν. τὸ γὰρ "κατὰ τὰς κλήσεις τῶν ὀνομάτων" ἀντὶ τοῦ κατὰ τὰς εὐθείας· αὗται γάρ εἰσι καθ' ἃς ἕκαστος κέκληται. Ioh. Phil. f. LXXXIV.

48b 41. ὃ καὶ καθόλου παραινεῖ δεῖν ποιεῖν, τοὺς μὲν ὅρους ἐκτίθεσθαι κατὰ τὰς κλήσεις τῶν ὀνομάτων, τουτέστι κατὰ τὰ ὀνόματα (τὰς γὰρ πτώσεις οὐκ εἶναι ὀνόματα εἶπεν ἐν τῷ περὶ Ἑρμηνείας (c. 2)), συμπλέκειν δὲ αὐτοὺς ἐν ταῖς προτάσεσιν κατὰ τὰς ἁρμοζούσας πτώσεις. Alex. f. 126.

49a 4. καίτοι τὰς πέντε ἐξέθετο πτώσεις χωρὶς τῆς κλητικῆς· οὐ γὰρ πρόσφορος τῷ ἀποφατικῷ λόγῳ. πῶς οὖν φησὶν "ἢ εἴ πως ἄλλως πίπτει τοὔνομα;" μήποτε οὖν ἐπειδὴ πολλάκις καὶ ῥήμασι χρώμεθα ἐν τοῖς ὑποκειμένοις ὅροις, οἷον τὸ φιλοσοφεῖν ἀγαθόν ἐστιν, διὰ τοῦτο εἶπε τὸ "ἢ εἴ πως ἄλλως πίπτει τοὔνομα·" καὶ γὰρ ταῦτα ὀνόματά εἰσι τῶν ῥημάτων, διὸ καὶ μετὰ ἄρθρων λέγεται. Ioh. Phil. f. LXXXIV.

49a 6. εἰπὼν περὶ τῆς κατὰ τὰς πτώσεις τῶν ὅρων συμπλοκῆς, λέγει νῦν περὶ τῆς ἰδέας αὐτῶν, ὅτι οὐκ ἀεὶ ἐκ τῆς οὐσίας λαμβάνονται ἀλλὰ καὶ ἐκ τῶν ἄλλων κατηγοριῶν. id. ib.

49a 8. τουτέστιν ἢ κατά τι τῶν εἰδῶν, οἷον Σωκράτης λευκός, ἢ κατὰ γένη, οἷον Σωκράτης κέχρωσται ἢ πεποίωται, πᾶσα οὐσία μετὰ ποιότητος, καὶ ἀποφατικῶς, οὐδεμία οὐσία μετὰ ποιότητός ἐστιν. καὶ αὗται μὲν ἁπλαῖ ἐκ τῶν συμβεβηκότων κατηγορίαι ἢ πῇ ἢ ἁπλῶς, συμπεπλεγμέναι δὲ ὡς ὅταν εἴπω Σωκράτης βαδίζων μανθάνει· συνέπλεξα γὰρ τῷ ποσῷ τὸ ποιόν. ἢ οὖν τοῦτό φησι τὸ συμπεπλεγμένα, ἢ ὅτι ἐν ἑνὶ ὅρῳ τῷ κατηγορουμένῳ δύο κατηγορίας συμπλέκειν, ἢ καὶ ἐν τῇ ὅλῃ προτάσει συμπλέκειν, ἵνα τὸν μὲν τῶν ὅρων ἐξ ἄλλης κατηγορίας λάβωμεν τὸν δὲ ἐξ ἄλλης. id. ib.

49a 9. ἢ ὡς μέλλων περὶ τούτων διορίζεσθαι ταῦτά φησι, ποῖαι μὲν τῶν κατηγοριῶν ἰδίᾳ κατηγορεῖσθαι δύνανται οὐ μὴν συμπεπλεγμένως, ποῖαι δὲ καὶ συμπλέκεσθαι δύνανται· ἢ ἡμῖν τοῦτο ποιεῖν παρακελεύεται, ἵν' ὦμεν προπαρεσκευασμένοι καὶ τούτῳ. Ioh. Phil. f. LXXXIV *b*.

"ἐπισκεπτέον δὲ ταῦτα καὶ διοριστέον βέλτιον." ἐπεὶ τῶν συγκειμένων ἐν ταῖς κατηγορίαις τὰ μὲν μίαν πρότασιν ποιεῖ τὰ δ' οὐ μίαν, ἔστι δὲ τῶν ἰδίᾳ κατηγορουμένων ἀληθῶς τὰ μὲν καὶ συνθέντας ἀληθῶς κατηγορεῖν, τὰ δὲ συνθέντας οὐκ ἔστιν ἀληθῶς κατηγορεῖν, περὶ τούτων ἀξιοῖ ἄμεινον δεῖν ἐπεσκέφθαι. ἀλλὰ καὶ περὶ τῶν ἄλλων ὧν τὰ κεφάλαια ἐκτίθεται· καὶ αὐτὸς μὲν γὰρ ἐν τῷ περὶ Ἑρμηνείας, ἐπὶ πλέον δὲ ὁ Θεόφραστος ἐν τῷ περὶ Καταφάσεως περὶ τούτων λέγει. Alex. f. 124.

49a 11. "τὸ δ' ἐπαναδιπλούμενον," ὅ ἐστι τὸ δὶς λαμβανόμενον, οὐχ ἁπλῶς τὸ προστιθέμενον καὶ προσκατηγορούμενον· τοῦτο γὰρ καὶ αὐτὸ τὸ ὄνομα δηλοῖ τὸ τῆς ἐπαναδιπλώσεως. ἔστι δὲ ὁ ἐπαναδιπλούμενος ἐν ταῖς προτάσεσιν ὁ μέσος ὅρος· οὗτος γὰρ γίνεται προσκατηγορούμενος ἐπαναδιπλωθείς. οὗ φησι δὲ δεῖν ἐν ταῖς ἀναλύσεσι τῶν τοιούτων συλλογισμῶν τῷ μέσῳ ὅρῳ τὸ δεύτερον λαμβανόμενον καὶ ἐπαναδιπλούμενον συντάσσεσθαι, ὡς δὶς εἶναι τὸν μέσον λεγόμενον, ἀλλὰ τῷ πρώτῳ, τουτέστι τῷ μείζονι καὶ κατηγορουμένῳ. Alex. f. 124 *b*.

49a 21. ὅμοιον τούτοις ἐστὶ καὶ τὸ "ὁ τραγέλαφος δοξαστὸν ᾗ μὴ ὄν." σφόδρα δὲ συντόμως εἰρημένον ἀσάφειαν ἔχει· μόνον γὰρ ἔλαβε τὸ ἐπαναδιπλούμενον τοῦ ὑποκειμένου κατηγορούμενον, παραλιπὼν τῷ κατηγορουμένῳ προσκεῖσθαι αὐτὸ δεῖν. ἔστι γὰρ τὸ συμπέρασμα τὸ "τραγέλαφος δοξαστὸν ᾗ μὴ ὄν," ὁ δὲ συλλογισμός, τραγέλαφος μὴ ὄν, τὸ μὴ ὂν δοξαστὸν ᾗ μὴ ὄν· ἐφ' αἷς προτάσεσι τὸ συμπέρασμα τὸ "τραγέλαφος δοξαστὸν ᾗ μὴ ὄν." τινὲς δὲ ἤκουσαν οὕτως· ὁ τραγέλαφος μὴ ὄν, τὸ μὴ ὂν μὴ ὂν ᾗ μὴ ὄν, τραγέλαφος ἄρα μὴ ὂν ᾗ μὴ ὄν. ὅμοιον παράδειγμα τοῖς προειρημένοις καὶ τὸ ἄνθρωπος φθαρτὸν ᾗ αἰσθητόν· ἔστι γὰρ συμπέρασμα ἔχον ἐπαναδιπλούμενον τὸ αἰσθητόν, δῆλον ὡς διὰ μέσου ὅρου τοῦ αἰσθητοῦ γεγονότος καὶ δεδειγμένου. Alex. f. 125.

τρίτον ὑπόδειγμα, ὁ τραγέλαφος μὴ ὄν, τὸ μὴ ὂν δοξαστὸν ᾗ μὴ ὄν, ὁ τραγέλαφος ἄρα δοξαστός ἐστιν ᾗ μὴ ὄν. παραλέλειπται τὸ δοξαστόν. Ioh. Phil. f. LXXXIV *b*.

49a 25. ἔοικε μέντοι ταὐτὸν λέγειν ἐπικατηγορούμενόν τε καὶ ἐπαναδιπλούμενον· ἐπήνεγκε γὰρ τὸ "πρὸς τῷ ἄκρῳ τὴν ἐπαναδίπλωσιν θετέον." Alex. f. 125.

49b 2. ἐν μέρει συλλογισμοὺς εἶπε τοὺς οὐχ ἁπλῶς ἔχοντας τὸ κατηγορούμενον ἀλλὰ μετὰ προσθήκης τῆς δηλούσης τί τόδε ἢ πῇ ἢ πῶς· ταῦτα γὰρ καὶ τὰ τούτων δηλωτικὰ προσκείμενα τῷ κατηγορουμένῳ μερικώτερον αὐτὸ ποιεῖ. Alex. f. 126.

49b 3. δεῖ, φησίν, ἐν ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν, ὑπὲρ τοῦ εὐκολώτερον ἀναλύειν, μεταλαμβάνειν τὰ ἐν τοῖς ὅροις κείμενα εἰς τὰ τὸ αὐτὸ δυνάμενα. τὸ αὐτὸ δὲ δύναται καὶ ὀνόματα ὀνόμασι καὶ λόγοι λόγοις καὶ ὀνόματα λόγοις. ἐπεὶ οὖν οὐκ ἐν ταῖς λέξεσιν ὁ συλλογισμὸς τὸ εἶναι ἔχει ἀλλ' ἐν τοῖς σημαινομένοις, σημαίνει δὲ λόγοις ὀνόματα ταὐτὸν ὅταν ὦσιν οἱ ὅροι διὰ λόγων εἰλημμένοι, ἀναλύοντας χρὴ εἰς τὰ ἴσον τοῖς λόγοις ὀνόματα δυνάμενα καὶ σημαίνοντα ταὐτὸν προηγοῦμαι μεταλαμβάνειν τοὺς ὅρους· ῥᾴων γὰρ ἡ ἀνάλυσις τῶν συλλογισμῶν καὶ τὰς προτάσεις καὶ ἡ εὕρεσις τοῦ σχήματος καθ' ὃ ἠρώτηται γίνεται ὀνομάτων ὄντων ὅρων καὶ μὴ λόγων... ὁ Ἀριστοτέλης μὲν οὖν οὕτω περὶ τῶν κατὰ τὰς λέξεις μεταλήψεων ἀποφαίνεται, οἱ δὲ νεώτεροι ταῖς λέξεσιν ἐπακολουθοῦντες, οὐκέτι δὲ τοῖς σημαινομένοις, οὐ ταὐτόν φασι γίνεσθαι ἐν ταῖς εἰς τὰς ἰσοδυναμούσας λέξεις μεταλήψεσι τῶν ὅρων. id. ib.

ὅτι ὅταν λέγῃ ἢ κατ' εὐθεῖαν ἢ κατά τινα τῶν πλαγίων τοὺς ὅρους ἐκτίθεσθαι, περὶ τῶν ἐν ταῖς προτάσεσιν ὑποκειμένων λέγει· οἱ γὰρ κατηγορούμενοι ἀεὶ κατ' εὐθεῖαν τίθενται πτῶσιν, κἂν ποτε πλαγία πτῶσις εὑρεθῇ ἐν κατηγορουμένῳ, πάντως καὶ εὐθεῖα νοεῖται ἔξωθεν, ἢ πάντως διὰ τοῦ ῥήματος, εἴγε πᾶν ῥῆμα εὐθείας ἐστὶ πτώσεως, πλὴν τοῦ μέλει καὶ μεταμέλει, οἷον Σωκράτους φιλοσοφοῦντος ἡμᾶς ἀκροᾶσθαι δεῖ· ἔνεστι γὰρ ἐν τῷ δεῖ ἡ εὐθεῖα· οὐδὲν γὰρ ἕτερον ἢ ἡμᾶς δέον ἐστίν... πρῶτον μέν φησι τὸν μείζονα ὅρον, ἄκρον δὲ τὸν ἐλάττονα· κατηγορηθησομένων δέ φησιν ἀντὶ τοῦ κατ' εὐθεῖαν πτῶσιν· ἐν ταύταις γάρ εἰσιν αἱ κυρίως κατηγορίαι, λέγω δὴ τὸ ὑπάρχειν τόδε τῷδε, ὁ ἄνθρωπος ζῷόν ἐστί. καὶ οὕτω μὲν ὁ διδάσκαλος. οἶμαι δὲ ἁπλούστερον πᾶσαν κατηγορίαν λέγειν αὐτόν· εἰπὼν γὰρ ὡς ἀεὶ κατηγορηθησομένων ἀλλήλων, ἐπήγαγεν "ὁμοίως τὸ πρῶτον τοῦ μέσου καὶ τοῦτο τοῦ ἐσχάτου." εἰ δὲ τὸ κατηγορηθησόμενον τὸ κατ' εὐθεῖαν ἐκκεῖσθαι αὐτῷ ἐσήμαινε, παρέλκον ἦν τὸ ἐπάγειν "ὁμοίως τό τε πρῶτον τοῦ μέσου καὶ τοῦτο τοῦ ἐσχάτου." Ioh. Phil. f. LXXXII.

48 b 2. ὁσαχῶς, φησίν, ἕκαστον τῶν ὄντων εἶναι λέγεται, τοσαυταχῶς κατηγορεῖν ἄλλο ἄλλου ἐνδέχεται. λέγει δὲ ἕκαστον εἶναι κατὰ τὰς τῶν ὀνομάτων πτώσεις· λέγεται γὰρ Σωκράτης ἐστί, Σωκράτους ὄντος, Σωκράτει εἶναι· ὁσάκις οὖν ἕκαστον εἶναι λέγεσθαι δύναται καὶ ἀληθῶς εἶναι, τοσαυταχῶς καὶ τὰς προτάσεις συμπλέξαι δύναται, ἢ ἀμφοτέρας ὡσαύτως, ἢ τὴν μὲν οὕτως τὴν δὲ οὕτως. Ioh. Phil. f. LXXXII *b*.

48 b 4. καὶ ὁσαχῶς συντεταγμένων ἀλλήλοις τῶν ὅρων ἔστιν ἀληθῆ εἰπεῖν εἶναι τὴν πρότασιν, τοσαυταχῶς χρὴ τοὺς ὅρους ἐν ταῖς προτάσεσι πειρᾶσθαι συμπλέκειν ἀλλήλοις καὶ λέγειν ὑπάρχειν τὸν ἕτερον τῷ ἑτέρῳ. Alex. f. 122.

48 b 7. τουτέστιν οὐ κατ' εὐθεῖαν ὑπάρχειν τῷ β' τὸ α' (τοῦτο γὰρ σημαίνει αὐτῷ τὸ "οὐχ ὡς τὰ ἐναντία," ὡς εἴ τις ἔλεγε τὰ ἐναντία πολέμια ἐστίν), ἀλλὰ κατὰ γενικὴν τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη... ἢ (τοῦτό φησιν) ὅτι οὐκ ἔστι τοῖς ἐναντίοις ἐν τούτῳ τὸ εἶναι, ἐν τῷ μίαν εἶναι αὐτῶν ἐπιστήμην, διὸ οὐδὲ κατ' εὐθεῖαν δυνατὸν κεῖσθαι, ὥσπερ Σωκράτει τὸ εἶναί ἐστιν ἐν τῷ ἄνθρωπον εἶναι, διό φαμεν Σωκράτης ἄνθρωπός ἐστιν. οὐχ οὕτω δὲ καὶ τὸ μίαν εἶναι τῶν ἐναντίων ἐπιστήμην· διὸ οὔ φαμεν τὰ ἐναντία ἐστὶν ἐπιστήμη, ἀλλὰ τῶν ἐναντίων. Ioh. Phil. f. LXXXII *b*.

48 b 10. τὸ "λέγεσθαι" φησὶν ἀντὶ τοῦ κατ' εὐθεῖαν πτῶσιν· αὕτη γάρ ἐστιν ἡ ὀνοματικὴ πτῶσις καθ' ἣν ἕκαστον εἶναι λέγεται. id. ib.

48 b 12. τὴν ἐλάττονα πρότασιν θέσθαι βουλόμενος (ἤδη γὰρ ἐξέθετο τὴν μείζονα εἰπὼν "ἡ σοφία ἐστὶν ἐπιστήμη") συνέπλεξε τοὺς τρεῖς ὅρους εἰπὼν "τοῦ ἀγαθοῦ ἡ σοφία ἐπιστήμη ἐστίν." ἐπειδὴ γὰρ τὸ λέγειν "τοῦ ἀγαθοῦ σοφία ἐστίν" ἀσαφές πως ἐδόκει εἶναι, τί σημαίνει τὸ σοφίαν εἶναι τοῦ ἀγαθοῦ βουλόμενος δεῖξαι εἶπεν ὅτι ἡ τοῦ ἀγαθοῦ ἐπιστήμη ἡ σοφία ἐστίν· ὥστε ἐπὶ πλέον εἶναι τὴν ἐπιστήμην τῆς σοφίας. id. ib.

ἐν τῇ ἐκθέσει τῶν προτάσεων συνέπλεξε τῇ ἐλάττονι προτάσει αὐτὸν μείζονα καὶ κατηγορούμενον, συνθεὶς αὐτὸν τῷ μέσῳ, εἰπὼν "τοῦ δ' ἀγαθοῦ ἐστὶν ἡ σοφία ἐπιστήμη." ἦν γὰρ ἡ πρότασις "ἡ τοῦ ἀγαθοῦ γνῶσίς ἐστι σοφία·" ἡ γὰρ ἐπιστήμη οὐ τῇ σοφίᾳ συνῆπται, οὐδέ ἐστι τοῦ μέσου ὅρου μέρος, ἀλλ' ἔστιν ὁ κατηγορούμενος καὶ μείζων ὅρος· ἡ γὰρ σοφία ἐπιστήμη. παρ' ὃ καὶ ἀσαφεστέρα ἡ λέξις γέγονεν. ὅτι γὰρ ὁ κατηγορούμενος ὅρος ἐστὶν ἡ ἐπιστήμη, ἐδήλωσε δι' οὗ ἐπήνεγκε συμπεράσματος· γίνεσθαι γὰρ εἶπε συμπέρασμα τὸ τοῦ ἀγαθοῦ ἐπιστήμην εἶναι, ὃ οὐκ ἂν ἦν συμπέρασμα εἰ ἡ ἐπιστήμη συνῆπτο τῇ σοφίᾳ, ὡς ἕνα καὶ μέσον ὅρον τὸν ὅλον εἶναι. δύναται τὸ "ἐπιστήμη" προστεθεικέναι ὑπὲρ τοῦ δεῖξαι ὅτι κατὰ γενικὴν πτῶσιν λαμβανομένου τοῦ ἀγαθοῦ ἡ σοφία κατηγορεῖται· ὅτι γὰρ ἐπιστήμη αὐτῆς ἡ σοφία, δύναται τὸ "ἐπιστήμη" καὶ ἀντὶ τοῦ γνῶσις εἰρηκέναι. Alex. f. 122 *b*.

ὃ βούλεται λέγειν τοῦτό ἐστιν, ὅτι τὸ μὲν συμπέρασμα κατὰ γενικὴν προενήνεκται, οὐ κατ' εὐθεῖαν, ὥσπερ καὶ ἡ ἐλάττων πρότασις· οὐ γὰρ 48 b 13.
συνῆκται ὅτι τὸ ἀγαθὸν ἄρα ἐπιστήμη ἐστίν, ἀλλὰ τοῦ ἀγαθοῦ ἐστὶν ἐπιστήμη· ἡ μέντοι μείζων πρότασις κατ' εὐθεῖαν προενήνεκται· ἡ σοφία γάρ, ἔφαμεν, ἐπιστήμη ἐστίν. Ioh. Phil. f. LXXXIII.

ἀντιστρέφει τὰς προτάσεις, καὶ τὴν μὲν ἐλάττονα κατ' εὐθεῖαν 48 b 15.
συμπλέκει τὴν δὲ μείζονα κατὰ γενικήν, καὶ τὸ συμπέρασμα πάλιν κατὰ γενικὴν συνάγει. id. ib.

ἡ μέντοι ἐλάττων κατ' εὐθεῖαν προενήνεκται· τοῦτο γὰρ ἐσή- 48 b 19.
μανεν εἰπὼν "ἀλλὰ τὸ ἀγαθὸν ταῦτα." οὕτω γὰρ ἐλέγομεν, τὸ ἀγαθὸν ποιόν ἐστιν ἢ ἐναντίον. id. ib.

τὸ μέντοι ἀγαθὸν ἔκειτο ἢ ἐναντίον εἶναι ἢ ποιὸν κατ' εὐθεῖαν πτῶσιν· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰπεῖν "ἀλλὰ τὸ ἀγαθὸν ταῦτα," ὧν ἐμνημόνευσε· τὸ γὰρ ἀγαθὸν ἐναντίον ἢ ποιόν, ἄμφω κατ' εὐθεῖαν. Alex. f. 123.

τουτέστιν οὐδὲν κατ' εὐθεῖαν πτῶσιν προενήνεκται. καὶ ὅρα πῶς 48 b 24.
τὸ κατηγορεῖσθαι τὸ κατ' εὐθεῖαν πτῶσιν κατηγορεῖσθαί φησι, διὸ καὶ ἀνωτέρω ἔλεγε τὸ "ὡς ἀεὶ κατηγορηθησομένων" (p. 48 *a* 41) ἀντὶ τοῦ κατ' εὐθεῖαν πτῶσιν προσοισθησομένων. Ioh. Phil. f. LXXXIII.

ἄκρον πάλιν εἶπε τὸν ἔσχατον ὅρον τὸν ὑποκείμενον ἐν τῷ συμ- 48 b 26.
περάσματι. εἰ δὲ τὸ ἀγαθόν· κατὰ μὲν γὰρ τούτου τὸ γένος αὐτὸ εἶναι κατηγορεῖται, ἐν δὲ ταῖς προτάσεσιν οὔτε τούτου ἡ ἐπιστήμη οὔτε τῆς ἐπιστήμης τὸ γένος· τοῦτο γὰρ δηλοῖ τὸ "κατ' ἀλλήλων δὲ οὐ λέγεται." Alex. f. 123.

τουτέστι καὶ ἐν τοῖς ἄλλοις σχήμασιν ἐν οἷς ἀποφατικὸν συνά- 48 b 33.
γεται συμπέρασμα. γένος δὲ τὸν ἐν δευτέρῳ σχήματι μέσον ὅρον ἐκάλεσεν, διότι καθολικώτερός ἐστιν ἀμφοτέρων τῶν ἄκρων... δῆλον δὲ καὶ ἐντεῦθεν ὅτι οὐ τῆς ἀκριβείας τῶν πραγμάτων καταγίνεται, ἀλλὰ τοῦ ὑποδείγματος θεῖναι· δῆλον γὰρ ὅτι, ὥσπερ ἐστὶ θεῷ καιρὸς οὐ πρὸς αὐτὸν ἀλλὰ πρὸς τὰ ὑπ' αὐτοῦ γινόμενα, οὕτω καὶ δέων χρόνος ἐστὶν πρὸς ἐκεῖνα. Ioh. Phil. f. LXXXIV.

μετὰ τὸ τοῦτο εἰπεῖν πάλιν ἀποφατικοῦ συλλογισμοῦ παράδειγμα 48 b 35.
ἐν τρίτῳ σχήματι ἐκτίθεται, ὡς οὐκέτι ἐπὶ τούτου τοῦ παραδείγματος τοῦ μέσου ὅρου γένους τάξιν ἔχοντος, ὅτι μηδὲ κατηγορεῖται. ἢ οὐκ ἐπὶ τῆς ἀποφατικῆς προτάσεως εἶπε μόνης τὸ "λέγεσθαί πως πρὸς αὐτὸ τὸ γένος," ἀλλ' ἐπὶ τοῦ προβλήματος ὅλου· ὁ γὰρ μέσος ἐν τῷ δευτέρῳ σχήματι ἀμφοτέρων τῶν ἐν τῷ προβλήματι ὅρων κατη-

47a 23. δέδεικται γὰρ ἐν τοῖς περὶ τῶν τριῶν σχημάτων ὅτι ἀδύνατον ἐκ δύο μερικῶν συλλογισμὸν γενέσθαι, δέδεικται δὲ ὅτι αἱ ἀπροσδιόριστοι ἰσοδυναμοῦσι ταῖς μερικαῖς· ἐν οὖν ταῖς ἐγκειμέναις προτάσεσιν ἀπροσδιορίστοις οὔσαις τὸ ἀναγκαῖον οὐ συλλογιστικῶς συνῆκται, ἀλλὰ διὰ τὴν ὕλην αὐτήν. Ioh. Phil. f. LXXIX b.

47b 15. εἰπὼν πῶς δεῖ τοὺς συλλογισμοὺς ἀναγαγεῖν εἰς τὰ σχήματα... νῦν διδάσκει ὅτι γίνεται ἀπάτη παρὰ τὴν ὁμοιότητα τῆς τῶν ὅρων θέσεως· πολλάκις γὰρ τῶν ὅρων συλλογιστικῶς κειμένων ἀρκεῖν οἰόμεθα τοῦτο εἰς συλλογισμῶν γένεσιν· πρότερον γὰρ ἐπὶ τοῦ ἀναγκαίου καὶ τῶν ὅρων μὴ συλλογιστικῶς κειμένων ἐδόκει συλλογισμὸν γίνεσθαι διὰ τὸ ἀναγκαῖον, ὡς ἐφ' ὧν παρέθετο ὑποδειγμάτων. πολλάκις δὲ οἱ ὅροι συλλογιστικῶς κεῖνται, παραλείπεται δέ τι τῶν παραπεφυλαγμένων εἰς τὴν τῶν συλλογισμῶν γένεσιν· εἶτα ἀληθοῦς ὄντος τοῦ συμπεράσματος, εἰ οὕτω τύχοι, οἰόμεθα καὶ συλλογιστικῶς αὐτὸ συνῆχθαι διὰ τὸ ὡς εἶπον συλλογιστικῶς κεῖσθαι τοὺς ὅρους, οἷον εἰ τὸ α' ἕπεται τῷ β' καὶ τὸ β' τῷ γ', ἤδη καὶ τὸ α' τῷ γ' ἕπεσθαι διὰ τὴν τῶν ὅρων θέσιν. τὸ δὲ οὐχ οὕτως ἔχει· ἐπὶ πλείστων γὰρ ἐλέγχεται ψευδὴς ὁ λόγος. λέγω δὲ οὕτω, φησίν. ὁ Ἀριστομένης διανοητός ἐστιν Ἀριστομένης· ἔστι γὰρ τοῦ Ἀριστομένους διάνοια. ὁ διανοητὸς Ἀριστομένης ἀεί ἐστιν· ἀεὶ γάρ ἐστιν ἡ τοῦ Ἀριστομένους διάνοια, εἰ καὶ ἄλλοτε ἐν ἄλλῳ. καὶ συνάγεται ψεῦδος, ὁ ἄρα Ἀριστομένης ἀεί ἐστιν. καίτοι οἱ ὅροι συλλογιστικῶς κεῖνται καὶ αἱ προτάσεις ἀληθεῖς εἰσίν. ἡ μὲν οὖν δόκησις τοῦ εἶναι συλλογισμὸν παρὰ τὴν θέσιν τῶν ὅρων· ἀλλ' οὐκ ἤρκει τοῦτο μόνον, ἀλλὰ καὶ τὸ δεῖν πάντως καθολικὴν εἶναι πρότασιν, ἐνταῦθα δὲ ἄμφω μερικαί εἰσιν· ἀπροσδιόριστοι γάρ. Ioh. Phil. f. LXXX.

47b 29. ἄλλο ὑπόδειγμα τοῦ αὐτοῦ τίθησιν. ἐν ὑποθέσει δὲ ὁ λόγος· ὑπόκειται γὰρ ὁ μὲν Μίκαλος μουσικὸς ὢν αὔριον ἀποβαλεῖν μὲν τὴν μουσικήν, μὴ φθείρεσθαι δὲ αὐτός. Ioh. Phil. f. LXXX b.

47b 35. δόξει γὰρ μηδὲν διαφέρειν ἀπροσδιορίστῳ προτάσει ἀντὶ καθολικῆς χρήσασθαι, λέγω δὴ ἀντὶ τοῦ εἰπεῖν πᾶς ἄνθρωπος ζῷον, ὅτι ὁ ἄνθρωπος ζῷον. id. ib.

47b 40. ἐπ' ἄλλο μεταβαίνει ἁμάρτημα. πολλάκις γὰρ καὶ συλλογιστικῶς ἔκκεινται οἱ ὅροι κατὰ τὴν θέσιν καὶ ἀληθεῖς εἰσὶν αἱ προτάσεις καὶ μείζων πρότασις μία ἢ δύο παρειληπται, παρὰ δὲ τὴν λέξιν ἡ ἁμαρτία γίνεται· πολλάκις γάρ, φησί, τὰς ἕξεις ἀντὶ τῶν μετειληφότων παραλαμβάνομεν, καὶ ἐντεῦθεν ψεῦδος γίνεται... ἐν μὲν οὖν τῷ πρώτῳ καὶ τῷ δευτέρῳ σχήματι τῶν ἕξεων ἐν τοῖς ὅροις κειμένων κατὰ Ἀριστοτέλην συνήγετο τὸ ψεῦδος· αὐτῷ γὰρ δοκεῖ τῇ μείζονι ἀναγκαίᾳ οὔσῃ ἕπεσθαι τὸ συμπέρασμα, τῶν περὶ Θεόφραστον οὐχ οὕτως οἰομένων, ἀλλὰ τῇ ἐνδεχομένῃ, ὡς εἴρηται· ἐν μέντοι τῷ τρίτῳ σχήματι κατὰ τὰ πᾶσι δοκοῦντα παρὰ τὴν εἰρημένην αἰτίαν τὸ ψεῦδος συνάγεται. Ioh. Phil. f. LXXX b - LXXXI.

48a 2. ἡ μὲν ὑγεία καὶ ἡ νόσος αἱ ἕξεις ἦσαν, τὸ δὲ ὑγιαίνει καὶ τὸ νοσεῖ διαθέσεις κατὰ τὰς ἕξεις. ὅταν οὖν τοὺς ὅρους τούτους ἐκτιθώμεθα, καὶ κατηγορήσαντες τοῦ ἀνθρώπου, οὐ τὰς ἕξεις αὐτὰς χρὴ λαμβάνειν ἀλλὰ τὰς κατὰ τὰς ἕξεις διαθέσεις· ἢ γὰρ ψευδῆ πρότασιν ληψόμεθα ἢ ἀσυλλόγιστος ὁ λόγος ἔσται. Alex. f. 119 b.

ἂν οὖν μεταλάβωμεν ἀντὶ τῆς ὑγείας καὶ τῆς νόσου τὸ ὑγιαῖνον 48a 16. καὶ τὸ νοσοῦν, οὐκ ἔσται ἀναγκαία καθόλου ἀποφατικὴ ἀληθὴς ἡ λέγουσα τὸ ὑγιαίνειν ἐξ ἀνάγκης οὐδενὶ νοσοῦντι. ἔνεστι δὲ καὶ ἐπὶ ταύτης τῆς συζυγίας τὰ αὐτὰ εἰπεῖν, ὅτι οὐδὲ ἡ πρότασις ἁπλῶς ἡ λέγουσα ὑγεία κατὰ παντὸς ἀνθρώπου, ὅτι μηδὲ ἀληθὲς εἶναι δύναται τὸ πᾶς ἄνθρωπος ὑγεία ἐστίν. ὥστε διὰ τοῦτο οὐ καλῶς οἱ ὅροι εἰσὶ κείμενοι, ἀλλὰ χρὴ μεταλαμβάνειν τὰς ἕξεις εἰς τὰ κατὰ τὰς ἕξεις. Alex. f. 120.

ἐὰν τὰς ἕξεις λαβὼν συμπλέξω ἐν γ' σχήματι τὸν συλλογι- 48a 18. σμόν, συνάγεται ψευδὲς συμπέρασμα, οὐ καθόλου αὐτὸ ἀλλὰ κατὰ τὸ ἐνδεχόμενον. οἷον ὑγίειαν ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν, νόσον παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν, καὶ ὅσον ἐπὶ ταῖς προτάσεσιν ὑγίειαν ἐνδέχεται μηδεμιᾷ νόσῳ ὑπάρχειν. ἀλλ' οὐκ ἐνδέχεται, ἀλλ' ἀνάγκη μὴ ὑπάρχειν. κατὰ τὸ ἐνδεχόμενον οὖν ψεῦδος. Ioh. Phil. f. LXXXI b.

αἴτιον δὲ τούτου πάλιν τὸ μὴ καλῶς εἰλῆφθαι τοὺς ὅρους τοὺς ἄκρους τοὺς κατηγορουμένους τοῦ ἀνθρώπου· οὐ γὰρ τὴν ὑγείαν χρὴ λαβεῖν καὶ τὴν νόσον ἀλλὰ τὸ ὑγιαῖνον καὶ τὸ νοσοῦν· οὕτως γὰρ λαμβανομένων αὐτῶν ἀληθεῖς αἱ προτάσεις ἐνδεχόμεναι καταφατικαὶ καθόλου, ἐκείνως δ' οὔ... ἀξιοῖ δὲ καθόλου ἡμᾶς ἐν ταῖς τῶν τοιούτων συλλογισμῶν ἀναλύσεσι τοὺς ὅρους ἐκτιθεμένους μὴ τὰς ἕξεις αὐτὰς ἐκτίθεσθαι ἀλλὰ τὰ κατὰ τὰς ἕξεις. σημειωτέον δὲ ὅτι γίνεταί ποτε ἀπάτη καὶ παρὰ τὸ τὸν μέσον μὴ τὸν αὐτὸν ἐν ἀμφοτέραις εἰλῆφθαι ταῖς προτάσεσιν ἢ τῇ λέξει μόνον, οἷον ἂν ληφθῇ τὸ χρῶμα κατὰ παντὸς λευκοῦ, τὸ λευκὸν κατὰ παντὸς κύκνου· οὐκέτι γὰρ τὸ χρῶμα κατὰ παντὸς κύκνου· οὐ γὰρ ὁ κύκνος χρῶμα. αἴτιον δ' ὅτι τὸ λευκὸν οὐ ταὐτὸν ἐν ἀμφοτέραις ταῖς προτάσεσιν ἐλήφθη. Alex. f. 120 b.

ἐπ' ἄλλο τι μεταβαίνει, ὃ καὶ αὐτὸ δεῖ παρατηρεῖν ἐν τῷ ἀνά- 48a 33. γειν τοὺς συλλογισμοὺς ἐπὶ τὰ σχήματα... οὐ δεῖ, φησί, νομίζειν ὅτι πάντῃ τε καὶ πάντως ὀνόματι δεῖ τοὺς τρεῖς ὅρους τοῦ συλλογισμοῦ σημαίνεσθαι· ἔστι γὰρ ὅτε ὀνόματος μὴ εὐποροῦντες λόγῳ σημαίνωμεν τινὰ ἢ τινὰς τῶν ὅρων, οἷον εἰ βουληθείημεν δεῖξαι ὅτι τοῦ ἰσοσκελοῦς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. πρῶτον μὲν οὖν αὐτὸ τὸ κατηγορούμενον ὅρα πῶς οὐχ ἑνὸς ὄνομά ἐστιν ἀλλὰ λόγος. ζητοῦντες δὲ τὸν μέσον δι' οὗ δεῖ συμπερᾶναι τὸ πρόβλημα, ἐνταῦθα μὲν εὐποροῦμεν ὀνόματι αὐτὸν ἐκθέσθαι, λέγοντες οὕτως "τὸ ἰσοσκελὲς τρίγωνον τρίγωνόν ἐστι, παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί, τοῦ ἰσοσκελοῦς ἄρα τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν." ἐὰν δὲ τὴν μείζονα θελήσωμεν κατασκευάσαι πρότασίν ποθεν, ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, οὐκέτι δυνάμεθα ὀνόματι τὸν μέσον ἐκθέσθαι δι' οὗ συνάγεται τὸ συμπέρασμα, ἀλλὰ δεῖ λόγῳ αὐτὴν ἑρμηνεύειν· οἷον ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δύο ταῖς ἐφεξῆς ἴσαι εἰσίν, πᾶσαι αἱ δύο ταῖς ἐφεξῆς ἴσαι οὖσαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, παντὸς ἄρα τριγώνου αἱ τρεῖς γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσίν. Ioh. Phil. f. LXXXII.

ἕτερον πάλιν θεώρημα παραδίδωσιν. οὐ δεῖ, φησί, νομίζειν ὅτι 48a 40. πάντως δεῖ κατ' εὐθεῖαν πτῶσιν τοὺς ὅρους ἐκτίθεσθαι... ἰστέον δὲ

κὴν καὶ ἀναλυτικήν. ἴσως οὖν εἴς τινας ἄλλους αἰνίττεται τὴν διαιρετικὴν ἀποδεικτικὴν νομίζοντας... μικρὸν δέ φησι μόριον εἶναι τῆς μεθόδου τῆς συλλογιστικῆς τὴν διαιρετικήν, ὅτι κυρίως ἀπόδειξις γίνεται διὰ τῶν ὁρισμῶν, οἱ δὲ ὁρισμοὶ γίνονται οὐκ ἄνευ τῆς διαιρετικῆς, ὥστε μόριον βραχὺ τῆς ἀποδεικτικῆς ἐστὶν ἡ διαιρετική. καὶ ἄλλως μικρὸν μέριόν φησιν αὐτὴν εἶναι τῆς παραδεδομένης μεθόδου, ὅτι εἰ καὶ συγχωρήσωμεν, δι' αὐτῆς ἀποδείκνυται τὸ καθόλου καταφατικόν· οὐδὲν γὰρ τῶν λοιπῶν δειχθήσεται. καὶ ὅτι οὐδὲ τῶν συμβεβηκότων τι οὐδὲ τῶν ἰδίων, ὡς δείξει, ἀλλὰ μόνον τὰ κατ' οὐσίαν ὑπάρχοντα. Ioh. Phil. f. LXXVI.

λέγει μὲν περὶ τῆς διαιρετικῆς ᾗ Πλάτων ἐχρήσατο... πρόκειται δὲ αὐτῷ δεῖξαι ὅτι οὐδεὶς τῶν πρὸ αὐτοῦ περὶ συλλογισμῶν ἢ ἔγνω τι ἢ ἐπραγματεύσατο. τοῦτο δὲ δείκνυσιν ἐκ τοῦ τὴν διαιρετικὴν ᾗ ἐχρῶντο οἱ πρὸ αὐτοῦ μόνῃ (οὗτοι δ' ἦσαν οἱ περὶ Πλάτωνα) πρῶτον μὲν ἄχρηστον εἶναι πρὸς συλλογισμόν. Alex. f. 112.

46a 34. ἀεί, φησί, τὸ συμπέρασμα τὸ ἐν τούτοις καθολικώτερόν ἐστι τοῦ προκειμένου. τὸ γὰρ ἄνωθεν ἀντὶ τοῦ καθολικώτερον. Ioh. Phil. f. LXXVI b.

46a 36. δείκνυσι γὰρ αὐτὸς ἐν τῇ Ἀποδεικτικῇ (1 10 et 2 4) ὅτι ἀδύνατόν ἐστιν ὁρισμοῦ καὶ γένους ἀπόδειξιν γενέσθαι, ὅπερ αὐτοὶ ὡς δυνατὸν πείθειν τοὺς ἄλλους ἐπεχείρουν... εἶτα ἃ κατὰ μέρος ἐδόκουν ἀποδεικνύναι, ταῦτα συμπλέξαντες καὶ μετὰ τοῦ γένους ἐνόμιζον δύνασθαι κατηγορεῖν καὶ οὕτως ἀποδεικνύναι τοὺς ὁρισμούς. δέδεικται δὲ ἐν τῷ περὶ Ἑρμηνείας (c. 8) ὅτι οὐ τὰ κατηγορούμενα κατὰ μέρος πάντως δύναται καὶ ἅμα κατηγορεῖσθαι. id. ib.

46a 37. δύο οὖν ἠγνόουν οἱ χρώμενοι τῇ διαιρετικῇ, ὅτι τε οὕτως εἶέν τε ἦν συλλογίσασθαι διαιρουμένους· τὸ γὰρ ὅτι ἀντὶ τοῦ τί· οὐ γὰρ τὸν ὁρισμόν, ὡς ᾤοντό τε καὶ ἐβούλοντο· ἔτι τε οὔτε ὅτι οὕτως ἐνεδέχετο τῇ διαιρετικῇ χρωμένους συλλογίζεσθαί τι, ὡς εἰρήκαμεν. Alex. f. 112 b.

46a 40. νῦν πάλιν βούλεται δεῖξαι ὅτι καὶ ἀμέθοδος ἡ ἀγωγὴ τῶν διὰ τῆς διαιρετικῆς συλλογιζομένων καὶ ἐναντίως ἔχουσα τῇ κατὰ ἀλήθειαν συλλογιστικῇ μεθόδῳ· ἐν μὲν γὰρ τοῖς κυρίοις συλλογισμοῖς ὁ μέσος ὅρος, δι' οὗ συνάπτονται οἱ ἄκροι, μερικώτερός ἐστι τοῦ μείζονος ὅρου, καὶ τοῦτο εἰκότως. Ioh. Phil. f. LXXVI b.

46b 3. τὸ δ' ἄρα ἡ γ' ἐστὶν ἡ β', τουτέστιν ὁ ἄνθρωπος ἢ θνητὸν ἢ ἀθάνατον· ὥστε μέσον μὲν τὸ ζῷον, μείζων δὲ ὅρος τὸ θνητόν, ὃ βούλονται ὑπάρχον δεῖξαι τῷ ἀνθρώπῳ. καὶ δῆλον ὅτι τοῦτο μὲν οὐκ ἔδειξαν ἀλλὰ ἄλλο τι· ἢ γὰρ θνητὸν εἶναι τὸν ἄνθρωπον ἢ ἀθάνατον. Ioh. Phil. f. LXXVII.

46b 21. τουτέστι τὸν ἄνθρωπον καὶ τὰς διαφορὰς ἄκρα· λαμβάνει γὰρ τὸν ἄνθρωπον ἐλάττονα ὅρον, τὸ δὲ θνητὸν καὶ ἀθάνατον ἢ ὑπόπουν καὶ ἄπουν μείζονα. id. ib.

46b 24. "τὴν ἄλλην ὁδόν" τουτέστι τὴν λοιπήν, λέγω δὴ τὴν μέχρι τῶν ἀτόμων διαίρεσιν... πᾶσαν οὖν ταύτην τὴν ὁδὸν ποιοῦνται μὴ συνορῶντες μηδὲ ἐκ ποίων εὐπορῆσαι δυνατὸν εἰς ἀπόδειξιν τῶν διαφορῶν, ὧν τῇ συμπλοκῇ τὸν ὁρισμὸν ποιῆσαι βούλονται. Ioh. Phil. f. LXXVII b.

τέλεον δὲ ἄχρηστον τὴν μέθοδον ἔδειξε διὰ τούτων τὴν διαιρε- 46b 27.
τικὴν πρὸς συλλογισμόν· τεττάρων γὰρ ὄντων προβλημάτων, περὶ ὅρου, περὶ ἰδίου, περὶ γένους, περὶ συμβεβηκότος, περὶ οὐδενὸς τούτων ἔδειξεν αὐτὴν συλλογιζομένην. Alex. f. 114.

δέδεικται γὰρ ὅτι οὔτε πρὸς τὸ δεῖξαι τὰ κατὰ συμβεβηκὸς ὑπάρ- 46b 35.
χοντα ἢ τὰ ἴδια χρησιμεύσει, καὶ ὅτι τῶν προβλημάτων μόνον τὸ καθόλου καταφατικὸν δοκεῖ δεικνύναι, καὶ ὅτι τοὺς ὁρισμοὺς ἐπαγγελλομένη δεικνύναι τούτους μὲν οὐ δείκνυσιν ἀλλ' αἰτεῖται, ἄλλο δέ τι δείκνυσιν ὃ μὴ βούλεται, καὶ ὅτι οὐδὲ περὶ γενῶν ὅτι τόδε τοῦδε γένος ἐνδέχεται διὰ τῆς διαιρετικῆς μεθόδου ἀποδεῖξαι. εἰ δέ τις λέγοι ὅτι οὐδὲ διὰ τῆς τοῦ Ἀριστοτέλους μεθόδου ἔστι τὰ γένη ἀποδεῖξαι, ἴστω ὅτι καὶ εἰ μὴ ἀποδεικτικῶς ἔστιν αὐτὰ ἀποδεῖξαι, ἀλλ' οὖν γε παρέδωκεν ἐν τοῖς Τοπικοῖς τόπους τινὰς δι' ὧν δυνατὸν διαλεκτικῶς τὴν περὶ τῶν γενῶν πίστιν ποιήσασθαι. Ioh. Phil. f. LXXVII b.

πέρας ἀπείληφε τὸ δεύτερον τοῦ βιβλίου τμῆμα, τοῦτο δέ ἐστι 46b 40.
τὸ περὶ τῆς εὐπορίας τῶν προτάσεων. ἐντεῦθεν λοιπὸν ἐπὶ τὸ τρίτον μεταβέβηκε, τοῦτο δέ ἐστι πῶς ἂν δυνηθείημεν τοὺς ἢ παρὰ τοῖς παλαιοτέροις συλλογισμούς, ἢ ὅσους ἡμῖν οἱ προσδιαλεγόμενοι πλέκουσιν, ἀνάγειν εἰς τὰ προειρημένα τρία σχήματα. Ioh. Phil. f. LXXVIII.

ἀπὸ τῆς μεθόδου τῆς νῦν παραδεδομένης καὶ Ἀναλυτικὰ ἐπιγράφεται τὰ βιβλία. οὐ τῶν ἁπλῶν δὲ μόνων ἀλλὰ καὶ τῶν συνθέτων ὑπογράφει τὴν ἀνάλυσιν. οὐ ταὐτὸν δέ ἐστιν ἀνάγειν τε λόγους εἰς τὰ σχήματα, ὡς ἔχει τὰ Θεοφράστου δύο τὰ ἐπιγραφόμενα Ἀνηγμένων λόγων εἰς τὰ σχήματα, καὶ μέθοδον ὑπογράψαι δι' ἧς πάντα τὰ προβλήματα ἀναλύειν καὶ ἀνάγειν δυνησόμεθα· ὁ μὲν γὰρ τὴν μέθοδον τοῦ ἀνάγειν καὶ τὴν ἐπιστήμην ἔχων οἷός τέ ἐστι καὶ τοὺς μήπω γνωρίμους ἀνάγειν, ὁ δέ τινας ἔχων ἀνηγμένους τούτους ἂν ἀνάγει μόνους, ὡς ἂν ἔχων τήρησιν ἀναίτιον ἀλλ' οὐκ ἐπιστήμην. ὑπογράφει δὲ τὴν αὐτὴν ταύτην μέθοδον καὶ Θεόφραστος ἐν τῷ ἐπιγραφομένῳ περὶ Ἀναλύσεως Συλλογισμῶν. Alex. f. 115.

ἐν αὐτῇ λέγει τὴν ἐλάττονα, διότι, ὡς εἶπον, περιέχεται ἡ 47a 15.
ἐλάττων ὑπὸ τῆς μείζονος ὁμοίως ἐπὶ τῶν καταφατικῶν καὶ ἀποφατικῶν. Ioh. Phil. f. LXXIX.

λέγει ἂν διὰ τοῦ "δι' ὧν αὐτοὶ περαίνονται" καὶ περὶ τῶν συμπε- 47a 17.
ρασμάτων τῶν λαμβανομένων ἐπὶ ταῖς ἐν μέρει προτάσεσιν· ἐν οἷς γὰρ συλλογισμοῖς ἐπὶ μέρους εἴληπται πρότασις, ἐν τούτοις καὶ τὸ συμπέρασμα ἐν μέρει. τοῦτο δὴ τὸ συμπέρασμα διὰ τῆς καθόλου περαίνεται, διὰ τὸ ἀδύνατον εἶναι ἄνευ τῆς καθόλου γενέσθαι συλλογισμόν. Alex. f. 115 b.

δῆλον (τοῦτό) ἐστι καὶ ἐφ' οὗ αὐτὸς παρατίθεται παραδείγματος 47a 24.
τοῦ μὴ οὐσίας ἀναιρουμένης μὴ ἀναιρεῖσθαι οὐσίαν. ἐξ ὧν δέ ἐστί τι ἀναιρουμένων, καὶ τὸ ἐκ τούτων φθείρεται· ἐκ γὰρ τούτων ἀναγκαῖον μὲν τὸ οὐσίας μέρος εἶναι οὐσίαν, οὐ μὴν συλλογιστικῶς δέδεικται, ἀλλ' ἐλλείπουσί τινες προτάσεις πρὸς τὸ γενέσθαι συλλογισμόν, τουτέστιν οὐχ ἃ ἔδει ληφθῆναι κεῖνται ἀλλ' αἱ ἰσοδυναμοῦσαι ταῖς ἐξ ὧν ἂν δειχθείη τι συλλογιστικῶς, τὶ δὲ καὶ παρεῖται. ἂν δὴ εἰς ἐκείνας μεταληφθῶσιν αὗται αἱ ἐγκείμεναι καὶ προσληφθείη τὸ λεῖπον, συλλογισμὸς ἔσται. Alex. f. 117.

ταῖς προτάσεσιν· ἐν πᾶσι γὰρ αὐταῖς ὁμοιότης ἐστίν. ἢ οὐδὲ συλλογισμοὶ κυρίως καὶ ἁπλῶς ἐκεῖνοι, ἀλλὰ τὸ ὅλον τοῦτο, ἐξ ὑποθέσεως συλλογισμοί· οὐδὲν γὰρ εἶναι ἢ μὴ εἶναι δεικνύουσιν... ἀνάγονται μέντοι καὶ οἱ δι' ὅλων ὑποθετικοὶ εἰς τὰ τρία τὰ προειρημένα σχήματα ἄλλῳ τρόπῳ, ὡς καὶ Θεόφραστος δέδειχεν ἐν τῷ πρώτῳ τῶν Προτέρων Ἀναλυτικῶν. ἔστι δὲ δι' ὅλων ὑποθετικὸς τοιοῦτος... Θεόφραστος μέντοι ἐν τῷ πρώτῳ τῶν Ἀναλυτικῶν δεύτερον σχῆμα λέγει ἐν τοῖς δι' ὅλων εἶναι ὑποθετικοῖς, ἐν ᾧ ἀρχόμεναι ἀπὸ τοῦ αὐτοῦ αἱ προτάσεις λήγουσιν εἰς ἕτερα, τρίτον δὲ ἐν ᾧ ἀπὸ διαφόρων ἀρχόμεναι λήγουσιν εἰς ταὐτόν. ἀνάπαλιν δ' ἡμεῖς ἐξεθέμεθα. ἀλλὰ περὶ μὲν τούτων ἰδίων πρόσεστι λέγειν, νῦν δ' ἐπανιτέον ἐπὶ τὴν τῆς λέξεως ἐξήγησιν. Alex. f. 109 *b*.

ἀπορεῖ δὲ ἐν τούτοις ὁ Ἀλέξανδρος περὶ τῶν λεγομένων παρὰ τῷ Θεοφράστῳ δι' ὅλου ὑποθετικῶν· οὐ γὰρ δέονται οὗτοι κατηγορικοῦ συλλογισμοῦ, ὥστε οὐδὲν χρησιμεύσει πρὸς τούτους ἡ παραδεδομένη μέθοδος. δι' ὅλου δὲ ὑποθετικοὺς ἐκάλει ὁ Θεόφραστος τοὺς καὶ τὰς προτάσεις καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως λαμβάνοντας, οἷον εἰ τὸ α', καὶ τὸ β', εἰ δὲ τὸ β', καὶ τὸ γ'· εἰ τὸ α' ἄρα, καὶ τὸ γ'. σκόπει γὰρ ὅτι καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως εἴληπται. φασὶν οὖν πρὸς τοῦτο ὅτι οὐδὲ ὅλως εἰσὶ συλλογισμοὶ οἱ δι' ὅλου ὑποθετικοί· ἀκολουθίαν γὰρ μόνην σημαίνουσιν· ὥστε ἡ μέθοδος κοινή ἐστιν ἐπὶ πάντων τῶν συλλογισμῶν. ἔλεγε δὲ ὁ Θεόφραστος ὅτι δύνανται καὶ οὗτοι ὑπὸ τὰ τρία σχήματα ἀνάγεσθαι... δυνατὸν δὲ καὶ κατηγορικὰς λαβεῖν ἀμφοτέρας. κἀκεῖνο δὲ ἔστιν εἰπεῖν, ὅτι εἰ ἐξ ὑποθέσεως τὸ συμπέρασμα εἴληπται καὶ οὐκ ἐξ ἀνάγκης, ἐπειδὴ καὶ τῶν προτάσεων ἑκάστη, δῆλον ἄρα ὅτι εἰ ἐθελήσωμεν ἀνάγκην ἐπιθεῖναι τῷ λόγῳ, ἵνα τῷ ὄντι καὶ συλλογισμὸς γένηται, δεῖ ἑκάστην τῶν προτάσεων κατηγορικῶς ἀποδεῖξαι. εἴρηται γὰρ ἡμῖν ἐν τοῖς περὶ τῶν ὑποθετικῶν ὅτι πολλάκις μόνον τὸ συνημμένον κατασκευῆς δεῖται ἢ ἡ πρόσληψις, πολλάκις δὲ καὶ ἀμφότερα. Ioh. Phil. f. LXXV.

45 b 22 δυνατόν, φησίν, ἔνια τῶν προβλημάτων, λέγω δὲ τὰ καθόλου, καὶ ἄλλως συλλογίσασθαι, λέγω δὴ ἐξ ὧνπερ καὶ τὰ μερικὰ συνελογισάμεθα... ἐξ ὑποθέσεως δὲ λέγεται οὐχ ὅτι ὑποθετικῶς, ἀλλ' ὅτι καθ' ὑπόθεσιν λαμβανόντων ἡμῶν τι. id. ib.

45 b 24 δεῖ τῇ ἐννοίᾳ προσέχειν τοῦ φιλοσόφου καὶ οὕτω τὸ ῥητὸν νοῆσαι· οὐ γὰρ ἀκριβῶς κατὰ τὴν λέξιν εἴρηται. βούλεται γὰρ εἰπεῖν ὅτι εἴ τι ἴδιον ὑπάρχοι ἐν τοῖς η' ὥστε μόνον τὸ ε' αὐτῷ ὑπάρχειν, ἔσται διὰ τὴν ἀντιστροφήν, ὡς εἴπομεν, τὸ α' παντὶ τῷ ε'· εἰ γὰρ εἴη τὸ μὲν ε' ἄνθρωπος, τὶ δὲ τῶν η' γελαστικόν, μόνον μὲν ὁ ἄνθρωπος ὑπάρχει τῷ γελαστικῷ, οὐ μέντοι μόνῳ τῷ γελαστικῷ· ὑπάρχει γὰρ καὶ τῷ λογικῷ θνητῷ καὶ τῷ ὀρθοπεριπατητικῷ καὶ πλατυωνύχῳ καὶ φιλοσόφῳ καὶ μυρίοις ἄλλοις. εἰ δέ τις εἴποι ὅτι οὐδὲ τῷ γελαστικῷ μόνον ὁ ἄνθρωπος ὑπάρχει (ὑπάρχει γὰρ καὶ τὸ ζῷον καὶ τὸ λογιστικὸν καὶ τὰ ἐπάνω), λέγω ὅτι οὐ καλῶς φησὶν οὗτος· ἐν γὰρ τῷ ἀνθρώπῳ πάντα περιέχεται τὰ ἐπάνω. ὅτι γὰρ οὐκ ἔρρωται κατὰ τὴν ἔννοιαν τοῦ φιλοσόφου ἡ λέξις ἡ λέγουσα "μόνοις δὲ ληφθείη τοῖς η' τὸ ε' ὑπάρχειν," καὶ ἐνταῦθα δῆλον. βούλεται γάρ τι ἴδιον εἶναι ἐν τοῖς η', ὥστε καὶ ἀντιστρέφειν πρὸς τὸ ε'. τὸ οὖν μόνοις τοῖς η' τὸ ε' ὑπάρχειν, πότερον πᾶσι τοῖς ὑπὸ τὸ η' λέγει ἢ τῷ ἰδίῳ; εἰ μὲν οὖν πᾶσιν, ἀεὶ τοῦτο ὑπάρχει τοῖς η' τὸ μόνοις αὐτοῖς ὑπάρχειν τὸ ε'· πάντα γὰρ ἐλήφθησαν οἷς ἕπεται τὸ ε', ὥστε ἄλλοις οὐ δύναται ὑπάρξαι. πῶς οὖν φησὶν ἐξ ὑποθέσεως δεῖν λαβεῖν τὸ ἀεὶ ὑπάρχον; εἰ δὲ τῷ ἰδίῳ, ψευδὴς ὁ λόγος· οὐ γὰρ μόνῳ τῷ ἰδίῳ ὑπάρχει τὸ η' ἀλλὰ καὶ ἄλλοις πολλοῖς, καὶ μάλιστα οἷς κατ' οὐσίαν ἕπεται. ὥστε κάλλιον ἦν εἰπεῖν "μόνον δὲ ληφθείη τοῖς η' τὸ ε' ὑπάρχειν." id. ib.

45 b 34 τουτέστι τῶν λοιπῶν τρόπων, τοῦ σαφῶς, τοῦ καλῶς, τοῦ ὠφελίμως, τοῦ ἐπαινετῶς, καὶ τῶν τοιούτων· ἐλέγετο γὰρ ἐν τῷ περὶ Ἑρμηνείας ἀπείρους εἶναι τρόπους. Ioh. Phil. f. LXXV *b*.

τοὺς τρόπους κατηγορίας εἴρηκεν· αἰεὶ γὰρ κατηγοροῦνται. Alex. f. 111.

45 b 36 δείξει μὲν μετ' ὀλίγον ὅτι καὶ εἴ τις ἐπινενόηται τοῖς παλαιοῖς ἄλλη μέθοδος, ἄχρηστός ἐστιν εἰς ἀπόδειξιν· καὶ νῦν δὲ συντόμως τοῦτο κατασκευάζει. Ioh. Phil. f. LXXV *b*.

46 a 3 εἰπὼν περὶ φιλοσοφίαν ἐσήμανε τοὺς ὄντως συλλογιζομένους καὶ ἐπιστημονικῶς (φιλοσοφίας γὰρ ἴδιον ὄργανον ἡ λογική), διὰ δὲ τοῦ εἰπεῖν καὶ τέχνην ὁποιανοῦν τὰς λοιπὰς ἐδήλωσεν, εἴτε λογικὰς εἴτε καὶ βαναύσους. τὸ δὲ "καὶ μάθημα" ἴσως καθολικώτερόν ἐστι τῶν ἄλλων. id. ib.

46 a 8 ἀληθεῖς μὲν καὶ δεικτικοὶ οἱ ἐκ γένους, ἐκ διαφορᾶς, ἐξ ἰδίου, ἐξ ὁρισμοῦ, ἐξ αἰτίου· ἂν δὲ ᾖ διὰ τῶν πρὸς δόξαν, τουτέστι διὰ τῶν ἐνδόξων, διαλεκτικοί. ἡ δὲ τῶν ἐνδόξων προτάσεων ἐκλογὴ ὁποία τις ἐστίν, εἴρηται αὐτῷ ἐν τῷ πρώτῳ τῶν Τοπικῶν ἐπὶ πλέον, ὥσπερ οὖν καὶ ἡ τῶν δεικτικῶν ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς. Alex. f. 111 *b*.

46 a 17 εἰπὼν "ἡ ἐπιστήμης" ἀντὶ τοῦ ἢ ἐπιστήμας πλείους, προσέθηκεν ὅτι καθ' ἑκάστην ἐπιστήμην ἴδιαί εἰσιν αἱ ἐκλογαὶ καὶ ἴδιά ἐστι τά τε ἑπόμενα καὶ τὰ οἷς ἕπεται καὶ τὰ μὴ ὑπάρχοντα. διὰ ἑκάστης ἐπιστήμης ἐστὶ τὰς ἰδίας ἀρχάς, ἐξ ὧν αἱ προτάσεις τε καὶ οἱ συλλογισμοί, παρέχειν τε καὶ ἐκλέγειν. τῷ δὲ "ἴδιαι γὰρ καθ' ἑκάστην" λείποι ἂν τὸ "εἰσίν," ἵνα ᾖ, ἴδιαι δὲ καθ' ἑκάστην εἰσὶ τῶν ἐκλογῶν αἱ πλείους, ἐπείπερ καὶ κοινά τινα ἔστιν αὐταῖς, ἀλλὰ τὰ πλεῖστα ἴδια. id. ib.

46 a 23 ἐνταῦθα μὲν ὁλοσχερέστερον, φησί, παραδεδώκαμεν τὴν μέθοδον τῆς εὐπορίας τῶν προτάσεων, μερικώτερον δὲ καὶ ἀκριβέστερον ἐν τοῖς Τόποις περὶ τούτων διειλήφαμεν· ταύτην γάρ φησι διαλεκτικὴν πραγματείαν. Ioh. Phil. f. LXXVI.

εἴρηκε δὲ περὶ ἐκλογῆς προτάσεων καὶ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ τελευταίῳ (τῶν Τοπικῶν). Alex. f. 112.

46 a 31 βούλεται διὰ τούτων ἐξυμνῆσαι τὴν παρ' αὐτοῦ παραδεδομένην μέθοδον· οὐδεὶς γάρ, φησί, τῶν πρὸ ἡμῶν ταύτην ἠπίστατο, ἀλλ' ἐκέχρηντο πάντες τῇ διαιρετικῇ μεθόδῳ, καὶ διὰ ταύτης ἐνόμιζον δεῖν ἀποδεικνῦναι. αἰνίττεσθαι δέ φασιν αὐτὸν εἰς Πλάτωνα. φαίνεται δὲ ὁ Πλάτων ἐξυμνῶν μὲν τὴν διαιρετικὴν μέθοδον, καὶ μάλιστα τὴν κατὰ ἀντίφασιν γινομένην ὡς ἀφυκτοτάτην οὖσαν, οὐ μέντοι γε ταύτην ἀποδεικτικὴν εἶναι λέγει· σαφῶς γὰρ οἶδε διαφορὰν διαιρετικῆς καὶ ἀποδεικτικῆς· τέσσαρας γάρ φησι μεθόδους εἶναι κατὰ φιλοσοφίαν ὄργανα τῆς διαλεκτικῆς, διαιρετικὴν ὁριστικὴν ἀποδεικτι-

μερικοῦ ἀποφατικοῦ... ἔοικε δὲ ἢ πεπλανῆσθαι ἐν τούτοις, ἢ διὰ τὸ ἤδη παραδοῦναι τὴν μέθοδον ἀδιαφόρως ἐνταῦθα χρήσασθαι· ἔδει γὰρ αὐτὸν εἰπεῖν οὕτως "τὸ γὰρ μὴ ἐνδέχεσθαι τὸ β′ καὶ τὸ η′ τῷ αὐτῷ ὑπάρχειν οὐδὲν διαφέρει ἢ τὸ η′ τῶν δ′ τινὶ εἶναι·" νῦν δ' εἶπεν ἢ τὸ β′ τῶν θ′ τι εἶναι. ὅτι γὰρ τοῦτο ψεῦδός ἐστιν· δυνατὸν γὰρ μηδενὶ μὲν τῷ αὐτῷ δύνασθαι τὸ β′ καὶ τὸ η′ ὑπάρχειν, μηδὲ τῶν θ′ εἶναι τὸ β′. Ioh. Phil. f. LXXIII.

45a 10. τὸ "ὅτι τινὶ οὐχ ὑπάρχει τὸ α′" οὐκ ἂν εἴη εἰρημένον ὡς ἐπὶ μέρους ἀποφατικοῦ συναχθησομένου, ἀλλ' ἀντὶ τοῦ "ὅτι τινὶ οὐχ ὑπάρξει τὸ α′·" τινὶ γὰρ ε′ οὐχ ὑπάρχει τὸ α′. ὅτι δὲ τὸ β′ εἰ μὴ τινὶ ε′ ὑπάρχει, ταὐτόν ἐστί τινι τῶν θ′, ἔδειξεν εἰπὼν "πάντα γὰρ εἴληπται τὰ μὴ ἐνδεχόμενα τινὶ ε′ ὑπάρχειν," δηλονότι περὶ τοῦ θ′· τοῦτο γὰρ οὐ προσέθηκεν ὡς ὂν δῆλον... δύναται καὶ τοιαύτη ἡ δεῖξις εἶναι. εἰλημμένου τοῦ β′ τινὶ η′ ἀντικεῖσθαι, ἐπεὶ τὸ β′ τινὶ η′ ἀντίκειται, οὐδενὶ αὐτῷ ὑπάρξει· ἀλλὰ καὶ τὸ β′ τῷ α′ παντί· οὐδενὶ ἄρα τῷ η′ τὸ α′. εἰ δὲ τοῦτο, ἔσται τὸ η′ τινὶ τῶν δ′ ταὐτόν, οἷς οὐχ ὑπάρξει τὸ α′. ἔσται δὴ τὸ α′ τῷ η′ οὐδενί, τὸ δὲ ε′ τῷ η′ παντί. συναχθήσεται ἐκ τούτων ἐν τρίτῳ σχήματι τὸ α′ τινὶ τῷ ε′ μὴ ὑπάρχειν. δεήσει δὲ γεγράφθαι "τὸ γὰρ β′ τῷ μὲν α′ παντί, τῷ δὲ η′ οὐδενί. Alex. f. 106.

45a 22. δεῖ πάλιν ἀντὶ τοῦ β′ θ′ τὸ δ′ η′ λαμβάνειν. Ioh. Phil. f. LXXIII b.

45a 28. ἐπιζητήσαι δ' ἄν τις πῶς ἀληθὲς τὸ τοὺς δι' ἀδυνάτου δεικνυμένους πάντας συλλογισμοὺς καὶ δεικτικῶς δείκνυσθαι· δοκεῖ γὰρ ψεῦδος εἶναι τοῦτο· τὰ μὲν γὰρ δεικτικῶς οἷόν τε καὶ δι' ἀδυνάτου, ἐπισκεπτέον δ' εἰ καὶ τὰ ἐν ταῖς μίξεσι πάντα, οὐ μὴν ἀνάπαλιν... φασὶ δέ τινες μὴ τοῦτο εἶναι τὸ λεγόμενον, ἀλλ' ὅτι ταῦτα τὰ προβλήματα καὶ δεικτικῶς δείκνυται καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ διὰ τῶν αὐτῶν ὅρων, καὶ οὐκ ἄλλα τινά ἐστι τὰ δεικνύμενα. Alex. f. 107.

45a 33. τουτέστιν τοῦ τε καθόλου καταφατικοῦ καὶ τοῦ μερικοῦ ἀποφατικοῦ. δείξωμεν οὖν καὶ ἐπὶ τούτων. Ioh. Phil. f. LXXIII b.

45b 4. ἐν πᾶσι, φησί, τοῖς δι' ἀδυνάτου συλλογισμοῖς δεῖ κοινόν τινα ὅρον ἕτερον ὄντα παρ' ἀμφοτέρους τοὺς ἄκρους λαβεῖν· τούτους γὰρ ἐσήμανε διὰ τοῦ εἰπεῖν "τῶν ὑποκειμένων·" οὗτοι γὰρ ἐξ ἀρχῆς ὑπόκεινται περὶ ὧν ἡ σκέψις, τὸ α′ καὶ τὸ ε′. κοινὸν δὲ λέγει οὐχὶ ἀντὶ τοῦ μέσου κοινωνίαν ἔχοντα πρὸς ἑκάτερον καὶ δι' ἑαυτοῦ τοὺς ἄκρους συνδέοντα, ἀλλὰ κοινόν φησιν ὅν τε τῇ ἐπ' εὐθείας δείξει παραλαμβανόμενον τὸν αὐτὸν καὶ ἐν τῇ δι' ἀδυνάτου. Ioh. Phil. f. LXXIV b.

45b 12. ἐπειδὴ εἶπε τίνι διαφέρει ὁ δεικτικὸς τοῦ ἀδυνάτου, ταῦτα, φησίν, ἐν τοῖς ἑξῆς ἀκριβέστερον εἰσόμεθα. λέγει δὲ ἐν τῷ δευτέρῳ λόγῳ· ἐκεῖ γὰρ ἀκριβέστερον διεξέρχεται περὶ τῆς τούτων διακρίσεως. id. ib.

45b 15. ἐν τοῖς ἄλλοις, δηλονότι τοῖς ἐξ ὑποθέσεως· ἐπειδὴ γὰρ ἔδειξεν ὅτι οἱ κατηγορικοὶ συλλογισμοὶ καὶ οἱ δι' ἀδυνάτου διὰ ταύτης τῆς μεθόδου περαίνονται, νῦν φησὶν ὅτι καὶ οἱ ἄλλοι ὑποθετικοὶ συλλογισμοί, ὅσοι κέχρηνται τῇ μεταλήψει, διὰ τούτων δείκνυνται. ἐν τούτοις γάρ, φησίν, ἡ μετάληψις δεῖται τῆς δείξεως. οὐ δείκνυται δὲ ἄλλως ἢ κατηγορικῶς, οἱ δὲ κατηγορικοὶ διὰ τούτων ἐδείχθησαν· οὐκοῦν καὶ οὗτοι διὰ ταύτης δειχθήσονται τῆς μεθόδου. οὐκ ἀντιδιαιρεῖ δὲ τὴν μετάληψιν τῇ ποιότητι· καθολικώτερον γὰρ ἡ μετάληψις, τὸ δὲ καθόλου οὐκ ἀντιδιαιρεῖται πρὸς τὸ μέρος. ὥστε τὸ "ἢ κατὰ ποιότητα" ἀντὶ τοῦ καὶ κατὰ ποιότητα. εἴπομεν δὲ ἤδη ὅτι ὅπερ οἱ Στωϊκοὶ πρόσληψιν ἐκάλουν, τοῦτο οἱ Περιπατητικοὶ μετάληψιν ἔλεγον. πάντες μὲν οὖν οἱ ὑποθετικοὶ κατὰ μετάληψίν εἰσι, κατὰ ποιότητα δὲ ἐκεῖνοι λέγονται ὅσοι ἐκ τοῦ μᾶλλον ἐπιχειροῦσιν ἢ ἐκ τοῦ ἧττον ἢ ἐκ τοῦ ὁμοίου. εἰσὶ δὲ οἱ μὲν ἐκ τοῦ μᾶλλον ἀνασκευαστικοί, οἱ δὲ ἐκ τοῦ ἧττον κατασκευαστικοί, οἱ δὲ ἐκ τοῦ ὁμοίου πρὸς ἑκάτερα ἐπ' ἴσης ἔχουσιν. id. ib.

τὸ "ἐν τοῖς ὑποκειμένοις" δύναται μὲν λέγειν καὶ ἀντὶ τοῦ "ἐν τοῖς 45b
ὑποθετικοῖς," ἵνα ᾖ τὸ λεγόμενον, ἐν δὲ τοῖς ἄλλοις τοῖς ἐξ ὑπο- 17.
θέσεως τοῖς παρὰ τοὺς δι' ἀδυνάτου, οἷον ὅσοι κατὰ μετάληψιν ἢ κατὰ ποιότητά εἰσι τῶν ὑποθετικῶν· ἦσαν γὰρ καὶ οἱ εἰς ἀδύνατον ἀπάγοντες ἐν τοῖς ἐξ ὑποθέσεως, οὐκ ἐν τοῖς ἐξ ἀρχῆς κειμένοις. οὐδὲ ἐπὶ τούτων ἡ ἐκλογὴ ὃν προειρήκαμεν τρόπον ἔσται, ἀλλ' ἐπὶ τῶν μεταλαμβανομένων. ἢ τὸ "ἐν τοῖς ὑποκειμένοις, οὐκ ἐν τοῖς ἐξ ἀρχῆς" ἴσον ἐστὶ τῷ οὐκ ἐν τοῖς ἐξ ἀρχῆς ὑποκειμένοις ἀλλ' ἐν τοῖς μεταλαμβανομένοις, καὶ ἐπὶ τούτων ἡ ζήτησις ἔσται... λέγοι δ' ἂν κατὰ μετάληψιν μὲν τοὺς κατὰ πρόσληψιν λεγομένους, οἵ εἰσι μικτοί· ὃ γὰρ οἱ νεώτεροι πρόσληψιν λέγουσι, τοῦτο οἱ περὶ Ἀριστοτέλην μετάληψιν εἰώθασι λέγειν, ὥσπερ καὶ ἤδη προειρήκαμεν. κατὰ μετάληψιν μὲν οὖν οἱ τοιοῦτοι, ὡς καὶ πρόσθεν εἰρήκαμεν· κατὰ ποιότητα δὲ λέγονται οἱ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ ὁμοίου δεικνύντες... οὐκοῦν καὶ ἐπὶ τῶν τοιούτων συλλογισμῶν, οὓς κατὰ ποιότητα λέγειν αὐτοῖς ἔθος, ἐπὶ τῶν κατὰ μετάληψιν ὁ συλλογισμός, ἀλλ' οὐ τῶν ὑποκειμένων γίνεται ἀλλὰ τῶν μεταλαμβανομένων. τούτων οὖν χρὴ καὶ τὴν ἐκλογὴν ποιεῖσθαι. τὸ δὲ "ἐν τοῖς ὑποκειμένοις" εἰρῆσθαι δύναται καὶ ἀντὶ τοῦ περὶ τῶν ὑποκειμένων. ἔστι γὰρ τὸ λεγόμενον, ὅσοι κατὰ μετάληψιν ἢ κατὰ ποιότητα περὶ τῶν ὑποκειμένων δεικνύουσιν, ἐπὶ δὴ τούτων ἔσται ἡ σκέψις οὐκ ἐν τοῖς ἐξ ἀρχῆς ἀλλ' ἐν τοῖς μεταλαμβανομένοις, ἐπεὶ καὶ ὁ συλλογισμὸς τούτων. ἡ δὲ ἐπίβλεψις καὶ ἡ ἐκλογὴ καὶ ἐπὶ τούτων ἡ αὐτὴ ἔσται ὁποίαν ὑπεγράψαμεν. Alex. f. 109.

ἐξ ὑποθέσεως καὶ οἱ διαιρετικοί, οἳ καὶ αὐτοὶ ἐν τοῖς κατὰ μετά- 45b
ληψιν ἐξ ὑποθέσεως, καὶ οἱ ἐξ ὁμολογίας. δεῖν οὖν φησὶ τῶν ἐξ 19.
ὑποθέσεως προσεχεστέραν ποιεῖσθαι διαίρεσιν. ἢ εἰπὼν τίνες τῶν ὑποθετικῶν φανερῶς ὑπάγονται τῇ ἐκκειμένῃ μεθόδῳ (οἵ τε γὰρ δι' ἀδυνάτου καὶ οἱ κατὰ μετάληψιν, ὑφ' οὓς πάντες οἱ λεγόμενοι ἀναπόδεικτοι, καὶ ἔτι οἱ κατὰ ποιότητα), λέγει δεῖν ἐπισκέψασθαι καὶ διελεῖν ποσαχῶς οἱ ἐξ ὑποθέσεως λέγονται. ἐκ γὰρ τῆς διαιρέσεως δῆλον ἔσται εἴτε πάντας οἷόν τε ὑπάγειν τῇ ἐκκειμένῃ μεθόδῳ οὔσῃ δεικτικῇ εἴτε οὔ· δόξουσι γὰρ οἱ δι' ὅλων ὑποθετικοί, οὓς Θεόφραστος κατ' ἀναλογίαν λέγει, οἷοί εἰσιν οἱ διὰ τριῶν λεγόμενοι, μηκέτι ὑποπίπτειν τῇ διὰ τῆς ἐκλογῆς δείξει. λέγει δὲ αὐτοὺς ὁ Θεόφραστος κατ' ἀναλογίαν, ἐπειδὴ αἵ τε προτάσεις ἀνάλογοι καὶ τὸ συμπέρασμα

ἀποφατικὸν συνάγεται. φέρεται δὲ ἔν τισιν ἀντιγράφοις ἡ λέξις ὁλοκληρότερον καὶ σαφέστερον οὕτως ἔχουσα "ὅταν δὲ μηδενὶ δέῃ ὑπάρχειν, ᾧ μὲν οὐ δεῖ ὑπάρχειν, εἰς τὰ ἑπόμενα, ὃ δὲ δεῖ μὴ ὑπάρχειν, εἰς ἃ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι, ἢ ἀνάπαλιν." αὕτη γὰρ ἡ λέξις ὁλοκλήρως ἔχει ὃ βούλεται εἰπεῖν. Alex. f. 101 *b*.

41a 22. μήποτε οὖν ὑποδείγματος χάριν ἐπὶ τούτου εἶπε τὸ "ἐκ προσυλλογισμοῦ," διδοὺς ἡμῖν καὶ ἐπὶ τῶν λοιπῶν τὸ αὐτὸ προσυπακούειν. οὐ κυρίως δὲ οὐδὲ συλλογισμὸν δεῖ καλεῖν τὸ τοιοῦτον· εἰ γὰρ τὸ δ′ ταὐτόν ἐστι τῷ ζ′, εἷς ἐστὶν ὅρος· ὥστε οὐδὲ πρότασιν ποιεῖ τὸ δζ′, εἰ μὴ οὕτω ληφθῇ ταὐτὸν ὡς ἐξισάζον, οἷον εἰ τὸ γελαστικόν τις αὐτὸ λέγοι καὶ τὸν ἄνθρωπον· ἐπὶ γὰρ τῶν τοιούτων ἀδύνατον τοῦ ἑτέρου κατηγορεῖν τὸ ἕτερον. Ioh. Phil. f. LXXI.

41a 31. ἀντεστραμμένον εἶπεν ἤτοι τῷ προειρημένῳ, ὅτι ἐκεῖνος μὲν ἦν ἐπὶ μέρους ἀποφατικὸν ἔχων τὸ συμπέρασμα, οὗτος δέ γε ὃν νῦν δείκνυσιν ἐπὶ μέρους καταφατικὸν συνάγων δείκνυται. ἢ ἀντεστραμμένον εἶπεν ὅτι ἡ δεῖξις ἀνάπαλιν ἔχει· οὐ γὰρ δείκνυται διὰ τῶν οὕτως λαμβανομένων τὸ α′ κατηγορούμενον τοῦ ε′, ὃ ἔκειτο εἶναι κατηγορούμενον, ἀλλ' ἀνάπαλιν. Alex. f. 103.

41a 39. ἀλλὰ ζητητέον πῶς ἀνωτέρω εἰπὼν ὅτι οὐ δεῖ λαμβάνειν ἡμᾶς εἰ μὴ μόνα τὰ προσεχῶς ἑπόμενα καὶ οἷς ἕπεται, τὰ δὲ πορρωτέρω οὔ, διότι περιέχεται ἐν τούτοις, νῦν τὸ ἐναντίον λέγει ἄντικρυς, ὅτι καὶ τὰ πορρωτέρω ληπτέον. λέγομεν οὖν πρὸς τοῦτο ὅτι ἐκεῖ μὲν λέγων ὅπως δεῖ τὴν ἀπογραφὴν τούτων ποιεῖσθαι, ἔλεγεν ὅτι τὰ προσεχῶς μόνον τὰ ἑπόμενα ἢ οἷς ἕπεται δεῖ ἀπογράφεσθαι, τὰ δὲ πορρωτέρω οὔ, ἵνα μὴ πολλὰ ἀπογράφεσθαι ἀναγκαζώμεθα· ἔχομεν γάρ, φησί, διὰ τούτων καὶ τὰ λοιπά... ἐνταῦθα μέντοι, ἐπειδὴ περὶ αὐτῶν τῶν κατασκευῶν ὁ λόγος, τοῦτο δέ ἐστι τῆς λήψεως τοῦ μέσου ὅρου, διὰ τοῦτό φησι δεῖν παραλαμβάνειν καὶ ταῦτα. δεῖ γὰρ ἐπιβλέπειν εἰ ἐνδέχεται διὰ τῶν καθολικωτάτων συνάγειν τὸ προκείμενον, καὶ τούτων τὴν ταὐτότητα λαμβάνειν, ἵνα εὐπορίαν τῇ ἀποδείξει ποιήσωμεν διὰ πλειόνων τὸ αὐτὸ συλλογιζόμενοι. Ioh. Phil. f. LXXI *b*. cf. Alex. f. 103 *b*.

δύναται καὶ ἁπλούστερόν τις ἀκοῦσαι τοῦ "δεῖ δὲ καὶ ... βλέπειν·" λέγοι γὰρ ἂν δι' αὐτῶν οὐκέτι περὶ τῆς ἐκλογῆς (εἴρηκε γὰρ περὶ ἐκείνης πῶς αὐτὴν χρὴ ποιεῖσθαι) ἀλλὰ περὶ τῆς λήψεως τῶν μέσων ὅρων, ἣ γίνεται ἐκ τοῦ ἄλλο ταὐτὸν ἄλλῳ εὑρίσκεσθαι· ἐπὶ γὰρ τῶν ἑπομένων τισὶ καὶ τῶν οἷς ἕπεται τὰ μὲν κοινότερά ἐστι τὰ δὲ προσεχέστερα καὶ ὑπ' ἐκεῖνα. Alex. f. 104.

44b 3. ἐκεῖνο δὲ ἐπιστῆσαι ἄξιον, ὅτι ἐν τῇ ἐκθέσει τῶν ὑπαρχόντων τοῖς ὅροις ἔλεγε δεῖν, ὥσπερ ἐπὶ τῶν ἑπομένων ὅτι οὐ δεῖ καὶ τὰ τοῖς ἑπομένοις ἑπόμενα λαμβάνειν ἀλλὰ τὰ τῷ α′ ὡς α′ ἑπόμενα, τουτέστι τὰ προσεχῶς αὐτῶν καθολικώτερα, οὕτω δὲ καὶ ἐν τῇ λήψει τῶν οἷς εἵπετο τὸ α′ καὶ τὸ ε′ τὰ οἷς τὸ α′ ὡς α′ ἕπεται λαμβάνειν· εἰ δὲ εἶέν τινα οἷς κἀκεῖνα εἵπετο, οὐκέτι· ἐκεῖνα γὰρ ἐκλέγειν παρεκελεύετο τὰ ἴδια τῶν προκειμένων ὅρων ἄνωθέν τε καὶ κάτωθεν, ὥστε τὰ προσεχῶς ὑποκείμενα τοῖς ὅροις λαμβάνειν ἐκέλευσεν· τὰ δὲ προσεχῶς ὑποκείμενά τινι τὰ καθολικώτατά ἐστι τῶν οἷς ἕπεται. οὐ γὰρ ὁμοίως ἔχει τὰ οἷς ἕπεταί τι καὶ τὰ ἑπόμενα αὐτῷ· τὰ μὲν γὰρ προσεχῶς ἑπόμενα τὰ μερικώτατά ἐστι τῶν ἑπομένων, τὰ δὲ προσεχῶς ὑποκείμενα (ταῦτα δέ ἐστι τὰ οἷς ἕπεται) τὰ καθολικώτατά ἐστι τῶν οἷς ἕπεται, τουτέστιν τῶν ὑποκειμένων. Ioh. Phil. f. LXXI *b*.

αὐτό εἶπεν ἀντὶ τοῦ αὐτά· ἔστι γὰρ ὃ λέγει, ὁμοίως δὲ σκεπτέον καὶ ἐπὶ τῶν οἷς αὐτὰ ἀκολουθεῖ, δηλονότι τὸ α′ καὶ τὸ ε′. Alex. f. 104.

τοῦτο ποῖον; δῆλον ὅτι τὸ γ′ καὶ τὸ ζ′· ταὐτὸν γὰρ ταῦτα. μέσον δέ φησι, τουτέστιν μέσος ὅρος. Ioh. Phil. f. LXXII. 44b 9.

τουτέστιν ἄκροι ὅροι, ὅ τε μείζων καὶ ὁ ἔσχατος. τοῦτο δὲ ἔσται τὸ ἔσχατον σχῆμα. μέσον δὲ τὸ η′, ἐπειδὴ τὸ γ′ καὶ τὸ η′ ταὐτόν· τοῦτο δέ ἐστι μέσον. δῆλον ὅτι οὐδὲν διαφέρει τὸ γ′ εἰπεῖν ἢ τὸ η′ μέσον· ταὐτὸν γὰρ ἄμφω. id. ib. 44b 11.

ἐπειδὴ τὴν μίαν συζυγίαν ἐξέθετο τὴν λαμβάνουσαν τὰ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα, διὰ τοῦτο, φησί, καὶ αἱ ἄλλαι παρ' ἃς εἴπομεν ἄχρηστοι, ἢ τὰ ἀμφότερα ἀλλότρια λαμβάνουσα καὶ τὰ οἷς ἕπεται ὁ κατηγορούμενος καὶ οἷς μὴ ὑπάρχει ὁ ὑποκείμενος. εἶτα βουλόμενος ταύτας ἐκθέσθαι, λαμβάνει πάλιν τὸν λόγον καὶ ἄρχεται ἀπὸ τῆς λαμβανούσης τὰ ἀμφοτέροις ἑπόμενα· φησὶ γὰρ εἰ τὰ ἑπόμενα ἑκατέρῳ. εἶτα ἐκθέμενος τὰς τρεῖς συζυγίας δείκνυσι μετὰ ταῦτα τὰ ἐκ τῶν ὅρων, ἀπὸ τῆς πρώτης ἀρξάμενος, ὅτι ἄχρηστά εἰσιν εἰς τὰς συλλογιστικὰς μεθόδους. Ioh. Phil. f. LXXII *b*. 44b 25.

τὸ διὰ τούτων προκείμενόν ἐστι δεῖξαι ὅτι ἀδύνατον ἄλλῃ μεθόδῳ χρήσασθαι εἰς τὴν λῆψιν τῶν προτάσεων πλὴν τῆς παραδεδομένης, λέγω δὲ τῆς διὰ τῶν ἑπομένων καὶ οἷς ἕπεται καὶ τῶν ἀλλοτρίων, ὧν ταὐτό τι λαβεῖν ἦν ἀνάγκη καθ' ἕτερον τῶν ὅρων. εἰ γάρ τις, φησίν, ἄλλην ἐπινοεῖν δόξειε, πάντως εἰς μίαν τῶν ὑφ' ἡμῶν παραδεδομένων συνενεχθήσεται ἀγνοῶν... ἴδωμεν δὲ καὶ τὴν λέξιν αὐτὴν τοῦ φιλοσόφου. "δῆλον δὲ καὶ ποῖα ταὐτὰ διαληπτέον κατὰ τὴν ἐπίσκεψιν, καὶ ποῖα ἕτερα ἢ ἐναντία." διάφορόν φησι φέρεσθαι τὴν γραφὴν τοῦ ῥητοῦ ὁ Ἀλέξανδρος· εἶναι γὰρ ἔν τισι τῶν βιβλίων "καὶ οὐχ ὁποῖα ἕτερα ἢ ἐναντία." εἰ μὲν οὖν φέροιτο "καὶ ποῖα ἕτερα ἢ ἐναντία," οὕτως ἐξηγητέον. ἐπεὶ δῆλον γέγονεν ἡμῖν ἐκ τῶν εἰρημένων ποῖα δεῖ λαμβάνειν τὰ αὐτά, ἔσται καὶ τοῦτο δῆλον ποῖά ἐστιν ἐν τούτοις ἕτερα ἢ ἐναντία, ἵνα ὥσπερ πόρισμά τι ἐκ τῶν εἰρημένων τοῦτο συνάγηται, τὸ μανθάνειν ἡμᾶς ποῖα ἐν τούτοις τὰ ἕτερα ἢ τὰ ἐναντία· οὐδὲν γὰρ συμβάλλεται εἰς τὸ προκείμενον τὸ γνῶναι ταῦτα, ὥστε κατὰ ταύτην τὴν γραφὴν ὡς πόρισμα ἔσται τοῦτο συνηγμένον... δοκεῖ δὲ ἡ ἑτέρα γραφὴ προσφυεστέρα εἶναι ἐν τῷ προκειμένῳ θεωρήματι καὶ τῇ ἐπαγομένῃ λέξει, λέγω δὲ "καὶ οὐχ ὁποῖα ἕτερα ἢ ἐναντία," ἵνα ἡ συνέχεια αὕτη ᾖ, δῆλον ἐκ τῶν εἰρημένων γέγονεν τὸ ποῖα ἐν τοῖς ἀπογεγραμμένοις καθ' ἕκαστον πρόβλημα δεῖ λαμβάνειν τὰ αὐτά· οὐ γὰρ δὴ ληπτέον ποῖα ἕτερα ἢ ἐναντία. καὶ ὅτι τοῦτο βούλεται σημᾶναι, δῆλον ἐκ τῶν ἐπαγομένων εὐθέως. Ioh. Phil. f. LXXII *b* - LXXIII. 44b 38.

δείξας ὅτι ἐν οἷς καὶ συνάγεται τὸ καθόλου ἀποφατικὸν ἐναντίων τινῶν ληφθέντων ἢ μὴ ἐνδεχομένων τῷ αὐτῷ ὑπάρχειν, οὐ διὰ τὴν τῶν ἐναντίων λῆψιν συνάγεται ἀλλὰ διὰ τὸ ἐμπίπτειν εἰς τὴν παρ' αὐτοῦ παραδιδομένην μέθοδον, τὸ αὐτὸ τοῦτο δείκνυσι καὶ ἐπὶ τοῦ 45a 9.

τινὶ ὅρῳ λαμβάνειν βουλώμεθα τὰ ἑπόμενα, μὴ λάβωμεν καὶ τὰ τούτοις ἑπόμενα· ἐν γὰρ τοῖς πρώτοις ἔχομεν καὶ τὰ δεύτερα. Ioh. Phil. f. LXIX.

43 b 27. τὰ τῷ γένει ἑπόμενα κατὰ παντός τε καὶ αὐτοῦ κατηγορεῖται, καὶ ἑκάστῳ τῶν εἰδῶν ἕπεσθαι ἀνάγκη· ἃ δὲ ἑκάστῳ τῶν εἰδῶν, οὐκέτι οὔτε τῷ γένει οὔτε ἀλλήλοις. τοιαῦται δ' ἂν εἶεν καὶ αἱ οἰκεῖαι ἑκάστου εἴδους διαφοραί, ὑφ' ὧν ὁρίζονται. Alex. f. 100.

43 b 29. ὃ λέγει τοιοῦτον εἶναι δοκεῖ. οὐ χρὴ ἐκλέγοντας οἷς ἕπεται ὁ ὑποκείμενος ὅρος ὁ περιεχόμενος ὑπό τινος προσχρῆσθαι τῷ καθόλου τῷ περιέχοντι καὶ λαμβάνειν ταῦτα τῶν οἷς ἕπεται ὁ ὑποκείμενος ὅρος, οἷς καὶ αὐτοῖς ὁ περιέχων αὐτὸν ἕπεται... πρὸς γὰρ τῷ κεῖσθαι τοῦτο οὐδὲ πρόκειται ἡμῖν ζητεῖν τίνι τὸ γένος τοῦ ἐκκειμένου ὅρου ἕπεται, ἀλλὰ τίσι αὐτὸς οὗτος ὁ προκείμενος. ἢ δύναται μᾶλλον τὸ λεγόμενον τοιοῦτον εἶναι· οὐδ' ὅταν πάλιν ᾖ προκείμενον ἡμῖν ἐκλέγειν τίσιν ἕπεται τὸ καθόλου καὶ περιέχον, οὐ χρὴ λαμβάνοντάς τι τῶν ὑπὸ τὸ καθόλου ὧν ἕπεται τῷ καθόλου ζητεῖν οἷς τοῦτο ἕπεται· οἷον εἰ ζητοίημεν τίσιν ἕπεται τὸ ζῶον, οὐ δεῖ λαμβάνοντας τῶν ὑπὸ τὸ ζῶόν τι οἷς ἕπεται, τοῦτο ἐκλέγειν, ὅτι τούτοις καὶ τὸ ζῶον, οἷον τὸν ἄνθρωπον οἷς ἕπεται ὁ ἄνθρωπος, ἐκλέγειν καὶ τιθέναι ὅτι τούτοις καὶ τὸ ζῶον. ἀληθὲς μὲν γάρ ἐστι τοῦτο, πᾶσιν οἷς ὁ ἄνθρωπος ἕπεται καὶ τὸ ζῶον ἕπεσθαι, οὐ μὴν τοῦτ' ἦν προκείμενον ζητεῖν εἰ οἷς ὁ ἄνθρωπος, καὶ τὸ ζῶον ἕπεται· τότε γὰρ ἐκλέξομεν τίσιν ὁ ἄνθρωπος ἕπεται, ὅταν ᾖ περὶ ἀνθρώπου ζητεῖν ἡμῖν προκείμενον... ἡ δὲ λέξις ἀσαφής ἐστι διὰ συντομίαν. ἔστι δὲ τοιαύτη· οὐδὲ δὴ ἐπὶ τῶν καθόλου τινὶ ἐκλέγοντας οἷς τὸ καθόλου ἕπεται, ἐκλεκτέον οἷς ἕπεταί τι τῶν ὑπὸ τὸ καθόλου. ἢ οὕτως· "οὐδὲ δὴ τῷ καθόλου ἐκλεκτέον οἷς ἕπεται τὸ περιεχόμενον" ἀντὶ τοῦ οὐδὲ δὴ ἐπὶ τῶν καθόλου, ὧν ἐστὶ καὶ τοῖς ἑπομένοις ἑπόμενα. ἀλλὰ γὰρ οὐκ ἐπὶ πάντων τῶν καθόλου τοῦτο δυνατόν· τὰ γὰρ εἴδη τὰ ἄτομα καθόλου μέν ἐστιν, οὐ μὴν καὶ ἕκαστον τῶν οἷς ἕπεται τὸ εἶδος, ταῦτα δέ ἐστι τὰ ἄτομα, ἄλλοις πάλιν ἕπεται αὐτά· εἰ γὰρ ἄλλοις εἵπετο, οὐκ ἂν ἦν ἄτομά τε καὶ ἔσχατα. id. ib.

ἵνα σαφεστέραν ποιήσωμεν τὴν δεῖξιν, δεῖ προσθέντας τι μικρὸν οὕτως ἀναγνῶναι "οὐδὲ δὴ τῷ καθόλου ἐκλεκτέον ὡς ὑποκείμενα οἷς ἕπεται τὸ περιεχόμενον." ὃ δὲ λέγει τοῦτό ἐστιν. ἐάν, φησί, τοῦ ζώου προκειμένου ἡμῖν ζητῶμεν τίνι ἕπεται τὸ ζῶον, οὐ δεῖ λέγειν ὅτι τῷ φιλοσόφῳ ἢ τῷ σιμῷ (οὐ γὰρ δεῖ ταῦτα λαμβάνειν ὡς ὑποκείμενα τοῦ ζώου), ἀλλὰ δεῖ λέγειν ὅτι τῷ ἀνθρώπῳ ἕπεται· τούτῳ γὰρ προσεχῶς ἕπεται τὸ ζῶον. λαβόντων δὲ ἡμῶν ὅτι τῷ ἀνθρώπῳ ἕπεται, ἐξ ἀνάγκης συμπέρασμα εἴληπται τῷ ἀνθρώπῳ καὶ τὰ ὑπ' αὐτοῦ περιεχόμενα, λέγω δὴ τὸ σιμὸν καὶ τὸ φιλόσοφον καὶ τὰ ὅμοια. ὥσπερ οὖν, ὅτε ἐζήτει τὰ ἑπόμενα τῷ πράγματι, ἔλεγεν ὅτι οὐ δεῖ λαμβάνειν καὶ τὰ τοῖς ἑπομένοις ἑπόμενα, οὕτω, φησίν, οὐδὲ τὰ οἷς ἕπεται ζητοῦντα δεῖ λαβεῖν καὶ οἷς ταῦτα ἕπεται· ἔχομεν γὰρ αὐτὰ δυνάμει ἐν αὐτοῖς. Ioh. Phil. f. LXIX.

43 b 32. φησίν, εἰ εἴη τὸ μὲν τίσιν ὁ ἄνθρωπος ἕπεται καὶ οὐ τίσι τὸ ζῶον, τότε ταῦτα οἰκειότερον ἔδει λαμβάνειν· προσεχῶς γὰρ περιέχει ὁ ἄνθρωπος τὸ φιλόσοφον καὶ τὸ σιμὸν καὶ τὰ ὅμοια, ὥσπερ τὸ ζῶον προσεχῶς μὲν τὸν ἄνθρωπον, διὰ τούτου δὲ καὶ ἐκεῖνα. id. ib.

43 b 35. ἔχεις ἐντεῦθεν τὴν αἰτίαν δι' ἣν περὶ εὐπορίας συλλογισμῶν κεφάλαιον οὔτε ἐν τοῖς Τοπικοῖς ἐξέθετο, πῶς ἂν διαλεκτικῶν προτάσεων εὐπορήσωμεν, οὔτε ἐν τοῖς Ἀποδεικτικοῖς, πῶς ἂν εὐπορήσωμεν ἀποδεικτικῶν προτάσεων, οὔτε ἐν τοῖς Σοφιστικοῖς, ἅτε δὴ ἐν τούτοις ἐκθέμενος πῶς ἂν πρὸς πᾶν εἶδος συλλογισμοῦ προτάσεων εὐπορήσωμεν. διὰ τοῦτο γοῦν οὐ μόνον τὰ καθ' αὑτὸ ὑπάρχοντα ἐκτίθεσθαι ἡμᾶς προσέταξεν, ἀλλὰ καὶ τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα καὶ τὰ ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ ἀλλότρια, ἵνα ἔχωμεν ὕλην πρὸς πάντα συλλογισμὸν ἐκκείμενον. Ioh. Phil. f. LXIX *b*.

43 b 36. οὐ τοῦτό φησιν, ὅτι οὐ δεῖ ἐκλέγειν τὰ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα καὶ ἀπογράφεσθαι (δεῖ γάρ), ἀλλ' ὅτι εἰς τὸ χρήσασθαι μέσῳ ὅρῳ οὐκ ἐκλεκτέον τὰ ἀμφοτέροις ἅμα ἑπόμενα, εἰ τὰ αὐτὰ εἴη· δείκνυσι γὰρ ἐφεξῆς ὅτι ἐκ τούτων οὐ δυνατὸν συλλογίσασθαι ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν γινομένης τῆς συμπλοκῆς. δοκεῖ δὲ τοῦτο παρέλκειν ἐνταῦθα, ἐπειδὴ τέως τὸ πῶς ἐκλεκτέον τὰ ὑπάρχοντα τοῖς ὅροις παραδίδωσι, καὶ οἷς αὐτοὶ ἕπονται, οὐ μέντοι πῶς αὐτοῖς χρηστέον· καὶ ὅτι οὐχ αὕτη μόνη ἐστὶν ἡ ἐκλογὴ ἄχρηστος, ἀλλὰ καὶ ἄλλαι δύο, ἥ τε λαμβάνουσα τὰ ἀμφοτέρων ἀλλότρια καὶ ἡ τὰ ὑποκείμενα μὲν τοῦ κατηγορουμένου ἀλλότρια δὲ τοῦ ὑποκειμένου· αὐτῆς δὲ ταύτης μόνης ἐμνήσθη ἐνταῦθα. id. ib.

"τὰ πᾶσιν" ἀντὶ τοῦ τοῖς δύο ὅροις τοῖς τοῦ προβλήματος. οὔ φησι δὲ δεῖν τὰ τοῖς δύο ἑπόμενα λαμβάνειν, ὡς μηδενὸς ἐκ τῆς τῶν τοιούτων λήψεως καὶ συνθέσεως γινομένου συλλογισμοῦ. αὐτὸς μὲν οὖν ὑπερτίθεται τὴν τούτου δεῖξιν εἰς τὰ μετὰ ταῦτα. Alex. f. 101.

43 b 39. εἰπὼν τίνα χρὴ ἐκλέγειν ἑκατέρου τῶν ὅρων τῶν ἐν τῷ προβλήματι, μετὰ ταῦτα δείκνυσι τίνα μετὰ τίνων ληφθέντα ἀπὸ τῶν ἐκλελεγμένων τῶν προβλημάτων ἕκαστον συνάξει. τούτου χάριν καὶ ἡ ἐκλογὴ γέγονεν αὐτῷ... σαφηνείας δὲ χάριν τῶν λεγομένων ὑπογράψομεν τάς τε ἐκλογὰς καὶ τὸ διάγραμμα ὅλον καὶ τοὺς συλλογισμοὺς πῶς τε καὶ ἐκ τίνων γίνονται. id. ib.

43 b 40. "τοῦ μὲν κατασκευαζομένου" λέγει τοῦ κατηγορουμένου ὅρου, "οὗ δὲ δεῖ κατηγορεῖσθαι" τοῦ ὑποκειμένου. ἵνα δὲ σαφέστερόν τε τὸν λόγον ποιήσωμεν καὶ τελείως ἐκδώμεθα τὸ διάγραμμα, ἐπ' αὐτῶν ψιλῶν τῶν στοιχείων αὐτὸ ἐκθησόμεθα, ἵνα μάθωμεν πόσαι γίνονται συμπλοκαί, καὶ ποῖαι μὲν δύνανται σύστασιν ἔχειν ποῖαι δὲ οὔ. Ioh. Phil. f. LXX.

44 a 2. τουτέστιν ὅταν δὲ δέῃ καθόλου ἀποφατικὸν δεῖξαι, ὃ μὲν οὐ δεῖ ὑπάρχειν, τουτέστιν ὃ δεῖ κατηγορῆσαι ἀποφατικῶς ἐν τῷ συμπεράσματι· ἔστι δὲ τοῦτο τὸ ἀγαθόν... εἰπὼν δὲ "ὅταν μηδενὶ δέῃ ὑπάρχειν, ὃ μὲν οὐ δεῖ ὑπάρχειν, εἰς ἃ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι," εἶτα μὴ προσθεὶς ᾧ δὲ μὴ δεῖ ὑπάρχειν, εἰς τὰ ἑπόμενα αὐτῷ, ἐπήνεγκε τὸ "ἢ ἀνάπαλιν, ᾧ μὲν δεῖ μὴ ὑπάρχειν, εἰς ἃ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι, ᾧ δὲ δεῖ μὴ ὑπάρχειν, εἰς τὰ ἑπόμενα," διὰ τοῦ πᾶν τοῦτο θεῖναι δηλῶν καὶ τὸ ἐπὶ τοῦ πρώτου· παρέθετο γὰρ ἀνάπαλιν τοῦτο, ὃ καὶ δι' οὗ ἑξῆς εἶπεν ἐδήλωσε· "τούτων γάρ" φησιν "ὄντων τῶν αὐτῶν ὁποτερωνοῦν·" ἄντε γὰρ τὸ τῷ κατηγορουμένῳ μὴ ὑπάρχον ταὐτὸν ᾖ τινὶ τῶν ἑπομένων, ἄντε ἀνάπαλιν τῶν τῷ ὑποκειμένῳ τινὶ μὴ ὑπαρχόντων ταὐτόν τινι ᾖ τῶν τῷ κατηγορουμένῳ ἑπομένων, καθόλου

42b 30. τὸ μὲν ἐν πλείοσι δεικνύμενον σχήμασι καὶ διὰ πλειόνων συλλογισμῶν (πτώσεων γὰρ ἢ τῶν συλλογισμῶν λέγει ἢ τῶν συζυγιῶν) εὐεπιχείρητον πρόβλημα... πτώσεις δ' ἂν λέγοι τὰς διαφορὰς τῶν καθ' ἕκαστον σχῆμα συλλογισμῶν ἀπὸ τῆς τῶν προτάσεων σχέσεως πρὸς ἀλλήλας. τὰς σχέσεις αὐτῶν τὰς πρὸς ἀλλήλας πτώσεις εἴρηκε. Alex. f. 96.

43a 20. πέρας ἔχει τὸ πρῶτον τοῦ βιβλίου τμῆμα, ἐν ᾧ περὶ τῆς γενέσεως τῶν συλλογισμῶν ἡμῖν διελέχθη· νῦν λοιπὸν τοῦ β' μέρους ἄρχεται, ἐν ᾧ διδάσκει πῶς οἷόν τε ἐστὶ προβλήματος ἡμῖν τιθεμένου εὐπορῆσαι προτάσεων τῶν κατασκευαζουσῶν τοῦτο... πρὶν δὲ τὴν μέθοδον ἡμῖν ταύτην παραδοῦναι, ζητεῖ πρότερον περὶ ὧν ὅλως πεφύκαμεν συλλογίζεσθαι. Ioh. Phil. f. LXVII.

43a 26. τὸ μὲν "ἀληθῶς" προσθείς, ὅτι ἡ ζήτησις ἡμῖν οὐ περὶ τῶν ψευδῶς κατηγορουμένων (πάντα γὰρ οὕτως πάντων οἷόν τε κατηγορεῖσθαι) ἀλλὰ περὶ τῶν ἀληθῶς, τουτέστι φύσιν ἐχόντων κατηγορεῖσθαι. Alex. f. 97 b.

43a 33. τὸ "σχεδὸν" ἴσως πρόσκειται διὰ τὰς ἀτόμους ποιότητας, αἳ αἰσθηταὶ μέν εἰσιν, ἐν τῇ ἀτόμῳ δὲ οὐσίᾳ τὸ εἶναι αὐταῖς καὶ κατηγοροῦνται αὐτῆς, ἢ οὐχ ὡς ἄτομοι λαμβάνονται ὅταν κατηγορῶνται... τὸ οὖν σχεδὸν διὰ τὰ κατὰ συμβεβηκὸς προσέθηκε· διὰ τοῦτο γὰρ σχεδόν, ἐπεὶ κυρίως γε οὐδενός. δείξας δὲ τῶν ὄντων τίνα ἐστὶν ἃ μηδενὸς ἀληθῶς κατηγορεῖσθαι πέφυκε, λέγει περὶ τούτων ὧν μηδὲν ἄλλο κατηγορεῖται. καὶ ὅτι μὲν ἔστι τινὰ τῶν ὄντων τοιαῦτα, δεῖξιν ὑποτίθεται, ἐρεῖ δὲ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (I 22) περὶ τούτου· εἰ γὰρ ἐπ' ἄπειρον προΐοι ἄλλο ἄλλου κατηγορούμενον, οὐδ' ἂν ἔσχατόν τι εἴη. Alex. f. 98.

43a 35. οὐδέν, φησί, τῶν μερικῶν κατ' ἄλλου κατηγορεῖται εἰ μὴ κατὰ συμβεβηκός, ὡς ὅταν λέγωμεν ὅτι τὸ φαλακρὸν ἐκεῖνο Σωκράτης ἐστίν. ἰστέον ὅτι ἐν τῇ Φυσικῇ ταύτην τὴν κατηγορίαν παρὰ φύσιν εἶπεν εἶναι, οὐ κατὰ συμβεβηκός, ἀληθέστερον λέγων· τῶν γὰρ κατηγοριῶν, φησὶν ἐν ἐκείνοις, αἱ μέν εἰσι κατὰ φύσιν αἱ δὲ παρὰ φύσιν αἱ δὲ κατὰ συμβεβηκός... παρὰ φύσιν δέ, ὡς ὅταν τὰς οὐσίας τῶν συμβεβηκότων κατηγορῶμεν, ἣν ἐνταῦθα εἶπε κατὰ συμβεβηκός, ὡς ὅταν εἴπω ὅτι τὸ προσιὸν φαλακρὸν Σωκράτης ἐστίν. κατὰ συμβεβηκὸς δέ, ὡς ὅταν συμβεβηκὸς συμβεβηκότος κατηγορῶμεν, ὡς ὅταν εἴπωμεν ὅτι τὸ φαλακρὸν ἐκεῖνο φιλόσοφός ἐστιν· συμβέβηκε γὰρ τῷ φαλακρῷ φιλοσόφῳ εἶναι. Ioh. Phil. f. LXVII.

43a 39. εἰ γάρ τις λάβοι συγχωρήσαντός τινος τὴν οὐσίαν ὂν εἶναι καὶ τὸ ὂν ἓν πάλιν, οὗτος ἂν συλλογίσαιτο ὅτι ἡ οὐσία ἕν. οὐ μὴν ἀπόδειξις τοῦτο· οὔτε γὰρ τὸ ὂν τῆς οὐσίας γένος οὔτε τὸ ἓν τοῦ ὄντος κατηγορεῖται· ὁμώνυμα γὰρ τό τε ὂν καὶ τὸ ἕν. δύναται τὸ "κατὰ δόξαν" εἰρῆσθαι καὶ ἐπὶ τῆς κατὰ συμβεβηκὸς κατηγορίας... ἢ "κατὰ δόξαν" εἴρηκε τὸ ἐνδόξως καὶ διαλεκτικῶς, ὥσπερ εἶπεν ἐν τοῖς Τοπικοῖς (I 2) "ἡ διαλεκτικὴ ἐξεταστικὴ οὖσα πρὸς τὰς ἁπασῶν τῶν ἐπιστημῶν ἀρχὰς ὁδὸν ἔχει·" διὸ ἔνεστι διαλεκτικῶς πως καὶ περὶ τῶν πρώτων συλλογίζεσθαι, δεικνύντας ὅτι ὑπάρχει αὐτοῖς, ἂν οὕτω τύχῃ, τὸ ἓν (ἓν γὰρ αὐτῶν ἕκαστον), ἀλλὰ καὶ τὸ ὄν. Alex. f. 98 b.

τοῦτό φησιν ὅτι τινὲς τῶν παλαιῶν φιλοσόφων ἄλλα τινὰ γενικώτατα πρὸ τῶν δέκα κατηγοριῶν ἐδόξασαν, τό τε ὂν καὶ τὸ ἕν, καὶ Ἐμπεδοκλῆς δὲ τὰ στοιχεῖα καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν καὶ τὸν ἐπὶ τούτοις σφαῖρον, καὶ Ἀναξαγόρας τὰς ὁμοιομερείας, καὶ Δημόκριτος τὰ σχήματα, καὶ ἄλλα ἄλλοι· ἃ πάντα περιφανῶς ἐν τοῖς Φυσικοῖς Ἀριστοτέλης ἐλέγχει, βραχεῖαν ἐνταῦθα περὶ τούτων ποιησάμενος μνήμην. cod. Reg. 1919.

τὸ δὲ "σχεδὸν" προσέθηκεν ὅτι γένοιτο μὲν ἂν ζήτησις καὶ περὶ 43a 42. τῶν ἀνωτάτω γενῶν, οἷον εἰ δέκα τὰ ἀνωτάτω γένη, καὶ εἰ τὸ ὂν ἢ τὸ ἓν γένος, καὶ εἰ ταῦτα ἓν τὸ ὂν καὶ τὸ ἓν ἢ ἕτερα ὁμοίως. ἀλλ' αἵ γε πλεῖσται καὶ κοινόταται περὶ τῶν μεταξύ. ἔτι περὶ τῶν ἀνωτάτω εἰ καὶ συλλογιζόμεθα καὶ δεικνύοιτό τι, οὐκ ἀποδεικτικῶς ἀλλὰ ἐκ τῶν ὑστέρων δεικνύοιτ' ἄν· οὐ γὰρ διὰ τῶν κατηγορουμένων· τὸ γὰρ τὴν οὐσίαν νοητὴν λέγειν ἢ αἰσθητὴν τὰ ὕστερα κατηγορεῖν ἐστιν αὐτῆς· ὕστερα γὰρ ταῦτα τῆς οὐσίας· τούτων γὰρ χάριν καὶ τῶν τοιούτων εἶπε τὸ καὶ σχεδὸν οἱ λόγοι καὶ αἱ σκέψεις μάλιστά εἰσι περὶ τῶν μεταξύ. Alex. f. 98 b.

"ὑποτιθέμενον αὐτὸ πρῶτον" τουτέστι τὸν προκείμενον ἡμῖν ἐν 43b 2. τῷ προβλήματι ὅρον, τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον. "καὶ τοὺς ὁρισμούς τε καὶ ὅσα ἴδια τοῦ πράγματός ἐστιν." ἔστι γὰρ ὅτε καὶ τῶν ὁρισμῶν εἰς τὰς ἀποδείξεις δεόμεθα. τὰ δὲ ἴδια, οἷον τὸ γελαστικὸν τοῦ ἀνθρώπου, τὸ πλατυώνυχον, τὸ ὀρθοπεριπατητικόν, τὸ μόνον τῶν ζῴων χερσὶ κεχρῆσθαι. ταῦτα δὲ ἅτε ἴδια ὄντα καὶ ἀντιστρέφοντα, καὶ ὡς ἑπόμενα δύναται εἶναι τοῦ ἀνθρώπου καὶ ὅσοις αὐτὸς ἕπεται. Ioh. Phil. f. LXVIII.

οἷς δὲ αὐτὸ οὐκ ἐνδέχεται ὑπάρχειν, οὐκέτι φησὶ δεῖν ἐκλαμβάνειν. Alex. f. 99. 43b 5.

οὐκ ἐκλεκτέον, φησί, τίσιν ὁ ἄνθρωπος οὐχ ἕπεται, εἰ ἄνθρωπος εἴη τὸ προκείμενον εἰς σκέψιν· ἐν γὰρ τῷ λαβεῖν τίνα αὐτῷ οὐχ ἕπεται, ἔχομεν καὶ τίσιν αὐτὸς οὐχ ἕπεται· ἀντιστρέφει γὰρ πρὸς ἑαυτὴν ἡ καθόλου ἀποφατική. Ioh. Phil. f. LXVIII b.

εἰπὼν δεῖν ἐκλέγεσθαι τοὺς ὁρισμοὺς καὶ τὰ ἴδια τοῦ πράγματος 43b 6. καὶ τὰ ἑπόμενα αὐτῷ, διαίρεσιν νῦν τῶν ἑπομένων ποιεῖται· τῶν γὰρ ἑπομένων, φησί, τὰ μέν ἐστιν οὐσιώδη τὰ δὲ ἐπεισοδιώδη, καὶ τῶν ἐπεισοδιωδῶν τὰ μὲν ἴδια τὰ δὲ συμβεβηκότα. καὶ ταῦτα οὖν ἐκλεκτέον καὶ σημειωτέον. id. ib.

αἱ γὰρ ἀπροσδιόριστοι, ὡς ἐν τῷ περὶ Ἑρμηνείας (c. 7) εἴρηται, 43b 14. ταῖς μερικαῖς ἰσοδυναμοῦσιν. id. ib.

τοῦτο οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ἐν τῷ περὶ Ἑρμηνείας (c. 7) εἰρη- 43b 17. μένον, ὅτι τὸν προσδιορισμὸν οὐ δεῖ τῷ κατηγορουμένῳ συντάττειν ἀλλὰ τῷ ὑποκειμένῳ. id. ib.

παθητικῷ ἀντὶ ἐνεργητικοῦ ἐχρήσατο· βούλεται γὰρ εἰπεῖν ὅτι 43b 19. προτείνομεν. id. ib.

τὸ δὲ "καθάπερ καὶ προτεινόμεθα" ἐστὶ καθάπερ καὶ προτείνομεν ἐν τῇ χρήσει. Alex. f. 100.

ὑποκείμενον ἐνταῦθα λέγει οὐ πάντως τὸν ὑποκείμενον ὅρον 43b 23. ἀλλ' ἁπλῶς τὸν προκείμενον, οὗ δεῖ ζητῆσαι τὰ ἑπόμενα, ὁποῖος ἂν ᾖ, εἴτε ὁ κατηγορούμενος εἴτε ὁ ὑποκείμενος. τί οὖν φησίν; ὅταν

42a 19. πλείους μὲν οὖν γίνονται ἐὰν τῶν α' β' θάτερον, διότι καὶ τὰ συμπεράσματα ἕτερα. τὸ δὲ "ἢ ὡς ἐνεδέχετο τὸ αὐτὸ διὰ πλειόνων ὅρων περαίνεσθαι," ἐὰν τὸ ε' συνάγουσι· σημαίνει δὲ αὐτὸ τοῦτο τάς τε διὰ διαφόρων μέσων τὸ αὐτὸ συναγούσας προτάσεις, καὶ τὰς διὰ διαφόρων μὲν μέσων διὰ πλειόνων δὲ σχημάτων ὁμοίως τὸ αὐτὸ συναγούσας συμπέρασμα. ὅτι δὲ καὶ ἐν τοῖς τοιούτοις πλείονες οἱ συλλογισμοί, εἴπομεν ἤδη. Ioh. Phil. f. LXIV.

42a 22. ἐπισημειωτέον τῇ λέξει. ὑποθέμενος γὰρ ἐπὶ τῶν γ' δ' προτάσεων πάσας τὰς ἄλλας ὑποθέσεις, ἢ γὰρ ἔχουσί φησι σχέσιν πρὸς ἀλλήλας ἢ οὐκ ἔχουσι. καὶ εἰ μὲν ἔχουσιν, ἢ τὸ ε' συνάγουσιν ἢ τῶν α' β' θάτερον ἢ ἄλλο τι παρὰ ταῦτα. ταῦτα οὖν πάντα ὑπέθετο. νῦν δὲ ὑποτίθεται ὅτι εἰ μὴ ἔχουσι σχέσιν, οὐδὲ συμπεραίνουσί τι. ἐπεσημειωσάμην δὲ τοῦτο, ὅτι ὑποκατιὼν καὶ τὰς λοιπὰς ὑποθέσεις ἐπὶ τοῦ α' β' γυμνάζων (μόνον γὰρ γυμνάζων τὸ α' β' τὸ ε' τέως ὑπέθετο) ἐπάγει μὴ γίνεσθαι ἐκ τῶν γ' δ' μηδὲν συμπέρασμα, δέον εἰπεῖν ἐκ τῶν α' β'· ἤδη γὰρ ἐνταῦθα ὑπέθετο τὸ γ' δ' μηδὲν συμπεραίνειν. δῆλον ἄρα ὅτι γράφεται ἄνωθέν ἐστι τὸ σφάλμα· πάντα γὰρ τὰ βιβλία οὕτως ἔχουσιν. id. ib.

εἰ δὲ μηδ' οὕτως ἔχοιεν πρὸς ἀλλήλας αἱ γ' δ' προτάσεις ὡς ἐχουσῶν συλλογιστικῶς τι συνήγετο, κἀναγκαίως ἔσονται εἰλημμέναι· καὶ γὰρ χωρὶς τοῦ ληφθῆναι αὐτὰς τὸ ε' συνήγετο ἂν ἐκ τῶν α' β'. ἀλλ' ἢ μάτην ἔσται εἰλημμέναι, τουτέστι παρελκόντως καὶ ἀχρήστως, εἰ μὴ ἐπαγωγῆς χάριν ὡς πιστώσασθαί τι τῶν τοῦ ε' δεικτικῶν δι' αὐτῶν. Alex. f. 93.

42a 23. τὸ δὲ "ἢ τινος ἄλλου" εἶπεν ἀντὶ τοῦ ὄγκου καὶ αὐξήσεως ἢ τοῦ σαφέστερον εἶναι τὸν λόγον· αἱ γὰρ παρὰ τὰς ἀναγκαίας προτάσεις λαμβανόμεναι τούτων τινὸς χάριν εἰώθασι λαμβάνεσθαι, ὡς ἔδειξεν ἐν τῷ τελευταίῳ τῶν Τοπικῶν. δι' ἐπαγωγῆς μὲν οὖν ὅταν ἡ καθόλου πρότασις δέηται πίστεως. id. ib.

τουτέστιν ἀποκρύψασθαι βουλόμενοι τὴν ἀκολουθίαν τοῦ συλλογισμοῦ ἔξωθέν τισι πολλάκις κεχρήμεθα. τὸ δὲ "ἢ ἄλλου τινὸς τῶν τοιούτων χάριν" τουτέστι μήκους λόγων καὶ ἀναπληρώσεως, ἢ χαριτός τινος, ἵνα μὴ ξηρὸς ᾖ ὁ λόγος, καὶ μάλιστα ὅταν πρὸς ἐπίδειξιν ὁρᾷ, ὡς ὅταν εἰπόντες τὸ δίκαιον καλόν, τὸ καλὸν ἀγαθόν, ἀποτείνωμεν περὶ τοῦ καλοῦ μακρὸν λόγον. Ioh. Phil. f. 65.

42a 24. εἰ δὲ τὰ μὲν α' β' εἴη συνάγοντα ἔξωθέν τι, τὰ δὲ γ' δ' μηδὲν εἴη δεικνύντα, ὁ μὲν συλλογισμὸς εἷς ἔσται ἀλλ' οὐ τοῦ προκειμένου (οὐ γὰρ τὸ ε' ἐδείχθη ὑπὸ τῶν α' β' ἀλλὰ ἄλλο τι), τὰ δὲ γ' δ' μάτην ἔσται εἰλημμένα καὶ κείμενα. ὁ δ' αὐτὸς λόγος καὶ εἰ τὰ μὲν γ' δ' εἴη ἔξωθέν τι συνάγοντα, τὰ δὲ α' β' μηδέν. ἢ τὸ "εἰ δὲ μὴ γίνεται ἐκ τῶν γ' δ' μηδέν" γέγραπται ἀντὶ τοῦ εἰ δὲ μὴ γίνεται ἐκ τῶν α' β' μηδέν· περὶ μὲν γὰρ τῶν γ' δ' ἔφθασε τοῦτο εἰρῆσθαι, περὶ δὲ τῶν α' β' ἔλειπεν ἔτι ῥηθῆναι. εἰ γὰρ μὴ οὕτως ἔχει, δὶς μὲν ἔσται τὸ αὐτὸ περὶ τῶν γ' δ' λεγόμενον, περὶ δὲ τῶν α' β' παρειμένον. Alex. f. 93 b.

ταύτης ἕνεκεν τῆς λέξεως ἐπεσημηνάμην ἀνωτέρω. δῆλον γὰρ ὅτι περὶ τῶν α' β' ὁ λόγος· ὑποθέμενος γὰρ ἀνωτέρω τὰ α' β' συνάγοντα τὸ ε', τὰ πρὸ μικροῦ εἰπὼν "εἰ δὲ ἐκ τῶν α' β' μὴ τὸ ε' ἀλλ' ἄλλο γίνεται συμπέρασμα," ἀκόλουθον ἦν ἐπαγαγεῖν "εἰ δὲ μὴ γίνεται ἐκ τῶν α' β' μηδὲν συμπέρασμα," ἔχει δὲ ἡ λέξις γ' δ', ὥστε δῆλον ὅτι ἡμάρτηται. Ioh. Phil. f. LXV.

42a 36. εἰ δέδεικται ὅτι αἱ συνεκτικώταται τοῦ συλλογισμοῦ προτάσεις δύο εἰσίν. id. ib.

42a 37. τουτέστιν ἔνια γὰρ τῶν ἄνωθέν τε καὶ πρώτως δεδειγμένων καὶ συμπερασμάτων ἐπ' ἄλλαις προτάσεσι γεγονότων ἀναγκαῖον εἶναι τῶν μετὰ ταῦτα προτάσεις· τὸ γὰρ ἄλλων προτάσεων συμπέρασμα οὐδὲν κεκώλυται ἄλλου συμπεράσματος πάλιν αὐτὸ εἶναι πρότασιν συνακτικήν. Alex. f. 94.

42b 8. ἐὰν ἔχωμεν τρεῖς ὅρους ἐκκειμένους, τοὺς α' β' γ', δεώμεθα δ' ἄλλου τινὸς ὅρου, πᾶσα ἀνάγκη τοῦτον ἔξωθεν τούτων τίθεσθαι, ἢ πρὸ τοῦ α' λέγω, ἢ μετὰ τὸ γ', ἢ μεταξὺ ἢ τοῦ α' β' ἢ τοῦ β' γ'. Ioh. Phil. f. LXV b.

42b 12. ἡ δὲ λέξις οὕτως ἔχει "ὅταν μὲν γὰρ αἱ προτάσεις ἄρτιαι, περιττοὶ οἱ ὅροι, ὅταν δὲ οἱ ὅροι ἄρτιοι, αἱ προτάσεις περιτταί." ἡμάρτηται δέ· δὶς γὰρ ταὐτὸν λέγει. δεῖ δὲ εἶναι "ὅταν δὲ οἱ ὅροι ἄρτιοι, αἱ προτάσεις περιτταί," ὡς προσυπακούομεν τὸ περιτταί, ἀνὰ μέρος δὲ τὸ περιττὸν καὶ ἄρτιον ἕξουσιν οἵ τε ὅροι καὶ αἱ προτάσεις. αἴτιον δὲ τοῦ ἐνίοτε ὑπερέχειν τοὺς ὅρους τὸν τῶν προτάσεων ἀριθμὸν καὶ παρὰ μέρος ἀρτίους τε καὶ περιττοὺς γίνεσθαι τὸ ἐξ ἀρχῆς μὲν ἐν τοῖς ἁπλοῖς συλλογισμοῖς τοὺς ὅρους ὑπερέχειν ἑνὶ τῶν προτάσεων... τὸ δὲ "ἢ γὰρ ἔξωθεν ἢ εἰς τὸ μέσον τεθήσεται ὁ παρεμπίπτων ὅρος" εἴρηκεν ἤτοι διὰ τὰς τῶν σχημάτων διαφοράς· ἔξωθεν μὲν γάρ ἐστιν ὁ προστιθέμενος ὅρος, ἂν ἐν δευτέρῳ σχήματι ἢ τρίτῳ μέλλῃ δειχθήσεσθαι τὸ συμπέρασμα... ἢ οὐ τοῦτο λέγει (οὐ γὰρ τὸ δ' ἐν μέσῳ ἐλήφθη τῶν α' β' ἢ τῶν β' γ', ἀλλ' ἔσχατον τοῦ γ'), ἀλλ' εἴη ἂν τὸ λεγόμενον ἁπλούστερον "ἢ γὰρ ἔξωθεν ἢ εἰς τὸ μέσον τεθήσεται ὁ παρεμπίπτων ὅρος," ἔξωθεν μέν, εἰ πρὸ τοῦ δ' εἴη τις εἰλημμένος κατηγορούμενος τοῦ α' ἢ μετὰ τὸ γ' ὑποκείμενος τῷ γ', εἰς τὸ μέσον δέ, εἰ μεταξὺ εἴη τοῦ α' β' ἢ τοῦ β' γ'· ὅπου γὰρ ἂν καὶ ὅθεν ἂν προστεθῇ, σὺν αὐτῷ καὶ μία πρότασις προστίθεται. Alex. f. 95.

42b 16. αἱ μὲν οὖν προτάσεις καὶ οἱ ὅροι ταύτην ἀεὶ τὴν σχέσιν τε καὶ τάξιν φυλάξουσι, τὰ δὲ συμπεράσματα οὔτε πρὸς τοὺς ὅρους οὔτε πρὸς τὰς προτάσεις ἀεὶ τὴν αὐτὴν τάξιν ἕξει. καὶ τὴν αἰτίαν προστέθηκεν· ἑνὸς γὰρ ὅρου προστεθέντος συμπεράσματα προστίθεται ἑνὶ ἐλάττω τῶν ὑπαρχόντων ὅρων. οὗ αἴτιον ὅτι πρὸς μόνον τὸν ἔσχατον τῶν κειμένων ὁ προστεθεὶς αὐτῷ, εἰ μετὰ τοῦτον ἡ προσθήκη γένοιτο, οὐ ποιεῖ συμπέρασμα. Alex. f. 95 b.

42b 19. ὑποτιθέμενος ἔξωθεν προστιθέμενον τὸν ὅρον, τοῦτο λέγει, ὅτι ἑνὸς ὅρου προστεθέντος ἀνάγκη ἑνὶ ἐλάττω τῶν ὑπαρχόντων ὅρων προστίθεσθαι συμπεράσματα. δῆλον ἐντεῦθεν· δίχα γὰρ μόνου τοῦ ἐσχάτου, μεθ' ὃν κεῖται ὁ προστεθείς, εἴτε ἐν ἀρχῇ εἴτε ἐν τῷ τέλει, ἐπεὶ πρὸς τοὺς ἄλλους πάντας ποιεῖ συμπεράσματα. ὑποκείσθωσαν γὰρ τέσσαρες οἱ α' β' γ' δ', εἶτα προστιθέσθω ὁ ε'. δῆλον ἄρα ὅτι δυνατὸν συμπεράναι πρὸς αὐτὸν πάντας τοὺς ἄλλους δίχα τοῦ ἐσχάτου, λέγω δὴ τοῦ δ'. Ioh. Phil. f. LXV b.

41 b 31. λέγοι ἂν τὰς ἄλλας κατηγορίας τὰς παρὰ τοὺς εἰρημένους τρόπους· εἶεν δ' ἂν αἱ τοιαῦται, εἰ ψεῦδος τὸ συμπέρασμα ἢ εἰ ἀδύνατον. . . ἀλλὰ καὶ εἰ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον ἐνδεχομένου ἢ τοῦ κατὰ φύσιν ἢ τοῦ κατὰ προαίρεσιν τὸ συμπέρασμα, οὕτω τις καὶ τῶν προτάσεων ἕξει ἢ καὶ ἀμφότεραι. λέγοι δ' ἂν κατηγορίας καὶ τὰς κατὰ γένη· εἰ γὰρ ἐν τῷ ποιῷ τὸ δεικνύμενόν τε καὶ συμπεραινόμενον, δεῖ καὶ πρότασίν τινα τοιαύτην εἰλῆφθαι. ὁμοίως εἰ ποσὸν ἢ πρός τι. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν. Alex. f. 90.

οἷον ἐὰν ἔνδοξον ᾖ τὸ συμπέρασμα ἀληθές, ἀνάγκη ἢ ἀμφοτέρας ἢ τὴν μίαν εἶναι ὁμοίαν, ἐὰν δυνατόν, ἢ τὴν μίαν ἢ τὰς ἀμφοτέρας ὁμοίας, καὶ ἐὰν ψευδές, καὶ ἐπὶ πάντων τῶν τοιούτων. πλὴν διαλλάττει μόνον ἐπί τε τοῦ ἀληθοῦς καὶ ἐπὶ τοῦ δήλου. δυνατὸν ἀληθὲς συμπέρασμα ἐπὶ ψευδῶν προτάσεων συμπερανθῆναι, οἷον ἐὰν εἴπω ὅτι ὁ ἄνθρωπος ποιότης, ἡ ποιότης οὐσία, συνάγεται ὅτι ὁ ἄνθρωπος οὐσία, καὶ ἔστιν ἀληθές, αἱ μέντοι προτάσεις ἀμφότεραί εἰσι ψευδεῖς. καὶ ἐπὶ τοῦ δήλου δὲ ἀπάντως ἀνάγκη καὶ τὰς προτάσεις δήλας εἶναι. Ioh. Phil. f. LXIII.

41 b 32. δῆλον ὅτι τέλειοι μὲν οἱ ἐν πρώτῳ σχήματι, ἀτελεῖς δὲ οἱ ἐν δευτέρῳ καὶ τρίτῳ, διότι δέονται ἀντιστροφῆς· ὡς διὰ τοῦ δυνατοῦ σημαίνει· δυνάμει γὰρ ἔχουσι τὴν τελειότητα καὶ οὐκ ἐνεργείᾳ. ἐὰν δὲ πρόσκειται ἔν τισιν ἀντιγράφοις "τὸ ἀτελές," τὸ μὲν ἀτελὲς νοήσομεν ὁμοίως καὶ ἐπὶ τῶν ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι, ἐπειδὴ καὶ αὐτὸς ἀτελεῖς αὐτοὺς ἐκάλεσεν. δυνατοὺς δὲ λέξομεν συλλογισμοὺς τοὺς δεομένους ἔξωθεν προτάσεως εἰς τελείωσιν τοῦ δηλουμένου. id. ib.

41 b 33. δυνατὸν εἶπε τὸν ἀτελῆ συλλογισμὸν τὸν μήπω μὲν φανερῶς ὄντα συλλογισμὸν δυνάμενον δὲ γενέσθαι φανερὸν ἢ δι' ἀντιστροφῆς ἢ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. Alex. f. 90 b.

41 b 37. τουτέστι διὰ δύο προτάσεων. λέγει δὲ διὰ τῶν προσεχῶν· ἐν γὰρ τοῖς συνθετοῖς πλείους μὲν αἱ προτάσεις, ἀλλ' οὐχ αἱ προσεχεῖς. id. ib.

τουτέστιν εἰ μὴ διαφόροις ἐπιχειρήσεσιν τὸ αὐτὸ βουλόμεθα κατασκευάσαι· τότε γὰρ κεχρήμεθα ἄλλῳ τινὶ μέσῳ ὅρῳ. Ioh. Phil. f. LXIII b.

41 b 39. τοῦτο δ' ἂν εἴη λέγων ὑπὲρ τοῦ δεῖξαι ὅτι οὐ μόνον διαφέροντες συλλογισμοὶ ὧν διαφέροντες οἱ μέσοι καὶ αἱ προτάσεις, ἀλλὰ καὶ τῶν αὐτῶν ὅρων λαμβανομένων καὶ τῶν αὐτῶν γινομένων συμπερασμάτων ἡ θέσις τοῦ μέσου καὶ ἡ τάξις διαφορὰν ποιεῖ συλλογισμῶν. καὶ εἴη ἂν διὰ μὲν τοῦ α' β' τὸ πρῶτον λέγων σχῆμα, διὰ δὲ τοῦ α' γ' τὸ δεύτερον, διὰ δὲ τοῦ β' γ' τὸ τρίτον. Alex. f. 91.

τοῦτο παράδειγμα τοῦ ἐν διαφόροις τοῖς σχήμασιν τὸ αὐτὸ συμπέρασμα δείκνυσθαι, ἐπειδή, ὡς εἴπομεν, τὸ αὐτὸ μερικὸν ἀποφατικὸν δείκνυται ἐν τοῖς τρισὶ σχήμασι. Ioh. Phil. f. LXIV.

42 a 1. δι' ὧν δὲ λέγει νῦν ὑπογράφει ἡμῖν φανερώτερον τὸ λεγόμενον συνθετικὸν θεώρημα, οὗ αὐτός ἐστιν εὑρετής. ἔστι δὲ ἡ περιοχὴ αὐτοῦ τοιαύτη. ὅταν ἔκ τινων συνάγηταί τι, τὸ δὲ συναγόμενον μετά τινος ἢ τινων συνάγῃ τι, καὶ τὰ συνακτικὰ αὐτοῦ μεθ' οὗ ἢ μεθ' ὧν συνάγεται ἐκεῖνο, καὶ αὐτὰ τὸ αὐτὸ συνάξει. τὰ γὰρ τῶν α' β' συνακτικά, δι' ὧν δείκνυται τὸ γ' φέρε εἰπεῖν, ταῦτα συνάγειν φησὶ τὸ ὑπὸ τῶν α' καὶ τῶν β' συναγόμενον, ὃ ἦν τὸ γ'· ἐπεὶ γὰρ τὸ πᾶν δίκαιον ἀγαθόν, συναγόμενον ὑπὸ τῶν πᾶν δίκαιον καλόν - πᾶν καλὸν ἀγαθόν, συνάγει μετὰ τοῦ πᾶν ἀγαθὸν συμφέρον, καὶ τὸ πᾶν δίκαιον καλόν - πᾶν καλὸν ἀγαθόν, ὄντα συνακτικὰ τοῦ πᾶν δίκαιον ἀγαθόν, συνάγει μετὰ τοῦ πᾶν ἀγαθὸν συμφέρον, συνάξει τὸ πᾶν δίκαιον συμφέρον, ὃ συνῆγε καὶ τὸ ὑπ' αὐτῶν συναγόμενον, καὶ μετὰ τοῦ πᾶν ἀγαθὸν συμφέρον. κἂν ληφθῇ δὲ τὸ πᾶν ἀγαθὸν δίκαιον, μετὰ τῶν πᾶν ἀγαθὸν ὠφέλιμον - πᾶν ὠφέλιμον συμφέρον, συνάγειν τὸ πᾶν ἀγαθὸν συμφέρον, καὶ τὰ τοῦ πᾶν δίκαιον ἀγαθὸν συνακτικὰ μετὰ τούτων τὸ αὐτὸ συνάξει. διὰ τοῦτο γὰρ πρόσκειται ἐν τῇ περιοχῇ τὸ μετά τινος ἢ τινων, καὶ οὕτως γίνεται τὸ αὐτὸ διὰ πλειόνων δεικνύμενον ὅρων, κἂν τῶν συνακτικῶν τινὸς τὸ μὲν ἀπαγωγῇ τὸ δὲ συλλογισμῷ δεδειγμένον ᾖ. Alex. f. 91 b.

εἰ μέντοι μὴ διὰ προσυλλογισμῶν περαίνομεν ἀλλ' αὐτὰ τὰ συμπεράσματα ἐπισυνάπτοντες, ἕνα ποιοῦμεν συλλογισμόν, οἷον τὸ δίκαιον ἐπαινετόν, τὸ ἐπαινετὸν καλόν, τὸ καλὸν ἐφετόν, τὸ ἐφετὸν συμφέρον, τὸ συμφέρον ἀγαθόν, τὸ δίκαιον ἄρα ἀγαθόν. οὗτος, φησίν, ὁ συλλογισμὸς διὰ πλειόνων μὲν ὅρων περαίνεται, σύνθετος μέντοι ἐστὶ καὶ οὐχ ἁπλοῦς, περὶ δὲ τῶν ἁπλῶν ὁ λόγος. Ioh. Phil. f. LXIII b.

ἰστέον δὲ ὅτι ἀντὶ τοῦ ε' τὸ γ' ἐνταῦθα παρέλαβεν· ἄνω γὰρ εἶπε τὸ ε' εἶναι τοῦ β' συμπέρασμα. Ioh. Phil. f. LXIV. 42 a 5.

ὃ βούλεται εἰπεῖν τοῦτό ἐστιν, ὅτι εἰ ὁ διὰ πλειόνων ὅρων δεικνύμενος συλλογισμὸς εἷς λέγοιτο, οὐ προσυλλογισμῶν φημί, οὕτως ἂν λέγοιτο εἷς ὡς σύνθετος, ὡς μέντοι ἁπλοῦς οὐδαμῶς. πάλιν δὲ τὸ γ' ἀντὶ τοῦ ε' παρέλαβεν. id. ib. 42 a 6.

τουτέστι διὰ δ' προτάσεων· ἕκαστον γὰρ στοιχεῖον ὡς πρότασιν λαμβάνει. καὶ περαινέτωσαν αἱ προτάσεις αὗται τὸ ε'. id. ib. 42 a 8.

ἀντὶ τοῦ τὴν μὲν περιέχειν τῶν προτάσεων τὴν δὲ περιέχεσθαι. περιέχει δὲ καὶ ἡ μείζων, ἡ δὲ ἐλάττων περιέχεται. Ioh. Phil. f. LXIV b. 42 a 10.

ἀλλὰ κἂν τῶν α' β' τὸ ἕτερον ὑπὸ τῶν γ' δ' συνάγηται, καὶ οὕτως πλείους οἱ συλλογισμοὶ τῷ τὴν ἑτέραν πρότασιν τῶν α' β', αἳ ἦσαν τοῦ ε' συλλογιστικαί, συμπέρασμα εἶναι ἐπὶ ταῖς α' β' γ' δ' προτάσεσιν. ἔστι δὲ ἡ τοιαύτη σύνθεσις κατὰ τὸ τρίτον ὑπὸ τῶν νεωτέρων καλούμενον θέμα γινομένη, ὅ ἐστιν ὑπὸ τὸ προειρημένον ἡμῖν συνθετικὸν θεώρημα, εἴγε τοῦ μέν ἐστι περιοχή, ὡς προειρήκαμεν, ὅταν ἔκ τινων συνάγηταί τι, τὸ δὲ συναγόμενον μετά τινος ἢ τινων συνάγῃ τι, καὶ τὰ συνακτικὰ αὐτοῦ, μεθ' οὗ ἢ μεθ' ὧν συνῆγέ τι ἐκεῖνο, καὶ αὐτὰ τὸ αὐτὸ συνάξει. τοῦ δέ γε τρίτου καλουμένου θεωρήματος ἡ περιοχὴ καὶ αὐτὴ ἔχει ὧδε. ὅταν ἐκ δυοῖν τρίτον τι συνάγηται, ἑνὸς δὲ αὐτῶν ληφθῇ ἔξωθεν συλλογιστικὰ ἐκ τοῦ λοιποῦ, καὶ ἐκ τῶν ἔξωθεν τοῦ ἑτέρου συλλογιστικῶν τὸ αὐτὸ συναχθήσεται. εἰ δὲ καὶ τὸν διὰ προσυλλογισμοῦ γινόμενον συλλογισμὸν ὄντα σύνθετον ἕνα βούλοιτό τις λέγειν συλλογισμόν, ὡς ἔφαμεν, τῷ δύνασθαι τὸ αὐτὸ διὰ πλειόνων ὅρων συνάγεσθαι, οὕτως ἕξει καὶ οὗτος ὁ λόγος. Alex. f. 93. 42 a 15.

εἴη εἴτε ἡ μετάληψις. πρὸς τοῦτο δὲ καλῶς καὶ ὁ Ἀλέξανδρος (f. 88 b) ὅτι κακῶς νενομίκασι· πρὸς γὰρ μόνην τὴν μετάληψιν τοῦτο ἀκουστέον· ἐὰν γὰρ τὸ συνημμένον ἄδηλον ᾖ, οὐδὲ ὅλως γενήσεται συλλογισμός. Ioh. Phil. f. LXII.

41 a 39. ὁ μὲν γὰρ συλλογισμὸς πρὸς τὸ μεταλαμβανόμενον γίνεται δεικτικὸς ὤν, μεταλαμβανόμενον λέγων ἐκεῖνο οὗ ἡ δεῖξις καὶ ὁ συλλογισμὸς γίνεται, ὅ ἐστι ποτὲ μὲν τὸ ἀντικείμενον τοῦ προκειμένου, ὡς ἐπὶ τῆς ἀδυνάτου δείξεως, ποτὲ δὲ τὸ ἐξ ὁμολογίας ληφθέν, ποτὲ δὲ ὃ οἱ νεώτεροι προσλαμβανόμενον λέγουσιν. ὁ μὲν οὖν συλλογισμὸς τούτου γίνεται, τὸ δὲ προκείμενον εἰς ἐξ ἀρχῆς δεῖξιν ἤτοι δι' ὁμολογίας τινὸς τίθεται ἤτοι δι' ἄλλης τινὸς ὑποθέσεως· ὑπόθεσις γὰρ καὶ ἡ ὁμολογία... δι' ὑποθέσεως δὲ ἄλλης, ὡς εἶπεν, εἶεν ἂν καὶ οὓς οἱ νεώτεροι συλλογισμοὺς μόνους βούλονται λέγειν. οὗτοι δ' εἰσὶν οἱ διὰ τροπικοῦ, ὥς φασι, καὶ τῆς προσλήψεως γινόμενοι, τοῦ τροπικοῦ ἢ συνημμένου ὄντος ἢ διεζευγμένου ἢ συμπεπλεγμένου, οὓς οἱ ἀρχαῖοι λέγουσι μικτοὺς ἐξ ὑποθετικῆς προτάσεως καὶ δεικτικῆς, τουτέστι κατηγορικῆς· εἰ γὰρ εἴη ὑποκείμενον συνεχὲς καὶ συνημμένον τὸ εἰ ἐπιστήμη ἐστὶν ἀρετή, διδακτή ἐστιν ἀρετή, εἶτα δεικνύοιτο ὅτι ἐπιστήμη ἐστὶν ἡ ἀρετή, δεδειγμένον εἴη ὅτι καὶ διδακτή· οὕτως γὰρ ἂν προσληφθείη ὡς οὕτως ἔχον εἰ δειχθείη ὅτι ἐπιστήμη... τὸ μὲν οὖν συνημμένον ὡς γνώριμον ἐν τοῖς ὑποθετικοῖς, ἃ τροπικὰ λέγουσι, λαμβάνεταί τε καὶ τίθεται ἐν οἷς γε οὕτως ἔχει· λείπεται δὲ τὸ προσλαμβανόμενον ἀμφιδοξούμενον εἶναι καὶ δεόμενον δείξεως. ὁ δὴ συλλογισμὸς τούτου τῷ οὕτως ἔχειν ἔσται κατηγορικός τε καὶ δεικτικός· ὥστε καὶ ἐν τοῖς ὑποθετικοῖς τοῖς ἐκ τροπικοῦ συνημμένου συλλογισμοῦ τὸ μὲν κατασκευαζόμενον καὶ δεόμενον δείξεως διὰ κατηγορικοῦ δείκνυται συλλογισμοῦ, τὸ δ' ἐξ ἀρχῆς προκείμενον δείκνυται οὐ διὰ συλλογισμοῦ ἀλλὰ διὰ τῆς ὑποθέσεως τῆς ὑποτεθείσης. ἦν δὲ αὕτη τοῦ συνημμένου... διαφέρειν δὲ δοκεῖ κατὰ τοὺς ἀρχαίους τὸ μεταλαμβανόμενον τοῦ προσλαμβανομένου· ἐφ' ὧν μὲν γὰρ ἐν τοῖς εἰλημμένοις ἔγκειταί τε καὶ ἔστι τὸ μεταλαμβανόμενον, οὐ μὴν οὕτως οὐδὲ τοιοῦτον οἷον λαμβάνεται, ἐπὶ τούτων τὸ λαμβανόμενον μεταλαμβανόμενόν ἐστιν· οὐ γὰρ ἔξωθεν προστίθεται, ἀλλὰ κείμενον ἄλλως μεταλαμβάνεται εἰς ἄλλο· ἐν γὰρ τῷ ἡμέρα ἐστί, φῶς ἐστί, τὸ ἡμέρα ἐστίν, ὃ προσλαμβανόμενον οἱ νεώτεροι λέγουσιν, ἔγκειται μέν, οὐ μὴν τοιοῦτον ὁποῖον λαμβάνεται· τίθεται μὲν γὰρ ἐν τῷ συνημμένῳ ἐν ὑποθέσει τε καὶ ἀκολουθίᾳ, λαμβάνεται δὲ ὡς ὑπάρχον, ἐπειδὴ τούτων καὶ τῶν τοιούτων μετάληψιν γίνεσθαι λέγουσι· τὸ γὰρ κείμενον οὐχ ὡς κεῖται λαμβανόμενον μεταλαμβανόμενον γίνεται· κείμενον γὰρ ἐν σχέσει καὶ ἀκολουθίᾳ καὶ ὑποθέσει μεταλαμβάνεται εἰς ὕπαρξιν. προσλαμβανόμενον δὲ λέγουσιν ἐφ' ὧν τοῖς κειμένοις ἔξωθέν τι προστίθεται δυνάμει πως ἐν αὐτοῖς περιεχόμενον, οὐ μὴν ἐνεργείᾳ, ὡς ἔχει ἐπὶ τῶν κατὰ πρόσληψιν γινομένων συλλογισμῶν... ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ διαιρετικοῦ ἤτοι τόδε ἢ τόδε, ὃ καὶ αὐτὸ ἐκ τροπικοῦ καὶ τῆς προσλήψεως λέγουσιν. ὁποῖον ἂν αὐτῶν λαμβάνηται δείξεως δεόμενον, δεῖται κατηγορικοῦ πρὸς τὸ δειχθῆναι συλλογισμοῦ. Alex. f. 87 b sqq.

"ἢ οὐ πρὸς τὸ κείμενον." τοῦτο οὕτως ἐξηγοῦνται. ἐάν, φησίν, 41 b 8.
εἴπω ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστιν, ἐπαγάγω, πᾶσα ἡ ἀπὸ τοῦ γεωμετρεῖν ἡδονὴ σπουδαία ἐστίν, εἶτα συμπεραίνω, οὐ τοῦ προκειμένου ἀλλ' ἄλλου ἐποίησα τὸν συλλογισμόν. μερικὴν δέ, φασί, λέγομεν εἶναι καὶ ταύτην τὴν πρότασιν, ἐπειδὴ οὐ τὴν καθόλου ἡδονὴν παρελάβομεν ἀλλὰ τὴν γεωμετρικήν, εἰ καὶ πᾶσαν. λέγω οὖν πρὸς τοῦτο ὅτι μάλιστα μὲν εἰπόντες ὅτι ἡ μουσικὴ ἡδονὴ ἡδονὴ σπουδαία ἐστίν, εἶτα ἐπαγαγόντες πᾶσα ἡ γεωμετρικὴ ἡδονὴ σπουδαία ἐστίν· ἀλλ' ἐποιήσαμεν τὸν μέσον ὅρον ἄλλον, δεῖ δὲ τὸν αὐτὸν εἶναι ἐν ταῖς δύο προτάσεσιν. ἔπειτα εἰπόντες πᾶσα καθόλου ἐποιήσαμεν τὴν πρότασιν· ᾧ γὰρ ἂν τὸ πᾶς πρόσκειται, καθόλου γίνεται. πρὸς γὰρ τὸν προσδιορισμόν, οὐ τὸν ὅρον τὸ καθόλου, ὡς ὅταν εἴπω πᾶς ἄνθρωπος· διὰ γὰρ τὸ ζῷον οὐ καθόλου ὁ ἄνθρωπος. αὐτὸς δὲ ὑποθέμενος τὰς δύο μερικὰς οὕτω τὰ ἑξῆς προσέθηκε, καὶ οὐδὲ τῷ πᾶς ἐχρήσατο· ὥστε ψευδὴς ἡ τούτων ἐξήγησις. σκόπει οὖν μὴ οὕτω μᾶλλον ἀληθεύῃ τις τὸ ῥητὸν ἐξηγούμενος. ἐάν, φησίν, εἴπω ὅτι ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστιν, εἶτα προσθῶ τὴν ἑτέραν πρότασιν λέγων τὶς ἡδονὴ σπουδαία ἐστί, ταύτην δέ ἐστι κἂν ἀπροσδιόριστον εἴπω, ἐπειδὴ τὸ μερικὸν ἀληθεύει ἐπί τινος ἡδονῆς, ταύτην τὴν τινὰ ἡδονὴν εἰπὼν σπουδαίαν εἶναι τινὰ ἔλαβον· εἰ μὲν ἄλλην τινά, φέρε εἰπεῖν τὴν γεωμετρικήν, οὐδὲν ἔσται πρὸς τὸ προκείμενον· οὐ γὰρ εἰ ἡ γεωμετρικὴ σπουδαία, παρὰ τοῦτο καὶ ἡ μουσική· εἰ δὲ εἰπών τινα ἡδονὴν εἶναι σπουδαίαν, ταύτην τὴν τινὰ ἐπὶ τῆς μουσικῆς φέρω, ὡσανεὶ ἔλεγον ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστιν, ἡ μουσικὴ ἡδονὴ σπουδαία ἐστί, τὸ ἐξ ἀρχῆς αἰτοῦμαι, τουτέστι τὸ ζητούμενον ὁμολογούμενον ἔλαβον. δῆλος δὲ καὶ αὐτὸς ἐν τοῖς ἐπαγομένοις τοῦτο βουλόμενος. Ioh. Phil. f. LXII b.

τοῦτο δὲ οὐχ ὅτι ἐκ δύο ἐπὶ μέρους οἷόν τε γίνεσθαι συλλογισμόν, ἀλλ' ὅτι ἐκ τοῦ μὴ καθόλου· καὶ γὰρ τὸ ἐπὶ μέρους σημαίνει. καὶ τὸ μὴ πρὸς τὸ προκείμενον καθόλου δύναται ἄλλως καθόλου ὂν μὴ εἶναι τοῦ προκειμένου περιεκτικὸν μηδὲ πρὸς τοῦτο καθόλου. ὅταν δὴ τὸ καθόλου ληφθῇ ὡς μὴ εἶναι πρὸς τὸ κείμενον καθόλου μηδὲ τούτου περιεκτικόν, ἀλλὰ ᾖ τὸ λαμβανόμενον καθόλου ἐπὶ μέρους τινὸς τοῦ κατηγορουμένου ἐν τῷ προβλήματι λαμβανόμενον, συλλογισμὸν μὲν οὐκ ἀδύνατον ἐκ τούτου γενέσθαι, δηλονότι προσληφθείσης τινὸς μερικωτέρας καὶ ὑπ' αὐτὴν προτάσεως, οὐ μὴν τὸ προκείμενον ἂν δειχθείη, ὡς ἐφ' οὗ παρέθετο παραδείγματος γνώριμον ποιεῖ... δύναται τὸ οὐ πρὸς τὸ προκείμενον εἰρῆσθαι οὐχ ὡς ἐσομένου μὲν συλλογισμοῦ οὐ μὴν πρὸς τὸ προκείμενον, ἀλλ' ὡς τὴν ἀρχὴν οὐδὲ συναπτούσης τῆς λαμβανομένης ἐν μέρει προτάσεως τῷ δειχθῆναι προκειμένῳ. τούτῳ δὲ καὶ ἀκόλουθον δόξειεν εἶναι τὸ ἐφεξῆς λεγόμενον τὸ "εἰ δέ τινα ἡδονήν, εἰ μὲν ἄλλην, οὐδὲν πρὸς τὸν λόγον." ἢ ἔσται μὲν πρὸς τὸ προκείμενον ἡ πρότασις, οὐ μὴν συλλογιστική, ἂν τὸ καθόλου τοῦ προκειμένου ἀδιορίστως ληφθῇ· εἰ δὲ μὴ τὸ καθόλου ἀλλὰ τῶν ὑπὸ τὸ καθόλου τι ληφθῇ, ἢ τοῦτο αὐτό, ἢ οὐδὲ τὴν ἀρχὴν συνάψει τῷ προκειμένῳ, εἰ ἄλλο τι καὶ μὴ αὐτὸ τὸ προκείμενον λαμβάνει· ἢ εἰ αὐτὸ λαμβάνει, τὸ ἐν ἀρχῇ αἰτήσεται. οὐδὲν δὲ τῶν εἰρημένων συλλογιστικόν. τούτῳ δόξει μᾶλλον συνᾴδειν καὶ ἡ ἐπὶ τοῦ διαγράμματος δεῖξις. Alex. f. 89.

ἢ τὸ καθόλου νῦν εἶπεν ἀντὶ τοῦ ἁπλῶς· καθόλου γὰρ πάντες καὶ ἁπλῶς πάντες τελειοῦνται διὰ τῶν ἐν τῷ πρώτῳ σχήματι συλλογισμῶν. Alex. f. 85.

40 b 25. δεικτικῶς μὲν λέγει τοὺς κατηγορικῶς καὶ δι' οὐδεμιᾶς ὑποθέσεως ἀλλὰ τὸ προκείμενον ἀντικρὺς καὶ αὐτόθεν δεικνύντας· οὐ γὰρ χρῶνται τῷ κατηγορικῷ ὀνόματι ἐπὶ τούτου τοῦ τρόπου τῆς δείξεως ἀλλὰ τῷ δεικτικῷ, κατηγορικὸν δὲ ἐν ἔθει αὐτοῖς τὸ καταφατικὸν λέγειν· ἐξ ὑποθέσεως δὲ τοὺς ὑπόθεσίν τινα θέντας ἐν τῇ δείξει. καὶ ὑποτεθείκει προσχρωμένους προτάσει ἢ μιᾷ ἢ καὶ πλείοσι. Alex. ib.

δεικτικῶς τουτέστι κατηγορικῶς· αὐτόθεν γὰρ οὗτοι δεικνύουσι τὸ προκείμενον· διὸ καὶ ἡ μὲν κατηγορικὴ δεῖξις ἐπ' εὐθείας εἴρηται, ἡ δὲ διὰ τοῦ ἀδυνάτου, ἥτις μέρος ἐστὶ τῶν ἐξ ὑποθέσεως, κύκλῳ δεῖξις, ὡς ἐκ περιόδου τινὸς καὶ οὐκ αὐτόθεν δεικνύουσα τὸ προκείμενον. Ioh. Phil. f. LXI.

40 b 27. ἐπειδὴ εἴπομεν ὅτι πᾶς ὑποθετικὸς συλλογισμὸς δεῖται πρὸς τὸ τελειωθῆναι κατηγορικοῦ συλλογισμοῦ, εἰκότως, ὅταν δειχθῇ πᾶς κατηγορικὸς συλλογισμὸς ὑπὸ τὰ τρία σχήματα ἀναγόμενος, δῆλον ἔσται καὶ περὶ τῶν ὑποθετικῶν οὕτως ὅτι καὶ αὐτοὶ εἰς ταῦτα ἀναχθήσονται, εἴγε δέονται τῶν κατηγορικῶν οἵτινες εἰς ταῦτα ἀνήγοντο. id. f. LXI b.

40 b 35. μίαν πρότασιν, φησί, διὰ τούτων πάντων εἰλήφαμεν, ὁ δὲ συλλογισμὸς τοὐλάχιστον ἐκ δύο προτάσεών ἐστι, διὰ μιᾶς δὲ προτάσεως οὐδὲν συμπεραίνεται· συλλογισμὸς γάρ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. id. ib.

40 b 37. ἰδοὺ ἐνταῦθα τὸ β' ἐσήμανε σχῆμα· εἰπὼν γὰρ τὴν μίαν πρότασιν ἄνω ἐν τῷ λαβεῖν τὸ α' κατὰ τοῦ γ, νῦν πάλιν τὸ α' κατ' ἄλλου τινὸς ὑποτίθεται, ὅπερ ἐστὶ τὸ β' σχῆμα. id. ib.

41 a 4. αὕτη ἡ περίοδος πολλῷ τῷ γνόφῳ τῆς ἀσαφείας κεκαλυμμένη διαφόρους ἔσχε καὶ ἐξηγήσεις. ὁ μὲν γὰρ τῶν ἐξηγητῶν, οὐ πρὸς τὰ προάγοντα συνεχής ἐστι, φησίν, αὕτη, ἀλλ' ὥσπερ οἰκείαν ἀρχὴν κέκτηται καὶ κατὰ παντὸς συλλογισμοῦ ἀποφαίνεται. πᾶς γάρ τις, φησί, συλλογισμὸς ἢ ἀόριστον ἔχει τὸ κατηγορούμενον ἐν τῷ συμπεράσματι ἢ ὡρισμένον· εἰ μὲν οὖν ἀόριστον, συλλογισμός ἐστι μόνον ἐκ προτάσεων, εἰ δὲ ὡρισμένον, ἐκ τῶν πρὸς τόδε προτάσεων. ὁ μὲν γὰρ προθεὶς δεῖξαι ἁπλῶς διὰ συλλογισμοῦ τὰ προσόντα τῇ ψυχῇ, ἀορίστως πάντως συμπερανεῖ, ὁ δ' ὅτι τὸ ἀθάνατον αὐτῇ πρόσεστι, πρὸς τοῦτο καὶ τὸν συλλογισμὸν ὡρισμένον ποιεῖται. ἕτερος δέ τις τῶν ἐξηγητῶν συνάπτων τοῖς ἄνω τὰ ἐφεξῆς καὶ προσφυέστερόν πως τὸν λόγον ποιούμενος, τὸ "ὁ μὲν συλλογισμός" ὡς ἑπόμενον, φησίν, ἐπάγεται τοῖς προάγουσι. τίνα δ' ἦν τὰ προάγοντα; ὅτι ὁ προθέμενος τὸ α' κατὰ τοῦ β' κατηγορῆσαι τῷ συμπεράσματι τοὺς μέσους ὅρους προσφυεῖς ὀφείλει ποιεῖν καὶ τῷ α' καὶ τῷ β'· ὁ δὲ μήτε τὸ β' παραλαμβάνων καὶ τοὺς μέσους ὅρους μηδὲν κοινὸν πρὸς τοῦτο ἔχοντας συλλογισμὸν μὲν ποιεῖ ἀλλ' ἁπλῶς καὶ οὐχὶ πρὸς τόδε, τουτέστι τὸ προκείμενον. τὸ γοῦν "ὁ μὲν συλλογισμὸς ἁπλῶς ἐκ προτάσεών ἐστιν" οὕτως ἂν ἀναγκασθείη νοεῖσθαι, ὅτι ὁ μερικὸς οὗτος συλλογισμὸς ὁ ἐν τοῖς προηγησαμένοις διὰ πολλῶν ὅρων συναχθεὶς μηδὲν κοινὸν ἐχόντων πρὸς τὸ β' συλλογισμὸς μέν ἐστιν, ἀλλ' ἁπλῶς ἐκ προτάσεων καὶ οὐκ ἐκ τοῦδε πρὸς τόδε. ὁ δὲ προθέμενος τὸ α' κατὰ τοῦ β' συλλογίσασθαι, φέρε εἰπεῖν τὸ ἀθάνατον κατὰ τῆς ψυχῆς, ὅσας ἂν εἴποι προτάσεις ἐκ τῶν πρὸς τόδε ἐρεῖ προτάσεων, τουτέστι τῶν ἐχουσῶν κοινωνίαν πρὸς τὸ ἀθάνατον· καὶ γὰρ καὶ τὸ αὐτοκίνητον καὶ τὸ ἀεικίνητον πρὸς τὸ ἀθάνατον σχετικῶς εἴληπται. τὸ δὲ "ὁ τοῦδε πρὸς τόδε διὰ τῶν τοῦδε πρὸς τόδε" οὔτε ἄλλο τι ἐστὶ παρὰ τὸ προάγον οὔτε δευτερολογία κενὴ ἀλλὰ παλιλλογία σαφηνείας ἕνεκα προσληφθεῖσα. χρὴ οὖν τὸν ὀφείλοντα τὸ α' κατὰ τοῦ β' κατηγορεῖν κατηγορεῖν μὲν αὐτοῦ τοῦτο καταφατικῶς ἢ ἀποφατικῶς πλὴν διὰ μέσων ὅρων τινῶν κοινωνίαν ἐχόντων πρὸς αὐτό· ἀδύνατον γὰρ πρότασιν ποιῆσαι κατὰ τοῦ β' μηδὲν καταφάσκοντας ἢ ἀποφάσκοντας, ἢ πάλιν τοῦ α' πρὸς τὸ β', μηδὲν κοινὸν ἑκατέρων λαμβάνοντας, ἀλλ' ἑκατέρου ἰδίᾳ τινὰ καταφάσκοντας ἢ ἀποφάσκοντας, τουτέστιν ἴδιόν τι τῷ α' ἀποδιδόντας, ἢ ἰδίᾳ μηδεμίαν κοινωνίαν ἀνέχοντας πρὸς τὸ β', καὶ τῷ β' ὁμοίως. cod. Reg. 1919.

τὸ δὲ λέγειν ὅτι ὁ πρὸς τοῦτο συλλογισμὸς ἐκ τῶν πρὸς τοῦτο προτάσεων δοκεῖ περιττὸν καὶ ἀδιανόητον εἶναι· πᾶς γὰρ συλλογισμὸς τοῦδε πρὸς τόδε ἐστίν· οὐδεὶς γὰρ ἁπλῶς προτίθεται συλλογίσασθαι ψυχὴν ἢ λίθον ἤ τι τοιοῦτον, ἀλλά τι κατά τινος ἢ ἀπό τινος προτίθεται συλλογίσασθαι, ὅπερ αὐτὸς τοῦδε πρὸς τόδε φησίν. εἰ δὲ λέγοιεν ὅτι ἁπλῶς ὅταν προτιθέμεθα τὰ ὑπάρχοντά τινι συλλογίσασθαι, οὐχ ὡρισάμεθα δὲ τοῦδε πρὸς τόδε, ἰστέον ὅτι ἡ μὲν πρόθεσις συλλογισμὸς οὐκ ἔστιν, αὐτὸς δὲ περὶ συλλογισμῶν φησίν· ὅταν δὲ συλλογισμὸς γένηται, πάντη τε καὶ πάντως τοῦδε πρὸς τόδε γίνεται. εἰ μή τις εἴποι ὅτι ὅταν εἰ ἔστι τι ἢ μὴ ἔστι ζητῶμεν· ἐνταῦθα γὰρ οὐ τί ὑπάρχει ἢ μὴ ὑπάρχει τῷ πράγματι ζητοῦμεν, ἀλλ' αὐτὸ ὅλως εἰ ἔστιν. εἰ μὴ πάλιν τις λέγοι ὅτι κἀνταῦθα τὸ ἔστιν αὐτοῦ κατηγορεῖται, ὥστε ἔστι τοῦδε πρὸς τόδε· τὸ ἔστι γὰρ πρὸς τὴν ψυχήν. ὥστε οὐδαμῶς δύναται τοῦτο καθίστασθαι τὸ ῥητόν, εἰ μὴ ἐπὶ προτάσεώς τις αὐτὸ λάβοι. τοῦτο δὲ πάλιν οὐκ ἔσται ἀληθές· περὶ συλλογισμῶν γὰρ αὐτός φησιν. Ioh. Phil. f. LXII.

τὸ δὲ διὰ πλειόνων καὶ ἕτερός τις τῶν ἐξηγητῶν οὕτως ἐξηγεῖται, ὡς αἱ διὰ μέσου πολλάκις προτάσεις ἀφ' ἑαυτῶν οὐ νοοῦνται· δέονται οὖν καὶ ἐκεῖναι ἑτέρων πρὸς κατασκευήν, καὶ διὰ τοῦτο τὸ σχῆμα μηκύνεται. cod. Reg. 1919. 41 a 18.

ὁ μέντοι συλλογισμὸς ἤτοι ὁ κατηγορικὸς πρὸς τὴν μετάληψιν γίνεται κατὰ τὸν Ἀριστοτέλην καὶ οὐ πρὸς τὸ συνημμένον, ὥς τινες κακῶς ᾠήθησαν· οὐδὲ γὰρ τοῦτο δεῖται κατασκευῆς· εἰ γὰρ καὶ τοῦτο δεηθείη κατασκευῆς, οὐδεὶς γενήσεται συλλογισμός. id. 41 a 24.

καὶ οἱ ἄλλοι, φησί, συλλογισμοὶ ὑποθετικοὶ ἀνάγονται ἐπὶ τὰ τρία σχήματα, διότι ἐν πᾶσι τούτοις ἡ μετάληψις κατηγορικῶς συλλογίζεται, οἱ δὲ κατηγορικοὶ ὑπὸ τὰ τρία σχήματα. τινὲς ἐξέλαβον τὸ μεταλαμβανόμενον, οὐ τὴν μετάληψιν· οὐ γὰρ ἀεί, φησίν, ἡ μετάληψις μόνη δεῖται κατασκευῆς, ἀλλ' ἔστιν ὅτε καὶ τὸ συνημμένον, καὶ δεῖ καὶ τοῦτο κατηγορικῶς συλλογίσασθαι. μεταλαμβανόμενον οὖν ἀκουστέον ἁπλῶς τὸ κατασκευῆς δεόμενον, εἴτε τὸ συνημμένον

δευτέρου· ἤδη γὰρ ἐλήφθη ἐν τῷ ἡγουμένῳ. τὸ δὲ ἥλιος ἄρα ὑπὲρ γῆν, τοῦτο συμπέρασμα. οὕτω μὲν οὖν οἱ Περιπατητικοί· οἱ δὲ Στωϊκοὶ καινοτέραν βαδίζοντες τὰ μὲν πράγματα τυγχάνοντα ὠνόμασαν, διότι τῶν πραγμάτων τυχεῖν βουλόμεθα, τὰ δὲ νοήματα ἐκφορικά, διότι ἅπερ ἐν ἑαυτοῖς νοοῦμεν, ταῦτα εἰς τὸ ἔξω προφέρομεν, τὰς δὲ φωνὰς λεκτά. τὸ δὲ ἡγούμενον καὶ αὐτοὶ ἡγούμενον ἐκάλεσαν (κατὰ τοῦτο γὰρ μόνον συμφωνοῦσι τοῖς Περιπατητικοῖς), τὸ δὲ ἑπόμενον λῆγον, τὸ δὲ συνημμένον τροπικόν, διότι τρεπόμεθα ἐκ τοῦ ἡγουμένου εἰς τὸ ἑπόμενον (εἰ ἡμέρα ἐστίν, ὁ ἥλιος ὑπὲρ γῆν ἐστί), τὴν δὲ μετάληψιν πρόσληψιν (καὶ ἔμεινε τοῦτο ἐν τῇ συνηθείᾳ), τὸ δὲ συμπέρασμα ἐπιφοράν, διότι τοῖς ἄλλοις πᾶσιν ἐπιφέρεται. ταῦτα μὲν οὖν τὰ ὀνόματα οἷς κέχρηνται οἵ τε Περιπατητικοὶ καὶ οἱ Στωϊκοί· λάβωμεν δὲ λοιπὸν ἐκ διαιρέσεως τὰ εἴδη τῶν ὑποθετικῶν συλλογισμῶν. καθόλου πᾶς συλλογισμὸς ἢ τὸ ἔστιν ἢ τὸ οὐκ ἔστι δείκνυσιν, ἢ τινὸς ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστιν, ἢ τινὸς μὴ ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστιν. οἱ μὲν οὖν τινὸς ὄντος ἢ μὴ ὄντος τί οὐκ ἔστιν ἢ τί ἔστι δεικνύντες, οὗτοι καλοῦνται διὰ τριῶν καὶ δι' ὅλων ὑποθετικοί, δι' ὅλων μὲν ὅτι πᾶσαι αἱ παραλαμβανόμεναι προτάσεις ὑποθετικαί, διὰ τριῶν δὲ ὅτι τοὐλάχιστον οὗτοι οἱ συλλογισμοὶ διὰ τριῶν ὑποθέσεων περαίνονται. οἷον βούλομαι δεῖξαι ὅτι τῇ ὑποθέσει τῇ λεγούσῃ ἀγαθὸν εἶναι τὸν θεὸν ἀκολουθεῖ τὸ ἀΐδιον εἶναι τὸ πᾶν. ἐπειδὴ οὖν δύο ταύτας ὑποθέσεις βούλομαι δεῖξαι ἑπομένας ἀλλήλαις, πᾶσα ἀνάγκη δι' ἑτέρου τοῦτο κατασκευάσαι, ἐπεὶ εἰ αὐτόθεν τοῦτο λάβοιμεν, τὸ ἐν ἀρχῇ πάλιν αἰτησόμεθα. οὐκοῦν χρεία ἡμῖν πλειόνων ἢ τοὐλάχιστον ἄλλης μιᾶς ὑποθέσεως, δι' ἧς μέσης ταύτας ἀλλήλαις συνάψομεν, οἷον ἵνα εἴπωμεν οὕτως, εἰ ὁ θεὸς ἀγαθός, ἀγαθοποιεῖ· εἰ ἀγαθοποιεῖ, ἀΐδια ποιεῖ· εἰ ὁ θεὸς ἄρα ἀγαθός, ἀΐδια ποιεῖ... τῶν οὖν εἶναί τι ἢ μὴ εἶναι δεικνύντων οἱ μὲν κατηγορικῶς δεικνύουσιν οἱ δὲ ὑποθετικῶς. περὶ μὲν οὖν τῶν κατηγορικῶν συλλογισμῶν ἱκανῶς εἴρηται, περὶ δὲ τῶν ὑποθετικῶν οὕτως εἴπωμεν. τῶν τὸ εἶναι ἢ μὴ εἶναι κατασκευαζόντων ὑποθετικῶν οἱ μὲν ἀκολουθίαν κατασκευάζουσιν οἱ δὲ διάζευξιν· καὶ τῶν ἀκολούθως κατασκευαζόντων οἱ μὲν τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζουσι τὸ ἑπόμενον, οἱ δὲ τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιροῦσι καὶ τὸ ἡγούμενον. οἷον εἰ τὸ προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν· ἀλλὰ μὴν ἄνθρωπός ἐστι· καὶ ζῷον ἄρα ἐστίν. καὶ ἔστιν οὗτος πρῶτος τρόπος τῶν ὑποθετικῶν, ὁ ἐξ ἀκολουθίας τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζων τὸ ἑπόμενον. πάλιν εἰ τὸ προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν· ἀλλὰ μὴν οὐκ ἔστι ζῷον· οὐδὲ ἄνθρωπος ἄρα ἐστίν. οὗτος δεύτερος τρόπος τῶν ὑποθετικῶν, ὁ ἐξ ἀκολουθίας τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιρῶν καὶ τὸ ἡγούμενον. τί οὖν οὗτοι διαφέρουσι τῶν δι' ὅλου ὑποθετικῶν, εἰ κἀκεῖνοι ἀκολουθίαν τινὰ κατασκευάζουσι; δείκνυσι γὰρ τίνος ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστι, καὶ οὐκέτι ἀκολουθίαν λέγονται κατασκευάζειν. λέγω οὖν ὅτι ἐκεῖνοι μὲν τοσοῦτον μόνον τῷδε ὑποτεθέντι ἀκολουθεῖν τόδε λέγουσιν, οἱ μέντοιγε καὶ αὐτὴν τὴν ὑπόθεσιν κατασκευάζοντες ἀποφαίνονται... πάλιν οὖν λέγω ὅτι τῶν τὸ εἶναι ἢ μὴ εἶναι κατασκευαζόντων συλλογισμῶν οἱ μὲν ἀκολουθίαν κατασκευάζουσιν οἱ δὲ διάζευξιν, καὶ τῶν ἀκολουθίαν κατασκευαζόντων οἱ μὲν τῇ ὑποθέσει τοῦ ἡγουμένου κατασκευάζουσι τὸ ἑπόμενον, οἱ δὲ τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιροῦσι καὶ τὸ ἡγούμενον. γίνονται οὖν οὗτοι δύο τρόποι ὑποθετικῶν συλλογισμῶν, πρῶτός τε καὶ δεύτερος. τῶν δὲ διάζευξιν κατασκευαζόντων οἱ μὲν λαμβάνονται ἐπὶ τῶν μὴ ἀντικειμένων οἱ δὲ ἐπὶ τῶν ἀντικειμένων, καὶ ἐπὶ τῶν ἀντικειμένων ἢ τῶν ἐμμέσων ἢ τῶν ἀμέσων, καὶ τῶν ἐμμέσων ἢ τῶν ὡρισμένα ἐχόντων τὰ ἔμμεσα ἢ τῶν ἀόριστα, καὶ ἐπὶ τῶν ἀμέσων ἢ τῶν κατὰ τὰ ἐναντία ἢ τῶν καθ' ἕξιν ἢ στέρησιν ἢ τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν... καὶ ἔστιν οὗτος τρίτος τρόπος τῶν ὑποθετικῶν, ὁ ἐξ ἀποφατικῆς συμπλοκῆς τῇ ὑποθέσει τοῦ ἑνὸς ἀναιρῶν τὰ λοιπά. ἐὰν δὲ ἢ ἐπὶ τῶν ἀμέσων ἀντικειμένων ποιώμεθα τὴν διαίρεσιν ἢ ἐπὶ τῶν ἐμμέσων ὡρισμένα δὲ ἐχόντων τὰ ἔμμεσα, γίνονται δύο τρόποι ὑποθετικῶν συλλογισμῶν, ἀμέσων μὲν οἷον ὁ ἀριθμὸς ἢ περιττός ἐστιν ἢ ἄρτιος, ἡ διάμετρος τῇ πλευρᾷ ἢ σύμμετρος ἢ ἀσύμμετρος, ἐμμέσων δὲ ὡρισμένων, ὡς ὅταν λαβόντες δύο μεγέθη λέγωμεν ὅτι τόδε τοῦδε ἢ ἴσον ἐστὶν ἢ μεῖζον ἢ ἔλαττον, ἢ ἀγαθὸν ἢ κακὸν ἢ οὐδέτερον, τοῦ δὲ οὐδετέρου δυναμένου πάλιν τέμνεσθαι ἢ εἰς τὸ δεκτικὸν ἀνὰ μέρος ἑκατέρου τῶν ἀντικειμένων ἢ εἰς τὸ μηδέτερον τούτων δεχόμενον. γίνονται οὖν ἐκ τούτων, ὡς εἶπον, ἕτεροι δύο τρόποι ὑποθετικοί, τέταρτος μὲν ὁ ἐκ διαζευκτικοῦ τῇ ὑποθέσει τοῦ ἑνὸς ἀναιρῶν τὸ λοιπὸν ἢ τὰ λοιπά, πέμπτος δὲ ὁ ἐκ διαζευκτικοῦ τῇ ἀναιρέσει τοῦ ἑνὸς ἢ τῶν λοιπῶν τὸ καταλειπόμενον εἰσάγων παράδειγμα... ἰστέον δὲ ὅτι δυνάμεθα καὶ τὸν τέταρτον τρόπον καὶ τὸν πέμπτον ἐξ ἀποφατικῆς συμπλοκῆς ποιῆσαι· λέγω γὰρ οὕτως, ὅτι ἡ διάμετρος τῇ πλευρᾷ οὐχὶ καὶ σύμμετρος καὶ ἀσύμμετρος, καὶ ὅτι ἡ γραμμὴ τῇ γραμμῇ οὐκ ἴση καὶ μείζων καὶ ἐλάττων. λέγω οὖν ὅτι ὅταν οὕτω προφερώμεθα, τὸν τρίτον τρόπον ποιοῦμεν, πλὴν περιττὸν τὸ οὕτω προφέρεσθαι ὅταν τὸ ἐξ ὧν ᾖ διαιρετικῶς προφέρεσθαι. ὥστε διακέκρινται οἱ ὑποθετικοὶ τρόποι μάλιστα μὲν τοῖς πράγμασιν, ὡς ἤδη διείλομεν, ἔπειτα καὶ τῷ σχήματι τῆς ἀναγωγῆς αὐτῆς καὶ τῆς προφορᾶς. εἰ δὲ τοῦτο, οὐδὲν θαυμαστὸν καὶ τὸν τέταρτον καὶ πέμπτον, διῃρημένους οὐ πραγματειωδῶς, ἐπειδὰν προφερώμεθα μετὰ συμπλοκῆς ἀποφάσεως, τρίτον λέγειν εἶναι τρόπον. ἐπεὶ δέ φησι καὶ τοὺς δι' ἀδυνάτου συλλογισμοὺς μέρος εἶναι τῶν ἐξ ὑποθέσεως, ἴδωμεν πῶς καὶ τοῦτό φησιν. λέγομεν ὅτι καθόλου πᾶς δι' ἀδυνάτου συλλογισμὸς διὰ δύο ὑποθετικῶν περαίνεται καὶ ἑνὸς κατηγορικοῦ, καὶ ὁ μὲν πρῶτος τοῦ ἀδυνάτου τῶν ὑποθετικῶν ἐστὶν ὁ πέμπτος, καὶ ὁ δεύτερος τοῦ ἀδυνάτου ὁ δεύτερος τῶν ὑποθετικῶν. ἐπειδὴ οὖν πᾶς μὲν δι' ἀδυνάτου ὑποθετικοῖς χρῆται συλλογισμοῖς, οὐ πᾶς δὲ ὑποθετικὸς δι' ἀδυνάτου, διὰ τοῦτό φησι μέρος εἶναι τῶν ὑποθετικῶν τοὺς δι' ἀδυνάτου. Ioh. Phil. f. LX-LXI.

40b 18. τὸ δὲ "καθόλου" πρόσκειται ἤτοι δηλωτικὸν τοῦ ὅτι πάντες ἀνάγονται εἰς τοὺς ἐν τούτῳ δύο καθόλου συλλογισμούς· ἐδείχθη γὰρ καὶ τοῦτο ὅτε καὶ οἱ τὰ ἐπὶ μέρους ἐν πρώτῳ σχήματι συνάγοντες ἐδείχθησαν καὶ αὐτοὶ ἀναγόμενοι εἰς τοὺς δύο τοὺς καθόλου τοῦ πρώτου, διὰ τοῦ πρῶτον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς εἰς τοὺς ἐν τῷ δευτέρῳ δύο τοὺς ἐκ τῶν δύο καθόλου προτάσεων ἀναχθῆναι. εἰ δὲ εἰς τούτους πάντες ἀνάγονται, καὶ τελειοῦνται διὰ τούτων ἐξ ὧν τὸ εἶναι ἔχουσιν.

τέρων ἐνδεχομένων" τὸ "καὶ ἀπόδειξις δ' ἡ αὐτὴ ἣ καὶ ἐν τοῖς καθόλου." Alex. f. 82 *b*.

40a 7. ἂν δὲ ἡ ἀποφατικὴ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν καὶ τοῦ μὴ ὑπάρχειν, ὅπερ ἴσον ἐστὶ τῷ ὅτι οὐ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου τὸ συμπέρασμα ἔσται ἀλλὰ τοῦ κατηγορουμένου τοῦ ὑπάρχοντος... πῶς δὲ λέγει τὸ ἐξ ἀνάγκης μηδενὶ ἐν τῇ μίξει τῇ ἐξ ἀναγκαίας ἀποφατικῆς καθόλου καὶ ἐνδεχομένης καταφατικῆς ἐν μηδενὶ τῶν σχημάτων ἀναγκαῖον ἀποφατικὸν γίνεσθαι συμπέρασμα, ἄξιον ἐπιζητῆσαι· δεῖ γὰρ ἢ διαβάλλεσθαι τὴν εἰς ἀδύνατον ἀπαγωγήν, ἢ τὰς ἐν τῷ τρίτῳ σχήματι συμπλοκὰς δι' ὧν τὴν εἰς ἀδύνατον ἀπαγωγὴν πεποίηται ἀσυλλογίστους εἶναι, ἢ τὸ ἐξ ἀνάγκης μηδενὶ συνάγεσθαι. ἐζήτηται δέ μοι περὶ τούτου καὶ ἐπὶ πλέον εἴρηται ἐν τῷ περὶ τῆς κατὰ τὰς μίξεις διαφωνίας Ἀριστοτέλους καὶ τῶν ἑταίρων αὐτοῦ, ὡς ἤδη προεῖπον. ἐπὶ πλέον δὲ εἴρηται περὶ αὐτοῦ μοι ἐν τοῖς σχολίοις τοῖς λογικοῖς. id. ib.

40a 21. εἰπὼν δὴ "ἔσται πάλιν τὸ πρῶτον σχῆμα" προσέθηκε τὸ "καὶ γὰρ ἡ στερητικὴ πρότασις ἐνδέχεσθαι σημαίνει," ὅ ἐστι δεικτικὸν τοῦ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἀποφατικὸν γίνεσθαι συμπέρασμα· ὅταν γὰρ ἡ μείζων στερητική τε καὶ ἀναγκαία ᾖ, τότε μόνον οὐ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου τὸ συμπέρασμα ἀλλὰ τοῦ μὴ ὑπάρχειν. ἔχει δέ πως ἀκαταλληλότερον ἡ λέξις, καὶ εἴη ἂν τὸ κατάλληλον αὐτῆς τοιοῦτον· καὶ εἰ ἡ στερητικὴ πρότασις ἐνδέχεσθαι σημαίνει, φανερὸν ὅτι τὸ συμπέρασμα ἔσται ἐνδεχόμενον. Alex. f. 83.

40a 36. συνάγει τοιγαροῦν καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης, τὸ μὲν παντὶ οὕτως· ὕπνος ἐνδέχεται παντὶ ἵππῳ ἢ μηδενὶ ὑπάρχειν, ἵππος οὐδενὶ καθεύδοντι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει, καὶ συνάγεται ὕπνος παντὶ καθεύδοντι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει· τὸ δὲ μηδενί, ὕπνον παντὶ μὲν ἵππῳ ἐνδέχεται ὑπάρχειν, ἵππος οὐδενὶ ἐγρηγορότι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει, καὶ συνάγεται ὕπνος οὐδενὶ ἐγρηγορότι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει. Ioh. Phil. f. LVIII *b*.

δεῖ δὲ εἰδέναι ὅτι τὰ συμπεράσματα οὐχ ἁπλῶς ἀναγκαῖα τὰ δεδειγμένα, ἀλλὰ τὰ μετὰ διορισμοῦ ἃ ὑπάρχοντά ἐστιν. τὰ δὲ οὕτως ἔχοντα τοῦ μὲν ἀναγκαῖον ἢ ὑπάρχον γενέσθαι τι συμπέρασμα ἐστὶν ἀναιρετικά. Alex. f. 83 *b*.

40a 39. τουτέστιν εἰ ἡ μὲν τῶν προτάσεων εἴη καθόλου ἡ δὲ μερική· διὰ γὰρ τῶν ὅρων τὰς προτάσεις ἐδήλωσεν· τῷ γὰρ πρὸς τὸ μέσον τοὺς ἄκρους συμπλέξαι τοῦτο δεδήλωκεν. ἅμα δὲ καὶ τὸ τρίτον ὑπέγραψε σχῆμα, ἐν ᾧ οἱ δύο ἄκροι τοῦ μέσου κατηγοροῦνται· δεύτερον γὰρ ἐν ᾧ ὁ εἷς τῶν δύο κατηγορεῖται, ὡς καὶ πρῶτον ἐν ᾧ ὁ μέσος θατέρῳ μὲν ὑπέκειτο θατέρου δὲ κατηγορεῖτο. Ioh. Phil. f. LIX.

40b 2. δυνατὸν δὲ καὶ διὰ τῆς ἐπὶ μέρους ἀντιστροφῆς δεῖξαι τὴν συζυγίαν συλλογιστικήν· ἡ γὰρ μερικὴ ἐνδεχομένη ἀποφατικὴ ἀντιστρέφει εἰς τὴν μερικὴν καταφατικήν. id. ib.

40b 3. ἐάν, φησί, τὴν στερητικὴν πρότασιν ἀναγκαίαν λάβωμεν, τὴν δὲ καταφατικὴν ἐνδεχομένην, δῆλον ὅτι ἐναντίως τῇ πρὸ ταύτης συζυγίᾳ τὸ συμπέρασμα γίνεται μερικὸν ἀποφατικὸν ὑπάρχον... ὁ δὲ Ἀλέξανδρος (f. 84 *b*) ἐνταῦθα τὴν μὲν ἀποφατικὴν ἀναγκαίαν καθόλου λαμβάνει, τὴν δὲ ἐνδεχομένην καταφατικὴν ἐπὶ μέρους. τὸ α' μηδενὶ τῷ γ' ὑπαρχέτω ἐξ ἀνάγκης, οἷον ἵππῳ μηδενὶ ἄνθρωπος, τὸ δὲ β' τινὶ τῶν γ' ἐνδεχέσθω ὑπάρχειν, οἷον λευκόν τινι ἵππῳ· συνάξει τὸ α', τουτέστι τὸν ἄνθρωπον μὴ παντὶ λευκῷ ὑπάρχειν, οἷον τῷ ψιμυθίῳ ἢ τῇ χιόνι. καὶ δῆλον ὡς οὐχὶ ἐνδεχομένως ἀλλ' ἁπλῶς οὐχ ὑπάρξει. τὸ δὲ αἴτιον τοῦ τοιαῦτα γίνεσθαι τὰ συμπεράσματα προσέθηκε τό, καθάπερ ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου, οὕτω καὶ ἐπὶ τούτων διὰ τοῦ πρώτου σχήματος τελειοῦνται οἱ συλλογισμοί. τὸ δὲ "ὥστε καθάπερ ἐν ἐκείνοις, καὶ ἐπὶ τούτων ἀναγκαῖον συμπίπτειν" τουτέστιν ὁποῖα ἐν ἐκείνοις ὑπῆρχε τὰ συμπεράσματα, τοιαῦτα καὶ ἐπὶ τούτων συμπίπτει. ἐπιζητήσει δ' ἄν τις, φησὶν ὁ Ἀλέξανδρος, εὐκαίρως ἐνταῦθα, τί δήποτε μὴ καὶ ἐν ταῖς ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης μίξεσιν οὕτως εἶπε γίνεσθαι ἐν τούτῳ τῷ σχήματι τὰ συμπεράσματα, ὡς καὶ ἐν τῷ πρώτῳ ἐδείκνυτο σχήματι. φησὶν οὖν ὅτι τὰ νῦν λεγόμενα κοινῶς ἐξακούειν δεῖ ἐπὶ πάντων ἁπλῶς· ὡς γὰρ ἐν τῷ πρώτῳ σχήματι σχοίη τὸ συμπέρασμα, οὕτω καὶ ἐν τοῖς ἄλλοις ἑξῆς σχήμασιν τοῖς τὴν ὁμοίαν συμπλοκὴν ἔχειν δεικνυμένοις διὰ τῆς ἀντιστροφῆς. id. ib.

εἰπὼν περὶ τοῦ ὑπάρχοντος τρόπου καὶ τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδε- 40b
χομένου, καὶ τούτους μίξας, ἔτι τε ἀναγαγὼν τοὺς ἐκ τοῦ δευτέρου καὶ 17.
τρίτου σχήματος συλλογισμοὺς εἰς τοὺς ἐν τῷ πρώτῳ καὶ τοὺς ἐν τῷ πρώτῳ εἰς τοὺς δύο τοὺς καθόλου, νῦν βούλεται δεῖξαι ὅτι ἀδύνατον γενέσθαι συλλογισμὸν ὁμοίως ὑποθετικόν τε καὶ κατηγορικὸν εἰ μὴ δι' ἑνὸς τῶν τριῶν τούτων σχημάτων. ἵνα δὲ τοῦτο δείξῃ, μεταβαίνει ἐκ τῶν συλλογισμῶν ἐπὶ τὰ συλλογιστὰ ὡς σαφέστερα, καὶ προάγει τὸν λόγον ἐκ διαιρέσεως οὕτως... ἐπειδὴ δὲ ὁ μὲν Ἀριστοτέλης τοσοῦτον εἰπὼν περὶ τῶν ὑποθετικῶν ἐπαύσατο καὶ οὐδὲν ἡμᾶς περὶ αὐτῶν ἐδίδαξεν, ἀλλὰ τὴν πᾶσαν σπουδὴν περὶ τοῦ κατηγορικοῦ συλλογισμοῦ ἐποιήσατο, ἅτε δὴ τούτων μὲν τελείων ὄντων καὶ μηδενὸς ἔξωθεν δεομένων, τῶν δὲ ὑποθετικῶν δεομένων τῶν κατηγορικῶν, εἴπωμεν ἡμεῖς βραχέα περὶ αὐτῶν. ἰστέον γὰρ ὅτι πολυστίχους πραγματείας περὶ τούτων κατεβάλοντο οἵ τε μαθηταὶ τοῦ Ἀριστοτέλους οἱ περὶ Θεόφραστον καὶ Εὔδημον καὶ τοὺς ἄλλους καὶ ἔτι οἱ Στωϊκοί. εἴπωμεν τίσιν ὀνόμασιν ἐχρήσαντο ἔν τε τοῖς μέρεσιν αὐτῶν καὶ τοῖς ὅλοις οἱ Περιπατητικοὶ καὶ οἱ Στωϊκοί, καὶ ἔτι τὴν διαίρεσιν αὐτῶν, καὶ πόσοι τρόποι ἐκ ταύτης ἡμῖν ὑποθετικῶν συλλογισμῶν ἀναφαίνονται. ἰστέον οὖν ὅτι ἐφεξῆς τούτων ὄντων ἀλλήλοις, πραγμάτων νοημάτων φωνῶν, πάλιν δ' αὖ καὶ τούτων ἐφεξῆς ὄντων ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς, ὡς γνωσόμεθα, τοῦ ἡγουμένου, τοῦ συνημμένου, τοῦ ἑπομένου, τῆς προσλήψεως, τοῦ συμπεράσματος, οἱ μὲν Περιπατητικοὶ τῇ κοινῇ συνηθείᾳ κεχρημένοι τὰ μὲν πράγματα αὐτὸ τοῦτο πράγματα ὠνόμασαν, καὶ τὰ νοήματα ὡσαύτως, ὁμοίως δὲ καὶ τὰς φωνάς, ἔτι τε τὸ ἡγούμενον ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς αὐτὸ τοῦτο ἡγούμενον, καὶ τὸ ἑπόμενον ὡσαύτως. οἷον τὸ εἰ ἡμέρα ἐστί, τοῦτο ἡγούμενον, τὸ δὲ ἥλιος ὑπὲρ γῆν, τοῦτο ἑπόμενον· ἕπεται γὰρ τῷ πρώτῳ τὸ δεύτερον. τὸ δὲ ὅλον τοῦτο τὸ εἰ ἡμέρα ἐστίν, ἥλιος ὑπὲρ γῆν ἐστί, τοῦτο συνημμένον διὰ τὸ συνῆφθαι ταῦτα ἀλλήλοις. τὸ δὲ ἀλλὰ μὴν ἡμέρα ἐστί, τοῦτο οἱ Περιπατητικοὶ μετάληψιν καλοῦσι διὰ τὸ μεταλαμβάνεσθαι ἐκ

τὸ δὲ "οὐδέ γε τῶν ἀντικειμένων καταφάσεων" ἴσον ἐστὶ τῷ οὐδὲ τῶν ταῖς ἀποφατικαῖς ἀντικειμένων καταφάσεων. Alex. f. 70.

39a 3. τὸ "τῶν προειρημένων σχημάτων" ἤτοι ἀντὶ τοῦ πρώτου σχήματος εἴρηκε· διὰ γὰρ τοῦ πρώτου σχήματος ἑνὸς ὄντος ἡ τελείωσις αὐτῶν. ἢ σχημάτων εἴρηκεν ἀντὶ τοῦ συζυγιῶν καὶ συμπλοκῶν· δι' ὧν γὰρ ἔδειξε συζυγιῶν οὐσῶν ἐν τῷ πρώτῳ σχήματι, εἰς ἃς ἀνάγεται διὰ τῆς ἀντιστροφῆς, διὰ τούτων τελειοῦται ἃ σχήματα ἂν λέγοι. ἐδείχθησαν δὲ διά τε τῆς τοῦ δευτέρου καὶ τῆς τοῦ τετάρτου. Alex. f. 80.

39a 4. ἐπλήρωσε τὸ δεύτερον σχῆμα, ἐντεῦθεν δὲ ἄρχεται τοῦ τρίτου. εἶναι οὖν φησὶν ἐν τούτῳ τῷ σχήματι συλλογιστικὰς συζυγίας καὶ τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένας, διότι καὶ ἀνομοιοσχημόνων οὐσῶν τῶν προτάσεων καὶ ὁμοιοσχημόνων ἐν τούτῳ τῷ σχήματι συλλογισμὸς γίνεται· μόνην γὰρ δεῖ τὴν ἐλάττονα καταφατικὴν φυλάττειν, τὰ δὲ ἄλλα πάντα, ὅπως ἂν ἔχωσιν αἱ προτάσεις, οὐδὲν διαφέρει. Ioh. Phil. f. LVI *b*.

39a 12. τοιοῦτον καὶ ἐν τοῖς προλαβοῦσιν ἐπεσημήνατο, ὅτι οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἐν τοῖς συμπεράσμασιν εἴληπται, ἀλλὰ τὸ ἑπόμενον τῷ ὑπάρχοντι καὶ κατ' αὐτοῦ λεγόμενον ἀληθῶς. id. ib.

39b 2. τοῦτο δ' ἱκανῶς ἐδίδαξεν ὁ τεχνικὸς ἐν οἷς ἐμεθόδευσε τὰ περὶ τοῦ γ' σχήματος. cod. Reg. 1919.

39b 7. ἐνδεχόμενον δὲ δῆλον ὅτι οὐκ ἐν πάσαις συζυγίαις τὸ αὐτό, ἀλλ' ὅσαι μὲν ἔχουσι τὴν ὑπάρχουσαν, φησί, καταφατικήν, τὸ κατὰ τὸν διορισμὸν συνάγουσιν ἐνδεχόμενον, ὅσαι δὲ ἀποφατικὴν ἔχουσι τὴν ὑπάρχουσαν, αὗται οὐ τὸ κατὰ τὸν διορισμὸν συνάγουσιν, ὡς εἴρηται ἡμῖν πλατύτερον ἐν τῷ α' σχήματι. συλλογιστικαὶ δὲ γίνονται συζυγίαι αὗται αἵτινες καὶ ἐν τῷ α' σχήματι ἦσαν, τουτέστι πᾶσαι αἱ ἄλλαι χωρὶς τῶν ἐχουσῶν τὴν ἐλάττονα ἀποφατικὴν ὑπάρχουσαν. Ioh. Phil. f. LVII.

39b 22. δεῖ προσιδεῖν τὸ στερητικὸν ἐνδεχόμενον· εἰ γὰρ ἡ ὑπάρχουσα στερητικὴ εἴη ἡ ἐλάττων, ἀσυλλόγιστος γίνεται ἡ συζυγία μὴ δυναμένη μεταληφθῆναι εἰς καταφατικήν. id. f. LVII *b*.

εἰ δὲ τὸ στερητικὸν τεθείη πρὸς τὸ ἔλαττον ἄκρον, ἢ καὶ ἄμφω ληφθείη στερητικά, αὐτὸς μὲν ἁπλῶς λέγει τῆς ἐλάττονος καθόλου ἀποφατικῆς τεθείσης διὰ μὲν τῶν κειμένων μὴ ἔσεσθαι, μεταληφθείσης δὲ τῆς στερητικῆς εἰς τὴν καταφατικήν. δεῖ δὲ προσυπακούειν ἐπὶ τῆς ἐλάττονος στερητικῆς τὸ ἐνδεχομένης. Alex. f. 81 *b*.

39b 28. τὸ "ὁ αὐτὸς τρόπος ἔσται τῶν συλλογισμῶν" δηλωτικόν ἐστι τοῦ δι' ἀντιστροφῆς ἔσεσθαι τὴν δεῖξιν. id. f. 82.

39b 32. μήποτε δὲ δυνατὸν καὶ δι' ἀντιστροφῆς δεῖξαι συλλογιστικὴν τὴν συζυγίαν, εἴγε κατ' αὐτὸν ἡ μερικὴ ἀποφατικὴ ἐνδεχομένη ἀντιστρέφει εἰς τὴν μερικὴν καταφατικὴν ἐνδεχομένην. εἰ οὖν τὸ α' ἐνδέχεται μὴ παντὶ τῷ γ' ὑπάρχειν, καὶ τὸ γ' τινὶ τῶν α' ἐνδέχεται ὑπάρχειν· ἀλλὰ μὴν τὸ β' παντὶ τῷ γ' ὑπῆρχεν, τὸ α' δὲ τινὶ τῶν γ' ἐνδέχεται ὑπάρχειν· οὐκοῦν καὶ τὸ α' ἐνδέχεται παντὶ τῷ γ' ὑπάρχειν· ὅπερ ἔδει δεῖξαι. Ioh. Phil. f. LVII *b*.

πῶς δὲ οὐχ οἷόν τε ἔσται καὶ διὰ τῆς ἀντιστροφῆς τὴν τοιαύτην συμπλοκὴν δεικνύναι συλλογιστικὴν καθ' αὑτόν, εἴγε ἡ ἐπὶ μέρους ἀποφατικὴ ἐνδεχομένη ἀντιστρέφει αὑτῇ, ζητήσαι τις ἄν... καὶ ὁμολογουμένη ἂν ἐδόκει μᾶλλον αὕτη ἡ δεῖξις εἶναι· ἡ γὰρ εἰς ἀδύνατον ἀπαγωγὴ ἔνστασιν ἔχει. ἢ εἰ μὲν εἴη μείζων ἐπὶ μέρους οὖσα ἐνδεχομένη, οἷόν τε τοῦτο γίνεσθαι· εἰ δὲ αὕτη μείζων εἴη ὑπάρχουσα ἐπὶ μέρους ἀποφατική, ἡ δὲ ἐλάττων καταφατικὴ ἐνδεχομένη, οὐκέτ' ἂν ἡ δι' ἀντιστροφῆς δεῖξις χώραν ἔχοι, εἰ ληφθεῖεν αἱ προτάσεις. οὐδὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δύναταί τι, τῷ μὴ γίνεσθαι ἐξ ἀναγκαίας καθόλου καταφατικῆς τῆς μείζονος ἐν πρώτῳ σχήματι καὶ ἐνδεχομένης καθόλου καταφατικῆς τῆς ἐλάττονος μηδὲ κατὰ ταύτην καθόλου καταφατικὸν ἀναγκαῖον συμπέρασμα. μὴ γινομένου δὲ τοιούτου ἀλλ' ἐνδεχομένου καθόλου καταφατικοῦ, οὐδὲν ἀδύνατον τὸ α' τῷ γ' τινὶ μὴ ὑπάρχον ἐνδέχεσθαι παντὶ αὐτῷ ὑπάρχειν· κατὰ μὲν γὰρ τὴν δόξαν τὴν αὐτοῦ πρόεισιν ἡ δεῖξις ἡ δι' ἀδυνάτου ἐν τῇ ἐκκειμένῃ συζυγίᾳ τῷ ἐξ ἀναγκαίας τῆς μείζονος καὶ ὑπαρχούσης τῆς ἐλάττονος ἀναγκαῖον κατ' αὐτὸν γίνεσθαι τὸ συμπέρασμα, κατὰ μέντοι τοὺς ἑταίρους αὐτοῦ ὑπάρχον λέγοντας συνάγεσθαι οὐδὲν ἀδύνατον ἀκολουθήσει· οὐ γὰρ ἀδύνατον τὸ α' παντὶ τῷ γ' ὑπάρχειν, εἰ ἐνδέχεται αὐτῷ τινὶ μὴ ὑπάρχειν. αὕτη ἐστὶν ἡ συμπλοκὴ δι' ἧς πειρῶνταί τινες δεικνύναι ἀναγκαῖον γινόμενον τὸ συμπέρασμα ἐν τῇ ἐξ ἀναγκαίας τῆς μείζονος καθόλου καὶ ὑπαρχούσης τῆς ἐλάττονος συμπλοκῆς ἐν πρώτῳ σχήματι... διὸ παντελῶς ἀσυλλόγιστος ἡ τοιαύτη συμπλοκή. Θεόφραστος δὲ οὐ ποιεῖται ἁπλῶς διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τὴν δεῖξιν τῆς προειρημένης συζυγίας, ἀλλὰ πρῶτον τὸ ἐνδέχεταί τινι μὴ εἰς τὸ μὴ ὑπάρχειν τινὶ μεταλαβών, οὐκ ὂν ἀδύνατον, καὶ ποιήσας δύο ὑπαρχούσας, τὴν μὲν ἐπὶ μέρους ἀποφατικὴν τὴν μεταληφθεῖσαν, τὴν δὲ καθόλου καταφατικὴν τὴν κειμένην, φησὶ συμπέρασμα ἔσεσθαι τὸ τὸ α' ἐνδέχεσθαί τινι τῷ β' μὴ ὑπάρχειν· εἰ γὰρ μὴ τὸ ἀντικείμενον τὸ παντὶ ἐξ ἀνάγκης, τὸ τὸ α' τῷ β'· καὶ οὕτως διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς εὑρὼν δυνατόν τι ἑπόμενον· συνάγεται γὰρ τὸ α' τῷ γ' παντὶ ὑπάρχον, ὡς ἔκειτό τινι μὴ ὑπάρχειν, ἐπεὶ οὐ παρὰ τὴν ὑπόθεσιν τὸ ἀδύνατον ἀπήντηκεν· ἡ γὰρ ὑπόθεσις οὐκ ἦν ἀδύνατος λαμβάνεσθαι διὰ τὸ ἐξ ἀνάγκης παντὶ τεθῆναι. τὸ ἄρα ἀντικείμενον τοῦ ἐξ ἀνάγκης παντί. τοῦτο δέ ἐστι τὸ ἐνδέχεσθαί τινι μή. Alex. f. 82 *a b*.

καθόλου νῦν λέγει τὰς ἐξ ἀμφοτέρων ἐνδεχομένων, ὡσανεὶ 40a 1. ἔλεγεν δι' ὧν ὅρων ἐδείχθησαν καὶ αἱ δι' ὅλου ἐνδεχόμεναι αἱ δύο ἐπὶ μέρει συζυγίαι οὖσαι ἀσυλλόγιστοι... μήποτε δὲ καὶ ἡ δεῖξις ἡμάρτηται, φησὶν ὁ Ἀλέξανδρος, καὶ δέον εἶναι ἀπόδειξις δὲ ἡ αὐτὴ ἢ καὶ ἐν ταῖς ἐξ ἀμφοτέρων ἐνδεχομένων, τὸ ἢ καὶ ἐν τοῖς καθόλου μεταγέγραπται. Ioh. Phil. f. LVII *b*.

λέγει δὲ διὰ τῶν αὐτῶν ὅρων δειχθήσεσθαι δι' ὧν καὶ ἐπὶ τῶν 40a 2. καθόλου, νῦν λέγων τὰς ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐπὶ μέρους, ὡσανεὶ ἔλεγε δι' ὧν ὅρων ἐδείχθησαν καὶ αἱ δι' ὅλου ἐνδεχόμεναι, ἐνδεχόμεναι ἐκ δύο ἐπὶ μέρους συζυγίαι οὖσαι ἀσυλλόγιστοι. ἦσαν δὲ ὅροι τῷ μὲν παντὶ ὑπάρχειν ζῷον-ἄνθρωπος-λευκόν, τοῦ δὲ μηδενὶ ἵππος-ἄνθρωπος-λευκόν, μέσον λευκόν. ἢ ἡμάρτηται ἡ λέξις καὶ γέγραπται ἀντὶ τοῦ "ἀπόδειξις δ' ἡ αὐτὴ ἢ καὶ ἐπὶ τῶν ἐξ ἀμφο-

αὐτὰς ὅπως ἂν ληφθῶσι καὶ ἀνομοιοσχήμονας εἶναι, ἀεὶ τῆς ἀποφατικῆς μεταλαμβανομένης εἰς καταφατικήν. Ioh. Phil. f. LIII.

37a 35. "τεθέντος γὰρ τοῦ β΄ παντὶ τῷ γ΄ ἐνδέχεσθαι ὑπάρχειν" εἴρηκεν ἀντὶ τοῦ τεθέντος γὰρ καὶ ὑποτεθέντος τοῦ β΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης ὑπάρχειν· οὐ γὰρ δύναται ὡς ἀντικείμενον τοῦ ἐνδέχεσθαι τὸ β΄ τῷ γ΄ μηδενὶ τὸ ἐνδέχεσθαι παντὶ τὸ β΄ τῷ γ΄ ληφθὲν ὑποτεθῆναι· ταὐτὸν γάρ ἐστιν αὐτῷ ἀλλ' οὐκ ἀντικείμενον... εἰ ὅλον τέ ἐστιν. καὶ εἴη ἂν ἤτοι ἡμαρτημένη ἡ λέξις καὶ ἀντὶ τοῦ ἀποφατικοῦ τὸ καταφατικὸν λαμβάνουσα· ἔδει γὰρ γεγράφθαι "τεθέντος γὰρ τοῦ β΄ παντὶ τῷ γ΄ ἐνδέχεσθαι μὴ ὑπάρχειν·" τοῦτο γὰρ ἂν εἴη γινόμενον συμπέρασμα· ἢ καὶ τὸ καταφατικὸν ὡς ἓν δυνάμενον τῷ ἀποφατικῷ εἰληφέναι· τούτου δὴ τεθέντος γίνεσθαι συμπεράσματος οὐδὲν ἀδύνατον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, διὰ τοῦτο συναγόμενον δειχθήσεται· τὸ γὰρ ψεῦδος ἀντὶ τοῦ ἀδυνάτου εἶπε. λαβὼν δὲ τοῦτο μηκέτι τὴν εἰς ἀδύνατον ἀπαγωγὴν τεθεικέναι ὡς γνώριμον· εἰ γὰρ ληφθείη τὸ ἀντικείμενον τῷ ἐνδέχεται μηδενί, ὅ ἐστιν ἐξ ἀνάγκης τινί, γίνεται συναγόμενον τὸ ἐνδέχεταί τινι μὴ τὸ α΄ τῷ γ΄, ὃ οὐκ ἔστιν ἀδύνατον· καὶ γὰρ παντὶ αὐτῷ ἐνδέχεται· ἔκειτο γὰρ τοῦτο, καὶ ἐνδέχεται μηδενὶ διὰ τὸ ἀντιστρέφειν τὴν ἐνδεχομένην καταφατικήν. εἰ δὲ ἐνδέχεται τὸ α΄ τῷ γ΄ μηδενί, δῆλον ὡς οὐκ ἀδύνατον τὸ α΄ τινὶ τῷ γ΄ ἐνδέχεσθαι μὴ ὑπάρχειν. Alex. f. 74 b sq.

37a 36. ἰστέον δὲ ὅτι ὁ Ἀριστοτέλης τῇ οὐκ ἐνδέχεται μηδενὶ ἰσοδυναμοῦσαν ἔλαβε τὴν ἀνάγκη παντί· ὅπερ ἐπὶ τινῶν μὲν ὅρων ἀληθεύει, οὐκ ἐπὶ πάντων δέ· ἀλλ' ἀεὶ τὸ ἀνάγκη τινί. ἀλλὰ ὁ Ἀριστοτέλης ἐκ περιουσίας ἐλέγξαι βουλόμενος τὸν λόγον, τὸ ἀνάγκη παντὶ ὑπέθετο, δεικνὺς ὅτι εἰ ταύτῃ τῇ ὑποθέσει οὐδὲν ἀδύνατον ἀκολουθεῖ, κελλιῷ γε μᾶλλον τῇ ἀνάγκη τινί· ἀκολουθεῖ γὰρ τῷ καθόλου τὸ μερικόν. τεθέντος γάρ, φησί, τοῦ β΄ παντὶ τῷ γ΄ ἐνδέχεσθαι ὑπάρχειν, τουτέστιν ἀνάγκη παντὶ ὑπάρχειν, οὐδὲν ἀδύνατον συμβαίνει· εἰ γὰρ τὸ α΄ οὐδενὶ τῷ β΄ ἐνδέχεται, τὸ δὲ β΄ παντὶ τῷ γ΄ ἀνάγκη ὑπάρχειν, γίνεται τὸ α΄ σχῆμα, καὶ συνάγεται τὸ α΄ ἐνδέχεται μηδενὶ τῶν β΄. ἦν δὲ καὶ παντὶ ἐνδεχομένως, καὶ οὐδὲν ἀδύνατον. Ioh. Phil. f. LIII b.

37a 38. ἐνταῦθα δὲ ὅρους παρέθηκε μόνον τὸ ἐξ ἀνάγκης μηδενὶ συνάγοντας. φησὶ δὲ ὁ Ἀλέξανδρος (f. 75 b) ὅτι δυνατὸν καὶ ἐνταῦθα εὐπορῆσαι ὅρων καὶ τὸ παντὶ ἐξ ἀνάγκης συναγόντων. ἔστωσαν γὰρ ὅροι λευκόν - ζῷον καὶ εἶδός τι τῶν ὑπὸ τὸ ζῷον, οἷον ἄνθρωπος· λευκὸν μηδενὶ ζῴῳ ἐνδεχέσθω, λευκὸν παντὶ ἀνθρώπῳ ἐνδεχέσθω, καὶ συνάγεται ζῷον ἐξ ἀνάγκης παντὶ ἀνθρώπῳ. ταῦτα μὲν οὖν ὁ Ἀλέξανδρος, βουλόμενος δεῖξαι ὡς δυνατὸν καὶ ταύτας τὰς συζυγίας διὰ τοῦ συνάγειν τὸ παντὶ καὶ μηδενὶ ἐξ ἀνάγκης ἀσυλλογίστους δεικνύναι· οὐκ ἀποδεκτέον δὲ αὐτὸ ἐν τούτῳ· δεῖ γάρ, ὡς πολλάκις εἴρηται, ἀμφοτέρας τὰς προτάσεις κατὰ τὸν αὐτὸν χρόνον ἀληθεῖς εἶναι, αἱ δὲ εἰλημμέναι ὑπὸ τοῦ Ἀλεξάνδρου προτάσεις ὡς συνάγουσαι τὸ ἐξ ἀνάγκης παντὶ οὐ δύνανται κατὰ τὸν αὐτὸν χρόνον ἀμφότεραι ἀληθεῖς εἶναι. id. ib.

37b 29. μήποτε οὖν, φησὶν ὁ Ἀλέξανδρος (f. 76 b), τὸ ἐνδεχόμενον ἔλαβεν οὐ τὸ κατὰ τὸν διορισμὸν ἀλλὰ τὸ κατὰ τοῦ ὑπάρχοντος ἀληθευόμενον· ἐδείχθη γὰρ ἐν τῷ α΄ σχήματι τὸ τοιοῦτον συναγόμενον τῆς μείζονος ἀποφατικῆς ληφθείσης, ἡ δὲ τοιαύτη ἀπόφασις πρὸς ἑαυτὴν ἀντιστρέφει, ὥστε καὶ τὸ συμπέρασμα ἀντιστραφήσεται καθόλου ἀποφατικὸν ὑπάρχον. ὅτι δὲ τοιοῦτον γίνεται τὸ συμπέρασμα, καὶ οὐχὶ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, καὶ διὰ τῶν ἑξῆς μὲν δῆλον ποιεῖ, προείρηκε δὲ ἀρχόμενος τοῦ δευτέρου σχήματος, ἔνθα ἔλεγε δεῖ δὲ καὶ τὸ ἐν τούτοις λαμβάνειν τὸ ἐν τοῖς συμπεράσμασιν ἐνδεχόμενον, ὥσπερ ἐν τοῖς πρότερον. τὰς δὲ εἰς τοῦτο κεκινημένας ἀπορίας ἐν τοῖς Ἀλεξάνδρου εὑρήσεις. Ioh. Phil. f. LIV b.

37b 32. τὸ "ἀντιστραφείσης" φησὶν ἀντὶ τοῦ μεταληφθείσης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς καταφατικήν· τούτου γὰρ γινομένου γίνονται πάλιν αἱ πρότεραι δύο συλλογιστικαὶ συζυγίαι τὰ αὐτὰ συνάγουσαι συμπεράσματα. id. ib.

38a 21. τουτέστιν οὐ μόνον τὸ ἐνδέχεσθαι μηδενὶ συνάγεται, ἀλλὰ καὶ τὸ ὑπάρχον οὐδενί. δείκνυσιν οὖν τοῦτο τῇ διὰ τοῦ ἀδυνάτου δείξει. Ioh. Phil. f. LV.

38a 32. δείκνυσιν οὖν ταύτας διὰ τῶν ὅρων μηδὲν συμπέρασμα συναγούσας, μήτε ἐνδεχόμενον μήτε ὑπάρχον μήτε ἀναγκαῖον, οὕτως· λευκὸν παντὶ κύκνῳ ἐξ ἀνάγκης ὑπάρχει, ἀνθρώπῳ δὲ ἐνδέχεται μηδενί, οἷον ἐν τοῖς ἐν Ἀλεξανδρείᾳ, καὶ ὅμως κύκνος ἐξ ἀνάγκης μηδενὶ ἀνθρώπῳ. Ioh. Phil. f. LV b.

38a 41. τίθησιν οὖν ὅρους τὸ ἐξ ἀνάγκης παντὶ συνάγοντας τούτους, κίνησιν - ἐγρήγορσιν - ζῷον· κίνησιν γὰρ παντὶ ζῴῳ ἐνδέχεται ὑπάρχειν, ἐγρηγορότι δὲ ἐξ ἀνάγκης παντί, καὶ ὁμοίως ζῷον παντὶ ἐγρηγορότι ἐξ ἀνάγκης. ἐπιστῆσαι δὲ χρὴ τοῖς ὅροις· οὐ γάρ εἰσι καλῶς εἰλημμένοι. id. ib.

38b 4. ἀντικειμένων δηλονότι ταῖς ἀποφάσεσι λέγει τῇ τε καθόλου ἀναγκαίᾳ καὶ τῇ ὑπαρχούσῃ, ἃς ἡ καθόλου καταφατικὴ ἀναγκαία δειχθεῖσα ἀνεῖλεν. ἀντίκεινται δὲ καταφάσεις τῇ μὲν ἀναγκαίᾳ καθόλου ἡ ἐπὶ μέρους ἐνδεχομένη, τῇ δὲ ὑπαρχούσῃ καθόλου ἡ ἐπὶ μέρους ὑπάρχουσα ἀντιφατικῶς. οὐδὲ τούτων οὖν τινὰ οἷόν τε λέγειν συνάγεσθαι... δύναται καὶ τὸ "οὐδὲ δὴ τῶν ἀντικειμένων καταφάσεων" ὡς ἴσον εἰρῆσθαι τῷ φάσεων, ἵνα μὴ κατάφασις ᾖ λέγων ἀλλὰ φάσις, τουτέστι πρότασις· ἔθος γὰρ αὐτῷ τὸ τῆς φάσεως ὄνομα καὶ ἐπὶ τῶν προτάσεων κατηγορεῖν. Alex. f. 78 b.

διττὴ φέρεται ἡ γραφή, ἢ "φάσεων" ἢ "καταφάσεων." εἰ μὲν οὖν φάσεων, πρὸς τὸ ἀνωτέρω εἰρημένον ἡ ἀπάντησις τό τε ἀνάγκη παντὶ καὶ τὸ ἀνάγκη οὐδενί· ἀντίκεινται γὰρ ταύταις τῇ μὲν ἀνάγκη παντὶ ἡ ἐνδέχεται παντί, τῇ δὲ ἀνάγκη οὐδενὶ ἡ ἐνδέχεται τινί. εἰ μὲν οὖν "φάσεων," οὕτως· εἰ δὲ "καταφάσεων," πρὸς τὸ ὑπάρχον οὐδενὶ ἀνάγκη οὐδενὶ ἡ ἀπάντησις. ἐπειδὴ γὰρ εὗρεν ὅρους συνάγοντας τὸ ἀνάγκη παντί, καὶ διὰ τοῦτο ἀνεῖλεν τό τε ἀναγκαῖον ἀποφατικὸν καθόλου καὶ τὸ ὑπάρχον, ἐπήγαγεν ὅτι οὐδὲ αἱ ἀντικείμεναι ταύταις ταῖς ἀποφάσεσι καταφάσεις συνάγονται. ἀντίκειται δὲ τῇ μὲν ἀνάγκη μηδενί, ὡς εἴρηται, ἡ ἐνδέχεται τινί, τῇ δὲ ὑπάρχει οὐδενὶ ἡ ὑπάρχει τινί. Ioh. Phil. f. LVI.

38b 21. τοῦ γὰρ ἀνάγκη μηδενὶ διὰ τῶν ὅρων συναχθέντος πάντα τὰ καταφατικὰ ἀνῄρηται συμπεράσματα, καὶ ἀναγκαῖα καὶ ὑπάρχοντα καὶ ἐνδεχόμενα. ἀποφάσεις γὰρ ἀντικειμένας λέγει τὰς καταφάσεις τῶν προσεχῶς εἰρημένων ἀποφάσεων. id. ib.

λει προσυπακούεσθαι· τὸ γὰρ λεγόμενον ὑπάρχειν ἢ οὕτως λέγεται ὑπάρχειν ὑπαρχόντως, ἢ οὕτως λέγεται ὑπάρχειν ἐνδεχομένως. ἔστιν οὖν ἡ ὅλη ἔννοια τοῦ λόγου αὕτη· ὅταν ἡ μείζων πρότασις ἀποφατική ἐστιν ἐνδεχομένη, τότε συνάγεται τὸ κυρίως ἐνδεχόμενον· ὅταν δὲ ἡ μείζων ἀποφατικὴ ἀναγκαία, τότε ἐξ ὀρθοῦ συνάγεται τὸ ὑπάρχον ἢ τὸ ἰσοδυναμοῦν τῷ ὑπάρχοντι. εἰ δὲ καὶ ὁ Ἀλέξανδρος καὶ ὁ κατ' ἴχνος αὐτοῦ βαίνων Φιλόπονος τὸ "πλὴν κατὰ μὲν τὸ ὑπάρχειν τιθεμένης τῆς στερητικῆς προτάσεως" οὕτως ἐξελάβετο ἐπὶ τῆς ἀποφατικῆς καθόλου ὑπαρχούσης, πλὴν ὅμως καὶ αἰδοῖ τοῦ ἀνδρὸς οὐ φαίνεται ἡ ἀκολουθία τῆς ὑποθέσεως σώζεσθαι. cod. 1917 in marg. cf. Alex. f. 70 *b* sq. Ioh. Phil. f. LI.

οἱ μέντοι περὶ Θεόφραστον καὶ ἐπὶ ταύτης τῆς συζυγίας ἐνδεχόμενον λέγουσιν εἶναι τὸ συμπέρασμα, ἵνα καὶ ἐνταῦθα τῇ χείρονι τῶν προτάσεων ἕπηται τὸ συμπέρασμα· καὶ τοῦτο δεικνύουσιν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ οὕτως. ἔστωσαν γὰρ αἱ προτάσεις οὕτως ὡς εἴπομεν, λέγω ὅτι συνάγουσι τὸ α' τῷ γ' ἐνδέχεται μηδενί· εἰ γὰρ τοῦτο ψεῦδος, ἔσται ἀληθὲς τὸ οὐκ ἐνδέχεται μηδενί, ὅπερ ταὐτόν ἐστι τῷ ἀνάγκη τινί. ἐπεὶ οὖν ἀντιστρέφει ἡ μερικὴ καταφατική, καὶ τὸ γ' ἄρα τινὶ τῶν α' ἐξ ἀνάγκης ὑπάρχει. εἰ τοίνυν τὸ μὲν β' κεῖται ἐνδέχεσθαι παντὶ τῷ γ', τὸ δὲ γ' τινὶ τῶν α' ἐξ ἀνάγκης ὑπάρχειν ὑπόκειται, τὸ ἄρα β' τινὶ ἐνδέχεται τῶν α'. ἐπεὶ τοίνυν ὑπέκειτο ἐξ ἀρχῆς τὸ α' τῶν β' ἐξ ἀνάγκης μηδενί, καὶ τὸ β' ἄρα τῷ α' ἐξ ἀνάγκης οὐδενί. ὑπέκειτο δὲ καὶ ἐνδέχεσθαί τινι, ὅπερ ἀδύνατον. τὸ δὲ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ α' τῷ γ' οὐκ ἐνδέχεσθαι μηδενί, ὅπερ ἐστὶ ταὐτὸν τῷ ἀνάγκη τινί. ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον, τὸ ἐνδέχεται μηδενί. τοῦτο ἄρα ἐστὶ τὸ συναγόμενον. ἔστι δὲ καὶ ἄλλως δεῖξαι τὸ ἀδύνατον. εἰ γὰρ τὸ α' τῷ β' ἐξ ἀνάγκης μηδενί, καὶ τὸ β' τῷ α' ἐξ ἀνάγκης οὐδενί· τὸ δὲ β' τῷ γ' ἀνάγκη τινί, τὸ ἄρα β' τῷ γ' ἀνάγκη μὴ παντί. ἦν δὲ καὶ ἐνδέχεται παντί, ὅπερ ἀδύνατον. Ioh. Phil. f. LI.

36 b 21. οὐ γὰρ πάντες ἁπλῶς ἀτελεῖς, ἀλλ' ὅσοι ἔχουσι τὴν ἐλάττονα ἐνδεχομένην. τελειοῦνται δὲ πάντες τῇ εἰς τὸ α' σχῆμα ἀναγωγῇ, ἢ τῶν ἁπλῶς συλλογισμῶν ἢ τῶν μικτῶν· διὰ τοῦτο γὰρ εἶπε σχημάτων καὶ οὐχὶ σχήματος. id. ib.

36 b 26. παραδοὺς ὁ φιλόσοφος τοῦ τε ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου ἰδίᾳ ἑκάστου ἐπὶ τῶν τριῶν σχημάτων τοὺς ἁπλοῦς συλλογισμούς, ἐφεξῆς τούτων ἐξέθετο τὴν μῖξιν ἐπί τε α' καὶ β' καὶ γ' σχήματος, εἶτα μετὰ τοῦτο παραδέδωκεν τοῦ ἐνδεχομένου αὐτοῦ καθ' αὑτοῦ ἐν πρώτῳ σχήματι τοὺς ἁπλοῦς συλλογισμούς. καὶ δέον εὐθέως τὰ λοιπὰ δύο σχήματα τῶν ἁπλῶν συζυγιῶν τοῦ ἐνδεχομένου παραδοῦναι, ὥσπερ ἐποίησε καὶ ἐπὶ τῶν ἄλλων, εἶθ' οὕτως ἐπὶ τὴν μῖξιν τραπῆναι τοῦ ἐνδεχομένου πρὸς τοὺς ἄλλους δύο τρόπους, οὐχ οὕτως ὁ φιλόσοφος ποιεῖ, ἀλλὰ μετὰ τὸ παραδοῦναι τοῦ ἐνδεχομένου ἐν πρώτῳ σχήματι τὰς ἁπλᾶς συζυγίας, εὐθέως ἐτράπη ἐπὶ τὴν μῖξιν αὐτοῦ τὴν πρὸς τὸ ὑπάρχον καὶ ἀναγκαῖον ἐν πρώτῳ σχήματι, εἶτα λοιπὸν ἐπὶ δευτέρου σχήματος μεταβέβηκεν. τοῦτο δὲ πεποίηκεν ἐπειδὴ πᾶσαι αἱ ἐν β' σχήματι τοῦ ἐνδεχομένου συζυγίαι ἀσυλλόγιστοί εἰσιν. Ioh. Phil. f. LI *b*. cf. Alex. f. 71 *b* sq.

36 b 29. ὅσαι, φησί, τὴν καταφατικὴν πρότασιν ὑπάρχουσαν ἔχουσιν, αὗται πᾶσαι ἀσυλλόγιστοί εἰσιν· κἂν γὰρ ἀποφατικὴ εἴη ἡ ἐνδεχομένη, διὰ τὸ πάλιν μεταλαμβάνεσθαι τὴν ἀποφατικὴν τοῦ ἐνδεχομένου εἰς τὴν καταφατικὴν καὶ πάλιν ὁμοιοσχήμονας γίνεσθαι τὰς προτάσεις, ἀσυλλόγιστοι αἱ τοιαῦται συζυγίαι. ὅσαι δὲ ἀποφατικὴν ὑπάρχουσαν ἔχουσι, τῆς ἐνδεχομένης ὡς ἔτυχεν ἐχούσης εἴτε ἀποφατικῶς εἴτε καταφατικῶς, πάντως γίνεται συλλογιστικὴ ἡ συζυγία· μένει γὰρ ἡ συζυγία τηνικαῦτα ἀνομοιοσχήμονας ἔχουσα τὰς προτάσεις, διὰ τὸ μήτε τὴν ἀποφατικὴν ὑπάρχουσαν μεταληφθῆναι δύνασθαι εἰς καταφατικὴν μήτε τὴν ἐνδεχομένην ἀποφατικὴν εἰς τὴν καταφατικὴν κατὰ τὰ Ἀριστοτέλει δοκοῦντα. Ioh. Phil. f. LI *b*.

36 b 35. περὶ ποίας δὲ ἀντιστροφῆς λέγει, ἐδήλωσε παραθέμενος τοὺς ὅρους· περὶ γὰρ τῆς κατὰ τὴν ὑπαλλαγὴν τῶν ὅρων, οὐ περὶ τῆς εἰς τὴν κατάφασιν μεταλήψεως· ἐκείνη γὰρ ἀντιστρέφειν κεῖται. Θεόφραστος μέντοι καὶ Εὔδημος, ὡς κατ' ἀρχὰς ἐμνημονεύσαμεν, ἀντιστρέφειν φασὶ καὶ τὴν καθόλου ἀποφατικὴν αὑτῇ, ὥσπερ ἀντέστρεφε καὶ ἡ ὑπάρχουσα καθόλου ἀποφατικὴ καὶ ἡ ἀναγκαία. ὅτι δὲ ἀντιστρέφει, δείκνυσιν οὕτως. εἰ τὸ α' ἐνδέχεται τῷ β' μηδενί· ἐπεὶ δὲ ἐνδέχεται τὸ α' τῷ β' μηδενί, ὅτε ἐνδέχεται μηδενί, τότε ἐνδέχεται ἀπεζεῦχθαι τὸ α' πάντων τῶν τοῦ β'· εἰ δὲ τοῦτο, ἔσται καὶ τὸ β' τῶν α' ἀπεζευγμένον· εἰ δὲ τοῦτο, καὶ τὸ β' ἐνδέχεται τῷ α' μηδενί. ἔοικε δὲ Ἀριστοτέλης βέλτιον αὐτῶν λέγειν μὴ φάσκων ἀντιστρέφειν τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην ἑαυτῇ τὴν κατὰ τὸν διορισμόν· οὐ γὰρ εἴ τί τινος ἀπέζευκται, ἤδη καὶ ἐνδεχομένως ἀπέζευκται αὐτοῦ. Alex. f. 72.

36 b 38. λέγων ἐναντίας μὲν τὰς καθόλου τὴν παντὶ ἐνδέχεται τῇ ἐνδέχεται μηδενί, ἀντικειμένας δὲ τὰς καθόλου ταῖς ἐπὶ μέρους, τὴν παντὶ ἐνδέχεται τῇ ἐνδέχεται οὐ παντί καὶ τὴν ἐνδέχεται μηδενί τῇ ἐνδέχεταί τινι, οὐχ ὡς ἀληθῶς τούτων ἐναντίων οὐσῶν ἀλλήλαις ἢ ἀντικειμένων (πῶς γὰρ εἴγε συναληθεύονται;) ἀλλ' ὡς τῇ λέξει ὁμοίως τούτων ἐχουσῶν πρὸς ἀλλήλας ὡς ἔχουσιν αἱ ἐπὶ τῶν ὑπαρχουσῶν καὶ ἐπὶ τῶν ἀναγκαίων ἐναντίαι. Alex. f. 72 *b*.

37 a 9. δόξει τισὶ διά τε τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δύνασθαι δείκνυσθαι ἡ καθόλου ἀποφατικὴ ἐνδεχομένως ἀντιστρέφουσα. τῇ αὐτῇ δείξει καὶ οἱ ἑταῖροι αὐτοῦ κέχρηνται. Alex. f. 73.

37 a 18. δῆλον ἄρα ὅτι ἡ οὐκ ἐνδέχεται μηδενί τὸ ἀνάγκη τινί καὶ τὸ ἀνάγκη μὴ παντί περιέχει. ἰστέον δὲ ὅτι ἀντὶ τοῦ εἰπεῖν ὅτι οὐκ ἀληθὲς εἰπεῖν ὡς ἐνδέχεται μηδενὶ ὑπάρχειν, εἶπεν ὡς μὴ παντὶ ἐνδέχεται ὑπάρχειν. ἔστι δὲ ἓν καὶ ταὐτό· εἰ γὰρ παντὶ ἐνδέχεται μὴ ὑπάρχειν, ἐνδέχεται μηδενὶ ὑπάρχειν. Ioh. Phil. f. LII *b*.

τὸ "παντὶ ἐνδέχεται μὴ ὑπάρχειν" ἔλαβεν ἀντὶ τοῦ ἐνδέχεται μηδενί, ὃ καὶ ἀσαφεστέραν τὴν λέξιν ποιεῖ. Alex. f. 74.

37 a 32. τὰ χρήσιμα αὐτῷ ἐσόμενα πρὸς τὴν διδασκαλίαν τῶν ἐν δευτέρῳ σχήματι προδιδάξας συλλογισμῶν, νῦν ἐπὶ τὰς συζυγίας αὐτῶν μετέρχεται καὶ δείκνυσιν ὅτι οὐκ ἐνδέχεται ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων ἐν δευτέρῳ σχήματι συλλογισμὸν γενέσθαι. δεῖ γὰρ ἐν τούτῳ τῷ σχήματι ἀνομοιοσχήμονας εἶναι τὰς συλλογιστικὰς προτάσεις. ἐνδεχομένων δὲ ἀμφοτέρων οὐσῶν ἀδύνατον

35a 19. τὸ "ὅπερ ἐστὶν ἀληθές" οὐ τοῦτό φησιν, ὅτι ἀληθές ἐστι τὸ τὴν ἀποφατικὴν ἐνδεχομένην ποιῆσαι ἐνδεχομένην καταφατικήν· τοῦτο γὰρ ψεῦδός ἐστιν· ἀλλὰ τοῦτό φησιν, ὅτι ἀληθές ἐστι δύνασθαι τὴν ἀποφατικὴν εἰς καταφατικὴν μεταληφθῆναι. Ioh. Phil. f. XLVII.

35a 20. "ὁ δὲ αὐτὸς ἔσται συλλογισμός" προσέθηκεν ἴσως εἰς δήλωσιν τοῦ ὅτι τὸ συμπέρασμα μηδ' ἐπὶ ταύτης τῆς συζυγίας τοῦ κατὰ τὸν διορισμὸν ἔσται ἐνδεχομένου, ὥσπερ ἐδείχθη, μηδ' ἐπ' ἐκείνης γινόμενον. Alex. f. 65.

νῦν τίθησι τὰς ἐχούσας τὴν ἐλάττονα ἀποφατικὴν ὑπάρχουσαν, τὴν δὲ μείζονα ἐνδεχομένην ἢ καταφατικὴν ἢ ἀποφατικήν, καὶ φησὶν ἀσυλλογίστους εἶναι ταύτας. εἴπομεν γὰρ καὶ κατ' ἀρχὰς ὅτι ἐπὶ μὲν τῶν ἐχουσῶν ἐν τῇ μείζονι τὴν ἐνδεχομένην δεῖ δὲ καὶ τὸ ποσὸν τῆς μείζονος φυλάξαι καὶ τὸ ποιὸν τῆς ἐλάττονος, ἐπὶ δὲ τῶν ἐχουσῶν τὴν μείζονα ὑπάρχουσαν μόνον ἀρκεῖ φυλάξαι τὸ ποσὸν τῆς μείζονος, διότι ἡ μὲν ἐνδεχομένη ἀποφατικὴ μεταλαμβάνεται εἰς τὴν καταφατικὴν καὶ ποιεῖ συλλογιστικὴν τὴν συζυγίαν, ἡ δὲ ὑπάρχουσα ἀποφατικὴ οὐ μεταλαμβάνεται εἰς τὴν καταφατικήν. δείκνυσι δὲ ταύτας ἀσυλλογίστους τῷ καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ συνάγειν. Ioh. Phil. f. XLVII.

35a 23. τὸ δὲ "ἐξ αὐτῶν" οὐ τοῦτό φησιν, ὅτι τῇ δι' εὐθείας δείξει (πάντες γὰρ ἐδείχθησαν τῇ μεταλήψει τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ), ἀλλ' ὅτι φυλάξαντα τὸ ἴδιον ποιόν. id. ib.

35b 1. δεῖ προσθεῖναι τὸν καὶ σύνδεσμον καὶ εἰπεῖν οὕτως "εἰ δὲ καὶ διὰ τῆς ἀντιστροφῆς." καὶ γὰρ οἱ διὰ τῆς ἀντιστροφῆς δεικνύμενοι δέονται τῆς διὰ τοῦ ἀδυνάτου δείξεως. δείκνυνται δὲ διὰ μὲν τοῦ ἀδυνάτου μόνον οἱ ἔχοντες τὴν ἐλάττονα καταφατικήν, ὥσπερ καὶ ἐπὶ τῶν καθόλου. Ioh. Phil. f. XLVII b.

35b 2. τὸν δὲ ἐνταῦθα ἀντὶ τοῦ καὶ ληπτέον· ἔστι γὰρ συμπέρασμα τῶν εἰρημένων. Ioh. Phil. f. XLVIII.

35b 8. εἰκότως· οὐκέτι γὰρ ἡ μερικὴ ὑπάρχουσα ἀποφατικὴ μεταλαμβάνεται εἰς τὴν καταφατικήν. id. ib.

35b 9. εἰ δὲ ὅροι οὓς μὲν αὐτὸς παραλαμβάνει, οὐ πάνυ εἰσὶ προσφυεῖς τοῖς προκειμένοις, διότι τό τε λευκόν τισι ζῴοις ἐξ ἀνάγκης ὑπάρχει ἢ οὐχ ὑπάρχει, καὶ τὸ ζῷον πάλιν τῇ χιόνι ἢ τῇ πίττῃ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. ἔστωσαν οὖν ὅροι τοῦ μὲν παντὶ κινούμενον-λευκόν-βαδίζον· κινούμενον ἐνδέχεται παντὶ λευκῷ ὑπάρχειν, λευκὸν ὑπαρχέτω μὴ παντὶ βαδίζοντι, καὶ συνάγεται κινούμενον παντὶ βαδίζοντι ἐξ ἀνάγκης. τοῦ δὲ μηδενί κινούμενον - λευκόν - ἑστώς· κινούμενον ἐνδέχεται παντὶ λευκῷ, λευκὸν μὴ παντὶ ἑστῶτι ὑπαρχέτω, καὶ συνάγεται κινούμενον οὐδενὶ ἑστῶτι ἐξ ἀνάγκης. id. ib.

35b 16. ἐπήγαγε τὸ ἐναλλὰξ ταῦτα, εἰ μὲν συμπεραίνων πάντα τὰ περὶ τοῦ ἐνδεχομένου λέγοι, λέγοι ἂν τὸ ἐναλλάξ, ὥστε τὴν μὲν εἶναι ὑπάρχουσαν τὴν δὲ ἐνδεχομένην· εἰπὼν γὰρ εἴτε ἐνδέχεσθαι λαμβάνονται εἴτε ὑπάρχειν, ἐπήγαγε τὸ ἐναλλάξ. εἰ δὲ τὰ προσεχῶς εἰρημένα περαίνοι, λέγω δὴ τὴν μῖξιν τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου, οὕτως ἀκουστέον τὸ ἐναλλάξ, εἴτε ἐν μέρει εἴτε ἀδιόριστοι εἴτε ἐναλλάξ, ἀντὶ τοῦ ἡ μὲν μερικὴ ἡ δὲ ἀδιόριστος. id. ib.

35b 21. προσυπακουστέον τῷ "ἀεὶ γίνεται συλλογισμός," ἐπείτοι γε, ἐὰν ἡ μὲν μείζων ᾖ καθόλου ἡ δὲ ἐλάττων ἀποφατικὴ ὑπάρχουσα, οὐ γενήσεται συλλογισμός, ὡς δέδεικται. id. ib.

προσυπακούειν δεῖ τῇ λέξει τὸ ἂν ὦσιν ἀμφότεραι καταφατικαί, ἡ δὲ ἐλάττων ἐπὶ μέρους ἐνδεχομένη. ἢ ἐπὶ ὑπαρχούσης αὐτῆς, τῆς ἐλάττονος δηλαδή, ἐπὶ μέρους ἀποφατικῆς ληφθείσης, ἀσυλλόγιστος ἡ συζυγία. Alex. f. 66 b.

35b 32. ἐπειδὴ εἶπεν ὅτι ὅταν τὸ στερητικὸν ἀναγκαῖον ᾖ, τὸ συμπέρασμα ἔσται καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν καὶ τοῦ μὴ ὑπάρχειν, διὰ τοῦτο ἐπήγαγεν ὅτι ἐνδεχόμενον ἐνταῦθα λαμβάνειν δεῖ οὐ τὸ κατὰ τὸν διορισμόν, ἀλλ' ὥσπερ καὶ τὸ πρὶν ἐλάμβανον τὸ συντρέχον ἄλλῳ τινί, τουτέστι τῷ ὑπάρχοντι· κατηγορεῖται γὰρ τὸ ἁπλῶς ἐνδεχόμενον καὶ κατὰ τοῦ ὑπάρχοντος. Ioh. Phil. f. XLVIII b.

35b 37. ἐζήτηται περὶ τούτων ἐπὶ πλέον ἡμῖν ἐν τῷ περὶ μίξεων γεγραμμένῳ βιβλίῳ. Alex. f. 68.

36a 15. ὑπέκειτο δὲ καὶ παντὶ ἐνδέχεσθαι, ὅπερ ἀδύνατον. δεῖ δὲ εἰδέναι ὅτι τὸ ἀδύνατον ἠκολούθησεν ἐνταῦθα διὰ τὸ βούλεσθαι τὸν Ἀριστοτέλην ἐπὶ τῆς μίξεως τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος τῇ μείζονι προτάσει ἀκολουθεῖν τὸ συμπέρασμα, ἐπεὶ ἐὰν τῇ χείρονι ἀκολουθεῖν ὑποθώμεθα, ὡς δέδεικται ἀνωτέρω, οὐχ ἕψεταί τι ἀδύνατον. Ioh. Phil. f. XLIX.

36a 22. ἀσαφῆ τὴν δεῖξιν διὰ συντομίαν πεποίηκε· λαβὼν γὰρ ἀντὶ τοῦ ἐνδεχομένου ἀποφατικοῦ καθόλου ὑπάρχον ἀποφατικὸν καθόλου τὸ συμπέρασμα, καὶ ὅτι δείκνυται τοῦτο συναγόμενον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς βουλόμενος δεῖξαι, οὐκέτι ἔλαβε τὸ ἀντικείμενον αὐτοῦ καὶ ὑπέθετο (τοῦτο δέ ἐστι τὸ ἐπὶ μέρους ὑπάρχον καταφατικὸν τὸ τὸ α' τῷ γ' τινὶ ὑπάρχειν, ὃ μετὰ τοῦ τὸ α' τῷ β' ἐνδέχεται μηδενὶ οὐδὲν συνάγει), ἀλλ' ὡς γνωρίμου ὄντος τοῦ ὀφείλοντος μεταληφθῆναι καὶ ὑποτεθῆναι τοῦ καθόλου ἀποφατικοῦ ὑπάρχοντος, ὃ ἦν τὸ ἐπὶ μέρους καταφατικὸν ὑπάρχον, παρείασε καὶ μόνον προσέλαβε τὸ μεθ' οὗ ἐκεῖνο οὐδὲν συνάγει. φέρεται μέντοι ἔν τισιν ἀντιγράφοις "εἰ γὰρ ὑποτεθείη τὸ α' τῷ γ' τινὶ μὴ ὑπάρχειν." κἂν αὕτη ᾖ ἡ γραφή, εἴη ἂν πάλιν παρειμένον ὅτι τὸ α' τῷ γ' μηδενὶ ὑπάρχειν, οὗ τὸ ἀντικείμενον τὸ τὸ α' τινὶ τῷ γ' ὑπάρχειν, τεθὲν μετὰ τοῦ τὸ α' τῷ β' ἐνδέχεσθαι μηδενί, οὐδὲν συνάγει. ἀλλ' οὐδ' ἂν προσλάβωμεν τῇ ὑποθέσει τῇ τὸ α' τινὶ τῷ γ' ὑπάρχειν λαμβανούσῃ τὴν τὸ β' παντὶ τῷ γ' ὑπάρχειν, οὐδὲν ἀδύνατον συναχθήσεται. Alex. f. 69.

36a 30. ληψόμεθα ἡμεῖς ὅρους κἀπὶ τούτων κρείττονας, ὥσπερ καὶ ἐν ἐκείνοις εἰλήφαμεν, τοῦ μὲν παντί, λευκὸν ἐνδέχεται μηδενὶ ἵππῳ, ἵππος οὐδενὶ κύκνῳ ἐξ ἀνάγκης, καὶ λευκὸν ἐξ ἀνάγκης παντὶ κύκνῳ· τοῦ δὲ μηδενί, εἰ ἀντὶ κύκνου κόρακα λάβωμεν, λευκὸν γὰρ ἐνδέχεται μηδενὶ ἵππῳ, ἵππος οὐδενὶ κόρακι ἐξ ἀνάγκης, καὶ λευκὸν ἐξ ἀνάγκης οὐδενὶ κόρακι. Ioh. Phil. f. L.

36b 4. τὸ δὲ "ἢ ἐνδεχόμενον" ἀντὶ τοῦ καὶ ἐνδεχόμενον· πρώτας γὰρ ἐξέθετο ἀσυλλογίστους τὰς ἐχούσας τὴν ἐλάττονα ἐνδεχομένην. Ioh. Phil. f. L b.

36b 21. τουτέστι τῆς στερητικῆς προτάσεως λαμβανομένης ἐνδεχομένως ὑπάρχειν· ἐν γὰρ τῷ ὑπάρχειν τοῦτο λείπει τὸ ἐνδεχομένως καὶ ὀφεί-

συμπέρασμα, καὶ ἀδύνατον συμπέρασμα δυναταῖς ταῖς προτάσεσιν οὐδέποτε ἀκολουθεῖν· οὐ γὰρ ἔσται τι ἐξ ἀνάγκης "ἑνός τινος ὄντος" φησί, τουτέστιν ἑνός τινος ἡγουμένου οὐδὲν συμπέρασμα ἀκολουθήσει. Ioh. Phil. f. XLIII.

31a 25. δειχθέντος, φησίν, ὅτι πάντως τοῦ ἡγουμένου δυνατοῦ ὄντος πᾶσα ἀνάγκη καὶ τὸ ἑπόμενον δυνατὸν εἶναι, ἐάν, φησίν, ὡς ἐν ὑποθέσει προηγούμενόν τι λάβωμεν ὅπερ ψεῦδος μέν ἐστι διὰ τὸ αὐτὸ τοῦτο κατὰ τὴν ὑπόθεσιν εἰλῆφθαι καὶ τὸ μήπω εἰς ἐνέργειαν ἐκβεβηκέναι, ἀδύνατον δὲ οὐκ ἔστι διὰ τὸ δύνασθαι εἰς ἐνέργειαν ἐκβεβηκέναι· διότι καὶ τὸ ἑπόμενον τούτῳ ψεῦδος μὲν ἔσται, ἀδύνατον δὲ οὐκ ἔσται. id. f. XLIII *b*.

31a 35. εἶπε δὲ τὸ "εἰ οὖν τὸ μὲν α′ μὴ ἐνδέχεσθαι τῷ γ′" ἐνδεέστερον· λείπει γὰρ τὸ παντί· τοῦτο γὰρ τὸ ἀντικείμενον τῷ ἐνδέχεσθαι παντί. τὸ δὲ α′ οὐ παντὶ τῷ β′ ἐνδέχεται εἶπεν ὡς ἴσον τῷ οὐ παντὶ ὑπάρχειν· τοῦτο γὰρ ἐδείχθη συναγόμενον ἐν τρίτῳ σχήματι ἐν ταῖς μίξεσι ταῖς ἐξ ἀναγκαίας καὶ ὑπαρχούσης... τὸ "ἀλλ' ὑπέκειτο παντὶ ἐνδέχεσθαι ὑπάρχειν" εἶπεν ἀντὶ τοῦ ὑπέκειτο παντὶ ὑπάρχειν· ὑπάρχουσα γὰρ ἡ καθόλου καταφατικὴ ἡ α′ β′. ἐξ οὗ δῆλον ὅτι καὶ ἐπὶ τοῦ συμπεράσματος τὸ οὐ παντὶ τῷ β′ ἐνδέχεται εἶπεν ὡς ἴσον τῷ οὐ παντὶ ὑπάρχειν τὸ α′ τῷ β′. οὕτως δὲ γίνεται καὶ τὸ συναγόμενον ἀδύνατον, εἰ κειμένου τοῦ α′ παντὶ τῷ β′ ὑπάρχειν συνάγοιτό τινι μὴ ὑπάρχειν· ἀδύνατον γὰρ τὸ παντὶ ὑπάρχον τινὶ μὴ ὑπάρχειν. οὐκέτι δὲ ἀδύνατον ὃ αὐτὸς δοκεῖ διὰ τῶν λέξεων λαμβάνειν... ἀλλ' ὥσπερ εἶπον, τῷ ἐνδέχεσθαι ἐπ' ἀμφοτέρων ἀντὶ τοῦ ὑπάρχοντος ἐχρήσατο. Alex. f. 60 *b*.

31b 2. ἀποροῦσι δέ τινες πρὸς ταύτην τὴν δεῖξιν τοῦ Ἀριστοτέλους, ὧν τὴν ἀπορίαν ἄξιόν ἐστιν ἐπισκέψασθαι οὐκ ἀφυῶς ἔχουσαν. φασὶ γὰρ ὅτι οὐδὲν ἀδύνατον συμβαίνει ἐὰν ὑποθώμεθα συνάγεσθαι τὸ α′ τῷ β′ μὴ ἐνδέχεσθαι παντί· τί γὰρ συνήγετο, ὅτι τὸ α′ τῷ β′ οὐ παντὶ ὑπάρχει, ὑπῆρχε δὲ καὶ παντί. τοῦτο δὲ ψεῦδος μέν ἐστι, τὸ αὐτὸ καὶ παντὶ καὶ μὴ παντὶ ὑπάρχειν, οὐ μέντοι καὶ ἀδύνατον. εἰ γὰρ τὸ ὑπάρχον τοιοῦτόν ἐστιν ὡς καὶ ποτὲ δύνασθαι μὴ ὑπάρχειν, δυνατὸν ἄρα τὸ παντὶ ὑπάρχον ποτὲ μὴ παντὶ ὑπάρχειν. ὥσπερ οὖν, φασί, καὶ ὑμεῖς μετελάβετε τὴν ἐνδεχομένην εἰς ὑπάρχουσαν, ὅπερ ψεῦδος μέν ἐστιν οὐ μέντοι ἀδύνατον, τί ἄτοπον εἰ ἐκ προτάσεως ψευδοῦς μὲν οὐκ ἀδυνάτου δὲ συμπέρασμα συναχθείη ψευδὲς καὶ οὐκ ἀδύνατον; τί οὖν πρὸς ταῦτα ἡμεῖς λέγομεν; ὅτι ἡ μὲν μετάληψις τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν οὐκ ἐπὶ τοῦ αὐτοῦ χρόνου οὐδὲ μενούσης τῆς ἐνδεχομένης ἐνδεχομένη γέγονε καὶ ὑπάρχουσα· τοῦτο γὰρ οὐ μόνον ἐστὶ ψεῦδος ἀλλὰ καὶ ἀδύνατον, τὴν αὐτὴν ἐνδεχομένην τε ἅμα καὶ ὑπάρχουσαν εἶναι· ἀλλὰ μετελήφθη ἡ πρότασις ἀπὸ μέλλοντος χρόνου εἰς ἐνεστῶτα. Ioh. Phil. f. XLIII *b* sq.

δείκνυσι δὴ τοῦτο λαβὼν ἀμφοτέρας τὰς προτάσεις ἀνάπαλιν, τὴν μὲν ὑπάρχουσαν ἐνδεχομένην, τὴν δὲ ἐνδεχομένην ὑπάρχουσαν. Alex. f. 61.

31b 7. ὃ βούλεται εἰπεῖν τοιοῦτόν ἐστιν. ὅταν λάβωμεν, φησί, καθόλου καταφατικὴν ὑπάρχουσαν πρότασιν, ὥσπερ νῦν λαμβάνομεν τὸ α′ κατὰ παντὸς τοῦ β′ κατηγορούμενον, οὐ δεῖ τὸ κατὰ παντὸς ἐν χρόνῳ λαμβάνεσθαι ἀληθεῦον ἀλλ' ἀεί, ἐπεὶ ἀσυλλόγιστος ἔσται ἡ συζυγία· συνάξει γὰρ καὶ τὸ ἐξ ἀνάγκης οὐδενί. οἷον τί λέγω; ἐὰν λάβω ἄνθρωπον καὶ κινούμενον καὶ ἵππον (τούτοις γὰρ καὶ αὐτὸς κέχρηται τοῖς ὅροις), καὶ εἴπω οὕτως, ὁ ἄνθρωπος παντὶ κινουμένῳ ὑπάρχει (ὑποκείσθω γὰρ μόνα τὰ κινούμενα ἀνθρώπους εἶναι), κινούμενον παντὶ ἵππῳ ἐνδέχεται ὑπάρχειν, συναχθήσεται ἄνθρωπος ἐξ ἀνάγκης μηδενὶ ἵππῳ ὑπάρχειν, ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης προτάσεων καταφατικῶν ἀναγκαῖον ἀποφατικὸν συμπέρασμα. τοῦτο δέ, φησί, συμβαίνει διὰ τὸ τὴν μείζονα πρότασιν ἐν χρόνῳ λαμβάνειν ἀληθεύουσαν, ὅτε ἄνθρωποι μόνον ἐκινοῦντο· ὥστε, φησί, παραφυλακτέον τὸ τοιοῦτον, ὡς κατὰ χρόνον ἀληθευούσας λαμβάνειν τὰς προτάσεις, ἀλλ' ἁπλῶς, τουτέστι καθόλου. Ioh. Phil. f. XLIV *b*.

τούτων ὑπαλλάξας τὸν ἐλάττονα ὅρον, φυλάξας δὲ τὰς προτάσεις ὡς ἐξ ἀρχῆς κατά τε τὸ ποιὸν καὶ τοὺς τρόπους, δείκνυσι συναγόμενον καὶ τὸ παντὶ ἐξ ἀνάγκης. id. ib. 31b 14.

εἰπὼν τὰς ἐξ ἀμφοτέρων καθόλου καταφατικῶν, νῦν τίθησι τὴν ἐκ μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης, καὶ συνάγει ἐνδέχεσθαι μηδενὶ τῷ γ′ τὸ α′. δείκνυσι δὲ καὶ ταύτην τῇ αὐτῇ δείξει, λέγω δὲ τῇ μεταλήψει καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. id. ib. 31b 19.

τὸ συμπέρασμα, φησί, τὸ συναχθὲν οὐκ ἔστι τοιούτου ἐνδεχομένου οἷουπερ ἡμεῖς ἐξ ἀρχῆς διωρισάμεθα, τοῦτο δὲ ἦν ὃ ἀντιστρέφουσαν εἶχε τὴν μηδενὶ πρὸς τὴν παντί· τοῦτο δὲ τὸ συμπέρασμα οὐκ ἔστι τοιοῦτον. id. f. XLVI. 31b 27.

ὅρους ἐκτίθεται δι' ὧν δείκνυσι τέως μὲν ὅτι οὐ συνάγεται τὸ ἐνδέχεσθαι μηδενί, κόρακα – διανοούμενον – ἄνθρωπον· μείζων κόραξ, ἐλάττων ἄνθρωπος. κόραξ μὲν γάρ, φησίν, οὐδενὶ διανοουμένῳ ὑπάρχει, διανοούμενον δὲ ἐνδέχεται παντὶ ἀνθρώπῳ, καὶ συνάγεται κόραξ οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. ὥστε τέως ἔχομεν διὰ τούτων ὅτι οὐ συνάγεται τὸ ἐνδεχόμενον. διὰ δὲ τῶν ἑξῆς ὅρων δείκνυσιν ὅτι οὐδὲ ἀναγκαῖόν ἐστιν ἀεὶ τὸ συμπέρασμα, πλὴν ὅτι οὔτε ἐνταῦθα καλῶς ἔλαβε τοὺς ὅρους· ἀναγκαίαν γὰρ ἔλαβε τὴν μείζονα πρότασιν οὐχ ὑπάρχουσαν κυρίως· κόραξ γὰρ οὐδενὶ διανοουμένῳ οὐχ ὑπάρχει μόνον ἀλλ' ἐξ ἀνάγκης οὐχ ὑπάρχει. Ioh. Phil. f. XLVI *b*. Alex. f. 63 sq. 31b 31.

δείξας διὰ τῶν προλαβόντων ὅρων ὅτι οὐκ ἔστιν ἐνδεχόμενον τὸ συμπέρασμα, διὰ τούτων δείκνυσιν ὅτι οὐδὲ ἀναγκαῖον συνάγεται. ἔστω γὰρ κινούμενον μὲν μηδεμιᾷ ἐπιστήμῃ ὑπάρχειν, ἐπιστήμη δὲ ἐνδέχεται παντὶ ἀνθρώπῳ ὑπάρχειν, καὶ συνάγεται κινούμενον μηδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχειν (δῆλον δὲ ὅτι τὴν ἐπιστήμην ἐνταῦθα ἀντὶ τοῦ ἐπιστήμονος λαμβάνει), ἐπεὶ ἀναγκαία καὶ οὐχ ὑπάρχουσα ἔσται ἡ ἀπόφασις. ὥστε, φησίν, εἰ μήτε ἐνδεχόμενον ἀεί ἐστι τὸ συμπέρασμα μήτε ἀεὶ ἀναγκαῖον, εἰκότως εἴρηται ὅτι τοῦ οὐδενὶ ἐξ ἀνάγκης ἐστὶν ὡς δέδεικται πρότερον. συναισθόμενος δὲ καὶ αὐτὸς ὅτι οὐκ ἔλαβε καλῶς τοὺς ὅρους, φησὶν ὅτι ληπτέον δὲ κάλλιον τοὺς ὅρους. λάβοιμεν δὲ ἂν αὐτοὺς βέλτιον οὕτως, βαδίζον – ἀλλοιούμενον – ζῷον. λέγω οὖν οὕτως· βαδίζον μηδενὶ ἀλλοιουμένῳ ὑπαρχέτω, ἀλλοιούμενον ἐνδέχεται παντὶ ζῴῳ ὑπάρχειν, καὶ συνάγεται βαδίζον οὐδενὶ ζῴῳ ἐξ ἀνάγκης ὑπάρχειν. Ioh. Phil. f. XLVI *b*. 31b 37.

31a 10. Ἀριστοτέλης μὲν οὖν, ὅτι μὴ οἷόν τέ ἐστι δυνατῷ ἀδύνατον ἕπεσθαι, δείκνυσι διὰ τοῦ δεῖν μὲν ἐν τῷ ἀληθεῖ συνημμένῳ ἐξ ἀνάγκης ἕπεσθαι τὸ λῆγον τῷ ἡγουμένῳ. τὸ δὲ ἐξ ἀνάγκης τινὶ ἑπόμενον ἀεὶ αὐτῷ ἕπεται, καὶ τὸ δυνατὸν δὲ ἀεὶ ἀκολουθήσει τῷ ἡγουμένῳ αὐτοῦ· ὥστε εἰ δυνατόν ἐστι γενέσθαι, καὶ γενομένῳ αὐτῷ ἀκολουθήσει, ἀκολουθοῦν δὲ αὐτῷ τότε καὶ ἔσται· ἔσται ἄρα τὸ ἀδύνατον γενέσθαι· τοῦτο δ' ἀδύνατον. Χρύσιππος δὲ λέγων μηδὲν κωλύειν καὶ δυνατῷ ἀδύνατον ἕπεσθαι, πρὸς μὲν τὴν ὑπ' Ἀριστοτέλους εἰρημένην δεῖξιν οὐδὲν λέγει, πειρᾶται δὲ διὰ παραδειγμάτων τινῶν οὐχ ὑγιῶς συγκειμένων δεικνύναι τοῦτο μὴ οὕτως ἔχον. φησὶ γὰρ ἐν τῷ συνημμένῳ τῷ "εἰ τέθνηκε Δίων, τέθνηκεν οὗτος," δεικνυμένου τοῦ Δίωνος ἀληθεῖ ὄντι, τὸ μὲν ἡγούμενον τὸ τέθνηκε Δίων δυνατὸν εἶναι τῷ δύνασθαί ποτε ἀληθὲς γενέσθαι τὸ τεθνηκέναι Δίωνα, τὸ δὲ τέθνηκεν οὗτος ἀδύνατον· ἀποθανόντος γὰρ Δίωνος φθείρεσθαι τὸ ἀξίωμα τὸ οὗτος τέθνηκε, μηκέτ' ὄντος τοῦ τὴν δεῖξιν ἀναδεχομένου· ἐπὶ γὰρ ζῶντος καὶ κατὰ ζῶντος ἡ δεῖξις. εἰ οὖν μὴ τεθνηκότος αὐτοῦ ἔτι τὸ οὗτος οἷόν τε, μήτε πάλιν ὑφίσταται ὁ Δίων, τῷ δύνασθαι ἐπ' αὐτοῦ ῥηθῆναι τὸ τέθνηκεν οὗτος, ἀδύνατον τὸ τέθνηκεν οὗτος· ἦν γὰρ οὐκ ἀδύνατον, εἰ ὕστερόν ποτε ἐδύνατο μετὰ τὸν θάνατον τοῦ Δίωνος, ἐφ' οὗ τὸ πρότερον ἐν τῷ συνημμένῳ, ὅτε ἔτι ἔζη ὁ Δίων, κατηγορεῖτο τὸ τέθνηκεν οὗτος, κατηγορηθῆναι πάλιν τὸ οὗτος. ἐπεὶ δὲ μὴ οἷόν τε τοῦτο, ἀδύνατον ἂν εἴη τὸ τέθνηκεν οὗτος κατηγορηθῆναι πάλιν τοῦ οὗτος. ἔτι ὅμοιον τούτῳ παρατίθεται καὶ τὸ εἰ νύξ ἐστιν, οὐκ ἔστιν αὕτη ἡμέρα, δεικνυμένης τῆς ἡμέρας· καὶ γὰρ ἐν τούτῳ τῷ συνημμένῳ ἀληθεῖ ὄντι, ὡς οἴεται, δυνατῷ ὄντι τῷ ἡγουμένῳ ἀδύνατον τὸ ἑπόμενον. ὅτι δὲ μὴ ὑγιὲς τὸ ὑπ' αὐτοῦ λεγόμενον, ἡ τῶν συνημμένων δείκνυσι διαβολή· οὐ γάρ ἐστιν ἀληθὲς συνημμένον τὸ εἰ τέθνηκε Δίων, τέθνηκεν οὗτος... ἀληθὲς δὲ δύναταί ποτε γενέσθαι κατ' αὐτοὺς μετὰ τὸν θάνατον τοῦ Δίωνος τὸ τούτου κεχωρίσθαι ἡ ψυχὴ καὶ τὸ σῶμα, δεικνυμένου Δίωνος· ἀρέσκει γὰρ αὐτοῖς τὸ μετὰ τὴν ἐκπύρωσιν πάλιν πάντα ταὐτὰ ἐν τῷ κόσμῳ γίνεσθαι κατ' ἀριθμόν, ὡς καὶ τὸν ἰδίως ποιὸν πάλιν τὸν αὐτὸν τῷ πρόσθεν εἶναί τε καὶ γίνεσθαι ἐν ἐκείνῳ τῷ κόσμῳ, ὡς ἐν τοῖς περὶ Κόσμου Χρύσιππος λέγει. εἰ δὲ τοῦτο, καὶ ὁ Δίων πάλιν εἴη ἂν τότε, ὥστε ἀληθὲς ἂν γένοιτο ἐπ' αὐτοῦ τότε τὸ οὗτος τέθνηκεν· ἐχωρίσθη γὰρ τούτου ἡ ψυχὴ καὶ τὸ σῶμα καὶ πάλιν συνετέθη· εἰ δὲ τοῦτο, οὐκ ἀδύνατον κατ' αὐτοὺς τὸ οὗτος τέθνηκεν. Alex. f. 57 b-58 b.

οἱ δὲ Στωϊκοὶ τῇ δείξει ταύτῃ ἀντειπεῖν μὴ δυνάμενοι διὰ παραδειγμάτων τινῶν ἐλέγχειν πειρῶνται τὸν τοῦ φιλοσόφου λόγον· δυνατὸν γὰρ τὸ τῷ δυνατῷ ἑπόμενον ἀδύνατον εἶναι. λέγω γὰρ οὕτω. τῷ εἰ τέθνηκε Δίων ἀκολουθεῖ τὸ τέθνηκεν οὗτος. τὸ μὲν οὖν τεθνάναι Δίωνα δυνατόν, τὸ δὲ τοῦτον τεθνάναι ἀδύνατον. ἕπεται δὲ πάντως τῷ Δίωνα τεθνάναι τὸ τεθνάναι τοῦτον. εἰ μὲν γὰρ ἀπέθανε Δίων, πάντως καὶ οὗτος ὁ δεικνύμενος δηλονότι τέθνηκεν. αὐτὸ δὲ τὸ τοῦτον τεθνάναι ἀδύνατον· τὸ γὰρ τοῦτο δεικτικὸν ὑπάρχον ὄν τι πρᾶγμα σημαίνει, τὸ δὲ τεθνάναι μὴ ὄν, τὸ δὲ ὂν ἀδύνατον μὴ εἶναι, τὸ ἄρα τεθνάναι τοῦτον ἀδύνατον. τοῦτο δὲ ἀκολουθεῖ τῷ Δίωνα τεθνάναι δυνατῷ ὄντι. ἀδύνατον ἄρα δυνατῷ τινὶ ἀκολουθεῖ. πάλιν εἰ ἔσται νύξ, αὕτη ἡμέρα οὐκ ἔστι· τὸ δὲ ταύτην ἡμέραν μὴ εἶναι ἀδύνατον· ἕπεται ἄρα τῷ εἶναι νύκτα δυνατῷ ὄντι τὸ μὴ εἶναι ταύτην ἡμέραν ἀδύνατον ὄν. ταῦτα μὲν οἱ Στωϊκοί, ἡμεῖς δὲ πρὸς ταῦτά φαμεν ὅτι δεῖ τὸ κυρίως ἑπόμενον ἐπὶ πλεῖον εἶναι τοῦ ἡγουμένου. Ioh. Phil. f. XLII b.

31a 12. δείξας ὅτι τοῦ ἡγουμένου δυνατοῦ ὄντος ἀνάγκη καὶ τὸ ἑπόμενον εἶναι δυνατόν, διὰ τούτων φησὶν ὅτι ἡ ἀκολούθησις αὕτη οὐ μόνον ἐπὶ τοῦ κυρίως δυνατοῦ ὑπάρχει, ὅπερ φησὶ κατὰ τὴν γένεσιν, τουτέστι τὸ μήπω ὂν δυνάμενον δὲ ὑπάρχειν, ὅπερ εἰς τὸ αὐτὸ ἔρχεται τῷ κυρίως ἐνδεχομένῳ, καὶ τὸ δυνατὸν φύσει ἀδύνατον δὲ ἐν τῇ γενέσει, οἷον τὸ ἐν τῷ βυθῷ ὄστρακον ἀδύνατον γενέσθαι ὁρατόν, ἀδύνατον δὲ οὐ τῇ φύσει ἀλλὰ τῇ γενέσει. οὐ μόνον οὖν, φησίν, ἐπὶ τούτου φυλάττεται ἡ ἀκολούθησις αὕτη, ἀλλὰ καὶ ἐν τῷ δυνατῷ τῷ κατὰ τὸ ἀληθεύειν, τουτέστι τῷ κατὰ τὸ ἀναγκαῖον· εἴπομεν γὰρ πολλάκις ὅτι τὸ δυνατὸν καὶ τὸ ἐνδεχόμενον φέρεται καὶ ἐπὶ τοῦ ἀναγκαίου καὶ ἐπὶ τοῦ ὑπάρχοντος. id. f. XLIII.

31a 13. γρ "μὴ μόνον ἐν τῇ γενέσει" ἤτοι ἐπὶ τῇ γενέσει τῶν πραγμάτων, λέγω δὴ τῶν ἐνδεχομένων. cod. 1917 in marg.

31a 14. τὸ δὲ "καὶ ὁσαχῶς ἄλλως λέγεται τὸ δυνατόν" προσέθηκεν, ἵνα σημάνῃ τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ ἐπ' ἴσης, τὸ ἐπ' ἔλαττον. Διόδωρος δὲ καὶ ἄλλα τινὰ τοῦ δυνατοῦ σημαινόμενα εἶναί φησιν· φησὶ γὰρ δυνατὸν εἶναι ἢ τὸ ἐκβεβηκὸς ἤδη, ὅπερ ἔφαμεν ἡμεῖς ὑπάρχον, ἢ τὸ δυνάμενον ἐκβῆναι μηδέποτε δὲ ἐκβεβηκός. ὁ δὲ Φίλων φησὶ δυνατὸν εἶναι ἢ τὸ ἐκβεβηκὸς ἢ τὸ δυνάμενον ἐκβῆναι μηδέποτε δὲ ἐκβαῖνον, ὥσπερ λέγομεν αἰσθητὸν εἶναι τὸ ἐν τῷ βυθῷ ὄστρακον. ὁ δὲ Ἀριστοτέλης μέσος τούτων χωρίσας τὸ κυρίως τοῦ δυνατοῦ σημαινόμενον ἡμῖν παραδέδωκεν, ὃ μήπω μὲν ἐξέβη δύναται δὲ ἐκβῆναι. Ioh. Phil. f. XLIII.

31a 15. νῦν ἂν τὸ ἀληθὲς λέγοι· καὶ γὰρ τοῦτο δυνατὸν δύναται λέγειν, καὶ περὶ τῶν δυνατῶν τοῦ τε ὁ Διοδώρειον λέγεται, ἤγουν ὃ ἔστιν ἢ ἔσται· τὸ γὰρ ἢ ὂν ἢ ἐσόμενον πάντως δυνατὸν μόνον ἐκεῖνος ἐτίθετο. τὸ γὰρ ἐμὲ ἐν Κορίνθῳ γενέσθαι δυνατὸν κατ' αὐτόν, εἰ εἴην ἐν Κορίνθῳ ἢ πάντως μέλλοιμι ἔσεσθαι· εἰ δὲ μὴ γενοίμην, οὐδὲ δυνατὸν ἦν. καὶ τὸ τὸ παιδίον γενέσθαι γραμματικὸν δυνατόν, εἰ πάντως ἔσοιτο. οὗ εἰς κατασκευὴν καὶ ὁ κυριεύων ἠρώτηται λόγος ὑπὸ Διοδώρου. ὁμοίως καὶ περὶ τοῦ κατὰ Φίλωνα· ἦν δὲ τοῦτο τὸ κατὰ ψιλὴν λεγόμενον τὴν ἐπιτηδειότητα τοῦ ὑποκειμένου, κἂν ὑπό τινων ἔξωθεν ἀναγκαῖον ᾖ γενέσθαι κεκωλυμένον. οὕτως τὸ ἄχυρον τὸ ἐν τῇ ἀτόμῳ ἢ τὸ ἐν τῷ βυθῷ δυνατὸν ἔλεγε καυθῆναι ὂν ἐκεῖ, καίτοι κωλυόμενον ὑπὸ τῶν περιεχόντων αὐτὸ ἐξ ἀνάγκης. ὧν ἐστὶ μεταξὺ τὸ ὑπ' Ἀριστοτέλους λεγόμενον· δυνατὸν γὰρ καὶ τὸ οἷόν τε γενέσθαι ἀκώλυτον ὄν, κἂν μὴ γένηται. Alex. f. 59 b.

31a 16. ἐπειδὴ οὐχ ὡς ἐπὶ προτάσεων πλειόνων ἐγύμνασε τὸν λόγον ἀλλ' ὡς ἐπὶ δύο ὅρων ἀντιστρεφόντων πρὸς ἀλλήλους, διὰ τοῦτο ταῦτα ἐπήγαγε, λέγων ὅτι οὐχ ὡς ἐπὶ μιᾶς προτάσεως λαμβάνομεν τὴν δεῖξιν ταύτην, ἀλλ' ὡς ἐπὶ συλλογισμοῦ· λαμβάνομεν γὰρ τὸ μὲν α' ἀνάλογον ταῖς προτάσεσι, τὸ δὲ β' τῷ συμπεράσματι. ἀνάγκη οὖν, φησί, δυνατῶν οὐσῶν τῶν προτάσεων δυνατὸν εἶναι καὶ τὸ

τάσεις" εἶπεν ὡς καὶ ἄλλως ἀντιστρεφουσῶν αὐτῶν· καὶ γὰρ καὶ κατὰ τὴν τῶν ὅρων ἀπαλλαγήν. Alex. f. 53.

32b 21. περὶ ὧν αὐτὸς μὲν οὐκ εἴρηκε, λέγουσι δὲ οἱ νεώτεροι, ἀχρήστων ὄντων πρὸς ἀπόδειξιν, δι' ἀχρησίαν οὐ δι' ἄγνοιαν παρέλιπεν, οἷοί εἰσιν οἱ διαφορούμενοι λόγοι ἢ ἀδιαφόρως περαίνοντες ἢ ἡ ἄπειρος ὕλη λεγομένη, καὶ καθόλου τὸ θέμα τὸ δεύτερον καλούμενον παρὰ τοῖς νεωτέροις. παντὸς γὰρ ὀργάνου μέτρον ἡ χρεία ἡ πρὸς τὸ ὑπ' αὐτοῦ δεικνύμενόν τε καὶ γινόμενον· οὗ δὲ μηκέτι χρεία, οὐδ' ὄργανον εἴη. Alex. f. 53 *b*.

32b 26. "ἢ τῷ ἐνδέχεσθαι τὸ αὐτὸ ὑπάρχειν." τουτέστι τὸ μήπω ἐκβεβηκὸς εἰς ἐνέργειαν, δυνάμενον δὲ ἐκβῆναι. Ioh. Phil. f. XLI.

32b 29. διὰ δὲ τούτων ὅτι ἡ κατὰ πρόσληψιν γινομένη πρότασις τὸ αὐτὸ δύναται τῇ κατηγορικῇ δείκνυσιν. ἀλλ' εἰ τὸ καθ' οὗ τὸ β' τὸ α' ἐνδέχεται, διττόν ἐστι, καὶ τὸ καθ' οὗ τὸ β' τὸ α' ἐξ ἀνάγκης, διττὸν ἔσται· ἢ γὰρ καθ' οὗ ὑπαρχόντως, ἢ καθ' οὗ ἐξ ἀνάγκης. εἰ δὲ τοῦτο, οὐκέτι ἔσται ἡ τὸ α' κατὰ παντὸς τοῦ β' ἐξ ἀνάγκης ἴση τῇ καθ' οὗ παντὸς τὸ β', κατ' ἐκείνου παντὸς τὸ α' ἐξ ἀνάγκης, ὥς τινες λέγουσι τῶν δεικνύντων ὅτι ἀληθὲς τὸ ἐξ ἀναγκαίας τῆς μείζονος καὶ ὑπαρχούσης τῆς ἐλάττονος ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα. Alex. f. 54.

ἐπειδὴ εἶπε τὸ καθ' οὗ τὸ β' τὸ α', καὶ καθ' οὗ λέγεται τὸ β', ἑρμηνεύων τοῦτο φησὶν ὅτι οὐδὲν ἄλλο σημαίνει τὸ καθ' οὗ ἢ τὸ παντί. Ioh. Phil. f. XLI.

32b 38. ἄρχεται λοιπὸν περὶ αὐτῶν τῶν συλλογισμῶν ποιεῖσθαι τὸν λόγον τῶν ἐν τῷ πρώτῳ σχήματι, καὶ παραδίδωσι τὰς ἐξ ἀμφοτέρων καθόλου συζυγίας... ποίου ὁρισμοῦ; δῆλον ὅτι τοῦ κατὰ παντός· κατὰ παντὸς γὰρ ἦν ὅταν μηδενὶ ὑπῆρχε τοῦ ὑποκειμένου, καθ' οὗ οὐκ ἦν τὸ κατηγορούμενον. id. ib.

33a 9. ἐπειδὴ δέ, φησίν, ἐλέγομεν τὰς τοῦ ἐνδεχομένου προτάσεις πρὸς ἀλλήλας ἀντιστρέφειν, τὴν πᾶς πρὸς τὴν οὐδεὶς καὶ τὴν τὶς πρὸς τὴν οὐ πᾶς, ἐὰν λάβωμεν τὴν ἀποφατικὴν εἰς καταφατικήν, γενήσονται καὶ αὗται συλλογιστικαί· ἀντιστρεφούσης γὰρ τῆς ἐλάττονος προτάσεως ἀναχθήσεται ὁ μὲν πρῶτος τῶν ἀσυλλογίστων τρόπων ὑπὸ τὸν πρῶτον τῶν συλλογιστικῶν, ὁ δὲ δεύτερος ὑπὸ τὸν δεύτερον. εἰ δὲ καὶ τὴν μείζονα τοῦ δευτέρου ἀντιστρέψομεν, καὶ αὐτὸς ὑπὸ τὸν πρῶτον ἀναχθήσεται. Ioh. Philop. f. XLI *b*.

33a 17. σημειωτέον δὲ ὅτι παρέλιπε τὴν ἐκ δύο καθόλου ἀποφατικῶν ἐνδεχομένων συζυγίαν δεῖξαι συλλογιστικήν, εἰ καὶ ἑτέρα μόνον ἡ ἐλάττων εἰς τὸ καταφατικὸν μεταληφθείη. δεῖ μέντοι εἰδέναι ὅτι μεταλαμβανομένων τῶν ἀποφατικῶν εἰς τὰς καταφατικὰς οἱ γινόμενοι συλλογισμοὶ οὐκέτι φυλάττουσι τὸ ὡς ἐπὶ τὸ πλεῖστον λεγόμενον ἐνδεχόμενον, εἴγε τὴν ἀρχὴν ἐλήφθησαν αἱ ἀποφατικαὶ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον ἐνδεχομένου... διὸ ἐροῦμεν ταύτας τὰς συζυγίας ὡς μὲν πρὸς τὸ ὡς ἐπὶ τὸ πλεῖστον λεγόμενον ἐνδεχόμενον, καθὸ γίνονταί τινες καὶ κατὰ τὰς τέχνας καὶ κατὰ τὰς βουλάς τε καὶ πράξεις καὶ προαιρέσεις συλλογισμοί, ἀχρήστους καὶ ἀσυλλογίστους εἶναι, ἁπλῶς μέντοι ὡς πρὸς τὰς συμπλοκὰς συλλογιστικάς. ἴσως δὲ καὶ αὐτὸς τοῦτο ὑφορώμενος εἶπε τὸ "ἢ οὐ γίνεται συλλογισμός·" ὡς γὰρ πρὸς τὸ χρήσιμον ἀφορῶντι οὐ γίνεται, ἢ εἰ μόνον τις εἰς τὰς προτάσεις ἐμβλέποι. ἢ γίνεται μὲν ἀλλ' οὐ τέλειος, τῷ μὴ διὰ τῶν κειμένων γίνεσθαι ἀλλὰ διὰ μεταλήψεως καὶ ἀντιστροφῆς ἢ μετ' ἀντιστροφῶν. Alex. f. 54 *b*.

33a 34. ἀπορεῖ δὲ ἐν τούτοις ὁ ἐξηγητής, τί δήποτε ὁ Ἀριστοτέλης μή, ὥσπερ τὰς ἀποφατικὰς μεταλαμβάνει εἰς καταφατικὰς καὶ οὕτω ποιεῖ συλλογιστικὰς τὰς συζυγίας, οὕτω καὶ τὰς καταφατικὰς μεταλαμβάνει εἰς ἀποφατικὰς καὶ δείκνυσιν ἀσυλλογίστους τὰς συλλογιστικὰς συζυγίας. εἰ γὰρ αἱ τοῦ ἐνδεχομένου προτάσεις πρὸς ἑαυτὰς ἰσοτίμως ἀντιστρέφουσι, τίς ἡ ἀποκλήρωσις, τὰς μὲν ἀποφατικὰς μεταλαμβάνειν εἰς καταφατικάς, μηκέτι δὲ καὶ τὰς καταφατικὰς εἰς ἀποφατικάς; ἐπιλύεται οὖν τὸ τοιοῦτον ὡς οἷόν τε ἦν πιθανῶς οὕτως. τῶν ἀποφάσεων, φησίν, αἱ μὲν τὸν τρόπον ἀναιροῦσιν αἱ δὲ τὸ πρᾶγμα. Ioh. Phil. f. XLI.

33b 23. πολλάκις, φησί, λανθάνομεν ἡμᾶς αὐτοὺς λέγοντες μὲν ἐνδέχεσθαι τόδε τῷδε ὑπάρχειν, μὴ ἐνδεχομένως ἐκείνου ὑπάρχοντος ἀλλ' ἀναγκαίως, ὅπερ καὶ αὐτὸς πέπονθεν, ὡς ὅταν εἴπωμεν ἐνδέχεσθαι παντὶ ἀνθρώπῳ τὸ λευκὸν ὑπάρχειν· τινὶ γὰρ ἐξ ἀνάγκης ὑπάρχει, οἷον τῷ Σκύθῃ, καὶ τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρχει, οἷον τῷ Αἰθίοπι. διὰ τοῦτό φησιν ὅτι δεῖ τὸ ἐνδέχεσθαι μὴ ἐπὶ τοῦ ἀναγκαίου λαμβάνειν ἀλλ' ἐπὶ τοῦ κυρίως ἐνδεχομένου κατὰ τὸν εἰρημένον ἡμῖν περὶ τούτου διορισμόν. Ioh. Phil. f. XLI *b*.

33b 25. Θεόφραστος μὲν οὖν καὶ Εὔδημος οἱ ἑταῖροι αὐτοῦ (τοῦ Ἀριστ.) καὶ ἐν τῇ ἐξ ἐνδεχομένης καὶ ὑπαρχούσης μίξει φασὶν ἔσεσθαί τι συμπέρασμα ἐνδεχόμενον, ὁποτέρα ἂν τῶν προτάσεων ἐνδεχομένη ληφθῇ· χεῖρον γὰρ πάλιν τὸ ἐνδεχόμενον τοῦ ὑπάρχοντος. ὁ δὲ Ἀριστοτέλης οὐχ οὕτως, ἀλλὰ τῆς μείζονος ἐνδεχομένης οὔσης, ὑπαρχούσης δὲ τῆς ἐλάττονος, καὶ τὸ συμπέρασμα ἐνδεχόμενον ἔσεσθαι τὸ κατὰ τὸν διορισμόν, ὅ ἐστιν, οὗ μὴ ὄντος ἀναγκαίου, τεθέντος δὲ εἶναι, οὐδὲν ἀδύνατον ἕπεται... ἂν δ' ἡ ἐλάττων γένηται ἐνδεχομένη τῆς μείζονος ὑπαρχούσης, ἀτελεῖς τέ φησιν ἔσεσθαι πάντας τοὺς τοιούτους συλλογισμούς, καὶ προσέτι τοὺς τὸ ἀποφατικὸν συνάγοντας οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον συνάγειν ἀλλὰ τὸ κατὰ ψιλὴν ἀπόφασιν τοῦ ἀναγκαίου λεγόμενον, ἢ τὸ οὐδενὶ ἐξ ἀνάγκης ἢ τὸ οὐ παντὶ ἐξ ἀνάγκης συναχθήσεσθαι... εἰ μέντοι περὶ Θεόφραστον καὶ ταύτας ἐνδεχομένας λέγοντες εἰκότως ἐνδεχόμενόν φασι συμπέρασμα καὶ ἐν ταῖς τοιαύταις γίνεσθαι συμπλοκαῖς. οὐ γίνονται δὲ τέλειοι ἐν οἷς ἡ ἐλάττων ἐστὶν ἐνδεχομένη, ὅτι οὐχ οἷόν τέ ἐστιν ἐπὶ τούτων τῷ κατὰ παντὸς χρησαμένους δεῖξαι τὸ συμπέρασμα. Alex. p. 56 *b*.

33b 33. ὅροι δὲ διαλέγεσθαι - περιπατεῖν - ἄνθρωπος· διαλέγεσθαι γὰρ παντὶ περιπατοῦντι ἐνδέχεται ὑπάρχειν, περιπατοῦν δὲ παντὶ ἀνθρώπῳ ὑπάρχει (ὑποκείσθωσαν γὰρ πάντες περιπατοῦντες), καὶ συνάγεται συμπέρασμα, διαλέγεσθαι παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν. Ioh. Phil. f. XLII.

34a 2. τὸ γὰρ ἐναντίως ἔχειν τὴν ὑπαλλαγὴν τῶν προτάσεων σημαίνει. ὅτι οὖν αἱ οὕτως ἔχουσαι συζυγίαι συλλογιστικαί εἰσι, διὰ τοῦ ἀδυνάτου φησὶ δεικτέον· εἰ δὲ διὰ τοῦ ἀδυνάτου, δῆλον ὡς οὐ τέλειοι. Alex. f. 57.

μὴ καθεύδειν" δεικτικὸν εἶναι τοῦ τὴν ἐγρήγορσιν ἐνδέχεσθαί τινι ζώῳ, ὡς καὶ ἐνδέχεσθαι μή. Alex. f. 48 *b*.

32a 5. πρόσκειται δὲ τῷ ἀντιγράφῳ τὸ δίπουν μέσον κατὰ τὴν τοῦ γράφοντος κατ' ἀρχὰς τὸ βιβλίον διαμαρτίαν· οὐ γὰρ τὸ δίπουν δεῖ μέσον ὅρον ἀλλὰ τὸ ζῷον εἶναι. καὶ τοῦτο ἐν τῇ τῶν ὅρων παραθέσει δηλοῦται· πρῶτον γὰρ τοῦ δίποδος ἐμνημόνευσεν, ἔχων ἔθος αἰεὶ ἐπὶ τούτου τοῦ σχήματος ὕστερον τιθέναι τὸν μέσον ὅρον. Alex. f. 49.

εἰδέναι δὲ δεῖ ὅτι τινὰ τῶν παλαιοτέρων βιβλίων ἔχει μέσον δίπουν. λέγουσι δὲ τοῦτο γραφικὸν εἶναι σφάλμα· οὔτε γὰρ συνάγεται διὰ τούτων τῶν ὅρων, μέσου λαμβανομένου τοῦ δίποδος, ὑπάρχον συμπέρασμα ἀλλ' ἀναγκαῖον, ὡς ἐκ τῶν προειρημένων δῆλον ἐστίν. ὅτι δὲ οὐ τὸ δίπουν τίθησι μέσον ἀλλὰ ζῷον, δῆλον ἐξ ὧν πρώτου τοῦ δίποδος ἐμνημόνευσεν, ὕστερον δὲ τοῦ ζῴου· ἐπὶ γὰρ τοῦ γ' σχήματος ἔθος ἔχει ὕστερον τιθέναι τὸ μέσον, καὶ νῦν δὲ τὸ ζῷον ὕστερον ἔθηκε. Ioh. Phil. f. XXXVIII.

32a 6. δοκεῖ ὁ Ἀριστοτέλης τὸ συμπέρασμα τοῦτο ἐπαγαγεῖν ἐπὶ τῶν τριῶν εἰρημένων σχημάτων· οὐ δεῖ δὲ τοῦτο νομίζειν, ἐπεὶ ἀτοπίᾳ τινὶ περιπεσεῖται ὁ φιλόσοφος φάσκων ὅτι φανερὸν ἐκ τῶν εἰρημένων ὡς ἐὰν μὴ ἀμφότεραι αἱ προτάσεις ὦσιν ὑπάρχουσαι, οὐ συνάγεται ὑπάρχον συμπέρασμα· ἀπέδειξε γὰρ ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι ὅτι καὶ τῆς μείζονος μόνης καθόλου ἀποφατικῆς οὔσης ὑπαρχούσης ὑπάρχον γίνεται τὸ συμπέρασμα. δεῖ οὖν λέγειν ὅτι οὐ τῶν τριῶν σχημάτων ἐστὶ τὸ εἰρημένον συμπέρασμα ἀλλὰ τοῦ γ' μόνον. δόξει δὲ μηδὲ ἐπὶ τοῦ τρίτου ἀληθὲς τὸν λόγον τοῦτον εἶναι· δέδεικται γὰρ καὶ ἐπὶ τούτου ὅτι καὶ τῆς μιᾶς μόνης προτάσεως ὑπαρχούσης οὔσης ὑπάρχον γίνεται τὸ συμπέρασμα. ῥητέον οὖν ὅτι οὐδὲ τοῦ τρίτου σχήματος ὅλου τὸ εἰρημένον ἐστὶ συμπέρασμα ἀλλὰ τῶν τεσσάρων συζυγιῶν τῶν ἐξ ἀμφοτέρων καθόλου προτάσεων. id. ib.

τοῦτο ἁπλῶς μὲν καὶ καθόλου λεγόμενον ψεῦδος ἂν εἴη καὶ τοῖς προειρημένοις μαχόμενον· δέδειχε γὰρ ὑπάρχον γινόμενον τὸ συμπέρασμα τῆς ἑτέρας τῶν προτάσεων ἀναγκαίας οὔσης. εἰ δέ τις ἀκούει τοῦ εἰρημένου ὡς ἐπὶ τοῦ τρίτου σχήματος εἰρημένου ἐλλιπέστερον, ἀληθὲς ἂν εἴη... ἔνεστι καὶ τοῦ ὑπάρχον ἀκοῦσαι ἀντὶ τοῦ καταφατικοῦ, ἵν' ᾖ λέγων καταφατικὸν μὲν μὴ γίνεσθαι τὸ συμπέρασμα, ἂν μὴ ὦσιν ἀμφότεραι καταφατικαί, ἀναγκαῖον δὲ γίνεσθαι καὶ τῆς ἑτέρας ἀναγκαίας οὔσης μόνης. ἴσως δὲ δόξει βίαιον τὸ οὕτως ἀκοῦσαι τοῦ εἰρημένου· δόξει γὰρ μὴ ἀντὶ τοῦ καταφατικοῦ νῦν εἰλῆφθαι τὸ ὑπάρχον ἀλλ' ὡς τῷ ἀναγκαίῳ ἀντιδιαστελλόμενον, ὡς δῆλον ἐκ τοῦ ἐπιφερομένου "τοῦ δ' ἀναγκαίου ἔστι καὶ τῆς ἑτέρας μόνον ἀναγκαίας οὔσης."... μήποτε δ' ἄμεινον ἀκούειν τοῦ "φανερὸν οὖν ὅτι τοῦ μὲν ὑπάρχειν οὐκ ἔστι συλλογισμὸς ἂν μὴ ἀμφότεραι ὦσιν αἱ προτάσεις ἐν τῷ ὑπάρχειν" ὡς λέγοντος αὐτοῦ φανερὸν γεγονέναι ἐκ τῶν εἰρημένων ὅτι ἔστι ποτὲ ἐν συμπλοκῇ τινὶ συλλογιστικῇ, ἐν ᾗ ἀδύνατον τὸ συμπέρασμα ὑπάρχον γενέσθαι, εἰ μὴ εἶεν ἀμφότεραι αἱ προτάσεις ὑπάρχουσαι. οὐ γὰρ ὡς καθόλου λεγομένου αὐτοῦ ἀκουστέον, ὅτι μηδὲ ἀληθές ἐστιν οὕτω λεγόμενον. ἀληθὲς δὲ ἐπὶ τῆς ἐν τρίτῳ σχήματι τῆς ἐκ δύο καθόλου καταφατικῶν, ὃ δεδεῖχθαι δοκεῖ. Alex. f. 49 *b*.

ὁρίζεται δὲ οὐ τὸ ὁμωνύμως λεγόμενον (οὐ γὰρ οἷόν τέ τι ὁμω- 32a 18.
νύμως λεγόμενον ὁρίσασθαι), ἀλλ' ἀποτεμόμενος τοῦ ἐνδεχομένου τὸ παρὰ τὸ ἀναγκαῖόν τε καὶ τὸ ὑπάρχον· ἔδειξε γὰρ ὅτι τὸ ἐνδεχόμενον καὶ κατὰ τούτων κατηγορεῖται. διὰ δὲ τοῦ εἰπεῖν ὅτι "τεθέντος δὲ ὑπάρχειν" ἐδήλωσεν ὅτι πρὸς τῷ μὴ εἶναι ἀναγκαῖον οὐδ' ὑπάρχον ἐστίν· τοιοῦτον γὰρ τὸ κατὰ τὴν τρίτην πρόσρησιν ἐνδεχόμενον, διαφέρον τοῦ τε ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος τῷ μηδέπω εἶναι τοῦτο ὃ λέγεται δύνασθαι εἶναι. εἴη δ' ἂν οὖν κυρίως ἐνδεχόμενον ὃ μὴ ἔστι μέν, τεθὲν δ' εἶναι οὐδὲν ἀδύνατον ἑπόμενον ἔχει... ὁ γοῦν Θεόφραστος ἐν τῷ πρώτῳ τῶν Προτέρων Ἀναλυτικῶν λέγων περὶ τῶν ὑπὸ τοῦ ἀναγκαίου σημαινομένων οὕτως γράφει. "τρίτον τὸ ὑπάρχον· ὅτε γὰρ ὑπάρχει, τότε οὐχ οἷόν τε μὴ ὑπάρχειν. ἴδιον δὲ τοῦ ἐνδεχομένου τὸ τὸ μὴ ὂν ὑποτίθεσθαι εἶναι, ἐπεὶ καὶ τὸ ἀναγκαῖον καὶ τὸ ὑπάρχον ἂν λάβῃ τις εἶναι, οὐκ ἀδύνατόν τι ἀκολουθήσει, καὶ ἔσται ἐφαρμόζων ὁ λόγος καὶ τῷ ἀναγκαίῳ καὶ τῷ ὑπάρχοντι· διὸ ἴδιον τοῦ ἐνδεχομένου τὸ μὴ ὑπάρχον αὐτὸ ὡς ὑπάρχον ὑποτεθὲν μηδὲν ἀδύνατον ἔχειν ἑπόμενον." ᾧ γὰρ ἀδύνατόν τι ὑποτεθέντι ἕπεται, ἀδύνατον τοῦτο, δυνατῷ δὲ ὑποτεθέντι οὐκέτι ἀδύνατον, ὡς δείξει. ὡς εἶναι ἴδιον αὐτοῦ οὐ τὸ μὴ ὑπάρχειν, ἀλλ' ὅταν μὴ ὑπάρχον ὑποτεθῇ ὑπάρχειν, μηδὲν συμβαίνειν ἀδύνατον. Alex. f. 50 *b*-51.

ἐπειδήπερ ἐν τῷ περὶ Ἑρμηνείας (c. 13) τὸ ἐνδεχόμενον καὶ 32a 20.
ἐπὶ τοῦ ἀναγκαίου ἔταττεν, ἐνταῦθα δέ φησιν ὅτι ἐνδεχόμενόν ἐστιν "οὗ μὴ ὄντος ἀναγκαίου," διὰ τοῦτο οὖν φησὶν ὅτι τὸ ἀναγκαῖον ὁμώνυμόν ἐστι, φερόμενον καὶ κατὰ τοῦ ἐνδεχομένου καὶ κατὰ τοῦ κυρίως ἀναγκαίου, καὶ ἐπὶ τῶν ἄλλων τρόπων. Ioh. Phil. f. XXXVIII *b*.

αἱ αὐταὶ μέν εἰσιν (αἱ προτάσεις) τῷ σημαινομένῳ, συναλη- 32a 24.
θεύουσι γάρ, ἀκολουθοῦσι δὲ ἀλλήλαις μὴ πάντῃ οὖσαι αἱ αὐταί· διαφέρουσι γὰρ κατὰ τὴν τῆς φωνῆς προφοράν. id. ib.

δεῖ μέντοι εἰδέναι ὅτι ἡ τοιαύτη τῶν προτάσεων ἀντιστροφὴ 32a 29.
οὐκ ἔστιν ὑγιὴς κατὰ τοὺς περὶ Θεόφραστον, οὐδὲ χρῶνται αὐτῇ· τὸ γὰρ αὐτὸ αἴτιον τοῦ τήν τε καθόλου ἀποφατικὴν ἐνδεχομένην ἀντιστρέφειν αὐτῇ λέγειν, παραπλησίως τῇ τε ὑπαρχούσῃ καὶ τῇ ἀναγκαίᾳ, καὶ τοῦ ἀντιστρέφειν τὰς καταφατικὰς ἐνδεχομένας ταῖς ἀποφατικαῖς ἐνδεχομέναις, ὃ ἀξιοῖ Ἀριστοτέλης. ἐπισημανούμεθα δὲ περὶ τούτου ὅταν ἐπὶ τῆς κατὰ τὴν ἐνδεχομένην ἀντιστροφῆς κατὰ τοὺς ὅρους λέγῃ. Alex. f. 51 *b*.

ἐν γὰρ τῷ περὶ Ἑρμηνείας (c. 12) ἔδειξε τὰς τὸν τρόπον ἐχού- 32b 3.
σας ἄνευ τοῦ ἀποφατικοῦ προσκατηγορουμένου πάσας καταφάσεις εἶναι. διὰ τοῦτο προσέθηκε τὸ "καθάπερ ἐλέχθη πρότερον." ἐξ ὧν καὶ αὐτῶν ἔνεστι δεικνύναι ὅτι τὸ περὶ Ἑρμηνείας Ἀριστοτέλους ἐστίν, ἀλλ' οὐχ ὡς Ἀνδρόνικός φησιν. ἢ καὶ ἐν τούτῳ προείρηκεν ἤδη περὶ τούτου, ὅτε ἔλεγε μὴ ἀντιστρέφειν τὴν καθόλου ἀποφατικήν. Alex. f. 52.

τὸ δὲ "ἀντιστρέφει μὲν οὖν καὶ κατὰ τὰς ἀντικειμένας προτάσεις 32b 13.
ἑκάτερον τῶν ἐνδεχομένων" ἴσον ἐστὶ τῷ ἀντιστρέφει μὲν οὖν κατὰ τὰς ἀντικειμένας προτάσεις καὶ ἑκάτερον τῶν ἐνδεχομένων. δοκεῖ δὲ ὁ καὶ σύνδεσμος περισσῶς κεῖσθαι. ἢ "καὶ κατὰ τὰς ἀντικειμένας προ-

συμπλοκῇ ἡ ἐπὶ μέρους ἐστὶ στερητική, ἔστι δὲ ἐν τῇ τετάρτῃ συζυγίᾳ τὸ ἀποφατικὸν τοιοῦτον, ὅταν ᾖ ἀναγκαία, οὐ γίνεται ἀναγκαῖον τὸ συμπέρασμα. τὸ οὖν "εἰ μὴ ἡ στερητικὴ πρότασίς ἐστιν ἀναγκαία" ἐν τοῖς καθόλου συλλογισμοῖς ἀκουστέον· περὶ γὰρ τούτων ποιεῖται τὸν λόγον πρῶτον· προελθὼν γοῦν λέγει "ὁμοίως δ' ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν." ἀκόλουθα δέ ἐστιν ἃ ἐπὶ τοῦ δευτέρου σχήματος λέγει τοῖς ἐπὶ τοῦ πρώτου δεδειγμένοις αὐτῷ. Alex. f. 44.

30 b 10. ὅτι δὲ τὸ μηδενὶ ἐνδέχεσθαι ἐπὶ τῆς α' β' προτάσεως εἰρημένον, ἀπόφασις ὂν ἐνδεχομένη, τὸ ἀναγκαῖον δηλοῖ, γνώριμον· τὸ γὰρ μηδενὶ ἐνδεχόμενον ἐξ ἀνάγκης οὐδενὶ αὐτῶν ὑπάρχει· οὐ γὰρ ὡς ἐνδεχομένη ἀλλ' ὡς ἐνδεχομένης ἀπόφασις εἴληπται καὶ ἴσον δυναμένη τῇ ἐξ ἀνάγκης οὐδενί. id. ib.

30 b 9. ἔτι δὲ οὐ συνάγεται τὸ ἀναγκαῖον, δῆλον ἐκ τῶν ὑποκειμένων ὅρων. ἀρετὴ οὐδεμιᾷ κακίᾳ ἐξ ἀνάγκης, ὑπάρχει δὲ ἀνθρώπῳ ὑπαρχόντως παντί, καὶ συνάγεται κακία οὐδενὶ ἀνθρώπῳ ὑπαρχόντως· οὐ γὰρ ἐξ ἀνάγκης. πάλιν ὑγίεια - νόσος - ἄνθρωπος. ὑγίεια γὰρ νόσῳ μὲν οὐδεμιᾷ ἐξ ἀνάγκης, ἀνθρώπῳ δὲ παντὶ ὑπάρχει μόνον, καὶ συνάγεται νόσος ὑπαρχόντως οὐδενὶ ἀνθρώπῳ. εἰ γὰρ ὑγίεια μηδεμιᾷ νόσῳ ἐξ ἀνάγκης, καὶ νόσος οὐδεμιᾷ ὑγιείᾳ ἐξ ἀνάγκης, ὑγίεια δὲ παντὶ ἀνθρώπῳ ὑπαρχόντως, καὶ νόσος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. Ioh. Phil. f. XXXV.

30 b 21. δείξας τὴν προκειμένην συζυγίαν δι' ἀντιστροφῆς τὸ ὑπάρχον καὶ οὐ τὸ ἀναγκαῖον συνάγουσαν, νῦν αὐτὸ τοῦτο δείκνυσι καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ. εἰ γὰρ ὑποθώμεθα, φησίν, ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα, ἕψεταί τι ἄτοπον τῇ ὑποθέσει ταύτῃ· ᾗ δὲ ὑποθέσει ἄτοπον ἀκολουθεῖ, ψεῦδός ἐστι· ψεῦδος ἄρα τὸ ὑποτίθεσθαι ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα. Ioh. Phil. f. XXXV *b*.

30 b 37. διὰ δὲ τοῦ εἰπεῖν "οὐ μέντοι ἕως ἂν ζῷον μηδενὶ λευκῷ ὑπάρχῃ· ὥστε τούτων μὲν ὄντων ἀναγκαῖον μὴ ἔσται τὸ συμπέρασμα, ἁπλῶς δ' οὐκ ἀναγκαῖον," διὰ δὴ ταύτης τῆς προσθήκης ἐδήλωσεν ὅτι ἐν ταῖς μίξεσιν, ὅταν ἀναγκαῖον λέγῃ γίνεσθαι τὸ συμπέρασμα, τὸ ἁπλῶς ἀναγκαῖον λέγει καὶ οὐ τὸ μετὰ διορισμοῦ· ὅ τινες τῶν ἐξηγουμένων τὸν περὶ τῆς μίξεως τῶν προτάσεων τόπον, βοηθεῖν οἰόμενοι τῇ δόξῃ αὐτοῦ, λέγουσι, φάσκοντες οὐ τὸ ἁπλῶς ἀναγκαῖον συνάγεσθαι λέγειν αὐτὸν ἀλλὰ τὸ μετὰ διορισμοῦ... ὅτι δὲ τὸ συμπέρασμα μηδὲ οὕτως ἀναγκαῖον εἶναι βούλεται, ἐδήλωσεν αὐτός, δείξας μὴ τοιοῦτον καὶ οὕτως ἀναγκαῖον τὸ συμπέρασμα γινόμενον ἐν δευτέρῳ σχήματι, ἡ καταφατικὴ ὅτε ἡ ἐλάττων ἐστὶν ἀναγκαία, μὴ λέγων δὲ ἐν τῇ τοιαύτῃ μίξει ἀναγκαῖον ἁπλῶς γίνεσθαι τὸ συμπέρασμα. ἢ εἰ καὶ τοῦτο ἔλεγεν ἀναγκαῖον ὅμοιον ἐκείνῳ, κἀκείνῳ ἂν προσετίθει τὸ μὴ ἁπλῶς ἀναγκαῖον γίνεσθαι ἀλλὰ τὸ μετὰ διορισμοῦ, ὡς καὶ ἐπὶ τούτου. ἅμα δὲ καὶ τὴν τοῦ ἀναγκαίου διαίρεσιν ὅτι καὶ αὐτὸς οἶδεν, ἣν οἱ ἑταῖροι αὐτοῦ ποιοῦνται, δεδήλωκε διὰ τῆς προσθήκης, ἣν φθάσας ἤδη καὶ ἐν τῷ περὶ Ἑρμηνείας δέδειχεν ἐν οἷς περὶ τῆς εἰς τὸν μέλλοντα χρόνον λεγομένης ἀντιφάσεως περὶ τῶν καθ' ἕκαστα λέγει "τὸ μὲν οὖν εἶναι τὸ ὂν ὅταν ᾖ, καὶ τὸ μὴ ὂν μὴ εἶναι ὅταν μὴ ᾖ, ἀνάγκη" (p. 19 *a* 23). τὸ γὰρ ἐξ ὑποθέσεως ἀναγκαῖον τοιοῦτόν ἐστιν. μᾶλλον δ' ἂν τὸ εἰρημένον ὑπ' αὐτοῦ φανερὸν γένοιτο, εἰ μεταλάβοιμεν ὅρους ἀληθεστέρους. ἐφ' ὧν γὰρ αὐτὸς ἐπειράθη δεῖξαι, οὐκ ἦσαν αἱ προτάσεις ἀληθεῖς· οὐ γὰρ ἀληθὲς τὸ ζῷον μηδενὶ λευκῷ· κύκνῳ γὰρ ἐξ ἀνάγκης. ἢ οὖν κινούμενον ἀντὶ τοῦ λευκοῦ θῶμεν ἢ λάβωμεν ἄλλους. Alex. f. 45 *b*.

ἔτι δίπουν παντὶ ἐγρηγορότι, τινὶ δὲ ζῴῳ ἐξ ἀνάγκης οὐχ 31 a 17. ὑπάρχει, καὶ τὸ ἐγρηγορέναι οὐ παντὶ μὲν ζῴῳ, οὐ μὴν ἐξ ἀνάγκης. εἶπε δὲ αὐτός· "διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις, ἑνὸς μόνου μεταλαμβανομένου." ἐν γὰρ ἀντιγράφοις τισὶ καὶ τοῦτο πρόσκειται, ὅπερ οὐχ ὑγιὲς εἶναι δόξει· ἦσαν γὰρ ἐπὶ τῶν καθόλου ὅροι ζῷον - ἄνθρωπος - λευκόν· οὕτως δὲ ἐχόντων ἦν ἡ καθόλου καταφατικὴ ἀναγκαία, ἀλλ' οὐχ ἡ ἀποφατικὴ ἐπὶ μέρους, ὃ νῦν πρόκειται. ἀλλ' οὐδ' ἂν ἔνθα ὁ ἄνθρωπος, μεταθῶμεν τὸ λευκόν, ὡς εἶναι τὸ ζῷον παντὶ λευκῷ ὑπαρχόντως· ψευδὴς γὰρ καὶ αὕτη. ἀλλ' οὐδ' ἂν ἐπὶ μὲν τοῦ α' μεταθῶμεν τὸ λευκόν, ἐπὶ δὲ τοῦ β' ἄνθρωπον, ζῷον δὲ ἐπὶ τοῦ γ', ὡς εἶναι τὸ λευκὸν παντὶ μὲν ἀνθρώπῳ, τινὶ δὲ ζῴῳ ἐξ ἀνάγκης οὐχ ὑπάρχειν· καὶ γὰρ ἡ πρώτη πρότασις ψευδὴς καὶ τὸ συμπέρασμα ἀναγκαῖον. τούτου δὲ τὸ αἴτιον ὅτι μηδὲ ἐπὶ τῶν καθόλου προτάσεων ἀληθεῖς ἦσαν οἱ ὅροι οὗτοι, ὡς ἐπεσημηνάμεθα ἀντὶ τοῦ λευκοῦ λαβόντες τὸ κινεῖσθαι. ὡς οὖν ἐκεῖ ἀντὶ τοῦ λευκοῦ τὸ κινεῖσθαι ἐλάβομεν, οὕτω καὶ ἐνταῦθα, εἰ ληφθείη ἀντὶ τοῦ ἀνθρώπου τὸ κινεῖσθαι, τὸ δὲ λευκὸν μείνῃ, ὑγιὲς τὸ εἰρημένον· γίνεται γὰρ ζῷον παντὶ κινουμένῳ ὑπαρχόντως, ζῷόν τινι λευκῷ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· χιόνι γάρ· καὶ τὸ κινεῖσθαί τινι λευκῷ, οὐ μὴν ἐξ ἀνάγκης, οὐχ ὑπάρξει. ἑνὸς ἄρα μεταληφθέντος ἐδείχθη. δύναται καὶ τὸ "διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις" εἰρῆσθαι ἀντὶ τοῦ διὰ γὰρ τῶν αὐτῶν ἡ ἀπόδειξις. πῶς δὲ διὰ τῶν αὐτῶν; διὰ ὅρων γὰρ καὶ τῆς τούτων παραθέσεως. ἐπιζητήσειε δ' ἄν τις εὐλόγως ἐν τῇ συζυγίᾳ ταύτῃ διὰ τί μὴ γίνεται κατ' αὐτὴν ἀναγκαῖον τὸ συμπέρασμα, οὔσης ἀναγκαίας τῆς ἐπὶ μέρους ἀποφατικῆς. Alex. f. 46 *b*.

καθόλου εἰπεῖν ἐν ταῖς ἐξ ἀμφοτέρων καταφατικῶν προτά- 31 a 20. σεων συζυγίαις πάντως ἀναγκαῖόν ἐστι τὸ συμπέρασμα· ἐφ' ὧν δὲ ἡ μέν ἐστι καταφατικὴ ἡ δὲ ἀποφατική, τῇ ἀποφατικῇ πάντως ἕπεται τὸ συμπέρασμα. εἰκότως· πάλιν γὰρ ἀντιστρεφομένης τῆς ἀποφατικῆς καὶ ποιούσης τὸ α' σχῆμα, μείζων εὑρεθήσεται ἡ ἀποφατική, ἐν δὲ τῷ πρώτῳ σχήματι τῇ μείζονι ἀεὶ εἵπετο τὸ συμπέρασμα. Ioh. Phil. f. XXXVI.

εἰ δέ τις, φησί, πρὸς τοῦτο ἐνίσταται, μὴ συγχωρῶν τῇ μείζονι 31 b 8. προτάσει (εἶναι γάρ τι ζῷον ἐξ ἀνάγκης οὐκ ἀγαθόν, οἷον τὰ ἰοβόλα), ληπτέον ἀντὶ τοῦ ἀγαθοῦ τὸ ἐγρηγορέναι ἢ τὸ καθεύδειν· ἐγρήγορσις μὲν γὰρ οὐδενὶ ἵππῳ ὑπαρχόντως, ζῷον δὲ παντί, καὶ συνάγεται, ἐγρήγορσις τινὶ ζῴῳ οὐχ ὑπάρχει μόνον· ὥστε δῆλον ὅτι τὸ ὑπάρχον καὶ τὸ ἀναγκαῖον συνάγεται. Ioh. Phil. f. XXXVII.

σημειωτέον δὲ ὅτι καὶ ἐνταῦθα χρῆται τῷ ἐνδέχεσθαι ἀντὶ τοῦ 31 b 30. ὑπάρχειν, ὡς καὶ ἐπὶ τῆς τῶν ἀναγκαίων προτάσεων ἀντιστροφῆς. τὸ δὲ "οὐδὲ γὰρ ἀνάγκη δίπουν τι μὴ καθεύδειν" δεικτικὸν ἂν εἴη τοῦ τὴν ἐγρήγορσιν ἐνδέχεσθαί τινι ζῴῳ, ὡς καὶ ἐνδέχεσθαι μηδενί· εἰ γὰρ ἐξ ἀνάγκης τι ζῷον ἐκάθευδεν, οὐκ ἂν ἐγρήγορσις τῷ ζῴῳ παντὶ ἐνδεχομένως ὑπῆρχε. δύναται τὸ "οὐδὲ γὰρ ἀνάγκη δίπουν τι

μένων ἐξομοιοῦσθαι. ἄν τε γὰρ ἐκ καταφατικῆς καὶ ἀποφατικῆς προτάσεως συνάγηται, ἀποφατικὸν τὸ συμπέρασμα, ἄν τε καθόλου καὶ ἐπὶ μέρους, ἐπὶ μέρους καὶ τὸ συμπέρασμα. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν ταῖς μίξεσιν ἔχειν· ὑπάρχον γὰρ γίνεσθαι ἐκ τῆς ἐν ταῖς ἐξ ἀναγκαίας καὶ ὑπαρχούσης συμπλοκαῖς τῷ ἔλαττον εἶναι τὸ ὑπάρχον τοῦ ἀναγκαίου. ἀλλὰ καὶ τῷ λόγῳ τοῦτο δεικνύουσιν. εἰ γὰρ τὸ β΄ τῷ γ΄ ὑπάρχει μὲν παντί, οὐ μὴν ἐξ ἀνάγκης, ἐνδέχεταί ποτε αὐτὸ καὶ ἀποζευχθῆναι αὐτοῦ· ὅτε δὴ τὸ β΄ τοῦ γ΄ ἀπέζευκται, τότε καὶ τὸ α΄ αὐτοῦ ἀποζευχθήσεται· εἰ δὲ τοῦτο, οὐκ ἐξ ἀνάγκης αὐτῷ ὑπάρξει. ἀλλὰ καὶ ἐπὶ τῆς ὕλης δεικνύουσι τοῦτο ἔχον οὕτως. . . τὸ μὲν οὖν λέγειν μηδὲ Ἀριστοτέλην ἐνταῦθα εἰρηκέναι ἐν ταῖς τοιαύταις μίξεσιν ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα ἀλλ' ἐφ' ὕλης τινός, καὶ τοῦτο πιστοῦσθαι ἐκ τοῦ εἰρηκέναι αὐτὸν "συμβαίνει δέ ποτε καὶ τῆς ἑτέρας προτάσεως ἀναγκαίας οὔσης," [ἄτοπον]· τὸ γὰρ ποτὲ οὐκ ἐπὶ μίξεως τοιαύτης κεῖται, ὡς ποτὲ μὲν ἐν τῇ τοιαύτῃ μίξει ἀναγκαίου γινομένου τοῦ συμπεράσματος ποτὲ δ' οὔ, ἀλλ' ἐπὶ τῆς μίξεως ὅλης· ποτὲ γὰρ ἐν τῇ μίξει τῇ ἐξ ἀναγκαίας καὶ ὑπαρχούσης γίνεται ἀναγκαῖον τὸ συμπέρασμα· οὐ γὰρ ἀεί, ἐπεὶ μὴ καὶ τῆς ἐλάττονος ἀναγκαίας ληφθείσης ἀναγκαῖον λέγει τι συνάγεσθαι. τὸ οὖν ποτὲ τῆς μίξεως τοῦ τρόπου δηλωτικόν ἐστιν, οὐ τοῦ ἐν τῷ αὐτῷ τρόπῳ καὶ τῇ αὐτῇ συμπλοκῇ ποτὲ μὲν ἀναγκαῖον γίνεσθαι ποτὲ δὲ ὑπάρχον τὸ συμπέρασμα. καὶ τοῦτο αὐτὸς σαφῶς ἐδήλωσε δι' ὧν ἐπιφέρει λέγων "πλὴν οὐχ ὁποτέρας ἔτυχεν, ἀλλὰ τῆς πρὸς τὸ μεῖζον ἄκρον," ὡς τούτου χάριν τὸ ποτὲ προσθείς. καὶ γὰρ γελοῖον τὸ ἡγεῖσθαι αὐτὸν διὰ τοῦτο τὸ ποτὲ λέγειν, ὅτι ἐπὶ ὕλης τινὸς ἐν τῇ τοιαύτῃ συμπλοκῇ ἀναγκαῖον γίνεται τὸ συμπέρασμα· οὕτως γὰρ οὐδὲν κωλύει καὶ τὰς ἀσυλλογίστους συζυγίας συλλογιστικὰς λέγειν ποτέ· εὑρεθήσονται γὰρ ἐπὶ ὕλης τινὸς συνάγουσαι. ἐν γοῦν τῷ β΄ σχήματι, εἰ ἐκ δύο καθόλου καταφατικῶν εἶεν οἱ ἄκροι ἐπ' ἴσης ἀλλήλοις, τοιούτων ὅρων εἰλημμένων καθόλου καταφατικὸν συνάξεις. . . διὸ τοῦτο μὲν παραιτητέον ὡς κενὸν παντάπασι, παραιτητέον δὲ καὶ τὴν ἐπὶ πλέον ἐξέτασιν τοῦ λεγομένου· εἴρηται γὰρ ἡμῖν ἐν τοῖς περὶ τῆς κατὰ τὰς μίξεις διαφορᾶς Ἀριστοτέλους τε καὶ τῶν ἑταίρων αὐτοῦ γεγραμμένοις. οἷς δὲ Ἀριστοτέλης τε ἐχρήσατο πρὸς τὴν τοῦ λεγομένου πίστιν καὶ οἷς χρήσαιτο ἄν τις παριστάμενος τῷ τόδε λεγόμενον ὑπ' αὐτοῦ ὑγιὲς εἶναι, ταῦτα παραθησόμεθα. αὐτὸς μὲν οὖν ἐχρήσατο τῷ κατὰ παντός. Alex. f. 40.

30a 25. δείκνυσιν οὖν τὸ ψεῦδος ἀκολουθεῖν καὶ διὰ τοῦ α΄ καὶ διὰ τοῦ β΄ σχήματος. καὶ διὰ μὲν τοῦ α΄ οὕτως. εἰ τὸ μὲν α΄ παντὶ τῷ β΄ ὑπάρχει μόνον, τὸ δὲ β΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης, ἐγὼ μέν, φησί, λέγω ὅτι τὸ α΄ παντὶ τῷ γ΄ ὑπαρχόντως ὑπάρξει, εἰ δέ τις λέγοι ἐξ ἀνάγκης, συγκεχωρήσθω τοῦτο, καὶ εἰ μὲν μηδὲν ψεῦδος ἀκολουθήσει, ἔστω ἀληθὲς τὸ συμπέρασμα, εἰ δὲ εὕρωμέν τι ψεῦδος ἑπόμενον, δῆλον ὅτι ψευδὴς ἡ ὑπόθεσις ἡ λέγουσα τὸ ἀναγκαῖον συνάγεσθαι, ὥστε τὸ ὑπάρχον μόνως συναχθήσεται. ἐπεὶ οὖν τὸ α΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης ὑπεθέμεθα, ἦν δὲ καὶ τὸ β΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης, καὶ τῷ ἄρα γ΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης ὑπάρξει· ἀντιστρέφει γάρ. εἰ τοίνυν τὸ μὲν α΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ γ΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης ὑπάρχει, τὸ ἄρα α΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης ὑπάρξει· γίνεται γὰρ ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος. ἀλλὰ τοῦτο ψεῦδος· ὑπέκειτο γὰρ τὸ α΄ παντὶ τῷ β΄ ὑπάρχειν μόνον, τὸ δὲ παντὶ ὑπάρχον ἐνδέχεται μηδενὶ ὑπάρχειν καὶ τινὶ ἐξ ἀνάγκης ὑπάρχειν. Ioh. Phil. f. XXXIII b.

30a 33. τὰ αὐτὰ δὲ πάλιν φασὶ καὶ ἐπὶ τούτων οἱ περὶ Θεόφραστον καὶ Εὔδημον· ὁποτέρου γὰρ ἂν ᾖ τῶν ὅρων ἀναγκαίου θατέρου ὄντος ὑπάρχοντος, τὸ συμπέρασμα ὑπάρχον ἔσται. Ioh. Phil. f. XXXIV.

30a 33. Θεόφραστος δὲ ὅτι μὴ ἀναγκαῖον γίνεται τὸ συμπέρασμα ἐν τῇ τοιαύτῃ συμπλοκῇ οὕτω λέγει. εἰ γὰρ τὸ μὲν β΄ τῷ γ΄ ἐξ ἀνάγκης, τὸ δὲ α΄ τῷ β΄ μὴ ἐξ ἀνάγκης, τὸ δὲ μὴ ἐξ ἀνάγκης κἂν χωρισθείη, φανερὸν ὡς τοῦ β΄ χωριζόμενον καὶ τοῦ γ΄ χωρισθήσεται τὸ α΄, ὥστ' οὐκ ἐξ ἀνάγκης διὰ τῶν κειμένων. ᾧ δειχθέντι προστίθησιν "ὡσαύτως δὲ καὶ ἡ ἀναγκαία ἡ μείζων· ἐπεὶ γὰρ τὸ μέσον οὐκ ἐξ ἀνάγκης, κἂν χωρισθείη, τούτου δὲ χωριζομένου καὶ τὸ μεῖζον· ἐὰν γάρ τις οὕτως λάβῃ, καθ' οὗ τὸ β΄ καὶ τὸ α΄ ἐξ ἀνάγκης, ὥσπερ ἀναγκαίας ἀμφοτέρας λαμβάνει· μὴ γὰρ οὕτως λαβόντος ψεῦδος." διὰ γοῦν τούτων δείκνυσιν ὁ Θεόφραστος ὅτι ἐν αἷς μίξεσιν ὑπάρχουσα καὶ ἀναγκαία ἐστίν, ὁποτέρα ἂν αὐτῶν ἀναγκαία ᾖ, ὑπάρχον τὸ συμπέρασμα. Alex. f. 42 b.

30b 2. ὡς οὖν ἐπ' ἐκείνων ἀναγκαίου μὲν ὑποτεθέντος τοῦ συμπεράσματος ψεῦδός τι συνήγετο, ὑπάρχοντος δὲ οὐκέτι, οὕτω, φησί, καὶ ἐπὶ τῶν ἐν μέρει ἕξει, εἰ εἴη ἡ ἐλάττων ἐπὶ μέρους καταφατικὴ ἀναγκαία. ἢ τὸ "οὐδὲν γὰρ ἀδύνατον συμπίπτει, καθάπερ οὐδ' ἐν τοῖς καθόλου συλλογισμοῖς," εἶπεν ὅτι, ὡς ἐπ' ἐκείνων ἀναγκαίου τιθεμένου τοῦ συμπεράσματος, τῇ εἰς ἀδύνατον ἀπαγωγῇ χρωμένων ἡμῶν εἰς ἔνδειξιν αὐτοῦ, οὐδὲν ἀδύνατον εἵπετο ἀλλὰ ψεῦδος μόνον, ὡς ἐδείχθη διὰ τῶν προειρημένων, δι' οὗ κατασκευάζεται τό, οὕτως οὐδ' ὅταν ἡ ἐλάττων ἐπὶ μέρους ἀναγκαία καταφατικὴ τίθηται. . . οὐκ ἐξέθετο δὲ τὴν δεῖξιν οὔτε ἐπὶ τῶν καθόλου οὔτε ἐπὶ τῶν ἐπὶ μέρους, τὴν δι' ἀδυνάτου ἧς μεμνημονεύκαμεν, ἀλλὰ μόνον ἐμνημόνευσεν αὐτῆς, ὅτι ἐγίνετο ἐν αὐτῇ μῖξις ἐνδεχομένης καὶ ἀναγκαίας, περὶ ἧς μίξεως οὐδέπω τὸν λόγον πεποίηται. δύναται καὶ τὸ "οὐδὲν γὰρ ἀδύνατον συμβαίνει" οὐκ ἐπὶ τὴν δεῖξιν ἣν ἐποιήσατο δεικνὺς ψεῦδός τι ἕπεσθαι ὑποτεθέντι τῷ ἀναγκαίῳ, ἐπανάγων ἡμᾶς εἰρηκέναι. ἀλλ' οὐδ' ἐπὶ τὴν εἰς ἀδύνατον ἀπαγωγὴν περὶ ἧς εἶπον ἀρτίως, ἀλλ' ἐπὶ τὴν ἐκ τῶν ὅρων μαρτυρίαν· τοῖς γὰρ εἰρημένοις καὶ ἡ ἐπὶ τῶν ὅρων δεῖξις συνᾴδει· ληφθεισῶν γὰρ προτάσεων ἐν συζυγίᾳ τε καὶ μίξει τοιαύτῃ τὸ συμπέρασμα ὑπάρχον γίνεται. ἦν δ' ἂν ἀδύνατον ὑφ' ἡμῶν, εἰ ἐπὶ τῶν ὅρων ἠλέγχετο. καὶ τοῦ τοῦτ' εἶναι τὸ εἰρημένον σημεῖον ἂν εἴη τοὺς ὅρους αὐτὸν εὐθέως παραθέσθαι· κίνησις μὲν γὰρ παντὶ ζῴῳ ὑπαρχόντως ἢ οὐδενί, ζῷον δέ τινι λευκῷ ἐξ ἀνάγκης, κύκνῳ γάρ· καὶ κίνησίς τινι λευκῷ ὑπάρχει, οὐ μὴν ἐξ ἀνάγκης, ἤ τινι λευκῷ οὐχ ὑπάρχει ὑπαρχόντως. δεῖ μέντοι εἰδέναι ὅτι τῇ ἐπὶ ψεῦδος ἀγούσῃ δείξει οὐχ οἷόν τε ἐπὶ τούτων χρήσασθαι, ᾗ ἐπὶ τῶν καθόλου ἐχρήσατο. Alex. f. 43 a b.

30b 7. δεῖ μὲν τῷ "εἰ μὲν ἡ στερητικὴ πρότασις" τὸ καθόλου προσυπακούειν· περὶ γὰρ πρώτων λέγει τῶν ἐκ καθόλου προτάσεων· ἐν ᾗ γὰρ

φορά. διάφορος γὰρ ἡ ἀναγωγὴ αὐτῶν· ἄλλως μὲν γὰρ ἡ ἐπὶ μέρους ἐν τῷ πρώτῳ σχήματι (διὰ γὰρ τῶν ἐν τῷ δευτέρῳ) καὶ ἄλλως οἱ ἐν τῷ δευτέρῳ, καὶ αὐτῶν τούτων ἄλλοι ἄλλως· οἱ μὲν γὰρ δι' ἀντιστροφῆς οἱ δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὁμοίως δὲ καὶ οἱ ἐν τῷ τρίτῳ· καὶ γὰρ τούτων οἱ μὲν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οἱ δὲ δι' ἀντιστροφῆς πρῶτον εἰς τοὺς ἐπὶ μέρους τοὺς ἐν πρώτῳ. — "οἱ μὲν οὖν τῶν συλλογισμῶν ὑπάρχειν ἢ μὴ ὑπάρχειν δεικνύντες." τριττῆς οὔσης ἐν ταῖς προτάσεσι κατὰ τοὺς τρόπους διαφορᾶς, αἱ μὲν ὑπάρχουσαι ἦσαν αὐτῶν αἱ δὲ ἀναγκαῖαι αἱ δὲ ἐνδεχόμεναι. περὶ οὖν τῶν ἐξ ὑπαρχουσῶν προτάσεων γινομένων συζυγιῶν καὶ τῶν ἐκ τῶν κατὰ ταύτας συλλογισμῶν καθ' ἕκαστον σχῆμα εἰρηκὼς ὑπομιμνήσκει ἡμᾶς, μέλλων ἐπὶ τὰς ἐξ ἀναγκαίων πάλιν προτάσεων συγκειμένας συζυγίας μεταβαίνειν καὶ περὶ ἐκείνων ποιεῖσθαι τὸν λόγον, ὅτι οἱ περὶ τῶν ἐξ ὑπαρχουσῶν προτάσεων αὐτῷ πεπλήρωνται λόγοι. τὸ δὲ "καθ' αὑτοὺς οἱ ἐκ τοῦ αὐτοῦ σχήματος καὶ πρὸς ἀλλήλους οἱ ἐκ τῶν ἑτέρων" εἴρηται περὶ τῶν διαφορῶν αὐτῶν· φανερὰ γὰρ ἡ διαφορὰ τῶν καθ' ἕκαστον σχῆμα συλλογισμῶν πρὸς ἀλλήλους· ὁ μὲν γὰρ ἐκ δύο καθόλου καταφατικῶν ἔνεστιν ἐν πρώτῳ σχήματι, ὁ δὲ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος, καὶ ἄλλος ἄλλως καθ' ἕκαστον σχῆμα. ἀλλὰ καὶ ἡ πρὸς τοὺς ἐν διαφέρουσι σχήμασι τῶν συλλογισμῶν πρὸς ἀλλήλους διαφορὰ γνώριμος· οὐ γὰρ ὁμοία ἡ τοῦ μέσου θέσις ἐν ἅπασιν. Alex. f. 37 *b* sq.

29 b 23. μέσον τάττει τὸν περὶ τῶν ἀναγκαίων συζυγιῶν λόγον, ὡς μέσην ἐχουσῶν τάξιν τῶν τε ἁπλῶς ὑπαρχουσῶν καὶ τῶν ἐνδεχομένως· ὑπάρχουσι μὲν γὰρ καὶ αὗται, ἀλλ' ἀεὶ καὶ ἀναγκαίως, αἱ δὲ τοῦ ἐνδεχομένου οὐχ ὑπάρχουσι μέν, δύνανται δὲ ὑπάρξαι καὶ μὴ ὑπάρξαι. Ioh. Phil. f. xxxii.

29 b 36. προσέθηκε δὲ "σχεδὸν" διὰ τὸν τέταρτον συλλογιστικὸν τοῦ δευτέρου σχήματος τρόπον καὶ τὸν πέμπτον τοῦ γ'· ἔστι γὰρ ἐν τούτοις διαφορὰ τῶν ἀναγκαίων πρὸς τὸν ὑπάρχοντα, ὡς ἑξῆς ἡμῖν ἐπιδείξει. "τό τε γὰρ στερητικὸν ὡσαύτως ἀντιστρέψει," καίτοι οὐ μόνον τὸ στερητικὸν ἀλλὰ καὶ τὸ κατηγορικόν· τί οὖν μὴ καὶ τούτου ἐμνήσθη; ἐροῦμεν οὖν ὅτι τὸ μὲν κατηγορικὸν ἐπὶ πάντων τῶν τρόπων ὁμοίως ἀντιστρέφει, καὶ θαυμαστὸν οὐδὲν εἰ καὶ ἐπὶ τούτων, τὸ δέ γε στερητικὸν οὐχ ὁμοίως ἐπὶ τοῦ ἐνδεχομένου, ὡς καὶ αὐτός φησιν· διὸ ταύτης μόνης τῆς ἀντιστροφῆς ἐμνήσθη ὡς τοῖς δύο μόνοις τρόποις ὑπαρχούσης, τὴν δὲ ἄλλην ὡς κοινὴν ἁπάντων παρῆκεν. id. ib.

30 a 8. ἐν μὲν γὰρ τῷ ὑπάρχοντι δι' ἀντιστροφῶν μὲν οὐκ ἐδείκνυτο, ἀλλὰ διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς· ἐπὶ μέντοι τοῦ ἀναγκαίου οὐ δυνατὸν διὰ τῆς τοῦ ἀδυνάτου δείξεως τούτους ἀποδεῖξαι. id. ib.

30 a 9. σημειωτέον δὲ ὅτι οὐχ ὅμοιος οὗτος ὁ τρόπος τῆς ἐκθέσεως καὶ ὃν ἔλεγεν ἐν τῷ τρίτῳ σχήματι, ὅτε περὶ τῶν ὑπαρχόντων ἦν ὁ λόγος αὐτῷ. ἐκεῖ μὲν γὰρ ἁπλῶς τι τῶν αἰσθητῶν καὶ μὴ δεομένων δείξεως τὸ ἐκτιθέμενον καὶ λαμβανόμενον ἦν· διὸ καὶ αὔταρκες ἦν μόνον ληφθὲν πρὸς τὸ φανερὰν τὴν συναγωγὴν ποιῆσαι· ἐνταῦθα δὲ τὸ λαμβανόμενον οὐ τοιοῦτον ἔτι λαμβάνεται οὐδὲ ἀρκεῖται τῇ αἰσθήσει, ἀλλὰ πρὸς αὐτὸ συλλογισμὸν ποιεῖ. διὸ καὶ ἐνταῦθα μὲν προσέθηκε τὸ "κατὰ τούτου ποιεῖν τὸν συλλογισμόν," ἐκεῖ δὲ οὐκέτι δείξει τινὶ μετὰ τὸ λαβεῖν τὴν ἔκθεσιν προσεχρήσατο. εἰκότως· ἦν γὰρ ἂν ταὐτὸν ποιῶν ἐπ' ἄλλου τινὸς ὑποκειμένου, ὃ ἴσον καὶ ταὐτὸν ὂν τῷ πρώτῳ οὐδαμῶς ἦν ἐκείνου δεικτικόν. ἐδήλωσε δὲ καὶ διὰ τοῦ εἰπεῖν "τὸ γὰρ ἐκτεθὲν ὅπερ ἐκεῖνό τι ἐστίν" τὴν φύσιν τοῦ λαμβανομένου δι' ἐκθέσεως· μέρος γάρ τι ἢ εἶδος αὐτοῦ ἔσται· διὸ εἰ ἐξ ἀνάγκης μηδενὶ τῷ ἐκτεθέντι, ἐξ ἀνάγκης καὶ ἐκείνῳ ἀφ' οὗ τοῦτο ἐλήφθη τινί· οὐ τοιοῦτον γάρ ἐστιν αὐτοῦ ὡς εἶναι ὅπερ ἐκεῖνο. καὶ εἰ ἡ ἔκθεσις δὲ αἰσθητικὴ γένοιτο, καὶ οὕτω τὸ αὐτὸ δειχθήσεται... ὁ μέντοι Θεόφραστος ἐν τῷ πρώτῳ τῶν αὐτοῦ Προτέρων Ἀναλυτικῶν περὶ τούτων λέγων οὐ χρῆται τῷ δι' ἐκθέσεως τρόπῳ πρὸς τὴν δεῖξιν τοῦ συλλογιστικὰς εἶναι τὰς προκειμένας συμπλοκάς, ἀλλ' ὑπερέθετο τὸν περὶ αὐτῶν λόγον ὡς δεόμενον μὲν τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, μηδέπω δὲ ὄντος προδήλου τοῦ συμβαίνοντος διὰ τὸ μῖξιν γίνεσθαι προτάσεων μηδ' εἶναι γνώριμον τὸ ἐκ τῶν μίξεων συναγόμενον. Alex. f. 39 *b* et 40.

30 a 15. παραδοὺς τὰς προτάσεις τάς τε τοῦ ὑπάρχοντος καὶ τὰς τοῦ ἀναγκαίου, ἐντεῦθεν βούλεται μῖξαι ταύτας, καὶ βούλεται αὐτὰς ἀεὶ τῇ μείζονι προτάσει ἀκολουθεῖν τὸ συμπέρασμα... οἱ δὲ ἑταῖροι αὐτοῦ οἱ περὶ Θεόφραστον καὶ Εὔδημον καὶ ἔτι οἱ ἀπὸ Πλάτωνος οὔ φασιν οὕτως ἔχειν οὐδὲ πάντως τῇ μείζονι ἀκολουθεῖν τὸ συμπέρασμα, ἀλλ' ὑπάρχον ἀεὶ γίνεσθαι. ἄξιον οὖν ἐκθέσθαι πρότερον τήν τε Ἀριστοτελικὴν δεῖξιν καὶ ὅσα οἱ τῷ φιλοσόφῳ συνηγοροῦντες εἰς ἀπόδειξιν τοῦ τοιούτου προστιθέασιν, εἶτα καὶ ἅπερ οἱ τῇ ἐναντίᾳ προϊστάμενοι δόξῃ φασί, καὶ οὕτω τὰ ἱκανὰ διαστῆσαι τῷ λόγῳ... λέγομεν οὖν ὅτι ἡ μείζων πρότασις κατὰ τὸ κυρίως εἴληπται ἀναγκαῖον, τὸ δὲ συμπέρασμα κατὰ τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον τὸ ἕως ἂν ᾖ τὸ κατηγορούμενον· ἕως γὰρ ἂν ὑπάρχῃ τὸ α' τῷ γ, ἐξ ἀνάγκης αὐτῷ ὑπάρχει. καὶ ὁ Ἀλέξανδρος δὲ ὁ τοῦ φιλοσόφου ἐξηγητὴς ἔν τινι μονοβίβλῳ καὶ τὸν αὐτοῦ διδάσκαλον Σωσιγένην ταύτης εἶναι τῆς δόξης, ὡς ὅτι τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον συνάγει ἐνταῦθα ὁ Ἀριστοτέλης· ὅτι γάρ, φησί, τοῦτο βούλεται, δῆλον ἐξ ὧν, ὅτε μὲν ὑπάρχον συνάγεται τὸ συμπέρασμα τῆς μείζονος ὑπαρχούσης οὔσης τῆς δὲ ἑτέρας ἀναγκαίας, ἐκτίθεται ὅρους ὁ φιλόσοφος, ὅτε δὲ ἀναγκαῖον συνάγεται τῆς μείζονος ἀναγκαίας οὔσης τῆς δὲ ἐλάττονος ὑπαρχούσης, οὐκ εὐπόρησεν ἐκθέσθαι ὅρους τὸ κυρίως ἀναγκαῖον συνάγοντας. ὅθεν δῆλον, φησίν, ὅτι καὶ αὐτὸς τὸ ἐξ ὑποθέσεως ἔλαβεν ἀναγκαῖον. Ioh. Phil. f. xxxii *b*.

30 a 16. φησὶ δὴ ὅτι γίνεταί ποτε ἐκ μίξεως ἀναγκαίας καὶ ὑπαρχούσης προτάσεως ἀναγκαῖον συμπέρασμα, καὶ πότε γίνεται τὸ συμπέρασμα τοιοῦτον, προστίθησιν· ἐν γὰρ πρώτῳ σχήματι ἀμφοτέρων οὐσῶν καθόλου, εἰ ἡ μείζων εἴη ἀναγκαία, ἄν τε καταφατικὴ ὡς ἐν τῷ πρώτῳ ἀναποδείκτῳ, ἄν τε ἀποφατικὴ ὡς ἐν τῷ δευτέρῳ, ἀναγκαῖόν φησι γίνεσθαι τὸ συμπέρασμα. οὗτος μὲν οὖν οὕτως λέγει, οἱ δέ γε ἑταῖροι αὐτοῦ οἱ περὶ Εὔδημόν τε καὶ Θεόφραστον οὐχ οὕτως λέγουσιν, ἀλλά φασιν ἐν πάσαις ταῖς ἐξ ἀναγκαίας τε καὶ ὑπαρχούσης συζυγίαις, ἐὰν ὦσι κείμεναι συλλογιστικῶς, ὑπάρχον γίνεσθαι τὸ συμπέρασμα, τοῦτο λαμβάνοντες ἔκ τε τοῦ ἐν πάσαις ταῖς συμπλοκαῖς τὸ συμπέρασμα αἰεὶ τῷ ἐλάττονι καὶ χείρονι τῶν κει-

εὐθείας δεικνύμενα καὶ δι' ἀδυνάτου δείκνυσθαι καὶ τοὔμπαλιν, καὶ ἔστιν ἀπορῆσαι πῶς τοῦτό φησιν Ἀριστοτέλης, εἴγε ἐλέγετο ὅτι ὅ τε τέταρτος τοῦ β' σχήματος τρόπος ὁ ἐκ τοῦ παντὶ καὶ οὐ παντὶ καὶ ὁ πέμπτος τοῦ γ' ὁ ἐκ τοῦ οὐ παντὶ καὶ παντὶ μόνον δι' ἀδυνάτου δείκνυται. ἢ ῥητέον ὅτι οὐδὲν ἧττον καὶ οὗτοι ἐπ' εὐθείας δείκνυνται· οὐ γὰρ ἐκ τῆς ἐπὶ τὸ α' σχῆμα ἀναγωγῆς τὸ ἀναγκαῖον ἔχουσιν ἀλλ' οἴκοθεν, ἐπεὶ οὐκ ἂν ἦσαν συλλογισμοί. καὶ ὅτι τοῦτο ἀληθές, δῆλον· ἔστι γὰρ καὶ ἄνευ τοῦ πρώτου σχήματος ποιήσασθαι τὴν ἀπόδειξιν· φαμὲν γὰρ ὅτι ἐπειδὴ τὸ μ' τῷ μὲν ν' παντὶ τῷ δὲ ξ' οὐ παντί, ταύτῃ καὶ τὸ ν' οὐ παντὶ τῷ ξ'· τὰ γὰρ κοινὸν ἔχοντα κατηγορούμενον πάντῃ ἀπ' ἀλλήλων ἀποσπᾶσθαι οὐ δύναται. οὕτως οὖν οὗτος ὁ τρόπος ἐπ' εὐθείας ἐδείχθη, ἐπειδὴ οὐκ ἐξ ἀναιρέσεως ὥσπερ ἐπὶ τῆς δι' ἀδυνάτου τὴν ἀπόδειξιν ἐποιησάμεθα. ἐπὶ τούτῳ ἔλθωμεν εἰς τὸ ἐξ ἀρχῆς. ὁ οὖν Μάξιμος ἔλεγεν ὅτι πάντες τέλειοί εἰσιν· ἰδοὺ γὰρ φαμὲν τὸ μ' οὐδενὶ τῶν ν', τὸ μ' παντὶ τῷ ξ', καὶ συνάγεται τὸ ν' οὐδενὶ τῶν ξ'· ἐπεὶ γὰρ τὸ μ' παντὶ τῷ ξ' τῷ δὲ ν' οὐδενί, κεχώρισται ἄρα καὶ τὸ ν' τοῦ μ', οὐκοῦν καὶ τοῦ ξ' πάντως χωρισθήσεται τὸ ν' καὶ οὐδενὶ αὐτοῦ ὑπάρξει. καὶ ἰδοὺ οὐκ ἐδεήθημεν τῆς εἰς τὸ α' σχῆμα ἀναγωγῆς. πρὸς τοῦτό φησιν ὁ ἡμέτερος φιλόσοφος ὅτι ὦ Μάξιμε, πόθεν ἔχεις ὅτι εἰ τὸ μ' τῷ ν' καὶ οὐδενὶ ὑπάρχει, καὶ τὸ ν' τοῦ μ' κεχώρισται, εἰ μὴ εἰδῇς ὡς ἡ καθόλου ἀπόφασις πρὸς ἑαυτὴν ἀντιστρέφει; ἀναστροφῇ δὲ χρησάμενος οὐδὲν ἧττον ἐπὶ τὸ α' σχῆμα τὴν ἀναγωγὴν ἐποιήσω· μονονουχὶ γὰρ ταῦτα βοᾷς, τὸ ν' οὐδενὶ τῶν μ' διὰ τὴν ἀντιστροφήν, τὸ μ' παντὶ τῷ ξ', καὶ συνάγεται τὸ ν' οὐδενὶ τῶν ξ', ὅπερ ἐστὶ πρῶτον σχῆμα. μήποτε δὲ ἔστιν εἰς συμφωνίαν ἀναγαγεῖν Μάξιμον καὶ Θεμίστιον. ὁ μὲν γὰρ Μάξιμος πάντας τελείους φησὶν ἀπιδὼν ὅτι ἕκαστος συλλογισμὸς οἴκοθεν ἔχει τὸ ἀναγκαῖον· ὁ δὲ Θεμίστιος ἀπιδὼν πρὸς τὸ σαφὲς καὶ ἀσαφὲς τοῦ ἀναγκαίου τοὺς μὲν ἐν πρώτῳ τελείους φησὶν ὡς σαφὲς ἔχοντας τὸ ἀναγκαῖον, τοὺς δὲ ἐν β' καὶ γ' ἀτελεῖς λέγει ὡς ἀσαφὲς ἔχοντας τὸ ἀναγκαῖον καὶ δεομένους τοῦ α' ἵνα δημοσιευθῇ. φέρε δὲ γυμνασίας χάριν καθ' ἕκαστον σόφισμά τι προβαλλώμεθα. ἰδοὺ γάρ, φαμὲν ἐν α' σχήματι, ὁ τὰ δύο διπλασιάζων τὰ δύο πολυπλασιάζει, ὁ τὰ δύο πολυπλασιάζων δύναται χίλια ποιῆσαι, καὶ συνάγεται ὁ τὰ δύο διπλασιάζων δύναται χίλια ποιῆσαι. ῥητέον οὖν ὡς ἡ μείζων μερική· ὁ γὰρ λέγων ὅτι ὁ τὰ δύο πολυπλασιάζων δύναται χίλια ποιῆσαι, οὐδὲν ἕτερόν φησιν ἀλλ' ὅτι τις πολυπλασιασμὸς τῶν δύο δύναται χίλια ποιῆσαι. πάλιν ἐν β' φαμέν, τὸ μέλι τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται, τὸ γλυκὺ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται, καὶ συνάγεται τὸ μέλι οὐκ ἔστι γλυκύ. ῥητέον οὖν ὅτι τὸ μέλι καθὸ μέλι τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται, καὶ τὸ γλυκὺ καθὸ γλυκὺ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται· δύο οὖν ἐνταῦθά εἰσι μέσοι, εἷς μὲν ὁ λέγων καθὸ μέλι τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται, ἕτερος δὲ ὁ λέγων καθὸ γλυκύ· παντὸς δὲ σχήματος ἕνα δεῖ τὸν μέσον ὑπάρχειν. ἀλλὰ καὶ ἐν γ' σχήματι σόφισμά τι συνίσταται. φαμὲν γάρ, πάντα τραγέλαφον ἀδύνατον εἶναι, τουτέστι παντὸς τραγελάφου ἀδύνατον ἡ ὕπαρξις, πάντα τραγέλαφον οὐκ ἀδύνατον μὴ εἶναι, καὶ συνάγεται τινὰ τραγέλαφον ἀδύνατον εἶναι ἢ οὐκ ἀδύνατον μὴ εἶναι. τοῦτο προετάθη τῷ φιλοσόφῳ Πρόκλῳ τὸ σόφισμα, πρὸς ὃ εἶπεν ὅτι δύο εἰσὶν ἐνταῦθα ὅροι τὸ τραγέλαφος καὶ τὸ ἀδύνατον ἐν ὅλῳ τῷ συλλογισμῷ, τρεῖς δὲ ὅρους θέλει ἔχειν πᾶς συλλογισμός· εἰ γὰρ καὶ πῇ μὲν κατάφασις ἐλήφθη πῇ δὲ ἀπόφασις, οὐκ ἐνηλλάγη ὁ ὅρος, ἐπεὶ καὶ ἐν α' σχήματί φαμεν τυχόν, πᾶς ἄνθρωπος ζῷον, οὐδὲν ζῷον λίθος, καὶ ὁ μὲν ὁ αὐτὸς μέσος ὅρος ἔμεινε, τὸ ζῷον, πῇ μὲν καταφατικῶς ληφθεὶς πῇ δὲ ἀποφατικῶς. οὕτως καὶ ἐπὶ τούτου τοῦ σοφίσματος. διὸ οὐδὲ ὅλως ἐστὶ συλλογισμός· ἐκ δύο γὰρ ὅρων συλλογισμὸς οὐ γίνεται, νῦν δὲ δύο εἰσὶν ὅροι, τραγέλαφος καὶ ἀδύνατον. ἐν οἷς σὺν θεῷ ἡ θεωρία. cod. Reg. 2061.

"ἐπιτελοῦνται μὲν καὶ δι' ἑαυτῶν." τοῦτό φησιν ὅτι οἱ μερικοὶ τοῦ α' 29b 6. σχήματος ἔχουσι μὲν οἴκοθεν τὸ σαφές, πλὴν ἀνάγονται ἐκ περιουσίας ὑπὸ τοὺς δύο τοὺς καθόλου διὰ μέσου τοῦ δευτέρου σχήματος καὶ τελειοῦνται· οἱ δὲ ἐν τῷ τρίτῳ καθόλου μενόντων τῶν ὅρων εὐθὺς ἐπιτελοῦνται δι' ἐκείνων τῶν συλλογισμῶν. τοῦτό ἐστιν ὃ βούλεται εἰπεῖν ὁ Ἀριστοτέλης, ὅτι οἱ δύο οἱ καθόλου τοῦ γ' σχήματος ἀμέσως ἀνάγονται ὑπὸ τοὺς δύο τοὺς καθόλου τοῦ α' σχήματος. σὺ δὲ πρόσθες ὅτι καὶ ὁ πέμπτος ἀμέσως ἀνάγεται. ἐν οἷς σὺν θεῷ ἥ τε πρᾶξις περατοῦται καὶ τὰ τρία σχήματα σὺν εὐμενείᾳ τοῦ κρείττονος. desinit cod. Reg. 2061.

τὸ "εὐθύς" (λέγει) οὐχ ὅτι καὶ αὐτοὶ τέλειοι ὡς ἐκεῖνοι, ἀλλ' 29b 20. ὅτι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ, οὐ δι' ἄλλων πρῶτον περανθέντα δι' ἐκείνων εἰς τοὺς ἐν α' καθόλου ἀνάγονται, ὥσπερ οἱ μερικοὶ τοῦ α' σχήματος τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐποίουν τὸ β' σχῆμα καὶ δι' ἐκείνου εἰς τοὺς καθόλου ἀνήγοντο, ἀλλὰ ἀμέσως δι' αὐτῶν περαίνονται. Ioh. Phil. f. XXXI *b*.

μήποτε οὖν δεῖ προσυπακούειν τῷ "ὅταν δὲ ἐπὶ μέρους λη- 29b 21. φθῶσι" τὸ ὅσοι αὐτῶν μὴ αὐτόθεν δύνανται ἐπιτελεῖσθαι δι' ἐκείνων τῶν συλλογισμῶν τῷ ἀνάγεσθαι τούτους εἰς τοὺς ἐν μέρει τῶν ἐν τῷ πρώτῳ σχήματι· ἄντικρυς γὰρ τοῦτο ἐνδεῖ, καὶ προστεθέντος τούτου οὐδὲν ἔτι ἐπιζητεῖται. — "καὶ καθ' ἑαυτοὺς μὲν οἱ ἐκ τοῦ αὐτοῦ σχήματος." ἐν τῷ αὐτῷ σχήματι πῶς ἕκαστος γίνεται· τοῦτο ἀπὸ κοινοῦ τοῦ "φανερὸν οὖν" εἴρηται. φανερὸν οὖν ἐκ τῶν εἰρημένων τό τε πάντας ἀναχθήσεσθαι εἰς τοὺς δύο τοὺς ἐν πρώτῳ σχήματι πρώτους, καὶ ὅπως ἕκαστος ἐν τῷ ἰδίῳ σχήματι τὸ συλλογιστικὸν ἔχει, καὶ διὰ τί ἐστι συλλογιστικὸς αὐτῶν ἕκαστος· ταῦτα γὰρ δέδεικται. — "καὶ πρὸς ἀλλήλους οἱ ἐκ τῶν ἑτέρων." καὶ τοῦτο ἔτι ἀπὸ κοινοῦ τοῦ "φανερὸν οὖν" εἴρηται· καὶ γὰρ τοῦτο φανερὸν ἐκ τῶν εἰρημένων, τίς ἡ τῶν σχημάτων διαφορὰ καὶ τῶν συλλογισμῶν τῶν ἐν τοῖς διαφόροις σχήμασι πρὸς ἀλλήλους, ὅτι τε παρὰ τὴν τοῦ μέσου ποιὰν θέσιν καὶ παρὰ τὸ διαφόρως ἀνάγεσθαι εἰς τοὺς ἐν πρώτῳ σχήματι δύο πρώτους· οἱ μὲν γὰρ αὐτόθεν ἀνάγονται, οἱ δὲ διὰ τῆς εἰς ἀλλήλους ἀναγωγῆς, ὡς ἐν τῷ πρώτῳ οἱ δύο τὸ ἐπὶ μέρους ἔχοντες, καὶ οἱ ἐν τῷ τρίτῳ τρεῖς, καὶ πάλιν τούτων οἱ μὲν τῷ εἰς τοὺς ἐν τῷ δευτέρῳ πρώτους ἀνάγεσθαι, ὡς οἱ δύο οἱ ἐν τῷ πρώτῳ, οἱ δὲ τῷ εἰς τούτους αὐτοὺς τοὺς ἐν τῷ πρώτῳ τὸ ἐπὶ μέρους δεικνύντας, ὡς οἱ ἐν τῷ τρίτῳ τρεῖς οἱ δι' ἀντιστροφῆς εἰς τούτους ἀναγόμενοι· ἡ γὰρ διαφορὰ τῆς ἀναγωγῆς αὐτῶν τὴν τῶν συλλογισμῶν δείκνυσι διαφοράν. — "ἢ τῷ ἀνάγεσθαι εἰς τὸ πρῶτον." εἰπὼν "ἢ τῷ μέσῳ" προστέθηκεν "ἢ τῷ ἀνάγεσθαι εἰς τὸ πρῶτον·" ἔστι γὰρ καὶ κατὰ τοῦτο αὐτοῖς ἡ δια-

φανές, ὅτι τὸ λευκὸν οὐ παντὶ τῷ ζῴῳ ὑπάρχει, οἷον τῷ Αἰθίοπι. Ioh. Phil. f. XXIX b.

28b 24. ἐάν, φησί, τὴν μερικὴν ἀποφατικὴν δι' ἑαυτὴν ἀληθεύουσαν λάβωμεν, ἰσοδυναμήσει τῇ μερικῇ καταφατικῇ, καὶ τὸ καθόλου ἀποφατικὸν ἀδύνατον διὰ τῶν τοιούτων ὅρων συναγαγεῖν. εἰ γάρ, φησί, τὸ μὲν π' παντὶ τῷ σ' ὑπάρχει, τὸ δὲ ρ' μὴ παντί, εἶτα τοῦτο λάβωμεν δι' ἑαυτοῦ ἀληθές, ἰσοδυναμήσει τῷ τινὶ καὶ ποιήσει συλλογιστικὴν συζυγίαν, ὥστε συνάγεσθαι τὸ π' τινὶ τῷ ρ' ὑπάρχειν. εἰ τοίνυν καὶ τὸ μηδενὶ συνάγει διὰ τὴν ὑπόθεσιν, τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ μηδενί· ὅπερ ἄτοπον. δυνατὸν δὲ καὶ ἄλλως δεῖξαι. id. ib.

28b 31. ἰστέον δὲ ὅτι τοῦτον τὸν τρόπον οἱ περὶ Θεόφραστον πέμπτον τάττουσι, προτάττοντες αὐτὸν τοῦ προειρημένου, διότι οὗτος μὲν δι' ἀντιστροφῆς κατασκευάζεται, ἐκεῖνος δὲ διὰ μόνης τῆς ἀδυνάτου ἀπαγωγῆς. ὁ δὲ Ἀριστοτέλης τὸν πέμπτον προέταξε διὰ τὴν εἰρημένην αἰτίαν. οὗτοι μὲν οὖν οἱ ἓξ τρόποι ἐν τούτῳ τῷ σχήματι συλλογιστικοὶ προσδιωρισμένων οὐσῶν τῶν προτάσεων, ἐὰν μὲν ᾖ προσδιορισμός· εἰ δὲ ἀπροσδιόριστος, γίνονται ἄλλαι τέσσαρες συλλογιστικαὶ συζυγίαι, τῆς ἀπροσδιορίστου δηλονότι τῇ μερικῇ ἰσοδυναμούσης. συντίθενται δὲ οὕτως. id. f. XXX.

τοῦτον τὸν συλλογισμὸν ἔφαμεν ἡμεῖς πέμπτον εἶναι τῷ τοῦτον μὲν δείκνυσθαι δι' ἀντιστροφῆς· κυριωτέρα γὰρ καὶ οἰκειοτέρα ἡ δι' ἀντιστροφῆς δεῖξις τῆς δι' ἀδυνάτου, ὡς αὐτὸς ἐρεῖ. ὅτι δὲ ἔνεστι καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ καὶ τῷ τρόπῳ τῆς ἐκθέσεως καὶ ἐπὶ τούτου χρήσασθαι, ὡς γνώριμον καὶ προειρημένον παρέλιπεν. Alex. f. 34.

28b 36. αὕτη ἀσυλλόγιστος ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. τὸ δὲ ἄγριον ἐν τούτοις οὐκ ἐπὶ τῶν ἀλόγων μόνον ζῴων τέτακται, ἀλλὰ καὶ ἐπὶ φυτῶν· λέγονται γὰρ καὶ φυτὰ εἶναι ἄγρια· "φηγοὶ δ' ἀγριάδες κείνης ἔτι σήματα μολπῆς" Ἀπολλώνιος (1 28). ζῷον οὖν τινὶ ἀγρίῳ, οἷον λέοντι (φυτῷ γὰρ οὐχ ὑπάρχει), ἄνθρωπος οὐδενὶ ἀγρίῳ, καὶ ζῷον παντὶ ἀνθρώπῳ. Ioh. Phil f. XXX b.

29a 12. δεῖ καὶ ἐνταῦθα προσυπακούειν τὸ ἐν τούτῳ τῷ σχήματι· τὸ μὲν γὰρ πρῶτον εἰρημένον ἁπλῶς ἀληθές, ὅτι ἐχόντων τῶν ὅρων ὡς ἐλέχθη γίνεται συλλογισμός, τὸ δὲ "ἐάν τε ᾖ συλλογισμός, ἀνάγκη τοὺς ὅρους οὕτως ἔχειν" οὐκέθ' ἁπλῶς ἀληθές, ἀλλὰ ἂν ἐν τούτῳ τῷ σχήματι ᾖ. Alex. f. 34 b.

29a 21. ἐκθέμενος πάσας τὰς συζυγίας τὰς ἐν τρισὶ γινομένας σχήμασι, καὶ δείξας καθ' ἕκαστον σχῆμα τάς τε συλλογιστικὰς συμπλοκὰς καὶ τὰς ἀσυλλογίστους, λέγει περὶ τῶν ἀσυλλογίστων, καὶ τοιοῦτόν τι ἐν αὐταῖς ὑπάρχειν ἱστορεῖ. ὅσαι μὲν καθ' ἕκαστον σχῆμα ὁμοιοσχήμονες οὖσαι συζυγίαι ἦσαν ἀσυλλόγιστοι, αὗται πρὸς τῷ τὸ προκείμενον δεικνύναι οὐδ' ἄλλο τι δεικνύουσιν οὐδὲ συνάγουσιν· ὅσαι δὲ ἀνομοιοσχήμονες οὖσαι ἀσυλλόγιστοί εἰσι καθ' ἕκαστον σχῆμα, ἔχουσαι τὸ ἀποφατικὸν καθόλου, πρὸς μὲν τὴν τοῦ προκειμένου δεῖξίν εἰσιν ἀσυλλόγιστοι, ἄλλο μέντοι ἐξ αὐτῶν ἔστι συλλογίσασθαι καὶ δεῖξαι... ἐκ μὲν οὖν τῆς συζυγίας ταύτης τοῦτό τε τὸ προκείμενον καὶ οὕτως δέδεικται· ἡ ἑτέρα δὲ ἡ τὴν μὲν μείζονα ἐπὶ μέρους ἔχουσα καταφατικήν, τὴν δὲ ἐλάττονα καθόλου ἀποφατικήν, κατὰ ἀντιστροφὴν ἀμφοτέρων τῶν προτάσεων δείκνυσι καὶ αὐτὴ τὸ γ' τινὶ τῷ α' μὴ ὑπάρχειν, ἀνάπαλιν ἢ ἦσαν οἱ ὅροι κείμενοι ληφθέντων αὐτῶν. οὗτοί εἰσιν οἱ δύο συλλογισμοὶ τελευταῖοι τῶν πέντε οὓς Θεόφραστος προστιθεὶς τοῖς ἐν πρώτῳ σχήματι κειμένοις τέσσαρσιν ἐννέα λέγει γίνεσθαι συλλογισμοὺς ἐν πρώτῳ σχήματι, ὄντες τελευταῖοι διότι οὐδ' ὅλως οὗτοι τὸ προκείμενον δεικνύουσιν ὡς οἱ πρὸ αὐτῶν τρεῖς, ἀντιστρεφομένου τοῦ συμπεράσματος. τῶν δὲ καταλειπομένων τριῶν τῶν κατ' ἀντιστροφὴν τῶν συμπερασμάτων γινομένων, τοῦ τε πρώτου καὶ τοῦ δευτέρου καὶ τοῦ τρίτου τῶν ἐν πρώτῳ σχήματι, μνημονεύει καὶ αὐτὸς Ἀριστοτέλης ἀρχόμενος τοῦ δευτέρου τῶν Προτέρων Ἀναλυτικῶν, ὡς φθάσαντές τε εἰρήκαμεν κἀκεῖ πάλιν ἐπισημανούμεθα, οἳ πρὸ τούτων τῶν δύο ἔχουσι τὴν τάξιν παρὰ Θεοφράστῳ. Alex. f. 34 b sq.

29a 27. ἄξιον δὲ ἀπορίας, εἰ αἱ ἀπροσδιόριστοι προτάσεις ἰσοδυναμοῦσι ταῖς μερικαῖς, αἱ μὲν καταφατικαὶ ταῖς καταφατικαῖς αἱ δὲ ἀποφατικαὶ ταῖς ἀποφατικαῖς, γίνονται δὲ συλλογιστικαὶ συζυγίαι ἔχουσαι τὴν ἑτέραν τῶν προτάσεων μερικὴν ἀποφατικήν, ὥσπερ ἐν τῷ τετάρτῳ τρόπῳ τοῦ β' σχήματος καὶ ἐν τῷ ε' τοῦ γ', διὰ τί εἰπὼν ὅτι ἀδιόριστον ἐὰν ἀντὶ τοῦ μερικοῦ ληφθῇ τοῦ κατηγορικοῦ μόνου φησίν, οὐκέτι δὲ καὶ τοῦ ἀποφατικοῦ; φημὶ οὖν ὅτι ἤτοι διὰ τοῦ κατηγορικοῦ καὶ τὸ ἀποφατικὸν ἐδήλωσεν, ἢ ὅτι ἐν τῷ α' σχήματι ὅλως οὐκ ἐνδέχεται μερικὴν ἀποφατικὴν περιληφθῆναι πρότασιν· ὅθεν οὐδὲ ἐν τοῖς λοιποῖς σχήμασιν ἔχουσαι τὸ μερικὸν ἀποφατικὸν δι' ἀντιστροφῆς δειχθῆναι ἠδύναντο, ἀλλὰ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. Ioh. Phil. f. XXX b.

29a 26. τῷ δὲ ὅτι δι' ἀντιστροφῆς ἐπεραίνοντο πάντες, δεῖ προσυπακούειν τὸ ὅσοι δεικτικῶς· οὐ γὰρ πάντες δι' ἀντιστροφῆς. οἱ δὲ δι' ἀδυνάτου ὑπόθεσιν λαβόντες ἄλλου τινὸς συλλογισμὸν καὶ δεῖξιν ποιοῦνται, ἀλλ' οὐ τοῦ προκειμένου προηγουμένως, ἀλλὰ γίνεται τὸ προκείμενον ἐν αὐτοῖς δεικνύμενον κατὰ συμβεβηκός... ὅτι δὲ ἡ δι' ἐκθέσεως δεῖξις ἦν αἰσθητικὴ καὶ οὐ συλλογιστική, δῆλον καὶ ἐκ τοῦ νῦν αὐτὸν μηκέτι μνημονεύειν αὐτῆς ὡς διὰ συλλογισμοῦ τινὸς γινομένης. Alex. f. 35 b.

29a 30. ἐφ' οἷς ὁ Ἀριστοτέλης ἀνυμνεῖ τὸ α' σχῆμα καί φησιν ὅτι πάντες οἱ συλλογισμοὶ ὑπὸ τὸ α' ἀνάγονται σχῆμα, φέρε δὲ καὶ ἡμεῖς ξένον ὕμνον οἴκοθεν τῷ πρώτῳ προσάξωμεν σχήματι. ἐπαινετέον τοίνυν ὡς χηρεῦον μερικῆς ἀποφατικῆς· αὕτη γὰρ χειρίστη ἐστὶ πασῶν τῶν προτάσεων· κἂν γὰρ ἐν τοῖς δύο σχήμασι θεωρητέον, ἀλλ' οὖν δι' αὐτῆς οὐ γίνεται ἀπόδειξις· ἐπὶ γὰρ τῆς ἀδυνάτου ἀγωγῆς τὴν ἀντικειμένην ταύτης λαμβάνομεν· τὴν γὰρ παντὶ λαμβάνομεν καὶ οὕτω ποιούμεθα τὴν ἀπόδειξιν. ἐν οἷς σὺν θεῷ ἡ θεωρία. cod. Reg. 2061.

29a 31. ἀλλ' ἐπειδὴ λόγος τις ἐκινήθη μεταξὺ Θεμιστίου καὶ Μαξίμου (ὁ μὲν γὰρ Μάξιμος ἔλεγε πάντας τοὺς συλλογισμοὺς τελείους εἶναι, ὁ δὲ Θεμίστιος μόνον τοὺς ἐν α' τοῦτο ἀπεδίδου· εἵλαντο δὲ κριτὴν Ἰουλιανὸν τὸν αὐτοκράτορα, ὃς παρεῖχε τὴν νικῶσαν Μαξίμῳ διδασκάλῳ αὐτοῦ γεγονότι), φέρε τῆς διδασκαλίας τούτων ἀκούσωμεν. ἀλλὰ προλάβωμέν τι. νόμος Ἀριστοτέλους ἐστὶ τὰ ἐπ'

τὴν γὰρ ταύτην ἡγεῖται διαβολὴν ἀσυλλογίστου συζυγίας, οὐδὲ ἡγεῖται δύνασθαι διαβάλλεσθαι τὰς προειρημένας συζυγίας, κἂν δείξῃ τις ὅτι μηδενὶ καὶ τινὶ τὸ ν΄ τῷ ξ΄, διότι ἀντιφάσεις ταῦτα, ὡς ἄλλοι τέ τινες τῶν ἀρχαίων καὶ Ἑρμῖνος λέγει. "ἐφ' ἧς γὰρ συζυγίας" φησί "τὴν ἀντίφασιν ἔνεστι συναγομένην δεῖξαι, εὔλογον ταύτην μηδὲν ἀσυλλόγιστον λέγειν τῆς ἐν ᾗ τὰ ἐναντία συνάγεται· ἀσυνύπαρκτα γὰρ καὶ ταῦτα ὁμοίως ἐκείνοις." καὶ παρατίθεται ὅρους τοῦ τινί, ἄψυχον - ἔμψυχον - σῶμα σάρκινον· τὸ γὰρ ἄψυχον ἐμψύχῳ μὲν οὐδενί, σώματι δὲ σαρκίνῳ ἢ καὶ ἁπλῶς σώματί τινι οὐχ ὑπάρχει, καὶ τὸ ἔμψυχόν τινι σαρκίνῳ σώματι καὶ ἁπλῶς τινὶ σώματι οὐχ ὑπάρχει. τοῦτο δὴ οὐδαμῶς ὑγιὲς οὐδὲ αὔταρκες εἰς συζυγίας διαβολήν· συγχωρηθήσεται μὲν γὰρ τούτῳ μηδέτερον συνάγεσθαι συλλογιστικῶς, διότι ἐστὶν ἀναιρετικά, ἐρεῖ μέντοι τις ὅσον ἐπὶ τοῖς κειμένοις δύνασθαι συνάγεσθαι ἐπὶ μέρους ἀποφατικόν... ἡ χρῆσις οὖν ᾗ χρῆται Ἑρμῖνος, οὐχ ἱκανὴ διαβάλλειν συζυγίαν καὶ ἀσυλλόγιστον ἀποφῆναι. διὸ εὐλόγως Ἀριστοτέλης ἐλέγχει τὰς ἀσυλλογίστους μόνῃ τῇ τοῦ παντὸς καὶ μηδενὸς παραθέσει. Alex. f. 28 *b* sq.

27b 16. παράδειγμα τοῦ μὲν μηδενὶ ὑπάρχειν οὕτω· ζῷον οὐδεμιᾷ χιόνι, ζῷον οὐ παντὶ μέλανι, καὶ συμπέρασμα, χιὼν οὐδενὶ μέλανι. Ioh. Phil. f. XXVI *b*.

27b 21. ἀδιόριστον καλεῖ τὸ τινὶ μὴ ὑπάρχειν, διὰ τὸ μὴ ἔχειν, ὡς εἴπομεν, ὡρισμένην τὴν σημασίαν, ἀλλὰ δύνασθαι καὶ ἀντὶ τῆς μερικῆς καταφατικῆς λαμβάνεσθαι καὶ ἀντὶ τῆς καθόλου ἀποφατικῆς. ἐπεὶ οὖν, φησίν, ἀδιόριστος ἡ σημασία, ἐὰν ληφθῇ ἡ ἰσοδυναμοῦσα τῇ καθόλου ἀποφατικῇ, δῆλον ὅτι ἀσυλλόγιστος ἔσται. Ioh. Phil. ib.

27b 36. εἰπὼν δὲ "ἀλλ' οὐδ' εἴ τινι ἑκατέρῳ ὑπάρχει ἢ μὴ ὑπάρχει," δηλονότι ἑκατέρῳ τινὶ ἢ μὴ τινὶ προσέθηκε τὸ "ἢ μηδετέρῳ παντί," τῇ λέξει διαφέρον τοῦ ἑκατέρῳ τινὶ μὴ ὑπάρχειν· ἀμφότερα γὰρ δηλωτικά ἐστι τῶν ἐπὶ μέρους ἀποφατικῶν. Alex. f. 29 *b*.

28a 10. ἓξ ὄντων συλλογισμῶν ἐν τούτῳ τῷ σχήματι (τῷ τρίτῳ), πρῶτος μὲν ἂν αὐτῶν εἴη τῇ τάξει ὁ ἐκ δύο καθόλου καταφατικῶν ἐπὶ μέρους καταφατικὸν συνάγων κατὰ ἀντιστροφὴν τῆς ἐλάττονος προτάσεως. δύναται δὲ καὶ τῆς μείζονος ἀντιστραφείσης γενέσθαι, ἀλλὰ δεήσει καὶ τὸ συμπέρασμα ἀντιστρέφειν. διὸ καὶ τοῦτόν τινες τὸν συλλογισμὸν προστιθέντες ὡς ἄλλον τοῦ πρὸ αὐτοῦ, ἑπτά φασιν εἶναι τοὺς ἐν τούτῳ τῷ σχήματι συλλογισμούς. πρώτη δὲ αὕτη ἡ συμπλοκὴ διὰ τὸ καὶ ἐκ καθόλου ἀμφοτέρων εἶναι καταφατικῶν. ἐπιζητήσῃ δ' ἄν τις τί δήποτε ἐν τῷ δευτέρῳ σχήματι δύο ἦσαν συμπλοκαὶ συλλογιστικαὶ ἔχουσαι τὴν μὲν ἑτέραν καθόλου ἀποφατικὴν τὴν δ' ἑτέραν καθόλου καταφατικήν, τῷ ποτὲ μὲν τὴν μείζονα ποτὲ δὲ τὴν ἐλάττονα οὖσαν καθόλου ἀποφατικὴν ἀντιστρέφεσθαι· ἐν δὲ τῷ τρίτῳ σχήματι οὐκέτι λέγονται δύο εἶναι συμπλοκαὶ συλλογιστικαὶ ἐκ δύο καταφατικῶν καθόλου, καίτοι καὶ ἐπὶ τούτων δυναμένης ποτὲ μὲν τῆς ἐλάττονος ποτὲ δὲ τῆς μείζονος ἀντιστρέφεσθαι. Alex. f. 30 *b*.

28a 13. ὁ μείζων ὅρος ἐν τούτῳ τῷ σχήματι δὶς κατηγορεῖται, τοῦ τε γὰρ μέσου καὶ τοῦ συμπεράσματος, ὁ δὲ ἐλάττων ἅπαξ κατηγορεῖται, τοῦ γὰρ μέσου μόνον, ὑπόκειται δὲ τῷ μείζονι· ἐν τῷ συμπεράσματι δὲ ὁ μέσος μόνως ὑπόκειται, οὐδέποτε δὲ κατηγορεῖται. διὸ μείζονα ὅρον τὸν πορρωτέρω τοῦ μέσου φησίν. πορρωτέρω δὲ ἂν εἴη κατὰ συγγένειαν τοῦ μηδὲ ὅλως κατηγορουμένου ἀεὶ δὲ ὑποκειμένου ὁ ἀεὶ κατηγορούμενος καὶ οὐδέποτε ὑποκείμενος, ὅπερ ἐστὶν ὁ μείζων· ἐγγίων δὲ μᾶλλον ὁ ποτὲ μὲν ὑποκείμενος ποτὲ δὲ κατηγορούμενος, οὗτος δέ ἐστιν ὁ ἐλάχιστος. Ioh. Phil. f. XXVII *b*.

28a 17. ὁ δέ γε Θεόφραστος ὁ τοῦ Ἀριστοτέλους μαθητὴς καὶ Ἀλέξανδρος ὁ ἀμφοτέρων ἐξηγητὴς ἑτέραν τάξιν παραδεδώκασιν, ἀφεωρακότες πρὸς τὸν τρόπον τῆς ἀποδείξεως. τὴν γὰρ παρ' ἡμῖν τρίτην, τὴν ἔχουσαν τὴν ἐλάττονα παντὶ τὴν δὲ μείζονα τινί, τετάρτην τάττει ὡς δεομένην δύο ἀντιστροφῶν, ὡς δειχθήσεται, τὴν δὲ παρ' ἡμῖν τετάρτην τρίτην τάττει ὡς μιᾶς καὶ μόνης δεομένην ἀντιστροφῆς. καὶ πάλιν τὴν πέμπτην τὴν παντὶ καὶ οὐ παντὶ ἕκτην τάττει ὡς χηρεύουσαν τῆς κρείττονος πασῶν ἀποδείξεως τῆς ἐπ' εὐθεῖαν, μόνον δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεικνυμένης. τὴν δ' ἕκτην τὴν τινὶ καὶ οὐδενὶ πέμπτην τάττει ὡς κατ' ἄμφω δεικνυμένην, καὶ ἐπ' εὐθείας καὶ δι' ἀδυνάτου. ἔλθωμεν ἐντεῦθεν, εἰ δοκεῖ, ἐπὶ τὰς ἀποδείξεις. cod. Reg. 2061.

τὸ μὴ καθόλου οὐ τοῦ μηδετέρας οὔσης καθόλου σημαντικόν ἐστιν (ἀδύνατον γάρ, ὡς εἰρήκαμεν ἤδη, ἐκ δύο ἐπὶ μέρους προτάσεων συλλογισμὸν γενέσθαι) ἀλλ' ὅτι μὴ ἐξ ἀμφοτέρων καθόλου. Alex. f. 31 *b*.

28a 24. τινὲς μὲν οὖν οἴονται ἕν τι λαβόντες αἰσθητόν τι ὄν, κατὰ τούτου ἢ συνημμένου ἢ κεχωρισμένου ἔχειν ἀπ' ἀλλήλων τὰ κατηγορούμενα αὐτοῦ. εἰ δ' ἐκ πλειόνων ὑποκειμένων λαμβάνοιτο, οὐχ ἓν ἔσται. Alex. f. 32.

28a 29. ἀλλὰ καὶ τῷ ἐκθέσθαι ἔνεστι προσχρησαμένους ὁμοίως πάλιν δεῖξαι καὶ τοῦτον, εἰ μὴ καὶ αὐτὸς ἐμνημόνευσεν· ἂν γάρ τι τοῦ σ΄ αἰσθητὸν λάβωμεν τῷ τοῦτο ἐναργῶς ἐν μὲν τῷ ρ΄ εἶναι καὶ μετέχειν αὐτοῦ, τοῦ δὲ π΄ μὴ κοινωνεῖν, φανερὸν ἔσται ὅτι τὸ π΄ τινὶ τῷ ρ΄ οὐχ ὑπάρχει· τούτῳ γὰρ τῷ ἐκκειμένῳ καὶ εἰλημμένῳ οὐχ ὑπάρξει ὄντι τινὶ τοῦ ρ΄. id. ib.

28b 7. τοῦτον δὲ τὸν συλλογισμὸν οἱ περὶ Θεόφραστον τέταρτον ἔταξαν, ὅτι ἐδεήθη δύο ἀντιστροφῶν, Ἀριστοτέλης δὲ τρίτον, καὶ ἴσως διότι ἐν τρίτῳ σχήματι ἡ ἐλάττων ἦν πρότασις ἡ κῦρος ἔχουσα μάλιστα· ἀδιαφόρως γὰρ ἐν αὐτῷ ἔχει ἡ μείζων, καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν, ἡ δὲ ἐλάττων πάντως τῷ ποσῷ κεκοσμῆσθαι βούλεται, καὶ παρ' αὐτὴν ἢ συλλογιστικαὶ ἢ ἀσυλλόγιστοι γίνονται αἱ συμπλοκαὶ τῶν προτάσεων. Ioh. Phil. f. XXVIII *b*.

28b 20. σημειωτέον δὲ ὅτι χρῆται τῷ δι' ἐκθέσεως τρόπῳ καὶ ἐπὶ τῶν ἀποφατικῶν. ταύτην ἡμεῖς τὴν συζυγίαν τελευταίαν τῷ συλλογισμῷ ἐθήκαμεν, ἐπεὶ μὴ δι' ἀντιστροφῆς οἷόν τε δεῖξαι τὸ συναγόμενον δι' αὐτῆς. Alex. f. 33.

τὴν δι' ἐκθέσεώς φησι δεῖξιν· εἰ γὰρ λευκὸν οὐ παντὶ ἀνθρώπῳ, τὸ δὲ ζῷον παντὶ ἀνθρώπῳ, ἐὰν ληφθῇ τι τοῦ ἀνθρώπου ᾧ μὴ ὑπάρχειν τὸ λευκόν, οἷον ὁ Αἰθίοψ, ἔστι δὲ τοῦτο τοῦ ζῴου μέρος (παντὶ γὰρ ἀνθρώπῳ τὸ ζῷον ὑπάρχει), δῆλον ὅτι τὸ συμπέρασμα προ-

συλλογιζόμενος ὁρίσας παρ' αὑτῷ πρῶτον ὃ βούλεται δεῖξαι, οὕτως εἰς τοῦτο τῶν οἰκείων εὐπορεῖ προτάσεων. Alex. f. 23 *b* - 24 *b*.

26 b 39. τὴν κυρίως μὲν μέσην τάξιν ὁ μέσος ὅρος ἐκβεβηκὼς λοιπὸν ἔξω τῶν ἄκρων τίθεται, ἀλλ' ὑπεράνω τούτων ἢ ὑποκάτω. ἀλλ' εἰ μὲν ἐπάνω ᾖ ὡς ἀμφοτέρων κατηγορεῖσθαι, καλεῖται τῇ θέσει πρῶτος, εἰ δὲ κάτω ὡς ὑποκεῖσθαι, καλεῖται δεύτερος. Ioh. Phil. f. XXIII *b*.

27 a 14. τὸ δὲ "ὥστε ἔσται ὁ αὐτὸς συλλογισμός" προσέθηκε δεικτικὸν ὂν ὅτι διὰ τοῦ αὐτοῦ συλλογισμοῦ καὶ τοῦτο δειχθήσεται τὸ συμπέρασμα, τὸ ν' μηδενὶ τῷ ξ', δι' οὗ ἐδείχθη καὶ τὸ ξ' οὐδενὶ τῷ ν'. ἐδείχθη δὲ ἐκεῖνο συναγόμενον διὰ τοῦ δευτέρου τῶν ἐν τῷ πρώτῳ σχήματι, ἀντιστραφείσης τῆς καθόλου ἀποφατικῆς, ὥστε καὶ τοῦτο δι' ἐκείνου· τὸ γὰρ ἀντιστρέφειν τὸ καθόλου ἀποφατικὸν αὐτῷ, ὅπερ ἦν τὸ συμπέρασμα, κεῖται ὁμολογούμενον, καὶ οὐδὲν δεῖ ἄλλου συλλογισμοῦ τινὸς πρὸς τοῦτο. Alex. f. 25 *b*.

27 a 15. τῶν συλλογισμῶν οἱ μὲν ἐπ' εὐθείας ἀποδείκνυνται, οἱ δὲ δι' ἀντιστροφῆς, οἱ δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἥντινα καὶ καλοῦσι κύκλῳ δεῖξιν. καὶ ἐπ' εὐθείας μὲν πάντες οἱ ἐν τῷ πρώτῳ σχήματι ἀπεδείχθησαν, δι' ἀντιστροφῆς δὲ καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς οἵ τε ἐν τούτῳ καὶ τῷ τρίτῳ σχήματι. Ioh. Phil. f. XXIV *b*.

27 a 20. φανερώτερον δ' ἂν εἴη τὸ λεγόμενον, εἰ λίθος τεθείη· πάλιν γὰρ αἱ μὲν προτάσεις ἀληθεῖς ὁμοίως· ἡ γὰρ οὐσία καὶ ζῴῳ παντὶ καὶ λίθῳ, ζῷον δὲ οὐδενὶ λίθῳ. τὸν δὲ ἀριθμὸν αὐτὸς ἤτοι ἀντὶ μονάδος ἔλαβε· λέγουσι γὰρ τὴν μονάδα οὐσίαν· οὐ γάρ φασιν αὐτὴν ποσὸν τῷ μήτε συνεχὲς εἶναι μήτε διωρισμένον, οὐσίαν δὲ τῷ τῶν ἐναντίων εἶναι δεκτικήν· ἐναντία γὰρ ἡ ἀρχὴ καὶ τὸ πέρας, ἅπερ ἐν ἀριθμῷ μονὰς ἔχει ἄμφω. εἰ δέ ἐστι μονὰς τὸ ἀδιαίρετον ἐν ποσῷ, καὶ σημεῖον τὸ ἀδιαίρετον ἐν μεγέθει, καὶ νῦν τὸ ἀδιαίρετον ἐν χρόνῳ, εἴη ἂν ἐν γένεσι τούτοις· ταῦτα γὰρ ποσά. ἔτι ἡ μονὰς μέρος ἐστὶν ἀριθμοῦ· ὁ γὰρ ἀριθμὸς σύγκειται ἐκ μονάδων, τὸ δὲ τοῦ ποσοῦ μέρος ποσόν. ἄμεινον δὴ λέγειν αὐτὸν κοινότερον κεχρῆσθαι τῷ παραδείγματι, ὥσπερ οὖν καὶ ἐπ' ἄλλων χρώμενος εὑρεθήσεται οὐ πάνυ ἐξητασμένοις τοῖς παραδείγμασιν, ἐπεὶ καὶ τῶν Πυθαγορείων ἡ δόξα· οὐσίαι γὰρ κατὰ τοὺς Πυθαγορικοὺς οἱ ἀριθμοί, εἴγε ἀρχαὶ τῶν οὐσιῶν. αἴτιον δὲ τοῦ μὴ εἶναι ἐν δευτέρῳ σχήματι συλλογιστικὴν συζυγίαν τὴν ἐκ δύο καθόλου καταφατικῶν, ὅτι ὁ μέσος ὅρος ἀμφοτέρων κατηγορεῖται, μείζων δὲ ὁ κατηγορούμενος· μείζων τοίνυν ἀμφοτέρων ὢν δύναται κατ' ἄλλο μὲν αὐτοῦ μέρος τοῦ ἑτέρου ἄκρου κατηγορεῖσθαι κατ' ἄλλο δὲ τοῦ ἑτέρου, καὶ οὕτως οὐδὲν γίνεται κοινὸν ἔχοντα τὰ ἄκρα πρὸς ἄλληλα, ἂν κατ' ἄλλο κοινωνῶσι τοῦ μέσου· δεῖ γάρ τινος ἑνὸς καὶ τοῦ αὐτοῦ κοινωνεῖν τοὺς ἄκρους, εἰ μέλλει συλλογισμὸς ἔσεσθαι. Alex. f. 26. cf. Ioh. Phil. f. XXV.

27 b 2. ἐπὶ τοῦ τινὶ μὴ ὑπάρχειν τὴν δεῖξιν ποιησάμενος, ἐπεὶ τὸ τινὶ μὴ ὑπάρχειν ἴσον δυνάμενον τῷ μὴ παντὶ κατὰ τὴν λέξιν διαφέρει, μεταλαβὼν ἀντὶ τοῦ τὸ μ' τινὶ τῷ ξ' μὴ ὑπάρχειν τίθησι τὸ μ' οὐ παντὶ τῷ ξ' ὑπάρχειν, καὶ λέγει τὸν αὐτὸν συλλογισμὸν καὶ διὰ τῆς αὐτῆς δείξεως, κἂν εἰς τὴν λέξιν ταύτην μεταληφθῇ τὸ ἐπὶ μέρους ἀποφατικόν· ὁμοίως γὰρ καὶ τὸ συμπέρασμα τῇ λέξει διοίσει· συναχθήσεται γὰρ τὸ ν' οὐ παντὶ τῷ ξ'. τοιοῦτός ἐστιν ὁ ὑποσυλλογιστικὸς ὑπὸ τῶν νεωτέρων λεγόμενος, ὁ λαμβάνων μὲν τὸ ἰσοδυναμοῦν τῇ προτάσει τῇ συλλογιστικῇ, ταὐτὸν δὲ καὶ ἐκ ταύτης συνάγων· τὸ γὰρ τινὶ μὴ ὑπάρχειν τῷ μὴ παντὶ ὑπάρχειν ἰσοδύναμον ὂν μετείληπται. ἀλλ' ἐκεῖνοι μὲν λέγουσι τοὺς τοιούτους συλλογισμοὺς εἰς τὴν φωνὴν καὶ τὴν λέξιν βλέποντες· ἀλλὰ Ἀριστοτέλης πρὸς τὰ σημαινόμενα ὁρῶν ἐφ' ὧν ὁμοίως σημαίνεται, οὐ πρὸς τὰς φωνάς, τὸν αὐτόν φησι συνάγεσθαι συλλογισμὸν καὶ ἐν τῇ τοιαύτῃ τῆς λέξεως ἐν τῷ συμπεράσματι μεταλήψει, ἂν ᾖ συλλογιστικὴ ὅλως συμπλοκή. ἄξιον δὲ ἐπιστῆσαι πῶς ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγή, ἔξωθεν τὴν ὑπόθεσιν πρὸς τὴν τοῦ προκειμένου δεῖξιν λαμβάνουσα, ἐστὶ συλλογιστική. Alex. f. 27.

27 b 4. καὶ ἄξιον, φησὶν ὁ ἡμέτερος φιλόσοφος, δύο τινὰ ζητῆσαι, τοῦτο μὲν πῶς ἐν τῇ προκειμένῃ λέξει πρω μὲν ὡς ἐπὶ τῆς παντὶ καὶ τινὶ καὶ οὐδενὶ καὶ οὐ παντί, ἐπ' ἀμφοτέρων ἔστιν εὐπορεῖν ὅρων τὸ παντὶ καὶ οὐδενὶ συναγόντων, παρακατιὼν δὲ ὥσπερ αὐτοῦ ἐπιλαθόμενος φησὶν ὅτι ἔστι μὲν εὐπορεῖν ὅρων τὸ οὐδενὶ συναγόντων, οὐ μὴν τὸ παντί (p. 27 *b* 16). β' ζητητέον πῶς φησὶ διὰ τοῦτο μὴ εὐπορεῖν ὅρων τὸ παντὶ συναγόντων, διότι τὸ οὐ παντὶ συνάγεται καὶ συμβήσεται τὸ παντὶ καὶ οὐ παντὶ συνάγεσθαι, ὅπερ ἀδύνατον. ἀντίφασις γάρ, εἴγε καὶ συλλογιστικαί ποτε ἀντίφασιν συνάγουσιν· ὁ γὰρ τὸ τινὶ συνάγων παρὰ τὴν διάφορον ὕλην, ὡς ἀνωτέρω εἴρηται, τὸ παντὶ καὶ οὐ παντὶ συνάγει. πρὸς μὲν οὖν τὸ α' φαμὲν ὅτι οὐκ ἐναντιοῦται ἑαυτῷ ποτὲ μὲν λέγων ὅτι ἔστιν εὐπορεῖν ὅρων τὸ παντὶ καὶ οὐδενὶ συναγόντων, ποτὲ δὲ μὴ εὐπορεῖν τὸ παντὶ συναγόντων· πρὸς ἄλλο γὰρ καὶ ἄλλο ἀπιδὼν τοῦτο φησίν· τὸ γὰρ τινί ποτὲ μὲν τῷ παντὶ ἰσοδυναμεῖ ποτὲ δὲ τῷ οὐ παντί... πρὸς δὲ τὸ β' φαμὲν ὅτι ποτὲ μὲν δυνατόν ἐστιν ἀντίφασιν συνάγεσθαι ποτὲ δὲ ἀδύνατον. cod. Reg. 2061.

27 b 7. δόξῃ δὲ προσχρῆται τῶν Πυθαγορικῶν, οἷς ἐδόκει ἡ μονὰς οὐσία εἶναι, ὥσπερ καὶ πρὸ ὀλίγου τῷ ἀριθμῷ. ἡ δὲ αὐτὴ δεῖξις, κἂν ἀντὶ τῆς μονάδος ληφθῇ λίθος. Alex. f. 27 *b*.

παραδείγματα τοῦ μὲν παντὶ οὕτως. ζῷον τινὶ οὐσίᾳ, ζῷον οὐδενὶ λίθῳ, καὶ συμπέρασμα οὐσία παντὶ λίθῳ. ἀντὶ δὲ τοῦ λίθου αὐτὸς ἐν τῷ ἐλάττονι ὅρῳ μονάδα ἔλαβε κατὰ τοὺς Πυθαγορικούς, ὡς εἴρηται, τὴν μονάδα οὐσίαν καλῶν. Ioh. Phil. f. XXVI.

ἰστέον δὲ ὅτι ἡνίκα συνάγει "οὐσία πάσῃ μονάδι," μονάδα λαμβάνει τὰς ἰδέας. φησὶ δὲ ὁ ἡμέτερος φιλόσοφος, ἀλλ' εἰ τοῦτό ἐστιν ἀληθές, ψευδής ἐστιν ἡ ἐλάττων πρότασις ἡ λέγουσα ζῷον οὐδεμιᾷ μονάδι· τὸ γὰρ αὐτοζῷον τῶν ἰδεῶν κατηγορεῖται κατηγορικῶς. μήποτε οὖν ληπτέον ἀντὶ μονάδος λίθον, ἵνα ὑπάρχοι τοιοῦτον τὸ λεγόμενον, ζῷον τινὶ οὐσίᾳ, ζῷον οὐδενὶ λίθῳ, καὶ συνάγηται οὐσία παντὶ λίθῳ καὶ τὰ ἑξῆς. cod. Reg. 2061.

27 b 10. δεῖται προσθήκης τινὸς ἔξωθεν ὁ λόγος οὗτος, πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός, ὁμοιοσχημόνων αὐτῶν οὐσῶν· εἰ γὰρ μὴ προσυπακούσωμεν τοῦτο, εὑρεθήσεται ψευδὴς ὁ λόγος. Ioh. Phil. f. XXVI.

27 b 15. Ἀριστοτέλης μὲν οὖν οὕτως διέλαβε τὰς προειρημένας συζυγίας ὅτι ἀσυλλόγιστοι, τῷ εὐπορῆσαι ὕλης καὶ τοῦ παντὶ καὶ μηδενί· ἱκα-

γὰρ ἔλαττον ἀληθής ἐστι καὶ τότε ἢ ὅτε καθ' ἑαυτὴν λαμβάνοιτο μὴ διαβάλλεσθαι μηδὲ διαλέγεσθαι τῇ τῆς ὕλης παραθέσει· τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν "ἦν γὰρ καὶ ἐπὶ τούτων." δεῖ δὲ καὶ ἐπὶ τῆς ἑξῆς λέξεως ἀντὶ τοῦ δέ τὸν γάρ σύνδεσμον μεταλαβεῖν· γίνεται γὰρ οὕτως σαφέστερον τὸ λεγόμενον· ὁμοίως γὰρ δειχθήσεται ὡσανεὶ εἰ καὶ καθόλου ἦν στερητικὸν εἰλημμένον. ἀδιόριστον δὲ εἶπε τὸ τινὶ μή, οὐχ ὡς τῆς προτάσεως οὔσης ἀδιορίστου (διωρισμένη γάρ, εἴγ' ἐστὶν ἐπὶ μέρους, τὸ δ' ἐπὶ μέρους διορισμός, ὥσπερ καὶ τὸ καθόλου) ἀλλ' ὡς τοῦ ἀληθοῦς τοῦ ὑπ' αὐτοῦ σημαινομένου μὴ διωρισμένου τῷ δύνασθαι ἀληθὲς αὐτὸ εἶναι, καὶ εἰ μηδενὶ ὑπάρχει ὃ λαμβάνεταί τινι μὴ ὑπάρχειν, ὡς ἤδη προεῖπον. Alex. f. 21 *b* sq.

26b 21. διαστήματα τὰς προτάσεις καλεῖ δι' ἣν ἐν τοῖς ἔμπροσθεν εἴπομεν αἰτίαν, κατὰ τὸν ζῆλον λέγω γεωμετρικόν· ὥσπερ γὰρ ἐκεῖνοι τὰ μὲν σημεῖα πάντων ἁπλούστερα ὄντα καὶ οἷον ἀρχοειδέστερα ὅρους καλοῦσι, τὰ δὲ ἀπὸ τούτων, τουτέστι τὰς γραμμάς, διαστήματα, ἔτι δὲ τὰ ἐκ τούτων συγκείμενα σχήματα, τὸν αὐτὸν τρόπον καὶ αὐτὸς τὸ μὲν ὄνομα καὶ τὸ ῥῆμα, ἅ ἐστιν ἁπλούστερα καὶ εἰς ἃ ἀναλύεται ὁ συλλογισμός, ὅρους ὠνόμασεν, τὰς δὲ ἐκ τούτων συγκειμένας προτάσεις διαστήματα, τὰ δὲ ἐκ τούτων αὐτῶν σχήματα. Ioh. Phil. f. XXIII.

26b 24. δῆλον δὲ τὸ αἴτιον τοῦ τὰς τοιαύτας συμπλοκὰς πάσας ἀσυλλογίστους εἶναι· τῷ γὰρ μὴ εἰλῆφθαι καθόλου ὁ μέσος οὐ κατὰ ταὐτὸν ἀμφοτέροις κοινωνῶν ἀλλὰ δυνάμενος τίθεσθαι κατ' ἄλλο καὶ ἄλλο σχεδὸν οὐδὲ μέσος ἐστὶν αὐτῶν. εἰκότως δὲ ἐκ δύο ἐπὶ μέρους προτάσεων οὐδὲν συνάγεται συλλογιστικῶς, ὅτι κεῖται ἡ συλλογιστικὴ πίστις διὰ τοῦ καθόλου πιστοῦσθαι καὶ δεικνύναι τι τῶν ὑπ' αὐτό. ὅσοι δὲ ἡγοῦνται ἐκ δύο ἐπὶ μέρους συλλογιστικῶς τι συνάγεσθαι, ὡς οἱ τοὺς παρὰ τοῖς Στωϊκοῖς λεγομένους ἀμεθόδως περαίνοντας παρεχόμενοι εἰς δεῖξιν τούτου καὶ ἄλλα τινὰ παραδείγματα ἀθροίζοντες, ἢ διαβαλλέτωσαν τὰ ὑπ' Ἀριστοτέλους εἰρημένα παραδείγματα εἰς ἔλεγχον τοῦ εἶναι ἀσυλλόγιστον τὴν τοιαύτην συμπλοκήν, δείξαντες αὐτὴν ψευδῆ, καὶ λέγοιεν ἄν τι· εἰ δὲ μή, ἴστωσαν ὅτι ἱκανὸν καὶ τὸ ὄντι παρατεθὲν ἀσυλλόγιστον ἐργάζεσθαι συζυγίαν, πρὸς τῷ καὶ τὰ παραδείγματα ἃ παρέχονται μὴ τοῖς λαμβανομένοις καὶ τεθειμένοις ἔχειν ἐξ ἀνάγκης ἑπόμενον τὸ συμπέρασμα, μηδὲ τῷ ταῦτα εἶναι ἀλλὰ τῷ ἀληθῆ εἶναι ἐπ' αὐτῶν τὴν καθόλου πρότασιν, παρ' ἣ ἔχοντες τὸ συμπέρασμα, ἐν τῇ τῶν προτάσεων συλλήψει παραλείποντες ἐκείνην, τὴν ἐλάττονα εἰς δύο διαιροῦσιν· πάντες γὰρ οὕτως συνάγουσι τῶν λεγομένων ὑπ' αὐτῶν ἀμεθόδως περαίνειν οἱ τὰς δύο προτάσεις ἐπὶ μέρους ἔχοντες. ῥᾴδιον δὲ ἐπὶ τῶν παραδειγμάτων ὧν παρέχονται τοῦτο δεικνύναι. καὶ τἄλλα δὲ ὅσα ἡμαρτημένως λαμβάνουσι, βιαζόμενοι δεικνύναι συλλογιστικὴν τὴν τοιαύτην συζυγίαν, οὐ χαλεπὸν ἐλέγχειν. Alex. f. 22.

26b 28. διὰ ταῦτα μάλιστα πρῶτον τοῦτο τὸ σχῆμα. διὸ καὶ αὐτὸς ταῦτα πάντα προειπὼν ἐπήνεγκε "καλῶ δὲ τὸ τοιοῦτον σχῆμα πρῶτον," ὡς ἀποδεδωκὼς τὰς αἰτίας τοῦ τοῦτο εὐλόγως καλεῖν πρῶτον. αὐτὸς μὲν τούτους τοὺς ἐγκειμένους συλλογισμοὺς δ' ἔδειξε προηγουμένως ἐν τῷ πρώτῳ σχήματι γινομένους, Θεόφραστος δὲ προσέθηκεν ἄλλους πέντε τοῖς τέσσαρσι τούτοις οὐκέτι τελείους οὐδ' ἀναποδείκτους ὄντας. ὧν μνημονεύει καὶ Ἀριστοτέλης, τῶν μὲν ἐν τούτῳ τῷ βιβλίῳ προελθών, τῶν δὲ ἐν τῷ μετὰ τοῦτο τῷ δευτέρῳ κατ' ἀρχάς, τῶν μὲν τριῶν τῶν κατὰ ἀντιστροφὴν τῶν συμπερασμάτων γινομένων, τοῦ τε πρώτου ἀναποδείκτου καὶ τοῦ δευτέρου καὶ τοῦ τρίτου, ἐν τῷ δευτέρῳ κατὰ τὰς ἀρχάς (p. 53 *a* 3), ἐν οἷς ζητεῖ εἰ ἐνδέχεται πλείονα συμπεράσματα γενέσθαι ἐπὶ τοῖς αὐτοῖς κειμένοις, τῶν δὲ καταλειπομένων δύο ἐν τούτοις οἷς λέγει ὅτι τῶν ἀσυλλογίστων συζυγιῶν αἱ μὲν ὁμοιοσχήμονες τέλειοί εἰσιν ἀσυλλόγιστοι, ἐν δὲ ταῖς ἀσυλλογίστοις ταῖς ἐχούσαις τὸ ἀποφατικὸν καθόλου καὶ οὔσαις ἀνομοιοσχήμοσι συνάγεταί τι ἀπὸ τοῦ ἐλάττονος ὅρου πρὸς τὸν μείζονα. αὗται δέ εἰσιν ἐν πρώτῳ σχήματι δύο συμπλοκαί, ἥ τε ἐκ καθόλου καταφατικῆς τῆς μείζονος καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος, καὶ ἡ ἐξ ἐπὶ μέρους καταφατικῆς τῆς μείζονος καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος. αἱ γὰρ παρὰ ταύτας συζυγίαι ἢ συλλογιστικαί εἰσιν ἢ ὁμοιοσχήμονες ἢ οὐκ ἔχουσαι τὴν ἐλάττονα καθόλου ἀποφατικήν· ὧν τὸν μὲν ὄγδοον τὸν δὲ ἔνατον Θεόφραστος λέγει. συνάγεται δὲ ἀντιστρεφομένων ἀμφοτέρων τῶν προτάσεων ἐπὶ μέρους ἀποφατικὸν ἀπὸ τοῦ ἐλάττονος ὅρου πρὸς τὸν μείζονα συμπέρασμα, ὃ εἰ μὲν ἀντέστρεφεν, ἦν ἂν ἀναγκαίως καὶ προηγουμένως ἑκατέρα τῶν συζυγιῶν συλλογιστικὴ δι' ἀντιστροφῆς τοῦ συμπεράσματος δεικνύουσα τὸ προκείμενον· ἐπεὶ δὲ μὴ ἀντιστρέφει, πρὸς μὲν τὴν τοῦ προκειμένου δεῖξιν ἀσυλλόγιστοι αἱ συζυγίαι, ἄλλο μέντοι δύναται δι' αὐτῶν συλλογιστικῶς συνάγεσθαι. ἐπισημανούμεθα δὲ περὶ αὐτῶν, ἐπειδὰν κατ' ἐκείνους γενώμεθα τοὺς τόπους. Alex. f. 22 *b* sq.

ζητεῖται εἰ φύσει ἐν δευτέρῳ σχήματι μείζων τις ἐστὶ καὶ ἐλάττων ἄκρος, καὶ τίνι οὗτος κριθήσεται; ... τὸ μὲν οὖν λέγειν, ὡς Ἑρμῖνος οἴεται, ἐν τῷ δευτέρῳ σχήματι τὸν μείζονα ἄκρον εἶναι, ἐὰν ἀμφότεροι ὁμογενεῖς ὦσιν ὧν ὁ μέσος κατηγορεῖται, τὸν ἐγγύτερον τοῦ κοινοῦ γένους αὐτῶν· ἂν γὰρ ὦσιν οἱ ἄκροι ὄρνεον καὶ ἄνθρωπος, ἐγγυτέρω τοῦ κοινοῦ γένους αὐτῶν τοῦ ζῴου τὸ ὄρνεον τοῦ ἀνθρώπου, καὶ ἐν τῇ πρώτῃ διαιρέσει, δι' ἣν καὶ μείζων ἄκρος, τὸ ὄρνεον, καὶ καθόλου ἐν τοῖς ὁμογενέσιν ὁ οὕτως ἔχων πρὸς τὸ κοινὸν γένος μείζων. εἰ δ' εἶεν ἴσον ἀφεστῶτες ἀμφότεροι τοῦ κοινοῦ γένους, ὡς ἵππος καὶ ἄνθρωπος, δεῖν περισκοπεῖν τὸν μέσον τὸν κατηγορούμενον αὐτῶν, τίνος μὲν δι' αὐτὸν κατηγορεῖται τίνος δὲ δι' ἄλλον κατηγορούμενον, καὶ συγκρίνειν τὸν δι' ὃν κατηγορεῖται τοῦ ἑτέρου τῷ δι' ὃν καθ' ἑαυτὸν κατηγορεῖται... τὸ δὴ ταῦτα λέγειν, καὶ ζητεῖν καὶ φύσει δεικνύναι ἐν τῷ δευτέρῳ σχήματι τὸ μεῖζον ἄκρον, πρὸς τῷ περιεργίαν ἔχειν οὐδὲ ἀληθές ἐστιν... ἀλλ' οὐδὲ ἁπλῶς πάλιν ῥητέον μείζονα τὸν ἐν τῷ συμπεράσματι τοῦ συλλογισμοῦ κατηγορούμενον, ὡς δοκεῖ τισίν· οὐδὲ γὰρ οὗτος δῆλος· ἄλλοτε γὰρ ἄλλος ἔσται, οὐχ ὡρισμένος, τῷ ἀντιστρέφειν τὴν καθόλου ἀποφατικήν... ὥστε οὐ τὸ συμπέρασμα τοῦ μείζονος δεικτικόν, ἀλλὰ τὸ λαβεῖν τινὰ μείζονα αἴτιον τοῦ καὶ ἐν τῷ συμπεράσματι τοῦτον κατηγορεῖσθαι. ἀλλ' οὐδὲ λέγειν οἷόν τέ ἐστιν ὅτι μηδὲ ἔστι τις ἐν αὐτῷ μείζων... δεῖ δὴ μείζονά τε ἡγεῖσθαι ὅρον καὶ πρῶτον τιθέναι, ὃν ἐν τῷ προβλήματι βουλόμεθα δεῖξαί τε καὶ συναγαγεῖν, ὃν κατηγορούμενον ἔχομεν· πᾶς γὰρ ὁ 26b 37.

λαμβάνειν καὶ μὴ περιλαμβάνειν. γίνεται οὖν παρὰ τὴν τῆς ὕλης διαφορὰν τἀναντία ἀληθῆ ἐπὶ τῆς τοιαύτης τῶν προτάσεων συμπλοκῆς. αἱ δὲ οὕτως ἔχουσαι συμπλοκαὶ ἀσυλλόγιστοι. ἔστω γὰρ τὸ μὲν α΄ ζῷον, τὸ δὲ β΄ ἄνθρωπος, τὸ δὲ γ΄ ἵππος· ζῷον παντὶ ἀνθρώπῳ, ἄνθρωπος οὐδενὶ ἵππῳ, ζῷον παντὶ ἵππῳ· τῷ γὰρ ὑπερεκπίπτειν τοῦ ἀνθρώπου τὸ ζῷον περιέχει καὶ τὸν ἵππον, οὐ κατὰ τὴν τοῦ μέσου κοινωνίαν αὐτοῦ καὶ αἰτίαν. ἐὰν δὲ ἀντὶ τοῦ ἵππος λίθος τεθῇ, ἡ μὲν ἀλήθεια τῶν προτάσεων ὁμοία· καὶ γὰρ τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου, καὶ ἄνθρωπος κατ' οὐδενὸς λίθου, καὶ τὸ ζῷον κατ' οὐδενὸς λίθου. ἀδόκιμος δὲ αὕτη ἡ συζυγία, οὐκ αὐτὴ τὴν ὕλην εἰδοποιοῦσα ἀλλὰ συμμεταπίπτουσα τῇ ἐκείνης διαφορᾷ καὶ μηδὲν ἀναγκαῖον συνάγουσα ἐκ τῶν κειμένων. Alex. f. 18 *b* sq.

26a 9. αἰτία δὲ τοῦ μηδὲν συνάγεσθαι ἐν τῇ τοιαύτῃ συζυγίᾳ συλλογιστικῶς, ὅτι ὁ μέσος οὐδεμίαν ἔχει σχέσιν πρὸς οὐδέτερον τῶν ἄκρων, ἀλλ' οὕτως ἔχει ὡς εἰ καὶ μηδὲ τὴν ἀρχὴν ἐλήφθη. περὶ δὲ τοῦτον ὁ συλλογισμός. Alex. f. 19.

26a 14. δόξει οὐκ ἀναγκαῖον εἶναι, εἰ ἔστι καθόλου ἀποφατικὸν συμπέρασμα συλλογιστικῶς γεγονός, καὶ τοὺς ὅρους οὕτως ἔχειν, ὡς εἰρήκαμεν, ἐν τῇ δευτέρᾳ συζυγίᾳ τῶν ἐν πρώτῳ σχήματι· δύναται γὰρ ταὐτὸν συμπέρασμα συλλογιστικῶς δειχθῆναι καὶ ἄλλως ἐχόντων τῶν ὅρων· καὶ γὰρ ἐν δευτέρῳ σχήματι τὸ καθόλου ἀποφατικὸν δείκνυται, καὶ διχῶς γε· ὥστ' οὐκ ἀληθὲς δόξει τὸ "ὄντος συλλογισμοῦ τοὺς ὅρους ἀναγκαῖον ἔχειν ὡς εἴπομεν." δεῖ οὖν προσυπακούειν, ἵν' ἀληθὲς ᾖ τὸ λεγόμενον, καὶ ἐν τούτῳ τῷ σχήματι, ὡς προείρηκε διὰ τοῦ "καθόλου μὲν ὄντων τῶν ὅρων τούτῳ τῷ σχήματι." ὥστε καὶ ἃ ἐπιφέρει περὶ τῶν ἐν τούτῳ τῷ σχήματι λέγει. δύναται δέ τις καὶ ἐπὶ τῶν ἐν δευτέρῳ σχήματι τῶν τὸ καθόλου ἀποφατικὸν συναγόντων λέγειν τὸ εἰρημένον καὶ ἁρμόζειν· καὶ γὰρ καὶ ἐκεῖ, εἰ καὶ μὴ ἡ τάξις τῶν προτάσεων οὕτως κεῖται, ὡς ἄλλως ἐχόντων τῶν ὅρων πρὸς ἀλλήλους καὶ οὐχ ὡς ἐν τῷ πρώτῳ σχήματι, ἀλλὰ καὶ τότε δυνάμει οὕτως ἔχουσι. κατὰ γοῦν τὴν εἰς τὸ πρῶτον σχῆμα διὰ τῶν ἀντιστροφῶν τῶν προτάσεων ἀνάλυσιν δείκνυνται συλλογιστικαὶ οὖσαι αἱ συζυγίαι· ὥστε καὶ τότε οὕτως ἔχουσιν οἱ ὅροι πρὸς ἀλλήλους ὡς εἴρηκεν ἐπὶ τῆς ἐν τῷ πρώτῳ σχήματι δευτέρας συζυγίας· εἰς γὰρ ταύτην ἀνάγονται οἱ καθόλου ἀποφατικοὶ ἐν δευτέρῳ συνάγοντες σχήματα, ὡς προϊὼν δείξει. id. ib.

26a 17. οὐκ ἀργῶς μοι δοκεῖ προστεθεικέναι τὸ "ὁ δ' ἐν μέρει πρὸς τὸν ἕτερον·" δύναται γὰρ καὶ ἐν μιᾷ καὶ τῇ αὐτῇ προτάσει τῶν ὅρων ὁ μὲν καθόλου εἶναι ὁ δ' ἐν μέρει, καθόλου μὲν ὁ ὑποκείμενος ὅρος λαμβανόμενος, ἐν μέρει δὲ ὁ κατηγορούμενος, οὗ μέρος κατὰ τοῦ ὑποκειμένου λέγεται... ἵν' οὖν ἐν συμπλοκῇ προτάσεων δηλώσῃ τὸ καθόλου καὶ ἐν μέρει τῶν ὅρων καὶ μὴ ἐν προτάσει μιᾷ μηδ' ἐν ἀντιστροφῇ, προσέθηκε τὸ "πρὸς τὸν ἕτερον," τουτέστιν ὅταν καθόλου κατηγορῆταί τις ὅρος, καὶ οὗτος ἄλλου τινὸς ἐπὶ μέρους κατηγορεῖται. ἢ ἔτι ἁπλούστερον, ὅταν ὁ αὐτὸς ὅρος πρὸς μὲν ἄλλον ὅρον καθόλου ᾖ, πρὸς δὲ ἄλλον ἐπὶ μέρους ἐν τῇ προειρημένῃ συμπλοκῇ. Alex. f. 19 *b*.

26a 21. τὸ δὲ "ἢ ἄλλως πως ἔχωσι" δηλωτικόν ἐστι τοῦ, ἂν μὲν ἡ μείζων τὸ ἐπὶ μέρους εἶναι μεταλάβοι, ἡ δὲ ἐλάττων τὸ καθόλου· οὕτως γὰρ ἐχουσῶν οὐ γίνεται συλλογισμός. δύναται δὲ καὶ τὸ ὅταν πρὸς τὸ ἔλαττον τὸ καθόλου μετενεχθῇ, καὶ ὅσον γε ἐπὶ τοῖς φερομένοις, τουτέστι τὸ λεγόμενον. καὶ εἴη ἂν τὸ "καὶ ἄλλως πως ἔχωσιν οἱ ὅροι" εἰρημένον περὶ τῆς ἐλάττονος προτάσεως, ἂν μὴ μεταλάβοι μὲν αὕτη τὸ καθόλου, μένουσα δὲ ἐπὶ μέρους ἀποφατικὴ ληφθείη. id. ib.

δεῖ πάντων τῶν λεγομένων ἀκούειν ὡς ἐπὶ τοῦ πρώτου σχήματος λεγομένων· καὶ γὰρ καὶ τὸ νῦν λεγόμενον οὕτως ἔχει ἐν τῷ πρώτῳ σχήματι. Alex. f. 20.

26a 28. πάντες δὲ οἱ προειρημένοι τέλειοι· πάντες γὰρ τῷ κατὰ παντὸς μόνῳ ἢ τῷ κατὰ μηδενὸς χρώμενοι, ὅ ἐστι κείμενον, φανερὰν τὴν συναγωγὴν ἔχουσιν. id. ib.

εἴρηται ἐν τῷ περὶ Ἑρμηνείας (c. 7) τῷ Ἀριστοτέλει ὅτι ἰσοδυναμοῦσιν αἱ ἀδιόριστοι προτάσεις ταῖς μερικαῖς. Ioh. Phil. f. XXI.

26a 30. ἔτι δὲ παρὰ τούτους εἰσὶν οἱ καλούμενοι ἀντανακλώμενοι, οἳ καὶ ἐκ τούτων γίνονται μόνου τοῦ συμπεράσματος ἀντιστρέφοντος κατὰ τὴν οἰκείαν ἀντιστροφήν. οἷον εἰ τὸ συμπέρασμά ἐστι καθόλου ἀποφατικόν, ἔσται ὁ ἀντανακλώμενος ὧδε· λίθος κατ' οὐδενὸς ζῴου, ζῷον κατὰ παντὸς ἀνθρώπου, λίθος κατ' οὐδενὸς ἀνθρώπου, καὶ ἄνθρωπος κατ' οὐδενὸς λίθου. Ioh. Phil. f. XXI *b*.

26a 34. εἰπὼν "τὸ δὲ β΄ παντὶ τῷ γ΄ ὑπάρχει" οὐκέτι ἐπήγαγεν "ἢ μὴ ὑπάρχει," διότι αἱ μὲν μερικαὶ ἰσοδυναμοῦσιν ἀλλήλαις καὶ δύνανται ἅμα συναληθεύειν καὶ διὰ τοῦτο κοιναὶ καὶ αἱ περὶ αὐτῶν ἀποδείξεις, αἱ δὲ καθόλου συναληθεύειν οὐ δύνανται, ὡς δέδεικται ἐν τῷ περὶ Ἑρμηνείας (c. 7). id. ib.

26a 36. σημειωτέον δὲ ὅτι ἐν ᾗ μὲν ἂν συζυγίᾳ ἡ ἐλάττων καθόλου ἐστὶ καταφατική, τῆς μείζονος οὔσης ἐπὶ μέρους, τὸ ἀσυλλόγιστον διὰ τὴν μείζονα ἐπὶ μέρους οὖσαν, ἐν ᾗ δὲ τῆς μείζονος ἐπὶ μέρους οὔσης ἢ ἀδιορίστου ἡ ἐλάττων καθόλου ἐστὶν ἀποφατική, τὸ ἀσυλλόγιστον παρ' ἀμφοτέρων τῶν προτάσεων· καὶ γὰρ παρὰ τῆς μείζονος (ἐπὶ μέρους γάρ) καὶ παρὰ τῆς ἐλάττονος, ὅτι ἀποφατική. Alex. f. 20.

26a 39. δείξας δὲ διὰ τῶν πρώτων ἀσυλλογίστους συζυγίας ἐφ' ὧν ἡ μείζων ἦν ἐπὶ μέρους, νῦν δεικνύουσιν ἀσυλλογίστους καὶ ἐν αἷς οὔσης τῆς μείζονος καθόλου ἢ καταφατικῆς ἢ ἀποφατικῆς ἡ ἐλάττων ἐπὶ μέρους ἐστὶν ἀποφατική. δι' οὗ δείκνυται πῶς εἶπεν ἐν τοῖς ἐπάνω τὸ "ὅταν δὲ πρὸς τὸ ἔλαττον ᾖ καὶ ἄλλως πως ἔχωσιν οἱ ὅροι (p. 26 *a* 20)." γίνεται δὲ ἐν ταῖς τοιαύταις συμπλοκαῖς τὸ ἀσυλλόγιστον πάλιν περὶ τὴν ἐλάττονα οὖσαν ἀποφατικήν. Alex. f. 20 *b*.

26b 14. ἐμνημόνευσε δὲ τοῦ οὕτως ἀδιορίστου καὶ Θεόφραστος ἐν τῷ περὶ Καταφάσεως. τὸ γὰρ εἶναί τι τούτων καὶ τὸ τὸ ἕτερον εἶναι ἀδιόριστα λέγει, τὸ μὲν εἶναί τι τούτων, ὅτι καὶ πάντων ὄντων ἀληθὲς καὶ τῶν μὲν ὄντων τῶν δὲ μή, τὸ δὲ τὸ ἕτερον εἶναι, ὅτι καὶ τοῦτο ἀληθὲς καὶ ἀμφοτέρων ὄντων καὶ τοῦ ἑτέρου μόνου. ἐπεὶ τὸ ἀληθὲς τοίνυν οὐ διώρισαι τοῦ ἐπὶ μέρους ἀποφατικοῦ, ἀλλ' ἔστι καὶ ἐπὶ τοῦ ἐπὶ μέρους ἰδίως ἀποφατικοῦ καὶ ἐπὶ τοῦ καθόλου ἀποφατικοῦ ἀληθευόμενον... Alex. f. 21 *b*.

26b 19. εἰ γὰρ ἦν συλλογιστική, ἔδει καὶ ὅτε οὕτως ἀληθὴς λαμβάνεται ἡ ἐπὶ μέρους ἀποφατικὴ τῷ ὑπὸ τὴν καθόλου ἀποφατικὴν εἶναι· οὐδὲν

ἐκείνου δεῖξιν, ὃς προσληφθεὶς ἢ συνάξει τοὺς ἐν τῷ προβλήματι ἢ χωρίσει καὶ διαστήσει. δεῖ δὲ τοῦτον τὸν προσλαμβανόμενον ἔξωθεν ὅρον σχέσιν τινὰ ἔχειν ποιὰν πρὸς τοὺς ἐν τῷ προβλήματι δύο ὅρους. οὗτος δὲ ληφθεὶς μέσος ἀμφοτέρων γίνεται καὶ διαιρεῖ τὸ πρόβλημα καὶ ποιεῖ τὴν μίαν πρότασιν ἐν ἑκατέρῳ αὐτῶν, καὶ αὐτὸς προσλαμβανόμενος καὶ ἑκατέρῳ συντιθέμενος τῶν ἐν τῷ προβλήματι ὅρων ἐν μέρει, ποτὲ μὲν τῷ ὑποκειμένῳ ποτὲ δὲ τῷ κατηγορουμένῳ. καὶ τούτῳ γνωρίζεται ὁ μέσος ἔξωθεν παρειλημμένος τῷ δὶς λαμβάνεσθαι καὶ ἐν ἀμφοτέραις ταῖς προτάσεσιν εἶναι. καὶ καλεῖται ἡ τοιαύτη τῶν προτάσεων συμπλοκὴ συζυγία· συζυγία γάρ ἐστι κοινωνία δύο προτάσεων κατὰ ἕνα ὅρον ὃς ἐστὶ μέσος... καὶ ἔστι μόνα ταῦτα τὰ τρία σχήματα, ὅτι καθόλου μὲν ἡ τοῦ μέσου λῆψις ἦν τῶν συζυγιῶν καὶ τῶν σχημάτων γεννητική, παρὰ δὲ τοὺς προειρημένους τρόπους ἀδύνατον κατ' ἄλλην τινὰ σχέσιν ἐν τρισὶν ὅροις μέσον ὅρον πρὸς τοὺς ἄκρους τοὺς δύο συνταχθῆναι, πᾶς δὲ συλλογισμὸς ἁπλῶς ἐκ τριῶν ὅρων καὶ δύο προτάσεων, ὡς δείξει. ἐπεὶ δὲ καθ' ἕκαστον σχῆμα καὶ συλλογιστικαί τινές εἰσι συζυγίαι καὶ ἀσυλλόγιστοι, περὶ τούτων ποιήσεται τὸν λόγον, καὶ δείξει πόσοι καὶ τίνες οἱ καθ' ἕκαστον σχῆμα συλλογισμοί. καὶ πρῶτόν γε τὸν λόγον περὶ τοῦ πρώτου σχήματος, ὡς εἶπον, ποιεῖται· εἰκότως γὰρ πρῶτον τοῦτο ἐν ᾧ ὁ μέσος οὐ τῇ πρὸς τοὺς ἄκρους σχέσει μόνον ἀλλὰ καὶ τῇ τάξει μέσος ἐστὶ καὶ τῇ θέσει· εἰ γὰρ σχήμασι τῆς γενέσεως ὁ μέσος ὅρος αἴτιος, τούτων καὶ τῆς τάξεως ἂν εἰκότως αὐτὸς εἴη κύριος. προτάσσει οὖν τοῦτο τὸ σχῆμα τῶν ἄλλων, ἐν ᾧ τυγχάνει μέσος ὁ αὐτὸς ὢν κατὰ πάντα. ἔτι οἱ μὲν ἐν τούτῳ τῷ σχήματι γινόμενοι συλλογισμοὶ τέλειοί εἰσιν, ἀτελεῖς δ' οἱ ἐν τοῖς ἄλλοις καὶ παρὰ τούτου βοηθούμενοι· πρότερον δὲ τὸ τέλειον τοῦ ἀτελοῦς. ἔχει δὲ καὶ τὰ δύο σχήματα τὴν γένεσιν ἀπὸ τοῦ πρώτου... ἀλλὰ καὶ ὄντος συλλογισμοῦ τοῦ μὲν ἀποδεικτικοῦ τοῦ δὲ διαλεκτικοῦ τοῦ δὲ σοφιστικοῦ, καὶ τιμιωτάτου μὲν τοῦ ἀποδεικτικοῦ, δευτέραν δὲ ἔχοντος τάξιν τοῦ διαλεκτικοῦ καὶ τρίτην τοῦ σοφιστικοῦ, τῷ μὲν ἀποδεικτικῷ τὸ πρῶτον σχῆμα οἰκειότατον (οἱ γὰρ ἀποδεικνύντες κυρίως καθόλου καταφατικὰ συμπεραίνονται· διὰ τοιούτων γὰρ ἡ ἀπόδειξις, ἃ μόνον διὰ τοῦ πρώτου δείκνυται σχήματος· ὅθεν εὐλόγως καὶ διὰ τοῦτο πρῶτον), τῷ δὲ διαλεκτικῷ τὸ δεύτερον· σχεδὸν γὰρ ὁ διαλεκτικὸς ἀεὶ τὰ τιθέμενα ὑπὸ τοῦ προσδιαλεγομένου ἀνασκευάζειν πειρώμενος ἀποφατικὰ συνάγει, τούτοις δὲ τὸ δεύτερον ἀνάκειται σχῆμα. οἱ δὲ σοφισταὶ ἀδιόριστα ἐρωτῶντες καὶ συνάγοντες τῷ τὸ ἀδιόριστον ἴσον δύνασθαι τῷ ἐπὶ μέρους, ἐπὶ μέρους δὲ πάντα ἐν τῷ τρίτῳ σχήματι συνάγεσθαι, οἰκεῖον ἂν τοῦτο ἔχοιεν τὸ σχῆμα. Alex. f. 14 b–16 b. cf. Ioh. Phil. xvii sq.

25 b 32. ἀρχὴ τῶν τριῶν σχημάτων. ἐν τοῖς προτελείοις τῶν σχημάτων ἑπτά τινα κεφάλαια ζητήσωμεν, α' τί ἐστι σχῆμα, β' διὰ τί λέγεται σχῆμα, γ' διὰ τί τρία σχήματα, δ' τίς ἡ αἰτία τῆς τάξεως, διὰ τί τὸ μὲν α' λέγεται τὸ δὲ β' τὸ δὲ γ', ε' πόσαι συλλογιστικαὶ προτάσεις συνάγονται ἐν ἑκάστῳ σχήματι, ϛ' ποῖα τὰ κοινὰ τῶν τριῶν σχημάτων, ζ' τί ἴδιον ἑκάστου σχήματος... τετάρτη αἰτία (τῆς τάξεως) ὅτι ἔοικε τὸ α' σχῆμα ψυχῇ μέσῃ οὔσῃ ἐνύλων καὶ ἀΰλων, τὸ δὲ β' φύσει τῶν ὑπ' αὐτὴν προχύσῃ καὶ ὑπερβαινούσῃ, τὸ δὲ γ' ὕλῃ χείρονι πάντων οὔσῃ... ζ'... καὶ ἔοικε τὸ μὲν πρῶτον σχῆμα θεῷ δύο τισὶ χαρακτηριζομένῳ, δημιουργικῷ καὶ γνωστικῷ. καὶ ἔοικε τὸ μὲν πρῶτον σχῆμα θεῷ, τὸ δὲ β' καὶ τὸ γ' γνωστικῷ καὶ δημιουργικῷ. cod. Reg. 2061.

25 b 35. ἐν ᾧ γὰρ σχήματι ὁ μέσος αὐτός τε ἐν ἄλλῳ ἐστὶ καὶ ἄλλος ἐν τούτῳ, τοῦτό ἐστι πρῶτον σχῆμα· ὁ γὰρ μέσος ἐν τούτῳ τοῦ μὲν κατηγορεῖται τῶν ὅρων, τῷ δὲ ὑπόκειται. μέσου δὲ λόγον οὐ καθόλου ἀποδέδωκεν ἀλλὰ τοῦ ἐν πρώτῳ σχήματι. εἴη δ' ἂν καθόλου μέσος ὅρος ἐν συζυγίᾳ ὁ δὶς λαμβανόμενος, καὶ ὁ ἐν ἀμφοτέραις ὢν ταῖς προτάσεσι, καὶ καθ' ὃν κοινωνοῦσιν αἱ ἐν ταῖς συζυγίαις προτάσεις ἀλλήλαις. ἐδήλωσε διὰ τῆς λέξεως καὶ τὴν αἰτίαν τοῦ πρῶτον εἶναι σχῆμα τοῦτο, εἰπὼν "ἀνάγκη τῶν ἄκρων εἶναι συλλογισμὸν τέλειον·" ἐν ᾧ γὰρ οἱ τέλειοι συλλογισμοί, τοῦτο εἰκότως σχῆμα πρῶτον." Alex. f. 17 b.

25 b 36. δόξει ἂν ἴσως ὁ αὐτὸς ὁρισμὸς εἶναι τῶν τε ἄκρων καὶ τοῦ μέσου, οὐκ ἔστι δέ· δεῖ γὰρ ἐπὶ τούτων προσυπακούειν τὸ μόνως. καὶ οὕτως ὀρθῶς ἀποδιδόμενος ἂν εἴη, ὡς ἂν εἰ ἔλεγεν "ἄκρα δὲ τὸ αὐτό τε ἐν ἄλλῳ ὂν μόνως, καὶ ἐν ᾧ ἄλλο ἐστὶ μόνως." Ioh. Phil. f. xx.

25 b 39. ἐδίδαξε δὲ ἡμᾶς ὅτι τὸ ἐν ὅλῳ εἶναι ἕτερον ἑτέρῳ καὶ τὸ κατὰ παντὸς λέγεσθαι θάτερον θατέρου ταὐτόν ἐστιν· χρησάμενος οὖν τῷ ἐν ὅλῳ ἐν τῇ τοῦ σχήματος ἐκθέσει μεταλαβὼν τῷ κατὰ παντὸς χρῆται, ἃ ἔστιν ἄμφω ἐν τῇ καθόλου καταφατικῇ προτάσει. ὑπομιμνήσκει δὲ ἡμᾶς πῶς καὶ τὸ κατὰ παντὸς ἀποδέδωκεν (ὅταν γὰρ μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ' οὗ τὸ κατηγορούμενον οὐ ῥηθήσεται), ὑπὲρ τοῦ ἐνδείξασθαι ὅτι οὐδενὸς ἔξωθεν ἐπὶ τῆς τοιαύτης συναγωγῆς χρεία πρὸς τὸ φανερὸν γενέσθαι τὸ ἀναγκαῖον, ἀλλ' ἱκανὰ τὰ κείμενα. Alex. f. 18.

25 b 40. δεύτερος οὗτος τρόπος τοῦ πρώτου σχήματός ἐστιν, ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα. Ioh. Phil. f. xx.

26 a 2. ἀκολουθεῖν μὲν εἶπε τὸ κατηγορεῖσθαι· τὸ γὰρ κατηγορούμενον ἀκολουθεῖ τῷ ὑπ' αὐτό. εἰπὼν δὲ περὶ τῶν συλλογιστικῶν συζυγιῶν τῶν ἐν τῷ πρώτῳ σχήματι, εἰ καθόλου εἶεν ἀμφότεραι αἱ προτάσεις, παρατίθεται καὶ τὰς ἀσυλλογίστους... ὅτι γὰρ οὕτως ἐχουσῶν τῶν προτάσεων οὐδὲν ἀναγκαῖον συνάγεται, ὅ ἐστιν ἴδιον συλλογισμοῦ, αὐτὸς μὲν δείκνυσι τῇ τῆς ὕλης παραθέσει. καὶ γὰρ καθόλου καταφατικὸν ἐπί τινος ὕλης δείξει δυνάμενον συνάγεσθαι, καὶ πάλιν ἐπ' ἄλλης καθόλου ἀποφατικόν· ὃ ἐναργέστατον σημεῖον τοῦ μηδεμίαν ἔχειν τὴν συζυγίαν ταύτην ἰσχὺν συλλογιστικήν... νῦν δὲ ἡμεῖς προσθῶμεν καὶ τὴν αἰτίαν τοῦ ἀσυλλόγιστον εἶναι τὴν συζυγίαν τὴν ἐκκειμένην. εἰ γὰρ τὸ γ' ἐν μηδενὶ τῷ β', τὸ β' κατ' οὐδενὸς τοῦ γ', οὐδὲν ἄρα ἔσται λαβεῖν τοῦ γ', καθ' οὗ τὸ β' ῥηθήσεται· κεχώρισται δὲ τὸ γ' τοῦ β', καὶ κατ' οὐδὲν αὐτῷ συνῆπται· τὸ δέ γε α' κατὰ παντὸς τοῦ β' κεῖται. ἀλλ' ἐπεὶ τὸ κατὰ παντός τινος λεγόμενον δύναται καὶ ἐπὶ πλέον εἶναι αὐτοῦ (διὰ τοῦτο γὰρ ὁ κατηγορούμενος ὅρος μείζων καλεῖται), δύναται τὸ α' τοιοῦτον εἰλῆφθαι ὡς πᾶν τε τὸ β' περιειληφέναι καὶ ἔτι ἔχειν τινὰ μόρια ὑπερπίπτοντα τὴν τοῦ β' περίληψιν. οἷς δὲ ὑπερπίπτει τοῦ β' τὸ α' μόρεσιν αὐτοῦ, δύναται τούτοις καὶ τὸ γ' περι-

προσέθηκε "καὶ τῷ πεφυκέναι·" δῆλον ὅτι περὶ τῶν φυσικῶν αὐτῷ ὁ λόγος. Ioh. Phil. ib.

ἀποροῦσί τινες ὅτι διὰ τί τοῦ ἐνδεχομένου διαιρουμένου εἰς τρία, μόνου τοῦ ὡς ἐπὶ τὸ πολὺ μέμνηται ὁ Ἀριστοτέλης, καὶ τίνες ἐπ᾽ αὐτοῦ αἱ ἀντιστρέφουσαι προτάσεις καὶ τίνες αἱ μὴ καταλέγει. καὶ φησὶν ὁ Ἀλέξανδρος ὅτι μόνον τοῦτο πρὸς συλλογιστικὴν ἐστι χρείαν χρήσιμον... καὶ ταύτην εἶναι λέγει τὴν κυρίως αἰτίαν τοῦ μὴ πρὸς ἑαυτὴν ἀντιστρέφειν τὴν καθόλου ἀποφατικήν... Θεόφραστος δέ φησι καὶ ταύτην ὁμοίως ταῖς καθόλου ἀποφατικαῖς πρὸς ἑαυτὴν ἀντιστρέφειν. πλὴν ἐν ταῖς μίξεσιν ἔσται φανερόν. cod. 1917 in marg.

25b 16. ἐπὶ δὲ τούτων τὴν μὲν καθόλου ἀποφατικὴν ἐνδεχομένην οὔ φησιν ἀντιστρέφειν πρὸς ἑαυτήν, ἀλλὰ δηλονότι πρὸς τὴν ἐπὶ μέρους· τοῦτο γὰρ βούλεται· τὴν δὲ ἐπὶ μέρους ἀποφατικὴν ἀνάπαλίν πως ἢ ὡς ἐπ᾽ ἐκείνων τῶν τρόπων εἶχεν. τὴν δὲ αἰτίαν τῆς τοιαύτης ἀντιστροφῆς φανεράν φησι ποιήσειν ἐπειδὰν περὶ τῶν ἐξ ἐνδεχομένων προτάσεων συλλογισμῶν λέγῃ. Alex. f. 13 b.

25b 19. ὅπερ ἐξ ἀρχῆς ἐζητοῦμεν, τί δήποτε εἰρηκὼς ἐν τῷ περὶ Ἑρμηνείας τὰς μὴ τῷ τρόπῳ συναπτούσας τὸ ἀρνητικὸν μόριον καταφάσεις εἶναι ἐκ μεταθέσεως καὶ οὐκ ἀποφάσεις, ἐνταῦθα ὡς ἀποφάσεις παραλαμβάνει, νῦν αὐτὸς ἐπισημειοῦται ὅτι εἰ καὶ τῷ σχήματί εἰσι καταφατικαί, ἀλλ᾽ οὖν δύναμιν ἔχουσιν ἀποφάσεων. Ioh. Phil. f. xvi b.

25b 21. διὰ τοῦτο αὐτῶν καὶ αἱ ἀντιστροφαὶ ὡς καταφατικῶν γίνονται. ὃ γὰρ ἐνδέχεται μηδενὶ ὑπάρχειν, τοῦτο ἐνδέχεται καὶ παντὶ ὑπάρχειν, καὶ ὃ παντὶ ἐνδέχεται, καὶ μηδενί· ὃ ἐπ᾽ ἄλλων οὐκ ἔστι προτάσεων ἢ μόνων τῶν οὕτως ἐνδεχομένων. κατὰ τοῦτο οὖν ἰσοδυναμοῦσα ἡ καθόλου ἀποφατικὴ τῇ καθόλου καταφατικῇ, οὔσα καὶ ἄλλως κατάφασις ὁμοίως ἐκείνῃ ἀναστρέφει, οὐ διότι τὸ ἐνδέχεται προσκατηγορούμενον ἔχει· εἰ γὰρ ἴσον δυναμένης τῆς ἀποφάσεως τῇ καταφάσει ἀντιστρέφει ἡ καθόλου ἀποφατική, ἀντιστρέφοι ἂν καὶ ἡ καθόλου καταφατικὴ ἐνδεχομένη πρὸς αὐτήν. τοῦτο δ᾽ ἐστὶ ψεῦδος· εἰ γὰρ τοῦ α′ ἐνδεχομένου τῷ β′ μηδενὶ καὶ παντὶ λέγοι τις καὶ τὸ β′ τῷ α′ ἐνδέχεσθαι μηδενὶ τῷ καὶ παντὶ ἐνδέχεσθαι, εἴη ἂν ἡ καθόλου καταφατικὴ ἐνδεχομένη ἀντιστρέφουσα αὐτῇ. ὅπερ οὐκ ἔστιν ἀληθές· οὐ γὰρ εἰ πάντα ἄνθρωπον ἐνδέχεται λευκὸν εἶναι, ἤδη καὶ πᾶν λευκὸν ἐνδέχεται ἄνθρωπον εἶναι. Ἀριστοτέλης μὲν οὖν διὰ ταῦτα τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην οὔ φησιν ἀντιστρέφειν αὐτῇ, Θεόφραστος δὲ καὶ ταύτην ὁμοίως ταῖς ἄλλαις ἀποφατικαῖς φησὶν ἀντιστρέφειν. περὶ οὖν τῆς διαφορᾶς, ὅταν περὶ τῶν ἐνδεχομένων λέγωμεν, ἐπὶ πλέον ἐροῦμεν. Alex. f. 14.

25b 26. ἐφεξῆς τοῖς προειρημένοις λέγειν προστίθεται ὧν ἕνεκα καὶ περὶ ἐκείνων εἶπεν. ἔστι δὲ τὸ διὰ τίνων οἱ συλλογισμοὶ γίνονται, ὅτι διὰ προτάσεων. ἐπεὶ δὲ διὰ ποιᾶς προτάσεων συνθέσεως οἱ συλλογισμοὶ γίνονται, διὰ τοῦτο προσέθηκε τῷ "διὰ τίνων" τὸ "καὶ πότε καὶ πῶς." σημαντικὰ δέ εἰσι τὸ μὲν πότε τῶν συζυγιῶν καὶ τῶν σχημάτων, ὅτι κατὰ ὅρον τινὰ δεῖ κοινωνεῖν τὰς προτάσεις, ἐν οἷς σχήμασι καὶ ἐν αἷς συζυγίαις οἱ συλλογισμοί, καὶ ἔτι τῆς τῶν προτάσεων ποιότητος· οὐ γὰρ ἐκ πασῶν συντιθεμένων προτάσεων γίνονται συλλογισμοί· οὔτε γὰρ ἐκ δύο ἀποφατικῶν οὔτε ἐκ δύο ἐπὶ μέρους, ὡς δείξει. τὸ δὲ "πῶς" τῶν καθ᾽ ἕκαστον τῶν σχημάτων συζυγιῶν καὶ τρόπων συλλογιστικῶν ἐστὶ δηλωτικόν· καὶ γὰρ εἰ ἐκ προτάσεων γίνεται συλλογισμός, οὐχ ὁπωσοῦν συντιθεμένων γίνεται ἀλλ᾽ ἐν τάξει τῇ οἰκείᾳ... προσέθηκε δὲ τὸ "πᾶς συλλογισμός," καίτοι περὶ τῶν κατηγορικῶν μόνον ποιούμενος τὸν λόγον, ὅτι μόνους τούτους ἡγεῖται κυρίως εἶναι συλλογισμούς, ὡς καὶ προϊὼν δείξει· τῶν γὰρ ἐξ ὑποθέσεως οὐδένα τὸ προκείμενον συλλογίζεσθαι. Alex. f. 14.

25b 23. ἄξιον δὲ ζητῆσαι καὶ περὶ τῆς ὀνομασίας αὐτῶν, διὰ τί σχήματα αὐτὰ ὁ Ἀριστοτέλης ἐκάλεσεν. φαμὲν οὖν ὅτι πανταχοῦ φιλογεωμέτρης ὢν ὁ φιλόσοφος ἐξομοιῶσαι βούλεται τὰ περὶ τοῦ συλλογισμοῦ τοῖς κατὰ γεωμετρίαν, καὶ διὰ τοῦτο τοῖς ἐκεῖσε ὀνόμασι κατὰ ἀναλογίαν κἀνταῦθα κέχρηται. Ioh. Phil. f. xvii b.

ἐπειδή ἐστιν ὁ συλλογισμὸς πίστις τις (πιστοῦται γὰρ διά τινων ὁ συλλογιζόμενός τι καὶ δείκνυσι· διὰ γὰρ τῶν πεπιστευμένων τὸ ἀμφισβητούμενον πιστὸν ὁ συλλογιζόμενος ποιεῖ), οὐ πᾶσα δὲ πίστις συλλογισμός, οὐδὲν χεῖρον ἴσως ὀλίγα προειπεῖν περὶ πίστεως· γνωριμωτέρα γὰρ οὕτως καὶ ἡ συλλογιστικὴ πίστις ἔσται. πᾶς δὴ ὁ πιστούμενός τι καὶ γνώριμον βουλόμενος ποιῆσαι ἐξ ἄλλου ἢ ἄλλων αὐτὸ πιστοῦται· αὐτὸ γὰρ ἐξ ἑαυτοῦ οὐδὲν δείκνυται καὶ πιστοῦται, ἐπεὶ πάντ᾽ ἂν οὕτως ἦν πιστά. ἐπεὶ τοίνυν ἐξ ἄλλου, ἤτοι ἐκ τοῦ ὅλου τε καὶ καθόλου καὶ περιέχοντος δείκνυσι τὸ προκείμενον, ὃ ἢ μέρος τι ὂν τοῦ δι᾽ οὗ ἡ πίστις· ὅλως τι οὖν ἐκ τοῦ δεικνύμενον τὸ ὅλον ἢ ἐκ μέρους τινός, τῶν ὑπὸ τὸ ὅλον μερῶν τι. ὅταν μὲν οὖν μέρος ἐκ μέρους παραδεικνύμενον ᾖ καὶ πιστούμενον, τὸ τοιοῦτον καὶ ἡ οὕτως γινομένη πίστις παράδειγμα καλεῖται... ὅταν δὲ ἐκ τῶν μερῶν ᾖ τὸ ὅλον πιστούμενόν τε καὶ δεικνύμενον, τὸ τοιοῦτον ἐπαγωγὴ καλεῖται, οἷον ἄνθρωπος τὴν κάτω γένυν κινεῖ, καὶ ἵππος καὶ κύων καὶ βοῦς καὶ πρόβατον, καὶ πᾶν ἄρα ζῷον. λόγος δὲ τῆς ἐπαγωγῆς διὰ τῶν καθ᾽ ἕκαστα γνωρίμων καὶ πιστῶν ὁδὸς ἐπὶ τὸ καθόλου ἄγνωστον. ἄμφω δὲ ταῦτα, ἥ τε ἐπαγωγὴ καὶ τὸ παράδειγμα, τὸ μὲν πιθανὸν ἐν αὐτοῖς ἔχει, τὸ δὲ ἀναγκαῖον οὐκ ἔχει. τὸ δ᾽ ἐπὶ πλέον περὶ τούτων τῶν πίστεων καὶ αὐτὸς ἐν τῷ δευτέρῳ δείκνυσιν, αὐτῶν τήν τε πρὸς τὴν συλλογιστικὴν πίστιν διαφοράν, καὶ ὅτι αὗται χρήσιμοί πως ὑπάγονται τῇ πίστει τῇ συλλογιστικῇ· διὸ ὡς πρὸς τὰ προκείμενα ἱκανὰ τὰ νῦν περὶ αὐτῶν εἰρημένα. ὅταν δὲ ἐκ τοῦ ὅλου τὸ μέρος λαμβάνῃ τὴν πίστιν, ἡ τοιαύτη πίστις ἤδη συλλογιστικὴ καλεῖται, καὶ ἔστιν ἀναγκαστικωτάτη τῶν πίστεων αὕτη... τὸ δὲ ἀμφισβητούμενον καὶ εἰς δεῖξιν προτεινόμενον πρόβλημα καλεῖται. εἴπωμεν βραχέα περὶ αὐτοῦ. ἔστι δὴ τὸ πρόβλημα τῷ γένει πρότασις· τὸ γὰρ αὐτὸ γένει πρόβλημα καὶ λῆμμα καὶ ὁμολόγημα καὶ συμπέρασμα καὶ ἀξίωμα· πάντα γὰρ προτάσεις τῇ σχέσει τὴν διαφορὰν ἔχοντα· προτιθέμενον γὰρ εἰς δεῖξιν ὡς μὴ γνώριμον πρόβλημα καλεῖται, λαμβανόμενον δὲ εἰς ἄλλου δεῖξιν λῆμμα καὶ ὁμολόγημα, ὡς περατῶν καὶ ἰδίως προτάσεις· ἀξίωμα δὲ ὅταν ἀληθὲς ᾖ καὶ ἐξ ἑαυτοῦ γνώριμον, δεδειγμένον δὲ συμπέρασμα... δύο δὴ ὅρων ὄντων τῶν ἐν τῷ προβλήματι, τοῦ μὲν ὑποκειμένου τοῦ δὲ κατηγορουμένου, ὃν δεῖ ὑπάρχοντα ἢ μὴ ὑπάρχοντα δειχθῆναι τῷ ὑποκειμένῳ, τρίτου τινὸς ὅρου δεῖ πρὸς τὴν

σται. τὸ δὲ κεχωρισμένον κεχωρισμένου κεχώρισται· ὥστε καὶ τὸ β′ οὐδενὶ τῷ α′ ὑπάρξει. τὸ γὰρ κεχωρισμένον τῶν πρός τι ἐστίν (τινὸς γάρ ἐστι κεχωρισμένον), τὰ δὲ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται· εἰκότως ἄρα καὶ τὸ β′ οὐδενὶ τῷ α′ ὑπάρχει. λαμβάνονται δέ τινες τῆς ἀντιστροφῆς ὡς μὴ ἀληθευούσης, καὶ διὰ παραδειγμάτων ἐλέγχειν πειρῶνται τὸν λόγον, λέγοντες οὕτως. οὐδεὶς τοῖχος ἐν παττάλῳ ἐστίν· τοῦτο ἀληθές ἐστιν. ἄρα οὖν, φησί, καὶ ἀντιστρέψαντες ὑγιῶς ἀποφαινόμεθα "οὐδεὶς πάτταλος ἐν τοίχῳ." Ioh. Phil. f. XIII *b*.

25a 29. ἐνταῦθα γενομένους ἡμᾶς δεῖ ζητῆσαι τίνος χάριν ἐν μὲν τῷ περὶ Ἑρμηνείας οὐκ ἐμνημόνευσεν τούτων τῶν προτάσεων ὁ Ἀριστοτέλης, λέγω δὲ τῆς ἀναγκαῖον μηδενὶ εἶναι καὶ τῆς ἀναγκαῖον παντὶ εἶναι καὶ τῆς ἐνδέχεται παντὶ εἶναι, ὁμοίως δὲ καὶ τῶν μερικῶν, ἀλλ' ἐκεῖ μὲν ὡς περὶ ἀπροσδιορίστων καὶ μόνον ποιεῖται τὸν λόγον, εἰρηκὼς δυνατὸν εἶναι, ἐνδεχόμενον εἶναι, οὐκ ἀναγκαῖον εἶναι, δυνατὸν μὴ εἶναι, καὶ παρακατιὼν ὅπου δεῖ καὶ τὰς ἀκολουθούσας ἀλλήλαις ἐζήτει, ὡς περὶ ἀπροσδιορίστων διαλέγεται εἰρηκὼς "τὸ μὲν οὖν ἀδύνατον καὶ οὐκ ἀδύνατον τῷ ἐνδεχομένῳ καὶ τῷ δυνατῷ καὶ μὴ ἐνδεχομένῳ ἀκολουθεῖ" (p. 22 *a* 32). ἐν δὲ τῇ προκειμένῃ πραγματείᾳ ὡς περὶ προσδιωρισμένων προτάσεων τῶν μετὰ τρόπου διαλέγεται. δεῖ δὲ πάλιν καὶ τοῦτο ζητῆσαι, πῶς τὰς προτάσεις ἃς ἐν τῷ περὶ Ἑρμηνείας (c. 12) καταφάσεις εἶπεν, ἐνταῦθα ἀντὶ ἀποφάσεων παραλαμβάνεται· τὴν γὰρ "ἀνάγκη μὴ εἶναι" καὶ "ἐνδέχεται μὴ εἶναι" καταφάσεις λέγων εἶναι ἐν τῷ περὶ Ἑρμηνείας (οἷς γὰρ ἄν, φησί, τὸ ἔστιν καὶ τὸ μὴ ἔστι προσκατηγορῆται, κατάφασιν εὐθὺς ποιεῖ), ταύτας νῦν ἀποφάσεις ποιεῖ· βουλόμενος γὰρ δεῖξαι τὴν καθόλου ἀποφατικὴν τοῦ ἀναγκαίου τρόπου καὶ τοῦ ἐνδεχομένου ἀντιστρεφούσας, ταύταις ἐχρήσατο ἅς, ὡς εἶπεν, καταφάσεις ἐν τῷ περὶ Ἑρμηνείας φησίν. ἔτι καὶ τοῦτο ζητοῦμεν, τί δήποτε τῇ ἀναγκαίᾳ καθόλου ἀποφατικῇ προτάσει μὴ ἀντέθηκε τὴν μερικὴν τοῦ ἀναγκαίου καταφατικὴν ἀλλὰ τὴν ἐνδεχομένην. Ioh. Phil. f. XIV *b*.

25a 30. εἰ γὰρ μὴ ἐξ ἀνάγκης τὸ β′ τῷ α′ μηδενὶ ὑπάρχει, ἀλλὰ **ἐνδέχοιτό τινι ὑπάρχειν· αὕτη γὰρ ἀναίρεσις καὶ ἀντίφασις πρὸς τὴν καθόλου ἀποφατικὴν ἀναγκαίαν, ὡς ἐν τῷ περὶ Καταφάσεως δέδεικται λόγῳ· "καὶ τὸ α′" φησὶ "τῷ β′ ἐνδέχοιτό τινι·" ἀλλ' ἔκειτο ἐξ ἀνάγκης μηδενὶ ὑπάρχειν. δοκεῖ δὲ καὶ ἐνταῦθα πάλιν διὰ τῆς ἐνδεχομένης ἐπὶ μέρους καταφατικῆς ἀντιστρεφούσης τὴν δεῖξιν περὶ τῆς ἀναγκαίας καθόλου ἀποφατικῆς πεποιῆσθαι, καίτοι μηδέπω περὶ τῶν κατὰ τὰς ἐνδεχομένας ἀντιστρέφειν εἰρηκώς. ἢ τὸ μὲν ἀντικεῖσθαι τῇ καθόλου ἀναγκαίᾳ ἀποφατικῇ τὴν ἐπὶ μέρους καταφατικὴν ἐνδεχομένην εἶχεν ὁμολογούμενον· ἀντιφάσεις γάρ· διὸ καὶ τοῦτο ἔλαβε… ἐπὶ δὲ τοῦ ἀναγκαίου τὸ μέν ἐστιν ἀναγκαῖον ἁπλῶς, τὸ δὲ μετὰ διορισμοῦ λέγεται, ὡς τὸ ἄνθρωπος ἐξ ἀνάγκης παντὶ γραμματικῷ ἔστ' ἂν ᾖ γραμματικός. αὕτη οὐχ ἁπλῶς ἐστὶν ἡ πρότασις ἀναγκαία. δέδειχε δὲ αὐτῶν τὴν διαφορὰν καὶ Θεόφραστος· οὐ γὰρ αἰεὶ γραμματικός ἐστιν, ἀλλ' οὐδὲ ἄνθρωπος γραμματικός. ἐπεὶ τοίνυν διαφέρει, δεῖ ἡμᾶς εἰδέναι ὅτι περὶ τῶν ἁπλῶς καὶ κυρίως ἀναγκαίων τὸν λόγον ποιεῖται νῦν ὁ Ἀριστοτέλης· αἱ γὰρ οὕτως ἀναγκαῖαι ἀντιστρέφουσιν. Alex. f. 12 *b*.**

ὅτι καὶ τῇ καθόλου καταφατικῇ ἀναγκαίᾳ καὶ τῇ ἐπὶ μέρους 25a 32. καταφατικῇ ἀναγκαίᾳ ἀντιστρέφει ἡ ἐπὶ μέρους καταφατικὴ ἀναγκαία, ὁμοίως δείκνυσιν ὡς ἔδειξεν ἐπὶ τῆς στερητικῆς καθόλου. εἰ μέλλει γὰρ τὸ α′ ἢ παντὶ τῷ β′ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τινί, τὸ δὲ β′ μὴ ὑπάρχειν τινὶ τῷ α′ ἐξ ἀνάγκης, ἐνδέχοιτ' ἂν αὐτῷ ποτὲ μηδενὶ ὑπάρχειν· ἀπόφασις γὰρ τῆς ἀνάγκης τινί. τὸ οὐκ ἀνάγκη τινὶ ἴσον δύναται τῷ ἐνδέχεσθαι μηδενί, ἐπεὶ τὸ οὐκ ἀνάγκη τινὶ καὶ οὐδενὶ ἀνάγκη τὰ αὐτά. ὅτε μηδενὶ ὑπάρχει τὸ β′ τῷ α′, οὐδ' ἂν τὸ α′ οὐδενὶ τῷ β′ ὑπάρχοι· δέδεικται γὰρ ὡς οὐδ' ἂν τὸ α′ ἢ παντὶ ἢ τινὶ τῷ β′ ἐξ ἀνάγκης ὑπάρχοι. παρέλιπε δὲ αὐτὸς τὸ παντί, καὶ ἠρκέσθη τῷ λαβεῖν ὅτι μηδὲ τὸ α′ ἐστὶν ἐξ ἀνάγκης τινὶ τῷ β′· ἀντὶ γὰρ τοῦ εἰπεῖν, εἰ γὰρ μηδενὶ ἀνάγκη, ἁπλῶς εἶπεν "εἰ γὰρ μὴ ἀνάγκη." ὅτι οὐ πεποίηται τὴν δεῖξιν ἐπὶ τῆς ἐνδεχομένης ἀποφατικῆς, δῆλον· οὐδὲ γὰρ ἀντιστρέφειν αὐτὴ δοκεῖ αὐτῇ, ἀλλ' ἐπὶ τὴν ὑπάρχουσαν ἀποφατικὴν ἤγαγε, καὶ ταύτης ἀφελὼν τὸ ἀναγκαῖον· ὃ ἐδήλωσε διὰ τοῦ μηκέτι χρήσασθαι τῷ ἐνδεχομένῳ, ἀλλ' ἁπλῶς τῷ "εἰ γὰρ μὴ ἀνάγκη·" ἡ γὰρ ὑπάρχουσα αὐτῷ ἀντιστρέφουσα κεῖται. ἐξ οὗ δῆλον ὅτι καὶ ἐπὶ τῆς πρὸ ταύτης δείξεως τὸ "τινὶ ἐνδέχεται" ἀκουστέον ὡς εἰρημένον ἐκεῖ ἀντὶ τοῦ εἰ γάρ τινι ἐνδεχομένως ὑπάρχει. Alex. f. 12 *b* sq.

ἐν τούτῳ διάφορος ἡ γραφὴ φέρεται. τινὰ μὲν τῶν ἀντιγράφων 25a 33. οὕτως ἔχει "εἰ γὰρ ἐνδέχεται μηδενί," τὰ μέντοι ἀκριβέστερα τῶν ἀντιγράφων ἔχει "εἰ γὰρ μὴ ἀνάγκη." εἰ μὲν οὖν ἡ προτέρα εἴη γραφή, ἐροῦμεν ὅτι ὁμοίως ὁ Ἀριστοτέλης ἀντέθηκε τρόπον τρόπῳ, ποσὸν ποσῷ, ποιὸν ποιῷ. ἀλλ' οὐκ ἀκριβὴς ἡ τοιαύτη γραφή· οὐ γὰρ δὴ ἐκ τῆς ὑποθέσεως ταύτης συνάγεταί τι ἀδύνατον. Ioh. Phil. f. XV *b*.

τὸ ῥητείδιον τοῦτο δοκεῖ ὑπὸ τοῦ φιλοσόφου εἰρῆσθαι ὡς αἰτίαν 25a 34. αὐτοῦ ἀποδεδωκότος δι' ἣν οὐκ ἀντιστρέφει ἡ μερικὴ στερητική. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές· οὐδαμοῦ γὰρ φαίνεται αἰτίαν ἀποδεδωκὼς δι' ἣν οὐκ ἀντιστρέφει ἡ μερικὴ καταφατική, ἀλλὰ μᾶλλον αἰτίαν ἐκάλεσε τὸ παράδειγμα τὸ ἀνωτέρω παρ' αὐτοῦ εἰρημένον, ἔνθα ἔλεγεν (p. 25 *a* 24) εἰ γὰρ ὁ ἄνθρωπος οὐ παντὶ ζῴῳ, καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ. Ioh. Phil. f. XVI.

τὸ μὲν ἄνθρωπον μὴ εἶναι ἵππον ἐξ ἀνάγκης οὐχ ὑπάρχει, τὸ δὲ 25b 3. λευκὸν μηδενὶ ἱματίῳ οὐκ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. διὸ καὶ ἡ αὐτὴ πάλιν καὶ ἐπὶ τούτου σώζεται ἀντιστροφὴ ἥτις καὶ ἐπὶ τοῦ ὑπάρχοντος ἐγένετο. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐν μέρει ἀποφατικῆς. Ioh. Phil. f. XVI *b*.

τριχῇ ὄντος τοῦ κυρίως ἐνδεχομένου, ὡς καὶ ἐν ταῖς Φυσικαῖς 25b 14. (2 5) εἴρηται, τοῦ ἐπὶ πλεῖον, τοῦ ἐπ' ἴσης, τοῦ ἐπ' ἔλαττον, … τὰ μὲν ἐπ' ἴσης ἄχρηστα εἰς ἀπόδειξιν· τί γὰρ ἄν τις τὴν κατάφασιν δείξειεν ἢ τὴν ἀπόφασιν; πολλῷ δὲ πλέον καὶ τὸ ἐπ' ἔλαττον, οἷον τὸ τεχθῆναι ἑξαδάκτυλον παιδίον· οὐδεὶς γὰρ τὰ σπάνια καὶ οὕτω παράδοξα συλλογίζεται· περὶ δὲ τὸ ἐπὶ πλεῖον τοῦ ἐνδεχομένου καταγίνεται ἡ συλλογιστικὴ μέθοδος τὸ ἐπὶ τῶν φυσικῶν τεχνητῶν, ὡς ἤδη εἴπομεν, φημὶ δὴ τὸ ἐν χειμῶνι ὗσαι καὶ τὸν ῥήτορα πεῖσαι καὶ τὸν ἰατρὸν ὑγιάσαι καὶ τὸν κυβερνήτην σῶσαι τὴν ναῦν. διὰ τοῦτο γοῦν

καὶ ὁ Ἀριστοτέλης "τινῶν" καὶ οὐ τινός, διὰ τοὺς εἰρημένους μονολημμάτους συλλογισμούς. cod. Reg. 2061.

24b 21. δόξει προχείρως σκοποῦσι τοῦ τελείου συλλογισμοῦ τὸν προειρημένον ὅρον ἀποδεδωκέναι· εἶπε γὰρ ἐπ' αὐτοῦ "τὸ μηδενὸς ὅρου προσδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον." λέγει δὲ ἀτελῆ συλλογισμὸν εἶναι τὸν προσδεόμενον ἢ ἑνὸς ἢ πλειόνων. εἰ δὲ τοῦτο, οὐδ' ἂν συλλογισμοὶ εἴησαν οἱ ἀτελεῖς. τοιοῦτοι δὲ οἱ ἐν δευτέρῳ σχήματι καὶ τρίτῳ συλλογισμοί, οὓς μᾶλλον πάντων λέγει καὶ αὐτὸς συλλογισμοὺς εἶναι. ἀλλὰ καὶ ἀρχόμενος ὡς περὶ συλλογισμῶν τῶν ἀτελῶν εἴρηκε· τῶν γὰρ συλλογισμῶν προέθετο ζητῆσαι ποῖος τέλειος καὶ ποῖος ἀτελής· ὧν γάρ φησι προσδεῖσθαι τὸν ἀτελῆ, οὐχ ὡς ἔξωθεν αὐτῶν ὀφειλόντων προσληφθῆναι λέγει, ἀλλ' ὡς ἐνυπαρχόντων μὲν ἐν τοῖς κειμένοις, δεομένων δὲ δείξεως· λέγει γὰρ ἐπ' αὐτῶν "ἃ ἔστι μὲν ἀναγκαῖα διὰ τῶν ὑποκειμένων ὅρων, οὐ μὴν εἴληπται διὰ προτάσεων." Alex. f. 8 *b*.

24b 24. καλῶς εἶπε "πρὸς τὸ φανῆναι" καὶ οὐ πρὸς τὸ γενέσθαι· οἱ μὲν γὰρ τέλειοι συλλογισμοὶ τὸ ἀναγκαῖον ἔχουσι, καὶ τοῦτο φαινόμενον, οἱ δὲ ἀτελεῖς, ὁποῖοί εἰσι πάντες οἱ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι, ἔχουσι μὲν τὸ ἀναγκαῖον, οὐ μὴν προφανές, ἀλλ' ἐπιστήμονος δεῖ ἵνα τὸ ἐκ τῶν προτάσεων εἰλημμένον ἀναγκαῖον μὴ φαινόμενον δὲ εἰς τὸ ἐμφανὲς ἀγάγοι διὰ τῶν ἀντιστροφῶν. Ioh. Phil. f. XI.

24b 25. "ἢ ἑνὸς ἢ πλειόνων." οὐχ ὅρον λέγει· οὐδὲ γὰρ ἀξιοῖ, ὥσπερ εἴρηται, τοὺς δεομένους ἔξωθέν τινος ὅρου καλεῖν συλλογισμούς, ἀλλ' ἀρσενικαῖς φωναῖς ἐχρήσατο ἀντὶ θηλυκῶν, ὀφείλων εἰπεῖν ἢ μιᾶς ἢ πλειόνων, τουτέστιν ἀντιστροφῶν... ἀποροῦσι δέ τινες πῶς ὁ Ἀριστοτέλης μὴ προσδεχόμενος τοὺς συλλογισμοὺς τοὺς ἔξωθέν τι προσλαμβάνοντας, οἷον ὅρον ἢ πρότασιν, ἀποδέχεται τοὺς δι' ἀδυνάτου δείξεως καὶ συλλογισμοὺς αὐτοὺς καλεῖ, καίτοι προσδεχομένους ἔξωθέν τινα... φημὶ πρὸς ταύτην τὴν ἀπορίαν ὅτι τὰ ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ παραλαμβανόμενα ἔξωθεν οὐ συνεκτικά εἰσι τοῦ συλλογισμοῦ τοῦ κατασκευάζοντος τὸ προκείμενον, ὥσπερ οὖν τὸ εἶναι τὴν ψυχὴν ἀθάνατον, ἀλλὰ τῆς ἀτόπου ὑποθέσεως ἐλεγκτικά, λέγω δὴ τῆς ὅτι θνητή. Ioh. Phil. ib.

24b 26. σημειωτέον ὅτι οὐχ ὁμοίως ἔν τε τούτοις καὶ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (1 4) ἀποδίδωσι τὸ καθόλου. ἀποδοὺς δὲ τί ποτέ ἐστι τὸ κατὰ παντός, φησὶν ὅτι "καὶ τὸ κατὰ μηδενὸς ὡσαύτως," οὐ τοῦτο λέγων ὅτι ταὐτά ἐστι τὸ κατὰ παντὸς καὶ τὸ κατὰ μηδενός (ἐναντία γάρ ἐστιν) ἀλλ' ὅτι δυνατὸν ὁρίσασθαι αὐτὸ ὁρμωμένους ἀπὸ τοῦ παρὰ τοῦ κατὰ παντὸς εἰρημένου· ὅταν γὰρ μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ' οὗ τὸ κατηγορούμενον ῥηθήσεται... Alex. f. 9.

25a 1. τέλος ἔχει τὰ ἐξ ἀρχῆς αὐτῷ προτεθέντα, τρέπεται δὲ λοιπὸν εἰς τὴν διδασκαλίαν τῆς τῶν συλλογισμῶν γενέσεως. ἀλλ' ἐπειδὴ καὶ τῶν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμῶν διὰ τῆς τῶν προτάσεων ἀντιστροφῆς τὸ ἀναγκαῖον ἀποδείκνυται, ὡς ἀρτίως ἐλέγομεν, διὰ τοῦτο πρῶτον ἠβουλήθη τὰ περὶ ἀντιστροφῆς διδάξαι, ἵνα μὴ ἐκεῖσε γενόμενος ἀναγκασθῇ τὸν λόγον διακόψαι, διδάσκων ἡμᾶς τί ποτέ ἐστιν ἀντιστροφή, ποσαχῶς λέγεται, καὶ περὶ ποίας ἀντιστροφῆς ἐνταῦθα διαλέγεται, καὶ ἔτι ἐν πόσοις θεωρεῖται ἡ ἀντιστροφή, καὶ τούτοις πῶς ἔχουσι πρὸς ἄλληλα. λέγομεν οὖν πρὸς τὸ πρῶτον ὅτι ἀντιστροφή ἐστιν ἰσοστροφή τις· τὸ γὰρ ἀντί, ὡς ἐν ἑτέροις πολλάκις εἴρηται, τὸ ἴσον σημαίνει παρὰ τοῖς παλαιοῖς, ὡς ἐν τῷ ἀντιάνειρα καὶ ἀντίθεος καὶ ἐν τῷ ἔθει τὸ ἀντίχειρ. Ioh. Phil. f. XI *b*.

χωρὶς τῆς ὕλης αὐτοὺς τοὺς τρόπους προστιθεὶς ταῖς προτάσεσι, καθολικὰς ἐπ' αὐτῶν τὰς δείξεις ποιεῖται, οὐ παρὰ τήνδε ἢ τήνδε τὴν ὕλην δεικνὺς τὴν διαφορὰν γινομένην τῶν συλλογισμῶν, ἀλλὰ παρὰ τὸν προκείμενον τρόπον. οὖσαι οὖν αἱ ἀποδείξεις αὗται καθολικαὶ ἴδιαι ἂν εἶεν τῆς περὶ συλλογισμῶν πραγματείας. ὅτι γὰρ ὡς πρὸς τὴν συλλογιστικὴν μέθοδον τῶν τρόπων τούτων χρησίμων ὄντων μνημονεύει, δῆλον ἐκ τοῦ εἶναι μὲν προτάσεων καὶ κατ' ἄλλους τινὰς τρόπους διαφοράν· καὶ τὸ καλῶς προσκείμενον καὶ τὸ κακῶς, καὶ τὸ μακρῶς καὶ τὸ βραχέως, καὶ τὸ ταχέως καὶ τὸ βραδέως τρόποι προτάσεών εἰσι διάφοροι, οἷον Σωκράτης καλῶς διαλέγεται ἢ μακρῶς ἢ συντόμως· ἀλλ' οὐδενὸς τοιούτου μνημονεύει ποιούμενος τὴν τῶν προτάσεων διαίρεσιν, ὅτι μηδὲν πρὸς γένεσιν ἢ διαφορὰν συλλογισμῶν συντελοῦσι. Alex. f. 10.

"καθ' ἑκάστην πρόσρησιν" ἀντὶ τοῦ καθ' ἑκάστην τρόπου προσθήκην. Ioh. Phil. f. XIII. 25a 3.

τὴν καθόλου ἀποφατικὴν σημαίνει ὑπάρχουσαν. "ἀνάγκη τοῖς 25a 5. ὅροις ἀντιστρέφειν." σημαίνει τὴν ἁπλῆν ἀντιστροφήν· ἐν μόνοις γὰρ αὕτη τοῖς ὅροις ἀντιστρέφει. id. ib.

οὗτος, φησίν, ὁ λόγος τῆς προτάσεως ἢ καθόλου ἐστὶν ἢ ἐν μέρει ἢ ἀπροσδιόριστος· τὸν γὰρ ἀδιόριστον ἀντὶ τοῦ ἀπροσδιορίστου λέγει. καὶ ζητοῦμεν ὅτι εἰ ταῦτα μόνα εἰσίν, οὐκ εἰσὶ καὶ τὰ καθ' ἕκαστα. λέγομεν ὅτι διὰ τῶν μερικῶν καὶ τὰ καθ' ἕκαστα εἰσήγαγεν· οὐδὲν γὰρ ἕτερόν ἐστι μερικὸν εἰ μὴ καθ' ἕκαστον δηλούμενον. ἀλλ' οὐδὲ τὰ καθ' ἕκαστα ἕτερόν τι εἰσὶν εἰ μὴ μερικὸν ὁρισθέν. cod. Reg. 2061.

Θεόφραστος μὲν καὶ Εὔδημος ἁπλούστερον ἔδειξαν τὴν καθόλου 25a 14. ἀποφατικὴν ἀντιστρέφουσαν ἑαυτῇ· τὴν γὰρ καθόλου ἀποφατικὴν ὠνόμασαν καθόλου στερητικήν, τὴν δὲ δεῖξιν οὕτως ποιοῦνται. κείσθω τὸ α' κατὰ μηδενὸς τοῦ β'· εἰ δὲ κατὰ μηδενός, ἀπέζευκται· καὶ τὸ β' ἄρα παντὸς ἀπέζευκται τοῦ α'· εἰ δὲ τοῦτο, κατ' οὐδενὸς αὐτοῦ. οὕτως μὲν οὖν ἐκεῖνοι· ὁ δὲ Ἀριστοτέλης δοκεῖ προσχρώμενος τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἀντιστρέφουσαν αὐτὴν δεικνύναι... ἄμεινον δὲ λέγειν περὶ τὰ εἰρημένα δεικτικὸν εἶναι τοῦ δεῖν ἀπεζεῦχθαι καὶ τὸ β' τοῦ α', εἰ τὸ α' τοῦ β' ἀπέζευκται· ὃ οἱ περὶ Θεόφραστον ὡς ἐναργὲς ὂν λαμβάνουσι χωρὶς δείξεως. ἔνεστι δὲ καὶ διὰ συλλογισμοῦ δεῖξαι διὰ τοῦ πρώτου σχήματος γινομένου, ὡς καὶ αὐτὸς προσχρῆται τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. εἰ γάρ τις μὴ λέγοι ἀντιστρέφειν τὴν καθόλου ἀποφατικήν, κείσθω τὸ α' μηδενὶ τῷ β', εἰ δὲ μὴ ἀντιστρέφει, ἔστω τὸ β' τινὶ τῷ α'. γίνεται δὴ ἐν πρώτῳ σχήματι τὸ α' τινὶ τῷ α' μὴ ὑπάρχον· ὅπερ ἄτοπον. ἀλλ' ἄκαιρον τὸ διὰ συλλογισμοῦ δεικνύναι μηδέπω περὶ συλλογισμῶν εἰδότας· διὸ χρηστέον ᾧ αὐτὸς ἐξέθετο τρόπῳ τῆς δείξεως. Alex. f. 11 et 12.

οἱ δὲ τοῦ Ἀριστοτέλους ἑταῖροι, οἱ περὶ τὸν Θεόφραστον καὶ Εὔδημον, σαφέστερον καὶ ἁπλούστερον τοῦτο κατασκευάζουσι· φασὶ γὰρ ὅτι εἰ τὸ α' κατὰ μηδενός ἐστι τοῦ β', πάντων τῶν μερῶν αὐτοῦ κεχωρι-

λογισμὸς ἔλεγον οὕτως. ἀποδεικνύντες φατὲ ὅτι συλλογισμὸς ἢ οὔ. εἰ μὲν οὐκ ἀποδεικνύντες, οὐ πιστεύσομεν χωρὶς ἀποδείξεως ὑμῖν ὅτι ἔστι συλλογισμός, εἰ δὲ ἀποδείκνυτε, συλλογισμῷ δῆλον ὅτι ἄλλῳ χρῆσθε, ὃν πάλιν δι' ἑτέρου συλλογισμοῦ δέον ὑμᾶς ἀποδεικνύειν ὅτι ἔστι συλλογισμὸς ἀποδεικτικός, κἀκεῖνον πάλιν δι' ἑτέρου, καὶ τοῦτο ἐπ' ἄπειρον. Ioh. Phil. f. IX b.

24 b 19. δοκεῖ δέ τισι τὸ τεθέντων μὴ ἁπλῶς σημαίνειν τὸ ληφθέντων ἀλλὰ καὶ τὸν τρόπον δηλοῦν τῶν λαμβανομένων· ὅτι γὰρ κατηγορικὰς εἶναι δεῖ τὰς λαμβανομένας προτάσεις, δηλοῦται διὰ τοῦ τεθέντων· ταύτας γὰρ ὡρίσατο· δείξει γὰρ ὅτι αἱ ὑποθετικαὶ προτάσεις αὐταὶ καθ' αὑτὰς οὐ ποιοῦσι συλλογισμόν. διὰ τοῦτο "τεθέντων" εἶπεν, οὐ ληφθέντων. καὶ προστέτι ὅτι μὴ ἓν δεῖ τὸ τιθέμενον εἶναι μηδὲ μίαν πρότασιν, τὸ τεθέντων δηλοῖ, ἀλλὰ τὸ ἐλάχιστον δύο· οὐ γάρ εἰσι συλλογισμοὶ οἱ λεγόμενοι ὑπὸ τῶν νεωτέρων μονολήμματοι· ὁ γὰρ συλλογισμὸς ἀπ' αὐτοῦ τοῦ ὀνόματος σύνθεσίν τινα δηλοῖ λόγων· οὗ γὰρ ἂν εἴη τὸ σύν προσκείμενον, συμπλοκὴν τούτων καὶ σύνθεσιν δηλοῖ καὶ σύνοδον σημαίνει... οἱ δὲ μονολήμματοι λεγόμενοι δοκοῦσιν εἶναί ποτε συλλογισμοὶ τῷ τὴν ἑτέραν τῶν προτάσεων διὰ τὸ εἶναι γνώριμον τοὺς ἀκούοντας προστιθέναι.. πάνυ δὲ καλῶς τὸ δεῖν ἕτερον εἶναι τῶν τεθέντων τὸ συμπέρασμα προσέθηκεν· ἄχρηστον γὰρ καὶ συλλογιστικῆς χρείας φορτικὸν τὸ τὸ ὁμολογούμενον κείμενον ἐπιφέρειν· τὸ γὰρ χρειῶδες οὐ παρέχεται τὸ "εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν" καὶ ὅλως οἱ λεγόμενοι ὑπὸ τῶν νεωτέρων ἀδιαφόρως περαίνοντες. τοιοῦτοι δὲ καὶ οἱ διφορούμενοι, οἷός ἐστιν "εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν.".. καὶ ἔστιν ὁ συλλογισμὸς γένος τῶν αὐτοῦ εἰδῶν, οὐδενὶ δὲ αὐτῶν ταὐτὸν τῷ εἰλημμένῳ τὸ ἐπιφερόμενον οὐδ' ἂν ἐν συλλογισμῷ εἴη ὅλως· ὁ γὰρ ἐξ ἀντιφάσεως διαιρετικὸς συλλογισμὸς οὐχ ὡς ταὐτὸν τῷ μεταλαμβανομένῳ ἢ ὡς οἱ νεώτεροί φασι, προσλαμβανομένῳ τὸ συμπέρασμα ἐπιφέρει. ὁ γὰρ λέγων ἤτοι ἡμέρα ἐστὶν ἢ οὐκ ἔστιν ἡμέρα, εἶτα προσλαμβάνων τὸ ἕτερον τῶν ἐν τῷ διαιρετικῷ, ἢ τὸ ἀποφατικὸν τὸ ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα, ἢ τὸ καταφατικὸν τὸ ἡμέρα ἐστίν, ἔχει μὲν οὖν συναγόμενα, ἢ τὸ οὐκ ἄρα ἡμέρα ἐστὶν ἢ τὸ ἡμέρα ἄρα ἐστίν, ὃ δοκεῖ ταὐτὸν εἶναι τῷ προσειλημμένῳ τῷ ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα ἢ τῷ ἀλλὰ μὴν ἡμέρα ἐστίν· οὐ μὴν ὡς ταὐτὸν αὐτῷ ὂν ἐπιφέρεται ἀλλ' ὡς ἀντικείμενον τῷ ἑτέρῳ τῶν ἐν τῷ διαιρετικῷ... τῇ λέξει οὖν ταὐτόν, οὐ τῇ δυνάμει καὶ τότε ἐστὶν οὕτως. ὃ ἀναγκαῖον καὶ τοὺς ἀπὸ τῆς Στοᾶς λέγειν, εἴγε ἐν τοῖς διαιρετικοῖς καὶ τοῖς διαζευκτικοῖς συλλογισμοῖς φασὶ τῇ προσλήψει θατέρου τῶν ἐν τῷ διεζευγμένῳ τὸ ἀντικείμενον ἕπεσθαι τοῦ λοιποῦ τῆς συλλογιστικῆς συμπλοκῆς. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη συλλογισμὸς κατ' αὐτούς. ἔτι ἔνθα προσληφθέντος τοῦ ἑτέρου μὴ τὸ ἀνακείμενον, τὸ δ' αὐτό τι τῷ προσληφθέντι τῶν ἐν τῷ διαζευκτικῷ ἐπιφέρεται, ὥστε οὐ συλλογιστικὴ ἡ ἐπιφερομένη συμπλοκή, εἰ ταὐτὸν τῷ προσλαμβανομένῳ τῶν ἐν τῷ διαζευκτικῷ ἐπιφέρει ἡ συλλογιστική· καὶ κατ' αὐτοὺς οὐχ ὡς ταὐτὸν εἴληπται τῷ προσειλημμένῳ τὸ ἐπιφερόμενον. Alex. f. 6 b - 8.

εἰπὼν "λέγω δὲ τῷ ταῦτα εἶναι τῷ διὰ ταῦτα συμβαίνειν," ὃ καὶ αὐτὸ ἔτι δοκοῦν ἀσάφειάν τινα ἔχειν· τὸ γὰρ "διὰ ταῦτα" 24 b 20.
αἰτίας ἐστὶ δηλωτικόν, δύναται δὲ καὶ μὴ δι' αἰτίων συλλογισμὸς γίνεσθαι· τῆς γὰρ ἀποδείξεως ἴδιον τοῦτο· δεῖ μὲν γὰρ αἰτίας τοῦ συμπεράσματος τὰς προτάσεις εἶναι, εἰ συλλογισμὸς ἔσται, οὐ μέντοι δεῖ πάντως τὰ ὑπὸ τῶν προτάσεων δηλούμενα αἴτια εἶναι τοῦ πράγματος τοῦ δηλουμένου ὑπὸ τοῦ συμπεράσματος· δύναται γάρ τις καὶ δι' ὑστέρων τὰ πρότερα συλλογίσασθαι, ὡς ὁ ἐκ τοῦ γάλα ἔχειν τὸ τετοκέναι δεικνὺς καὶ διὰ τῆς τέφρας τὸ πῦρ. καὶ ὅλως οἱ διὰ σημείων συλλογισμοὶ τοιοῦτοι· οὐ γὰρ τὸ ὕστερον τοῦ προτέρου αἴτιον. διὰ τοῦτο καὶ τὸ "διὰ ταῦτα εἶναι" ἐξηγήσατο, εἰπὼν "τῷ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον," τουτέστι τὸ αὐτάρκεις εἶναι τοὺς κειμένους ὅρους πρὸς τὸ συμπέρασμα, διὰ ταύτης τῆς προσθέσεως ἅμα δεικνὺς ὅτι μή εἰσιν οἱ λεγόμενοι μονολήμματοι συλλογισμοί· προσδέονται γὰρ καὶ ἐκεῖνοι ἔξωθέν τινος ὅρου καὶ προτάσεως πρὸς τὸ συμπέρασμα· ὃν ὅρον καὶ πρότασιν προστίθησι περὶ — πρὸς ὃν ὁ λόγος τὸ εἶναι γνώριμον. καθόλου γὰρ εἴ τι εἴη συναγόμενον μέν, οὐ μὴν ἐκ τῶν κειμένων ἀλλ' ἑτέρας προτάσεως προσλήψει, τὸ τοιοῦτον ἀναγκαῖον μὲν ῥηθήσεται, οὐ μὴν συλλογισμὸς ἤδη τοῦτο· ὁποῖοί εἰσι καὶ οἱ ἀμεθόδως περαίνοντες λόγοι παρὰ τοῖς Στωϊκοῖς, οἷον εἰ λέγει τις "τὸ πρῶτον τοῦ δευτέρου μεῖζον, τὸ δὲ δεύτερον τοῦ τρίτου, τὸ ἄρα πρῶτον τοῦ τρίτου μεῖζον." τοῦτο γὰρ ἀναγκαίως μὲν ἕπεται, οὐ μὴν καὶ συλλογισμῷ, εἰ μὴ προσληφθήσεταί τις ἔξωθεν πρότασις ἡ λέγουσα τὸ τοῦ μείζονος μεῖζον καὶ τοῦ ἐλάττονος ἐκείνου μεῖζόν ἐστιν. τοιοῦτόν ἐστι καὶ τὸ ἐν τῷ πρώτῳ τῶν Εὐκλείδου στοιχείων θεώρημα τὸ "ἥδε τῇδε ἴση καὶ ἥδε ἄρα τῇδε ἴση.".. καὶ ὅλως τοιοῦτον τὸ εἶδός ἐστι τῶν λόγων οὓς οἱ νεώτεροι λέγουσιν ἀμεθόδως περαίνοντας, οἷόν ἐστι καὶ τὸ "ἡμέρα ἐστίν· ἀλλὰ σὺ λέγεις ὅτι ἡμέρα ἐστίν· ἀληθεύεις ἄρα." οὐ γὰρ συλλογισμὸς τοῦτο, ἔσται δὲ προστεθείσης τῆς καθόλου προτάσεως τῆς ὁ τὸ ὂν εἶναι λέγων ἀληθεύει· ἢ προστεθείσης τῆς ὁ δὲ ἡμέρας οὔσης ἡμέραν εἶναι λέγων τὸ ὂν εἶναι λέγει, συμπέρασμα ἐπὶ τοῖς κειμένοις ὁ ἄρα ἡμέρας οὔσης ἡμέραν εἶναι λέγων ἀληθεύει. διά τε οὖν τοὺς λόγους τοὺς μονολημμάτους καὶ διὰ τοὺς ἀμεθόδως περαίνοντας πρόσκειται "τῷ ταῦτα εἶναι," καὶ ἔτι διὰ τοὺς μὴ ἔχοντας κυρίως προτάσεις ἀλλ' ὀφείλοντας εἰς ἐκείνας μεταληφθῆναι, ἵνα γένωνται συλλογιστικοί, ὡς ὁ λόγος ἔχει ὁ λέγων "μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀναιρεῖται οὐσία· ὃ δέ ἐστιν ἀναιρούμενον, καὶ τὸ ἐκ τούτων ἀναιρεθήσεται· τὰ μέρη ἄρα τῶν οὐσιῶν οὐσίας." οὐ καὶ αὐτὸς ἐπὶ τέλει τοῦ λόγου μνημονεύει· οὐ γὰρ "τῷ ταῦτα εἶναι" τὸ συμπέρασμα, ἀλλὰ δεῖ μεταληφθῆναι τὰς προτάσεις. Alex. f. 8.

συμψήφους αὐτοῖς ἐποιοῦντο ἐκ τούτου τοὺς δικαστάς. οὕτως γὰρ καὶ Δημοσθένης ἐποίησεν. ἑκὼν παρατείνας καὶ εἰπὼν παροξυτόνως μίσθωτος, καὶ τῶν δικαστῶν διορθωσαμένων καὶ λεγόντων ὀξυτόνως μισθωτός, ἀποβλέψας πρὸς Αἰσχίνην ἔφη "ἀκούεις ἃ λέγουσιν, Αἰσχίνη;" τὸ γὰρ ἑκουσίως αὐτὸν παρατεῖναι συμψήφους κατὰ Αἰσχίνου ἐποίησεν αὐτῷ τοὺς δικαστάς. διὰ ταύτας τὰς αἰτίας τοῖς μονολημμάτοις ἐκέχρηντο συλλογισμοῖς οἱ ῥήτορες. καλῶς οὖν εἶπε

εἰσὶ δὲ ὅροι ἐν τῇ ἁπλῇ προτάσει ὄνομα καὶ ῥῆμα. εἴρηνται δὲ ὅροι τὰ τῆς προτάσεως μέρη ἀπὸ τοῦ τούτοις ὁρίζεσθαι τὴν πρότασιν καὶ ἐκ τούτων αὐτὴν συγκεῖσθαι. **Alex. f. 6.**

ἐπισημήνασθαι δὲ δεῖ τῷ καλῶ· οὔτε γὰρ ἐπὶ τῆς προτάσεως ἔμπροσθεν εἶπε τοῦτο ὅτι πρότασιν δὲ καλῶ, οὔτε μὴν λέξει τὸν συλλογισμὸν ὁριζόμενος. ἔοικεν οὖν αὐτὸς τὸ τοῦ ὅρου ὄνομα τεθεικέναι, τὸ δὲ τῆς προτάσεως καὶ τοῦ συλλογισμοῦ εὑρέθη καὶ παρὰ τῶν πρὸ αὐτοῦ. **Ioh. Ph. f. VIII.**

ζητήσωμεν δέ τινα ἐν τῷ ὁρισμῷ τοῦ ὅρου. διὰ τί τέως προςέθεικε τὸ καλῶ; λέγομεν ὅτι αὐτοῦ ἐστὶν εὕρημα, οὐχ ὅτι ἠγνοεῖτο παρὰ τοῖς παλαιοῖς τὸ τοῦ ὅρου ὄνομα (ἠπίσταντο γὰρ τὸ τοῦ ὅρου ὄνομα φερόμενον καὶ μετὰ τοῦ ὁρισμοῦ καὶ μετὰ τοῦ πέρατος τῆς γραμμῆς, ὅ ἐστι τῆς στιγμῆς)· ἀλλ' ἐπειδὴ ἐπὶ τούτου τοῦ σημαινομένου, φημὶ δὴ ἐπὶ τοῦ μέρους τῆς προτάσεως, τὸ ὄνομα αὐτὸς ἤγαγε, διὰ τοῦτο ὡς οἰκεῖον εἶπε "καλῶ." καὶ τοῦτο δὲ ζητητέον, διὰ τί εἰπὼν "εἰς ὃν διαλύεται ἡ πρότασις," μὴ εἶπε καὶ ἐξ οὗ συντίθεται ἡ πρότασις. λέγομεν ὅτι πρέπει ταῦτα τῇ ἀναλυτικῇ πραγματείᾳ· περὶ γὰρ ἀναλυτικῆς ὁ λόγος. **cod. Reg. 2061.**

24b 17. συνήθες ἐστι τῷ Ἀριστοτέλει προσκατηγορούμενον λέγειν τὸ ἔστιν, οἷον ἄνθρωπος φιλοσοφῶν ἐστί· συγκατηγορεῖται γὰρ ἰδοὺ τὸ ἐστι μετὰ τοῦ ἀνθρώπου μετὰ τοῦ φιλοσοφεῖν· ὅπερ δή ἐστιν ὃ οὐ βούλεται ὁ περὶ Ἀλέξανδρον λέγειν ὅρον οὐδὲ μέρος προτάσεως, ἀλλὰ συνθέσεως ἢ διαιρέσεως μηνυτικὸν μόριον τῶν ἐν τῇ προτάσει ὅρων... Ἀριστοτέλης μὲν οὖν οὕτω φρονεῖ περὶ τοῦ ἐστι καὶ Ἀλέξανδρος· Εὔδημος δὲ ἐν τῷ πρώτῳ περὶ Λέξεως δείκνυσι διὰ πλειόνων ὅτι τὸ ἔστιν ἐν ταῖς ἁπλαῖς προτάσεσι κατηγορεῖται καὶ ὅρος ἐστίν, οἷον Σωκράτης ἐστι, Σωκράτης οὐκ ἐστι. **cod. 1917 in marg.**

τοῦτο τὸ ῥησείδιον ὁ μὲν Ἀλέξανδρος καὶ οἱ πλεῖστοι τῶν ἐξηγητῶν ἁπλούστερον ἐξηγήσαντο· σημαίνει γάρ, φησί, διὰ τούτων τὰς καταφατικὰς καὶ ἀποφατικὰς προτάσεις, διὰ μὲν τοῦ εἰπεῖν "προςτιθεμένου" τὰς καταφατικάς, διὰ δὲ τοῦ "διαιρουμένου" τὰς ἀποφατικάς. αὕτη δὲ ἁπλουστέρα μᾶλλόν ἐστιν ἡ ἀληθεστέρα ἡ ἐξήγησις· ἡ γὰρ κατάφασις καὶ ἡ ἀπόφασις ἀντικείμεναί εἰσι, καὶ εἰ ἠβούλετο αὐτὰς εἰπεῖν, δι' ἀντικειμένων τοῦτο εἶχε ποιῆσαι φωνῶν· ἡ δὲ πρόσθεσις καὶ διαίρεσις οὐκ ἀντικείμενα· τῇ μὲν γὰρ προσθέσει ἀντίκειται ἡ ἀφαίρεσις, τῇ δὲ διαιρέσει ἡ σύνθεσις. ὥστε οὐχ ἕξει χώραν ἡ ἐξήγησις αὕτη. οἱ δέ γε ἀκριβέστεροι τῶν ἐξηγητῶν φασίν, ὡς ὁ θεῖος Ἰάμβλιχος, διὰ βραχυλογίαν ἐξ ἑκατέρας ἀντιθέσεως ἓν εἰπὼν καὶ τὸ ἀντικείμενον ἑκατέρας ἐδήλωσε. τοῦτο δὲ σύνηθες αὐτῷ ποιεῖν. ὥστε ἔσονται ἀντιθέσεις δύο, πρόσθεσις ἀφαίρεσις, σύνθεσις διαίρεσις· διὰ τούτων δὲ ἐδήλωσεν ἡμῖν πάσας τὰς προτάσεις τὰς παραδεδομένας ἐν τῷ περὶ Ἑρμηνείας (c. 10). **Ioh. Phil. f. VIII *b*.**

τὸ δὲ "προςτιθεμένου ἢ διαιρουμένου ἢ τοῦ εἶναι ἢ μὴ εἶναι" προσέθηκεν ἵνα μή τινες ἀγνοήσαντες, ὅταν τὸ ἐστι τρίτον προσκατηγορῆται ἐν τῇ προτάσει, διαιροῦντες τὴν πρότασιν τὸ εἶναι ἢ μὴ εἶναι τρίτον ὅρον ἡγῶνται εἶναι· οὐ γὰρ ὅρος ἐν ταῖς τοιαύταις προτάσεσι τὸ ἔστιν, ἀλλὰ προςτιθέμενον μὲν σύνθεσιν σημαίνει τοῦ κατηγορουμένου καὶ τοῦ ὑποκειμένου, καὶ ἐστι καταφάσεως δηλωτικόν, ἀποφατικῶς δὲ λεγόμενον διαιρεῖ τε καὶ χωρίζει τοὺς ὅρους ἀπ' ἀλλήλων, καὶ ἐστιν ἀποφάσεως δηλωτικόν· εἰς γὰρ δύο ὅρους πᾶσα διαιρεῖται πρότασις. ὅτι γὰρ μήτε ὅρος τὸ ἐστι μήτε ὅρου μέρος, δῆλον εἶναι δοκεῖ ἐκ τοῦ καὶ τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν τὰς ἀντικειμένας ἐκ τῶν αὐτῶν ὅρων συγκεῖσθαι. δοκεῖ δὲ ὅρος γίνεσθαι τὸ ἔστιν ὅταν μόνον κεῖται· δοκεῖ γὰρ τότε τὸ ἐστι κατηγορούμενος ὅρος εἶναι. οὐ μὴν ἀλλ' εἰ ἀκριβολογοῖτό τις, οὐδὲ τότε ἐστὶ καθ' αὑτὸ ὅρος τὸ ἔστιν· ἡ γὰρ λέγουσα πρότασις "Σωκράτης ἔστιν" ἴσον δύναται τῇ Σωκράτης ὤν ἐστιν, ἐν ᾗ γίνεται τὸ ὢν μετὰ τοῦ ἐστίν. ὁ δὲ κατηγορούμενος ὅρος οὗτός ἐστιν. ἐπεὶ δὲ τῷ ὢν τὸ ἔστιν ἴσον δοκεῖ δύνασθαι ἐγκεκλιμένον ἀπ' αὐτοῦ, συντομίας χάριν καὶ τοῦ μὴ ταὐτὸν λέγειν δοκεῖν μόνον συντάσσεται τῷ ὑποκειμένῳ· οὕτως δὲ συνταχθὲν ὅρος γίνεται καὶ τῆς προτάσεως μόριον. εἰπὼν δὲ "συντιθεμένου ἢ διαιρουμένου" προσέθηκε "τοῦ εἶναι ἢ μὴ εἶναι," ἀκαταλληλότερον μέν πως τῇ ἑρμηνείᾳ δοκῶν χρῆσθαι διὰ τὴν τοῦ μὴ εἶναι πρόσθεσιν· δοκεῖ γὰρ αὔταρκες εἶναι τὸ "προςτιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι·" ἡ μὲν γὰρ πρόσθεσις τοῦ εἶναι κατάφασιν ποιεῖ, ἡ δὲ διαίρεσις ἀπόφασιν. οὐ μὴν ἀλλὰ καὶ προσέθηκεν αὐτὸ ὑπὲρ τοῦ δηλῶσαι τίνα τρόπον τοῦ εἶναι διαιρουμένου ἀπόφασις γίνεται· διαίρεσις γάρ ἐστι καὶ ἡ παντελὴς ἄρσις τοῦ ἔστιν, διαίρεσίς ἐστι καὶ ἡ μετὰ τοῦ ἀποφατικοῦ μορίου σύνταξις, ἐπειδὴ ἐστι τὸ οὐκ ἔστιν. ἀλλὰ τέλεον μὲν ἀφαιρεθέντος τοῦ ἔστιν ἀπὸ τῆς προτάσεως καὶ οὕτως διαιρεθέντος οὔτε ἀπόφασις τὸ καταλειπόμενον οὔτε πρότασις ὅλως· ὁ γὰρ ἀφελὼν ἀπὸ τῆς προτάσεως τῆς λευκός ἐστι τὸ ἐστί καὶ καταλιπὼν τὸ Σωκράτης λευκός, οὔτε ἀπόφασιν πεποίηκεν οὔτε ἔτι πρότασιν τὸ καταλειπόμενον τετήρηκεν· ἡ γὰρ πρότασις τέλειός ἐστι λόγος καὶ ἀνελλιπής. ὑπὲρ τοῦ οὖν δεῖξαι τίνα τρόπον χρὴ διαιρεῖν τὸ ἔστιν ἐν τῇ ἀποφάσει, προσέθηκε τὸ μὴ εἶναι, ἵν' ᾖ προςτιθεμένου μὲν τοῦ ἔστιν ἐν ταῖς καταφάσεσιν, διαιρουμένου δὲ τοῦ αὐτοῦ τούτου ἐν ταῖς ἀποφάσεσι καὶ γινομένου μὴ εἶναι· οὐ γὰρ τέλεον διαιρουμένου καὶ ἀφαιρουμένου. ἢ προσέθηκε τὸ "προςτιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι" ὑπὲρ τοῦ ἐνδείξασθαι ὅτι ταῦτα τὸ εἶναι ἢ μὴ εἶναι οὐ μόριά ἐστι τῆς προτάσεως οὐδὲ ὅροι, ἀλλ' ἔστιν ἔξωθεν τῶν ὅρων καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι, ἢ προςτιθέμενα τοῖς κατηγορουμένοις ὅροις ἔξωθεν ἐν τῇ τῶν προτάσεων εἰς τοὺς ὅρους διαιρέσει ἢ χωριζόμενα αὐτῶν· οὐδὲ γὰρ πλέον ὡς πρὸς τὴν εἰς τοὺς ὅρους τῶν προτάσεων διαίρεσιν ποιεῖ ταῦτα προςτιθέμενα ἢ ἀφαιρούμενα· δοκοῦσι γὰρ οἱ ὅροι εἶναι τῆς Σωκράτης λευκός ἐστι τὸ Σωκράτης καὶ τὸ λευκός. καὶ εἴη ἂν καταλληλότερον ἡ λέξις ἔχουσα, εἰ οὕτως λέγοιτο, "προςτιθεμένου τοῦ εἶναι ἢ μὴ εἶναι ἢ διαιρουμένου." ἢ ἄτοπον τὸ μηδ' ὅλως λέγειν τὸ ἔστιν ἐν ταῖς οὕτως ἐχούσαις προτάσεσι κατηγορεῖσθαι, καὶ ταῦτα Εὐδήμου ἐν τῷ πρώτῳ περὶ Λέξεως δεικνύντος τοῦτο διὰ πλειόνων. **Alex. f. 6.**

πρὸ τῆς τῶν ῥητῶν ἐξετάσεως ἄξιόν ἐστι ζητῆσαι πρῶτον μὲν 24b 18.
πόθεν ἡ ψυχὴ εἰς ἔννοιαν ἦλθε τοῦ συλλογισμοῦ, ἔπειτα ποῖόν ἐστι τῆς ψυχῆς μόριον τὸ συλλογιζόμενον, τρίτον εἰ ἔστιν ὅλως συλλογισμός· καὶ γὰρ πειρῶνταί τινες κατασκευάζειν ὅτι οὐδὲ ἔστιν ὅλως συλλογισμός. οἱ γὰρ ἐφεκτικοὶ κατασκευάζοντες ὅτι οὐκ ἐστι συλ-

ἢ ἀποφατικῶς, εἰ μὲν ὡς ἓν ἄμφω λάβωμεν, οὐκ ἔσται ἐπ' ἔλαττον τῆς προτάσεως ἀλλ' ἐξισάζει· τὸν γὰρ ἢ σύνδεσμον οὐ διαζευκτικὸν ἀλλὰ παραδιαζευκτικὸν ληψόμεθα ἀντὶ τοῦ καί, ἵνα ἄμφω κατὰ τοῦ γένους κατηγορῆται τῆς ἀποφάνσεως ἢ προτάσεως... εἰ δὲ καὶ μὴ παραδέξαιτό ταύτην τὴν ἐξήγησιν, ἀλλὰ διαζευκτικῶς εἰρῆσθαι φαίη τὸ καταφατικῶς ἢ ἀποφατικῶς, οὐδὲ οὕτως ἐλεγχθήσεται ὁ ὁρισμός· οὐ γὰρ εἰς τὸν ὁρισμὸν συντελεῖν ταῦτα φήσομεν ἀλλ' εἰς διάκρισιν τῶν διαφόρων τῆς προτάσεως εἰδῶν. ἤρκει γὰρ καὶ οὕτως ὁρίσασθαι, ὅτι ἔστι πρότασις λόγος τινὸς κατά τινος· ἀλλ' ἐπεὶ μὴ μονοειδεῖς εἰσιν αἱ προτάσεις (διαιροῦνται γὰρ εἴς τε τὰς καταφατικὰς καὶ ἀποφατικάς), εἰς διάκρισιν τῶν διαφόρων εἰδῶν προσέθηκε τὸ καταφατικῶς ἢ ἀποφατικῶς... καὶ ὅτι γε προσφυὴς καὶ ἡ τοιαύτη ἐξήγησις καὶ τῆς προτέρας προσφυεστέρα, δῆλον ἐκ τῶν ἐπιφερομένων... τινὰ τῶν ἀντιγράφων "καὶ τινὸς ἀπό τινος" ἔχει· ἀλλ' ἄμεινον τὸ πρῶτον μόνον. εἰ δέ τις εἴποι ἀλλὰ μόνης τῆς καταφάσεως ὁ ὁρισμὸς εὑρίσκεται (δοκεῖ γὰρ τὸ κατά τινος μὴ ἁρμόζειν τῇ ἀποφάσει· αὕτη γὰρ διὰ τὸ διαιροῦν μᾶλλον ἂν καλοῖτο τινὸς ἀπό τινος), ἐροῦμεν ὅτι τὸ τινός αὐτὸν μόνον τὸν κατηγορούμενον ὅρον δηλοῖ, τὸ δὲ κατά τινος τὸν ὑποκείμενον. εἰ οὖν καὶ ἡ ἀπόφασις ἐκ τούτου συνέστηκε, δῆλον ὡς καὶ περὶ ταύτης ἂν εἴη διειληφώς. Ioh. Phil. f. VI *b* sq.

24a 15. τὸ κατηγορεῖσθαι ὁ Ἀριστοτέλης οὐ μόνον εἰώθει ἐπὶ τοῦ καταφάσκεσθαι τάττειν ἀλλὰ καὶ ἐπὶ τοῦ ἀποφάσκεσθαι, ὥσπερ δὴ κἀνταῦθα ἐσήμανεν εἰπὼν τὸ "κατά τινος," περιλαβὼν ἅμα καὶ τὴν ἀπόφασιν· τὶ γὰρ καὶ αὕτη κατά τινος λέγεται νῦν, κἂν ἐν τῷ περὶ Ἑρμηνείας (p. 17 *a* 26) τὶ ἀπό τινος ἐλέγετο. καὶ ἐν τῷ α' τῆς Ἀποδεικτικῆς εὑρηται τὸ ὑπάρχειν καὶ ἐπὶ καταφάσεως καὶ ἀποφάσεως τιθείς, ἐν οἷς διέξεισι περὶ ἀπατητικῶν συλλογισμῶν καὶ ἁπλῶς περὶ τῆς κατὰ διάθεσιν ἀγνοίας (I 16). δοκεῖ δὲ τοῦτο καὶ τῷ Ἀφροδισιεῖ Ἀλεξάνδρῳ... τὸ μὴ παντὶ ὑπάρχειν καὶ τὸ τινὶ μὴ ὑπάρχειν ὁ μὲν Ἀλέξανδρος, ὡς καὶ ὁ παρὼν Φιλόπονος, οἴεται μόνῃ τῇ προφορᾷ διαφέρειν, ὁ δὲ Θεόφραστος καὶ τῷ σημαινομένῳ· τὸ μὲν γὰρ μὴ παντὶ ὑπάρχειν δηλοῖ τὸ πλείοσιν ὑπάρχειν, τὸ δὲ τινὶ μὴ ὑπάρχειν τὸ ἑνί. καὶ διὰ τοῦτο ἔστιν εὑρεῖν τὸν Ἀριστοτέλην προτάττοντα τὸ μὴ παντί ἐπάγειν τὸ τινὶ μὴ ὑπάρχειν, ἢ καὶ τὸ τινὶ μὴ ὑπάρχειν ἐπιφέρειν ἐνίοτε τὸ ἢ μὴ πάντα, κατὰ τὴν μεγαλεπήβολον τοῦ Θεοφράστου ἔννοιαν τοῦτο ποιοῦντα. cod. 1917 in marg.

24a 15. σημειωτέον δὲ ὅτι οὐχ ὁμοίως ἔν τε τούτοις καὶ ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (I 4) ἀποδίδωσι τὸ καθόλου. Alex. f. 5.

τί δήποτε τὴν μὲν μερικὴν κατάφασιν μιᾷ φωνῇ ἐσήμανεν, τὴν δὲ μερικὴν ἀποφατικὴν δύο φωναῖς τῷ τε "μή τινι" καὶ τῷ "μὴ παντί;" λέγομεν οὖν πρὸς τοῦτο ὅτι ἡ μερικὴ ἀποφατική, ὡς καὶ ἐν τῷ περὶ Ἑρμηνείας (c. 10) εἴρηται, δύο προτάσεσι μάχεται, τῇ τε τὶς καὶ τῇ πᾶς, ἀλλὰ τῇ μὲν τὶς ὡς αὐτὸ τοῦτο τὸ μερικὸν ἀναιροῦσα ὅπερ κατέφησεν ἡ ἰδία αὐτῆς κατάφασις, τῇ δὲ πᾶς μάχεται ὡς ἀντιφατικῶς αὐτῇ ἀντικειμένη· καὶ ὀνόματα μὲν δύο, πρᾶγμα δὲ ἕν. Ioh. Phil. f. VII.

24a 20. ἠπόρησαν δέ τινες πῶς ἀπροσδιορίστων προτάσεων ὑποδείγματα θεῖναι βουληθεὶς εἶπε τὸ τῶν ἐναντίων μίαν εἶναι τὴν ἐπιστήμην ἢ τὴν ἡδονὴν μὴ εἶναι ἀγαθόν, μετὰ τῶν ἄρθρων τοὺς ὅρους τιθείς· δοκοῦσι γὰρ τὰ ἄρθρα ἰσοδυναμεῖν τοῖς καθόλου προσδιορισμοῖς, καὶ οὕτως ἐν τῷ περὶ Ἑρμηνείας (c. 7) ἐδόκει λέγεσθαι. φημὶ οὖν ὅτι οὐ παντάπασι τὰ ἄρθρα τοῖς προσδιορισμοῖς τὴν αὐτὴν ἔχουσι δύναμιν... ἀλλ' ἐπὶ μὲν τῶν καθ' ἕκαστα ὅρων οὐδὲν ἄλλο σημαίνουσιν ἢ ἀναφορὰν καὶ τὸν προεγνωσμένον ἡμῖν φέρε Σωκράτην ἢ ἐντευθεν, ἐπὶ δὲ τῶν καθόλου ὅρων ἔοικεν, ὡς καὶ ἐν τοῖς εἰς τὸ περὶ Ἑρμηνείας ὁ ἡμέτερος εἶπε διδάσκαλος, αὐτὴν τὴν φύσιν καὶ τὴν ἰδέαν τοῦ ἀνθρώπου δηλοῦν ἢ οὐτινοσοῦν. Ioh. Phil. ib.

24a 22. ἐπεὶ ἐν τοῖς Τοπικοῖς (p. 104 *a* 8) ὁριζόμενος τὴν πρότασιν λόγον ἀποδέδωκεν αὐτῆς, ὅτι ἔστι πρότασις διαλεκτικὴ ἐρώτησις ἔνδοξος, ἵνα μή τις ὑπολάβῃ τῆς καθόλου προτάσεως ἐκεῖνον εἶναι λόγον, καὶ ἐνταῦθα διαστέλλεται καὶ τῶν προτάσεων τὰς διαφοράς, δεικνὺς ὅτι τῆς κοινῶς λεγομένης προτάσεως τῆς πρὸς τὸ συλλογίσασθαι λαμβανομένης ὁ ἀποδεδομένος νῦν λόγος ἐστίν, ἀλλ' οὐχ ὁ ἐν τοῖς Τοπικοῖς εἰρημένος. ἐκεῖνος γὰρ διαλεκτικῆς ἐστὶ προτάσεως λόγος, καὶ ταύτης οὐδέπω συλλογιστικῆς· κατὰ γὰρ τὰς διαφορὰς τῶν συλλογισμῶν διαφοραὶ καὶ προτάσεων εἰσίν, ὄντος τινὸς κοινοῦ προτάσεως λόγου, ὥσπερ οὖν καὶ συλλογισμοῦ. ἐπὶ πλέον μὲν οὖν περὶ τῆς ἀποδεικτικῆς προτάσεως, τίνι τῶν ἄλλων διαφέρει, ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς διαλαμβάνει· καὶ γὰρ τῇ ὕλῃ διαφέρει αὐτῶν· ἀληθεία γὰρ καὶ προτέρα καὶ γνώριμος καὶ ἀναγκαία καὶ τῇ χρήσει τε καὶ τῇ λήψει. Alex. f. 5 *b*. cf. Ioh. Philop. f. VII *b*.

24a 27. ἐντεῦθεν δῆλον ὅτι τὸ "κατά τινος" ἐνδέχεται λαβεῖν κοινῶς ἐπί τε τῆς καταφάσεως καὶ τῆς ἀποφάσεως, ὅπερ ἄνω ἐλέγομεν. αὐτὸς γὰρ κοινῶς εἰπὼν τὸ κατά τινος, ὑποδιεῖλε προσθεὶς ἢ τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν. Ioh. Phil. f. VIII.

24a 29. προσθεὶς δὲ τοῖς ἑξῆς "τὸν προειρημένον τρόπον" τοῦτο δηλοῦν ἔοικεν ὅτι κοινόν ἐστι τὸ κατά τινος. ἢ τὸ "τὸν προειρημένον τρόπον" δηλωτικόν ἐστι τοῦ καθόλου ἢ ἐν μέρει ἢ ἀδιορίστως. ποιεῖται δέ τινα καὶ τῆς διαλεκτικῆς προτάσεως διαίρεσιν· ἄλλην μὲν γάρ φησιν εἶναι τὴν πυνθανομένου καὶ ἐρωτῶντος· ἐρώτησις γάρ ἐστιν ἀντιφάσεως ἥτις ἐστὶν ἐν τῇ παρ' ἄλλου αἰτήσει, ἥτις οὐδέπω λόγος ἀποφαντικὸς οὐδὲ κατάφασις ἢ ἀπόφασις· ἄλλην δὲ τοῦ συλλογιζομένου, ἣ καὶ μέρος ἐστὶ τοῦ συλλογισμοῦ γινομένη, ἥτις ἐστὶν ἀπὸ τῆς ὕλης· ἡ γὰρ ἐρώτησις ἀντιφάσεως οὐκ ἔστι συλλογισμοῦ μέρος. τί δὲ τὸ φαινομένου καὶ ἐνδόξου, εἴρηκεν ἐν τοῖς Τοπικοῖς (p. 100 *b* 21). Alex. f. 5 *b*–6.

24b 13. δι' ἀκριβείας δὲ περὶ αὐτῶν λέγει, περὶ μὲν τῆς ἀποδεικτικῆς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς, περὶ δὲ τῆς διαλεκτικῆς ἐν τοῖς Τοπικοῖς, περὶ δὲ τῆς σοφιστικῆς ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις, ἃ πάντα ἕπεται τῇ κοινῇ περὶ συλλογισμῶν πραγματείᾳ. καὶ εἴη ἂν διὰ τοῦ εἰπεῖν ὅτι ἐν τοῖς ἑπομένοις ῥηθήσεται, ὅτι πρῶτα τῇ τάξει ταῦτα τὰ βιβλία ἐκείνων τῶν πραγματειῶν, δεδηλωκώς. Alex. f. 6.

24b 16. ἔοικεν ἐνδείκνυσθαι καὶ αὐτὸς ὅτι μὴ σύνηθες τὸ τοῦ ὅρου ὄνομα μηδὲ γνώριμον ἐπὶ τοῦ τῆς προτάσεως τασσόμενον μέρους, εἰπὼν "ὅρον δὲ καλῶ." διὰ τοῦτο καὶ περὶ προτάσεως τὸν λόγον ἐποιήσατο, ὅτι ἐκ τῆς προτάσεως καὶ τὴν τοῦ ὅρου ἀπόδοσιν ἔμελλε ποιεῖσθαι.

προκείμενον εἶναι λέγων. εἰ δέ τις εἴποι ὅτι Ἀριστοτέλης οὐ δεόντως οὐδὲ ἀκολούθως ἀνεκήρυξε τὸν σκοπόν (οὐ γὰρ διαλέγεται ἐν τῷ πρώτῳ βιβλίῳ οὐδὲ ἐν τῷ δευτέρῳ περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ, αὐτὸς δὲ ὡς εὐθὺς περὶ αὐτοῦ διαλεξόμενος οὕτως ἐποιήσατο τὴν ἀρχήν, εἰρηκὼς ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς), ἐροῦμεν πρὸς αὐτὸν ὅτι ὁ κυρίως σκοπὸς τοῦ Ἀριστοτέλους οὗτός ἐστι τοῦ διαλαβεῖν περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ· ἀλλ' ἐπειδὴ ἀδύνατον διαλαβεῖν περὶ αὐτοῦ πρὶν ἢ παραδοῦναι τὸν ἁπλῶς συλλογισμόν, τούτου χάριν πρῶτον περὶ τούτου ποιεῖ τὴν διδασκαλίαν... ἀμέλει καὶ αὐτὸς ἐν τῷ τέλει τῆς Ἀποδεικτικῆς, λέγω δὴ τῶν Ὑστέρων Ἀναλυτικῶν, ὡς δὴ τέλος λαβούσης τῆς ἐξ ἀρχῆς προτεθείσης πραγματείας, ἣν προανεφώνησε τῷ παρόντι προοιμίῳ, ὅπερ ἤδη ἀρτίως ἐμνήσθημεν, "περὶ μὲν οὖν συλλογισμοῦ καὶ ἀποδείξεως" καὶ τὰ ἑξῆς, συμπεραινόμενος ἐκεῖ τὰ ἐνταῦθα προβληθέντα. Ioh. Philop. f. IV *b* sq.

24a 11. μιμεῖται τοῖς ἐνταῦθα ὁ Ἀριστοτέλης τὴν γεωμετρικὴν διδασκαλίαν· ὥσπερ γὰρ ἐκεῖνοι προλαμβάνειν εἰώθασι θεωρήματά τινα συμβαλλόμενα αὐτοῖς πρὸς τὰ δειχθησόμενα, οὕτω καὶ αὐτὸς ἐνταῦθα τὰ ἐσόμενα αὐτῷ χρήσιμα πρὸς τὴν τῶν συλλογισμῶν διδασκαλίαν προλαμβάνει. ἄξιον δὲ ζητῆσαι τί δήποτε μὴ ἀπὸ τοῦ ὅρου ἤρξατο ὡς ἁπλουστέρου, εἶτα ἐπὶ τὰ συνθετώτερα ἔληξεν, ἢ εἰ ἀπὸ τῶν συνθέτων ἠβούλετο τὴν ἀρχὴν ποιήσασθαι, διὰ τί μὴ ἀπὸ τοῦ συλλογισμοῦ τὴν ἀρχὴν ἐποιήσατο καὶ κατέληξεν εἰς τὸν ὅρον. Ioh. Phil. f. v.

24a 12. καὶ ζητοῦμεν τί δήποτε προέταξε τὴν πρότασιν τοῦ ὅρου, εἴγε ἡ πρότασις ἐξ ὅρων σύγκει). καὶ λέγομεν τούτου πέντε λύσεις. Cod. Reg. 2061.

ἰστέον μέντοι ὅτι ὅρος καὶ φάσις καὶ ἁπλῆ φωνὴ καὶ ὄνομα καὶ ῥῆμα τῷ μὲν ὑποκειμένῳ ταὐτά ἐστι, τῇ σχέσει δὲ διαφέρουσιν· ὅταν μὲν γὰρ ὡς συλλογισμοῦ μέρος λαμβάνηται, ὅρος λέγεται, ὅταν δὲ ὡς μέρος προτάσεως, φάσις, ὅταν δὲ ὡς ὑποκείμενον ἐν τῇ προτάσει, ὄνομα, ὅταν δὲ ὡς κατηγορούμενον, ῥῆμα, ὅταν δὲ ὡς φωνὴ ἁπλῶς σημαντική, ἁπλῆ φωνή. καὶ ἄλλως, ὄνομα μὲν ὅταν μετὰ ἄρθρου λέγηται, ῥῆμα δὲ ὅταν προσσημαίνῃ χρόνον. ὥσπερ καὶ πρότασις καὶ πρόβλημα καὶ ἔνστασις καὶ συμπέρασμα καὶ ἀπόφανσις πάλιν ἓν καὶ ταὐτὸν τῷ ὑποκειμένῳ εἰσίν, ὡς ἤδη καὶ ἐν ἄλλοις εἴρηται, τῇ σχέσει δὲ διαφέρουσιν· ὅταν μὲν γὰρ συλλογισμὸν κατασκευάσαι βουλόμενοι ὡς μέρος αὐτὴν παραλαμβάνωμεν συλλογισμοῦ, πρότασις λέγεται, ὅταν δὲ εἰς τὸ δεῖξαι ἑτέρῳ προβαλλώμεθα, ὡς ὅταν λέγωμεν "δεῖξον εἰ ἡ ψυχὴ ἀθάνατος," πρόβλημα, ὅταν δέ τινος καταφήσαντός τι ἢ ἀποφήσαντος ἡμεῖς τὰ ἐναντία ἀποφαινώμεθα, ἔνστασις, οἷον εἴ τινος εἰπόντος ὅτι ἡ ψυχὴ ἀθάνατος ἡμεῖς εἴπωμεν ὅτι οὐκ ἀθάνατος· συμπέρασμα δὲ αὐτὸ τοῦτο ὅπερ ἂν ὁ συλλογισμὸς συμπεραίνηται, ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ δὲ αὐτοκίνητον ἀεικίνητον, τὸ δὲ ἀεικίνητον ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος· ἀπόφανσις δὲ ὅταν ἁπλῶς ἀποφαινώμεθά τι κατά τινος ἢ τι ἀπό τινος. τελείους δὲ καλεῖ συλλογισμοὺς πάντας τοὺς ἐν τῷ πρώτῳ σχήματι, ἀτελεῖς δὲ τοὺς ἐν τῷ δευτέρῳ καὶ τρίτῳ. ὅπως δὲ οἱ μέν εἰσι τέλειοι οἱ δὲ ἀτελεῖς, ἐν τοῖς ἑξῆς λεχθήσεται. Ioh. Phil. f. v.

εἴη μὲν ἂν λόγος τῆς προτάσεως κἀκεῖνος ὃν τῆς ἀποφάνσεως 24a 16.
ἀπέδωκεν ἐν τῷ περὶ Ἑρμηνείας (p. 17 *a* 2)· λόγος γὰρ ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. οὐ μὴν ἀλλ' ἰδίως τὴν πρότασιν ὁρίζεται· καὶ γὰρ εἰ ταὐτὸν κατὰ τὸ ὑποκείμενον πρότασίς τε καὶ ἀπόφανσις, ἀλλὰ τῷ λόγῳ γε διαφέρει· καθόσον μὲν γὰρ ἢ ἀληθής ἐστιν ἢ ψευδής, ἀπόφανσίς ἐστι, καθόσον δὲ καταφατικὸς ἢ ἀποφατικός, λέγεται πρότασις. ἢ ὁ μὲν ἀποφαντικὸς λόγος ἐν τῷ ἀληθὴς ἢ ψευδὴς εἶναι ἁπλῶς τὸ εἶναι ἔχει, ἡ δὲ πρότασις ἤδη ἐν τῷ πως ἔχειν ταῦτα· διὸ αἱ μὴ ὁμοίως ἔχουσαι αὐτὰ λόγοι μὲν οἱ αὐτοί, προτάσεις δὲ οὐχ αἱ αὐταί. δοκεῖ δὲ ἀπὸ τῶν ὑπὸ τὴν πρότασιν ὁρίζεσθαι. τούτου δὲ αἴτιον ἐπεὶ εἶπεν ἐν τῷ περὶ Ἑρμηνείας (p. 17 *a* 8) ὅτι ἐστὶν εἷς πρῶτος λόγος ἀποφαντικός, κατάφασις, εἶτα ἀπόφασις. ἐν οἷς δὲ τάξις ἐστὶ καὶ τὸ μὲν πρῶτόν ἐστι τὸ δὲ ὕστερον τῶν ὑποτεταγμένων, ὡς ἐν τῷ ὑστέρῳ τὸ πρῶτον ἐμφαίνεσθαι, ἐν τούτοις τὸ κοινῶς αὐτῶν κατηγορούμενον οὐχ ὡς γένος αὐτῶν κατηγορεῖται· ἐν γὰρ τοῖς γένεσι τὰ εἴδη ἐπ' ἴσης ἀντιδιαιρεῖται ἀλλήλοις, καὶ οὐ τὸ μὲν πρῶτόν ἐστιν αὐτῶν τὸ δὲ ὕστερον. ἐπεὶ τοίνυν ἡ πρότασις οὐ γένος οὐδὲ φύσις ἐστί τις ἄλλη παρὰ τὰ ὧν κατηγορεῖται καὶ ἐν οἷς αὐτῇ τὸ εἶναι, ὡς ἐπὶ τῶν γενῶν ἐστί, διὰ τοῦτο ἐκ τῆς καταφάσεως καὶ τῆς ἀποφάσεως ὧν κατηγορεῖται ἐδήλωσεν αὐτήν· καὶ γὰρ τὸ ἐν τῷ περὶ Ἑρμηνείας εἰρημένον ἴσον ἐστὶ τούτῳ, τὸ (p. 17 *a* 22) ἐστὶν οὖν ἁπλῆ ἀπόφανσις φωνὴ σημαντικὴ περὶ τοῦ εἰ ὑπάρχει τι ἢ μὴ ὑπάρχει. ἀλλὰ καὶ τὸ "ἀποφάνσεως τὸ ἕτερον μόριον, ἓν καθ' ἑνός," ὡς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς (p. 72 *a* 8) λέγει, ἴσον τούτοις. ᾧ ὅρῳ οὐκέτι προσέθηκε τὸ κατὰ ποσὸν ἢ τοὺς χρόνους, ὅτι ἐν τῇ ἀντιφάσει ταῦτα συνείληπται· εἰσὶ γὰρ καὶ κατὰ ταῦτα αἱ ἀντιφάσεις. ὅμοιον τούτοις καὶ τὸ λόγος ἀποφαντικός τινος περί τινος, εἰ μὴ ἄρα οὗτος κοινότερος, ὅτι ἐν αὐτῷ οὔπω συμπαρείληπται οὔτε ἡ κατάφασις οὔτε ἡ ἀπόφασις. ὡς δὲ πολλαχῶς λεγομένης τῆς προτάσεως ἔοικε καὶ Θεόφραστος ἐν τῷ περὶ Καταφάσεως φρονεῖν· αὐτὴν οὖν οὐχ ὁρίζεται, ἀλλὰ κατάφασιν καὶ ἀπόφασιν. εἰσὶ δὲ οὗτοι οἱ ὅροι προτάσεως οὐ πάσης ἀλλὰ τῆς ἁπλῶς τε καὶ καλουμένης κατηγορικῆς· τὸ γὰρ τὶ κατά τινος ἔχειν καὶ τὸ καθόλου ἢ ἐν μέρει ἢ ἀδιόριστον ἴδια ταύτης· ἡ γὰρ ὑποθετικὴ οὐκ ἐν τῷ τὶ κατά τινος λέγεσθαι ἀλλ' ἐν ἀκολουθίᾳ ἢ μάχῃ τὸ ἀληθὲς ἢ ψεῦδος ἔχει. ἔστι δὲ οὐδὲ τῆς διαλεκτικῆς ὁ ἀποδιδόμενος ὁρισμός (ἐκείνη γὰρ ἐν ἐρωτήσει) ἀλλὰ μόνης τῆς συλλογιστικῆς. τὸ δὲ τὶ κατά τινος καὶ τὸ τῆς ἀποφάσεως εἶπεν, ἐπεὶ καὶ ἐν τῇ ἀποφάσει ὑποκείμενός τις ὅρος ἐστὶ καὶ κατηγορούμενος. τὸ γὰρ τὶ κατά τινος νῦν οὐ τοῦ καταφατικοῦ δηλωτικόν ἐστιν ἀλλὰ τοῦ κατηγορουμένου, ὃ κατηγορεῖται ἢ καταφατικῶς ἢ ἀποφατικῶς. ἐν μέντοι τῷ περὶ Ἑρμηνείας ὁριζόμενος τὴν κατάφασιν ἢ ἀπόφασιν τῷ κατά τινος ἐπὶ τῆς καταφάσεως ἐχρήσατο, ἐπὶ δὲ τῆς ἀποφάσεως οὐκέτι τῷ κατά τινος ἀλλὰ τῷ ἀπό τινος, εἰπὼν αὐτὴν ἀπόφασιν εἶναί τινος ἀπό τινος. Alex. f. 4 *b* 5.

ταύτῃ οὖν τὸ κατά τινος μόνῳ τῷ ἀποφαντικῷ λόγῳ ὑπάρχον παρείληπται εἰς τὸν τῆς προτάσεως ὁρισμόν· τὸ γὰρ καταφατικῶς

δεικτικῶς φερόμενος ἔν τε τῷ Φαίδωνι καὶ ἐν πᾶσιν αὐτοῦ σχεδὸν τοῖς διαλόγοις· συντάξαι δὲ αὐτὴν καὶ τεχνῶσαι καινότι τισὶ τὸ προκείμενον σύγγραμμα οὐδὲν ἄτοπον. ἑξῆς ζητητέον πότερον μέρος ἐστὶν ἢ ὄργανον ἡ λογική τε καὶ διαλεκτικὴ πραγματεία τῆς φιλοσοφίας, ἐπείπερ ἐναντίως καὶ διαφόρως δοκεῖ τοῖς παλαιοῖς περὶ αὐτῆς· οἱ μὲν γὰρ Στωϊκοὶ ἄντικρυς μέρος αὐτὴν ἀπεφαίνοντο, τοῖς ἄλλοις δύο μέρεσι τῆς φιλοσοφίας αὐτὴν ἀντιδιαιροῦντες, οἱ δὲ Περιπατητικοί, τουτέστιν οἱ ἀπὸ Ἀριστοτέλους, ὄργανον, οἱ δὲ ἀπὸ τῆς Ἀκαδημίας, ὧν ἐστὶ καὶ Πλάτων, καὶ μέρος καὶ ὄργανον φαίνονται λέγοντες. καὶ οἱ μὲν Στωϊκοὶ τοιούτῳ τινὶ λόγῳ τὸ εἶναι αὐτῆς μέρος κατασκευάζουσι. περὶ ὃ καταγίνεται, φασί, τέχνη τις ἢ ἐπιστήμη, εἰ μὴ ἀναφέροιτο εἰς ἑτέραν τέχνην ἢ εἰς ἐπιστήμην ὡς μέρος ἢ μόριον, αὐτῆς ἐκείνης μέρος ἐστὶν ἢ μόριον. εἰ τοίνυν ἡ φιλοσοφία καταγίνεται περὶ τὴν λογικὴν μέθοδον, ἥτις οὐκ ἀνάγεται εἰς ἑτέραν τέχνην ἢ ἐπιστήμην ὡς μέρος ἢ μόριον, ἡ λόγικη ἄρα τῆς φιλοσοφίας ἐστὶ μέρος ἢ μόριον. μόριον μὲν οὐκ ἔστιν· οὔτε γὰρ τοῦ θεωρητικοῦ οὔτε τοῦ πρακτικοῦ μέρος ἐστίν· τὸ γὰρ μόριόν τινος καὶ τῆς ὕλης κοινωνεῖ καὶ τοῦ σκοποῦ ἐκείνῳ οὗ ἐστὶ μόριον. τῷ μὲν οὖν πρακτικῷ οὐ κοινωνεῖ· τούτου γὰρ ὕλη τὰ ἀνθρώπινα πράγματα καὶ μετριοπάθεια, σκοπὸς δὲ τὸ περὶ ταῦτα αἱρετόν πως ἢ φευκτόν, ἡ δὲ λογικὴ ὕλην μὲν ἔχει τὰς προτάσεις, σκοπὸν δὲ τὸ διὰ τῆς τοιᾶσδε συνθέσεως τῶν προτάσεων τῶν ἑπομένων τι ἐξ ἀνάγκης δεικνύναι συναγόμενον· ὃ οὐκ ἔστι τοῦ πρακτικοῦ τέλος, ἀλλ' ὡς εἶπον, ἡ μετριοπάθεια ἢ τὸ ἁπλῶς ἀγαθόν. καὶ οὕτως μὲν ἡ λογικὴ οὐκ ἔστι μόριον τοῦ πρακτικοῦ. ἀλλ' οὔτε μὴν τοῦ θεωρητικοῦ· τούτου γὰρ ὕλη μὲν τὰ θεῖα, τέλος δὲ ἡ περὶ ταῦτα θεωρία. εἰ δὲ μήτε τοῦ θεωρητικοῦ μήτε τοῦ πρακτικοῦ ἐστὶ μέρος, οὐκ ἔσται ἄρα τῆς φιλοσοφίας μόριον. λείπεται οὖν ἀντιδιαιρεῖσθαι τῷ θεωρητικῷ καὶ πρακτικῷ τὴν λογικὴν καὶ μέρος εἶναι τῆς φιλοσοφίας. καὶ οὕτω μὲν οἱ Στωϊκοί· ἐν μεθόδῳ δὲ αὐτοὺς ἐλέγχομεν, εἰ τὸν κανόνα ὅλον αὐτὸν σκοπήσομεν. Ioh. Philop. f. III sq.

εἰκότως ἐν οἷς μὲν βιβλίοις περὶ τοῦ προτέρου τὸν λόγον ποιεῖται, ταῦτα Πρότερα ἐπέγραψεν, ἐν οἷς δὲ περὶ τοῦ ὑστέρου, ταῦτα Ὕστερα. Ἀναλυτικὰ δὲ ὅτι ἡ παντὸς συνθέτου εἰς τὰ ἐξ ὧν ἡ σύνθεσις αὐτοῦ ἀναγωγὴ ἀνάλυσις καλεῖται. ἀντεστραμμένως γὰρ ἡ ἀνάλυσις ἔχει τῇ συνθέσει· ἡ μὲν γὰρ σύνθεσις ἀπὸ τῶν ἀρχῶν ὁδός ἐστιν ἐπὶ τὰ ἐκ τῶν ἀρχῶν, ἡ δὲ ἀνάλυσις ἐπάνοδός ἐστιν ἐπὶ τὰς ἀρχὰς ἀπὸ τοῦ τέλους... ἀναλύειν δὲ ἰδίως λέγονται καὶ οἱ τοὺς συνθέτους συλλογισμοὺς ἀναλύοντες εἰς τοὺς ἁπλοῦς. ἀλλὰ καὶ οἱ τοὺς ἁπλοῦς εἰς τὰς προτάσεις ἐξ ὧν αὐτοῖς τὸ εἶναι. ἀλλὰ καὶ τὸ τοὺς ἀτελεῖς συλλογισμοὺς εἰς τοὺς τελείους ἀνάγειν ἀναλύειν λέγεται. ἀλλὰ καὶ τὴν τῶν τιθεμένων συλλογισμῶν ἀναγωγὴν εἰς τὰ οἰκεῖα σχήματα ἀνάλυσιν λέγουσιν. ὅθεν καὶ κατὰ τοῦτο τὸ σημαινόμενον τῆς ἀναλύσεως μάλιστα Ἀναλυτικὰ καὶ ταῦτα ἐπιγέγραπται· ὑπογράφει γάρ τινα ἡμῖν μέθοδον ἐπὶ τέλει τοῦ πρώτου δι' ἧς τοῦτο ποιεῖν δυνησόμεθα. ἀλλὰ καὶ πῶς τὴν τῶν ἁπλῶν συλλογισμῶν εἰς τὰς οἰκείας προτάσεις, ἐξ ὧν αὐτοῖς τὸ εἶναι, καὶ αὐτῶν ἀναγωγὴν ποιεῖν δυνησόμεθα. εὑρήσομεν δέ που αὐτὸν λέγοντα "καὶ πῶς οἱ σύνθετοι συλλογισμοὶ γίνονται ἐκ τῶν ἁπλῶν, καὶ πῶς αὐτοὺς εἰς ἐκείνους ἀνάξομεν." ἐν οἷς μὲν οὖν περὶ τῆς τῶν συλλογισμῶν ἀναλύσεως πεπραγμάτευται, ταῦτα Ἀναλυτικὰ Πρότερα, ἐν οἷς δὲ περὶ τῶν ἀποδείξεων, ταῦτα δὲ Ἀναλυτικὰ μὲν καὶ αὐτά, Ὕστερα δὲ ἐπιγράφει. Alex. f. 3 b sq.

Ἀναλυτικὰ λέγονται πάντα τὰ πρὸ τῆς Ἀποδεικτικῆς βιβλία καὶ αὐτὴ ἡ Ἀποδεικτική, ὡς μὲν Ἀλέξανδρος οἴεται καὶ ὁ ἐκείνῳ κατ' ἴχνος ἐνταῦθα ἑπόμενος ἢ τὰ ἐκείνου παραφράζων ἢ μεταφράζων Φιλόπονος, ἀπὸ τοῦ περὶ ἀναλύσεως συλλογισμοῦ· τοῦτο γὰρ κρεῖττόν ἐστι καὶ ἐπιστημονικώτερον... ἀλλὰ καὶ τὸ τοὺς ἀτελεῖς συλλογισμοὺς εἰς τοὺς τελείους ἀνάγειν ἀναλύειν εἰώθει καλεῖν ἡ παλαιὰ καὶ πρεσβυτέρα φιλοσοφία. cod. Reg. 1917 in marg.

εἶπε μὲν διὰ βραχέων τίς ἡ πρόθεσις καὶ τίς ὁ σκοπὸς πάσης 24 a 10.
τῆς ἀναλυτικῆς ἐπιστήμης· προθεὶς δὲ τὸ "περὶ τί," ὅπερ ἐστὶν αἰτιατικῆς πτώσεως ἀπαιτητικόν, καὶ τὸ "τίνος" γενικῆς πτώσεως ὄν, τὴν ἀπόδοσιν ἐποιήσατο κατὰ αἰτιατικὴν πτῶσιν, μόνον εἰπὼν "περὶ ἀπόδειξιν καὶ ἐπιστήμην ἀποδεικτικήν," ἡμῖν καταλιπὼν τὸ μετασχηματίσαι καὶ εἰς γενικὴν πτῶσιν τὰ εἰρημένα. γράφεται δὲ ἔν τισιν οὐ διὰ τοῦ ν ἀλλὰ διὰ τοῦ σ "ἐπιστήμης ἀποδεικτικῆς." καὶ εἴη ἂν οὕτως ἐχούσης τῆς γραφῆς πρὸς ἑκάτερον τῶν προτεθέντων ἀπηντηκώς, πρὸς μὲν τὸ "περὶ τί" διὰ τοῦ "περὶ ἀπόδειξιν," πρὸς δὲ τὸ "τίνος" διὰ τοῦ "ἐπιστήμης ἀποδεικτικῆς." δύναιτο δ' ἂν καὶ διὰ τοῦ σ γεγραμμένου τοῦ "ἐπιστήμης ἀποδεικτικῆς" τὰ προειρημένα, τὸ "περὶ τί καὶ τίνος," μὴ εἰρῆσθαι περὶ τοῦ ὑποκειμένου ἀμφοτέροις, ἀλλὰ τὸ μὲν ἕτερον τὸ "περὶ τί" περὶ τοῦ ὑποκειμένου (περὶ γάρ τι ὑποκειμένον), τὸ δὲ "τίνος" περὶ τῆς θεωρούσης τὸ ὑποκείμενον ἕξεως, οἷς εἶναι περὶ μὲν ὑποκείμενον τὴν ἀπόδειξιν, θεωρούσης δὲ ταύτην τῆς ἀποδεικτικῆς ἐπιστήμης. καὶ εἴη ἂν πρὸς ἑκάτερον τῶν προτεθέντων οἰκείως οὕτως ἀπηντηκώς. ἔστι δὲ ἡμῖν ἀπόδειξις συλλογισμὸς ἀποδεικτικός, ἐπιστήμη δὲ ἀποδεικτικὴ ἕξις ἀφ' ἧς οἷόν τέ ἐστιν ἀποδεικτικῶς συλλογίζεσθαι· τὸ γὰρ περὶ ἀποδείξεως εἰπεῖν ἐπιστήμης ἐστὶν ἀποδεικτικῆς καὶ τοῦ ταύτην ἔχοντος. Alex. f. 4 b.

"πρῶτον εἰπεῖν." κατὰ τὸ Ἀττικὸν ἔθος τὸ χρή παρέλειψε· τοῦ γὰρ χρή καὶ δεῖ πρὸς τὰ ἀπαρέμφατα συνταττομένου, χρὴ γράφειν, δεῖ ἀναγινώσκειν, καὶ τῆς προκειμένης συντάξεως τοῦτο ἀπαιτούσης, πρῶτον εἰπεῖν χρή, ἔθος Ἀττικοῖς κατὰ λεῖψιν τοῦ χρή καὶ δεῖ τὰ τοιαῦτα προφέρεσθαι. "περὶ τί καὶ τίνος ἡ σκέψις, ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς." πρὸς ἑκατέραν τῶν προτάσεων ἀποδέδωκε, πρὸς μὲν τὸ περὶ τί εἰπὼν "περὶ ἀπόδειξιν," πρὸς δὲ καὶ τὸ "τίνος ἐστὶν ἡ σκέψις" τὸ "καὶ ἐπιστήμης ἀποδεικτικῆς." διαφέρει δὲ τῆς ἀποδεικτικῆς ἐπιστήμης ἀπόδειξις τῷ τὴν μὲν ἐπιστήμην ἕξιν εἶναι τῆς ψυχῆς, τὴν δὲ ἀπόδειξιν ἐνέργειαν ἀπὸ τῆς ἐπιστήμης προϊοῦσαν. ὁ μέντοι Ἀριστοτέλης ἐν τῷ τέλει τῆς Ἀποδεικτικῆς πραγματείας φησὶν ὅτι οὐδὲν διαφέρει ἀπόδειξις ἐπιστήμης ἀποδεικτικῆς, λέγων οὕτως (p. 99 b 15) "περὶ μὲν οὖν συλλογισμοῦ καὶ ἀποδείξεως, τί ἑκάτερόν ἐστι καὶ πῶς γίνεται, φανερόν ἐστιν, ἅμα δὲ καὶ περὶ ἐπιστήμης ἀποδεικτικῆς· τὸ αὐτὸ γάρ ἐστιν." τὸν δὲ σκοπὸν ἐκ προοιμίων ἀνακηρύττει τοῦ βιβλίου, ἀπόδειξιν αὐτῷ παραδοῦναι τὸ

ὁμοίως κατ' ἄμφω ἐστὶν ἀναμάρτητος. ἡ δέ γε αἴσθησις ὡς χειρόνως ἔχουσα τοῦ συλλογίζεσθαι οὐ συλλογίζεται. ἀλλ' οὐδὲ ἡ φαντασία συλλογίζεται· καὶ γὰρ τῶν ὑπὸ τῆς αἰσθήσεως φανέντων στάσις ἐστὶ καὶ τήρησις· τῆς αἰσθήσεως μὴ συλλογιζομένης οὐδὲ ἡ φυλάττουσα ἄρα τὰ κατὰ τῶν αἰσθήσεων φανέντα συλλογίσαιτ' ἄν· ὁ γὰρ συλλογισμὸς κίνησίς ἐστιν ἀφ' ἑτέρου εἰς ἕτερον· ἐκ γὰρ ἄλλου ἄλλο συλλογίζεται καὶ ὃ οὐκ ἦν δεδομένον· ἡ δὲ φαντασία μονή τε καὶ τήρησίς ἐστι τῶν τύπων τῶν αἰσθητῶν καὶ πλέον οὐδὲν ὧν ἐκ τῆς αἰσθήσεως ἐδέξατο οἶδεν· στάσει γάρ, ὡς εἶπον, ἔοικε μᾶλλον ἢ κινήσει, ὡς καὶ τοὔνομα δηλοῖ· φαεστασία γάρ τις ἐστί, τουτέστι τῶν φανέντων στάσις· οὐκ ἄρα οὐδὲ ἡ φαντασία συλλογίζεται. λείπεται οὖν ἡ δόξα καὶ ἡ διάνοια. ἀλλ' εἰ ἐμάθομεν ὡς ἡ δόξα συμπέρασμά ἐστι διανοίας, δῆλον ὡς οὐδὲ αὐτὴ συλλογίζεται. λείπεται ἄρα τῶν γνωστικῶν τῆς ψυχῆς μορίων μόνην τὴν διάνοιαν συλλογίζεσθαι. ἐπειδὴ δὲ συλλογίσασθαί τι μηδενὸς ὁμολογουμένου ληφθέντος ἀμήχανον· εἰ γὰρ συλλογισμός ἐστιν οἱονεὶ συλλογή τινων λόγων (τὸν γὰρ ἀκριβῆ τοῦ συλλογισμοῦ ὅρον προϊόντες εἰσόμεθα), δεῖ πάντως ἐν τῷ συλλογισμῷ δοθῆναί τινας λόγους ὧν δεῖ τὴν συλλογὴν καὶ οἷον ἕνωσιν τὸν συλλογιζόμενον ποιεῖσθαι. τούτους οὖν τοὺς λόγους, οἷς χρήσεται ὁ συλλογιζόμενος, καὶ αὐτοὺς γνώσεις τινὰς ὄντας ἀνάγκη ἐκ τῶν λοιπῶν τῆς ψυχῆς μορίων εἰλῆφθαι· ἡ γὰρ συλλογιζομένη ἐστὶν ἡ διάνοια. ἀνάγκη οὖν πᾶσα ἢ ἐκ τοῦ νοῦ ἢ ἐξ αἰσθήσεως καὶ φαντασίας· μονὴ γὰρ αἰσθήσεως ἡ φαντασία· διὸ μᾶλλον δεῖ λέγειν ἐκ φαντασίας, ἐπεὶ καὶ μύων τις συλλογιεῖται, τὰς ἀρχὰς ἐκ φαντασίας δεξάμενος, ἤγουν ἐκ δόξης. σκόπει οὖν ὡς ἐκ τῶν εἰρημένων ἀνάγκη πᾶσα μόνα τὰ τρία εἴδη τῶν συλλογισμῶν ἀναφαίνεσθαι, καὶ μήτε πλείονα μήτε ἐλάττονα· ἢ γὰρ ἐκ τοῦ νοῦ τὰς ἀρχὰς δεξαμένη ἡ διάνοια συλλογιεῖται, ἃς καὶ καλοῦμεν κοινὰς ἐννοίας, καὶ ποιεῖ τὸν ἀποδεικτικὸν συλλογισμόν, ἀεὶ ἀληθῆ ὄντα καὶ μηδέποτε ψευδόμενον, ἐπεὶ καὶ αἱ κοιναὶ ἔννοιαι ἐξ ὧν ὁ συλλογισμὸς ἀεὶ ἀληθεῖς καὶ αὐτόπιστοι· ἢ τῇ δόξῃ συμπλακεῖσα ἐξ αὐτῆς τὰς ἀρχὰς τοῦ συλλογισμοῦ δέχεται, καὶ ποιεῖ τὸν διαλεκτικὸν συλλογισμὸν (διαλεκτικὸν καλούμενον, διότι ἐν ταῖς κοιναῖς συνουσίαις καὶ ταῖς πρὸς ἀλλήλους διαλέξεσι τοῖς τοιούτοις χρώμεθα συλλογισμοῖς), ὃς οὐ πάντως ἀληθεύει ἀλλά ποτε καὶ ψεύσεται, ἐπεὶ καὶ ἡ δόξα τοιαύτη, οὐκ ἀεὶ ἀληθής (πολλαὶ γὰρ καὶ ψευδεῖς ἐν ἀνθρώποις δόξαι)· ἢ τρίτον τῇ φαντασίᾳ συμπλακεῖσα ἡ διάνοια καὶ τὰς ἀρχὰς τῶν συλλογισμῶν ἐξ αὐτῆς λαβοῦσα συλλογίζεται, καὶ ποιεῖ τὸν σοφιστικὸν συλλογισμόν, ἀεὶ ψευδῆ ὄντα... ὁμοίως δὲ καὶ ἐκ τοῦ γινωσκομένου τὰ αὐτὰ τρία εἴδη εὑρήσεις, διελὼν οὕτως. τὰ πράγματα περὶ ὧν ὁ συλλογισμός, ἢ ἀεὶ ὡσαύτως ἔχει, καὶ γίνεται ὁ περὶ αὐτῶν συλλογισμὸς ἀποδεικτικός, ἢ οὐδέποτε ὡσαύτως ἔχει, καὶ γίνεται ὁ σοφιστικός, ἢ ποτὲ μὲν οὕτως ἔχει ποτὲ δὲ οὐχ οὕτως, καὶ γίνεται ὁ διαλεκτικός. ἐκ δὲ τῆς γνώσεως οὕτως. ἡ γνῶσις ἢ ἄπταιστός ἐστι καὶ ἀληθής, καὶ γίνεται ὁ περὶ αὐτῆς συλλογισμὸς ἀποδεικτικός, ἢ ἀεὶ ψευδής, καὶ γίνεται ὁ σοφιστικός, ἢ ποτὲ μὲν ἀληθὴς ποτὲ δὲ ψευδής, καὶ γίνεται ὁ διαλεκτικός. ἕκαστος δὲ τούτων συλλογισμός ἐστιν. δῆλον ἄρα ἐκ τούτων ὅτι τρία μόνα ἐστὶ τὰ τῶν συλλογισμῶν εἴδη καὶ οὔτε πλείονα οὔτε ἐλάττονα. καὶ ἐν μὲν τοῖς μετὰ ταῦτα δύο βιβλίοις τῶν Δευτέρων Ἀναλυτικῶν διδάξει περὶ ἀποδείξεως, ἐν δὲ τοῖς Τόποις περὶ τοῦ διαλεκτικοῦ συλλογισμοῦ, ἐν δὲ τοῖς Σοφιστικοῖς Ἐλέγχοις περὶ τοῦ σοφιστικοῦ, οὐχ ἵνα αὐτῷ χρησώμεθα, ἀλλ' ἵνα μήποτε ἀπατώμεθα ὑπὸ τῶν χρωμένων αὐτῷ· διὸ καὶ Σοφιστικοὺς Ἐλέγχους ἐπέγραψε. καὶ ταῦτα μὲν περὶ συλλογισμῶν· ζητήσομεν δὲ περὶ ποίων αὐτῷ ἐνταῦθα ὁ λόγος. φαμὲν ὅτι περὶ οὐδενὸς τούτων ἀλλὰ περὶ τοῦ ἁπλῶς καὶ καθόλου συλλογισμοῦ. καὶ ὁ μὲν σκοπὸς οὗτος... τὴν δὲ αἰτίαν τῆς ἐπιγραφῆς ζητητέον, διὰ τί Ἀναλυτικὰ ἐπιγέγραπται καὶ οὐ περὶ συλλογισμῶν. λέγεται γὰρ ἀνάλυσις πολλαχῶς· καὶ γὰρ ἡ τοῦ ὅλου εἰς μέρη καὶ ἡ τῶν συνθέτων εἰς τὰ ἁπλᾶ, ᾗ χρῶνται οἱ γεωμέτραι, καὶ ἡ τῶν φυσικῶν σωμάτων εἰς τὰ τέσσαρα στοιχεῖα, καὶ ἡ εἰς τὰ οἰκεῖα εἴδη τῶν συλλογισμῶν ἀναγωγή. καὶ ἄλλως δὲ πολλαχῶς λεγομένης ἀναλύσεως, ἔστι περιλαβόντα εἰπεῖν "ἀνάλυσίς ἐστιν ἀνάκαμψις ἐπὶ τὸ πρότερον καὶ τῆς συνθέσεως τὸ αἴτιον." ὅθεν ἄξιον ζητῆσαι εἰ ὁ συλλογισμὸς σύνθεσίς ἐστι καὶ συναγωγὴ πλειόνων λόγων, οὐκ ἀνάλυσις, διὰ τί τὴν περὶ τῶν συλλογισμῶν πραγματείαν Ἀναλυτικὰ ἐπέγραψεν; ἔδει γὰρ μᾶλλον συνθετικὰ ἐπιγράψαι. ἵνα οὖν αὐτόθεν ἡμῖν ἀναφανῇ ἡ τῆς ἐπιγραφῆς αἰτία καὶ ἡ τοῦ βιβλίου διαίρεσις, εἴπωμεν οὕτως. διαιρεῖται τοῦτο τὸ βιβλίον εἰς κεφάλαια τρία, καὶ διδάσκει ἡμᾶς τὸ μὲν πρῶτον μέρος τὴν γένεσιν τοῦ συλλογισμοῦ, τὸ δὲ δεύτερον τὴν εὐπορίαν τῶν προτάσεων, τὸ δὲ τρίτον τὴν εἰς τοὺς συλλογισμοὺς ἀνάλυσιν. ἐκ τοῦ τρίτου οὖν τὴν ἐπιγραφὴν ἐποιήσατο ἅτε κυριωτέρας καὶ τελειοτέρας οὔσης τῆς ἀναλύσεως· πᾶς γὰρ συλλογισμὸς ἐξ ἀναλύσεως εὑρίσκεται ἔχων τὸ οἰκεῖον σχῆμα. ἄλλως τε ὁ εἰδὼς τὴν ἀνάλυσιν οἶδε καὶ τὴν σύνθεσιν (ἃ γὰρ ἀνέλυσε, ταῦτα συνθεῖναι οὐ δυσχερές), οὐκέτι δὲ τοὐναντίον· καὶ γὰρ ὁ ἰδιώτης ἐπίσταται μὲν συνθέσεις ὀνομάτων καὶ ῥημάτων εἰς τὸ λόγον ἀποτελέσαι καὶ εἰπεῖν, οἷον Σωκράτης περιπατεῖ, διαλῦσαι δὲ οὐκέτι οἶδε καὶ εἰπεῖν ποῖον μέν ἐστι τὸ ὄνομα ποῖον δὲ τὸ ῥῆμα. Πρότερα δὲ ἐπιγέγραπται, ἐπειδὴ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ ἐνταῦθά φησι τοῦ ἀναλογοῦντος ὕλῃ καὶ χωρὶς εἴδους ὄντος, καὶ ἐπειδὴ πρότερον τὸ γένος τῶν οἰκείων εἰδῶν, γένος δὲ ὁ καθόλου συλλογισμὸς τῶν ἀποδεικτικῶν καὶ τῶν λοιπῶν δύο εἰδῶν, ὥστε εἰκότως ἐν οἷς μὲν περὶ τοῦ γένους αὐτῶν διαλέγεται Πρότερα ἐπέγραψεν, ἐν οἷς δὲ περὶ τῶν εἰδῶν, τουτέστι περὶ τῶν ἀποδεικτικῶν, Ὕστερα Ἀναλυτικά. ὅτι δὲ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον, δῆλον· φασὶ γὰρ ὡς τεσσαράκοντα εὑρέθη τῶν Ἀναλυτικῶν βιβλία ἐν ταῖς παλαιαῖς βιβλιοθήκαις, καὶ τὰ τέσσαρα μόνα ταῦτα ἐκρίθησαν εἶναι Ἀριστοτέλους, καὶ πρὸς τοῦτο οὐδεὶς ἀμφέβαλλεν. καὶ ἐν μὲν τῷ πρώτῳ βιβλίῳ διδάσκει ἡμᾶς περὶ τοῦ εἴδους τῶν συλλογισμῶν, ἐν δὲ τῷ δευτέρῳ περὶ τῆς ὕλης. εἶδος γὰρ λέγομεν τῶν συλλογισμῶν τὸ συμπέρασμα, ὕλην δὲ τὰς προτάσεις· ὡς γὰρ ἡ ὕλη ἕνεκά του ἐστι, λέγω δὲ τοῦ εἴδους, οὕτω καὶ αἱ προτάσεις τοῦ συμπεράσματος ἕνεκα. ἐνταῦθα γενόμενος ὁ Θεμίστιος ἀπορεῖ λέγων "ἆρά γε Ἀριστοτέλους ἐστὶ γέννημα τὰ Ἀναλυτικὰ ἢ οὔ;" καί φησιν ὅτι γεννήματα μὲν αὐτοῦ οὐκ ἔστιν· φαίνεται γὰρ ὁ θεῖος Πλάτων συλλογιστικῶς καὶ ἀπο-

ἐδεήθη τῆς Ἑρμογένους τέχνης. ταῦτά εἰσι τὰ προτέλεια τοῦ παρόντος βιβλίου. ἐν οἷς ἡ πρᾶξις. Σχόλια εἰς τὸ Α τῶν Ἀναλυτικῶν Ἀριστοτέλους Cod. Par. Reg. 2061.

Ἐπ' αὐτὸ δὴ τὸ κεφάλαιον τῆς λογικῆς πραγματείας ἀπηντηκότας ἡμᾶς, φημὶ δὴ τὴν τοῦ συλλογισμοῦ ἀνάλυσιν, δεῖ κατὰ τοὺς γεωμέτρας προλαβεῖν τινὰ συμβαλλόμενα εἰς τὴν τῶν συλλογισμῶν θεωρίαν, καὶ τέως πρῶτον εἰπεῖν περὶ τί καταγινόμεθα καὶ τίνος πράγματος ἡ παροῦσα σκέψις τυγχάνει. καὶ ἵνα μὴ ἀπαρτῶμεν τὰς γνώμας ὑμῶν, πρὸς μὲν τὸ τί ἀπόκρισις ἔσω τὸ περὶ ἀπόδειξιν, πρὸς δὲ τὸ τίνος ἡ σκέψις ἐπιστήμης ἀποδεικτικῆς. ἔστι δὲ ἀποδεικτικὴ μὲν ἐπιστήμη ἡ ἕξις αὐτῆς τῆς ἀποδείξεως ἢ οἷον ἀνεκφοίτητος τοῦ συλλογισμοῦ κατάληψις, ἀπόδειξις δὲ ἡ ἐνεργείᾳ γινομένη συλλογιστικὴ μέθοδος. πρὸς τούτοις δεῖ ἡμᾶς καὶ τάδε εἰδέναι, τί ἐστι πρότασις καὶ τί ἐστιν ὅρος ἐν συλλογισμῷ, τί τε αὐτὸς ὁ συλλογισμός, ποῖός τε ὁ τέλειος καὶ ποῖος ἀτελής. μὴ θαυμάσῃς δὲ εἰ τὴν πρότασιν τοῦ ὅρου προτέθεικα· δεησόμεθα γὰρ αὐτῆς ἐν τῷ ὁρισμῷ τοῦ ὅρου. Παράφρασις εἰς τὸ πρῶτον τῶν Προτέρων Ἀναλυτικῶν Cod. Reg. 1918.

Ἡ λογική τε καὶ συλλογιστικὴ πραγματεία ἡ νῦν ἡμῖν προκειμένη, ὑφ' ἣν ἥ τε ἀποδεικτικὴ καὶ ἡ διαλεκτική τε καὶ πειραστικὴ ἔτι τε σοφιστικὴ μέθοδος, ἔστι μὲν ἔργον φιλοσοφίας, χρῶνται δὲ αὐτῇ καὶ ἄλλαι τινὲς ἐπιστῆμαί τε καὶ τέχναι, ἀλλὰ παρὰ φιλοσοφίας λαβοῦσαι· ταύτης γὰρ ἥ τε εὕρεσίς ἐστι καὶ ἡ σύστασις καὶ ἡ πρὸς τὰ κυριώτατα χρῆσις. οὖσα δὲ ἔργον αὐτῆς τοῖς μὲν καὶ μέρος εἶναι φιλοσοφίας δοκεῖ, οἳ δὲ οὐ μέρος ἀλλ' ὄργανον αὐτῆς φασὶν εἶναι. . . . εἰ δὲ μὴ πᾶσαν λέγοιεν τὴν λογικὴν πραγματείαν πρὸς εὕρεσίν τε καὶ σύστασιν τῶν κατὰ φιλοσοφίαν ζητουμένων τὴν ἀναφορὰν ἔχειν ἢ τῶν κατ' ἄλλην ἐπιστήμην τε καὶ τέχνην τινὰ θεωρουμένων τε καὶ ζητουμένων, ἀλλ' εἶναί τινα ἐν αὐτῇ θεωρούμενά τε καὶ ζητούμενα ἃ πρὸς οὐδέν ἐστι χρήσιμα, πρῶτον μὲν συγχωρήσουσιν εὐλόγως ὑπὸ τῶν ἀρχαίων, οἳ μέχρι χρείας προήγαγον τὴν λογικὴν πραγματείαν, ὄργανον αὐτὴν ἀλλὰ μὴ μέρος λέγεσθαι. εἶτα δὲ κατ' αὐτοὺς τὸ μὲν χρήσιμον αὐτῆς ἐστὶν ὄργανον, τὸ δὲ οὐ χρήσιμον ἔσται μέρος ὄν. εἰ δὲ τὸ χρήσιμον βέλτιόν τε καὶ πλείονος σπουδῆς τε καὶ πραγματείας ἄξιον, καὶ κατ' αὐτοὺς ἔσται τὸ μὲν βέλτιον τῆς λογικῆς μόριον ὄργανον φιλοσοφίας καὶ τῶν ἄλλων τεχνῶν τε καὶ ἐπιστημῶν, τὸ δὲ ἐλάττονος σπουδῆς ἄξιον μέρος, καίτοι τὸ ὄργανον ἐν πᾶσι τοῦ ὡς μέρους ἔργου δευτέραν χώραν ἔχει. ἔτι εἰ μὲν σπουδάζοιτο ὡς γυμνάσιον τῆς διανοίας πρὸς εὕρεσιν τῶν ἐν τοῖς μέρεσι τῆς φιλοσοφίας ζητουμένων, καὶ οὕτως ἂν τὴν τοῦ ὀργάνου χώραν ἔχοι· εἰ δὲ διὰ τὴν ἐν αὐτοῖς ἀληθείας γνῶσιν, μόριον ἂν γένοιτο τῆς θεωρητικῆς· ἐκείνης γὰρ ἡ γνῶσις τέλος. τί δὲ τὸ καλὸν ἔχουσα ἡ τῶν ἀχρήστων κατὰ τὴν λογικὴν μέθοδον θεωρία σπουδῆς ἂν ἀξιοῖτο, ὡς οὖσα τῆς φιλοσοφίας μέρος; τὰ γὰρ σπουδῆς ἀξιούμενα δεόντως ἢ ἐπ' ἄλλα τινὰ τὴν ἀναφορὰν ἔχει ἅ ἐστι δι' αὐτὰ αἱρετά, ἢ ἐν αὐτοῖς ἔχει τὸ τῆς σπουδῆς ἄξιον· οὐ γὰρ ἡ τοῦ παντὸς καὶ ἡ τοῦ τυχόντος γνῶσις φιλοσοφίας ἀξία (ἔνια οὖν ἄμεινον ἀγνοεῖσθαι), ἀλλ' ἡ τῶν θείων τε καὶ τιμίων. ταῦτα δὲ ἔσται ὧν ἡ φύσις δημιουργός, τέχνη τις οὖσα θεία. τὸ γὰρ θεωρεῖν καὶ ἀπ' αὐτοῦ τοῦ ὀνόματος δῆλόν ἐστιν ὡς ἔστι περὶ τὴν τῶν θείων ὄψιν τε καὶ γνῶσιν· σημαίνει γὰρ τὸ ὁρᾶν τὰ θεῖα. διὸ καὶ τὴν θεωρητικὴν φιλοσοφίαν ἐπιστήμην φαμὲν εἶναι θείων τε καὶ τῶν φύσει γινομένων καὶ συνεστώτων· ἡ γὰρ τῶν τοιούτων γνῶσις δι' αὑτὴν σπουδῆς ἀξία. ἔνθα δὲ τὰ θεωρούμενα μήτε ἐπ' ἄλλα τινὰ τὴν ἀναφορὰν ἔχει μήτε ἐν αὐτοῖς τερπνόν τι καὶ τίμιον, ἡ τούτων γνῶσις, οὖσα παντάπασι περιττή, οὐδ' ἂν οἰκεία φιλοσοφίας εἴη, οὖσα ματαιοπονία τις. παντὸς γὰρ μᾶλλον οἰκεῖον φιλοσοφίᾳ τὸ μηδὲν εἰκῇ ὥσπερ οὖν μὴ πράττειν οὕτως δὲ μήτε θεωρεῖν, ἀλλ' ἔχειν ὅρον ὁμοίως τῇ πράξει καὶ τῇ θεωρίᾳ. οὐ γὰρ ὅμοια τὰ κατὰ γεωμετρίαν, ὡς οἴονταί τε καὶ παραβάλλουσι, τῷ τῆς διαλεκτικῆς ἀχρήστῳ μέρει· πρῶτον μὲν γὰρ οὐδὲ γεωμετρία τῆς κυρίας λεγομένης φιλοσοφίας μέρος, ὥς φασιν αὐτοί· ἔπειτα δὲ καὶ ἡ ἀστρολογία, μόριόν πως οὖσα τῆς γεωμετρίας, περὶ θείων τε καὶ φυσικῶν οὐσιῶν ποιεῖται τὴν θεωρίαν, ὧν ἡ γνῶσις ἐν αὑτῇ τὸ καλὸν καὶ τίμιον ἔχει. πρὸς δὲ τούτοις πάμπολλά ἐστι τῶν ἀπὸ τῆς γεωμετρίας πρὸς φιλοσοφίαν χρήσιμα, δι' ἃ εἰκότως σπουδάζεται· τό τε γὰρ μὴ περὶ τῶν αἰσθητῶν μόνον τὸν λόγον ποιεῖσθαι ἀλλὰ περὶ τῶν ἐκπεπτωκότων τε τὴν αἴσθησιν καὶ νοητῶν χρησιμώτατον τῇ κατὰ φιλοσοφίαν θεωρίᾳ, εἴγε αἱ ἀσώματοί τε καὶ νοηταὶ οὐσίαι πρῶται καὶ τιμιώτεραι τῶν αἰσθητῶν, ὧν ὁ φιλόσοφος θεωρητικός. . . . ὧν οὐδὲν οἷόν τε παρὰ τῆς ἀχρήστου διαλεκτικῆς συντελοῦν εἰς φιλοσοφίαν λαβεῖν· διὸ καὶ ὡς παντάπασιν ἄχρηστός τε οὖσα καὶ περιττὴ δικαίως ἂν τῆς φιλοσόφου θεωρίας ἐξορίζοιτο. οὐκ ἐπεὶ ὄργανον δὲ καὶ οὐ μέρος φιλοσοφίας ἡ ἀναλυτική, διὰ τοῦτο ἐλάττονος ἡμῖν ἔσται σπουδῆς ἀξία· ἡ γὰρ σπουδὴ τῶν ὀργάνων τῇ τῶν γινομένων ἢ δεικνυμένων δι' αὐτῶν ἀξίᾳ κρίνεται. Alexander Aphrodis. f. 2 sq.

Ἤδη μὲν ἡμῖν ἐν τοῖς προλαβοῦσιν εἴρηται συγγράμμασιν, οὐκ ἄτοπον δὲ ὑπομνῆσαι καὶ νῦν, ὡς ἕξ ἐστι τὰ ὀφείλοντα προλέγεσθαι ἑκάστου Ἀριστοτελικοῦ συγγράμματος, εἰ μή τι τῶν κεφαλαίων αὐτόθεν εἴη φανερόν, σκοπός, χρήσιμον, τάξις ἀναγνώσεως, αἰτία ἐπιγραφῆς, εἰ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον, ἡ εἰς τὰ κεφάλαια διαίρεσις· προσθήσω δὲ καὶ ἕβδομον, ὑπὸ ποῖον τῆς φιλοσοφίας μέρος ἀνάγεται, καὶ εἰ ὅλως ὑπό τι τῶν μερῶν ἢ οὔ. πρῶτον μὲν οὖν περὶ τοῦ σκοποῦ ῥητέον. σκοπὸς τῷ φιλοσόφῳ εἰπεῖν περὶ ἀποδείξεως. ἀλλ' ἐπειδὴ ἡ ἀπόδειξις συλλογισμός τις ἐστί, δῆλον ὅτι δεῖ πρῶτον περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διαλαβεῖν· πολλὰ γὰρ συλλογισμῶν εἴδη. ἵνα δὲ ἐκ διαιρέσεως μάθωμεν πόσα ἐστὶ συλλογισμῶν εἴδη, εἴπωμεν οὕτως. ὁ συλλογισμὸς γνῶσίς ἐστιν, ἡ δὲ γνῶσις μέση ἐστὶ τοῦ τε γινώσκοντος καὶ τοῦ γινωσκομένου. τριῶν τούτων ὄντων, γινώσκοντος γνώσεως καὶ γνωστοῦ, καθ' ἕκαστον αὐτῶν ἔστι τὴν διαίρεσιν ποιήσασθαι τῶν συλλογισμῶν, τοῦ γινώσκοντος, τῆς γνώσεως καὶ τοῦ γινωσκομένου. καὶ ἐκ μὲν τοῦ γινώσκοντος οὕτως. τὸ γινῶσκον ἢ νοῦς ἐστὶν ἢ διάνοια ἢ δόξα ἢ φαντασία ἢ αἴσθησις. ἀλλ' ὁ μὲν νοῦς καὶ ἡ αἴσθησις οὐ συλλογίζεται, ὁ μὲν νοῦς ὡς κρείττων ὢν τοῦ συλλογίζεσθαι. διὸ καὶ ὁ θεῖος Πλωτῖνός φησι περὶ αὐτοῦ ὅτι ἢ ἅπτεται ἢ οὔ καὶ πάντη ἐστὶν ἀναμάρτητος· ἢ γὰρ ἅπτεται ἁπλαῖς ἐπιβολαῖς γινώσκων τὰ πράγματα, ἢ οὐδὲ τὴν ἀρχὴν ἅπτεται, καὶ

πάλιν καὶ αὐτοὶ ἐκ τῆς λέξεως πιστοῦνται· εὐθέως γὰρ ἐν ἀρχῇ φησὶν ὅτι "πρῶτον εἰπεῖν περὶ τί καὶ τίνος ἡ σκέψις, ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς." δεύτερον πρὸς τούτῳ ὅτι ἐν τῷ πέρατι τῶν Ἀναλυτικῶν περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ διαλέγεται, τὰ δὲ πράγματα ἐκ τοῦ τέλους κρίνονται. ἡμεῖς δὲ λέγομεν ὅτι καὶ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διαλέγεται καὶ περὶ τοῦ ἀποδεικτικοῦ, ἀλλὰ πρὸς μὲν τὸ παρὸν βιβλίον περὶ τοῦ ἁπλῶς συλλογισμοῦ ἐστὶν ὁ σκοπός, πρὸς δὲ πᾶσαν τὴν ἀναλυτικὴν διδασκαλίαν περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ ὁ σκοπός· ἐν γὰρ τῷ πέρατι, ὡς εἴρηται, περὶ αὐτοῦ διαλέγεται. καὶ οὗτος μὲν ὁ σκοπός, τὸ δὲ χρήσιμον διττόν. . . ἡ δὲ τάξις τοιαύτη. . . . ὅτι γνήσιον τὸ παρὸν βιβλίον Ἀριστοτέλους οὐδεὶς διαμφιβάλλει, εἴγε αὐτὸς ἐν τῷ περὶ Ἑρμηνείας (p. 19 *b* 13) κέκραγεν εἰπὼν "οὕτως μὲν δὴ καὶ ἐν τοῖς Ἀναλυτικοῖς εἴρηται." ἢ οὖν καὶ τοῦτο γνήσιον ἢ καὶ ἐκεῖνο νόθον. τοῦτο καὶ τὸ γνήσιον. ἡ αἰτία τῆς ἐπιγραφῆς. οὐ δυνάμεθα ταύτην εἰπεῖν εἰ μὴ πρότερον τὴν εἰς τὰ μόρια διαίρεσιν εἴπωμεν. ἅπασαν τοίνυν τὴν ἀναλυτικὴν πραγματείαν τινὲς εἰς τέσσαρα μέρη διεῖλον, καὶ ἐν μὲν τῷ α′ καὶ γ′, φασί, μέρει περὶ εἴδους συλλογισμῶν διαλέγεται, ἐν δὲ τῷ β′ καὶ δ′ περὶ ὕλης συλλογισμοῦ, ἀλλ' ἐν μὲν τῷ α′ περὶ εἴδους τοῦ ἁπλῶς συλλογισμοῦ, ἐν δὲ τῷ γ′ περὶ εἴδους τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ, πάλιν ἐν μὲν τῷ β′ περὶ ὕλης τοῦ ἁπλῶς συλλογισμοῦ, ἐν δὲ τῷ δ′ περὶ ὕλης τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ. τούτους δὲ οὐκ ἀποδεχόμεθα· οὐδὲ γὰρ τὸ εἶδος ποιεῖ διαφορὰς συλλογισμῶν ἀλλ' ἡ ὕλη ἢ ἀναγκαία ἢ ἐνδεχομένη ἢ ἀδύνατος οὖσα· εἰ μὲν γὰρ ἀναγκαία εἴη, ποιεῖ τὸν ἀποδεικτικὸν συλλογισμόν, εἰ δὲ ἐνδεχομένη, ποιεῖ τὸν διαλεκτικόν, εἰ δὲ ἀδύνατος, ποιεῖ τὸν ποιητικὸν ἢ τὸν σοφιστικόν. πῶς οὖν ἡμεῖς λέγομεν εἰς δ′ μέρη διαιρεῖσθαι τὴν ἀναλυτικὴν συγγραφήν; φαμὲν ὅτι ἐν μὲν τῷ α′ καὶ β′ μέρει περὶ παντὸς εἴδους συλλογισμοῦ διαλέγεται, ἐν δὲ τῷ γ′ καὶ δ′ μέρει περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ, ἀλλ' ἐν μὲν τῷ γ′ ἁπλῶς περὶ ἀποδεικτικοῦ συλλογισμοῦ, ἐν δὲ τῷ δ′ περὶ ὁριστικῆς ὕλης τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ. τοῦτο δὲ τὸ α′ μέρος τῶν δ′ διαιρεῖται εἰς τρία τινὰ τμήματα, εἰς τὸ περὶ γενέσεως συλλογισμοῦ, εἰς τὸ περὶ εὐπορίας προτάσεων, εἰς τὸ περὶ ἀναλύσεως συλλογισμοῦ. ἐκ τούτου τοῦ τμήματος ἐκληρώσατο τὴν ἐπιγραφὴν τὸ παρὸν βιβλίον καὶ ἐπεγράφη Ἀναλυτικά. δεῖ γὰρ εἰδέναι ὅτι πενταχῶς κέχρηται τῇ ἀναλύσει ὁ Ἀριστοτέλης· ἢ γὰρ τὰς προτάσεις ἀναλύει εἰς τοὺς συλλογισμούς, ἢ τοὺς συλλογισμοὺς εἰς τὰς προτάσεις, ἢ τοὺς συνθέτους συλλογισμοὺς εἰς τοὺς ἁπλοῦς, ἢ τὸ γ′ πολλάκις καὶ β′ σχῆμα ἀναλύει καὶ ἀνάγει εἰς τὸ α′ σχῆμα, ἢ τὸν λόγον ἀναλύει εἰς τὸ σχῆμα· τὸν γὰρ διαλεγόμενόν τι ἐρωτᾷ ὑπὸ ποῖον σχῆμα ἀνάγεται ὁ προσενεχθεὶς λόγος. πάλιν τοῦτο τὸ περὶ γενέσεως συλλογισμῶν, τουτέστι τὸ α′ τμῆμα, εἰς τρία διαιρεῖται τμήματα, εἰς τὰ τρία σχήματα, εἰς τὰς μίξεις, εἰς τὸ ἰδίως περὶ γενέσεως συλλογισμῶν ὁμωνύμως τῷ γένει. ἔχεις καὶ τὴν αἰτίαν τῆς ἐπιγραφῆς ἅμα τῇ εἰς τὰ μόρια διαιρέσει. ἐφ' οἷς ἄξιόν ἐστι ζητῆσαι τί ἂν εἴη ἡ λογικὴ Ἀριστοτέλει, πότερον μέρος ἢ μόριον ἢ ὄργανον. καὶ οἱ μὲν Στωϊκοὶ κατασκευάζουσιν ὅτι μέρος ἐστίν, οἱ δὲ Περιπατητικοὶ ὅτι ὄργανον, οἱ δὲ Ἀκαδημαϊκοὶ τὴν μέσην βαδίζοντες καὶ μέρος καὶ ὄργανον εἶναι αὐτήν φασι τῆς φιλοσοφίας. σκοπήσωμεν δὲ καὶ τὰ αὐτῶν ἐπιχειρήματα. οἱ μὲν οὖν Στωϊκοὶ μέρος αὐτὴν τῆς φιλοσοφίας εἶναι βουλόμενοι κατασκευάζουσιν οὕτως. φασὶ γὰρ ὅτι ὃ ἄλλης τέχνης οὔτε μέρος οὔτε μόριόν ἐστι, τοῦτο τῆς χρωμένης ἢ μέρος ἢ μόριον ὑπάρχει· ἀλλὰ μὴν ἡ λογικὴ μόριον οὐκ ἔστιν (οὔτε γὰρ ὑπὸ τὸ θεωρητικὸν ἀνάγεται οὔτε ὑπὸ τὸ πρακτικόν)· μέρος ἄρα ὑπάρξει. λαμβάνονται οἱ Περιπατητικοὶ τῶν Στωϊκῶν λέγοντες ὅτι καὶ ἀτελῶς καὶ ψευδῶς προηγάγετε τὸν λόγον, ἀτελῶς μὲν ὅτι ἔδει εἰπεῖν ὑμᾶς οὕτως "ὃ ἄλλης τέχνης οὔτε μέρος οὔτε μόριον οὔτε ὄργανόν ἐστι, τοῦτο τῆς χρωμένης ἢ μέρος ἢ μόριον ἢ ὄργανόν ἐστιν." ἀλλὰ καὶ ψευδῶς· ὅτι μὲν γὰρ μόριον οὐκ ἔστιν ὑμεῖς ἐδείξατε, διότι οὔτε ὑπὸ τὸ θεωρητικὸν οὔτε ὑπὸ τὸ πρακτικὸν ἀνάγεται· ἀλλ' οὐδὲ μέρος ἐστίν, οὔτε γὰρ θεωρητικὸν οὔτε πρακτικόν ἐστι. λείπεται οὖν ἕτερόν τι αὐτὴν εἶναι. εἰ οὖν μήτε μέρος μήτε μόριον ἐστίν, ὄργανον ἄρα ἐστίν. οὕτως μὲν οὖν οἱ Περιπατητικοὶ ἀνατρέπουσι τὸ ἐπιχείρημα τῶν Στωϊκῶν· οὐκ ἀνέχονται δὲ οἱ Στωϊκοὶ ἀλλὰ δεικνύουσιν ὅτι οὐδὲ ὄργανόν ἐστι. φασὶ γὰρ ὅτι οὐδεμία τέχνη τὸ οἰκεῖον ὄργανον ποιεῖ· πῶς οὖν λέγετε ὄργανον εἶναι τῆς φιλοσοφίας τὴν λογικήν; ψευδὲς γὰρ τοῦτο· πῶς γὰρ τὸ οἰκεῖον ὄργανον ποιήσει; λέγουσι δὲ οἱ Περιπατητικοὶ ὅτι ψευδὴς ὁ λόγος, πολλαὶ γὰρ τέχναι τὰ οἰκεῖα ὄργανα ποιοῦσιν· ἰδοὺ γὰρ ἡ χαλκευτικὴ τὸ οἰκεῖον ὄργανον ποιεῖ τὸν ἄκμονα. κατασκευάζουσι δὲ οἱ Περιπατητικοὶ ὅτι ὄργανόν ἐστιν ἡ λογικὴ τῆς φιλοσοφίας οὕτως· φασὶ γὰρ ὅτι κρείττων ἐστὶν ἡ κεχρημένη τέχνη τῆς ποιούσης ὄργανόν τι· οἷον τὸν χαλινὸν ποιεῖ ἡ χαλινοποιητική, κέχρηται δὲ ἡ ἱππική, διὸ κρείττων ἡ ἱππικὴ τῆς ποιούσης τὸν χαλινόν, τουτέστι τῆς χαλινοποιητικῆς. εἰ τοίνυν δῶμεν τὴν φιλοσοφίαν μὲν ποιεῖν τὴν λογικήν, τὰς δὲ ἄλλας κεχρῆσθαι, εὑρεθήσονται καὶ ἄλλαι τέχναι κρείττους τῆς φιλοσοφίας, ὅπερ ἄτοπον. ὄργανον οὖν ἐστι τῆς φιλοσοφίας. ἡμεῖς δὲ λέγομεν ὅτι καὶ ποιεῖ τὴν λογικὴν καὶ κέχρηται αὐτῇ. οἱ Ἀκαδημαϊκοὶ δικασταὶ καθεζόμενοι φασὶν ὅτι καὶ μέρος ἐστὶ τῆς φιλοσοφίας ἡ λογικὴ καὶ ὄργανον· εἰ μὲν γὰρ ὑποθῇ τοὺς λόγους ἐξῃρημένους καὶ ἀποσπασθέντας ἐκ τῶν πραγμάτων, ὄργανόν ἐστιν, εἰ δὲ τοὺς λόγους λάβῃ συνόντας τοῖς πράγμασι, μέρος ὑπάρχει. οἷον τί τὸ λεγόμενον; ἂν εἴπῃς ὅτι ἐκ δύο καθολικῶν καταφατικῶν καθολικὸν συνάγεται συμπέρασμα, ἐπειδὴ λόγους μόνους ἔλαβες μὴ ἐφαρμοσθέντας τοῖς πράγμασι, τότε ὄργανόν ἐστιν ἡ λογική. ἂν δὲ ἐπὶ αὐτῶν τῶν πραγμάτων λάβῃς τὸν λόγον καὶ εἴπῃς "ἡ ψυχὴ ἀεικίνητος, τὸ ἀεικίνητον αὐτοκίνητον, ἡ ψυχὴ ἄρα αὐτοκίνητος," καὶ ἐπειδὴ ἐκ δύο καταφατικῶν καθολικῶν καὶ συμπέρασμα καθολικὸν συνήχθη περὶ αὐτῶν τῶν πραγμάτων (τοὺς γὰρ λόγους σὺν τοῖς πράγμασιν ἐλάβομεν), τότε ὡς μέρος δεῖ λαβεῖν τὴν λογικήν. καὶ οὐκ ἐπειδὴ ἡ λογικὴ Ἀριστοτέλους ἐστίν, ἤδη χείρων ἡ Πλάτωνος φιλοσοφία τῆς τοῦ Ἀριστοτέλους· ὁ μὲν γὰρ Πλάτων οὐκ ἐδεήθη τῆς λογικῆς Ἀριστοτέλους, ὁ δὲ Ἀριστοτέλης ἐδεήθη τῆς Πλάτωνος φιλοσοφίας. καὶ οὐ διὰ τοῦτο πάλιν κρείττων ἡ Ἑρμογένους τέχνη τῆς Δημοσθένους ῥητορείας· ὁ μὲν γὰρ Ἑρμογένης ἐδεήθη τῆς Δημοσθένους ῥητορείας, ὁ δὲ Δημοσθένης οὐκ

ἀντιθέσεως, οὐδαμοῦ μέντοι ποιήσεται μνείαν ἢ τῶν ἀδιορίστων ἢ τῶν κατὰ μέρος ὡς ἐχουσῶν τινὰ πρὸς ἀλλήλας ἐναντίωσιν. ὅτι οὖν τοῦτό ἐστιν ὃ νῦν βούλεται λέγειν, τὸ ἰσοδυναμεῖν, ὡς εἴρηται, τὰ ἑνικὰ ἄρθρα τῷ πᾶς, αὐτὸς δηλοῖ τῆς κατασκευῆς ὁ τρόπος, καθ' ὃν δείκνυσι τὰ αὐτὰ καὶ ἐπὶ τῶν καθόλου προτάσεων ἐφαρμόζοντα τοῖς εἰρημένοις, ἐπὶ τῶν τὰ ἄρθρα ἐχουσῶν συντεταγμένα τοῖς καθόλου ὑποκειμένοις· ταὐτὸν γὰρ εἶναί φησι τὸ λέγειν "τὸ ἀγαθὸν ἀγαθόν ἐστι" καὶ "ὅ τι ἂν εἴη ἀγαθὸν ἀγαθόν ἐστιν," ὅπερ οὐδ' ἂν ὑποπτευθείη διαφέρειν τι τοῦ καθόλου τοῦ πᾶν ἀγαθὸν ἀγαθόν. διὸ καὶ ἐν τῇ συνηθείᾳ, ἐφ' ὧν μὲν τὸ κατηγορούμενον παντὶ ὑπάρχει τῷ ὑποκειμένῳ, μετὰ τοῦ ἄρθρου τὸ ὑποκείμενον προφερόμεθα καὶ ταὐτὸν οἰόμεθα λέγειν τῷ καθόλου, ἐφ' ὧν δὲ μὴ παντί, οὐκέτι. . . . ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον, καὶ λέγωμεν ὡς εἴτε ὡρισμένος εἴτε ἀόριστος εἴη ὁ καθόλου ὑποκείμενος, τὸ συντασσόμενον αὐτῷ ἑνικὸν ἄρθρον τὴν δύναμιν ἕξει τοῦ καθόλου προσδιορισμοῦ. διὸ καὶ αὐτὸς προσέθηκε τὸ "ὁμοίως δὲ καὶ ἐπὶ τοῦ μὴ ἀγαθοῦ," ἤτοι λέγων ὅτι καὶ ἐπὶ τούτων τῶν ἀόριστον ἐχουσῶν τὸ ὑποκείμενον προτάσεων ἡ κυριωτάτη μάχη θεωρεῖται ἐν ταῖς ἀντιφασκούσαις προτάσεσι, τὸ μὴ ἀγαθὸν ἀγαθόν – τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν· ὡς γὰρ προείρηται, τῇ ἀληθεῖ τούτων οὐχ οἷόν τε μάχεσθαι τοῦ ἐναντίου κατάφασιν. καὶ τὰ ἄλλα δὲ πάντα ἐπιχειρήματα οὐδὲν μᾶλλον ἁρμόσει ταῖς ὡρισμένον ἐχούσαις τὸ ὑποκείμενον ἢ ταῖς ἀόριστον, εἴτε τοὺς καθόλου προσδιορισμοὺς ἔχοιεν αἱ ὑποκείμεναι εἴτε τὸ ἄρθρον ἀντὶ τούτων· ὁ γὰρ λόγος ἡμῖν οὐ περὶ τῆς διαφορᾶς τῶν ὑποκειμένων, ἀλλὰ καὶ περὶ τῆς τῶν κατηγορουμένων. ἢ καὶ προσεχέστερον λέγων ὅτι τὴν ἕκτην ἐπιχείρησιν ἐνδέχεται προχωρεῖν καὶ ἐπὶ τῶν αὐτόθεν ἐχουσῶν τοὺς καθόλου προσδιορισμοὺς προτάσεων, ὥσπερ ἐδείκνυτο πρότερον ἐπὶ τῶν τὰ ἄρθρα ἐχουσῶν ἐν τῇ χώρᾳ τῶν προσδιορισμῶν, προτιθεμένων μὲν ἡμῶν συλλογίσασθαι ὅτι μᾶλλον μάχεται ἡ λέγουσα "πᾶν ἀγαθὸν ἀγαθόν" πρὸς τὴν λέγουσαν "οὐδὲν ἀγαθὸν ἀγαθόν" ἤπερ πρὸς τὴν πᾶν ἀγαθὸν κακόν, πρὸς δὲ τὴν τούτου κατασκευὴν λαμβανόντων ὅτι ὡς ἡ λέγουσα "οὐδὲν οὐκ ἀγαθὸν ἀγαθόν ἐστιν" ἀληθὴς ἀπόφασις πρὸς τὴν λέγουσαν "τὸ οὐκ ἀγαθὸν ἀγαθόν ἐστι" ψευδῆ κατάφασιν, οὕτως ἡ λέγουσα "πᾶν ἀγαθὸν ἀγαθόν ἐστιν" ἀληθὴς κατάφασις πρὸς τὴν λέγουσαν "οὐδὲν ἀγαθὸν ἀγαθόν ἐστι" ψευδῆ ἀπόφασιν, καὶ δεικνύντων ὅτι τῇ οὐδὲν οὐκ ἀγαθὸν ἀγαθόν ἐστιν οὔτε ἡ λέγουσα ὅτι οὐδὲν οὐκ ἀγαθὸν κακόν ἐστιν ὅλη μάχεται, οὔτε ἡ λέγουσα οὐδὲν οὐκ ἀγαθὸν οὐ κακόν ἐστιν (οὐδετέρα γὰρ αὐτῶν ὅλη ψευδής, ἀλλ' ἑκατέρα ἐπί τι), μόνη δὲ ἡ ἐναντία πρὸς αὐτήν, ἡ πᾶν οὐκ ἀγαθὸν ἀγαθόν ἐστιν, ἐπεὶ καὶ ἡ μὲν ἁπλῶς ἀληθὴς ἡ δὲ ὅλη ψευδής· καὶ διὰ τοῦτο ἀξιούντων καὶ τῇ πᾶν ἀγαθὸν ἀγαθόν ἐστι μόνην κυρίως ἐναντίαν εἶναι τὴν οὐδὲν ἀγαθὸν ἀγαθόν ἐστιν ἀπόφασιν, ἀλλ' οὐχὶ τὸ πᾶν ἀγαθὸν κακόν ἐστι, τοῦ ἐναντίου κατάφασιν. δῆλον δὲ ἃ χρὴ καὶ πρὸς ταῦτα λέγειν· αὐτόθεν γὰρ ἡ πᾶν ἀγαθὸν κακὸν ὅλη τέ ἐστι ψευδής, καὶ καθ' ὅλην ἑαυτὴν κυριώτατα πολεμεῖ πρὸς τὴν πᾶν ἀγαθὸν ἀγαθόν. προτιμητέον μέντοι τὴν προτέραν ἐξήγησιν ὡς καὶ ταύτην ἐν ἑαυτῇ περιέχουσαν.

f. 216. τῆς ῥήσεως τὸ μὲν "οὔτε ἀντίφασιν" εἴρηται ἀντὶ τοῦ οὔτε 24b 7.
πρότασιν ἐξ ἧς τῇ ἀντιφάσει ἡ γένεσις, τουτέστιν ὅτι τὰς συναληθευούσας ἀντίφασιν ποιεῖν ἀδύνατον ἢ κατὰ τοὺς ἐνδιαθέτους ἢ κατὰ τοὺς προφορικοὺς καλουμένους λόγους. τὸ δὲ "ἐναντίαι μὲν γὰρ αἱ περὶ τὰ ἀντικείμενα" ἔοικεν ἀκαταλληλότερον εἰρῆσθαι· ἦν γὰρ ἀκόλουθον τῷ ὑποκειμένῳ, τουτέστι τοῖς ἐναντίοις ἄρθροις συντάξαντα εἰπεῖν "αἱ ἐναντίαι μὲν γὰρ περὶ τὰ ἀντικείμενα." τὸ δὲ ἑξῆς "περὶ ταῦτα δὲ ἐνδέχεται ἀληθεύειν τὸν αὐτόν" ἔστι μὲν ἡ καταφατικὴ τοῦ συλλογισμοῦ πρότασις, σημαίνει δὲ διὰ μὲν τοῦ περὶ ταῦτα ἀληθεύειν πῶς αἱ τοιαῦται προτάσεις λέγονται συναληθεύειν, ὅτι παρὰ τὸ συντρέχειν περὶ ταῦτα· λέγει δὲ τὰ κοινὰ ὑποκείμενα τῶν συναληθεύειν λεγομένων προτάσεων. διὰ δὲ τοῦ "ἐνδέχεται" τὸν τρόπον δηλοῖ τῆς ἐπὶ τούτων ἀληθείας, ὅτι δυνατὸν τὰς τῷ αὐτῷ ὑποκειμένῳ χρωμένας προτάσεις συναληθεύειν τε ἀλλήλαις καὶ μή. τὰς μέντοι μὴ περὶ τὴν ὕλην ἀλλὰ κατ' αὐτὴν τῶν προτάσεων τὴν δύναμιν συναληθευούσας, οἷον τὰς ἀδιορίστους καὶ τὰς κατὰ μέρος, πᾶσα ἀνάγκη τῷ αὐτῷ ὑποκειμένῳ χρῆσθαι καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀληθεύειν. τὸ δὲ "ἅμα οὐκ ἐνδέχεται ἐναντία ὑπάρχειν τῷ αὐτῷ" βούλεται μὲν εἶναι συμπέρασμα τοῦ προσυλλογισμοῦ, κατὰ ἀλήθειαν μέντοι περιέχει τὴν αἰτίαν τοῦ συμπεράσματος· τὸ μὲν γὰρ ὄντως συμπέρασμα ἐστὶν ὅτι τὰ ἐναντία ἅμα ἀληθῆ εἶναι ἀδύνατον, ἔστι δὲ αἴτιον τοῦ μὴ πεφυκέναι συναληθεύειν ἀλλήλοις τὸ μὴ ἐνδέχεσθαι αὐτὰ τῷ αὐτῷ ἅμα ὑπάρχειν.

ΕΙΣ ΤΑ ΠΡΟΤΕΡΑ ΑΝΑΛΥΤΙΚΑ (†).

Ὁ σκοπὸς τῆς παρούσης πραγματείας διαπεφώνηται. οἱ μὲν γὰρ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ βούλονται αὐτὸν εἶναι ἀντὶ τοῦ περὶ τοῦ καθόλου συλλογισμοῦ, οἱ δὲ περὶ ἀποδεικτικοῦ συλλογισμοῦ. καὶ πιστοῦνται ἄμφω τὰς οἰκείας δόξας οὕτως. οἱ μὲν γὰρ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ βουλόμενοι εἶναι τὸν σκοπὸν πιστοῦνται ἐκ τοῦ αὐτὸν ἐπὶ λέξεως λέγειν "εἶτα διορίσαι τί ἐστι πρότασις καὶ τί ὅρος καὶ τί συλλογισμός." καὶ ἐξ ἄλλου δὲ πιστοῦνται, ὅτι ἔδει, φησί, μετὰ τὰς προτάσεις εὐθέως καὶ ἐπὶ τὸν ἁπλῶς συλλογισμὸν ἐλθεῖν, εἶθ' οὕτως καὶ περὶ τοῦ ἀποδεικτικοῦ διαλαβεῖν. οὕτως μὲν οἱ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ τὸν σκοπὸν εἶναι λέγοντες. οἱ δὲ περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ τὸν σκοπὸν εἶναι φάσκοντες

(†) Scholia ex Iohannis Philoponi commentariis (ed. Venet. 1536 f.) excerpta ad cod. Coislin. 160 et Reg. Paris. 1917 passim collata sunt. ad Alexandri quaedam loca cod. Reg. 1919 sine ullo fructu inspectus est.

εἶναι ἀποφαινομένη, καθάπερ ἡ δοξάζουσα αὐτὸ μὴ εἶναι ἀγαθόν· οὐ γὰρ ἀνάγκη καθ' ὁποτερανοῦν αὐτῶν ἑτέραν τινὰ εἰσάγεσθαι δόξαν· οὐχ ἁπλῆ δὲ ἡ τὸ ἀγαθὸν κακὸν εἶναι δοξάζουσα· ταύτῃ γὰρ ἀνάγκη καὶ ἑτέραν συνεισφέρεσθαι δόξαν, τὴν λέγουσαν αὐτὸ μὴ εἶναι ἀγαθόν. εἰ τοίνυν χρὴ τῇ ἁπλῇ δόξῃ τὴν ἁπλῆν ἀντιτιθέναι καὶ μὴ τὴν συμπεπλεγμένην, τὴν ἄρα ἀπόφασιν ἀντικεῖσθαι τῇ καταφάσει φήσομεν, ἀλλ' οὐχὶ τὴν τοῦ ἐναντίου κατάφασιν. λύσομεν δὲ καὶ ταῦτα λέγοντες ὅτι δι' αὐτὸ τοῦτο πλεῖστον διέστηκε τῆς τὸ ἀγαθὸν οὐκ ἀγαθὸν λεγούσης ἡ λέγουσα αὐτὸ εἶναι κακόν, ὅτι διὰ τοῦ οὐκ ἀγαθὸν ὁδεύσασα κατήντησεν ἐπὶ τὸ ἔσχατον· πρώτη γὰρ ἔξοδος ἀπὸ τοῦ ἀγαθοῦ τὸ οὐκ ἀγαθόν, ἐσχάτη δὲ ἀπόπτωσις τὸ κακόν, ὥστε ἡ τοῦτο καταφάσκουσα μᾶλλον ἠναντίωται ἅτε καὶ τὴν ἀπόφασιν τοῦ ἀγαθοῦ περιέχουσα. μήποτε δὲ καὶ ἡ ἀπόφασις τοῦ ἀγαθοῦ συμπέπλεκται· πᾶσα γὰρ ἀνάγκη τὸ οὐκ ἀγαθόν, εἰ ἐπὶ τῶν ὄντων τάττοιτο, καὶ ἄλλο τι εἶναι, ἀλλ' ἀόριστον. ὥστε οὐδὲ ταύτῃ ἐναντίον ἂν εἴη· ἓν γὰρ ἑνὶ ἐναντίον καὶ ὡρισμένον ὡρισμένῳ. τὸ δὲ "ἴσως" ἤτοι ἀντὶ τοῦ ὁμοίως πρόσκειται (τῆς γὰρ αὐτῆς ἐστι διανοίας τὸ ἀγαθὸν κακόν τε καὶ οὐκ ἀγαθὸν λέγειν), ἢ ἔνδειξιν ἔχει τοῦ ταύτην τὴν ἐπιχείρησιν πιθανὴν μὲν εἶναι, οὐ μὴν ἀναγκαίαν.

23b 27. f. 211 b. ἀσαφὴς μὲν ἡ ταύτης τῆς πέμπτης ἐπιχειρήσεως διάνοιά τε καὶ λέξις, ἀξιοῦσα ἡμᾶς προσέχειν ποτέρα τῶν παραβαλλομένων πρὸς ἀλλήλας προτάσεων χρήσιμος ἂν εἴη πρὸς τὸ δι' ἑνὸς καθόλου κανόνος πάσῃ τῇ προτεθείσῃ καταφάσει πρότασίν τινα μαχομένην εὑρεῖν, καὶ φάσκειν ταύτην εἶναι τὴν κυρίως αὐτῇ ἀντιτιθεμένην, καὶ διὰ ταῦτα κρατεῖν ἀποφαινομένην τὴν τῆς ἀντιφάσεως μάχην· ἀπόφασιν μὲν γὰρ πάσης καταφάσεως ῥᾴδιον εὑρεῖν ὁποῖον ἂν εἴη τὸ ἐν τῇ καταφάσει κατηγορούμενον, τοῦ δὲ ἐναντίου κατάφασιν ἀδύνατον λαβεῖν, εἰ μὴ τύχοι τὸ κατηγορηθὲν τῇ καταφάσει ἐναντίως ἔχον... εἴρηται δὲ ἡμῖν ἐξ ἀρχῆς ὅτι ἔοικεν ὁ νῦν λεγόμενος λόγος διὰ τὸ κοινὸν τοῦτο καὶ ἐπὶ πάντα ἐκτεινόμενον οὕτως ἐγκωμιάζειν τὴν ἀντίθεσιν τῆς ἀντιφάσεως, ὡς οὐ κατὰ τὸ ποσὸν μόνον τῶν περιεχομένων ὑπ' αὐτῆς πραγμάτων ἀλλὰ καὶ κατὰ τὸ σφοδρὸν τῆς ἀντιθέσεως τῶν ἄλλων ὑπερέχουσαν.

23b 32. f. 212. ἔσχατόν ἐστι τοῦτο καὶ δυσαντιβλεπτότατον τῶν πρὸς τὸ πρόβλημα ἐπιχειρημάτων, ὃ κατὰ τόνδε προσάγεται τὸν τρόπον. δύο λαμβάνει τοῦ ἀγαθοῦ ἀντιφάσεις, τὴν μὲν ὡρισμένῳ τὴν δὲ ἀορίστῳ χρωμένην τῷ ὑποκειμένῳ, τὸ ἀγαθὸν ἀγαθόν – τὸ ἀγαθὸν οὐκ ἀγαθόν, τὸ μὴ ἀγαθὸν ἀγαθόν – τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν, καὶ ἀξιοῖ, ὡς ἔχει ἡ ἀληθὴς ἀπόφασις πρὸς τὴν ἀντικειμένην αὐτῇ ψευδῆ κατάφασιν, οὕτως ἔχειν τὴν ἀληθῆ κατάφασιν πρὸς τὴν ἀντικειμένην αὐτῇ ψευδῆ ἀντίφασιν, τουτέστιν ὡς ἡ τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθὸν πρὸς τὴν τὸ μὴ ἀγαθὸν ἀγαθόν, οὕτω τὴν τὸ ἀγαθὸν ἀγαθὸν πρὸς τὴν τὸ ἀγαθὸν οὐκ ἀγαθόν. εἶτα παραβαλὼν τὴν ἀληθῆ ἀπόφασιν πρὸς ἄμφω τὰς προτάσεις τῆς ἀντιφάσεως τῆς τὸ κακὸν κατηγορούσης κατὰ τοῦ αὐτοῦ ὑποκειμένου, τουτέστι τὸ μὴ ἀγαθὸν καὶ τὴν τὸ οὐκ ἀγαθὸν κακὸν καὶ τὸ οὐκ ἀγαθὸν οὐ κακόν, δείκνυσιν αὐτὴν πρὸς οὐδετέραν αὐτῶν ἐναντίαν οὖσαν. εἰ συνᾴδει γὰρ τῇ μὲν λεγούσῃ τὸ οὐκ ἀγαθὸν κακὸν ἐπὶ τῆς μοχθηρᾶς ἕξεως, τῇ δὲ λεγούσῃ τὸ οὐκ ἀγαθὸν οὐ κακὸν ἐπί τε τῆς μέσης καὶ τῶν μηδετέρου τῶν ἄκρων πεφυκότων μετέχειν, οἷον λίθου ἢ ξύλου (ἐπὶ τούτων γὰρ τό τε μὴ ἀγαθὸν καὶ τὸ οὐ κακὸν ἀληθές), τὰς δὲ συνᾳδούσας ἀδύνατον ἐναντίας εἶναι, καθάπερ οὐδὲ τὰς ἐναντίας οἷόν τε συναληθεύειν, ὡς ἔκ τε τῆς ἐνεργείας δῆλον καὶ αὐτὸς κατασκευάσει πρὸς αὐτῷ τῷ πέρατι τῆς προκειμένης πραγματείας, — εἰ τοίνυν τῇ τὸ μὴ ἀγαθὸν οὐκ εἶναι ἀγαθὸν ἀληθῶς λεγούσῃ δόξῃ οὔτε ἡ λέγουσα τὸ οὐκ ἀγαθὸν κακὸν ἐναντία οὔτε ἡ λέγουσα τὸ οὐκ ἀγαθὸν οὐ κακόν, ἀλλὰ μόνη ἡ ἀντιφάσκουσα πρὸς αὐτήν, ἡ λέγουσα τὸ μὴ ἀγαθὸν ἀγαθόν, καὶ τῇ λεγούσῃ ἄρα ὅτι τὸ ἀγαθὸν ἀγαθὸν καταφάσει οὐ μάχεται μὲν οὔτε ἡ λέγουσα τὸ ἀγαθὸν κακὸν οὔτε ἡ λέγουσα τὸ ἀγαθὸν οὐ κακόν, μόνη δὲ καὶ ταύτῃ ἐναντία ἔσται ἡ ἀντιφάσκουσα πρὸς αὐτήν, ἡ λέγουσα τὸ ἀγαθὸν οὐκ ἀγαθόν. τοῦτο δὲ ἦν ὅπερ προὔκειτο δεῖξαι. ῥητέον μέντοι καὶ πρὸς ταύτην τὴν ἐπιχείρησιν ὅτι τῇ μὲν λεγούσῃ καὶ τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθὸν ἀποφάσει οὔσῃ, καὶ διὰ τοῦτο τὸ κατηγορούμενον ἀόριστον ἐχούσῃ, κατ' ἀντίφασιν μὲν μαχομένην πρότασιν εὑρεῖν εὐπετές, ἐναντίον δέ τι καταφάσκουσαν εὑρεῖν ἀδύνατον· οὐ γάρ ἐστι τῷ ἀορίστῳ ἐναντίον οὐδέν, εἴπερ τὰ ἐναντία εἴδη χρὴ εἶναι τὴν πλείστην ἀλλήλων διάστασιν ἀφεστηκότα.

f. 213. φανερὰ δὲ ἡ ῥῆσις ἐκ τῶν εἰρημένων, πλὴν ὅτι ἀντὶ 23b 39.
τοῦ "ἀληθὴς γὰρ αὕτη" γράφεσθαί φησιν ὁ Ἀλέξανδρος καὶ "οὐκ ἀληθὴς γὰρ αὕτη." καὶ εἰ μὲν τὸ "ἀληθὴς γὰρ αὕτη" γράφοιτο, λέγοι ἂν περὶ τῆς τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν, εἰ δὲ τὸ "οὐκ ἀληθὴς γὰρ αὕτη," περὶ τῆς τὸ οὐκ ἀγαθὸν ἀγαθόν, ἣν καὶ ψευδῆ εἶναι προεῖπε, ταὐτὸν λέγων τῷ οὐδέποτε γὰρ ἀληθὴς αὕτη. δῆλον δὲ ὅτι ἀμείνων ἡ προτέρα γραφή.

f. 213 b. ὑποσχόμενος ἐξ ἀρχῆς ποιήσασθαι τὴν ἐπίσκεψιν τοῦ 24a 3.
προτεθέντος προβλήματος ἐπί τε τῶν καθ' ἕκαστα καὶ τῶν καθόλου προτάσεων, εἶτα ἐν μηδενὶ τῶν ἐπιχειρημάτων περιβαλὼν πρότασιν τῶν καθόλου τινὰ προσδιορισμῶν ἔχουσαν, ἀλλὰ τὰ ἄρθρα ἀντὶ τούτων, ὡς διὰ τοῦτο δοκεῖν ἐπὶ μόνων τῶν ἀπροσδιορίστων προτάσεων γεγυμνάσθαι τὸν λόγον, προστίθησι διὰ τούτων ὅτι τὰ ἑνικὰ τῶν ἄρθρων συντασσόμενα τοῖς καθόλου ὑποκειμένοις ἐν ταῖς προτάσεσι τὴν δύναμιν ἔχουσι τοῦ καθόλου προσδιορισμοῦ τοῦ καταφατικοῦ. οὐ γὰρ ὥσπερ ἀξιοῦσί τινες, ἐπὶ ἀπροσδιορίστων προτάσεων ἐγίγνετο πρότερον ὁ λόγος, νῦν δὲ δείκνυται ὅτι καὶ ἐπὶ τῶν καθόλου τὰ αὐτὰ λέγειν ἁρμόσει· ὅλως γὰρ οὐδὲ ἔστιν ἀκόλουθον ταῖς περὶ τῶν ἀπροσδιορίστων προτάσεων τοῦ Ἀριστοτέλους ἐννοίαις τὸ λέγειν ὅτι ἐναντία ἐστὶν ἐπ' αὐτῶν τῇ καταφάσει ἡ ἀπόφασις μᾶλλον ἤπερ ἡ τοῦ ἐναντίου κατάφασις, ὥσπερ οὐδὲ ἐπὶ τῶν κατὰ μέρος, εἴπερ καὶ τὰς ἀπροσδιορίστους παραπλησίως ταῖς κατὰ μέρος συναληθεύειν ἀλλήλαις ἀξιοῖ, ἀληθῆ δὲ ἀληθεῖ, τοῦτο δὴ τὸ παρ' αὐτοῦ πρὸς τῷ πέρατι τοῦ βιβλίου ῥηθησόμενον "οὐκ ἐνδέχεται ἐναντίαν εἶναι οὔτε δόξαν οὔτε ἀντίφασιν." διὸ καὶ ἔοικεν ἐξ ἀρχῆς ἐπὶ μόνων τῶν καθ' ἕκαστα καὶ τῶν καθόλου ὡς καθόλου προτάσεων προβάλλεσθαι τὴν περὶ τοῦ θεωρήματος σκέψιν, ὧν αἱ μὲν ἀντιφάσκουσι πρὸς ἀλλήλας, αἱ δὲ συμψευδόμεναι δι' αὐτὸ τοῦτο ἐναντίαι προσαγορεύονται. ὀλίγον δὲ ὕστερον μνημονεύσει καὶ τῆς ἀντιφατικῆς τῶν καθόλου πρὸς τὰς κατὰ μέρος

κατὰ τὴν δύναμιν, κατὰ τί μᾶλλον μάχεται τῇ ἐξ ἀρχῆς καταφάσει, πότερον καθ' ὃ ἀποφάσκει τὸ ὑπάρχον ἢ καθ' ὃ καταφάσκει τὸ μὴ ὑπάρχον. οἷον πρὸς τὴν λέγουσαν πρότασιν "ὁ τρία ἄρτιός ἐστι" μάχονται ἥ τε λέγουσα ὁ τρία ἄρτιος οὐκ ἔστι καὶ ἡ λέγουσα ὁ τρία περιττός ἐστι, τὸ αὐτὸ σημαίνουσαι ἄμφω· ζητεῖ οὖν τὸ οὐκ ἄρτιον τοῦτο καὶ περιττὸν κατὰ τί μᾶλλον μάχεται πρὸς τὸ ἄρτιον, πότερον καθ' ὃ οὐκ ἄρτιον ἢ καθ' ὃ περιττόν.

23b 3. f. 206 b. τὴν ἔννοιαν αὐτὴν ἀφ' ἧς ὁρμῶνται οἱ λέγοντες ἐν ταῖς περὶ τῶν ἐναντίων δόξαις τὴν σφοδροτάτην θεωρεῖσθαι τῶν προτάσεων μάχην, βούλεται πρῶτον διαβαλεῖν ὁ ἀντιδικεῖν πρὸς τοῦτο πειρώμενος λόγος, καὶ φησὶ μὴ εἶναι ὑγιὲς τῶν ἐναντίων δοξῶν κριτήριον τὸ περὶ ἐναντίων ἀποφαίνεσθαι πραγμάτων· τὴν γοῦν δοξάζουσαν ὅτι ἡ σωφροσύνη ἀγαθὸν καὶ τὴν ὅτι ἡ ἀκολασία κακὸν ἀποφαίνεσθαι μὲν περὶ ἐναντίων τῶν τε ὑποκειμένων καὶ τῶν κατηγορουμένων, οὐ μέντοι ἀλλήλαις ἐναντίας εἶναι, διότι αὗται μὲν ἅμα τυγχάνουσιν ἀληθεῖς, αἱ δὲ ἐναντίαι οὐδέποτε συναληθεύουσιν (ὅλως γὰρ τὰ ἐναντία συνυπάρχειν ἀδύνατον)· ἀλλὰ μᾶλλον κρίνεσθαι δεῖν τὰς ἐναντίας δόξας κατὰ τὸ ἐναντίως περὶ τῶν αὐτῶν ἀποφαίνεσθαι πραγμάτων, ὥσπερ ἔχουσιν ἥ τε κατάφασις καὶ ἡ ἀπόφασις, ὡς διὰ τῶν ἑξῆς ἐπιχειρημάτων κατασκευάσαι πειράσεται. τὸ δὲ "εἴτε πλείους εἴτε μία ἐστίν" εἴρηται περὶ τῶν τὸ ἀγαθὸν ἀγαθὸν καὶ τὸ κακὸν κακὸν εἶναι λεγουσῶν, διότι πλείους μέν εἰσιν ὡς διαφόροις χρώμεναι τοῖς τε ὑποκειμένοις καὶ τοῖς κατηγορουμένοις, δόξαιεν δ' ἂν καὶ μία εἶναι, οὐ μόνον κατὰ τὸ συναληθεύειν ἀλλὰ καὶ ὡς ἀπὸ μιᾶς προσαγόμεναι ζωῆς τε καὶ διαθέσεως. ῥητέον δὲ πρὸς ταῦτα ὅτι οἱ ἀξιοῦντες τὴν τῶν ἐναντίων καταφάσεων μάχην κρατεῖν τῆς ἀντιφατικῆς οὐ φήσουσι ταύτας ἐναντίας εἶναι δόξας, τὰς περὶ ἐναντίων ἁπλῶς πραγμάτων ἀποφαινομένας· οὐ γὰρ δὴ καὶ τὰς περὶ τῶν ἐναντίων τὰ ἐναντία φασκούσας, ἀλλὰ τὰς περὶ τοῦ αὐτοῦ τὰ ἐναντία δοξαζούσας· αὗται γὰρ αἱ τῷ ὄντι ἐναντίως δοξάζουσαι.

23b 7. f. 207. δεύτερον μὲν τοῦτο ἐπιχείρημα παραδίδοται πρὸς τὸ προκείμενον ἡμῖν πρόβλημα, παραβάλλον λοιπὸν τὴν ἀντίφασιν πρὸς τὴν τῶν ἐναντίων καταφάσεων ἀντίθεσιν, πρόεισι δὲ τοῦτον τὸν τρόπον. ἐπειδὴ βουλόμεθα εὑρεῖν ποία τῶν ψευδῶν δοξῶν ἐστὶν ἡ μάλιστα ἐναντία τῇ ἀληθεῖ, χρώμενος ἐναργεῖ ἀξιώματι τῷ ἓν ἑνὶ ἐναντίον εἶναι, συλλογίζεται ὅτι ἡ ἀπόφασίς ἐστιν ἡ μάλιστα πολεμία πρὸς τὴν κατάφασιν. ἐπεὶ γὰρ ἄπειροί εἰσι, φησίν, αἵ τε ψευδεῖς καταφάσεις αἱ μαχόμεναι πρὸς αὐτὴν καὶ αἱ ψευδεῖς ἀποφάσεις, αἱ μὲν λέγουσαι τὰ μὴ ὑπάρχοντα ὑπάρχειν, αἱ δὲ τὰ ὑπάρχοντα μὴ ὑπάρχειν, οἷον πρὸς τὴν λέγουσαν τὸ ἀγαθὸν ἀγαθὸν κατάφασιν μάχονται καταφάσεις μὲν αἱ λέγουσαι τὸ ἀγαθὸν φευκτόν, τὸ ἀγαθὸν κακόν, τὸ ἀγαθὸν βλαβερόν, ἀποφάσεις δὲ αἱ λέγουσαι τὸ ἀγαθὸν οὐχ αἱρετόν, τὸ ἀγαθὸν οὐκ ὠφέλιμον, τὸ ἀγαθὸν οὐ ζηλωτόν, καὶ οὐδὲν μᾶλλον ἄλλην ἄλλης ψεύδεσθαι ἂν εἴποιμεν, τούτων μὲν οὐδεμίαν ἐναντίαν χρὴ λέγειν τῇ τὸ ἀγαθὸν ἀγαθὸν λεγούσῃ· ἀόριστοι γὰρ ἀμφότεραι αὗται καὶ ἄπειροι, ἓν δὲ ἑνὶ ἐναντίον καὶ ὡρισμένον ὡρισμένῳ. τίνι οὖν κανόνι χρώμενοι τὴν μίαν ἐκείνην καὶ ὡρισμένως μαχομένην εὑρήσομεν; τῇ ἀρχῇ, φησί, καὶ οἱονεὶ ῥίζῃ τῆς ἀπάτης· μία γὰρ ὁμολογουμένως αὕτη καὶ ὡρισμένη. ἀπατώμεθα μὲν γὰρ τὸ ἀγαθὸν καὶ βλαβερὸν ἢ κακὸν καὶ οὐκ ὠφέλιμον ἢ οὐ ζηλωτὸν ὑπολαμβάνοντες, ἀλλὰ πάντων τούτων ἀρχὴ μία τὸ νομισθῆναι αὐτὸ μὴ ἀγαθόν. ταύτην δὲ τὴν τῆς ἀπάτης ἀρχήν, ἥτις ἐστί, παραστῆσαι ἡμῖν βουλόμενος ἔφατο εἶναι αὐτὴν ἐξ ἧς ἡ γένεσις, τὴν δὲ γένεσιν ἐκ τῶν ἀντικειμένων εἶναι, τουτέστιν ἐκ τῶν οἰκείων τοῖς γινομένοις στερήσεων καὶ ἀποφάσεων· τό τε γὰρ λευκὸν ἐξ οὐ λευκοῦ γίνεται λευκόν, καὶ ὁ ἄνθρωπος ἐξ οὐκ ἀνθρώπου, καὶ ἐπὶ πάντων ἁπλῶς τῶν γιγνομένων ὡσαύτως. ὥστε καὶ ἡ ἀπάτη, φησί, περὶ ταῦτα καὶ ἡ ὡρισμένη ἐναντίωσις, καὶ διὰ ταῦτα ἡ κυριωτάτη μάχη.

f. 208 b. ἐν τούτῳ τῷ τρίτῳ ἐπιχειρήματι τὰ ἐναντία λαβὼν 23b 15.
τοῦ αὐτοῦ κατηγορούμενα, οἷον τῶν ἀγαθῶν τινὸς αὐτό τε πάλιν τὸ ἀγαθὸν καὶ τὸ κακόν, καταφατικῶς τε καὶ ἀποφατικῶς, ὡς διὰ ταῦτα τέτταρας γίγνεσθαι προτάσεις, δύο μὲν ἀληθεῖς, τὴν τὸ ἀγαθὸν ἀγαθὸν λέγουσαν καὶ τὴν τὸ ἀγαθὸν οὐ κακόν, τὰς δὲ λοιπὰς ψευδεῖς, ἃς καὶ πρόκειται παραβαλεῖν πρὸς ἀλλήλας, τὴν τὸ ἀγαθὸν οὐκ ἀγαθὸν καὶ τὴν τὸ ἀγαθὸν κακόν, ἐκ τοῦ κατὰ τὰς ἀληθεῖς πειρᾶται συλλογίζεσθαι τὸ κατὰ τὰς ψευδεῖς. ἐπεὶ γάρ ἐστι τῶν ἀληθῶν, φησίν, ἡ μὲν καθ' αὑτὸ ἀληθὴς ἡ δὲ κατὰ συμβεβηκός, καθ' αὑτὸ μὲν ἡ λέγουσα τὸ ἀγαθὸν ἀγαθόν, κατὰ συμβεβηκὸς δὲ ἡ λέγουσα τὸ ἀγαθὸν οὐ κακόν, ὅτι οὐκ αὐτόθεν αὐτὴ τίθησι τὸ ἀγαθὸν ἀλλ' ἀναιρεῖ μόνον τὸ ἀντικείμενον, κυριώτερον εἰπὼν ἂν ὅτι ἐστι δι' ἄλλο ἀληθής, εἶπεν ὅτι κατὰ συμβεβηκός, ἐπεὶ μὴ τῷ ἀναιρεῖν τὸ τυχὸν τῶν παρὰ τὸ ἀγαθὸν ἔχει τὸ ἀληθεύειν, ἀλλὰ παρὰ τὸ μάχεσθαι πρὸς τὸ ὡρισμένον αὐτῷ πολέμιον. μάχεται δὲ τῇ μὲν καθ' αὑτὸ ἀληθεῖ ἡ λέγουσα τὸ ἀγαθὸν οὐκ ἀγαθόν, τῇ δὲ κατὰ συμβεβηκός, ὡς αὐτός φησιν, ἀληθεῖ ἡ λέγουσα τὸ ἀγαθὸν κακόν· ἡ δὲ τὴν καθ' αὑτὸ ἀληθῆ ἀναιροῦσα καθ' αὑτὸ ψεύδεται, καὶ ἡ τὴν κατὰ συμβεβηκὸς ἀληθῆ ἀναιροῦσα κατὰ συμβεβηκὸς ψεύδεται. καθ' αὑτὸ μὲν γὰρ ψεύδεται ἡ λέγουσα τὸ ἀγαθὸν οὐκ ἀγαθόν, κατὰ συμβεβηκὸς δὲ ἡ λέγουσα τὸ ἀγαθὸν κακόν. ἡ δὲ καθ' αὑτὸ ψευδομένη μᾶλλον ψεύδεται τῆς κατὰ συμβεβηκός, ὥσπερ καὶ ἡ καθ' ἑαυτὸ ἀληθεύουσα μᾶλλόν ἐστιν ἀληθὴς τῆς κατὰ συμβεβηκός, ἅτε τὴν οὐσίαν αὐτὴν τοῦ πράγματος ἐκφαίνουσα. ἡ δὲ μᾶλλον ψευδὴς πλέον διέστηκεν ἀπὸ τῆς ἀληθοῦς ἤπερ ἡ ἧττον ψευδής, καὶ διὰ τοῦτο μᾶλλον μάχεται πρὸς αὐτήν· μᾶλλον ἄρα μάχεται πρὸς τὴν ἀληθῆ κατάφασιν ἡ ἀπόφασις αὐτῆς ἤπερ ἡ ψευδὴς κατάφασις, ὅπερ προέκειτο δεῖξαι. τούτων οὖν πάνυ δριμέως εἰλημμένων ἐκεῖνό φαμεν ἐπιστάσεως ἄξιον, ὅτι τὴν λέγουσαν τὸ ἀγαθὸν κακὸν ἀξιοῖ ψεύδεσθαι διὰ τὸ ἀναιρεῖν τὴν λέγουσαν τὸ ἀγαθὸν οὐ κακόν, καὶ διὰ τοῦτο κατὰ συμβεβηκὸς ψεύδεσθαι, ὡς διὰ τὴν ἀναίρεσιν τῆς κατὰ συμβεβηκὸς ἀληθευούσης ψευδομένην... ἀλλὰ ταῦτα μὲν οὐδὲ μνήμης ἴσως ἄξια τὰ ληρημάτια, ἐπὶ δὲ τὰ ἑξῆς ἴωμεν.

f. 210 b. ἡ τετάρτη ἐπιχείρησις διὰ βραχέων εἰρημένη 23b 25.
τοιαύτην ἔχει διάνοιαν. ἁπλῆ, φησίν, ἐστὶ δόξα καθ' ἣν οὐκ ἀναγκαζόμεθα ἕτερόν τι προσεπινοεῖν, οὐχ ἁπλῆ δὲ καθ' ἣν ἀνάγκη καὶ ἕτερόν τι δοξάζειν. οὐκοῦν ἐστὶν ἁπλῆ μὲν δόξα ἡ τὸ ἀγαθὸν ἀγαθὸν

ταύτην ἀληθεύοιεν, ὡσαύτως. διὸ καὶ αὐτὸς ἀμφότερα ἐν τῷ προβλήματι τέθεικεν ὡς οὐδὲν διαφέροντα, ποτὲ μὲν λέγων ποία δόξα ἀληθὴς ψευδεῖ δόξῃ ἐναντία, ποτὲ δὲ ποτέρα δὴ τῶν ψευδῶν ἐναντία τῇ ἀληθεῖ. τὸ αὐτὸ δὲ ἀποφαίνεται καὶ περὶ τῆς ἀντιθέσεως τῶν καθόλου προτάσεων, ἃς ἐναντίας προσηγορεύομεν· διὸ καὶ δοκεῖ ἀναγκαίως κινεῖν τὸ προκείμενον θεώρημα, διδάσκων ὅτι οὐ μάτην αὐτὰς ἠξιοῦμεν ἐναντίας καλεῖν. καὶ νῦν μὲν τῶν εἰρημένων μόνων ἀντιθέσεων πεποίηται μνείαν, πρὸς δὲ τῷ τέλει μνημονεύει καὶ τῆς τῶν καθόλου πρὸς τὰς κατὰ μέρος ἀντιθέσεως, ὥστε εἶναι τὸ προκείμενον εἰς τὴν ἀπόδειξιν ὅτι ἡ τῆς ἀποφάσεως πρὸς τὴν κατάφασιν μάχη, τῆς τε ἐναντίας, ἐφ' ὧν δυνατὸν ἐναντίαν εἶναι τῇ καταφάσει ἀπόφασιν, καὶ ἐπὶ πάντων τῆς ἀντιφασκούσης πρὸς αὐτὴν μείζονα ἔχει διάστασιν πρὸς ἀλλήλας τῶν ἐναντίων καταφάσεων διαφοράς. ὅτι δὲ εἰκότως οὔτε τὰς ἀπροσδιορίστους ἐν τούτοις οὔτε τὰς ὑπεναντίους παρέλαβε, διὰ τῶν ἑξῆς κατὰ καιρὸν ἐπιδείξομεν... ὁ μέντοι μέγας Συριανὸς ἄριστα καὶ θεωρητικώτατα ταύτῃ τῇ ζητήσει διήτησε, τά τε πράγματα ὅπως ἔχει φύσεως καὶ τῆς πρὸς ἄλληλα διαστάσεως μάλα ἐναργῶς ἐπιδεικνύς, καὶ τὰς κοινὰς ἡμῶν καὶ αὐτοφυεῖς ἐννοίας συμφώνους τοῖς λεγομένοις ἀποφαίνων, καὶ τῶν ἐπιχειρημάτων ἕκαστον αὐτὸ καθ' αὐτὸ βασανίζων καὶ διηρθρωμένως διδάσκων τί τε ὀρθῶς καὶ τί πιθανῶς μὲν οὐ μέντοι ἀκριβῶς ἐν αὐτοῖς παραδίδοται, καὶ ἐπὶ πᾶσι τόν τε θειότατον Πλάτωνα μάρτυρα παραφέρων ἐν τῷ Σοφιστῇ (p. 237 sqq.) ἀποφαινόμενον τὴν ἀπόφασιν ἕτερον μέν τι τῆς καταφάσεως σημαίνειν, οὐ μὴν ἐναντίον πρὸς αὐτήν, διότι ἓν μὲν ἑνὶ ἐναντίον (οὐ γὰρ ἄδικος ἡ φύσις, ὥστε πλείονα ἑνὶ ποιῆσαι πολέμια), ἡ δὲ τοῦ μεγάλου ἀπόφασις, ὅπερ ἐν Σοφιστῇ λέγεται, καθ' ἣν τὸ οὐ μέγα λέγομεν, οὐδὲν μᾶλλον τὸ σμικρὸν ἢ τὸ ἴσον δηλοῖ (διὸ καὶ ἐν τῷ ἕκτῳ τῆς Πολιτείας (p. 491) πλείονος ἐπιμελείας δεῖσθαι λέγων τὰς ἐρρωμενεστέρας φύσεις πρὸς τὸ μὴ διαφθαρῆναι τῶν σμικροτέρων, καὶ ἀποδιδοὺς τούτου τὴν αἰτίαν, ἀγαθῷ γάρ φησι κακὸν ἐναντιώτερον ἢ τῷ μὴ ἀγαθῷ, τουτέστι τῷ λοιπῷ τῶν ὑπὸ τῆς ἀποφάσεως τοῦ κακοῦ σημαινομένων, εἰ καὶ παρεῖται τοῦτο ὡς ἐναργὲς καὶ εἴληπται τὸ μὴ ἀγαθὸν ἀντὶ τοῦ μήτε κακοῦ μήτε ἀγαθοῦ), καὶ αὐτοῦ μέντοι τοῦ Ἀριστοτέλους τῇ τελειοτέρᾳ παραδόσει τῇ ἐν τῷ δεκάτῳ τῆς θεολογικῆς πραγματείας (Metaph. 10 4) πείθεσθαι ἡμᾶς ἀξιῶν, πλείστην εἶναι διάστασιν τοῦ ἐναντίου πρὸς τὸ ἐναντίον ἀλλ' οὐ τῆς ἀποφάσεως πρὸς τὴν κατάφασιν ἀποφαινομένου, δι' ὧν φησὶν "ἐπεὶ δὲ διαφέρειν ἐνδέχεται ἀλλήλων τὰ διαφέροντα πλεῖον καὶ ἔλαττον, ἔστι τις καὶ μεγίστη διαφορά," καὶ ταύτην λέγων ἐναντίωσιν καὶ ὅσα ἑξῆς τούτοις ἐπιφέρει, κατασκευάζων οὐ καθάπερ ἐνταῦθα λογικώτερον ὑπὲρ τοῦ γυμνάσαι τὴν ἡμετέραν ὡς εἴρηται διάνοιαν, ἀλλ' ἐπ' αὐτῶν ὄντων τῶν πραγμάτων, ὅτι ἡ τῶν ἐναντίων διαφορὰ μεγίστη τῶν ἄλλων καὶ διὰ τοῦτο τελεία καὶ οὐδὲν ἔχουσα ἐξωτέρω αὐτῆς δυνάμενον πεσεῖν. οὕτω δὲ καὶ ἐν Κατηγορίαις τὸ οὐ δίκαιον καὶ τὸ οὐκ ἄδικον μέσον ἔφατο εἶναι τοῦ δικαίου καὶ τοῦ ἀδίκου, ἐναντίων ὄντων καὶ τὴν πλείστην ἀλλήλων διάστασιν ἀφεστηκότων, ὃ καὶ τοῖς ἄλλοις πᾶσιν ἐναντίοις ὑπάρχειν ἔφη κατὰ τὸν ἀποδεδομένον αὐτῶν ὁρισμὸν ἐν τῷ συγγράμματι τῶν Κατηγοριῶν. καὶ ἐν ταῖς φυσικαῖς μέντοι πάσαις πραγματείαις γίγνεσθαι ἀποφαίνεται τὰ ἐναντία ἐκ τῶν ἐναντίων ἅτε πλεῖστον ἀπ' αὐτῶν διεστηκότων καὶ ὄντων ὡρισμένων, καὶ εἴ ποτε γίγνοιντο ἐκ τῶν μεταξὺ κειμένων, καὶ ἁπλῶς μὲν ὑπὸ τῆς τοῦ γιγνομένου ἀποφάσεως πῇ δὲ ὑπὸ τῆς τοῦ ἐναντίου πρὸς αὐτὸ καταφάσεως δηλουμένων, οἷον τὸ λευκὸν ἐκ τοῦ φαιοῦ, ἁπλῶς μὲν ὄντος οὐ λευκοῦ πῇ δὲ μέλανος, γίγνεσθαί φησιν αὐτὰ ἐξ ἐκείνων, οὐ καθ' ὃ ἐκεῖνα σημαίνεται ἁπλῶς ὑπὸ τῆς ἀποφάσεως τοῦ γιγνομένου, ἀλλὰ καθ' ὃ πῇ τοῦ ἐναντίου μετέχουσιν, ὡς ἂν τῆς ἀποφάσεως οὐ παρεχούσης καθ' αὑτὴν τὴν παντελῆ πρὸς τὴν κατάφασιν διαφοράν. καὶ αὐτόθεν μέντοι συμφώνως τοῖς ἐν Σοφιστῇ παρὰ Πλάτωνος εἰρημένοις ἀποφαίνεται, μὴ εἶναι τῷ ὄντι τὸ μὴ ὂν ἐναντίον περὶ τῶν ἐναντίων κινήσεων καὶ μεταβολῶν ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 5) διοριζόμενος. συνᾴδει δὲ τούτοις καὶ τὸ προοίμιον τῆς Τοπικῆς πραγματείας, ὑπεναντία προσαγορεῦον τὰ ἀντιφατικῶς ἀλλήλοις ἀντικείμενα ὡς οὐ τελείαν τὴν πρὸς ἄλληλα ἐναντίωσιν ἔχοντα. ἦν μὲν οὖν αὔταρκες τοῖς ἐφιστάνειν δυναμένοις πρὸς τὴν ἐπίκρισιν τῆς περὶ τούτων ἀληθείας τὸ ἐντυγχάνειν τοῖς εἰς ταῦτα παρὰ τοῦ θεσπεσίου ἐκείνου ἀνδρὸς γεγραμμένοις· ἀλλ' ἐπεὶ μόνην τὴν περὶ τούτων ἐπίσκεψιν προθέμενος γράφειν οὐ καταγίνεται περὶ τὴν τῆς λέξεως αὐτῆς σαφήνειαν, ὥστε ἀποπλῆσαι καὶ τὸν πολὺν ἀκροατήν, πειρασόμεθα μὲν ἡμεῖς καὶ τούτου τοῦ θεωρήματος κατὰ τὸν αὐτὸν τοῖς προλαβοῦσι τύπον ποιήσασθαι τὴν ἐξήγησιν, ἐν μέντοι ταῖς ἐπιστάσεσιν οὐδὲν ἔχοντες πλέον ἐπινοεῖν τῶν παρ' ἐκείνου τεθεωρημένων οὐ παραιτησόμεθα καὶ ἐπ' αὐτῶν ἐνίοτε τῶν λέξεων τὰ τοῦ ἀνδρὸς ἐκείνου γράφειν.

f. 205 b. τῆς δὲ λέξεως τῆς "εἰ γὰρ τὰ μὲν ἐν τῇ φωνῇ" 23. 32
ἀντὶ τοῦ εἰ δή εἴρηται· οὐ γὰρ προειρημένου τινὸς αἰτίαν ἀποδίδωσιν, ἵνα καὶ χώραν ἔχῃ ὁ αἰτιολογικὸς σύνδεσμος, ἀλλὰ τὴν μέθοδον ὑφηγεῖται τὴν καθ' ἣν κρινοῦμεν τὰς μάλιστα μαχομένας προτάσεις ἀπὸ τῶν αἰτίων αὐτῶν ὁρμώμενοι. τὸ δὲ ἐπὶ τέλει τῆς ῥήσεως εἰρημένον, τὸ "καὶ εἰ ἔστι μία καθ' ὁποτέραν ἡ ἐναντία," τοιαύτην ἔχει διάνοιαν. ἔστι δόξα περί τινος τῶν ἀγαθῶν, οἷον σωφροσύνης, αὐτὸ τοῦτο ἀποφαινομένη ὅτι ἔστιν ἀγαθόν, ἄλλη δὲ ἡ λέγουσα ὅτι οὐκ ἔστιν ἀγαθόν, τρίτη δὲ ἡ λέγουσα ὅτι ἔστι κακόν. συμβαίνειν οὖν φησὶ τήν τε ἀπόφασιν τὴν λέγουσαν ἡ σωφροσύνη ἀγαθὸν οὐκ ἔστι, καὶ τὴν τοῦ ἐναντίου κατάφασιν τὴν λέγουσαν ἡ σωφροσύνη κακόν ἐστι, ποτὲ μὲν διαφωνεῖν ποτὲ δὲ συντρέχειν ἀλλήλαις. ἐπεὶ γὰρ τῶν ἐναντίων τὰ μέν ἐστιν ἔμμεσα τὰ δὲ ἄμεσα, εἰ μὲν τῶν ἐμμέσων ἐναντίων εἴη τὰ κατηγορούμενα, οὐκ ἂν ἀκολουθήσῃ τῇ ἀποφάσει ἡ τοῦ ἐναντίου κατάφασις (οὐ γὰρ τὸ οὐ λευκὸν ἤδη ἀνάγκη εἶναι μέλαν), εἰ δὲ τῶν ἀμέσων ταὐτὸν σημαίνουσιν ἥ τε ἀπόφασις καὶ ἡ τοῦ ἐναντίου κατάφασις, ὅταν ἀποφαίνωνται περί τινος τῶν πεφυκότων δέχεσθαι τὴν ἐναντίωσιν· ὥσπερ γὰρ τὸ περιττὸν εὐθὺς οὐκ ἄρτιον, οὕτω τὸ οὐκ ἄρτιον ἀνάγκη περιττὸν εἶναι. ἐφ' ὧν οὖν συντρέχουσιν ἥ τε ἀπόφασις καὶ ἡ τοῦ ἐναντίου κατάφασις, οὐκέτι μὲν δυνατὸν ὡς ἐπὶ διαφόρων ζητεῖν ποτέρα αὐτῶν ἐστὶν ἡ μᾶλλον μαχομένη πρὸς τὴν ἐξ ἀρχῆς κατάφασιν· εἰσὶ γὰρ ἄμφω τρόπον τινὰ μία τῇ δυνάμει· ἀξιοῖ δὲ ζητεῖν αὕτη ἡ μία

γιγνομένων μεταβολή, τὸ δὲ ἀδύνατον οὐδέποτε ἂν εἰς τὸ δυνατὸν μεταβάλοι. δεήσει οὖν τῷ μὲν ἀναγκαῖον εἶναι, ὕπαρξιν ἀΐδιον σημαινούσῃ, τῶν ἄλλων τρόπων ἀκολουθεῖν, ὡς ὑπογέγραπται, τὰς ἀναιρούσας τὸ μὴ εἶναι, τήν τε οὐ δυνατὸν μὴ εἶναι καὶ τὴν οὐκ ἐνδεχόμενον μὴ εἶναι καὶ τὴν ἀδύνατον μὴ εἶναι, τῷ δὲ ἀναγκαῖον μὴ εἶναι τὴν οὐ δυνατὸν εἶναι καὶ οὐκ ἐνδεχόμενον εἶναι καὶ τὴν ἀδύνατον εἶναι. δήλη δὲ ἐκ τούτων καὶ τῶν ἀντικειμένων αὐταῖς ἡ ἀκολουθία... πρὸ δέ γε τούτου ὥσπερ λημμάτιόν τι προλαμβάνει ὅτι τῇ φύσει προτέρα τῆς κατ' ἐπιτηδειότητα δυνάμεως ἡ ἐνέργεια. τοῦτο δὲ κατασκευάζει ὡς πόρισμά τι κατὰ τοὺς γεωμέτρας ἐκ τῶν εἰρημένων πρὸς τὴν κατασκευὴν χρήσιμον συνάγων, ὅτι τὸ ἀναγκαῖον ἐπὶ μόνου τοῦ κατ' ἐνέργειαν ὄντος θεωρεῖται. καὶ τοῦτο εἰκότως.

23a 24. f. 199. εἴδη δὲ αὐτὰ χωριστὰ ὄντα τῆς ὕλης αὐτοενεργείας προσαγορεύομεν, οὐ διακρίνοντες τὴν ἐνέργειαν τῆς οὐσίας, καθάπερ καὶ ἐπὶ τῶν συνθέτων, ἀλλ' οὐσιῶσθαι αὐτὰ κατὰ ταύτην ἀποφαινόμενοι. διόπερ ἐν τῷ Λ τῶν Μετὰ τὰ Φυσικὰ τοὺς ὄντως θεοὺς τῇ οὐσίᾳ φησὶν ἐνεργείας εἶναι. καὶ γὰρ ἐπὶ τῶν μεταβάλλεσθαι πεφυκότων, ἐφ' ὧν καὶ τὸ δυνάμει θεωρεῖται καὶ τὸ καθ' ἕξιν καὶ τὸ κατ' ἐνέργειαν, ἐπειγομένην ὁρῶμεν τὴν μὲν δύναμιν εἰς τὴν ἕξιν, τὴν δὲ ἕξιν εἰς τὴν ἐνέργειαν ὡς ἐπὶ τέλος οἰκεῖον· οὐδὲν γὰρ αὐτῆς ἔσται ὄφελος ἀνενεργήτου μενούσης. διὰ ταῦτα δὲ ὁ Ἀκραγαντῖνος σοφὸς ἐπιρραπίζων τοὺς περὶ θεῶν ὡς ἀνθρωποειδῶν ὄντων παρὰ τοῖς ποιηταῖς λεγομένους μύθους, ἐπήγαγε προηγουμένως μὲν περὶ Ἀπόλλωνος, περὶ οὗ ἦν αὐτῷ προσεχὴς ὁ λόγος, κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ τοῦ θείου παντὸς ἁπλῶς ἀποφαινόμενος, "οὔτε γὰρ ἀνδρομέῃ κεφαλῇ κατὰ γυῖα κέκασται, οὐ μὲν ἀπαὶ νώτων γε δύω κλάδοι ἀΐσσουσιν, οὐ πόδες, οὐ θοὰ γοῦνα, οὐ μήδεα λαχνήεντα, ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσι," διὰ τοῦ ἱερὴ καὶ τὴν ὑπὲρ νοῦν αἰνιττόμενος αἰτίαν, οὐδὲ τῶν συνθέντων τοὺς μύθους παραμελησάντων τοῦ παραδοῦναι τοῖς ἀκροωμένοις αὐτῶν ἀφορμὰς δι' ὧν ἀπιστήσουσι μὲν τοῖς κατὰ τὸ φαινόμενον λεγομένοις, ζητήσουσι δὲ τὴν ἀληθῆ καὶ ὑπὸ πλάσματος ἑκάστου τῶν μύθων αἰνισσομένην διάνοιαν, εἰ μὴ τύχοιεν ἠλιθίως διακείμενοι τὰς ψυχάς. πῶς γὰρ ἀνθρωποειδῆ τὰ ἐξ οὐρανοῦ καὶ γῆς εἴτε τῶν ἐμφανῶν εἴτε, ὡς ὁ ἀληθὴς λόγος, τῶν νοητῶν καὶ τῶν ὑπὲρ τούτους κρυφίων αἰτιῶν λεγόμενα τὴν γένεσιν ἔχειν; τίς δὲ ἀνέξεται κατὰ τὸ φαινόμενον ἀκούειν αἰδοῖα οὐρανοῦ καὶ τούτων ἐκτομάς, καὶ τῆς Ἀφροδίτης ἐξ αὐτῶν εἰς τὴν θάλασσαν ῥιφθέντων γένεσιν, παίδων δὲ καταπόσεις καὶ αὖθις ἐμέτους, καὶ ὅσα τοῖς ἐπιπολαιοτέροις ἐπιβοηθοῦντες οὕτως ἀπεμφαίνοντα πλάττουσιν οἱ μῦθοι; πῶς δὲ τὰς ἐπὶ θεῶν λεγομένας μίξεις οὐ παραπλησίας τῇ τοῦ οὐρανοῦ πρὸς τὴν γῆν μυθευομένῃ μίξει νοήσομεν; ἀλλ' ἐπανέλθωμεν ὅθεν εἰς ταῦτα ἐξέβημεν φειδοῖ τῶν παιδαρίων, τῶν ἱστορίαν ἡγουμένων τοὺς μύθους καὶ οὐ συνιέντων τὸ ἄνευ δυνάμεως αἱ ἐνέργειαί εἰσι.

23a 25. f. 200 b. ἐπ' ἐνίων μέντοι καὶ διακρίνεται κατὰ τὸν χρόνον ἡ δύναμις τῆς ἐνεργείας, καὶ οὐ πάντως ἔχει αὐτὴν ἐπειγομένην, ὥσπερ ἐπὶ τῶν ἐν γενέσει· οὐ γὰρ ἐπειδὴ ἔμβρυον δυνάμει ὁ ἄνθρωπος, ἤδη ἀνάγκη αὐτὸ καὶ τελεσφορηθὲν γενέσθαι κατ' ἐνέργειαν ἄνθρωπον· δηλοῦσι δὲ τὰ ἀμβλισκανόμενα τῶν ἐμβρύων. ἐσχάτην δὲ ἔχουσιν ἐν τοῖς οὖσι τάξιν τὰ κατὰ μόνην ὑφεστηκότα τὴν δύναμιν καὶ μηδέποτε ἀχθῆναι εἰς ἐνέργειαν δυνάμενα, ὡς ἡ ἐπ' ἄπειρον τομὴ τῶν συνεχῶν καὶ ἡ τοῦ ἀριθμοῦ αὔξησις· ἐνεργείᾳ μὲν γὰρ οὐδέποτε γένοιτο ἄν τι αὐτῶν ἄπειρον, οὐ μέντοι ἐπιλείπει ἐν αὐτοῖς ἡ πρόοδος ἢ τῆς διαιρέσεως ἢ τῆς αὐξήσεως.

23a 27. f. 201 b. συμπεπλήρωται μὲν ἡ διδασκαλία τῶν ἐξ ἀρχῆς ἡμῖν ἀπηριθμημένων τεττάρων τοῦ βιβλίου κεφαλαίων, καὶ τὸ περὶ Ἑρμηνείας, ὡς ἐμοὶ φαίνεται, τὸ προσῆκον ἀπείληφε πέρας. τὰ γὰρ ἐφεξῆς ὑποπτεύω ἤτοι μὴ εἶναι γνήσια τοῦ Ἀριστοτέλους (*) ἀλλὰ προστεθεῖσθαι ὑπό τινος τῶν μετ' αὐτόν, ἀποβλέπων πρὸς τὸ πανταχοῦ τῶν ἑαυτοῦ συγγραμμάτων φαίνεσθαι τὸν φιλόσοφον τὰ ἐναντία δοξάζοντα τοῖς διὰ τούτων λεγομένοις, ἢ γεγράφθαι μὲν ὑπ' αὐτοῦ, γυμνάσαι δὲ μόνον βουληθέντος τοὺς ἐντυγχάνοντας πρὸς τὴν ἐπίκρισιν τῶν πιθανῶς μὲν οὐ μέντοι ἀληθῶς λεγομένων λόγων, καὶ παραπλήσια ποιοῦντος τῷ παραδόντι τοὺς ἀναιρεῖν δοκοῦντας τὴν κίνησιν δυσελέγκτους λόγους, ὅπερ ἴσμεν ὅτι καὶ περὶ τῶν πρός τι διαλεγόμενος ἐν Κατηγορίαις πεποίηκε (c. 10), δι' ὧν ἐπιχειρεῖ κατασκευάζειν ὡς οὐ πάντως ἅμα τῇ φύσει τὰ πρός τι, ἀλλὰ προηγεῖται τῆς μὲν αἰσθήσεως τὸ αἰσθητὸν τῆς δ' ἐπιστήμης τὸ ἐπιστητόν, καὶ ταῦτα διὰ βραχέων ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 8) σαφῶς τε ἅμα καὶ ἀκριβῶς τὸ περὶ τοῦ συνυπάρχειν τὰ πρός τι θεώρημα διαρθρώσας, καὶ τῆς λύσεως τῶν εἰρημένων ἐν Κατηγορίαις παρασχὼν ἡμῖν τὰς ἀφορμάς. διὸ καὶ τὸν φιλόσοφον Πορφύριον ὑπολαμβάνω παραιτήσασθαι τὴν ἐξήγησιν τοῦδε τοῦ θεωρήματος. εἰ δὲ δεῖ καὶ ἡμᾶς εἴξαντας τῇ συνηθείᾳ καὶ ταῦτα ὡς ἐσπουδασμένα τῷ Ἀριστοτέλει φροντίδος τινὸς ἀξιῶσαι, ῥητέον ὅτι προτίθεται διὰ τούτων ἐπισκέψασθαί τι θεώρημα προσῆκον τῇ προθέσει τῆς προκειμένης πραγματείας. οὔσης γὰρ καταφάσεώς τινος ἀληθοῦς, οἷον τῆς Σωκράτης δίκαιός ἐστι, καὶ ταύτῃ δύο ψευδῶν προτάσεων μαχομένων, τῆς τε ἀποφάσεως αὐτῆς τῆς Σωκράτης δίκαιος οὐκ ἔστι, καὶ τῆς κατὰ τοῦ αὐτοῦ ὑποκειμένου τὸ ἐναντίον τῷ ἐξ ἀρχῆς κατηγορηθέντι καταφασκούσης, οἷον τῆς λεγούσης Σωκράτης ἄδικός ἐστι, ἐπιζητεῖ ποτέραν τῶν ψευδῶν μᾶλλον μάχεσθαι ῥητέον τῇ ἀληθεῖ, πότερον τὴν ἀπόφασιν ἢ τὴν τοῦ ἐναντίου κατάφασιν, καὶ ἀποφαίνεται σφοδροτέραν εἶναι τὴν μάχην τῆς ἀποφάσεως πρὸς τὴν κατάφασιν ἤπερ τῆς τοῦ ἐναντίου καταφάσεως, καὶ εἰ ψευδὴς μὲν ἡ ἐξ ἀρχῆς κατάφασις εἴη, αἱ δὲ μαχόμεναι πρὸς

(*) *Leo Magent.* ἐξ ὧν ἑρμηνεύει τινὲς λέγουσι μὴ τοῦ Ἀριστοτέλους εἶναι ποίημα τὸ πέμπτον τμῆμα. ἐν γὰρ τῇ Φυσικῇ Ἀκροάσει καὶ ἐν τοῖς Τοπικοῖς τὴν κατάφασιν τὴν ἐναντίαν ἔχουσαν φωνήν, ταύτην λέγει ἐναντίαν τῇ ἀληθεῖ καταφάσει. ἀλλὰ καὶ ἐν ταῖς δέκα Κατηγορίαις ἐν τῷ τέλει τῆς διδασκαλίας τῶν ἀντικειμένων ῥητῶς οὑτωσὶ λέγει "τῷ γὰρ ὑγιαίνειν Σωκράτη τὸ νοσεῖν Σωκράτην ἐναντίον ἐστίν." πῶς οὖν τἀναντία ἐν τῷ πέμπτῳ τμήματι διδάσκει καὶ οὐ συμφωνεῖ ταῖς ἄλλαις αὐτοῦ πραγματείαις αἷς εἴπομεν; ἄλλως τε καὶ τὰ ἐπιχειρήματα δι' ὧν τοῦτο κατασκευάζει, σαθρά εἰσι καὶ εὐανάτρεπτα.

των οὕτως εἰρημένων εἰκότως ἀπορεῖ διὰ τῶν ἐφεξῆς ὁ Ἀριστοτέλης, πότερον ἕπεσθαι ῥητέον τῇ ἀναγκαίῳ εἶναι τὴν δυνατὸν εἶναι ἢ μὴ ἕπεσθαι, διότι ἄμφω μὲν εἶναι ἀληθῆ ταῦτα ἀμήχανον, ἑκάτερον δὲ αὐτῶν ἔδοξε κρατύνειν, τὸ μὲν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, τὸ δὲ ἐπ' εὐθείας· καὶ φησὶν "ἀπορήσειε δ' ἄν τις."

22 b 36. f. 192. λύων τὴν ἀπορίαν, τὴν ὁμωνυμίαν αἰτιᾶται τοῦ δυνατοῦ τῆς δοκούσης τῶν λόγων ἐναντιότητος, καθ' ἣν ἕπεσθαι συμβαίνει τῷ ἀναγκαίῳ τὸ δυνατὸν καὶ πάλιν μὴ ἕπεσθαι κατ' ἄλλην αὐτοῦ καὶ ἄλλην ἔννοιαν. τοῦ γὰρ δυνατοῦ τὸ μὲν εἶναί φησιν ἤδη ὂν κατ' ἐνέργειαν, ὡς ὅταν τὸν βαδίζοντα λέγωμεν δύνασθαι βαδίζειν καὶ τὸν ἥλιον δύνασθαι φωτίζειν ἢ κινεῖσθαι, τὸ δὲ κατὰ δύναμιν καὶ ἐπιτηδειότητα μόνον, ὡς ὅταν λέγωμεν τὸν καθήμενον δύνασθαι βαδίζειν καὶ τὸν βαδίζοντα δύνασθαι μὴ βαδίζειν. ἀλλὰ τοῦ μὲν κατ' ἐνέργειαν τὸ μὲν εἶναι συμφυὲς τῷ πράγματι τῷ δύνασθαι αὐτὸ λεγομένῳ, καὶ εἰδοποιὸν αὐτοῦ, τὸ δὲ ἐπίκτητον καὶ οὐκ ἀεὶ παρὸν τῷ ὑποκειμένῳ. καὶ τοῦ μὲν συμφυοῦς καὶ εἰδοποιοῦ, ὡς εἴρηται, τῶν ὑποκειμένων τὸ μὲν εἶναι ἀΐδιον καὶ ἐν ἀϊδίοις πράγμασιν ὑφιστάμενον, ὡς τὸ κινεῖσθαι κύκλῳ τὸν οὐρανὸν ἢ τὴν γῆν ἐν τῷ μέσῳ τετάχθαι τοῦ παντὸς ἢ τὸ εἶναι τὸν θεὸν ἀγαθόν· τὸ δὲ οὐκ ἀΐδιον μὲν οὐδ' ἐπ' ἀϊδίων θεωρούμενον ὑποκειμένων, ἕως μέντοι ἂν ὦσι τὰ ὑποκείμενα, συνυπάρχον αὐτοῖς, ὡς ὅταν λέγωμεν τόδε τὸ πῦρ δύνασθαι θερμαίνειν καὶ τήνδε τὴν χιόνα ψύχειν, τοῦ λοιποῦ δηλαδὴ σημαινομένου τοῦ κατ' ἐνέργειαν τοῦ μὴ συμφυοῦς τοῖς ὑποκειμένοις θεωρουμένου ἐπὶ τῶν ἐκ δυνάμεως εἰς τὴν ἐνέργειαν μεταβεβηκότων, ὡς ἐλέγομεν ἐπὶ τοῦ τὸν καθήμενον δύνασθαι βαδίζειν. τοῦ δ' αὖ ἐπὶ ἀϊδίων πραγμάτων λεγομένου τὸ μὲν θεωρεῖσθαί φησιν ἐν ταῖς παντάπασιν ἐξῃρημέναις τῆς ὕλης οὐσίαις, ὡς τὴν ἀγαθότητα τῶν θεῶν καὶ τὴν νόησιν, τὸ δὲ ἐκείνου προσεχῶς ἐξηρτημένον καὶ ὑφεστηκὸς ἐν σώμασι μὲν ἀλλ' ἁπλοῖς καὶ μηδὲν ἔχουσιν ἐναντίον καὶ κατὰ μόνην τὴν κύκλῳ κίνησιν ἀεὶ κινουμένοις, πάσης τε θνητῆς δυσχερείας ἐξῃρημένοις. πάλιν δὲ τοῦ κατὰ δύναμιν τὸ μὲν εἶναί φησιν οἷον μεταβάλλειν εἰς τὴν ἐνέργειαν, ὡς ὅταν λέγωμεν τὸν παῖδα δύνασθαι στρατηγεῖν, ἂν μή τι αὐτῷ τῶν ἔξωθεν ἐμποδὼν γένηται, τὸ δὲ εἰς ἐνέργειαν μὲν οὐδέποτε ἀχθησόμενον, κατ' αὐτὸ δὲ μόνον τὸ δυνάμει τὸ εἶναι ἔχον, ὡς ἐπὶ τῆς εἰς ἄπειρον τομῆς τῶν μεγεθῶν καὶ πάντων ἁπλῶς τῶν συνεχῶν καὶ τῆς ἐπὶ τὸ πλέον προόδου τῶν ἀριθμῶν. τοσαχῶς τοίνυν λεγομένου τοῦ δυνατοῦ, τὰ μὲν τῶν σημαινομένων αὐτοῦ ἕπεσθαί φησι τῷ ἀναγκαίῳ, τὰ δὲ μὴ ἕπεσθαι.

23 a 3. f. 193 b. "ἔνια μέντοι δύναται καὶ τῶν κατὰ τὰς ἀλόγους δυνάμεις ἅμα τὰ ἀντικείμενα δέξασθαι." τῶν τε γὰρ ἀψύχων αἱ παθητικαὶ δυνάμεις ἐναργῶς ἐπαμφοτερίζουσιν, οἷον τὸ ἱμάτιον διατμηθῆναί τε καὶ μὴ διατμηθῆναι ὁμοίως δυνατόν, καὶ τῶν ἀλόγων ζῴων αἱ ποιητικαὶ οὐκ εἰσὶ μονήρεις καὶ κατηναγκασμέναι, ὥσπερ ἐπὶ τοῦ πυρὸς καὶ τῆς χιόνος ἐλέγομεν· βαδίσαι γὰρ φέρε εἰπεῖν δυνάμενος ὁ κύων δύναται καὶ μὴ βαδίσαι, ταῖς προσπιπτούσαις αὐτῷ φαντασίαις ἑπόμενος... ἐπὶ δὲ τῶν θεῶν τί ἐροῦμεν; ὥσπερ ἀπορεῖ καὶ ὁ Ἀλέξανδρος· ἢ γὰρ οὐκ εἶναι κατὰ λόγου τὰς δυνάμεις αὐτῶν φήσομεν, εἴπερ εἰσὶν ὡρισμέναι καὶ ἀεὶ ὡσαύτως ἔχουσαι, πάσης ἐξῃρημέναι μεταβολῆς, ἢ εἴπερ εἰσὶ κατὰ λόγου, καὶ αὐτὰς εἶναι τῶν ἀντικειμένων ὁμολογήσομεν. λύει οὖν ὀρθῶς ἐκεῖνος τὴν ἀπορίαν, λόγον ἐνταῦθα παρειλῆφθαι λέγων τὸν διανοητικόν, καὶ ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον προϊόντα καὶ ἀπὸ τῶν προτάσεων ἐπὶ τὰ συμπεράσματα, οἷός ἐστιν ὁ ἡμέτερος, ἀλλ' οὐ τὸν νοερὸν καὶ κατὰ μίαν ἁπλῆν ἐνέργειαν καὶ ἀεὶ ἑστῶσαν ἅπαντα ὁρῶντα τὰ ὄντα, οἷον εἶναι αὐτὸς ἀποφαίνεται τὸν τῶν θεῶν νοῦν, ἐξῃρημένον τε παντελῶς τῆς ὕλης καὶ τῇ οὐσίᾳ σύνδρομον ἔχοντα τὴν ἐνέργειαν. μήποτε δὲ οὐδὲ προσήκει φέρειν ἐπ' ἐκείνων τὸ τοῦ λόγου τούτου ὄνομα· νοῦν γὰρ αὐτὸς ὁ Ἀριστοτέλης ἀξιοῖ προσαγορεύειν, καί που καὶ τοῦ νοῦ σεμνοτέραν ἔχειν ἐνδείκνυται φύσιν.

23 a 13. f. 195 b. ἐπὶ δὲ τούτῳ τὸ "ἄμφω δὲ ἀληθὲς εἰπεῖν τὸ δυνατὸν εἶναι βαδίζειν ἢ εἶναι" διχῶς γράφεσθαι φαμέν· ἢ γὰρ οὕτως ὡς ἐξεθέμεθα, ἢ ἀντὶ τοῦ "δυνατὸν" τὸ μὴ ἀδύνατον. εἰ μὲν οὖν γράφοιτο τὸ δυνατόν, αὐτόθεν ἔσται ὁ λόγος περὶ τοῦ ἐξ ἀρχῆς προκειμένου, ὅτι τὸ τοῦ δυνατοῦ ὄνομα καθ' ἑκατέρας τῶν δυνάμεων κατηγορεῖται, τῆς τε κατ' ἐνέργειαν καὶ τῆς κατ' ἐπιτηδειότητα, διὸ ὡς μὲν κατηγορούμενον τῆς κατ' ἐνέργειαν καὶ τῆς κατ' ἐπιτηδειότητα ἕποιτο ἂν τῷ ἀναγκαίῳ, ὡς δὲ καὶ ἐπὶ τῆς κατ' ἐπιτηδειότητα λεγομένης καὶ διὰ τοῦτο ἐπαμφοτεριζούσης κατηγορούμενον οὐκέτι ἂν αὐτῷ ἕποιτο. καὶ τούτῳ ἀκόλουθόν ἐστι τὸ ἐξῆς ἐπιφερόμενον τὸ "ὥστε ἐπεὶ τῷ ἐν μέρει τὸ καθόλου ἕπεται, καὶ τῷ ἐξ ἀνάγκης ὄντι ἕπεται τὸ δύνασθαι εἶναι, οὐ μέντοι πᾶν." εἰ δὲ ἀντὶ τοῦ δυνατόν γράφοιτο τὸ μὴ ἀδύνατον, εἴη ἂν ὥσπερ ἀπολογίαν ταύτην τιθεὶς ὑπὲρ τοῦ τὴν μὲν οὐκ ἀδύνατον εἶναι τεταγμένην ἐᾶσαι ὑπὸ τὸ δυνατὸν εἶναι κατὰ τὸ ἐξ ἀρχῆς διάγραμμα, τὴν δὲ οὐκ ἀναγκαῖον εἶναι μετατάξαι καὶ ἀντ' αὐτῆς θεῖναι τὴν οὐκ ἀναγκαῖον μὴ εἶναι. λέγοι γὰρ ἂν ὅτι τὸ μὲν οὐκ ἀδύνατον εἶναι ἀμφοτέροις συμφωνεῖ τοῖς τοῦ δυνατοῦ σημαινομένοις, καθάπερ καὶ τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι· διὸ ἄμφω ταῦτα ὑπετάξαμεν τῷ δυνατὸν εἶναι κατὰ τὸ δεύτερον διάγραμμα, τὸ μέντοι οὐκ ἀναγκαῖον εἶναι τῷ μὲν κατ' ἐπιτηδειότητα δυνατὸν συνᾷδον, τοῦ δὲ κατ' ἐνέργειαν καὶ συμφυοῦς τοῖς ὑποκειμένοις ἀπᾷδον, εἰκότως ἐχωρίσαμεν τῆς πρὸς τὸ ἁπλῶς δυνατὸν ἀκολουθίας.

23 a 18. f. 198. ἀκολουθότερον ἐν τούτοις καὶ θεωρητικώτερον προηγεῖσθαι ἀξιοῖ τὰς τοῦ ἀναγκαίου προτάσεις ἐν τῷ διαγράμματι τῶν κατὰ τοὺς ἄλλους τρόπους προτάσεων, ἕπεσθαι δὲ ἐκείνας ταύταις οὐ μόνον ὅτι κοινότερον ἐλέγετο εἶναι τὸ δυνατὸν τοῦ ἀναγκαίου, καὶ ἔδει τὸν περὶ τῆς ἀκολουθίας αὐτῶν διαλεγόμενον προϋποτίθεσθαι μὲν καὶ ὡς ἡγούμενον λαμβάνειν τὸ ἰδικώτερον, ἐπισκέπτεσθαι δὲ πῶς τούτῳ δυνατὸν ἕπεσθαι τὸ κοινότερον, οὐ μέντοι ἔμπαλιν, ἀλλὰ καὶ ὅτι τὸ μὲν ἀναγκαῖον τοῖς ἀϊδίοις τῶν ὄντων καὶ θείοις προσήκει, τὸ δὲ δυνατόν, τοῦ ἀναγκαίου διαφέρον, καὶ τὸ ἐνδεχόμενον ἀπὸ τῆς ὕλης ἀναβλαστάνουσιν· ἐν ταύτῃ γὰρ καὶ διὰ ταύτην ἡ κατὰ τὴν ἐπιτηδειότητα δύναμις, ἅτε πάντα ἔχουσαν δυνάμει, κατ' ἐνέργειαν δὲ οὐδέν. τὸ δὲ ἀδύνατον καὶ ἔξω πέπτωκε παντελῶς τῶν ὄντων· οὐ γὰρ ἂν ἐλέγετο εἶναι ἀδύνατον, εἴπερ εἶχε τὴν οἱανδήποτε εἰς τὰ ὄντα πάροδον ἢ ἐν τῇ ὕλῃ ἢ ἐν τῇ ταύτης ἀμυδροτέρᾳ τῇ στερήσει. ἡ μὲν γὰρ στέρησις ἀναγκαία πρὸς τὴν γένεσιν, ἐξ αὐτῆς γὰρ ἡ εἰς τὸ εἶναι τῶν

τὰς ἄνευ τρόπου τὰς συμψευδομένας ἀλλήλαις ἐναντίας προσαγορεύομεν. συμψεύδονται οὖν ἀλλήλαις κατὰ τὰς εἰρημένας ὕλας αἱ ἐπ' εὐθείας ἐκτεθεῖσαι τοῦ ἀναγκαίου προτάσεις. καὶ πρὸς τοῦτο καθ' ἑτέρας τινὰς φαίνονται συναληθεύουσαι· πάλιν γὰρ αἱ μὲν ταῖς ἁπλαῖς ἑπόμεναι κατὰ τὴν ἀδύνατον ὕλην (συναληθεύουσιν ἀλλήλαις ὅπερ φησὶν ὁ Ἀριστοτέλης, ὅπερ ἀναγκαῖόν ἐστι μὴ εἶναι, τοῦτο οὐκ ἔστιν ἀναγκαῖον εἶναι), αἱ δὲ ταῖς ἐκ μεταθέσεως κατὰ τὴν ἀναγκαίαν.

22b 3. f. 188. ἦν μὲν ἀκόλουθον παραδοῦναι πρότερον τὴν ἑξῆς ῥηθησομένην τῆς ἐκθέσεως τῶν προτάσεων διόρθωσιν, καὶ ἐπιδεῖξαι ὅτι ἡμαρτημένως ἔχουσιν ἐν τῷ πρότερον ἐκτεθέντι διαγράμματι αἱ τοῦ ἀναγκαίου ἀποφάσεις· οὔτε γὰρ τὴν ἁπλῆν ἐχρῆν συντετάχθαι αὐταῖς ἁπλαῖς τῶν ἄλλων τρόπων προτάσεσιν, ἀλλὰ ταῖς ἐκ μεταθέσεως ἐπ' εὐθείας τῇ ἑαυτῆς καταφάσει, οὔτε τὴν ἐκ μεταθέσεως ταῖς ἐκ μεταθέσεως ἀλλὰ ταῖς ἁπλαῖς, ἐπ' εὐθείας καὶ ταύτην ἑπομένην τῇ οἰκείᾳ καταφάσει, καὶ οὕτω προσθεῖναι τὰ διὰ τούτων λεγόμενα, ὅτι εἰκότως ἡ μὲν ἐκ μεταθέσεως τοῦ ἀναγκαίου ἀντίφασις ὑπὸ τὴν ἁπλῆν τέτακται τοῦ τε δυνατοῦ καὶ τοῦ ἀδυνάτου ἀντίφασις, ἡ δὲ ἁπλῆ ὑπὸ τὴν ἐκ μεταθέσεως· προσήκει γὰρ τὸ ὅτι προηγουμένην ἔχειν τὴν τάξιν τοῦ διότι. ἀλλ' ἴσως ὁ Ἀριστοτέλης μετὰ τὸ ἐπισημήνασθαι τῇ ἀταξίᾳ τῆς ἐξ ἀρχῆς γενομένης ἐκθέσεως τῶν τοῦ ἀναγκαίου προτάσεων, ὡς τῶν ἐπιστατικωτέρων εὐθὺς συνορώντων τὴν ἀκόλουθον αὐτῶν ἔκθεσιν, τὴν αἰτίαν ἠξίωσεν ἀποδοῦναι διὰ τούτων τῆς τεταγμένης αὐτῶν ἀκολουθίας. ἐπεὶ δὲ τούτῳ συνεῖδεν ὅτι χρὴ καὶ ἡμῶν τῶν πολλῶν ποιήσασθαί τινα λόγον ἀποπλῆσαι ἡμᾶς, ὅτι ταύτην ἀνάγκη τὴν τάξιν ἔχειν τὰς τοῦ ἀναγκαίου προτάσεις ἐν τῇ ἀκολουθίᾳ τῶν μετὰ τρόπου προτάσεων, καὶ διὰ τοῦτο πρὸ τοῦ ὅτι τὸ διότι παραδίδωσιν. ἀλλὰ τίνα φησὶν εἶναι τὴν αἰτίαν τοῦ ὑποτετάχθαι ταῖς μὲν ἁπλαῖς τοῦ δυνατοῦ καὶ τοῦ ἀδυνάτου προτάσεσι τὰς ἐκ μεταθέσεως τοῦ ἀναγκαίου, ταῖς δὲ ἐκ μεταθέσεως τὰς ἁπλᾶς; ὅτι, φησίν, ἐναντίως τὸ ἀδύνατον τῷ ἀναγκαίῳ ἀποδίδοται, τὸ αὐτὸ δυνάμενον, τὸ αὐτὸ μὲν αὐτὰ δύνασθαι λέγων διότι ἑκάτερον αὐτῶν ἀεὶ ὡσαύτως ἔχει καὶ ἀνεπίδεκτόν ἐστι τοῦ ἐναντίου, τὸ μὲν ἀεὶ ὄν, τὸ δὲ ἀεὶ μὴ ὄν, ἐναντίως δὲ ἀποδίδοσθαι, διότι ὅτε πρὸς τῷ ἑτέρῳ τῶν τρόπων τούτων τὸ εἶναι τίθεμεν, ἁπλῆν ποιοῦντες τὴν πρότασιν, πρὸς τῷ ἑτέρῳ τὸ μὴ εἶναι τάττομεν καὶ ποιοῦμεν πρότασιν ἐκ μεταθέσεως· ὃ γὰρ ἀναγκαῖον εἶναι, τοῦτο ἀδύνατον μὴ εἶναι, καὶ ὃ ἀδύνατον εἶναι, τοῦτο ἀναγκαῖον μὴ εἶναι. εἰ οὖν ταύτας τὰς τοῦ ἀδυνάτου προτάσεις ἐλέγομεν, φησίν, ἀκολουθεῖν ταῖς τοῦ δυνατοῦ καὶ τοῦ ἐνδεχομένου, τὰς ὁμοίας αὐταῖς κατὰ τὸ ἁπλοῦν ἢ τὸ ἐκ μεταθέσεως ἐχούσας, τοῦ ἄρα ἀναγκαίου ἕπεσθαι αὐταῖς συμβήσεται τὰς ἐξ ἐναντίας, ὡς αὐτός φησι, κατὰ ταῦτα ἐχούσας, τουτέστι ταῖς μὲν ἁπλαῖς τὰς ἐκ μεταθέσεως, ταῖς δὲ ἐκ μεταθέσεως τὰς ἁπλᾶς (*).

22b 11. f. 189 b. ἐλέγχεται μὲν διὰ τούτων ἡ προειρημένη τῶν τοῦ ἀναγκαίου ἀποφάσεων ἔκθεσις, καὶ παραδίδοται ἡ ἀκριβὴς αὐτῶν τάξις ἐν τῷ διαγράμματι τῶν μετὰ τρόπου προτάσεων, ὥστε μηδεμίαν ἐν αὐταῖς εἶναι μήτε διαφωνίαν μήτε ἀταξίαν, ἀλλὰ τὸ ὅλον διάγραμμα τεταγμένως ἔχειν. ζητεῖται δὲ πρῶτον τῇ ἁπλῇ τοῦ δυνατοῦ καταφάσει ποίαν τῶν τεττάρων τοῦ ἀναγκαίου προτάσεων, τῶν δύο τῶν ἁπλῶν καὶ τῶν δύο τῶν ἐκ μεταθέσεως, ἕπεσθαι ῥητέον. καὶ δείκνυται ὅτι οὔτε ὡς πρότερον ἐλέγομεν, τὴν ἁπλῆν ἀπόφασιν χρὴ ὡς ἑπομένην αὐτῇ ὑποτάττειν τὴν οὐκ ἀναγκαῖον εἶναι, οὔτε τῶν καταφάσεων οὐδετέραν, ἀλλὰ μόνην τὴν ἐκ μεταθέσεως ἀπόφασιν τὴν οὐκ ἀναγκαῖον μὴ εἶναι, ἐπ' εὐθείας κειμένην τῇ ἑαυτῆς καταφάσει. καὶ ἐκ τούτων συνάγεται ὅτι τὴν ἁπλῆν ἀπόφασιν ὑπὸ τὴν ἐκ μεταθέσεως τοῦ δυνατοῦ κατάφασιν προσήκει τάττειν, ἐπ' εὐθείας καὶ ταύτην ἑπομένην τῇ οἰκείᾳ καταφάσει, ἅτε τῶν ἄλλων τριῶν τοῦ ἀναγκαίου προτάσεων ἤδη τεταγμένων ἐν ταῖς προσηκούσαις αὐταῖς χώραις τοῦ διαγράμματος. . . ὅτι δὲ τὴν οὐκ ἀναγκαῖον εἶναι ἁπλῆν ἀπόφασιν οὐ καλῶς ὑπετάξαμεν κατ' ἀρχὰς τῇ δυνατὸν εἶναι ἁπλῇ καταφάσει ὡς ἀκολουθοῦσαν αὐτῇ, δείκνυσι προλαβὼν ὥσπερ λημμάτιον ὅτι τῇ ἀναγκαῖον εἶναι ἁπλῇ ἀκολουθεῖν ἀνάγκη τὴν δυνατὸν εἶναι· καὶ κατασκευάζει γὰρ αὐτὸ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ χρώμενος, τοῦτον τὸν τρόπον. εἰ γὰρ μὴ ἕπεται, φησί, τῇ ἀναγκαῖον εἶναι ἡ δυνατὸν εἶναι· ἡ ἀπόφασις αὐτῆς ἀκολουθήσει ἡ οὐ δυνατὸν εἶναι· ἐπὶ παντὸς γὰρ ἢ τὴν κατάφασιν ἀληθεύειν ἀνάγκη ἢ τὴν ἀπόφασιν. ἀλλ' εἰ ἕποιτο τῇ ἀναγκαῖον εἶναι ἡ οὐ δυνατὸν εἶναι, ἐπειδὴ ταύτῃ τε καὶ τῇ ἰσοδυναμούσῃ αὐτῇ, τῇ οὐκ ἐνδεχόμενον εἶναι, ἀκολουθεῖν ἐλέγομεν τὴν ἀδύνατον εἶναι, συμβήσεται συναληθεύειν ἀλλήλαις τήν τε ἀναγκαῖον εἶναι καὶ τὴν ἀδύνατον εἶναι, ὅπερ ἐστὶ παντελῶς ἄλογον. ἕπεσθαι ἄρα χρὴ τὴν ἀναγκαῖον εἶναι τῇ δυνατὸν εἶναι. τούτου οὖν προληφθέντος δείκνυται ῥᾳδίως ὅτι οὐ καλῶς ἐλέγομεν τὴν οὐκ ἀναγκαῖον εἶναι ἀκολουθεῖν τῇ δυνατὸν εἶναι.

f. 190 b. τῶν οὖν τριῶν τοῦ ἀναγκαίου προτάσεων ἐληλεγμέ- 22b 22.
νων ὡς οὐ δυναμένων ἕπεσθαι τῇ δυνατὸν εἶναι, καταλείπεται μόνη ἡ οὐκ ἀναγκαῖον μὴ εἶναι ἐκ μεταθέσεως ἀπόφασις· ὥστε ταύτην αὐτῇ ἕπεσθαι ῥητέον, καθάπερ τῇ οὐ δυνατὸν εἶναι ἁπλῇ ἀποφάσει ἀκολουθεῖν ἐλέγομεν τὴν ἀναγκαῖον μὴ εἶναι κατάφασιν ἐκ μεταθέσεως. καὶ φανερὸν ὅτι τὴν οὐκ ἀναγκαῖον εἶναι ἁπλῆν ἀπόφασιν μεταθήσομεν ἐπὶ τὴν χώραν ἣν ἐν τῷ προτέρῳ διαγράμματι κατεῖχεν ἡ οὐκ ἀναγκαῖον μὴ εἶναι, πάσας τὰς προτάσεις πάσαις ὁμολόγους ποιοῦντες. ἵνα δὲ μή τις ὑπολάβῃ ὅτι καθ' ὃν τρόπον ἐδείκνυμεν τὴν οὐκ ἀναγκαῖον εἶναι μὴ δυναμένην ἕπεσθαι τῇ δυνατὸν εἶναι, προλαβόντες ὅτι τῇ ἀναγκαῖον εἶναι ἀκολουθεῖ ἡ δυνατὸν εἶναι, κατὰ τὸν αὐτὸν τρόπον δεικνύναι δυνατὸν μήτε τὴν οὐκ ἀναγκαῖον μὴ εἶναι δυναμένην αὐτῇ ἀκολουθεῖν, προστίθησι τὸ "τοῦτο γὰρ ἀληθὲς καὶ κατὰ τοῦ ἀναγκαῖον εἶναι." οὐ γὰρ ἔτι συμβήσεται ἄτοπον εἰ τῷ μὲν ἀναγκαῖον εἶναι τὸ δυνατὸν εἶναι λέγοιμεν ἕπεσθαι, τῷ δὲ δυνατὸν εἶναι τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι· συμβήσεται μὲν γὰρ διὰ ταῦτα ἀκολουθεῖν τῷ ἀναγκαῖον εἶναι τὸ μὴ ἀναγκαῖον μὴ εἶναι, τοῦτο δὲ οὐκ ἔστιν ἄτοπον, ἀλλὰ καὶ ἀληθές· ὃ γὰρ ἀναγκαίαν ἔχει τὴν ὕπαρξιν, τοῦτο οὐχ οἷόν τε καὶ ἀνυπαρξίαν ἀναγκαίαν ἔχειν. ἀλλὰ τού-

(*) M. *Ephes.* τινὲς δὲ τῶν ἐξηγητῶν φασὶν ὡς ἐναντίας λέγει ταύτας (τὰς προτάσεις) τῷ εἶναι καὶ τῷ μὴ εἶναι προσεσχηκώς.

καλεῖ δὲ αὐτῶν τὰς μὲν καταφάσεις τὰς δὲ ἀποφάσεις, οὐ μόνον κατὰ τοὺς προσδιορισμοὺς ποιούμενος τὴν τοιαύτην αὐτῶν διαίρεσιν, ἀλλὰ καὶ ὅτι συμβαίνει τὰς ἐν ἐκείνοις ἀποφάσεις ὡς εἰλημμένας ταὐτὸν φθέγγεσθαί τισι τῶν ὄντως ἀποφάσεων, λέγω δὴ τῶν ἀναιρουσῶν τόν τε τρόπον ἅμα καὶ τὸν προσδιορισμὸν τὸν καταφατικόν, ὡς οὔσας, ὅπερ φησὶ περὶ αὐτῶν ὁ φιλόσοφος Ἰάμβλιχος, φωνῇ μὲν καταφατικὰς δυνάμει δὲ ἀποφατικάς... ὥστε οὐδετέρα τῶν πραγματειῶν ἐλλιπής, ὅπερ ὑποπτεύσειεν ἄν τις ἐν μηδετέρᾳ τῶν πραγματειῶν παραδιδομένας ὁρῶν τὰς ἐν τῇ ἑτέρᾳ ὡς ἀποφάσεις εἰλημμένας, ἀλλ' ἑκατέρᾳ τὸ προσῆκον εἶδος τῆς διδασκαλίας ἐφύλαξεν ὁ Ἀριστοτέλης.

21 b 26. f. 183 b. ἀλλ' ἐπανέλθωμεν εἰς τὴν ἐξήγησιν τῶν ἑξῆς ὑπὸ τοῦ Ἀριστοτέλους παραδεδομένων, καὶ λέγωμεν ὅτι ἀναλογίαν τινὰ γεωμετρικὴν ἀξιοῖ ἡμᾶς λαμβάνειν ἐπί τε τῶν ἄνευ τρόπου καὶ ἐπὶ τῶν μετὰ τρόπου προτάσεων, λέγων ὅτι ἣν ἔχουσι τάξιν ἐπὶ τῶν ἄνευ τρόπου τὰ ὑποκείμενα καὶ τὰ κατηγορούμενα πράγματα πρὸς τὸ εἶναι καὶ μὴ εἶναι, ταύτην ἐπὶ τῶν μετὰ τρόπου τὸ εἶναι τοῦτο καὶ τὸ μὴ εἶναι πρὸς τοὺς τρόπους ἔχειν... καλοῦσι δὲ καὶ ταύτας ἐν ταῖς μετὰ τρόπου προτάσεσιν ἐκ μεταθέσεως, ἁπλᾶς δὲ τὰς δίχα τῆς ἀρνήσεως τὸ εἶναι παραλαμβανούσας, Σωκράτην δίκαιον εἶναι οὐ δυνατόν. ὁ μέντοι Ἀριστοτέλης τὴν βραχυλογίαν καὶ ἐν τούτοις ἐπιτηδεύων τὴν μὲν ἁπλῆν κατάφασιν διὰ τοῦ δυνατὸν εἶναι μόνον σημαίνει, τὴν δὲ ἐκ μεταθέσεως διὰ τοῦ δυνατὸν μὴ εἶναι, καταλιμπάνων ἡμῖν ἅπερ ἂν ἐθέλωμεν πράγματα ὑποκείμενά τε καὶ κατηγορούμενα τούτοις ὑποβάλλειν. ταύτην δὲ τὴν διαφορὰν τῶν ἀντιφάσεων, τῆς τε ἁπλῆς φημὶ καὶ τῆς ἐκ μεταθέσεως (*), καὶ ἐπὶ τῶν λοιπῶν τρόπων ἀξιοῖ θεωρεῖν, τοῦ τε ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου καὶ τοῦ ἀδυνάτου. καὶ ἔστι φανερὰ τὰ περὶ αὐτῶν λεγόμενα, πλὴν ὅτι τὸ "κατάφασιν δὲ καὶ ἀπόφασιν ταῦτα ποιοῦντες" (p. 22 a 9) περὶ τῶν τρόπων λέγεται.

22 a 13. f. 184 b. τούτῳ τε οὖν οὕτως ἐπιστῆσαι χρή, καὶ ὅτι μετὰ τὸ καταριθμήσασθαι τὰς κατὰ τοὺς εἰρημένους τρόπους ἀντιθέσεις προστίθησιν "ἀληθές, οὐκ ἀληθές," ἐνδείξασθαι ἡμῖν βουλόμενος ὡς εἰσὶ μὲν καὶ ἄλλοι ἀναρίθμητοι τρόποι παρὰ τοὺς εἰρημένους τέσσαρας, τὸν δυνατόν, τὸν ἐνδεχόμενον, τὸν ἀναγκαῖον, τὸν ἀδύνατον, ἀρκεῖται δὲ τούτοις πρὸς τὴν τῶν προτάσεων διδασκαλίαν διὰ τὴν εἰρημένην ἔμπροσθεν αἰτίαν.

22 a 14. f. 185. ὅτι μὲν περὶ τῆς ἀκολουθίας τῶν μετὰ τρόπου προτάσεων ὁ λόγος ἐν τούτοις, φανερόν· τεττάρων δὲ ὄντων τῶν τρόπων, τοῦ δυνατοῦ, τοῦ ἐνδεχομένου, περὶ ὧν τῆς τε κοινωνίας καὶ τῆς διαφορᾶς ἐν τοῖς ἑξῆς διαλέξεται, καὶ ἐπὶ τούτοις τοῦ ἀναγκαίου καὶ τοῦ ἀδυνάτου, καὶ καθ' ἕκαστον τῶν τεττάρων θεωρουμένων προτάσεων, δύο μὲν τῶν ἁπλῶν δύο δὲ τῶν ἐκ μεταθέσεως, τὰς τοῦ δυνατοῦ τέτταρας προτάσεις ἐν τῷ διαγράμματι κατὰ τὴν προσήκουσαν τάξιν ἐκθέμενος ἐπισκέπτεται ὅπως ἔχουσι τῆς πρὸς ταύτας ἀκολουθίας αἱ καθ' ἕκαστον τῶν ἄλλων τρόπων προτάσεις... διὰ τούτων ταὐτὸν φθέγγεσθαι τό τε δυνατὸν καὶ τὸ ἐνδεχόμενον ἀπαραλλάκτως τιθέμενος, δηλοῖ μὲν οὐ μόνον τῷ δυνατὸν εἶναι ἕπεσθαι φάσκων τὸ ἐνδεχόμενον εἶναι, ἀλλὰ προστίθησι "καὶ τοῦτο ἐκείνῳ ἀντιστρέφει."

f. 186 b. ταῦτα οὕτως ἐν τοῖς παροῦσι διατάξας ἀξιοῖ καὶ ἐπὶ 22 a 22.
διαγράμματος, ὃ ἐκάλεσεν ὑπογραφὴν ὡς ὑποτεταγμένον τῇ περὶ αὐτοῦ διδασκαλίᾳ καὶ ὑπ' αὐτὴν γεγραμμένον, θεωρεῖν ἡμᾶς τὴν εἰρημένην ὑπ' αὐτοῦ τῶν προτάσεων ἀκολουθίαν, καὶ ἀρξάμενος ἀπὸ τῆς ἁπλῆς τοῦ δυνατοῦ καταφάσεως ἐφεξῆς ἀπαριθμεῖται τὰς ἀπὸ τῶν ἄλλων τρόπων ταύτῃ ἑπομένας. εἶτα προάγων τὴν διδασκαλίαν κατὰ τὴν αὐτὴν ὥσπερ σελίδα τοῦ διαγράμματος, παραλαβὼν τὴν ἐκ μεταθέσεως κατάφασιν τοῦ δυνατοῦ, ταύτῃ πάλιν ἐφεξῆς καταλέγει τὰς ἀκολουθούσας κατὰ τοὺς λοιποὺς τῶν τρόπων προτάσεις. εἶτα ἐφεξῆς μέτεισιν ἐπὶ τὸ ἀπαριθμεῖσθαι τὰς κατὰ τὴν ἑτέραν σελίδα τοῦ διαγράμματος προτάσεις. ἐπεὶ δὲ οὐ γέγονεν ἄμεμπτος πᾶσα ἡ εἰρημένη τῶν προτάσεων ἔκθεσις, εἰ καὶ πιθανὴ ἔδοξεν ἂν εἶναι τοῖς ἀπλουστέροις τὴν διάνοιαν διὰ τὰς εἰρημένας αἰτίας, προτίθεται μὲν διὰ τῶν ἐφεξῆς τὸ ἡμαρτημένως ἐν αὐτῇ ἐκτεθὲν ἐπανορθώσασθαι, πρότερον δὲ ἡμᾶς ἐφιστάνειν ἀξιοῖ ἐν τῷ ἐκτεθέντι τῶν προτάσεων διαγράμματι ὅπως μὲν ἔχουσι τάξεως αἱ τοῦ ἀδυνάτου προτάσεις ὅπως δὲ αἱ τοῦ ἀναγκαίου, ἵνα καὶ θεάσασθαι δυνηθῶμεν ὅ τι ποτέ ἐστιν ἐν τούτῳ τὸ ἡμαρτημένως ἔχειν.

f. 187. διὰ τούτων τὰς μὲν τοῦ ἀδυνάτου προτάσεις καταφα- 22 a 32.
τικάς τε καὶ ἀποφατικὰς ἀκολούθως ἐκκεῖσθαί φησι καὶ ὑποτετάχθαι ταῖς τοῦ δυνατοῦ καὶ τοῦ ἐνδεχομένου καταφατικαῖς τε καὶ ἀποφατικαῖς προτάσεσι, τῶν ἀποφάσεων ἐπ' εὐθείας διαγεγραμμένων ταῖς οἰκείαις καταφάσεσι, καὶ ὅλης μὲν τῆς ἁπλῆς τοῦ ἀδυνάτου ἀντιφάσεως ὑπὸ τὰς ἁπλᾶς ἐκείνων ἀντιφάσεις τεταγμένης, ὅλης δὲ τῆς ἐκ μεταθέσεως ὑπὸ τὰς ἐκ μεταθέσεως, ἀλλ' ὥσπερ φησίν, ἀντεστραμμένως, τῆς ἀντιστροφῆς περὶ μόνην θεωρουμένης τὴν τῆς ποιότητος τάξιν, διότι ταῖς μὲν ἐκείνων καταφάσεσιν ἕπονται αἱ τοῦ ἀδυνάτου ἀποφάσεις, ταῖς δὲ ἀποφάσεσιν αἱ καταφάσεις, ἥ τε ἀδύνατον εἶναι ἁπλῆ κατάφασις καὶ ἡ ἀδύνατον μὴ εἶναι κατάφασις ἐκ μεταθέσεως. κἂν γὰρ στερητικῶς λεγόμεναι δοκῶσί τισιν ἀποκλίνειν πρὸς τὸ εἶδος τῶν ἀποφάσεων, ἀλλ' ὁμολογοῦμεν ὡς εἰσὶ τὸ ὅλον τοῦτο στερητικαὶ καταφάσεις· διὸ καὶ ἠξίωσεν ἐπ' αὐτῶν μόνων ἐπισημήνασθαι τοῦτο ὁ Ἀριστοτέλης. τὰς μὲν οὖν τοῦ ἀδυνάτου προτάσεις εὐτάκτως, ὅπερ ἐλέγομεν, ἐκτεθεῖσθαί φησιν, οὐκέτι μέντοι τὰς τοῦ ἀναγκαίου, τὰς μὲν τὴν ἀντίφασιν ἐπ' αὐτοῦ ποιούσας προτάσεις, οἷον τὴν ἀναγκαῖον εἶναι ἁπλῆν κατάφασιν καὶ οὐκ ἀναγκαῖον εἶναι ἁπλῆν ἀπόφασιν, κεχωρισμένως ἀλλ' οὐκ ἐπ' εὐθείας ἀλλήλαις ἐκτεθεῖσθαι... συμψεύδονται γὰρ ἀλλήλαις, αἱ μὲν ταῖς ἁπλαῖς τοῦ δυνατοῦ προτάσεσιν ἑπόμεναι, ἡ οὐκ ἀναγκαῖον εἶναι καὶ ἡ ἀναγκαῖον μὴ εἶναι, κατὰ τὴν ἀναγκαίαν ὕλην, αἱ δὲ ταῖς ἐκ μεταθέσεως, ἡ οὐκ ἀναγκαῖον μὴ εἶναι καὶ ἡ ἀναγκαῖον εἶναι, κατὰ τὴν ἀδύνατον. διὸ καὶ ἐκάλεσεν αὐτὰς ἐναντίας, δι' ἣν αἰτίαν καὶ

(*) p. 21 b 16. *M. Ephes.* ἔχει δύναμιν ὁρᾶσθαι ὁ ἐν τῷ βυθῷ λίθος καὶ μὴ ὁρᾶσθαι· νῦν γὰρ τυχὸν διὰ τὸ ὕδωρ οὐχ ὁρᾶται, ἐὰν δὲ λείψῃ τὸ ὕδωρ ἢ κατελθών τις ἀναγάγῃ αὐτόν, ὡς ἔχει λόγον ποιεῖν τοὺς Ἰνδοὺς ἐπὶ τοῖς μαργαρίταις, ὁραθήσεται.

ὄντως ἐστὶ πιθανόν, ἵνα μή τινες τῶν ὕστερον τῶν λόγων τούτων ἀκούσαντες καὶ καλῶς ἔχειν αὐτοὺς νομίσαντες κατ' ἐκεῖνον τὸν τρόπον εἰθῶσι καὶ ἐπὶ τούτων τῶν προτάσεων γίγνεσθαι τὰς ἀντιφάσεις. φησὶν οὖν, εἰ γὰρ τῶν συμπλεκομένων ἀλλήλαις φωνῶν καὶ προτάσεων αὗται πρὸς ἀλλήλας ἀντίκεινται αἱ ἀντιφάσεις, ὅσαι κατὰ τὸ εἶναι καὶ μὴ εἶναι τάττονται, διὰ μὲν βραχυλογίαν ἐλλιπέστερον αὐτὸ ἀπαγγείλας, βουλόμενος δὲ εἰπεῖν, εἰ γὰρ τῶν συμπεπλεγμένων ἀλλήλαις φωνῶν καὶ προτάσεων γιγνομένων αὗται ἀντίκεινται ἀλλήλαις πρὸς τὸ ποιῆσαι ἀντιφάσεις, ὅσαι κατὰ τὸ εἶναι καὶ μὴ εἶναι τὴν ἀντίθεσιν ἔχουσιν. ἢ μᾶλλον οὕτως, ἵνα μὴ πλεῖστα ἔξωθεν προσυπακούειν ἀναγκαζώμεθα· εἰ τῶν συμπλεκομένων, τουτέστι συνδυαζομένων, προτάσεων πρὸς τὴν γένεσιν τῶν ἀντιφάσεων αὗται ἀλλήλαις ἀντίκεινται, ὅσαι κατὰ τὸ εἶναι καὶ μὴ εἶναι διακρίνονται. καὶ πρὶν τὸ ἀκόλουθον ἐπαγαγεῖν, ὅτι καὶ ἐπὶ τῶν μετὰ τρόπου προτάσεων δεήσει τοῦτο οὕτως ἔχειν, εὐθὺς αὐτῷ παραθέμενος τὰ παραδείγματα τῶν ἄνευ τρόπου, πρότερον μὲν τῶν ἐνεργείᾳ τὸ ἔστιν ἐχουσῶν, ἐπὶ δὲ ταύταις τῶν δυνάμει, καὶ ἐν ταῖς ἐνεργείᾳ τὸ ἔστιν ἐχούσαις προτάξας τὴν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, τουτέστι τὴν ἐκ τρίτου προσκατηγορουμένου, δείκνυσιν ἐπὶ πασῶν μὴ ἄλλως τὴν ἀπόφασιν γιγνομένην εἰ μὴ τῷ ἔστι τὸ ἀρνητικὸν συμπλακείη μόριον, ἐπὶ δὲ τῶν ἐκ τρίτου προσκατηγορουμένου καὶ διελέγχει τοὺς οἰομένους γίγνεσθαι τὴν ἀπόφασιν τῆς ἀρνήσεως μὴ πρὸ τοῦ ἔστι τιθεμένης ἀλλὰ πρὸ τοῦ κατηγορουμένου, ὥστε λέγεσθαι τῆς ἄνθρωπος λευκός ἐστιν ἀπόφασιν τὴν ἄνθρωπος οὐ λευκός ἐστιν. εἰ γὰρ δώσομεν, φησί, τὸ ἀξίωμα τῆς ἀντιφάσεως, ὁμολογοῦντες κατὰ παντὸς οὗ ἄν τις λάβῃ δεῖν τὴν κατάφασιν ἀληθεύειν ἢ τὴν ἀπόφασιν, δεήσει καὶ τούτων τῶν προτάσεων, τῆς ἄνθρωπος λευκός ἐστι καὶ ἄνθρωπος οὐ λευκός ἐστιν, ἐπὶ τοῦ ξύλου λαμβανομένων τὴν ἑτέραν ἀληθεύειν, ἅτε ἀντιφατικῶς ἀντικεῖσθαι λεγομένων καὶ συμψεύδεσθαι μηδέποτε δυναμένων· ὥστε ἐπεὶ ψευδὴς ὁμολογουμένως ἡ κατάφασις ἡ λέγουσα τὸ ξύλον ἄνθρωπον εἶναι λευκόν, ἀνάγκη τὴν ἀπόφασιν ἀληθεύειν τὴν λέγουσαν τὸ ξύλον ἄνθρωπον εἶναι οὐ λευκόν. εἰ οὖν τοῦτο ἐναργῶς ἄτοπον, δῆλον ὅτι τῆς ἄνθρωπος λευκός ἐστιν ἀπόφασις ἔσται ἡ ἄνθρωπος λευκὸς οὐκ ἔστι, τῷ ἔστιν αὐτῷ συμπλέκουσα τὸ ἀρνητικὸν μόριον.

21b 10. f. 178 b. ταῦτα οὖν οὕτως ἔχοντα ἐπὶ πασῶν τῶν ἄνευ τρόπου προτάσεων ἐπιδείξας ἐπιφέρει "ὥστε εἰ οὕτω πανταχοῦ, καὶ τοῦ δυνατὸν εἶναι ἀπόφασις ἔσται οὐ τὸ δυνατὸν εἶναι ἀλλὰ τὸ δυνατὸν μὴ εἶναι," σαφῶς μὲν ἐκ τῆς ὁμοιότητος τῆς πρὸς τὰς ἄλλας προτάσεις συλλογίζεσθαι ἀξιῶν ὅτι καὶ ἐπὶ τῶν μετὰ τρόπου τὴν ἀπόφασιν ποιήσομεν τοῦ ἔστιν ἀλλ' οὐ τοῦ τρόπου προτιθέντες τὴν ἄρνησιν, ἐπάγων δὲ τὸν ἔλεγχον τῶν οὕτως ὑπολαμβανόντων ἐκ τοῦ ἐπιδεῖξαι τὴν διαφορὰν τῶν μετὰ τρόπου προτάσεων καὶ τῶν ἄνευ τρόπου, ὅτι ἐπὶ μὲν τῶν ἄνευ τρόπου τὰς κατὰ τὸ ἔστι καὶ οὐκ ἔστι μαχομένας ἀλλήλαις προτάσεις κατὰ τοὺς παραδεδομένους πρότερον διορισμοὺς ἀδύνατον ἢ συναληθεύειν ἢ συμψεύδεσθαι ἀλλήλαις, ἐπὶ δὲ τῶν μετὰ τρόπου κατά τε τὸ δυνατὸν καὶ τὸ ἐνδεχόμενον αἱ τοῦτον τὸν τρόπον ἀντικείμεναι οὐκ ἀντιφάσκουσαι ἀλλήλαις ἀλλὰ συναληθεύουσαι καταλαμβάνονται, αἱ δέ γε προτάττουσαι τῶν τρόπων τὰς ἀρνήσεις σῴζουσι τὸ ἀξίωμα τῆς ἀντιφάσεως, μήτε ἅμα ἀληθεῖς μήτε ἅμα ψευδεῖς ποτὲ γιγνόμεναι. τοῦ δὲ συναληθεύειν ἐπὶ τοῦ δυνατοῦ καὶ ἐνδεχομένου κατὰ τὸ εἶναι καὶ μὴ εἶναι διαφερούσας προτάσεις τὴν αἰτίαν ἀπὸ τῶν πραγμάτων αὐτῶν ἀποδίδωσι, λόγον αὐτὴν προσαγορεύων, ὡς καὶ Πλάτων ἐν Γοργίᾳ (p. 465) "ἐγὼ δὲ τέχνην οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα."... εἰδέναι μέντοι χρὴ ὅτι μόνου μὲν τοῦ εἶναι ἀπαρεμφάτου ῥήματος ἐν τῇ μετὰ τρόπου προτάσει κειμένου ἀναμφισβητήτως κατὰ μόνον τὸν τρόπον γίγνεται ἡ ἀπόφασις, ἀλλ' οὐ τελεία ἡ τοιαύτη πρότασις, διότι χρεία πρὸς τὸν αὐτοτελῆ ἀποφατικὸν λόγον ῥήματος κατὰ τὴν ὁριστικὴν παρὰ τοῖς γραμματικοῖς λεγομένην ἔγκλισιν προφερομένου, ὥστε ἢ αὐτόθεν τοῦ ἔστι δεησόμεθα κατ' ἐνέργειαν λεγομένου, εἴπερ ὡς ἐπὶ τρίτου τινὸς προσώπου ποιοίμεθα τὴν ἀπόφασιν, ἢ τινος ἄλλου δυνάμει τὸ ἔστιν ἐν ἑαυτῷ περιέχοντος. ἀλλὰ τοῦτο μὲν καθόλου περὶ πασῶν εἴρηται τῶν αὐτοτελῶν ἀποφάνσεων· ἐπὶ δέ γε τῶν μετὰ τρόπου λεγομένων αὐτοῦ μόνου χρεία τοῦ ἔστιν ἢ κατ' ἐνέργειαν ἐκφερομένου ἢ ἔξωθεν τῇ προτάσει προσυπακουομένου... f. 181. εἰ δέ τις ἀποροίη περὶ τῶν προσδιωρισμένων μετὰ τρόπου καταφάσεων, τίνα τρόπον ἐπὶ τούτων ποιητέον τὰς ἀποφάσεις, πότερον τῷ προσδιορισμῷ ἢ τῷ τρόπῳ τῆς ἀρνήσεως συμπλεκομένης, ἐπειδὴ ὁ Ἀριστοτέλης ὡς ἐπὶ ἀπροσδιορίστων τὴν περὶ αὐτῶν πᾶσαν πεποίηται σκέψιν, ῥᾴδιον ἀπαντᾶν ὅτι οὐδὲ ἐπὶ τούτων ἑτέρῳ τινὶ παρὰ τὸν τρόπον αὐτὴν συντάξομεν· δεῖ γὰρ τὰς προτάσεις ἀλλὰ μὴ τοὺς ὅρους εἶναι στερητικούς· εἰ δὲ μή, κατὰ τὸ κυρίως πάλιν δυνατὸν καὶ ἐνδεχόμενον τὴν ἀντίφασιν συμβήσεται συναληθεύειν, ὅπου καὶ τὰς ἐναντίας κατὰ τὸ ἐπ' ἴσης ἐνδεχόμενον συντρέχειν ἀλλήλαις συμβαίνει· ὃ γὰρ ἐνδέχεται παντί, τοῦτο πάντως μὲν καὶ οὐ παντὶ κατὰ πᾶσαν τοῦ ἐνδεχομένου τὴν ἔννοιαν, ἐπεὶ οὐκέτι ἐνδεχομένως ὑπάρξει παντί, ἐνίοτε δὲ καὶ οὐδενί... f. 182. εἰ δὲ ζητοίη τις τὴν "ἐνδέχεται μηδένα ἄνθρωπον δίκαιον εἶναι" πότερον κατάφασιν ἢ ἀπόφασιν χρὴ προσαγορεύειν, κατάφασιν ὁμολογουμένως ἀποκρινούμεθα, διότι ὁ τρόπος ἄνευ τῆς ἀρνήσεως παρείληπται. καὶ πρὸς τῇ εἰρημένῃ ἐπ' αὐτῶν τῶν πραγμάτων δείξει μάρτυρα τούτου παρεξόμεθα τὸν Ἀριστοτέλην καλοῦντα μὲν ἐν τῇ πραγματείᾳ τῶν Ἀναλυτικῶν (Prior. I 10) τὰς "ἐνδέχεται μηδενὶ ἢ μὴ παντί" καὶ "ἀνάγκη μηδενὶ ἢ μὴ παντί" ἀποφάσεις, δι' ἣν ἑξῆς ἐροῦμεν αἰτίαν, διδάσκοντα δὲ ἐν αὐτοῖς ἐκείνοις ὅτι οὐκ εἰσὶν ὄντως ἀποφάσεις ἀλλὰ καταφάσεις... ἐν μὲν οὖν τῇ προκειμένῃ τοῦ περὶ Ἑρμηνείας πραγματείᾳ τὰς ἀντιθέσεις τῶν προτάσεων καὶ τὰς παντοίας διαφορὰς προθέμενος παραδοῦναι ἡμῖν ὁ φιλόσοφος εἰκότως τὸν κυριώτατον ὑφηγήσατο τρόπον τῶν ἀποφάσεων· ἐν δέ γε τοῖς Ἀναλυτικοῖς τὰς γενέσεις τῶν συλλογισμῶν διδάξαι ἡμᾶς προθέμενος παραλαμβάνει μὲν πάσας τὰς προτάσεις περὶ ὧν τε καὶ ἐξ ὧν οἱ συλλογισμοὶ κατὰ τὸ καταφατικόν, ὅπερ αὐτός φησι σχῆμα, διότι ὡρισμένον τι βουλόμεθα συνάγειν ἐν τοῖς συλλογισμοῖς, τὸ δὲ ὡρισμένον ἐξ ὡρισμένων προτάσεων, ὡρίσθαι δὲ μᾶλλον δοκοῦσιν αἱ καταφάσεις τῶν ἀποφάσεων ἅτε εἴδεσιν ἀναλογοῦσαι, καὶ διὰ τοῦτο ῥᾷον ἐπ' αὐτῶν παρακολουθοῦμεν ταῖς συλλογιστικαῖς ἢ ἀσυλλογίστοις τῶν προτάσεων συμπλοκαῖς.

βὼν ὡς εἰκός τινας μὴ παρακολουθήσαντας τῷ βάθει τῆς τοῦ Πλάτωνος διανοίας οἰηθῆναι ὅτι γίγνεσθαι τῶν ὄντων φησὶ τὸ μηδαμῶς ὄν, εἰ λέγοιτο ῥητὸν ἢ δοξαστόν, οὐ καθ' ὃν εἰρήκαμεν τρόπον ἀλλ' ὡς αὐτόθεν ὑπόστασιν ἔχον, καὶ διὰ τοῦτο λέγων μὴ εἶναι ἀληθὲς τὸ φάσκειν οὕτως ὂν γίγνεσθαι τὸ μὴ ὄν, δοξαστὸν εἶναι λεγόμενον, ὡς καὶ ἄνευ τῆς πρὸς ἡμᾶς σχέσεως ὑπόστασιν ἔχον, ὁποῖον εἶναι ἀξιοῖ τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν, ὅπερ κατακεκερματίσθαι φησὶν ἐν πᾶσι τοῖς οὖσι καὶ οὐ παρ' ἔλαττον εἶναι τοῦ κυρίως ὄντος. ἄχρι τούτων προήγαγεν ὁ Ἀριστοτέλης τὴν θεωρίαν τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων, πολλὰ μὲν ἡμῖν καὶ καλὰ παραδοὺς περὶ αὐτῶν θεωρήματα, δόξας δὲ τοῖς πολλοῖς μηδεμίαν αὐτοῖς ἐπιθεῖναι τάξιν, ὥστε διὰ τοῦτο καὶ ἀποφήνασθαί τινας ὑπομνηματικώτερον εἶναι τὸ βιβλίον· ἡμεῖς μέντοι καθ' ἕκαστον τῶν κεφαλαίων προηγουμένως ἐπεμελήθημεν τοῦ ἐπιδεῖξαι τὴν συνέχειαν τῆς ἀκολουθίας. ἀλλ' ἐπὶ τὰς μετὰ τρόπου προτάσεις χωρῶμεν.

21a 34 **f. 171 b.** ἡμᾶς δέ γε, εἰ μέλλοιμεν διηρθρωμένην ἔχειν τὴν τῶν νῦν παραδεδομένων προτάσεων γνῶσιν καὶ ῥᾷον παρακολουθεῖν τοῖς ὑπὸ τοῦ φιλοσόφου περὶ αὐτῶν λεγομένοις, προλαβεῖν χρὴ τῆς τῶν ῥητῶν ἐξηγήσεως τί τέ ἐστι τρόπος, καὶ εἰ πεπερασμένος αὐτῶν ὁ ἀριθμὸς καὶ ἡμῖν γνώριμος, πόσους τε καὶ ποίους ἐκλέγεται τρόπους ὁ Ἀριστοτέλης πρὸς τὴν διδασκαλίαν τῶνδε τῶν προτάσεων, καὶ διὰ τίνα αἰτίαν τούτους καὶ οὐκ ἄλλους, καὶ πῇ τῶν καλουμένων ὑλῶν διαφέρουσιν οἱ παραλαμβανόμενοι τρόποι τοῖς ὀνόμασιν αὐτῶν ὀνομαζόμενοι, καὶ εἰ μηδεὶς παραλέλειπται τρόπος τῶν ὀφειλόντων ἐν τῇ προκειμένῃ τῶν προτάσεων θεωρίᾳ παραληφθῆναι, τίνα τε τρόπον ἐπὶ τῶν τοιούτων προτάσεων ἐκ τῶν καταφάσεων ποιοῦμεν τὰς ἀποφάσεις, ὅπερ ἔφαμεν πρῶτον ἐπισκέπτεσθαι περὶ αὐτῶν τὸν Ἀριστοτέλην, καὶ ἐπὶ πᾶσι πῶς ἂν ἐκ διαιρέσεως ἕλωμεν καὶ τούτων τῶν προτάσεων πασῶν τὸν ἀριθμόν. τρόπος μὲν οὖν ἐστὶ φωνὴ σημαίνουσα ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, οἷον τὸ ταχέως, ὅταν λέγωμεν ἡ σελήνη ταχέως ἀποκαθίσταται, ἢ τὸ καλῶς ἐν τῷ ὁ Σωκράτης καλῶς διαλέγεται, ἢ τὸ πάνυ ἐν τῷ ὁ Πλάτων Δίωνα πάνυ φιλεῖ, ἢ τὸ ἀεί ἐν τῷ ὁ ἥλιος ἀεὶ κινεῖται. ἀριθμὸς δὲ αὐτῶν φύσει μὲν οὐκ ἔστιν ἄπειρος, οὐ μὴν δὲ περιληπτός γε ἡμῖν, ὥσπερ οὐδὲ τῶν καθόλου ὑποκειμένων ἢ κατηγορουμένων, ἀναριθμήτων τε αὐτῶν ὄντων. τέτταρας δὲ μόνους ὁ Ἀριστοτέλης παραλαμβάνει πρὸς τὴν θεωρίαν τῶν μετὰ τρόπου προτάσεων, τὸν ἀναγκαῖον, τὸν δυνατόν, τὸν ἐνδεχόμενον, καὶ ἐπὶ τούτοις τὸν ἀδύνατον, ὡς ὄντας καθολικωτάτους τε καὶ αὐτῇ τῇ φύσει τῶν πραγμάτων οἰκειοτάτους. τίνα μὲν οὖν διαφορὰν ἔχειν βούλεται τὸ δυνατὸν πρὸς τὸ ἐνδεχόμενον, καὶ ὅτι τὸ κυρίως δυνατὸν ὀνόματι μόνον διαφέρει τοῦ ἐνδεχομένου, τὸ δέ γε ἁπλῶς δυνατὸν ἐπὶ πλέον λέγεται τοῦ κυρίως ἐνδεχομένου, διὰ τῶν ἑξῆς αὐτοῦ διδάσκοντος ἡμᾶς τοῦ Ἀριστοτέλους εἰσόμεθα. νῦν δέ γε ὡς τῶν αὐτῶν ὄντων ἐπισκεψώμεθα πῇ διοίσουσιν οἱ τρόποι τῶν ὑλῶν, ἐπεὶ ταύτας διῃροῦμεν εἰς τὴν ἀναγκαίαν καὶ ἀδύνατον καὶ ἐνδεχομένην. ῥητέον οὖν ὅτι τὰς μὲν ὕλας ἐν αὐτῇ φαμὲν θεωρεῖσθαι τῇ φύσει τῶν ἐν τῇ προτάσει παραληφθέντων πραγμάτων... **f. 173.** τούτων δὲ φανερῶν ὄντων ἑξῆς ἐπισκεψώμεθα πότερόν τίς ἐστι καὶ ἄλλος παρὰ τούτους τρόπος, συγγενὴς μὲν τοῖς εἰρημένοις καὶ ἐν ἄλλοις ὑπὸ τοῦ Ἀριστοτέλους ἐν τῇ τῶν προτάσεων θεωρίᾳ παρειλημμένος, ἐν δὲ τῇ νυνὶ προκειμένῃ πραγματείᾳ παραλελειμμένος, ἢ οὐδαμῶς. ἀξιοῦσι μὲν γὰρ οἱ πλεῖστοι τῶν ἐξηγητῶν τοῦ Ἀριστοτέλους τοῦτον εἶναι τὸν ὑπάρχοντα καὶ ἐν τοῖς Ἀναλυτικοῖς (1 8 sqq.) πρὸ τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου κατηριθμημένον, δοκοῦσι δέ μοι παντάπασιν ἁμαρτάνειν τῆς τε ἀληθείας καὶ τῆς τοῦ Ἀριστοτέλους διανοίας· οὐ γάρ ἐστιν ὅλως τρόπος τὸ ὑπάρχειν, ἀλλὰ τῶν προτάσεων διῃρημένων εἴς τε τὰς ἄνευ τρόπου καὶ τὰς μετὰ τρόπου τὸ ὑπάρχειν εἰδοποιεῖν φημὶ τὰς ἄνευ τρόπου προτάσεις, ἀποβλέπων εἴς τε τὴν παραδεδομένην πρότερον διδασκαλίαν τῆς ἀντιθέσεως τῶν ἄνευ τρόπου ἀποφάσεων πρὸς τὰς καταφάσεις, ἐν οἷς ἔλεγεν "ἐπεὶ δὲ ἔστι καὶ τὸ ὑπάρχον ἀποφαίνεσθαι ὡς μὴ ὑπάρχον" (p. 17 *a* 26) καὶ τὰ ἑξῆς τούτοις, κατὰ τὸ ὑπάρχειν καὶ μὴ ὑπάρχειν τὰς ἀντιθέσεις ἐκείνων τῶν προτάσεων γίγνεσθαι ἀποφαινόμενος, ταὐτὸν δὲ εἰπεῖν κατὰ τὸ εἶναι καὶ μὴ εἶναι, καθ' ὃ λέγεται σαφῶς καὶ ἐν τούτοις ἡ ἀντιφατικὴ ἀντίθεσις γίγνεσθαι τῶν ἄνευ τρόπου πασῶν προτάσεων, εἴτε ἐνεργείᾳ τὸ ἔστιν ἔχοιεν εἴτε καὶ δυνάμει, τῶν μετὰ τρόπου μὴ ἀνεχομένων τῆς τοιαύτης ἀντιθέσεως ἀλλὰ κατὰ τοὺς τρόπους αὐτοὺς ἀλλήλαις ἀντιτιθεμένων. διὸ καὶ ὁ Ἀριστοτέλης ἐν τούτῳ τῷ κεφαλαίῳ παραδοῦναι προτιθέμενος τὰς μετὰ τρόπου προτάσεις τοῦτο πρῶτον ἠξίωσε ζητεῖν περὶ αὐτῶν, τίς ὁ τρόπος τῆς ἀντιφατικῆς αὐτῶν ἀντιθέσεως, ὡς οὔτε εἰπών τι πρότερον περὶ τρόπων, οὔτε τοῦ ὑπάρχειν καὶ μὴ ὑπάρχειν κοινόν τι πρὸς τοὺς τρόπους ἐχόντων. διά τε οὖν ταῦτα τὸ ὑπάρχειν οὐ δοκεῖ μοι τρόπος τις εἶναι, καὶ ὅτι αὐτὸ τοῦτο τρόπον εἶναί φαμεν τὸν σημαίνοντα ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ· πῶς οὖν ἔχει λόγον τὸ ὑπάρχειν αὐτὸ τρόπον ὀνομάζειν τὸν δηλωτικὸν τῆς τοῦ ὑπάρχειν ποιότητος; καὶ ὅτι τήν τε προκειμένην περὶ τῶν προτάσεων πραγματείαν καὶ τὴν ἐν τοῖς Ἀναλυτικοῖς περὶ τῶν συλλογισμῶν ἀτελῆ εἶναι ὁμολογήσομεν μήτε ἐν τούτοις ἅπαντας τοὺς καθόλου καὶ πραγματειώδεις τρόπους παρειλῆφθαι λέγοντες, μήτε ἐν ἐκείνοις ἐκ πασῶν τῶν προτάσεων παραδεδόσθαι τῶν συλλογισμῶν τὰς γενέσεις, ἀλλ' ἐκ μόνων τῶν μετὰ τρόπου, καίτοι τοῦ Ἀριστοτέλους ἐκ πασῶν ἁπλῶς τῶν προτάσεων ποιουμένου τὴν διαίρεσιν ἐν ἐκείνοις, δι' ὧν φησὶν "ἐπεὶ δὲ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν."

f. 177. βούλεται μέν, ὥσπερ ἐλέγομεν, ἐπισκέψασθαι διὰ τού- 21a 38
των τίνα τρόπον ἐκ τῶν μετὰ τρόπου καταφάσεων γίγνεσθαι χρὴ τὰς ἀποφάσεις· ὅπερ δὲ ἄν τις περὶ αὐτῶν πιθανὸν εἶναι ὑπέλαβεν, οὐκ ἦν ἀληθές, λέγω δὲ τὸ παραπλησίως ταῖς ἄνευ τρόπου προτάσεσι καὶ ἐπὶ τούτων γίγνεσθαι τὰς ἀποφάσεις. τοῦτο προλαβὼν διελέγχει πρὶν ὑφηγήσασθαι ὅπως ἔχει τὸ ἀληθές. ἐγίγνοντο δὲ τῶν ἄνευ τρόπου καταφάσεων τῶν δίχα προσδιορισμοῦ λεγομένων αἱ ἀποφάσεις τοῦ ἀρνητικοῦ μορίου προταττομένου τοῦ ληφθέντος ἐν ταῖς προτάσεσιν ἢ κατ' ἐνέργειαν ἢ πάντως γε κατὰ δύναμιν· τοῦτο οὖν δείκνυσι μὴ δυνάμενον προχωρεῖν ἐπὶ τῶν μετὰ τρόπου προτάσεων, κατασκευάζειν πρότερον διὰ πλειόνων πειρώμενος ὅτι

γορούμενον, ἀνάγκη πρότερον εἰλῆφθαι αὐτὸ τοῦ ὑποκειμένου καθ' αὑτὸ κατηγορηθέν· αὐτὸ γὰρ τοῦτό ἐστι τὸ νῦν ζητούμενον, πότε τὰ ἴδια κατηγορηθέντα καὶ συμπλακέντα δύναται κατηγορεῖσθαι. καὶ μήποτε χρὴ τῆς ῥήσεως οὐ διαζευκτικῶς ἀκούειν ἀλλὰ τὸ ἢ λέγειν ἀντὶ τοῦ καί παρειλῆφθαι, ὡς καὶ παρ' Ὁμήρῳ τὸ "ἠὲ νέος ἠὲ παλαιός" ἀντὶ τοῦ καὶ νέος καὶ παλαιός, καὶ ὡς εἰώθασιν ἔνια τῶν συγγραμμάτων ἐπιγράφειν οἱ ἀρχαῖοι, Νικοκλῆς ἢ Λυσίμαχος καὶ Φαίδων ἢ περὶ ψυχῆς, οὐκ ἀντιδιαστέλλοντες ἀλλ' ἑκατέρῳ τῶν ὀνομάτων καλεῖν ἡμῖν τὸν λόγον ἐπιτρέποντες, ὡς εἶναι τὸ λεγόμενον καὶ κατὰ τοῦ αὐτοῦ καὶ θάτερον κατὰ θατέρου. τί οὖν τὸ αἴτιον τοῦ μὴ πεφυκέναι συνδυάζεσθαι τὰ οὕτω κατηγορούμενα; ὅτι παντάπασιν ἀπηρτημένην ἀλλήλων ἔχουσι τὴν φύσιν, ὑπὸ διαφόρους ἐνίοτε τελοῦντα κατηγορίας, καὶ κίρνασθαι αὐτὰ πρὸς ἄλληλα ἐπὶ τῷ μίαν ἐργάσασθαι φύσιν ἀδύνατον.

21 a 14 f. 167 *b*. ταῦτα περὶ τῶν κατὰ συμβεβηκὸς κατηγορουμένων καὶ συνδυάζεσθαι μὴ πεφυκότων διοριζόμενος, καὶ εἰπὼν ὅτι διὰ τοῦτο οὐχ ἁπλῶς ἀληθὲς τὸ σκυτεὺς ἀγαθός, τουτέστιν οὐκ ἀεὶ ἀληθές, ἐπειδή ποτε συνδραμεῖν αὐτὰ οὐ θαυμαστόν, ἐπάγει "ἀλλὰ ζῷον δίπουν· οὐ γὰρ κατὰ συμβεβηκός," δυνάμει λέγων ὅτι τὰ δὲ μὴ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτὰ κατηγορούμενα συντίθεσθαι πρὸς ἄλληλα καὶ μίαν ποιεῖν κατηγορίαν δυνατόν, ἀλλ' οὐδὲ ταῦτα ὡς ἔτυχε λαμβανόμενα, οὐδὲ κατὰ τὴν τυχοῦσαν συμπλεκόμενα πρὸς ἄλληλα τάξιν· οὐ γὰρ δὴ τὰ ἤδη ἐν τῇ ἑτέρᾳ τῶν κατηγοριῶν εἰλημμένα, ἢ κατ' ἐνέργειαν ἢ κατὰ δύναμιν, πάλιν ληψόμεθα, ἵνα μὴ ἀδολεσχῶμεν ἢ παρέλκοντά τινα λέγειν ἀναγκαζώμεθα, ὅπερ ἐστὶ πάλιν ἀδολεσχεῖν.

21 a 18 f. 168 *b*. ἐν τούτοις ζητεῖται τὸ ἀντικείμενον θεώρημα τῷ προσεχῶς παραδεδομένῳ· πρότερον μὲν γὰρ ἐζητεῖτο πότε τὰ ἰδίᾳ κατηγορούμενα καὶ ἅμα κατηγορηθῆναι δύναται, ἐν δέ γε τούτοις ζητεῖται πότε τὰ ἅμα κατηγορηθέντα καὶ κεχωρισμένως κατηγορηθῆναι δύναται. καλεῖ δέ τινα κατηγορίαν τὴν σύνθετον ἐκ τῶν ἅμα κατηγορηθέντων, ἁπλῶς δὲ τὴν ἁπλῆν καὶ ἄνευ προσθήκης τινὸς λεγομένην, διότι πανταχοῦ αἱ προσθέσεις ἀποστενοῦσι καὶ μερικώτερα ποιοῦσι τὰ ὑπὸ τῶν ὑπομενόντων τὰς προσθήκας δηλούμενα, οἷον ὅταν εἰπόντες ζῷον προσθῶμεν τούτῳ τὸ λογικόν, εἶτα τὸ θνητόν, εἶτα τὸ γραμματικόν, εἶτα ἄλλο τι καὶ ἄλλο· φανερὸν γὰρ ὅτι καθ' ἑκάστην προσθήκην μερικώτερον εὑρήσομεν γιγνόμενον τὸ σημαινόμενον. διόπερ φησὶν "ἀληθὲς δέ ἐστιν εἰπεῖν κατὰ τοῦ τινὸς καὶ ἁπλῶς," τουτέστι, καθ' οὗ ποιούμεθα τὴν σύνθετον κατηγορίαν, κατὰ τούτου καὶ ἄνευ τῆς προσθήκης ἀληθὲς τὸ κατηγορούμενον εἰπεῖν (*).

21 a 24 f. 169 *b*. ὕστερον δὲ τὸν μὲν εἰρημένον κανόνα περὶ τοῦ πότε οὐ δυνατὸν διακριθῆναι τὰ ἅμα κατηγορηθέντα ὀρθῶς εἰρῆσθαι ἀποφαινόμενος, δι' ὧν φησὶν "ἢ ὅταν μὲν ἐνυπάρχῃ, ἀεὶ οὐκ ἀληθές," ὑποστίζειν μὲν ἡμῶν ὀφειλόντων ἐν τῷ ἐνυπάρχῃ (ἀντίθεσις δηλονότι ἡ ἐν τῷ προκειμένῳ πρὸς τὸ ἐξ ἀρχῆς κατηγορηθέν· τοῦτο γὰρ ἤδη εἰρημένον καὶ ἐνταῦθα ὑπακούσωμεν), ὡς δὲ ἀκόλουθον τούτῳ ἐπιφέρειν τὸ ἀεί, τουτέστιν ἐξ ἀνάγκης οὐκ ἀληθὲς ἀλλὰ ψεῦδος τὸ διακριθῆναι τὴν σύνθετον κατηγορίαν, τὸν δὲ ἕτερον τὸν λέγοντα μὴ οὔσης ἀντιθέσεως ἐν τοῖς ἅμα κατηγορηθεῖσι τὴν διάκρισιν αὐτῶν χώραν ἔχειν οὐκ ἀεὶ ἀληθεύειν διαβεβαιούμενος ἀλλ' ἑτέρου τινὸς δεῖσθαι διορισμοῦ, καὶ τὸν ἔλεγχον εὐθὺς ἐπιφέρων, τὸν γὰρ Ὅμηρον (τὸ γὰρ ὅλον τοῦτο) ποιητὴν εἶναι λέγομεν, διότι ἔστιν αὐτοῦ ἡ ποίησις, ἁπλῶς δὲ εἶναι οὐ λέγομεν, ἐπεὶ τὸ ἔστιν ἀμέσως τοῦ Ὁμήρου κατηγορούμενον οὐκ ἐξακούεται πρὸς τὸν ἐν τῇ ποιήσει Ὅμηρον ἀλλὰ πρὸς αὐτὸν τὸν ἄνδρα, οὗτος δὲ οὐκ ἔστιν… φανερὸν δὲ ὡς εἴ τις τὸ ἔστι τὸ ἐπὶ τοῦ "Ὅμηρος ποιητής ἐστιν" ἀντὶ τοῦ ἦν εἰλῆφθαι λέγει, καθάπερ τὸ ἦν ἀντὶ τοῦ ἔστι πολλάκις οἱ παλαιοὶ παραλαμβάνουσιν, ὡς ἐπὶ τοῦ τί ἦν ἀντὶ τοῦ τί ἐστι καὶ ἐπὶ τοῦ ὁρισμοῦ τὸ τί ἦν εἶναι ἀντὶ τοῦ τί ἐστι τῷ πράγματι τὸ εἶναι, καὶ τὸ ἔστιν αὐτὸ καθ' αὑτὸ κατηγορεῖσθαι τοῦ Ὁμήρου συγχωρήσει παρὰ τὰ δοκοῦντα τῷ Ἀριστοτέλει (*).

f. 170 *b*. ἀποτείνεσθαι μὲν δοκεῖ (ὁ Ἀριστοτέλης) πρὸς τὰ ἐν τῷ 21 a 32
Σοφιστῇ καὶ πρὸς τῷ πέρατι τοῦ πέμπτου τῆς Πολιτείας περὶ τοῦ μὴ εἶναι δοξαστὸν τὸ μὴ ὂν ὑπὸ Πλάτωνος λεγόμενα. δεῖ μέντοι εἰδέναι ὅτι πολλὰς ἐκεῖνος τοῦ μὴ ὄντος τάξεις ἡμῖν παραδιδούς, τὸ ὑπὲρ τὰ ὄντα, ταὐτὸν δὲ εἰπεῖν ὑπὲρ εἶδος ἅπαν (οὐ γὰρ ἂν ἄλλως προηγεῖτο τά τε εἴδη πάντα χωριστά τε τῆς ὕλης καὶ ἀχώριστα, καὶ ἐπ' ἐσχάτοις αὐτὴν τὴν παντελῶς ἀνείδεον ὕλην τοῦ κατὰ τὴν ἑτερότητα θεωρουμένου καὶ διὰ πάντων τῶν ὄντων πεφυκότος, οὐ παρ' ἔλαττόν τε τοῦ ὄντος εἶναι διὰ τοῦτο λεγομένου τοῦ τὸ γενητὸν σημαίνοντος κατὰ τὴν ὕφεσιν τὴν κατὰ τὸ ὄντως ὂν καὶ πάσης μεταβολῆς ὑπεριδρυμένον, τοῦ ἐπὶ τῆς ὕλης κατηγορουμένου διὰ τὴν ἀπόπτωσιν πάντων τῶν εἰδῶν κατὰ τὴν θρυλλουμένην ἀνομοίαν αὐτῆς πρὸς τὸ πρῶτον ὁμοιότητα), καὶ ἕν τι τῶν σημαινομένων τοῦ μὴ ὄντος λέγων εἶναι τὸ ἐν ἐσχάτοις τῶν ἄλλων κείμενον τὸ ἐπὶ τοῦ μηδαμῇ μηδαμῶς ὄντος λεγόμενον, τοῦτο καὶ ἄρρητον καὶ ἀδόξαστον εἶναι διισχυρίζεται, διότι τὸ ῥητὸν ἢ δοξαστὸν ἀριθμητόν ἐστιν, ὅπερ καὶ πρόσθεν ἐλέγομεν, καὶ τῇ ῥήσει ἢ τῇ δόξῃ λέγεται εἶναι ῥητὸν ἢ δοξαστόν, καὶ ἔστι τῶν πρός τι κατὰ τὴν πρὸς τὴν ῥῆσιν ἢ τὴν δόξαν σχέσιν, λέγομεν εἶναι τοιοῦτον. ἐπεὶ οὖν τῶν πρός τι τοῦ ἑτέρου ὄντος καὶ τὸ ἕτερον εἶναι ἀναγκαῖον, ἔστι δὲ ἡ ῥῆσις καὶ ἡ δόξα καθ' ἣν λέγεται εἶναι ῥητὸν ἢ δοξαστόν, ἔσται ἄρα ταύτῃ καὶ τὸ μηδαμῶς ὂν ἐν αὐτῇ τῇ ῥήσει τῇ περὶ αὐτοῦ καὶ τῇ δόξῃ. ὅ τε οὖν Πλάτων ἀνέλεγκτος ταῦτα οὕτως ἀποφαινόμενος καὶ ὁ Ἀριστοτέλης ὀρθῶς ὑπολα-

---

(*) *Leo Magent.* εἰ δὲ προσθήσει τῷ ζῴῳ τὸ λογικόν, ἐμερίκευσεν αὐτό· τὸ γὰρ ζῷον λογικὸν τὰ λογικὰ μόνα ζῷα δηλοῖ. εἰ δὲ ἔτι προσθήσει τὸ θνητόν, ἔτι ἐμερικεύθη τὸ ζῷον· λέγουσι γὰρ καὶ τὰς Νηρεΐδας θνητὰ ζῷα λογικὰ εἶναι· ἱστόρηται γὰρ ἐν τῇ Σάμῳ Νηρεΐδα εὑρεθῆναι θανοῦσαν.

(*) p. 21 *a* 31. *Anon. Coislin.* "ἐπὶ τούτων τὸ τί καὶ ἁπλῶς ἀληθές ἐστιν εἰπεῖν." τὸ τί οἱ ἐξηγηταὶ ἀντὶ τοῦ ὁμοῦ λαμβάνουσι, τὸ δὲ ἁπλῶς ἀντὶ τοῦ χωρίς. ἡμεῖς δὲ τὸ ἀνάπαλιν, καθὸ τί τὸ μερικὸν σημαίνει, τὰ δὲ χωρὶς μεριζόμενα μερικὰ γίνονται· τὸ δὲ ἁπλῶς τὸ ὁμοῦ, καθότι τὸ ὁμοῦ πολλὰ ἔχει ἐν ἑαυτῷ, τὸ δὲ πολλὰ ἔχον καθολικώτερον τοῦ ὀλίγα ἔχοντος, ὥστε τὸ ἁπλῶς τοῦ τί καθολικώτερον.

της καὶ ὁ θεῖος Ἰάμβλιχος, ὁ μὲν τῇ προκειμένῃ ἑπόμενος ῥήσει καὶ ἀξιῶν τοῦ ἑτέρου μόνον μορίου τῆς ἀντιφάσεως εἶναι τὴν διαλεκτικὴν ἐρώτησιν, ὁ δὲ τοῖς λεγομένοις περὶ αὐτῆς ἐν τῷ προοιμίῳ τῶν Ἀναλυτικῶν (p. 24 *a* 24), καὶ ἀξιῶν αὐτὴν τῆς ὅλης ἀντιφάσεως ἐρώτησιν εἶναι (ἔστι γάρ, φησὶν ἐν ἐκείνοις, ἡ διαλεκτικὴ πρότασις πυνθανομένῳ μὲν ἐρώτησις ἀντιφάσεως, συλλογιζομένῳ δὲ λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου), φανερὸν ἐκ τῶν πρότερον εἰρημένων ὅπως διαιτήσομεν τῇ ἀμφισβητήσει· κατ' ἐνέργειαν μὲν γὰρ τὸ ἕτερον μόνον μόριον τῆς ἀντιφάσεως ἐρωτᾶσθαι χρή, εἰ μέλλοι πρὸς ἔπος ἀπαντᾶν ὁ τὸ ναί μόνον ἢ τὸ οὔ ἀποκρινόμενος, δυνάμει δέ γε καὶ τὸ ἕτερον προτείνεται.

20*b* 27. f. 162 *b*. ἀλλὰ τί ἐστιν ὅπερ ἐφεξῆς ὡς ἐν περίσματος τάξει προστίθησιν ὁ Ἀριστοτέλης, ἅμα δὲ δῆλον λέγων ὅτι οὐδὲ τὸ τί ἐστιν ἐρώτησίς ἐστι διαλεκτική, καὶ τίνι τούτῳ ἕπεσθαι ἀξιοῖ; φανερὸν δὴ ὅτι τοῖς εἰρημένοις περὶ τῆς ἐρωτήσεως τῆς διαλεκτικῆς ὅτι ἔστιν ἀποκρίσεως αἴτησις, ἢ τῆς προτάσεως ἢ θατέρου μορίου τῆς ἀντιφάσεως. εἰ γὰρ τοιαύτη μὲν ἡ διαλεκτικὴ ἐρώτησις ὥστε διδόναι καὶ ἐπιτρέπειν τῷ προσδιαλεγομένῳ ὁπότερον ἂν βούληται τῆς ἀντιφάσεως μόριον ἀποκρίνασθαι, ἡ δὲ τοῦ τί ἐστιν ἐρώτησις οὐ τοιαύτη, ἀλλὰ διδασκαλίαν καὶ ὑφήγησιν τῆς τοῦ πράγματος φύσεως ἀπαιτοῦσα, φανερὸν ὅτι ἡ τοῦ τί ἐστιν ἐρώτησις οὐκ ἂν εἴη διαλεκτική.

20*b* 31. f. 163 *b*. εἰπὼν ἐν τοῖς προλαβοῦσιν ὅτι τῶν διαφόρων κατὰ τοῦ αὐτοῦ κατηγορημάτων τὰ μὲν δύναται συμπλέκεσθαι καὶ μίαν τινὰ ἐξ ἁπάντων κατηγορίαν ποιεῖν τὰ δὲ οὐ δύναται, καὶ μηδένα ἡμῖν κανόνα ἐν ἐκείνοις παραδοὺς τῆς τούτων διακρίσεως, ἀλλ' εὐθὺς μεταβὰς ἐπὶ τὴν διδασκαλίαν τοῦ θεωρήματος πρὸς ὅπερ ἦν ἐκεῖνο χρήσιμον, λέγω δὴ τὸ μὴ δεῖν μίαν ποιεῖσθαι ἀπόκρισιν πρὸς τὴν μὴ οὖσαν μίαν ὄντως ἐρώτησιν, βούλεται λοιπὸν διὰ τούτων τὸ ἐν ἐκείνοις παραλελειμμένον προσθεῖναι. καὶ λαβὼν ὡς ὁμολογούμενον ὅτι τῶν κατὰ τοῦ αὐτοῦ κατηγορηθέντων πλειόνων ὀνομάτων τε καὶ πραγμάτων τὰ μὲν δύναται καὶ συντιθέμενα ἀλλήλοις καὶ ὥσπερ συμφυόμενα ἕν τι ποιεῖν ἅπαν τὸ ἐξ αὐτῶν κατηγόρημα, ὥσπερ ἐλέγομεν ἐπὶ τοῦ ζῷον δίπουν ἥμερον, τὰ δὲ οὐ δύναται, ὡς ἐπὶ τοῦ λευκοῦ καὶ τοῦ βαδίζειν, ἀξιοῖ ζητεῖν τίς ἡ διαφορά, τοῦτο δέ ἐστιν, τί τὸ αἴτιον τῆς τοιαύτης διαφορᾶς, καὶ διὰ τίνα αἰτίαν τάδε μέν τινα συμφύεται τὰ δὲ οὔ... ὅτι δὲ ἔστιν ἃ συντίθεσθαι ἀδυνάτως ἔχει, δείκνυσιν ἐπὶ ὑποθέσεως σκυτέα τινὰ λαμβανούσης τὴν μὲν τέχνην οὐκ ἀκριβώσαντα, τὸ δὲ ἦθος ἐπιεικῶς διακείμενον, ὁποῖος δοκεῖ γεγονέναι ὁ Σίμων ὁ τῷ Σωκράτει γνώριμος (*).

20*b* 36. f. 164 *b*. διὰ τοῦτο παριστὰς ἡμῖν τὸ ἀναγκαῖον τοῦ κινουμένου θεωρήματος, δείκνυσιν ὅσα ἕπεται ἄτοπα τοῖς οὕτως ὑπολαμβάνουσι, καὶ φησὶν "εἰ γάρ, διότι ἑκάτερον ἀληθές," ᾧ προσυπακούειν χρὴ τῶν ἰδίᾳ κατηγορουμένων, — εἰ οὖν διὰ τοῦτο "εἶναι δεῖ καὶ τὸ συνάμφω," καὶ τούτῳ πάλιν ὑπακουομένου τοῦ ἀληθές, εἶναι δεῖ καὶ τὸ συναμφότερον κατηγόρημα ἀληθές, πολλὰ ἄτοπα συμβήσεται. καὶ γὰρ ἀδολεσχεῖν δεήσει τὸν οὕτως ὑπολαμβάνοντα, καὶ ἀδιανόητα λέγειν πρὸς τῷ ἀδολεσχεῖν καὶ παρέλκοντά τινα καὶ μάταια· κατὰ γὰρ Σωκράτους τό τε ἄνθρωπος καὶ τὸ λευκός ἀληθῶς κατηγορήσαντες καὶ τὸ συναμφότερον ἀληθῶς κατηγορήσομεν, ὅτι ἔστιν ἄνθρωπος λευκός. ἀλλ' εἰ πάντα τὰ κεχωρισμένως κατηγορούμενα καὶ συντεθέντα κατηγορεῖσθαι δυνατόν, ἐὰν πρὸς ταύτῃ τῇ συνθέτῳ κατηγορίᾳ λάβωμεν πάλιν τὸ λευκὸν αὐτὸ καθ' αὑτὸ τοῦ Σωκράτους κατηγορούμενον, δεήσει πάλιν ἐξ ἀμφοτέρων τῶν κατηγοριῶν, τῆς τε συνθέτου καὶ τῆς ἁπλῆς, μίαν γίγνεσθαι τὴν ὅλην κατηγορίαν, ὥστε λέγεσθαι ὅτι ἔστιν ὁ Σωκράτης ἄνθρωπος λευκός (*), καὶ τοῦτο εἰς ἄπειρον, ὅπερ ἐστὶν ἐναργῶς ἀδολεσχούντων. πάλιν εἰ τὸ μουσικός καὶ τὸ λευκός καὶ τὸ βαδίζων οὐ μόνον οὐ κεχωρισμένως ἀλλὰ καὶ ἅμα κατηγοροῦνται τοῦ Σωκράτους, ἐὰν πρὸς τῇ συνθέτῳ ἐκ τούτων κατηγορίᾳ τὸ λευκὸν πάλιν αὐτὸ καθ' αὑτὸ κατηγορήσωμεν, ἐροῦμεν ὅτι μουσικὸς λευκὸς βαδίζων λευκός. καὶ πάλιν τοῦ μουσικοῦ, εἰ τύχοι, καθ' αὑτὸ κατηγορηθέντος, μουσικὸς λευκὸς βαδίζων λευκὸς μουσικός· καὶ ταῦτα, ὅπερ αὐτός φησι, πολλάκις πεπλεγμένα, ὡς πρὸς τῷ ἀδολεσχεῖν καὶ ἀδιανόητα γίγνεσθαι τὴν κατηγορίαν. τούτοις δὲ ἄλλο τι τρίτον ἄτοπον προστιθείς, τοῦ ὁρωμένου φησὶ κατηγορεῖσθαι τυχὸν τὸ ὅτι Σωκράτης ἐστὶ καὶ ὅτι ἄνθρωπος, ὥστε δεήσει λέγειν καὶ ὅτι ὁ ὁρώμενος Σωκράτης ἄνθρωπός ἐστι. καὶ πάλιν τοῦ Σωκράτους τὸν μὲν ἄνθρωπον καὶ τὸ δίπουν ἰδίᾳ ἑκάτερον ἀμέμπτως κατηγορήσεις, οὐκέτι μέντοι τὸ ἐξ ἀμφοῖν, ὅπερ ἐστὶν ἄνθρωπος δίπους· ἄλογα γὰρ ταῦτα καὶ παντάπασι παρέλκοντα, εἴπερ ἐναργὲς ὅτι τόν τε Σωκράτην ἄνθρωπον εἶναι ἀνάγκη καὶ τὸν ἄνθρωπον δίποδα.

f. 165. διὰ τούτων οὖν ἐπιδείξας ἀναγκαῖον ὄντα τὸν περὶ τούτων διορισμόν, ἑξῆς αὐτὸν παραδίδωσι λέγων ὅτι τῶν κατηγορουμένων κατά τινων ὑποκειμένων, ἃ ἐκάλεσεν "ἐφ' οἷς κατηγορεῖσθαι συμβαίνει," τουτέστι, καὶ τῶν ὑποκειμένων καθ' ὧν τὰ κατηγορούμενα κατηγορεῖσθαι συμβαίνει, — ἐκ τούτων οὖν τῶν κατηγορουμένων τὰ μὲν καθ' αὑτὸ κατηγορεῖται τῶν οἰκείων ὑποκειμένων, τὰ δὲ κατὰ συμβεβηκός, περὶ ὧν πρῶτον ποιεῖται τὸν λόγον, εἴτε ἄμφω τοῦ ὑποκειμένου κατὰ συμβεβηκὸς κατηγορούμενα λαμβάνοιτο, εἴτε τὸ μὲν ἕτερον τοῦ ὑποκειμένου καὶ ἐν ᾧ τὸ εἶναι πεφύκασιν ἔχειν, τὸ δὲ ἕτερον τοῦ ἑτέρου, κατ' οὐδένα τρόπον μίαν κατηγορίαν ποιήσουσιν. 21*a* 7.

f. 165 *b*. καὶ ὅλως ἀνάγκη τὰς διαζευκτικῶς εἰρημένας ὑπὸ τοῦ Ἀριστοτέλους ὑποθέσεις ἕπεσθαι ἀλλήλαις. εἴτε γὰρ τοῦ αὐτοῦ ὑποκειμένου δύο συμβεβηκότα κατηγοροῖντο, πάντως καὶ ἀλλήλων κατὰ συμβεβηκὸς κατηγορηθήσονται, κἂν τὸ μὲν οὐσιῶδες ᾖ τὸ δὲ συμβεβηκός, τὸ μὲν συμβεβηκὸς τοῦ οὐσιώδους κατὰ φύσιν κατηγορηθήσεται, τὸ δὲ οὐσιῶδες τοῦ συμβεβηκότος παρὰ φύσιν, οἷον ὁ ἄνθρωπος τοῦ λευκοῦ τῷ ὄντι κατὰ συμβεβηκός· εἴτε ἐξ ἀρχῆς λαμβάνοιμεν τὸ ἕτερον τῶν συμπληρούντων τὴν κατηγορίαν περὶ ἧς ζητοῦμεν, εἴτε μία ἐστὶν εἴτε μή, τοῦ λοιποῦ κατὰ συμβεβηκὸς κατη- 21*a* 9.

(*) *Anon. Coislin.* οἷον ὑπόκειταί τις τῷ Ἀριστοτέλει Σίμων, σκυτεὺς μὲν τὴν τέχνην ἀλλὰ φαῦλος, ἀγαθὸς δὲ τοῖς τρόποις.

(*) *Boëth.* II p. 409: erit igitur praedicatio, homo albus albus albus est, atque hoc in infinitum.

τοῦ αὐτοῦ, ὥσπερ ὑπολάβοι ἄν τις, ἑνὸς ὅρου διαλεγόμενος, καὶ διαστέλλων πῶς μὲν ἑνὸς πῶς δὲ οὐχ ἑνὸς αὐτοῦ ληφθέντος πολλὰς ἀντὶ μιᾶς εἶναι συμβαίνει τὰς προτάσεις, ἀλλὰ τὸ μὲν λέγων περὶ τοῦ ὄντως ἑνὸς ληφθέντος ὅρου φωνῇ τε καὶ σημασίᾳ, τὸ "ἐὰν ὄνομα ἓν ᾖ κείμενον," τὸ δὲ περὶ τοῦ ἑτέρου τοῦ κατὰ τὴν φωνὴν ἐνεργείᾳ τὸ πλῆθος ἔχοντος, τὸ "μὴ ᾖ δὲ ἕν τι ἐξ ἐκείνων." ἐὰν γὰρ ἑνός τινος τεθέντος ὑποκειμένου ἢ κατηγορουμένου ὀνόματος, καὶ ἕν τι πρᾶγμα σημαίνοντος, μὴ ᾖ ἐκ τῶν πολλῶν τῶν κατηγορηθέντων αὐτοῦ ἢ ὑποτεθέντων αὐτῷ ἕν τι συγκείμενον, οὐκέτι μία ἡ πρότασις, ἀλλ' ὅσον τὸ πλῆθος τῶν κατηγορηθέντων ἢ ὑποτεθέντων. ὅτι δὲ τοῦτό ἐστιν ὃ βούλεται λέγειν, σαφέστατα δηλοῖ δι' ὧν παρατίθεται παραδειγμάτων· τὸν γὰρ ἄνθρωπον ὡς ἕν τι ὑποκείμενον λαβὼν κατηγορεῖ κατ' αὐτοῦ πρότερον μὲν πλείονας ἅμα φωνὰς σημαντικὰς πραγμάτων κατ' οὐσίαν τοῦ ὑποκειμένου κατηγορουμένων καὶ συμπλέκεσθαι ἀλλήλοις πρὸς τὴν γένεσιν τοῦ ὁρισμοῦ αὐτοῦ πεφυκότων, ὕστερον δὲ πλείονας μὲν πάλιν ἅμα φωνὰς ἀλλὰ σημαντικὰς τῶν κατὰ συμβεβηκὸς ὑπαρχόντων τῷ ὑποκειμένῳ καὶ διὰ τοῦτο συμφύεσθαι πρὸς ἄλληλα μὴ δυναμένων, καὶ φησὶ τὴν μὲν ἐκ τοῦ ἑνὸς ὑποκειμένου καὶ τῶν συμπλέκεσθαι πεφυκότων κατηγορουμένων πρότασιν οὐ τῇ φωνῇ μόνον ἀλλὰ καὶ τῇ δυνάμει μίαν εἶναι, ὅταν συμπλέξαντες ἀλλήλοις τὰ πολλὰ ἐκεῖνα τοῦ ἑνὸς ὑποκειμένου κατηγορήσωμεν, τὴν δέ γε ἐκ τοῦ ἑνὸς ὑποκειμένου καὶ τῶν μὴ πεφυκότων συμφύεσθαι κατηγορουμένων μηδέποτε γίγνεσθαι ὄντως μίαν, κἂν ἡμεῖς τῇ φωνῇ συνείραντες πρὸς ἄλληλα τὰ συμβεβηκότα ὡς δὴ ἕν τι ἅμα πάντα τοῦ ὑποκειμένου κατηγορεῖν ἐπιχειρήσωμεν· οὕτω γὰρ καὶ τὴν πρότασιν συμβήσεται τῇ μὲν φωνῇ δοκεῖν μίαν εἶναι, τῇ δὲ δυνάμει μηδαμῶς μετέχειν τοῦ ἑνός. καὶ ταῦτα οὕτω διοριζόμενος οὐδαμοῦ ἐν τούτοις φαίνεται λέγων τι περὶ ὁμωνύμου κατηγορουμένου ἢ ὑποκειμένου, αὐτῶν δὲ τῶν κατ' οὐσίαν κατηγορουμένων πρότερον, ὡς εἴρηται, ποιούμενος μνείαν ἐνδείκνυται ὅτι διαφόρως δύνανται κατηγορεῖσθαι τοῦ ὑποκειμένου· ποτὲ μὲν γὰρ οὐ τῇ φωνῇ μόνον ἀλλὰ καὶ τοῖς σημαινομένοις ὡς πολλὰ κατηγοροῦνται καὶ οὐ μίαν ἀλλὰ πολλὰς ποιοῦσι προτάσεις, ποτὲ δὲ κατὰ μόνην τὴν φωνὴν τὸ πλῆθος ἔχουσι καὶ μίαν ὄντως ποιοῦσι πρότασιν (*).

20 b 21 f. 159 *b*. διττὸν εἶναί φασιν οἱ παλαιοὶ τῆς ἐρωτήσεως τὸ εἶδος (**), τὸ μὲν τῆς διαλεκτικῆς τὸ δὲ τῆς καλουμένης πυσματικῆς. καὶ διαλεκτικὴν μὲν ἐρώτησιν εἶναί φασι πρὸς ἥν ἐστιν ἀποκρίνασθαι τὸ ναί ἢ τὸ οὔ μόνον εἰπόντα καὶ συμβολικῶς κατανεύσαντα μόνον ἢ ἀνανεύσαντα, οἷον ἆρά γε ἡ ψυχὴ ἀθάνατος; αὔταρκες γὰρ πρὸς τὸ ἀποπλῆσαι τὸν τοῦτο ἐρωτήσαντα καὶ τὸ κατανεῦσαι μόνον ἢ ἀνανεῦσαι, ὅταν ὅπερ ἀκόλουθόν ἐστι, τὸ ἕτερον μόνον τῆς ἀντιφάσεως μόριον ὁ ἐρωτῶν λέγῃ· διὰ μὲν γὰρ τοῦ ναί εἰπεῖν ἢ κατανεῦσαι συνομολογοῦμεν ἀληθὲς εἶναι τὸ ἠρωτημένον τῆς ἀντιφάσεως μόριον, εἴτε καταφατικὸν εἴτε ἀποφατικὸν εἴη· πολλάκις γὰρ ἐρωτώμεθα καὶ τὴν ἀπόφασιν, οἷον ἆρά γε οὐκ ἔστιν ἡ ψυχὴ ἀθάνατος; διὰ δὲ τοῦ εἰπεῖν οὔ καὶ τοῦ ἀνανεῦσαι ἀπομαχόμεθα μὲν πρὸς τὴν ἐρώτησιν, ὁμολογοῦμεν δὲ τὸ λειπὸν τῆς ἀντιφάσεως μόριον εἶναι τὸ ἀληθές. εἰ δέ γε ὅλην τις τὴν ἀντίφασιν ἐν τῇ ἐρωτήσει λέγοι, οἷον ἆρά γε ἡ ψυχὴ ἀθάνατός ἐστιν ἢ οὔ; δεῖ μὲν καὶ οὕτω τὸν ἀποκρινόμενον ἢ τὸ ναί λέγειν ἢ τὸ οὔ· ἀλλ' εἰ μὲν ἀρέσκοιτο τῇ καταφάσει, τὸ ναί ἐρεῖ καὶ αὐτὴν προσθήσει τούτῳ τὴν κατάφασιν, "ναὶ ἀθάνατός ἐστι" λέγων (μὴ προστιθεμένης γὰρ τῆς καταφάσεως ἄδηλον πρὸς πότερον τῶν μορίων τῆς ἠρωτημένης ἀντιφάσεως τὸ ναί τοῦτο ἀποκέκριται), εἰ δὲ τῇ ἀποφάσει, τό τε οὔ ἀποκρινεῖται καὶ αὐτὴν πάλιν προσθήσει τὴν ἀπόφασιν, "οὔ, οὐκ ἔστιν ἀθάνατος" λέγων. καὶ τοιαύτην μὲν εἶναί φησι τὴν διαλεκτικὴν ἐρώτησιν· πυσματικὴν δὲ πρὸς ἣν τὸ μὲν ναί καὶ τὸ οὔ χώραν οὐκ ἔχει, λέξεως δὲ ἄλλης, ἐνίοτε δὲ καὶ λόγου πλείονος δεῖ τῷ ἐρωτωμένῳ πρὸς τὴν ἀπόκρισιν· διδαχθῆναι γάρ τι περί τινος βουλομένων ἐστὶν ἡ πυσματικὴ ἐρώτησις, οἷον πότε ἦλθες; τίς καλῇ; ποῦ οἰκεῖς; πόθεν δῆλον ὅτι ἀθάνατος ἡ ψυχή; διὰ τί ἡ Μαγνῆτις λίθος ἕλκει τὸν σίδηρον; καὶ ὁ μὲν τὴν πυσματικὴν ἐρώτησιν ἐρωτώμενος κύριός ἐστι τοῦ ἀποκρίνασθαι ὅπερ ἂν ἐθέλοι τῶν προσαρμόττειν τῇ ἐρωτήσει δυναμένων, ἀναριθμήτων τυγχανόντων, ἢ ἀληθεύων δηλονότι ἢ καὶ ψευδόμενος· ὁ δέ γε τὴν διαλεκτικὴν ἐρώτησιν ἐρωτώμενος ἀναγκάζεται τῆς ἀντιφάσεως, ἧς μόριόν ἐστιν ἡ γεγενημένη ἐρώτησις, ἢ τὴν κατάφασιν ἀποκρίνασθαι ἢ τὴν ἀπόφασιν, καὶ ἄλλο παρὰ ταῦτα οὐδέν. τούτων οὖν οὕτως ἐχόντων εἰκότως φησὶν ὁ Ἀριστοτέλης ὡς εἴπερ ἡ ἐρώτησις ἡ διαλεκτικὴ ἀποκρίσεώς ἐστιν αἴτησις, οὐ τῆς τυχούσης ἀλλ' ἤτοι τῆς προτάσεως, τουτέστιν αὐτοῦ τοῦ κατ' ἐνέργειαν ὑπὸ τοῦ ἐρωτήσαντος εἰρημένου μορίου τῆς ἀντιφάσεως καὶ προταθέντος τῷ ἐρωτηθέντι πρὸς ἐπίκρισιν, ὅπερ γίγνεται, ὡς ἐλέγομεν, ὅταν ὁ ἠρωτημένος τὸ ναί ἀποκρίνηται ἢ καὶ κατανεύσῃ κατὰ θατέρου μορίου τῆς ἀντιφάσεως τοῦ κατ' ἐνέργειαν μὲν μὴ ῥηθέντος ὑπὸ τοῦ ἐρωτήσαντος, δυνάμει δὲ ἐμπεριεχομένου τῇ ἐρωτήσει, ὡς δηλοῦσιν αἱ ἀρνητικαὶ ἀποκρίσεις· διὰ τούτων γὰρ τῷ λειπομένῳ μορίῳ τῆς ἀντιφάσεως παρὰ τὴν ἐρώτησιν ἀρέσκεσθαί φαμεν, ὡς ἂν δυνάμει προταθέντι πρὸς ἐπίκρισιν ἐν τῇ ἐρωτήσει. πρὸς γοῦν τὴν μηδαμῶς γενομένην ἐρώτησιν δῆλον ὡς οὐδεμία γένοιτο ἂν ἡ ἀπόκρισις.

f. 161 *b*. ἐπεὶ δὲ συμβαίνει πολλάκις κατὰ πάντα τὰ σημαι- 20 b
νόμενα τῆς ἐρωτήσεως τὴν αὐτὴν ἀπόκρισιν ἀληθῆ τυγχάνειν, ὡς 25.
ἐπὶ τῆς ἆρά γε Αἴας ἐπὶ Ἴλιον ἐστράτευσε; καὶ ἐπὶ τῆς ἆρά γε Σωκράτης λευκὸς βαδίζων ἐστίν; ὅταν ἄμφω τύχῃ ὑπάρχοντα τῷ Σωκράτει, διὰ τοῦτο διδάσκων ἡμᾶς μὴ κατὰ τύχην ἀλλὰ κατὰ τέχνην ὀρθὰς ποιεῖσθαι τὰς ἀποκρίσεις, προστίθησι τὸ "οὐδ' ἂν ᾖ ἀληθές," ὅπερ συνταχτέον τῷ "οὐκ ἂν εἴη ἀπόκρισις μία πρὸς ταῦτα.".. εἴρηται δὲ αὐτῷ περὶ τούτων ἐπὶ πλέον ἐν τῇ ὀγδόῃ βίβλῳ τῆς Τοπικῆς πραγματείας. ἀλλ' ἐπειδὴ ἀμφισβητοῦσι πρὸς ἀλλήλους περὶ τῆς διαλεκτικῆς ἐρωτήσεως ὅ τε ἀπὸ τῆς Ἀφροδισιάδος ἐξηγη-

(*) p. 20 *b* 17. *Leo Magent.* τὸ δὲ "ἴσως" προσέθετο διὰ τὸν Πλάτωνα λέγοντα μὴ οὐσιωδῶς τὸ ἥμερον κατηγορεῖσθαι κατὰ τοῦ ἀνθρώπου, τοῦ Ἀριστοτέλους δοξάζοντος οὐσιωδῶς τοῦ ἀνθρώπου κατηγορεῖσθαι τὸ ἥμερον.

(**) *Boëth.* II p. 407: interrogationis autem secundum Peripateticos duplex species est.

ῥημάτων ἀπὸ τῶν ἀποφάσεων, πρὸ ἐκείνου δὲ ἡ διδασκαλία τῶν ὑπὸ τῶν καταφάσεων ἁπλῶν ψευδομένων, αἳ ἀόριστον ἔχουσαι τὸ κατηγορούμενον ἐξ ἀνάγκης ἀληθεύουσιν· ὅπερ ἦν ἀντικείμενον μέν πως τοῖς περὶ τῆς ἀκολουθίας εἰρημένοις, συγγενὲς δὲ ὅμως πρὸς αὐτὰ καὶ παραλαμβάνον προτάσεις τὰς μὲν ἐξ ἀμφοτέρων τῶν ὅρων ὡρισμένων, τὰς δὲ ἐξ ὡρισμένου μὲν τοῦ ὑποκειμένου ἀορίστου δὲ τοῦ κατηγορουμένου. μετ' ἐκεῖνα οὖν μέλλων ἡμῖν παραδιδόναι τὴν ἀκολουθίαν, ὡς εἴρηται, τῶν ἐξ ἀορίστου τοῦ ὑποκειμένου προτάσεων, ἀναγκαίως πρός τε τὰ προλαβόντα καὶ πρὸς τὰ ἐπάγεσθαι μέλλοντα περὶ αὐτῶν τῶν ἀορίστων διείλεκται φωνῶν, ποίαν ἔχουσι δύναμιν. διὸ καὶ μετὰ ταῦτα εἰκότως τὸ ἀκόλουθον ἐκείνοις ἀποδιδοὺς προστίθησι ὅπως ἕπονται ἀλλήλαις αἱ ἀόριστον ἔχουσαι τὸ ὑποκείμενον προτάσεις, καὶ πρῶτον μὲν ἐπισημαίνεται ὅτι ἄλλο εἶδος τῶν τοιούτων προτάσεων παρὰ τὰς ἐξ ὡρισμένου τοῦ ὑποκειμένου· τὸ γὰρ "οὐδεμιᾷ ἐκείνων" λέγει περὶ τῶν ὡρισμένον ἐχουσῶν τὸ ὑποκείμενον, ὧν πρότερον παραδέδωκε τὴν ἀκολουθίαν.

20 b 1. f. 153 *b.* ἀκόλουθον καὶ τοῦτο τὸ θεώρημα τοῖς πρότερον ἡμῖν παραδεδομένοις· διαλεχθεὶς γὰρ περὶ τῶν ἑπομένων, ταὐτὸν δὲ εἰπεῖν περὶ τῶν συναληθευουσῶν ἀλλήλαις προτάσεων, διδάσκει ἡμᾶς διὰ τούτων ὅτι εἰσὶ προτάσεις τινὲς δοκοῦσαι μὲν εἶναι διάφοροι καὶ συναληθεύειν ἀλλήλαις, κατ' ἀλήθειαν μέντοι οὐδεμίαν ἔχουσαι πρὸς ἀλλήλας διαφοράν, πλὴν περὶ τὴν λέξιν. τοιαῦται δέ εἰσιν αἱ μετατεθεῖσαι, ὅπερ αὐτός φησι "τά τε ὀνόματα καὶ τὰ ῥήματα," τουτέστι τά τε ὑποκείμενα καὶ τὰ κατηγορούμενα, ὡς δηλοῖ τὰ παρατεθέντα παρ' αὐτοῦ παραδείγματα... λέγεται δέ τις καὶ ἑτέρα μετάθεσις τῶν ὀνομάτων καὶ τῶν ῥημάτων, ἡ τῶν ὡρισμένων εἰς τὰ ἀόριστα μετάβασις, ἥτις παντάπασιν ἐξαλλάττει τὰς προτάσεις· ἀλλ' οὐδὲν τοῦτο πρὸς τὰ νῦν ὑπὸ τοῦ Ἀριστοτέλους παραδιδόμενα. πάνυ δὲ ἀκριβῶς τὴν τῶν ὀνομάτων μόνον καὶ τῶν ῥημάτων μετάθεσιν τὰς αὐτὰς φυλάττειν ἔφη προτάσεις... τὸ γὰρ ἀποφατικὸν μόριον αὐτὸ καθ' αὑτὸ μετατιθέμενον παντάπασιν ἐξαλλάττει τὰς προτάσεις, καὶ τῷ μὲν ὑποκειμένῳ συμπλεκόμενον ποιεῖ κατάφασιν ἐξ ἀορίστου ὑποκειμένου, τῷ δὲ κατηγορουμένῳ κατάφασιν ἐκ μεταθέσεως, τῷ δέ γε ἐστιν ἢ ἐν ταῖς προσδιωρισμέναις προτάσεσι τῷ προσδιορισμῷ ποιεῖ ἀπόφασιν. εἰ μέντοι γε μετὰ τοῦ ὅρου, ᾧ ἐν τῇ ἐξ ἀρχῆς προτάσει τυγχάνει συντεταγμένον, μετατιθείη τις αὐτό, καὶ οὕτω μένει ἡ αὐτὴ πρότασις, τὸ ῥῆμα ἀόριστον εἶναι τὸ μετατεθέν, ἀλλ' οὐ καθ' αὑτὸ τὸ ἀρνητικὸν μόριον.

20 b 13. f. 156 *b.* παραδέδωκε μὲν ἡμῖν καὶ πρότερον ὁ φιλόσοφος τὴν διάκρισιν τῆς τε ὄντως οὔσης μιᾶς προτάσεως καὶ τῆς δοκούσης μὲν εἶναι μιᾶς (*), μὴ μέντοι καὶ οὔσης, ἐν οἷς ἔλεγε "μία δέ ἐστι κατάφασις καὶ ἀπόφασις ἡ ἓν καθ' ἑνὸς σημαίνουσα" (p. 18 *a* 13)· καὶ νῦν δὲ πάλιν περὶ τοῦ αὐτοῦ διαλέγεται θεωρήματος, οὐ ταυτολογῶν, οὐδ' ὅτι πρότερον μὲν περὶ τῶν ἀπλουστάτων διελέγετο προτάσεων, νῦν δὲ περὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου. τυχὸν μὲν γὰρ οὐδὲ τοῦτο ἄλογον τὸ ἐπιδεῖξαι καθ' ἑκάτερον τῶν προτάσεων εἶδος τὸν αὐτὸν τρόπον γιγνομένην τὴν εἰρημένην τῶν ἀποφατικῶν λόγων διάκρισιν· ἀλλ' εἰ δεῖ τὸ ἐμοὶ φαινόμενον λέγειν, διαλεχθεὶς πρότερον περὶ τῶν πρὸς ἐρώτησίν τινα γιγνομένων ἀρνήσεων, πότε μὲν οἷόν τε αὐτὰς συμπλεκομένας ταῖς ἐρωτήσεσι ποιῆσαι κατάφασιν ἐκ μεταθέσεως ἀληθῆ, πότε δὲ οὔ, βούλεται τὸ ὁλοσχερέστερον εἰλημμένον ἐν ἐκείνοις ἐπιδιαρθρῶν ἐπιστατικωτέρους ἡμᾶς ποιῆσαι πρὸς τὸ μὴ προχείρως ἀποκρίνασθαι διὰ μιᾶς ἀποκρίσεως πρὸς τὴν γεγενημένην ἐρώτησιν· οὐ γὰρ δὴ καὶ ὅταν δοκείη μὲν εἶναι μία, κατὰ ἀλήθειαν μέντοι μὴ ᾖ μία. πρὸς οὖν τὴν τούτου κατανόησιν, λέγω δὲ τοῦ τίς ἡ μία διαλεκτικὴ ἐρώτησις καὶ τίς ἡ οὐ μία, προχείρους ἐχρῆν ἔχειν τοὺς κανόνας τῆς διακρίσεως τῆς τε μιᾶς καὶ τῆς οὐ μιᾶς προτάσεως, εἴπερ ἡ διαλεκτικὴ ἐρώτησις πρότασίς τις ἐστί· διόπερ ἔοικεν ἀναλαμβάνειν νῦν τὴν περὶ τοῦ θεωρήματος τούτου σκέψιν ὁ Ἀριστοτέλης. δηλοῖ δὲ ὥσπερ συμπέρασμα τούτων ἐπάγων τὴν διδασκαλίαν τοῦ πότε οὐ χρὴ διὰ μιᾶς ἀποκρίσεως ἀποκρίνασθαι πρὸς τὴν ἐρώτησιν, λέγων "εἰ οὖν ἡ ἐρώτησις ἡ διαλεκτικὴ ἀποκρίσεώς ἐστιν αἴτησις" (v. 22).

f. 157 *b.* ἐπάγοντος δὲ τοῦ Ἀριστοτέλους τὸ "λέγω δὲ ἓν οὐκ 20 b 15. ἐὰν ὄνομα ἓν ᾖ κείμενον (*), μὴ ᾖ δὲ ἕν τι ἐξ ἐκείνων," ἔνιοι μὲν τῶν ἐξηγητῶν ὑπέλαβον συντάττεσθαι αὐτὸ πρὸς τὸ "ἐὰν μὴ ἕν τι ᾖ τὸ ἐκ τῶν πολλῶν συγκείμενον," ὡς ἂν δηλοῦντος διὰ τούτων τοῦ φιλοσόφου πῶς ποτε δεῖ ἔχειν τὸ ἓν ἐκεῖνο τὸ ἐκ τῶν πολλῶν συγκεῖσθαι λεγόμενον, ὅτι πάντως μὲν ἓν ὄνομα ἔχειν, οὐ μέντοι τῷ ὀνόματι μόνον ἓν αὐτὸ εἶναι χρή, ὡς ὅταν ληφθῇ ὁμωνύμως αὐτῶν κατηγορούμενον, ἀλλὰ προηγουμένως τῷ σημαινομένῳ. καὶ οἴονται τὸ λεγόμενον μηδὲν διαφέρειν τοῦ πρότερον ἤδη ῥηθέντος "οἷον εἴ τις θείη τὸ ἱμάτιον ὄνομα ἵππῳ καὶ ἀνθρώπῳ" (p. 18 *a* 19), τὰ αὐτὰ πάλιν περὶ τῶν αὐτῶν λέγεσθαι ὑπολαμβάνοντες. ἄμεινον δὲ ἴσως καὶ τοῖς ἐπιφερομένοις μᾶλλον συνᾷδον τὸ λέγειν ὅτι δὶς τοῦ ἑνὸς μνημονεύσας ἐν τοῖς προσεχῶς προειρημένοις, δι' ὧν τε ἔλεγε "τὸ δὲ ἓν κατὰ πολλῶν ἢ πολλὰ καθ' ἑνός," καὶ πάλιν δι' ὧν ἐφεξῆς ἐπήγαγεν "ἐὰν μὴ ἕν τι ᾖ τὸ ἐκ τῶν πολλῶν συγκείμενον," τοῦ μὲν πρότερον ὡς ἐνεργείᾳ τε παραληφθέντος ἐν τῇ προτάσει καὶ ὁμολογουμένως τῷ πράγματι ἑνὸς εἶναι ὀφείλοντος, τοῦ δὲ ὕστερον ὡς ἐνεργείᾳ μὲν οὐ ληφθέντος, συγκεῖσθαι μέντοι ἐκ τῶν πολλῶν τῶν ἐνεργείᾳ παραληφθέντων ὀφείλοντος, εἰ μέλλει μία εἶναι ἡ πρότασις, πρὸς ἀμφοτέρας τοῦ ἑνὸς τὰς ἐννοίας ταῦτα νῦν ἀποδίδωσιν, ἐξ ἀρχῆς μὲν διὰ τοῦ "λέγω δὲ ἓν" διδάσκων ὡς πρόκειται αὐτῷ τοὺς περὶ τοῦ δὶς προρρηθέντος ἑνὸς παραδοῦναι διορισμούς, δι' ὧν δὲ ἐφεξῆς ἐπιφέρει "οὐκ ἐὰν ὄνομα ἓν ᾖ κείμενον, μὴ ᾖ δὲ ἕν τι ἐξ ἐκείνων," δὶς μὲν τοῦ ἑνὸς πάλιν μνημονεύων, οὐ μέντοι περὶ

(*) *Boëth.* II p. 404: multos talis loci huius caligo confudit, ut digne exequi et quod ab Aristotele dicebatur expedire non possent. nos autem supra iam diximus magnae fuisse curae apud Peripateticae sectae principes diiudicare quae esset una affirmatio vel negatio, quae plures.

(*) varias h. l. explicationes vide apud Boëth. p. 405 sq. cum aliorum tum Porphyrii, quem Ammonius secutus esse videtur.

μένως ἀξιοῦμεν τὸ "οὔτε ἀληθεῖς ἅμα οὔτε ἐπὶ τοῦ αὐτοῦ," τὸ μὲν λαμβάνοντες ἐπ' αὐτῶν τῶν λόγων, τὸ δὲ ἐπὶ τῶν σημαινομένων ὑπ' αὐτῶν πραγμάτων. συμβαίνει δὲ ταῦτα συντρέχειν ἀλλήλοις· εἰ γὰρ ἅμα ἀληθεῖς οἱ λόγοι, καὶ τὰ ἐν αὐτοῖς κατηγορούμενα τῷ αὐτῷ ἅμα ὑπάρχουσι, καὶ τὸ ἀνάπαλιν. καὶ δῆλον ὅτι τοῦ ἅμα εἶναι ἀληθεῖς τοὺς λόγους αἴτιον γίγνεται τὸ τὰ πράγματα συνυπάρχειν. ἕτεροι δέ γε τὸ "οὔτε," καίτοι δὶς παραληφθέν, παρέλκειν ὑπολαβόντες δι' ἀμφοτέρων, τοῦ τε ἅμα καὶ τοῦ ἐπὶ τοῦ αὐτοῦ, περιγράφεσθαί φασι τὸ χαρακτηρίζον τὴν ἀντίθεσιν τῶν τοιούτων προτάσεων. ἅμα τε γὰρ ἀληθεῖς δύνανται εἶναι, φασίν, αἱ προτάσεις μὴ ἐπὶ τοῦ αὐτοῦ λαμβανόμεναι, οἷον πᾶς ἄνθρωπος δίπους, οὐδεὶς ἵππος δίπους· καὶ πάλιν ἐπὶ τοῦ αὐτοῦ μὲν ἀληθεῖς, οὐ μέντοι ἅμα, ὡς ὅταν λέγωμεν πᾶς ἄνθρωπος ἐπὶ τοῦ χρυσοῦ λεγομένου γένους δίκαιος, οὐδεὶς ἄνθρωπος ἐπὶ τοῦ σιδηροῦ λεγομένου γένους δίκαιος, καίτοι τοῦ τε Ἀριστοτέλους κατ' ἀρχὰς παραδόντος ἡμῖν ποίας ἀξιοῖ ἀντικεῖσθαι ἀλλήλαις προτάσεις, ὅτι τὰς τοῦ αὐτοῦ κατὰ τοῦ αὐτοῦ καὶ τὰ ἑξῆς τούτοις, καὶ τῆς κατὰ χρόνον ἐξαλλαγῆς περὶ μὲν τὴν φύσιν καθ' ἕκαστα θεωρεῖσθαι δυναμένης, ἐν δὲ τοῖς καθόλου χώραν οὐδεμίαν ἐχούσης, εἰ μὴ μέλλοιμεν τοῖς μυθικοῖς πλάσμασι χρῆσθαι πρὸς ἀνατροπὴν τῶν ἐναργῶς ἀποδεδειγμένων.

20 a 20. f. 145 *b*. κατ' ἀρχὰς μὲν τῆς θεωρίας τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων ἐδιδασκόμεθα ὅπως ἔχουσιν αἱ ὅλαι αὐτῶν ἀντιφάσεις τῆς πρὸς ἀλλήλας τάξεώς τε καὶ ἀκολουθίας, καὶ παρεβάλλετο τὰ μόρια αὐτῶν πρὸς ἄλληλα, ἡ μὲν καθόλου ἁπλῆ κατάφασις πρὸς τὴν ἐπὶ μέρους ἐκ μεταθέσεως ἀπόφασιν ὡς ἑπομένην καὶ ἐπὶ πλέον αὐτῆς οὖσαν, ἡ δὲ καθόλου ἐκ μεταθέσεως κατάφασις πρὸς τὴν ἁπλῆν ἀπόφασιν ὡς τὸν αὐτὸν τρόπον ἔχουσαν πρὸς αὐτήν. νῦν δὲ παραδίδωσιν ἡμῖν ὁ Ἀριστοτέλης τὰς ποσὸν μὲν τὸ αὐτὸ ἐχούσας προτάσεις, ἑπομένας μέντοι ἀλλήλαις, οὐκέτι ὅλην ἀντίφασιν πρὸς ὅλην παραβάλλων, ἀλλ' ὥσπερ εἴρηται, μιᾶς μόνης προτάσεως πρὸς μίαν πρότασιν τὴν συμφωνίαν θεωρῶν... ὁ μὲν οὖν Ἀριστοτέλης παραδείγματα μόνα παραθέμενος ἡμῖν τινῶν ἀκολουθουσῶν ἀλλήλαις προτάσεων ἀπηλλάγη τοῦ θεωρήματος· ὁ δέ γε ἡμέτερος καθηγεμὼν καὶ εὐεργέτης κανόνας ἡμῖν πάνυ τεχνικοὺς παρεδίδου, καθ' οὓς οἷόν τε πάσῃ τῇ προτεθείσῃ προτάσει τὴν ἀκολουθοῦσαν εὑρεῖν. ἐπεὶ γὰρ αἱ προτάσεις καὶ ὡς ὅλαι θεωροῦνται καὶ μέρη ἔχουσι, τὰς ἀντιθέσεις αὐτῶν ἐλάμβανεν ἢ ἀπὸ τῆς περὶ τὰ μέρη αὐτῶν θεωρουμένης διαφορᾶς ἢ ἀπὸ τῆς περὶ ὅλας αὐτάς. ἐπεὶ δὲ δύο μὲν τῶν προτάσεων τὰ μέρη, ὅ τε ὑποκείμενος ὅρος καὶ ὁ κατηγορούμενος, δύο δὲ καὶ τὰ περὶ ὅλας αὐτὰς ὡς ὅλας θεωρούμενα, τό τε ποιὸν αὐτῶν καὶ τὸ ποσόν, τετραχῶς συμβαίνει λαμβάνεσθαι τὰς τῶν προτάσεων ἀντιθέσεις.

20 a 23. f. 150. ἀκόλουθόν ἐστι τοῦτο τὸ θεώρημα τῷ προσεχῶς παραδεδομένῳ, καὶ δι' ἐκείνου λαμβάνον τὴν πίστιν. πρότερον μὲν γὰρ ἐδίδασκεν ἡμᾶς ποίᾳ ἀληθεῖ καταφάσει συναληθεύσει ἀπόφασις ὁμοίως αὐτῇ κατὰ τὸ ποσὸν ἔχουσα· νῦν δὲ διδάσκει ποίας μὲν ἁπλῆς καταφάσεως ψευδομένης τὴν ἐπὶ τῶν αὐτῶν ὅρων καὶ κατὰ τὸ αὐτὸ ποσὸν λεγομένην ἐκ μεταθέσεως κατάφασιν ἀληθεύειν ἀνάγκη, ποίας δὲ ἀδύνατον... ποιῶν ἡμᾶς τε προσεκτικωτέρους πρὸς τὸ μὴ προχείρως συγχωρεῖν ἀπὸ τοῦ περί τινας τῶν προτάσεων συμβαίνοντος ὅτι καὶ ἐπὶ πασῶν τῶν ὁμοίως λεγομένων ὡσαύτως ἔχει, προάγει τὸν λόγον ὡς ἐν ἐρωτήσει λεγομένων τῶν προτάσεων... ἐπεὶ οὖν τὰς ἐναντίας συμψεύδεσθαι ἀλλήλαις ἀνάγκη, τῇ δ' ἐναντίᾳ πρὸς τὴν ἁπλῆν κατάφασιν ἀποφάσει ταὐτὸν ἐλέγομεν φθέγγεσθαι τὴν ἐκ μεταθέσεως κατάφασιν κατὰ τοὺς παραδεδομένους περὶ τῆς ἀκολουθίας τῶν προτάσεων κανόνας, διὰ τοῦτο καὶ ταύτην συμψεύδεσθαι αὐτῇ ἀναγκαῖον, ὅπερ οὐκ ἐνεδέχετο γίγνεσθαι ἐπὶ τῶν καθ' ἕκαστα προτάσεων. ἐπ' ἐκείνων μὲν γὰρ τῇ καταφάσει μία μόνη ἀντίκειται ἀπόφασις, ἡ ἀντιφάσκουσα πρὸς αὐτήν, ὡς ἐναντία δὲ οὐδεμία· τῶν δὲ τῇ καθόλου καταφάσει μαχομένων δύο ἀποφάσεων ἡ μὲν ἐναντία πρὸς αὐτὴν δῆλον ὅτι συμψεύσεται αὐτῇ, καὶ ἡ ἰσοδυναμοῦσα αὐτῇ ἐκ μεταθέσεως κατάφασις, ἡ δὲ ἀντιφατικῶς αὐτῇ μαχομένη ἀληθεύσει. διό φησιν ἀληθὲς εἶναι τὸ οὐ πᾶς ἄρα ἄνθρωπος σοφός. ἀλλὰ περὶ τῶν λοιπῶν καταφάσεων τί ἐροῦμεν, τῆς τε ἀπροσδιορίστου καὶ τῆς ἐπὶ μέρους;

f. 151. πρὸς μὲν τῷ συμπεράσματι τοῦ δευτέρου κεφαλαίου 20 a
παραδιδοὺς ἡμῖν τὰς ἐξ ἀορίστου ὑποκειμένου προτάσεις, ἐνεδείκνυτο, 31.
ὡς καὶ ἐν ἐκείνοις ἐπεσημηνάμεθα, ὅτι τὰ ἀόριστα ὀνόματα ὑποπτευθεῖεν μὲν ἂν ἀποφάσεις εἶναι, οὐ μέντοι καὶ οὕτως ἔχουσι, δι' ὧν ἔλεγεν ἄνευ δὲ ῥήματος οὐδεμία κατάφασις (c. 5). ἐν δέ γε τούτοις διττὴν ἡμῖν διαφορὰν τῶν προτάσεων πρότερόν τε παραδοὺς καὶ ἑξῆς ἐπαγαγεῖν μέλλων, τὴν μὲν κατὰ τὸ ὡρισμένον καὶ ἀόριστον τῶν ὑποκειμένων, τὴν δὲ κατὰ τὸ ὡρισμένον καὶ ἀόριστον τῶν κατηγορουμένων, εἰκότως ηὐλαβήθη μὴ τὸ οὐ ἀποφατικὸν μόριον συντεταγμένον τοῖς τε ὀνόμασιν ἐν τοῖς ἀορίστοις ὑποκειμένοις καὶ τοῖς ῥήμασιν ἐν τοῖς ἀορίστοις κατηγορουμένοις ποιήσῃ τῶν ἁπλουστέρων τινὰς ὑπολαβεῖν ὅτι καὶ αὐτὰ καθ' αὑτὰ λεγόμενα τὰ ἀόριστα ὀνόματα καὶ τὰ ἀόριστα ῥήματα δύναται ποιεῖν ἀποφάσεις. καὶ τὴν γενομένην ἂν ἐντεῦθεν ἀπάτην εὐθὺς ἰάσατο, ἐπιδείξας ὅσον διεστήκασι τῶν ἀποφάσεων. φησὶν οὖν "αἱ δὲ κατὰ τὰ ἀόριστα ἀντικείμεναι ὀνόματα καὶ ῥήματα," ἐλλιπῶς αὐτὸ διὰ συντομίαν ἀπαγγείλας· οὔτε γὰρ τίνες αἱ ἀντικείμεναι εἴρηται, οὔτε τίσιν ἀντικείμεναι. τὸ δὲ πλῆρες τῆς λέξεως εἴη ἄν, αἱ δὲ φωναὶ αἱ κατὰ τὰ ἀόριστα ὀνόματα καὶ ῥήματα ἀντικείμεναι ταῖς κατὰ τὰ ὡρισμένα δόξαιεν ἂν αὐτῶν ἐκείνων τῶν ὡρισμένων εἶναι ἀποφάσεις, αἱ μὲν τῶν ἀορίστων ὀνομάτων φωναὶ ἀποφάσεις οὖσαι ἄνευ ῥήματος, αἱ δὲ τῶν ἀορίστων ῥημάτων ἀποφάσεις ἄνευ ὀνόματος, ὡς τῆς ὄντως ἀποφάσεως ἐξ ἀμφοῖν συμπληροῦσθαι ὀφειλούσης, ὀνόματός τε καὶ ῥήματος. οὐ μέντοι, φησί, καὶ ὄντως εἰσὶν ἀποφάσεις. καὶ συλλογίζεται τοῦτο ἐναργῶς ἐν δευτέρῳ σχήματι.

f. 152 *b*. συνεχῆ μὲν ἐχρῆν εἶναι τὰ διὰ τούτων λεγόμενα 20 a
τοῖς πρότερον εἰρημένοις περὶ τῶν ἀκολουθουσῶν ἀλλήλαις προτά- 37.
σεων, ἐν οἷς ἔλεγεν "ἀκολουθοῦσι δὲ αὗται·" παραδοὺς γὰρ ἡμῖν ἐν ἐκείνοις τὴν ἀκολουθίαν τῶν ἐξ ὡρισμένου τοῦ ὑποκειμένου προτάσεων, ἐν τούτοις παραδίδωσιν ὅπως καὶ αἱ ἀόριστον ἔχουσαι τὸ ὑποκείμενον ἀκολουθοῦσιν ἀλλήλαις. ἀλλὰ διέκοψε τὸ συνεχὲς τῆς διδασκαλίας προσεχῶς μὲν ἡ διάκρισις τῶν ἀορίστων ὀνομάτων τε καὶ

προστεθέντος αὐτῷ (τῷ οὐκ ἄνθρωπος δηλονότι) τοῦ τε κατηγορουμένου καὶ τοῦ προσκατηγορουμένου, καὶ κατηγορουμένου μὲν ἢ ὡρισμένου ἢ ἀορίστου, προσκατηγορουμένου δὲ ἢ καταφατικοῦ ἢ ἀποφατικοῦ.

20a 3. f. 141 *b*. τινὲς μὲν τῶν ἐξηγησαμένων τοῦτο τὸ χωρίον ὑπέλαβον λέγειν τὸν Ἀριστοτέλην διὰ τούτων ὅτιπερ ἐν ταῖς προτάσεσι ταῖς ἀντὶ τοῦ ἔστιν ἄλλο τι ῥῆμα προσκατηγορούμενον ἐχούσαις, οἷον τὸ βαδίζειν ἢ τὸ ὑγιαίνειν, ὡς ἐν ταῖς ἄνθρωπος δίκαιος ὑγιαίνει, ἄνθρωπος δίκαιος βαδίζει, ἡ αὐτὴ γίνεται τῶν προτάσεων τάξις τε καὶ ἀκολουθία ἥπερ ἐτύγχανε καὶ ἐπὶ τῶν τὸ ἔστι προσκατηγορούμενον ἐχουσῶν, παντάπασιν ἀποπλανώμενοι τῆς τε τοῦ Ἀριστοτέλους διανοίας καὶ τῆς τῶν λόγων αὐτῶν ἀκριβείας· οὔτε γὰρ ὁ φιλόσοφος φαίνεται τῆς τοιαύτης προτάσεως παραδείγματα ἡμῖν παρατιθέμενος, οὔτε ἐνδέχεται παρὰ τὸ ἔστιν ἄλλο τι ῥῆμα προσκατηγορούμενον γίγνεσθαι. καὶ τοῦτο οὐ μόνον τῷ Ἀριστοτέλει πιστεῦσαι δεῖ πρότερόν τε σαφῶς εἰπόντι μόνον τὸ ἔστιν ἐν ταῖς τοιαύταις προτάσεσι προσκατηγορεῖσθαι, καὶ ἐν τοῖς Ἀναλυτικοῖς (1 1) ὅρον μὲν εἶναι ἀποφαινομένῳ τὸν εἰς ὃν διαλύεται ἡ πρότασις, τόν τε κατηγορούμενον καὶ τὸν ὑποκείμενον, ἐπάγοντι δὲ προστιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι, καὶ μηδενὸς ἄλλου ῥήματος παρὰ τοῦτο μνείαν ποιουμένῳ· ἀλλὰ καὶ ἡμεῖς ἐν τοῖς ἑξῆς ἐναργῶς ἀποδείξομεν, ὅπερ καὶ πρότερον ἐπηγγειλάμεθα, δι' ὧν ὁ Ἀριστοτέλης ζητήσει πότε τὰ ἴδια καὶ χωρὶς κατηγορούμενα δύναται συμπλεκόμενα ἀλλήλοις μίαν ποιῆσαι κατηγορίαν καὶ πότε οὔ. ἕτεροι δέ γε ὑπέλαβον ζητεῖσθαι διὰ τούτων (*) εἰ ὥσπερ ἐν ταῖς ἐνεργείᾳ τὸ ἔστι προσκατηγορούμενον ἐχούσαις τοῦ κατηγορουμένου ὀνόματος, οἷον τοῦ δίκαιος, προταττόμενον τὸ ἀρνητικὸν μόριον οὐ ποιεῖ ἀπόφασιν ἀλλὰ κατάφασιν ἐκ μεταθέσεως τὴν ἄνθρωπος οὐ δίκαιός ἐστιν, οὕτω καὶ ἐν αἷς δυνάμει περιέχεται τὸ ἔστιν ἐν τῷ κατηγορουμένῳ ῥήματι, διαλυομένου τοῦ ῥήματος ἐκείνου, καθὰ καὶ πρότερον ἐλέγομεν, εἴς τε τὴν οἰκείαν αὐτῷ μετοχὴν καὶ τὸ ἔστι, προταττόμενον πάλιν τὸ ἀρνητικὸν μόριον τῆς μετοχῆς οὐ ποιήσει ἀπόφασιν ἀλλὰ κατάφασιν ἐκ μεταθέσεως· ἡ μὲν γὰρ λέγουσα πρότασις "ἄνθρωπος βαδίζει" ταὐτὸν ὁμολογουμένως φθέγγεται τῇ "ἄνθρωπος βαδίζων ἐστίν." ζητεῖται δέ, φασί, διὰ τούτων εἰ τὴν ἄνθρωπος οὐ βαδίζων ἐστὶ κατάφασιν ῥητέον πάλιν ἐκ μεταθέσεως ἀλλ' οὐκ ἀπόφασιν, οὔτε τοῦ προβλήματος ἀξίου οἶμαι ζητήσεως ὄντος (τίς γὰρ ἀποκλήρωσις ὥστε τὴν μὲν ἄνθρωπος οὐ δίκαιός ἐστι κατάφασιν καλεῖν, τὴν δὲ ἄνθρωπος οὐχ ὑγιαίνων ἐστὶν ἀπόφασιν;) οὔτε τοῦ Ἀριστοτέλους οὐδὲν τοιοῦτον διὰ τῶν παρ' αὐτοῦ λεγομένων ἐμφαίνοντος. μήποτε οὖν ταῖς ῥήσεσιν αὐταῖς τοῦ Ἀριστοτέλους προσφυέστερον ᾖ τὸ λέγειν ὅτι παραδοὺς ἡμῖν τὰς ἐξ ἀορίστου τοῦ ὑποκειμένου ἀντιφάσεις, πρότερον μὲν ἐπὶ τῶν ἁπλουστάτων προτάσεων τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου μόνον, διὰ δὲ τῶν προσεχῶς προειρημένων καὶ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου, καὶ ἐν οἷς παρέθετο αὐτὸ παραδείγμασι τὸ ἔστι λαβὼν πρότερον μὲν ὡς κατηγορούμενον, δι' ὧν ἔλεγεν "ἔστιν οὐκ ἄνθρωπος, οὐκ ἔστιν οὐκ ἄνθρωπος," καὶ "ἔστι πᾶς οὐκ ἄνθρωπος, οὐκ ἔστι πᾶς οὐκ ἄνθρωπος" (p. 19 *b* 16), δι' ὧν δὲ προσεχῶς παρεδίδου, καὶ ὡς προσκατηγορούμενον, ἐν οἷς ἔλεγεν "αὗται μὲν οὖν δύο ἀντίκεινται, ἄλλαι δὲ πρὸς τὸ οὐκ ἄνθρωπος, ἔστι δίκαιος οὐκ ἄνθρωπος, οὐκ ἔστι δίκαιος οὐκ ἄνθρωπος, ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος, οὐκ ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος" (p. 19 *b* 36), προτίθεται διὰ τούτων διδάξαι ἡμᾶς ὅτι καὶ ἐπὶ τῶν προτάσεων τῶν ἀντὶ τοῦ ἔστιν ἄλλο τι ῥῆμα ἐχουσῶν οὐ προσκατηγορούμενον (τοῦτο γὰρ εἴρηται ὅτι ἀδύνατον) ἀλλὰ κατηγορούμενον, ἀορίστῳ μέντοι πάλιν τῷ ὑποκειμένῳ χρωμένων, τοῦτον δεῖ τὸν τρόπον γίγνεσθαι τὰς ἀποφάσεις ὃν ἐγίνοντο καὶ τοῦ ἔστιν ἐνεργείᾳ κατηγορουμένου... f. 143 *b*. ἔοικεν ἐξ ἀρχῆς ἐν τοῖς παραδείγμασι τὸ ὑγιαίνειν ῥῆμα διαλῦσαι εἴς τε τὴν ὑγιαίνων μετοχὴν καὶ τὸ ἔστιν. εἶτα πρῶτον παραθέμενος παραδείγματα προτάσεων ἐξ ὡρισμένου τοῦ ὑποκειμένου, ὡς γνωριμότερα καὶ ὁδηγῆσαι ἡμᾶς δυνάμενα πρὸς κατανόησιν τῶν ἐξ ἀορίστου ὑποκειμένου, ἐπάγει τὰς ἐξ ἐκείνων γενομένας καὶ ἀορίστῳ χρωμένας τῷ ὑποκειμένῳ, περὶ ὧν ἦν αὐτῷ προκείμενον λέγειν ὅπως ἐπ' αὐτῶν ἐκ τῶν καταφάσεων γίγνονται αἱ ἀποφάσεις. δηλοῖ δὲ ἐπὶ τούτων μόνον τὴν αἰτίαν ἀποδιδοὺς τοῦ μὴ ἄλλον τρόπον γίγνεσθαι τὰς ἀποφάσεις. εἰπὼν μέντοι μὴ χρῆναι τῆς πᾶς οὐκ ἄνθρωπος ὑγιαίνει λέγειν ἀπόφασιν τὴν οὐ πᾶς ἄνθρωπος ὑγιαίνει, τὴν αἰτίαν τούτου προστίθησιν εὐθὺς ἐπάγων "τὸ γὰρ πᾶς οὐ τὸ καθόλου σημαίνει ἀλλ' ὅτι καθόλου." ὅτιπερ ὅ τι μὲν δηλοῖ τῷ φιλοσόφῳ, διὰ τῶν πρότερον εἰρημένων παρεστήσαμεν, τὸ ῥητείδιον αὐτὸ τοῦτο ἐξηγησάμενοι.

f. 144 *b*. μέλλων ἐν τοῖς ἑξῆς ὁ Ἀριστοτέλης παραδιδόναι καθόλου τινὰ ἀπόφασιν ἀκολουθοῦσαν καθόλου τινὶ καταφάσει τὴν ἁπλῆν τῇ ἐκ μεταθέσεως καὶ τὴν ἐκ μεταθέσεως τῇ ἁπλῇ, προλαμβάνει διὰ τούτων εἰκότως καὶ διορίζεται ὅτι, καθάπερ ἐπὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων τὰς καθόλου ὡς καθόλου ἐναντίας προσηγόρευσε καὶ συμψεύδεσθαι ἀλλήλαις ἀπεφήνατο, τὰς δὲ ἀντιφασκούσας πρὸς αὐτὰς συναληθεύειν ἀλλήλαις, ἐν οἷς ἔλεγε "διὸ ταύτας μὲν οὐχ οἷόν τε ἅμα ἀληθεῖς εἶναι, τὰς δὲ ἀντικειμένας αὐταῖς ἐνδέχεται ἐπὶ τοῦ αὐτοῦ" (c. 7 p. 17 *a* 23), τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν νυνὶ προκειμένων εἰς ἐπίσκεψιν προτάσεων τῶν προσκατηγορουσῶν τὸ ἔστι τὰς μὲν καθόλου τὰς μηδεμίαν ἐχούσας περὶ τοὺς ὅρους διαφορὰν ἀξιοῖ μήτε συναληθεύειν ποτὲ ἀλλήλαις μήτε σημαίνειν τὰς ἐπὶ τοῦ αὐτοῦ συντρέχειν ἅμα δυναμένας, τὰς δὲ μαχομένας πρὸς αὐτὰς ἀντιφατικῶς συντρέχειν ποτὲ ἀλλήλαις, διὰ τοῦ ποτέ δηλονότι σημαίνων τὸ κατὰ μόνην τὴν ἐνδεχομένην ὕλην ὑπάρχειν αὐταῖς τὸ συναληθεύειν. ἡμεῖς μὲν οὖν, ὡς εἴρηται, διηγη- 20a 16.

(*) *Boëth.* II p. 392: dubitabit autem aliquis an sicut ex infinito verbo fieri affirmatio non potest, sed semper negatio ex hoc praedicamento fit, ita quoque si eadem propositio solvatur in participium atque verbum, an ex infinito possit affirmatio fieri participio... *id.* p. 393: participia autem vel nomina si sint infinita, posse facere affirmationem, et ideo quotiescunque a magnis viris infinitum verbum et duae negationes in syllogismo ponuntur hac ratione defenditur, quo dicatur verbum infinitum pro participio esse positum, quod participium nominis loco in propositione praedicatur. et id quidem Alexander Aphrodiseus arbitrabatur ceterique complures.

εἰδέναι χρὴ ὅτι κἂν οὕτως ἡ γραφὴ ἔχῃ (*), τὸ ἄνθρωπος, ὅπερ φησὶν ὁ φιλόσοφος Πορφύριος, οὐχ ὡς ὑποκείμενον ἀλλ' ὡς κατηγορούμενον, ἀντὶ τοῦ δίκαιος ἢ λευκός εἰλῆφθαι φήσομεν, ὡς ἐπὶ τῆς προτάσεως τῆς λεγούσης "ὁ Καλλίας ἄνθρωπός ἐστιν."

19b 35 f. 138 *b*. ὅτι δὲ τὴν εἰρημένην τῶν προτάσεων ἀκολουθίαν πρότερόν τε παρεδίδου ἡμῖν ὁ Ἀριστοτέλης ὡς ἐπὶ προτάσεων ἀπροσδιορίστων, δι' ὧν ἔλεγεν "ὧν τὰ μὲν δύο πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν ἕξει κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις, τὰ δὲ δύο οὔ" (p. 19 *b* 23), καὶ νῦν ἐπὶ τῆς ἀντιφάσεως τῆς καθόλου καταφάσεως πρὸς τὴν μερικὴν ἀπόφασιν τὰ αὐτὰ ἡμᾶς θεωρεῖν ἀξιοῖ καὶ οὐδὲν ἕτερον, σαφῶς ἐδήλωσεν ἐπαγαγὼν "πλὴν οὐχ ὁμοίως τὰς κατὰ διάμετρον ἐνδέχεται συναληθεύειν, ἐνδέχεται δέ ποτε," δι' οὗ λέγοι ἂν τὸ διάφορον τῶν διαγραμμάτων, τοῦ τε ἐπὶ τῶν ἀπροσδιορίστων καὶ τοῦ ἐπὶ τῶν προσδιωρισμένων προτάσεων. καθ' ἑκάτερον μὲν γὰρ αὐτῶν κατὰ διάμετρον συμβαίνει τετάχθαι τὰς καταφάσεις ἀλλήλαις, τὴν ἁπλῆν λέγω καὶ τὴν ἐκ μεταθέσεως, ἢ τὴν ἁπλῆν καὶ τὴν στερητικήν, καὶ τὰς ἀποφάσεις ὁμοίως· ἀλλ' ἐπὶ μὲν τῶν ἀπροσδιορίστων κατὰ τὴν ἐνδεχομένην ὕλην τάς τε καταφάσεις συναληθεύειν ἀλλήλαις συμβαίνει καὶ τὰς ἀποφάσεις ἅτε ταῖς μερικαῖς ἰσοδυναμούσας, ἐπὶ δὲ τῶν προσδιωρισμένων, περὶ ὧν νυνὶ αὐτῷ ὁ λόγος, τῆς καθόλου καταφάσεως καὶ τῆς ἐπὶ μέρους ἀποφάσεως, τὰς μὲν καταφάσεις συναληθεῦσαι ἀδύνατον καθ' οἱανδήποτε ὕλην, τὰς μέντοι ἀποφάσεις συμβαίνει συναληθεύειν κατὰ μόνην τὴν ἐνδεχομένην· ἐπεὶ γὰρ τῶν ἀνθρώπων οἱ μὲν δίκαιοί εἰσιν οἱ δὲ ἄδικοι, οἱ δὲ μέσην ἔχουσιν ἕξιν, φανερὸν ὅτι πάσας συμβήσεται τὰς προκειμένας ἀποφάσεις ἀληθεύειν, οὐ πᾶς ἄνθρωπος δίκαιος, οὐ πᾶς ἄνθρωπος ἄδικος, οὐ πᾶς ἄνθρωπος οὐ δίκαιος (**). τὸ οὖν "ἐνδέχεται δέ ποτε" οὕτως ἀκουστέον, οὐχ ὡς πασῶν τῶν κατὰ διάμετρον ποτὲ συναληθευουσῶν (τοῦτο γὰρ ἀδύνατον) ἀλλ' ὡς τινῶν ἐξ αὐτῶν, οἷον τῶν ἀποφάσεων συναληθευουσῶν ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ὡς εἴρηται, τῆς μήτε ἀναγκαίας μήτε ἀδυνάτου. καὶ ταῦτα σαφῶς εὑρήσομεν οὐ διοριζόμενον μόνον ἀλλὰ καὶ δεικνύντα τὸν Ἀριστοτέλην πρὸς τῷ πέρατι τοῦ πρώτου τῶν Ἀναλυτικῶν... ἀλλ' εἰ δεῖ μὴ παρέργως ἀκροᾶσθαι τῶν ὑπὸ τοῦ Ἀριστοτέλους λεγομένων, ἄξιον οἶμαι ζητῆσαι διὰ τίνα αἰτίαν ἐπὶ μόνης τῆς ἀντιθέσεως τῆς καθόλου καταφάσεως πρὸς τὴν μερικὴν ἀπόφασιν ὁμοίως ἔχειν φησὶ τῶν προτάσεων τὴν ἀκολουθίαν τῇ ἐπὶ τῶν ἀπροσδιορίστων. μήποτε οὖν ὡς ἐπὶ τῶν ὑπολοίπων ἀντιφάσεων, τῆς τε μερικῆς καταφάσεως πρὸς τὴν καθόλου ἀπόφασιν καὶ τῆς τῶν καθ' ἕκαστα, μηκέτι σωζομένης τῆς αὐτῆς ἀκολουθίας· ἐπὶ μὲν γὰρ τῆς τὶς καὶ οὐδείς ἀντιφάσεως οὐδὲ ἐνδέχεται δεῖξαι τὴν ἁπλῆν κατάφασιν τῆς στερητικῆς ἀποφάσεως ἢ ἐπὶ πλέον ἢ ἐπ' ἔλαττον οὖσαν. οὔτε γὰρ εἴ τις ἄνθρωπος δίκαιος, ἤδη οὐδεὶς ἄδικος, οὔτε εἰ μηδεὶς ἄδικος, ἤδη τις δίκαιος· τί γὰρ εἰπόντες τὴν μέσην ἔχοιεν ἕξιν. ὥστε οὐκ ἔστιν οὐδεμίαν ἀκολουθίαν ἀναγκάσαι. εἰ δὲ τὰς ἁπλᾶς πρὸς τὰς ἐκ μεταθέσεως παραβάλλοις, ταῖς μὲν ἀποφάσεσι τὰς καταφάσεις ἑπομένας εὑρήσεις, οὐκέτι μέντοι τὰς ἀποφάσεις ταῖς καταφάσεσιν. εἰ μὲν γὰρ μηδεὶς μὴ δίκαιος, δῆλον ὡς πᾶς τε καὶ τῶν κατὰ μέρος ἕκαστος ἔσται δίκαιος· οὐ μὴν εἰ ἔστι τις δίκαιος, ἤδη δεήσει μηδένα εἶναι μὴ δίκαιον. οὐ μὴν ἀλλ' οὐδὲ ἐπὶ τῶν καθ' ἕκαστα τὴν εἰρημένην ἀναλογίαν προχωροῦσαν εὑρήσεις· τὴν μὲν γὰρ ἁπλῆν κατάφασιν καὶ τὴν ἐκ μεταθέσεως ἀπόφασιν ἀντιστρέφειν ἀλλήλαις συμβαίνει (Σωκράτης δίκαιός ἐστι, Σωκράτης οὐ δίκαιος οὐκ ἔστιν), τὴν μέντοι στερητικὴν ἀπόφασιν ἑκατέρας αὐτῶν ἐπὶ πλέον εἶναι, τὸ ἀληθεύειν ἐπ' αὐτοῦ καὶ τὴν μέσην ἕξιν καθ' ὑπόθεσιν ἔχοντος.

f. 140 *b*. προφανὲς τὸ διὰ τούτων παραδιδόμενον θεώρημα· 19b 36
φησὶ γὰρ τοσαύτας εἶναι ἀντιφάσεις καὶ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων ἀορίστῳ ὑποκειμένῳ χρωμένας, ὅσαι ἦσαν αἱ ἐξ ὡρισμένου τοῦ ὑποκειμένου. δύο δὲ ἦσαν ἐκεῖναι καθ' ἕκαστον προτάσεων εἶδος τὸ κατὰ τὸ ὑποκείμενον ὀνομαζόμενον, οἷον καθ' ἕκαστα ἢ ἀδιόριστοι ἢ καθόλου ἢ ἐπὶ μέρους δύο ἅμα καὶ αὗται. ὧν καὶ παραδείγματα παρέθετο τῶν τε ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως. οὐκ ἄνθρωπος δίκαιός ἐστιν, οὐκ ἄνθρωπος δίκαιος οὐκ ἔστιν· αὗται ἁπλαῖ μὲν ἐξ ἀορίστου τοῦ ὑποκειμένου. οὐκ ἄνθρωπος οὐ δίκαιός ἐστιν, οὐκ ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν· αὗται καὶ ἀόριστοι ἤτοι ἐκ μεταθέσεως καὶ ἐξ ἀορίστου πάλιν τοῦ ὑποκειμένου. ἡ δὲ λέξις (*) ἡ "ἄλλαι δὲ πρὸς τὸ οὐκ ἄνθρωπος ὡς ὑποκειμένόν τι προστεθέντος" ἐλλιπέστερον ἔχει· τὸ γὰρ πλῆρες οὕτως ἂν ἔχοι, ἄλλαι δὲ δύο ἀντιφάσεις ἀντίκεινται, τουτέστιν ἐξ ἀντικειμένων προτάσεων γίγνονται, πρὸς τὸ οὐκ ἄνθρωπος ὡς ὑποκείμενόν τι παραληφθὲν ἐν ταῖς προτάσεσι,

---

(*) *Boëth.* II p. 377: unde Alexander quoque dicit scripturae esse culpam, non philosophi recte dicentis, et emendandam esse scripturam. sed non eum oportuit confundi, si pro homine et non homine iustum et non iustum intulit: haec enim exempla sunt potius quam propositionum necessitas... non ergo oportuit Alexandrum conturbari aliosque in hac scriptione, in qua nos philosophus exercere voluit, sicut Porphyrium et Herminum non turbabat, qui dicunt exempla hic esse finiti praedicati et infiniti, in quibus quodlibet praedicatum sit, aeque accipi oportere... hanc quoque scripturam (p. 19 *b* 29) emendandam esse Alexander opinatur, faciendumque esse hoc modo, sicut prius quoque exposuimus: *est* enim hoc loco et *non est* iusto et non iusto adiacet (*vulgo*: est enim hoc loco et non est homini adiacet). sed ordo quidem totius sententiae diligenter expositus est, sive illa scriptio sit sive illa; neutra enim mutanda est; et una quidem plus habet exercitii, altera vero facilitatis, sed ad unam intelligentiam utraque perveniunt.

(**) cf. *Boëth.* II p. 385 sqq. *id.* p. 389: Herminus autem hoc aliter sic exposuit. similiter, inquit, duas facient oppositiones quattuor propositiones, si fuerint duae simplices, duae infinitae, determinatione tamen adiecta. hoc autem sic monstrat... atque hoc quidem Herminus non recta expositione dicens ordinem turbat.

(*) *Boëth.* II p. 391: utuntur enim hae propositiones subiecto, id est, non homo, ut nomine, praedicato vero eo quod est iustus: hoc est enim quod ait "aliae autem ad non homo ut ad subiectum aliquod additum."

"λέγω δὲ ὅτι τὸ ἔστιν ἢ τῷ δικαίῳ προσκείσεται ἢ τῷ οὐ δικαίῳ" καὶ τὰ ἑξῆς, ἐν οἷς καὶ ἀξιοῖ ὡς ἐπὶ τοῦ ἐκτεθέντος διαγράμματος τήν τε διαφορὰν τῶν προτάσεων καὶ τὴν ἀκολουθίαν θεωρεῖν. ταῦτα μὲν οὖν δῆλα, πλὴν ὅτι τὸ "ὥστε καὶ ἡ ἀπόφασις" σημαίνει αὐτὸ τὸ ὥστε καὶ τὸ ποιοῦν τὴν ἀπόφασιν, τὸ "οὐκ ἔστιν," ἢ τῷ δικαίῳ προσκείσεται ἢ τῷ οὐ δικαίῳ, καθάπερ τὸ ἔστιν· διόπερ τὸ μὲν ποιήσει δύο καταφάσεις, τὸ δὲ δύο ἀποφάσεις. ἐπεὶ δὲ μεταξὺ τοῦ τε εἰπεῖν τὸ ἀκόλουθον, ὡς ἐλέγομεν, τῷ συμπεράσματι, τὸ "ὥστε διὰ τοῦτο τέτταρα ταῦτα ἔσται," καὶ τῆς κατασκευῆς τοῦ δύο εἶναι ἀντιθέσεις καὶ τέτταρα αὐτῶν τὰ μόρια, φησὶν "ὧν τὰ μὲν δύο πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν τῶν ἁπλῶν ἕξει κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις, τὰ δὲ δύο οὔ," Σφιγγὸς μὲν κελαινῆς κατὰ τὸν Λυκόφρονα γῆρυν ἐκμιμούμενος, πολλὰ δὲ πράγματα τοῖς ἐξηγηταῖς παρασχών, τί ποτε ἐννοεῖν τοῦτο τὸ ῥησείδιον ἐροῦμεν; φημὶ δὴ ὅτι τὴν διὰ πλειόνων ἐπιδεδειγμένην ἡμῖν τῶν προτάσεων ἀκολουθίαν αἰνίττεται διὰ τούτων ὁ φιλόσοφος, κατάφασιν μὲν καὶ ἀπόφασιν καλῶν τὰς ἁπλᾶς προτάσεις ὡς ἀρχετύπους, ἐπειδὴ αὗται προσλαβοῦσαι κατὰ τοὺς κατηγορουμένους τὰς ἀρνήσεις ποιοῦσι τὰς ἐκ μεταθέσεως. λέγω δὲ ὅτι τῶν εἰρημένων τεττάρων μορίων τῶν δύο ἀντιθέσεων (προείρηται γὰρ τὸ "ὥστε διὰ τοῦτο τέτταρα ταῦτα ἔσται"), τούτων οὖν τὰ μὲν δύο δηλονότι μόρια, λέγει δὲ τὰς ἐκ μεταθέσεως προτάσεις, πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν, τουτέστι τὰς ἁπλᾶς, ἕξει κατὰ τὸ στοιχοῦν, ἀντὶ τοῦ κατὰ συστοιχίαν καὶ ἀναλογίαν, ὡς αἱ στερήσεις· τουτέστιν ὅτι ὃν ἔχουσι στοῖχον καὶ τάξιν καὶ ἀναλογίαν αἱ στερητικαὶ προτάσεις πρὸς τὰς ἁπλᾶς κατὰ τὸ ἐπὶ πλέον αὐτῶν ἢ ἐπ' ἔλαττον εἶναι, τοῦτον καὶ αἱ ἐκ μεταθέσεως. "τὰ δὲ δύο" φησὶν "οὔ," δῆλον πάλιν ὅτι μόρια ἐκ τῶν τεττάρων. ποῖα δὲ ἂν εἴη ταῦτα; δῆλον ὅτι τὰ λοιπὰ παρὰ τὰ πρότερον εἰρημένα, τουτέστιν αἱ ἁπλαῖ προτάσεις οὐχ ἕξουσι κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις· ὅπερ αὐτὸς πρὸ βραχέων ἐνεδείξατο διὰ τοῦ οὐ, "τὰ δὲ δύο οὔ" εἰπών. ἀλλὰ πρὸς τίνας οὐχ ἕξουσιν αἱ ἁπλαῖ προτάσεις κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις; ἢ δῆλον ὅτι πρὸς τὰ λοιπὰ παρ' αὐτὰς δύο μόρια τῶν τεττάρων, τουτέστι πρὸς τὰς ἐκ μεταθέσεως. ἐπιδέδεικται γὰρ καὶ τοῦτο πρότερον ὅτι οὐχ ὡς ἔχουσιν αἱ στερητικαὶ πρὸς τὰς ἐκ μεταθέσεως κατὰ τὸ ἐπὶ πλέον αὐτῶν ἢ ἐπ' ἔλαττον ἀληθεύειν, οὕτως ἔχουσι καὶ αἱ ἁπλαῖ. συνεβάλλετο ἄρα ἡμῖν τὰ προληφθέντα περὶ τῆς ἀκολουθίας τῶν προτάσεων πρὸς κατανόησιν τῆς ῥήσεως τοῦ Ἀριστοτέλους. οἴδαμεν οὖν ὅτι τῶν ἐξηγητῶν οἱ ἀκριβέστεροι γράφουσι καὶ ἑτέραν ἐξήγησιν τῆς ῥήσεως ταύτης, ᾗ καὶ μᾶλλον ἀρέσκεσθαί φασιν ἅτε πολλῷ ἁπλουστέρᾳ οὔσῃ τῆς προειρημένης καὶ οὐκ ἀναγκαζούσῃ ἡμᾶς, ὅπερ αὐτοί φασι, μαντεύεσθαι τὴν διάνοιαν τοῦ Ἀριστοτέλους· ἀξιοῦσι γὰρ κατάφασιν μὲν καὶ ἀπόφασιν μὴ τὰς ἁπλᾶς λέγεσθαι προτάσεις, ἀλλ' αὐτὸ τὸ καταφατικὸν εἶδος τῶν προτάσεων καὶ τὸ ἀποφατικόν. τῶν δὲ τεττάρων μορίων τῶν δύο ἀντιθέσεων, τῆς τε ἁπλῆς καὶ τῆς ἐκ μεταθέσεως, τὰ μὲν δύο τὰ ἐκ μεταθέσεως οὕτως ἔχει πρὸς αὐτὸ τὸ εἶδος καὶ τὴν δύναμιν τῆς καταφάσεως καὶ ἀποφάσεως ὡς αἱ στερητικαὶ προτάσεις. πῶς δὲ ἔχουσιν ἐκεῖναι; ἁπλῶς μὲν καταφάσεις ἢ ἀποφάσεις οὐ λέγονται, τὸ δὲ ὅλον τοῦτο στερητικαὶ καταφάσεις καὶ ἀποφάσεις ὥσπερ καὶ ὁ τεθνεὼς ἄνθρωπος ἁπλῶς μὲν ἄνθρωπος οὐ λέγεται, τὸ δὲ ὅλον τοῦτο νεκρὸς ἄνθρωπος λέγεται. τοῦτον οὖν, φασί, τὸν τρόπον ἔχουσι καὶ αἱ ἐκ μεταθέσεως πρὸς αὐτὸ τὸ καταφατικὸν καὶ ἀποφατικὸν εἶδος· οὐ γάρ εἰσιν ἁπλῶς καταφάσεις ἢ ἀποφάσεις, ἀλλὰ τὸ ὅλον τοῦτο ἀόριστοι καταφάσεις καὶ ἀόριστοι ἀποφάσεις. τὰ δὲ λοιπὰ δύο μόρια, τὰ τῆς ἁπλῆς ἀντιθέσεως, οὐκ ἔχει οὕτω πρὸς τὸ καταφατικὸν καὶ τὸ ἀποφατικὸν εἶδος· αὐτοφυεῖς γὰρ εἶναι ταύτας καταφάσεις καὶ ἀποφάσεις καὶ ἄνευ προσθήκης τινὸς προσαγορεύεσθαι τοῖς ὀνόμασι τούτοις δυναμένας. ταῦτα μὲν ὁ ἐκείνων λόγος, οὐ μὴν ἐμέ γε ἐπάγεται κἂν πολὺ ἔχουσα τὸ πιθανὸν ἡ ἐξήγησις· ἄτοπον γὰρ ἡγοῦμαι σαφῶς βοῶντος τοῦ Ἀριστοτέλους ὅτι νοεῖσθαι βούλεται τὰ ἐνταῦθα λεγόμενα ἐκ τῶν εἰρημένων ἐν τοῖς Ἀναλυτικοῖς περὶ αὐτῶν τούτων, ἔχοντας ἡμᾶς τὰ περὶ τῆς εἰρημένης τῶν προτάσεων ἀκολουθίας μάλα ἐναργῶς πρὸς τῷ πέρατι τοῦ πρώτου βιβλίου τῶν Ἀναλυτικῶν παραδεδομένα, ὅπερ καὶ αὐτοὶ συνομολογοῦσι, πρὸς μὲν ταῦτα μύειν, ἄλλην δέ τινα τοῦ Ἀριστοτέλους διάνοιαν τῷ ὄντι ἀπομαντεύεσθαι. ἀλλὰ πρὸς τί, φαίης ἄν, συμβάλλεται ἡμῖν τὸ εἰδέναι τὴν εἰρημένην τῶν προτάσεων ἀκολουθίαν; φημὶ δὴ ὅτι πρὸς τὴν γιγνομένην πολλάκις ἐν τοῖς συλλογισμοῖς τῶν προτάσεων μετάληψιν... f. 136. ζητήσειε δ' ἄν τις περὶ τῶν σύνθετον ἐχουσῶν τὸν κατηγορούμενον ἁπλῶν καταφάσεων, πῶς ἐπὶ τούτων τὴν ἀόριστον ἤτοι ἐκ μεταθέσεως λεγομένην κατάφασιν ποιήσομεν, ἆρα καθ' ἕκαστον τῶν συντιθέντων ὀνομάτων τὸ κατηγορούμενον τὴν ἄρνησιν παραλαμβάνοντες ἢ ἕν τι ἐξ αὐτῶν, καὶ ποῖον τοῦτο, ὥστε μὴ δοκεῖν ἀποκληρωτικὸν εἶναι τὸν λόγον; φημὶ τοίνυν ὡς εἴτε πάντα τὰ συντεθέντα κατ' οὐσίαν κατηγοροῖντο τοῦ ὑποκειμένου, καθάπερ ἐπὶ τῶν ὡρισμένων, εἴτε καὶ ἕν τι ἐξ αὐτῶν κατὰ συμβεβηκός, ὡς ὅταν εἴπωμεν "ὁ Σωκράτης ἄνθρωπος λευκός ἐστι," πάντως χρὴ τοῦ κατηγορουμένου προτίθεσθαι τὴν ἄρνησιν, ἵνα τὴν ζητουμένην ποιήσωμεν κατάφασιν πρὸς ἅπαν, ὡς ἓν τὸ κατηγορούμενον αὐτὴν ἐξακούοντες, καὶ οὐ μόνον πρὸς τὸ μόριον ᾧ τυγχάνει συντεταγμένη.

f. 137. ἐπεὶ δὲ γεγράφθαι φασὶν ἐν πολλοῖς τῶν ἀντιγρά- 19b
φων "ὅτι τὸ ἔστιν ἢ τῷ ἀνθρώπῳ προσκείσεται ἢ τῷ οὐκ ἀνθρώπῳ," 24

simplices ad easdem privatorias se similiter non habent hoc modo... dicit autem Porphyrius fuisse quosdam sui temporis qui hunc exponerent locum, et quoniam ab Hermino et Aspasio et Alexandro expositiones singulas proferentes multa contraria et in expositionibus male ab illis editis dissidentia reppererunt, arbitratos fuisse librum hunc Aristotelis ut dignum esset exponi omnino non posse, multosque illo tempore viros totam huius libri praeteriisse doctrinam, quod inexplicabilem putarent esse caliginem. — *Leo Magent.* ὅπως δὲ τῷ σοφωτάτῳ Ψελλῷ ἔδοξε, τηρῆσαι καὶ ἐνταῦθα τὴν αὐτὴν ἀναλογίαν, καὶ εἰπεῖν ὡς ὃν λόγον ἔχουσιν αἱ στερητικαὶ πρὸς τὰς ἁπλᾶς (adde τοῦτον καὶ αἱ ἐκ μεταθέσεως vel simile aliquid). ὥστε τὴν προτέραν ἑρμηνείαν, ἣν ἡρμηνεύσαμεν ἀκολουθήσαντες τῷ Ψελλῷ, ὅτι ὁμοίως ἕξει ἡ ἀκολούθησις ἐπὶ τῶν προσδιωρισμένων προτάσεων ὡς ἐπὶ τῶν ἀπροσδιορίστων, ἐάσατε κατὰ σκότους ἠλάσκεσθαι.

19b 19. f. 127 b. ἄρχεται μὲν οὖν ἐντεῦθεν τὸ τρίτον τοῦ βιβλίου κεφάλαιον, ὅπερ ἐλέγομεν εἶναι περὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων. δεῖ δὲ καὶ ἐν τούτοις πρὶν διασαφῆσαι τὰ ὑπὸ τοῦ Ἀριστοτέλους λεγόμενα, πρῶτον ἡμᾶς ἐπισκέψασθαι τίνα τε τρόπον ἐπὶ τούτων τῶν προτάσεων ἐκ τῶν καταφάσεων ποιοῦμεν τὰς ἀποφάσεις, καὶ πῶς ἂν λαβόντες αὐτὰς μετὰ τῆς προσηκούσης ἀκριβείας συνέλωμεν αὐτῶν τὸν πάντα ἀριθμόν (*)... f. 128 b. τούτων προληφθέντων ἐπισκεψώμεθα ἑξῆς τὰ διὰ τῆς ἐκτεθείσης ῥήσεως ὑπὸ τοῦ Ἀριστοτέλους λεγόμενα, ἐνταῦθα μὲν πάνυ ἀσαφῶς καὶ δι' αἰνιγμάτων ῥηθέντα, πρὸς δὲ τῷ πέρατι τοῦ προτέρου βιβλίου τῶν προτέρων Ἀναλυτικῶν (c. 46) διηρθρωμένως παραδιδόμενα· ὅθεν καὶ λαβόντες οἱ ἐξηγηταὶ παρακολουθῆσαί τε τοῖς διὰ τούτων ὑπὸ τοῦ φιλοσόφου λεγομένοις ἠδυνήθησαν καὶ διασαφῆσαι αὐτά. τῶν δὴ γιγνομένων ἐν ταῖς νῦν προκειμέναις ἡμῖν προτάσεσι δύο ἀπροσδιορίστων ἀντιφάσεων τὴν μὲν ἑτέραν καλεῖ ὁ Ἀριστοτέλης ἁπλῆν, τὴν ὡρισμένον τὸ κατηγορούμενον ἔχουσαν, ὡς κατ' αὐτὸ τοῦτο τῆς ἑτέρας ἁπλουστέραν οὖσαν, τὴν δὲ ἑτέραν ἀόριστον διὰ τὸ ἀόριστον εἶναι τὸ ἐν αὐτῇ κατηγορούμενον (*). ὁ μέντοι ἑταῖρος αὐτοῦ Θεόφραστος ὀνομάζει αὐτὴν ἐκ μεταθέσεως, δι' ἣν ἑξῆς ἐροῦμεν αἰτίαν... ἐκτιθέμενος οὖν ἐπὶ διαγράμματος τὰς προτάσεις, ὅπερ καὶ ἡμεῖς ὑπετάξαμεν, καὶ ὑπὸ τὴν ἁπλῆν κατάφασιν τάξας τὴν ἀόριστον ἀπόφασιν, ἀναγκαίως λοιπὸν ὑπὸ τὴν ἀπόφασιν τὴν ἁπλῆν τίθησι τὴν ἀόριστον κατάφασιν· διὸ καὶ ἐκάλεσεν αὐτὰς Θεόφραστος ἐκ μεταθέσεως, ὅτι μετατέθειται αὐτῶν ἐν τῷ διαγράμματι ἡ τάξις.

f. 130. ἄμεινον δὲ ἴσως καὶ ταῖς ἐννοίαις τοῦ Ἀριστοτέλους ἀκολουθότερον ἀπὸ τῶν πραγμάτων πιστώσασθαι τὸ ἐπ' ἔλαττον εἶναι τὴν ἄνευ προσδιορισμοῦ λεγομένην ἀόριστον κατάφασιν τῆς ἁπλῆς ἀποφάσεως. εἴ τις μὲν γάρ ἐστιν οὐ δίκαιος ἄνθρωπος, οὗτος δίκαιος ἄνθρωπος οὐκ ἔστιν· οὐ μὴν εἴ τις οὐκ ἔστι δίκαιος ἄνθρωπος, ἤδη καὶ ἔστιν οὐ δίκαιος ἄνθρωπος. ἐπὶ γοῦν τοῦ ὅλως μὴ ὄντος ἀνθρώπου ἀληθεύει μὲν ἡ ἁπλῆ ἀπόφασις, ψεύδεται δὲ ἡ ἀόριστος κατάφασις. ἡ δέ γε προτέρα ἐπιχείρησις, ᾗ καὶ αὐτὸς ὁ Ἀριστοτέλης πρὸς τῷ πέρατι τοῦ πρώτου τῶν Ἀναλυτικῶν (c. 46) φαίνεται χρώμενος, ἐπὶ μὲν τῶν ἀντιφασκουσῶν ἀλλήλαις προτάσεων, ὅπερ ἐν ἐκείνοις ὑπέθετο, εὐοδώσει, ἐπὶ δὲ τῶν συναληθεύειν ποτὲ δυναμένων οὐ προχωρήσει. ὅλως δὲ χρὴ ἐφιστάνειν ὅτι τὰς ἀπροσδιορίστους ἐπὶ διαφέρων μὲν τοῦ ὑποκειμένου μερῶν ἅμα δυναμένας ἀληθεύειν καταλαμβάνομεν ὁμοίως ταῖς κατὰ μέρος, ὡς ἔμπροσθεν διωρίσαμεν, καθ' ἑνὸς μέντοι καὶ τοῦ αὐτοῦ κατηγοροῦντες αὐτὰς ἢ κατ' ἐνέργειαν ἢ κατ' ἐπίνοιαν ἀεὶ διαιρεῖν εἰκότως μετ' ἐκείνου φαμὲν τό τε ἀληθὲς καὶ τὸ ψεῦδος· ἀνάγκη γὰρ τῶν τε ὄντων καὶ τῶν μὴ ὄντων ἕκαστον ἢ εἶναι τυχὸν ἄνθρωπον δίκαιον ἢ μὴ εἶναι. δῆλον δὲ ὅτι κατὰ ταύτην τὴν ἔννοιαν θεωροῦντες τὰς προτάσεις περὶ ὧν ὁ λόγος, καὶ τὸ ἐπὶ πλέον ἢ ἐπ' ἔλαττον ἀληθεύειν ἐπ' αὐτῶν λέγομεν, ὥσπερ καὶ ὅταν τοῦ ἀνθρώπου λέγωμεν ἐπὶ πλέον εἶναι τὸ ζῷον· οὐδὲν γὰρ ἄλλο διὰ τούτου σημαίνομεν ἢ ὅτι ἐφ' ὧν μὲν τὸ ἄνθρωπος ἀληθὲς κατηγορεῖν, ἐπὶ τούτων καὶ τὸ ζῷον, οὐ μέντοι ἔμπαλιν... f. 131. λοιπὸν ἐπισκεψώμεθα εἰ ὥσπερ ἔχουσιν αἱ ἁπλαῖ προτάσεις πρὸς τὰς ἐκ μεταθέσεως, οὕτως ἔχουσι καὶ αἱ στερητικαὶ πρὸς αὐτὰς πάλιν τὰς ἐκ μεταθέσεως, τουτέστιν εἰ ὥσπερ ἡ ἁπλῆ κατάφασις ἐπ' ἔλαττόν ἐστι τῆς ἀόριστον ἐχούσης τὸ κατηγορούμενον ἀποφάσεως, οὕτω καὶ ἡ στερητικὴ ἀπόφασις ἐπ' ἔλαττόν ἐστιν αὐτῆς, καὶ ὥσπερ ἡ ἁπλῆ ἀπόφασις ἐπὶ πλέον ἐστὶ τῆς ὑπ' αὐτὴν τεταγμένης ἀορίστου καταφάσεως, οὕτω καὶ ἡ στερητικὴ κατάφασις. ἔστι δὲ τούτου πᾶν τοὐναντίον ἀληθές· οὔτε γὰρ ἡ ἀπόφασις ἡ στερητικὴ τῆς ἀορίστου ἐπ' ἔλαττον ἀλλ' ἐπὶ πλέον, οὔτε ἡ κατάφασις ἐπὶ πλέον ἀλλ' ἐπ' ἔλαττον. ὅτι δὲ τοῦτο οὕτως ἔχει, ῥᾳδίως δείξομεν.

f. 133. εἶτα πρὶν διδάξαι πῶς διχῶς λέγονται (τῶν προτάσεων αἱ ἀντιθέσεις), πρότερον ἐπὶ παραδείγματος ὑφηγεῖται πότε λέγεται προσκατηγορεῖσθαι τὸ ἔστιν, ὅπερ ἐκάλεσεν ὄνομα ἢ ῥῆμα, διότι ῥῆμα μέν ἐστιν ἅτε προσσημαῖνον χρόνον, οὐδὲν δὲ κωλύει καὶ ὄνομα αὐτὸ καλεῖν κατὰ τὴν ἔννοιαν καθ' ἣν ἐλέγομεν πάσας τὰς σημαντικὰς φωνὰς ὀνόματα προσαγορεύεσθαι. καὶ οὐδὲ οὕτως ἐπήγαγε τὴν κατασκευὴν τοῦ διχῶς λέγεσθαι ταύτας τὰς ἀντιθέσεις, ἀλλὰ νῦν μὲν ὡς δήλου τούτου ὄντος κατὰ τὸ μέγεθος τῆς ἑαυτοῦ νοερᾶς ἕξεως τὸ συμπέρασμα μόνον εἶπε, μᾶλλον δὲ τὸ ἀκόλουθον τῷ συμπεράσματι, ἐπαγαγὼν "ὥστε διὰ τοῦτο" (λέγει δὲ τὸ διχῶς λέγεσθαι τὰς ἀντιθέσεις) "τέτταρα ταῦτα ἔσται." εἴρηται δὲ τοῦτο κατὰ ἔλλειψιν τοῦ μόρια· τέτταρα γὰρ μόρια καὶ τέτταρες προτάσεις εἰσὶ τῶν δύο ἀντιθέσεων, τῆς τε ἁπλῆς καὶ τῆς ἀορίστῳ κατηγορουμένῳ χρωμένης. ἐφεξῆς δὲ καὶ τὴν κατασκευὴν σαφῶς ἐπάγει τοῦ διχῶς ἐνταῦθα λέγεσθαι τὰς ἀντιθέσεις τὰς τῷ αὐτῷ ὑποκειμένῳ χρωμένας (*) καὶ τέτταρα αὐτῶν γίγνεσθαι μόρια, δι' ὧν φησὶ

dispositio discrepet diligenter agnoscit: nos enim et contrarias proposuimus et subcontrarias, Aristoteles vero solum contradictorie sibimet contraiacentes oppositasque proposuit.

(*) *Boëth.* II p. 374: quod autem dicitur perobscurum est et expositum a pluribus incurate, quorum cum iudicio competenti enumerabo sententias.

(**) *Ioannes:* ὁ κατηγορούμενος ὅρος τὸ οὐ προσλαμβάνων ἀρνητικὸν μόριον οὐ ποιεῖ ἀποφατικὸν ἀλλὰ μᾶλλον καταφατικόν, καὶ καταφατικὸν οὐχ ἁπλῶς, ἀλλ' ἣν οἱ περὶ Θεόφραστον ἐκ μεταθέσεως λέγουσιν, ἀόριστον δὲ Ἀριστοτέλης.

(*) *Boëth.* II p. 378: ait Herminus tribus modis cum infinito nomine propositiones posse proferri... sed hic longe a toto intellectu et ratione sententiae discrepans has interposuit, quae aut ex utrisque infinitis aut ex subiecto fierent infinito... nos autem Porphyrium sequentes eique doctissimo viro consentientes hoc dicimus, esse quattuor propositiones, quarum duae quidem ex finitis nominibus sunt, duae vero ex infinitis nominibus praedicatis... *id.* p. 384: est alia quoque simplicior expositio, quam Alexander post multas alias expositiones, in quibus animadvertit, edidit hoc modo. cum sint, inquit, quattuor propositiones, quarum duae sunt infinitae duae vero simplices, duae, inquit, infinitae aequaliter se habent secundum affirmationem et negationem ad privatorias, duae vero

ὁμοίως δεκτικὰ ψεύδους τε καὶ ἀληθείας, ὡς τὰ περὶ τῶν ὁπότερ' ἔτυχεν ἐνδεχομένων ἀποφαινόμενα, ἢ τὸ μὲν ἕτερον μᾶλλον ἀληθεύειν πεφυκὸς τὸ δὲ ἕτερον ψεύδεσθαι μᾶλλον, οὔτε μέντοι τὸ ἀληθεῦον ἀεὶ ἀληθεῦον οὔτε τὸ ψευδόμενον ἀεὶ ψευδόμενον, ὅπερ ἐσήμηνε διὰ τοῦ "οὐ μέντοι ἤδη ἀληθῆ ἢ ψευδῆ." δῆλον δὲ ὅτι ἐπὶ μὲν τοῦ ὡς ἐπὶ τὸ πολὺ λεγομένου ἡ κατάφασίς ἐστιν ἡ μᾶλλον ἀληθής, ἐπὶ δὲ τοῦ ὡς ἐπ' ἔλαττον ἡ ἀπόφασις.

19b 5. f. 124. παντοδαπῶς λεπτουργήσας τὴν διδασκαλίαν τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων, ὡς ὡρισμένου ὄντος τοῦ ὑποκειμένου, προστίθησι διὰ τούτων ὅτι ὅσαι εἰσὶν ἐκεῖναι τὸν ἀριθμόν, τοσαύτας ἑτέρας ἀνάγκη γίγνεσθαι προτάσεις ἐξ ὑποκειμένου πάλιν καὶ κατηγορουμένου, ἀλλ' οὐκέτι ὡρισμένου ὄντος τοῦ ὑποκειμένου ἀλλ' ἀορίστου... ἵνα δὲ μή τις ὑπολάβοι μηδ' ἂν γενέσθαι τὴν ἀρχὴν πρότασιν ἐξ ὑποκειμένου μόνου τοῦ, διότι, ὡς εἴρηται πρότερον, τὴν μίαν πρότασιν ἓν χρὴ ἔχειν τὸ ὑποκείμενον καὶ ἓν τὸ κατηγορούμενον, ἓν δὲ οὐ τῷ ὀνόματι ἀλλὰ τῷ σημαινομένῳ, ὅπερ οὐχ ὑπάρχει τῷ ἀορίστῳ ὀνόματι (ἓν γὰρ ἀναιροῦν τὸ ὑπὸ τοῦ ὡρισμένου δηλούμενον τοῖς παρ' αὐτὸ πᾶσιν ἐφαρμόττει), διὰ τοῦτο τίθησί τε τὴν ἔννοιαν τῆς τοιαύτης ἀπορίας ὁ φιλόσοφος, ἀναμιμνήσκων ἡμᾶς τοῦ ἓν δεῖ εἶναι τὸ κατηγορούμενον ἐν τῇ μιᾷ καταφάσει καὶ καθ' ἑνὸς λέγεσθαι ὑποκειμένου, καὶ ἐπιδείκνυσιν ὑπάρχον τοῦτο καὶ ταῖς ἐξ ἀορίστου ὑποκειμένου προτάσεσι, τῷ εἰπεῖν ἓν γάρ πως σημαίνει καὶ τὸ ἀόριστον ὄνομα, οὐ παρελκόντως τὸ πῶς προσθεὶς ἀλλ' ὑπὲρ τοῦ ἐνδείξασθαι ὅτι οὐ φύσιν μίαν σημαίνει, καθάπερ τὸ ὡρισμένον. ἐκεῖνο γὰρ εἰ μὴ ὁμώνυμον εἴη, ἢ τῷ γένει ἕν τι σημαίνει ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ, τούτων δὲ ἕκαστον ὥρισται· τὸ δὲ ἀόριστον οὐχ οὕτω, κἂν ἑνικῶς αὐτὸ προφέρωμεν, ὁ οὐκ ἄνθρωπος λέγοντες, ἀλλὰ κοινωνίαν μόνον πρὸς ἄλληλα πάντων τῶν παρὰ τὸ σημαινόμενον ὑπὸ τοῦ ὡρισμένου, κατ' αὐτὸ τοῦτο τὸ μηδὲν αὐτῶν εἶναι ὅπερ ἐκεῖνο. διὸ καὶ λέγει ἑνικῶς "τὸ δὲ ἀόριστον." τοῦτο τὸ ὄνομα εἰκότως ἀνώνυμον ἐκάλεσεν (*), ἐνδεικνύμενος τὸ στερητικὸν αὐτὸ δηλοῦν τοῦ σημαινομένου ὑπὸ τοῦ ὡρισμένου ὀνόματος... λέγεται δὲ τοῦτο δηλονότι περὶ τῆς ἁπλουστάτης καταφάσεως τῆς ἐξ ὑποκειμένου μόνου καὶ κατηγορουμένου, περὶ ἧς καὶ πρόκειται αὐτῷ νῦν διδάσκειν. ὥστε οὐ χρὴ ζητεῖν πῶς ἂν ἐφαρμόσειε τοῦτο ἢ ταῖς ἐκ τρίτου προσκατηγορουμένου καταφάσεσιν ἢ ταῖς μετὰ τοῦ τρίτου. ἀλλὰ πῶς ἑξῆς τούτοις ἐπιφέρει ἄνευ ῥήματος μηδεμίαν εἶναι οὐ μόνον κατάφασιν ἀλλὰ καὶ ἀπόφασιν, εἴπερ τὰς ἀποφάσεις ἐκ τῶν ἀορίστων συμβαίνει γίγνεσθαι ῥημάτων; ἢ ῥητέον, ὅπερ Ἀλέξανδρος φησίν, ὅτι τὸ ἀόριστον ῥῆμα κατὰ τοῦ ὑποκειμένου ἀποφασκόμενον καὶ τὴν ἀπόφασιν ποιοῦν τῷ μὲν ὑποκειμένῳ τὰ αὐτὰ ὄντα τυγχάνουσι, τῇ μέντοι σχέσει διαφέρουσί πως ἀλλήλων. τὸ γοῦν οὐ βαδίζει καθ' ἑαυτὸ μὲν λεγόμενον ἀόριστον εἴη ἂν ῥῆμα, ὡς ἕν τι θεωρούμενον καὶ οὐδὲν μέρος καθ' αὑτὸ σημαντικὸν ἔχον, καθάπερ εἴρηται πρότερον. ἐν μέντοι τῇ ἀποφάσει τῇ λεγούσῃ Σωκράτης οὐ βαδίζει, οὐκ ἂν εἴποιμεν ἀκριβολογεῖσθαι, βουλόμενοι τὸ οὐ βαδίζει ῥῆμα εἶναι ἀόριστον, ἀλλὰ μᾶλλον ῥῆμα καθ' αὑτὸ μὲν ὡρισμένον, τοῦ δὲ ὑποκειμένου ἀποφατικῶς κατηγορούμενον, καὶ διὰ τοῦ ἀρνητικοῦ μορίου διακρινόμενον ἀπ' αὐτοῦ, ὡς ἐνταῦθα μηκέτι μὲν ὡς ἓν ἀλλ' ὡς δύο λαμβάνεσθαι τὸ οὐχ ὑγιαίνει, τοῦ ἀρνητικοῦ μορίου τὸ διακεκρίσθαι τὸ κατηγορούμενον ἀπὸ τοῦ ὑποκειμένου ἐμφαίνοντος. μήποτε δὲ δυνατὸν ᾖ λέγειν καὶ ὅτι ἐν τῷ "ἄνευ δὲ ῥήματος οὐδεμία κατάφασις οὐδὲ ἀπόφασις" (v. 12) τὸ τοῦ ῥήματος ὄνομα κοινότερον εἴληπται κατά τε τοῦ ὡρισμένου καὶ τοῦ ἀορίστου, διδάσκοντος μὲν τοῦ Ἀριστοτέλους καὶ ὅπερ εἴρηται καὶ πρότερον, ὅτι πρὸς τὸ γενέσθαι ἀποφαντικὸν λόγον δεῖ πάντως ῥήματος, ἐξεπίτηδες δὲ νῦν πάλιν τοῦτο προσθέντος ἐν τῇ θεωρίᾳ τῶν ἐξ ἀορίστου τοῦ ὑποκειμένου προτάσεων, ἵνα μή τις ὑπολάβῃ τὰ ἀόριστα ὀνόματα, περὶ ὧν νῦν προσεχῶς ὁ λόγος, ἀρκεῖν καὶ καθ' αὑτὰ λεγόμενα πρὸς γένεσιν ἀποφάσεως, ἐπεὶ καὶ φαντασίαν ἀποτελοῦσι τοῦ παραπλησίαν δύναμιν ἔχειν ταῖς ἀποφάσεσιν, ὅπερ ἐν τοῖς ἑξῆς σαφέστερον παραδώσει... λαμβάνει δὲ τῶν μὲν ἄνευ προσδιορισμοῦ οὐ τὰς καθ' ἕκαστα ἀλλὰ τὰς ἀπροσδιορίστους, τῶν δὲ μετὰ προσδιορισμοῦ οὐ τὴν κατὰ μέρος κατάφασιν ἀλλὰ τὴν καθόλου, ὡς τοῦ αὐτοῦ δηλονότι λόγου καὶ ἐπὶ τῶν παραλελειμμένων προτάσεων ἐφαρμόζοντος. τῆς μέντοι καθόλου καταφάσεως, τῆς τε ὡρισμένον ἐχούσης τὸ ὑποκείμενον καὶ τῆς ἀόριστον, οὐκ ἔλαβε τὴν κυρίως ἀπόφασιν τὴν ἀντιφατικῶς ἀεὶ πρὸς αὐτὴν ἀντικειμένην, ἀλλ' ὥσπερ ἐλέγομεν πρότερον, τὴν δοκοῦσαν μὲν ἐπαμφοτερίζειν καὶ συμᾴδειν τῇ τε ἀντιφασκούσῃ καὶ τῇ ἐναντίᾳ, μᾶλλον μέντοι τῇ ἀντιφασκούσῃ ταὐτὸν δυναμένην· τοιαῦται γὰρ ἥ τε "οὐκ ἔστι πᾶς ἄνθρωπος" (v. 17) καὶ ἡ "οὐκ ἔστι πᾶς οὐκ ἄνθρωπος" (v. 18), ἡ μὲν τῇ "οὐ πᾶς ἄνθρωπός ἐστιν," ἡ δὲ τῇ "οὐ πᾶς οὐκ ἄνθρωπός ἐστι" ταὐτὸν φθεγγομένη. τοῦτο δέ, διότι οὐκ ἦν προκείμενον παραδιδόναι νῦν πάλιν τὴν ἀντιφατικὴν τῶν προτάσεων ἀντίθεσιν, ἀλλ' ἐπισημήνασθαι μόνον ὅτι προηγοῦνται αἱ ἐξ ὡρισμένου τοῦ ὑποκειμένου προτάσεις τῶν ἐξ ἀορίστου. ἅμα δὲ ἴσως καὶ διδάξαι ἡμᾶς ὁ φιλόσοφος ἠβουλήθη ὅτι καὶ αἱ τοιαῦται προτάσεις συντάττοιντο ἂν ταῖς ἀποφάσεσι. δεῖ δὲ ἐφιστάνειν ὅτι ἀκριβῆ ἐν τούτοις ὁ Ἀριστοτέλης παραδείγματα παρέθετο τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων, "ἔστιν ἄνθρωπος" εἰπὼν καὶ "ἔστι πᾶς ἄνθρωπος," ἀλλ' οὐ καθάπερ πρότερον ἔλεγεν, "ἔστιν ἄνθρωπος λευκός" (*) καὶ "ἔστιν ἄνθρωπος καλός," αἳ ἦσαν ἐκ τρίτου προσκατηγορουμένου προτάσεις.

(*) *Boëth.* II p. 373: recte nullam differentiam propositionum de infinitis verbis fecit: infinita enim verba tunc sunt infinita cum sola sunt, si vero cum infinito nomine iungantur aut finito nomine, non infinita verba iam sunt sed finita, cum negatione tamen in tota propositione intelliguntur. si ergo, quemadmodum Stoici volunt, ad nomina negationes ponentur, ut esset "non homo ambulat" negatio, ambiguum esse posset, cum dicimus "non homo," an infinitum nomen esset, an vero finitum cum negatione coniunctum.

(*) *Boëth.* II p. 374: numerum propositionum quas nos supra quoque descripsimus, ipse subiecit (Aristoteles), et infinitas quidem prius, post vero contraiacentes. et si quis ad illa revertitur et hic intendit animum, in quo vel nostra vel Aristotelis

ξαι ὅτι οὐδὲ συμψεύδεσθαι δυνατὸν ταύτας τὰς προτάσεις, ὅπερ οὔτε ἐδόκησέ τι τὸν οὕτω λέγειν αἱρούμενον πρὸς τὸ εἰσάγειν τὸ ἐνδεχόμενον, ἀλλὰ καὶ ἄλλως ἐστὶν ἀδύνατον· δειχθήσεται γὰρ καὶ κατ' αὐτὴν τὴν ὑπόθεσιν τὸ αὐτὸ πρᾶγμα καὶ ἀναγκαίως ἐκβαῖνον καὶ ἀδύνατον ἔχον τὴν ἔκβασιν. φησὶν οὖν ὡς οὐδὲ τοῦτο ἐνδέχεται λέγειν ὅτι αἱ καθ' ἕκαστα καὶ ἐνδεχόμεναι προτάσεις κατὰ τὸν μέλλοντα χρόνον συμψεύδονται ἀλλήλαις, ὅπερ ἐσήμηνε διὰ τοῦ οὐδ' ὡς οὐδέτερόν γε ἀληθές, ἐπεὶ πρῶτον μέν φησιν ἀναιρήσομεν τὸ ἀξίωμα τῆς ἀντιφάσεως, ἀφ' οὗ πάσας προάγομεν τὰς ἀποδείξεις ὡς ὄντος ἐναργεστάτου· πρὸς δὲ τούτοις συμβήσεται τὸ πρᾶγμα ἅμα μήτε ἔσεσθαι διὰ τὸ ψεύδεσθαι τὴν λέγουσαν ἔσεσθαι αὐτὸ κατάφασιν, καὶ πάλιν ἔσεσθαι διὰ τὸ ψεύδεσθαι τὴν λέγουσαν μὴ ἔσεσθαι αὐτὸ ἀπόφασιν, ὥστε καὶ ἔσεσθαι αὐτὸ ἐξ ἀνάγκης καὶ μὴ ἔσεσθαι ἐξ ἀνάγκης, οὗ τί ἂν εἴη τερατωδέστερον; ἵνα δὲ τοῦτο συναγάγῃ, ἀναμιμνήσκει ἡμᾶς τοῦ λημματίου τοῦ λέγοντος ὅτι τῇ ἀληθείᾳ τῶν λόγων ἡ τῶν πραγμάτων ἔκβασις ἀκολουθεῖ, καὶ οὐ κατὰ τὸν ἐνεστῶτα μόνον χρόνον ἀλλὰ καὶ κατὰ τὸν μέλλοντα. εἰ γάρ τις προειπὼν ὅτι τεχθήσεται αὔριον παιδίον λευκὸν καὶ μέγα ἀληθῶς προλέγει, δεῖ αὔριον τεχθῆναι παιδίον, ᾧ ἀμφότερα τὰ προειρημένα ὑπάρξει. σιωπήσας οὖν τὸ τούτων ἀκόλουθον, ὅτι καὶ τῷ ψευδεῖ τῶν λόγων ἕπεται τὸ τὰ πράγματα μὴ ὑπάρχειν, ὡς ἤδη πρότερον αὐτῷ παραδεδομένον, ἅμα τούτῳ τῷ θεωρήματι τὸ ἑπόμενον τῷ παραλελειμμένῳ συνάγει λέγων "εἰ δὲ μήτε ἔσται μήτε μὴ ἔσται αὔριον, οὐκ ἂν εἴη τὸ ὁπότερ' ἔτυχε" (v. 22), τουτέστιν, εἰ δὲ συμψεύδονται αἱ τοιαῦται προτάσεις, ἀναιρεθήσεται μὲν καὶ οὕτω τὸ ἐνδεχόμενον, ἀναιρεθήσεται δὲ διὰ τὸ ἅμα ἀναγκαίως τε ἐκβαίνειν τὸ πρᾶγμα καὶ ἀδύνατον ἔχειν τὴν ἔκβασιν.

18a 26. f. 118. σφίγγων ἐν τούτοις τὸν πάντα λόγον ὁ Ἀριστοτέλης (*) τοῦ τε προτεθέντος ἐξ ἀρχῆς προβλήματος ἀναμιμνήσκει, καί τινα τὰ ἕπεσθαι αὐτῷ δεδειγμένα προστίθησι, καὶ ἄτοπα ταῦτα καλεῖ, καίτοι μηδέπω δείξας ὅτι ἐστὶν ἄτοπα, ταῖς τε αὐτοφυέσιν ἐννοίαις τῶν ψυχῶν ἀποχρώμενος, καὶ ὡς εὐθὺς ἐπάξων τὴν κατασκευὴν τοῦ ἄτοπον εἶναι τὸν ἀναιρεῖν πειρώμενον τὸ ἐνδεχόμενον λόγον· ὃν ἐλέγχει διχόθεν, νῦν μὲν ἐπιδεικνὺς ὅσα ἕπεται αὐτῷ ἀδύνατα, ὀλίγον δὲ ὕστερον καὶ τὰ ψευδῶς εἰλημμένα ἑαυτῷ διαβάλλων... διὰ τούτων οὖν τέως παραδιδοὺς τὰ ἑπόμενα ἀδύνατα τοῖς ἀναιροῦσι τὸ ἐνδεχόμενον, φησὶν ὡς εἴ τις ἀξιοίη πᾶσαν ἀντίφασιν κατὰ πάντα χρόνον ὁμοίως ἔχειν πρὸς τὸ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, καὶ μὴ μόνον τὰς διαγωνίους, ἃς καθόλου ὡς καθόλου καλεῖν εἴωθεν, ἀφωρισμένως ἔχειν ἀεὶ τὴν μὲν ἑτέραν τῶν προτάσεων

(*) *Boëth.* II p. 359: nos secuti Porphyrium cum huius disputationis expositionem coepimus, id quod prius dixit in singularibus et futuris, ob hoc dixisse praediximus, quod facilior sit intellectus disputationis, si haec prius in singularibus perspicerentur; de quibus singularibus diligentissime praelocutus, nunc de universalibus universaliter praedicatis et de his quae in eis fiunt contradictiones loquitur... Alexander autem in singularibus et futuris dixisse eum arbitratur, tanquam si diceretur in his futuris quae in generatione et corruptione sunt.

ἀληθῆ τὴν δὲ ἑτέραν ψευδῆ κατὰ πᾶσαν ὕλην, ἀλλὰ καὶ τὰς καθ' ἕκαστα, ᾧ ἠκολούθει τὸ ἐκποδὼν γίγνεσθαι τὸ ἐνδεχόμενον, ματαιοπονίαν τῆς φύσεως κατηγορήσει βουλευτικοὺς ἡμᾶς ποιησάσης· δῆλον γὰρ ὡς εἰ μηδέν ἐστιν ἐφ' ἡμῖν, μάτην ἐπιχειρήσομεν βουλεύεσθαι περὶ τῶν οὐκ ἐν τῇ ἐξουσίᾳ τῇ ἡμετέρᾳ κειμένων, καὶ ὅμοιόν τι ποιήσομεν τοῖς βουλευομένοις πῶς ἀνατείλοι ἢ μὴ ἀνατείλοι ὁ ἥλιος.

f. 120. παραδοὺς ἡμῖν διὰ τῶν προλαβόντων ὅσα ἕπεται ἀδύνατα τοῖς ἀναιροῦσι τὸ ἐνδεχόμενον, ὅτι τὸ μάτην βουλεύεσθαι, μάτην ἐγχειρεῖν ὅλως ταῖς πράξεσι, καὶ ὅσα τούτοις ἐστὶν ἀκόλουθα, οἷον 19a 7. τὸ μάτην αἰτιᾶσθαί τινας ὡς συμπράττοντας ἡμῖν ἢ ἀντιπράττοντας, μάτην ἐπαινεῖν τινὰς ὡς ἀγαθοὺς ἢ ψέγειν ὡς κακούς, καὶ ὀνόματα κενὰ εἶναι τὰ πολυθρύλλητα ταῦτα, τὴν ἀρετὴν καὶ τὴν κακίαν (πῶς γὰρ οἷόν τε ταῦτα χώραν ἔχειν, μηδενὸς ὄντος ἐφ' ἡμῖν, ἀλλ' ἐξ ἀνάγκης ἡμῶν, ὡς ὁ ἐκείνων λόγος, ἐπὶ τὸ τάδε τινὰ πράττειν ἀγομένων; ἅπερ δηλονότι καὶ ἐναργῶς ἄλογα καὶ τὸν ὅλον τῶν ἀνθρώπων ἄρδην ἀνατρέπει βίον), προστίθεται διὰ τούτων καὶ ἐπ' εὐθείας ἐξ αὐτῆς τῆς ἐνεργείας τῶν πραγμάτων ἐπιδεῖξαι ὅτι τέ ἐστιν ἐν τοῖς οὖσι τὸ ἐνδεχόμενον, καὶ ἐν τίσιν ἐστίν, ὅτι οὐκ ἐν τοῖς ἀϊδίοις ἀλλ' ἐν μόνοις τοῖς ἐν γενέσει καὶ φθορᾷ τὸ εἶναι ἔχουσιν... ἅπερ ἐνδεικνύμενος ὁ Ἀριστοτέλης εἶπεν ὅτι ἀρχή ἐστι τῶν ἐσομένων καὶ ἀπὸ τοῦ βουλεύεσθαι καὶ ἀπὸ τοῦ πρᾶξαί τι, τῷ μὲν ὀνόματι τοῦ ἐσομένου ἐπὶ τοῦ μήπω μὲν ἐκβεβηκότος, δυναμένου δὲ ἐκβῆναι εἰ μή τι κωλύσει, κοινότερον νῦν χρησάμενος, διὰ δὲ τοῦ πρᾶξαί τι δηλῶν τὸ ταῖς ἀρχαῖς ἐγχειρῆσαι τῆς πράξεως, ὅπερ πρότερον ἐκάλει πραγματεύεσθαι. ἐν τίσι δὲ τῶν ὄντων ἔχει τὴν ὑπόστασιν τὸ ἐνδεχόμενον, συντόμως ἐδίδαξεν εἰπὼν ὅτι ἐν τοῖς μὴ ἀεὶ ἐνεργοῦσι, ταὐτὸν δ' εἰπεῖν τοῖς ποτὲ μὲν οὖσι ποτὲ δὲ μὴ οὖσι (*).

f. 122. διττὸν εἶναί φησι τὸ ἀναγκαῖον, τὸ μὲν τὸ ἁπλῶς καὶ 19a 23. κυρίως λεγόμενον, ὅπερ ἐστὶ τὸ ἀεὶ ὑπάρχον τῷ ὑποκειμένῳ ὡς οὐδ' ὑφεστάναι χωρὶς αὐτοῦ δυναμένῳ, τοῦ ἀεὶ ἤτοι κατὰ τὸν ἄπειρον χρόνον λαμβανομένου ὡς ἐπὶ τῶν ἀϊδίων, οἷον ὅταν λέγωμεν ἐξ ἀνάγκης κινεῖσθαι τὸν ἥλιον ἢ τοῦ τριγώνου τὰς γωνίας δύο ὀρθαῖς ἴσας εἶναι, ἢ ἕως ἂν ὑπάρχῃ τὸ ὑποκείμενον, ὡς ὅταν εἴπωμεν ἐξ ἀνάγκης τόδε τὸ πῦρ θερμὸν εἶναι ἢ τὸν Σωκράτην ζῷον εἶναι· τὸ δὲ οὐ τοιοῦτον, ἀλλὰ μετὰ μὲν προσδιορισμοῦ τοῦ ἕως ἂν ᾖ τὸ κατηγορούμενον ὑπὸ τοῦ λέγοντος οὕτως αὐτὸ ἔχειν ἀληθεῦον, ἁπλῶς δὲ οὐκέτι, εἴτε ἀΐδιον εἴη τὸ ὑποκείμενον εἴτε φθαρτόν... f. 123 *b.* ἀνάγκη πάντως αὔριον ἢ γενέσθαι ἢ μὴ γενέσθαι ναυμαχίαν, οὐ μέντοι διελόντες καὶ τὸ ἕτερον μόνον μόριον τῆς ἀντιφάσεως εἰπόντες ἀσφαλῶς ἀποφανούμεθα ὅτι ἔσται πάντως ἢ οὐκ ἔσται πάντως. δῆλον ἄρα ὅτι ἀνάγκη τοὺς περὶ τῶν ἐνδεχομένων ἀποφαινομένους λόγους (ὅπερ ἐσήμηνε τῇ ἀναιρέσει τῶν ἄκρων, τοῦ ἀναγκαίου λέγω καὶ τοῦ ἀδυνάτου, ὧν τὸ μὲν ἐκάλεσεν ἀεὶ ὄν, τὸ δὲ ἀεὶ μὴ ὄν) μὴ πάντως ἔχειν τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως ἀφωρισμένως ἀληθεῦον, ὅπερ ἦν τὸ ἐξ ἀρχῆς ἡμῖν εἰς ἐπίσκεψιν προκείμενον, ἀλλ' ἤτοι ἄμφω

(*) Boëthus II p. 364 sqq. Philonis, Diodori, Stoicorum ipsiusque Aristotelis sententias de possibilitate exponit.

κότα (τοῦτο γάρ ἐστι τὸ ἐπὶ τῶν ὄντων καὶ τῶν γενομένων τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθῆ ἢ ψευδῆ εἶναι), πρότερον μὲν ὅτι ταῖς διαγωνίοις τοῦτο ὑπάρχει διδάσκων, ἃς καθόλου ὡς καθόλου προσηγόρευσεν ὡς ἐχούσας τὴν ἑτέραν τῶν προτάσεων καθόλου, ἔπειτα προστιθεὶς ὅτι καὶ ἐπὶ τῶν καθ' ἕκαστα προτάσεων τὸ αὐτὸ συμβαίνει ὅπερ καὶ ἐπὶ τῶν διαγωνίων· τοῦτο γὰρ βούλεται τὸ "ὥσπερ εἴρηται.".. πάνυ δὲ ἀκριβῶς τὸ ἴδιον τῶν προτάσεων, περὶ ὧν ὁ λόγος, ἀφοριζόμενος ἐπὶ τῶν καθ' ἕκαστα καὶ μελλόντων εἶπε, διὰ τοῦ "μελλόντων" τὸ ἐπὶ τῆς ἐνδεχομένης ὕλης λαμβανόμενον σημαίνων. ἄλλο γάρ ἐστιν, ὡς αὐτὸς ἐν τοῖς περὶ Γενέσεως καὶ Φθορᾶς (2 11) *διορίζεται, τὸ μέλλον παρὰ τὸ ἐσόμενον· καὶ τὸ μὲν ἐσόμενον τὸ πάντως ἐκβησόμενον σημαίνει, ὡς ὅταν εἴπωμεν ἔσται χειμὼν ἢ θέρος ἢ ἔκλειψις, τὸ δὲ μέλλον τὸ ἐκβῆναι καὶ μὴ ἐκβῆναι δυνάμενον, οἷον μέλλω βαδίζειν, μέλλω πλέειν.*

18a 34. f. 112. *βούλεται μὲν διὰ τούτων παραστῆσαι τῇ δόξῃ τῇ ἀναιρούσῃ τὸ ἐνδεχόμενον, ἵνα ὡς οἷόν τέ ἐστι κρατυνθεῖσαν αὐτὴν διελέγξῃ. τοὺς δὲ προϊσταμένους ταύτης τῆς δόξης διὰ τούτων ὑποκρινόμενος ὥσπερ λημμάτιόν τι πρῶτον λαμβάνει, ὅτι τῇ μὲν ἀληθείᾳ τῶν λόγων ἕπεσθαι ἀνάγκη τὴν ὕπαρξιν τῶν πραγμάτων, τῷ δὲ ψεύδει τὴν ἀνυπαρξίαν· ὅπερ αὐτῷ βούλεται τὸ "εἰ γὰρ πᾶσα κατάφασις ἢ ἀπόφασις ἀληθὴς ἢ ψευδής, καὶ ἅπαν ἀνάγκη ὑπάρχειν ἢ μὴ ὑπάρχειν." ἔπειτα ὁρμᾶται μὲν ἀπὸ τοῦ ἀξιώματος τῆς ἀντιφάσεως, λέγων ὅτι ἀνάγκη τῶν καθ' ἕκαστα καὶ ἐνδεχομένων προτάσεων ἐπὶ τοῦ μέλλοντος χρόνου λαμβανομένων τὴν ἑτέραν ἀληθεύειν, ἐπειδὴ οὔτε ἀμφοτέρας ἅμα ψεύδεσθαι οὔτε ἀληθεύειν ἀμφοτέρας ἅμα δυνατόν. τούτων δὲ τὸ μέν, ὅτι οὐκ ἀληθεύουσιν ἄμφω, λέγεται σαφῶς ἐν τούτοις διὰ τοῦ "ἄμφω γὰρ οὐχ ὑπάρξει ἅμα ἐπὶ τοῖς τοιούτοις," τουτέστιν, αἱ γὰρ τοιαῦται προτάσεις οὐ πείσονται τὸ αὐτὸ ταῖς ἀπροσδιορίστοις, ταῖς ἐπὶ τῆς ἐνδεχομένης ὕλης λαμβανομέναις· ἐκείνας μὲν γὰρ συναληθεύειν ἐλέγομεν, ταύτας δὲ συναληθεύειν ἀδύνατον, ἵνα μὴ τὸ αὐτὸ ἅμα τῷ αὐτῷ καὶ ὑπάρχῃ καὶ μὴ ὑπάρχῃ, οἷον τῷ Σωκράτει καὶ τὸ λούσασθαι τῇ ἑξῆς καὶ τὸ μὴ λούσασθαι. τὸ δέ, ὅτι οὐδὲ ψεύδεσθαι αὐτὰς ἅμα δυνατόν, ἐν τοῖς ἐφεξῆς προσθήσει.*

18a 39. f. 113. *τὸ προειρημένον λημμάτιον κρατῦναι βουλόμενος ὁ Ἀριστοτέλης, ὅτι τῇ ἀληθείᾳ τῶν λόγων ἕπεται ἡ ὕπαρξις τῶν πραγμάτων καὶ τῷ ψεύδει ἡ ἀνυπαρξία, διὰ παραδειγμάτων ἐπιδείκνυσι τοῦτο οὕτως ἔχον.*

18b 1. f. 113 *b*. *διόπερ φησὶ "καὶ εἰ ἔστι λευκὸν ἢ οὐ λευκόν, ἀληθὲς ἦν φάναι ἢ ἀποφάναι," διδάσκων ἡμᾶς ἅμα διὰ τοῦ μὴ εἰπεῖν ἀληθές ἐστι φάναι, ἀλλ' ἀληθὲς ἦν, ὅπερ ἐν τοῖς ἑξῆς σαφῶς προσθήσει, ὅτι οὐ μόνον κατ' αὐτὸν τὸν χρόνον καθ' ὃν ἐκβαίνει τὰ πράγματα καὶ ὑφέστηκεν ἀληθές ἐστι λέγειν περὶ αὐτῶν ὅτι οὕτως ἔχει ὡς ἔχει, ἀλλὰ καὶ πρὸ τῆς ἐκβάσεως ἀληθής ἐστιν ἡ περὶ αὐτῶν πρόρρησις, ἀναγκαίως τοῦτο προλαμβάνων ὡς ἐσόμενον αὐτῷ χρήσιμον πρὸς τὴν ἀναίρεσιν τοῦ ἐνδεχομένου καὶ τὴν ὅλην τῆς ἐφόδου δύναμιν, ὡς μαθησόμεθα, συνέχον. τοῦτο οὖν ὥσπερ ἐκ συλλογισμοῦ συνάγων, ἀκολούθως ἐπάγει τὸ "ὥστε ἀνάγκη τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθῆ εἶναι ἢ ψευδῆ," προσυπακουομένου δηλονότι τοῦ ἀφωρισμένως. καὶ τοῦτο εἰκότως.*

18b 5. f. 114. *διὰ τοῦ "ἄρα" σημαίνει ὡς ἐκ τῆς ἀνάγκης τῶν προειλημμένων ἀναιρεῖσθαι συμβαίνει τὸ ἐνδεχόμενον. οὗπερ εἰς τρία διῃρημένου τὸ μὲν λέγεται ὡς ἐπὶ τὸ πολύ, οἷον τὸ γενέσθαι ἄνθρωπον πενταδάκτυλον ἢ ἐν γήρᾳ πολιοῦσθαι (σπάνια γὰρ τὰ μὴ οὕτως ἔχοντα), τὸ δὲ ὡς ἐπ' ἔλαττον, οἷον τὸ σκάπτοντα θησαυρῷ περιτυχεῖν, τὸ δὲ ἐπ' ἴσης, οἷον τὸ λούσασθαι καὶ μὴ λούσασθαι ἢ βαδίσαι καὶ μὴ βαδίσαι. καὶ περὶ μὲν τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον ἔχουσι δύο τινὰ αἴτια, ἥ τε φύσις καὶ ἡ τέχνη· τήν τε γὰρ φύσιν ὡς ἐπὶ τὸ πολὺ κατορθοῦσαν ὁρῶμεν ἐν τοῖς οἰκείοις ἀποτελέσμασι (τὰ γὰρ τέρατα σπάνια) καὶ τὰς τέχνας ἐνίοτε μὲν ἀποτυγχανούσας διὰ τὸ ῥευστὸν τῆς ὑποκειμένης αὐταῖς ὕλης, ὡς ἐπὶ τὸ πολὺ μέντοι κατορθοῦν ἐπαγγελλομένας... περὶ δὲ τὸ ἐπ' ἔλαττον ἐνδεχόμενον δύο ταῦτα ἔχουσιν, ἥ τε τύχη καὶ τὸ αὐτόματον. διαφέρουσι δὲ ἀλλήλων.*

18b 8. f. 115. *εἰ δὲ ὁ ἕτερος τούτων ὡρισμένως ἀληθεύσει* (*), *τῷ δὲ τὴν ἑτέραν πρότασιν τῆς ἀντιφάσεως ὡρισμένως ἀληθεύειν εἵπετο ἡ ἀναίρεσις τοῦ ἐνδεχομένου, φανερὸν ὅτι οἰχήσεται τὸ ἐνδεχόμενον ἐκ τῶν ὄντων, τό τε ἄλλο καὶ τὸ οἷον κέντρον αὐτοῦ, τὸ ὁπότερ' ἔτυχεν, ὅπερ ἔλαβε μὲν ἀντὶ τοῦ ἐνδεχομένου παντὸς ὁ Ἀριστοτέλης, εἰ δέ γε εἶχέ τινα ὑπόστασιν, ὁμοίως ἂν ἐγίνετο ἢ οὐκ ἐγίνετο· τοῦτο γὰρ λέγομεν ὁπότερ' ἔτυχεν ἢ εἶναι ἢ γενέσθαι, ὅπερ οὐδὲν μᾶλλον οὕτως ἢ μὴ οὕτως ἔχει ἢ ἕξει, ἐπὶ μὲν τοῦ γεγονότος δηλονότι καὶ ἤδη ἐν ὑποστάσει ὄντος τὸ ἔχει λέγοντες, ἐπὶ δὲ τοῦ γενησομένου τὸ ἕξει.*

18b 14. f. 116. *ῥητέον δὲ πρὸς ταύτην τὴν ἐπιχείρησιν ὅτι τὸ ἐκβεβηκὸς νῦν καὶ ἤδη γεγονὸς οὐκ ἀληθὲς πρὸ τῆς ἐκβάσεως λέγειν ὅτι ἔσται πάντως λευκόν· οὐ γὰρ ἐπειδὴ ὁ χρόνος εἰς τὸ εἶναι αὐτὸ ἀπεκατέστησε, διὰ τοῦτο οἴεσθαι χρὴ ἐξ ἀναγκαίας αὐτὸ προκαταβολῆς γεγονέναι. ὥστε τῶν προλεγόντων περὶ αὐτοῦ οὐχ ὁ λέγων ὅτι ἐξ ἀνάγκης ἔσται λευκὸν ἀληθεύσει, ἀλλ' ὁ τὸ ὅλον τοῦτο ἐνδεχομένως αὐτὸ ἐκβήσεσθαι λέγων. εἰ δὲ τοῦτο, δῆλον ὅτι δυνατὸν ἦν αὐτὸ καὶ μὴ ἐκβῆναι· οὐ γὰρ ἂν ἄλλως ἠλήθευε τὸ ἐνδεχομένως αὐτὸ ἐκβήσεσθαι. μὴ τοίνυν ἀπὸ τοῦ ἤδη ἐκβάντος τὸ ἔτι μέλλον κρινέτωσαν οἱ ταῦτα λέγοντος, ἀλλὰ φυλάττοντες αὐτὸ μήπω ἐκβεβηκὸς ζητείτωσαν εἰ οὐδ' ἐξ ἀνάγκης ἐκβήσεται· οὐ γὰρ ἕξουσι τοῦτο ἐπιδεῖξαι, ὡς αὐτὸ ἡμᾶς σαφῶς ὁ Ἀριστοτέλης ἐν τοῖς ἑξῆς διδάξει.*

18b 16. f. 116 *b*. *ἐπειδὴ προείληπται μὲν πρὸς ἀναίρεσιν τοῦ ἐνδεχομένου τὸ τὰς προτάσεις, περὶ ὧν ὁ λόγος, ἀφωρισμένως διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἔλαβε δὲ τοῦτο διὰ τὸ μὴ δύνασθαι αὐτὰς συναληθεύειν ἀλλήλαις, ὅπερ ἐλέγετο διὰ τοῦ "ἄμφω γὰρ οὐχ ὑπάρξει ἅμα ἐπὶ τοῖς τοιούτοις"* (p. 18 38), *ἠδύνατο δέ τις ὑποπτεύειν ὡς οὐκ ἀναγκαῖον ἢ συναληθεύειν αὐτὰς ἢ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος (ἐνδέχεται γὰρ καὶ συμψεύδεσθαι), διὰ τοῦτο νῦν προτίθεται δεῖ-*

(*) *Boëth.* II p. 355: putaverunt autem quidam, quorum Stoici quoque sunt, Aristotelem dicere in futuro contingentes nec veras nec falsas... sed falsum est.

νίων, τῆς πᾶς πρὸς τὴν οὐ πᾶς καὶ τῆς τὶς πρὸς τὴν οὐδείς, τρίτης δὲ τῆς τῶν ἀπροσδιορίστων, καὶ ἐπὶ ταύταις τῆς τῶν καθ' ἕκαστα, πάνυ προσεκτικῶς τὰ μὲν τρία τῶν ἐν ταῖς προτάσεσιν ἀντιθέσεων εἴδη κατὰ πάντα χρόνον ὁμοίως ἔχειν φησὶ πρὸς τὸ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἢ συναληθεύειν, λέγω δὴ τάς τε διαγωνίους καὶ τὰς ἀπροσδιορίστους, τὰς δὲ καθ' ἕκαστα οὐκέτι. γιγνέσθω δὲ ἡμῖν ὁ λόγος ἐπὶ μιᾶς τῶν εἰρημένων τριῶν ἀντιθέσεων, ἵνα καὶ ὅπῃ διαφέρουσιν αὐτῶν κατὰ τὸν εἰρημένον τρόπον αἱ καθ' ἕκαστα προτάσεις γένηται φανερόν, τῶν αὐτῶν ἁρμόσαι ἡμῖν δηλονότι δυναμένων πρὸς τὴν διάκρισιν τῶν καθ' ἕκαστα προτάσεων ἀπὸ τῶν λοιπῶν δύο ἀντιθέσεων... f. 105. τοῦτο τὸ θεώρημα τὸ νῦν ὑπὸ τοῦ Ἀριστοτέλους κινούμενον δοκεῖ μὲν εἶναι λογικόν (*), κατ' ἀλήθειαν δὲ πρὸς πάντα τὰ μόρια τῆς φιλοσοφίας ἐστὶν ἀναγκαῖον. κατά τε γὰρ τὴν ἠθικὴν φιλοσοφίαν πᾶσαν ἀνάγκη προσλαμβάνειν ὡς οὐ πάντα ἔστι τε καὶ γίνεται ἐξ ἀνάγκης, ἀλλ' ἔστι τινὰ καὶ ἐφ' ἡμῖν, ἐπείπερ κύριοι πράξεών τινων ὄντες, καὶ ἐφ' ἡμῖν ὂν ἑλέσθαι ἢ μὴ ἑλέσθαι τάδε τινὰ καὶ πρᾶξαι ἢ μή, τὰς μὲν ἐπαινετὰς τὰς δὲ ψεκτὰς εἶναι τῶν τε προαιρέσεων καὶ τῶν πράξεων λέγομεν, καὶ προτρέπειν μὲν τοὺς πέλας ἀξιοῦμεν ἐπὶ τὰς καλὰς καὶ ἀγαθὰς πράξεις, ἀποτρέπειν δὲ ἐκ τῶν ἐναντίων. καὶ μέντοι καὶ πρὸς φυσιολογίαν χρήσιμον φαίνεται τὸ θεώρημα· ζητήσει γὰρ καὶ ὁ φυσιολόγος εἴτε πάντα ἐξ ἀνάγκης γίνεται τὰ γιγνόμενα, εἴτε τινὰ ἀπὸ τύχης καὶ ἐκ ταὐτομάτου. καὶ πρὸς τὴν λογικὴν μέθοδον ὡσαύτως· αὐτὸ γοῦν τοῦτό ἐστι τὸ νῦν ζητούμενον, εἴτε πᾶσα ἀντίφασις ἀφωρισμένως διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, εἴτε ἔστι τις καὶ ἀορίστως ταῦτα διαιροῦσα. ἐκτεινόμενον δὲ τὸ θεώρημα καὶ ἐπὶ τὴν πρώτην φιλοσοφίαν εὑρήσεις· ζητήσει γὰρ καὶ ὁ θεολόγος κατὰ τίνα τρόπον ὑπὸ τῆς προνοίας διακυβερνᾶται τὰ ἐν τῷ κόσμῳ πράγματα, καὶ εἴτε πάντα ὡρισμένως καὶ ἐξ ἀνάγκης γίγνεται τὰ γιγνόμενα, καθάπερ τὰ ἐπὶ τῶν ἀϊδίων ὑπάρχοντα, ἢ ἔστι τινὰ καὶ ἐπὶ ἐνδεχομένων ἐκβαίνοντα, ὧν τὴν γένεσιν ἐπὶ μερικὰς δηλονότι καὶ ἄλλοτε ἄλλως ἐχούσας αἰτίας ἀνάγειν ἀνάγκη... f. 106 b. ἀγνοεῖν μὲν οὐδὲν τῶν ὄντων τοὺς θεοὺς ἐνδέχεται, τὰ πάντα παραγαγόντας τε καὶ διακοσμοῦντας, νοῦς τε παντελῶς ἀμιγεῖς πρὸς ὕλην ὄντας, μᾶλλον δέ, εἰ χρὴ τὸ ἀκριβέστερον φάναι, καὶ ὑπὲρ τὴν νοερὰν αὐτὴν ἰδιότητα τὴν ὄντως ἑαυτῶν ὕπαρξιν ἱδρυμένους. οὔτε γὰρ αὐτόματον ἐροῦμεν εἶναι τῶν ὄντων τὴν φύσιν τε καὶ τάξιν, οὔτε τοὺς θεοὺς εὔλογον ἢ ἀγνοεῖν ἅπερ παράγουσιν ἢ ὥς τινας ἀφερεπόνους καταλιγωρεῖν τῆς τε γνώσεως αὐτῶν καὶ τῆς διακοσμήσεως (**)... τούτων οὖν κατά τε τὰς κοινὰς καὶ ἀδιαστρόφους τῶν ψυχῶν ἐννοίας ὁμολογημένων ὄντων, καὶ ἐν τῷ δεκάτῳ τῶν Νόμων (p. 900 sqq.) ἐναργῶς ἀποδεδειγμένων, οὔτε ἀγνοεῖν τὰ ἡμέτερα τοὺς θεοὺς δυνατὸν οὔτε ἀόριστον αὐτῶν γνῶσιν ἔχειν, ὥσπερ εἰκάζοντας περὶ τῶν ἐκβησομένων. πρῶτον μὲν γάρ, ὡς ὁ Τίμαιος ἡμᾶς ἐδίδαξε καὶ αὐτὸς ὁ Ἀριστοτέλης θεολογῶν ἀποφαίνεται, καὶ πρὸ τούτων ὁ Παρμενίδης, οὐχ ὁ παρὰ Πλάτωνι μόνον ἀλλὰ καὶ ὁ ἐν τοῖς οἰκείοις ἔπεσιν, οὐδέν ἐστι παρὰ τοῖς θεοῖς οὔτε παρεληλυθὸς οὔτε μέλλον... f. 109 b. τούτων οὖν οὕτως ἐχόντων ῥητέον τοὺς θεοὺς γινώσκειν μὲν πάντα τὰ γεγονότα καὶ τὰ ὄντα καὶ τὰ ἐσόμενα ἢ μέλλοντα, τοῖς θεοῖς προσήκοντα τρόπον· τοῦτο δέ ἐστι μιᾷ καὶ ὡρισμένῃ καὶ ἀμεταβάτῳ γνώσει... οὐ γὰρ δὴ συμπαραθεῖν τῇ ῥεύσει τῶν πραγμάτων τὴν τῶν θεῶν γνῶσιν ἀνεξόμεθα λέγειν, οὐδὲ εἶναί τι ἐπ' ἐκείνων ἢ παρεληλυθὸς ἢ μέλλον, οὐδὲ λέγεσθαι ἐπ' αὐτῶν, ὡς ἐν Τιμαίῳ παρειλήφαμεν (p. 38), τὸ ἦν ἢ τὸ ἔσται, μεταβολῆς τινὸς ὄντα σημαντικά, μόνον δὲ τὸ ἔστι, καὶ τοῦτο οὐ τὸ συναριθμούμενον τῷ τε ἦν καὶ τῷ ἔσται καὶ ἀντιδιαιρούμενον αὐτοῖς, ἀλλὰ τὸ πρὸ πάσης χρονικῆς ἐμφάσεως ἐπινοούμενον καὶ τὸ ἄτρεπτον αὐτῶν καὶ ἀμετάβλητον σημαῖνον. ὅπερ καὶ ὁ μέγας Παρμενίδης παντὶ τῷ νοητῷ ὑπάρχειν ἀποφαίνεται· "οὐ γὰρ ἔην οὐδ' ἔσται," φησίν "ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον." καὶ οὐ χρὴ νομίζειν ὅτι ἀναγκαίαν ἕξει τὴν ἔκβασιν ἃ λέγομεν ἐνδεχόμενα, διὰ τὸ ὑπὸ θεῶν γινώσκεσθαι ὡρισμένως· οὐ γὰρ διότι γινώσκουσιν αὐτὰ οἱ θεοί, διὰ τοῦτο ἀναγκαίως ἐκβήσεται, ἀλλ' ἐπειδὴ φύσιν ἔχοντα ἐνδεχομένην καὶ ἀμφίβολον πέρας ἕξει πάντως ἢ τοῖον ἢ τοῖον, διὰ τοῦτο τοὺς θεοὺς εἰδέναι ἀναγκαῖον ὅπως ἐκβήσεται. καὶ ἔστι τὸ αὐτὸ τῇ μὲν φύσει τῇ ἑαυτοῦ ἐνδεχόμενον, τῇ δὲ γνώσει τῶν θεῶν οὐκέτι ἀόριστον ἀλλ' ὡρισμένον... ἐπεὶ δέ τινες θρασύτερον ἀναστρεφόμενοι περὶ τὴν ζήτησιν τοῦ προκειμένου θεωρήματος οἴονται δεικνύναι μηδὲ τοῖς θεοῖς ὡρισμένην ὑπάρχουσαν γνῶσιν τῶν ἐνδεχομένων, χρησμοὺς παράγοντες ἡμῖν περὶ τῶν μελλόντων ἀμφιβόλως ἀποφηναμένους, ῥητέον πρὸς αὐτοὺς ἅπερ ὁ μέγας φησὶ Συριανός, ὅτι πρῶτον μὲν ἐφιστάνειν ἐχρῆν ὡς ἄλλη μέν ἐστιν ἡ τῶν θεῶν γνῶσις καὶ νόησις, ἑτέρα δὲ ἡ τῆς προφήτιδος ἐνέργεια.

f. 111. ἐπανάγοντες δὲ τὸν λόγον ἐπὶ τὴν ἐξήγησιν τῶν ὑπὸ τοῦ Ἀριστοτέλους ἐν τούτοις λεγομένων, πρῶτον μὲν ἀκόλουθα εἶναι φήσομεν τὰ διὰ τούτων παραδιδόμενα τοῖς ὀλίγῳ πρότερον εἰρημένοις (*). ἐλέγετο γὰρ προσεχῶς περὶ ἀντιθέσεως καταφάσεώς τε καὶ ἀποφάσεως οὐκ ἀεὶ διαιρουσῶν τό τε ἀληθὲς καὶ τὸ ψεῦδος· τούτοις οὖν ἀκολούθως προστίθησι ποία κατάφασις πρὸς ποίαν ἀπόφασιν ἀντίκειται οὕτως ὥστε διαιρεῖν μὲν αὐτὰς ἀεὶ τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, οὐ μέντοι ἀφωρισμένως ἀλλ' ἀορίστως. παραδίδωσι δὲ πρῶτον μὲν τὰ κοινῶς ὑπάρχοντα ταῖς τε διαγωνίοις ἀντιφάσεσι καὶ τῇ τῶν καθ' ἕκαστα, λέγων ὅτι πάσαις αὐταῖς ὑπάρχει τὸ ἀφωρισμένως ταῦτα μερίζειν κατὰ τὸν ἐνεστῶτα χρόνον καὶ τὸν παρῳχη-

---

(*) *Boëth.* II p. 352: non incommode neque incongrue Aristoteles de rebus altioribus et fortasse non pertinentibus ad artem logicam disputationem transtulit, cum de propositionibus loqueretur.

(**) αἰνίττεται τὸ Μενάνδρειον "τοσαύτην τοὺς θεοὺς ἄγειν σχολήν" καὶ τὰ ἑξῆς codex in marg.

(*) *Boëth.* II p. 353: in affirmationibus contingentia prodentibus veritas quidem et falsitas in incerto est: quae enim vera sit, quae falsa, secundum ipsarum propositionum naturam ignoratur; necesse est tamen unam veram esse, alteram falsam. Porphyrius tamen quaedam de Stoica dialectica permiscet, quae cum Latinis auribus nota non sint, nec hoc ipsum quod in quaestionem venit agnoscitur; atque ideo illa studio praetermittemus.

τέον οὖν πρὸς τὴν ζήτησιν ὡς τὸ ὄνομα τῆς ἀντιφάσεως ποτὲ μὲν παραλαμβάνει ἐπὶ μάχης καταφάσεως καὶ ἀποφάσεως διαιρουσῶν ἀεὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ὡς δηλοῖ τά τε ἐν ταῖς Κατηγορίαις ῥηθέντα καὶ ὁ ἐν τοῖς Ἀναλυτικοῖς ἀποδιδόμενος τῆς ἀντιφάσεως ὅρος, ποτὲ δὲ κοινότερον πᾶσαν ἁπλῶς ἀντίθεσιν καταφάσεως καὶ ἀποφάσεως τῷ αὐτῷ ὑποκειμένῳ καὶ τῷ αὐτῷ κατηγορουμένῳ χρωμένων. δηλοῖ δὲ ἐφεξῆς λέγων ὡς οὐ πᾶσα ἀληθὴς ἢ ψευδὴς ἀντίφασις, ταὐτὸν λέγων τῷ οὐ πάσης ἀντιφάσεως τὸ μὲν τῶν μορίων ἀληθεύειν τὸ δὲ ψεύδεσθαι ἀνάγκη.

17b 35. f. 99 *b.* πάσαις ἐπελθὼν ταῖς ἀντιθέσεσι τῶν προτάσεων ὁ Ἀριστοτέλης ὥσπερ πόρισμά τι συνάγει, καὶ παραδίδωσιν ἡμῖν διὰ τούτων ὅτι τῇ μιᾷ καταφάσει μίαν μόνην ἀπόφασιν μάχεσθαι δυνατόν, πλείους δὲ μιᾶς ἀδύνατον... τοῦτο οὖν παραδιδοὺς ἡμῖν ὅτι μία ἀπόφασις μιᾶς καταφάσεως, καὶ τὴν αἰτίαν ἐπάγων τοῦ συμβαίνοντος, "τὸ γὰρ αὐτό" φησιν "ἀποφῆσαι δεῖ τὴν ἀπόφασιν ὅπερ κατέφησεν ἡ κατάφασις καὶ ἀπὸ τοῦ αὐτοῦ." λέγει δὲ τὸ αὐτὸ μὲν τὸ κατηγορούμενον, ἀπὸ δὲ τοῦ αὐτοῦ τοῦ ὑποκειμένου· προείρηται γὰρ πολλάκις ὅτι καὶ ὑποκειμένῳ τῷ αὐτῷ καὶ κατηγορουμένῳ χρῆσθαι ἀνάγκη τὰς ἀντιφατικῶς ἀντικειμένας ἀλλήλαις προτάσεις. εἶτα ὥσπερ ἀναμιμνήσκων ἡμᾶς τῆς γενομένης ἀπὸ τοῦ ὑποκειμένου διαιρέσεως τῶν προτάσεων "ἢ τῶν καθ' ἕκαστά τινός" φησιν "ἢ ἀπὸ τῶν καθόλου τινός, ἢ ὡς καθόλου ἢ ὡς μὴ καθόλου" λέγει δ' ἂν τὸ μὲν "ἢ τῶν καθ' ἕκαστα" περὶ τῆς ἀντιθέσεως τῶν καθ' ἕκαστα δηλονότι προτάσεων, τὸ δὲ "ἢ ἀπὸ τῶν καθόλου τινός" περὶ πασῶν ἁπλῶς τῶν καθολικῷ ὑποκειμένῳ χρωμένων, καὶ τούτων τὸ μὲν "ἢ ὡς καθόλου" περὶ τῶν προσδιωρισμένων, τὸ δὲ "ἢ ὡς μὴ καθόλου" περὶ τῶν ἀπροσδιορίστων. εἶτα τῶν καθ' ἕκαστα παραδείγματα παραθέμενος διὰ τοῦ "οἷον ἔστι Σωκράτης λευκός, οὐκ ἔστι Σωκράτης λευκός," πρὶν τὰ τῶν ἄλλων προτάσεων παραδείγματα ἐπαγαγεῖν, ἐξηγεῖται πρὸς τίνος διάκρισιν εἴρηται τὸ δεῖν τὸ αὐτὸ ἀποφῆσαι τὴν ἀπόφασιν ὅπερ κατέφησεν ἡ κατάφασις, καὶ φησὶν "ἐὰν δὲ ἄλλο τι ἢ ἀπ' ἄλλου τὸ αὐτό, οὐχ ἡ ἀντικειμένη ἀλλ' ἔσται ἐκείνης ἑτέρα." τοῦτο δέ ἐστιν ὅτι ἐὰν ἄλλο τι ἀποφήσῃ ἡ ἀπόφασις κατηγορούμενον, καὶ μὴ ὃ κατέφησεν ἡ κατάφασις, οἷον τῆς καταφάσεως εἰπούσης "ἄνθρωπος λευκός ἐστιν" ἡ ἀπόφασις εἰ εἴποι "ἄνθρωπος δίκαιος οὐκ ἔστιν," οὐκ ἔσται αὕτη τῆς εἰρημένης καταφάσεως ἡ ἀπόφασις, ἀλλ' ἑτέρα παρ' ἐκείνην.

18a 9. f. 100 *b.* καὶ ὅτι αἱ ἐναντίαι ἄλλαι. λέγει δὲ ἄλλαι παρὰ τὰς ἀντιφατικῶς ἀντικειμένας δηλονότι. "καὶ τίνες εἰσὶν αὗται," κατὰ κοινοῦ καὶ ἐνταῦθα καὶ ἐπὶ τῶν ἐφεξῆς ῥηθησομένων ὑπακουομένου τοῦ εἴρηται.

18a 13. f. 101 *b.* προειπὼν ὅτι τῇ μιᾷ καταφάσει μία μάχεται ἀπόφασις, τίς ποτέ ἐστιν ἡ μία κατάφασις καὶ ἡ μία ἀπόφασις, προςτίθησι διὰ τούτων, ἤδη μὲν καὶ διὰ τῶν προλαβόντων παραδοὺς ἡμῖν τὴν περὶ τούτων ἔννοιαν, δι' ὧν ἔλεγεν "ἔστι δὲ εἷς λόγος ἀποφαντικὸς ἢ ὁ ἓν δηλῶν ἢ ὁ συνδέσμῳ εἷς, πολλοὶ δὲ οἱ πολλὰ καὶ μὴ ἓν ἢ οἱ ἀσύνδετοι," ἀλλ' ἐν ἐκείνοις μὲν αἰνιττόμενος τὴν διαφορὰν τοῦ τε ἑνὸς καὶ τῶν πολλῶν λόγων, ἐνταῦθα δὲ μετὰ πλείονος ἐπεξεργασίας τὸ θεώρημα παραδιδούς. μίαν γὰρ εἶναί φησι πρότασιν τὴν ἑνὶ χρωμένην κατὰ τὸ σημαινόμενον ὑποκειμένῳ καὶ ἑνὶ κατηγορουμένῳ, εἴτε καθόλου ὡς καθόλου εἴη εἴτε μὴ ὁμοίως, τουτέστιν εἴτε μερικὴ εἴτε καὶ ἀπροσδιόριστος, ἢ καὶ καθ' ἕκαστα, εἰ καὶ μὴ τέθεικε τῶν καθ' ἕκαστα παραδείγματα διὰ τούτων.

18a 25. f. 102. τὸ δὲ "οὐ γάρ ἐστί τις ἄνθρωπος ἵππος" εἰρῆσθαί μοι δοκεῖ διὰ τὸ δύνασθαί ποτε καὶ τὰς οὕτω λαμβανομένας προτάσεις μὴ πολλὰ σημαίνειν ἀλλὰ ἕν, ὅταν τοῖς ἔν τινι ὁρισμῷ παραλαμβανομένοις πλείοσι πράγμασι, τῷ τε γένει φημὶ καὶ ταῖς διαφοραῖς, ἕν τις ὄνομα θῇ τὸ τυχόν. κείσθω γὰρ τῷ ζῴῳ τῷ λογικῷ τῷ θνητῷ τῷ νοῦ καὶ ἐπιστήμης δεκτικῷ κοινὸν ὄνομα, ὥσπερ ἔλαβεν ὁ Ἀριστοτέλης, ἱμάτιον· ἆρ' οὖν, ὅταν εἴπωμεν ἔστιν ἱμάτιον λευκόν, οὐ μίαν ἀλλὰ πολλὰς φήσομεν εἶναι ταύτην τὴν πρότασιν; οὐδαμῶς, ἐπειδὴ ἐκ πάντων οἷς κεῖται τὸ ἱμάτιον ὄνομα, μία τις φύσις ἡ τοῦ ἀνθρώπου συμπληροῦται, καὶ ταὐτόν ἐστι τὸ εἰπεῖν "ἔστιν ἱμάτιον λευκόν" καὶ "ἔστι ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν λευκόν·" τοῦτο δὲ ταὐτὸν τῷ ἔστιν ἄνθρωπος λευκός. ὥστε οὐκ ἂν λέγει πλείους προτάσεις ὁ ἕν τι κατηγορῶν τοῦ τιθεμένου ὀνόματος κοινῶς ἐν ἅπασι τοῖς συμπληροῦσι τὸν αὐτὸν ὁρισμόν. τίς οὖν ὁ διορισμὸς τῶν προτάσεων ἐφ' ὧν οὐκ ἐνδέχεται τὸ τεθὲν αὐτοῖς ὄνομα μίαν ἐργάσασθαι πρότασιν καὶ ἐφ' ὧν δυνατόν; ὅτι ἐφ' ὧν μὲν οὐκ ἐνδέχεται μίαν γενέσθαι τὴν πρότασιν, ταῦτα διακεκρίσθαι ἀλλήλων ἀνάγκη (*)... "οὐ γάρ ἐστί τις ἄνθρωπος ἵππος." ὅπως δὲ καὶ τοῦτο τὸ θεώρημα συμβάλλεται πρὸς τὴν τῆς κυρίως λεγομένης ἀντιφάσεως θεωρίαν, διδάσκων ἐπήγαγεν "ὥστε οὐδὲ ἐν ταύταις ἀνάγκη τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ ἀντίφασιν εἶναι," ταὐτὸν λέγων τῷ ὥστε οὐδὲ ἐν ταῖς τοιαύταις ἀντιφάσεσι ταῖς ὁμωνύμῳ χρωμέναις ὑποκειμένῳ ἢ κατηγορουμένῳ ἀνάγκη τὴν μὲν τῶν προτάσεων ψεύδεσθαι τὴν δὲ ἀληθεύειν. καὶ τοῦτο εἰκότως.

18a 28. f. 103 *b.* τεττάρων τοίνυν οὐσῶν ἐν ταῖς προτάσεσιν ἀντιθέσεων κατὰ τὴν ἀπὸ τοῦ ὑποκειμένου διαίρεσιν (**), δύο μὲν τῶν διαγω-

---

(*) *Boëth.* II p. 347: huic expositioni... et Aspasius et Porphyrius et Alexander in his quos in hunc librum ediderunt commentariis consensere... Herminus vero sic sentit... quare praetermittendus est.

(**) *Boëth.* II p. 351: est inter philosophos disputatio de rerum quae fiunt causis, necessitatene omnia fiant an quaedam casu; et in hoc Epicureis et Stoicis et Peripateticis nostris magna contentio est, quorum paulisper sententias explicemus... *ib.* p. 352: in eo autem quod possibile esse dicitur, est quaedam inter Peripateticos et Stoicos dissensio, quam hoc modo paucis absolvimus. cf. p. 359. *Anon. Coislin.* ἐνταῦθα βούλεται ὁ φιλόσοφος δεῖξαι ὅτι φυλάττεται τὸ ἀντιφατικὸν ἀξίωμα, ἀλλὰ συνηγορικῶς καὶ οὐ δογματικῶς. ποιεῖ δὲ τοῦτο ὅτι τῶν παλαιῶν τινές, ὥσπερ καὶ τῶν νέων πολλοί, συνηγοροῦντες τῇ ἀστρολογίᾳ καὶ τὴν εἱμαρμένην εἰσάγοντες, ἔφασκον μὴ εἶναι ἐνδεχόμενον, ἀλλὰ πάντα εἶναι καὶ γίνεσθαι ἐξ ἀνάγκης· οὐ γὰρ δυνατόν, φασί, φυγεῖν τὸ μεμοιραμένον, κἄντε σωφρονήσῃς κἄντε μή· οὕτω γὰρ λέγοντες ἀνῄρουν ἡμῶν τὸ αὐτεξούσιον, ὃ περὶ τὸ ἐνδεχόμενον καταγίνεται.

εἰσόμεθα παρεχούσης, ἠβουλήθη καὶ τὰς ἄλλας τὰς ταύτῃ ὁμοίως ἡμαρτημένας τοῦ καταλόγου τῶν ὑγιῶς προφερομένων προτάσεων διαγράψαι. εἰ γὰρ δεῖ καὶ τὴν περὶ τούτων τεχνολογίαν ἀκριβῶς διερευνήσασθαι καὶ τὸ φαινόμενον περὶ αὐτῶν λέγειν, ἑκκαίδεκα γενομένας εὑρήσομεν προτάσεις ἐκ τῆς διανομῆς τῶν προσδιορισμῶν καθ' ἑκάτερον τῶν τῆς προτάσεως ὅρων.

17b 17. f. 88 b. καὶ τὰς μὲν διαγωνίους, ἃς καθόλου ὡς καθόλου ἐκάλεσεν ὡς ἐχούσας τὴν ἑτέραν τῶν προτάσεων καθόλου ὡς καθόλου, φησὶν ἀντιφατικῶς ἀντικεῖσθαι πρὸς ἀλλήλας (*), τουτέστιν ἀεὶ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, τήν τε καθόλου κατάφασιν μετὰ τῆς μερικῆς ἀποφάσεως καὶ τὴν καθόλου ἀπόφασιν μετὰ τῆς μερικῆς καταφάσεως, αὐτὰς δὲ τὰς καθόλου ὡς καθόλου προτάσεις μηκέτι ἀντιφατικῶς ἀλλ' ἐναντίως ἀντικεῖσθαι πρὸς ἀλλήλας διὰ τὸ συμψεύδεσθαι ἀλλήλαις ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἐφ' ἧς τὰς μερικὰς καὶ ὑπεναντίας λεγομένας συναληθεύειν ἀλλήλαις ἀνάγκη διὰ τὸ ἑκατέραν αὐτῶν ἀληθῆ εἶναι, ὅταν ἡ ἀντιφατικῶς αὐτῇ μαχομένη καθόλου πρότασις ψεύδηται, ὥστε κατὰ μηδένα τρόπον μάχεσθαι ταύτας ἀλλήλαις. δῆλα δὲ ταῦτα διά τε τῶν ὑπὸ τοῦ φιλοσόφου παρατεθέντων παραδειγμάτων, καὶ ἐξ ὧν ἡμεῖς πρότερον περὶ αὐτῶν διεληλύθαμεν. εἰδέναι μέντοι χρὴ ὅτι γράφεται ἀντὶ τοῦ ἀντιφατικῶς καὶ ἀποφαντικῶς, σημαίνοντος, ὥς φησιν ὁ φιλόσοφος Πορφύριος, τοῦ Ἀριστοτέλους διὰ τούτου ποίας καταφάσεως πρὸς ποίαν ἀπόφασιν ἀξιοῖ τὴν ἀντίθεσιν λαμβάνειν, ὅτι τῆς ὡς ἀποφάνσεως, ἐπείπερ, ὥς φησιν, εἰώθασι καὶ τὰ ὡρισμένα ῥήματα καλεῖν καταφάσεις, τὰ δὲ ἀόριστα ἀποφάσεις· καὶ ὑπώπτευσεν ἄν τις, εἰ μὴ προσέθηκε τὸ ἀποφαντικῶς, περὶ τῆς ἀντιθέσεως τῶν τοιούτων φωνῶν γίνεσθαι τὸν λόγον. δῆλον δὲ ὅτι τὰ ἐπαγόμενα συνᾴδουσι μᾶλλον τῇ προτέρᾳ γραφῇ· ἀποφαντικῶς γὰρ λέγοιντο ἂν ἀντικεῖσθαι κατὰ τοῦτο καὶ αἱ ἐναντίαι, ἃς ὡς καθ' ἕτερον τρόπον τῶν πρὸ αὐτῶν ἀντικειμένας παρέθετο εὐθὺς ὁ Ἀριστοτέλης.

17b 26. f. 89. τῶν ἐκ τῆς διαιρέσεως τοῦ ὑποκειμένου γινομένων ὀκτὼ προτάσεων τίνες μέν εἰσιν αἱ ἀντιφατικῶς ἀντικείμεναι πρὸς ἀλλήλας, τίνες δὲ αἱ δοκοῦσαι μὲν ἀντιφάσκειν οὐ μέντοι ἀντιφάσκουσαι, παραδίδωσιν ἡμῖν ὁ φιλόσοφος διὰ τούτων, τὰς μὲν διαγωνίους, ἃς καθόλου ὡς καθόλου προσαγορεύει διὰ τὸ ἔχειν τὴν ἑτέραν τῶν προτάσεων καθόλου ὡς καθόλου, μάχεσθαι πρὸς ἀλλήλας ἀντιφατικῶς ἀποφαινόμενος, τὴν πᾶς κατάφασιν τῇ οὐ πᾶς ἀποφάσει καὶ τὴν οὐδεὶς ἀπόφασιν τῇ τὶς καταφάσει, καὶ ἔτι τὰς καθ' ἕκαστα, τὴν Σωκράτης λευκός ἐστι τῇ Σωκράτης λευκὸς οὐκ ἔστι· τὰς δέ γε ἀπροσδιορίστους, ἃς καὶ ἐν τούτοις καθόλου μὴ καθόλου προσηγόρευσεν, οὐ λέγων ἀντιφάσκειν ἀλλήλαις· οὐδὲ γὰρ ἀεὶ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἀλλὰ ταῖς μερικαῖς τὴν αὐτὴν ἐχούσαις δύναμιν συναληθεύειν ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἐφ' ἧς καὶ ἐκεῖναι συναληθεύουσαι κατελαμβάνοντο· ἀληθεύειν γὰρ ἅμα τήν τε ἔστιν ἄνθρωπος λευκός ἀπροσδιόριστον κατάφασιν ἐπί τινος φέρε τῶν Σκυθῶν λαμβανομένην καὶ τὴν οὐκ ἔστιν ἄνθρωπος λευκός ἀπροσδιόριστον ἀπόφασιν ἐπί τινος τῶν Αἰθιόπων, καὶ τὴν ἔστιν ἄνθρωπος καλός ἐπὶ τοῦ Ἀχιλλέως ἢ τοῦ Νιρέως καὶ τὴν οὐκ ἔστιν ἄνθρωπος καλός ἐπὶ τοῦ Θερσίτου. ταῦτα τοίνυν οὕτω τοῦ Ἀριστοτέλους ἀποφαινομένου (*), καὶ ἀντιφθεγγομένων πρὸς αὐτὸν κλεινῶν τε καὶ ἐμοὶ σεβασμίων ἀνδρῶν, προσῆκον ἂν εἴη φιλτέραν ἅμα καὶ αἰδοιοτέραν ἁπάντων τὴν ἀλήθειαν ἡμᾶς ἡγησαμένους, ὅπερ καὶ αὐτοὶ ἐπιτηδεύειν ἡμῖν παρακελεύονται, μὴ ἀβασανίστως τὸ θεώρημα παρελθεῖν, ἀλλ' ἐπισκέψασθαι τήν τε τοῦ Ἀριστοτέλους διάνοιαν, καθ' ἣν ἀξιοῖ συναληθεύειν ἀλλήλαις τὰς ἀπροσδιορίστους προτάσεις, καὶ τὰ παρὰ τῶν ἀντιδιαταττομένων αὐτῷ περὶ τούτων λεγόμενα... f. 92. εἰ δέ τις ἀξιοίη τὴν ἀπροσδιόριστον ἀπόφασιν ποτὲ μὲν τῇ μερικῇ ἀποφάσει συντρέχειν ποτὲ δὲ τῇ καθόλου (παροξυτόνως μὲν γὰρ λαμβανομένου τοῦ ἔστιν ἐν τῷ "ἄνθρωπος δίκαιος οὐκ ἔστι" ταὐτὸν φθέγγεσθαι τῷ οὐδεὶς ἄνθρωπος δίκαιός ἐστιν, ὀξυτόνως δὲ τῷ οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστιν), πρῶτον μὲν οὐ πείθειν ἀλλὰ νομοθετεῖν ἡμῖν λέγοιτο ἄν, ἔπειτα ῥητέον πρὸς αὐτὸν ὡς οὐκ οἶδεν ἡ Ἑλληνικὴ χρῆσις ἐπὶ τέλους τὸ ἔστιν ὀξυτονούμενον, εἰ καὶ ἐν οἱᾳδήποτε χώρᾳ τῇ ἀρνήσει ὑποτεταγμένον· εἰ οὖν ὁμολογεῖ καὶ αὐτὸς βαρυνομένου τοῦ ἔστι τὴν ἀπροσδιόριστον ἀπόφασιν τῇ καθόλου τὸ αὐτὸ φθέγγεσθαι, ἀεὶ δὲ βαρυτονεῖσθαι αὐτὸ ἀναγκαῖον ἐν ταῖς τοιαύταις προτάσεσι, δῆλον ὅτι συνδραμεῖται τῇ τοῦ καθόλου ἀποφάσει καὶ ἀντίφασιν ποιήσει πρὸς τὴν οἰκείαν κατάφασιν. ταῦτα μὲν οὖν ὁ τῶν ἀντιφθεγγομένων τῷ Ἀριστοτέλει λόγος· μήποτε δὲ δυνατὸν πρὸς ἕκαστον τῶν ἐπιχειρηθέντων ἀπαντᾶν.

f. 98. ἀπορήσειε δ' ἄν τις πῶς ὅλως ἠξίωσεν ὁ Ἀριστοτέλης τὴν τῶν προτάσεων τούτων ἀντίθεσιν προσαγορεύειν ἀντίφασιν, καίτοι συναληθεύειν αὐτὰς οἰόμενος, τὴν δὲ ἀντίφασιν ὁριζόμενος ἐν τοῖς Ἀναλυτικοῖς (Anal. Post. 1 2 p. 72 12) ἀντίθεσιν ἧς οὐδὲν μεταξὺ καθ' αὑτήν, καὶ ἐν Κατηγορίαις (c. 10 p. 13 6) μέντοι, ἐν οἷς διέκρινε τὰ εἴδη τῶν ἀντικειμένων, εἰπὼν ὅτι ὅσα ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται, διαφέρει τῶν κατὰ τὰς ἄλλας ἀντιθέσεις ἀντικειμένων τῷ ἐπὶ μόνων τούτων ἐξ ἀνάγκης τὸ μὲν ἀληθὲς εἶναι τὸ δὲ ψευδές· πῶς οὖν ὁ ταῦτα πανταχοῦ διοριζόμενος ἐν τούτοις ἠξίωσε τὴν ἀντίθεσιν τῶν συναληθευουσῶν, ὡς αὐτός φησιν, ἀλλήλαις προτάσεων, τῶν ἀπροσδιορίστων λέγω, καλεῖν ἀντίφασιν; προειπὼν γοῦν "ὅσαι μὲν οὖν ἀντιφάσεις τῶν καθόλου εἰσὶ καθόλου", ἐπήγαγεν "ὅσαι δὲ ἐπὶ τῶν καθόλου μὲν μὴ καθόλου δέ," ὡς ἂν καὶ τῆς τούτων ἀντιθέσεως ἀντιφάσεως καλουμένης. ῥη-

---

(*) *Boëth.* II p. 340: ait illam esse oppositionem contradictoriam, quaecunque dicit non esse universaliter rem universalem, contra eam quae rem universalem universaliter proponit. atque hoc est quod ait: opponi autem affirmationem negationi dico contradictorie quae universaliter significat ei quae non universaliter.... verba igitur se obscure habent, sed sententia manifesta est.

(*) *Boëth.* II p. 343: Syrianus tamen nititur indefinitam negationem vim definitae obtinere negationis ostendere, et hoc multis probare nititur argumentis, Aristotele maxime reclamante.

ἐξ ἀορίστου ποιήσεις, ὥστε δύο καὶ ἑβδομήκοντα γίνεσθαι τὰς πάσας ἀντιθέσεις τε καὶ ἀντιφάσεις τῶν προκειμένων ἡμῖν ἐς ἐπίσκεψιν προτάσεων. ἀλλ' ἐπεὶ τὸν ἀριθμὸν αὐτῶν παραδεδώκαμεν, ἀκόλουθόν ἐστιν ἐφεξῆς ἐπισκέψασθαι τίνες ἐν ταῖς ἀπηριθμημέναις ἀντιθέσεσιν αἱ ἀντιφατικῶς ἀλλήλαις ἀντικείμεναι προτάσεις, τίνες δὲ οὔ, καὶ τίνες μὲν αἱ πρὸς ἀλλήλας σχέσεις τῶν μὴ ἀντικειμένων ἀντιφατικῶς, τίς δὲ ἡ πρὸς ἑκατέραν τῶν ἐν αὐταῖς προτάσεων ἀντιφατικῶς μαχομένη... f. 74 *b.* αἱ προτάσεις αὗται οὐδέποτε μὲν συναληθεύουσαι, ποτὲ δὲ καὶ συμψευδόμεναι, καὶ ταύτῃ τὰ ἐναντία μιμούμεναι, λέγοιντο ἂν εἰκότως ἐναντίαι. δυνατὸν δὲ λέγειν ὅτι καὶ ὡς τὴν πλείστην ἀλλήλων ἀφεστῶσαι διάστασιν ἐναντίαι προσαγορεύονται· τὰ γὰρ ἐναντία πλεῖστον ἀλλήλων διέστηκε τῶν ὑπὸ τὸ αὐτὸ γένος, οὕτω δὲ καὶ αὗται πρὸς ἀλλήλας ἔχουσιν, εἴπερ ἡ μὲν ἅπασί φησι τοῖς ὑπὸ τὸ ὑποκείμενον ἀτόμοις τὸ κατηγορούμενον ὑπάρχειν, ἡ δὲ οὐδενί. τὰς δέ γε μερικὰς καλοῦσιν ὑπεναντίας ὡς ὑπὸ ταῖς ἐναντίαις τεταγμένας κἀκείναις ἀκολουθούσας· ὅταν γὰρ ἡ ἑτέρα τῶν καθόλου ἀληθεύῃ, τότε καὶ ἡ ὑπ' αὐτὴν τεταγμένη μερικὴ πρότασις ἀληθεύσει ὡς οἷον μέρος αὐτῆς οὖσα καὶ περιεχομένη ὑπ' αὐτῆς. διὸ καὶ ὑπαλλήλους καλοῦσι τάς τε καταφάσεις, τὴν μερικὴν καὶ τὴν καθόλου, καὶ τὰς ἀποφάσεις ὁμοίως. αἱ μὲν οὖν κατὰ μέρος οὐδ' ἂν ἀντικεῖσθαι πρὸς ἀλλήλας κυρίως λέγοιντο· ποῖον γὰρ αὐταῖς εἶδος ἁρμόσει τῶν ἀντικειμένων; εἰ δὲ τὰς ἀντιφατικῶς ταύταις ἀντικειμένας ζητοίης, εὑρήσεις ἀντιφασκούσας ταῖς καθόλου τὰς κατὰ μέρος μετὰ τῆς κατὰ τὸ ποιὸν ἀντιθέσεως, τουτέστι τῇ μὲν καθόλου καταφάσει τὴν μερικὴν ἀπόφασιν, τῇ δὲ καθόλου ἀποφάσει τὴν μερικὴν κατάφασιν, ὥστε κατὰ τὸ ὑποκείμενον διάγραμμα τὰς διαγώνιον θέσιν πρὸς ἀλλήλας ἐχούσας τῶν προσδιωρισμένων προτάσεων, ταύτας ἀντιφάσκειν ἀλλήλαις· ἀεὶ γὰρ αὗται διαιροῦσι τό τε ἀληθὲς καὶ τὸ ψεῦδος. καὶ τοῦτο εἰκότως· αἱ μὲν γὰρ ἐναντίαι καὶ ὑπεναντίαι κατὰ τὸ ποιὸν διαφέρουσαι τὸ ποσὸν τὸ αὐτὸ ἔχουσιν, αἱ δὲ ὑπάλληλοι κατὰ τὸ ποσὸν διαφέρουσαι τὸ ποιὸν τὸ αὐτὸ ἔχουσιν, αὗται δὲ κατ' ἄμφω μαχόμεναι τελείαν ἔχουσι τὴν πρὸς ἀλλήλας διαφοράν, διὸ ἀδύνατον αὐτὰς ἢ συμψεύδεσθαι ἢ συναληθεύειν... f. 76 *b.* περὶ μὲν τούτων πλείω τῆς ἀξίας ἐνδιατέτριφεν ὁ λόγος· ὅλως δὲ περὶ αὐτῶν τῶν ἀποφατικῶν προσδιορισμῶν, ὅσα γλαφυρωτέραν ἔχοντα θεωρίαν ὁ φιλόσοφος παραδίδωσι Πορφύριος, πειραθῶμεν εἰπεῖν, προσεπινοοῦντες εἴ τι δυνάμεθα καὶ αὐτοὶ πρὸς τὴν σαφεστέραν περὶ αὐτῶν διδασκαλίαν. ἀπορήσειε γὰρ ἄν τις πῶς ἐκ τῶν προσδιωρισμένων καταφάσεων τὰς ἀποφάσεις ποιοῦντες οὐ τοῖς κατηγορουμένοις, ὥσπερ ἔμπροσθεν ἠξιοῦμεν, συντάττομεν τὰς ἀρνήσεις, ἀλλ' αὐτοῖς τοῖς προσδιορισμοῖς, οἳ λέγονται μέρη τῶν ὑποκειμένων, οὐ τῶν καθ' αὑτοὺς λεγομένων ἀλλὰ τῶν ὥσπερ εἰδοποιηθέντων ὑπ' αὐτῶν.

17b 7. f. 80. πῶς δὲ λέγονται μὴ εἶναι μὲν ἐναντίαι σημαίνειν δέ ποτε ἐναντία, τοῦτο ἤδη πολλὰ τοῖς ἐξηγηταῖς πράγματα παρέσχε. μήποτε δὲ ταῖς ῥήσεσιν αὐταῖς προσφυὲς ᾖ τὸ λέγειν ὅτι βούλεται μὲν ὁ Ἀριστοτέλης τὰς ἀπροσδιορίστους προτάσεις συναληθεύειν ἀλλήλαις, ὡς ἔσται διὰ τῶν ἑξῆς φανερόν, καὶ διὰ τοῦτο εἰκότως ἀποφαίνεται μὴ εἶναι αὐτὰς ἐναντίας· οὐ γὰρ ἐναντίον τὸ συνυπάρχειν ἀλλήλαις... ὅτι μὲν οὖν κατ' οὐδένα τρόπον προσήκει τοῖς ἀπροσδιορίστοις τὸ τῶν ἐναντίων ὄνομα, σαφῶς ἀπεφήνατο διὰ τούτων ὁ Ἀριστοτέλης (*)· πότε δέ ἐστι τὰ δηλούμενα εἶναι ἐναντία, καλῶς διήρθρωσεν ὁ φιλόσοφος Πορφύριος. οὐ γὰρ ἀεί, φησί, τῷ καταφασκομένῳ ἔστι τι ἐναντίον, οὐδὲ τὴν ἀπόφασιν δυνατὸν ἀεὶ λέγειν ἀληθεύεσθαι κατὰ τοῦ ἐναντίου τῷ καταφανθέντι, ἀλλὰ ποτὲ μὲν κατὰ τοῦ ἐναντίου, ποτὲ δὲ κατὰ στερήσεως, ποτὲ δὲ κατ' οὐδετέρου τούτων, ἀλλ' ἀναιρεῖν μόνον τὸ εἰρημένον διὰ τῆς καταφάσεως... f. 81 *b.* διὰ ταῦτα ἐν μὲν τοῖς προκειμένοις ὁ Ἀριστοτέλης τοσοῦτον ἐπεσημήνατο μόνον, ὅτι μὴ δίκαιον καλεῖν αὐτὰς ἐναντίας, κἂν ἐναντίων πραγμάτων γίνοιντό ποτε δηλωτικαί· προϊὼν δὲ καὶ ὅτι συναληθεύουσιν ἀλλ' οὐκ ἀντιφάσκουσι κατασκευάσαι πειράσεται.

f. 82. ζητεῖ μὲν διὰ τούτων ὁ Ἀριστοτέλης εἰ ὥσπερ τῷ ὑπο- 17b 12.
κειμένῳ προστεθεὶς ὁ καταφατικὸς προσδιορισμὸς ἕτερον εἶδος ἀπειργάσατο προτάσεων, οὕτω καὶ τῷ κατηγορουμένῳ δύναται προστεθεὶς ἑτέραν ἀπεργάσασθαι πρότασιν. ἀποφαίνεται δὲ μηδὲ τὴν ἀρχὴν ὑφίστασθαι τοιαύτην κατάφασιν οἷον τὴν λέγουσαν "πᾶς ἄνθρωπος πᾶν ζῷόν ἐστι", διότι ὁ τοῦτο λέγων ἕκαστον τῶν κατὰ μέρος ἀνθρώπων ἅπαν εἶναι ζῷον φησί, καὶ ἵππον καὶ βοῦν καὶ τὰ ἄλλα πάντα· ὥστε ἀδύνατον ἀληθεύειν τὸν οὕτως ἀποφηνάμενον. εἰκότως οὖν φησὶ μηδὲ γενέσθαι ἂν τοιαύτην κατάφασιν, κατ' ἔλλειψιν τοῦτο λέγων τοῦ ἀληθῆ (**)· οὐδεμία γὰρ κατάφασις ἀληθὴς ἔσται, ἐν ᾗ τοῦ κατηγορουμένου καθόλου τὸ καθόλου κατηγορεῖται, τουτέστιν ἐν ᾗ συντάττεσθαι δυνατὸν τῷ καθόλου κατηγορουμένῳ τὸν καθόλου προσδιορισμόν... πολλῶν δὲ δυναμένων γίνεσθαι προτάσεων ἐκ τῆς διαφόρου συμπλοκῆς τῶν προσδιορισμῶν πρός τε τὸν ὑποκείμενον ὅρον ἐν τῇ προτάσει καὶ τὸν κατηγορούμενον, εἰκότως ταύτην προεχειρίσατο μόνην, καὶ διέγραψε τῶν ὑγιῶς λεγομένων προτάσεων τὴν ἑκατέρῳ τῶν ὅρων τὸν πᾶς προσδιορισμὸν συντάττουσαν· ὃ καὶ ἐν τῷ πρώτῳ βιβλίῳ τῶν Ἀναλυτικῶν κατ' ἀρχὰς τοῦ περὶ εὐπορίας προτάσεων κεφαλαίου (p. 43 *b* 17) διορίζεται· περὶ γὰρ ἐκλογῆς τῶν καθόλου προτάσεων διαλεγόμενος, ἐν αἷς τὸ κατηγορούμενον παντὶ ἕπεται τῷ ὑποκειμένῳ, ἐπήγαγεν "αὐτὸ δὲ τὸ ἑπόμενον οὐ ληπτέον ὅλον ἕπεσθαι"... ὅτι μὲν εἰκότως ταύτης μόνης ὡς ἀχρήστου πανταχοῦ καταψηφίζεται, μάθοιμεν ἂν ἐννοήσαντες ὅτι τεττάρων οὐσῶν, ὡς ἑξῆς ἐπιδείξομεν, τῶν ἀεὶ ψευδομένων προτάσεων, δύο μὲν καταφάσεων δύο δὲ ἀποφάσεων, τῶν μὲν καθόλου τῶν δὲ κατὰ μέρος, διὰ μιᾶς τῆς κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιὸν τῶν ἄλλων σεμνοτέρας, καὶ ταῖς λοιπαῖς τρισὶ τὴν πρόφασιν τοῦ ἀεὶ ψεύδεσθαι ὡς

(*) Aspasii, Hermini, Alexandri, Porphyrii hoc de loco sententias vide ap. Boëth. II p. 338 sq.

(**) *Boëth.* II p. 340: verba autem Aristotelis hoc modo sunt et ad hanc sententiam ducunt. in his praedicatis quae sunt universalia, his adiicere universale aliquid ut universale praedicatum universaliter praedicetur, non est verum. hoc enim est quod ait... non est verum... non est verum. — *similia* I p. 230.

τοῦ κεφαλαίου παντὸς ἀναγκαῖα. ταῦτα δέ ἐστι πρῶτον μέν, τίνα τρόπον ἐκ τῶν καταφάσεων τούτων ποιούμεθα τὰς ἀποφάσεις, ἔπειτα πῶς ἂν λάβοιμεν ἐκ διαιρέσεως ἁπάσας τὰς ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεις, ἵνα θαρροῦντες ἀποφαινώμεθα ὡς οὐκ ἂν εἴη κατὰ τοῦτο τῶν προτάσεων τὸ εἶδος ἄλλη παρὰ ταύτας τὰς προτάσεις, καὶ ἐπὶ τούτοις τίνες μέν εἰσιν ἐν αὐταῖς αἱ ἀντιφατικῶς ἀλλήλαις ἀντικείμεναι, τίνες δὲ αἱ δοκοῦσαι μὲν ἀντιφάσκειν κατὰ ἀλήθειαν δὲ οὐκ ἀντιφάσκουσαι, καὶ πῶς τὰς ἐκείνων πρὸς ἀλλήλας ἀντιθέσεις προσαγορευτέον. ὅτι μὲν οὖν ἡ κατάφασις τὸ ἀρνητικὸν προσλαβοῦσα μόριον ἀπόφασις γίνεται, φανερόν· ποῦ δὲ τῆς καταφάσεως αὐτὸ θετέον, ἵνα τὴν ἀπόφασιν ποιήσωμεν, καὶ διὰ τί τοῦτο, διορίσασθαι χρή. φημὶ τοίνυν ὡς οὐ τῷ ὑποκειμένῳ αὐτὸ συντακτέον ἀλλὰ τῷ κατηγορουμένῳ... f. 71. τούτων οὕτως ἐχόντων ἑξῆς ἐπισκεψώμεθα τὰς διαιρέσεις, ἀφ' ὧν οἷόν τε τὸν ἀριθμὸν τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων ἑλεῖν. καὶ πρότερον τὰς γινομένας ἐν αὐταῖς ἀντιφάσεις ἀριθμήσωμεν· φανερὸν γὰρ ὅτι αἱ προτάσεις διπλάσιαι ἔσονται τῶν ἀντιφάσεων. ἐπεὶ οὖν αἱ προτάσεις αὗται δύο τε μόνον ὅρους ἔχουσι, τὸν ὑποκείμενον καὶ τὸν κατηγορούμενον, καὶ ἔτι τὴν σχέσιν τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον, καὶ οὐδὲν ἄλλο παρὰ ταῦτα, πᾶσα ἀνάγκη καὶ τὰς διαιρέσεις αὐτῶν ἢ ἀπὸ μόνου γίγνεσθαι τοῦ ὑποκειμένου ἢ ἀπὸ μόνου τοῦ κατηγορουμένου ἢ ἀπὸ τῆς σχέσεως τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον. λέγω δὲ σχέσιν, καθ' ἣν ὁ κατηγορούμενος ἢ ἀεὶ ὑπάρχει τῷ ὑποκειμένῳ, ὡς ὅταν εἴπωμεν τὸν ἥλιον κινεῖσθαι ἢ τὸν ἄνθρωπον ζῷον εἶναι, ἢ οὐδέ ποτε ὑπάρχει, ὡς ὅταν εἴπωμεν τὸν ἥλιον ἑστάναι ἢ τὸν ἄνθρωπον πτερωτὸν εἶναι, ἢ ποτὲ μὲν ὑπάρχει ποτὲ δὲ οὐχ ὑπάρχει, ὡς ὅταν εἴπωμεν τὸν Σωκράτην βαδίζειν ἢ ἀναγινώσκειν. ταύτας δὲ τὰς σχέσεις καλοῦσιν, οἷς ἐμέλησε τῆς τούτων τεχνολογίας, τῶν προτάσεων ὕλας, καὶ εἶναι αὐτῶν φασὶ τὴν μὲν ἀναγκαίαν τὴν δὲ ἀδύνατον τὴν δὲ ἐνδεχομένην. καὶ τούτων μὲν τῶν ὀνομάτων ἡ αἰτία προφανής, ὅλως δὲ καλέσαι τὰς σχέσεις ταύτας ὕλας ἠξίωσαν, ὅτι τοῖς ὑποκειμένοις ταῖς προτάσεσι πράγμασι συναναφαίνονται, καὶ οὐκ ἀπὸ τῆς ἡμετέρας οἰήσεως ἢ κατηγορίας ἀλλ' ἀπ' αὐτῆς τῆς τῶν πραγμάτων λαμβάνονται φύσεως... ὁ ὑποκείμενος ἐν τῇ προτάσει ἤτοι καθ' ἕκαστά ἐστιν ἢ καθόλου· καὶ ἔστιν ἄμεσος ἡ διαίρεσις. μίαν μὲν γάρ, ὡς ἐλέγομεν, εἶναι χρὴ φύσιν τὴν ὑπὸ τοῦ ὑποκειμένου σημαινομένην, καθάπερ καὶ τὴν ὑπὸ τοῦ κατηγορουμένου, εἴπερ μέλλοι μία ὄντως εἶναι ἡ πρότασις· ταύτην δὲ τὴν μίαν φύσιν ἀναγκαῖον ἤτοι κατά τινων πλειόνων κατηγορεῖσθαι ἢ καθ' ἑνὸς μόνου ὑποκειμένου· καὶ εἰ μὲν εἴη τῶν καθ' ἑνὸς μόνου κατηγορουμένων τὸ ὡς ὑποκείμενον παραληφθέν, οἷον Σωκράτης ἢ Πλάτων, δῆλον ὅτι καθ' ἕκαστα ἔσται ἡ πρότασις, εἰ δὲ τῶν κατὰ πλειόνων, οἷον ἄνθρωπος ἢ ζῷον, καθόλου· καὶ παρὰ ταῦτα οὐκ ἔστιν. εἰ δὲ καθόλου εἴη, ἀναγκαῖον αὐτὸν ἤτοι δίχα προσδιορισμοῦ λέγεσθαι ἢ μετὰ προσδιορισμοῦ. προσδιορισμοὶ λέγονται οἱονεὶ προσρήματά τινα συνταττόμενα τοῖς ὑποκειμένοις, δεικνύντα καὶ δηλοῦντα ὅπως ἔχει τὸ κατηγορούμενον πρὸς τὸ πλῆθος τῶν ἀτόμων τῶν ὑπὸ τὸ ὑποκείμενον, εἴτε ὡς ὑπάρχον εἴτε ὡς μὴ ὑπάρχον λαμβάνοιτο. διὸ καὶ τέτταρές εἰσι τὸν ἀριθμόν, πᾶς καὶ οὐδείς, τὶς καὶ οὐ πᾶς, δύο μὲν καθόλου, ὁ πᾶς καὶ ὁ οὐδείς, δύο δὲ μερικοί (*), ὁ τὶς καὶ ὁ οὐ πᾶς... f. 72 b. εἰ μὲν μηδεὶς τῶν προσδιορισμῶν προσκέοιτο τῷ ὑποκειμένῳ, λέγεται ἡ πρότασις ἀπροσδιόριστος, οἷον ἄνθρωπος ὑγιαίνει· εἰ δὲ προσδιορισμόν τινα ἔχει, λέγεται ἡ πρότασις προσδιωρισμένη. ἀλλ' εἰ μὲν τῶν καθόλου εἴη ὁ προσδιορισμός, λέγεται καθόλου, εἰ δὲ τῶν μερικῶν, μερική... διαφέρουσι δὲ τῶν καθ' ἕκαστα αἱ μερικαὶ τῷ τὰς μὲν καθ' ἕκαστα ἐπί τινος ἑνὸς ὡρισμένου ποιεῖσθαι τὴν ἀπόφανσιν, οἷον Σωκράτους, τὰς δὲ μερικάς, εἰ καὶ πρὸς ἕν τι βλέπουσαι ἀποφαίνοιντο, μηδὲν ὡρισμένον σημαίνειν, ἀλλ' ἐπί τινος τοῦ τυχόντος δύνασθαι ἀληθεύειν, ὡς ὅταν εἴπωμεν "τὶς ἄνθρωπος δίκαιός ἐστιν·" οὐδὲν γὰρ μᾶλλον Σωκράτους χάριν ἀληθεύει ἡ πρότασις ἢ Πλάτωνος ἢ Ἀριστείδου. διόπερ ὀρθῶς ὁ Θεόφραστος τὴν μὲν καθ' ἕκαστα ὡρισμένην καλεῖ, τὴν δὲ μερικὴν ἀόριστον. καὶ ἀντιδιαιρεῖται πρὸς μὲν τὴν ἁπλῶς καθόλου ἡ καθ' ἕκαστα, πρὸς δὲ τὴν καθόλου ὡς καθόλου ἡ μερική. τοιαύτη μὲν οὖν ἡ ἀπὸ τοῦ ὑποκειμένου τῶν προτάσεων διαίρεσις· ἀπὸ δέ γε τοῦ κατηγορουμένου ταῦτα πάντα τὰ τέτταρα εἴδη τριπλασιάζεσθαι ῥητέον. ἐπεὶ γὰρ ἀνάγκη τὸν κατηγορούμενον ῥῆμα εἶναι, τὸ δὲ ῥῆμα προσσημαίνειν ἐλέγομεν χρόνον, ὁ δὲ χρόνος λαμβάνεται τριχῶς, κατὰ τὸ παρεληλυθός, τὸ ἐνεστός, τὸ μέλλον, δῆλον ὅτι τῶν τεττάρων εἰδῶν τῶν προτάσεων ἕκαστον τριχῶς ποικίλλειν ἀπὸ τοῦ κατηγορουμένου δυνατόν... f. 73 b. ἐπεὶ δὲ ἑκάστην τῶν ιβ' τούτων ἀντιθέσεων τριχῶς λαμβάνεσθαι δυνατὸν κατὰ τὰς τρεῖς ὕλας, ἓξ καὶ τριάκοντα γίνεσθαι συμβαίνει τὰς πάσας αὐτῶν ἀντιθέσεις, ὡρισμένου ὄντος τοῦ ὑποκειμένου. ταύταις δὲ ἴσας ἀνάγκη γίνεσθαι τὰς ἐξ ἀορίστου ὑποκειμένου· καθ' ἑκάστην γὰρ τῶν ὡρισμένῳ χρωμένων τῷ ὑποκειμένῳ τὸ ἀρνητικὸν μόριον τῷ ὑποκειμένῳ προσθεὶς τὴν

(*) *Leo Magent.* χείρονες δὲ τῶν προτάσεων λέγονται αὗται, ἤγουν ἡ τὶς καὶ ἡ οὐ πᾶς, διὰ τὸ ἀεὶ τὰ μερικὰ χείρονα εἶναι τῶν καθόλου· καὶ διὰ τοῦτο καὶ ἡ τὶς χείρων λέγεται τῆς πᾶς, καὶ ἡ οὐ πᾶς τῆς οὐδείς. οἱ δὲ Πλατωνικοὶ μὴ πρὸς τὸ μερικὸν καὶ καθόλου ἀποβλέψαντες ἀλλὰ πρὸς ὕπαρξιν καὶ ἀνυπαρξίαν τὴν μὲν τὶς εἶπον χείρονα τῆς πᾶς, καθὸ ἡ μὲν τὶς μερικὴν εἰσάγει ὕπαρξιν, ἡ δὲ πᾶς παντελῆ ὕπαρξιν· ὁ γὰρ λέγων "πᾶς ἄνθρωπος λευκός ἐστι" πάντας τοὺς ἀνθρώπους λέγει εἶναι λευκούς. τὴν δὲ οὐδεὶς ἔλεγον χείρονα εἶναι τῆς οὐ πᾶς, καθὸ ἡ μὲν οὐδεὶς παντελῆ ἀνυπαρξίαν εἰσάγει (ὁ γὰρ λέγων "οὐδεὶς ἄνθρωπος λευκός ἐστιν" ἀναιρεῖ τὸ λευκὸν ἀπὸ πάντων τῶν ἀνθρώπων), ἡ δὲ "οὐ πᾶς" εἰσάγει μερικήν τινα ὕπαρξιν· ὁ γὰρ λέγων "οὐ πᾶς ἄνθρωπος λευκός" εἰσάγει τινὰς ἀνθρώπους εἶναι λευκούς. καὶ λοιπὸν κατεσκεύαζον τὰς καθόλου μὴ καθόλου τὴν μίαν εἶναι ἀληθῆ τὴν δὲ ἑτέραν ψευδῆ, λέγοντες ὅτι ἡ "ἄνθρωπος λευκός ἐστιν" ἰσοδυναμεῖ τῇ "τὶς ἄνθρωπος λευκός ἐστιν," ἡ δὲ "ἄνθρωπος λευκὸς οὐκ ἔστιν" ἰσοδυναμεῖ τῇ "οὐδείς ἄνθρωπος λευκός ἐστιν." ταύτας γάρ φαμεν χείρονας τὴν τὶς καὶ τὴν οὐδείς, ἡ δὲ τὶς καὶ ἡ οὐδεὶς ἀντιφατικῶς ἀντίκεινται, ἐπὶ δὲ τῶν ἀντιφατικῶς ἀντικειμένων ἡ μία ἀληθὴς ἡ δὲ ἑτέρα ψευδής· καὶ λοιπὸν ἄρα αἱ καθόλου μὴ καθόλου προτάσεις τὴν μίαν ἔχουσιν ἀληθῆ τὴν δὲ ἑτέραν ψευδῆ διὰ τὸ ἰσοδυναμεῖν ταῖς χείροσι τῶν προτάσεων. ἀναιροῦντες οὖν τοὺς Πλατωνικοὺς λέγομεν ὅτι ἐπὶ τῆς λογικῆς πραγματείας οὐχ ὑπάρξεις καὶ ἀνυπαρξίας ζητοῦμεν, ἀλλὰ καθόλου καὶ μερικά, καὶ διὰ τοῦτο λέγομεν τὰ μερικὰ χείρονα τῶν καθόλου. λύων οὖν ὁ Ἀριστοτέλης τὴν ἔνστασιν τῶν Πλατωνικῶν λέγει τοῦτο ὃ λέγω, ὅτι αἱ καθόλου μὴ καθόλου συναληθεύουσι διὰ τὸ ἰσοδυναμεῖν ταῖς χείροσι τῶν προτάσεων.

σύνθετος ἐκ πλειόνων λόγων, καὶ τοῦ ἁπλοῦ ὁ μὲν πρῶτος ὁ δὲ δεύτερος, καὶ ἑκάτερος τούτων ὁ μὲν εἷς, ὁ ἓν σημαίνων, ὁ δὲ πολλοί, ὁ πολλὰ σημαίνων, οὐδενὶ ἂν ἔδοξε τὰ αὐτὰ πολλάκις περὶ τῶν αὐτῶν εἰρηκέναι (*). οὐ δεῖ δὲ οἴεσθαι τὸν ὁρισμὸν τῆς ἁπλῆς ἀποφάνσεως, ἢ ὡς φαῖεν ἄν τινες, ὑπογραφήν, ἐκ τῆς καταφάσεως ἀποδίδοσθαι καὶ τῆς ἀποφάσεως, διὰ τὸ λέγεσθαι ὑπὸ τοῦ Ἀριστοτέλους "ἁπλῆ ἀπόφανσίς ἐστι τί κατά τινος ἢ τί ἀπό τινος" καὶ πάλιν "φωνὴ σημαντικὴ περὶ τοῦ ὑπάρχειν τι ἢ μὴ ὑπάρχειν," ὧν τὰ μέν εἰσι δηλονότι καταφάσεις τὰ δὲ ἀποφάσεις· ὅπερ τινὲς ὑπολαβόντες οὐ γένος εἶναι τὴν ἀπόφανσιν ἐνόμισαν, ἀλλὰ φωνὴν ὁμωνύμως εἰς διάφορα σημαινόμενα διαιρουμένην τὰ ὑπ' αὐτήν. ταῖς γὰρ ὁμωνύμοις φωναῖς προσήκουσιν αἱ ἀπὸ τῶν σημαινομένων ὑπ' αὐτῶν διδασκαλίαι, διὰ τὸ ταύτας μηδεμιᾶς κοινῆς φύσεως εἶναι δηλωτικάς, ἣν οἱ ὁρισμοὶ σημαίνουσι· τὸν μὲν γὰρ ὁρισμὸν τῆς ἀποφάνσεως ἔχομεν ἤδη διὰ τῶν ἔμπροσθεν παραδεδομένων, ὅτι ἐστὶ λόγος ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει.

17a 23. § 65. ἐπεὶ δὲ τὸ εἰ ὑπάρχει τινὶ ἢ μὴ ὑπάρχει ὡς κατὰ μόνον τὸν ἐνεστῶτα χρόνον προενήνεκται, αἱ δὲ ἀποφάνσεις καὶ κατὰ τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα λέγεσθαι ὁμοίως δύνανται, διὰ τοῦτο προσέθηκε τὸ "ὡς οἱ χρόνοι διῄρηνται."

17a 25. § 65 b. βούλεται μὲν διὰ τούτων παραδοῦναι τὸν ὁρισμὸν τῆς ἀντιφάσεως καὶ εἰπεῖν ὅτι ἐστὶ μάχη καταφάσεως καὶ ἀποφάσεως (**), διαιρουσῶν ἀεὶ τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, ὥστε τῆς ἑτέρας αὐτῶν ψευδομένης ἀληθεύειν τὴν ἑτέραν, καὶ ἔμπαλιν. πρὸς δέ γε τούτῳ προσλαβεῖν ἐξ ἀνάγκης ἔδει ὅτι ἐστὶ μάχη ψευδοῦς τε ἀποφάσεως πρὸς ἀληθῆ κατάφασιν καὶ ψευδοῦς καταφάσεως πρὸς ἀληθῆ ἀπόφασιν. ἵνα οὖν τοῦτο οὕτως ἔχον ἐπιδείξῃ, λαμβάνει δύο ἀντιθέσεις, μίαν μὲν ἀπὸ τῶν πραγμάτων αὐτῶν, ἑτέραν δὲ ἀπὸ τῆς ἡμετέρας περὶ τὰ πράγματα ἐπικρίσεως.

17a 33. § 67. ταύτην τὴν μάχην τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν ἀντίφασιν ὀνομάζειν ὁ Ἀριστοτέλης ἀξιοῖ ὡς ἂν τῶν μορίων αὐτῆς τἀναντία φασκόντων ἀλλήλοις κατὰ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, αὐτὸς τοὔνομα αὐτῇ τοῦτο τιθέμενος, ὡς δηλοῖ λέγων "καὶ ἔστω ἀντίφασις τοῦτο," καίτοι οὔτε ἐπὶ καταφάσεως οὔτε ἐπὶ ἀποφάσεως ἢ ἀποφάνσεως τοιοῦτον οὐδὲν εἰπών· ἔστι γὰρ τούτων τῶν ὀνομάτων ἕκαστον εὑρεῖν καὶ παρὰ τῷ θειοτάτῳ Πλάτωνι κείμενον, ὥσπερ καὶ τὰ πλεῖστα τῶν ἐν τούτοις παραδεδομένων περὶ τῶν ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου θεωρημάτων εὕροις ἂν πολλαχῇ τε παρ' αὐτῷ διεσπαρμένα καὶ διαφερόντως ἐν τῷ Σοφιστῇ παραδεδομένα μετὰ τοὺς πολλοὺς καὶ θαυμαστοὺς λόγους τοὺς περὶ τοῦ συγκεκραμένου τῷ ὄντι μὴ ὄντος... ἐπιστῆσαι δὲ χρὴ ὅτι ἐν τῇ τῶν προτάσεων ἀπαριθμήσει βουλόμενος ὁ Ἀριστοτέλης ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα προάγειν τὸν λόγον καὶ οἷον ἀπὸ στερήσεων, ἐπειδὴ πρώτας μὲν παρέδωκεν τὰς ψευδεῖς προτάσεις, ἐπὶ δὲ ταύταις τὰς ἀληθεῖς, καὶ ἐν ταῖς ψευδέσι προέταξε τὴν ψευδῆ ἀπόφασιν τῆς ψευδοῦς καταφάσεως, διότι καὶ ἡ ἀπόφασις αὐτὴ καθ' αὐτὴν χείρων ἐστὶ τῆς καταφάσεως, στερήσεως πρὸς αὐτὴν ἔχουσα λόγον.

17a 35. § 68. ἐπεὶ δὲ οὔπω τὸ ἀκριβὲς εἶχεν ὁ τῆς ἀντιφάσεως ὁρισμός οὐ γὰρ ἡ τυχοῦσα ψευδὴς ἀπόφασις ἀντίφασιν ποιεῖ πρὸς τὴν τυχοῦσαν ἀληθῆ κατάφασιν, οὐδ' ἡ τυχοῦσα ἀληθὴς ἀπόφασις πρὸς τὴν τυχοῦσαν ψευδῆ κατάφασιν· τίς γὰρ ἀντιφάσκειν εἴποι πρὸς τὸν εἰπόντα "ὁ ἄνθρωπος ζῷόν ἐστι" τὸν λέγοντα "ὁ ἄνθρωπος δίπους οὐκ ἔστι" διὰ τὸ εἶναι τὴν μὲν κατάφασιν ἀληθῆ τὴν δὲ ἀπόφασιν ψευδῆ, ἢ πρὸς τὸν εἰπόντα "ὁ ἄνθρωπος τετράπους ἐστί" τὸν λέγοντα "ὁ ἄνθρωπος λίθος οὐκ ἔστι" διὰ τὸ ἔμπαλιν ἔχειν τὰς προτάσεις; διὰ τοῦτο προστίθησιν εἰκότως τίνας οἴεσθαι χρὴ τὰς ἀντικειμένας καταφάσεις καὶ ἀποφάσεις, ὅτι τὰς ὑποκειμένῳ τε τῷ αὐτῷ χρωμένας καὶ τὸν αὐτὸν αὐτοῦ κατηγορούσας κατηγορούμενον, ὅπερ ἐδήλωσεν εἰπὼν "τὴν τοῦ αὐτοῦ κατὰ τοῦ αὐτοῦ."

17a 36. § 69. περὶ τούτων οὖν ὁ Ἀριστοτέλης τελειότατα μὲν ἐν τῇ τῶν Σοφιστικῶν Ἐλέγχων ἐπιγραφομένῃ πραγματείᾳ διείλεκται, τούς τε τρόπους ἅπαντας ἐκτιθέμενος, τρισκαίδεκα ὄντας, καθ' οὓς οἱ σοφισταὶ τοὺς ἀνεπιστάτως αὐτοῖς διαλεγομένους πειρῶνται παραλογίζεσθαι, τούς τε παρὰ τὴν λέξιν ἓξ καὶ τοὺς ἑπτὰ τοὺς παρὰ τὴν διάνοιαν ἤτοι ἔξωθεν ἁπλῶς τῆς λέξεως ὑπ' αὐτῶν λαμβανομένους, καὶ τοὺς ἐλέγχους αὐτῶν παραδιδούς. ἐν δέ γε τούτοις ἑνὸς τρόπου τοῦ παρὰ τὴν ὁμωνυμίαν μνημονεύσας, ὅς ἐστιν εἷς τῶν παρὰ τὴν λέξιν, ἀξιοῖ τὸν ὅμοιον ἡμᾶς τρόπον καὶ τοὺς ἄλλους ἅπαντας διορισμοὺς παρατηρεῖν τοὺς ἀναγκαίους πρὸς τὴν ἀκριβῆ τῶν ἀντιφασκουσῶν ἀλλήλαις προτάσεων ἀντίθεσιν, παραιτησάμενος ὡς οὐκ ὂν ἐν καιρῷ τὸ νῦν ἡμῖν παραδιδόναι τὴν περὶ τούτων ἀκριβολογίαν. ἐνοχλήσεις δὲ πάνυ καλῶς εἶπε σοφιστικὰς τὰς ἀκαίρους αὐτῶν ἐνστάσεις, πραγματειῶδες μὲν οὐδὲν ἐχούσας, ὄχλον δὲ μόνον καὶ περιολκὴν ματαίαν τοῖς νοῦν ἔχουσι παρεχούσας, διότι ἐν τοῖς σοφιστικοῖς ἐλέγχοις ἐνοχλοῦσι τὸν ἀποδεικνύοντα καὶ οὐκ ἐῶσιν αὐτὸν ἢ τὸν ἀκούοντα τὴν ἀλήθειαν εὑρεῖν. ἀλλ' ἐπεὶ τὰ περὶ τῶν ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου διεπερανάμεθα, τούτοις δὴ ἐφεξῆς τὰ περὶ τῶν προτάσεων αὐτῶν ἀπ' ἄλλης ἀρχῆς ἐπισκεψώμεθα.

17a 38. § 70. Ἄρχεται μὲν οὖν ἐντεῦθεν τὸ δεύτερον τοῦ βιβλίου κεφάλαιον, ὅπερ ἐλέγομεν εἶναι περὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων ἢ ἀποφάνσεων· δεῖ δέ γε ἡμᾶς πρὸ τῆς ἐξηγήσεως τῶν διὰ τοῦ ῥητοῦ λεγομένων θεωρῆσαι τὰ πρὸς κατανόησιν

(*) *Boëth.* II p. 324 sqq: sed Alexander a propria sententia non desistit, nec alio quam ceteri tenetur errore: ait enim hic quoque apparere non esse genus affirmationis et negationis enuntiationem, quoniam ita in definitione enuntiationis affirmatione et negatione ut partibus usus est... non videns quemadmodum una definitione et divisionem fecerit et naturam enuntiationis ostenderit. sed hanc expositionem, quod adhuc sciam, neque Porphyrius neque ullus alius commentatorum vidit. Aspasius etiam consentit Alexandro.

(**) *M. Ephes.* ἀποροῦσί τινες ὅτι δι' ἣν αἰτίαν, μέλλων διδάξαι περὶ ἀντιφάσεως, οὐκ ἐμνημόνευσεν αὐτῆς ἐν τῇ ἀπαριθμήσει. καί φαμεν δύο αἰτίας, ὧν πρώτη ἐστίν, ἐπειδὴ ἐμνημόνευσε καταφάσεως καὶ ἀποφάσεως, ἐξ ὧν σύγκειται ἡ ἀντίφασις, διὰ τοῦτο αὐτὴν οὐκ ἀπηριθμήσατο. δευτέρα αἰτία, ἐπειδὴ οὐδεὶς τῶν παλαιῶν ἐμνήσθη τοῦ τῆς ἀντιφάσεως ὀνόματος, καὶ δηλοῖ ὅτι αὐτοῦ ἐστιν εὕρημα· λέγει γὰρ "ἔστω τοῦτο ἀντίφασις."

παρελήφθη πρὸς τὸ ἕν τι περιγράψαι τὸ ἐξ αὐτῶν συνιστάμενον· διὸ μίαν εἶναί φαμεν ταύτην τὴν πρότασιν... ἀλλὰ πῶς ὁ Ἀριστοτέλης τοὺς πολλὰ σημαίνοντας λόγους ἀπαριθμούμενος τούς τε ὁμώνυμόν τινα τὸν ὅρον ἔχοντας καὶ τοὺς ἀσυνδέτους μόνους παρέλαβεν, ὧν ἐν οὐδετέρᾳ τετάχθαι χώρᾳ οἱ κατὰ μόνην τὴν λέξιν τὴν διὰ τῶν συνδέσμων ἕνωσιν ἔχοντες; ἢ ῥητέον ὅτι καὶ οὗτοι τῶν πολλὰ καὶ μὴ ἓν εἰσὶ σημαινόντων, ἀλλ' οὐκέτι δι' ὁμωνυμίαν ἀλλὰ διὰ τὸ ἐνεργείᾳ πλείονας εἶναι κατὰ τὴν λέξιν τοὺς τὰ διάφορα πράγματα σημαίνοντας ὅρους.

17a 17. f. 60 b. μέλλων διὰ τῶν ἐφεξῆς διδάσκειν περί τε ἀποφάνσεως καὶ περὶ καταφάσεως καὶ ἀποφάσεως καὶ ἔτι ἀντιφάσεως, ἐπεὶ ἐν ἅπασι τούτοις τὸ τῆς φάσεως ὄνομα παραλαμβάνεται, διὰ τοῦτο εἰκότως πρὸ τῆς ἐκείνων διδασκαλίας τὴν τῆς φάσεως ἔννοιαν ὑφηγεῖται, καί φησιν εἶναι ταύτην ὀνόματα ἢ ῥήματα ὡς μέρη τοῦ ἀποφαντικοῦ λόγου λαμβανόμενα. καὶ ὅτι τοῦτο οὕτως ἔχει, σαφῶς ἐδήλωσε, τοῦ ὀνόματος τῆς φάσεως τὴν αἰτίαν εὐθὺς ἐπαγαγών. ἐπειδὴ γάρ, φησί, δηλοῖ μέν τι τούτων ἑκάτερον, οὐ μὴν ἀληθὲς ἢ ψεῦδος, διὰ δὴ τοῦτο φάσις μὲν ὀνομάζοιτο ἂν δικαίως ὡς σημαῖνόν τι καὶ φαῖνον, οὐ μὴν ἀπόφανσις ἅτε οὐδέτερον δηλοῦν τῶν ὑπὸ τῆς ἀποφάνσεως πάντως σημαινομένων, λέγω δὴ τὸ ἀληθὲς ἢ τὸ ψεῦδος. τοῦτο δέ, τὸ μὴ δεῖν προσκεῖσθαι τὴν ἀπό πρόθεσιν τῇ προσηγορίᾳ τῆς φάσεως ἐπὶ τοῦ ὀνόματος ἢ τοῦ ῥήματος, ἐδήλωσε διὰ τοῦ "φάσις ἔστω μόνον" εἰπών. εἶτα ἀμφοῖν ἅμα τὰς αἰτίας ἀποδέδωκε, τοῦ τε προσήκειν αὐτοῖς τὸ τῆς φάσεως ὄνομα καὶ τοῦ μὴ προσήκειν τὸ τῆς ἀποφάνσεως, διὰ τοῦ "ἐπειδὴ οὐκ ἔστιν εἰπεῖν οὕτω δηλοῦντά τι τῇ φωνῇ" καὶ τῶν ἑξῆς τούτοις, ὅπερ ἐστίν, ἐπειδὴ καὶ εἰ σημαντικὴν τινῶν πραγμάτων ἔχουσι δύναμιν, ἀλλ' αὐτό γε καθ' αὑτὸ τούτων ἑκάτερον οὐδεμιᾶς ἀποφάνσεώς ἐστι ποιητικόν. εἶτα προστίθησι τοὺς τρόπους καθ' οὓς ἀποφαίνεσθαι εἰώθαμεν... ἐν δέ γε τούτοις ἀπὸ τῶν τρόπων τῆς χρήσεως τῶν ἀποφαντικῶν λόγων διακρίνειν αὐτὰ πάλιν ἐπιχειρεῖ· ἐπειδὴ γὰρ ἢ ὑπό τινος ἐρωτηθέντες καὶ πρὸς τὴν ἐρώτησιν ἀπαντῶντες ἀποφαινόμεθα, ἢ καὶ μηδενὸς ἐρωτῶντος αὐτοὶ προελόμενοι τοῖς πέλας ἐκφῆναι τὴν ἡμετέραν διάνοιαν, ὁ δὲ τὸ ὄνομα ἢ τὸ ῥῆμα εἰπὼν κατ' οὐδέτερον τούτων ἀποφαίνεται τῶν τρόπων, φανερὸν ὡς ἕτερα ἂν εἴησαν ταῦτα τῆς ἀποφάνσεως.

17a 20. f. 62. ἀποδεδειγμένου δὴ τοῦ ὅτι ἡ φάσις ἕτερόν τί ἐστι τῆς ἀποφάνσεως, οὐκέτι προσέθηκεν ὁ Ἀριστοτέλης τὴν πρὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἢ τὴν ἀντίφασιν αὐτῆς διαφορὰν ὡς προφανῆ λίαν οὖσαν· ὃ γὰρ μὴ ἔστιν ὅλως ἀπόφανσις, πῶς ἄν ποτε εἴη κατάφασις ἢ ἀπόφασις, ὧν ἑκάτερον ἀπόφανσίς ἐστιν;

17a 18. δῆλον δὲ ὅτι τὸ ἔστω ἐν τῷ "τὸ μὲν ὄνομα ἢ ῥῆμα φάσις ἔστω μόνον" τοῦ Ἀριστοτέλους εἶναι σημαίνει τὴν θέσιν τοῦ ὀνόματος τῆς φάσεως ἐπὶ τῶν ἁπλῶν, ὅπερ ἐλέγομεν, ἐν ταῖς προτάσεσι φωνῶν, ἐπεὶ καὶ πρὸ τοῦ Ἀριστοτέλους ὁ παρὰ Πλάτωνι Τίμαιος (p. 49) χρῆται τῷ ὀνόματι τῆς φάσεως, ἀλλ' ἐπὶ μόνων τῶν ὁπωσοῦν κατηγορουμένων· τὰ γοῦν ἔνυλα εἴδη τὰ ἐν γενέσει καὶ φθορᾷ τὴν ὑπόστασιν ἔχοντα διὰ τὴν συνεχῆ ῥεῦσιν φεύγειν φησίν, οὐχ ὑπομένοντα τὴν τοῦ τόδε πρὸς τοῦτο καὶ πάλιν ὅση μόνιμα αὐτὰ ὡς ὄντα ἐνδείκνυται φάσις. τούτων δὲ ἡ μὲν ἁπλῆ ἐστὶν ἀπόφανσις, οἷον τί κατά τινος ἢ τί ἀπό τινος, ἡ δὲ ἐκ τούτων συγκειμένη, οἷον λόγος τις ἤδη σύνθετος.

f. 63 b. ταῦτα μὲν οὖν διὰ τὸ προφανὲς οὐ πολλῆς ἐπιστάσεως ἄξια· πῇ δὲ διοίσει τὰ διὰ τούτων λεγόμενα τῶν ὀλίγῳ πρότερον εἰρημένων "ἔστι δὲ εἷς λόγος ἀποφαντικὸς ἢ ὁ ἓν δηλῶν ἢ ὁ συνδέσμῳ εἷς, πολλοὶ δὲ οἱ πολλὰ καὶ μὴ ἓν ἢ ἀσύνδετοι" (p. 17 a 15) 17a 22. καὶ τῶν ἔτι πρὸ ἐκείνων "ἔστι δὲ εἷς πρῶτος λόγος ἀποφαντικὸς κατάφασις, εἶτα ἀπόφασις" (p. 17 a 8), ἄξιον ἐπισκέψασθαι. ῥητέον οὖν ὅτι τῆς διαφορᾶς τῶν λόγων λαμβανομένης, ὡς καὶ πρότερον ἐλέγομεν, ἢ ἀπὸ τῶν λέξεων ἢ ἀπὸ τῶν σημαινομένων, καὶ τῆς μὲν ἀπὸ τῶν λέξεων διαφορᾶς ποιούσης τὸν μὲν ἐξ ἑνὸς κατὰ τὴν λέξιν ὑποκειμένου καὶ ἐξ ἑνὸς κατηγορουμένου θετικῶς ἢ ἀρνητικῶς συγκείμενον, εἴτε προσκατηγοροῖτο τὸ ἔστιν εἴτε καὶ μή, καὶ εἴτε προσκέοιτο τρόπος τις εἴτε μή, καὶ ἁπλῶς εἰπεῖν κατάφασιν μόνην ἢ ἀπόφασιν μόνην, τὸν δὲ σύνθετον ἐκ δύο καταφάσεων ἢ ἀποφάσεων, ἢ καταφάσεως καὶ ἀποφάσεως, ἓν συνδέσμῳ ἕνα κέκληκεν ὁ Ἀριστοτέλης, καὶ ἐν αὐταῖς πάλιν τοῖς τε ἁπλοῖς λόγοις καὶ τοῖς συνδέσμῳ τὸ ἓν ἔχειν λεγομένοις θεωρουμένης τῆς κατὰ τὸ καταφατικὸν καὶ ἀποφατικὸν διαφορᾶς, τῆς δέ γε ὑπὸ τῶν σημαινομένων διακρίσεως τῶν λόγων τῆς μὲν ποιούσης ἕνα τῆς δὲ πολλούς, τρεῖς ἔσονται τῶν λόγων αἱ ἀντιθέσεις, ἁπλοῦ πρὸς σύνθετον, πρώτου πρὸς ὕστερον, ἑνὸς πρὸς πολλά. δι' ὧν μὲν οὖν ἔλεγεν "ἔστι δὲ εἷς πρῶτος λόγος ἀποφαντικός" (v. 8), τὴν κατὰ τὸ πρῶτον καὶ ὕστερον τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν παρεδίδου διαφοράν, ἐνδεικνύμενος ὅτι μόνους τούτους ἁπλοῦς ὄντας λόγους κυρίως ἀξιοῦμεν τῆς τοῦ ἑνὸς προσηγορίας, τῷ προστιθέναι "οἱ δὲ ἄλλοι πάντες συνδέσμῳ εἷς," ὡς ἂν οὐ δυναμένων ἡμῶν ἁπλῶς ἕνα τῶν λόγων ἐκείνων τινὰ ὀνομάζειν, τὸ δὲ κοινὸν τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν, ὅτι ἄμφω εἰσὶν ἁπλαῖ ἀποφάνσεις, καθ' ὃ καὶ διακρίνονται τῶν συνδέσμῳ τὸ ἓν ἐχόντων. ἐν ἐκείνοις οὖν προστιθείς, δι' ὧν ἔλεγεν "ἔστι δὲ εἷς πρῶτος λόγος ἀποφαντικὸς ἢ ὁ ἓν δηλῶν ἢ ὁ συνδέσμῳ εἷς, πολλοὶ δὲ οἱ πολλὰ καὶ μὴ ἕν," τὴν ἐπὶ τῶν σημαινομένων διαίρεσιν ἡμῖν παρεδίδου τοῦ τε ἑνὸς λόγου καὶ τῶν πολλῶν. ἐν δέ γε τοῖς νῦν προκειμένοις τὴν κατὰ τὸ ἁπλοῦν καὶ τὸ σύνθετον διαίρεσιν αὐτῶν παραδίδωσιν, αὐτὸ τοῦτο σαφέστατα διοριζόμενος ὅτι κατὰ τὴν ἁπλότητα διαφέρουσιν ἡ κατάφασις καὶ ἡ ἀπόφασις τῶν συνδέσμῳ τὸ ἓν ἐχόντων λόγων· τὴν γὰρ κοινότεραν λεγομένην ἀπόφανσιν διελὼν πρῶτον εἰς τὴν ἁπλῆν καὶ τὴν σύνθετον, πάλιν τὴν ἁπλῆν εἰς τὴν κατάφασιν διαιρεῖ καὶ τὴν ἀπόφασιν, ὧν τὴν πρὸς ἀλλήλας τάξιν ἔμπροσθεν παραδέδωκε. καὶ εἴ γε τὴν τάξιν τῆς διδασκαλίας τῶν διαιρέσεων ἐναλλάξας τὴν μὲν διαφορὰν τῆς ἁπλῆς ἀποφάνσεως πρὸς τὴν σύνθετον πρότερον ἂν ἡμῖν παραδούς, ἐπὶ δὲ ταύτῃ τὰ πρότερον εἰρημένα περὶ τῆς τάξεως ἣν ἔχουσι πρὸς ἀλλήλας ἡ κατάφασις καὶ ἡ ἀπόφασις, τελευταίαν προσθεὶς τὴν ἀπὸ τῶν σημαινομένων διαφορὰν τοῦ ἑνὸς λόγου πρὸς τοὺς πολλούς, ὥστε οὕτως ἐξ ἀρχῆς εἰπεῖν, τοῦ ἀποφαντικοῦ λόγου ὁ μέν ἐστιν ἁπλοῦς ὁ δὲ

χρεία καὶ ἑτέρου τινός, ᾧ προστιθέμενον καὶ συντιθέμενον τὸ ῥῆμα ποιήσει τὴν ἀπόφανσιν τὴν τὸ εἶναι ἢ τὸ μὴ εἶναι σημαίνουσαν. ἐν δὲ τοῖς μετ' ἐκεῖνα παραδεδομένοις περὶ λόγου διαλεχθείς, καὶ εἰπὼν ὅτι ἐστὶ σημαντικὴ φωνὴ μέρος ἔχουσα σημαντικόν, ὅπερ κοινῶς ὑπάρχειν τοῖς τελείοις καὶ τοῖς ἀτελέσι λόγοις ἐλέγομεν, καὶ μεταβὰς ἐπὶ τὴν θεωρίαν τῆς ἀποφάνσεως καὶ τῶν ταύτης εἰδῶν, ὥσπερ δείσας μή τις ὑπολάβῃ τοὺς ὁριστικοὺς λόγους ἅτε συνθέτους ἐκ πλειόνων ὄντας καὶ σημαντικοὺς μιᾶς φύσεως ὑπάρχοντας δύνασθαι ποιεῖν ἀπόφανσιν, διὰ τοῦτο νῦν ταῦτα προστίθησι, περὶ ὧν οὐδέν πω φαίνεται διειλεγμένος. ἐπεὶ δὲ ὅλως ὁρισμῶν ἐν τούτοις πεποίηται μνείαν, οὗτοι δέ εἰσιν ἐκ πλειόνων ὀνομάτων συγκείμενοι λόγοι περὶ τὴν οὐσίαν τοῦ αὐτοῦ πράγματος στρεφομένων, καὶ διὰ τοῦτο εἷς ἕκαστος τούτων, πολλῆς δὲ πραγματείας ἡ τούτου δεῖται θεωρία, πότε μὲν ἐκ τῶν συμπεφορημένων ὀνομάτων οὐσία μία σημαίνεται καὶ εἷς ἐξ αὐτῶν ἀποτελεῖται λόγος πότε δὲ οὐχ εἷς, ἀναβάλλεται τὴν τούτων παράδοσιν εἰς τελειοτέραν τινὰ πραγματείαν, ἧς ἔργον ἐστὶ τὰ ὄντα ᾗ ὄντα σκοπεῖν. διόπερ ἔν τε τῷ ἑβδόμῳ καὶ ἐν τῷ ὀγδόῳ βιβλίῳ τῆς Μετὰ τὰ Φυσικὰ πολὺν περὶ τούτου ποιήσεται λόγον (*), τὸ μὲν γένος, ἵνα συνελόντες εἴπωμεν τὸ κεφάλαιον τῶν ἐν ἐκείνοις παραδεδομένων, ὕλης ἐν τῷ ὁρισμῷ λόγον ἔχειν ἀποφαινόμενος, τὴν δὲ διαφοράν, καὶ μάλιστα τὴν ἐσχάτην καὶ μόνῳ τῷ ὁριστῷ πράγματι ἐφαρμόττουσαν, εἰδοποιὸν γίνεσθαι καὶ τελειωτικὴν τῆς οἰκείας ὕλης, οὐδενὸς ἑτέρου δεηθεῖσαν πρὸς τὴν ἕνωσιν τὴν πρὸς αὐτήν· οὐ γὰρ πρὸς κεχωρισμένον τι καὶ καθ' αὑτὸ ὑφεστηκὸς ἴσχει τὴν ἕνωσιν, ἀλλ' ἔστι τὸ εἶδος διάθεσίς τις τῆς προσεχοῦς ὕλης, τό τε καθόλου καὶ νοητὸν τῆς νοητῆς λεγομένης ὕλης, ταὐτὸν δὲ εἰπεῖν τῆς κατὰ τὸ γενικώτερον ἐπινοουμένης καὶ τὸ αἰσθητόν, καὶ καθ' ἕκαστα τῆς κατ' αὐτὸ διατίθεσθαι πεφυκυίας. διὰ ταῦτα τοίνυν ὅ τε ὁριστικὸς λόγος εἷς οὐκ ἐκ διακεκριμένων πρότερον ἔπειτα συνελθουσῶν ἀλλήλαις ἰδιοτήτων συγκείμενος, καὶ τῶν καθ' ἕκαστα πραγμάτων ἕκαστον ἕν.

17a 15. §. 58. ἰστέον ὅτι δύο τούτων ἐξ ἀνάγκης περὶ πάντα λόγον θεωρουμένων (**), λέξεώς τε καὶ σημασίας, περὶ μὲν τὴν λέξιν δύο θεωροῦνται τοῦ ἑνὸς λόγου διαφοραί, μία μὲν κατὰ τὸ ἁπλοῦν καὶ σύνθετον ἐκ πλειόνων ἁπλῶν λόγων, ἑτέρα δὲ κατὰ τὸ πρῶτον καὶ δεύτερον, προηγουμένως μὲν ἐν τοῖς ἁπλοῖς, διὰ τούτους δὲ καὶ ἐν τοῖς συνθέτοις, ἐκ τῆς ποιότητος δηλονότι τῶν προτάσεων, τοῦτε καταφατικοῦ λέγω καὶ ἀποφατικοῦ, τῆς τοιαύτης τάξεως ἀναφαινομένης· περὶ δέ γε τὴν σημασίαν μία ἡ κατὰ τὸ ἓν καὶ τὸ πλῆθος τῶν σημαινομένων... §. 59. ταύτην οὖν τὴν ἀπὸ τῶν σημαινομένων θεωρουμένην ἐν ταῖς προτάσεσι διαφορὰν παραδοὺς ἡμῖν διὰ τούτων ἕνα λόγον ἀποφαντικὸν εἶναί φησι, κυριώτερον μὲν τὸν ἓν σημαίνοντα, δευτέρως δὲ καὶ τὸν συνδέσμῳ τὸ ἓν ἔχειν λεγόμενον, πολλοὺς δὲ τοὺς πολλὰ σημαίνοντας καὶ μὴ ἕν, ἢ τοὺς ἀσυνδέτους. ἐν δὴ τούτοις συνδέσμῳ μὲν ἕνα λόγον ἀκουστέον οὐ τὸν ἐν μόναις ταῖς λέξεσιν ἐπίκτητον ἔχοντα τὴν ἕνωσιν διὰ τὸν σύνδεσμον παραπλησίως τῷ φακέλλῳ, ὃς διὰ τὸν συνέχοντα τὰ πλείονα λάχανα δεσμὸν εἷς λέγεται εἶναι, ὡς ὅταν εἴπωμεν Σωκράτης κάθηται καὶ Ἀλκιβιάδης περιπατεῖ, ἢ Σωκράτης κάθηται καὶ Ἀλκιβιάδης κάθηται, ἢ Σωκράτης καὶ Ἀλκιβιάδης κάθηνται (πάντες γὰρ οἱ οὕτω λεγόμενοι πλείονες ὄντες περὶ μόνην τὴν λέξιν ἔχουσι τὴν ἐμφαινομένην διὰ τὸν σύνδεσμον ἕνωσιν), ἀλλὰ τοὺς ἐν τοῖς ὑποθετικοῖς καλουμένοις συλλογισμοῖς κατὰ τὸ συνημμένον ἢ τὸ διεζευγμένον λεγόμενον παραλαμβανομένους, οἷον "εἰ ὁ θεὸς ἀγαθός, ἀΐδιον τὸ πᾶν" καὶ "ἤτοι ἀΐδιον τὸ πᾶν ἢ γεννητόν." πλείονες μὲν γὰρ καὶ οὗτοι ὄντες συνδέονται κατὰ τὴν λέξιν, οἱ μὲν ὑπὸ τοῦ συναπτικοῦ λεγομένου συνδέσμου, οἱ δὲ ὑπὸ τοῦ διαζευκτικοῦ· ἀλλ' ἔχουσί τι πλέον τῶν προειρημένων ὅτι τῶν ἐν αὐτοῖς παραλαμβανομένων πλειόνων πραγμάτων ἢ ἀκολουθίαν ἢ διάστασιν σημαίνουσιν. αὐτὸ οὖν τοῦτο τὸ ἕν τι ὂν ἐστιν ὑπ' αὐτῶν σημαινόμενον, ἡ ἀκολουθία αὕτη τῶν πραγμάτων ἢ ἡ διάστασις. τούτους μὲν οὖν διὰ ταῦτα δευτέρως λέγεσθαι τὸ ἓν ἔχειν ὑπὸ τοῦ Ἀριστοτέλους ῥητέον, μετὰ τοὺς ἕν τι κατηγορούμενον καθ' ἑνὸς ὑποκειμένου σημαίνοντας· ὥστε εἶναι τὸ λεγόμενον ὅτι εἷς λόγος ἀποφαντικός ἐστιν ἢ ὁ ἕν τι καθ' ἑνὸς κατηγορῶν καταφατικῶς, ἢ ὁ ἀποφατικῶς καὶ διὰ τοῦτο λεγόμενος κατηγορικός, ἢ ὁ σχέσιν μίαν ὑπάρξεων δύο σημαίνων, ἢ κατὰ ἀκολουθίαν ἢ κατὰ διάστασιν ἐμφαινομένην ὑπὸ τῶν ταύτην τὴν δύναμιν ἐχόντων συνδέσμων, καὶ λέγων ἢ τίνος ὄντος τί ἐστιν ἢ τίνος ὄντος τί οὐκ ἔστι, καὶ διὰ τοῦτο λεγόμενος ὑποθετικός.

§. 60. εἰπὼν δὲ πολλοὺς εἶναι λόγους τοὺς πολλὰ σημαίνοντας 17a 16.
προσέθηκε "καὶ μὴ ἕν" διὰ τοὺς περὶ τῶν καθόλου τινὸς ἀποφαινομένους. ἐκεῖνοι μὲν γὰρ πολλὰ μὲν σημαίνουσι καὶ αὐτοὶ πράγματα, τὰ ὑπὸ τῶν καθόλου περὶ οὗ διαλέγονται ἀναφερόμενα, πρὸ δέ γε τῶν πολλῶν τὴν μίαν φύσιν τὴν κατὰ πάντων ἐκείνων κατηγορουμένην, καθ' ἣν καὶ μία γίνεται πρότασις ἡ τοῦ καθόλου τούτου κατηγοροῦσά τι. αἱ δέ γε ὁμώνυμοι φωναὶ μόνως πολλῶν εἰσὶ σημαντικαὶ πραγμάτων, κοινοῦ δὲ ἐπ' αὐτοῖς οὐδενός· οὐ γὰρ ἂν ἦσαν ὁμώνυμοι φωναί. δυνατὸν δὲ καί, ὡς ὁ φιλόσοφος Πορφύριος ἐξηγεῖται, ὡς πρὸς διάκρισιν εἰρημένων τῶν ὁρισμῷ χρωμένων ὑποκειμένῳ ἢ κατηγορουμένῳ προτάσεων ἀκούειν τοῦ "πολλὰ καὶ μὴ ἕν," ὅτι δοκοῦσι μὲν πολλὰ κἀκεῖναι σημαίνειν, οἷον ἡ λέγουσα "ζῷον λογικὸν θνητὸν περιπατεῖ" τὸ ζῷον, τὸ λογικόν, τὸ θνητόν, περιπατεῖ. ἀλλὰ ταῦτα

(*) *Boëth.* II p. 318: quae autem causa sit ut una sit (oratio) ipse dicere distulit, sed in libris eius operis quod μετὰ τὰ φυσικὰ inscribitur expedivit. Theophrastus autem de affirmatione et negatione sic docuit, definitionem unam semper esse orationem eamque oportere continuatim proferri: illa enim una oratio esse dicitur, quae unius substantiae designativa est. definitio autem, ut v. gr. hominis, animal gressibile bipes, una est oratio per hoc quoniam unum subiectum i. e. hominem monstrat. si ergo continue proferatur et non divise, una est oratio, et quia continua dicitur et quia unius rei substantiam monstrat. sin vero quis dividat et orationem unam rem significantem proferendi intermissione distribuat, multiplex fit oratio.

(**) *Boëth.* II p. 319: quid sibi velit haec expositio, paucis exponam: multas enim confusiones multosque in orationibus errores hic locus optime intellectus veraciterque perceptus sustulit. et haec est expositio, quam nullus ante Porphyrium expositorum vidit.

δωκεν αὐτοῖς ὑπονοεῖν ὅτι τὸν τῶν ὁμωνύμων φωνῶν εἰς τὰ σημαινόμενα τρόπον διαιρεῖται ἡ ἀπόφανσις εἴς τε τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν, ἀλλ᾽ οὐχὶ τὸν τῶν γενῶν εἰς τὰ εἴδη. καίτοι τίς ἂν εἴη ὁρισμὸς φωνῆς ὁμωνύμου μηδεμίαν κοινὴν φύσιν σημαινούσης;

17a 8 §. 54. διὰ τούτων διττὴν εἶναί φησι τῶν λόγων τὴν ἕνωσιν, τὴν μὲν αὐτῶν καθ᾽ αὑτοὺς οἷον αὐτοφυῶς αὐτοῖς ἐνυπάρχουσαν, καθάπερ ἐπὶ τοῦ Σωκράτης περιπατεῖ, τὴν δὲ θέσει τινὶ ἔξωθεν αὐτοῖς ἐπιγενομένην ὑπὸ τοῦ δι᾽ αὐτὸ τοῦτο καλουμένου συνδέσμου, καθάπερ ἐπὶ τοῦ Σωκράτης κάθηται καὶ Πλάτων περιπατεῖ· δύο γὰρ ὄντας ἐναργῶς ἐνταῦθα λόγους, τὸν Σωκράτης κάθηται καὶ τὸν Πλάτων περιπατεῖ, ὁ καί σύνδεσμος ἐμβληθεὶς μέσον ὥσπερ συνδεῖν δι᾽ ἑαυτοῦ μέσου καὶ ἑνοῦν ἔδοξε. τὸν αὐτὸν δὲ ἔχουσι τρόπον καὶ οἱ ὑποθετικοὶ πάντες λεγόμενοι λόγοι· καὶ γὰρ ἐκεῖνοι ἐκ πλειόνων μέν εἰσιν ἁπλῶν λόγων, ἑνούμενοι δὲ ὑπὸ τοῦ συναπτικοῦ προσαγορευομένου συνδέσμου... τοῦ δὲ κυρίως ἑνὸς ὄντος λόγου, καὶ διὰ τοῦτο φύσει προτέρου ὄντος τοῦ μὴ συνδέσμῳ τὸ ἓν ἔχοντος, ὁ μέν τις ἐστὶ κατάφασις ὁ δὲ ἀπόφασις. ἔστι δέ τις καὶ τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν διαφορά, οὐ κατὰ τὸ ἕν (ὁμοίως γὰρ εἷς τῶν λόγων τούτων ἑκάτερος, οὐδεμιᾶς ἔξωθεν βοηθείας δεηθεὶς πρὸς τὴν ἕνωσιν) ἀλλὰ κατὰ τὸ πρῶτον· οὐ γὰρ ὁμοίως πρῶτος λόγος τούτων ἑκάτερος, ἀλλὰ προτέρα τῆς ἀποφάσεως ἡ κατάφασις κατὰ τὴν ἁπλότητα τῆς λέξεως, διότι τὸ ἀρνητικὸν προσλαβοῦσα μόριον ἀπόφασις γίνεται, προϋφεστάναι δὲ ἀνάγκη τὸν τὴν προσθήκην δεχόμενον τοῦ ἐκ τῆς προσθέσεως ἀποτελουμένου. διὰ τοῦτο μὲν οὖν καὶ ὁ Ἀριστοτέλης οὕτως εἶπεν ἕνα πρῶτον εἶναι λόγον ἀποφαντικόν, τὴν κατάφασιν, εἶτα τὴν ἀπόφασιν, τὸ "εἶτα" οὐ περὶ τοῦ ἑνὸς ἀλλὰ περὶ τοῦ πρώτου λέγων. δι᾽ αὐτὸ δὲ τοῦτο λόγον ἔχειν ἡ τοῦ Ἀφροδισιέως δόξα περὶ τῆς ἀποφάνσεως δοκεῖ, μὴ συγχωροῦσα γένος αὐτὴν εἶναι καταφάσεως καὶ ἀποφάσεως· πῶς γάρ, ἐν οἷς τὸ πρῶτον καὶ τὸ ὕστερον, τὸ τούτων κοινῶς κατηγορούμενον ἔσται γένος; ἢ ταύτην ἔχουσι τὴν τάξιν οὐ κατὰ τὸ ἀποφάνσεις εἶναι (ὁμοίως γὰρ αὐτῶν ἑκατέρα δεκτικὴ ψεύδους τε καὶ ἀληθείας) ἀλλὰ κατά τι συμβεβηκὸς ἔξωθεν, οἷον τὴν τῶν λέξεων ἁπλότητα. τότε δὲ τὸν εἰρημένον κανόνα χώραν ἔχειν λέγομεν, ὅταν κατ᾽ αὐτὸ τὸ κοινῶς κατηγορούμενον ἔχωσι τὸ πρῶτον καὶ τὸ δεύτερον τὰ ὑπ᾽ αὐτό. τοῦτο μὲν οὖν πολλαχοῦ διὰ πολλῶν ἀποδέδεικται· ἐνταῦθα δὲ κατηγοροῦντες τὴν ἀπόφανσιν κοινῶς καταφάσεως καὶ ἀποφάσεως, οὐ λέγομεν τὴν μὲν κατάφασιν πρώτην ἀπόφανσιν εἶναι τὴν δὲ ἀπόφασιν δευτέραν ἀπόφανσιν, ἀλλὰ τὸ πρῶτον καὶ τὸ δεύτερον, ὡς εἴρηται, κατὰ τὴν ἁπλότητα τῶν λέξεων νοητέον. τοῦ δὲ Ἀριστοτέλους σαφῶς λέγοντος ὅτι τῶν παρὰ τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν ἀποφαντικῶν λόγων ἕκαστος συνδέσμῳ πάντως εἷς ἐστίν, ἐπιζητήσειεν ἄν τις τί ἐροῦμεν περὶ τοῦ λόγου τοῦ λέγοντος "ἡλίου ὑπὲρ γῆν ὄντος ἡμέρα ἐστίν;" οὔτε γὰρ ἁπλοῦς οὗτος ὁ λόγος οὔτε συνδέσμου πρὸς τὴν ἕνωσιν φαίνεται δεηθείς. πρὸς ὃν ῥητέον ὅτι δύο μὲν αὐτοτελεῖς ἀποφάνσεις συμπλακῆναι ἀλλήλαις πρὸς ἑνὸς λόγου γένεσιν συνδέσμου χωρὶς ἐνεργείᾳ ληφθέντος ἀδύνατον· τὸ γὰρ "ἥλιος ὑπὲρ γῆν ἐστίν" αὐτοτελὲς ὂν τῷ "ἡμέρα ἐστίν" αὐτοτελεῖ καὶ αὐτῷ ὄντι πῶς ἂν συγκραθείη δίχα τοῦ συναπτικοῦ συνδέσμου; πολλάκις δέ γε τὴν ἡγουμένην τῶν προτάσεων ἅμα τῷ συνδέσμῳ μεταρρυθμίζομεν οὕτως ὥστε μηκέτι μὲν αὐτοτελῆ εἶναι πρὸς ἀπόφανσιν, τῇ δὲ δυνάμει περιέχειν τὸν σύνδεσμον, ἢ τὸ τῷ συνδέσμῳ ἰσοδυναμοῦν κατὰ τοῦτο ἐπίρρημα πρὸς τὴν ἑπομένην τῶν προτάσεων καὶ αὐτοτελῆ μεμενηκυῖαν συμφύεσθαι, καθάπερ ἔχει καὶ ἐπὶ τοῦ προκειμένου.

§. 55 b. προθέμενος διαλεχθῆναι περὶ τοῦ ἀποφαντικοῦ λόγου 17a 9 καὶ τῶν τούτου εἰδῶν, καταφάσεώς τε καὶ ἀποφάσεως, ἐπειδὴ τούτων ἑκάτερον τὸ μέν τι ἔχει κατηγορούμενον τὸ δὲ ὑποκείμενον, διαφοράν τινα τούτων ἡμῖν παραδίδωσι, συμβαλλομένην αὐτῷ πρὸς τὴν διάρθρωσιν τῶν ἐφεξῆς ῥηθησομένων. λέγει γὰρ ὅτι τὸν μὲν κατηγορούμενον ὅρον ἐν τῇ προτάσει πᾶσα ἀνάγκη ῥῆμα εἶναι ἢ πτῶσιν ῥήματος, ἴσως δέ ποτε καὶ ἀόριστον ῥῆμα, καθάπερ ἐν ταῖς ἀποφάσεσιν, ὅπερ ἔοικε συμπεριειληφέναι τῷ ῥήματι διὰ τούτων ὁ Ἀριστοτέλης, ἢ ὡς προηγουμένως μὲν περὶ καταφάσεως διαλεγόμενος παραλελοιπέναι, τὸν δὲ ὑποκείμενον οὐ πάντως ὄνομα ἢ πτῶσιν ὀνόματος ἢ ἀόριστον ὄνομα, ἀλλ᾽ ἔστιν ὅτε καὶ λόγον ἐκ πλειόνων ὀνομάτων συγκείμενον... ἀλλ᾽ οὐχ οὕτω λέγεται ταῦτα σαφῶς ὑπὸ τοῦ Ἀριστοτέλους διὰ τὸ σύντομον τῆς ἐπαγγελίας. εἰπὼν γὰρ σαφῶς τὸ περὶ τοῦ κατηγορουμένου, ἠνίξατο μόνον τὸ κατὰ τὸν ὑποκείμενον, εἰπὼν "καὶ γὰρ ὁ τοῦ ἀνθρώπου λόγος, ἐὰν μὴ τὸ ἔστιν ἢ τὸ οὐκ ἔστιν ἢ ἦν ἢ ἔσται ἤ τι τοιοῦτον προστεθῇ, οὔπω λόγος ἀποφαντικός." ἀλλὰ διὰ τί περὶ μὲν τοῦ κατηγορουμένου λέγεται διὰ τούτων ὡς ἄνευ τούτου μὴ ἂν γενομένης προτάσεως, περὶ δὲ τοῦ ὑποκειμένου τὸ ὅμοιον οὐ προστίθεται, καίτοι ὁμοίως ἑκατέρου τούτων τῆς προτάσεως δεομένης, καὶ ῥηθέντων ἤδη τούτων ἐν τοῖς προλαβοῦσιν, ὡς οὔτε τὸ ὄνομα, κἂν ᾖ σύνθετον, δύναται σημῆναί τι ἀληθὲς ἢ ψεῦδος ῥήματος χωρίς, οὔτε τὸ ῥῆμα δίχα ὑποκειμένου τινός, ὡς ἐδιδάχθημεν ἐν τῷ συμπεράσματι τῷ περὶ τοῦ ῥήματος. ἔστι μὲν οὖν πρὸς τὴν ἀπορίαν ταύτην ἀποροῦντας λέγειν ἅπερ φησὶν ὁ φιλόσοφος Πορφύριος, ὡς ἐν τῷ κατηγορικῷ εἴδει τοῦ ἀποφαντικοῦ λόγου τὸ κῦρος ἔχειν μάλιστα τὸν κατηγορούμενον πρὸς τὴν ὕπαρξιν ἢ ἀνυπαρξίαν τῆς ἀποφάνσεως σημαῖνον· διὸ καὶ ἐντεῦθεν ὁ ὅλος λόγος κατηγορικὸς ὀνομάζεται, καὶ τὸ ἀρνητικὸν μόριον ἐν ταῖς ἀποφάσεσιν ὡς κυριωτέρῳ τούτῳ προστίθεμεν, ἵνα τῆς καταφάσεως ἀναιρεθείσης διὰ τῆς ἀναιρέσεως τοῦ κυριωτέρου τῶν ἐν αὐτῇ μορίων ἡ ἀπόφασις γένηται. καὶ διὰ τοῦτο περὶ μόνου τοῦ μορίου τούτου ποιεῖται τὸν λόγον ἐν τούτοις ὁ Ἀριστοτέλης, ὡς τούτου χωρὶς ἀποφάνσεως οὐκ ἂν γενομένης. μήποτε δὲ προσφυέστερον ᾖ τοῖς προκειμένοις τὸ λέγειν ὅτι ἐν οἷς μὲν περὶ τοῦ ὀνόματος ἦν ὁ λόγος, ἐπεσημήνατο ὡς οἷον ἂν ληφθῇ, οὐκ ἂν γένοιτο δίχα ῥήματος αὔταρκες πρὸς τὸ ποιῆσαι ἀπόφανσιν· καὶ γὰρ ὁ τραγέλαφος, φησί, σημαίνει μέν τι, οὔπω δὲ ἀληθὲς ἢ ψεῦδος, ἐὰν μὴ τὸ εἶναι ἢ τὸ μὴ εἶναι προστεθῇ ἢ ἁπλῶς ἢ κατὰ χρόνον. καὶ πάλιν ἐν οἷς διελέγετο περὶ τοῦ ῥήματος, τὰ αὐτὰ καὶ περὶ τούτου ἐπισημαινόμενος ἔλεγεν, ὡς οὐκ ἔστιν αὔταρκες αὐτὸ καθ᾽ αὑτὸ λεγόμενον πρὸς ἀποφάνσεως γένεσιν. ἐνταῦθα δὲ οὐκέτι προσετέθη "δίχα ὀνόματος" (αὐτόθεν γὰρ ὁ λόγος ἠλέγχετο διὰ τὰς λόγοις ὑποκειμένοις χρωμένας προτάσεις) ἀλλ᾽ ὅτι μόνον

παραληφθέντων εἰς παράστασιν τῆς ἰδιότητος τοῦ λόγου τὴν ἐξήγησιν ποιούμενοι, τὸ μὲν ὅτι καὶ φωνὴ σημαντική παρίεμεν ὡς προφανῆ λίαν κἂν τοῖς ὁρισμοῖς τῶν τοῦ λόγου μερῶν ἤδη παρειλημμένα, τὸ δὲ κατὰ συνθήκην νυνὶ παραλελεῖφθαί φαμεν ὡς γνώριμόν τε ὂν ἐκ τῶν περὶ τοῦ ὀνόματος ὡς κατὰ συνθήκην ὄντος εἰρημένων, ἐπὶ δὲ τοῦ ῥήματος ὡς ὁμοίως ἔχοντος παραλελειμμένον, καὶ ὡς ὀλίγον ὕστερον εὐκαίρως προστεθησόμενον μετὰ τὸ ἀναιρεθῆναι τὸν δοκοῦντα τὸν ἀντικείμενον κατασκευάζειν λόγον, ὅτι οὐ θέσει ἐστὶν ἀλλὰ φύσει, τάχα δὲ καὶ ὡς ὑπὸ τῆς ἑξῆς διαφορᾶς περιεχόμενον.

16b 27. f. 49 b. *εἰπὼν δὲ τὸ μέρος τοῦ λόγου σημαντικὸν εἶναι ὡς φάσιν, ἀλλ' οὐχ ὡς κατάφασιν, οὐκ ἐπήγαγεν ὅτι οὐδὲ ὡς ἀπόφασιν* (*), *ὡς ὂν προφανὲς ὅτι μὴ ἀξιῶν τὰ μέρη τοῦ λόγου θεωρεῖν ὡς καταφάσεις ἀλλ' ὡς ἁπλᾶς φωνάς, πολλῷ δήπου μᾶλλον ὡς ἀποφάσεις αὐτὰ παραλαβεῖν οὐκ ἄν ποτε ἀξιώσειεν, ἐπεὶ καὶ ἀνάγκη ἐν τῇ ἀποφάσει περιέχεσθαι καὶ τὴν κατάφασιν.*

16b 30. *πρὸς τοῦτο οὖν συντακτέον τὸ "ἀλλ' οὐχὶ τοῦ ἀνθρώπου συλλαβὴ μία." τοῦτο δὲ πάλιν κατασκευάζων τὸ τῶν ἁπλῶν φωνῶν τὰ μέρη μηδενὸς εἶναι καθ' ἑαυτὰ σημαντικά, καὶ τὴν κατασκευὴν ἀπὸ τοῦ μᾶλλον κἀνταῦθα ποιούμενος. οὐδὲ γὰρ ἐν τῷ μῦς, φησί, τὸ υς σημαντικόν, ἀλλὰ φωνή ἐστι νῦν μόνον. τοῦτο δ' ἐστὶν ὅτι τὸ υς καθ' ἑαυτὸ μὲν λεγόμενον σημαίνει τὸν χοῖρον, ὅταν δὲ ὡς μέρος αὐτὸ τοῦ μῦς ὀνόματος λάβῃς, παντάπασίν ἐστιν ἄσημον, καὶ "νῦν," ὅπερ ἐστὶν ἐν τῷ θεωρεῖσθαι ὡς μέρος, φωνή ἐστι μόνον, οὐδὲν διαφέρουσα μιᾶς τῶν ἀσήμων.*

17a 1. f. 50 b. *συλλογισμὸν ἐλέγχει τινὰ διὰ τούτων ὁ Ἀριστοτέλης δεικνύναι δοκοῦντα ὡς ὁ λόγος οὐ θέσει ἐστὶν ἀλλὰ φύσει. τίς οὖν ὁ συλλογισμός; ὁ λόγος, φησίν, ὄργανόν ἐστι τῆς φωνητικῆς ἐν ἡμῖν δυνάμεως φύσει οὔσης* (**)· *δι' αὐτοῦ γοῦν σημαίνομεν ἀλλήλοις ὅσα βουλόμεθα ὡς ὄντος ὀργάνου. πᾶν ὄργανον φυσικῆς δυνάμεως καὶ αὐτὸ φύσει, καθάπερ ὀφθαλμοὶ μὲν τῆς ἐν ἡμῖν ὀπτικῆς δυνάμεως ὄργανα ὄντες φύσεώς εἰσι καὶ οὐ τέχνης ἔργον, ὦτα δὲ τῆς ἀκουστικῆς, καὶ ἄλλο τι μόριον ἄλλης. ὁ λόγος ἄρα φύσει ἐστίν, οὐδὲν ἐκ τῆς ἡμετέρας ἔχων ἐπινοίας. δύο τοίνυν οὐσῶν τῶν ἐν τῷ συλλογισμῷ παραληφθεισῶν προτάσεων ὁ Ἀριστοτέλης τῇ μὲν μείζονι συγχωρεῖ, τῇ λεγούσῃ πᾶν ὄργανον πάσης φυσικῆς δυνάμεως φύσει εἶναι, τῆς δὲ ἐλάττονος ἐπιλαμβάνεται, τῆς λεγούσης ὄργανον εἶναι τὸν λόγον τῆς φωνητικῆς ἐν ἡμῖν δυνάμεως.*

f. 51 b. *ὅτι μὲν οὖν κατὰ συνθήκην ὁ λόγος καὶ τὰ τούτου μέρη, τό* 17a 2.
τε ὄνομα καὶ τὸ ῥῆμα, διὰ πολλῶν ἐπιδέδεικται· ἀλλ' ἐπεὶ καὶ ὄργανον αὐτὸν εἶναί φαμεν τῆς τῶν ὀνομάτων ἢ τῶν πραγμάτων σημασίας, τί ποτέ ἐστι τὸ χρώμενον αὐτῷ ὡς ὀργάνῳ ῥητέον. φανερὸν δὴ ὅτι ἡ διανοητικὴ ψυχή· μόνης γὰρ ταύτης ἔργον τὸ χρῆσθαι λόγῳ. πῶς δὲ δύναται κατὰ συνθήκην ὢν ὄργανον εἶναι φυσικῆς τινὸς δυνάμεως, εἴ τῳ φαίνοιτο θαυμαστὸν διὰ τὸν λέγοντα κανόνα φύσει εἶναι πᾶν φυσικῆς δυνάμεως ὄργανον, ὑπερφυῆ ταύτην ἐροῦμεν εἶναι τὴν λογιστικήν τε καὶ τεχνικὴν ἐν ἡμῖν δύναμιν, ἅτε καὶ χωριστὴν παντὸς σώματος ἔχουσαν οὐσίαν. ταῦτα δὲ ὅτι καὶ αὐτῷ τῷ Ἀριστοτέλει δοκοῦντα λέγομεν, δηλοῖ τὰ πρὸς τῷ πέρατι τοῦ δευτέρου βιβλίου τῆς Φυσικῆς Ἀκροάσεως (p. 199 20) *παρ' αὐτοῦ λεγόμενα περὶ τοῦ τὰ ἄλογα ζῷα διανοίας ἐστερημένα μὴ κατὰ τέχνην ἀλλὰ κατὰ φύσιν ἐνεργεῖν, ὡς ἂν τῆς τέχνης ἔκ τινος ὑπὲρ τὴν φύσιν τεταγμένης ἐν ἡμῖν δυνάμεως προαγομένης.*

f. 52. *Ἄχρι τούτων ὁ Ἀριστοτέλης παραστήσας ἡμῖν τά τε στοιχεῖα τοῦ λόγου* (*), *τὸ ὄνομά φημι καὶ τὸ ῥῆμα, καὶ τὸν ἐξ αὐτῶν συγκείμενον καὶ κοινῶς λεγόμενον λόγον, ἐξ ὧν πᾶσα διάλεκτος ἔχει τὴν γένεσιν, ἑξῆς κατὰ τὰ ἐξ ἀρχῆς διωρισμένα μεταβαίνει λοιπὸν ἐπὶ τὴν τοῦ ἀποφαντικοῦ λόγου θεωρίαν, ὃν ἐλέγομεν ἕν τι εἶδος εἶναι τοῦ ἁπλοῦ λόγου, καθάπερ τὸν κλητικόν, τὸν εὐκτικόν, τὸν ἐρωτηματικόν, τὸν προστακτικόν, ὧν ἕκαστον αὐτοτελές ἐστι καὶ καθ' ἑαυτὸ σημαντικὸν ἀπηρτισμένης διανοίας...* f. 53. *διττῆς γὰρ οὔσης τῆς τοῦ λόγου σχέσεως, καθὰ διώρισεν ὁ φιλόσοφος Θεόφραστος, τῆς τε πρὸς τοὺς ἀκροωμένους οἷς καὶ σημαίνει τι, καὶ τῆς πρὸς τὰ πράγματα ὑπὲρ ὧν ὁ λέγων πεῖσαι προτίθεται τοὺς ἀκροωμένους, περὶ μὲν τὴν σχέσιν αὐτοῦ τὴν πρὸς τοὺς ἀκροατὰς καταγίνονται ποιητικὴ καὶ ῥητορική, διότι ἔργον αὐταῖς ἐκλέγεσθαι τὰ σεμνότερα τῶν ὀνομάτων ἀλλὰ μὴ τὰ κοινὰ καὶ δεδημευμένα, καὶ ταῦτα ἐναρμονίως συμπλέκειν ἀλλήλοις, ὥστε διὰ τούτων καὶ τῶν τούτοις ἑπομένων, οἷον σαφηνείας γλυκύτητος καὶ τῶν ἄλλων ἰδεῶν, ἔτι τε μακρολογίας καὶ βραχυλογίας, κατὰ καιρὸν πάντων παραλαμβανομένων, ἡσαί τε τὸν ἀκροατὴν καὶ ἐκπλῆξαι καὶ πρὸς τὴν πειθὼ χειρωθέντα ἔχειν. τῆς δέ γε πρὸς τὰ πράγματα τοῦ λόγου σχέσεως ὁ φιλόσοφος προηγουμένως ἐπιμελήσεται, τό τε ψεῦδος διελέγχων καὶ τὸ ἀληθὲς ἀποδεικνύς... καὶ δεῖ ἐφιστάνειν ὅτι τὸν ὁρισμὸν τοῦ ἀποφαντικοῦ λόγου διὰ τούτων ἀποδίδωσιν, οὐδὲν προσδεηθεὶς καταφάσεως καὶ ἀποφάσεως πρὸς τὴν τούτων διδασκαλίαν, ὅπερ ἐν τοῖς ἑξῆς δόξας τισὶ ποιεῖν δέ-*

(*) *Boëth.* II p. 310: sed quod addidit orationis partes significare ut dictionem, non ut affirmationem vel negationem, Alexander ita dictum esse arbitratur etc. — neque tamen patet ex iis quae ad h. l. explicandum ex Alexandri et Porphyrii commentariis satis prolixe Boëthius affert, alterutrum vv. "vel negationem" legisse, quae ipse Boëthius in versione atque expositione exprimit.

(**) *Boëth.* II p. 314: Plato vero in eo libro qui inscribitur Cratylus (p. 388 sqq.) aliter esse constituit, orationemque dicit supellectilem quandam atque instrumentum esse significandi res eas quae naturaliter intellectibus concipiuntur, earumque intellectum vocabulis discernendi. quodsi omne instrumentum naturalium rerum secundum naturam est, ut videndi oculus, nomina quoque secundum naturam esse arbitratur. sed hoc Aristoteles negat, et Alexander multis in eo nititur argumentis, monstrans orationem non esse instrumentum naturale.

(*) *Boëth.* II p. 315: species quidem orationis multae sunt, sed eas varie partiuntur. at vero Peripatetici quinque partibus omnes species orationis ac membra distribuunt... perfectae orationis alia est deprecativa... alia imperativa... alia interrogativa... alia vocativa... alia enuntiativa.

ψεῦδος· εἰ γὰρ τὰ ἀρχοειδέστερα καὶ κοινότερα τῶν ῥημάτων, καὶ εἰς ἃ πάντα τὰ ἄλλα ἀναλύεται, αὐτὸ προσεχῶς τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν σημαίνοντα, καθ' ἑαυτὰ λεγόμενα μὴ ἀληθεύει ἢ ψεύδεται, πολλῷ δήπου μᾶλλον τὰ ἄλλα ῥήματα οὐκ ἄν τι δέχοιντο τούτων. ἀλλὰ μὴν εἰ τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα. πάντων δὲ λαμβάνει τῶν ῥημάτων ἀρχοειδέστερα καὶ κοινότερα, καὶ εἰς ἃ πάντα τὰ ἄλλα ἀναλύεται, τὸ ἔστι καὶ τὸ οὐκ ἔστιν, ἅπερ εἶναι καλεῖ καὶ μὴ εἶναι, ὡς ἂν ἑκάστου τῶν ῥημάτων εἰς ταῦτα μετὰ μετοχῶν ἀναλυομένου καὶ θατέρου τούτων, τῶν μὲν ὡρισμένων εἰς τὸ ἔστι, τῶν δ' ἀορίστων εἰς τὸ οὐκ ἔστιν, οἷον τρέχει - τρέχων ἐστίν, ὑγιαίνει - ὑγιαίνων ἐστίν, οὐ τρέχει - τρέχων οὐκ ἔστιν, οὐχ ὑγιαίνει - ὑγιαίνων οὐκ ἔστιν. εἰ τοίνυν ταῦτα οὕτως ἔχοντα μηδὲν καθ' ἑαυτὰ σημαίνει ἀληθὲς ἢ ψεῦδος, πῶς ἂν ἔχοι λόγον τὰ ὕστερα τούτων καὶ τὸ ὑπάρχειν ὅλως ἢ μὴ ὑπάρχειν κατὰ τὴν τούτων μετουσίαν σημαίνοντα δηλοῦν τι ἀληθὲς ἢ ψεῦδος;... f. 46. εἰ μὲν οὖν οὕτως ἔχοι τὸ ῥητὸν ὡς παρεθέμεθα "οὐδὲ γὰρ τὸ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος ἢ μὴ εἶναι," τὴν εἰρημένην ἐξήγησιν μόνην αὐτὸ καθιστῶσαν εὑρήσεις. εἰ δ' ὥσπερ ὁ φιλόσοφος γράφει Πορφύριος "οὐ γὰρ τὸ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος ἢ μὴ εἶναι," εἰ καὶ προϊὼν ἐπὶ τὴν προτέραν γραφήν τε καὶ ἐξήγησιν φέρεται, λέγοι ἂν περὶ πάντων κοινῶς τῶν ῥημάτων ὅτι σημαντικὰ μέν ἐστιν ὥσπερ εἴρηται τινῶν, ἀλλ' οὐκ ἀληθείας ἢ ψεύδους, ὥσπερ ἐδήλωσε διὰ τοῦ "ἀλλ' εἰ ἔστιν ἢ μή, οὔπω σημαίνει." τούτου δὲ τὴν αἰτίαν εἴη ἂν ἀποδιδοὺς διὰ τοῦ "οὐδὲ γὰρ τὸ εἶναι ἢ μὴ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος·" τοῦτο δέ ἐστιν, οὐ γάρ ἐστι σημαντικὸν τὸ ῥῆμα καθ' ἑαυτὸ λεγόμενον τοῦ ὑπάρχειν ἢ μὴ ὑπάρχειν τὸ ὑπ' αὐτοῦ δηλούμενον πρᾶγμα· ὅπερ εἰ ἐποίει, τότε μόνως ἦν ἂν δεκτικὸν ψεύδους καὶ ἀληθείας· ὁ γὰρ εἰπὼν περιπατεῖ ἐσήμανε μέν τινα ἐνέργειαν, οὔτε δὲ ἀληθές τι περὶ αὐτῆς εἶπεν οὔτε ψεῦδος, ἐὰν μή τι προστεθῇ ὑποκείμενον, ᾧ ὑπάρχον ἢ μὴ ὑπάρχον τὸ περιπατεῖν ποιήσει λόγον ἀληθῆ ἢ ψευδῆ. τὸ οὖν "οὐδὲ γὰρ τὸ εἶναι ἢ μὴ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος" ἴσον ἐστὶ τῷ ὅτι τὸ ῥῆμα καθ' ἑαυτὸ λεγόμενον οὐκ ἔστι σημαντικὸν οὔτε τοῦ εἶναι τὸ πρᾶγμα, τουτέστι τὸ ὑπ' αὐτοῦ σημαινόμενον, ὅπερ ἡ κατάφασις εἴωθε σημαίνειν, οὔτε τοῦ μὴ εἶναι, ὅπερ δηλοῦται διὰ τῆς ἀποφάσεως. ταῦτα μὲν οὖν κοινῶς περὶ παντὸς εἴρηται ῥήματος· τὸ δέ γε "οὐδ' ἂν τὸ ὂν εἴπῃς αὐτὸ καθ' ἑαυτὸ ψιλόν" εἴη ἂν καὶ κατὰ τὴν ἐξήγησιν ταύτην κατασκευαστικὸν ἀπὸ τοῦ μᾶλλον τοῦ μηδὲν τῶν ῥημάτων ἀληθείας εἶναι ἢ ψεύδους δεκτικόν. πῶς δ' ἂν γένοιτο τοῦτο ἐκείνου κατασκευαστικὸν εἰ μὴ διὰ μέσου πάλιν τοῦ ἔστιν, ὃ παρηγμένον ἀπὸ τοῦ ὄντος πάντων ἐστὶ κοινὸν τῶν ῥημάτων; ἐξῆς δὲ ἐπάγει τὸ "αὐτὸ μὲν γὰρ οὐδέν ἐστιν." (*) λέγει δὲ οὐδὲν εἶναι τὸ ὂν οὐδ' ὡς ἄσημον οὐδ' ὡς ὁμωνύμως κατηγορούμενον κατὰ τῶν πραγμάτων· ἀλλ' οὐδέν ἐστι, φησίν, οὔτε ἀληθὲς οὔτε ψεῦδος, "προσσημαίνει δὲ σύνθεσίν τινα, ἣν ἄνευ τῶν συγκειμένων οὐκ ἔστι νοῆσαι." τοῦτο δέ ἐστι, μέρος δὲ γίνεται συνθέσεως, οἷον τῆς λεγούσης τὸ ὂν ἔστι, περὶ ἣν σύνθεσιν τὸ ἀληθὲς θεωρεῖται καὶ τὸ ψεῦδος, ἥντινα σύνθεσιν ἄνευ τῶν συγκειμένων, τουτέστι τῶν ἁπλῶν, οὐκ ἔστι θεωρῆσαι. τὸ μὲν οὖν λεγόμενον δῆλον· τὸ δὲ προσσημαίνειν τὸ ὂν τὴν σύνθεσιν, καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ τῶν ἁπλῶν ἑκάστην ὡσαύτως φωνῶν, οὐκ ἔοικεν εἰρῆσθαι κατὰ τὸν τρόπον καθ' ὃν ἐλέγετο τὸ ῥῆμα προσσημαίνειν χρόνον, ἀλλ' ἀντὶ τοῦ πρὸς ἑτέρῳ τινὶ σημαίνειν, τουτέστι συμπλεκόμενον ἑτέρῳ τινὶ σημαίνειν σύνθεσιν δεκτικὴν ἤδη ψεύδους καὶ ἀληθείας, ἧς συνθέσεως δεῖ τὰ ἁπλᾶ προεπινοεῖσθαι. εἰ δέ τις μὴ προσίοιτο ταύτην τοῦ προσσημαίνειν τὴν ἐξήγησιν, πειθέσθω τῷ Ἀλεξάνδρῳ λέγοντι διὰ τοῦ "αὐτὸ μὲν γὰρ οὐδέν ἐστι" καὶ τῶν ἐφεξῆς περὶ τοῦ ἔστι διαλέγεσθαι πάλιν τὸν Ἀριστοτέλην, μετὰ τὸ εἰπεῖν διὰ μέσου περὶ τοῦ ὄντος, ὡς οὐδὲ τούτου, ὅταν καθ' ἑαυτὸ λέγηται, δυναμένου σημαίνειν τί ἀληθὲς ἢ ψεῦδος, καὶ λέγειν ὅτι τὸ ἔστιν ἢ καὶ τὸ οὐκ ἔστιν (ὁ αὐτὸς γὰρ περὶ ἑκατέρου λόγος) αὐτὸ καθ' ἑαυτὸ λεγόμενον ἀληθὲς μέν τι ἢ ψεῦδος σημαίνειν οὐ πέφυκεν, ὄνομα δέ τι ὄν, ὥσπερ καὶ τὰ ἄλλα ῥήματα, δύναμιν ἔχει προηγουμένως μὲν σημαντικὴν τῆς τοῦ ὄντος μεθέξεως ἢ στερήσεως, κατὰ δεύτερον δὲ λόγον καὶ κατηγορουμένου τινὸς πρὸς ὑποκείμενον συμπλοκῆς, οἷς προστιθέμενον τέλειόν τε ποιεῖ τὸν λόγον καὶ σημαντικὸν ἢ ἀληθείας ἢ ψεύδους.

f. 47 b. δι' ἣν μὲν οὖν αἰτίαν οὐ κατὰ τὰς ἐξ ἀρχῆς ὑποσχέσεις 16b 26.
μετὰ τὸν περὶ ὀνόματος καὶ ῥήματος λόγον (*) περὶ ἀποφάσεως διαλέγεται καὶ καταφάσεως, ἔπειτα περὶ ἀποφάνσεως καὶ τελευταῖον περὶ λόγου, ἀλλ' ἀντιστρέφει κατὰ τὴν περὶ αὐτῶν διδασκαλίαν τὴν τάξιν καθ' ἣν πεποίηται αὐτῶν ἐν τῷ προοιμίῳ τοῦδε τοῦ βιβλίου τὴν ἀπαρίθμησιν ὡς παραδοθῆναι ὀφειλόντων, εἴρηται πρότερον. τῶν δὲ

(*) *Boëth.* II p. 309: Alexander quidem dicit est vel ens aequivocum esse: omnia enim praedicamenta, quae nulli communi generi subduntur, aequivoca sunt, et de omnibus esse praedicatur... Porphyrius vero aliam protulit expositionem, quae huiusmodi est. sermo hic, quem dicimus "est," nullam per se substantiam monstrat, sed semper aliquam coniunctionem vel earum rerum quae sunt, si simpliciter apponatur, vel alterius secundum participationem... vel certe ita intelligendum est quod ait, ipsum quidem nihil est, non quoniam nihil significet, sed quoniam nihil verum falsumve demonstret.

(*) *M. Ephes.* ἀποροῦσί τινες ὅτι διὰ τί ὁ Ἀριστοτέλης διδάσκων περὶ λόγου οὐ διδάσκει καὶ περὶ φωνῆς... καί φαμεν ὅτι ἡ φωνὴ μᾶλλον φυσιολογίας ἐστίν, οὐ λογικῆς πραγματείας· ἡ γὰρ φωνὴ φύσει, ὁ δὲ λόγος θέσει. ἔστι δὲ φύσει τὸ παρὰ πᾶσι ταὐτόν· καὶ γὰρ παρ' Ἰνδοῖς καὶ Σκύθαις καὶ πᾶσιν ἁπλῶς μία ἐστὶ φωνὴ ὡς ἔργον φύσεως οὖσα, ὁ δὲ λόγος οὐ παρὰ πᾶσιν ὁ αὐτός, διὸ καὶ θέσει· ἄλλος γὰρ παρὰ Σαρμάταις καὶ ἕτερος παρὰ Γερμανοῖς. εἰ δέ τις εἴπῃ, πῶς οὖν οἱ κωμικοὶ κέχρηνται διαφερούσαις φωναῖς, μιμούμενοι βατράχους ἢ ὄρνις; λέγομεν ὅτι κωμικῆς ἀδείας τοῦτο· ὅτι γὰρ εἰσιν αἱ φωναὶ φύσει, δῆλον καὶ ἐπὶ τῶν βωβῶν· ἐπὶ τούτων μὲν γὰρ ἔστιν εὑρεῖν φωνήν, οὐκέτι δὲ διαρθροῦν καὶ ἢ ὄνομα ἢ ῥῆμα σημαίνουσαν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἰατρῶν παῖδες δηλοῦσιν ὅτι φύσει εἰσὶν αἱ φωναί, ἄλλα μὲν ὄργανα φωνητικὰ λέγοντες εἶναι, ἕτερα δὲ διαλεκτικά, καὶ φωνῆς μὲν πνεύμων θώραξ ἀρτηρία τραχεῖα, διαλεκτικὰ δὲ ἐπιγλωττὶς γλῶσσα ὀδόντες. καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐν τῇ περὶ Ζῴων Ἱστορίας (4 9) φησὶ μὴ εἶναι τὴν φωνὴν γένος τοῦ λόγου ἀλλὰ μᾶλλον ὕλης λόγον ἐπέχειν· ὕλη γὰρ γίνεται τοῦ λόγου.

τοῦτο δέ ἐστι τὰ ἐφεξῆς ἀλλήλοις εἰρημένα ὀνόματα χωρὶς ῥήματος ἢ ῥήματα χωρὶς ὀνόματος, σημαίνει πάντως, ἀλλὰ πλείονα καὶ οὐ τί.

16 b 7. §. 40 *b*. καὶ τὸ ἀεί δὲ οὐ μάτην πρόσκειται ἐν τῷ "καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον·" τοῦτο γὰρ μάλιστα τὴν ἰδιότητα τῶν ῥημάτων ἐμφανίζει, ἐπεὶ καὶ ὀνόματά τινα οὐδὲν κωλύει κατηγορεῖσθαι ποτέ, ὡς τὸ ζῷον τοῦ ἀνθρώπου, ἀλλ' ἐκεῖνα οὔτε τῶν μόνως καὶ ἀεὶ κατηγορουμένων ἐστίν, οὔτε καθ' ἑαυτὰ δίχα τινὸς κατηγορούμενα ῥήματος, οἷον τοῦ ἔστιν ἢ οὐκ ἔστι, τέλειον πεφύκασιν ἐργάζεσθαι λόγον, τὰ δέ γε ῥήματα, τὴν οἰκείαν σώζοντα δύναμιν, μόνως καὶ ἀεὶ καθ' ἑαυτὰ κατηγορεῖσθαι συμβέβηκε.

16 b 11. μετὰ δὲ τοῦτο ὑπερβὰς τὸ "οὐ μέρος οὐδὲν σημαίνει χωρίς," ὡς ἱκανῶς τυχὸν ἐξηγήσεως ἐν τοῖς περὶ τοῦ ὀνόματος εἰρημένοις, ἐπὶ τὸ λοιπὸν μεταβαίνει, καί φησι τῶν καθ' ἑτέρου λεγομένων εἰρῆσθαι σημαντικὰ εἶναι τὰ ῥήματα, "τῶν καθ' ὑποκειμένου ἢ ἐν ὑποκειμένῳ." τοῦτο δὲ διότι τῶν ῥημάτων, ὥσπερ καὶ τῶν ὀνομάτων, τὰ μὲν ὡς κατ' οὐσίαν ὑπάρχοντα τοῖς ὧν κατηγοροῦνται καὶ συμπληρωτικὰ αὐτῶν ὄντα λέγονται κατηγορεῖσθαι, ὅπερ ἐν ταῖς Κατηγορίαις ἐλέγετο καθ' ὑποκειμένου, τὰ δὲ ὡς συμβεβηκότα τοῖς ὑποκειμένοις, ὅπερ ἐν ὑποκειμένῳ προσαγορεύεται... ἵνα οὖν ἄμφω τὰ εἴδη τῆς κατηγορίας παραστήσῃ, διὰ τοῦτο εἰπὼν ὅτι ἀεὶ κατηγορεῖσθαι φιλεῖ τὰ ῥήματα, ἐπήγαγεν οὕτως, ὅτι ποτὲ μὲν καθ' ὑποκειμένου ποτὲ δὲ ὡς ἐν ὑποκειμένῳ. ἀλλ' αὕτη μὲν ἡ ἐξήγησις ἁρμόσει τῆς γραφῆς οὕτως ἐχούσης ὡς παρεθέμεθα, καθάπερ ἐν τοῖς πλείστοις ἀντιγράφοις εὑρίσκομεν. εἰ δὲ καὶ οὕτω τινὲς ἐθέλοιεν ἔχειν τὴν γραφήν, "καὶ ἀεὶ τῶν ὑπαρχόντων σημεῖόν ἐστιν, οἷον τῶν καθ' ὑποκειμένου," καθάπερ ὁ φιλόσοφος Πορφύριος φησίν, ἐροῦμεν ἐνταῦθα τὸ καθ' ὑποκειμένου παρειλῆφθαι καὶ ἀντὶ τοῦ ἐν ὑποκειμένῳ· εἴωθε γὰρ ἔστιν ὅτε τὸ ἐν ὑποκειμένῳ ἀδιαφόρως καλεῖν καθ' ὑποκειμένου. τούτων μὲν οὖν τὴν προτέραν γραφήν τε καὶ ἐξήγησιν αἱρετέον. ὅτι δὲ καὶ ὑποκείμενά ποτε γίνεται ῥήματα, ὡς τὸ φιλοσοφεῖν ἐν τῷ "τὸ φιλοσοφεῖν ὠφέλιμόν ἐστι" καὶ τὸ βαδίζειν ἐν τῷ "τὸ βαδίζειν κινεῖσθαι ἐστί," καὶ ὅτι τότε οὐχ ὡς ῥήματα ἀλλ' ὡς ὀνόματα ἐν τοῖς λόγοις παραλαμβάνεται, διὸ καὶ τὸ ἄρθρον αὐτῶν προτάττεται, εἴρηται πρότερον.

16 b 14. §. 43. τῇ διαφορᾷ φησὶ μὴ κεῖσθαι ὄνομα ἐν τῇ συνηθείᾳ, τουτέστι τῇ ἰδιότητι τοῦ ἀορίστου ῥήματος ἣν ἔχει παρὰ τὸ ὡρισμένον, ἣν ἰδιότητα ἐχρῆν τοὺς τῶν ὀνομάτων πατέρας ἰδίας τινὸς ἐπωνυμίας ἀξιῶσαι· διόπερ αὐτὸς ὄνομα αὐτῷ τιθέμενος ἀξιοῖ αὐτὸ καλεῖν ἀόριστον ῥῆμα, ὅτι ὁμοίως, φησίν, ἐφ' ὁτουοῦν ὑπάρχει, καὶ ὄντος καὶ μὴ ὄντος, τὸ ὑπάρχειν ἀντὶ τοῦ ἀληθῶς κατηγορεῖσθαι λαμβάνων.

16 b 16. καί φησι τὰ μὲν ἐπὶ τοῦ ἐνεστῶτος χρόνου λεγόμενα, ὁποίου ποτ' ἂν ὦσι προσώπου, ῥήματα καλεῖν, οἷον τὸ ὑγιαίνω καὶ τὸ ὑγιαίνεις καὶ τὸ ὑγιαίνει, ἐνεστῶτος δὲ τοῦ ἐν πλάτει δηλονότι (κατὰ γὰρ τὸ ἀκαριαῖον λεγόμενον οὔτε ποιῆσαί τι οὔτε φθέγξασθαι δυνατόν), τὰ δὲ τὸν πέριξ χρόνον προσσημαίνοντα (καλεῖ δὲ πέριξ τόν τε παρεληλυθότα καὶ τὸν μέλλοντα ὡς τὸν ἐνεστῶτα περιέχοντα) πτώσεις ῥήματος, ὡς ἂν γινόμενα κατὰ παρασχηματισμὸν τὸν ἀπὸ τῶν ῥημάτων τῶν ἐπὶ τοῦ ἐνεστῶτος χρόνου λεγομένων· ὥστε κυρίως ῥῆμα τοῦτο εἶναι τὸ ἐπὶ τοῦ ἐνεστῶτος χρόνου λεγόμενον καὶ ὡρισμένον τι σημαῖνον. εἰ δὲ κἀνταῦθά τις ἀποροίη διὰ τί μὴ ἐξ ἀρχῆς τὰς διαφορὰς ταύτας προσετίθει τῷ λόγῳ τοῦ ῥήματος ὁ Ἀριστοτέλης, οὐκ ἐλλιπῆ φήσομεν ἡμεῖς, καθάπερ Ἑρμῖνος, τὸν ἐξ ἀρχῆς ἀποδιδόμενον λόγον, ἀλλὰ πλείονα εἶναι παρὰ τῷ φιλοσόφῳ καὶ τοῦ ῥήματος τὰ σημαινόμενα, καὶ ἄλλου μὲν σημαινομένου τὸν ἐξ ἀρχῆς ἀποδιδόμενον εἶναι λόγον, ἄλλο δέ τι διὰ τῶν νυνὶ προστιθεμένων τὸν φιλόσοφον ὑπογράφειν· τριχῶς γὰρ τὸ ῥῆμα παρὰ τῷ Ἀριστοτέλει λεγόμενον εὑρήσεις.

§. 44. παραδοὺς ἡμῖν διὰ τῶν προειρημένων τὸν τοῦ ῥήματος ὁρισμόν (*), κοινότερόν τε καὶ ἰδικώτερον βούλεται διὰ τούτων 16 b 19.
εἰπεῖν ὅπως ἔχουσι τὰ ῥήματα πρὸς τὸ σημαίνειν τί ἀληθὲς ἢ ψεῦδος. ἤδη μὲν κατ' ἀρχάς, ἐν οἷς περὶ τῆς πρὸς ἄλληλα σχέσεως τῶν τε πραγμάτων καὶ τῶν νοημάτων καὶ τῶν φωνῶν κοινῶς διελέγετο, εἶπε περὶ πασῶν τῶν ἁπλῶν φωνῶν ὡς ἐοίκασι τοῖς ἄνευ συνθέσεως ἢ διαιρέσεως νοήμασι καὶ οὔτε ἀληθείας οὔτε ψεύδους εἰσὶ δεκτικά, σαφέστερον δὲ νῦν αὐτὸ κατασκευάσαι βουληθεὶς διὰ τὸ δεῖξαι τὸ μάλιστα δοκοῦν ἐν ταῖς ἁπλαῖς φωναῖς ἀλήθειαν δέχεσθαι καὶ ψεῦδος, τὸ ῥῆμα λέγω, μηδέτερον τούτων σημαίνειν· τὸ μὲν γὰρ ἕτερον τοῦ λόγου μέρος, τὸ ὄνομα, δι' ἐκείνων προχειρισάμενος ἐδείκνυ, κἂν ὅτι μάλιστα σύνθετον ᾖ, ὡς τὸ Κάλλιππος ἢ τὸ τραγέλαφος, σημαντικὸν μὲν ὡς φύσεώς τινος ἢ ἐννοίας, οὐ μέντοι ἀληθοῦς ἢ ψεύδους, ἐὰν μή τι αὐτῷ προστεθῇ ῥῆμα.

§. 45. καὶ τοῦτο συλλογιζόμενος ἐπάγει "οὐδὲ γὰρ τὸ εἶναι ἢ μὴ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος (**)." ἔστι δὲ τοῦτο κατασκευὴ ἀπὸ τοῦ μᾶλλον περὶ τοῦ μὴ δέχεσθαι τὰ ῥήματα τὸ ἀληθὲς ἢ τὸ

(*) *Boëth.* II p. 306: hoc in loco Porphyrius de Stoicorum dialectica aliarumque scholarum multa permiscet, et in aliis quoque huius libri partibus, id est in expositionibus, idem facit; quod interdum nobis est negligendum: saepe enim superflua explanatione magis obscuritas comparatur. — Quaestionem de Arist. verbis ἴσχει γὰρ... ἠρέμησεν ab Aspasio propositam vid. ap. *Boëth.* II p. 307.

(**) *Boëth.* I p. 220: "neque enim esse signum est rei aut non esse." quod tantum valet tanquam si dicam, id quod dico currit, non significat esse ipsum cursum aut non esse... neque enim quodlibet verbum ita praedicatur ut signum sit rei illius de qua praedicatur, quod est vel quod non est. *Idem* II p. 308: quod autem addidit "neque enim signum est rei esse vel non esse," tale quiddam est. esse, quod verbum est, vel non esse, quod infinitum verbum est, non est signum rei, i.e. nihil per se significat: esse enim nisi in aliqua compositione non ponitur. vel certe omne verbum dictum per se significat quidem aliquid, sed si est vel non est, nondum significat... neque enim signum est verbum quod dicitur rei esse vel non esse, h.e. de qua dicitur re, ut id quod dico rei esse vel non esse tale sit, tanquam si dicam rem ipsam significare esse vel non esse. atque hic est melior intellectus.

κατηγορούμενον. ἂν μὲν οὖν ὀνόματός τι κατηγορηθὲν ἀπόφανσιν ποιῇ, κατηγόρημα καὶ σύμβαμα παρ' αὐτοῖς ὀνομάζεται (σημαίνει γὰρ ἄμφω ταὐτόν), ὡς τὸ περιπατεῖ, οἷον Σωκράτης περιπατεῖ· ἂν δὲ πτώσεως, παρασύμβαμα, ὡσανεὶ παρακείμενον τῷ συμβάματι καὶ ὂν οἷον παρακατηγόρημα, ὡς ἔχει τὸ μεταμέλει, οἷον Σωκράτει μεταμέλει· τὸ μὲν γὰρ μεταμελεῖται σύμβαμα, τὸ δὲ μεταμέλει παρασύμβαμα, οὐ δυνάμενον ὀνόματι συνταχθὲν ἀπόφανσιν ἐργάσασθαι, οἷον Σωκράτει μεταμέλει (οὐδεμία γὰρ τοῦτο ἀπόφανσις), ἀλλ' οὔτε κλίσιν ἐπιδέξασθαι δυνάμενον, ὡς τὸ περιπατῶ περιπατεῖς περιπατεῖ, οὔτε συμμετασχηματισθῆναι τοῖς ἀριθμοῖς· ὥσπερ γὰρ λέγομεν τούτῳ μεταμέλει, οὕτω καὶ τούτοις μεταμέλει. καὶ πάλιν, ἂν μὲν τὸ τοῦ ὀνόματος κατηγορούμενον δέηται προσθήκης πτώσεως ὀνόματός τινος πρὸς τὸ ποιῆσαι ἀπόφανσιν, ἔλαττον ἢ κατηγόρημα λέγεται, ὡς ἔχει τὸ φιλεῖ καὶ τὸ εὐνοεῖ, οἷον Πλάτων φιλεῖ· τούτῳ γὰρ προστεθὲν τὸ τίνα, οἷον Δίωνα, ποιεῖ ὡρισμένην ἀπόφανσιν τὴν Πλάτων Δίωνα φιλεῖ. ἂν δὲ τὸ τῆς πτώσεως κατηγορούμενον ᾖ, τὸ δεόμενον ἑτέρᾳ συνταχθῆναι πλαγίᾳ πτώσει πρὸς τὸ ποιῆσαι ἀπόφανσιν ἔλαττον ἢ παρασύμβαμα λέγεται, ὡς ἔχει τὸ μέλει, οἷον Σωκράτει Ἀλκιβιάδους μέλει. ταῦτα δὲ πάντα καλοῦσι ῥήματα. καὶ τοιαύτη μὲν ἡ τῶν Στωϊκῶν περὶ τούτων παράδοσις· ἡμεῖς δὲ συγκεφαλαιούμενοι τὰ περὶ τοῦ ὀνόματος ῥηθέντα τῷ Ἀριστοτέλει λέγομεν ὡς ἔσται τὸ κατὰ τὴν νῦν παράδοσιν κυρίως ὄνομα φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος σημαντικὸν κεχωρισμένον, ὡρισμένον τι σημαίνουσα καὶ μετὰ τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται ἀληθεύουσα ἢ ψευδομένη. ἀλλὰ διὰ τίνα αἰτίαν οὐκ ἐξ ἀρχῆς ὁ Ἀριστοτέλης τοῦτον ἀποδέδωκε τοῦ ὀνόματος τὸν ὁρισμόν, ὥστε μηδὲν ἐνοχλεῖν τὸν λόγον μήτε τὰ ἀόριστα ὀνόματα μήτε τὰς πτώσεις; φαμὲν δὴ ὅτι πολλά ἐστι παρ' αὐτῷ τοῦ ὀνόματος σημαινόμενα.

16b 2. f. 38 b. τῆς μέντοι ῥήσεως τὸ "λόγος δέ ἐστιν αὐτοῦ τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά" λέγεται μὲν περὶ τοῦ προφερομένου κατά τινα πτῶσιν ὀνόματος, ὅτι ἕξει τὸν ὁρισμόν, ὃν ἐκάλεσε λόγον, κατὰ μὲν τὰ ἄλλα μηδὲν διαφέροντα τοῦ ἐξ ἀρχῆς ἀποδοθέντος ὁρισμοῦ τοῦ ὀνόματος (καὶ γὰρ τοῦτο φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος σημαντικὸν κεχωρισμένον), πλεονάσαντα δὲ τούτου τῇ διακρινούσῃ τὰς πτώσεις ἀπὸ τοῦ κυρίως ὀνόματος διαφορᾷ, τῷ τὰς μὲν πτώσεις μετὰ μόνου τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται λεγομένας μήπω ποιεῖν τελείαν ἀπόφανσιν, διὸ μήτε ψεύδεσθαι μήτε ἀληθεύειν, τῷ δὲ ὀνόματι καὶ μόνον ἕν τι τῶν ῥημάτων ἀρκεῖν πρὸς τὴν γένεσιν τῆς τελείας ἀποφάνσεως (*). εἴληπται δὲ καὶ ἀπὸ τῆς Ἀττικῆς συνηθείας τῶν εἰς δῆμον πλείονα ἅμα ψηφίσματα εἰσφερόντων· ὁ γάρ τοι γραμματεὺς τὸ μὲν πρῶτον τῶν γεγραμμένων ψηφισμάτων ἀναγινώσκων τῷ δήμῳ τό τε ὄνομα ἔλεγε τοῦ γεγραφότος καὶ τὸν πατέρα καὶ τὸ πρᾶγμα καὶ τὸν δῆμον, οἷον "Δημοσθένης Δημοσθένους Παιανιεὺς ψήφισμα εἰσφέρει τοιόνδε," τὸ μέντοι δεύτερον ἢ καὶ τρίτον, εἰ οὕτως ἔτυχεν, ἐμφανίζων ἐνεδείκνυτο μόνον ὡς καὶ ἄλλο τοῦ αὐτοῦ ἀνδρὸς ἀναγνώσεται ψήφισμα, τῷ πρὸ τῆς ἀναγνώσεως αὐτοῦ λέγειν πρὸς τὸν δῆμον "τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά, ψηφίζεται δὲ καὶ τάδε." διὸ καὶ ἐν τῷ Γοργίᾳ Σωκράτης (p. 526 c) τῇ αὐτῇ ταύτῃ λέξει χρησάμενος τοῖς ἐν τῷ δήμῳ συγγραφομένοις αὐτὴν ἀνέθηκεν.

f. 39. ἡ μὲν τελεία τοῦ ὁρισμοῦ τοῦ ῥήματος ἀπόδοσις εἴη ἂν 16b 6.
παραπλησίως τῷ ἀποδοθέντι τοῦ ὀνόματος ὅρῳ, φωνὴ σημαντικὴ κατὰ συνθήκην, προσσημαίνουσα χρόνον, ἧς μέρος οὐδὲν σημαίνει χωρίς· ἅτε δὲ συντομίας ὢν ἐραστὴς ὁ Ἀριστοτέλης, ὅσα κοινὰ ἦν τῷ ῥήματι πρὸς τὸ ὄνομα ὑπερβὰς ὡς ἤδη ῥηθέντα ἐν τῷ τοῦ ὀνόματος λόγῳ, ἀπὸ τοῦ καθ' ὃ διαφέρει τὸ ῥῆμα τοῦ ὀνόματος (διαφέρει δὲ τῷ προσσημαίνειν χρόνον) ποιεῖται τὴν περὶ αὐτοῦ διδασκαλίαν. ἀλλ' εἰ τοῦθ' οὕτως ἔχει, τί δή ποτε προστίθεται τὸ "οὗ μέρος οὐδὲν σημαίνει χωρίς," ὅπερ καὶ ἐν τῷ λόγῳ τοῦ ὀνόματος παρείληπται; λεγέσθω τοίνυν πρὸς ταύτην τὴν ἀπορίαν ἐκεῖνο τὸ Πορφυρίειον, ὡς εἰσὶ λόγοι τινὲς ἐκ ῥημάτων συγκείμενοι ὧν τὰ μέρη σημαντικά ἐστιν, αὐτὰ λέγω τὰ ῥήματα ἐξ ὧν οἱ λόγοι συντίθενται, οἷον ὅταν εἴπω τὸ βαδίζειν κινεῖσθαί ἐστι· τὸ γὰρ βαδίζειν καὶ τὸ κινεῖσθαι καὶ τὸ ἐστί τοῦ ὅλου λόγου μέρη ὄντα σημαντικά ἐστι καθ' ἑαυτά. ἵνα οὖν διακρίνῃ τὰ ῥήματα τῶν τοιούτων λόγων οἷς τὰ ἄλλα μέρη τοῦ ὁρισμοῦ τοῦ ῥήματος ἐφαρμόττει, λέγω δὲ τὸ φωνή, τὸ σημαντική, τὸ κατὰ συνθήκην, τὸ προσσημαίνουσα χρόνον, αὐτὴν ἀναγκαίως καὶ ἐνταῦθα προσέθηκε τὴν διαφοράν. ἀλλὰ πῶς οὐ σημαίνειν χρόνον ἀλλὰ προσσημαίνειν ἔφη τὸ ῥῆμα; ἢ διότι σημαίνειν μέν ἐστιν, ὡς καὶ πρότερον ἐλέγομεν, τὸ προηγουμένως δηλοῦν τι, προσσημαίνειν δὲ τὸ πρὸς τῷ πρώτως δηλουμένῳ κατὰ δεύτερον λόγον καὶ ἄλλο τι συνεμφαίνειν· τὰ δὲ ῥήματα προηγουμένως μὲν ἐνεργείας ἔχειν τινὰς ἢ πάθη δηλῶσαι βουλόμενοι φθεγγόμεθα, τοὺς δὲ προσόντας χρόνους ταῖς ἐνεργείαις ἢ τοῖς πάθεσι, καθ' οὓς εἶναι λέγονται ἢ γεγονέναι ἢ ἔσεσθαι, μετὰ τούτων ὥσπερ συναναφαινομένους ὁρῶμεν. ἑξῆς δὲ λοιπὸν καὶ τὴν σύνταξιν ἣν ἐν ταῖς προτάσεσι κατέχει τὸ ῥῆμα, διδάσκει ἡμᾶς ὁ Ἀριστοτέλης, λέγων "καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον." τοῦτο δέ ἐστιν ὅτι τὴν τοῦ κατηγορουμένου χώραν ἀεὶ καταλαμβάνει τὰ ῥήματα καὶ οὐχὶ τὴν τοῦ ὑποκειμένου. καὶ τοῦτο εἰκότως· εἰ γὰρ ἐνεργειῶν ἢ παθῶν εἰσὶ σημαντικά, ταῦτα δὲ οὐκ ἔστιν ἀπολελυμένα καὶ καθ' ἑαυτὰ ὑφεστῶτα ἀλλ' ἐφ' ἕτερα τὴν ἀναφορὰν ἔχοντα τὰ ἐνεργοῦντα ἢ πάσχοντα, δηλονότι προσῆκον αὐτοῖς ἂν εἴη τὸ κατηγορεῖσθαι ἐκείνων. οὕτω δὲ καὶ ὁ Πλάτων περὶ τούτων διατάττεται λέγων ἐν τῷ Σοφιστῇ (p. 261)... δι' ὧν κἀκεῖνο φανερόν, ὅτι πρὸ τοῦ Ἀριστοτέλους ἕνα λόγον εἶναί φησιν (ὁ Πλάτων) τὸν ἑνὸς πράγματος ὄντα σημαντικόν (τοῦτο γὰρ τὸ "δηλοῦντά τι"), ἐπεὶ καὶ τὰ ἀναρμόστως ἔχοντα,

---

(*) Similia apud Leonem Magentinum. *M. Ephes.* εἶπε δὲ "τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά" χρησάμενος Δημοσθενικῷ χαρακτῆρι· ἐκεῖνος γὰρ διὰ τὸ πρὸς ὕδωρ μεμετρημένον καὶ ῥέον λέγειν, καὶ μὴ θέλειν τὰς μείζονας τῶν ὑποθέσεων ἀδιηγήτους καταλιμπάνειν, ἐν μὲν τῇ πρώτῃ ὑποθέσει καὶ ῥήτορα ἑαυτὸν ὠνόμαζε καὶ δημαγωγὸν καὶ ἄλλα τινά, ἐν δὲ τῇ δευτέρᾳ ἢ καὶ τῇ τρίτῃ ὑποθέσει, μὴ θέλων ἐν καινοῖς τὸν καιρὸν ῥυίσκεσθαι, ἔλεγεν ὡς τὸν ἀγῶνα τῆς παρούσης ὑποθέσεως ὁ Δημοσθένης ὁ τὰ ἄλλα κατὰ ταὐτὰ καὶ πάλιν ὑπεισέρχεται.

μενον, ὡς ἂν καὶ αὐτοὺς διά τε τούτων καὶ τῶν ἐν τῷ Σοφιστῇ (p. 261 sqq.) ῥηθέντων πρὸ τοῦ Ἀριστοτέλους μόνα τοῦ λόγου κυρίως μέρη τὸ ὄνομα καὶ τὸ ῥῆμα εἶναι τιθέμενος.

16a 29. f. 34. τὸ δὲ "ὧν οὐδέν ἐστιν ὄνομα" ἢ ἀντὶ τοῦ οὐδείς εἴρηται, ὧν ψόφων οὐδείς ἐστιν ὄνομα (*), ἢ κατ' ἔλλειψιν τοῦ φθέγματος, ὧν θηρίων οὐδὲν φθέγμα ἐστὶν ὄνομα. οὐ γὰρ δήπου λέγοι ἂν μὴ εἶναι ὀνόματα τῶν φωνῶν τῶν ἀλόγων ζῴων· λέγεται γὰρ ἡ μέν τις ὑλακή, ἡ δὲ χρεμετισμὸς ἢ μυκηθμός. ταῦτα ἐξηγησάμενος περὶ μὲν τῶν λειπῶν οὐδὲν προστίθησι, τοῦ τε φωνὴ καὶ τοῦ σημαντική, ὡς προφανῶν λίαν ὄντων, προχειρίζεται δὲ τὸν περὶ τοῦ ἀορίστου ὀνόματος λόγον.

16a 30. τοῦτο νῦν ἐκίνησε τὸ θεώρημα, διότι ἑώρα μὲν καὶ τὰς τοιαύτας φωνὰς παραλαμβανομένας πολλάκις ἐν ταῖς ἀποφάνσεσιν, ὡς ὅταν εἴπωμεν οὐκ ἄνθρωπος περιπατεῖ, οὐδενὸς δὲ ὀνόματος ἠξιωμένας ὑπὸ τῶν παλαιοτέρων. διδάσκει τοίνυν καὶ τίσι τῶν ὠνομασμένων φωνῶν ὑποπτευθεῖεν αἱ αὐταὶ εἶναι, μὴ οὖσαι κατ' ἀλήθειαν αἱ αὐταί, καὶ πῶς δίκαιον αὐτὰς ὀνομάζειν.

16a 32. f. 34 b. διὰ ταῦτα τὸ ὅλον τοῦτο ἀόριστα ὀνόματα κελεύει αὐτὰς προσαγορεύεσθαι, ὀνόματα μέν, διότι, ὅπερ ἐν τοῖς ἑξῆς ῥηθήσεται περὶ αὐτῶν, ἕν πως σημαίνει καὶ ταῦτα, οἷον τὸ περὶ τὸ ὡρισμένον ἅπαν ὡς ἕν, οἷον τὸ οὐκ ἄνθρωπος τὸ περὶ τὸν ἄνθρωπον ἅπαν ὡς ἓν κατ' αὐτὸ τοῦτο καθ' ὃ πάντα κοινόν τι ἔχει, τὸ μὴ εἶναι ὅπερ ἄνθρωπος· ἀόριστα δέ, διότι τὸ ὑπ' αὐτῶν σημαινόμενον οὐχ ὕπαρξίν τινα πράγματος σημαίνει, ὅπερ τοῖς ὀνόμασιν ἔθος, ἀλλ' ἀνυπαρξίαν, οὖσί τε ὁμοίως καὶ μὴ οὖσιν ἐφαρμόζουσαν.

16a 33. περὶ τῆς κατ' εὐθεῖαν γινομένης τῶν ὀνομάτων προφορᾶς εἴωθε παρὰ τοῖς παλαιοῖς ζητεῖσθαι πότερον πτῶσιν αὐτὴν προσήκει καλεῖν (**) ἢ οὐδαμῶς, ἀλλὰ ταύτην μὲν ὄνομα ὡς κατ' αὐτὴν ἑκάστου τῶν πραγμάτων ὀνομαζομένου, τὰς δὲ ἄλλας πτώσεις ὀνόματος, ἀπὸ τοῦ μετασχηματισμοῦ τῆς εὐθείας γινομένας. τῆς μὲν οὖν δευτέρας προΐσταται δόξης ὁ Ἀριστοτέλης, καὶ ἕπονταί γε αὐτῷ πάντες οἱ ἀπὸ τοῦ Περιπάτου, τῆς δὲ προτέρας οἱ ἀπὸ τῆς Στοᾶς καὶ ὡς τούτοις ἀκολουθοῦντες οἱ τὴν γραμματικὴν μετιόντες τέχνην. λεγόντων δὲ πρὸς αὐτοὺς τῶν Περιπατητικῶν ὡς τὰς μὲν ἄλλας τέσσαρας εἰκότως λέγομεν πτώσεις διὰ τὸ πεπτωκέναι ἀπὸ τῆς εὐθείας, τὴν δὲ εὐθεῖαν κατὰ τίνα λόγον πτῶσιν ὀνομάζειν δίκαιον ὡς ἀπὸ τίνος πεσοῦσαν; (δῆλον γὰρ ὅτι πᾶσαν πτῶσιν ἀπό τινος ἀνωτέρω τεταγμένου γίνεσθαι προσήκει), ἀποκρίνονται οἱ ἀπὸ τῆς Στοᾶς ὡς ἀπὸ τοῦ νοήματος τοῦ ἐν τῇ ψυχῇ καὶ αὕτη πέπτωκεν· ὃ γὰρ ἐν ἑαυτοῖς ἔχομεν τοῦ Σωκράτους νόημα δηλῶσαι βουλόμενοι, τὸ Σωκράτης ὄνομα προφερόμεθα· καθάπερ οὖν τὸ ἄνωθεν ἀφεθὲν γραφεῖον καὶ ὀρθὸν παγὲν πεπτωκέναι τε λέγεται καὶ τὴν πτῶσιν ὀρθὴν ἐσχηκέναι, τὸν αὐτὸν τρόπον καὶ τὴν εὐθεῖαν πεπτωκέναι μὲν ἀξιοῦμεν ἀπὸ τῆς ἐννοίας, ὀρθὴν δὲ εἶναι διὰ τὸ ἀρχέτυπον τῆς κατὰ τὴν ἐκφώνησιν προφορᾶς. ἀλλ' εἰ διὰ τοῦτο, φασὶν οἱ ἀπὸ τοῦ Περιπάτου, τὴν εὐθεῖαν πτῶσιν ἀξιοῦτε καλεῖν, συμβήσεται καὶ τὰ ῥήματα πτώσεις ἔχειν καὶ τὰ ἐπιρρήματα τὰ μηδὲ κλίσεων ἀνέχεσθαι πεφυκότα· ταῦτα δὲ ἐναργῶς ἄτοπα καὶ ταῖς ὑμῶν αὐτῶν παραδόσεσι μαχόμενα. τὰ αὐτὰ δὲ λέγειν ἁρμόσει καὶ πρὸς τοὺς γενικόν τι ὄνομα ὑποτιθεμένους καὶ ἀπ' ἐκείνου πεπτωκέναι τὸ καθ' ἕκαστον ὄνομα λέγοντας· οὔτε γὰρ διασαφοῦσι τί ποτε ἐστιν ὃ καλοῦσι γενικὸν ὄνομα, οὔτε εἰ τὴν ἔννοιαν αὐτὴν τῶν ὀνομάτων καὶ κοινῶς κατὰ παντὸς κατηγορούμενον λέγοιεν, ἴδιόν τι τοῦ ὀνόματος ἐροῦσιν· ὁ αὐτὸς γὰρ ἔσται λόγος καὶ ἐπὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν, ὥστε καὶ τὰ καλούμενα θέματα τῶν ῥημάτων κατ' εὐθεῖαν ἐροῦμεν προάγεσθαι πτῶσιν, καὶ τῶν ἄλλων τῶν λεγομένων περὶ τῶν τοῦ λόγου μερῶν ἕκαστον ὡσαύτως. διὰ ταῦτα μὲν οὖν τὴν Περιπατητικὴν περὶ τούτων διάταξιν προτιμητέον.

f. 36 b. πάνυ καλῶς ὁ φιλόσοφος ἐπεσημήνατο Πορφύριος 16b 3.
ὅτι τὸ ἔστιν οὐκ ἀντὶ παντὸς εἴληπται ῥήματος, ἀλλ' αὐτὸ μόνον τὸ ἀπὸ τοῦ ὄντος παρηγμένον καὶ τὴν ὕπαρξιν σημαῖνον λαμβάνεται, ὡς μετὰ μὲν τοῦ ὀνόματος αὐτοτελῆ ποιοῦν λόγον, μετὰ δὲ τῶν πτώσεων ἐλλιπῆ· πολλὰ γάρ ἐστι ῥήματα συντασσόμενα ταῖς πτώσεσι καὶ ποιοῦντα λόγους ἀληθεῖς ἢ ψευδεῖς, τοῖς δὲ ὀνόμασι συντάττεσθαι οὐ δυνάμενα, ὡς τὸ μεταμέλει, οἷον Σωκράτει μεταμέλει, καίτοι τὸ Σωκράτης μεταμέλει ἀσύντακτον. ἐν οἷς καὶ προσιστορεῖ τὴν τῶν Στωϊκῶν διάταξιν περὶ τῶν κατηγορουμένων ὅρων ἐν ταῖς προτάσεσιν οὖσαν τοιαύτην. τὸ κατηγορούμενον ἤτοι ὀνόματος κατηγορεῖται ἢ πτώσεως, καὶ τούτων ἑκάτερον ἤτοι τέλειόν ἐστιν ὡς κατηγορούμενον καὶ μετὰ τοῦ ὑποκειμένου αὔταρκες πρὸς γένεσιν ἀποφάνσεως, ἢ ἐλλιπὲς καὶ προσθήκης τινὸς δεόμενον πρὸς τὸ τέλειον ποιῆσαι

(*) *Boëth.* II. p. 302: quidam enim pisces non voce sed branchiis sonant, et ut Porphyrius autumat, cicada per pectus sonitum mittit; quorum omnium nihil est nomen. *Leo Magent.* τὸ δὲ "ὧν μηδέν ἐστιν ὄνομα" ἐνόμισάν τινες λέγειν αὐτὸν ὅτι τῶν θηρίων οὐκ ἔστιν ὄνομα καὶ μὴ καλεῖται ἄρκος καὶ λέων καὶ τὰ λοιπὰ ἰδίοις ὀνόμασιν· ἕτεροι δὲ ἐνόμισαν ὅτι τῶν φωνῶν τῶν θηρίων οὐκ ἔστιν ὄνομα, ὅπου γε ἐπὶ λέοντός φαμεν βρυχηθμὸν καὶ βρυχᾶσθαι, ἐπὶ λύκων ὠρύειν, καὶ συρίζειν ἐπὶ ὄφεως, βληχᾶσθαι ἐπὶ προβάτων, μυκᾶσθαι ἐπὶ βοῶν, ἐπὶ κορωνῶν κράζειν, ἐπὶ γλαυκὸς κικκαβίζειν, ἐπὶ ἀηδόνος ᾄδειν, ἐπὶ ὀρνίθων κατοικιδίων κακκάζειν, ἐπὶ ἵππων χρεμετίζειν, ἐπὶ κυνῶν ὑλακτεῖν· ἀλλ' ὅτι αἱ ἐκφωνήσεις αὐτῶν, καίπερ ὄνομα ἔχουσαι, τὰ εἰρημένα ὀνόματα οὐκ εἰσίν.

(**) *Leo Magent.* καὶ παρατηρητέον ὅτι ὁ Ἀριστοτέλης τὴν εὐθεῖαν ὄνομα καλεῖ, τὰς δὲ πλαγίους πτώσεις ὡς ἀπὸ τοῦ ὀνόματος πεπτωκυίας. οἱ δὲ Στωϊκοὶ καὶ οἱ τούτοις ἀκολουθοῦντες γραμματικοὶ τὰς πέντε πτώσεις ὀνομάζουσι, διότι, φασίν, ἀπὸ τοῦ νοήματος καὶ ἡ εὐθεῖα ἔπεσε καὶ αἱ λοιπαί· οἷον ἐνενόουν ἵππον καὶ ἄφνως εἶπον ἵππος, καὶ τὸ νόημα μετέπεσεν εἰς φωνήν. τοῦτο δέ φασιν αὐτοὶ διαφέρειν εὐθεῖαν πλαγίων· ὥσπερ γάρ, φησίν, εἴ τις κατασχὼν γραφεῖον ῥίψει αὐτὸ καὶ πέπτωκε, καὶ εἰ μὲν ὀρθὸν πέσοι, λέγεται ὀρθὴ πτῶσις, εἰ δὲ πλάγιον, πλαγία πτῶσις, οὕτω καὶ ἐπὶ τοῦ νοήματος. λέγουσι δὲ πρὸς αὐτοὺς οἱ Περιπατητικοὶ ὅτι τούτῳ τῷ λόγῳ καὶ τὸ ῥῆμα πτῶσίς ἐστιν, ἀλλὰ καὶ τὸ ἐπίρρημα τὸ μηδὲ κλίσιν ἐπιδεχόμενον ἐπιδέξεται πτώσεις, ὅπερ ἄτοπον. ἔτι δὲ πτώσεις καλοῦσιν οἱ φιλόσοφοι οὐ μόνον τὰς παρὰ τοῖς γραμματικοῖς καλουμένας πλαγίους, ἀλλὰ καὶ πάσας τὰς παραγωγὰς καὶ τοὺς σχηματισμούς, οἷον τὸ δίκαιον καὶ δικαίως καὶ δικαιότερον καὶ δικαιότατος καὶ ὁ δίκαιος καὶ πάντα τὰ τοιαῦτα.

κἂν δοκῇ τινὰ κατὰ τὴν λέξιν σύνθεσιν ἔχειν, ὥσπερ οἱ λόγοι τῶν συνθέτων εἰσὶ δηλωτικοὶ τῶν νοημάτων κατὰ τὰ πρότερον περὶ τούτων διωρισμένα.

16a 25. τὰ μὲν τῶν ἁπλῶν ὀνομάτων μέρη οὐδὲ δόκησιν ἔχει τοῦ καθ' ἑαυτὰ σημαντικὰ εἶναι, τὰ δὲ τῶν διπλῶν φαντασίαν μέν τινα παρέχει τοῦ σημαίνειν, ὅπερ Ἀριστοτέλης "βούλεσθαι" εἶπεν, οὐ μέντοι καὶ κατ' ἀλήθειαν τοῦτο ἐργάζεσθαι πέφυκε. κατὰ τοῦτον οὖν τὸν κανόνα διαστήσομεν πολλάκις ὀνόματα λόγων διὰ τῶν αὐτῶν ἐκφωνουμένων τοῖς ὀνόμασι συλλαβῶν, ὡς ἐπὶ τοῦ Νεάπολις καὶ Ἡλιούπολις.

16a 27. f. 28 b. κἀνταῦθα ζητῆσαι ἄξιον πῶς τοῦ ἐν Κρατύλῳ Σωκράτους ἀγωνιζομένου πρὸς τὸν Ἑρμογένην λέγοντα θέσει τὰ ὀνόματα εἶναι καὶ δεικνύντος αὐτὰ φύσει, διισχυρίζεται διὰ τούτων ὁ Ἀριστοτέλης μηδὲν τῶν ὀνομάτων εἶναι φύσει. καὶ ῥητέον ὅτι τὸ φύσει διχῶς λέγεται παρὰ τοῖς φύσει εἶναι τὰ ὀνόματα διαταξαμένοις, ὁμοίως δὲ καὶ τὸ θέσει διχῶς παρὰ τοῖς θέσει αὐτὰ εἶναι τιθεμένοις... f. 30 b. δῆλον ὅτι συντρέχει τὸ δεύτερον τῶν τοῦ φύσει σημαινομένων τῷ δευτέρῳ τῶν τοῦ θέσει· τὰ γὰρ ὑπὸ τοῦ ὀνοματοθέτου τιθέμενα ὡς μὲν οἰκείως ἔχοντα πρὸς τὰ πράγματα οἷς κεῖνται φύσει ἂν καλοῖντο, ὡς δὲ τεθέντα ὑπό τινος θέσει. ὁ τοίνυν ἐν τῷ Κρατύλῳ Σωκράτης, διαιτῶν τῷ τε Κρατύλῳ καὶ τῷ Ἑρμογένει διαφερομένοις ἀπὸ διαμέτρου περὶ τοῦ φύσει εἶναι τὰ ὀνόματα ἢ θέσει, δείκνυσιν ὡς οὔτε οὕτως ἐστὶ θέσει ὡς Ἑρμογένης ἠξίου (εἶναι γὰρ ἐν αὐτοῖς καὶ τὸ φύσει κατὰ τὸ δεύτερον τοῦ φύσει σημαινόμενον, καὶ μάλιστα τούτοις δι' ὧν τὰ καθόλου καὶ ἁπλῶς τὰ ἴδια τῶν πραγμάτων σημαίνομεν, ὡς ἂν ὡρισμένην καὶ ἡμῖν καταληπτὴν ἔχοντα τὴν φύσιν· πρὸς γὰρ τὸ κατορθοῦν κατὰ τὴν πρώτην τῶν ὀνομάτων θέσιν, ἐπὶ τῶν καθ' ἕκαστα παντοδαπῶς μεταβάλλεσθαι πεφυκότων, τύχης δεῖ καλεῖν τῇ φήμῃ συνεργόν) οὔτε οὕτω φύσει ὡς Ἡράκλειτος ἔλεγεν· εἶναι γὰρ αὐτὰ καὶ θέσει, τὰ μὲν πολλὰ τῶν τιθεμένων τοῖς καθ' ἕκαστα καὶ κατὰ τὸ φορτικὸν τοῦτο τὸ ὑπὸ τοῦ Ἑρμογένους λεγόμενον θέσει, καὶ ὅσα μέντοι τὴν ἀΐδιον σημαίνουσι φύσιν, καὶ ταῦτα θέσει κατὰ τὸ δεύτερον τῶν τοῦ θέσει σημαινομένων. οὐδὲν οὖν πρὸς ταῦτα διάφορον οὐδὲ ὁ Ἀριστοτέλης ἐν τούτοις διατάττεται, λέγων οὐδὲν τῶν ὀνομάτων εἶναι φύσει· τοῦτο γὰρ αὐτῶν ἀποφάσκει τὸ φύσει ὅπερ ἐπρέσβευον οἱ Ἡρακλείτειοι, καθάπερ καὶ Πλάτων, οὐκ ἂν οὐδ' αὐτὸς παραιτησάμενος οὕτως αὐτὰ καλέσαι φύσει, ὡς ὁ θεῖος ἀξιοῖ Πλάτων. δηλοῖ δὲ τοῦτο ἐν πολλαῖς τῶν πραγματειῶν ἑαυτοῦ, σύμφωνα δεικνύναι τοῖς πράγμασι τὰ ὀνόματα πειρώμενος, καθάπερ ἐν μὲν τῇ Φυσικῇ Ἀκροάσει (2 6 et 4 7) τὸ τοῦ αὐτομάτου ὄνομα καὶ τὸ τοῦ κενοῦ, ἐν δὲ τοῖς Μετεώροις (1 9 et 10) τὸ τῆς ψεκάδος καὶ τὸ τοῦ ὑετοῦ. καὶ ὅσα μέντοι τιθέντα αὐτὸν ὀνόματα ἴσμεν, ὡς τὸ τῆς ἐντελεχείας ἐπὶ τοῦ εἴδους ἢ τὸ τοῦ ὅρου ἐπὶ τῶν ἁπλῶν ἐν τοῖς συλλογισμοῖς φωνῶν ἢ τὸ τοῦ σχήματος ἐπὶ τῆς τοιᾶσδε τῶν προτάσεων συμπλοκῆς, καὶ ἐν αὐτῷ τούτῳ τῷ περὶ Ἑρμηνείας βιβλίῳ τὸ τοῦ ἀορίστου ὀνόματος ἢ τὸ τοῦ ἀορίστου ῥήματος ἢ τὸ τῆς ἀντιφάσεως, ὑπ' αὐτοῦ τεθέντα σαφέστατα δηλοῖ τὴν περὶ τούτων τοῦ φιλοσόφου διάνοιαν... τὸ δὲ πλῆθος τῶν ὀνομάτων οὐδαμῶς φήσομεν κωλύειν ἕκαστον αὐτῶν οἰκεῖον εἶναι τῇ φύσει τοῦ ὀνομαζομένου· καθάπερ γὰρ εἰκόνας ἐνδέχεται πλείονας εἶναι τοῦ αὐτοῦ ἀνθρώπου, ὕλης μὲν οὔσας διαφόρου, χαλκῆς εἰ τύχοι ἢ ξυλίνης ἢ λιθίνης, πάσας δὲ ἐχούσας τὴν πρὸς αὐτὸν ὁμοιότητα, τὸν αὐτὸν καὶ ἐνταῦθα τρόπον οὐδὲν κωλύει τὴν αὐτὴν φύσιν δι' ἄλλων καὶ ἄλλων ὀνομάζεσθαι συλλαβῶν, μιᾶς καὶ τῆς αὐτῆς οὐσίας κατ' ἄλλην καὶ ἄλλην ἔννοιαν ἐκ πασῶν σημαινομένης, ὥσπερ τὸ ἄνθρωπος ὄνομα καὶ τὸ μέροψ καὶ τὸ βροτός σημαίνει ταὐτόν, ἀλλὰ τὸ μὲν καθ' ὃ ἀναθρεῖ ἃ ὄπωπε, τὸ δὲ καθ' ὃ μεριστὴν ἔχει φωνήν, τὸ δὲ κατὰ τὴν εἰς γένεσιν τῆς ψυχῆς πτῶσιν καὶ τὸν ἐντεῦθεν μολυσμόν· ἢ καὶ ὡς πρὸς τὸ σύνθετον, ἄνθρωπος μὲν κατὰ τὸ διαρθροῦν τὴν ὄπα ἢ ἄνω ἔχειν τοὺς ὦπας, μέροψ δὲ ὡς μεμερισμένῃ χρώμενος τῇ ὀπί, βροτὸς δὲ ὡς μορτὸς καὶ μοιρητός, διὸ καὶ τὸ "ἐδείμαμεν ἄστεα μορτοί" φησιν ὁ Κυρηναῖος (Callimach. fr. 271). εἰ δὲ ταῦτα ὀρθῶς λέγεται, δῆλον ὡς οὐκ ἀποδεξόμεθα τὸν διαλεκτικὸν Διόδωρον πᾶσαν οἰόμενον φωνὴν σημαντικὴν εἶναι, καὶ πρὸς πίστιν τούτου καλέσαντα τῶν ἑαυτοῦ τινὰ οἰκετῶν τῷ συλλογιστικῷ συνδέσμῳ, ἀλλὰ μὴν καὶ ἄλλον ἄλλῳ συνδέσμῳ· ποίαν γὰρ ἕξουσιν αἱ τοιαῦται φωναὶ σημασίαν φύσεώς τινος ἢ προσώπου, καθάπερ τὰ ὀνόματα, ἢ ἐνεργείας ἢ πάθους, καθάπερ τὰ ῥήματα, χαλεπὸν καὶ πλάσαι. ἐπεὶ δὲ ἕτεροι τὸ θέσει τῶν ὀνομάτων ἐξορίζειν ἐπιχειροῦσιν, ὥσπερ ὁ Πατραῖος δοὺς ἄρειος, τὰς εὐχὰς ἡμῖν καὶ τὰς ἀρὰς παραφέροντες, ἐν αἷς τὰ ὀνόματα ἡμῶν λεγόμενα ἢ ὠφελοῦσιν ἐναργῶς τοὺς ὀνομαζομένους ἢ βλάπτουσι, καίτοι τῆς συνθήκης ἀνθρώπων μὲν εἰκότως πρὸς ἀνθρώπους γενομένης, ἀνθρώπων δὲ πρὸς θεοὺς οὐδὲ μέχρις ἐπινοίας ὑφίστασθαι δυναμένης, ῥητέον καὶ πρὸς τούτους ὅτι λογικοὺς ἡμᾶς καὶ αὐτοκινήτους ὑποστήσαντες οἱ θεοὶ πολλῶν πράξεων κυρίους εἰκότως κατέστησαν... ἑξῆς δὲ τούτοις ἐπισκεψώμεθα τὸν συλλογισμὸν ὃν ὁ Ἀφροδισιεὺς ἐξηγητὴς ἐκτίθεται (*), κατασκευάζειν δοκοῦντα μόνως εἶναι φύσει τὰ ὀνόματα καὶ τὰ ῥήματα· τὰ γὰρ ὀνόματα, φησί, καὶ τὰ ῥήματα φωναί, αἱ δὲ φωναὶ φύσει, τὰ ἄρα ὀνόματα καὶ τὰ ῥήματα φύσει. πρὸς ταῦτα τοίνυν ῥητέον ὅτι τὰ ὀνόματα καὶ τὰ ῥήματα οὐχ ἁπλῶς ἂν λέγοιντο εἶναι φωναί, ἀλλὰ κατὰ τὴν ὕλην.

f. 33 b. εἰ δὲ τὸ ὄνομα καὶ σύμβολον καὶ ὁμοίωμα τεχνητὸν 16a 28. ἀξιοῦμεν καλεῖν, οὐ θαυμαστόν· ἔσται γὰρ τὸ μὲν ἀσκόπως τεθὲν μόνως σύμβολον, τὸ δὲ κατὰ λόγον, ὡς μὲν δυνάμενον ἐξ ἄλλων καὶ ἄλλων συγκεῖσθαι συλλαβῶν, ἐοικὸς τοῖς συμβόλοις, ὡς δὲ τῇ φύσει τοῦ ὀνομαζομένου προσῆκον, ὁμοίωμα καὶ οὐ σύμβολον. ἀλλὰ ταῦτα μὲν ὥσπερ πορίσματα ληπτέον ἐκ τῶν εἰρημένων, συνᾴδοντα τοῖς ἐν Κρατύλῳ (p. 430 sqq.) περὶ τοῦ ὀνόματος ὑπὸ τοῦ Σωκράτους παραδεδομένοις· καὶ γὰρ ἐκεῖνος τὸ ὄνομα μίμημά φησιν εἶναι τῆς ἑκάστου οὐσίας, διὰ φωνῆς ἐνάρθρου, ταὐτὸν δὲ εἰπεῖν ἐκ στοιχείων καὶ συλλαβῶν κατεσκευασμένον, ὥσπερ τὰ ῥήματα τῶν ἐπακολουθούντων (τουτέστι τῶν ὑπαρχόντων) ταῖς οὐσίαις, μιμήματα εἶναι, λόγον δὲ τὸν ἐξ ἀμφοῖν, τοῦ τε ὀνόματος καὶ τοῦ ῥήματος, συγκεί-

---

(*) *M. Ephes.* ὁ δὲ Ἀλέξανδρος φύσει μόνον αὐτά φησι. cf. Magent. f. 5.

ἔχειν ἢ διαίρεσιν ἀποφαίνεται (ποία γὰρ ἂν εἴη σύνθεσις ἢ διαίρεσις ἐπὶ τοῖς νοητοῖς παρὰ Πλάτωνι, καὶ αὐτῷ μέντοι τῷ Ἀριστοτέλει λεγομένης ἀληθείας τῆς κατὰ τὴν ὕπαρξιν τῶν ὄντως ἀπλουστάτων ὄντων θεωρουμένης, ἢ τῆς κατὰ τὴν νοερὰν αὐτῶν ἀντίληψιν ὑφισταμένης, πάσης τε πρὸς τὸ ψεῦδος ἀντιθέσεως ἐξῃρημένης; ὑπὲρ ἧς καὶ αὐτὸς ἔν τε τῇ θεολογικῇ (Metaph. 12 9) διείλεκται πραγματείᾳ καὶ ἐν τῷ τρίτῳ βιβλίῳ (c. 6) τῶν περὶ ψυχῆς), ἀλλὰ τὴν ἐν ταῖς λεκτικαῖς ὑφισταμένην κίνησιν, ἥτις δέδεικται τῶν λεκτικῶν πάντων περὶ μόνον τὸν ἀποφαντικὸν λόγον ὑφίστασθαι δυναμένη. τούτῳ τε οὖν ἐπιστῆσαι χρὴ καὶ ὅτι τὰ ὀνόματα αὐτά, τουτέστι καθ' ἑαυτά, καὶ τὰ ῥήματα εἰπὼν τοῖς ἁπλοῖς ἐοικέναι νοήμασι, παραδείγματα τούτων παραθέσθαι βουληθεὶς ἐπήγαγεν "οἷον ὁ ἄνθρωπος ἢ τὸ λευκόν, ὅταν μὴ προστεθῇ τι," ὡς μὲν ὄνομα τὸ ἄνθρωπος λαβών, ὡς δὲ ῥῆμα τὸ λευκόν, καίτοι οὐδὲν ἧττον τοῦ ἄνθρωπος ὄνομα εἶναι δοκοῦν, ὡς οὐ κατὰ τὸν εἰωθότα λέγεσθαι περὶ τῶν ῥημάτων διορισμὸν συναριθμῆσαι τὸ λευκὸν τοῖς ῥήμασιν ἀξιώσας, ἀλλὰ κατὰ τὸν πᾶσαν φωνὴν κατηγορούμενον ὅρον ἐν προτάσει ποιοῦσαν ῥῆμα καλεῖσθαι διαταττόμενον· περὶ οὗ σαφέστερον ἐροῦμεν ἐξηγούμενοι τὸν περὶ τοῦ ῥήματος λόγον. εἰ δέ τις ἀποροίη πῶς ὁ Ἀριστοτέλης εἶπε μηδὲν μήτε τῶν ὀνομάτων μήτε τῶν ῥημάτων ἀληθείας ἢ ψεύδους ὑπάρχειν δεκτικόν, καίτοι σαφέστατα τῶν τοῦ πρώτου παρὰ τοῖς γραμματικοῖς λεγομένου προσώπου ῥημάτων πάντων ἢ ἀλήθειαν ἢ ψεῦδος δηλούντων, ὡς ὅταν εἴπω περιπατῶ, καὶ τῶν τοῦ δευτέρου, ὡς τὸ περιπατεῖς, καὶ τῶν τοῦ τρίτου, ὅσα ἐπί τινος ὡρισμένου λέγεται, ὡς τὸ ὕει ἢ βροντᾷ ἢ ἀστράπτει, ῥητέον ὅτι οὐ τὰ ῥήματα αὐτὰ καθ' ἑαυτά ἐστι τὰ τὴν ἀλήθειαν ἢ τὸ ψεῦδος σημαίνοντα, ἀλλ' ἡ τῶν τοιούτων ῥημάτων πρὸς τὰ ὀνόματα τῶν προσώπων, ἐφ' ὧν λέγονται, συμπλοκή.

16a 18. § 24 b. τὸ δὲ "ἁπλῶς ἢ κατὰ χρόνον" τί ποτε βούλεται; λέγω δὴ ὅτι τὸ μὲν ἁπλῶς σημαίνοι ἂν τὸ ἀορίστως, ἁπλῶς οὕτως εἰπεῖν τραγέλαφος ἦν ἢ τραγέλαφος ἐστὶν ἢ τραγέλαφος ἔσται, τὸ δὲ κατὰ χρόνον τὸ μετὰ προσθήκης τοῦ χρόνου καθ' ὃν ἦν ἢ ἔσται, οἷον τραγέλαφος ἦν χθὲς ἢ πέρυσιν, ἢ ἔσται αὔριον ἢ εἰς τὸ ἑξῆς ἔτος.

16a 19. § 25. ὅτι μὲν εἰκότως προτετίμηται τὸ ὄνομα τοῦ ῥήματος ἐν τῇ διδασκαλίᾳ, φανερόν· τὰ μὲν γὰρ ὀνόματα τὰς ὑπάρξεις σημαίνουσι τῶν πραγμάτων, τὰ δὲ ῥήματα τὰς ἐνεργείας ἢ τὰ πάθη, προηγοῦνται δὲ τῶν ἐνεργειῶν καὶ τῶν παθῶν αἱ ὑπάρξεις. ἐν δὲ τῷ ἀποδεδομένῳ τοῦ ὀνόματος λόγῳ παρείληπται ἡ μὲν φωνὴ ὕλης ἔχουσα λόγον πρός τε τὸ ὄνομα καὶ τὸ ῥῆμα καὶ τὸν ἐκ τούτων συγκείμενον λόγον, ὡς γένος τῆς κατὰ τὸ ὄνομα φωνῆς (*), πρὸς διάκρισιν τῶν ἁπλῶς ψόφων, οἳ καὶ ἀπὸ ἀψύχων πολλάκις γίνονται σωμάτων. διαφέρει γὰρ ὁ ψόφος τῆς φωνῆς ὡς γένος εἴδους, καὶ ψόφος μέν ἐστι πληγὴ ἀέρος αἰσθητὴ ἀκοῇ, φωνὴ δὲ ψόφος ἐξ ἐμψύχου γινόμενος, ὅταν διὰ τῆς συστολῆς τοῦ θώρακος ἐκθλιβόμενος ἀπὸ τοῦ πνεύμονος ὁ εἰσπνευσθεὶς ἀὴρ προσπίπτῃ ἀθρόως τῇ καλουμένῃ τραχείᾳ ἀρτηρίᾳ καὶ τῇ ὑπερῴᾳ ἤτοι τῷ γαργαρεῶνι, καὶ διὰ τῆς πληγῆς ἀποτελῇ τινὰ ἦχον αἰσθητὸν κατά τινα ὁρμὴν τῆς ψυχῆς· ὅπερ ἐπὶ τῶν ἐμπνευστῶν παρὰ τοῖς μουσικοῖς καλουμένων ὀργάνων συμβαίνει, οἷον αὐλῶν καὶ συρίγγων, τῆς γλώττης καὶ τῶν ὀδόντων καὶ χειλέων πρὸς μὲν τὴν διάλεκτον ἀναγκαίων ὄντων, πρὸς δὲ τὴν ἁπλῶς φωνὴν οὐ πάντως συμβαλλομένων... τὸ δὲ "κατὰ συνθήκην" χωρίζει αὐτὸ (τὸ ὄνομα) τῶν φύσει σημαντικῶν φωνῶν· τοιαῦται δέ εἰσιν αἱ τῶν ἀλόγων ζῴων φωναί.

§ 27. ἀλλ' ἐπεὶ ταῦτα πάντα κοινά ἐστι τῷ ὀνόματι πρὸς 16a 20. τὸ ῥῆμα (κἀκεῖνο γὰρ φωνὴ σημαντικὴ κατὰ συνθήκην), προστίθεται τὸ "ἄνευ χρόνου" πρὸς διάκρισιν τῶν ῥημάτων. τὸ δὲ ἄνευ χρόνου οὐ τοῦτο σημαίνει τὸ μηδέποτε μηδαμῶς χρόνον σημαίνειν, ἀλλὰ τὸ μὴ προσσημαίνειν χρόνον. καλῶς οὖν ὁ φιλόσοφος Πορφύριος ἐπεσημήνατο ὀνόματα μὲν τὸ σημερινὸν καὶ χθεσινὸν καὶ περυσινὸν χρόνου δηλωτικὰ ὄντα, ἀλλ' ὡς αὐτόθεν σημαίνοντα χρόνον τινὰ καὶ οὐχὶ προσσημαίνοντα, καθάπερ τὰ ῥήματα· τούτων γὰρ ἕκαστον προηγουμένως μὲν ἐνέργειάν τινα ἢ πάθος σημαίνει, κατὰ δεύτερον δὲ λόγον καὶ τὸν χρόνον καθ' ὃν ἐνεργεῖν ἢ πάσχειν συμβέβηκεν, ὥσπερ τὸ περιπατῶ πρώτως μὲν τὴν τοιάνδε τοῦ σώματος κίνησιν δηλοῖ, δευτέρως δέ γε τὸν νῦν χρόνον. διὸ καὶ προσσημαίνειν τὸν χρόνον ῥηθήσεται τὰ ῥήματα ἐν τοῖς περὶ αὐτῶν λόγοις, ὡς ἂν πρὸς τῷ ἕτερόν τι προηγουμένως σημαίνειν ἔχοντα καὶ τὴν τοῦ χρόνου μήνυσιν ὥσπερ ἑπομένην.

§ 27 b. τὸ δὲ "ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον" τῶν ἐκ πλειόνων ὀνομάτων συμπεφορημένων φωνῶν διακρίνει τὸ ὄνομα, ὡς ὅταν εἴπω ζῷον λογικὸν θνητόν· τῷ γὰρ τοιούτῳ λόγῳ ἀτελεῖ πρὸς ἀπόφανσιν ὄντι πάντα τὰ ἄλλα ἐφαρμόσει. διαφέρουσι δὲ τὰ ὀνόματα τῶν τοιούτων λόγων, ὅτι τούτων μὲν τὰ μέρη σημαντικά ἐστι καθ' ἑαυτὰ λεγόμενα, τὸ ζῷον, τὸ λογικόν, τὸ θνητόν, τῶν δὲ ὀνομάτων οὐδαμῶς τὰ μέρη σημαίνει, καθάπερ ἡ αν συλλαβὴ ἐπὶ τοῦ ἄνθρωπος ὀνόματος, ἀλλὰ συσσημαίνειν μὲν λέγεται τοῖς ἄλλοις τοῦ ὀνόματος συνταττομένη μέρεσιν, οὐ μέντοι σημαίνειν.

§ 28. ἐπὶ γοῦν τοῦ Κάλλιππος ὀνόματος τὸ ἵππος οὐδαμῶς ση- 16a 21. μαίνει τὸ τοιόνδε ζῷον (*). καὶ ταῦτα ἐν τῷ καλὸς ἵππος λόγῳ σημαντικὸν αὐτοῦ τυγχάνον· οὐδὲ ἐν τῷ ἐπακτροκέλης, ὅπερ ἐστὶ νεὼς ὄνομα λῃστρικῆς, τὸ κέλης· οὐδὲ ἐπ' ἄλλου τῶν τοιούτων οὐδενός· ἁπλῶν γάρ εἰσι νοημάτων σημαντικὰ τὰ τοιαῦτα ὀνόματα.

(*) *Leo Magent.* φίλε οὖν ἡμεῖς ἑκάστην λέξιν καταλεπτολογήσωμεν. καλῶς εἶπε φωνὴ καὶ οὐ ψόφος... κινδυνεύει τοίνυν ταῦτα τὰ ἐπιχειρήματα, ὅτι τὸ ὄνομα τοῦ ὀνομαζομένου ἐστὶν ὄνομα καὶ ὑπὸ τὰ πρός τι ἀνάγεται... διὸ οἱ μὲν φύσει ἔλεγον τὰ ὀνόματα ὡς τῆς φύσεως ὄντα δημιουργήματα καὶ ὡς προσφόρως τῇ τοῦ πράγματος φύσει τιθέμενα. καὶ πάλιν οἱ μὲν θέσει ἔλεγον τὰ ὀνόματα, διὸ ἐξὸν ἑκάστῳ ἕκαστον πρᾶγμα ὀνομάζειν ὡς βούλεται· οἱ δὲ ὅτι ὑπὸ τοῦ τεθέντος τοῦ ἐπισταμένου τὴν φύσιν τῶν πραγμάτων προσφόρως ἐπιτίθενται· τὸν μὲν γὰρ ἥλιον ἀρρενικῶς ἐκάλεσε, τὴν δὲ σελήνην θηλυκῶς, διότι ὁ μὲν φωτίζει, ἡ δὲ ἀπολαύει τοῦ ἐκείνου φωτός· καὶ τὸν νοῦν δὲ ἀρρενικῶς, τὴν δὲ ψυχὴν θηλυκῶς, ὡς τὸν μὲν ἐλλάμποντα αὐτήν, τὴν δὲ ἐλλαμπομένην· καὶ τοὺς ποταμοὺς ἀρρενικῶς, τὴν δὲ θάλασσαν θηλυκῶς, διότι πάντας εἰσδέχεται εἰσρέοντας εἰς αὐτήν.

(*) *M. Ephes.* οἷον τὸ Κάλλιππος ἀστρονόμου τινὸς ὄνομα, ὃς καὶ περὶ τῆς ἀνωτάτω σφαίρας ἔγραψε.

ὅλως τὸ θέσει οὐ τῇ φωνῇ ἁπλῶς προσήκει, ἀλλ' ὀνόματι καὶ ῥήματι.

16a 4. f. 20. ἀλλὰ τὸ ἐφεξῆς τί ποτε βούλεται, τὸ μὴ εἰρῆσθαι τὰ στοιχεῖα σύμβολα εἶναι τῶν ἐν τῇ φωνῇ μήτε τὰ γράμματα, ἀλλὰ τὰ γραφόμενα (*); λέγομεν οὖν ὅτι τριχῶς, ὅπερ εἴρηται, καὶ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων λεγομένων, τῶν νοουμένων τῶν ἐκφωνουμένων τῶν γραφομένων, τά τε ἐκφωνούμενα σύμβολα εἶναι τίθεται τῶν νοουμένων καὶ τὰ γραφόμενα τῶν ἐκφωνουμένων. καὶ οὕτω μέν, εἴ τις ὡς περὶ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων ἐκδέχοιτο τὸ λεγόμενον· εἰ δὲ ἐπὶ πᾶσαν ἁπλῶς λέξιν ἐκτείνεσθαι τὴν θεωρίαν ἀξιοῖ, ῥητέον ὅτι γράμματα καὶ στοιχεῖα λέγεται μὲν καὶ ὁ γραφόμενος ἑκάστου τῶν στοιχείων τύπος, λέγεται δὲ καὶ ἡ ἐκφώνησις καθ' ἣν ἕκαστον φθεγγόμεθα. καὶ λέγεται μὲν ἐπ' ἀμφοτέρων ἑκάτερον τῶν ὀνομάτων, ἀλλὰ τὸ μὲν τοῦ γράμματος ὄνομα προηγουμένως τὸν δι' αὐξήσεως ἀποτελούμενον χαρακτῆρα σημαίνει, τὸ δὲ τοῦ στοιχείου τὴν ἐκφώνησιν, διὰ τὸ ἔχειν στοῖχόν τινα καὶ τάξιν, φησὶν ὁ Διονύσιος. ἀλλ' ἡ μὲν ἐκφώνησις οὐκ ἂν λέγοιτο σύμβολον εἶναι τοῦ ὀνόματος ἀλλὰ μέρος, ὁ μέντοι χαρακτὴρ διὰ τὸ ἐπὶ τῆς αὐτῆς ἐκφωνήσεως ἄλλως ἐπινοεῖσθαι καὶ ἄλλως εἰκότως ἂν εἶναι σύμβολον λέγοιτο. διὰ τοῦτο οὖν οὔτε στοιχεῖα εἶπεν οὔτε γράμματα, ἐπειδὴ τῶν ὀνομάτων τούτων ἑκάτερον φέρεται καὶ ἐπὶ τῆς ἐκφωνήσεως, τὸ μὲν κυριώτερον, τὸ τοῦ στοιχείου, τὸ δὲ κοινότερον, τὸ τοῦ γράμματος, ἀλλὰ τὰ γραφόμενα, ἵνα φανερώτερον ᾖ τὸ λεγόμενον τοὺς τύπους τῶν στοιχείων σημαῖνον. εἶτα τὴν αἰτίαν ἑξῆς ἐπιφέρει τοῦ σύμβολα εἰρῆσθαι τάς τε φωνὰς τῶν νοημάτων καὶ τὰ γράμματα τῶν φωνῶν, καὶ θέσει εἶναι ἄμφω, τάς τε φωνὰς καὶ τὰ γράμματα· τοῦτο δέ ἐστι τὸ μηδέτερα αὐτῶν παρὰ πᾶσιν εἶναι τὰ αὐτά· φησὶ γὰρ καὶ ὥσπερ οὐδὲ γράμματα παρὰ πᾶσι τὰ αὐτά, οὕτως οὐδὲ φωναὶ αἱ αὐταί. καὶ ἅμα διὰ τούτου δῆλον ἐποίησεν ὅτι διὰ τὴν χρείαν τῶν φωνῶν καὶ τὰ γράμματα μνήμης ἠξίωσεν ὡς προφανέστερον ἔχοντα τὸ θέσει, καὶ δηλοῦντα ἡμῖν ὅπως καὶ αἱ φωναὶ κατὰ τὴν πρὸς αὐτὰ ὁμοιότητα λέγοιντο ἂν εἶναι σύμβολα τῶν νοημάτων, ὡς ταῦτα τῶν φωνῶν. τοῦτο δὲ προστίθησι, τὸ περὶ τῶν νοημάτων καὶ τῶν πραγμάτων, ὅτι τούτων ἑκάτερον φύσει, διὰ τὸ τὰ αὐτὰ εἶναι παρὰ πᾶσι. λέγει γὰρ "ὧν μέντοι ταῦτα σημεῖα πρώτως," ταῦτα λέγων τὰ ἐν τῇ φωνῇ, τουτέστι τά τε ὀνόματα καὶ τὰ ῥήματα· ὧν οὖν πρώτως ταῦτα σημεῖά ἐστι (λέγει δὲ τῶν νοημάτων· σημαίνεται γὰρ ὑπ' αὐτῶν καὶ τὰ πράγματα, οὐ μέντοι προσεχῶς ἀλλὰ διὰ μέσων τῶν νοημάτων· τὰ μέντοι νοήματα οὐκέτι διὰ μέσων ἄλλων σημαίνεται, ἀλλὰ πρώτως καὶ προσεχῶς) — ὧν τοίνυν πρῶτον σημεῖόν ἐστι τὰ ἐν τῇ φωνῇ, τουτέστι σημαντικά, ὡς σύμβολα ὄντα, ταῦτα νοήματά ἐστι, παθήματα ὄντα τῆς ψυχῆς καὶ ὄντα παρὰ πᾶσι τὰ αὐτά, διὸ καὶ φύσει. τὸ μὲν οὖν ΤΑΥΤΑ ἐν τῷ "ΤΑΥΤΑ πᾶσι παθήματα ὄντα τῆς ψυχῆς" ὀξυτόνως ἀναγνωστέον (*). καὶ ὧν ταῦτα, φησίν, ὁμοιώματα (ταῦτα δὲ λέγει τὰ παθήματα τῆς ψυχῆς), ὧν οὖν τὰ παθήματα τῆς ψυχῆς ὁμοιώματά ἐστιν (τίνων δέ ἐστιν ὁμοιώματα; ἢ δηλονότι τῶν πραγμάτων), — ταῦτα πράγματά ἐστι, φησίν, ὄντα παρὰ πᾶσι τὰ αὐτά. διὸ καὶ ἐνταῦθα τὸ ΤΑΥΤΑ ἐν τῷ "πράγματα ἤδη ΤΑΥΤΑ" ὀξυτόνως ἀναγνωστέον, καὶ οὐ προπερισπωμένως, ὥσπερ Ἑρμῖνος, ἵνα τελεία φαίνηται τοῦ Ἀριστοτέλους ἡ διδασκαλία, τά τε γράμματα καὶ τὰς φωνὰς ἀπὸ τοῦ μὴ παρὰ πᾶσιν εἶναι ταὐτὰ θέσει εἶναι κατασκευάζουσα, καὶ τὰ νοήματα καὶ τὰ πράγματα φύσει ἀπὸ τοῦ τὰ αὐτὰ εἶναι παρὰ πᾶσιν.

f. 23. διόπερ ὁ Ἀριστοτέλης οὕτως εἶπε "περὶ σύνθεσιν καὶ 16a 12. διαίρεσιν τὸ ἀληθές καὶ τὸ ψεῦδος," σύνθεσιν μὲν καλῶν τὴν κατάφασιν διαίρεσιν δὲ τὴν ἀπόφασιν, εἴτε ἐν ψυχικαῖς ἐπινοίαις εἴτε ἐν προφορικοῖς λόγοις θεωροῖντο. ἡ μὲν οὖν ἀλήθεια καὶ τὸ ψεῦδος πάντως περὶ σύνθεσιν ἢ διαίρεσιν, οὐ μέντοι πᾶσα σύνθεσις ἢ διαίρεσις θατέρου τούτων ἐστὶ δεκτική· καὶ γὰρ ὁ εὐχόμενος ἢ ἄλλῳ τινὶ λόγῳ παρὰ τὸν ἀποφαντικὸν χρώμενος συντίθησιν ὀνόματά τε καὶ ῥήματα, μηδὲν μήτε ἀληθὲς μήτε ψεῦδος λέγων· ἀλλὰ δεῖ τὴν σύνθεσιν ἢ τὴν διαίρεσιν ὑπαρκτικὴν εἶναι, τουτέστι δηλωτικὴν τοῦ ἄλλο ἄλλῳ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ὅπερ περὶ μόνον τὸν ἀποφαντικὸν θεωρεῖται λόγον. οὐ μὴν οὐδὲ κατὰ τὸν ἀποφαντικὸν λόγον ἡ τυχοῦσα τῶν ὀνομάτων πρὸς τὰ ῥήματα συμπλοκὴ τέλειον ποιήσει τὸν λόγον, τουτέστιν ἀληθῆ ἢ ψευδῆ· ἀμέλει αἱ τοῦ ὀνόματος πτώσεις τῷ ἐστι συμπλεκόμεναι οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδος σημαίνουσιν, ἀλλ' ἤτοι ἡ τοῦ ἐστι συμπλοκὴ πρὸς τὰ κατὰ τὴν εὐθεῖαν λεγόμενα ὀνόματα, ἢ ἐν ταῖς πλαγίαις ἡ πρὸς τῷ κατηγορουμένῳ συμφόρησις τῶν ἀρκούντων πρὸς γένεσιν αὐτοτελοῦς λόγου, ὡς ὅταν εἴπωμεν Σωκράτους ἐστὶ τὸ βιβλίον. δῆλον οὖν ὅτι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος περὶ μόνον τὸν ἀποφαντικὸν λόγον θεωρεῖται καὶ τὰ τούτου εἴδη, τήν τε κατάφασιν καὶ τὴν ἀπόφασιν, ὑπὲρ ὧν πρόκειται νῦν αὐτῷ πραγματεύσασθαι. ὥστε μάλιστα κατορθοῖ ἡ τοῦ Ἀφροδισιέως ἐξήγησις πρὸς τοῦτο λέγουσα τείνειν τὴν παραδοθεῖσαν τῶν πραγμάτων καὶ τῶν νοημάτων καὶ τῶν φωνῶν θεωρίαν. ταῦτα μὲν οὖν ταύτῃ· δεῖ δὲ ἐφιστάνειν ὅτι μὴ πᾶσαν ἀλήθειαν ὁ φιλόσοφος περὶ σύνθεσιν

ῥῆμα. καὶ σημεῖον τούτου ὅτι ἐπὶ μὲν τῶν βομβῶν ἔστιν εὑρεῖν φωνήν, οὐκέτι δὲ ἔναρθρον καὶ ἢ ὄνομα ἢ ῥῆμα.

(*) *Boëth.* II p. 290: unde illud quoque ab Aristotele fluentes Peripatetici rectissime posuere, tres esse orationes, unam quae scribi possit elementis, alteram quae voce proferri, tertiam quae cogitatione connectitur.

(*) *Boëth.* II p. 294: sed hic duplex lectio est: Alexander enim hoc modo legi putat oportere "quorum autem hac primo notae, eaedem omnibus passiones animae sunt, et quorum eaedem similitudines, res etiam eadem." (vulgo "q. — notae sunt, eaedem — et q. hae sim. sunt, res iam eaedem")... Herminus vero huic est expositioni contrarius, et magis hanc lectionem veram putat, ut ita sit "quorum autem hae primo notae, hae omnibus passiones animae sunt; et quorum hae similitudines, res etiam eaedem." ut demonstrasse videatur, quorum voces significativae sint, vel quorum passiones animae similitudines... sed Porphyrius de utrisque acute subtiliterque iudicat et Alexandri sententiam magis probat. cf. I p. 211.

δεεστέρων τὴν ἀρχὴν ποιησάμενος ὁ Ἀριστοτέλης ἄνεισιν ἐπὶ τὰ τελειότερα καὶ ἀπὸ τῶν μερικωτέρων ἐπὶ τὰ ὁλικώτερα.

16a 3. f. 15 b. ἦν μὲν ἀκόλουθον κατὰ τὰ ἐπηγγελμένα τοὺς ὁρισμοὺς ἑξῆς ἀποδοῦναι τοῦ ὀνόματος καὶ τοῦ ῥήματος· ἀλλ' ἐπεὶ οὐ πᾶσα λέξις ὄνομα ἢ ῥῆμα (ἡ γὰρ ἄσημος, οἷον βλίτυρι καὶ σκινδαψός οὐδέτερον τούτων) καὶ διαφέρουσι τὰ ὀνόματα καὶ τὰ ῥήματα τῶν ἀσήμων φωνῶν κατὰ τὸ σημαντικά τινων εἶναι, πρότερον ἡμᾶς ὁ Ἀριστοτέλης διδάσκει διὰ τούτων τίνα ἐστὶ τὰ προηγουμένως καὶ προσεχῶς ὑπ' αὐτῶν σημαινόμενα, καὶ ὅτι τὰ νοήματα, διὰ δὲ τούτων μέσων τὰ πράγματα (*), καὶ οὐδὲν ἕτερον δεῖν παρὰ ταῦτα ἐπινοεῖν μέσον τοῦ τε νοήματος καὶ τοῦ πράγματος, ὅπερ οἱ ἀπὸ τῆς Στοᾶς ὑποτιθέμενοι λεκτὸν ἠξίουν ὀνομάζειν. ταῦτά τε οὖν παραδοθήσεται διὰ τῶν νυνὶ λεγομένων, καὶ προηγουμένως ἐν τίσι τῶν ὁπωσοῦν ὄντων χρὴ ζητεῖν τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος, ὑπὲρ ὧν νῦν ἡμῖν ἡ σκέψις, πότερον ἐν τοῖς πράγμασιν ἢ τοῖς νοήμασιν ἢ ταῖς φωναῖς ἢ ἐν δύο τισὶ τούτων ἢ καὶ ἐν πᾶσι, καὶ εἰ ἐν φωναῖς, ποίαις ταύταις, πότερον τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν ἢ τοῖς ἐκ τούτων συγκειμένοις λόγοις. καὶ διορισθήσεται ὅτι τὰ μὲν ὀνόματα καὶ τὰ ῥήματα φωναί εἰσιν ἁπλαῖ, μήτε ἀλήθειαν μήτε ψεῦδος σημαίνουσαι, ὡς καὶ ἐν τοῖς προοιμίοις εἴρηται τῶν Κατηγοριῶν... τούτων οὕτως ἐχόντων, διαρθροῦντες ἡμεῖς τὰ ὑπὸ τοῦ φιλοσόφου παραδιδόμενα λέγομεν ὅτι τέτταρα ταῦτα παραλαμβάνει διὰ τούτων ὡς χρήσιμα πρὸς τὴν προκειμένην θεωρίαν, πράγματά τε καὶ νοήματα καὶ ἔτι φωνὰς καὶ γράμματα... τούτων δὲ τῶν τεττάρων τὰ μὲν δύο φύσει εἶναί φησιν ὁ Ἀριστοτέλης, τὰ δὲ δύο θέσει, φύσει μὲν τά τε πράγματα καὶ τὰ νοήματα, θέσει δὲ τάς τε φωνὰς καὶ τὰ γράμματα. διακρίνει δὲ τὰ φύσει τῶν θέσει κανόνι τοιούτῳ χρώμενος· τὰ παρὰ πᾶσι τὰ αὐτὰ ὄντα, φησί, ταῦτά ἐστι τῇ φύσει, τὰ δὲ μὴ παρὰ πᾶσι τὰ αὐτὰ ὄντα, ταῦτα οὐ φύσει εἰσὶν ἀλλὰ θέσει. καὶ τοῦτο εἰκότως... φωναῖς τε γὰρ ἄλλαις μὲν Ἕλληνες ἄλλαις δὲ Φοίνικες, Αἰγύπτιοι δὲ ἄλλαις χρῶνται· ἄλλη γὰρ ἄλλων γλῶσσα, φησὶν ἡ ποίησις (**)· καὶ γράφουσι πάλιν δι' ἄλλων καὶ ἄλλων γραμμάτων ἕκαστος τὰς ἑαυτῶν φωνάς... τὰ μὲν νοήματα ὁμοιώματα καλεῖ τῶν πραγμάτων, τὰς δέ γε φωνὰς οὐκ ἀξιοῖ καλεῖν ὁμοιώματα τῶν νοημάτων ἀλλὰ σύμβολα καὶ σημεῖα, καὶ τὰ γράμματα τῶν φωνῶν ὡσαύτως. διαφέρει δὲ τὸ ὁμοίωμα τοῦ συμβόλου, καθόσον τὸ μὲν ὁμοίωμα τὴν φύσιν αὐτὴν τοῦ πράγματος κατὰ τὸ δυνατὸν ἀπεικονίζεσθαι βούλεται, καὶ οὐκ ἔστιν ἐφ' ἡμῖν αὐτὸ μεταπλάσαι· τὸ γὰρ ἐν τῇ εἰκόνι γεγραμμένον τοῦ Σωκράτους ὁμοίωμα, εἰ μὴ καὶ τὸ φαλακρὸν καὶ τὸ σιμὸν καὶ τὸ ἐξόφθαλμον ἔχει τοῦ Σωκράτους, οὐκέτ' ἂν αὐτοῦ λέγοιτο εἶναι ὁμοίωμα. τὸ δέ γε σύμβολον ἤτοι σημεῖον (ἀμφότερα γὰρ ὁ φιλόσοφος αὐτὸ ὀνομάζει) τὸ ὅλον ἐφ' ἡμῖν ἔχει ἅτε καὶ ἐκ μόνης ὑφιστάμενον τῆς ἡμετέρας ἐπινοίας· οἷον τοῦ πότε δεῖ συμβάλλειν ἀλλήλοις τοὺς πολεμοῦντας δύναται σύμβολον εἶναι καὶ σάλπιγγος ἀπήχησις καὶ λαμπάδος ῥίψις, καθάπερ φησὶν Εὐριπίδης (Phoen. 1392) "ἐπεὶ δ' ἀφείθη πυρσὸς ὡς Τυρσηνικῆς σάλπιγγος ἦχος, σῆμα φοινίου μάχης." δύναται δέ τις ὑποθέσθαι καὶ δόρατος ἀνάτασιν καὶ βέλους ἄφεσιν καὶ ἄλλα μυρία (*).

f. 19. τοσαῦτα μὲν οὖν περὶ τῆς ὅλης τῶν λεγομένων ἐννοίας ἔχομεν γράφειν. ἄνωθεν δὲ πάλιν τοῖς διὰ τοῦ ῥητοῦ λεγομένοις παρακολουθοῦντες, καὶ ἐφιστάνοντες τοῖς ἐπιστάσεως ἀξίοις, λέγομεν πρῶτον μὲν ὡς οὔτε ἀπὸ τῶν πραγμάτων οὔτε ἀπὸ τῶν γραμμάτων ἤρξατο τῆς περὶ τούτων διδασκαλίας, ἀλλ' ἀπὸ τῶν φωνῶν, ὡς προκείμενον τοῦτο ἔχων ἐν τῇδε τῇ πραγματείᾳ τὸ ἐπισκέψασθαι τὰς κατὰ τὸν ἀποφαντικὸν λόγον κατηγορικὰς φωνάς. ἔπειτα ὅτι οὐκ εἶπεν "εἰσὶ μὲν οὖν αἱ φωναὶ τῶν ἐν τῇ ψυχῇ παθημάτων, τουτέστι τῶν νοημάτων σύμβολα," ἀλλὰ "τὰ ἐν τῇ φωνῇ," συνεχῆ ποιῶν τὴν ὅλην περὶ ὀνομάτων καὶ ῥημάτων διδασκαλίαν (**). εἰπὼν γὰρ ἐξ ἀρχῆς "δεῖ θέσθαι τί ὄνομα καὶ τί ῥῆμα," ἐπεὶ ταῦτά τε καὶ ὁ ἐξ αὐτῶν συγκείμενος λόγος τριχῶς θεωρεῖται, ἢ ἐν τῇ ψυχῇ κατὰ τὰ ἁπλᾶ νοήματα καὶ τὸν ἐνδιάθετον καλούμενον λόγον, ἢ ἐν αὐτῷ τῷ ἐκφωνεῖσθαι, ἢ ἐν τῷ γράφεσθαι (λέγομεν γὰρ καὶ τῶν γεγραμμένων τὸ μὲν εἶναι ὄνομα τὸ δὲ ῥῆμα τὸν δὲ λόγον) — ἐπεὶ τοίνυν τριχῶς, ὅπερ ἐλέγομεν, θεωρεῖται τὰ ὀνόματα καὶ τὰ ῥήματα, ἃ ἔφη δεῖν θέσθαι, ἢ ἐν τῷ νοεῖσθαι ἢ ἐν τῷ λέγεσθαι ἢ ἐν τῷ γράφεσθαι, διὰ τοῦτο οὕτως εἶπε, τὰ ἐν τῇ φωνῇ σύμβολα εἶναι τῶν ἐν τῇ ψυχῇ νοημάτων, ἃ παθήματα αὐτῆς εἶναί φησι, διὰ τὴν εἰρημένην κατ' ἀρχὰς αἰτίαν, καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ σύμβολα εἶναι πάλιν. ἢ οὖν τούτου χάριν οὕτω προήγαγε τὸν λόγον, "τὰ ἐν τῇ φωνῇ" εἰπών, ἢ μᾶλλον τοῦ ἐνδείξασθαι ὡς ἄλλο ἐστὶ φωνὴ εἰπεῖν καὶ ἄλλο ὄνομα ἢ ῥῆμα (***), καὶ ὡς τὸ σύμβολον εἶναι καὶ

(*) *Boëth.* II p. 289: intellectus vero ipsi nihil aliud nisi rerum significativi sunt: antiquiores vero, quorum est Plato Aristoteles Speusippus et Xenocrates, hi inter res et significationes intellectuum medios sensus ponunt in sensibilibus rebus, vel imaginationes quasdam, in quibus intellectus ipsius origo consistat. et nunc quidem quid de hac re Stoici dicunt, praetermittendum est... *Id. ib.* p. 292: et imaginationem Stoici a rebus in animam translatam loquuntur, sed cum adiectione semper, dicentes ut in anima fieri consuevit.

(**) *M. Ephes.* ἄλλοις γὰρ ὀνόμασι καὶ ῥήμασι καὶ γραμμάτων χαρακτῆρσι χρῶνται Ἰνδοί, ἄλλοις Αἰγύπτιοι καὶ ἄλλοις Ἕλληνες... ὁ Ἀλέξανδρος ἐνίσταται λέγων ὅτι πῶς τὰ νοήματα παρὰ πᾶσι τὰ αὐτά; περὶ γὰρ τῶν αὐτῶν πραγμάτων διάφορά εἰσι νοήματα παρ' ἡμῖν. καί φαμεν πρὸς τοῦτο ὅτι ἐκ πάντων τῶν διαφόρων νοημάτων τὸ ἀληθὲς μόνον ἐν αὐτοῖς καλοῦμεν κυρίως νόημα. cf. *Boëth.* II p. 294.

(*) *Anon. Coislin.* οἷον σύμβολόν ἐστι καὶ σημεῖον εἰρήνης ἢ πολέμου τὸ τοιῶσδε ἢ τοιῶσδε ἀνατεῖναι τὸ δόρυ καὶ σαλπίσαι. καὶ παρὰ μὲν ἡμῖν εἰρήνης σημεῖον τὸ ἀσπάζεσθαι ἀλλήλους, παρὰ δὲ Σαρακηνοῖς τὸ κρατῆσαι ἀλλήλων τῆς δεξιᾶς χειρός.

(**) *Boëth.* II p. 291: quaerit vero Porphyrius cur ita dixerit "sunt ergo ea quae sunt in voce," et non sic "sunt ergo voces;" et rursus cur ita "et ea quae scribuntur," et non dixerit "et literae." . quod resolvit hoc modo... p. 292: sed Porphyrius de utraque expositione iudicavit dicens etc.

(***) *Leo Magent.* αἱ γὰρ φωναὶ φύσει, οὐχὶ δὲ τὸ ὄνομα καὶ τὸ

ματα. τὰ δέ γε ἐν μηδετέραις χώραις τούτων παραλαμβανόμενα, κἂν ἄλλως προσκέωνται ταῖς προτάσεσι, τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἢ πότε ἢ πῶς ἢ ποσάκις ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ σημαίνοντα, ἤ τινα ἄλλην αὐτῶν πρὸς ἄλληλα σχέσιν, οὐδὲ κυρίως ἀξιοῖ μέρη τοῦ λόγου καλεῖν. ὥσπερ γὰρ τῆς νεὼς αἱ μὲν σανίδες εἰσὶ τὰ κυρίως μέρη, γόμφοι δὲ καὶ λίνος καὶ πίττα συνδέσεως αὐτῶν καὶ τῆς τοῦ ὅλου ἑνώσεως ἕνεκα παραλαμβάνονται, τὸν αὐτὸν τρόπον καὶ τῷ λόγῳ σύνδεσμοι καὶ ἄρθρα καὶ προθέσεις καὶ αὐτὰ τὰ ἐπιρρήματα γόμφων τινῶν χρείαν ἀποπληροῦσι· μέρη δὲ οὐκ ἂν λέγοιτο δικαίως ἅ γε μὴ δύναται συντεθέντα καθ' ἑαυτὰ πλείω ἐργάσασθαι λόγον. λόγου μὲν οὖν ταῦτα οὐ μέρη, λέξεως δὲ μέρη, ἧς καὶ ὁ λόγος αὐτὸς μέρος, καθάπερ ἐν τοῖς περὶ ποιητικῆς (c. 20) εἴρηται... διαφέρει δὲ ὁ λόγος τῆς λέξεως, ὅτι ὁ μέν ἐστι πλήρωμα προηγουμένως τῶν σημαινουσῶν τὰ πράγματα φωνῶν, ἡ δὲ πασῶν ἁπλῶς τῶν παραλαμβανομένων εἰς τὴν διαλεκτικήν. ἔχεις δὲ τοῦ λόγου τὴν πρὸς τὴν λέξιν διαφορὰν καὶ ὑπὸ Πλάτωνος ἐν τῷ τρίτῳ τῆς Πολιτείας (p. 392) παραδεδομένην, ἐν οἷς φησὶ "τὰ μὲν δὴ λόγου πέρι ἐχέτω τέλος, τὰ δὲ λέξεως μετὰ τοῦτο σκεπτέον, καὶ ἡμῖν ἅ τε λεκτέον καὶ ὡς λεκτέον παντελῶς ἐσκεμμένον ἔσται." δι' ὧν δῆλός ἐστι λόγον μὲν τὴν διάνοιαν καλῶν, λέξιν δὲ τὴν ἀπαγγελίαν, εἴτε διὰ τῶν ἀναγκαιοτάτων γίνοιτο μερῶν, ὀνόματός τε καὶ ῥήματος, καθ' ἣν ὁ ἐν προφορᾷ καὶ ἰδίως λεγόμενος θεωρεῖται λόγος, εἴτε καὶ τὰ λοιπὰ μέρη παραλαμβάνοι τοῦ κοινότερον λεγομένου λόγου, ταὐτὸν δὲ εἰπεῖν τῆς πρὸς κάλλος ἤδη καὶ ποιὰν σύνταξιν ἀποβλεπούσης ἑρμηνείας. τῷ μὲν οὖν ἀπὸ τῆς Ἀφροδισιάδος ἐξηγητῇ δοκεῖ καὶ τὰ ἐπιρρήματα ὀνόματα εἶναι, καθάπερ καὶ τὰς ἀντωνυμίας καὶ τὴν καλουμένην παρὰ τοῖς γραμματικοῖς προσηγορίαν· οὐ μέντοι φαίνεται τοῦτο λόγον τινὰ ἔχειν, διότι τὰ μὲν τῶν ἐπιρρημάτων οὐδ' ἂν ὑποπτευθείεν ὀνόματα εἶναι... ὥστε τὸ μὲν μέρος τῆς ἀποφάνσεως ἢ ὄνομα πάντως ἢ ῥῆμα εἶναι χρή. οὐ μέντοι τὸ ῥῆμα πάντως ἐστὶ τῆς προτάσεως μέρος, ὅταν μὴ αὐτόθεν τοῦ ὑποκειμένου κατηγορῆται ὡς ἐνέργειαν ἢ πάθος ἢ ἁπλῶς ὕπαρξιν ἢ ἀνυπαρξίαν τοῦ ὑποκειμένου σημᾶναι ὀφεῖλον, ἀλλ' ἕνεκα τοῦ συναρμόσαι τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ παραλαμβάνηται. ὅτι δὲ ταῦτα ὀρθῶς λέγομεν, δῆλον καὶ ἐξ αὐτῆς τῆς προσηγορίας τῶν ἄλλων τοῦ λόγου μερῶν λεγομένων παρὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα. τὴν μὲν γὰρ ἀντωνυμίαν ὡς ὄνομα οὖσαν οὐ φύσεων τινῶν ἀλλὰ προσώπων ἁπλῶς οὕτως ἐπονομάζουσι, καὶ τὴν μετοχὴν ὡς μετέχουσαν ἀμφοτέρων, ὀνόματός τε φημὶ καὶ ῥήματος, εἰ καὶ μᾶλλον ἀποκλίνει πρὸς τὴν ἰδιότητα τῶν ῥημάτων, χρόνων τινῶν οὖσα δηλωτική, τὸ δὲ ἄρθρον ὡς συναρτώμενον τοῖς ὀνόμασι καὶ τὴν ἀναφορὰν πρὸς ἐκεῖνα ἔχον. περὶ δὲ προθέσεως ἢ ἐπιρρήματος ἢ συνδέσμου τί δεῖ καὶ λέγειν; ὧν τὴν μὲν ὡς ὁμοίως ὀνομάτων τε καὶ ῥημάτων προταττομένην οὕτως ἐπονομάζουσι, τὸ δὲ ὡς τοιῶσδε τοῖς ῥήμασι συμπλεκόμενον, τὸν δὲ ὡς τοὺς ἀπηρτισμένους συνδέοντα λόγους. εὑρήσεις δὲ ἔν τισι τὸν Ἀριστοτέλην συγχωρεῖν δοκοῦντα καὶ τὰ πάντα κοινότερον μέρη τοῦ λόγου προσαγορεύεσθαι, διόπερ ἐν τῷ ἑξῆς ἐρεῖ τινὰ τῶν μερῶν τοῦ λόγου σημαντικὰ εἶναι ὡς ὄντων τινῶν καὶ ἀσήμων, εἰ μή τις ἡμῖν φανείη τῆς ῥήσεως ἐκείνης προσεχεστέρα ἐξήγησις οὐδὲν ἐναντίον ἔχουσα τοῖς νῦν εἰρημένοις.

f. 14. ἐζήτηται δὲ παρὰ τοῖς ἐξηγηταῖς τοῦ Ἀριστοτέλους τίνα τρόπον διαιρεῖται ἡ ἀπόφανσις εἰς τὴν κατάφασιν καὶ εἰς τὴν ἀπόφασιν. καὶ οἱ μὲν εἵλοντο λέγειν αὐτὴν ὡς φωνὴν ὁμώνυμον εἰς διάφορα σημαινόμενα διαιρεῖσθαι, καθάπερ ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος, οἱ δὲ ὡς γένος εἰς εἴδη, καθάπερ ὁ φιλόσοφος Πορφύριος (*). οὐδεὶς γὰρ ἐτόλμησεν εἰπεῖν διαιρεῖσθαι αὐτὴν ὡς ὅλον εἰς μέρη, ἐπείπερ οὔτε εἰς ὁμοιομερῆ ὡς ὅλον φαίνεται διαιρουμένη (πολλὴ γὰρ ἡ διαφορὰ τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν) οὔτε εἰς ἀνομοιομερές· οὐ γὰρ ἂν ἑκάτερον τῶν μερῶν ἐκαλεῖτο τῷ τοῦ ὅλου ὀνόματι. τὸ μὲν οὖν ἀληθὲς ὅπῃ ἔχει, καὶ ὡς ἡ τοῦ φιλοσόφου κρατεῖ Πορφυρίου δόξα, προϊόντες κατὰ καιρὸν ἐπιδείξομεν, ἐξηγούμενοι τοὺς ἀποδιδομένους αὐτῶν παρὰ τοῦ Ἀριστοτέλους ὁρισμούς... εἰ δέ τις ἀπορείη πῶς οὐχὶ καὶ τὸ τοῦ λόγου γένος, ἡ φωνή, διὰ τὴν αὐτὴν αἰτίαν μνήμης ἠξίωται ὡς ὀφεῖλον καὶ αὐτὸ δι' ὁρισμοῦ δηλωθῆναι, ῥητέον ὅτι φυσιολογίᾳ προσῆκον ἦν περὶ φωνῆς διαλεχθῆναι, διότι μόνης φύσεώς ἐστιν ἔργον ἡ φωνή, καθάπερ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν· φύσει γάρ ἐσμεν φωνητικοί, λόγος δὲ καὶ ἀπόφανσις καὶ τὰ ταύτης εἴδη, κατάφασις καὶ ἀπόφασις, φωναὶ μέν τινές εἰσιν, ἀλλὰ προσλαβοῦσαι τὸ ἀπὸ τῆς ἡμετέρας ἐννοίας εἰδοποιεῖσθαι καὶ τοίως ἢ τοίως προφέρεσθαι. διὸ καὶ ἰδίᾳ τις ἀπονενέμηται αὐτοῖς πραγματεία παρὰ τὰς φυσικάς, ἡ λογικὴ κεκλημένη, ὥστε μηδὲ ἁπλῶς εἶναι τὴν φωνὴν τοῦ λόγου, ὥσπερ τινὲς ὑπολαμβάνουσι, γένος· οὐ γὰρ οἷόν τε ἦν τοῦ γένους φύσει ὄντος τὸ εἶδος μὴ εἶναι φύσει. ἀλλ' εἴπερ ἄρα, τῆς κατὰ τὸν λόγον φωνῆς τὴν ἁπλῶς φωνὴν ῥητέον γένος εἶναι, πρὸς μέντοι τὸν λόγον αὐτὸν ἐν ὕλης τάξει παραλαμβάνεσθαι τὴν φωνὴν ἐροῦμεν, ὅπερ καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῷ πέμπτῳ τῶν περὶ Γενέσεως ζῴων ἀποφαίνεται (c.7 p.786 *b* 21), τὰς κατὰ τὴν φωνὴν διαφορὰς τῶν ζῴων ἐπισκεπτόμενος. ἀλλ' οὐ γένος αὐτοῦ τυγχάνει, ὡς διὰ τῶν ἑξῆς ἔσται σαφέστερον. τὸν δέ γε ζητοῦντα τί οὖν τοῦ λόγου τὸ γένος; ἀναμιμνήσκεσθαι χρὴ τῆς ἐν Κατηγορίαις παραδεδομένης τοῦ ποσοῦ διαιρέσεως. προσεκτέον δὲ (**) ὡς ἐν τοῖς τέτταρσι τοῖς ἀπηριθμημένοις ἐκ τῶν κατα-

---

(*) *Boëth.* II p. 286: Porphyrius ait sese docuisse species enuntiationis esse affirmationem et negationem, in his commentariis quos in Theophrastum edidit... p. 287: mihi quoque videtur quod Porphyrii sit sequenda sententia, ut affirmatio et negatio communi enuntiationis genere supponantur. *Ioannes philosophus:* τὴν μὲν ἀπόφανσιν ὡς γένος ἔλαβε, τὰ δὲ λοιπὰ ὡς διαφοράς. ἐκίνησε δὲ τοῦτο ἐπειδὴ τὰ γένη συνωνύμως κατηγοροῦνται τῶν οἰκείων εἰδῶν. συνωνύμως δέ ἐστιν ὅταν τὸ γένος τοῦ οἰκείου ὀνόματος καὶ τοῦ ὁρισμοῦ μεταδιδῶσι τῷ αὐτῷ εἴδει. εἰ δὲ οὐ δοκεῖ τοῦτο τῷ Πορφυρίῳ, οὐδὲν θαυμαστόν· ἔοικε γὰρ οὗτος, ὥσπερ ἐν ἄλλοις, οὕτως καὶ ἐν ταύτῃ τῇ ἐξηγήσει πολὺ διαμαρτῆσαι τοῦ δέοντος, ὃν εὐχόμενοι σὺν θεῷ φαμὲν ἐλέγξαι.

(**) *Boëth.* II p. 287: Syrianus vero, cui Philoxenus cognomen est, hoc loco quaerit cur proponens prius de negatione, post de affirmatione pronuntiaverit.

τέσσαρα τοίνυν ἐναργῶς αὐτοῦ τμήματα διαιρουμένου, τὸ μὲν πρῶτόν ἐστι περὶ τῶν ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου. καλῶ δὲ ἀρχὰς τοῦ ἀποφαντικοῦ λόγου τὰ συμβαλλόμενα πρὸς τὴν τούτου διδασκαλίαν, ὥσπερ ἀρχὰς ἂν εἴποις γεωμετρίας τούς τε ὅρους καὶ τὰ αἰτήματα καὶ τὰς καλουμένας κοινὰς ἐννοίας, ἅπερ ὁ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις (p. 14 a 39) στοιχεῖα τῶν διαγραμμάτων προσαγορεύειν ἠξίωσεν... τὸ δὲ δεύτερον τοῦ βιβλίου κεφάλαιον παραδίδωσιν ἡμῖν τὰς ἁπλουστάτας προτάσεις, καὶ ἔσται περὶ προτάσεως ἤτοι ἀποφάνσεως ἐξ ὑποκειμένου καὶ κατηγορουμένου· τὸ δὲ τρίτον τὰς τούτων συνθετωτέρας διὰ τὴν τοῦ προσκατηγορουμένου προσθήκην, καὶ ἔσται περὶ προτάσεως ἤτοι ἀποφάνσεως ἐξ ὑποκειμένου καὶ κατηγορουμένου καὶ τρίτου προσκατηγορουμένου· τὸ δὲ τέταρτον τὰς μετὰ τρόπου προτάσεις. τοῦτον οὖν τὸν τρόπον πᾶσι τοῖς εἴδεσι τῶν προτάσεων ἐπεξελθὼν ὁ Ἀριστοτέλης, καὶ ἀποφήνασθαι θαρρήσας ὡς οὐκ εἰσὶ πλείους τούτων ἀντιφάσεις, πέρας ἐπιτίθησι τῇ πραγματείᾳ βραχύ. πρὸς δὲ αὐτῷ τῷ συμπεράσματι τοῦ βιβλίου γυμνασθήσεταί τι παρὰ ταῦτα πρόβλημα, οἰκεῖον καὶ αὐτὸ τῇ προκειμένῃ θεωρίᾳ. Τούτων οὖν προειλημμένων ὥρα λοιπὸν ἡμῖν ἐπὶ τὴν ἐξήγησιν τῆς λέξεως χωρεῖν, ἣν συνεστραμμένην οὖσαν ἐμφάσεώς τε καὶ πολυνοίας γέμουσαν, καὶ ὑπὸ βραχείας παραλλαγῆς ἅπαν ἐνίοτε τὸ νόημα ἐξαλλάττουσαν, καὶ ἐν πολλοῖς τῶν ἀντιγράφων ἤδη τοῦτο πεπονθυῖαν, ἅπασαν ἑξῆς ἐδοκιμάσαμεν παραθέσθαι πρὸς διάγνωσιν τῆς ἀκριβεστέρας εἶναι δοκούσης ἐκδόσεως.

16a 1. f. 9. πρόκειται μέν, ὡς ἐλέγομεν, τῷ Ἀριστοτέλει παραδοῦναι ἡμῖν τὴν διδασκαλίαν τοῦ ἀποφαντικοῦ λόγου· ἐπεὶ δὲ πᾶσα ἀπόφανσις ἐξ ὀνομάτων καὶ ῥημάτων ἔχει τὴν γένεσιν, ὡς ὅταν εἴπω Σωκράτης περιπατεῖ, δεῖ δὲ πανταχοῦ τὰ ἁπλούστερα προγινώσκεσθαι τῶν ἐξ αὐτῶν συγκειμένων, διὰ δὴ τοῦτο πρεπωδεστάτην ἀρχὴν ποιεῖται τῆς πραγματείας τὴν τῆς ὑπάρξεως τοῦ ὀνόματος καὶ τοῦ ῥήματος θεωρίαν. τὸ γὰρ "θέσθαι" νῦν ἀντὶ τοῦ ὁρίσασθαι παρείληπται, λεγόμενον μὲν καὶ κατ' ἄλλων σημαινομένων· ἐνταῦθα δὲ τὸν ὁρισμόν, ὅπερ ἐλέγομεν, σημαίνει. ὅτι δὲ κατὰ πλείονας τρόπους τὸ θέσθαι λέγεται, φανερόν· τάς τε γὰρ ὑποθέσεις θέσεις πολλάκις προσαγορεύομεν, ὡς ὅταν εἴπωμεν κείσθω τὸ θέατρον ἔχειν τοσόνδε τι πλῆθος, κείσθω δὲ δεκάπηχυ μέγεθος ἔχειν, ἢ βασιλεύειν· τί οὖν ποιήσει; καλοῦμεν δὲ θέσεις καὶ τὰς παραδόξους ὑπολήψεις τῶν γνωρίμων τινὸς κατὰ φιλοσοφίαν, οἷον τὸ πάντα κινεῖσθαι καὶ στάσεως μηδαμῶς τὰ ὄντα μετέχειν, ὥσπερ ἔλεγεν Ἡράκλειτος, ἢ ἓν εἶναι τὸ ὄν, ὡς ἐδόκει Παρμενίδῃ. θέσεις δὲ λέγομεν καὶ τὰς ὁμολογίας ἤτοι προτάσεις, ὡς δὴ καὶ τὸ λεγόμενον παρὰ τοῖς κοινοῖς ἀλληλογίᾳ ἀναθέσθαι λέγομεν καὶ τὸ ἀναπαλαῖσαι τὴν ὁμολογίαν. ἀλλὰ καὶ τὰ ἐπιρρήματα τὰ θετικὰ καλούμενα θέσεις καλοῦσι τινές, οἷον γαμητέον πιστευτέον. ἔτι δὲ λέγομεν θέσεις καὶ τοὺς ὁρισμοὺς ὡς προϋποκειμένους τῶν ἀποδείξεων· εἰ γὰρ αἱ ἀποδείξεις ἀπὸ τῶν οὐσιωδῶς ὑπαρχόντων τοῖς πράγμασιν ἐπιτελοῦνται, τὴν δὲ οὐσίαν ἑκάστου τῶν ὄντων οἱ ὁρισμοὶ σημαίνουσιν, εἰκότως προϋποκεῖσθαι δεῖ τοὺς ὁρισμοὺς τῶν ἀποδείξεων. καὶ ἔτι τούτου κοινότερον θέσεις ἀξιοῖ καλεῖν ὁ Ἀριστοτέλης ἁπλῶς ἁπάσας τὰς ἀμέσους ἀρχὰς τῶν ἀποδείξεων, τὰς ἀντιδιαιρουμένας τοῖς ἀξιώμασιν, οἷον τούς τε ὁρισμούς, ὡς εἴρηται, καὶ τὰ αἰτήματα καὶ τὰς ὑποθέσεις, ἀποδείξεως μὲν ἤδη δεομένας ἄνευ δὲ ταύτης εἰλημμένας, ὡς ἐν τῷ πρώτῳ σαφῶς διώρισται τῶν Ἀποδεικτικῶν (p. 72 a 15). κατὰ τοσούτους μὲν ἢ καὶ πλείονας τρόπους τὸ θέσθαι λέγεται· νῦν δὲ ὁ Ἀριστοτέλης ἀντὶ τοῦ διορίσασθαι αὐτῷ χρῆται, ὡς δηλοῖ ἐπιφέρων τὸ "τί ὄνομα καὶ τί ῥῆμα," τοῦ τί ἐστιν ὁρισμὸν ἡμῖν προφανέστατα σημαίνοντος. Ἀπορήσειε δ' ἄν τις διὰ τίνα αἰτίαν ἐν παντὶ τῷ βιβλίῳ τῶν Κατηγοριῶν περὶ ἁπλῶν φωνῶν πραγματευσάμενος ἐνταῦθα πάλιν περὶ ὀνομάτων καὶ ῥημάτων προτίθεται λέγειν, ὧν ἑκάτερον δῆλον ὅτι ἁπλῆ ἐστὶ φωνή. πρὸς ὃ ῥητέον ὡς ἁπλῆ φωνὴ καὶ ὄνομα καὶ ῥῆμα καὶ φάσις καὶ ὅρος τῷ μὲν ὑποκειμένῳ ταὐτά ἐστιν ἀλλήλοις τῇ δὲ σχέσει μόνῃ διαφέρουσιν, ὥσπερ τὸ σπέρμα καὶ ὁ καρπὸς καὶ ἡ ἀνάβασις καὶ ἡ κατάβασις... ὅταν δὲ αὖ πάλιν ἑκατέραν τῶν τοιούτων φωνῶν μὴ λαμβάνωμεν αὐτὴν καθ' αὑτὴν ἀλλ' ὡς μέρος οὖσαν καταφάσεως ἢ ἀποφάσεως, τότε φάσιν αὐτὴν καλεῖν ἀξιοῦμεν, ὡς ἐν τοῖς ἑξῆς σαφῶς ἡμᾶς ὁ Ἀριστοτέλης διδάξει. ὅταν δὲ ὡς ἐν συλλογισμῷ παραλαμβανομένας ἐπισκοπῶμεν, ὅρους αὐτὰς ὀνομάζομεν, ὡς ἐν τοῖς προοιμίοις ῥηθήσεται τῶν Ἀναλυτικῶν. οὕτω δὲ καὶ Πλάτων ἐν τῷ ἐννάτῳ τῶν Νόμων (p. 878) τὰς ἁπλᾶς φωνὰς ἐκάλεσεν ὅρους... τὸ δὲ τῶν Κατηγοριῶν βιβλίον μόνον περὶ ἁπλῶν φωνῶν ἡμᾶς ἐδίδαξεν, οὐδὲν πολυπραγμονῆσαν τὴν τῶν ὀνομάτων πρὸς τὰ ῥήματα διαφοράν, ἧς πολλὴ χρεία πρὸς τὴν θεωρίαν τοῦ ἀποφαντικοῦ λόγου· διὰ γὰρ ταύτης τοὺς ὑποκειμένους ἐν ταῖς ἀποφάνσεσιν ὅρους τῶν κατηγορουμένων διακρίνομεν. διὰ τοῦτο νῦν προχειρίζεται τὴν περὶ ὀνομάτων καὶ ῥημάτων θεωρίαν ὡς ἂν προσεχεστάτην οὖσαν τῇ προκειμένῃ πραγματείᾳ. διὰ τί δέ, φαίη τις ἄν, πλειόνων ὄντων τῶν παρὰ τοῖς γραμματικοῖς λεγομένων τοῦ λόγου μερῶν μόνα ταῦτα νῦν παραδίδοται ἡμῖν, τό τε ὄνομα καὶ τὸ ῥῆμα; διότι, φήσομεν, ταῦτα μόνα δίχα τῶν ἄλλων πάντων δύναται ποιεῖν ἀποφαντικὸν λόγον, ὡς ὅταν εἴπωμεν ἄνθρωπος ὑγιαίνει· περὶ τούτων οὖν μόνων ὁ Ἀριστοτέλης ἐν τούτοις ποιεῖται τὴν σκέψιν, ἃ ἐξ ἀνάγκης ἐν παντὶ λόγῳ ἀποφαντικῷ παραλαμβάνεται καὶ ἀρκεῖ πρὸς τὴν γένεσιν τῆς ἁπλῆς ἀποφάνσεως. ἐπιστῆσαι δὲ ἄξιον ὅτι τῶν θρυλλουμένων ὀκτὼ τοῦ λόγου μερῶν τὰ μὲν ἐστι σημαντικὰ φύσεων τινῶν ἢ ἁπλῶς προσώπων ἢ ἐνεργειῶν ἢ παθῶν ἢ τινος τούτων συμπλοκῆς, καθάπερ ὄνομά τε καὶ ἀντωνυμία καὶ ῥῆμα καὶ μετοχή, ἅπερ καὶ μόνα δύναται ἀρκέσαι πρὸς ἀποφαντικοῦ λόγου γένεσιν, ὡς ὅταν εἴπωμεν Σωκράτης περιπατεῖ, ἢ ἐγὼ περιπατῶ, ἢ ὁ τρέχων περιπατεῖ, ἢ ὁ Σωκράτης τρέχων ἐστί, τοῦ μὲν ὡς ὑποκειμένου τοῦ δὲ ὡς κατηγορουμένου λαμβανομένου· τὰ δὲ ταῦτα μὲν οὐ σημαίνουσι, σχέσιν δέ τινα τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον δηλοῦσιν, ὥσπερ τὰ πλεῖστα τῶν ἐπιρρημάτων... τὰ μὲν φύσεων καὶ προσώπων ἢ ἐνεργειῶν ἢ παθῶν ἢ ποιᾶς συμπλοκῆς προσώπου πρὸς ἐνέργειαν ἢ πάθος σημαντικὰ πάντα ὁ Ἀριστοτέλης εἰς ὀνόματα διαιρεῖ καὶ ῥήματα, τὰ μὲν κατὰ χρόνον λεγόμενα ἢ κατηγορούμενα ἐν ταῖς προτάσεσι ῥήματα καλῶν, τὰ δὲ ἄνευ χρόνου λεγόμενα ἢ τὴν χρείαν πληροῦντα τῶν ὑποκειμένων ὀνό-

ἐν ὁ λόγος, ὥσπερ ἐπὶ τοῦ κλητικοῦ, ἢ τινος παρ' αὐτοῦ πράξεως, καὶ ταύτης ἢ ὡς παρὰ κρείττονος, ὡς ἐπὶ τῆς εὐχῆς, ἢ ὡς παρὰ χείρονος, ὡς ἐπὶ τῆς κυρίως καλουμένης προστάξεως· μόνον δὲ τὸ ἀποφαντικὸν ἀπὸ τῶν γνωστικῶν, καὶ ἔστι τοῦτο ἐξαγγελτικὸν τῆς γενομένης ἐν ἡμῖν γνώσεως τῶν πραγμάτων ἀληθῶς ἢ φαινομένως, διὸ καὶ μόνον τοῦτο δεκτικόν ἐστιν ἀληθείας ἢ ψεύδους, τῶν δὲ ἄλλων οὐδέν. τοῦτο τοίνυν τὸ εἶδος τοῦ λόγου τὸ ἀποφαντικὸν ἑρμηνείαν ἀξιοῖ καλεῖν ὁ Ἀριστοτέλης ὡς ἑρμηνεῦον τὴν γνῶσιν τῆς ψυχῆς. ἐπεὶ οὖν, καθάπερ αὐτὸς ἐν τοῖς προοιμίοις ἐρεῖ τοῦδε τοῦ βιβλίου (c. 4 p. 17 4), εἰσὶ μὲν καὶ ἕτεροι λόγοι παρὰ τὸν ἀποφαντικόν (καὶ γὰρ ἡ εὐχή, φησί, λόγος), ὁ δὲ ἀποφαντικὸς τῆς νῦν θεωρίας, διὰ τοῦτο ἐπέγραψε τὸ βιβλίον περὶ Ἑρμηνείας, ὡς οὐδὲν διαφέρον ἢ οὕτως ἐπιγράφειν ἢ περὶ τοῦ ἀποφαντικοῦ λόγου. Πρὸς δὲ τὸ γνήσιον εἶναι τοῦ φιλοσόφου τὸ βιβλίον, οὐδεὶς ἠξίωσε τῶν περὶ τὰ συγγράμματα τοῦ Ἀριστοτέλους ἐσπουδακότων ἀμφιβαλεῖν, εἴς τε τὸ πιθανὸν ἀποβλέπων τῆς ἐπαγγελίας καὶ εἰς τὴν ἔντεχνον καὶ κεκομψευμένην καὶ τῷ φιλοσόφῳ συνήθη τῶν ἐν αὐτῷ παραδιδομένων θεωρημάτων διάθεσιν, καὶ τὴν πρὸς τὰς ἄλλας αὐτοῦ πραγματείας ὁμολογίαν, πλὴν Ἀνδρονίκου τοῦ Ῥοδίου (*), ὃς ἑνδέκατος μὲν ἦν ἀπὸ τοῦ Ἀριστοτέλους, ἀκούσας δὲ αὐτοῦ καλοῦντος ἐν τοῖς προοιμίοις τοῦδε τοῦ βιβλίου τὰ νοήματα παθήματα τῆς ψυχῆς καὶ προστιθέντος ὡς περὶ τούτου εἴρηται ἐν τοῖς περὶ ψυχῆς, διὰ τὸ μὴ συνιδεῖν ὅπου τῆς περὶ ψυχῆς πραγματείας τὰ νοήματα παθήματα τῆς ψυχῆς ἐκάλεσεν ὁ φιλόσοφος, ἀναγκαῖον ᾠήθη τῶν δύο πραγματειῶν, ταύτης τε καὶ τῆς περὶ ψυχῆς, τὴν ἑτέραν νόθον ἀποφήνασθαι τοῦ Ἀριστοτέλους, καὶ δεῖν ἐνόμισε ταύτην ἀθετεῖν μᾶλλον ἢ τὴν περὶ ψυχῆς. ἰστέον δὲ ὅτι πολλαχοῦ ἐν τῇ περὶ ψυχῆς ἔχομεν τὴν φαντασίαν παθητικὸν νοῦν ὑπὸ τοῦ φιλοσόφου καλουμένην, νοῦν μὲν ὡς ἔνδον ἐν ἑαυτῇ τὸ γνωστὸν ἔχουσαν καὶ ταύτῃ διαφέρουσαν τῆς αἰσθήσεως, ὅτι ἅπερ ἡ αἴσθησις ἔξω κείμενα γινώσκει δεομένη πάντως τῆς ἐκείνων παρουσίας πρὸς τὸ ἐνεργῆσαι περὶ αὐτά, τούτων ἡ φαντασία τοὺς τύπους διὰ τῶν αἰσθήσεων ἀπομαξαμένη ἐν ἑαυτῇ ἔχει καὶ μὴ δεομένη τῶν ἔξω κειμένων δύναται προσβάλλειν (διὸ κἂν τοῖς ὕπνοις τῶν αἰσθήσεων ἀνενεργήτων μενουσῶν ἐνεργοῦμεν κατὰ φαντασίαν), παθητικὸν δέ, διότι μετὰ μερισμοῦ τινὸς καὶ διαστάσεως ἕκαστον γινώσκει, ἅτε ἀχώριστον σώματος ἔχουσα τήν τε οὐσίαν καὶ τὴν ἐνέργειαν καὶ ἀρχή τις οὖσα τῶν αἰσθήσεων. ἀποφαινόμενος οὖν ἐν τοῖς περὶ ψυχῆς ὁ Ἀριστοτέλης ἄνευ τοῦ παθητικοῦ τούτου νοῦ μηδὲν τῶν ἐνταῦθα πραγμάτων νοεῖν τὴν ἡμετέραν ψυχήν, δι' ὧν φησὶν (p. 430 a 23) "οὐ μνημονεύομεν δέ, ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐδὲν νοεῖ" καὶ ἑξῆς p. 431 b 2) "τὰ μὲν οὖν εἴδη τὸ νοητικὸν ἐν τοῖς φαντάσμασι νοεῖ" καὶ ἐπὶ τούτοις (p. 432 a 12) "τὰ δὲ δὴ πρῶτα νοήματα τί διοίσει τοῦ μὴ φαντάσματα εἶναι; ἢ οὐδὲ τὰ ἄλλα φαντάσματα, ἀλλ' οὐκ ἄνευ φαντασμάτων," δῆλος ἂν εἴη καὶ ἐν ἐκείνοις τὰ νοήματα παθήματα προσαγορεύων τῆς ψυχῆς. φαίνεται δὲ καὶ ἐπὶ πάσας τῆς ψυχῆς τὰς ἐνεργείας κοινότερον τὸ τοῦ πάθους ὄνομα ἐκτείνων. ἀπορίαν γοῦν φησὶν ἐν ἐκείνοις ἔχειν τὰ παθήματα τῆς ψυχῆς πότερόν ἐστιν ἅπαντα κοινὰ καὶ τοῦ ἔχοντος, ἢ ἔστι τι καὶ τῆς ψυχῆς ἴδιον αὐτῆς· καὶ ἐπικρίνων τὰ περὶ τῆς ἀπορίας ἐπιφέρει (p. 403 a 5) "φαίνεται δὲ τῶν μὲν πλείστων οὐδὲν ἄνευ τοῦ σώματος πάσχειν οὐδὲ ποιεῖν, οἷον ὀργίζεσθαι θαρρεῖν ἐπιθυμεῖν, ὅλως αἰσθάνεσθαι. μάλιστα δὲ ἔοικεν ἴδιον τὸ νοεῖν· εἰ δὲ ἔστι καὶ τοῦτο φαντασία τις ἢ μὴ ἄνευ φαντασίας, οὐκ ἐνδέχεται οὐδὲ τοῦτο ἄνευ σώματος εἶναι." καὶ ἔτι πρὸ τούτων ἐν τῷ προοιμίῳ τῆς αὐτῆς πραγματείας (p. 402 a 7) "ἐπιζητοῦμεν δὲ θεωρῆσαι καὶ γνῶναι τήν τε φύσιν αὐτῆς καὶ τὴν οὐσίαν, εἶθ' ὅσα συμβέβηκε περὶ αὐτήν, ὧν τὰ μὲν ἴδια πάθη τῆς ψυχῆς εἶναι δοκεῖ, τὰ δὲ κοινὰ καὶ τοῖς ζῴοις δι' ἐκείνην ὑπάρχειν·" δι' ὧν δῆλός ἐστι καὶ τῆς λογικῆς ἡμῶν ψυχῆς τὴν νόησιν λέγων, καὶ εἰ χωρὶς γίνοιτο φαντασίας, πάθη καλεῖν οὐ παραιτούμενος, οὐ κατὰ τὴν ἔννοιαν δηλονότι τὴν προειρημένην, ἀλλὰ διὰ τὸ προϋπάρχειν ἐπ' αὐτῆς κατὰ χρόνον ἑκάστης ἐνεργείας τὴν ἄγουσαν ἐπ' αὐτὴν δύναμιν, ταὐτὸν δὲ εἰπεῖν τοῦ τελείου τὸ ἀτελές, πρὸς διάκρισιν τῆς ἐνεργείας τοῦ νοῦ τοῦ αὐτοτελοῦς καλουμένου καὶ τῇ οὐσίᾳ σύνδρομον τὴν ἐνέργειαν ἔχοντος, ὥσπερ ἀπαθῆ καὶ ἀμιγῆ καὶ χωριστὸν παντὸς σώματος εἶναι. τοῦτον ἡμῶν τὸν νοῦν ἀποφαίνεται, διακρίνων αὐτὸν ἀπὸ τοῦ ἰδίως παθητικοῦ καλουμένου καὶ τῆς φαντασίας, ὡς ἐλέγομεν, οὐδαμῶς διαφέροντος. διὸ καὶ τοῦ μεμνῆσθαι ἡμᾶς ζητῶν τὴν αἰτίαν, τὸ μὲν μόριον τῆς ψυχῆς καθ' ὃ τὸ εἶναι ἔχομεν ἀπαθές, τὸν δὲ παθητικὸν νοῦν φθαρτὸν εἶναί φησι, καὶ τὴν νόησιν ἡμῶν πρὸς τοῦτον φθαρτὸν ὄντα συμπεπλεγμένην τῆς λήθης ἔχειν ἀποφαίνεται τὴν αἰτίαν. οὐκ ἄρα δικαίως ὁ Ἀνδρόνικος νόθον ὑπώπτευσεν εἶναι τοῦ φιλοσόφου τὸ βιβλίον. Λοιπὸν οὖν ἡμῖν τῶν ἐξ ἀρχῆς προτεθέντων τὸ παραδοῦναι τὴν εἰς τὰ κεφάλαια τοῦδε τοῦ βιβλίου διαίρεσιν. εἰς

(*) *Boeth.* II p. 284: Andronicus librum hunc Aristotelis esse non putat, quem Alexander vere fortiterque redarguit; quem cum exactum diligentemque Aristotelis librorum et iudicem et repertorem iudicarit antiquitas, cur in huius libri iudicio sit falsus, prorsus est magna admiratione dignissimum. non esse namque proprium Aristotelis hinc conatur ostendere, quoniam quaedam Aristoteles in principio libri huius de intellectibus animi tractat, quos intellectus animae passiones vocavit... his Alexander multa alia addit argumenta cur hoc opus maxime Aristotelis esse videatur. ea namque dicuntur hic quae sententiis Aristotelis quae sunt de enuntiativa oratione consentiant. illud quoque quod stilus ipse propter brevitatem pressior ab Aristotelis obscuritate non discrepat; et quod Theophrastus, ut in aliis solet cum de similibus rebus tractat, quae scilicet ab Aristotele ante tractatae sunt, in libro quoque de Affirmatione et Negatione iisdem aliquibus verbis utitur quibus in hoc libro Aristoteles usus est. idem quoque Theophrastus dat signum hunc Aristotelis librum esse: in omnibus enim de quibus ipse disputat post magistrum, leviter ea tangit quae ab Aristotele dicta ante cognovit, alias vero diligentius res non ab Aristotele tractatas exsequitur. hic quoque idem fecit... addit quoque hanc causam, quia Aristoteles quidem de syllogismo scribere animatus nunquam id recte facere potuisset, nisi quaedam de propositionibus annotaret.

τοῦτο τοῦ Ἀριστοτέλους, καὶ ἐπὶ πᾶσι τίς ἡ εἰς τὰ κεφάλαια τοῦδε τοῦ βιβλίου διαίρεσις· τὸ γὰρ ἐπιζητεῖν πρὸς τί χρήσιμον ἂν εἴη τῷ φιλοσοφεῖν βουλομένῳ τὸ περὶ Ἑρμηνείας βιβλίον, ἡ πρόθεσις αὐτοῦ φανεῖσα ἡμῖν περίεργον ἐπιδείξει (*). τίς οὖν ἡ πρόθεσις αὐτῆς; τοῦτο γὰρ ἀνάγκη πρὸ τῶν ἄλλων ἀφορίζεσθαι, καὶ πρὸς ταύτην τὰ ἐφεξῆς ἅπαντα συνείρειν. ἵνα δὴ τοῦτο διηρθρωμένως ἕλωμεν, ἀναμνησθῆναι χρὴ τῶν εἰρημένων ἐν τοῖς προλαμβανομένοις τῆς συναναγνώσεως τῶν Κατηγοριῶν... f. 4. καλοῦσι δὲ οἱ Στωϊκοὶ τὸν μὲν ἀποφαντικὸν λόγον ἀξίωμα, τὸν δὲ εὐκτικὸν ἀρατικόν, τὸν δὲ κλητικὸν προσαγορευτικόν, προστιθέντες τούτοις ἕτερα πέντε λόγων εἴδη σαφῶς ὑπό τινα τῶν ἀπηριθμημένων ἀναφερόμενα. λέγουσι γὰρ τὸ μέν τι εἶναι ὀμοτικόν, οἷον ἴστω νῦν τόδε γαῖα, τὸ δὲ ἐκθετικόν, οἷον ἔστω εὐθεῖα γραμμὴ ἥδε, τὸ δὲ ὑποθετικόν, οἷον ὑποκείσθω τὴν γῆν κέντρον εἶναι τῆς τοῦ ἡλίου σφαίρας, τὸ δὲ ὅμοιον ἀξιώματι, οἷον ὡς ὡραΐζεται ἡ τύχη ἐν τοῖς βίοις. ἅπερ ἅπαντα δεκτικὰ ὄντα ψεύδους τε καὶ ἀληθείας ὑπάγοιντο ἂν τῷ ἀποφαντικῷ, τοῦ μὲν ὀμοτικοῦ τῇ μαρτυρίᾳ τοῦ θείου πλεονάσαντος τῆς ἀποφάνσεως, τοῦ δ' ὁμοίου τῷ ἀξιώματι τῇ τοῦ ὡς ἐπιτατικοῦ ἐπιρρήματος προσθήκῃ. πέμπτον δέ τι πρὸς τούτοις εἶναί φασι τὸ ἐπαπορητικόν, οἷον Δάος πάρεστι τί ποτ' ἀγγελῶν ἄρα; ὅπερ ἐναργῶς ταὐτὸν ὂν τυγχάνει τῷ ἐρωτηματικῷ, πλὴν ὅτι προτίθησι τὴν πρότασιν τῆς ἐρωτήσεως. πάλιν δὲ τοῦ ἀποφαντικοῦ λόγου δύο ὄντων εἰδῶν, καὶ τοῦ μὲν καλουμένου κατηγορικοῦ τοῦ δὲ ὑποθετικοῦ, κατηγορικοῦ μὲν τοῦ σημαίνοντος τί τινι ὑπάρχει ἢ οὐχ ὑπάρχει, ὡς ὅταν εἴπωμεν Σωκράτης περιπατεῖ, Σωκράτης οὐ περιπατεῖ (κατηγοροῦμεν γὰρ τὸ περιπατεῖν τοῦ Σωκράτους ποτὲ μὲν καταφατικῶς ποτὲ δὲ ἀποφατικῶς), ὑποθετικοῦ δὲ τοῦ σημαίνοντος τίνος ὄντος τί ἔστιν ἢ οὐκ ἔστιν, ἢ τίνος μὴ ὄντος τί οὐκ ἔστιν ἢ τί ἔστιν, ὡς ὅταν εἴπωμεν "εἰ ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν, εἰ ἄνθρωπός ἐστι, λίθος οὐκ ἔστιν, εἰ μὴ ἔστιν ἡμέρα, νύξ ἐστιν, εἰ μὴ ἔστιν ἡμέρα, οὐκ ἔστιν ὁ ἥλιος ὑπὲρ γῆν," τὸ κατηγορικὸν ἡμῖν μόνον εἶδος τοῦ ἀποφαντικοῦ λόγου παραδίδωσιν ὁ Ἀριστοτέλης ὡς αὐτοτελὲς καὶ χρήσιμον πρὸς τὰς ἀποδείξεις, τὸ δέ γε ὑποθετικὸν ὡς ἐλλιπὲς ὂν καὶ δεόμενον πάντως τῆς διὰ τοῦ κατηγορικοῦ τελειότητος οὐδαμοῦ προηγουμένως ἀξιοῖ τιμῆς. οἱ γὰρ ὑποθετικοὶ συλλογισμοὶ τὴν καλουμένην μετάληψιν ἤτοι πρόσληψιν ἀναποδείκτως λαμβάνοντες, ἐνίοτε δὲ καὶ τὸ συνημμένον ἢ τὸ διεζευγμένον, καὶ λόγου δεόμενον, ἐξ ὑποθέσεως ἔχον τὴν πίστιν, ἥτις αὐτῶν τὰς πρώτας ὑποθέσεις παραδέχοιτο. πρὸς οὖν τὴν τῶν ὑποθέσεων τούτων κατασκευήν, εἰ μὲν ἑτέρως τις ὑποθετικῷ χρῷτο συλλογισμῷ, δεήσει πάλιν ἑτέρας αὐτῷ κατασκευῆς πρὸς τὴν πίστιν τῶν ἐν αὐτῷ ὑποθέσεων, καὶ πρὸς ἐκείνην ἑτέρας, καὶ τοῦτο εἰς ἄπειρον, εἰ δι' ὑποθέσεων ἐθέλοι τὰς ὑποθέσεις κρατύνειν· εἰ δέ γε μέλλει τελεία καὶ ἀπροσδεὴς ἡ ἀπόδειξις γίνεσθαι, δῆλον ὅτι κατηγορικοῦ συλλογισμοῦ χρεία τοῦ δίχα τινὸς ὑποθέσεως ἐπαγγελλομένου τὸ προκείμενον δεικνύναι. διὸ καὶ τοὺς μὲν κατηγορικοὺς ἁπλῶς οὕτως ὀνομάζομεν συλλογισμούς, τοὺς δὲ ὑποθετικοὺς τὸ μὲν ὅλον τοῦτο ἐξ ὑποθέσεως συλλογισμούς, ἁπλῶς δ' οὐκέτι, πρὸς τῷ καὶ ἄλλως τὰς ὑποθετικὰς ἀποφάνσεις ἐκ τῶν κατηγορικῶν τὴν γένεσιν ἔχειν· ἄλλης γὰρ πρὸς ἄλλην κατηγορικῆς προτάσεως ἢ ἀκολουθίαν ἢ διάστασιν σημαίνουσι, συνδοῦσαι αὐτὰς πρὸς ἀλλήλας ἢ τῷ συμπλεκτικῷ ἢ τῷ διαζευκτικῷ προσαγορευομένῳ συνδέσμῳ πρὸς τὸ ἕνα δοκεῖν εἶναι τὸν ἐξ αὐτῶν συγκείμενον λόγον. διὰ ταῦτα τοίνυν τὸ κατηγορικὸν εἶδος τοῦ ἀποφαντικοῦ λόγου πολυπραγμονεῖ μόνον ὁ Ἀριστοτέλης. ἔστιν οὖν ἡ πρόθεσις τῆς προκειμένης πραγματείας, ὡς συνελόντι φάναι, διαλεχθῆναι περὶ τῆς πρώτης συνθέσεως τῶν ἁπλῶν φωνῶν, τῆς κατὰ τὸ κατηγορικὸν εἶδος τοῦ ἀποφαντικοῦ λόγου γινομένης. λέγω δὲ τὸ πρώτης, διότι καὶ τοὺς συλλογισμοὺς ἡ σύνθεσις τῶν ἁπλῶν ἐργάζεται φωνῶν, οὐ μέντοι ἡ πρώτη, ἀλλ' ἡ διὰ τῆς συμπλοκῆς τῶν κατὰ τὴν πρώτην σύνθεσιν γεγονότων λόγων ἀποτελουμένη. διὸ τοὺς ἁπλοῦς τούτους λόγους κατὰ μὲν τήνδε τὴν πραγματείαν αὐτοὺς καθ' αὑτοὺς θεωρῶν ὡς ἀποφάνσεις μόνον ἐπισκέψεται καὶ οὐχ ὡς προτάσεις, ἐν δὲ τοῖς Ἀναλυτικοῖς ὡς μέρη τῶν συλλογισμῶν παραλαμβάνων ἅμα καὶ ὡς προτάσεις εἰκότως ἀξιώσει σκοπεῖν· ὡς γὰρ προτεινομένους αὐτοὺς ὑπὸ τῶν συλλογίσασθαί τι βουλομένων τοῖς κοινωνοῖς τῶν λόγων, οὕτως οἱ παλαιοὶ προτάσεις ἐπονομάζουσιν.

f. 5 b. ἐπὶ τούτοις οὖν τῆς ἐπιγραφῆς τὸ αἴτιον ἐπισκεπτόμενοι λέγομεν, τί ποτε ἄρα καλῶν ὁ Ἀριστοτέλης ἑρμηνείαν οὕτως ἐπέγραψε τὸ βιβλίον περὶ Ἑρμηνείας; οὐ γὰρ δὴ καὶ αὐτὸς καθάπερ ὁ Δημήτριος τὸ περὶ λογογραφικῆς ἰδέας βιβλίον συγγράψας, καὶ οὗτος αὐτὸ ἐπιγράψας περὶ Ἑρμηνείας, ἀξιοῖ καλεῖν ἑρμηνείαν τὴν λογογραφικὴν ἰδέαν, ὡς δὴ περὶ ταύτης ἐν τῷ προκειμένῳ βιβλίῳ διαλεξόμενος. ῥητέον οὖν ὅτι τῆς ψυχῆς τῆς ἡμετέρας διττὰς ἐχούσης δυνάμεις, τὰς μὲν γνωστικὰς τὰς δὲ ζωτικὰς τὰς καὶ ὀρεκτικὰς λεγομένας (λέγω δὲ γνωστικὰς μὲν καθ' ἃς γινώσκομεν ἕκαστον τῶν ὄντων, οἷον νοῦν διάνοιαν δόξαν φαντασίαν καὶ αἴσθησιν, ὀρεκτικὰς δὲ καθ' ἃς ὀρεγόμεθα τῶν ἀγαθῶν, ἢ τῶν ὄντων ἢ τῶν δοκούντων, οἷον βούλησιν λέγω προαίρεσιν θυμὸν καὶ ἐπιθυμίαν), τὰ μὲν τέτταρα εἴδη τοῦ λόγου τὰ περὶ τὸν ἀποφαντικὸν ἀπὸ τῶν ὀρεκτικῶν δυνάμεων προέρχονται τῆς ψυχῆς, οὐκ αὐτῆς καθ' αὑτὴν ἐνεργούσης ἀλλὰ πρὸς ἕτερον ἀποτεινομένης τὸν συμβάλλεσθαι δοκοῦντα πρὸς τὸ τυχεῖν τῆς ὀρέξεως, καὶ ἤτοι λόγον παρ' αὐτοῦ ζητούσης, καθάπερ ἐπὶ τοῦ πυσματικοῦ καὶ ἐρωτηματικοῦ καλουμένου λόγου, ἢ πρᾶγμα, καὶ εἰ πρᾶγμα, ἤτοι αὐτοῦ ἐκείνου τυχεῖν ἐφιεμένης πρὸς

(*) *Boëth.* II. p. 283: Uterque (Aspasius et Alexander) Aristotelem de oratione tractasse pronuntiat... sed Alexander addit imperfecte sese habere libri titulum: neque enim designare de qua oratione perscripserit; multae namque, ut dictum est, sunt orationes. sed adiiciendum vel subintelligendum putat de oratione illum scribere philosophica vel dialectica, id est quae verum falsumque valeat expedire... *ib.* p. 284: sed quod addidit illam interpretationem solam dici, qua in oratione possit veritas et falsitas inveniri, ut est enuntiativa oratio, fingentis est, ut ait Porphyrius, significationem nominis potius quam docentis. atque ille quidem et in intentione libri et in titulo falsus est, sed non eodem modo de iudicio quoque libri errat.

ἁπλῶν φωνῶν τῆς κατὰ τὸ κατηγορικὸν εἶδος τοῦ ἀποφαντικοῦ λόγου γινομένης· πρώτης δὲ εἶπον πρὸς ἀντιδιαστολὴν τῶν συλλογισμῶν. ἔστι δὲ κατηγορικὸν μὲν εἶδος τοῦ ἀποφαντικοῦ λόγου τὸ σημαῖνον τί τινι ὑπάρχει ἢ οὐχ ὑπάρχει, ὡς τὸ Σωκράτης περιπατεῖ, Σωκράτης οὐ περιπατεῖ· ὑποθετικὸν δὲ τὸ σημαῖνον τίνος ὄντος τί ἔστιν ἢ οὐκ ἔστιν, ἢ τίνος μὴ ὄντος τί ἐστιν ἢ οὐκ ἔστιν, ὡς τὸ εἰ ἄνθρωπός ἐστι, ζῷόν ἐστιν, εἰ ἄνθρωπός ἐστι, λίθος οὐκ ἔστι, καὶ εἰ μὴ ἔστιν ὅτι ἔστιν, εἰ μὴ ἔστιν ὅτι οὐκ ἔστιν ὁ ἥλιος ὑπὲρ γῆν.

Τὰ εἴδη τοῦ λόγου πέντε λέγουσιν εἶναι τὸν ἀριθμόν, εὐκτικὸν προστακτικὸν κλητικὸν ἐρωτηματικόν τε καὶ ἀποφαντικόν. τοῦτο δὲ τὸ ἀποφαντικὸν εἶδος ἐκ τῶν γνωστικῶν τε καὶ λογιστικῶν τῆς ψυχῆς δυνάμεων προελήλυθε· καὶ γὰρ αἱ μὲν γνωστικαί εἰσι καὶ λογικαὶ τῶν τῆς ψυχῆς δυνάμεων, αἱ δὲ γνωστικαί τε καὶ ἄλογοι, καὶ αἱ μὲν ζωτικαὶ πάλιν καὶ λογικαί, αἱ δὲ ζωτικαὶ ὁμοίως καὶ ἄλογοι. ὧν ἁπασῶν γνωστική ἐστι δύναμις ὁ νοῦς καὶ λογική, καὶ ἐφεξῆς ἡ διάνοια, καὶ πρὸς τούτοις ἡ δόξα. αὗται τοίνυν μόναι τῶν ἄλλων γνωστικαί τε καὶ λογικαὶ δυνάμεις εἶναι λέγονται. τὴν δέ γε φαντασίαν καὶ μετὰ ταύτην τὴν αἴσθησιν γνωστικὰς ὁμοίως ταῖς ἄλλαις γινώσκομεν, οὐ μὴν δὲ λογικὰς ἀλλ' ὡς εἴρηται ἀλόγους· πᾶν γὰρ τὸ ἐν τοῖς ἀλόγοις ζῴοις εἶναι πεφυκὸς εὔδηλον ὡς οὐκ ἂν εἴη λογικόν. αἱ δέ γε λοιπαὶ δυνάμεις ἃς ζωτικὰς καλοῦμεν, βούλησίς ἐστι καὶ προαίρεσις καὶ πρὸς ταύταις θυμὸς καὶ ἐπιθυμία· αὗται τοίνυν καὶ ὀρεκτικαὶ καλοῦνται, γνωστικαὶ δὲ οὐδαμῶς· οὐ γὰρ ἴσασί τι τῶν ὄντων, ἀλλ' ὡς ζῴων οὖσαι ὀρέγονται αὐτῶν, καὶ αἱ μὲν ὡς ζῴων λογικῶν αἱ δὲ ὡς ἀλόγων. ζῴων μὲν γὰρ λογικῶν ζωτική τε καὶ ὀρεκτικὴ δύναμις ἂν εἴη ἥ τε βούλησις καὶ ἡ προαίρεσις, ἀλόγων δὲ θυμὸς καὶ ἐπιθυμία. καὶ μηδεὶς ὑμῶν οἰέσθω ὡς πᾶν θυμὸν ἔχον ζῷον καὶ ἐπιθυμίαν ὡσαύτως οὐ λογικὸν ἔσται διὰ τοῦτο, ἀλλ' εἰδέτω ὅτι τὸ μὲν λογικὸν τελειότατον ὂν τῶν ἄλλων ζῴων πάσας ἐν ἑαυτῷ συλλαβὸν ἔχει δυνάμεις, τὸ δέ γε ἄλογον καὶ ἀτελέστερον τῶν κρειττόνων ἐστέρηται· αὐξάνομεν γὰρ ὡς φυτά, καὶ θυμούμεθα ὡς ἄλογα κατὰ τὸν εἰπόντα, καὶ ὡς ἄγγελοι διανοούμεθα. τούτων τοίνυν πάντα τὰ τοῦ λόγου εἴδη προελήλυθε τῶν δυνάμεων, χωρὶς τοῦ ἀποφαντικοῦ· ὁ δέ γε ἀποφαντικὸς οὐ τῶν ζῴων ὡς εἴρηται προελήλυθεν, οὐδὲ γὰρ τῆς βουλήσεως οὐδὲ τῶν ἄλλων οὐδεμιᾶς, ἀλλ' αὐτῶν τῶν τε λογικῶν καὶ γνωστικῶν ὡσαύτως. καὶ εἰ μὲν ἀληθής, διανοίας ἂν εἴη ἔργον συμπλεκομένης τῷ κρείττονι, εἰ δὲ μέσως ἔχων, τῷ χείρονι συμπλεκομένης αὐτῆς, εἰ δὲ πάντη ψευδής (συμβαίνει γὰρ αὐτῷ τοῦτο), τῇ ἔτι χείρονι συμπλεκομένη ἐστίν. καὶ ἡ μὲν κρείττων ἁπασῶν νοῦς ἐστίν, ὡς εἴρηται, ἡ δὲ μετὰ τοῦτον διάνοια, καὶ ἔτι δόξα μετὰ ταύτην, καὶ μετὰ ταύτην φαντασία, καὶ μέχρι αἰσθήσεως. τούτων ἁπάντων, ζωτικῶν τε λέγω καὶ γνωστικῶν, πάντα τὰ τοῦ λόγου εἴδη προήχονται, καὶ ὁ μὲν ἀποφαντικὸς ἀληθείας καὶ ψεύδους διδάσκαλος ὢν τῶν προσεχῶς εἰρημένων, τὰ δ' ἄλλα τῶν ἄλλων· οὐδὲν γὰρ γνώσεώς ἐστιν ἀλλ' ὀρέξεως μᾶλλον καὶ κρείττονος αἰτήσεως, ὡς ἐπὶ τῆς εὐχῆς, ἢ χείρονος, ὡς ἐπὶ τῆς προστάξεως καὶ ὡς ἐπὶ κλήσεως, ὁμοίως καὶ ἄλλως ἐπὶ τῆς ἐρωτήσεως. τούτων τοίνυν ἁπάντων τῶν εἰδῶν τί ἂν εἴη ἀληθές; πάντως οὐδέν, οὔτε μὴν ψευδές, ἐπεὶ οὐ πέφυκεν ἐν εὐχῇ ἢ ἐρωτήσει ἢ ἄλλῳ τῳ τῶν εἰρημένων, ἀλλ' ἀποφάνσει καὶ μόνῃ, ἥτις λόγος ἀποφαντικὸς καὶ ἑρμηνεία τοῖς παλαιοτέροις ὠνόμασται· ἄμφω γὰρ πρέποντα αὐτῷ, τό τε ἀποφαίνεσθαι καὶ ἑρμηνεύειν. ὅθεν ὁ Σταγειρίτης περὶ Ἑρμηνείας τὴν περὶ αὐτοῦ πραγματείαν ἐκάλεσε.

ΛΕΟΝΤΟΣ ΤΟΥ ΜΑΓΕΝΤΗΝΟΥ (*). Ὥσπερ ἀναβαθμοῖς τισὶ χρώμενος ὁ Ἀριστοτέλης μετὰ τὴν παραδοθεῖσαν ἐν ταῖς Κατηγορίαις θεωρίαν νῦν περὶ τῶν προτάσεων διαλέγεται, ὥσπερ καὶ ἐν τοῖς Ἀναλυτικοῖς περὶ συλλογισμοῦ· ὃν γὰρ λόγον ἔχει ὁ ὅρος πρὸς πρότασιν, τοῦτον τὸν λόγον ἔχει καὶ πρότασις πρὸς συλλογισμόν· ὥσπερ γὰρ ἡ πρότασις ἐξ ὅρων σύγκειται, οὕτω καὶ ὁ συλλογισμὸς ἀπὸ προτάσεων κεκρότηται. ἐνταῦθα οὖν ὥσπερ κατὰ βαθμὸν περὶ προτάσεων διαλέγεται· τοῦτο γάρ ἐστιν αὐτῷ ὁ σκοπός. διὸ καὶ περὶ λόγου τὴν διδασκαλίαν ποιεῖται, ἀλλ' οὐ παντός· πενταχῶς γὰρ ὁ λόγος, προστακτικὸς εὐκτικὸς κλητικὸς ἐρωτηματικὸς καὶ ἀποφαντικός, περὶ οὗ καὶ ἀποφαντικοῦ μόνου διαλέγεται· ἐν γὰρ τούτῳ μόνῳ διακρίνεται τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους. ὅτι δὲ μόνα πέντε εἴδη ὁ λόγος ἔχει, δείκνυται οὕτως.

ΑΜΜΩΝΙΟΥ (**). Πολὺ μὲν ἐν σοφοῖς κοὐκ ἀνώνυμον τὸ περὶ Ἑρμηνείας τοῦ Ἀριστοτέλους βιβλίον, τῆς τε πυκνότητος ἕνεκα τῶν ἐν αὐτῷ παραδιδομένων θεωρημάτων καὶ τῆς περὶ τὴν λέξιν δυσκολίας· διὸ καὶ πολλῶν ἐξηγητῶν πολλαὶ περὶ αὐτὸ κατεβλήθησαν φροντίδες (***). εἰ δέ τι καὶ ἡμεῖς δυνηθείημεν εἰσενεγκεῖν περὶ τὴν τοῦ βιβλίου σαφήνειαν, ἀπομνημονεύσαντες τῶν ἐξηγήσεων τοῦ θείου ἡμῶν διδασκάλου Πρόκλου τοῦ Πλατωνικοῦ διαδόχου, τοῦ εἰς ἄκρον τῆς ἀνθρωπίνης φύσεως τήν τε ἐξηγητικὴν τῶν δοκούντων τοῖς παλαιοῖς δύναμιν καὶ τὴν ἐπιστημονικὴν τῆς φύσεως τῶν ὄντων κρίσιν ἀσκήσαντος, πολλὴν ἂν τῷ λογίῳ θεῷ χάριν ὁμολογήσαιμεν. ἀρχὴ τοίνυν ἡμῖν γιγνέσθω τῆς ἐξηγήσεως ἡ τῶν πέντε κεφαλαίων ἐξήγησις τῶν προλαμβάνεσθαι τῆς τοῦ ῥητοῦ σαφηνείας εἰωθότων. καὶ λέγομεν τίς τε ἡ πρόθεσις τοῦ περὶ Ἑρμηνείας, καὶ τίνα ἔχει τάξιν πρὸς τὰ ἄλλα τῆς λογικῆς τοῦ Ἀριστοτέλους πραγματείας συγγράμματα, τίς τε ἡ αἰτία ταύτης αὐτῆς τῆς περὶ Ἑρμηνείας ἐπιγραφῆς, καὶ ὅτι γνήσιόν ἐστι τὸ σύγγραμμα

(*) Σύντομος ἐξήγησις τοῦ περὶ Ἑρμηνείας ἐκφωνηθεῖσα παρὰ τοῦ Μιτυλήνης κυροῦ Λέοντος τοῦ Μαγεντηνοῦ Cod. Paris. Reg. 1917. differt haec ab impressis sub Leonis commentariis nomine.

(**) Ammonii Hermiae in librum Aristotelis de Interpretatione commentaria Venetiis 1545. 8°.

(***) *Boëthus* (Commentar. in librum Aristotelis de Interpretatione editionis primae (I) et secundae (II) Oper. Venet. 1566 fol.) II. p. 283: Aspasius quoque et Alexander sicut in aliis Aristotelis libris, in hoc quoque commentarios ediderunt. *ib.* p. 281: Alexander in commentariis suis ea se impulsum causa pronuntiat sumpsisse longissimum expositionis laborem, quod in multis ille a priorum sententiis scriptorum dissideret... *ib.* p. 282: huius libri expositionem nos scilicet quam maxime a Porphyrio, quanquam etiam a ceteris, transferentes Latina oratione digessimus.

ταὐτόν ἐστι καὶ οὐδὲν διαφέρει ἐπιγράψαι περὶ Ἑρμηνείας ἢ περὶ ἀποφαντικοῦ λόγου. ἄλλοι δέ φασιν ὡς διὰ τὸ κάλλος τῆς ἐπαγγελίας ἐπιγέγραπται οὕτως· οὐδὲ γὰρ ἦν τὰ τοιαῦτα ἀσαφῆ πράγματα σαφῶς ἑρμηνεῦσαι. πλὴν οὐκ ἀληθῶς λέγουσι· τοὐναντίον γὰρ ἰσχνῷ χαρακτῆρι κέχρηται, καὶ οὐ διὰ κάλλος ἐπαγγελίας οὕτως ἐπέγραψεν, ἀλλὰ μᾶλλον συμφωνεῖ τῷ σκοπῷ ἡ ἐπιγραφή. σκοπὸς γάρ ἐστι τῷ προκειμένῳ συγγράμματι διάκρισιν ποιῆσαι τῶν ἀληθῶν προτάσεων ἀπὸ τῶν ψευδῶν, τοῦτο δὲ πρὸς τῇ σαφηνείᾳ ἐστίν, ἡ δὲ σαφήνεια πρὸς τῇ ἑρμηνείᾳ ἐστίν. τρία δὲ δηλοῖ τὸ τῆς ἑρμηνείας ὄνομα, τὴν κεκαλλωπισμένην ἐπαγγελίαν, ὡς ἡ τῶν ῥητόρων, καὶ τὴν ἀκαλλώπιστον, ἥτις ἢ τὴν γνωστικὴν ἡμῶν διάθεσιν ἑρμηνεύει διὰ τοῦ ἀποφαντικοῦ λόγου ἢ τὴν ζωτικὴν διὰ τῶν ἄλλων δʹ λόγων. καὶ ἐπιγέγραπται τὸ βιβλίον κατὰ τὸ δεύτερον σημαινόμενον ἤτοι κατὰ τὴν ἀκαλλώπιστον φράσιν· ἡ γὰρ πραγματεία φιλόσοφος ἅμα καὶ διαλεκτικὴ οὖσα οὐ προσποιεῖται τὴν κεκαλλωπισμένην φράσιν· μόνος γάρ, φησὶν ὁ Θεόφραστος, τοῦ λόγου σχέσεις ἔχοντος τὴν μὲν πρὸς τοὺς ἀκροατὰς τὴν δὲ πρὸς τὰ πράγματα, τὴν μὲν πρὸς τοὺς ἀκροατὰς ποιηταὶ καὶ ῥήτορες διώκουσι, τὴν δὲ πρὸς τὰ πράγματα φιλόσοφοι. ἐπιγέγραπται οὖν περὶ Ἑρμηνείας ὡς ἑρμηνεύων τὰ τῆς ψυχῆς νοήματα, ποίας δόξης εἰσίν, εἴτε ἀληθοῦς εἴτε ψευδοῦς. Περὶ τοῦ γνησίου Ἀνδρόνικος ὁ Ῥόδιος ἀμφιβάλλει μόνος ὁ λεγόμενος ἑνδέκατος διάδοχος τῆς Ἀριστοτέλους διατριβῆς. ἐπεὶ γὰρ ὁ Ἀριστοτέλης ἐν ταύτῃ τῇ πραγματείᾳ φησὶν ὅτι τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων ἐστὶ σύμβολα, τουτ᾽ ἔστιν αἱ φωναὶ τὰ τῆς ψυχῆς ἐξαγγέλλουσιν, εἶτα παρακατιὼν φησιν ὅτι "περὶ μὲν οὖν τούτων ἐν τῷ περὶ ψυχῆς ἡμῖν εἴρηται," Ἀνδρόνικος ἀκούσας τὰ νοήματα παθήματα τῆς ψυχῆς καλοῦντος αὐτοῦ καὶ παραπέμποντος ἡμᾶς εἰς τὸ περὶ ψυχῆς, εἶτα ἐγκύψας ἐκεῖ καὶ μὴ συνιδὼν ὅπως ταῦτα λέγει, ἀναγκαῖον ᾠήθη τῶν δύο πραγματειῶν, ταύτης τε καὶ τῆς περὶ ψυχῆς, νοθεῦσαι τὴν ἑτέραν, καὶ δεῖν ἐνόμισε ταύτην ἀθετεῖν μᾶλλον ἢ ἐκείνην τηλικαύτην οὖσαν καὶ μέγεθος νοημάτων ἔχουσαν καὶ ἀξίωμα. φαμὲν δὲ πρὸς αὐτὸν ὅτι κἂν μὴ κυρίως ἐν τῷ περὶ ψυχῆς λέγει τὰ νοήματα παθήματα τῆς ψυχῆς, ὅμως μὲν φαντασίαν παθητὸν νοῦν ἐκεῖσε φησιν οὕτως (3 5 sqq.) "οὐ μνημονεύομεν ὅτι τὸ μόριον τῆς ψυχῆς καθ᾽ ὃ τὸ εἶναι ἔχομεν, ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐδὲν νοεῖ·" τὸ ἀπαθὲς δηλονότι μόριον οὐδὲν τῶν ἐνταῦθα πραγμάτων νοεῖ χωρὶς τοῦ παθητικοῦ νοῦ ἤτοι τῆς φαντασίας, ἥν τινα νῦν μὲν εἴρηκεν ὡς ἔνδον ἔχουσαν ἐν ἑαυτῇ τὸ γνωστὸν καὶ ταύτῃ διαφέρουσαν τῆς αἰσθήσεως, καθὸ ἡ μὲν αἴσθησις περὶ τὰ ἐκτὸς ἐνεργεῖ, ἡ δὲ φαντασία ἀπὸ τῆς αἰσθήσεως, καθὸ ἡ μὲν αἴσθησις ἐγειρομένη περὶ τὰ ἔνδον ἐνεργεῖ· ἃ γὰρ ἡ αἴσθησις ἔξω κειμένη γινώσκει, ἐνδεομένη τῆς ἐκείνων παρουσίας πρὸς τὸ ἐνεργῆσαι περὶ αὐτά, τούτων ἡ φαντασία... εἰ δὲ τὸ νοεῖν οὐκ ἄνευ φαντασίας, ἡ δὲ φαντασία μετὰ πάθους, τὸ νοεῖν ἄρα μετὰ πάθους· καὶ διὰ τοῦτο τὰ νοήματα παθήματα τῆς ψυχῆς ἐκάλεσεν. ὥστε οὐ χρὴ Ἀνδρονίκῳ ἀκολουθεῖν καὶ κατηγορεῖν νοθείαν τῆς προκειμένης πραγματείας. ἄλλως τε φαίνεται τὸ παρὸν σύγγραμμα γνήσιον Ἀριστοτέλους ἀπὸ τοῦ μεμνῆσθαι αὐτοῦ ἐν τοῖς γνησίοις αὐτοῦ βιβλίοις· ἐν γὰρ τῇ Μετὰ τὰ Φυσικὰ πραγματείᾳ φησὶν ὅτι "ταῦτα μὲν ὡς ἐν τῇ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου πραγματείᾳ ἡμῖν εἴρηται." καὶ ὅτι εἰ μὴ ἦν τὸ προκείμενον βιβλίον, συλλογισμὸς οὐκ ἐγίνετο, συλλογισμοῦ δὲ μὴ ὄντος οὐδὲ ἀπόδειξις ἦν, ἀποδείξεως δὲ μὴ οὔσης τί τὸ διακρῖνον ἐν μὲν τῷ θεωρητικῷ μέρει τῆς φιλοσοφίας τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους, ἐν δὲ τῷ πρακτικῷ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ; γνήσιον οὖν Ἀριστοτέλους πανταχόθεν δείκνυται, ἀπό τε τοῦ χαρακτῆρος τῆς λέξεως ἰσχνοῦ τυγχάνοντος, καὶ ἀπὸ τῆς πυκνότητος τῶν νοημάτων, καὶ ἀπὸ τῆς τέχνης τῶν θεωρημάτων, καὶ ἀπὸ τῆς πρὸς τὰς ἄλλας πραγματείας συμφωνίας (λέγει γὰρ μετὰ μικρὸν ὅτι τοῦτο μέν, ὥσπερ ἐν τοῖς Ἀναλυτικοῖς εἴρηται, οὕτω τέτακται), καὶ ἀπὸ τοῦ ἀτελῆ γίνεσθαι τὴν λογικὴν ἀφῃρημένης ἀπ᾽ αὐτῆς τῆς παρούσης πραγματείας, καὶ ἀπὸ τοῦ γεγράφθαι ἑτέροις κατὰ ζῆλον Ἀριστοτέλους ὁμώνυμα συγγράμματα καὶ φέρεσθαι ἐν αὐτοῖς ἀντὶ μὲν τῶν Κατηγοριῶν τὸ Περὶ λέξεως, ἀντὶ δὲ τοῦ περὶ Ἑρμηνείας τὸ Περὶ καταφάσεως καὶ ἀποφάσεως. Περὶ δὲ τῆς εἰς τὰ κεφάλαια διαιρέσεως, ταὐτὸν δὲ εἰπεῖν περὶ τῆς εἰς τὰ μόρια, φαμὲν ὅτι εἰς πέντε τμήματα τὸ παρὸν διαιρεῖται σύγγραμμα.

Ὁ δὲ διδασκαλικὸς τρόπος τετραχῶς ἐστί, διαιρετικὸς ὁριστικὸς ἀποδεικτικὸς ἀναλυτικός.

Ὁ δὲ χαρακτὴρ ἰσχνὸς καὶ πάνυ ἀσαφής. κέχρηται δ᾽ αὐτῷ οὐχ ὥς τινές φασι βασκαίνων τῆς τούτων μετουσίας ἡμῖν (οὐ γὰρ ἂν ὅλως εἶπέ τι περὶ τούτων) ἀλλ᾽ ὡς δείξων τοὺς γνησίους τῆς φιλοσοφίας ἐραστὰς τῶν νόθων, οἷς σπουδῇ καὶ μελέτῃ πάντα ληπτὰ γίνεται. Εἰς ποῖον δὲ μέρος ἀναφέρεται, ἐν ταῖς προτελείαις τῶν Ἀναλυτικῶν μαθησόμεθα. νῦν δὲ χωρήσωμεν εἰς τὴν ἐξήγησιν τῆς λέξεως.

καὶ τελεοῦται θεοῦ χορηγίᾳ τὸ περὶ ἑρμηνείας.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΙΤΑΛΟΥ (*). Ἡ λογικὴ πραγματεία τέλος ἔχει τὴν εὕρησιν τῆς ἀποδείξεως. προηγεῖται δὲ ταύτης ἡ τοῦ ἁπλοῦ συλλογισμοῦ γνῶσις, καὶ ταύτης ἡ περὶ προτάσεων γνῶσις, ταύτης δὲ ἡ τῶν ἁπλῶν φωνῶν διδασκαλία. διδάξας οὖν περὶ ταύτης ἐν ταῖς Κατηγορίαις νῦν παραδίδωσι τὰς προτάσεις, αἵτινες ὠνομάσθησαν διὰ τὸ προτείνεσθαι ὑπὸ τῶν συλλογίσασθαί τι βουλομένων τοῖς προσδιαλεγομένοις. πέντε δὲ ὄντων τῶν τοῦ λόγου εἰδῶν, περὶ ὧν καὶ ἐν ἄλλοις εἴρηται, περὶ μόνου τοῦ ἀποφαντικοῦ ἐνταῦθα διαλαμβάνει· τοῦτο γάρ ἐστι δεκτικὸν ἀληθείας καὶ ψεύδους, καὶ ὑπὸ τοῦτο τελοῦσιν αἱ ἀποδείξεις. περὶ δὴ τούτου οὐ παντὸς ἀλλὰ μόνου τοῦ εἴδους αὐτοῦ τοῦ κατηγορικοῦ ὡς συμβαλλομένου αὐτῷ εἰς τὴν ἀπόδειξιν· τὸ γὰρ ὑποθετικὸν ἐλλιπὲς καὶ διὰ τοῦ κατηγορικοῦ τελειούμενον, διὸ τοὺς μὲν κατηγορικοὺς συλλογισμοὺς ἁπλῶς συλλογισμοὺς λέγομεν, τοὺς δὲ ὑποθετικοὺς ἐξ ὑποθέσεως συλλογισμούς. σκοπὸς οὖν τῷ Ἀριστοτέλει εἰπεῖν περὶ τῆς πρώτης συνθέσεως τῶν

(*) Ἰωάννου φιλοσόφου τοῦ Ἰταλοῦ εἰς τὸ περὶ Ἑρμηνείας (paulo infra τοῦ κυροῦ Ἰω καὶ πρώτου τῶν φιλοσόφων τοῦ Ἰταλοῦ εἰς τὸ περὶ Ἑρμηνείας Ἀριστοτέλους ἔκδοσις ἐπίτομος) Cod. Paris. Reg. 1843 f. 62.

φησί, καὶ ἄλλοι τρόποι εὑρεθεῖεν τοῦ ἔχειν· καὶ γὰρ αὐτὸς ἐν τοῖς Μετὰ τὰ Φυσικὰ (δ' 23) ἐζήτησε, καὶ ἐγὼ αὐτοῦ ἐμνήσθην ἐν τῇ τοῦ ἔχειν κατηγορίᾳ. ζητητέον δὲ πῶς τὴν διαίρεσιν τοῦ ἔχειν ὡς πολλαχῶς λεγομένου πεποίηται (εἰ γὰρ τοῦτο, πῶς γένος τὸ ἔχειν;) καὶ ἔτι μέντοι δι' ἣν αἰτίαν ἐπὶ τῷ τέλει ταύτην τὴν διαίρεσιν παραδέδωκε καὶ οὐκ ἐν τῇ τοῦ γένους τάξει. ἀλλ' ὅτι μὲν οὐχὶ τὸ ὡς γένος ἐστὶ τὸ νῦν διαιρούμενον, δῆλον· ἐκεῖνο μὲν γὰρ παράδειγμα ἐπῆγε τὸ ὑποδεδέχθαι τὸ ὡπλίσθαι, τὰ δὲ ἐνταῦθα τῇ αὐτῇ κατηγορίᾳ ὑποτάσσεται ᾗ καὶ τὰ ἐχόμενα.

ΕΙΣ ΤΟ ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ.

ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ (*). Πρὸ τῆς τ   σαφηνείας εἴπωμεν τὰ εἰωθότα προζητεῖσθαι κεφάλαια προτέλεια. εἰσὶ δὲ ταῦτα, τίς ἡ ὑπόθεσις ἤτοι ὁ σκοπὸς τοῦ παρόντος συγγράμματος, τὸ χρήσιμον, τίνα τάξιν ἔχει πρὸς τὰ ἄλλα τῆς λογικῆς πραγματείας συγγράμματα, τὴν αἰτίαν τῆς ἐπιγραφῆς, εἰ γνήσιόν ἐστιν Ἀριστοτέλους, τίς ἡ εἰς τὰ κεφάλαια διαίρεσις, τίς ὁ τρόπος ὁ διδασκαλικός, τίς ὁ χαρακτήρ, καὶ ὑπὸ ποῖον μέρος καὶ μόριον τῆς φιλοσοφίας ἀνάγεται. ὁ σκοπὸς τοίνυν ἐστὶ τῷ παρόντι συγγράμματι διαλεχθῆναι περὶ τῆς πρώτης συνθέσεως τῶν κατὰ τὴν δευτέραν θέσιν ἁπλῶν φωνῶν τῆς κατὰ τὸ κατηγορικὸν εἶδος τοῦ ἀποφαντικοῦ λόγου γινομένης. πρώτης δὲ λέγω, διότι τρεῖς εἰσὶ θέσεις καὶ δύο συνθέσεις, πρώτη μὲν θέσις αἱ ἁπλαῖ φωναὶ τῶν δέκα κατηγοριῶν, δευτέρα θέσις τὸ περὶ ἑρμηνείας (τίθησι γὰρ τὸ ὄνομα καὶ τὸ ῥῆμα ἁπλᾶς εἶναι φωνάς, καὶ ὁρίζεται τί ἐστιν ὄνομα καὶ τί ἐστι ῥῆμα), τρίτη θέσις τὸ περὶ συλλογισμῶν... τὸν τοίνυν σκοπὸν ἔχει διδάξαι περὶ ἀποφαντικοῦ λόγου μόνου. λέγομεν δὲ μόνου, διότι πενταχῶς ὁ λόγος, εὐκτικὸς κλητικὸς προστακτικὸς ἐρωτηματικὸς καὶ ἀποφαντικός. ὅτι δὲ πέντε εἰσὶ καὶ οὐ πλείονες, ἐκ διαιρέσεως δείκνυται οὕτως. τῆς λογικῆς ψυχῆς αἱ δυνάμεις διτταί, αἱ μὲν ζωτικαὶ αἱ δὲ γνωστικαί. καὶ διὰ μὲν τῶν γνωστικῶν νοοῦμεν, ἃ δὲ νοοῦμεν ἀποφαινόμεθα, καὶ γίνεται ὁ ἀποφαντικός· διὰ δὲ τῶν ζωτικῶν ὀρεγόμεθα, καὶ ὀρεγόμεθα ἢ λόγου ἢ πράγματος ἢ πράξεως· ἀλλ' εἰ μὲν λόγου, ποιοῦμεν τὸν ἐρωτηματικόν, εἰ δὲ πράξεως, τὸν κλητικόν, εἰ δὲ πράγματος, εἰ μὲν κρείττονος, τὸν εὐκτικόν, εἰ δὲ χείρονος, τὸν προστακτικόν. ὥστε πέντε εἰσὶ μόνοι γενικοί. εἰ δὲ εὑρίσκονται καὶ ἄλλοι παρὰ τοῖς Στωϊκοῖς, οἵτινες εἰσὶν οὗτοι, ἐκθετικός, ἐκκείσθω εὐθεῖα γραμμή, ὑποθετικός, ὑποκείσθω τὴν γῆν κέντρου λόγον ἔχειν πρὸς τὸν οὐρανόν, ἀλλὰ καὶ αὐτοὶ εἰς τούτους ἀνάγονται.

διττός ἐστιν ὁ ἀποφαντικός, ἢ κατηγορικὸς ἢ ὑποθετικός. ἐλλιπὲς οὖν καὶ ἀτελές ἐστι τὸ ὑποθετικόν, καὶ διὰ τοῦτο προηγουμένης αὐτὸ σπουδῆς οὐκ ἀξιοῖ ὁ φιλόσοφος... μόνος ὁ ἄνθρωπος συλλογίζεται, καὶ μὴ καὶ τὰ θεῖα, οὐδὲ τὰ ἄλογα, διότι τὰ μὲν κρείττονα τοῦ ἀνθρώπου ἁπλῇ προσβολῇ τὰ πράγματα ἴσασιν... τὰ δὲ μετὰ τὰ Ἀναλυτικὰ διαιρεῖται εἰς τὰ Τοπικὰ ἤτοι τὴν διαλεκτικήν, ἐν ᾗ μέθεξίς ἐστι τοῦ ψεύδους, καὶ εἰς τοὺς Σοφιστικοὺς Ἐλέγχους, ἐν οἷς πλέον ἐστὶ τὸ ψεῦδος τῆς ἀληθείας, καὶ εἰς τὸ περὶ Ποιητικῆς, ἔνθα περὶ τοῦ πάντη ψευδοῦς διαλέγεται συλλογισμοῦ, ὡς πάντα πεποιημένα καὶ ἐπίπλαστα... καὶ περὶ μὲν τοῦ δημιουργικοῦ οὐδεὶς ἡμῶν λόγος, καλῶς τοῖς φιλοσόφοις εἰρημένον, τί μὲν ἐστι τὸ θεῖον, οὐκ ἴσμεν, τί δ' οὐκ ἔστιν, ἐπιστάμεθα· ἐξ ἀποφάσεως γάρ, οὐκ ἐκ καταφάσεως τὰ τοῦ θείου γινώσκομεν... καὶ εἰ μὲν λόγον ποιεῖς τὸν ἐρωτηματικὸν καὶ τὸν πυσματικόν, οἵτινες οὐδὲν διαφέρουσιν ἀλλήλων εἰ μὴ τῇ ἀποκρίσει, καθὸ τῷ μὲν ἐρωτηματικῷ ταχεῖα ἕπεται ἡ ἀπόκρισις, ὡς παρὰ Μενάνδρῳ (Meinek. p. 275) "οὐχ ὁ τρόφιμός σου πρὸς θεῶν Ὀνήσιμος ὁ νῦν ἔχων Ἀβρότονον τὴν ψάλτριαν ἔγημεν ἔναγχος;" πρὸς ὃ ταχεῖα ἡ ἀπόκρισις εἰπόντος "πάνυ μὲν οὖν." ἐν γὰρ τῇ ἀποκρίσει τοῦ ἐρωτηματικοῦ οὐ μόνον τοῖς συμβολικοῖς ἐπιρρήμασι δυνάμεθα χρῆσθαι, οἷον τῷ ναί ἢ τῷ οὔ, ἀλλὰ καὶ τῇ κατανεύσει καὶ ἀνανεύσει τῆς κεφαλῆς. ἐπὶ δὲ τοῦ πυσματικοῦ μεγάλη καὶ τελεία γίνεται ἡ ἀπόδοσις.

καλοῦσι δὲ οἱ μὲν Στωϊκοὶ τὸν ἀποφαντικὸν (λόγον) ἀξίωμα, τὸν δὲ κλητικὸν προσαγορευτικόν, τὸν δὲ εὐκτικὸν ἀρατικόν, καὶ προστιθέασι τούτοις ἄλλα εἴδη, διαπορητικόν, ὀμοτικὸν ἤτοι ἀπομοτικὸν καὶ κατομοτικόν, ὑποθετικόν, ἐκθετικόν, θαυμαστικόν, ἀφηγηματικόν, ὅμοιον ἀξιώματι. διαπορητικόν, ὅ ἐστιν ἐρώτησις αὐτοῦ πρὸς αὐτόν, ὥστε τὸ "Δάος προσῆλθε τί ποτ' ἀγγελῶν ἄρα;" καὶ "ὤ μοι ἐγὼ τί πάθω;" ὀμοτικὸν δὲ ὡς τὸ "ἴστω νῦν τόδε γαῖα" καὶ "ναὶ μὰ τόδε τὸ σκῆπτρον" καὶ "οὐ μὰ Ζῆν' Ἀγέλαε." ὑποθετικὸν δὲ ὡς τὸ "ὑποκείσθω ἡ γῆ σημείου λόγον ἔχουσα πρὸς τὸν ἥλιον" καὶ Δημοσθένης "εἰ τοίνυν ὁ Φίλιππος ταύτην ἔχε τὴν γνώμην ὡς χαλεπὸν τὸ πολεμεῖν Ἀθηναίοις ἔχουσι τοσαῦτα ἐπιτειχίσματα" καὶ τὰ ἑξῆς. ἐκθετικὸν ὡς τὸ "τὴν ἔκθεσιν φασιν οἱ γεωμέτραι." θαυμαστικὸν δέ, "ὡς καλός μοι ὁ πάππος ὦ μῆτερ." ἀφηγηματικὸν δὲ ὡς τὸ "Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν." ὅμοιον ἀξιώματι ὡς "ὡραΐζεται ἡ τύχη εἰς τοὺς βίους" καὶ τὸ "ἀγαθὸν τὸ τιμᾶν τοὺς γονεῖς καὶ σέβειν τοὺς νόμους." ὅμοιον δὲ ἀξιώματι εἴρηται καὶ οὐκ ἀξίωμα, διότι τὸ ἀξίωμα πάντως ἀληθές ἐστιν... οἱ δὲ Πυθαγόρειοι, οἷς φίλον πάντα ὑπὸ τὴν δεκάδα ἀνάγειν, προστιθέασι πέντε, ταῦτα δέ εἰσι τοῖς πέντε τῶν Περιπατητικῶν, δεκτικὰ ὄντα ἀληθείας καὶ ψεύδους, καὶ οὐκ εἰσὶν ἄλλα σημαινόμενα· ὁ μὲν γὰρ πυσματικὸς καὶ ὁ διαπορητικὸς ταὐτοί εἰσι τῷ ἐρωτηματικῷ, καθολικὴ γὰρ ἐν τοῖς τρισὶν ἐρώτησις, οὐ δίκαιον δὲ ἀπὸ μερικῶν τινῶν λέγειν αὐτῶν διαφοράν. ὁ μὲν πυσματικὸς κοινωνεῖ τῷ διαπορηματικῷ καθὸ ἐν ταῖς δυσίν ἐστιν ἡ ἐρώτησις, διαφέρει δὲ πάλιν καθὸ αὐτὸς μὲν πρὸς ἕτερον ἔχει τὴν ἐρώτησιν, ὁ δὲ διαπορητικὸς πρὸς ἑαυτόν...

(*) ἐξήγησις συντομωτάτη καὶ σαφεστάτη εἰς τὸ περὶ Ἑρμηνείας Cod. Coislin. 160 bombyc. f. 1–96.

τετράγωνον γάρ, τοῦ δὲ ποσοῦ ἀμειβομένου, μεῖζον γὰρ ἐξ ἐλάττονος. εἰ οὖν μήτε αὐξόμενον μήτε μειούμενον τὸ τετράγωνον ἀλλοίωσιν ὑπομένει, δῆλον ὡς ἄλλαι μὲν κινήσεις αἱ κατὰ αὔξησιν καὶ μείωσιν, ἄλλαι δὲ αἱ κατὰ ἀλλοίωσιν. εἰπὼν δὲ περὶ τῶν ἄλλων μεταβολῶν ὡς ἐναργῶς διαφερουσῶν ἀλλήλων, ἐπὶ τῆς ἀλλοιώσεως ἀπορίαν εἶναί φησι, μήποτε τὸ ἀλλοιούμενον καὶ κατὰ ἄλλην πάντως κινεῖται κίνησιν αὐτῷ τῷ ἀλλοιοῦσθαι, ὥσπερ λέγουσί τινες κατὰ τόπον κινεῖσθαι· οὗτοι δὲ Δημοκρίτῳ κατακολουθοῦντες καὶ περὶ τῶν ἄλλων ἀμφισβητοῦσι κινήσεων.

f. 3. καὶ οἱ περὶ Δημόκριτον δὲ καὶ ὕστερον οἱ περὶ Ἐπίκουρον τὰς ἀτόμους ἀπαθεῖς καὶ ἀποίους ὑποτιθέμενοι τῶν ἄλλων ποιοτήτων παρὰ τὰ σχήματα καὶ τὴν ποιὰν αὐτῶν σύνθεσιν, ἐπιγίνεσθαι λέγουσι τὰς ἄλλας ποιότητας, τάς τε ἁπλᾶς, οἷον θερμότητας καὶ λειότητας, καὶ τὰς κατὰ χρώματα καὶ τοὺς χυμούς. εἰ δὲ ἐν τῇ ποιᾷ συνθέσει τῶν ἀτόμων ταῦτα, καὶ ἡ ἀλλοίωσις αὐτὴ κατ' αὐτὰ ἂν εἴη μεταβολή. ἡ δὲ ποιὰ σύνθεσις αὐτῶν καὶ μετάθεσις καὶ τάξις οὐκ ἀλλαχόθεν ἢ ἐκ τῆς φορᾶς καὶ τῆς τοπικῆς κινήσεώς ἐστιν, ὥστε ἡ ἀλλοίωσις τῇ φορᾷ ἢ αὐτὴ ἢ παρακολουθοῦσα ταύτῃ καὶ ταύτης τι.

15b 1. f. 3 b. ὥσπερ τινὰς τῶν κατηγοριῶν, οὕτως καὶ τὴν κίνησιν ἐπιδεκτικὴν τοῦ ἐναντίου θεασάμενος, ἁπλῶς μὲν τῇ κινήσει τὴν ἠρεμίαν εἶναί φησιν ἐναντίαν, οὐ τὴν στάσιν καλῶν ἀλλὰ τῆς κινήσεως ἀπόφασιν καὶ στέρησιν, ταῖς δὲ καθ' ἕκαστα κινήσεσι τὰς καθ' ἕκαστα κινήσεις, γενέσει μὲν φθοράν, αὐξήσει δὲ μείωσιν· αὗται γὰρ κατὰ συζυγίαν ἀντίθετοι προήχθησαν. ἡ δὲ κατὰ τόπον, μία εἶναι δοκοῦσα, τί ἂν ἔχοι ἐναντίον, ἢ καθόσον μὲν κίνησις κατὰ τόπον τὴν κατὰ τόπον ἠρεμίαν, καθόσον δὲ ἐναντιώσεις εἰσὶ τοπικαί (ἐναντίον γὰρ τὸ ἄνω τῷ κάτω), κατὰ τοῦτο καὶ κίνησις εὑρεθήσεται ἐναντία ἐπὶ τὸν ἐναντίον τόπον... f. 4. ζητοῦσι δὲ καὶ ἐπὶ τῆς γενέσεως καὶ φθορᾶς τίνας αὐταῖς ἠρεμίας ἀντιθετέον, καὶ λέγουσι τῇ μὲν γενέσει τὴν τοῦ μὴ εἶναι. οὕτως δὲ καὶ τῇ μὲν αὐξήσει ἡ κατὰ ἀτελὲς ἠρεμία ἀντίκειται, τῇ δὲ μειώσει ἡ κατὰ τὸ τέλειον. Πλωτῖνος δὲ ἐφίστησιν ὅτι ἀποφάσεώς ἐστι τοῦ κινεῖσθαι ἡ ἠρεμία, διότι οὐδὲ ἐν γένει ἄλλῳ ἠρεμία.

15b 8. f. 4. ὁ μέντοι Βοηθὸς τὴν ἀντικειμένην ἠρεμίαν τῇ κατὰ ποιότητα κινήσει οὐκ ἀξιοῖ ποιότητα εἶναι, οὐδὲ τὴν κατὰ μέγεθος, οὐδὲ τὴν κατ' οὐσίαν, ἐναργὲς λέγων τοῦτο εἶναι ἐκ τῆς κατὰ τόπον· ἄλογον γὰρ τὴν ἐν τόπῳ ἠρέμησιν τόπον καλεῖν. οὐ μέντοι οὐδὲ ἀποφάσεις τῶν κατ' αὐτὰς κινήσεων τὰς ἠρεμίας εἶναι συγχωρεῖ, ἀλλὰ σχέσιν εἶναι τὴν ἠρέμησιν καὶ τὴν κίνησιν πρός τε τὸν χρόνον καὶ τὸ εἶδος, καθὸ ἂν τύχῃ κινούμενόν τι ἢ ἠρεμοῦν. "ἔοικε γάρ" φησιν "ὁ χρόνος φύσιν ἔχειν ὥστε ἀεὶ ῥεῖν καὶ εἰς ἑτεροῖα μεθίστασθαι. διὰ δὴ τοῦτο συμπαρήκει πάσῃ κινήσει καὶ ἠρεμίᾳ. ἡ μὲν οὖν κίνησις ὁμοίως ἔχει πρός τε τὸν χρόνον καὶ τὸν τόπον."... ταῦτα μὲν οὖν ὁ Βοηθὸς κατὰ τὴν ἑαυτοῦ ἀγχίνοιαν διακρίνει· μήποτε δὲ οὔτε ἡ κίνησις οὔτε ἡ ἠρεμία σχέσις πρὸς χρόνον ἐστίν, εἴπερ ἀριθμὸς κινήσεως ὁ χρόνος. ἀλλὰ ζητεῖν οἶμαι ἄξιον διὰ τί τῇ κινήσει μὴ τὴν στάσιν ἀντιτίθεμεν ὡς εἶδος εἴδει. τῶν παρὰ Πλάτωνι τοῦ ὄντος γενῶν καὶ ἡ κίνησίς ἐστι καὶ ἡ στάσις... καὶ ἡ στάσις αὕτη οὐκ ἀπόφασίς ἐστι τῆς κινήσεως· οὐ γὰρ κατὰ ἀπόφασιν κινήσεως ἕστηκε πρὸς τὸ κέντρον ἡ γῆ, ὥσπερ οὐδὲ ὁ οὐρανὸς κατὰ ἀπόφασιν στάσεως κύκλῳ κινεῖται· ἔχει γὰρ καὶ ἡ στάσις οὐκ ἐλάττονα τῆς κινήσεως ἐνέργειαν, ὡς δηλοῖ τὸ μηδὲ αὐτὴν εἶναι τὴν κίνησιν στάσεως τελέως ἀναιρεθείσης... f. 4 b. ὡς μέντοι ἐναντίον εἶδος τὴν στάσιν οἶμαι ἀντιθετέον τήν τε πρὸ τῆς κινήσεως καὶ μετὰ τὴν κίνησιν, τάχα δὲ καὶ τὴν ἐν αὐτῇ τῇ κινήσει. καὶ ἐκεῖνο δὲ μὴ παρῶμεν ζητεῖν, διὰ τί μεταβολῆς οὔσης ἐν τοῖς γεννητοῖς πράγμασι καθ' ἑκάστην τῶν κατηγοριῶν, κατὰ τέσσαρας μόνας ἀφωρίσαντο τὰς μεταβολάς, οὐσίαν ποσὸν ποιὸν καὶ ἔτι τὸ ποῦ... ὃ δὲ μάλιστα θαυμάζω, πῶς κατὰ τὸν τόπον κίνησιν ἰδόντες κατὰ χρόνον οὐκ ἐθεάσαντο, εἰ μὴ ἄρα ὁ κίνησιν χρόνου τιθεὶς καὶ χρόνον χρόνου λέγειν ἀναγκασθήσεται. πῶς δὲ αὐτὸς Ἀριστοτέλης ἐν τῷ τρίτῳ τῆς Φυσικῆς (3 1 p. 201 8) σαφῶς εἰπὼν "ὥστε κινήσεως καὶ μεταβολῆς ἐστὶν εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος," ὅμως καὶ ἐν τῷ πέμπτῳ τῆς πραγματείας ἐκείνης καὶ ἐνταῦθα οὐκέτι δέκα ἀλλὰ τέσσαρα εἴδη κινήσεως ἀπαριθμεῖται; ἐπειδὴ δὲ ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς Ἀκροάσεως καὶ τὰς αἰτίας ἀποδιδόναι προτίθεται ὁ Ἀριστοτέλης δι' ἃς ἐν τοῖς ἄλλοις γένεσιν οὔ φησιν εἶναι κίνησιν ἢ μεταβολήν, πρὸς μὲν ἐκείνους τοὺς ἀπολογισμοὺς ἐπειράθην τι λέγειν ἐν ταῖς εἰς ἐκείνην τὴν πραγματείαν σχολαῖς, ἵνα δὲ μὴ τολμηρόν τις ἡγῆταί με λίαν ἄκραντα γαρυόμενον Διὸς πρὸς ὄρνιχα θεῖον κατὰ Πίνδαρον (Olymp. 2 87), ἐθέλω καὶ τὸν ἄριστον τῶν αὐτοῦ μαθητῶν τὸν Θεόφραστον ἐπιδεῖξαι ταῖς ἐμαῖς ἐπινοίαις συμψηφιζόμενον. λέγει γὰρ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ τῶν φυσικῶν οὕτως· "περὶ δὲ κινήσεως τὸν μὲν κοινὸν καὶ καθόλου λόγον οὐ χαλεπὸν ἀποδοῦναι καὶ εἰπεῖν ὡς ἐνέργειά τις ἐστὶν ἀτελὴς τοῦ δυνάμει ὄντος ᾗ τοιοῦτον καθ' ἕκαστον γένος τῶν κατηγοριῶν, ὃ καὶ διὰ τῆς αἰσθήσεως σχεδὸν φαίνεται." ἀλλὰ ταῦτα μὲν κατὰ τῆς πολλῆς συνηθείας τῶν φιλοσόφων ἠπορημένα ἀκριβεστέρας καὶ παρ' ἡμῶν καὶ παρ' ἄλλων τυγχανέτω ζητήσεως· μήποτε δὲ οὐδὲ ἀπορίας ἄξια τυγχάνουσιν. οἱ μέντοι Στωϊκοὶ διαφέρειν ἀλλήλων ἡγοῦνται τὸ μένειν τὸ ἠρεμεῖν τὸ ἡσυχάζειν τὸ ἀκινητεῖν τὸ ἀκινητίζειν· μένειν γὰρ ἂν ῥηθῆναι πρὸς ἕνα χρόνον, ἀλλὰ πρὸς τὸν ἐνεστῶτα καὶ μέλλοντα· μένειν γὰρ λέγομεν τὸ κατέχον τὸν αὐτὸν χρόνον καὶ καθ' ἕξιν· τὸ γὰρ κατεσχηκὸς μεμενηκέναι λέγομεν. χρώμεθα δέ, φασί, καὶ ἐπὶ τοῦ μὴ κινεῖσθαι τῷ μένειν, ὥστε καταχρηστικῶς εἰπεῖν ἄν τινα καὶ ἐπὶ τῶν ἀσωμάτων τὸ μένειν ἀντὶ τοῦ μὴ κινεῖσθαι. κοινὸν μὲν οὖν πάντων τῶν σωμάτων τὸ μένειν, τὸ δὲ ἠρεμεῖν, φασί, μήποτε ζῴων ἐστὶ σύμπτωμα· λίθος γὰρ οὐκ ἠρεμεῖ. ζῴων δὲ καὶ τὸ ἡσυχάζειν. τὸ ἀκινητεῖν καὶ ἀκινητίζειν ἐπὶ τῶν σωμάτων λέγεται ἃ πέφυκε μὴ κινεῖσθαι, ἀντὶ τοῦ μὴ κινεῖσθαι δὲ λέγεται.

f. 5. Καὶ περὶ τοῦ ἔχειν εἰκότως διδάσκει, διότι περὶ τῶν 15b 17.
γενῶν διαλεγόμενος τὸ γένος τοῦτο συντόμως παρῆλθε. τελευταῖον δὲ τέθεικεν αὐτό, διότι καὶ ἐν τοῖς γένεσι τελευταίαν αὐτῷ τάξιν αὐτὸς ἀποδέδωκε, τοῦ Ἀρχύτου μετὰ τὰς τέσσαρας τὰς πρώτας τὴν τοῦ ἔχειν κατηγορίαν τάξαντος, ὡς εἴρηται. λέγει δὲ ὁμώνυμον εἶναι τὸ ἔχειν καὶ ἑκταχῶς λέγεσθαι... καὶ ὅτι τὸ ἔχειν τοῦτο συνοικεῖν σημαίνει· καὶ γὰρ καὶ Ὅμηρος τάττει τὸ ἔχειν ἐπὶ τοῦ οἰκεῖν, "οἳ δ' εἶχον κοίλην Λακεδαίμονα, οἳ δ' εἶχον Ἀρκαδίην." ἴσως δέ,

καὶ εἴδη δὲ κοινότερα εἶπεν· οὐ γὰρ δοκεῖ αὐτῷ γένος εἶναι ἡ μεταβολή, ἣν διαιρεῖ ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς Ἀκροάσεως εἴς τε γένεσιν καὶ φθορὰν καὶ εἰς τὰς ἄλλας μεταβολάς, ἃς κινήσεις καλεῖ, αὔξησιν μείωσιν ἀλλοίωσιν καὶ τὴν κατὰ τόπον μεταβολήν. ἀλλὰ τίς μὲν ἡ οὐσία τῆς κινήσεως καὶ τίς ὁ ὅρος αὐτῆς, καὶ εἰ γένος ἐστὶν ἢ οὔ, καὶ τὰ ἄλλα περὶ αὐτῆς ἀκριβῆ θεωρήματα ἐν ἄλλοις ἐξήτασται, τῆς φυσικῆς ὄντα πραγματείας οἰκεῖα· διαιρέσεις δέ τινας αὐτῆς παραδέδωκεν, ὥσπερ εἰώθει ἐν ταῖς εἰσαγωγαῖς γίνεσθαι.

ἈΜΜ. f. 147 b. ζητητέον δὲ τίνος ἕνεκεν ἐνταῦθα ταύτης ἐμνήσθη. τινὲς μὲν οὖν εἰρήκασιν ὅτι ἐπειδὴ τῶν κατηγοριῶν αἱ τοῦ ποιεῖν καὶ πάσχειν κινήσεις ἦσαν, οὐδὲν δὲ εἶπε περὶ αὐτῶν, διὰ ταύτην τὴν αἰτίαν ἐνταῦθα τὸν περὶ τῆς κινήσεως ποιεῖται λόγον. μήπως γάρ, φασίν, ἡ μὲν κίνησίς ἐστι γένος, εἴδη δὲ τῆς κινήσεως ἄλλα τε πολλὰ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν. τινὲς μὲν οὖν οὕτω περὶ τούτων διωρίσαντο, οὐκ ἀποδεκτέον δὲ τὸν τοιοῦτον λόγον· οὐ γὰρ προῄρηται ὁ φιλόσοφος περὶ τοῦ ποιεῖν καὶ πάσχειν πλέον τι τῶν ἐξ ἀρχῆς εἰρημένων εἰπεῖν. ἄλλως τε καὶ ὡς ἐν ἀρχαῖς ἐλέγομεν, τὸ μὲν κινεῖν ὑπὸ τὸ ποιεῖν ἀνάγεται καὶ τὸ κινεῖσθαι ὑπὸ τὸ πάσχειν, αὕτη μέντοι ἡ κίνησις οὐκέτι· οὐ γάρ ἐστιν ἡ κίνησις ποιεῖν. ἐλέγομέν τε ὅτι αἱ κινήσεις οὐ κατηγορίαι εἰσὶν ἀλλ' ὁδὸς εἰς τὰς κατηγορίας. τί οὖν ἡμεῖς λέγομεν; ὅτι ὥσπερ τῶν προλαβουσῶν φωνῶν τὴν διδασκαλίαν ἐποιήσατο διὰ τὸ μεμνημονευκέναι αὐτῶν ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ, οὕτω δὴ κἀπὶ τῆς κινήσεως ἐροῦμεν· ἐμνημόνευσε γὰρ τῆς κινήσεως ἐν τῷ περὶ τῆς οὐσίας λόγῳ.

ΣΙΜΠΛ. φ΄ f. 2. ἐγκαλεῖ δὲ ὁ Νικόστρατος ὅτι ἐν μὲν τῇ Φυσικῇ Ἀκροάσει (5 1) τὴν γένεσιν καὶ τὴν φθορὰν οὐ βούλεται εἶναι κινήσεις, ἐνταῦθα δὲ καὶ αὐτὰς εἰς τὰς κινήσεις συγκαταριθμεῖ. καίτοι ῥᾴδιον ἦν συνορᾶν ὅτι πρῶτον μὲν εἰκὸς ἦν κοινῶς ἐνταῦθα τῷ ὀνόματι χρήσασθαι τῆς κινήσεως ἀντὶ τῆς μεταβολῆς, ἐπεὶ ταὐτὸ ἐνταῦθα, ὡς ἐν εἰσαγωγῇ κατὰ τὴν κεκρατηκυῖαν συνήθειαν ἐχρήσατο τῷ ὀνόματι, ὕστερον δὲ ἐν τῇ Φυσικῇ Ἀκροάσει προηγούμενον περὶ τούτου ποιούμενος λόγον τὸ ἀρέσκον ἑαυτῷ δοκιμάζει, τὰ γινόμενα καὶ φθειρόμενα μὴ ἀξιῶν λέγειν κινεῖσθαι, διότι ἡ κίνησις τῶν ὑφεστηκότων ἐστίν. μεταβάλλει δὲ καὶ ταῦτα καὶ ἐκεῖνα· διὸ κοινὴν ἔθετο τὴν μεταβολὴν ἐκεῖ, καὶ τὴν γένεσιν καὶ φθορὰν οὐκέτι κινήσεις ἀλλὰ μεταβολὰς ἀφωρίσατο. ἱστέον δὲ ὅτι Δημόκριτος ἀρχὰς τῶν ὄντων τὰς ἀτόμους ὑποθέμενος μόνην τὴν κατὰ τόπον εἰσῆγε κίνησιν· καὶ γὰρ τὰ ἀλλοιούμενα κατὰ τόπον ἡγεῖτο κινεῖσθαι, λανθάνειν δὲ ἐν τῷ μὴ ὅλα τὰ μέρη τόπον ἀμείβειν ἀλλά τινα ἀφανῆ ἡμῖν ὄντα· διὸ μόνα δοκεῖν κατὰ τόπον κινεῖσθαι τὰ αἰσθητὰ συγκρίματα μεταβάντα τόπον ἐκ τόπου, ἢ ὅλα ὁμοῦ, ἢ ὧν ἂν μέρη αἰσθητὰ κινῆται τοὺς ἀλλήλων μεταλαμβάνοντα τόπους, ὡς τὰ ἡμικυκλίου καὶ τῆς σφαίρας μέρη, ὅταν περὶ ἄξονα ἡ στροφὴ γίνηται. Πλάτων δὲ συνιδὼν ὅτι πολλὰ τῶν κινουμένων οὐ κατὰ τόπον κινεῖται, ὡς τὰ θερμαινόμενα καὶ λευκαινόμενα, δεύτερον εἰσήγαγε τὴν ἀλλοίωσιν ὡς ἑτέραν τῆς κατὰ τόπον καὶ μήτε κατὰ ἀντιμετάστασιν μερῶν μήτε κατὰ τὴν τῶν ὅλων ἔκστασιν γινομένην. Ἀριστοτέλης δὲ καὶ τὴν κατὰ ποσὸν προσέθηκεν, ὡς μὲν ἀξιοῦσί τινες, μικτὴν οὖσαν ἐξ ἀλλοιώσεως καὶ φθορᾶς, μᾶλλον δὲ ἁπλῆν οὖσαν· τῆς γὰρ ἀλλοιώσεως διαφέρει ὅσον τὸ ποσὸν τοῦ ποιοῦ διενήνοχε, τῆς δὲ φορᾶς, ὅτι οὐκ ἀπολείπει τόπον ὡς τὰ φερόμενα, εἰ δὲ ἐπιλαμβάνει τόπον πλείω τοῦ ἐξ ἀρχῆς τὸ αὐξόμενον ἢ ἀπολείπει τὸ μειούμενον, ἡ ἐπίληψις καὶ ἀπόληψις (f. 2 b) τοῦ τόπου κατὰ συμβεβηκὸς γίνεται, προηγουμένως δὲ ἡ κατὰ τὸ ποσὸν συνίσταται κίνησις. ὁ μέντοι Πλάτων πᾶσαν τὴν κατ' εἶδος διαφορὰν μένοντος τοῦ ὑποκειμένου ὡς ἀλλοῖον ἀλλ' οὐχὶ ὡς ἄλλο ποιοῦσαν ἀλλοίωσιν ἐκάλεσεν· ὑπέπιπτε δὲ αὐτῇ καὶ ἡ αὔξησις καὶ ἡ κατὰ ποιότητα μεταβολή. μήποτε δὲ καὶ αὔξησις καὶ μείωσις ἐν μέσῳ τῆς τε γενέσεως καὶ φθορᾶς καὶ τῆς ἀλλοιώσεως καθεστήκασιν· καὶ γὰρ καθόσον μὲν οὐσία οὐσίας προσθήκη γίνεται καὶ ἀποβολή, γενέσει καὶ φθορᾷ ἔοικε, καθόσον μέντοι μένοντος τοῦ αὐτοῦ εἴδους ἡ μεταβολὴ γίνεται, ἀλλοίωσις μᾶλλόν ἐστι τὸ συμβαῖνον. οἶδε μέντοι καὶ ὁ Πλάτων τὴν αὔξησιν καὶ μείωσιν καὶ πρὸ Ἀριστοτέλους ἐν τῷ δεκάτῳ τῶν Νόμων (p. 893) γράφων οὕτως "καὶ μὴν συγκρινόμενα αὐτῶν αὐξάνεται, διακρινόμενα δὲ φθίνει τότε ὅταν ἡ καθεστηκυῖα τάξις ἑκάστων διαμένῃ." αὐτὸς μέντοι οὐχὶ ἓξ μόνον ἀλλ' ὀκτὼ ποιεῖ τὰ τῶν φυσικῶν κινήσεων εἴδη, προστιθεὶς τούτοις τὴν σύγκρισιν καὶ διάκρισιν τῶν σωμάτων, ἑπομένην μὲν τῇ κατὰ τόπον κινήσει, οὐκ ἄλλην δὲ παρ' αὐτὴν οὖσαν. λαμβάνεται δὲ τοῦ Ἀριστοτέλους ὁ Νικόστρατος ὡς οὐ καλῶς διάφορον τῆς αὐξήσεως τὴν ἀλλοίωσιν διὰ τοῦ παραδείγματος ἀποδείξαντος τοῦ κατὰ τὸ τετράγωνον καὶ τοῦ γνώμονος παράθεσιν, ὡς αὐξανομένου μέν, οὐ μέντοι ἀλλοιουμένου· διπλᾶ γάρ φησιν εἶναι τὰ σχήματα... ἔδει δὲ ἐννοεῖν ὅτι καὶ αὐξάνεσθαι δυνατὸν ἐν τῇ αὐτῇ μορφῇ μένον καὶ τῇ αὐτῇ ποιότητι, κατὰ μέγεθος μόνον γινομένης τῆς διαφορᾶς, ὡς ὅταν τοῦ Ἀλεξάνδρου εἶδος καὶ ἐν σφενδόνῃ δακτυλίου γένοιτο καὶ ἐν τῷ Ἄθῳ εἰς κολοσσὸν Ἀλεξάνδρου σχηματισθέντι

f. 2 b. ἀλλὰ τίς ὁ γνώμων καὶ πῶς τὸ τετράγωνον αὔξεται τῇ 15. 30.
περιθέσει τοῦ γνώμονος, σαφέστερον διὰ τοὺς ἀγεωμετρήτους ῥητέον. τετράγωνον σχῆμα καλεῖται τὸ τὰς τέσσαρας πλευράς τε καὶ γωνίας ἴσας ἀλλήλαις ἔχον, οἷον τὸ αβγδ· τούτου διάμετρος ἤχθω ἡ βγ΄, καὶ εἰλήφθω ἐπὶ τῆς αβ΄ τυχὸν σημεῖον τὸ ε΄, καὶ διὰ τοῦ ε΄ ὁποτέρᾳ τῶν αγ΄ βδ΄ παράλληλος ἤχθω ἡ εζ΄, διὰ δὲ τοῦ η΄, ὅπερ ἐστὶ κοινὴ τομὴ τῆς τε διαμέτρου καὶ τῆς ἀχθείσης παραλλήλου, ὁποτέρᾳ τῶν αβ΄ γδ΄ παράλληλος ἤχθω ἡ ηθ΄. καὶ ἐν τῷ αβγδ΄ χωρίῳ τεσσάρων ὄντων τετραπλεύρων, τοῦ κα΄ καὶ ἔτι τοῦ βκ΄ καὶ κγ΄ καὶ κδ΄, τετράγωνά ἐστι τὰ δύο ακ΄ κδ΄, ἅπερ παραπληρώματα λέγεται ὡς συμπληροῦντα τὸ ὅλον σχῆμα μετὰ τῶν δύο τετραγώνων προηγουμένην ἐχόντων τάξιν διὰ τὸ ὡρισμένον. ταῦτα οὖν τὰ δύο παραπληρώματα, τὸ ακ΄ κδ΄, μετὰ ἑνὸς τετραγώνου ὁποιουοῦν γνώμων καλείσθω, καὶ ὅτι τῷ τρίτῳ στοιχείῳ ἔοικε τὸ σχῆμα (f. 3) καὶ ὅτι γνωματεύει καὶ κρίνει τὸ λοιπόν· καὶ γὰρ ἀφαιρούμενος ὁμοιόσχημον τῷ ὅλῳ τῷ ἐξ ἀρχῆς τὸ καταλειπόμενον ποιεῖ, καὶ προστιθέμενος ὁμοιόσχημον τῷ ὅλῳ τῷ ἐξ ἀρχῆς. ἐπεὶ οὖν τετράγωνόν ἐστι τὸ καταλειπόμενον ἀφαιρουμένου τοῦ γνώμονος, δῆλον ὅτι κἂν τετραγώνῳ γνώμων προστεθῇ, τετράγωνον γίνεται τὸ ὅλον, τοῦ μὲν ποιοῦ μένοντος,

f. 8. λέγεται δὲ πρότερον καὶ κατὰ φύσιν καὶ οὐσίαν ὅσα αὐτὰ μὲν ἐνδέχεται ἄνευ ἄλλων εἶναι, ἐκεῖνα δὲ ἄνευ τούτων μὴ ἐνδέχεται· ᾧ τρόπῳ καὶ ὁ Πλάτων ἐχρήσατο καὶ αὐτὸς ἐνταῦθα. οὕτω μὲν οὖν ἐκεῖ τοὺς τοῦ προτέρου καὶ ὑστέρου τρόπους ἀπηριθμήσατο, καὶ δῆλον ὅτι περιέχονται ἐν τούτοις οἱ ἐν ταῖς κατηγορίαις εἰρημένοι, ὁ μὲν κατὰ χρόνον καὶ ὁ κατὰ τάξιν καὶ ὁ κατὰ δύναμιν ἐν τῷ πρώτῳ, τὰ δὲ κατὰ φύσιν καὶ αἰτίαν ἐν τῷ ἐσχάτῳ. οἱ μέντοι πέντε τρόποι οἱ ἐν ταῖς κατηγορίαις ἀναχθήσονται εἰς τὰ ἀνωτάτω γένη οὕτως, ὁ μὲν κατὰ χρόνον εἰς τὴν ποτὲ κατηγορίαν, ὁ δὲ κατὰ φύσιν καὶ τὸ συναναιρεῖν μὲν μὴ συναναιρεῖσθαι δὲ καὶ ὁ κατὰ δύναμιν καὶ ὁ κατὰ αἰτίαν ὑπὸ τὰ πρός τι, ὁ δὲ κατὰ τάξιν ὑπὸ τὸ κεῖσθαι. δῆλον δὲ ὅτι καὶ τὸ ὕστερον ἐν ταῖς αὐταῖς ἔσται κατηγορίαις ἐν αἷς καὶ τὸ πρότερον. καὶ ὁ Στράτων δὲ ὁ Λαμψακηνὸς ἐν τῇ περὶ τοῦ Προτέρου καὶ Ὑστέρου μονοβίβλῳ πολλοὺς ἀπηριθμήσατο τρόπους, οὓς νομίζω δυνατὸν εἶναι ὑπὸ τοὺς πέντε τοὺς ἐνταῦθα λεγομένους ἀναγαγεῖν οἷον μερισμὸν ἐκείνων ὄντας. ὑπὸ μὲν γὰρ τὸ τῷ χρόνῳ πρότερον ταχθήσεται τὸ ἀτελὲς τοῦ τελείου λεγόμενον, διότι ἔσχατον ἐν πᾶσι τὸ τέλος· τὸ δὲ αὐτὸ καὶ ὑπὸ τὴν τάξιν. ἔτι δὲ ὑπ᾽ ἄμφω ταῦτα καὶ ὃ τῇ ἀξίᾳ καὶ δυνάμει καὶ τῇ φύσει πρότερόν ἐστιν, οὗ ἐπιστήμη πρότερον, οἷον μονάδος ἢ δυάδος καὶ πλήθους ἢ ἀρτίου καὶ περιττοῦ· ταῦτα γὰρ οὐδὲ ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, ὥσπερ οὐδὲ ἡ ἐπιστήμη αὐτῶν. πρῶτον δὲ καὶ τῷ χρόνῳ καὶ τῇ ἀξίᾳ, ὧν τὸ ἔργον πρότερον, οἷον τὸ ἀγαθὸν τοῦ κακοῦ· τὸ μὲν γὰρ σωτηρίας τὸ δὲ φθορᾶς αἴτιον, πρῶτον δὲ τὸ εἶναι τοῦ φθείρεσθαι καὶ χρόνῳ καὶ ἀξίᾳ. πρῶτον δὲ τῇ φύσει ὡς μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, ὅπερ δυνατὸν εἶναι θατέρου μὴ ὄντος, ὡς τόπος σώματος καὶ σῶμα χρώματος. ὁμοίως δὲ καὶ εἰ θάτερον ἐν θατέρῳ πέφυκε γίνεσθαι, οἷον ἡ οὐσία ποιοῦ καὶ ποσοῦ. οὕτως δὲ καὶ τὸ κατὰ φύσιν πρότερον τοῦ παρὰ φύσιν (f. 8 *b*) καὶ ὁ νόμος τῆς παρανομίας καὶ ἡ ἕξις τῆς στερήσεως. ὑπὸ δὲ τὸ τῇ ἀξίᾳ πρότερον καὶ τὸ δυνάμει τάττοιτο ἂν τὰ τῷ τιμιωτέρῳ συγγενέστερα, ὡς τὸ ποσὸν τοῦ ποιοῦ προτάττοιτο ἄν, διότι τὸ μὲν ποσὸν μέρος τῆς οὐσίας τὸ δὲ ποιὸν οὔ. καὶ εἰ τὸ μὲν μετέχει γενέσεως καὶ φθορᾶς, ὡς ὁ χρόνος, τὸ δὲ οὔ, ὡς ὁ τόπος, καὶ τὸ μὲν χωριστὸν τὸ δὲ οὔ· ἄνευ μὲν γὰρ αἰσθήσεως εἶναι τὴν ψυχὴν ἀδύνατον, ἄνευ δὲ ἐπιθυμίας εἶναι δυνατόν. καὶ τὸ ἀμερὲς τοῦ μεριστοῦ· ἀρχῇ γὰρ ὁμοιότερον· ὥστε καὶ κύκλου τὸ κέντρον. καὶ τὸ μᾶλλον τοῦ προτέρου μετέχον, ὡς τὸ ἀΐδιον μὲν τοῦ ἀγαθοῦ τὸ φθαρτὸν δὲ τοῦ κακοῦ, καὶ τὸ ἄρτιον δυάδος τὸ δὲ περιττὸν τριάδος. καὶ εἰ τὸ μὲν μένει χρόνον τινὰ τὸ δὲ οὐ μένει, οἷον σῶμα κινήσεως καὶ χρόνου. ὑπὸ δὲ τὸ τῇ τάξει πρότερον εἴη ἂν τὸ τοῦ μεταξὺ πρότερον, ὕστερον δὲ τὸ τοῦ μεταξὺ ὕστερον. ὑπὸ δὲ τὸ τοῖς ἀντιστρέφουσιν, ὡς αἰτιῶδες, πρότερον ἂν εἴη τὸ στοιχεῖον· καὶ γὰρ αὖ καὶ τὸ μέρος τοῦ ὅλου, ὡς τὸ πεπερασμένον τοῦ ἀπείρου. καὶ εἰ θάτερον ἐκ θατέρου, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος· ὑλικὸν γὰρ καὶ οὗτος αἴτιον. ὅτι δὲ καὶ τὸ αὐτὸ κατ᾽ ἄλλο καὶ ἄλλο καὶ πρότερον καὶ ὕστερον εἶναι δυνατόν, καὶ αὐτὸς ὁ Στράτων ἐνεδείξατο, τὸν χρόνον καὶ τὸν τόπον πρότερα καὶ ὕστερα ἀλλήλων δεικνύς.

14b 24. f. 8 *b*. Χρησάμενος καὶ τῷ ἅμα ἐν τοῖς περὶ τῶν πρός τι λόγοις, εἰκότως καὶ περὶ αὐτοῦ προτίθεται διδάξαι. μετὰ δὲ τὸ πρότερον καὶ ὕστερον τάττει τὸ ἅμα, διότι ἀντίκειται πρὸς ἐκεῖνα, ὡς δηλοῖ τὸ τῇ ἀποφάσει αὐτῶν δηλοῦσθαι· διὸ καὶ πρότερον τοῦ ἅμα σχεδὸν τοὺς ἀντιθέτους ἐκείνων τρόπους καὶ κατὰ τάξιν πως ἀπηριθμήσατο τὴν αὐτήν.

δεύτερον δὲ σημαινόμενον τοῦ ἅμα τίθησιν ὅπερ τῷ δευτέρῳ καὶ τῷ πέμπτῳ τοῦ προτέρου καὶ ὑστέρου σημαινομένῳ ἀντέθηκεν εἰκότως. 14b 27.

τρίτον τοῦ ἅμα σημαινόμενον παραδίδωσιν, ἅμα λέγων τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα ἀλλήλοις. ἀντιδιῃρῆσθαι δὲ λέγεται τὰ κατὰ (φ′ f. 1) τὴν μίαν καὶ τὴν αὐτὴν διαίρεσιν ἀναφερόμενα· ἑνὸς γὰρ ἔστιν ὅτε γένους πλείονες γίνονται διαιρέσεις, αἱ μὲν καὶ ἰσοστοίχως, ὡς ὅταν τῶν σωμάτων τὰ μὲν θερμὰ τὰ δὲ ψυχρὰ λέγωμεν, ἢ τὰ μὲν ἔμψυχα τὰ δὲ ἄψυχα· καὶ καλοῦσι ταύτας ἐπιδιαιρέσεις· αἱ δὲ τὸ πρότερον ἔχουσαι καὶ ὕστερον, ὡς ὅταν τὸ ἔμψυχον, ταὐτὸν δὲ εἰπεῖν τὸ ζῷον, διέλωμεν εἰς τὸ πτηνὸν καὶ τὸ χερσαῖον καὶ ἔνυδρον· καὶ καλοῦσι ταύτην τοῦ ζῴου ὑποδιαίρεσιν. ἀντιδιαίρεσις μέντοι ἐστὶν ἡ κατὰ τὴν αὐτὴν καὶ μίαν τομὴν γινομένη τῶν διαιρημάτων ἀντίθεσις, ὥστε τῷ μὲν ἐμψύχῳ τὸ ἄψυχον ἀντιδιῃρῆσθαι, ἐκ τῆς αὐτῆς γενόμενον τομῆς, τῷ δὲ πτηνῷ τὸ πεζὸν καὶ τὸ ἔνυδρον. καὶ ἕκαστον δὲ τούτων εἰς εἴδη πάλιν τέμνεται... τούτῳ δὲ τῷ ἅμα δοκεῖ μηδὲν ἀντικείμενον πρότερον καὶ ὕστερον παραδεδόσθαι. λέγει δὲ ὁ Ἰάμβλιχος ἀντικεῖσθαι τούτῳ τὰ κατὰ προτέραν καὶ ὑστέραν γινόμενα διαίρεσιν. 14b 33.

φ′ f. 1 *b*. ἔστι δὲ ἅμα καὶ τὰ ἐν τῷ αὐτῷ τόπῳ ἐγγινόμενα ἀλλήλων, ὥσπερ καὶ πρότερον καὶ ὕστερον ἐλέγετο κατὰ τόπον· τὰ γὰρ ἐν τῷ αὐτῷ τόπῳ καὶ ἐν τῷ αὐτῷ ἀγγείῳ ὄντα ἅμα λέγομεν καὶ ὁμοῦ, τὸ δὲ ἅμα τῷ ὁμοῦ ὡσαύτως λέγεται· ἢ δὴ ἅμα πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς, φησὶν Ὅμηρος... μήποτε δὲ οὐδὲν τούτων τῶν εἰρημένων ἅμα κυρίως δυνατὸν λέγειν, εἰ μὴ ἄρα πλατικῶς· οὔτε γὰρ ἐν τῷ αὐτῷ τόπῳ δύο σώματα εἶναι οὔτε κεῖσθαι δυνατόν, ἵνα καὶ ἅμα λέγηται κυρίως. διὸ καὶ παρῆκεν αὐτὰ ὁ Ἀριστοτέλης... μήποτε δὲ ἐν τῇ Μετὰ τὰ Φυσικὰ τὸ πρότερον καὶ ὕστερον κατὰ τόπον ἀφορίζεται, πρότερον μὲν καὶ κατὰ τόπον λέγων τὸ τῇ ὡρισμένῃ ἀρχῇ κατὰ τόπον πλησιαίτερον, ὕστερον δὲ τὸ πρότερόν ἐστι τὸ καὶ ἅμα κατὰ τόπον τῷ προτέρῳ τούτῳ καὶ ὑστέρῳ ἀντικείμενον. ἔστι δὲ καὶ ἄλλο ἅμα κατὰ τόπον, τῷ κατὰ τόπον χωρὶς ἀντικείμενον. εἰ δέ τις ἀπορεῖ διὰ τί μὴ πᾶσι τούτοις ἐπεξῆλθεν ὁ Ἀριστοτέλης, ἀρκεῖ λέγειν ὅτι ὅσα πρὸς σαφήνειαν αὐτῷ τῶν φθασάντων ἥρμοττε, ταῦτα διώρθωσε, τὰ περιττὰ παραλιμπάνων διὰ τὸ τῆς εἰσαγωγῆς σύμμετρον. 15a 12.

ἐμνημόνευσε μὲν τῆς κινήσεως καὶ ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ, αἱ δὲ περὶ τοῦ ποιεῖν καὶ πάσχειν κατηγορίαι οὕτως εἶχον συγγενῶς πρὸς τὴν κίνησιν ὡς καὶ γένος ἀμφοῖν δόξαι τὴν κίνησιν οὐ τοῖς τυχοῦσι τῶν φιλοσόφων. εἰκότως οὖν καὶ περὶ κινήσεως διαλέγεται τὰ εἴδη τῆς κινήσεως διαιρούμενος, τουτέστι τῆς μεταβολῆς· κοινότερον γὰρ κινήσεως εἶπεν ἀντὶ τῆς μεταβολῆς· ἐπειδὴ (f. 2) γὰρ ἐν τοῖς περὶ οὐσίας λόγοις τὴν ἄτομον οὐσίαν κατὰ τὴν ἑαυτῆς μεταβολὴν ἔλεγε δέχεσθαι τὰ ἐναντία, εἰκότως διαιρεῖται τὴν μεταβολήν. 15a 13.

14a 20. **ΣΙΜΠΛ.** υ′ f. 5. ταύτης δὲ τῆς διαιρέσεως ὁ Νικόστρατος λαμβάνεται, ἀνύπαρκτον λέγων τὸ τρίτον ἐν αὐτῇ τμῆμα· μὴ γὰρ εἶναί τινα ἐναντία ἅπερ ἐστὶ μόνον γένη, οὐχὶ δὲ καὶ εἴδη τινὸς ἢ τινῶν. αὐτίκα γοῦν τὸ ἀγαθὸν καὶ τὸ κακὸν ὑπὸ τὴν ποιότητα τάττεται καὶ ἤτοι τὴν διάθεσιν ἢ τὴν ἕξιν, ἄλλως δὲ πᾶν ἐναντίον ἤτοι ὑπό τι τῶν δέκα γενῶν ταχθήσεται καὶ ἔσται πάντως ὑπὸ γένος, καὶ μάτην εἴρηται τὸ αὐτὰ γένη εἶναι, ἢ ἔξω τῶν δέκα κατηγοριῶν ἐστί, καὶ ἀτελὴς ἔσται ἡ εἰς δέκα διαίρεσις. ταύτην δὲ τὴν ἀπορίαν καλῶς ἑρμηνεῦσαν οἱ περὶ τὸν Πορφύριον λύουσι, λέγοντες τῶν ἐναντίων τὰ μὲν ὁμώνυμα εἶναι τὰ δὲ οὐχ ὁμώνυμα, καὶ ὅτι τὰ μὲν μὴ ὁμώνυμα διεῖλεν εἴς τε τὰ ὑφ᾽ ἓν γένος τεταγμένα καὶ εἰς τὰ ὑπὸ τὰ ἐναντία γένη, τὰ δέ γε ὁμωνύμως μὴ ὑφ᾽ ἓν γένος ὄντα κατὰ πολλῶν δὲ λεγόμενα, διότι ἔοικε γένη τοῖς ἀφ᾽ ἑνὸς ὁμωνύμοις, αὐτὰ γένη φησὶν εἶναι. τοιοῦτον δὲ καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν· ὁμώνυμον γὰρ τὸ ἀγαθόν... Θεόφραστος δὲ ἐν τοῖς ἑαυτοῦ Τοπικοῖς τάδε γέγραφεν, ἀπορώτερον ἔτι ποιοῦντα τὸν λόγον· "ἐπεὶ δὲ ἐναντίαι τῶν ἐναντίων αἱ ἀρχαί, δῆλον ὅτι οὐδὲ ἐν ἑνὶ γένει ταῦτα, καθάπερ οὐδὲ τὸ ἀγαθὸν καὶ τὸ κακὸν καὶ κίνησις καὶ στάσις. εἴη δ᾽ ἂν καὶ ὑπεροχὴ καὶ ἔλλειψις ἐναντία γε καὶ ἀρχαί, καὶ εἶδος καὶ στέρησις." πρὸς δὴ ταῦτά φησιν Ἰάμβλιχος.

14a 23. **ἈΜΜ.** f. 142 *b*. τί οὖν; δεῖ προσθεῖναι ταῖς δέκα κατηγορίαις τὰς ἑτέρας δύο, τὴν τοῦ ἀγαθοῦ καὶ κακοῦ, ὡς μηκέτι δέκα εἶναι τὰς κατηγορίας ἀλλὰ δώδεκα; φαμὲν οὖν ὅτι ταῦτα γένη ἐκάλεσεν οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον ταῖς ἄλλαις κατηγορίαις, λέγω δὴ ὡς καθ᾽ αὑτὰ τούτων ὑφεστηκότων ὥσπερ καὶ αἱ κατηγορίαι, ἀλλ᾽ ὥσπερ καὶ ὁ Πλάτων γένη τῶν ὄντων εἶπε τὰ πέντε ἐκεῖνα, φημὶ δὴ τὸ ὂν τὴν ταυτότητα τὴν ἑτερότητα τὴν κίνησιν τὴν στάσιν, διὰ τὸ ἐν πᾶσι τοῖς οὖσι θεωρεῖσθαι, οὐχὶ δὲ τῷ αὐτὰ καθ᾽ αὑτὰ ταῦτα ὑφεστηκέναι· οὕτω δὴ καὶ ὁ Ἀριστοτέλης ἐνταῦθα γένη εἶπεν εἶναι τὸ ἀγαθὸν καὶ τὸ κακόν, οὐχ ὡς αὐτὰ καθ᾽ αὑτὰ ἀλλ᾽ ὡς ἐν πάσαις ταῖς κατηγορίαις θεωρούμενα· ἔστι γάρ τι καὶ ἐν οὐσίᾳ ἀγαθὸν καὶ κακὸν καὶ ἐν ποσῷ καὶ ἐν ποιῷ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις... ἀκριβολογουμένοις δὲ οὐδὲ ἐναντία τὸ ἀγαθὸν καὶ τὸ κακὸν φανήσεται, ἀλλὰ κατὰ στέρησιν καὶ ἕξιν ἀντικεῖσθαι.

14a 26. **ΣΙΜΠΛ.** υ′ f. 6 *b*. ἐχρήσατο καὶ τῷ προτέρῳ (ὁ Ἀριστοτέλης) ἔν τε τῷ περὶ τῆς οὐσίας λόγῳ καὶ ἐν τοῖς πρός τι, εἰπὼν "τὸ γὰρ ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον ἂν δόξειεν εἶναι (p. 7 23)." διὰ τοῦτο οὖν καὶ τοῦ προτέρου πολλαχῶς λεγομένου τὴν διαίρεσιν ποιεῖται, οὐ πάντας τοὺς τρόπους παραδιδούς (καὶ ἄλλους γοῦν οὐκ ὀλίγους προστίθησι καὶ αὐτὸς ἐν ἄλλοις καὶ ὁ Στράτων ἐν τῷ περὶ προτέρου καὶ ὑστέρου μονοβίβλῳ), ἀρκοῦντας δὲ πρὸς εἰσαγωγὴν καὶ τοὺς ἐκτεθέντας οἰόμενος. πρῶτον μὲν γὰρ τρόπον τοῦ προτέρου καὶ κυριώτατον τὸν κατὰ χρόνον εἶναί φησι, καθὸ τὸ πρῶτον τῷ χρόνῳ πρεσβύτερον καὶ παλαιότερον λέγομεν, τίμια τιθέντες ταῦτα τὰ ὀνόματα. λέγεται δὲ κυρίως τὸ μὲν πρεσβύτερον ἐπὶ τῶν ἐμψύχων, καὶ μάλιστα ἀνθρώπων, καθὸ Πυθαγόραν Σωκράτους πρεσβύτερον λέγομεν, τὸ δὲ παλαιότερον ἐπὶ τῶν ἀψύχων καὶ τῶν πραγμάτων, ὡς τὰ Τρωϊκὰ τῶν Περσικῶν παλαιότερά φαμεν καὶ ταύτῃ πρότερα.

ἈΜΜ. f. 143 *b*. ἰστέον δὲ ὅτι τὸ μὲν παλαιότερον καὶ ἐπὶ ἐμψύχων καὶ ἐπὶ ἀψύχων εἴωθε λέγεσθαι, τὸ δὲ πρεσβύτερον ἐπὶ μόνων τῶν ἐμψύχων. 14a 27.

ΣΙΜΠΛ. υ′ f. 7. καλεῖν δὲ εἰώθασιν οἱ νεώτεροι τὸ τοιοῦτον 14a 29. πρότερον συνεπιφερόμενον μὲν μὴ συνεπιφέρον δέ, καὶ συναναιροῦν μὲν μὴ συναναιρούμενον δέ, ἅπερ Ἀριστοτέλης συνέλαβεν ἐν τῷ ἀντιστρέφειν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. οὐκ ἀντιστρέφειν δὲ εἶπε διότι οὐχ ὥσπερ ὄντων τῶν δύο ἔστι τὸ ἕν, οὕτως ὄντος τοῦ ἑνὸς ἔστι τὰ δύο.

ἈΜΜ. f. 144. στοιχεῖα δὲ καλοῦσιν οἱ γεωμέτραι τὸ σημεῖον 14a 39. τὴν γραμμὴν τὴν ἐπιφάνειαν καὶ τὰ τοιαῦτα ὅσα τῆς τῶν θεωρημάτων ἀποδείξεως προλαμβάνεσθαι εἴωθε, διαγράμματα δὲ αὐτὰ τὰ θεωρήματα. καὶ ἐπὶ τῶν γραμμάτων δὲ τῶν μὲν λέξεων πρότερα αἱ συλλαβαί, τῶν δὲ συλλαβῶν τὰ στοιχεῖα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λόγων ἐροῦμεν· προηγοῦνται μὲν γὰρ τὰ προοίμια, ἀκολουθεῖ δὲ ἡ προκατάστασις, εἶτα ἡ κατάστασις· τούτοις δὲ ἕπονται τὰ διηγήματα, εἶτα οἱ ἀγῶνες. ταῦτα δὲ πάντα τῇ τάξει μόνῃ τὸ πρότερον ἔχουσιν, οὔτε δὲ τῇ φύσει οὔτε τῷ χρόνῳ.

ΣΙΜΠΛ. υ′ f. 7. τοῦτον δὲ τὸν τρόπον ἀλλοτριώτατον εἶναί 14b 8. φησι τῆς κατὰ τὸ πρῶτον σημασίας, οὐχ ὅτι οὐκ ἔστι πρῶτα τῷ ὄντι τῇ φύσει τὰ βέλτιστα καὶ τιμιώτερα (f. 7 *b*), ἀλλ᾽ ὅτι οὐ πάνυ συνείθισαι τὸ πρότερον ἐπὶ τῶν τοιούτων· τοὺς γοῦν πατέρας καὶ διδασκάλους, καίτοι τιμιωτέρους ὄντας, οὐκ εἰώθαμεν κατὰ τοῦτο προτέρους λέγειν, οὐδὲ συμπέφυκε τὸ τοῦ προτέρου ὄνομα, ὡς ἐπὶ τῶν ἄλλων εἶχε τρόπων. μήποτε δὲ οὐ διὰ τὴν συνήθειαν ἀλλοτριώτατον εἶπεν εἶναι τοῦ προτέρου καὶ ὑστέρου τὸν τρόπον τοῦτον (ἐν γὰρ τῇ συνηθείᾳ πολλάκις πρῶτον τὸ τιμιώτερον λέγομεν), ἀλλ᾽ ὅτι τὸ πρότερον καὶ ὕστερον ἐν τοιαύτῃ φύσει βούλεται εἶναι ὡς ἐν χρόνῳ καὶ ἀριθμῷ τὸ ἓν καὶ δύο καὶ ἐν λόγῳ τὸ προοίμιον καὶ ἡ διήγησις.

ἈΜΜ. f. 145. πέμπτον προστίθησι τοῦτον· ὁ γὰρ τέταρτος, 14b 10. ὡς εἴρηται, ἀλλότριος ἦν τῶν τοῦ προτέρου σημαινομένων, ἐπειδήπερ ἀπὸ τῆς ἡμετέρας προαιρέσεως καὶ οὐκ ἀπὸ τῆς φύσεως τῶν πραγμάτων ὑπῆρχεν... ἔστι δὲ τὸ πέμπτον τῷ δευτέρῳ ἐναντίον· ἐκείνου γὰρ μὴ ἀντιστρέφοντος κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, μήτε αἰτίου ὄντος τοῦ ἑτέρου τῷ ἑτέρῳ, τοῦτο καὶ ἀντιστρέφει καὶ αἴτιόν ἐστι τοῦ ἑτέρου τὸ ἕτερον, οἷον ὁ πατὴρ καὶ ὁ υἱός· ταῦτα γὰρ ἀντιστρέφει πρὸς ἄλληλα κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν· ὁπότερον γὰρ ἂν τεθῇ, τὸ ἕτερον πάντως ἀκολουθεῖ. ἔστι μέντοι τὸ ἕτερον αἴτιον τοῦ λοιποῦ, ὁ πατήρ φημι τοῦ υἱοῦ.

ΣΙΜΠΛ. υ′ f. 7 *b*. πέντε μὲν οὖν αὐτὸς ἐνταῦθα τοῦ προτέρου 14b 22. τοὺς τρόπους ἐξέθετο, τὸν κατὰ χρόνον τὸν κατὰ φύσιν τὸν κατὰ τάξιν τὸν κατὰ δύναμιν τὸν κατ᾽ αἰτίαν· δῆλον δὲ ὅτι ὁσαχῶς τὸ πρῶτον, τοσαυταχῶς ἂν καὶ τὸ ὕστερον λέγοιτο... ἐν ἄλλοις δὲ πρότερον λέγει καὶ τὸ μέρος τὸ ἐν τῷ ὁρισμῷ τοῦ πράγματος, ὅπερ ὡς ὑλικὸν οἶμαι λαμβανόμενον αἴτιον ἐν τῷ πέμπτῳ τρόπῳ περιεχθήσεται, τῷ αὐτῷ μὲν τρόπῳ ὡς ἡ ὕλη τῷ ὅλῳ ἑπόμενον, οὐ μέντοι ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. λέγει δὲ καὶ τὸ τέλος πρότερόν τε εἶναι καὶ γνωριμώτερον αὐτοῖς, κἂν ὕστερον ᾖ τῇ φύσει. ἐν δὲ τοῖς Μετὰ τὰ Φυσικὰ (δ′ 11) οὕτως τὸ πρότερον καὶ ὕστερον διαιρεῖται...

εὐορκεῖν μὲν ἢ ἐπιορκεῖν ἐν τοῖς ὅρκοις εἰκός, ἀληθεύειν δὲ ἢ ψεύδεσθαι ἐν αὐτοῖς οὐχ οἷόν τε, κἂν περὶ ἀληθῶν ὀμόσῃ τις ἢ ψευδῶν. καὶ τὸ θαυμαστικὸν δὲ πλεονάζον τῷ θαύματι παρὰ τὸ ἀξίωμα καὶ τὸ ψεκτικὸν τῷ μεμφομένῳ οὔτε ἀληθές ἐστιν ἢ ψευδές, ἀλλὰ ὅμοια ἀληθέσιν ἢ ψεύδεσιν. ἀλλ' αὗται μὲν ἀπὸ τῆς Στωϊκῆς ἀκριβείας ἔῤῥωσαν αἱ λύσεις· μήποτε δὲ ἁπλούστερον ἐπελθεῖν δεῖ τῷ λόγῳ· τὸ γὰρ ὀμοτικὸν "νὴ τὴν Ἀθηνᾶν" οὔτε ἀληθὲς οὔτε ψεῦδος δηλοῖ... περὶ δὲ τῶν εἰς τὸν μέλλοντα (f. 2 b) χρόνον ἀντιφάσεων οἱ μὲν Στωϊκοὶ τὰ αὐτὰ δοκιμάζουσιν ἅπερ καὶ ἐπὶ τῶν ἄλλων· ὡς γὰρ τὰ περὶ τῶν παρόντων καὶ παρεληλυθότων ἀντικείμενα, οὕτως καὶ τὰ μέλλοντα αὐτά τέ φασι καὶ τὰ μόρια αὐτῶν· ἢ γὰρ τὸ ἔσται ἀληθές ἐστιν ἢ τὸ οὐκ ἔσται, εἰ δεῖ ἤτοι ψευδῆ ἢ ἀληθῆ εἶναι· ὡρίσθαι γὰρ κατ' αὐτὰ τὰ μέλλοντα. καὶ εἰ μὲν ἔστι ναυμαχία αὔριον, ἀληθὲς εἰπεῖν ὅτι ἔσται, εἰ δὲ μή, ἔσται ψεῦδος τὸ εἰπεῖν ὅτι ἔσται. ἤτοι ἔσται ἢ οὐκ ἔσται· ἤτοι ἄρα ἀληθὲς ἢ ψεῦδος θάτερον. οἱ μέντοι Περιπατητικοὶ τὴν μὲν ἀντίφασιν τὴν εἰς τὸ μέλλον ἀληθῆ ἢ ψευδῆ εἶναι λέγουσι, πότερον δὲ ἔσται μόριον αὐτῶν ἀληθὲς καὶ πότερον ψεῦδος, ἄληπτον εἶναι τῇ φύσει καὶ ἄστατον· τὴν μὲν γὰρ ἀντίφασιν ἐφ' οὑτινοσοῦν χρόνου οὐ κωλύει λέγεσθαι τὸ ἢ ἔσται ἢ οὐκ ἔσται, τῶν δ' ἐμπεριεχομένων ἐν αὐτῇ μορίων ἑκάτερον, οἷον τὸ ἔσται ἢ οὐκ ἔσται ἀφωρισμένως ἐπὶ μὲν τοῦ παρόντος καὶ παρεληλυθότος χρόνου ἤδη ἐστὶν ἀληθῆ ἢ ψευδῆ, ὅσα δὲ περὶ τοῦ μέλλοντος ἀποφαίνεται ἤδη μὲν οὐκ ἔστιν ἢ ἀληθῆ ἢ ψευδῆ, ἔσται δὲ ἢ τοῖα ἢ τοῖα. ταῦτα μὲν οὖν ἀρκείτω πρὸς τὸν Νικόστρατον· συμπληρωθέντος δὲ παρὰ Ἀριστοτέλους τοῦ περὶ τῆς τῶν ἀντικειμένων διαφορᾶς λόγου, καλῶς ἂν ἔχοι καὶ τὰ Ἀρχύτου περὶ αὐτοῦ ἐν τῷ περὶ Ἀντικειμένων βιβλίῳ ἀρχέτυπα τῶν εἰρημένων ὄντα παραγεγράφθαι, καὶ μάλιστα ὅτι οὐδὲ ὁ θεῖος Ἰάμβλιχος ἀπὸ τούτου τοῦ βιβλίου τι τοῖς ὑπομνήμασιν ἐνέταξε. καὶ ἴσως οὐκ ἦλθεν εἰς αὐτόν· οὐ γὰρ ἂν αὐτὸ παρῆκεν ὁ τὸ τοῦ Ἀριστοτέλους περὶ Ἀντικειμένων βιβλίον ἐπισκεψάμενος. ἔχει δὲ οὕτως.

13b 36. f. 3. Ταῦτα τοῖς περὶ τῶν ἐναντίων εἰρημένοις προστίθησι, χρήσιμα ὄντα πρός τε τὴν ὅλην τῶν κατηγοριῶν θεωρίαν καὶ πρὸς τὴν τῶν τόπων εὕρεσιν· ἔστι δὲ ταῦτα, ὅτι τῷ μὲν ἀγαθῷ κακὸν πάντως ἐναντίον, τῷ δὲ κακῷ ποτὲ μὲν ἀγαθὸν ποτὲ δὲ κακόν· δεύτερον ὅτι οὐκ ἀνάγκη τοῦ ἑτέρου τῶν ἐναντίων ὄντος καὶ τὸ ἕτερον πάντως εἶναι, ἐπὶ μέντοι τῶν ἀτόμων πάντως οὐκ ἔστιν· τρίτον ὅτι περὶ ὑποκείμενον τὸ αὐτὸ ἢ τῷ γένει ἢ τῷ εἴδει ἐστὶ τὰ ἐναντία, καὶ τέταρτον ὅτι τὰ ἐναντία ἢ ἐν τῷ αὐτῷ γένει ἐστὶν ἢ ἐν ἐναντίοις γένεσιν ἢ αὐτὰ γένη ἐστίν. τούτων δὲ τοῦ μὲν πρώτου τὸ ὅτι ἀγαθῷ κακὸν ἐξ ἀνάγκης ἐναντίον ἐστὶ δι' ἐπαγωγῆς τὴν πίστιν ἐποιήσατο... f. 3 b. ἐν δὲ τῷ περὶ Ἀντικειμένων βιβλίῳ προσέθηκε τοῖς τρόποις τούτοις τῶν ἐναντιώσεων καὶ τὸν τῶν μήτε ἀγαθῶν μήτε κακῶν πρὸς τὰ μήτε ἀγαθὰ μήτε κακά, οὕτως λέγων τὸ λευκὸν τῷ μέλανι καὶ τὸ γλυκὺ τῷ πικρῷ καὶ τὸ ὀξὺ τῷ βαρεῖ καὶ τῇ κινήσει τὴν στάσιν ἐναντιοῦσθαι. ἀλλὰ ἓν πως ἑνὶ δοκεῖ ἐναντίον εἶναι, νῦν δὲ τῷ κακῷ δύο φησὶν ἐναντία εἶναι, τό τε ἀγαθὸν καὶ τὸ ἀντικείμενον κακόν. ὡς τῇ θρασύτητι ἥ τε ἀνδρεία καὶ ἡ δειλία, καὶ τῷ ἀγαθῷ δύο κακὰ φαίνεται ἐναντία, ὡς τῇ ἀνδρείᾳ ἡ θρασύτης καὶ ἡ δειλία, καὶ τῇ μεσότητι ἥ τε ὑπερβολὴ καὶ ἡ ἔλλειψις.

14a 2. f. 3 b. Νικόστρατος δὲ αἰτιᾶται ἓν μέν, ὅτι ἀτελῶς ἔχει ἡ τῶν ἐναντίων διαίρεσις· οὐ γὰρ προσέθηκεν ὅτι καὶ ἀδιάφορον ἀδιαφόρῳ ἀντίκειται, ὅπερ ἐν μὲν τῷ τῶν Ἀντικειμένων βιβλίῳ προσέθηκεν, εἰπὼν εἶναί τινα τρόπον ἀντιθέσεως τῶν μήτε ἀγαθῶν μήτε κακῶν πρὸς τὰ μήτε ἀγαθὰ μήτε κακά, ὡς εἴρηται πρότερον. ἀδιάφορα δὲ αὐτὰ οὐκ ἐκάλεσεν, ὡς οἶμαι, διὸ νεώτερον ἦν τὸ τοῦ ἀδιαφόρου ὄνομα, παρὰ τῶν Στωϊκῶν τεθέν. ἐνταῦθα δὲ αὐτῶν οὐκ ἐμνήσθη, διότι ἀμφισβητήσιμον ἦν μήποτε οὐ μόνον ἀδιάφορον ἀδιαφόρῳ ἀλλὰ καὶ ἀδιάφορον κακῷ ἀντίκειται... ἕτερον δὲ αἰτιᾶται ὁ αὐτὸς ἀνὴρ πειρώμενος καὶ ἀγαθὸν ἀγαθῷ δεικνύναι ἐναντίον· τὴν γὰρ φρονίμην περιπάτησιν τῇ φρονίμῃ στάσει ἐναντίαν φησί, καὶ τὴν φρονίμην ἡδονὴν τῇ φρονίμῃ λύπῃ, καὶ τἄλλα τὰ τοιαῦτα (f. 4), ἅπερ καὶ ἐναντίως λέγεσθαι δοκεῖ. ἀλλ' οὐκ ἔστιν ἐναντία συμφρονοῦντα πρὸς τὸν ἕνα σκοπὸν καὶ τὸ ἓν τέλος τοῦ ἄμφω ποιοῦντος ἐμφρόνως. εἰ δὲ καὶ ἔστιν ὅλως ἐν τούτοις ἐναντίωσις, ὡς οὐκ ἀγαθοῦ πρὸς ἀγαθόν ἐστιν ἀλλ' ὡς μέσου πρὸς μέσον· ὡς γὰρ περιπάτησις πρὸς στάσιν καὶ ὡς ἡδονὴ πρὸς λύπην ἀντίκειται. ζητήσει δ' ἄν τις διὰ τί κακῷ μὲν κακὸν ἀντίκειται καὶ μέσον μέσῳ, ἀγαθὸν δὲ ἀγαθῷ οὐκ ἐναντιοῦται; καὶ ῥητέον ὅτι τὸ μὲν ἀγαθὸν ἕν ἐστι καὶ ἁπλοῦν, τὸ δὲ κακὸν ποικίλον.

14a 10. f. 4. ἐπὶ δὲ τῶν συνειλημμένων ἐναντίων (ταῦτα δέ ἐστι τὰ ἄτομα, ὡς ὅταν λέγω Σωκράτην ὑγιαίνειν, Σωκράτην νοσεῖν) ἐπὶ τούτων οὐκ ἐνδεχομένως ἀλλ' ἀναγκαίως θάτερον μόνον ὑπάρχει. τούτων δὲ τὸ πρῶτον Ἀριστοτέλης μὲν καθ' ὑπόθεσιν ἔλαβε, τὸ πάντας ὑγιαίνειν καὶ πάντας λευκοὺς εἶναι, τὸ μὴ ἐξ ἀλλήλων ἠρτῆσθαι τἀναντία ὥσπερ τὰ πρός τι δηλῶν. οὐ συγχωρήσουσι δὲ ὅσοι τἀναντία ἀρχὰς ἔθεντο, οἵ τε ἄλλοι καὶ οἱ Ἡρακλείτειοι· εἰ γὰρ τὸ ἕτερον τῶν ἐναντίων ἐπιλείψει, οἴχοιτο ἂν πάντα ἀφανισθέντα· διὸ καὶ μέμφεται τῷ Ὁμήρῳ Ἡράκλειτος εἰπόντι "ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο·" οἰχήσεσθαι γάρ φησι πάντα.

14a 19. f. 4 b. τινὲς μὲν ὡρισμένως τήνδε τὴν φρόνησιν, οἷον τὴν Σόλωνος, τῇ αὐτοῦ ἀφροσύνῃ, εἴπερ γένοιτο, ἐναντίαν εἶναί φασι, καὶ τὴν τοῦδε ὑγείαν τῇ αὐτοῦ ἐκείνου νόσῳ, ἀλλ' οὐ τὴν τυχοῦσαν τῇ τυχούσῃ. οὐ μέντοι ὁ Ἀριστοτέλης οὕτως ἔοικε τίθεσθαι· διὸ ἐν γένει μόνῳ καὶ ἐν εἴδει τῷ αὐτῷ εἶπε γίνεσθαι τὰ ἐναντία. καὶ Ἰάμβλιχος δὲ ἀκολουθῶν φησὶ μὴ λέγεσθαι κατὰ δεῖξιν τήνδε τὴν φρόνησιν τῇδε τῇ ἀφροσύνῃ ἐναντίαν, μέσως δὲ φρόνησιν ἀφροσύνῃ. κἂν ἐπὶ τινὸς δὲ τῶν ἀτόμων ὡρισμένως τὰ ἐναντία λέγηται, ἀλλὰ κατὰ ἀναφορὰν τὴν ἐπὶ τὰ μέσα.

ἈΜΜ. f. 142. διὰ τί δὲ εἰρηκὼς περὶ ταὐτὸν "ἢ εἴδει ἢ γένει" οὐ προσέθηκεν "ἢ ἀριθμῷ;" τὸ γὰρ ταὐτόν, ὡς ἐλέγομεν πρότερον, ἢ γένει ἐστὶ ταὐτὸν ἢ εἴδει ἢ ἀριθμῷ, ὥσπερ καὶ ἡ ἑτερότης, γένει μὲν ὡς ἄνθρωπος καὶ ἵππος, εἴδει δὲ ὡς Σωκράτης καὶ Πλάτων, ἀριθμῷ δὲ ὡς ἄορ ξίφος φάσγανον μάχαιρα καὶ τὰ τοιαῦτα. λέγομεν οὖν ὅτι ἢ ὡς ὁμολογούμενον τοῦτο παρῆκεν, ὡς ἡμῶν δυναμένων τοῦτο προσυπακοῦσαι, ἢ ἐπειδὴ εἰ καὶ περὶ ταὐτὸν τῷ ἀριθμῷ καταγίνονται τὰ ἐναντία, ἀλλ' οὐχὶ κατὰ τὸ αὐτὸ μέρος.

διαφορᾶς, οὐκ ἐχρῆν ἐκ τῶν (υ' f. 1) ἀλλοτρίων τρόπων παραφέροντα δοκεῖν ἐλέγχειν τὸν λόγον, ἀλλὰ τὸν μὲν πλήρη περὶ τῶν στερήσεων λόγον ἔστιν ἔκ τε τοῦ Ἀριστοτελικοῦ καὶ τοῦ Χρυσιππείου βιβλίου λαμβάνειν, τινὰ δὲ καὶ ὁ Ἰάμβλιχος παρέγραψεν, ἔχοντα οὕτως. πολλαχῶς τοῦ ἔχειν λεγομένου, ὡς ἤδη παρεδείξαμεν, ἡ στέρησις διατείνει μὲν ἐπὶ πάντα τὰ σημαινόμενα τοῦ ἔχειν, οὐκέτι μέντοι καὶ ἐπὶ πάντα τὰ ἐναντία· ἀπωλείᾳ γὰρ ἴσον ἡ στέρησις· ὥστε οὐκ ἂν τοῦ κακοῦ γένοιτο στέρησις, ὅτι μηδὲ ἀπώλεια κακοῦ γένοιτο ἂν ἢ βλαβεροῦ, ἀλλ' ἀγαθοῦ ἢ χρησίμου· οὐ γὰρ ὁ νόσου ἢ πενίας ἀπαλλαγεὶς ῥηθείη ἂν ἀπεστερῆσθαι νόσου ἢ πενίας, ἀλλὰ μᾶλλον ὡς ὑγιείας ἢ πλούτου ἀφαιρεθείς. ἀγαθοῦ μὲν στέρησις ἡ τυφλότης· ἀγαθὸν γὰρ ἡ ὄψις· ἀδιαφόρου δὲ ἡ γυμνότης· ἀδιάφορον γὰρ τὸ ἱμάτιον καὶ οὔτε ἀγαθὸν οὔτε κακόν. διὸ στέρησις οὐδεμία ἀγαθὸν ἀλλ' ἤτοι κακὸν ἢ ἀδιάφορον. καὶ ἀγαθῶν δὲ στέρησις γένοιτο ἂν ἤτοι τῶν πάντων ἢ τῶν πλείστων. ἥκιστα δέ φησιν Ἀριστοτέλης τῶν ἐν τῇ ψυχῇ ἀγαθῶν καὶ προαιρέσεως ἐχομένων γενέσθαι στέρησιν· οὐδεὶς γὰρ λέγει δικαιοσύνης ἐστερῆσθαι, καὶ ὁ εἰπὼν ὅτι ἐπιστάμαν οὐδεὶς φέρει, ἀπὸ τῆς αὐτῆς ἐννοίας εἴρηκε. μᾶλλον οὖν πλούτου δόξης τιμῆς, τῶν τοιούτων, καὶ μάλιστα τῶν περὶ τὰς κτήσεις καλουμένων ἀγαθῶν εἰσὶν αἱ στερήσεις· διὸ καὶ ἔλεοι καὶ οἶκτοι ἐπακολουθοῦσι ταῖς πλείσταις στερήσεσιν. ὁ μέντοι Ἀριστοτέλης τῶν φυσικῶν στερήσεων νῦν τὴν ἀντίθεσιν πρὸς τὴν τῶν ἐναντίων παραβέβληκεν. ἀλλὰ ταῦτα μὲν ἀρκούντως· ἑξῆς δὲ μεταβαίνει ἐπὶ τὴν τῆς καταφάσεως ἀντίθεσιν, τὴν διαφορὰν αὐτῆς τὴν πρὸς τὰς ἄλλας ἀντιθέσεις παραδιδούς.

133b 1. υ' f. 1. ὅτι μὲν ταῦτα τῶν ἀντικειμένων ἐστί, καὶ ἃ μάλιστα ἀντικείμενα, πρόδηλον· ἀναιρετικὰ γὰρ μάλιστα ἀλλήλων ἐστὶ καὶ ἀσυνύπαρκτα, ἡ μὲν καθόλου ἀποφατικὴ τῇ μερικῇ καταφατικῇ, ἡ δὲ καθόλου καταφατικὴ τῇ μερικῇ ἀποφατικῇ· οἱ γοῦν Στωϊκοὶ μόνα τὰ ἀποφατικὰ τοῖς καταφατικοῖς ἀντικεῖσθαι νομίζουσι. τὴν δὲ διαφορὰν αὐτῶν τὴν πρὸς ἄλλους τρόπους τῶν ἀντιθέσεων σαφῶς παραδίδωσιν ἐκ τοῦ ἐπὶ μόνης ταύτης τῆς κατὰ ἀντίφασιν ἀντιθέσεως τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ εἶναι τῶν προτάσεων. λαμβανέσθωσαν δὲ αἱ κυρίως ἀντικείμεναι προτάσεις, ὡς ἐν τῷ περὶ Ἑρμηνείας (c. 7 sqq.) διορίζεται. ἐπὶ δὲ τῶν ἄλλων ἀντικειμένων οὐ διαιρεῖται ταῦτα· οὔτε γὰρ τῶν ἐναντίων τὸ μὲν ἀληθές ἐστι τὸ δὲ ψεῦδος, οὔτε τῶν πρὸς ἄλληλα λεγομένων, οὔτε τῶν κατὰ ἕξιν καὶ στέρησιν ἀντικειμένων. τοῦτο δὲ πιστοῦται μὲν καὶ διὰ παραδειγμάτων, πιστοῦται δὲ καὶ ἀποδεικτικῶς οὕτως. τὰ κατὰ τοὺς τρεῖς τρόπους ἀντικείμενα ἄνευ συμπλοκῆς λέγεται, τῶν δὲ ἄνευ συμπλοκῆς λεγομένων οὐδὲν οὔτε ἀλήθειαν οὔτε ψεῦδος σημαίνει· καὶ γὰρ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐν προτάσει πάντως ἐστί, πᾶσα δὲ πρότασις λόγος, ὁ δὲ λόγος ἐν συμπλοκῇ τινῶν· τῶν δὲ ἄλλων οὐδὲν κατὰ συμπλοκὴν λέγεται, ἀλλ' ἐστὶν ἁπλᾶ, οἷον λευκὸν μέλαν, διπλάσιον ἥμισυ, ὄψις τυφλότης.

133b 24. f. 1 b. πῶς δὲ περὶ Σωκράτους λέγων, ὅτε μήπω, φησί, πέφυκεν ἔχειν ὄψιν, ἀμφότερα ψευδῆ ἐστί, καὶ τὸ ὁρᾶν καὶ τὸ τυφλὸν εἶναι; ἅμα γὰρ τῷ γενέσθαι τὸν Σωκράτην πέφυκεν ὁρᾶν, καὶ εὐθὺς ἐπ' αὐτοῦ τὸ μὲν ἀληθές ἐστι τὸ δὲ ψεῦδος. λέγουσι δὲ πρὸς τοῦτο ὡς τοῦ Σωκράτους καὶ ἐπὶ τῶν ἐναντίων καὶ ἐπὶ τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν εἰς παράδειγμα παραληφθέντος, μεταβὰς ἐπὶ στέρησιν καὶ ἕξιν τῷ αὐτῷ πάλιν ἀντὶ τοῦ κοινοῦ ἐχρήσατο, εἰς ἐκεῖνο ἀναφέρων τὴν ἐπὶ τῶν ἅμα τῇ γεννήσει μηδετέραν ἐχόντων διάταξιν, ἅμα μὲν ἐπὶ τοῦ αὐτοῦ πάντα ἐπιδεικνύναι βουλόμενος, ὡς ἐπιστημονικώτερος τούτου, ὅταν ᾖ δυνατόν, ἅμα δέ, ὥσπερ εἴωθε, καταφρονεῖ τῶν παραδειγμάτων, ὅταν τὸ πρᾶγμα ἀληθὲς ὑπάρχῃ. μήποτε δέ, φασίν, οὐδὲ ὁ ἄνθρωπος ἐξ ἀρχῆς ἔχει τὴν ὄψιν, ὡς ἔχει τὴν ἀφήν, οὐδὲ χρώμενος εὐθὺς αὐτῇ φαίνεται, ἕως οὗ διανοίξῃ τὰ βλέφαρα ἡ μαῖα καὶ ἀπομάξῃ, κατὰ δὲ τὴν ἀφὴν εὐθὺς ἅμα τῷ πεσεῖν τοῦ ἔξω ἀέρος πληροῦντος αἰσθόμενον τὸ βρέφος κλαίει. εἰ δὲ καὶ τοῦτο, ἐπὶ τούτου ἁρμόσει λέγειν ὅτι ἅμα τῷ γίνεσθαι αὐτὸν ἀμφότερα ἐπ' αὐτοῦ ψευδῆ ἐστίν. φανερὸν οὖν ὅτι μόνα τὸ ἀληθὲς ἢ τὸ ψεῦδος διαιρεῖ, ὅσα ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται. (f. 2) εἰ δὲ τοῦτο, διαφέροι ἂν τῶν ἄλλων τριῶν εἰδῶν τοῦ ἀντικειμένου. καὶ εἰ ἀπὸ τῆς Στοᾶς δὲ διισχυρίζονται ὅτι οὐδὲν τῶν κατὰ ἀπόφασιν λεγομένων οὐδενί ἐστιν ἐναντίον· ἦν γὰρ ἂν τῇ ἀρετῇ ἐναντία ἡ οὐκ ἀρετὴ καὶ τῇ κακίᾳ ἐναντία ἡ οὐ κακία, ὑπὸ μὲν τὴν οὐκ ἀρετὴν καὶ τῆς κακίας πιπτούσης καὶ ἄλλων πολλῶν (καὶ γὰρ ἵππου καὶ λίθου καὶ πάντων τῶν περὶ τὴν ἀρετήν), ὑπὸ δὲ τὴν κακίαν καὶ τῆς ἀρετῆς καὶ τῶν ἄλλων πάντων. ἔσται οὖν ἑνὶ πάντα ἐναντία, καὶ τὰ αὐτὰ τῇ ἀρετῇ καὶ τῇ κακίᾳ ἐναντία. εἰ μὴ ἡ ἀρετὴ τῇ κακίᾳ ἐναντία ἀλλ' ἡ οὐ κακία, συμβήσεται καὶ σπουδαίοις μέσα ἐναντία εἶναι καὶ φαύλοις· ἄτοπον δὲ τοῦτο, καὶ μάλιστα εἰ καὶ τὰ αὐτά, καὶ μὴ καὶ τὸ δυοῖν ἐναντίων, ὑφ' ὃ μὲν πάντα τὰ ὑποπίπτοντα ποιότητας εἶναι, ὡς ὑπὸ τὴν ἀρετὴν καὶ τὴν κακίαν, ὑφ' ὃ δὲ καὶ ποιότητας καὶ ποιά, ὡς ὑπὸ τὴν ἀρετὴν καὶ τὴν κακίαν· ὑπὸ ταύτας γὰρ καὶ ποιότητες καὶ ποιὰ καὶ ἐνέργειαι καὶ πᾶν ὁτιοῦν ἐστίν. καὶ ἔστι τοῦτο ἀπεμφαῖνον. οὕτως μὲν οὖν καὶ παρὰ τοῖς Στωϊκοῖς διώρισται τά τε ἐναντία καὶ τὰ ἀντιφατικῶς ἀντικείμενα. ὁ δὲ Νικόστρατος αἰτιᾶται κἀνταῦθα, λέγων μὴ ἴδιον εἶναι τῶν κατὰ ἀντίφασιν ἀντικειμένων τὸ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· οὔτε γὰρ μόνοις οὔτε πᾶσιν αὐτοῖς ὑπάρχει, οὐ μόνοις μέν, ὅτι καὶ τοῖς ὀμοστικοῖς καὶ τοῖς ἀπομοστικοῖς λόγοις ὑπάρχει τὸ ἐξ ἀνάγκης θάτερον, οἷον "νὴ τὴν Ἀθηνᾶν ἔπραξα τάδε, οὐ μὰ τὴν Ἀθηνᾶν οὐκ ἔπραξα," ἀλλὰ καὶ τοῖς θαυμαστικοῖς, φησί, τὸ αὐτὸ ὑπάρχει, ὡς "καλός γε ὁ Πειραιεύς," καὶ τοῖς ψεκτικοῖς, οἷον "φαῦλός ἐστιν, οὐ φαῦλος ἐστίν." οὐκ ἄρα μόνοις ὑπάρχει τοῖς κατὰ ἀντίφασιν τοῦτο, ἀλλ' οὐδὲ πᾶσι, φησίν· αἱ γὰρ εἰς τὸν μέλλοντα χρόνον ἐγκλινόμεναι προτάσεις οὔτε ἀληθεῖς εἰσιν οὔτε ψευδεῖς διὰ τὴν τοῦ ἐνδεχομένου φύσιν· οὔτε γὰρ τὸ ἔσται ναυμαχία ἀληθὲς οὔτε τὸ οὐκ ἔσται, ἀλλ' ὁπότερον ἔτυχε. πρὸς δὴ ταῦτα ἔνεστι μέν, φασί, λέγειν ὅτι τεττάρων ὄντων τῶν ἀντικειμένων τοῦ ἑνὸς ἴδιον τοῦτο οὐ πρὸς πάντα ἀλλ' ὡς πρὸς τὰ τρία ἀποδέδωκεν· ὁ γὰρ εἰπὼν "τῶν τεττάρων τὸ ἓν μερίζει τὸ ἀληθὲς καὶ τὸ ψεῦδος" οὐ καθάπαξ τοῦτο ἀπεφήνατο, ἀλλ' ἐπὶ μόνων τῶν ἀντικειμένων τοῦτο ἐποίησε. χωρὶς δὲ τούτων, φασί, πάλαι λέλυται ταῦτα ἐν ταῖς ἐξηγήσεσι τοῦ ὅρου τοῦ ἀξιώματος τοῦ ἀφοριζομένου τὸ ἀξίωμα, ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος· οὐ γὰρ τὸ ὀμοστικὸν οἷόν τε ἀληθὲς εἶναι ἢ ψευδές, ἀλλ'

ἐμνημόνευσε, τῶν τε ἐν ὑποκειμένῳ ὄντων (f. 7 *b*) καὶ τῶν καθ' ὑποκειμένου λεγομένων, εἰπὼν "ἐν οἷς πέφυκε γίνεσθαι ἢ ὧν κατηγορεῖται." παραδείγματα δὲ τῶν μὲν ἐν ὑποκειμένῳ ὑγίειαν καὶ νόσον παρέθετο, ἐν σώματι γινόμενα, τῶν δὲ καθ' ὑποκειμένου περιττὸν καὶ ἄρτιον, κατὰ τοῦ ἀριθμοῦ λεγόμενα, ἢ ὡς εἶπον πρότερον, τὸ δίχα διαιρεῖσθαι κατὰ τοῦ ἀρτίου ἀριθμοῦ... ἡ διαφορὰ οὖν τῶν κατὰ ἕξιν καὶ στέρησιν πρὸς τὰ ἐναντία κατὰ τὸ ἀεὶ καὶ τὸ ποτὲ γίνεται· καὶ γὰρ τῶν μὲν ἀμέσων ἐναντίων διαφέρει τῷ ἐκείνων μὲν ἐξ ἀνάγκης ἀεὶ πάντως θάτερον ὑπάρχειν τῷ δεκτικῷ, οἷον ἢ ὑγιαίνειν ἢ νοσεῖν, τούτων δὲ οὐκ ἐξ ἀνάγκης ἀεὶ πάντων, ἀλλὰ τινῶν ποτέ· τὸ γὰρ σκυλάκιον οὐδέτερον ἔχει· τῶν δὲ ἐμμέσων, ὅτι ἐκείνων μὲν οὐδέποτε ἐξ ἀνάγκης θάτερον ὑπάρχει τῷ δεκτικῷ, τούτων δὲ ποτὲ ἐξ (f. 8) ἀνάγκης θάτερον ὑπάρχει ἀφ' οὗ πέφυκε, τινῶν δὲ καὶ ἀπ' ἀρχῆς. ἀλλὰ κἀκείνων οἷς φύσει τὸ ἓν ὑπάρχει, διοίσει τῷ ποτὲ καὶ τῷ ἀφωρισμένῳ· ἐκείνων μὲν γὰρ πάντως ἀεὶ τὸ ἕτερον, τούτων δὲ τινῶν ποτέ, κἀκείνων μὲν ἀφωρισμένως θάτερον, ἐπὶ τούτων δὲ οὐκ ἀφωρισμένως ἀλλ' ὁπότερα ἔτυχεν. εἰπόντος δὲ Ἀριστοτέλους ὡς ἀναγκαῖον ἦν παντὶ θάτερον ὑπάρχειν, δοκεῖ τισὶν ἀσάφειαν ἐμποιεῖν τὸ παντὶ προσκείμενον. οὐ μὴν ἔχει γε οὕτως, ἀλλ' ἀντιδιαστολὴν διασαφεῖ πρὸς τὸ τισὶν ἀναγκαῖον, ὡς τοῖς σύμφυτον ἔχουσιν ἓν τῶν ἐναντίων, οὐ πᾶσι δέ. τί οὖν, εἰ ἀπὸ γεννήσεως ἐγγένοιτο ἡ ὅρασις, ὡς ἐπ' ἀνθρώπων ἀεί, οὐχὶ καὶ ἐπὶ τούτων ἔσται ἡ ἕξις ἢ ἡ στέρησις, καὶ οὐδὲν διοίσει τῶν ἀμέσων ἐναντίων; τί δέ, εἴ τις λέγοι ὡς ἐπὶ μὲν τῶν μὴ πεφυκότων τὰ κατὰ ἕξιν καὶ στέρησιν οὕτως ἀντίκειται ὡς τὰ ἔμμεσα ἐναντία· οὐδέτερον γὰρ ἐξ ἀνάγκης· ἐπὶ δὲ τῶν ἤδη πεφυκότων ὡς τὰ ἄμεσα· θάτερον γὰρ ἐξ ἀνάγκης; λύει τοίνυν καὶ τὰς τοιαύτας πάσας ἀμφισβητήσεις, ἑτέραν διαφορὰν αὐτῶν προστιθείς, ὅτι τὰ μὲν ἐναντία ἐπαμείβεται ἐν τοῖς δεκτικοῖς, ἕξεως δὲ καὶ στερήσεως οὐ δυνατὸν εἰς ἄλληλα μεταβολὴν γίνεσθαι· τυφλότης μὲν γὰρ ἐξ ὄψεως γίνεται, οὐκέτι μέντοι καὶ ἀνάπαλιν. ὅθεν καὶ ὁ Χρύσιππος ἐζήτησεν εἰ τυφλοὺς ῥητέον τοὺς ὑποχυθέντας, δυναμένους δὲ ἐκ παρακεντήσεως ἀναβλέψαι, καὶ ἐφ' ὧν τὰ βλέφαρα κέκλεισται· τῆς γὰρ δυνάμεως οὔσης ἐοικέναι τῷ καταμεμυκότι τοὺς ὀφθαλμοὺς ἢ τῷ κωλυομένῳ ὁρᾶν διά τι παραπέτασμα, οὗ ἀφαιρεθέντος οὐδὲν κωλύεται ὁρᾶν. διὸ οὐδὲ ἀπὸ στερήσεως εἰς ἕξιν ἡ τοιαύτη γίνεται μεταβολή. λαμβάνει δὲ νῦν στέρησιν τὴν κατὰ πήρωσιν· ἐκ γὰρ τῆς τοιαύτης οὐκ ἔστιν ἐπάνοδος ἐπὶ τὴν ἕξιν.

13a 22. f. 8. παραδείγματα δὲ τῶν τοιούτων λαμβάνει τὰ μὲν ὁμολογούμενα, ὡς ὑγίειαν καὶ νόσον, τὰ δὲ ἀμφισβητούμενα, ὡς σπουδαῖον καὶ φαῦλον· ἀπὸ μὲν γὰρ φαύλου, φησί, τινὲς οἴονται σπουδαῖον γενέσθαι, ἀπὸ δὲ σπουδαίου φαῦλον ἀδύνατον. καὶ αὐτὸς μὲν τὸ ἕτερον τούτων διὰ πλειόνων κατεσκεύασε, λέγων ὅτι ἐὰν ὁ φαῦλος εἰς βελτίους ἄγηται διατριβάς, εἴ τι σμικρὸν ἐπιδώσει, ἀεὶ δὲ σμικρὰν ἐπίδοσιν λαμβάνων καὶ ἐπιτηδειότερος γινόμενος, ἐπὶ τῷ τέλει τελέως ἂν μεταβάλοι καὶ εἰς τὴν ἐναντίαν ἕξιν ἀποκατασταίη "ἐάνπερ μὴ χρόνῳ ἐξείργηται," ἢ πληρῶν τὸν χρόνον καὶ ἀποθνήσκων, ἢ πάνυ γεγηρακώς· ὁ γὰρ τοιοῦτος οὐκ ἔχει ἐπίδοσιν (f. 8 *b*) τελείαν. τοῦτο μὲν γὰρ οὕτως αὐτὸς κατεσκεύασε, τὸ δὲ ἀνάπαλιν οἱ Στωϊκοὶ οὐ διδόασιν· οὐκ εἶναι γάρ φασιν ἀποβλητὴν τὴν ἀρετήν. ἤτοι οὖν κοινότερον τὸν σπουδαῖον εἴληφεν, οὐ τὸν τὰς τελείας ἀρετὰς ἔχοντα, ἀλλὰ τὸν κατὰ εὐφυΐαν ἢ μελέτην καὶ προκοπὴν ἢ λόγον μόνον σπουδαῖον, ἢ ἴσως οὕτως κινεῖσθαι λέγει τὴν ἀρετὴν ὥσπερ εἶπεν ἐν τοῖς ἔμπροσθεν (p. 8 *b* 31), ὑπὸ μεγάλου πάθους ἢ νόσου σωματικῆς, λήθης ἐγγινομένης, χαλεπῶς δὲ καὶ οὐ ῥᾳδίως ταῦτα συμπίπτειν· καὶ γὰρ καὶ αὐτὸς ἐν τοῖς Φυσικοῖς (7 3) μονιμωτάτην τὴν ἀρετὴν εἶναι μαρτυρεῖ.

ἈΜΜ. f. 138. σπουδαῖον δὲ ἐνταῦθα λέγει οὐ τὸν τέλειον καὶ ἐν ἐπιστήμῃ τὸ καλὸν ἔχοντα· οὗτος γὰρ ἀμετάβλητον ἔχει τὴν ἕξιν, ἅτε δὴ μὴ μόνον ὅτι καλὸν ἡ ἀρετὴ εἰδώς, ἀλλὰ καὶ διότι καλόν. οὐ τοῦτον τοίνυν λέγει μεταβάλλειν ἀλλὰ τὸν ὀρθοδοξαστικόν· οὗτος γὰρ μεταβάλλοι ἂν ἐπὶ τὸ φαυλότερον παραλογιζόμενος καὶ ἀπατώμενος ὑπὸ μοχθηρῶν ἀνδρῶν, τὸ διότι καλὸν ἡ ἀρετὴ μὴ ἐπιστάμενος.

ὅτε γὰρ τυφλὸς γενόμενός τις πάλιν ἀνέβλεψε, κατὰ ἰατρικόν 13a 34.
γε λόγον δηλονότι καὶ φυσικὸν οὐδείς ποτε τυφλὸς ὢν ἀνέβλεψεν, εἰ μὴ ἄρα κατά τινα θείαν ἔλλαμψιν.

ΣΙΜΠΛ. τ' f. 8 *b*. τούτων δὲ προειλημμένων ῥᾴδιον λοιπὸν καὶ 13a 18.
τὰς Νικοστράτου ἀπορίας λύειν, ὅς φησι μὴ ἀκριβῶς ταύτην ἀποδεδόσθαι τὴν διαφοράν· μήτε γὰρ τὰ ἐναντία πάντως εἰς ἄλληλα μεταβάλλειν, διότι ἀπὸ σπουδαίου οὐ φαῦλος γίνεται, μήτε πᾶσαν στέρησιν ἀμετάβλητον εἶναι εἰς ἕξιν· καὶ γὰρ ἐκ πεφωτισμένου καὶ ὡπλισμένου καὶ ἠμφιεσμένου γένοιτο ἂν ἐσκοτισμένον καὶ ἄνοπλον καὶ γυμνόν, καὶ ἐκ τῶν στερήσεων αὖθις ἡ ἕξις. ἄτοπον οὖν τὰ ἀμφοτέροις ὑπάρχοντα διακρίνειν, καὶ τὰ μὲν προσνέμειν τῷ ἑτέρῳ τὰ δὲ τῷ λοιπῷ. πρὸς δὴ ταῦτα ῥᾴδιον λέγειν ὡς πρόχειρον εἴληπται τὸ ἀναπόβλητον εἶναι τὴν ἀρετήν· καὶ γὰρ Θεόφραστος περὶ τῆς μεταβολῆς αὐτῆς ἱκανῶς ἀπέδειξε, καὶ Ἀριστοτέλει δοκεῖ οὐκ ἀνθρώπειον εἶναι τὸ ἀναπόβλητον· ἔτι δὲ καὶ οἱ Στωϊκοὶ ἐν καιροῖς καὶ μελαγχολίαις καὶ ληθάργοις καὶ ἐν φαρμάκων λήψεσι συγχωροῦσιν ἀποβολὴν γίνεσθαι, μεθ' ὅλης τῆς λογικῆς ἕξεως, καὶ αὐτῆς τῆς ἀρετῆς, κακίας μὲν οὐκ ἀντεισαγομένης, τῆς δὲ βεβαιότητος χαλωμένης καὶ εἰς ἣν λέγουσιν ἕξιν μέσην οἱ παλαιοὶ μεταπιπτούσης. τοῦτο μὲν οὖν οὕτως· ἀτόπως δὲ ἐκ τῶν κατὰ ἔθος στερήσεων τὰς ἐπιχειρήσεις ποιούμενος, καὶ στέρησιν εἰς ἕξιν μεταβάλλειν φησίν· ὁ γὰρ ἀνάριστος καὶ ἄνοπλος, κατὰ συνήθειαν ὄντες ἐν στερήσει, ῥᾳδίως μεταβάλλουσιν εἰς τὰς ἕξεις, ὁ μὲν ἀριστήσας ὁ δὲ ὁπλισάμενος· ὁ δὲ Ἀριστοτέλης οὐκ ἐπὶ τῶν ἐξ ἔθους ἀλλ' ἐπὶ τῶν φύσει τὴν ἕξιν καὶ τὴν στέρησιν παρέλαβεν, ἐφ' ὧν καὶ κυρίως ἡ κατὰ ἕξιν καὶ στέρησιν ἀντίθεσις λέγεται. χρησώμεθα οὖν αὐτοῖς τοῖς Ἀριστοτέλους πρὸς τὸν Νικόστρατον· ἐν γὰρ τῷ περὶ τῶν Ἀντικειμένων αὐτός φησιν ὡς αἱ μὲν στερήσεις τῶν κατὰ φύσιν λέγονται, αἱ δὲ τῶν ἐν ἔθει, αἱ δὲ τῶν κατηγορημάτων, αἱ δὲ ἄλλων τινῶν, τυφλότης μὲν τῶν φύσει, γυμνότης δὲ ἐν ἔθει, ἀργυρίου δὲ ἡ στέρησις τῶν ἐν χρήσει παραγινομένων, εἰσὶ δὲ καὶ ἄλλαι στερήσεις πλείονες. καὶ ἐνίων μὲν στερήσεων οὐκ ἔστιν ἀπαλλαγή, ἐνίων δὲ ἔστιν. πολλῶν δὲ ὄντων τῆς στερήσεως τρόπων, καὶ ἑνὸς τῶν κατὰ φύσιν, ἐπὶ τῶν κατὰ φύσιν γεγονυίας τῆς πρὸς τἀναντία

ἁπλῶν φωνῶν τῆς κατὰ τὸ κατηγορικὸν εἶδος τοῦ ἀποφαντικοῦ λόγου γινομένης· πρώτης δὲ εἶπεν πρὸς ἀντιδιαστολὴν τῶν συλλογισμῶν. ἔστι δὲ κατηγορικὸν μὲν εἶδος τοῦ ἀποφαντικοῦ λόγου τὸ σημαῖνον τί τινι ὑπάρχει ἢ οὐχ ὑπάρχει, ὡς τὸ Σωκράτης περιπατεῖ, Σωκράτης οὐ περιπατεῖ· ὑποθετικὸν δὲ τὸ σημαῖνον τινὸς ὄντος τί ἐστιν ἢ οὐκ ἔστιν, ἢ τινὸς μὴ ὄντος τί ἐστιν ἢ οὐκ ἔστιν, ὡς τὸ εἰ ἄνθρωπός ἐστι, ζῷόν ἐστιν, εἰ ἄνθρωπός ἐστι, λίθος οὐκ ἔστι, καὶ εἰ μὴ ἔστιν ὅτι ἔστι, εἰ μὴ ἔστιν ὅτι οὐκ ἔστιν ὁ ἥλιος ὑπὲρ γῆν.

Τὰ εἴδη τοῦ λόγου πέντε λέγουσιν εἶναι τὸν ἀριθμόν, εὐκτικὸν προστακτικὸν κλητικὸν ἐρωτηματικόν τε καὶ ἀποφαντικόν. τοῦτο δὲ τὸ ἀποφαντικὸν εἶδος ἐκ τῶν γνωστικῶν τε καὶ λογιστικῶν τῆς ψυχῆς δυνάμεων προελήλυθε· καὶ γὰρ αἱ μὲν γνωστικαί εἰσι καὶ λογικαὶ τῶν τῆς ψυχῆς δυνάμεων, αἱ δὲ γνωστικαί τε καὶ ἄλογοι, καὶ αἱ μὲν ζωτικαὶ πάλιν καὶ λογικαί, αἱ δὲ ζωτικαὶ ὁμοίως καὶ ἄλογοι. ὧν ἁπασῶν γνωστική ἐστι δύναμις ὁ νοῦς καὶ λογική, καὶ ἐφεξῆς ἡ διάνοια, καὶ πρὸς τούτοις ἡ δόξα. αὗται τοίνυν μόναι τῶν ἄλλων γνωστικαί τε καὶ λογικαὶ δυνάμεις εἶναι λέγονται. τὴν δέ γε φαντασίαν καὶ μετὰ ταύτην τὴν αἴσθησιν γνωστικὰς ὁμοίως ταῖς ἄλλαις γινώσκομεν, οὐ μὴν δὲ λογικὰς ἀλλ' ὡς εἴρηται ἀλόγους· πᾶν γὰρ τὸ ἐν τοῖς ἀλόγοις ζῴοις εἶναι πεφυκὸς εὔδηλον ὡς οὐκ ἂν εἴη λογικόν. αἱ δέ γε λοιπαὶ δυνάμεις ἃς ζωτικὰς καλοῦμεν, βούλησίς ἐστι καὶ προαίρεσις καὶ πρὸς ταύταις θυμὸς καὶ ἐπιθυμία· αὗται τοίνυν καὶ ὀρεκτικαὶ καλοῦνται, γνωστικαὶ δὲ οὐδαμῶς· οὐ γὰρ ἴσασί τι τῶν ὄντων, ἀλλ' ὡς ζῴων οὖσαι ὀρέγονται αὐτῶν, καὶ αἱ μὲν ὡς ζῴων λογικῶν αἱ δὲ ὡς ἀλόγων. ζῴων μὲν γὰρ λογικῶν ζωτική τε καὶ ὀρεκτικὴ δύναμις ἂν εἴη ἥ τε βούλησις καὶ ἡ προαίρεσις, ἀλόγων δὲ θυμὸς καὶ ἐπιθυμία. καὶ μηδεὶς ὑμῶν οἰέσθω ὡς πᾶν θυμὸν ἔχον ζῷον καὶ ἐπιθυμίαν ὡσαύτως οὐ λογικὸν ἔσται διὰ τοῦτο, ἀλλ' εἰδέτω ὅτι τὸ μὲν λογικὸν τελειότατον ἐν τῶν ἄλλων ζῴων πάσας ἐν ἑαυτῷ συλλαβὸν ἔχει δυνάμεις, τὸ δέ γε ἄλογον καὶ ἀτελέστερον τῶν κρειττόνων ἐστέρηται· αὐξάνομεν γὰρ ὡς φυτά, καὶ θυμούμεθα ὡς ἄλογα κατὰ τὸν εἰπόντα, καὶ ὡς ἄγγελοι διανοούμεθα. τούτων τοίνυν πάντα τὰ τοῦ λόγου εἴδη προελήλυθε τῶν δυνάμεων, χωρὶς τοῦ ἀποφαντικοῦ· ὁ δέ γε ἀποφαντικὸς οὐ τῶν ζῴων ὡς εἴρηται προελήλυθεν, οὐδὲ γὰρ τῆς βουλήσεως οὐδὲ τῶν ἄλλων οὐδεμιᾶς, ἀλλ' αὐτῶν τῶν τε λογικῶν καὶ γνωστικῶν ὡσαύτως. καὶ εἰ μὲν ἀληθής, διανοίας ἂν εἴη ἔργον συμπλεκομένης τῷ κρείττονι, εἰ δὲ μέσως ἔχων, τῷ χείρονι συμπλεκομένης αὐτῆς, εἰ δὲ πάντη ψευδής (συμβαίνει γὰρ αὐτῷ τοῦτο), τῇ ἔτι χείρονι συμπλεκομένη ἐστίν. καὶ ἡ μὲν κρείττων ἁπασῶν νοῦς ἐστίν, ὡς εἴρηται, ἡ δὲ μετὰ τοῦτον διάνοια, καὶ ἔτι δόξα μετὰ ταύτην, καὶ μετὰ ταύτην φαντασία, καὶ μέχρι αἰσθήσεως. τούτων ἁπάντων, ζωτικῶν τε λέγω καὶ γνωστικῶν, πάντα τὰ τοῦ λόγου εἴδη προήχονται, καὶ ὁ μὲν ἀποφαντικὸς ἀληθείας καὶ ψεύδους διδάσκαλος ὢν τῶν προσεχῶς εἰρημένων, τὰ δ' ἄλλα τῶν ἄλλων· οὐδὲν γὰρ γνώσεώς ἐστιν ἀλλ' ὀρέξεως μᾶλλον καὶ κρείττονος αἰτήσεως, ὡς ἐπὶ τῆς εὐχῆς, ἢ χείρονος, ὡς ἐπὶ τῆς προστάξεως καὶ ὡς ἐπὶ κλήσεως, ὁμοίως καὶ ἄλλως ἐπὶ τῆς ἐρωτήσεως. τούτων τοίνυν ἁπάντων τῶν εἰδῶν τί ἂν εἴη ἀληθές; πάντως οὐδέν, οὔτε μὴν ψευδές, ἐπεὶ οὐ πέφυκεν ἐν εὐχῇ ἢ ἐρωτήσει ἢ ἄλλῳ τῳ τῶν εἰρημένων, ἀλλ' ἀποφάνσει καὶ μόνῃ, ἥτις λόγος ἀποφαντικὸς καὶ ἑρμηνεία τοῖς παλαιοτέροις ὠνόμασται· ἄμφω γὰρ πρέποντα αὐτῷ, τό τε ἀποφαίνεσθαι καὶ ἑρμηνεύειν. ὅθεν ὁ Σταγειρίτης περὶ Ἑρμηνείας τὴν περὶ αὐτοῦ πραγματείαν ἐκάλεσε.

ΛΕΟΝΤΟΣ ΤΟΥ ΜΑΓΕΝΤΗΝΟΥ (*). Ὥσπερ ἀναβαθμοῖς τισὶ χρώμενος ὁ Ἀριστοτέλης μετὰ τὴν παραδοθεῖσαν ἐν ταῖς Κατηγορίαις θεωρίαν νῦν περὶ τῶν προτάσεων διαλέγεται, ὥσπερ καὶ ἐν τοῖς Ἀναλυτικοῖς περὶ συλλογισμοῦ· ὃν γὰρ λόγον ἔχει ὁ ὅρος πρὸς πρότασιν, τοῦτον τὸν λόγον ἔχει καὶ πρότασις πρὸς συλλογισμόν· ὥσπερ γὰρ ἡ πρότασις ἐξ ὅρων σύγκειται, οὕτω καὶ ὁ συλλογισμὸς ἀπὸ προτάσεων κεκρότηται. ἐνταῦθα οὖν ὥσπερ κατὰ βαθμὸν περὶ προτάσεων διαλέγεται· τοῦτο γάρ ἐστιν αὐτῷ ὁ σκοπός. διὸ καὶ περὶ λόγου τὴν διδασκαλίαν ποιεῖται, ἀλλ' οὐ παντός· πενταχῶς γὰρ ὁ λόγος, προστακτικὸς εὐκτικὸς κλητικὸς ἐρωτηματικὸς καὶ ἀποφαντικός, περὶ οὖν καὶ ἀποφαντικοῦ μόνου διαλέγεται· ἐν γὰρ τούτῳ μόνῳ διακρίνεται τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους. ὅτι δὲ μόνα πέντε εἴδη ὁ λόγος ἔχει, δείκνυται οὕτως.

ΑΜΜΩΝΙΟΥ (**). Πολὺ μὲν ἐν σοφοῖσι κοὐκ ἀνώνυμον τὸ περὶ Ἑρμηνείας τοῦ Ἀριστοτέλους βιβλίον, τῆς τε πυκνότητος ἕνεκα τῶν ἐν αὐτῷ παραδιδομένων θεωρημάτων καὶ τῆς περὶ τὴν λέξιν δυσκολίας· διὸ καὶ πολλῶν ἐξηγητῶν πολλαὶ περὶ αὐτὸ κατεβλήθησαν φροντίδες (***). εἰ δέ τι καὶ ἡμεῖς δυνηθείημεν εἰσενεγκεῖν περὶ τὴν τοῦ βιβλίου σαφήνειαν, ἀπομνημονεύσαντες τῶν ἐξηγήσεων τοῦ θείου ἡμῶν διδασκάλου Πρόκλου τοῦ Πλατωνικοῦ διαδόχου, τοῦ εἰς ἄκρον τῆς ἀνθρωπίνης φύσεως τήν τε ἐξηγητικὴν τῶν δοκούντων τοῖς παλαιοῖς δύναμιν καὶ τὴν ἐπιστημονικὴν τῆς φύσεως τῶν ὄντων κρίσιν ἀσκήσαντος, πολλὴν ἂν τῷ λογίῳ θεῷ χάριν ὁμολογήσαιμεν. ἀρχὴ τοίνυν ἡμῖν γιγνέσθω τῆς ἐξηγήσεως ἡ τῶν πέντε κεφαλαίων ἐξήγησις τῶν προλαμβάνεσθαι τῆς τοῦ ῥητοῦ σαφηνείας εἰωθότων. καὶ λέγομεν τίς τε ἡ πρόθεσις τοῦ περὶ Ἑρμηνείας, καὶ τίνα ἔχει τάξιν πρὸς τὰ ἄλλα τῆς λογικῆς τοῦ Ἀριστοτέλους πραγματείας συγγράμματα, τίς τε ἡ αἰτία ταύτης αὐτῆς τῆς περὶ Ἑρμηνείας ἐπιγραφῆς, καὶ ὅτι γνήσιόν ἐστι τὸ σύγγραμμα

(*) Σύντομος ἐξήγησις τοῦ περὶ Ἑρμηνείας ἐκφωνηθεῖσα παρὰ τοῦ Μιτυλήνης κυροῦ Λέοντος τοῦ Μαγεντηνοῦ Cod. Paris. Reg. 1917. differt haec ab impressis sub Leonis commentariis nomine.

(**) Ammonii Hermiae in librum Aristotelis de Interpretatione commentaria Venetiis 1545. 8°.

(***) *Boëthus* (Commentar. in librum Aristotelis de Interpretatione editionis primae (I) et secundae (II) Oper. Venet. 1566 fol.) II. p. 283: Aspasius quoque et Alexander sicut in aliis Aristotelis libris, in hoc quoque commentarios ediderunt. *ib.* p. 281: Alexander in commentariis suis ea se impulsum causa pronuntiat sumpsisse longissimum expositionis laborem, quod in multis ille a priorum sententiis scriptorum dissideret... *ib.* p. 282: huius libri expositionem nos scilicet quam maxime a Porphyrio, quanquam etiam a ceteris, transferentes Latina oratione digessimus.

ταὐτόν ἐστι καὶ οὐδὲν διαφέρει ἐπιγράψαι περὶ Ἑρμηνείας ἢ περὶ ἀποφαντικοῦ λόγου. ἄλλοι δέ φασιν ὡς διὰ τὸ κάλλος τῆς ἐπαγγελίας ἐπιγέγραπται οὕτως· οὐδὲ γὰρ ἦν τὰ τοιαῦτα ἀσαφῆ πράγματα σαφῶς ἑρμηνεῦσαι. πλὴν οὐκ ἀληθῶς λέγουσι· τοὐναντίον γὰρ ἰσχνῷ χαρακτῆρι κέχρηται, καὶ οὐ διὰ κάλλος ἐπαγγελίας οὕτως ἐπέγραψεν, ἀλλὰ μᾶλλον συμφωνεῖ τῷ σκοπῷ ἡ ἐπιγραφή. σκοπὸς γάρ ἐστι τῷ προκειμένῳ συγγράμματι διάκρισιν ποιῆσαι τῶν ἀληθῶν προτάσεων ἀπὸ τῶν ψευδῶν, τοῦτο δὲ πρὸς τῇ σαφηνείᾳ ἐστίν, ἡ δὲ σαφήνεια πρὸς τῇ ἑρμηνείᾳ ἐστίν. τρία δὲ δηλοῖ τὸ τῆς ἑρμηνείας ὄνομα, τὴν κεκαλλωπισμένην ἐπαγγελίαν, ὡς ἡ τῶν ῥητόρων, καὶ τὴν ἀκαλλώπιστον, ἥτις ἢ τὴν γνωστικὴν ἡμῶν διάθεσιν ἑρμηνεύει διὰ τοῦ ἀποφαντικοῦ λόγου ἢ τὴν ζωτικὴν διὰ τῶν ἄλλων δʹ λόγων. καὶ ἐπιγέγραπται τὸ βιβλίον κατὰ τὸ δεύτερον σημαινόμενον ἤτοι κατὰ τὴν ἀκαλλώπιστον φράσιν· ἡ γὰρ πραγματεία φιλόσοφος ἅμα καὶ διαλεκτικὴ οὖσα οὐ προσποιεῖται τὴν κεκαλλωπισμένην φράσιν· μόνος γάρ, φησὶν ὁ Θεόφραστος, τοῦ λόγου σχέσεις ἔχοντος τὴν μὲν πρὸς τοὺς ἀκροατὰς τὴν δὲ πρὸς τὰ πράγματα, τὴν μὲν πρὸς τοὺς ἀκροατὰς ποιηταὶ καὶ ῥήτορες διώκουσι, τὴν δὲ πρὸς τὰ πράγματα φιλόσοφοι. ἐπιγέγραπται οὖν περὶ Ἑρμηνείας ὡς ἑρμηνεύων τὰ τῆς ψυχῆς νοήματα, ποίας δόξης εἰσίν, εἴτε ἀληθοῦς εἴτε ψευδοῦς. Περὶ τοῦ γνησίου Ἀνδρόνικος ὁ Ῥόδιος ἀμφιβάλλει μόνος ὁ λεγόμενος ἑνδέκατος διάδοχος τῆς Ἀριστοτέλους διατριβῆς. ἐπεὶ γὰρ ὁ Ἀριστοτέλης ἐν ταύτῃ τῇ πραγματείᾳ φησὶν ὅτι τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων ἐστὶ σύμβολα, τοῦτ᾽ ἔστιν αἱ φωναὶ τὰ τῆς ψυχῆς ἐξαγγέλλουσιν, εἶτα παρακατιών φησιν ὅτι "περὶ μὲν οὖν τούτων ἐν τῷ περὶ ψυχῆς ἡμῖν εἴρηται," Ἀνδρόνικος ἀκούσας τὰ νοήματα παθήματα τῆς ψυχῆς καλοῦντος αὐτοῦ καὶ παραπέμποντος ἡμᾶς εἰς τὸ περὶ ψυχῆς, εἶτα ἐγκύψας ἐκεῖ καὶ μὴ συνιδὼν ὅπως ταῦτα λέγει, ἀναγκαῖον ᾠήθη τῶν δύο πραγματειῶν, ταύτης τε καὶ τῆς περὶ ψυχῆς, νοθεῦσαι τὴν ἑτέραν, καὶ δεῖν ἐνόμισε ταύτην ἀθετεῖν μᾶλλον ἢ ἐκείνην τηλικαύτην οὖσαν καὶ μέγεθος νοημάτων ἔχουσαν καὶ ἀξίωμα. φαμὲν δὲ πρὸς αὐτὸν ὅτι κἂν μὴ κυρίως ἐν τῷ περὶ ψυχῆς λέγει τὰ νοήματα παθήματα τῆς ψυχῆς, ὅμως μὲν φαντασίαν παθητὸν νοῦν ἐκεῖσε φησιν οὕτως (3 5 sqq.) "οὐ μνημονεύομεν ὅτι τὸ μόριον τῆς ψυχῆς καθ᾽ ὃ τὸ εἶναι ἔχομεν, ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐδὲν νοεῖ·" τὸ ἀπαθὲς δηλονότι μόριον οὐδὲν τῶν ἐνταῦθα πραγμάτων νοεῖ χωρὶς τοῦ παθητικοῦ νοῦ ἤτοι τῆς φαντασίας, ἥντινα νῦν μὲν εἴρηκεν ὡς ἔνδον ἔχουσαν ἐν ἑαυτῇ τὸ γνωστὸν καὶ ταύτῃ διαφέρουσαν τῆς αἰσθήσεως, καθὸ ἡ μὲν αἴσθησις περὶ τὰ ἐκτὸς ἐνεργεῖ, ἡ δὲ φαντασία ἀπὸ τῆς αἰσθήσεως, καθὸ ἡ μὲν αἴσθησις ἐγειρομένη περὶ τὰ ἔνδον ἐνεργεῖ· ἃ γὰρ ἡ αἴσθησις ἔξω κειμένη γινώσκει, ἐνδεομένη τῆς ἐκείνων παρουσίας πρὸς τὸ ἐνεργῆσαι περὶ αὐτά, τούτων ἡ φαντασία. . . εἰ δὲ τὸ νοεῖν οὐκ ἄνευ φαντασίας, ἡ δὲ φαντασία μετὰ πάθους, τὸ νοεῖν ἄρα μετὰ πάθους· καὶ διὰ τοῦτο τὰ νοήματα παθήματα τῆς ψυχῆς ἐκάλεσεν. ὥστε οὐ χρὴ Ἀνδρονίκῳ ἀκολουθεῖν καὶ κατηγορεῖν νοθείαν τῆς προκειμένης πραγματείας. ἄλλως τε φαίνεται τὸ παρὸν σύγγραμμα γνήσιον Ἀριστοτέλους ἀπὸ τοῦ μεμνῆσθαι αὐτοῦ ἐν τοῖς γνησίοις αὐτοῦ βιβλίοις· ἐν γὰρ τῇ Μετὰ τὰ Φυσικὰ πραγματείᾳ φησὶν ὅτι "ταῦτα μὲν ὡς ἐν τῇ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου πραγματείᾳ ἡμῖν εἴρηται." καὶ ὅτι εἰ μὴ ἦν τὸ προκείμενον βιβλίον, συλλογισμὸς οὐκ ἐγίνετο, συλλογισμοῦ δὲ μὴ ὄντος οὐδὲ ἀπόδειξις ἦν, ἀποδείξεως δὲ μὴ οὔσης τί τὸ διακρῖνον ἐν μὲν τῷ θεωρητικῷ μέρει τῆς φιλοσοφίας τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους, ἐν δὲ τῷ πρακτικῷ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ; γνήσιον οὖν Ἀριστοτέλους πανταχόθεν δείκνυται, ἀπό τε τοῦ χαρακτῆρος τῆς λέξεως ἰσχνοῦ τυγχάνοντος, καὶ ἀπὸ τῆς πυκνότητος τῶν νοημάτων, καὶ ἀπὸ τῆς τέχνης τῶν θεωρημάτων, καὶ ἀπὸ τῆς πρὸς τὰς ἄλλας πραγματείας συμφωνίας (λέγει γὰρ μετὰ μικρὸν ὅτι τοῦτο μέν, ὥσπερ ἐν τοῖς Ἀναλυτικοῖς εἴρηται, οὕτω τέτακται), καὶ ἀπὸ τοῦ ἀτελῆ γίνεσθαι τὴν λογικὴν ἀφῃρημένης ἀπ᾽ αὐτῆς τῆς παρούσης πραγματείας, καὶ ἀπὸ τοῦ γεγράφθαι ἑτέροις κατὰ ζῆλον Ἀριστοτέλους ὁμώνυμα συγγράμματα καὶ φέρεσθαι ἐν αὐτοῖς ἀντὶ μὲν τῶν Κατηγοριῶν τὸ Περὶ λέξεως, ἀντὶ δὲ τοῦ περὶ Ἑρμηνείας τὸ Περὶ καταφάσεως καὶ ἀποφάσεως. Περὶ δὲ τῆς εἰς τὰ κεφάλαια διαιρέσεως, ταὐτὸν δὲ εἰπεῖν περὶ τῆς εἰς τὰ μόρια, φαμὲν ὅτι εἰς πέντε τμήματα τὸ παρὸν διαιρεῖται σύγγραμμα.

Ὁ δὲ διδασκαλικὸς τρόπος τετραχῶς ἐστί, διαιρετικὸς ὁριστικὸς ἀποδεικτικὸς ἀναλυτικός.

Ὁ δὲ χαρακτὴρ ἰσχνὸς καὶ πάνυ ἀσαφής. χρῆται δ᾽ αὐτῷ οὐχ ὥς τινές φασι βασκαίνων τῆς τούτων μετουσίας ἡμῖν (οὐ γὰρ ἂν ὅλως εἶπέ τι περὶ τούτων) ἀλλ᾽ ὡς δείξων τοὺς γνησίους τῆς φιλοσοφίας ἐραστὰς τῶν νόθων, οἷς σπουδῇ καὶ μελέτῃ πάντα ληπτὰ γίνεται. Εἰς ποῖον δὲ μέρος ἀναφέρεται, ἐν ταῖς προτελείαις τῶν Ἀναλυτικῶν μαθησόμεθα. νῦν δὲ χωρήσωμεν εἰς τὴν ἐξήγησιν τῆς λέξεως.

καὶ τελειοῦται θεοῦ χορηγίᾳ τὸ περὶ ἑρμηνείας.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΙΤΑΛΟΥ (*). Ἡ λογικὴ πραγματεία τέλος ἔχει τὴν εὕρεσιν τῆς ἀποδείξεως. προηγεῖται δὲ ταύτης ἡ τοῦ ἁπλοῦ συλλογισμοῦ γνῶσις, καὶ ταύτης ἡ περὶ προτάσεων γνῶσις, ταύτης δὲ ἡ τῶν ἁπλῶν φωνῶν διδασκαλία. διδάξας οὖν περὶ ταύτης ἐν ταῖς Κατηγορίαις νῦν παραδίδωσι τὰς προτάσεις, αἵτινες ὠνομάσθησαν διὰ τὸ προτείνεσθαι ὑπὸ τῶν συλλογίσασθαί τι βουλομένων τοῖς προσδιαλεγομένοις. πέντε δὲ ὄντων τῶν τοῦ λόγου εἰδῶν, περὶ ὧν καὶ ἐν ἄλλοις εἴρηται, περὶ μόνου τοῦ ἀποφαντικοῦ ἐνταῦθα διαλαμβάνει· τοῦτο γάρ ἐστι δεκτικὸν ἀληθείας καὶ ψεύδους, καὶ ὑπὸ τοῦτο τελοῦσιν αἱ ἀποδείξεις. περὶ δὴ τούτου οὐ παντὸς ἀλλὰ μόνου τοῦ εἴδους αὐτοῦ τοῦ κατηγορικοῦ ὡς συμβαλλομένου αὐτῷ εἰς τὴν ἀπόδειξιν· τὸ γὰρ ὑποθετικὸν ἐλλιπὲς καὶ διὰ τοῦ κατηγορικοῦ τελειούμενον, διὸ τοὺς μὲν κατηγορικοὺς συλλογισμοὺς ἁπλῶς συλλογισμοὺς λέγομεν, τοὺς δὲ ὑποθετικοὺς ἐξ ὑποθέσεως συλλογισμούς. σκοπὸς οὖν τῷ Ἀριστοτέλει εἰπεῖν περὶ τῆς πρώτης συνθέσεως τῶν

(*) Ἰωάννου φιλοσόφου τοῦ Ἰταλοῦ εἰς τὸ περὶ Ἑρμηνείας (paulo infra τοῦ κυροῦ Ἰω καὶ πρώτου τῶν φιλοσόφων τοῦ Ἰταλοῦ εἰς τὸ περὶ Ἑρμηνείας Ἀριστοτέλους ἔκδοσις ἐπίτομος) Cod. Paris. Reg. 1843 f. 62.

φησί, καὶ ἄλλοι τρόποι εὑρεθεῖεν τοῦ ἔχειν· καὶ γὰρ αὐτὸς ἐν τοῖς Μετὰ τὰ Φυσικὰ (δ' 23) ἐζήτησε, καὶ ἐγὼ αὐτοῦ ἐμνήσθην ἐν τῇ τοῦ ἔχειν κατηγορίᾳ. ζητητέον δὲ πῶς τὴν διαίρεσιν τοῦ ἔχειν ὡς πολλαχῶς λεγομένου πεποίηται (εἰ γὰρ τοῦτο, πῶς γένος τὸ ἔχειν;) καὶ ἔτι μέντοι δι' ἣν αἰτίαν ἐπὶ τῷ τέλει ταύτην τὴν διαίρεσιν παραδέδωκε καὶ οὐκ ἐν τῇ τοῦ γένους τάξει. ἀλλ' ὅτι μὲν οὐχὶ τὸ ὡς γένος ἐστὶ τὸ νῦν διαιρούμενον, δῆλον· ἐκεῖνο μὲν γὰρ παράδειγμα ἐπῆγε τὸ ὑποδεδέχθαι τὸ ὡπλίσθαι, τὰ δὲ ἐνταῦθα τῇ αὐτῇ κατηγορίᾳ ὑποτάσσεται ἢ καὶ τὰ ἐχόμενα.

ΕΙΣ ΤΟ ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ.

ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ (*). Πρὸ τῆς τ   σαφηνείας εἴπωμεν τὰ εἰωθότα προζητεῖσθαι κεφάλαια προτέλεια. εἰσὶ δὲ ταῦτα, τίς ἡ ὑπόθεσις ἤτοι ὁ σκοπὸς τοῦ παρόντος συγγράμματος, τὸ χρήσιμον, τίνα τάξιν ἔχει πρὸς τὰ ἄλλα τῆς λογικῆς πραγματείας συγγράμματα, τὴν αἰτίαν τῆς ἐπιγραφῆς, εἰ γνήσιόν ἐστιν Ἀριστοτέλους, τίς ἡ εἰς τὰ κεφάλαια διαίρεσις, τίς ὁ τρόπος ὁ διδασκαλικός, τίς ὁ χαρακτήρ, καὶ ὑπὸ ποῖον μέρος καὶ μόριον τῆς φιλοσοφίας ἀνάγεται. ὁ σκοπὸς τοίνυν ἐστὶ τῷ παρόντι συγγράμματι διαλεχθῆναι περὶ τῆς πρώτης συνθέσεως τῶν κατὰ τὴν δευτέραν θέσιν ἁπλῶν φωνῶν τῆς κατὰ τὸ κατηγορικὸν εἶδος τοῦ ἀποφαντικοῦ λόγου γινομένης. πρώτης δὲ λέγω, διότι τρεῖς εἰσὶ θέσεις καὶ δύο συνθέσεις, πρώτη μὲν θέσις αἱ ἁπλαῖ φωναὶ τῶν δέκα κατηγοριῶν, δευτέρα θέσις τὸ περὶ ἑρμηνείας (τίθησι γὰρ τὸ ὄνομα καὶ τὸ ῥῆμα ἁπλᾶς εἶναι φωνάς, καὶ ὁρίζεται τί ἐστιν ὄνομα καὶ τί ἐστι ῥῆμα), τρίτη θέσις τὸ περὶ συλλογισμῶν... τὸν τοίνυν σκοπὸν ἔχει διδάξαι περὶ ἀποφαντικοῦ λόγου μόνου. λέγομεν δὲ μόνου, διότι πενταχῶς ὁ λόγος, εὐκτικὸς κλητικὸς προστακτικὸς ἐρωτηματικὸς καὶ ἀποφαντικός. ὅτι δὲ πέντε εἰσὶ καὶ οὐ πλείονες, ἐκ διαιρέσεως δείκνυται οὕτως. τῆς λογικῆς ψυχῆς αἱ δυνάμεις διτταί, αἱ μὲν ζωτικαὶ αἱ δὲ γνωστικαί. καὶ διὰ μὲν τῶν γνωστικῶν νοοῦμεν, ὃ δὲ νοοῦμεν ἀποφαινόμεθα, καὶ γίνεται ὁ ἀποφαντικός· διὰ δὲ τῶν ζωτικῶν ὀρεγόμεθα, καὶ ὀρεγόμεθα ἢ λόγου ἢ πράγματος ἢ πράξεως· ἀλλ' εἰ μὲν λόγου, ποιοῦμεν τὸν ἐρωτηματικόν, εἰ δὲ πράξεως, τὸν κλητικόν, εἰ δὲ πράγματος, εἰ μὲν κρείττονος, τὸν εὐκτικόν, εἰ δὲ χείρονος, τὸν προστακτικόν. ὥστε πέντε εἰσὶ μόνοι γενικοί. εἰ δὲ εὑρίσκονται καὶ ἄλλοι παρὰ τοῖς Στωϊκοῖς, οἵτινες εἰσὶν οὗτοι, ἐκθετικός, ἐκκείσθω εὐθεῖα γραμμή, ὑποθετικός, ὑποκείσθω τὴν γῆν κέντρου λόγον ἔχειν πρὸς τὸν οὐρανόν, ἀλλὰ καὶ αὐτοὶ εἰς τούτους ἀνάγονται.

διττός ἐστιν ὁ ἀποφαντικός, ἢ κατηγορικὸς ἢ ὑποθετικός. ἐλλιπὲς ὂν καὶ ἀτελές ἐστι τὸ ὑποθετικόν, καὶ διὰ τοῦτο προηγουμένης αὐτὸ σπουδῆς οὐκ ἀξιοῖ ὁ φιλόσοφος... μόνος ὁ ἄνθρωπος συλλογίζεται, καὶ μὴ καὶ τὰ θεῖα, οὐδὲ τὰ ἄλογα, διότι τὰ μὲν κρείττονα τοῦ ἀνθρώπου ἁπλῇ προσβολῇ τὰ πράγματα ἴσασιν... τὰ δὲ μετὰ τὰ Ἀναλυτικὰ διαιρεῖται εἰς τὰ Τοπικὰ ἤτοι τὴν διαλεκτικήν, ἐν ᾗ μέθεξίς ἐστι τοῦ ψεύδους, καὶ εἰς τοὺς Σοφιστικοὺς Ἐλέγχους, ἐν οἷς πλέον ἐστὶ τὸ ψεῦδος τῆς ἀληθείας, καὶ εἰς τὸ περὶ Ποιητικῆς, ἔνθα περὶ τοῦ πάντη ψευδοῦς διαλέγεται συλλογισμοῦ, ὡς πάντα πεποιημένα καὶ ἐπίπλαστα... καὶ περὶ μὲν τοῦ δημιουργικοῦ οὐδεὶς ἡμῶν λόγος, καλῶς τοῖς φιλοσόφοις εἰρημένον, τί μὲν ἐστι τὸ θεῖον, οὐκ ἴσμεν, τί δ' οὐκ ἔστιν, ἐπιστάμεθα· ἐξ ἀποφάσεως γάρ, οὐκ ἐκ καταφάσεως τὰ τοῦ θείου γινώσκομεν... καὶ εἰ μὲν λόγον ποιεῖς τὸν ἐρωτηματικὸν καὶ τὸν πυσματικόν, οἵτινες οὐδὲν διαφέρουσιν ἀλλήλων εἰ μὴ τῇ ἀποκρίσει, καθὸ τῷ μὲν ἐρωτηματικῷ ταχεῖα ἕπεται ἡ ἀπόκρισις, ὡς παρὰ Μενάνδρῳ (Meinek. p. 275) "οὐχ ὁ τρόφιμός σου πρὸς θεῶν Ὀνήσιμος ὁ νῦν ἔχων Ἀβρότονον τὴν ψάλτριαν ἔγημεν ἔναγχος;" πρὸς ὃ ταχεῖα ἡ ἀπόκρισις εἰπόντος "πάνυ μὲν οὖν." ἐν γὰρ τῇ ἀποκρίσει τοῦ ἐρωτηματικοῦ οὐ μόνον τοῖς συμβολικοῖς ἐπιρρήμασι δυνάμεθα χρῆσθαι, οἷον τῷ ναὶ ἢ τῷ οὔ, ἀλλὰ καὶ τῇ κατανεύσει καὶ ἀνανεύσει τῆς κεφαλῆς. ἐπὶ δὲ τοῦ πυσματικοῦ μεγάλη καὶ τελεία γίνεται ἡ ἀπόδοσις.

καλοῦσι δὲ οἱ μὲν Στωϊκοὶ τὸν ἀποφαντικὸν (λόγον) ἀξίωμα, τὸν δὲ κλητικὸν προσαγορευτικόν, τὸν δὲ εὐκτικὸν ἀρατικόν, καὶ προστιθέασι τούτοις ἄλλα εἴδη, διαπορητικόν, ὀμοτικὸν ἤτοι ἀπομοτικὸν καὶ κατομοτικόν, ὑποθετικόν, ἐκθετικόν, θαυμαστικόν, ἀφηγηματικόν, ὅμοιον ἀξιώματι. διαπορητικόν, ὅ ἐστιν ἐρώτησις αὐτοῦ πρὸς αὐτόν, ὥστε τὸ "Δᾶος προσῆλθε τί ποτ' ἀγγελῶν ἄρα;" καὶ "ὤ μοι ἐγὼ τί πάθω;" ὀμοτικὸν δὲ ὡς τὸ "ἴστω νῦν τόδε γαῖα" καὶ "ναὶ μὰ τόδε τὸ σκῆπτρον" καὶ "οὐ μὰ Ζῆν' Ἀγέλαε." ὑποθετικὸν δὲ ὡς τὸ "ὑποκείσθω ἡ γῆ σημείου λόγον ἔχουσα πρὸς τὸν ἥλιον" καὶ Δημοσθένης "εἰ τοίνυν ὁ Φίλιππος ταύτην ἔσχε τὴν γνώμην ὡς χαλεπὸν τὸ πολεμεῖν Ἀθηναίοις ἔχουσι τοσαῦτα ἐπιτειχίσματα" καὶ τὰ ἑξῆς. ἐκθετικὸν ὡς τὸ "τὴν ἔκθεσίν φασιν οἱ γεωμέτραι." θαυμαστικὸν δέ, "ὡς καλός μοι ὁ πάππος ὦ μῆτερ." ἀφηγηματικὸν δὲ ὡς τὸ "Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν." ὅμοιον ἀξιώματι ὡς "ὡραΐζεται ἡ τύχη εἰς τοὺς βίους" καὶ τὸ "ἀγαθὸν τὸ τιμᾶν τοὺς γονεῖς καὶ σέβειν τοὺς νόμους." ὅμοιον δὲ ἀξιώματι εἴρηται καὶ οὐκ ἀξίωμα, διότι τὸ ἀξίωμα πάντως ἀληθές ἐστιν... οἱ δὲ Πυθαγόρειοι, οἷς φίλον πάντα ὑπὸ τὴν δεκάδα ἀνάγειν, προστιθέασι πέντε, ταῦτα δέ εἰσι τοῖς πέντε τῶν Περιπατητικῶν, δεκτικὰ ὄντα ἀληθείας καὶ ψεύδους, καὶ οὐκ εἰσὶν ἄλλα σημαινόμενα· ὁ μὲν γὰρ πυσματικὸς καὶ ὁ διαπορητικὸς ταὐτοί εἰσι τῷ ἐρωτηματικῷ, καθολικὴ γὰρ ἐν τοῖς τρισὶν ἐρώτησις, οὐ δίκαιον δὲ ἀπὸ μερικῶν τινῶν λέγειν αὐτῶν διαφοράν. ὁ μὲν πυσματικὸς κοινωνεῖ τῷ διαπορηματικῷ καθὸ ἐν ταῖς δυσίν ἐστιν ἡ ἐρώτησις, διαφέρει δὲ πάλιν καθὸ αὐτὸς μὲν πρὸς ἕτερον ἔχει τὴν ἐρώτησιν, ὁ δὲ διαπορητικὸς πρὸς ἑαυτόν...

(*) ἐξήγησις συντομωτάτη καὶ σαφεστάτη εἰς τὸ περὶ Ἑρμηνείας Cod. Coislin. 160 bombyc. f. 1–96.

τετράγωνον γάρ, τοῦ δὲ ποσοῦ ἀμειβομένου, μεῖζον γὰρ ἐξ ἐλάττονος. εἰ οὖν μήτε αὐξόμενον μήτε μειούμενον τὸ τετράγωνον ἀλλοίωσιν ὑπομένει, δῆλον ὡς ἄλλαι μὲν κινήσεις αἱ κατὰ αὔξησιν καὶ μείωσιν, ἄλλαι δὲ αἱ κατὰ ἀλλοίωσιν. εἰπὼν δὲ περὶ τῶν ἄλλων μεταβολῶν ὡς ἐναργῶς διαφερουσῶν ἀλλήλων, ἐπὶ τῆς ἀλλοιώσεως ἀπορίαν εἶναί φησι, μήποτε τὸ ἀλλοιούμενον καὶ κατὰ ἄλλην πάντως κινεῖται κίνησιν αὐτῷ τῷ ἀλλοιοῦσθαι, ὥσπερ λέγουσί τινες κατὰ τόπον κινεῖσθαι· οὗτοι δὲ Δημοκρίτῳ κατακολουθοῦντες καὶ περὶ τῶν ἄλλων ἀμφισβητοῦσι κινήσεων.

f. 3. καὶ οἱ περὶ Δημόκριτον δὲ καὶ ὕστερον οἱ περὶ Ἐπίκουρον τὰς ἀτόμους ἀπαθεῖς καὶ ἀποίους ὑποτιθέμενοι τῶν ἄλλων ποιοτήτων παρὰ τὰ σχήματα καὶ τὴν ποιὰν αὐτῶν σύνθεσιν, ἐπιγίνεσθαι λέγουσι τὰς ἄλλας ποιότητας, τάς τε ἁπλᾶς, οἷον θερμότητας καὶ λειότητας, καὶ τὰς κατὰ χρώματα καὶ τοὺς χυμούς. εἰ δὲ ἐν τῇ ποιᾷ συνθέσει τῶν ἀτόμων ταῦτα, καὶ ἡ ἀλλοίωσις αὐτὴ κατ' αὐτὰ ἂν εἴη μεταβολή. ἡ δὲ ποιὰ σύνθεσις αὐτῶν καὶ μετάθεσις καὶ τάξις οὐκ ἀλλαχόθεν ἢ ἐκ τῆς φορᾶς καὶ τῆς τοπικῆς κινήσεώς ἐστιν, ὥστε ἡ ἀλλοίωσις τῇ φορᾷ ἡ αὐτὴ ἢ παρακολουθοῦσα ταύτῃ καὶ ταύτης τι.

15b 1. f. 3 b. ὥσπερ τινὰς τῶν κατηγοριῶν, οὕτως καὶ τὴν κίνησιν ἐπιδεκτικὴν τοῦ ἐναντίου θεασάμενος, ἁπλῶς μὲν τῇ κινήσει τὴν ἠρεμίαν εἶναί φησιν ἐναντίαν, οὐ τὴν στάσιν καλῶν ἀλλὰ τῆς κινήσεως ἀπόφασιν καὶ στέρησιν, ταῖς δὲ καθ' ἕκαστα κινήσεσι τὰς καθ' ἕκαστα κινήσεις, γενέσει μὲν φθοράν, αὐξήσει δὲ μείωσιν· αὗται γὰρ κατὰ συζυγίαν ἀντίθετοι προήχθησαν. ἡ δὲ κατὰ τόπον, μία εἶναι δοκοῦσα, τί ἂν ἔχοι ἐναντίον, ἢ καθόσον μὲν κίνησις κατὰ τόπον τὴν κατὰ τόπον ἠρεμίαν, καθόσον δὲ ἐναντιώσεις εἰσὶ τοπικαί (ἐναντίον γὰρ τὸ ἄνω τῷ κάτω), κατὰ τοῦτο καὶ κίνησις εὑρεθήσεται ἐναντία ἐπὶ τὸν ἐναντίον τόπον... f. 4. ζητοῦσι δὲ καὶ ἐπὶ τῆς γενέσεως καὶ φθορᾶς τίνας αὐταῖς ἠρεμίας ἀντιθετέον, καὶ λέγουσι τῇ μὲν γενέσει τὴν τῷ μὴ εἶναι. οὕτως δὲ καὶ τῇ μὲν αὐξήσει ἡ κατὰ ἀτελὲς ἠρεμία ἀντίκειται, τῇ δὲ μειώσει ἡ κατὰ τὸ τέλειον. Πλωτῖνος δὲ ἐφίστησιν ὅτι ἀποφάσεώς ἐστι τοῦ κινεῖσθαι ἡ ἠρεμία, διότι οὐδὲ ἐν γένει ἄλλῳ ἠρεμία.

15b 8. f. 4. ὁ μέντοι Βοηθὸς τὴν ἀντικειμένην ἠρεμίαν τῇ κατὰ ποιότητα κινήσει οὐκ ἀξιοῖ ποιότητα εἶναι, οὐδὲ τὴν κατὰ μέγεθος, οὐδὲ τὴν κατ' οὐσίαν, ἐναργὲς λέγων τοῦτο εἶναι ἐκ τῆς κατὰ τόπον· ἄλογον γὰρ τὴν ἐν τόπῳ ἠρέμησιν τόπον καλεῖν. οὐ μέντοι οὐδὲ ἀποφάσεις τῶν κατ' αὐτὰς κινήσεων τὰς ἠρεμίας εἶναι συγχωρεῖ, ἀλλὰ σχέσιν εἶναι τὴν ἠρέμησιν καὶ τὴν κίνησιν πρός τε τὸν χρόνον καὶ τὸ εἶδος, καθὸ ἂν τύχῃ κινούμενόν τι ἢ ἠρεμοῦν. "ἔοικε γάρ" φησιν "ὁ χρόνος φύσιν ἔχειν ὥστε ἀεὶ ῥεῖν καὶ εἰς ἑτερεῖα μεθίστασθαι. διὰ δὴ τοῦτο συμπαρήκει πάσῃ κινήσει καὶ ἠρεμίᾳ. ἡ μὲν οὖν κίνησις ὁμοίως ἔχει πρός τε τὸν χρόνον καὶ τὸν τόπον."... ταῦτα μὲν οὖν ὁ Βοηθὸς κατὰ τὴν ἑαυτοῦ ἀγχίνοιαν διακρίνει· μήποτε δὲ οὔτε ἡ κίνησις οὔτε ἡ ἠρεμία σχέσις πρὸς χρόνον ἐστίν, εἴπερ ἀριθμὸς κινήσεως ὁ χρόνος. ἀλλὰ ζητεῖν οἶμαι ἄξιον διὰ τί τῇ κινήσει μὴ τὴν στάσιν ἀντιτίθεμεν ὡς εἶδος εἴδει. τῶν παρὰ Πλάτωνι τοῦ ὄντος γενῶν καὶ ἡ κίνησίς ἐστι καὶ ἡ στάσις... καὶ ἡ στάσις αὕτη οὐκ ἀπόφασίς ἐστι τῆς κινήσεως· οὐ γὰρ κατὰ ἀπόφασιν κινήσεως ἕστηκε πρὸς τὸ κέντρον ἡ γῆ, ὥσπερ οὐδὲ ὁ οὐρανὸς κατὰ ἀπόφασιν στάσεως κύκλῳ κινεῖται· ἔχει γὰρ καὶ ἡ στάσις οὐκ ἐλάττονα τῆς κινήσεως ἐνέργειαν, ὡς δηλοῖ τὸ μηδὲ αὐτὴν εἶναι τὴν κίνησιν στάσεως τελέως ἀναιρεθείσης... f. 4 b. ὡς μέντοι ἐναντίον εἶδος τὴν στάσιν οἶμαι ἀντιθετέον τήν τε πρὸ τῆς κινήσεως καὶ μετὰ τὴν κίνησιν, τάχα δὲ καὶ τὴν ἐν αὐτῇ τῇ κινήσει. καὶ ἐκεῖνο δὲ μὴ παρῶμεν ζητεῖν, διὰ τί μεταβολῆς οὔσης ἐν τοῖς γεννητοῖς πράγμασι καθ' ἑκάστην τῶν κατηγοριῶν, κατὰ τέσσαρας μόνας ἀφωρίσαντο τὰς μεταβολάς, οὐσίαν ποσὸν ποιὸν καὶ ἔτι τὸ ποῦ... ὃ δὲ μάλιστα θαυμάζω, πῶς κατὰ τὸν τόπον κίνησιν ἰδόντες κατὰ χρόνον οὐκ ἐθεάσαντο, εἰ μὴ ἄρα ὁ κίνησιν χρόνου τιθεὶς καὶ χρόνον χρόνου λέγειν ἀναγκασθήσεται. πῶς δὲ αὐτὸς Ἀριστοτέλης ἐν τῷ τρίτῳ τῆς Φυσικῆς (3 1 p. 201 8) σαφῶς εἰπὼν "ὥστε κινήσεως καὶ μεταβολῆς ἐστὶν εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος," ὅμως καὶ ἐν τῷ πέμπτῳ τῆς πραγματείας ἐκείνης καὶ ἐνταῦθα οὐκέτι δέκα ἀλλὰ τέσσαρα εἴδη κινήσεως ἀπαριθμεῖται; ἐπειδὴ δὲ ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς Ἀκροάσεως καὶ τὰς αἰτίας ἀποδιδόναι προτίθεται ὁ Ἀριστοτέλης δι' ἃς ἐν τοῖς ἄλλοις γένεσιν οὔ φησιν εἶναι κίνησιν ἢ μεταβολήν, πρὸς μὲν ἐκείνους τοὺς ἀπολογισμοὺς ἐπειράθην τι λέγειν ἐν ταῖς εἰς ἐκείνην τὴν πραγματείαν σχολαῖς, ἵνα δὲ μὴ τολμηρόν τις ἡγῆταί με λίαν ἄκραντα γαρυόμενον Διὸς πρὸς ὄρνιχα θεῖον κατὰ Πίνδαρον (Olymp. 2 87), ἐθέλω καὶ τὸν ἄριστον τῶν αὐτοῦ μαθητῶν τὸν Θεόφραστον ἐπιδεῖξαι ταῖς ἐμαῖς ἐπινοίαις συμψηφιζόμενον. λέγει γὰρ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ τῶν φυσικῶν οὕτως· "περὶ δὲ κινήσεως τὸν μὲν κοινὸν καὶ καθόλου λόγον οὐ χαλεπὸν ἀποδοῦναι καὶ εἰπεῖν ὡς ἐνέργειά τις ἐστὶν ἀτελὴς τοῦ δυνάμει ὄντος ᾗ τοιοῦτον καθ' ἕκαστον γένος τῶν κατηγοριῶν, ὃ καὶ διὰ τῆς αἰσθήσεως σχεδὸν φαίνεται." ἀλλὰ ταῦτα μὲν κατὰ τῆς πολλῆς συνηθείας τῶν φιλοσόφων ἠπορημένα ἀκριβεστέρας καὶ παρ' ἡμῶν καὶ παρ' ἄλλων τυγχανέτω ζητήσεως· μήποτε δὲ οὐδὲ ἀπορίας ἄξια τυγχάνουσιν. οἱ μέντοι Στωϊκοὶ διαφέρειν ἀλλήλων ἡγοῦνται τὸ μένειν τὸ ἠρεμεῖν τὸ ἡσυχάζειν τὸ ἀκινητεῖν τὸ ἀκινητίζειν· μένειν γὰρ ἂν ῥηθῆναι πρὸς ἕνα χρόνον, ἀλλὰ πρὸς τὸν ἐνεστῶτα καὶ μέλλοντα· μένειν γὰρ λέγομεν τὸ κατέχον τὸν αὐτὸν χρόνον καὶ καθ' ἕξιν· τὸ γὰρ κατεσχηκὸς μεμενηκέναι λέγομεν. χρώμεθα δέ, φασί, καὶ ἐπὶ τοῦ μὴ κινεῖσθαι τῷ μένειν, ὥστε καταχρηστικῶς εἰπεῖν ἄν τινα καὶ ἐπὶ τῶν ἀσωμάτων τὸ μένειν ἀντὶ τοῦ μὴ κινεῖσθαι. κοινὸν μὲν οὖν πάντων τῶν σωμάτων τὸ μένειν, τὸ δὲ ἠρεμεῖν, φασί, μήποτε ζῴων ἐστὶ σύμπτωμα· λίθος γὰρ οὐκ ἠρεμεῖ. ζῴων δὲ καὶ τὸ ἡσυχάζειν. τὸ ἀκινητεῖν καὶ ἀκινητίζειν ἐπὶ τῶν σωμάτων λέγεται ἃ πέφυκε μὴ κινεῖσθαι, ἀντὶ τοῦ μὴ κινεῖσθαι δὲ λέγεται.

f. 5. Καὶ περὶ τοῦ ἔχειν εἰκότως διδάσκει, διότι περὶ τῶν 15b 17.
γενῶν διαλεγόμενος τὸ γένος τοῦτο συντόμως παρῆλθε. τελευταῖον δὲ τέθεικεν αὐτό, διότι καὶ ἐν τοῖς γένεσι τελευταίαν αὐτῷ τάξιν αὐτὸς ἀποδέδωκε, τοῦ Ἀρχύτου μετὰ τὰς τέσσαρας τὰς πρώτας τὴν τοῦ ἔχειν κατηγορίαν τάξαντος, ὡς εἴρηται. λέγει δὲ ὁμώνυμον εἶναι τὸ ἔχειν καὶ ὀκταχῶς λέγεσθαι... καὶ ὅτι τὸ ἔχειν τοῦτο συνοικεῖν σημαίνει· καὶ γὰρ καὶ Ὅμηρος τάττει τὸ ἔχειν ἐπὶ τοῦ οἰκεῖν, "οἳ δ' εἶχον κοίλην Λακεδαίμονα, οἳ δ' εἶχον Ἀρκαδίην." ἴσως δέ,

καὶ εἴδη δὲ κοινότερα εἶπεν· οὐ γὰρ δοκεῖ αὐτῷ γένος εἶναι ἡ μεταβολή, ἣν διαιρεῖ ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς Ἀκροάσεως εἴς τε γένεσιν καὶ φθορὰν καὶ εἰς τὰς ἄλλας μεταβολάς, ἃς κινήσεις καλεῖ, αὔξησιν μείωσιν ἀλλοίωσιν καὶ τὴν κατὰ τόπον μεταβολήν. ἀλλὰ τίς μὲν ἡ οὐσία τῆς κινήσεως καὶ τίς ὁ ὅρος αὐτῆς, καὶ εἰ γένος ἐστὶν ἢ οὔ, καὶ τὰ ἄλλα περὶ αὐτῆς ἀκριβῆ θεωρήματα ἐν ἄλλοις ἐξήτασται, τῆς φυσικῆς ὄντα πραγματείας οἰκεῖα· διαιρέσεις δέ τινας αὐτῆς παραδέδωκεν, ὥσπερ εἴωθεν ἐν ταῖς εἰσαγωγαῖς γίνεσθαι.

ἈΜΜ. f. 147 b. ζητητέον δὲ τίνος ἕνεκεν ἐνταῦθα ταύτης ἐμνήσθη. τινὲς μὲν οὖν εἰρήκασιν ὅτι ἐπειδὴ τῶν κατηγοριῶν αἱ τοῦ ποιεῖν καὶ πάσχειν κινήσεις ἦσαν, οὐδὲν δὲ εἶπε περὶ αὐτῶν, διὰ ταύτην τὴν αἰτίαν ἐνταῦθα τὸν περὶ τῆς κινήσεως ποιεῖται λόγον. μήπως γάρ, φασίν, ἡ μὲν κίνησίς ἐστι γένος, εἴδη δὲ τῆς κινήσεως ἄλλα τε πολλὰ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν. τινὲς μὲν οὖν οὕτω περὶ τούτων διωρίσαντο, οὐκ ἀποδεκτέον δὲ τὸν τοιοῦτον λόγον· οὐ γὰρ προῄρηται ὁ φιλόσοφος περὶ τοῦ ποιεῖν καὶ πάσχειν πλέον τι τῶν ἐξ ἀρχῆς εἰρημένων εἰπεῖν. ἄλλως τε καὶ ὡς ἐν ἀρχαῖς ἐλέγομεν, τὸ μὲν κινεῖν ὑπὸ τὸ ποιεῖν ἀνάγεται καὶ τὸ κινεῖσθαι ὑπὸ τὸ πάσχειν, αὐτὴ μέντοι ἡ κίνησις οὐκέτι· οὐ γάρ ἐστιν ἡ κίνησις ποιεῖν. ἐλέγομέν τε ὅτι αἱ κινήσεις οὐ κατηγορίαι εἰσὶν ἀλλ' ὁδὸς εἰς τὰς κατηγορίας. τί οὖν ἡμεῖς λέγομεν; ὅτι ὥσπερ τῶν προλαβουσῶν φωνῶν τὴν διδασκαλίαν ἐποιήσατο διὰ τὸ μεμνημονευκέναι αὐτῶν ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ, οὕτω δὴ κἀπὶ τῆς κινήσεως ἐροῦμεν· ἐμνημόνευσε γὰρ τῆς κινήσεως ἐν τῷ περὶ τῆς οὐσίας λόγῳ.

ΣΙΜΠΛ. φ' f. 2. ἐγκαλεῖ δὲ ὁ Νικόστρατος ὅτι ἐν μὲν τῇ Φυσικῇ Ἀκροάσει (5 1) τὴν γένεσιν καὶ τὴν φθορὰν οὐ βούλεται εἶναι κινήσεις, ἐνταῦθα δὲ καὶ αὐτὰς εἰς τὰς κινήσεις συγκαταριθμεῖ. καίτοι ῥᾴδιον ἦν συνορᾶν ὅτι πρῶτον μὲν εἰκὸς ἦν κοινῶς ἐνταῦθα τῷ ὀνόματι χρήσασθαι τῆς κινήσεως ἀντὶ τῆς μεταβολῆς, ἐπεὶ ταὐτὸ ἐνταῦθα, ὡς ἐν εἰσαγωγῇ κατὰ τὴν κεκρατηκυῖαν συνήθειαν ἐχρήσατο τῷ ὀνόματι, ὕστερον δὲ ἐν τῇ Φυσικῇ Ἀκροάσει προηγούμενον περὶ τούτου ποιούμενος λόγον τὸ ἀρέσκον ἑαυτῷ δοκιμάζει, τὰ γινόμενα καὶ φθειρόμενα μὴ ἀξιῶν λέγειν κινεῖσθαι, διότι ἡ κίνησις τῶν ὑφεστηκότων ἐστίν. μεταβάλλει δὲ καὶ ταῦτα καὶ ἐκεῖνα· διὸ κοινὴν ἔθετο τὴν μεταβολὴν ἐκεῖ, καὶ τὴν γένεσιν καὶ φθορὰν οὐκέτι κινήσεις ἀλλὰ μεταβολὰς ἀφωρίσατο. ἰστέον δὲ ὅτι Δημόκριτος ἀρχὰς τῶν ὄντων τὰς ἀτόμους ὑποθέμενος μόνην τὴν κατὰ τόπον εἰσῆγε κίνησιν· καὶ γὰρ τὰ ἀλλοιούμενα κατὰ τόπον ἡγεῖτο κινεῖσθαι, λανθάνειν δὲ ἐν τῷ μὴ ὅλα τὰ μέρη τόπον ἀμείβειν ἀλλά τινα ἀφανῆ ἡμῖν ὄντα· διὸ μόνα δοκεῖν κατὰ τόπον κινεῖσθαι τὰ αἰσθητὰ συγκρίματα μεταβάντα τόπον ἐκ τόπου, ἢ ὅλα ὁμοῦ, ἢ ὧν ἂν μέρη αἰσθητὰ κινῆται τοὺς ἀλλήλων μεταλαμβάνοντα τόπους, ὡς τὰ ἡμικυκλίου καὶ τῆς σφαίρας μέρη, ὅταν περὶ ἄξονα ἡ στροφὴ γίνηται. Πλάτων δὲ συνιδὼν ὅτι πολλὰ τῶν κινουμένων οὐ κατὰ τόπον κινεῖται, ὡς τὰ θερμαινόμενα καὶ λευκαινόμενα, δεύτερον εἰσήγαγε τὴν ἀλλοίωσιν ὡς ἑτέραν τῆς κατὰ τόπον καὶ μήτε κατὰ ἀντιμετάστασιν μερῶν μήτε κατὰ τὴν τῶν ὅλων ἔκστασιν γινομένην. Ἀριστοτέλης δὲ καὶ τὴν κατὰ ποσὸν προσέθηκεν, ὡς μὲν ἀξιοῦσί τινες, μικτὴν οὖσαν ἐξ ἀλλοιώσεως καὶ φορᾶς, μᾶλλον δὲ ἁπλῆν οὖσαν· τῆς γὰρ ἀλλοιώσεως διαφέρει ὅσον τὸ ποσὸν τοῦ ποιοῦ διενήνοχε, τῆς δὲ φορᾶς, ὅτι οὐκ ἀπολείπει τόπον ὡς τὰ φερόμενα, εἰ δὲ ἐπιλαμβάνει τόπον πλείω τοῦ ἐξ ἀρχῆς τὸ αὐξόμενον ἢ ἀπολείπει τὸ μειούμενον, ἡ ἐπίληψις καὶ ἀπόληψις (f. 2 b) τοῦ τόπου κατὰ συμβεβηκὸς γίνεται, προηγουμένως δὲ ἡ κατὰ τὸ ποσὸν συνίσταται κίνησις. ὁ μέντοι Πλάτων πᾶσαν τὴν κατ' εἶδος διαφορὰν μένοντος τοῦ ὑποκειμένου ὡς ἀλλοῖον ἀλλ' οὐχὶ ὡς ἄλλο ποιοῦσαν ἀλλοίωσιν ἐκάλεσεν· ὑπέπιπτε δὲ αὐτῇ καὶ ἡ αὔξησις καὶ ἡ κατὰ ποιότητα μεταβολή. μήποτε δὲ καὶ αὔξησις καὶ μείωσις ἐν μέσῳ τῆς τε γενέσεως καὶ φθορᾶς καὶ τῆς ἀλλοιώσεως καθεστήκατον· καὶ γὰρ καθόσον μὲν οὐσία οὐσίας προσθήκη γίνεται καὶ ἀποβολή, γενέσει καὶ φθορᾷ ἔοικε, καθόσον μέντοι μένοντος τοῦ αὐτοῦ εἴδους ἡ μεταβολὴ γίνεται, ἀλλοίωσις μᾶλλόν ἐστι τὸ συμβαῖνον. οἶδε μέντοι καὶ ὁ Πλάτων τὴν αὔξησιν καὶ μείωσιν καὶ πρὸ Ἀριστοτέλους ἐν τῷ δεκάτῳ τῶν Νόμων (p. 893) γράφων οὕτως "καὶ μὴν συγκρινόμενα αὐτῶν αὐξάνεται, διακρινόμενα δὲ φθίνει τότε ὅταν ἡ καθεστηκυῖα τάξις ἑκάστων διαμένῃ." αὐτὸς μέντοι οὐχὶ ἓξ μόνον ἀλλ' ὀκτὼ ποιεῖ τὰ τῶν φυσικῶν κινήσεων εἴδη, προστιθεὶς τούτοις τὴν σύγκρισιν καὶ διάκρισιν τῶν σωμάτων, ἑπομένην μὲν τῇ κατὰ τόπον κινήσει, οὐκ ἄλλην δὲ παρ' αὐτὴν οὖσαν. λαμβάνεται δὲ τοῦ Ἀριστοτέλους ὁ Νικόστρατος ὡς οὐ καλῶς διάφορον τῆς αὐξήσεως τὴν ἀλλοίωσιν διὰ τοῦ παραδείγματος ἀποδείξαντος τοῦ κατὰ τὸ τετράγωνον καὶ τοῦ γνώμονος παράθεσιν, ὡς αὐξανομένου μέν, οὐ μέντοι ἀλλοιουμένου· διπλᾶ γάρ φησιν εἶναι τὰ σχήματα... ἔδει δὲ ἐννοεῖν ὅτι καὶ αὐξάνεσθαι δυνατὸν ἐν τῇ αὐτῇ μορφῇ μόνον καὶ τῇ αὐτῇ ποιότητι, κατὰ μέγεθος μόνον γινομένης τῆς διαφορᾶς, ὡς ὅταν τοῦ Ἀλεξάνδρου εἶδος καὶ ἐν σφενδόνῃ δακτυλίου γένοιτο καὶ ἐν τῷ Ἄθῳ εἰς κολοσσὸν Ἀλεξάνδρου σχηματισθέντι

f. 2 b. ἀλλὰ τίς ὁ γνώμων καὶ πῶς τὸ τετράγωνον αὔξεται τῇ 15a 30.
περιθέσει τοῦ γνώμονος, σαφέστερον διὰ τοὺς ἀγεωμετρήτους ῥητέον. τετράγωνον σχῆμα καλεῖται τὸ τὰς τέσσαρας πλευράς τε καὶ γωνίας ἴσας ἀλλήλαις ἔχον, οἷον τὸ αβγδ· τούτου διάμετρος ἤχθω ἡ βγ', καὶ εἰλήφθω ἐπὶ τῆς αβ' τυχὸν σημεῖον τὸ ε', καὶ διὰ τοῦ ε' ὁποτέρᾳ τῶν αγ' βδ' παράλληλος ἤχθω ἡ εζ', διὰ δὲ τοῦ η', ὅπερ ἐστὶ κοινὴ τομὴ τῆς τε διαμέτρου καὶ τῆς ἀχθείσης παραλλήλου, ὁποτέρᾳ τῶν αβ' γδ' παράλληλος ἤχθω ἡ ηθ'. καὶ ἐν τῷ αβγδ' χωρίῳ τεσσάρων ὄντων τετραπλεύρων, τοῦ κα' καὶ ἔτι τοῦ βκ' καὶ κγ' καὶ κδ', τετράγωνά ἐστι τὰ δύο ακ' κδ', ἅπερ παραπληρώματα λέγεται ὡς συμπληροῦντα τὸ ὅλον σχῆμα μετὰ τῶν δύο τετραγώνων προηγουμένην ἐχόντων τάξιν διὰ τὸ ὡρισμένον. ταῦτα οὖν τὰ δύο παραπληρώματα, τὸ ακ' κδ', μετὰ ἑνὸς τετραγώνου ὁποιουοῦν γνώμων καλείσθω, καὶ ὅτι τῷ τρίτῳ στοιχείῳ ἔοικε τὸ σχῆμα (f. 3) καὶ ὅτι γνωματεύει καὶ κρίνει τὸ λοιπόν· καὶ γὰρ ἀφαιρούμενος ὁμοιόσχημον τῷ ὅλῳ τῷ ἐξ ἀρχῆς τὸ καταλειπόμενον ποιεῖ, καὶ προστιθέμενος ὁμοιόσχημον τῷ ὅλῳ τῷ ἐξ ἀρχῆς. ἐπεὶ οὖν τετράγωνόν ἐστι τὸ καταλειπόμενον ἀφαιρουμένου τοῦ γνώμονος, δῆλον ὅτι κἂν τετραγώνῳ γνώμων προστεθῇ, τετράγωνον γίνεται τὸ ὅλον, τοῦ μὲν ποιοῦ μένοντος.

f. 8. λέγεται δὲ πρότερον καὶ κατὰ φύσιν καὶ οὐσίαν ὅσα αὐτὰ μὲν ἐνδέχεται ἄνευ ἄλλων εἶναι, ἐκεῖνα δὲ ἄνευ τούτων μὴ ἐνδέχεται· ᾧ τρόπῳ καὶ ὁ Πλάτων ἐχρήσατο καὶ αὐτὸς ἐνταῦθα. οὕτω μὲν οὖν ἐκεῖ τοὺς τοῦ προτέρου καὶ ὑστέρου τρόπους ἀπηριθμήσατο, καὶ δῆλον ὅτι περιέχονται ἐν τούτοις οἱ ἐν ταῖς κατηγορίαις εἰρημένοι, ὁ μὲν κατὰ χρόνον καὶ ὁ κατὰ τάξιν καὶ ὁ κατὰ δύναμιν ἐν τῷ πρώτῳ, τὰ δὲ κατὰ φύσιν καὶ αἰτίαν ἐν τῷ ἐσχάτῳ. οἱ μέντοι πέντε τρόποι οἱ ἐν ταῖς κατηγορίαις ἀναχθήσονται εἰς τὰ ἀνωτάτω γένη οὕτως, ὁ μὲν κατὰ χρόνον εἰς τὴν ποτὲ κατηγορίαν, ὁ δὲ κατὰ φύσιν καὶ τὸ συναναιρεῖν μὲν μὴ συναναιρεῖσθαι δὲ καὶ ὁ κατὰ δύναμιν καὶ ὁ κατὰ αἰτίαν ὑπὸ τὰ πρός τι, ὁ δὲ κατὰ τάξιν ὑπὸ τὸ κεῖσθαι. δῆλον δὲ ὅτι καὶ τὸ ὕστερον ἐν ταῖς αὐταῖς ἔσται κατηγορίαις ἐν αἷς καὶ τὸ πρότερον. καὶ ὁ Στράτων δὲ ὁ Λαμψακηνὸς ἐν τῷ περὶ τοῦ Προτέρου καὶ Ὑστέρου μονοβίβλῳ πολλοὺς ἀπηριθμήσατο τρόπους, οὓς νομίζω δυνατὸν εἶναι ὑπὸ τοὺς πέντε τοὺς ἐνταῦθα λεγομένους ἀναγαγεῖν οἷον μερισμὸν ἐκείνων ὄντας. ὑπὸ μὲν γὰρ τὸ τῷ χρόνῳ πρότερον ταχθήσεται τὸ ἀτελὲς τοῦ τελείου λεγόμενον, διότι ἔσχατον ἐν πᾶσι τὸ τέλος· τὸ δὲ αὐτὸ καὶ ὑπὸ τὴν τάξιν. ἔτι δὲ ὑπ' ἄμφω ταῦτα καὶ ὃ τῇ ἀξίᾳ καὶ δυνάμει καὶ τῇ φύσει πρότερόν ἐστιν, οὗ ἐπιστήμη πρότερον, οἷον μονάδος ἢ δυάδος καὶ πλήθους ἢ ἀρτίου καὶ περιττοῦ· ταῦτα γὰρ οὐδὲ ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, ὥσπερ οὐδὲ ἡ ἐπιστήμη αὐτῶν. πρῶτον δὲ καὶ τῷ χρόνῳ καὶ τῇ ἀξίᾳ, ὧν τὸ ἔργον πρότερον, οἷον τὸ ἀγαθὸν τοῦ κακοῦ· τὸ μὲν γὰρ σωτηρίας τὸ δὲ φθορᾶς αἴτιον, πρῶτον δὲ τὸ εἶναι τοῦ φθείρεσθαι καὶ χρόνῳ καὶ ἀξίᾳ. πρῶτον δὲ τῇ φύσει ὡς μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, ὅπερ δυνατὸν εἶναι θατέρου μὴ ὄντος, ὡς τόπος σώματος καὶ σῶμα χρώματος. ὁμοίως δὲ καὶ εἰ θάτερον ἐν θατέρῳ πέφυκε γίνεσθαι, οἷον ἡ οὐσία ποιοῦ καὶ ποσοῦ. οὕτως δὲ καὶ τὸ κατὰ φύσιν πρότερον τοῦ παρὰ φύσιν (f. 8 b) καὶ ὁ νόμος τῆς παρανομίας καὶ ἡ ἕξις τῆς στερήσεως. ὑπὸ δὲ τὸ τῇ ἀξίᾳ πρότερον καὶ τὸ δυνάμει τάττοιτο ἂν τὰ τῷ τιμιωτέρῳ συγγενέστερα, ὡς τὸ ποσὸν τοῦ ποιοῦ προτάττοιτο ἄν, διότι τὸ μὲν ποσὸν μέρος τῆς οὐσίας τὸ δὲ ποιὸν οὔ. καὶ εἰ τὸ μὲν μετέχει γενέσεως καὶ φθορᾶς, ὡς ὁ χρόνος, τὸ δὲ οὔ, ὡς ὁ τόπος, καὶ τὸ μὲν χωριστὸν τὸ δὲ οὔ· ἄνευ μὲν γὰρ αἰσθήσεως εἶναι τὴν ψυχὴν ἀδύνατον, ἄνευ δὲ ἐπιθυμίας εἶναι δυνατόν. καὶ τὸ ἀμερὲς τοῦ μεριστοῦ· ἀρχῇ γὰρ ὁμοιότερον· ὥστε καὶ κύκλου τὸ κέντρον. καὶ τὸ μᾶλλον τοῦ προτέρου μετέχον, ὡς τὸ ἀΐδιον μὲν τοῦ ἀγαθοῦ τὸ φθαρτὸν δὲ τοῦ κακοῦ, καὶ τὸ ἄρτιον δυάδος τὸ δὲ περιττὸν τριάδος. καὶ εἰ τὸ μὲν μένει χρόνον τινὰ τὸ δὲ οὐ μένει, οἷον σῶμα κινήσεως καὶ χρόνου. ὑπὸ δὲ τὸ τῇ τάξει πρότερον εἴη ἂν τὸ τοῦ μεταξὺ πρότερον, ὕστερον δὲ τὸ τοῦ μεταξὺ ὕστερον. ὑπὸ δὲ τὸ τοῖς ἀντιστρέφουσιν, ὡς αἰτιῶδες, πρότερον ἂν εἴη τὸ στοιχεῖον· καὶ γὰρ αὖ καὶ τὸ μέρος τοῦ ὅλου, ὡς τὸ πεπερασμένον τοῦ ἀπείρου. καὶ εἰ θάτερον ἐκ θατέρου, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος· ὑλικὸν γὰρ καὶ οὗτος αἴτιον. ὅτι δὲ καὶ τὸ αὐτὸ κατ' ἄλλο καὶ ἄλλο καὶ πρότερον καὶ ὕστερον εἶναι δυνατόν, καὶ αὐτὸς ὁ Στράτων ἐνεδείξατο, τὸν χρόνον καὶ τὸν τόπον πρότερα καὶ ὕστερα ἀλλήλων δεικνύς.

14 b 21. f. 8 b. Χρησάμενος καὶ τῷ ἅμα ἐν τοῖς περὶ τῶν πρός τι λόγοις, εἰκότως καὶ περὶ αὐτοῦ προτίθεται διδάξαι. μετὰ δὲ τὸ πρότερον καὶ ὕστερον τάττει τὸ ἅμα, διότι ἀντίκειται πρὸς ἐκεῖνα, ὡς δηλοῖ τὸ τῇ ἀποφάσει αὐτῶν δηλοῦσθαι· διὸ καὶ πρότερον τοῦ ἅμα σχεδὸν τοὺς ἀντιθέτους ἐκείνων τρόπους καὶ κατὰ τάξιν πως ἀπηριθμήσατο τὴν αὐτήν.

δεύτερον δὲ σημαινόμενον τοῦ ἅμα τίθησιν ὅπερ τῷ δευτέρῳ καὶ τῷ πέμπτῳ τοῦ προτέρου καὶ ὑστέρου σημαινομένῳ ἀντέθηκεν εἰκότως. 14 b 27.

τρίτον τοῦ ἅμα σημαινόμενον παραδίδωσιν, ἅμα λέγων τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα ἀλλήλοις. ἀντιδιῃρῆσθαι δὲ λέγεται τὰ κατὰ (φ' f. 1) τὴν μίαν καὶ τὴν αὐτὴν διαίρεσιν ἀναφερόμενα· ἑνὸς γάρ ἐστιν ὅτε γένους πλείονες γίνονται διαιρέσεις, αἱ μὲν καὶ ἰσοστοίχως, ὡς ὅταν τῶν σωμάτων τὰ μὲν θερμὰ τὰ δὲ ψυχρὰ λέγωμεν, ἢ τὰ μὲν ἔμψυχα τὰ δὲ ἄψυχα· καὶ καλοῦσι ταύτας ἐπιδιαιρέσεις· αἱ δὲ τὸ πρότερον ἔχουσαι καὶ ὕστερον, ὡς ὅταν τὸ ἔμψυχον, ταὐτὸν δὲ εἰπεῖν τὸ ζῷον, διέλωμεν εἰς τὸ πτηνὸν καὶ τὸ χερσαῖον καὶ ἔνυδρον· καὶ καλοῦσι ταύτην τοῦ ζῴου ὑποδιαίρεσιν. ἀντιδιαίρεσις μέντοι ἐστὶν ἡ κατὰ τὴν αὐτὴν καὶ μίαν τομὴν γινομένη τῶν διαιρημάτων ἀντίθεσις, ὥστε τῷ μὲν ἐμψύχῳ τὸ ἄψυχον ἀντιδιῃρῆσθαι, ἐκ τῆς αὐτῆς γενόμενον τομῆς, τῷ δὲ πτηνῷ τὸ πεζὸν καὶ τὸ ἔνυδρον. καὶ ἕκαστον δὲ τούτων εἰς εἴδη πάλιν τέμνεται... τούτῳ δὲ τῷ ἅμα δοκεῖ μηδὲν ἀντικείμενον πρότερον καὶ ὕστερον παραδεδόσθαι. λέγει δὲ ὁ Ἰάμβλιχος ἀντικεῖσθαι τούτῳ τὰ κατὰ προτέραν καὶ ὑστέραν γινόμενα διαίρεσιν. 14 b 33.

φ' f. 1 b. ἔστι δὲ ἅμα καὶ τὰ ἐν τῷ αὐτῷ τόπῳ ἐγγινόμενα ἀλλήλων, ὥσπερ καὶ πρότερον καὶ ὕστερον ἐλέγετο κατὰ τόπον· τὰ γὰρ ἐν τῷ αὐτῷ τόπῳ καὶ ἐν τῷ αὐτῷ ἀγγείῳ ὄντα ἅμα λέγομεν καὶ ὁμοῦ, τὸ δὲ ἅμα τῷ ὁμοῦ ὡσαύτως λέγεται· ἢ δὴ ἅμα πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς, φησὶν Ὅμηρος.... μήποτε δὲ οὐδὲν τούτων τῶν εἰρημένων ἅμα κυρίως δυνατὸν λέγειν, εἰ μὴ ἄρα πλατικῶς· οὔτε γὰρ ἐν τῷ αὐτῷ τόπῳ δύο σώματα εἶναι οὔτε κεῖσθαι δυνατόν, ἵνα καὶ ἅμα λέγηται κυρίως. διὸ καὶ παρῆκεν αὐτὰ ὁ Ἀριστοτέλης... μήποτε δὲ ἐν τῇ Μετὰ τὰ Φυσικὰ τὸ πρότερον καὶ ὕστερον κατὰ τόπον ἀφορίζεται, πρότερον μὲν καὶ κατὰ τόπον λέγων τὸ τῇ ὡρισμένῃ ἀρχῇ κατὰ τόπον πλησιαίτερον, ὕστερον δὲ τὸ πρότερόν ἐστι τὸ καὶ ἅμα κατὰ τόπον τῷ προτέρῳ τούτῳ καὶ ὑστέρῳ ἀντικείμενον. ἔστι δὲ καὶ ἄλλο ἅμα κατὰ τόπον, τῷ κατὰ τόπον χωρὶς ἀντικείμενον. εἰ δέ τις ἀπορεῖ διὰ τί μὴ πᾶσι τούτοις ἐπεξῆλθεν ὁ Ἀριστοτέλης, ἀρκεῖ λέγειν ὅτι ὅσα πρὸς σαφήνειαν αὐτῷ τῶν φθασάντων ἥρμοττε, ταῦτα διώρθωσε, τὰ περιττὰ παραλιμπάνων διὰ τὸ τῆς εἰσαγωγῆς σύμμετρον. 15 a 12.

ἐμνημόνευσε μὲν τῆς κινήσεως καὶ ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ, αἱ δὲ περὶ τοῦ ποιεῖν καὶ πάσχειν κατηγορίαι οὕτως εἶχον συγγενῶς πρὸς τὴν κίνησιν ὡς καὶ γένος ἀμφοῖν δόξαι τὴν κίνησιν οὐ τοῖς τυχοῦσι τῶν φιλοσόφων. εἰκότως οὖν καὶ περὶ κινήσεως διαλέγεται τὰ εἴδη τῆς κινήσεως διαιρούμενος, τουτέστι τῆς μεταβολῆς· κοινότερον γὰρ κινήσεως εἶπεν ἀντὶ τῆς μεταβολῆς· ἐπειδὴ (f. 2) γὰρ ἐν τοῖς περὶ οὐσίας λόγοις τὴν ἄτομον οὐσίαν κατὰ τὴν ἑαυτῆς μεταβολὴν ἔλεγε δέχεσθαι τὰ ἐναντία, εἰκότως διαιρεῖται τὴν μεταβολήν. 15 a 13.

14a 20 ΣΙΜΠΛ. υ′ f. 5. ταύτης δὲ τῆς διαιρέσεως ὁ Νικόστρατος λαμβάνεται, ἀνύπαρκτον λέγων τὸ τρίτον ἐν αὐτῇ τμῆμα· μὴ γὰρ εἶναί τινα ἐναντία ἅπερ ἐστὶ μόνον γένη, οὐχὶ δὲ καὶ εἴδη τινὸς ἢ τινῶν. αὐτίκα γοῦν τὸ ἀγαθὸν καὶ τὸ κακὸν ὑπὸ τὴν ποιότητα τάττεται καὶ ἤτοι τὴν διάθεσιν ἢ τὴν ἕξιν, ἄλλως δὲ πᾶν ἐναντίον ἤτοι ὑπό τι τῶν δέκα γενῶν ταχθήσεται καὶ ἔσται πάντως ὑπὸ γένος, καὶ μάτην εἴρηται τὸ αὐτὰ γένη εἶναι, ἢ ἔξω τῶν δέκα κατηγοριῶν ἐστί, καὶ ἀτελὴς ἔσται ἡ εἰς δέκα διαίρεσις. ταύτην δὲ τὴν ἀπορίαν καλῶς ἐμφανίζουσιν οἱ περὶ τὸν Πορφύριον λύουσι, λέγοντες τῶν ἐναντίων τὰ μὲν ὁμώνυμα εἶναι τὰ δὲ οὐχ ὁμώνυμα, καὶ ὅτι τὰ μὲν μὴ ὁμώνυμα διεῖλεν εἴς τε τὰ ὑφ᾽ ἓν γένος τεταγμένα καὶ εἰς τὰ ὑπὸ τὰ ἐναντία γένη, τὰ δέ γε ὁμωνύμως μὴ ὑφ᾽ ἓν γένος ὄντα κατὰ πολλῶν δὲ λεγόμενα, διότι ἔοικε γένη τοῖς ἀφ᾽ ἑνὸς ὁμωνύμοις, αὐτὰ γένη φησὶν εἶναι. τοιοῦτον δὲ καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν· ὁμώνυμον γὰρ τὸ ἀγαθόν... Θεόφραστος δὲ ἐν τοῖς ἑαυτοῦ Τοπικοῖς τάδε γέγραφεν, ἀπορώτερον ἔτι ποιοῦντα τὸν λόγον· "ἐπεὶ δὲ ἐναντίαι τῶν ἐναντίων αἱ ἀρχαί, δῆλον ὅτι οὐδὲ ἐν ἑνὶ γένει ταῦτα, καθάπερ οὐδὲ τὸ ἀγαθὸν καὶ τὸ κακὸν καὶ κίνησις καὶ στάσις. εἴη δ᾽ ἂν καὶ ὑπεροχὴ καὶ ἔλλειψις ἐναντία γε καὶ ἀρχαί, καὶ εἶδος καὶ στέρησις." πρὸς δὴ ταῦτά φησιν Ἰάμβλιχος.

14a 23 ᾽ΑΜΜ. f. 142 b. τί οὖν; δεῖ προσθεῖναι ταῖς δέκα κατηγορίαις τὰς ἑτέρας δύο, τὴν τοῦ ἀγαθοῦ καὶ κακοῦ, ὡς μηκέτι δέκα εἶναι τὰς κατηγορίας ἀλλὰ δώδεκα; φαμὲν οὖν ὅτι ταῦτα γένη ἐκάλεσεν οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον ταῖς ἄλλαις κατηγορίαις, λέγω δὴ ὡς καθ᾽ αὑτὰ τούτων ὑφεστηκότων ὥσπερ καὶ αἱ κατηγορίαι, ἀλλ᾽ ὥσπερ καὶ ὁ Πλάτων γένη τῶν ὄντων εἶπε τὰ πέντε ἐκεῖνα, φημὶ δὴ τὸ ἓν τὴν ταυτότητα τὴν ἑτερότητα τὴν κίνησιν τὴν στάσιν, διὰ τὸ ἐν πᾶσι τοῖς οὖσι θεωρεῖσθαι, οὐχὶ δὲ τῷ αὐτὰ καθ᾽ αὑτὰ ταῦτα ὑφεστηκέναι· οὕτω δὴ καὶ ὁ Ἀριστοτέλης ἐνταῦθα γένη εἶπεν εἶναι τὸ ἀγαθὸν καὶ τὸ κακόν, οὐχ ὡς αὐτὰ καθ᾽ αὑτὰ ἀλλ᾽ ὡς ἐν πάσαις ταῖς κατηγορίαις θεωρούμενα· ἔστι γάρ τι καὶ ἐν οὐσίᾳ ἀγαθὸν καὶ κακὸν καὶ ἐν ποσῷ καὶ ἐν ποιῷ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις... ἀκριβολογουμένοις δὲ οὐδὲ ἐναντία τὸ ἀγαθὸν καὶ τὸ κακὸν φανήσεται, ἀλλὰ κατὰ στέρησιν καὶ ἕξιν ἀντικεῖσθαι.

14a 26 ΣΙΜΠΛ. υ′ f. 6 b. ἐχρήσατο καὶ τῷ προτέρῳ (ὁ Ἀριστοτέλης) ἔν τε τῷ περὶ τῆς οὐσίας λόγῳ καὶ ἐν τοῖς πρός τι, εἰπὼν "τὸ γὰρ ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον ἂν δόξειεν εἶναι (p. 7 23)." διὰ τοῦτο οὖν καὶ τοῦ προτέρου πολλαχῶς λεγομένου τὴν διαίρεσιν ποιεῖται, οὐ πάντας τοὺς τρόπους παραδιδούς (καὶ ἄλλους γοῦν οὐκ ὀλίγους προστίθησι καὶ αὐτὸς ἐν ἄλλοις καὶ ὁ Στράτων ἐν τῇ περὶ προτέρου καὶ ὑστέρου μονοβίβλῳ), ἀρκοῦντας δὲ πρὸς εἰσαγωγὴν καὶ τοὺς ἐκτεθέντας οἰόμενος. πρῶτον μὲν γὰρ τρόπον τοῦ προτέρου καὶ κυριώτατον τὸν κατὰ χρόνον εἶναί φησι, καθὸ τὸ πρῶτον τῷ χρόνῳ πρεσβύτερον καὶ παλαιότερον λέγομεν, τίμια τιθέντες ταῦτα τὰ ὀνόματα. λέγεται δὲ κυρίως τὸ μὲν πρεσβύτερον ἐπὶ τῶν ἐμψύχων, καὶ μάλιστα ἀνθρώπων, καθὸ Πυθαγόραν Σωκράτους πρεσβύτερον λέγομεν, τὸ δὲ παλαιότερον ἐπὶ τῶν ἀψύχων καὶ τῶν πραγμάτων, ὡς τὰ Τρωϊκὰ τῶν Περσικῶν παλαιότερά φαμεν καὶ ταύτῃ πρότερα.

᾽ΑΜΜ. f. 143 b. ἰστέον δὲ ὅτι τὸ μὲν παλαιότερον καὶ ἐπὶ ἐμψύχων καὶ ἐπὶ ἀψύχων εἴωθε λέγεσθαι, τὸ δὲ πρεσβύτερον ἐπὶ μόνων τῶν ἐμψύχων. 14a 27.

ΣΙΜΠΛ. υ′ f. 7. καλεῖν δὲ εἰώθασιν οἱ νεώτεροι τὸ τοιοῦτον πρότερον συνεπιφερόμενον μὲν μὴ συνεπιφέρον δέ, καὶ συναναιροῦν μὲν μὴ συναναιρούμενον δέ, ἅπερ Ἀριστοτέλης συνέλαβεν ἐν τῷ ἀντιστρέφειν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. οὐκ ἀντιστρέφειν δὲ εἶπε διότι οὐχ ὥσπερ ὄντων τῶν δύο ἔστι τὸ ἕν, οὕτως ὄντος τοῦ ἑνὸς ἔστι τὰ δύο. 14a 29.

᾽ΑΜΜ. f. 144. στοιχεῖα δὲ καλοῦσιν οἱ γεωμέτραι τὸ σημεῖον τὴν γραμμὴν τὴν ἐπιφάνειαν καὶ τὰ τοιαῦτα ὅσα τῆς τῶν θεωρημάτων ἀποδείξεως προλαμβάνεσθαι εἴωθε, διαγράμματα δὲ αὐτὰ τὰ θεωρήματα. καὶ ἐπὶ τῶν γραμμάτων δὲ τῶν μὲν λέξεων πρότερα αἱ συλλαβαί, τῶν δὲ συλλαβῶν τὰ στοιχεῖα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λόγων ἐροῦμεν· προηγοῦνται μὲν γὰρ τὰ προοίμια, ἀκολουθεῖ δὲ ἡ προκατάστασις, εἶτα ἡ κατάστασις· τούτοις δὲ ἕπονται τὰ διηγήματα, εἶτα οἱ ἀγῶνες. ταῦτα δὲ πάντα τῇ τάξει μόνῃ τὸ πρότερον ἔχουσιν, οὔτε δὲ τῇ φύσει οὔτε τῷ χρόνῳ. 14a 39.

ΣΙΜΠΛ. υ′ f. 7. τοῦτον δὲ τὸν τρόπον ἀλλοτριώτατον εἶναί φησι τῆς κατὰ τὸ πρῶτον σημασίας, οὐχ ὅτι οὐκ ἔστι πρῶτα τῷ ὄντι τῇ φύσει τὰ βέλτιστα καὶ τιμιώτερα (f. 7 b), ἀλλ᾽ ὅτι οὐ πάνυ συνείθισται τὸ πρότερον ἐπὶ τῶν τοιούτων· τοὺς γοῦν πατέρας καὶ διδασκάλους, καίτοι τιμιωτέρους ὄντας, οὐκ εἰώθαμεν κατὰ τοῦτο προτέρους λέγειν, οὐδὲ συμπέφυκε τὸ τοῦ προτέρου ὄνομα, ὡς ἐπὶ τῶν ἄλλων εἶχε τρόπων. μήποτε δὲ οὐ διὰ τὴν συνήθειαν ἀλλοτριώτατον εἶπεν εἶναι τοῦ προτέρου καὶ ὑστέρου τὸν τρόπον τοῦτον (ἐν γὰρ τῇ συνηθείᾳ πολλάκις πρῶτον τὸ τιμιώτερον λέγομεν), ἀλλ᾽ ὅτι τὸ πρότερον καὶ ὕστερον ἐν τοιαύτῃ φύσει βούλεται εἶναι ὡς ἐν χρόνῳ καὶ ἀριθμῷ τὸ ἓν καὶ δύο καὶ ἐν λόγῳ τὸ προοίμιον καὶ ἡ διήγησις. 14b 8.

᾽ΑΜΜ. f. 145. πέμπτον προστίθησι τοῦτον· ὁ γὰρ τέταρτος, ὡς εἴρηται, ἀλλότριος ἦν τῶν τοῦ προτέρου σημαινομένων, ἐπειδήπερ ἀπὸ τῆς ἡμετέρας προαιρέσεως καὶ οὐκ ἀπὸ τῆς φύσεως τῶν πραγμάτων ὑπῆρχεν... ἔστι δὲ τὸ πέμπτον τῷ δευτέρῳ ἐναντίον· ἐκείνου γὰρ μὴ ἀντιστρέφοντος κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, μήτε αἰτίου ὄντος τοῦ ἑτέρου τῷ ἑτέρῳ, τοῦτο καὶ ἀντιστρέφει καὶ αἴτιόν ἐστι τοῦ ἑτέρου τὸ ἕτερον, οἷον ὁ πατὴρ καὶ ὁ υἱός· ταῦτα γὰρ ἀντιστρέφει πρὸς ἄλληλα κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν· ὁπότερον γὰρ ἂν τεθῇ, τὸ ἕτερον πάντως ἀκολουθεῖ. ἔστι μέντοι τὸ ἕτερον αἴτιον τοῦ λοιποῦ, ὁ πατήρ φημι τοῦ υἱοῦ. 14b 10.

ΣΙΜΠΛ. υ′ f. 7 b. πέντε μὲν οὖν αὐτὸς ἐνταῦθα τοῦ προτέρου τοὺς τρόπους ἐξέθετο, τὸν κατὰ χρόνον τὸν κατὰ φύσιν τὸν κατὰ τάξιν τὸν κατὰ δύναμιν τὸν κατὰ αἰτίαν· δῆλον δὲ ὅτι ὁσαχῶς τὸ πρῶτον, τοσαυταχῶς ἂν καὶ τὸ ὕστερον λέγοιτο... ἐν ἄλλοις δὲ πρότερον λέγει καὶ τὸ μέρος τὸ ἐν τῷ ὁρισμῷ τοῦ πράγματος, ὅπερ ὡς ὑλικὸν οἶμαι λαμβανόμενον αἴτιον ἐν τῷ πέμπτῳ τρόπῳ περιεχθήσεται, τῷ αὐτῷ μὲν τρόπῳ ὡς ἡ ὕλη τῷ ὅλῳ ἑπόμενον, οὐ μέντοι ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. λέγει δὲ καὶ τὸ τέλος πρότερόν τε εἶναι καὶ γνωριμώτερον αὐτοῖς, κἂν ὕστερον ᾖ τῇ φύσει. ἐν δὲ τοῖς Μετὰ τὰ Φυσικὰ (δ′ 11) οὕτως τὸ πρότερον καὶ ὕστερον διαιρεῖται... 14b 22.

εὐορκεῖν μὲν ἢ ἐπιορκεῖν ἐν τοῖς ὅρκοις εἰκός, ἀληθεύειν δὲ ἢ ψεύδεσθαι ἐν αὐτοῖς οὐχ οἷόν τε, κἂν περὶ ἀληθῶν ὀμόσῃ τις ἢ ψευδῶν. καὶ τὸ θαυμαστικὸν δὲ πλεονάζον τῷ θαύματι παρὰ τὸ ἀξίωμα καὶ τὸ ψεκτικὸν τῷ μονίμῳ οὔτε ἀληθές ἐστιν ἢ ψευδές, ἀλλὰ ὅμοια ἀληθέσιν ἢ ψεύδεσιν. ἀλλ' αὗται μὲν ἀπὸ τῆς Στωϊκῆς ἀκριβείας ἔστωσαν αἱ λύσεις· μήποτε δὲ ἁπλοϊκώτερον ἐπελθεῖν δεῖ τῷ λόγῳ· τὸ γὰρ ὀμοτικὸν "νὴ τὴν Ἀθηνᾶν" οὔτε ἀληθὲς οὔτε ψεῦδος δηλοῖ... περὶ δὲ τῶν εἰς τὸν μέλλοντα (f. 2 b) χρόνον ἀντιφάσεων εἰ μὲν Στωϊκοὶ τὰ αὐτὰ δοκιμάζουσιν ἅπερ καὶ ἐπὶ τῶν ἄλλων· ὡς γὰρ τὰ περὶ τῶν παρόντων καὶ παρεληλυθότων ἀντικείμενα, οὕτως καὶ τὰ μέλλοντα αὐτά τέ φασι καὶ τὰ μόρια αὐτῶν· ἢ γὰρ τὸ ἔσται ἀληθές ἐστιν ἢ τὸ οὐκ ἔσται, εἰ δεῖ ἤτοι ψευδῆ ἢ ἀληθῆ εἶναι· ὥρισται γὰρ κατ' αὐτὰ τὰ μέλλοντα. καὶ εἰ μὲν ἔστι ναυμαχία αὔριον, ἀληθὲς εἰπεῖν ὅτι ἔσται, εἰ δὲ μή, ἔσται ψεῦδος τὸ εἰπεῖν ὅτι ἔσται. ἤτοι ἔσται ἢ οὐκ ἔσται· ἤτοι ἄρα ἀληθὲς ἢ ψεῦδος θάτερον. εἰ μέντοι Περιπατητικοὶ τὴν μὲν ἀντίφασιν τὴν εἰς τὸ μέλλον ἀληθῆ ἢ ψευδῆ εἶναι λέγουσι, πότερον δὲ ἔσται μόριον αὐτῶν ἀληθὲς καὶ πότερον ψεῦδος, ἄληπτον εἶναι τῇ φύσει καὶ ἄστατον· τὴν μὲν γὰρ ἀντίφασιν ἐφ' οὑτινοσοῦν χρόνου οὐ κωλύει λέγεσθαι τὸ ἢ ἔσται ἢ οὐκ ἔσται, τῶν δ' ἐμπεριεχομένων ἐν αὐτῇ μορίων ἑκάτερον, οἷον τὸ ἔσται ἢ οὐκ ἔσται ἀφωρισμένως ἐπὶ μὲν τοῦ παρόντος καὶ παρεληλυθότος χρόνου ἤδη ἐστὶν ἀληθῆ ἢ ψευδῆ, ὅσα δὲ περὶ τοῦ μέλλοντος ἀποφαίνεται ἤδη μὲν οὐκ ἔστιν ἢ ἀληθῆ ἢ ψευδῆ, ἔσται δὲ ἢ τοῖα ἢ τοῖα. ταῦτα μὲν οὖν ἀρκείτω πρὸς τὸν Νικόστρατον· συμπληρωθέντος δὲ παρὰ Ἀριστοτέλους τοῦ περὶ τῆς τῶν ἀντικειμένων διαφορᾶς λόγου, καλῶς ἂν ἔχοι καὶ τὰ Ἀρχύτου περὶ αὐτοῦ ἐν τῷ περὶ Ἀντικειμένων βιβλίῳ ἀρχέτυπα τῶν εἰρημένων ὄντα παραγεγράφθαι, καὶ μάλιστα ὅτι οὐδὲ ὁ θεῖος Ἰάμβλιχος ἀπὸ τούτου τοῦ βιβλίου τι τοῖς ὑπομνήμασιν ἐνέταξε. καὶ ἴσως οὐκ ἦλθεν εἰς αὐτόν· οὐ γὰρ ἂν αὐτὸ παρῆκεν ὁ τὸ τοῦ Ἀριστοτέλους περὶ Ἀντικειμένων βιβλίον ἐπισκεψάμενος. ἔχει δὲ οὕτως.

13b 36. f. 3. Ταῦτα τοῖς περὶ τῶν ἐναντίων εἰρημένοις προστίθησι, ***χρήσιμα ὄντα πρός τε τὴν ὅλην τῶν κατηγοριῶν θεωρίαν καὶ πρὸς τὴν τῶν τόπων εὕρεσιν· ἔστι δὲ ταῦτα, ὅτι τῷ μὲν ἀγαθῷ κακὸν πάντως ἐναντίον, τῷ δὲ κακῷ ποτὲ μὲν ἀγαθὸν ποτὲ δὲ κακόν· δεύτερον ὅτι οὐκ ἀνάγκη τοῦ ἑτέρου τῶν ἐναντίων ὄντος καὶ τὸ ἕτερον πάντως εἶναι, ἐπὶ μέντοι τῶν ἀτόμων πάντως οὐκ ἔστιν· τρίτον ὅτι περὶ ὑποκείμενον τὸ αὐτὸ ἢ τῷ γένει ἢ τῷ εἴδει ἐστὶ τὰ ἐναντία, καὶ τέταρτον ὅτι τὰ ἐναντία ἢ ἐν τῷ αὐτῷ γένει ἐστὶν ἢ ἐν ἐναντίοις γένεσιν ἢ αὐτὰ γένη ἐστίν. τούτων δὲ τοῦ μὲν πρώτου τὸ ὅτι ἀγαθῷ κακὸν ἐξ ἀνάγκης ἐναντίον ἐστὶ δι' ἐπαγωγῆς τὴν πίστιν ἐποιήσατο... f. 3 b. ἐν δὲ τῷ περὶ Ἀντικειμένων βιβλίῳ προσέθηκε τοῖς τρόποις τούτοις τῶν ἐναντιώσεων καὶ τὸν τῶν μήτε ἀγαθῶν μήτε κακῶν πρὸς τὰ μήτε ἀγαθὰ μήτε κακά, οὕτως λέγων τὸ λευκὸν τῷ μέλανι καὶ τὸ γλυκὺ τῷ πικρῷ καὶ τὸ ὀξὺ τῷ βαρεῖ καὶ τῇ κινήσει τὴν στάσιν ἐναντιοῦσθαι. ἀλλὰ ἕν πως ἑνὶ δοκεῖ ἐναντίον εἶναι, νῦν δὲ τῷ κακῷ δύο φησὶν ἐναντία εἶναι, τό τε ἀγαθὸν καὶ τὸ ἀντικείμενον κακόν, ὡς τῇ θρασύτητι ἥ τε ἀνδρεία καὶ ἡ δειλία, καὶ τῷ ἀγαθῷ δύο κακὰ φαίνεται ἐναντία, ὡς τῇ ἀνδρείᾳ ἡ θρασύτης καὶ ἡ δειλία, καὶ τῇ μεσότητι ἥ τε ὑπερβολὴ καὶ ἡ ἔλλειψις.***

f. 3 b. Νικόστρατος δὲ αἰτιᾶται ἓν μέν, ὅτι ἀτελῶς ἔχει ἡ τῶν 14a 2 ἐναντίων διαίρεσις· οὐ γὰρ προσέθηκεν ὅτι καὶ ἀδιάφορον ἀδιαφόρῳ ἀντίκειται, ὅπερ ἐν μὲν τῷ τῶν Ἀντικειμένων βιβλίῳ προσέθηκεν, εἰπὼν εἶναί τινα τρόπον ἀντιθέσεως τῶν μήτε ἀγαθῶν μήτε κακῶν πρὸς τὰ μήτε ἀγαθὰ μήτε κακά, ὡς εἴρηται πρότερον. ἀδιάφορα δὲ αὐτὰ οὐκ ἐκάλεσεν, ὡς οἶμαι, διὸ νεώτερον ἦν τὸ τοῦ ἀδιαφόρου ὄνομα, παρὰ τῶν Στωϊκῶν τεθέν. ἐνταῦθα δὲ αὐτῶν οὐκ ἐμνήσθη, διότι ἀμφισβητήσιμον ἦν μήποτε οὐ μόνον ἀδιάφορον ἀδιαφόρῳ ἀλλὰ καὶ ἀδιάφορον κακῷ ἀντίκειται... ἕτερον δὲ αἰτιᾶται ὁ αὐτὸς ἀνὴρ πειρώμενος καὶ ἀγαθὸν ἀγαθῷ δεικνύναι ἐναντίον· τὴν γὰρ φρονίμην περιπάτησιν τῇ φρονίμῃ στάσει ἐναντίαν φησί, καὶ τὴν φρονίμην ἡδονὴν τῇ φρονίμῃ λύπῃ, καὶ τἆλλα τὰ τοιαῦτα (f. 4), ἅπερ καὶ ἐναντίως λέγεσθαι δοκεῖ. ἀλλ' οὐκ ἔστιν ἐναντία συμφρονοῦντα πρὸς τὸν ἕνα σκοπὸν καὶ τὸ ἓν τέλος τοῦ ἄμφω ποιοῦντος ἐμφρόνως. εἰ δὲ καὶ ἔστιν ὅλως ἐν τούτοις ἐναντίωσις, ὡς οὐκ ἀγαθοῦ πρὸς ἀγαθόν ἐστιν ἀλλ' ὡς μέσου πρὸς μέσον· ὡς γὰρ περιπάτησις πρὸς στάσιν καὶ ὡς ἡδονὴ πρὸς λύπην ἀντίκειται. ζητήσει δ' ἄν τις διὰ τί κακῷ μὲν κακὸν ἀντίκειται καὶ μέσον μέσῳ, ἀγαθὸν δὲ ἀγαθῷ οὐκ ἐναντιοῦται; καὶ ῥητέον ὅτι τὸ μὲν ἀγαθὸν ἕν ἐστι καὶ ἁπλοῦν, τὸ δὲ κακὸν ποικίλον.

f. 4. ἐπὶ δὲ τῶν συνειλημμένων ἐναντίων (ταῦτα δέ ἐστι τὰ 14a 10. ἄτομα, ὡς ὅταν λέγω Σωκράτην ὑγιαίνειν, Σωκράτην νοσεῖν) ἐπὶ τούτων οὐκ ἐνδεχομένως ἀλλ' ἀναγκαίως θάτερον μόνον ὑπάρχει. τούτων δὲ τὸ πρῶτον Ἀριστοτέλης μὲν καθ' ὑπόθεσιν ἔλαβε, τὸ πάντας ὑγιαίνειν καὶ πάντας λευκοὺς εἶναι, τὸ μὴ ἐξ ἀλλήλων ἠρτῆσθαι τἀναντία ὥσπερ τὰ πρός τι δηλῶν. οὐ συγχωρήσουσι δὲ ὅσοι τἀναντία ἀρχὰς ἔθεντο, οἵ τε ἄλλοι καὶ οἱ Ἡρακλείτειοι· εἰ γὰρ τὸ ἕτερον τῶν ἐναντίων ἐπιλείψει, οἴχοιτο ἂν πάντα ἀφανισθέντα· διὸ καὶ μέμφεται τῷ Ὁμήρῳ Ἡράκλειτος εἰπόντι "ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο·" οἰχήσεσθαι γάρ φησι πάντα.

f. 4 b. τινὲς μὲν ὡρισμένως τήνδε τὴν φρόνησιν, οἷον τὴν Σό- 14a 19. ***λωνος, τῇ αὐτοῦ ἀφροσύνῃ, εἴπερ γένοιτο, ἐναντίαν εἶναί φασι, καὶ τὴν τοῦδε ὑγείαν τῇ αὐτοῦ ἐκείνου νόσῳ, ἀλλ' οὐ τὴν τυχοῦσαν τῇ τυχούσῃ. οὐ μέντοι ὁ Ἀριστοτέλης οὕτως ἔοικε τίθεσθαι· διὸ ἐν γένει μόνῳ καὶ ἐν εἴδει τῷ αὐτῷ εἶπε γίνεσθαι τὰ ἐναντία. καὶ Ἰάμβλιχος δὲ ἀκολουθῶν φησὶ μὴ λέγεσθαι κατὰ δεῖξιν τήνδε τὴν φρόνησιν τῇδε τῇ ἀφροσύνῃ ἐναντίαν, μέσως δὲ φρόνησιν ἀφροσύνῃ. κἂν ἐπὶ τινὸς δὲ τῶν ἀτόμων ὡρισμένως τὰ ἐναντία λέγηται, ἀλλὰ κατὰ ἀναφορὰν τὴν ἐπὶ τὰ μέσα.***

'AMM. f. 142. διὰ τί δὲ εἰρηκὼς περὶ ταὐτὸν "ἢ εἴδει ἢ γένει" οὐ προσέθηκεν "ἢ ἀριθμῷ;" τὸ γὰρ ταὐτόν, ὡς ἐλέγομεν πρότερον, ἢ γένει ἐστὶ ταὐτὸν ἢ εἴδει ἢ ἀριθμῷ, ὥσπερ καὶ ἡ ἑτερότης, γένει μὲν ὡς ἄνθρωπος καὶ ἵππος, εἴδει δὲ ὡς Σωκράτης καὶ Πλάτων, ἀριθμῷ δὲ ὡς ἄορ ξίφος φάσγανον μάχαιρα καὶ τὰ τοιαῦτα. λέγομεν οὖν ὅτι ἢ ὡς ὁμολογούμενον τοῦτο παρῆκεν, ὡς ἡμῶν δυναμένων τοῦτο προσυπακοῦσαι, ἢ ἐπειδὴ εἰ καὶ περὶ ταὐτὸν τῷ ἀριθμῷ καταγίνονται τὰ ἐναντία, ἀλλ' οὐχὶ κατὰ τὸ αὐτὸ μέρος.

διαφορᾶς, οὐκ ἐχρῆν ἐκ τῶν (υ' f. 1) ἀλλοτρίων τρόπων παραφέροντα δοκεῖν ἐλέγχειν τὸν λόγον, ἀλλὰ τὸν μὲν πλήρη περὶ τῶν στερήσεων λόγον ἔστιν ἔκ τε τοῦ Ἀριστοτελικοῦ καὶ τοῦ Χρυσιππείου βιβλίου λαμβάνειν, τινὰ δὲ καὶ ὁ Ἰάμβλιχος παρέγραψεν, ἔχοντα οὕτως. πολλαχῶς τοῦ ἔχειν λεγομένου, ὡς ἤδη παρεδείξαμεν, ἡ στέρησις διατείνει μὲν ἐπὶ πάντα τὰ σημαινόμενα τοῦ ἔχειν, οὐκέτι μέντοι καὶ ἐπὶ πάντα τὰ ἐναντία· ἀπώλεια γὰρ ἴσον ἡ στέρησις· ὥστε οὐκ ἂν τοῦ κακοῦ γίνοιτο στέρησις, ὅτι μηδὲ ἀπώλεια κακοῦ γένοιτο ἂν ἢ βλαβεροῦ, ἀλλ' ἀγαθοῦ ἢ χρησίμου· οὐ γὰρ ὁ νόσου ἢ πενίας ἀπαλλαγεὶς ῥηθείη ἂν ἀπεστερῆσθαι νόσου ἢ πενίας, ἀλλὰ μᾶλλον ὡς ὑγείας ἢ πλούτου ἀφαιρεθείς. ἀγαθοῦ μὲν στέρησις ἡ τυφλότης· ἀγαθὸν γὰρ ἡ ὄψις· ἀδιαφόρου δὲ ἡ γυμνότης· ἀδιάφορον γὰρ τὸ ἱμάτιον καὶ οὔτε ἀγαθὸν οὔτε κακόν. διὸ στέρησις οὐδεμία ἀγαθὸν ἀλλ' ἤτοι κακὸν ἢ ἀδιάφορον. καὶ ἀγαθῶν δὲ στέρησις γένοιτο ἂν ἤτοι τῶν πάντων ἢ τῶν πλείστων. ἥκιστα δέ φησιν Ἀριστοτέλης τῶν ἐν τῇ ψυχῇ ἀγαθῶν καὶ προαιρέσεως ἐχομένων γενέσθαι στέρησιν· οὐδεὶς γὰρ λέγει δικαιοσύνης ἐστερῆσθαι, καὶ ὁ εἰπὼν ὅτι ἐπιστάμαν οὐδεὶς φέρει, ἀπὸ τῆς αὐτῆς ἐννοίας εἴρηκε. μᾶλλον οὖν πλούτου δόξης τιμῆς, τῶν τοιούτων, καὶ μάλιστα τῶν περὶ τὰς κτήσεις καλουμένων ἀγαθῶν εἰσὶν αἱ στερήσεις· διὸ καὶ ἔλεοι καὶ οἶκτοι ἐπακολουθοῦσι ταῖς πλείσταις στερήσεσιν. ὁ μέντοι Ἀριστοτέλης τῶν φυσικῶν στερήσεων νῦν τὴν ἀντίθεσιν πρὸς τὴν τῶν ἐναντίων παραβέβληκεν. ἀλλὰ ταῦτα μὲν ἀρκούντως· ἑξῆς δὲ μεταβαίνει ἐπὶ τὴν τῆς καταφάσεως ἀντίθεσιν, τὴν διαφορὰν αὐτῆς τὴν πρὸς τὰς ἄλλας ἀντιθέσεις παραδιδούς.

13a 1. υ' f. 1. ὅτι μὲν ταῦτα τῶν ἀντικειμένων ἐστί, καὶ ἃ μάλιστα ἀντικείμενα, προδῆλον· ἀναιρετικὰ γὰρ μάλιστα ἀλλήλων ἐστὶ καὶ ἀσυνύπαρκτα, ἡ μὲν καθόλου ἀποφατικὴ τῇ μερικῇ καταφατικῇ, ἡ δὲ καθόλου καταφατικὴ τῇ μερικῇ ἀποφατικῇ· οἱ γοῦν Στωϊκοὶ μόνα τὰ ἀποφατικὰ τοῖς καταφατικοῖς ἀντικεῖσθαι νομίζουσι. τὴν δὲ διαφορὰν αὐτῶν τὴν πρὸς ἄλλους τρόπους τῶν ἀντιθέσεων σαφῶς παραδίδωσιν ἐκ τοῦ ἐπὶ μόνης ταύτης τῆς κατὰ ἀντίφασιν ἀντιθέσεως τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ εἶναι τῶν προτάσεων. λαμβανέσθωσαν δὲ αἱ κυρίως ἀντικείμεναι προτάσεις, ὡς ἐν τῷ περὶ Ἑρμηνείας (c. 7 sqq.) διορίζεται. ἐπὶ δὲ τῶν ἄλλων ἀντικειμένων οὐ διαιρεῖται ταῦτα· οὔτε γὰρ τῶν ἐναντίων τὸ μὲν ἀληθές ἐστι τὸ δὲ ψεῦδος, οὔτε τῶν πρὸς ἄλληλα λεγομένων, οὔτε τῶν κατὰ ἕξιν καὶ στέρησιν ἀντικειμένων. τοῦτο δὲ πιστοῦται μὲν καὶ διὰ παραδειγμάτων, πιστοῦται δὲ καὶ ἀποδεικτικῶς οὕτως. τὰ κατὰ τοὺς τρεῖς τρόπους ἀντικείμενα ἄνευ συμπλοκῆς λέγεται, τῶν δὲ ἄνευ συμπλοκῆς λεγομένων οὐδὲν οὔτε ἀλήθειαν οὔτε ψεῦδος σημαίνει· καὶ γὰρ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐν προτάσει πάντως ἐστί, πᾶσα δὲ πρότασις λόγος, ὁ δὲ λόγος ἐν συμπλοκῇ τινῶν· τῶν δὲ ἄλλων οὐδὲν κατὰ συμπλοκὴν λέγεται, ἀλλ' ἐστὶν ἁπλᾶ, οἷον λευκὸν μέλαν, διπλάσιον ἥμισυ, ὄψις τυφλότης.

13a 21 f. 1 b. πῶς δὲ περὶ Σωκράτους λέγων, ὅτε μήπω, φησί, πέφυκεν ἔχειν ὄψιν, ἀμφότερα ψευδῆ ἐστί, καὶ τὸ ὁρᾶν καὶ τὸ τυφλὸν εἶναι; ἅμα γὰρ τῷ γενέσθαι τὸν Σωκράτην πέφυκεν ὁρᾶν, καὶ εὐθὺς ἐπ' αὐτοῦ τὸ μὲν ἀληθές ἐστι τὸ δὲ ψεῦδος. λέγουσι δὲ πρὸς τοῦτο ὡς τοῦ Σωκράτους καὶ ἐπὶ τῶν ἐναντίων καὶ ἐπὶ τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν εἰς παράδειγμα παραληφθέντος, μεταβὰς ἐπὶ στέρησιν καὶ ἕξιν τῷ αὐτῷ πάλιν ἀντὶ τοῦ κυνιδίου ἐχρήσατο, εἰς ἐκεῖνο ἀναφέρων τὴν ἐπὶ τῶν ἅμα τῇ γεννήσει μηδετέραν ἐχόντων διάταξιν, ἅμα μὲν ἐπὶ τοῦ αὐτοῦ πάντα ἐπιδεικνύναι βουλόμενος, ὡς ἐπιστημονικώτερος τούτου, ὅταν ᾖ δυνατόν, ἅμα δέ, ὥσπερ εἴωθε, καταφρονεῖ τῶν παραδειγμάτων, ὅταν τὸ πρᾶγμα ἀληθὲς ὑπάρχῃ. μήποτε δέ, φασίν, οὐδὲ ὁ ἄνθρωπος ἐξ ἀρχῆς ἔχει τὴν ὄψιν, ὡς ἔχει τὴν ἁφήν, οὐδὲ χρώμενος εὐθὺς αὐτῇ φαίνεται, ἕως οὐ διανοίξῃ τὰ βλέφαρα ἡ μαῖα καὶ ἀπομάξῃ, κατὰ δὲ τὴν ἁφὴν εὐθὺς ἅμα τῷ πεσεῖν τοῦ ἔξω ἀέρος πληροῦντος αἰσθόμενον τὸ βρέφος κλαίει. εἰ δὲ καὶ τοῦτο, ἐπὶ τούτου ἁρμόσει λέγειν ὅτι ἅμα τῷ γίνεσθαι αὐτὸν ἀμφότερα ἐπ' αὐτοῦ ψευδῆ ἐστίν. φανερὸν οὖν ὅτι μόνα τὸ ἀληθὲς ἢ τὸ ψεῦδος διαιρεῖ, ὅσα ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται. (f. 2) εἰ δὲ τοῦτο, διαφέροι ἂν τῶν ἄλλων τριῶν εἰδῶν τοῦ ἀντικειμένου. καὶ οἱ ἀπὸ τῆς Στοᾶς δὲ διισχυρίζονται ὅτι οὐδὲν τῶν κατὰ ἀπόφασιν λεγομένων οὐδενί ἐστιν ἐναντίον· ἦν γὰρ ἂν τῇ ἀρετῇ ἐναντία ἡ οὐκ ἀρετὴ καὶ τῇ κακίᾳ ἐναντία ἡ οὐ κακία, ὑπὸ μὲν τὴν οὐκ ἀρετὴν καὶ τῆς κακίας πιπτούσης καὶ ἄλλων πολλῶν (καὶ γὰρ ἵππου καὶ λίθου καὶ πάντων τῶν περὶ τὴν ἀρετήν), ὑπὸ δὲ τὴν κακίαν καὶ τῆς ἀρετῆς καὶ τῶν ἄλλων πάντων. ἔσται οὖν ἑνὶ πάντα ἐναντία, καὶ τὰ αὐτὰ τῇ ἀρετῇ καὶ τῇ κακίᾳ ἐναντία. εἰ μὴ ἡ ἀρετὴ τῇ κακίᾳ ἐναντία ἀλλ' ἡ οὐ κακία, συμβήσεται καὶ σπουδαίοις μέσα ἐναντία εἶναι καὶ φαύλοις· ἄτοπον δὲ τοῦτο, καὶ μάλιστα εἰ καὶ τὰ αὐτά, καὶ μὴ καὶ τὸ δυοῖν ἐναντίων, ὑφ' ὃ μὲν πάντα τὰ ὑποπίπτοντα ποιότητας εἶναι, ὡς ὑπὸ τὴν ἀρετὴν καὶ τὴν κακίαν, ὑφ' ὃ δὲ καὶ ποιότητας καὶ ποιά, ὡς ὑπὸ τὴν ἀρετὴν καὶ τὴν κακίαν· ὑπὸ ταύτας γὰρ καὶ ποιότητες καὶ ποιὰ καὶ ἐνέργειαι καὶ πᾶν ὁτιοῦν ἐστίν. καὶ ἔστι τοῦτο ἀπεμφαῖνον. οὕτως μὲν οὖν καὶ παρὰ τοῖς Στωϊκοῖς διώρισται τά τε ἐναντία καὶ τὰ ἀντιφατικῶς ἀντικείμενα. ὁ δὲ Νικόστρατος αἰτιᾶται κἀνταῦθα, λέγων μὴ ἴδιον εἶναι τῶν κατὰ ἀντίφασιν ἀντικειμένων τὸ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· οὔτε γὰρ μόνοις οὔτε πᾶσιν αὐτοῖς ὑπάρχει, οὐ μόνοις μέν, ὅτι καὶ τοῖς ὀμοτικοῖς καὶ τοῖς ἀπομοτικοῖς λόγοις ὑπάρχει τὸ ἐξ ἀνάγκης θάτερον, οἷον "νὴ τὴν Ἀθηνᾶν ἔπραξα τάδε, οὐ μὰ τὴν Ἀθηνᾶν οὐκ ἔπραξα," ἀλλὰ καὶ τοῖς θαυμαστικοῖς, φησί, τὸ αὐτὸ ὑπάρχει, ὡς "καλός γε ὁ Πειραιεύς," καὶ τοῖς ψεκτικοῖς, οἷον "φαῦλός ἐστιν, οὐ φαῦλος ἐστίν." οὐκ ἄρα μόνοις ὑπάρχει τοῖς κατὰ ἀντίφασιν τοῦτο, ἀλλ' οὐδὲ πᾶσι, φησίν· αἱ γὰρ εἰς τὸν μέλλοντα χρόνον ἐγκλινόμεναι προτάσεις οὔτε ἀληθεῖς εἰσὶν οὔτε ψευδεῖς διὰ τὴν τοῦ ἐνδεχομένου φύσιν· οὔτε γὰρ τὸ ἔσται ναυμαχία ἀληθὲς οὔτε τὸ οὐκ ἔσται, ἀλλ' ὁπότερον ἔτυχε. πρὸς δὴ ταῦτα ἔνεστι μέν, φασί, λέγειν ὅτι τεττάρων ὄντων τῶν ἀντικειμένων τοῦ ἑνὸς ἴδιον τοῦτο οὐ πρὸς πάντα ἀλλ' ὡς πρὸς τὰ τρία ἀποδέδωκεν· ὁ γὰρ εἰπὼν "τῶν τεττάρων τὸ ἓν μερίζει τὸ ἀληθὲς καὶ τὸ ψεῦδος" οὐ καθάπαξ τοῦτο ἀπεφήνατο, ἀλλ' ἐπὶ μόνων τῶν ἀντικειμένων τοῦτο ἐποίησε. χωρὶς δὲ τούτων, φασί, πάλαι λέλυται ταῦτα ἐν ταῖς ἐξηγήσεσι τοῦ ὅρου τοῦ ἀξιώματος τοῦ ἀφοριζομένου τὸ ἀξίωμα, ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος· οὐ γὰρ τὸ ὀμοτικὸν εἰπόντε ἀληθὲς εἶναι ἢ ψευδές, ἀλλ'

ἐμνημόνευσε, τῶν τε ἐν ὑποκειμένῳ ὄντων (f. 7 *b*) καὶ τῶν καθ᾽ ὑποκειμένου λεγομένων, εἰπὼν "ἐν οἷς πέφυκε γίνεσθαι ἢ ὧν κατηγορεῖται." παραδείγματα δὲ τῶν μὲν ἐν ὑποκειμένῳ ὑγίειαν καὶ νόσον παρέθετο, ἐν σώματι γινόμενα, τῶν δὲ καθ᾽ ὑποκειμένου περιττὸν καὶ ἄρτιον, κατὰ τοῦ ἀριθμοῦ λεγόμενα, ἢ ὡς εἶπον πρότερον, τὸ δίχα διαιρεῖσθαι κατὰ τοῦ ἀρτίου ἀριθμοῦ... ἡ διαφορὰ οὖν τῶν κατὰ ἕξιν καὶ στέρησιν πρὸς τὰ ἐναντία κατὰ τὸ ἀεὶ καὶ τὸ ποτὲ γίνεται· καὶ γὰρ τῶν μὲν ἀμέσων ἐναντίων διαφέρει τῷ ἐκείνων μὲν ἐξ ἀνάγκης ἀεὶ πάντως θάτερον ὑπάρχειν τῷ δεκτικῷ, οἷον ἢ ὑγιαίνειν ἢ νοσεῖν, τούτων δὲ οὐκ ἐξ ἀνάγκης ἀεὶ πάντων, ἀλλὰ τινῶν ποτέ· τὸ γὰρ σκυλάκιον οὐδέτερον ἔχει· τῶν δὲ ἐμμέσων, ὅτι ἐκείνων μὲν οὐδέποτε ἐξ ἀνάγκης θάτερον ὑπάρχει τῷ δεκτικῷ, τούτων δὲ ποτὲ ἐξ (f. 8) ἀνάγκης θάτερον ὑπάρχει ἀφ᾽ οὗ πέφυκε, τινῶν δὲ καὶ ἀπ᾽ ἀρχῆς. ἀλλὰ κἀκείνων οἷς φύσει τὸ ἓν ὑπάρχει, διοίσει τῷ ποτὲ καὶ τῷ ἀφωρισμένῳ· ἐκείνων μὲν γὰρ πάντως ἀεὶ τὸ ἕτερον, τούτων δὲ τινῶν ποτέ, κἀκείνων μὲν ἀφωρισμένως θάτερον, ἐπὶ τούτων δὲ οὐκ ἀφωρισμένως ἀλλ᾽ ὁπότερα ἔτυχεν. εἰπόντος δὲ Ἀριστοτέλους ὡς ἀναγκαῖον ἦν παντὶ θάτερον ὑπάρχειν, δοκεῖ τισὶν ἀσάφειαν ἐμποιεῖν τὸ παντί προσκείμενον. οὐ μὴν ἔχει γε οὕτως, ἀλλ᾽ ἀντιδιαστολὴν διασαφεῖ πρὸς τὸ τισὶν ἀναγκαῖον, ὡς τοῖς σύμφυτον ἔχουσιν ἓν τῶν ἐναντίων, οὐ πᾶσι δέ. τί οὖν, εἰ ἀπὸ γεννήσεως ἐγγένοιτο ἡ ὅρασις, ὡς ἐπ᾽ ἀνθρώπων ἀεί, οὐχὶ καὶ ἐπὶ τούτων ἔσται ἡ ἕξις ἢ ἡ στέρησις, καὶ οὐδὲν διοίσει τῶν ἀμέσων ἐναντίων; τί δέ, εἴ τις λέγοι ὡς ἐπὶ μὲν τῶν μὴ πεφυκότων τὰ κατὰ ἕξιν καὶ στέρησιν οὕτως ἀντίκειται ὡς τὰ ἔμμεσα ἐναντία· οὐδέτερον γὰρ ἐξ ἀνάγκης· ἐπὶ δὲ τῶν ἤδη πεφυκότων ὡς τὰ ἄμεσα· θάτερον γὰρ ἐξ ἀνάγκης; λύει τοίνυν καὶ τὰς τοιαύτας πάσας ἀμφισβητήσεις, ἑτέραν διαφορὰν αὐτῶν προστιθείς, ὅτι τὰ μὲν ἐναντία ἐπαμείβεται ἐν τοῖς δεκτικοῖς, ἕξεως δὲ καὶ στερήσεως οὐ δυνατὸν εἰς ἄλληλα μεταβολὴν γίνεσθαι· τυφλότης μὲν γὰρ ἐξ ὄψεως γίνεται, οὐκέτι μέντοι καὶ ἀνάπαλιν. ὅθεν καὶ ὁ Χρύσιππος ἐζήτησεν εἰ τυφλοὺς ῥητέον τοὺς ὑποχυθέντας, δυναμένους δὲ ἐκ παρακεντήσεως ἀναβλέψαι, καὶ ἐφ᾽ ὧν τὰ βλέφαρα κέκλεισται· τῆς γὰρ δυνάμεως οὔσης ἐοικέναι τῷ καταμεμυκότι τοὺς ὀφθαλμοὺς ἢ τῷ κωλυομένῳ ὁρᾶν διά τι παραπέτασμα, οὗ ἀφαιρεθέντος οὐδὲν κωλύεται ὁρᾶν. διὸ οὐδὲ ἀπὸ στερήσεως εἰς ἕξιν ἡ τοιαύτη γίνεται μεταβολή. λαμβάνει δὲ νῦν στέρησιν τὴν κατὰ πήρωσιν· ἐκ γὰρ τῆς τοιαύτης οὐκ ἔστιν ἐπάνοδος ἐπὶ τὴν ἕξιν.

13a 22. f. 8. παραδείγματα δὲ τῶν τοιούτων λαμβάνει τὰ μὲν ὁμολογούμενα, ὡς ὑγίειαν καὶ νόσον, τὰ δὲ ἀμφισβητούμενα, ὡς σπουδαῖον καὶ φαῦλον· ἀπὸ μὲν γὰρ φαύλου, φησί, τινὲς οἴονται σπουδαῖον γενέσθαι, ἀπὸ δὲ σπουδαίου φαῦλον ἀδύνατον. καὶ αὐτὸς μὲν τὸ ἕτερον τούτων διὰ πλειόνων κατεσκεύασε, λέγων ὅτι ἐὰν ὁ φαῦλος εἰς βελτίους ἄγηται διατριβάς, εἴ τι σμικρὸν ἐπιδώσει, ἀεὶ δὲ σμικρὰν ἐπίδοσιν λαμβάνων καὶ ἐπιτηδειότερος γινόμενος, ἐπὶ τῷ τέλει τελέως ἂν μεταβάλοι καὶ εἰς τὴν ἐναντίαν ἕξιν ἀποκατασταίη "ἐάνπερ μὴ χρόνῳ ἐξείργηται," ἢ πληρῶν τὸν χρόνον καὶ ἀποθνήσκων, ἢ πάνυ γεγηρακώς· ὁ γὰρ τοιοῦτος οὐκ ἔχει ἐπίδοσιν (f. 8 *b*) τελείαν. τοῦτο μὲν γὰρ οὕτως αὐτὸς κατεσκεύασε, τὸ δὲ ἀνάπαλιν οἱ Στωϊκοὶ οὐ διδόασιν· οὐκ εἶναι γάρ φασιν ἀποβλητὴν τὴν ἀρετήν. ἤτοι οὖν κοινότερον τὸν σπουδαῖον εἴληφεν, οὐ τὸν τὰς τελείας ἀρετὰς ἔχοντα, ἀλλὰ τὸν κατὰ εὐφυΐαν ἢ μελέτην καὶ προκοπὴν ἢ λόγον μόνον σπουδαῖον, ἢ ἴσως οὕτως κινεῖσθαι λέγει τὴν ἀρετὴν ὥσπερ εἶπεν ἐν τοῖς ἔμπροσθεν (p. 8 *b* 31), ὑπὸ μεγάλου πάθους ἢ νόσου σωματικῆς, λήθης ἐγγινομένης, χαλεπῶς δὲ καὶ οὐ ῥᾳδίως ταῦτα συμπίπτειν· καὶ γὰρ καὶ αὐτὸς ἐν τοῖς Φυσικοῖς (7 3) μονιμωτάτην τὴν ἀρετὴν εἶναι μαρτυρεῖ.

ἈΜΜ. f. 138. σπουδαῖον δὲ ἐνταῦθα λέγει οὐ τὸν τέλειον καὶ ἐν ἐπιστήμῃ τὸ καλὸν ἔχοντα· οὗτος γὰρ ἀμετάβλητον ἔχει τὴν ἕξιν, ἅτε δὴ μὴ μόνον ὅτι καλὸν ἡ ἀρετὴ εἰδώς, ἀλλὰ καὶ διότι καλόν. οὐ τοῦτον τοίνυν λέγει μεταβάλλειν ἀλλὰ τὸν ὀρθοδοξαστικόν· οὗτος γὰρ μεταβάλλοι ἂν ἐπὶ τὸ φαυλότερον παραλογιζόμενος καὶ ἀπατώμενος ὑπὸ μοχθηρῶν ἀνδρῶν, τὸ διότι καλὸν ἡ ἀρετὴ μὴ ἐπιστάμενος.

οὔτε γὰρ τυφλὸς γενόμενός τις πάλιν ἀνέβλεψε, κατὰ ἰατρικὸν 13a 34. γε λόγον δηλονότι καὶ φυσικὸν οὐδείς ποτε τυφλὸς ὢν ἀνέβλεψεν, εἰ μὴ ἄρα κατά τινα θείαν ἔλλαμψιν.

ΣΙΜΠΛ. τ′ f. 8 *b*. τούτων δὲ προειλημμένων ῥᾴδιον λοιπὸν καὶ 13a 18. τὰς Νικοστράτου ἀπορίας λύειν, ὅς φησι μὴ ἀκριβῶς ταύτην ἀποδεδόσθαι τὴν διαφοράν· μήτε γὰρ τὰ ἐναντία πάντως εἰς ἄλληλα μεταβάλλειν, διότι ἀπὸ σπουδαίου οὐ φαῦλος γίνεται, μήτε πᾶσαν στέρησιν ἀμετάβλητον εἶναι εἰς ἕξιν· καὶ γὰρ ἐκ πεφωτισμένου καὶ ὡπλισμένου καὶ ἠμφιεσμένου γένοιτο ἂν ἐσκοτισμένον καὶ ἄνοπλον καὶ γυμνόν, καὶ ἐκ τῶν στερήσεων αὖθις ἡ ἕξις. ἄτοπον οὖν τὰ ἀμφοτέροις ὑπάρχοντα διακρίνειν, καὶ τὰ μὲν προσνέμειν τῷ ἑτέρῳ τὰ δὲ τῷ λοιπῷ. πρὸς δὴ ταῦτα ῥᾴδιον λέγειν ὡς πρόχειρον εἴληπται τὸ ἀναπόβλητον εἶναι τὴν ἀρετήν· καὶ γὰρ Θεόφραστος περὶ τῆς μεταβολῆς αὐτῆς ἱκανῶς ἀπέδειξε, καὶ Ἀριστοτέλει δοκεῖ οὐκ ἀνθρώπειον εἶναι τὸ ἀναπόβλητον· ἔτι δὲ καὶ οἱ Στωϊκοὶ ἐν καιροῖς καὶ μελαγχολίαις καὶ ληθάργοις καὶ ἐν φαρμάκων λήψεσι συγχωροῦσιν ἀποβολὴν γίνεσθαι, μεθ᾽ ὅλης τῆς λογικῆς ἕξεως, καὶ αὐτῆς τῆς ἀρετῆς, κακίας μὲν οὐκ ἀντεισαγομένης, τῆς δὲ βεβαιότητος χαλωμένης καὶ εἰς ἣν λέγουσιν ἕξιν μέσην οἱ παλαιοὶ μεταπιπτούσης. τοῦτο μὲν οὖν οὕτως· ἀτόπως δὲ ἐκ τῶν κατὰ ἔθος στερήσεων τὰς ἐπιχειρήσεις ποιούμενος, καὶ στέρησιν εἰς ἕξιν μεταβάλλειν φησίν· ὁ γὰρ ἀνδριστος καὶ ἄνοπλος, κατὰ συνήθειαν ὄντες ἐν στερήσει, ῥᾳδίως μεταβάλλουσιν εἰς τὰς ἕξεις, ὁ μὲν ἀριστήσας ὁ δὲ ὁπλισάμενος· ὁ δὲ Ἀριστοτέλης οὐκ ἐπὶ τῶν ἐξ ἔθους ἀλλ᾽ ἐπὶ τῶν φύσει τὴν ἕξιν καὶ τὴν στέρησιν παρέλαβεν, ἐφ᾽ ὧν καὶ κυρίως ἡ κατὰ ἕξιν καὶ στέρησιν ἀντίθεσις λέγεται. χρησώμεθα οὖν αὐτοῖς τοῖς Ἀριστοτέλους πρὸς τὸν Νικόστρατον· ἐν γὰρ τῷ περὶ τῶν Ἀντικειμένων αὐτός φησιν ὡς αἱ μὲν στερήσεις τῶν κατὰ φύσιν λέγονται, αἱ δὲ τῶν ἐν ἔθει, αἱ δὲ τῶν κατηγορημάτων, αἱ δὲ ἄλλων τινῶν, τυφλότης μὲν τῶν φύσει, γυμνότης δὲ ἐν ἔθει, ἀργυρίου δὲ ἡ στέρησις τῶν ἐν χρήσει παραγινομένων, εἰσὶ δὲ καὶ ἄλλαι στερήσεις πλείονες. καὶ ἐνίων μὲν στερήσεων οὐκ ἔστιν ἀπαλλαγή, ἐνίων δὲ ἔστιν. πολλῶν δὲ ὄντων τῆς στερήσεως τρόπων, καὶ ἑνὸς τῶν κατὰ φύσιν, ἐπὶ τῶν κατὰ φύσιν γεγονυίας τῆς πρὸς τἀναντία

θέσει φασίν, ἀλλὰ μᾶλλον τὴν κατὰ τὸ πρῶτον σημαινόμενον ῥηθεῖσαν, ἥτις παρὰ τὸ ἔχειν ἕξις ὠνόμασται. καὶ γὰρ καὶ τὸν Χρύσιππον Ἀριστοτέλει ἑπόμενον στερητικὰ λέγειν ταῦτα ὅσα ἀναιρεῖ παρεμφαίνοντα τὴν τοῦ ἔχειν φύσιν, οὐχ ἁπλῶς ἀλλ' ὅταν ἐμφαίνῃ τὸ πεφυκός. καὶ ὅτε πέφυκεν, ὡς εἴρηται, πρότερον, καὶ ἀντίκειται τῇ ἀπὸ τοῦ ἔχειν λεγομένῃ ἕξει ἡ στέρησις. καὶ οὐ μόνον ποιοτήτων αἱ στερήσεις ἀλλὰ καὶ ἐνεργειῶν, ὡς ἡ τυφλότης τῆς τοῦ ὁρᾶν ἐνεργείας καὶ ἡ χωλότης τῆς τοῦ βαδίζειν. ἄλλως δὲ λέγεται στέρησις ἡ ἀπουσία τούτου οὗ δύναται ἔχειν, ἐν τῷ δυνάμει θεωρουμένη, ἧς ἐν Φυσικοῖς (1 7) μνημονεύει· τὸ γάρ, ὃ δύναται ἔχειν καὶ ὃ δυνάμει ἐστί, μήπω ἔχον ἐνεργείᾳ ἐν στερήσει αὐτοῦ εἶναι λέγεται. μήποτε δέ, φησὶν Ἰάμβλιχος, οὐ καθ' ἕν τι σημαινόμενον τῆς ἕξεως τὴν ἀντίθεσιν δεῖ λαμβάνειν τῆς στερήσεως, ἀλλὰ κατὰ πάντα· οὕτω γὰρ ἔσται τελέα πρὸς ἁπάσας τὰς ἕξεις πασῶν τῶν στερήσεων ἀντίθεσις κοινῶς τε οὑτωσὶ καὶ ἑκάστης πρὸς ἑκάστην ἀντιτιθεμένης, οἷον τῆσδε τῆς στερήσεως πρὸς τήνδε τὴν ἕξιν κατὰ τὸν οἰκεῖον αὐτῶν τρόπον· ὅλως γὰρ τὴν ἀέχειαν τοῦ πεφυκότος ἔχειν, καὶ ὅτε πέφυκε, στέρησιν εἶναι ῥητέον. πολλαχῶς δὲ τοῦ ἔχειν λεγομένου πολλαχῶς καὶ ἡ ἀέχεια καὶ ἡ στέρησις ἔσται. ἔστι δέ τις στέρησις καὶ ἄλλη παρὰ τὴν φυσικήν, λέγω δὲ καθ' ἣν ἐπὶ τῶν πεφυκότων ἐλέγομεν καὶ ὅτε ἐπεφύκεσαν, ἣν Χρύσιππος ἠθικὴν καλεῖ· ἀχίτων γὰρ καὶ ἀνυπόδετος καὶ ἀνάριστος σημαίνει μὲν καὶ ψιλὴν ἀναίρεσιν, σημαίνει δὲ καὶ παρέμφασίν τινα, ὅτε καὶ κατὰ στέρησιν γίνεται· οὔτε γὰρ ἀχίτωνα τὸν βοῦν ἐροῦμεν, οὔτε ἡμᾶς ὅταν λουώμεθα ἀνυποδέτους, καὶ ἀναρίστους οὔτε τοὺς ὄρνιθας οὔτε ἡμᾶς ἅμα τῷ ἡμέραν γενέσθαι· ἀλλὰ δεῖ συνεμφαίνεσθαι τοῦ εἰθισμένου καὶ ὅτε εἴθισται τὴν στέρησιν· ὄντος γὰρ ἔθους ἀριστᾶν κατά τινα ὥραν τεταγμένην, ὁ ὑπὸ τὸ ἔθος ὢν ὅταν μὴ ἐν τῷ χρόνῳ τῷ τεταγμένῳ ἀριστήσῃ, οὐ φύσεως ἔμφασιν ἀλλ' ἔθους κατὰ τὴν στέρησιν ἀναιρεῖ. εἰσὶν οὖν ἀέχειαι αἱ μὲν τῶν φύσει αἱ δὲ τῶν κατὰ ἔθος, καὶ ἀναιρέσεις ἐν οἷς ἕκαστα καὶ πέφυκε καὶ εἴθισται. πολλάκις δὲ οὐκ ἔθους ἀλλὰ καθήκοντος ἀπόπτωσιν ἐμφαίνει ἡ στέρησις, ὡς ἐπὶ τοῦ ἄκλητον δειπνεῖν, ὅταν παρεμφαίνωμεν ὅτι οὐ καθηκόντως ἀπήντησεν οὔτε κατὰ τὸ ἐπιβάλλον τοῖς ἔθεσιν. ἔστι καὶ ἄλλως ἡ στέρησις τῶν ὁμωνύμως λεγομένων· καὶ γὰρ ὅταν τι γένος ὅλον μὴ ᾖ πεφυκός τι ἔχειν, ἐστερῆσθαι λέγομεν ἐκείνου ὃ μὴ πέφυκεν ἔχειν· οὕτως τὰ φυτὰ ἐστερῆσθαι λέγομεν αἰσθήσεως τῷ μὴ πεφυκέναι ἔχειν αἴσθησιν. καὶ ὅταν δὲ τὰ ἐν τῷ γένει τὰ μὲν ᾖ πεφυκότα ἔχειν τὰ δὲ μὴ πεφυκότα, ἐστερῆσθαι λέγεται τὰ μὴ πεφυκότα, ὥσπερ ἐν τῷ γένει τῶν ζῴων ὁ ἀσπάλαξ ὄψεως. καὶ μᾶλλον τοῦτο λέγομεν (f. 6) ὡς ἐπὶ τοῦ πρὸς βίαν ἀφῃρῆσθαι. κυρίως δὲ στέρησις λέγεται ἐπὶ τῶν πεφυκότων μὲν ἔχειν, μὴ ἐχόντων δὲ τότε ὅτε πεφύκασι καὶ ὅτε εἰώθασι καὶ ἐνεστήσαντο ἔχειν· ὃ δὴ καὶ ἀντίθετον τῇ ἕξει θεωρεῖται. καὶ ἡ ἐν τούτοις ἀντίθεσις κέκληται ἡ κατὰ ἕξιν καὶ στέρησιν... καὶ τοῦτο δὲ ἰστέον ὅτι ἐνίοτε μὲν οὐ στερητικὰ ὀνόματα στέρησιν δηλοῖ, ὡς ἡ πενία τὴν στέρησιν τῶν χρημάτων καὶ ὁ τυφλὸς στέρησιν ὄψεως· ἐνίοτε δὲ στερητικὰ ὀνόματα οὐ στέρησιν δηλοῖ· τὸ γὰρ ἀθάνατον, στερητικὸν ἔχον τὸ σχῆμα τῆς λέξεως, οὐ σημαίνει στέρησιν· οὐ γὰρ ἐπὶ πεφυκότος ἀποθνήσκειν εἶτα μὴ ἀποθνήσκοντος χρώμεθα τῷ ὀνόματι. πολλὴ δὲ ταραχὴ κατὰ τὰς φωνάς ἐστι τὰς στερητικάς· διὰ γὰρ τοῦ $\overline{\alpha}$ καὶ $\overline{\alpha\nu}$ προσαγομένων αὐτῶν ὥσπερ ἄοικος καὶ ἀνέστιος, συμβαίνει ποτὲ μὲν ταῖς ἀποφάσεσι ποτὲ δὲ τοῖς ἐναντίοις συμφύρεσθαι αὐτάς... πολλῆς δὲ οὔσης τῆς ἀνωμαλίας Χρύσιππος μὲν ἐν τοῖς περὶ τῶν στερητικῶν λεγομένοις ἐπεξῆλθεν αὐτήν, Ἀριστοτέλει δὲ οὐ τοῦτο προὔκειτο ἀλλὰ μόνον διελθεῖν περὶ τῶν κατὰ τὴν ἕξιν καὶ στέρησιν. κἂν λέγηται οὖν στερητικῶς πολλὰ καὶ τῶν ἐναντίων καὶ τῶν ἀποφατικῶν, ἀλλὰ δεῖ τὰς στερητικὰς τῶν ἕξεων ἀντιθέσεις κατὰ τὸν οἰκεῖον τρόπον λαμβάνειν· ἔστι δὲ οὗτος ὁ τῆς ἐπιβαλλούσης ἕξεως τὴν οἰκείαν στέρησιν ἐν τῇ ἀντιθέσει λαμβάνων. γίνεται δὲ περὶ τὸ αὐτὸ ὑποκείμενον ἥ τε τοιαύτη ἕξις καὶ ἡ ἀντίθετος αὐτῇ στέρησις, οὐχ ἅμα δέ, οἷον περὶ ὀφθαλμὸν τυφλότης, περὶ ὃ καὶ ἡ ὄψις.

f. 6. δείξας ὅτι ἄλλο ἐστὶν ἕξις καὶ ἄλλο τὸ ἕξιν ἔχειν, καὶ 12b
ἄλλο στέρησις καὶ τὸ στέρησιν ἔχειν, καὶ ὅμως τὸ ἕξιν ἔχον καὶ στέρησιν 2.
ἔχον ὑπὸ τὴν αὐτὴν ἀντίθεσίν ἐστι τῆς ἕξεως καὶ τῆς στερήσεως, πιστοῦται τοῦτο διὰ παραδείγματος· καὶ γὰρ τὸ πρᾶγμα τὸ ὑπὸ τῆς καταφάσεως δηλούμενον οὐκ ἔστι κατάφασις.

f. 7. λέγει οὖν ὅτι τὰ μὲν πρός τι αὐτὰ ἅπερ ἐστὶ τῶν ἀντι- 12b
κειμένων λέγεται. οὔτε δὲ ἡ ὄψις τυφλότητός ἐστιν ὄψις (καὶ τοῦτο 17.
πρόδηλον), ἀλλ' οὐδὲ ἡ τυφλότης ὄψεως τυφλότης· ὀφθαλμοῦ γὰρ ἑκάτερον, καὶ ἡ ἕξις καὶ ἡ στέρησις.

ἈΜΜ. f. 133 b. καὶ οὕτω μὲν πρῶτον ἔδειξεν ἀπὸ τοῦ σαφεστέρου 12b
καὶ ὁμολογουμένου, λέγω δὴ ἀπὸ τοῦ τὴν ὄψιν μὴ λέγεσθαι τυφλότητος 21.
ὄψιν· εἶτα ὕστερον δείκνυσι καὶ ἀπὸ τοῦ ἀμφιβόλου, ὅτι οὐδὲ ἡ τυφλότης ὄψεως τυφλότης λέγεται· τοῦτο γὰρ δοκεῖ λέγεσθαι "οὐδὲ ἄλλως οὐδαμῶς ἡ ὄψις πρὸς αὐτὸ λέγεται," ἀντὶ τοῦ, ὡς δ' ἂν ὀνοματοποιήσῃς, οὐδαμῶς πρὸς τὸ ἀντικείμενον λέγεται. δηλοῖ τοίνυν τὸ "οὐδαμῶς" ὅτι κἄν τε πρὸς δοτικὴν ἢ ἄλλην πτῶσιν ἀποδῷς· οὐδὲ γὰρ ἡ ὄψις τῇ τυφλότητί ἐστιν ὄψις. ὡσαύτως οὐδὲ ἡ τυφλότης λέγεται τυφλότης ὄψεως... καὶ αὗται μὲν οὖν αἱ μερικαὶ στερήσεις ὁμοίως τῷ γένει κατὰ ἀπόφασιν τῆς ἕξεως λέγονται. εἴ που δὲ εὑρεθείη στερήσει τινὶ κείμενον ὄνομα, ὡς ἡ ἀπουσία τῆς ὄψεως τύφλωσις ὀνομάζεται ἢ ἡ τοῦ φωτὸς ἀπουσία σκότος, οὐ τῆς ἀπουσίας τῆς ἕξεως κατηγορεῖται τὸ τοιοῦτον ὄνομα ἀλλὰ τοῦ πάθους τοῦ παρὰ τὸ δεκτικὸν γενομένου, ἢ ἄλλου τινὸς ἐπισυμβεβηκότος τῇ ἀπουσίᾳ τῆς ἕξεως, ὥσπερ τὸ σκότος παρὰ τὸ σκιάζειν εἴρηται, ἡ δὲ σκιὰ ἐπιπρόσθεσίς ἐστι φωτός, ἥτις ἐν τῷ ἀέρι ἢ ἁπλῶς ἐν τῷ διαφανεῖ συμβαίνει, ἢ ὡς Ἡρωδιανός φησι, παρὰ τὸ σχέθειν· ἐπέχει γὰρ ἡμῶν τὸ εἰδέναι, ἢ τῶν προσόδων καὶ τῶν πολλῶν ἐνεργειῶν ἐπέχει. καὶ ἡ τύφλωσις δὲ ἴσως παρὰ τὸ τύφειν, καὶ ὁ τυφλὸς οἱονεὶ τυφός, ὁ ἐπικεκαυμένας τὰς ὄψεις ἔχων ("κενεαὶ γάρ" φησιν ὁ ποιητής "ὑποσμήχονται ὀπωπαί"), ὡς καὶ ὁ πηρὸς παρὰ τὸ πήθω πήσω πηρός, ὡς παρὰ τὸ ὀκνῶ ὀκνήσω ὀκνηρός. εἰκότως ἄρα τὰ τοιαῦτα τῶν ὀργάνων εἶναι λέγονται καὶ οὐχὶ τῶν ἕξεων· πάθη γὰρ τῶν ὑποκειμένων αὐτῶν εἰσὶ ταῖς ἕξεσι καὶ οὐχὶ αὐτῶν τῶν ἕξεων.

ΣΙΜΠΛ. τ' f. 7. καὶ πρῶτον μὲν τῶν ἀμέσων ἐναντίων χωρί- 12b
ζων τὰ κατὰ ἕξιν καὶ στέρησιν, ἀμφοτέρων τῶν τοῦ ἀμέσου τρόπων 28.

δὲ ποιούμενοι τὴν ἀναφοράν, καὶ τοὺς ὅρους κατὰ συζυγίαν ἀντιτιθέασιν. ταῦτα δὲ παρὰ τῷ Ἀριστοτέλει πρώτῳ διώρισται, ἀσύνθετον μὲν μὴ ἀξιοῦντι ἐναντίον εἶναι τῷ τοῦ ἐναντίου ὅρῳ, οἷον τὴν φρόνησιν μὴ εἶναι ἐναντίον τῇ ἀγνοίᾳ τῶν ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων, ἀλλ' εἰ ἄρα, κατὰ συζυγίαν, ὅρον ὅρῳ ἀντιτιθέναι, καὶ ἐναντίους λέγειν τούτους τῶν ἐναντίων εἶναι πραγμάτων. φιλοτεχνεῖ δὲ περὶ τούτων ἐπιπλέον, ὡς λόγος ὁριστικὸς λόγῳ ἐναντίος ἐστίν, ἐὰν τῷ γένει τι ᾖ ἐναντίον, ἢ ταῖς διαφοραῖς, ἢ ἀμφοτέροις, οἷόν ἐστι τοῦ καλοῦ ὁρισμός, εἰ οὕτω τύχοι, συμμετρία μερῶν πρὸς ἄλληλα· τούτῳ ἐναντίον ἀσυμμετρία μερῶν πρὸς ἄλληλα, καὶ ἔστι τῷ γένει ἡ ἐναντίωσις. ἀλλαχοῦ δὲ ταῖς διαφοραῖς, οἷον λευκὸν χρῶμα διακριτικὸν ὄψεως, μέλαν δὲ χρῶμα συγκριτικόν· ἐν γὰρ τούτοις τὸ μὲν γένος τὸ αὐτό, κατὰ δὲ τὰς διαφορὰς ἐναντίωσις. εἴρηται οὖν πῶς λόγος λόγῳ ἐναντίος ἐστί, καὶ οἱ τῆς οὐσίας δὲ δηλωτικοὶ λόγοι ἐναντίοι ἔσονται. ἀλλὰ ταῦτα μὲν ἀρκούντως μέχρι τοῦδε προήχθω· διελόντος δὲ τοῦ Ἀριστοτέλους τὰ ἐναντία εἴς τε τὰ ἄμεσα καὶ τὰ ἔμμεσα, καὶ ἄμεσα μὲν λέγοντες ἐκεῖνα ὧν ἐξ ἀνάγκης θάτερον ὑπάρχει τῷ δεκτικῷ καὶ ἀνὰ μέρος πάρεστι τῷ ὑποκειμένῳ, εἰ μὴ τῶν συμφυῶν εἴη, ὡς ἡ θερμότης τῷ πυρί, ἀλλὰ τῶν συμβεβηκότων, γίνεται ὁ λόγος τῶν ἀμέσων τοιοῦτος, ὅτι ἐστὶν ἄμεσα ἐναντία, ἐν οἷς τὸ ἕτερον ἐξ ἀνάγκης ὑπάρχει περὶ τὸ δεκτικόν, ἔμμεσα δέ, ὧν οὐκ ἐξ ἀνάγκης τὸ ἕτερον. εἰπόντος δὲ τοῦ Ἀριστοτέλους τῇ τῶν ἄκρων ἀποφάσει τὰ μέσα χαρακτηρίζεσθαι, ἀντιλέγει Νικόστρατος ὡς εἰ ἡ ἀπόφασις τὸ μέσον δηλοῖ, καὶ τὸ οὐκ ἄνθρωπος καὶ οὐχ ἵππος μεσότητα δηλώσει· "δεῖ οὖν" φησί "προσκεῖσθαι, ἐν τῷ αὐτῷ γένει λαμβανομένου τοῦ μέσου ἐν ᾧπέρ ἐστιν αὐτοῦ τὰ ἄκρα." ἀλλ' οὐ προσποιεῖται ὁ ταῦτα λέγων ὅτι οὔτε ἄκρα ἐστὶν ἵππος καὶ ἄνθρωπος οὔτε ἐναντία· περὶ δὲ ἄκρων καὶ ἐναντίων ἦν ὁ λόγος. αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ τῶν Ἀντικειμένων βιβλίῳ ἐζήτησεν, εἰ θάτερον ἀποβαλών τις μὴ ἐξ ἀνάγκης θάτερον λαμβάνει, ἆρά ἐστί τι τούτων ἀνὰ μέσον, ἢ οὐ πάντως; ὁ γὰρ τὴν ἀληθῆ δόξαν ἀποβαλὼν οὐκ ἐξ ἀνάγκης ψευδῆ δόξαν λαμβάνει, οὐδὲ ὁ ψευδῆ ἀληθῆ, ἀλλ' ἐνίοτε ἐκ τῆς δόξης ταύτης ἢ εἰς τὸ μηδὲν ὅλως ὑπολαμβάνειν ἢ εἰς ἐπιστήμην μεταβάλλει· δόξης δὲ ἀληθοῦς καὶ ψευδοῦς οὐδέν ἐστιν ἀνὰ μέσον, ἢ οὐκ ἄγνοια οὐδὲ ἐπιστήμη. εἰσὶ δὲ καὶ ἄλλαι διαφοραὶ τῶν (f. 4) ἐναντίων, ὧν καὶ αὐτὸς προϊὼν ἐφάψεται. τούτων δὲ μάλιστα ἐμνήσθη, τῆς ἀμέσου καὶ τῆς ἐμμέσου, ὅτι ἐκ τούτων τὸ πρὸς τὰ ἄλλα ἀντικείμενα διαφέρον τῶν ἐναντίων παρίστησι· καὶ γὰρ πρόκειται μὴ πᾶσι τοῖς προσοῦσι καθ' ἕκαστον τῶν ἀντικειμένων ἐπεξελθεῖν, τοῖς δὲ κυριωτάτοις αὐτῶν μόνοις, ἕνεκα τοῦ τὰς πρὸς ἄλληλα διαφορὰς αὐτῶν παραδεῖξαι. δείξει δὲ ὅτι τὰ τέσσαρα γένη τῶν ἀντικειμένων ἀλλήλων διενήνοχε· καὶ ὅπως μὲν τὰ ὡς πρός τι τῶν ἐναντίων διαφέρει, δεδήλωκεν, ὅπως δὲ ἄμφω ταῦτα τῶν ὡς κατὰ στέρησιν καὶ ἕξιν, δηλώσει, τὰ ἴδια ἑκάστων προσθείς, καὶ τότε τὴν διαφορὰν τὴν πρὸς τὴν ὡς κατάφασιν καὶ ἀπόφασιν ἀποδείξει. καλὸν δὲ ἂν εἴη λοιπὸν καὶ τὰ τοῦ Ἀρχύτου παραθέσθαι περὶ τῆς τῶν ἐναντίων διαφορᾶς ἔχοντα οὕτως... ἐν δὲ τούτοις τὰ μὲν ἄλλα σύμφωνα πρὸς τὴν Ἀριστοτέλους παράδοσιν, ἡ δὲ τελευταία διαφορά, καθ' ἣν τὰ μὲν ἐν γένεσι γενῶν εἰσὶν ἐναντία, τὰ δὲ ἐν γένεσιν εἰδῶν, τὰ δὲ ἐν εἴδεσιν ὑπ' αὐτοῦ (f. 4 b) τοῦ Ἀριστοτέλους παραλέλειπται ἴσως ἐν τούτοις ὡς οὐ πάντη πραγματειῶδες.

f. 4 b. τὸ δὲ "ἐν ᾧ" πρόσκειται, ἵνα τὸ οἰκεῖον μόριον λαμβά- 12a 23.
νωμεν, ἐν ᾧ ἐγγίνεται ἡ ἕξις· οὐ γὰρ εἴ τις μὴ ἐν τοῖς ποσὶν ὀφθαλμοὺς ἔχει, ἐστέρηται ὀφθαλμῶν, ἀλλ' εἴ τις ἐν τῷ οἰκείῳ τόπῳ μὴ μετείληφεν ὀμμάτων. αὐτὸς δὲ διὰ βραχέων συνέλαβε πάντα, τὸ μὲν πεφυκὸς καὶ τὸ μόριον ἐν ᾧ ἐγγίνεται ἡ ἕξις, ὁμοῦ δηλώσας διὰ τοῦ "ἐν ᾧ πέφυκε," τὸν δὲ χρόνον καὶ τὸν τόπον τὸν ἐπιβάλλοντα, καὶ τὰ ἄλλα τὰ συνεμφαινόμενα ἐν τῷ "ὅτε πέφυκεν" ὑπάρχειν συνέλαβε· τὸ γὰρ καθῆκον ἔχειν καὶ ὡς προσῆκόν ἐστιν ἔχειν, ὅταν μηδαμῶς ὑπάρχῃ, τότε ἐν στερήσει λέγεται εἶναι. διό τινες τῷ εἰρημένῳ τῆς στερήσεως λόγῳ προστιθέασι τὸ καὶ ὡς πέφυκε· καὶ γὰρ ἀτραχήλους λέγομεν τοὺς βραχυτραχήλους, ἐπεὶ μὴ κατὰ φύσιν ἔχουσι τοὺς τραχήλους, καὶ ἀπύρρηνον τὴν ῥοιὰν ὡς ἐλάττονας τοῦ κατὰ φύσιν τοὺς πυρῆνας ἔχουσαν, τὴν τοῦ κατὰ φύσιν ἐλάττωσιν ὡς τοῦ παντὸς στέρησιν ὀνομάζοντες. οὐχ ἁπλῶς δὲ εἶπεν ὅτι περὶ ταὐτὸν ἡ ἕξις καὶ ἡ στέρησις λέγεται, ἀλλὰ περὶ ταὐτόν τι, διὰ τῆς τοῦ τὶ προσθήκης ἐνδειξάμενος πῶς περὶ ταὐτὸν λέγει· καὶ γὰρ τἀναντία περὶ ταὐτόν, εἴγε ταὐτόν ἐστι τῶν ἐναντίων δεκτικόν· ἀλλ' ἐπὶ μὲν τῶν ἐναντίων οὐ πάντως περὶ ταὐτὸν κατ' ἀριθμὸν ὑποκείμενον τὰ ἐναντία ἐστίν... f. 5. φανερὸν δὴ οὖν ἐκ τούτων ὅτι τὰ οὕτως ἀντικείμενα καὶ ὁμοιότητά τινα ἔχει πρὸς τὰ ἐναντία καὶ ἀνομοιότητα· τά τε γὰρ ἐναντία περὶ τὸ αὐτὸ ὑποκείμενον γίνεσθαι πέφυκεν, οἷον περὶ ὃ ἡ ὑγιεία, περὶ τοῦτο καὶ ἡ νόσος· οὐ γὰρ περὶ τὰ ἄψυχα ἀλλὰ περὶ τὰ ζῷα. ὡσαύτως δὲ καὶ τὰ κατὰ στέρησιν καὶ ἕξιν ἀντικείμενα... διαφέρει δὲ αὐτῶν, ὡς εἴρηται, τῷ τὰ μὲν ἐναντία, κἂν ἐν τῷ αὐτῷ εἴδει ἐστίν, ἀλλὰ μὴ καὶ ἐν τῷ αὐτῷ πάντως τοῦ εἴδους μορίῳ, τὰ δὲ κατὰ στέρησιν καὶ ἕξιν καὶ ἐν μορίῳ τῷ αὐτῷ βούλεσθαι εἶναι... τὰ δὲ πραγματικώτερα περὶ τούτων ὧδέ πως ὁ Ἰάμβλιχος παραδίδωσιν. ἓν δόγμα κοινὸν τῶν τε ἀρχαίων ἐστὶ καὶ τῶν νεωτέρων τὸ μὴ εἶναι ἐναντία τὰ κατὰ στέρησιν καὶ ἕξιν λεγόμενα· οὐ μὴν ἔτι εἰς ἴδιον γένος ἀντιθέσεως τὸ κατὰ στέρησιν καὶ ἕξιν οἱ παλαιοὶ κατέταξαν, ὥσπερ ὁ Ἀριστοτέλης. ὅτι δὲ ἔστιν ἄλλη, δῆλον γίνεται διελομένοις ποσαχῶς ἕξις καὶ στέρησις λέγεται, καὶ κατὰ ποῖα μάλιστα σημαινόμενα ἡ τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντίθεσις γίνεται. λέγουσιν οὖν ὡς καθ' ἕνα μὲν τρόπον ἕξις λέγεται ἡ ἐνέργεια τοῦ ἔχοντος καὶ ἐχομένου· ἕξις γὰρ ἱματίου λέγεται ὅταν ὁ μὲν ἔχῃ τὸ δὲ ἔχηται ὑπὸ τοῦ ἔχοντος· καὶ ἕξιν ὅπλων εἶπέ που Πλάτων ἐπὶ τοῦ ἔχοντος τὰ ὅπλα. καθ' ἕτερον δὲ τρόπον ἕξεις λέγομεν τὰς ἐπικτήτους ποιότητας ἐμμόνους γεγονυίας τάς τε φυσικὰς τὰς κατὰ τέχνας καὶ τὰς ἐπιστήμας, καθ' ἃς καὶ ἑκτικοὶ οἱ ἐν αὐταῖς λέγονται. καὶ ἕξεις λέγονται κατὰ τοῦτο καὶ αἱ τέλειαι (f. 5 b) ἀρεταί· καὶ γὰρ λόγου ἀνάληψις ἐπ' αὐτῶν θεωρεῖται. ἔτι δὲ ἕξις λέγεται ἡ φυσικὴ κατασκευή, ὅταν ἔμμονος ᾖ, ὥσπερ σωματικὰς ἕξεις καὶ ψυχικὰς καὶ ἀρετὰς ἐκ φύσεως ἢ κακίας ἐπί τινων νοοῦμεν. καὶ κατὰ φυσικὴν δὲ δύναμιν αὐτὴν ἕξιν λέγεσθαί φασι, καὶ ταύτῃ τὴν στέρησιν ἀντικεῖσθαι, πήρωσιν οὖσαν αὐτῆς. ἔνιοι δὲ οὐ τὴν φυσικὴν δύναμιν λαμβάνεσθαι ἐν τῇ τῆς ἕξεως καὶ στερήσεως ἀντι-

λὰς ἔθεντο μεσότητας ὑγείας καὶ νόσου ἐν τῷ πλάτει στρεφομένας τῆς οὐδετέρας παρ' αὐτοῖς λεγομένης καταστάσεως... τῶν δὲ ἐμμέσων ἤτοι μεσωτῶν (λέγεται γὰρ καὶ οὕτως) τὰ μὲν πλείω ἔχει τὰ μέσα, τὰ πλέον ἴσως ἀλλήλων διεστηκότα τῇ φύσει, ὡς ἐπὶ τοῦ λευκοῦ καὶ μέλανος εἴρηται· πολλὰ γάρ ἐστι τὰ ἐν μέσῳ τούτων χρώματα· τὰ δὲ ἓν μόνον διὰ τὴν ἐγγύτητα τὴν πρὸς ἄλληλα· τοῦ γὰρ θερμοῦ καὶ ψυχροῦ τὸ χλιαρὸν μόνον μέσον. τῶν δὲ ἐν μέσῳ τὰ μὲν ὠνομασμένα ἔχει τὰ μέσα, ὡς ἐπὶ τῶν εἰρημένων, τὰ δὲ ἀκατονόμαστα, τῇ δὲ ἀποφάσει τῶν ἄκρων δηλούμενα· τὸ γὰρ μεταξὺ τοῦ ἀγαθοῦ καὶ κακοῦ οὐκ ὠνόμασται, λέγεται δὲ οὔτε ἀγαθὸν οὔτε κακόν (τὸ γὰρ τοῦ ἀδιαφόρου ὄνομα ὑπὸ τῶν νεωτέρων ἐτέθη), καὶ τοῦ δικαίου δὲ καὶ τοῦ ἀδίκου τὸ μέσον ἀνώνυμόν ἐστι, τῇ δὲ ἀποφάσει τῶν ἄκρων ὀνομάζεται... f. 2 b. ἀλλ' ἐπειδὴ σαφηνείας ἔτυχεν ἡ τοῦ Ἀριστοτέλους λέξις, ἴδωμεν καὶ ὅσα τῷ τόπῳ προσεξεργάζονται οἱ κλεινότεροι τῶν ἐξηγητῶν. τῶν γὰρ Στωϊκῶν μέγα φρονούντων ἐπὶ τῇ τῶν λογικῶν ἐξεργασίᾳ, ἔν τε τοῖς ἄλλοις καὶ ἐπὶ τῶν ἐναντίων σπουδάζουσι δεικνύναι ὅτι πάντων τὰς ἀφορμὰς ὁ Ἀριστοτέλης παρέσχεν ἐν ἑνὶ βιβλίῳ ὃ περὶ Ἀντικειμένων ἐπέγραψεν, ἐν ᾧ καὶ ἀποριῶν ἐστι πλῆθος ἀμήχανον, ὧν ὀλίγην ἐκεῖνοι μοῖραν παρέθεντο. καὶ τὰ μὲν ἄλλα ἐν εἰσαγωγῇ παρεμβαλεῖν οὐκ εὔλογον, ὅσα δὲ συμφώνως οἱ Στωϊκοὶ τῷ Ἀριστοτέλει διετάξαντο, ταῦτα ῥητέον. ὅρου τοίνυν παλαιοῦ περὶ τῶν ἐναντίων καταβεβλημένου, οὗ καὶ ἔμπροσθεν ἐμνημονεύσαμεν, ὅτι ὅσα ἐστὶν ἐν τῷ αὐτῷ γένει πλεῖστον ἀλλήλων διαφέροντα, ηὔθυνε τὸν ὅρον ὁ Ἀριστοτέλης ἐν τῷ περὶ τῶν Ἀντικειμένων, πολυειδῶς βασανίσας αὐτόν· καὶ γὰρ εἰ καὶ τὰ διαφέροντα ἐναντία ἐστίν, ἐπέστησε, καὶ εἰ ἡ διαφορὰ ἐναντιότης εἶναι δύναται, καὶ εἰ ἡ πᾶσα διάστασις ἐστιν ἡ τὸ πλεῖστον διαφέρουσα, καὶ εἰ ταὐτὸν τὰ πλεῖστον ἀπέχοντα τῷ τὸ πλεῖστον διαφέροντι, καὶ τίς ἡ ἀπόστασις, καὶ πῶς τοῦ πλεῖστον ἀπέχειν ἀκουστέον· ὧν ἀτόπων φανέντων προσληπτέον τι τῷ γένει, ἵνα ᾖ ὅρος τὰ πλεῖστον ἀπέχοντα ἐν τῷ αὐτῷ γένει. καὶ τίνα τούτῳ ἄτοπα ἕπεται, καὶ εἰ ἑτερότης ἐστὶν ἡ ἐναντιότης, καὶ εἰ τὰ μάλιστα ἕτερα ἐναντία, ἄλλους τε ἔθηκεν ἐλέγχους πλείονας. χρησαμένου δὲ ὅμως τῷ ὅρῳ τούτῳ ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ (p. 6 a 17) μετὰ τὸ ἐπισημήνασθαι ὅτι παλαιὸς ὁ ὅρος, οἱ ἀπὸ τῆς Στοᾶς παραλαβόντες αὐτὸν ἐχρήσαντο, τὸ μὲν σαθρὸν αὐτοῦ παραδεικνύοντες, πειρώμενοι δὲ ὅλως λύειν τὰ δοκοῦντα ἄτοπα. ὁ μέντοι Νικόστρατος αἰτιᾶται ὅτι μὴ μόνον ἐν τῷ αὐτῷ γένει (f. 3) τῷ χρώματι τὸ λευκὸν καὶ μέλαν, καὶ γλυκὺ καὶ πικρὸν ἐν τῷ χυμῷ, δικαιοσύνη δὲ καὶ ἀδικία ἐξ ἐναντίων γενῶν· τῆς μὲν γὰρ ἀρετὴ τῆς δὲ κακία τὸ γένος. αὕτη δὲ ἡ ἀρετὴ καὶ ἡ κακία τρόπον μέν τινα ἐκ τοῦ αὐτοῦ γένους· ἕξις γὰρ ἀμφοῖν τὸ γένος καὶ ποιότης· τρόπον δὲ ἄλλον ἐξ ἐναντίων γενῶν· τῆς μὲν γὰρ ἀρετῆς γένος τὸ ἀγαθόν, τῆς δὲ μοχθηρίας τὸ κακόν. τὸ δὲ ἀγαθὸν καὶ κακὸν αὐτὰ γένη δοκεῖ, εἰ μὴ ἄρα ἐν ποιότητι καὶ ταῦτα ὡς ἐν γένει. ὁ μέντοι γε Ἀριστοτέλης πολλαχοῦ φαίνεται τὸ ἀγαθὸν καὶ τὸ κακὸν μὴ ὡς γένη ἀλλ' ὡς ὁμωνύμους φωνὰς τιθείς. τοῦτο δὲ πολλοστὸν μέν ἐστι μέρος ὧν Ἀριστοτέλης ἐν τῷ λόγῳ τῷ περὶ τῶν ἐναντιοτήτων ἠπόρησεν· ἄξιον δὲ ἐπὶ πάντων τῶν τοιούτων ζητημάτων δικαιολογεῖσθαι ὡς εἰώθασιν οἱ ἀρχαῖοι, κἂν ὑπαίτιος ᾖ τις ὑπογραφή, χρῆσθαι αὐτῇ, ὅταν μηδὲν καταβλάπτῃ πρὸς ἃ χρῶνται· διὸ ἐν μὲν τοῖς περὶ τοῦ ποσοῦ βουληθεὶς τὸ κάτω τῷ ἄνω ἐναντίον δεῖξαι, ἐχρήσατο τῷ ὅρῳ ὡς ἂν ἀπὸ τῆς κατὰ τόπον ἐναντιώσεως ἀποδόντων αὐτὸν τῶν πρεσβυτέρων· ἐνταῦθα μέντοι, ἐν τῇ περὶ τῶν ἐναντίων διδασκαλίᾳ, οὐ κέχρηται αὐτῷ ὡς ἄνω μὲν προρρηθέντι μὴ ὄντι δὲ ἀνυπαιτίῳ. τούτοις οὖν οἱ ἀπὸ τῆς Στοᾶς ἐχρήσαντο πᾶσι, καὶ τοῖς ἄλλοις διορισμοῖς τοῖς περὶ τῶν ἐναντίων Ἀριστοτέλει κατὰ πόδας ἠκολούθησαν, ἐκείνου τὰς ἀφορμὰς αὐτοῖς δεδωκότος ἐν τῷ περὶ τῶν Ἀντικειμένων συγγράμματι, ἃς ἐξειργάσαντο ἐν τοῖς αὐτῶν βιβλίοις· καὶ γὰρ καὶ τὰς ἕξεις ἐναντίας ὑπέλαβον ὡς ἐκεῖνος, οἷον φρόνησιν ἀφρόνησιν, καὶ τὰ κατηγορήματα, ὥσπερ τὸ φρονεῖν καὶ ἀφραίνειν, καὶ τὰς μεσότητας, οἷον τὸ φρονίμως ἢ ἀφρόνως. τοὺς μέντοι ποιοὺς καὶ πῶς ἔχοντας οὐκέτι ἐναντίους ὑπέλαβον, ἀλλ' ἐναντίως ἔχειν καὶ τοῦτον τούτῳ, ἀλλὰ μέσως, τὸν φρόνιμον τῷ ἄφρονι λέγουσιν. ἐὰν δέ ποτε καὶ λέγωμεν τοῦτον τούτῳ ἐναντίον εἶναι, ἐπὶ τὰ ἄμεσα ποιούμεθα τὴν σημασίαν, ὥς φασιν. κυριώτατα μὲν οὖν ἐπὶ τῶν ἕξεων καὶ τῶν σχέσεων καὶ τῶν ἐνεργειῶν καὶ τῶν τούτοις παραπλησίων ἡ ἐναντίωσις θεωρεῖται· δεύτερον δὲ ὡς ἐναντία λέγεται τὰ κατηγορήματα καὶ τὰ κατηγορούμενά πως ἐκείνοις. προσάγει δὲ ἁμωσγέπως πρὸς τὰ ἐναντία καὶ τὸ φρονίμως καὶ ἀφρόνως· ὅλως δὲ ἐν τοῖς πράγμασι τὰ ἐναντία θεωρεῖται, καὶ ἡ φρόνησις τῇ ἀφροσύνῃ ἀμέσως οὕτως ἐναντία λέγεται, οὐχ ἥδε τῇδε. τοιαύτης δὲ οὔσης τῆς Στωϊκῆς διδασκαλίας, ἴδωμεν πῶς αὐτὴν ἀπὸ τῆς Ἀριστοτέλους παραδόσεως παρεσπάσαντο. οὗτος γὰρ ἐν τῷ περὶ Ἀντικειμένων τὴν δικαιοσύνην πρὸς τὴν ἀδικίαν ἐναντίαν λέγει· οὐ λέγεσθαι δὲ τὸν δίκαιον τῷ ἀδίκῳ ἐναντίον φησίν, ἀλλ' ἐναντίως διακεῖσθαι. εἰ δὲ καὶ ταῦτα ἐναντία φησί, διττῶς ῥηθήσεται τὸ ἐναντίον· ἢ γὰρ καθ' αὑτὰ τὰ ἐναντία ῥηθήσεται, οἷον ἀρετὴ καὶ κακία, κίνησις στάσις, ἢ τῷ μετέχειν ἐναντίων, οἷον τὸ κινούμενον τῷ ἑστηκότι καὶ τὸ ἀγαθὸν τῷ κακῷ. ἐν οἷς ἐδίδαξε διὰ τί τοὺς ποιοὺς οὐκ εἶπεν ἐναντίους· ἐπεὶ γὰρ κατὰ μετοχὴν οἱ ποιοί εἰσι διάφοροι, οὐκ ἂν τὸ μετέχον ὁμοίως οὗ μετέχει λέγοιτο, ἀλλὰ μᾶλλον ἐκείνου μετέχει, καὶ παρώνυμα, εἴπερ ἄρα, ἀπ' αὐτῶν εἶναι, ὡς ἀπὸ τῆς λευκότητος τὸ λευκόν. ἐπεὶ οὖν ἡ φρόνησις τῇ ἀφροσύνῃ ἐναντίον, οὐκ ἂν καὶ οἱ μετέχοντες ῥηθεῖεν ἐναντίοι, ἀλλὰ μετέχειν ἐναντίων. εἰ δὲ καὶ ταῦτά τις (f. 3 b) καλεῖ ἐναντία, διειλέχθαι, φησίν, ὀφείλει, καὶ τὰ μὲν λέγειν ἁπλῶς ἐναντία, τὰ δὲ τῷ μετέχειν ἐναντίων κεκλῆσθαι ἐναντία. ὄντος δὲ δυνατοῦ τὸ αὐτὸ καὶ κατὰ ἀσύνθετον φωνὴν εἰπεῖν, οἷον φρόνησιν ἀφροσύνην, καὶ δι' ὅρου, οἷον ἐπιστήμην ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων, καὶ τὴν ἀφροσύνην ἄγνοιαν τῶν αὐτῶν, ζητοῦσι πότερόν ἐστι τὰ κατὰ τὰ ἁπλᾶ μόνον ἢ κατὰ τοὺς ὅρους. καὶ ὅ γε Χρύσιππος ἐφίστησι, μήποτε τὰ προσηγορικὰ καὶ ἁπλᾶ μόνον ἐστὶν ἐναντία, τὰ δὲ οὐκ ἔστιν· πολλὰ γὰρ ἐν τούτοις συμπεριλαμβάνομεν καὶ μετὰ ἄρθρων καὶ μετὰ συνδέσμων καὶ ἄλλων δὴ μορίων ἐξηγητικῶν, ὧν ἕκαστον εἰς τὸν τῶν ἐναντίων λόγον ἀλλοτρίως ἂν παραλαμβάνοιτο· διὸ τὴν μὲν φρόνησιν τῇ ἀφροσύνῃ φησὶν εἶναι ἐναντίον, τὸν δὲ ὅρον τῷ ὅρῳ οὐκέτι ὁμοειδῶς ἐναντίον εἶναι φησίν. ἐπ' ἐκεῖνα

εἴδη τῶν ἀντικειμένων καὶ οὔτε πλείονα οὔτε ἐλάττονα, καὶ τίς ἡ αἰτία τῆς τοιαύτης αὐτῶν τάξεως; ἵνα οὖν μάθωμεν διὰ τί τέσσαρα μόνα, εἴπωμεν οὕτω. τὰ ἀντικείμενα ἢ ὡς λόγοι ἀντίκεινται ἢ ὡς πράγματα· τὰ δὲ ὡς πράγματα ἀντικείμενα ἢ ἐν σχέσει τινὶ θεωροῦνται, οἷον τὰ πρός τι, ἢ ἄσχετά εἰσιν· καὶ εἰ ἄσχετά εἰσιν, ἢ μεταβάλλει εἰς ἄλληλα, ὡς τὰ ἐναντία, οἷον λευκὸν καὶ μέλαν, ἢ οὐ μεταβάλλει, ὡς στέρησις καὶ ἕξις, οἷον ὄψις καὶ τυφλότης. ὡς λόγοι μὲν οὖν ἀντίκεινται κατάφασις καὶ ἀπόφασις, οἷον Σωκράτης περιπατεῖ, Σωκράτης οὐ περιπατεῖ· ὡς πράγματα δὲ καὶ σχέσιν ἔχοντα ἀντίκεινται τὰ πρός τι, οἷον πατὴρ καὶ υἱός, δεξιὸν καὶ ἀριστερόν, ἐπιστήμη καὶ ἐπιστητόν· ὡς πράγματα δὲ καὶ σχέσιν μὴ ἔχοντα καὶ μεταβάλλοντα εἰς ἄλληλα τὰ ἐναντία ἀντίκεινται, οἷον τὸ μέλαν καὶ τὸ λευκὸν καὶ τὸ θερμὸν καὶ τὸ ψυχρόν· ὡς πράγματα δὲ καὶ ἄσχετα καὶ μὴ μεταβάλλοντα εἰς ἄλληλα ἕξις καὶ στέρησις... ἀπὸ τῶν μαλακωτέρων τῶν ἀντίθεσιν ἐχόντων ἤρξατο, λέγω δὴ τῶν πρός τι· ταῦτα γὰρ τῷ ἀντικεῖσθαι οὐ μόνον οὐ φθείρει ἄλληλα ἀλλὰ καὶ συνεισφέρει... δευτέραν τάξιν ἔχει ἡ τῶν ἐναντίων ἀντίθεσις, οἷον λευκοῦ καὶ μέλανος· ἰσχυροτέρα γάρ πώς ἐστιν ἡ τούτων ἀντίθεσις, διότι οὐ μόνον οὐ συνεισφέρει ἄλληλα ἀλλὰ καὶ φθείρει· τοῦ γὰρ ἑνὸς παρόντος οὐχ ὑπομένει τὸ ἕτερον· καὶ εἰς ἄλληλα μέντοι γε ταῦτα μεταβάλλει, οἷον θερμὸν καὶ ψυχρόν, λευκὸν καὶ μέλαν. τρίτην ἔχουσι τάξιν τὰ καθ' ἕξιν καὶ στέρησιν· καὶ γὰρ ἡ τούτων ἀντίθεσις ἰσχυροτέρα ἐστὶ τῆς τῶν ἐναντίων ἀντιθέσεως· τὰ μὲν γὰρ ἐναντία μεταβάλλει εἰς ἄλληλα, ἡ δὲ στέρησις οὐδέποτε μεταβάλλει εἰς τὴν ἕξιν· οὐδὲ γὰρ ἐκ τυφλοῦ τις ἀναβλέψει κατά γε τὸν φυσικὸν ἢ τεχνικὸν λόγον, εἰ μή που θείᾳ δυνάμει τοῦτο συμβαίνῃ. ἐσχάτην ἔχουσι τάξιν τὰ κατὰ ἀπόφασιν καὶ κατάφασιν ἀντικείμενα· σφοδροτέρα γὰρ τούτων ἡ ἀντίθεσις, διότι ἐπὶ πάντων τῶν τε ὄντων καὶ μὴ ὄντων διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος.

11 b 21. f. 128. ἀγαθὸν ἐνταῦθα λέγει οὐ τὸ ὑπερούσιον (τούτῳ γὰρ οὐκ ἀντίκειται τὸ κακόν) ἀλλὰ τὸ ἐν γενέσει καὶ φθορᾷ, ὅπερ ἔχει ἐναντίον τὸ κακόν. διττὸν γὰρ τὸ ἀγαθόν, τὸ μὲν καθ' αὑτὸ τὸ οὐσιωδῶς ὑπάρχον θεῷ, ὅπερ οὐδὲν ἔχει ἐναντίον· τῇ οὐσίᾳ γὰρ οὐδέν ἐστιν ἐναντίον· τὸ δὲ κατὰ συμβεβηκὸς τὸ πρὸς ἀντιδιαστολὴν τοῦ κακοῦ λεγόμενον, λέγω δὴ τὸ ἐν ἡμῖν; ὥσπερ καὶ τὸ φῶς εἰρήκαμεν διττόν.

11 b 25. ΣΙΜΠΛ. τ' f. 1. "ἢ ὁπωσοῦν ἄλλως πρὸς αὐτά." δύναται μὴ διὰ τὰς πτώσεις μόνον εἰρῆσθαι, πρὸς ἃς ἀποδίδοται ἕκαστον τῶν πρός τι, ἀλλὰ καὶ πρὸς αὐτὰ τὰ λαμβανόμενα, ὧν ἡ ἀπόδοσις γίνεται· οὐ γὰρ πάντα οὕτως λέγεται ὡς τοῦτο ὅ ἐστι, πρὸς ἄλληλα λέγεσθαι, ὥσπερ τὸ διπλάσιον καὶ τὸ ἥμισυ καὶ ἡ ἐπιστήμη· ἕκαστον γὰρ τούτων ὅ ἐστι, πρὸς ἄλλο λέγεται, καθ' ἣν ἂν πτῶσιν ἡ ἀπόδοσις ἐκείνου γένοιτο. κἂν μὴ κατὰ πτῶσιν δὲ γένοιτο ἡ ἀπόδοσις, ὥσπερ τὸ μέγα καὶ μικρόν, ἀντικείμενα κατὰ τὰ πρός τι ἀλλήλοις, οὐ κατὰ πτῶσιν ἀποδίδοται οὐδέ ἐστι τοῦ ἑτέρου τὸ ἕτερον, ἀλλὰ μόνον πρὸς τὸ ἕτερον λέγεται. οὐδὲ τὸ ἐπιστητὸν καὶ τὸ αἰσθητὸν καὶ τὸ νοητὸν ὁμοίως, οὐδὲ ἄλλο τι τῶν τοιούτων ἐκείνων ἐστὶ τῶν πρὸς ἃ λέγεται· τὸ γὰρ ἐπιστητὸν οὐκ αὐτὸ ἄλλου ἐστὶν ἀλλ' αὐτοῦ ἄλλο· πρὸς γὰρ τὴν ἐπιστήμην λέγεται, οὐχ ὅτι ἐστὶ τῆς ἐπιστήμης, ἀλλ' ὅτι αὐτοῦ ἐστιν ἡ ἐπιστήμη. τὴν δὲ αἰτίαν τούτου γέγραφεν Ἀρχύτας ἐν οἷς τὰς διαφορὰς τῶν κατὰ τὰ πρός τι ἀντικειμένων παραδίδωσιν... f. 1 b. ἰστέον δὲ ὅτι ὁ μὲν Ἀριστοτέλης μεσότητα τῶν πρός τι οὐ παραδέδωκεν· ὁ δὲ Ἀρχύτας περὶ αὐτῶν τάδε γέγραφε... εἰ δὴ καὶ Ἀριστοτέλης μὴ συνεχώρει ταύτῃ τῇ μεσότητι, διαφέρειν ἂν εἶπε τὴν κατὰ τὸ πρός τι ἀντίθεσιν τῆς κατὰ τὸ ἐναντίον καὶ τῷ μὴ ἐπιδέχεσθαι μεσότητα. διαφέρει δὲ τῶν ἐναντίων τὰ πρός τι τῷ τρόπῳ τῆς κατηγορίας· τὰ μὲν γὰρ πρός τι αὐτὰ ἅπερ ἐστί, πρὸς ἄλληλα λέγεται ὁπωσοῦν· τὰ δὲ ἐναντία ἀντίκειται μέν, οὐ μέντοι ἀντιστρέφει πρὸς ἄλληλα... δεῖ οὖν τὴν τῶν πρός τι ἀντίθεσιν συναγωγὸν τῶν ὑποκειμένων νοεῖν μετά τινος ἀντιθέσεως, ἐξ ἀλλήλων καὶ μὴ ἐξ αὐτῶν τὴν διαφορὰν λαμβανούσης· διὰ τοῦτο γὰρ τὰ μὲν ἐναντία ἐξωθεῖ ἄλληλα, τὰ δὲ πρός τι ἐκ τῆς πρὸς ἄλληλα οἰκειότητος τὴν ἑτερότητα συνάγει. διὸ καὶ τὰ μὲν μᾶλλον ἐμφαίνει τὴν ἑτερότητα, ὡς τὸ διπλάσιον πρὸς τὸ ἥμισυ, τὰ δὲ ἧττον, ὡς ἐπιστήμη πρὸς τὸ ἐπιστητόν, τὰ δὲ οὐδὲ ὅλως σχεδόν, ὡς οἱ ἴσοι πρὸς ἀλλήλους. ὅσα οὖν ἀντίθεσιν ἔχοντα τοῦ ἀντικειμένου λέγεται αὐτὸ ὅπερ ἐστί, ταῦτα τῶν πρός τί ἐστιν· ὥσπερ τὸ μεῖζον αὐτὸ τοῦτο ὃ λέγεται, τοῦ ἀντικειμένου λέγεται, καὶ τὸ αὐτὸ πρὸς μὲν τὸ μεῖζον, πρὸς δὲ ἕτερον ἔλαττον· διὸ οὐδὲ μαχητικὴ ἡ τοιαύτη ἀντίθεσις. καὶ τὸ ὀρθὸν δὲ τὸ τύπτειν πρὸς τὸ ὕπτιον τὸ τύπτεσθαι ὡς πρός τι ἀντίκειται. διὸ καὶ Ἀριστοτέλης τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐπιδέχεσθαι τὰ ἐναντία εἰπών, αὐτὰ μὲν οὐκ ἔφη ἐναντία εἶναι ἀλλήλοις, ἐν ἑκατέρῳ δὲ αὐτῶν ἐπέδειξεν ἐναντίωσιν, ὡς ἐν τῷ λευκαίνειν καὶ μελαίνειν καὶ λευκαίνεσθαι καὶ μελαίνεσθαι. Ἀνδρόνικος δὲ οὐκ ἀντίθετα μόνον ἀλλὰ καὶ ἐναντία τὸ ποιεῖν καὶ τὸ πάσχειν ἀπεφήνατο. καὶ τοῦτο δὲ ἐπιστῆσαι ἄξιον, ὅτι τὰ μὲν πρός τι πρὸς ἄλληλα λέγεται, τὰ δὲ ἐναντία αὐτὰ μὲν ἅπερ ἐστίν, ἐναντία, τουτέστι τὰ τῇ ἐναντιώσει περιεχόμενα, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν, πρὸς ἄλληλα οὐ λέγεται, τὸ δὲ ἐναντίον αὐτὸ καὶ οὐχὶ τὰ περιεχόμενα ὑπ' αὐτοῦ κατὰ τὰ πρός τι λέγεται καὶ οὐχὶ κατὰ τὸ ἐναντίον· ἀντεισάγει γὰρ ἄλληλα καὶ συνυφέστηκε. καὶ ἴσως τούτου αἴτιον ἡ κοινὴ τῆς ἐναντιότητος ἐν τοῖς ἐναντίοις συνύπαρξις. Νικόστρατος δὲ δεικνύναι νομίζει ὅτι τὰ ἐναντία πρὸς ἄλληλα λέγεται, οὐκ ἀπὸ τῶν ὑπὸ τὸ ἐναντίον ἀλλ' αὐτοῦ τοῦ ἐναντίου ποιούμενος τὴν ἐπιχείρησιν.

ἈΜΜ. f. 130. τῶν γὰρ ἐναντίων τὰ μὲν κατὰ συμβεβηκὸς 12 a 1.
ὑπάρχει τῷ ὑποκειμένῳ, τὰ δὲ καθ' αὑτό. διὰ μὲν οὖν τοῦ "πέφυκε γίνεσθαι" ἐδήλωσε τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα τῷ ὑποκειμένῳ, διὰ δὲ τοῦ "κατηγορεῖσθαι" τὰ καθ' αὑτὸ ὑπάρχοντα. τὸ δὲ καθ' αὑτὸ διττόν, ὡς αὐτός φησιν ἐν τῇ Ἀποδεικτικῇ (Analyt. Post. 1 4), τὸ μὲν ὃ μέρος γίνεται τοῦ ὁρισμοῦ τοῦ ὑποκειμένου πράγματος, ὡς τὸ ζῷον, τὸ λογικόν (ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχουσι τῷ ἀνθρώπῳ, καὶ ἐν τῷ ὁρισμῷ αὐτοῦ παραλαμβάνεται), τὸ δὲ οὗ ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται, ὡς τὸ ἄρτιον καὶ τὸ περιττόν, σιμότης καὶ γρυπότης.

ΣΙΜΠΛ. τ' f. 2. ὑγείας δὲ καὶ νόσου ὁ μὲν Ἀριστοτέλης οὐδὲν 12 a 13.
εἶναι μέσον φησί, καίτοι ἀρετῆς καὶ κακίας ὁρῶν μεσότητα, ὡς φιλόσοφος. οἱ δὲ ἰατροί, περὶ τὰ σώματα ἐσπουδακότες, καὶ πολ-

ἄλλο πλῆθος τῶν ὁμωνύμως λεγομένων ἀπεσκευάσατο· καὶ γὰρ χωρίζεται ἀπὸ κτημάτων... f. 5. ἀκριβέστερον δὲ ὁ Ἀριστοτέλης ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ Φυσικὰ (c. 23) τοῖς τοῦ ἔχειν σημαινομένοις ἐπεξῆλθεν... f. 5 b. τῶν δὲ ἀπὸ τῆς Στοᾶς ἀξιούντων εἰς τὸ πῶς ἔχειν ἀναφέρειν τὸ ἔχειν ὁ Βοηθὸς ἐναντιοῦται, οὔτε εἰς τὸ πῶς ἔχον ἡγούμενος δεῖν οὔτε εἰς τὰ πρός τι ἀνάγειν αὐτό, ἰδίαν δὲ εἶναι κατηγορίαν· εἶναι μὲν γὰρ σχετικὴν αὐτήν, τριχῶς δὲ μάλιστα καὶ ὁμωνύμως τὴν σχέσιν λέγεσθαι· τὴν μὲν γὰρ εἶναι ἐν ἑαυτῷ καὶ καθ' ἑαυτό, τὴν δὲ πρὸς ἕτερον, τὴν δὲ ἑτέρου πρὸς ἑαυτό. ἡ μὲν οὖν ἐν ἑαυτῷ θεωρεῖται κατὰ τὸν πῶς ἔχοντα, οἷον ὁ προβεβλημένος (σχέσις γάρ ἐστιν αὐτοῦ πρὸς ἑαυτόν), ἡ δὲ πρὸς ἕτερον ἡ τῶν λεγομένων πρός τι.

11b 15. f. 7. Συμπληρωθέντος τοῦ περὶ τῶν δέκα κατηγοριῶν λόγου, ὁ Ἀρχύτας προστίθησιν ὅτι ἡ τῶν ἄλλων κατηγοριῶν ἀπόστασις πλὴν τῆς οὐσίας περὶ τὸ αὐτόματον θεωρεῖται καὶ αἰσθητόν, καὶ οὐ περὶ τὸ καθόλου καὶ νοητόν· γράφει δὲ οὕτως... f. 7 b. εἶτα ὀλίγα περὶ συνθέσεως εἰπὼν τῶν ἁπλῶν φωνῶν, ἅπερ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ Ἑρμηνείας βιβλίῳ κατέταξεν, ἐπὶ τέλει δὲ τὴν εἰς δέκα διαίρεσιν τῶν γενῶν ὡς οἰκείαν ταῖς ἀρχαῖς καὶ τῇ ἐπιστήμῃ ὡρισμέναις οὐσίαις, καὶ διὰ τοῦτο ἐν ἀριθμῷ καὶ τῷ παντὶ ἀριθμῷ ἀποδείκνυσιν. ὁ μέντοι Ἀριστοτέλης μετὰ τὰς κατηγορίας ἐξετάζει τὰ οἰκείως ἔχοντα πρὸς αὐτάς, ὡς αὐτίκα μάλα εἰσόμεθα· ἔστι δὲ ταῦτα περὶ ἀντικειμένων εἰπεῖν καὶ περὶ προτέρου καὶ ὑστέρου καὶ περὶ τοῦ ἅμα καὶ περὶ τῶν εἰδῶν τῆς κινήσεως καὶ περὶ τῆς τοῦ ἔχειν ὁμωνυμίας. ἀλλὰ κοινῶς πρῶτον περὶ αὐτῶν ζητητέον, τί δήποτε ἐπὶ τῷ τέλει τῶν Κατηγοριῶν ταῦτα πρόσκειται, καὶ τίνα χρείαν παρεχόμενα· τινὲς μὲν γάρ, ὧν καὶ Ἀνδρόνικός ἐστι, παρὰ τὴν πρόθεσιν τοῦ βιβλίου προσκεῖσθαί φασιν ὑπό τινος ταῦτα τοῦ τὸ τῶν Κατηγοριῶν βιβλίον Πρὸ τῶν Τόπων ἐπιγράψαντος, οὐκ ἐννοοῦντες οὕτω πόσην χρείαν οὐ τῇ Τοπικῇ πραγματείᾳ μόνον ἀλλὰ καὶ τῷ περὶ τῶν Κατηγοριῶν λόγῳ εἰσάγει τὰ εἰρημένα. ἄλλοις δὲ καὶ Πορφυρίῳ ἀρέσκει πρὸς σαφήνειαν συντελεῖν τὰ θεωρήματα ταῦτα.

11b 16. f. 8. οὐδὲν ἔχει κοινὸν γένος πρὸς ἄλληλα ἀλλ' ὁμωνύμως ἀντίκειται τὰ κοινῶς ἀντικεῖσθαι λεγόμενα· διὸ καὶ Ἀριστοτέλης "περὶ δὲ τῶν ἀντικειμένων" φησί, "ποσαχῶς εἴωθεν ἀντιτίθεσθαι·" τὸ γὰρ "ποσαχῶς εἴωθεν ἀντιτίθεσθαι" τοῦ ὁμωνύμου. τινὲς δὲ τῶν Περιπατητικῶν γένος ἔφασκον εἶναι τὸ ἀντικείμενον, διότι κοινὸς ὅρος ἀποδίδοται τῶν ἀντικειμένων τοιοῦτος "ἀντικείμενα λέγεται ὅσα περὶ τὸ αὐτὸ ἅμα καὶ κοινῶς σημαινόμενον τοῦ αὐτοῦ πράγματος καὶ πρὸς τὸ αὐτὸ ἔξωθεν ἐξεταζόμενα συνυπάρξαι οὐ δύναται." τοῦτο δὲ τοῖς τέτρασιν εἴδεσι τῆς ἀντιθέσεως οὐχ ὑπάρχει· ἐπί τε γὰρ τῶν ἐναντίων ἀδύνατον τὰ αὐτὰ ἅμα καὶ κατὰ τὸ αὐτὸ καὶ ᾗ αὐτὸ λευκὸν εἶναι καὶ μέλαν, καὶ κατὰ τὰ πρός τι δὴ ἀνύπαρκτά ἐστι τὰ ἀντικείμενα πρὸς τὸ αὐτὸ ἐξεταζόμενα· οὐ γὰρ οἷόν τε τὸ αὐτὸ πρὸς τὸ αὐτὸ μεῖζον ἅμα εἶναι καὶ ἔλαττον, οὐδὲ τὸν αὐτὸν τοῦ αὐτοῦ ἅμα δεσπότην εἶναι καὶ δοῦλον. ἀλλ' οὐδὲ τὰ κατὰ ἕξιν καὶ στέρησιν (f. 8 b) περὶ τὸ αὐτὸ ἅμα συνυπάρχει· οὐ γὰρ οἷόν τε κατὰ τὸν αὐτὸν ὀφθαλμὸν ὄψιν ἔχειν καὶ τυφλότητα. ἀλλὰ καὶ ἡ κατάφασις τῆς ἀποφάσεως ἀσυνύπαρκτος· εἰ γὰρ ἀληθὲς τὸ ἡμέρα ἐστί, ψεῦδος τὸ ἡμέρα οὐκ ἔστιν. εἰ οὖν πᾶσι τοῖς εἴδεσιν ἐφαρμόζει ὁ τῶν ἀντικειμένων λόγος, οὐ φωνῆς ἐστὶ σημαινόμενα, ἀλλὰ γένους εἰς εἴδη ἐστὶν ἡ διαίρεσις, εἴπερ οὐχ ὁμωνύμως ἀλλὰ καὶ συνωνύμως κατηγορεῖται τὸ ἀντικείμενον. πρὸς δὴ ταῦτα ὁ Ἰάμβλιχός φησιν ὡς εἰ μὴ ὁμώνυμος ἦν ὁ ὅρος, ἦν ἂν τῷ ὄντι κοινὸς λόγος καὶ κοινὸν γένος πάντων τῶν ἀντικειμένων· "ἐπεὶ δὲ τὸ μὴ δύνασθαι περὶ τὸ αὐτὸ συνυπάρχειν καὶ πρὸς τὸ αὐτὸ ἄλλως μέν" φησιν ὁ Ἰάμβλιχος "θεωρεῖται ἐν τοῖς πρός τι ἄλλως δὲ ἐν καταφάσει καὶ ἀποφάσει, καὶ ἄλλως ἐν τοῖς λοιποῖς τῶν ἀντικειμένων, ἀληθεύει ὁ ἐξ ἀρχῆς λόγος τὸ ὁμώνυμα εἶναι τὰ ἀντικείμενα. διό" φησι "καὶ ἥμαρτε Νικόστρατος, ὡς πρὸς ἓν γένος αὐτῶν τὴν ἀντιλογίαν ποιούμενος." ὁ μέντοι Πορφύριος γένος μᾶλλον καὶ αὐτὸς τίθεται, καὶ ἐγὼ ταύτῃ μᾶλλον ῥέπω, οὐδὲ λόγου ἀκούσας πιθανοῦ τινὸς τὴν ὁμωνυμίαν κυροῦντος, οὔτε αὐτὸς ἐννοῶν πλὴν τοῦ Ἀριστοτέλους εἰπεῖν "περὶ δὲ τῶν ἀντικειμένων, ποσαχῶς εἴωθεν ἀντιτίθεσθαι." καίτοι τὸ ποσαχῶς καὶ εἰ τὸ γένος ἦν, δυνατὸν εἰπεῖν· εἴτε γὰρ τρία εἴτε τέτταρα εἶχεν εἴδη, τριχῶς ἢ τετραχῶς ἀληθὲς εἰπεῖν ἀντικεῖσθαι, ὅπερ ἐστὶ ποσαχῶς· οὐ γὰρ τὸ ποσαχῶς εὐθὺς τὴν ὁμώνυμον δηλοῖ φωνὴν ἀλλὰ τὸ πολλαχῶς μόνον λέγεσθαι, μὴ μέντοι εἶναι... φαίνεται δὲ καὶ τὰ περὶ ἀντικειμένων Ἀριστοτέλης ἐκ τοῦ Ἀρχυτείου βιβλίου μεταλαβὼν τοῦ περὶ Ἀντικειμένων ἐπιγεγραμμένου, ὅπερ ἐκεῖνος οὐ συνέταξε τῷ περὶ Γενῶν λόγῳ, ἀλλ' ἰδίας πραγματείας ἠξίωσε· καὶ γὰρ τὴν διαίρεσιν αὐτῶν Ἀρχύτας οὑτωσὶ παραδίδωσι.

ΔΑΒΙΔ. Ἑρμῖνος δὲ ὁ πρὸ τῶν Τόπων ἐπιγράψας τὰς Κατηγορίας αἰτίαν λέγει τοιαύτην, ὅτι διαλεκτικὴ ἡ προκειμένη πραγματεία, ἔργον δὲ τῆς διαλεκτικῆς περὶ ἀποφαντικὸν εἰλεῖσθαι λόγον τῷ συνηγορεῖν τῇ ἀντιφάσει καὶ τοῖς ἀντικειμένοις· διὰ τοῦτο οὖν καὶ τὰ ἀντικείμενα τῶν λοιπῶν προέταξε... στέρησις δὲ εἰς ἕξιν οὐδέποτε ὑπὸ φύσεως ἢ τέχνης μεταβάλλει (τῇ γὰρ προνοίᾳ οὐδὲν ἀδύνατον). προέταξε δὲ τὰ πρός τι ἐν τοῖς ἀντικειμένοις ὡς μαλακώτερα καὶ ἧττον μαχόμενα ἐν τοῖς ἀντικειμένοις, ὡς καὶ ἀμφιβάλλεσθαι εἰ εἰσὶν ἀντικείμενα σῴζοντα ἄλληλα. ἀλλὰ τοῦτο μὲν δείκνυσιν Ἀλέξανδρος ὅτι ἀντικείμενα, ὃς καὶ τὰ λαβδοειδῆ ξύλα παράδειγμα λαμβάνει, ἅτινα μετὰ ἀντιθέσεώς τινος σῴζει ἄλληλα, ἃ ἡ μὲν συνήθεια ἀντήρεις καλεῖ, ὁ δὲ ποιητὴς ἀμείβοντας.

ἈΜΜ. f. 126. ὅτι δὲ οὐκ ἔστιν ἀπηρτημένον τὸ τμῆμα τοῦτο τοῦ σκοποῦ τῶν Κατηγοριῶν, ὥς τινες ἐνόμισαν, δῆλον μὲν καὶ ἐκ τῶν εἰρημένων, καὶ ἐξ αὐτοῦ δὲ τοῦ συνεχοῦς τῆς φράσεως· τὸν γὰρ μὲν σύνδεσμον εἰρηκὼς ἐν τῷ τέλει τοῦ τμήματος τοῦ πρὸ τούτου ἐν τούτῳ τὸν δὲ ἐπήγαγεν. εἰρηκὼς γὰρ ἐν ἐκείνῳ "ὑπὲρ μὲν οὖν τῶν προτεθέντων γενῶν ἱκανὰ τὰ εἰρημένα," νῦν ἐν τῇ ἀρχῇ τούτου φησὶν "περὶ δὲ τῶν ἀντικειμένων·" ὥστε καὶ ἐκ τούτου δήλη ἡ τοῦ σκοποῦ συνέχεια. πρῶτον δὲ διδάσκει περὶ τῶν ἀντικειμένων· καὶ γὰρ ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ μνήμην τούτων ἐποιήσατο, ἡνίκα ἔλεγε (p. 5 15) τὸ μέγα τῷ μικρῷ ἀντικεῖσθαι οὐχ ὡς τὰ ἐναντία ἀλλ' ὡς τὰ πρός τι. βούλεται τοίνυν διδάξαι ἐνταῦθα ποσαχῶς τὰ ἀντικείμενα λέγεται... ζητητέον δὲ τί δήποτε τέσσαρα μόνα τὰ

χρόνου φύσιν θεωρητικώτερον παραδιδοὺς ὁ Ἰάμβλιχος, τὸν Ἀρχύταν πάλιν ἡγεμόνα προΐσταται, ὅς φησιν ὅτι ἐστὶν ὁ χρόνος "κινάσιός τινος ἀριθμὸς ἢ καὶ καθ' ὅλω διάστημα τᾶς τοῦ παντὸς φύσιος," οὐ τὴν Ἀριστοτέλους καὶ τῶν Στωϊκῶν δόξαν εἰς ταυτὸ συλλαμβάνων, ὥς τινες οἴονται, διότι ὁ μὲν Ἀριστοτέλης ἀριθμὸν κινήσεως εἶναί φησι τὸν χρόνον, τῶν δὲ Στωϊκῶν Ζήνων μὲν πάσης ἁπλῶς κινήσεως διάστημα τὸν χρόνον εἶπε, Χρύσιππος δὲ διάστημα τῆς τοῦ κόσμου κινήσεως· οὐ γὰρ δύο ὅρους εἰς ταυτὸν συνάπτει, ἀλλ' ἕνα ὁρισμὸν ποιεῖται καὶ ἰδιάζοντα τοῦτον παρὰ τὰς τῶν ἄλλων ἀποφάσεις· οὐ γὰρ εἶπε κινήσεως ἀριθμὸν τῆς πάσης, ὥσπερ Ἀριστοτέλης ἀφωρίσατο, ἀλλὰ κινήσεώς τινος... f. 5. καὶ ἔοικε, φησὶν Ἰάμβλιχος, ἀπὸ τῆς Πυθαγορικῆς παραδόσεως ἡ Περιπατητικὴ δόξα παρατετράφθαι· τὸ δὲ αἴτιον ὅτι περὶ τοῦ ἀριθμοῦ καὶ τῆς κινήσεως οὐ τὴν αὐτὴν ἔσχον οἱ νεώτεροι πρὸς τοὺς παλαιοὺς γνώμην, ἀλλ' οἱ μὲν συμβεβηκότα αὐτὰ νομίζουσι καὶ ἔξωθεν ἐπείσακτα θεωροῦσιν, οἱ δὲ ὡς οὐσιώδη νοοῦσιν. ἐκεῖνο μέντοι θαυμάζω τῆς Ἀριστοτέλους ἀγχινοίας, πῶς καὶ αὐτὸς αἰτίαν τοῦ χρόνου προσεχῆ τὴν ψυχὴν ἔθετο... καὶ οἱ Στωϊκοὶ δὲ παραλαβόντες τὸν ὁρισμὸν λέγοντα τὸ καθ' ὅλου διάστημα τῆς τοῦ παντὸς φύσεως, παρέτρεψαν τὸν λόγον ἐπὶ τὸ διάστημα τῆς κινήσεως· καὶ πλημμελοῦσιν οὕτοι, διότι τῶν Πυθαγορείων τὸ διάστημα φυσικὸν καὶ ἐν φυσικοῖς λόγοις, καὶ εἰ οὕτως τις βούλοιτο καλεῖν, ἐν τοῖς σπερματικοῖς, ὥς ποτε καὶ Κορνοῦτος ὀψὲ τοῦτο ὑπώπτευσεν, ἢ ὡς ἀκριβέστερον ἄν τις εἴποι, κατὰ προτέρους λόγους καὶ τῶν σπερματικῶν τούτων λόγων τοὺς τῆς ὅλης κοσμικῆς φύσεως, ἐν ᾗ καὶ ἡ ψυχὴ περιλαμβάνεται, τὸ διάστημα ἀφοριζομένων, οὗτοι σαφῶς μὲν οὐκ ἔχουσι διελέσθαι ὁποῖον λέγουσι διάστημα, ἐοίκασι μέντοι μᾶλλον τὸ τῶν σωματοειδῶν κινήσεων σωματοειδὲς διάστημα ὑπολαμβάνειν, ἢ ὥσπερ γραμμοειδές τι τοῦτο ἀποφαίνεσθαι, ὃ πολλῆς ἀτοπίας μεστὸν ἰδίᾳ δείκνυται ἐν τοῖς περὶ χρόνου λόγοις. οὐ μέντοι παρὰ τοῖς ἀρχαίοις οὕτως εἴρηται... f. 5 b. τὸ δὲ ἴδιον αὐτοῦ διὰ πλειόνων Ἀρχύτας παραδέδωκε. καὶ οὐδὲν ἄτοπον καὶ διὰ τὴν τῶν Πυθαγορικῶν συγγραμμάτων σπάνιν ὅλην αὐτοῦ τὴν περὶ τούτου παραθέσθαι λέξιν... f. 7. ἐπιστῆσαι δὲ ἄξιον ὅτι καὶ ὁ Πλάτων κινουμένην κατ' ἀριθμὸν εἰκόνα τοῦ αἰῶνος εἶπε τὸν χρόνον, ὡς μονάδος τοῦ αἰῶνος ἀριθμὸν τὸν χρόνον θεασάμενος. καὶ μήποτε καὶ τὸ Ἀρχύτειον αὐτοφυέστερον οὕτως ἀκούειν ὅτι ἐστὶ κινήσεώς τινος ἀριθμός, οὐχ ὡς ἄλλου μὲν χρόνον τῆς κινήσεως δηλούσης ἄλλου δὲ τοῦ ἀριθμοῦ, ἀλλ' ὡς ἐπὶ τοῦ αὐτοῦ πάντων ῥηθέντων.

11 b 11. f. 7 b. δοκεῖ δὲ μετὰ τὸ ποτὲ τὸ ποῦ τάττεσθαι διὰ τὴν πρὸς ἄλληλα τούτων συγγένειαν· ὡς γὰρ ὁ τόπος καὶ ὁ χρόνος συγγενεῖς εἰσί, μέτρα ὄντες ἄμφω συνεκτικὰ τῆς γενέσεως, ὁ μὲν κατὰ τὸν ὄγκον ὁ δὲ κατὰ τὴν τοῦ εἶναι διάστασιν, καὶ τοῦ αἰῶνος ἄμφω τήν τε ἅμα καὶ ὁμοῦ συνῃρημένην ἀμέρειαν ἐνεικονίσαντα, οὕτω καὶ τὸ ποτὲ καὶ τὸ ποῦ συγγενῶς ἔχει πρὸς ἄλληλα. ἐν ὑστέρῳ δὲ τέτακται τὸ ποῦ διότι καὶ ὁ τόπος πέρας τῶν γινομένων ἐστὶ καὶ ὡς περιέχων τὰ ἄλλα οὕτως θεωρεῖται, καὶ διότι προηγεῖται μὲν τὸ ποιεῖν τῶν κινουμένων, τοῖς δὲ κινουμένοις ὁ χρόνος ὡς μέτρον αὐτῶν συνέζευκται, ἀποτελευτᾷ δὲ τὰ κινούμενα εἰς τὴν ἐν τόπῳ θέσιν... f. 8. πάλιν δὲ ὁ αὐτὸς ἀνὴρ τὸ πόρρω καὶ ἐγγὺς εἰς τὸ πρός τι ἀνάγειν ἀξιοῖ, τοπικὸν ἔχοντα τὸ ὑποκείμενον, Ἀνδρόνικος δὲ εἰς τὸ ποῦ τίθησιν αὐτά, ἀόριστα κατὰ τόπον ὄντα. καὶ εἴπερ ἡ τοῦ τόπου διαφορὰ ἐπικρατοῦσα φαίνεται ἐν αὐτοῖς, εἰς τὸ ποῦ μᾶλλον ἀνακτέα ἀλλ' οὐκ εἰς ἕτερον γένος.

σʹ f. 2 b. ἐπὶ δὲ τὴν λοιπὴν κατηγορίαν τὴν τοῦ ἔχειν ἰόντες πρῶτον πάλιν περὶ τῆς τάξεως ζητῶμεν· καὶ γὰρ Ἀρχύτας μὲν μετὰ τὴν οὐσίαν καὶ τὰ συνυπάρχοντα τῇ οὐσίᾳ τήν τε ποιότητα καὶ ποσότητα καὶ μετὰ τὰ πρός τι ἐφεξῆς τὴν τοῦ ἔχειν κατηγορίαν τίθησι λέγων "μετὰ δὲ ταῦτα ἁ τῶν ἐπικτάτων σχέσις· φανερὸν δὲ ὅτι καὶ ἁ κράτησις, ὁποῖον ἂν ᾖ, τινῶν ἐπικτάτων ἀπὸ ταὐτομάτου ὑπὸ ταύταν ἐντί." μετὰ γὰρ τὴν πρὸς ἄλληλα ἐξετάζουσαν σχέσιν οἰκείως ἐνόμισεν εὐθὺς τὴν τῶν ἐπικτήτων σχέσιν διηριθμῆσθαι οὕτως ἔχουσαν συγγενῶς πρὸς ἐκείνην. ὁ δέ γε Ἀριστοτέλης τὸ ἐξ ἑαυτοῦ πᾶν ἀρχηγικώτερον οἰόμενος εἶναι τοῦ ἔξωθεν προσγινομένου καὶ ἐπικτήτου, ἐπειδὴ τὰ μὲν ἄλλα πάντα γένη ἢ ἐν οὐσίᾳ ἢ ἐν σχέσεσί τισιν ὄντα ἀφ' ἑαυτῶν τινὰ μοῖραν εἰς τὸ εἶναι συμβάλλεται, τὸ δὲ ἔξωθεν ἔχειν ὅλον καὶ ἐπίκτητον περὶ ἡμᾶς γίνεται, διὰ τοῦτο τελευταῖον αὐτὸ τίθησι... καὶ ὁ Πλάτων ἐν Θεαιτήτῳ (p. 293 5) τὸ ἔχειν (f. 3) ἀπὸ τοῦ κεκτῆσθαι σαφῶς διέκρινεν εἰπὼν "οὐ ταὐτόν μοι φαίνεται τὸ κεκτῆσθαι τῷ ἔχειν."... ὥστε καὶ κατὰ Πλάτωνα τότε γίνεται τὸ ἔχειν, ὅταν ἐγκρατὴς ᾖ ὁ ἔχων τοῦ ἐχομένου, ὡς ὅταν κρατῇ τὴν περιστεράν, ὥσπερ ὅταν περίκειται τὸν δακτύλιον, τότε λέγεται ἔχειν αὐτόν. καὶ οὐκ ἔστιν ἀπόλυτος ἐνέργεια, οὔτε ἄλλου πρὸς ἄλλο ἁπλῶς, ἀλλὰ πρὸς ἄλλο εἰς ἑαυτὸ κράτησις πολλῷ ἐκβεβυῖα πασῶν τῶν ἄλλων κατηγοριῶν. φαίνεται δὲ λοιπὸν καὶ πῶς τῶν ὁμωνύμως λεγομένων ἔχειν διέστηκε τὸ ὄντως γένος τοῦ ἔχειν· οὔτε γὰρ τὸ ἕξιν ἔχειν ἢ ποιότητα ἢ ποσότητα περιέχεται ἐν αὐτῷ, ἀσώματα γὰρ ταῦτα, οὔτε τὸ ὡς ἀγρὸν ἔχειν ἢ υἱὸν ἔχειν ἢ κεκτῆσθαι· κτήματα μὲν γὰρ καὶ ταῦτα σωματικὰ ἀλλ' οὐ περιεχόμενα ἔξωθεν ἢ περιέχοντα. καὶ ἔοικε μέσον πως εἶναι τὸ ἔχειν τοῦ κεκτῆσθαι καὶ τοῦ καθ' ἕξιν διακεῖσθαι· ᾗ μὲν γὰρ ἔχεται, ὡς ἡ λευκότης, χωρίζεται ἀπὸ τῶν ἔξωθεν κτημάτων ἃ οὐ περικείμεθα· ᾗ δὲ σωματικόν ἐστι καὶ ἔξωθεν, χωρίζεται τῶν ἔξωθεν· ᾗ δὲ συμβεβήκασιν ἡμῖν συμφυεῖς οὖσαι καὶ οὐκ ἐπίκτητοι. τοιαύτη μὲν οὖν ἡ τοῦ ἔχειν ἰδιότης ἐστίν... f. 3 b. ἀπορίαι δὲ πολλῶν καὶ πρὸς τοῦτο γεγόνασι τὸ γένος· καὶ γὰρ Πλωτῖνος ἀπορεῖ λέγων "περὶ δὲ τοῦ ἔχειν, εἰ τὸ ἔχειν πολλαχῶς, διὰ τί οὐ πάντες οἱ τρόποι εἰς ταύτην τὴν κατηγορίαν ἀναχθήσονται;"... f. 4. οἱ γοῦν ἐκ τῆς Ἀκαδημίας ὁρισάμενοι τὸ ἐκτὸν τὸ οἷόν τε ἔχεσθαι, πρὸς τοὺς ζητοῦντας κατὰ τί τοῦ ἔχειν σημαινόμενον λέγουσιν (ἐπειδὴ πολλαχῶς τὸ ἔχειν, ὡς καὶ Ἀριστοτέλης διώρισε), πρὸς τούτους οὖν παράδειγμα ἐπῆγον, ἐκτὸν λέγοντες εἶναι ὃ οἷόν τε ἔχεσθαι οὕτως ὡς ἡ φρόνησις ἔχεται ὑπὸ τοῦ φρονίμου, διὰ τοῦ παραδείγματος τὴν ὑπογραφὴν ποιούμενοι καὶ ἅμα τὰ ἀλλότρια σημαινόμενα τοῦ ἔχειν ἀποκρίνοντες. καὶ ὁ Ἀριστοτέλης οὖν, ὅταν τοῦ ἔχειν πολλαχῶς λεγομένου τοιοῦτον τὸ κατὰ γένος ἔχειν ὑπολαμβάνει οἷον τὸ ὑποδεδέσθαι καὶ ὡπλίσθαι, διὰ τοῦ παραδείγματος πᾶν τὸ

τοσαῦτα καὶ τοιαῦτα καὶ ἐν τῷ ποιεῖν διάφορά ἐστιν εἴδη κατὰ τὴν τοιαύτην ἐνέργειαν, περὶ ὧν ἐν ταῖς περὶ ζῴων ἱστορίαις διαριθμεῖσθαι εἰώθαμεν... π´ f. 6. παρατηρεῖν δὲ δεῖ καὶ πότε ὀρθόν ἐστι καὶ πότε ὕπτιον τὸ ἐνέργημα ἢ πάθος. αὐτίκα τὸ μὲν λυπεῖν ὀρθὸν τοῖς πολλοῖς δοκεῖ, τὸ δὲ λυπεῖσθαι ὕπτιον. οὐ μὴν ἀεὶ τοῦτο συμβαίνει, ὥσπερ ἐπὶ τοῦ τύπτοντος καὶ τυπτομένου· ἐνδέχεται γὰρ μὴ ἀεὶ συνεῖναι τὸν λυποῦντα, οἷον τὸν ἀποθανόντα υἱόν, εἰ ἐπ' αὐτῷ τις λυποῖτο· ἐνδέχεται δὲ καὶ μὴ λυπεῖσθαι, εἰ μὴ ἄρα ἡ φαντασία, ποιητικὴ οὖσα καὶ αὐτή, αἴτιον ἐπιμένει. ἔστι δὲ καὶ ὅταν καὶ παυσαμένου τοῦ ποιοῦντος πάσχει τὸ πάσχον, ἐπιμενούσης τῆς διαθέσεως, ὡς ἐπὶ τοῦ ὑπὸ πυρὸς θερμαινομένου καὶ μετὰ τὴν ἀναχώρησιν τοῦ πυρὸς ἔτι πάσχοντος τὸ θερμαίνεσθαι. διττὸν γὰρ τὸ πάσχειν, τὸ μὲν τῷ ποιεῖν συνηρτημένον, τὸ δὲ κατὰ τὴν διάθεσιν θεωρούμενον. ἴσως δὲ καὶ ἐνταῦθα ἔνδον συνέζευκται τὸ ποιοῦν, ἤτοι ἡ φαντασία ἢ τὸ ἔξωθεν ἐγγινόμενον πῦρ. τοῖς οὖν πράγμασιν ἀλλ' οὐ ταῖς λέξεσιν ἐν τῇ τούτων ἐπικρίσει ἀκολουθεῖν καλόν. πολλὴ δὲ ἡ τῶν τοιούτων ἐξεργασία παρὰ τοῖς Στωϊκοῖς, ὧν ἐφ' ἡμῶν καὶ ἡ διδασκαλία καὶ τὰ πλεῖστα τῶν συγγραμμάτων ἐπιλέλοιπεν.

11b 9. f. 6 b. μετὰ δὲ τὸ ποιεῖν καὶ πάσχειν ὁ μὲν Ἀριστοτέλης τὸ κεῖσθαι τέθεικεν, ὁ δὲ Ἀρχύτας τὸ ἔχειν... f. 8 b. βέλτιον δὲ δι' ἀκριβείας ἀφορίζεσθαι τὸ κεῖσθαι, ὥσπερ καὶ Βοηθῷ δοκεῖ· ἐφ' ὧν γὰρ οὔτε τὸ ποιεῖν οὔτε τὸ πάσχειν πρόσεστι καθ' ἣν κεῖται θέσιν καὶ καθ' ἣν τέτακται τάξιν, ταῦτα μόνον φησὶν εἶναι τῆς κατηγορίας, οἷον τὸ ἑστηκέναι ἢ καθῆσθαι ἐπὶ ἀνδριάντος λεγόμενον ἢ τὸ ἀνακεῖσθαι τὴν εἰκόνα· ἐφ' ἡμῶν μὲν γὰρ ἐνέργειαν τὰ τοιαῦτα συνεμφαίνει, ἐπὶ δὲ τῶν ἀψύχων οὔτε τὸ ποιεῖν οὔτε τὸ πάσχειν ἐνδείκνυται ταῦτα, ἀλλὰ μόνον καθαρῶς τὸ κεῖσθαι. ἐπεὶ δὲ ὁ ἄνω καὶ κάτω τόπος συνεπινοεῖται καὶ σχέσις συνεπιφαίνεται πρός τινας τόπους ἐν τῷ ἀνακεῖσθαι καὶ κατακεῖσθαι, δεῖ νοεῖν ὡς καθ' αὑτὸ ὄντος τοῦ κεῖσθαι πρότερον ἐπεισῆλθεν ἡ σχέσις πρὸς τὸ ἄνω καὶ κάτω, ὥσπερ καὶ παρὰ τὰς ἄλλας κατηγορίας παρεφύετο ἀεὶ τὸ πρός τι.

11b 10. ρ´ f. 1. μετὰ δὲ τὸ κεῖσθαι ἀμφίβολος ἡ τάξις ἐστὶ τῶν λοιπῶν κατηγοριῶν· καὶ γὰρ Ἀριστοτέλης ἄλλοτε ἄλλως μνημονεύει τῆς τάξεως, ἐν ἀρχῇ μὲν τὸ ποῦ καὶ ποτὲ προτάξας τοῦ κεῖσθαι καὶ τοῦ ἔχειν, ὕστατα δὲ πάντων θεὶς τὸ ποιεῖν καὶ πάσχειν· προϊὼν δὲ τὸ ποιεῖν μὲν καὶ πάσχειν προτίθησι, τὸ δὲ κεῖσθαι προτάττει τοῦ ποτὲ καὶ τοῦ ποῦ, εἰς αὐτὸ πρότερον ὑπέταξε. καὶ τὰ ἄλλα δὲ ἄλλοτε ἄλλως τίθησιν. ἐνίοτε δὲ καὶ ἐν τῷ αὐτῷ τόπῳ ἐναλλάττων φαίνεται τὴν τάξιν· ἐν μὲν γὰρ τῷ φάναι "περὶ μὲν τοῦ ποτὲ καὶ τοῦ ποῦ καὶ τοῦ ἔχειν" ἄλλως φαίνεται διορίζων, ἐν δὲ τῷ ἐπεκδιηγεῖσθαι ἑτέρως διορίζει τὴν τάξιν. ἀλλ' οὐδὲ ἐπὶ τῶν προτέρων κατηγοριῶν, ἐφ' ὧν τὸν πολὺν ποιεῖται λόγον, φαίνεται τηρῶν τὴν αὐτὴν τάξιν, ἀλλ' ὅπου μὲν τὸ ποιὸν προτάττει τοῦ πρός τι, ἐν δὲ τῷ διαπραγματεύεσθαι περὶ αὐτῶν τὸ πρός τι τοῦ ποιοῦ· καὶ ὅλως οὐδαμοῦ περὶ τῆς τάξεως τῶν γενῶν οὐδεμίαν αἰτίαν ὁ Ἀριστοτέλης ἀπεφήνατο. ὁ μέντοι Ἀρχύτας μετ' αἰτίας τὴν τάξιν τῶν κατηγοριῶν ἀποδοὺς φυλάττει τὴν αὐτὴν ἐν τοῖς πλείοσι, πλὴν ὅτι καὶ αὐτὸς ἔστιν ὅπου τὴν τάξιν ἐναλλάττει... f. 1 b. ἰστέον δὲ ὅτι ὁ μὲν Ἀριστοτέλης τὸν χρόνον καὶ τὸν τόπον τοῦ ποσοῦ θείς, τὸ ποτὲ καὶ ποῦ ἰδίας ἐποιήσατο κατηγορίας· ὁ μέντοι Ἀρχύτας καὶ Ἀνδρόνικος ἀκολουθῶν τῷ Ἀρχύτᾳ, τῷ μὲν χρόνῳ τὸ ποτὲ συντάξαντες τῷ δὲ τόπῳ τὸ ποῦ, οὕτως ἔθεντο τὰς δύο κατηγορίας, φυλάξαντες τὴν δεκάδα καὶ οὕτω τῶν γενῶν. δεῖ δὲ τοὺς ἑπομένους τῷ Ἀριστοτέλει δεῖξαι πρῶτον μὲν ὅτι τοῦ ποσοῦ ὁ χρόνος ἐστὶ καὶ ὁ τόπος, ἔπειτα ὅτι τὸ ποτὲ καὶ ποῦ οὐ χρόνον καὶ τόπον ἀλλὰ σχέσιν πρὸς χρόνον καὶ τόπον δηλοῦσι, καὶ ὅτι ἄξιά εἰσιν εἰς ἀριθμὸν τῶν γενικωτάτων παραλαμβάνεσθαι. ὁ μέντοι Πλωτῖνος συντάττων μὲν τὸ ποτὲ τῷ χρόνῳ, πέντε λέγων τὰς πάσας κατηγορίας, οὐσίαν ποσὸν ποιὸν πρός τι κίνησιν, ὤφειλεν ἢ τοῦ ποσοῦ δεῖξαι τὸν (f. 2) χρόνον ἢ τινος ἄλλης τῶν πέντε τούτων κατηγοριῶν, εἰ μὴ μέλλοι τελέως ὁ χρόνος τῶν ὄντων ἐκβάλλεσθαι. ἀλλ' ὅτι μὲν ποσὸν αὐτὸν βούλεται εἶναι, ἐδήλωσεν ἐν τοῖς περὶ τοῦ ποσοῦ λέγων... f. 2 b. ὁ δὲ Ἀριστοτέλης πεπεισμένος μὲν εἶναι τὸν χρόνον ἐκ τῆς ἐνεργείας αὐτοῦ, ἀσαφῆ δὲ τὴν οὐσίαν αὐτοῦ ὁρῶν, πολλαχῇ μὲν ἐπ' αὐτὸν ἦλθε, ποτὲ μὲν ὡς ἐπ' ἀριθμὸν κινήσεως, ποτὲ δὲ ὡς ἐπὶ μέτρον, ποτὲ δὲ ὡς ἐπὶ κινήσεως, ποτὲ δὲ ὡς ἐπὶ ἠρεμίας· λαβὼν δὲ τὴν ὡς συνεχῆ πᾶσι προπίπτουσαν ἔννοιαν, ἐν τῷ γένει αὐτὸν ἔθετο ἐκείνῳ ἐν ᾧ τὸ συνεχὲς καὶ τὸ πηλίκον· τοῦτο δὲ ἦν τὸ ποσόν... f. 3. διὸ καὶ ὁ ὁρισμὸς αὐτοῦ οἰκείως ἀποδέδοται ἀριθμὸς κινήσεως πάσης καὶ μέτρον τοῦ ἐν κινήσει προτέρου καὶ ὑστέρου (Phys. Auscult. 4 11). καὶ κατὰ τὰς παλαιὰς δὲ δόξας ἡ αὐτὴ ἔννοια φαίνεται τοῦ χρόνου· ἢ γὰρ κίνησις ἢ κινήσεώς τι, ἤτοι χωριστὸν ἢ ἀχώριστον, τὸν χρόνον ὑπολαμβάνουσι. Πλάτων μὲν γὰρ τὸ ποσὸν τῆς κινήσεως εἰπὼν τὸν χρόνον, ἀχώριστόν τι αὐτὸν ὑπέθετο τῆς κινήσεως, Θεόφραστος δὲ συμβεβηκός τι· καὶ Ἀριστοτέλης ἀριθμὸν εἰπὼν ὡς χωριστὸν ἐθεάσατο, ἡνίκα δὲ ἕξιν ἢ πάθος κινήσεως λέγει, ὡς ἀχωρίστῳ καὶ αὐτὸς ἐχρήσατο. ἀλλὰ τούτων μὲν ὡς διὰ τὸ ἀκριβὲς τὴν εἰσαγωγικὴν πραγματείαν ὑπερβαινόντων οὐκ ἐφάπτεται νῦν... f. 3. b. Ἀρχύτας δὲ καὶ Ἀνδρόνικος ἰδίαν τινὰ φύσιν τὴν τοῦ χρόνου θέμενοι, ὁμοῦ τούτῳ συνέταξαν τὸ ποτὲ ὡς περὶ τὸν χρόνον ὑφιστάμενον· αὐτὰ γὰρ τὰ προηγούμενα τῆς ὑποστάσεως πρῶτα γένη, περὶ ἃ τὰ ἄλλα ὑφίσταται, πρόκειται αὐτῷ ὡς ἀρχηγικώτατα λαμβάνειν. ἐπεὶ τοίνυν ὁ μὲν χρόνος τοῦ ποτὲ ὁ δὲ τόπος τοῦ ποῦ κατ' αὐτὸ τὸ εἶναι προτέτακται, εἰκότως αὐτοῖς ὡς προηγουμένοις γένεσι χρῆται, παραλιπὼν τὰ ἐν αὐτοῖς περιεχόμενα ὡς δεύτερα ἐκείνων ὄντα... ὅταν οὖν οἱ περὶ Πλωτῖνον καὶ Ἀνδρόνικον τὸ χθὲς καὶ αὔριον καὶ πέρυσι μέρη χρόνου λέγωσι καὶ διὰ τοῦτο ἀξιῶσι τῷ χρόνῳ συντετάχθαι, φήσομεν οὐκ εἶναι αὐτὰ μέρη χρόνου ἀλλὰ σχέσιν περιέχειν τῶν ἐν τῷ χρόνῳ ὄντων πραγμάτων... f. 4. καὶ Βοηθὸς δὲ ἄλλο μὲν τὸν χρόνον ὑποτίθεται, ἄλλο δὲ τὸ μετέχον χρόνου καὶ ἐν χρόνῳ, καὶ εἶναι μὲν ἐνιαυτὸν καὶ μῆνα χρόνον, ἐνιαυσιαῖον δὲ καὶ μηνιαῖον μετέχον χρόνου· ὥσπερ ἄλλης κατηγορίας φρόνησις, καὶ τὸ κατὰ φρόνησιν, οἷόν ἐστι τὸ φρονεῖν, ἄλλης, καὶ τὸ μέν ἐστι ποιότητος τὸ δὲ τοῦ ποιεῖν, οὕτως καὶ ὁ χρόνος καὶ τὸ κατὰ χρόνον διέστηκεν. ἐπειδή τινες ἐκ τῆς τοῦ πράγματος ἀσαφείας διεστηκότα ταῦτα εἰς ταὐτὸ συγχέουσι, λεγέσθω τι καὶ πρὸς τούτους παραμύθιον, ὅτι τὸ ποτὲ διττόν ἐστι, τὸ μὲν χρόνος τὸ δὲ ἰδίως ἐν χρόνῳ... f. 4 b. τὴν τοῦ

διὰ τὸ ἀτελῆ λέγεσθαι τὴν κίνησιν ἐνέργειαν... f. 3. ἔτι δὲ δεῖ πείθεσθαι Θεοφράστῳ· τούτῳ μὲν γὰρ δοκεῖ μὴ χωρίζεσθαι τὴν κίνησιν τῆς ἐνεργείας, εἶναι δὲ τὴν μὲν κίνησιν καὶ ἐνέργειαν ὡς ἂν ἐν αὐτῇ περιεχομένην, οὐκέτι μέντοι καὶ τὴν ἐνέργειαν κίνησιν· τὴν γὰρ ἑκάστου οὐσίαν καὶ τὸ οἰκεῖον εἶδος ἐνέργειαν εἶναι ἑκάστου, μὴ οὖσαν ταύτην κίνησιν· καὶ γὰρ ἡ τελειότης καὶ ἐν τοῖς νοητοῖς καὶ φύσει ἀκινήτοις εἶναι οὐ κεκώλυται. εἰσὶ δὲ καὶ ἐν τοῖς αἰσθητοῖς πολλαὶ τοιαῦται, οἷον ἡ κατὰ τὸ σχῆμα τοῦ ἀνδριάντος· ἕστηκε δὲ τὸ σχῆμα κατὰ τὴν αὐτὴν τελειότητα. εἰ δὲ εἰς τοσοῦτον προέχει ἡ ἐνέργεια τῆς κινήσεως, οὐκ ἔδει συνάπτειν αὐτάς, οὐδὲ τὸ ἕτερον τοῦ ἑτέρου γένος ποιεῖν. εἰ δέ τις τὴν μὲν ἐνέργειαν τὸ κινεῖσθαί φησι προβάλλειν κατὰ τὸ συντετάχθαι πρὸς τὸ αὐτό, τὸ δὲ ἐνεργείᾳ κατὰ τὸ σχῆμα τοῦ ἀνδριάντος καὶ τὴν ἑκάστου ἐντελέχειαν ἱστάμενον πρὸς τὸ δυνάμει λέγεσθαι ἐξῃρημένον αὐτοῦ, ἀλλ᾽ οὐχὶ τῆς κινήσεως τὴν ἐνέργειαν, ἀγνοεῖ οὗτος ὅτι τὸ μὲν ἐνεργείᾳ ἀντιτίθεται πρὸς τὸ δυνάμει καὶ τοῦ ἀτελοῦς ἐστὶ τελειότης, σχέσιν τε πρὸς τὸ ἐναντίον προσείληφεν, ἡ μέντοι ἐνέργεια αὐτὴ καθ᾽ ἑαυτήν ἐστιν ἀπολύτως πρὸς οὐδὲν ἐναντίον λεγομένη, ἥτις καὶ τῷ ἐνεργείᾳ ὄντι παρέχει τὴν τελειότητα... f. 3 b. ἀλλὰ καὶ τὸ τὴν ἐνέργειαν ἐπὶ μόνων λέγειν τῶν ποιήσεων ἀνεξετάστως λέγεται· οὔτε γὰρ πᾶσα ἐνέργεια ποίησις, οὐ γὰρ δὴ καὶ ἡ νόησις, οὔτε πᾶσα ποίησις ἐνέργεια, εἰσὶ γάρ τινες καὶ παθητικαὶ ποιήσεις. ἐκ δὲ τούτων συνακτέον ὅτι Πλωτῖνος καὶ οἱ ἄλλοι οἱ ἀπὸ τῆς τῶν Στωϊκῶν συνηθείας εἰς τὴν Ἀριστοτέλους αἵρεσιν μεταφέροντες τὸ κοινὸν τοῦ ποιεῖν καὶ πάσχειν εἶναι τὰς κινήσεις, οὗτοι συγχέουσιν εἰς ταὐτὸ κίνησίν τε καὶ ἐνέργειαν, καὶ τὴν ποίησιν οὐ τηροῦσι καθαρὰν ἀπηλλαγμένην τοῦ πάθους, εἴπερ μετὰ κινήσεως αὐτὴν ὁρῶσι. καὶ ἔτι μέντοι τὴν ἀρχὴν τῆς κινήσεως οὐ τηροῦσιν ἀκίνητον, ὡς Ἀριστοτέλει δοκεῖ· καὶ γὰρ ὅταν οἱ Στωϊκοὶ διαφορὰς γενῶν λέγωσι τὸ ἐξ αὐτῶν κινεῖσθαι, ὡς ἡ μάχαιρα τὸ τέμνειν ἐκ τῆς οἰκείας ἴσχει κατασκευῆς (κατὰ γὰρ τὸ σχῆμα καὶ τὸ εἶδος ἡ ποίησις ἐπιτελεῖται), τὸ δὲ δι᾽ ἑαυτοῦ ἐνεργεῖν τὴν κίνησιν, ὡς αἱ φύσεις καὶ αἱ ἰατρικαὶ δυνάμεις τὴν ποίησιν ἀπεργάζονται· καταβληθὲν γὰρ τὸ σπέρμα ἀναπληροῖ τοὺς οἰκείους λόγους καὶ ἐπισπᾶται τὴν παρακειμένην ὕλην καὶ διαμορφοῖ τοὺς ἐν αὐτῷ λόγους. ἀλλὰ μὴν καὶ τὸ ἀφ᾽ ἑαυτοῦ ποιεῖν, ὅ ἐστι κοινῶς μὲν ἀπὸ ἰδίας ὁρμῆς ποιεῖν, ἕτερον δὲ ἀπὸ λογικῆς ὁρμῆς, ὃ καὶ πλάττειν καλεῖται, τούτου δὲ ἔτι εἰδικώτερον τὸ κατ᾽ ἀρετὴν ἐνεργεῖν, — ὅταν οὖν ταῦτα διαιρῶνται, τοὐναντίον ἁμάρτημα ποιοῦσιν ἢ ὅπερ ἐν τοῖς ἔμπροσθεν· πάντα γὰρ ταῦτα ὑφ᾽ ἓν ὀφείλονται γένος τετάχθαι, διότι ἐν τῷ ποιεῖν πάντα οὐ καλῶς εἰς πολλὰ γένη διακρίνουσι... καὶ τῆς κινήσεως, φησὶν Ἰάμβλιχος, οὐ καλῶς οἱ Στωϊκοὶ ἀντιλαμβάνονται λέγοντες τὸ ἀτελὲς ἐπὶ τῆς κινήσεως εἰρῆσθαι, οὐχ ὅτι οὐκ ἔστιν ἐνέργεια· ἔστι γὰρ πάντως, φασίν, ἐνέργεια, ἀλλ᾽ ἔχει τὸ πάλιν καὶ πάλιν, οὐχ ἵνα ἀφίκηται εἰς ἐνέργειαν, ἔστι γὰρ ἤδη, ἀλλ᾽ ἵνα ἐργάσηταί τι ἕτερον, ὅ ἐστι μετ᾽ αὐτήν. ταῦτα μὲν οὖν οἱ Στωϊκοὶ λέγουσι· πῶς δέ, φησὶν Ἰάμβλιχος, δυνατὸν ἀτέλεστον ἐνέργειαν λέγειν, ἣ πάντων ἐστὶ τελεωτάτη; τίνα δὲ τρόπον ἐν τῷ ἐνεργεῖν ἑστῶσα (f. 4) πληθύνεται κατὰ τὸ πάλιν καὶ πάλιν;... ὁ δὲ Πλωτῖνος οὐδὲ τὴν κίνησιν ἀτελῆ συγχωρεῖ εἶναι, οὐδὲ τελειοῦσθαί φησιν αὐτὴν ἀλλὰ τὸ πρᾶγμα οὗ ἐστοχάζετο... f. 4 b. περὶ δέ τινων γεγένηται ζήτησις εἰ κινήσεις χρὴ λέγειν, οἷον τήν τε αἴσθησιν καὶ τὴν τῆς ψυχῆς νόησιν, ἃς δοκεῖ τισὶν οὐκ ἄνευ μὲν κινήσεως, οὐ μὴν κινήσεις εἶναι, εἴγε ἀμέριστοί εἰσιν, ὡς ἐν τοῖς περὶ Ψυχῆς (3 5 sqq.) δέδεικται, κίνησις δὲ πᾶσα μεριστή. εἰ δὲ καὶ ἐν τῷ νῦν ἥ τε αἴσθησις καὶ ἡ νόησις ἐπιτελοῦνται, οὐδὲ οὕτως ἂν εἶεν κινήσεις, ἀλλ᾽ ἐνέργειαι ἂν ὀρθότερον καλοῖντο. Μελίσσου δὲ εἰπόντος παντὸς τοῦ γινομένου ἀρχὴν εἶναι, φησὶν Ἀριστοτέλης (Phys. Auscult. 1 3) μὴ ἐπὶ πάντων τῶν γινομένων ἀρχὴν εἶναι τοῦ πράγματος, ἀλλὰ τοῦ χρόνου μὲν εἶναι ἀρχήν, οὐκέτι μὴν καὶ τοῦ πράγματος... f. 5. καὶ μάλιστα οὕτω συνεζευγμένον ὑπ᾽ αὐτοῦ τὸ ποιεῖν τῷ πάσχειν διὰ τὴν πρὸς αὐτὸ σχέσιν, ὡς περὶ ἀμφοτέρων ἕνα ποιήσασθαι λόγον τὸν Ἀριστοτέλην, καὶ εἰ μὴ ὁ τῆς δεκάδος τῶν γενῶν ἀριθμὸς ἀπῄτει διαιρεῖσθαι, ᾠήθησαν ἄν τινες ὅτι εἰς μίαν τὰ δύο ἀνάγει κατηγορίαν, ἢ ὅτι τὸ ὡς γένος λαμβανόμενον ποιεῖν κατὰ τὴν καθαρῶς ποίησιν ἱστάμενον κεχώρισται τελέως τοῦ πάσχειν· καὶ γὰρ τὸ θερμαίνειν καὶ ψύχειν παρέλαβεν ὁ Ἀριστοτέλης οὐχ ὡς τὰ ὀρθὰ παρὰ τοῖς Στωϊκοῖς λεγόμενα, ἅπερ ὡς εἰς ἕτερον ῥέπουσαν ἔχει τὴν κίνησιν, ἀλλὰ κατ᾽ αὐτὴν τὴν πρωτουργὸν αἰτίαν τῆς κινήσεως ἥτις ἐν αὐτῷ τῷ εἴδει τῆς θερμότητος καὶ ψυχρότητος προϋπάρχει· οὕτω γὰρ καὶ καθαρῶς ποίησις ἔσται κεχωρισμένη πάντη τοῦ πάσχειν. ἀλλ᾽ οὐδὲ τοῦ θερμαίνεσθαι καὶ ψύχεσθαι· ταῦτά ἐστιν ἅπερ ὕπτια καλοῦσι κατὰ τὴν πρὸς τὸ θερμαῖνον σχέσιν θεωρούμενα. ἀλλὰ σημαίνεσθαι μὲν καὶ τοιαῦτά τινα ἀπὸ τῶν φωνῶν τούτων οὐκ ἂν ἀντείποιμεν, οὐ μὴν ταῦτά γε εἶναι τὰ ἐν τῷ πάσχειν ὑπὸ Ἀριστοτέλους τιθέμενα· ὡς γὰρ ἔστι καθαρὰ ποίησις ἄλλη παρὰ τὴν ῥέπουσαν εἰς τὸ πάσχον καὶ ἄμικτος πάντη πρὸς αὐτήν, οὕτως ἔστι καὶ καθαρὰ πεῖσις τὴν ἐν τῷ πάσχοντι μόνον πεῖσιν περιειληφυῖα, μήτε ἀναφορᾶς μήτε σχέσεως μήτε συζεύξεως πρὸς τὴν ποίησιν ἐφαπτομένη· ὥστε οὐδὲ ὀρθὰ οὐδὲ ὕπτια ταῦτά ἐστιν, ὡς τοῖς Στωϊκοῖς καλεῖν ἔθος... f. 5 b. ἀλλὰ διὰ τί, φασίν, οὐχ ἓν μὲν γένος τὸ κινεῖσθαι, εἴδη δὲ τούτου δύο, τὸ κινεῖν, ὅπερ ταὐτόν ἐστι τῷ ποιεῖν, καὶ τὸ ὁμωνύμως τῷ γένει κινεῖσθαι λεγόμενον, ἐν ᾧ τὸ πάσχειν· ὥστε μίαν κατηγορίαν εἶναι τοῦ κινεῖσθαι, ἀλλὰ μὴ δύο τοῦ ποιεῖν καὶ πάσχειν; λύσις δὲ τούτου καὶ πρόσθεν μὲν ἐπεδείχθη διὰ πλειόνων, καὶ νῦν δὲ λεγέσθω, ὅτι ἐν τῷ κινεῖσθαι οὐ περιέχεται τὸ ποιεῖν, εἴ τις τὰς καθαρὰς λαμβάνει ποιήσεις, μόνον δὲ τὸ πάσχειν περιείληπται. οὐ δυνατὸν οὖν γένος εἶναι τὸ κινεῖσθαι τῶν ποιήσεων, ὧν οὐδὲ ὅλως ἐν τῷ εἶναι κατηγορεῖται... περισπᾷ δὲ τοὺς πολλοὺς εἰς τὸ καὶ ἐν ταῖς ποιήσεσι κινήσεις τίθεσθαι τὸ νομίζειν ὤσεσι καὶ μοχλείαις τὰς ποιήσεις γίνεσθαι, ἀλλὰ μή, ὡς τοῖς παλαιοῖς ἐδόκει, τῇ δραστηρίῳ (f. 6.) δυνάμει καὶ τῇ ἐπιτηδειότητι τοῦ ποιοῦντος καὶ πάσχοντος· τὰ γὰρ ὠθοῦντα καὶ ἕλκοντα καὶ τὰ τοιαῦτα συμμικτά ἐστιν ἔκ τε τοῦ ποιεῖν ἔκ τε τοῦ πάσχειν. εἴτε οὖν τὴν αἰτίαν τοῦ ποιεῖν καὶ τοῦ πάσχειν εἴτε τὴν μορφὴν διακρίνοι τις ὡς ἑτέραν, οὐδὲν αὐτῆς ἔσται κοινὸν γένος. ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας δείκνυται ὅτι καὶ τὸ νοεῖσθαι καὶ τὸ ὁρᾶσθαι τῆς τοῦ ποιεῖν ἐστὶ κατηγορίας, ἀλλ᾽ οὐ τῆς τοῦ πάσχειν... f. 8. καὶ δῆλον ὅτι ὅσα ποτέ ἐστι καὶ ὁποῖα εἴδη τῶν ἀλόγων ζῴων,

λοῦνται, κατὰ δὲ τὰ σημαινόμενα πράγματα ἐν τῇ Μετὰ τὰ Φυσικὰ οἰκείως. πρῶτον δὲ ἐν τούτοις ἐμνημόνευσε τοῦ ποιεῖν καὶ πάσχειν, διότι, φασίν, κατὰ τὴν ποιότητα τὸ ποιεῖν ἐστὶ καὶ πάσχειν· εἰκότως οὖν μετὰ τὴν ποιότητα εὐθὺς προεβλήθη. καίτοι καὶ κατ' οὐσίαν ἐστὶ ποιεῖν, ὥσπερ τὸ γεννᾶν καὶ οἰκοδομεῖν, καὶ κατὰ ποσότητα, ὡς τὸ ἀριθμεῖν. καὶ πρὸς τὰ πρός τι δὲ οἰκείως ἔχει, εἴπερ τὸ ποιεῖν καὶ τὸ πάσχειν πρός τι ἐστίν. κάλλιον οὖν λέγειν ὅτι πρὸς τὰς τέσσαρας κατηγορίας οἰκείως ἔχον τὸ ποιεῖν καὶ πάσχειν, ὡς πρὸς ὕπαρξιν ἐνεργείας καὶ πάθους, εἰκότως μετὰ τὰς τέσσαρας ἔτυχε λόγου... ὁ μέντοι Ἀρχύτας καὶ τὸ ἔχειν καὶ τὸ ποῦ προέταξε τοῦ ποιεῖν καὶ πάσχειν, καὶ τὴν αἰτίαν εἰπὼν οὕτως.

ἈΜΜ. f. 123. τῶν κατηγοριῶν αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ κατὰ συνδυασμὸν καὶ συμπλοκὴν τῶν ἁπλῶν τὸ εἶναι ἔχουσι. καὶ ἁπλαῖ μέν εἰσιν αἱ εἰρημέναι τέσσαρες, ἥ τε οὐσία καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὰ πρός τι· κατὰ συμπλοκὴν δὲ τῆς οὐσίας πρὸς μίαν τούτων ἢ πρὸς ἑαυτὴν αἱ λοιπαὶ ἓξ γίνονται, οἷον ἐξ οὐσίας καὶ ποσοῦ τὸ ποῦ καὶ ποτέ, ἐξ οὐσίας καὶ ποιοῦ τὸ ποιεῖν καὶ πάσχειν, ἐξ οὐσίας καὶ τῶν πρός τι τὸ ἔχειν καὶ τὸ κεῖσθαι. ἵνα δὲ καὶ τοῦτο γνωσώμεθα, λέγω δὴ ὅτι αἱ μὲν κυρίως κατηγορίαι τέσσαρές εἰσιν αἱ εἰρημέναι, αἱ δὲ λοιπαὶ ἓξ ἐκ τῆς πρὸς ἄλληλα τούτων συμπλοκῆς γίνονται, ἐκ τῆς διαιρέσεως λάβωμεν τὰ εἰρημένα... ἀποδοὺς δὲ ὁ Ἀριστοτέλης τῶν τεσσάρων κατηγοριῶν τοὺς λόγους καὶ τοὺς ὅρους καὶ τὰ παρακολουθήματα, τῶν λοιπῶν ἓξ οὔτε τοὺς ὁρισμοὺς ἀποδέδωκεν οὔτε τὴν εἰς τὰ εἴδη διαίρεσιν, ὡς ἡμῶν δυναμένων ἐκ τῶν ῥηθέντων τούτοις ἐπιστῆσαι. δεῖ οὖν ἡμᾶς ἑκάστου τὸν ὁρισμὸν ἀποδοῦναι καὶ τὴν εἰς τὰ εἴδη διαίρεσιν.

11 b. 10. ΣΙΜΠΛ. ξ' f. 8. περὶ μέντοι τῶν λοιπῶν τριῶν, τοῦ τε ποῦ καὶ τοῦ ποτὲ καὶ τοῦ ἔχειν, διὰ τὸ προφανῆ εἶναι φησὶν οὐδὲν ἄλλο περὶ αὐτῶν ἢ ὅσα ἐν ἀρχῇ εἴρηται... ἀλλ' ἐπεὶ ταῦτα παρὰ τῷ Ἀριστοτέλει καταπεφρόνηται, καλῶς ἂν ἔχοι τὰ παρὰ Πορφυρίῳ καὶ Ἰαμβλίχῳ περὶ αὐτῶν φιλοτεχνούμενα καταμαθεῖν. τὸ δὲ ποῦ καὶ ποτέ φασιν, ὥσπερ καὶ τὰ πρός τι, μὴ εἶναι τῶν προηγουμένως ἐπὶ τῶν πραγμάτων θεωρουμένων ἀλλὰ τῶν ἐν ἄλλοις ἐπιγινομένων· τοῦ γὰρ ποσοῦ ὑποκειμένου καὶ τῶν ἐπ' αὐτῷ τόπου τε καὶ χρόνου, ἐπισυνίσταται τὸ ποῦ καὶ τὸ ποτέ, φασίν, ὥσπερ καὶ τὰ πρός τι μὴ εἶναι. οὔτε δὲ τὸ ποῦ ὁ τόπος ἐστὶν οὔτε τὸ ποτὲ ὁ χρόνος, ἀλλὰ προϋπάρχοντος τόπου καὶ χρόνου, εἶτα ἑτέρου ἐν τούτῳ ὄντος, ποῦ εἶναι λέγεται τὸ ἐν τόπῳ ὂν καὶ ποτὲ τὸ ἐν χρόνῳ, ὡς Σωκράτης ἐν Λυκείῳ ἦν χθές. δοκεῖ δὲ μονοειδὲς τὸ εἶναί που καὶ μὴ ἐπιδέχεσθαι διαφοράς... f. 8 b. πάλιν δὲ ἀντιλέγουσί τινες, τὸ ποιεῖν καὶ τὸ πάσχειν πρὸς ἄλληλα λέγεσθαι βουλόμενοι εἶναι καὶ μὴ εἶναι πρός τι, ἀλλὰ μὴ ἰδίας τινὰς κατηγορίας, ὡς ὁ Ἀριστοτέλης φησίν. οὐκ ὀρθῶς δὲ λέγουσι... ο' f. 1. ἐγκαλοῦσι δέ τινες τῷ Ἀριστοτέλει ὡς ὀλίγα εἰρηκότι περὶ τῶν ἓξ κατηγοριῶν, καὶ μήτε τὴν φύσιν αὐτῶν ἥτις ἐστὶν ὑπογράψαντι, μήτε εἰς τὰς διαφορὰς διελόντι, καίτοι δυνατὸν ὄν, ὡς παρ' ἡμῶν εἴρηται, τὸ μὲν ποῦ εἰς τὰς τοῦ τόπου διαφορὰς διελεῖν, τὸ δὲ ποτὲ εἰς τὰς τοῦ χρόνου. καὶ ὅτι μὲν ἐλλιπῶς εἴρηται, πρόδηλον καὶ ἐξ ὧν Ἀρχύτας περὶ αὐτῶν μακρότερον διδάσκει, τὰ ἴδια καὶ τούτων ἕκαστα, ὥσπερ τῶν προτέρων, παραδιδούς. ὑπὲρ δὲ Ἀριστοτέλους ἀπολογοῦνται λέγοντες τὰ μὲν ἐν ταῖς κοιναῖς ἐννοίαις μὴ πάνυ ὑπειλημμένα ταῦτα αὐτὸν διδάξαι δι' ἀκριβείας, ὅσα δὲ ὑπείληπται καὶ φανερὰ ἦν, ταῦτα παρῆκε διὰ τὸ φανερὰ εἶναι. δηλοῖ δὲ καὶ αὐτὸς λέγων "διὰ τὸ προφανῆ εἶναι οὐδὲν ὑπὲρ αὐτῶν λέγεται ἢ ὅσα ἐν ἀρχῇ ἐρρέθη."... f. 1 b. ἀποροῦσι δέ τινες καὶ διὰ τί οὐ συνῆψε τὸν περὶ τοῦ ἔχειν λόγον ταῖς ἁπλαῖς κατηγορίαις ἀλλὰ μεταξὺ περὶ ἀντικειμένων καὶ προτέρου καὶ ὑστέρου καὶ τοῦ ἅμα καὶ κινήσεως καὶ ἄλλων τινῶν μνημονεύσας οὕτως τὴν τοῦ ἔχειν διαίρεσιν ἐποιήσατο; ἀλλὰ καὶ λύουσιν ἕτεροι καλῶς, ὅτι τὸ ἔχειν τῷ ποῦ καὶ ποτὲ συντάξας ὡς περὶ προφανῶν εἶπε μηδὲν ἄλλο δεῖν περὶ αὐτοῦ λέγειν... f. 2. ἀλλ' εἰ τὸ ποιεῖν τὸ ἐνεργεῖν παρίστησι, διὰ τί τὸ γένος οὐκ ἐνέργειαν μᾶλλον τίθεμεν ἀλλὰ τὸ ποιεῖν; εἰ δὲ καὶ ἡ ἐνέργεια διὰ τοῦτο οἰκειοτέρα τῆς ποιήσεως, διότι τὸ κατὰ κίνησιν ἐμφαίνει ἀλλ' οὐ τὸ μετὰ τὴν κίνησιν, ὥσπερ ἡ ποίησις, ἔδει κίνησιν θέσθαι ἓν γένος ἐν ταῖς κατηγορίαις· ὥσπερ γὰρ τὰ ἄλλα περὶ τὴν οὐσίαν, οὕτω καὶ ἡ κίνησις ἐν ᾗ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐστίν· ἄμφω γὰρ ἐν κινήσει. ἀλλ' οἱ ταῦτα λέγοντες, ὥσπερ Πλωτῖνος, οὐ ταῖς Ἀριστοτέλους ὑποθέσεσι προσχρῶνται· ἐκεῖνος γὰρ τὸ πρώτως ποιοῦν καὶ κινοῦν ἀκίνητον εἶναί φησιν· διὰ τοῦτο καὶ τὸ ποιεῖν παρ' αὐτῷ κεχώρισται τοῦ πάσχειν, καὶ οὐχ ὑφ' ἓν ἄμφω τέτακται γένος· ὥστε οὔτε εἰς ἓν ἄμφω ταῦτα ἀνάγειν χρὴ ἀλλὰ δύο ἀφορίζεσθαι, ὥσπερ καὶ Ἀριστοτέλης αὐτὰ χωρὶς διέστησεν. οὕτως μὲν οὖν ὁ Βοηθὸς καὶ Ἰάμβλιχος πρὸς τὴν ἀπορίαν ἐνέστησαν τὴν ἓν γένος ἀξιοῦσαν τὴν κίνησιν τοῦ τε ποιεῖν καὶ τοῦ πάσχειν προϋποτίθεσθαι. Πορφύριος δέ φησιν "ἔν τισι δοκεῖ τὴν κίνησιν ἐπί τε τοῦ ποιεῖν καὶ τοῦ πάσχειν μίαν καὶ συνεχῆ εἶναι, ὡς ἐπὶ τῶν κατὰ πληγὴν κινήσεων, οἷον ῥίψεως καὶ ὤσεως· οἷα γὰρ ἡ τοῦ ῥιπτοῦντος τὸ ξύλον κίνησις, τοιαύτη καὶ ἡ τοῦ ῥιπτουμένου, καὶ οἷα ἡ ὦσις τοῦ ὠθοῦντος, τοιαύτη καὶ ἡ τοῦ ὠθουμένου· διὸ καὶ μία καὶ συνεχὴς ἑκατέρα· τὸ δὲ εἶναι οὐ τὸ αὐτὸ ἔχει πρὸς τὸ πλῆττον καὶ τὸ πληττόμενον, ἀλλὰ τοῦ μὲν πληττομένου πάθος γίνεται, τοῦ δὲ πλήττοντος ποίησις."... λέγω δὴ τῶν κατὰ πληγὴν καὶ ὦσιν οὐδὲ τοῖς Στωϊκοῖς συγχωρεῖν περὶ οὗ διατελοῦμεν αὐτοῖς διαφερόμενοι, ὡς τὸ ποιοῦν πελάσει τινὶ ποιεῖ καὶ ἄψει· βέλτιον γὰρ λέγειν ὡς οὐ πάντα πελάσει καὶ ἄψει ποιεῖ, ἀλλὰ κατὰ τὴν ἐπιτηδειότητα τοῦ ποιοῦντος πρὸς τὸ πάσχον γίνεται ἡ ποίησις, καὶ ὡς πολλὰ ἀναφῶς δρᾷ, ἅπερ ἅπαντες ἐπιστάμεθα... f. 2 b. οὐ δεῖ οὖν συγχωρεῖν ὡς ἡ κίνησις περιέχει τὰς ποιήσεις καὶ πείσεις καὶ συνάπτει αὐτὰς πρὸς ἀλλήλας κατὰ μίαν συνέχειαν, οὐδὲ ὅτι κοινωνεῖ τῆς οὐσίας πρὸς ἀμφοτέρας, ἢ ὅτι μερίζεται εἰς αὐτάς, καὶ τὸ μὲν ἀποφαίνει ποίησιν τῶν ἐν αὐτῇ τὸ δὲ πάθος· κατὰ πάντας γὰρ τούτους τοὺς τρόπους κοινόν τι γίνεται ἡ κίνησις τοῦ ποιεῖν καὶ πάσχειν· κίνησις δὲ τοῦ ποιοῦντος καὶ πάσχοντος κεχώρισται, ὡς μέση οὖσα ἀμφοτέρων καὶ ἀπὸ μὲν τοῦ ποιοῦντος προϊοῦσα, εἰς δὲ τὸ πάσχον ἐναπεργαζομένη τὸ πάθος. ὡς οὖν τὸ κινοῦν καὶ κινούμενον δύο ὑπάρχει, οὕτως καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον διχῇ διώρισται. ἀλλὰ ταῦτα μὲν ἀρκείτω πρὸς Πορφύριον ἤτοι τὰς ὑπ' αὐτοῦ παρατεθείσας δόξας ἀντειρημένα· ὁ δὲ μέγας Πλωτῖνος παραιτεῖσθαί φησι τὸν Ἀριστοτέλην τὴν κίνησιν ἐν γένει τιθέναι

αἱ μετοχαί, καὶ οἱ μὲν μᾶλλον μετέχουσιν οἱ δὲ ἧττον, καὶ διὰ τοῦτο καὶ αἱ ἕξεις αὐταὶ νομίζονται τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεσθαι, καίτοι τῶν ποιῶν ὄντων τῶν ἐπιδεχομένων. ταύτης δ' ἔοικε τῆς δόξης ὁ Ἀριστοτέλης μνημονεύειν ὅταν λέγῃ "δικαιοσύνη γὰρ δικαιοσύνης εἰ λέγοιτο μᾶλλον, ἀπορήσειεν ἄν τις," καὶ ἐφεξῆς δέ "δικαιοσύνη μὲν δικαιοσύνης οὐ πάνυ μᾶλλον καὶ ἧττον λέγεται." τὰ δὲ κατ' αὐτὰς λεγόμενα ποιὰ ἀναμφισβητήτως ἐπιδέχεσθαι τὸ μᾶλλόν φησιν· γραμματικώτερον γὰρ ἕτερον ἑτέρου λέγεσθαι μᾶλλον καὶ δικαιότερον καὶ ὑγιεινότερον. ὅταν δὲ λέγῃ "ὡσαύτως δὲ καὶ γραμματικὴν καὶ τὰς ἄλλας διαθέσεις (p. 11 1)," κοινότερον τὰς ἕξεις διαθέσεις ἐκάλεσεν, ὥσπερ καὶ ἐν τοῖς πρὸ τούτων ποιὰ τὰς ποιότητας. τρίτη δὲ αἵρεσις ἡ τῶν Στωϊκῶν, οἵτινες διελόμενοι χωρὶς τὰς ἀρετὰς ἀπὸ τῶν μέσων τεχνῶν, ταύτας οὔτε ἐπιτείνεσθαι λέγουσιν οὔτε ἀνίεσθαι, τὰς δὲ μέσας τέχνας καὶ ἐπίτασιν καὶ ἄνεσιν δέχεσθαί φασιν. τῶν οὖν ἕξεων καὶ τῶν ποιῶν κατὰ τούτους τὰ μὲν οὔτε ἐπιτείνεται οὔτε ἀνίεται, τὰ δὲ ἀμφότερα ἐπιδέχεται. τετάρτη δέ ἐστι δόξα ἥτις τὰς μὲν ἀΰλους καὶ καθ' αὑτὰς ποιότητας ἔλεγε μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, τὰς δὲ ἐνύλους καὶ τοὺς κατ' αὐτὰς ποιοὺς ἐπιδέχεσθαι. διαφέρει δὲ αὕτη τῆς προτέρας ἡ δόξα, διότι ἐκείνη οὐδεμίαν ἀντιδιαίρεσιν τῶν ἀΰλων ἐποιεῖτο πρὸς τὰς ἐνύλους. ἐφιστάνει δὲ ὁ Πορφύριος ταύτῃ τῇ δόξῃ ὡς οὐ καλῶς ἀΰλους ποιότητας τιθεμένῃ· ἐκεῖναι γὰρ οὐσίαι εἰσί, φησί, καὶ διὰ τοῦτο οὔτε ἄνεσιν οὔτε ἐπίτασιν ἐπιδέχονται, ὥσπερ οὐδὲ ἄλλαι οὐσίαι... f. 4 b. πρὸς μὲν τοὺς ἀπὸ τῆς Στοᾶς τὸ μὲν σπουδαῖον γένος βέβαιον λέγοντας, τὸ δὲ μέσον ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχεσθαι, ἀπορῆσαι ἄξιον εἰ μὴ ὁ ἔχων τὴν ἀρετὴν ἐλλείπων δὲ κατὰ συνάσκησιν ἢ τὴν φύσιν ἧττον ἂν εἴη σπουδαῖος. ἴσως δὲ ἐροῦσι τὴν ἀρετὴν οὖσαν ἐπιστήμην ἐξ ἑαυτῆς ἔχειν τὸ πάγιον... τῶν δὲ ἄλλων ὅ τε τῶν Στωϊκῶν λόγος ἀτελὴς δοκεῖ, μήτε τῶν ἀρετῶν τὸ ἀτελὲς μήτε τῶν ἄλλων τεχνῶν τὸ τέλειον θεασάμενος· καὶ γὰρ εἰ μὲν ἐν λόγῳ μόνῳ ἐθεωρεῖτο ἡ ἀρετή, ὁ τὸν λόγον ἔχων καὶ τὴν ἐπιστήμην οὐκ ἂν ἐπιτείνοιτο (εἷς γὰρ ὁ ἀληθὴς λόγος, ἀληθὴς δὲ ἀληθοῦς λόγος μᾶλλον οὐκ ἔστιν)· εἰ δὲ τὴν ἐπιστήμην ἔχων ἐλλείποι κατὰ τὴν συνάσκησιν ἢ τὴν φύσιν, ἧττον ἂν εἴη δίκαιος· ὥστε ἡ τελεία ἕξις οὐκ ἐκ μόνων τῶν θεωρημάτων συνέστηκεν, ἀλλὰ καὶ ἐκ φύσεως καὶ (f. 5) ἔθους εἴη ἂν ἄλλος ἄλλου δικαιότερος· καὶ ἐπὶ τῆσδε ὁ μὲν λόγος εἷς καὶ ὁ αὐτὸς ὁ συμπληρούμενος ὑπὸ τῶν θεωρημάτων, ἡ δὲ συνάσκησις καθ' ἣν ὁ ἀτελὴς γραμματικὸς θεωρεῖται, ποιεῖ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐν τῷ διαφόρῳ τρόπῳ τῆς μετοχῆς τοῦ αὐτοῦ λόγου.

11a 5. ἈΜΜ. f. 119 b. ὅτι δὲ οὐκ ἐπὶ πάσης τῆς κατηγορίας ἁρμόσει τὸ λέγειν μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι, δῆλον ἐξ ὧν τινὲς περὶ ταῦτα ἀποροῦσι, μὴ βουλόμενοι δικαιοσύνην δικαιοσύνης εἶναι μᾶλλον καὶ ἧττον, καὶ ὑγείαν ὑγείας καὶ τὰ τοιαῦτα. ἀλλ' ὁ μὲν Ἀριστοτέλης οὐ διήρθρωσεν ἡμῖν τὸν περὶ τούτων λόγον, ἡμεῖς δὲ περὶ αὐτῶν ταῦτά φαμεν.

11a 7. ΣΙΜΠΛ. ξ' f. 3 b. ἀποδείκνυσι δὲ τὸ τὰ σχήματα μὴ ἐπιδέχεσθαι, καθολικὸν θεώρημα προλαβών, ποῖα ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ ποῖα οὔ· ὅσα μὲν γὰρ ἐπιδέχεται τὸν τοῦ προκειμένου λόγον, καθὸ μᾶλλον ἢ ἧττον λέγεται, ταῦτα ῥηθήσεται μᾶλλον· ἐὰν δὲ μὴ ἐπιδέχηται, οὐ ῥηθήσεται τὸ ἕτερον τοῦ ἑτέρου μᾶλλον. οὐκ ἐπιδέχεται μὲν οὖν τὸ τρίγωνον τὸν τοῦ κύκλου λόγον, καὶ διὰ τοῦτο οὐκ ἂν εἴη τὸ τρίγωνον τοῦ τετραγώνου μᾶλλον κύκλος.

11a 15. f. 6. ἀλλὰ πῶς ἴδιον τῆς ποιότητος τὸ ὅμοιον καὶ ἀνόμοιον εἶναί φησιν; ἢ ὅτι, ὡς εἴρηται, πολλάκις ἐπεισακτός ἐστιν ἡ ποιότης, καὶ διὰ τοῦτο οἷον παράχρωσιν ποιεῖ ἡ κατ' αὐτὴν κοινωνία. ἕκαστον γὰρ τῶν γενῶν ἰδίαν ἔχει τῆς κοινωνίας τὴν φύσιν· καὶ τὰ μὲν κατ' οὐσίαν κοινωνοῦντα ταὐτότητι συνδέδεται, διότι τὸ αὐτὸ γίνεται, τὸ δὲ κατὰ ποσότητα ἴσον, τὸ δὲ κατὰ ποιότητα ὅμοιον· ὡς γὰρ ἐπεισοδιώδης ἡ ποιότης οὐκ ἔστιν ὅλον καὶ πᾶν, ὅπερ ἐστὶ τὸ δεχόμενον, ἀλλὰ περὶ τὸ αὐτὸ ἐγγίνεται χαρακτήρ τις περὶ τὴν οὐσίαν, ὅπερ τὴν ὁμοιότητα ποιεῖ· καὶ γὰρ ὁμοιότης ἐστὶν ἡ τοῦ αὐτοῦ εἴδους ἐπεισοδιώδης μέθεξις, ὡς δέδεικται ἐν τῷ Παρμενίδῃ, καὶ ἀνομοιότης ἡ τοῦ ἑτέρου.

11a 20. λύει οὖν τὴν ἀπορίαν ταύτην διχῶς, καθ' ἕνα μὲν τρόπον δεικνὺς ἐπὶ πάντων τῶν τοιούτων τὰ μὲν γένη πρός τι λεγόμενα, οἷον τὴν ἐπιστήμην τοῦ ἐπιστητοῦ, τὰ δὲ εἴδη καὶ τὰ καθ' ἕκαστον οὐκέτι τῶν πρός τι... f. 6 b. ἕκαστος γὰρ ἀπὸ τῆς καθ' ἕκαστα ποιότητος τῆς οἰκείας λέγεται ποιὸς καὶ οὐκ ἀπὸ τῆς καθ' ὅλου, οἷον γραμματικὸς μὲν ἀπὸ γραμματικῆς, Ἀρίσταρχος δὲ γραμματικὸς ἀπὸ τῆς Ἀριστάρχου γραμματικῆς καὶ οὐκ ἀπὸ τῆς Ζηνοδότου. ἐπεὶ οὖν ἀπὸ τῶν καθ' ἕκαστα ποιοὶ λέγονται, οὐκ ἂν εἶεν τῶν πρός τι οἱ καθ' ἕκαστα· οὐ γὰρ λέγεται ἡ γραμματικὴ Ἀριστάρχου ὡς πρός τι, ἐπεὶ καὶ ἀντιστρέψει καὶ ῥηθήσεται Ἀρίσταρχος γραμματικῆς Ἀρίσταρχος, ὅπερ ἄτοπον. δευτέραν δὲ λύσιν ἐπάγει, ὅτι οὐδὲν κωλύει τὸ αὐτὸ ἐν δυσὶν εἶναι κατηγορίαις, ὅταν μὴ κατ' αὐτὸ ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο σημαινόμενον γίνηται ἡ ἀναφορά... ὁ μέντοι Ἀφροδισιεὺς Ἀλέξανδρος ἐπὶ μόνων τῶν πρός τι συμβαίνειν οἴεται τοῦτο τὸ τινὰ τῶν πρός τι καὶ ὑπ' ἄλλην κατηγορίαν ἀνάγεσθαι, διότι τὴν ἀρχὴν τὸ πρός τι οὐδὲ εἶχεν οἰκεῖον ὑποκείμενον, ἀλλ' ἐπ' ἄλλης κατηγορίας τὸ εἶναι εἶχεν. οὐ μὴν ἔστι γε ἀληθὲς τοῦτο· καὶ γὰρ ἐπὶ πασῶν τῶν κατηγοριῶν τοῦτο θεωρεῖται· ἐπεὶ γὰρ οὐχ ἕν τί ἐστιν οὐδὲ ἁπλοῦν ἕκαστον τῶν λαμβανομένων, ἀλλ' ἐν συνθέτῳ φύσει συντέτακται, οὐδὲν θαυμαστὸν εἰ ἕκαστον κατ' ἄλλο μέν τι τῶν ἐν ἑαυτῷ ὑφ' ἕτερόν τι γένος ὑποτάττεται, κατ' ἄλλο δὲ ὑφ' ἕτερον.

11b 1. f. 7. τῶν δέκα γενῶν τὰ μὲν τέσσαρα περὶ ὧν ἤδη διῆλθεν, ὁλικώτερα ὄντα καὶ πλείονα θεωρίαν ἐπιδεχόμενα, πολλῶν ἠξίωται λόγων ὑπὸ τοῦ Ἀριστοτέλους· περὶ δὲ τῶν λοιπῶν λέξει εἰ καὶ ὑφειμένως. ἀλλὰ δυνατὸν ἦν καὶ περὶ ἐκείνων πολλοὺς εἰπεῖν καὶ καλοὺς λόγους, ἀρκεῖται δέ, ὡς ἐν εἰσαγωγῇ, τῷ τὴν ἔννοιαν αὐτῶν παραστῆσαι, ἵνα ἔχωσιν οἱ νέοι τὰ ἁπλᾶ εἰς τὰ οἰκεῖα γένη ἀνάγοντες οἰκείως ποιεῖσθαι τὰς κατηγορίας, ὅπερ ἐν ἀρχῇ διὰ τῶν παραδειγμάτων ἐποίησεν. ἰδίᾳ μέντοι περὶ ἑκάστου τούτων ἀκριβεῖς ἐποιήσατο λόγους, περὶ μὲν τοῦ ποιεῖν καὶ πάσχειν ἐν τῇ περὶ Γενέσεως καὶ Φθορᾶς, περὶ δὲ τοῦ ποτὲ καὶ ποῦ ἐν τῇ Φυσικῇ Ἀκροάσει (f. 7 b), ἔνθα καὶ περὶ χρόνου καὶ τόπου τελέως ἐδίδαξε, περὶ πάντων δὲ ἐν τῇ Μετὰ τὰ Φυσικὰ τοὺς τελευταίους πεποίηται λόγους· αἱ γὰρ ἀρχαὶ κατὰ μὲν τὴν σημαντικὴν αὐτῶν λέξιν ἐν τῇ λογικῇ πραγματείᾳ δη-

ἐπιστάσεις τοῦ Ἰαμβλίχου περὶ τοῦ τετάρτου εἴδους τῆς ποιότητος πρὸς τὸ σαφέστερον ἀναγράψαι... f. 7. ἐπεὶ καὶ ταῦτα περὶ τοῦ τετάρτου καὶ τελευταίου γένους τῆς ποιότητος εἴρηται, καλῶς ἂν ἔχοι τοὺς ἐπιχειρήσαντας ἄλλως διελεῖν τὰ γένη τῆς ποιότητος ἱστορῆσαι, καὶ κατά τι τοῦ ἀκριβοῦς παραλλάττουσιν, ἐπιστῆσαι. Πλωτῖνος μὲν οὖν διαιρεῖ τὰς μὲν σώματος ποιότητας τὰς δὲ ψυχῆς λέγων, οὐ ποιότητος κατ' ἀλήθειαν ποιούμενος οὕτως διαίρεσιν, ἀλλὰ διάστασιν μόνην παραδεικνὺς τῶν ἐν οἷς ἐστὶν ἡ ποιότης... f. 8. καθ' ὅλου δὲ πᾶσαι αἱ τοιαῦται διαιρέσεις ἀνοίκειοί εἰσιν ὡς κατὰ τὸ πρός τι μᾶλλον ἀλλ' οὐ καθὸ ποιότητες διαιρούμεναι. μετὰ δὲ τὸν μέγαν Πλωτῖνον σκεπτέον καὶ ἣν Ἀριστοτέλης ἐν ἄλλοις ἐκτίθεται διαίρεσιν· δύο γὰρ δυνάμεις καὶ οἱονεὶ ἀρχὰς θείς, τὴν μὲν ποιητικὴν τὴν δὲ παθητικήν, τούτων τὰς μὲν ἐν ἀλόγοις ἀλόγους τίθησι τὰς δὲ ἐν λογικοῖς λογικάς, οἷον τὴν ἐν τῷ θερμῷ τοῦ θερμᾶναι ἄλογον, λογικὴν δὲ τὴν ἐν τῇ ἰατρικῇ. διὸ καὶ τὴν μὲν ἑνὸς εἶναι μόνου ποιητικήν, τὴν ἄλογον· οὐκέτι γὰρ καὶ τοῦ ψῦξαι ἔχει ἡ θερμότης τὴν δύναμιν. αἱ δὲ λογικαὶ τῶν ἐναντίων εἰσὶ παρεκτικαί τε καὶ γνωστικαί· αἴτιον δὲ ὅτι πᾶς λόγος δηλοῖ τό τε πρᾶγμα καὶ τὴν στέρησιν αὐτοῦ, πλὴν οὐχ ὁμοίως, οὐδὲ ἀμφοτέρων ἐφιέμενος, ἀλλὰ τοῦ μὲν καθ' ἑαυτό, τοῦ κρείττονος, τοῦ δὲ κατὰ συμβεβηκός, τοῦ χείρονος, ὥσπερ ὑγείας καὶ νόσου ἡ ἰατρική. ἡ δὲ διαίρεσις αὕτη συνομολογεῖται μὲν Ἀριστοτέλους εἶναι, οὐ μὴν ἐπὶ τῶν πρώτων γενῶν τῆς ποιότητος παρειλημμένη, ἴσως δὲ οὐδὲ ἐπὶ ποιότητος ὅλως. καὶ δεῖ τὰς παρὰ τοῖς παλαιοῖς διαιρέσεις μὴ μεταφέρειν ἀπ' ἄλλου γένους εἰς ἄλλο, ἀλλ' ἐπὶ τούτων ἐφ' ὧν εἰσὶ παραδεδομέναι φυλάττειν αὐτάς... f. 8 b. οἱ Στωϊκοὶ δὲ ποιότητας ποιοτήτων ποιοῦσιν ἑαυτῶν ποιοῦντες ἐκτὰς ἕξεις· οὐ δέονται γὰρ οὐκέτι τῶν τὰς διαφορὰς παρεχουσῶν· οὔτε γὰρ ἑαυταῖς αἱ ποιότητες ἀλλήλων διαφέρουσιν. οἱ δὲ ἀπὸ τῆς Ἀκαδημίας διαφορῶν διαφορὰς ζητοῦντες ἐπ' ἄπειρον ἐξέπεσον. ἐπιστῆσαι δὲ καὶ τοῦτο χρή, εἰ πάσῃ ποιότης δύναται γενέσθαι οὐσιώδης διαφορά.

10 b 12. f. 8 b. καὶ πρῶτον τὴν ἐναντιότητα προχειρίζεται ὡς ὑπάρχουσαν τῷ ποιῷ, "ὑπάρχει δὲ καὶ ἐναντιότης" εἰπών, καὶ τὸν καί σύνδεσμον προσθεὶς διότι καὶ ἄλλα ὑπάρχοντα ἐπάξει, ὥσπερ τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ τὸ ὅμοιον. "κατὰ τὸ ποιόν" δὲ εἶπεν ἀντὶ τοῦ κατὰ τὴν ποιότητα· δηλοῖ δὲ τὰ ἐπαχθέντα ὑποδείγματα.

ΔΑΒΙΔ. ὁ δὲ Ἀρχύτας καθολικώτερον τὸ ἴδιον προάγων φησὶν ὅτι ὑπάρχει τῇ ποιότητι ἴδιον τὸ ἐπιδέχεσθαι τὰ ἐναντία ἢ στέρησιν. καὶ τούτοις συνᾴδει ὁ Ἀριστοτέλης· προϊὼν γὰρ ἀμφιβάλλει εἰ ἐναντία ἡ δικαιοσύνη τῇ ἀδικίᾳ.

10 b 15. ΣΙΜΠΛ. ξ' f. 1. οὔτε δὲ πάσῃ τῇ ποιότητι ὑπάρχει ἡ ἐναντιότης, οὔτε γὰρ τοῖς κατὰ τὸ σχῆμα ποιοῖς, οἷον τῷ τριγώνῳ καὶ τετραγώνῳ, οὔτε τοῖς μέσοις χρώμασιν, οἷον πυρρῷ ἢ ὠχρῷ· δῆλον δὲ ὅτι οὐδὲ ταῖς κατὰ τὰς ἄλλας αἰσθήσεις ἐν μεσότησιν, οἷον γλυκερῷ ἢ τῇ τῆς μέσης χορδῆς ἀπηχήσει. καὶ τοῦτο εἰκότως, εἴπερ ἐναντία ἐστὶ τὰ πλεῖστον ἀλλήλων διεστηκότα.

ΔΑΒΙΔ. καὶ μή τις νομίσῃ ὅτι πάντα τὰ ἐναντία ὑπὸ ἓν γένος ἀνάγονται· διορθοῦται γὰρ τοῦτο ὁ Ἀριστοτέλης ἐκ τῷ περὶ ἀντικειμένων λόγῳ (c. 10), ὅτι τὰ ἐναντία τριττά· ἢ γὰρ ὑπὸ ἓν γένος ἀνάγονται, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν ὑπὸ τὸ χρῶμα, ἢ ὑπὸ ἀντιδιῃρημένα, ὡς δικαιοσύνη καὶ ἀδικία ὑπὸ ἀρετὴν καὶ κακίαν, ἢ οὐδὲ ὅλως ἀνάγονται ὑπὸ τὸ γένος τῷ αὐτὰ γένος εἶναι, ὡς τὸ ἀγαθὸν καὶ τὸ κακόν· διὰ γὰρ τῶν δέκα διήκουσι κατηγοριῶν.

ΠΟΡΦ. f. 49. ἦσάν τινες οἳ τῇ δικαιοσύνῃ οὐκ ἐδίδοσαν ἐναντίαν εἶναι τὴν ἀδικίαν, ἀλλὰ τὴν μὲν ἐναντίαν ἕξιν ἀνώνυμον εἶναι, 10 b 19.
τὴν δὲ ἀδικίαν στέρησιν εἶναι καὶ οὐχ ἕξιν· τὰς γὰρ ἕξεις καταφατικῶς δεῖν προσαγορεύειν, τὰς δὲ στερήσεις ἀρνητικῶς.

ΣΙΜΠΛ. ξ' f. 1. ἀλλὰ διὰ τί εἶπεν "εἰ ἔστιν ἡ δικαιοσύνη τῇ ἀδικίᾳ ἐναντίον;" διὰ τί γὰρ τὸ εἰ τὸ ὑποθετικόν; ἢ ὅτι τινὲς οὐ συνεχώρουν τῇ δικαιοσύνῃ ἐναντίον εἶναι τὴν ἀδικίαν, ἀλλὰ τὴν μὲν ἐναντίαν ἕξιν ἀνώνυμον ἔλεγον, τὴν δὲ ἀδικίαν στέρησιν· τὰς γὰρ ἕξεις καταφατικῶς δεῖν προσαγορεύειν καὶ τὰς στερήσεις ἀρνητικῶς· οὐ καλῶς τοῦτο λέγοντες· καὶ γὰρ ἕξεις ἀποφατικῶς προσαγορεύομεν, ὡς τὴν τῇ σωφροσύνῃ ἀντικειμένην ἀκολασίαν, καὶ στερήσεις καταφατικῶς, ὡς τὴν τυφλότητα καὶ χωλότητα. καὶ τοῦτο μὲν ἀληθές· μήποτε δὲ διὰ τοῦτο εἶπεν ὁ Ἀριστοτέλης "εἰ ἔστιν ἡ δικαιοσύνη τῇ ἀδικίᾳ ἐναντίον," ὅτι οὔπω τίνα ἐστὶ τὰ ἐναντία παραδέδωκε, καὶ ὅτι κατ' ἀλήθειαν οὐχ ὡς ἐναντία ταῦτα ἀντίκειται ἀλλ' ὡς ἕξις καὶ στέρησις. διὸ καὶ ἀκριβέστερον εἶπεν Ἀρχύτας... f. 1 b. τί οὖν, εἴ τινες πρῶτα γένη ἐναντία τίθενται, ὡς τὸ ταὐτὸν καὶ θάτερον, ἢ τὰς δύο συστοιχίας, ὡς οἱ Πυθαγόρειοι; ἢ οὐδὲ ἐκεῖνα πρῶτα· οὐ γὰρ δυνατὸν οὐδὲ τοῖς Πυθαγορείοις ἀρέσκον τὸ πολλὰ εἶναι τὰ πρῶτα... καὶ αὐτὸ δὲ τοῦτο ζητήσεως ἄξιον, διὰ τί τῇ ποιότητι ὅλως ὑπάρχει τἀναντία, περὶ οὐσίαν μὴ θεωρούμενα; καὶ ῥητέον, οἶμαι, ὅτι τἀναντία συνυπάρχειν ἀλλήλοις ἀδυνατεῖ. γίνεσθαι οὖν αὐτὰ καὶ ἀπογίνεσθαι ἀνάγκη, καὶ διὰ τοῦτο ἐν μὲν τῇ οὐσίᾳ οὐδαμῶς θεωρεῖται, ἐν δὲ τῇ ποιότητι μάλιστα ὡς ἐπεισοδιώδει... f. 2. ἀλλὰ διὰ τί τὰ μεταξὺ οὔτε ἀλλήλοις ἐστὶν ἐναντία οὔτε τοῖς ἄκροις; ὅτι ἔσται ἑνὶ πλείονα ἀντικείμενα καὶ οὐκέτι ἔσται ἓν ἑνὶ ἐναντίον, ἐὰν ᾖ καὶ τὰ μεταξὺ ἐναντία.

f. 3. κατασκευάζει πάλιν ἐκ τῆς ἐπαγωγῆς τὸ προκείμενον, 10 b 27.
τὸ μὲν λευκὸν τῶν σωματικῶν παράδειγμα, τὸ δὲ δίκαιον τῶν ψυχικῶν προτιθείς· ἑκάτερον γὰρ τούτων πρὸς ἄλλα τε ὁμοειδῆ συγκρινόμενον καὶ πρὸς ἑαυτὸ λέγεται ἐπίτασιν λαμβάνειν καὶ ἄνεσιν· χιὼν γὰρ λευκοτέρα γάλακτος ἂν ῥηθείη, καὶ τὸ ἐν τῷ σώματι τῶν ἀνθρώπων λευκὸν ἢ τὸ ἐν ταῖς ψυχαῖς δίκαιον καὶ προϊόντος τοῦ χρόνου αὐτὸ πρὸς ἑαυτὸ ἐπίτασιν καὶ ἄνεσιν λαμβάνει... f. 3 b. τέσσαρες δέ εἰσιν αἱρέσεις περὶ τῆς ἐπιτάσεως καὶ ἀνέσεως τῶν τε ποιοτήτων καὶ τῶν ποιῶν· καὶ γὰρ οἱ μὲν καὶ τὰς ποιότητας πάσας καὶ τὰ ποιὰ δέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον ἀποφαίνονται, ὥσπερ Πλωτίνῳ καὶ ἄλλοις δοκεῖ Πλατωνικοῖς, διότι πᾶν ἔνυλον ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τῆς ὕλης τὸ μᾶλλον ἐχούσης καὶ τὸ ἧττον διὰ τὴν σύμφυτον αὐτῆς ἀπειρίαν. ἄλλη δέ ἐστι δόξα ὑπεναντία ταύτῃ, ἥτις ἐν μὲν ταῖς ποιότησιν αὐταῖς, οἷον ἐν δικαιοσύνῃ καὶ λευκότητι, οὐδαμῶς εἶναι τὸ μᾶλλον καὶ τὸ ἧττόν φησιν· ἑκάστην γὰρ ὅλον τι εἶναι καὶ καθ' ἕνα λόγον ἑστάναι, καὶ διὰ τοῦτο μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· ἐν δὲ τοῖς μετέχουσιν εἶναι ἐπίτασιν καὶ ἄνεσιν· πλάτος γὰρ ἔχουσιν

ἀπὸ τῆς δίκης παρωνόμασται, κατὰ δὲ τὰ πράγματα ἀπὸ τῆς δικαιοσύνης, ὁ δὲ δικαιόσυνος κατὰ μὲν τὴν λέξιν ἀπὸ τῆς δικαιοσύνης ὥσπερ καὶ ὁ εὐφρόσυνος ἀπὸ τῆς εὐφροσύνης, κατὰ δὲ τὰ πράγματα οὐκ ἔχει παράθεσιν. διὰ ταῦτα οὖν πάντα προσέθηκε τὸ "ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν." ἀνήγαγε δὲ ταῦτα ἢ εἰς τὸ μὴ κεῖσθαι ταῖς ποιότησιν ὀνόματα, ὡς ἐπὶ τῶν φυσικῶν δυνάμεων, ἢ εἰς τὴν συνήθειαν μὴ ἐχούσας ἐν χρήσει τὸ ἕτερον, ὡς ἐπὶ τῆς ἀρετῆς καὶ ἐναρέτου. καὶ δῆλον ὅτι ἐπ' ὀλίγον μὲν ταῦτα συμπίπτει, τὰ δὲ πολλὰ παρωνόμασται ταῖς ποιότησιν ἀφ' ὧν ἔχει τὸ ποιὰ εἶναι.

10a 11. ΣΙΜΠΛ. v' f. 3 b. τὸ σχῆμα οἱ Στωϊκοὶ τὴν τάσιν παρέχεσθαι λέγουσιν, ὥσπερ καὶ τὴν μεταξὺ τῶν σημείων διάστασιν· διὸ καὶ εὐθεῖαν ὁρίζονται γραμμὴν τὴν εἰς ἄκρον τεταμένην. ἀλλ' οὕτως ἀναιρεθήσεται ἡ μαθηματικὴ οὐσία, ἥτις ἀκίνητός τέ ἐστι καὶ ἀλλοιώσεως πάσης, καὶ διὰ τοῦτο καὶ τάσεως, ἀπηλλαγμένη... f. 4. εἰ δέ τις διττὰ σχήματα ὑποτίθοιτο, τὰ μὲν ἀσώματα, ὡς τὰς ἰδέας κύκλου τε καὶ τῶν ἄλλων σχημάτων ὁ Πλάτων φησί, τὰ δὲ ὡς περὶ τοῖς σώμασι μεριζόμενα, καὶ τρίτα δὲ κατ' ἄλλην τινὰ μεταξὺ φύσιν τῶν τε ἰδεῶν καὶ τῶν γινομένων, ἕπεται ζητεῖν εἰ ἄλλως μὲν ἔστι τὰ ἀσώματα σχήματα ἄλλως δὲ τὰ σωματοειδῆ, καὶ εἰ κατὰ τὸν κοινὸν λόγον ἀμφοτέρων τούτων νυνὶ τὰ σχήματα λέγεται ἢ κατὰ μόνον τὸν ἐπὶ τῶν σωμάτων θεωρούμενον... περὶ δὲ τῆς μορφῆς ἐπισκεπτέον εἰ κατὰ τὸ ποιὸν σχῆμα ἡ μορφὴ ὑφίσταται, ὥς τινες οἴονται, καὶ διὰ τοῦτο συνέταξεν αὐτὴν τῷ σχήματι· οὔτε γὰρ τῷ Ἀνδρονίκῳ δοκεῖ τοῦτο οὔτε ἀληθές ἐστιν. οὐ δοκεῖ μὲν γὰρ διότι τὸ σχῆμα ἁπλῶς εἰπὼν τὴν μορφὴν οὐχ ἁπλῶς εἶπεν ἀλλὰ τὴν περὶ ἕκαστον ὑπάρχουσαν μορφήν· ἡ γὰρ ἐν τούτοις ἀκριβολογία διίστησιν αὐτὰ σαφῶς ἀπ' ἀλλήλων· τὸ μὲν γὰρ σχῆμα παρίστησιν ὡς κοινόν τι καὶ πλείοσιν ὑπάρχον κατ' ἀριθμὸν ἢ κατ' εἶδος διαφέρουσι, τὴν δὲ μορφὴν ἐνδείκνυται ὡς μετὰ τῶν καθ' ἕκαστα σωμάτων φυσικῶν ἀποτελευτῶσαν.

10a 16. f. 4 b. καὶ περὶ τοῦ μανοῦ τε καὶ πυκνοῦ ἔχοι ἄν τις πρὸς τὴν αἰτίαν τοῦ Ἀριστοτέλους ἀντιλέγειν· τὸ γὰρ διαστάσει τῶν μορίων ἀπ' ἀλλήλων ἢ τῇ σύνεγγυς θέσει τὸ μανὸν ἢ καὶ τὸ πυκνὸν ἀφορίζεσθαι τὴν Δημοκρίτου αἵρεσιν βεβαιοῖ· καὶ γὰρ ἐκεῖνος συνιόντα εἰς ταὐτὸν τὰ ἄτομα σώματα συνιστᾶν τὸ πυκνόν φησι, διιστάμενα δὲ ἀλλήλων καὶ μεταξὺ πολλῷ κενῷ διαλαμβανόμενα τὸ ἀραιὸν ἀπεργάζεσθαι. ταῦτα δέ ἐστιν ἄτοπα· εἰ γὰρ ἥνωται ἡ ὕλη καὶ συμπαθής ἐστι πρὸς ἑαυτὴν καὶ δι' ὅλου ποιά ἐστι τὰ ποιά, δῆλον ὅτι καὶ τὰ ἀραιὰ καὶ τὰ πυκνὰ δι' ὅλων ἡνωμένα συμπαθῆ ἐστὶ πρὸς ἑαυτά· ὁ δὲ τοῖς διαστήμασι τὴν αἰτίαν ἀποδιδοὺς ἐπιγέννημα ποιεῖ τὸ ποιὸν τῆς κατὰ σχέσιν θέσεως. πρὸς δὴ ταῦτά φησιν Ἰάμβλιχος "διττὸν (f. 5) εἶναι τίθεμεν τὸ μανὸν καὶ πυκνόν, τὸ μὲν ἐν τοῖς εἴδεσιν, ὃ καὶ δι' ὅλου πάρεστι καὶ οὐσιῶδές ἐστι καὶ ἕξεως μᾶλλον οἰκεῖον θεωρεῖται, ὁποῖον τὸ μανὸν τοῦ ἀέρος καὶ τοῦ πυρός, κατ' οὐσίαν αὐτοῖς ὑπάρχον· ἄλλο δὲ ἐπίκτητον καὶ ἔξωθεν ὡς ἐν σχήματι θεωρεῖται, ὅπερ ἐν τοῖς σπόγγοις καὶ τῇ κισσήρει φαίνεται.".. τῆς δὲ Δημοκρίτου δόξης διέστηκεν αὕτη, ἐπειδὴ οὐ περὶ τῆς ἐν στοιχείοις μανότητος καὶ πυκνότητος διατέτακται ταῦτα, ἀλλὰ περὶ ταύτης ἥτις ἐπὶ ταῖς μορφαῖς καὶ τοῖς σχήμασιν ἐπισυνίσταται... ὡσαύτως καὶ περὶ τοῦ λείου καὶ τραχέος καὶ 10a 22.
ἀπορεῖν δυνατὸν καὶ λύειν τὰ ἠπορημένα. Εὔδωρος δὲ ἀπορεῖ τί δήποτε τὸ μὲν μανὸν καὶ πυκνὸν καὶ λεῖον καὶ τραχὺ θέσιν σημαίνει, οὐκέτι δὲ καὶ ἡ καμπυλότης καὶ ἡ εὐθύτης; πρὸς ὃ ῥητέον... οἱ δὲ περὶ τὸν Νικόστρατον καὶ τὴν μανότητα καὶ πυκνότητα ποιότητας φιλονεικοῦσι δεικνύναι, τὸ πῦρ μανὸν εἶναι παρατιθέμενοι καὶ τὸν ἀέρα, τὴν δὲ γῆν πυκνήν, οὐ κατὰ θέσιν ἀλλὰ κατὰ ποιότητα... ἐπιστῆσαι δὲ ἄξιον ποῖον τοῦ στερεοῦ σημαινόμενον ἀντίκειται τῷ μανῷ· εἰ μὲν γὰρ τὸ τριχῇ διαστατόν, ἡ ἐπιφάνεια τούτῳ καὶ ἡ γραμμὴ ἀντίκειται· εἰ δὲ τὸ ἰσχυρόν, τὸ σαθρὸν ἂν εἴη τούτῳ ἀντικείμενον· εἰ δὲ τὸ δυσδιαίρετον, εἰ μὲν διὰ τὴν σκληρότητα ἔχει τοῦτο, τὸ μαλακὸν αὐτῷ ἀντίκειται, εἰ δὲ διὰ τὴν πυκνότητα, τὸ ἀραιόν· καὶ εἴη ἂν τῷ μανῷ κυρίως οὐ τὸ στερεὸν ἀλλὰ τὸ πυκνὸν ἀντικείμενον. (f. 5 b) Πλωτῖνος μέντοι οὐκ ἀξιοῖ δύο σημαινόμενα τῆς μανότητος καὶ πυκνότητος ἀκούειν, τὸ μὲν ὑπὸ τὸ πρός τι τὸ δὲ ὑπὸ τὸ ποιὸν ἀναγόμενον... οἱ δὲ Στωϊκοὶ δύναμιν ἢ μᾶλλον κίνησιν τὴν μανωτικὴν καὶ πυκνωτικὴν τίθενται, τὴν μὲν ἐπὶ τὰ ἔσω τὴν δὲ ἐπὶ τὰ ἔξω, καὶ τὴν μὲν τοῦ εἶναι τὴν δὲ τοῦ ποιὸν εἶναι νομίζουσιν αἰτίαν. ἀλλ' οὐδὲν ταῦτα τοῖς νῦν λεγομένοις ἐνίσταται, ἕως ἂν μὴ περὶ τῶν ἐν τῇ φύσει εἰδῶν ἀλλὰ περὶ τῆς ἐπισκευαστικῆς μανότητος τῆς κατὰ διάστασιν θεωρουμένης ἐστὶ νῦν ὁ λόγος. οἱ δὲ περὶ τὸν Ἀχαϊκὸν παραιτοῦνται καὶ εἰς τὸ πρός τι ἀνάγειν τὴν μανότητα καὶ εἰς ἕτερόν τι πέμπτον εἶδος ποιότητος· ἀλλ' οὐδὲ εἰς τὰς παθητικὰς αὐτὴν τιθέασιν, ὡς Ἀνδρόνικος, ἀλλ' εἰς τὰς ἐν τῷ τετάρτῳ γένει... ἐπεὶ δέ τινες ἐνταῦθα καὶ τὸν περὶ βαρύτητος καὶ κουφότητος λόγον ἐπεισήγαγον, ἀνάγκη καὶ περὶ τούτων ὀλίγα διελθεῖν καὶ φάναι ὅτι τὸ μὲν κατὰ τὸν σταθμὸν βαρὺ καὶ κοῦφον τῇ ῥοπῇ πλείονι καὶ ἐλάττονι χρώμενον ποσὸν ἂν εἴη, εἴπερ καὶ Ἀρχύτας ἓν εἶδος τοῦ ποσοῦ κατὰ τὴν ῥοπὴν καὶ τὸν σταθμὸν ἀφωρίσατο... ὅσα οὖν τούτων μὴ τῷ ποσῷ συντάττεται ἀλλὰ τῷ χαρακτῆρι καὶ τῷ ποιῷ, πότερον ἐν ἄλλῳ εἴδει τάττεται παρὰ τὰ εἰρημένα τέτταρα τῆς ποιότητος, ὥσπερ Ἀνδρόνικός τε καὶ Πλωτῖνος ὑπολαμβάνουσιν, ἢ ἔνεστιν ὑφ' ἓν αὐτὰ τῶν τεττάρων προσβιβάζειν; τοῦτο δέ ἐστι σαφές, ἐὰν περὶ αὐτῆς τῆς βαρύτητος καὶ κουφότητος γνωσθῇ τίνες εἰσίν... f. 6. δοκεῖ δέ τισιν οὕτως πολύχουν εἶναι τὸ τῆς ποιότητος γένος ὡς πάσαις ταῖς κατηγορίαις συνυπάρχειν· εἶναι γὰρ τὰς μὲν οὐσιώδεις, ὡς ἀνθρωπότητα καὶ Σωκρατότητα, τὰς δὲ ἐπὶ τοῦ ποσοῦ, οἷον γραμμῆς τὴν εὐθύτητα καὶ καμπυλότητα... τούτων δὲ τὰ μὲν τῷ σχήματι μόνῳ τῆς λέξεως ἐμφαίνει τὴν ποιότητα, ὡς ἡ ἀνθρωπότης καὶ ἡ Σωκρατότης, οὐκ ὄντα ποιά, τὰ δὲ ὅλως οὐδὲ ὑφέστηκεν οὔτε ἔχει τινὰ διάνοιαν, ὡς ἡ ἱπποκενταυρότης καὶ ἐν χειμῶνι ἡ τεττιγότης· τίς γὰρ ἂν γένοιτο τῶν μὴ ὄντων ποιότης τοιάδε ταῦτα παρεχομένη; περὶ δὲ τῶν ἄλλων ῥητέον τὰς μὲν ἐν ποιότητι διαφορὰς ποιότητος μόνης εἶναι οἰκείας, τὰς δὲ ἐπὶ τῶν ἄλλων κατηγοριῶν θεωρουμένας, ἧς ἂν ἑκάστης κατηγορίας ὑπάρχωσι συμπληρωταὶ τοῦ οἰκείου ἑκάστης λόγου, μηδαμῶς ἐκβαίνειν ἀπὸ τῆς ἐν ἑκάστῃ ἰδιότητος ἐπὶ τὸ τῆς ποιότητος γένος... ἀλλ' ἐπεὶ καὶ τὰς ἀπορίας καὶ τὰς λύσεις τῶν ἀποριῶν διεληλύθαμεν, καλῶς ἂν ἔχοι καὶ τὰς θεωρητικωτέρας

κινεῖσθαι, ὅταν μὴ ὀργᾷ τὸ σῶμα μηδὲ ᾖ ἀφ' ἑαυτοῦ πρὸς τὸ πάθος ἠρεθισμένον· εἰ τοίνυν τοῦτο οὕτως ἔχει, τῆς ψυχῆς εἶπε τὰ πάθη κατὰ τὸ ἐπικρατοῦν αὐτῆς καὶ πλεονάζον ἐν τῷ συνθέτῳ ζώῳ.

10a 12 ΠΟΡΦ. f. 47 b. ἡ μορφὴ διχῶς λέγεται παρὰ τῷ Ἀριστοτέλει· καθ' ἓν μὲν γὰρ σημαινόμενον τὰς οὐσιώδεις μορφὰς λέγει, καθ' ἕτερον δὲ τὰ ἐπὶ τοῖς οὐσιώδεσιν εἴδεσιν ἐπιφαινόμενα καὶ κατὰ τὰς ἐπιφανείας τυπώματα, καθὸ καλά τε λεγόμενα καὶ εὔμορφα τὰ εἴδη, οὐδὲν ἐφαπτόμενα τῶν οὐσιωδῶν.

ΣΙΜΠΛ. ν' f. 2 b. ἡ δὲ περὶ ἕκαστον μορφὴ διχῶς λέγεται παρὰ τῷ Ἀριστοτέλει, κατά τε τὰ οὐσιώδη εἴδη καὶ κατὰ τὰ τῆς ἐπιφανείας ποιὰ τυπώματα. νῦν οὖν θεωρεῖται οὐ κατὰ τὸ οὐσιῶδες εἶδος (οὐδὲ γάρ ἐστι ποιότης τὸ τοιοῦτον) ἀλλὰ κατὰ τὸ ἐπιφαινόμενον τοῖς οὐσιώδεσι περὶ τὴν ἐπιφάνειαν εἴδεσι, καθὸ καλά τινα καὶ εὔμορφα λέγομεν ἢ δυσειδῆ καὶ ἄμορφα. αἱ γὰρ τοιαῦται μορφαὶ ποιότητές εἰσιν, ἄλλαι μὲν παρὰ τὸ χρῶμα καὶ τὸ σχῆμα, ἐπιστῆσαι δὲ ἄξιον μήποτε καὶ ἐκείνων περιεκτικαί, κἂν μὴ προστίθεται τοῦτο Ἰάμβλιχος. τινὲς δὲ τὴν μὲν μορφὴν ἐπὶ τοῦ ζώου μόνου λέγεσθαι νομίζουσι, τὸ δὲ σχῆμα περὶ τοῦ ἀψύχου εἴδους, οὔτε κατὰ τὴν τεχνικὴν συνήθειαν καλῶς οὔτε τὴν τῶν πολλῶν χρῆσιν· ἐπαλλάττει γὰρ ταῦτα τὰ ὀνόματα... τινὲς δὲ τὴν μορφὴν ἐπὶ τῶν φυσικῶν ἀκούουσι μόνον, καὶ δοκεῖ ταύτην τὴν δόξαν ἐν τοῖς ἑξῆς προσίεσθαι ὁ Ἰάμβλιχος ὡς οὐ λεγομένης τῆς μορφῆς ἐπὶ τῶν μαθηματικῶν καὶ ὅλως τῶν σχημάτων, καὶ διὰ τοῦτό φησι τὴν περὶ ἕκαστον μορφὴν εἰρῆσθαι, διότι ὡς ἔνυλος εἰς τὸ ἄτομον κατετάγη· εὐθύτητα δὲ καὶ καμπυλότητά φησιν Ἰάμβλιχος τὴν κοινὴν ἐπὶ τῶν γεωμετρικῶν σχημάτων καὶ ἐπὶ τῆς μορφῆς εἰρῆσθαι ποιότητα, καὶ διὰ τὸ κοινὸν καὶ διατεῖνον ἐπ' ἄμφω καὶ ἐπὶ μορφῶν καὶ σχημάτων κοινῶς ὁρώμενον καὶ περιττεῦον ἑκατέρου ἴδια καταλέγεσθαι. αὐτὴ μὲν γάρ, φησίν, ἡ γραμμή, καθόσον ἐστὶ γραμμή, ποσόν ἐστιν, ἡ δὲ εὐθεῖα, καθόσον ἐστὶν εὐθεῖα ἢ καμπύλη, ποιὰ ἂν νοηθείη· καὶ ἡ ἐπιφάνεια, καθόσον μέν ἐστιν ἐπιφάνεια, ποσόν, καθόσον δὲ ἐπίπεδος ἐπιφάνεια, ποιόν. καὶ ἐπὶ τῆς μορφῆς δέ, φησί, ταῦτα ὡσαύτως θεωρεῖται. μήποτε οὖν ἡ εὐθύτης καὶ ἡ καμπυλότης γραμμῶν ἂν εἴη καθ' αὑτὰς καὶ ἐπιφανειῶν, μορφῆς (f. 3) δὲ οὐ καθ' αὑτό, ἀλλ' εἰ ἄρα, κατὰ συμβεβηκός, καθόσον, οἶμαι, καὶ τὸ σχῆμα περιέχει ἡ μορφή. εἴ τι δὲ ἄλλο τούτοις ὅμοιον τοῖς εὐθέσι καὶ καμπύλοις, προσέθηκε, τὰ ἑλικοειδῆ καὶ κωνοειδῆ καὶ φακοειδῆ λέγων τῶν σχημάτων καὶ τὰ τοιαῦτα ἅπερ μικτὴν ἔχει τὴν φύσιν ἐξ εὐθέος καὶ περιφεροῦς, ὡς καὶ οἱ γεωμέτραι φασίν.

ἈΜΜ. f. 114 b. ἐλέγετο δὲ καὶ πρώην ὅτι τὸ μὲν σχῆμα ἐπὶ ἀψύχων θεωρεῖται ἢ φανταστῶν, ἡ δὲ μορφὴ ἐπὶ ἐμψύχων ἤτοι φυσικῶν, καὶ ὅτι εἰ καὶ ἐπὶ ἀψύχων ποτὲ φέροιμεν τὸ τῆς μορφῆς ὄνομα, καταχρηστικώτερον τοῦτο ποιοῦμεν διὰ τὸ μίμημα εἶναι τῶν ἐμψύχων.

10a 17 ΠΟΡΦ. f. 47 b. πυκνὰ μὲν γὰρ λέγεται τῷ τὰ μόρια σύνεγγυς ἀλλήλων κεῖσθαι ὡς μηδὲν ἑτερογενὲς σῶμα μεταξὺ αὐτοῦ παρεμπίπτειν δύνασθαι, ὡς ἔχει ἐπὶ τοῦ χρυσοῦ καὶ τοῦ σιδήρου καὶ τῶν ποιοτήτων τούτων σωμάτων· μανὸν δὲ τῷ οὕτως αὐτοῦ διεστηκέναι τὰ μόρια ὡς ἑτερογενὲς σῶμα δύνασθαι καὶ αὐτῶν παρεμπίπτειν, οἷαί εἰσιν αἱ σπόγγιαι καὶ κίσσηρις καὶ τὸ ἔρεον.

ΣΙΜΠΛ. ν' f. 3. πληρώσας δὲ τὰ εἴδη τῆς ποιότητος ἐπήγαγεν "ἴσως μὲν οὖν καὶ ἄλλος ἂν φανείη τρόπος ποιότητος," 10a 25 οὐχ ὡς φιλόσοφον εὐλάβειαν ἐνδεικνύμενος, ὥς τινες οἴονται, οὐδὲ ὅτι δυσδιαίρετος ὁ περὶ τῶν πρώτων γενῶν λόγος, ὡς ἄλλοι, οὐδὲ ὅτι τὰς διαφορὰς ἐνδείκνυται καθ' ἃς λογικὸν καὶ ἄλογον καὶ τὰ ἄλλα θεωρεῖται ποιὰ τὰ οὐσιώδη καὶ διαιρετικὰ τῶν γενῶν· οὐσίαι γάρ εἰσιν ἐκεῖνα μᾶλλον, ἀλλ' οὐ ποιότητες· εἰ δὲ ποιότητες ἦσαν, οὐκ ἂν οὕτως εἰς ἐσχάτην τάξιν ἀπερρίφησαν. Ἀνδρόνικος δὲ πέμπτον εἰσάγει γένος, ἐν ᾧ τάττει μανότητα καὶ πυκνότητα, κουφότητα βαρύτητα, παχύτητα λεπτότητα, οὐ τὴν κατὰ τὸν ὄγκον ἀλλὰ καθὸ ἀέρα λέγομεν λεπτὸν εἶναι καὶ τοῦ ὕδατος λεπτότερον. ποιὰ γάρ, φησί, λέγομεν πάντα τὰ τοιαῦτα τῷ ἀπὸ ποιότητος εἶναι αὐτά· ὁμοίως δὲ καὶ τὸ διαφανὲς καὶ τὸ σκοτεινόν, ὥστε, φησίν, ἢ ἄλλο τι γένος ποιότητος τοῦτο θετέον ἢ συζευκτέον αὐτὰ ταῖς παθητικαῖς· τῷ μὲν γὰρ παθεῖν τι τὸ σῶμα τούτων ἕκαστον τοιοῦτον γέγονεν, διαφέρει δὲ ἐκείνων ὅτι πάθους οὐκ εἰσὶν ἐμποιητικὰ αὗται. Εὔδωρος δὲ τὴν παχύτητα καὶ λεπτότητα εἰς ἕτερον τάττει γένος, τὰς δὲ ἄλλας οὔ. οἱ δὲ περὶ τὸν Ἀχαϊκὸν ταύτας μὲν εἰς τὸ τέταρτον γένος τάττουσι συνεπομένας τῷ μανῷ καὶ πυκνῷ, ἐκείνας δὲ μᾶλλον αἰνίττεσθαι τὸν Ἀριστοτέλην φασὶν ἐν τῷ "ἴσως δὲ καὶ ἄλλο γένος," ἃς ἐν τῇ περὶ Γενέσεως καὶ Φθορᾶς (2 2) τῷ θερμῷ καὶ ὑγρῷ καὶ ψυχρῷ καὶ ξηρῷ συνέταξεν· εἰσὶ δὲ αὗται βαρὺ (f. 3 b) κοῦφον, σκληρὸν μαλακόν, τραχὺ λεῖον, παχὺ λεπτόν. ἀλλὰ πῶς ἄν τις ταῦτα παραδέξαιτο μηδενὸς ὑπ' αὐτοῦ λεγομένου ἑνὸς γένους ὑφ' ὃ ταῦτα ταχθήσεται, ὡς ἐν μὲν τῷ πρώτῳ ἕξις ἦν καὶ διάθεσις, ἐν δὲ τῷ δευτέρῳ φυσικὴ δύναμις καὶ ἐπὶ τῶν ἄλλων; βέλτιον οὖν λέγειν ἕν τι, ὅτι κατὰ τὸ ἀληθὲς εἰσί τινες καὶ ἄλλοι τρόποι, οὓς ἐν τῇ Μετὰ τὰ Φυσικὰ (δ' 21) ὡς ἐν τελειοτέρᾳ πραγματείᾳ παραδίδωσιν· ἐνταῦθα δὲ ὡς ἐν εἰσαγωγῇ τοὺς μάλιστα λεγομένους ἐξέθετο.

f. 3 b. τοῦτο εἶπεν ἐπειδὴ τινὰ μὲν παρωνύμως λέγεται, ὡς ἀπὸ 10a 28 λευκότητος τὸ λευκόν, ἔνια δὲ ὁμωνύμως, ὡς τρίγωνον καὶ τετράγωνον καὶ τῶν ἄλλων σχημάτων ἕκαστον· ἐπὶ γὰρ τούτων τρίγωνον καὶ ἡ ποιότης καὶ τὸ μετέχον καλεῖται. ἔτι δὲ ἐπ' ἐνίων μὲν ἀμφότερα ὠνόμασται, ὡς γραμματικὴ καὶ γραμματικός, ἐπ' ἐνίων δὲ οὐδέτερον, ὡς ἡ πρὸς γραμματικὴν ἐπιτηδειότης καὶ ὁ κατ' αὐτὴν εὐφυῶς διακείμενος, ἐπ' ἐνίων δὲ τὸ ἕτερον μόνον ὠνόμασται, τὸ ποιὸν μέν, ὡς ἐπὶ τοῦ πυκτικοῦ καὶ δρομικοῦ· ἀνώνυμοι γὰρ αἱ ἐπιτηδειότητες· ἡ γὰρ πυκτικὴ καὶ δρομικὴ αἱ κατ' ἐνέργειάν εἰσιν ἐπιστῆμαι, ἀφ' ὧν πύκται καὶ δρομεῖς οἱ ποιοὶ λέγονται· οἱ γὰρ πυκτικοὶ καὶ δρομικοὶ τοὺς δυνάμει ποιοὺς σημαίνουσιν, ἀπὸ ἐλπίδος ἧς ἕξουσιν ἕξεως παρωνομασμένους. ἔστι δὲ ὅπου τῇ μὲν ἕξει κεῖται ὄνομα, ὡς τῇ ἀρετῇ, τῷ δὲ κατ' αὐτὴν ποιῷ οὐκέτι· οὐδὲ γὰρ λέγεται ἐνάρετος, ὁ δὲ σπουδαῖος οὐκ ἀπὸ τῆς ἀρετῆς παρωνόμασται, οὐδὲ ὁ ἐνάρετος, ὥσπερ οὐδὲ ἐγγράμματος ἀπὸ τῆς γραμματικῆς. ἐπ' ἐνίων δὲ καὶ παραλλάττουσιν αἱ τῶν ὀνομάτων σημασίαι περὶ τὴν τῶν πραγμάτων δήλωσιν διὰ τὴν ἀνωμαλίαν τῆς χρήσεως· ὁ γὰρ δίκαιος κατὰ μὲν τὸ ὄνομα

9 a 24. 'ΑΜΜ. f. 111. ἀκριβῶς δὲ εἶπεν ὑπὸ τῶν τυχόντων τὰ ὑγιεινὰ μὴ πάσχειν, οἷον ὑπὸ καύματος ἢ ἀνέμου ἢ ἁπλῶς ἀφ' ὧν οὐ πέφυκε πάσχειν τὰ ὑγιεινά· πάθοι γὰρ ἂν ὑπὸ ξίφους ἢ πυρὸς ἢ ἄλλου τινὸς τοιούτου.

9 a 23. ΣΙΜΠΛ. μ' f. 7. γένος τρίτον πάλιν λέγει ποιότητος, ἀντὶ τοῦ εἴδους τῷ γένει χρησάμενος, ἢ καὶ κυρίως γένος εἰπών. κἂν γὰρ μὴ τὸ ἀνωτάτω γένος ἐστίν, ὥσπερ ἡ ἁπλῶς ποιότης ἢ τὸ συμβεβηκός, ἀλλὰ καὶ αὐτὸ γένος εἰς εἴδη οἰκεῖα διαιρούμενον, γένος δὲ τῶν ὑπαλλήλων λεγομένων γενῶν. εἰς δύο διαιρεῖ τὸ τρίτον τοῦτο γένος, εἴς τε τὰς παθητικὰς ποιότητας καὶ τὰ πάθη, οἷς κοινὸν μέν ἐστι τὸ ποιὸν ὁπωσοῦν... πάντως δέ τις καὶ ἐνταῦθα ἐπιζητήσειε πῶς πρότερον μὲν τὴν διάθεσιν καὶ τὴν ἕξιν ἐχαρακτήριζε τῷ εὐμεταβόλῳ τε καὶ δυσμεταβόλῳ, νῦν δὲ τούτοις αὐτοῖς τὰ πάθη διακρίνει καὶ τὰς παθητικὰς ποιότητας; καὶ εἴρηται μὲν καὶ ἐν ἐκείνοις τινὰ πρὸς ταύτην τὴν ζήτησιν, ὅτι ἐκεῖ μὲν ἕξεις καὶ διαθέσεις τὰς ἐκ διδασκαλίας καὶ ἔξωθεν ἐγγινομένας παραδίδωσιν ὡς δυσκινήτους τε καὶ εὐκινήτους τελειότητας, ἐνταῦθα δὲ παθητικὰς ποιότητας καὶ πάθη τὰ φύσει. εἰ δέ τῳ μὴ ἀρκεῖ ταῦτα, λεγέσθω καὶ νῦν συντόμως.

9 b 11. ΔΑΒΙΔ. οἱ ἐπιμελῶς τρέφοντες τὰς περιστερὰς θαλλοὺς περιπλέκουσι ποικίλα χρώματα ἔχοντας ἐν ταῖς περιστερεῶσιν, ἵνα οἷα βούλονται σχοῖεν τὰ τεχθησόμενα· καὶ οὐκ ἀποτυγχάνουσι τῆς ἐλπίδος. καί τις γυνὴ Αἰθίοπα ἔτεκε μήτε Αἰθίοπι συγγενομένη μήτε Αἰθίοψ οὖσα, ἀλλ' ἐν τῷ καιρῷ τῆς συνουσίας Αἰθίοπα φαντασθεῖσα. προηγεῖται οὖν ἡ φαντασία καὶ τῶν ἐκ γενετῆς.

'ΑΜΜ. f. 113. εἰπὼν τὰ χρώματα παθητικὰς ποιότητας εἶναι, τῷ ἀπὸ πάθους ἐγγίνεσθαι αὐτὰς κατασκευάζει καὶ δείκνυσιν οὕτως ἔχον. οἱ φοβηθέντες γάρ, φησίν, ὠχριῶσιν τοῦ φιλίου αἵματος τῇ φύσει καταφεύγοντος ἐπὶ τὴν οἰκείαν πηγήν, τὴν καρδίαν, ὡς ἀκρόπολιν ἰσχυράν, τὴν πηγὴν τῆς ζωῆς καὶ διὰ τοῦτο τελευταίαν πάντων φθειρομένην· εἰ γὰρ καὶ τὰ καρδιουλκούμενα ζῇ καὶ δύο καὶ τρεῖς ἡμέρας, ἀλλὰ διὰ τὸ ἔχειν τὰς ἀρτηρίας ἀπ' αὐτῆς οὔσας. μία δὲ κρᾶσις ποιεῖ καὶ τὸ πρόσκαιρον ὠχρὸν καὶ τὸ ἐκ γενετῆς· ἔνδεια γὰρ αἵματος γίνεται, ὥσπερ πλεονεξία αἵματος καὶ τὸ ἐκ γενετῆς ἐρυθρὸν ποιεῖ καὶ τὸ πρόσκαιρον.

9 a 23. ΣΙΜΠΛ. μ' f. 8 b. ἐπιστάσεως δὲ καὶ πάλιν ἄξιον πῶς ὑπὸ τὴν ποιότητα τάξας τὰ πάθη, εἴπερ τρίτον εἶδος ποιότητος παθητικαὶ ποιότητες, φησί, καὶ πάθη, ὅμως ὕστερον (10 a 9) "πάθη μὲν" φησὶ "τὰ τοιαῦτα λέγεται, ποιότητες δὲ οὔ." καὶ γὰρ τινὲς μὲν οἴονται ἐλλιπῶς εἰρῆσθαι τὸ "ποιότητες δὲ οὔ·" λείπειν γὰρ τὸ οὐκ εἰσὶ παθητικαί, ὡς εἶναι μὲν αὐτὰς ποιότητας, παθητικὰς δὲ οὔ· ἄλλοι δὲ ἐπὶ ταὐτὸν οἴονται φέρειν αὐτὸν τὰ πάθη καὶ τὰς παθητικὰς ποιότητας, καίτοι σαφῶς οὕτως διορίζοντα. ἀλλ' ἴσως ὡς ὑποπῖπτον τὸ πάθος ὑπὸ τὴν παθητικὴν ποιότητα κατά τι σύμπτωμα αὐτῆς πρόσκαιρον, οὕτως αὐτὸ ὑποτάττεσθαι αὐτῇ φησίν. 'Αλέξανδρος δὲ οὐδὲ ζητεῖν ἀξιοῖ εἰ τὰ πάθη ὑπὸ τὴν ποιότητα· αὐτὸς γὰρ ὁ 'Αριστοτέλης οὐ μόνον τὰς παθητικὰς ποιότητας ἀλλὰ καὶ τὰ πάθη ὑπὸ τὸ αὐτὸ εἶδος ἔταξεν, εἰπὼν "τρίτον δὲ γένος παθητικαὶ ποιότητες καὶ πάθη·" οὐ γὰρ εὔλογον εἰς ταὐτὸν ἄγειν αὐτά, μέλλοντα λέγειν αὐτῶν τὴν διαφοράν... ν' f. 1. ἔοικέ πως ἀτελὲς εἶδος εἶναι τῆς παθητικῆς ποιότητος τὸ πάθος, οὗ τελειότης ἐστὶν ἡ παθητικὴ ποιότης. ὥσπερ οὖν ἡ διάθεσις τῇ ἕξει συνεπλάκη, οὕτως καὶ ἐνταῦθα τὸ πάθος τῇ παθητικῇ ποιότητι συνέζευξεν... λέγοντες δὲ τοῦ 'Αριστοτέλους, ὥσπερ τὰ ὀλιγοχρόνια χρώματα ἀπὸ πάθους γίνεται, οὕτως καὶ τὰ πολυχρόνια ἀπὸ τοῦ αὐτοῦ συμβαίνει, ἄλογον νομίζουσιν οἱ περὶ τὸν Νικόστρατον τὸ πάντα τὰ χρώματα πάθους ἐγγινομένου γίνεσθαι, καὶ μάλιστα τὰ σύμφυτα καὶ οὐσιώδη, ὥσπερ τὸ τῆς χιόνος... εἰσὶ δέ τινες οἳ τὰς συμφύτους ταύτας ποιότητας οὔ φασιν εἶναι πάθη ἢ παθητικὰς ποιότητας ἀλλὰ μέρη οὐσιῶν καὶ οὐσίας. δῆλον οὖν ὅτι οὗτοι οὐδὲ τὴν ἀρχὴν παραδέξονται τὰ περὶ τῶν συμφύτων χροιῶν ἠπορημένα. 'Ανδρόνικος δὲ ἠξίου μὴ διαιρεῖσθαι τὰς παθητικὰς ποιότητας εἰς τὸ ἐμποιεῖν πάθη καὶ εἰς τὸ ἐκ πάθους συνίστασθαι, ἀλλὰ πάσας ὡς ἐκ πάθους συνισταμένας παθητικὰς εἶναι, τὸ δὲ πάθους ποιητικαῖς εἶναι συμβαίνειν αὐταῖς· τὸ γὰρ θερμὸν θερμαίνειν δύναται, ἀλλὰ καθόσον εἰς ἄλλα ποιεῖ, οὐ ποιὰ ἀλλὰ ποιητικὰ καλοῦμεν αὐτά, οἷον οὐ θερμὰ ἀλλὰ θερμαντικά, ἅπερ ἤδη πρός τι, καθάπερ τὸ καυστικὸν καὶ τὸ καυστὸν καὶ τὰ ὅμοια. διὸ θερμὸν μέν ἐστι καὶ μηδενὸς ὄντος θερμαντοῦ, θερμαντικὸν δὲ οὐκέτι· ποιὰ γὰρ κατὰ τὸ πῶς ἔχειν ἀλλ' οὐ κατὰ τὸ πρός τι λέγεται. πρὸς δὴ τοῦτο καλῶς ἠπορημένον ῥητέον ὅτι τὰς αἰσθήσεσι γινομένας παθητικὰς ποιότητας οὐ καθόσον ἐκ ποιοῦντός τινος καὶ πάσχοντος συνίστανται, κατὰ τοῦτο δεῖ θεωρεῖν, οὐδὲ καθόσον πρὸς ἀντιστρέφοντα λέγονται, ἀλλὰ τὸ ἁπλοῦν καὶ ἁπλῶς τὸ εἶδος τοῦ πάθους αὐτὸ καθ' αὐτὸ νοεῖν ὡς ποιότητα, μηδὲν ἐφαπτομένους τῆς τοῦ ποιοῦντος εἰς αὐτὸ ἐνεργείας καὶ συζεύξεως... f. 1 b. διαφέρουσι δὲ αἱ τρίται ποιότητες αὗται τῶν μὲν πρώτων, ὡς καὶ Πορφύριος καὶ 'Ιάμβλιχός φασιν, ὅτι ἐκεῖναι μὲν ἐκ διδασκαλίας τὸ τέλειον ἔχουσιν, αὗται δὲ φύσει ὑπάρχουσιν. μήποτε δὲ κατὰ φύσιν παρείληπται ἐν ἐκείναις ὅπερ θερμότης καὶ ψῦξις καὶ τὰ τοιαῦτα, ἡ δὲ διαφορὰ τῶν ἐνταῦθα μὲν κατὰ πάθος εἶναι, ἐκεῖ δὲ κατὰ διάθεσιν καὶ ἕξιν. τῶν δὲ δευτέρων διαφέρει καθόσον ἐκεῖναι μὲν ἐν τῷ δυνάμει ἐθεωροῦντο καὶ ἐπιτηδειότητες ἦσαν, αὗται δὲ ἐντελέχειαι μᾶλλόν εἰσι καὶ κατ' εἶδός τι ἤδη ὑφεστήκασι. τάξιν δὲ εἴ τις ποθεῖ μαθεῖν αὐτῶν, ῥητέον ὡς ἡ ἐκ πάθους καὶ μεταβολῆς εἰδοποιία ἀπολείπεται τῶν πρώτων καὶ αὐτοφυῶν ποιοτήτων, ὅσαι τέ εἰσι κατ' ἐνέργειαν καὶ ὅσαι κατὰ φυσικὴν δύναμιν πρώτως συνίστανται καὶ τὸ κατὰ κίνησιν ἑτεροιώσεις. ὁ μέντοι 'Αρχύτας ἔοικε προτάξαι τὸ κατὰ τὸ πάθος εἶδος τῆς ποιότητος τοῦ κατὰ δύναμιν· καὶ ἴσως μᾶλλον τοῦτο ἔχει λόγον... f. 2. ἀλλὰ τί ποτέ ἐστι τὸ πάθος τοῦτο, ζητεῖν ἄξιον. λέγεται γὰρ πάθος ἢ τὸ ἀναιρετικὸν τῆς οὐσίας, ὡς ἡ σῆψις σώματος φθορὰν ἐπάγουσα τῷ σηπομένῳ, ἢ τὸ τούτῳ ἀντίθετον τὸ συνέχον διὰ τῆς μεταβολῆς ἐν τῷ κατὰ φύσιν τὸ ὑποκείμενον... ἐπειδὴ δὲ τὰς παθητικὰς ποιότητας εἴς τε ψυχὴν καὶ σῶμα διεῖλε, δεῖ ζητεῖν εἰ αἱ ἐκστάσεις καὶ ὀργαὶ καὶ τὰ τοιαῦτα τῆς ψυχῆς ἐστὶν ἴδια, ἢ κοινὰ καὶ τοῦ ἔχοντος. εἰ τοίνυν ἀρέσκει αὐτῷ ἐν τῷ πρώτῳ περὶ ψυχῆς (1 1) ἀπὸ τοῦ σώματος ὡρμῆσθαι τὰ τοιαῦτα, ὥστε πολλάκις μὲν εὐκινήτους γίνεσθαι ἡμᾶς πρὸς ὀργήν, καίτοι μικρῶν ὄντων τῶν παροξυνόντων, πολλάκις δέ, καίτοι μεγάλων ὄντων, μὴ

γὰρ τὸ τῆς ἕξεως ἰδίωμα· τὰς μὲν γὰρ σχέσεις ταῖς ἐπικτήτοις καταστάσεσι χαρακτηρίζεσθαι, τὰς δὲ ἕξεις ταῖς ἐξ ἑαυτῶν ἐνεργείαις· ὅθεν οὐδὲ χρόνου μήκει ἢ ἰσχύϊ εἰδοποιοῦνται αἱ ἕξεις κατ' αὐτούς, ἰδιότητι δέ τινι καὶ χαρακτῆρι... διόπερ οἱ Στωϊκοὶ διατείνουσι τὰς ἕξεις κοινότερον καὶ ἐπὶ τὰς εὐκινήτους ἃς λέγει ὁ Ἀριστοτέλης διαθέσεις, καὶ ταύτας ἡγοῦνται πολὺ διενηνοχέναι τῆς σχέσεως· ἡ γὰρ τοῦ ἀναλαμβάνοντος τὴν ὑγείαν ἕξις καθίσεως καὶ προβολῆς καὶ τῶν τοιούτων σχέσεων πάντῃ διέστηκεν· αἱ μὲν γὰρ ἄρριζοι καὶ ἀπαγεῖς εἰσί, τὰς δὲ οὕτως ὑφεστηκέναι φασὶν ὥστε ἀφεθείσας διαμένειν ὅσον ἐφ' ἑαυταῖς δύνασθαι, τὸ ἔμμονον ἐξ ἑαυτῶν καὶ τοῦ οἰκείου λόγου παρεχομένας. διὰ ταῦτα οὐδὲ ὁπωσοῦν δυσανάλυτος σχέσις λέγεται ἕξις παρ' αὐτοῖς· εἰ γὰρ ἔξωθεν ἔχει τὸ δυσανάλυτον, ὥσπερ ὁ δακτύλιος ἐν δακτυλήθρᾳ ὤν, οὐκ ἂν εἴη ἐν ἕξει τῆς τοιαύτης καταστάσεως· ἀλλ' εἰ ἀφ' ἑαυτοῦ τὴν ἐνέργειαν παρέχοιτο τοῦ εἶναι τὸ τοιόνδε, τότε ἂν εἴη ἐν ἕξει, ὥσπερ ὁ πηλὸς εἰς ὄστρακον μεταβαλών· αὐτὸς γὰρ ἀφ' ἑαυτοῦ τοιόσδε γέγονεν. ἀλλὰ ταῦτα μὲν οὕτως ἱστορήσθω, τὸ δὲ βαθυτέρας ἐν τούτοις δεόμενον ἐμβλέψεως ἐκεῖνό ἐστιν, ἆρα ἡ ἕξις οὐκ ἄλλη τις ἐστὶ τῆς διαθέσεως πλὴν τοῦ προσειληφέναι τὸ μόνιμον καὶ δυσκίνητον. τί οὖν ποτέ ἐστι τοῦτο τὸ προσειληφέναι; πότερον διαφορᾶς προσθήκη ἢ ψιλῆς σχέσεως, ἢ πλεονασμός τις ἄλλος ὁποιοσοῦν;... f. 2. ὅθεν ὀρθῶς Ἀρχύτας τὸ ἐν ἕξει θεὶς εἶδος τῆς ποιότητος ἠρκέσθη τούτῳ καὶ οὐ συνέζευξε μετ' αὐτοῦ τὴν διάθεσιν, οὐδὲ ὡς δύο ταῦτα συνηριθμήσατο, οὔτε ὡς ὑπὸ τὴν αὐτὴν τάξιν ὄντα τοῦ εἴδους, ὅπερ ἡμεῖς ἐλέγομεν πρότερον, οὔτε ὡς διαφέροντα. ἀλλ' οὗτος μὲν τῇ ταυτότητι τοῦ εἴδους μᾶλλον προσέχων ἐπὶ τοῦ ἑνὸς εἴδους μεμένηκεν, Ἀριστοτέλης δὲ οὐκ ἐξίσταται μὲν οὐδὲ αὐτὸς τῆς τοιαύτης ὑποθέσεως, πλὴν ἐξεργασμόν τινα προστίθησι καὶ παραδείκνυσι τὸ ἐν τῷ ἑνὶ αὐτῶν πλῆθος.

9a 14 ΣΙΜΠΛ. μ' f. 2 b. μεταβέβηκεν ἐπὶ τὸ δεύτερον τῆς ποιότητος εἶδος, ὃ κατὰ τὸ δυνάμει καὶ τὴν ἐπιτηδειότητα, ἢ ὡς αὐτός φησι, κατὰ φυσικὴν δύναμιν ἢ ἀδυναμίαν λέγεται, πολλὰ μὲν τῇ δυνάμει σημαινούσης, ὡς εἴρηται πρότερον, νῦν δὲ τὸ κατὰ τὴν ἐπιτηδειότητα τὴν φυσικὴν δηλούσης. διττῆς δὲ οὔσης ταύτης, τῆς μὲν ἁπλῶς τῆς δὲ κατὰ προκοπήν τινα θεωρουμένης, καθ' ἣν ἤδη προφανής ἐστι καὶ ἕτοιμος ἡ ἐπιτηδειότης, ὡς ἐν τῷ πυκτικῷ λεγομένῳ, ταύτην νῦν παραλαμβάνει. διὸ τῷ ποιῆσαί τι ἢ παθεῖν τὸ "ῥᾳδίως" προσέθηκε· τοῦτο γὰρ τῆς δυνάμεως τῆς προκεκοφυίας ἴδιόν ἐστιν, ὅπερ καὶ εὐαρίθμητον ὑπάρχει. καὶ γὰρ οἱ ἀπὸ τῆς Στοᾶς πρὸς μὲν τὰς τέχνας ἐπιτηδειότητα μόνην ἀπέλιπον τὴν ἁπλῶς οὑτωσὶ θεωρουμένην, πρὸς δὲ τὰς ἀρετὰς τὴν ἀξιόλογον προκοπὴν ἐκ φύσεως προϋπάρχειν ἀπεφήναντο, ἣν καὶ οἱ ἀπὸ τοῦ Περιπάτου φυσικὴν ἀρετὴν ἐκάλουν. μή ποτε δὲ οὐ μόνον ἐπὶ τῶν ἀρετῶν ἀλλὰ καὶ ἐπὶ τῶν τεχνῶν τὴν ἐκ φύσεως ἐπιτηδειότητα θεωρητέον... f. 3. ἀλλ' ἐπειδὴ τὸ δυσπαθὲς τοῦ εὐπαθοῦς τελειότερον καὶ τὸ ὑγιὲς τοῦ νοσώδους μᾶλλον κατὰ φύσιν, διὰ τοῦτο δὴ τοῖς μὲν τὴν δύναμιν τοῖς δὲ τὴν ἀδυναμίαν ἀποδέδωκεν. οὐκ ἐπὶ πάντων δέ ἐστιν ὀνόματα κείμενα οἷς χωρίζεται ἡ ἐπιτηδειότης τῆς ἐνεργείας· ἐπὶ μὲν τοῦ πυκτικοῦ καὶ πύκτου καὶ δρομικοῦ καὶ δρομέως κεχώρισται τὰ ὀνόματα, γραμματικὸς δὲ καὶ μουσικὸς καὶ ὁ τὴν ἐπιτηδειότητα μόνην ἔχων λέγεται καὶ ὁ ἤδη κατ' ἐνέργειαν. καὶ τοῦτο δὲ ἐπισημαντέον ὅτι, κἂν λέγηται τοῦτο τὸ κατὰ δύναμιν εἶδος ποιότητος, ἀλλ' ὄνομα ποιότητος οὐκ ἔστιν ἀφ' ἧς καλεῖται ὁ κατὰ δύναμιν ποιός... καὶ τοῦτο δὲ ἐπιστάσεως ἄξιον, ὅτι οὐ πᾶσα δύναμις οὐδὲ ἐπιτηδειότης πᾶσα τοῦ εἰς ὁτιοῦν μεταβάλλειν αὐτὴ ποιότης λέγεται κατὰ τὸ εἶδος τοῦτο τῆς ποιότητος ἀλλ' ἡ εἰς τὴν κατ' ἐνέργειαν ποιότητα ἄγουσα, καὶ ὅτι ἐν ταῖς φυσικαῖς ταύταις δυνάμεσιν αἱ φυσικαὶ ἀρεταὶ τάττονται περὶ ψυχὴν οὖσαι, καὶ αἱ σωματικαὶ κατὰ τὸ μαλακὸν καὶ σκληρὸν θεωρούμεναι, καὶ αἱ κατὰ τὸ συναμφότερον ἐν τοῖς πυκτικοῖς καὶ δρομικοῖς, ὥστε καὶ πᾶσαι αἱ δυνάμεις παρελήφθησαν... περὶ δὲ τῆς τάξεως ἐγκαλοῦσι τῶν εἰδῶν τῆς ποιότητος· ἔδει γάρ, φασί, πρῶτον μνημονεῦσαι τῶν δυνάμεων τῶν φυσικῶν, καθὸ πυκτικοὶ ἢ δρομικοὶ γίνονταί τινες, εἶθ' οὕτως τὰς ἐκ μελέτης καὶ διδασκαλίας ἐπιγινομένας ταῖς φυσικαῖς δυνάμεσιν ἕξεις καὶ διαθέσεις ἀναδιδάξαι... f. 4 b. ἄλλοι δὲ τὴν φυσικὴν ταύτην δύναμιν ὡς τὸ δυνάμει τῆς ὕλης ἐκδεχόμενοι, ἀποροῦσι πῶς ποιότης ἐστὶν ἡ δύναμις τῆς ἀποίου ὕλης, καίτοι ἄλλη μὲν ἡ φυσικὴ δύναμις, ἄλλο δὲ τὸ τῆς ὕλης δυνάμει· ἡ μὲν γὰρ προέμφασις τοῦ εἴδους ἐστίν, ἡ δὲ στέρησις καὶ οὔπω ἐπιτηδειότης ἀλλὰ καὶ ταύτης ἔτι λειπομένη. ἀναμνησθῶμεν δὲ καὶ ὅτι φυσικὴν ταύτην δύναμιν εἶπεν ὁ Ἀριστοτέλης τὴν ἤδη προηγουμένην εἰς τὸ ῥᾳδίως τι ποιῆσαι ἢ παθεῖν. ὁ δὲ Εὔδωρος αἰτιᾶται ὡς τῷ προτέρῳ ταὐτὸν ὂν τοῦτο τὸ εἶδος τῆς ποιότητος· αἱ γὰρ φυσικαὶ δυνάμεις εἰ μὲν εὐμετακίνητοι τύχωσι, διαθέσεις ἔσονται, εἰ δὲ μόνιμοι, ἕξεις. τοῦτο δὲ οὐκ ὀρθῶς εἴρηται, τοῦ Ἀριστοτέλους ἐν μὲν τοῖς προτέροις ἀρετὰς καὶ ἐπιστήμας λαβόντος... ἀλλὰ πῶς ὁ Ἀριστοτέλης εἶπεν ὅτι δρομικοὶ λέγονται οὐ τῷ διακεῖσθαί πως ἀλλὰ τῷ δύναμιν ἔχειν τοῦ ποιῆσαι ῥᾳδίως; τὸ γὰρ μηδὲ ὅλως αὐτὰς διακεῖσθαι ἄτοπον ὑπονοεῖν· ἔχουσι γὰρ τοῦ πῶς ἔχοντος διάθεσιν. ἢ κατὰ μὲν τὴν τοῦ εἴδους διάθεσιν τοῦ τελείου οὐ διάκεινταί πως, οὔτε ὡς εὐκίνητον οὔτε ὡς μόνιμον ἔχοντες τὴν διάθεσιν, κατὰ δὲ τὴν ἐπιτηδειότητα διάκεινται... f. 5. ἀλλὰ διὰ τί τὴν τοῦ παθεῖν τι οὐκέτι δύναμιν ἀλλ' ἀδυναμίαν ἔφη εἶναι; ἢ αὐτὸς ἐν τοῖς Μετὰ τὰ Φυσικὰ (δ' 12) τοῦτο διέλυσε διελὼν τὰ μὲν ἐν τῷ ποιεῖν τὰ δὲ ἐν τῷ παθεῖν, καὶ τῷ μὲν ποιεῖν τὸ ἐν ἑτέρῳ ἢ ἕτερον ποιεῖν ἀποδούς, τῷ δὲ πάσχειν τὸ ὑφ' ἑτέρου πάσχειν ἢ ἕτερον· κοινότερον μέντοι δύναμις ἐπ' ἀμφότερα ταῦτα διατείνει... μετὰ δὲ τὰς ἐνστάσεις καὶ διαλύσεις καιρὸς ἂν εἴη καὶ ἐμοὶ τὰς νοερωτέρας τῶν ἐξηγητῶν ἐπιβολὰς περὶ τῆς φυσικῆς ταύτης δυνάμεως παραγράφειν, τίς τέ ἐστι λέγοντι καὶ ἐν τίσι θεωρεῖται τῶν ὄντων. ἔστι δὲ καθόλου τοῦτο τὸ γένος πᾶσιν ὑπάρχον τοῖς ὁπωσοῦν τελειουμένοις· οὐ γὰρ ὅλως ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον παραγίνεταί τι, εἰ μὴ μέση δύναμις παρείη ἐπιδιδοῦσα μὲν τὸ ἐνδεὲς εἰς τελείωσιν, δεχομένη δὲ τὴν ἀποπλήρωσιν ἀπὸ τοῦ τελειοτάτου.

f. 6 b. μήποτε διττὸν εἶδος ἀδυναμίας διὰ τούτων ἐνδείκνυται, 9a 23
ἓν μὲν τὸ κατὰ στέρησιν, ὡς τὸ νοσῶδες ἀδυναμίαν ἔχει τοῦ μὴ πάσχειν ῥᾳδίως ὑπὸ τῶν τυχόντων, οὗ δύναμιν εἶχε τὸ ὑγιεινόν· τὸ δὲ κατὰ εἶδος ὑφεστώς, ὥσπερ τὸ μαλακὸν ἀδυναμίαν ἔχει τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι, οὕτως τὸ σκληρὸν ἀδυναμίαν ἔχει τοῦ ῥᾳδίως διαιρεῖσθαι.

ἐκεῖνο προσείληπται) ἀλλὰ καθὸ τὴν μορφὴν συμπληροῖ, καὶ πᾶσαι αἱ ἐπιπολῆς φαινόμεναι κατὰ περιγραφὴν ἐμφάσεις.

8b 29. ΣΙΜΠΛ. λʹ f. 6. πάσας τὰς τέχνας ἐπιστήμας νῦν προσηγόρευσε κατά τι κοινὸν τῆς ἐπιστήμης σημαινόμενον.

8b 31. λʹ f. 6. καὶ γὰρ νοσήσαντές τινες ἀπέβαλον τὰς ἐπιστήμας, ὥσπερ ἐφ' ἡμῶν ἐν Παλαιστίνῃ προκεκοφώς τις ἐν λόγοις ἤδη καὶ νοσήσας πάντων ἐπελάθετο, ὡς δεηθῆναι μετὰ τὴν ἀνάληψιν αὖθις εἰς γραμματιστοῦ φοιτῆσαι. καὶ ὑπ' ἄλλου δὲ αἰτίου συμβαίνει τοῦτο, ὡς ἐπὶ τοῦ πληγέντος τὴν κεφαλήν. καὶ ὑπὸ φαρμάκων δὲ ἐπιλαθέσθαι συνέβη πάντων, ὡς τοῖς μετὰ Ἀντωνίου τοῦ Ῥωμαίων στρατηγοῦ Πάρθοις πολεμοῦσι συνέβη ἐπὶ βοτάνης τινὸς ἐδωδῇ, ὡς Ἀριανὸς ἱστόρησεν ἐν τοῖς Παρθικοῖς, πλὴν ὅτι ἐκεῖνοι χρόνῳ πάλιν ἀπεκατέστησαν ἐς τὸ κατὰ φύσιν, ὅσοι περιεσώθησαν, οἰνελαίου πόματος εὐπορήσαντες· τοῦτο γὰρ ἐκ περιπτώσεως εὑρέθη τοῦ πάθους βοήθημα.

9a 2. ἈΜΜ. f. 108 *a*. πεφυσιωμένη δέ φησι, τουτέστιν εἰς φύσιν μεταβληθεῖσα καὶ αὐτὴ φύσις γενομένη διὰ τὸν συνεθισμὸν τοῦ πολλοῦ χρόνου.

ΣΙΜΠΛ. λʹ f. 6. ταχὺ γὰρ καὶ ταῦτα μεταβάλλει ἐπὶ τὸ ἐναντίον, εἰ μή τις διὰ χρόνου πλῆθος φυσιωθείη ἐν τούτοις, τῆς τε νόσου ἀνιάτου γενομένης καὶ τῆς ὑγείας δυσαποβλήτου, ὅτι οὔτε διαθέσεις ἀλλ' ἕξεις ἤδη τὰς τοιαύτας προσήκει καλεῖν. ὅτι δὲ αἱ μόνιμοι ποιότητες ἕξεις εἰσί, πιστοῦται ἀπὸ τῆς συνηθείας.

9a 4. f. 7. ζητεῖ δὲ Ἀλέξανδρος, τί διαφέρει ἡ διάθεσις αὕτη καὶ ἡ ἕξις ὧν μετ' ὀλίγον ἐρεῖ παθῶν καὶ παθητικῶν ποιοτήτων; ἡ γὰρ θερμότης ὅταν εὐμετάβλητος ᾖ, πάθος φησὶν αὐτὴν εἶναι, τὸ δὲ εὐμετάβλητον διάθεσιν νῦν καλεῖ, χρονιζόμενα δὲ τὰ πάθη παθητικὰς ποιότητας γίνεσθαί φησι, τὰ δὲ χρονιζόμενα καὶ δυσκίνητα ἕξεις νῦν καλεῖ. τίνι οὖν διαφέρουσιν αἱ ἕξεις αὗται καὶ διαθέσεις τῶν παθητικῶν ἐκείνων ποιοτήτων καὶ τῶν παθῶν; λύων δὲ τὴν τοιαύτην ζήτησιν αὐτὸς "μήποτε" φησί "τὴν ἕξιν καὶ τὴν διάθεσιν ἐπὶ ταῖς τῆς ψυχῆς ποιότησιν ὅσαι ἐπίκτητοι καὶ ἔξωθεν καὶ διὰ διδασκαλίας ἐγγίνονται, χρὴ τάττειν." ἐπεὶ δὲ ἐνίστατο αὐτῷ τὰ τῆς ὁράσεως παραδείγματα, θερμότης καὶ ψῦξις καὶ νόσος καὶ ὑγεία, οὐκ ὄντα ψυχικά, κοινότερον αὐτόν φησι τοῖς παραδείγμασι χρήσασθαι. ἢ τὸ "οἷον θερμότητα" λέγοι ἂν ὡς ἴσον τῷ οἷον θερμότης· ὡς γὰρ ταῦτα εὐκίνητα, οὕτως καὶ ἡ διάθεσις. ταύτην δὲ τὴν λύσιν οὐκ ἀποδέχονται οἱ μετ' αὐτὸν ἐξηγηταί... f. 8. ὁ δὲ Πορφύριος "ἡ πρόσκαιρος" φησὶ "θέρμανσις πάθος ἔχουσα ἆρά γε ἡ αὐτὴ ἂν εἴη τῇ διαθέσει, ἢ τοῦ μὲν ἔχοντος σώματος καὶ ἐπάγοντος ἄλλῳ τὸ θερμαίνεσθαι εἴη ἂν διάθεσις, τοῦ θερμαινομένου δὲ οὕτως ὡς μὴ ἂν δύνασθαι ἄλλο θερμᾶναι πάθος ἂν εἴη πρόσκαιρον καὶ ἐπ' ὀλίγον θέρμανσις· ὥστε πάθους μὲν εἶναι ἐπίτασιν τὴν διάθεσιν, ἥτις ἂν εἴη καὶ παθητικὴ ποιότης, ἐπίτασιν δὲ τῆς διαθέσεως τὴν ἕξιν καὶ μάλιστα παθητικὴν ποιότητα. εἰ δέ τινες ἐπιλαμβάνονται τῆς διαιρέσεως μὴ τὸ ἓν πολλὰ ποιούσης, ὅπερ ἔδει, ἀλλὰ τὰ πολλὰ συμφορούσης εἰς ἓν καὶ ἓν εἶδος τιθεμένης τῆς ἕξεως καὶ διαθέσεως, διότι τὸ μὲν ἐπιτείνεται τὸ δὲ ἀνίεται μόνον ἐν τῇ αὐτῇ ἰδιότητι, καὶ λέγοιεν δυνατὸν εἶναι καὶ κατ' εἶδος διαφέροντά τινα μηδὲν κωλύειν ἔχειν τὴν κατὰ τὸ μᾶλλον καὶ ἧττον διαφοράν, καὶ παραδείγματα ἐπάγοιεν τὴν μέμψιν καὶ τὴν ὀργὴν καὶ τὸν θυμόν, ἅπερ φησὶν ὁ Θεόφραστος ἐν τῷ περὶ παθῶν κατὰ τὸ μᾶλλον καὶ ἧττον ἔχειν τὴν διαφορὰν καὶ μὴ εἶναι ὁμοειδῆ· ὁμοίως δὲ καὶ φιλία καὶ εὔνοια ἐπιτείνεται καὶ ἀνίεται, καὶ ἄλλο εἶδος ἑκατέρα ἐστίν, ὠμότης τε καὶ θηριότης πρὸς ὀργήν, ἐπιθυμία τε καὶ ἔρως ὡσαύτως διέστηκε, καὶ καθόλου τὰ δυσφημότερα τῶν παθῶν ἐπιτεινόμενα εἰς ἄλλο μεταβάλλει εἶδος· — εἰ οὖν ταῦτα λέγοι, ῥητέον ὅτι, εἰ τὸ μᾶλλον καὶ τὸ ἧττον κατὰ τὸ ἀόριστον ὑφίσταται τῆς ὕλης, πῶς ἂν εἶεν εἴδη τε καὶ διαφοραί, κατὰ μηδὲν ἄλλο τῆς διαστάσεως ὑφισταμένης;"... εἰς τοὐναντίον δὲ τούτοις ὁ Πλωτῖνος ἀπορῶν "εἰ κοινόν" φησίν "ἐστι πάσης ποιότητος τὸ εἶναι χαρακτῆρα ἔξωθεν οὐσίας καὶ τὸ ἐπιγινόμενον μετὰ τὴν οὐσίαν εἰς τὸ πῶς διακεῖσθαι τὸ ὑποκείμενον, διὰ τί πλείω εἴδη καταριθμεῖται ποιότητος, ἕξις καὶ διάθεσις;"... f. 8 *b*. αἰτιῶνται δέ τινες τὸν Ἀριστοτέλην τὴν διάθεσιν ἐπὶ τοῦ ὀλιγοχρονίου τάξαντα, τὴν συνήθειαν αὐτοὶ παραφέροντες ὡς τὸ πολυχρόνιον δηλοῦσαν, ὥσπερ καὶ αὐτὸς τὴν συνήθειαν ἐπὶ τῆς ἕξεως ἐμαρτύρατο. ἐπὶ γοῦν τῶν ἀδιαλλάκτων ἐχθρῶν λέγειν εἰώθαμεν ὅτι διάθεσις ἤδη γέγονε, καὶ ἐπὶ τῶν ἐσκιρρωμένων νόσων. ἀλλὰ τὴν μὲν συνήθειαν παραιτητέον ὡς οὐκ ἐν πᾶσι τυγχάνουσαν τοῦ ἀληθοῦς· ἐν οἷς δὲ τυγχάνει, ἐν τούτοις μόνοις ἐπιμαρτύρεσθαι ταύτην ἄξιον. καὶ οὕτω τὴν διάθεσιν ἀντὶ τῆς ἕξεως εἰώθαμεν παραλαμβάνειν, ἐπειδὴ εἰς ἓν εἶδος ταῦτα συντέτακται. δηλοῖ δὲ ἡ διάθεσις θέσιν τινὰ κατ' εἶδος, ἡ δὲ ἕξις ἐνέργειαν τοῦ ἔχοντος ἢ ἐχομένου, καὶ διὰ τοῦτο ἡ μὲν ἔσω εὐμετάπτωτος ἡ δὲ δυσμόχλευτος. Εὔδωρος δὲ ἐγκαλεῖ ὅτι εἰπὼν ἴδιον εἶναι τῆς διαθέσεως τὸ εὐκίνητον, φησὶ πάλιν εἴπερ εἴδη αἱ ἕξεις καὶ διαθέσεις (9 *a* 10?)· οὐκέτι γὰρ ἴδιον ἔσται τὸ εὐκίνητον τῆς διαθέσεως... ἄξιον δὲ καὶ τὴν τῶν Στωϊκῶν συνήθειαν πάντων περὶ τὰ ὀνόματα ταῦτα καταμαθεῖν· δοκοῦσι γὰρ οὗτοί τισιν ἀνάπαλιν τῷ Ἀριστοτέλει τὴν διάθεσιν τῆς ἕξεως μονιμωτέραν ἡγεῖσθαι. τὸ δὲ ἀφορμὴν μὲν ἔχει τῆς τοιαύτης ὑπονοίας, οὐ μέντοι κατὰ τὸ μονιμώτερον ἢ μὴ παρὰ τοῖς Στωϊκοῖς ἡ τούτων εἴληπται διαφορὰ ἀλλὰ κατ' ἄλλας διαθέσεις· καὶ γὰρ τὰς μὲν ἕξεις ἐπιτείνεσθαί φασι δύνασθαι καὶ ἀνίεσθαι, τὰς δὲ διαθέσεις ἀνεπιτάτους εἶναι καὶ ἀνανέτους· διὸ καὶ τὴν εὐθύτητα τῆς ῥάβδου, κἂν εὐμετάβολος ᾖ δυναμένη κάμπτεσθαι, διάθεσιν εἶναί φασιν· μὴ γὰρ ἀνεθῆναι ἢ ἐπιταθῆναι τὴν εὐθύτητα, μηδὲ ἔχειν τὸ μᾶλλον ἢ ἧττον, διόπερ εἶναι διάθεσιν. οὑτωσὶ δὲ καὶ τὰς ἀρετὰς διαθέσεις εἶναι οὐ κατὰ τὸ μόνιμον ἰδίωμα ἀλλὰ κατὰ τὸ ἀνεπίτατον καὶ ἀνεπίδεκτον τοῦ μᾶλλον· τὰς δὲ τέχνας ἤτοι δυσκινήτους οὔσας ἢ μὴ εἶναι διαθέσεις. καὶ ἐοίκασι τὴν μὲν ἕξιν ἐν τῷ πλάτει τοῦ εἴδους θεωρεῖν, τὴν δὲ διάθεσιν ἐν τῷ τέλει τοῦ εἴδους καὶ ἐν τῷ μάλιστα, εἴτε κινοῖτο καὶ μεταβάλλοι, ὡς τὸ εὐθὺ τῆς ῥάβδου, εἴτε καὶ μή. μᾶλλον δὲ ἐχρῆν ἐκεῖνο ἐπιστῆσαι, μὴ ἡ παρὰ τοῖς Στωϊκοῖς σχέσις ἡ αὐτή ἐστι τῇ παρὰ Ἀριστοτέλει διαθέσει, κατὰ τὸ εὐανάλυτον καὶ δυσανάλυτον δισταμένη πρὸς τὴν ἕξιν. ἀλλ' οὐδὲ οὕτως συμφωνοῦσιν· ὁ μὲν γὰρ Ἀριστοτέλης τὴν ἀβέβαιον ὑγείαν διάθεσιν εἶναί φησιν, οἱ δὲ ἀπὸ τῆς Στοᾶς τὴν ὑγείαν, ὅπως ἂν ἔχῃ, οὐ συγχωροῦσι σχέσιν εἶναι· φέρειν

ἀκατονομάστως εἴληπται, καὶ κεῖται νῦν ἐπὶ συνωνύμου κατηγορίας. οὕτως μὲν πρὸς τὸ πρῶτον ἐπιχείρημα· πρὸς δὲ τὸ λέγον ὅτι τάξιν ἐπεδείξατο, λέγει ὅτι τάξιν ἐπεδείξατο οὐ τὴν κατὰ τὸ τῆς φύσεως κοινόν· ποιὰ γὰρ ὁμοίως· ἀλλ' ἡ ἕξις τῶν λοιπῶν ὡς τιμιωτέρα προβέβληται, διότι μονιμωτέρα ἡ ἕξις τῶν λοιπῶν καὶ εἰδοποιός.

8b 26 'ΑΜΜ. f. 106. πῶς πλεοναχῶς; τουτέστι κατὰ τὰ ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ἀλλ' οὐχ ὡς ὁμώνυμος φωνή.

ΣΙΜΠΛ. λ'. f. 2. ἰδίως δὲ καὶ τὰ ὁμωνύμως καὶ τὰ συνωνύμως λεγόμενα πλεοναχῶς λέγεται ὡς διαφόρως λεγόμενα. ταῦτα τοίνυν δύναται ἢ κατὰ τὸ κοινὸν εἰρῆσθαι ὡς κατὰ πλειόνων λεγόμενα, ἢ μᾶλλον κατὰ τὸ συνωνύμως καὶ κατὰ διαφορὰν λεγόμενον. δηλοῖ δὲ αὐτὸς ἐπαγαγὼν "ἓν μὲν οὖν εἶδος" (καὶ οὐχὶ ἓν σημαινόμενον) "ποιότητος αἱ ἕξεις καὶ διαθέσεις λεγέσθωσαν." δοκεῖ δὲ τοῖς περὶ 'Αλέξανδρον τὸ πλεοναχῶς δύνασθαι κυρίως ἐπὶ τῆς ποιότητος εἰρῆσθαι, ὡς οὐκ οὔσης ἐν μόνῳ τῷ εἰρημένῳ γένει, ἐν ᾧ εἰσὶν αἱ ἕξεις καὶ αἱ διαθέσεις, ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις· ἐν πάσαις γὰρ τὰ γένη καὶ τὰ εἴδη ποιότητα σημαίνει τὴν περὶ ταῦτα ὧν ἐστὶ γένη καὶ εἴδη, ὥσπερ τὸ περὶ οὐσίαν ποιὸν ἢ τῶν ἄλλων τι γενῶν· τοῦτο οὖν ἐνδείξασθαι βουλόμενον εἰπεῖν "ἔστι δὲ ἡ ποιότης τῶν πλεοναχῶς λεγομένων·" εἰπόντα δὲ τοῦτο τὴν διαίρεσιν ποιήσασθαι οὐ τῆς πολλαχῶς ἀλλὰ τῆς κυρίως λεγομένης ποιότητος τῆς ὡς γένος τῶν δέκα γενῶν. ἀλλ' ἐφιστάνουσιν οἱ ἀκριβέστεροι τῶν ἐξηγητῶν ὡς οὐ καλῶς λέγονται τὰ γένη καὶ τὰ εἴδη ποιότητες εἶναι καὶ ποιὰ ἐν ταῖς δέκα κατηγορίαις... f. 3. προσθήκη τοίνυν οὐσίας ἐστὶν ὁ τῆς ποιότητος λόγος καὶ ἀεὶ ὡς συμβεβηκὸς θεωρούμενος καὶ ἀπεστερημένος τῆς ὄντως οὐσίας, καὶ ἔμφασις εἴδους καὶ εἰκὼν τοῦ προτέρου λόγου καὶ ὡς ἕτερος ἐφ' ἑτέρῳ ἐπιγινόμενος, οἷον ἐπίκτητός τε καὶ ἔξωθεν ἐφήκων εἰς τὰ μεταλαμβάνοντα. ὁ δὲ τοιοῦτος λόγος ὁ κατὰ τὴν ποιότητα κυρίως θεωρούμενος κοινός ἐστι τῶν μετεχόντων αὐτοῦ εἰδῶν, καὶ αὐτὰ δὲ τὰ γένη καθόσον ἐστὶ γένη διέστηκεν ἀλλήλων... οἱ δὲ Στωϊκοὶ τὸ κοινὸν τῆς ποιότητος τὸ ἐπὶ τῶν σωμάτων λέγουσι διαφορὰν εἶναι οὐσίας οὐκ ἀποδιαληπτὴν καθ' αὑτὴν ἀλλ' εἰς ἓν νόημα καὶ ἰδιότητα ἀπολήγουσαν, οὔτε χρόνῳ οὔτε ἰσχύϊ εἰδοποιουμένην, ἀλλὰ τῇ ἐξ αὐτῆς τοιουτότητι καθ' ἣν ποιοῦ ὑφίσταται γένεσις. ἐν δὲ τούτοις εἰ μὴ δυνατόν κατὰ τὸν ἐκείνων λόγον κοινὸν εἶναι σύμπτωμα σωμάτων καὶ ἀσωμάτων, οὐκέτι ἔσται γένος ἡ ποιότης, ἀλλ' ἑτέρως μὲν ἐπὶ τῶν σωμάτων ἑτέρως δὲ ἐπὶ τῶν ἀσωμάτων αὕτη ὑφέστηκε, καὶ ὑπ' ἄλλα γένη διὰ τοῦτο ταχθήσεται. τούτου δὲ ἔτι ἀτοπώτερον λέγεται τὸ μὴ ἔχειν ὑπόστασιν τὰς ποιότητας, ἀλλ' εἰς ἓν νόημα αὐτὰς καταλήγειν... ὁ δὲ Πλωτῖνος τὸ κοινὸν τῆς ποιότητος δύναμιν εἶναι ἔθετο, ἀφ' ἧς τὸ ἔχον δύναται ἃ δύναται· πάσαις γὰρ ἐφαρμόζειν τοῦτο ταῖς τέτρασι ποιότησι... f. 3 b. ἔσται δὴ οὖν ποιότης δύναμις προστιθεῖσα ταῖς οὐσίαις μετ' αὐτὰς τὸ ποιαῖς εἶναι, συνημμένη πρὸς αὐτὰς διὰ συγγενείας, τὸ δὲ μετ' αὐτὰς οὐδὲν ἧττον ἐμφαίνουσα, διότι καὶ τὸ ἐπιγεννηματικὸν ἔχει. ἀλλ' εἰ ἡ δύναμις τοιαύτη, φησὶν ὁ Πλωτῖνος, αἱ ἀδυναμίαι οὐκέτι ἔσονται ποιότητες· εἰ δὲ ποιότητες καὶ αὐταί, οὐκ ἐφαρμόσει κατὰ πασῶν ὁ τῆς ποιότητος διορισμός. πρὸς δὴ τοῦτο ἀναγκαῖον διελέσθαι πῶς λέγεται δύναμις καὶ ἀδυναμία. εἰ μὲν γάρ, ὡς οἱ Στωϊκοὶ ἀποδιδόασι, δύναμίς ἐστιν ἡ πλειόνων ἐποιστικὴ συμπτωμάτων, ὡς ἡ φρόνησις τοῦ τε φρονίμως περιπατεῖν καὶ τοῦ φρονίμως διαλέγεσθαι, ἔσονται κατὰ τὸν τοιοῦτον διορισμὸν καὶ αἱ νῦν λεγόμεναι ἀδυναμίαι δυνάμεις· καὶ γὰρ αἱ ἀτεχνίαι πλείονα διαπτώματα ἐπιφέρουσιν. εἰ μέντοι κατ' ἄλλην διάταξιν τῶν Στωϊκῶν λέγοιτο δύναμις ἡ πλειόνων ἐποιστικὴ συμπτωμάτων καὶ κατακρατοῦσα τῶν ὑποτασσομένων ἐνεργειῶν, καὶ οὕτως ἐφαρμόττει ὁ τοῦ Πλωτίνου ὅρος· καὶ γὰρ ἡ κακία ἀδυναμία οὖσα κατὰ τὸν τῶν Στωϊκῶν ὅρον κατακρατεῖ τῶν οἰκείων ἐνεργειῶν, καὶ αἱ μέσαι τέχναι, ὡς ἂν ἀποπίπτουσαι τοῦ βεβαίως ἐνεργεῖν, ὅμως τοιαῦταί εἰσιν ἀφ' ὧν τὸ ἔχον δύναται ἃ δύναται. ὥστε αἱ τοιαῦται ἀδυναμίαι περιέχονται ἐν τῇ κατὰ τὴν ποιότητα δυνάμει. εἰ δὲ καὶ κατὰ 'Αριστοτέλην τὸ πολλαχῶς τῆς δυνάμεως διελώμεθα, καὶ οὕτως ὁ τοῦ Πλωτίνου λόγος καὶ ἐπὶ τῆς δυνάμεως σωθήσεται καὶ ἐπὶ τῆς ἀδυναμίας... f. 4 b. ἀλλ' ἴσως διὰ τοῦτο ταῖς δυνάμεσιν αἱ ποιότητες οὐκ ἐξισάζουσι, διότι τὸ ἴδιον σημαινόμενον τῶν δυνάμεων ἀλλ' οὐχὶ τὸ κοινὸν παραλαμβάνομεν... f. 5. εἰσὶ μὲν αἱ ποιότητες δυνάμεις, καὶ διὰ τοῦτο ποιητικαί, οὐ μέντοι πρώτως ποιητικαὶ οὐδὲ μόνως ποιοῦσαι... τῆς γὰρ ποιότητος ἴδιον τὸ διορίζειν τὰς οὐσίας πρὸς ἀλλήλας, καὶ τὸ πρὸς ἑαυτὰς ἴδιον χαρακτῆρα ἐμποιεῖν, καὶ τὸ τὴν ἐνέργειαν περὶ τὸ εἶδος καὶ τὸν χαρακτῆρα συντείνειν, ὥσπερ ἡ ποσότης περὶ τὸ ὅσον μόνον ἐνεργεῖ, καὶ ἡ οὐσία περὶ τὸ οὐσιῶδες εἶδος ἵσταται. ἀλλὰ ταῦτα μὲν ἀπὸ τοῦ πλούτου τῶν ἐξηγητῶν πλουσίως παραγεγράφθω.

f. 5. ὅτι μὲν τὸ πλεοναχῶς τῆς ποιότητος οὐχ ὡς ὁμωνύμως εἰρημένον παρείληπται, δηλοῖ τὸ "ἓν μὲν οὖν εἶδος ποιότητος·" εἰ δέ τις καὶ πρὸς τὸ γένος εἶναι καὶ συνωνύμως κατηγορεῖσθαι φιλονεικεῖ διὰ τὴν τάξιν, ἐκλεγέσθω τὸ μέσον τῶν τε συνωνύμων καὶ ὁμωνύμων, τὸ ἀφ' ἑνός, οὐ μόνον ἐπὶ τῆς ποιότητος ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἐννέα γενῶν· οὐδὲ γὰρ ἐκεῖνα κυρίως ἐστὶ γένη, οὐδ' ὡς γένη τῶν ὑπ' αὐτὰ κατηγορεῖται, τάξεως οὔσης πανταχοῦ πρώτων καὶ δευτέρων... ἀλλ' ἐπειδὴ τετραδικὴν τῶν ποιοτήτων διαίρεσιν 'Αριστοτέλης παραδέδωκεν ἐμφαίνουσάν τι καὶ δυαδικὸν πρὸ τοῦ τετραδικοῦ, δεῖ τὴν ἀκολουθίαν ἐκφῆναι τῆς διαιρέσεως, ἀπὸ τοῦ δυαδικοῦ τὴν ἀρχὴν ποιησάμενον, ὥσπερ καὶ ὁ Πλάτων παρακελεύεται κατὰ τὰς ἐλάττονας τέμνειν ἀριθμοὺς πρότερον, εἴ πῃ δυνατόν. τῶν γὰρ ποιοτήτων αἱ μέν εἰσι φυσικαὶ αἱ δὲ ἐπίκτητοι, φυσικαὶ μὲν αἱ κατὰ φύσιν ἐγγινόμεναι καὶ ἀεὶ ἐνοῦσαι, ἐπίκτητοι δὲ αἱ ἔξωθεν ἀποτελούμεναι καὶ δυνάμεναι ἀποβάλλεσθαι. καὶ τούτων μὲν ἔστωσαν αἱ ἕξεις καὶ διαθέσεις τῷ πολυχρονιωτέρῳ τε καὶ ὀλιγοχρονιωτέρῳ καὶ δυσαποβλήτῳ τε καὶ εὐαποβλήτῳ διαφέρουσαι· τῶν δὲ φυσικῶν ποιοτήτων αἱ μὲν ἔστωσαν κατὰ τὸ δυνάμει αἱ δὲ κατὰ τὸ ἐνεργείᾳ, αἱ μὲν κατὰ τὸ δυνάμει καθ' ἃς ἐπιτήδειοι πρός τι λεγόμεθα, τῶν δὲ κατ' ἐνέργειαν τὸ μὲν διὰ βάθους, ὅπερ κατὰ τὰς παθητικὰς ποιότητας ὑπάρχει διττῶς· καὶ τοῦτο λέγομεν ἢ ἀπὸ τοῦ πάθος ἐμποιεῖν τοῖς αἰσθανομένοις, ἢ ἀπὸ τοῦ αὐτὰς ἀπὸ πάθους ἐγγίνεσθαι... τὸ δὲ ἐπιπολῆς ἐστὶ τῶν κατ' ἐνέργειαν ποιοτήτων, ὥσπερ τὸ σχῆμα καὶ ἡ μορφή, ἥτις ἐστὶ σχῆμα ἐμψύχου καὶ χρῶμα, οὐ καθὸ χρῶμα ἁπλῶς (ἤδη γὰρ

τοῦ λεγομένου ἡ ποιότης κατὰ τὸ τελευταῖον ποιὸν συναπαρτίζει πρὸς τὸ ποιόν· διὸ καὶ ὅταν ὁρίζωνται τὴν ποιότητα σχέσιν ποιοῦ, οὕτως ἀκουστέον τοῦ ὅρου ὡς τοῦ τρίτου ποιοῦ παραλαμβανομένου· μοναχῶς μὲν γὰρ ἡ ποιότης λέγεται κατ' αὐτοὺς τοὺς Στωϊκούς, τριχῶς δὲ ὁ ποιός... f. 7 b. τὸν μὲν οὐσιώδη λόγον τῆς ποιότητος ἐν τοῖς Μετὰ τὰ Φυσικὰ (δ' 14) ὁ Ἀριστοτέλης ἀπέδωκε, τὸν δὲ ἐννοηματικὸν ἐνταῦθα... οἱ περὶ τὸν Ἀνδρόνικον ἠξίουν οὐκ ἀφ' ἧς ἔχουσι δυνάμεως ὠνομάσθαι αὐτοὺς (ποιούς) ἀλλ' ἀφ' ἧς ἕξουσι· τοὺς γὰρ εὖ πρὸς τὰς μελλούσας ἕξεις διακειμένους οὕτως καλεῖσθαι. καὶ οἱ Στωϊκοὶ δὲ κατὰ τὰς αὐτῶν ὑποθέσεις τὴν αὐτὴν ἂν ἀπορίαν προσαγάγοιεν τῷ λέγοντι λόγῳ κατὰ ποιότητα πάντα τὰ λοιπὰ λέγεσθαι· τὰς γὰρ ποιότητας ἑκτὰ λέγοντες οὗτοι ἐπὶ τῶν ἡνωμένων μόνων ἑκτὰ ἀπολείπουσιν, ἐπὶ δὲ τῶν κατὰ συναφήν, οἷον νεώς, καὶ ἐπὶ τῶν κατὰ διάστασιν, οἷον στρατοῦ, μηδὲν εἶναι ἑκτὸν μηδὲ εὑρίσκεσθαι πνευματικόν τι ἓν ἐπ' αὐτῶν μηδὲ ἕνα λόγον ἔχον, ὥστε ἐπί τινα ὑπόστασιν ἐλθεῖν μιᾶς ἕξεως. τὸ δὲ ποιὸν καὶ ἐν τοῖς ἐκ συναπτομένων θεωρεῖται καὶ ἐν τοῖς ἐκ διεστώτων... εἰ μέντοι τοιαύτην τις τὴν ὑπόθεσιν ὡς ἀπεξενωμένην τῆς Στωϊκῆς αἱρέσεως μὴ προσδέχοιτο, ἔστιν ἰσχυρῶς ἀπομάχεσθαι ὡς οὔτε κατάταξις οὔτε σχέσις οὔτε ἐπίκτητος σύνδεσις οὔτε ἄλλη τις τοιαύτη συμπλοκὴ παράγει τινὰ ποιοῦ ὑπόστασιν· ὅμοιον γάρ ἐστι τοῦτο τῷ ἐκ τοῦ μὴ ὄντος τὰ ὄντα παράγεσθαι καὶ ἐκ τοῦ μὴ ζῶντος τὰ ζῶντα· ὅλως γὰρ πρωτουργόν τι χρῆμα ἐν ἑκάστῳ ἐστὶν ἡ οὐσία καὶ οὐχ ὕστερον ἐπιγινόμενον ἄλλοις. οὐδὲ τὸ ποιὸν οὖν οὕτως ὑπόστασιν ἕξει... f. 8 b. οἱ ἀπὸ τῆς Ἐρετρίας ἀνῄρουν τὰς ποιότητας ὡς οὐδαμῶς ἐχούσας τι κοινὸν οὐσιῶδες, ἐν δὲ τοῖς καθ' ἕκαστα καὶ συνθέτοις ὑπαρχούσας. καὶ Δικαίαρχος δὲ ἀπὸ τῆς αὐτῆς αἰτίας τὸ μὲν ζῷον συνεχώρει εἶναι, τὴν δὲ αἰτίαν αὐτοῦ ψυχὴν ἀνῄρει. καὶ Θεόπομπος δὲ τὸ μὲν γλυκὺ σῶμα διὰ ταῦτα ἀπεφήνατο συνεστηκέναι, τὴν δὲ γλυκύτητα οὐκέτι· οὔτε γὰρ σώματα οὔτε ἀσωμάτους ἔθεντο εἶναι τὰς ποιότητας, ψιλὰς δὲ μόνας ἐννοίας αὐτὰς ὑπελάμβανον διακένως λεγομένας κατ' οὐδεμιᾶς ὑποστάσεως, οἷον ἀνθρωπότητα ἢ ἱππότητα... λ' f. 1. βέλτιον οὖν εἰς ἐκείνην ἐλθεῖν τὴν ὑπόθεσιν ἥτις ἀπὸ τοῦ ἔχεσθαι παράγει τὰ ἑκτά, ὥσπερ οἱ Ἀκαδημικοὶ ὡρίσαντο ἑκτὸν τὸ οἷόν τε ἔχεσθαι αὐτὸ ἀποδόντες, οὐκ ἀπὸ τῆς ἐτυμολογίας αὐτοῦ παραλαβόντες τὸν λόγον· λογικῶς γὰρ τὸ τοιοῦτον εἴρηται ἀλλ' οὐχὶ πραγματικῶς... οἱ δὲ Στωϊκοὶ τῶν μὲν σωμάτων σωματικὰς τῶν δὲ ἀσωμάτων ἀσωμάτους εἶναι λέγουσι τὰς ποιότητας· σφάλλονται δὲ ἀπὸ τοῦ ἡγεῖσθαι τὰ αἴτια τοῖς ἀποτελουμένοις ἀφ' ἑαυτῶν ὁμοούσια εἶναι, καὶ ἀπὸ τοῦ κοινὸν λόγον τῆς αἰτίας ἐπί τε τῶν σωμάτων καὶ ἐπὶ τῶν ἀσωμάτων ὑποτίθεσθαι... τὴν δὲ Ἀριστοτέλους περὶ τῆς ποιότητος δόξαν ὡς θαυμασίαν πασῶν ἀποκρίνομεν, ᾗ οὐ μόνον ἀσώματος οὖσα ἡ ποιότης διαγορεύεται, ἅτε ταῖς διαφοραῖς κατ' αὐτὴν διωρισμένων τῶν σωμάτων, ἀλλὰ καὶ ὅταν μὲν λέγεσθαι κατὰ τὰς ποιότητας εἴπῃ τοὺς ποιούς, λόγους εἶναι τὰς ποιότητας διορίζεται τοὺς εἰδοποιοῦντας τὰ ποιά, ὅταν δὲ ἐν τοῖς ποιοῖς αὐτοῖς παρεῖναι λέγῃ, ἐν ὕλῃ τότε αὐτοὺς καὶ μετὰ τῆς ὕλης διισχυρίζεται συνυπάρχειν, ἔχοντας μέντοι καθ' ἑαυτοὺς ὑπόστασιν... f. 1 b. εἰ μὲν γάρ τις αὐτὰς χωριστάς, ὥσπερ τὰς ἰδέας Πλάτων, ἀφορίζοιτο, οὐκ ἔστιν ὕπαρξις αὐτῶν· πῶς γὰρ δὴ ἡ ἡμετέρα ἕξις ἔσται χωριστὴ καὶ ἡ μετεχομένη καθ' ἑαυτήν; εἰ δὲ οὕτως τις αὐτὴν λαμβάνει ὡς καὶ ἡμῖν παροῦσαν καὶ ὡς μετεχομένην ἐν τοῖς ποιοῖς, καὶ οὕτως ἐχομένην ὡς τῶν μετεχομένων γίνεσθαι, ἔσται αὐτῶν ἡ ἀληθὴς ὑπόστασις... f. 2. οὐδὲν ἄρα τὸ ποσὸν συμβάλλεται εἰς τὴν ὑπόστασιν αὐτοῦ, ὡς δοκοῦσί τινες τοῦ Πλάτωνος ἀκούειν, ἀλλ' ἔστιν ἀμέριστος περὶ τὰ σώματα μεριζόμενος.

ἈΜΜ. f. 106. διὰ τί δὲ πρόσκειται τὸ "καθ' ἣν ποιοί τινες λέγονται;" ἢ διὰ τὸ δι' αἰδῶ ἔρευθος ἢ τὴν διὰ φόβον ὠχρίασιν. οὐ γὰρ ποιότητες αὗται, ἐπειδὴ μὴ ἐρυθίαι ἢ ὠχρίαι οἱ αἰδεσθέντες καὶ φοβηθέντες λέγονται (φθάνει γὰρ τὴν προσηγορίαν ἡ μεταβολή), ἀλλ' ἠρυθριακέναι καὶ ὠχριακέναι, ὃ οὐ φθάνει τὴν προσηγορίαν. καὶ οὐδὲ ὑπὸ τὴν ποιότητα ἀνάγεται τὸ πάθος τοῦτο διὰ τὸ αὐτό, ἀλλ' ὑπὸ τὸ πάσχειν· οὐ γὰρ πάσχοντες λέγονται ἀλλὰ πεπονθέναι μόνον.

ΔΑΒΙΔ. τρίτη αἰτία (τῆς τάξεως) ὅτι ἔδει λοιπὸν καὶ περὶ τῆς ποιότητος διαλαβεῖν μετὰ τρεῖς κατηγορίας διὰ τοὺς λέγοντας μὴ εἶναι φύσει τὴν ποιότητα ἀλλὰ τῇ θέσει τῶν ἀτόμων ἕπεσθαι, κατὰ τοὺς λέγοντας "νόμῳ γλυκύ, νόμῳ πικρόν." τετάρτη αἰτία ὅτι ἔδει περὶ ποιότητος διαλαβεῖν ὡς ἐπειγούσης τῆς ζητήσεως διὰ τοὺς λέγοντας μὴ εἶναι καθ' αὐτὰς τὰς ποιότητας ἀλλ' ἐν τῇ πρὸς ἕτερον σχέσει τὸ εἶναι ἔχειν· τὸ γὰρ μέλι οὐ καθ' αὑτὸ γλυκύ, φασίν, ἀλλὰ πρὸς τὸν ὑγιαίνοντα, τῷ γὰρ ἰκτερικῷ πικρὸν φαίνεται· τὸ πῦρ οὐ καθ' αὑτὸ θερμόν, οὐ γὰρ πᾶσι θερμόν, οὐ δήπου γὰρ καὶ τῇ σαλαμάνδρᾳ· οὐδὲ ὁ ἥλιος πᾶσι φωτεινός, ταῖς γὰρ νυκτερίσι σκοτεινὸς δοκεῖ εἶναι. πέμπτη αἰτία ὅτι ἔδει καὶ περὶ τῆς ποιότητος συντόμως διαλαβεῖν δι' Ἀντισθένην καὶ τοὺς περὶ αὐτόν, λέγοντας "ἄνθρωπον ὁρῶ, ἀνθρωπότητα δὲ οὐχ ὁρῶ," ὡς ἀναιροῦντας τὴν ἁπλῶς ποιότητα... ἀλλὰ πρὸς τοῦτο ζητήσωμεν πῶς διαιρεῖται ἡ ποιότης. οἱ μὲν ὡς γένος αὐτήν φασι διαιρεῖσθαι, οἱ δὲ ὡς ὁμώνυμον φωνήν. οἱ μὲν γὰρ λέγοντες ὡς γένος εἰς εἴδη διαιρεῖσθαι, ἔλεγον διὰ τριῶν ἐπιχειρημάτων, ἑνὸς μὲν τοῦ λέγοντος "ἓν μὲν οὖν εἶδος τῆς ποιότητος," τὸ γὰρ εἶδος πάντως γένους· δευτέρου, ὅτι πανταχοῦ δέκα ἀπαριθμεῖται τὰ γενικώτατα ὡς ἂν καὶ ποιότητος γένους οὔσης· τρίτου, ἐπεὶ ποτὲ μὲν γένη καλεῖται αὐτά, ποτὲ δὲ καὶ εἴδη ὡς ὑπάλληλα· τὰ γὰρ ὑπάλληλα ὑπὸ ἓν γένος τελοῦσιν. οἱ δὲ λέγοντες ὅτι ὡς ὁμώνυμος φωνὴ διαιρεῖται ἔλεγον οὕτως, ὅτι λέγει αὐτὸς ὁ Ἀριστοτέλης "ἔστι δὲ ἡ ποιότης τῶν πλεοναχῶς λεγομένων·" τὸ δὲ πλεοναχῶς λέγεσθαι ὁμωνύμου φωνῆς. ἀλλὰ καὶ τάξιν ἐπεδείξατο τὰ εἴδη· προτέτακται γὰρ ἡ ἕξις τῶν λοιπῶν, ἐν δὲ τοῖς ὡς γένος εἰς εἴδη διαιρουμένοις οὐκ ἔστι τάξιν εὑρεῖν. ταῦτα μὲν οὗτοι, ὁ δὲ Συριανὸς βουλόμενος ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν διαιρεῖσθαι τὴν ποιότητα εἰς τὰ εἴδη, ἀμφότερα ἀποδέχεται τὰ ἐπιχειρήματα, καὶ τὰ ὡς ὁμώνυμον λέγοντα τὴν διαίρεσιν καὶ τὰ ὡς γένος λέγοντα διαιρεῖσθαι· μέσα γὰρ ὄντα τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ὁμωνύμων καὶ γενῶν, δύναται, φησί, τοῖς τῶν ἄκρων ὀνόμασιν ὀνομάζεσθαι. ὁ δὲ Ἀλέξανδρος βουλόμενος τὴν ποιότητα ὡς γένος εἰς εἴδη διαιρεῖσθαι, ἀπαντᾷ πρὸς τὰ δύο ἐπιχειρήματα, πρὸς μὲν τὸ πλεοναχῶς, ὅτι οὐκ ἐπὶ ὁμωνύμου φωνῆς ἀεὶ λαμβάνεται· νῦν γὰρ ἐπὶ τοῦ παρωνύμως ὁμωνύμως ἑτερωνύμως

ὁρᾶται τόδε τὸ ὄμμα, ᾧ δὲ ἱππότης θεωρεῖται οὐδέπω κέκτησαι." καὶ ἄλλοι δὲ ἦσάν τινες ταύτης τῆς δόξης. οἱ δὲ τινὰς μὲν ἀνῄρουν ποιότητας τινὰς δὲ κατελίμπανον. τῶν δὲ ὑπόστασιν αὐταῖς διδόντων οἱ μὲν πάσας ἡγοῦντο ἀσωμάτους, ὥσπερ οἱ ἀρχαῖοι, οἱ δὲ τῶν μὲν ἀσωμάτων ἀσωμάτους τῶν δὲ σωμάτων σωματικάς, ὥσπερ οἱ Στωϊκοί. διαμφισβητεῖται δὲ καὶ τοῦτο παρὰ πᾶσι, πότερον, ὥσπερ τοῖς ὑποκειμένοις τοῦ εἶναι αἰτίαι εἰσὶ καὶ τοῦ ποιοῖς εἶναι, οὕτως δὲ καὶ αὐταῖς τοῦ εἶναι τοιαύταις τὴν αἰτίαν ἐπιφέρουσιν, αὐτοσύστατοι οὖσαι καὶ εἰς ἑαυτὰς ἐνεργοῦσαι, ἢ ἄλλων αἰτιῶν δέονται εἰς τὸ εἶναι, κἀκεῖναι ἄλλων, καὶ τοῦτο ἐπ' ἄπειρον; πολλὴ δὲ ζήτησίς ἐστι καὶ τίνας χρὴ οὐσιώδεις ποιότητας τίθεσθαι καὶ τίνας οὐ τοιαύτας; διὰ τί γὰρ μία καὶ ἡ αὐτὴ οὖσα ἡ λευκότης ἐπὶ ψιμμυθίου καὶ γάλακτος οὐσιώδης γέγονεν; ἐπεὶ δὲ οὐ ῥᾴδιόν ἐστι διακρῖναι, ἐκάλουν μὲν οὖν τὴν ποιότητα καὶ ἕξιν οἱ ἀπὸ τῆς Στοᾶς, οἱ δὲ ἀπὸ τῆς Ἀκαδημίας ἀπὸ τοῦ ἔχεσθαι τὰς ἕξεις ἑκτὰ ἐκάλουν, ὥσπερ τὰ ἐννοήματα μεθεκτὰ ἀπὸ τοῦ μετέχεσθαι καὶ τὰς πτώσεις τευκτὰς ἀπὸ τοῦ τυγχάνεσθαι καὶ κατηγορήματα καὶ συμβάματα ἀπὸ τοῦ συμβεβηκέναι. καὶ ἡ μὲν ἀρχὴ τοῦ ὀνόματος τοῦ ἑκτοῦ ἀπὸ τῶν ἕξεων παρήχθη, ὕστερον δὲ ἐπιδιέτεινε τοὔνομα καὶ ἐπὶ τὰς σχέσεις, οἷον προβολὴν καὶ κάθισιν, ἐπί τε τὰς κινήσεις, οἷα ἐστὶν ἡ περιπάτησις, ἐπί τε τὰς συνθέτους ἐκ κινήσεων καὶ σχέσεων καταστάσεις, οἷα ἡ ὄρχησις εἴη. οἱ δὲ προσελάμβανον καὶ τὰς πρός τί πως ἐχούσας κινήσεις, οἷα ἡ ἔγχυσις καὶ ἡ ἔκχυσις, καὶ ἔτι τὰς πρός τί πως ἐχούσας σχέσεις, οἷα ἡ ἀπάτη, καὶ ἔτι τὰς ἐν γένει τῶν κινήσεων καὶ σχέσεων, ἃς οὔτε κινήσεις βούλονται εἶναί τινες οὔτε σχέσεις, οἷα ἡ αὐτὸ τοῦτο κατόρθωσις καὶ ἡ αὐτὸ τοῦτο ἁμαρτία θεωρεῖται. καὶ οἱ μὲν ἀπὸ τῶν ἕξεων μέχρι τῶν ἐνεργειῶν ἀξιοῦσι μόνον τὸ ἑκτὸν τετάχθαι, οἱ δὲ προσλαμβάνουσι καὶ τὰς πείσεις. ὁ δὲ Ἀντίπατρος ἐπεκτείνει τὸ ὄνομα τοῦ ἑκτοῦ μέχρι τοῦ κοινοῦ συμπτώματος σωμάτων καὶ ἀσωμάτων, οἷον τοῦ τί ἦν εἶναι. καὶ τὸ μὲν [πρῶτον?] κατὰ παρασχηματισμὸν ἀπὸ τοῦ ἔχεσθαι ἑκτὸν ἐκλήθη, ὕστερον δὲ κύριον ἔδοξε τὸ ὄνομα τοῦ ἑκτοῦ καὶ μὴ ἀνακεκλάσθαι ἀπὸ τοῦ κατηγορήματος. καὶ εἴ τι μὲν ἕξις καὶ ποιότης, πάντως τοῦτο καὶ ἑκτόν· ἐπιπλέον δὲ τὸ ἑκτὸν τῆς ἕξεως, ὡς εἴρηται. ἡ δὲ Ἀριστοτέλους περὶ τούτων δόξα καὶ τῶν παλαιῶν ἐστὶ τοιαύτη. ἀσώματα τὰ ἑκτὰ πάντα οὗτοι ὑπολαμβάνουσιν· ἀπλούστατα γὰρ καὶ τῇ φύσει πρῶτα πάντα, καὶ ὡς οὐδὲ μέρη ἐκείνων ὧνπερ τὰ ἑκτά, αἴτια δὲ μόνον, καὶ ταῦτα οὐκ ἔξωθεν ἀλλ' ἐν τοῖς ἔχουσιν ἐμπεριέχονται πάντα, ἀριθμοὶ καὶ λόγοι τινὲς ἐν ὕλῃ ταῦτα ὄντες. ἀριθμοὺς μὲν οἱ Πυθαγόρειοι καὶ λόγους ἐν τῇ ὕλῃ ὠνόμαζον τὰ αἴτια ταῦτα τῶν ὄντων ᾗ ὄντα, καὶ ὡς ἂν οἱ νῦν φαῖεν, τὰ ἑκτά· οἱ δὲ καὶ λόγους ἀσωμάτους ὑποτίθενται ταῦτα, παρ' οὓς ἑτέρους ἀεί, τοὺς δὲ ἑτέρους ὄντας καὶ ποικιλία τῶν ὄντων αἴτιαι διαφοραὶ καὶ τῶν πρώτων στοιχείων καὶ τῶν ἐκ τούτων συγκριμάτων ὑφίστανται. ἀΐδιοι δέ εἰσιν οἱ ἀριθμοὶ οὗτοι καὶ λόγοι, ὥσπερ καὶ ἡ ὕλη· αἱ μέντοι κινήσεις αὐτῶν καὶ ἐν ἀλλήλοις θέσεις καὶ τάξεις μετάπτωτοί τε καὶ οὐκ ἀΐδιοι· ὥσπερ δὲ ἀφεστῶτες ἐνυπάρχουσιν οἱ λόγοι, οὐδέπω ῥυθμίζοντες τὸ ὑποκείμενον καὶ σχηματίζοντες, ἀλλ' ὡς οἱ ἐν τῷ σπέρματι λόγοι κατὰ συμβεβηκὸς οἱονεὶ ἐνυπάρχουσιν ἀκρατήτως ἐνόντες.

ΔΕΞ. θαυμάζω δὲ τῶν Στωϊκῶν χωριζόντων τὰς ἕξεις ἀπὸ τῶν ἑκτῶν· ἀσώματα γὰρ μὴ παραδεχόμενοι καθ' ἑαυτά, ὅταν ἐρεσχελεῖν δέον ᾖ, ἐπὶ τὰς τοιαύτας διαλήψεις ἔρχονται. εἰ δὲ οὐδ' αἱ ποιότητες ἄνευ τῶν ποιῶν, οὐδὲ αἱ ἕξεις ἄνευ τῶν ἑκτῶν, οὐδὲ αἱ διαφοραὶ ἄνευ τοῦ ὑποκειμένου θεωρηθήσονται, ἀλλὰ τῷ ὁριστικῷ ἑαυτῶν λόγῳ συμπληρώσουσι τὰ ὑποκείμενα.

ΣΙΜΠΛ. κ' f. 6 b. ἀλλ' ἄτοπον, φασίν, ἀπὸ τοῦ ὑστέρου τὸ πρότερον διδάσκειν καὶ ἀπὸ τοῦ ὁμοίως ἀγνοουμένου, καὶ τὸ αὐτὸ δι' ἑαυτοῦ ἀποδιδόναι· εἰ γὰρ ποιότης μέν ἐστιν ἣν ἔχει ὁ ποιός, ποιὸς δὲ ὁ ἔχων τὴν ποιότητα, αὐτὴ δι' ἑαυτῆς ἀπεδόθη. πρὸς οὓς ῥητέον ὅτι οὐχ οἷόν τε τῶν πρωτίστων γενῶν ἐκ προτέρων ποιεῖσθαι τὴν διδασκαλίαν, οὐδὲ δυνατὸν κατὰ τὴν ἐν τῇ φύσει τάξιν ἀπὸ τῶν πρεσβυτέρων καὶ αἰτιωτέρων ποιεῖσθαι τὴν περὶ αὐτῶν παράδοσιν· οὐδὲν γάρ ἐστιν αὐτῶν πρότερον, ἀλλ' ἀπὸ τῶν ἡμῖν προσεχεστέρων καὶ γνωριμωτέρων ἀνάγκη ποιεῖσθαι τὴν ὑπόμνησιν· γνωριμώτερον δὲ καὶ προσεχέστερον ἡμῖν τῆς ποιότητος τὸ ποιόν, εἴπερ τὴν μὲν ποιότητα καὶ ἀναιροῦσί τινες ὡς μὴ ὑφεστῶσαν ὅλως, τὸ δὲ ποιὸν οὐδεὶς ἀναιρεῖ, καὶ τὸν μὲν ἵππον ὁρᾶν ὁμολογεῖ ὁ Ἀντισθένης, τὴν δὲ ἱππότητα μὴ ὁρᾶν, καὶ τὸ μὲν ὀφθαλμοῖς ὁρᾶται, ἡ δὲ λογισμῷ καταλαμβάνεται, καὶ τὸ μὲν ἐν αἰτίου τάξει προηγεῖται, τὸ δὲ ὡς ἀποτέλεσμα ἕπεται, καὶ τὸ μέν ἐστι σῶμα καὶ σύνθετον, τὸ δὲ ἁπλοῦν καὶ ἀσώματον. μαρτυρεῖ δὲ καὶ Πλάτων τῇ ἀσαφείᾳ τοῦ τῆς ποιότητος ὀνόματος, ἐν Θεαιτήτῳ (p. 182 a) λέγων "ἴσως οὖν ἡ ποιότης ἅμα ἀλλόκοτόν τι φαίνεται ὄνομα, καὶ οὐ μανθάνεις ἀθρόον λεγόμενον.". . f. 7. καὶ εἰ ὁ Ἀριστοτέλης μὲν καὶ τὰ ἑκτὰ καὶ τὰς ἐνεργείας περὶ ἡμᾶς ἀπολείπει, οἱ δὲ ἐξ Ἀκαδημίας ἀμφότερα ἐκτός, οἱ δὲ Στωϊκοὶ τὰ μὲν ἑκτὰ περὶ ἡμᾶς τὰ δὲ ἐνεργήματα καὶ τὰ ποιήματα ἐκτός, συγχέαντες τὰς δύο δόξας, συμφώνως ἑαυτῷ ὁ Ἀριστοτέλης συνῆψε τῇ ποιότητι τὸ ποιὸν ὡς ὄντα ἀμφότερα περὶ ἡμᾶς. τῶν δὲ Στωϊκῶν τινὲς τριχῶς τὸ ποιὸν ἀφοριζόμενοι, τὰ μὲν δύο σημαινόμενα ἐπιπλέον τῆς ποιότητος λέγουσι, τὸ δὲ ἓν ἤτοι τοῦ ἑνὸς μέρος συναπαρτίζειν αὐτῇ φασίν· λέγουσι γὰρ ποιὸν καθ' ἓν μὲν σημαινόμενον πᾶν τὸ κατὰ διαφοράν, εἴτε κινούμενον εἴη εἴτε ἰσχόμενον, καὶ εἴτε δυσαναλύτως εἴτε εὐαναλύτως ἔχει· κατὰ τοῦτο δὲ οὐ μόνον ὁ φρόνιμος καὶ ὁ πὺξ προτείνων ἀλλὰ καὶ ὁ τρέχων ποιός· καθ' ἕτερον δέ, καθ' ὃ οὐκέτι τὰς κινήσεις περιελάμβανον ἀλλὰ μόνον τὰς σχέσεις, ὃ δὴ καὶ ὡρίζοντο τὸ ἰσχόμενον κατὰ διαφοράν, οἱ μὲν ἀπηρτισμένως κατὰ τὴν ἐκφορὰν αὐτῶν καὶ τὴν ἐπίνοιάν εἰσι τοιοῦτοι, οἱ δὲ οὐκ ἀπηρτισμένως· καὶ τούτους μὲν παρῃτοῦντο, τοὺς δὲ ἀπαρτίζοντας καὶ ἐμμόνους ὄντας κατὰ διαφορὰν ποιοὺς ἐτίθεντο, ἀπαρτίζειν δὲ κατὰ τὴν ἐκφορὰν ἔλεγον τοὺς τῇ ποιότητι συνεξισουμένους, ὡς τὸν γραμματικὸν καὶ τὸν φρόνιμον· οὔτε γὰρ πλεονάζει οὔτε ἐλλείπει τούτων ἑκάτερος παρὰ τὴν ποιότητα· ὁμοίως δὲ καὶ ὁ φίλοψος καὶ ὁ φίλοινος. οἱ μέντοι περὶ τῆς ἐνεργείας τοιοῦτοι, ὥσπερ ὁ ὀψοφάγος καὶ ὁ οἰνόφλυξ, ἔχοντες μέρη τοιαῦτα δι' ὧν ἀπολαύουσιν οὕτως λέγονται· διὸ καὶ εἰ μέν τις ὀψοφάγος, καὶ φίλοψος πάντως, εἰ δὲ φίλοψος, οὐ πάντως ὀψοφάγος· ἐπιλειπόντων γὰρ τῶν μερῶν δι' ὧν ὀψοφαγεῖ, τῆς μὲν ὀψοφαγίας ἀπολέλυται, τὴν δὲ φίλοψον ἕξιν οὐκ ἀνῄρηκε. τριχῶς οὖν

κεφαλῆς, λέλεκται δὲ ἐπὶ τῆς τινὸς κεφαλῆς· ἀνωτέρω γὰρ ἐλέγετο ὅτι ἡ κεφαλὴ ζῴου κεφαλή, νῦν δὲ ἐπὶ τῆς ὡρισμένης κεφαλῆς λέλυται, ἥτις ἐστὶν ἐπὶ μέρους· ἡ γὰρ καθόλου κεφαλὴ ἀόριστος. διὸ αὐτὸς λέγει λύσιν ἄλλην· φησὶ γὰρ "συλλέλυταί μοι καὶ τὸ πρῶτον, ὃ ἐπὶ τῆς ὡρισμένης κεφαλῆς λέλυται, ἥτις ἐστὶν ἐπὶ μέρους. εἰ γὰρ εἴ τις κεφαλὴ μή ἐστι τῶν πρός τι, οὐδὲ ἡ ἁπλῶς κεφαλὴ τῶν πρός τι, εἴπω (ὅσα γὰρ τῶν ἐπάνω κατηγόρευται καὶ τῶν ὑποκάτω), καὶ εἰ ἡ ἁπλῶς κεφαλὴ οὐκ ἐστὶ τῶν πρός τι, οὐδὲ ἡ τὶς κεφαλή, διὰ τὴν αὐτὴν αἰτίαν." καί φαμεν ἡμεῖς πρὸς τὸν Ἀλέξανδρον ὅτι ὅσον ἀπὸ τῆς λύσεώς σου, οὐκ ἔσται ἓν σημαινόμενον τῶν πρός τι τὸ διὰ τὴν πρὸς τὸ γένος ἀναφοράν, ὃ ἀνωτέρω ἡμῖν δέδεικται· δυνατὸν γὰρ τῷ μὲν μερικῷ μὴ ὑπάρχειν, τῷ δὲ καθόλου ὑπάρχειν, οἷον ἡ τὶς γραμματικὴ μὴ οὖσα τῶν πρός τι δι' ἑαυτήν, διὰ τὸ γένος τῶν πρός τι λέγεται εἶναι. τί οὖν ἀπορεῖς τὴν τινὰ μὲν κεφαλὴν μὴ εἶναι τῶν πρός τι, τὴν δὲ καθόλου τῶν πρός τι εἶναι; οἱ περὶ Ἀμμώνιον δέ φασιν ὅτι οὐδὲ ἐπὶ τῆς ἁπλῶς δυνατὸν εἰπεῖν τίνος ἐστὶ κεφαλή, ἐπὶ τῶν ὁμοίων ζῴων, λύκου καὶ κυνός, φάττης καὶ περιστερᾶς. ὁ μὲν διακριτικώτατος Συριανός, ὅτι οὐδὲν διαφέρει ἡ πρώτη ὑπογραφὴ τῆς δευτέρας ἀλλ' ἢ ἐξήγησίς ἐστιν ἑτέρα τῆς ἑτέρας. διὰ τί γὰρ τὰ πρός τι ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται; ἐπειδὴ τὸ εἶναι ἔχει ἐν τῇ πρὸς ἕτερον σχέσει. καὶ διὰ τί οἷς τὸ εἶναι ἔχει ἐν τῇ πρὸς ἕτερον σχέσει; ἐπειδὴ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται. ἀλλ' εἰ ἄρα σαφεστέρα ἡ Πλατωνική, ἐπειδὴ πρόσκειται τὸ λέγεται, ἀσαφεστέρα δὲ ἡ Ἀριστοτελική, ἐπ' ἀμφοτέρων τῶν ὅρων ληπτέον, τῆς Πλατωνικῆς καὶ τῆς Ἀριστοτελικῆς, ἢ ἐπὶ ἑνὸς ὅρου τὸ "λέγεται," ἐπὶ δὲ τῆς Ἀριστοτελικῆς οὐχ οὕτως, οἷον πρός τί ἐστιν ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, ἵνα λαμβάνῃς ἐπὶ ἑνὸς ὅρου, οἷον κεφαλῆς καὶ ζῴου τὴν μὲν κεφαλὴν τυχὸν τινὸς λαμβάνεις, οὐκέτι δὲ καὶ τὸ πρὸς ὃ λέγεται ἀξιοῖς πρὸς τὴν κεφαλὴν λέγεσθαι· εἰ γὰρ τὸ "λέγεται" ἐπὶ τῶν δύο ὅρων νοηθῇ ἔχουσα ἡ ὑπογραφὴ τοῦ Πλάτωνος, οὐχ ἕπεται αὐτῇ οὐδὲν ἄτοπον. ἀλλὰ καὶ τῇ Ἀριστοτελικῇ ἄτοπον ἕπεται ὑπογραφῇ, εἰ ἐπὶ ἑνὸς ὅρου ληφθείη μόνου ἡ ἀπόδοσις. οὐδὲ δέ φησιν ὁ Ἀριστοτέλης ὅτι φαύλη πάντως ἡ ὑπογραφὴ Πλάτωνος.

8a 31. ΣΙΜΠΛ. κ' f. 3. τινὲς τὸν νῦν ἀκριβέστερον ἀποδοθέντα ὁρισμὸν τοῦτον ἐπιχειροῦσι διασύρειν, ὡς τὸ ὁριστὸν ἐν ἑαυτῷ παραλαβόντα, τὰ δὲ πρός τι ὁριζόμενον, οἷς τὸ εἶναι, φησί, ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν. ἀλλὰ καὶ ἀσαφῆ τὴν ἀπόδοσιν ἐποιήσατο, ὡς καὶ Βοηθῷ καὶ Ἀρίστωνι δοκεῖ· ὅπερ καὶ αὐτὸ κακία ὁρισμοῦ ἐστίν. διόπερ ὁ Ἀρίστων ὡς ἐπὶ σαφέστερον μεταλαμβάνων "τὰ πρός τί πως ἔχοντα" φησὶ "ταῦτά ἐστιν, οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πως ἔχειν πρὸς ἕτερον." καὶ οὕτως δὲ καὶ Ἀνδρόνικος ἀποδίδωσι. τὴν δὲ ἀπορίαν ὁ μὲν Ἀχαϊκὸς λύων φησὶν οὐ τὸ ὁριστὸν ἐν τῷ ὅρῳ παρειλῆφθαι, ἀλλὰ καὶ τῷ δευτέρῳ πρός τι ὁμωνύμως αὐτὸν κεχρῆσθαί φησιν ἀντὶ τοῦ πρὸς ὁτιοῦν πως ἔχειν. δύναται δέ τις κἀκεῖνο λέγειν, ὅπερ καὶ πρότερον, ὡς τὰ γενικώτατα καὶ ἀρχηγικώτατα γένη δι' ἑαυτῶν ἀνάγκη σαφηνίζεσθαι, ἅτε μὴ ἔχοντά τι καθολικώτερον δι' οὗ κατὰ νόμον τις αὐτῶν ποιήσεται τὴν ἀπόδοσιν. λύουσι δὲ καὶ οὕτω τὴν ἀπορίαν... ὁ τὰ μετέχοντα αὐτὰ ὁριζόμενος κατὰ τὴν μέθεξιν ἀναγκάζεται τὴν μέθεξιν ἐν τῷ ὁρισμῷ παραλαβεῖν· ὅτι γὰρ τὰ πρός τι, ἃ ὁρίζεται, τὰ μετέχοντά ἐστι, δηλοῖ τὸ πληθυντικῶς εἰρῆσθαι, τῆς τοῦ γένους αὐτῶν ἰδιότητος μιᾶς οὔσης. ὅλως γὰρ οὐδὲ δυνατὸν οἶμαι περὶ τῆς σχέσεως αὐτῶν εἰπεῖν ὅτι πρός τί πως ἔχειν ἄλλο πρὸς ἄλλο κατὰ τοῦτο θεωρεῖται, ὥσπερ καὶ ἡ τοῦ ἔχειν κατηγορία οὐκ ἐν τῷ ἔχειν τι αὐτὴν λέγεται ἀλλ' ἐν τῷ ἄλλο τι ἔχειν. σαφέστερον δὲ ταύτην τὴν ἔννοιαν δηλοῦσιν ὅ τε τοῦ Ἀχαϊκοῦ ὁρισμός, λέγων "οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρὸς ὁτιοῦν πως ἔχειν," καὶ ὁ Ἀρίστωνος καὶ ὁ Ἀνδρονίκου ὁ λέγων "οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρὸς ἕτερόν πως ἔχειν·" ὡς γὰρ ἐπὶ τῶν μετεχόντων τῆς τοῦ πρός τι σχέσεως καὶ κατὰ ταύτην ἀφοριζομένων εἴρηται τοῦτο, εἰ καὶ δύναταί πως καὶ ἐπ' αὐτῆς ἀκούεσθαι τῆς σχέσεως· τὸ γὰρ εἶναι τῶν κατὰ πρός τι σχέσεων ταὐτόν ἐστι τῷ ἕτερον πρὸς ἕτερόν πως ἔχειν.

ἈΜΜ. f. 101 b. ὑπόληψιν ἐνταῦθα τὴν ἀμυδρὰν καὶ ἀβέ- 8b 10.
βαιον γνῶσίν φησιν, τὴν οἷον δόκησιν· ἡ δὲ ἐπιστήμη γνῶσίς ἐστιν ἄπταιστος καὶ ὑπόληψις ἀμετάπτωτος.

ΣΙΜΠΛ. κ' f. 4 b. ὁ μὲν Ἀρχύτας, ὡς καὶ πρότερον εἴρηται, 8b 25.
μετὰ τὴν οὐσίαν εὐθὺς τάττει τὴν ποιότητα... καὶ Εὔδωρος δὲ τῷ περὶ τῆς οὐσίας λόγῳ τὸν περὶ τῆς ποιότητος λόγον, καὶ μετὰ τοῦτον τὸν περὶ τοῦ ποσοῦ συνεζεῦχθαι φησίν· τὴν γὰρ οὐσίαν ἅμα τῷ ποιῷ καὶ ποσῷ συνυφίστασθαι, μετὰ δὲ ταῦτα τὴν χρονικήν τε καὶ τοπικὴν κατηγορίαν παραλαμβάνεσθαι· πᾶσαν γὰρ οὐσίαν ποῦ τε εἶναι καὶ ποτέ, δηλονότι τὴν αἰσθητήν... πῶς δὲ καὶ ὁ Ἀριστοτέλης δόξει μὴ πάντη ἀπιθάνως μετὰ τὰ πρός τι τάξαι τὸ ποιόν; ἢ προέταξε μὲν τὴν οὐσίαν τοῦ ποσοῦ, διότι τὴν ὕπαρξιν αὐτῷ παρέχει· τὸ δὲ ποσὸν τῷ πρός τι ποσῷ τὴν αἰτίαν ἐνδίδωσι τοῦ εἶναι, ἀφ' οὗ οἱ λόγοι παράγονται, ἐκ δὲ τούτων αἱ ποιότητες τὴν ὑπόστασιν λαμβάνουσι· καὶ οὕτως ἡ τάξις ἐπιπλέκεται τῶν κατηγοριῶν. οὐκ ἀπόβλητος δέ ἐστι καὶ ἡ πρὸς τὴν ἡμετέραν διδασκαλίαν τείνουσα αἰτία τῆς τάξεως... περὶ δὲ τῆς ἐπιγραφῆς ζητοῦσι, διὰ τί περὶ ποιοῦ καὶ ποιότητος ἐπέγραψεν; ἆρα ταὐτὸν ἐξ ἀμφοῖν δηλοῦται, ἢ ἡ μὲν ποιότης τὸ ἐχόμενον καὶ αὐτὴν τὴν ἰδιότητα δηλοῖ, τὸ δὲ ποιὸν τὸ μετέχον;... οὐ δοκεῖ δὲ τοῦ Ἀριστοτέλους ἡ ἐπιγραφὴ εἶναι (οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων ἐποίησε τοῦτο), ἀλλὰ γραφέως ἁμάρτημα τοῦτο ὑπολαμβάνουσιν οἱ περὶ τὸν Ἀχαϊκὸν καὶ τὸν Ἀλέξανδρον· ὑπεμνηματισμένον γὰρ αὐτὸ εὑρόντα τινὰ ὡς μέρος κατατάξαι. εἰ δέ τις καὶ ὡς καλῶς ἐπιγεγραμμένῳ συνηγορεῖν βούλοιτο, ἢ ταὐτὸν ἐρεῖ σημαίνειν τὴν ποιότητα καὶ τὸ ποιόν, ἀπ' αὐτοῦ τοῦ Ἀριστοτέλους πιστούμενος τὸν λόγον, ὃς ἐν τοῖς θεολογικοῖς (Metaph. δ' 14) οὐ κατὰ τὴν ποιότητα μόνον τὸ ἁπλοῦν τάττει ἀλλὰ καὶ τὸ ποιόν, κατὰ τὸ πάθος αὐτὸ τῆς οὐσίας τιθέμενος· πάθος δὲ τὸ μὲν ἐν τῷ πάσχειν ἐστὶ τὸ δὲ ἐν τῷ πεπονθέναι, καὶ τὸ μὲν ἐν τῷ πάσχειν τῆς τοῦ πάσχειν ἐστὶ κατηγορίας, τὸ δὲ ἐν τῷ πεπονθέναι ἡ ποιότης ἐστίν... τὸ μὲν οὖν ὄνομα τῆς ποιότητος δοκεῖ πρῶτον ὁ Πλάτων πεποιηκέναι, ὡς αὐτὸς ἐν Θεαιτήτῳ (p. 182 a) ἐπισημαίνεται καὶ παράγει τὸ ὄνομα πεποιηκέναι... τῶν δὲ παλαιῶν οἱ μὲν ἀνῄρουν τὰς ποιότητας τελέως, τὸ ποιὸν συγχωροῦντες εἶναι, ὥσπερ Ἀντισθένης, ὅς ποτε Πλάτωνι διαμφισβητῶν "ὦ Πλάτων" ἔφη "ἵππον μὲν ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ." καὶ ὃς εἶπεν "ἔχεις μὲν ᾧ ἵππος

τὰ ἁπλᾶ σώματα ἀφ' ὧν τὸ ζῷον, προϋπάρχει τῇ φύσει πρὸ τοῦ γενέσθαι τὸ αἰσθητόν.

7b 36. ΑΜΜ. f. 94. ἀνάγκη αἰσθητοῦ ἀναιρουμένου συναναιρεῖσθαι καὶ τὸ σῶμα, σώματος δὲ ἀναιρεθέντος μηδὲ ἔμψυχον εἶναι, ἐμψύχου δὲ μὴ ὄντος μηδὲ ζῷον εἶναι, ζῴου δὲ ἀναιρεθέντος μηδὲ αἴσθησιν εἶναι· ἐν γοῦν τοῖς ζῴοις ἡ αἴσθησις τὸ εἶναι ἔχει· αἰσθητοῦ οὖν ἀναιρεθέντος οὐδὲ αἴσθησις ἔσται, ὡς ἐδείξαμεν, διότι πᾶσα αἴσθησις ἐν σώματι ἔχει τὸ εἶναι καὶ περὶ μόνον αὐτὸ θεωρεῖται· τὰ γὰρ ἀσώματα ἐκπέφευγε πᾶσαν αἴσθησιν, μήτε αὐτὰ αἰσθήσει ὑποπίπτοντα μήτε δεκτικὰ ὄντα αἰσθήσεως. οὐ μήν γε καὶ ἀντιστρέφει· οὐ γὰρ ἀναιρεθείσης αἰσθήσεως ἀναιρεῖται καὶ τὸ αἰσθητόν. τί δήποτε; ἐπειδὴ πᾶν μὲν ζῷον ἔμψυχον, πᾶν δὲ ἔμψυχον σῶμα, οὐ πᾶν δὲ σῶμα ἤδη καὶ ἔμψυχον καὶ ζῷον, πᾶν δὲ σῶμα αἰσθητόν· ὥστε καὶ ζῴου ἀναιρεθέντος οὐδὲν κωλύει πλείονα ἄλλα εἶναι, οἷον πῦρ, ὕδωρ, γῆν, γλυκύ, πικρὸν καὶ τὰ τοιαῦτα.

ΣΙΜΠΛ. ι' f. 8. χρὴ μέντοι γινώσκειν ὅτι οὐκ ἀρέσκεται τούτοις τοῖς ἐπιχειρήμασι· διὸ καὶ συνεχῶς τὸ δοκεῖν προσέθηκε. πρόδηλον δὲ λέγειν πρὸς τὴν ἔνστασιν κοινῶς μὲν ὅτι μὴ οὔσης ἐπιστήμης μηδὲ αἰσθήσεως τὰ μὲν ὑποκείμενα εἰς γνῶσιν τοῖς ἐπιστήμοσι καὶ αἰσθητικοῖς εἶναι οὐ κωλύεται, ἐπιστητὰ δὲ οὐκ ἔστιν οὐδὲ αἰσθητὰ οὐδὲ γνωστὰ ὅλως. βέλτιον δὲ αὐτὸς καὶ πραγματωδέστερον ἐν τοῖς Μετὰ τὰ Φυσικὰ (γ 5) περὶ τούτων διατάττεται, ἐν οἷς φησὶ "τὰ μὲν ἐνεργείᾳ αἰσθητὰ ταῖς ἐνεργείᾳ αἰσθήσεσι, τὰ δὲ δυνάμει ταῖς δυνάμει." τελειοτέρας οὔσης τῆς κατὰ ταῦτα τῶν ἀπορηθέντων λύσεως καὶ δεομένης τῆς περὶ τῶν δυνατῶν διακρίσεως, ἀνεβάλετο νῦν αὐτὴν ὡς εἰσαγωγικὴν ποιούμενος διδασκαλίαν, τὰς δὲ ἀπορίας τίθησιν ἅμα μὲν ὅτι ζητητικὸς ὢν οὐδὲν ἀφίησιν ἀδιερεύνητον, ἅμα δὲ καὶ ὠφέλιμον νομίζων προκεκινῆσθαι ἤδη τὴν διάνοιαν τῶν ἀκροατῶν καὶ προπαρεσκευάσθαι. ἰστέον μέντοι ὅλως μὴ εἶναί ποτε θάτερον τῶν πρός τι μὴ οὐχὶ καὶ τοῦ ἑτέρου ὄντος· ἡ γὰρ τῆς σελήνης ἔκλειψις ἦν μὲν καὶ πρὸ Θαλοῦ, ἐπιστητὸν δὲ οὐκ ἦν τοῖς Ἕλλησι πρὸ Θαλοῦ· εἰ δὲ βαρβάροις τισὶν ἦν ἐπιστητόν, ἦν αὐτοῦ καὶ ἐπιστήμη παρ' ἐκείνοις, ὥστε ἢ ἄμφω δεῖ εἶναι ἢ μηδέτερον. ἔοικε δὲ πρὸς διαβολὴν τοῦ ὅρου τῶν πρός τι ταῦτά τε καὶ τὰ ἑπόμενα τούτοις λέγειν, διορθώσασθαι αὐτὸν ἐφιέμενος, ἐνδεικνύμενος ὅτι, ἐὰν μὴ φῇ τις τὰ πρός τι εἶναι τοιαῦτα οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, οὐδεμίαν ἔχει ἀνάγκην οὔτε ἡ συνύπαρξις αὐτῶν οὔτε τὸ μίαν εἶναι φύσιν τῶν πρός τι. δυνατὸν δὲ καὶ πρὸς τὰς ἀπορητικὰς ταύτας ἀποδείξεις ἐνίστασθαι... f. 8 b. πῶς δή, φασί, τὸ αἰσθητὸν καὶ τὸ ἐπιστητὸν κρινοῦμεν; πότερον τῇ ἐπιτηδειότητι μόνῃ, ὥσπερ Φίλων ἔλεγεν, κἂν μήτε ᾖ μήτε μέλλῃ γίνεσθαι αὐτοῦ ἐπιστήμη, ὥσπερ τὸ ἐν τῷ Ἀτλαντικῷ πελάγει ξύλον καυστόν ἐστιν ὅσον ἐφ' ἑαυτῷ καὶ κατὰ τὴν ἑαυτοῦ φύσιν; ἢ ἄρα τῇ ἀκωλύτῳ ἐπιτηδειότητι κριτέον τὰ τοιαῦτα, καθόσον πέφυκεν ὑποπίπτειν ἐπιστήμῃ καὶ αἰσθήσει καθ' ἑαυτά, μηδενὸς φανεροῦ κωλύματος ἐνισταμένου; ἢ τούτων μὲν οὐδέτερον, τὸ δὲ ἐπιστητὸν λέγεται, ὅταν ἐπιστήμη αὐτοῦ ᾖ ἢ μέλλῃ ἔσεσθαι καὶ μέλλῃ τῇ ἐκβάσει κρίνεσθαι τὸ δυνατόν; ἀλλὰ τὴν μὲν ἐπίκρισιν τούτων ὡς τῆς περὶ δυνατῶν χαλεπωτάτης θεωρίας ἐχομένην παραιτοῦνται νῦν οἱ ἐξηγηταί... ὅτι δὲ μὴ οὔσης ἐπιστήμης δυνατὸν εἶναι καὶ τὸ ἐπιστητόν, οἱ μὲν κατὰ τὴν ἐπιτηδειότητα μόνην κρίνοντες τὸ δυνατὸν συγχωροῦσιν (ἔχει γὰρ τὴν οἰκείαν φύσιν πρὸς τὸ γινώσκεσθαι), οἱ δὲ τῇ ἐκβάσει δοκιμάζοντες οὐ συγχωροῦσιν, ἐὰν μὴ πάντως μέλλῃ εἰς ἔργον ἐναργὲς προχωρήσειν. ὅρα οὖν ὅπως ἄτοπον πάσχουσιν οἱ κρίνοντες μὲν τὸ δυνατὸν κατὰ τὸν αὐτὸν τοῖς ἀρχαίοις τρόπον, κατὰ τὴν ὁποιανοῦν ἐπιτηδειότητα, ὥσπερ ὁ Φίλων, ἀποροῦντες δὲ πρὸς αὐτὸ νῦν κατὰ τὴν Διοδώρου ἔννοιαν, αὐτῇ τῇ ἐκβάσει τὸ δυνατὸν κρίνοντες, καὶ ὡς ἔνστασιν πρὸς ταύτην κομίζοντες τὸ τὸ ἐπιστητὸν ὡς ἐπιστητὸν εἶναι μὴ οὔσης ἐπιστήμης· εἰ γὰρ κατὰ τοὺς παλαιοὺς τὸ ἔχον ἀφορμὴν ὥστε δύνασθαι γενέσθαι, τοῦτό ἐστι δυνατόν, ἀληθὲς μὲν ἂν εἴη τὸ ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθὲν ὅτι μὴ οὔσης τῆς ἐπιστήμης κατ' ἐνέργειαν ἔστι τὸ ἐπιστητὸν δυνάμει. ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν τῶν πρός τι συνύπαρξιν· ἔδει γὰρ τὸ μὲν δυνάμει πρὸς τὸ δυνάμει παραβάλλειν τὸ δὲ ἐνεργείᾳ πρὸς τὸ ἐνεργείᾳ, καὶ οὕτως ἅμα λέγειν τὰ πρός τι. ὑπάρχει δὲ αὐτοῖς τοῦτο, διότι σὺν ἀλλήλοις καὶ ἐξ ἀλλήλων ἐστίν.

ΣΙΜΠΛ. κ' f. 1. ἐπὶ μὲν τῶν ὅλων (τῶν δευτέρων οὐσιῶν) πάλιν 8a 16. διαφαίνεται τὸ μὴ εἶναι πρός τι· ὁ γὰρ ἄνθρωπος οὐ λέγεται τινὸς ἄνθρωπος οὐδὲ ὁ βοῦς τινὸς βοῦς οὐδὲ τὸ ξύλον τινὸς ξύλον· οὐσίαν γὰρ ἔχουσι καθ' αὐτά. εἰ μέντοι τὸν ἄνθρωπον ἢ τὸν βοῦν τινὸς λέγομεν κτῆμα, ὥσπερ τὸν ἀγρόν, οὐ καθὸ εἰσὶν ἀποδίδομεν, ἀλλὰ καθὸ συμβέβηκεν αὐτοῖς κτήμασιν εἶναι. ἀλλ' ἐπιστάσεως ἄξιον, διὰ τί τοῦτο οὐκ εἶπε καὶ ἐπὶ τῆς ἀτόμου οὐσίας τῆς ὅλης; καὶ γὰρ ἐπὶ ταύτης δυνατὸν ἦν εἰπεῖν ὅτι ὁ τὶς ἄνθρωπος ἢ οἷον ὁ δοῦλος τινὸς ἦν, ὡς κτῆμα τοῦ οἰκείου δεσπότου. ἀλλ' ἴσως ἴδιον εὑρὼν ὡς ἄτομον τὸ τινός τι, μὴ ἔχον ἀκόλουθον τὴν κατηγορίαν, τούτῳ προσεχρήσατο.

f. 1 b. διὰ τοῦτο, ἵνα μὴ εὑρεθῇ τις οὐσία τῶν πρός τι οὖσα, 8a 28. ἕτερον ὁρισμὸν αὐτῶν ἀποδίδωσι τὸν λέγοντα ὅτι "ἐστὶ τὰ πρός τι οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν," οὐκέτι τὸ λέγεσθαι πρὸς ἕτερον ἀλλὰ τὸ εἶναι τοῖς πρός τι ἀποδούς... ὁ μὲν πρῶτος ὅρος τό τί ἐστιν οὐκ ἀπέδωκε τῶν πρός τι, ὁ δὲ δεύτερος καὶ τὴν οὐσίαν ἀφωρίσατο. καὶ ἐκεῖνος μὲν οὐκ ἀντιστρέφει πρὸς τὸ ὁριστόν· οὐ γὰρ εἴ τι πρὸς ἕτερον λέγεται, ἐπειδὴ ἑτέρων λέγονται καὶ τὰ ἴδια καὶ τὰ μέρη (τὸ γὰρ γελαστικὸν ἀνθρώπου λέγεται, πάλιν δὲ ἡ χεὶρ τινὸς λέγεται), τοῦτο πρός τί ἐστιν· οὗτος δὲ ἀντιστρέφει. ταῦτα μὲν οὖν τοῖς ἄλλοις ἐξηγηταῖς τοῦ Ἀριστοτέλους δοκεῖ· ὁ δὲ κριτικώτατος Συριανός... ὃν αὐτὸς ἀποδίδωσιν (Ἀριστοτέλης ὁρισμόν), οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, ἰσοδυναμεῖ καὶ κατὰ Πορφύριον τῷ προτέρῳ, ὃς κατὰ τὴν ἔννοιαν ἀποδέδοται· οὐδὲ γὰρ τὰ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λεγόμενα, δι' ἄλλο τι ἔχει τοῦτο ἢ διὰ τὸ εἶναι αὐτῶν ταὐτὸν τὸ εἶναι τῷ πρός τί πως ἔχειν. ἴσως δὲ ἡ διαφορὰ ἐν τούτῳ ἐστί, καθόσον ἐκεῖνος μὲν ἀπὸ τοῦ λέγεσθαι τὸ εἶναι ἐνεδείξατο ὡς ἀπὸ ἐναργεστέρου, οὗτος δὲ ἀπὸ τοῦ εἶναι καὶ τὸ λέγεσθαι ὡς ἀπὸ αἰτιωδεστέρου.

ΔΑΒΙΔ. ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος πρὸς ταῦτα, ὅτι παρὰ θύρας προῆλθεν ἡ λύσις τῆς ἀπορίας· ἠπορήθη γὰρ ἐπὶ τῆς ἁπλῶς

7b 25. ΣΙΜΠΛ. ι' f. 6 b. ἡ μὲν τῆς ἐκλείψεως ἐπιστήμη διὰ Θαλοῦ ὕστερον ἦλθεν εἰς τοὺς Ἕλληνας, ἡ δὲ ἔκλειψις αὐτὴ καὶ τὸ ἐπιστητὸν προϋπῆρχεν. ἀλλὰ τοῦτο μὲν ἐναργέστερον· τίνα δὲ τὰ ὀλίγα ἐστὶν ἐφ' ὧν ἅμα τῷ ἐπιστητῷ ἡ ἐπιστήμη ἐστίν; τὰ ἄνευ ὕλης, τὰ νοητά, ἅμα τῇ κατ' ἐνέργειαν ἀεὶ ἑστώσῃ ἐπιστήμῃ ἐστιν, εἴτε καὶ ἐν ἡμῖν ἐστί τις τοιαύτη ἀεὶ ἄνω μένουσα, ὡς Πλωτίνῳ καὶ Ἰαμβλίχῳ δοκεῖ, εἴτε καὶ ἐν τῷ κατ' ἐνέργειαν νῷ, εἴτις καὶ τὴν νόησιν ἐκείνην ἐπιστήμην ἕλοιτο καλεῖν. δύναται δὲ καὶ διὰ τὴν τῶν κοινῶν ὑπόστασιν εἰρῆσθαι τὴν ἐξ ἀφαιρέσεως· ἅμα γὰρ τῇ ὑποστάσει τούτων καὶ ἡ ἐπιστήμη ἐστίν. ἀληθὲς δὲ καὶ ἐπὶ τῶν ἀναπλασμάτων τῶν τε ἐν τῇ φαντασίᾳ καὶ τῶν τεχνιτῶν· ἅμα γὰρ χίμαιρα καὶ ἐπιστήμη τῆς χιμαίρας. διὰ τί οὖν προσέθηκε τὸ "ἢ ἐπ' οὐδενός;" ἢ ὅτι τινὲς ἀνήρουν καὶ τὰ καθόλου καὶ τὰ νοητὰ καὶ τὰ ὁπωσοῦν ἐπινοούμενα. ἢ ὅτι, κἂν ᾖ ταῦτα ἐν τῇ φύσει, τὰς ἐπινοίας αὐτῶν ὕστερον ἐλάβομεν, καὶ διὰ τοῦτο συμβαίνει καὶ ἐπὶ τούτων προϋπάρχειν τῆς ἐπιστήμης τὸ ἐπιστητόν.

7b 27. 'ΑΜΜ. f. 91 b. τὸ οὖν ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον ἂν εἶναι δόξειε φύσει· ἐπιστητοῦ γὰρ μὴ ὄντος ἐπιστήμη οὐκ ἔστιν, ἐπιστήμης δὲ μὴ οὔσης τὸ ἐπιστητὸν δύναται εἶναι. ἀμέλει φασὶ Θαλῆν τὸν Μιλήσιον πρότερον ἐπιστῆσαι τῇ αἰτίᾳ τῆς σεληνιακῆς ἐκλείψεως, κατανοήσαντα ὅτι ἐκ τοῦ ἡλίου ἡ σελήνη δέχεται τὸ φῶς, διότι αὐξομένη μὲν τῇ ἀποστάσει τοῦ ἡλίου τὸ μὲν πεφωτισμένον μέρος ἔχει πρὸς δυσμάς, δυτικωτέρου ὄντος τότε τοῦ ἡλίου, τὸ δὲ κερατοειδὲς αὐτῆς καὶ ἀφώτιστον νεύει πρὸς ἀνατολάς· ἐπὰν δὲ γένηται ἀντιπρόσωπος ὅλη τῷ ἡλίῳ, κατὰ διάμετρον αὐτοῦ ἀποστᾶσα, τότε πᾶσα φωτίζεται, ὅλη ὅλῳ τῷ ἡλίῳ προσβάλλουσα (ὅλην δὲ λέγω καὶ κατὰ τὸ πρὸς ἡμᾶς αὐτῆς νενευκὸς μέρος)· ἡνίκα δὲ ἄρξηται μειοῦσθαι τῇ συνόδῳ τῇ πρὸς τὸν ἥλιον, τότε πάλιν τὸ μὲν πεφωτισμένον νεύει πρὸς ἀνατολὰς τοῦ ἡλίου τότε ἀνατολικωτέρου ὄντος, τὸ δὲ ἀφώτιστον καὶ κερατοειδὲς πρὸς δυσμάς. ἐντεῦθεν τοίνυν ἐπέστησε τῇ σεληνιακῇ ἐκλείψει, ὅτι ἐπειδὰν ἐμπέσῃ εἰς τὸ καλούμενον σκίασμα τῆς γῆς, τοῦ ἡλίου κατὰ κάθετον αὐτῇ ὄντος ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ, πάσχει, ἣ συμβαίνει αὐτῇ, παντελῆ ἔκλειψιν, τῶν ἀκτίνων τῶν ἡλιακῶν μηδαμῶς αὐτῇ προσβαλλουσῶν. ἀμέλει, εἰ μὴ ἐν πανσελήνῳ μόνῃ, τοῦτο οὐ συμβαίνει. εἰ τοίνυν πρῶτος ὁ Θαλῆς ἐπέστησε τῇ σεληνιακῇ ἐκλείψει, δῆλον ὅτι πρὸ αὐτοῦ τὸ μὲν ἐπιστητὸν ἦν, λέγω δὲ ἡ σεληνιακὴ ἔκλειψις, ἐπιστήμη δὲ αὐτῆς οὐκ ἦν.

7b 26. f. 92. ταῦτα εἶπε διὰ τὰ ἀπό τινος τέχνης προαγόμενα· ταῦτα γὰρ οὐ προϋπῆρχεν ἀλλ' ἅμα τῷ ἐκ τῆς τέχνης προαχθῆναι τὸ εἶναι ἔχει· τὰ μὲν γὰρ φυσικὰ προϋπάρχει τῆς ἐπιστήμης.

7b 27. ΠΟΡΦ. f. 40. ἐν τῇ μουσικῇ τὸ μὲν πάλαι τοῦ διεσιαίου διαστήματος ἤκουον οἱ μουσικοί, ὕστερον δὲ ἀμεληθείσης τῆς ἐναρμονίου μελῳδίας, καὶ καθ' ἣν τὸ διεσιαῖον διάστημα ἐμελῳδεῖτο, οὐκέτι τοῦ τοιούτου αἴσθησίς ἐστι διαστήματος... ὁ τοῦ κύκλου τετραγωνισμός ἐστι ζήτημα, ὁποῖον ἐζητεῖτο παρὰ τοῖς παλαιοῖς, οὐχ εὕρηται δέ πως, ἢ εἰ καὶ εὕρηται, ὥς φασί τινες, ἀλλὰ ἐπὶ Ἀριστοτέλους οὔπω εὕρητο.

ΣΙΜΠΛ. ι' f. 7. ὅτι τὸ ἐπιστητὸν συναναιρεῖ τὴν ἐπιστήμην, ἡ δὲ ἐπιστήμη τὸ ἐπιστητὸν οὐ συναναιρεῖ, πρόδηλον δοκεῖ· ἀναιρεθέντων γὰρ τῶν ἐπιστητῶν ἐπιστήμη οὐδενὸς ἔσται, ὥστε οὐδὲ ἔσται ὅλως, ἀναιρεθείσης δὲ τῆς ἐπιστήμης μένει τὸ ἐπιστητόν· κἂν γὰρ διὰ ῥαθυμίαν ἀποβάλωμέν ποτε τὴν τῶν ὄντων γνῶσιν, οὐδὲν ἧττον μένει τὰ ὄντα, ὅπερ ἐστὶ τὰ ἐπιστητά. καὶ γὰρ καὶ ἐν μουσικῇ πρότερον μὲν κατηκούομεν διέσεως, νῦν δὲ ἀνεπαίσθητοι τούτου τοῦ διαστήματός ἐσμεν. αὐτὸς δὲ ἐπὶ τοῦ τετραγωνισμοῦ τοῦ κύκλου δείκνυσιν αὐτό, μήπω γὰρ τότε εὑρεθέντος αὐτοῦ, ἀμφιβόλως λέγων, εἰ ἔστιν ἐπιστητόν, ἐπιστήμη μὲν αὐτοῦ οὔπω ἔστι, τὸ δὲ ἐπιστητὸν ἔστιν. ἔστι δὲ τετραγωνισμὸς κύκλου, ὅταν τῷ δοθέντι κύκλῳ τετράγωνον ἴσον συστησώμεθα. τοῦτο δὲ Ἀριστοτέλης μέν, ὡς ἔοικεν, οὔπω ἐγνώκει, παρὰ δὲ τοῖς Πυθαγορείοις εὑρῆσθαί φησιν Ἰάμβλιχος, ὡς δῆλόν ἐστιν ἀπὸ τῶν Σέξτου τοῦ Πυθαγορείου ἀποδείξεων, ὃς ἄνωθεν κατὰ διαδοχὴν παρέλαβε τὴν μέθοδον τῆς ἀποδείξεως. καὶ ὕστερον δέ, φησίν, Ἀρχιμήδης διὰ τῆς Λυκομήδου γραμμῆς, καὶ Νικόδημος (*) διὰ τῆς ἰδίως τετραγωνιζούσης καλουμένης, καὶ Ἀπολλώνιος διά τινος γραμμῆς ἣν αὐτὸς μὲν κοχλιοειδοῦς ἀδελφὴν προσαγορεύει, ἡ αὐτὴ δὲ τῇ Νικομήδους, καὶ Κάρπος δὲ διά τινος γραμμῆς ἣν ἁπλῶς ἐκ διπλῆς κινήσεως καλεῖ, ἄλλοι τε πολλοὶ ποικίλως τὸ πρόβλημα κατεσκεύασαν, ὡς Ἰάμβλιχος ἱστορεῖ. καὶ θαυμαστὸν ὅτι τοῦτο τὸν πολυμαθέστατον ἔλαθε Πορφύριον, ὃς "φαίνεται μέν" φησιν "ὅτι ἔστι τις ἀπόδειξις, καθὸ ἔστι σχῆμα τετράγωνον κύκλῳ παραβαλεῖν ὥσπερ καὶ ἄλλα σχήματα, κατείληπται δὲ οὐδέπω οὐδὲ ηὕρηται. λέγουσι δὲ" φησί "τινες τῶν μετὰ Ἀριστοτέλην εὑρεῖν. μήποτε οὖν ὀργανική τις εὕρεσις ἐγένετο τοῦ θεωρήματος ἀλλ' οὐκ ἀποδεικτική."

'ΑΜΜ. f. 93 b. ὥσπερ οὖν ἐπὶ τῶν εὐθυγράμμων ἐζήτησαν, ζητοῦσι καὶ ἐπὶ τοῦ κύκλου πῶς δυνατὸν τῷ δοθέντι κύκλῳ ἴσον τετράγωνον εὑρεῖν. τοῦτο δὲ πολλοὶ ζητήσαντες οὐχ εὗρον, μόνος δὲ Ἀρχιμήδης τὸ σύνεγγυς ἀνεῦρε, τὸ μέντοι ἀκριβὲς οὐχ εὗρε.

ΔΑΒΙΔ. ἐπιστητοῦ δὲ ὄντος δύναται ἐπιστήμη μὴ εἶναι· ἦσαν γὰρ τὰ ἄστρα πρὸ τοῦ Θαλῆν ἀστρονομῆσαι. πρὸς ὅ φαμεν ὅτι ἦσαν τὰ ἄστρα οὐχ ὡς ἐπιστητά. καὶ οὕτως μὲν ἀπὸ τοῦ χρόνου· ἀπὸ δὲ τῆς φύσεως οὕτως "ὁ ἀπὸ κύκλου τετραγωνισμός·" ἢ γὰρ φύσει τετραγωνισμὸν οὐκ ἐπιδέχεται, εἴγε μή ἐστιν ἐπιστητόν, ἢ ἐπιστητὸν μέν ἐστιν, ἐπιστήμη δὲ αὐτοῦ οὐδέπω ἐστίν· τὸ δὲ "εἴγε ἔστι" πρόσκειται διὰ τὸ ἐπὶ τῶν Ἀριστοτέλους χρόνων ἄληπτον εἶναι τὸν τετραγωνισμὸν τοῦ κύκλου. τὸ δὲ οὐδέπω εἴρηται ἀντὶ τοῦ οὔπω εὕρηται.

ΣΙΜΠΛ. ι' f. 7 b. ἡ δὲ αἴσθησις ἀναιρεθεῖσα τὸ αἰσθητὸν οὐ 7a 35. συναναιρεῖ· ἀναιρεθέντος γὰρ πάλιν καθ' ὑπόθεσιν τοῦ ζῴου ἀναιρεῖται καὶ ἡ αἴσθησις· ζῴου γὰρ ἴδιον καὶ ἐν ζῴῳ ἡ αἴσθησις· αἰσθητὰ δὲ εἶναι οὐ κωλύεται τὰ ἁπλᾶ σώματα ἐξ ὧν τὸ ζῷον. εἶτα ὥσπερ ἐπὶ τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ ἐδείκνυτο αὐτόθι πρότερον εἶναι τὸ ἐπιστητόν, καὶ οὐ μόνον ἀπὸ τοῦ συναναιρεῖν μὲν μὴ συναναιρεῖσθαι δέ, οὕτως καὶ ἐπὶ τοῦ αἰσθητοῦ καὶ τῆς αἰσθήσεως. καὶ γὰρ ἡ μὲν αἴσθησις ἅμα τῷ αἰσθητικῷ ἐστί, τουτέστι τῷ ζῴῳ, τὸ δὲ αἰσθητὸν προϋπάρχει, ὥσπερ

(*) Λυκομήδου γραμμῆς καὶ Νικόδημος] ἑλικοειδοῦς γραμμῆς καὶ Νικομήδης Simplicius in Aristot. Phys. f. 13 b.

ἄλλοις πολλοῖς· καὶ γὰρ εἴ τι καλόν ἐστι, καὶ ἀγαθὸν ὑπάρχει, καὶ εἴ τι ἀγαθόν, καὶ καλόν. ταύτης δὲ τῆς ἀπορίας ἀκούοντες οἱ μὲν πρὸς τὸ παράδειγμα ἐνίστανται ὡς Στωϊκοῖς μᾶλλον ἀλλ' οὐχὶ Περιπατητικοῖς ἀρέσκον, οἳ τὸ μὲν καλὸν τὸ δι' αὑτὸ αἱρετὸν λέγουσι, τὸ δὲ ἀγαθὸν τὸ κατὰ φύσιν, καὶ διὰ τοῦτο, εἴ τι μὲν καλόν, καὶ ἀγαθὸν εὐθὺς εἶναι τίθενται, οὐκ ἀνάπαλιν δέ· τὴν γοῦν ὑγείαν ἀγαθὸν μέν φασιν ὡς κατὰ φύσιν καὶ ὠφέλιμον, καλὸν δὲ οὐκέτι ὡς δι' αὑτὸ αἱρετόν, ὀργάνου πλεονέκτημα ὄν. τινὲς δὲ ταύτην μὲν ἀποδοκιμάζουσι τὴν ἔνστασιν ὡς οὐ πρὸς τὴν ἀπορίαν ἀλλὰ πρὸς τὸ παράδειγμα γενομένην... f. 3 *b*. μήποτε οὖν ἀκριβέστερον ἀκούειν δεῖ τοῦ εἰρημένου· οὐ γὰρ εἶπεν ὅτι τὰ πρός τι συνυπάρχουσιν ἀλλήλοις, ὡς τὸ φῶς καὶ ὁ ἥλιος καὶ ἡ θερμότης καὶ τὸ πῦρ, οὐδὲ ὅτι τὸ ἕτερόν ἐστιν ὅπερ τὸ ἕτερον, ὥσπερ τὸ καλὸν καὶ τὸ ἀγαθόν, ἀλλ' ὅτι πρός τινα λέγεται τὰ καὶ αὐτὰ πρὸς αὐτὰ λεγόμενα· τὸ μὲν γὰρ πρὸς ἕτερον ἀπονεύειν καὶ πρὸς ἕτερον λέγεσθαι τὸ εἶδός ἐστιν αὐτὸ τοῦ πρός τι· τὸ δὲ καὶ ἐκεῖνο πρὸς ὃ λέγεται, ὁμοίως λέγεσθαι πρὸς τὸ πρὸς αὐτὸ λεγόμενον, τοῦτο ἴδιον τῶν πρός τι παρακολούθημα· ὅλως γὰρ τὰ ἄλλα τὰ συνυπάρχοντα οὐδὲ λέγεται πρὸς ἄλληλα.

6b 28. ʼΑΜΜ. f. 87. ἀντιστροφὴ δέ ἐστιν οἱονεὶ ἰσοστροφή· τὸ γὰρ ἀντί παρὰ τοῖς παλαιοῖς τὸ ἴσον σημαίνει, ὥσπερ τὸ ἀντίθεον ἀντὶ τοῦ ἰσόθεον καὶ ἀντιάνειρα ἡ ἰσουμένη ἀνδράσι, καὶ ἀντίχειρα τὸν μέγαν φαμὲν δάκτυλον διὰ τὸ ἴσην δύναμιν ἔχειν τοῖς ἄλλοις. ἰσοστροφὴ δέ ἐστιν ὅταν μηδὲν μᾶλλον τὸ ἕτερον τοῦ ἑτέρου κατηγορῆται ἢ ἐκεῖνο τοῦ λοιποῦ, οἷον ὁ πατὴρ οὐδὲν μᾶλλον πρὸς υἱὸν λέγεται ἢ ὁ υἱὸς πρὸς τὸν πατέρα. τὰ οὖν πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, οἷον ὁ δοῦλος δεσπότου δοῦλος καὶ ὁ δεσπότης δούλου δεσπότης. πλὴν τῇ πτώσει ἐνίοτε εἶπε διοίσειν τῇ κατὰ τὴν λέξιν· ἐπειδὴ γὰρ πρὸς γενικὴν ἀποδέδωκε, διὰ τοῦτο ἐπήγαγεν ὅτι οὐ μόνον πρὸς γενικὴν ἀλλὰ καὶ πρὸς ἄλλην ἀποδίδοται πτῶσιν τὰ πρός τι.

6b 36. ΣΙΜΠΛ. ι' f. 4. καλῶς τὸ "οὐ δόξει" εἶπεν, εἴπερ διὰ τὴν ἡμαρτημένην τῶν ὀνομάτων ἀπόδοσιν συμβαίνει τὸ μὴ δοκεῖν ἀντιστρέφειν.

6b 38. f. 4. ἔστι γὰρ καὶ ἄλλα πτερωτὰ ἃ οὐκ εἰσὶν ὄρνιθες· τῶν γὰρ πτερωτῶν τὰ μέν ἐστι σαρκόπτερα τὰ δὲ κολεόπτερα τὰ δὲ σχιζόπτερα, ὧν τὰ σχιζόπτερα μόνα ὄρνιθές εἰσιν.

7a 2. f. 5. τῶν ἀντιλεγόντων τινὲς εὐθὺς διασύρουσι τὰ ὀνόματα τὸ κεφαλωτὸν καὶ πηδαλιωτὸν καὶ πτερωτόν. καὶ ἐκείνων μὲν ἔδει καταφρονεῖν· ἀλλ' ἐπειδὴ συνέβη τῶν ἐξηγητῶν τοὺς φιλοσοφωτέρους ἀντιλέγοντας αὐτοῖς πολλῶν καὶ καλῶν λόγων ἐσμὸν ἀνακινῆσαι, διὰ τοῦτο καὶ ἐγὼ τῶν ἀντιρρήσεων συντόμως μνημονεύσω. καὶ πρῶτον μὲν ἀγνοοῦσιν ὡς οὐκ ἐχρήσατο τούτοις τοῖς ὀνόμασιν, ἄχρι δὲ παραδείγματος ὑπέδειξεν οἷα ἂν ἦν, εἰ ἔκειτο τοῖς θεαθεῖσιν ὑπ' αὐτοῦ πράγμασιν ὀνόματα... Εὔδωρος δὲ ὁ ʼΑκαδημαϊκὸς ἐγκαλεῖ ὡς οὐ συντάττεται τὸ πτερὸν τῷ πτερωτῷ· τὸ μὲν γὰρ πτερὸν ἐνεργείᾳ λέγεται, τὸ δὲ πτερωτὸν δυνάμει ὡς δυνάμενον πτερωθῆναι· εἰ δὲ ἐνεργείᾳ γένοιτο, οὐ πτερωτὸν ἀλλ' ἐπτερωμένον λέγεται. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πηδαλίου διορίζεται, ὅτι οὐ πρὸς πηδαλιωτὸν ἀλλὰ πρὸς πεπηδαλιωμένον ἂν λέγοιτο, καὶ ἡ κεφαλὴ πρὸς κεκεφαλωμένον. ὁ δὲ ταῦτα ἀπορῶν ἀγνοεῖ ὅτι διχῶς τούτων ἕκαστον λέγεται, καὶ ὡς δυνάμει καὶ ὡς ἐνεργείᾳ, ὥσπερ καὶ τὸ ὑφαντὸν καὶ τὸ ἐνδυτὸν καὶ ἐπὶ τοῦ ἤδη ὄντος ἱματίου λέγεται... ʼΑπολλώνιος δὲ ὁ ʼΑλεξανδρεὺς ἀκαταλλήλως φησὶν εἰρῆσθαι τῶν δύο παραδειγμάτων τὴν ἀπόδοσιν, διότι ὅπου μὲν εἴρηκεν "οὐχ ᾗ ὄρνις ἐστὶ πτερὰ ἔχει, πολλῶν γάρ ἐστι πτερὰ οὐκ ὀρνίθων," ὅπου δὲ "οὐχ ᾗ ζῷον κεφαλὴν ἔχει, πολλὰ γὰρ τῶν ζῴων κεφαλὴν οὐκ ἔχει," δέον εἰπεῖν "πολλαὶ γὰρ κεφαλαί εἰσιν οὐ ζῴων," ὡς ἐκεῖ "πολλὰ γὰρ πτερὰ οὐκ ὀρνίθων." εὔκολον δὲ εἰπεῖν ὅτι ἄμφω μὲν παραδείγματα παρέθετο τοῦ πλεονάζειν καὶ ἐλλείπειν, καὶ διὰ τοῦτο μὴ ἀντιστρέφειν... f. 6. ὁ δὲ ʼΑρίστων τοιαύτην ἀπορίαν τοῖς εἰρημένοις ἐπάγει. εἰ πᾶν πρός τι ὡς πρὸς ἕτερόν τι ἀπολελυμένον ἑαυτοῦ πρός τι λέγεται, οἷον ὁ πατὴρ πρὸς υἱόν, ὁ δὲ κόσμος οὐδὲν ἀπολελυμένον ἑαυτοῦ ἔχει (οὐ γάρ ἐστί τι τοῦ κόσμου ἐκτός), οὐκ ἔσται πρός τι ὁ κόσμος· καίτοι τῶν πρός τί ἐστιν· ὡς γὰρ τὸ πτερὸν πτερωτοῦ πτερόν, οὕτως καὶ τὸ ἐν κόσμῳ κοσμωτοῦ καὶ τὸ ἐν γῇ γεωτοῦ καὶ τὸ ἐν ἀέρι ἀερωτοῦ. πρὸς δὴ τοῦτο ῥητέον ὅτι κακῶς εἴληπται ἐν ἀρχῇ τὸ πᾶν πρός τι ἀπολελυμένον πρὸς ἕτερον λέγεσθαι... ἀλλὰ διὰ τί ʼΑρχύτας, καίτοι μηδὲν ἔλαττον τοῦ ʼΑριστοτέλους ἀκριβολογούμενος, παρῆκε τοῦτο τὸ ἴδιον τῶν πρός τι τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι;

ΣΙΜΠΛ. ι' f. 4 *b*. "οὐ γὰρ ᾗ πλοῖον," διότι τινὰ πλοῖα οὐκ 7a 8.
ἔχοντα πηδάλιον, ὡς τὰ μικρὰ τὰ κώπαις ἅμα καὶ ἐρεττόμενα καὶ ἰθυνόμενα, καί τινα τῶν ἐν τοῖς ποταμοῖς πορθμείων, ὧν τὰ μὲν κοντοῖς ὠθεῖται τὰ δὲ σχοίνοις διέλκεται.

τρίτον παράδειγμα τίθησι ζῷον καὶ κεφαλήν. καὶ ἐπὶ τούτου 7a 16.
δὲ ὁμοίως ὡς ἐπὶ τοῦ πλοίου καὶ τοῦ πηδαλίου περιττεύει τὸ ζῷον τῆς κεφαλῆς· πολλὰ γὰρ ζῷα κεφαλὴν οὐκ ἔχει, ὡς τῶν ἐν θαλάττῃ πνεύμονες καὶ λοπάδες καὶ ὄστρεα πάντα καὶ καρκίνοι δέ.

f. 5. ἐὰν δὲ μὴ οἰκείως ἀποδοθῇ, ἀλλ' ὁ δοῦλος ἀνθρώπου 7a 23.
λέγοιτο, περιαιρουμένων τῶν ἄλλων τοῦ ἀνθρώπου καὶ ὁ δεσπότης περιαιρεθήσεται, καὶ ὁ δοῦλος οὐκέτι οὐδὲ πρὸς ἄνθρωπον ῥηθήσεται οὐδὲ ἔσται ὅλως πρός τι.

ʼΑΜΜ. f. 90. ὥστε καὶ ἐπὶ τούτων, ἐπειδὴ μὴ οἰκεία γέγονεν ἡ ἀπόδοσις, οὐδὲ ἡ ἀντιστροφὴ σώζεται· οὐ γὰρ πρὸς ἴσον ἐποιησάμεθα τὴν ἀπόδοσιν· ἐπὶ πλέον γὰρ ὁ ἄνθρωπος.

ΣΙΜΠΛ. ι' f. 6 *b*. δοκεῖ δὲ καὶ ʼΑριστοτέλης τὰ πρός τι ἅμα 7b 15.
τῇ φύσει εἶναι, ἢ διὰ τὴν ἀμφιβολίαν τῆς περὶ τοῦτο δόξης τὸ "δοκεῖ" προσθεὶς ἢ διὰ τὸ καὶ πάλαι τοῖς φιλοσόφοις τοῦτο δεδόχθαι (καὶ γὰρ ʼΑρχύτας, ὡς εἴρηται, τοῦτο ἴδιον ἔθετο τῶν πρός τι, καὶ Πλάτων ἀρεσκόμενος αὐτῷ φαίνεται), ἢ ὅτι ἔχει τινὰ διορισμόν, πότε καὶ πῶς ἀληθὲς εἶναι δύναται τὸ λεγόμενον. τὸ δὲ ἅμα τῷ φύσει προσέθηκεν, ἐπειδὴ πολλαχῶς τοῦ ἅμα λεγομένου, ὡς αὐτὸς προϊὼν ἐπιδείξει, ἕν τι τῶν σημαινομένων ἐστὶ τὸ τῇ φύσει ἅμα· δηλοῖ δὲ τὸ συμπεφυκέναι ἀλλήλοις καὶ αἴτια εἶναι ἀλλήλων καὶ ἀπ' ἀλλήλων ἠρτῆσθαι καὶ συνεισάγειν τε ἄλληλα καὶ συναναιρεῖν.

ʼΑΜΜ. f. 91 *b*. ἐπὶ τῶν πλείστων εἶπεν ἀληθὲς εἶναι, ἐπειδὴ 7b 16.
ἐπί τινων ἄλλων μέλλει ἀπορεῖν, δοκούντων μὴ ἅμα τῇ φύσει ὑπάρχειν.

διάθεσις καὶ αἴσθησις καὶ ἐπιστήμη, καθ' ὅσον ποιά, ἡ δὲ θέσις πρὸς τὸ κεῖσθαι συγγενῶς ἔχει, μνημονεύει δὲ αὐτῶν ὡς καὶ ἐν τοῖς πρός τι ὄντων, διὰ τοῦτο καὶ τῶν πρός τι εἶπε τὰ τοιάδε. ταῦτα μὲν τὰ περὶ τὴν λέξιν. οἱ δὲ Στωϊκοὶ ἀνθ' ἑνὸς γένους δύο κατὰ τὸν τόπον τοῦτον ἀριθμοῦνται, τὰ μὲν ἐν τοῖς πρός τι τιθέντες, τὰ δὲ ἐν τοῖς πρός τί πως ἔχουσι, καὶ τὰ μὲν πρός τι ἀντιδιαιροῦσι τοῖς καθ' αὑτά, τὰ δὲ πρός τί πως ἔχοντα τοῖς κατὰ διαφοράν, πρός τι μὲν λέγοντες τὸ γλυκὺ καὶ πικρὸν καὶ τὰ τοιαῦτα καὶ ὅσα τοιῶσδε διατίθησι, πρός τι δέ πως ἔχοντα οἷον δεξιόν, πατέρα καὶ τὰ τοιαῦτα· κατὰ διαφορὰν δέ φασι τὰ κατά τι εἶδος χαρακτηριζόμενα. ὥσπερ οὖν ἄλλη τῶν καθ' αὑτὰ ἔννοια καὶ ἄλλη τῶν κατὰ διαφοράν, οὕτως ἄλλα μὲν τὰ πρός τί ἐστιν, ἄλλα δὲ τὰ πρός τί πως ἔχοντα. ἀντεστραμμένη δέ ἐστι τῶν συζυγιῶν ἡ ἀκολουθία... f. 5 b. εἰ δὲ δεῖ σαφέστερον μεταλαβεῖν τὰ λεγόμενα, πρός τι μὲν λέγουσιν ὅσα κατ' οἰκεῖον χαρακτῆρα διακείμενά πως ἀπονεύει πρὸς ἕτερον, πρὸς δέ τί πως ἔχοντα ὅσα πέφυκε συμβαίνειν τινὶ καὶ μὴ συμβαίνειν ἄνευ τῆς περὶ αὐτὰ μεταβολῆς καὶ ἀλλοιώσεως, μετὰ τοῦ πρὸς τὸ ἐκτὸς ἀποβλέπειν... ὅτι δὲ καὶ τοῖς πρός τί πως ἔχουσιν ἀνάγκη χαρακτῆρα ἐνυπάρχειν τοῖς ὑποκειμένοις, ἱκανῶς ὁ Βοηθὸς ἀπέδειξε. καὶ αὐτόθεν δὲ πρόδηλον τοῦτο· οὐ γὰρ ἔχει φύσιν αὐτὴ καθ' αὑτὴν ἡ πρὸς ἕτερον σχέσις ὑφίστασθαι, ἀλλ' ἀνάγκη αὐτὴν ἐν τῷ κατὰ διαφορὰν χαρακτῆρι ἐνυπάρχειν. ὁ δὲ χαρακτὴρ οὗτος ὅπου μὲν ποιότης ἐστίν, ὡς τὸ λευκότερον σὺν τῇ χρόᾳ τοιοῦτον, ὅπου δὲ ποσότης, ὡς ἐν τῷ πλεῖον καὶ μακρότερον, ὅπου δὲ κίνησις... ἀλλὰ καὶ περὶ τῆς ἀκολουθίας οὔτε ὡς οἱ Στωϊκοὶ λέγουσι, τῷ μὲν πρός τί πως ἔχοντι τὸ πρός τι ἕπεται, τῷ δὲ πρός τι οὐκέτι τὸ πρός τί πως ἔχον, οὔθ' ὡς ὁ Βοηθὸς ἀμυνόμενος αὐτοὺς τῷ μὲν πρός τί φησι τὰ πρός τί πως ἔχοντα συνακολουθεῖν (μετὰ γὰρ τοῦ πρὸς ἕτερόν πως ἔχειν, ταῦτα προσείληφε καὶ τὴν οἰκείαν διαφοράν), τῷ δὲ πρός τί πως ἔχοντι οὐκέτι τὰ πρός τι συνάπτεται· οὐ γὰρ πᾶσιν ὑπάρχειν τοῖς πρός τι πρὸς ἕτερόν τε λέγεσθαι τῇ σχέσει καὶ τὴν διαφορὰν τὴν οἰκείαν ἔχειν. ἀλλ' ἄμεινον ἀντακολουθεῖν ἀλλήλοις ταῦτα λέγειν.

6 b 11. f. 8. ὁ δὲ τὴν στάσιν καὶ τὴν κάθισιν μὴ προσποιούμενος ἔοικε Στωϊκῇ τινὶ συνηθείᾳ συνέπεσθαι, οὐδὲν ἄλλο ἢ τὸ ὑποκείμενον εἶναι νομίζων, τὰς δὲ περὶ αὐτὸ διαφορὰς ἀνυποστάτους ἡγούμενος καί πως ἔχοντα αὐτὰ ἀποκαλῶν, ὡς ἐν τοῖς ὑποκειμένοις ἔχοντα αὐτὸ τοῦτο τὸ πῶς ἔχειν... διὰ ταῦτα δὲ ὡς παραφυομένην ταῖς ἄλλαις κατηγορίαις τὴν τοῦ πρός τι ἐπεισοδιώδη νομίζουσι, καίτοι προηγουμένην οὖσαν καὶ κατὰ διαφορὰν οἰκείαν θεωρουμένην· αὕτη γὰρ κοινότης ἐστὶ διὰ πάντων διήκουσα τῶν τε ἐναντίων καὶ τῶν ὁπωσοῦν διαφερόντων, καὶ τῶν ὅλων γενῶν καὶ τῶν ὑπ' αὐτὰ τεταγμένων· ἥτις εἰ μὴ παρῆν, διεσπάσθη ἂν πάντα ἀπὸ πάντων. καὶ ἡ μέν τις ἐστὶ σχέσις ἐν εἴδει καὶ λόγῳ ὑφεστῶσα.

6 b 15. 'ΑΜΜ. f. 85. καὶ ὅσαι μὲν τῶν κατηγοριῶν ἐπιδέχονται τὰ ἐναντία, καὶ τὰ ἐν αὐταῖς συνιστάμενα πρός τι ἔχουσιν ἐναντιότητα· ὅσαι δὲ οὐδὲν ἔχουσιν ἐναντίον, οὐδὲ τὰ ἐν αὐταῖς πρός τι ἐπιδέχονται τὴν ἐναντιότητα... ζητητέον δὲ πῶς τὴν ἀρετὴν καὶ τὴν κακίαν τῶν πρός τι λέγει, καὶ τὴν ἐπιστήμην καὶ τὴν ἄγνοιαν; λέγομεν ὅτι οὐ δογματίζων ταῦτά φησιν ἀλλὰ λεληθότως βουλόμενος κακίσαι τὸν ἀποδοθέντα ὁρισμόν... ἰστέον δὲ ὅτι ὅσοι λέγουσι τὸν Πλάτωνα οὕτως ὁρίζεσθαι τὰ πρός τι καὶ ἐν τῷ λέγεσθαι ἑτέρων οἴεσθαι αὐτὴν εἶναι τὴν τῶν πρός τι ὑπόστασιν, συκοφαντοῦσι τὸν φιλόσοφον· καὶ γὰρ ἀπὸ τῶν εἰρημένων ἐν τῷ Γοργίᾳ (p. 476) ἔστι γνῶναι ὅτι οὐχὶ τῷ λέγεσθαι ἀλλὰ τῷ εἶναι ἑτέρων αὐτὰ χαρακτηρίζει· φησὶ γὰρ "εἰ ἔστι τὸ ποιοῦν, ἀνάγκη τι εἶναι καὶ τὸ πάσχον·" εἶναι γὰρ εἶπεν, οὐ λέγεσθαι.

ΣΙΜΠΛ. ι' f. 2. ἰστέον ὅτι ὁ Ἀρχύτας τούτων τῶν παρακολουθημάτων τὸ μὲν τὰ ἐναντία ἐπιδέχεσθαι παρῆκε, καίτοι καὶ ἐπὶ τῆς οὐσίας καὶ ἐπὶ τῆς ποιότητος μνημονεύσας αὐτοῦ.

6 b 16. f. 1 b. ἀπορήσειεν ἄν τις πῶς ἡ ἀρετὴ καὶ ἡ κακία τῶν πρός τι· τὸ γάρ τινος εἶναι, οἷον τοῦ σπουδαίου καὶ τοῦ φαύλου, μεθέξεως ἀλλ' οὐ σχέσεως δηλωτικόν... καθόσον μὲν ποιότητες, ἐναντίαι εἰσί, καθόσον δὲ μεσότητες, πρός τι.

6 b 17. f. 1. "οὐ πᾶσι δέ." οὐ γὰρ δὴ τῷ διπλασίῳ οὔτε τῷ τριπλασίῳ οὔτε τῶν πολλαπλασίων οὐδενί.

6 b 20. f. 1 b. τὸ μὲν δοκεῖ προστίθησιν οὐχ ὡς μὴ ἐπιδεχομένου μὲν δοκοῦντος δὲ ἐπιδέχεσθαι, ἀλλ' ὡς ἀρχαίαν δόξαν ἐξηγούμενος. τὸ δὲ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται κατὰ τὸ ὅμοιον· μᾶλλον γὰρ ὅμοιον τὸ μᾶλλον τοῦ αὐτοῦ εἴδους μετέχον, καὶ ἧττον τὸ ἧττον· τὸ δὲ ὅμοιον τῶν πρός τι. ἀλλὰ τοῦτο μὲν σαφές· πῶς δὲ ἀντὶ τοῦ εἰπεῖν καὶ ἄνισον μᾶλλον καὶ ἧττον (εἰ γὰρ ἀνισαίτερον, ἐστὶν ἄνισον ἤδη προσειληφὸς τὸ μᾶλλον), πῶς ἀνισαίτερον μᾶλλον καὶ ἧττον εἶπεν (22); ἢ διὰ τὸ ἀσυνηθέστερον τῆς λέξεως αὐτὸ τὸ μετὰ τοῦ μᾶλλον ἄνισον προήγαγε. πῶς οὖν κατὰ τὸ ἧττον ἐπήγαγεν; ἢ ὅτι καὶ τὸ μᾶλλον ἀνισαίτερον καὶ ἧττον εἶναι· καὶ γὰρ μᾶλλον ὁμοιότερον καὶ ἧττον λέγομεν, ὅταν ὁμοιότερον ὄν τι ἄλλου τινὸς τοῦτο τὸ ὁμοιότερον ἐπιτείνηται καὶ ἀνίηται. καὶ ἄλλως δὲ ὁ Ἰάμβλιχος ἐξηγεῖται, ὅτι τὴν ἐπ' ἄπειρον τοῦ ἀνίσου πρόοδον ἐνδεικνύμενος ἀνισαίτερον αὐτὸ προσηγόρευσεν· οὐ γὰρ ἵσταται τοῦτο οὐδὲ μέγα ποτὲ γίνεται ἀλλ' ἀεὶ μεῖζον, οὔτε μικρὸν ἀλλ' ἀεὶ ἧττον κατὰ τὴν ἐπ' ἄπειρον προσθήκην τε καὶ ἀφαίρεσιν. ἐπιστῆσαι δὲ ἄξιον ὅτι οὐκ εἶπεν ἰσαίτερον ἀλλὰ ἀνισαίτερον, διότι οὐχ ὁμοίως οὐδ' ὅλως· τὸ γὰρ ἴσον ἕν ἐστιν· οἷον ἐὰν ᾖ ἐν τῷ ἴσῳ, θεωρεῖται τὸ μᾶλλον καὶ ἧττον, ὡς ἐν τῷ ἀνίσῳ. καὶ εἴη ἂν ζητήσεως ἄξιον, διὰ τί ἐν μὲν τῷ ὁμοίῳ καὶ ἀνομοίῳ ὁμοίως τὸ μᾶλλον καὶ ἧττον θεωρεῖται, ἐν δὲ τῷ ἴσῳ καὶ ἀνίσῳ οὐχ ὁμοίως.

6 b 22. 'ΑΜΜ. f. 86 b. εἰ ἔστι τι μᾶλλον καὶ ἧττον ἄνισον, ἔσται καί τι μᾶλλον καὶ ἧττον ἴσον· τὸ γὰρ ἧττον ἄνισον μᾶλλόν ἐστιν ἴσον τοῦ ἀνίσου μᾶλλον, ὥσπερ τὸ ἧττον λευκὸν μᾶλλόν ἐστι μέλαν τοῦ μᾶλλον λευκοῦ. εἰ οὖν μὴ ἐνδέχεται τοῦ ἴσου μᾶλλον εἶναι ἴσον καὶ ἧττον (τὸ γὰρ τοῦ ἴσου ἐξελθὸν ἐπὶ τὸ πλέον ἢ ἐπὶ τὸ ἔλαττον οὐκέτι ἴσον), οὐδ' ἄρα ἄνισον μᾶλλον καὶ ἧττόν ἐστιν· ἔστι γὰρ τὸ ἄνισον στέρησις μᾶλλον καὶ ἀοριστία, οὐκ ἐναντίον τῷ ἴσῳ. μήποτε οὖν ἢ κατεχρήσατο ἐνταῦθα, εἰρηκὼς τὸ ἄνισον μᾶλλον καὶ τὸ ἧττον εἶναι, οὐκ ἀκριβολογησάμενος, ἢ κατὰ προσθήκην πρός τινων ὕστερον τοῦτο προσετέθη.

6 b 23. ΣΙΜΠΛ. ι' f. 3. ἀπορήσειε δ' ἄν τις, μήποτε οὐκ ἴδιον τῶν πρός τι τὸ τῆς ἀντιστροφῆς· οὐ γὰρ μόνῳ αὐτῷ ὑπάρχει ἀλλὰ καὶ

τι καὶ ποιόν. Ἀριστοτέλης δὲ τῶν ὄντων τὰ μὲν πρός τι τὰ δὲ οὐ πρός τι.

6a 36 ΔΑΒΙΔ. αὕτη δέ ἐστιν ἡ ψευδὴς ὑπογραφὴ καὶ Πλατωνική, ἥντινα κατήλεγξεν ἐν τοῖς κατὰ μέρος αὐτός.

ΣΙΜΠΛ. θʹ f. 2 b. ἐπὶ τὴν λέξιν ἰόντες λέγωμεν ὅτι ὅρον μὲν ἀποδιδόναι τῶν πρός τι ἀδύνατον ἦν (τῶν γὰρ πρώτων γενῶν ὅρους ἀποδιδόναι ἀμήχανον ἦν διὰ τὰς εἰρημένας πρότερον αἰτίας), δι᾽ ὑπογραφῆς δέ τινος τὴν ἡμετέραν ἔννοιαν ἀνακινεῖν τὴν συναρμόζουσαν τοῖς πρός τι δυνατὸν ἦν. καὶ τοῦτο ποιεῖ, τῷ Πλάτωνι κατὰ τὴν ἀπόδοσιν τὴν πρώτην ἀκολουθῶν, ὥς φησιν ὁ Βοηθός· λέγεται γὰρ καὶ ὁ Πλάτων οὕτως ὑπ᾽ αὐτοῦ ἀποδοῦναι περὶ τῶν πρός τι, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται. καὶ ὡς ἔοικεν, ἐπιλέλησται τῶν ὑπὸ τοῦ Πλάτωνος εἰρημένων ὁ Βοηθός· οὐ γὰρ δὴ εἴποιμι ἂν ὅτι ἠγνόει, ἐλλόγιμος ἀνὴρ γεγονώς. ὅτι γὰρ οὐ τῷ λέγεσθαι πρὸς ἄλληλα ἀλλὰ τῷ εἶναι τὰ πρός τι χαρακτηρίζει, ὡς καὶ τῷ Ἀριστοτέλει δοκεῖ, δηλοῖ μὲν καὶ ἐν Πολιτείᾳ (4 p. 438) λέγων "ἀλλὰ μέντοι, ἦν δ᾽ ἐγώ, ὅσα γέ ἐστι τοιαῦτα οἷα εἶναι αὐτὰ μὲν ποιὰ ἄττα ποιοῦ τινός." καὶ ἐν Σοφιστῇ δέ (p. 255 d), βουληθεὶς τὸ ἕτερον αὐτῶν πρός τι ὂν ἐπιδεῖξαι, οὕτως φησίν "ὅτι περ ἂν ἕτερον ᾖ, συμβέβηκεν ἐξ ἀνάγκης ἑτέρου τοῦτο αὐτὸ ὅπερ ἐστὶν εἶναι." πληθυντικῶς δὲ εἰπόντος τοῦ Ἀριστοτέλους "πρός τι δὲ τὰ τοιαῦτα λέγεται," οἱ περὶ τὸν Ἀχαϊκὸν καὶ Σωτίωνα ᾠήθησαν μὴ ὥσπερ οὐσίαν καὶ οὐσίας καὶ ποσὸν καὶ ποσὰ καὶ ἑνικῶς καὶ πληθυντικῶς λέγομεν, οὕτως καὶ ἐπὶ τῶν πρός τι τὸ πρός τι καὶ τὰ πρός τι λέγεσθαι, ἀλλὰ μόνον πληθυντικῶς... f. 3. ταῦτα δὲ ἐπιστήσαντες οὗτοι τοὺς παλαιοὺς τῶν Κατηγοριῶν ἐξηγητὰς αἰτιῶνται, Βοηθὸν καὶ Ἀρίστωνα καὶ Εὔδωρον καὶ Ἀνδρόνικον καὶ Ἀθηνόδωρον, μήτε ἐπιστήσαντας μήτε ἐπισημηναμένους, ἀλλὰ καὶ τοῖς ὀνόμασι συγκεχυμένως χρησαμένους καὶ ἑνικῶς ἐκφέροντας ἐνίοτε τὸ πρός τι, τοῦ Ἀριστοτέλους πληθυντικῶς ἀεὶ προφερομένου... τούτους δὲ τοὺς λόγους ὁ μὲν Πορφύριος ὡς ἀρεσκόμενος ἀναγράφει, ὁ δὲ Ἰάμβλιχος "μάχεται" φησὶ "τὸ τοιοῦτον καὶ πρὸς τὸν ὀρθὸν λόγον καὶ τὴν τῶν παλαιῶν συνήθειαν·" καὶ γὰρ πληθυντικῶς καὶ ἑνικῶς αὐτῇ χρῆται, ὡς δῆλον ἀπὸ τῶν Ἀρχυτείων τε καὶ τῶν Ἀριστοτελικῶν λέξεων, καὶ ὧν Βοηθὸς καὶ οἱ ἄλλοι μιμούμενοι τοὺς παλαιοὺς προφέρονται, ἐπ᾽ ἴσης ἀμφοτέροις χρώμενοι τοῖς ὀνόμασι... δεῖ δὲ μήτε τῇ τῆς συνηθείας ἀνωμαλίᾳ προσέχειν τὸν νοῦν τὸν βουλόμενον κατὰ τὴν φύσιν τῶν ὄντων διαιρεῖσθαι τὰς κατηγορίας· καὶ γὰρ πολλὰ μὲν ἑνικὰ ὄντα τῇ φύσει πληθυντικῶς λέγεται, ὡς Ἀθῆναι καὶ Θῆβαι, πολλὰ δὲ πληθυντικὰ ὄντα τῇ φύσει ἑνικῶς λέγεται, ὡς στρατὸς καὶ φυλή. καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐν ἀρχῇ μὲν (c. 4), ὅταν τὰς κατηγορίας ἀπηριθμεῖτο, ἑνικῶς μᾶλλον δοκεῖ λέγειν, ὥσπερ καὶ τὰ πρὸ αὐτοῦ, "ἤτοι οὐσίαν σημαίνει ἢ ποσὸν ἢ ποιὸν ἢ πρός τι," καὶ πάλιν "πρός τι δέ, οἷον διπλάσιον, ἥμισυ·" ἐνταῦθα δὲ πληθυντικῶς τὰ πρός τι λέγει, ὅτι σαφέστερον τοῦτό ἐστι πρὸς τὴν μάθησιν.

ἈΜΜ. f. 83 b. τῷ λέγεται δὲ ἐχρήσατο ὡς ἀπαρεσκόμενος τῷ λόγῳ· ἄτοπα γὰρ πολλὰ δείξει τῷ ὁρισμῷ ἀκολουθοῦντα, καὶ αὐτὸς ἄλλον θήσει ὁρισμόν.

ΣΙΜΠΛ. θʹ f. 4. ἐπειδὴ οὖν πολυειδής ἐστιν ἡ τῶν πρός τι εἰς ἕτερον ἀναφορά, διὰ τοῦτο οὐκ ἤρκεσεν εἰπεῖν "ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται," ἀλλὰ καὶ "ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον ἔχει·" τουτέστιν εἴτε κατὰ γενικὴν πτῶσιν ἡ ἀναφορὰ εἴτε κατὰ δοτικήν, ἢ οὐδ᾽ ὅλως κατὰ πτῶσιν ἀλλὰ ἄλλον τινὰ τρόπον, ὡς εἴρηται. εἴτε οὖν Πλάτωνος εἴτε ἄλλου τινὸς ὁ ὅρος, οὐ κατὰ διόρθωσιν ἔχει τὴν προσθήκην τὴν τοῦ "καὶ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον," ἀλλὰ μέρος ἐστὶ τοῦ ὅρου. σαφηνίζει δὲ αὐτὸ ὁ Ἀριστοτέλης διὰ τῶν παραδειγμάτων τῶν ἐπαγομένων... ὁ μέντοι Βοηθὸς ὅλον βιβλίον γράψας περὶ τοῦ πρός τι καὶ πρός τί πως ἔχοντος, οἴεται τὸν ὅρον ἀπὸ τοῦ Πλάτωνος ἀποδεδόσθαι μέχρι τοῦ "ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται," τὸ δὲ ἑξῆς ὑπὸ τοῦ Ἀριστοτέλους προσκεῖσθαι διορθώσεως ἕνεκα. ἔοικε δὲ ὅλως μὲν ἀποδεδόσθαι ὁ ὅρος ὑπὸ τοῦ ἀποδεδωκότος, σαφηνισθῆναι δὲ διὰ τῶν παραδειγμάτων.

f. 6. ἀπορεῖ ὁ Πλωτῖνος, τίς ἡ ἐν πᾶσι τούτοις κοινότης, ἆρα γενική τις, ἢ κατ᾽ ἄλλον τρόπον, κατὰ τὴν εἰς ἓν ἀναφοράν;... ἕτεροι δ᾽ ἀποροῦσι πότερον ὑπόστασίς ἐστιν ἡ σχέσις αὕτη ἢ ὄνομα μόνον συνεκφερόμενον. ἀνάγκη τοίνυν ἢ μηδεμίαν σχέσιν τῶν ὄντων εἶναι, ἢ τινὰς μὲν ὑφεστάναι τινὰς δὲ ἀνυποστάτους ὑπάρχειν. ἀλλ᾽ ὅτι μὲν οὐ πᾶσαν σχέσιν ἀναιρετέον, δῆλον ἐκ τοῦ δεῖν ὡς τὴν οὐσίαν καὶ ποσότητα καὶ ποιότητα καὶ τῶν ἄλλων γενῶν ἕκαστον, οὕτως καὶ τὴν σχέσιν ἐν τοῖς οὖσι τίθεσθαι, πολλὴν χρείαν καὶ αὐτὴν παρεχομένην... f. 7. ἀλλὰ διὰ τί, φασίν, Ἀριστοτέλης ἔν τε τοῖς Εὐδημίοις Ἠθικοῖς (1 8) καὶ ἐν τῇ Μετὰ τὰ Φυσικὰ (Ε 2) τὰς κατηγορίας ἐκτιθέμενος οὐ μνημονεύει τῶν πρός τι, εἴπερ καὶ τοῦτο τὸ γένος ὁμοίως ὑφεστάναι τοῖς ἄλλοις ἐνόμισεν; ἢ ὅτι ὅπου μὴ προηγουμένως περὶ τῶν γενῶν πάντων ὁ λόγος, οὐκ ἀκριβολογεῖται περὶ πάντα, ἀλλ᾽ ἐκείνοις χρῆται μάλιστα ὧν δεῖται πρὸς τὸ προκείμενον. ἴσως δὲ καὶ ὅτι τὰ πρός τι ἐν τοῖς ἄλλοις γένεσιν ὑφέστηκε, διὰ τοῦτο σὺν αὐτοῖς θεωρεῖται, κἂν μὴ προηγουμένης ἔτυχε μνήμης. ἔτι δὲ καὶ οὕτως περὶ τῆς κοινῆς κατὰ τὴν σχέσιν ὑποστάσεως ἀποροῦσιν. οὐκ εἰ ἐπινοεῖται, φασί, τὰ κατὰ σχέσιν, ἤδη καὶ ἔστιν... τινῶν δὲ ἄχρι μέν τινος διαμένει ἡ σχέσις, εἶτα παύεται, ὡς ἐπὶ τοῦ ὀρφανοῦ ἄχρι ὀκτωκαίδεκα ἐτῶν· ἀφ᾽ οὗ γὰρ ἂν ἄρξηται τίκτειν, οὐκέτι καλεῖται ὀρφανός... τούτων οὖν ἀπορουμένων περὶ μὲν τῆς ὑποστάσεως ῥητέον ὅτι, ὥσπερ αἱ ποιότητες κατὰ τὴν αὐτῶν φύσιν χωρὶς τῶν σωμάτων νοούμεναι ἀσώματοί εἰσιν, οὕτως καὶ αἱ σχέσεις κατὰ τὴν αὐτῶν φύσιν χωρὶς τῶν συνθέτων νοούμεναι ἀσώματοί εἰσιν· λόγος γάρ ἐστι καθ᾽ ἑαυτὸν ἡ σχέσις... f. 7 b. οὐ καλῶς οἱ Στωϊκοὶ νομίζουσι πάσης τῆς κατὰ διαφορὰν ἰδιότητος ἀπηλλάχθαι τὰ πρός τί πως ἔχοντα, διότι πέφυκε συμβαίνειν καὶ ἀποσυμβαίνειν μηδεμιᾶς μεταβολῆς περὶ αὐτὰ γενομένης. ψεῦδος γὰρ τοῦτο λέγεται, ἐπεὶ καὶ τῶν πρός τι γίνεται μεταβολή, ὡς πέφυκε ταῦτα μεταβάλλειν... περὶ δὲ τοῦ τί κοινὸν ἐπὶ πάντων τῶν πρός τι τοσαύτην ἐχόντων διαφοράν, τινὲς λύουσι λέγοντες ὅτι εἰς μίαν ὁμοιότητα λέξεως ἀνάγεται καὶ σημασίας ἰδιότητα.

f. 5. διὰ τί δὲ εἶπεν "ἔστι δὲ καὶ τὰ τοιάδε τῶν πρός τι;" ἢ 6b2
ἐπειδὴ τῶν κατηριθμημένων τὰ μὲν καὶ ἐν τῇ ποιότητι ἦν, ὡς ἕξις καὶ

τητας ἀναφαίνοντι. καὶ Πλάτων δὲ διὰ τῶν ἡμιολίων καὶ διπλασίων καὶ ἐπιτρίτων καὶ ἐπογδόων καὶ τῶν τοιούτων ἐπὶ τοῦ ποσοῦ κατὰ τὸ πρός τι θεωρουμένων λόγων τοῦ τε σώματος τὸ τοιόνδε εἶδος καὶ τῆς ψυχῆς συνέστησε τὸ κατὰ τοιάνδε ποιότητα ἀφωρισμένον. καὶ τὸ μὲν εὔπορον τοῦ λόγου καὶ εὐμήχανον ἄξιον ἐπαίνου· ῥητέον δὲ ὅτι ἐν μὲν τοῖς ἀποτελέσμασι καὶ τοῖς συνθέτοις οὐδὲν ἀπεικὸς καὶ οὕτως ταῦτα ἀπογεννᾶσθαι, ἐν μέντοι τοῖς αἰτίοις αὐτῶν λόγοις καθ' ἕνωσιν καὶ κατὰ μίαν ἀρχὴν ταῦτα πάντα περιέχεσθαι ἐν προσηκούσῃ τάξει.

6a 36. ʼΑΜΜ. f. 81 *b*. περὶ δὲ τῆς ὑποστάσεως αὐτῶν ταῦτά φαμεν. τινὲς δέ φασι μηδὲν εἶναι τῶν πρός τι φύσει, ἀλλὰ ἀνάπλασμα εἶναι ταῦτα τῆς ἡμετέρας διανοίας, λέγοντες ὅτι οὕτως οὐκ ἔστι φύσει τὰ πρός τι ἀλλὰ θέσει... οὗτοι δὲ οὐκ ὀρθῶς λέγουσιν· οὕτω γὰρ ἔγνωσται ταῦτα τῇ φύσει, ὡς καὶ τὰ μόρια τοῦ σώματος ἐν σχέσει τινὶ τῇ πρὸς ἄλληλα θεωρεῖται... τινὲς δὲ ἐκ διαμέτρου τούτοις ἔχοντες πάντα τὰ ὄντα πρός τι ἔλεγον· ὧν εἷς ἦν Πρωταγόρας ὁ σοφιστής· ἔλεγε γὰρ οὗτος ὅτι οὐδὲν τῶν πραγμάτων ὡρισμένην ἔχει φύσιν. διὸ καὶ ἔλεγεν ὅτι οὐκ ἔστι τινὰ ψευδῆ λέγειν· ἕκαστος γὰρ κατὰ τὸ φαινόμενον αὐτῷ καὶ δοκοῦν ἀποφαίνεται περὶ τῶν πραγμάτων, οὐκ ἐχόντων ὡρισμένην φύσιν ἀλλ' ἐν τῇ πρὸς ἡμᾶς σχέσει τὸ εἶναι ἐχόντων... τοῦτον δὲ ἐλέγχει μὲν καὶ ὁ Ἀριστοτέλης ἐν τῷ τρίτῳ λόγῳ τῆς Μετὰ τὰ Φυσικὰ πραγματείας (c. 4)... ἐλέγχει καὶ ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ τῷ διαλόγῳ, αὐτὸ τοῦτο προθέμενος ἐλέγξαι... ἄλλοι δὲ παρὰ τούτους ὀρθῶς εἶπον ὅτι τῶν πραγμάτων τὰ μέν ἐστι πρός τι τὰ δὲ αὐτὰ καθ' αὑτά... καλῶς δέ τινες ἀπεικάζουσι τὰ πρός τι παραφυάσιν, αἵτινες οὐκ ἰδίαν ἔχουσιν ὑπόστασιν ἀλλ' ἐν φυτοῖς ἔχουσι τὸ εἶναι. ἀπεικάζουσι δὲ αὐτὰ καὶ τοῖς ἀντερειδοῦσιν ἄλληλα ξύλοις· τούτων γὰρ τοῦ ἑτέρου ἀναιρεθέντος οὐκ ἔσται τὸ λοιπόν.

ΔΑΒΙΔ. ἐπειδὴ τὰ πρός τι λέγεται καὶ διδάσκεται καὶ ἔστι καὶ γένος ἐστὶ καὶ συναριθμεῖται ταῖς δέκα κατηγορίαις, ἰσάριθμα τούτοις κεφάλαια ζητήσωμεν. περὶ τῆς ἐπιγραφῆς αὐτῶν, πῶς δεῖ ἐπιγράφειν, περὶ τοῦ πρός τι ἑνικῶς ἢ περὶ τῶν πρός τι πληθυντικῶς. ὁ Ἀριστοτέλης πανταχοῦ κἀν ταῖς ἐπιγραφαῖς λέγων "πρός τι δὲ τὰ τοιαῦτα λέγεται," κἀν τοῖς ἰδίοις "ἴδιον δὲ τῶν πρός τι." ἐπειδὴ δὲ διδάσκεται, ζητήσωμεν ποίῳ τρόπῳ κέχρηται διδασκαλίας, ἆρα οἰκείῳ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ἢ ἑτέρῳ; ἰστέον ὅτι ἀπεξενωμένῃ παρὰ τὴν εἰωθυῖαν αὐτῷ κέχρηται διδασκαλίᾳ... τρεῖς τοίνυν δόξαι γεγόνασι περὶ τῆς τάξεως τῶν πρός τι. Ἀνδρόνικος μὲν γὰρ ὁ Ῥόδιος τελευταίαν ἀπονέμει τοῖς πρός τι τάξιν, λέγων αἰτίαν τοιαύτην. τὰ πρός τι ὕλην οἰκείαν οὐκ ἔχει· παραφυάδι γὰρ ἔοικεν οἰκείαν φύσιν μὴ ἐχούσῃ ἀλλὰ περιπλεκομένῃ τοῖς ἔχουσιν οἰκείαν ῥίζαν· αἱ δὲ ἐννέα κατηγορίαι οἰκείαν ὕλην ἔχουσιν· εἰκότως οὖν τελευταίαν ὤφειλεν ἔχειν τάξιν. Ἀρχύτας δὲ ὁ Ταραντῖνος τετάρτην ἀπονέμει αὐτοῖς τάξιν, ἐπειδὴ οὐσία καὶ ποιὸν καὶ ποσὸν καθ' αὑτά εἰσι, τὰ δὲ πρός τι σχετικά εἰσι, προηγεῖται δὲ τὰ καθ' ἑαυτὰ τῶν ἐν σχέσει· πρῶτον γὰρ γίνεταί τις ἄνθρωπος καὶ τότε πατήρ, πρῶτον γίνεται ἀριθμὸς καὶ τότε διπλάσιος ὡς ἀριθμός. Ἀριστοτέλης δ' ἐν τῇ ἀπαριθμήσει τετάρτην αὐτοῖς καὶ αὐτὸς ἀπονέμει τάξιν, δι' ἣν αἰτίαν εἶπεν Ἀρχύτας· ἐν δὲ τῇ διδασκαλίᾳ τρίτην αὐτοῖς ἀπονέμει τάξιν διὰ τέσσαρας αἰτίας... δεύτερον οὖν κεφάλαιον ἀπαριθμήσασθαι τὰ εἴδη τῶν πρός τι. δέκα τοίνυν εἴδη τῶν πρός τι, ταὐτότης ἀνισότης γένεσις μέθεξις ὕφεσις πεῖσις κρίσις θέσις ἀσυμμετρία, ἡ πρὸς τὸ γένος ἀναφορά. ἐπὶ τοῦ ποσοῦ καὶ μόνου τὴν διαιρετικὴν ἐφύλαξε τάξιν ὁ Ἀριστοτέλης... δυνατὸν δὲ ταῦτα καὶ ἀντιτεταγμένως διελεῖν καὶ τεχνικῶς, ὅταν τῶν πρός τι τὰ μὲν φύσει, ὡς πατὴρ καὶ υἱός, τὰ δὲ τύχῃ, ὡς δοῦλος καὶ δεσπότης, τὰ δὲ τέχνῃ, ὡς ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη, τὰ δὲ προαιρέσεως, ὡς φίλος φίλου φίλος. δυνατὸν δὲ ὑπὸ ταῦτα τὰ τέσσαρα ἀναγαγεῖν τὰ δέκα τὰ λεχθέντα πρῶτον. ἐν οἷς καὶ τὸ δεύτερον κεφάλαιον. τρίτον ἦν κεφάλαιον τὸ ζητῆσαι περὶ τῆς ὑπάρξεως αὐτῶν, ἆρα φύσει εἰσίν, ἢ ἡμεῖς ποιοῦμεν αὐτά; διάφοροι γὰρ δόξαι γεγόνασιν· οἱ μὲν γὰρ πάντα τὰ ὄντα πρός τι εἰρήκασιν, οἱ δὲ ἀμφότερα, καὶ πάντα τὰ ὄντα πρός τι καὶ οὐδὲν τῶν ὄντων πρός τι, οἱ δὲ τινὰ μὲν πρός τι τινὰ δὲ οὐ πρός τι. Πρωταγόρας μὲν ὁ σοφιστὴς πάντα τὰ ὄντα πρός τι εἶπε, λόγῳ τοιούτῳ χρώμενος. ἕκαστον, φησί, πρὸς ἄλλο παραβαλλόμενον τὴν οἰκείαν ἀπολαμβάνει φύσιν· ὁ γὰρ τράχηλος τῆς περιστερᾶς ὁ μέλας τῷ ἐν σκιᾷ ὁρῶντι μέλας φαίνεται, τῷ δὲ ἐν φωτὶ ὁρῶντι ἡλιοειδὴς καὶ φοινικοῦς ὁρᾶται. καὶ τὸ πῦρ οὐ πᾶσι θερμόν· τῷ γὰρ ξύλῳ θερμόν, τῇ δὲ σαλαμάνδρᾳ οὐ θερμὸν οὐδὲ τῷ ἀμιάντῳ. τὸ μέλι οὐ πᾶσι γλυκύ· τοῖς γὰρ ἰκτεριῶσιν οὐ γλυκύ. πρὸς ὅ φαμεν ὅτι πρῶτόν εἰσι τὰ πράγματα καὶ οὕτω πρὸς ἕτερον παραβάλλονται· τὰ γὰρ χρώματα νυκτὸς μέν εἰσι χρώματα, ὁρατὰ δὲ οὐκ εἰσίν. ἐκέχρητο δὲ καὶ δευτέρῳ λόγῳ λέγων οὕτως. αἱ φυσικαὶ τῶν πραγμάτων εἰκόνες, λέγω δὴ τὰ κατοπτρικὰ εἴδωλα, ὁρῶντι μέν εἰσι, μὴ ὁρῶντι δὲ οὐκ εἰσίν. ἀλλ' ὁ αὐτὸς λόγος καὶ πρὸς ταῦτα· πρῶτον γάρ εἰσι τὰ πράγματα, καὶ τότε γίνονται ὁρατά. τούτοις πεισθεὶς ὁ Πρωταγόρας ἐκέχρητο ταῖς μεγαληγορίαις ταῖς τρισὶ ταύταις, φάσκων οὕτως "πάντων χρημάτων μέτρον ὁ ἄνθρωπος· οἷς φαίνεται τὰ πράγματα, οὕτως καὶ ἔστιν· τὸ δοκοῦν ἑκάστῳ ἀληθές." οὐ περὶ τοῦ αὐτοῦ εἴρηται πάντα, ἀλλὰ τὸ μὲν περὶ τοῦ γινώσκοντος, ὅτι μέτρον πάντων χρημάτων ὁ ἄνθρωπος, τὸ δὲ περὶ γινωσκομένου τὸ λέγον "οἷα φαίνεται τὰ πράγματα τοιαῦτα καὶ ἔστιν," τὸ δὲ περὶ τῆς γνώσεως αὐτῆς τὸ λέγον ὅτι τὸ δοκοῦν ἑκάστῳ ἀληθές... ἄλλοι δέ φασιν ὅτι οὐδὲν τῶν ὄντων πρός τι· ἡ γὰρ φύσις πάντα καθ' αὑτὰ ἐποίησε, τάξεως τῶν πρός τι μὴ φροντίσασα, ὥσπερ ὁ τέκτων ἐντίθησι τὰς δοκοὺς τῇ ὀροφῇ μὴ φροντίσας ποία δεξιὰ ἢ ποία ἀριστερά, ἀλλ' ἡμεῖς ὕστερον τὴν μὲν δεξιάν φαμεν τὴν δὲ ἀριστεράν. πρὸς ὅ φαμεν ὅτι καὶ τάξεως ἐφρόντισεν ἡ φύσις· τὰ γὰρ ὑγρὰ στοιχεῖα ἐν μέσῳ τῶν ξηρῶν ἔταξεν, ἵνα συνέχηται καὶ σχηματίζηται αὐτοῖς, καὶ τὸ ἧπαρ ἀεὶ ἐν τοῖς δεξιοῖς, καὶ τὰ οὐράνια περιέχει τὰ ὑποσέληνα, ἐπεὶ εἰ μηδὲν ἦν τῶν ὄντων πρός τι, ἀνῄρητο ἂν καὶ ἡ πρόνοια· ἡ γὰρ πρόνοια τοῦ προνοουμένου ἐστὶ πρόνοια, καὶ ἡ γνῶσις τοῦ γνωστοῦ ἐστὶ γνῶσις. ἄλλοι δὲ πάντα τὰ ὄντα πρός τι εἶπον, ἐπειδὴ τὰ πρός τι οἰκείαν ὕλην οὐκ ἔχει ἀλλ' ἐν ταῖς ἐννέα κατηγορίαις θεωρεῖται. καὶ οὐδὲν τῶν ὄντων πρός τι, ἐπειδὴ οὐδὲν μόνως πρός τι ἀλλ' ἢ πρός τι καὶ οὐσία, ἢ πρός τι καὶ ποσόν, ἢ πρὸς

παντὶ ἀπολείπουσι καὶ ἐναντία αὐτὰ τίθενται, οἱ δὲ οὔτε ἐναντία ταῦτα εἶναι συγχωροῦσιν, οὔτε ἐν τῷ παντὶ ὅλως ὑφεστάναι λέγουσιν· εἶναι γὰρ τῶν πρός τι, ὥσπερ τὸ δεξιὸν καὶ ἀριστερόν. οἱ δὲ Πυθαγόρειοι τὸν τόπον πέρας ἁπάντων εἶναι τῶν ὄντων φασί, τῇ μὲν λέξει ταὐτὸν τῷ Ἀριστοτέλει λέγειν δοκοῦντες, τῷ δὲ ἀληθεῖ πάμπολυ διαφέρουσιν· ὁ μὲν γὰρ τὸ πέρας τοῦ περιέχοντος, καθὸ περιέχει τὸ περιεχόμενον, τὸν τόπον εἶναί φησι, διὸ τὸν ἐξωτάτω οὐρανὸν οὐδέ φησιν εἶναι ἐν τόπῳ· οἱ δὲ τὸ ἑκάστου τῶν ὄντων πέρας εἶναι λέγουσι τὸν τόπον, τὸν ἑκάστου εἴδους ὅρον, ἐν ᾧ ἵδρυται καὶ ὑφ' οὗ ἀνέχεται, τόπον λέγοντες.

6a 19. f. 7 b. εἰ δὲ καὶ μᾶλλον μείζων ὁ Καύκασος, ἥττων δὲ ὁ Ἄθως καὶ ἔτι ἥττων ὁ Ὑμηττός, κατὰ τὸ ἀόριστον συγχωρήσοι ἄν τις ἐπιδέχεσθαι καὶ τὸ ποσὸν τὸ μᾶλλον καὶ τὸ ἧττον, ὥσπερ καὶ ἐναντίωσιν· τὸ γὰρ μὴ πρός τι λεγόμενον μέγα ἀλλὰ καθ' αὑτὸ ἀντίκειται τῷ καθ' αὑτὸ λεγομένῳ μικρῷ. καὶ οὕτως Ἀνδρόνικος διατάττεται· Πλωτῖνος δὲ οὐδὲ εἶναι ὅλως πρός τι μέγα φησίν, ἀλλ' ἀκύρως πολλάκις ἀντὶ τοῦ μεῖζον τὸ μέγα λέγειν ἡμᾶς.

6a 21. BOËTHUS p. 151. nullus enim numerus alio numero nec magis nec minus est numerus: nam ternarius si quinario comparetur, nec magis nec minus est numerus, et rursus ipsi tres sibi ipsis comparati nec magis nec minus sunt tres. nec tempus quoque habet aliquid magis et minus.

6a 26. ΣΙΜΠΛ. η' f. 7 b. τὸ ποσὸν καθὸ ποσὸν μετρητόν ἐστι, τὸ δὲ μετρητὸν ποτὲ μὲν τοῖς αὐτοῖς μέτροις μετρεῖσθαι πέφυκε, ποτὲ δὲ πλείοσιν ἢ ἐλάττοσιν· ἔστι δὲ τὸ μὲν τοῖς αὐτοῖς μέτροις μετρούμενον ἴσον, τὸ δὲ πλείοσιν ἢ ἐλάττοσιν ἄνισον. τὸ ἄρα ποσὸν καθὸ ποσόν, ἴσον τε καὶ ἄνισον λέγεται· καθὸ γὰρ ποσόν, μετρητόν, καθὸ δὲ μετρητόν, ταῦτα αὐτῷ ὑπάρχει. καὶ γὰρ καὶ τοῖς ἄλλοις τὸ μέτροις εἶναι διὰ τὸ ποσὸν ὑπάρχει... f. 8. Ἀρχύτας δὲ καὶ αὐτὸς τὸ ἴσον καὶ ἄνισον ἴδιον τοῦ ποσοῦ λέγων, ἐν πλήθει καὶ μεγέθει θεωρεῖσθαί φησιν αὐτὸ καὶ ἐν ῥοπῇ, οὔτε δὲ οὐσίᾳ οὔτε ποιότητι τούτων τι παρέπεσθαι. τριχῶς οὖν αὐτὸς τὸ ἴσον καὶ ἄνισον ἀφορίζεται κατὰ τὰς τρεῖς τοῦ ποσοῦ διαφοράς. ὁ μέντοι Ἀλέξανδρος ἀκολούθως τῷ Ἀριστοτέλει τὴν ῥοπὴν οὐκ ἐν ποσῷ τιθέμενος ἀλλ' ἐν τῷ ποιῷ, καὶ ἐπὶ τῶν βαρέων τὸ ἴσον καὶ ἄνισον οὐ κυρίως λέγεσθαί φησιν ἀλλὰ καταχρηστικῶς... ταῦτα τοῦ Ἀλεξάνδρου καὶ αὐτῇ λέξει κατὰ πολὺ λέγοντος, οἱ νεώτεροι τῶν ἐξηγητῶν τρία γένη τοῦ ποσοῦ κατὰ τὸν Ἀρχύταν τιθέμενοι οὐ διὰ τὸ σῶμα μετρητὸν τὸ βάρος φασίν· ἦν γὰρ ἂν τὸ αὐτὸ τοῦ σώματος καὶ τοῦ βάρους μέτρον· νῦν δὲ πολλαχοῦ ὑπεναντίως ἔχει τὸ τοῦ σώματος μέτρον καὶ τῆς ῥοπῆς.

6a 31. ἀποροῦσι δέ τινες πρὸς τὰ ὑπ' Ἀριστοτέλους εἰρημένα, εἰ τὸ ὅμοιον καὶ ἀνόμοιον μή ἐστι ποσοῦ ἴδιον ἀλλὰ ποιοῦ, πῶς ὅμοια μεγέθη λέγεται· ὅμοια γὰρ τρίγωνα καὶ τετράγωνα ἔχομεν παρὰ τοῖς γεωμέτραις ἀναγεγραμμένα, καὶ δηλονότι καὶ ἀνόμοια. μήποτε οὖν, ὥσπερ τοῖς ποιοῖς τὸ ἴσον ὑπάρχει κατὰ τὸ συνυπάρχον αὐτοῖς ποσόν, οὕτως καὶ τοῖς ποσοῖς τὸ ὅμοιον κατὰ τὸ ἐν αὐτοῖς ποιόν... f. 8 b. ἐπειδὴ δὲ ἐνταῦθα διαρθροῦν ὁ Πορφύριος ἐπιχειρεῖ, τῷ Ἀνδρονίκῳ κατακολουθῶν, τὴν ἔννοιαν τοῦ τε ἑνὸς καὶ τῆς μονάδος καὶ τῆς στιγμῆς, οὐ τῶν κατ' ἰδέας λεγομένων ἀλλὰ τῶν κατ' αἴσθησιν ἢ διάνοιαν ἐναργῶν, περὶ ὧν καὶ ἡ παροῦσα πρόθεσις πραγματεύεται, φέρε καὶ ἡμεῖς τοῖς λεγομένοις παρακολουθήσωμεν.

6a 36. θ' f. 1 b. τινὲς μὲν φεύγοντες τὰς ἐπαγομένας ἀπορίας τῇ ἀποδοθείσῃ τῶν κατηγοριῶν τάξει, ἄτακτόν φασιν αὐτῶν τὴν διδασκαλίαν καὶ κατὰ τὸ ἐπιτυχὸν τῆς διαριθμήσεως τυγχάνειν, οὐκ εἰδότες ὡς εἰς χείρονας ἀπορίας ταῦτα λέγοντες ἐμπίπτουσιν· οἱ γὰρ οὕτω λέγοντες καὶ τὴν τῶν ὄντων σύνταξιν πρὸς ἄλληλα ἀναιροῦσι καὶ τὴν τοῦ λόγου πρὸς ἑαυτὸν ὁμολογίαν. δεῖ τοίνυν ἐν τάξει πάντως αὐτῶν τὴν διδασκαλίαν λεγομένην ὑπολαμβάνειν. διττῆς δὲ οὔσης τῆς τάξεως, τῆς μὲν κατὰ φύσιν καὶ τὴν ἑκάστης τῶν κατηγοριῶν οὐσίαν, τῆς δὲ πρὸς διδασκαλίαν καὶ τὴν ἡμετέραν ἀμαθίαν, ἕνα ὅρον ἔδει ποιεῖσθαι τῆς παραδόσεως καὶ μὴ νῦν μὲν τῇ κατὰ φύσιν τάξει προσχρῆσθαι, αὖθις δὲ τῇ πρὸς διδασκαλίαν. κυριωτέρου δὲ ὄντος τοῦ κατὰ φύσιν, εἰκότως τὴν οὐσίαν προτάττομεν, ἐπειδὴ πρώτη πάντων τῶν γενῶν ἐστί, κατ' αὐτὸ τὸ εἶναι θεωρουμένη καὶ τοῖς ἄλλοις τοῦ εἶναι αἰτία γινομένη. καὶ τῶν ἄλλων οὖν κατηγοριῶν τὴν τάξιν κατά τε τὴν τοῦ εἶναι φύσιν ἀποδοτέον καὶ κατὰ τὴν πρὸς τὴν οὐσίαν οἰκειότητα, ὥστε τὰ μὲν συγγενέστερα πρὸς τὴν οὐσίαν προτάττεσθαι, τὰ δὲ ἀλλοτριώτερα ὕστερα ἀπαριθμεῖσθαι. εἰ τοίνυν προτέτακται τὰ καθ' αὑτὰ τῶν πρός τι καὶ τὰ ὡς ἐν ὑποκειμένων τάξει προϋπάρχοντα τῶν ὡς συμβεβηκότων ἐπιγινομένων, δῆλον ὅτι προηγεῖται τὸ ποιὸν τῶν πρός τι. καὶ τῇ οὐσίᾳ δὲ οἰκειότερον, ὡς καὶ οἱ περὶ τὸν Λούκιον ἐγκαλοῦσι... f. 2. μαρτυρεῖ δὲ τῇ τάξει καὶ αὐτὸς Ἀριστοτέλης· ὅτε γὰρ ἐν ἀρχῇ διηριθμεῖτο τὰς κατηγορίας, προέταξε τοῦ πρός τι τὸ ποιόν. εἰ δέ τις αἰτίαν τῆς τοιαύτης τάξεως ἀποδιδοίη τὸ μὴ μεταξὺ παρεμπῖπτον τὸ πρός τι διακόπτειν τὴν ποιότητα ἀπὸ τοῦ ποιεῖν καὶ πάσχειν, συμφυῆ ὄντα αὐτῇ (καὶ γὰρ τῇ ποιότητι καὶ τὸ ποιοῦν ποιεῖ καὶ τὸ πάσχον πάσχει), μαθέτω καὶ οὗτος ὡς οὔτε δύναμις οὔτε ἐνέργεια οὔτε ποίησις οὔτε κίνησις ποιήσειεν ἄν τι εἰς ἕτερον οὔτε πάθοι τι ὑφ' ἑτέρου, εἰ μὴ προκατάρχοι ἡ τοῦ πρός τί πως ἔχοντος σχέσις συνάπτουσα δι' οἰκειότητος τὸ ποιοῦν τῷ πάσχοντι, ὥστε τὸ μὲν δύνασθαι ποιεῖν τὸ δὲ δύνασθαι πάσχειν. ἔδει οὖν καὶ ἄλλως προτετάχθαι τὴν τοῦ πρός τι σχέσιν ὡς κοινὴν καὶ συμφυῆ καὶ μετὰ τοῦ εἶναι θεωρουμένην· τὸ γὰρ εἶναι ἔχει ἐν τῷ πρός τί πως ἔχειν, καὶ διὰ τοῦτο προτέρα τῶν ἐπικτήτων σχέσεών ἐστιν. καὶ παρὰ τὰ δοκοῦντα δὲ τῷ Ἀριστοτέλει ὁ τοιοῦτός ἐστιν ἀπολογισμός· οὐ γὰρ ἐννοεῖ τὴν ἐν τῷ κινεῖν καὶ κινεῖσθαι τῆς ἐνεργείας σχέσιν πρὸς τὴν δύναμιν, καθ' ἣν ἐξ ἀνάγκης προτέτακται προσεχῶς τῶν ποιούντων καὶ πασχόντων τὰ πρός τι· ὥστε οὐκ ἔδει διὰ τοῦτο μετατιθέναι τὴν τῆς ποιότητος κατηγορίαν ὑστέραν. ἀλλ' οὐδὲ Ἀνδρόνικον ἀποδεκτέον τὰ πρός τι μετὰ πάσας θέντα τὰς κατηγορίας, διότι σχέσις ἐστὶ καὶ παραφυάδι ἔοικε· προηγεῖται γὰρ ἡ συμφυὴς τῶν πρός τι σχέσις τῶν ἐπικτήτων σχέσεων, ὡς καὶ τῷ Ἀρχύτᾳ δοκεῖ. ταῦτα μὲν οὖν ἱστορήσθω περὶ τῶν κατὰ τάξιν διαφόρων δογμάτων... f. 2 b. ὁ δὲ Πορφύριος παραστῆναι τῇ κατὰ τὸν Ἀριστοτέλην τάξει βουλόμενος, ἐκ συνόδου φησὶ τοῦ ποσοῦ καὶ τοῦ πρός τι τὴν γένεσιν ἔχειν τὸ ποιόν, ὥσπερ ἄλλοις τισὶ καὶ Ἐμπεδοκλεῖ δοκεῖ, ἀπὸ τῆς ἐναρμονίου τῶν στοιχείων κράσεως τὰς ποιό-

μένον, καὶ ταῦτα ὡς ἐναντία τιθέμενος; ἢ καὶ ἐπὶ τῆς οὐσίας ἡ εἰς τὰ ἐναντία κείμενα διαίρεσις. τοῦ γὰρ ζώου τὸ μὲν λογικὸν τὸ δὲ ἄλογον ἦν, καὶ τὸ μὲν θνητὸν τὸ δὲ ἀθάνατον, καὶ ὅμως συνεχωροῦμεν τῇ οὐσίᾳ μηδὲν εἶναι ἐναντίον· ἄλλο γάρ ἐστι τὸ περὶ τὴν οὐσίαν καὶ περὶ τὸ ποσὸν θεωρεῖν ἐναντίωσιν κατὰ τὰς περὶ αὐτὰ ποιότητας συμβαῖνον, καὶ ἄλλο τὸ αὐτῇ τῇ οὐσίᾳ ἢ τῷ ποσῷ μὴ εἶναι ἐναντίον... ἀμφισβητεῖται οὕτως μήποτε κατὰ τὸ ἄνω καὶ τὸ κάτω τὴν ἐναντίωσιν ἐπιδέχεται, ἅπερ ἢ εἴδη ἢ μέρη τοῦ τόπου δοκεῖ. f. 4 *b. ἀλλ' οἱ μὲν οὐδὲ εἶναι φύσει τὸ ἄνω καὶ τὸ κάτω νομίζουσιν, ἀλλὰ κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν θεωρεῖσθαι, ὅσοι τὸ ὑπὲρ κεφαλῆς ἡμῶν ἄνω λέγουσι τὸ δὲ ὑπὸ τοὺς πόδας κάτω, καὶ τὸ αὐτὸ ἄνω καὶ κάτω τίθενται κατὰ τὰς διαφόρους σχέσεις. καὶ δῆλον ὅτι οὐκ ἂν εἴη οὕτως ἐναντία· οὐ γὰρ ὑπάρχει τῷ αὐτῷ κατὰ ταὐτὸν τὰ ἐναντία. εἰ δὲ τὸ ἄνω καὶ τὸ κάτω οὐ κατὰ σχέσιν ἀλλὰ κατὰ τὴν τοῦ παντὸς διάστασιν λαμβάνουσι, τήν τε ἀπὸ τοῦ μέσου πρὸς τὰ πέρατα καὶ τὴν ἀπὸ τῶν περάτων πρὸς τὸ μέσον· φύσει γὰρ διάφορα ταῦτα· ἀλλὰ καὶ πρὸς τούτους ῥητέον ὡς τὸ ἄνω καὶ κάτω οὐ τόπον σημαίνει ἀλλὰ τὴν τοῦ ποῦ κατηγορίαν, ὥσπερ τὸ χθὲς καὶ σήμερον οὐ χρόνον ἀλλὰ τὸ ποτέ, τουτέστι τὸ κατὰ χρόνον· ταῦτα γὰρ καὶ τῷ Ἀνδρονίκῳ δοκεῖ. μήποτε δὲ καὶ τὸ ἄνω καὶ τὸ κάτω τόπου διαφοραί εἰσι καὶ τὸ χθὲς καὶ τὸ σήμερον χρόνου, οὐ μέντοι καθὸ ποσὸν ὁ τόπος καὶ ὁ χρόνος ἔχει τοῦτο, ἀλλ' ὁ μὲν κατὰ τὴν θέσιν καὶ τὸ τοπικὸν ἰδίωμα, ὅπερ ἐν τῇ τοῦ ποῦ κατηγορίᾳ παραδέδοται, ὁ δὲ κατὰ τὰ ὑπὸ τῆς κινήσεως μέτρα· καὶ γὰρ ὁ τόπος καὶ ὁ χρόνος ἐν μὲν τῷ ποσῷ κατὰ τὴν διάστασιν μόνην παραδίδονται, κατὰ μέντοι τὸν ἴδιον χαρακτῆρα ὁ μὲν τόπος ἐν τῇ τοῦ ποῦ κατηγορίᾳ, ὁ δὲ χρόνος ἐν τῇ τοῦ ποτέ. ὥστε καθὸ ποσὸν ὁ τόπος οὐκ ἔχει τὸ ἄνω καὶ τὸ κάτω, ἀλλὰ καθὸ τοιόνδε ποσόν.*

5 b 18. ΣΙΜΠΛ. ή f. 4 *b. εἶτα τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πολλοῦ καὶ ὀλίγου δείκνυσι, πολλοὺς μὲν ἐν τῇ κώμῃ λέγων ἢ ἐν τῷ οἴκῳ ὡς πρὸς κώμην καὶ οἶκον, ὀλίγους δὲ ἐν τῷ ἄστει καὶ τῷ θεάτρῳ ὡς πρὸς αὐτά... εἶτα κατασκευάζει ἐκ περιουσίας ὅτι, κἄντε ποσὰ ᾖ κἄντε μή, οὐκ ἔστιν ἐναντία. δείκνυσι δὲ αὐτὸ οὕτως. τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον οὐκ ἔστι καθ' αὑτὰ ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται, τὰ δὲ τοιαῦτα οὐκ ἔστιν ἐναντία· τὰ γὰρ ἐναντία καθ' αὑτά ἐστι καὶ ἐπὶ τῆς οἰκείας φύσεως ὑφέστηκεν. εἶτα τὸ αὐτὸ καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἀποδείκνυσιν.*

5 b 30. f. 5. *μήποτε δέ, φησὶν ὁ Ἰάμβλιχος, τῷ Ἀνδρονίκῳ καὶ τὸ μέγα καὶ μικρὸν καὶ τὸ πολὺ καὶ ὀλίγον οὐ μόνον πρός τί ἐστιν ἀλλὰ καὶ ποσὸν ἀόριστον· ὅταν γὰρ λέγωμεν μέγα, ποσὸν ἀόριστον δηλοῦμεν (οὐ γὰρ δηλοῦται πόσῳ ἢ τίνι μεγέθει μέγα ἐστὶν ἢ πόσῳ πλήθει πολύ), ὅταν δὲ μεῖζον καὶ μικρότερον λέγωμεν, κατὰ τὴν πρὸς ἄλληλα σχέσιν θεωρεῖται. ὁ δέ γε Ἀριστοτέλης κατὰ τὸ πρός τι μόνον τὸ μέγα καὶ τὸ μικρὸν ἐθεώρησεν, ὥσπερ ὁ Πλωτῖνος κατὰ τὸ ἁπλῶς μόνον· τὸ γὰρ πρός τι μέγα ἀντὶ τοῦ μεῖζον λέγεσθαί φησιν. εἰπόντος δὲ τοῦ Ἀριστοτέλους ὅτι ὃ μὴ ἔστι καθ' αὑτὸ λαβεῖν ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται, τοῦτο οὐκ ἔχει ἐναντίον, ἐνίστανταί τινες πολλὰ καὶ ἐν τοῖς πρός τι ἐναντία λέγοντες εἶναι, οἷον τὴν ἐπιστήμην τῇ ἀγνοίᾳ καὶ τὴν ἀρετὴν τῇ κακίᾳ. μήποτε οὖν, φησὶν Ἰάμβλιχος, ἐλλιπῶς εἴρηται, τὸ δὲ πλῆρές ἐστι τοιοῦτον. ὃ μή ἐστι καθ' αὑτὸ ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται, οὐδενὶ τούτων τῶν πρὸς ἃ ἀναφέρεταί ἐστιν ἐναντίον· ἡ γὰρ μεγάλη κέγχρος πρὸς τὴν μικρὰν ἀναφέρεται, καὶ οὐκ ἔστι τὸ μέγα τῷ μικρῷ ἐναντίον. μήποτε δὲ ἄμεινον λέγειν ὅτι οὐ πᾶσαν ἀντίθεσιν ἀνεῖλεν ἀπὸ τοῦ ποσοῦ ὁ Ἀριστοτέλης· οὐ γὰρ καὶ τὴν κατὰ τὸ πρός τι, ἀλλὰ μόνην τὴν κατὰ τὸ ἐναντίον.*

f. 6. *θεωρητικώτερον δὲ τοῖς εἰρημένοις περὶ τοῦ ποσοῦ ἐπι-* 6 a 11.
βάλλων ὁ θεῖος Ἰάμβλιχος, παντός, φησί, ποσοῦ κοινὴ ἔννοια τοιάδε ἐστίν. ποσὸν ὑπάρχει τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα μέρη· τοῦτο γὰρ ἐπὶ πλήθους καὶ μεγέθους ὡσαύτως διατείνει. τούτου δὲ τὸ μὲν ἀριθμητόν ἐστι τὸ δὲ μετρητόν, καὶ ἑκάτερον λέγεται καὶ ἀορίστως πως καὶ ὡρισμένως.

ΠΟΡΦ. f. 33. *ἀπὸ τῆς κατὰ τὸν τόπον ἐν τῷ ἄνω καὶ κάτω* 6 a 12.
ἐναντιώσεως ἐοίκασι τὸν ὁρισμὸν εἰληφέναι· τὸ γὰρ διεστηκέναι πρώτως ἐν τόπῳ ἐστίν, ὥστε ἐν μόνῳ τῷ τόπῳ εἴη ἂν ἡ ἐναντίωσις. ἀλλὰ πῶς ὁ Ἑρμῖνος ἀπήντησεν; λέγων ὅτι τὸ ἄνω καὶ τὸ κάτω οὐ τόπον σημαίνει ἀλλὰ ποῦ, ὥσπερ οὐδὲ τὸ χθὲς οὐδὲ τὸ αὔριον χρόνον ἀλλὰ ποτέ.

ΣΙΜΠΛ. ή f. 6 *b. τί οὖν οὐκ ἀντίκειται τὸ ἄνω τῷ κάτω; ἢ οὐ καθὸ ποσὸν ἀντίκειται; ποσὸν γάρ ἐστι καθὸ ἐπιφάνεια καὶ διχῇ διάστασις, κατὰ δὲ τοῦτο οὐδεμίαν ἔχει ἀντίθεσιν. ἀλλ' εἰ ἄρα, καθὸ πρός τι ἢ καθὸ ποῦ ἡ τοῦ ἄνω πρὸς τὸ κάτω ἀντίθεσις γίνεται· τῶν γὰρ πρός τι τινὰ δέχεται ἐναντίωσιν, ὥσπερ καὶ τὸ ποῦ. καὶ εἴρηται πολλάκις ὅτι πολλὰ τῶν ὄντων κατ' ἄλλο καὶ ἄλλο ὑπὸ διαφόρους ἀνάγεται κατηγορίας. ἄμεινον δὲ ἴσως λέγειν ὅτι ὡς πρὸς τὸ πᾶν κάτω μέν ἐστιν ἐφ' ὃ τὰ βάρος ἔχοντα φέρεται, ἄνω δὲ ἐφ' ὃ τὰ κοῦφα, καὶ κάτω μέν ἐστι καὶ τὸ κέντρον τὸ μέσον, ἄνω δὲ τὸ περὶ τὸ μέσον καὶ τὸ περὶ τὸ κέντρον· ἐν σφαίρᾳ γὰρ τὸ κάτω καὶ ἄνω οὕτως θεωρεῖται. ὡς δὲ πρὸς ἡμᾶς κάτω μὲν τὰ ὑπὸ τοὺς ἡμετέρους πόδας, ἄνω δὲ τὰ ὑπὲρ τὴν ἡμετέραν κεφαλήν. τούτων οὖν οὕτως ἐχόντων, τὰ μὲν πρὸς ἡμᾶς λεγόμενα ἄνω καὶ κάτω μόνως ἐστὶ πρός τι (συμμεταβάλλει γὰρ ἑκάστοτε καὶ οὐκ ἔστι φύσει), τὰ δὲ ἐν τῷ κόσμῳ, καθόσον μὲν ἤρτηται αὐτοῖς ἐξ ἀλλήλων τὸ εἶναι, πρός τι ἐστί, καθόσον δὲ τῇ αὐτῶν φύσει τοιαῦτά ἐστιν ὁποῖα λέγεται, καὶ οὐδέποτε μεταπίπτει, καὶ τῶν ἐναντίων ἐστὶ δεκτικά, καὶ ᾗ πλεῖστον διέστηκε, ταύτῃ ἐναντία ἐστίν. ὥστε οὐδὲ καθὸ πρός τι ἐναντία ἐστίν, ὅπερ ἐδόκει λέγεσθαι πρότερον, οὐδ' ὅτι μᾶλλον καθὸ ποσόν ἐστι, ταύτῃ πρός τι ἐστὶν ἡ ἐναντία, ἀλλ' ἄμφω ταῦτα, καὶ τὸ πρός τι καὶ τὸ ἐναντίον, ἐν αὐτῷ συμβήσεται τῷ ποσῷ τῷ κατὰ τὸν τόπον, κατὰ τὰς εἰρημένας διαφορὰς ἀλλ' οὐ καθὸ ποσόν. δηλοῖ δὲ καὶ αὐτός, οὐ τῷ ποσῷ εἰπὼν ἀλλὰ τοῦ ποσοῦ εἶναι τὴν ἐναντιότητα, καὶ οὐ τῷ τόπῳ ἀλλὰ περὶ τὸν τόπον, καὶ οὐκ εἶναι ἁπλῶς ἀλλὰ δοκεῖν ὑπάρχειν· οἱ γὰρ τοιοῦτοι προσδιορισμοὶ σαφῶς ἐκεῖνο ἐμφανίζουσιν...* f. 7. *πολλὴ δὲ καὶ περὶ τόπου γέγονε τῶν δοξασμάτων διαφορά· οἱ μὲν γὰρ κατὰ τὸ πρός τι φασὶν αὐτὸν ἀφορίζεσθαι· καθὸ γὰρ περιεκτικόν ἐστι τοῦ σώματος νενόηται ὡς τόπος, τὸ δὲ περιέχον πρὸς τὸ περιεχόμενον λέγεται ὡς πρός τι· οἱ δὲ διάστημα αὐτὸν εἶναι λέγοντες ποσὸν εἶναί φασιν ἀλλ' οὐ πρός τι. καὶ τὸ ἄνω δὲ καὶ τὸ κάτω οἱ μὲν ἐν τῷ*

ποιεῖν ἐπιφάνειαν, καὶ δι' αὐτῆς τέμνειν τὸ ὑποκείμενον. ὥστε ἐπειδὴ καθ' ὅλην ἑαυτὴν ἡ ἐπιφάνεια τέμνει τὸ σῶμα, ἀνάγκη καὶ κατὰ τὸ πέρας αὐτῆς, λέγω δὴ τὴν γραμμήν, συνάπτειν τὰ τοῦ σώματος ἄκρα.

5a 15. ΣΙΜΠΛ. ζ' f. 6 b. ἐγκαλοῦσι δὲ οἱ περὶ τὸν Λούκιον καὶ Νικόστρατον τῇ διαιρέσει πρῶτον μὲν ὡς μὴ δεόντως καὶ τὸ μέγεθος ποσὸν λεγούσῃ· πηλίκον γὰρ ἔδει τοῦτο λέγειν, ποσὸν δὲ τὸν ἀριθμόν, τὸ δὲ κοινὸν ἢ ἄλλο τι ἢ ὁμωνύμως τῷ ἑνὶ τῶν εἰδῶν ποσὸν καὶ αὐτὸ ὀνομάζειν. ἀλλ' ἐπειδή, κἂν κατὰ τὸ πλεῖστον τὸ μὲν συνεχὲς πηλίκον τὸ δὲ διωρισμένον ποσόν, ἀλλὰ καὶ ὑπαλλάττει πολλάκις... αἰτιῶνται δὲ καὶ τὸ εἰς δύο γενέσθαι τὴν διαίρεσιν· ἔδει γὰρ μετὰ τὸν ἀριθμὸν καὶ τὸ μέγεθος τρίτον εἶδος τάττειν τὸ βάρος ἢ τὴν ῥοπήν, ὡς Ἀρχύτας, καὶ ὡς ὕστερον Ἀθηνόδωρος ἔταξε καὶ Πτολεμαῖος ὁ μαθηματικός. ἀλλὰ ῥητέον ὅτι ἡ βαρύτης ποιότης ἐστὶν ὡς ἡ πυκνότης καὶ παχύτης, οὐχὶ κατὰ τὸ ποσὸν ἀλλὰ κατὰ τὸ ποιὸν καὶ τὰ τούτοις ἀντικείμενα... f. 7. πρὸς δὲ Κορνοῦτον καὶ Πορφύριον, τὴν ῥοπὴν κατὰ βαρύτητα καὶ κουφότητα θεωρουμένων ποσότητα λέγοντας, φησὶ τὴν ῥοπὴν μὴ εἶναι βαρύτητα καὶ κουφότητα ἀλλὰ μέτρον βαρύτητος καὶ κουφότητος... κοινῶς μὲν δὴ περὶ τοῦ ποσοῦ ταῦτα διαπορεῖται καὶ οὕτως διαλύεται· κατ' ἰδίαν δὲ περὶ ἑκάστου τῶν εἰδῶν τοῦ ποσοῦ διαποροῦντες περὶ τοῦ ἀριθμοῦ πρώτου διαιρούμενοι λέγουσιν ὡς ἄλλη μέν τίς ἐστι τοῦ ἀριθμοῦ φύσις καθ' ἣν ἐστιν ὡρισμένος καὶ πόσος βαρυτόνως, ἄλλη δὲ καθ' ἣν τὸ ποσὸν αὐτῷ ἀορίστως καὶ ὀξυτόνως ὑπάρχει... η' f. 1. ἄμεινον ἴσως, φασίν, Ἀνδρόνικος ἐποίησεν, ἰδίας μὲν ποιήσας κατηγορίας τὸν τόπον καὶ τὸν χρόνον, ὑποτάξας δὲ αὐταῖς τὸ ποῦ καὶ τὸ ποτέ. ἢ καὶ πρὸς τοῦτο ῥητέον ὅτι ἄλλη μέν ἐστιν ἔννοια τοῦ χρόνου καθ' ἣν ἐστι διάστημα ὁ χρόνος, ἄλλη δὲ τοῦ ποτέ, καθ' ἣν ἡ σχέσις τῶν ἐν τῷ χρόνῳ θεωρεῖται πρὸς τὸν χρόνον. καὶ ἐπὶ τόπου δὲ καὶ τῶν ἐν τόπῳ ὁ αὐτὸς ἁρμόσει λόγος. διόπερ Ἀριστοτέλης ὀρθῶς ἀλλαχοῦ μὲν τίθησι τὰ ποσά, ἀλλαχοῦ δὲ τὴν πρὸς τὰ ποσὰ ταῦτα σχέσιν κατέταξεν... η' f. 1 b. παρείληπται ἡ δευτέρα διαίρεσις, ὥστε τὰς ὑπὸ τῆς προτέρας παραλειφθείσας διαφορὰς προστεθῆναι, καὶ καλεῖται ἡ τοιαύτη ἐπιδιαίρεσις, δευτέρα τις οὖσα τοῦ αὐτοῦ γένους διαίρεσις καθ' ἑτέρας διαφοράς.

η' f. 2. ζητεῖν δὲ ἄξιον τί τὸ θέσιν ἔχον. ἆρα ὥς τινες οἴονται, τριῶν τούτων δεῖται τὸ θέσιν ἔχον, τοῦ τε τόπου ἐν ᾧ κεῖται, καὶ τοῦ τὰ μόρια συνυπάρχειν ἀλλὰ μὴ τῶν ἑτέρων γινομένων τὰ ἕτερα ἀφανίζεσθαι, καὶ τοῦ συνέχειαν καὶ ἀλληλουχίαν ἔχειν πρὸς ἄλληλα; ἢ τὸ μὲν συνυπάρχειν ἀλλήλοις τὰ μόρια πάντως προσεῖναι δεῖ τοῖς θέσιν ἔχουσι, τὸ δὲ ἐν τόπῳ εἶναι οὐ πάντως οὔτε κατὰ τὴν φύσιν τῶν πραγμάτων οὔτε κατὰ τὴν τοῦ Ἀριστοτέλους παράδοσιν; τὰ γὰρ μὴ διεστηκότα πλεοναχῶς, οἷον ἡ γραμμή, ἐν τόπῳ μὲν οὐκ ἔστιν, ὥστε οὐδὲ ἐν τόπῳ τεθήσεται, θέσιν δὲ ἔχειν λέγεται. καὶ ὁ Ἀριστοτέλης δὲ οὐχ ἁπλῶς εἶπε θέσιν ἔχοντα αὐτὰ ἐν τόπῳ ἀλλὰ πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων... ἕκαστον οὖν τῶν συνεχῶν ποσῶν ὡς ἔχει φύσεως, οὕτως ἔχει καὶ τὴν οἰκείαν θέσιν. τὸ μὲν σῶμα ἐπειδὴ ἐν τόπῳ ἐστίν, ἐν τόπῳ καὶ τὴν θέσιν ἔχει, ἡ δὲ ἐπιφάνεια ἐν τῷ σώματι, ἡ δὲ γραμμὴ ἐν τῇ ἐπιφανείᾳ, τὸ δὲ σημεῖον ἐν τῇ γραμμῇ· καὶ γὰρ σαφῶς καὶ Ἀριστοτέλης εἶπεν ὅτι τὰ τῆς γραμμῆς μόρια ἐν τῷ ἐπιπέδῳ κεῖται. καὶ ὅλως εἰ τὰ θέσιν ἔχοντα ἐν τόπῳ τὴν θέσιν ἔχειν ἐβούλετο, οὐκ ἂν καὶ τὰ τοῦ τόπου μόρια ἔλεγε θέσιν ἔχειν· οὐ γὰρ ἂν εἴη ὁ τόπος ἐν τῷ τόπῳ, ἵνα μὴ ἐπ' ἄπειρον τόπους πρὸ τόπων ζητήσωμεν, ἀλλ' ὡς ἐπιφάνεια ὢν ὁ τόπος ἐν τῷ σώματι τὴν θέσιν ἔχει, ὅπερ ἐστὶν ὡς ἐπιφάνεια. καὶ αὐτὸς δὲ Ἀριστοτέλης "ὡς τὸ εἶναι" φησὶν "ἔχει τὰ μαθηματικά, οὕτως καὶ τὸ κεῖσθαί που."... μήποτε οὖν ὅπερ ἡ τάξις ἐστὶν ἐν τοῖς διωρισμένοις, τοῦτο ἡ θέσις ἐν τοῖς συνεχέσιν... καὶ κατά γε ταύτην τὴν ἔννοιαν οὐκ ἀναγκαῖόν που κεῖσθαι τὰ κείμενα ὡς ἐν ἄλλῳ· ἡ γὰρ θέσις παρὰ τὸ θεῖν, οἶμαι, καὶ ἵστασθαι λεγομένη τὴν ἔκτασιν σημαίνει.

ΣΙΜΠΛ. η' f. 3. ἐπιστῆσαι δὲ ἄξιον ὅτι κατὰ μὲν τὴν πρώτην 5a 36. διαίρεσιν πέντε μὲν ἦν συνεχῆ δύο δὲ διωρισμένα, κατὰ δὲ τὴν δευτέραν τέτταρα μὲν τὰ θέσιν ἔχοντα, γραμμὴ ἐπιφάνεια σῶμα τόπος, τρία δὲ τὰ μὴ ἔχοντα, ἀριθμὸς χρόνος λόγος· "ὧν δύο μὲν" φησὶν ὁ Ἰάμβλιχος "τάξιν ἔχει, ἀριθμὸς καὶ χρόνος, λόγος δὲ πῶς μὲν ἔχει τάξιν πῶς δὲ οὐκ ἔχει," φησίν, "ὡς ἐν τοῖς πρὸ τούτων διώρισαι." ὥστε καὶ ἄλλη τρίτη γέγονε διαίρεσις, καθ' ἣν τῶν ποσῶν τὰ μὲν ἔχει τάξιν τὰ δὲ οὐκ ἔχει. καὶ ἄλλην δὲ τετάρτην ἐφεξῆς προστίθησι διαίρεσιν, καθ' ἣν τῶν ποσῶν τὰ μέν ἐστι προηγουμένως ποσά, ὅσα καθ' αὑτά ἐστι τοιαῦτα, ὡς ἀριθμὸς καὶ μέγεθος καὶ χρόνος καὶ τὰ τοιαῦτα, ὧν τὸ ποσὸν ἐν τῷ τί ἐστι κατηγορεῖται· τὰ δὲ κατὰ συμβεβηκός, ὅσα κατ' ἄλλο τι ποσὰ εἶναι λέγεται... δοκεῖ κατὰ 5b 3. ταῦτα καὶ ἡ κίνησις μετέχειν τοῦ ποσοῦ, ἀλλ' οὐκ εἶναι ποσόν. καὶ ἔοικε πολλή τις ἀμφιβολία γεγονέναι περὶ τὴν κίνησιν, εἴπερ οἱ μὲν ὑπὸ τὸ πρός τι αὐτὴν ἀνάγεσθαί φασιν, οἱ δὲ ὑπὸ πλείονας κατηγορίας, ἐν αἷς θεωρεῖται· καὶ γὰρ ἐν ποσῷ κίνησις, ὡς αὔξησις καὶ μείωσις, καὶ ἐν τῷ ποιῷ, ὡς ἀλλοίωσις, καὶ κατὰ τόπον ἄλλη, καὶ δὴ καὶ κατ' οὐσίαν· ἄλλοι δέ τινες τὸ δυνάμει καὶ ἐνεργείᾳ κοινῶς ἐπὶ πάντων τῶν γενῶν θεωροῦντες τὴν κίνησιν ἐντελέχειαν οὖσαν τοῦ κινητοῦ ᾗ κινητόν, κατὰ τὴν Ἀριστοτέλους ἀπόδοσιν, κοινὴν εἶναι τῶν δέκα γενῶν φασίν· οἱ δὲ ἐν τῷ ποιεῖν καὶ πάσχειν αὐτὴν κατατάττουσι· Πλωτῖνος δὲ αὐτὴν καθ' αὑτὴν πρὸ τοῦ ποιεῖν καὶ πάσχειν, ὡς γένος ἴδιον, τὴν κίνησιν ἀφωρίσατο· ὁ μέντοι Ἰάμβλιχος ποσὸν αὐτὴν εἶναι βούλεται.

ΔΑΒΙΔ. ὡς οἱ παροιμιαζόμενοί φασιν, ὅλῳ καὶ παντὶ λέγοντες 5b 9. διαφέρειν τὰ ἄγαν διεστῶτα, τουτέστι τοῖς ἐναντίοις εἴδεσι τοῦ ποσοῦ, τὸ μὲν ὅλον ἐπὶ τοῦ συνεχοῦς τάττοντες, τὸ δὲ πᾶν ἐπὶ τοῦ διωρισμένου.

ΣΙΜΠΛ. η' f. 4. κάλλιον ἴσως πρὸ τῆς τοῦ Ἀριστοτέλους ἐξεργασίας 5b 11. ἕκαστον τῶν εἰδῶν τοῦ ποσοῦ προχειρισάμενον ἰδεῖν ὅπως οὐκ ἔχει ἐναντίον, καὶ ὅπως τὰ δοκοῦντα εἶναι ἐν ἑκάστῳ εἴδει τοῦ ποσοῦ ἐναντίως οὐ καθὸ ποσὸν ὑπάρχει αὐτῷ ἀλλὰ κατ' ἄλλην κατηγορίαν, ὑφ' ἣν ὑπάγεται. αὐτίκα ἡ γραμμή, καθ' ὅσον μέν ἐστι γραμμή, οὐδεμίαν ἔχει ἐναντίωσιν, καθ' ὅσον δὲ ποιὰ γραμμή, κατὰ τοσοῦτον τὸ εὐθὺ καὶ τὸ κυρτὸν ἔχει περὶ τὴν γραμμὴν θεωρούμενα. πάλιν ἡ ἐπιφάνεια... ἀλλὰ τί ἂν λέγοιμεν, εἴ τις τὸ περιττὸν καὶ ἄρτιον ἐναντία λέγοι, τοῦ ἀριθμοῦ δύο εἴδη ταῦτα τιθέμενος, καὶ αὐτοῦ δὲ τοῦ ποσοῦ τὸ μὲν συνεχὲς εἶναι φάσκων τὸ δὲ διωρισ-

δὲ τὸ ποσόν;... ὁ Ἀριστοτέλης πρώτην οὐσίαν ὑποθέμενος τὴν σύνθετον καὶ σωματικὴν διὰ τὸ γνωριμωτέραν εἶναι ταύτην τῇ συνηθείᾳ τῇ λεκτικῇ, εἰκότως ταύτῃ τὸ ποσὸν συνέταξεν ὡς οἰκειότερον καὶ γνωριμώτερον καὶ τῇ διαστάσει τῆς τοιαύτης οὐσίας συνυπάρχον. καὶ οὐδὲν θαυμαστὸν ἑκάτερον οἰκείαν τὴν τάξιν ἀποδεδωκέναι ταῖς ἑαυτοῦ ὑποθέσεσι... γίνεται δὲ ἡ διαίρεσις αὕτη οὐκ εἰς εἴδη τοῦ ποσοῦ ἀλλ' εἰς διαφοράς· εἴδη μὲν γὰρ τοῦ ποσοῦ τὸ μέγεθος καὶ τὸ πλῆθος, διαφοραὶ δὲ τὸ συνεχὲς καὶ διωρισμένον. τὸ γὰρ μέγεθος ποσόν ἐστι συνεχὲς καὶ τὸ πλῆθος ποσὸν διωρισμένον.

4b 21. f. 5. ἐπιδιαίρεσιν τοῦ ποσοῦ ποιεῖται, τὸ μὲν ἐκ θέσιν ἐχόντων τῶν ἐν αὐτῷ μορίων λέγων εἶναι, τὸ δὲ ἐξ οὐκ ἐχόντων θέσιν. διαφέρει δὲ αὕτη τῆς προειρημένης· οὔτε γὰρ τὰ συνεχῆ τὰ αὐτά ἐστι τοῖς θέσιν ἔχουσιν, ἀλλὰ τὰ μὲν ἐκ θέσιν ἐχόντων πάντως καὶ συνεχῆ ἐστί, τὰ δὲ συνεχῆ οὐ πάντως θέσιν ἔχει· ὁ γοῦν χρόνος συνεχὴς μέν ἐστιν, οὐ μέντοι τῶν θέσιν ἐχόντων. ἀνάπαλιν δὲ πᾶν μὲν τὸ διωρισμένον ἐξ οὐκ ἐχόντων θέσιν ἐστίν, οὐ μὴν πᾶν τὸ ἐξ οὐκ ἐχόντων θέσιν ἤδη καὶ διωρισμένον ἐστίν· πάλιν γὰρ ὁ χρόνος ἐξ οὐκ ἐχόντων θέσιν ὢν οὐκ ἔστι διωρισμένος.

4b 22. ἈΜΜ. f. 68. τοῦ συνεχοῦς ποσοῦ πέντε φησὶν εἴδη, γραμμὴν ἐπιφάνειαν σῶμα τόπον χρόνον, τοῦ δὲ διωρισμένου δύο, ἀριθμὸν καὶ λόγον.

4b 23. ΣΙΜΠΛ. ζ' f. 5. ἐπειδὴ δὲ καὶ τὸν λόγον τοῦ διωρισμένου ποσοῦ φησὶν εἶναι, λόγον ἀκουστέον οὐ τὸν ἐν διανοίᾳ ἀλλὰ τὸν ἐν τῇ φωνῇ· οὗτος γάρ ἐστι τὸ ποσόν. πᾶς γὰρ λόγος ἐξ ὀνομάτων καὶ ῥημάτων συνέστηκε, πᾶν δὲ στοιχεῖον λόγου ἐκ συλλαβῶν, πᾶσα δὲ συλλαβὴ χρόνοις καταμετρεῖται, καὶ χρόνῳ ἢ μακρῷ ἢ βραχεῖ, αἱ δὲ μακραὶ πρὸς τὰς βραχείας ἔχουσι λόγον ὃν δύο πρὸς ἕν, τὸ δὲ ἓν καὶ δύο ἀριθμός, ὁ δὲ ἀριθμὸς ποσὸν διωρισμένον, ὥστε καὶ ὁ λόγος διωρισμένος... ὁ δὲ ἐν τῇ διανοίᾳ οὐδὲ ποσὸν ὅλως ἀλλ' ἢ ἐνέργεια ἢ πάθος ἢ τὸ συναμφότερον, ὡς ὁ Ἰάμβλιχός φησιν· ὁ μέντοι Πορφύριος ποιὸν αὐτὸν εἶναι λέγει.

4b 25. ἈΜΜ. f. 71 b. ὅτι διωρισμένον ποσὸν (ὁ ἀριθμός), τοῦτο κατασκευάζει. οὐ γὰρ ἔχει, φησί, κοινὸν ὅρον πρὸς ὃν συνάπτει τὰ μόρια αὐτοῦ· τὸν γὰρ δέκα ἀριθμὸν εἰ διέλοιμεν εἰς δύο πεντάδας, ἑκάστην εὑρήσομεν διωρισμένην καὶ οἰκείαν ἔχουσαν περιγραφήν· οὐδὲ γάρ ἐστι μονὰς ἑκατέροις συνημμένη τοῖς μέρεσι καὶ δι' ἑαυτῆς τὴν συνέχειαν αὐτοῖς χαριζομένη. καὶ ἐπὶ τοῦ ἑπτὰ ἀριθμοῦ ὁμοίως· ἡ γὰρ τετάρτη μονὰς οὐδεμίαν τῶν τριάδων οὔτε πρὸς ἑαυτὴν οὔτε πρὸς ἀλλήλας συνάπτει, ἀλλ' ἐν ἰδίᾳ καὶ αὐτὴ θεωρεῖται περιγραφῇ. ὥστε διωρισμένον ποσὸν ὁ ἀριθμός.

4b 24. ΔΑΒΙΔ. τρίτον (δεῖ ζητῆσαι) εἰ τούτων μόνων ἐστὶ γένος (τὸ ποσόν), ἢ καὶ τῆς ῥοπῆς, ὥς φησι Πλάτων καὶ Ἀρχύτας καὶ Πτολεμαῖος ὁ ἀστρονόμος. ἀντιδιέστειλε δὲ καὶ τὸν τόπον τῇ ἐπιφανείᾳ, ὡς μήπω δείξων ὅτι ὁ τόπος ἐπιφάνειά ἐστιν, ὅπερ δείκνυσιν ἐν τῇ Φυσικῇ (4 2)· ὁ γὰρ Πλάτων καὶ οἱ ἀπ' αὐτοῦ τὸν τόπον σῶμα ἔλεγον εἶναι τριχῶς διαστατόν.

4b 34. ἈΜΜ. f. 72. ἐπειδὴ ὁ λόγος ὁ μέν ἐστι προφορικὸς ὁ δὲ ἐνδιάθετος, ὁ ἐν ψυχῇ θεωρούμενος, διὰ τοῦτο ἐπισημαίνεται ὅτι περὶ τοῦ προφορικοῦ λόγου φησίν· ὁ γὰρ ἐνδιάθετος οὐδὲ ποσὸν ὅλως ἐστίν, ἀλλ' εἴπερ ἄρα ἐστί τι, δῆλον ὅτι ποιότης ἐστὶ τῆς ψυχῆς, εἴπερ διάθεσίς ἐστι τῆς ψυχῆς ἢ ἕξις, διάθεσις δὲ καὶ ἕξις ποιότητες, ὡς εἰσόμεθα. προτετίμηται δὲ ὁ ἀριθμὸς τοῦ λόγου, ἐπειδὴ δι' αὐτοῦ μετρεῖται ὁ λόγος.

ΣΙΜΠΛ. ζ' f. 8. οὐδὲ ὁ Ἀριστοτέλης κατὰ τὸ κοινὸν τοῦτο ποσὸν 4b 35.
φαίνεται εἰπὼν τὸν λόγον, ἀλλ' ὅτι καταμετρεῖται συλλαβῇ βραχείᾳ ἢ μακρᾷ. τοῦτο δέ φασιν οὐκ αὔταρκες· οὐδὲ γὰρ ὁ λόγος καθὸ λόγος μετρεῖται, οὐδὲ ἡ βραχεῖα συλλαβὴ καθὸ συλλαβὴ μετρεῖ, ἀλλ' ὅτι ἐν χρόνῳ πλείονι ἢ ἐλάττονι, ὥστε ὁ χρόνος ἂν εἴη ὁ μετρῶν τὸν χρόνον, ὁ ἐλάττων τὸν μείζονα, ὁ τῆς συλλαβῆς τὸν τοῦ λόγου. κατὰ συμβεβηκὸς οὖν ἡ συλλαβὴ τὸν λόγον μετρεῖ. πρὸς δὴ ταῦτά φησιν ὁ Πορφύριος ὅτι οὐκ ἐπειδὴ βραχεῖ χρόνῳ λέγεται ἡ βραχεῖα συλλαβή, διὰ τοῦτό ἐστι βραχεῖα, ἀλλὰ τῇ ἑαυτῆς φύσει ἔχει τὴν σμικρότητα, ὁμοίως δὲ καὶ ἡ μακρά· καὶ γὰρ ἡ μὲν στενουμένης τῆς ἀρτηρίας δι' ὀλιγότητα πνεύματος λέγεται βραχεῖα, ἡ δὲ εὐρυνομένης διὰ πλῆθος μακρά. ὥστε ἡ μὲν ὡς βραχεῖα φύσει ἐν βραχεῖ χρόνῳ λέγεται, ἡ δὲ ὡς μακρὰ ἐν μακρῷ. δυνατὸν δὲ καὶ τὴν φύσει βραχεῖαν ἐν μακρῷ χρόνῳ προενέγκασθαι καὶ τὴν φύσει μακρὰν ἐν βραχεῖ· τούτῳ γὰρ διαφέρει μετρικὸς ῥυθμικοῦ· ὁ μὲν γὰρ τοῖς κατὰ φύσιν μήκεσι χρῆται, ὁ δὲ ἐναλλάττει τὰς φύσεις ἑκατέρου· ὅταν γὰρ μεταβάλλῃ τὸ δακτυλικὸν μέτρον εἰς παιώνιον ῥυθμόν, ταῖς μακραῖς ὡς βραχείαις καὶ ἀνάπαλιν ἐνίοτε χρῆται. ὁ δὲ μετρικός, ἐὰν δεηθείη, τὰ στοιχεῖα μεταβάλλει, οἷον τὸ ξηρὸν ξερὸν λέγει καὶ τὸν Διώνυσον Διόνυσον. εἰ οὖν διέστηκεν ἐπὶ τούτων τὸ φύσει βραχὺ καὶ τὸ χρόνῳ, οὐ τῷ βραχεῖ χρόνῳ συλλαβὴ βραχεῖα λέγεται, ἀλλὰ τῷ βραχεῖα εἶναι ἐν βραχεῖ χρόνῳ λέγεται.

ἈΜΜ. f. 72 b. οἱ μὲν παλαιότεροι πᾶσαν ἁπλῶς ἐπιφάνειαν 5a 3.
ἐπίπεδον καλοῦσιν, ἓν ἀνθ' ἑνὸς λέγοντες· ἀδιάφορον γὰρ αὐτοῖς ἐπιφάνειαν ἢ ἐπίπεδον λέγειν· οἱ δὲ νεώτεροι οὐ πᾶσαν ἐπιφάνειαν ἐπίπεδον καλοῦσιν ἀλλὰ τὴν ἀποτεταμένην μόνον· γένος γὰρ ἴσασι τὴν ἐπιφάνειαν.

ΣΙΜΠΛ. ζ' f. 5 b. ἐπιστῆσαι δὲ ἄξιον, πῶς τὰ τοῦ σώματος 5a 5.
μόρια κοινὸν ὅρον ἔχειν γραμμήν φησιν ἢ ἐπιφάνειαν. ἔστι δὲ ὅπου "καὶ ἐπιφάνεια" γέγραπται· καὶ γὰρ ὁ κοινὸς ὅρος τῶν σωμάτων ἐπιφάνεια πάντως ἐστίν, ὡς τῶν ἐπιφανειῶν γραμμὴ καὶ τῶν γραμμῶν σημεῖον. ὁ μὲν οὖν Πορφύριος ἐπιστήσας "ἔστι" φησί "τινὰ τῶν στερεῶν σωμάτων, ἃ κατὰ γραμμὴν τὴν συνέχειαν ἔχει. καὶ γὰρ σῶμα ἀξιοῖ ἀκούειν ὁ Ἑρμῖνος οὐ τὸ φυσικόν (οὐσία γάρ) ἀλλὰ τὸ μαθηματικόν, ὃ κατὰ ψιλὰς τὰς πάντῃ διαστατάς τε λαμβάνεται." καίτοι καὶ τὰ μαθηματικὰ σώματα οὐ γραμμῇ ἀλλ' ἐπιπέδῳ μαθηματικῷ διαιρεῖται. μήποτε γοῦν διὰ τὴν στερεὰν εἶπε γωνίαν· τὰ γὰρ στερεὰ παράλληλα ἐπίπεδα κατὰ γραμμὴν γωνιακὴν συνάπτεται ἀλλήλοις.

ἈΜΜ. f. 72 b. διὰ τὴν ἐπιφάνειαν καὶ πρὸς γραμμὴν συνάπτει τὰ τοῦ σώματος μέρη. ἐπειδὴ γάρ, ὡς εἴπομεν, ῥυεῖσα ἡ γραμμὴ ποιεῖ τὴν ἐπιφάνειαν, τὸν διαιροῦντα τὸ σῶμα κατὰ τὴν ἐπιφάνειαν δεῖ ἄρξασθαι ἀπὸ γραμμῆς καὶ ταύτην οἱονεὶ ἐπισύροντα

πέφυκε μίγνυσθαι ἀλλήλοις· τὸ γὰρ ἄρτιον καὶ τὸ περιττόν, ἐναντία ὄντα, οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐπειδὴ οὐδὲ μίγνυσθαι πέφυκεν· οὔτε γάρ ἐστιν ἄρτιον ἀρτίου μᾶλλον ἄρτιον οὔτε περιττὸν περιττοῦ μᾶλλον περιττόν· λευκὸν δὲ εἶναι λέγεται λευκοῦ μᾶλλον λευκόν, ἐπειδὴ τῷ μέλανι πέφυκε μίγνυσθαι... ἰστέον ὅτι τὰ ἐναντία τέλος εἰσί, τὸ δὲ μᾶλλον καὶ ἧττον ὁδὸς ἐπὶ τὰ ἐναντία... ἀλλὰ ταῦτα κατὰ Πλάτωνα ἔμμεσα λέγεται· οὐδὲ γὰρ ἀθρόον ἡ φύσις μεταπηδᾷ ἀπὸ τοῦ ἐναντίου εἰς τὸ πάντη ἐναντίον, ἀλλ' ὁδῷ τινι κέχρηται, καὶ γίνεται ἧττον λευκὸν καὶ ἔτι ἧττον καὶ οὕτω μέλαν. Ἀριστοτέλης δὲ οὐ πάντα τὰ ἐναντία κατὰ Πλάτωνα ἔμμεσα λέγει, ἀλλ' οἶδε καὶ ἄμεσα ἐναντία, εἰ καὶ δύο μόνον, ἄρτιον καὶ περιττόν, καὶ νόσον καὶ ὑγείαν.

3b 37. ΣΙΜΠΛ. ε' f. 8 b. ἀπορήσειε δ' ἄν τις, εἰ ὁ μᾶλλον λογικὸς οὐ μᾶλλόν ἐστιν ἄνθρωπος. ἢ πρῶτον μὲν οὐ κατὰ τὴν οὐσίαν ἔχει τὸ μᾶλλον λογικὸν ἀλλὰ κατὰ τὴν ἕξιν ἢ κατὰ τὴν ἐνέργειαν. ἔπειτα οὐδὲν ἄτοπον τὰς μὲν συντρεχούσας τοῖς εἴδεσι ποιότητας, οἷον τὴν λογικὴν ἐπὶ ἀνθρώπου καὶ τὴν θερμότητα ἐπὶ πυρός, δέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐ μέντοι τὸ εἶδος αὐτό.

4a 10. ἈΜΜ. f. 62 b. διὰ τί δὲ μὴ ὥσπερ ἐπὶ τῶν ἄλλων ἰδίων ἔλεγε πρὸς τῷ τέλει "οὐκ ἴδιον δὲ τοῦτο τῆς οὐσίας, ἐπειδή, εἰ καὶ πάσῃ, φέρε, ὑπάρχει, οὐ μέντοι γε μόνῃ, ἢ γοῦν μόνῃ μὲν οὐ πάσῃ δέ," οὕτω καὶ ἐνταῦθα πεποίηκε καὶ εἶπεν ὅτι οὐκ ἴδιον τοῦτο οὐσίας, εἰ καὶ πάσῃ ὑπάρχει· καὶ γὰρ τὸ ποσὸν οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. λέγομεν ὡς ἐναργὲς ὂν ἐκ τῶν εἰρημένων τοῦτο κατέλιπεν· ἐπειδὴ γὰρ συνημμένα ἐστίν, ὡς εἶπον, τὰ παρακολουθήματα, καὶ ἠκολούθει πάντως τὸ μὴ εἶναί τι μᾶλλον καὶ ἧττον τῷ μὴ ἔχειν ἐναντίον, ἔδειξε δὲ μικρῷ πρότερον μήτε τῇ οὐσίᾳ μήτε τῷ ποσῷ ὑπάρχειν τι ἐναντίον, ἡμῖν κατέλειψε τοῦτο συναγαγεῖν καὶ προσυπακοῦσαι, ὅτι οὐ μόνῃ οὐσίᾳ ὑπάρχει τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, ἀλλὰ καὶ τῷ ποσῷ.

ΣΙΜΠΛ. ζ' f. 1. τὸ δοκεῖ πάλιν προσκείμενον ἐνδείκνυται ὅτι οὐδὲ τοῦτο κυρίως ἴδιόν ἐστι, δοκεῖ δὲ ἴδιον διὰ τὸ μόνῃ τῇ οὐσίᾳ ὑπάρχειν. ἅμα δὲ ἐνδείκνυται τὸ δοκεῖ ὅτι οὐχ οἷόν τε τὸ κυρίως ἴδιον ἐπὶ τῶν πρώτων γενῶν λαβεῖν, διὰ τὴν ἁπλότητα δηλονότι καὶ τὴν ὁλικότητα τῶν πρώτων γενῶν. τῶν δὲ ἐναντίων ἐστὶ δεκτικὴ ἡ οὐσία, οὐχ ἅμα δηλονότι· οὐ γὰρ δὴ ἅμα δέξαιτο ἄν τι τὰ ἐναντία... εἰ γὰρ ἐπὶ μὲν τῶν ἄλλων οὐκ ἔστιν, ἡ δέ τις οὐσία ἡ ἄτομος ἀνὰ μέρος τἀναντία δέχεται, δῆλον ὅτι ἴδιον ῥηθήσεται τῆς οὐσίας, οὐχ ὡς παντί (κρεῖττον γὰρ τοῦ παντὶ καὶ μὴ μόνῳ ἰδίου τὸ μόνῳ καὶ μὴ παντί· τὰ γὰρ ἴδια συστέλλεσθαι χαίρουσιν) ἀλλ' ὡς μόνῳ ὑπάρχον. καὶ ἐν τῷ πέμπτῳ δὲ τῶν Τοπικῶν (c. 1) οὕτως τὸ ἴδιον διωρίσατο. ἔστι δὲ καὶ κατὰ τὴν ἀντιστροφὴν αὐτοῦ θεωρεῖν· εἰ γὰρ οὐσία ἐστὶ τὸ γένος, ἔστι τι πάντως λαβεῖν ὑπὸ τὸ γένος ἓν ἄτομον, ὃ ταὐτὸν ὑπάρχον τῶν ἐναντίων ἐστὶ δεκτικόν, εἴ τε ἓν ὂν κατ' αὐτὸ τἀναντία δέχεται, οὐσία τὸ τοιοῦτόν ἐστιν. ἴδιον οὖν ὡς ἐπὶ μόνης τῆς ἀτόμου οὐσίας θεωρούμενον. 4a 17. τὰ δὲ παραδείγματα ἐπὶ τοῦ τινὸς ἀνθρώπου πρόεισιν... δοκοῦσι δὲ καὶ αἱ δεύτεραι οὐσίαι δεκταὶ τῶν ἐναντίων εἶναι· ὡς γὰρ Σωκράτης ἄφρων καὶ φρόνιμος, οὕτω καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷόν ἐστιν. ἀλλ' εἰ διὰ τὸν Σωκράτην καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷον, οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς ὑπάρχει τούτοις, διότι τοῖς ὑπ' αὐτὰ ὑπάρχει. τὸ δὲ ἓν ἀριθμῷ πρόσκειται δηλοῦν ὅτι, εἰ μὲν τὸν ἄνθρωπον καθόλου τις λαμβάνει, οὐκ ἐπιδέχεται τἀναντία, εἰ δὲ τὸν ἐν τῷδε ἄνθρωπον, οἷον Σωκράτην, ἐπιδέχεται... f. 1 b. προσθετέον τῷ ἰδιώματι τῆς οὐσίας τὸ μὴ κατὰ συμβεβηκὸς τἀναντία δέχεσθαι. προσθετέον δὲ καὶ τὸ κατὰ τὴν ἐν αὐτῷ μεταβολήν, ἵνα τὰ ἐπὶ τῶν γενῶν ἠπορημένα μὴ παραδεχώμεθα. πάλιν δὲ τὴν νοητὴν οὐσίαν ἐπεισάγουσιν ἐνταῦθα ὡς μὴ ἐπιδεχομένην τἀναντία. ἀλλὰ τὸ αὐτὸ ῥητέον, ὅτι οὐ περὶ ἐκείνης νῦν ὁ λόγος ἀλλὰ περὶ τῆς λεγομένης. ἀλλὰ τίνες, φασίν, ἐναντίων ὁ ἥλιός ἐστι δεκτικός, ὅς γε ἐν ἑνὶ εἴδει ἀεί ἐστιν ὡσαύτως;... διὰ τούτου τοῦ ἰδιώματος καὶ ἐκεῖνο σαφῶς ἐνδείκνυται, ὡς ἡ οὐσία, καὶ μάλιστα ἡ ἄτομος, ὑπόκειται πανταχοῦ πᾶσι, καὶ περὶ αὐτὴν καὶ ἐν αὐτῇ τὰ ἄλλα ὑπάρχει, καὶ οὐδενὶ τῶν ἄλλων τὸ ἐπιδεκτικὸν πρόσεστιν· οὐδὲ γὰρ πρὸς τὴν οἰκείαν ὑπόστασιν ἑαυτοῖς ἐξαρκεῖ τὰ συμβεβηκότα· διὸ οὐδὲ ὑπόκειται οὐδενί, ἀλλ' ἑτέρας ὑποβάθρας προσδεῖται· διὸ οὐδὲ δέχεται ταῦτα τὰ ἐναντία.

ἈΜΜ. f. 64 b. δεκτικὸν δὲ τῶν ἐναντίων, ἵνα δείξῃ τὴν δύ- 4a 13.
ναμιν τοῦ παρὰ μέρος δέχεσθαι τὰ ἐναντία· οὐ γὰρ εἶπε δέχεσθαι τὰ ἐναντία, ἣν γὰρ ἐν τῷ αὐτῷ τὰ μαχόμενα, ἀλλὰ δεκτικόν, ἵνα τὴν δύναμιν, ὡς εἶπον, ἐνδείξηται.

f. 65 b. ἐπιλύεται τὴν ἀπορίαν διχῶς, κατά τε τὴν λεγομένην 4a 23.
ἀντιπαράστασιν καὶ τὴν ἔνστασιν. ἀντιπαράστασις μὲν οὖν ἐστὶ τὸ καταδέξασθαι μὲν τὴν ἀπορίαν, δεῖξαι δὲ ὅτι καὶ οὕτως ἔχουσα οὐδὲν λυμαίνεται τὸ λεγόμενον· ἔνστασις δέ ἐστι τὸ μηδ' ὅλως τὴν ἀπορίαν δέξασθαι, ἀλλ' ἀνατρέψαι αὐτὴν ὡς μὴ οὕτως ἔχουσαν ὡς ἠπορήθη.

f. 67. καὶ καλῶς προσέθηκε "κατὰ τὴν ἑαυτῆς μεταβολήν." 4b 3.
ἐκεῖνα γὰρ οὐ κατὰ τὴν ἑαυτῶν μεταβολὴν ἐπιδέχονται τὰ ἐναντία, ὁ λόγος, φησί, καὶ ἡ δόξα, ἀλλὰ τῷ τὸ πρᾶγμα μεταβάλλεσθαι· ἡ δέ γε οὐσία αὐτὴ κατὰ τὸ ποιὸν μεταβάλλουσα δεκτικὴ τῶν ἐναντίων γεγένηται.

ΣΙΜΠΛ. ζ' f. 4. δεῖ πρῶτον τὴν αἰτίαν τῆς τάξεως εὑρεῖν, 4b 20.
δι' ἣν δεύτερον τὸ ποσὸν μετὰ τὴν οὐσίαν ἐτάχθη. λέγουσιν οὖν ὅτι συνυφίσταται τῷ ὄντι τὸ ποσόν (ἅμα γὰρ ὄν τι ἐστί, καὶ εὐθὺς ἢ ἓν ἢ πολλὰ ἀνάγκη αὐτὸ εἶναι), καὶ ὅτι τὰ πλεῖστα κοινά ἐστι τῇ τε οὐσίᾳ καὶ τῷ ποσῷ, ὡς τὸ μὴ ἔχειν ἐναντίον καὶ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον (καίτοι τὸ ποιὸν ἀμφότερα ταῦτα ἔχει), καὶ ὅτι προηγεῖται τὸ ἄποιον διαστατὸν τῆς ἐν αὐτῷ ἐγγινομένης ποιότητος, καὶ ὅτι τῶν μὲν ἄλλων ἀναιρεθέντων οὐκ ἀναιρεῖται ἡ οὐσία, εἰ τὸ διαστατὸν καταλείποιτο, τούτου δὲ ἀναιρεθέντος συναναιρεῖται ἡ σωματικὴ οὐσία· ὥστε σύνεγγύς ἐστι τῇ οὐσίᾳ τὸ ποσόν. προστίθεσι δὲ ὅτι καὶ ἐν ταῖς κινήσεσιν ἡ κατὰ τὸ ποσὸν κίνησις, τουτέστιν ἡ αὔξησις καὶ μείωσις, ἐγγυτέρω ἐστὶ τῆς κατ' οὐσίαν, τουτέστι τῆς γενέσεως καὶ φθορᾶς, ἤπερ ἡ ἀλλοίωσις, κατὰ ποιότητα οὖσα κίνησις. καίτοι δὲ ἐγγὺς οὖσα τῆς οὐσίας ἡ ποσότης ἄλλη παρὰ τὴν οὐσίαν ἐστίν· περὶ γὰρ τὴν οὐσίαν ἡ μεταβολὴ τῆς ποιότητος γίνεται... ὁ μέντοι Ἀρχύτας μετὰ τὴν οὐσίαν τὸ ποιὸν ἔταξεν... ἐν δὲ τούτοις παντός ἐστι ζητεῖν τοῦ φιλομαθῶς ἔχοντος, εἰς τί βλέπων ἑκάτερος ὁ μὲν τὸ ποιὸν προέταξεν ὁ

θὸς τὸ ἓν κατὰ τόδε ἀφορίζει. εἰ δέ τις τὴν ὕλην ὡς ἀόριστον οὖσαν μηδαμῶς τόδε τι εἶναί φησιν, ἀναμνήσομεν αὐτὸν ὡς οὐ περὶ τῆς ἀσχέτου ὕλης ἐστὶν ὁ παρὼν λόγος ἀλλὰ τῆς ἤδη σχέσιν ἐχούσης πρὸς τὸ εἶδος. τὸ δὲ σύνθετον δηλονότι, ὅπερ ἐστὶ τὸ ἄτομον, ἐπιδέχεται τὸ τόδε... ὅλη δὲ ἡ ἔφοδος ἡ ἀπὸ τῶν λεγομένων ἐπὶ τὰς οὐσίας κατὰ μὲν τοὺς Πυθαγορείους ἔχεται ἀληθείας, ἐπειδὴ συμφυῆ τὰ λεγόμενα τοῖς πράγμασιν ἐτίθεντο, κατὰ δὲ τοὺς συνθήκην ἄλλως λέγοντας εἶναι τὰ μόρια τῆς λέξεως ἀλλοτρίως πρόεισιν, ἀποπίπτουσα τῆς ἀρχῆς τῶν κατηγοριῶν, ἀφ' ἧς ὡρμηνται κατ' ἀλήθειαν. ἄξιον δὲ ζητεῖν κατὰ τοὺς ὑπόστασιν διδόντας τοῖς εἴδεσι καὶ γένεσιν, εἰ ῥηθήσεται τόδε εἶναι· καὶ γὰρ καὶ Χρύσιππος ἀπορεῖ περὶ τῆς ἰδέας, εἰ τόδε τι ῥηθήσεται. συμπαραληπτέον δὲ καὶ τὴν συνήθειαν τῶν Στωϊκῶν περὶ τῶν γενικῶν ποιῶν, πῶς αἱ πτώσεις κατ' αὐτοὺς προφέρονται, καὶ πῶς οὔτινα τὰ κοινὰ παρ' αὐτοῖς λέγεται, καὶ ὅπως παρὰ τὴν ἄγνοιαν τοῦ μὴ πᾶσαν οὐσίαν τόδε τι σημαίνειν καὶ τὸ παρὰ τὸν οὔτινα σόφισμα γίνεται παρὰ τὸ σχῆμα τῆς λέξεως· οἷον εἴ τίς ἐστιν ἐν Ἀθήναις, οὐκ ἔστιν ἐν Μεγάροις· ὁ γὰρ ἄνθρωπος οὔτις ἐστίν, οὐ γάρ ἐστί τις ὁ κοινός, ὡς τινὰ δὲ αὐτὸν ἐλάβομεν ἐν τῷ λόγῳ, καὶ παρὰ τοῦτο τὸ ὄνομα τοῦτο ἔσχεν ὁ λόγος οὔτις κληθείς. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦδε τοῦ σοφίσματός ἐστιν. ὃ ἐγώ εἰμι, σὺ οὐκ εἶ· ἄνθρωπος δέ εἰμι ἐγώ, ἄνθρωπος ἄρα σὺ οὐκ εἶ. καὶ γὰρ ἐπὶ τοῦδε τοῦ σοφίσματος τὸ μὲν ἐγώ καὶ σύ ἐπὶ τῶν ἀτόμων λέγεται, ὁ δὲ ἄνθρωπος ἐπ' οὐδενὶ τῶν ἐν μέρει. γέγονεν οὖν ἡ παραγωγὴ διότι τῷ οὔτινι ὡς τινὶ ἐχρήσατο.

3b19. 'ΑΜΜ. f. 59 b. ἢ μετέχουσι τῶν διαφόρων, τὰ μὲν εἴδη ἐνεργείᾳ, τὰ δὲ γένη εἴτε δυνάμει κατὰ τοὺς Περιπατητικοὺς εἴτε ἐνεργείᾳ κατὰ τοὺς Πλατωνικούς, ταύτῃ λέγονται τὸ ποιὸν περὶ οὐσίαν ἀφορίζειν· αἱ γὰρ διαφοραὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγοροῦνται.

3b20. ΣΙΜΠΛ. ε' f. 5 b. τῶν μὲν οὖν δευτέρων οὐσιῶν τὴν ποιότητα οὐσιώδη φησὶ καὶ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζειν, τουτέστι περιορίζειν καὶ περιγράφειν, τοῦ δὲ λευκοῦ αὐτὸ τοῦτο μόνον ποιότητα. διὸ καὶ λευκὸν μὲν ἄνευ οὐσίας νοεῖται, τὸ δὲ γένος καὶ τὸ εἶδος ἄνευ ἀτόμου οὐσίας οὐ δύναται θεωρεῖσθαι. καὶ τὰ μέν ἐστι μέρη συμπληρωτικὰ τῆς οὐσίας, τὰ γένη καὶ τὰ εἴδη, τὸ δὲ λευκὸν οὐκ ἔστιν. ἀλλ' ἐπεὶ καὶ ἡ διαφορὰ τὴν τοῦ γένους οὐσίαν ἀφορίζουσα εἰδοποιεῖν δοκεῖ καὶ χαρακτηρίζειν τὰς οὐσίας ἐν τῷ ποιῷ, ἄξιον ζητεῖν τίνι μὲν τοῦ λευκοῦ, τίνι δὲ τῶν γενῶν καὶ εἰδῶν αἱ διαφοραὶ διεστήκασιν.

3b24. f. 6. ἀλλ' ὅτι μὲν ὑπάρχει τὸ μηδὲν ἐναντίον εἶναι ταῖς οὐσίαις, δείξαις ἂν ἐκ τῶνδε. ἐναντία ὑφ' ἓν γένος ἀεὶ ὑποτάττεται, ἡ δὲ οὐσία οὐδὲν ἔχει ἀνωτέρω γένος ἐν ᾧ ὑποταχθήσεται. καὶ τὰ μὲν ἐναντία σχέσιν ἔχει πρὸς ἄλληλα, ἡ δὲ οὐσία ἄσχετός ἐστι καὶ οὐδὲν προσδεῖται τῆς κατὰ τὴν ἐναντίωσιν σχέσεως. ἔτι τὰ μὲν ἐναντία πρὸς ἄλληλα ἀπονεύει, ἡ δὲ οὐσία καθ' αὑτὴν ὥρισται. ὁ μέντοι Ἀριστοτέλης ἀπὸ τῆς ἐπαγωγῆς τῶν πρώτων καὶ δευτέρων οὐσιῶν τὸ μηδὲν ἐναντίον εἶναι ταῖς οὐσίαις κατασκευάζει... f. 6 b. ἀποροῦσι δέ τινες, πῶς οὐκ ἔστιν ἐναντίωσις ἐν τῇ οὐσίᾳ; πῶς γὰρ τὸ λογικὸν ζῷον τῷ ἀλόγῳ οὐκ ἔστιν ἐναντίον; πρὸς ὅ φησιν Ἰάμβλιχος ὅτι διαφορὰ πρὸς διαφορὰν ἐναντιοῦται, τὸ δὲ ὅλον οὐκ ἔστιν ἐναντίον, καὶ ὅτι τὸ ἐπιδεχόμενον τὰ ἐναντία οὐκ ἔστιν αὐτὸ ἐναντίον... f. 7. ἡ μὲν οὖν δόξα ἀφ' ἧς ὁρμώμενοι ἄλλοι τινὲς καὶ ὁ μέγας Πλωτῖνος ἀντιλέγουσιν, ἐστὶ τοιαύτη, χρῶνται δὲ λόγοις τοιούτοις. τὸ μὴ εἶναι μηδὲν οὐσίᾳ ἐναντίον ἐπὶ τῶν καθ' ἕκαστα οὐσιῶν ἐστὶ πιστόν, τῆς τε ἀτόμου καὶ τῆς εἰδικῆς καὶ γενικῆς, τῇ ἐπαγωγῇ δεδειγμένον· ὅλως δὲ οὐκ ἔστι δεδειγμένον. πρὸς δὲ τοῦτο εἷς τρόπος ἀντιλογίας γένοιτο ἂν ὑπομνῆσαι τὴν περὶ τοῦ καθόλου διδασκαλίαν... f. 7 b. πᾶσι μὲν οὖν ταῦτα τὰ ἐναντιώματα ἐπακολουθεῖ τοῖς ἐν ἀρχῇ τὸ κακὸν καὶ τὸ μὴ ὂν ἀφοριζομένοις, μάλιστα δὲ Πλωτίνῳ καὶ τοῖς ἄλλοις τοῖς ἀπὸ τῆς ἑνώσεως ἀρχομένοις· οὗτοι γὰρ τὸ ἓν καὶ τἀγαθὸν ἐν ἀρχῇ προτιθέντες, ἐπεισοδιῶδες ὀφείλουσι ποιεῖν τὸ ἀπὸ τῆς διαιρέσεως πλῆθος, καὶ τὸ κακὸν κατὰ συμβεβηκὸς ἐπιγινόμενον καὶ μηδαμῶς προηγούμενον ἀποφαίνεσθαι.

ΔΑΒΙΔ. πῶς λέγεται ἡ οὐσία μηδὲν ἔχειν ἐναντίον; ἐν γὰρ τῷ περὶ Γενέσεως καὶ Φθορᾶς φησὶ τὰ στοιχεῖα μάχεσθαι ἀλλήλοις, τὸ πῦρ τῷ ὕδατι καὶ τὸν ἀέρα τῇ γῇ. καὶ λύει ὁ Ἀλέξανδρος λέγων "οὐ καθόλου ἑαυτοῖς μάχονται τὰ στοιχεῖα· οὐ δήπου γὰρ καὶ κατὰ τὸ σῶμα, ἀλλὰ ποιότης ποιότητι, θερμότης ψυχρότητι καὶ ὑγρότης ξηρότητι." ὁ δὲ Συριανὸς ἐπικρίνας πλέον φησὶν "οὐδὲ κατὰ τὴν ποιότητα μάχονται, ἐὰν οὐσιώδεις ληφθεῖεν· οὐ γὰρ ἁμιλλᾶται ἡ θερμότης ψυχρότητί τινι, ἐὰν ἐν πυρὶ γένηται, ἢ ἐν ὕδατι ψυχρότης θερμότητι, ἐπεὶ ἦν ποτὲ εὑρεῖν καὶ πῦρ ψυχρόν. ἀλλὰ κἂν φθεῖ ποιότης ποιότητι, ὡς ἐν ἀποίῳ σώματι, δεῖ τότε αὐτὰ λαβεῖν· τότε γὰρ καὶ συμβεβηκότα εἰσὶ καὶ γίνονται καὶ ἀπογίνονται χωρὶς φθορᾶς τοῦ ὑποκειμένου... τρίτη ἀπορία, εἰ τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἐπιδέχεται ἡ οὐσία, πῶς ὁ Ἀριστοτέλης ἐν τῷ περὶ Γενέσεως καὶ Φθορᾶς λέγει τὸν ἀέρα ἧττον θερμὸν ὡς πρὸς πῦρ, οὐσίαι δὲ ταῦτα; καὶ λύει ὁ Ἀλέξανδρος λέγων "οὐ καθὸ οὐσίαι τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχονται, ἀλλὰ κατὰ τὴν ποιότητα." ὁ δὲ Συριανός, ὅτι οὐδὲ κατὰ τὰς ποιότητας τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχονται, ἐὰν οὐσιώδεις ληφθῶσιν· ἑκάστη γὰρ πλείστη ἐν τῷ οἰκείῳ ὑποκειμένῳ, καὶ οὐ τῷ μᾶλλον καὶ ἧττον διαφέρουσιν· εἰδοπεποίηνται γὰρ ταῦτα καὶ ὑφέσεις εἰδῶν εἰσίν. ἢ καὶ ἄλλως, ὅτι τὸ ἧττον, ὅπερ τὸ μᾶλλον γινόμενον, οὐκ ἐξέστη τοῦ οἰκείου εἴδους, ὁ δὲ ἀὴρ πυρὸς θερμότητα ἐπιδεξάμενος ἀπώλεσε τὸ ἀὴρ εἶναι.

'ΑΜΜ. f. 60 b. οὐδὲ ταῦτα (τὸ πολὺ καὶ τὸ ὀλίγον) ἐναντία 3b30.
ἐστὶ ποσά, διότι τὸ μέγα ἐκ μικρῶν πολλῶν συνέστηκε καὶ τὸ πολὺ ἐκ πολλῶν ὀλίγων. καὶ δείξει μικρὸν ὕστερον ὅτι οὐδὲ ποσά ἐστιν ἀλλὰ πρός τι. ἀλλ' οὖν εἰ καὶ κατὰ συγχώρησιν, φησί, δοίη τις αὐτὰ ποσὰ εἶναι, οὐδὲν ἡμῖν διοίσει· ἀρκεῖ γὰρ ἡμῖν πρὸς τὸ δεῖξαι ὅτι μὴ μόνῃ τῇ οὐσίᾳ ὑπάρχει τὸ μηδὲν ἐναντίον, εἴ γε καὶ τοῖς ἀφωρισμένοις ποσοῖς τοῦτο ὑπάρχει. ἀφωρισμένα δὲ ποσὰ λέγουσιν ὅσα ὡρισμένην τινὰ ἔχουσι ποσότητα καὶ μὴ τῇ πρὸς ἕτερον σχέσει λέγονται. τὸ δὲ μικρὸν καὶ μέγα καὶ πολὺ καὶ ὀλίγον ἀόριστα.

f. 60 b. τὸ δοκεῖ ἐνταῦθα οὐ τὸ προσποιούμενον σημαίνει ἀλλὰ 3b33.
τὸ ἀμετάπειστόν τε καὶ ἀκατάθετον. τοῦτο δὲ τὸ ἴδιον τῷ πρὸ αὐτοῦ ἐστὶν ἀκόλουθον, καὶ ἐξ ἐκείνου ἔσχε τὴν γένεσιν τοῦ λέγοντος τῇ οὐσίᾳ μηδὲν εἶναι ἐναντίον· ἐν τούτοις γὰρ πέφυκε τὸ μᾶλλον καὶ τὸ ἧττον γίνεσθαι, ἐν οἷς καὶ ἡ ἐναντιότης. καὶ τοῦτο οὐχ ἁπλῶς· οὐ γὰρ ὅσα ἐστὶν ἐναντία, δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἀλλ' ὅσα τῶν ἐναντίων

εἶναι τῆς οὐσίας τὴν διαφορὰν ἀλλὰ καὶ μέρος αὐτῆς, ἤτοι κατὰ τὴν ἐμπερίληψιν τοῦ ὑποκειμένου θεωρουμένην, μέρος οὖσαν τῆς κατὰ τὸ εἶδος οὐσίας, ἢ συναλλοιουμένην ταῖς περὶ τὸ ὑποκείμενον σχέσεσιν, ὥστε περὶ τὸ αὐτὸ ἔχειν πως αὐτὴν καὶ διατίθεσθαι διαφόρως. δοκεῖ δέ μοι μηδαμῶς ἀληθὲς εἶναι τὸ τὴν διαφορὰν καθ' ὑποκειμένου κατηγορεῖσθαι· οὔτε γὰρ τοὔνομα οὔτε τὸν λόγον ἔνεστι τῆς διαφορᾶς κατηγορεῖν τοῦ ὑποκειμένου.

ΔΑΒΙΔ. τούτοις τοῖς ἀπόροις ἐνσχεθεὶς ὁ Πορφύριος οὐκ ἐνάρκησε μέσην τινὰ φύσιν εἰπεῖν οὐσίας καὶ συμβεβηκότος, καὶ ταύτῃ παραθέσθαι τὰς διαφοράς, ὥσπερ οἱ ἐνεχθέντες περὶ τοῦ φωτὸς ἀπορίαις, τῶν μὲν σῶμα τὸ φῶς λεγόντων τῶν δὲ ἀσώματον, μέσην τινὰ φύσιν ἐπέθεντο εἰπεῖν τὸ φῶς ἀσωμάτου καὶ σώματος. ἐπειδὴ τὸ ἀμφοτέρων τῶν ἄκρων μετέχον ἢ ἐξ ἴσου αὐτῶν μετέχον ἢ μᾶλλον τοῦδε ἧττον δὲ τοῦδε, καὶ τοῦτο διχῶς, τριττὰς ἔλεγεν εἶναι τὰς διαφοράς· ἢ μᾶλλον οὐσίαν ἧττον δὲ συμβεβηκότα, ὡς τὸ λογικὸν ἢ ἄλογον· μᾶλλον γὰρ οὐσία ταῦτα ὡς συμπληροῦντα τὴν οὐσίαν κἂν τῷ ὁρισμῷ παραλαμβανόμενα, ὀλίγως δὲ συμβεβηκότα ὡς ἐν τῷ ὁποῖόν τι κατηγορούμενα· μία γὰρ τοῦ συμβεβηκότος κατηγορία ἡ ποιότης. ἐξ ἴσου δὲ οὐσία καὶ συμβεβηκότα, ὡς ἡ ἐν πυρὶ θερμότης καὶ ἡ ἐν χιόνι λευκότης· ὡς γὰρ ἐν πεποιωμένῳ σώματι οὐσίαι εἰσὶν ὡς συμπληροῦντα τὴν οὐσίαν αὐτῶν, ὡς δὲ ἐν ἀποίῳ σώματι συμβεβηκότα· τότε γὰρ καὶ γίνονται καὶ ἀπογίνονται χωρὶς φθορᾶς τοῦ ὑποκειμένου. ὅτε γὰρ ἐν τῷ πυρὶ ἡ θερμότης, ἐστὶν οὐσία, ἐπειδὴ ἀδύνατον ἐπινοηθῆναι πῦρ δίχα θερμότητος· ὅταν δὲ ἐν σιδήρῳ γένηται, συμβεβηκός ἐστιν. μᾶλλον δὲ συμβεβηκότα ἤπερ οὐσία καὶ ἡ ἐν κύκνῳ λευκότης καὶ ἡ ἐν Αἰθίοπι μελανότης· γίνεται γὰρ καὶ ἀπογίνεται χωρὶς φθορᾶς τοῦ ὑποκειμένου, καθά φησιν ὁ Πορφύριος· "ὅτι δύναται" φησιν "ἐπινοηθῆναι καὶ κύκνος μέλας καὶ κόραξ λευκὸς καὶ Αἰθίοψ ἀποβάλλων τὴν χροιὰν χωρὶς φθορᾶς τοῦ ὑποκειμένου. ὅλως δὲ δοκοῦσιν οὐσίαι εἶναι διὰ τὸ παντὸς κύκνου τὸ εἶδος τὴν λευκότητα εἶναι καὶ τοῦ κόρακος τὴν μελανίαν. τριτταὶ οὖν αἱ διαφοραὶ κατ' αὐτοῦ συνάγονται." ἀλλ' ὦ Πορφύριε, ἀντίφασιν ποιοῦσιν ἡ οὐσία καὶ τὸ συμβεβηκὸς τῷ ἐν ὑποκειμένῳ, τῆς δὲ ἀντιφάσεως οὐδέν ἐστι μέσον.

ΣΙΜΠΛ. ε' f. 3. ῥητέον οὖν πρῶτον περὶ διαφορᾶς, τί ἐστιν. καὶ γάρ τισι δοκεῖ διαφορὰ εἶναι τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος· καὶ δῆλον ὅτι ὡς πρὸς τὸ γένος αὐτῆς, οὕτως ἡ διάκρισις ἀποδέδοται. ὁ μέντοι Βοηθὸς πρὸς τὸ εἶδος κυρίως φησὶ συντάττεσθαι τὴν διαφορὰν ἀλλ' οὐ πρὸς τὸ γένος, διόπερ καὶ πολλάκις ἀντὶ τοῦ εἴδους παραλαμβάνονται αἱ διαφοραί, καὶ σύμπασαι μὲν ὁμοῦ ῥηθεῖεν ἂν περὶ τοῦ γένους, καθ' ἑαυτὴν δὲ ἑκάστη κατὰ μὲν τῶν ὑφ' ἑαυτήν, καθ' ὧν ἂν λέγηται, κατὰ πάντων ῥηθείη ἄν, κατὰ δὲ τοῦ γένους οὐδαμῶς· οὐδὲ γὰρ μορφωτική ἐστιν ἑκάστου τοῦ γένους. διενήνοχε δὲ τοῦ εἴδους, ὅτι ἡ διαφορά ἐστι μετὰ τοῦ γένους, καὶ ἔστιν ἡ μὲν διαφορὰ μορφή τις τοῦ γένους, τὸ δὲ γένος ὥσπερ ὑποκείμενον προϋπάρχει. ἔστιν οὖν ἡ διαφορὰ συμπληρωτικὴ οὐσίας ἁπλούστερον, ὡς τὰ εἴδη καὶ τὰ γένη συμπληρωτικὰ οὐσίας λέγεται... f. 3 b. διὸ τὰ μὲν εἴδη καὶ τὰ γένη ὡς ὑποκείμενα δεύτεραι οὐσίαι λέγονται, αἱ δὲ διαφοραὶ καθ' ὑποκειμένου μὲν λέγονται, οὐ μήν εἰσιν οὐσίαι· οὐ γὰρ εἰς τὸ εἶναι ἀλλ' εἰς τὸ τοιόνδε εἶναι συμβάλλονται. οὐ μέντοι οὔτε συμβεβηκότα εἰσίν, ὅτι συμβάλλονται εἰς οὐσίαν τούτων ἅπερ εἰδοποιοῦσι. διὰ τοῦτο οὖν οὐδὲ ἐν ὑποκειμένῳ· τὸ γὰρ ἐν ὑποκειμένῳ καὶ χωρίζεται ἄνευ τῆς τοῦ ὑποκειμένου φθορᾶς, τὸ δὲ τῆς διαφορᾶς τοιόνδε ἄνευ φθορᾶς οὐ χωρίζεται. ἀλλ' οὐδὲ τὸ ἀχώριστον συμβεβηκός, φαίη ἄν τις, χωρίζεται ἄνευ φθορᾶς. ἀλλὰ κἂν μὴ χωρίζηται τοῦτο, ἄνεσις ὅμως καὶ ἐπίτασις περὶ αὐτὸ θεωρεῖται... ἀνάγκη οὖν ποιότητα οὐσιώδη τὴν διαφορὰν εἶναι συμπληρωτικὴν τῆς οὐσίας, ἢ μέσην ποιότητος καὶ οὐσίας κοινόν τινα σύνδεσμον παρεχομένην ταῖς μὲν οὐσίαις πρὸς τὰ συμβεβηκότα, τοῖς δὲ συμβεβηκόσι πρὸς τὰς οὐσίας· ἡ γὰρ φύσις οὐκ ἀμέσως ἀπὸ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβαίνειν φιλεῖ... τοσαῦται μὲν οὖν αἱρέσεις γένοιντο ἂν περὶ τῶν διαφορῶν· χρησίμη δέ ἐστιν ἡ περὶ αὐτῶν θεωρία πρὸς ὅλην τὴν τῶν κοινῶν κατηγοριῶν διδασκαλίαν.

'ΑΜΜ. f. 52. τινὲς οὖν πρὸς τοῦτό φασιν ὅτι τριττά εἰσι τῶν διαφορῶν τὰ εἴδη, καὶ αἱ μὲν αὐτῶν εἰσὶ μᾶλλον οὐσίαι ἤπερ συμβεβηκότα, αἱ δὲ μᾶλλον συμβεβηκότα ἤπερ οὐσίαι, αἱ δὲ μέσως πως ἔχουσιν, ὡς ἄδηλον εἶναι πότερον συμβεβηκότα μᾶλλον αὐτὰς εἴπωμεν ἢ οὐσίας... ὅτι δὲ οὐσίαι εἰσὶν ὁμολογουμένως αἱ διαφοραί, δῆλον μὲν ἐκ τοῦ συμπληρωτικὰς εἶναι αὐτὰς εἰδῶν καὶ οὐσιωδῶς κατ' αὐτῶν κατηγορεῖσθαι... οὕτω καὶ νῦν οὐσίας μὲν οἶδε τὰς διαφοράς, οὐκ ἀνάγει δὲ αὐτὰς ὑπὸ τὴν κατηγορίαν τῆς οὐσίας διὰ τὸ μὴ ἐγνῶσθαι τῷ πολλῷ ἀνθρώπῳ.

f. 57. σημαίνει μὲν οὖν αὐτῷ τὸ "τόδε" τὸ ὑποκείμενον· 3b10
δείξεως γάρ ἐστι σημαντικόν. οὕτω γοῦν αὐτὸς ἐν τῇ Φυσικῇ (1 6 sqq.) τὴν ὕλην ὑποκείμενον καλεῖ· ἄμφω γὰρ ὡρισμένα, καὶ τὸ τόδε ὡς δείξει ὑποπῖπτον, καὶ ἡ ὕλη ὡς ἡ αὐτὴ μένουσα πάντων τῶν ἐν αὐτῇ τρεπομένων... τὸ δὲ τὶ τῆς κατὰ τοῦ ὑποκειμένου οὐσίας ὅτι ὑπομένει καὶ οὐ δεῖταί τινος, οὐδέ ἐστιν ἐν ὑποκειμένῳ, ἀλλ' αὐτὴ ὑποκείμενον πᾶσίν ἐστι καὶ τῆς ἑνότητος αἰτία, τουτέστι τὸ ἓν σημαίνει, ὡς τόδε τὸ ξύλον, ὅδε ὁ ἄνθρωπος. τὸ οὖν τὶ τὸ μερικὸν δηλοῖ· ἄμφω δὲ λεγόμενα, τόδε τι, τὸ μερικὸν ὑποκείμενον δηλοῖ, φημὶ τὴν ἄτομον οὐσίαν... ὁ δέ γε Πλάτων τὸ τόδε τι ἐπὶ τοῦ καθόλου ἐλάμβανεν ἀναγκαίως ὡς ὡρισμένον, ὡς ἐπὶ τῶν ἰδεῶν (ἔλεγε γὰρ αὐτὰς ἐν ὑπάρξει καὶ οὐσίας εἶναι), τὸ δὲ τοιόνδε ἐπὶ τοῦ καθ' ἕκαστον· ταῦτα γὰρ ἔλεγεν ἀόριστα διὰ τὸ μὴ εἶναι ἐν στάσει, ἀλλ' ἐν ῥοῇ καὶ ἀπορροῇ τὸ εἶναι ἔχειν.

ΣΙΜΠΛ. ε' f. 5. καλῶς εἶπεν ὅτι πᾶσα οὐσία δοκεῖ τόδε τι σημαίνειν, διότι τὴν ἑτέρων δόξαν ἀπαγγέλλει καὶ τὴν ἀνωμαλίαν τῆς συνηθείας, ἥτις τὰ ἀνόμοια πράγματα ὁμοίοις σχήμασι λέξεων εἴωθε πολλάκις σημαίνειν. καὶ γὰρ ἐνταῦθα πιθανὴν φαντασίαν ἐμποιεῖ.

f. 6. κατὰ τί λέγομεν τόδε τι τὴν ἄτομον οὐσίαν; πότερον κατὰ 3b12
τὸ εἶδος ἢ τὴν ὕλην ἢ τὸ ἐξ ἀμφοῖν; ἢ φήσομεν κατὰ πάντα, ἀλλὰ κατὰ μὲν τὴν ὕλην, καθόσον ὑπόκειται καὶ εἰς ἐνέργειαν ἥκει τοῦ δέχεσθαι τὸ εἶδος κατὰ τὸν Πλάτωνα, καὶ μὴ ὡς ἐξιστάμενην τῆς οἰκείας φύσεως, κατὰ δὲ αὖ τὸ εἶδος, καθόσον ὥρισται καὶ ἕν ἐστιν ἀριθμῷ· καὶ γὰρ ὁ Βοη-

2a5. ΣΙΜΠΛ. ε′ f. 1. Ἀρχύτας ὁ Πυθαγόρειος οὐ προσίεται τὴν νυνὶ προκειμένην τῶν οὐσιῶν διαίρεσιν, ἀλλ' ἄλλην ἀντὶ ταύτης ἐκεῖνος ἐγκρίνει... μαρτυρεῖ δὲ καὶ Ἀριστοτέλης ἐν τοῖς ἀκριβεστάτοις ἑαυτοῦ συγγράμμασι ταύτῃ χρώμενος τῇ διαιρέσει, ὥσπερ ἔν τε τῇ Φυσικῇ Ἀκροάσει καὶ τῇ Μετὰ τὰ Φυσικά. τῶν μέντοι Πυθαγορείων οὐδεὶς ἂν πρόσοιτο ταύτην τὴν διαίρεσιν τῶν πρώτων καὶ δευτέρων οὐσιῶν, ὅτι τοῖς καθόλου τὸ πρώτως ὑπάρχειν μαρτυροῦσι, τὸ δὲ ἔσχατον ἐν τοῖς μεριστοῖς ἀπολείπουσι, καὶ διότι ἐν τοῖς ἁπλουστάτοις τὴν πρώτην καὶ κυριωτάτην οὐσίαν ἀποτίθενται, ἀλλ' οὐχ ὡς νῦν λέγεται ἐν τοῖς συνθέτοις καὶ αἰσθητοῖς, καὶ διότι τὰ γένη καὶ τὰ εἴδη ὄντα νομίζουσιν, ἀλλ' οὐχὶ συγκεφαλαιούμενα ταῖς χωρισταῖς ἐπινοίαις. πῶς οὖν ὁ Ἀριστοτέλης, καίτοι γινώσκων καὶ τὴν κατ' Ἀρχύταν τῆς οὐσίας διαίρεσιν, οὐκ ἐχρήσατο νῦν αὐτῇ; ἢ ὅτι τῆς λογικῆς πραγματείας οἰκεία μᾶλλον ἦν αὕτη ἡ διαίρεσις;

2a7. ἈΜΜ. f. 49. ποιησάμενος τὴν κατὰ βάθος τῶν οὐσιῶν διαίρεσιν, τουτέστι τὴν ἀπὸ τῶν ἀτόμων ἐπὶ τὸ εἶδος καὶ ἀπὸ τούτου ἐπὶ τὸ γένος, καὶ εἰπὼν τὴν μὲν εἶναι πρώτην τὴν δὲ δευτέραν, τῆς δὲ δευτέρας τὴν μὲν μᾶλλον οὐσίαν τὴν δὲ ἧττον, νῦν ποιεῖται τὴν κατὰ πλάτος αὐτῶν διαίρεσιν καὶ παραβολήν, λέγω δὴ εἶδος πρὸς εἶδος καὶ ἄτομον πρὸς ἄτομον.

f. 50 b. ἰστέον ὅτι τῶν κατηγορουμένων τὰ μὲν κατὰ φύσιν κατηγορεῖται, τὰ δὲ παρὰ φύσιν, τὰ δὲ κατὰ συμβεβηκός. κατὰ φύσιν μὲν οὖν κατηγοροῦνται τὰ συμβεβηκότα τῶν οὐσιῶν.

2b12. ΣΙΜΠΛ. ε′ f. 1 b. ὁ Πορφύριος τὰ ἴδια μὲν ἑκάστου τῶν γενῶν παραδίδοσθαί φησιν ὑπὸ τοῦ Ἀριστοτέλους, καὶ οὐχὶ τὰ κοινὰ ἁπλῶς πρὸς τὰς ἄλλας κατηγορίας καὶ τὰ ἴδια βούλεται παραδιδόναι· τριχῶς δὲ λέγεσθαι τὸ ἴδιον, τὸ μὲν παντὶ μὲν οὐ μόνῳ δὲ ὑπάρχον, ὡς τὸ δίπουν τῷ ἀνθρώπῳ, τὸ δὲ μόνῳ μὲν οὐ παντὶ δέ, ὡς τῷ αὐτῷ τὸ γραμματικόν, τὸ δὲ καὶ μόνῳ καὶ παντί, ὅπερ καὶ κυρίως ἐστὶν ἴδιον, ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικόν. τὰ οὖν μὴ μόνῳ ὑπάρχοντα, ταῦτα καὶ κοινά ἐστι πρὸς τὰ ἄλλα γένη, ὅταν παντὶ μέν, μὴ μόνῳ δὲ ὑπάρχῃ.

3a7. f. 2 b. ἀπορήσειε δ' ἄν τις πῶς οὐκ ἔσται οὐσία ἐν ὑποκειμένῳ, ὅταν νοῦς ᾖ ἐν τῇ ψυχῇ, ψυχὴ δὲ ἐν σώματι, αἱ δὲ ἰδέαι κατὰ Πλάτωνα ἐν τῷ νῷ; ἢ οὐχ ὡς ἐν ὑποκειμένῳ ἐνυπάρχουσιν, οὐδὲ ὡς συμβεβηκότων ἐοίκασι μεθέξει, ἀλλ' ὡς οὐσία πάρεστιν ἐν ἑτέρᾳ οὐσίᾳ, οὐχ ὡς μέρους τινὸς ἐν ὅλῳ τούτων ἐνόντων, ἀλλ' ὡς τῆς ἐντελεχείας καὶ τῆς κατ' ἐνέργειαν οὐσίας ἐν τῇ κατὰ δύναμιν ὑποδοχῇ καὶ ἐν τῇ ἀτελεῖ φύσει ἐνυπαρχούσης χωριστῶς, οἷον ἐν νηῒ κυβερνήτου. ... ἐκεῖνο δὲ ἀπορίας ἄξιον, πῶς τὸ μὴ ἐν ὑποκειμένῳ καὶ τὰ ἄλλα τῇ οὐσίᾳ ὑπάρχοντα κοινῶς, οὐχ ὡς συμβεβηκότος τι δείκνυται; οὐ γὰρ κατ' αὐτὸ τὸ εἶναι τὴν κοινωνίαν δείκνυσι τῶν οὐσιῶν. πρὸς ὅ φασιν οἱ σπουδαιότεροι τῶν ἐξηγητῶν ὅτι ἡ αἰσθητὴ οὐσία συμφόρησίς τίς ἐστι ποιοτήτων καὶ ὕλης, καὶ ὁμοῦ μὲν πάντα συμπαγέντα μίαν ποιεῖ τὴν αἰσθητὴν οὐσίαν, χωρὶς δὲ ἕκαστον λαμβανόμενον τὸ μὲν ποιὸν τὸ δὲ ποσόν ἐστι λαμβανόμενον, ἤ τι ἄλλο.

3a21. f. 3 a. ἐν ὑποκειμένῳ ἐλέγομεν οὐ τὰ ὡς μέρη ἔν τινι ὑπάρχοντα, ἀλλὰ τὰ μὴ ὡς μέρη· ὥστε τὰ μέρη τῶν οὐσιῶν ἐν ὅλῳ μέν ἐστιν ἕκαστον ἐκείνου οὗ μέρος ἐστίν, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν. ταῦτα (v. 29 sqq.) οὖν ἔδει προτετάχθαι, ὡς δοκεῖ τισί, λύσιν ἔχοντα ἀπορίας τινὸς περὶ οὐσιῶν φερομένης· εἶτα οὕτως ἐπῆχθαι, ὅτι οὐ μόνον ταῖς οὐσίαις ὑπάρχει τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι ἀλλὰ καὶ ἄλλοις, ὥσπερ ταῖς διαφοραῖς· τῶν δὲ δευτέρων οὐσιῶν τὸ μὲν εἶδος κατὰ τοῦ ἀτόμου κατηγορεῖται, τὸ δὲ γένος κατὰ τοῦ εἴδους καὶ τοῦ ἀτόμου. οὐ μὴν συναρέσκει τοῖς ἀκριβεστέροις ἡ τοιαύτη τῆς τάξεως μετάθεσις, ἀλλὰ τὴν Ἀριστοτέλους μᾶλλον ἐγκρίνουσιν.

ἈΜΜ. f. 55 b. οὐ γὰρ οὕτω τὰ ἐν ὑποκειμένῳ ἐλέγοντο τὰ ὡς μέρη ὑπάρχοντα ἔν τινι, τουτέστιν εἰ καὶ ἐλέγοντο ἔν τινι εἶναι τὰ συμβεβηκότα, ἀλλ' οὐχ ὡς μέρος ἐν ὅλῳ· εἰ μὲν γὰρ πᾶν τὸ ἔν τινι ἀνάγκη ἦν ἐν ὑποκειμένῳ, καὶ τὰ μέρη τῶν οὐσιῶν ἔν τινι ὄντα (ἐν γὰρ τῷ ὅλῳ εἰσίν) ἐν ὑποκειμένῳ ἂν ἦσαν· νῦν δέ, τοῦ ἔν τινι καθολικωτέρου ὄντος, τὸ μὲν ὡς ἐν ὑποκειμένῳ ἐστί, τὸ δὲ ὡς μέρος ἐν ὅλῳ, τὸ δὲ κατ' ἄλλον τοῦ ἔν τινι τρόπον.

ΔΕΞ. ἀλλ' εἰ μήτε οὐσία ἐστὶν ἡ διαφορὰ μήτε συμβεβηκός, ἄλλο δὲ οὐσίας καὶ συμβεβηκότος, οὐδέ ἐστι διαφορὰ τρίτον. πάντα γὰρ τὰ ὄντα ἢ καθ' ὑποκειμένου ἐστὶν ἢ ἐν ὑποκειμένῳ· ἢ γὰρ οὐσίαι εἰσὶν ἢ συμβεβηκότα· εἰ οὖν ἐν μηδετέρῳ τούτων τακτέον τὴν διαφοράν, ποῦ κατατάξομεν αὐτήν; εἰσὶ μὲν οὖν πολλαὶ πρὸς τοῦτο λύσεις, ἃς μικρὸν ὕστερον ἐρῶ· πρῶτον δὲ βούλομαι ὥσπερ ἀξίωμά τι προθεῖναι ἀφ' οὗ τὰς ἀπορίας καὶ τὰς λύσεις κρίνειν δυνησόμεθα. δοκεῖ δὴ τοῖς δεινοῖς περὶ τῆς τῶν ὄντων ἱστορίας ἄρρητος γίγνεσθαι ἡ τῆς φύσεως ἀφ' ἑτέρου γένους εἰς ἕτερον γένος μετάβασις, ἀεὶ τοῦ μέσου διαλανθάνοντος ἡμᾶς, οἷον τὸ δυνάμει ἐπὶ τῶν οὐσιῶν. οἷον λέγω ἐπὶ τῶν ἀνθρώπων ἢ τῶν ἄλλων ζῴων ἐν τοῖς σπέρμασι θεωρουμένων· οὔτε οὐσία οὐδέπω εἰσίν, ἔτι γάρ ἐστιν ἀτελές, οὔτε τι ἐνεργείᾳ τῷ οὕτως δυνάμει συμβέβηκε, τελειότης γὰρ τοῦτο· λείπεται τοίνυν μέσον τι ἄλλο εἶναι τῶν οὐσιῶν, τοῦ τε ἐνεργείᾳ φέρε ἀνθρώπου καὶ τοῦ δυνάμει. ὁ αὐτὸς τοίνυν ἐστὶ λόγος καὶ περὶ τῆς διαφορᾶς· καὶ γὰρ αὕτη τὸ μέσον ἔξει ποιότητος καὶ οὐσίας· διὸ καὶ συντελεῖ εἰς τὸ εἶναι καὶ τὸ ποιὸν εἶναι, καὶ οὕτως ἔσται οὐκ ἐν ὑποκειμένῳ. διὸ δεῖ προστιθέναι εἰς τὸν ὅρον τοῦ ἐν ὑποκειμένῳ τὸ οὐδὲν συντελοῦν εἰς τὴν οὐσίαν τοῦ ὑποκειμένου· τὸ γὰρ εἶδος συντελεῖ τι καὶ ἡ διαφορά. ἐπειδὴ τοίνυν ταῦτα προειλήφαμεν, ἀναλάβωμεν τὰς λύσεις τῶν παλαιῶν φιλοσόφων περὶ τῆς διαφορᾶς. μία μὲν δόξα γένοιτ' ἂν ἡ ποιότητα τιθεμένη τὴν διαφοράν, ποιότητα δὲ οὐσιώδη καὶ συμπληρωτικὴν τῆς οὐσίας· ἄλλη δ' ἡ μέσον ποιότητος καὶ οὐσίας τὴν διαφορὰν ὑπολαμβάνουσα, κοινόν τινα σύνδεσμον παρεχομένην ταῖς μὲν οὐσίαις πρὸς τὰ οὐσιώδη συμβεβηκότα, τοῖς δὲ συμβεβηκόσι πρὸς τὰς οὐσίας· ἡ γὰρ φύσις οὐκ εὐθὺς μεταβαίνει ἀπὸ τῶν ἐναντίων ἐπὶ τὰ ἐναντία, οἷον ἀπὸ τῶν ζῴων ἐπὶ τὰ φυτά, ἀλλὰ καὶ μεταξύ τινα μέσην ζωήν, τὴν τῶν ζωοφύτων, συνέστησε συναγωγὸν ἀμφοτέρων τῶν ἄκρων καὶ συμπληρωτικὴν καὶ σύνδεσμον αὐτῶν πρὸς ἄλληλα. καὶ ἐνταῦθα τοίνυν τῶν διαφόρων γενῶν, οἷον οὐσίας καὶ συμβεβηκότος, μέσον τι ἔσται, κατὰ μέν τινας ὡς μετέχον ἀμφοτέρων τούτων, κατ' ἄλλους δὲ ὡς κεχωρισμένον ἀμφοῖν. ἄλλη δ' ἂν γένοιτο δόξα τῶν λεγόντων μὴ μόνον συμπληρωτικὴν

γὰρ εἶπε τὰ γένη καὶ τὰ εἴδη, ἐπειδήπερ ἐν ταῖς ἄλλαις κατηγορίαις εἰσὶ γένη καὶ εἴδη, οἷον ἐν τῷ ποιῷ γένος μὲν τὸ χρῶμα εἶδος δὲ τὸ λευκὸν καὶ τὸ μέλαν, εἴχομεν ὑπολαμβάνειν τὰς δευτέρας οὐσίας εἶναι καὶ ἐν τοῖς συμβεβηκόσι. διὰ τοῦτο οὐ τὰ τυχόντα εἴδη εἶπεν, ἀλλ' ἐν οἷς εἴδεσιν εὑρίσκονται αἱ πρῶται οὐσίαι. σημειωτέον δὲ κἀνταῦθα ὅτι ἃ μὲν οὐκ ἐξ οἰκείας δόξης προφέρεται, εἶπε λέγονται ("δεύτεραι γάρ" φησιν "οὐσίαι λέγονται"), ἃ δὲ ἐξ οἰκείας δόξης προφέρει, οὐ λέγει τὸ λέγονται, ἀλλ' ὑπάρχουσιν.

2a 14 ΣΙΜΠΛ. δ' f. 6. τὰς οὐσίας διελὼν εἰς πρώτας καὶ δευτέρας, καὶ περὶ τῶν πρώτων εἰπών, ἑξῆς περὶ τῶν δευτέρων ἐπάγει, ἃς ἐν εἴδεσι καὶ γένεσιν ἀφορίζεται, εἴδεσι μὲν τοῖς τῶν ἀτόμων περιεκτικοῖς (ταῦτα γὰρ ἦσαν αἱ πρῶται οὐσίαι), γένεσι δὲ τοῖς τούτων τῶν εἰδῶν, ἀκριβῶς ταῦτα προσθεὶς ἵνα μὴ πολλαχῶς τῶν εἰδῶν καὶ γενῶν λεγομένων εἰς ἄλλα σημαινόμενα ἀπενεχθῶμεν. καὶ γὰρ ὁ Πορφύριος ἐν τῇ εἰσαγωγῇ πολλὰ σημαινόμενα τοῦ εἴδους καὶ τοῦ γένους ἀπελογίσατο.

2a 19 f. 6 b. θαυμαστὸν πῶς ἐκ τῶν εἰρημένων φανερὰ λέγει γίνεσθαι τὰ νῦν παραγραφέντα. πῶς γάρ, εἰ δεύτεραι οὐσίαι τὰ εἴδη καὶ τὰ γένη, ἐκ τούτου φανερὸν τὸ τὰ μὲν καθ' ὑποκειμένου συνωνύμως κατηγορεῖσθαι, τὰ δὲ ἐν ὑποκειμένῳ ὁμωνύμως; τίνα δὲ καὶ χρείαν ταῦτα τοῖς νῦν λεγομένοις παρέχεται; ἆρα οὖν μὴ ἐπὶ τὰ πρὸ τούτων ἀναφέρει τὸν λόγον, ἐν οἷς ἔλεγεν (1 b 10) "ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου" καὶ τὰ ἑξῆς; ἐπὶ γὰρ τῶν τοιούτων συνωνύμως ἡ κατηγορία γίνεται. ἢ καὶ ἀπὸ τῆς διαιρέσεως τῶν πρώτων καὶ δευτέρων οὐσιῶν τοῦτο ἀποδείκνυται... f. 7. μέλλων δὲ τὴν αἰτίαν ἀποδιδόναι τοῦ τὰς ἀτόμους οὐσίας πρώτας εἶναι, ἐπεὶ πάντα ἢ καθ' ὑποκειμένων αὐτῶν λέγεται ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστίν, μέλλων δὲ καὶ ἀπολογισμὸν ποιήσασθαι τοῦ τὰς δευτέρας οὐσίας εὐλόγως οὐσίας εἶναι, ὅτι δηλοῦσι τὴν πρώτην οὐσίαν, καθ' ὑποκειμένης αὐτῆς λεγομένας, ὑπομιμνήσκει διὰ τούτων ἡμᾶς πῶς τὰ καθ' ὑποκειμένου κατηγορεῖται.

2a 22 'ΑΜΜ. f. 46. τῶν δὲ τοῦ ὀνόματος μεταδιδόντων τὰ μὲν ὁμωνύμως μεταδίδωσιν, ἅπερ ἐστὶ καὶ σπάνια, τὰ δὲ παρωνύμως, ὁμωνύμως μὲν ὡς ἡ γραμματικὴ γυνὴ ἀπὸ τῆς γραμματικῆς καὶ ἡ μουσικὴ ἀπὸ τῆς μουσικῆς, παρωνύμως δέ, ἅπερ καὶ ὡς ἐπὶ τὸ πολύ εἰσιν, ὡς ἀπὸ τῆς ἀνδρείας ὁ ἀνδρεῖος καὶ ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς καὶ ἀπὸ τῆς λευκότητος ὁ λευκός, καὶ ὅσα τοιαῦτα.

2a 34 ΣΙΜΠΛ. δ' f. 7. ἀπορίαν λύει νῦν περὶ τῶν πρώτων οὐσιῶν. εἴτε γὰρ μήτε ἐν ὑποκειμένῳ εἰσὶ μήτε καθ' ὑποκειμένου τινὸς λέγονται, διαμφισβητήσειεν ἄν τις μή ποτε οὐδὲ εἰσὶν ὅλως· πόθεν γὰρ αὐταῖς τὸ εἶναι; τοῦτο δὲ λύων φησὶν ὅτι οὐ μόνον αὐταὶ παρ' ἑαυτῶν ἔχουσι τὸ εἶναι, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσι παρέχουσι τὴν ὑπόστασιν· τά τε γὰρ καθ' ὑποκειμένου λεγόμενα καὶ τὰ ἐν ὑποκειμένῳ ὄντα ἀπὸ τοῦ ὑποκειμένου ἔχει τὸ εἶναι. ταῦτα δὲ κατασκευάζων, τὸ μὲν εἶδος ἐν τοῖς ἀτόμοις ἔχειν τὸ εἶναι ὡς γνωριμώτερον παρῆκεν, οἷον τὸν ἄνθρωπον ἐν τοῖς κατὰ μέρος ἀνθρώποις· τὸ δὲ γένος, καίτοι δοκοῦν κατὰ τοῦ εἴδους μάλιστα κατηγορεῖσθαι, οὐδὲν ἧττον ἐν ταῖς ἀτόμοις οὐσίαις ἔχειν τὸ εἶναι, τοῦτο ἀπέδειξεν ὡς καὶ πόρρωθεν δοκοῦν μᾶλλον καὶ ὡς ἅμα καὶ τὸ ἕτερον συναποδεικνύον... f. 7 b. ὅταν δὲ λέγωμεν ἐν ὑποκειμένοις ταῖς πρώταις οὐσίαις τὰ ἄλλα εἶναι, οἷον ποσὸν ποιὸν πρός τι καὶ τὰ λοιπά, τοιαῦτα εἶναι καὶ τὰ ὑπάρχοντα νοητέον οἷά ἐστι τὰ πρῶτα, ἀλλ' οὐχὶ τὰ πεπονθότα ἤδη καὶ διακείμενα, οἷον λευκότητα καὶ θερμότητα· τὰ γὰρ πεπονθότα ἢ διακείμενα καὶ κατὰ ταῦτα λεγόμενα καὶ αὐτὰ λόγῳ καὶ ὀνόματι ἀληθεύεται.

ΔΑΒΙΔ. οὕτω τοῦ 'Αριστοτέλους δείξαντος ὅτι πᾶσι τοῖς παρ' ἑαυτὴν χρείαν παρέχεται ἡ ἄτομος οὐσία, καὶ ὅτι μὴ οὔσης ταύτης οὐδὲν τῶν ἄλλων ὑφίσταται, ἐπιτείνων ὁ 'Αφροδισιεὺς 'Αλέξανδρος τὴν εἰς φιλοσοφίαν καινοτομίαν, πειρᾶται κατασκευάζειν ὅτι καὶ φύσει προτέρα ἐστὶν ἡ ἄτομος οὐσία πάντων. ὅτι γὰρ συναναιρεῖ, ἔδειξεν αὐτὸς 'Αριστοτέλης, ὅτι δὲ οὐ συναναιρεῖται, παραδεικνύει αὐτὸς οὕτως· "ἰδού" φησιν, "ὁ καθόλου ἥλιος ἀναιρεθεὶς τὸν τινὰ ἥλιον οὐκ ἀνεῖλε." πρὸς ὅ φαμεν ὅτι τὸ καθόλου διττόν, τὸ μὲν σχετικόν, ὡς τὸ πᾶς ἄνθρωπος (τὸ γὰρ πᾶς ἀεὶ σχετικόν), τὸ δὲ ἑνιαῖον καὶ κατ' αὐτὴν τὴν φύσιν λεγόμενον, ὡς τὸ ἄνθρωπος οὑτοσί ψιλὸν λεγόμενον. ὅλον οὖν τὸ καθόλου, οὐ τὸ σχετικὸν λέγει. ἀλλὰ τὸ ἕτερον ἐχώρησεν ἐν ἡλίῳ· ἠδυνήθη γὰρ ὁ ἥλιος πάσας τὰς ἰδιότητας δέξασθαι τοῦ καθόλου ἡλίου, ὅπερ ἐπὶ τοῦ ἀνθρώπου ἀδύνατον· οὐδεὶς γὰρ ἀνθρώπων πάσας τὰς ἰδιότητας τοῦ καθόλου ἀνθρώπου δέξασθαι ἠδυνήθη διὰ τὸ ἄλλον μὲν εἶναι γραμματικὸν ἄλλον δὲ ἰατρόν· διὸ καὶ κέρμα ἀνθρώπου τοὺς κατὰ μέρος ἀνθρώπους εἶπεν ὁ Πλάτων. καὶ ταῦτα μὲν ἐν τούτοις· ἀπορεῖ δὲ Συριανὸς οὑτωσὶ λέγων· "εἰ τὸ καθόλου συμβεβηκὸς ἐν τῇ ἀτόμῳ οὐσίᾳ, ὑφίστασθαι ἔσται καὶ τὸ μερικὸν συμβεβηκὸς ἐν τῇ καθόλου οὐσίᾳ."

2a 34 ΦΙΛ. "τὰ δὲ ἄλλα — ἐστιν." ἀλλὰ ποῖα; οὐδὲν γὰρ παρὰ τὴν οὐσίαν καὶ τὸ συμβεβηκός· τούτων δὲ ἀνωτέρω ἐμνήσθη. τί οὖν τὸ λεγόμενον; σαφήνειαν βουλόμενος ποιῆσαι δι' ἐπαναλήψεως, τῷ μὴ χρήσασθαι εὐκαίρως ἀσάφειαν εἰργάσατο ἑκών· εὐκαίρως δ' ἂν ἦν, εἰ οὕτω προήνεγκεν "ὥστε τὰ ἄλλα πάντα," καθὼς καὶ προϊὼν ἐχρήσατο. ἐκεῖνο δὲ καὶ διττογραφίαν ὁ Σιμπλίκιός φησιν. ἐγὼ δὲ τοῦτο μᾶλλον εἴποιμ' ἂν περιττὸν καὶ παρέλκον, ἐκεῖνο δ' οὔ, ἀλλὰ συμπέρασμα καὶ βεβαίωσιν τῶν προειρημένων ἁπάντων, ὡς ὁ τῆς ἀποδείξεως βούλεται τρόπος.

2a 35 ΣΙΜΠΛ. δ' f. 8. δύο δὲ δείξεις τούτου ποιεῖται, τὴν μὲν ἀπὸ τῆς πρὸς τὸ ἄτομον γένος ἀμφοῖν σχέσεως, τὴν δὲ ἀπὸ τῆς ἀναλογίας.

2b 4 f. 7 b. καὶ τοῦτο δὲ οὐκ ἄξιον παραλιπεῖν, ὅτι δισσογραφία τις ἐν τούτοις συνέβη. οὐδὲν γὰρ 'Αριστοτέλης ἐκ περιττοῦ τοῖς λόγοις προστίθησιν, ἀλλ' ἴσως ἔξω παραγεγραμμένης τῆς ἄλλης γραφῆς οἱ γράφοντες τὰ δύο εἰς τὸ ἐδάφιον ἐνεγράψαντο. τὸ δὲ ἑξῆς ἐστίν, ὥστε πάντα τὰ ἄλλα καθ' ὑποκειμένων τῶν πρώτων οὐσιῶν λέγεται ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστίν, ὥστε μὴ οὐσῶν τῶν πρώτων οὐσιῶν ἀδύνατον τῶν ἄλλων τι εἶναι. ἀλλ' ἐπὶ τὰ ἑξῆς ἰτέον.

'ΑΜΜ. f. 48 b. αἱ πρῶται οὐσίαι ὑπόκεινται πᾶσιν, ἀλλ' οὐχ ὁμοίως· τοῖς μὲν γὰρ πρὸς ὕπαρξιν, τουτέστι τοῖς συμβεβηκόσι, τοῖς δὲ πρὸς κατηγορίαν, τουτέστι ταῖς καθόλου οὐσίαις.

διανοητῆς, ὡς καὶ Ἀρχύτας ὁ ταύτης ἄρξας τῆς διδασκαλίας διορίζεται σαφῶς λέγων... f. 3 b. ὁ μέντοι Βοηθὸς ταῦτα μὲν παρέλκειν ἐνταῦθα τὰ ζητήματα βούλεται· μὴ γὰρ εἶναι περὶ τῆς νοητῆς οὐσίας τὸν λόγον. "μᾶλλον δὲ ἔδει" φησί "προσαπορεῖν, ὅτι ἐν ἄλλοις τὴν οὐσίαν διελόμενος εἰς τρεῖς ἄλλως μὲν τὴν ὕλην ἄλλως δὲ τὸ εἶδος ἄλλως δὲ τὸ συναμφότερον οὐσίαν λέγεσθαι εἶπεν, ἐνταῦθα δὲ μίαν τίθεται κατηγορίαν τὴν οὐσίαν. τίνα οὖν ταύτην, καὶ πῶς αὐτῇ τὰς τρεῖς ὑποτάξει τὰς μὴ καθ' ἕνα λόγον λεγομένας;" ἀπαντῶν δὲ πρὸς ταῦτα ὁ Βοηθὸς τὸν τῆς πρώτης οὐσίας λόγον καὶ τῇ ὕλῃ καὶ τῷ συνθέτῳ ἐφαρμόττειν φησίν... "οὕτω μέν" φησιν ὁ Βοηθὸς "ἡ ὕλη καὶ τὸ σύνθετον ὑπαχθήσονται τῇ τῆς οὐσίας κατηγορίᾳ, τὸ δὲ εἶδος τῆς μὲν οὐσίας ἐκτὸς ἔσται, ὑφ' ἑτέραν δὲ πεσεῖται κατηγορίαν, ἤτοι τὴν ποιότητα ἢ ποσότητα ἢ ἄλλην τινά." ταῦτα δὲ λέγοντα τὸν Βοηθὸν σφάλλεσθαί φησιν ὁ Πορφύριος, ὅτι τὸ ἀντιδιαιρεθὲν τῇ ὕλῃ εἶδος καὶ οὐσία εἰρηθὲν ὑπὸ Ἀριστοτέλους, τοῦτο ποιότητα καὶ ἄλλο τι τῶν συμβεβηκότων φησίν· τὸ γὰρ ποιητικὸν οὐσίας οὐσιῶδες, καὶ διὰ τοῦτο οὐσία· καὶ γὰρ τὸ σύνθετον κατὰ τὸ εἶδος μάλιστα οὐσία... δυνατὸν δὲ τοῦ μὴ μνημονεῦσαι τοῦ εἴδους καὶ τῆς ὕλης αἴτιον λέγειν καὶ τὸ τὴν τῶν Κατηγοριῶν πραγματείαν κατὰ τὴν πρόχειρον καὶ κοινὴν τοῦ λόγου χρῆσιν ποιεῖσθαι· τὸ δὲ τῆς ὕλης καὶ τοῦ εἴδους ὄνομα καὶ τὰ ὑπὸ τούτων σημαινόμενα οὐκ ἦν τοῖς πολλοῖς συνήθη, ἀλλ' οἱ μὲν τὴν ὕλην οἱ δὲ τὸ εἶδος μᾶλλον οὐσίαν λέγουσι. "πῶς οὖν," φησὶν ὁ Πλωτῖνος, "τὰ τρία ἐπ' ἴσης λέγονται οὐσίαι;"

ΔΕΞ. Πλωτίνῳ τῷ Πλατωνικῷ φιλοσόφῳ ἀντιλέγειν χαλεπὸν οὕτω βαθέως ἠπορηκότι... ἀλλ' εἰ ταῖς αὐταῖς ὑποθέσεσιν Ἀριστοτέλης ἐχρῆτο αἷς καὶ Πλωτῖνος, εἶχεν ἄν τινα δοκοῦντα τὰ εἰρημένα λόγον· νῦν δὲ τὰ ἐκείνῳ δοκοῦντα ὡς ὁμολογούμενα προσλαβὼν διαγωνίζεται ὑπὲρ Ἀριστοτέλους.

ΣΙΜΠΛ. δ' f. 5. πρώτας μὲν τὰς ἀτόμους οὐσίας ἔθετο, δευτέρας δὲ τὰς κοινὰς καὶ ἁπλᾶς, διότι πρώτοις τοῖς συνθέτοις καὶ ἀτόμοις, ἔπειτα τοῖς ἁπλοῖς κοινοῖς ἐπιβάλλομεν, καὶ ὅτι ἐν τῇ ἀτόμῳ καὶ τὴν κοινὴν ἔχειν τὸ εἶναι φησίν. πρώτως μὲν οὖν οὐσία διὰ τοῦτο ἡ ἄτομος λέγεται, κυριώτατα δὲ ὅτι καθ' αὑτὴν αὕτη ἐστὶν ἡ οὐσία, αἱ δὲ ἄλλαι καθ' ὑποκειμένης αὐτῆς λέγονται. μάλιστα δέ ἐστιν αὕτη οὐσία, ὅτι κατὰ τὸ ὑποκεῖσθαι ἡ οὐσία χαρακτηρίζεται, αὕτη δὲ ὑπόκειται τοῖς μὲν ὡς καθ' ὑποκειμένου αὐτῆς λεγομένοις, τοῖς εἴδεσι καὶ γένεσι, τοῖς δὲ ὡς ἐν ὑποκειμένῳ αὐτῇ οὖσι, τοῖς συμβεβηκόσι. καὶ ἄλλως δὲ ἂν τὸ κυριώτατα καὶ πρώτως καὶ μάλιστα τῇ ἀτόμῳ καὶ συνθέτῳ οὐσίᾳ ἐφαρμόττειν λέγοις.

ἀλλ' ἐπεὶ καὶ πρὸς τὰ περὶ τῆς πρώτης οὐσίας εἰρημένα πολλά ἐστι τὰ ἀπορούμενα, ἴδωμεν πάλιν τίνα ταῦτά ἐστι καὶ τίνες αἱ προσφόρως αὐταῖς ἐπαγόμεναι λύσεις. οὐ διδάσκει διὰ τούτων, φασί, τί ἐστιν οὐσία, ἀλλὰ τί οὐκ ἔστιν... ἀλλὰ διὰ τί, φασίν, ἐνταῦθα μὲν πρώτην οὐσίαν τὴν αἰσθητὴν λέγει, ἀλλαχοῦ δὲ δευτέραν ὡς μετὰ τὴν ἀσώματον τεταγμένην;... ὁ μέντοι Ἀλέξανδρος καὶ τὸ νοητὸν καὶ χωριστὸν εἶδος ἄτομον οὐσίαν λέγεσθαί φησιν· καὶ ἴσως οἰκεῖον τοῦτο τῷ Περιπάτῳ, εἴπερ τὰ κοινὰ οὐδὲ ἔστιν ὅλως καθ' ἑαυτὰ ἐν ὑποστάσει, ἀλλ' ἐν τοῖς ἀτόμοις ἔχει τὸ εἶναι. εἰ οὖν τὰ χωριστὰ εἴδη πάντων μάλιστά ἐστιν ἐν ὑποστάσει, ἄτομα ἂν εἴη καὶ οὐ κοινά. ὁ μέντοι Ἰάμβλιχος ἐπισκήπτει τῷ Ἀλεξάνδρῳ ὡς ἀγνοοῦντι πῶς λέγεται ἐνταῦθα ἄτομος οὐσία... f. 5 b. διὰ τί ἐν μὲν τοῖς Φυσικοῖς (Phys. Auscult. 1 1) τὰ κοινὰ προτάττει, ἐνταῦθα δὲ τὰ καθ' ἕκαστα; ἢ ὅτι διχῶς λέγεται τὸ πρότερον καὶ τὸ δεύτερον, ἤτοι τῇ φύσει ἢ ὡς πρὸς ἡμᾶς, καὶ τοῦ μηδέτερα ἔχοντος. διὰ τοῦτο προεδίδαξε περὶ τῶν ὑποκειμένων... ὁ μέντοι Ἀλέξανδρος ἐνταῦθα καὶ τῇ φύσει ὕστερα τὰ καθόλου τῶν καθ' ἕκαστα εἶναι φιλονεικεῖ, ἀπόδειξιν μὲν οὐδεμίαν κομίζων σχεδόν.

f. 6. ἀλλ' ἀνθρώπου μὲν ἀναιρεθέντος ἀνῄρηνται οἱ ἄτομοι ἄνθρωποι καὶ ζῴου ἀναιρεθέντος ὁ ἄνθρωπος, οὐ μέντοι ἀνάπαλιν· πρῶτα δὲ τῇ φύσει τὰ συναναιροῦντα μὲν μὴ συναναιρούμενα δὲ ἐλέγομεν. πῶς πρῶται μὲν αἱ ἄτομοι οὐσίαι λέγονται, δεύτεραι δὲ τὰ εἴδη καὶ τρίται τὰ γένη;

ΔΕΞ. τί ἂν εἴποιμεν πρὸς τοὺς περὶ αὐτοῦ τούτου ἀμφισβητοῦντας, μήποτε οὐδὲ φύσει πρότερα ᾖ τὰ καθόλου τῶν καθ' ἕκαστον, ἀλλ' ὕστερα; ἢ σκοποῦντες ἀκριβῶς εὕροιμεν ἂν τὰ ἀμφισβητούμενα ὡς ὁμολογούμενα αὐτοὺς λαμβάνοντας· ὅταν γὰρ ἑνὸς ἑκάστου πρῶτα φύσει λέγωσι τὰ καθόλου, πάντως δὲ πάλιν ὕστερα ὑποτιθέμενοι τὰ καθ' ἕκαστα εἶναι καὶ τῇ φύσει πρότερα, οὐ καλῶς ὡς ἐν ἀρχῇ λαμβάνουσιν αὐτὸ ὅπερ δεῖται ἀποδείξεως. ἐπιπόλαια δέ ἐστι καὶ τὰ τοιαῦτα ἐπιχειρήματα. κοινοῦ μὲν ὄντος ἀνάγκη καὶ ἄτομον εἶναι (ἐν γὰρ τοῖς κοινοῖς τὰ ἄτομα περιέχεται), ἀτόμου δὲ ὄντος οὐ πάντως τὸ κοινόν, εἴγε τὸ κοινὸν ἐπὶ πολλοῦ ὑπάρχει. δῆλον γὰρ ὅτι τὸ καθ' ἕκαστον καταταχθέντος εἰς αὐτὸ τοῦ κοινοῦ καὶ συμπληροῦντος αὐτοῦ τὴν οὐσίαν ἐστὶν ἄτομον· ὁ γὰρ τὶς ἄνθρωπος καὶ ἄνθρωπός ἐστιν. ψεῦδος δὲ τὸ λέγειν ὡς ἀναιρουμένου τοῦ κοινοῦ οὐ πάντως τὸ ἄτομον ἀναιρεῖται· εἰ γὰρ ἐν τούτῳ ἔχει τὸ κοινὸν τὴν οὐσίαν, ἐν τῷ διατείνειν ἐφ' ὅλα τὰ ὑπ' αὐτὸ τεταγμένα, ὁ ταύτην ἀναιρῶν ἀνῄρηκεν εὐθὺς καὶ τοῦ κοινοῦ τὴν ὅλην ὑπόστασιν. οὕτως μὲν οὖν τοῖς περὶ Ἀλέξανδρον καὶ Βοηθόν· τοῖς δὲ ἄλλοις Περιπατητικοῖς ἐπιχειροῦσιν ἀποκρίνεσθαι χρή, δεικνύναι δὲ ἐξηγουμένους τὰ Μετὰ τὰ Φυσικὰ προσῆκεν, ὅτι τὰ κοινὰ Ἀριστοτέλης προτάττει ἐν τῇ τῶν αἰσθητῶν θεωρίᾳ.

ἈΜΜ. f. 43 b. ἄξιον δὲ ζητῆσαι ἐνταῦθα ποίῳ τρόπῳ κέχρηται διαιρέσεως ἐν τῇ οὐσίᾳ· τῶν γὰρ διαιρουμένων τὰ μὲν ὡς γένος εἰς εἴδη διαιροῦνται, ὡς τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον, τὰ δὲ ὡς ὅλον εἰς μέρη, ὡς τὸ σῶμα εἰς χεῖρας καὶ πόδας καὶ κεφαλὴν καὶ τὰ λοιπά, τὰ δὲ ὡς ὁμώνυμος φωνὴ εἰς διάφορα σημαινόμενα, ὡς ὁ μῦς εἴς τε τὸν θαλάσσιον καὶ τὸν γηγενῆ. κατ' οὐδεμίαν οὖν τῶν διαιρέσεων τούτων διαιρεῖ τὴν οὐσίαν εἴς τε τὴν πρώτην καὶ τὴν δευτέραν... τί οὖν φαμέν; ὅτι οὐκ ἔστιν ὅλως διαίρεσις ἡ ἐνταῦθα ἡμῖν παραδιδομένη, τάξις δὲ μόνη τῶν ἀπηριθμημένων.

ἈΜΜ. f. 44 b. διὰ τί δὲ οὐκ εἶπε (*) "δεύτεραι οὐσίαι λέ- 2 a
γονται τὰ εἴδη καὶ τὰ γένη καθόλου," ἀλλὰ εἶπεν "ἐν οἷς εἴδεσιν αἱ 14.
πρῶται λεγόμεναι οὐσίαι ὑπάρχουσιν;" ἐροῦμεν ὅτι πάνυ ἀκριβῶς· εἰ

(*) p. 2 a 14. Porphyr. f. 22 b. ἐν οἷς, φησίν, εἴδεσιν αἱ πρῶται οὐσίαι λεγόμεναι ὑπάρχουσι.

ἐπειδὴ δὲ μὴ γένος τὸ ὂν τῶν δέκα κατηγοριῶν, δύναται καὶ τάξιν ὑποδέχεσθαι. προτέρα ἡ οὐσία ὡς ὑποκείμενον πᾶσι, δευτέρα τὸ ποσόν, ἐπειδὴ καὶ ἡ ἀνείδεος ὕλη πρότερον ποσοῦται, τρίτον τὸ ποιὸν καὶ τοῦ πρός τι πρότερον, ἐπειδὴ καὶ τὸ καθ' αὑτὸ τοῦ ἐν σχέσει πρότερον. ἀλλ' εἰ ταῦτα οὕτω, προτέτακται τὰ ἐξ οὐσίας καὶ ποσοῦ τῶν ἐξ οὐσίας καὶ ποιοῦ καὶ τὰ ἐξ οὐσίας καὶ ποιοῦ τῶν ἐξ οὐσίας καὶ πρός τι. καὶ ταῦτα μὲν ἐν τούτοις· ἐφ' οἷς μετὰ τὴν διαίρεσιν τῶν κατηγοριῶν καὶ τὸ πλῆθος, ὅτι δέκα καὶ οὔτε πλείους οὔτε ἐλάττους, ὡς ἐδείξαμεν, φέρε τὰς εἰωθυίας ἀπορίας φέρεσθαι κατὰ τῶν κατηγοριῶν ἀπορήσαντες εἴπωμεν τὰς λύσεις αὐτῶν. ἀποροῦσι τοίνυν οἱ μειονεξίαν αὐτῶν κατηγοροῦντες ὅτι διὰ τί μὴ ἕνδεκα αἱ κατηγορίαι, προστιθεμένου τοῦ ἔχεσθαι; τί δήποτε γὰρ τοῦ μὲν ποιεῖν τὸ πάσχειν ἀντέταξε, τοῦ δὲ ἔχειν τὸ ἔχεσθαι οὐκέτι; καὶ λύει τοῦτο Συριανός, λέγων ὅτι ὑπὸ τὸ κεῖσθαι ἀνάγεται τὸ ἔχεσθαι, ἔχομεν δὲ μίαν κατηγορίαν τὸ κεῖσθαι· τὸ γὰρ ἐχόμενον ἐν τῷ ἔχοντι κεῖται. οἷον ἔχει τις δακτύλιον ἢ ἱμάτιον ἢ ὑποδήματα· ταῦτα ἐν τῷ ἔχοντι κεῖται. ἄλλοι ἀποροῦσιν αὐτῶν κατηγοροῦντες, διὰ τί μὴ ἐννέα αἱ κατηγορίαι, τοῦ ποιεῖν καὶ τοῦ πάσχειν ὑπὸ τὸ κινεῖσθαι ἀναγομένων; ἀμφότερα γὰρ κινοῦνται, τὸ ποιοῦν καὶ τὸ πάσχον. πρὸς ὅ φαμεν, οὐχ ἣν κίνησιν κινεῖται τὸ ποιοῦν, κινεῖται καὶ τὸ πάσχον, οὐδὲ ἣν κίνησιν κινεῖται τὸ πάσχον, ταύτην ἀντιδρᾷ καὶ τὸ ποιοῦν. οἷον τὸ πῦρ θερμαίνει· οὐ καθὸ θερμαίνει ψύχεται, οὐδὲ πάλιν ἡ χιὼν καθὸ ψύχει θερμαίνεται· καθόλου γὰρ οὐδὲν τῶν ὄντων καθὸ ποιεῖ καὶ πάσχει, οὐδὲ καθὸ πάσχει καὶ ποιεῖ. ἄλλοι δέ, διὰ τί μὴ ὀκτὼ αἱ κατηγορίαι, τοῦ ποιεῖν καὶ τοῦ πάσχειν ὑπὸ τὰ πρός τι ἀναγομένων; πρὸς ὅ φαμεν ὅτι τὸ ποιοῦν καὶ τὸ πάσχον τῶν πρός τι, τὸ δὲ ποιεῖν καὶ τὸ πάσχειν τὰ ἀπαρέμφατα οὐ πρός τι. ἄλλοι δέ, διὰ τί μὴ ἓξ αἱ κατηγορίαι, τοῦ ἔχειν καὶ τοῦ κεῖσθαι ὑπὸ τὰ πρός τι ἀναγομένων; ἡ αὐτὴ δὲ λύσις, ὅτι τὸ ἔχον καὶ τὸ κείμενον τῶν πρός τι, τὸ δὲ ἔχειν καὶ τὸ κεῖσθαι τὰ ἀπαρέμφατα οὐ πρός τι. ἄλλοι δέ, διὰ τί μὴ πέντε αἱ κατηγορίαι, ὡς ὁ Γαληνός, οὐσία, ποσόν, ποιόν, πρός τι, πρός τί πως ἔχον; πρὸς ὅ φαμεν ὅτι οὐ δύναται τὸ πρός τί πως ἔχον γένος εἶναι τῶν λοιπῶν κατηγοριῶν· ἐν γὰρ τοῖς ὡς γένος εἰς εἴδη διαιρουμένοις οὐκ ἔστι τάξις οὐδὲ τὸ πρότερον καὶ τὸ δεύτερον, ἐπὶ δὲ τῶν συνθέτων κατηγοριῶν ἐστὶ τάξις· πρότεραι γὰρ αἱ ἐξ οὐσίας καὶ ποσοῦ τῶν ἐξ οὐσίας καὶ ποιοῦ καὶ αἱ ἐξ οὐσίας καὶ ποιοῦ τῶν ἐξ οὐσίας καὶ πρός τι. εἰ δέ τις εἴποι τέσσαρας κατηγορίας μόνον, οὐσίαν ποσὸν ποιὸν πρός τι, τὰς δὲ ἓξ ὡς σχετικὰς ὑπὸ τὰ πρός τι ἀνάγεσθαι, ῥητέον ὅτι ἐπὶ τῶν πρός τι ψιλὴ σχέσις ἐστίν, ἐπὶ δὲ τῶν λοιπῶν ἓξ κατηγοριῶν οὐκ ἔστι ψιλὴ σχέσις ἀλλὰ σχέσις μεθ' ὕλης, οὐσία μετὰ ποσοῦ, οὐσία μετὰ ποιοῦ, οὐσία μετὰ τῶν πρός τι. ἄλλοι, διὰ τί μὴ τέσσαρες αἱ κατηγορίαι, ὥς φησιν ὁ Πλωτῖνος, οὐσία ποσὸν ποιὸν πρός τι; αἱ γὰρ λοιπαὶ ἐκ τῆς συμπλοκῆς τούτων ἐγένοντο. καὶ λύει ὁ αὐτὸς λέγων ὅτι κἂν σύνθετοι ὦσιν, ἀλλ' οὖν ἁπλῆ ἡ νόησις αὐτῶν, ἄλλο δὲ εἶδος τοῦ ἁπλοῦ παρὰ τὸ σύνθετον καὶ ἄλλο τὸ σύνθετον· ἄλλο γὰρ ἄνθρωπος εἶναι καὶ ἄλλο ψυχὴ εἶναι, ἄλλο σώματι εἶναι καὶ ἄλλο ἀνθρώπῳ εἶναι. ἕτεροί φασι, διὰ τί μὴ τρεῖς αἱ κατηγορίαι, οὐσία ποσὸν ποιόν; τὰ γὰρ πρός τι οἰκείως ὕλην μὴ ἔχοντα ἐν τούτοις θεωρεῖται. πρὸς οὓς φαμεν ὅτι κἂν οἰκείως ὕλην μὴ ἔχωσιν, ἀλλ' οὖν ἄλλο εἶδος τῶν πρός τι, τὰ δὲ πράγματα τῷ εἴδει κρίνεται, οὐ τῇ ὕλῃ· ἄνθρωπος γὰρ καὶ βοῦς καὶ ἵππος κοινὴν ἔχοντες τὴν ὕλην διάφορον εἶδος ἔχουσιν. ἄλλοι φασί, διὰ τί μὴ δύο αἱ κατηγορίαι, οὐσία καὶ συμβεβηκός; καὶ λέγομεν ὅτι οὐ δύναται τὸ συμβεβηκὸς γένος εἶναι τῶν ἐννέα· οὐδέποτε γὰρ ἀπὸ τῶν εἰδῶν τῶν ἀπὸ γένους καταγομένων τὰ μὲν καθ' αὑτὰ τὰ δὲ κατὰ συμβεβηκότα εὑρήσεις, ἀλλ' ἢ πάντα καθ' αὑτά, ὡς τὰ μέρη τῆς οὐσίας, ἢ πάντα ἐν σχέσει, ὡς τὰ μέρη τοῦ πολλαπλασίου, τὸ διπλάσιον, τὸ τριπλάσιον, τὸ τετραπλάσιον· ἐπὶ δὲ τῶν ἐννέα κατηγοριῶν τὰ πρός τι μόνον ἐν σχέσει πάντα εἰσίν. ἔτι διὰ τί μὴ μία κατηγορία τὸ ὂν διὰ πᾶν διῆκον; καὶ λέγομεν ὅτι οὐ δύναται τὸ ὂν γένος εἶναι τῶν δέκα κατηγοριῶν. τούτου δὲ αἱ αἰτίαι εἴρηνται ἡμῖν ἀνωτέρω.

'ΑΜΜ. f. 38. ἐντεῦθεν διακρίνει τὸν σκοπὸν τοῦ προκειμένου 2a.4.
βιβλίου τοῦ ἐφεξῆς, λέγω δὴ τοῦ περὶ Ἑρμηνείας, ὅτι ἐν τούτῳ μὲν διδάσκει περὶ ἁπλῶν φωνῶν, ἐν ἐκείνῳ δὲ περὶ καταφάσεως καὶ ἀποφάσεως.

ΣΙΜΠΛ. δ' f. 2. ἐπιστῆσαι δὲ ἄξιον ὅτι τῆς καταφάσεως μόνης ἐχώρισε τὰς ἁπλᾶς φωνάς, ἀλλ' οὐχὶ καὶ τῆς ἀποφάσεως, εἰπὼν "ἕκαστον δὲ τῶν εἰρημένων ἐν οὐδεμιᾷ καταφάσει λέγεται, τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις γίνεται." τοῦτο δὲ ἐποίησε διότι αἱ ἁπλαῖ φωναὶ καταφάσεως ἂν μᾶλλον φαντασίαν ποιήσαιεν ἢ ἀποφάσεως.

'ΑΜΜ. f. 38 b. τὰ πολλὰ τῶν βιβλίων καὶ δοκοῦντα καλῶς ἔχειν οὐκ ἔχει τὸ "ἢ ἀποφάσει" ἀλλὰ μόνον τὸ "ἐν οὐδεμιᾷ καταφάσει λέγεται." εἰ γὰρ κατάφασιν οὐ σημαίνει οὐδεμία τῶν κατηγοριῶν, πολλῷ μᾶλλον οὐδὲ ἀπόφασιν, ἐπειδὴ δεῖται καὶ τοῦ ἀρνητικοῦ μορίου, καὶ μᾶλλον ὑποπτεύσει τις ποιεῖν τινὰ τῶν ἄλλων κατηγοριῶν κατάφασιν εἶναι ἤπερ ἀπόφασιν· πᾶσα γὰρ δοκεῖ κατάφασις ἢ ἀπόφασις ἤτοι ἀλήθειαν ἢ ψεῦδος σημαίνειν. τὸ δοκεῖ πρόσκειται, ἐπειδὴ οὐ πάντως ἡ κατάφασις ἀληθεύει, οὐδὲ πάντως ἡ ἀπόφασις ψεύδεται, οἷον ἐὰν εἴποι τις "τρέχω ἢ οὐ τρέχω·" ἐπεὶ οὖν ἐν τούτοις δυνάμει προσυπακούεται τὸ ἐγώ, τούτου χάριν εἶπε "δοκεῖ." ἢ οὖν τοῦτο, ἢ ὅτι παρέλκεται (παρέλκεται?) τὸ δοκεῖ, ἢ ὅτι σφάλμα ἐστὶ καλλιγραφικόν, ἢ ὅτι ἀντὶ τοῦ οὕτω δοκεῖ πᾶσι.

ΣΙΜΠΛ. δ' f. 2. ταῦτα μὲν οὖν καὶ περὶ λέξεως εἰρήσθω. εἰ δέ 2a.10.
τις ἀπορεῖ πότερον τὰ αἰσθητικὰ μόνα καὶ γεννητικὰ διεῖλεν ἐν τούτοις ὁ Ἀριστοτέλης καὶ ἀπηριθμήσατο, ἢ πάντα τὰ ὁπωσοῦν ὄντα, καὶ ὅλως πότερον ἄλλα ἐστὶ τὰ νοητὰ γένη ἢ τὰ αἰσθητά, ἢ τινὰ μὲν τὰ αὐτὰ τινὰ δὲ τὰ ἕτερα... οἱ δὲ ταῦτα ἀποροῦντες ὑπαλλάττειν ἐοίκασι τὴν ὑπόθεσιν· ὡς γὰρ περὶ τῶν ὄντων προηγουμένως τοῦ φιλοσόφου διδάσκειν ἐπαγγελλομένου, οὕτως προάγουσι τὴν ἀπορίαν.

ΣΙΜΠΛ. δ' f. 3. ἀποροῦσι δὲ καὶ πρὸς τὸν περὶ τῆς οὐσίας λόγον 2a.11.
ὅ τε Πλωτῖνος καὶ οἱ περὶ τὸν Νικόστρατον, πῶς ἓν γένος ἡ οὐσία; εἰ γὰρ κοινόν τι καὶ τῆς νοητῆς καὶ τῆς αἰσθητῆς εἴη, πρὸ ἀμφοῖν ἔσται καὶ ἀμφοῖν κατηγορηθήσεται, καὶ δῆλον ὅτι οὔτε σῶμα οὔτε ἀσώματον ἔσται, ἵνα μὴ τὸ σῶμα καὶ ἀσώματον γένηται καὶ τὸ ἀσώματον καὶ σῶμα. πρὸς δὴ ταῦτα δυνατὸν μὲν καὶ τὰ πρότερον εἰρημένα λέγειν, ὅτι περὶ τῆς αἰσθητικῆς καὶ φυσικῆς οὐσίας ὁ λόγος καὶ τῆς ἐν ταύτῃ

αἱ στερήσεις, ἐν τῷ τὰ ὄντα ἀναιρεῖν, εἰκότως ἐπ' ἐκεῖνα ἀναπέμπονται ἐν οἷς αἱ ἕξεις εἰσὶ καὶ αἱ καταφάσεις. "ἀλλὰ τὸ ἕν" φασι "καὶ ἡ μονὰς καὶ τὸ σημεῖον πῶς οὐκ ἔξω πίπτει τῶν κατηγοριῶν;"... f. 7 b. τοῦ εἴδους συγκριμένου καὶ διακεκριμένου ὄντος, καὶ τοῦ μὲν ὀνόματος τὸ συγκριμένον ἢ ὡς οἱ Στωϊκοί φασι τὸ κεφαλαιῶδες δηλοῦντος, τοῦ δὲ ὁρισμοῦ τὸ διακεκριμένον, ἐν τῷ αὐτῷ ἂν εἴη γένει τό τε ὄνομα καὶ ὁ ὁρισμός. καὶ ἡ ὕλη δὲ καὶ τὸ εἶδος, ἀρχαὶ οὖσαι τῆς συνθέτου οὐσίας, οὐσίαι καὶ αὐταί εἰσι, κἂν μὴ ἐνταῦθα παρελήφθησαν. καὶ περὶ τοῦ σημείου δὲ τὰ αὐτὰ καὶ ἀπορεῖν οἶμαι ἔξεστι καὶ ἐπιλύεσθαι. βέλτιον δέ φασιν οἱ κλεινότεροι τῶν ἐξηγητῶν ὁμώνυμον τὸ ἓν ἀπολείπειν κατὰ τὰς δέκα κατηγορίας, ὥσπερ καὶ τὸ ὄν· τῶν δὲ ὁμωνύμων οὔτε διαίρεσις ἀφωρισμένη ἐστὶν οὔτε εἰς ἓν γένος ἀναγωγή. οἱ δέ γε τρίτοι λοιποὶ οἱ ἀνταλλαγὴν αἰτιώμενοι... οἱ Στωϊκοὶ εἰς ἐλάττονα συστέλλειν ἀξιοῦσι τὸν τῶν πρώτων γενῶν ἀριθμόν, καί τινα ἐν τοῖς ἐλάττοσιν ὑπηλλαγμένα παραλαμβάνουσι. ποιοῦνται γὰρ τὴν τομὴν εἰς τέσσαρα, εἰς ὑποκείμενα καὶ ποιὰ καὶ πῶς ἔχοντα καὶ πρός τι πῶς ἔχοντα. καὶ δῆλον ὅτι πλεῖστα παραλείπουσι... f. 8. κοινῇ δὲ πρὸς πάντας λέγειν (δεῖ) ὅτι τὰς εἰσαγωγικὰς πραγματείας οὐκ ἔδει πρὸς ἀκρίβειαν διακειμένας ἀπαιτεῖν· οὐ γὰρ ὑποφέρουσι τὴν ἀκρίβειαν αἱ τῶν πρωτοπείρων ἀκοαί. δεύτερον δέ, ὅτι δύσκολος ἡ ἐπιχείρησις τὰς γενικωτάτας τῶν ὄντων διαφορὰς ἤτοι τὰς σημαντικὰς αὐτῶν λέξεις διελέσθαι, καὶ διὰ τοῦτο χρὴ μᾶλλον συναγωνίζεσθαι τῇ χαλεπότητι τῆς ἐπιχειρήσεως, ἀλλὰ μὴ κακοσχόλως αὐτῇ προσφιλονεικεῖν. τρίτον δὲ ἂν λέγοιμεν ὅτι καὶ πάντες οἱ ἄλλως διελόμενοι μείζοσιν ἂν ὑπάγοιντο τοῖς ἐγκλήμασιν.

ΔΕΞ. περὶ δὲ τοῦ ἑνός, ὡς οὐκ ἔστιν ἔξω πίπτον τῶν κατηγοριῶν, πολλαχοῦ ἄν τις ἀποδείξειε. καὶ γὰρ ὡς ἀρχὴ τῶν ἀριθμῶν καὶ ὡς μέτρον ὑπάρχον τοῖς πρός τι συνταχθήσεται· καὶ εἴ τις ἀσώματον καὶ καθ' ἑαυτὸν τὸν ἀριθμὸν τιθείη, οὐσία ἂν εἴη ἡ μονάς. εἰ δέ τις διττὸν ἀριθμὸν ὑποθοῖτο, ἔσται καὶ ἡ μονὰς ἐν δύο γένεσιν, ἐπὶ μὲν τῶν κατὰ σύνθεσιν ἀριθμητῶν ἐν τοῖς πρός τι, ἐπὶ δὲ τῶν νοητῶν ἐν οὐσίᾳ ταττομένη. εἰ δέ τις αὐτὴν καὶ μέρος ποσοῦ νομίζοι, ὥσπερ καὶ ὁ Ἀλέξανδρος, ἔσται καὶ ἐν τῷ ποσῷ ἅμα. τοῦτο μέντοι ὅλως παρακρούεται ἡμᾶς· πανταχοῦ γὰρ ἕτερόν ἐστι τὸ πέρας καὶ τὸ ὁριζόμενον ὑπὸ τοῦ πέρατος· καὶ ἡ μονὰς οὖν ἀρχὴ καὶ πέρας οὖσα τοῦ ποσοῦ οὐκ ἂν εἴη ποσόν... πάλιν τινὲς ἐπιζητοῦσι τὰ ἄρθρα ποῦ ταχθήσεται. ἔστι δὲ καὶ περὶ τούτων ὁ αὐτὸς λόγος· συνδέσμων γὰρ ἔχει δύναμιν ἐπὶ ἀρρένων καὶ θηλέων μετὰ τοῦ καὶ τὸ ὑποκείμενον παραδηλοῦν ἀορίστως· διὸ καὶ ἀόριστά τινες αὐτὰ καλοῦσι· τὸ μὲν γάρ τι ὑποκείμενον παρίστησι, μετὰ δὲ τοῦ ἄρρενος συνταττόμενον ἄρρεν τι δηλοῖ, μετὰ δὲ τοῦ θήλεος θῆλύ τι· παρῆκται δὲ τὸ τόδε ἀπὸ τοῦ τινός, συνεκφαίνει δὲ ὁποτερονοῦν τῶν ἄρθρων τὸ ἄρρεν ἢ τὸ θῆλυ ἐν τῇ συντάξει, αὐτὸ δὲ καθ' αὑτό ἐστιν ἄσημον. ἀλλ' αἱ ἀποφάσεις, φασί, καὶ αἱ στερήσεις τά τε ἀόριστα καὶ αἱ ἐγκλίσεις καθ' ἑκάστην κατηγορίαν ἐν τίνι ταχθήσονται; περὶ δὴ τούτων βέλτιον αὐτὸς ὁ Ἀριστοτέλης ἐν τοῖς Ὑπομνήμασιν ἀνεδίδαξε· προθεὶς γὰρ τὰς κατηγορίας σὺν ταῖς πτώσεσιν αὐτῶν καὶ ταῖς ἀποφάσεσι καὶ ταῖς στερήσεσι καὶ τοῖς ἀορίστοις ὁμοῦ συνέταξεν αὐτῶν τὴν διδασκαλίαν, πτώσεις τὰς ἐγκλίσεις ὀνομάζων. ἔσται δὴ οὖν τὸ ἀνυποδετεῖν τῆς αὐτῆς κατηγορίας ἧς καὶ τὸ ὑποδεδέσθαι, καὶ τὸ ἀναπνεῖν τῆς τοῦ ἔχειν κατηγορίας, ὥστε καὶ τὸ ὡπλίσθαι. καὶ αἱ ἀποφάσεις οὖν τούτων ἔσονται ὧν καὶ αἱ καταφάσεις, καὶ τὰ ἀόριστα τούτων ὧν καὶ τὰ ὡρισμένα· καθόλου γὰρ ἐν τούτῳ ἔχουσι τὸ εἶναι αἱ ἀποφάσεις καὶ στερήσεις, ἐν τῷ τὰ ἀναιρούμενα μὴ εἶναι. εἰκότως ἄρα ἐπ' ἐκεῖνα ἀναπέμποιτο τὰ ἐν ἕξει ὄντα καὶ καταφασκόμενα. καὶ ὁ νεκρὸς οὖν τούτου ἔσται οὗ καὶ τὸ ζῷον, καὶ ἡ τυφλότης τοῦ αὐτοῦ οὗ ἡ ἕξις. καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος.

ΠΟΡΦΥΡ. f. 4 b. οἱ δὲ ἀντέλεγον ἀθετοῦντες αὐτῶν (τῶν 1 b 26.
κατηγοριῶν) τὴν διαίρεσιν ὡς πολλὰ παριεῖσαν καὶ μὴ περιλαμβάνουσαν, ἢ καὶ πάλιν πλεονάζουσαν. — τίνες εἰσὶν οὗτοι; — οἱ περὶ Ἀθηνόδωρον καὶ Κορνοῦτον, οἳ τὰ ζητούμενα περὶ τῶν λέξεων καθὸ λέξεις, οἷα τὰ κύρια καὶ τὰ τροπικὰ καὶ ὅσα τοιαῦτα (διαφορὰ γάρ ἐστι λέξεων καθὸ λέξεις εἰσί), τὰ τοιαῦτα οὖν προφέροντες καὶ ποίας ἐστὶ κατηγορίας ἀποροῦντες καὶ μὴ εὑρίσκοντες ἐλλιπῆ φασὶν εἶναι τὴν διαίρεσιν ὡς ἂν μὴ πάσης φωνῆς σημαντικῆς εἰς αὐτὴν περιλαμβανομένης.

ΔΕΞ. εἰ δέ τις εἰς τὸ πῶς ἔχον συντάττοι τὰς πλείστας κατηγορίας, ὅπερ οἱ Στωϊκοὶ ποιοῦσιν, ἐπιδεικτέον αὐτοῖς ὅτι πλεῖστα παραλείπουσι τῶν ὄντων, τά τε ἐν τόπῳ καὶ τὰ ἐν χρόνῳ καὶ κατ' ἀριθμὸν ποσὰ καὶ κατὰ πηλίκον καὶ τὸ ὑποδεδέσθαι καὶ ἄλλα τοιαῦτα· οὐδὲν γὰρ ὅ τι τῶν τοιούτων περιέχεται ἐν τῷ πῶς ἔχοντι.

ΣΙΜΠΛ. δ' f. 1. ἐπειδὴ δὲ καὶ τῶν ἁπλῶν φωνῶν εἰσί τινες 1 b 25.
αἵτινες, κἂν ἁπλαῖ εἰσί, ἀλλ' οὖν οὐδὲ σημαίνουσιν ἄνευ τῆς πρὸς ἄλληλα συμπλοκῆς, ὥσπερ οἱ σύνδεσμοι καὶ τὰ ἄρθρα καὶ αἱ προθέσεις, διὰ τοῦτο εἶπε "τῶν κατὰ μηδεμίαν — ἢ ποιόν."

ΔΑΒΙΔ. τοῦ δὲ Ἀριστοτέλους ψιλὴν ἀπαρίθμησιν ποιησαμένου 1 b 26.
τῶν κατηγοριῶν, ὅτι δέκα, καὶ τὴν αἰτίαν μὴ προσθέντος διὰ τί δέκα, φέρε ἡμεῖς καὶ τὴν αἰτίαν προσθῶμεν διὰ τί δέκα. δείκνυμεν δὲ τοῦτο ἐκ διαιρέσεως τοιαύτης. τὸ ὂν ἢ ἐν ὑποκειμένῳ ἢ οὐκ ἐν ὑποκειμένῳ· καὶ εἰ μὲν μὴ ἐν ὑποκειμένῳ, ποιεῖ τὴν οὐσίαν, εἰ δὲ ἐν ὑποκειμένῳ, ἢ καθ' ἑαυτὸ ἢ οὐ καθ' ἑαυτό. καὶ εἰ μὲν καθ' ἑαυτό, ἢ μεριστὸν ἢ ἀμέριστον. καὶ εἰ μὲν μεριστόν, ποιεῖ τὸ ποσόν, εἰ δὲ ἀμέριστον, ποιεῖ τὸ ποιόν· κἂν γὰρ δοκῇ τὸ ποιὸν μεριστὸν εἶναι, διὰ τὴν ὕλην ἐστὶ μεριστόν. εἰ δὲ οὐ καθ' ἑαυτό, ἢ σχέσις ἐστὶ μόνη καὶ ποιεῖ τὰ πρός τι, ἢ κατὰ σχέσιν ἄλλων νοεῖται καὶ ποιεῖ τὰς λοιπὰς ἓξ κατηγορίας. τεσσάρων γὰρ οὐσῶν ἁπλῶν κατηγοριῶν, οὐσίας ποσοῦ ποιοῦ πρός τι, ἐκ τῆς συμπλοκῆς τούτων αἱ λοιπαὶ ἀπογεννῶνται, ἐξ οὐσίας καὶ ποσοῦ τὸ ποῦ καὶ ποτέ, ἐξ οὐσίας καὶ ποιοῦ τὸ ποιεῖν καὶ πάσχειν, ἐξ οὐσίας καὶ τῶν πρός τι τὸ ἔχειν καὶ τὸ κεῖσθαι. διὸ καὶ ἀποροῦσιν ὅτι πῶς λέγομεν ὅτι ἁπλαῖ αἱ δέκα κατηγορίαι εἰσίν, εἴγε αἱ τέσσαρες μόναι εἰσὶν ἁπλαῖ, αἱ δὲ ἓξ σύνθετοι; καὶ λέγομεν ὅτι συνθέτους αὐτὰς καλοῦμεν διότι ἔμφασιν συνθέσεως ἡμῖν εἰσάγουσιν, ἐπεὶ αὐταὶ ἁπλαῖ εἰσίν· οὐ γὰρ κατηγορία τὸ ἐν τόπῳ εἶναι καὶ τὸ ἐν χρόνῳ· διὰ γὰρ τοῦτο ἀπαρεμφάτοις ὀνόμασιν ὠνόμασεν αὐτὰ ὁ Ἀριστοτέλης, ἵνα μὴ τῷ ἐφέλκεσθαι πρόσωπον σύνθεσίν τινα εἰσάγῃ, οἷον τὸ ποιεῖν καὶ τὸ πάσχειν καὶ τὸ ἔχειν καὶ τὸ κεῖσθαι, ἅπερ ἀπαρέμφατά εἰσιν.

τὸ γὰρ αἰσθητικὸν καὶ τὸ ἔνδοθεν κινούμενον καὶ ἀνθρώπῳ καὶ τοῖς ἄλλοις ζῴοις ὑπάρχει. τὸ οὖν "οὐδὲν κωλύει" εἴρηται διὰ τὸ μὴ πάσας ὑπάρχειν ἀλλὰ τὰς συστατικὰς καὶ τῶν διαιρετικῶν τὰς οἰκείας τῷ μερικωτέρῳ... f. 5. καλεῖ δὲ ὁ Ἰάμβλιχος τὰς μὲν συστατικὰς τοῦ γένους γενικάς, τὰς δὲ διαιρετικὰς εἰδικάς.

ΠΟΡΦΥΡ. f. 20. οἶμαι μὲν διὰ τοῦτο πολλοὺς ἡμαρτῆσθαι νομίσαι τὸν τόπον, καὶ διορθοῦντας φῆσαι μὴ "ὅσαι τοῦ κατηγορουμένου διαφοραί, τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται," ἀλλ' ἔμπαλιν "ὅσαι τοῦ ὑποκειμένου, τοσαῦται καὶ τοῦ κατηγορουμένου ἔσονται." ἐγὼ δέ φημι ἐξ αὐτοῦ τούτου, ἐκ τοῦ ἐνίους φάναι καὶ πάλιν πάσας, τὴν λύσιν τῆς ἀπορίας λαμβάνεσθαι.

ΔΕΞ. οὐκ ἄρα διορθωτέον τὴν λέξιν, μεταστρέφοντας ἐπὶ τἀναντία τὴν ἀπόφασιν, οὕτως ὥστε ὅσαι τοῦ ὑποκειμένου, τοσαῦται καὶ τοῦ κατηγορουμένου· ἡμάρτηται γὰρ ἡ διόρθωσις.

1b 25 ΔΑΒΙΔ. ἀποροῦσιν ὅτι διὰ τί ἀνώτερον μὴ ἐπεξῆλθε πάσῃ τῇ διαιρέσει, ὅτε διῄρει τὰ λεγόμενα καὶ τὰ ὄντα; καὶ λέγομεν ὅτι ἀναγκαίως τελευταίαν ἐφύλαξε τὴν διαίρεσιν ταύτην, ἵνα λήξῃ μὲν τὸ πρῶτον τμῆμα εἰς ψιλὴν ἀπαρίθμησιν τῶν κατηγοριῶν, ἄρξηται δὲ τὸ δεύτερον αὐτῆς τῆς ἀκριβοῦς διδασκαλίας. ὥσπερ γὰρ οἱ ἄριστοι τῶν γραφέων πρὸ τῆς τελείας μορφῆς τῆς διὰ τῶν χρωμάτων ἀμυδρὰν ἔννοιαν παρέχονται τοῦ γραφησομένου διὰ τῆς σκιαγραφίας ἢ λευκογραφίας, οὕτω καὶ ὁ Ἀριστοτέλης.

1b 27 ΣΙΜΠΛ. γ' f. 5 b. τριχῶς τῆς σημασίας αὐτῶν τῶν ἄνευ συμπλοκῆς γινομένης, ἢ κατὰ τὴν ὀνομασίαν μόνην, ὅταν οὐσίαν λέγωμεν, ἢ ἀπὸ τῶν ὑποδειγμάτων, ὅταν λέγωμεν οἷον ἄνθρωπος ἢ ἵππος (τοῦτο γὰρ τὴν ὡς ἐν τύποις καὶ δι' αἰσθήσεως φαινομένην ὑπογραφὴν δηλοῖ), καὶ τρίτον κατὰ τὰς προχείρους ἐννοίας καὶ μηδέπω τεχνικάς, σπουδάσας δὲ ἤδη πρὸς τὴν ἀκριβῆ τελειότητα, ὁ μὲν Ἀριστοτέλης ἐνταῦθα μὲν διὰ τοῦ ὀνόματος καὶ ὑποδείγματος ἐδήλωσε τὰ γένη, λέγων "ἔστι δὲ οὐσία μὲν ὡς τύπῳ εἰπεῖν οἷον ἄνθρωπος ἵππος, ποσὸν δὲ οἷον δίπηχυ τρίπηχυ," καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ἐν δὲ τοῖς περὶ ἑκάστου λόγοις καὶ τὴν ἔννοιαν τὴν περὶ αὐτῶν ἀνεγείρειν πειρᾶται· ὁ δὲ Ἀρχύτας καὶ ἐν τῇ πρώτῃ εὐθὺς διδασκαλίᾳ εἰπὼν τὸ ὄνομα καὶ τὸ ὑπόδειγμα προσθεὶς ἐφ' ἑκάστου, ἐπήγαγε καὶ τὴν κατὰ ἔννοιαν ἰδιότητα... f. 6. ἀλλὰ τὴν τομὴν ταύτην τὴν εἰς τὰ γενικὰ γένη γενομένην τί φήσομεν; ἆρα διαίρεσιν; καὶ πῶς ἂν εἴη διαίρεσις, εἰ μήτε ὡς γένος εἰς εἴδη διαιρεῖται μήτε ὡς ὅλον εἰς μέρη; οὔτε γὰρ ἔστι τι κοινὸν τῶν δέκα κατηγοριῶν, ὁποῖον τὸ ὂν οἴονταί τινες ἢ τὸ τί, εἴπερ μὴ ἐπ' ἴσης πάντων κατηγορεῖται· γένους δὲ μὴ ὄντος οὐδὲ διαφορὰς εἶναι δυνατόν, καθ' ἃς τὸ γένος διαιρεθήσεται. ἀλλ' οὐδὲ ὅλως εἰς μέρη διαιρεῖται· οὐ γὰρ ἔστι τι κοινὸν σύγκριμα τὸ τὸν ὁρισμὸν τοῦτον ὑπομένον. καὶ ὅλως οὔτε ὡς ὁμοιομερῆ εἴη ἂν τινος μέρη ἀνόμοια ὄντα, οὔτε ὡς ἀνομοιομερῆ· εἴτε γὰρ τὸ ὄν τις τὸ ὅλον φησὶν εἴτε τὸ τί, ὁμοίως ἕκαστον ὂν καὶ τί λέγεται· καίτοι τοῖς ἀνομοιομερέσιν οὐχ ὑπάρχει τὸ τὰ μέρη καλεῖσθαι τῷ τοῦ ὅλου ὀνόματι. ἆρ' οὖν τοῖς ἐπὶ στρατιᾶς ἔοικεν ἡ διαίρεσις τοῖς κατὰ λόχους συντεταγμένοις, ὥστε ὥσπερ λόχου λοχαγόν, οὕτως τὴν μὲν οὐσίαν ἐξηγεῖσθαι τῶν οὐσιῶν;... ταῦτα μὲν ὁ Ἰάμβλιχος ἀξιοῖ. ὁ δὲ Ἑρμῖνος "ἀπαρίθμησις οὖν ἐστί" φησι, "καὶ οὔτε διαίρεσις οὔτε μερισμός· οὐδὲν γὰρ ὅλον ἐπ' αὐτῶν οὔτε ὡς γένος οὔτε ἄλλον τρόπον ὅλον." ἀλλὰ πρὸς μὲν τὰ τοῦ θείου Ἰαμβλίχου ἐκ τῶν αὐτοῦ ῥητέον ὅτι τὸ ἀφ' ἑνὸς οὐκ ἀπὸ τῆς οὐσίας ληπτέον (οὕτως γὰρ οὐ τῶν δέκα τὴν ἀπαρίθμησιν ἀλλὰ τὴν τῶν ἐννέα ποιησόμεθα), μᾶλλον δὲ ἀπὸ τοῦ ὄντος, ὅπερ ἐνταῦθα μὲν πολλαχῶς λεγόμενον εἰς τὰς δέκα κατηγορίας Ἀριστοτέλης διαιρεῖσθαι βούλεται, καὶ εἰκότως, ἐπειδὴ περὶ λέξεως σημαντικῆς ἐν τούτοις ὁ σκοπός, ἐν δὲ τῇ Μετὰ τὰ Φυσικὰ (Ε 2) ὡς ἀφ' ἑνὸς τοῦ ὄντος τὰ δέκα ἐν τάξει προάγεσθαί φησι, πρώτην ἐχούσης τάξιν τῆς οὐσίας καὶ περὶ αὐτὴν τῶν ἄλλων συντεταγμένων. ὁ δὲ Ἑρμῖνος ἀμφιβάλλοντι ἔοικεν εἰ τοσαῦτά ἐστι τὰ γένη. γράφει δὲ οὕτως· "διὸ εἰ μὲν μόνων τῶν λεχθησομένων εἰσὶν αἱ σημασίαι, τοσαῦτα ἂν εἴη τὰ πρῶτα γένη, τοσαῦται δὲ καὶ αἱ κατηγορίαι· εἰ δὲ καὶ ἄλλα παρ' αὐτά, οὐδὲ ὁ λόγος ἐκεῖνα διωθεῖται, καίτοι τοῦ Ἀριστοτέλους πανταχοῦ τῷ πλήθει τούτῳ χρωμένου τῶν γενῶν, καὶ οὔτε προστιθέντος οὔτε ἀφαιροῦντος, ἀλλ' ἐγκρίνοντος ἀεὶ τὴν εἰς δέκα διαίρεσιν, ὥσπερ καὶ εἰς τέσσαρα τὴν τούτων συναίρεσιν ἐποιήσατο." ἄλλοι δὲ πολλοὶ πρὸς αὐτὴν ἀμφισβήτησαν, αὐτόθεν κατηγοροῦντες τῆς εἰς τοσοῦτον πλῆθος διαιρέσεως, ὥσπερ Ἀθηνόδωρος ἐν τῷ πρὸς τὰς Ἀριστοτέλους μὲν Κατηγορίας ἐπιγεγραμμένῳ βιβλίῳ, μόνην δὲ τὴν εἰς τοσοῦτον πλῆθος διαίρεσιν ἐξετάζοντι, καὶ Κορνοῦτος δὲ ἐν οἷς πρὸς Ἀθηνόδωρον καὶ Ἀριστοτέλην ἐπέγραψε. καὶ οἱ περὶ τὸν Λούκιον δὲ καὶ τὸν Νικόστρατον, ὥσπερ πρὸς τὰ ἄλλα πάντα σχεδόν, οὕτω καὶ πρὸς τὴν διαίρεσιν ἀντειρήκασι... f. 6 b. ἄλλοι δὲ κατ' ἄλλον τρόπον αἰτιῶνται τὴν περιττότητα. οἱ γὰρ περὶ Ξενοκράτην καὶ Ἀνδρόνικον πάντα τῷ καθ' αὑτὸ καὶ τῷ πρός τι περιλαμβάνειν δοκοῦσιν, ὥστε περιττὸν εἶναι κατ' αὐτοὺς τοσοῦτον τῶν γενῶν πλῆθος. ἄλλοι δὲ εἰς οὐσίαν καὶ συμβεβηκὸς διατέμνουσι, καὶ οὗτοι δὲ ταὐτόν πως δοκοῦσι τοῖς προτέροις λέγειν τοῖς τὰ συμβεβηκότα πρός τι λέγουσιν ὡς ἄλλων ἀεὶ ὄντων, καὶ τὴν οὐσίαν καθ' αὑτό. ῥητέον οὖν κοινῇ πρὸς ἀμφότερα... f. 7. "ἀλλὰ διὰ τί" φασὶν οἱ περὶ τὸν Λούκιον "τοὺς συνδέσμους παρέλιπεν, εἰ λέξεις καὶ οὗτοι σημαντικαί; οὐ γὰρ δὴ ἄσημοι." ἢ ὅτι οὔτε προηγουμένη αὐτῶν ἐστὶν ἡ σημασία, ἀλλὰ συσσημαίνουσιν... ἐπιζητοῦσι δὲ καὶ τὰ ἄρθρα ποῦ ταχθήσεται. καὶ περὶ τούτων δὲ ὁ αὐτὸς λόγος· καὶ γὰρ ταῦτα οἷον σύνδεσμοί εἰσι τὰ γένη προσσημαίνοντες, τό τε ἄρρεν καὶ τὸ θῆλυ ἀορίστως· οὐ γὰρ τί ἐστι δηλοῦσι· διὸ καὶ ἀόριστα καλεῖται παρά τινων. ἀλλ' αἱ ἀποφάσεις καὶ αἱ στερήσεις αἵ τε διάφοροι τῶν ῥημάτων ἐγκλίσεις ἐν τίνι ταχθήσονται; ἢ πρὸς τοῦτο αὐτὸς Ἀριστοτέλης ἐν τοῖς ὑπομνήμασιν ἀπεκρίνατο· καὶ γὰρ ἐν τοῖς Μεθοδικοῖς καὶ ἐν τοῖς Ὑπομνήμασι καὶ ἐν ταῖς Διαιρέσεσι καὶ ἐν ἑτέρῳ ὑπομνήματι ὃ ἐπιγράφεται Παρὰ τὴν Λέξιν, ὅπερ εἰ καί τισιν οὐ δοκεῖ γνήσιον Ἀριστοτέλους, ἀλλά τινός ἐστι πάντως τῶν ἀπὸ σχολῆς, ἐν τούτοις προθεὶς τὰς κατηγορίας ἐπάγει "λέγω δὲ ταύτας σὺν ταῖς πτώσεσιν αὐτῶν ἤτοι ἐγκλίσεσι," ταῖς τε ἀποφάσεσι καὶ ταῖς στερήσεσι καὶ τοῖς ἀορίστοις συνέταξεν αὐτῶν τὴν διδασκαλίαν. ἔστι γοῦν τὸ ἀνυποδετεῖν τῆς αὐτῆς κατηγορίας ἧς καὶ τὸ ὑποδεδέσθαι· καθόλου γὰρ ἐν τούτοις ἔχουσαι τὸ εἶναι αἱ ἀποφάσεις καὶ

μετάστασιν, οἷον ἵνα βάθος μὲν λάβῃς οὕτω τὴν οὐσίαν καὶ τὸ σῶμα καὶ τὸ ἔμψυχον καὶ τὸ ζῷον καὶ οὕτως ἐφεξῆς· πλάτος δέ, ὅταν διέλῃς τὴν οὐσίαν εἰς σῶμα καὶ ἀσώματον. ὁ Ἀριστοτέλης οὖν κανόνα καὶ τοῦ πλάτους καὶ τοῦ βάθους ἡμῖν ἀποδίδωσι, νῦν μὲν τοῦ βάθους, ἐφεξῆς δὲ τοῦ πλάτους. ἔστι δ' ὁ κανὼν οὗτος· ὅταν πρῶτον δευτέρου καθ' ὑποκειμένου κατηγορῆται καὶ δεύτερον τρίτου καθ' ὑποκειμένου κατηγορῆται, τότε καὶ τὸ πρῶτον τοῦ τρίτου καθ' ὑποκειμένου κατηγορηθήσεται.

1 b 16. ΑΜΜΩΝ. f. 34 b. λημματιά τινα προσλαμβάνει χρήσιμα αὐτῷ ἐσόμενα πρὸς τὴν προκειμένην διδασκαλίαν· ἐπειδὴ γὰρ αἱ κατηγορίαι καὶ γενικώτατά εἰσι γένη καὶ ἐφ' ἑκάστης σειρά τις ἐκδέδοται τῶν ὑπαλλήλων γενῶν, κανόνα διακριτικὸν ἐνταῦθα ἡμῖν παραδίδωσιν ὁ φιλόσοφος τῶν τε πάντη ἑτερογενῶν καὶ ὑπαλλήλων καὶ φησιν ὅτι τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων πάντως ἕτεραι καὶ αἱ διαφοραὶ αἵ τε συστατικαὶ καὶ αἱ διαιρετικαί... καλῶς δὲ "τῷ εἴδει" προσέθηκε, τουτέστι τῷ πράγματι, ἵνα τὰς οὐσιώδεις λάβωμεν διαφοράς.

ΣΙΜΠΛ. γ' f. 3 b. ἐν τούτοις δέον εἰπεῖν τί γένος καὶ τί εἶδος καὶ τί διαφορὰ καὶ τίνα σχέσιν ἔχουσι πρὸς ἄλληλα εἴς τε ἑτερότητα καὶ κοινωνίαν. τὸ τοίνυν γένος λέγεται μὲν πολλαχῶς, ὡς καὶ ἐν τῇ εἰσαγωγῇ ἐδήλωσε καὶ ἐδίδαξεν ὁ Πορφύριος· τὸ δὲ νῦν παραληφθὲν γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον. εἶδος δὲ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον. διαφορὰ δὲ ἡ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖον εἶναι κατηγορουμένη... τῶν δὲ διαφορῶν αἱ μὲν γενῶν εἰσὶν αἱ δὲ εἰδῶν· τοῦ μὲν οὖν γένους αἱ μὲν συστατικαί, ὅσαι κατὰ παντὸς λέγονται, αἱ δὲ διαιρετικαί, ὅσαι διῃρημένως μὲν κατ' αὐτοῦ οὐ λέγονται, ὁμοῦ δὲ πᾶσαι. τοῦ δὲ εἴδους εἰσὶν αἱ εἰδοποιοὶ καὶ μόναι, ὧν ἑκάστη κατὰ τὸ ἀντιδιῃρημένον πρὸς ἕκαστον τῶν εἰδῶν ἀφορίζεται, ἀλλ' οὐχ ἅμα πᾶσαι. ὥσπερ δὲ εἴδη πλείονα πρὸς ἓν γένος, οὕτω καὶ πολλαὶ διαφοραὶ πρὸς ἓν εἶδος συντελοῦσιν. ὁ δὲ Ἑρμῖνος τὰς συμπληρωτικὰς οὐκ ἀξιοῖ διαφορὰς καλεῖν, ἀλλὰ μόνας τὰς διαιρετικάς. ἀλλὰ πῶς τὴν διαφορὰν κατὰ διαφερόντων τῷ εἴδει λέγομεν καὶ τὸ εἶδος κατὰ διαφερόντων τῷ ἀριθμῷ;... f. 4. ἕτερα δὲ γένη ἐστὶ καὶ εἴδη καὶ διαφοραὶ τὰ ταῖς κατηγορίαις διαφέροντα, ὥστε καθ' ἑκάστην κατηγορίαν καὶ γένη καὶ εἴδη εἶναι καὶ διαφοράς. καὶ ὑπάλληλα δὲ γένη ὧν τὸ ἕτερον ὑπὸ τὸ ἕτερόν ἐστιν, ὡς ὑπὸ τὸ ζῷον τὸ πτηνόν· οὐχ ὑπάλληλα δὲ ὧν μηδέτερόν ἐστιν ὑπὸ τὸ ἕτερον, ὡς ζῷον καὶ ἐπιστήμη... τῶν οὖν ἑτέρων καὶ μὴ ὑπ' ἄλληλα γενῶν ἑτέρας εἶναι διαφοράς φησι καὶ τὰς διαιρετικὰς καὶ τὰς συστατικάς.

ΦΙΛΟΠΟΝΟΥ. ἰστέον δὲ ὅτι διττὴ ἡ γραφή "τῶν ἑτερογενῶν" καὶ "τῶν ἑτέρων γενῶν," καὶ χρὴ εἰδέναι ὅτι τὸ ἑτερογενῶν ἐπίτασιν τῆς τῶν γενῶν ἑτερότητος παρίστησι, καὶ οὕτως μόνα βούλεται δηλοῦν τὰ ὑπὸ τὰς διαφόρους κατηγορίας ἤτοι αὐτὰ τὰ γένη· ὅπερ ἁπλοῦν τε καὶ βέβαιον· τὸ δὲ "ἑτέρων γενῶν" σοφὸν ὡς ἐν μεσότητι τοῦ δηλουμένου κείμενον καὶ ἄμφω τὰ γένη περιλαβεῖν δυνάμενον.

ΔΑΒΙΔ. μετὰ τὸν κανόνα τοῦ βάθους ἔρχεται καὶ ἐπὶ τὸν κανόνα τοῦ πλάτους. καὶ ἐπειδὴ τὸ πλάτος αἱ διαφοραὶ ποιοῦσι, διτταὶ αἱ διαφοραί, ἢ γὰρ συστατικαὶ ἢ διαιρετικαί, καὶ τὰ γένη διττά, τὰ μὲν ὑπ' ἄλληλα τὰ δὲ οὐχ ὑπ' ἄλληλα... ἐὰν γὰρ διέλω τὸ ζῷον εἰς χερσαῖον καὶ ἔνυδρον, εἶτα τὸ χερσαῖον εἰς ἔναιμον, οἷον ἄνθρωπον ἵππον, ἢ εἰς ἄναιμον, οἷον μέλιτταν ἀκρίδα, διέλω δὲ καὶ τὸ ἔνυδρον εἰς ἔναιμον, οἷον λάβρακα θύννον ὀρφὸν καὶ τὰ τοιαῦτα, ἢ εἰς ἄναιμα, οἷον σηπίαν τευθίδα κάραβον... δεῖ δὲ καὶ τοῦτο ἐπίστασθαι, ὥς φησιν Εὐστάθιος ὁ φιλόσοφος ὑπομνηματίσας τὰς Κατηγορίας, ὅτι ὅταν λέγῃ ὁ Ἀριστοτέλης "τῶν δέ γε ὑπ' ἄλληλα οὐδὲν κωλύει τὰς αὐτὰς εἶναι," ὅτι περὶ τῶν διαιρετικῶν λέγει, οὐ περὶ τῶν συστατικῶν· αἱ γὰρ συστατικαὶ μέρη εἰσίν, ὥσπερ τὸ ἔμψυχον καὶ τὸ αἰσθητικὸν τοῦ ζῴου· μέρη γὰρ ταῦτα ζῴου δοκεῖ εἶναι ὡς συμπληρωτικὰ αὐτοῦ, ἐάν τις ἀκριβῶς θεωρήσῃ· αἱ δὲ διαιρετικαὶ κυρίως διαφοραί εἰσιν ὡς διαφόρων εἰδῶν ποιητικαί.

ΣΙΜΠΛ. γ' f. 4 b. χρὴ δὲ καὶ τοῦτο εἰδέναι ὅτι "τῶν ἑτέρων γενῶν" ἀλλ' οὐ "τῶν ἑτερογενῶν" δεῖ ὑπαναγινώσκειν. Ἑρμῖνος δὲ ἑτέρας τῷ εἴδει βούλεται εἶναι τὰς διαφορὰς τῶν μὴ ὑπ' ἄλληλα γενῶν ἀλλ' ἑτέρων, διότι, φησίν, ἔστι τινὰ γένη οὐχ ὑπ' ἄλληλα μέν, ἄμφω δὲ ὑπὸ ἓν ἀναγόμενα... ὁ μέντοι Πορφύριος τῶν ἑτέρων γενῶν ἑτέρας τῷ εἴδει τὰς διαφορὰς εἰρῆσθαί φησι, διότι τῶν ὑπὸ τὰ ἕτερα γένη εἰδῶν ἕτεραί εἰσιν αἱ διαφοραί. ἕτερα γὰρ γένη ζῷον καὶ ἐπιστήμη· καὶ τοῦ μὲν ζῴου εἶδός ἐστιν ὁ ἄνθρωπος, τῆς δὲ ἐπιστήμης ἡ μουσική, καί εἰσιν ἕτεραι τούτων αἱ διαφοραί. ὥστε εἴη ἂν λέγων ὅτι τῶν ἑτέρων γενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων αἱ κατὰ τὰ εἴδη διαφοραὶ ἕτεραι. κάλλιον δὲ ἴσως τὰς εἰδοποιοὺς ἀκούειν, ὡς καὶ αὐτὸς ὁ Πορφύριος προϊὼν ἀξιοῖ. οἱ δὲ περὶ τὸν Νικόστρατον ματαιολογίαν ἐγκαλοῦσιν ἐν τούτοις.

ΣΙΜΠΛ. γ' f. 4 b. αἰτιῶνται δὲ καὶ ἐν τοῖς ὑπ' ἄλληλα γένε- 1 b 23.
σιν. "ὅσαι τοῦ κατηγορουμένου" φησί "διαφοραί, τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται." ὄντων γὰρ ὑπαλλήλων τοῦ ζῴου καὶ τοῦ λογικοῦ ζῴου, ἐπειδὴ τοῦ ζῴου διαφοραί εἰσι τό τε λογικὸν καὶ τὸ ἄλογον, πῶς οἷόν τε τοῦ λογικοῦ ζῴου τὸ μὲν εἶναι λογικόν τὸ δὲ ἄλογον; ἀλλ' ὁ μὲν Βοηθὸς ἐνδοὺς τῇ ἀπορίᾳ μεταγράφειν ἠξίου τὴν λέξιν οὕτως "ὥστε ὅσαι τοῦ ὑποκειμένου διαφοραί, τοσαῦται καὶ τοῦ κατηγορουμένου ἔσονται." αἱ γὰρ τοῦ μερικωτέρου διαφοραὶ καὶ τοῦ ὁλικωτέρου ἔσονται, ἅτε τὸ μερικώτερον τοῦ ὁλικωτέρου περιέχοντος, εἰ καὶ μὴ ὁμοίως καθόλου ἐπὶ τοῦ κατηγορουμένου ὡς ἐπὶ τοῦ ὑποκειμένου λέγονται· τὸ γὰρ λογικὸν ἀνθρώπου μὲν παντὸς κατηγορεῖται, ζῴου δὲ οὐκέτι παντός, ἀλλὰ τῶν ζῴων τὰ μέν ἐστι λογικὰ τὰ δὲ ἄλογα. εἰ δὲ μένει, φησίν, ἡ αὐτὴ γραφή, προσεκτέον τῷ "οὐδὲν κωλύει τὰς αὐτὰς εἶναι διαφοράς·" συμπίπτει γάρ ποτε τοῦτο· τὸ γὰρ θνητὸν καὶ τοῦ ζῴου διαφορά ἐστι καὶ τοῦ ἀνθρώπου. καὶ χάρις τῷ Βοηθῷ τὴν ἀρχὴν τῆς λύσεως ὑποδείξαντι. ἐπειδὴ γὰρ τοῦ ζῴου αἱ μέν εἰσι διαιρετικαὶ διαφοραί, ὡς τοῦ ζῴου τὸ μὲν λογικὸν τὸ δὲ ἄλογον καὶ θνητὸν καὶ ἀθάνατον, αἱ δὲ συστατικαί, ὡς τοῦ ζῴου τό τε αἰσθητικὸν καὶ τὸ ἀφ' ἑαυτοῦ κινητόν, αἱ μὲν διαιρετικαὶ τοῦ κατηγορουμένου διαφοραὶ οὐ πᾶσαι τῷ ὑποκειμένῳ ὑπάρχουσιν (οὐ γὰρ δὴ καὶ αἱ ἀντικείμεναι· εἰ γὰρ τὸ λογικὸν ὑπάρχει τῷ ἀνθρώπῳ, οὐ δήπου καὶ τὸ ἄλογον), αἱ μέντοι συστατικαὶ τοῦ κατηγορουμένου διαφοραὶ καὶ τῷ ὑποκειμένῳ πᾶσαι ὑπάρχουσι·

ποιότης· ἢ ἐν ἄλλῳ καὶ ἄλλῳ νῦν, ἐπειδὴ πάντα μεταξὺ τῶν δύο νῦν ἐστὶ χρόνος μέσος, ἐν ἐκείνῳ τῷ χρόνῳ ἔσονται χωρὶς ὑποκειμένου. ἐνῆν δὲ καὶ ἀπὸ ἑτέρων λύσαι ταῦτα, ὅτι οὐκ εἶπεν ὁ Ἀριστοτέλης ὃ δύναται χωρὶς εἶναι τοῦ ἐν ᾧ ἦν, ἀλλὰ τοῦ ἐν ᾧ ἐστίν, ὅπου δὲ ἂν ᾖ ἡ ποιότης, ἐν ὑποκειμένῳ ἐστίν.

ΣΙΜΠΛ. γ' f. 1 a. ἀποροῦσιν οἱ περὶ τὸν Λούκιον καὶ τοῦτο πρὸς τὸ μὴ ὡς μέρος λέγεσθαι τὸ ἐν ὑποκειμένῳ... ταύτην δὴ τὴν ἀπορίαν λύων ὁ Πορφύριος διττόν, φησίν, ἐστὶ τὸ ὑποκείμενον οὐ μόνον κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς ἀλλὰ κατὰ τοὺς πρεσβυτέρους. ἥ τε γὰρ ἄποιος ὕλη, ἣν δυνάμει καλεῖ ὁ Ἀριστοτέλης, πρῶτόν ἐστι τοῦ ὑποκειμένου σημαινόμενον, καὶ δεύτερον, ὃ κοινῶς ποιὸν ἢ ἰδίως ὑφίσταται. ὑποκείμενον γὰρ καὶ ὁ χαλκός ἐστι καὶ ὁ Σωκράτης τοῖς ἐπιγινομένοις ἢ κατηγορουμένοις κατ' αὐτῶν. πολλὰ οὖν, φησί, τῶν ἐγγινομένων ὡς μὲν πρὸς τὸ πρῶτον ὑποκείμενον ἐν ὑποκειμένῳ ἐστίν, οἷον πᾶν χρῶμα καὶ πᾶν σχῆμα καὶ πᾶσα ποιότης ἐν ὑποκειμένῳ ἐστὶ τῇ πρώτῃ ὕλῃ, οὐχ ὡς μέρη αὐτῆς ὄντα καὶ ἀδύνατα χωρὶς αὐτῆς εἶναι· ἐπὶ δὲ τοῦ δευτέρου ὑποκειμένου οὐ πᾶν χρῶμα οὐδὲ πᾶσα ποιότης ἐν ὑποκειμένῳ, ἀλλ' ὅτε μὴ συμπληρωτικαί εἰσι τῆς οὐσίας. τὸ γοῦν λευκὸν ἐπὶ μὲν τοῦ ἐρίου ἐν ὑποκειμένῳ, ἐπὶ δὲ τῆς χιόνος οὐκ ἐν ὑποκειμένῳ, ἀλλὰ συμπληροῖ τὴν οὐσίαν ὡς μέρος.

ΔΕΞ. ἔστι τὸ ὑποκείμενον διττὸν καὶ κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς καὶ κατὰ τοὺς πρεσβυτέρους, ἓν μὲν τὸ λεγόμενον πρῶτον ὑποκείμενον, ὡς ἡ ἄποιος ὕλη, ἣν δυνάμει σῶμα ὁ Ἀριστοτέλης φησίν, δεύτερον δὲ ὑποκείμενον τὸ ποιόν, ὃ κοινῶς ἢ ἰδίως ὑφίσταται· ὑποκείμενον γὰρ καὶ ὁ χαλκὸς καὶ ὁ Σωκράτης τοῖς ἐγγινομένοις ἢ κατηγορουμένοις κατ' αὐτῶν. τὸ γὰρ ὑποκείμενον κατὰ πρός τι λέγεσθαι ἐδόκει, τινὶ γὰρ ὑποκείμενον. ἤτοι δὲ ἁπλῶς τῶν γινομένων ἐν αὐτῷ καὶ κατηγορουμένων αὐτοῦ, ἢ ἰδίως· ἁπλῶς μὲν γὰρ ὑποκείμενον πᾶσι τοῖς γινομένοις καὶ κατηγορουμένοις ἡ πρώτη ὕλη, τισὶ δὲ ὑποκείμενον γιγνομένοις ἐπ' αὐτοῦ καὶ κατηγορουμένοις ὁ χαλκὸς καὶ ὁ Σωκράτης.

ΑΜΜΩΝ. f. 28. κακίζουσί τινες τὸν ὁρισμόν, οἱ μὲν ἐκ τοῦ πλεονάζειν, οἱ δὲ ἐκ τοῦ ἐλλείπειν.

1 a 25. ΑΜΜΩΝ. f. 31. πανταχοῦ τοῖς μὲν ἀπὸ τῆς φωνῆς, τουτέστι τῷ καθ' ὑποκειμένου καὶ οὐ καθ' ὑποκειμένου, τὸ λέγεται ἀποδίδωσι, τοῖς δὲ ἀπὸ τοῦ ὄντος, τουτέστι τῷ ἐν ὑποκειμένῳ καὶ οὐκ ἐν ὑποκειμένῳ, τὸ ἐστίν.

156. ΣΙΜΠΛ. γ' f. 2. λέγει οὖν ὅτι τὰ ἄτομα, ταῦτα δέ ἐστι τὰ μὴ τεμνόμενα διαφοραῖς καὶ διὰ τοῦτο μήτε γένει μήτε εἴδει ἓν ὄντα ἀλλὰ ἀριθμῷ μόνον, ὡς ἐν τῷ ἀριθμεῖσθαι τὸ ἓν ἔχοντα, ταῦτα οὖν κατ' οὐδενὸς ὑποκειμένου λέγεται· οὐ γὰρ ἔχει τι μερικώτερον ἑαυτῶν, οὗ κατηγορηθήσεται ὡς καθ' ὑποκειμένου.

ΔΕΞ. λοιπὸν τοίνυν ἐστὶν ἀκριβῶς διελέσθαι τί ποτέ ἐστι τὸ ἄτομον καὶ ἓν ἀριθμῷ. ἄτομον μὲν οὖν λέγεται οὐχ ὡς τὸ ἀδιαίρετον καὶ ἀμέριστον, ἀλλ' ὡς τὸ μὴ δεχόμενον τομὴν γένους εἰς εἴδη μηδὲ εἴδους εἰς τὰ καθ' ἓν ἀριθμῷ διωρισμένα· ἓν δὲ ἕκαστον τῶν αἰσθητῶν λέγεται οὐ κατὰ μίαν δύναμιν, ἀλλ' ὅτι πάντα εἰς μίαν νεύει οὐσίαν. ἐπεὶ δὲ πολλαχῶς τὸ ἓν λέγεται καὶ γένει καὶ εἴδει καὶ κατ' ἄλλους τρόπους, πλείονα ἀφορίζει νῦν ἕν, τὸ κατ' ἀριθμὸν λαμβάνων οὐ μόνον ᾧ ἀριθμοῦμεν, ὡς συκοφαντοῦσί τινες, ἀλλὰ καὶ τὸ ἀριθμούμενον.

ΑΜΜΩΝ. f. 31 b. τὸ δὲ ἁπλῶς λέγεται τριχῶς· ἢ τὸ καθόλου, ὡς λέγομεν "ἁπλῶς πᾶς ἄνθρωπος" ἀντὶ τοῦ καθόλου· ἢ τὸ μοναχῶς, ὡς τὸ "ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ" ἀντὶ τοῦ οὐ ποικίλος· ἢ τὸ κυρίως, ὡς ὅταν λέγωμεν "ἁπλῶς ἀρετή" ἀντὶ τοῦ κυρίως ἀρετή. καὶ τὸ ἓν δὲ λέγεται τριχῶς, καὶ ὅλως ἡ ταυτότης καὶ ἡ ἑτερότης.

1 b 10. ΣΙΜΠΛ. γ' f. 2 b. εἰπὼν τί οὐκ ἔστι καθ' ὑποκειμένου, νῦν τί ἐστι λέγει, ὅτι τὸ συνωνύμως καὶ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι, τοῦτό ἐστι τὸ καθ' ὑποκειμένου λέγεσθαι. τοῦτο δέ ἐστιν, ὅταν τὸν λόγον τὸν ὁριστικὸν ἀποδιδόντες τοῦ ὑποκειμένου διὰ τοῦ κατηγορουμένου ἀποδιδῶμεν.

1 b 11. f. 3. τινὲς δὲ αὐτὸ τοῦτο αἰτιῶνται τὸ ἕτερον εἰρῆσθαι τὸ καθ' ὑποκειμένου κατηγορούμενον τοῦ οὗ κατηγορεῖται· κατὰ γὰρ τοῦ ἀνθρώπου κατηγορεῖται τὸ ζῷον ὡς ζῴου, καὶ τὸ χρῶμα τοῦ λευκοῦ ὡς χρώματος. καί φησιν ὁ Πορφύριος ὅτι διττὴ ἡ ἐπίνοια τοῦ ζῴου, ἡ μὲν τοῦ κατατεταγμένου, ἡ δὲ τοῦ ἀκατατάκτου. κατηγορεῖται οὖν τὸ ἀκατάτακτον τοῦ κατατεταγμένου, καὶ ταύτῃ ἕτερόν ἐστιν. ὁ μέντοι Ἰάμβλιχος "οὐ τὰ γένη" φησὶ "τῶν ὑποκειμένων κατηγορεῖται, ἀλλ' ἕτερα διὰ ταῦτα· ὅταν γὰρ λέγωμεν Σωκράτην ἄνθρωπον εἶναι, οὐ τὸν γενικὸν αὐτόν φαμεν ἄνθρωπον εἶναι, ἀλλὰ μετέχειν τοῦ γενικοῦ."... f. 3 b. ἰστέον δὲ ὅτι καὶ Ἀνδρόνικος καὶ ἄλλοι τινὲς οὐ μόνον τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα καθ' ὑποκειμένου κατηγορεῖσθαί φασιν, ἀλλὰ καὶ ἄλλα, οἷον τὸ μουσικὸν κατὰ Ἀριστοξένου καὶ τὸ Ἀθηναῖος κατὰ Σωκράτους, καὶ ἴσως ἐκεῖνα ὅσα κατηγοροῦντές τινος ἐκεῖνο εἶναι λέγομεν αὐτὸ ὅπερ κατηγοροῦμεν· βαδίζειν μὲν γὰρ λέγοντες τὸν Σωκράτην οὐ λέγομεν βαδίζειν εἶναι τὸν Σωκράτην, Ἀθηναῖον δὲ εἶναι λέγομεν καὶ φιλόσοφον. καὶ ὅσα δὴ τούτων κατηγορεῖται, λεγόντων ἡμῶν ταῦτα ἐκεῖνα εἶναι, καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται.

1 b 12. ΔΕΞ. πῶς ἀπαντήσωμεν τοῖς ἐριστικοῖς, οἳ τὰ μὴ ὑπάρχοντα τῶν κατηγορουμένων λαμβάνοντες ὡς λεγόμενα κατ' αὐτοῦ, ποιοῦσι πρὸς τῷ ὑποκειμένῳ τὸν τῆς ἀποφάσεως συλλογισμόν; οἷον ὁ ἄνθρωπος τοῦ Σωκράτους καθ' ὑποκειμένου κατηγορεῖται, κατὰ δὲ τοῦ ἀνθρώπου λέγεται τὸ μὴ εἶναι Σωκράτην, οὐκοῦν καὶ κατὰ Σωκράτους ῥηθείη ἂν τὸ μὴ εἶναι Σωκράτην. πάλιν γὰρ καὶ πρὸς τούτους ὑπολογιζόμεθα οὐχ ὡς οἱ Στωϊκοὶ λέγουσι τὴν τῶν ἀποφάσεων ὑπεξαίρεσιν, ἀλλ' ὡς Ἀριστοτέλης διδάσκει τὴν τῶν κατ' οὐσίαν ὑπαρχόντων λῆψιν, ἣν ἐκεῖνοι οὐ παραστωσάμενοι παραλογίζονται, τὰ μὴ ὑπάρχοντα ὡς κατ' οὐσίαν προσλαμβάνοντες.

1 b 10. ΑΜΜΩΝ. f. 32 b. τί δὲ αὐτῷ βούλεται τὸ "ὡς καθ' ὑποκειμένου;" ἀντὶ τοῦ οὐσιωδῶς καὶ πραγματικῶς. εἰ γάρ τι κατὰ τοῦ κατηγορουμένου κατὰ συμβεβηκὸς κατηγορεῖται, οὐκ ἀνάγκη τοῦτο καὶ κατὰ τοῦ ὑποκειμένου λέγεσθαι· οἷον τοῦ Ἀγαμέμνονος πραγματικῶς κατηγορεῖται καὶ ὡς καθ' ὑποκειμένου ὁ ἄνθρωπος, τοῦ δὲ ἀνθρώπου οὐσιωδῶς μὲν κατηγορεῖται τὸ ζῷον κατὰ συμβεβηκὸς δὲ τὸ τρισύλλαβον· διὰ τοῦτο τὸ μὲν ζῷον κατηγορεῖται κατὰ Ἀγαμέμνονος, οὐκέτι δὲ καὶ τὸ τρισύλλαβον.

f. 33. αἱ κατηγορίαι καὶ πλάτος ἔχουσι καὶ βάθος, βάθος μὲν τὴν εἰς τὰ μερικώτερα αὐτῶν πρόοδον, πλάτος δὲ τὴν εἰς τὰ πλάγια

δοις, ὡς καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῷ περὶ Ψυχῆς (3 6) διδάσκει· ἀλλὰ καὶ ἡ διάνοια διὰ τοῦ λόγου σημαίνεται. οἰκειότερον οὖν λεγόμενα τὰς λέξεις λέγειν τὰς σημαντικὰς καθὸ σημαντικάς.

1 a 17. ΠΟΡΦΥΡ. f. 11. τὸ κατὰ συμπλοκὴν λέγεται διχῶς· τὰ μὲν γὰρ κατὰ συμπλοκὴν ὅσα συμπλεκτικῷ ἐμπεριέχεται συνδέσμῳ, οἷον "Σωκράτης καὶ Πλάτων·" τὰ δὲ κατὰ συμπλοκὴν λέγεται ὅσα ὁμοῦ προφέρεται πράγματα διὰ τὸ ἕτερον συμβεβηκέναι τῷ ἑτέρῳ, οἷον "Σωκράτης περιπατεῖ."

ΔΕΞ. φαμὲν δὴ ὅτι μόνην συμπλοκὴν τὴν μετὰ συμπλεκτικοῦ συνδέσμου προφορὰν λέγοντες τοῖς Στωϊκοῖς ἐπακολουθοῦσιν, ὧν ἀρχαιότερος ὁ Ἀριστοτέλης καὶ τῇ τῶν πρεσβυτέρων συνηθείᾳ χρώμενος, οἵτινες τὴν τῶν πλειόνων μερῶν τοῦ λόγου σύνθεσιν συμπλοκὴν ὠνόμαζον. τὸ δὲ λέγειν ὅτι μετὰ συμπλοκῆς ὁ ἄνθρωπος ἢ ὁ βοῦς, διότι σύνθεσις ἐπ' αὐτῶν ἐστὶ συλλαβῶν καὶ στοιχείων, καὶ αὐτὸ οὐ καλῶς λέγεται· οὐ γὰρ τὴν τῶν στοιχείων σύνθεσιν ἀλλὰ τὴν τῶν μερῶν τοῦ λόγου οἱ παλαιοὶ συμπλοκὴν ὀνομάζουσι.

1 a 20. ΣΙΜΠΛ. β' f. 7 b. τισὶν ἔδοξε τοῦτο τοῖς προειρημένοις μὴ ἀκολουθεῖν· διὸ καὶ ὑπομνηματικὸν ἔδοξε τὸ σύγγραμμα. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐπειδὴ περὶ τῶν ἁπλῶν καὶ γενικῶν λέξεων ἦν ὁ σκοπὸς τῶν τὰ ἁπλᾶ καὶ γενικὰ πράγματα σημαινουσῶν, πρὸ τοῦ τὴν εἰς τὰ πλεῖστα διαίρεσιν αὐτῶν ποιήσασθαι, φημὶ δὴ τὴν εἰς δέκα, ὧν οὐκ ἦν πλείονα εὑρεῖν, τὴν εἰς τὰ ἐλάχιστα προλαβεῖν ἐδοκίμασεν, ὧν οὐκ ἦν εἰς ἐλάττονα συστεῖλαι. καὶ γὰρ ἐπιστημονικὸν ἦν τοῦτο, καὶ ἡ δεκὰς ἐν τῇ τετράδι περιέχεται· τὰ γὰρ ἓν δύο τρία τέσσαρα συνθέντες τὸν δέκα ποιοῦμεν. καὶ τὴν τετράδα πάλιν εἰς δυάδα συνεῖλε. τὰ δὲ τέσσαρα ταῦτά ἐστιν οὐσία καὶ συμβεβηκὸς καὶ τὸ καθόλου καὶ τὸ κατὰ μέρος. τὰ γὰρ ὄντα διαιρεῖται διχῶς, εἴς τε τὰ καθ' αὑτὰ εἶναι δυνάμενα καὶ μηδενὸς ἑτέρου δεόμενα πρὸς ὑπόστασιν, ἅπερ καὶ οὐσία καλοῦνται διὰ τὸ ἐξαρκεῖν ἑαυτοῖς πρὸς τὸ εἶναι, καὶ εἰς τὰ ἐν ἑτέροις ὑφεστῶτα, ἅπερ καὶ συμβεβηκότα λέγεται διὰ τὸ ἐν ἑτέροις συμβεβηκέναι. καὶ ἔχομεν εἰς δύο τῶν δέκα κατηγοριῶν τὴν διαίρεσιν· αἱ γὰρ ἐννέα συναιροῦνται ἐν τῷ συμβεβηκότι, καὶ οὐσία πρώτη τῶν ἄλλων ἀπηρίθμηται. καὶ τούτων δὲ ἑκάτερον ἢ εἰς πλείονα τὰ ὑφ' ἑαυτὸ τοῦτο δίδωσιν ἑαυτό, ἢ εἰς ἓν μόνον. καὶ διὰ τοῦτο ἄλλη γίνεται συζυγία, καὶ αὐτὴ λογική, τοῦ καθόλου καὶ τοῦ κατὰ μέρος· ὧν συμπλεκομένων ἀλλήλοις ἓξ μὲν αἱ πᾶσαι γίνονται συμπλοκαί, δυεῖν δὲ ἐν αὐταῖς ἀσυστάτων οὐσῶν, τῶν τὰ ἀντιφάσκοντα συναγουσῶν, τῆς τε ἐν ὑποκειμένῳ καὶ οὐκ ἐν ὑποκειμένῳ καὶ τῆς καθ' ὑποκειμένου καὶ οὐ καθ' ὑποκειμένου, τὰς λοιπὰς τέσσαρας ὁ Ἀριστοτέλης ἐκτίθεται· ἢ γὰρ καθόλου οὐσία ἐστίν, ἢ συμβεβηκὸς μερικόν, ἢ καθόλου συμβεβηκός, ἢ μερικὴ οὐσία. ἀλλ' ἐπειδὴ ὁ Ἀριστοτέλης δι' ὀνομάτων ἀσυνηθεστέρων τὰ εἰρημένα ἐδήλωσε, δεῖ ταῦτα μεταλαβεῖν εἰς τὰ ὑπὸ τοῦ φιλοσόφου λεγόμενα. τὸ μὲν οὖν συμβεβηκὸς ἐν ὑποκειμένῳ ἐκάλεσε, διότι μὴ ὂν αὐτοκρατὲς ἑτέρου δεῖται πρὸς τὸ ἐν αὐτῷ εἶναι, τὴν δὲ οὐσίαν κατὰ τὴν τοῦ συμβεβηκότος ἀπόφασιν... f. 8. τί δήποτε δὲ μὴ κατὰ τὸ σύνηθες ἐχρήσατο τοῖς σημαινομένοις, καθόλου οὐσίαν λέγων καὶ μερικὸν συμβεβηκὸς καὶ τὰ λοιπά; ἢ ὅτι δι' ἐμφαντικωτέρων ὀνομάτων ὑπογραφὴν ἑκάστου παραδέδωκε;

ΑΜΜΩΝ. f. 25. διὰ τί τὴν οὐσίαν ἐκάλεσεν οὐκ ἐν ὑποκειμένῳ καὶ μὴ ὑποκείμενον, εἴγε ὑπόκειται τοῖς συμβεβηκόσι πρὸς ὕπαρξιν; 1 a 21.

ΣΙΜΠΛ. β' f. 8. αὐτὸς θεὶς τὸ ὄνομα τοῦ ἐν ὑποκειμένῳ εἰκότως τὸ λέγω προσέθηκε. καὶ γένος μὲν τοῦ ἐν ὑποκειμένῳ τὸ ἔν τινι παρέλαβε, τὰς δὲ ἐφεξῆς διαφορὰς τῶν ἔν τινι τῶν λοιπῶν χωρίζουσας. πολλαχῶς γὰρ λέγεται τὸ ἔν τινι, καὶ τό γε ἐλάχιστον ἑνδεκαχῶς... f. 8 b. ἰστέον δὲ ὅτι ἐν τῷ τετάρτῳ τῆς Φυσικῆς Ἀκροάσεως (c. 3) τὸ ἔν τινι εἰς ὀκτὼ διεῖλεν ὁ Ἀριστοτέλης, τοῦ μὲν ἐν χρόνῳ μηδὲ μνησθεὶς ὅλως, ἴσως μὲν διὰ τὸ μήπω τι περὶ τοῦ χρόνου εἰπεῖν, τὸ δὲ ἐν ὑποκειμένῳ συνάψας τῷ ἐν ὕλῃ. καὶ τὸ ἀγγεῖον δὲ καὶ τὸν τόπον συνῆψε διὰ τὸ μήπω τότε τὴν διαφορὰν εἰρηκέναι. 1 a 24

ΠΟΡΦΥΡ. f. 15 b. πόσα οὖν σημαινόμενα τοῦ ἔν τινι κατηρίθμησας; — ἐννέα. — τίνα ταῦτα; — τὸ ὡς ἐν τόπῳ, τὸ ὡς ἐν ἀγγείῳ, τὸ ὡς ἐν ὅλῳ, τὸ μέρος καὶ τὸ ὡς ἐν τοῖς μέρεσιν, τὸ ὅλον καὶ τὸ ὡς ἐν τῷ γένει, τὸ εἶδος καὶ τὸ ὡς ἐν τῷ εἴδει, τὸ γένος καὶ τὸ ὡς ἐν τέλει, καὶ τὸ ὡς ἐν τῷ κρατοῦντι καὶ τὸ ὡς ἐν τῇ ὕλῃ, τὸ εἶδος.

ΔΑΒΙΔ. ταῦτα τὰ ἕνδεκα σημαινόμενα τοῦ ἔν τινι ὑπὸ τὴν πού κατηγορίαν ἀνάγει ὁ Ἀριστοτέλης... ἀποροῦσι δέ τινες τρεῖς ἀπορίας... εἶτά φασιν ὅτι δύναται χωρὶς ὑποστῆναι συμβεβηκός· ἰδοὺ γὰρ ἡ εὐωδία τοῦ μήλου συμβεβηκὸς οὖσα, καταλείψασα τὸ μῆλον μένει ἐν τῷ αἰσθητηρίῳ ἢ τῷ κιβωτίῳ. λύουσι τοῦτο διάφοροι, ὁ μὲν Πλάτων ὅτι οὐκ ἐχωρίσθη τοῦ ὑποκειμένου· μετά τινων γὰρ λεπτῶν ἀπορροιῶν χωρεῖ πρὸς ἡμᾶς, ὡς δηλοῖ ἡ κατὰ μέρος αὐτοῦ ἴσχνανσις· ἐν γὰρ τῷ δένδρῳ οὐκ ἰσχναίνεται διὰ τὸ πλείονα εἶναι τὴν εἰσροὴν τῆς ἐκροῆς. ὁ δὲ Ἀριστοτέλης τὸ διακονικὸν αἰτιᾶται τοῦ ἀέρος, ὅτι ᾧ λόγῳ ἐστὶ διορατὸς καὶ διηχής, τούτῳ καὶ δίοσμος. ὁ δὲ Πλωτῖνος τὰ Ἀριστοτέλους καὶ Πλάτωνος συναγαγών φησιν ὅτι μεταβάλλεται μέρος τοῦ ἀέρος ἐν τῇ εὐωδίᾳ· ἡ γὰρ εὐωδία μείνασα ἐν τῷ μήλῳ γεννᾷ ὁμοίαν ἑαυτῇ ἑτέραν ποιότητα μεταβάλλουσαν μέρος τοῦ ἀέρος, ἧς αἰσθανόμεθα. οὐδεμία δὲ τῶν δοξῶν τούτων κατ' αὐτὴν ἀληθής, οὐδὲ ἡ Πλάτωνος ἡ λέγουσα ἀπορροίας· ἡ γὰρ ἀπόρροια σῶμα, παντὸς δὲ σώματος μία ἡ κατὰ φύσιν κίνησις· ἢ γὰρ κοῦφον καὶ ἐπὶ τὰ ἄνω ῥέπει, ἢ βαρὺ καὶ κάτω· τῆς δὲ εὐωδίας τοῦ μήλου πάντες ὁμοτίμως αἰσθανόμεθα κατὰ κύκλον. δῆλον ὅτι οὐκ ἀρκεῖ ἀπορροίας εἰπεῖν μόνον. οὐδὲ ἡ Ἀριστοτέλους μόνη ἀληθής· ἰδοὺ γὰρ οἱ χοῖροι πλείονα ὀρύττουσι τὸν βόρβορον ἐπὶ τὸ πλέον αἰσθάνεσθαι τῶν ἀπορροιῶν, καὶ δυσώδεις δὲ τόπους παριόντες ῥάκει φράξαντες τὰς ῥῖνας, καίπερ ἀναπνέοντες, τῆς δυσωδίας οὐκ αἰσθανόμεθα, ἅτε διυλισθεισῶν τῶν ἀπορροιῶν καὶ καθαροῦ τοῦ ἀέρος χωροῦντος πρὸς ἡμᾶς. οὐδὲ τὸ τοῦ Πλωτίνου μόνον ἀληθὲς τὸ ποιοῦσθαι ὅλον τὸν ἀέρα· πλασματῶδες γὰρ τὸ λέγειν ὅλον τὸν ἐν μέσῳ ἀέρα ποιοῦσθαι ἐπὶ τῶν γυπῶν τῶν αἰσθανομένων ἐν ἄλλαις πόλεσιν ἀτάφων σωμάτων. αἱ τρεῖς οὖν ἅμα ἀληθεῖς εἰσίν· ἀλλ' ἐπὶ μὲν τῶν φαύλων ὀσμῶν χρεία καὶ ἀπορροιῶν, ἐπὶ δὲ τῶν ἀκριβῶς ὀσμωμένων ἀρκεῖ καὶ τὸ δίοσμον τοῦ ἀέρος, ἐπὶ δὲ τῶν μέσως ἀρκεῖ καὶ ἡ μεταβολὴ τοῦ ἀέρος. κατ' οὐδεμίαν δὲ τῶν δοξῶν αἱ ποιότητες ἀπὸ τοῦ ὑποκειμένου εἰς ὑποκείμενον μεταβαίνουσιν· ἢ γὰρ ἐν τῷ αὐτῷ νῦν εἰσί, κἂν τῷ ἐν ᾧ εἰσὶ κἂν τῷ ἐξ οὗ, καὶ διασπασθήσεται αὐτὴ ἑαυτῆς ἡ

1a7. ΠΟΡΦ. ἄν τε προστεθῇ ὁ κατ᾽ ὄνομα λόγος τῆς οὐσίας, ἄν τε μὴ προστεθῇ, ἀλλὰ μόνον λέγηται "ὁ δὲ λόγος ὁ αὐτός," δῆλον ὅτι προσυπακουσόμεθα καὶ τὸ κατὰ τοὔνομα δεῖν ἀποδίδοσθαι τὸν λόγον, καὶ ὅτι λόγον τὸν τῆς οὐσίας χρὴ ἐξακούειν· οὗτος γάρ ἐστιν ὁ ὁριστικός.

ΣΙΜΠΛ. β′ f. 4. ἐπιστῆσαι ἄξιον ὅτι τετραχῶς τὸ αὐτὸ ὁμώνυμόν τε καὶ συνώνυμον λέγεται.

4 b. οἰκειοτέρως δὲ ὁ Ἀριστοτέλης συνώνυμα κέκληκε τὰ σὺν τῷ ὀνόματι καὶ τὸν ὁρισμὸν ἔχοντα τὸν αὐτόν, ἤπερ οἱ Στωϊκοὶ τὰ πολλὰ ἅμα ἔχοντα ὀνόματα, ὡς Πάρις καὶ Ἀλέξανδρος ὁ αὐτός, καὶ ἁπλῶς τὰ πολυώνυμα λεγόμενα· τούτοις γὰρ ἡ σύν πρόθεσις οὐχ ἁρμόττει τοῦ αὐτοῦ κοινωνίαν σημαίνουσα, ὡς τὸ συμπεριπατεῖν καὶ συστρατεύεσθαι. ἀπεῖδον δὲ ἴσως εἰς τὸ τοῦ αὐτοῦ ὀνόματα εἶναι· καὶ γὰρ καὶ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ Ποιητικῆς συνώνυμα εἶπεν εἶναι ὧν πλείω μὲν τὰ ὀνόματα λόγος δὲ ὁ αὐτός, οἷα δή ἐστι τὰ πολυώνυμα, τό τε λώπιον καὶ ἱμάτιον καὶ τὸ φᾶρος. ἀλλ᾽ οὐδὲν ἄτοπον, φησὶν ὁ Πορφύριος, τῆς χρήσεως τὸ διττὸν ἐχούσης χρήσασθαι τὸν Ἀριστοτέλη ἑκατέρῳ, ἐπειδὴ καὶ ἔχει τινὰ λόγον ἑκάτερον. καὶ γὰρ τὰ πλείω ὀνόματα πρὸς ἓν φερόμενα, ὡς ὁ κίων καὶ ὁ στῦλος, τὸν αὐτὸν ἔχοντα λόγον συνώνυμα ἂν κληθείη. καὶ μέντοι ὅπου ὁ λόγος ὁ αὐτὸς καὶ τὸ ὄνομα συνονομάζεται, ἔτι κυριώτερον ἂν κληθείη συνώνυμα, ὥστε τὸ μέν ἐστι συνώνυμον, ἐπεὶ πολλὰ ὀνόματα ἕν τι πρᾶγμα συνονομάζει, τὸ δέ, ἐπεὶ καὶ τὸν λόγον συνονομάζει καὶ τοὔνομα. καὶ διὰ τοῦτο ὅπου μὲν περὶ γενῶν ἤτοι τῶν τὰ γένη σημαινουσῶν φωνῶν ἡ σπουδή, χρεία τοῦ δευτέρου σημαινομένου, διότι τὰ γένη κατὰ τοῦτο τὸ σημαινόμενον συνωνύμως τῶν εἰδῶν κατηγορεῖται· ἔνθα δὲ περὶ τὰς πλείους φωνὰς ἡ σπουδὴ καὶ τὴν πολυειδῆ ἑκάστου ὀνομασίαν, ὥσπερ ἐν τῷ περὶ Ποιητικῆς καὶ τῷ τρίτῳ περὶ Ῥητορικῆς (c. 2), τοῦ ἑτέρου συνωνύμου δεόμεθα, ὅπερ πολυώνυμον ὁ Σπεύσιππος ἐκάλει. καὶ οὐ καλῶς ὁ Βοηθὸς παραλελεῖφθαι τῷ Ἀριστοτέλει φησὶ τὰ παρὰ τοῖς νεωτέροις καλούμενα συνώνυμα καὶ τὰ τοιαῦτα πολυώνυμα συνώνυμα καλούμενα, ἅπερ Σπεύσιππος ἐκάλει πολυώνυμα. οὐ γὰρ παραλέλειπται, ἀλλ᾽ ἐν ἄλλαις πραγματείαις, ἐν αἷς ἦν οἰκεῖος ὁ λόγος, παρείληπται.

1a12 f. 5. τριῶν δὲ δεῖν τῷ ἀπό τινος παρονομαζομένῳ φασί, τοῦ τε πράγματος τοῦ ἀφ᾽ οὗ παρωνόμασται, καὶ τοῦ ὀνόματος, καὶ ἔτι μέντοι τοῦ ἀνομοίου τῆς καταλήξεως, ὅπερ καλεῖ πτῶσιν ὁ Ἀριστοτέλης. πτώσεις γὰρ τῶν ὀνομάτων ἐκάλουν οἱ παλαιοὶ οὐ μόνον τὰς πέντε ταύτας τὰς νῦν λεγομένας, ἀλλὰ καὶ τὰς παρακειμένας ἐγκλίσεις, ὁποίους ἂν ἔχωσι σχηματισμούς· ὅθεν καὶ τὰς νῦν καλουμένας μεσότητας πτώσεις ἐκάλουν, οἷον τὴν ἀπὸ τοῦ ἀνδρείου πτῶσιν τὴν ἀνδρείως καὶ ἀπὸ τοῦ καλοῦ τὴν καλῶς. οὕτω δὲ καὶ ἀρρενική τις ἦν αὐτοῖς πτῶσις ἀπὸ ὀνόματος θηλυκοῦ, ὡς ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικός, καὶ θηλυκὴ ἀπὸ ἀρρενικοῦ, ὡς ἀπὸ τοῦ Ἀλεξάνδρου ἡ Ἀλεξάνδρεια. πτώσεις δὲ καὶ ταύτας ἔλεγον διὰ τὸ ταὐτὸν πεπονθέναι ταῖς κυρίως πτώσεσι κατὰ τὸν μετασχηματισμὸν τῆς καταλήξεως... ὁ Ἀριστοτέλης τὴν διαφορὰν τῆς πτώσεως καὶ τὴν κατὰ τοὔνομα προσηγορίαν, τὰ δύο ταῦτα μόνα δοκεῖ τοῖς παρωνύμοις ἀποδιδόναι. ἀλλ᾽ ἐκ τῶν παραδειγμάτων δήλην ἐποίησε καὶ τὴν κατὰ τὸ πρᾶγμα μέθεξιν ἐν τοῖς παρωνύμοις· ὁ γὰρ γραμματικὸς οὐκ ὀνόματος μόνου μετέχει τῆς γραμματικῆς ἀλλὰ καὶ αὐτῆς τῆς τέχνης, καὶ ὁ ἀνδρεῖος τῆς ἀρετῆς. δεῖ δὲ ἐπὶ τῶν παρωνύμων ζητεῖν τί τὸ πρῶτον καὶ τί τὸ ἀπ᾽ ἐκείνου παρωνομασμένον... f. 5 b. τῶν δὲ παρωνύμων ἂν εἴη, φησὶν ὁ Πορφύριος, καὶ τὰ πατρωνυμικὰ καὶ τὰ συγκριτικὰ καὶ τὰ ὑπερθετικὰ καὶ τὰ ὑποκοριστικά. τὸ δὲ πασσαλόφι καὶ τὸ ἧφι καὶ τὸ βίηφι, ἅπερ παράγωγά τινες ἐκάλεσαν, οὐκ ἂν εἴη παρώνυμα· δεῖ γὰρ μὴ τὸ αὐτὸ ἀπαραλλάκτως σημαίνειν τὰ παρώνυμα, ταῦτα δὲ οὐδὲν παρηλλαγμένον σημαίνει τοῦ ἧ, τουτέστι τῇ ἑαυτοῦ, καὶ τοῦ βίῃ καὶ τοῦ πασσάλου.

1a15 εἰρηκὼς τοίνυν ὁ Ἀριστοτέλης περὶ ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων, παρῆκε τά τε ἑτερώνυμα καὶ τὰ πολυώνυμα, τὰ μὲν πολυώνυμα, διότι οὐ παρίστησι τὰ πράγματα, μόνον δὲ τὰς λέξεις πληθύνει, τὰ δὲ ἑτερώνυμα, διότι οὐ τὰς κατὰ ἀριθμὸν ἀπείρους ἀλλὰ τὰς κατὰ γένος σημαινούσας τι λέξεις διαιρεῖται τὰ νῦν. καὶ μέντοι ἄμφω ταῦτα παρῆκεν, ὡς εἴρηται, διότι καὶ ῥητορικῆς μᾶλλον καὶ ποιητικῆς ἐστὶ περιεργίας, ἀλλ᾽ οὐ φιλοσόφου θεωρίας, ὡς εἴρηται. πλὴν καλῶς ἔχει κἀκεῖνα τοῖς παραληφθεῖσιν εἰς μίαν διαίρεσιν συμπεριλαβεῖν. Σπεύσιππον τοίνυν ἱστορεῖ Βοηθὸς τοιαύτην διαίρεσιν παραλαμβάνειν τὰ ὀνόματα πάντα περιλαμβάνουσαν. τῶν γὰρ ὀνομάτων, φησί, τὰ μὲν ταὐτώνυμά ἐστι τὰ δὲ ἑτερώνυμα, καὶ τῶν ταὐτωνύμων τὰ μὲν ὁμώνυμά ἐστι τὰ δὲ συνώνυμα, κατὰ τὴν τῶν παλαιῶν συνήθειαν ἀκουόντων ἡμῶν τὰ συνώνυμα· τῶν δὲ ἑτερωνύμων πάλιν τὰ μέν ἐστιν ἰδίως ἑτερώνυμα τὰ δὲ πολυώνυμα τὰ δὲ παρώνυμα. ἀλλὰ περὶ μὲν τῶν ἄλλων ἀποδέδοται, πολυώνυμα δέ ἐστι τὰ διάφορα καὶ πολλὰ λεγόμενα ὀνόματα καθ᾽ ἑνὸς πράγματος, ὅταν εἷς καὶ ὁ αὐτὸς αὐτῶν ᾖ λόγος, ὥσπερ ἄορ ξίφος φάσγανον μάχαιρα· ἑτερώνυμα δέ ἐστι τὰ καὶ τοῖς ὀνόμασι καὶ τοῖς πράγμασι καὶ τοῖς λόγοις ἕτερα.

f. 6. διὰ τί δὲ ὁ Ἀρχύτας παραλέλοιπε ταύτην τὴν περὶ τῶν ὀνομάτων διδασκαλίαν ἐν τῷ περὶ τῶν καθόλου λόγῳ; ὅτι τὰ ὀνόματα φύσει καὶ οὐ θέσει λέγουσιν οἱ Πυθαγόρειοι, καὶ τὰ ὁμώνυμα καὶ τὰ πολυώνυμα παραιτοῦνται ὡς ἑνὸς ὀνόματος πρὸς ἓν πρᾶγμα κατὰ φύσιν λεγομένου.

ΔΕΞ. ἔδει πρὸ τοῦ περὶ τῶν καθολικῶν λέξεων καὶ Ἀρχύταν λέγειν, ἃς ἡμεῖς κατηγορίας ὀνομάζομεν, ταῦτα προειληφέναι. ἢ μήποτε οὐδὲ κατὰ νοῦν γίνεται τὸν Πυθαγορικὸν ἡ τοιαύτη διαίρεσις· ἐπεὶ γὰρ φύσει διορίζονται τὰ ὀνόματα κεῖσθαι τοῖς πράγμασι, πᾶσαν τὴν ἀνωμαλίαν τὴν περὶ λέξεων παραιτοῦνται. ἀλλὰ ταῦτα μὲν ὑπερτιθέμεθα, ἐπειδὴ τὸ τοιοῦτον γένος τῶν ζητήσεων παρὰ τῶν τὰς Πυθαγορικὰς ὑποθέσεις θαυμαζόντων ἀπαιτεῖν προσῆκεν.

1a16 ΣΙΜΠΛ. β′ f. 6 b. καὶ οἱ παλαιοὶ κυρίως μὲν λεγόμενα τὰ διὰ λόγου σημαινόμενα ἔλεγον, καταχρηστικῶς δὲ καὶ τὰ δι᾽ ἁπλῆς λέξεως. ὁ δὲ λόγος ἐπεὶ κατὰ συμπλοκὴν λέξεων προφέρεται, εἰκότως τὰ λεγόμενα διαιρῶν (ὁ Ἀριστοτέλης) τῶν κυρίως λεγομένων πρῶτον ἐμνήσθη... ὁ δὲ Βοηθὸς μόνα λεγόμενα καὶ σημαινόμενα τὰς νοήσεις εἶναί φησι παρὰ τοῖς ἀρχαίοις· οὐ γὰρ εἶναι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐν τοῖς πράγμασιν ἀλλ᾽ ἐν διανοίαις καὶ ταῖς τοῦ νοῦ διεξό-

ἦν εἶναι ἑκάστου καὶ τὴν οὐσίαν αὐτήν. ὁ οὖν λόγος τῆς οὐσίας καὶ τὸν ὁριστικὸν λόγον καὶ τὸν ὑπογραφικὸν περιείληφεν. ὥστε μάτην ἐγκαλοῦσι πάλιν οἱ περὶ τὸν Νικόστρατον ὡς ἐν μόνῃ τῇ οὐσίᾳ δεικνῦντι λέγειν τὴν ὁμωνυμίαν τῷ Ἀριστοτέλει.

f. 2 b. πρὸς ταύτην τὴν ἀπορίαν ἀπαντῶν ὁ Πορφύριος πρῶτον μέν φησι μηδὲ ἐν πᾶσι τοῦτο γεγράφθαι τοῖς ἀντιγράφοις· μήτε γὰρ τὸν Βοηθὸν εἰδέναι, ὅς φησι δεικνύναι τὸν Ἀριστοτέλην τίνα ἐστὶ τὰ ὁμώνυμα, λέγοντα "ὁμώνυμα λέγεται — λόγος ἕτερος." καὶ ἐξηγούμενος δὲ ὁ Βοηθὸς καθ' ἑκάστην λέξιν τὸ τῆς οὐσίας παραλέλοιπεν ὡς οὐδὲ γεγραμμένον. καὶ ὁ Ἀνδρόνικος δὲ παραφράζων τὸ βιβλίον φησὶ "τῶν ἄνευ συμπλοκῆς λεγομένων ὁμώνυμα μὲν λέγεται ὧν ὄνομα μόνον ταὐτόν, ὁ δὲ κατὰ τοὔνομα λόγος ἕτερος." ἡμεῖς δέ, φησὶν ὁ Πορφύριος, ἐπειδὴ καὶ Ἑρμῖνος καὶ σχεδὸν οἱ πλεῖστοι ὡς προσκειμένου τῷ ὅρῳ ἐντετυχήκασι τοῦ τῆς οὐσίας ὀνόματος, καὶ ἀναγκαίαν λέγομεν τὴν προσθήκην. τοῦ γὰρ λόγου καὶ τὴν ἐπαγωγὴν σημαίνοντος καὶ τὸν συλλογισμὸν καὶ πᾶσαν κατάφασιν καὶ ἀπόφασιν, εἰ μὴ προσέκειτο τὸ τῆς οὐσίας, πῶς ἂν ἀπεκρίνατο τὸ τοῦ ὁρισμοῦ καὶ τὸ τῆς ὑπογραφῆς, τὰ ἄλλα σημαινόμενα τοῦ λόγου;

1a2. ΔΕΞ. ἐπεὶ καὶ περιττότητα ἐγκαλοῦσι τῇ ὑπογραφῇ, ἄξιον καὶ τοῦτο ἐπισκέψασθαι. ἤρκει γάρ, φασίν, εἰπεῖν "ὁμώνυμον λέγεται ὧν ὄνομα μόνον κοινόν, οἱ δὲ ὅροι ἕτεροι." ἀλλ' εἰ μὴ προσετέθη "ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας", ἐνῆν τὰ αὐτὰ ὁμώνυμα καὶ συνώνυμα ἀποφαίνειν... ἀλλὰ δὴ τοῖς ἐλλιπῶς ἔχειν τὴν ὑπογραφὴν τῶν ὁμωνύμων λέγουσι πῶς ἂν ἀπαντήσωμεν; φασὶ γὰρ ὡς εἰ τὸ ὁμώνυμον οὐκ ἐν μόνῃ τῇ οὐσίᾳ ἐστὶν ἀλλὰ καὶ ἐν ποιῷ καὶ ποσῷ καὶ τοῖς ἄλλοις γένεσι (καὶ γὰρ ἐπ' ἐκείνων ὁμωνύμως ἔστιν εἰπεῖν), πῶς ἐν τῷ λόγῳ τοῦ ὁμωνύμου εἶπεν "ὁ δὲ κατὰ τοὔνομα τῆς οὐσίας λόγος;" φαίνεται γὰρ ἐλλιπῶς εἰρηκώς, εἴγε ἐν ἅπασι τοῖς γένεσι τῆς ὁμωνυμίας οὔσης ὁ λόγος οὗτος τὰ ἐν τῇ οὐσίᾳ μόνον ὁμώνυμα περιορίζει. πρῶτον μὲν οὖν οὐκ ἐν ἅπασι τοῖς ἀντιγράφοις τὸ "ὁ δὲ λόγος τῆς οὐσίας" πρόσκειται, ὡς καὶ Βοηθὸς μνημονεύει καὶ Ἀνδρόνικος. εἰ δὲ καὶ προσκείμενον εἴη, διότι παρὰ τοῖς πλείστοις οὕτως εὑρίσκεται γεγραμμένον, ἀλλ' ὀρθῶς γε ἔχει προσκείμενον.

ἈΜΜ. f. 17 b. ζητητέον δὲ τί δήποτε μὴ εἶπεν "ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ λόγος τῆς οὐσίας ἕτερος," ἀλλ' "ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος."

ΣΙΜΠΛ. β' f. 3. εἰώθασι δὲ ἐνταῦθα γενόμενοι οἱ ἐξηγηταὶ τοὺς τρόπους τῶν ὁμωνύμων ἀπαριθμεῖσθαι, καὶ λέγουσιν ὅτι κατὰ τοὺς ἀνωτάτω τρόπους διχῶς λέγεται τὰ ὁμώνυμα· τὰ μὲν γάρ ἐστιν ἀπὸ τύχης, ὡς Ἀλέξανδρος ὅ τε Πάρις καὶ ὁ Μακεδών, τὰ δὲ ἀπὸ διανοίας... τινὲς δέ, ὧν καὶ Ἀττικός ἐστι, τὸν κατὰ μεταφορὰν τρόπον εἰς ταὐτὸν ἄγοντες τῷ κατὰ ἀναλογίαν, ἕνα τρόπον τῶν ὁμωνύμων τὸν συναμφότερόν φασιν. ἐπισκέψεως ἄξιος ὁ λόγος ἐστί· λέγει γὰρ ὁ Πορφύριος ὅτι, ὅταν μὲν τὸ πρᾶγμα ἔχῃ ἴδιον ὄνομα, ἄλλως δὲ καταχρήσηταί τις ἐπ' αὐτοῦ ἄλλῳ ὀνόματι μεταφέρων καὶ τούτῳ χρώμενος ὡς κειμένῳ ἐπ' αὐτοῦ, οὐκ ἂν εἴη ὁμωνυμία τις ἐνταῦθα.

ΠΟΡΦΥΡΙΟΥ f. 8 b. ἢ πλείους εἰσὶ ὁμωνύμων τρόποι; — πλείους. — τίνες οὗτοι; — ὡς μὲν ἀνωτάτω εἰπεῖν, δύο, ὧν ὁ μὲν ἐστιν ἀπὸ τύχης ὁ δὲ ἀπὸ διανοίας· εἴς τε τὸν καθ' ὁμοιότητα καὶ τὸν ἐκ τῆς ἀναλογίας καὶ τὸν ἀφ' ἑνὸς καὶ πρὸς ἓν οἱ πάντες ἔσονται τρόποι... τοῦτον δὲ τὸν τρόπον οἱ μὲν συνῆψαν τῷ ἀφ' ἑνός, τὸ ὅλον τοῦτο καλέσαντες ἀφ' ἑνὸς καὶ πρὸς ἕν· οἱ δὲ οὐδὲ ἐν τοῖς ὁμωνύμοις κατηρίθμουν, ἀλλ' οὐδὲ ἐν τοῖς συνωνύμοις ἀλλ' ἐν μέσῳ ἐτίθεσαν τῶν ὁμωνύμων τε καὶ συνωνύμων διὰ τὸ λόγου μετοχῇ τοῦ αὐτοῦ ἰατρικὰ καλεῖσθαι κοινῶς τὰ διάφορα πράγματα, ὑγείας τε περιποιήσει τῆς αὐτῆς ὑγιεινὰ καλεῖσθαι τὰ οὕτω προσαγορευθέντα κοινῶς πράγματα... ἐσφάλησαν μὲν πολλοί, ὧν καὶ Ἀττικός, ἕνα τρόπον καταλέξας ὁμωνύμων τὸν κατὰ μεταφορὰν καὶ κατὰ ἀναλογίαν, καὶ συγχέας τὸν κατὰ μεταφορὰν τῷ κατὰ ἀναλογίαν.

ΔΑΒΙΔ. ἵνα δὲ γνῶμεν ὑπὸ ποῖον τῶν ὁμωνύμων ἀνάγεται τὸ παράδειγμα, φέρε εἴπωμεν τὴν διαίρεσιν τῶν ὁμωνύμων. τούτων τὰ μέν εἰσιν ἀπὸ τύχης, ὡς ὅταν τινὲς ἐν διαφόροις τόποις ὄντες τῷ αὐτῷ ὀνόματι ὀνομάζωνται... ἀλλ' οὐδὲ φᾶρος ὁμώνυμον εἶναι δύναται· δηλοῖ γὰρ θηλυκῶς μὲν ἐκφωνούμενον τὴν πάλην, ἀρσενικῶς δὲ τὸ κτίσμα, οὐδετέρως δὲ τὸ ἱμάτιον... ἀλλ' οὐδὲ τὸ ἅρμα ὁμώνυμον· δηλοῖ γὰρ τὸ ζεῦγος τῶν ἵππων καὶ τὰ ὅπλα, παρὰ μὲν Ῥωμαίοις τὰ ὅπλα, παρὰ δὲ Ἕλλησι τὸ ζεῦγος... μετὰ τὰ ὁμώνυμα καὶ συνώνυμα καὶ παρώνυμα, ὧν ἕκαστον ἐδήλου τὸν Ἰαμβλίχειον σκοπόν, περὶ φωνῶν ἁπλῶν ὄντα σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων, ἔρχεται ὁ Ἀριστοτέλης καὶ ἐπὶ αὐτὰς τὰς κατηγορίας. ἀλλὰ πρὸ τῆς τούτων διδασκαλίας διαιρεῖ τὰ λεγόμενα καὶ τὰ ὄντα.

ΣΙΜΠΛ. β' f. 4. ἐν μὲν τῷ κατὰ πεῦσιν καὶ ἀπόκρισιν "τὸν τῆς 1a7.
οὐσίας λόγον χρὴ ἐξακούειν" φησὶν ὁ Πορφύριος· "αὐτὸς γάρ ἐστιν ὁ ὁριστικός." ἐν δὲ τῷ πρὸς Γεδάλειον "οὐκέτι" φησὶ "προσυπακουστέον καὶ τὸν τῆς οὐσίας· οὐ γὰρ καθὸ ἕκαστόν ἐστιν ἐπὶ τῶν συνωνύμων, ὁ αὐτός ἐστιν αὐτῶν λόγος, ἀλλὰ καθὸ κοινοῦ τινὸς μετέχει πάντα." καὶ ἔοικε νῦν τὴν οὐσίαν μὴ συνάψαι τῷ λόγῳ, ὥστε τὸν λόγον τῆς οὐσίας τὸν ὁρισμὸν εἶναι, ἀλλὰ κατὰ τὸ εἶδος ἀκοῦσαι καθ' ὅ ἐστιν ἕκαστον. ἄνθρωπος γὰρ καὶ ἵππος συνώνυμά ἐστι κατὰ τὸ ζῷον, καὶ ὁ λόγος ἐστὶν αὐτῶν ὁ αὐτὸς κατὰ τοῦτο, οὐ μέντοι κατ' ἐκεῖνα καθ' ἃ μάλιστα οὐσίωνται, κατὰ τὸν ἄνθρωπον ἢ κατὰ τὸν ἵππον· ἄλλος γὰρ ἑκατέρου τούτου λόγος. καὶ αὐτὸς δὲ προελθὼν "κἂν ὑπακούῃ τις" φησί "τὸ τῆς οὐσίας, δῆλον ὡς τῆς οὐσίας ἀκουσόμεθα οὐ τῆς ἰδίως ὀνομαζομένης ἀλλὰ τῆς τὴν ἑκάστου ὕπαρξιν, οἷον ἂν εἴη κοινότερον, δηλούσης οὐσίας." ἰστέον μέντοι ὅτι νῦν ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων οὕτως ἡ γραφὴ φέρεται "συνώνυμα δὲ λέγεται ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός." καὶ ὁ Πορφύριος δὲ ἐν τῷ κατὰ πεῦσιν καὶ ἀπόκρισιν οὕτως ἔγραψεν· ὁ δὲ Ἰάμβλιχος χωρὶς τοῦ τῆς οὐσίας "συνώνυμα λέγεται ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ κατὰ τοὔνομα λόγος ὁ αὐτός." ἐπεσημήνατο δὲ ὅτι ἐν ἐνίοις ἀντιγράφοις οὐ φέρεται τὸ "καὶ ὁ κατὰ τοὔνομα λόγος," καὶ ὅτι προσυπακούειν δεῖ. ἠκολούθησε δὲ καὶ τῇ Ἰαμβλίχου γραφῇ ὁ Συριανός. καὶ ὁ Ἀλέξανδρος δὲ διηνέχθη περὶ τὴν γραφὴν οὕτω γράψας "συνώνυμα δὲ λέγεται ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ λόγος ὁ τῆς οὐσίας ὁ αὐτός." προσυπακούειν δέ, καὶ αὐτός φησι, δεῖ τὸ "ὁ κατὰ τοὔνομα."

ἀπὸ τῆς γραμματικῆς γραμματικόν. πέντε οὖν τούτων ἐκ τῆς διαιρέσεως ἀναφανέντων, ὁμωνύμων συνωνύμων πολυωνύμων ἑτερωνύμων παρωνύμων, τὰ τρία μόνα νῦν παρέλαβεν ὁ Ἀριστοτέλης, τά τε ὁμώνυμα καὶ τὰ συνώνυμα καὶ τὰ παρώνυμα. αἰτίαι δὲ δι' ἃς πέντε ὄντων ἐκ τῆς διαιρέσεως τῶν ὀνομάτων τῶν ἀναφανέντων, ὁμωνύμων πολυωνύμων συνωνύμων ἑτερωνύμων παρωνύμων, μόνα τὰ τρία νῦν παρέλαβεν ὁ Ἀριστοτέλης, τὰ δὲ πολυώνυμα παρῆκε καὶ τὰ ἑτερώνυμα, ὅτι τάχα μὲν καὶ τούτοις μόνοις ἐν τῷ περὶ τῶν Κατηγοριῶν ἐχρήσατο λόγῳ, τάχα δὲ ὡς ἐκ τῶν δύο τούτων ῥᾳδίας οὔσης τῆς τῶν ἀντικειμένων αὐτοῖς γνώσεως.

f. 10 *b*. ἐν τοῖς παρωνύμοις συλλογισμοῖς ἡσυχάζειν οἱ διαλεκτικοὶ παρακελεύονται, ἕως ἂν ἐπ' ἄλλο σημαινόμενον ὁ ἐρωτῶν ἐπαγάγῃ τὸ ὄνομα, οἷον εἴ τις ἐρωτᾷ εἰ ὁ χιτὼν ἀνδρεῖος, εἰ τύχοι ἀνδρεῖος ὤν, συγχωρήσομεν. κἂν δ' ἐρωτᾷ εἰ ὁ ἀνδρεῖος εὔψυχος, καὶ αὐτὸ συγχωρησόμεθα· ἀληθὲς γάρ. εἰ δὲ συναγάγῃ ὅτι ὁ χιτὼν εὔψυχος, ἐνταῦθα τὴν ὁμωνυμίαν τοῦ ἀνδρείου διαστείλασθαι καὶ δεῖξαι τὴν ἀνδρείαν, ἤγουν τὴν εὐψυχίαν, ὅτι ἄλλως μὲν ἐπὶ τοῦ χιτῶνος ἄλλως δὲ ἐπὶ τοῦ τὴν ἀνδρείαν ἔχοντος λέγεται· ὥστε τὰ πράγματα κυρίως, οὐχὶ τὰ ὀνόματα, ποιεῖ τὴν ὁμωνυμίαν. καὶ γὰρ αὐτὸς ἐπὶ τῶν ὁμωνύμων ποιεῖται τὴν διδασκαλίαν, συνακολουθούντων αὐτῶν τῷ σκοπῷ εὐθύς.

ΔΑΒΙΔ. εἴπομεν πρὸ τοῦ τί ἐστι τὸ εἰ ἔστιν. εἰκότως δὲ ζητοῦμεν τὸ εἰ ἔστιν, ἐπειδή τινες ἐπιχειροῦσιν ἀνελεῖν τὰ ὁμώνυμα, δεικνύντες ὅτι οὐκ εἰσὶ ταῦτα . . . τοῦ Ἀριστοτέλους δείξαντος ὅτι εἰσὶ τὰ ὁμώνυμα τοῖς Σοφιστικοῖς Ἐλέγχοις καὶ ὅτι ἐξ ἀνάγκης εἰσὶ πειρῶνται ἀνελεῖν ταῦτα λόγῳ τοιούτῳ χρώμενοι. φασὶν ὅτι τὸ ὁμώνυμον πρᾶγμα καὶ τὸ ὄνομα ἐπιδέχεται τοῦ ὁμωνύμου καὶ τὸν ὁρισμὸν αὐτοῦ· τὰ δὲ τὸ αὐτὸ ὄνομα καὶ τὸν αὐτὸν ὁρισμὸν ἐπιδεχόμενα συνώνυμά εἰσι· τὰ ὁμώνυμα ἄρα συνώνυμα. καὶ τί τῶν ἄλλων ἔσται, τῶν ὁμωνύμων συνωνύμων ὄντων; πρὸς οὓς λέγομεν λύσεις δύο . . . μετὰ τὸ εἰ ἔστι τὸ ὁμώνυμον ἔλθωμεν καὶ ἐπὶ τὸ τί ἐστι, ταὐτὸν εἰπεῖν καὶ ἐπὶ ὑπογραφῆς . . . σαφηνίσωμεν οὖν ἑκάστην λέξιν οὖσαν ἐν τῇ ὑπογραφῇ. "ὁμώνυμα." ἰδοὺ εὐθέως ἐκ θυρῶν ὁ Ἰαμβλίχειος σκοπὸς ἀναφαίνεται . . . ἀποροῦσί τινες πῶς φιλοσύντομος ὢν ὁ Ἀριστοτέλης περιττὰ νῦν λέγει· ἤρκει γὰρ εἰπεῖν ὅτι ὁμώνυμά εἰσιν ὧν ὄνομα κοινόν.

ΑΜΜΩΝΙΟΥ f. 16. ἰστέον ὅτι εὐθὺς ἐκ προοιμίων τὸν σκοπὸν τοῦ βιβλίου ἀνεκήρυξε· φησὶ γὰρ "ὁμώνυμα λέγεται." τὸ μὲν εἰπεῖν ὁμώνυμα σημαίνει τὰ πράγματα, τὸ δὲ λέγεται τὰς φωνάς. θεωροῦνται δὲ ἐξ ἡμῶν τὰ πράγματα διὰ μέσων νοημάτων. τὴν δὲ τῶν ὁμωνύμων διδασκαλίαν δι' ὁμωνύμων φωνῶν ἐποιήσατο.

f. 16 *b*. λέγεται. προσυπακουστέον πράγματα, ἵνα οὕτως ᾖ· ὁμώνυμα λέγεται πράγματα ὧν ὄνομα μόνον κοινόν. ἡνίκα δὲ εἴπῃ ὅτι λέγεται, δηλοῖ ὅτι καὶ παρὰ τοῖς παλαιοῖς τοὔνομα φέρεται καὶ οὐκ αὐτοῦ ἐστὶν ἡ τοιαύτη θέσις τοῦ ὀνόματος· καὶ γὰρ καὶ Πλάτων ἐμνήσθη αὐτῶν καὶ ὁ ποιητὴς λέγων περὶ τῶν Αἰάντων "ἴσον ὄνομα ἔχοντες". ὅταν δὲ αὐτὸς ὀνοματοθετῇ, λέγει καλῶ, ὡς ἐν τοῖς Ἀναλυτικοῖς (Pr. 1 1) "ὅρον δὲ καλῶ" καὶ ἐν τῷ περὶ Ἑρμηνείας (c. 6) "καὶ ἔστω τοῦτο ἀντίφασις."

ΣΙΜΠΛ. α' f. 10 *b*. λέγουσι πρὸς τοῦτο ὅτι τὸ ὄνομα τριχῶς λέγεται· τὸ μὲν γὰρ δηλοῖ τὸ κύριον, τὸ δὲ τὸ προσηγορικόν, τὸ δὲ τὸ κοινῶς ἐπὶ πᾶν μέρος λόγου διατεῖνον, καθὸ Πλάτωνα μὲν καλοῖς, Ξενοφῶντα δὲ κοινοῖς κεχρῆσθαί φαμεν. οὐδὲν οὖν ἄτοπον ὄνομα νῦν λέγεσθαι τὸ κοινῶς ἐπὶ πάντα τὰ μέρη τοῦ λόγου διατεῖνον. Βοηθὸς δὲ διχῶς φησὶ τὸ ὄνομα λέγεσθαι, τό τε πρόταξιν ἄρθρου λαμβάνον, ὃ καὶ ἰδίως ὄνομα λέγεται, καὶ τὸ ἐφ' ἅπαντα τὰ τοῦ λόγου στοιχεῖα διατεῖνον.

β' f. 1 *a*. μόνον δὲ τὸ ὄνομα κοινὸν εἶναί φησι τοῖς ὁμωνύμοις, τοῦ μόνου ποτὲ μὲν τὸ ἓν σημαίνοντος, ὡς ὅταν μόνον εἶναι λέγωμεν τὸν κόσμον, ποτὲ δὲ τὴν πρὸς ἕτερον ἀντιδιαστολήν, ὡς ὅταν ἱμάτιον μόνον ἔχειν λέγωμεν ἀντιδιαστέλλοντες ὡς πρὸς χιτῶνα. κατὰ τοῦτο δὲ καὶ νῦν τὸ σημαινόμενον παρείληπται τὸ μόνον, ὡς πρὸς τὸν τῆς οὐσίας λόγον ἀντιδιαστελλόμενον, ὅπερ καὶ σαφῆ ποιεῖ τὴν εὕρεσιν τῶν ὁμωνύμων, τὸ καὶ ἓν ὡρισμένον τι, τὸ ὄνομα, μόνον εἶναι κοινόν, καὶ πρὸς ἓν ὡρισμένον τι, πρὸς τὸν ὁρισμόν, ἀντιδιαστέλλεσθαι. τὸ δὲ κοινὸν πάλιν καὶ αὐτὸ πολλαχῶς λέγεται· ἢ γὰρ τὸ εἰς μέρη διαιρετόν, ὡς ἡ κληρουχουμένη γῆ· ἢ τὸ ἀδιαιρέτως εἰς κοινὴν μὲν χρῆσιν προκείμενον οὐχ ἅμα δέ, ὡς ὁ δοῦλος ἢ ὁ ἵππος ὁ κοινός· ἢ τὸ ἐν προκαταλήψει μὲν ἰδιούμενον, αὖθις δὲ εἰς τὸ κοινὸν ἀναπεμπόμενον, ὡς τὸ θέατρον· ἢ τὸ ἅμα ἀδιαιρέτως εἰς χρῆσιν πολλῶν ἐρχόμενον, ὥσπερ ἡ φωνή. οὕτως δὲ καὶ τὸ ὄνομα κοινὸν τοῖς ὁμωνύμοις ἅπασιν ὑπάρχον καὶ ἄλλοις ἅμα δυνάμενον ὑπάρξαι ἀδιαιρέτως τὸ αὐτό. διὸ καὶ Ἀνδρόνικος παραφράζων τὸ τῶν Κατηγοριῶν βιβλίον ὁμώνυμά φησι λέγεσθαι ὧν ὄνομα ταὐτόν· καὶ γὰρ καὶ τὸ ὄνομα καὶ ὁ λόγος διὰ τὴν ἀσώματον φύσιν ἀμερίστως πάρεισι τοῖς πολλοῖς. ἀποροῦσι δὲ καὶ πρὸς τὸ κοινὸν ὄνομα τῶν ὁμωνύμων λέγεσθαι οἱ περὶ τὸν Νικόστρατον.

β' f. 2. Σπεύσιππος δέ, ὥς φασιν, ἤρκεῖτο λέγειν "ὁ δὲ λόγος 1a1
ἕτερος." καίτοι εἴ τις οὕτως ἀποδοίη, καὶ τὰ συνώνυμα ὁμώνυμα ἔσται a2
καὶ τὰ ὁμώνυμα συνώνυμα. ἡμῖν γὰρ καὶ τοῖς ἵπποις ὄνομα κοινὸν τὸ ζῷον, οἱ δὲ λόγοι ἕτεροι, καθὸ ἄνθρωπος καὶ ἵππος· ἔσται οὖν τὸ συνώνυμον ὁμώνυμον. καὶ πάλιν ὁ θαλάττιος κύων καὶ ὁ χερσαῖος κατὰ τὸ ζῷον τὸν αὐτὸν ἔχουσι λόγον, καὶ ἔσται τὰ ὁμώνυμα συνώνυμα, διότι οὐ καθὸ ἦν ὁμώνυμα, κατὰ τὸν κύνα, ἀπεδόθη αὐτῶν ὁ ὁρισμὸς ἀλλὰ κατὰ τὸ ζῷον. ἀναγκαία οὖν ἡ κατὰ τοὔνομα προσθήκη. ὁ δὲ λόγος σημαίνει μὲν καὶ τὸν ἐν ταῖς ψήφοις λογισμόν, σημαίνει δὲ καὶ τὸν ἐνδιάθετον κατὰ τὴν ἔννοιαν, σημαίνει δὲ καὶ τὸν προφορικὸν καὶ τὸν σπερματικόν, σημαίνει δὲ καὶ τὸν ἑκάστου περιηγητικὸν καὶ ὁριστικόν. λόγον δὲ εἶπε καὶ οὐχ ὁρισμόν, ἵνα καὶ τὴν ὑπογραφικὴν ἀπόδοσιν περιλάβῃ, ἥτις καὶ τοῖς γένεσι τοῖς ἀνωτάτω καὶ τοῖς ἀτόμοις ἐφαρμόττει, ὁρισμῷ μὴ δυναμένοις περιληφθῆναι, διότι οὔτε τῶν ἀνωτάτω γενῶν γένος ἔστι λαβεῖν οὔτε τῶν ἀτόμων διαφοράς, ἡ δὲ ὑπογραφὴ τὴν ἰδιότητα τῆς οὐσίας ἀποδιδοῦσα καὶ ἐπὶ ταῦτα φθάνει. διὸ οὐδὲ ἁπλῶς εἶπε τὸν κατὰ τοὔνομα λόγον ἀλλὰ τὸν τῆς οὐσίας λόγον, διότι ὁ μὲν ὑπογραφικὸς λόγος τὴν ἰδιότητα τῆς οὐσίας ἀφορίζει, ὁ δὲ ὁριστικὸς τὸ τί

νηται οὐ μόνον τοῖς Στωϊκοῖς καὶ Πλατωνικοῖς, σαλεύειν ἐπιχειροῦσι ταύτας τὰς Ἀριστοτέλους κατηγορίας, ἀλλὰ καὶ αὐτοῖς γε τοῖς Περιπατητικοῖς πρὸς ἑαυτούς, τοῖς μὲν μᾶλλον ἐφικνεῖσθαι ταῖς διανοίαις τἀνδρὸς ὑπειληφόσι, τοῖς δ' εὐπορώτερον λύειν οἰομένοις τὰ παρ' ἑτέρων ἀπορούμενα.

ΣΙΜΠΛΙΚΙΟΥ α' f. 2. πολλοὶ πολλὰς κατεβάλοντο φροντίδας εἰς τὸ τῶν Κατηγοριῶν τοῦ Ἀριστοτέλους βιβλίον, οὐ μόνον ὅτι προοίμιόν ἐστι τῆς ὅλης φιλοσοφίας, εἴπερ αὐτὸ μὲν τῆς λογικῆς ἐστὶν ἀρχὴ πραγματείας, ἡ δὲ λογικὴ τῆς ὅλης προλαμβάνεται δικαίως φιλοσοφίας, ἀλλὰ καὶ ὅτι τρόπον τινὰ περὶ ἀρχῶν ἐστὶ τῶν πρώτων, ὡς ἐν τοῖς περὶ τοῦ σκοποῦ μαθησόμεθα λόγοις. ἄλλοι δὲ κατ' ἄλλην ὁρμὴν τὰς περὶ τοῦτο τὸ βιβλίον πραγματείας πεποίηνται, οἱ μὲν αὐτὴν μόνην τὴν λέξιν ἐπὶ τὸ σαφέστερον μεταθεῖναι προθυμηθέντες, ὥσπερ Θεμίστιος ὁ εὐφραδὴς καὶ εἴ τις ἄλλος τοιοῦτος, οἱ δὲ καὶ τὰς ἐννοίας μὲν αὐτὰς δὲ μόνας ψιλὰς τὰς ὑπὸ τοῦ Ἀριστοτέλους προτεινομένας συντόμως ἀποκαλύπτειν ἐσπούδασαν, ὥσπερ ἐν τῷ κατὰ πεῦσιν καὶ ἀπόκρισιν βιβλίῳ πεποίηκεν ὁ Πορφύριος. ἄλλοι δὲ πρὸς τούτοις καὶ ζητημάτων ἐφήψαντο μετρίως, ὡς ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος καὶ Ἑρμῖνος καὶ ὅσοι τοιοῦτοι· ὧν καὶ Μάξιμον ἐγὼ τίθημι τὸν Αἰδεσίου μὲν τοῦ Ἰαμβλίχου μαθητήν, ἐν δὲ τῷ εἰς τὰς Κατηγορίας ὑπομνήματι πάντα σχεδὸν τῷ Ἀλεξάνδρῳ συνᾴσαντα. τινὲς μέντοι καὶ βαθυτέραις περὶ αὐτὸ διανοίαις ἐχρήσαντο, ὥσπερ ὁ θαυμάσιος Βοηθός. ἄλλοις δὲ ἤρκεσεν ἀπορίας μόνας γράψαι πρὸς τὰ λεγόμενα, ὅπερ Λούκιός τε πεποίηκε καὶ μετ' αὐτὸν Νικόστρατος τὰ τοῦ Λουκίου ὑποβαλλόμενος, σχεδόν τι πρὸς πάντα τὰ εἰρημένα κατὰ τὸ βιβλίον ἐνστάσεις κομίζειν φιλοτιμούμενοι, καὶ οὐδὲ εὐλαβῶς ἀλλὰ καταφορικῶς μᾶλλον καὶ ἀπηρυθριακότως. πλὴν καὶ τούτοις χάρις καὶ ὅτι πραγματειώδεις τὰς πολλὰς τῶν ἀποριῶν προεβάλοντο καὶ ὅτι λύσεώς τε τῶν ἀποριῶν ἀφορμὰς καὶ ἄλλων πολλῶν τε καὶ καλῶν θεωρημάτων τοῖς μετ' αὐτοὺς ἐκδεδώκασι. Πλωτῖνος δὲ ὁ μέγας ἐπὶ τούτοις τὰς πραγματειωδεστέρας ἐξετάσεις ἐν τρισὶν ὅλοις βιβλίοις τοῖς περὶ τῶν γενῶν τοῦ ὄντος ἐπιγεγραμμένοις τῷ τῶν Κατηγοριῶν βιβλίῳ προσήγαγε. μετὰ δὲ τούτους ὁ πάντων ἡμῖν τῶν καλῶν αἴτιος Πορφύριος ἐξήγησίν τε ἐντελῆ τοῦ βιβλίου καὶ τῶν ἐνστάσεων πασῶν λύσεις οὐκ ἀπόνως ἐν ἑπτὰ βιβλίοις ἐποιήσατο τοῖς Γεδαλίῳ προσφωνηθεῖσι, πολλὰ καὶ τῶν Στωϊκῶν ἐκεῖ δογμάτων κατὰ τὴν κοινωνίαν τοῦ λόγου προσιστορῶν. μετὰ τοῦτον δὲ ὁ θεῖος Ἰάμβλιχος πολύστιχον καὶ αὐτὸς εἰς τοῦτο τὸ βιβλίον κατεβάλετο πραγματείαν, τὰ μὲν πολλὰ τοῖς Πορφυρίου καὶ ἐπ' αὐτῆς τῆς λέξεως κατακολουθῶν, τινὰ δὲ ἐκείνων ἐπικρίνων καὶ διαρθρῶν ἀκριβέστερον μετὰ τοῦ συστέλλειν τὴν ὡς ἐν σχολαῖς πρὸς τὰς ἐνστάσεις μακρολογίαν, πανταχοῦ δὲ τὴν νοερὰν θεωρίαν ἑκάστῳ σχεδὸν τῶν κεφαλαίων ἐπιτιθείς, καί τι καὶ ἄλλο πρὸς τούτοις χρήσιμον τῷ συγγράμματι προστιθείς· Ἀρχύτου γὰρ τοῦ Πυθαγορικοῦ καὶ πρὸ Ἀριστοτέλους τὴν εἰς δέκα τῶν πρώτων γενῶν ποιησαμένου διαίρεσιν ἐν τῷ βιβλίῳ ὃ περὶ τοῦ παντὸς ἐκεῖνος ἐπέγραψε, καὶ τά τε γνωρίσματα αὐτῶν διὰ παραδειγμάτων ἐναργῶς σαφηνίζοντος καὶ τάξιν ἣν ἔχουσι πρὸς ἄλληλα, καὶ τὰς κατ' εἴδη διαφορὰς ἑκάστου καὶ τὰ ὑπάρχοντα αὐτοῖς κοινῶς τε καὶ ἰδίως ἐπιδεικνύντος, αὐτὸς ἐν τοῖς προσήκουσι τόποις τὰ τοῦ Ἀρχύτου παραγαγὼν ἐκεῖνά τε νοερῶς συνεσπαρμένα ἐξήπλωσε καὶ τὴν συμφωνίαν τὴν πρὸς αὐτὰ τοῦ Ἀριστοτέλους ἐπέδειξε, καὶ εἴ πού τι διάφωνον ἦν, ὀλίγα δὲ καὶ ταῦτα, καὶ τοῦτο ὑπ' ὄψιν ἤγαγε τοῖς φιλομαθέσι, μηδὲ τὴν αἰτίαν τῆς διαφωνίας ἀνεξέταστον καταλιμπάνων, εἰκότως, διότι φαίνεται πανταχοῦ τῷ Ἀρχύτᾳ κατακολουθεῖν ὁ Ἀριστοτέλης βουλόμενος. καὶ Δέξιππος δὲ ὁ Ἰαμβλίχου καὶ αὐτὸς μὲν τὸ τοῦ Ἀριστοτέλους βιβλίον συντόμως ἐξηγήσατο, προηγουμένως δὲ τὰς Πλωτίνου ἀπορίας ὡς ἐν διαλόγῳ προτεινομένας αὐτῷ διαλύειν προτίθεται, οὐδὲν δὲ οὐδὲ οὗτος σχεδὸν τοῖς Πορφυρίου καὶ Ἰαμβλίχου προστεθεικώς... συμβουλεύω μέντοι τοῖς ἐντευξομένοις μηδέποτε τῶν Πορφυρίου καὶ Ἰαμβλίχου καταφρονῆσαι συγγραμμάτων ἐπὶ τούτοις τοῖς σχολικοῖς, ἀλλ' εἴπερ ἄρα ὡς εἰσαγωγῇ καὶ γυμνασίῳ τούτοις χρήσασθαι πρὸς ἀκριβεστέραν τῶν ἐκείνοις τοῖς ἀνδράσιν εἰρημένων κατάληψιν.

ΑΡΙΣΤΟΤ. 1a1.

ΣΙΜΠΛΙΚΙΟΥ α' f. 9 b. ἀποροῦσιν οἱ περὶ τὸν Νικόστρατον τί δήποτε περὶ τῶν κατηγοριῶν εἰπεῖν προθέμενος οὐ περὶ αὐτῶν εὐθὺς ἀλλὰ περὶ τῶν ἄλλων διδάσκει, τῶν τε ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων. πρὸς οὓς καλῶς ὑπήντησεν ὁ Πορφύριος ὅτι καθ' ἑκάστην σχεδὸν πραγματείαν θεωρητικὴν προγράφεταί τινα πρὸς σαφήνειαν τείνοντα τῶν ἑξῆς, ὡς ἐν γεωμετρίᾳ οἱ ὅροι καὶ τὰ ἀξιώματα καὶ τὰ αἰτήματα ... ὅτι δὲ χρειώδης ἐστὶν ἡ τῶν ὁμωνύμων πρόληψις, ἐδήλωσεν Ἀνδρόνικος προτάξας "τῶν λεγομένων τὰ μὲν ἄνευ συμπλοκῆς λέγεται τὰ δὲ μετὰ συμπλοκῆς, καὶ τῶν ἄνευ συμπλοκῆς ὁμώνυμα μὲν λέγεται ὧν ὄνομα μόνον κοινόν". ὥστε χρειώδης ἡ τῶν ὁμωνύμων φαίνεται πρόληψις διά τε τὰ εἰρημένα καὶ ὅτι, πολλῆς οὔσης ἀμφιβολίας εἴτε γένος τὸ ὂν εἴτε μή, ἐκ τῶν ὁμωνύμων καὶ συνωνύμων γινώσκεται.

ΔΑΒΙΔ. ἐπειδὴ σκοπὸς αἱ κατηγορίαι, τὸ δὲ ὁμώνυμον κατηγορεῖται τῶν κατηγοριῶν, πᾶσα δὲ κατηγορία τῶν ὑπ' αὐτὴν εἰδῶν συνωνύμως κατηγορεῖται ὡς γένος εἰδοὺς, διὰ τοῦτο Ἀριστοτέλης προτάττει τὴν διδασκαλίαν τῶν ὁμωνύμων καὶ συνωνύμων. κἂν τούτοις προτάττει τὰ ὁμώνυμα τῶν συνωνύμων, ἐπειδὴ καὶ τὸ ἓν τῶν δύο προηγεῖται.

ΣΙΜΠΛ. α' f. 10. ἰστέον ὅτι ὅσα μὲν κατὰ τὸ ὄνομα κοινωνοῦντα διαφέρει κατὰ τὸν λόγον, ταῦτα καλεῖται ὁμώνυμα, ὅσα δὲ ἀνάπαλιν κατὰ μὲν τὸν λόγον κοινωνεῖ διαφέρει δὲ κατὰ τὸ ὄνομα, ταῦτα καλεῖται πολυώνυμα, οἷον ὁ τοῦ ἀνθρώπου ὁρισμὸς εἷς, ὀνόματα δὲ πλείονα, μέροψ βροτὸς καὶ εἴ τι τοιοῦτον· τὰ δὲ κατ' ἄμφω κοινωνοῦντα, τό τε ὄνομα καὶ τὸν λόγον, καλεῖται συνώνυμα, ὡς ἄνθρωπος καὶ ἵππος κοινωνεῖ καὶ τοῦ ὀνόματος τοῦ ζῴου καὶ τοῦ ὁρισμοῦ· ζῷα γὰρ ἄμφω καὶ οὐσία ἔμψυχος αἰσθητική, καὶ διὰ τοῦτο συνωνύμως ἀμφοῖν τὸ ζῷον κατηγορεῖται. τὰ δὲ μήτε κατὰ τὸ ὄνομα μήτε κατὰ τὸν λόγον κοινωνοῦντα καλεῖται μὲν ἑτερώνυμα, ἔστι δὲ κατὰ τὸ ἀληθὲς ἕτερα, καὶ μάλιστα ὅταν μηδὲ ὑποκείμενον ἔχωσι κοινόν, ὡς ἡ ἀνάβασις καὶ ἡ κατάβασις τὴν κλίμακα· τὰ γὰρ τοιαῦτα μᾶλλον ἂν ἑτερώνυμα λέγοιντο. ἔστι δέ τινα καὶ τὰ πῇ μὲν κοινωνοῦντα ἀμφοῖν πῇ δὲ διαφέροντα, ὡς τὰ παρώνυμα λεγόμενα, ὅταν ἀπὸ τῆς λευκότητος λευκὸν λέγηται καὶ

ματείας τὸ τῶν Κατηγοριῶν βιβλίον, ἡ δὲ λογικὴ, ὡς εἰρήκαμεν, ἡμῖν διακρίνει τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους καὶ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ, ἄρα συμβάλλεται ἡμῖν τὸ προκείμενον βιβλίον. ἀλλὰ μὴν καὶ ἡ τάξις αὐτόθεν ἡμῖν ἀναφαίνεται, εἰρηκότων ἡμῶν ὅτι ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν προηγεῖται τῶν ὀνομάτων καὶ ῥημάτων, τὰ δὲ ὀνόματα καὶ τὰ ῥήματα τῶν ἁπλῶν λόγων, οὗτοι δὲ τῶν συλλογισμῶν τῶν καθόλου, οὗτοι δὲ τῶν ἀποδεικτικῶν συλλογισμῶν· πρὸ τῆς τάξεως τοίνυν τούτων καὶ τὸ βιβλίον τοῦτο πεποίηται. Ζητητέον δὲ τί δήποτε Κατηγορίας ἐπέγραψε τὸ βιβλίον. λέγομεν τοίνυν ὅτι ἐπέγραψε τῷ ὀνόματι τούτῳ τὸ σύγγραμμα οὐχ ὥσπερ ἐν δικαστηρίῳ ποικίλλεται αὐτῇ ἡ φωνή, οὐ γὰρ πρόκειται αὐτῷ ῥητορεῦσαι, ἀλλὰ μᾶλλον διδάξαι περὶ γενῶν καὶ εἰδῶν, καὶ μαθεῖν ὅτι τὰ μὲν εἴδη τοῖς αὐτῶν γένεσιν ὑπόκεινται, τὰ δὲ γένη κατηγορεῖται τῶν εἰδῶν ἑαυτῶν, ὥστε τὰ μὲν ἄτομα μόνον ὑπόκειται, τὰ δὲ ὑπάλληλα, τουτέστι τὰ πρὸ αὐτῶν, τοῖς μὲν πρὸ αὐτῶν ὑπόκειται, τῶν δὲ μεταξὺ ταῦτα κατηγορεῖται, τὰ δὲ γενικώτατα μόνως κατηγορεῖται. ἐπειδὴ τοίνυν αἱ δέκα φωναὶ τῶν γενικωτάτων εἰσὶ καὶ μόνον κατηγοροῦνται μηδενὶ ὑποκείμεναι, διὰ τοῦτο Κατηγορίας ἐπέγραψεν.

Εἰδέναι δὲ δεῖ ὅτι ἐν ταῖς παλαιαῖς βιβλιοθήκαις τῶν μὲν Ἀναλυτικῶν μ´ βιβλία εὕρηνται, τῶν δὲ Κατηγοριῶν δύο. τὸ μὲν ἕτερον εἶχε τὴν ἐπιγραφὴν (οὕτως δέ φημι τὴν ἀρχήν) "τῶν ὄντων τὰ μὲν ὁμώνυμα λέγεται τὰ δὲ συνώνυμα"· τὸ δὲ δεύτερον, ὅπερ νῦν ἔχομεν προκείμενον, εἶχε τὴν ἐπιγραφὴν τοιαύτην, "ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ ὅρος τῆς οὐσίας ἕτερος". προτετίμηται δὲ τοῦτο ὡς τάξει καὶ πράγματι πλεονεκτοῦν καὶ πανταχοῦ πατέρα τὸν Ἀριστοτέλην κηρύττον (*). ὅτι δὲ γνήσιον τοῦ φιλοσόφου τὸ σύγγραμμα πάντες ὁμολογοῦσι· φαίνεται γὰρ ὁ Ἀριστοτέλης αὐτὸς ἐν πᾶσι τοῖς αὐτοῦ βιβλίοις μεμνημένος τῶν ἐνταῦθα θεωρημάτων· εἰ τοίνυν φήσομεν νόθον εἶναι τὸ βιβλίον, κἀκεῖνα πάντως συννοθεύσομεν τούτῳ, ἢ εἰ ἐκεῖνα γνήσια, καὶ τοῦτο δηλονότι σὺν αὐτοῖς. δεῖ μέντοι εἰδέναι ὅτι τὰ εὑρήματα τῶν κατηγοριῶν οὐκ ἔστιν αὐτοῦ ἀλλὰ προϋπῆρχεν, ἡ δὲ τούτων σύνταξις ὑπάρχει αὐτοῦ.

Διαιρεῖται δὲ τὸ βιβλίον εἰς τρία, εἰς τὰ πρὸ τῶν κατηγοριῶν, εἰς τὰς κατηγορίας αὐτάς, καὶ εἰς τὰ μετὰ τὰς κατηγορίας. τὸ δὲ πρὸ τῶν κατηγοριῶν συμβαλλόμενον ἡμῖν ἔσται εἰς τὴν τῶν κατηγοριῶν διδασκαλίαν. ὥσπερ οἱ γεωμέτραι πρὸ τῆς τῶν γραμμικῶν θεωρημάτων διδασκαλίας διδάσκουσιν ἡμᾶς τί ἐστι σημεῖον καὶ τί γωνία καὶ τί εὐθεῖα, ὡς ἂν συμβαλλόμενα αὐτοῖς ἢ εἰς τὴν τούτων διδασκαλίαν, οὕτω καὶ ὁ φιλόσοφος ἐνταῦθα· ἐπειδὴ ἔμελλεν ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ μνημονεύσειν λέξεών τινων ἡμῖν ἀγνώστων, διὰ τοῦτο περὶ αὐτῶν προδιδάσκειν θέλει, ἵνα δείξῃ τὸν λόγον μὴ συνταράττειν, εἶτα διδάξει περὶ αὐτῶν τῶν δέκα κατηγοριῶν, καὶ ὕστερον ἐν τῷ τέλει διαλέξεται περὶ τῶν μετὰ τὰς κατηγορίας. ἐπειδὴ δὲ ἐν τῷ διδάσκειν τὰς κατηγορίας ἐχρήσατο λέξεσί τισιν οὐκ ἐγνωσμέναις, διαλήψεται καὶ περὶ αὐτῶν. ἀλλὰ ζητητέον τί δήποτε καὶ μετὰ ταῦτα περὶ τῶν κατηγοριῶν ἐδίδαξε. καὶ λέγομεν ὅτι τῶν μὲν κατ' ἀρχὴν ἐμνημόνευσε προλαβὼν ὡς πάνυ ἀγνώστων· εἰ οὖν καὶ ταῦτα σὺν αὐτοῖς ἔταξε, τὸ προοίμιον ἐκτείνεσθαι συνέβαινεν· ἐφύλαξεν αὐτὰ τοίνυν ἐν τῷ τέλει ὡς ἂν ἐγνωσμένων ἐν τῇ συνηθείᾳ, οὐ μὴν διηρθρωμένην ἐχόντων τὴν περὶ αὐτῶν γνῶσιν· ὅθεν καὶ μὴ προδιαλαβὼν περὶ αὐτῶν ἐχρήσατο τούτοις ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ· πάντες γὰρ ἄνθρωποι χρῶνται κατὰ τὴν συνήθειαν τῇ τε ἅμα λέξει καὶ τῇ πρότερα καὶ τῷ τοῦ κινήματος ὀνόματι. παραδώσει τοίνυν ἀκριβῶς τίνα ποτέ ἐστι τὰ ὑπ' αὐτῶν σημαινόμενα. τινὲς δὲ εἰρήκασι προσγεγράφθαι νόθα ὑπὸ τῶν βουλομένων ἀναγινώσκεσθαι τοὺς Τόπους μετὰ τὰς Κατηγορίας εὐθέως· ἀμέλει τοι καὶ τὸ προκείμενον βιβλίον οὕτως ἐπιγράφουσι Πρὸ τῶν Τόπων. οὗτοι δὲ καὶ τῇ ἐνεργείᾳ καὶ τῇ τάξει ἀντικρὺς μάχονται, εἴγε ἐδίδαξα ὅτι τῶν μὲν ὀνομάτων καὶ τῶν ῥημάτων προηγεῖται ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν προσεχῶς, διδάσκει δὲ ἐν μὲν ταῖς Κατηγορίαις περὶ θέσεων τῶν ἁπλῶν φωνῶν, ἐν δὲ τῷ περὶ Ἑρμηνείας περὶ ὀνομάτων τε καὶ ῥημάτων· ὥστε ἑκάτερα ἔχονται ἀλλήλων ὥσπερ σειρά τις, καὶ οὔτε πρὸ ἐκείνου δύναταί τις ἄλλο ἀναγινώσκειν ἢ τὰς Κατηγορίας οὔτε μετὰ ταῦτα ἄλλο ἢ τὸ περὶ Ἑρμηνείας, καὶ αὐτὸς ὁ λόγος τε καὶ ἡ τάξις ἄχρι τῶν δευτέρων Ἀναλυτικῶν (τουτέστι τῶν Ἀποδεικτικῶν) ἐστὶ τὰ ὀφείλοντα προλέγεσθαι πάσης Ἀριστοτελικῆς φιλοσοφίας (*).

ΣΧΟΛΙΑ ΣΥΜΜΙΚΤΑ (†).

ΔΕΞΙΠΠΟΥ. πολλὰς καὶ ἀπείρους συγγραφὰς εἰς τὸ βιβλίον τοῦτο ἄλλοι τε πολλοὶ καὶ μάλιστα Πορφύριος, εἶθ' ὕστερον Ἰάμβλιχος καταβέβληνται.... σχεδὸν γὰρ κατανενόηκα ὡς οὔτε πλείους ἀντιλογίαι εἰς ἑτέραν ὑπόθεσιν γεγόνασιν οὔτε μείζους ἀγῶνες κεκί-

---

(*) Simpl. f. 8 b: ἱστορεῖ δὲ ὁ Ἄδραστος ἐν τῷ περὶ τῆς Τάξεως τῶν Ἀριστοτέλους συγγραμμάτων ὅτι φέρεται καὶ ἄλλο τῶν Κατηγοριῶν βιβλίον ὡς Ἀριστοτέλους, καὶ αὐτὸ ἐν βραχὺ καὶ σύντομον κατὰ τὴν λέξιν καὶ διαιρέσεσιν ὀλίγαις διαφερόμενον, ἀρχὴν δὲ ἔχον "τῶν ὄντων τὰ μέν ἐστι". πλῆθος δὲ στίχων ἑκατέρου τὸ αὐτὸ ἀναγράφει· ὥστε τὸ βραχὺ κατὰ τὴν λέξιν εἶπεν, ὡς συντόμως ἕκαστον τῶν ἐπιχειρημάτων ἐκτιθέμενον. cf. Ammon. f. 13 b.

(†) excerpta ex Ammonio, Boetho, Davide, Dexippo, Iohanne Philopono, Porphyrio, Simplicio. quorum Ammonii Hermiae f. commentarius in Aristotelis categorias editus est Venetiis a. 1545 8; Anicii Manlii Severini Boethi in c. A. libri quattuor in Boethi Opp. Venet. 1566 f.; Πορφυρίου εἰς τὰς Ἀ. κ. ἐξήγησις κατὰ πεῦσιν καὶ ἀπόκρισιν Parisiis 1543 4; Σιμπλικίου διδασκάλου τοῦ μεγάλου σχόλια εἰς τὰς Ἀ. κ. Venet. 1499 f. inediti reliqui, ἐξήγησις σὺν θεῷ τῶν δέκα κατηγοριῶν ἀπὸ φωνῆς Δαβὶδ τοῦ θεοφιλεστάτου φιλοσόφου in codd. Vatic. 1018 et 1023; Δεξίππου φιλοσόφου Πλατωνικοῦ τῶν εἰς τὰς Ἀ. κ. ἀποριῶν τε καὶ λύσεων in cod. Coislin. 332; Φιλοπόνου εἰς τὰς κατηγορίας in cod. Paris. Reg. 2051.

(*) Simplic. f. 9: εἰ δὲ καὶ ὑπὸ ποῖον μέρος τῆς Ἀριστοτέλους φιλοσοφίας ποθεῖ τις μαθεῖν, δῆλον ὅτι ὑπὸ τὸ ὀργανικόν· τῆς γὰρ λογικῆς πραγματείας δέδεικται τὸ πρῶτον ἐπέχουσα μέρος ἡ περὶ τῶν ἁπλῶν φωνῶν διδασκαλία, ἡ δὲ λογικὴ πᾶσα τὸ ὀργανικόν ἐστι μέρος τῆς φιλοσοφίας, ὥσπερ οἱ κανόνες τε καὶ αἱ στάθμαι τῶν τεκτόνων τε καὶ οἰκοδόμων.

δέναι χρὴ ὅτι περὶ τὴν τῶν γενομένων γένεσίν τε καὶ ποίησιν δύο τινῶν ἐστὶ χρεία, θεωρίας τε καὶ πράξεως, καὶ ἀντιπεπονθότως ἔχουσι τὰ δύο πρὸς ἄλληλα· τὸ γὰρ τοῦ ἑτέρου πέρας τῷ ἑτέρῳ γίνεται ἀρχὴ καὶ ἡ τοῦ ἑτέρου ἀρχὴ τῷ ἑτέρῳ γίνεται πέρας. ἀλλ' ἵνα ἡμῖν ἡ διδασκαλία σαφεστέρα γένηται, φέρε χρησώμεθα παραδείγματι. βούλεταί τις ἑαυτῷ κατασκευάσαι κώλυμα θάλπους καὶ ψύχους καὶ ἀνέμων καὶ ὄμβρου, τουτέστιν ὀροφήν. ὁ τοιοῦτος σκοπεῖ ὅτι μετέωρος ἡ ὀροφὴ μένειν οὐ δυνήσεται· δεῖ τοίνυν τινῶν τῶν ὀχούντων αὐτήν· ταῦτα δ' ἂν εἶεν οἱ τοῖχοι. ἀλλ' ἵνα οὗτοι στῶσι, δεῖ θεμέλια προκαταβληθῆναι αὐτῶν. ἀλλ' ἵνα ταῦτα καταβληθῶσι, δεῖ τὴν γῆν ὀρύξαι. οὕτω μὲν θεωρῶν ἤρξατο μὲν ἀπὸ τῆς ὀροφῆς, ἔληξε δὲ παρὰ τὴν ὄρυξιν τῆς γῆς. οὐκοῦν ἀνάπαλιν ἐν τῇ πράξει ἄρχεται μὲν ὀρύττειν τὴν γῆν, ὀρύξας δὲ καταβάλλει τοὺς θεμελίους, ἐπὶ τοῖς θεμελίοις τοὺς τοίχους, ἐπὶ τοῖς τοίχοις τὴν ὀροφήν, καὶ εἰς τὴν ἀρχὴν τῆς θεωρίας ἐτελεύτησεν ἡ πρᾶξις. οὕτως οὖν καὶ ἐνταῦθα ἐπὶ τῆς ἀποδείξεως. ἐπειδὴ γὰρ ἀπόδειξιν εἰδέναι βουλόμεθα, ἡ δὲ ἀπόδειξις συλλογισμός τίς ἐστι, πρὸ ἐκείνης ἄρα ζητητέον τίς ὁ ἁπλῶς συλλογισμός. ἀλλ' ἐπειδὴ ὁ ἁπλῶς οὗτος συλλογισμὸς οὐκ ἔστιν ἁπλοῦν πρᾶγμα ἀλλὰ σύνθετον, ὡς καὶ αὐτὸ τὸ ὄνομα δηλοῖ (συλλογὴ γάρ τίς ἐστι λόγων), δεῖ ἄρα μαθεῖν πρῶτον τὰ ἐξ ὧν συντίθεται, ταῦτα δέ εἰσιν αἱ προτάσεις. ἀλλ' ἐπεὶ καὶ αὗται σύγκεινται ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, καὶ ὑπόκειται μὲν τὰ ὀνόματα κατηγορεῖται δὲ τὰ ῥήματα, ἐπισκεπτέον ἄρα καὶ περὶ τούτων. ἀλλὰ καὶ ταῦτα σύγκειται ἐκ τῶν συλλαβῶν, ἀλλ' αὐτὰ καθ' αὐτὰ οὐδὲν σημαίνουσιν, ὥστε περὶ τούτων οὐδὲν ὁ φιλόσοφος ζητήσει· περὶ γὰρ τῶν ἀσήμων εἰρήκαμεν ὡς οὐδὲ εἷς αὐτῷ λόγος. ἆρ' οὖν ἐπὶ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων στησόμεθα; λέγομεν ὅτι οὔ, ἀλλ' ἐπέκεινα προβησόμεθα. ἐπέκεινα δὲ τούτων αἱ συλλαβαί. ζητήσομεν οὖν περὶ συλλαβῶν; λέγομεν ὅτι οὐδὲ ταύτας. οὐκοῦν εἰ καὶ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων ἐπέκεινα βαδιούμεθα καὶ περὶ συλλαβῶν οὐδὲν διαλεξόμεθα, ἀνάγκη εἶναί τι ἐν μέσῳ αὐτῶν. λέγομεν τοίνυν ὅτι ἔστι πρὸ τούτων ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν· εἰδέναι γὰρ δεῖ ὅτι ἡ φύσις γινώσκουσα ὅτι κοινωνεῖν ἤμελλεν τὸ ζῷον τοῦτο, ἔδωκεν αὐτῷ φωνήν, ἵνα διὰ ταύτης αἱ φωναὶ (αἱ κοινωνίαι?) σημαίνωσι τὰ ἑαυτῶν νοήματα, καὶ συνελθόντες ἄνθρωποι ὅσοι τῆς αὐτῆς ἠβούλοντο κοινωνῆσαι πολιτείας συνέθεντο πρὸς ἀλλήλους τόδε μὲν (εἰ τύχη) ὀνομάζεσθαι ξύλον τὸ δὲ λίθον, καὶ τὴν μὲν Σωκράτης φωνὴν τῆσδέ τινος οὐσίας εἶναι σημαντικήν, τὴν δὲ περιπατεῖν τῆσδέ τινος ἐνεργείας. κατὰ τοῦτο μὲν οὖν τὸ σημαινόμενον ἅπασαι φωναὶ ὀνομάζονται. κατὰ δευτέραν δὲ ἐπιβολὴν ἐπέσκεψαν ὅτι ταῖς μὲν τῶν φωνῶν δύναται συνάπτεσθαι ἄρθρα, χρόνοι δὲ οὐχί, ταῖς δὲ χρόνοι μὲν συντάττονται, ἄρθρα δὲ οὔ· καὶ τὰ μὲν ἐκάλεσαν ὀνόματα ὅπου τὰ ἄρθρα, τὰ δὲ ὅπου χρόνοι ῥήματα. καὶ λέγονται κατὰ τὴν πρώτην ἐπιβολὴν πρώτην θέσιν ἐσχηκέναι αἱ φωναί, κατὰ δὲ τὴν δευτέραν θέσιν δευτέραν. ὁ τοίνυν σκοπός ἐστι τῷ Ἀριστοτέλει διαλαβεῖν οὐ περὶ ὀνομάτων ἁπλῶς καὶ ῥημάτων, ἀλλὰ περὶ τῆς πρώτης θέσεως τῶν ἁπλῶν φωνῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσων ἁπλῶν νοημάτων. καὶ κατὰ μὲν τὴν θεωρίαν οὕτως ἀναλύοντες ἐληλύθαμεν παρὰ τὴν πρώτην θέσιν. ἠρξάμεθα μὲν ἀπὸ τῶν Κατηγοριῶν, ἐν αἷς ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν ἡμῖν παραδίδοται· μετ' ἐκεῖνο δὲ τὸ περὶ Ἑρμηνείας ἀναλεξόμεθα, ἐν ᾧ καὶ περὶ ὀνομάτων καὶ ῥημάτων καὶ περὶ προτάσεων· εἶτα τὰ πρῶτα Ἀναλυτικά, ἐν οἷς τὸν καθόλου συλλογισμὸν ἔστιν εὑρεῖν, καὶ οὕτως ὕστερον τὰ Ἀποδεικτικά. ἆρ' οὖν ἐν ταῖς Κατηγορίαις περὶ πασῶν τῶν φωνῶν διαλέγεται καὶ πᾶσαν ἡμῖν φωνὴν ἐνταῦθα παραδίδωσιν; οὐ δήπου· ἄπειρα γάρ εἰσι, τὰ δ' ἄπειρα ἐπιστήμη οὐ περιλαμβάνεται, ὥστε διὰ τοῦτο οὐ διαλήψεται περὶ πασῶν τῶν κατὰ μέρος ἀλλ' εἰς καθόλου τινὰς ἀνάγων φωνάς, καὶ ταύτας οὐκ ἀορίστους ἀλλὰ τῷ τῆς δεκάδος ἀριθμῷ περικεκλεισμένας· ὑπὸ δὲ ταύτας ἀνάγονται πᾶσαι. ὥσπερ γὰρ οἱ γραμματικοὶ τὰς λέξεις ταύτας ὑπό τινας ὀκτὼ γενικὰς κοινοτάτας συνέλαβον, ὄνομα ῥῆμα μετοχὴν ἄρθρον ἀντωνυμίαν πρόθεσιν ἐπίρρημα σύνδεσμον, καὶ οἵαν δήποτέ τις ἐπινοήσειεν ὑπὸ μίαν τούτων ἀνάγεται, οὕτω καὶ οἱ φιλόσοφοι πάντα τὰ ὄντα βουλόμενοι διδάξαι, ἐπειδὴ τὰ κατὰ μέρος ἀπερίληπτά εἰσι, συνάγοντες ἅπαντα περιέκλεισάν τε καὶ περιέγραψαν ὑπό τινας δέκα φωνάς. λαβόντες γὰρ (εἰ τύχη) τὴν Σωκράτης φωνὴν καὶ Πλάτων καὶ Ἀλκιβιάδης, ὑπὸ καθολικώτερον εἶδος ἀνήγαγον τὴν ἄνθρωπος φωνήν, ὁμοίως καὶ τῶν κατὰ μέρος κυνῶν ὑπὸ ἓν εἶδος τὸ τοῦ κυνός, τῶν κατὰ μέρος ἵππων, οἷον Ξάνθου καὶ Βαλίου, ὑπὸ τὴν τοῦ ἵππου. ταῦτα πάντα τὰ εἴδη συναγαγόντες εἰς ἕν τι καθολικώτερον συνήγαγον τὸ ἄλογον. ὁμοίως δὲ καὶ ἄγγελον καὶ ἄνθρωπον ὑπό τι συναγαγόντες ἓν ἐποίησαν τὸ λογικόν. πάλιν τὸ λογικὸν καὶ τὸ ἄλογον εἰς ἓν συναγαγόντες ἐποίησαν τὸ ζῷον. εἶτα συναγαγόντες πλάτανον καὶ συκῆν καὶ κυπάριττον καὶ τὰ κατὰ μέρος εἴδη ἀνήγαγον ὑπὸ ἓν γένος τὸ φυτόν. ὁμοίως δὲ συναγαγόντες ἐχίνους καὶ ὄστρα καὶ τὰ ἄλλα τὰ ὅμοια τούτοις ἀνήγαγον ὑπὸ ἓν γένος τὸ ζωόφυτον, μέσον τοῦ ζῴου καὶ τοῦ φυτοῦ, ἐπειδὴ οὔτε κινοῦνται κατὰ τόπον ὡς τὰ ζῷα οὔτε μὴν ἀναίσθητα ὡς τὰ φυτά. ταῦτα πάλιν τὰ τρία, λέγω δὴ τὸ ζῷον καὶ τὸ φυτὸν καὶ τὸ ζωόφυτον, συναγαγόντες εἴς τι κοινὸν ἐποίησαν τὸ ἔμψυχον, λίθον δὲ καὶ ξύλα συναγαγόντες καὶ τὰ τούτοις ὅμοια ἀνήγαγον ὑπὸ τὸ ἄψυχον· καὶ αὖθις τὸ ἔμψυχον καὶ ἄψυχον συναγαγόντες ἀνήγαγον ὑπὸ τὸ σῶμα· εἶτα ψυχὴν καὶ ἄγγελον καὶ τὰ ὅμοια τούτοις ὑπὸ τὸ ἀσώματον· εἶτα ταῦτα συναγαγόντες ἀνήγαγον εἰς τὴν γενικωτάτην οὐσίαν· ταύτης γὰρ ἀνώτερον ἕτερον οὐδέν ἐστι. πάλιν συναγαγόντες ἀριθμόν, δίπηχυ καὶ τρίπηχυ, ἀνήγαγον ὑπὸ ἓν γενικώτατον, τὴν ποσότητα. πάλιν συναγαγόντες λευκὸν καὶ μέλαν καὶ γραμματικὸν καὶ ἐπιστῆμον καὶ θερμὸν καὶ ψυχρὸν ἀνήγαγον κοινῶς ὑπὸ ἓν γενικώτατον, τὴν ποιότητα, καὶ αὖθις δεξιὸν καὶ ἀριστερὸν καὶ φίλον καὶ ἐχθρὸν ὑπὸ τὰ πρός τι. καὶ πάλιν ὅσα ἐν τόπῳ τινὶ λέγεται εἶναι, οἷον ἐν Λυκείῳ ἐν Ἀκαδημίᾳ ἢ ἐν ἀγορᾷ, ὑπὸ τὴν ποῦ κατηγορίαν ἀναφέρονται. καὶ ὅσα δὲ ὑπό τινα χρόνον ἀνάγονται, ὑπὸ τὴν ποτὲ κατηγορίαν ἐστίν, ὅσα δὲ ἀνακεῖσθαι ἢ καθέζεσθαι, ὑπὸ τὴν κεῖσθαι, ὅσα δὲ ὑποδεδέσθαι καὶ ὡπλίσθαι ὑπὸ τὸ ἔχειν, ὅσα δὲ τέμνεσθαι ἢ καίεσθαι, ὑπὸ τὸ πάσχειν, ὅσα δὲ καίειν ἢ τέμνειν, ὑπὸ τὸ ποιεῖν. ἔσχον οὖν οὐσίαν, ποιόν, ποσόν, πρός τι, ποῦ, ποτέ, ποιεῖν, πάσχειν, κεῖσθαι, ἔχειν. καὶ ὁ μὲν σκοπὸς οὗτος, τὸ δὲ χρήσιμον αὐτόθι δῆλον· εἰ γὰρ ἀρχὴ τῆς λογικῆς ἐστὶ πραγ-

ἐστιν), οὐδ' ὅτι οἱ θεοὶ μοιχεύουσι (τῶν ἀτόπων γὰρ εἴη τοὺς μὲν μοιχοὺς ἀνθρώπους κολάζεσθαι, θεοῖς δὲ αὐτὰ συγχωρεῖν), ἀλλὰ δῆλον ὅτι ἄλλα μέν τινά ἐστι κατὰ τὸ κεκρυμμένον ἀληθῆ, ἄλλα δὲ τὰ φαινόμενα. ὅθεν καὶ δέος ἐστὶ μὴ τὰ τοιαῦτα πλάσματα ἐρριζῶσθαι ταῖς ψυχαῖς τῶν νέων ἁπαλαῖς οὔσαις καὶ δυσμεταθέτως ἐχούσαις περὶ αὐτά· καὶ διὰ τοῦτο τῶν ποιητῶν τοὺς τερατωδεστέρους ἀναπλάττουσι μύθους, ἵνα ἐξ αὐτῶν τὸ ἄπιστον ἔχωσι. διὰ τοῦτο τοίνυν ὁ φιλόσοφος ἀσάφειαν ἐπετήδευσεν, ὡς εἰρήκαμεν.

Ἑπόμενον δὲ ἔνατόν ἐστι ζητῆσαι πόσα καὶ ποῖα δεῖ προλαμβάνεσθαι τῆς ἐξηγήσεως παντὸς Ἀριστοτελικοῦ βιβλίου. ὥσπερ ὁ τοξότης, εἰ τύχῃ, σκοπόν τινα ἔχει πρὸς ὃν βάλλει καὶ οὗ θέλει τυχεῖν, οὕτως καὶ ὁ γράφων τι πρὸς τὸ τέλος ἀφορᾷ κἀκείνου σπουδάζει τυχεῖν. δεῖ οὖν τοῦτο ζητεῖν ὅτι ποτέ ἐστι. δεύτερον ἐπὶ τούτῳ, τί χρήσιμον ἕξομεν ἐκ τοῦ συγγράμματος, εἰ μὴ συναναφαίνοιτο τῷ σκοπῷ· ἐπὶ πολλῶν γὰρ τοῦτο συμβαίνει, ὥσπερ ἀμέλει ἐν τῷ περὶ Ψυχῆς αὐτόθεν τῷ σκοπῷ συμμανθάνομεν ὅτι χρήσιμόν ἐστι περὶ ψυχῆς ἐπεσκέφθαι. τρίτον τίς ἡ λέξις. τέταρτον τίς ἡ αἰτία τῆς ἐπιγραφῆς, εἰ μὴ καὶ αὕτη πρόδηλος εἴη, ὡς ἐν τῇ περὶ Οὐρανοῦ ἢ ἐν τῇ περὶ Γενέσεως καὶ Φθορᾶς. πέμπτον εἰ νόθον ἢ γνήσιον τοῦ φιλοσόφου· πολλοὶ γὰρ αὐτῶν συντιθέντες ἐπέγραφον τῷ τοῦ Ἀριστοτέλους ὀνόματι, οὓς ἐλεγκτέον ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης· εἶδος μὲν οὖν ἡ ποικιλία τῶν νοημάτων καὶ ἡ ἐπανθοῦσα τοῖς λόγοις ἀλήθεια, ὕλη δὲ ἡ φράσις καὶ ἡ τῆς ἀπαγγελίας διδασκαλία. ἕκτον δεῖ ζητεῖν τίς ἡ εἰς τὰ κεφάλαια διαίρεσις· ὥσπερ γὰρ ὁ ἐπεσκεμμένος ἕκαστον τῶν τοῦ ἀνθρώπου μελῶν τε καὶ ἄρθρων, οὗτος ἄριστ' ἂν εἰδείη καὶ τὸ ἐξ αὐτῶν συντιθέμενον, ὅλον τὸν ἄνθρωπον, οὕτως καὶ ὁ τὰ κεφάλαια τοῦ λόγου διελθὼν εἰς ἃ διῄρηται, ἄριστα καὶ αὐτὸν εἴσεται τὸν λόγον. Δέκατον ἐπὶ πᾶσι δεῖ ζητεῖν τὸν ἐξηγούμενον τὰ Ἀριστοτέλους συγγράμματα ὁποῖον δεῖ εἶναι. καὶ λέγομεν ὅτι δεῖ καὶ ἄριστα εἰδέναι αὐτὸν ἃ μέλλει ἐξηγεῖσθαι, εἶναι μέντοι καὶ ἔμφρονα ἄνδρα· τὸ μὲν γὰρ παρίστησι τὴν τοῦ φιλοσόφου διάνοιαν, τὸ δὲ τὴν ἐν τοῖς λεγομένοις ἀλήθειαν ἐξετάζει· οὐ δεῖ γὰρ ὥσπερ ἐκμεμισθωκέναι ἑαυτὸν πάντως, καὶ ἀνέχεσθαι ὅ τι ἂν λέγηται, καὶ σπουδάζειν ἐκεῖνα πάντα κρατῦναι ἃ ἐξηγεῖται ὡς ἀληθῆ πάντα κἂν μὴ οὕτως ἔχῃ, ἀλλὰ δεῖ ἕκαστον κρίνοντα βασανίζειν, ἐπίπροσθεν Ἀριστοτέλους θέμενον, εἰ τύχῃ, τὴν ἀλήθειαν. οὕτως οὖν ἐξηγεῖσθαι χρὴ τὸν ἐξηγούμενον.

Ἀλλ' ἐπειδὴ τοῦ τῶν Κατηγοριῶν βιβλίου βουλόμεθα ἄρξασθαι, φέρε τὰ μικρὸν ἀνώτερον εἰρημένα ζητήσωμεν, καὶ πρῶτον τὸν σκοπόν. ἰστέον τοίνυν ὅτι διηνέχθησαν οἱ ἐξηγηταὶ περὶ τούτου, οἱ μὲν περὶ φωνῶν εἰρηκότες ἐθέλειν τὸν φιλόσοφον διαλαβεῖν οἱ δὲ περὶ πραγμάτων οἱ δὲ περὶ νοημάτων. καὶ κρατύνουσιν ἕκαστοι τὰ ὑφ' ἑαυτῶν λεγόμενα ἔκ τινων τοῦ βιβλίου λέξεων, οἱ μὲν περὶ φωνῶν λέγοντες ὅτι φαίνεται διαιρῶν τὰς φωνὰς ὅταν λέγῃ ὅτι τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται τὰ δὲ ἄνευ συμπλοκῆς· οἱ δὲ περὶ πραγμάτων, ὅτι ταῦτα φαίνεται διαιρῶν ὅταν λέγῃ ὅτι τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν· οἱ δὲ περὶ νοημάτων, ὅτι μετὰ τὸ πληρῶσαι τὸν περὶ τῶν δέκα κατηγοριῶν λόγον φησὶ "περὶ τῶν γενῶν ἱκανὰ καὶ ταῦτα." γένη δὲ δηλονότι φησὶ τὰ ὑστερογενῆ καὶ ἐννοηματικά, ὅθεν καὶ ὁ Πορφύριος εἶπεν "οὐδὲν ἄρα περιττὸν οὐδὲ ἐλλεῖπον περιέχει ἡ τοῦ γένους ῥηθεῖσα ὑπογραφὴ τῆς ἐννοίας, ὥστε καὶ ὁ σκοπὸς αὐτῷ περὶ μόνων νοημάτων". καὶ ταῦτα μὲν ἕκαστοι λέγουσι, καὶ δοκοῦσι διαφωνεῖν, τῷ δὲ ὄντι ὅτι οὐ διαφωνοῦσιν ἀλλὰ πάντες ἀληθεύουσι, πλὴν οὐ τελείως ἀλλ' ἐκ μέρους· ὥσπερ γὰρ εἰ τρεῖς ὁριζόμενοί τινες τὸν ἄνθρωπον ἀληθῆ μὲν εἴπωσιν, οὐ μὴν καὶ τέλειον παραδιδόντες λέγουσι· φέρε γὰρ ἐξ ὑποθέσεως λέγειν τινὰ "ἄνθρωπός ἐστι ζῷον", ἄλλον δὲ λέγειν "ἀλλὰ λογικὸν μόνον ἀρκεῖ", καὶ ἄλλον ὅτι θνητόν, ἰδοὺ πάντες ἀληθεύουσι μὴ λέγοντες τέλειον ὁρισμόν. ἔστιν οὖν σκοπὸς ἐνταῦθα τῷ φιλοσόφῳ διαλαβεῖν περὶ φωνῶν σημαινουσῶν πράγματα διὰ μέσων νοημάτων. ὅτι δὲ καὶ ἀνάγκη τὸν λέγοντα περὶ ἑνὸς τῶν εἰρημένων εἶναι τὸν σκοπὸν συνάγειν καὶ τὰ λοιπὰ δύο, ταύτῃ δείξομεν. ὅτε δὲ περὶ φωνῶν λέγω, περὶ ἀσήμων φημὶ ἢ σημαντικῶν· ἀλλὰ περὶ ἀσήμων οὔ φημι, περὶ τούτων γὰρ οὐδὲ εἷς λόγος τοῖς φιλοσόφοις· περὶ σημαντικῶν ἄρα. σημαίνουσι δὲ αὗται πράγματα διὰ μέσων δηλονότι νοημάτων· ὁ γὰρ λέγων τι πρᾶγμα, τὴν περὶ αὐτοῦ πρῶτον ἔννοιαν ἔχων τότε αὐτό φησιν· ὥστε περὶ τῶν τριῶν πρῶτον ἐξ ἀνάγκης διαλέξεται. ἀλλὰ δὴ καὶ οἱ περὶ πραγμάτων λέγοντες εἰς μέσον ἐναγέσθωσαν. ἐπειδὴ τοίνυν καὶ τούτων τὰ μὲν ἐν ψιλῇ ἐπινοίᾳ μόνον ἐστίν, ὡς τὸ τραγέλαφος καὶ ἱπποκένταυρος καὶ ὅσα τοιαῦτα, τὰ δὲ καὶ ὄντως ὑφεστῶτα ἐστίν, οὐ δήπου περὶ τῶν ἐν ψιλῇ ἐπινοίᾳ κειμένων διαλαμβάνειν ἐροῦσι τὸν φιλόσοφον, ἀλλὰ περὶ τῶν ὄντως ὄντων καὶ ὑφεστηκότων. ταῦτα ἡμᾶς διδάξει οὐ τῷ δακτύλῳ ἐπιδεικνὺς ὅτι τόδε μὲν ξύλον τόδε δὲ (εἰ τύχῃ) λίθος, ἀλλὰ διὰ φωνῶν τινῶν σημαινουσῶν αὐτὰ διὰ μέσων νοημάτων. ἀλλὰ μὴν καὶ πρὸς τοὺς λέγοντας περὶ νοημάτων μόνων εἶναι τὸν σκοπὸν ἐροῦμεν ὅτι τὰ νοήματα πραγμάτων εἰσὶ νοήματα καὶ ὁ διδάσκων αὐτὰ τὰς σημαινούσας αὐτὰ διδάσκει φωνάς. ὥστε ὅ τι ἂν τις εἴπῃ τῶν τριῶν, ἐξ ἀνάγκης ὁμολογήσει καὶ τὰ ἄλλα δύο. καλῶς τοίνυν ἡμεῖς συνελόντες λέγομεν ὅτι σκοπός ἐστιν ἐνταῦθα τῷ φιλοσόφῳ διαλεχθῆναι περὶ φωνῶν σημαινουσῶν πράγματα διὰ μέσων νοημάτων. καὶ τοῦτο εἰκότως· τὸ γὰρ προκείμενον βιβλίον καὶ τῆς λογικῆς πραγματείας καὶ πάσης Ἀριστοτελικῆς φιλοσοφίας ἐστὶ πρῶτον. ὡς μὲν οὖν πρῶτον τῆς λογικῆς πραγματείας περὶ φωνῶν διδάσκει, ὡς δὲ προηγούμενον καὶ τῆς ἄλλης Ἀριστοτελικῆς φιλοσοφίας τῶν ὄντων ποιεῖται διαίρεσιν, τουτέστι τῶν πραγμάτων. ἐκ δὲ τούτου δῆλον ὅτι διὰ μέσων νοημάτων· τὰ γὰρ ἄκρα διδασκόμενα καὶ τὸ μέσον ἐξ ἀνάγκης συνδιδάσκει. ἀλλ' ἵνα καὶ ἀκριβέστερον τοῦ σκοποῦ ἀντιλαβώμεθα, φέρε τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων ἀναμνήσωμεν. ἐλέγομεν ὅτι τῆς φιλοσοφίας δύο ἐστὶ μέρη, τό τε θεωρητικὸν καὶ τὸ πρακτικόν, καὶ ὅτι τὸ θεωρητικὸν ἔχει περὶ τὴν κατάληψιν τοῦ ψεύδους καὶ τοῦ γ' ἀληθοῦς, τὸ δὲ πρακτικὸν περὶ τὴν διάκρισιν τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ. ἀλλ' ἐπειδὴ τούτων ἑκάτερον ὑποδύεται τινὰ μὲν ὡς ἀληθῆ μὴ ὄντα ἀληθῆ, τινὰ δὲ ὡς ἀγαθὰ μὴ ὄντα ἀγαθά, ἵνα μὴ ἀπατῶνται ὑπ' αὐτῶν οἱ ἄνθρωποι, δεῖ αὐτοῖς τινὸς ὀργάνου διακρίνοντος αὐτῶν τὰ τοιαῦτα, ἵνα ὥσπερ γνώμῃ τινὶ καὶ κανόνι χρώμενοι τὰ μὴ ἐφαρμόζοντα ἀπωθεῖντο. τοῦτο δέ ἐστιν ἡ ἀπόδειξις. ἀλλ' εἰ-

προσώπων ἀναπλάττει τὰ τυχόντα. τοῦτο δὲ ψευδές ἐστιν· ἐξωτερικὰ γὰρ ὠνόμασαι ἐπειδὴ πρὸς τοὺς ἐπιπολαίως συνιέντας γέγραπται, ἐπιτηδεύσαντος τοῦ φιλοσόφου ἐν αὐτοῖς φράσιν τε σαφεστέραν καὶ τὰς ἀποδείξεις οὐκ ἀποδεικτικάς, μᾶλλον δὲ πιθανὰς ἐξ ἐνδόξων, τὰ δὲ ἀκροαματικὰ ὡς ἂν δέον αὐτῶν ἀκροάσασθαι τὸν σπουδαῖόν τε καὶ τῷ ὄντι γνήσιον ἐραστὴν τῆς φιλοσοφίας. τῶν δὲ ἀκροαματικῶν τὰ μέν ἐστι θεωρητικὰ τὰ δὲ πρακτικὰ τὰ δὲ ὀργανικά, θεωρητικὰ μὲν ὅσα περὶ τὴν διάκρισιν ἔχει τοῦ ἀληθοῦς καὶ ψευδοῦς, πρακτικὰ δὲ ὅσα περὶ τὴν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. ἀλλ' ἐπειδὴ τὸ θεωρητικὸν ὑποδύεταί τινα ὡς ἀληθῆ μὲν ὄντα, μὴ ὄντα δὲ ἀληθῆ, καὶ τὸ πρακτικὸν ὁμοίως τῷ τοῦ ἀγαθοῦ κεχρισμένα ὀνόματι μὴ ὄντα ἀγαθά, δεῖ ἡμᾶς ὀργάνου τινὸς τοῦ διακρίνοντος τὰ τοιαῦτα. τί δέ ἐστι τοῦτο; ἀπόδειξις. πάλιν δὲ τῶν θεωρητικῶν τὸ μὲν θεολογικὸν τὸ δὲ μαθηματικὸν τὸ δὲ φυσιολογικόν, καὶ τῶν πρακτικῶν τὸ μὲν ἠθικὸν τὸ δὲ οἰκονομικὸν τὸ δὲ μαθητικόν· καὶ τῶν ὀργανικῶν τὰ μὲν εἰς τὰ περὶ τῶν ἀρχῶν τῆς μεθόδου, τὰ δὲ εἰς τὰ περὶ τῶν ἄλλως εἰς τὴν μέθοδον συντελούντων, τὴν ἀποδεικτικὴν λέγω. ἐπειδὴ γὰρ ἡ ἀπόδειξις συλλογισμὸς ἐπιστημονικός, δεῖ πρὸ τούτου τὸν καθόλου συλλογισμὸν εἰδέναι. ἀλλ' αὐτὸ τὸ τοῦ συλλογισμοῦ ὄνομα δηλοῖ οὐχ ἁπλοῦν τι ἀλλὰ σύνθετον· συλλογὴν γάρ τινων λόγων σημαίνει· οὐκοῦν πρὸ ἐκείνου δεῖ μαθεῖν τὰ ἁπλᾶ ἐξ ὧν συντίθεται, ταῦτα δέ εἰσιν αἱ προτάσεις. ἀλλὰ καὶ αὗται ἐξ ὀνομάτων καὶ ῥημάτων· οὐκοῦν δεῖ ταῦτα προμαθεῖν. τὰ ὀνόματα μὲν οὖν καὶ τὰ ῥήματα διδάξουσιν αἱ Κατηγορίαι, τὰς δὲ προτάσεις τὸ περὶ Ἑρμηνείας, τὸν δὲ καθόλου συλλογισμὸν τὰ Πρότερα Ἀναλυτικά. ταῦτα τοίνυν αἱ ἀρχαὶ τῆς μεθόδου εἰσί. τὰ δὲ Δεύτερα Ἀναλυτικὰ αὐτὴν ἡμᾶς διδάξει τὴν μέθοδον, τουτέστι τὸν ἀποδεικτικὸν συλλογισμόν. ἀλλὰ πάλιν ὥσπερ οἱ ἰατροὶ τὰ ἰατρικὰ παραδιδόντες τοῖς νέοις μαθήματα μέμνηνται σὺν τοῖς ὠφελοῦσι καὶ τῶν δηλητηρίων ὑπὲρ τοῦ τὰ μὲν ἑλεῖν τὰ δὲ φυγεῖν, οὕτω κἀνταῦθα, ἐπειδὴ οἱ σοφισταὶ πράγματα παρέχουσι τοῖς τῆς ἀληθείας εὑρεταῖς, σοφιστικοῖς τισὶ συλλογισμοῖς αὐτοὺς ἐθέλοντες παρακρούεσθαι, γράφει καὶ τοῦτο ὁ φιλόσοφος, ἵνα φεύγωμεν αὐτούς. καὶ λέγονται οὗτοι ἄλλως συμβάλλεσθαι τῇ μεθόδῳ, ὥσπερ εἴ τις ἐθελήσας διδάξαι πῶς δεῖ λόγους συντάξαι, πρῶτον διέλθῃ περὶ ὀνομάτων καὶ ῥημάτων καὶ πρὸ ἐκείνων περὶ τῶν συλλαβῶν καὶ ἔτι πρὸ ἐκείνων περὶ τῶν στοιχείων· καὶ λέγεται τὰ μὲν στοιχεῖα καὶ αἱ συλλαβαὶ καὶ τὰ ὀνόματα καὶ τὰ ῥήματα ἀρχαὶ τῆς μεθόδου τῆς ὥσπερ δεῖ λογοποιεῖν, τὰ δὲ περὶ αὐτῆς τῆς λογοποιΐας περὶ αὐτῆς τῆς μεθόδου· εἰ δ' ἀπαριθμήσαιτο καὶ τὰς τοῦ λόγου κακίας, λέγοιτ' ἂν οὗτος διειλέχθαι καὶ περὶ τῶν ἄλλων τῶν συμβαλλομένων τῇ μεθόδῳ. τοιαύτη ἡ τῶν Ἀριστοτελικῶν συγγραμμάτων διαίρεσις.

Ζητήσωμεν τρίτον πόθεν ἀρκτέον. ἀκόλουθον μὲν ἦν ἀπὸ τῆς ἠθικῆς ἄρξασθαι πραγματείας, ὡς ἂν πρότερον τὰ ἑαυτῶν ἤθη κοσμήσαντες οὕτω τῶν ἄλλων ἐντὸς γενώμεθα λόγων(*). ἀλλ' ἐπειδὴ καὶ ἐν ἐκείνοις κέχρηται ἀποδείξεσι καὶ συλλογισμοῖς, ἐμέλλομεν δὲ αὐτοὺς ἀγνοεῖν ἀνήκοοι τῶν τοιούτων ὑπάρχοντες λόγων, διὰ τοῦτο ἄρα ἀπὸ τῆς λογικῆς ἀρκτέον, προκοσμήσαντας μὲν τὰ ἑαυτῶν ἤθη καὶ δίχα τῆς ἠθικῆς πραγματείας. μετὰ δὲ τὴν λογικὴν ἰτέον ἐπὶ τὴν ἠθικήν, καὶ οὕτως ἀντιληπτέον τῶν φυσικῶν, καὶ μετ' ἐκεῖνα τῶν μαθηματικῶν, καὶ οὕτως ἔσχατον τῶν θεολογικῶν. Τέταρτον ἐπὶ τούτοις ζητητέον τί τὸ τέλος καὶ τὸ ἀναφαινόμενον ἡμῖν χρήσιμον ἐκ τῆς Ἀριστοτελικῆς φιλοσοφίας. καὶ λέγομεν ὅτι τὸ ἀνενεχθῆναι ἐπὶ τὴν κοινὴν ἁπάντων ἀρχὴν καὶ γνῶναι ὅτι μία ἐστὶν αὕτη ἀσώματος ἀμερὴς ἀπερίληπτος ἀπεριόριστος ἀπειροδύναμος αὐτοαγαθότης· οὐ γὰρ μόνον ἀγαθόν. ἰστέον γὰρ ὅτι ὥσπερ λευκὸν λέγομεν τὸ δεδεγμένον σῶμα τὴν λαμπρότητα, λευκότητα δὲ αὐτὴν τὴν ποιότητα, οὕτω καὶ ἐπὶ τῆς ἀγαθότητος· ἀγαθὸν γὰρ λέγεται τὸ δεδεγμένον σῶμα τὴν ἀγαθότητα καὶ τὸ μετέχον αὐτῆς, ἀγαθότης δὲ οἷον οὐσία καὶ ὕπαρξίς τις οὖσα. Πέμπτον ἐπὶ τούτοις ζητήσωμεν τίνα τὰ ἀνάγοντα ἐπὶ τὴν εἰρημένην ἀρχὴν ἡμᾶς, ἥτις ἡμῖν ἐκ τῆς Ἀριστοτέλους φαίνεται φιλοσοφίας. καὶ λέγομεν ὅτι πρῶτον μὲν ἡ ἠθικὴ πραγματεία, ἔπειτα μετ' ἐκείνην ἡ περὶ τῶν φυσικῶν, καὶ οὕτως ἡ μαθηματική, καὶ ἐσχάτης ἐπὶ τούτοις ἀντιληψόμεθα τῆς θεολογίας. Ἕκτον ζητήσωμεν πῶς δεῖ παρασκευάσασθαι τὸν ἀκροασόμενον τῶν Ἀριστοτελικῶν συγγραμμάτων. καὶ λέγομεν ὅτι τὸν πεπαιδευμένον τὰ ἤθη καὶ τὴν ψυχὴν κεκαθαρμένον· μὴ καθαρὸν γὰρ καθαροῦ ἐφάπτεσθαι οὐ θεμιτὸν ὁ Πλάτων ἔφησεν. Ἕβδομον ἡμῖν πρόκειται τί τὸ εἶδος τῆς ἀπαγγελίας τῶν Ἀριστοτελικῶν συγγραμμάτων. καὶ λέγομεν ὅτι διαφερόντως ὁ φιλόσοφος ἑρμηνεύσας φαίνεται· ἐν μὲν γὰρ τοῖς ἀκροαματικοῖς κατὰ μὲν τὰ νοήματα πυκνός ἐστι καὶ συνεστραμμένος καὶ ἀπορητικός, κατὰ δὲ τὴν φράσιν ἀπέριττος διὰ τὴν τῆς ἀληθείας εὕρεσίν τε καὶ σαφήνειαν, ἔστι δὲ ὅπῃ καὶ ὀνοματοθετεῖ, εἰ δέοι. ἐν δέ γε τοῖς διαλογικοῖς, ἃ πρὸς τοὺς πολλοὺς αὐτῷ γέγραπται, καὶ ὄγκου φροντίζει τινὸς καὶ περιεργίας λέξεων καὶ μεταφορᾶς, καὶ πρὸς τὰ τῶν λεγόντων πρόσωπα σχηματίζει τὸ εἶδος τῆς λέξεως, καὶ ἁπλῶς ὅσα λόγου οἶδε καλλωπίζειν ἰδέαν. ἐν δὲ ταῖς ἐπιστολαῖς φαίνεται κατωρθωκὼς τὸν ἐπιστολιμαῖον χαρακτῆρα, ὃν καὶ σύντομον εἶναι δεῖ καὶ σαφῆ καὶ ἀπηλλαγμένον πάσης περισκελοῦς συνθέσεώς τε καὶ φράσεως. Ὄγδοον ζητήσωμεν τί δήποτε τοιαύτην ἀσαφῆ διδασκαλίαν ἐζήλωσεν ὁ φιλόσοφος. καὶ λέγομεν, καθάπερ ἐν τοῖς ἱεροῖς κέχρηνται παραπετάσμασιν ὑπὲρ τοῦ μὴ πάντας ἤδη καὶ τοὺς βεβήλους ἐντυγχάνειν τοῖς ὧν οὐκ ἔστιν ἄξιον τυγχάνειν, οὕτω καὶ Ἀριστοτέλης προκαλύμματι τῆς αὐτοῦ φιλοσοφίας κέχρηται τῇ ἀσαφείᾳ, ἵνα οἱ μὲν σπουδαῖοι δι' αὐτὸ τοῦτο μᾶλλον ἔτι τὰς ἑαυτῶν συντείνωσι ψυχάς, οἱ δὲ ῥαθύμως τε καὶ χαύνως τοῖς τοιούτοις προσιόντες λόγοις ὑπὸ τῆς ἀσαφείας διώκωνται. οὕτω καὶ οἱ ποιηταὶ πλάττουσι μύθους, ἄλλα μὲν κατὰ τὸ φαινόμενον δοκοῦντες λέγειν, ἄλλα δὲ τῷ ὄντι κρύπτοντες· οὐ γὰρ δήπου τὸν ποιητὴν τοῦτο ἂν ὑπέλαβον ἐννοεῖν ὃ καὶ φησίν, ὅτι ὁ Κρόνος τοὺς ἐξ αὐτοῦ τικτομένους υἱεῖς κατέπινέ τε καὶ ἤμει (τοῦτο γὰρ ἀνόητον

(*) Simpl. f. 3 b: δεῖ οὖν πρώτης τῆς ἀπὸ τῶν ἠθικῶν καταρτίσεως, οὐκ ἀποδεικτικῶς ἀλλ' ὀρθοδοξαστικῶς τὰ ἤθη παραλαμβανόντων ἡμῶν κατὰ τὰς αὐτοφυεῖς περὶ τῶν ὄντων ἐννοίας. Ammon. f. 8 b: φαμὲν ὅτι πρῶτον μὲν ὀρθοδοξαστικῶς εἰδέναι τοῦτο ὀφείλομεν κτλ.

τρίβους τῶν καταρξαμένων, ὥσπερ ἡ Κυρηναϊκὴ φιλοσοφία λέγεται, ἢ ἀπὸ τοῦ τόπου ἔνθα ἐπαίδευον, ὥσπερ οἱ Στωϊκοί, ἐπειδὴ ἐν τῇ στοᾷ ἐπαίδευον τῇ ποικίλῃ, οἵ τε ἐν τῷ Λυκείῳ Λύκειοι καὶ οἱ κατὰ τὴν Ἀκαδήμιαν ἐξηγούμενοι Ἀκαδημαϊκοὶ ἀπὸ τοῦ τόπου τὴν προσηγορίαν ἔλαβον. ἢ ἀπὸ τοῦ εἴδους τῆς ζωῆς, ὥσπερ οἱ Κυνικοὶ φιλόσοφοι οἵτινες κύνες ὠνομάζοντο διὰ τὸ παρρησιαστικόν τε καὶ ἐλεγκτικόν· ὥσπερ γὰρ ὁ κύων ἔχει τὸ διακριτικὸν τῶν οἰκείων ἀπὸ τῶν ἀλλοτρίων, οὕτω καὶ οὗτοι οἱ φιλόσοφοι ἐποίουν, καὶ τοὺς μὲν ἀξίους φιλοσοφίας ἐδέχοντο, τοὺς δὲ ἀναξίους τῆς φιλοσοφίας καὶ μὴ δυναμένους ἐντὸς γίνεσθαι φιλοσόφων λόγων ἐδίωκον. διὰ τὸ οὖν παρρησιαστικὸν καὶ τὸ διακρίνειν αὐτοὺς τούς τε δυναμένους καὶ μὴ δυναμένους δέξασθαι φιλοσοφίας λόγους, τούτου ἕνεκα Κυνικοὶ ὠνομάζοντο· ὅθεν καὶ ὁ Πλάτων ἔφη "ἔχει δέ τι καὶ ὁ κύων φιλόσοφον". οὕτω καὶ οἱ Κυνικοὶ φιλόσοφοι ἀνυποστάλτως ἐλευθεριάζοντες ἔκρινόν τε καὶ διήλεγχον τά τε ὀρθῶς καὶ τὰ μὴ οὕτως ἔχοντα. πέμπτον λέγεται ἀπὸ τοῦ τρόπου τῆς ἐν τῷ φιλοσοφεῖν διακρίσεως, ὥσπερ οἱ ἐφεκτικοὶ φιλόσοφοι, οἳ τοῦ τῶν φιλοσόφων ὅλως ὀνόματος ἠξιώθησαν ὡς περὶ τῆς τῶν πραγμάτων φύσεως ζητήσαντες, οὐ μὴν κατωρθωκότες· ἔλεγον γὰρ οὗτοι παντελῶς ἀκαταληψίαν εἶναι καὶ μηδένα μηδὲν γινώσκειν. οὓς ἐλέγχει μὲν δι' ἄλλων πολλῶν ἰσχυρῶν τε καὶ ἀποδεικτικῶν ὁ Πλάτων, κέχρηται δὲ καὶ τῷ τοιούτῳ τινὶ ἐλέγχῳ καὶ ἐκ τοῦ αὐτοῦ δόγματος ὁρμώμενος· φησὶ γὰρ ὅτι ὑμεῖς ἐγνωκότες παντελῆ ἀποφαίνεσθε εἶναι ἀκαταληψίαν ἢ οὔ· εἰ μὲν οὖν οὐκ ἐγνωκότες, οὐ δήπου πιστεύσομεν ὑμῖν ἀπὸ γνάθων ἀποφαινομένοις· εἰ δὲ ἐγνωκότες, ἄρα ἔστι κατάληψις. ἔλεγον δὲ ἐκεῖνοι μὴ εἶναι κατάληψιν τῷ λόγῳ τούτῳ χρώμενοι. εἰ μέλλει εἶναι κατάληψις, δεῖ τὸ γινῶσκον ἐφαρμόζειν τῷ γινωσκομένῳ. εἰ δὲ μέλλει ἐφαρμόζειν, δεῖ τὸ γινωσκόμενον ἑστάναι τε καὶ ἀεὶ ὡσαύτως ἔχειν, ἢ εἰ κινοῖτο τὸ γινωσκόμενον, συγκινεῖσθαι καὶ τὸ γινῶσκον καὶ παρακολουθεῖν αὐτῷ. εἰ τοίνυν τὰ πράγματα οὐχ ἕστηκεν ἀλλ' ἀεὶ κινεῖται καὶ κινουμένοις αὐτοῖς οὐ δύναται συγκινεῖσθαί τε καὶ συνακολουθεῖν ἡ ἡμετέρα ψυχή, ἀνάγκη ἀκαταληψίαν εἶναι. ὅτι μὲν οὖν κινεῖται τὰ πράγματα καὶ ἀεὶ ἐν ῥοῇ καὶ ἀπορροῇ ἐστί, τουτέστιν ἐν ῥύσει καὶ μεταβολῇ, ὀρθῶς ἔφασκον· ὅθεν καί τινος τῶν ἀρχαίων εἰρηκότος ὅτι εἰς τὸν αὐτὸν ποταμὸν οὐκ ἔστι δὶς ἐμβῆναι καὶ πρὸς τὸν αὐτὸν τόπον, ἔφη πρὸς αὐτὸν ἕτερος τῷ ὄντι ὀξείᾳ τῇ διανοίᾳ ὡς οὐδ' ἅπαξ· ἅμα γὰρ τῷ καθεῖναι τὸν πόδα ἐρρύη αὐτῷ τὸ ὕδωρ πρὶν εἰς αὐτὸ τὸ λοιπὸν ἐμβῆναι σῶμα (*). τοῦτο μὲν οὖν, ὡς εἶπον, ὀρθῶς ἔφησαν, ὅτι δὲ ἡ ψυχὴ ἡ ἡμετέρα οὐ δύναται τούτοις παρακολουθεῖν, τοῦτο ψεύδονται· ἀπέδειξε γὰρ ὁ Πλάτων ὅτι αἱ σπουδαῖαι τῶν ψυχῶν οὐ μόνον οὐ κατόπιν αὐτῶν εἰσέρχονται, ἀλλὰ καὶ τῷ τάχει τῆς κινήσεως αὐτῶν φθάνουσαι προαπαντῶσι καὶ οὕτως αὐτῶν ἀντιλαμβάνονται. ἕκτον ὀνομάζεται καὶ ἀπό τινος συμβεβηκότος, ὡς οἱ ἀπὸ τοῦ περιπάτου. ἐπειδὴ γὰρ ὁ Πλάτων ἐξηγούμενος ἐβάδιζε, θέλων τὸ ἑαυτοῦ σῶμα γυμνάζειν ὡς ἂν μὴ ἀσθενέστερον γεγονὸς ἐμποδὼν γένοιτο ταῖς ψυχικαῖς ἐνεργείαις, οἱ διαδεξάμενοι αὐτὸν ὠνομάσθησαν οὕτως, οἱ ἀπὸ τοῦ περιπάτου. διεδέξαντο δὲ ὁ Ξενοκράτης καὶ ὁ Ἀριστοτέλης, ὧν ἐν Λυκείῳ μὲν ἐπαίδευσεν Ἀριστοτέλης, ὁ δὲ Ξενοκράτης ἐν Ἀκαδημίᾳ· ὕστερον δὲ τοῖς μὲν ὁ τόπος ἐξέλιπε, καὶ ὠνομάσθησαν ἀπὸ τῆς ἐνεργείας τοῦ διδασκάλου Περιπατητικοί, τοῖς δὲ ἡ ἐνέργεια, καὶ ὠνομάσθησαν ἀπὸ τοῦ τόπου Ἀκαδημαϊκοί. ἢ ἀπὸ τοῦ τέλους τῆς φιλοσοφίας, ὡς οἱ Ἡδονικοί· οὗτοι γὰρ ἔλεγον τέλος εἶναι τοῦ βίου τὴν ἡδονήν, οὐχ ἡδονὴν δὲ ταύτην ἣν ὑπολαμβάνουσιν οἱ πολλοί, λέγω δὴ τὴν παθητικήν, ἀλλὰ τὴν πολλὴν τῆς ψυχῆς ἀπάθειαν.

Ἐπειδὴ τοίνυν εἰρήκαμεν ποσαχῶς καὶ πόθεν αἱ τῶν φιλοσόφων αἱρέσεις ὠνομάσθησαν, φέρε καὶ τὴν διαίρεσιν τῶν Ἀριστοτελικῶν συγγραμμάτων ποιήσωμεν. τούτων τοίνυν τὰ μέν ἐστι μερικά, τὰ δὲ καθόλου, τὰ δὲ μεταξὺ τῶν καθόλου καὶ τῶν κατὰ μέρος. καὶ ἔστι μερικὰ μὲν ὅσα πρός τινας ἰδίᾳ γέγραφεν, ἢ ἐπιστολὰς ἢ ἕτερα τοιαῦτα (*), καθόλου δὲ ἐν οἷς περὶ τῆς τῶν πραγμάτων φύσεως ζητεῖ, ὡς ἡ περὶ τῆς Ψυχῆς, ἡ περὶ Γενέσεως καὶ Φθορᾶς, ἡ περὶ Οὐρανοῦ· μεταξὺ δὲ ὁπόσα περὶ ἱστορίας ἔγραψε· ταῦτα μὲν οὖν οὔτε πρός τινας ἀποτεινόμενος ἰδίᾳ ἐξέθετο, οὐ μὴν οὐδὲ καθόλου εἰσί. τῶν δὲ μεταξύ εἰσι καὶ γεγραμμέναι αὐτῷ Πολιτεῖαι ἀμφὶ τὰς ν' καὶ διακοσίας οὖσαι, ἃς οὔτε πρός τινας ἰδίᾳ γέγραφεν οὔτε καθόλου (ἡ γὰρ Ἀθηναίων πολιτεία ἢ τῶν δεινῶν, εἰ τύχοι, καθόλου οὐκ ἂν εἴη), ἔγραψε δὲ ἵνα οἱ ἐντυγχάνοντες μετ' αὐτὸν ἄνθρωποι καὶ κρίνοντες κατὰ τί μὲν ὀρθῶς ἐπολιτεύοντο κατὰ τί δὲ οὐχ οὕτως, τὰ μὲν ἕλωνται τὰ δὲ φύγωσι, καὶ ταύτῃ ὠφελῶνται. τὰ μὲν οὖν μερικὰ καὶ μεταξὺ χαιρέτω, τῶν δὲ καθόλου τὰ μέν ἐστι συνταγματικὰ τὰ δὲ ὑπομνηματικά. ὑπομνηματικὰ δὲ καλοῦνται ταῦτα ἐν οἷς τὰ κεφάλαια μόνα ἐπιγράφονται. ἰστέον γὰρ ὅτι τὸ παλαιὸν εἴ τις προῄρητο συγγράψασθαι, τὰ εὑρισκόμενα κατὰ μέρος αὐτοῖς εἰς τὴν τοῦ προκειμένου ἀπόδειξιν συμβαλλόμενα κεφαλαιωδῶς ἀπεγράφοντο, πολλὰ δὲ ἐξ ἀρχαιοτέρων βιβλίων νοήματα ἐλάμβανον, ἵνα τὰ μὲν ὀρθῶς ἔχοντα κρατύνωσι τὰ δὲ μὴ οὕτως ἐξελέγξωσιν· ὕστερον μέντοι τάξιν τινὰ αὐτοῖς ἐπιπροσθέντες καὶ κάλλει λόγων καὶ ἀπαγγελίας ἀσκήσει φαιδρύναντες ὕφαινον τὰ συγγράμματα. καὶ ταύτῃ διενήνοχε τὰ ὑπομνήματα τῶν συνταγμάτων, τάξει τε καὶ ἐν ἑρμηνείαις κάλλει. τῶν δὲ ὑπομνηματικῶν τὰ μὲν μονοειδῆ τὰ δὲ ποικίλα, μονοειδῆ μὲν ἐν οἷς περὶ ἑνός τινος ποιεῖται τὴν ζήτησιν, μᾶλλον δὲ τὴν τῶν κεφαλαίων ἀνάμνησιν, ποικίλα δὲ ἐν οἷς περὶ πολλῶν. καὶ πάλιν τῶν συνταγματικῶν τὰ μέν ἐστι διαλογικὰ τὰ δὲ αὐτοπρόσωπα, διαλογικὰ μὲν ὅσα δραματικῶς διεσκεύασται κατὰ πεῦσιν καὶ ἀπόκρισιν πλειόνων προσώπων, αὐτοπρόσωπα δὲ ὅσα γέγραφεν ἀφ' ἑαυτοῦ. καλεῖται δὲ τὰ μὲν διαλογικὰ καὶ ἐξωτερικά, τὰ δὲ αὐτοπρόσωπα καὶ ἀξιωματικὰ ἤτοι ἀκροαματικά. καὶ ἄξιον ζητῆσαι τί δή ποτε οὕτως ὠνομάσθησαν. τινὲς μὲν οὖν ὅτι τὰ διαλογικὰ καὶ ἐξωτερικὰ ἐκάλεσαν, ἐπειδὴ τὸν ἴδιον σκοπὸν οὐκ ἐδήλωσεν ἐν αὐτοῖς ἀλλ' ὡς ἐξ ἄλλων

(*) Ammon f. 6: Πύρρων... εἰς τὸν αὐτὸν ποταμόν φησι δὶς ἐμβῆναι ἀμήχανον... ὁ δὲ μαθητὴς αὐτοῦ Ἡράκλειτος ἐπιτείνων τὸ ἄτοπον ἔλεγεν ὅτι οὐδὲ ἅπαξ.

(*) Ammon. f. 7: μερικὰ μὲν οὖν ἐστιν ὅσα πρός τινα ἰδίᾳ γέγραπται, ὡς ἐπιστολαί, ἢ ὅσα ἐρωτηθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος περί τε βασιλείας καὶ ὅπως δεῖ τὰς ἀποικίας ποιεῖσθαι γεγράφηκε.

μὴ θόρυβον τοῖς ἀκροαταῖς ἐμποιήσῃ ἐν τοῖς ἀγῶσιν ἄγνωστά τινα προφέρων. τί γὰρ οἶδεν ἀμύητος τούτων, τί βούλεται τὰ ὁμώνυμα ἢ συνώνυμα ἢ παρώνυμα, ἢ τὸ καθ' ὑποκειμένου ἢ οὐκ ἐν ὑποκειμένῳ; διὰ ταῦτα οὖν προδιδάσκει αὐτά. μετὰ δὲ τὰς κατηγορίας ἐπάγει τὰ λοιπά, οὐ πάντη ἄγνωστα τῇ συνηθείᾳ· τοιοῦτο γὰρ τὸ ἅμα, τὸ πρότερον καὶ ὕστερον, τὰ ἀντικείμενα, ἡ κίνησις, τὸ ἔχειν· περὶ ὧν οὐκ ἔστι διαλαβεῖν μὴ προεγνωσμένων τῶν κατηγοριῶν· οὐ γὰρ ἠδύνατο πρὸ αὐτῶν ζητῆσαι οὔτε περὶ τῶν ἀντικειμένων, ποσαχῶς εἴωθεν ἀντικεῖσθαι, ἐπειδὴ μὴ τί πρός τι ἐγινώσκομεν πρὸ τῆς τῶν κατηγοριῶν διδασκαλίας, μηδὲ τί ἅμα ἢ ποσαχῶς πρὸ τῶν πρός τι, μηδὲ τί πρότερον διὰ τὸ αὐτό, μήτε μὴν ποσαχῶς τὸ ἔχειν πρὸ τῆς τοῦ ἔχειν ἐπιγνωσθείσης κατηγορίας. τοιγαροῦν ἀναγκαίως κἀκεῖνα προέταξε καὶ ταῦτα μετέταξε, καὶ εἰ μετρίως γνῶσιν αὐτῶν ἀπὸ τῆς συνηθείας ἔχομεν (*).

p. 1 a 1. "Ὁμώνυμα." ἀπὸ τοῦ τί ἐστιν Ἀριστοτέλης ἄρχεται τῆς διδασκαλίας, καταλιπὼν τὸ εἰ ἔστιν ἤτοι ὡς σαφὲς ἢ ὡς παρέλκον ἐνταῦθα διὰ τὸ εἰσαγωγικώτερον. εἶναι τοίνυν τὰ ὁμώνυμα, ἵνα μὴ ᾖ τὰ πράγματα ἀνώνυμα· τῶν γὰρ πραγμάτων τῷ ἀεὶ γίνεσθαι ἀπείρων ὄντων, τῶν δὲ γραμμάτων πεπερασμένων, ὁμοίως καὶ τῶν συλλαβῶν καὶ τῶν ὀνομάτων, καθότι συμπλοκαὶ ταῦτα πεπερασμένων, οὐκ ἠδύνατο τὸ πεπερασμένον τῷ ἀπείρῳ παρισωθῆναι, εἰ μὴ πολλάκις ἀνακυκληθῇ, οὗ γενομένου τὰ ὁμώνυμα ὑπέστη· οὐδὲν γὰρ ἄλλο τὰ ὁμώνυμα εἰ μὴ ἀνακύκλησις τῶν αὐτῶν ὀνομάτων διαφόρων πραγμάτων· καὶ ὅπερ ἐν λόγοις ἡ ἀμφιβολία, τοῦτο ἐν ὀνόμασιν ἡ ὁμωνυμία. ἔστι τοίνυν τὰ ὁμώνυμα ἐξ ἀνάγκης καὶ ἄπειρα· τὸ γὰρ τῷ ἀπείρῳ συνεκταθὲν ἄπειρον καὶ αὐτό. τρία δὲ τὰ καθολικώτατα ὁμώνυμα, ἕν, ὄν, τί· κατὰ πάντων γὰρ τῶν ὄντων φέρεται ταῦτα, κατὰ μὲν Πλάτωνα τὸ ἕν, κατὰ Ἀριστοτέλη τὸ ὄν, κατὰ δὲ τοὺς Στωϊκοὺς τὸ τί. οὕτως τοῦ Ἀριστοτέλους ἀποδείξαντος ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις ὅτι καὶ ἔστι τὰ ὁμώνυμα καὶ ἐξ ἀνάγκης καὶ ἄπειρα, διατρέπεται ἡ τῶν ἀναιρεῖν αὐτὰ βουλομένων ἀναισχυντία· τινὲς γὰρ ἀναιρεῖν αὐτὰ βούλονται λόγοις τοιούτοις...

"λέγεται" καὶ οὐ λέγονται... ὡς μὲν ἔνιοι βούλονται Ἀττικῷ ἔθει, ὡς δὲ τὸ ἀληθὲς ἔχει, ἵνα ἐνδείξηται ὡς τὰ ὁμώνυμα πολλὰ μὲν ἐστι πράγματι ἓν δὲ ὀνόματι κτλ.

τῶν ὁμωνύμων
- ἀπὸ τύχης
- ἀπὸ διανοίας
  - χρονικὴν ἔννοιαν
    - μνήμην — ἥτις ἀπὸ τοῦ παρελθόντος ἐστίν, ὡς ὅταν τις μνημονεύων Ἀλεξάνδρου ὀνομάσῃ τὸν υἱὸν αὐτοῦ Ἀλέξανδρον
    - ἐλπίδα — ἥτις ἀπὸ τοῦ μέλλοντος, ὡς ὅταν τις ἐλπίσας ὅμοιον γενέσθαι ὀνομάσῃ Ἀλέξανδρον
    - κατ' ἀμφότερα — ὡς ὅταν μνημονεύων καὶ ἐλπίζων ὅμοιον ἀποβήσεσθαι ὀνομάσῃ τὸν υἱὸν Ἀλέξανδρον
  - οὐ χρονικὴν ἔννοιαν
    - κατὰ μεταφοράν
    - κατὰ μέθεξιν
    - πρὸς ἕν
    - ἀφ' ἑνός
      - ποιητικοῦ αἰτίου
      - παραδειγματικοῦ

p. 1 a 16. "τῶν λεγομένων... συμπλ." μετὰ τὰ ὁμώνυμα καὶ συνώνυμα καὶ παρώνυμα, ὧν ἕκαστον ἐπισφραγίζεται τὸν Ἰαμβλίχειον σκοπόν, ἀρχόμενος τῆς διδασκαλίας τρέπεται ἐπὶ τὴν διαίρεσιν τῶν λεγομένων καὶ τῶν ὄντων κτλ.

ΦΙΛΟΠΟΝΟΥ ΕΙΣ ΤΑΣ ΚΑΤΗΓΟΡΙΑΣ (†).

Ἐπειδὴ τῆς Ἀριστοτέλους ἐντὸς ἐθέλομεν γενέσθαι φιλοσοφίας, φέρε τινὰ ἡμῖν συμβαλλόμενα εἰς ταύτην ζητήσωμεν. ἔστι δὲ ταῦτα δέκα τὸν ἀριθμόν, πρῶτον πόθεν τὰ ὀνόματα τῶν φιλοσόφων αἱρέσεων, δεύτερον τίς ἡ διαίρεσις τῶν Ἀριστοτελικῶν συγγραμμάτων, τρίτον πόθεν ἀρκτέον τῶν Ἀριστοτελικῶν συγγραμμάτων, τέταρτον τί τὸ ἀναφαινόμενον ἡμῖν χρήσιμον ἐκ τῆς Ἀριστοτελικῆς φιλοσοφίας, πέμπτον τίνα τὰ ἄγοντα ἐπὶ ταύτην, ἕκτον πῶς δεῖ παρασκευάσασθαι τὸν ἀκροασόμενον φιλοσόφων λόγων, ἕβδομον τί τὸ εἶδος τῆς Ἀριστοτελικῆς ἀπαγγελίας, ὄγδοον διὰ τί φαίνεται ὁ φιλόσοφος ἀσάφειαν ἐπιτηδεύσας, ἔνατον ποῖα δεῖ καὶ πόσα προλαμβάνεσθαι ἑκάστου τῶν Ἀριστοτελικῶν συγγραμμάτων, δέκατον ποῖον δεῖ εἶναι τὸν ἐξηγούμενον αὐτά. ἐπειδὴ τοίνυν ἀπηριθμήσαμεν ταῦτα, φέρε ζητοῦντες ἕκαστον ὡς οἷόν τε ἡμῖν ἐστιν σαφηνίσωμεν.

Πρῶτον μὲν οὖν ὀνομάζονται αἱ τῶν φιλοσόφων αἱρέσεις ἀπό τινων ἑπτά· ἢ γὰρ ἀπὸ τῶν αἱρεσιαρχῶν, ὥσπερ οἱ Πυθαγόρειοι λέγονται καί τινες Ἐπικούρειοί τε καὶ Δημοκρίτειοι Πυθαγόρου καὶ Ἐπικούρου καὶ Δημοκρίτου τὴν ἀρχὴν τῶν αἱρέσεων ἑκάστην συστησαμένων, ἢ ἀπὸ τῆς πα-

(*) Simpl. f. 9: τί οὖν μὴ καὶ ταῦτα προὔταξε τοῦ περὶ τῶν κατηγοριῶν λόγου, ἢ διὰ τί μὴ κἀκεῖνα μετὰ τὰς κατηγορίας ἐπήγαγεν; ἀπορήσας ὁ Πορφύριος λύει καλῶς τὴν ἀπορίαν, ὅτι ἐκεῖνα μὲν παντελῶς ἄγνωστα ἦν ἀπὸ τῆς συνηθείας, τούτων δὲ ἐννοίας μὲν ἔχομέν τινας κτλ.

(†) Codd. Paris. Reg. 1843 f. 21 et 2051 f. 126.

ων (*). νικᾷ δὲ πάσας ἡ Ἀριστοτέλους ἐπιγραφή, τὴν μὲν β′ καὶ τὴν γ′ καὶ δ′, ὅτι ὁ μὲν Κατηγορίας ἐπιγράφων ἐνδείκνυται ὡς οἱ λόγοι δι' ἰσχὺν ἀπαγγελτικὴν ὅπερ τὰ πράγματα γεγόνασι καὶ οὐκ ἄλλοι περὶ ἄλλων εἰσίν, οἱ δὲ περὶ Κατηγοριῶν ἢ περὶ τῶν Γενῶν οὐκέτι τοῦτο ἀλλ' ὅτι οἱ λόγοι κατόπιν εἰσὶ τῶν πραγμάτων καὶ οὐκ αὐτά εἰσιν ἀλλὰ περὶ αὐτῶν. οὕτως καὶ Ἀριστείδης ἰσχὺν μαρτυρῶν τὰ ὑπὲρ τῶν δ′ ἐπέγραψε Κίμων Μιλτιάδης Θεμιστοκλῆς Περικλῆς· οὕτως καὶ Πλάτων Φαίδων, Γοργίας, καὶ τὰ ὅμοια. Ἀριστοτέλης δὲ οἶδεν ἄμφω, καὶ μετὰ τῆς προθέσεως, οἷον περὶ Ἑρμηνείας, περὶ Ψυχῆς, περὶ Οὐρανοῦ, καὶ ἐκτὸς τῆς προθέσεως, ὡς ἐνταῦθα καὶ ἐπὶ τῶν ἑξῆς Ἀναλυτικῶν λέγει καὶ Τοπικῶν καὶ τῶν ὁμοίων. νικᾷ δὲ καὶ τὴν Πλωτίνου, διά τε τὴν πρόθεσιν, καὶ ὅτι μὴ πᾶν ἓν ἐὸν ὑπὸ κατηγορίαν ἀνάγεται, οἷον τὸ σημεῖον οὐ τελεῖ ὑπὸ κατηγορίαν, εἰ καὶ καθὸ πέρας ὑπὸ τὰ πρός τι τελεῖ· καὶ ὅτι ἡ ἐπιγραφὴ αὕτη ἁρμόζει τοῖς Πλατωνικοῖς γένεσιν, οὐ τοῖς Περιπατητικοῖς· πᾶν μὲν γὰρ ὂν οὐσίας μετέχει καὶ ταὐτοῦ καὶ θατέρου καὶ κινήσεως καὶ στάσεως, οὐ πᾶν δὲ ἓν οὐσία ἐστὶν ἢ ποιὸν ἢ ποσὸν ἢ ἄλλο τι τῶν δέκα γενῶν, ἀλλ' ἐοίκασιν αἱ κατηγορίαι στρατεύματι χιλίων ἀνδρῶν εἰς δέκα ἑκατοντάρχας διῃρημένῳ. νικᾷ καὶ τὴν πρὸ τῶν Τόπων ἐπιγραφήν· εἰ γὰρ καὶ ἐξὸν τὴν τάξιν ἐπιγραφὴν ποιῆσαι, ὡς ἐν τῇ Μετὰ τὰ Φυσικά, ἀλλ' ἐκεῖ δικαίως· πάντων γὰρ τῶν φυσικῶν καὶ μόνων αἴτιος ὁ νοῦς· οὐ γὰρ δὴ καὶ τῶν ὑπερκοσμίων. ἐνταῦθα δὲ οὔ· οὐ γὰρ αὗται μόναι πρὸ τῶν Τόπων, ἀλλὰ καὶ τὸ περὶ Ἑρμηνείας καὶ τὰ Ἀναλυτικά. νικᾷ δὲ καὶ τὴν ἕκτην· οὔτε γὰρ κατὰ πάντων τῶν ὄντων αἱ κατηγορίαι οὔτε λόγοι. Κατηγορίαι δὲ λέγονται οὐχ ὥσπερ ἡ συνήθεια βούλεται τὰς ἐπ' ἐγκλήμασι δίκας, ἀλλὰ διὰ τὸ γενικώτατον εἶναι καὶ ἀεὶ ἀγορεύεσθαι κατ' ἄλλων, οὐχ ὑποκεῖσθαι ποτέ.

Γνήσιον τὸ παρὸν σύγγραμμα Ἀριστοτέλους, ἀλλ' οὐ νόθον, εἰ ἐν μὲν ταῖς Κατηγορίαις ὁμώνυμα καὶ συνώνυμα παραδίδοται μόνα, ἐν δὲ ταῖς Ῥητορικαῖς τέχναις καὶ πολυώνυμα καὶ ἑτερώνυμα· ἔχει γὰρ τὰ δ′ καὶ νῦν, ἐπειδὴ ἀντίκειται τὰ μὲν ὁμώνυμα τοῖς πολυωνύμοις, τὰ δὲ συνώνυμα τοῖς ἑτερωνύμοις (τῶν γὰρ ἀντικειμένων μία ἡ γνῶσις), καὶ ὅτι νῦν μόνων ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων ἐδεήθη, διότι τὸ μὲν ἓν ὁμωνύμως τῶν ι′ γενῶν κατηγορεῖται, ταῦτα δὲ συνωνύμως τῶν οἰκείων εἰδῶν, καὶ ἀπὸ τῆς ποιότητος παρωνύμως τὰ μετέχοντα ποιά. ἄλλως δέ, ὅτι ἐνταῦθα μὲν τὴν ἄτομον οὐσίαν πρώτην καλεῖ τὴν δὲ καθόλου δευτέραν, ἐν δὲ τῇ Ἀποδεικτικῇ ἔμπαλιν καὶ τῇ Μετὰ τὰ Φυσικά· κρείττω γὰρ τὰ καθόλου τῶν μερικῶν ὅσῳ τὰ ἀΐδια τῶν φθαρτῶν· οὐδὲν τοῦτο γὰρ προΐσταται, ἄμφω δὲ ἀληθῆ· ἀλλ' ἐνταῦθα μὲν εἰσαγωγικώτερον τὰ πρὸς ἡμᾶς πρῶτα ἔταξεν, ἐκεῖ δὲ τὰ τῇ φύσει· τελεώτερα γὰρ ἐκεῖνα τῶν νῦν μαθήματα· πρῶτα μὲν γὰρ τῇ φύσει τὰ καθόλου, τῷ χρόνῳ δὲ ἔμπαλιν· θεασάμενοι γὰρ τὰ καθέκαστα ὀψέ ποτε τὰ καθόλου προβαλλόμεθα. ἢ καὶ ὅτι τὴν καθόλου τὴν αὐτὴν λαμβάνει ἐνταῦθα καὶ τῇ Μετὰ τὰ Φυσικὰ καὶ τῇ Ἀποδεικτικῇ, ἀλλ' ἐνταῦθα μὲν τὴν ἐξ ἀφαιρέσεως καὶ ὑστερογενῆ (διὸ καὶ ἐπαινεῖ τὴν πρώτην, ἡ γὰρ δευτέρα τῇ ἐπινοίᾳ) ἐν δὲ τῇ Ἀποδεικτικῇ καὶ τῇ Μετὰ τὰ Φυσικὰ τὴν κυρίως οὐσίαν τὴν νοεράν, ἢ καὶ δευτέρα πρὸς ἡμᾶς· ὥστε οὐ περιπίπτει ἀντιφάσει, οὐδὲ νόθον διὰ τοῦτο τὸ παρὸν σύγγραμμα. ἀλλ' οὐδ' ὅτι ἔφη τὰ πρός τι ἅμα εἶναι· οὐ γὰρ ἑαυτοῦ δόγμα εἶπεν ἀλλ' ἑπόμενον τῷ ὁρισμῷ τῶν πρός τι τῷ λέγοντι μόνον τὸ ἕτερον τοῦ λοιποῦ λέγεσθαι, οὐχὶ δὲ ἑκάτερον τοῦ λοιποῦ· διὰ γὰρ τοῦτο καὶ κεφαλὴ καὶ ζῷον καὶ πτερὸν καὶ ὄρνις καὶ πηδάλιον καὶ πλοῖον πρός τι ἅμα ὄντα. οὐδ' ὅτι τὴν κίνησιν νῦν μὲν εἰς ἓξ διαιρεῖ, ἐν δὲ τῷ πέμπτῳ τῆς φυσικῆς εἰς δ′. αὐτοῦ γὰρ εὕρημα ὕστερον τὸ μὴ εἶναι τὴν γένεσιν καὶ φθορὰν κινήσεις, ὥσπερ καὶ ἐν τοῖς Μετεώροις τὴν ὄψιν κατ' ἐκπομπήν φησιν, ἐν δὲ τῷ περὶ Ψυχῆς κατ' εἰσδοχήν· ὕστερον γὰρ εὗρε καὶ τὴν εἰσδοχήν. οὐδ' ὅτι ἔφη τὸ ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον, καὶ τῆς αἰσθήσεως τὸ αἰσθητόν· τὸ γὰρ δυνάμει, ἀφ' οὗ ἡ λύσις, φυσικῆς ἐστὶ πραγματείας, ἐπειδὴ πᾶν δυνάμει ἐν ὕλῃ· εἰ γὰρ καὶ ἐν ψυχῇ, ἀλλὰ σχέσιν λαβούσῃ πρὸς τὸ σῶμα. καὶ ὅτι μὲν οὐ νόθον, ἐκ τῶνδε ἀποδέδεικται, τὸ δὲ γνήσιον οὕτως, ἀπὸ τοῦ συνεστραμμένου πρῶτον τῆς ἀπαγγελίας καὶ τῆς πυκνότητος τῶν νοημάτων, ἃ πανταχοῦ ἴδια καὶ οἰκεῖα Ἀριστοτέλους· ἀπὸ τοῦ τοῖς ἑταίροις αὐτοῦ ὁμώνυμα γεγράφθαι συγγράμματα· ἀπὸ τοῦ μνήμην αὐτοῦ ποιεῖσθαι καὶ ἐν ἑτέροις αὐτοῦ συγγράμμασιν, λέγω δὲ τοῦ παρόντος συγγράμματος, ὀνομαστὶ κατηγορίας αὐτὸ καλοῦντα· ἀπὸ τοῦ εὐθύνας δοῦναι πᾶσι τοῖς Ἀττικισταῖς, καὶ πάντας τοῦτο ἐκ β′ βιβλίων εὑρεθέντων τῆς αὐτῆς ὑποθέσεως γνήσιον μόνον ἐπικρῖναι, ὥσπερ ἐκ μ′ τὰ δ′ Ἀναλυτικά, ὡς Ἄδραστος ἱστορεῖ. καὶ ἔτι ἀπὸ τοῦ ἐκτὸς τοῦ παρόντος βιβλίου ἀκέφαλον εἶναι τὴν Ἀριστοτέλους φιλοσοφίαν. καὶ τὸ μὲν γνήσιον ἐκ τούτων.

Ἡ δὲ εἰς τὰ κεφάλαια διαίρεσις οὕτως. εἰς τρία διαιρεῖται τὸ παρὸν βιβλίον, εἰς τὰ πρὸ τῶν Κατηγοριῶν ἤτοι εἰς τὰ προοίμια καὶ τὰ πρὸ τῶν ἀγώνων ἢ καὶ προτέλεια, εἰς τὰς Κατηγορίας αὐτὰς ἤγουν τοὺς ἀγῶνας καὶ τὰ ὄργια τῆς ὑποθέσεως, εἰς τὰ μετὰ τὰς Κατηγορίας, ἃ δὴ ἐπιλόγων ἔχει τάξιν. ἀλλ' ἐν μὲν τῷ πρώτῳ τμήματι ἔκθεσίς ἐστι τῶν συμβαλλομένων ταῖς κατηγορίαις, καὶ ὧν οὐδεμίαν ἔχομεν ἀπὸ τῆς συνηθείας γνῶσιν· ἐν τῷ μέσῳ τὰς κατηγορίας διδάσκει, τά τε ὑπάρχοντα αὐταῖς διὰ τῶν ἰδίων καὶ τὰ οἷς ὑπάρχει διὰ τῆς διαιρέσεως· ἐν δὲ τῷ τελευταίῳ ἅπερ ἐν ταῖς κατηγορίαις θεωρεῖται, ἔχομεν δὲ καὶ ἀπὸ τῆς συνηθείας μετρίαν τούτων γνῶσιν. οὐ συνῆψε δὲ ταῦτα πάντα ὁμοῦ, ἀλλὰ τὰ μὲν προέταξε τὰ δὲ μετέταξε, διὰ τὸν κόρον· μακρότερον γὰρ ἂν οὕτως καὶ προσκορὲς τοῖς εἰσαγομένοις ἐγίνετο τὸ σύγγραμμα. ἀλλὰ καὶ ἐν τῷ μερισμῷ τεχνικόν τι πεποίηκε, τὰ πάντῃ ἄγνωστα προθεὶς καὶ διδάξας, ἵνα

(*) Simplic. f. 8: καὶ γὰρ καὶ Ἀρχύτας τὸν αὐτὸν ἔχων σκοπὸν βιβλίον περὶ τῶν Καθόλου λόγων ἐπέγραψε. Boëthius p. 112: *Archytas etiam duos composuit libros quos* Καθόλου λόγους *inscripsit, quorum in primo haec decem* praedicamenta *disposuit; unde posteriores quidam non esse Aristotelem huius divisionis inventorem suspicati sunt, quod Pythagoricus vir eadem conscripsisset; in qua sententia Iamblichus philosophus est non ignobilis, cui non consentit Themistius, neque concedit eum fuisse Archytam qui Pythagoricus Tarentinusque esset quique cum Platone aliquantulum vixisset, sed Peripateticum aliquem Archytam, qui novo operi auctoritatem vetustate nominis conderet.*

καλῶς ἔφασαν οἱ περὶ φωνῶν μόνων εἰπόντες τὸν σκοπόν· λεγέτωσαν γὰρ περὶ ποίων φωνῶν, ἀσήμων ἢ σημαντικῶν; καὶ ἐπεὶ μὴ περὶ ἀσήμων (γραμματικοῖς γὰρ αὗται μελήσουσι, παρ' οἷς οὐδὲν διαφέρει τοῦ Ὅμηρος τὸ σκινδαψός, ὅσον ἐπὶ τῇ κλίσει), περὶ σημαντικῶν ἄρα, ὥστε διὰ τοῦτο καὶ περὶ πραγμάτων, καὶ διὰ ταῦτα καὶ περὶ τῶν μεταξὺ νοημάτων. οὔτε οἱ περὶ πραγμάτων· λεγέτωσαν γὰρ ἡμῖν καὶ οὗτοι, πῶς ταῦτα διδάξει ὁ φιλόσοφος, δακτύλῳ δεικνὺς ἢ λόγῳ χρώμενος; ἀλλ' ἐπεὶ μὴ τὸ πρῶτον (μερικὰ γὰρ τὰ τοιαῦτα), τὸ δεύτερον ἄρα· καὶ διὰ τοῦτο καὶ περὶ τῶν λοιπῶν δύο ὁ σκοπός. οὐδέ γε οἱ περὶ νοημάτων· ἐρόμεθα γὰρ αὐτοὺς περὶ ποίων νοημάτων, τῶν διακένων, οἷον τραγελάφου ἢ ἱπποκενταύρου, ἢ τῶν ἐποχουμένων τοῖς πράγμασι; καὶ ἐπεὶ μὴ τὸ πρῶτον (οὐκέτι γὰρ ἡ φιλοσοφία γνῶσις τῶν ὄντων ἀλλὰ τῶν μὴ ὄντων), τὸ δεύτερον ἄρα, καὶ διὰ τοῦτο καὶ περὶ πραγμάτων ἐστί, δῆλον ὅτι καὶ περὶ φωνῶν καὶ περὶ νοημάτων· ἑρμηνεύουσι γὰρ αἱ φωναὶ τὰ νοήματα. εἰ μὲν γὰρ μόναις ψυχαῖς διεζῶμεν, περιττὸς ἂν ἦν ὁ τῶν φωνῶν ὄχλος, εὐθὺς ἀπὸ τῶν νοημάτων συγγινομένων ἡμῶν ἀλλήλοις· ἐπειδὴ δὲ παραπετάσματι τούτῳ κέχρηται τῷ σώματι ἡ ψυχή, δεῖται οἷόν τινος πορθμείου τοῦ λόγου, ᾧ τὰ ἀγώγιμα τῆς διανοίας ἀλλήλοις διαβιβάσομεν. οὐκουν ἀκριβῶς ἀπεφήναντο οὗτοι, ἀλλὰ ταὐτόν τι πεπόνθασιν ὥσπερ ἂν εἴ τινες τρεῖς τὸν ἄνθρωπον ὁριζόμενοι ὁ μὲν αὐτὸν εἴπῃ ζῷον ὁ δὲ λογικὸν ὁ δὲ θνητόν, μηδεὶς δ' ὅλον τοῦτο, ζῷον λογικὸν θνητόν· καὶ γὰρ καὶ περὶ φωνῶν ὁ σκοπὸς καὶ περὶ νοημάτων καὶ πραγμάτων. ἀλλ' ἵνα μὴ ἑνὸς βιβλίου τρεῖς σκοποὺς λέγοιμεν, ὃ καὶ αὐτῷ Ἰαμβλίχῳ ἀπείρηται ἐν τοῖς σκοποῖς τῶν Πλάτωνος διαλόγων, τὸν σκοπὸν εἴπωμεν τῶν Κατηγοριῶν περὶ φωνῶν ἁπλῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων τῶν κατὰ τὴν πρώτην θέσιν, καὶ τούτων οὐκ ἐπὶ μέρους, οὐκ εἰδικωτάτων, οὐχ ὑπαλλήλων, ἀλλὰ τῶν γενικωτάτων. φωνῶν μὲν ἁπλῶς σημαινουσῶν ἁπλᾶ πράγματα, ἐπειδὴ καὶ τὸ "Σωκράτης περιπατεῖ" φωνὴ μέν ἐστι σημαίνουσα πράγματα διὰ μέσου νοημάτων, καὶ πᾶσα πρότασις καὶ πᾶς συλλογισμὸς ὡσαύτως, οὐ μέντοι καὶ ἁπλῶς. τῶν κατὰ τὴν πρώτην δὲ θέσιν, ἐπειδὴ καὶ δευτέρα θέσις, ἥτις εἰς τὸ ὄνομα καὶ ῥῆμα τὰς φωνὰς διαιρεῖ καὶ περὶ τῆς συνθέσεως τούτων διαλαμβάνει, περὶ ὧν τὸ περὶ Ἑρμηνείας διδάξει, καὶ ἔτι τὰ συμβαίνοντα περὶ ἑκάστην φωνὴν τεχνολογεῖ, ἃ δὴ γραμματικοῖς ἀνεῖται· ὁ δὲ προκείμενος σκοπὸς περὶ οὐδενὸς τούτων τὸν λόγον ποιεῖται, ἀλλὰ περὶ τῆς πρώτης ἐστὶ θέσεως· αὕτη δέ ἐστιν ἡ καθ' ὃ ἕκαστον τῶν ὄντων ὠνόμασται. οἷον συνελθόντες ἄνθρωποι τόδε μὲν τυχὸν ὠνόμασαν ἵππον τόδε δὲ ἄνθρωπον, καὶ ἄλλο μέν τι νικᾷ ἄλλο δὲ τρέχει, μὴ προσδιορισάμενοι ὅτι τὸ μὲν χρόνον σημαίνει τὸ δ' οὔ, ἐπεὶ καὶ αὐτὸ τῆς δευτέρας ἐστὶ θέσεως. ἀλλ' ἐπειδὴ καὶ τὰ ὀνόματα τῆς πρώτης θέσεως ἄπειρα, αἱ δὲ κατηγορίαι ὡρισμέναι, δέκα γάρ, πρόσκειται διὰ τοῦτο τὸ οὐ τῶν ἐπὶ μέρους καὶ ὅσα ἑξῆς. ὥστε οὐ τριττὸς ὁ σκοπός, κἂν εἰ τὰ ὄντα τριττά, φωναί φημι καὶ πράγματα καὶ νοήματα· οὐδὲ γὰρ ἀκολουθεῖ ταῦτα ἀλλήλοις, ἵνα καὶ οἱ σκοποὶ ὀνόματι μόνον τρεῖς ὦσι, πράγματι δὲ εἷς· οὔτε γὰρ πᾶσα φωνὴ νόημα ἔχει, διὰ τὰς ἀσήμους φωνάς, οὐδὲ πᾶν νόημα πρᾶγμα, διὰ τὸ σκινδαψὸς καὶ τραγέλαφος. ἀλλ' οὐδὲ κατὰ τὰς αἰτίας· φωνῶν μὲν γὰρ ψυχή, νοῦς δὲ νοημάτων, τῶν πραγμάτων δὲ ὁ θεός, ἅπερ τρία, θεὸς νοῦς ψυχή, εἰ καὶ αὐτοπαράγωγά ἐστι καὶ ἀρχικαὶ ὑποστάσεις διὰ τοῦτο λέγονται, ὅμως διαφέρουσι καὶ κατὰ τὸ αὐτοπαράγωγον· θεὸς μὲν γὰρ ἀφ' ἑαυτοῦ ἔχει τὸ εἶναι, νοῦς δὲ καὶ ψυχὴ οὐκ ἀφ' ἑαυτῶν ἀλλ' ἀπὸ θεοῦ, καὶ ὁ μὲν νοῦς ἀκίνητος, ἡ δὲ ψυχὴ αὐτοκίνητος. οὐ τριττὸς οὖν ὁ σκοπός, ὡς ἤδη ἔφαμεν, ἀλλὰ καὶ πράγματι καὶ ὀνόματι εἷς. καὶ οὐκέτι χώραν ἕξει τὸ λέγειν ὅτι σκοπὸς ταῖς Κατηγορίαις περὶ φωνῶν ὡς ἐκφωνουμένων ἢ περὶ νοημάτων ὡς νοουμένων ἢ περὶ πραγμάτων ὡς ὑφεστηκότων· ἀλλ' ὥσπερ περὶ τῶν κατηγοριῶν πᾶσι συμπεφώνηται ὁ σκοπὸς εἶναι, κἂν ἄλλος ἄλλο περὶ τούτων ἐνενόησεν, οὕτως καὶ περὶ πάντων ἅμα, ὡς ἤδη ἐδείχθη, φωνῶν λέγω καὶ πραγμάτων καὶ νοημάτων, δικαιότερον τὸν σκοπὸν λέγειν. ἀλλὰ περὶ μὲν τούτων οὕτως. χρήσιμον δὲ τὸ παρὸν σύγγραμμα πρὸς τὴν εὕρεσιν τῆς ἐν τοῖς οὖσιν ἀληθείας, εἴπερ αἱ μὲν προτάσεις ἐκ τῶν ἁπλῶν φωνῶν, ἐκ τούτων οἱ συλλογισμοί, ἐξ ὧν αἱ ἀποδείξεις αἱ τὸ ἀληθὲς ἡμῖν ἐφοδιάζουσαι πρὸς τὴν τῶν ὄντων γνῶσιν. χρήσιμον οὖν, ὡς δέδεικται, οὐ πρὸς φιλοσοφίαν μόνην, ἀλλ' ὡς αὐτὴ ἡ φιλοσοφία πρὸς τὴν τῶν ὄντων γνῶσιν. καὶ ἄλλως, ὅτι αἱ κατηγορίαι τὰ ὄντα περικλείουσι πάντα. ἔστι περὶ τούτου καὶ ἐξ ἀποφάσεως ἐπιχειρῆσαι, ἐξ οὗ καὶ ἡ τάξις ἀναφανήσεται τοῦ παρόντος βιβλίου. ἐροῦμεν γὰρ ὅτι εἰ μὴ αἱ κατηγορίαι, οὐδὲ πρότασις· εἰ μὴ αὕτη, οὐδὲ συλλογισμός· εἰ μὴ οὗτος, οὐδὲ ἀπόδειξις· εἰ μὴ αὕτη, οὔτε διάκρισις ἀληθῶν καὶ ψευδῶν, οὔτε ἐκλογὴ μὲν τῶν ἀληθῶν ἀπεκλογὴ δὲ τῶν ψευδῶν, καὶ πάλιν τῶν ἀγαθῶν καὶ κακῶν· εἰ μὴ τοῦτο, συνεξείληπτο τούτῳ τὸ θεωρητικὸν καὶ πρακτικόν, καὶ τούτοις φιλοσοφία, καὶ ταύτῃ τὸ εὐδαιμονεῖν· ὥστε εἰ μὴ τὸ τῶν Κατηγοριῶν βιβλίον, εὐδαιμονία οὐκ ἦν. εἰ δὲ τούτων ἁπάντων αἴτιον, ὡς ἐδείχθη, αὐτό, πάντως ὅτι καὶ τὴν πρωτίστην εἴληχε τάξιν, εἴγε καὶ αἱ ἁπλαῖ φωναί, πάσης τῆς τοῦ Ἀριστοτέλους φιλοσοφίας.

Εἰδέναι δὲ δεῖ ὅτι ἓξ γεγόνασιν ἐπιγραφαὶ τῆς πραγματείας ταύτης, Κατηγορίαι, ὡς Ἀριστοτέλης ἐπέγραψε, περὶ τῶν Κατηγοριῶν, ὡς οἱ ἑταῖροι αὐτοῦ Ἀριστοτέλους, περὶ τῶν δέκα Γενῶν, ὡς ἄλλοι ἑταῖροι αὐτοῦ πάλιν (ἔγραψαν γὰρ καὶ οὗτοι κατὰ ζῆλον τοῦ διδασκάλου τοιαῦτα βιβλία), περὶ τῶν Γενῶν τοῦ ὄντος, ὡς Πλωτῖνος ἀντιλέγων ταῖς Κατηγορίαις (*), πρὸ τῶν Τόπων, ὡς Ἄδραστος ὁ Ἀφροδισιεὺς τῷ τὰ τελευταῖα τῶν Κατηγοριῶν συγγενῶς ἔχειν πρὸς τοὺς Τόπους (**), περὶ τῶν Καθόλου λόγων, ὡς Ἀρχύτας ὁ Ταραντῖνος, ὃς καὶ πρὸ Ἀριστοτέλους γέγονεν Πυθαγόρειος

(*) Simplic. f. 7 *b.* οἱ δὲ περὶ τῶν Γενῶν τοῦ Ὄντος ἢ περὶ τῶν Δέκα Γενῶν ἐπιγράφοντες, ὥσπερ καὶ Πλωτίνῳ δοκεῖ ἐν τῇ πρὸς αὐτὰς ἀντιλογίᾳ, πρὸς τὰ πράγματα ἀφορῶσι μόνον ἀλλ' οὐ πρὸς τὸν λογικὸν σκοπόν.

(**) Simplic. f. 7 *b.* οὐχ ὁ τυχών ἐστιν ἀνὴρ ὁ μετὰ τὰς Κατηγορίας εὐθὺς τὰ Τοπικὰ τάξας βιβλία, ἀλλ' Ἄδραστος ὁ Ἀφροδισιεὺς ἀνὴρ τῶν γνησίων περιπατητικῶν γεγονὼς ἐν τῷ περὶ τάξεως τῆς Ἀριστοτέλους φιλοσοφίας μετὰ τὴν τῶν Κατηγοριῶν βίβλον τὰ Τοπικὰ βούλεται τετάχθαι.

τετάρτη ἡ μαθηματική, ἐπὶ τούτοις ἡ θεολογική), ἀλλὰ τὴν πρὸς τὰ ὁμοειδῆ, εἰ λογικὸν ᾖ, τὴν πρὸς τὰ λογικά, εἰ ἠθικόν, τὴν πρὸς τὰ ἠθικά. καὶ ἑξῆς τὴν ἐπιγραφὴν ζητητέον, καθόλου μὲν ὅτε μὴ κηρύττῃ τὸν σκοπόν, ὅπερ ἐστὶν ἐν τοῖς πρώτοις καὶ ὑστέροις Ἀναλυτικοῖς, ὡς εἴρηται, μάλιστα δὲ ὅτε ὀνοματοποιεῖ ἐν τῇ ἐπιγραφῇ, ὡς ἐν ταῖς Κατηγορίαις, ἐν τῷ περὶ Ἑρμηνείας, ἐν τοῖς Τόποις, κατηγορίας λέγων οὐ τὰς ἐπ' ἐγκλήμασι δίκας ἀλλὰ τὰ γενικώτατα ὡς ἀεὶ κατηγορούμενα καὶ μηδέποτε ὑποκείμενα (*)· καὶ περὶ ἑρμηνείας, τὴν ἀπόφανσιν ὡς ἑρμηνεύουσαν μόνην τὸν λόγον, τὴν γνωστικὴν ἡμῶν διάθεσιν· καὶ πάλιν τόπους τὰ καθόλου ὑφ' ἃ πολλὰ μερικὰ ἐπιχειρήματα ἀνάγεται· τόπος γὰρ τὸ περιέχον, οἷον τόπος μέν, εἰ τοῦ ἐναντίου τὸ ἐναντίον, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον· ἐπιχείρημα δέ, εἰ τὸ θερμὸν ἀνώφορον, τὸ ψυχρὸν κατώφορον, εἰ τὸ λευκὸν διακρίνει, τὸ μέλαν συγκρίνει. τὴν γνησιότητα δέ, οἱ γὰρ πολλοὶ μὴ δυνάμενοι κρίνειν πράγματα τῇ ἀξιοπιστίᾳ τῶν συγγραφέων, κρίνουσι τῷ δόγματι. πόθεν δὲ νοθεύονται καὶ κατὰ πόσους τρόπους, εἴρηται ἤδη ἐν εἰσαγωγῇ. τὴν εἰς τὰ κεφάλαια διαίρεσιν ζητοῦμεν ὡς ἀνατομῆς χώραν ἐπέχουσαν ἐν τοῖς βιβλίοις τῆς ἐκφαινούσης ἕκαστον τῶν ἐν βάθει μορίων, ποίαν χρείαν παρέχει τῷ ὅλῳ. οὐ ζητοῦμεν δὲ διδασκαλικὸν τρόπον καθ' ἕκαστον βιβλίον ὡς ἐν τῇ διασκευῇ περιεχόμενον, οὐδὲ μήν, ὡς ἰατροί, ὑπὸ ποῖον μέρος ἢ μόριον ἀνάγεται, ὡς ἐν τῇ διαιρέσει τῶν Ἀριστοτέλους βιβλίων δεδηλωμένον. τὴν τάξιν ζητοῦμεν διὰ δύο αἰτίας, ἵνα μὴ τοῖς μείζοσι πρώτοις ἐγχειρήσωμεν ἢ τοῖς δεομένοις ἑτέρων συνταγμάτων. οὐ χεῖρον δὲ καὶ τοῦτο εἰδέναι ὅτι πολλάκις τῷ σκοπῷ τὸ χρήσιμον ἀναφαίνεται καὶ ἡ ἐπιγραφή, ὡς ἐν τῇ περὶ Οὐρανοῦ καὶ ἐν τῷ περὶ Ψυχῆς. ἐν δὲ τοῖς Τόποις οὐδὲν τούτων δῆλον· σκοπὸς μὲν γὰρ αὐτῷ ἐνταῦθα τὴν διαλεκτικὴν μέθοδον παραδιδόναι, ἥτις, ὡς αὐτός φησι, περὶ παντός ἐστι τοῦ προτεθέντος προβλήματος ἐξ ἐνδόξων συλλογιστική. εἰ δὲ περὶ παντὸς τοῦ προτεθέντος ἐστί, προτίθεται δ' ἡμῖν οὐ μόνον ἀληθῆ ἀλλὰ καὶ ψευδῆ, ποῖον ἐνταῦθα τὸ χρήσιμον; τὸ γνῶναι μέθοδον δι' ἧς καὶ τὰ ψευδῆ συλλογισώμεθα. αὐτὸς οὖν προϊὼν τὸ χρήσιμον διδάξει, τὴν πραγματείαν ἐκείνην πρὸς τρία χρησιμεύειν λέγων, πρὸς γυμνασίαν, πρὸς τὰς ἐντεύξεις, πρὸς τὰς κατὰ φιλοσοφίαν μεθόδους. ἐκ τούτων τοιγαροῦν δῆλον ὡς οὐχ ἅμα τῷ σκοπῷ ἀεὶ τὸ χρήσιμον ἀναφαίνεται. ἐν μέντοι ταῖς Κατηγορίαις καὶ τοῖς περὶ Ἑρμηνείας ἅμα τῷ σκοπῷ καὶ τὸ χρήσιμον ἀναφαίνεται.

Τινὲς ᾠήθησαν τοῦ παρόντος συγγράμματος τῶν Κατηγοριῶν τριττὸν τὸν σκοπὸν εἶναι, κακῶς εἰδότες, ὥσπερ Ἀλέξανδρος καὶ Εὐστάθιος περὶ φωνῶν φασὶ τὸν σκοπὸν μόνον, ἐκ τοῦ Κατηγορίας ἐπιγράφεσθαι τὸ βιβλίον ἐπιχειρήσαντες· εἰ γὰρ ἀγορεύειν, φασί, τὸ λέγειν ἐστί, λέγονται δὲ αἱ φωναί, πρόδηλον ὡς περὶ φωνῶν ἐστὶν ὁ σκοπός. Πορφύριος δὲ περὶ νοημάτων, ἀπὸ τοῦ διὰ τῶν νοημάτων, μέσων ὄντων φωνῶν καὶ πραγμάτων, καὶ τῶν πραγμάτων ἡμῖν τῆς γνώσεως διὰ τῶν νοημάτων παρισταμένης ἅτε δὴ μόνων τούτων ἐξαγγελλόντων καὶ ἐξαγγελλομένων, ὡρμημένος, καὶ τοῦ ἐννοηματικὰ ταῦτα τὰ γένη εἶναι (*). Ἑρμῖνός γε μὴν περὶ πραγμάτων, καὶ αὐτὸς ἀπὸ τοῦ μὴ διακένους εἶναι τὰς φωνὰς ἀλλὰ κατὰ πραγμάτων ἀεὶ φερομένας ὑπαχθείς, καὶ τοῦ ἔστι καὶ τοῦ ὄντος οἷς συνεχῶς Ἀριστοτέλης ἐνταῦθα κέχρηται (**). εὐθύνας γοῦν πάντες δεδώκασιν· οὔτε γὰρ περὶ φωνῶν μόνον, γραμματικὸν γὰρ ἔργον τοῦτο· οὐ περὶ νοημάτων, τοῦτο γὰρ τῆς περὶ ψυχῆς· οὔτε περὶ πραγμάτων μόνων, τῆς πρώτης γὰρ τοῦτο φιλοσοφίας. καὶ ὅτι τὸ βιβλίον τοῦτο ἀρχὴ τῆς λογικῆς, διὸ περὶ φωνῶν, καὶ φιλοσοφίας, διὸ καὶ περὶ πραγμάτων, καὶ διὰ τὰ ἄκρα καὶ περὶ νοημάτων. καὶ ὅτι οὐκέτι περὶ φωνῶν μόνων, οὐδὲ περὶ νοημάτων ἢ πραγμάτων, ἀλλὰ πάσῃ τοιαύτῃ μονάδι ἡ λοιπὴ δυὰς ἀκολουθεῖ, δῆλον ἐντεῦθεν. οὔτε οἱ πρῶτοι

(*) Porphyr. f. 2. ὁ Ἀριστοτέλης κατανοήσας ὅτι τινὰ εἴδη ἃ ἐπιγίνεται ὅταν τὸ οἰκεῖον τέλος λάβῃ τὸ γινόμενον ἢ ὑπὸ φύσεως ἢ ὑπὸ τέχνης, ὥσπερ ὅταν ὑπὸ τῆς φύσεως τὸ καταβληθὲν σπέρμα ζῴου κινηθὲν καὶ ἀποτελεσθὲν φέρε ἵππος ἀποτελῆται, ὅταν ἔμψυχον γίνηται καὶ τὰ ἰδιώματα φέρῃ ἐμψύχου, τὴν ψυχὴν ἐντελέχειαν προσηγόρευσεν ἀπὸ τοῦ εἰς τέλος τὸ οἰκεῖον ἀφικόμενον τὸ σπέρμα ἔμψυχον ἀποτελέσαι ζῷον· ὑπὸ δὲ τοῦ ἀνδριαντοποιοῦ ὅταν ὁ χαλκὸς ἀνδριὰς γίνηται, ἐντελέχειαν εἶναι τὸ εἶδος τοῦ ἀνδριάντος τὸ περιτεθὲν ὑπὸ τοῦ τεχνίτου τῷ χαλκῷ· αὐτὸς γὰρ (ὁ Ἀρισ.) ἐποίησε τὸ τῆς ἐντελεχείας ὄνομα ἐπὶ τῶν τοιούτων μὴ ὂν ἐν τῇ συνηθείᾳ... f. 2 b. τὸ οὖν τῆς κατηγορίας ὄνομα κείμενον ἐν τῇ συνηθείᾳ ἐπὶ δικαιολογίας ἐλεγκτικῆς τῆς διὰ λόγων μηνύσεως λαβὼν αὐτὸς (ὁ Ἀρισ.) τὰς τῶν λέξεων τῶν σημαντικῶν κατὰ τῶν πραγμάτων ἀγορεύσεις κατηγορίας προσηγόρευσεν· ὥστε πᾶσα ἁπλῆ λέξις σημαντική, ὅταν κατὰ τοῦ σημαινομένου πράγματος ἀγορευθῇ τε καὶ λεχθῇ, λέγεται κατηγορία.

Dexipp. A β. τῇ κατηγορίᾳ, ᾗ ἀντίκειται ἡ ἀπολογία, τοῦτο τὸ ὄνομα τέταχεν ἡ διάλεκτος, ὥστε εἰκότως ἄν τις αὐτὸν (τὸν Ἀρισ.) αἰτιάσαιτο ὅτι ξενίζει ἐν τοῖς ὀνόμασι. πόσαι, ὦ Σέλευκε, πρὸς ταύτην τὴν αἰτίαν ἀπαντήσεις φέρονται ὑπὲρ Ἀριστοτέλους; καὶ ταύτας ἔξεστι νοῆσαι ἔκ τε τῶν Ἀλεξάνδρου καὶ Πορφυρίου... δείκνυσι τοίνυν ἡ τῆς κατηγορίας ἐπιγραφὴ ὅτι καὶ τὰ γένη καὶ τὰ εἴδη καὶ πάντως τὰ καθόλου καταγορεῖται κατὰ τῶν ὑφ' ἑαυτοῖς ὄντων, καὶ αἱ σημαντικαὶ λέξεις αἱ κοιναὶ κατηγορεύονται κατὰ πασῶν τῶν ὑποτεταγμένων μερικῶν λέξεων. κατηγορίαι ὠνομάσθησαν ἀπὸ τοῦ κατηγορεῖσθαι, ὅπερ ἐστὶ λέγεσθαι κατά τινος ὑποκειμένου. καλῶς ἅμα καὶ βραχέως ἐδίδαξε· καὶ γὰρ εἴπερ ἄλλου τινὸς καὶ τῆς συντομίας φροντιστέον, ἵνα μὴ εἰς τὴν αὐτὴν τοῖς προειληφόσιν ἀπειρίαν ἐμπέσωμεν.

(*) Porphyrius πρὸς πεῦσιν καὶ ἀπόκρισιν f. 2 b. ἐπεὶ ἄπορον φαίνεταί μοι τί ποτέ ἐστι τὸ λεγόμενον, πότερον φωνὴ ἢ πρᾶγμα ἢ νόημα, τοῦτό μοι σαφῶς ἐπιδεῖξαι πειράθητι. — ἔδει μὲν συντόμως ἀποκρίνασθαί με πρὸς τὴν ἐρώτησιν ὅτι προηγουμένως σημαίνεται τὰ νοήματα, κατὰ συμβεβηκὸς δὲ καὶ τὰ πράγματα. ἐπεὶ δὲ πολλὴ περὶ τῶν λεγομένων ἐστὶν ἡ ζήτησις, πλείονα κἀγὼ περὶ τῶν λεγομένων εἰπεῖν βούλομαι· καὶ γὰρ Σωσιγένης ὁ Περιπατητικὸς παραλλήλους ἐπιχειρήσεις περὶ τῶν λεγομένων ἀντεξήτασεν, οὐ μὴν περὶ μιᾶς τινὸς αὐτοτελῶς ἀπεφήνατο, ἀλλ' ἰσομαχοῦντας ἀφῆκε τοὺς λόγους.

(**) Porphyr. f. 4 b. ἆρα οὖν πάντες ἐσφάλησαν περὶ τὴν πρόθεσιν τῆς τῶν κατηγοριῶν γνώσεως; — οὐδαμῶς, ἀλλὰ καὶ Βοηθὸς ἐν τοῖς εἰς τὰς κατηγορίας εἴρηκε ταῦτα καὶ Ἑρμῖνος βραχέως. — εἰπὲ τὰ Ἑρμίνου, ἐπείπερ αὐτὰ φὴς διὰ βραχέων εἰρῆσθαι. — λέγει τοίνυν ὁ Ἑρμῖνος προκεῖσθαι οὔτε περὶ τῶν ἐν τῇ φύσει πρώτων καὶ γενικωτάτων γενῶν (οὐ γὰρ νέοις προσήκουσα ἡ τῶν τοιούτων διδασκαλία), οὔτε τίνες αἱ πρῶται καὶ στοιχειώδεις τῶν λεγομένων διαφοραί, ὡς τὸν λόγον εἶναι δοκεῖν περὶ τῶν τοῦ λόγου μερῶν, ἀλλὰ μᾶλλον περὶ τοῦ καθ' ἕκαστον γένος τῶν ὄντων οἰκείας ἂν ἐσομένης τῶν λεγομένων κατηγορίας.

ὅτι δεῖ προηγεῖσθαι τὸ παρὸν βιβλίον παντὸς ἄλλου λογικοῦ βιβλίου, ἐπειδὴ καὶ ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν πάντων προηγεῖται. ἐφ' οἷς εἴπωμεν καὶ τὴν αἰτίαν τῆς ἐπιγραφῆς. ἓξ τοίνυν ἐπιγραφαὶ φέρονται τοῦ παρόντος βιβλίου· οἱ μὲν γὰρ ἐπέγραψαν Κατηγορίαι, ὡς αὐτὸς ὁ Ἀριστοτέλης, οἱ δὲ περὶ τῶν Κατηγοριῶν, ὧν τινὲς ἑταῖροι τοῦ Ἀριστοτέλους, οἱ δὲ περὶ δέκα Γενῶν τοῦ ὄντος, ὡς Πλωτῖνος ἀντιλέγων ταῖς κατηγορίαις, οἱ δὲ πρὸ τῶν Τόπων, ὡς Ἀρχύτας ὁ Ταραντῖνος, οἱ δὲ περὶ τῶν Καθόλου λόγων, ὡς Ἄδραστος ὁ Ἀφροδισιεὺς ὁ Περιπατητικός. νικᾷ δὲ πάσας ἡ τοῦ Ἀριστοτέλους· ὁ γὰρ ἐπιγράφων ὅτι Κατηγορίαι, ἐνδείκνυται ὅτι οἱ λόγοι δι' οἰκείαν ἰσχὺν ἴσχυσαν γενέσθαι ὅπερ τὰ πράγματα. οὕτω καὶ Ἀριστείδης χάριν μαρτυρῶν τὰ ὑπὲρ τῶν τεττάρων ἐπέγραψε τοὺς λόγους οὕτω, Κίμων, Μιλτιάδης, Περικλῆς, Θεμιστοκλῆς· καὶ ὁ Πλάτων ἐπιγράφει οὕτως, Γοργίας, Φαίδων, Φαῖδρος. οἱ δὲ ἐπιγράφοντες περὶ τῶν Κατηγοριῶν ἢ περὶ τῶν Γενῶν τοῦ ὄντος ἢ περὶ τῶν Καθόλου λόγων ἐνδείκνυνται ὅτι οἱ λόγοι δι' οἰκείαν ἀσθένειαν κατόπιν ἐγένοντο τῶν πραγμάτων καὶ οὐχὶ ἴσχυσαν γενέσθαι ὡς αὐτὰ τὰ πράγματα. νικᾷ δὲ καὶ τὴν πρὸ τῶν Τόπων ἐπιγραφήν· εἰ γὰρ καὶ ἐξὸν τὴν τάξιν ἐπιγραφὴν ποιῆσαι, ὡς ἐν τῇ Μετὰ τὰ Φυσικά, ἀλλ' ἐκεῖ εὐλόγως· καὶ γὰρ μόναις ἕπεται ταῖς φυσικαῖς καὶ μόνα, τὸ δὲ παρὸν βιβλίον οὐ μόνων προηγεῖται τῶν Τόπων ἀλλὰ καὶ ἄλλων. οἶδε δὲ πάσας τὰς ἐπιγραφὰς Ἀριστοτέλης ἐπιγράφειν, Κατηγορίαι, Τόποι, ἀλλὰ καὶ τὴν περὶ Οὐρανοῦ καὶ Κόσμου. αὕτη καὶ ἡ αἰτία τῆς ἐπιγραφῆς. ἐφ' οἷς εἴπωμεν τὸ γνήσιον. γνήσιον τοίνυν ἐκ τοῦ παλαιοῦ τὸ παρὸν βιβλίον ἀπὸ τῆς φράσεως καὶ τῆς δεινότητος τῶν ἐνθυμημάτων καὶ ἐκ τοῦ ὀνομαστὶ μεμνῆσθαι αὐτὸν τοῦ παρόντος βιβλίου ἐν ἄλλοις αὐτοῦ βιβλίοις καὶ λέγειν ὅτι "ὡς εἴρηται ἐν Κατηγορίαις" (*), καὶ ἐκ τοῦ κατὰ ζῆλον αὐτοῦ γράψαι τοὺς ἑταίρους αὐτοῦ ὁμώνυμα βιβλία καὶ χρήσασθαι τῇ περί προθέσει, καὶ ἐκ τοῦ εὐθύνας δεδωκέναι αὐτὸ τοῖς Ἀττικοῖς ἐξηγηταῖς· τεσσαράκοντα γὰρ βιβλίων εὑρεθέντων ἐν παλαιαῖς βιβλιοθήκαις τῶν Ἀναλυτικῶν καὶ δύο τῶν Κατηγοριῶν, τέσσαρα μόνον τῶν Ἀναλυτικῶν ἐγκρίνουσι καὶ ἓν τῶν Κατηγοριῶν. καὶ εἰ μὴ γνήσιον ἦν τὸ παρὸν σύγγραμμα, ἀκέφαλος ἦν πᾶσα ἡ λογικὴ πραγματεία. Συριανὸς μὲν γὰρ ὁ φιλόσοφος ἐπέγραψε τῷ Φαίδρῳ (Φαίδωνι?) νοθευομένῳ ὑπό τινος Παναιτίου "εἴ με Πλάτων" κτλ. (**) ἐγὼ δέ, φησὶν ὁ ἡμέτερος διδάσκαλος, ἐπιγράφω ταῖς Κατηγορίαις "εἰ μὴ Ἀριστοτέλους γενόμην, ἢ δίπλοος οὗτος, ἢ σοφίην ἀκάρηνον ἐδείματο νόσφιν ἐμεῖο." οὕτως καὶ τὸ γνήσιον. ἐφ' οἷς εἴπωμεν τὴν εἰς τὰ μόρια διαίρεσιν. εἰς τρία τοίνυν διαιρεῖται τὸ παρὸν βιβλίον, εἰς τὰς κατηγορίας, τουτέστιν εἰς αὐτοὺς τοὺς ἀγῶνας, καὶ εἰς τὰ χρήσιμα πρὸς τὰς κατηγορίας· τὸ πρῶτον γὰρ καὶ τὸ τελευταῖον τμῆμα χρήσιμα διδάσκει πρὸς τὰς κατηγορίας, πλὴν οὐ τὰ αὐτά. ἐν μὲν γὰρ τῷ πρώτῳ τμήματι ἐκεῖνα τὰ χρήσιμα διδάσκει ὧν οὐδεμίαν ἔχομεν πρόσκλησιν ἐκ τῆς συνηθείας, περὶ ὁμωνύμων, περὶ ὑποκειμένου, περὶ κατηγορουμένου· ἐν δὲ τῷ τελευταίῳ τμήματι ἐκεῖνα τῶν χρησίμων διδάσκει ἃ καὶ ἐκ τῆς συνηθείας γινώσκομεν, περὶ προτέρου, περὶ τοῦ ἅμα, περὶ τοῦ ἔχειν, περὶ κινήσεως. οὐκ ἠβουλήθη δὲ πάντα τὰ χρήσιμα ἐν ἑνὶ μέρει εἰπεῖν, ἵνα μὴ τὰ προτέλεια μείζονα ποιήσῃ τῶν ἀγώνων (***). καὶ ἡμεῖς οὖν ἵνα μὴ τὰ προοίμια μείζονα ποιήσωμεν, τῶν μὲν προοιμίων ἅλις, ἐπ' αὐτοὺς δὲ τοὺς ἀγῶνας λοιπὸν χωρήσωμεν καὶ τὴν ἐξήγησιν τῆς λέξεως. ἐν τούτοις καὶ τὰ προλεγόμενα τῶν Κατηγοριῶν.

ΕΙΣ ΤΑΣ ΚΑΤΗΓΟΡΙΑΣ ΠΡΟΛΕΓΟΜΕΝΑ (†).

Ὅτι ἓξ κεφάλαια προληπτέον παντὸς Ἀριστοτελικοῦ βιβλίου, σκοπόν, χρήσιμον, τάξιν, ἐπιγραφήν, συγγραφέα, διασκευὴν ἤτοι οἰκονομίαν τοῦ λόγου, ἣν καὶ διδασκαλικὸν φαμὲν τρόπον. ταῦτα δὲ καὶ κεφάλαια λέγονται ὡς ἐν βραχεῖ τὴν διάνοιαν τῶν βιβλίων περικλείοντα, ὥσπερ καὶ ἐν τοῖς ζῴοις ἡ κεφαλὴ ἐν βραχεῖ μεγέθει τὸ κῦρος τῶν ζῴων τῷ τὰς αἰσθήσεις πάσας ἐν ἑαυτῇ ἔχειν. τὸν μὲν οὖν σκοπὸν προληπτέον καὶ εἰ δῆλος, ὥσπερ ὅτε ὑπὸ τῆς ἐπιγραφῆς κηρύττεται ὡς ἐν τοῖς περὶ ψυχῆς, διὰ τὸ πρὸς αὐτὸν ὁρᾶν τὰ ἄλλα κεφάλαια (μία γὰρ κατὰ Πλάτωνα ἀρχή ἐστι τοῦ καλῶς βουλεύεσθαι περὶ ὅτου ἐστὶν ἡ σκέψις, ἢ τοῦ παντὸς κινδυνεύειν ἁμαρτάνειν), διαφερόντως δὲ ὅτε μὴ κηρύττεται ὑπὸ τῆς ἐπιγραφῆς, ὡς ἐν τοῖς προτέροις Ἀναλυτικοῖς καὶ τοῖς ὑστέροις. καὶ τὸ χρήσιμον δὲ πανταχοῦ ζητητέον ὑπὲρ τοῦ συντόνους ποιῆσαι τοὺς ἀκροατάς· διαφερόντως δὲ πάλιν ὅτε ἢ τὴν ἄλλως δοκεῖ περιγεγράφθαι τὸ βιβλίον ὡς τὰ αὐτὰ ἀνασκευάζον καὶ κατασκευάζον, ὡς ἐν τοῖς Τόποις, ἢ καὶ πρὸς κακοῦ γεγράφθαι, ὡς ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις τρόπους ἀπάτης ἡμᾶς διδάσκουσιν. χρήσιμοι γὰρ καὶ οἱ Τόποι ῥητέοι ἵνα θλιβομένη ἡ ψυχὴ ὑπὸ τῶν ἐναντίων λόγων ἀποκύῃ τὸ ἀληθές, ὡς οἱ πυρέκβολοι λίθοι τῇ παρατρίψει ἀλλήλων τὸ πῦρ. χρήσιμοι καὶ οἱ Σοφιστικοὶ Ἔλεγχοι ἀπατᾶν διδάσκοντες οὐχ ἵνα ἀπατήσωμεν ἀλλ' ἵνα μὴ ἀπατηθῶμεν, ὡς καὶ οἱ ἰατροὶ καὶ τὰ ὑγιεινὰ καὶ τὰ δηλητηριώδη διδάσκουσιν ὑπὲρ τοῦ τὰ μὲν ἑλέσθαι τὰ δὲ φυγεῖν· καὶ γὰρ σοφιστικοὶ ἔλεγχοι ἐπιγεγραμμένοι εἰσίν, ὡς δὲ ἐλέγχειν αὐτούς. τὴν τάξιν ἐπὶ τούτοις ζητοῦμεν, οὐ πρὸς τὰ ἀνομοειδῆ (ἤδη γὰρ ἔχομεν αὐτήν, ὅτι πρώτη ἡ λογική, δευτέρα ἡ ἠθική, τρίτη ἡ φυσική,

(†) Cod. Urbin. 35 f. 21 *b*.

(*) Simplic. f. 8 *b*. καὶ αὐτὸς δὲ (ὁ Ἀρ.) μέμνηται τοῦ βιβλίου ἐν ἄλλοις, δέκα Κατηγορίας αὐτὸ καλῶν, ἵνα μὴ ὑπονοήσωμεν τοῦ Ἀρχυτείου μνημονεύειν αὐτόν, ἄλλην ἐπιγραφὴν ἔχοντος... ἀλλὰ καὶ οἱ σπουδαιότεροι τῶν ἑταίρων αὐτοῦ ὡς γνήσιον ἀπεδέξαντο τὸ βιβλίον.

(**) Antholog. 9 358. cf. Wyttenbach. Polymath. 2 p. 83.

(***) Simplic. f. 8 *b*. τινὲς μὲν ἐπιστήσαντες ὅπως τε κατ' ἄρθρα διήρηται καὶ ὅπως τήν τε πρὸς τὸν ὅλον σκοπὸν χρείαν ἀποπληροῦσι καλῶς καὶ τὴν πρὸς ἄλληλα συνέχειαν διασώζουσι, στοιβηδὸν κεῖσθαι νομίζουσι τὰ κεφάλαια κατὰ τὸν ὑπομνηματικὸν τρόπον. καὶ δὴ ἀντιλέγουσιν αὐτῷ τινὲς ἀθετοῦντες τὴν διαίρεσιν, οἱ μὲν ὡς πλεονάζουσαν μάτην, οἱ δὲ ὡς πολλὰ παριεῖσαν, ὡς Κορνοῦτος καὶ Ἀθηνόδωρος.

πρὸς τοὺς πρώτους ὅτι νικᾶσθε ἡμῶν ἀμφότεροι, καὶ οἱ λέγοντες περὶ πραγμάτων μόνων εἶναι τὸν σκοπὸν καὶ οἱ λέγοντες περὶ φωνῶν, ἵνα τὰ μέσα τούτων ἀναφανῇ, τὰ νοήματα, ὡς καὶ ἐξαγγέλλοντα καὶ ἐξαγγελλόμενα· ἐξαγγέλλουσι γὰρ μόναι αἱ φωναί, ἐξαγγέλλονται δὲ μόνως τὰ πράγματα, τὰ δὲ νοήματα καὶ ἐξαγγέλλουσι καὶ ἐξαγγέλλονται (*). τούτων οὕτω μαχομένων ὀψέ ποτε ἐπιγενόμενος ὁ Ἰάμβλιχος ἔλυσε τοὺς ἄνδρας τῆς τε πρὸς ἀλλήλους στάσεως καὶ τῆς πρὸς τὸν Ἀριστοτέλην, λέγων οὕτως· μάχεσθε ὦ ἄνδρες μὴ μαχόμενοι, καὶ ἀληθεύετε μὴ ἀληθεύοντες, καὶ ψεύδεσθε μὴ ψευδόμενοι· ὅμοιον γὰρ πάσχετε ὡς ἂν εἴ τινες ἄνδρες ἐθέλοιεν ὁρίσασθαι τὸν ἄνθρωπον, καὶ ὁ μὲν εἴποι αὐτὸν ζῷον μόνον, ὁ δὲ λογικόν, ὁ δὲ θνητόν, ὁ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικόν, μηδεὶς δὲ τὸ ὅλον ἑνῶσαι δυνηθῇ ὅτι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. οὕτως οὖν καὶ ὑμεῖς ὁ μὲν περὶ φωνῶν λέγει μόνον, ὁ δὲ περὶ πραγμάτων, ὁ δὲ περὶ νοημάτων, δέον πάντα μῖξαι καὶ εἰπεῖν ὅτι καὶ περὶ φωνῶν καὶ περὶ νοημάτων καὶ περὶ πραγμάτων. ἐρωτάσθωσαν γὰρ οἱ λέγοντες περὶ φωνῶν μόνον ὅτι ποίων φωνῶν; ἆρα τῶν ἀσήμων; οὐ δήπου (γραμματικῶν γὰρ αὗται), ἀλλὰ τῶν σημαινουσῶν πράγματα· οὐκ ἄρα περὶ φωνῶν μόνον ἀλλὰ καὶ περὶ πραγμάτων. οἱ δὲ περὶ πραγμάτων μόνον λέγοντες ἐρωτάσθωσαν καὶ αὐτοί, πῶς διδάσκει ὁ φιλόσοφος τὰ πράγματα; δακτύλῳ χρώμενος; οὐ δήπου· μειρακικὸν γὰρ δήπου τοῦτο καὶ ἀφιλόσοφον· φιλοκαθόλου γὰρ ὁ φιλόσοφος, τὰ δὲ καθόλου οὐκ ἐνδέχεται χωρὶς λόγου διδάξαι οὐδὲ τῷ δακτύλῳ· ἄρα νοήματα διδάσκει ἐξ ἀνάγκης. οἱ δὲ περὶ νοημάτων λέγοντες εἶναι τὸν σκοπὸν ἐρωτάσθωσαν περὶ ποίων νοημάτων; τῶν διακένων καὶ μὴ ἐποχουμένων τοῖς πράγμασιν, ἢ τῶν ἐποχουμένων τοῖς πράγμασιν; οὐ δήπου περὶ τῶν μὴ ἐποχουμένων, ἐπεὶ οὐκέτι ἡ φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ἀλλὰ τῶν μὴ ὄντων, ἀλλὰ περὶ τῶν ἐποχουμένων· οὐκ ἄρα περὶ νοημάτων μόνον ἀλλὰ καὶ περὶ πραγμάτων. εἰ δὲ περὶ πραγμάτων, ἐξ ἀνάγκης καὶ περὶ φωνῶν διαλέγεται· οὐκέτι οὖν περὶ φωνῶν μόνον ἢ περὶ πραγμάτων ἢ περὶ νοημάτων, ἀλλὰ περὶ φωνῶν καὶ περὶ πραγμάτων καὶ διὰ μέσων τῶν νοημάτων· ἑκάστῃ γὰρ μονάδι ἡ λοιπὴ δυὰς ἕπεται. ἀλλ' ὅσον ἐκ τούτων, τρεῖς δόξουσιν εἶναι οἱ σκοποί, ὅπερ οὐδ' αὐτῷ Ἰαμβλίχῳ δοκεῖ· ἐν γὰρ τοῖς σκοποῖς τῶν Πλάτωνος διαλόγων παντὸς βιβλίου ἕνα βούλεται εἶναι σκοπόν. οὕτως, ὡς εἴπομεν, ὁ σκοπὸς τοῦ βιβλίου τῶν Κατηγοριῶν περὶ φωνῶν ἐστὶ σημαινουσῶν πράγματα διὰ μέσων νοημάτων. ἀλλ' ἐπειδὴ τὸ "Σωκράτης περιπατεῖ" καὶ ἁπλῶς πᾶσα πρότασις φωνή ἐστι σημαντικὴ πράγματος διὰ μέσου νοήματος, περὶ δὲ τῶν προτάσεων ἐν τῷ περὶ Ἑρμηνείας διαλαμβάνει, εἴπωμεν ἄλλως τὸν σκοπόν· ὁ σκοπὸς τῶν Κατηγοριῶν περὶ ἁπλῶν φωνῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων. ἀλλ' ἐπειδὴ καὶ τὸ ὄνομα καθ' αὑτὸ καὶ τὸ ῥῆμα φωναί εἰσιν ἁπλαῖ ἁπλᾶ σημαίνουσαι πράγματα διὰ μέσου ἁπλῶν νοημάτων, περὶ δὲ ὀνόματος καὶ ῥήματος ἐνταῦθα οὐ ζητεῖ ἀλλ' ἐν τῷ περὶ Ἑρμηνείας, εἴπωμεν ἄλλως τὸν σκοπόν· ὁ σκοπὸς τοῦ βιβλίου τῶν Κατηγοριῶν περὶ τῆς πρώτης θέσεως τῶν ἁπλῶν φωνῶν τῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσων ἁπλῶν νοημάτων (*). πάλαι γὰρ συνελθόντες οἱ ὀνοματοθέται ὠνόμασαν τὸ μὲν ἄνθρωπον, τὸ δὲ εἰ τύχοι ἵππον, τὸ δὲ τρέχει, τὸ δὲ νικᾷ, μὴ προσδιοριζόμενοι ποῖα σημαίνει χρόνον καὶ ποῖα οὔ. καλοῦνται ταῦτα τῆς πρώτης θέσεως τῷ ἁπλῶς οὕτως ὀνομάσαι τὰ πράγματα. ὕστερον δὲ ἐπιγενόμενοι ἕτεροι ὅσα μὲν εὗρον προσσημαίνοντα χρόνον, ῥῆμα ἐκάλεσαν, ὅσα δὲ οὐ προσσημαίνοντα χρόνον, ὄνομα. αἱ Κατηγορίαι οὖν τὰ περὶ τῆς πρώτης θέσεως ζητοῦσιν, ὡς εἴρηται, καὶ οὐ περὶ τῶν τῆς δευτέρας θέσεως, τουτέστιν ὀνομάτων καὶ ῥημάτων. ἀλλ' ἐπειδὴ καὶ τὰ ὀνόματα τῆς πρώτης θέσεως ἄπειρά εἰσι τὰ κατὰ μέρος, αἱ δὲ κατηγορίαι ὡρισμέναι εἰσί (δέκα γὰρ τὸν ἀριθμόν), εἴπωμεν οὕτως, ὅτι ὁ σκοπὸς τοῦ βιβλίου τῶν Κατηγοριῶν διαλαμβάνει περὶ τῆς πρώτης θέσεως τῶν ἁπλῶν φωνῶν τῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων, καὶ τούτων οὐκ εἰδικωτάτων, οὐκ ἀτόμων, οὐ μερικῶν, οὐχ ὑπαλλήλων, ἀλλὰ γενικωτάτων.

Δεύτερον ἦν κεφάλαιον τὸ χρήσιμον. ποῦ χρήσιμος ἡ παροῦσα πραγματεία; τολμῶ λέγειν πρὸς φιλοσοφίαν· πλὴν οὐ χρήσιμος ὡς αὐτὴ ἡ φιλοσοφία· καὶ ἡ φιλοσοφία γὰρ γνῶσίς ἐστι πάντων τῶν ὄντων, καὶ τὸ παρὸν βιβλίον πάντα τὰ ὄντα περιέχει· ὑπὸ γὰρ τὰς δέκα κατηγορίας πάντα τὰ ὄντα ἀνάγεται. καὶ δι' ἀποφάσεως τὸ χρήσιμον ῥητέον τοῦ παρόντος βιβλίου οὕτως. εἰ μὴ ἦν ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν, ἡ δευτέρα οὐκ ἂν ἦν· εἰ μὴ ἦν ἡ δευτέρα θέσις, ὀνόματα καὶ ῥήματα οὐκ ἂν ἦσαν· τούτων δὲ μὴ ὄντων πρότασις οὐκ ἦν· προτάσεως δὲ μὴ οὔσης συλλογισμὸς οὐκ ἦν· συλλογισμοῦ μὴ ὄντος ἀπόδειξις οὐκ ἦν· ἀποδείξεως μὴ οὔσης ἀπέλιπεν ἂν τὰ ὄργανα τὰ διακριτικά, ἐν μὲν θεωρίᾳ διάκρισις τῶν ἀληθῶν καὶ τῶν ψευδῶν καὶ ἡ ἐκλογὴ μὲν τῶν ἀληθῶν ἀπεκλογὴ δὲ τῶν ψευδῶν, ἐν δὲ πράξει διάκρισις ἀγαθοῦ καὶ κακοῦ καὶ ἐκλογὴ μὲν τῶν ἀγαθῶν ἀπεκλογὴ δὲ τῶν κακῶν· εἰ μὴ ἦν τὸ θεωρητικὸν καὶ τὸ πρακτικόν, ἡ φιλοσοφία οὐκ ἦν· εἰ μὴ ἡ φιλοσοφία ἦν, τὸ εὐδαιμονεῖν οὐκ ἦν. καὶ ἔχεις δι' ἀποφάσεως χρησίμου καὶ τὴν τάξιν,

(*) Simplic. f. 5. ἄλλοι δὲ περὶ τῶν ἁπλῶν νοημάτων (λέγουσιν εἶναι τὸν σκοπόν). εἰ γὰρ περὶ τῶν δέκα γενῶν ἐν τούτοις ὁ λόγος, ταῦτα δὲ ὕστερον καὶ ἐπινοηματικά, περὶ νοημάτων ἂν εἴη ὁ λόγος. ὅτι δὲ περὶ τῶν λεγομένων ἐστί, σαφῶς εἶπεν ὁ Ἀριστοτέλης· τὰ δὲ λεγόμενα καὶ λεκτὰ τὰ νοήματά ἐστιν, ὡς καὶ τοῖς Στωϊκοῖς ἐδόκει κτλ. ἴδωμεν δὲ καὶ τοὺς τελεώτερον ἀντιλαμβανομένους, ὧν ἐν πρώτοις κατ' ἐμὴν ἐστὶ γνώμην ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος, ἀρχὴν εἶναι λέγων τῆς λογικῆς πραγματείας τοῦτο τὸ βιβλίον κτλ. Id. f. 5 *b*. τῆς δὲ αὐτῆς ἐγένετο δόξης καὶ ὁ Αἰγαῖος Ἀλέξανδρος. ὁ δὲ Πορφύριος σκοπὸν εἶναι τοῦ βιβλίου φησὶν ἔν τε τῷ πρὸς Γεδάλιον καὶ ἐν τῷ κατὰ πεῦσιν καὶ ἀπόκρισιν περὶ τῶν κατηγορουμένων· αὗται δέ εἰσιν αἱ ἁπλαῖ φωναὶ αἱ σημαντικαὶ τῶν πραγμάτων καθὸ σημαντικαί εἰσιν, ἀλλ' οὐ καθὸ λέξεις ἁπλῶς· καθὸ μὲν γὰρ λέξεις, ἄλλας ἔχουσι πραγματείας, ἃς ἐν τῷ περὶ τοῦ λόγου στοιχείων ὅ τε Θεόφραστος ἀνακινεῖ καὶ οἱ περὶ αὐτὸν γεγραφότες κτλ. [illegible] δὲ καὶ τὰ τοῦ Βοηθοῦ ὁ Πορφύριος πολλῆς ἀγχινοίας γέμοντα καὶ εἰς τὸ αὐτὸ νεύοντα κτλ. Id. f. 7 *b*. καὶ ταῦτα τοῖς περὶ Ἀλέξανδρον καὶ Ἑρμῖνον καὶ Βοηθὸν καὶ Πορφύριον δοκεῖ, καὶ ὁ θεῖος Ἰάμβλιχος ἐπιψηφίζει καὶ Συριανὸς σαφηνίζει, καὶ οἱ ἡμέτεροι διδάσκαλοι ἀποδέχονται.

(*) Boëthus p. 111. *ut igitur concludenda sit intentio, dicendum est in hoc libro de primis vocibus prima rerum genera significantibus in eo quod significantes sunt, dispositum esse tractatum.*

Κατηγορίαις καὶ ἐν τῷ περὶ Ἑρμηνείας. καὶ γὰρ ὅταν λέγῃ κατηγορίας, οὐ τὰς ἐπ' ἐγκλήμασι δίκας, ὡς ἔθος, φησίν, ἀλλὰ τὰ γενικώτατα ὡς ἔθος ἔχοντα ἀεὶ κατηγορεῖσθαι καὶ μηδέποτε ὑποκεῖσθαι. καὶ πάλιν περὶ τόπων οὐ τὸ πέρας τοῦ περιέχοντος καθ' ὃ περιέχεται τὸ περιεχόμενον, ὡς λέγομεν περιέχεσθαι τὸν οἶνον ὑπὸ τῆς τοῦ κεραμίου ἔνδοθεν ἐπιφανείας, ἀλλὰ κανόνα τὸν πολλῶν κανόνων περιεκτικόν. καὶ πάλιν τὸ περὶ Ἑρμηνείας λέγων οὐ τὴν κατὰ λέξιν ἑρμηνείαν λέγει, ἀλλὰ τὰς τῆς ψυχῆς ἐννοίας. ἐν οἷς ζητητέον καὶ τὸ γνήσιον διὰ τὴν γινομένην νοθείαν· νοθεύονται γὰρ τὰ βιβλία πενταχῶς (*)· ἢ γὰρ δι' εὐγνωμοσύνην μαθητῶν τὰ οἰκεῖα συγγράμματα τοῖς οἰκείοις διδασκάλοις ἀνατιθέντων, ὡς τὰ Πυθαγόρου καὶ Σωκράτους ἐπιγραφόμενα βιβλία, μὴ ὄντα Σωκράτους ἢ Πυθαγόρου ἀλλὰ Σωκρατικῶν καὶ Πυθαγορικῶν. ἢ διὰ φιλοτιμίαν βασιλικήν· Ἰοβάτους γὰρ τοῦ Λιβύων βασιλέως συνάγοντος τὰ Πυθαγόρου καὶ Πτολεμαίου τὰ Ἀριστοτέλους, τινὲς καπηλείας χάριν τὰ τυχόντα συγγράμματα λαμβάνοντες ἐκέδρουν καὶ ἔσηπον διὰ παραθέσεως νέων πυρρῶν, ἵνα σχοῖεν δῆθεν τὴν ἐκ τοῦ χρόνου ἀξιοπιστίαν. ἢ δι' ὁμωνυμίας συγγραφέων ἢ συγγραμμάτων ἢ ὑπομνημάτων· καὶ συγγραφέων μέν, ὅτι οὐ μόνος ὁ Σταγειρίτης Ἀριστοτέλης ἐκαλεῖτο ἀλλὰ καὶ ἄλλοι Ἀριστοτέλεις ἐγένοντο ἐπὶ αὐτοῦ, ὡς ὁ παιδοτρίβης καὶ ἐπιλύμηθος (**), καὶ μετὰ ταῦτα, ὡς ὁ διδάσκαλος Ἀλεξάνδρου· ἔδει γὰρ αὐτὸν οἷον δεύτερον ὄντα Ἀριστοτέλην. πάντων οὖν τούτων συγγραψαμένων, νομίζονται τοῦ Σταγειρίτου εἶναι. ἀλλὰ καὶ δι' ὁμωνυμίαν ὑπομνημάτων γίνεται ἀπάτη, τοῦ Ἀλεξάνδρου μὴ μόνον τὰ Ἀριστοτέλους ὑπομνηματίσαντος βιβλία τοῦ Σταγειρίτου ἀλλὰ καὶ τῶν ἄλλων, καὶ νομίζονται πάντα τὰ τοιαῦτα ὑπομνήματα εἰς τὰ τοῦ Σταγειρίτου γεγράφθαι διὰ τὸ ἐπίσημον τοῦ ἀνδρός. ἢ διὰ τὸ ἐκλογὰς εἶναι ἐνομίσθησαν αὐτοῦ εἶναι τοῦ ποιήσαντος τὰς ἐκλογὰς καὶ οὐχὶ τῶν πρωτοτύπων συγγραφέων. ἢ δι' ὀφρὺν κτήσεως ξενοπρεπῶν βιβλίων τινὲς ἄσημοι ὄντες συγγραφεῖς, διὰ τὸ δόξαι ξενοπρεπεῖς εἶναι καὶ τοιαῦτα ἔχειν βιβλία, ἐπέγραφον ὀνόματα συγγραφέως ἐνδόξου. οὕτω μὲν τὸ γνήσιον. τὴν δὲ τάξιν ζητητέον οὐ πρὸς τὰ ἀνομοιοειδῆ, ἥτις εἴρηται ἡμῖν ὅτε ἐλέγομεν ὅτι δεῖ τὴν λογικὴν προηγεῖσθαι καὶ μετὰ ταύτην τὴν ἠθικὴν καὶ οὕτως ἐφεξῆς, ὡς εἴρηται, ἀλλὰ πρὸς τὰ ὁμοιοειδῆ τάξιν ζητητέον, λογικοῦ ὄντος τοῦ βιβλίου, ποίαν τάξιν ἔχει πρὸς τὰ λογικά, ἢ πρὸς τὰ φυσικὰ τὸ φυσικόν. τὴν δὲ εἰς τὰ μόρια διαίρεσιν ζητητέον ὡς ἀνατομῆς τάξιν ἔχουσαν· ὡς γὰρ ἡ ἀνατομὴ τῶν ἐν βάθει μορίων ἀνάπτυξιν ποιουμένη τὴν ἑκάστου χρείαν παρίστησιν, οὕτω καὶ ἡ εἰς τὰ μόρια διαίρεσις τῶν Ἀριστοτέλους συγγραμμάτων ἀρίστη. τὸ δὲ τίς ὁ τρόπος τῆς διδασκαλίας οὐ ζητοῦμεν, ὡς καὶ αὐτοῦ ἀνωτέρω εἰρημένου, ὅτε ἐζητοῦμεν τί τὸ εἶδος τῆς φράσεως τοῦ Ἀριστοτέλους. ταῦτα ἔχει καὶ ἡ παροῦσα πρᾶξις.

Ἐπειδὴ κατὰ τὸν Παιανιέα πᾶς λόγος, ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι νομίζεται καὶ κενόν, φέρε ἔργῳ προλάβωμεν τοῦ βιβλίου τῶν Κατηγοριῶν τὰ εἰωθότα ζητεῖσθαι ἐπὶ ἑκάστου Ἀριστοτελικοῦ βιβλίου, τὸν σκοπόν, τὸ χρήσιμον καὶ τὰ ἑξῆς. οὐχ εἷς τοίνυν ἔδοξεν εἶναι ὁ σκοπὸς τῶν Κατηγοριῶν ἀλλὰ πλείους· ὅσα γὰρ τὰ ὄντα, τοσοῦτοι φέρονται καὶ σκοποί. τριττὰ δὲ τὰ ὄντα, φωναὶ νοήματα καὶ πράγματα. οἱ μὲν οὖν περὶ φωνῶν εἰρήκασι τὸν σκοπόν, ὡς Ἀλέξανδρος καὶ Εὐστάθιος, οἱ δὲ περὶ νοημάτων, ὡς Πορφύριος, οἱ δὲ περὶ πραγμάτων, ὡς Ἑρμῖνος. πάντες μὲν συνεφώνησαν περὶ τῶν δέκα κατηγοριῶν εἶναι τὸν σκοπόν, ἀλλ' οἱ μὲν ὡς ἐκφωνουμένων μόνον, οἱ δὲ ὡς ὑφεστωσῶν, οἱ δὲ ὡς νοουμένων. καὶ οὐκ ἔστιν εἰπεῖν ὅτι ὀνόματι μὲν τρεῖς οἱ σκοποί, ἔργῳ δὲ εἷς· οὐδὲ γὰρ ἀκολουθεῖ ταῦτα ἀλλήλοις· οὐ γὰρ ὅπου φωνή, καὶ νοήματα πάντως, διὰ τὰς ἀσήμους φωνάς· οὐδὲ ὅπου νοήματα, ἐκεῖ καὶ πράγματα, διὰ τὸν τραγέλαφον καὶ ἱπποκένταυρον, νοήματα ὄντα ἀνύπαρκτα. ἀλλὰ καὶ κατὰ τὰς αἰτίας διαφέρουσι· νοῦ μὲν γὰρ τὰ νοήματα, θεοῦ δὲ τὸ παράγειν τὰ πράγματα, ψυχῆς δὲ τὰς φωνάς. οὐχ εἷς ἄρα κατ' αὐτοὺς ὁ σκοπὸς ἀλλὰ πλείους· καὶ πάντοσε τούτοις ἕλκουσι καὶ ἀνθέλκουσι τὸν Ἀριστοτέλην πρὸς κατασκευὴν τῆς ἰδίας δόξης. οἱ μὲν γὰρ λέγοντες ὅτι περὶ φωνῶν μόνον, ἐκ τῆς ἐπιγραφῆς κατασκευάζουσιν ὅτι Κατηγορίαι ἐπιγέγραπται τὸ βιβλίον, κατηγορία δέ ἐστι τὸ κατά τινος ἀγορεύεσθαι ἤγουν λέγεσθαι, τὸ δὲ λέγεσθαι φωνή ἐστιν· περὶ φωνῶν ἄρα ὁ σκοπὸς τῶν Κατηγοριῶν. καὶ ὅτι κατακέχρηται τῷ λέγεται, "ὁμώνυμα λέγεται, συνώνυμα δὲ λέγεται," τὸ δὲ λέγεται φωνή· περὶ φωνῶν ἄρα ὁ σκοπὸς τῶν Κατηγοριῶν. καὶ πάλιν ἐκ τοῦ διελεῖν αὐτὸν τὰ λεγόμενα εἰς δύο· φησὶ γὰρ ὅτι τῶν μὲν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται τὰ δὲ ἄνευ συμπλοκῆς, καὶ τὰ μὲν ἄνευ συμπλοκῆς εἰς δέκα διεῖλε κατηγορίας· αἱ οὖν κατηγορίαι περὶ φωνῶν εἰσὶν ὡς ἐκ τῶν λεγομένων ἔχουσαι τὸ εἶναι· τὸ γὰρ λέγεται φωνῆς πρόσρημα. οἱ δὲ λέγοντες ὅτι περὶ πραγμάτων ὁ σκοπὸς τῶν Κατηγοριῶν, κατασκευάζουσιν οὕτως, ὅτι τοῖς ἑαυτῶν ἑάλωσαν πτεροῖς κατὰ τὴν παροιμίαν· ἃ γὰρ λέγετε κατασκευάζοντες ὅτι περὶ φωνῶν, τὰ αὐτά φαμεν πρὸς κατασκευὴν ὅτι περὶ πραγμάτων. φατὲ ὅτι Κατηγορίαι ἐπιγέγραπται, τὸ δὲ κατηγορεῖσθαι καὶ λέγεσθαι κατά τινος φωνῆς ἴδιον σημαντικῆς πράγματος· περὶ πραγμάτων ἄρα ὁ σκοπός. εἰ δὲ λέγετε ὅτι κατακέχρηται τῷ λέγεται, καὶ τὸ τί ἐστιν οὐσία ἐστὶ λέγων καὶ "δεύτεραι οὐσίαι εἰσὶ" λέγων· περὶ πραγμάτων ἄρα ὁ σκοπός. εἰ δὲ πάλιν λέγετε ὅτι διαιρεῖ τὰ λεγόμενα εἰς συμπεπλεγμένα καὶ εἰς τὰ ἄνευ συμπλοκῆς, καὶ ἐξ αὐτῶν κατάγει τὰς κατηγορίας, τοῦτο ἡμῖν συνᾴδει· τὰ λεγόμενα γὰρ διεῖλεν, οὐ τὰ λέγοντα· τὰ δὲ λεγόμενα πράγματά εἰσιν· περὶ πραγμάτων ἄρα ὁ σκοπὸς τῶν Κατηγοριῶν. οἱ δὲ λέγοντες ὅτι περὶ νοημάτων, φασὶ

(*) Ammon. f. 9 *b*. τρεῖς γὰρ ἀφορμαὶ γεγόνασι τοῦ νοθεύεσθαι τὰ συγγράμματα τοῦ Ἀριστοτέλους, μία μὲν ἡ ὁμωνυμία· γεγόνασι γὰρ καὶ ἕτεροι Ἀριστοτέλεις ὧν τὰ συγγράμματα διὰ τὴν ὁμωνυμίαν τινὲς ἐνόμισαν Ἀριστοτέλους. δευτέρα δὲ ἡ τῶν συγγραμμάτων ὁμωνυμία· οἱ γὰρ μαθηταὶ αὐτοῦ Εὔδημος καὶ Φανίας καὶ Θεόφραστος κατὰ ζῆλον τοῦ διδασκάλου γεγραφήκασι Κατηγορίας καὶ περὶ Ἑρμηνείας καὶ Ἀναλυτικήν. ἡ δὲ τρίτη τοιαύτη ἐστίν. Πτολεμαῖον τὸν φιλάδελφον πάνυ ἐσπουδακέναι φασὶ περὶ τὰ Ἀριστοτελικὰ συγγράμματα κτλ. Simpl. l. l. πολλὰ γὰρ ἐγράφη καὶ νόθα βιβλία κατ' ἐκεῖνον μάλιστα τὸν χρόνον, ὅτε πολλοὶ τῶν βασιλέων περὶ τὰς βιβλιοθήκας σπουδάζοντες πολλοῦ χρυσίου τὰ ἀπεξενωμένα τῶν βιβλίων ὠνοῦντο. cf. Simplic. f. 4 *b*.

(**) ἐπιλήμμυθος alius codex. lege ἐπίκλην μῦθος vel ἐπικληθεὶς μῦθος coll. Diogen. L. 5 35.

τοῦ ὀνοματοποιεῖν, ὡς ὅταν λέγῃ κατηγορίας οὐ τὰς ἐπ' ἐγκλήματι δίκας, ὡς ἔθος, ἀλλὰ τὰ γενικώτατα ὡς ἔθος ἔχοντα ἀεὶ κατηγορεῖσθαι καὶ μηδέποτε ὑποκεῖσθαι· καὶ κεφαλωτὸν καὶ πηδαλιωτὸν καὶ πτερωτόν, ὡς ἡνίκα λέγῃ (*)· ἢ πάλιν τόπους, ὡς ἡνίκα λέγῃ οὐ τὸ πέρας τοῦ περιέχοντος καθ' ὃ περιέχεται τὸ περιεχόμενον ὡς ὡρίσατο ἐν τοῖς φυσικοῖς, ἀλλὰ τὸ ἐπιχείρημα τὸ πολλῶν ἐπιχειρημάτων περιεκτικόν· καὶ ἑρμηνείαν, ὡς ἡνίκα λέγῃ τὴν ἀκαλλώπιστον λέξιν ἐν τῷ περὶ Ἑρμηνείας. ἀλλὰ καὶ ἄλλως ἀσαφής ἐστιν· ἀπορῶν γὰρ οὐκ εὐθὺς τὴν λύσιν τίθησι παράλληλον, ἀλλ' ἐπισυνάπτει δευτέραν καὶ τρίτην ἀπορίαν, καὶ οὕτως διὰ τῆς λύσεως τῆς τρίτης ἀπορίας λύει τὴν πρώτην ἀπορίαν. ἐν δὲ τῇ διανοίᾳ οὐκ ἐξίσταται τοῦ φαινομένου, διὸ δυσωπεῖ ἀεὶ καὶ καταναγκάζει τοὺς ἀκροατὰς ἐκ τῆς ἐναργείας τῶν φαινομένων· καὶ τὰ δειχθέντα αὐτῷ διὰ τοῦ λόγου ἐπισφραγίζει διὰ τῆς τῶν παλαιῶν μαρτυρίας, ὅτι οὕτω δοκεῖ καὶ Ἡρακλείτῳ καὶ Ἐμπεδοκλεῖ· καὶ τὰ ὑπὲρ φύσιν ζητῶν πιστοῦται αὐτὰ ἐκ τῶν κατὰ φύσιν, διὸ ἀεὶ ὁ Ἀριστοτέλης θεολογῶν φυσιολογεῖ, ὥσπερ ἀνάπαλιν ὁ Πλάτων ἀεὶ φυσιολογῶν θεολογεῖ, παντελῶς παρεγκυκλῶν τὸ δόγμα τῶν ἰδεῶν... ἀλλὰ φύσει ὢν σαφὴς ἐπετήδευσε τὴν ἀσάφειαν (**). ἐπετήδευσε δὲ αὐτὴν διὰ τρεῖς αἰτίας· ἢ γὰρ κρύψεως χάριν ἢ δοκιμασίας ἢ γυμνασίας. ὅπερ γὰρ τοῖς ποιηταῖς οἱ μῦθοι καὶ τοῖς ἱερεῦσι τὰ παραπετάσματα, τοῦτο τῷ Ἀριστοτέλει ἡ ἀσάφεια, μονονουχὶ ἐπάγοντι τὸ Ὀρφικὸν ἐκεῖνο "ἀεὶ δ' ἀξυνέτοισι (***), θύρας δ' ἐπίθεσθε βεβήλοις," καὶ τὸ ὅμοιον τούτῳ "κακοφραδέων δὲ βεβήλων οὔατα λαχνήεντα περισκεπέτωσαν ἀράχναι," καὶ τὸ Καλλιμάχειον ἐκεῖνο (in Cer. 3) "τὸν κάλαθον κατιόντα χαμαὶ δέρκεσθε γυναῖκες, μηδ' ἀπὸ τοῦ τέγεος μηδ' ὑψόθεν αὐγάσασθε." καὶ Ἀριστοτέλης ἐγκαλούμενος ὑπὸ Ἀλεξάνδρου ἐπὶ τῇ ἐκδόσει τῶν αὐτοῦ συγγραμμάτων "καὶ ἐκδέδοται" φησὶ "καὶ οὐκ ἐκδέδοται," αἰνιττόμενος τὴν ἀσάφειαν. ὡς καί τις τῶν Πυθαγορείων ἐκδοὺς τὸ μονόβιβλον τὸ περὶ τῶν ἀλόγων πραγμάτων ναυαγίῳ περιέπεσεν ὡς τὰ ἀπόρρητα ἐξορχησάμενος... ἵνα οἱ μὲν ἀνεπιτήδειοι πρὸς φιλοσοφίαν καταπτύωνται, πρὸς οὓς ἔστιν εἰπεῖν "ποῦ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὡς ἐν ὁμίλῳ;"... οὕτω γοῦν καὶ οἱ ἀετοὶ κρίνουσι τὴν γνησιότητα καὶ τὴν νοθείαν τῶν νεοττίων· ἱστῶντες γὰρ τὰ νεόττια ἄντικρυ τοῦ ἡλίου, ὅσα μὴ ἀσκαρδαμυκτὶ δύνανται ἀντωπῆσαι πρὸς τὰς αὐγὰς τοῦ ἡλίου, ὡς νόθα ἀποβάλλονται· ὡς γὰρ Διὸς καὶ βασιλικὸς ὁ ἀετὸς τὴν βασιλικωτέραν τῶν αἰσθήσεων ἠκριβωμένην ἔχει, φημὶ δὲ τὴν ὄψιν. ὅτι δὲ βασιλικὸς ὁ ἀετός, δηλοῖ τὸ μὴ θέλειν αὐτὸν θνησιμαῖον ἐσθίειν ποτέ. οὕτω καὶ οἱ Κελτοὶ τῷ Ῥήνῳ ποταμῷ κρίνουσι τὰ γνήσια τέκνα καὶ τὴν νοθείαν τῶν βρεφῶν· ἐμβάλλοντες γὰρ εἰς ἀσπίδα τὰ βρέφη ἀφιᾶσιν ἐν τοῖς ὕδασι, καὶ ὅσα μὲν αὐτῶν περισωθῶσιν ἐκ τοῦ ὕδατος, γνήσια νομίζοντες ἐκτρέφουσιν, ὅσα δὲ κατακλυσθῶσιν ἐκ τοῦ ῥεύματος τοῦ ποταμοῦ, ὡς νόθα ἡγοῦνται ἀπολλύσθαι. οἱ δὲ Πυθαγόρειοι καὶ τοὺς ἐπιτηδείους καὶ τοὺς ἀνεπιτηδείους πρὸς τὴν αὐτῶν φιλοσοφίαν δι' ὀνειράτων προεγίνωσκον· ἀνέκρινον γὰρ αὐτὰ μετὰ τὸ πολλὰ εὔξασθαι ποῖα εἶδον ὀνείρατα, καὶ ὅσα μὲν ἐνόμισαν ἐπιτήδεια εἶναι, εἰσεδέχοντο ἐν τῇ σχολῇ ἤτοι τῷ ὁμακοΐῳ, τοὺς δὲ ἀνεπιτηδείους ἀπεβάλλοντο μετὰ πάσης τῆς περιουσίας, καὶ τοῦ λοιποῦ κενοτάφιον ποιήσαντες ὡς περὶ ἀποιχομένων ἢ τεθνεώτων διελέγοντο. ὅθεν καί τις τοῦτο παθὼν ἐξ αὐτῶν Χειλέων ὁ Λακεδαιμόνιος πῦρ ὑφῆψε τῇ σχολῇ καὶ πολλοὺς ἔφθειρεν. ὁ δὲ Πλάτων διὰ τῆς μέθης ἔκρινε τὴν γνησιότητα τῶν ἐπιτηδείων καὶ μή... οὕτω καὶ ὁ Ἀπόλλων τὸ λοξὸν τῶν μαντευμάτων ἐπετήδευσε· πείρας γὰρ χάριν τῷ Κροίσῳ δέδωκεν ἀσαφῆ χρησμόν... καὶ τοῖς Ἀθηναίοις χρησμὸς ἐδόθη "τεῖχος τριτογενῇ ξύλινον διδοῖ εὐρύοπα Ζεύς" (Herodot. 7 141). καὶ τοῖς Σαλαμινίοις ἐδόθη χρησμὸς λέγων "ὦ θεία Σαλαμὶς ἀπολεῖς δὲ τέκνα γυναικῶν" (ib. 142)· ἄδηλον δὲ ποίων γυναικῶν, τῶν ἰδίων ἢ τῶν ὑπεναντίων.

Ἓξ τοίνυν κεφάλαια δεῖ προλαμβάνειν, τὸν σκοπόν, τὸ χρήσιμον, τὴν αἰτίαν τῆς ἐπιγραφῆς, τὴν τάξιν τῆς ἀναγνώσεως, τὴν εἰς τὰ κεφάλαια διαίρεσιν, καὶ εἰ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον. ζητητέον δὲ τὸν σκοπὸν καὶ ὅτε κηρύττεται ὑπὸ τῆς ἐπιγραφῆς, ἐπειδὴ πάντα πρὸς τὸν σκοπὸν ἀφορᾷ, ὡς φησὶ καὶ ὁ Πλάτων (Phaedr. p. 237) "ὦ παῖ, μία ἐστὶν ἀρχὴ τοῦ καλῶς βουλεύσασθαι τὸ εἰδέναι περὶ ὅτου ἐστὶν ἡ σκέψις, ἢ τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη." κηρύττεται δὲ ὁ σκοπὸς ὑπὸ τῆς ἐπιγραφῆς, ὡς ἐν τῷ περὶ Ψυχῆς κἀν τῷ περὶ Οὐρανοῦ κἀν τῷ περὶ Γενέσεως καὶ Φθορᾶς. μάλιστα δὲ ζητητέον τὸν σκοπὸν ὅτε μὴ ὑπὸ τῆς ἐπιγραφῆς κηρύττεται, ὅτε πάνυ ἀσαφής ἐστιν ἡ ἐπιγραφὴ καὶ ἀπεξενωμένη, ὡς αἱ Κατηγορίαι καὶ τὸ περὶ Ἑρμηνείας. τὸ δὲ χρήσιμον ζητητέον διὰ τὸ συντονωτέρους γενέσθαι τοὺς ἀκροατὰς οἷον δέλεαρ ὁρῶντας προσγινόμενον τὸ ἐξ αὐτοῦ κέρδος πρὸς ἐρωτικὴν διάθεσιν. μάλιστα δὲ τὸ χρήσιμον ζητητέον διὰ τὰ δοκοῦντα μάτην γεγράφθαι βιβλία, ὡς οἱ Τόποι τὰ αὐτὰ ἀνασκευάζοντες καὶ κατασκευάζοντες, ἢ ἐπὶ κακῷ, ὡς οἱ Σοφιστικοὶ Ἔλεγχοι τρόπους διδάσκοντες ἀπάτης. ὑπὲρ ὧν ἔστιν εἰπεῖν ὅτι καὶ οἱ Τόποι ἐπὶ καλῷ ἐγράφησαν· γυμνασίας γὰρ χάριν, ἵνα θλιβομένη ἡ ψυχὴ ἐκ τῶν ἐφ' ἑκάτερα ἐπιχειρημάτων ἀπογεννήσῃ τὸ τῆς ἀληθείας φῶς. ἀλλ' οὐδὲ οἱ Σοφιστικοὶ Ἔλεγχοι ἐπὶ κακῷ, εἰ καὶ τρόπους ἀπάτης διδάσκουσιν· οὐ γὰρ ἵν' ἀπατήσωμεν ἀλλ' ἵνα μὴ ἀπατηθῶμεν. οὕτω γὰρ καὶ οἱ ἰατροὶ διδάσκουσι τὰ δηλητήρια οὐ διὰ χρῆσιν ἀλλὰ διὰ φυγήν. τὴν δὲ αἰτίαν τῆς ἐπιγραφῆς ζητητέον καὶ ὅτε κηρύττει τὸν σκοπόν, μάλιστα δὲ ζητητέον τὴν ἐπιγραφὴν ὅτε ἀσαφής ἐστιν, ὅτε ὀνοματοποιεῖ ὁ Ἀριστοτέλης, ὡς ἐν

(*) quae desunt inter verba λέγῃ et ἤ, pete ex Aristotelis Categ. 7 p. 7 *a*.

(**) Simplic. f. 4. ὅτι γὰρ οὐκ ἀσθενείᾳ λόγου τὸ ἀσαφὲς αὐτοῦ τοῖς συγγράμμασιν ἐπεγίνετο, ἴσασι μὲν καὶ οἱ μετρίως λόγῳ παρακολουθεῖν δυνάμενοι, ὅτι πολλὴν ἐμφαίνει λεκτικὴν δύναμιν ἡ Ἀριστοτέλους ἑρμηνεία, ὡς δι' ὀλίγων πολλάκις συλλαβῶν παραδιδόναι ὅσα οὐκ ἄν τις ἐν πολλαῖς περιόδοις ἐδίδαξε. δηλοῖ δὲ καὶ ἐξ ὧν ἐν οἷς ἐβουλήθη σαφέστατα ἐδίδαξεν, ὡς ἐν τοῖς Μετεώροις καὶ τοῖς Τοπικοῖς καὶ ταῖς γνησίαις αὐτοῦ Πολιτείαις, ἅπερ διὰ τὸ κοινότερον τῶν θεωρημάτων σαφέστερον ἀπαγγεῖλαι συνεῖδε. τὸ δὲ δύνασθαι σαφῶς εἰπεῖν δηλοῖ μάλιστα ὁ τῶν Ἐπιστολῶν αὐτοῦ χαρακτήρ, τὸν ἀνὰ χεῖρας διάλογον, ὃς ἐπιστολαῖς προσήκει, μετ' εὐπρεπείας ἀποτυπούμενος· καὶ οὐδέ ἐστί τις τῶν συντεταγμένων Ἀριστοτέλει περὶ τὸν ἐπιστολικὸν χαρακτῆρα τρεπόμενος.

(***) Immo ἀείδω ξυνετοῖσι. cf. Lobeck. Aglaopham. 1 p. 452.

τὰ φυσικὰ μαλακώτερά εἰσιν ὡς σύντροφα ἐκ παίδων ψηλαφώμενα ὑφ' ἡμῶν, οἷον σάρκες φλέβες νεῦραι· καὶ ὅτι οἱ ἰατροὶ ἀρχόμενοι τῆς θεραπείας ἀπὸ τῶν μαλακωτέρων ἄρχονται φαρμάκων· καὶ ὅτι μάλιστα δοκεῖ Ἀριστοτέλης εὐδοκιμεῖν ἐν ταῖς φυσικαῖς αὐτοῦ πραγματείαις. οὕτως καὶ οὗτοι. οἱ δὲ λέγοντες ὅτι δεῖ ἀπὸ τῶν μαθηματικῶν ἄρχεσθαι φασὶν ὅτι δεῖ ταῦτα πρῶτον ἀναγινώσκειν διὰ τὸ θάρρος τῶν ἀποδείξεων· ταῦτα γὰρ κυρίως μανθάνομεν, τὰ δὲ εἰκάζομεν ἤπερ μανθάνομεν· καὶ ὅτι ἐν τούτοις διδασκόμεθα πῶς δεῖ μανθάνειν, ὅτι γραμμικαῖς ἀνάγκαις, οὐκ ἀξιοπιστίᾳ προσώπων ἀναπαυόμενον· καὶ διὰ Πλάτωνα ἐπιγράψαντα πρὸ τοῦ μουσείου "ἀγεωμέτρητος μηδεὶς εἰσίτω." οἱ δὲ λέγοντες ὅτι δεῖ ἀπὸ τῆς λογικῆς ἄρχεσθαι ἔφασκον ὅτι ὄργανον ἡ λογική.

τέλος τῆς Ἀριστοτελικῆς φιλοσοφίας τὸ γνῶναι ὅτι πάντων μία ἐστὶν ἀρχή· ἀποδεκτέον τε γὰρ μᾶλλον ἐπὶ θεοῦ τὸ εἰρημένον ἤπερ ἐπὶ βασιλέως, ὡς παρὰ τῷ ποιητῇ "οὐκ ἀγαθὸν πολυκοιρανίη" (*). εἰ γὰρ καὶ ἅμα θεὸς ἅμα κόσμος, ἀλλ' οὖν κατ' αἰτίαν προϋπάρχει ὁ θεὸς τοῦ κόσμου, καὶ οὐκ ἐκ τοῦ αὐτομάτου ὁ κόσμος, ἀλλὰ τὸν θεὸν ἔχει αἴτιον... καὶ ἐξηρτημένοι εἰσὶ πάντες οἱ ὑποβεβηκότες νόες (οἱ τῶν σφαιρῶν) τοῦ ἑνὸς τοῦ κινοῦντος τὴν ἀπλανῆ. εἰ δὲ ἐρεῖς, καὶ διὰ τί τὸν νοῦν λέγει τὴν πρωτίστην ἀρχὴν καὶ μὴ αὐτὸ τὸ ἀγαθόν, ὡς ὁ Πλάτων; ἐπίστατο ὅτι καὶ μετὰ τὰ φυσιολογικὰ θεολογῶν εὐθὺς ἐν τῇ Μετὰ τὰ Φυσικὰ πραγματείᾳ εὐλόγως τὸν νοῦν φυσικωτέραν ἀρχὴν εἶπεν, ἐπεὶ οἶδε καὶ αὐτὸς τὸ ἀγαθὸν τὴν μίαν τοῦ ὄντος ἀρχήν, ὡς δηλοῖ τὸ προοίμιον τῆς Ἠθικῆς αὐτοῦ πραγματείας ἔχον οὕτως "πᾶσα τέχνη καὶ πᾶσα μέθοδος, ἔτι δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ." διὸ καὶ καλῶς ἀπεφήνατο τὸ ἀγαθόν, οὗ πάντα ἐφίεται. ἰστέον δὲ ὅτι ἀεὶ θεολογῶν ὁ Ἀριστοτέλης φυσιολογεῖ· εἰ γὰρ καὶ περὶ κινούμενα ἡ φυσιολογία καὶ ἀκίνητα ἡ θεολογία, ἀλλ' οὖν τὰ ἀκίνητα φημὶ τῶν διὰ κινήσεώς εἰσιν αἴτια· ὥσπερ ἀνάπαλιν ὁ Πλάτων ἀεὶ φυσιολογῶν θεολογεῖ, πανταχοῦ παρεγκυκλῶν τὸ δόγμα τῶν ἰδεῶν.

Πέμπτον κεφάλαιον ἦν ἐν ᾧ ἐζητοῦμεν καὶ τίνες αἱ μεταξὺ ὁδοί. δεῖ δὲ εἰδέναι ὅτι πέντε εἰσὶ βαθμοὶ τῆς φιλοσοφίας, λογική, ἠθική, φυσική, μαθηματική, θεολογία. ἄκρα μὲν ἐν τούτοις δύο, λογικὴ καὶ θεολογία, μέσα δὲ τὰ λοιπά. καὶ τούτων τὰ μὲν περιρραντηρίοις καὶ θειώσεσιν ἔοικε, τὰ δὲ προτελείαις καὶ αὐταῖς ταῖς μυήσεσι. περιρραντηρίοις μὲν γὰρ καὶ θειώσεσιν ἔοικεν ἡ ἠθικὴ ἀποκαθαίρουσα τὴν ψυχὴν τῶν μοχθηρῶν δογμάτων, ἵνα τεταγμένη οὖσα καθαρὰ ᾖ καὶ καθαρᾷ προσομιλήσῃ τῇ φιλοσοφίᾳ· ἡ γὰρ τάξις πρὸς τῷ ἑνί, ἡ δὲ ἀταξία πρὸς τῷ πλήθει. προτελείᾳ δὲ ἔοικεν ἡ φυσική· εἰ γὰρ καὶ ἀκίνητα ζητοῦμεν ἐν τῇ θεολογίᾳ, κινούμενα δὲ ἐν τῇ φυσιολογίᾳ, ἀλλ' οὖν κινήσεως αἴτια τὰ θεῖα, καὶ ἐκ τῶν κινουμένων εἰς ἔννοιαν ἐρχόμεθα τῶν νοητῶν· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. αὐτοῖς δὲ τοῖς τελείοις ἔοικεν ἡ μαθηματική, ὥσπερ κλῖμαξ τις καὶ γέφυρα διαβιβάζουσα ἡμᾶς ἀπὸ τῶν πάντη ἐνύλων ἐπὶ τὰ πάντη ἄϋλα (*). τοῦτο δὲ πάντως ὅλον τέμενος ἡ Ἀριστοτέλους φιλοσοφία, ἡ δὲ λογικὴ τοίχου δίκην φρουρεῖ.

Ἐν τῇ παρούσῃ πράξει ζητήσωμεν τὸ ἕκτον καὶ ἕβδομον κεφάλαιον... ἔστω τοίνυν ὁ μὲν ἀκροατὴς κατὰ τὴν ζωὴν τεταγμένος καὶ μικρὸς κόσμος, ἵνα διὰ μὲν τῆς ἐν αὐτῷ τάξεως τὴν μίαν τοῦ παντὸς ἀρχὴν γνῷ... δεῖ τὸν ἐξηγητὴν μὴ ἐκ παντὸς τρόπου βιάζεσθαι καὶ λέγειν ὅτι πάντως ἀληθεύει ὁ ἀρχαῖος ὃν ἐξηγεῖται, ἀλλὰ πανταχοῦ ἐπιλέγειν "φίλος ὁ ἀνήρ, φιλτέρα δὲ ἡ ἀλήθεια" (**). δεῖ αὐτὸν μὴ συμπάσχειν αἱρέσει τινί, ὃ πέπονθεν Ἰάμβλιχος· οὗτος γὰρ προσπάσχων τῷ Πλάτωνι, συνδίδωσι τῷ Ἀριστοτέλει ὅτι οὐκ ἀντιλέγει τῷ Πλάτωνι διὰ τὰς ἰδέας. δεῖ αὐτὸν μὴ ἀντιπάσχειν αἱρέσει, ὥσπερ Ἀλέξανδρος· οὗτος γὰρ ἀντιπάσχων τῇ ἀθανασίᾳ τῆς ψυχῆς τῆς λογικῆς, τὰς εἰρημένας ῥήσεις ἐν τῷ τρίτῳ λόγῳ τῷ περὶ ἀθανασίας τῆς ψυχῆς καὶ ἀποδεικνυούσας ὅτι ἐστὶν ἀθάνατος ἡ ψυχὴ πειρᾶται πᾶσαν στροφὴν περιστρέφειν.

Παντοίων πραγμάτων ἀψάμενος ὁ Ἀριστοτέλης παναρμόνιον εἶδος λόγων ἐπετήδευσε, συμμεταμορφῶν ἀεὶ τοὺς λόγους τοῖς πράγμασι. διὸ ἐν μὲν τοῖς μερικοῖς, φημὶ δὲ ταῖς ἐπιστολαῖς, ἐστὶ σύντομος, κοινὸς ἅμα καὶ ἴδιος, κοινὸς μέν, ἐπειδὴ οὐδὲν διαφέρει ἐπιστολιμαῖος χαρακτὴρ τῆς κοινῆς διαλέκτου ἢ τὸ ἔγγραφον εἶναι πρὸς ἅπαντας, ἴδιος δέ, ἵνα μὴ εἰς ἰδιωτισμοὺς ἐμπέσωμεν. διὸ καὶ ὁ Ἑρμογένης ἐν τῇ Ῥητορικῇ τέχνῃ φησὶ "τὰ κοινὰ καινῶς καὶ τὰ καινὰ κοινῶς"... ἀλλὰ καὶ δριμύς ἐστιν· ὅτι γὰρ δριμύς ἐστιν, δηλοῖ αὐτοῦ μία ἐπιστολή. μετὰ γὰρ θάνατον Σωκράτους ὑπεξελθὼν Ἀθηνῶν καὶ διατρίβων ἐν Χαλκίδι ἀνεκαλεῖτο ὑπὸ Ἀθηναίων ἐπανελθεῖν, καὶ μὴ πεισθεὶς ἀντέγραψεν οὕτως "οὐ μὴ πείσω Ἀθηναίους δὶς ἁμαρτεῖν εἰς φιλοσοφίαν, παρ' οἷς ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ" (Od. 7 120). διὰ δὲ τοῦ σῦκον δ' ἐπὶ σύκῳ ᾐνίξατο τοὺς συκοφάντας πολλοὺς ὄντας Ἀθήνησι καὶ ἀεὶ δεχομένους αὐτοὺς καὶ μηδέποτε λήγοντας. ἐν δὲ ταῖς μεταξύ, φημὶ δὲ ταῖς διτταῖς ἱστορίαις, ἀκριβὴς καὶ διηρθρωμένος, ὅπερ μάλιστα ἁρμόζει τῇ ἱστορίᾳ· οὐ γὰρ ἔστιν ὡς ἐπὶ τῶν ἄλλων ἔξωθεν ἐπιχειρῆσαι, οὕτω καὶ ἐπὶ τῆς ἱστορίας. ἐν δὲ τοῖς καθόλου, ἐν μὲν τοῖς διαλογικοῖς τοῖς ἐξωτερικοῖς σαφὴς ὡς πρὸς τοὺς ἔξω φιλοσοφίας διαλεγόμενος, ὡς δὲ ἐν διαλεκτικοῖς, ποικίλος ταῖς μιμήσεσιν, Ἀφροδίτης ὄνομα τέμνων καὶ χαρίτων ἀνάμεστος. ἐν δὲ τοῖς καθόλου τοῖς αὐτοπροσώποις, τοῖς καὶ ἀκροαματικοῖς, κατὰ μὲν τὴν λέξιν ἀσαφής. γίνεται δὲ ἡ ἀσάφεια διὰ

(*) Simplic. f. 3 *b*. τέλος τοίνυν καὶ τῆς τοῦδε τοῦ ἀνδρὸς φιλοσοφίας κατὰ μὲν τὸ ἦθος ἡ διὰ τῶν ἀρετῶν τελείωσις, κατὰ δὲ τὴν γνῶσιν ἡ ἐπὶ τὴν μίαν τῶν πάντων ἀρχὴν παραδρομή· καὶ γὰρ εἶδεν αὐτὴν ἐπιστημονικῶς καὶ ἐσεβάσθη, καὶ λαμπρᾷ τῇ φωνῇ ἀνεβόησεν "οὐκ ἀγαθὸν πολυκοιρανίη."

(*) Ammon. f. 9. διὸ χρὴ εὐτάκτως ὁδεύειν ἀπὸ τῶν πολυτρόπως κινουμένων ἐπὶ τὰ κατὰ μίαν καὶ μόνην κίνησιν κινούμενα, καὶ οὕτως ἐπὶ τὴν ἀκίνητον καὶ ἀεὶ ὡσαύτως ἔχουσαν ἀρχήν, καὶ μὴ κατὰ τὸν χρησμὸν ὑπερβάθμιον πόδα πέμπειν. εἰ γὰρ ἀθρόως βουληθείημεν ἐκ τῶν σωμάτων τῇ πρώτῃ τῶν πάντων ἀρχῇ προσβαλεῖν, νοήσαιμεν ἂν κἀκείνην σῶμα εἶναι καὶ ἐσχηματίσθαι. διό φησιν ὁ Πλωτῖνος "παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως."

(*) Ammon. f. 9. ὁ ἐξηγούμενος ὀφείλει κριτὴς ἀπαθὴς τῶν λεγομένων ὑπάρχειν.

τοῦ λογικοῦ ἤτοι ὀργανικοῦ· τῆς γὰρ φιλοσοφίας εἰς δύο διαιρουμένης τὰ αὐτοπρόσωπα εἰς τρία διαιρεῖται· τούτων γὰρ τὰ μέν εἰσι θεωρητικὰ τὰ δὲ πρακτικὰ τὰ δὲ λογικὰ ἤτοι ὀργανικά. καὶ ἕκαστον τούτων εἰς τρία διαιρεῖται· τὰ γὰρ θεωρητικὰ εἰς τρία διαιροῦνται, εἰς φυσιολογικὸν μαθηματικὸν θεολογικόν, τὰ δὲ πρακτικὰ εἰς ἠθικὰ οἰκονομικὰ πολιτικά, τὰ λογικὰ εἰς τὰ πρὸ τῆς μεθόδου, εἰς αὐτὴν τὴν μέθοδον καὶ εἰς τὰ ὑποδυόμενα τὴν μέθοδον (*). τὰ οὖν φυσικὰ τοῦ Ἀριστοτέλους ἢ περὶ τῶν σωματικῶν ἐστὶν ἢ περὶ τῶν ἀσωμάτων. καὶ εἰ μὲν περὶ ἀσωμάτων, ἢ περὶ τῶν χειρόνων τῶν σωμάτων ἢ περὶ τῶν κρειττόνων. καὶ εἰ μὲν περὶ τῶν κρειττόνων τῶν σωμάτων, ὡς ἡ περὶ τῆς Ψυχῆς αὐτοῦ πραγματεία· ἡ γὰρ ψυχὴ κρείττων τοῦ σώματος πέφυκεν εἶναι· εἰ δὲ περὶ χειρόνων τοῦ σώματος, ὡς τὰ περὶ τῶν Χρωμάτων αὐτοῦ ζητήματα· τὰ γὰρ χρώματα χείρω τῶν σωμάτων καθέστηκε, καθότι ἐν αὐτοῖς ἔχει τὸ εἶναι. ἡ δὲ περὶ τὰ σώματα αὐτοῦ φυσιολογία ἢ περὶ τὰ ὑπὲρ τὴν σελήνην, ὡς τὰ οὐράνια σώματα καὶ ἡ περὶ τούτων ζήτησις, περὶ γαλαξίου, περὶ ἄστρων, περὶ ἡλίου καὶ σελήνης· ἢ περὶ τῶν ὑπὸ σελήνην, καὶ τούτων ἢ περὶ τὰ καθόλου τῆς τῶν σωμάτων φύσεως, ὡς τὰ περὶ Γενέσεως καὶ Φθορᾶς ζητήματα, ἢ περὶ τῶν μερικῶν· καὶ εἰ μὲν μερικῶν, ἢ ἐμψύχων ἢ ἀψύχων· καὶ εἰ μὲν ἐμψύχων, ἢ αἰσθητῶν ἢ ἀναισθήτων· καὶ εἰ μὲν περὶ ἀναισθήτων ἐμψύχων, ὡς τὰ περὶ φυτῶν αὐτοῦ ζητήματα· εἰ δὲ αἰσθητῶν, καὶ τοῦτο πάλιν ἢ περὶ τῶν καθόλου, ὡς αἱ περὶ τῶν Ζῴων αὐτοῦ Ἱστορίαι, ἔνθα διαλέγεται περὶ τῶν ἐν τοῖς ζῴοις παθημάτων, περὶ γήρως καὶ νεότητος, περὶ αὐξήσεως καὶ μειώσεως· ταῦτα γὰρ καθόλου εἰσὶ καὶ πᾶσι τοῖς ζῴοις ὑπάρχει· ἢ αὖ κατ' ἰδίαν, ὡς περὶ τῆς καθ' ὕπνον μαντικῆς· αὕτη γὰρ μόνοις τοῖς ἀνθρώποις ὑπάρχει. εἰ δὲ πάλιν περὶ τῶν ὑπὸ σελήνην αὐτοῦ φυσιολογικῶν ζητημάτων, τὰ μὲν ὑπὲρ τὴν γῆν ἐστί, τὰ δὲ ἐν τῇ γῇ, τὰ δὲ ὑπὸ τὴν γῆν. καὶ εἰ μὲν ὑπὲρ τὴν γῆν, ὡς τὰ Μετεωρολογικὰ αὐτοῦ, ἔνθα διαλέγεται περὶ τῆς καπνώδους ἀτμίδος καὶ αὐχμηρώδους, περὶ βροντῆς τε καὶ ἀστραπῆς καὶ νεφῶν καὶ περὶ τῶν διαττόντων κομητῶν, δαλῶν τε καὶ αἰγῶν καὶ τῶν ἄλλων εἰδῶν. εἰ δὲ ἐν τῇ γῇ, ὡς ἡ περὶ θαλασσῶν καὶ ποταμῶν καὶ πηγῶν πραγματεία. εἰ δὲ περὶ τῶν ὑπὸ τὴν γῆν, ὡς ἡ περὶ τῶν σεισμῶν καὶ χασμάτων αὐτοῦ ζήτησις. καὶ ταῦτα μὲν περὶ τῆς φυσιολογικῆς τοῦ Ἀριστοτέλους, τὰ δὲ μαθηματικὰ αὐτοῦ (**), ὡς τὰ Ὀπτικὰ καὶ Μηχανικὰ αὐτῷ βιβλία γεγραμμένα. θεολογικὰ δέ, ὡς τὰ Μετὰ τὰ Φυσικὰ περὶ ἀρχῆς ζητήματα. αὕτη μὲν ἡ διαίρεσις τῶν θεωρητικῶν, τῶν δὲ πρακτικῶν τὰ μέν εἰσιν ἠθικὰ τὰ δὲ οἰκονομικὰ τὰ δὲ πολιτικά (***), ἠθικὰ μὲν ὡς τὰ Εὐδήμια καὶ Νικομάχεια τά τε μικρὰ καὶ τὰ μεγάλα· τὰ μὲν γὰρ τῷ πατρὶ προσφωνεῖ Νικομάχῳ, καὶ λέγονται Νικομάχεια μεγάλα, τὰ δὲ τῷ υἱῷ ὁμωνύμῳ τῷ πατρί, καὶ λέγονται Νικομάχεια μικρά. πολιτικὰ δὲ ὡς τὸ Πολιτικὸν σύνταγμα, ἐν ᾧ διδάσκει πῶς δεῖ πολιτεύεσθαι, κἀν τῷ δευτέρῳ λόγῳ τοῦ Πολιτικοῦ ἀντιλέγει τῇ Πολιτείᾳ Πλάτωνος ἅτε ὁμοστοίχῳ οὔσῃ τῇ πολιτείᾳ· ἐν γὰρ ταῖς Πολιτείαις οὐ διδάσκει πῶς δεῖ πολιτεύεσθαι, ἀλλὰ πῶς οἱ πρὸ αὐτοῦ ἐπολιτεύσαντο ἄνθρωποι. ἀλλὰ μὴν καὶ οἰκονομικά εἰσιν αὐτῷ γεγραμμένα βιβλία, ὡς τὸ Οἰκονομικὸν σύνταγμα, καὶ περὶ συμβιώσεως ἀνδρὸς καὶ γυναικός, ἐν ᾧ λέγει ἐκ τεσσάρων σχέσεων συγκεκροτῆσθαι τὸν εὖ ἔχοντα οἶκον, πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, εἰσιόντων πρὸς ἐξιόντας, καὶ ὡς εἴρηται ἡμῖν ἐν τοῖς τῆς Πορφυρίου εἰσαγωγῆς προλεγομένοις. αὕτη καὶ ἡ τοῦ πρακτικοῦ διαίρεσις. τὸ λογικὸν καὶ αὐτὸ εἰς τρία διαιρεῖται, εἰς τὰ πρὸ τῆς ἀποδείξεως ἤγουν μεθόδου, καὶ εἰς αὐτὴν τὴν ἀπόδειξιν, καὶ εἰς τὰ ὑποδυόμενα τὴν ἀπόδειξιν. καὶ τὰ μὲν πρὸ τῆς μεθόδου καὶ τῆς ἀποδείξεώς εἰσιν αἵ τε Κατηγορίαι καὶ τὸ περὶ Ἑρμηνείας καὶ τὰ πρότερα Ἀναλυτικά, τὰ δὲ αὐτὴν τὴν μέθοδον τῆς ἀποδείξεως διδάσκοντα εἰσὶ τὰ δεύτερα Ἀναλυτικά, τὰ δὲ ὑποδυόμενα αὐτὴν τὴν ἀπόδειξιν εἰσὶ τὰ Τοπικά, αἱ Ῥητορικαὶ τέχναι, οἱ Σοφιστικοὶ Ἔλεγχοι καὶ τὸ περὶ Ποιητικῆς. πέντε γάρ εἰσιν εἴδη τῶν συλλογισμῶν, ἀποδεικτικός, διαλεκτικός, σοφιστικός, ῥητορικός, ποιητικός. καὶ εἰκότως, ἐπειδὴ καὶ αἱ προτάσεις ὅθεν λαμβάνονται πέντε εἰσίν· ἢ γὰρ πάντη ἀληθεῖς εἰσὶν αἱ προτάσεις, καὶ ποιοῦσι τὸν ἀποδεικτικόν, ἢ πάντη ψευδεῖς, καὶ ποιοῦσι τὸν ποιητικόν, τὸν μυθώδη, ἢ πῇ μὲν ἀληθεῖς πῇ δὲ ψευδεῖς, καὶ τοῦτο τριχῶς· ἢ γὰρ μᾶλλον ἀληθεύει ἧττον δὲ ψεύδεται, καὶ ποιεῖ τὸν διαλεκτικὸν συλλογισμόν, ἢ πλέον ἔχει τὸ ψεῦδος τοῦ ἀληθοῦς, καὶ ποιεῖ τὸν σοφιστικόν, ἢ ἐπίσον ἔχει τὸ ἀληθὲς τῷ ψεύδει, καὶ ποιεῖ τὸν ῥητορικόν· ὅθεν καὶ στάσεις παρὰ μόνοις τοῖς ῥήτορσι διὰ τὸ ἐξιτάζειν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἣν γὰρ ἐκτελεῖ χρείαν ἡ στάθμη τῷ τέκτονι διακρίνουσα τὰ εὐθέα ἀπὸ τῶν καμπύλων, καὶ παρὰ τοῖς οἰκοδόμοις τὸ βαρύλλιον διακρῖνον τὰ ὀρθὰ ἀπὸ τῶν κεκλιμένων, οὕτω καὶ ἡ λογικὴ ὄργανον οὖσα τῆς φιλοσοφίας διακρίνει τὸ ἀληθὲς καὶ τὸ ψεῦδος καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν, ἵνα μὴ ψευδῆ δοξάσωμεν μηδὲ κακὰ διαπραξώμεθα.

Ἐπειδὴ πολλὰ ὄντα τὰ Ἀριστοτελικὰ βιβλία ἔγνωμεν διὰ τῆς διαιρέσεως, καὶ διὰ τοῦτο οὐκ ἴσμεν τί μὲν πρῶτον τί δὲ μετέπειτα τί δὲ ὕστατιον μεταχειρισόμεθα, φέρε τρίτην τινὰ ζητήσωμεν, τίς ἡ ἀρχὴ τῶν Ἀριστοτελικῶν συγγραμμάτων, τί τὸ τέλος, τίς ἡ μεταξὺ ὁδός. ταῦτα δὲ ζητοῦμεν οὐ μόνον διὰ τὸ πλῆθος αὐτῶν, ἀλλὰ καὶ διὰ τὴν διαφωνίαν τῶν ἀρχαίων. οἱ μὲν γὰρ ἔλεγον ὅτι δεῖ ἀπὸ τῆς φυσικῆς ἄρξασθαι, οἱ δὲ ἀπὸ τῆς λογικῆς, ἄλλοι δὲ ἀπὸ τῆς ἠθικῆς, ἕτεροι δὲ ἀπὸ τῆς μαθηματικῆς. Βοηθὸς γὰρ ὁ Σιδώνιος ἀπὸ τῆς φυσικῆς λέγει, Ἀνδρόνικος δὲ ὁ Ῥόδιος ὁ Περιπατητικός, ὁ ἑνδέκατος διάδοχος τῆς Ἀριστοτέλους σχολῆς, ἀπὸ τῆς λογικῆς ἔλεγε, τῶν δὲ Πλατωνικῶν οἱ μὲν ἀπὸ τῆς ἠθικῆς οἱ δὲ ἀπὸ τῶν μαθηματικῶν. καὶ πάντες τὰς οἰκείας δόξας κατεσκεύαζον· οἱ γὰρ λέγοντες ὅτι δεῖ ἀπὸ τῆς ἠθικῆς ἄρχεσθαι, ἔλεγον ὅτι δεῖ πρότερον κοσμῆσαι τὰ ἤθη προκαθαίροντας τὴν ψυχὴν ἀπὸ τῶν μοχθηρῶν ἠθῶν... οἱ δὲ ἀπὸ τῆς φυσικῆς λέγοντες δεῖν ἄρχεσθαι ἔλεγον ὅτι

(*) Simplic. f. 3. *b.* τὰ δὲ περὶ τῶν τὴν ἀπόδειξιν ὑποδυομένων, ὡς οἱ Τόποι καὶ οἱ Σοφιστικοὶ Ἔλεγχοι καὶ αἱ Ῥητορικαὶ τέχναι. cf. Philop.

(**) Simplic. f. 3. τὰ δὲ μαθηματικά, οἷα γεωμετρικά τε αὐτῷ γέγραπται καὶ μηχανικὰ βιβλία.

(***) Simplic. f. 3. τῶν δὲ πρακτικῶν τὰ μὲν ἠθικά, ὡς τά τε Νικομάχεια καὶ τὰ Εὐδήμεια καὶ τὰ ἐπιγραφόμενα μεγάλα, τὰ δὲ οἰκονομικά, τὰ δὲ πολιτικά, ὡς οἱ οἰκονομικοὶ καὶ πολιτικοὶ ἐπιγεγραμμένοι λόγοι.

υἱὸν αὐτοῦ Ἀλέξανδρον, ὃν παραλαβὼν οὕτως ἐπαίδευσε τὴν βασιλικὴν ἐπιστήμην ὡς ἐπιλέγειν τὸν Ἀλέξανδρον, ἡνίκα μηδὲν ὠφέλησεν, ὅτι σήμερον οὐκ ἐβασίλευσα, οὐδένα γὰρ εὐεργέτησα. καί ποτε τοῦ Ἀριστοτέλους εἰπόντος ὅτι ἄπειροι κόσμοι κατὰ Δημόκριτον, ἐπιδακρῦσαί φασι τὸν Ἀλέξανδρον εἰπόντα "οὐδ' ἑνὸς ὅλου κόσμου ἠδυνήθην ἐπικρατῆσαι." ἐκεῖθεν δὲ ὑποστρέψας ὁ Ἀριστοτέλης διαδέχεται τὴν σχολὴν τοῦ Σπευσίππου σὺν Ξενοκράτει, καὶ ἀμφότεροι ἐλέγοντο Περιπατητικοὶ τοῖς τόποις διαφέροντες· οἱ μὲν γὰρ ἐκαλοῦντο Λύκειοι Περιπατητικοὶ ὡς οἱ Ἀριστοτελικοί, οἱ δὲ Ἀκαδημιακοὶ Περιπατητικοὶ οἱ τοῦ Ξενοκράτους. τῷ χρόνῳ δέ, οἷα συμβαίνει, ἐξέλιπε μὲν τὸ ὄνομα τοῦ τόπου καὶ ἐκαλοῦντο Περιπατητικοὶ χωρὶς τοῦ Λυκείου οἱ Ἀριστοτελικοί, τῶν δὲ Ξενοκρατείων ἐξέλιπε τὸ τῆς ἐνεργείας ὄνομα καὶ ἐκαλοῦντο Ἀκαδημιακοί. Περιπατητικοὶ οὖν ἐκαλοῦντο οὐχ ὅτι κατὰ περιπάτους ἐξηγοῦντο, ἀλλ' ὅτι διεδέξαντο τὴν σχολὴν τοῦ Πλάτωνος διὰ μέσου Σπευσίππου κατὰ περιπάτους ποιουμένου τὰς ἐξηγήσεις. καὶ οὗτοί εἰσιν οἱ ἑπτὰ τρόποι τῆς ἐπωνυμίας τῶν κατὰ φιλοσοφίαν αἱρέσεων.

Δεύτερον ἦν κεφάλαιον τῶν προτεθέντων τὸ εἰπεῖν τὴν διαίρεσιν τῶν Ἀριστοτελικῶν συγγραμμάτων χιλίων ὄντων τὸν ἀριθμόν, ὡς Ἀνδρόνικος παραδίδωσιν ὁ τούτου ἑνδέκατος γενόμενος διάδοχος. τῶν τοίνυν Ἀριστοτελικῶν συγγραμμάτων τὰ μέν εἰσι μερικὰ τὰ δὲ καθόλου τὰ δὲ μεταξύ. μερικὰ δὲ λέγονται οὐχ ἁπλῶς τὰ πρὸς ἕνα γεγραμμένα· δυνατὸν γὰρ καὶ καθολικὸν πρᾶγμα πρὸς ἕνα γράψαι· οὕτω γοῦν ἡ περὶ κόσμου πραγματεία καθολικὴ οὖσα προσπεφώνηται Ἀλεξάνδρῳ τῷ βασιλεῖ· ἀλλὰ μερικὰ λέγω ὅσα περὶ ἑνὸς καὶ μερικοῦ καὶ πρὸς ἕνα, ὥσπερ αἱ ἐπιστολαὶ αὐτοῦ· αἱ γὰρ ἐπιστολαὶ πρὸς ἕνα εἰσὶ γεγραμμέναι, ἃς ἐν ὀκτὼ βίβλοις συνήγαγεν Ἀρτέμων τις μετὰ Ἀριστοτέλην γενόμενος. καὶ καθόλου δὲ λέγονται ὅσα περὶ πάντων τῶν μονοειδῶν διαλαμβάνει, ὡς ἡ Φυσικὴ Ἀκρόασις φυσικῶν πάντων, καὶ ἡ περὶ Οὐρανοῦ, καὶ τὸ περὶ Γενέσεως καὶ φθορᾶς, καὶ τὰ Μετέωρα πάντων τῶν ἐν τῷ μεταρσίῳ τόπῳ συνισταμένων. τὰ δὲ μεταξύ, ὅσα μήτε περὶ πάντων μήτε περὶ ἑνὸς ἀλλὰ περὶ πλειόνων διαλέγεται, ὡς ἡ ἱστορία· διττὴ δὲ αὕτη, ἡ μὲν πολιτική, ὡς αἱ Πολιτεῖαι, ἃς ἱστόρησεν ἐκ τοῦ πολλὴν γῆν περιελθεῖν ἅμα Ἀλεξάνδρῳ βασιλεῖ, ἃς ἐκδέδωκε κατὰ στοιχεῖον διακοσίας πεντήκοντα οὔσας τὸν ἀριθμόν· φυσικὴ δέ, ὡς ἡ περὶ Φυτῶν καὶ Ζῴων ἱστορία. τῶν δὲ καθόλου τὰ μέν εἰσιν ὑπομνηματικὰ τὰ δὲ συνταγματικά. καὶ ὑπομνηματικὰ μὲν λέγονται ἐν οἷς μόνα τὰ κεφάλαια ἀπεγράφησαν δίχα προοιμίων καὶ ἐπιλόγων καὶ τῆς πρεπούσης ἐκδόσεσιν ἀπαγγελίας (*). τὸ δὲ τοῦ ὑπομνήματος ὄνομα παρὰ Πλάτωνι κεῖται ἐν τῇ Ἐπινομίδι, συνόψει οὔσῃ τῶν νόμων· φησὶ γὰρ ἐκεῖ (p. 980) περὶ τῶν νόμων ἀνεκδότων μεινάντων ὡς ἄρα φθάνουσί τινες ὑπομνήματα αὐτῶν εἰληφότες. διὸ οὐδὲ δεῖ ἐκ τῶν ὑπομνηματικῶν πιστοῦσθαι τὰς Ἀριστοτέλους δόξας ὡς διόρθωσιν ὑπομεινάντων. τῶν δὲ ὑπομνηματικῶν τὰ μὲν μονοειδῆ τὰ δὲ ποικίλα, μονοειδῆ μέν, ὡς ἐνομίσθη τὸ περὶ Ἑρμηνείας ὑπομνηματικὸν διὰ τὴν ἀσάφειαν, πρὶν γράψαι τὸν φιλόσοφον Ἀμμώνιον εἰς αὐτὸ ὑπόμνημα καὶ δεῖξαι ὅτι καὶ προοίμιον ἔχει καὶ ἐπίλογον καὶ τὴν πρέπουσαν τῇ ἐκδόσει ἀπαγγελίαν· τὰ δὲ ποικίλα, ὡς τὰ πρὸς Εὐκαίριον αὐτῷ γεγραμμένα ἑβδομήκοντα βιβλία περὶ Συμμίκτων Ζητημάτων χωρὶς προοιμίων καὶ ἐπιλόγων καὶ τῆς διαιρέσεως. τῶν δὲ συνταγματικῶν τὰ μέν εἰσιν αὐτοπρόσωπα, ἃ καὶ ἀκροαματικὰ λέγονται, τὰ δὲ διαλογικά, ἃ καὶ ἐξωτερικὰ λέγονται. καὶ ὡς μὲν αὐτοπρόσωπα ἀντίκεινται τοῖς διαλογικοῖς, ὡς δὲ ἀκροαματικὰ ἀντίκεινται τοῖς ἐξωτερικοῖς. πάντας γὰρ ἀνθρώπους ὠφελεῖν βουλόμενος ὁ Ἀριστοτέλης ἔγραψε καὶ πρὸς τοὺς ἐπιτηδείους τῇ φιλοσοφίᾳ ἐξ οἰκείου προσώπου· διὸ καὶ ἀκροαματικὰ λέγονται, ὡς δέον αὐτῶν πάντας ἀκροᾶσθαι· ὅθεν καὶ Φυσικὴ Ἀκρόασις, ἐπειδὴ εὐδοκιμεῖν δοκεῖ ὁ Ἀριστοτέλης μάλιστα ἐν αὐτῇ. καὶ δέον αὐτῆς πάντας ἀκροᾶσθαι τοὺς ἔχοντας ἐπὶ φιλοσοφίαν ἐπιτηδείως. ἔγραψε δὲ καὶ πρὸς ἀνεπιτηδείους πρὸς φιλοσοφίαν τὰ διαλογικά. καὶ ἐν μὲν τοῖς ἀκροαματικοῖς ἅτε δὴ πρὸς ἄνδρας μέλλοντας φιλοσοφεῖν διαλεγόμενος πιθανοῖς (*) κέχρηται λόγοις. κατασκευάζων δὲ τὴν ἀθανασίαν τῆς ψυχῆς κἀν τοῖς ἀκροαματικοῖς δι' ἀναγκαστικῶν λόγων κατασκευάζει, ἐν δὲ τοῖς διαλογικοῖς διὰ πιθανῶν εἰκότως. φησὶ γὰρ ἐν τοῖς περὶ Ψυχῆς ἀκροαματικοῖς ὅτι ἡ ψυχὴ ἄφθαρτος· εἰ γὰρ ἦν φθαρτή, ἔδει μάλιστα αὐτὴν φθείρεσθαι ὑπὸ τοῦ ἐν τῷ γήρᾳ ἀμαυροῦσθαι, τότε δὲ ἀκμάζει τοῦ σώματος παρακμάσαντος· ὥσπερ οὖν παρακμάζει ὅτε τὸ σῶμα ἀκμάζει· τὸ δὲ ὅτε δεῖ φθείρεσθαι ἀκμάζον ἄφθαρτον· ἡ ψυχὴ ἄρα ἄφθαρτός ἐστι. καὶ οὕτως μὲν ἐν τοῖς ἀκροαματικοῖς· ἐν δὲ τοῖς διαλογικοῖς φησὶν οὕτως, ὅτι ἡ ψυχὴ ἀθάνατος ἐπειδὴ αὐτοφυῶς πάντες οἱ ἄνθρωποι καὶ σπένδομεν χοὰς τοῖς κατοιχομένοις καὶ ὄμνυμεν κατ' αὐτῶν, οὐδεὶς δὲ τῷ μηδαμῇ μηδαμῶς ὄντι σπένδει ποτὲ ἢ ὄμνυσι κατ' αὐτοῦ. ὁ δὲ Ἀλέξανδρος (**) ἄλλην διαφορὰν λέγει τῶν ἀκροαματικῶν πρὸς τὰ διαλογικά, ὅτι ἐν μὲν τοῖς ἀκροαματικοῖς τὰ δοκοῦντα αὐτῷ λέγει καὶ τὰ ἀληθῆ, ἐν δὲ τοῖς διαλογικοῖς τὰ ἄλλοις δοκοῦντα, τὰ ψευδῆ. ἀλλ' ὦ Ἀλέξανδρε, ἔστιν εἰπεῖν πρὸς αὐτὸν ὅτι οὐκ ἔστι τοῦτο φιλοσόφου· τὸ γὰρ ψεῦδος μὲν ἐλέγξασθαι ἀφανίσαι δὲ τὸ ἀληθὲς οὐ θεμιτόν·

ἐχθρὸς γάρ μοι κεῖνος ἀνὴρ ὁμῶς Ἀΐδαο πύλῃσιν
ὅς χεν ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν ἄλλο δ' ἐνίπτει (Il. 9 313).

τοῦτο δὲ εἶπεν Ἀλέξανδρος ἐπειδὴ τὴν λογικὴν ψυχὴν βούλεται φθαρτὴν εἶναι, ὁ δὲ Ἀριστοτέλης ἐν τοῖς διαλογικοῖς μάλιστα δοκεῖ κηρύττειν τὴν ἀθανασίαν τῆς ψυχῆς· ἵνα οὖν μὴ σχῇ ἐλέγχοντα τὸν Ἀριστοτέλην, διὰ τοῦτο εἶπε τοιαύτην διαφοράν. ἡ διαίρεσις τῶν αὐτοπροσώπων κατὰ τὴν διαίρεσιν γίνεται τῆς φιλοσοφίας, προστιθεμένου

(*) Simplic. f. 5. ὑπομνηματικὰ ὅσα πρὸς ὑπόμνησιν οἰκείαν καὶ πλείονα βάσανον συνέταξεν ὁ φιλόσοφος. ὧν τὰ μὲν μονοειδῆ ἐστίν, ὡς περὶ ἑνός τινος ὑπομιμνήσκοντα, τὰ δὲ ποικίλα, ὡς περὶ πλειόνων. δοκεῖ δὲ τὰ ὑπομνηματικὰ μὴ πάντη σπουδῆς ἄξια εἶναι, διὸ οὐδὲ πιστοῦνται ἀπ' αὐτῶν τὰ τοῦ φιλοσόφου δόγματα. ὁ μέντοι Ἀλέξανδρος τὰ ὑπομνηματικὰ συμπεφυρμένα φησὶν εἶναι καὶ μὴ πρὸς ἕνα σκοπὸν ἀναφέρεσθαι· διὸ καὶ πρὸς ἀντιδιαστολὴν τούτων συνταγματικὰ τὰ ἕτερα λέγεσθαι. cf. Ioh. Philop.

(*) πιθανοῖς] ἀναγκαστικοῖς, ἐν δὲ τοῖς ἐξωτερικοῖς πιθανοῖς?
(**) cf. Ammon. f. 7 b.

ἐπιλύοντο τὰς ἀπορίας· ἐρωτώμενοι γὰρ εἴτε ἡ ψυχὴ ἀθάνατος ἢ θνητή, ἔλεγον ὅτι ἢ θνητὴ ἢ ἀθάνατος ἢ ἀμφότερα ἢ οὐδέτερον. ἐκλήθησαν δὲ καὶ ἀπορηματικοὶ διὰ τὸ ἀπορεῖν μόνον καὶ μὴ ἐπιλύεσθαι. οὗτοι δὲ ἀντίκεινται τοῖς Πρωταγορείοις· οἱ γὰρ Πρωταγόρειοι τἀληθὲς ἐπρέσβευον, λέγοντες ὅτι τὸ δοκοῦν ἑκάστῳ ἀληθές ἐστιν (*). ἐλέγχει δὲ ὁ Πλάτων ἰδίᾳ ἑκατέρους, τοὺς μὲν ἐφεκτικοὺς ἐν τῷ Θεαιτήτῳ λέγων πρὸς αὐτοὺς οὕτως "κατειληφότες λέγετε μὴ εἶναι κατάληψιν, ἢ μὴ κατειληφότες· εἰ μὲν κατειληφότες, ἰδοὺ ἔστι κατάληψις· εἰ δὲ μὴ κατειληφότες, οὐ πειθόμεθα ὑμῖν μὴ κατειληφόσιν ὅτι ἔστιν ἀκαταληψία." τοὺς δὲ Πρωταγορείους ἐλέγχει ἐν τῷ τοῦ Πρωταγόρου διαλόγῳ λέγων οὕτως, ὅτι "ἡμεῖς, ὦ Πρωταγόρα, λέγοντες κακῶς δοξάζειν σε ἀληθεύομεν ἢ ψευδόμεθα· εἰ μὲν γὰρ ἀληθεύομεν, σὺ ψεύδῃ, καὶ ἰδοὺ ἔστι ψεῦδος· εἰ δὲ ψευδόμεθα σοῦ ἀληθεύοντος, ἰδοὺ πάλιν ἔστι τὸ ψεῦδος. ψεύδῃ οὖν κἄντε ἀληθεύῃς κἄν τε ψεύδῃ, πάντῃ δὲ ψεύδῃ." καὶ ἐπάγει λέγων ὅτι Πρωταγόρας ψεύδεται κἄντε ἀληθεύῃ κἄντε ψεύδηται. ὁ δὲ Ἀριστοτέλης δι' ἑνὸς καὶ τοῦ αὐτοῦ ἐπιχειρήματος ἐλέγχει, διὰ τὸ ἀξίωμα τῆς ἀντιφάσεως· εἰ γὰρ οἱ μὲν πάντα ψευδῆ δοξάζουσιν οἱ δὲ πάντα ἀληθῆ, ἀντίφασις τὸ τοιοῦτον, οὐδέποτε δὲ ἡ ἀντίφασις συναληθεύει· οὐδὲ γὰρ πάντα ἀληθῆ οὐδὲ πάντα ψευδῆ. ταύτης δὲ τῆς αἱρέσεως ἐνόμισάν τινες καὶ τὸν Πλάτωνα εἶναι διὰ τὸ κεχρῆσθαι εἰκαστικοῖς προσρήμασι, λέγοντα "δοκῶ μοι" καὶ "ἴσως" καὶ "τάχα" καὶ "ὑπολαμβάνω." ἀλλὰ ταῦτα μὲν ὁ Πλάτων δι' ἀκρίβειαν ἔλεγεν, οὔτε δὲ ὁ ἀκριβὴς ἐφεκτικὸς πάντως οὔτε ὁ ἐφεκτικὸς ἀκριβής. πλὴν οὐκ ἐφεκτικὸς ὁ Πλάτων, ἔστι γὰρ πολλαχοῦ ἀκοῦσαι αὐτοῦ λέγοντος καὶ ἀποφαινομένου ὅτι ἔλεγεν, ὡς κατὰ τὸν ποιητήν, ἐν μὲν τῷ Φαίδρῳ ὅτι ἡ ψυχὴ πᾶσα ἀθάνατος, καὶ ἐν τῷ Φαίδωνι ὅτι ἀδαμαντίνοις δεῖ δεσμοῖς τὴν δόξαν ταύτην ἔχοντα περὶ τῆς ἀθανασίας τῆς ψυχῆς εἰς ᾅδου ἰέναι, κἀν τοῖς Νόμοις ὅτι ἀληθέστερα τὰ νῦν λεγόμενα τοῦ τὴν Κρήτην νῆσον εἶναι· ἐν Κρήτῃ γὰρ τὰς διατριβὰς ἐποιεῖτο· οὐ γὰρ ἠξίου ἔτι σκηνὴν τῶν αὐτοῦ διαλόγων τὰς Ἀθήνας ποιεῖσθαι διὰ τὰ συμβάντα ἐπὶ Σωκράτει. καὶ ἐν τῇ Πολιτείᾳ φησὶν ὅτι μισθωσώμεθα κήρυκα Στέντορος μεγαλοφωνότερον, ὃς ἀναβὰς ἐφ' ὑψηλοῦ βήματος ἀναβοήσει ὡς ὁ μὲν δίκαιος εὐδαίμων, καὶ εἰ λάθῃ πάντας ἀνθρώπους τοιοῦτος ὢν καὶ διὰ τοῦτο ἄδικος νομιζόμενος μαστιγοῦτο, ὁ δὲ ἄδικος ἄθλιος, καὶ εἰ λάθῃ πάντας ἀνθρώπους τοιοῦτος ὢν καὶ διὰ τοῦτο δίκαιος νομιζόμενος τιμῷτο ὑπὸ πάντων. ἐπεξέτεινα δὲ ἂν τὰς χρήσεις τοῦ Πλάτωνος τὰς κατασκευαζούσας ὅτι οὐκ ἦν ἐφεκτικός, εἰ μὴ ὅτι πρόλογος νῦν Ἀριστοτελικῶν πρόκειται, οὐχὶ Πλατωνικῶν. πέμπτος τρόπος ἦν τῆς ἐπωνυμίας τῶν κατὰ φιλοσοφίαν αἱρέσεων ἀπὸ τοῦ τρόπου τῆς ζωῆς, ὥσπερ οἱ Κυνικοὶ φιλόσοφοι. Κυνικοὶ δὲ ἐκλήθησαν διὰ τέσσαρας αἰτίας· ἢ γὰρ διὰ τὸ ἀδιάφορον τῆς ζωῆς, ἐπειδὴ καὶ αὐτοὶ ἀδιαφορίαν ἐπετήδευον, ὡς οἱ κύνες, δημοσίᾳ ἐσθίειν καὶ ἀφροδισιάζεσθαι, καὶ ἀνυπόδετοι περιπατεῖν, καὶ ἐν πίθοις καὶ ἐν τριόδοις καθεύδειν. τοῦτο δὲ ἐποίουν τοῦ φύσει καλοῦ ὀρεγόμενοι· ἔλεγον γὰρ ὅτι εἰ ἀγαθόν ἐστι, δεῖ κοινῇ καὶ ἰδίᾳ πράττεσθαι· ἢ οὐκ ἔστιν ἀγαθόν, καὶ οὔτε κοινῇ οὔτε ἰδίᾳ διαπρακτέον. οὐ γὰρ ἦν παρ' αὐτοῖς τὸ μὲν φάσθαι τὸ δὲ ἐγκεκρυμμένον εἶναι (Od. 11 443), ἀλλ' ἦν παρ' αὐτοῖς τὸ "εἰπὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδια ἔμπης" (Il. 7 196). αὕτη πρώτη αἰτία. δευτέρα αἰτία ὅτι ἀναιδὲς ζῷον ὁ κύων, ἐπετήδευον δὲ καὶ αὐτοὶ τὴν ἀναίδειαν, οὐ τὴν χείρονα τῆς αἰδοῦς ἀλλὰ τὴν κρείττονα· διττὴ γὰρ ἡ ἀναίδεια, ἡ μὲν κρείττων τῆς αἰδοῦς ἡ δὲ χείρων, "ἥτε ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι·" ταύτην οὖν τὴν ἀναίδειαν ἐπετήδευον τὴν κρείττονα αἰδοῦς, οἷον ὑλακτοῦντες κατὰ τῶν ἀλλοτρίων τῆς αὐτῶν φιλοσοφίας. τρίτη αἰτία ὅτι φρουρητικὸν ζῷον ὁ κύων· ἐφρούρουν δὲ καὶ αὐτοὶ τὰ δόγματα τῆς φιλοσοφίας διὰ τῶν ἀποδείξεων, καὶ μέγα ἐφρόνουν ἐπὶ τούτῳ· φαίη γὰρ ἂν ἡ τύχη πρὸς Ἀντισθένην τὸν προστάτην τῆς αἱρέσεως ταύτης οὕτως· "ἐννέα δὴ προέηκα τανυγλώχινας ὀϊστούς, τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα" (Il. 8 297). ὅτι, φησί, τοσαύτας αὐτῷ συμφορὰς ἐπήγαγον, καὶ οὐκ ἠδυνήθην αὐτοῦ καταβαλεῖν τὸ φρόνημα. αὕτη καὶ ἡ τρίτη αἰτία. τετάρτη δὲ ὅτι διακριτικὸν ζῷον ὁ κύων γνώσει καὶ ἀγνοίᾳ τὸ φίλον καὶ τὸ ἀλλότριον ὁρίζον· ὃν γὰρ γινώσκει, νομίζει φίλον εἶναι, καὶ εἰ ῥόπαλον ἐπιφέροιτο, ὃν δὲ ἀγνοεῖ, ἐχθρόν, καὶ εἰ δέλεαρ ἐπιφερόμενος εἴη· οὕτως οὖν καὶ οὗτοι τοὺς μὲν ἐπιτηδείους πρὸς φιλοσοφίαν φίλους ἐνόμιζον καὶ εὐμενεῖς ἐδέχοντο, τοὺς δὲ ἀνεπιτηδείους ἀπήλαυνον δίκην κυνῶν κατ' αὐτῶν ὑλακτοῦντες. διὸ καὶ ὁ Πλάτων ἐν τῷ Γοργίᾳ φησὶν ὅτι ἔχει τινὰ σοφίαν ὁ κύων διακρίνειν φίλον ἀπὸ ἐχθροῦ. καὶ τὸ διακρίνειν δὲ ἀλήθειαν καὶ ψεῦδος μόνου φιλοσόφου. οὕτως καὶ ὁ πέμπτος τρόπος. ὁ ἕκτος δὲ τρόπος ἀπὸ τοῦ τέλους, ὥσπερ οἱ Ἡδονικοί· τέλος γὰρ τῶν ὄντων τὴν ἡδονὴν ἔλεγον· ὧν τῆς φιλοσοφίας κατῆρξεν Ἐπίκουρος, ᾧ συνήκμασεν ὁ Μένανδρος. οὗτοι δὲ οἱ Ἐπικούρειοι καὶ μέχρι τῶν οὐρανίων ἴσων τὴν πρόνοιαν, ἵνα μὴ πράγματα σχῇ τὸ θεῖον περιεργαζόμενον τὰ τῇδε. μέμνηται δὲ τῆς δόξης καὶ Μένανδρος ἐν τοῖς Ἐπιτρέπουσιν, ἡνίκα φησὶν

οἴμαι τοσαύτην πρὸς (τοῖς?) θεοὺς ἄγειν σχολὴν
ὡς ἀγαθόν τε καὶ κακὸν καθ' ἡμέραν
νέμειν ἑκάστῳ σμικρὸν ἦν.

οὗτοι ἔλεγον τέλος εἶναι τὴν ἡδονήν, οὐ τὴν αἰσχρὰν δῆθεν τὴν δι' ἀφροδισίων καὶ ἄλλων ἡδυπαθειῶν, ἀλλὰ τὴν ἀοχλίαν τῶν παθῶν καὶ καταστηματικήν, τὴν καθιστῶσαν τὴν ψυχὴν ὥστε μὴ πάσχειν αἰσχρόν τι πάθος. οὐδὲ γὰρ ἡδονὴ τέλος τῆς φύσεως· οὐδὲ γὰρ διὰ τοῦτο ἐνεργεῖ ἡ φύσις ἵνα ἡδώμεθα, ἀλλὰ συνέπλεξεν ἡδονὴν τῇ ἐνεργείᾳ οἷα δελεάσασα καὶ γοητεύσασα ἡμᾶς δι' αὐτῆς πρὸς τὸ ἐπίμοχθον τῶν ἐνεργειῶν· ἐπίμοχθον γὰρ μὴ πεινῶντα ἐσθίειν καὶ μὴ διψῶντα πίνειν. ἡ ἡδονὴ οὖν οὐκ ἔστι τέλος, ἀλλ' ἕπεται ἤτοι συμπλέκεται τῇ κατὰ φύσιν ἐνεργείᾳ ὥσπερ ἡ σκιὰ τῷ ἐν φωτὶ βαδίζοντι. οὕτως καὶ ὁ ἕκτος τρόπος. ἕβδομος τρόπος τῶν κατὰ φιλοσοφίαν αἱρέσεων ὁ ὀνομασθεὶς ἀπό τινος συμβεβηκότος, ὡς οἱ Περιπατητικοὶ ἀπὸ τοῦ Πλάτωνος κατὰ περίπατον τὴν συνουσίαν ποιουμένου διὰ τὸ ἅμα τῇ ψυχῇ τὸ σῶμα γυμνάζειν. καὶ τῶν ἀνθρωπίνων ἀναχωρήσαντος διαδέχεται τὴν σχολὴν αὐτοῦ Σπεύσιππος ὁ υἱὸς τῆς Πρωτώνης ἀδελφῆς τοῦ Πλάτωνος· οὐκ ἐτύγχανε γὰρ τηνικαῦτα παρὼν ὁ Ἀριστοτέλης· μετασταλεὶς γὰρ ἦν ὑπὸ Φιλίππου ἐν Μακεδονίᾳ ἐπὶ τὸ παιδεῦσαι τὸν

(*) cf. Ioh. Philop. et Ammon. f. 6 *b*.

ΕΞΗΓΗΣΙΣ ΣΥΝ ΘΕΩΙ ΤΩΝ ΔΕΚΑ ΚΑΤΗΓΟΡΙΩΝ ΑΠΟ ΦΩΝΗΣ ΔΑΒΙΔ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΦΙΛΟΣΟΦΟΥ (†).

Τῶν Ἀριστοτελικῶν ἀρχόμενοι λόγων εὐθὺς ἐκ θυρῶν φίλα τῷ Ἀριστοτέλει διαπραξώμεθα καὶ τὴν φίλην αὐτῷ συντομίαν συνόψει συντομωτάτῃ περιβάλωμεν· σύνοψις γὰρ καὶ συντομία φίλα τῷ Ἀριστοτέλει, Πυθαγορείῳ κατ' ἀλήθειαν γεγονότι καὶ τὴν Πυθαγόρου σιωπὴν εἰς τὴν γείτονα βραχυλογίαν μεταγαγόντι. δέκα δέ τισι κεφαλαίοις περικλείομεν αὐτοῦ τὴν φιλοσοφίαν. καὶ πρῶτόν ἐστι τῶν δέκα διὰ τί οὕτως ὠνομάσθη ἡ Ἀριστοτέλους φιλοσοφία, Περιπατητική. ἀλλ' ἐπειδὴ τοῦτο μερικὸν καὶ ἀφιλόσοφον, φιλοκαθόλου γὰρ ὁ φιλόσοφος, τὰ καθόλου ζητείσθω, διὰ τίνας καὶ ποίας αἰτίας ὠνομάσθησαν αἱ κατὰ φιλοσοφίαν αἱρέσεις. δεύτερον τίς ἡ διαίρεσις τῶν Ἀριστοτελικῶν συγγραμμάτων πολλῶν ὄντων, χιλίων τὸν ἀριθμόν, ὡς φησὶ Πτολεμαῖος ὁ Φιλάδελφος ἀναγραφὴν αὐτῶν ποιησάμενος καὶ τὸν βίον αὐτοῦ καὶ τὴν διάθεσιν. τρίτον πόθεν δεῖ ἄρχεσθαι τῶν Ἀριστοτελικῶν συγγραμμάτων. τέταρτον τί τὸ τέλος αὐτῶν. καὶ ἐπειδή, ὅπου ἀρχὴ καὶ τέλος, ἔστι τι καὶ μεταξύ, πέμπτον ζητείσθω τίς ἡ μεταξὺ ὁδός. ἕκτον ποῖον δεῖ εἶναι τὸν ἀκροατὴν κατὰ ζωὴν καὶ γνῶσιν. ἕβδομον ποῖον δεῖ εἶναι τὸν ἐξηγητήν· μηδὲ γὰρ οὗτος ἐκφευγέτω τὴν βάσανον διὰ τὸ ἀξίωμα τοῦ ἐξηγητοῦ, ἀλλ' εὐθύνας διδότω ὁποῖος ἐστίν. ὄγδοον καὶ τὸ εἶδος τῆς φράσεως αὐτοῦ. ἔνατον διὰ τί ἀσάφειαν ἐπετήδευσεν· οὐδὲ γὰρ ἦν φύσει τοιοῦτος, ὡς δηλοῦσιν αἱ Ἐπιστολαὶ αὐτοῦ σαφεῖς οὖσαι καὶ οἱ Τόποι καὶ τὰ Μετέωρα πάνυ σαφῆ ὄντα. δέκατον πόσα καὶ τίνα δεῖ προλαμβάνειν παντὸς Ἀριστοτελικοῦ βιβλίου. ταῦτα πάντα τοῦ Πρόκλου λέγοντος δεῖν προλαμβάνειν ἀρχομένους τῶν Ἀριστοτελικῶν συνταγμάτων ἐν τῇ συναναγνώσει, σύνταγμα δὲ τούτου Πρόκλειον μὴ προστιθέντος, φέρε ἡμεῖς ἐκ διαιρέσεώς τινος προσθῶμεν καὶ τὴν αἰτίαν. ἡ δὲ διαίρεσις πρόεισιν οὕτως περιέχουσα. ἡ Ἀριστοτέλους φιλοσοφία καὶ ὀνομάζεται καὶ ὑφέστηκε· καὶ ἐπειδὴ ὀνομάζεται, ζητοῦμεν διὰ τί οὕτως ὠνομάσθησαν αἱ κατὰ φιλοσοφίαν αἱρέσεις καὶ διὰ τί Περιπατητικὴ ἡ τοῦ Ἀριστοτέλους ἐκλήθη φιλοσοφία. ἐπειδὴ δὲ ὑφέστηκεν, ἢ καθ' ἑαυτὴν ὑφέστηκε νόμῳ τέχνῃ καὶ ἐπιστήμῃ, ἢ καὶ πρὸς ἡμᾶς ὡς διδακτή. ἐπειδὴ οὖν καθ' ἑαυτὴν ὑφέστηκεν, ἢ ἀπὸ τῶν τελείων ἐπὶ τὰ ἀτελῆ καὶ μερικώτερα χωρεῖ, ἢ ἀπὸ τῶν ἀτελῶν ἐπὶ τὰ τέλεια· καὶ ζητοῦμεν τίς ἡ ἀρχή, τί τὸ τέλος, τίς ἡ μεταξὺ ὁδός. καὶ οὕτως μὲν εἰ καθ' ἑαυτήν· εἰ δὲ πρὸς ἡμᾶς, ζητοῦμεν τίς ὁ ἀκροατὴς καὶ τίς ὁ ἐξηγητής. ἐπειδὴ δὲ διαιρέσεως συνταγμάτων ἐμνήσθημεν, ἐν δὲ τοῖς συντάγμασίν ἐστι καὶ λέξις καὶ διάνοια, διὰ μὲν τὴν λέξιν ζητοῦμεν τί τὸ εἶδος τῆς φράσεως καὶ διὰ τί τὴν ἀσάφειαν ἐπετήδευσε, διὰ δὲ τὴν διάνοιαν πόσα καὶ ποῖα δεῖ προλαμβάνειν κεφάλαια τῶν Ἀριστοτέλους συνταγμάτων. ταῦτα ἔχει ἡ παροῦσα θεωρία.

Πρῶτον κεφάλαιον ἦν τῶν περικλειόντων τὴν Ἀριστοτέλους φιλοσοφίαν τὸ ζητῆσαι κατὰ πόσους καὶ τίνας τρόπους ὠνομάσθησαν αἱ κατὰ φιλοσοφίαν αἱρέσεις. καὶ δεῖ εἰδέναι ὅτι κατὰ ἑπτὰ τρόπους· καὶ γὰρ ἀπὸ τοῦ αἱρεσιάρχου, ὡς Πλατωνικοὶ καὶ Ἀριστοτελικοί, ἢ ἀπὸ τῆς πατρίδος τοῦ αἱρεσιάρχου, ὡς Κυρηναϊκοὶ δι' Ἀρίστιππον τὸν Κυρηναῖον. ἀλλ' ἐπεὶ οὐκ ἀκριβῶς δυνάμεθα παρακολουθεῖν τοῖς λεγομένοις εἰ μὴ πρῶτον γνῶμεν τί ἐστιν αἵρεσις, φέρε πρότερον περὶ αὐτῆς εἴπωμεν. αἵρεσίς ἐστιν ἀνδρῶν ἀστείων δόξα πρὸς ἑαυτοὺς συμφωνούντων, πρὸς δὲ ἄλλους διαφωνούντων. καλῶς εἶπεν ἀνδρῶν καὶ οὐκ ἀνδρός· ἑνὸς γὰρ ἀνδρὸς δόξα αἵρεσιν οὐ ποιεῖ· θέσις γὰρ τότε γίνεται, ὡς ἡ Ἡρακλείτου ὅτι πάντα κινεῖται, ἢ Παρμενίδου ὅτι ἓν τὸ ὂν καὶ ἀκίνητον, ἢ Ἀντισθένους ὅτι οὐκ ἔστιν ἀντιλέγειν· θέσις γάρ ἐστι παράδοξος ὑπόληψις ἑνὸς τῶν κατὰ φιλοσοφίαν γνωρίμων. τὸ δὲ ἀστείων καὶ αὐτὸ καλῶς πρόσκειται, ἵν' ὦσιν ἀξιόλογοι καὶ ἐπιστήμονες· ἐὰν γὰρ ὦσιν εἰκαιολόγοι καὶ ἀγελαῖοι, οὐ ποιοῦσιν οὐδὲ τέχνην οὐδὲ ἐπιστήμην. πρὸς ἑαυτοὺς συμφωνούντων καὶ πρὸς ἄλλους διαφωνούντων· ἐὰν γὰρ καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς ἄλλους συμφωνῶσιν, οὐ ποιοῦσιν αἵρεσιν ἀλλὰ τὸ ἀντικείμενον τῇ αἱρέσει, τουτέστι κοινὴν ἔννοιαν· χαρακτηρίζει γὰρ τὴν αἵρεσιν συμφωνία μετὰ διαφωνίας, καὶ οὐκ ἐν τοῖς τυχοῦσιν ἀνθρώποις ἀλλ' ἐν ἀστείοις καὶ ἀξιολόγοις. καὶ ταῦτα μὲν περὶ τῆς αἱρέσεως, δεῖ δὲ εἰδέναι ὅτι κατὰ ἑπτὰ τρόπους ὀνομάζονται αἱ κατὰ φιλοσοφίαν αἱρέσεις. ἢ γὰρ ἀπὸ τοῦ αἱρεσιάρχου, ὡς Πλατωνικοὶ καὶ Ἀριστοτελικοί, ἢ ἀπὸ τῆς πατρίδος τοῦ αἱρεσιάρχου, ὡς Κυρηναϊκοὶ διὰ Ἀρίστιππον καὶ Ἐρετριεῖς διὰ Μενέδημον τὸν Ἐρετριέα, ἢ Μεγαρικοὶ διὰ Τερψίωνα καὶ Εὐκλείδην τοὺς Μεγαρεῖς ὅθεν καὶ Μεγαρικὴ φιλοσοφία, ἢ Ἠλιακοὶ διὰ Φαίδωνα τὸν ἀπὸ τῆς Ἤλιδος. καὶ οὕτω μὲν ἀπὸ τῆς τοῦ αἱρεσιάρχου πατρίδος. ἢ ἀπὸ τοῦ τόπου ἐν ᾧ τὰς διατριβὰς ἐποιοῦντο, οἷον Στωϊκοὶ διὰ τὴν ἐν τῇ Ἀττικῇ ποικίλην στοάν, ἐν ᾗ ἐπαίδευε Ζήνων ὁ Κιττιεύς, οὐχ ὁ Ἐλεάτης ὁ καὶ Παρμενίδειος ὁ ἀμφοτερόγλωσσος, περὶ οὗ εἴρηται (Diogen. L. 9 25) "ἀμφοτερογλώττεω μέγα σθένος οὐκ ἀλαπαδνὸν Ζήνωνος." ἀμφοτερόγλωσσος δὲ ἐκλήθη οὐχ ὅτι διαλεκτικὸς ἦν ὡς ὁ Κιττιεύς, καὶ τὰ αὐτὰ ἀνεσκεύαζε καὶ κατεσκεύαζεν, ἀλλ' ὅτι τῇ ζωῇ διαλεκτικὸς ἦν, ἄλλα μὲν λέγων ἄλλα δὲ φρονῶν. ἐρωτηθεὶς γὰρ οὗτός ποτε ὑπὸ τοῦ τυράννου τίνες εἰσὶν οἱ μᾶλλον ἐπιβουλεύοντες τῇ τυραννίδι αὐτοῦ, τοὺς δορυφόρους ἔδειξεν· ὁ δὲ πεισθεὶς ἀνελὼν αὐτοὺς διεφθάρη· ἀγαθὸν γὰρ ἐνόμισε τὸ ψεύσασθαι διὰ τὴν τοῦ τυράννου ἀναίρεσιν. καὶ τῷ οἰκείῳ ποτὲ διδασκάλῳ Παρμενίδῃ ἓν λέγοντι τὸ ὂν καὶ τὸ εἶδος, ἐκ τῆς ἐνεργείας πολλὰ τὰ ὄντα, συντίθησιν ἐκ τεσσαράκοντα ἐπιχειρημάτων ὅτι ἓν τὸ ὄν, ἀγαθὸν νομίσας τῷ οἰκείῳ συμμαχεῖν διδασκάλῳ. καί ποτε πάλιν τῷ αὐτῷ συνηγορῶν διδασκάλῳ ἀκίνητον λέγοντι τὸ ὄν, διὰ πέντε ἐπιχειρημάτων κατασκευάζει ὅτι ἀκίνητον τὸ ὄν· οἷς ἀντειπεῖν μὴ δυνηθεὶς Ἀντισθένης ὁ κυνικὸς ἀναστὰς ἐβάδισε, νομίσας ἰσχυροτέραν εἶναι πάσης τῆς διὰ λόγων ἀντιλογίας τὴν διὰ τῶν ἔργων ἀπόδειξιν. οὕτω μὲν καὶ ἀπὸ τοῦ τόπου τῆς συνουσίας. ἢ ἀπὸ τῆς ἐν τοῖς φιλοσόφοις ἐπικρίσεως, ὡς οἱ ἐφεκτικοί· οὗτοι γὰρ ἀκαταληψίαν δοξάζοντες ἐπεῖχον τὰς λύσεις τῶν προτάσεων. ἐκλήθη καὶ τρίπους ἡ αἵρεσις αὐτῶν, ἐπειδὴ τριπλᾶς

(†) Codd. Vatican. 1018 et 1023.

ἔστι διττὸν τὸ εἶδος· λέγεται γὰρ τὸ εἶδος καὶ μορφή, ὥσπερ καὶ ἐν Φοινίσσαις ὁ Εὐριπίδης φησὶ "πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος." ἀλλὰ μὴν καὶ ἡ συνήθεια τοῦτο αὐτὸ δηλοῖ, τὸν εὔμορφον εὐειδῆ καλοῦσα καὶ τὸν ἄμορφον δυσειδῆ. λέγεται δὲ καὶ εἶδος τὸ ὑποτασσόμενον τῷ γένει.

φέρε ὀλίγα περὶ τοῦ ζῴου καὶ ζωοφύτου καὶ φυτοῦ ζητήσαντες καταπαύσωμεν τὴν θεωρίαν, ἐν ἑτέρᾳ τὰ ἐκ τῶν Πλατωνικῶν ἀντιτιθέμενα διδάσκειν εὐτρεπιζόμενοι. διαιρεῖται τοίνυν τὸ ἔμψυχον εἰς ζῷον ζωόφυτον φυτόν. καὶ φυτόν ἐστι τὸ ἔχον τρεῖς δυνάμεις, τὴν γεννητικήν, τὴν αὐξητικήν, τὴν θρεπτικήν... ταύταις οὖν ταῖς τρισὶ δυνάμεσιν εἰ προσέλθη τις αἴσθησις, ποιεῖ τὸ ζωόφυτον. ὅτι δὲ ἔχει αἴσθησιν τὸ ζωόφυτον, σαφὲς ἐκ τοῦ ἐν τοῖς ὕδασιν ἡδόμενον ἐξαπλοῦσθαι καὶ κάρφει ἀνιῶντος συστέλλεσθαι. εἰ ἐπὶ τούτοις δὲ γίνεται κίνησις, γίνεται τὸ ζῷον.

ὥσπερ ἀληθείας προϊστάμενοι οἱ τὰ Πλάτωνος πρεσβεύοντες δόγματα Ἀριστοτελικῆς ἐπιλαμβάνονται διαιρέσεως· φασὶ γὰρ ὅτι ἐναντία αὐτῷ καὶ τοῖς ἄλλοις φθέγγεται ὁ Ἀριστοτέλης φάσκων τὴν οὐσίαν διαιρεῖσθαι εἰς ἐναντιότητας, εἴγε ἐν Κατηγορίαις φησὶ μὴ ἔχειν αὐτὴν ἐναντιότητα. Πλωτῖνος δὲ καὶ τὴν αἰτίαν ἔλεγε· φησὶ γὰρ δικαίως οὐκ ἔχει ἡ οὐσία ἐναντιότητα καθὸ οὐκ ἔστιν ἐν ὑποκειμένῳ, αὐτὴ γὰρ ὑποκείμενον ὑπάρχει· τὰ γοῦν ἐναντία πάντα ἐν ὑποκειμένῳ ὄντα τὴν μάχην ποιεῖται· οὕτω γὰρ τὸ ψυχρὸν καὶ τὸ θερμὸν ἕνεκεν τοῦ ὑποκειμένου μάχονται· βούλεται γὰρ ἕκαστον τοῦ ἄλλου τὸ ὑποκείμενον λαβεῖν· τὸ ψυχρὸν γὰρ σπεύδει μεταβάλλειν τὸ θερμὸν εἰς ψυχρόν... τρίτη ἁμαρτία ἀναφύεται Ἀριστοτέλει, ὅτι φησὶ τὸ θεῖον σῶμα εἶναι... ἀπολογησάμενοι οὖν ὑπὲρ τῆς τῶν Ἀριστοτελικῶν διαιρέσεως, φέρε κατὰ τὴν ἡμετέραν ἐπαγγελίαν τὴν τῶν Πλατωνικῶν ἐκθησώμεθα.

τὸ ἔμψυχον διαιρεῖται εἰς τὸ ζῷον καὶ εἰς ζωόφυτον καὶ εἰς φυτόν· καὶ εἰ μὲν ᾖ τὸ φυτὸν χαμαιπετές, λέγεται πόα, εἰ δὲ ὑψιπετές, δένδρον, εἰ δὲ μέσον, θάμνος. οὐκ ἔστι δὲ ἀνεπίληπτος ἡ τοιαύτη διαίρεσις. ἢ ὡς οὐσία εἰς συμβεβηκότα (διαιρεῖται), οἷον ὁ ἄνθρωπος εἰς ἄνδρα καὶ γυναῖκα· ταῦτα γὰρ οὐ διαφέρει κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὰ συμβεβηκότα, φημὶ δὲ κατὰ τὰ ἐξέχοντα μόρια· οὕτω γὰρ καὶ ὁ Γαληνός φησιν ὅτι οὐδὲν διαφέρει τὸ γύναιον τοῦ ἀνδρὸς εἰ μὴ κατὰ τὰ μόρια.

τούτοις τινὲς ἐναντιούμενοί φασιν ὅτι οὐ πάντα ὧν τὰ ἄκρα πεπέρασται, τούτων καὶ τὰ μέσα. ἰδοὺ γὰρ τὸ μέλαν καὶ τὸ λευκὸν πεπέρασται, τὰ δὲ ἐν μέσῳ χρώματα ἀπέραντά ἐστιν· οὔτε γὰρ λέξεις μοι ὅτι δεκατρία βούλεται αὐτὰ λέγειν ὁ Γαληνός· κἂν γὰρ δεκατρία εἴδη λέγῃ, ἀλλ' οὖν πολλαί εἰσιν αἱ διαφοραί. πρὸς τοῦτο δὲ ἀπολογούμενοί φασιν ὅτι τρία εἰσὶ ταῦτα πάντα, τὸ λευκόν, τὸ μέλαν καὶ τὸ μέσον τοῦτο τὸ φαιόν, τὰ δὲ ἄλλα πάντα ἐκ τούτων εἰσί, κατὰ δὲ τὸ μᾶλλον καὶ τὸ ἧττον διαφέρουσι τὸ κυανὸν τοῦ ἀλουργέος καὶ τὸ πρασινίζον καὶ ὅλως τὰ τοιαῦτα. τὸ οὖν μᾶλλον καὶ τὸ ἧττον εἴδους ἐναλλαγὴν οὐ ποιεῖ. κακῶς δὲ οὗτοι ἐπελύσαντο· συνάγεται γὰρ ἐκ τούτου τοῦ λόγου τὸ εἶναι ταῦτα πάντα χρώματα· ὑπόθου γὰρ ὅτι τοῦ φαιοῦ τὸ ἀλουργὲς οὐδὲν διαφέρει εἰ μὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον, ταὐτὸν ἄρα φαιὸν καὶ ἀλουργὲς καὶ κυανόν. οὐ μόνον δὲ κατὰ τοῦτο, ἀλλὰ καὶ καθ' ἕτερον λόγον· οὐκ ἔστι γὰρ ἀληθὲς ὡς τὸ μᾶλλον καὶ ἧττον οὐ ποιεῖ εἴδους ἐναλλαγήν... τῇ οὖν γνώσει ἄπειρά εἰσιν, οὐ μὴν τῇ φύσει.

πάρεστιν ὁ Πορφύριος τῆς δευτέρας διαιρέσεως παραδώσων τὴν διδασκαλίαν, φημὶ τῆς λεγούσης τὰ ὄντα ἢ χωριστὰ ἢ ἀχώριστα εἶναι. ἐπειδὴ δὲ οὐ κατὰ τὸ δέον ταύτην ἐπεξῆλθε, φέρε τὸ ἐλλιπὲς ἀναπληρώσωμεν ἤτοι τὸ κακῶς ἔχον ἐλέγξωμεν, πρῶτον μαθόντες τί διαφέρει οὐσία οὐσιώδους καὶ συμβεβηκὸς ἐπουσιώδους.

καὶ ὁ μὲν Πλάτων βούλεται εἶναι τέσσαρας (συζυγίας), λογικὸν ἀθάνατον καὶ λογικὸν θνητὸν καὶ ἄλογον θνητὸν καὶ ἄλογον ἀθάνατον. τὰς δὲ ἐναντίας φησὶν ἀσυστάτους, λογικὸν ἄλογον, θνητὸν ἀθάνατον. καὶ προέφερε τὸν ποιητὴν λέγοντα ὅτι ἔστιν ἄλογον ἀθάνατον ἐν τῷ λέγειν "ἡ δ' ἀθάνατον κακόν ἐστιν." ὁ Ἀριστοτέλης δὲ τρεῖς εἶναι βούλεται· οὐ δέχεται γὰρ τὸ ἄλογον ἀθάνατον. ᾧ καὶ ἀκολουθεῖ ὁ Πορφύριος· τρεῖς γὰρ εἶναι λέγει· οὕτω γὰρ κατ' ἀρχὴν ἐπηγγείλατο τοῖς Περιπατητικοῖς ἀκολουθεῖν... τῶν Περιπατητικῶν οἱ Πλατωνικοὶ κατευτελίζοντες τὴν δόξαν, ἀποδεῖξαι ἐνεργείᾳ ὑπάρχειν ἐν τοῖς γένεσι πειρῶνται τὰς διαφοράς, τὸ δυνάμει παραιτούμενοι.

διαφορά ἐστιν εἴδους. ὁ ὁρισμὸς οὐκ ἔστι Πορφυρίου· διὰ τοῦτο λέγει ὡς καὶ ὁριζόμενοι, καὶ οὐ λέγει ὁρίζομαι, ἵνα δείξῃ ὅτι τῶν Περιπατητικῶν ἐστίν.

ἀλλ' εὑρίσκεται ἐν πολλοῖς τῶν βιβλίων καὶ ὁ καί σύνδεσμος, τὸ κατὰ πλειόνων καὶ διαφερόντων καὶ τῷ εἴδει, ὥστε οὖν συνυπακούεται τῷ ἀριθμῷ.

τὸ δὲ γελαστικὸν ἀναιρετικόν ἐστι τοῦ ἀνθρώπου αὐξανόμενον· καὶ γὰρ ἀπὸ γέλωτος κολάσεις παρὰ Πέρσαις ἐφευρέθησαν.

φαμὲν δὲ πρὸς τοῦτο ὅτι πρῶτον μέν ἐστι καὶ ἄλλα ζῷα γελαστικά, ὥσπερ ἱστορεῖ Ἀριστοτέλης ἐν τῇ περὶ ζῴων περὶ τοῦ ἐρωδιοῦ. δεύτερον δὲ οὐκ ἐν πᾶσι τοῖς ζῴοις ὁμοίως ἐνεργεῖ ἡ ἄλογος ψυχή, ἐπεὶ ὀφείλει ἡ ὑλακὴ τοῦ κυνὸς ἐπὶ πάντων τῶν ζῴων διήκειν, ἐπειδὴ ἔχει ὁ ἄνθρωπος μύας καὶ νεῦρα ὥσπερ ὁ κύων· ὁμοίως καὶ ὁ μυκηθμὸς τοῦ βοὸς καὶ ὁ χρεμετισμὸς τοῦ ἵππου.

ἐπεὶ δὲ εἰρήκαμεν τὰς τοῦ φιλοσόφου κοινωνίας καὶ διαφοράς, φέρε καὶ ἡμεῖς προσευπορήσωμεν ἑτέρας κοινωνίας καὶ διαφοράς.

ταῦτα ἔχει καὶ ἡ παροῦσα θεωρία. συγκαταπαύεται δὲ αὐτῇ σὺν θεῷ καὶ ἡ πραγματεία τοῦ Πορφυρίου.

εἰ ἔστιν ἢ μή ἐστι; καί φαμεν, ναὶ ἀμφεβάλλετο παρὰ τοῖς παλαιοῖς εἰ ἔστι γένος καὶ εἶδος· ἔλεγε γὰρ ὁ Ἀντισθένης μὴ εἶναι γένος μήτε εἶδος· φησὶ γὰρ ἄνθρωπον ὁρῶ, ἀνθρωπότητα δὲ οὐχ ὁρῶ, ἵππον ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ, ὥστε οὖν οὐκ ἔστι τὸ καθόλου. ληρῶδες δὲ τὸ τοιοῦτον.

καλῶς ἔχει ὁ ὁρισμὸς ὁ λέγων τὸ καθόλου ἓν τῷ ἀριθμῷ κατ᾽ εἶδος, ὑπὸ πολλῶν δὲ μετεχόμενον.

ὅτι δὲ ἀναγκαία ζήτησις ὑπάρχει (εἴτε ἀσώματά εἰσιν εἴτε τριχῇ διαστατά), σαφὲς ἐκ τοῦ λέγειν τινὰς πάντα τὰ ὄντα σώματα εἶναι, ὥσπερ οἱ Στωϊκοί, ἄνδρες γηγενεῖς καὶ σπαρτοὶ ἀπὸ δρυὸς καὶ πέτρης κατὰ τὴν ποίησιν· οὗτοι γὰρ οὐδὲ τῆς προσηγορίας τῆς φιλοσοφίας ἔμελλον, εἰ μὴ ὅτι διὰ μεγαλορρημοσύνην τῶν ὀνομάτων αὐτὴν ἐκόσμησαν· φασὶ γὰρ τὸν φιλόσοφον μόνον πλούσιον, μόνον βασιλέα, μόνον εὐτυχῆ. καὶ μόνον μὲν πλούσιον καθὸ τοῖς ἑαυτοῦ ἀρκεῖται καὶ ἄλλου οὐ δέεται· τοῦτο γάρ ἐστι πλουσίου, εἰ καὶ τὰ μάλιστα καὶ τοῦτο ὁ παρὼν καιρὸς ἐνόθευσε, κόρον τοῦ πορίζειν μὴ ἔχειν τοὺς πλουτοῦντας δεικνύων. μόνος δὲ βασιλεὺς καθὸ τῶν πολεμίων ἐπικρατεῖ, θυμοῦ τε καὶ ἐπιθυμίας· τοῦτο γὰρ βασιλέως ἐστὶ τεκμήριον. μόνος δὲ εὐτυχὴς καθὸ τούτων ἐφίεται ἃ καὶ δύναται, καὶ ταῦτα δύναται ὧν ἐφίεται· ἐφίεται γὰρ ἀρετὴν ἀεὶ προσπορίζειν. οὗτοι οὖν διχόθεν συγκεκροτημένοι τὴν μὲν γνῶσιν χαμαιπετῆ καὶ εὐτελῆ κέκτηνται, λέγοντες ἅπαντα τὰ ὄντα σώματα εἶναι, τὸ παρ᾽ αὐτοῖς δὲ θεῖον λεπτομερὲς σῶμα διὰ πάντων διῆκον· τοῦτο δὲ τὸ παρ᾽ αὐτοῖς ἔσιεν, τὴν δὲ ζωὴν ὑπερέχουσαν. ἐπειδὴ δὲ τοιαύτη ζήτησις καὶ ἀμφιβολία παρὰ τοῖς παλαιοῖς γέγονεν, Ἀριστοτελικῶν καὶ Πλατωνικῶν καὶ Πυθαγορικῶν λεγόντων τῶν ὄντων τὰ μὲν εἶναι ἀσώματα τὰ δὲ τριχῇ διαστατά, τῶν δὲ Στωϊκῶν πάντα τὰ ὄντα σώματα εἶναι λεγόντων, δηλονότι καὶ τὰ εἴδη καὶ τὰ γένη, φέρε κατὰ τὴν συνήθη διδασκαλίαν δείξωμεν τὰς προκειμένας φωνὰς ἀσώματα κατὰ ἓξ τοιούτους λόγους.

φέρε καὶ τὴν περὶ τούτων δοκοῦσαν διαφωνίαν Ἀριστοτέλους καὶ Πλάτωνος εἴπωμεν, ὕστερον δὲ καὶ αὐτοὺς διαιτήσωμεν (*).

διαφορὰ τῶν Πλατωνικῶν δογμάτων οὐκ ὀλίγη γέγονε. τινὲς γὰρ τῶν Πλατωνικῶν ἔλεγον ὅτι κατὰ τοῦτό φαμεν τὸ πρὸ πολλῶν εἶναι, καθὸ λόγῳ παρὰ τῷ θεῷ τὰ πάντα δημιουργεῖται. ἄλλοι δὲ ἔλεγον ὅτι κατὰ τοῦτό φαμεν πρὸ πολλῶν ὅτι εἰσί τινες ἰδέαι αὐθυπόστατοι, λόγον μὴ ἔχουσαι αἴσθησιν δέ, ὧν κατ᾽ εἰκόνα πάντα δημιουργεῖ ὁ θεός. ἄλλοι δὲ ἔλεγόν τινας ἰδέας αἴσθησιν μὴ ἐχούσας εἶναι, ὧν κατ᾽ εἰκόνα πάντα δημιουργεῖ ὁ θεός· ἔλεγον γὰρ εἶναι καθολικὸν βοῦν εἰς ὃν ἀφορῶν ὁ δημιουργὸς θεὸς δημιουργεῖ τὸν παρ᾽ ἡμῖν βοῦν, καὶ καθολικὸν ἄνθρωπον εἰς ὃν ἀφορῶν ὁ θεὸς δημιουργεῖ τὸν παρ᾽ ἡμῖν ἄνθρωπον· ὅλως δὲ τὰ τοιαῦτα προϋπάρχειν τῆς ἡμῶν γενέσεως. διὰ τοῦτο οὖν τὸ πρὸ τῶν πολλῶν διάφορον ἐφαίνετο. διὸ καὶ ὁ Ἀριστοτέλης ἔδοξε μὴ δοξάζειν τὸ πρὸ πολλῶν, τούτοις μὴ συγκατατιθέμενος· οὗτοι γὰρ ἀδυναμίαν τοῦ θείου δεικνύουσιν, αἰσθήσεως αὐτὸ δεῖσθαι λέγοντες.

(*) Ammon. f. 30, b. ἰστέον δὲ ὅτι περὶ ταῦτα δοκοῦσιν Ἀριστοτέλης καὶ Πλάτων διαφωνεῖν· ὁ μὲν γὰρ Ἀριστοτέλης ἀχώριστα αὐτὰ τῆς ὕλης εἶναί φησιν, ὁ δὲ Πλάτων χωριστά.

τῶν ἀγώνων τὰ ἔπαθλα τοῖς καθόλου τριχῶς χαριζόμενοι, ὅτι οὐκ ἐν ψιλαῖς ἐπινοίαις εἰσὶν ἀλλ᾽ ὑφέστηκε, καὶ ὅτι οὐ σώματα ἀλλ᾽ ἀσώματα, καὶ ὅτι πρὸ τῶν πολλῶν εἰσὶ καὶ ἐν τοῖς πολλοῖς καὶ ἐπὶ τοῖς πολλοῖς, φέρε τὰ τούτοις ἀντικείμενα παραθέμενοι τὸ ἀκριβὲς εἰσόμεθα.

αὐτίκα οὐκ ὀλίγας προθεωρίας εἰρηκότες χωρήσωμεν ἐπ᾽ αὐτὴν τὴν λέξιν. ἔχει δὲ τὰ τῆς συντάξεως οὕτως· "σύντομόν σοι παράδοσιν ποιούμενος."

ἄξιόν ἐστι ζητῆσαι τί διαφέρει ἐπίνοια τῆς ψιλῆς ἐπινοίας.

διὰ τί ἄρα τῶν Περιπατητικῶν ἐμνήσθη; φασί τινες ὅτι οἱ Περιπατητικοὶ εἰς τὴν διαλεκτικὴν ὀξυτέρως ἐκινοῦντο· θέλων οὖν ταὐτὸν ποιῆσαι ἐμνήσατο αὐτῶν. ἄλλοι δέ φασιν, ἐπειδὴ ἀπὸ ὑπολήψεως Πλατωνικὸς ἐλέγετο, ἠβούλετο ἑαυτὸν δεῖξαι Ἀριστοτέλει παρακολουθοῦντα, ὅπερ ἐν τοῖς συγγράμμασιν ἠβουλήθη δεῖξαι. ἄξιον δὲ ζητήσεως ὑπάρχει διὰ τί Περιπατητικοὶ ἐκαλοῦντο οἱ Ἀριστοτελικοί. φασὶν ὅτι διὰ τοῦτο Περιπατητικὸς ἐκαλεῖτο Ἀριστοτέλης, ἐπειδὴ περιπατῶν τὰς συνουσίας ἐποιεῖτο τῇ πρὸς τὸν διδάσκαλον αἰδοῖ· οὐκ ἐτόλμα γὰρ ἔτι Πλάτωνος περιόντος ἐν καθέδρᾳ ποιεῖσθαι τὰς συνουσίας. ἄλλοι δέ φασιν ὅτι ψευδές ἐστι, τοὐναντίον γὰρ ἠναντιοῦτο αὐτῷ. τολμῶσι δὲ οἱ τοιοῦτοι λέγειν τι· οὐδὲ γὰρ ἠναντιοῦτο αὐτῷ, ἀλλ᾽ ἔσεβεν αὐτὸν ἀεί, ὡς δηλοῖ τὸ εἰς τὸν τάφον Πλάτωνος Ἀριστοτέλους ἐπίγραμμα "βωμὸν Ἀριστοτέλης — θέμις."

καταβοῶσί τινες Πορφυρίου λέγοντες ὅτι οὐκ ἐπεξῆλθε πᾶσι τοῖς γένεσι· παρῆκε γὰρ τὰ πέντε γένη Πλάτωνος (Sophist. p. 249)· φησὶ γὰρ ὁ Πλάτων πέντε γένη εἶναι πάντων τῶν ὄντων, οὐσίαν ταὐτότητα ἑτερότητα κίνησιν στάσιν. ταῦτα οὖν, φασί, παρῆκεν ὁ Πορφύριος. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ ἕτερά τινα· λέγουσι γὰρ ὅτι ἐν τοῖς φυσικοῖς φησὶν ὁ Ἀριστοτέλης γένος εἶναι τὴν ὕλην, τούτου δὲ οὐκ ἐμνήσθη. ἀλλὰ μὴν καὶ τῶν παρὰ τοῖς γραμματικοῖς γενῶν οὐκ ἐμνήσθη, τουτέστιν ἀρσενικοῦ θηλυκοῦ οὐδετέρου.

τὸ δὲ ἁπλῶς τετραχῶς λαμβάνεται· λαμβάνεται γὰρ κυρίως καὶ ὡς καθόλου καὶ ὡς ἔτυχε καὶ ἀντὶ τοῦ μοναχὸν καὶ ἀποίκιλον· τοῦτο γὰρ αὐτό φησι καὶ ὁ τραγικός· "ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ."

φασὶν ὅτι πάλαι εἰς κώμας ἐμεμέριστο ἡ Ἀττική. πόρρω οὖν γένος τῷ Πλάτωνί ἐστιν ἡ Ἀττική, προσεχὴς δὲ ἡ μία τῶν κωμῶν … ἐπὶ γὰρ Πινδάρου τοὐναντίον δεῖ λέγειν ὅτι ὁ Πίνδαρος μὲν Θηβαῖος λεγόμενος πόρρω ἔχει τὸ γένος ἀπὸ τῆς πατρίδος· οὐ γὰρ ἦν ἀπὸ Θηβῶν, ἀλλ᾽ ἀπὸ κώμης τῆς τῶν Κυνοκεφαλῶν.

γινώσκοντες τὴν τάξιν ἀκρίβειαν δύνασθαι τῇ διδασκαλίᾳ χαρίζεσθαι, φέρε ὀλίγον τὸν λόγον περὶ αὐτὴν ποιησώμεθα. ζητητέον δὲ οἷα γένη προταγήσεται, ἆρα τὰ κατὰ φιλοσοφίαν ἢ τὰ κατὰ συνήθειαν … ἀμέλει τοῦτο αὐτὸ γινώσκων ὁ συγγραφεὺς "εἰσιόντων δὲ ἡμῶν ἐπὶ τὸ Ἰόνιον πέλαγος" φησὶν (I 24) "εἴχομεν ἐν τῇ δεξιᾷ τὴν Ἐπίδαμνον." προαιρετικὴ δὲ ἡ τοιαύτη σχέσις· καὶ διὰ τοῦτο εἶπεν "εἰσιόντων," ὡς δῆλον ἐξιόντων ἐπὶ τὸ ἀριστερὸν εἴχομεν τὴν Ἐπίδαμνον.

ζητοῦσι δέ τινες εἰ ἄρα συμπεριέλαβεν ὁ ὁρισμὸς οὗτος (τοῦ γένους) καὶ τὸ παρὰ Πλάτωνι καθόλου γένος, λέγω δὲ τὰς ἰδέας. ἀπὸ δύο δὲ τρόπων γινώσκομεν ὅτι οὐ περιέλαβεν αὐτό.

ἀγῶνας ὑποδυσώμεθα, ἐπ' αὐτὴν ἀφικόμενοι τῆς μετὰ χεῖρας λέξεως τὴν ἐξήγησιν. αὕτη τοίνυν ἡ προκειμένη λέξις, φημὶ δὴ τὸ προοίμιον, διττὴν ἔχει τὴν παράδοσιν· ἐν μὲν τῷ πρώτῳ προοιμίῳ τρία τινὰ παραδίδωσι, τὸν σκοπὸν τὸ χρήσιμον καὶ τὸν τρόπον τῆς διδασκαλίας, ἐν δὲ τῷ δευτέρῳ προοιμίῳ αἰτίας τινὰς παραδίδωσι τῶν λεχθησομένων.

τὴν Ἶριν τὴν ἄγγελον τῶν θεῶν Θαύμαντος θυγατέρα ἔλεγον, ἀλληγορικῶς νοοῦντες τὴν φιλοσοφίαν· καὶ γὰρ Ἶριν τὴν φιλοσοφίαν λέγουσιν εἶναι· ὥσπερ γὰρ ἡ Ἶρις μυθεύεται παρὰ τοῖς ποιηταῖς ἄγγελος εἶναι τῶν θεῶν, οὕτω καὶ ἡ φιλοσοφία ἄγγελός ἐστι τοῦ θεοῦ· αὕτη γὰρ ἀγγέλλει ἡμῖν τὰ θεῖα, εἴγε γνῶσις θείων τε καὶ ἀνθρωπίνων ἐστὶ πραγμάτων. Θαύμαντος δὲ θυγατέρα αὐτὴν ἔλεγον, ἐπειδὴ ἀρχὴ τῆς φιλοσοφίας τὸ θαῦμα ἐστίν.

ἄλλως τε δὲ καὶ κατὰ τὸν Πίνδαρον χρὴ παντὸς οἴκου πρόσωπον θέμεναι τηλαυγές· δεῖ γὰρ τὰ τῶν οἴκων προπύλαια λαμπρὰ εἶναι.

ἄξιον δὲ ζητῆσαι διὰ τί οὕτως ἐποιήσατο τὴν τάξιν ὁ Πορφύριος τῶν πέντε φωνῶν, τουτέστι διὰ τί πρῶτον τὸ γένος ἔθηκε καὶ δεύτερον τὴν διαφοράν, τρίτον τὸ εἶδος, τέταρτον τὸ ἴδιον καὶ πέμπτον τὸ συμβεβηκός. ἀλλὰ πρὸ τούτου ὀλίγα τινὰ εἴπωμεν ἔξωθεν.

τινὲς αἰτιῶνται τὴν ἀρχὴν ὡς κακῶς ἔχουσαν· φασὶ γάρ, εἰ τὸ ὂν ὁμώνυμόν ἐστι, τὸ δὲ ὁμώνυμον ἀόριστον, ἄρα τὸ ὂν ἀόριστον· οὐ δεῖ δὲ τὴν ἀρχὴν ἀπὸ ἀορίστων ποιεῖσθαι. πρὸς δὲ τοῦτό φαμεν ὅτι οὐκ ἔστιν ὁμώνυμον τὸ ὄν, ὡς καὶ ἤδη ἐδείχθη ἐν τοῖς προτέροις, ἀλλ' ἀφ' ἑνός· τί δ' εἰσὶ τὰ ἀφ' ἑνός, τελείως ἐν ταῖς Κατηγορίαις εἰσόμεθα. ἔτι δέ φασι, διὰ τί οὐ προέταξε τὸ ἀναγκαῖον τοῦ ὄντος; καὶ λέγομεν πρὸς τοῦτο τρεῖς αἰτίας.

πάλιν ζητοῦσί τινες διὰ τί ἀναγκαίου εἶπεν καὶ οὐχὶ δικαίου ἢ ἀγαθοῦ ἢ χρησίμου.

ζητοῦσι δέ τινες διὰ τί εἰρηκὼς τῶν κατηγοριῶν λέγει τῶν παρὰ Ἀριστοτέλους· ἤρκει γὰρ τῶν κατηγοριῶν εἰπεῖν. καί τινές φασιν ὅτι πρὸς ἀντιδιαστολὴν ἄλλων εἶπεν Ἀριστοτέλους· βούλεται γὰρ δεῖξαι ὅτι συμβάλλεται εἰς τὰς κατηγορίας Ἀριστοτέλους καὶ οὐκ ἄλλων· ἔγραψε γὰρ καὶ Θεόφραστος καὶ Εὔδημος περὶ κατηγοριῶν κατὰ μίμησιν τοῦ οἰκείου διδασκάλου. κακῶς δὲ οὗτοι ἐπελύσαντο· εἰ γὰρ ἅπαξ συμβάλλεται ταῖς Κατηγορίαις Ἀριστοτέλους, καὶ πάσαις ταῖς κατηγορίαις συμβάλλεται. τοῦτο δὲ ἔδει εἰπεῖν ὅτι ἐκ τοῦ μείζονος θέλει δεῖξαι ὅτι πάσαις ταῖς κατηγορίαις συμβάλλεται, εἰ καὶ ταῖς Ἀριστοτέλους (*). ζητοῦσι δὲ διὰ τί τὸ πλεῖστον μέρος τοῦ χρησίμου προέταξε τοῦ σκοποῦ.

μάθωμεν τί ἐστι διαίρεσις καὶ ὁρισμὸς καὶ ἀπόδειξις καὶ ἀνάλυσις.

ἀποροῦσι δέ τινες λέγοντες διὰ τί τῆς διαιρέσεως προέταξε τὸν ὁρισμόν, καίτοι ἐδείχθη ὅτι θέλει ἡ διαίρεσις τοῦ ὁρισμοῦ προτερεύειν.

πάλιν ἀποροῦσί τινες διὰ τί τῆς ἀναλυτικῆς οὐκ ἐμνημόνευσεν.

ἀποροῦσι δέ τινες λέγοντες διὰ τί λέγει χρησίμης οὔσης, καίτοι ἐδείχθη ὡς τὸ χρήσιμον παραίτησιν ἐπιδέχεται. διὰ τοῦτο καὶ τὸ ἀναγκαῖον ἔταξεν.

ἐπειδὴ δὲ ἐμνήσθημεν ἀσαφείας, φέρε διδάξωμεν πόθεν ἡ ἀσάφεια τίκτεται. γίνεται τοίνυν ἡ ἀσάφεια ἢ ἀπὸ τῆς λέξεως ἢ ἀπὸ τῶν θεωρημάτων. καὶ ἀπὸ μὲν θεωρημάτων, ὡς ἔχει τὰ Ἡρακλείτου· ταῦτα γὰρ βαθέα καὶ δεινὰ ὑπάρχει· περὶ γὰρ τῶν συγγραμμάτων Ἡρακλείτου εἴρηται δεῖσθαι βαθέος κολυμβητοῦ. ἀπὸ δὲ λέξεως γίνεται διττῶς ἡ ἀσάφεια· ἢ γὰρ διὰ τὸ μῆκος τῆς φράσεως γίνεται ἀσάφεια, ὡς ἔχει τὰ Γαλήνεια (κἂν γὰρ εὐφραδῆ εἰσίν, ἀλλ' οὖν διὰ τὸ μῆκος ἀσαφῆ εἰσίν), ἢ διὰ τὴν ποιότητα τῆς λέξεως, ὡς ἔχει τὰ Ἀριστογένεια· οὗτος γὰρ καὶ ἡδύπονον καὶ ἐνσεσαγμένον φησί, ποῖος δὲ πόνος ἡδὺς καὶ ἐνσεσαγμένος οὐκ οἴδαμεν. τί δὲ ἀπὸ ἄλλων τοῦτο δεικνύειν ἐπιχειροῦμεν, ἡμῶν εὐπορούντων τοῦτο αὐτὸ ἀπὸ τῶν ἀρχηγῶν καὶ προστατῶν τῆς φιλοσοφίας δεῖξαι, Πλάτωνός φημι καὶ Ἀριστοτέλους. τούτων γὰρ ὁ μὲν εἰς τὴν ἀσάφειαν διὰ τῶν φράσεων ποιεῖν ἐπετήδευσεν, ὁ δὲ ἕτερος διὰ τῶν θεωρημάτων. τὰ μὲν γὰρ Ἀριστοτελικὰ θεωρήματα εὐχερῆ εἰσίν, ἡ δὲ φράσις δύσκολος· ἃ μὲν εἰ νοήσεις, τί ἐστιν ἐντελέχεια καὶ ποσὸν καὶ δύναμις, ἡδέα καὶ εὐχερῆ φαίνεταί σοι τὰ λεγόμενα· ὥστε οὖν ἡ φράσις ἐστὶ δυσχερής. τὰ δὲ Πλατωνικὰ θεωρήματα πάνυ τι δύσκολά εἰσι καὶ δυσχερῆ καὶ ἁπλῶς εἰπεῖν πάσης δόξης σχεδὸν ἐχόμενα (ὅτι δέ ἐστι τοῦτο ἀληθές, σαφὲς ἐκ τοῦ δύνασθαι ἑκάστῃ ἐξηγήσει ἁρμόζειν αὐτὰ πρὸς ἃ βούλεται), ἡ δὲ φράσις εὐχερὴς καὶ ὁμαλὴς καὶ ἁπλῶς εἰπεῖν Πλατωνική.

ὁ Ὅμηρος διὰ μύθων τὴν ἰδίαν φιλοσοφίαν ἐδίδαξε· τούτου δὲ πρὸς τὴν φράσιν προσέχων τις οὐ δύναται τὰ βάθη καταλαβεῖν τῆς διανοίας· ἄλλα γὰρ τὰ φρασθέντα καὶ ἄλλα τὰ μεθερμηνευόμενα κατὰ ἀλληγορίαν. περὶ τούτου δὲ Ἀπολλώνιος ὁ Τυανεὺς εἶπεν "ὁ πάντα εἰπὼν καὶ πάντα σιγήσας." διὰ τοῦτο γινώσκων ὁ Πλάτων τὸ βάθος τῶν θεωρημάτων ποικίλον, παρεκελεύετο μὴ ἀναγινώσκειν τοὺς νέους τὸν Ὅμηρον, ἵνα μὴ τῇ φράσει προσέχοντες οἰηθήσονται τὸν νοῦν εἶναι κατὰ τὴν φράσιν καὶ οὕτως ἐπιμείνωσιν ἔχοντες· ἀγαπᾷ γὰρ τῶν νέων ἡ ἀκοὴ σώζειν τῶν οἰκείων διδασκάλων τὴν φωνήν.

ἀλλὰ μὴν τὸ τοιοῦτον ἥψατο Πυθαγόρου· οὗτος γὰρ μαθεῖν βουλόμενος τοὺς γνησίως καὶ νόθως ἔχοντας πρὸς τὸν αὐτῶν διδάσκαλον, τοὺς νέους ἀεὶ ἠρώτα ποῖα ἂν ἴδοιεν ἐνύπνια, γινώσκων ἀπὸ τῶν μεθ' ἡμέραν ἐνθυμήσεων καὶ κινήσεων γίνεσθαι τὰς νυκτερινὰς φαντασίας· εἴ τι γὰρ προῄρηται ἡ ψυχή, τοῦτο καὶ ἠρεμοῦντος τοῦ σώματος φαντάζεται. ἔλεγε γοῦν ὅτι εἰ γνησίως τις ἔχει πρὸς τὰ ἀναγνώσματα, δηλοῖ ἡ νυκτερινὴ φαντασία ἄγγελος οὖσα τῶν μεθ' ἡμέραν βουλευμάτων. Πλάτων δὲ γνῶναι τὸ τοιοῦτον βουλόμενος οὐ μόνον δι' ἀσαφείας τῶν θεωρημάτων ἀλλὰ καὶ διὰ συμποσίου τὴν πεῖραν ἐποιεῖτο, γινώσκων τότε τὸν ἐρωτώμενον τἀληθὲς ἐκφαίνειν ὅταν ὁ οἶνος ἀπαλύνῃ τὴν καρδίαν καὶ πρὸς τὸ ψεῦδος κινεῖσθαι νωχελῆ ἀπεργάσηται.

τινὲς δὲ λέγουσι, τί γὰρ ἀμφεβάλλετο τοῦτο ὅλως, εἰ ἔστι γένος ἢ διαφορά, ὅτι λέγει ὅτι ἠδυνάμην ποιῆσαι αὐτὴν ποικίλην, ζητῶν

(*) Ammon. f. 23. b. τινὲς δέ φασιν αὐτὸν εἰρηκέναι καὶ εἰς τὰς Ἀριστοτέλους Κατηγορίας, ὡς καὶ εἰς τὰς Ἀρχύτου χρησιμευούσης τῆς τούτων τῶν πέντε φωνῶν γνώσεως.

Κατηγορίαις περὶ πάντων τῶν ὄντων διαλαμβάνει, εἰς δὲ τὴν τῶν ὄντων διδασκαλίαν συμβάλλονται ἡμῖν αἱ φωναί (διὰ γὰρ τῶν φωνῶν δηλοῦνται τὰ πράγματα), τούτου χάριν περὶ τῶν πέντε φωνῶν διαλαμβάνει, ἐπειδὴ αὗται συμβάλλονται ἡμῖν εἰς πᾶσαν φωνὴν ὑπὸ τὴν φιλοσοφίαν οὖσαν. ὥσπερ γὰρ οἱ γραμματικοὶ ἐπενόησαν τὰ ὀκτὼ μέρη τοῦ λόγου ὑφ' ἃ πᾶσα λέξις Ἑλληνικὴ ἀνάγεται, καὶ ὥσπερ οἱ ῥήτορες ἐπενόησαν τὰς δεκατρεῖς στάσεις ὑφ' ἃς πᾶν πολιτικὸν ζήτημα ἀνάγεται, καὶ ὥσπερ ἐπενόησεν ὁ Ἀριστοτέλης τὰς δέκα κατηγορίας ὑφ' ἃς πάντα τὰ ὄντα ἀνάγεται, οὕτω καὶ πᾶσα φωνὴ ὑπὸ τὴν φιλοσοφίαν οὖσα ὑπὸ τὰς πέντε φωνὰς ἀνάγεται.

οὐ μόνον ὁ ἄνθρωπός ἐστι λογικὸς ἀλλὰ καὶ ἄγγελος καὶ δαίμων.

ἀποροῦσι δέ τινες λέγοντες ὅτι οὐκ εἰσὶ πέντε μόναι φωναὶ ἀλλὰ καὶ ἕξ· ἔστι γὰρ γένος, εἶδος, διαφορά, συμβεβηκός, ἴδιον οὐσιῶδες καὶ ἴδιον ἐπουσιῶδες. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι περὶ φωνῶν ἐστὶν ὁ λόγος, μία δὲ φωνή ἐστι τὸ ἴδιον οὐσιῶδες καὶ τὸ ἴδιον ἐπουσιῶδες· εἴτε γὰρ οὐσιῶδές ἐστιν εἴτε ἐπουσιῶδες, ἴδιον λέγεται. ἐπεὶ κατὰ τοῦτον τὸν λόγον πλείονες τῶν ἓξ φωνῶν εἰσίν· ἔστι γὰρ συμβεβηκὸς χωριστὸν ἔστι δὲ ἀχώριστον, ἀλλὰ μία φωνή ἐστι καὶ τὸ χωριστὸν καὶ τὸ ἀχώριστον.

Πρᾶξις γ'. Μαθόντες σὺν θεῷ τὸν σκοπὸν τοῦ παρόντος συγγράμματος ἔλθωμεν καὶ ἐπὶ τὸ χρήσιμον. ἰστέον ὅτι τὸ χρήσιμον τοῦ παρόντος συγγράμματος τετραχές ἐστι· χρήσιμον γὰρ τὸ παρὸν σύγγραμμα εἰς τὴν ἡμῶν αὐτῶν συνουσίαν (κοινωνικοὶ γάρ ἐσμεν οἱ ἄνθρωποι καὶ ἐξαγγελλόμενοι ἑαυτοῖς διὰ τῆς φωνῆς τὰ τοῦ νοῦ γεννήματα· ὅθεν καὶ φωνὴ λέγεται παρὰ τὸ φωτίζειν, φῶτες γὰρ ἐκαλοῦντο οἱ ἄνθρωποι), καὶ εἰς τὰς κατηγορίας Ἀριστοτέλους, καὶ εἰς πᾶσαν τὴν φιλοσοφίαν, καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους.

συμβάλλεται δὲ ὡς εἴρηται τὸ παρὸν σύγγραμμα καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους. ἀλλὰ πρῶτον εἴπωμεν διὰ τί λέγονται διαλεκτικαὶ μέθοδοι, καὶ πόσαι εἰσί, καὶ τὴν τάξιν αὐτῶν· καὶ οὕτω λέγωμεν πῶς συμβάλλεται τὸ παρὸν σύγγραμμα καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους. ἰστέον ὅτι διαλεκτικαὶ ἐλέγοντο ἐπειδὴ ἐν τῷ διαλέγεσθαι ἀνεφαίνοντο· ἐν γὰρ τῷ διαλέγεσθαι καὶ διῄρουν καὶ διωρίζοντο καὶ ἀποδείξεσιν ἐκέχρηντο καὶ τῇ ἀναλύσει. εἰσὶ δὲ τέσσαρες αἱ διαλεκτικαὶ μέθοδοι· ἔστι γὰρ διαιρετικὴ ὁριστικὴ ἀποδεικτικὴ καὶ ἀναλυτική.

οὐκ ἀληθεύει πάντως ὁ λόγος ὁ ἐκ τῶν μερικῶν τὰ καθόλου κανονίζων· τὸ γὰρ λέγειν ὅτι ὁ ἄνθρωπος τὴν κάτω γένυν κινεῖ, ὁ ἵππος τὴν κάτω γένυν κινεῖ, πᾶν ἄρα ζῷον τὴν κάτω γένυν κινεῖ, οὐκ ἀληθεύει· οὔτε γὰρ ὁ κροκόδειλος οὔτε ὁ φοῖνιξ τὸ ὄρνεον οὔτε ὁ δελφῖνος τὴν κάτω γένυν κινοῦσιν, ἀλλὰ τὴν ἄνω.

Πρᾶξις δ'. Μαθόντες καὶ τὸν σκοπὸν καὶ τὸ χρήσιμον, ἔλθωμεν καὶ εἴπωμεν τὴν αἰτίαν τῆς ἐπιγραφῆς. ἰστέον ὅτι ἐπιγέγραπται τὸ παρὸν σύγγραμμα Πορφυρίου Εἰσαγωγή, Πορφυρίου τοῦ Φοίνικος τοῦ μαθητοῦ Πλωτίνου τοῦ Λυκοπολίτου· ἡ δὲ Λυκόπολις ἐν Αἰγύπτῳ ἐστίν. περὶ οὗ εἴρηται ὅτι οὐ πολλοὺς Αἴγυπτος, ἐπὴν δὲ τέκῃ, μέγα τίκτει. περὶ τούτου δὲ λέγει ὁ Πορφύριος ὅτι Πλωτῖνος ὁ καθ' ἡμᾶς ἐῴκει μὲν αἰσχυνομένῳ ὅτιπερ ἐν σώματι ἦν, βουλομένων δέ τινων ἀναθέσθαι αὐτῷ εἰκόνα ἔφη ὅτι ἀρκεῖ μοι τὸ ἐκ τῆς φύσεως εἴδωλον, τουτέστι τὸ σῶμα, μὴ καὶ εἰδώλου εἴδωλον ἔχειν. εἰδώλου δὲ εἴδωλον τὴν εἰκόνα ἔφη· τοῦ γὰρ σώματός ἐστιν ἐκτύπωμα. ἰστέον δὲ ὅτι Πορφυρίου μαθητὴς ἦν ὁ Ἰάμβλιχος· περὶ ὧν, φημὶ δὴ τοῦ Πορφυρίου καὶ τοῦ Ἰαμβλίχου, εἶπεν ἡ Πυθία "Ἔνθους ὁ Σύρος, πολυμαθὴς ὁ Φοῖνιξ," πολυμαθῆ λέγουσα τὸν Πορφύριον, ἀπὸ γὰρ Φοινίκης ἦν, ἔνθουν δὲ Σύρον τὸν Ἰάμβλιχον, οὗτος γὰρ Σύρος ἦν· ἔνθουν δὲ αὐτὸν λέγει ἐπειδὴ περὶ τὰ θεῖα ἐνησχολεῖτο. . . εὐλόγως δὲ Εἰσαγωγὴν καὶ οὐ περὶ Εἰσαγωγῆς ἐπέγραψεν, ἵνα δείξῃ ὅτι δραστικώτερον τὸ σύγγραμμα καὶ ὅτι αὐτὴν τὴν εἰσαγωγὴν διδάσκει ἡμᾶς. αἱ γὰρ τοιαῦται ἐπιγραφαί, φημὶ δὴ αἱ ἄνευ τῆς προθέσεως, δραστικώτερον παριστῶσι τὸ σύγγραμμα, οἷον Πλάτωνος Φαίδων, Πλάτωνος Ἀλκιβιάδης· αἱ γὰρ μετὰ τῆς προθέσεως ὕφεσιν καὶ μείωσίν τινα εἰσάγουσιν, οἷον περὶ ψυχῆς, περὶ κρισίμων ἡμερῶν (*).

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ γνήσιον. ἰστέον ὅτι ἐκ πολλῶν δείκνυται γνήσιον Πορφυρίου τὸ παρὸν σύγγραμμα· καὶ γὰρ καὶ ἐκ τοῦ προοιμίου· πρὸς γὰρ Χρυσαόριόν τινα ὕπατον Ῥώμης ποιεῖται τὴν προσφώνησιν, πρὸς ὃν καὶ ἐν ἄλλοις αὐτοῦ συγγράμμασι προσφωνεῖ (**). καὶ ὅτι μέμνηται τοῦ συγγράμματος τούτου ἐν ἄλλοις αὐτοῦ συγγράμμασι. καὶ ὅτι σαφηνείας ἐνταῦθα φροντίζει, ὅπερ ἴδιον αὐτοῦ· καὶ γὰρ τριῶν ὄντων τρόπων καθ' οὓς ἡ ἀσάφεια γίνεται, ὡς ἐν τῷ προοιμίῳ μαθησόμεθα, αὐτὸς πάνυ τῆς σαφηνείας φροντίζει.

ἰστέον ὅτι τὸ παρὸν σύγγραμμα διαιρεῖται εἰς δύο τμήματα, καὶ ἐν μὲν τῷ πρώτῳ τμήματι λέγει τί ἐστιν ἕκαστον τῶν πέντε φωνῶν, οἷον τί ἐστι γένος, τί ἐστιν εἶδος καὶ τὰ ἑξῆς, ἐν δὲ τῷ δευτέρῳ τμήματι παραδίδωσι τὴν κοινωνίαν αὐτῶν καὶ τὰς διαφοράς. . . τινὲς δὲ λέγουσιν ὅτι εἰς τρία τμήματα διαιρεῖ τὴν παροῦσαν πραγματείαν, καὶ ἐν μὲν τῷ πρώτῳ τμήματι παραδίδωσι τί ἐστιν ἑκάστη τῶν πέντε φωνῶν, ἐν δὲ τῷ δευτέρῳ λέγει τὴν κοινωνίαν αὐτῶν, ἐν δὲ τῷ τρίτῳ τὰς διαφοράς. καὶ εἰ μὲν ἐν ἄλλῳ τόπῳ παρεδίδου τὴν κοινωνίαν αὐτῶν ἐν ἄλλῳ δὲ τὰς διαφοράς, καλῶς ἂν ἔλεγον· ὅπου δὲ ἅμα κοινωνίαν καὶ διαφορὰν παραδίδωσι καὶ ἐν τῷ αὐτῷ τόπῳ τὰ δύο παραδίδωσι, δῆλον ὅτι οὐ δυνάμεθα τούτου τρία τμήματα εἰπεῖν. καὶ γὰρ μετὰ τὸ εἰπεῖν κοινωνίαν λέγει διαφοράν, καὶ πάλιν μετὰ τὸ εἰπεῖν διαφορὰν λέγει κοινωνίαν.

Ἐπειδὴ κόρον ἔχειν τῶν προοιμίων ἡγούμεθα (πάντων γὰρ κόρος ἐστὶ τῶν ἐφ' ἡμῖν πλὴν τῶν ἀρετῶν), σπουδαιοτέρως πρὸς τοὺς

(*) Ammon f. 18. Εἰσαγωγὴ δὲ ἐπιγέγραπται, καὶ ἀποροῦσί τινες διὰ τί ἀπροσδιορίστως ἐπέγραψεν, Εἰσαγωγή· ἄδηλον γὰρ πότερον γραμματικῆς ἢ ῥητορικῆς ἢ λογικῆς.

(**) Ammon f. 17 b. διδάσκαλος ἦν τοῦ Χρυσαορίου (ὁ Πορφ.), καὶ ἐξηγούμενος αὐτῷ τὰ μαθήματα ἐδίκησεν ἱστορῆσαι τὸ πῦρ τῆς Αἴτνης, καὶ ἐξεδήμησε. τούτῳ τῷ χρόνῳ εὑρίσκει ὁ Χρυσαόριος τὰς Ἀριστοτέλους Κατηγορίας καὶ οὐδὲ ὅλως παρηκολούθει ἐγκύπτων. δηλοῖ οὖν τῷ Πορφυρίῳ ἐκεῖ ὄντι γράψας τὸ συμβάν. καὶ εἰ μὲν ἱστόρησε τὸ πῦρ, ἐλθεῖν, εἰ δὲ μὴ ἱστόρησεν, εἰσαγωγήν τινα γράψαι, δι' ἧς ἂν μέλλοι παρακολουθεῖν τῷ βιβλίῳ. ἐπειδὴ τοίνυν ὁ Πορφύριος οὐκ ἠδύνατο τέως ὑποστρέψαι, γράφει αὐτῷ τὸ βιβλίον τοῦτο ἐκ τῶν εἰρημένων τῷ Πλάτωνι (fort. Πλωτίνῳ) καὶ ταυτὶ συλλέξας σχεδόν, καὶ δι' αὐτῶν τῶν ῥημάτων ἐλθών. Porphyrii Chrysaorii et Davidis imagines habet cod. Vat. 1023.

τοῦ ζῴου ἐπέχει διότι ἐν αὐτῇ εἰσὶν αἱ αἰσθήσεις, ἢ διότι τὴν βασιλεύουσαν τῶν αἰσθήσεων, φημὶ δὴ τὴν ὅρασιν, αὐτὴ ἔχει, τὸν αὐτὸν τρόπον καὶ ταῦτα τὰ λεγόμενα κεφάλαια τὸ κῦρος παντὸς τοῦ λόγου ἔχουσι. εἰσὶ δέ, ὡς εἴρηται, τὰ ὀκτὼ ταῦτα κεφάλαια οἷον ὁ σκοπός, τὸ γνήσιον, ἡ αἰτία τῆς ἐπιγραφῆς, ἡ εἰς τὰ κεφάλαια διαίρεσις, ἡ τάξις, ὁ διδασκαλικὸς τρόπος, ἡ ὑπὸ τί μέρος ἀναφορά. οὐ περιττὸν δέ τι ποιοῦντες ταῦτα ζητοῦσιν, ἀλλὰ βουλόμενοι προθυμοτέρους τοὺς ἀναγινώσκοντας ἀπεργάσασθαι. καὶ γὰρ τὸν σκοπὸν ζητοῦσιν, ἐπειδὴ ὁ σκοπὸς ἐν συντόμῳ περιέχει πάντα τὰ ἐν τῷ λόγῳ λεγόμενα καὶ ἕξιν τινὰ ἐν τῷ ἀναγινώσκοντι τίθησι, δηλονότι πάντα τὰ ἐν τῷ λόγῳ λεγόμενα δεῖ πρὸς τὸν σκοπὸν ἀπευθύνεσθαι· ὁ γὰρ τὸν σκοπὸν ἀγνοῶν ὀκνηροτέρως ἐπὶ τὸ σύγγραμμα ἔρχεται, ὥσπερ οἱ μακρὰν ὁδὸν ἀπιόντες καὶ ἀγνοοῦντες ποῦ ἀπέρχονται. καὶ ἁπλῶς εἰπεῖν ὁ τὸν σκοπὸν ἀγνοῶν ἔοικε τυφλῷ βαδίζοντι καὶ πολλὰ μοχθοῦντι· καὶ γὰρ ὁ τὸν σκοπὸν ἀγνοῶν οὐκ ἐπίσταται τί ἀναγινώσκει, ἀλλὰ νομίζει πάντα τὰ ἐν τῷ λόγῳ λεγόμενα μάτην λέγεσθαι. εὐλόγως δὲ καὶ τὸ χρήσιμον ζητοῦσιν, ἐπειδὴ ἐὰν γινώσκῃ ἕκαστος τὸ ἐκ τοῦ συγγράμματος ἀναφυόμενον χρήσιμον, προθυμοτέρως ἀναγινώσκει τὸ σύγγραμμα. καὶ τὴν αἰτίαν δὲ τῆς ἐπιγραφῆς εὐλόγως ζητοῦσιν, ἐπειδὴ καὶ θέλει ἡ ἐπιγραφὴ σύμφωνος εἶναι τῷ σκοπῷ καὶ τὸν σκοπὸν ἐν συντόμῳ περιέχειν, οἷον ὥσπερ ἐπιγέγραπται Περὶ Οὐρανοῦ, ἐπειδὴ περὶ οὐρανοῦ σκοπὸν ἔχει διαλαβεῖν. ἀλλ' οὖν πολλάκις καὶ ἀσαφὴς εὑρίσκεται ἡ ἐπιγραφή, ὥσπερ Ἀριστοτέλης ἔγραψεν Ἀναλυτικά, βουλόμενος περὶ συλλογισμῶν ἐπιγράψαι, ἐπειδὴ περὶ συλλογισμοῦ διαλαμβάνει ἐκεῖ· ἐπειδὴ οὖν πολλάκις ἀσαφὴς εὑρίσκεται ἡ ἐπιγραφή, εὐλόγως ζητεῖται ἡ αἰτία τῆς ἐπιγραφῆς. εὐλόγως δὲ καὶ τὸ γνήσιον ζητεῖσθαι, ἐπειδὴ γινώσκοντες ὅτι γνήσιόν ἐστι τοῦ ἀνδρὸς τὸ σύγγραμμα, διὰ τὸ ἀξίωμα τοῦ ἀνδρὸς προθυμοτέρως αὐτὸ ἀναγινώσκομεν· καὶ γὰρ πολλοὶ οὐκ εἰσὶν ἱκανοὶ κρῖναι εἴτε καλῶς ἔχουσι τὰ ἐν τῷ συγγράμματι λεγόμενα εἴτε οὔ, ἀλλ' ἀγαπητὸν ἡγοῦνται τὸ ἀκολουθῆσαι τῇ δόξῃ τοῦ ἀνδρός. ἢ διὰ τοῦτο ζητεῖται τὸ γνήσιον, ἐπειδή εἰσι καὶ νόθα συγγράμματα. γίνεται δὲ νόθον σύγγραμμα κατὰ τέσσαρας τρόπους· ἢ γὰρ δι' ὁμωνυμίαν, καὶ ταύτην διττήν· ἢ γὰρ δι' ὁμωνυμίαν τῶν συγγραψαμένων ἢ δι' ὁμωνυμίαν τῶν συγγραμμάτων. καὶ δι' ὁμωνυμίαν μὲν τῶν συγγραψαμένων, ὡς ὅταν εὑρεθῶσι δύο τινὲς ὁμωνύμως λεγόμενοι καὶ ποιήσῃ ὁ μὲν εἷς σύγγραμμα περὶ ψυχῆς ὁ δὲ ἕτερος σύγγραμμα περὶ οὐρανοῦ· τότε γὰρ διὰ τὴν ὁμωνυμίαν τῶν συγγραψαμένων νοθεία γίνεται τῶν συγγραμμάτων· νομίζεται γὰρ τὸ τούτου ἐκείνου εἶναι καὶ τὸ ἐκείνου τούτου. δι' ὁμωνυμίαν δὲ τῶν συγγραμμάτων, ὡς ὅταν εὑρεθῶσί τινες διαφόρῳ ὀνόματι λεγόμενοι καὶ ποιήσωσιν ἀμφότεροι συγγράμματα τὸν αὐτὸν σκοπὸν ἔχοντα, οἷον ἀμφότεροι περὶ ψυχῆς, καὶ μὴ ἐπιγράψωσι τὰ οἰκεῖα ὀνόματα ἀλλὰ μόνον τὸ τοῦ συγγράμματος ὄνομα, τότε διὰ τὴν ὁμωνυμίαν τῶν συγγραμμάτων νοθεία γίνεται· νομίζεται γὰρ τὸ ἐκείνου τοῦ ἄλλου εἶναι καὶ τὸ τοῦ ἄλλου τὸ ἐκείνου. κατὰ δεύτερον δὲ τρόπον γίνεται νόθον σύγγραμμα διὰ φιλοτιμίαν ἤτοι κενοδοξίαν, ὡς ὅταν τις ἀφανὴς καὶ εὐτελὴς βουλόμενος ποιῆσαι τὸ οἰκεῖον σύγγραμμα ἀναγινώσκεσθαι ἐπιγράψῃ ὄνομα ἀρχαίου καὶ ἐνδόξου ἀνδρός, ἵνα διὰ τῆς ἀξιοπιστίας τοῦ ἀνδρὸς δεκτὸν τὸ παρὸν αὐτοῦ φαίνηται σύγγραμμα. κατὰ τρίτον δὲ τρόπον γίνεται νόθον σύγγραμμα δι' αἰσχροκέρδειαν, ὡς ὅταν τις βουλόμενος πόρον ἑαυτῷ περιποιήσασθαι ποιήσῃ σύγγραμμα καὶ ἐπιγράψῃ ἀρχαίου τινὸς ὄνομα, ὅπερ καὶ ἐπὶ τοῦ Πεισιστράτου φασὶ γενέσθαι. καὶ γὰρ λέγουσιν ὅτι ὁ Πεισίστρατος χύδην φερομένους τοὺς Ὁμήρου στίχους ἠβουλήθη συναγαγεῖν αὐτούς, καὶ δὴ ὥρισε μισθόν τινα τοῖς φέρουσιν αὐτῷ Ὁμηρικοὺς στίχους, καὶ λοιπὸν οἱ πολλοὶ δι' αἰσχροκέρδειαν ἔπλαττον στίχους καὶ ὡς Ὁμήρου ὄντας ἐπέφερον αὐτῷ, κέρδος ἐντεῦθεν προσκτώμενοι. κατὰ τέταρτον δὲ τρόπον γίνεται νόθον σύγγραμμα δι' εὔνοιαν τοῦ οἰκείου διδασκάλου. καὶ γὰρ πολλοὶ ποιοῦσι συγγράμματα, καὶ διὰ τὴν εὔνοιαν τὴν πρὸς τὸν διδάσκαλον τὸ ὄνομα τοῦ οἰκείου ἐπιγράφουσι διδασκάλου, ὅπερ καὶ οἱ Πυθαγόρειοι ἐποίησαν· καὶ γὰρ αὐτοὶ ποιήσαντες τὰ Χρυσᾶ Ἔπη ἐπέγραψαν τὸ ὄνομα τοῦ οἰκείου διδασκάλου πρὸς τιμὴν αὐτοῦ. ἐπειδὴ οὖν ὡς εἴρηται πολλά εἰσι νόθα συγγράμματα, τούτου χάριν ἀναγκαίως ζητεῖται καὶ τὸ γνήσιον, ἵνα γνῶμεν εἰ ἄρα αὐτοῦ εἰσὶν ἢ ἄλλου. διακρίνονται δὲ τὰ γνήσια συγγράμματα τῇ τε ὕλῃ καὶ τῷ εἴδει, τῇ ὕλῃ μὲν τῇ φράσει ἤτοι ταῖς λέξεσιν, εἴδει δέ, τουτέστι τοῖς θεωρήμασι. καὶ γὰρ διὰ τῆς φράσεως καὶ τῶν θεωρημάτων γινώσκομεν εἰ ἄρα αὐτοῦ εἰσὶ τοῦ ποιήσαντος ἢ οὔ· εἰ γὰρ εὕρωμεν τὴν φράσιν καὶ τὰ θεωρήματα συνήθη τῷ ἀνδρί, γινώσκομεν ὅτι αὐτοῦ ἐστὶ τὸ σύγγραμμα. εὐλόγως δὲ καὶ ἡ εἰς τὰ κεφάλαια διαίρεσις ζητεῖται, ἐπειδὴ γινώσκοντες τὰ ἐν τοῖς κεφαλαίοις λεγόμενα ἀκριβῶς τὸ ὅλον γινώσκομεν· καὶ γὰρ ὥσπερ γινώσκοντες ἐκ ποίων μερῶν συνίσταται ὁ ἄνθρωπος ἀκριβῶς τὸ ὅλον γινώσκομεν, οὕτως τὰ ἐν τοῖς κεφαλαίοις λεγόμενα γινώσκοντες ἀκριβῶς τὸ ὅλον γινώσκομεν. εὐλόγως δὲ καὶ ἡ τάξις ζητεῖται, ἵνα μὴ τὰ ὀφείλοντα πρῶτον ἀναγινώσκεσθαι τελευταῖα ἀναγνῶμεν ἢ καὶ τὸ ἐναντίον τὰ ὀφείλοντα τελευταῖα ἀναγινώσκεσθαι πρῶτα ἀναγνῶμεν. εὐλόγως δὲ καὶ ὁ διδασκαλικὸς τρόπος ζητεῖται, ἵνα γνῶμεν ποίῳ διδασκαλικῷ τρόπῳ κέχρηται· καὶ γὰρ ὡς ἐν τοῖς ἑξῆς μαθησόμεθα, πολλοί εἰσι διδασκαλικοὶ τρόποι. εὐλόγως δὲ καὶ ἡ ὑπὸ τί μέρος ἀναφορὰ ζητεῖται, ἵνα μὴ νομίσωμεν τὰ μὲν ὑπὸ τὸ θεωρητικὸν ἀναγόμενα ὑπὸ τὸ πρακτικὸν ἀνάγεσθαι, τὰ δὲ ὑπὸ τὸ πρακτικὸν ὑπὸ τὸ θεωρητικόν...

Πρᾶξις β΄. Μαθόντες τὰ εἰωθότα κεφάλαια λέγεσθαι, ἔλθωμεν καὶ ζητήσωμεν αὐτὰ καὶ ἐπὶ τοῦ παρόντος συγγράμματος, ὀκτὼ τὸν ἀριθμὸν ὄντα. ἀλλὰ πρῶτον περὶ τοῦ σκοποῦ διαλάβωμεν. ἰστέον ὅτι ὁ σκοπὸς καὶ συμπεφώνηται καὶ διαπεφώνηται. καὶ συμπεφώνηται μέν, ἐπειδὴ πάντες ὁμολογοῦσιν ὅτι σκοπὸν ἔχει περὶ τῶν πέντε φωνῶν διαλαβεῖν, ἤτοι περὶ γένους, περὶ εἴδους, περὶ διαφορᾶς, περὶ ἰδίου, περὶ συμβεβηκότος. καὶ τοῦτο πιστοῦται ὑπ' αὐτοῦ· καὶ γὰρ αὐτὸς λέγει ἐν τῷ προοιμίῳ ὅτι ἀναγκαῖόν ἐστιν εἰπεῖν τί γένος καὶ τί εἶδος καὶ τί διαφορὰ καὶ τί ἴδιον καὶ τί συμβεβηκός. διαπεφώνηται δέ, ἐπειδὴ οἱ μὲν λέγουσιν ὅτι οὐ δι' ἄλλο τι διαλαμβάνει περὶ τῶν πέντε φωνῶν εἰ μὴ δι' αὐτάς, τουτέστι διὰ τὸ παραστῆναι ἡμῖν τὸ ἐξ αὐτῶν ἀναφυόμενον χρήσιμον, ἕτεροι δὲ λέγουσιν ὅτι διὰ τὰς Κατηγορίας Ἀριστοτέλους διαλαμβάνει περὶ αὐτῶν· ἐπειδὴ γὰρ ὁ Ἀριστοτέλης ἐν ταῖς

ἀναλογεῖ τῇ τετράδι· καὶ γὰρ ἡ ἀστρονομία περὶ τὰ οὐράνια σώματα καταγίνεται, πᾶν δὲ σῶμα τριχῇ διαστατόν ἐστιν· ἔχει γὰρ μῆκος βάθος καὶ πλάτος· ἕκαστον δὲ τούτων ὑπὸ δύο ὅρων περιέχεται, ἤτοι δύο πέρατα ἔχει ἐξ ὧν περιέχεται (καὶ γὰρ καὶ τὸ μῆκος ἔνθεν καὶ ἔνθεν περιέχεται, καὶ τὸ πλάτος ὁμοίως περιέχεται, καὶ τὸ βάθος), ὥστε συνάγεσθαι ἓξ ὅρους ἤτοι πέρατα· ἐκ δὲ τούτων τῶν ἓξ τέσσαρα γίνονται· καὶ γὰρ τὸ ἓν μέρος κοινόν ἐστι τῶν δύο· τὸ γὰρ πέρας τοῦ πλάτους εὑρίσκεται ἀρχὴ τοῦ μήκους καὶ τοῦ βάθους.

ἰστέον ὅτι τὴν ἀριθμητικὴν οἱ Φοίνικες εὗρον ἐμπορικοὶ ὄντες καὶ δεόμενοι τῶν ἀριθμῶν εἰς τοὺς ψήφους, τὴν δὲ μουσικὴν οἱ Θρᾷκες· ἐκεῖθεν γὰρ ἦν Ὀρφεύς, ὅστις λέγεται εὑρηκέναι τὴν μουσικήν· Θρᾷξ γὰρ ὁ Ὀρφεύς. ἐπενόησε δὲ ἐμβατήρια μέλη διεγείροντα πρὸς θυμὸν αὐτοὺς ὡς ἄγαν ὄντας πολεμικούς· καὶ γὰρ ψῦξις ἀποκλείουσα τὸ θερμὸν ἐν τῷ βάθει δριμύτερον αὐτὸ ποιεῖ, ὅθεν καὶ θυμώδεις εἰσὶ καὶ πολεμικοὶ τῇ βίᾳ τοῦ θερμοῦ, καὶ ὀρχηστικοὶ διὰ τὰς ἑτοίμους φυγὰς τῶν βελῶν· ἔστι γὰρ καὶ πυρρίχιος παρ' αὐτοῖς ὄρχησις, ὅ ἐστιν ἐνόπλιος, κατὰ τὸ εἰρημένον τῷ ποιητῇ (Il. 16 617) "Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα." τὴν δὲ γεωμετρίαν Αἰγύπτιοι εὗρον ἐξ ἀνάγκης· καὶ γὰρ τοῦ Νείλου συνεχῶς ἀνιόντος καὶ τὴν Αἴγυπτον ἐπικλύζοντος σύγχυσις τῶν ὁροθεσίων ἐγίνετο καὶ ἤρχοντο οἱ Αἰγύπτιοι εἰς μάχην καὶ ἐφόνευον ἀλλήλους, καὶ λοιπὸν ἐκεῖθεν ἐπενόησαν μέτρον τι δι' οὗ ἐμέτρουν τὴν γῆν καὶ ἑκάστου τὸ ἴδιον ἐφυλάττετο, ὅπερ μέτρον καὶ ἄκαιναν ἐκάλουν διὰ τὸ μὴ καίνειν, ὅ ἐστι φονεύειν, ἐπειδὴ δι' αὐτοῦ ἐστερήθησαν τοῦ καίνειν καὶ φονεύειν. οὕτω τῆς γεωμετρίας ἐξ ἀνάγκης ἀνεφάνη τὸ χρήσιμον. τὴν δὲ ἀστρονομίαν οἱ Χαλδαῖοι· καὶ γὰρ ἐν τῷ κλίματι ἐν ᾧ εἰσὶν οὗτοι καθαρός ἐστιν ὁ οὐρανὸς καὶ ἀνέφελος, καὶ εὐχερῶς ἐκεῖθεν ἐπενόησαν τὴν περὶ τῶν οὐρανίων σωμάτων διδασκαλίαν ἤτοι τὴν ἀστρονομίαν.

ἰστέον ὅτι τῇ ἀριθμητικῇ ἡ λογιστικὴ παράκειται.., τῇ δὲ μουσικῇ ἡ ἔνυλος μουσική.., τῇ δὲ γεωμετρίᾳ ἡ γεωδαισία... γεωδαισία λέγεται παρὰ τὸν δασμὸν ἤτοι τὸν μερισμὸν τῆς γῆς. τῇ δὲ ἀστρονομίᾳ ἡ σφαιρικὴ παράκειται. ἀλλ' ἡ μὲν ἀστρονομία περὶ μόνα τὰ οὐράνια σώματα καταγίνεται, ἡ δὲ σφαιρικὴ περὶ πᾶσαν σφαῖραν καταγίνεται· λέγει γὰρ τὰ συμβαίνοντα ἑκάστῃ σφαίρᾳ, εἴτε ὀστρακίνη εἴη εἴτε ξυλίνη εἴτε λιθίνη, σκοποῦσα τὰ ὑπάρχοντα πάσῃ σφαίρᾳ, οὐ μόνον τῇ οὐρανίᾳ, ὡς Θεοδόσιος ἐν τοῖς σφαιρικοῖς διαλαμβάνει. καὶ ἔστιν ἡ σφαιρικὴ ἀϋλοτέρα τῆς ἀστρονομίας ὡς διαλαμβάνουσα περὶ τῆς τῷ λόγῳ θεωρουμένης σφαίρας. ἰστέον δὲ ὅτι φησὶν ὁ Ὀλυμπιόδωρος ὡς τῶν μὲν ἄλλων μαθηματικῶν εἰδῶν μέχρι τοῦ νῦν φυλάττεται λείψανον, οἷον τῆς ἀριθμητικῆς, τῆς γεωμετρίας, τῆς ἀστρονομίας· περὶ δὲ τῆς μουσικῆς φησὶν "ἡμεῖς τῆς κλέος οἶον ἀκούομεν οὐδέ τι ἴδμεν·" οὔτε γὰρ σώζεται, φησί, λείψανον τῆς μουσικῆς. ἰστέον δὲ ὅτι εἰσὶ μέχρι τοῦ νῦν βιβλία μουσικά. πάνυ δὲ συμβάλλεται ταῖς ψυχαῖς τῶν ἀλόγων· δηλοῦσι τὰ πρόβατα ἑπόμενα τῇ ποιμενικῇ σύριγγι ὥσπερ ὑπὸ τῆς φωνῆς ἡδυνόμενα. ὅτι δὲ καὶ τῇ ψυχῇ τῶν λογικῶν ζῴων συμβάλλεται, δηλοῖ ἡ ἐν πολέμῳ σάλπιγξ τὴν ψυχὴν διεγείρουσα, καὶ τὰ θεατρικὰ δὲ ὄργανα δηλοῦσι τὴν ψυχὴν χαλῶντα διὰ τὸ ποιεῖν αὐτὴν ἡδύνεσθαι.

Πρᾶξις κα'. ἰστέον ὅτι φασί τινες ὀκτὼ εἶναι τοὺς διαιρετικοὺς τρόπους... ἔστι δὲ εἰπεῖν ὅτι οὐκ εἰσὶ κυρίως τρόποι διαιρετικοὶ ὀκτὼ ἀλλὰ τρεῖς.

Πρᾶξις κγ'. ἔλθωμεν οὖν καὶ εἴπωμεν τὴν διαίρεσιν τοῦ πρακτικοῦ. ἀλλ' ἰστέον ὅτι τὸ πρακτικὸν ἄλλως διαιροῦσιν οἱ Ἀριστοτελικοὶ καὶ ἄλλως οἱ Πλατωνικοί· οἱ γὰρ Ἀριστοτελικοὶ εἰς τρία αὐτὸ διαιροῦσιν, εἰς ἠθικόν, εἰς οἰκονομικόν, εἰς πολιτικόν.

ἰστέον ὅτι ἐν μὲν τῷ τῶν Πολιτικῶν συγγράμματι ἕνα σκοπὸν ἔχει καὶ ὁ Ἀριστοτέλης καὶ ὁ Πλάτων· ἀμφότεροι γὰρ λέγουσι πῶς δεῖ διοικεῖσθαι πόλιν· ἐν δὲ τῷ περὶ πολιτείας διαφορός ἐστι καὶ ὁ σκοπὸς καὶ ἡ ἐπιγραφή. καὶ ἡ μὲν ἐπιγραφή, ὅτι ὁ μὲν Πλάτων ἑνικῶς ἐπέγραψε Πολιτείαν, ὁ δὲ Ἀριστοτέλης πληθυντικῶς Πολιτείας· ὁ δὲ σκοπός ἐστι διάφορος, ὅτι ὁ μὲν Ἀριστοτέλης λέγει πῶς ἐπολιτεύοντο οἱ ἀρχαῖοι, οἷον οἱ Ἀργεῖοι, οἱ Βοιωτοί, ὁ δὲ Πλάτων λέγει πόσα εἴδη πολιτειῶν καὶ πῶς δεῖ πολιτεύεσθαι. ταῦτα μὲν ἐν τούτοις, οἱ δὲ Πλατωνικοὶ λαμβάνονται τῆς διαιρέσεως λέγοντες ὅτι κακῶς ἡ παροῦσα διαίρεσις ἔχει· οὐδέποτε γὰρ γένος εἰς τρία εἴδη διαιρεῖται, ἀλλὰ πάντως εἰς δύο.

Πρᾶξις κδ'. λαβόμενοι οἱ Πλατωνικοὶ τῆς Ἀριστοτελικῆς διαιρέσεως τοῦ πρακτικοῦ, ἔρχονται καὶ διαιροῦσι τὸ πρακτικὸν εἰς δύο, εἰς νομοθετικὸν καὶ δικαστικόν· καὶ τοῦτο εὐλόγως.

τοῦτο δὲ αὐτό, φημὶ δὴ τὸ νομοθετικὸν καὶ δικαστικόν, καὶ ὁ ποιητὴς αἰνιττόμενος λέγει ὅτι ὁ Μίνως καὶ ὁ Ῥαδάμανθυς ἀδελφοὶ ἦσαν (ἀμφότεροι γὰρ εἶχον πατέρα τὸν Δία) καὶ ὁ μὲν Μίνως ἦν νομοθέτης ὁ δὲ Ῥαδάμανθυς δικαστής, τοῦτο αἰνιττόμενος ὅτι τὸ νομοθετικὸν καὶ δικαστικὸν ἀπὸ ἑνὸς τοῦ πρακτικοῦ ἐτέχθησαν. φησὶ δὲ πάλιν ὅτι ὁ μὲν Μίνως πρεσβύτερος ἦν κατὰ τὸν χρόνον, ὁ δὲ Ῥαδάμανθυς μεταγενέστερος.

μαθόντες οὖν διὰ τῶν προλαβόντων τί ἐστιν ἡ φιλοσοφία, ἔλθωμεν καὶ ἐπὶ τὸ ὁποῖόν τι ἐστίν.

μαθόντες οὖν ὁποῖόν τι ἐστὶν ἡ φιλοσοφία, ἔλθωμεν καὶ μάθωμεν τὸ διὰ τί ἐστιν.

ταῦτα μὲν ἐν τούτοις, ἐν οἷς σὺν θεῷ καὶ τὰ προλεγόμενα τῆς φιλοσοφίας.

ΠΡΟΛΕΓΟΜΕΝΑ ΣΥΝ ΘΕΩΙ ΤΗΣ ΠΟΡΦΥΡΙΟΥ ΕΙΣΑΓΩΓΗΣ ΑΠΟ ΦΩΝΗΣ ΔΑΒΙΔ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΚΑΙ ΘΕΟΦΡΟΝΟΣ ΦΙΛΟΣΟΦΟΥ.

Μέλλοντες σὺν θεῷ ἄρχεσθαι τοῦ παρόντος συγγράμματος τὰ εἰωθότα ὑπὸ τῶν ἐξηγητῶν ζητεῖσθαι κεφάλαια τὸν ἀριθμὸν ὀκτὼ ὄντα ζητήσομεν. κεφάλαια δὲ ταῦτα λέγονται διότι τὸ κῦρος παντὸς τοῦ λόγου ἐπέχουσιν· ὥσπερ γὰρ ἡ κεφαλὴ τὸ κῦρος παντὸς

ἐνταῦθα λαβόντες οἱ ἐξηγηταὶ ἀφορμὴν ἔρχονται καὶ διαβάλλουσι περὶ τῶν ἀριθμῶν τῶν ὄντων ἄχρι τῆς δεκάδος, καί φασιν ὅτι μονὰς λέγεται παρὰ τὸ μένειν· καὶ γὰρ ἡ μονὰς ἐφ' ἐν ἂν γένηται ἀριθμὸν φυλάττει τὸ αὐτὸ εἶδος, οἷον τὸ ἅπαξ τρία τρία... τούτων οὕτως ἐχόντων λέγομεν ὅτι οὐκ ἔστιν ἡ μονὰς ἀριθμὸς ἀλλ' ἀρχὴ ἀριθμοῦ... εἰ ἄρα οὖν ἡ μονὰς ἐκ τοῦ ἐναντίου συντιθεμένη μείζονα ἀριθμὸν ἀποτελεῖ ἤπερ πολυπλασιαζομένη, δῆλον ὅτι οὐκ ἔστιν ἀριθμός· καὶ γὰρ ἅπαξ μία μία ἐστίν, μία δὲ καὶ μία δύο. ταῦτα μὲν περὶ τῆς μονάδος, ἡ δὲ δυὰς λέγεται παρὰ τὸ διιέναι καὶ διαπορεύεσθαι· πρώτη γὰρ ἡ δυὰς διεχώρισεν ἑαυτὴν ἐκ τῆς μονάδος... ἰστέον δὲ ὅτι οὔτε ἡ δυὰς κυρίως ἐστὶν ἀριθμός· καὶ γὰρ ὡς ἐμάθομεν, οἱ ἀριθμοὶ πολυπλασιαζόμενοι ἐφ' ἑαυτοὺς μείζονα ἀριθμὸν ἀποτελοῦσιν ἤπερ συντιθέμενοι ἑαυτοῖς, ἡ δὲ δυὰς καὶ συντιθεμένη καὶ πολυπλασιαζομένη τὸν αὐτὸν ἀριθμὸν ἀποτελεῖ... ὁ δὲ τρεῖς ἀριθμὸς οὕτως ὠνομάσθη ἀπὸ τοῦ ἀτειρής τις εἶναι καὶ ἀκαταπόνητος. οὕτω δὲ λέγεται διὰ τὸ μὴ δύνασθαι αὐτὸν εἰς ἴσα διαιρεῖσθαι.

Πρᾶξις ιζ'. ἰστέον ὅτι τετρὰς λέγεται οἱονεὶ ἕδρανσις (ἑδράς τις?) οὖσα, τουτέστιν ἑδραία καὶ μόνιμος· ἰστέον γὰρ ὅτι τετράγωνον σχῆμα ἡ τετρὰς ἀποτελεῖ, τὸ δὲ τετράγωνον σχῆμα διὰ τὸ κατὰ πολλὰ μέρη τῆς γῆς ἅπτεσθαι δυσμόχλευτόν ἐστιν... πεντὰς δὲ λέγεται οἷον ἓν καὶ πᾶς· καὶ γὰρ ὁ πέντε ἀριθμὸς ἀπό τε τῆς μονάδος σύγκειται καὶ τῆς τετράδος, ἡ δὲ τετρὰς πᾶς λέγεται ἢ ἐπειδὴ τέσσαρά εἰσι τὰ στοιχεῖα ἐξ ὧν πάντα τὰ σώματα σύγκειται, ἢ ἐπειδὴ ὁ τέσσαρα ἀριθμὸς μετὰ τῶν πρὸ αὐτοῦ συντιθέμενος τὴν δεκάδα ἀποτελεῖ... ἑξὰς δὲ λέγεται οἱονεὶ ἑξισὰς παρὰ τὸ ἐξισοῦσθαι τοῖς οἰκείοις μέρεσι... ἑπτὰς δὲ λέγεται οἱονεὶ σεπτὰς παρὰ τὸ σεβάσμιον καὶ τίμιον· καὶ γὰρ ὁ ἑπτὰ ἀριθμὸς τίμιός ἐστιν, ὅθεν καὶ ἑπτὰ εἰσιν ἡμέραι τῆς ἑβδομάδος καὶ ἑπτὰ οἱ πλάνητες ἀστέρες καὶ ἑπτὰ φωνήεντα. ὁ δὲ ἑπτὰ ἀριθμὸς λέγεται καιρὸς καὶ Ἀθηνᾶ, καὶ καιρὸς μὲν ἐπειδὴ κατὰ τοῦτον τὸν καιρὸν αἱ ἡλικίαι· καὶ γὰρ τῷ ἑβδόμῳ μηνὶ ὀδοντοφυοῦσιν οἱ παῖδες, καὶ τῷ ἑβδόμῳ ἐνιαυτῷ ἀμείβουσι τοὺς ὀδόντας. Ἀθηνᾶ δὲ λέγεται ἐπειδή, ὥσπερ μυθεύουσι τὴν Ἀθηνᾶν παρθένον εἶναι καὶ ἀμήτορα (ἐκ τῆς κεφαλῆς γὰρ τοῦ Διός, ὡς μυθεύουσιν, ἐξῆλθε), τὸν αὐτὸν τρόπον καὶ ὁ ἕβδομος ἀριθμὸς μόνος ἐκ τῶν ὄντων ἐντὸς τῆς δεκάδος οὔτε τίκτεται κατὰ πολλαπλασιασμὸν ἐξ ἄλλου ἀριθμοῦ, οὔτε τίκτει ἐντὸς τῆς δεκάδος κατὰ πολλαπλασιασμὸν ἄλλον ἀριθμόν... ὀγδοὰς δὲ λέγεται οἱονεὶ ἀγοδυὰς παρὰ τὸ δύο ἄγειν· καὶ γὰρ διχοτομουμένη ἔρχεται ἄχρι τῆς μονάδος... σῖτος λέγεται παρὰ τὸ σείεσθαι... ἐννὰς δὲ λέγεται παρὰ τὸ ἓν καὶ νέον· καὶ γὰρ αὕτη πολλαπλασιαζομένη ἕνα νέον ἀριθμὸν φέρει καθ' ὕφεσιν μιᾶς μονάδος ἀπὸ τοῦ ἐννέα ἄχρι τῆς μονάδος, οἷον δὶς ἐννέα δεκαοκτώ... ὅρα οὖν πῶς ὁ ἐννέα πολλαπλασιαζόμενος κατὰ πρόβασιν ἀφαίρεσιν πάσχει μιᾶς μονάδος. δεκὰς δὲ λέγεται οἱονεὶ δεχάς τις οὖσα· καὶ γὰρ ὁ δέκα δέχεται ἢ περιέχει ἐν ἑαυτῷ ἅπαντας τοὺς πρὸ αὐτοῦ ἀριθμούς.

Πρᾶξις ιθ'. ἰστέον ὅτι ἄλλως ὁ Πλάτων τὸ θεωρητικὸν διαιρεῖ καὶ ἄλλως ὁ Ἀριστοτέλης· καὶ γὰρ ὁ Πλάτων ὑποδιαιρεῖ τὸ θεωρητικὸν εἰς φυσιολογικὸν καὶ θεολογικόν, τὸ δὲ μαθηματικὸν οὐκ ἠβούλετο μέρος εἶναι τῆς φιλοσοφίας ἀλλὰ προγύμνασμά τι, ὥσπερ ἡ γραμματικὴ καὶ ἡ ῥητορική... ὁ δὲ Ἀριστοτέλης ὑποδιαιρεῖ τὸ θεωρητικὸν εἰς φυσιολογικὸν μαθηματικὸν καὶ θεολογικόν... τὸ δὲ μαθηματικὸν μέσον ἐστὶ τοῦ φυσιολογικοῦ καὶ θεολογικοῦ ὡς καὶ τῶν δύο μετέχον· καὶ γὰρ ἔνυλόν ἐστιν ὁμοίως τῷ φυσιολογικῷ καὶ ἄϋλον ὁμοίως τῷ θεολογικῷ· ὡς εἴρηται γάρ, τὸ μαθηματικὸν τῇ μὲν ὑποστάσει ἔνυλόν ἐστι τῇ δ' ἐπινοίᾳ ἄϋλον. τὸ δὲ θεολογικὸν ἐξ ἀνάγκης ὕστερόν ἐστιν· οὐδὲ γὰρ δύναται εἶναι μετὰ τὸ φυσιολογικόν, ἐπειδὴ οὐ δεῖ ἀπὸ τῶν πάντη ἐνύλων εὐθέως ἐπὶ τὰ πάντη ἄϋλα ἔρχεσθαι, ἐπεὶ πάσχομεν ὃ πάσχουσιν οἱ πολὺν χρόνον ἐν σκότει διάγοντες καὶ εὐθὺς πρὸς τὸν ἥλιον θεωροῦντες, ἀποτυφλοῦνται· οὕτως οὖν οὐ δεῖ ἀπὸ τῶν πάντη ἐνύλων εὐθέως ἐπὶ τὰ πάντη ἄϋλα ἔρχεσθαι. οὕτω γὰρ ἡ ποίησις (Hom. Od. 11 314, Il. 5 386) αἰνιττομένη λέγει περὶ τοῦ Ὤτου καὶ Ἐφιάλτου ταῦτα· "Ὄσσαν ἐν Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη." καὶ κατὰ μὲν τὸ φαινόμενον τοῦτο λέγει ὅτι ὁ Ὦτος καὶ ὁ Ἐφιάλτης ἠθέλησαν θεῖναι ὄρη ἐπάνω ἀλλήλων, βουλόμενοι μηχανήσασθαι εἰς οὐρανὸν ἄνοδον· ἀλληγορικῶς δὲ νοούμενα ταῦτα δηλοῦσιν ὅτι εὐθέως ἐκεῖνοι ἀπὸ τῶν φυσικῶν καὶ πάντη ἐνύλων πραγμάτων ἐπὶ τὴν γνῶσιν τῶν θείων ἐβουλήθησαν ἐπιτηδεῦσαι... καὶ ὁ Πλωτῖνος τοῦτο δηλοῖ λέγων "παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως, δι' ὧν τὴν ἀσώματον φύσιν γινώσκουσιν."

ἔτι δέ, ὥς φασιν οἱ Πυθαγόρειοι, διὰ τοῦτο μόνον λέγεται μαθηματικόν, ἐπειδὴ ἐν τῇ διανοίᾳ ἔχει τὴν ὕπαρξιν· μόνη γὰρ ἡ διάνοια μανθάνει· ὁ γὰρ νοῦς ἁπλῇ προσβολῇ πάντα γινώσκει.

Πρᾶξις κ'. ἰστέον ὅτι πέντε κεφάλαια ἔχομεν περὶ τοῦ μαθηματικοῦ εἰπεῖν. καὶ ἔστι τὸ πρῶτον κεφάλαιον ἐν ᾧ λέγομεν πόσα καὶ ποῖά εἰσι τὰ εἴδη τοῦ μαθηματικοῦ, δεύτερον δὲ ἐν ᾧ λέγομεν διὰ τί τοσαῦτα εἰσί, τρίτον ἐν ᾧ λέγομεν τὴν τάξιν αὐτῶν, τέταρτον ἐν ᾧ λέγομεν τίνων εἰσὶν εὑρήματα, πέμπτον ἐν ᾧ λέγομεν τίνα παράκειται τούτοις τοῖς εἴδεσιν.

ἰστέον ὅτι τέσσαρά εἰσιν εἴδη τοῦ μαθηματικοῦ, ἀριθμητικὴ μουσικὴ γεωμετρία ἀστρονομία... ἰστέον δὲ ὅτι ἡ ἀριθμητικὴ καὶ ἡ μουσικὴ προτερεύουσι τῆς γεωμετρίας καὶ ἀστρονομίας, ἐπειδὴ ἡ μὲν ἀριθμητικὴ καὶ ἡ μουσικὴ περὶ τὸ ποσὸν τὸ διωρισμένον καταγίνεται, ἡ δὲ γεωμετρία καὶ ἡ ἀστρονομία περὶ τὸ ποσὸν τὸ συνεχές, τιμιώτερον δέ ἐστι τὸ ποσὸν τὸ διωρισμένον τοῦ συνεχοῦς ποσοῦ... ἔστι δὲ καὶ ἄλλην αἰτίαν εἰπεῖν οὕτως. ἀναλογεῖ μὲν ἡ ἀριθμητικὴ τῇ μονάδι, ἡ δὲ μουσικὴ τῇ δυάδι, ἡ δὲ γεωμετρία τῇ τριάδι, ἡ δὲ ἀστρονομία τῇ τετράδι· πρὸς ἀναλογίαν οὖν τῆς τάξεως τῶν ἀριθμῶν ἐκτήσαντο καὶ ταύτην τὴν τάξιν. καὶ γὰρ ἡ ἀριθμητικὴ μονάδι ἀναλογεῖ περὶ τὸ καθ' αὑτὸ ποσὸν καταγινομένη, τὸ δὲ καθ' αὑτὸ ποσὸν ἕν τι ἐστίν. ἡ δὲ μουσικὴ τῇ δυάδι ἀναλογεῖ· καὶ γὰρ περὶ τὸ ἐν σχέσει ποσὸν καταγίνεται, ἡ δὲ σχέσις τὸ ἐλάχιστον ἐπὶ δύο λαμβάνεται. ἡ δὲ γεωμετρία ἀναλογεῖ τῇ τριάδι· καὶ γὰρ ἡ γεωμετρία περὶ τὰ ἐπίπεδα σχήματα καταγίνεται, πρῶτον δὲ σχῆμα τὸ τρίγωνόν ἐστιν· οὔτε γὰρ μία γραμμὴ οὔτε δύο ἀποτελοῦσι σχῆμα. ἡ δὲ ἀστρονομία

ἑαυτόν, καὶ λέγουσιν ὅτι ἐπειδὴ ὁ βίος συμποσίῳ μεγάλῳ ἔοικε, δῆλον ὅτι καθ' ὅσους τρόπους τὸ συμπόσιον διαλύεται, κατὰ τοσούτους τρόπους τις εὐλόγως ἑαυτὸν ἀναιρεῖ. καὶ γάρ, ὥς φασι, κατὰ ἓξ τρόπους διαλύεται τὸ συμπόσιον. δι' ἔνδειαν γὰρ βρωμάτων εὐλόγως ἀνίστανται οἱ ἑστιώμενοι καὶ διαλύεται τὸ συμπόσιον· οὕτως οὖν δι' ἔνδειαν χρημάτων εὐλόγως τις ἀναιρεῖ ἑαυτόν, βουλόμενος μὴ καταδαπανᾶσθαι ὑπὸ λιμοῦ, ὡς καὶ ὁ Θέογνις (175) τοῦτο δηλοῖ πρὸς Κύρνον τινὰ οὕτω λέγων,

χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον
ῥιπτεῖν καὶ πετρῶν Κύρνε κατ' ἠλιβάτων.

ἰστέον δὲ ὅτι τοῦτο οὐ λέγει ὅτι δεῖ τὸν πένητα ἀναιρεῖν ἑαυτόν, ἀλλὰ δεῖ πανταχοῦ τὸν πένητα σπείρειν καὶ ἐν ἀβάτοις πέτραις καὶ ἐν θαλάσσῃ, εἰ ἔστιν εἰπεῖν, ὅπως τοῦ λιμοῦ ἐλευθερωθῇ. πάλιν διαλύεται τὸ συμπόσιον διὰ τὸ κακόχυμα εἶναι καὶ δηλητηριώδη τὰ βρώματα, καὶ τοιούτων ὄντων τῶν βρωμάτων ἀνίστανται εὐλόγως οἱ ἑστιώμενοι καὶ διαλύεται τὸ συμπόσιον· οὕτως οὖν καὶ τοῦ σώματος κακοχύμου ὄντος καὶ ἀνεπιτηδείου πρὸς τὸ δέξασθαι τὰς ψυχικὰς ἀρετὰς εὐλόγως τις ἀναιρεῖ ἑαυτὸν βουλόμενος τῆς νόσου ἀπαλλαγῆναι. ὅθεν καί τις κυνικὸς φιλόσοφος ἡμίξηρος ὢν προσῆλθεν Ἰουλιανῷ τῷ βασιλεῖ λέγων αὐτῷ

ἥμισύ μου τέθνηκε, τὸ δ' ἥμισυ δέρκεται ἠώς·
οἴκτειρον, βασιλεῦ, κυνικὸν ἡμίτομον. (*)

τουτέστι κέλευσον ἢ ἵνα περιοδευθῶ ἢ ἵνα φονευθῶ. ὁ δὲ εἶπε πρὸς αὐτὸν

ἀμφοτέρους ἀδικεῖς καὶ Πλούτωνα καὶ Φαέθοντα,
τὸν μὲν ἔτ' εἰσορόων, τοῦ δ' ἀπολειπόμενος.

πάλιν διαλύεται τὸ συμπόσιον διὰ περίστασίν τινα ἰδικήν· καὶ γὰρ τοῦ ἑστιάτορος ἐξαίφνης ἢ ἀρρωστήσαντος ἢ ἀκούσαντος φίλου ἀπώλειαν ἀνίστανται οἱ ἑστιώμενοι καὶ διαλύεται τὸ συμπόσιον· οὕτως οὖν καὶ ἰδικῆς τινὸς περιστάσεως καταλαβούσης εὐλόγως τις ἀναιρεῖ ἑαυτόν. ὅθεν καὶ Πυθαγορεία τις γυνή, ἡ καὶ Θεανὼ λεγομένη, κρατηθεῖσα ὑπὸ τοῦ ἐν Σικελίᾳ τυράννου καὶ ἐρωτωμένη διὰ τί οὐ τρώγουσιν οἱ Πυθαγόρειοι κυάμους, ἔλεγε "φάγοιμι ἂν ἢ εἴποιμι". καὶ πάλιν ἐκείνου λέγοντος "οὐκοῦν φάγε", ἔλεγεν "εἴποιμι ἂν ἢ φάγοιμι", καὶ οὕτω καταδάκνουσα τὴν γλῶσσαν ἐτελεύτησε. πάλιν διαλύεται τὸ συμπόσιον διὰ μέθην· καὶ γὰρ μεθυόντων τῶν ἑστιωμένων εὐλόγως διαλύεται τὸ συμπόσιον· οὕτως οὖν εὐλόγως ἀναιρεῖ ἑαυτόν τις ἡνίκα ἔλθῃ ἐν τῷ ἐσχάτῳ γήρᾳ καὶ ἄρξηται ληρεῖν καὶ παραφρονεῖν. πάλιν διαλύεται τὸ συμπόσιον ἡνίκα οἱ ἑστιώμενοι ἄρχονται μάχεσθαι ἀλλήλοις καὶ ἀθέμιτά τινα πρὸς ἑαυτοὺς διαπράττεσθαι· οὕτως οὖν εὐλόγως τις ἀναιρεῖ ἑαυτὸν ἡνίκα κρατηθεὶς ὑπὸ πολεμίων ἀναγκάζεται ἀθέμιτά τινα διαπράξασθαι ἢ μητρογαμῆσαι ἢ φαγεῖν τι τῶν οὐ θεμιτῶν. πάλιν διαλύεται τὸ συμπόσιον διὰ κοινὴν περίστασιν· καὶ γὰρ κοινῆς περιστάσεως καταλαβούσης, οἷον ἐμπρησμοῦ ἢ ἐπιδρομῆς βαρβάρων, ἀνίστανται οἱ ἑστιώμενοι καὶ εὐλόγως διαλύεται τὸ συμπόσιον· οὕτως εὐλόγως τις ἀναιρεῖ ἑαυτὸν διὰ κοινὴν περίστασιν, ὅταν πολεμίων ἐπελθόντων τῇ πόλει τῷ φόβῳ νικώμενος ὁ πολίτης ἀναιρῇ ἑαυτόν. ταῦτα μὲν οὕτως, ἰστέον δὲ ὅτι ἕτεροί τινες τρεῖς τρόπους παραδιδόασι καθ' οὓς εὐλόγως τις ἀναιρεῖ ἑαυτόν. φασὶ γὰρ ὅτι ἡ ζωὴ φύσει τριττή ἐστιν· ἢ γὰρ ἀρίστη ἐστὶν ἢ μέση ἢ χειρίστη· ἡνίκα οὖν ἐστί τις ἐν τῇ ἀρίστῃ ζωῇ ἢ ἐν τῇ μέσῃ καὶ ὁρᾷ ἑαυτὸν μᾶλλον ἐπὶ τὸ χεῖρον ἐκκλίνοντα, εὐλόγως ἀναιρεῖ ἑαυτόν. πάλιν ἡνίκα τις ἐν τῇ χειρίστῃ ἐστὶ ζωῇ καὶ ὁρᾷ ἑαυτὸν ἀεὶ ἐν τοῖς αὐτοῖς ὄντα καὶ μηδέποτε ἐπὶ τὴν ἀρίστην μετερχόμενον, εὐλόγως ἀναιρεῖ ἑαυτόν. ταῦτα μὲν ἐν τούτοις.

Πρᾶξις ιβ΄. κατὰ τοὺς Στωϊκοὺς μεγίστη ἔνδειά ἐστιν ἡ τῶν ὀρέξεων ἀπληστία.

τὸν αὐτὸν τρόπον καὶ ἐν τῷ ἀνθρώπῳ μικρῷ κόσμῳ ὄντι, κατὰ τὸν Δημόκριτον, ταῦτα θεωροῦνται.

Πρᾶξις ιγ΄. ἔστιν εἰπεῖν ὅτι διὰ τοῦ πρώτου ἀναδιπλασιασμοῦ, τοῦ τέχνη τεχνῶν, βασιλεῖ παρείκασε τὴν φιλοσοφίαν, διὰ δὲ τοῦ δευτέρου ἀναδιπλασιασμοῦ, τοῦ ἐπιστήμη ἐπιστημῶν, θεῷ.

βάναυσοι δὲ τέχναι καταχρηστικῶς μὲν πᾶσαι αἱ ἄλογοι λέγονται, κυρίως δὲ αἱ διὰ πυρὸς ἐργαζόμεναι παρὰ τὸ βαίνειν περὶ τὸν αὖσον· ὁ αὖσος ἐστὶν ἡ κάμινος, παρὰ τὸ ἀτμόν τινα ἀφιέναι.

Πρᾶξις ιδ΄. καὶ πάλιν ὡς ἐπὶ τοῦ γρίφου ἤγουν τοῦ αἰνίγματος τοῦ λέγοντος "ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δ' ὅμως, ὄρνιν οὐκ ὄρνιν, ὄρνιν δ' ὅμως, ἐπὶ ξύλου καὶ οὐ ξύλου καθημένην, λίθῳ τε καὶ οὐ λίθῳ βαλὼν διώλεσε". λέγει δὲ ὅτι εὐνοῦχος νυκτερίδα καθημένην ἐν νάρθηκι, ῥίψας κίσσηριν, ἐφόνευσε... ξύλον δὲ καὶ οὐ ξύλον τὸν νάρθηκα ἐκάλεσε, ξύλον μὲν διότι ξυλοειδές ἐστιν, οὐ ξύλον δὲ διότι οὐκ ἔστι στερέμνιον ὥσπερ τὰ ἄλλα ξύλα.

Πρᾶξις ιε΄. ἀρχὴ καὶ πέρας ἡμῖν γενέσθω ὁ Πυθαγόρας· καὶ γὰρ τῷ ἀνδρὶ φίλιόν ἐστι τὸ εἰς ἑαυτὸν συννεύειν καὶ τὴν ἀρχὴν συνάπτειν τῷ πέρατι.

πολλοῖς ἀναβαθμοῖς κέχρηταί τις ἵνα γνῷ τὴν φιλοσοφίαν· θέλει γὰρ γινώσκειν τὰς πέντε γνωστικὰς δυνάμεις· εἰσὶ δὲ αὗται αἴσθησις φαντασία δόξα διάνοια καὶ νοῦς.

ἰστέον ὅτι ὁ Ὀλυμπιόδωρος οὕτω λέγει τὴν ἀνάβασιν ἢ τὴν γνῶσιν τῆς φιλοσοφίας. πρώτη ἐστὶν αἴσθησις, δευτέρα φαντασία, τρίτη δόξα, τετάρτη πεῖρα, ἕκτη γνῶσις, ἑβδόμη ἐπιστήμη, ὀγδόη μνήμη, ἐννάτη σοφία, ἧς ἐστὶν ἔφεσις ἡ φιλοσοφία.

διὰ τοῦτο δὲ τέσσαρές εἰσι διαφοραὶ τῶν ὁρισμῶν τῆς φιλοσοφίας, ὅτι ὁ τέσσαρα ἀριθμὸς πάνυ ἦν τίμιος παρὰ τοῖς Πυθαγορείοις, ὡς καὶ αὐτοὶ ὀμνύοντες εἰς τὸν Πυθαγόραν δηλοῦσι λέγοντες "ναὶ μὰ τὸν ἀμετέραις ψυχαῖς παραδόντα τετρακτὺν παγὰν ἀενάου φύσεως." πηγὴν δὲ τῆς ἀενάου φύσεως ἐκάλεσε τὸν τέσσαρα ἀριθμόν, ἐπειδὴ ἐκ τῶν τεσσάρων στοιχείων συνίσταται τὰ ἡμέτερα σώματα... καὶ ἐπειδὴ τέσσαρά εἰσι τὰ στοιχεῖα... ἢ ἐπειδὴ καὶ τέσσαρές εἰσιν αἱ ἀρεταὶ τῆς ψυχῆς, οἷον ἀνδρεία δικαιοσύνη σωφροσύνη φρόνησις, ἢ ἐπειδὴ ὁ τέσσαρα ἀριθμὸς συντιθέμενος μετὰ τῶν πρὸ αὐτοῦ ἀποτελεῖ τὸν δέκα ἀριθμόν.

Πρᾶξις ιϛ΄. ἐπειδὴ ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν ἀριθμητικὴν αἰτίαν δεικνύουσαν διὰ τί ἓξ εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοί,

(*) Anthol. 9 137.

φιλοσοφίας) εἰσὶν οἱ Πυῤῥώνειοι… πρὸς οὓς ἀπαντᾷ ὁ Πλάτων… καὶ ὁ Ἀριστοτέλης δὲ ἔν τινι προτρεπτικῷ αὐτοῦ συγγράμματι, ἐν ᾧ προτρέπεται τοὺς νέους φιλοσοφεῖν, λέγει ὅτι εἴτε φιλοσοφητέον, φιλοσοφητέον, εἴτε μὴ φιλοσοφητέον, φιλοσοφητέον, πάντως δὲ φιλοσοφητέον. τουτέστιν ὅτι εἰ λέγει τις μὴ εἶναι φιλοσοφίαν, ἀποδείξεσι κέχρηται δι' ὧν ἀναιρεῖ τὴν φιλοσοφίαν· εἰ δὲ ἀποδείξεσι κέχρηται, δῆλον ὅτι φιλοσοφεῖ· μήτηρ γὰρ τῶν ἀποδείξεων ἡ φιλοσοφία.

Πρᾶξις ε'. ἰστέον δὲ ὅτι καὶ τοῦ ὅρου καὶ τῆς διαιρέσεως μέμνηται ὁ Πλάτων, καὶ τοῦ μὲν ὅρου ἐν Φαίδρῳ τῷ διαλόγῳ (p. 237) λέγων ὅτι "ὦ παῖ, μία ἐστὶν ἀρχὴ τοῦ καλῶς βουλεύεσθαι, τὸ εἰδέναι περὶ οὗ ἐστὶν ἡ σκέψις"… τῆς δὲ διαιρέσεως μέμνηται ἐν τῷ Σοφιστῇ τῷ διαλόγῳ.

ἐννέα τινὰ κεφάλαια παραδίδομεν. καὶ πρῶτον μέν ἐστι κεφάλαιον ἐν ᾧ λέγομεν τί ἐστιν ὁρισμός, δεύτερον δὲ ἐν ᾧ λέγομεν τί διαφέρει ὁρισμὸς ὅρου καὶ ὑπογραφῆς καὶ ὑπογραφικοῦ ὁρισμοῦ, τρίτον ἐν ᾧ λέγομεν πόθεν λέγεται ὁρισμός, τέταρτον ἐν ᾧ λέγομεν πόθεν λαμβάνονται οἱ ὁρισμοί, πέμπτον ἐν ᾧ λέγομεν ποῖος τέλειος καὶ ποῖος ἀτελὴς ὁρισμὸς καὶ τίς ἡ κακία καὶ τίς ἡ ὑγίεια τοῦ ὁρισμοῦ, ἕκτον ἐν ᾧ λέγομεν πόσοι ὁρισμοὶ τῆς φιλοσοφίας, ἕβδομον ἐν ᾧ λέγομεν διὰ τί τοσοῦτοί εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοὶ καὶ μήτε πλείους μήτε ἐλάττους, ὄγδοον ἐν ᾧ λέγομεν τὴν τάξιν αὐτῶν, ἔνατον ἐν ᾧ λέγομεν τίνες ἐφεῦρον τοὺς ὁρισμοὺς τούτους.

Πρᾶξις ϛ'. ἰστέον ὅτι ὁρισμὸς λέγεται ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς γηδίοις ὁρίων ἤτοι ὁροθεσίων. οἱ γὰρ ἀρχαῖοι ἑκατέραν ἀμετρίαν ἐκφεύγοντες, τήν τε πλεονεξίαν καὶ τὴν μειονεξίαν, ἐφεῦρον τὰ ὁροθέσια, ἵνα διὰ τούτων τῶν μὲν οἰκείων ἀπολαύωσι τῶν δὲ ἀλλοτρίων ἀπέχωνται… ὡς δηλοῖ καὶ ἡ Πυθία λέγουσα περὶ Λυκούργου νομοθέτου τε ὄντος καὶ φιλοσόφου (οἱ γὰρ πάλαι φιλόσοφοι καὶ νομοθέται ἦσαν)

ἤλυθες ὦ Λυκοῦργε ἐμὸν ποτὶ πίονα νηόν.
δίζω ἤ σε θεὸν μαντεύσομαι ἠὲ καὶ ἄνδρα.
ἀλλ' ἔμπης σε θεὸν μαντεύσομαι ὦ Λυκοῦργε.

διστάζει δὲ οὐχ ὡς ἀγνοοῦσα τί καλέσει αὐτὸν καὶ δεομένη ἄλλης Πυθίας, ἀλλ' ἵνα δείξῃ ἀμφήριστον τῇ τοῦ θεοῦ φύσει τὴν τοῦ ἀνδρός, ὅθεν καὶ ἐπιφέρει "ἀλλ' ἔμπης σε θεὸν μαντεύσομαι"… ὡς καὶ ἡ ποίησις δηλοῖ λέγουσα ἐπὶ μὲν τοῦ ἀγαθοῦ "θεοὶ δωτῆρες ἐάων", ἐπὶ δὲ τοῦ γνωστικοῦ "θεοὶ δέ τε πάντα ἴσασιν," ἐπὶ δὲ τοῦ δυνατοῦ "θεοὶ δέ τε πάντα δύνανται". τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τέλειος φιλόσοφος τοῖς τρισὶ τούτοις χαρακτηρίζεται, λέγω δὴ τῷ ἀγαθῷ καὶ τῷ γνωστικῷ καὶ τῷ δυνατῷ.

Πρᾶξις ζ'. πόσοι καὶ ποῖοι τῆς φιλοσοφίας εἰσὶν ὁρισμοί; εἰσὶ δὲ οὗτοι, πρῶτος μὲν ὁ λέγων φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν. δεύτερος δέ, ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. τρίτος, μελέτη θανάτου. τέταρτος, ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. πέμπτος, τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν. ἕκτος, φιλοσοφία ἐστὶ φιλία σοφίας… ἡ φιλοσοφία οὖν, ὡς εἴρηται, καὶ ὀνομάζεται καὶ ὑφέστηκε καὶ ἐν πρώτοις τὴν ὕπαρξιν ἔχει.

…ἐπειδὴ οὖν ἡ φιλοσοφία ἔχει καὶ ὑποκείμενον καὶ τέλος, καὶ ἑκάτερον τούτων διττόν, ὡς εἴρηται, (προσεχὲς καὶ πόῤῥω), τούτου χάριν καὶ ἄλλους τέσσαρας ἔχει ὅρους… αὕτη μὲν οὖν ἡ ἀπὸ διαιρέσεως λύσις ἡ δεικνῦσα διὰ τί ἕξ εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοί· ἡ δὲ ἀριθμητική ἐστιν αὕτη… πρῶτος τέλειος ἀριθμὸς ὁ ἕκτος ἐστί.

Πρᾶξις η'. ἰστέον ὅτι καὶ ἄλλους δύο ὅρους θέλουσί τινες ἐπεισφέρειν τῇ φιλοσοφίᾳ, ἕνα μὲν ἰατροί, ἕνα δὲ ἕτεροι. καὶ γὰρ ἰατροὶ μέλλοντες τὴν οἰκείαν τέχνην σεμνῦναι, κατὰ τὸν ποιητὴν χρύσεα χαλκείων καταλλασσόμενοι, ὁρίζοντες λέγουσιν ὅτι φιλοσοφία ἐστὶν ἰατρικὴ ψυχῶν, ἰατρικὴ δέ ἐστι φιλοσοφία σώματος… ἕτεροι δὲ ἄλλον ὁρισμὸν ἐπεισφέροντες τῇ φιλοσοφίᾳ λέγουσι, φιλοσοφία ἐστὶ μεγίστη μουσική· οὕτω γὰρ ὁ Πλάτων ἐν τῷ Φαίδωνι (p. 61) ὁρίζεται αὐτήν.

ἰστέον ὅτι οἱ δύο (ὁρισμοὶ) οἱ ἀπὸ τοῦ ὑποκειμένου καὶ ὁ ἐκ τῆς ἐτυμολογίας εἰς τὸν Πυθαγόραν ἀναφέρονται. τοῦτο δὲ οὐκ ἔχομεν δεῖξαι ἀπὸ Πυθαγορείων συγγραμμάτων· οὐκ ἐποίησε γὰρ σύγγραμμα ὁ Πυθαγόρας· ἔλεγε γὰρ ὅτι οὐ βούλομαι ἐν ἀψύχοις τὰ ἐμὰ καταλιπεῖν (ἄψυχα δὲ ἐκάλει τὰ βιβλία) ἀλλ' ἐν ἐμψύχοις ἤτοι ἐν τοῖς μαθηταῖς, οἵτινες καὶ ἐρωτώμενοι δύνανται ἀποκρίνεσθαι, τὸ δὲ βιβλίον οὔ. καὶ ὡς ἔλεγέ τις τῶν Πυθαγορείων, οὐ δύνανται διδάξαι με τὰ βιβλία· ἄλλα γὰρ ἀεὶ καὶ ἄλλα περὶ τῶν αὐτῶν φθέγγομαι, τὸ δέ γε βιβλίον τὰ αὐτὰ ἀεὶ περὶ τῶν αὐτῶν λέγει, καὶ οὐ δύναται πρὸς τὸ ἐρωτώμενον ἀποκρίνασθαι… μηδὲ γάρ τις οἰέσθω τὰ Χρυσᾶ Ἔπη αὐτοῦ εἶναι, ἀλλά τις τῶν Πυθαγορείων ἐποίησε ταῦτα καὶ πρὸς τιμὴν ἔγραψε τὸ ὄνομα τοῦ οἰκείου διδασκάλου. δείκνυμεν δὲ ὅτι οὗτοι οἱ ὅροι τοῦ Πυθαγόρου εἰσὶν ἐκ τῶν Πυθαγορείων· καὶ γὰρ Νικόμαχος (εἷς δὲ οὗτος τῶν Πυθαγορείων) λέγει ὅτι ὁ Πυθαγόρας οὕτως ὡρίζετο τὴν φιλοσοφίαν, φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν, καὶ πάλιν, γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, καὶ πάλιν, φιλοσοφία ἐστὶ φιλοσοφία. οἱ δὲ δύο οἱ ἐκ τοῦ τέλους εἰς τὸν Πλάτωνα ἀναφέρονται… ὁ δὲ ἐκ τῆς ὑπεροχῆς ὅρος, ὁ λέγων ὅτι φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, εἰς τὸν Ἀριστοτέλην ἀναφέρεται· οὕτω γὰρ ἐκεῖνος αὐτὴν ὁρίζεται ἐν τῇ μετὰ τὰ φυσικά (1 2).

Πρᾶξις θ'. ἰστέον δὲ ὅτι Κλεόμβροτός τις νομίζων ὅτι ὁ Πλάτων τὸν φυσικὸν θάνατον λέγει τὸν φιλόσοφον μελετᾶν, ῥίψας ἑαυτὸν ἐκ τοῦ τείχους ἐτελεύτησε. περὶ οὗ φησὶν ὁ Καλλίμαχος οὕτως·

εἴπων "ἥλιε χαῖρε" Κλεόμβροτος Ἀμβρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς ἀΐδην,
ἄξιον οὔτι παθὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

πρὸς τοῦτο δὲ εἶπεν Ὀλυμπιόδωρος ὁ φιλόσοφος

εἰ μὴ γράμμα Πλάτωνος ἐμὴν ἐπέδησεν ἐρωήν,
ἤδη λυγρὸν ἔλυσα βίου πολυκηδέα δεσμόν.

Πρᾶξις ια'. ἐπειδὴ ὁ Πλάτων τὴν φιλοσοφίαν μελέτην θανάτου ὡρίσατο, νομίσαντες οἱ Στωϊκοὶ ὅτι θάνατον τὸν φυσικὸν λέγει, παραδιδόασιν ἡμῖν τρόπους τινὰς καθ' οὓς εὐλόγως τις ἀναιρεῖ

μὲν γὰρ τῷ ὁρισμῷ τοῦ γένους εἴδους ἐμνημονεύσαμεν, ἐν δὲ τῷ ὁρισμῷ τοῦ εἴδους γένους ἐμνημονεύσαμεν. ἀγνοοῦσι δὲ οἱ τοιοῦτοι ὅτι μᾶλλον ἐπὶ τῶν πρός τι δεκτέα ἐστὶν ἡ διάλληλος δεῖξις ἥπερ ἀπόβλητος· ἔστι δὲ διάλληλος δεῖξις οἷον ποῦ μένει Πλάτων (*).

ΤΑ ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΟ ΦΩΝΗΣ ΔΑΒΙΔ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΚΑΙ ΘΕΟΦΡΟΝΟΣ ΦΙΛΟΣΟΦΟΥ (†).

Οἱ τῶν τῆς φιλοσοφίας λόγων ἐρῶντες καὶ τῆς ἐκ τούτων ἡδονῆς ἄκρῳ δακτύλῳ γευσάμενοι, πάσῃ τῇ τοῦ βίου φροντίδι χαίρειν εἰπόντες, σώφρονί τινι μανίᾳ πρὸς τούτους ἐλαυνόμενοι φέρονται, καὶ τῇ τῶν ὄντων ἐπιστήμῃ συντόμως αὐτῶν ψυχαγωγοῦσι τὸν ἔρωτα· ἐπιστήμη δὲ τῶν ὄντων ἐστὶν ἡ φιλοσοφία, ὡς σὺν θεῷ μαθησόμεθα. ἐπεὶ τοίνυν καὶ ἡμᾶς σοφὸς ἔρως καὶ πολλὴ προθυμία ἐπὶ τοῦτον διήλασε τὸν ἀγῶνα, φέρε δὴ φέρε λοιπὸν τοῦτον ὑποδυσώμεθα, μὴ τὸ παρὸν δυσχερὲς ἐπιλογιζόμενοι, ἀλλὰ πρὸς τὸ πέρας τῆς θείας ἐπαγγελίας αὐτῆς ἀποβλέποντες πάντα μόχθον ἐλάττονα καὶ δεύτερον αὐτῆς ἡγησώμεθα. δοκεῖ δέ μοι μικρὸν ἀναβάλλεσθαι τὴν ἐγκύκλιον ἐξήγησιν, Ἀριστοτελικοῖς πειθομένῳ θεσμοῖς, ὡς δεῖ ἐν ἑκάστῳ σχεδὸν πράγματι τὰ τέσσαρα ταῦτα ζητεῖν κεφάλαια, εἰ ἔστι, τί ἐστιν, ὁποῖόν τι ἐστὶ καὶ διὰ τί ἐστι.

Πρᾶξις σὺν θεῷ δευτέρα. καθάπερ ἐν τῇ προτέρᾳ θεωρίᾳ ὑπεσχόμεθα, ἔλθωμεν καὶ τοὺς λόγους τῶν βουλομένων ἀνελεῖν τὴν ὕπαρξιν τῆς φιλοσοφίας ἐκθώμεθα, καὶ τούτων τὴν ἀνατροπὴν ὡς οἷόν τε ἐστὶ ποιησώμεθα. πρῶτον μὲν ἐπιχείρημα τῶν ἀνατρεπόντων τὴν φιλοσοφίαν ἐστὶ τοῦτο. τὸ ὂν τῶν ὁμωνύμων ἐστί, τὰ ὁμώνυμα ὅρῳ οὐ καθυποβάλλονται, τὰ ὅρῳ μὴ καθυποβαλλόμενα γνώσει οὐχ ὑποπίπτουσι, τὸ ὂν ἄρα ἄγνωστόν ἐστιν... διττῶς ὑπαντῶμεν, τῇ τε ἐνστάσει κεχρημένοι καὶ τῇ ἀντιπαραστάσει. ἰστέον δὲ ὅτι ἐνστάσεως ἔργον ἐστὶ τὸ ἐκ βαλβῖδος αὐτῆς καὶ εὐθέως ἐκ προοιμίων ἀνατρέπειν τοὺς δι' ἐναντίας λόγους, ἀντιπαραστάσεως δὲ τὸ δέξασθαι μὲν τὸν λόγον ὡς ἀληθῆ, δεῖξαι δὲ αὐτὸν μηδαμῶς καταβλάπτοντα τὸ προκείμενον...

τὸ δὲ δεύτερον ἐπιχείρημα τῶν ἀνατρεπόντων τὴν φιλοσοφίαν προέρχεται τοῦτον τὸν τρόπον. τὰ ὄντα ἐν ῥοῇ καὶ ἀπορροῇ εἰσὶ καὶ στάσεως οὐδεμιᾶς τυγχάνουσι· φθάνει γὰρ τὸν λόγον ἀμειφθέντα τὰ πράγματα· καὶ γὰρ σχεδὸν πρὸ τοῦ ῥηθῆναι τὸν περὶ αὐτῶν λόγον ἀμείβονται τὰ πράγματα. καὶ φέρουσι παράδειγμα τοιοῦτον, ὅτι ὥσπερ ἐν ποταμῷ ἐν τῷ αὐτῷ ὕδατι οὐ δύναταί τις βρέξαι δὶς τὸν πόδα, ἢ ὥσπερ ἕτεροι ἐπιτείνοντες τὴν ἀπορίαν λέγουσιν, ὅτι οὐδὲ ἅπαξ δύναταί τις ἐν τῷ αὐτῷ ὕδατι βρέξαι τὸν πόδα, ἐκείνου τοῦ ὕδατος συντόμως παρερχομένου καὶ ἄλλου ἐπερχομένου, οὕτω καὶ τὰ πράγματα ἐν ῥοῇ καὶ ἀπορροῇ ὄντα στάσεως οὐδεμιᾶς τυγχάνουσι καὶ δηλονότι γνώσει οὐχ ὑποπίπτουσι...

τρίτον δὲ ἐπιχείρημα οἱ ἀνατρέποντες τὴν φιλοσοφίαν φασὶ τοῦτο. τὰ γινωσκόμενα αἰσθήσει ὑποπίπτουσιν, ὡς καὶ ὁ Πλάτων (Tim. p. 47) δηλοῖ λέγων "ὁ γὰρ δημιουργὸς ὄψιν καὶ ἀκοὴν ἡμῖν ἐδωρήσατο, ἵνα διὰ τούτων τὸ τῆς φιλοσοφίας γένος κατορθώσωμεν". τοῦτο λαβόντες ὡς ὁμολογούμενον, φασὶν ὅτι εἰ δείξομεν ἐκ τῆς ὑμῶν διαιρέσεως μὴ δυνάμενα εἶναι τὰ μέρη τῆς φιλοσοφίας, δῆλον ὅτι οὐ συνίσταται ἡ φιλοσοφία. φασὶν οὖν ὅτι καθ' ὑμᾶς ἡ φιλοσοφία διαιρεῖται εἰς θεωρητικὸν καὶ πρακτικόν, τὸ θεωρητικὸν πάλιν εἰς μαθηματικὸν φυσιολογικὸν καὶ θεολογικόν· εἰ ἄρα οὖν ταῦτα ἀνατρέψομεν, δῆλον ὅτι οὐ συνίσταται ἡ φιλοσοφία. φασὶν ὅτι τὸ μαθηματικὸν οὐκ ἔστι μέρος τῆς φιλοσοφίας, ὡς καὶ ὁ Πλάτων δοξάζει· καὶ γὰρ οὗτος τὸ μαθηματικὸν οὐ δοξάζει μέρος τῆς φιλοσοφίας ἀλλὰ προγύμνασμά τι, ὥσπερ ἡ γραμματικὴ καὶ ἡ ῥητορική· ὅθεν καὶ τῷ ἀκροατηρίῳ ἐπέγραψεν "ἀγεωμέτρητος μηδεὶς εἰσίτω." τὸ δὲ φυσιολογικὸν ἀνατέτραπται, φασί, διὰ τοῦ δευτέρου ἐπιχειρήματος τοῦ λέγοντος ὅτι τὰ ὄντα ἐν ῥοῇ καὶ ἀπορροῇ εἰσίν. τὸ δὲ θεολογικὸν ἀνατρέπουσιν οὕτως· φασὶ γὰρ ὅτι τὰ θεῖα αἰσθήσει οὐχ ὑποβάλλονται, τὰ αἰσθήσει μὴ καθυποβαλλόμενα γνώσει οὐχ ὑποπίπτουσι, τὰ θεῖα ἄρα ἄγνωστα εἰσίν. ταῦτα μὲν ἐν τούτοις, ἔστι δὲ εἰπεῖν ὅτι περὶ τοῦ πρακτικοῦ οὐδὲν εἰρήκασιν, ὅπερ ἀντιδιαιρεῖται τῷ θεωρητικῷ· καὶ δῆλον ὅτι οὐκ ἀνεῖλον πᾶσαν τὴν φιλοσοφίαν· καὶ γὰρ καὶ τὸ πρακτικὸν μέρος ἐστὶ τῆς φιλοσοφίας...

τὸ τέταρτον ἐπιχείρημα τῶν ἀνατρεπόντων τὴν φιλοσοφίαν τοῦτον ἔχει τὸν τρόπον. ἡ φιλοσοφία ἢ γνῶσίς ἐστιν ἢ οὐκ ἔστι γνῶσις· καὶ εἰ μὲν οὐκ ἔστι γνῶσις, δῆλον ὅτι οὔτε ἐπιστήμη ἐστὶν οὔτε τέχνη· πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη γνῶσίς ἐστιν· γινώσκει γὰρ τὰ ὑποκείμενα αὐτῇ πράγματα. εἰ δὲ γνῶσίς ἐστιν, ἢ μερική ἐστιν ἢ καθόλου. καὶ εἰ μὲν μερική ἐστι, χείρων ἐστὶ τῶν ἄλλων τεχνῶν· ἐκεῖναι γὰρ καθόλου γνώσεις εἰσίν, ἔχουσαι καθόλου κανόνας· καὶ γὰρ ἡ γραμματικὴ καὶ ἡ ῥητορικὴ καὶ ἡ ῥητορικὴ καὶ ἡ ἰατρικὴ ἔχουσι καθόλου κανόνας. εἰ δὲ χείρων ἐστὶ τῶν ἄλλων τεχνῶν, πῶς λέγετε αὐτὴν τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν; εἰ δὲ καθόλου ἐστὶ γνῶσις, οὐ δύναται συστῆναι· καὶ δῆλον ἐντεῦθεν. εἰ καθόλου γνῶσις, καθόλου συμβεβηκός ἐστι· καὶ γὰρ ἡ γνῶσις συμβεβηκός τι ἐστί (ποιότης γάρ ἐστιν, ἡ δὲ ποιότης, ὡς μαθησόμεθα, συμβεβηκός ἐστιν)· τὰ δὲ καθόλου συμβεβηκότα ἐν μερικῷ ὑποκειμένῳ οὐ δύνανται θεωρεῖσθαι· καὶ γὰρ τὸ καθόλου λευκὸν οὐ δύναται ἐν κύκνῳ μόνῳ θεωρεῖσθαι, ἐπεὶ οὐκ ὤφειλεν ἐν ἄλλῳ τινὶ θεωρεῖσθαι, οἷον ἐν χιόνι καὶ ψιμυθίῳ ἢ ἐν γάλακτι. εἰ ἄρα οὖν ἡ φιλοσοφία καθόλου γνῶσίς ἐστι, δῆλον ὅτι ἐν μερικῷ οὐ δύναται ὑποκειμένῳ θεωρεῖσθαι, οἷον ἐν Σωκράτει, ἐν Πλάτωνι, ἐν Ἀλκιβιάδῃ. εἰ δὲ οὐ θεωρεῖται ἐν ὑποκειμένῳ, δῆλον ὅτι οὐκ ἔστιν· τὰ γὰρ συμβεβηκότα μὴ ἐν ὑποκειμένῳ θεωρούμενα οὐκ εἰσίν. ταῦτα μὲν οὗτοι, ἔστι δὲ ἀνατρέψαι αὐτοὺς οὕτως κτλ.

Πρᾶξις δ'. οὗτοι δὲ (οἱ πειραθέντες τὴν ὕπαρξιν ἀνελεῖν τῆς

(†) Codd. Vatic. 1023 et 1470, Marcian. 202.

(*) desinit Commentarius.

ῥητορικῆς ἀπαράθραυστον διατηρεῖν καὶ ὁλόκληρον μάθημα ἐκπληρῶν, ἤγουν τὸ ὅλον ὄργανον τῆς ῥητορικῆς· μετὰ γὰρ τὰ προγυμνάσματα ἐκδιδάσκειν αὐτοὺς ὑμῖν προσῆκον ἦν τὴν διαιρετικὴν τέχνην ἤτοι τὰς τρισκαίδεκα στάσεις, ἔπειτα τοὺς δ΄ τόμους τοῦ περὶ εὑρέσεως μαθήματος, καὶ τότε τὰς ἰδέας τοῦ λόγου, καὶ μετ᾽ αὐτὰς τὸ περὶ μεθόδου δεινότητος, καὶ ἀποπληρῶσαι ὁλόκληρον μάθημα, καὶ μετὰ τὸ ἀποπληρῶσαι ὁλόκληρον μάθημα ἀπάρχεσθαι τῆς τῶν πέντε φωνῶν διδασκαλίας. ἀλλ᾽ οὐ καλῶς φατέ· ἐγὼ δὲ οὐ τάξιν φημὶ τηρεῖν ἐπὶ τῶν τοιούτων μαθημάτων, ἀλλ᾽ ἐκεῖνο προτίθεσθαι πάντων ἀφ᾽ οὗ τὰ πάντα τὰ λοιπὰ μαθήματα ἀρδεύονται, ὅπερ ἐστὶ τὸ τῶν πέντε φωνῶν μάθημα· τοῦτο γὰρ πάντων ἐστὶν εἰσαγωγὴ καὶ διδασκαλία... καὶ φημι ὅτι καὶ μᾶλλον πρὸ τῶν προγυμνασμάτων ἐκδιδάσκεσθαι ἔδει· ὃν γὰρ τρόπον συντείνει πρὸς τὴν διαιρετικὴν τέχνην τοῦ Ἑρμογένους καὶ τὰ λοιπὰ αὐτοῦ συγγράμματα· καὶ ἐν τούτοις γὰρ ἔγκεινται ὅροι καὶ διαιρέσεις, ὅταν λέγῃ ὁ Ἀφθόνιος (τούτου γάρ εἰσι τὰ προγυμνάσματα πόνημα), ὅρος μύθου...

Καὶ ταῦτα μὲν περὶ τοῦ δεῖν πρὸ τῶν γυμνασμάτων ἐκμανθάνειν τὰς ε΄ φωνάς· ἐπεὶ δὲ πρὸ πάσης διδασκαλίας τέχνης τε καὶ ἐπιστήμης τέσσαρά τινα ἐξήρτηται, εἰ ἔστι, τί ἐστι, ὁποῖόν τί ἐστι καὶ διὰ τί ἐστι, διδάξομεν καὶ περὶ αὐτῶν τίνα εἰσίν, ἑρμηνεύσαντες πρῶτον τί τὸ διάφορον τέχνης καὶ ἐπιστήμης.

ὡς φησὶν ἡ γραφή.

καὶ τέχνην μὲν ἐκείνων τῶν πραγμάτων ἔχομεν ὧν ἀκριβῆ τὴν κατάληψιν οὐ κεκτήμεθα ὅτι ἀεὶ εἰσίν. τίνα δὲ ταῦτα; τὰ σωματικά. ἐπιστήμην δὲ ἐκείνων ὧν καὶ κατάληψιν ἀκριβῆ ἔχομεν ὅτι ἀεὶ ὑπάρχουσι. ποῖα δὲ ταῦτα; τὰ θεῖα, οὐράνια. εἰ δέ τις εἴποι καὶ περὶ ἀστρονομίας, πῶς καὶ αὐτὴ ἐπιστήμη παρά τινων ὀνομάζεται; ἀπολογούμενοι πρὸς αὐτοὺς εἴπωμεν ὅτι κυρίως μὲν τέχνη ἐστί, σφαλερὰ γάρ, ἐπιστήμη δὲ καταχρηστικῶς ὀνομάζεται, οὐκ ἔνι δὲ καθὸ τὰς ζητήσεις περὶ τὰ ἀνθρώπινα σώματα ποιεῖται· καταγίνεται γὰρ περὶ μεσουράνημα καὶ ἀντιμεσουράνημα, καὶ περὶ προποδισμοὺς καὶ ἀναποδισμοὺς ἀστέρων, καὶ περὶ τὰς πεζίους (*) σφαίρας, καὶ περὶ πλάνητας καὶ αὐτὸν τὸν ζῳδιακὸν κύκλον.

ὁ Χρυσαόριος εἷς τῆς ἐν Ῥώμῃ ἐκκλησίας ὢν φίλον ἔσχε τὸν φιλόσοφον Πορφύριον τὸν Φοίνικα τὸν μαθητὴν Πλωτίνου.

εἴπωμεν δὲ καὶ ὅρον τοῦ ὅρου... ζητήσωμεν δὲ καὶ τὰ λοιπὰ τὰ περὶ τοῦ ὅρου. εἰσὶ δὲ ταῦτα, πόθεν εἴρηται ὅρος, πόθεν λαμβάνεται ὅρος, πόθεν συνίσταται ὅρος, ποῖος τέλειος ὅρος, τίς ἡ κακία ὅρου παντὸς πράγματος, τί διαφέρει ὅρος ὁρισμοῦ ὑπογραφῆς καὶ ὑπογραφικοῦ ὁρισμοῦ.

ὡς ἐπὶ τῆς ὑαλεψικῆς· ὑαλεψικὴ γάρ ἐστιν ἡ περὶ τὸν ὕαλον καταγινομένη.

ὡς γὰρ Ὀλυμπιόδωρος ὁ φιλόσοφος ἔλεγεν ὅτι θαυμαστὸν ἡ φύσις ἐφεῦρε μηχάνημα, ἔνδειαν πλουτοῦσαν καὶ πλοῦτον ὑποκρινόμενον ἔνδειαν.

ἀποροῦσί τινες τῶν ἐριστικῶν λέγοντες, εἰ ἄρα ἡ οὐσία ἐστὶ τιμιωτέρα τῶν συμβεβηκότων, ὁ δὲ ὁρισμὸς ἀπὸ οὐσιῶν εἴληπται, ἡ δὲ ὑπογραφὴ ἀπὸ συμβεβηκότων, διὰ τί ὑπογραφικὸν ὁρισμὸν λέγομεν, προτάττοντες τὸ χεῖρον τοῦ κρείττονος, τὸ συμβεβηκὸς δηλονότι τὸ τὴν ὑπογραφὴν περιέχον τῆς οὐσίας τῆς τὸν ὁρισμὸν ἐχούσης, καὶ οὐ λέγομεν ὁρισμὸν ὑπογραφικόν;

ἰστέον ὅτι φασί τινες ὀκτὼ εἶναι τοὺς διαιρετικοὺς τρόπους, οἷον ἀπὸ γένους εἰς εἴδη κτλ.

ad p. 1 *a* 5. ὡς πρὸς τὴν φύσιν τοῦ Χρυσαορίου εἶπεν ὁ φιλόσοφος τὸ πειράσομαι, διὰ τὸ στρατηγίαις καὶ πολιτικαῖς ἢ δημοσίαις πράξεσιν ἐνασχολεῖσθαι αὐτόν... ἀρεταὶ πρῶται διηγήσεως σαφήνεια, συντομία, ἕτεραι δύο, πιθανότης καὶ ὁ τῶν ὀνομάτων ἑλληνισμός... "πειράσομαι διὰ βραχέων." τοῦτο μετριάζων ὁ φιλόσοφος εἶπεν. ἢ τὸ πειράσομαι οἱονεὶ πεῖραν ποιήσομαι πρὸς τὴν σὴν φύσιν· ἄνθρωπος γὰρ ἦν ὁ Χρυσαόριος στρατηγίαις μᾶλλον ἢ λόγοις ἐνασχολούμενος· οὐδὲ γὰρ ἦν λογιώτατος πάνυ.

ἀπὸ τῆς λέξεως διττῶς λέγεται ἡ ἀσάφεια· ἢ γὰρ διὰ τὸ μῆκος τῆς φράσεως, ὡς ἔχει τὰ Γαλήνεια (κἂν γὰρ εὐφραδῆ εἰσίν, ἀλλ᾽ οὖν διὰ τὸ μῆκος ἀσαφῆ εἰσίν), ἢ διὰ τὴν ποιότητα τῆς λέξεως, ὡς ἔχει τὰ προειρημένα Ἀριστοτέλεια.

1 *a* 15. εἰκότως τῶν Περιπατητικῶν ἐμνημόνευσεν. ἐπειδὴ ἀπὸ ὑπολήψεως Πλατωνικῆς ἐγένετο, ἐβούλετο δεῖξαι ἑαυτὸν καὶ τῷ Ἀριστοτέλει παρηκολουθηκότα, ὅπερ ἐν τῷ ἰδίῳ συγγράμματι ἔδειξεν εἰπὼν "καὶ τ. μάλ. οἱ ἐκ τοῦ π." Περιπατητικοὶ δὲ ἐλέγοντο οἱ Ἀριστοτελικοί, ἐπειδὴ περιπατοῦντες τὰς συνουσίας καὶ τὰς διδασκαλίας ἐποιοῦντο τῇ πρὸς τὸν διδάσκαλον Ἀριστοτέλην αἰδοῖ καὶ ἐξ ἐκείνου παραλαβόντες αὐτὸ καὶ μὴ τολμῶντες ἐγκαθέδρους ποιεῖσθαι τὰς συνουσίας, Πλάτωνος περιόντος. ἄλλοι δέ φασιν ὅτι ψευδές ἐστιν· τοὐναντίον γὰρ ἐναντιοῦτο αὐτῷ ὁ Ἀριστοτέλης. ἀλλ᾽ αὐτὸν ...ὡς δηλοῖ εἰς τὸν τάφον Πλάτωνος Ἀριστοτέλους ἐπίγραμμα·

σηκὸν Ἀριστοτέλης ἱδρύσατο τόνδε Πλάτωνος,
ἀνδρὸς ὃν οὔτ᾽ αἰνεῖν τοῖσι κακοῖσι θέμις.

1 *a* 16. πάλιν ἔοικε τὸ γένος πατρί, ἡ διαφορὰ γυναικί, τὸ εἶδος υἱῷ, τὸ ἴδιον ἀδελφῷ, καὶ τὸ συμβεβηκὸς τῷ ἐξ ἐπιγαμβρίας συγγενεῖ· ἐκ γὰρ συμβεβηκότος αἱ ἐπιγαμβρίαι. τὸ ἁπλῶς σημαίνει τέσσαρα, τὸ κυρίως, τὸ καθόλου, τὸ μοναχῶς καὶ τὸ ἀποικίλως· τοῦτο γὰρ ὁ τραγικός φησιν "ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ."

1 *a* 23. Ἠλίας δὲ ὁ ἐξηγητὴς τῶν ε΄ φωνῶν ἐνὶ καὶ τῷ αὐτῷ ἀρκεῖται παραδείγματι, λέγων τὸν Ἀχιλλέα Πηλείδην μὲν διὰ τὸν προσεχῆ πατέρα τὸν Πηλέα, Αἰακίδην δὲ διὰ τὸν πόρρω Αἰακόν, καὶ Φθιώτην μὲν διὰ τὴν προσεχῆ πατρίδα τὴν Φθίαν, Θετταλὸν δὲ διὰ τὴν πόρρω πατρίδα τὴν Θετταλίαν.

1 *b* 1. κοινῶς τὸ μέλαν συμβέβηκε πᾶσι κόραξιν Αἰθίοψιν ἐβένῳ καὶ κάρβωνι.

1 *b* 34. λέγεται γὰρ εἶδος καὶ ἡ μορφή, ὥσπερ καὶ ἐν Φοινίσσαις Εὐριπίδης φησὶ "πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος." ἀλλὰ μὴν καὶ ὁ συνήθης (ἡ συνήθεια?) τοῦτο αὐτὸ δηλοῖ, τὸν εὔμορφον εὐειδῆ δηλοῦσι (λέγουσα?) καὶ τὸν ἄμορφον δυσειδῆ.

1 *b* 38. διαβάλλουσί τινες τὸν λόγον ὡς δι᾽ ἀλλήλων ὄντα· ἐν

(*) an πλαγίους?

ψυχὴ χωρίζεται τοῦ σώματος· αἱ γὰρ φιλοσώματοι ψυχαὶ καὶ μετὰ θάνατον τὸν τῶν σωμάτων ἔτι περιέπουσιν ἔρωτα, καὶ τούτων εἶναί φασι τὰ φαινόμενα περὶ τοὺς τάφους σκιοειδῆ φαντάσματα.

Πυθαγόρας φησὶν ὅτι φιλοσοφία ἐστὶ φιλία σοφίας, πρῶτον τῷ παρὰ τοῖς παλαιοτέροις ἐπιστὰς ἁμαρτήματι· ἐπειδὴ γὰρ ἐκεῖνοι σοφὸν ὠνόμαζον τὸν ἡντιναοῦν ἐπιόντα τέχνην, ὧν εἷς ἦν καὶ Ἀρχίλοχος λέγων "τρίαιναν ἐσθλὸν καὶ κυβερνήτην σοφόν" καὶ ὁ ποιητὴς "ἐπεὶ σοφὸς ἤραρε τέκτων" καὶ "εὖ εἰδὼς σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης," μεθίστησι τὴν προσηγορίαν ταύτην ἐπὶ τὸν θεόν, ὡς μόνον ἐκεῖνον καλεῖσθαι σοφὸν τὸν θεόν.

μέσον δὲ τούτων (τοῦ θεολογικοῦ καὶ τοῦ φυσιολογικοῦ) τὸ μαθηματικόν, ἐπειδὴ καὶ κατὰ φύσιν μέσην ἔχει τάξιν. τοῦτο δέ τινες τῶν πάλαι προέταξαν τοῦ φυσιολογικοῦ, οἱ μὲν κατὰ Πλάτωνα ἵνα, φασί, τὰς ἰδέας ἐν τῇ ψυχῇ ἤδη ὑποκειμένας ἐπιγινώσκωμεν ἤτοι ἀναμιμνησκώμεθα τὰ ἐν τοῖς καθ' ἕκαστα θεωροῦντες, ὁδῷ τινὶ ἢ κλίμακι τῷ μαθηματικῷ χρώμενοι· οἱ δὲ κατὰ Ἀριστοτέλην τὴν μέσην τάξιν αὐτῷ ἀπενείμαντο... διαιρεῖται οὖν ἡ φιλοσοφία, ὡς ἤδη εἴρηται, εἴς τε θεωρητικὸν καὶ πρακτικόν... διὰ τί οὐ μὴ εἰς πλείονα ἀλλ' εἰς δύο; τούτου δὲ αἰτίαι εἰσὶ δύο. ἐπεὶ γὰρ λέγομεν τὴν φιλοσοφίαν ὁμοίωσιν εἶναι θεῷ καὶ θεὸς διττὰς ἔχει τὰς ἐνεργείας, τὰς μὲν γνωστικὰς τῶν ὄντων πάντων, τὰς δὲ προνοητικὰς ἡμῶν τῶν καταδεεστέρων, εἰκότως ἡ φιλοσοφία διαιρεῖται εἰς τὸ θεωρητικὸν καὶ πρακτικόν· διὰ μὲν τοῦ θεωρητικοῦ γινώσκομεν τὰ ὄντα, διὰ δὲ τοῦ πρακτικοῦ προνοούμεθα τῶν καταδεεστέρων.

καὶ ὁ ἠθικὸς ἑαυτῷ νόμους τίθησιν ὅταν λέγῃ (Carm. aur. 9) "κρατεῖν δ' εἰθίζεο τῶνδε, γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου καὶ φιλότητος." καὶ πάλιν ὁπόταν Ἰσοκράτης (ad Demon. § 16. ed. Bekk. Ber.) λέγῃ "τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου."

εἴποι δὲ ἂν ἄκοσμον καὶ τὸν περιττεύοντα μορίοις τισὶ τοῦ ἀνενδεοῦς, οἷον ἑξαδάκτυλον ἢ ἑξάχειρα, ὡς τοὺς κατὰ Ἀπολλώνιον τὸν ποιητὴν Γίγαντας.

ἐμνήσθη ἐν τῇ διδασκαλίᾳ (τῇ τῶν δέκα κατηγοριῶν) φωνῶν τινῶν πέντε (ὁ Ἀριστοτέλης) ἀγνώστων ἡμῖν οὐσῶν ἐν τῇ συνηθείᾳ, γένους διαφορᾶς εἴδους ἰδίου καὶ συμβεβηκότος. ὁ οὖν φιλόσοφος Πορφύριος φιλανθρώπως ἅμα ποιῶν καὶ φιλοσόφως, ἔγραψε τοῦτο τὸ βιβλίον, διδάσκων ἡμᾶς τι σημαίνει ἑκάστη φωνή.

ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΦΙΛΟΠΟΝΟΥ ΕΙΣ ΤΑΣ ΠΕΝΤΕ ΦΩΝΑΣ ΠΟΡΦΥΡΙΟΥ (†).

Καὶ τὸ πρὸς ὠφέλειαν μὴ μόνων τῶν οἰκείων μαθητῶν ἀλλὰ καὶ πάντων τῶν περὶ λόγους ἐσπουδακότων καὶ ὅσαι ὧραι τούτοις ἐπεντρυφώντων συγγραφήν τινα οἰκείαν συγγράφειν τὸν διδάσκαλον κάλλιστόν τε πάντων καθέστηκε τῶν καλῶν καὶ τῷ ὄντι θεοφιλέστατον. τὸ δὲ καὶ τὴν τῶν παλαιῶν συγγραμμάτων εἴτουν ἐξηγητῶν πρός τινα μαθήματα ἀσάφειαν γριφότητά τε καὶ μακρολογίαν, οἰκειότερον δὲ εἰπεῖν ἀδολεσχίαν, πρὸς τὸ σαφέστερον μεταρρυθμίσαι καὶ εὐσύνοπτον ἀνδρὸς ἂν εἴη ζῆλον διάπυρον κεκτημένου πρὸς τὴν τῶν μαθητευομένων σπουδήν τε καὶ ἐπιμέλειαν, διδασκάλου τε ἀτεχνῶς ἀληθοῦς, καὶ μὴ τῶν οἰκείων μαθητῶν μόνον ὡς οἰκείων ἀντιποιουμένου μελῶν, ἀλλὰ καὶ πάντων. τοιγαροῦν τὸ τοιοῦτον ἡ ἡμετέρα οὐθενότης ὡς λυσιτελὲς εἰδυῖα καὶ τίμιον καὶ πολλὴν ὠφέλειαν τοῖς ἐθέλουσι προξενοῦν, ᾠήθην δεῖν, εἴ τι μὲν γρῖφον καὶ σκοτεινὸν οἱ παλαιοὶ ἐξηγηταὶ ἐξηγήσαντο πρὸς τὸ τῶν πέντε φωνῶν μάθημα, καὶ μὴ βεβαμμένον ὅλως ὑπάρχον εἰς νοῦν, ἀλλὰ καταθολοῦν δυνάμενον καὶ μάλιστα τοὺς εἰσαγωγικῶν λογισμούς, ἐκτῖλαι οὖν αὐτὸ οἷά τινα ἀκαλήφην καὶ πόρρω που ἀπορρῖψαι. ὃ δὲ οὐ τὴν τυχοῦσαν ὠφέλειαν προξενεῖ τοῖς ἐντυγχάνουσιν, εἰ καὶ ἀσαφές, ἀλλ' οὖν οὐ μόνον αὐτὸ πρὸς τὸ εὐσύνοπτον καὶ σαφέστερον μεθαρμόσει, ἀλλὰ καὶ κατὰ τὸ ἐγχωροῦν αὐτῇ οἴκοθεν προσεπιθήσει τινά, καὶ οὐ μόνον ταυτί, ἀλλὰ καὶ κατὰ λέξιν ἑρμηνεύσει τὰς πέντε φωνάς, εἰς μέσον οἷά τινα κρατῆρα λόγου τοῖς νέοις προθεῖναι τὴν τοιαύτην διδασκαλίαν, ὅπως ἀφθόνως ἅμα καὶ ἀκαμάτως οἱ θέλοντες ἐκ τούτου ἀρύωνται. εἰ δὲ καὶ πάντῃ σαφῆ τὴν συγγραφὴν ἡ ἡμετέρα σμικρότης ποιήσει, ὡς ἐκ τούτου συμβῆναι ἐπὶ τὸ ὑπτιώτερον ἐκπεσεῖν, μὴ ἀμάθειαν ταύτην ἢ ἀγροικίαν πᾶς τις κατηγορήσῃ, μὴ πρὸς τῆς τριάδος αὐτῆς καὶ τῶν λογίων, εἴγε πρεσβεύει αὐτόν· ἄλλως γὰρ οὐχ οἷόν τέ ἐστιν ἄνδρας παχεῖς τινὰς ὄντας καὶ τῷ ὄντι ἀήθεις καὶ ἀδαμάστους πρὸς τὰ τῆς ὑψηλοτάτης φιλοσοφίας θεωρήματα ἐμβιβάσαι καὶ πρὸς τὸ ὕψος τούτων τὰς διανοίας αὐτῶν ἀναπτερῶσαι, εἰ μὴ πρὸς τὸ σαφὲς εὐσύνοπτόν τε καὶ σύντομον τὴν ἀσάφειαν καὶ τὴν μακρολογίαν μετοχετεύσομεν. τοῦτο γὰρ καὶ διδασκαλικὸς τρόπος ἐστί, τὸ διὰ τῶν συντόμων καὶ σαφῶν τὴν διδασκαλίαν τῷ μαθητευομένῳ ἐμποιεῖν. καὶ δὴ τῆς ἑρμηνείας ἀπάρξομαι. φασὶ τῶν διδασκάλων τινὲς πρῶτον μὲν τὰ τῆς ῥητορικῆς προγυμνάσματα τοὺς εἰσαγωγικοὺς ἐκδιδάσκειν, καὶ μετὰ ταῦτα τὰς πέντε φωνάς. οὓς ἐγὼ ἐρήσομαι, ἆρα γε, ὦ σοφώτατοι, ὡς εἰσαγωγικοὺς τοὺς νέους καὶ τῶν ποιητῶν ἄρτι πεπαυμένους πρὸς τὴν εὐκολωτέραν καὶ συνήθη (*), τὰ μυθώδη δηλονότι, ἐμβιβάζοντες τοῦτο ποιεῖτε, ὅπως μὴ θολώσητε τὸν λογισμὸν αὐτῶν ὑπὸ τῶν τῆς φιλοσοφίας θεωρημάτων, καὶ ὅτι δεῖ πρότερον τὰ εὐκολώτερα μανθάνειν καὶ τότε τὰ πολυσχεδέστερα; πρῶτον γὰρ προσῆκόν ἐστι μανθάνειν τὸν νέον τὴν προπαιδείαν ἤτοι τὴν ἀπαρίθμησιν τῶν στοιχείων, τὰς συλλαβὰς καὶ τὰς λέξεις, καὶ τότε τὸ γράφειν, εἶτα τὴν γραμματικὴν τέχνην ἐκδιδάσκεσθαι, καὶ μετ' αὐτὴν τὴν ῥητορικήν, καὶ τότε τὴν φιλοσοφίαν. εἰ ταῦτα οὖν εἴποιτε, λογιώτατοι, ἀπολογήσομαι κατὰ τὸ ἐγχωροῦν πρὸς ὑμᾶς. κατὰ τὸν ὑμέτερον λόγον, σοφώτατοι, μετὰ τὰ προγυμνάσματα τὴν ἀκολουθίαν ἐχρῆν ἡμᾶς τῆς

(†) Cod. Bodl. (Barocc.) 145 f. 119–137 b.

(*) addendum videtur διδασκαλίαν.

τοῦ δὲ μέλους ἐπὶ τούτοις παραφθαρέντος ἐστάθμησε καὶ τὰς πρώτας σφύρας καὶ τὰς δευτέρας, ποῖον λόγον ἔσχον πρὸς ἀλλήλας, καὶ τὰ μέλη, καὶ ὡς ἁρμονικὸν λόγον ἀπεγράψατο, τοὺς λόγους αὐτοὺς καθ' αὐτοὺς συγκρίνας χωρὶς τῆς ὕλης, ὡς εἴγε συνέβη τοιαύτην ἀναλογίαν ἀριθμῶν ἐν ὀξυβάφοις ἢ αὔλοις εἶναι, τὸ αὐτὸ ἂν μέλος ἐπετελεῖτο.

τὴν μουσικὴν εὗρον οἱ Θρᾶκες ὡς ἄγαν πολεμικοὶ ὄντες· ἡ γὰρ ψῦξις ἀποκλείουσα τὸ θερμὸν ἐν τῷ βάθει δριμύτερον αὐτὸ ποιεῖ, ὅθεν καὶ θυμώδεις εἰσὶ καὶ πολεμικοὶ τῇ βίᾳ τοῦ θερμοῦ, καὶ ὀρχηστικοὶ δὲ διὰ τὰς ἑτοίμους ἀποφυγὰς τῶν μελῶν· ἔστι γὰρ καὶ πυρρίχιος παρ' αὐτοῖς ὄρχησις, ὅ ἐστιν ἔνοπλος, κατὰ τὸ εἰρημένον τῷ ποιητῇ (Il. 16 617) "Μηριόνη τάχα κέν σε καὶ ὀρχηστὴν περ ἐόντα." ἀλλὰ καὶ ἐμβατήρια μέλη ἐστὶ παρ' αὐτοῖς. τὴν δὲ γεωμετρίαν εὗρον Αἰγύπτιοι, ὡς καὶ ἀνωτέρω εἴρηται, διὰ τὸ ἀνιόντα τὸν Νεῖλον συγχεῖν τὰ ὁροθέσια αὐτῶν. τὴν δὲ ἀστρονομίαν εὗρον Χαλδαῖοι ὡς καθαρὸν οἰκοῦντες ἀέρα· ἀνατολικοὶ γὰρ ὄντες τῇ θερμότητι τοῦ ἡλίου ἔχουσι λεπτυνομένην ἑτοίμως τὴν ἀτμίδα· τρίτου γὰρ κλίματος Ἀλεξάνδρεια Ἀφρικὴ καὶ Περσίς.

ἀποροῦσί τινες ὅτι πάντα τὰ μαθήματα δεῖται τῆς τῶν Μουσῶν ἐπιπνοίας, διὰ τί μία μόνη λέγεται μουσική; πρὸς ἅ φαμεν ὅτι ταύτης μόνης ἔργον πάθη ψυχῆς ἰᾶσθαι καὶ σώματος· διὸ καὶ ἡ φιλοσοφία μεγίστη μουσικὴ ὡς πάθη ψυχῆς ἰωμένη· ὅθεν καὶ ἰατρικὴ ψυχῶν λέγεται. ὅτι δὲ ἰᾶται ψυχῶν πάθη ἡ μουσική, φασί ποτε τὸν Πυθαγόραν θεασάμενον παιδάριον ἑπόμενον κόρῃ αὐλούσῃ ἐπιτρέψαι αὐτῇ στρέψαι τοὺς αὐλούς, καὶ τοῦ μέλους διαφθαρέντος ἔπαυσεν αὐτὸν τοῦ ἐρᾶν.

καὶ Συνέσιος δὲ ὁ φιλόσοφος, ὁ γενόμενος ὕστερον Κυρήνης ἐπίσκοπος, βαρβάρων ἐπιστάντων τῇ Κυρήνῃ διά τινων μελῶν ἔτρεψε τούτους, καὶ φεύγοντες ἔκοπτον ἀλλήλους μηδενὸς διώκοντος.

Πρᾶξις ιβ'. λεκτέον τὴν διαίρεσιν τοῦ πρακτικοῦ· τοῦτο γὰρ μόνον λείπει τῇ διαιρέσει. διαιρεῖ τοίνυν τοῦτο ὁ Ἀριστοτέλης εἰς τρία, εἰς ἠθικόν, οἰκονομικόν, πολιτικόν· ὁ γὰρ πρακτικὸς φιλόσοφος ἀνθρωπείας ψυχὰς κοσμεῖν ἐπαγγελλόμενος ἢ ἀφ' ἑαυτοῦ ἄρχεται τοῦ κόσμου, καὶ λέγεται ἠθικός (γελοίως γὰρ ἄλλους ἐπαγγέλλεται κοσμεῖν αὐτὸς ἄκοσμος ὤν), ἢ ὀλίγους κοσμεῖ, καὶ λέγεται οἰκονομικός. ἐγκαλοῦσι δὲ οἱ Πλατωνικοὶ τῇ τοιαύτῃ διαιρέσει τέσσαρα ἐγκλήματα, πρῶτον ὅτι ἐν οὐδεμιᾷ διαιρέσει τὸ γένος ἐνὶ εἴδει ἑαυτοῦ πάντῃ ταὐτόν ἐστι... δεύτερον ἔγκλημα ὅτι ἐν οὐδεμιᾷ διαιρέσει τὰ εἴδη περιέχει ἄλληλα· αἱ γὰρ διαιρέσεις διακρίσεως χάριν ἐπενοήθησαν... τρίτον ἔγκλημα ὅτι οὐκ ἀεὶ ἐὰν ὀλίγους κοσμεῖ, λέγεται οἰκονομικός, εἰ δὲ πολλούς, πολιτικός... τέταρτον ἔγκλημα ὅτι εἰ δῶμεν ἀπὸ τοῦ ποσοῦ τῶν ὠφελουμένων τὰς ἕξεις διαιρεῖσθαι, τῷ ἢ ἕνα ὠφελεῖν ἢ ὀλίγους ἢ πολλούς, λύσαιμεν ἂν οὕτως πᾶσαν τέχνην καὶ ἐπιστήμην διαιροῦντες· πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη σκοπὸν ἔχει ἢ ἕνα ὠφελεῖν ἢ ὀλίγους ἢ πολλούς. ταύτην τὴν διαίρεσιν ὡς κακῶς ἔχουσαν ἀποσεισάμενοι οἱ Πλατωνικοὶ λέγουσιν ἑτέραν διαίρεσιν· διαιροῦσι τοίνυν τὸ πρακτικὸν εἰς δύο, εἰς νομοθετικὸν καὶ δικαστικόν, διότι ὁ πρακτικὸς φιλόσοφος ἠθῶν ὢν ἐπανορθωτὴς καὶ νόμους τίθησι καθ' οὓς δεῖ ζῆν τοὺς εὖ βιώσοντας, καὶ ἐπιτίμια ὁρίζει οἷς δεῖ ὑποπίπτειν τοὺς μὴ ἐμμείναντας τοῖς προεκτεθεῖσι νόμοις. ἀλλὰ πόθεν ὅτι Ἀριστοτέλους ἡ εἰς τρία διαίρεσις, πόθεν δὲ ὅτι Πλάτωνος ἡ εἰς δύο, πόθεν δὲ ὅτι οὐ προσίεται ὁ Πλάτων τὴν εἰς τρία τοῦ Ἀριστοτέλους διαίρεσιν; Ἀριστοτέλους τοίνυν ἡ εἰς τρία διαίρεσις διὰ τὰς γεγραμμένας αὐτῷ τοιαύτας πραγματείας· διὰ μὲν γὰρ τὸ ἠθικὸν γεγραμμένα αὐτῷ εἰσὶ τὰ ἠθικὰ πρὸς Εὔδημον μαθητήν, καὶ ἄλλα πρὸς Νικόμαχον τὸν πατέρα, τὰ μεγάλα Νικομάχια, καὶ πρὸς Νικόμαχον τὸν υἱὸν τὰ μικρὰ Νικομάχια... διὰ δὲ πολιτικὸν γέγραπται αὐτῷ πολιτικός· γεγραμμέναι δὲ αὐτῷ εἰσὶ καὶ πολιτεῖαι διακόσιαι πεντήκοντα τὸν ἀριθμόν, ἃς συνεγράψατο ἐκ τοῦ πολλὴν γῆν περιελθεῖν σὺν Ἀλεξάνδρῳ τῷ βασιλεῖ... φέρε δὲ ἡμεῖς εἴπωμεν ὑπὲρ Ἀριστοτέλους ὅτι κἂν συνεγράψατο ἠθικά, οὐ διαιρεῖ εἰς ταῦτα τὸ πρακτικόν, ἀλλ' οἶδεν ὅτι τὸ νομοθετικὸν καὶ δικαστικὸν διήκει δι' αὐτῶν, ἐπεὶ τοῖς αὐτοῖς ἀτόποις περιπεσοῦνται καὶ οἱ γραμματισταί... ἐπᾴδωμεν ἑαυτοῖς τὰ τῷ ὄντι χρυσᾶ ἔπη Πυθαγόρου, τὸ πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν... ἀλλὰ καὶ πόλει ἔστι νομοθετεῖν καὶ δικάζειν· ποῦ γὰρ ἂν οἰκειότερον ταῦτα πραχθείη ἢ ἐν πόλει (*).

(*) In haec verba desinunt Prolegomena.

ΕΡΜΕΙΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΡΟΘΕΩΡΙΑ ΕΙΣ ΤΗΝ ΕΙΣΑΓΩΓΗΝ ΠΟΡΦΥΡΙΟΥ ΤΟΥ ΦΟΙΝΙΚΟΣ (†).

Μέλλοντας ἡμᾶς ἄρχεσθαι φιλοσόφων λόγων ἀναγκαῖόν ἐστι μαθεῖν τί ποτέ ἐστι φιλοσοφία· δεῖ γὰρ τὸν ἀρχόμενόν του πρότερον μαθεῖν τί ὂν τυγχάνει· οὕτω γὰρ καὶ σπουδαιότερον ἀντιλήψεται τοῦ πράγματος. μανθάνομεν δὲ τὰ πράγματα ἐκ τῶν ὁρισμῶν. καὶ πῶς δυνατὸν δι' ὁρισμοῦ μαθεῖν πρᾶγμα, ἀγνοουμένου τοῦ τί ἐστιν ὁρισμός; ὁρισμὸς τοίνυν ἐστὶ λόγος σύντομος δεικνὺς τὴν τοῦ πράγματος φύσιν... ὁρισμὸς δὲ λέγεται ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς χωρίοις ὅρων... οἱ οὖν ὁρισμοὶ λαμβάνονται ἢ ἐκ τοῦ ὑποκειμένου ἢ ἐκ τοῦ τέλους ἢ ἀπὸ συναμφοτέρων... παραλαμβάνονται οὖν τῆς φιλοσοφίας ὁρισμοὶ πολλοί· πολλοὶ γὰρ πολλαχῶς ὡρίσαντο τῶν πάλαι αὐτήν. ἵνα δὲ μὴ τοῖς φιλαιτίοις ἀκαίρου φιλοτιμίας ἐν τῷ παρόντι δῶμεν ἔγκλημα, τοὺς ἐκεῖ διεξιόντες ὅρους, ἀπόχρη πέντε ἢ ὀλίγῳ πλείους ἐπελθεῖν. δύο μὲν οὖν εἰσὶν ἐκ τοῦ ὑποκειμένου, δύο δὲ ἐκ τοῦ τέλους, καὶ ἕτερος ἐκ τῆς ὑπεροχῆς ἣν ἔχει πρὸς τὰς ἄλλας τέχνας. ἔστιν οὖν ὁ πρῶτος ὁρισμὸς οὗτος, φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν. τὸ ᾗ ἀντὶ τοῦ καθό.

ἰστέον δὲ ὅτι οὐ τοῦ σώματος χωρισθέντος τῆς ψυχῆς καὶ ἡ

(†) Cod. Paris. Reg. 963 f. 357–370. eadem prope Ammonius habet f. 9 et 10.

"φάγοιμι ἂν ἢ εἴποιμι." (*) τοῦ δὲ φαγεῖν ἀναγκάζοντος, πάλιν εἶπεν "εἴποιμι ἂν ἢ φάγοιμι." τέλος οὖν ἀναγκαζομένη δυεῖν θάτερον πρᾶξαι, ἢ φαγεῖν ἢ εἰπεῖν, μασησαμένη τὴν ἑαυτῆς γλῶτταν ἀπέτεμεν ὡς ὄργανον διαλέκτου καὶ γεύσεως, καὶ ἐντεῦθεν αἰκιζομένη μετήλλαξε τὸν βίον. ἢ διὰ μακρὰν νόσον κωλύουσαν ἐπὶ πολὺ ὀργάνῳ χρῆσθαι τὴν ψυχὴν τῷ σώματι, εὐλόγως δεῖ ἐξάγειν αὐτήν. διὸ καὶ ὁ Πλάτων οὐκ ἀποδέχεται τὸ διαιτητικὸν τῆς ἰατρικῆς ὡς παιδαγωγοῦν τὰ νοσήματα καὶ ποιοῦν ἐγχρονίζειν, ἀλλ' ἀποδέχεται τὸ χειρουργικὸν καὶ φαρμακευτικόν, ᾧ ἐχρῆτο Ἀρχιγένης ὡς στρατόπεδον θεραπεύων. φησὶ δὲ καὶ Σοφοκλῆς (Aiac. 578) "οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι τραύματι." ἢ διὰ πενίαν· καὶ καλῶς φησὶν ὁ Θέογνις (175 Bekk.)

> χρὴ πενίην φεύγοντα καὶ εἰς μεγακήτεα πόντον
> ῥίπτειν καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων.

ἢ διὰ λῆρον· ὥσπερ γὰρ ἐκεῖ ἡ μέθη ἔλυε τὸ συμπόσιον, οὕτως κἀνταῦθα εὐλόγως ἔστι τινὰ αὑτὸν ἐξαγαγεῖν διὰ λῆρον· οὐδὲν γάρ ἐστι λῆρος εἰ μὴ φυσικὴ μέθη, καὶ οὐδέν ἐστι μέθη εἰ μὴ προαιρετικὸς λῆρος. καὶ ταῦτα μὲν περὶ τούτου· ὁ μέντοι Πλωτῖνος περὶ εὐλόγου ἐξαγωγῆς γράφει μονόβιβλον, καὶ οὐδὲ ἕνα τῶν πέντε τρόπων τούτων ἀποδέχεται κτλ. δηλοῦσι δὲ καὶ οἱ Ῥωμαίων νόμοι μὴ πρότερον ταφῇ παραδιδόντες τὰ τῶν ἐξαγόντων ἑαυτοὺς σώματα, πρὶν ἂν αἰκίσωνται κατὰ τῶν ποδῶν.

ἄλλος ὁρισμὸς τῆς φιλοσοφίας ἐκ τοῦ πόρρω αὐτῆς τέλους λαμβανόμενος, ὁ λέγων αὐτὴν ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ· ἐν γὰρ τῷ Θεαιτήτῳ τῷ διαλόγῳ (p. 176) ὁ Πλάτων οὕτως αὐτὴν ὡρίσατο. ἀποροῦσι δέ τινες ὅτι πῶς δύναται ὁ φιλόσοφος ὅμοιος τῷ θεῷ γενέσθαι; καὶ λέγουσιν ὅτι ἐπειδὴ ἔχει τὰ χαρακτηρίζοντα τὸ θεῖον· οἱ γὰρ ποιηταὶ τρισσῶς τὸ θεῖον χαρακτηρίζουσι, τῷ ἀγαθῷ, τῷ δυνατῷ, τῷ γνωστικῷ, ὡς δηλοῖ τὸ θεοὶ δωτῆρες ἐάων, θεοὶ δέ γε πάντα δύνανται, θεοὶ δὲ πάντα ἴσασι.

Πρᾶξις ζ'. ἐπειδὴ μὴ ἠρκέσθη ὁ Πλάτων εἰπεῖν τὴν φιλοσοφίαν ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ἀλλὰ καὶ τὸν τρόπον τῆς ὁμοιώσεως προσέθηκεν εἰπὼν "ὁμοίωσις δέ ἐστι δίκαιον καὶ ὅσιον γενέσθαι μετὰ φρονήσεως, καὶ ταῦτα γινώσκειν," φέρε τρία τινὰ ζητήσωμεν, πρῶτον μὲν διὰ τί προσέθηκε τῷ δικαίῳ τὸ ὅσιον, δεύτερον διὰ τί τεσσάρων οὐσῶν ἀρετῶν δύο μόνων ἐμνήσθη, δικαιοσύνης καὶ φρονήσεως, τρίτον διὰ τί εἶπε "καὶ ταῦτα γινώσκειν."

Πρᾶξις η'. πέμπτος ὁρισμὸς τῆς φιλοσοφίας εἰς Ἀριστοτέλην ἀναγόμενος, ὁ λέγων αὐτὴν τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν· ἐν γὰρ τῇ μετὰ τὴν φυσικὴν πραγματείαν θεολογικῇ ἐπιγεγραμμένῃ (1 2) εἴρηται αὐτῷ ὁ ὁρισμὸς οὗτος. καὶ εἰκότως ἐκ τῆς ὑπεροχῆς οὕτως λέγεται, ὡς καὶ ἐν τῇ θεολογικῇ πραγματείᾳ οὕτως. διὸ καὶ ἀποροῦσιν ὅτι διὰ τί τοιούτῳ ἐπαναδιπλασιασμῷ κέχρηται, καὶ λέγουσι τούτου αἰτίας πέντε.

φησὶν Ἀριστοτέλης ἐν ἀποφθέγματι ὅτι ὅσοι ταῖς ἄλλαις τέχναις καὶ ἐπιστήμαις σχολάζοντες τῆς φιλοσοφίας ἀμελοῦσιν ἐοίκασι τοῖς μνηστῆρσι τῆς Πηνελόπης, οἵτινες αὐτῇ συγγενέσθαι μὴ δυνάμενοι ἠγάπων κἂν ταῖς θεραπαίναις αὐτῆς συγγενέσθαι.

βουλομένη ἡ οἰκοδομικὴ γνῶναι εἰ ὀρθὸς ὁ τοῖχος, κέχρηται βαρυλλίῳ.

οὕτω τρωθείς τις ἐν πολέμῳ ὑπὸ φίλου ἔφη "αὐτόν μ' ἐξέσωσα. τί μοι μέλει ἀσπὶς ἐκείνη; ἐρρέτω," αὐτὸν μὲν τὴν ἰδίαν ψυχὴν εἰπών, ἀσπίδα δὲ τὸ ἴδιον σῶμα καλέσας. καὶ ἄλλος διψήσας ἔφη "ἀπέρχομαι τὸν ὄνον μου ποτίσαι," ὄνον τὸ σῶμα καλέσας. καὶ τὸ "πτίσσε πτίσσε τὸν Ἀναξάρχου θύλακον· αὐτὸν γὰρ Ἀνάξαρχον οὐ μὴ πτίσῃς ποτέ."

Πρᾶξις θ'. ἕκτος ὁρισμὸς τῆς φιλοσοφίας εἰς Πυθαγόραν ἀναγόμενος, ὁ λέγων αὐτὴν φιλίαν σοφίας.

Πρᾶξις ι'. διαίρεσις τῆς φιλοσοφίας... τί διαίρεσις καὶ ἐπιδιαίρεσις καὶ ὑποδιαίρεσις.

διαιρεῖται (τὸ θεωρητικὸν) εἰς τρία, εἰς φυσικόν, μαθηματικόν, θεολογικόν. καὶ εἰκότως.

ἀποροῦσι δέ τινες ὅτι εἰ πάντα μανθάνομεν καὶ τὰ ἄϋλα καὶ τὰ ἔνυλα καὶ τὰ μέσα, διὰ τί μὴ πάντα καλεῖται μαθήματα, ἀλλὰ μόνα τὰ μέσα ἐσφετερίσατο τὸ κοινὸν ὄνομα; καὶ λέγουσι τούτου αἰτίας δύο, μίαν μὲν ὅτι ἔχουσι τὰ μαθήματα τὸ ἀραρὸς τῶν ἀποδείξεων· ταῦτα γὰρ μανθάνομεν ἀκριβῶς, τὰ δὲ ἄλλα εἰκάζομεν μᾶλλον ἢ μανθάνομεν, διὸ καὶ ὁ φιλόσοφος Μαρῖνος ἔφη "εἴθε πάντα μαθήματα ἦν." δευτέραν δὲ ὅτι ταῦτα ἡδέως μανθάνομεν, πάσχοντες τὸ τῶν Λωτοφάγων· γευσάμενοι γὰρ αὐτῶν οὐ θέλομεν αὐτῶν ἀποστῆναι, ἀλλ' ἐχόμεθα αὐτῶν ὡς λωτοῦ. ἢ φησὶ καὶ Πλάτων οὕτως· ἃ γὰρ ἂν ἔχουσα ἡ ψυχὴ λάβῃ, δυσέκνιπτα καὶ ἀμετάστατα φιλεῖ γίνεσθαι, ὥσπερ τοὐναντίον, φησί, ψυχῆς βίαιον οὐδὲν ἔμμονον μάθημα. καὶ Ἀρχιμήδης δέ ποτε βαρβάρων ἐπιστάντων ταῖς Συρακούσαις οὐκ ἔφυγε θεώρημά τι γεωμετρικὸν καταγράφων, ἀλλ' ἔφη "τὰν κεφαλὰν καὶ μὴ τὰν γραμμάν," τοῦτ' ἔστι παρὰ τὴν κεφαλὴν καὶ μὴ παρὰ τὴν γραμμήν. καὶ ταῦτα ἔχει ἡ παροῦσα πρᾶξις.

Πρᾶξις ια'. τοῦ θεωρητικοῦ εἰς τρία διαιρεθέντος, εἰς φυσικὸν μαθηματικὸν θεολογικόν, μόνου τοῦ μαθηματικοῦ τὴν διαίρεσιν νῦν οἱ ἐξηγηταὶ παραδιδόασιν, ὡς ἂν τούτου συμμέτρως ἔχοντος πρὸς εἰσαγομένους· ἐφ' οἷς εἴπωμεν τὴν ὑποδιαίρεσιν τοῦ μαθηματικοῦ. διαιρεῖται τοίνυν εἰς τέσσαρα, εἰς ἀριθμητικὴν μουσικὴν γεωμετρίαν ἀστρονομίαν. καὶ εἰκότως.

ἀποροῦσιν ὅτι εἰ ἡ μουσικὴ περὶ συμμετρίαν φθόγγων καταγίνεται καὶ ἀσυμμετρίαν, πῶς περὶ τὰς σχέσεις τῶν ἀριθμῶν λέγουσιν αὐτὴν καταγίνεσθαι. καὶ λέγουσιν ὅτι μήποτε τῆς κατὰ Πυθαγόραν μουσικῆς ταῦτα εἴρηται ὡς ἀϋλοτέρας οὔσης, ἥτις οὐ προσποιεῖται ὕλην ἢ φθόγγους, ἀλλ' αὐτὰς τὰς σχέσεις τῶν ἀριθμῶν θεωρεῖ καθ' αὑτὰς μόνας. φασὶ γὰρ αὐτὸν παριόντα διὰ χαλκείου ἀκοῦσαι μέλους τινὸς καὶ ἁρμονίας ἐκ τῶν πληγῶν τῶν σφυρῶν ἀποτελουμένων, καὶ ἐπέτρεψεν αὐτοῖς ἀλλάξαι τοὺς ἄκμονας. τοῦ δὲ μέλους οὐδὲν ἧττον τοῦ αὐτοῦ φυλαχθέντος ἐπέτρεψε πάλιν αὐτοῖς τὰς σφύρας ἀλλάξαι.

(*) v. 1 et 2. ἢ] malim εἰ. apud Olympiodorum in Phaedonem (cod. Paris. Reg. 1822) ἢ εἴποιμι ἄν, et mox ἢ φάγοιμι ἄν.

οὖν ὁ λόγος ὅτι τῆς διαφόρου φύσεως καὶ τὸ ἀγαθὸν διάφορον. διὰ τοῦτο οὖν χρὴ καὶ τῆς φιλοσοφίας τὴν φύσιν εἰδέναι. ἀλλ' ἐπειδὴ ταύτην χωρὶς ὁρισμοῦ γνῶναι οὐ δυνατόν (οἱ γὰρ ὁρισμοὶ ἀνατομαὶ καὶ ἀναπτύξεις εἰσὶ τῶν φύσεων), δεῖ ἀπὸ τοῦ ὁρισμοῦ ἄρξασθαι· εἰς τοιαύτην γὰρ ἀνάγκην κατήντησεν ὁ λόγος. τοῦ δὲ ὁρισμοῦ πρόσρημα τὸ τί ἐστιν. ἐκ τούτου οὖν δεῖ ἄρξασθαι, ὡς ἔδειξεν ὁ λόγος. τίς δὲ ὁ ὁρισμός, ἐν ἑτέρᾳ θεωρίᾳ εὐμενείᾳ τοῦ κρείττονος παραστήσομεν.

Πρᾶξις β'. ἀλλ' ἐπειδὴ καὶ αὐτοὶ οἱ ἀναιροῦντες τὴν φιλοσοφίαν, ἀποδεῖξαι βουλόμενοι ὅτι οὐκ ἔστιν, εἰσάγουσιν αὐτήν (ἡ γὰρ ἀπόδειξις μέρος φιλοσοφίας), τούτου χάριν ἀφέντες τὸ εἰ ἔστιν, ἀπὸ τοῦ τί ἐστι τὴν ἀρχὴν ποιησόμεθα, χάριν ἐκείνοις τοῖς ἀναιρεῖν αὐτὴν ἐσπουδακόσιν ὁμολογοῦντες, ὅτι τοῦτο ἐπιτηδεύσαντες μᾶλλον ἡμῖν καταδήλον αὐτὴν πεποιήκασι διὰ τῶν ἀποδείξεων. ἢ καὶ ὡς φησὶν Ἀριστοτέλης ἐν τῷ Προτρεπτικῷ ἐπιγεγραμμένῳ, ἐν ᾧ προτρέπει τοὺς νέους πρὸς φιλοσοφίαν. φησὶ γὰρ οὕτως· εἰ μὲν φιλοσοφητέον, φιλοσοφητέον, καὶ εἰ μὴ φιλοσοφητέον, φιλοσοφητέον· πάντως ἄρα φιλοσοφητέον. τοῦτ' ἔστιν, εἰ μὲν γὰρ ἔστι, πάντως ὀφείλομεν φιλοσοφεῖν, οὔσης αὐτῆς· εἰ δὲ μή ἐστι, καὶ οὕτως ὀφείλομεν ζητεῖν πῶς οὐκ ἔστι φιλοσοφία, ζητοῦντες δὲ φιλοσοφοῦμεν, ἐπειδὴ τὸ ζητεῖν αἰτία τῆς φιλοσοφίας ἐστίν. καὶ κατὰ τρεῖς δὲ αἰτίας δεῖ ἀπὸ τοῦ τί ἐστιν ἄρξασθαι κτλ. (*).

Πρᾶξις γ'. δεύτερον ζητείσθω πόθεν εἴρηται ὁρισμός. ὁρισμὸς τοίνυν εἴρηται ὡς ἐκ μεταφορᾶς τῆς τῶν ὁροθεσίων. πάλαι γὰρ τοῦ Νείλου ἀνιόντος καὶ συγχέοντος τὰς ἀρούρας, μετὰ τὴν ἀπόστασιν αὐτοῦ πόλεμοι ἐγίνοντο καὶ φόνοι περὶ τὴν διανομὴν τῆς γῆς. ἐπενόησαν οὖν ὁροθέσιά τινα πρὸς δήλωσιν τῶν τόπων, καὶ ἐπαύσαντο τοῦ πολεμεῖν· διὸ καὶ ἄκαινα μέτρον κέκληται παρ' αὐτοῖς παρὰ τὴν στέρησιν τοῦ φόνου· καίνω γὰρ τὸ φονεύω. οὕτως οὖν καὶ οἱ ἐξηγηταὶ τῶν φύσεων ὁρισμοί, τοῦ δικαίου καὶ τῆς ἀντιστροφῆς στοχαζόμενοι, οὔτε ἐλλείπειν θέλουσιν οὔτε πλεονάζειν κτλ.

σολοικισμὸς δὲ εἴρηται ὡς σόου λόγου αἰκισμός.

τὴν ὑγίειαν οὐ μόνον ὁ ἰατρὸς ποιεῖ, ἀλλὰ καὶ ἐκ τύχης γίνεται, ὡς εἴρηται ἐν τῷ περὶ Αἱρέσεων.

ὁ Ὑπερείδης ὁ ῥήτωρ συνηγορῶν Φρύνῃ τῇ πόρνῃ, αἰσθόμενος ἐν τοῖς ἑαυτοῦ λόγοις ὅτι οὐκ ἔπεισε τοὺς δικαστάς, ἐπέτρεψε τῇ πόρνῃ διαρρῆξαι τοὺς χιτῶνας, καὶ τότε διὰ τῆς τῶν μαζῶν θέας εἷλεν αὐτούς.

καὶ ταὐτὸν εἶον τὸν Λυκοῦργον ἡ Πυθία προσεῖπεν (Herodot. 1 65)·

ἥλθες ὦδε Λυκοῦργε ἐμὸν ποτὶ πίονα νηόν.
δίζω εἴ σε θεὸν μαντεύσομαι ἦε καὶ ἄνδρα.

δεῖ εἰδέναι ὅτι ἓξ εἰσιν ὁρισμοὶ τῆς φιλοσοφίας καὶ οὔτε πλείους οὔτε ἐλάττους.

τινὲς δὲ προστιθέασι καὶ ἄλλον ὁρισμὸν ἕβδομον· οἱ γὰρ ἰατροί, χάλκεα χρυσείων ἀμειψάμενοι, οὐκ ἔμπαλιν χρύσεα χαλκείων καθ' Ὅμηρον, τοὺς ὁρισμοὺς ἤμειψαν καὶ τὴν ἰατρικὴν ὡρίσαντο φιλοσοφίαν σωμάτων, τὴν δὲ φιλοσοφίαν ἰατρικὴν ψυχῶν. ἀλλ' ὦ ἰατροί, διάλληλος ἥδε ἐστὶ δεῖξις.

ἄλλον ἕτοιμον ὁρισμὸν ἀναφέρουσι τῷ Πλάτωνι εἰρημένον ἐν Θεαιτήτῳ (*)· φησὶ γὰρ ἐκεῖ τὴν φιλοσοφίαν μεγίστην μουσικήν κτλ.

Πρᾶξις ε'. φέρε ἔλθωμεν ἐπὶ τὴν ἐξήγησιν αὐτῶν (τῶν ὁρισμῶν). πρῶτος τοίνυν ὁρισμός ἐστι τῆς φιλοσοφίας ἐκ τοῦ καθόλου ὑποκειμένου, ὁ λέγων, γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν. καὶ οὐκ ἔχω μὲν εἰπεῖν ἐν ποίῳ συγγράμματι ὁ Πυθαγόρας εἶπεν αὐτόν· οὐδὲ γὰρ κατέλιπε συγγράμματα, ἀλλ' ὅπερ τοῖς ἄλλοις τὰ συγγράμματα, τοῦτο ἐκείνῳ οἱ μαθηταί.

φυσικὸς δὲ θάνατος καὶ προαιρετικὴ ζωή ἐστιν, ὅταν τὴν κατὰ φύσιν ζωὴν ζῶντες ἀκολάστως τὸν βίον μετερχώμεθα. ἠβουλόμην δὲ τούτων ἀκοῦσαι τῶν λόγων Κλεόμβροτον· οὗτος γὰρ λέγων (Anthology. 7 471)

εἴπας "ἥλιε χαῖρε" Κλεόμβροτος Ἀμβρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀΐδην,
ἄξιον οὐτι παθὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

ἐγὼ δὲ τἀναντία ἐκείνῳ φημί, ἐπεὶ οὕτως·

εἰ μὴ γράμμα Πλάτωνος ἐμὴν ἐπέδησεν ἐρωήν,
ἤδη λυγρὸν ἔλυσα βίου πολυκηδέα δεσμόν.

τοῦτ' ἔστιν, εἰ μὴ ὠφελήθην ἐκ Πλάτωνος τρόπον εὐζωΐας, προέκρινον ἂν μὴ εἶναι ἢ κακῶς εἶναι. ἔστιν οὖν τις θάνατος ζωῆς τινὸς κρείττων, ὃν ἡ φιλοσοφία μελετᾶν ἀεὶ ἐπαγγέλλεται.

Πρᾶξις ς'. οὐ μόνον ὁ Κλεόμβροτος ἀλλὰ καὶ οἱ Στωϊκοὶ φιλόσοφοι, οἷον Κλεόμβροτοί τινες ὄντες, τὴν φιλοσοφίαν ὑπέλαβον μελέτην εἶναι τοῦ φυσικοῦ θανάτου· διὸ καὶ πέντε τρόπους εὐλόγου ἐξαγωγῆς ἔγραψαν. ἔοικε γάρ, φησίν, ὁ βίος μακρῷ συμποσίῳ, ἐν ᾧ δοκεῖ εὐωχεῖσθαι ἡ ψυχή, καὶ παρ' ὅσους τρόπους λύεται τὸ συμπόσιον, παρὰ τοσούτους τρόπους γίνονται καὶ αἱ εὔλογοι ἐξαγωγαί. λύεται γὰρ τὸ συμπόσιον κατὰ πέντε τρόπους, ἢ διὰ χρείαν μεγάλην ἄφνω καταλαβοῦσαν, οἷον παρουσία φίλου διὰ χρόνου· ὑπὸ χαρᾶς γὰρ ἀνίστανται οἱ φίλοι καὶ λύεται τὸ συμπόσιον· ἢ διὰ τοὺς ἐπεισκωμάζοντας καὶ αἰσχρορρημονοῦντας λύεται ὁμοίως τὸ συμπόσιον, ἢ διὰ τὸ νεκρὰ καὶ νοσώδη εἶναι τὰ παρατιθέμενα, ἢ διὰ σπάνιν ἐδεσμάτων, ἢ διὰ μέθην λύεται τὸ συμπόσιον. κατὰ τοὺς αὐτοὺς οὖν πέντε τρόπους γίνονται καὶ εὔλογοι ἐξαγωγαί, ἢ διὰ χρείαν μεγάλην καταλαβοῦσαν, ὡς προσέταξεν ἡ Πυθία τινὶ ἀποσφάξαι ἑαυτὸν ὑπὲρ τῆς ἰδίας πόλεως, φθορᾶς τῇ πόλει ἐπικειμένης· ὅπερ πεποίηκεν ὁ Μενοικεὺς ἀποσφάξας ἑαυτὸν ὑπὲρ τῆς ἰδίας πατρίδος καὶ σώσας αὐτήν. ἢ διὰ τοὺς ἐπεισκωμάζοντας τυράννους καὶ ἀναγκάζοντας ἡμᾶς ἢ πράττειν αἰσχρὰ ἢ λέγειν τὰ ἀπόρρητα· οὕτω γοῦν Πυθαγόρειον γύναιον ὑπὸ τυράννου συσχεθὲν καὶ ἀναγκαζομένη ἐξορχήσασθαι τὰ ἀπόρρητα, τοῦτ' ἔστι τὴν αἰτίαν εἰπεῖν δι' ἣν οὐκ ἐσθίουσι κυάμους (ἦν γὰρ αὐτοῖς ἴσον τοι κυάμους φαγέειν κεφαλάς τε τοκήων), ἔφη

(*) cf. Ammon. in Porphyr. f. 4. ed. Venet. 1545. atque David.

(*) Immo in Phaedone p. 61.

κότος, ῥηθήσεται. εἴδους δὲ καὶ ἰδίου κοινὸν τὸ ἀλλήλων ἀντικατηγορεῖσθαι· εἰ γὰρ ἄνθρωπος, γελαστικόν, καὶ εἰ γελαστικόν, ἄνθρωπος. τὸ γελαστικὸν δὲ ὅτι κατὰ τὸ πεφυκέναι γελᾶν ληπτέον, πολλάκις εἴρηται. κοινὸν δὲ καὶ τὸ ἐπ' ἴσης εἶναι· ἐπ' ἴσης τε γὰρ πάρεστι τὰ εἴδη τοῖς μετέχουσι, καὶ τὰ ἴδια ὧν ἐστὶν ἴδια. διαφέρει δὲ τὸ εἶδος τοῦ ἰδίου ὅτι τὸ μὲν εἶδος δύναται καὶ ἄλλων γένος εἶναι, τὸ δὲ ἴδιον ἄλλων εἶναι ἴδιον ἀδύνατον. καὶ τὸ μὲν εἶδος προϋφέστηκε τοῦ ἰδίου, τὸ δὲ ἴδιον ἐπιγίνεται τῷ εἴδει· δεῖ γὰρ ἄνθρωπον εἶναι, ἵνα γελαστικὸν ᾖ. ἔτι τὸ μὲν εἶδος ἀεὶ ἐνεργείᾳ πάρεστι τῷ ὑποκειμένῳ, τὸ δὲ ἴδιόν ποτε καὶ δυνάμει· ἄνθρωπος μὲν γὰρ ἀεὶ ἐνεργείᾳ ὁ Σωκράτης ἐστί, γελᾷ δὲ οὐκ ἀεί, καίπερ ἀεὶ πεφυκὼς εἶναι γελαστικός. ἔτι ὧν οἱ ὅροι διάφοροι, καὶ αὐτὰ διάφορά ἐστιν· ἔστι δὲ εἴδους μὲν τὸ ὑπὸ τὸ γένος εἶναι, καὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον, καὶ ὅσα τοιαῦτα, ἰδίου δὲ τὸ μόνῳ καὶ παντὶ καὶ ἀεὶ προσεῖναι.

16 Εἴδους δὲ καὶ συμβεβηκότος κοινὸν μὲν τὸ ἐπὶ πολλῶν κατηγορεῖσθαι, σπάνιοι δὲ αἱ ἄλλαι κοινότητες διὰ τὸ πλεῖστον ἀλλήλων διεστάναι τό τε συμβεβηκὸς καὶ τὸ ᾧ συμβέβηκεν. ἴδια δὲ ἑκατέρου, τοῦ μὲν εἴδους τὸ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι ὧν ἐστὶν εἶδος, τοῦ δὲ συμβεβηκότος τὸ ἐν τῷ ποῖον ἢ πῶς ἔχον· καὶ τὸ ἑκάστην οὐσίαν ἑνὸς μὲν εἴδους μετέχειν, συμβεβηκότων δὲ πλειόνων, τῶν τε χωριστῶν καὶ τῶν ἀχωρίστων. καὶ τὰ μὲν εἴδη προεπινοεῖται τῶν συμβεβηκότων, κἂν ἀχώριστα ᾖ (δεῖ γὰρ εἶναι τὸ ὑποκείμενον, ἵνα ἐκείνῳ τι συμβῇ), τὰ δὲ συμβεβηκότα ὑστερογενῆ πέφυκε καὶ ἐπεισώδη [ἐπεισοδιώδη Λ] τὴν φύσιν ἔχει. καὶ τοῦ μὲν εἴδους ἡ μετοχὴ ἐπ' ἴσης, τοῦ δὲ συμβεβηκότος, κἂν ἀχώριστον ᾖ, οὐκ ἐπ' ἴσης· καὶ γὰρ ὁ Αἰθίοψ Αἰθίοπος ἔχοι ἂν τὴν χροιὰν ἢ ἀνειμένην ἢ ἐπιτεταμένην κατὰ μελανίαν. λείπεται δὲ περὶ ἰδίου καὶ συμβεβηκότος εἰπεῖν· πῇ γὰρ τὸ ἴδιον τοῦ τε εἴδους καὶ τῆς διαφορᾶς καὶ τοῦ γένους διενήνοχεν εἴρηται.

Κοινὸν δὴ τῷ ἰδίῳ καὶ τῷ ἀχωρίστῳ συμβεβηκότι τὸ ἄνευ 17
αὐτῶν μὴ ὑποστῆναι ἐκεῖνα ἐφ' ὧν θεωρεῖται· ὡς γὰρ ἄνευ τοῦ γελαστικοῦ οὐχ ὑφίσταται ἄνθρωπος, οὕτως οὐδὲ ἄνευ τοῦ μέλανος ὑποσταίη ἂν Αἰθίοψ. καὶ ὥσπερ παντὶ καὶ ἀεὶ πάρεστι τὸ ἴδιον, οὕτω καὶ τὸ ἀχώριστον συμβεβηκός. διενήνοχε δὲ ὅτι τὸ μὲν ἴδιον ἑνὶ μόνῳ πάρεστιν εἴδει, ὡς τὸ γελαστικὸν ἀνθρώπῳ, τὸ δὲ ἀχώριστον συμβεβηκός, οἷον τὸ μέλαν οὐκ Αἰθίοπι μόνον ἀλλὰ καὶ κόρακι πρόσεστι καὶ ἄνθρακι καὶ ἐβένῳ καὶ ἄλλοις τισίν. διὸ τὸ μὲν ἴδιον ἀντικατηγορεῖται οὗ ἐστὶν ἴδιον καὶ ἔστιν ἐπ' ἴσης, τὸ δὲ ἀχώριστον συμβεβηκὸς οὐκ ἀντικατηγορεῖται. καὶ τῶν μὲν ἰδίων ἐπ' ἴσης ἡ μετοχή, τῶν δὲ συμβεβηκότων ἡ μὲν μᾶλλον ἡ δὲ ἧττον. εἰσὶ μὲν οὖν καὶ ἄλλαι κοινότητές τε καὶ ἰδιότητες τῶν εἰρημένων, ἀλλ' ἐξαρκοῦσι καὶ αὗται εἰς διάκρισίν τε αὐτῶν καὶ τῆς κοινωνίας παράστασιν.

ΠΡΟΛΕΓΟΜΕΝΑ ΣΥΝ ΘΕΩΙ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΟΡΦΥΡΙΟΥ (*).

Ἐπειδὴ πάντα τοῦ ἀγαθοῦ ἐφίεται καὶ κοινὸς πάντων ὅρος ἐστὶ τὸ ἀγαθόν (ἀγαθὸν γὰρ λέγεται διὰ τὸ ἄγαν θέειν ἐπ' αὐτὸ πάντας), τὸ δὲ ἀγαθὸν ἐπίτασιν δηλοῖ, ὅθεν καὶ γραμματικῶν παῖδες παραγγέλλουσι μὴ λέγειν ἀγαθέστερον καὶ ἀγαθώτατον διὰ τὸ ἐν μιᾷ λέξει δύο καὶ ἐπιτατικώτερα, ἀλλὰ λέγειν μᾶλλον ἀγαθόν (δύο γὰρ λέξεις ἐνταῦθα εἰσί) καὶ μάλιστα ἀγαθόν, ὅπερ ἐπιτατικώτερον καὶ τοῦ μᾶλλόν ἐστιν, τούτου χάριν τοῦ εἶναι μὲν καταφρονοῦμεν πολλάκις, τοῦ δὲ ἀγαθοῦ οὐ καταφρονοῦμεν. καὶ αὐτοὶ γὰρ οἱ τὰ κακὰ διαπραττόμενοι οὐχ ᾗ κακὰ διαπράττονται ἀλλ' ᾗ ἀγαθά· ὁ γοῦν ἰατρὸς ἑλκοῖ τὸ σῶμα φλεβοτομῶν, οὐχ ἑλκῶσαι προθέμενος ἀλλ' ὑγιάσαι βουλόμενος, καὶ ὁ φονεὺς ἐγχειρεῖ τῷ φόνῳ οὐχ ὡς φόνου ὀρεγόμενος, ἀλλὰ διὰ τὸ προσγινόμενον αὐτῷ ἐξ αὐτοῦ κέρδος, ὅπερ ἐκεῖνος ἀγαθὸν νομίζει. πάντα οὖν τοῦ ἀγαθοῦ ἐφίεται, ἀλλ' ᾗ τοῦ ὄντως ἀγαθοῦ ἢ τοῦ νομιζομένου, πάντως δὲ ἀγαθοῦ. εἰ οὖν πάντα τοῦ ἀγαθοῦ ἐφίεται, ὃ ἂν δειχθῇ μᾶλλον ἀγαθόν, τούτου μᾶλλον ἐφίεται· ὡς γὰρ τὸ μᾶλλον θερμὸν μᾶλλον θερμαίνει καὶ τὸ μᾶλλον ψυχρὸν μᾶλλον ψύχει, οὕτω καὶ τοῦ μᾶλλον ἀγαθοῦ μᾶλλον πάντα ἐφίεται. ἡμεῖς οὖν διάπυροι καὶ ἐκμανεῖς ἐρασταὶ φιλοσοφίας γινόμεθα ἐμπαραγινόμενον ἡμῖν ἐξ αὐτῆς ἀγαθὸν τῆς φιλοσοφίας, καὶ τοσοῦτον ὁποῖον ἐδήλωσεν ὁ Πλάτων, περὶ αὐτοῦ εἰπὼν ὅτι τοιοῦτον ἀγαθὸν εἰς ἀνθρώπους οὔτε ἦλθεν οὔτε ἥξει ποτὲ δωρηθὲν ἐκ θεοῦ. ἀλλ' ἐπειδὴ τὸ ἀγαθὸν τῆς φιλοσοφίας γνῶναι οὐ δυνατὸν τῆς φύσεως αὐτῆς ἀγνοουμένης, δεῖ τὴν φύσιν αὐτῆς εἰπεῖν ὁποία τυγχάνει· τῆς γὰρ διαφόρου φύσεως διάφορον καὶ τὸ ἀγαθόν. οὕτω γοῦν ἵππου ἀγαθὸν τὸ ἄλτην εἶναι καὶ πορευτικὸν τοῖς ποσίν, ἀνθρώπου δὲ ἀγαθὸν τὸ ἀναθρεῖν ἃ ὀπώπαμεν· μόνος γὰρ τῶν ζῴων ἄνθρωπος ἀναμιμνήσκεται, τῶν ἀλόγων μνήμην ἐχόντων μόνον, ὡς δηλοῖ ὁ κύων τοῦ Ὀδυσσέως ὁ Ἄργος, φυλάξας τὴν μνήμην εἰς εἴκοσι ἔτη. οὐ ταὐτὸν δὲ μνήμη καὶ ἀνάμνησις· μνήμη μὲν γάρ ἐστι μονὴ νοῦ, ἀνάμνησις δὲ ἀπολλυμένης μνήμης ἀνανέωσις. καὶ ἡμεῖς μὲν οὕτως· ὁ δὲ φιλόσοφος Πρόκλος βούλεται ἐν τοῖς εἰς Φαίδωνα ὑπομνήμασι ἔχειν καὶ τὰ ἄλογα ἀνάμνησιν. ὑπερβαίνει γάρ, φησί, τὴν ἐκείνων ζωὴν τὸ ἀμετάπτωτον τῆς γνώσεως· τὸ γὰρ διὰ παντὸς μεμνῆσθαι αὐτὰ καὶ μὴ ἐπιλανθάνεσθαι ὑπὲρ τὴν ἐκείνων φύσιν ἐστίν· τοῖς γὰρ ἀνθρώποις κρείττοσιν οὖσιν οὐχ ὑπάρχει τοῦτο. ἐπιλανθάνεται δὲ καὶ τὰ ἄλογα· δεινοῖς γάρ ποτε περιπίπτει, καὶ τὰ πρότερον σαίνοντα μετὰ χρόνον ὑλακτεῖ καὶ ἀγριαίνει πρὸς τοὺς ποτε συνήθεις, ᾧ δῆλον ὅτι ἐπιλανθάνεται καὶ ἀναμιμνήσκεται. ὅτι ἔχει ἀνάμνησιν, δῆλον κἀντεῦθεν, ἐκ τοῦ μὴ ὁμοίως εἰς συνήθειαν ἄγεσθαι τῷ προορασθέντι καὶ τῷ πάντη ξένῳ· θᾶττον γὰρ ἐν συνηθείᾳ γίνεται τοῦ προορασθέντος, ὡς φυλάξας δηλονότι τύπον τινὰ καὶ δι' αὐτοῦ λαβὼν ἀφορμὴν ἀναμνήσεως. πλὴν εἰ καὶ ἐπὶ ἀμφοτέρων ἐστὶν ἀνάμνησις, ἀλλ' οὖν διαφορά τις ἐστίν· ἐπὶ μὲν γὰρ ἀνθρώπου σὺν τῇ ἀναμνήσει ἐστὶ καὶ τὸ συναισθάνεσθαι αὐτοὺς τῆς ἀναμνήσεως, ἐπὶ δὲ τῶν ἀλόγων οὐκέτι τοῦτο· οὐδὲ γὰρ συναισθάνεται ἐκεῖνα ὅτι ἀνεμνήσθη· ὥσπερ γὰρ ἡ ὄψις ὁρᾷ μέν, οὐκ οἶδε δὲ ὅτι ὁρᾷ, οὕτως καὶ ἐπ' ἐκείνων ἐστίν. ἔδειξεν

(*) Cod. Paris. Reg. 1977 f. 1–19.

9 Γένους δὲ καὶ ἰδίου κοινὸν μὲν τὸ ἕπεσθαι τοῖς εἴδεσιν· εἰ γὰρ ἄνθρωπος, ζῷον, καὶ εἰ ἄνθρωπος, γελαστικόν. καὶ τὸ ἐπ' ἴσης κατηγορεῖσθαι τὸ γένος τῶν εἰδῶν καὶ τὸ ἴδιον τῶν αὐτοῦ μετεχόντων ἀτόμων· ἐπ' ἴσης γὰρ καὶ ὁ ἄνθρωπος καὶ ὁ βοῦς ζῷον, καὶ Ἄνυτος καὶ Μέλητος γελαστικόν. κοινὸν δὲ καὶ τὸ συνωνύμως κατηγορεῖσθαι τὸ γένος τῶν οἰκείων εἰδῶν, καὶ τὸ ἴδιον ὧν ἂν ᾖ ἴδιον. διαφέρει δὲ ὅτι τὸ μὲν γένος πρότερον, ὕστερον δὲ τὸ ἴδιον· δεῖ γὰρ εἶναι ζῷον, εἶτα διαιρεῖσθαι διαφοραῖς καὶ ἰδίοις. καὶ τὸ μὲν γένος κατὰ πλειόνων εἰδῶν κατηγορεῖται, ὧν ἐστὶ γένος, τὸ δὲ ἴδιον ἑνὸς εἴδους, οὗ ἐστιν ἴδιον. καὶ τὸ μὲν ἴδιον ἀντικατηγορεῖται οὗ ἐστιν ἴδιον, τὸ δὲ γένος οὐκ ἀντικατηγορεῖται· οὔτε γὰρ εἰ ζῷον, ἄνθρωπος, οὔτε εἰ ζῷον, γελαστικόν· εἰ δὲ ἄνθρωπος, γελαστικόν, καὶ ἔμπαλιν. ἔτι τὸ μὲν ἴδιον παντὶ τῷ εἴδει ὑπάρχει οὗ ἐστιν ἴδιον, καὶ μόνῳ καὶ ἀεί, τὸ δὲ γένος παντὶ μὲν τῷ εἴδει οὗ ἂν ᾖ γένος, καὶ ἀεί, οὐ μέντοι καὶ μόνῳ. ἔτι τὰ μὲν ἴδια ἀναιρούμενα οὐ συναναιρεῖ τὰ γένη, τὰ δὲ γένη ἀναιρούμενα συναναιρεῖ τὰ εἴδη ὧν ἐστιν ἴδια, ὥστε καὶ ὧν ἐστιν ἴδια ἀναιρουμένων καὶ αὐτὰ συναναιρεῖται.

10 Γένους δὲ καὶ συμβεβηκότος κοινὸν τὸ κατὰ πλειόνων, ὡς εἴρηται, κατηγορεῖσθαι, ἄν τε τῶν χωριστῶν ἢ ἄν τε τῶν ἀχωρίστων· καὶ γὰρ τὸ κινεῖσθαι κατὰ πλειόνων, καὶ τὸ μέλαν κατὰ κοράκων καὶ Αἰθιόπων καί τινων ἀψύχων. διαφέρει δὲ τὸ γένος τοῦ συμβεβηκότος, ὅτι τὸ μὲν γένος πρὸ τῶν εἰδῶν, τὰ δὲ συμβεβηκότα τῶν εἰδῶν ὕστερα· κἂν γὰρ ἀχώριστον λαμβάνηται συμβεβηκός, ἀλλ' οὖν πρότερόν ἐστι τῇ φύσει τὸ ᾧ συμβέβηκε τοῦ συμβεβηκότος. καὶ τοῦ μὲν γένους ἐπ' ἴσης τὰ μετέχοντα ἀεὶ μετέχει, τοῦ δὲ συμβεβηκότος οὐκ ἐπ' ἴσης· ἐπίτασιν γὰρ καὶ ἄνεσιν ἐπιδέχεται ἡ τῶν συμβεβηκότων μέθεξις, ἡ δὲ τῶν γενῶν οὐκέτι. καὶ τὰ μὲν συμβεβηκότα ἐπὶ τῶν ἀτόμων προηγουμένως ὑφίσταται, τὰ δὲ γένη καὶ τὰ εἴδη φύσει πρότερα τῶν ἀτόμων οὐσιῶν. καὶ τὰ μὲν γένη ἐν τῷ τί ἐστι κατηγορεῖται τῶν ὑπ' αὐτά, τὰ δὲ συμβεβηκότα ἐν τῷ ποιόν τι ἐστὶν ἢ πῶς ἔχον ἕκαστον· ποῖος γὰρ ὁ Αἰθίοψ ἐρωτηθεὶς ἐρεῖς ὅτι μέλας, ἢ πῶς ἔχει Σωκράτης, ἐρεῖς ὅτι κάθηται ἢ περιπατεῖ.

11 Τὸ μὲν οὖν γένος ᾗ τῶν ἄλλων τεττάρων διαφέρει εἴρηται, συμβέβηκε δὲ καὶ τῶν ἄλλων ἕκαστον διαφέρειν τῶν τεττάρων, ὥστε πέντε μὲν ὄντων, ἑνὸς δὲ ἑκάστου τῶν τεττάρων διαφέροντος, τετράκις τὰ πέντε, εἴκοσι γίνεσθαι διαφορὰς τὰς πάσας. ἀλλ' οὐχ οὕτως ἔχει, ἀλλ' ἀεὶ τῶν ἐφεξῆς καταριθμουμένων, καὶ τῶν μὲν δύο μιᾷ λειπομένων διαφορᾷ διὰ τὸ ἤδη εἰλῆφθαι, τῶν δὲ τριῶν δυσί, τῶν δὲ τεττάρων τρισί, τῶν δὲ πέντε τέτρασι, δέκα αἱ πᾶσαι γίνονται διαφοραί, τέσσαρες, τρεῖς, δύο, μία. τὸ μὲν γὰρ γένος ᾗ διαφέρει τῆς διαφορᾶς καὶ τοῦ εἴδους καὶ τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος εἴρηται· τέσσαρες οὖν αἱ διαφοραί. ἡ διαφορὰ δὲ πῇ μὲν διενήνοχε τοῦ γένους εἴρηται, ὅτε πῇ διαφέρει τὸ γένος αὐτῆς ἐρρέθη· λοιπὸν δέ, πῇ διαφέρει τοῦ εἴδους καὶ τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος, ῥηθήσεται, καὶ γίνονται τρεῖς. πάλιν τὸ εἶδος πῇ μὲν διαφέρει τῆς διαφορᾶς ἐρρέθη, ὅτε πῇ διαφέρει ἡ διαφορὰ τοῦ εἴδους ἐλέγετο· πῇ δὲ διαφέρει τὸ εἶδος τοῦ γένους ἐρρέθη, ὅτε πῇ διαφέρει τὸ γένος τοῦ εἴδους ἐλέγετο. λοιπὸν οὖν, πῇ διαφέρει τὸ εἶδος τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος, ῥηθήσεται· δύο οὖν καὶ αὗται αἱ διαφοραί. τὸ δὲ ἴδιον πῇ διαφέρει τοῦ συμβεβηκότος καταλειφθήσεται· πῇ γὰρ τοῦ εἴδους καὶ τῆς διαφορᾶς καὶ τοῦ γένους διαφέρει, προειρημένον ἐστὶν ἐν τῇ ἐκείνων πρὸς αὐτὸ διαφορᾷ. τεσσάρων οὖν λαμβανομένων τοῦ γένους πρὸς τὰ ἄλλα διαφορῶν, τριῶν δὲ τῆς διαφορᾶς, δύο δὲ τοῦ εἴδους, μιᾶς δὲ τοῦ ἰδίου πρὸς τὸ συμβεβηκός, δέκα ἔσονται αἱ πᾶσαι· ὧν τὰς τέσσαρας, αἳ ἦσαν τοῦ γένους πρὸς τὰ ἄλλα, φθάσαντες ἀπεδείξαμεν.

12 Κοινὸν τοίνυν διαφορᾶς καὶ εἴδους τὸ ἐπ' ἴσης μετέχεσθαι· ἀνθρώπου τε γὰρ ἐπ' ἴσης μετέχουσιν οἱ κατὰ μέρος ἄνθρωποι, καὶ τῆς τοῦ λογικοῦ διαφορᾶς. κοινὸν δὲ καὶ τὸ ἀεὶ παρεῖναι τοῖς μετέχουσιν· ἀεὶ γὰρ Σωκράτης λογικός, καὶ ἀεὶ Σωκράτης ἄνθρωπος. ἴδιον δὲ διαφορᾶς μὲν τὸ ἐν τῷ ποιόν τι κατηγορεῖσθαι, εἴδους δὲ τὸ ἐν τῷ τί ἐστιν· κἂν γὰρ ὁ ἄνθρωπος ὡς ποιόν τι λαμβάνηται, οὐχ ἁπλῶς ἂν εἴη ποιόν, ἀλλὰ καθὸ τῷ γένει προσελθοῦσαι αἱ διαφοραὶ ὑπέστησαν αὐτό. ἔτι ἡ μὲν διαφορὰ ἐπὶ πλειόνων πολλάκις εἰδῶν θεωρεῖται, ὡς τὸ τετράπουν ἐπὶ πλείστων ζῴων διαφερόντων τῷ εἴδει, τὸ δὲ εἶδος ἐπὶ μόνων τῶν ὑπὸ τὸ εἶδος ἀτόμων ἐστίν. ἔτι ἡ διαφορὰ προτέρα τοῦ κατ' αὐτῆς εἴδους· συναναιρεῖ γὰρ τὸ λογικὸν ἀναιρεθὲν τὸν ἄνθρωπον, ὁ δὲ ἄνθρωπος ἀναιρεθεὶς οὐκ ἀνῄρηκε τὸ λογικόν, ὄντος τοῦ ἀγγέλου. ἔτι διαφορὰ μὲν συντίθεται μετ' ἄλλης διαφορᾶς (τὸ λογικὸν γὰρ καὶ θνητὸν συνετέθη εἰς ὑπόστασιν τοῦ ἀνθρώπου), εἶδος δὲ εἴδει οὐ συντίθεται, ὥστε ἀπογεννῆσαι ἄλλο εἶδος· τὶς μὲν γὰρ ἵππος τινὶ ὄνῳ σύνεισιν εἰς ἡμιόνου γέννησιν, ἵππος δὲ ἁπλῶς ὄνῳ συντεθεὶς οὐκ ἂν ἀποτελέσειεν ἡμίονον.

13 Διαφορὰ δὲ καὶ ἴδιον κοινὸν μὲν ἔχουσι τὸ ἐπ' ἴσης μετέχεσθαι ὑπὸ τῶν μετεχόντων· ἐπ' ἴσης γὰρ τὰ λογικὰ λογικὰ καὶ τὰ γελαστικὰ γελαστικά. καὶ τὸ ἀεὶ καὶ παντὶ παρεῖναι κοινὸν ἀμφοῖν· κἂν γὰρ κολοβωθῇ ὁ δίπους, ἀλλὰ πρὸς τὸ πεφυκέναι τὸ ἀεὶ λέγεται, ἐπεὶ καὶ τὸ γελαστικὸν τῷ πεφυκέναι ἔχει τὸ ἀεί, ἀλλ' οὐχὶ τῷ γελᾶν ἀεί. ἴδιον δὲ διαφορᾶς ὅτι αὕτη μὲν ἐπὶ πλειόνων εἰδῶν λέγεται πολλάκις, οἷον τὸ λογικὸν ἐπὶ ἀγγέλου καὶ ἐπὶ ἀνθρώπου, τὸ δὲ ἴδιον ἐφ' ἑνὸς εἴδους οὗ ἐστιν ἴδιον. καὶ ἡ μὲν διαφορὰ ἕπεται ἐκείνοις ὧν ἦν διαφορά, οὐ μὴν καὶ ἀντιστρέφει· τὰ δὲ ἴδια ἀντικατηγορεῖται ὧν ἦν ἴδια, διὰ τὸ ἀντιστρέφειν.

14 Διαφορᾷ δὲ καὶ συμβεβηκότι κοινὸν μὲν τὸ ἐπὶ πλειόνων λέγεσθαι, κοινὸν δὲ πρὸς τὰ ἀχώριστα συμβεβηκότα τὸ ἀεὶ καὶ παντὶ προσεῖναι· τό τε γὰρ δίπουν ἀεὶ πρόσεστι πᾶσι κόραξι τό τε μέλαν ὁμοίως. διαφέρουσι δὲ ὅτι ἡ μὲν διαφορὰ περιέχει τὰ εἴδη, οὐ περιέχεται δέ· περιέχει γὰρ τὸ λογικὸν τὸν ἄνθρωπον καὶ τὸν ἄγγελον· τὰ δὲ συμβεβηκότα τρόπον μέν τινα περιέχει τῷ ἐν πλείοσιν εἶναι, τρόπον δέ τινα περιέχεται τῷ μὴ ἑνὸς συμβεβηκότος εἶναι δεκτικὰ τὰ ὑποκείμενα ἀλλὰ πλειόνων. καὶ ἡ μὲν διαφορὰ ἀνεπίτατος καὶ ἀνάνετος, τὰ δὲ συμβεβηκότα τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται. καὶ ἀμιγεῖς μὲν αἱ ἐναντίαι διαφοραί, μιγείη δ' ἄν ποτε τὰ ἐναντία συμβεβηκότα. τοσαῦται μὲν οὖν αἱ κοινότητες καὶ αἱ ἰδιότητες τῆς διαφορᾶς καὶ τῶν ἄλλων.

15 Τὸ δὲ εἶδος πῇ μὲν διαφέρει γένους καὶ διαφορᾶς, εἴρηται ἐν ᾧ ἐλέγομεν πῇ τὸ γένος διαφέρει τῶν ἄλλων καὶ πῇ ἡ διαφορὰ διαφέρει τῶν ἄλλων. λοιπόν, πῇ διαφέρει τοῦ ἰδίου καὶ τοῦ συμβεβη-

ἀλλὰ τὸ λογικὸν προστεθὲν διέστησεν ἡμᾶς ἀπ' ἐκείνων. καὶ λογικοί ἐσμεν καὶ ἡμεῖς καὶ οἱ θεοί· ἀλλὰ τὸ θνητὸν προστεθὲν διέστησεν ἡμᾶς ἀπ' ἐκείνων. προσεξεργαζόμενοι δὲ τὰ περὶ τῆς διαφορᾶς μὴ τὸ τυχόν φασι τῶν χωριζόντων τὰ ὑπὸ τὸ αὐτὸ γένος εἶναι τὴν διαφοράν, ἀλλ' ὅπερ εἰς τὸ εἶναι συμβάλλεται καὶ εἰς τὸ τί ἦν εἶναι, καὶ ὃ τοῦ πράγματός ἐστι μέρος. οὐ γὰρ τὸ πεφυκέναι πλεῖν διαφορά ἐστιν ἀνθρώπου, εἰ καὶ ἴδιον ἀνθρώπου. εἴποιμεν γὰρ ἂν τῶν ζώων τὰ μὲν πλεῖν πεφυκέναι τὰ δὲ μή, χωρίζοντες τὸν ἄνθρωπον ἀπὸ τῶν ἄλλων· ἀλλὰ τὸ πεφυκέναι πλεῖν οὐκ ἦν συμπληρωτικὸν τῆς οὐσίας, οὐδὲ μέρος αὐτῆς, ἀλλ' ἐπιτηδειότης μόνον αὐτῆς, διὰ τὸ μὴ εἶναι διαφορὰν οἵαι αἱ ἰδίως εἰδοποιοὶ λεγόμεναι διαφοραί. εἶεν οὖν ἂν εἰδοποιοὶ διαφοραί, ὅσαι ἕτερον εἶδος ποιοῦσι, καὶ ὅσαι ἐν τῷ τί ἦν εἶναι παραλαμβάνονται. καὶ περὶ μὲν διαφορᾶς ἀρκεῖ τοσαῦτα.

4 Τὸ δὲ ἴδιον διαιροῦσι τετραχῶς· καὶ γὰρ ὃ μόνῳ τινὶ εἴδει συμβέβηκεν, εἰ καὶ μὴ παντί, ὡς ἀνθρώπῳ τὸ ἰατρεύειν ἢ τὸ γεωμετρεῖν· καὶ ὃ παντὶ συμβέβηκε τῷ εἴδει, εἰ καὶ μὴ μόνῳ, ὡς τῷ ἀνθρώπῳ τὸ εἶναι δίποδι· καὶ ὃ μόνῳ καὶ παντὶ καὶ ποτέ, ὡς ἀνθρώπῳ παντὶ τὸ ἐν γήρᾳ πολιοῦσθαι. τέταρτον δέ, ἐφ' οὗ συνδεδράμηκε τὸ μόνῳ καὶ παντὶ καὶ ἀεί, ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικόν· κἂν γὰρ μὴ γελᾷ ἀεί, ἀλλὰ δυνάμει γελαστικὸν λέγεται, οὐ τῷ ἀεὶ γελᾶν ἀλλὰ τῷ πεφυκέναι· τοῦτο δὲ ἀεὶ αὐτῷ σύμφυτον ὑπάρχει, ὡς καὶ τῷ ἵππῳ τὸ χρεμετιστικόν. ταῦτα δὲ καὶ κυρίως ἴδιά φασιν, ὅτι καὶ ἀντιστρέφει· εἴ τι γὰρ ἵππος, χρεμετιστικόν, καὶ εἴ τι χρεμετιστικόν, ἵππος.

5 Συμβεβηκὸς δέ ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. διαιρεῖται δὲ εἰς δύο· τὸ μὲν γὰρ αὐτοῦ χωριστόν ἐστι, τὸ δὲ ἀχώριστον. τὸ μὲν οὖν καθεύδειν χωριστὸν συμβεβηκός, τὸ δὲ μέλαν εἶναι ἀχωρίστως τῷ κόρακι καὶ τῷ Αἰθίοπι συμβέβηκε, δύναται δὲ ἐπινοηθῆναι καὶ κόραξ λευκὸς καὶ Αἰθίοψ ἀποβαλὼν τὴν χροιὰν χωρὶς φθορᾶς τοῦ ὑποκειμένου. ὁρίζονται δὲ αὐτὸ καὶ οὕτω, συμβεβηκός ἐστιν ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν καὶ μὴ ὑπάρχειν· ἢ ὃ οὔτε γένος ἐστὶν οὔτε διαφορὰ οὔτε εἶδος οὔτε ἴδιον, ἀεὶ δέ ἐστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον.

6 Ἀφοριοθέντων δὲ πάντων τῶν προτεθέντων, λέγω δὴ γένους εἴδους διαφορᾶς ἰδίου συμβεβηκότος, ῥητέον τίνα τε κοινὰ πρόσεστιν αὐτοῖς καὶ τίνα ἴδια. κοινὸν μὲν δὴ πάντων τὸ κατὰ πλειόνων κατηγορεῖσθαι, ὡς εἴρηται. ἀλλὰ τὸ μὲν γένος τῶν ὑπ' αὐτὸ εἰδῶν τε καὶ τῶν ἀτόμων, καὶ ἡ διαφορὰ ὡσαύτως, τὸ δὲ εἶδος τῶν ὑπ' αὐτὸ ἀτόμων, τὸ δὲ ἴδιον τοῦ τε εἴδους οὗ ἐστιν ἴδιον καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων, τὸ δὲ συμβεβηκὸς καὶ εἰδῶν καὶ ἀτόμων· τό τε γὰρ ζῷον ἵππου τε καὶ βοὸς κατηγορεῖται, εἰδῶν ὄντων, καὶ τοῦδε τοῦ ἵππου καὶ τοῦδε τοῦ βοός, ἀτόμων ὄντων. τὸ δὲ ἄλογον ἵππου καὶ βοὸς κατηγορεῖται καὶ τῶν κατὰ μέρος. τὸ μέντοι εἶδος, οἷον ὁ ἄνθρωπος, τῶν κατὰ μέρος μόνων. τὸ δὲ ἴδιον τοῦ τε εἴδους οὗ ἐστιν ἴδιον καὶ τῶν ὑπ' αὐτὸ ἀτόμων, οἷον τὸ γελαστικὸν τοῦ ἀνθρώπου καὶ τῶν κατὰ μέρος, τὸ δὲ μέλαν τοῦ τε εἴδους τῶν κοράκων καὶ τῶν κατὰ μέρος, συμβεβηκὸς ὂν ἀχώριστον, καὶ τὸ κινεῖσθαι ἀνθρώπου τε καὶ ἵππου, χωριστὸν ὂν συμβεβηκός. ἀλλὰ προηγουμένως μὲν τῶν ἀτόμων, κατὰ δεύτερον δὲ λόγον καὶ τῶν περιεχόντων τὰ ἄτομα.

7 Κοινὸν δὲ γένους καὶ διαφορᾶς τὸ περιεκτικὸν εἰδῶν. περιέχει γὰρ καὶ ἡ διαφορὰ εἴδη, εἰ καὶ μὴ πάντα ὅσα τὰ γένη. τὸ γὰρ λογικόν, εἰ καὶ μὴ περιέχει τὰ ἄλογα ὥσπερ τὸ ζῷον, ἀλλὰ περιέχει ἄνθρωπον καὶ θεόν, ἅπερ ἐστὶν εἴδη. ὅσα τε κατηγορεῖται τοῦ γένους ὡς γένους, καὶ τῶν ὑπ' αὐτὸ εἰδῶν κατηγορεῖται. ὅσα τε τῆς διαφορᾶς ὡς διαφορᾶς, καὶ τοῦ ἐξ αὐτῆς εἴδους κατηγορηθήσεται. γένους τε γὰρ ὄντος τοῦ ζῴου, ὡς γένους κατηγορεῖται ἡ οὐσία καὶ τὸ ἔμψυχον καὶ τὸ αἰσθητικόν· ἀλλὰ καὶ τῶν ὑπὸ τὸ ζῷον εἰδῶν πάντων κατηγορεῖται ταῦτα, ἄχρι καὶ τῶν ἀτόμων. διαφορᾶς τε οὔσης τοῦ λογικοῦ, κατηγορεῖται ὡς διαφορᾶς τὸ λόγῳ χρῆσθαι· οὐ μόνον δὲ τοῦ λογικοῦ, ἀλλὰ καὶ τῶν ὑπὸ τὸ λογικὸν εἰδῶν κατηγορηθήσεται τὸ λόγῳ χρῆσθαι. κοινὸν δὲ καὶ τὸ ἀναιρεθέντος ἢ τοῦ γένους ἢ τῆς διαφορᾶς συναναιρεῖσθαι καὶ τὰ ὑπ' αὐτά· ὡς γὰρ μὴ ὄντος ζῴου οὐκ ἔστιν ἵππος οὐδὲ ἄνθρωπος, οὕτω μὴ ὄντος λογικοῦ οὐδὲν ἔσται ζῷον τὸ χρώμενον λόγῳ. ἴδιον δὲ τοῦ γένους τὸ ἐπὶ πλειόνων κατηγορεῖσθαι ἤπερ ἡ διαφορὰ καὶ τὸ εἶδος καὶ τὸ ἴδιον καὶ τὸ συμβεβηκός· τὸ μὲν γὰρ ζῷον ἐπ' ἀνθρώπου καὶ ἵππου καὶ ὀρνέου καὶ ὄφεως, τὸ δὲ τετράπουν ἐπὶ μόνων τῶν τέσσαρας πόδας ἐχόντων, ὁ δὲ ἄνθρωπος ἐπὶ μόνων τῶν ἀτόμων, καὶ τὸ χρεμετιστικὸν ἐπὶ τοῦ ἵππου μόνου καὶ τῶν κατὰ μέρος, καὶ τὸ συμβεβηκὸς ὁμοίως ἐπ' ἐλαττόνων. δεῖ δὲ διαφορὰς λαμβάνειν, αἷς τέμνεται τὸ γένος, οὐ τὰς συμπληρωτικὰς τῆς οὐσίας τοῦ γένους, ἀλλὰ τὰς διαιρετικάς. ἔτι τὸ γένος περιέχει τὴν διαφορὰν δυνάμει· τοῦ γὰρ ζῴου τὸ μὲν λογικὸν τὸ δὲ ἄλογον· αἱ δὲ διαφοραὶ οὐ περιέχουσι τὰ γένη. ἔτι τὰ μὲν γένη πρότερα τῶν ὑφ' αὐτὰ διαφορῶν, διὸ συναναιρεῖ μὲν αὐτάς, οὐ συναναιρεῖται δέ· ἀναιρεθέντος γὰρ τοῦ ζῴου συναναιρεῖται τὸ λογικὸν καὶ τὸ ἄλογον. αἱ δὲ διαφοραὶ οὐκέτι συναναιροῦσι τὸ γένος· κἂν γὰρ πᾶσαι ἀναιρεθῶσιν, οὐσία ἔμψυχος αἰσθητικὴ ἐπινενόηται, ἥτις ἦν τὸ ζῷον. ἔτι τὸ μὲν γένος ἐν τῷ τί ἐστιν, ἡ δὲ διαφορὰ ἐν τῷ ποιόν τι ἐστίν, ὡς εἴρηται, κατηγορεῖται. ἔτι γένος μὲν ἓν καθ' ἕκαστον εἶδος, οἷον ἀνθρώπου τὸ ζῷον, διαφοραὶ δὲ πλείους, οἷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, αἷς τῶν ἄλλων ζῴων διαφέρει. καὶ τὸ μὲν γένος ἔοικεν ὕλῃ, μορφῇ δὲ ἡ διαφορά. προσόντων δὲ καὶ ἄλλων κοινῶν τε καὶ ἰδίων τῷ γένει καὶ τῇ διαφορᾷ ἀρκεῖ τοσαῦτα.

8 Γένος δὲ καὶ εἶδος κοινὸν μὲν ἔχουσι τὸ κατὰ πλειόνων, ὡς εἴρηται, κατηγορεῖσθαι· εἰλήφθω δὲ τὸ εἶδος ὡς εἶδος μόνον, ἀλλ' οὐχὶ καὶ ὡς γένος, ἄνπερ ᾖ τὸ αὐτὸ καὶ εἶδος καὶ γένος. κοινὸν δὲ αὐτοῖς καὶ τὸ πρότερα εἶναι ὧν κατηγορεῖται, καὶ τὸ ὅλον τι εἶναι ἑκάτερον. διαφέρει δὲ ᾗ τὸ μὲν γένος περιέχει τὰ εἴδη, τὰ δὲ εἴδη περιέχεται καὶ οὐ περιέχει τὰ γένη· ἐπὶ πλεῖον γὰρ τὸ γένος τοῦ εἴδους. ἔτι τὰ γένη προϋποκεῖσθαι δεῖ, καὶ διαμορφωθέντα ταῖς εἰδοποιοῖς διαφοραῖς ἀποτελεῖν τὰ εἴδη, ὅθεν καὶ πρότερα τῇ φύσει τὰ γένη. καὶ συναναιροῦντα, ἀλλ' οὐ συναναιρούμενα· εἴδους μὲν γὰρ ὄντος πάντως ἐστὶ καὶ γένος, γένους δὲ ὄντος οὐ πάντως ἐστὶν εἶδος. καὶ τὰ μὲν γένη συνωνύμως κατηγορεῖται τῶν ὑφ' αὐτὰ εἰδῶν, τὰ δὲ εἴδη τῶν γενῶν οὐκέτι. ἔτι τὰ μὲν γένη πλεονάζει τῇ τῶν ὑπ' αὐτὰ εἰδῶν περιοχῇ, τὰ δὲ εἴδη τῶν γενῶν πλεονάζει ταῖς οἰκείαις διαφοραῖς. ἔτι οὔτε τὸ εἶδος γένοιτ' ἂν γενικώτατον οὔτε τὸ γένος εἰδικώτατον.

ἕκαστον, ὧν τὸ ἄθροισμα οὐκ ἂν ἐπ' ἄλλου τινός ποτε τὸ αὐτὸ γένοιτο τῶν κατὰ μέρος· αἱ γὰρ Σωκράτους ἰδιότητες οὐκ ἂν ἐπ' ἄλλου τινὸς τῶν κατὰ μέρος γένοιντ' ἂν αἱ αὐταί. αἱ μέντοι τοῦ ἀνθρώπου (λέγω δὴ τοῦ κοινοῦ) ἰδιότητες γένοιντ' ἂν αἱ αὐταὶ ἐπὶ πλειόνων, μᾶλλον δὲ ἐπὶ πάντων τῶν κατὰ μέρος ἀνθρώπων, καθὸ ἄνθρωποι. περιέχεται οὖν τὸ μὲν ἄτομον ὑπὸ τοῦ εἴδους, τὸ δὲ εἶδος ὑπὸ τοῦ γένους. ὅλον γάρ τι τὸ γένος, τὸ δὲ ἄτομον μέρος, τὸ δὲ εἶδος καὶ ὅλον καὶ μέρος· ἀλλὰ μέρος μὲν ἄλλου, ὅλον δὲ οὐκ ἄλλου ἀλλ' ἐν ἄλλοις· ἐν γὰρ τοῖς μέρεσι τὸ ὅλον. περὶ μὲν οὖν γένους καὶ εἴδους, καὶ τί τὸ γενικώτατον καὶ τί τὸ εἰδικώτατον, καὶ τίνα καὶ γένη τὰ αὐτὰ καὶ εἴδη, τίνα τε τὰ ἄτομα, καὶ ποσαχῶς τὸ γένος καὶ τὸ εἶδος, εἴρηται.

3 Ἡ διαφορὰ δὲ κοινῶς τε καὶ ἰδίως καὶ ἰδιαίτατα λεγέσθω. κοινῶς μὲν γὰρ διαφέρειν ἕτερον ἑτέρου λέγεται τὸ ἑτερότητι διαλλάττον ὁπωσοῦν ἢ πρὸς ἑαυτὸ ἢ πρὸς ἄλλο· διαφέρει γὰρ Σωκράτης Πλάτωνος τῇ ἑτερότητι, καὶ αὐτὸς ἑαυτοῦ παιδός τε ὄντος καὶ ἀνδρωθέντος, καὶ ἐνεργοῦντός τι ἢ παυσαμένου, καὶ ἀεί γε ἐν ταῖς τοῦ πως ἔχειν ἑτερότησι θεωρεῖται. ἰδίως δὲ διαφέρειν λέγεται ἕτερον ἑτέρου, ὅταν ἀχωρίστῳ συμβεβηκότι τὸ ἕτερον τοῦ ἑτέρου διαφέρῃ. ἀχώριστον δὲ συμβεβηκὸς οἷον γλαυκότης ἢ γρυπότης ἢ οὐλὴ ἐκ τραύματος ἐνσκιρρωθεῖσα. ἰδιαίτατα δὲ διαφέρειν ἕτερον ἑτέρου λέγεται, ὅταν εἰδοποιῷ διαφορᾷ διαλλάττῃ, ὥσπερ ἄνθρωπος ἵππου εἰδοποιῷ διαφορᾷ διενήνοχε τῇ τοῦ λογικοῦ ποιότητι. καθόλου μὲν οὖν πᾶσα διαφορὰ ἑτεροῖον ποιεῖ προσγινομένη τινί· ἀλλ' αἱ μὲν κοινῶς καὶ ἰδίως ἀλλοῖον ποιοῦσιν, ἡ δὲ ἰδιαίτατα ἄλλο. τῶν γὰρ διαφορῶν αἱ μὲν ἀλλοῖον ποιοῦσιν, αἱ δὲ ἄλλο. αἱ μὲν οὖν ποιοῦσαι ἄλλο εἰδοποιοὶ κέκληνται, αἱ δὲ ἀλλοῖον ἁπλῶς διαφοραί. τῷ γὰρ ζῴῳ διαφορὰ προσελθοῦσα ἡ τοῦ λογικοῦ ἄλλο ἐποίησεν καὶ εἶδος τοῦ ζῴου ἐποίησεν, ἡ δὲ τοῦ κινεῖσθαι ἀλλοῖον μόνον παρὰ τὸ ἠρεμοῦν ἐποίησεν, ὥστε ἡ μὲν ἄλλο ἡ δὲ ἀλλοῖον μόνον ἐποίησεν. κατὰ μὲν οὖν τὰς ἄλλο ποιούσας διαφορὰς αἵ τε διαιρέσεις γίνονται τῶν γενῶν εἰς τὰ εἴδη, οἵ τε ὅροι ἀποδίδονται ἐκ γένους ὄντες καὶ τῶν τοιούτων διαφορῶν· κατὰ δὲ τὰς ἀλλοιούσας ἑτερότητες μόνον συνίστανται καὶ αἱ τοῦ πως ἔχοντος μεταβολαί. ἄνωθεν οὖν πάλιν ἀρχομένῳ ῥητέον τῶν διαφορῶν τὰς μὲν χωριστὰς εἶναι τὰς δὲ ἀχωρίστους· τὸ μὲν γὰρ κινεῖσθαι καὶ τὸ ἠρεμεῖν καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, καὶ ὅσα τούτοις παραπλήσια, χωριστά ἐστι, τὸ δὲ γρυπὸν εἶναι ἢ σιμόν, ἢ λογικὸν ἢ ἄλογον, ἀχώριστα. τῶν δὲ ἀχωρίστων αἱ μὲν ὑπάρχουσι καθ' αὐτάς, αἱ δὲ κατὰ συμβεβηκός· τὸ μὲν γὰρ λογικὸν καθ' αὐτὸ ὑπάρχει τῷ ἀνθρώπῳ, καὶ τὸ θνητόν, καὶ τὸ ἐπιστήμης εἶναι δεκτικόν, τὸ δὲ γρυπὸν ἢ σιμὸν εἶναι κατὰ συμβεβηκὸς καὶ οὐ καθ' αὐτό. αἱ μὲν οὖν καθ' αὐτὸ προσοῦσαι ἐν τῷ τῆς οὐσίας λόγῳ λαμβάνονται καὶ ποιοῦσιν ἄλλο, αἱ δὲ κατὰ συμβεβηκὸς οὔτε ἐν τῷ τῆς οὐσίας λόγῳ λαμβάνονται οὔτε ποιοῦσιν ἄλλο ἀλλὰ ἀλλοῖον. καὶ αἱ μὲν καθ' αὐτὰς οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον, αἱ δὲ κατὰ συμβεβηκός, κἂν ἀχώριστοι ὦσιν, ἐπίτασιν λαμβάνουσι καὶ ἄνεσιν· οὔτε γὰρ τὸ γένος μᾶλλον καὶ ἧττον κατηγορεῖται οὗ ἂν ᾖ γένος, οὔτε αἱ τοῦ γένους διαφοραί, καθ' ἃς διαιρεῖται· αὗται μὲν γάρ εἰσιν αἱ τὸν ἑκάστου λόγον συμπληροῦσαι, τὸ δὲ εἶναι ἑκάστῳ ἓν καὶ τὸ αὐτὸ οὔτε ἄνεσιν οὔτε ἐπίτασιν ἐπιδεχόμενόν ἐστιν, τὸ δὲ γρυπὸν ἢ σιμὸν εἶναι ἢ κεχρῶσθαί πως καὶ ἐπιτείνεται καὶ ἀνίεται. τριῶν οὖν εἰδῶν τῆς διαφορᾶς θεωρουμένων, καὶ τῶν μὲν οὐσῶν χωριστῶν τῶν δὲ ἀχωρίστων, καὶ πάλιν τῶν ἀχωρίστων τῶν μὲν οὐσῶν καθ' αὐτὰς τῶν δὲ κατὰ συμβεβηκός, πάλιν τῶν καθ' αὐτὰς διαφορῶν αἱ μέν εἰσι καθ' ἃς διαιρούμεθα τὰ γένη εἰς τὰ εἴδη, αἱ δὲ καθ' ἃς τὰ διαιρεθέντα εἰδοποιεῖται. οἷον τῶν καθ' αὐτὰς διαφορῶν πασῶν τῶν τοιούτων τοῦ ζῴου οὐσῶν, ἐμψύχου καὶ αἰσθητικοῦ, λογικοῦ καὶ ἀλόγου, θνητοῦ καὶ ἀθανάτου, ἡ μὲν τοῦ ἐμψύχου καὶ αἰσθητικοῦ διαφορὰ συστατική ἐστι τῆς τοῦ ζῴου οὐσίας· ἔστι γὰρ τὸ ζῷον οὐσία ἔμψυχος αἰσθητική· ἡ δὲ τοῦ θνητοῦ καὶ ἀθανάτου διαφορά, καὶ ἡ τοῦ λογικοῦ τε καὶ ἀλόγου, διαιρετικαί εἰσι τοῦ ζῴου διαφοραί· δι' αὐτῶν γὰρ τὰ γένη εἰς τὰ εἴδη διαιρούμεθα. ἀλλ' αὗταί γε αἱ διαιρετικαὶ διαφοραὶ τῶν γενῶν συμπληρωτικαὶ γίνονται καὶ συστατικαὶ τῶν εἰδῶν· τέμνεται γὰρ τὸ ζῷον τῇ τε τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου διαφορᾷ, καὶ πάλιν τῇ τε τοῦ θνητοῦ καὶ τοῦ ἀθανάτου διαφορᾷ. ἀλλ' αἱ μὲν τοῦ λογικοῦ καὶ τοῦ θνητοῦ διαφοραὶ συστατικαὶ γίνονται τοῦ ἀνθρώπου, αἱ δὲ τοῦ λογικοῦ καὶ τοῦ ἀθανάτου τοῦ θεοῦ, αἱ δὲ τοῦ θνητοῦ καὶ τοῦ ἀλόγου τῶν ἀλόγων ζῴων. οὕτω δὲ καὶ τῆς ἀνωτάτω οὐσίας διαιρετικῶν οὐσῶν τῆς τε ἐμψύχου καὶ ἀψύχου διαφορᾶς καὶ τῆς αἰσθητικῆς τε καὶ ἀναισθήτου, ἡ μὲν ἔμψυχός τε καὶ αἰσθητικὴ προσληφθεῖσαι τῇ οὐσίᾳ ἀπετέλεσαν τὸ ζῷον, ἡ δὲ ἔμψυχος καὶ ἀναίσθητος ἀπετέλεσαν τὸ φυτόν. ἐπεὶ οὖν αἱ αὐταὶ πῶς μὲν ληφθεῖσαι γίνονται συστατικαὶ πῶς δὲ διαιρετικαί, εἰδοποιοὶ πᾶσαι κέκληνται. καὶ τούτων γε μάλιστα χρεία εἴς τε τὰς διαιρέσεις τῶν γενῶν καὶ εἰς τοὺς ὁρισμούς, ἀλλ' οὐ τῶν κατὰ συμβεβηκὸς ἀχωρίστων, οὐδ' ἔτι μᾶλλον τῶν χωριστῶν. ἃς δὴ καὶ ὁριζόμενοι φασί, διαφορά ἐστιν ᾗ περισσεύει τὸ εἶδος τοῦ γένους. ὁ γὰρ ἄνθρωπος τοῦ ζῴου πλέον ἔχει τὸ λογικὸν καὶ τὸ θνητόν· τὸ γὰρ ζῷον οὔτε οὐδὲν τούτων ἐστίν, ἐπεὶ πόθεν ἂν τὰ εἴδη σχοῖεν τὰς διαφοράς; οὔτε δὲ πάσας τὰς ἀντικειμένας ἔχει, ἐπεὶ τὸ αὐτὸ ἅμα ἕξει τὰ ἀντικείμενα, ἀλλ' ὡς ἀξιοῦσι, δυνάμει μὲν πάσας ἔχει τὰς τῶν ὑφ' αὐτὸ διαφοράς, ἐνεργείᾳ δὲ οὐδεμίαν. καὶ οὕτως οὔτε ἐξ οὐκ ὄντων τι γίνεται, οὔτε τὰ ἀντικείμενα ἅμα περὶ τὸ αὐτὸ ἔσται. ὁρίζονται δὲ αὐτὴν καὶ οὕτως, διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ποιόν τι ἐστὶ κατηγορούμενον· τὸ γὰρ λογικὸν καὶ τὸ θνητὸν τοῦ ἀνθρώπου κατηγορούμενον ἐν τῷ ποιόν τι ἐστὶν ὁ ἄνθρωπος λέγεται, ἀλλ' οὐκ ἐν τῷ τί ἐστιν. τί μὲν γάρ ἐστιν ὁ ἄνθρωπος ἐρωτωμένων ἡμῶν οἰκεῖον εἰπεῖν ζῷον· ποῖον δὲ ζῷον πυνθανομένων, ὅτι λογικὸν καὶ θνητόν, οἰκείως ἀποδώσομεν. τῶν γὰρ πραγμάτων ἐξ ὕλης καὶ εἴδους συνεστώτων, ἢ ἀνάλογόν γε ὕλῃ καὶ εἴδει τὴν σύστασιν ἐχόντων, ὥσπερ ὁ ἀνδριὰς ἐξ ὕλης μὲν τοῦ χαλκοῦ εἴδους δὲ τοῦ σχήματος, οὕτω καὶ ὁ ἄνθρωπος ὁ κοινός τε καὶ εἰδικὸς ἐξ ὕλης μὲν ἀναλόγου συνέστηκε τοῦ γένους, ἐκ μορφῆς δὲ τῆς διαφορᾶς. τὸ δὲ ὅλον τοῦτο, ζῷον λογικὸν θνητόν, ὁ ἄνθρωπος, ὡς ἐκεῖ ὁ ἀνδριάς. ὑπογράφουσι δὲ καὶ οὕτω, διαφορά ἐστι τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος· τὸ λογικὸν γὰρ καὶ τὸ ἄλογον τὸν ἄνθρωπον καὶ τὸν ἵππον, ὄντα ὑπὸ τὸ αὐτὸ γένος τὸ ζῷον, χωρίζει. ἀποδιδόασι δὲ καὶ οὕτω, διαφορά ἐστιν ὅτῳ διαφέρει ἕκαστον. ἄνθρωπος γὰρ καὶ ἵππος κατὰ μὲν τὸ γένος οὐ διενήνοχε· ζῷα γὰρ καὶ ἡμεῖς καὶ οἱ ἵπποι,

ἐν τῷ τί ἐστι κατηγορεῖται. ἔτι δὲ καὶ οὕτως, εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον. ἀλλ' αὕτη μὲν ἡ ἀπόδοσις τοῦ εἰδικωτάτου ἂν εἴη, καὶ ὃ ἐστι μόνον εἶδος, οὐκέτι δὲ καὶ γένος· αἱ δ' ἄλλαι εἶεν ἂν καὶ τῶν μὴ εἰδικωτάτων. σαφὲς δ' ἂν εἴη τὸ λεγόμενον τοῦτον τὸν τρόπον. καθ' ἑκάστην κατηγορίαν ἐστί τινα γενικώτατα καὶ πάλιν ἄλλα εἰδικώτατα, καὶ μεταξὺ τῶν γενικωτάτων καὶ τῶν εἰδικωτάτων ἄλλα ἃ καὶ γένη καὶ εἴδη λέγεται τὰ αὐτά. ἔστι δὲ γενικώτατον μέν, ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο ἐπαναβεβηκὸς γένος, εἰδικώτατον δέ, μεθ' ὃ οὐκ ἂν εἴη ἄλλο ὑποβεβηκὸς εἶδος. μεταξὺ δὲ τοῦ γενικωτάτου καὶ τοῦ εἰδικωτάτου ἄλλα, ἃ καὶ γένη καὶ εἴδη ἐστὶ τὰ αὐτά, πρὸς ἄλλο μέντοι καὶ ἄλλο λαμβανόμενα. γενέσθω δὲ ἐπὶ μιᾶς κατηγορίας σαφὲς τὸ λεγόμενον. ἡ οὐσία ἔστι μὲν καὶ αὐτὴ γένος, ὑπὸ δὲ ταύτην ἐστὶ τὸ σῶμα, καὶ ὑπὸ τὸ σῶμα τὸ ἔμψυχον σῶμα, ὑφ' ὃ τὸ ζῶον, ὑπὸ δὲ τὸ ζῶον λογικὸν ζῶον, ὑφ' ὃ ὁ ἄνθρωπος, ὑπὸ δὲ τὸν ἄνθρωπον Σωκράτης καὶ Πλάτων καὶ οἱ κατὰ μέρος ἄνθρωποι. ἀλλὰ τούτων ἡ μὲν οὐσία τὸ γενικώτατον καὶ ὃ μόνον γένος, ὁ δὲ ἄνθρωπος τὸ εἰδικώτατον καὶ ὃ μόνον εἶδος· τὸ δὲ σῶμα εἶδος μὲν τῆς οὐσίας, γένος δὲ τοῦ ἐμψύχου σώματος. ἀλλὰ καὶ τὸ ἔμψυχον σῶμα εἶδος μὲν τοῦ σώματος, γένος δὲ τοῦ ζώου. πάλιν τὸ ζῶον εἶδος μὲν τοῦ ἐμψύχου σώματος, γένος δὲ τοῦ λογικοῦ ζώου. τὸ δὲ λογικὸν ζῶον εἶδος μὲν τοῦ ζώου, γένος δὲ τοῦ ἀνθρώπου. ὁ δὲ ἄνθρωπος εἶδος μὲν τοῦ λογικοῦ ζώου, οὐκέτι δὲ καὶ γένος τῶν κατὰ μέρος ἀνθρώπων, ἀλλὰ μόνον εἶδος· καὶ πᾶν τὸ πρὸ τῶν ἀτόμων προσεχῶς κατηγορούμενον εἶδος ἂν εἴη μόνον, οὐκέτι δὲ καὶ γένος. ὥσπερ οὖν ἡ οὐσία ἀνωτάτω οὖσα τῷ μηδὲν εἶναι πρὸ αὐτῆς γένος ἦν τὸ γενικώτατον, οὕτω καὶ ὁ ἄνθρωπος εἶδος ὢν μεθ' ὃ οὐκ ἔστιν ἄλλο εἶδος οὐδέ τι τῶν τέμνεσθαι δυναμένων εἰς εἴδη ἀλλὰ τῶν ἀτόμων (ἄτομον γὰρ λέγεται Σωκράτης καὶ Πλάτων καὶ Ἀλκιβιάδης καὶ τουτὶ τὸ λευκόν), μόνον ἂν εἴη εἶδος καὶ τὸ ἔσχατον εἶδος, καὶ ὡς ἔφαμεν, τὸ εἰδικώτατον. τὰ δὲ μέσα τῶν μὲν πρὸ αὐτῶν εἴη ἂν εἴδη, τῶν δὲ μετ' αὐτὰ γένη. ὥστε ταῦτα μὲν ἔχει δύο σχέσεις, τήν τε πρὸς τὰ πρὸ αὐτῶν, καθ' ἣν εἴδη αὐτῶν εἶναι λέγεται, τήν τε πρὸς τὰ μετ' αὐτά, καθ' ἣν γένη αὐτῶν εἶναι λέγεται. τὰ δὲ ἄκρα μίαν ἔχει σχέσιν· τό τε γὰρ γενικώτατον τὴν μὲν ὡς πρὸς τὰ ὑφ' αὐτὸ ἔχει σχέσιν, γένος ὂν πάντων τὸ ἀνώτατον, τὴν δὲ ὡς πρὸς τὰ πρὸ αὐτοῦ οὐκέτι ἔχει, ἀνωτάτω ὂν καὶ πρώτη ἀρχή, καὶ ὡς ἔφαμεν, ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο ἐπαναβεβηκὸς γένος. καὶ τὸ εἰδικώτατον δὲ μίαν ἔχει σχέσιν, τὴν ὡς πρὸς τὰ πρὸ αὐτοῦ, ὧν ἐστιν εἶδος. τὴν δὲ ὡς πρὸς τὰ μετ' αὐτὸ οὐκ ἀλλοίαν ἔχει, ἀλλὰ καὶ τῶν ἀτόμων εἶδος λέγεται. ἀλλ' εἶδος μὲν λέγεται τῶν ἀτόμων ὡς περιέχον αὐτά, εἶδος δὲ πάλιν τῶν πρὸ αὐτοῦ ὡς περιεχόμενον ὑπ' αὐτῶν. ἀφορίζονται τοίνυν τὸ μὲν γενικώτατον γένος οὕτως, ὃ γένος ὂν οὐκ ἔστιν εἶδος, καὶ πάλιν, ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο ἐπαναβεβηκὸς γένος· τὸ δὲ εἰδικώτατον εἶδος οὕτως, ὃ εἶδος ὂν οὐκ ἔστι γένος, καὶ ὃ εἶδος ὂν οὐκ ἂν διελοίμεθα ἔτι εἰς εἴδη, καὶ ὃ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορεῖται. τὰ δὲ μέσα τῶν ἄκρων ὑπάλληλά τε καλοῦσιν εἴδη καὶ γένη, καὶ ἕκαστον αὐτῶν εἶδος εἶναι καὶ γένος τίθενται, πρὸς ἄλλο μέντοι καὶ ἄλλο λαμβανόμενον. τὰ γὰρ πρὸ τῶν εἰδικωτάτων ἄχρι τοῦ γενικωτάτου ἀνιόντα γένη τε λέγεται καὶ εἴδη ὑπάλληλα, ὡς ὁ Ἀγαμέμνων Ἀτρείδης καὶ Πελοπίδης καὶ Τανταλίδης καὶ τὸ τελευταῖον Διός. ἀλλ' ἐπὶ μὲν τῶν γενεαλογιῶν εἰς ἕνα ἀνάγουσι (φέρε εἰπεῖν τὸν Δία) τὴν ἀρχὴν ὡς ἐπὶ τὸ πλεῖστον, ἐπὶ δὲ τῶν γενῶν καὶ τῶν εἰδῶν οὐχ οὕτως ἔχει· οὐ γάρ ἐστι κοινὸν γένος πάντων τὸ ὄν, οὐδὲ πάντα ὁμογενῆ καθ' ἓν τὸ ἀνωτάτω γένος, ὡς φησὶν Ἀριστοτέλης. ἀλλὰ κείσθω, ὥσπερ ἐν ταῖς Κατηγορίαις, τὰ πρῶτα δέκα γένη οἷον ἀρχαὶ δέκα πρῶται· κἂν δὴ πάντα τις ὄντα καλῇ, ὁμωνύμως (φησί) καλέσει, οὐ συνωνύμως. εἰ μὲν γὰρ ἦν κοινὸν πάντων γένος τὸ ὄν, συνωνύμως ἂν πάντα ὄντα ἐλέγετο· δέκα δὲ ὄντων τῶν πρώτων ἡ κοινωνία κατὰ τοὔνομα μόνον, οὐκέτι μὴν καὶ κατὰ τὸν λόγον τὸν κατὰ τοὔνομα. δέκα μὲν οὖν τὰ γενικώτατα, τὰ δὲ εἰδικώτατα ἐν ἀριθμῷ μέν τινί εἰσιν, οὐ μὴν ἀπείρῳ· τὰ δὲ ἄτομα, ἅπερ ἐστὶ μετὰ τὰ εἰδικώτατα, ἄπειρα. διὸ ἄχρι τῶν εἰδικωτάτων ἀπὸ τῶν γενικωτάτων κατιόντας παρεκελεύετο ὁ Πλάτων παύεσθαι, κατιέναι δὲ διὰ τῶν διὰ μέσου διαιροῦντας ταῖς εἰδοποιοῖς διαφοραῖς. τὰ δὲ ἄπειρά φησιν ἐᾶν· μηδὲ γὰρ ἂν γενέσθαι τούτων ἐπιστήμην. κατιόντας μὲν οὖν εἰς τὰ εἰδικώτατα ἀνάγκη διαιροῦντας διὰ πλήθους ἰέναι, ἀνιόντας δὲ εἰς τὰ γενικώτατα ἀνάγκη συναιρεῖν τὸ πλῆθος εἰς ἕν· συναγωγὸν γὰρ τῶν πολλῶν εἰς μίαν φύσιν τὸ εἶδος, καὶ ἔτι μᾶλλον τὸ γένος· τὰ δὲ κατὰ μέρος καὶ καθ' ἕκαστα τοὐναντίον εἰς πλῆθος ἀεὶ διαιρεῖ τὸ ἕν· τῇ μὲν γὰρ τοῦ εἴδους μετουσίᾳ οἱ πολλοὶ ἄνθρωποι εἷς, τοῖς δὲ κατὰ μέρος καὶ καθ' ἕκαστα ὁ εἷς καὶ κοινὸς πλείους. διαιρετικὸν μὲν γὰρ ἀεὶ τὸ καθ' ἕκαστον, συλληπτικὸν δὲ καὶ ἑνοποιὸν τὸ κοινόν. ἀποδεδομένου δὲ τοῦ γένους καὶ τοῦ εἴδους τί ἐστιν ἑκάτερον αὐτῶν, καὶ τοῦ μὲν γένους ἑνὸς ὄντος τῶν δὲ εἰδῶν πλειόνων (ἀεὶ γὰρ εἰς πλείω εἴδη ἡ τομὴ τοῦ γένους), τὸ μὲν γένος ἀεὶ τοῦ εἴδους κατηγορεῖται καὶ πάντα τὰ ἐπάνω τῶν ὑποκάτω, τὸ δὲ εἶδος οὔτε τοῦ προσεχοῦς αὐτοῦ γένους οὔτε τῶν ἐπάνω· οὐδὲ γὰρ ἀντιστρέφει. δεῖ γὰρ ἢ τὰ ἴσα τῶν ἴσων κατηγορεῖσθαι, ὡς τὸ χρεμετιστικὸν τοῦ ἵππου, ἢ τὰ μείζω τῶν ἐλαττόνων, ὡς τὸ ζῶον τοῦ ἀνθρώπου, τὰ δὲ ἐλάττω τῶν μειζόνων οὐκέτι· οὐκέτι γὰρ τὸ ζῶον εἴποις ἂν εἶναι ἄνθρωπον, ὥσπερ τὸν ἄνθρωπον εἴποις ἂν εἶναι ζῶον. καθ' ὧν δ' ἂν τὸ εἶδος κατηγορῆται, κατ' ἐκείνων καὶ τὸ τοῦ εἴδους γένος ἐξ ἀνάγκης κατηγορηθήσεται, καὶ τὸ τοῦ γένους γένος ἄχρι τοῦ γενικωτάτου. εἰ γὰρ ἀληθὲς τὸν Σωκράτην εἰπεῖν ἄνθρωπον, τὸν δὲ ἄνθρωπον ζῶον, τὸ δὲ ζῶον οὐσίαν, ἀληθὲς καὶ τὸν Σωκράτην ζῶον εἰπεῖν καὶ οὐσίαν· ἀεὶ γὰρ τῶν ἐπάνω κατηγορουμένων τῶν ὑποκάτω, τὸ μὲν εἶδος κατὰ τοῦ ἀτόμου κατηγορηθήσεται, τὸ δὲ γένος καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου· τὸ δὲ γενικώτατον καὶ κατὰ τοῦ γένους ἢ τῶν γενῶν, εἰ πλείω εἴη τὰ μέσα καὶ ὑπάλληλα, καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου. λέγεται γὰρ τὸ μὲν γενικώτατον κατὰ πάντων τῶν ὑφ' αὐτὸ γενῶν τε καὶ εἰδῶν καὶ ἀτόμων, τὸ δὲ γένος τὸ πρὸ τοῦ εἰδικωτάτου κατὰ πάντων τῶν εἰδικωτάτων καὶ ἀτόμων, τὸ δὲ μόνον εἶδος κατὰ πάντων τῶν ἀτόμων, τὸ δὲ ἄτομον ἐφ' ἑνὸς μόνου τῶν κατὰ μέρος. ἄτομον δὲ λέγεται ὁ Σωκράτης καὶ τουτὶ τὸ λευκὸν καὶ οὑτοσὶ ὁ προσιὼν Σωφρονίσκου υἱός, εἰ μόνος αὐτῷ εἴη Σωκράτης υἱός. ἄτομα δὲ λέγεται τὰ τοιαῦτα, ὅτι ἐξ ἰδιοτήτων συνέστηκεν

ΕΙΣ ΤΑΣ ΚΑΤΗΓΟΡΙΑΣ.

ΠΟΡΦΥΡΙΟΥ ΕΙΣΑΓΩΓΗ (*).

Ὄντος ἀναγκαίου, Χρυσαόριε, καὶ εἰς τὴν τῶν παρὰ Ἀριστοτέλει κατηγοριῶν διδασκαλίαν τοῦ γνῶναι τί γένος καὶ τί διαφορὰ τί τε εἶδος καὶ τί ἴδιον καὶ τί συμβεβηκός, εἴς τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν καὶ ὅλως εἰς τὰ περὶ διαιρέσεως καὶ ἀποδείξεως χρησίμης οὔσης τῆς τούτων θεωρίας, σύντομόν σοι παράδοσιν ποιούμενος πειράσομαι διὰ βραχέων, ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ, τὰ παρὰ τοῖς πρεσβυτέροις ἐπελθεῖν, τῶν μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων, τῶν δ' ἁπλουστέρων συμμέτρως στοχαζόμενος. αὐτίκα περὶ γενῶν τε καὶ εἰδῶν τὸ μὲν εἴτε ὑφέστηκεν εἴτε καὶ ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖται, εἴτε καὶ ὑφεστηκότα σώματά ἐστιν ἢ ἀσώματα, καὶ πότερον χωριστὰ ἢ ἐν τοῖς αἰσθητοῖς καὶ περὶ ταῦτα ὑφεστῶτα, παραιτήσομαι λέγειν, βαθυτάτης οὔσης τῆς τοιαύτης πραγματείας, καὶ ἄλλης μείζονος δεομένης ἐξετάσεως· τὸ δ' ὅπως περὶ αὐτῶν τε καὶ τῶν προκειμένων λογικώτερον οἱ παλαιοὶ διέλαβον, καὶ τούτων μάλιστα οἱ ἐκ τοῦ περιπάτου, νῦν σοι πειράσομαι δεικνύναι.

2 Ἔοικε δὲ μήτε τὸ γένος μήτε τὸ εἶδος ἁπλῶς λέγεσθαι. γένος γὰρ λέγεται καὶ ἡ τινῶν ἐχόντων πως πρὸς ἕν τι καὶ πρὸς ἀλλήλους ἄθροισις· καθ' ὃ σημαινόμενον τὸ Ἡρακλειδῶν λέγεται γένος ἐκ τῆς ἀφ' ἑνὸς σχέσεως, λέγω δὴ τοῦ Ἡρακλέους, καὶ τοῦ πλήθους τῶν ἐχόντων πως πρὸς ἀλλήλους τὴν ἀπ' ἐκείνου οἰκειότητα, κατὰ ἀποτομὴν τὴν ἀπὸ τῶν ἄλλων γενῶν κεκλημένον. λέγεται δὲ καὶ ἄλλως πάλιν γένος ἡ ἑκάστου τῆς γενέσεως ἀρχὴ εἴτε ἀπὸ τοῦ τεκόντος εἴτε ἀπὸ τοῦ τόπου ἐν ᾧ τις γέγονεν· οὕτω γὰρ Ὀρέστην μὲν ἀπὸ Ταντάλου φαμὲν ἔχειν τὸ γένος, Ὕλλον δὲ ἀφ' Ἡρακλέους, καὶ πάλιν Πίνδαρον μὲν Θηβαῖον εἶναι τὸ γένος, Πλάτωνα δὲ Ἀθηναῖον· καὶ γὰρ ἡ πατρὶς ἀρχή τις ἐστὶ τῆς ἑκάστου γενέσεως, ὥσπερ καὶ ὁ πατήρ. τοῦτο δὲ ἔοικε πρόχειρον εἶναι τὸ σημαινόμενον· Ἡρακλεῖδαι γὰρ λέγονται οἱ ἐκ γένους καταγόμενοι Ἡρακλέους καὶ Κεκροπίδαι οἱ ἀπὸ Κέκροπος καὶ οἱ τούτων ἀγχιστεῖς. καὶ πρότερόν γε ὠνομάσθη γένος ἡ ἑκάστου τῆς γενέσεως ἀρχή, μετὰ δὲ ταῦτα καὶ τὸ πλῆθος τῶν ἀπὸ μιᾶς ἀρχῆς, οἷον τοῦ Ἡρακλέους· ὃ ἀφορίζοντες καὶ ἀπὸ τῶν ἄλλων χωρίζοντες φαμὲν τὸ ὅλον ἄθροισμα Ἡρακλειδῶν γένος. ἄλλως δὲ πάλιν γένος λέγεται ᾧ ὑποτάσσεται τὸ εἶδος, καθ' ὁμοιότητα ἴσως τούτων εἰρημένον· καὶ γὰρ ἀρχή τις ἐστὶ τὸ τοιοῦτο γένος τῶν ὑφ' αὐτό, καὶ δοκεῖ καὶ τὸ πλῆθος περιέχειν πᾶν τὸ ὑφ' αὐτό. τριχῶς οὖν τοῦ γένους λεγομένου, περὶ τοῦ τρίτου παρὰ τοῖς φιλοσόφοις ὁ λόγος. ὃ καὶ ὑπογράφοντες ἀποδεδώκασι, γένος εἶναι λέγοντες τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, οἷον τὸ ζῷον. τῶν γὰρ κατηγορουμένων τὰ μὲν καθ' ἑνὸς λέγεται μόνου, ὡς τὰ ἄτομα, οἷον Σωκράτης καὶ οὗτος καὶ τοῦτο, τὰ δὲ κατὰ πλειόνων, ὡς τὰ γένη καὶ τὰ εἴδη καὶ αἱ διαφοραὶ καὶ τὰ ἴδια καὶ τὰ συμβεβηκότα κοινῶς ἀλλὰ μὴ ἰδίως τινί. ἔστι δὲ γένος μὲν οἷον τὸ ζῷον, εἶδος δὲ οἷον ὁ ἄνθρωπος, διαφορὰ δὲ οἷον τὸ λογικόν, ἴδιον δὲ οἷον τὸ γελαστικόν, συμβεβηκὸς δὲ οἷον τὸ λευκόν, τὸ μέλαν, τὸ καθέζεσθαι. τῶν μὲν οὖν καθ' ἑνὸς μόνου κατηγορουμένων διαφέρει τὰ γένη τῷ ταῦτα κατὰ πλειόνων κατηγορεῖσθαι, τῶν δ' αὖ κατὰ πλειόνων, τῶν μὲν εἰδῶν ὅτι τὰ μὲν εἴδη, εἰ καὶ κατὰ πλειόνων κατηγορεῖται, ἀλλ' οὐ διαφερόντων τῷ εἴδει ἀλλὰ τῷ ἀριθμῷ μόνον· ὁ γὰρ ἄνθρωπος εἶδος ὢν κατὰ Σωκράτους καὶ Πλάτωνος κατηγορεῖται, οἳ οὐ τῷ εἴδει διαφέρουσιν ἀλλήλων ἀλλὰ τῷ ἀριθμῷ· τὸ δὲ ζῷον γένος ὂν ἀνθρώπου καὶ βοὸς καὶ ἵππου κατηγορεῖται, οἳ διαφέρουσι καὶ τῷ εἴδει ἀλλήλων ἀλλ' οὐχὶ τῷ ἀριθμῷ μόνον. τοῦ δ' αὖ ἰδίου διαφέρει τὸ γένος, ὅτι τὸ μὲν ἴδιον καθ' ἑνὸς μόνου εἴδους, οὗ ἐστὶν ἴδιον, κατηγορεῖται, καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων, ὡς τὸ γελαστικὸν ἀνθρώπου μόνου καὶ τῶν κατὰ μέρος ἀνθρώπων· τὸ δὲ γένος οὐχ ἑνὸς εἴδους κατηγορεῖται ἀλλὰ πλειόνων τε καὶ διαφερόντων τῷ εἴδει. τῆς δ' αὖ διαφορᾶς καὶ τῶν κοινῶς συμβεβηκότων διαφέρει τὸ γένος, ὅτι εἰ καὶ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγοροῦνται αἱ διαφοραὶ καὶ τὰ κοινῶς συμβεβηκότα, ἀλλ' οὐκ ἐν τῷ τί ἐστι κατηγορεῖται ἀλλ' ἐν τῷ ὁποῖόν τι ἐστίν. ἐρωτησάντων γὰρ τινῶν τί ἐστιν ἐκεῖνο καθ' οὗ κατηγορεῖται ταῦτα, τὸ γένος ἀποκρινόμεθα, τὰς δὲ διαφορὰς καὶ τὰ συμβεβηκότα οὐκ ἀποκρινόμεθα· οὐ γὰρ ἐν τῷ τί ἐστι κατηγορεῖται τοῦ ὑποκειμένου, ἀλλὰ μᾶλλον ἐν τῷ ποιόν τι ἐστίν. ἐν γὰρ τῷ ἐρωτᾶν ποιόν τι ἐστὶν ὁ ἄνθρωπος φαμὲν ὅτι λογικόν, καὶ ἐν τῷ ποιόν τι ἐστὶν ὁ κόραξ φαμὲν ὅτι μέλαν· ἔστι δὲ τὸ μὲν λογικὸν διαφορά, τὸ δὲ μέλαν συμβεβηκός. ὅταν δὲ τί ἐστιν ἄνθρωπος ἐρωτηθῶμεν, ζῷον ἀποκρινόμεθα· ἦν δὲ ἀνθρώπου γένος τὸ ζῷον. ὥστε τὸ μὲν κατὰ πλειόνων λέγεσθαι τὸ γένος διαστέλλει αὐτὸ ἀπὸ τῶν καθ' ἑνὸς μόνου τῶν ἀτόμων κατηγορουμένων, τὸ δὲ διαφερόντων τῷ εἴδει διαστέλλει αὐτὸ ἀπὸ τῶν ὡς εἰδῶν κατηγορουμένων ἢ ὡς ἰδίων. τὸ δὲ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι χωρίζει αὐτὸ ἀπὸ τῶν διαφορῶν καὶ τῶν κοινῇ συμβεβηκότων, ἃ οὐκ ἐν τῷ τί ἐστιν ἀλλ' ἐν τῷ ποιόν τι ἐστὶν ἢ πῶς ἔχον ἐστὶ κατηγορεῖται ἕκαστον ὧν κατηγορεῖται. οὐδὲν ἄρα περιττὸν οὐδὲ ἐλλεῖπον περιέχει ἡ τοῦ γένους ῥηθεῖσα ὑπογραφὴ τῆς ἐννοίας. τὸ δὲ εἶδος λέγεται μὲν καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς, καθὸ εἴρηται "πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος·" λέγεται δὲ εἶδος καὶ τὸ ὑπὸ τὸ ἀποδοθὲν γένος, καθὸ εἰώθαμεν λέγειν τὸν μὲν ἄνθρωπον εἶδος τοῦ ζῴου, γένους ὄντος τοῦ ζῴου, τὸ δὲ λευκὸν τοῦ χρώματος εἶδος, τὸ δὲ τρίγωνον τοῦ σχήματος εἶδος. εἰ δὲ καὶ τὸ γένος ἀποδιδόντες τοῦ εἴδους ἐμεμνήμεθα, εἰπόντες τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, καὶ τὸ εἶδός φαμεν τὸ ὑπὸ τὸ ἀποδοθὲν γένος, εἰδέναι χρὴ ὅτι ἐπεὶ καὶ τὸ γένος τινός ἐστι γένος καὶ τὸ εἶδος τινός ἐστιν εἶδος ἑκάτερον ἑκατέρου, ἀνάγκη ἐν τοῖς ἀμφοτέρων λόγοις κεχρῆσθαι ἀμφοτέροις. ἀποδιδόασιν οὖν τὸ εἶδος καὶ οὕτως, εἶδός ἐστι τὸ ταττόμενον ὑπὸ τὸ γένος, καὶ οὗ τὸ γένος

(*) addit A: τοῦ φοίνικος τοῦ μαθητοῦ πλωτίνου τοῦ λυκοπολίτου. χριστὲ ὁ θεὸς ἡμῶν σύμπραττε.

PRAEMONITUM.

Quod sperabamus fore ut opera a nobis in Aristotele posita quattuor contineretur voluminibus, id iam fieri non posse intelligimus, abundante in omnem partem materia: restant enim indices, restat commentariorum bona pars, cum aliorum tum quae Syrianus in aliquot Metaphysicorum libros scripsit. iis igitur omnibus quintum debetur volumen: cui cum praefabitur qui haec scholia collegit et digessit, de consilio suo totaque scholiorum ratione dicet quae nunc dicenda habebat, nisi post valetudinem subinde tentatam inerti balneorum otio detineretur.

SCHOLIA IN ARISTOTELEM.

COLLEGIT

CHRISTIANUS AUGUSTUS BRANDIS,

EDIDIT

ACADEMIA REGIA BORUSSICA.

BEROLINI
APUD GEORGIUM REIMERUM
A. 1836.

EX OFFICINA ACADEMICA.

document
ttoyé & ciré
e 21 dec 2005
G.C. Fonds A[illegible]